[illegible] Venetiarum [illegible] 240.
Differ[illegible] [illegible] & [illegible] [illegible] 140.

149



J. 8.

ΓΑΛΗΝΟΥ Γ.

GALENI LIBRORVM PARS TERTIA.

Catalogum eorum octaua pagina monstrabit.



Cum Cæsareæ Maiestat. & Regis Galliarum priuilegijs.

BASILEAE
M. D. XXXVIII.

TYPOGRAPHI LECTORI.

Ιατρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων.

LICEAT ENIM TE EISDEM VERBIS ALLOqui Opt. lector, quibus Idomeneus apud Homerum adhortatus eſt Neſtorem, ut unum Machaonem in caſtra referret omni ſtudio, qui à Paride ſagitta petitus in id diſcriminis uenerat; ut aut in acie caderet, aut captiuus abduceretur. Hominem enim Medicum multis alijs eſſe præferendũ, cum præſertim, & ſcite curare uulnera, & in tempore medicamenta afferre calleat. Quod ſummi uatis teſtimonium, & ſi ad medicorum omnium transferri poteſt laudem, tamen alicui diligẽter hæc perpendenti, tantum id de Galeno prædictum uideri ſolet, ut hoc poëtarum principis elogio, quaſi Palladis ſuffragio, indicaretur futurum, hunc uirum eſſe qui omnes mortales in arte tradenda ſuperaret. Quem & ſi ab ineunte ætate omnis ars & doctrina liberalis oblectarit, ut non ſolum ad hoc ſtudium Medicinæ natura ipſa uitæ dux optima ipſum induceret, Deorum tamen conſilio ſingulari ad hanc artem ſolam factus eſſe uidetur, quorũ oraculis Pater Nicho in ſomnis admonitus in medicinam eum induxit, ac ſi miſerta eſſet Diuina clementia mortaliũ infelicem ſortem, quibus tunc temporis non ſolum cum morborũ infinitis quibuſdam generibus pugnandum eſſet, ſed præter id magnum etiam periculum ab ijs foret à quibus auxilium aduerſus morbos petebatur. Quid enim ſecurum aut tutum eſſe poterat, in tanta ſectarum ac medicorum uarietate, aut quod auxilium ſperari ab arte tam inconſtante, totiesq; mutata, cum ex una ſecta in aliam ſubinde transferretur. Quarum etiam ipſi magiſtri non plane ſibi conſtabant atque inter ſe depugnabant. Quæ uero à priſcis hominibus tradita fuerant ea à paucis colebãtur: quos etiam ipſos perpaucos diſcipulos ob huiuſcemodi difficultatẽ habuiſſe par eſt. Miſerta igitur natura eiusq; ſummus opifex, humanę ſortis, hominem inſtituit, qui omne illud incommodum ſemel auferret. Sed ad id opus erat uiro, qui in omni diſciplina primum ſummè exercitus, deinde in experiendo ſagaciſſimus eſſet, quiq; ea quæ à priſcis diligenter quidem ſed pro more eius ætatis hominum breuiter & obſcurè tradita eſſent, in perſpicuam expoſitionẽ traduceret, Quæ uero à poſteris ac diuerſarũ ſectarum hominibus perperam colerentur ac docerentur, ea uniuerſa tum ratione tum etiam ſenſu & experimentis confutaret, & uana eſſe oſtenderet. Quo firmior deinde & certior haberetur ars, neque periculum eſſet ullum, ſed ſecurum auxilium peti poſſet ab eius ſectatoribus. Talis futurus erat Galenus. Nam ſiue in nobis Deus eſt, quo ſanè agitante caleſcimus, ſiue ſuopte ingenio homines ad præclara omnia & ardua inflammantur, ſic planè contigiſſe uidemus, ut Galeni unius maximè opera, in ſuum nitorem & elegantiam certitudinemq; conſurgeret medicina. Magis tamen credi par eſt, Deorũ id ope & conſilio factum eſſe. Qui ijdem per oraculum id pręcepere, atque multo antè per prudentiſſimum atq; omni ætate clariſſimum uatem prædici iuſſerunt. Neque ſanè mirum eſt maiorem curam illis fuiſſe huius artis, quàm cęterarum omnium, ut hanc diuinitus etiam excultam atq; auctã fuiſſe credamus: Id quod in alijs diſciplinis uſu uenit minime. Tetragoniſmum circuli nemo petijt aliunde quàm à demonſtratione. Medicamenta ab oraculis ſæpe petita fuere. Quis enim dubitet ex omnibus hiſce artibus & diſciplinis quæ à nobis coluntur medicinam longe alias antecellere? aut quis non fateatur ex hac una maxima ſanè commoda & adiumenta uitæ hominum allata, Nam & Gręcus ille uates deorũ antiquiſſimam ſanitatem uocat & eam prę cæteris à Dijs immortalibus petendam eſſe perpetuo admonet, & tantum ſemper dignitatis

& ſplendoris optimis medicis eſt quæſitum, ut tanquam numina terreſtria à mortali bus colerentur. Qamobrem in hoc uehementer laborandum etiam nobis eſſe duxi- mus chalcoghragi, ac pro noſtra uirili hic ſatagẽdũ, ut quæ à maioribus diuino iuſſu & ope accepiſſemus monumenta, cumprimis autem quòd rem ſaratiſſimam & uitæ imprimis neceſſariam continerent, quàm nitidiſſima ac caſtigatiſſima apud nos ha- berentur. Id ſanè ſolum hic quærentes, ut bonorum ſtudia promouentes gratiam ini remus apud ſtudioſos homines. Siquidem uidimus dudum, quando ſolæ barbaro- rum interpretationes extabant, quantum laudis acceperint illi qui Galenum Latinè uertẽdum inſtituerint. Quorum primus noſtra memoria Leonicenꝰ auſpicato exor- ſus, quantam exiſtimationem ſibi apud homines ex hoc inſtituto comparauit? Ean- dem induſtriam æmulatus Laurentianus, & ſi non parem laudem adeptus, quippe cui & breuior ætas, & infeſtiora fuere numina, in eo tamen magnopere commẽdatur, quòd & quæ erãt optima uidit, nec ab hoc illum ſtudio, aut temporis inſcitia, aut quo rundam in illum flagrantiſſima odia abducere unquã potuere. Poſt hos noſtri etiam ad hanc palmam aſſequendam non fruſtra contẽdentes, ipſorum induſtriam nõ in- feliciter ſunt inſequuti. Nam & Gulielmus Copus Baſilienſis Galeni libros ſex de lo cis affectis adeò eleganter & purè uertit, ut uehementer mirarentur quidam, hominẽ non latinum, tantum præſtitiſſe, quod ſuperiores probe æquaſſe uideretur. Thomas Linacer Galeni methodum ſeu de morbis curandis libros tam felici auc latinitate do nauit, ut in opere tam abſoluto nullum calumniæ locum relictum eſſe putent. Sed quo piaculo taceamus ab Hermolao Barbaro Dioſcoridem Romana ciuitate dona- tum, cum unum hoc opus ſatis eſſe poſſit, quod inuitare medicos omnes uelut ad Phidiæ Mineruam in arce ſpectãdam queat. Cuius induſtriam imitatus uir inſigni eruditione Ioan. Ruellius, uiſus eſt non parum ornamenti latinæ medicinæ addi- diſſe. Sed & alij ex eodem numero habẽtur, quibus omnibus maxima laus & gloria eſt quæſita, quæ ſeneſcere nunquam poteſt. Quæ omnia, tum noſtro ipſorum inge- nio impulſi, quo bonos autores perpetuo ornari atque emẽdari cupiuimus, tum do- ctiſſimorum hominum exemplis inuitati accuratius æſtimauimus, uidentes quãtum hi medicinæ ſtudium adauxerint atque promouerint, ut tum primum prodijſſe ars uniuerſa, uideretur, quo tempore illi propulſa fœda barbarorũ turba è ſcholis medico rum, ipſos autores atque ueros principes artis introducerent. Et cum illi immẽſum iu uiſſent, eaq́ fundamenta ieciſſent, ut ſi ſubſtructiones accederent ſuæ, nulla cœli aut temporum iniuria timenda poſthac eſſet, nos prouocati eorum animo atq́ induſtria conſultauimus nobiſcum ecquid noſtra etiam opera ad hãc pulcherrimam ſtructu- ram aduehere poſſet, ac modum noſtrũ atq́ uires emenſi cogitauimus quod in no- ſtra arte ſitum eſſet, non paruum operæpretium ad id fore, ſi autorem quem ipſi lati- num feciſſent, ac tantam inde exiſtimationem promeruiſſent eum nos in ſua lingua Typis noſtris quàm emẽdatiſſimè excuſum uobis daremus. Qua in re, nec induſtrię conſilium, nec conſilio induſtria ſanè defuit. Nam quando nos inſtitutum hoc tam arduum ac difficile parare ſoli non poſſemus, quod & Τὰ καλὰ πάντα χαλεπὰ, & in hoc opere imprimis ſummam difficultatem fore appareret, nobis architectos ac ue luti ſocios laboris adiũximus uiros doctos ac diligentes, qui ęditionem hanc adorna rent, atq́ ad incudem uſque præpararent. Comparaueramus autem prius exempla- ria uarij generis ac perquamuetuſta, quibus adiuti illi permoleſtũ ac graue illud ne- gocium tuto & fideliter expedirent. Ex quibus debetur nõ parua laus Ioachimo Ca- merario, ac Leonardo Fuſchio, qui in hac fabrica extruẽda plurimum adiuuere. De- betur etiam Hieronymo Gemuſæo noſtro qui profecto in emendando magnã par- tem nihil ſibi ad induſtriam & laborem fecit reliqui, donec operoſiſſima hæc fabrica ab optimis artificibus hiſce, ad finem perduceretur. His uiris debes laudem ſane ma-

ximam

ximam, tãtam inquam quantam nemo credat, qui nõ ipse tædium quod in id genus laboribus deuorandum est, expertus sit. Nobis præterea tãtum fauere te decet quantum par est eos beneuolentia prosequi, qui neque labori, neque impensis omnibus parcentes cupiunt publicam studiorum utilitatem promouere. Id si feceris, ut plane nobis persuasum de te est, facies nos alacriores in moliendis alijs eiusdem generis, quæcunque ueram prudentiam & eruditionem adiutura esse uidebuntur. Bene Vale.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΣΦΥΓΜΩΝ ΤΟΙΣ ΕΙΣΑΓΟΜΕΝΟΙΣ.

ΟΣΑ τοῖς εἰσαγομένοις φίλτατε Τεῦθραν χρήσιμον ἐπίστασθαι περὶ σφυγμῶν, ἐν ταῦθα λεχθήσεται. τὴν δ' ὅλην ὑπὲρ αὐτῶν τέχνην ἑτέρωθι γεγραμμένην ἔχεις. πᾶσαι μὲν οὖν αἱ ἀρτηρίαι τὸν αὐτὸν τρόπον σφύζουσιν ἀλλήλαις τε, καὶ τῇ καρδίᾳ, ὥστ' ἐκ μιᾶς αὐτῶν δύνασθαι περὶ πασῶν συλλογίζεσθαι, οὐ μὴν αἰσθέσθαι γε τῆς κινήσεως ὁμοίως ἁπασῶν, δυνατόν. ἀλλὰ τῶν μὲν ἐν τοῖς ἀσάρκοις μέρεσι προφανεστέραν, τῶν δ' ἐν τοῖς σαρκώδεσιν ἀμυδροτέραν. ὅσαι δ' ὑπὸ παχείας σαρκὸς καλύπτονται, ἢ ὀστῶν ἔνδον εἰσίν, ἢ ἐπίπροσθεν αὐτῶν ἐστιν ἄλλα σώματα, τούτων οὐκ ἂν αἴσθοιο τῆς κινήσεως, ἔν γε τῷ κατὰ φύσιν ἔχειν τὸ ζῶον. ἐκτακέντος δὲ τοῦ σώματος σφοδρῶς, ἥ τε κατὰ τὴν ῥάχιν ἀρτηρία πολλάκις τοῖς ἁπτομένοις τὴν ὑπογάστριον τὴν κίνησιν διασημαίνει. καί τινες τῶν ἐν τοῖς κώλοις ἤσθησαν, ἀφανῶν πρότερον οὐσῶν. διαπαντὸς δ' αἵ τε κατὰ τοὺς κροτάφους, καὶ τῶν ποδῶν αἱ ἐπὶ τοῖς ταρσοῖς, καὶ τῶν χειρῶν αἱ κατὰ τοὺς καρποὺς ἐντὸς αἰσθητὴν ἔχουσι τὴν κίνησιν, τούτων δ' ἔλαττον μὲν οὐ μὴν ἀφανῶς οὐδ' αὗται σφύζουσιν, αἵ τε τῶν ὤτων ὄπισθεν ἐν τῇ κεφαλῇ, καὶ τῶν βραχιόνων ἐντός. καὶ ἤδη τινὲς ἄλλαι, αἱ μὴ πάνυ τῇ πολλῇ σαρκὶ καλύπτονται, ἀλλ' οὔτε ἑτοιμότερον, οὔτε εὐσχημονέστερον, οὔτε τῷ χρείᾳ συμφορώτερον, ἄλλης ἂν ἅπτοιο, τὰς ἐν τοῖς καρποῖς παρείς. αὗται γὰρ ἐπιφανεῖς μάλιστα ὑπάρχουσι τῇ τοῦ ἀσάρκου τοῦ χωρίου, καὶ οὐδὲν δι' αὐτὰς γυμνοῦν τοῦ σώματος ἀναγκαῖον, ὥσπερ δι' ἄλλας πολλάς, καὶ ὅτι κατ' εὐθὺ τετάγμεναι εἰσίν. οὐ μικρὸν δὲ τοῦτο εἰς ἀκρίβειαν διαγνώσεως.

Περὶ ποσοῦ διαστολῆς.

Ἁπτομένῳ δέ σοι φανεῖται διαστελλομένη κατὰ πᾶσαν διάστασιν ἡ ἀρτηρία. τρεῖς δ' εἰσὶ διαστάσεις παντὸς τοῦ σώματος, εἰς μῆκος, βάθος, καὶ πλάτος. ἀλλ' ἐν τῷ κατὰ φύσιν ἔχειν τὸ ζῶον συμμέτρως, πάνυ διαστελλομένην εὑρήσεις τὴν ἀρτηρίαν. ἐν δὲ τῷ παρὰ φύσιν ἔχειν, ἔστι ὅπη τὸ μὲν ἐλλείπει, τὸ δ' ὑπερβάλλει, καθ' ἥν τινα οὖν διάστασιν. ἐν τούτῳ χρὴ μεμνημένον σε οἷος ἦν ὁ κατὰ φύσιν σφυγμός. καὶ εἰ μὲν τῷ πλάτει μείζων ὁ παρὰ φύσιν εὑρίσκοιτο, πλατὺν καλεῖν εἰ δὲ τῷ μήκει, μακρόν, εἰ δὲ τῷ βάθει, ὑψηλόν. καὶ τοὺς ἐναντίους αὐτοῖς τοὺς ἐλάττους τοῦ κατὰ φύσιν ὀνομάζειν ἀνάλογον, στενόν, καὶ βραχύν, καὶ ταπεινόν. τῶν δὲ ἐν πάσαις ταῖς διαστάσεσιν ὁμοίως εἰς τὸ παρὰ φύσιν τρεπομένων, ὁ μὲν πάντη μειωθεὶς μικρός. ὁ δὲ πάντη αὐξηθεὶς, μέγας ὀνομάζεται. αὗται μὲν αἱ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐν σφυγμῷ διαφοραί.

Περὶ τοῦ ποιοῦ τῆς κινήσεως.

Τῶν δὲ τῆς κινήσεως ἰδίων ἥ τε ταχύτης ἐστί, καὶ ἡ βραδύτης, ἡ μὲν ἠπειγμένη τις οὖσα κίνησις, ἡ δὲ ἐκλελυμένη. κριτέον δὲ καὶ ταύτας τῷ κατὰ φύσιν παραβάλλοντα. ἐν δὲ τῷ ποιῷ τῆς προσβολῆς ἥ τε σφοδρότης, καὶ ἀμυδρότης συνίστανται, βιαίως μὲν ὠθουμένης τῆς ἁφῆς ἡ σφοδρότης, ἀρρώστως δὲ ἡ ἀμυδρότης. μαλακότης δὲ καὶ σκληρότης, αὐτοῦ τοῦ χιτῶνος τῆς ἀρτηρίας ποιότητές εἰσιν, ἡ μὲν μαλακότης ὅταν οἷον σαρκωδεστέρα, καὶ κατὰ τὴν προσβολὴν ἡ ἀρτηρία φαίνεται. ἡ δὲ σκληρότης, ὅταν οἷον ξηροτέρα τε καὶ βυρσωδεστέρα. συνδιαγινώσκεται μὲν οὖν εὐθὺς τῇ κινήσει τῆς ἀρτηρίας, καὶ ἡ τοιαύτη τῶν σφυγμῶν διαφορά. οὐκ ἔστι δὲ αὐτῆς ἰδία καθάπερ αἱ προειρημέναι τρεῖς. ἐκείνων γὰρ ἡ μὲν τοῦ τάχους, καὶ τῆς βραδύτητος κατὰ τὸ ποιόν ἦν τῆς κινήσεως. ἡ δὲ τῆς σφοδρότητος καὶ τῆς ἀμυδρότητος κατὰ τὸ τῆς πληγῆς ποιόν. ἡ δὲ τοῦ μεγέθους, καὶ τῆς μικρότητος κατὰ τὸ ποσὸν τῆς διαστολῆς. ἡ διαστολὴ δὲ οὐκ ἄνευ κινήσεως. τὸ δὲ μαλακὸν σῶμα, καὶ σκληρόν, οὐ προσδεῖται κινήσεως εἰς τὸ τοιοῦτον εἶναι. τέσσαρας οὖν ταύτας τὰς διαφορὰς τῶν σφυγμῶν κατὰ τὴν πληγὴν εὑρήσεις.

Περὶ τῆς περὶ τὸν χρόνον ἠρεμίας.

Πέμπτην δὲ ἄλλην κατὰ τὸ τῶν πληγῶν διάλειμμα. καλεῖν γὰρ ἔθος οὕτω τοῖς ἰατροῖς τὸν μεταξὺ δύο πληγῶν χρόνον, ἐν ᾧ διαστέλλεται ἡ ἀρτηρία, καὶ συστέλλεται, καὶ προσήκειν ἡγοῦμαι τοῖς εἰσαγομένοις γυμνάσασθαι, πρῶτον μὲν ὡς ἐπ' ἀναισθήτου τῆς συστολῆς. καλείσθω μοι τὸ μὲν ἡ πληγή, τὸ δὲ διάλειμμα. πληγὴ μὲν ἡ ἀπὸ τῆς ἀρτηρίας κινουμένης προσβολὴ τῇ ἁφῇ γιγνομένη. διάλειμμα δὲ ἡ μεταξὺ δύο πληγῶν ἡσυχία, καθ' ἣν ὁ πυκνός, καὶ ἀραιός, καὶ μέσος ἀμφοῖν, ἐφ' ὧνπερ οἱ κατὰ φύσιν συνίστανται σφυγμοί. γνωριεῖς δὲ καὶ τούτους τῷ ποσῷ τοῦ χρόνου. πυκνὸς μὲν γάρ ἐστι, ὅταν βραχὺς ὁ τῆς ἡσυχίας ἢ χρόνος. ἀραιὸς δὲ ὅταν πολύς. ἡσυχίαν δὲ λέγειν, ἢ διάλειμμα πληγῶν, ἢ συστολήν, οὐ διοίσει.

Περὶ ὁμαλότητος, καὶ ἀνωμαλίας.

Ὁμαλότης δὲ καὶ ἀνωμαλία γίνεται κατὰ πάσας τὰς εἰρημένας διαφοράς. ἡ γὰρ ἐφεξῆς ἰσότης τούτων, ὁμαλότης ἐστί. οἷον ὅταν τὸ μέγεθος τῶν ἐφεξῆς ἴσον ᾖ, λέγοιτ' ἂν ὁμαλὸς εἶναι κατὰ τὸ μέγεθος ὁ σφυγμός. καὶ εἰ τὸ τάχος ἴσον, ὁμαλὲς κατὰ τὸ τάχος. ὡσαύτως δὲ καὶ εἰ κατὰ σφοδρότητα, καὶ πυκνότητα, καὶ ἀμυδρότητα. ἡ δὲ ἀνωμαλία διαφθορὰ τῆς ἰσότητός ἐστι, καθ' ἣν ἂν τύχῃ διαφορὰν τῶν σφυγμῶν συνισταμένη. ἔσται γὰρ ὁ μέν τις κατὰ τὸ μέγεθος ἀνώμαλος, ὁ δέ τις κατὰ τὸ τάχος, ὁ δὲ κατὰ σφοδρότητα, καὶ ἀμυδρότητα, καὶ πυκνότητα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Περὶ τάξεως, καὶ ἀταξίας.

Ἔστι δὲ ὅτε καὶ διά τινος τάξεως ἀριθμοῦ πληγῶν ὡρισμένου τοῖς ἴσοις σφυγμοῖς, εἷς ἄνισος παρεμπίπτει. καὶ τοῦτο γίνεται πολυειδῶς. καὶ γὰρ τρισὶν ἴσοις ὁ τέταρτος ἄνισος ἕπεται. καὶ τοῦτο ἐφεξῆς ἀεί, ἢ τέτρασιν ὁ πέμ-

πτος. καὶ κατὰ πᾶν ἄλλο πλῆθος ὡσαύτως. καὶ γὰρ πέντε πολλάκις ἴσοις, ὁ ἕκτος ἄνισος ἕπεται. καὶ πάλιν ϛʹ. ἴσοις δ. ζʹ. οὐκ ἴσος. ἡ μὲν οὖν ἰσότης ἐν τοῖς τοιούτοις οὐκέτι σώζεται. καὶ διὰ τοῦτο ἀνώμαλος ὁ σφυγμὸς γίνεται, τάξις μέν τοι τὶς σώζεται, καὶ διὰ τοῦτο τεταγμένος ἐστί. διʼ ἴσου γὰρ ἀεὶ πλήθους τοῖς ἴσοις σφυγμοῖς εἷς ἄνισος παρεμπίπτων, τὴν ἰσότητα διαφθείρει. ἡ δʼ οὖν κατὰ τὰς περιόδους ἀναλογία φυλάττει τινὰ τάξιν. ἂν δʼ ὅλως μηδεμία σώζεται περίοδος, ἄτακτος ὁ τοιοῦτος καλεῖται.

Περὶ τῆς καθʼ ἕνα σφυγμὸν ἀνωμαλίας.

Γίνεται δὲ καὶ καθʼ ἕνα σφυγμὸν ἀνωμαλία περί τε τὰ μέρη τῆς ἀρτηρίας διαφερόντως ἔχοντα πρὸς ἄλληλα, θέσει τε καὶ κινήσει, καὶ παρὰ τὴν ἑνὸς ἑκάστου σφυγμοῦ καθʼ αὑτὸ κίνησιν. ἡ μὲν οὖν ἐν τῇ θέσει τῶν μορίων ἀνωμαλία συνίσταται παρὰ τὸ ἄνω καὶ κάτω, καὶ πρόσω καὶ ὀπίσω, καὶ δεξιὰ καὶ ἀριστερὰ μετῆχθαι δοκεῖν τὴν ἀρτηρίαν. ἐν δὲ τῇ κινήσει θᾶττον, ἢ βραδύτερον, ἢ πρωϊαίτερον, ἢ ὀψιαίτερον, ἢ σφοδρότερον, ἢ ἀμυδρότερον ἢ ἐπὶ πλείονα χρόνον, ἢ ἐλάσσονα, ἢ ἀεί. ἢ οὐδʼ ὅλως κινουμένων. καθʼ ἕκαστον δὲ μέρος ἐν μὲν τῷ διακεκόφθαι σαφῶς, ἐξ ὧν ἐστὶ καὶ ὁ δορκαδίζων. ὡσαύτως δὲ καὶ ἐν τῷ παλινδρομεῖν, ἐξ ὧν ἐστὶ καὶ ὁ δίκροτος. ἐν δὲ τῷ περὶ τῆς κινήσεως οὐκ ἰσοταχεῖ, ὅταν ἀρχομένη μὲν ὠκυτέρα, τελευτῶσα δὲ βραδυτέρα. καὶ ἀνάπαλιν, ἀρχομένη μὲν βραδυτέρα, τελευτῶσα δὲ ὠκυτέρα, καὶ κατὰ σφοδρότητα, καὶ ἀμυδρότητα, καὶ μικρότητα, καὶ μέγεθος ὡσαύτως, οὐκ εἰς δύο μόνους χρόνους τῆς κινήσεως μεριζομένης, ἀλλὰ καὶ εἰς πλείονας, ἐφʼ ὅσον ἂν αἰσθήσει διαγνωστόν. αὗται μὲν οὖν αἱ ἁπλαῖ, καὶ καθʼ ἕνα σφυγμὸν ἀνωμαλίαι.

Περὶ συνθέτου ἀνωμαλίας σφυγμῶν.

Σύνθετοι δὲ καθʼ ὅσον ἂν δυνατὸν ἢ ἄλλην ἄλλῃ, καὶ μίαν μιᾷ, καὶ μίαν πλείοσι, καὶ πολλὰς πολλαῖς μίγνυσθαι. καί τινες αὐτῶν ἰδίου τετυχήκασιν ὀνόματος. ὥσπερ καὶ ὁ σκωληκίζων, καὶ ὁ μυρμηκίζων, καὶ ὁ ἑκτικός. ὁ μὲν σκωληκίζων, ὅταν οἱονεὶ ἕρποντος τὴν ἀρτηρίαν σκώληκος ἔμφασις γίνεται κυματωδῶς ἐγειρομένου, καὶ μὴ καθʼ ἕνα χρόνον ὅλης διαστελλομένης τῆς ἀρτηρίας εἰ μὲν οὖν σὺν μικρότητι διαστολῆς τοῦτο γίγνοιτο, σκωληκίζων καλεῖται. εἰ δὲ σὺν μεγέθει κυματώδης ἁπλῶς. δῆλον δὲ ὅτι καὶ ἀμυδρὸς, καὶ πυκνός ἐστι ὁ σκωληκίζων. ὁ δʼ εἰς ἐσχάτην καταπεπτωκὼς ἀμυδρότητα, καὶ πυκνότητα, καὶ μικρότητα, μυρμηκίζων καλεῖται, ταχὺς μὲν εἶναι δοκῶν, οὐκ ὢν δὲ ταχύς. ἑκτικὸς δὲ ὥσπερ πυρετὸς, οὕτως καὶ σφυγμὸς καλεῖται, ὁ μηδεμίαν τροπὴν μεγάλην ποιούμενος, ἀλλʼ ἀεὶ παραπλήσιος μένων, συμπλεκόμενός τε, καὶ μηδέ ποτε λυόμενος ὅλης τῆς ἕξεως τεθραμμένης νοσωδῶς ἐν τοῖς τοιούτοις πυρετοῖς τε καὶ σφυγμοῖς. ταῦτα μοι ἀρκεῖν δοκεῖ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς τοῖς εἰσαγομένοις εἰρῆσθαι. εἰ γάρ τις ἐπὶ τὸ ἀκριβέστερον αὐτὸ ἔρχεσθαι βούλοιτο, βιβλίον ὅλον ἔχει περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ὑφʼ ἡμῶν γεγραμμένον. οὔκουν οὔτε περὶ πλήρους καὶ κενοῦ σφυγμοῦ νῦν λέγειν ἀναγκαῖον, οὔτε περὶ ῥυθμῶν, ἐν ἐκείνῳ γὰρ εἴρηται ἀκριβῶς περὶ αὐτῶν. καὶ ἔστιν ἀσαφέστερος ὁ λόγος τοῖς εἰσαγομένοις. ἀναλαβόντες οὖν ἐν κεφαλαίῳ τὰ προειρημένα, τῶν ἐφεξῆς ἐχώμεθα. μέγας τοίνυν ἐστὶ σφυγμός, ὁ κατὰ μῆκος, καὶ πλάτος, καὶ βάθος τῆς ἀρτηρίας ἐπὶ πολὺ διϊσταμένης γινόμενος. μακρὸς δὲ ὁ κατὰ μῆκος μόνον, πλατὺς ὁ κατὰ πλάτος, καὶ ὑψηλὸς ὁ κατὰ βάθος. σφοδρὸς δὲ σφυγμός ἐστι ὁ πλήττων εὐρώστως τὴν ἁφήν. μαλακὸς δὲ ἐφʼ οὗ ὁ χιτὼν τῆς ἀρτηρίας ἁπαλὸς ᾖ. καὶ ταχὺς μὲν ὁ ἐν ὀλίγῳ χρόνῳ διαστελλομένης τῆς ἀρτηρίας γινόμενος. πυκνὸς δὲ ὁ διʼ ὀλίγου. καὶ ὁμαλὸς μὲν ὁ ἐφεξῆς ἴσος. τεταγμένος δὲ ὁ κατὰ περίοδον ἴσος. ὁ δὲ κατὰ μίαν πληγὴν ἄνισος, ἀνώμαλος λέγεται κατὰ μίαν πληγήν. εἶεν δʼ ἂν σαφεῖς καὶ οἱ ἐναντίοι αὐτῶν. μικρὸς, καὶ βραχὺς, καὶ στενὸς, καὶ ταπεινὸς, καὶ ἀμυδρὸς, καὶ σκληρὸς, καὶ βραδὺς, καὶ ἀραιὸς, καὶ ἀνώμαλος, καὶ ἄτακτος. οὐκ ἄδηλον δὲ καὶ ὅτι τῶν μὲν ἄλλων ἐναντίων ἐστὶν ἑκάστου μέσος. ὁμαλοῦ δὲ καὶ ἀνωμάλου μέσος οὐδείς ἐστιν, οὐδὲ τεταγμένου καὶ ἀτάκτου. καὶ ὅτι τῶν μὲν ἄλλων ἁπάντων, οἱ μέσοι, κατὰ φύσιν. ἐν τούτοις δὲ ὁ μὲν ὁμαλὸς κατὰ φύσιν μόνος. οἱ ἄλλοι οὐ κατὰ φύσιν, ὅ, τε ἀνώμαλος καὶ ἄτακτος.

Περὶ αἰτιῶν σφυγμοῦ.

Ἐπεὶ δὲ πολυειδῶς οἱ σφυγμοὶ τρέπεσθαι πεφύκασιν, οὐδὲν γὰρ εὕροις, ὡς ἔπος εἰπεῖν, αἴτιον, ὃ μὴ καὶ τούτους τρέπει, δοκεῖ μοι τριττὴν αὐτῶν τοῖς τροποῖς τὴν ἀνωτάτω διαφορὰν ποιησάμενον οὕτως ὑπὲρ ἑκάστης ἰδίᾳ κατὰ μέρος εἰπεῖν. πρώτη μὲν οὖν ἡ κατὰ φύσιν αὐτῶν ἐστὶ τροπή. δευτέρα δὲ ἡ οὐ κατὰ φύσιν μὲν οὐ μὴν ἤδη παρὰ φύσιν. τρίτη δὲ ἡ παρὰ φύσιν. ἐπιγίνονται δʼ αὗται πᾶσαι ταῖς φυσικαῖς διαφοραῖς. ἄλλως γὰρ ἄλλως αἱ ἀρτηρίαι φύσει κινοῦνται. καὶ χρὴ πρώτας ταύτας ἐπίστασθαι τὸν μέλλοντα γνωρίζειν ὑπὸ τίνος αἰτίου, καὶ μέχρι πόσου τετράφθαι συμβέβηκε τὸν σφυγμόν. ἀλλὰ τὸν μὲν ἴδιον ἑκάστου ἀκριβῶς ἄν τις πειραθεὶς μάθοι. καὶ δεῖ πολλάκις ἧφθαι τῆς ἀρτηρίας, μάλιστα μὲν ὑγιαίνοντος ἀμέμπτως, καὶ ἐν ἡσυχίᾳ πάσης σφοδρᾶς κινήσεως, ἤδη δὲ καὶ ἐν ταῖς ἄλλαις διαθέσεσιν. ἐπειδὴ δὲ πάντων οὐκ ἐνδέχεται διʼ ἐμπειρίας ἐληλυθέναι, πολλοὶ γὰρ ἤδη πολλάκις ἐδεήθησαν ἰατρῶν, οἷς ὑγιαίνουσιν οὐκ ἐνέτυχον, ἄριστον δὴ κἀνταῦθα πλέον ἰδιώτου τὸν τεχνίτην ἔχειν. ἔχοι δʼ ἂν πλέον, ἐπίσημον ποιησάμενος τῶν τοῖς πολλοῖς ὁμοίως ὑπαρχόντων, ἔστι δέ τις, ὡς τύπῳ φάναι. κοινὴ φύσις ἀνδρῶν, καὶ ἄλλη γυναικῶν, καὶ ὅσοι θερμότερον εἰσὶ κεκραμένοι, καὶ ὅσοι ψυχρότερον. καὶ τούτων ἑκατέρων κοινὴ φύσις, καὶ τῶν ἰσχνῶν πάντων κοινὴ, καὶ τῶν παχέων ὡσαύτως κοινή. καὶ σπάνιον ἐν ἑκάστῃ τῶν προειρημένων κοινοτήτων τὸ μὴ τοῖς πολλοῖς ἐοικός. ὥστε καὶ τὸ ἁμαρτάνειν τοῦ ἀληθοῦς ἐστὶ σπάνιον, τὸ κοινὸν ἀκριβῶς ἐπισταμένῳ. ἄνδρες μὲν γυναικῶν ὡς ἐπίπαν μείζονα πολλῷ, καὶ σφοδρότερον ὡσαύτως πολλῷ, καὶ βραδύτερον ὀλίγῳ, καὶ ἀραιότερον ἱκανῶς ἔχουσι, τὸν σφυγμόν. οἱ δὲ φύσει θερμότεροι μείζονα μὲν καὶ ὠκύτερον καὶ πυκνότερον πολλῷ, σφοδρότερον δὲ οὐ πολλῷ. οἱ δʼ ἰσχνότεροι φύσει μείζονα μὲν καὶ ἀραιότερον πολλῷ, σφοδρότερον δὲ οὐ πολλῷ. φύσει μὲν οὕτως διαφέρουσι. τρέπονται δὲ κατὰ μὲν τὰς ἡλικίας ὧδέ πως. ὁ μὲν τοῦ νεογνοῦ παιδίου πυκνότερος, ὁ δὲ τοῦ γέροντος ἀραιότερος, οἱ δʼ ἐν τῷ μεταξὺ πάντες ἀνάλογον,

λόγον, ἐφ' ὅσον ἂν ἢ παιδίῳ, ἢ γέροντι ἐγγύτεροι τυγχάνουσιν ὄντες. ὡσαύτως ταχύτατος μὲν ὁ τοῦ παιδίου, βραδύτερος δὲ ὁ τοῦ γέροντος. οἱ δὲ τῶν ἄλλων ἡλικιῶν μεταξύ. πολλῷ δὲ μείζων ἡ περὶ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον ἤπερ ἡ περὶ τὸ τάχος. ἐν δὲ τῇ κατὰ τάχος. ἐν δὲ τῇ κατὰ μέγεθος, καὶ σφοδρότητα διαφορᾷ, μέγιστος μὲν ἐν ἡλικίαις ὁ τῶν ἀκμαζόντων, μικρότατος δὲ ὁ τῶν γερόντων, μέσος δὲ αὐτῶν βραχὺ μείζων ὁ τῶν παιδίων. καὶ σφοδρότατος μὲν ὁ τῶν ἀκμαζόντων, ἀμυδρότατος δὲ ὁ τῶν γερόντων, μέσος δὲ αὐτῶν ὁ τῶν παιδίων. οὕτω μὲν ἐν ταῖς ἡλικίαις οἱ σφυγμοί. κατὰ δὲ τὰς ὥρας τοῦ μὲν ἦρος τὰ μέσα, μεγίστους, καὶ σφοδροτάτους ὡς ἐν ὥραις. τάχει δὲ καὶ πυκνότητι συμμέτρους, ὡσαύτως δὲ καὶ τοῦ φθινοπώρου τὰ μέσα. προϊὸν δὲ τὸ ἔαρ ἀφαιρεῖται τοῦ μεγέθους, καὶ τῆς σφοδρότητος, προστίθησι δὲ τῷ τάχει καὶ τῇ πυκνότητι. καὶ τέλος ἡνίκα ἂν ἐπιλάβοι τὸ θέρος, ἀμυδροί, καὶ μικροί, καὶ ταχεῖς, καὶ πυκνοὶ γίνονται. τὸ δὲ φθινόπωρον προϊὸν ἁπάντων ἀφαιρεῖ, μέγεθος
10 σφοδρότητα, τάχος πυκνότητα. ὥστε καὶ τοῦ χειμῶνος ἐπελθόντος, εἰς μικρότητα, καὶ ἀμυδρότητα, καὶ βραδύτητα, καὶ ἀραιότητα τετράφθαι. ἔοικε δὲ τὰ μὲν πρῶτα τοῦ ἦρος τοῖς ὑστάτοις τοῦ φθινοπώρου, τὰ δὲ ὕστατα τοῖς πρώτοις, καὶ τὰ μὲν πρῶτα τοῦ θέρους τοῖς ὑστάτοις τοῦ θέρους, καὶ τὰ πρῶτα τοῦ χειμῶνος τοῖς ὑστάτοις τοῦ χειμῶνος. ὥστε ὅσα θέρους μέσου, καὶ μέσου χειμῶνος ἴσον ἐφ' ἑκάτερα ἀφέστηκεν, ὁμοίως τρέπει, μέσον δὲ θέρους, τῇ μὲν ὡσαύτως ἔχει, τῇ δὲ ἐναντίως ἔχει μέσῳ χειμῶνι, μικροὶ μὲν γὰρ καὶ ἀμυδροὶ καθ' ἑκάτερον. ὠκεῖς δὲ καὶ πυκνοὶ θέρους, καὶ βραδεῖς, καὶ ἀραιοὶ χειμῶνος· οὐ μὴν οὕτω μικροὶ θέρους, ὡς χειμῶνος, ἀλλ' ἧττον θέρους, οὐδ' οὕτως ἀμυδροὶ χειμῶνος ὡς θέρους, ἀλλ' ἧττον χειμῶνος. αὗται μὲν οὖν αἱ κατὰ τὰς ὥρας τῶν σφυγμῶν τροπαί. περὶ δὲ τὰς χώρας ὡσαύτως ταῖς ὥραις. ἐν μὲν ταῖς ἄγαν θερμαῖς, οἷοι μέσου θέρους. ἐν δὲ ταῖς ἄγαν ψυχραῖς, οἷοι μέσου χειμῶνος. ἐν δὲ ταῖς εὐκράτοις, οἷοι μέσου τοῦ ἦρος. ἀνάλογον δὲ κἂν ταῖς μεταξύ. καὶ τῶν ἄλλων δὲ καταστάσεων τοῦ περιέχοντος ἡμᾶς ἀέρος, αἱ μὲν θερμαὶ ταῖς θερμαῖς ὥραις, αἱ δὲ ψυχραὶ ταῖς ψυχραῖς, αἱ δὲ μέσαι ταῖς μέ-
20 σαις τοῦ ἦρος ἐοίκασιν. ἐν δὲ τῷ κύειν οἱ σφυγμοὶ μείζονες, καὶ πυκνότεροι, καὶ ὠκύτεροι γίνονται. τὰ δὲ ἄλλα κατὰ φύσιν φυλάττουσιν. εἴη δ' ἂν εἴπερ τι καὶ ἄλλο, καὶ ὕπνοι κατὰ φύσιν. τρέπουσι δὲ καὶ οὗτοι τοὺς σφυγμούς, ἀρχόμενοι μὲν μικροτέρους, καὶ βραδυτέρους, καὶ ἀραιοτέρους, καὶ ἀμυδροτέρους ἀπεργαζόμενοι, προϊόντες δὲ βραδύτητα μὲν ἐπιτείνουσι, καὶ ἀραιότητα, καὶ μάλιστα κατὰ τροφήν. μείζους δὲ γίνονται, καὶ σφοδρότεροι. χρονισάντων δὲ πάλιν τρέπονται εἰς ἀμυδρότητα, καὶ μικρότητα. φυλάττουσι δὲ βραδύτητα, καὶ ἀραιότητα. τῶν δ' ἐξ ὕπνου μεταπεπτωκότων εἰς ἐγρήγορσιν, ἐν μὲν τῷ παραχρῆμα, μεγάλοι, καὶ σφοδροί, καὶ ταχεῖς, καὶ πυκνοί, καί τινα κλόνον ἔχοντες. μετ' ὀλίγον δὲ εἰς συμμετρίαν ἔρχονται. αἱ δ' ἐπίκτητοι ἕξεις τοῦ σώματος ὁμοίως ταῖς φυσικαῖς τρέπουσι τοὺς σφυγμούς. ὁ μὲν γὰρ ἰσχνὸς φύσει, γενόμενος εὔσαρκος, ἀνάλογον τῷ τοιούτῳ φύσει τὸν σφυγμὸν ἔχει. ὁ δὲ εὔσαρκος, ἰσχνὸς γενόμενος, τοῖς ἰσχνοῖς φύσει παραπλήσιον ἔχει τὸν σφυγμόν. δῆλον δὲ ὅτι χωρὶς τοῦ τὴν δύναμιν ὑπαλλάττεσθαι, τὴν κατ' ἰσχνότητα, καὶ εὐσαρκίαν διαφορὰν ἐξε-
30 τάζειν χρή. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ὥστε καθ' ἓν μόνον ὑπὲρ οὗ τὸν λόγον ἑκάστοτε ποιούμεθα τὴν τροπὴν γεγονέναι. ἅπερ δ' ἐπὶ τῶν εὐσάρκων εἴρηται, ταῦτα καὶ ἐπὶ τῶν παχέων εἰρῆσθαι δοκεῖν, χρή, ἐπιτεταμένα μᾶλλον. Καὶ αἱ κράσεις δὲ τοῦ σώματος αἱ ἐπίκτητοι, ταῖς φυσικαῖς κράσεσιν ἀνάλογον τρέπουσι τοὺς σφυγμούς. Ἑξῆς δὲ καιρὸς ἂν εἴη λέγειν τὰς ἄλλας τροπάς, τὰς ἐπὶ τοῖς οὐ φύσει γινομένας αἰτίοις.

γυμνάσια κατ' ἀρχὰς μὲν καὶ μέχρι τοῦ μετρίου, σφοδροτέρους τε καὶ μεγάλους καὶ ταχεῖς, καὶ πυκνοὺς τοὺς σφυγμοὺς ἀπεργάζονται. πολλὰ δὲ καὶ ὑπὲρ τὴν δύναμιν τοῦ πονοῦντος, μικρούς, καὶ ἀμυδρούς, καὶ ταχεῖς, καὶ πυκνοτάτους ἐσχάτως. ὑπερβαλλόντως δ' ἀμέτρους, ὥστε μόλις ἔτι κινεῖσθαι δύνασθαι, καὶ διὰ μακρῶν ἀναπαύσεων, ἢ μηδόλως. ἀλλ' ἱκανῶς ἐκλύεσθαι, πάνυ μικρούς, καὶ ἀμυδρούς, καὶ βραδεῖς, καὶ ἀραιοὺς ἐργάζεται τοὺς σφυγμούς. εἰ δὲ εἰς διάλυσιν τῆς δυνάμεως καταστρέφοι, τοὺς ἐκείνης ἰδίους. εἰρήσεται δὲ μικρὸν ὕστερον, ὁποίους διαλυομένη δύναμις ἐργάζεται σφυγμούς. λουτρὰ δὲ θερμὰ μὲν μεγάλους, καὶ ταχεῖς, καὶ πυκνούς, καὶ
40 σφοδρούς, ἔστ' ἂν ᾖ σύμμετρα. τὰ δὲ ἄμετρα, μικρούς, καὶ ἀμυδρούς, ὠκεῖς δ' ἔτι, καὶ πυκνούς. εἰ δ' ἐν τούτῳ μὴ παύσαιντο, μικρούς, καὶ βραδεῖς, καὶ ἀραιούς, καὶ ἀμυδρούς. λουτρὰ δὲ ψυχρὰ παραχρῆμα μὲν μικρούς, καὶ βραδεῖς, καὶ ἀραιούς, καὶ ἀραιοτέρους. εἰς ὕστερον δὲ οἷον ἄν τι καὶ τύχῃ ἐργασάμενα. πάντως γὰρ ἢ νάρκωσιν ἢ ῥῶσιν. ναρκώσαντα μὲν οὖν, καὶ καταψύξαντα μικρούς, καὶ ἀμυδρούς, καὶ βραδεῖς, καὶ ἀραιούς. ἐκθερμήναντα δὲ καὶ ῥώσαντα μεγάλους μὲν καὶ σφοδρούς, τάχει δὲ καὶ πυκνότητι συμμέτρους. σιτία πολλὰ μὲν ὥστε βαρῦναι τὴν δύναμιν, ἀνωμάλους τε καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζεται. ἀρχιγένης δὲ φησὶν ὠκυτέρους πλέον καὶ πυκνοτέρους. τὰ δὲ σύμμετρα μεγάλους, καὶ σφοδρούς, καὶ ταχεῖς, καὶ πυκνούς. τὰ δὲ ἐλάττονα ὥστε μὴ τρέφειν αὐτάρκως, οὐχ ὁμοίως τοῖς συμμέτροις, ἀλλ' ἐλάττονα τὴν τροπὴν ἐργάζεται, καὶ μέχρι χρόνου βραχέος. οἶνος τὰ μὲν ἄλλα παραπλησίως σιτίοις τρέπει τοὺς σφυγμούς. διαφέρει δὲ τὸ παραχρῆμα τὴν τροπὴν ἐργάζεσθαι, καὶ τὴν προτέραν παύεσθαι τὴν ἀπὸ οἴνου, τῆς ἀπὸ τῶν σιτίων, καὶ τῷ τὸ τάχος πλέον αὔξειν, καὶ τὸ μέγεθος, ἤπερ τὴν σφο-
50 δρότητα, καὶ τὴν πυκνότητα. σχεδὸν γὰρ ὅσῳ σφοδροτέραν τε καὶ διαρκεστέραν τὴν ἰσχὺν τοῦ σώματος ἡ σύμμετρος τροφὴ παρέχει, τοσούτῳ, τὸ μέγεθος ὁ οἶνος ἐξαίρει. ὕδωρ ἁπάντων τῶν προσφερομένων βραχυτάτην τροπὴν ἐργάζεται, πλὴν ἀνάλογον σιτίοις καὶ τοῦτο τρέπει. τὰ δὲ ἄλλα πάντα, καθ' ὅσον ἂν ἢ τρέφειν, ἢ θερμαίνειν, ἢ ψύχειν δύνηται, κατὰ τοσοῦτον καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν μεταβάλλει. οὕτω μὲν ἐπὶ τοῖς οὐ φύσει καλουμένοις αἰτίοις οἱ σφυγμοὶ τρέπονται. τὰς δὲ ἐπὶ τοῖς παρὰ φύσιν αἰτίοις τροπὰς ἐφεξῆς λέγωμεν, ὑπομνήσαντες πρότερον ὅσα τῇ τοῦ λόγου κοινωνίᾳ συνεγράφη τῶν παρὰ φύσιν. καταστάσεις οὖν ἀέρος, καὶ πλῆθος σιτίων, ὥστε βαρῦναι τὴν δύναμιν, καὶ γυμνασίων καὶ λουτρῶν, καὶ ὕπνων ἀμετρίαι παρὰ φύσιν, αἱ γὰρ κατὰ ποσὸν ὑπερβολαὶ τῶν κατὰ φύσιν καὶ τῶν οὐ φύσει λεγομένων αἰτίων, εἰς τὸ παρὰ φύσιν μεθίστανται. τῶν οὐ μόνον τῷ ποσῷ παρὰ φύσιν, ἀλλὰ καὶ τῷ γένει, τὸ μὲν πλῆθος ἄπειρον, καὶ διὰ τοῦτο ἀπερίλη-

πλέον. ἡ δὲ τέχνη κἀν τούτοις συνίσταται καθ' ὅσον ἐνδέχεται γνώσει τε καὶ εὑρέσει ὡρισμένοις μετροῦσα καὶ ἀπείρου. ἕκαστον γὰρ τῶν παρὰ φύσιν αἰτίων, οὐκ ἄν τις ἁμάρτοι φαίη, τὸ μὲν οἷον λύειν τε καὶ σκεδαννύειν τὴν ζωτικὴν δύναμιν, τὸ δὲ οἷον θλίβειν τε καὶ βαρύνειν. λύεται μὲν οὖν ἡ δύναμις τροφῆς ἀπορίᾳ, καὶ νοσημάτων κακοηθείᾳ, καὶ ψυχικῶν παθῶν ἰσχύι, καὶ ἀλγημάτων σφοδρότησιν, ἢ μήκεσι, καὶ κενώσεσιν ἀμέτροις. βαρύνεται δὲ ὑπό τε πλήθους ὕλης, καὶ ὑπὸ τῶν ἐν τοῖς ὀργάνοις παθῶν, οἷον φλεγμονῶν, καὶ σκίῤῥων, καὶ ὄγκων, καὶ ἐμφράξεων, καὶ φθορῶν πολυειδῶν. ἡ μὲν οὖν λυομένη δύναμις μικρόν, καὶ ἀμυδρόν, καὶ πυκνὸν ἄγαν ἐργάζεται τὸν σφυγμόν, ἡ δὲ θλιβομένη τε καὶ οἷον βαρυνομένη, εἰς ἀνωμαλίαν τε καὶ ἀταξίαν τρέπει τοὺς σφυγμούς, τήν τε ἄλλην ἅπασαν, καὶ τὴν κατὰ σφοδρότητα καὶ μέγεθος. αὗται γὰρ ἴδιαι μάλιστα θλιβομένης δυνάμεως ἀνωμαλίαι. καὶ τῆς μὲν μεγάλως βαρυνομένης ἐπὶ πλείοσι διαφοραῖς, τῆς δ' ἐπ' ὀλίγον ἐν ὀλίγαις, καὶ πλειόνων μὲν οἱ μεγάλοι σφυγμοὶ τῶν σμικρῶν, καὶ οἱ σφοδροὶ τῶν ἀμυδρῶν ἐπὶ μικρᾷ τῇ βλάβῃ. τὸ δ' ἐναντίον ἐν τῇ μεγάλῃ. καὶ ἀπόλλυνται δέ τινων ὅλαι κινήσεις, καὶ παρεμπίπτουσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν. ἀλλ' αἱ μὲν παρεμπίπτουσαι μικροτέραν τὴν βλάβην, αἱ δὲ ἀπολλύμεναι μείζονα δηλοῦσιν. αὗται μὲν αἱ κοιναὶ τροπαὶ πάσης λύσεώς τε καὶ θλίψεως, τὸ δὲ ἴδιον ἑκάστη προσλαμβάνει παρὰ τὴν ποιήσασαν αἰτίαν. τῆς μὲν οὖν ὑπὸ ἐνδείας λυομένης δυνάμεως ἡ ῥοπὴ τῶν σφυγμῶν κατ' ἀρχὰς μὲν εἰς ἀμυδρότητα, καὶ μικρότητα καὶ τάχος, καὶ πυκνότητα γίγνεται. μεσούσης δὲ εἰς ἀμυδρότητα, καὶ μικρότητα, καὶ βραδύτητα, καὶ ἀραιότητα. τελευτώσης δὲ εἰς ἐσχάτην μικρότητα, καὶ ἀμυδρότητα, καὶ πυκνότητα, καὶ τάχους ψευδῆ φαντασίαν. οὗτος ἐστὶν ὁ μυρμηκίζων καλούμενος. ὁ δὲ σκωληκίζων σφυγμὸς γίνεται μὲν καὶ αὐτὸς λυομένης ἤδη τῆς δυνάμεως, ἀλλ' ἐπ' ὀλίγον ἀντεχούσης ἔτι. καὶ διαφέρει τοῦ μυρμηκίζοντος, τῷ μηκέθ' ὁμοίως εἰς ἐσχάτην ἀμυδρότητα, καὶ μικρότητα συνεστάλθαι, καὶ φανερὸν ἔχειν τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν, τὴν περὶ τὸ πρωϊαίτερον, ἢ ὀψιαίτερον τῶν μερῶν ἀρχομένων κινεῖσθαι γιγνομένην. ὅθεν ἧττον βραδύς, ἢ μικρός ἐστι. ἔσθ' ὅτε δὲ οὐδ' ὅλως βραδύς. διόπερ καὶ ἥκιστα μοχθηρός ἐστι. αἱ μὲν οὖν ὑπὸ τῶν ὀλεθρίων, καὶ ὀξέων πυρετῶν γιγνόμεναι συγκοπαί, τὸν σκωληκίζοντα σφυγμὸν οὐκ ἴσχουσι, ταῖς δὲ ἄλλαις λύσεσι τῆς δυνάμεως, ὡς ἐπὶ τὸ πολὺ μὲν οἱ σκωληκίζοντες ἕπονται, καὶ τούτων μάλιστα ταῖς χωρὶς πυρετῶν γινομέναις, ἢ μετὰ μικρῶν πάνυ. ταῖς τ' ἄρα καρδιακαῖς μὲν συγκοπαῖς οἱ μυρμηκίζοντες, χολέραις δὲ καὶ ἰσχυροῖς ῥεύμασι κοιλίας, καὶ αἱμοῤῥαγίαις, καὶ γυναικείῳ ῥῷ καὶ πᾶσι τοῖς ὀξέως κενωτικοῖς πάθεσιν, ἐπὶ πλεῖστον μὲν οἱ σκωληκίζοντες. ἐν ἐσχάτοις δὲ οἱ μυρμηκίζοντες ἕπονται. ὅταν δὲ χωρὶς πυρετῶν ταῦτα συμπίπτῃ τότε μὴ καὶ μᾶλλον εὑρήσεις τὸν σκωληκίζοντα σφυγμὸν σαφῆ τε ἅμα, καὶ μέχρι πλείστου παραμένοντα. τοιαῦται μὲν αἱ κοινότητες τῶν παρὰ φύσιν αἰτίων τροπαί. καὶ κατ' εἶδος δὲ αὐτὰς ἑξῆς ἐροῦμεν. θυμοῦ μὲν ὑψηλός ἐστι ὁ σφυγμός, καὶ μέγας, καὶ σφοδρός, καὶ ταχύς, καὶ πυκνός. ἡδονῆς δὲ μέγας καὶ ἀραιός, οὐ μὴν σφοδρότητί γε διάφορος. λύπης δὲ σμικρός, καὶ βραδύς, καὶ ἀμυδρός, καὶ ἀραιός.

φόβου δὲ τοῦ μὲν ὑπογύου, καὶ σφοδροῦ ταχύς, καὶ κλονώδης, καὶ ἄτακτος, καὶ ἀνώμαλος. τοῦ δὲ ἤδη κεχρονισμένου. οἷος ὁ τῆς λύπης. ἅπασι δὲ τούτοις εἰς μακρὸν χρονίζουσιν, ἢ σφοδροῖς ἄγαν γενομένοις, οἷοι διαλυομένης δυνάμεως ἕπονται σφυγμοί. καὶ γὰρ καὶ λύει τὴν δύναμιν ἅπαντα ταῦτα, συντόμως μὲν ὅσα ἰσχυρά, χρονίως δὲ ὅσα ἐναντία. ἄλγημα δὲ τὸ τρέπον τοὺς σφυγμούς, τρέπει δὲ ἢ τὸ ἰσχυρόν, ἢ τὸ ἐν μορίοις κυρίοις ὥσπερ καὶ ἡ φλεγμονή, μικρὸν μὲν ὂν ἔτι καὶ ἀρχόμενον μείζονα, καὶ σφοδρότερον καὶ ὠκύτερον, καὶ πυκνότερον τὸν σφυγμὸν ἐργάζεται. αὐξηθὲν δὲ καὶ ἰσχυρὸν πάνυ γενόμενον ὡς ἀδικεῖν ἤδη τὸν ζωτικὸν τόνον, μικρότερον καὶ ἀμυδρότερον, καὶ ταχὺν, καὶ πυκνόν. καὶ ὅσῳ ἂν ἐγχρονίζῃ μᾶλλον, ἢ σφοδρότερον γίνεται, τῶν εἰρημένων ἕκαστον ἐπιτείνεται. τὸ δὲ ἤδη διαλῦον τὴν δύναμιν εἰς ἀμυδρότητα, καὶ μικρότητα, καὶ τάχους ψευδῆ φαντασίαν, καὶ ὑπερβάλλουσαν πυκνότητα τὴν τροπὴν ἐργάζεται. φλεγμονῆς σφυγμὸς ὁ μὲν κοινὸς ἁπάσης οἷον ἐμπρίων ἐστί, ὡς δοκεῖν τὸ μέν τι διεστάλθαι τῆς ἀρτηρίας, τὸ δὲ μή, σκληροτέρας δηλονότι φαινομένης αὐτῆς. ἔχει δέ τι καὶ κλονώδους ὁ σφυγμὸς οὗτος. καὶ ταχὺς μέν ἐστι, καὶ πυκνός, οὐκ ἀεὶ δὲ μέγας. ὁ δὲ ἴδιος ἑκάστης ὁ μὲν τῆς ἀρχομένης μείζων τοῦ κατὰ φύσιν, καὶ σφοδρότερος, καὶ ὠκύτερος, καὶ πυκνότερος. ὁ δὲ αὐξανομένης ἔτι ταῦτά τε προσαυξάνει πάντα, καὶ σαφῶς τε ἤδη σκληρότερός ἐστι, καὶ κλονωδέστερος. τῆς δὲ ἀκμαζούσης σαφέστερος μέν ἐστι, καὶ σκληρότερος, καὶ κλονωδέστερος, μικρότερος δὲ ἢ πρόσθεν, οὐ μὴν ἀμυδρότερός γε, πλὴν εἰ μὴ ὑπὲρ τὴν δύναμιν εἴη τὸ πάθος. ἀλλὰ καὶ πυκνότερος γίνεται καὶ ταχύς. εἰ δ' ἱκανῶς χρονίζει, καὶ ἤδη σκληρύνοιτο σκιῤῥωδῶς, τοῖς εἰρημένοις ἰσχνότης σφυγμοῦ, καὶ σκληρότης προσγίνεται. ταῦτα ἐπὶ τε τῶν ἐν ὅλῳ τῷ ζώῳ σφυγμὸν τρεπούσης φλεγμονῆς, ἢ διὰ τὸ μέγεθος, ἢ διὰ τὸ κύριον τοῦ μέρους ἐν ᾧ συνέστη. τῆς δὲ μὴ συγκινούσης τὸ πᾶν, ὅ γε ἐν τῷ φλεγμαίνοντι μορίῳ σφυγμός, οἷος εἴρηται. ἐπιτείνεται δὲ καὶ ἀνίεται τῶν εἰρημένων ἕκαστον, ἢ παρὰ τὸ ποσὸν τῆς φλεγμονῆς, ἢ παρὰ τὴν αὐτοῦ τοῦ φλεγμαίνοντος ὀργάνου φύσιν. τὰ μὲν γὰρ νευρωδέστερα μέρη σκληροτέρους καὶ μᾶλλον ἐμπρίοντας, καὶ μικροτέρους τοὺς σφυγμοὺς ἐργάζεται. τὰ δὲ φλεβωδέστερα, καὶ ἀρτηριωδέστερα τοὺς ἐναντίους. αὐτῶν δὲ τούτων μείζων ὁ ἐν τοῖς ἀρτηριώδεσι. καὶ ῥαδίως ἀνώμαλος καὶ ἄτακτος γινόμενος. δῆλος οὖν ἤδη καὶ ὁ τῶν τὸ ἧπαρ φλεγμαινόντων σφυγμός, οἷος ἂν εἴη, καὶ ὁ τῶν τὸν σπλῆνα, καὶ ὁ τῶν τοὺς νεφρούς, ἢ τὴν κύστιν, ἢ τὴν γαστέρα, ἢ τὸ κῶλον, καὶ πλευριτικῶν. καὶ περιπνευμονικῶν, καὶ πάντων ἁπλῶς εἰπεῖν, ὧν τῇ τοῦ μέρους φλεγμονῇ πυρετὸς ἕπεται. πλὴν ὅσα διὰ μὲν τῶν συμπτωμάτων φύσιν τῶν τε ἐξ ἀνάγκης ἑπομένων αὐταῖς, καὶ τῶν κατὰ τύχην συνδραμόντων, ὡς ἂν ἕκαστον τρέπειν δύναται, καὶ τὸν σφυγμὸν ἐπὶ τοσοῦτον ἀλλοιοῦσθαι συμβήσεται, μικτῆς ἐν αὐτῇ τροπῆς γενομένης, τῆς δὲ κατὰ τὸν λόγον φλεγμονῆς, καὶ ἣν ἡ τοῦ τόπου φύσις, καὶ ἡ τοῦ παρόντος συμπτώματος ἐργάζεται. σπασθῆναι μὲν γὰρ τοῖς τὰς φρένας φλεγμαίνουσιν, ἕτοιμον. πνιγῆναι δὲ τοῖς τὸν πνεύμονα. συγκοπῆναι δὲ τοῖς τὸ στόμα τῆς γαστρός. ἀτροφῆσαι δὲ τοῖς τὸ ἧπαρ. ἀπεπτῆσαι δὲ τοῖς τὴν γαστέρα. ἐπισχεθῆναι δὲ τὰ οὖρα, τοῖς τοὺς νε-

φρός.

φρός. καὶ τὰ μὲν αἰσθητικώτερα μέρη διὰ τὰς ὀδύνας τρέπει τοὺς σφυγμούς. τὰ δὲ ἀναισθητότερα κατὰ τὴν διά-
θεσιν μόνον. ἐκ τούτων οὖν ἁπάντων πολυειδεῖς αἱ ἀλλοιώσεις γίνονται τῶν ἐπὶ ταῖς φλεγμοναῖς σφυγμῶν,
καὶ ὡς χρὴ διορίζειν αὐτάς, εἴρηται μὲν ἐν ἑτέροις τελέως, εἰρήσεται δὲ καὶ νῦν, εἰς ὅσον τοῖς εἰσαγομένοις χρήσι-
μόν ἐστι. τῶν μὲν οὖν πλευριτικῶν ταχὺς καὶ πυκνός, καὶ οὐ λίαν μέγας. δόξει δὲ εἶναι καὶ σφοδρός. ὁ δέ ἐστιν οὐκ
ἀμυδρὸς μὲν οὐ μὴν ἤδη καὶ σφοδρὸς ὅσον ἐπὶ τῷ πάθει. τούτου γὰρ ἐπὶ πάντων μεμνῆσθαι χρή, τοῦ δεῖν ἐφ' ἑ-
κάστου τῶν πραγμάτων, ὅσον ἐπ' ἐκείνῳ, τὴν τροπὴν ἐξετάζειν, διορίζοντας τὸ διά τι ἄλλο, καὶ μὴ δι' ἐκεῖνο συμ-
βεβηκός. ὁ τοίνυν τῶν πλευριτικῶν σφυγμὸς νευρωδεστέραν πως, καὶ σκληροτέραν ἐργαζόμενος τὴν ἀρτηρίαν,
ὡς ἂν εἰς σφοδρότητα ῥέπων ἀπατᾷ τοὺς ἀγυμνάστους, οὐ δυναμένους διακρίνειν σκληρὰν πληγήν, σφοδρᾶς.
οὕτω δὲ καὶ ἄλλας πολλὰς διαφορὰς σφυγμῶν ἀδυνατοῦντες διακρίνειν οἱ πολλοὶ τῶν ἰατρῶν, τάχα ἂν μέμ-
10 ψονται τοῖς ἐνταῦθα γεγραμμένοις, ἐξ ὧν αὐτοὶ μὴ συνιᾶσι τῶν ὀρθῶς λεγομένων καταγιγνώσκοντες. ἀλλ'
οὐ χρὴ μηκύνειν ἐν τῷ νῦν λόγῳ περὶ αὐτῶν. γέγραπται γὰρ ἡμῖν ἰδίᾳ περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἀσ-
κεῖν οὖν παρακελεύομαι τόν τε λογισμὸν ἅμα, καὶ τὴν ἁφὴν ὡς ἐπ' αὐτῶν τῶν ἔργων γνωρίζειν δύνασθαι τοὺς
σφυγμούς, οὐ λόγῳ διακρίνειν μόνον. ἀρχὴ δὲ τῆς ἐπὶ τῶν ἔργων τριβῆς, ἡ διὰ τοῦ λόγου διδασκαλία. καὶ γάρ
τοι καὶ τῆς πυκνότητος οὐκ οἷόν τε τὸ ποσὸν λόγῳ ἑρμηνεῦσαι, καί τοι μεγάλην ἔχει διαφορὰν ἢ ὑπερβαίνου-
σα τὸ εἰθισμένον μέτρον τῆς πλευρίτιδος, ἢ ἐλλείπουσα. τὰς μὲν γὰρ ὑπερβολὰς εἰς περιπνευμονίαν μεθισα-
μένης, ἢ συγκοπὴν ἀπειλούσης ἀνάγκη γίνεσθαι. τὰς δὲ ἐνδείας, εἰς καταφορὰν ἢ νεύρων βλάβην τελευτᾶν.
οὕτως δὲ καὶ τὸ τῆς ἀνωμαλίας εἶδος, τὸ μὲν οἷον ἐμπρίστικον. ἴδιον οὐχ ἥκιστα πλευριτικῶν ὑπάρχον, ἀνιέμε-
νον μὲν μαλακῆς καὶ ῥᾳδίως πεφθησομένης. ἐπιτεινόμενον δὲ χαλεπῆς, καὶ δυσπέπτου γνώρισμα πλευρίτιδος.
αἱ δὲ τοιαῦται σὺν ἀσθενεῖ τῇ δυνάμει κινδυνώδεις ὀξέως. σὺν ἰσχυρᾷ δὲ ἢ χρονίως ἐπέφθησαν, ἢ εἰς ἐμπύημα
20 μετέπεσον, ἢ φθινώδης αὐτὰς μαρασμὸς διεδέξατο. τῆς μὲν οὖν πεττομένης, ὁ σφυγμὸς πάσας ἀποτίθεται
κατὰ βραχὺ τὴν παρὰ φύσιν τροπήν. τῆς δὲ εἰς ἐμπύημα μεταπιπτούσης, οἱ τῶν ἐμπυημάτων ἴδιοι γίνονται.
κατὰ ταυτὰ δὲ καὶ τοῖς φθινωδῶς μαρανθησομένοις οἱ ἐπὶ τῶν μαρασμῶν. ἔστι δὲ τῶν ἐμπύων ὁ σφυγμός, ἄρτι
μὲν ἀρχομένων οἷος ὁ τῆς ἀκμαζούσης φλεγμονῆς. αὕτη γὰρ καὶ αὐτῶν τῶν ἐμπυημάτων ἐστὶν ἀρχή. ἔσθ' ὅτε δὲ καὶ
ἀνώμαλος, καὶ ἄτακτος, ἐκτικὸς δὲ πᾶσιν. ἤδη δὲ τοῦ πύου παρακειμένου, τὰ μὲν ἄλλα παραπλήσιος, ἀλλ' ὁμα-
λώτερος. ἐπὶ δὲ ταῖς ῥήξεσιν ἀμυδρότερος, καὶ πλατύτερος, καὶ βραδύτερος, καὶ ἀραιότερος. ὁ δὲ τῶν
μαραινομένων οὐ καθ' ἓν εἶδος τρέπεται σφυγμός. χρὴ δὲ ἐφ' ὅσον ἐνδέχεται, διαφοραῖς σαφέσι διορίσα-
σθαι περὶ αὐτῶν. οἱ μὲν δὴ ταῖς μὴ λυθείσαις φλεγμοναῖς κατὰ βραχὺ συναπομαρανθέντες, ἀμυδροὺς, καὶ θάτ-
τονας καὶ πυκνοὺς ἄγαν, καὶ μύουρους κατὰ μέγεθος ἐν μιᾷ πληγῇ τοὺς σφυγμοὺς ἴσχουσι. οὓς Ἀρχιγένης ἐπινενευ-
κότας τε καὶ περινενευκότας καλεῖ, σαφῶς δηλοῦν βουλόμενος, τὸ κατὰ τὴν διαστολὴν βραχὺ μετὰ τῆς τῶν ἑκα-
30 τέρωθεν περάτων οἷον ἐπινεύσεως, οὐ γὰρ ὡς ἀποκεκομμένων ἀθρόως, ἀλλ' ὡς ἐπικεκαμμένων τῶν ἑκατέρωθεν
μερῶν εἰς βραχὺ συνέσταλται, μύουρος ὢν τῷ μεγέθει καθ' ἑκάτερα τὰ μέρη. ταῦτα μὲν οὖν οὐ τούτοις μόνοις, ἀλ-
λὰ τοῖς καὶ πλείστοις τῶν ὁπωσοῦν μαραινομένων ὑπάρχει, τοῖς μὲν οὖν διὰ φλεγμονὰς πᾶσιν. ἤδη δὲ καὶ τῶν ἄλ-
λων τοῖς πολλοῖς, εἰ μή τι ἄρα καὶ ἐκεῖνοι διά τινας φλεγμονὰς λανθανούσας μαραίνονται. καὶ εἴη ἂν οὗτος τῶν
ἐπὶ φλεγμοναῖς μαραινομένων ἴδιος, οὐδενὶ τῶν ἄλλως μαρανθέντων ὑπάρχων. ἐκτικὸς δὲ ἅπασι τοῖς μαραι-
νομένοις σφυγμός ἐστι, καὶ τοῦτο αὐτοῖς κοινότατον. ἐν δευτέρῳ δὲ ἡ κατὰ τὸ μέγεθος τῆς διαστολῆς ἀνωμαλία μυου-
ρίζουσα. καὶ γὰρ καὶ τοῦτο τοῖς πλείστοις ὑπάρχει. τρίτον δὲ τὸ τῆς πυκνότητος. ὑπάρχει γὰρ καὶ τοῦτο πᾶσι μὲν τοῖς
ἐπὶ φλεγμοναῖς μαρανθεῖσιν ἀχώριστον. ἀλλὰ καὶ τοῖς ἐπὶ καρδιακαῖς διαθέσεσιν, ἢ στομαχικαῖς συγκοπαῖς
ὀξέως κινδυνεύουσιν, εἶτ' ἐκ τινος πόσεως διαφυγοῦσι μὲν τὴν ὀξύτητα, μαρανθεῖσι δὲ τῷ χρόνῳ, εἰ μή τις ἄρα
καὶ τούτους φαίη τις ἐπὶ μικραῖς φλεγμοναῖς ἀδήλοις ἡμῖν ἀπόλλυσθαι. καὶ γάρ τινες αὐτῶν τὸν ἐπινενευκότα
40 σφυγμὸν ἔχουσι, εἰ μή τι ἄρα πάλιν τούτους μὲν ἐπὶ φλεγμοναῖς, τοὺς δ' ἄλλους ἄνευ φλεγμονῆς μαραίνεσθαι φή-
σει τις. τοῦτο μὲν οὖν ἄπορον. ἔχουσι δὲ οὗτοι σφυγμὸν ἐκτικόν, ἤτοι ἀμυδρόν, πυκνὸν ἄγαν, καί τινες αὐτῶν
τὸν ἐπινενευκότα. δευτέρα μὲν δὴ αὕτη διαφορὰ σφυγμοῖς τοῖς μαραινομένοις. ἄλλη δὲ τρίτη τῶν ἀραιὸν ἰσχόν-
των. ἀλλὰ καὶ τούτοις πάντως ὅ, τε προηγησάμενός τε πυρετὸς ἐπύκνωσεν αὐτόν, καὶ ἡ ἐσχάτη λύσις τῆς δυνά-
μεως ἱκανῶς πυκνοῖ. τὸ μέσον δὲ πάντων μὲν πυρετοῦ ἀποψυχθέντων, μηδέπω δὲ ἐκλελυμένων αὐτῶν τὴν
εἰς ἀραιότητα τροπὴν εἰργάσατο. τοῦτο δὲ τὸ εἶδος τῶν μαρασμῶν πρεσβυτικῆς ἡλικίας ἴδιον, ἡνίκα ἂν μάλι-
στα τῶν κατὰ θώρακα, καὶ πνεύμονα πεπονθός τι τύχῃ. οὗτοι τὴν πυρεκτικὴν σκληρότητα τοῦ σφυγμοῦ
φυλάττουσι κἂν ἀραιὸς ᾖ. παντελῶς δὲ ὀλίγοις τῶν μαραινομένων εἰς ἄλλην ἀνωμαλίαν ὁ σφυγμὸς τρέπεται,
πλὴν τῆς εἰρημένης κατὰ τὸ μέγεθος. ὁ δὲ τῶν φθισικῶν ὀνομαζομένων σφυγμός, μικρὸς καὶ ἀμυδρός ἐστι, καὶ
μαλακός, καὶ ταχὺς συμμέτρως καὶ ἐκτικός. ὁ δὲ τῶν περιπνευμονικῶν μέγας ἐστι, καὶ κυματῶδές τι ἔχων,
50 καὶ ἀμυδρός, καὶ μαλακός, ὁμοίως τῷ τῶν ληθαργικῶν, πλὴν ὅσα πλεονάζει τῇ ἀνωμαλίᾳ, τῇ τε κατὰ μίαν πλη-
γὴν καὶ τῇ συστηματικῇ καλουμένῃ. κατὰ μὲν τὴν μίαν πληγήν, οἷον διακεκομμένος τε καὶ κυματιζόμενος, καὶ δί-
κροτος ἔσθ' ὅτε γινόμενος. ἐν δὲ τῇ συστηματικῇ τάς τε ἄλλας διαφορὰς ἔχει, καὶ ποτὲ μὲν διαλείπει, ποτὲ δὲ
παρεμπίπτει. πυρεττόντων δ' ἁπάντων τῶν περιπνευμονικῶν ὀξέως, καί τι καὶ κωματῶδες ἐχόντων, ὁπότε-
ρον ἂν αὐτῶν ἐπικρατῇ, κατ' ἐκεῖνο μάλιστα τὸ ποσὸν τῆς πυκνότητος εὑρίσκεται. πυρωδεστέρας μὲν ὑπαρχού-
σης τῆς περιπνευμονίας, ἱκανῶς ὁ σφυγμὸς πυκνός ἐστι. κωματωδεστέρας δέ, ἧττον πυκνός ἐστι. ὁ δὲ τῶν ληθαργι-
κῶν σφυγμὸς ὅμοιος ὢν τῷ τῶν περιπνευμονικῶν κατά τε μέγεθος, καὶ ἀμυδρότητα καὶ μαλακότητα, καὶ βρα-
δύτερος αὐτοῦ ἐστι καὶ ἀμυδρότερος, καὶ ἧττον ἀνώμαλος, καὶ διαλείπων μᾶλλον, ἢ παρεμπίπτων. γίγνεται δὲ
ἔσθ' ὅτε καὶ δίκροτος. ἀεὶ μέν τοι κωματώδης ἐστὶν, ἔν γε ταῖς βαθείαις καταφοραῖς ἐφ' ὧν ταῦτα λέγεται. τῶν γὰρ

συμπεπληρωμένων ἅπασι τοῖς ἑαυτῶν γνωρίσμασι νοσημάτων τοὺς σφυγμοὺς διεξῆιμεν, ἵνα καὶ τῶν ἐλλειπόν-
των κατά τι καὶ μηδέπω τελείων ἱκανῶς, γνωρίζειν δυνηθῶμεν τὸ μέγεθος ὅσον τε ἤδη ἔχουσι, καὶ ὅσον οἷόν τέ
ἐστι προσγενέσθαι αὐτοῖς. ἐπειδὴ δὲ πολλάκις μὲν ἀνωμαλίας ἐμνημονεύσαμεν, ὀλιγάκις δὲ ἀταξίας, εἰδέναι χρὴ
τοῦτο καθόλου, ταῖς ἀνωμαλίαις ὡς τὸ πολὺ τὴν ἀταξίαν ἑπομένην. σπανίως δέ ἐστιν εὑρεῖν ἀνώμαλον σφυγμὸν
τεταγμένον. αἱ μὲν οὖν μικρότεραι βλάβαι τοὺς ἀνωμάλους, καὶ τεταγμένους, αἱ δὲ μείζονες τοὺς ἀνωμάλους καὶ
ἀτάκτους σφυγμοὺς ἐργάζονται. ὁ δὲ τῶν φρενιτικῶν σφυγμὸς μικρός ἐστι. σπανιώτατα δὲ ὤφθη ποτὲ μέγας,
καὶ τόνου μετρίως ἔχειν. καὶ σκληρὸς, καὶ νευρώδης ἐστὶ, καὶ πυκνὸς, καὶ ἄγαν ταχύς. ἔχει δέ τι καὶ κυματῶδες. ἐνίο-
τε δὲ καὶ ὑποτρέμειν σοι δόξει. ποτὲ δὲ καὶ ἀποκεκόφθαι σπασμωδῶς. τὸ γὰρ τῶν πυρετῶν ἴδιον ἐν τῷ τάχει
σύμπτωμα, μάλιστα οὗτος ἐναργῶς ἐκτήσατο κατ' ἀμφότερα τῆς διαστολῆς τὰ πέρατα, καὶ μᾶλλον τὸ ἔξω. ἔστι
δὲ καὶ τὸ τῆς περὶ τὴν θέσιν ἀνωμαλίας εἶδος εὑρεῖν ἐν αὐτοῖς σφοδρῶς γινόμενον ποτέ. ἀλλὰ καὶ ὅλη σοι δόξει
πολλάκις ἡ ἀρτηρία καταλιποῦσα τὸν ἑαυτῆς τόπον, ἄνω φέρεσθαι κλονωδῶς, ἀναβρασσομένη μᾶλλον, ἢ σφυγμα-
τωδῶς διαστελλομένη. περὶ δὲ τὸν αὐτὸν τρόπον, καὶ κάτω χωρεῖ κατασπωμένη μᾶλλον, ἢ συστελλομένη. τὸ δὲ ἄ-
γαν πυκνὸν αὐτῆς, ἐφεδρεύουσαν ἀπειλεῖ συγκοπήν. ἔστι δέ τι καὶ ἄλλο πάθος ὃ εἴτε μέσον ληθάργου, καὶ φρε-
νίτιδος χρὴ ὀνομάζειν ὡς οὐδέτερον ταυτὸν ὂν, εἴτε κοινὸν ἀμφοῖν, ὡς μικτὸν ἔκ τε τῶν φρενίτιδος εἰδῶν, ἔκ τε
τῶν ληθάργου, τοῦτο μὲν ἰδίᾳ σκεψώμεθα. περὶ δὲ τῶν σφυγμῶν αὐτοῦ νῦν ἐροῦμεν. καὶ ἵνα μὴ ὥσπερ αἴνιγμά τι
προβεβλημένον εἴη, τοῖς συνεδρεύουσιν αὐτῷ δηλώσω. τὰ μὲν πολλὰ μύουσι τοὺς ὀφθαλμοὺς, καὶ ὑπνώδεις
εἰσὶ καὶ ῥέγχουσιν. αὖθις δ' ἐπὶ πλεῖστον ἀτενὲς ὁρῶντες διετέλεσαν ἀσκαρδαμυκτὶ παραπλησίως τοῖς κατό-
χοις. καὶ εἰ πυνθάνοιτό τις, καὶ εἰ διαλέγεσθαι βιάζοιτο, δυσχερεῖς ἀποκρίνεσθαι καὶ ἀργοί. τὰ πολλὰ δὲ καὶ παραφό-
ρως φθεγγόμενοι, καὶ οὐκ ὀρθῶς ἀποκρινόμενοι, καὶ ληροῦντες εἰκῆ. τοιοῦτον μέν ἐστι τὸ πάθος, ὃ καὶ νῦν βούλομαι
δηλοῦν τοῖς συνεδρεύουσι γνωρισθὲν ἀπορίᾳ οἰκείου ὀνόματος. οἱ σφυγμοὶ δὲ αὐτοῦ ταχεῖς, καὶ πυκνοὶ παραπλη-
σίως τοῖς φρενιτικοῖς, ἀλλ' ἧττον. οὕτω δὲ καὶ ἰσχύος ἧττον ἐκείνων ἔχουσι. πλατεῖς δὲ καὶ βραχεῖς, καὶ τὸ περὶ τὴν
ἔξω κίνησιν ἀθρόως ἀποκεκομμένον οὐκ ἔχοντες, ἀλλ' ἑτέρῳ μὲν τρόπῳ καθάπερ εἴσω σπεύδοντες ὑποφεύγου-
σιν, ἐπιταχύνοντες μὲν τὴν συστολὴν, ὑποκλέπτοντες δὲ τὴν διαστολήν. οὐ μὴν ὁμοίως γε κατ' αὐτὴν τοῖς φρε-
νιτικοῖς. τὸ γὰρ οἷον ἀποκεκομμένον οὐκ ἔχουσιν. οἱ δὲ τῶν κατόχων σφυγμοὶ, κατόχους γὰρ κατεχομένους ἐκάλουν
αὐτοὺς οἱ παλαιοὶ, κατοχὴν δὲ καὶ κατάληψιν οἱ νεώτεροι τὸ πάθος ὀνομάζουσιν. ἐοίκασι μὲν τὰ ἄλλα τοῖς λη-
θαργικοῖς μεγέθους τε καὶ βραδύτητος καὶ ἀραιότητος, ὥσπερ καὶ ὅλον τὸ πάθος τοῦ πάθους οὐ πόρρω τὴν
ἰδέαν ἐστίν. οὐ μὴν ἀσθενὴς ὁ τῶν κατόχων σφυγμὸς, οὐδὲ μαλακός. ἀλλ' ἐν τούτοις δὴ καὶ πάνυ διαφέρουσιν, ὥσπερ
καὶ ἐν τῷ λύεσθαι μὲν καὶ οἰδίσκεσθαι τὴν ὅλην ἕξιν τοῖς ληθαργικοῖς, ἐσφίγχθαι δὲ, καὶ συνέχεσθαι τοῖς κατόχοις.
οὕτω δὲ καὶ ἀνωμαλίᾳ, καὶ ὁμαλότητι διαφέρουσιν ἀλλήλων. ὁμαλὸς γὰρ ὁ τῶν κατόχων σφυγμός. ἀνώμαλος δὲ
ὁ τῶν ληθαργικῶν. Ἀρχιγένης δέ φησι τὸν τῆς ἀρτηρίας τόπον ἰδίως ἐπ' αὐτῶν θερμότερον εὑρίσκεσθαι. καθά-
περ τοῖς σπασθησομένοις μετὰ καταφορᾶς. Τῶν σπωμένων αὐτὸ μὲν τὸ σῶμα τῆς ἀρτηρίας συνῆχθαι δοκεῖ
καὶ πανταχόθεν ἐσφίγχθαι, οὐχ ὡς τεθλιμμένον ὑπό τινος ἢ στενοχωρούμενον. οὐ μὴν οὐδ' ὅλως περιφερὲς
οἷον τὸ πυρεκτικὸν καὶ μάλιστα ὡς ἐν ἐπισημασίαις. οὐδὲ ὡς διὰ σκληρότητα δυσεπέκτατον, οἷον τὸ ἐπὶ χρόνου
μήκεσι. καὶ μάλιστα σὺν ἁμαρτήμασι τισὶν, ἢ σπλάγχνων κακώσεσιν, ἀλλ' ὡς ἂν εἰ σῶμα νευρῶδες κοῖλον, οἷον
ἔντερον, ἤ τι παραπλήσιον ἐξ ἀμφοτέρων τῶν περάτων τεταμένον. οὕτω δὲ καὶ ἡ κίνησις ἀνώμαλος ἄνω καὶ κάτω
μεθισταμένης τῆς ἀρτηρίας ὥσπερ χορδῆς. οὐδὲ γὰρ διαστολῆς ἢ συστολῆς ἔμφασίς ἐστι. ἀλλὰ κλόνῳ μᾶλλον ἔοικεν,
οἷον ἐκπηδώσης ἄνω, πάλιν δὲ εἴσω σπωμένης, καὶ οὔτε διακεκριμένως τοῦτο πασχούσης. ἀλλ' ἑνὶ χρόνῳ, πολλάκις
τὸ μέν τι μέρος αὐτῆς ἄνω φέρεσθαι δοκεῖ, καθάπερ ἐκθρωσκόμενον. τὸ δὲ εἴσω φέρεσθαι. καθάπερ ὑπό τινος ἑλκόμενον.
καὶ τὸ μὲν ταχέως κινεῖσθαι, τὸ δὲ βραδέως. δοκεῖ δὲ καὶ σφοδρὸς εἶναι, καὶ μέγας ὁ τῶν σπωμένων σφυγμός. ὁ δὲ ἔστι μὲν οὔτε
ἀμυδρὸς, οὔτε μικρός. οὐ μὴν ἐφ' ὅσον φαντάζεται σφοδρὸς, ἢ μέγας. ἐξαπατᾷ γὰρ ἡ πληγὴ, διὰ μὲν τὴν τάσιν, εὔ-
ρωστος φαινομένη, διὰ δὲ τὸν κλόνον ἐκπηδητική. ὅθεν καὶ ὑψηλότερος ἐσθ' ὅτε φαίνεται, καὶ οἷον ψόφον τινὰ βραχὺν
ἀποτελεῖ πρὸς τὴν ἁφήν. καὶ οὐκ ἄν τινα λάθοι τῶν ἠσκημένων ὁ σφυγμὸς οὗτος. οὐδενὶ γὰρ ἔοικεν οὔτε τῇ ἐφ' ἑκάτερα
τάσει οὔτε τὸ σπασμῶδες τῆς κινήσεως. μιγνυμένου δὲ αὐτοῦ τὸ τῆς καταφορᾶς, δυσφορώτατος ἡ κίνησις, καὶ μόνῳ
τῷ καθ' ἑαυτὸν ἑκάτερον γνωρίζειν ἀκριβῶς ἠσκημένῳ δυνατὸν καὶ τὴν μίξιν ἐπιγνῶναι. Παραλύσεως σφυ-
γμὸς μικρὸς καὶ ἀμυδρὸς, καὶ βραδύς. καὶ τισὶ μὲν αὐτῶν ἀραιὸς, τισὶ δὲ πυκνὸς μὲν ἀλλ' ὑποδιαλείπων ἀτάκ-
τως. Ἐπιληπτικῶν δὲ καὶ ἀποπληκτικῶν οἱ σφυγμοὶ παραπλήσιοι. ὅσα οὖν περὶ τῶν ἐπιληπτικῶν ῥηθήσεται, ταῦ-
τα καὶ περὶ τῶν ἀποπληκτικῶν εἰρῆσθαι δοκεῖν χρὴ, ἐπὶ τεταμένα μᾶλλον. ἐν μὲν δὴ τῷ μετρίως ἐνοχλεῖσθαι, καὶ μη-
δέπω τῆς φύσεως ἱκανῶς ἰσχυρότερον εἶναι τὸ πάθος, οὐδεμίαν εὔδηλον ἐστὶν εὑρεῖν τροπὴν ἐν μεγέθει, καὶ σφο-
δρότητι, καὶ τάχει καὶ πυκνότητι, καὶ σκληρότητι. μόνον δ' ὥσπερ τεταμένη καθ' ἑκάτερόν ἐστιν ἡ ἀρτηρία τοῖς
σπωμένοις εἰκότως. εἰ δ' ἰσχυρὸν εἴη τὸ πάθος ὡς βαρύνειν τὴν δύναμιν, ἀνωμαλίαν τε τινὰ λαμβάνει καὶ
τάσιν ἰσχυρὰν καὶ μακρότερον γίνεται, καὶ ἀμυδρότερον, καὶ ἀραιότερον. μεγάλως δὲ θλίψαν καὶ καταβαλὸν
τὴν δύναμιν, ἀμυδροὺς, καὶ πυκνοὺς, καὶ ταχεῖς ἐργάζεται. ὁ δὲ τῶν συναγχικῶν σφυγμὸς τάσιν μέν τινα
παραπλησίαν ἔχει τῷ σπασμῷ. μέγας δέ ἐστι καὶ κυματώδης, ὡς τῶν περιπνευμονικῶν. καὶ ὁπότερον ἂν ἐπ'
αὐτῷ μεγάλως ἐπικρατῇ, κατ' ἐκεῖνο χρὴ προσδοκᾶν τὴν μετάπτωσιν. εἰ μὲν γὰρ τὸ περιπνευμονικὸν εἶδος
ἐπικρατήσειεν εἰς περιπνευμονίας. εἰ δὲ τὸ σπασμῶδες, εἰς σπασμὸν ἡ συνάγχη τελήσει. ὅσοι δ' ἂν ἐξ αὐ-
τῶν ἰσχυρῶς πνίγονται, μικρὸς τούτοις καὶ ἀραιὸς ὁ σφυγμὸς γίνεται. τελευτώντων δ' ἤδη πυκνὸς, καὶ ἀνώ-
μαλος. Ὀρθοπνοίας, ὀξείας σφυγμὸς ἀνώμαλος καὶ ἄτακτος ὑπεκλείπων. καὶ τῆς μὲν μέσης τῇ κακίᾳ πυκνὸς,
τῆς δ' ἐσχάτως βιαίας, βραδὺς καὶ ἐκλείπων. τῆς δ' ἀναιρούσης ἤδη πυκνὸς καὶ ἀμυδρός. Ὑστερικῆς δὲ πνίξεως

ἀρτηρια-

ἐρριπταμένος σπασμώδης καὶ ἀραιός. τῆς δ᾽ ὀλεθρίας πυκνὸς καὶ ἄτακτος, καὶ ὑπεκλείπων. στόμαχος πεπονθώς, οὕτως γὰρ καλεῖσθαι καὶ ὑφ᾽ ἡμῶν ἐν τῷ παρόντι τὸ στόμα τῆς κοιλίας διὰ τὴν τῶν πολλῶν συνήθειαν, οὐ καθ᾽ ἓν εἶδος τρέπει τὸν σφυγμόν. ἀλλ᾽ ὁ μὲν φλεγμαίνων μόνον, οἷαν ἐπὶ φλεγμονῆς νευρώδους σώματος ἑπόμενον γίνεσθαι, τὴν τροπὴν τοιαύτην ἐργάζεται. ὁ δὲ θλιβόμενος ἢ δακνόμενος ἢ ἐκλύων, ἢ ἐμετικός, ἢ ναυτιώδης, ἢ ἀνόρεκτος, ἢ ὀδυνώδης κατὰ τὸ τοῦ συμπτώματος εἶδος. αἱ μὲν γὰρ δήξεις καὶ οἱ ἔμετοι, καὶ ναυτίαι, καὶ οἱ λιγμοί, καὶ οἱ ἀλισμοί, καὶ ἐκλύσεις, ἰσχυρῶς πυκνοῦσι τὸν σφυγμόν, σὺν τῷ μικρὸν καὶ ἀμυδρὸν ἐργάζεσθαι. καί τισι μετρίως θάττονα. θλῖψις δὲ μόνη χωρὶς τούτων τινὸς ἀραιὸν καὶ βραδὺν, καὶ μικρόν, καὶ ἀμυδρόν. ἡ δὲ τοιαύτη θλῖψις ἐπὶ τροφαῖς βαρυνούσαις γίνεται, μηδεμίαν ἐχούσαις ἰσχυρὰν δύναμιν. ἀλλὰ τῷ ποσῷ μόνῳ διοχλούσαις καί τισι ὑγροῖς συρρυεῖσιν εἰς αὐτὸν ἀδήκτοις. εἰ δὲ καὶ ψύχοιτο πρὸς αὐτῶν, τότε δὴ καὶ μάλιστα τοιοῦτος ὁ σφυγμὸς ἔσται. καὶ ὁ τῶν βουλιμιώντων δὲ τοιοῦτος ἐστίν. αἱ μὲν οὖν εἰς πυκνότητα τρέπουσαι διάθεσιν, ἅπασαι χρονίζουσαι, ἢ καὶ σφοδρότεραι γινόμεναι, τὸν σκωληκίζοντα σφυγμὸν ἐργάζονται. αἱ δὲ εἰς ἀραιότητα πρὸς ταῖς εἰρημέναις διαφορὰς ἐπιτείνειν. τοιοῦτόν τι σὺν αὐτοῖς εἶδος ἐν τῇ καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίᾳ γεννῶσιν, ὡς εἰς πολλὰ δοκεῖν τετρῆφθαι τὸ σῶμα τῆς ἀρτηρίας, ὡς μηδὲν συνεχὲς δοκεῖν εἶναι, ἀλλ᾽ οἷον ψάμμου προσπεσούσης αἴσθησιν γίνεσθαι τῇ ἁφῇ κατὰ τὴν διαστολήν.

ὑδέρων ὁ σφυγμὸς τοῦ μὲν ἀσκίτου μακρός, καὶ πυκνός, καὶ ὑπόσκληρος σύν τινι τάσει. τοῦ δὲ τυμπανίτου, μακρότερος, οὐκ ἄρρωστος, θάττων, πυκνός, ὑπόσκληρος, σύν τινι τάσει τοῦ δὲ ἀνὰ σάρκα κυματώδης πλατύτερος καὶ μαλακός. ἐλεφαντιώντων σφυγμὸς μικρός, καὶ ἄρρωστος καὶ βραδὺς καὶ πυκνός. ἰκτεριώντων σφυγμὸς ἄνευ πυρετοῦ, μικρότερος, πυκνότερος, σκληρότερος, οὐκ ἀμυδρός, οὐ ταχύς. τῶν δὲ ἐλλέβορον εἰληφότων, ὀλίγον μὲν πρὸ τῶν ἐμέτων, ἡνίκα ἂν θλίβωνται, πλατύς, ἀραιός, ἀμυδρότερος, καὶ βραδύτερος. ἐμούντων δὲ καὶ σπαραττομένων ἀνώμαλος, καὶ ἄτακτος. ἤδη δὲ καὶ βελτιόνων γινομένων, τεταγμένος μὲν ἀλλὰ καὶ ἔτι ἀνώμαλος, ἧττον δὲ ἢ πρόσθεν. ἐγγὺς δὲ τοῦ κατὰ φύσιν ἐλθόντων, ὁμαλὸς καὶ μείζων τῶν πρόσθεν, καὶ σφοδρότερος. ὅσοι δὲ ἐξ αὐτῶν συγκόπτονται, καὶ σπῶνται, καὶ λύζουσι, μικρὸς τούτοις, καὶ ἀμυδρός, καὶ ἄτακτος ὁ σφυγμός, καὶ θάττων, καὶ πυκνὸς ἄγαν. τοῖς δὲ πνιγομένοις αὐτῶν, μικρὸς καὶ ἀμυδρός, καὶ ἄτακτος, καὶ ἀνώμαλος, οὐ μὴν πυκνός, οὐδὲ ταχύς, ἀλλ᾽ ἐπιβραδύνων μᾶλλον. ἐμφαίνει δέ τι καὶ κυματῶδες, καὶ πλατύ, καί ποτε καὶ τάσιν τινὰ τῆς ἀρτηρίας βραχεῖαν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Α΄.

Εὐξαίμην μὲν ἂν καὶ μαθεῖν καὶ διδάξαι δύνασθαι τὰ πράγματα χωρὶς τῶν ἐπ᾽ αὐτοῖς ὀνομάτων, ἵνα μὴ πρὸς τῷ μακρὰν εἶναι τὴν τέχνην διὰ τὴν οἰκείαν θεωρίαν, ἐξ ἐπιμέτρου γένοιθ᾽ ἡμῖν ἡ περὶ τὴν λέξιν ἀσχολία. ἐπεὶ δὲ ἀνάγκη διὰ τῶν ὀνομάτων δηλοῦν ἃ βουλόμεθα, τοῖς μὲν σοφισταῖς ἀφθονία, κἀνθάδε σοφισμάτων καὶ διατριβῆς ἀχρήστου, τοῖς δὲ ἄλλοις ὅσοι πραγμάτων ἐπιστήμην, οὐκ ὀνομάτων ἐμπειρίαν ἐζηλώκαμεν ἄκουσι μὲν ἐξ ἀνάγκης δὲ ὅμως, προσγίνεται διὰ τὰς τῶν σοφιστῶν ἐπηρείας ἡ περὶ τὴν λέξιν † ἀσχολία. κάλλιστον μὲν γὰρ ἦν ὁπωσοῦν περὶ τῶν ὀνομάτων συνθεμένων, ἐπὶ τὴν θεωρίαν σπεύδειν, ὡς ἐπὶ τῶν προγραφέντων ἡμῖν περὶ σφυγμῶν τοῖς εἰσαγομένοις ἐποιήσαμεν, τῶν δὲ ἐν ὀνόμασι μόνον δεινῶν, ἐπ᾽ αὐτῶν δὲ τῶν ἔργων τῆς τέχνης ἀμαθεστάτων ἐνοχλούντων ἀεί, καὶ μηδὲ ἀναπνεῦσαι χωρὶς ἐπηρείας ἐπιτρεπόντων, ἀναγκαία σχεδὸν ἤδη καὶ ἡ περὶ τὴν λέξιν ἀσχολία. τοὺς μὲν οὖν παλαιοὺς ἁπλῶς ἔστιν εὑρεῖν χρωμένους τοῖς ὀνόμασιν, ἑνὸς μόνου φροντίζοντας, ἀεὶ τοῦ δηλῶσαι τὸ νοούμενον. οἱ δὲ νεώτεροι μόνον οὐ καθ᾽ ἑκάστην συλλαβὴν σοφίζονταί τε καὶ φιλονεικοῦσι, καὶ οὐδὲ παύονται περὶ τῶν ὀνομάτων ἐρίζοντες, οἷον εὐθέως, ἵν᾽ ἐξ ἑνὸς μορίου τῆς προκειμένης πραγματείας τὸ πᾶν ἐπιγνῶμεν, ὁ μέν τις φησὶ τὸν ἰσχυρῶς πλήττοντα σφυγμόν, σφοδρὸν εἶναι. παρελθὼν δὲ ἕτερος, οὐ τοῦτον, ἀλλ᾽ ὃς ἂν καὶ μέγας ᾖ καὶ πλήρης, καὶ ταχύς, ἐκεῖνον εἶναι φησὶ τὸν σφοδρόν. ἄλλος δέ τις τὸν ἰσχυρὸν ἅμα καὶ ταχύν. καί τις μάλα σεμνῶς ἐπιτιμήσας τούτοις τὸν μέγαν ἅμα καὶ ταχύν, σφοδρὸν εἶναι φησίν. οὐκ ἀνασχόμενος δὲ τούτου πέμπτος τις ἄλλος ἔτι σεμνότερον ἐπιπλήξας, τὸν πλήρη τε ἅμα καὶ ταχύν, σφοδρὸν εἶναι φησί. καὶ ναὶ μὰ Δία γε ἕκτος τις ἄλλος ἐπ᾽ αὐτοῖς τὸν μέγαν ἅμα καὶ πλήρη, τοῦτον εἶναι φησὶ τὸν σφοδρόν. εἰ δὲ καὶ ἕβδομός τις καὶ ὄγδοος παρείη ἐν τούτοις, ὁ μὲν μηδὲν διαφέρειν λέγων τοῦ πλήρους αὐτόν, ὁ δὲ τῷ σκληρῷ τὸν αὐτὸν εἶναι, πηλίκην οἴει μάχην ἔσεσθαι, ἢ δηλονότι τηλικαύτην, οἵαν πολλάκις ὁρῶμεν ἔν τε τῷ τῆς εἰρήνης τε μένει, καὶ ἐπ᾽ αὐτῶν τῶν ἀρρώστων, ὥστε τινὰς μηδὲ τὼ χεῖρε κατέχειν ἔτι. τοσοῦτον ἀπέχουσιν αἰσχροῦ ῥήματος ἀποσχέσθαι. καὶ τὰ μὲν τούτων τῶν νῦν ἡμῖν ὀχλούντων ἧττον δεινά, καί περ ὄντα δεινότατα. τὰ δὲ τῶν συγγράφειν ἐπιχειρισάντων, οὐκ ἀνασχετά. πρόχειρος μὲν γὰρ ὁ τῆς ἀχρηστίας τοῦ ζητήματος ἔλεγχος. οἱ δὲ οὐχ ὁρῶσιν αὐτόν, ἀλλὰ πάντες ὧδέ πως γράφουσιν. ὁ ποῖος δὲ σφυγμός, σφοδρός ἐστι. καὶ ὁ ποῖος δέ, πλήρης ἐστί. καὶ ὁ ποῖος δὲ πυκνός ἐστι, δέον ἀφελεῖν μὲν τὸ ἐστί. προσθεῖναι δὲ μάλιστα μὲν εἰ οἷόν τε, τὸ καλεῖται. τοῦτο δ᾽ ἀφροῦντας, τὸ καλεῖσθαι, καὶ οὕτως ἤδη διδάσκειν, οἷον δηλοῦν πέφυκεν ὁ σφυγμὸς ὁ τοιοῦτος, ὃν ἐκάλεσαν, εἰ τύχοι, σφοδρόν. οὐ γὰρ δὴ τοῦ καλέσαι γε χάριν, οὐδὲ τοῦ θέσθαι τοὔνομα κυρίως, τὴν περὶ τοὺς σφυγμοὺς τέχνην αὐτοὶ μετεχειρισάμεθα, ἢ ἑτέρους διδάσκειν ἐπιχειροῦμεν, ἀλλ᾽ ὅπως ἡμῖν γνωρίζοιτό τε τὰ παρόντα, καὶ προγιγνώσκοιτο τὰ μέλλοντα συμβήσεσθαι τοῖς ἀρρωστοῦσι.

πραγματεία

† πραγμάτων

ταῦτα δὲ ἐκ τῶν πραγμάτων, οὐκ ἐκ τῶν ἐπ' αὐτοῖς ὀνομάτων εὑρίσκεται. καθόλου γὰρ πρὸς μὲν τὴν τῶν † ὀνομάτων ἐπιστήμην, οὐδὲν ἡμᾶς ὠφελεῖ τὰ ὀνόματα, πρὸς δὲ τὴν διδασκαλίαν μόνον, ἣν καὶ κατὰ τὴν συνήθειαν περαίνεσθαι δυνατόν. εἴτε γὰρ μηδόλως τις ὀνόματα θέμενος τοῖς πράγμασιν, γνωρίζειν τε αὐτὰ ἱκανὸς εἴη, καὶ ὅτι δηλοῦν πέφυκεν ἀκριβῶς ἐπίσταιτο, τῶν ὀνομαζόντων οὐδὲν ἂν ἧττον φαίνοιτο τούτου γ' ἕνεκα. εἴτε διδάσκειν ἐπιχειρήσας ὀνόματα τίθεται τὰ δόξαντα αὐτῷ, καὶ οὕτως οὐδὲν ἂν ἔχοι μεῖον. ἐμοὶ μὲν οὖν οὐδ' εἰ Δίωνα ἢ Θέωνα τις καλεῖν σφοδρὸν σφυγμὸν ἐθέλοι, μὴ σφάλλοιτο δ' ἐν τῷ διδάσκειν τίνος αἰτίαι γίνονται αὐτὸν, καὶ τίνος διαθέσεως ἐστὶ γνώρισμα, καὶ οὖν ὅτι τελευτήσει, οὐδὲν οὐδ' οὗτος δοκεῖ σφαλήσεσθαι. τῷ μὲν δὴ οὕτω μέλλοντι διδάσκειν ὁτιοῦν, ἀρκεῖ νομοθετεῖν ὀνόματα, τῷ δ' ἐπὶ τοὺς παλαιοὺς ἀναπέμποντι, τὸ ἐκείνων ἔθος διδακτέον. οὐδὲν πάλιν οὐδ' ἐνταῦθα πολυπραγμονοῦντα πότερον κυρίως, ἢ ἀκύρως ὠνόμασαν, ἢ ὑπαλλάττειν τολμῶντα, ἢ καταμεμφόμενον, οἷα δὴ δρῶσιν οἱ σοφισταί. περιττὰ γὰρ ταῦτα ἅπαντα καὶ ἔξω τῆς ἡμετέρας τέχνης. οὐ γὰρ ὀνομάτων αὕτη γε ὀρθότητος ἐπιστήμη ἐστὶν, ἀλλὰ πραγμάτων, οὐδὲ τοὺς καλῶς μὴ ὀνομάζοντας εἰς ἰατροὺς πέμπουσιν οἱ ἄνθρωποι, ἀλλὰ τοὺς ὑγείας δεομένους. οὔκουν οὐδὲ ὁ λόγος ὅδε πλέον τῶν εἰθισμένων ἡμῖν τε καὶ τοῖς ἄλλοις ἰατροῖς ὀνομάτων ἐπαγγέλλεται διδάξειν, ἀλλ' ἀγαπώη ἂν εἰ τούτου μετρίως τυγχάνοι. πρῶτος μὲν οὖν ἁπάντων ὧν ἴσμεν Ἱπποκράτης, τό, τε ὄνομα τοῦ σφυγμοῦ γράφει, καὶ τὴν ἐν αὐτῷ τέχνην οὐκ ἀγνοεῖν ἔοικεν. οὐ μὴν οὔτ' ἐπὶ πλέον ἐξειργάσατο τοῦτο τὸ μέρος τῆς τέχνης, οὔτ' ἐπὶ πάσης ἀρτηριῶν κινήσεως τοὔνομα φέρει. παραπλήσιον δέ τι φαίνεται ποιεῖν αὐτῷ καὶ ὁ Ἐρασίστρατος, ἀλλ' ἐνταῦθα μὲν τοῖς ἰδίοις περὶ τῶν ἀνδρῶν λόγοις εἰρήσεται, καθ' ὅ τι τε μάλιστα τοὔνομα τίθενται, καὶ ὅπῃ διαφέρουσι πρὸς ἀλλήλους, ἢ ὁμολογοῦσιν. ὁ δὲ τὸ περὶ παλμῶν ἐπιγεγραμμένον Αἰγιμίου βιβλίον συνθεὶς, εἴτ' αὐτὸς ἦν ὁ Ἠλεῖος Αἰγίμιος, εἴτ' ἄλλος τις, ἰδίως κέχρηται τῷ ὀνόματι, καὶ πολὺ παρὰ τὸ τῶν ἄλλων οὐκ ἰατρῶν μόνον, ἀλλὰ καὶ ἰδιωτῶν ἔθος ἅπασαν ἀρτηριῶν κίνησιν, παλμὸν ὀνομάζει. ἡ δὲ Πραξαγόρου τε καὶ Ἡροφίλου χρῆσις ἔτι καὶ εἰς τάδε κρατεῖ. σφυγμὸν γὰρ οὗτοι πᾶσαν ἀρτηριῶν κίνησιν τὴν αἰσθητὴν καλοῦσιν. οὕτως δὲ καὶ οἱ μετ' αὐτοὺς ἅπαντες εἰ καὶ τοῖς ὁρισμοῖς, διαφέρονται. δειχθήσεται δὲ τοῦτο ἑτέρωθι. ὥστε καὶ ἡμεῖς ἑπόμενοι τῇ κρατούσῃ συνηθείᾳ, σκοπῶμεν ἤδη, πόσαι μὲν αἱ πᾶσαι τῶν σφυγμῶν διαφοραὶ, τί δ' ἑκάστης αὐτῶν τοὔνομα. καί τοι καὶ κατ' αὐτὴν τὴν εἰρημένην ῥῆσιν φιλονεικοῦσιν οἱ μὲν ὧδέ πως ἀξιοῦντες προβάλλειν, πόσα γένη τῶν σφυγμῶν. οἱ δὲ οὐ γένη φασὶ χρῆναι καλεῖν, ἀλλ' εἴδη. ποιότητας δ' ἄλλοι. καὶ διαφορὰς ἄλλοι. καὶ ὅτι ἂν ἑκάστῳ δόξῃ, τοῦ τοὔνομα θέμενος,

† ἀπέραντα

ἐρίζει μακρὰ καὶ † ἅπαντα, περὶ τῆς ὀρθότητος αὐτοῦ. καὶ ὡς περὶ γενῶν, οὕτω καὶ εἰδῶν καὶ διαφορῶν καὶ ποιοτήτων, οὐκ ἀναγκαίαν ἐπεισάγουσι ζήτησιν, ἐπιλαθόμενοι τῆς χρείας τοῦ τοιούτου προβλήματος. ἧκον μὲν γὰρ ἐπ' αὐτὸ πάντες ὡς οἶμαι τοὺς σφυγμοὺς ἐρευνῆσαι βουλόμενοι, τί δηλοῦν πεφύκασι. τυχεῖν δὲ οὐ προὔθεντο. καὶ χωρὶς τῆς περὶ γενῶν καὶ εἰδῶν ζητήσεως δυνάμενοι, πάντα μᾶλλον ἢ τοῦτο δρῶσιν. ἀλλ' ἡμεῖς κἀνταῦθα τὴν φλυαρίαν αὐτῶν φυγόντες, καὶ προβάλλειν ὅπως ἂν ἐθέλουσιν ἐπιτρέψαντες, ἐχώμεθα τοῦ χρησίμου, τοσοῦτον ἔτι προειπόντες, ὡς τοῖς βουλομένοις περὶ τῶν κατὰ τοὺς σφυγμοὺς ὅρων, ἢ καὶ περὶ τῶν ὀνομάτων αὐτῶν τῆς ὀρθότητος ἐκμαθεῖν, ἐν τοῖς μετὰ τοῦτο τὸ πρῶτον βιβλίον, ἅπαντα γέγραπται. τουτὶ γὰρ αὐτὸ μόνον ἔχει τὸ χρήσιμον, οὐδενὸς τῶν σοφιστικῶν ζητημάτων ἐφαπτόμενον. ὥστ' εἰ καὶ τελέως τις ἐθέλοι παραλιπεῖν ἐκεῖνα, δύναιτ' ἄν. εἰς γὰρ τὰς ἄλλας πραγματείας, τήν τε περὶ διαγνώσεως τῶν σφυγμῶν, καὶ τὴν περὶ τῶν αἰτίων, καὶ ἔτι τὴν περὶ τῆς δι' αὐτῶν προγνώσεως, τοῦτο μόνον ἀναγκαῖον ἐστὶ τὸ βιβλίον. ἐκεῖνα δὲ πρός τε τὰς τῶν σοφιστῶν ἐνοχλήσεις γέγραπται, καὶ πρὸς τὸ παρακολουθεῖν τοῖς τῶν ἄλλων συγγράμμασιν, εἰδότας καθ' ὅτου σημαινομένου φέρουσιν ἕκαστον τῶν ὀνομάτων. λέγωμεν οὖν ἤδη πόσα μὲν τὰ πρῶτα γένη τῶν σφυγμῶν. ἐφεξῆς δὲ τὰς διαφορὰς αὐτῶν, ἀρχὴν τοῦ λόγου τήνδε ποιησάμενοι. Τῆς ἀρτηρίας σώματος οὔσης κοίλου καὶ μακροῦ καὶ περιφεροῦς. κινουμένης τε διὰ παντὸς διπλῆν κίνησιν ἐξ ἐναντίων συνθέτον μορίων, ἢ γὰρ εἰς ἑαυτὴν συνιζάνει πανταχόθεν, ἢ διαστέλλεται πανταχόσε, καὶ ταύτης τῆς διπλῆς κινήσεως ὀνομαζομένης σφυγμοῦ, διττὰς ἀναγκαῖον αὐτῇ συμπίπτειν ἠρεμίας ἐφ' ἑκατέρᾳ. ἑτέραν μὲν, ἐπὶ τῷ διασταλῆναι πρὸ τοῦ συστέλλεσθαι, δευτέραν δὲ ἐπὶ τῷ συσταλῆναι πρὸ τοῦ διαστέλλεσθαι, καὶ ταύτας τὰς δύο ἡσυχίας, ἥ τε τῶν γεγυμνασμένων ἁφὴ γνωρίζει, καὶ ὁ λόγος οὐδὲν ἧττον ἀποδείκνυσι. πρὶν γὰρ καταπαῦσαι τὴν προτέραν κίνησιν, οὐκ ἂν ὑπάρξαιτο τῆς ἐναντίας ἡ ἀρτηρία. ἀλλὰ μὴν τὸ καταπαῦσαι, στῆναι τε καὶ ἡσυχάσαι ἐστίν. ὥστε ἡσυχία μεταξύ ἐστι τῶν κινήσεων. ἀνάγκη οὖν πᾶσα τὸν μέν τινα χρόνον, αὐτῶν εἶναι τῶν κινήσεων ἴδιον ἑκατέρας τὸν δέ τινα τῶν ἡσυχιῶν, καὶ τούτων πάλιν ἑκατέρας ἴδιον. ἐπεὶ δὲ καὶ τρεῖς διαστάσεις ἡ ἀρτηρία κέκτηται, καθάπερ πᾶν ἄλλο τι σῶμα, μῆκος, καὶ πλάτος, καὶ βάθος, ἀνάγκη πᾶσα καθ' ἑκάστην τῶν διαστάσεων γίγνεσθαί τινα ποσότητα τῆς διαστολῆς, καὶ τῆς συστολῆς, καὶ μὲν δὴ καὶ τόνου πως αὐτὴν ἔχειν ἀναγκαῖον, ὥστε ἢ μόγις καὶ ἀῤῥώστως, ἢ ἑτοίμως τε καὶ εὐρώστως ἐνεργεῖν. εἶναι δὲ καὶ αὐτὸν τὸν χιτῶνα τῆς ἀρτηρίας, ἢ μαλακὸν ἢ σκληρόν. ἀλλὰ καὶ τὴν εὐρύτητα τὴν ἐντὸς, ἢ διάκενόν πως, ἢ πλήρη. καὶ κατὰ ταῦτα πάντα ποτὲ μὲν ὁμαλότητα, ποτὲ δὲ ἀνωμαλίαν συνίστασθαι, καί τινα λόγον τοῦ χρόνου τῆς διαστολῆς πρὸς τὸν τῆς συστολῆς, καὶ παρὰ ταύτας, μηδεμίαν ἄλλην δύνασθαι συστῆναι καθ' ἕνα σφυγμὸν διαφοράν. εἴτε γὰρ ἐξετάσαι χρὴ τὸν χρόνον τῶν κινήσεων, ἢ τῶν ἡσυχιῶν, εἴτε τῶν διαστάσεων, καθ' ἃς κινοῦνται, τὸ ποσὸν, εἴτε τῆς ἐνεργείας τὸ ποιὸν, ἢ τοῦ χιτῶνος τῶν ἀρτηριῶν, ἢ τῆς κοιλότητος, ἢ τοῦ πῶς ἔχειν πρὸς ἄλληλα τὰ δυνάμενα παραβάλλεσθαι, δύναται δὲ δηλονότι τὰ ὁμογενῆ, πάντ' εἴρηται ταῦτα, καὶ οὐδὲν ἔτι λείπει τῷ λόγῳ κατ' οὐδένα τρόπον, ἀλλ' εἰσὶν αἱ πᾶσαι καθ' ἕνα σφυγμὸν συνιστάμεναι διαφοραὶ γενῶν αἱ νῦν εἰρημέναι. δύο δὲ ἄλλαι προσέρχονται συστηματικαὶ καλούμεναι, καθ' ἃς ἐπὶ πλειόνων σφυγμῶν ἀλλήλοις παραβαλλομένων, ὁμαλότητά τε καὶ ἀνωμαλίαν, καὶ τάξιν ἢ ἀταξίαν σκοποῦμεν.

Ἑκάστου δὲ τούτων τῶν γενῶν, αἱ κατ' εἶδος διαφοραὶ πλείους εἰσίν, ἃς ἤδη διέξιμεν, ἀπὸ τοῦ κατ' αὐτὴν τὴν κίνησιν, ἀρξάμενοι γένους. ἀνάγκη γὰρ ταύτην, ἢ σύμμετρόν τε εἶναι καὶ κατὰ φύσιν ὑπάρχειν, ἢ ὠκυτέραν πως ἢ βραδυτέραν γεγονέναι, ὡς εἶναι κατὰ τοῦτο τὸ γένος, τρεῖς τὰς πάσας διαφορὰς σφυγμῶν, ταχὺν μὲν τὸν ἐν ὀλίγῳ χρόνῳ κινουμένης τῆς ἀρτηρίας γινόμενον, βραδὺν δὲ τὸν ἐν πολλῷ, σύμμετρον δὲ τὸν ἐν συμμέτρῳ. αἱ δὲ κατὰ τὸ ποσὸν τῆς διαστολῆς διαφοραὶ σφυγμῶν, αἱ μὲν κατὰ μίαν νοούμεναι διάστασιν, ἐννέα τὸν ἀριθμόν εἰσιν καθ' ἑκάστην τῶν τριῶν διαστάσεων, τρεῖς, κατὰ μὲν τὸ μῆκος τῆς ἀρτηρίας, ὅστις σύμμετρος ἐν αὐτῷ, καὶ ὅστις ἂν ὑπερβάλλει τοῦτο δέ, ἢ ἐλλείπει. καλεῖται δέ, ὁ μὲν ὑπερβάλλων, μακρός, ὁ δὲ ἐλλείπων, βραχύς. κατὰ δὲ τὸ πλάτος, ὅ, τε σύμμετρος ἐν αὐτῷ, καὶ οἱ ἄμετροι δύο, πλατὺς μὲν ὁ ὑπὲρ τὸ σύμμετρον, ὁ δ' ἐναντίος αὐτῷ, στενός. κατὰ ταῦτα δὲ κἂν τῇ κατὰ βάθος διαστάσει τῆς ἀρτηρίας, ὁ μὲν ἔσται σύμμετρος, ὁ δὲ ὑψηλός, ὁ δὲ ταπεινός. αὗται μὲν ἐννέα διαφοραὶ σφυγμῶν τῶν κατὰ μίαν διάστασιν νενοημένων, αἱ δὲ κατὰ τρεῖς ἅμα διαστάσεις διαφοραὶ σφυγμῶν, ἑπτὰ καὶ εἴκοσιν εἰσίν. γνώσῃ δ' αὐτὰς σαφῶς ἐκ τοῦ διαγράμματος, εἷς μὲν γὰρ ἔσται μακρὸς ἅμα καὶ πλατὺς καὶ ὑψηλός, καὶ γεγράφθω πρῶτος ἁπάντων. ἕτερος δὲ μακρὸς ἅμα καὶ πλατὺς καὶ κατὰ βάθος σύμμετρος, καὶ γεγράφθω δεύτερος. ἄλλος δὲ μακρὸς καὶ πλατὺς καὶ ταπεινὸς καὶ γεγράφθω τρίτος. ἐφεξῆς δὲ τούτοις, οἱ λοιποὶ πάντες ὁμοίᾳ μεθόδῳ γνωρισθήσονται τῶν δύο μὲν τῶν πρώτων διαστάσεων τῶν αὐτῶν μενουσῶν, τρὶς δὲ τῆς ἐσχάτης ὑπαλλαττομένης, οἷον οὕτως, ὁ μὲν τέταρτος μακρὸς καὶ σύμμετρος τῷ πλάτει καὶ ὑψηλός. ὁ δὲ πέμπτος, μακρὸς καὶ σύμμετρος τῷ πλάτει, καὶ σύμμετρος τῷ βάθει. ὁ δὲ ἕκτος, μακρὸς καὶ σύμμετρος τῷ πλάτει καὶ ταπεινός, εἶτ' ἄλλοι πάλιν τρεῖς ἐφεξῆς, τῆς μὲν πρώτης διαστάσεως, τὸ μακρὸν φυλαττούσης, τῆς δὲ δευτέρας τὸ στενόν, τῆς δὲ τρίτης, ὑπαλλαττομένης τριχῶς. οὗτοι μὲν ἐννέα τῆς μιᾶς διαστάσεως τῆς κατὰ τὸ μῆκος μακρᾶς μενούσης, τῶν δὲ ἄλλων, δυοῖν παντοίως ὑπαλλαττομένων. ἕτεροι δὲ ἐφεξῆς ἐννέα, τῆς μὲν κατὰ τὸ μῆκος διαστάσεως συμμέτρου μενούσης. τῶν λοιπῶν δ' ὑπαλλαττομένων. καὶ αὖθις ἐννέα, τῆς μὲν κατὰ μῆκος διαστάσεως βραχείας μὲν οὔσης, τῶν δ' ἄλλων ὑπαλλαττομένων.

α	μακρός	πλατύς	ὑψηλός	μέγας
β	μακρός	πλατύς	σύμμετρος	
γ	μακρός	πλατύς	ταπεινός	
δ	μακρός	σύμμετρος	ὑψηλός	
ε	μακρός	σύμμετρος	σύμμετρος	ἰσχνός
ς	μακρός	σύμμετρος	ταπεινός	ἰσχνός
ζ	μακρός	στενός	ὑψηλός	
η	μακρός	στενός	σύμμετρος	ἰσχνός
θ	μακρός	στενός	ταπεινός	ἰσχνός
ι	σύμμετρος	πλατύς	ὑψηλός	ἀδρός
ια	σύμμετρος	πλατύς	σύμμετρος	
ιβ	σύμμετρος	πλατύς	ταπεινός	
ιγ	σύμμετρος	σύμμετρος	ὑψηλός	
ιδ	σύμμετρος	σύμμετρος	σύμμετρος	μέσος
ιε	σύμμετρος	σύμμετρος	ταπεινός	
ις	σύμμετρος	στενός	ὑψηλός	
ιζ	σύμμετρος	στενός	σύμμετρος	
ιη	σύμμετρος	στενός	ταπεινός	ἰσχνός
ιθ	βραχύς	πλατύς	ὑψηλός	ἀδρός
κ	βραχύς	πλατύς	σύμμετρος	ἀδρός
κα	βραχύς	πλατύς	ταπεινός	
κβ	βραχύς	σύμμετρος	ὑψηλός	ἀδρός
κγ	βραχύς	σύμμετρος	σύμμετρος	ἀδρός
κδ	βραχύς	σύμμετρος	ταπεινός	
κε	βραχύς	στενός	ὑψηλός	
κς	βραχύς	στενός	σύμμετρος	
κζ	βραχύς	στενός	ταπεινός	μικρός

Οὕτω δὴ τούτων ἑπτὰ καὶ εἴκοσι σφυγμῶν, τῶν περὶ τὸ ποσὸν, ἐν ταῖς τρισὶν ἅμα διαστάσεσι συνισταμένων, δύο μὲν ἔχουσιν ἐξ αὐτῶν ὀνόματα, πρὸς ἁπάντων ὁμολογούμενα, ὅ, τε πρῶτος ἐν αὐτοῖς γεγραμμένος, καὶ ὁ ἔσχατος. ὁ μὲν γὰρ μέγας, ὁ δὲ μικρὸς καλεῖται, τὸ δ' ἄλλο πᾶν πλῆθος οὐκ ἔχει. οὐδὲ γὰρ οἱ ἰσχνοί τε καὶ οἱ ἁδροὶ λεγόμενοι σφυγμοὶ, ἕνα τινὰ τῶν ἐκ τοῦ διαγράμματος δηλοῦσι, ἀλλὰ περὶ πολλῶν ἅμα γενικῶς κατηγοροῦνται. ἐφ' ὧν γὰρ ἂν ἡ περὶ τὸ μῆκος διάστασις πλεονεκτεῖ πως τῶν λοιπῶν δυοῖν, τούτους πάντας ἰσχνοὺς καλοῦσιν. ἐφ' ὧν δ' ἂν αἱ λοιπαὶ δύο ταύτης, ἅπαντας αὖ πάλιν ἐκείνους ἁδρούς. ὥστε καὶ τὸν πέμπτον ἐν τῷ διαγράμματι, καὶ τὸν ἕκτον, ἔτι δὲ πρὸς αὐτοῖς τὸν ὄγδοον τε καὶ ἔννατον, καὶ ἐπὶ ἰσχνοὺς καλεῖσθαι. ἔμπαλιν δὲ τούτοις, ἁδρούς, τόν τε δέκατον ἐν τῷ διαγράμματι καὶ τὸν ἐννεακαιδέκατον, καὶ τὸν εἰκοστὸν, καὶ προσέτι τὸν δεύτερον καὶ εἰκοστὸν, καὶ τὸν τρίτον καὶ εἰκοστόν. ὥστε γενικώτερα ταῦτ' ἐστὶ τὰ ὀνόματα καὶ πλειόνων κοινά. καλοῦσι δὲ ἤδη τοὺς αὐτοὺς τούτους σφυγμοὺς καὶ ἑτέρως, λεπτὸν μὲν ἰσχνόν, παχὺν δὲ τὸν ἁδρόν. ἀλλ' οὐδὲ τοῦ συμμέτρου περὶ τὰς τρεῖς διαστάσεις, ὅσπερ μόνος ἐστὶν ὁ κατὰ φύσιν ἐν τοῖς ἑπτὰ καὶ εἴκοσιν ἴδιον ἔχομεν ὄνομα. λόγῳ δὲ καὶ τοῦτον δηλοῦμεν, ἤτοι σύμμετρον εἶναι λέγοντες ἐν ταῖς τρισὶ διαστάσεσιν, ἢ μέσον μεγάλου τε καὶ μικροῦ, ἢ κατὰ φύσιν ἐν τῷ ποσῷ τῆς διαστολῆς, ἢ σύμμετρον ἐν τῷ ποσῷ τῆς διαστολῆς, ἢ ὅπως ἂν μάλιστα ἄλλως, σαφὲς ἐλπίσωμεν ἔσεσθαι τὸ λεγόμενον. διό μοι καὶ θαυμάζειν ἐπέρχεται τῶν ἐν ὀνόμασι μόνον δεινῶν, καί τι χρὴ καλέσαι τὸν τοιοῦτον σφυγμὸν ἀεὶ ζητούντων, εἰ μὴ κἂν διὰ τοῦτο τῆς ἔριδος παύσαιντο, πολλοὺς ὁρῶντες σφυγμοὺς, ὄνομα μὲν ἴδιον οὐκ ἔχοντας, οὐδὲν δ' ἐκ τούτου τὴν διδασκαλίαν βλάπτοντας, ὅταν γε λόγῳ δηλοῦσθαι δύνωνται. τὸ γοῦν σφυγμὸν ὀνομάζειν τινὰς βραχὺν, καὶ στενὸν, καὶ ταπεινὸν, ὅμοιον ἐστὶ τῷ λέγειν, ζῷον πεζὸν δίπουν. ὡς γὰρ ἐνταῦθα ὁ λόγος μὲν τὸ ζῷον πεζὸν δίπουν, τὸ δὲ, ὄνομα τοῦ πράγματος, οὗ ὁ λόγος, ἄνθρωπος, οὕτω κἂν τοῖς σφυγμοῖς, ὄνομα μὲν ὁ μέγας. λόγος δ' αὐτοῦ μακρὸς καὶ πλατὺς καὶ ὑψηλός. καὶ αὖθις ἑτέρου σφυγμοῦ, λόγος μὲν βραχὺς πλατὺς ταπεινὸς, ὄνομα δὲ οὐδέν ἐστιν, ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις ἐροῦμεν. Νυνὶ δὲ μεταβάντες ἤδη τὸ τρίτον γένος τῶν σφυγμῶν τὸ περὶ τὸν τόνον, εἴπωμεν καὶ τὰς τούτου διαφοράς. εἰσὶ δὲ τρεῖς, ὁ μέν τις εὔρωστος τῷ τόνῳ. καλεῖται δὲ σφοδρός. ὁ δέ τις ἄρρωστος, ὃν ἀμυδρὸν ὀνομάζουσι, τοῦ μέσου δ' αὐτῶν, οὐκ ἐστιν ἴδιον ὄνομα, ἀλλὰ καὶ τοῦτον τῷ λόγῳ δηλοῦμεν. Τὸ δὲ τέταρτον τῶν γενῶν τὸ περὶ τὸ σῶμα τῆς ἀρτηρίας συνιστάμενον, εἰς τρεῖς τέμνεται καὶ αὐτὸ διαφοράς, καὶ καλεῖται, παρὰ μὲν τοῖς πλείστοις τῶν ἰατρῶν, καὶ μάλιστα τοῖς νεωτέροις, τῷ τοῦ πλήρους ὀνόματι καὶ τῷ τοῦ κενοῦ. τὸ γὰρ μέσον ἀμφοῖν ἀνώνυμον κἀνταῦθα. παρ' ἡμῖν δ' οὐχ οὕτως. ἀλλ' ὁ μὲν ἕτερος αὐτῶν, σκληρὸς, ὁ δὲ ἕτερος μαλακὸς ὀνομάζεται, καὶ δηλοῦσιν ἀμφότεροι τῆς ἀρτηρίας τὴν σύστασιν. εἰ δ' ὀρθότερον οὕτως, ἢ ἐκείνως ὀνομάζειν, ὅτῳ καὶ τοῦτο μέλει, διὰ τῶν ἑξῆς μαθήσεται. νυνὶ δὲ τὸ προκείμενον περαντέον. Ἄλλο γένος ἦν σφυγμῶν, ἐμφαῖνον ὥς φασι τὸ τῆς ἀρτηρίας ἔγχυμα, μακροῦ δεόμενον ὡς ἐμοὶ δοκεῖ εἰς διάγνωσιν ἀκριβῆ λόγου. τὸ δ' οὖν εἴς τε τὰ παρόντα χρηστὸν, καὶ τοῖς εἰσαγομένοις ἱκανὸν, εἰρήσεται κἀνταῦθα, τρεῖς νοεῖσθαι τούτου τοῦ γένους διαφοράς, ὀνομάζεσθαι δὲ τὸν μέν τινα πλήρη, τὸν δὲ κενόν. ὁ γὰρ μέσος ἀμφοῖν, οὐδὲν ἴδιον ὄνομα κέκτηται. πλήρης μὲν οὖν ἐστι σφυγμὸς, ὡς ὁ Ἀρχιγένης ὁρίζεται, ὁ ναστοτέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν, καὶ τὴν ὑπόπτωσιν αὐτῆς διασεσαγμένην ἐγχύλως. κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν. ταῦτα μὲν οὖν τὰ πέντε γένη τῶν σφυγμῶν, περὶ μίαν κίνησιν τῆς ἀρτηρίας συνίσταται, καὶ ἡ καθ' ἕκαστον ὁμαλότης αὐτῶν τε καὶ ἀνωμαλία, ἧς τὰς διαφορὰς ἐροῦμεν, ὅταν καὶ περὶ τῆς ἑτέρας ἀνωμαλίας τῆς ἐν πλείοσι συνισταμένης σφυγμοῖς λέγωμεν. Αἱ δ' ἄλλαι διαφοραὶ τῶν σφυγμῶν, τοῖς μὲν μηδ' ὅλως αἰσθάνεσθαι λέγουσι τῆς συστολῆς, ἔν τε τῷ χρόνῳ συνίστανται τῶν διαλειμμάτων, οὕτω γὰρ ὀνομάζουσι τὸν μεταξὺ χρόνον τῶν αἰσθητῶν κινήσεων, καὶ προσέτι τῷ λόγῳ, τοῦ τε τῆς κινήσεως αὐτῆς χρόνου, καὶ τοῦ τῆς ἡσυχίας. καλοῦσι γὰρ καὶ οὕτως τὸ διάλειμμα. τοῖς δὲ καὶ τῆς συστολῆς αἰσθάνεσθαι λέγουσι, καὶ δηλονότι τῶν μεταξὺ δυοῖν ἠρεμήσεων, ἃς ἡσυχίας τε καὶ ἠρεμίας καὶ ἀκινησίας καλοῦσι, ἕτεραί τε συνίστανται, καὶ πολλῷ πλείους γίνεται. δίκαιον οὖν ὑπὲρ ἑκατέρων ἰδίᾳ σαφέστερον εἰπεῖν. καὶ περὶ προτέρου γε τῶν μόνης τῆς διαστολῆς αἰσθάνεσθαι φασκόντων, ἵν' ἐν τοῖς ἑτοιμοτέροις γνωσθῆναι γυμνασάμενοι ῥᾷον ἑπώμεθα τοῖς χαλεπωτέροις. πληττομένης δὴ τῆς ἁφῆς κατὰ τὴν προσβολὴν τῆς ἀρτηρίας, τῶν τε ἄλλων ὧν εἶπον ἐμπροσθεν αἰσθανόμεθα, καὶ χρόνου τοῦ παρεκτεινομένου τῇ κινήσει. δευτέρας δ' αὖ κινήσεως ὑπαρξαμένης, ἄλλος ἡμῖν χρόνος ἐφωράθη μεταξὺ τοῦ τε τῆς προτέρας κινήσεως τέλους, καὶ ἀρχῆς τῆς δευτέρας, ὥστε εἶναι δύο χρόνων διάγνωσιν ἐν τῇ τοῦ σφυγμοῦ συμπληρώσει, προτέρου μὲν τοῦ τῆς κινήσεως, ἣν καὶ πληγὴν καὶ διαστολὴν ὀνομάζουσι, δευτέρου δὲ τοῦ τῆς ἡσυχίας, ἣν καὶ διάλειμμα καὶ συστολὴν καλοῦσιν. γίγνεσθαι δὲ κατὰ μὲν τὸ τοῦ προτέρου χρόνου ποσὸν, ἢ ταχὺν, ἢ βραδὺν, ἢ τὸν μέσον αὐτῶν σφυγμόν. κατὰ δὲ τοῦ δευτέρου, πυκνὸν ἢ ἀραιὸν, ἢ τὸν μέσον αὐτῶν, ὡς εἶναι ταχὺν μὲν σφυγμὸν, τὸν ἐν ὀλίγῳ χρόνῳ τῆς ἀρτηρίας διαστελλομένης γιγνόμενον. πυκνὸν δὲ τὸν δι' ὀλίγου. καὶ βραδὺν μὲν τὸν ἐν πολλῷ χρόνῳ τῆς ἀρτηρίας διαστελλομένης γινόμενον. ἀραιὸν δὲ, τὸν διὰ πολλοῦ. καὶ μέσον μὲν ὠκέος καὶ βραδέος τὸν ἐν συμμέτρῳ χρόνῳ τῆς ἀρτηρίας διαστελλομένης γιγνόμενον, μέσον δὲ πυκνοῦ καὶ ἀραιοῦ, τὸν διὰ συμμέτρου χρόνου τῆς ἀρτηρίας διαστελλομένης ἀποτελούμενον. εἴτε δὲ διαστελλομένης, εἴτε διϊσταμένης εἴποιμεν, εἴτε ἐξαιρομένης, εἴτε κινουμένης, οὐδὲν διαφέρειν ἡγοῦμαι. δῆλον οὖν ἤδη τίς τε ὁ πυκνὸς σφυγμὸς κατ' αὐτοὺς, καὶ ὅπῃ τοῦ ταχέος ἕτερος, ὅστις τε ὁ ἀραιὸς καὶ ὅπῃ βραδέος διαφέρει. παραβαλλομένου δὲ τοῦ τῆς πληγῆς χρόνου τῷ τῆς ἡσυχίας, ὁ ῥυθμὸς γεννᾶται, λόγος ὢν τοῦ χρόνου τῆς πληγῆς πρὸς τὸν τῆς ἡσυχίας. εἴπομεν δὲ ὅτι μηδὲν κατὰ τούτους διαφέρει πληγὴν λέγειν, ἢ διαστολὴν, ἢ κίνησιν. καὶ ἡσυχίαν, ἢ διάλειμμα, ἢ συστολήν. καὶ μὲν δὴ καὶ ἀντὶ τοῦ λόγου φάναι τοῦ χρόνου τῆς διαστολῆς πρὸς τὸν τῆς συστολῆς,

τὸν ῥυθμὸν εἶναι, τάξιν τινὲς ἔφασαν, ἕτεροι δὲ σχέσιν εἶναι δυοῖν χρόνοιν πρὸς ἀλλήλους, τοῦ τῆς πληγῆς πρὸς τὸν
τοῦ διαλείμματος. αὕτη μὲν ἡ κατὰ τοὺς προτέρους διδασκαλία. Μεταβῶμεν δ' ἐπὶ τοὺς αἰσθάνεσθαι φάσκον-
τας τῆς συστολῆς, βραδύτητα μὲν καὶ τάχος ὁμοίως ἐκείνοις ἐν τῷ τῆς διαστολῆς χρόνῳ τιθεμένους, ἤδη δὲ καὶ τῷ
τῆς συστολῆς, οὐ μὴν τήν γε πυκνότητα καὶ τὴν ἀραιότητα καὶ τὸν ῥυθμὸν ἔθ' ὡσαύτως ἐκείνοις, ἀλλὰ τὴν μὲν
πυκνότητα καὶ τὴν ἀραιότητα κατὰ τὰς ἠρεμίας ἑκατέρας. τὸν ῥυθμὸν δὲ, κατὰ τὸν τῆς διαστολῆς χρόνον ἅμα τῷ τῆς
μετ' αὐτὴν ἡσυχίας παραβαλλόμενον τῷ τῆς συστολῆς, ἅμα τῷ τῆς μετ' αὐτὴν ἠρεμίας. ἔστι ὅτε δὲ καὶ τὸν τῆς δια
στολῆς μόνης χρόνον πρὸς τὸν τῆς συστολῆς μόνης παραβάλλοντες, οὕτω τὸν ῥυθμὸν γεννᾶσθαι λέγουσι. καὶ γὰρ περὶ τῆς
πυκνότητος ἔνιοι μὲν αὐτῶν ὡς εἴρηται, τινὲς δὲ τοῖς πρόσθεν παραπλησίως, ἐν τῷ τῆς διαστολῆς χρόνῳ, τὸ τά-
χος καὶ τὴν βραδύτητα γεννᾶσθαι φήσαντες, ἐν τῷ λοιπῷ παντὶ τῷ συγκειμένῳ ἔκ τε τῶν δυοῖν ἡσυχιῶν, καὶ
τῆς συστολῆς, τὴν πυκνότητα καὶ τὴν ἀραιότητα φασὶ συνίστασθαι. τινὲς δὲ καὶ τὸν ῥυθμὸν ὁμοίως τοῖς πρόσθεν οὐκ
ὤκνησαν ἐν τῷ λόγῳ τοῦ τῆς διαστολῆς χρόνου, πρὸς τὸν λοιπὸν ἅπαντα συνίστασθαι φάσκειν. οὐ μὴν οὐδ' ἐν τῷ
πάσης αἰσθάνεσθαι τῆς διαστολῆς, ἢ τῆς συστολῆς ὁμολογοῦσιν ἀλλήλοις, ἀλλ' εἰσὶ μὲν οἱ πάσης ἑκατέρας, εἰσὶ δὲ
οἱ μήτε τῶν πρώτων τῆς διαστολῆς, μήτε τῶν ἐσχάτων τῆς συστολῆς, εἶτα καὶ περὶ τῶν ὀνομάτων ἐρίζουσιν ἀλλήλοις.
ἵν' οὖν ἡμεῖς μήτε τι τῶν πραγμάτων αὐτῶν παραλείπωμεν, μήτ' ἐν τοῖς ἀχρήστοις ἐπὶ πλέον διατρίβωμεν,
εἰπόντες τὸ ἀληθές τε ἅμα καὶ χρήσιμον, ἐπιτρέψωμεν ὀνόματα θέσθαι τοῖς τοῦτ' ἔργον πεποιημένοις. τῶν δὲ
ὄντως ἔργων τῆς τέχνης ἀμελοῦσιν, οὔτε τῆς διαστολῆς τῶν πρώτων, οὔτε τῆς συστολῆς τῶν ἐσχάτων, δυνατὸν αἰ-
σθάνεσθαι. πόσον δ' ἑκατέρου τὸ αἰσθητὸν, καὶ διὰ τί, δείκνυμεν ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως.
ἔστι δὲ δηλονότι χρήσιμον ἰατρῷ, τὸ ὑπὸ τὴν αἴσθησιν ἐρχόμενον, ὥστε καὶ χρόνον διαστολῆς ἢ συστολῆς τὸν αἰ-
σθητὸν, ἀναγκαῖον γνωρίζειν αὐτῷ. τὴν μὲν οὖν ἠρεμίαν τὴν ἄνω καλουμένην, τὴν ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συσ
τολῆς, ἀκριβῶς δυνατὸν, ἡλίκη τίς ἐστι γνῶναι διὰ τῆς ἁφῆς, τὴν κάτω δὲ, οὐκ ἔτι ἀκριβῶς, διὰ τὸ προσλαμβάνειν
ἑκατέρωθεν μόρια, κατὰ μὲν τὴν ἀρχὴν, τὸ τῆς συστολῆς πέρας, κατὰ δὲ τὴν τελευτὴν, τὰ πρῶτα τῆς διαστολῆς. με-
μνῆσθαι δὲ χρὴ τῶν χρόνων τούτων, τό, τε κατὰ φύσιν ἑκάστου μέγεθος καὶ τὸν πρὸς ἀλλήλους λόγον, καὶ γνωρίζειν
δύνασθαι πόσον ἐν τῷ νοσεῖν ἀλλοιοῦνται, καὶ τί δηλοῦν ἑκάστη τροπὴ πέφυκεν, ὃ τῇ τε τῆς αἰτίας εὑρέσει καὶ τῇ
μακρᾷ πείρᾳ λαμβάνεται, καὶ ἡμεῖς περὶ αὐτῶν ἑτέρωθι λέγομεν. ἐν δὲ τῷ παρόντι τὰς διαφορὰς ἔτι προσ-
θέντες τῶν δύο τούτων γενῶν τῶν νῦν εἰρημένων, τοῦ τε κατὰ τὴν ἠρεμίαν, καὶ τοῦ κατὰ τὸν ῥυθμὸν, ἐπὶ τὰ συνε-
χῆ τοῦ λόγου μεταβαίνωμεν. ἐν μὲν δὴ τῷ κατὰ τὴν ἡσυχίαν τῆς ἀρτηρίας γένει, τρεῖς διαφορὰς συνίστανται σφυ-
γμῶν, ἀραιὸς, πυκνὸς, μέσος, ὧν καὶ τοὺς λόγους ὀλίγῳ πρόσθεν ἐμάθομεν. ἐν δὲ τῷ κατὰ τὸν ῥυθμὸν οὐχ ἁπλῶς
οὕτως ἐγχωρεῖ εἰπεῖν τὰς συνισταμένας διαφορὰς, ἀλλὰ πρῶτον, ὅτι πᾶς σφυγμὸς ῥυθμὸν ἔχει, δηλω-
τέον, ἵνα μή τινα τὸ τῶν ἀρρύθμων καλουμένων σφυγμῶν ἐξαπατῆσαν ὄνομα, ψευδῶς ὑπολαμβάνειν ποιήσῃ,
παντὸς ἐστερῆσθαι ῥυθμοῦ τοὺς τοιούτους σφυγμούς. ὡς γὰρ ἀτράχηλος ἄνθρωπος καὶ κιθαρῳδὸς ἄφωνος, οὕτω
καὶ σφυγμὸς ἄρρυθμος καλεῖται, κάκωσιν τοῦ κατὰ φύσιν ῥυθμοῦ δηλούσης τῆς προσηγορίας, οὐ στέρησιν παντελῆ.
καὶ ἔστιν ἐναντίος τῷ ἀρρύθμῳ, οὐχ ὁ ἔνρυθμος, πᾶς γὰρ σφυγμὸς ἔν τινι ῥυθμῷ, ἀλλ' ὁ εὔρυθμος καλούμενος. ἀμφο-
τέρων δὴ τούτων, ἀρρύθμου λέγω καὶ εὐρύθμου, κοινὸν γένος ἐστὶν, ὁ ἔνρυθμος σφυγμός. ὁ μὲν οὖν εὔρυθμος, εἷς μέ-
νει καὶ ἄτμητος. τοῦ δὲ ἀρρύθμου, τρεῖς εἰσι διαφοραὶ, παράρρυθμος, ἑτερόρρυθμος, ἔκρυθμος. οἷος δ' ἐστὶν ἕκαστος, ἐπὶ
παραδείγματος μάθοις ἄν. ἑκάστῃ τῶν ἡλικιῶν ἐστί τις κατὰ φύσιν σφυγμός. τούτων οὖν ὁ μὲν σώζων τὸν ῥυθμὸν,
εὔρυθμος καλεῖται. ὁ δὲ διαφθείρων, ἄρρυθμος. καὶ τοῦ διαφθείροντος, ὁ μὲν τὸν τῆς πλησίον ἡλικίας ῥυθμὸν
μεταλαμβάνων, παράρρυθμος. ὁ δὲ τὸν τῆς ἑτέρας ἡστινοσοῦν, ἑτερόρρυθμος. ὁ δὲ μηδεμιᾶς ὅλως ἡλικίας ἀποσώζων
ῥυθμὸν, ἔκρυθμος ὀνομάζεται. οὕτω δὲ καὶ περὶ φύσεων, καὶ ὡρῶν, καὶ χωρῶν, καὶ τῶν ἄλλων ἁπάντων χρὴ νοεῖν. ἑ-
κάστου γὰρ αὐτῶν ἔστι τις οἰκεῖος ῥυθμὸς, οὗ διαφθειρομένου, τότ' ἄρρυθμον χρὴ νοεῖν, καὶ τὰς εἰρημένας ἐν αὐτῷ δια-
φοράς. ἁπάντων δὲ τῶν ῥυθμῶν, οἱ μὲν ἐν ἴσῳ λόγῳ συνίστανται, οἱ δὲ ἐν ἀνίσῳ. ἐν ἴσῳ μὲν ὅταν ὁ τῆς διαστολῆς
χρόνος ἴσος ὑπάρχῃ τῷ τῆς συστολῆς. ἐν ἀνίσῳ δὲ, ὅταν θάτερος αὐτῶν ὑπερέχῃ. γίνεται δὲ τοῦτο ποτὲ μὲν, ἐν ῥη-
ταῖς, ποτὲ δὲ ἐν ἀρρήτοις ταῖς ὑπεροχαῖς. καὶ ἐν ῥηταῖς μὲν διχῶς, ἢ ὡς ἐν πολλαπλασίῳ λόγῳ, ἢ ὡς ἀριθμοῦ
πρὸς ἀριθμὸν, ὅσπερ καὶ ἐπιμόριος ὀνομάζεται. πολλαπλάσιος μὲν οὖν λόγος ἐστὶν, ὁ διπλάσιος, ἢ τριπλάσιος,
ἢ τετραπλάσιος ἤ τις τῶν ἑξῆς. ὡς ἀριθμοῦ δὲ πρὸς ἀριθμὸν, ὅταν ἡλίκων ἡ διαστολὴ δυοῖν ἢ χρόνων, τηλικούτων
ἡ συστολὴ, πέντε, ἢ ἑπτὰ, ἢ ἐννέα ἢ ἕνδεκα. ἐν ἀρρήτοις δὲ τριχῶς μέν. καθόλου. ἢ γὰρ ὁ τῆς διαστολῆς χρόνος ἄρρητός
ἐστιν, ἢ ὁ τῆς συστολῆς, ἢ ἀμφότεροι. κατὰ μέρος δὲ, τούτων ἕκαστος, ποτὲ μὲν ἐπ' ὀλίγον παρηυξημένους ἔχει τοὺς ἀρρή-
τους χρόνους, εἴτε πλείους εἶεν, εἴθ' εἷς, ὁ πρῶτος. ποτὲ δὲ ἐπὶ πλέον, ποτὲ δὲ ἐπὶ πλεῖστον. ὅτι δὲ πρῶτον χρόνον, οὐ
πρὸς τὴν φύσιν αὐτὴν, ἀλλὰ πρὸς αἴσθησιν ἀκούειν χρὴ, πρόδηλον. οὕτω γὰρ ἔχει καὶ παρὰ τοῖς μουσικοῖς. ταῦτ'
ἀρκεῖ τήν γε πρώτην περὶ ῥυθμῶν. ὅσον γὰρ ἐκ τούτου τοῦ γένους τῶν σφυγμῶν, τὸ δυνατόν τε καὶ χρήσιμον, ἢ ἀ-
δύνατόν τε καὶ ἄχρηστον, ἔν τε τοῖς περὶ διαγνώσεως αὐτῶν, καὶ ἐν τοῖς περὶ προγνώσεως εἰρήσεται.

Ἀλλ' ἐπὶ τὰ λοιπὰ δύο γένη μεταβαίνωμεν ἤδη. τὸ μὲν ἕτερον ἐν ᾧ τήν τε ὁμαλότητα καὶ τὴν ἀνωμαλίαν
ἐπισκεπτόμεθα. τὸ δ' ἕτερον ἐν ᾧ τάξιν τε καὶ ἀταξίαν. ὁμαλότης μὲν οὖν καὶ ἀνωμαλία καθ' ἕνα τε σφυγμὸν,
καὶ περὶ πλείονας γίνεται. τάξις δὲ καὶ ἀταξία περὶ πλείονας μόνον. ἐπεὶ δὲ χαλεπὴ καὶ δυσθεώρητός ἐστιν ἡ καθ'
ἕνα σφυγμὸν ἀνωμαλία, περὶ τῆς ἐν πλείοσι συνισταμένης πρότερον εἴπωμεν, συναποδόντες αὐτῇ καὶ τὸν περὶ
τῆς τάξεως καὶ ἀταξίας λόγον, ἐπειδὴ παράκειται καὶ οἰκεῖος ἐστὶν, οὕτω καὶ ἐπὶ τὴν καθ' ἕνα σφυγμὸν ἀνωμα-
λίαν ἐπανελθόντες, ἁπάσας αὐτῆς εἰπεῖν πειρασόμεθα τὰς διαφοράς. ἡ τοίνυν ἐν πλείοσιν σφυγμοῖς θεωρου-
μένη ὁμαλότης τε καὶ ἀνωμαλία, ἃς καὶ συστηματικὰς καλοῦσιν, ἐν τῷ παραβάλλειν τὰς ἐν τῷ πρώτῳ σφυγμῷ
διαφορὰς τὰς ἁπάσας, ταῖς ἐν τοῖς ἐφεξῆς νοοῦνται. εἰ μὲν γὰρ ἴσαι φυλάττοιντο κατὰ πάντα, ὁμαλὸς ἁπλῶς ὁ σφυ-

τος καλεῖται σφυγμός. εἰ δὲ ἄνισοι κατὰ πάντα, ἀνώμαλος ἁπλῶς. εἰ δὲ κατά τινα μὲν ἢ τινὰς ἴσαι, κατά τινα δὲ ἢ τινὰς ἄνισοι, καθ' ἃς μὲν ἴσαι, κατὰ ταύτας ὁμαλὸς ὁ σφυγμὸς ῥηθήσεται, καθ' ἃς δ' ἄνισοι, κατ' ἐκείνας ἀνώμαλος, πολὺ διαφέροντος, ἢ ἁπλῶς ὁμαλὸν καὶ ἀνώμαλον εἰπεῖν, ἢ καθ' ἐν ὁτιοῦν γένος. ὁ μὲν γὰρ ἁπλῶς ὁμαλός, οὔτε μέγεθος, οὔτε τάχος, οὔτ' ἄλλο οὐδὲν ἄνισον ἔχει. ὁ δὲ καθ' ἐν ὁτιοῦν, ἅμα τῇ ἐκείνου προσηγορίᾳ λέγεσθαι βούλεται κατὰ μέγεθος ὁμαλός, κατὰ τάχος, κατὰ σφοδρότητα, καθ' ἐν ὁτιοῦν ἄλλο. καὶ μέν τοι καὶ ἀνώμαλος, ἤτοι κατὰ μέγεθος, ἢ τάχος, ἢ τι τῶν ἄλλων. ἔσθ' ὅτε δὲ καὶ κατὰ δύο τούτων, ἢ τρία, ἢ πλείω, ἢ καὶ πάνθ' ὁμοῦ πολλάκις, ὅταν ἁπλῶς ὁμαλὸς ἢ ἀνώμαλος. λέγεται τοίνυν μὲν ὅ, τε ὁμαλὸς καὶ ἀνώμαλος. ὁ δὲ τεταγμένος καὶ ἄτακτος, τμηθέντος τοῦ ἀνωμάλου εἴς τε τὸ κατὰ περιόδους ἴσον, καὶ εἰς τὸ παντοίως ἄνισον, καθ' ἑκατέραν τῶν τμημάτων τὴν γένεσιν ἔχουσι. κατὰ μὲν τὸ τῶν περιόδων ἴσον ὁ τεταγμένος. κατὰ δ' αὐτὸ παν-

εἴδωμεν

τοίως ἄνισον, ὁ ἄτακτος. ὧδε γὰρ δὴ τὸ πᾶν αὖθις ἀναλαβόντες εἴπωμεν ὑπὲρ τοῦ μηδὲν ἔτι διαφεύγειν ἀσαφές. αἱ καθ' ἕνα σφυγμὸν ἅπασαι διαφοραί, ταῖς ἐν τοῖς ἑξῆς ἴσαι καθ' ἕκαστον γένος ἔστωσαν. ὁμαλὸς ἁπλῶς ὁ τοιοῦτος λεχθήσεται σφυγμός. ἀλλὰ πᾶσαι πάσαις ἄνισοι τυγχανέτωσαν οὖσαι. ἀνώμαλος ἁπλῶς ὁ τοιοῦτος. ἀλλά τις μὲν ἢ τινὲς ἴσαι. τὶς δ' ἢ τινὲς ἄνισοι, κατά τινα μὲν ἢ τινάς, ὁ σφυγμὸς ὁμαλὸς ἔσται, κατά τινα δ' ἢ τινὰς ἀνώμαλος. ὁ μὲν οὖν ἁπλῶς ὁμαλός, ἢ ὁ κατὰ τινὰ διαφορὰν μίαν, ἢ καὶ πλείους, οὐ δέχεται τομήν. τὸν δ' ἁπλῶς ἀνώμαλον, ἢ κατά τινας ἰδέας, ἢ τινὰ τέμνοντες, τῷ κατὰ περιόδους ἴσῳ τε καὶ ἀνίσῳ, τόν τε τεταγμένον τε καὶ ἄτακτον εὑρήσομεν, ἢ ἁπλῶς, ἢ κατά τινας διαφοράς, ἢ τινά. τὸ δὲ κατὰ περιόδους ἴσον, οἶμαι μὲν ἤδη σαφὲς ὑπάρχειν, ἀπὸ τῶν ἐφεξῆς ἴσων, διορισμένον, οὐ μήν, ἀλλὰ ὑπὲρ τοῦ μηδὲν ἐλλείπειν τῷ λόγῳ, καὶ τοῦτο προκείσθω παραδείγματος ἕνεκα, προχειρισαμένοις ἐν γένος σφυγμοῦ τὸ κατὰ τὸ μέγεθος, ἔστωσαν γὰρ ὁ μὲν πρῶτος σφυγμὸς καὶ ὁ δεύτερος καὶ ὁ τρίτος ἴσοι κατὰ τὸ μέγεθος, ἄνισος δ' αὖ τοῖς ἐφεξῆς ἔστω ὁ τέταρτος, δῆλον ὡς ἀνώμαλος κατὰ μέγεθος ὁ τοιοῦτος ἐστὶ σφυγμός, οὐ μήν, ἤδη πω δῆλον, εἰ καὶ ἄτακτος, ἀλλὰ χρὴ περιμένειν ἄλλους τέτΙαρας, ἵν' εἰ μὲν οἱ τρεῖς οἱ δεύτεροι, καὶ ἀλλήλοις, καὶ τοῖς ἐκ τῆς προτέρας περιόδου γεννηθεῖσιν ἴσοι, καὶ μετ' αὐτοὺς ὁ τέταρτος τῷ τετάρτῳ, τεταγμένος ὁ τοιοῦτος λέγοιτο σφυγμὸς κατὰ μέγεθος, εἴγε ὡσαύτως τὰς πρώτας δύο περιόδους, καὶ τὰς ἑξῆς ἁπάσας ἴσας διαφυλάττει. εἰ δὲ μὴ πάντες οἱ ἐκ τῆς δευτέρας περιόδου, τοῖς ἐκ τῆς προτέρας ἴσοι, γίγνοιντο τηνικαῦτα ἤδη, καὶ ὁ σφυγμὸς ἄτακτος λέγοιτο κατὰ μέγεθος. οὕτω δὲ καὶ κατὰ τάχος καὶ πυκνότητα καὶ τὰς ἄλλας διαφοράς. ἔσθ' ὅτε δὲ δύο μὲν ἢ τρεῖς περίοδοι σφυγμῶν, ἄνισοι κατὰ πᾶν ἀλλήλοις εἰσίν, αἱ δὲ ἑξῆς οὐκ ἔτι, τὸν τοιοῦτον σφυγμόν, ὅτι μὲν οὐ χρὴ καλεῖν τεταγμένον ἁπλῶς, ἄντικρυς δῆλον, οὐ μήν, οὐδὲ ἁπλῶς ἄτακτον, ἀλλ' ἐπισκοπεῖσθαι χρὴ καὶ διορίζεσθαι μήτις τῶν κατὰ περιόδους ἐστὶ τεταγμένων. ἔσθ' ὅτε γοῦν τρεῖς ἢ τέτΙαρες περίοδοι ἀλλήλαις ἄνισοι γενόμεναι τὰς ἑξῆς ἴσας ἀνάλογον ἴσχουσιν. ὡς εἰ τύχοι τὴν μὲν τετάρτην τῇ πρώτῃ, τὴν δὲ πέμπτην τῇ δευτέρᾳ, τὴν δ' ἕκτην τῇ τρίτῃ κατὰ πᾶν ἐξισοῦσθαι, τοιοῦτον τὸν σφυγμὸν εἰώθαμεν τεταγμένον κατὰ περίοδον καλεῖν, μέσον ὄντα τῶν ἁπλῶς λεγομένων τεταγμένων τε καὶ ἀτάκτων. τούτων μὲν γὰρ ἑκάτερος οὐδαμῇ τοῦ ἐναντίου μετέχει. οὔτ' οὖν ὁ τεταγμένος ἀταξίας, οὔθ' ὁ ἄτακτος τῆς τάξεως. ὁ δὲ κατὰ περίοδον τεταγμένος ἐστὶ ἢ τάξεως, ἔστι δὲ ἢ ἀταξίας μετέχει, τάξεως μὲν τῆς ἐν ἁπάσαις ταῖς περιόδοις, ἀταξίας δὲ τῆς καθ' ἑκάστην αὐτῶν. ὁ μὲν γὰρ ἁπλῶς τεταγμένος, ἴσας ἁπάσας ἔχει τὰς περιόδους. ὁ δὲ κατὰ περιόδους τεταγμένος, οὐχ ἁπάσας ἴσας, ἀλλὰ διά τινος ἀριθμοῦ. πάλιν δὲ ὁ μὲν ἄτακτος, οὔτε πάσας ἐφεξῆς ἴσας ἔχει τὰς περιόδους, οὔτε διά τινος ἀριθμοῦ. ὁ δὲ κατὰ περίοδον τεταγμένος, θάτερον μὲν αὐτῶν οὐκ ἔχει, θάτερον δ' ἔχει. καὶ οὕτω μέσος τε ἀμφοῖν γίνεται τεταγμένου τε καὶ ἀτάκτου. καὶ τὸ μὲν ἔχει κοινὸν ἑκατέρου, τὸ δ' οὔ. δύναιτο δ' ἄν τις καὶ ἁπλῶς τεταγμένους τοὺς τοιούτους ἡγεῖσθαι σφυγμούς, εἰ τὰς κατὰ μέρος περιόδους, τὰς διά τινος ἀριθμοῦ ταῖς ἑξῆς ἴσας, εἰς μίαν ἁπάσας μεγάλην συναριθμοίη περίοδον. ὅση δὲ καὶ οἵα ποικιλία καὶ πλοκὴ γένοιτ' ἂν τῶν περιόδων, ἐν διαφέρουσιν ἀριθμοῖς συνισταμένων, οὐ χαλεπὸν συνιδεῖν καὶ μάλιστα τοῖς γεγυμνασμένοις, τὰς ἐν τοῖς πυρετοῖς περιόδους ἐπιπλέκειν ἀλλήλαις. οὔκουν ἐπὶ πλέον ἡμᾶς δεήσει ἔτι τὰς διαφορὰς αὐτῶν ἐπεξιέναι, ἀλλ' ἐπὶ τὰς κατὰ τὴν ἀνωμαλίαν ἐλθόντας, εἰπεῖν προτέρας μὲν τὰς συστηματικάς, ἑξῆς δὲ τὰς καθ' ἕνα σφυγμόν, αἱ μέν τοι συστηματικαὶ τῆς ἀνωμαλίας, ἐν ἀθροίσματι δ' αὗται πλειόνων, ὡς ἔφαμεν, σφυγμῶν συνίστανται, πρώτην μὲν ἔχουσι διαφοράν, καθ' ἣν ὅτε μὲν ὁμαλῶς, ὅτε δὲ ἀνωμάλως γίγνονται, καὶ οὐ χρὴ θαυμάζειν εἰ ὁμαλήν τινα καλοῦμεν ἀνωμαλίαν. ἔχει γὰρ οὕτως οὐκ ἐν σφυγμοῖς μόνον, ἀλλὰ κἀν τοῖς ἄλλοις σχεδὸν ἅπασιν, ὅσα τρέποντα τὴν ἐξ ἀρχῆς φύσιν, εἴτε κατὰ μέγεθος, εἴτε κατὰ ποιότητα, ἢ ὁμαλὸς ποιεῖ τὰς αὐξήσεις, ἢ ἀνωμάλους. καθόσον μὲν γὰρ τρέπει διαφθείροντα τὴν ἰσότητα, λέγοιτ' ἂν ἀνώμαλα, καθόσον δὲ τὸ ἴσον ἀεὶ τῆς τροπῆς ἐπιλαμβάνει, λέγοιτ' ἂν ὁμαλῶς τρέπεσθαι. τὰ δὲ μήτε ἐν τῷ πρόσθεν μένοντα, μήτε τὸ ἴσον ἀεὶ τῆς τροπῆς ἐπιλαμβάνοντα, τελέως ἀνώμαλα λέγεται. τοιοῦτον δὴ τι καὶ κατὰ τοὺς δὲ τοὺς σφυγμοὺς συμβέβηκεν, ἤτοι κατὰ βραχὺ καὶ ὁμαλῶς ἐκλυομένης αὐτῶν τῆς ἰσότητος, ἢ ἀθρόως, καὶ κατὰ μεγάλα. γένοιτο δ' ἂν ἐφ' ἑνὸς γένους, ὡς ἐπὶ παραδείγματος, ὁ λόγος σαφής. ἔστω τοίνυν ὁ μὲν δεύτερος σφυγμός, τοῦ πρώτου βραχὺ μικρότερος, ὁ δὲ τρίτος τοῦ δευτέρου τοσούτῳ πάλιν, ἀλλὰ καὶ ὁ τέταρτος τοῦ τρίτου τῷ ἴσῳ, καὶ τὸ τοῦτ' ἄχρι πλείονος ἐφεξῆς γενέσθω. τοὺς τοιούτους σφυγμοὺς μυουρίζοντάς τε καὶ μυούρους καλοῦσιν, ἀπὸ τῶν εἰς ὀξὺ τελευτόντων σχημάτων, τοὔνομα μεταφέροντες. ὅσοι μὲν διὰ παντὸς αὐτῶν μειοῦνται, καὶ οὐδέ ποτε παύονται τοῦ δὲ τοῦ παθήματος, εἰς ἀκινησίαν παντελῆ τελευτῶσιν, καὶ καλοῦμεν αὐτοὺς ἐκλείποντας μυούρους. ὅσοι δὲ παύονται, διττὴν ἔχουσι τὴν διαφοράν. τινὲς μὲν γὰρ αὐτῶν ἐν ᾗ πὲρ πρῶτον ἐπαύσαντο μειούμενοι σμικρότητι, ταύτην διὰ παντὸς φυλάττουσιν, τινὲς δ' αὐξάνονται πάλιν, οὓς μυούρους παλινδρομοῦντας καλοῦσι. τούτων δ' αὐτῶν, οἱ μὲν εἰς ἴσον τῷ κατ' ἀρχάς, ἐπανέρχονται μέγεθος, οἱ δ' εἰς ἔλατΙον. καὶ τινὲς μὲν ἐν αὐτοῖς ἐμπροσθεν

περὶ ὧν ἐμάθησαν ὑπεροχαῖς, ἐν ταύταις αὖθις αὐξάνοντα. τινὲς ἐλάττοσιν ἢ μείζοσιν περιόδοις χρῶνται.
τοιαῦται μὲν τινὲς αἱ ὁμαλαὶ τῶν ἀνωμαλιῶν εἰσὶ διαφοραί. Τῶν δ' ἀνωμάλων ἀνωμαλιῶν τινὲς μὲν οὐ-
δεμίαν ὅλως φυλάττουσιν ἰσότητα, τινὲς δὲ μέχρι μὲν τριῶν ἢ τεττάρων ἢ πέντε σφυγμῶν φυλάττουσι, δια-
φθείρουσι δ' ὕστερον. ἐν ἑκατέραις δ' αὐτῶν ἤτοι τάξις ἢ ἀταξία σώζεται. τάξις μὲν εἰ περιόδους τινὰς ἴσας φυ-
λάττοιεν. ἀταξία δὲ εἰ καὶ ταύτας διαφθείροιεν. ἐκλείπουσι δὲ κἀπὶ τούτων πολλάκις αἱ κινήσεις, ὥσπερ κἀπὶ
τῶν ὁμαλῶς κινουμένων, ἀλλ' ἐκείνους μὲν μυούρους ἐκλείποντας ὀνομάζομεν, τούτους δὲ ἀνωμάλους ἐκλείποντας. ἐν
μὲν δὴ τῇ κατὰ τὸ μέγεθος καὶ σμικρότητα ἀνωμαλίᾳ, πάνυ σύνηθες τοῖς ἰατροῖς ὄνομα, τὸ μύουρον. ἐν δὲ τῇ
κατὰ σφοδρότητα καὶ ἀμυδρότητα καὶ τοῖς ἄλλοις γένεσιν, οὐκ ἔθ' ὁμοίως ἐν ἔθει. ἡ μέν τοι τῶν πραγμάτων ἀνα-
λογία, καθ' ἕκαστον γένος ἡ αὐτή. ἤτοι γὰρ ὁμαλῶς διαφθείρουσι τὴν ἰσότητα, ἢ ἀνωμάλως. καὶ τὰς ἄλλας τὰς
10 ἐν μέρει διαφορὰς, τὰς αὐτὰς ἴσχουσιν ἀνωνύμους τὰς πλείστας αὐτῶν. πλὴν γὰρ τοῦ παρεμπίπτοντός τε καὶ δια-
λείποντος, οὐδενὸς τῶν ἄλλων ἐστὶν ἴδιον ὄνομα. τούτων δὲ, ὁ μὲν παρεμπίπτων, ἐκ τῆς κατὰ πυκνότητα μόνης ἐστὶν
ἀνωμαλίας. ὁ δὲ διαλείπων, ἔν τε τῇ κατὰ ἀραιότητα καὶ μικρότητα συνίσταται, καθ' ἕτερον ἐν ἑκατέρᾳ τρό-
πον, ἐν μὲν τῇ κατὰ τὴν ἀραιότητα, τῷ τὴν ἡσυχίαν ἐπὶ μήκιστον ἐκτετάσθαι, ἐν δὲ τῇ κατὰ σμικρότητα, τῷ τὴν
διαστολὴν ἐπ' ἐλάχιστον διεστάλθαι. μᾶλλον δέ πως ἐπὶ μὲν ταῖς σμικρότησι τῶν σφυγμῶν, οἱ ἐκλείποντες, ἐπὶ
δὲ ταῖς ἀραιότησιν, οἱ διαλείποντες γίνονται. παράκεινται δὲ τοῖς διαλείπουσι σφυγμοῖς, οἱ καλούμενοι παλιν-
δρομοῦντες ἐκλείποντες, ὅταν δύο, ἢ καὶ τριῶν, ἢ καὶ πλειόνων ἔτι σφυγμῶν χρόνον ἀκίνητος εἶναι δόξασα παν-
τάπασιν ἡ ἀρτηρία, πάλιν ὑπάρξηται κινεῖσθαι. ταυτὶ μὲν καὶ τὰ τῆς συστηματικῆς ἀνωμαλίας εἴδη. Ὑπόλοι-
πον δ' ἂν εἴη τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας εἰπεῖν τὰς διαφοράς. ἔστι δὲ κἀνταῦθα παραπλήσιος ὁ λόγος
ἐφ' ἑκάστου τε τῶν γενῶν καὶ πάντων ὁμοῦ. τὸν μὲν γὰρ ἁπλῶς ὁμαλὸν καλέσομεν. τὸν δὲ, ἁπλῶς ἀνώμαλον. τὸν δὲ,
20 καθ' ἓν ὁτιοῦν γένος, ἐν ᾧ διαφθείρεσθαι συμβαίνει τὴν ἰσότητα. λέγωμεν οὖν ἐπὶ τοῦ κατὰ τὴν κίνησιν γένους πρώ-
του τὰς διαφοράς. εἰ γὰρ ἐπὶ τούτῳ γυμνασαίμεθα, ῥᾳδίως ἤδη καὶ περὶ τῶν λοιπῶν συνείσομεν. τῆς οὖν κατὰ τὴν
κίνησιν ἀνωμαλίας, δύο μὲν χρὴ τὰς πρώτας διαφορὰς τίθεσθαι, τὴν μὲν ἐν ἑνὶ μορίῳ τῆς ἀρτηρίας τὴν γένε-
σιν ἴσχουσαν. ἐν πλείοσι δὲ τὴν ἑτέραν. ἑκατέρα δ' αὐτῶν αὖθις εἰς πλείους τέμνεσθαι πέφυκεν, ἃς δίκαιον ἂν εἴη
πάσας εἰπεῖν, ἀρξαμένους ἀπὸ τῆς καθ' ἓν μόριον συνισταμένης, οὐ κατὰ τὸν αὐτὸν δηλονότι χρόνον. ἀμήχανον γὰρ
ἓν καὶ ταὐτὸ μόριον, ἐν ἑνὶ καὶ ταὐτῷ χρόνῳ, μὴ ὡσαύτως φαίνεσθαι κινούμενον, ἀλλ' ἐν διαφέρουσι καιροῖς ἡ τοῦ
ἑνὸς μορίου κίνησις, οὐχ ἡ αὐτὴ φαίνεται πολλάκις, ὅταν ἀρχομένη μὲν βραδυτέρα, τελευτῶσα δὲ, ὠκυτέρα. καὶ
ἀνάπαλιν, ἀρχομένη μὲν ὠκυτέρα, τελευτῶσα δὲ βραδυτέρα, πάνυ πολλῆς τοιαύτης ἀνωμαλίας, καὶ πολλά-
κις ἐν τοῖς σφυγμοῖς, εὑρισκομένης, καὶ πολλὰ δηλοῦν πεφυκυίας, ὡς ἑτέρωθι λέγεται. δείξομεν δὲ νῦν αὐτῆς, ἁπά-
σας τὰς κατὰ μέρος διαφοράς. εἰσὶ δὲ τρεῖς μὲν αἱ πρῶται. ποτὲ μὲν ἡσυχίας διακοπτούσης τὴν κίνησιν τοῦ μο-
10 ρίου, ποτὲ συνεχοῦς μὲν φαινομένης αὐτῆς, οὐ μὴν ἰσοταχοῦς, ποτὲ δὲ ἐπανερχομένης. ἐν ἑκάστῃ δ' αὐτῶν κατὰ μέρος
ἕτεραι. περὶ πρώτης οὖν εἴπωμεν τῆς πρῶτον ῥηθείσης, ἐν ᾗ διακόπτεσθαι τὴν κίνησιν ὑπὸ τῆς ἠρεμίας συμβέβηκεν.
εὑρίσκονται δὲ ἐν αὐτῇ διαφοραὶ σφυγμῶν ἐννέα, τρόπῳ τῷδε συνιστάμεναι. Τῆς προτέρας κινήσεως ὠκείας
οὔσης, ἡ δευτέρα τὰς τρεῖς τρέπεσθαι τροπάς, ἢ ὠκεῖα, ἢ βραδεῖα, ἢ σύμμετρος γινομένη. τρεῖς μὲν αὗται δια-
φοραὶ σφυγμῶν. αὖθις δ' ἄλλαι τρεῖς, τῆς προτέρας βραδείας μενούσης, ὑπαλλαττομένης δὲ τῆς δευτέρας τρι-
χῶς. καὶ αὖθις δ' ἄλλαι τρεῖς, τῆς προτέρας μενούσης συμμέτρου, τῆς δὲ δευτέρας τριχῶς τρεπομένης. Τῶν
δὲ μὴ διαλειπόντων κατὰ τὴν διαστολὴν, ἀνωμάλων σφυγμῶν ἐν τῇ κινήσει, ἀλλ' ἑξῆς ἀεὶ, μίαν τὴν ἀνωμαλίαν
ἐχόντων μηδαμοῦ σχιζομένην ἀκινησίᾳ, τινὲς μὲν ὠκέως ἀρχόμενοι κινήσεως, βραδύνουσι τελευτῶντες, ἄλλοι
δ' ἔμπαλιν, ἄρχονται μὲν βραδέως, ταχύνονται δὲ ἀεὶ καὶ μᾶλλον, ἑκατέροις δ' αὐτῶν ἢ ὁμαλῶς ἢ ἀνωμάλως, τὸ
τοιοῦτο γίνεται. προείρηται γὰρ ὅπως ὁμαλή τις ἡ ἀνωμαλία γίγνεται. τῶν μὲν οὖν ὁμαλῶς ἐκλυόντων τὴν κίνησιν, ἢ
40 ἐπιτεινόντων, οἱ μὲν ἀπὸ τῆς ἐσχάτης βραδυτῆτος, ἐπὶ τὴν σύμμετρον κίνησιν ἔρχονται. τινὲς δὲ ἀπὸ τοῦ συμμέ-
τρου κινήσεως ἐπὶ τὴν ἐσχάτην βραδυτῆτα, καὶ τινὲς μὲν ἀπὸ τοῦ πρώτου τάχους τῆς συμμέτρου κινήσεως ἐπὶ τὴν
ἐσχάτην βραδυτῆτα. τινὲς δὲ ἀπὸ ταύτης, ἐπὶ τὸ ἔσχατον τάχος. ἄλλοι δέ τινες ἐφ' ἑκάτερα τῆς συμμέτρου κι-
νήσεως βραχὺ ἀποχωροῦσι διχῶς καὶ οὗτοι, ποτὲ μὲν ὠκύτεροι, ποτὲ δὲ βραδύτεροι γιγνόμενοι. ὥστ' εἶναι τὰς
πάσας αὐτῶν ἓξ διαφοράς, καί τοι πλειόνων ἐπινοεῖσθαι δυναμένων. ἀλλ' ἡμεῖς τὰς φαινομένας εἴπωμεν. οὐ γὰρ
εὕρομεν, οὔτ' ἀπὸ τῆς ἐσχάτης βραδυτῆτος, εἰς ἔσχατον τάχος ἀφικνούμενον οὐδένα σφυγμὸν, τῶν ὁμαλὴν τὴν
ἀνωμαλίαν ἐχόντων, οὔτ' ἔμπαλιν ἀπὸ τῆς ταχίστης κινήσεως εἰς τὴν βραδυτάτην. ἀλλ' ἐν τοῖς ἀνώμαλον τὴν
τροπὴν ποιουμένοις, σπανίως γίνεται τοῦτο. οὐ γὰρ ἐπὶ τῇ τυχούσῃ διαθέσει τηλικαύτη μεταβολὴ γίνεσθαι πέφυ-
κεν, ὥστε ἀρξαμένην βραδύτατα κινεῖσθαι τὴν ἀρτηρίαν, τελευτῶσαν εἰς ἔσχατον ἀφικνεῖσθαι τάχος, ἢ τάχιστα
κατὰ τὴν ἀρχὴν κινηθεῖσαν, εἰς ἐσχάτην βραδυτῆτα μεταστρέψαι. καὶ ὅταν τοῦτο γίνηται, καὶ ἡ τροπὴ τηνικαῦτα
50 ἐξ ἀνάγκης ἀνώμαλός τε ἐστὶ καὶ ἀθρόα κατὰ μεγάλας μεταβολάς, καὶ οὐ κατὰ βραχὺ γινομένη, καθάπερ ἐξαλλο-
μένης τῆς ἀρτηρίας, ὅταν ἐκ τῆς βραδυτῆτος εἰς τὸ τάχος μεταπίπτῃ. καὶ αὖθις οἷον εἰργομένοις καὶ δεσμουμέ-
νης καὶ κατεχομένης ὑπό τινος, ὅταν ἐκ τοῦ ταχέως κινεῖσθαι, μεταπίπτῃ ποτὲ ἀθρόως εἰς βραδυτῆτα, τὴν ἐν μέ-
σῳ συμμετρίαν ὑπερβᾶσα. τινὲς μὲν οὖν αἱ διαθέσεις, καί τινες αὐτῶν αἱ αἰτίαι, καὶ εἰς ὅτι τελευτῶσιν οἱ τοιοῦ-
τοι σφυγμοὶ, τηνικαῦτα λεχθήσεται, ὅταν καὶ περὶ τῶν ἄλλων ἁπάντων, ἢ τὰς αἰτίας, ἢ ὅτι δηλοῦν πεφύκασιν
ἐπισκεπτώμεθα. νυνὶ δὲ τὰς διαφορὰς μόνον ἐπέξιμεν. Εἰρηκότες οὖν ἱκανῶς, ὅτι τῶν ἀνωμάλων καθ' ἓν μό-
ριον σφυγμῶν, ὅταν ὁμαλὴν ποιῶνται τὴν ἀνωμαλίαν, ἓξ εἰσὶν αἱ πᾶσαι διαφοραί, καὶ ὡς οὐχ εὑρήκαμεν οὐ-
δένα τῶν τοιούτων, οὔτ' ἀπὸ τῆς βραδυτάτης κινήσεως εἰς τὴν ταχίστην, οὔτ' ἀπ' ἐκείνης εἰς τὴν βραδυτάτην
τελευτήσαντα, περὶ τῶν ἀνώμαλον τὴν τροπὴν ποιουμένων, ἤδη λέγωμεν, ἐν οἷς ποτὲ μὲν δύο, ποτὲ δὲ τρεῖς

σαφῶς φαίνονται διαφοραὶ τῆς κινήσεως. ἡμῖν δὲ καὶ τετάρτη ποτὲ ἀμυδρῶς ἐφαντάσθη. τάχα δ' ἄν τις ἐπὶ πλέον τριβόμενος καὶ προσεδρεύων τῷ πράγματι, καὶ ἀσκῶν τὴν ἁφὴν, καὶ τέτταρας γνωρίσαι σαφῶς δυνηθείη. ἀλλὰ νῦν περὶ τῶν ἐναργῶς φανεισῶν πολλάκις καὶ ἡμῖν καὶ τοῖς ἄριστα τὴν περὶ τοὺς σφυγμοὺς τέχνην μεταχειρισαμένοις πολλάκις ἐροῦμεν, ὅταν ἤτοι δύο διαφορὰς αἰσθητὰς ἡ κίνησις τῆς ἀρτηρίας, ἢ τρεῖς ποιῆται. δύο μὲν γὰρ οὐσῶν ἓξ ἔσται συμπλοκῶν σχήματα. τριῶν δὲ τέτταρα καὶ εἴκοσι. ἐπειδὴ ποτὲ δὲ τριῶν ὄντων σφυγμῶν ἐν ἑκατέρᾳ τῶν διαφερουσῶν κινήσεων, ὠκέος τε καὶ βραδέος καὶ συμμέτρου, τὰς ἐκ τῆς συμπλοκῆς αὐτῶν οὐκ ἐννέα φαμὲν, ἀλλ' ἓξ γίνεσθαι διαφοράς, ὧδ' ἂν μάθοις, εἰ γνοίης ὅτι τὸν αὐτὸν σφυγμὸν ἐφεξῆς δὶς ὑποθέμενος γίνεσθαι, μηδεμιᾶς ἡσυχίας μέσης αὐτῶν ὑπαρχούσης, ἵνα τὸ ὅλον ὁμαλὸν ἀπεργάσῃ, καὶ κατὰ τοῦτο τῶν ἐννέα συμπλοκῶν, τρεῖς ἀναχωροῦσιν, ἐν αἷς οὐκ ἔτ' ἀνώμαλος σφυγμός, ἀλλ' ὁμαλὸς γίνεται, ἤτοι ταχὺς, ἢ βραδὺς, ἢ σύμμετρος, ὡς ἐπὶ τοῦ διαγράμματος ἐστὶ δῆλον. ὁ δεύτερος γὰρ ἐν αὐτῷ καὶ ὁ τέταρτος, καὶ ὁ ἔννατος, ὁμαλοὶ γίνονται, ταχὺς μὲν ὁ δεύτερος. βραδὺς δὲ ὁ τέταρτος. σύμμετρος δὲ ὁ ἔννατος. εἰ δέ τις καὶ αὐτῶν τούτων πρὸς ἀλλήλους ἐστὶ διαφορὰ, τοῦ ταχέος, πρὸς τὸν ταχὺν, ἢ τοῦ βραδέος, πρὸς τὸν βραδὺν, οὐδέπω νῦν προσκείσθω. πλέονα γὰρ ἀσάφειαν παρέξει. ἀλλ' ὡς τῶν αὐτῶν καὶ ἴσων ἀλλήλοις ὑπαρχόντων, ὁ περὶ ὧν λόγος περαινέσθω.

α	ταχὺς	βραδὺς	β	ταχὺς	ταχὺς	γ	ταχὺς	σύμμετρος
δ	βραδὺς	βραδὺς	ε	βραδὺς	ταχὺς	ς	βραδὺς	σύμμετρος
ζ	σύμμετρος	βραδὺς	η	σύμμετρος	ταχὺς	θ	σύμμετρος	σύμμετρος

Οὕτω δὲ καὶ εἰ τρεῖς ὑποθέμενος διαφερούσας ἀλλήλων κινήσεις, καθ' ἑκάστην αὐτῶν τοὺς τρεῖς σφυγμοὺς ὑπαλλάττων συμπλέκοις, ἑπτὰ μὲν καὶ εἴκοσι ἔσται τὰ πάντα σχήματα. τρία δ' ἐξ αὐτῶν εἰς ὁμαλότητα μεταπίπτειν ἀναγκαῖον. ἔστι δὲ καὶ τοῦτο δῆλον ἐπὶ τοῦ διαγράμματος.

α	ταχὺς	ταχὺς	βραδὺς
β	ταχὺς	ταχὺς	ταχὺς
γ	ταχὺς	ταχὺς	σύμμετρος
δ	ταχὺς	βραδὺς	βραδὺς
ε	ταχὺς	βραδὺς	ταχὺς
ς	ταχὺς	βραδὺς	σύμμετρος
ζ	ταχὺς	σύμμετρος	βραδὺς
η	ταχὺς	σύμμετρος	ταχὺς
θ	ταχὺς	σύμμετρος	σύμμετρος
ι	βραδὺς	ταχὺς	βραδὺς
ια	βραδὺς	ταχὺς	ταχὺς
ιβ	βραδὺς	ταχὺς	σύμμετρος
ιγ	βραδὺς	βραδὺς	βραδὺς
ιδ	βραδὺς	βραδὺς	ταχὺς
ιε	βραδὺς	βραδὺς	σύμμετρος
ις	βραδὺς	σύμμετρος	βραδὺς
ιζ	βραδὺς	σύμμετρος	ταχὺς
ιη	βραδὺς	σύμμετρος	σύμμετρος
ιθ	σύμμετρος	ταχὺς	βραδὺς
κ	σύμμετρος	ταχὺς	ταχὺς
κα	σύμμετρος	ταχὺς	σύμμετρος
κβ	σύμμετρος	βραδὺς	βραδὺς
κγ	σύμμετρος	βραδὺς	ταχὺς
κδ	σύμμετρος	βραδὺς	σύμμετρος
κε	σύμμετρος	σύμμετρος	βραδὺς
κς	σύμμετρος	σύμμετρος	ταχὺς
κζ	σύμμετρος	σύμμετρος	σύμμετρος

Ὁμαλῶν οὖν ἐν τούτοις τριῶν γινομένων, τοῦ δευτέρου κατὰ τὸ διάγραμμα, καὶ τοῦ τρισκαιδεκάτου καὶ ἑβδόμου καὶ εἰκοστοῦ, ταχὺς μὲν ὁ δεύτερος ἔσται. βραδὺς δὲ ὁ τρισκαιδέκατος. μέσος δὲ ὁ ὕστατος. ἤδη δὲ καὶ ἄλλοι δεκαδύο σφυγμοὶ μεταπίπτουσιν εἰς τὸ πρῶτον διάγραμμα. τῷ μὲν γὰρ ἐκ τοῦ πρώτου διαγράμματος πρώτῳ, δύο ἂν γνωρισθεῖεν οἱ αὐτοὶ, τῶν ἐκ τοῦ δευτέρου πρῶτός τε καὶ τέταρτος, ὁ μὲν τάχους τὸ πλέον, ὁ δὲ βραδυτῆτος ἔχων. τῷ τρίτῳ δὲ, ὁ τρίτος καὶ ὁ ἔννατος, ὁ μὲν τάχους τὸ πλέον, ὁ δὲ συμμετρίας ἔχων. τῷ πέμπτῳ δὲ, ὅ τε ἑνδέκατος καὶ ὁ τεσσαρακαιδέκατος, ὁ μὲν τάχους τὸ πλέον, ὁ δὲ βραδυτῆτος ἔχων. τῷ ἕκτῳ δὲ, ὅ τε πεντεκαιδέ-

κατος

κατος καὶ ὁ ὀκτωκαιδέκατος, ὁ μὲν βραδυτῆτος τὸ πλέον, ὁ δὲ συμμετρίας κεκτημένος. τῷ ἑβδόμῳ δὲ, ὅ, τε εἰκο-
στὸς δεύτερος καὶ ὁ εἰκοστὸς πέμπτος, ὁ μὲν τῇ βραδυτῆτι πλεονεκτῶν, ὁ δὲ τῇ συμμετρίᾳ. λοιποὶ δὲ δύο τῶν
ἐκ τοῦ δευτέρου διαγράμματος, οἱ αὐτοί εἰσιν τῷ ἐκ τοῦ πρώτου διαγράμματος ὀγδόῳ, εἰκοστός τε καὶ εἰκοστὸς
ἕκτος, ὁ μὲν τῷ τάχει πλεονεκτῶν, ὁ δὲ τῇ συμμετρίᾳ. καὶ γένοιτ' ἂν διαίρεσις ἐνταῦθα τῶν μὲν, εἰ δύο μόνον
εἶεν ἐν τῇ διαστολῇ διάφοροι κινήσεις, εἰς τὸ πρότερον διάγραμμα, τοὺς τοιούτους σφυγμοὺς ἅπαντας τιθέντων,
τῶν δὲ τὰ μεγέθη προσλογιζομένων, καὶ οὕτως, ἴσων μὲν αὐτῶν ὄντων, εἰς τὸ πρότερον τιθέντων, θατέρου δὲ δι-
πλασίονος, εἰς τὸ δεύτερον. ἐπιχείρησις δ' ἂν κρίναι τὴν μάχην, ἔτι μέγα κερδαίνειν ἤλπιζον. ἐπεὶ δ' ἀρκεῖ
τοσοῦτο διορίζεσθαι, τὸ ποτὲ μὲν τὴν ἑτέραν τῶν κινήσεων, ἐπὶ μείζονος ἐκτείνεσθαι διαστάσεως, ποτὲ δὲ τὴν ἑτέ-
ραν, ἢ καὶ ἀμφοτέρας ἐξ ἴσου, ὅσπερ τις μεμνημένος, ἵν' αὖθις μάθῃ τι δηλοῦν ἑκάστη πέφυκεν, εἰς ὁπότερον βούλεται
τῶν διαγραμμάτων τιθέσθω τοὺς εἰρημένους σφυγμούς. ὅτι δὲ οἱ λοιποὶ δώδεκα, οἱ ἐκ τοῦ δευτέρου διαγράμμα-
τος, οἱ κατὰ πᾶν ἀνώμαλοι, κατ' οὐδὲν τοῖς ἐν τῷ προτέρῳ κοινωνοῦσιν, ἄντικρυς δῆλον, ἐφ' ὧν αὐτό γε τοῦτο
προσγέγραπται τὸ τῆς ἀνωμαλίας. οὐχ ὡς τῶν ἄλλων τῶν δέκα δύο τῶν κοινωνούντων τῷ πρώτῳ διαγράμματι
μὴ ὄντων ἀνωμάλων, εἰσὶ γάρ, ἀλλ' ὅτι ἐπὶ τὰς τρεῖς διαφορὰς τῶν κινήσεων οὗτοι τὴν ἀνωμαλίαν ἔχουσι σα-
φῆ, τῶν ἄλλων ἐπὶ τὰς δύο διαφορὰς ἐχόντων, καὶ εἰσὶν ἀπὸ τοῦ πρώτου ἐπὶ τὴν τάξιν ἀριθμοῦντι, πέμπτος τε καὶ
ἕκτος, καὶ ἕβδομος, καὶ ὄγδοος, καὶ δέκατος, καὶ δωδέκατος. καὶ δέκα ἕκτος, καὶ δέκα ἕβδομος, καὶ ἐννέα καὶ δέκα-
τος, καὶ κα καὶ κγ καὶ κδ. Ἀρκεῖν μοι δοκεῖ καὶ περὶ τούτων τὰ τοσαῦτα. ἤδη γὰρ τὴν ἔτι λοιπὴν καὶ τρίτην δια-
φορὰν, τῶν καθ' ἓν μόριον ἀνωμάλων σφυγμῶν, ἐπάνιμεν αὖθις, οὓς Ἀρχιγένης μὲν ὡς ἕνα γράφει καὶ καλεῖ δί-
κροτον. εἰσὶ δὲ πλείους. ὅσοι δὲ τινὲς καὶ οἷοι, μετ' ὀλίγον ἐροῦμεν, ἂν πρότερον ἐπισκεψώμεθα, πότερον τῶν κατὰ
μίαν διαστολὴν τῆς ἀρτηρίας συνισταμένων ἐστὶν, ἢ δύο εἰσὶν ἐφεξῆς ἀλλήλων ἄνισοι σφυγμοί. τοῦτο δ' οὐκ οἷόν τε
κρῖναι καλῶς, εἰ μὴ πρότερον ἀκριβῶς μάθωμεν, οἷός ἐστιν, ὁ σφυγμὸς οὗτος ὁ πρὸς Ἀρχιγένους δίκροτος κεκλη-
μένος. ὅτι μὲν γὰρ τῶν δὶς παιόντων τὴν ἁφήν, ἄντικρυς δῆλον. ἀλλὰ τοῦτο μὲν καὶ τοῖς διαλείπουσι κατὰ μίαν
πληγὴν ὑπάρχει, καὶ εἴ τις μόνῳ τῷ πλήττεσθαι προσέχων, δύο σφυγμοὺς τὸν δὶς παίοντα νομίζει, φανερῶς ἁ-
μαρτάνει. τοὺς γὰρ ἐν μιᾷ διαστολῇ διαλείποντας, οὐκ ἂν φαίη δύο σφυγμοὺς εἶναι, καίτοι δὶς πλήττουσιν. ἐναρ-
γῶς γὰρ ἐπ' αὐτῶν ἡ κίνησις ἀπολλῦσα τὸ συνεχὲς, ἀκινησίᾳ μέσῃ διακόπτεται. τὸ δὲ γένος τὸ τῶν δικρότων,
οὐχ οὕτως, ἀλλ' ἐπειδὰν πληρώσῃ τὴν διαστολὴν ἅπασαν, εὐθὺς ἀποχωρεῖ πρὸς βραχὺ, καὶ αὖθις παίει τὸ δεύ-
τερον, ὥστε τῶν μὲν διαλειπόντων ἡσυχίαν μέσην εἶναι τῶν πληγῶν. τοῦ δὲ δικρότου, συστολὴν ἢ σύνοδον, ἢ ὑπο-
νόστησιν, ἢ ὡς ἄν τις ἐθέλῃ καλεῖν. διὰ τοῦτο τινὲς δύο σφυγμοὺς εἶναί φασι, οὐχ ἕνα, τὸν δίκροτον. ἐροῦσι δὲ αὐτὸ
μάλιστα, οἱ μὴ παρακολουθοῦντες τῇ συστολῇ τῆς ἀρτηρίας, ἀλλ' ἐκ πληγῆς καὶ διαλείμματος τὸν σφυγμὸν συνε-
στάναι φάσκοντες. οὗτοι γὰρ μετὰ τὴν προτέραν προσβολὴν τῆς ἀρτηρίας, ἀκινησίαν βραχεῖαν ἐροῦσι γίγνε-
σθαι, καὶ μετ' αὐτὴν, ἑτέραν προσβολὴν, καὶ φήσουσιν ἀνώμαλον εἶναι τὸν τοιοῦτον σφυγμὸν κατὰ πυκνότητα. τού-
τους γὰρ ἀνωμάλους κατὰ πυκνότητα νομίζουσιν, ὑφ' ὧν ἄνισον τὸ μεταξὺ τῶν πληγῶν διάλειμμα, καθάπερ καὶ
μετ' ὀλίγον ἐροῦμεν, ἀλλὰ νῦν γε ὅτι καὶ κατὰ τούτους διοίσουσιν οἱ δίκροτοι σφυγμοὶ τῶν ἐν μιᾷ διαστολῇ διαλει-
πόντων, πειραθῶμεν πρότερον ἀποδεῖξαι, συγχωρήσαντες αὐτοῖς τὴν ὑπόθεσιν, καθ' ἣν οὔ φασιν αἰσθητὴν
εἶναι τὴν συστολήν. εἰ γὰρ καὶ τοῦτο δοθείη, τό γοῦν οὐκ ἀπὸ τῶν ἴσων διαστημάτων ἀνίσχειν φαίνεσθαι τὴν ἀρτηρίαν,
οὐκ ἄν τις ἀρνήσαιτο. τοῦτο δ' ἤδη τῶν διαλειπόντων ἐναργῶς φαίνεται. κάτωθεν γὰρ πόθεν ἀρξαμένη τῆς κινή-
σεως ἡ ἀρτηρία, κἄπειτα παυσαμένη, τὴν ἀρχὴν αὖθις τῆς δευτέρας κινήσεως, ἵνα περ ἐτελεύτησεν ἡ προ-
τέρα ποιεῖται, τῶν δικρότων οὐχ οὕτως πληττόντων, ἀλλὰ φανερῶς ἐκ βάθους πλέονος, καὶ ἐπὶ μείζονος διαστά-
σεως ἡ προτέρα κίνησις ἐκτείνεσθαι φαίνεται, αὐτόθεν δήπουθεν ἐγγύθεν ἡ δευτέρα. τούτους μὲν οὖν τοσοῦτον ὁμο-
λογοῦντας ἕξομεν, ὡς οὐ ταὐτόν ἐστιν διαλείπειν ἐν μιᾷ διαστολῇ σφυγμὸν, ἢ δὶς παίειν, ὡς ὁ δίκροτος. οὐ μὴν
ἀναγκάσαι γε αὐτοὺς ἄκοντας οἷόν τε κατὰ μίαν πληγὴν ἀνωμάλους ὀνομάζειν τοὺς δικρότους. ἐροῦσι γὰρ ἀπομαχό-
μενοι δύο πληγῶν φανερῶς αἰσθάνεσθαι μήτε τὸ μέγεθος ἴσον, μήτε τὸν χρόνον, ἀλλὰ μηδὲ τὸν τόνον. καὶ δι' ὀλί-
γου φήσουσι χρόνου τὴν δευτέραν ἤδη τῇ προτέρᾳ γίγνεσθαι, καὶ ἀνώμαλον μὲν συγχωρήσουσιν εἶναι τὸν τοιοῦτον
σφυγμόν, οὐ μὴν τῶν κατὰ μίαν πληγὴν, ἀλλὰ τὰς ἐν πυκνότητι καὶ σμικρότητι καὶ τόνῳ τῆς ἀνωμαλίας διαφορὰς
αὐτῷ προσάψουσιν. τοῖς δὲ καὶ τῆς συστολῆς αἰσθανομένοις, φανερῶς ὁ δίκροτος ἐκπίπτει τῆς συστηματικῆς καλου-
μένης ἀνωμαλίας. ἔοικε γοῦν τὸ ἐπ' αὐτοῦ γιγνόμενον ταῖς τῆς σφύρας διπλαῖς πρὸς τὸν ἄκμονα πληγαῖς, τῆς μὲν
προτέρας ἐκ πολλοῦ μὲν διαστήματος καταφερομένης, καὶ σφοδρῶς παιούσης. τῆς δευτέρας δὲ οἷον ἀναπαλλο-
μένης τῆς σφύρας ἀπὸ τοῦ ἄκμονος οὐκ ἤδη πολὺ, καὶ αὖθις αὐτῷ προσπιπτούσης ἀρρωστότερόν τε ἢ πρόσθεν, καὶ ἐξ
ὀλίγης διαστάσεως. τοιοῦτον γάρ τοι καὶ οἱ δίκροτοι τυγχάνουσιν ἔχοντες τὸ εἶδος, οἷον ὠθουμένης τῆς ἀρτηρίας εἰς
τοὐπίσω κατὰ τὴν προσβολὴν, εἶτ' αὖθις ἐπανερχομένης. ὃ δ' ἂν μάλιστα σαφέστατα τὴν τῶν δικρότων σφυγμῶν
φύσιν ἐνδείξαιτο, καὶ χωρίσειε τῆς συστηματικῆς ἀνωμαλίας, τὸ τῆς ὑποχωρήσεως ἐστὶν εἶδος. οὐδὲ γὰρ συστέλλεται
τότε ἡ ἀρτηρία, ἀλλά πως οἷον κλονουμένης καταφέρεται, καὶ τὴν καταφορὰν αὐτῆς ἀπὸ τοῦ πέρατος τῆς πρώτης
διαστολῆς, οὐδεμία σαφὴς ἡσυχία διαιρεῖ, καθάπερ ἤδη τῆς συστολῆς φαίνεται, ἀλλ' εὐθὺς ἅμα τῷ παύσασθαι τῆς
ἄνω φορᾶς, ἡ ὑποχώρησις γίνεται, πρὸς ὀλίγον κλονουμένης αὐτῆς, εἶτ' αὖθις ἐμπιπτούσης, οἷόν τι καὶ τοῖς πρὸς βίαν
ἑλχθεῖσι κλάδοις, εἶτ' ἀφεθεῖσι γίγνεται. καὶ γὰρ ἐκεῖνοι φέρονται μὲν ἐπὶ τὸν ἐξ ἀρχῆς τόπον, οὐ μὴν εὐθὺς ἐν
αὐτῷ μένουσιν, ἀλλ' αὖθις ἀναχωροῦσιν ἤδη ταὐτὸ ὅθεν ἠνέχθησαν, καὶ οὐδὲ ἴσην γε διάστασιν ἀπολαμβάνουσι τῇ
πρόσθεν, ἀλλ' ἐλάττονα μικρῷ. καὶ πάλιν ἀπὸ ταύτης πέρατος, ἤδη τὸ οἰκεῖον ἀναφέρονται τόπον, καὶ δεύτερόν
γε ὑποχωροῦσιν αὖθις, καὶ ἐπανέρχονται πάλιν, καὶ τρίτον τε καὶ τέταρτον καὶ πολλάκις, ἕως ἂν ἐπὶ βραχὺ μειοῦν-
τες τὴν ἐπάνοδον. εἰς ἡσυχίαν παντελῆ τελευτήσωσι. τοιοῦτόν τι καὶ τῆς ἀρτηρίας κινήσει συμβέβηκεν ἐν τοῖς

δικρότοις σφυγμοῖς, ὥστ' ἔγωγε οὐ μόνον ἅπαξ ἐπανισοῦσαν, ἀλλὰ καὶ δεύτερον εἶδόν ποτε, καὶ τὸ σύμπαν φά-
ναι, κλονώδη πάντως δεῖ τὴν κίνησιν εἶναι τοῦ δικρότου σφυγμοῦ, ὥστε καὶ κατ' αὐτὴν τὴν προτέραν πληγὴν,
οἷον ἐπαιρομένην. καὶ τὸν τόπον ὅλον ἀλλάττουσαν τὴν ἀρτηρίαν ἄνω φέρεσθαι μᾶλλον, ἢ διαστελλομένην. τοιοῦ-
τοι γάρ οἱ κλονώδεις. καὶ ὅταν γε σφοδρῶς αὐτοῖς τοῦτο τὸ πάθημα συμπίπτῃ, καὶ τὰ μόρια τῆς ἀρτηρίας δια-
φόροντα κινοῦνται, τοῦ μὲν εἰ τύχοι πρώτου, τοῦ δὲ δευτέρου, τοῦ δὲ τρίτου, καὶ πολλάκις τετάρτου, καὶ πέμπτου μέ-
ρους αὐτῆς, ἀναφερομένου τε καὶ αὖθις καταφερομένου. ὥστε ἔστιν ὅτε καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον, τὰ μὲν ἀναφέ-
ρεσθαί σοι δόξει μόρια, τὰ δὲ καταφέρεσθαι. τοιαύτης οὖν οὔσης τῆς τῶν δικρότων σφυγμῶν ἰδέας, αἱ διαφοραὶ γί-
νονται κατὰ πάντα τὰ προγεγραμμένα γένη, πληρότητος, σκληρότητος, μεγέθους, σφοδρότητος, τάχους,
τῶν ἐναντίων, ἔν αὐτῇ τε τῇ πρώτῃ κινήσει, καὶ τῇ κατὰ τὴν ὑποχώρησιν ἐπανόδῳ. δύναται γὰρ μεγάλη καὶ οὐ
μεγάλη, καὶ σφοδρὰ καὶ οὐ σφοδρὰ, καὶ ταχεῖα καὶ οὐ ταχεῖα, καὶ ἄλλων τῶν ἑκάστου εἰδῶν ἑκατέρα γίνεσθαι, καὶ ἤ-
τοι ὁμαλὴ ἢ ἀνώμαλος, ὥστε τὰς τοιαύτας ἐπαλλάξεις πολλὰ ποιεῖν εἴδη τῶν δικρότων σφυγμῶν. αὗται μὲν αἱ
κατὰ μίαν διαστολὴν τῶν δικρότων σφυγμῶν τῆς ἐν ἑνὶ μορίῳ συνισταμένης ἀνωμαλίας διαφοραί. μεταβάν-
τες δ' ἐπὶ τὴν ἐν διαφέρουσι μορίοις, εἴπωμεν ἤδη καὶ τὰς ἐκείνης ἁπάσας διαφορὰς, πρώτας μὲν δύο, καθ' ἃς
ἢ συνεχής ἐστιν ἡ κίνησις, ἢ διαλείπουσα κατά τι, τὰς δ' ἄλλας τὰς κατὰ μέρος ἐκ τῆς τούτων τομῆς συνισταμέ-
νας. ἡ μὲν γὰρ συνεχὴς ἤτοι ὁμαλής ἐστιν, ἢ ἀνώμαλος. ἐμάθομεν γὰρ ὅπως ὁμαλὴς καὶ ἀνώμαλος ἀνωμαλία
γίνεται. τῆς μὲν οὖν ὁμαλοῦς, ἢ ἐκλύεσθαι τὸ τάχος, ἢ ἐπιτείνεσθαι, ἀναγκαῖον ἐξ ἀρχῆς. καθάπερ μικρῷ πρόσθεν ἐλέ-
χθη. τῆς δ' ἀνωμάλου, πλείους εἰσὶν αἱ διαφοραὶ παρὰ τὸ μακρὸν, ἢ βραχὺ, ἢ σύμμετρον, κατὰ τὸ μῆκος εἶναι τὸν
σφυγμόν. τοῖς μὲν γὰρ δύο δακτύλοις ὑποπιπτούσης τῆς κινήσεως, ἓξ ἔσονται διαφοραί. τοῖς δὲ τρισὶ, τέσσα-
ρες καὶ εἴκοσι. τοῖς δὲ τέσσαρσιν, ὀκτὼ καὶ ἑβδομήκοντα. ὅπως μὲν οὖν ἐν τοῖς δύο δακτύλοις ἡ κίνησις ὑποπί-
πτει, τὰς διαφορὰς ἓξ ἀναγκαῖον γίνεσθαι, καὶ ἐν τοῖς τρισὶ, τέσσαρες καὶ εἴκοσι, τὰ προγεγραμμένα δύο δια-
γράμματα διδάσκει. πῶς δὲ καὶ ἐν τοῖς τέσσαρσιν, ὀκτὼ καὶ ἑβδομήκοντα, μάθοις ἂν, εἰ πρότερον γνοίης ὅτι
τεττάρων πραγμάτων ὡντινωνοῦν, τρεῖς ἑκάστου διαφορὰς ἔχοντος, ἀνάγκη τὰς πάσας συζυγίας γίνεσθαι μίαν
καὶ ὀγδοήκοντα. τοῦτο δ' οὐ χαλεπὸν εὑρεῖν, ἐκ τοῦ γιγνώσκειν, ὅτι τῶν τρεῖς ἐχόντων διαφορὰς, ἑπτὰ καὶ εἴκοσι
συζυγίαι γίνονται. προσελθόντος γὰρ τοῦ τετάρτου, τρεῖς ἔχοντος διαφορὰς, εὔλογόν ἐστι μίαν καὶ ὀγδοήκοντα,
γίνεσθαι τὰς πάσας, ὧν εἰ ἀφέλοιμεν τρεῖς τὰς ὁμαλοὺς ποιούσας τοὺς σφυγμοὺς, οἱ λοιποὶ δηλονότι, ὀκτὼ καὶ ἑβ-
δομήκοντα γίνονται. κατὰ ταυτὰ δὲ τοῖς προγεγραμμένοις δύο διαγράμμασι δῆλον, ὡς καὶ τούτων τῶν εἴκο-
σι μὲν καὶ τεττάρων τινὲς, τοῖς ἓξ τοῖς πρώτοις οἱ αὐτοὶ γίνονται, τῶν δὲ ὀκτὼ καὶ ἑβδομήκοντα, τοῖς τέσσαρσι καὶ εἴκο-
σιν, ὅτι τε καθάπερ ἐπ' ἐκείνων, οὕτω καὶ ἐπὶ τούτων αἱρέσεις δύο γενήσονται, τῶν μὲν οἰομένων, κοινωνεῖν ἀλλή-
λοις τὰ διαγράμματα. τῶν δὲ, μή. λοιπὸν δ' ἂν εἴη τὰς διαλειπούσης τῆς κινήσεως γιγνομένης διαφορὰς ἐξα-
ριθμῆσαι. γίνονται δὲ, τέτταρες μὲν αἱ πρῶται, κατὰ μέρος δ' ἑκάστης αὐτῶν πλείους, αἱ μὲν τέσσαρες ὧδέ πως.
ἢ γὰρ ὁ πρῶτος καὶ τρίτος δάκτυλος αἰσθάνονται τῆς κινήσεως, οὐ μὴν ὁ δεύτερος καὶ ὁ τέταρτος, ἢ ὁ πρῶτος καὶ
τρίτος καὶ τέταρτος, οὐ μὴν ὁ δεύτερος, ἢ ὁ πρῶτος καὶ δεύτερος καὶ τέταρτος οὐ μὴν ὁ τρίτος, ἢ ὁ πρῶτος
καὶ τέταρτος, οὐ μὴν οὔθ' ὁ δεύτερος, οὔθ' ὁ τρίτος. ὅταν μὲν οὖν ὁ πρῶτος καὶ τρίτος αἰσθάνονται μόνον, ἐννέα
γίνονται διαφοραὶ σφυγμῶν καθ' ἕκαστον γένος. ὅταν δὲ ὁ πρῶτος καὶ ὁ τρίτος καὶ τέταρτος, ἑπτὰ καὶ εἴκοσιν.
ἴσαι δὲ τὸν ἀριθμὸν ταύταις, καὶ ὅταν ὁ πρῶτος καὶ δεύτερος καὶ ὁ τέταρτος. ὅταν δ' ὁ πρῶτος καὶ ὁ τέταρτος, ἐν-
νέα. σαφὴς δὲ ὁ καθ' ἑκάστην ἀριθμὸς ἐκ τῶν προγεγραμμένων μεθόδων. αὕτη καὶ ἡ τῆς κατὰ τὰ διαφέροντα μό-
ρια γινομένης ἀνωμαλίας τομή. γίνονται δὲ καὶ μίξεις ἀμφοτέρων τῶν πρώτων διαφορῶν πρὸς ἀλλήλας πολυει-
δῶς, ὥστε μὴ μόνον ἐν διαφέρουσι μορίοις εἶναι τὴν ἀνωμαλίαν, ἀλλὰ καὶ καθ' ἓν ὁτιοῦν. εἰ δή τις τῶν ἐκ θατέρου γέ-
νους διαφορῶν, τὰς ἐνδεχομένας μιγνύναι βούλοιτο ταῖς ἐκ θατέρου, καὶ τοῦτο ποιῶν μὴ κάμνοι πρὶν ἁπάσας συμ-
πλέξαι, γυμνάσαιτ' ἂν οὐκ ἀχρήστως. ἡγοῦμαι δὲ οὐδ' ἂν χαλεπῶς δρᾶσαί τινα αὐτὸ, εἰ μὴ ἀργοὺς τὰ μέχρι τοῦ-
δε ὑφ' ἡμῶν γεγραμμένα παρέδραμεν. οὕτως μὲν ἄν τις ἁπάσας μάθοι τὰς κατὰ τὴν κίνησιν, ἐν μιᾷ διαστολῇ
γινομένας ἀνωμαλίας. ἡ δὲ, κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἀνωμαλία, περὶ μὲν τοῖς διαφέρουσι μορίοις τῆς ἀρτη-
ρίας, καὶ φαίνεται γιγνομένη πολλάκις καὶ νοηθῆναι ῥᾴστη διαλείπουσά τε καὶ συνεχὴς, ὁμαλῶς τε καὶ οὐχ ὁμαλῶς,
ἐξ οὗ γένους εἰσὶν οἵ τε μύουροι καλούμενοι κατὰ μίαν διαστολὴν, οἵ τε πρός τινων ἐπινενευκότες τε καὶ περινενευ-
κότες ὀνομασθέντες. ἐν ἑνὶ δὲ μορίῳ τῆς ἀρτηρίας, οὐκ ἂν συσταίη κατὰ τοῦτο τὸ μέρος ἀνωμαλία καθ' ἕνα σφυγμόν.
πρὶν γὰρ ἐπὶ τὸ τέλος ἀφικέσθαι τὴν κίνησιν, οὐδέ πω τὸ μέγεθος δῆλον, ἀλλὰ μόνον τοῦτο τὸ γένος τοῦ σφυγμοῦ
εἰς τὴν ἐπίγνωσιν, τοῦ τέλους προσδεῖται. σφοδρότητα μὲν γὰρ καὶ τάχος καὶ σκληρότητα, καὶ τἀναντία τούτων
καὶ τὰ μέσα, δυνατόν ἐστι κινουμένης τῆς ἀρτηρίας γνωρίσαι, τὴν δὲ κατὰ τὸ μέγεθος καὶ σμικρότητα διαφορὰν,
οὐχ οἷόν τε πρὸ τοῦ παύσασθαι κινουμένην. ἅμα μὲν γὰρ τῷ παύσασθαι, πηλίκος ἐστὶν ὁ σφυγμὸς, ἐγνώσθη. πρὸ τού-
του δ' ἔτι ἄδηλον ἦν μέχρι πόσου κινήσεται. πῶς οὖν οἷόν τε καθ' ἓν μόριον ἀνώμαλον ἐν τούτῳ γένει συστῆναι
σφυγμόν; ὃς γὰρ ἵν' οἷός τις ἐστὶ γνωσθῇ, δεῖται συμπεπερασμένης τῆς κινήσεως, οὗτος πῶς ἂν γνωσθείη γιγνο-
μένης ἔτι; ἡ δὲ κατὰ τὸν ζωτικὸν τόνον ἀνωμαλία, τὴν αὐτὴν ἐπιδέχεται τομὴν, τῇ κατὰ τὴν κίνησιν. ἢ γὰρ περὶ
τὸ αὐτὸ μόριον, ἢ ἐν διαφέρουσι συνίσταται. περὶ μὲν τὸ αὐτὸ, τριχῶς, ἢ διαλειπούσης τῆς κινήσεως, ἢ συνεχοῦς
μενούσης, ἢ δικρότου γινομένης, περὶ δὲ τὰ διαφέροντα, διχῶς, ἢ συνεχοῦς μενούσης, ἢ διακοπτομένης. ἴσαι δὲ καθ'
ἕκαστον τούτων τῶν γενῶν αἱ κατὰ μέρος διαφοραὶ, ταῖς ἐπὶ τῆς κινήσεως εἰρημέναις. καὶ μὲν δὴ καὶ μίγνυσθαι τὰς
περὶ ἓν μόριον συνισταμένας ἀνωμαλίας ταῖς ἐν διαφέρουσι γιγνομέναις ὡσαύτως, ἀναγκαῖον. ἡ δὲ κατὰ τὸ
σῶμα τῆς ἀρτηρίας ἀνωμαλία, καθ' ἣν μαλακὸς, ἢ σκληρὸς ὁ σφυγμὸς γίνεται, καθ' ἓν μὲν οὐχ οἷόν τε μόριον
γίνεσθαι, κατὰ δὲ διαφέροντα φαίνεται συνισταμένη διττῶς, ὥσπερ ἥ τε κατὰ τὴν κίνησιν, καὶ ἡ κατὰ τὸν τόνον, ἤτοι

συνεχοῦς

συνεχοῦς μενούσης τῆς κινήσεως, ἢ διακοπτομένης. ὥστε καὶ τὰς διαφορὰς εἶναι τὰς αὐτὰς περὶ τοῦτο τὸ γένος ταῖς ἐπ᾽ ἐκείνων προειρημέναις. ἐν δὲ μορίῳ ἀρτηρίας, οὐχ οἷόν τε κατὰ μὲν τὴν ἀρχὴν τῆς διαστολῆς μαλακὸν φαίνεσθαι, κατὰ δὲ τὴν τελευτὴν σκληρόν, ἢ ἀνάπαλιν, ἀρχομένης μὲν σκληρόν, τελευτώσης δὲ μαλακόν. ὥστε κατά γε τοῦτο διαφόρως ἔχει τοῦτο τῷ γένει τῶν σφυγμῶν, τῷ κατὰ σκληρότητα καὶ μαλακότητα τὰ πρόσθεν δύο, τό, τε κατὰ τὴν κίνησιν, καὶ τὸ κατὰ τὸν τόνον. τὸ δὲ κατὰ τὴν ἐγκεχυμένην οὐσίαν τῇ κοιλότητι τῆς ἀρτηρίας γιγνόμενον γένος σφυγμῶν, ἐν ᾧ καὶ ὁ πλήρης καὶ ὁ κενὸς συνίσταται, τὰς αὐτὰς ἐπιδέχεται ζητήσεις τῷ προειρημένῳ, τῷ κατὰ τὸ ποσὸν τῆς διαστολῆς. δόξει γὰρ κἀνταῦθα, περὶ μὲν τὰ διαφέροντα μόρια δύνασθαι συστῆναι καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλία, περὶ δὲ τὸ αὐτὸ μὴ δύνασθαι. μακροῦ δὲ ὅλον τὸ γένος τοῦτο τῶν σφυγμῶν δεῖται λόγου, καὶ οὐ τοῦ παρόντος καιροῦ. ῥηθήσεται γὰρ ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἔτι δὲ πλείονος δεῖται λόγου, τὸ κατὰ τὸ τρίτον σημαινόμενον τῆς πληρότητος, ὑπό τε ἄλλων τινῶν, καὶ τῶν περὶ τὸν Ἀρχιγένην λεγόμενον. ὥστε καὶ αὐτὸ εἰς αὖθις ἀναβεβλήσθω. τοσοῦτον δ᾽ ἔτι τοῖς εἰρημένοις προσθέντες, ἤδη τὰ ἑξῆς ἴωμεν, ὅτι κατὰ τὸν τῆς ἀρτηρίας τόπον, ἐναργέστερον γνωριζομένης τῆς τοῦ πυρετοῦ θερμότητος οἷα τίς ἐστιν, ἢ εἰ κατ᾽ ἄλλο τι μόριον ἅπτοιο, πιθανὸν ἔδοξεν εἶναι τισὶ καὶ τοιοῦτον γένος σφυγμῶν συναριθμῆσαι τοῖς ἄλλοις, δι᾽ οὗ τὴν ποιότητα τῆς θερμότητος γνωρίζομεν, οὗ δηλονότι γένους, ὁμαλότης τε καὶ ἀνωμαλία συστήσονται κατὰ μίαν διαστολήν. καὶ διαφοραὶ τῆς ἀνωμαλίας γενήσονται, πρώτη μὲν ἥτε ἐν διαφέρουσι μορίοις, καὶ ἡ περὶ ἓν ὁτιοῦν συνισταμένη. τούτων δ᾽ αὖθις τεμνομένων κατὰ τὰς προγεγραμμένας μεθόδους, ἕτεραι πλείους κατὰ μέρος. ἄλλο γένος ἀνωμαλίας τῆς καθ᾽ ἕνα σφυγμόν, οὐδενὶ τῶν εἰρημένων ὑποπίπτον σφυγμῶν, τὸ παρὰ τὴν θέσιν τῆς ἀρτηρίας. φαίνεται γὰρ ἔσθ᾽ ὅτε τὸ μέν τι μέρος αὐτῆς, εἰς τὰ δεξιὰ παρῆχθαι, τὸ δὲ εἰς τὰ ἀριστερά. καὶ τὸ μὲν ὑψηλότερον εἶναι, τὸ δὲ ταπεινότερον, ἤτοι κατὰ δύο τόπους ἢ πλείονας, τοῦ τοιούτου πάθους συνισταμένου. παράκειται δὲ τοῦτο κατὰ τὴν φαντασίαν τῇ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἀνωμαλίᾳ, καὶ ὡς χρὴ διορίζειν αὐτὸ ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως λέγεται. ἄλλο γένος ἀνωμαλίας τῆς καθ᾽ ἕνα σφυγμὸν τὸ κυματῶδες καλούμενον, οὗ τὴν ἰδέαν δηλοῖ μὲν ἱκανῶς καὶ αὐτὸ τὸ ὄνομα, χεῖρον δ᾽ οὐδὲν ὑπὲρ σαφηνείας εἰπεῖν τι καὶ ἡμᾶς. οὐχ ἅμα φαίνεται κατὰ τὴν τοιαύτην ἀνωμαλίαν, ἡ ἀρτηρία πᾶσα διαστελλομένη, ἀλλὰ τὸ μέν τοι, πρῶτον αὐτῆς, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον, τὸ δὲ τέταρτον. καὶ οὐδὲ ταῦτα, ὡς ἔτυχεν, ἀλλὰ σὺν τῷ τὴν ἔπαρσιν κυματώδη γενέσθαι, τοῦ δευτέρου κύματος ἀεὶ τὸ πρότερον ἐκδεχομένου. καὶ ὅπῃ διαφέρει τῆς διακεκομμένης κινήσεως τὸ τοιοῦτον εἶδος τῆς ἀνωμαλίας, οὐ χαλεπὸν φράσαι. τὴν γὰρ τοῦ προτέρου μέρους τῆς ἀρτηρίας διαστολήν, ἡ τοῦ δευτέρου διαδέχεται, μηδενὸς ἀκινήτου μορίου μεταξὺ πίπτοντος, ἀλλ᾽ ἐγγὺς μὲν ἀκινησίας ἔρχεται τῶν κυμάτων τὸ πέρας, οὐ μὴν παντελῆ γε φράσαις ἂν ἡσυχίαν οὐδενὸς μορίου. τὰ γὰρ συνάπτοντα τὰς κινήσεις εἰς ὕψος, οἷον κυματώδεις ἀναστάσεις, οὐκ ἔστιν ἀκίνητα παντελῶς, ἀλλὰ βραχεῖαν γοῦν τινα διασώζει κίνησιν. διαφέρει δὲ τοῦ σκωληκίζοντος ὁ σφυγμὸς οὗτος, μεγέθει. τὸν γοῦν μέγιστον τῶν κυματωδῶν ἐπινοεῖν ἀεὶ μειούμενον εἰς οὕτω ποτὲ μικρὸν ἀφίξει, ὥστε ἀπορεῖν εἴτε κυματώδης, εἴτε σκωληκίζων ἐστὶν ἤδη. οὐ γὰρ κατὰ τὸ ποιὸν ἐοίκασιν ἀλλήλων διαφέρειν, ἀλλὰ κατὰ τὸ ποσόν. ἔστι δὲ τὸ μέν τοι κοινὸν ἀμφοτέροις τε αὐτοῖς, καὶ τοῖς εἴδεσιν ἅπασιν αὐτῶν, τὸ δὲ ἴδιον ἑκατέρων. κοινὸν μὲν ἀφ᾽ οὗ καὶ τοὔνομα ἑκατέροις, τῷ μὲν κυματώδει, τό, οἷον κύματα ἐπανίστασθαι κατὰ τὴν ἀρτηρίαν, ἕτερον ἐφ᾽ ἑτέρῳ, τῷ δὲ σκωληκίζοντι, σκώληκος ἐοικέναι πορείᾳ, καὶ αὐτοῦ τοῦ ζώου τούτου κυματωδῶς κινουμένου, καθάπερ καὶ Δημόκριτος λέγει που περὶ τῶν τοιούτων διαλεγόμενος, τῶν ὅσα κυματοειδῶς, ἀνὰ τὴν πορείαν πλάζεται. καὶ δῆλον ὅτι ἡ ἀρχὴ τῆς ἐπεγέρσεως, ἄνωθεν ἐστὶν ἀεὶ καὶ τελευτᾷ πρὸς τὰ πέρατα τῆς ἀρτηρίας. τοῦτο μὲν οὖν τὸ κοινόν. διαφοραὶ δ᾽ αὐτῶν αἱ κατ᾽ εἶδος, ὧδέ πως συνίστανται. τινὲς μὲν εἰς εὐθὺ τὸ κῦμα φερόμενον ἔχουσι. τινὲς δὲ καὶ εἰς τὸ πλάγιον ἐκκλῖνον. καὶ τινὲς μὲν ἐν βραχείᾳ τῇ κατὰ τὸ μῆκος διαστάσει, τὸ ὕψος ἱκανόν. τινὲς δ᾽ ἔμπαλιν ἐν μακροτέρᾳ τῇ διαστάσει, τὸ ὕψος ταπεινόν, καὶ οἱ μὲν πλατύ, οἱ δὲ στενόν. καὶ οἱ μὲν ἰσοταχεῖς. οἱ δ᾽ οὔ. οὕτω δὲ καὶ τόνου, τῷ μὲν μᾶλλον, τῷ δὲ ἧττον μέτεστι τῶν κυμάτων. ἐνίοτε δὲ καὶ κατὰ πάσας ἅμα τὰς εἰρημένας διαφοράς, ἡ ἀνωμαλία συνίσταται. ἀλλ᾽ οὐδὲ διὰ μίαν ἄλλην τῶν εἰρημένων ἀνωμαλιῶν, οὕτως ὀνομάζονται. οὐδ᾽ ἔστιν οὐδ᾽ ἑτέροις αὐτῶν, οὔτε τοῖς κυματώδεσιν, οὔτε τοῖς σκωληκίζουσι τὸ εἶναι τοιούτοις δι᾽ ἄλλην τινὰ πλὴν τῆς κατὰ τὸ ποσὸν τῆς διαστολῆς. αὕτη γὰρ μόνη ἡ ἀνωμαλία, προσλαβοῦσα τὴν κατὰ τὸ πρότερον καὶ ὕστερον τῶν μορίων κίνησιν, τοὺς τοιούτους συνίστησι σφυγμούς, ὡς εἶναι συνθετὴν τὴν γένεσιν αὐτῶν, ἔκ τε τῶν ἀνωμάλων, κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐν διαφέρουσι μορίοις, καὶ τῶν μὴ ἅμα πάντα τὰ μόρια τῆς ἀρτηρίας ἐχόντων κινούμενα, οὐ μὴν εὕρηταί γέ πω καθ᾽ ἑαυτὴν ἡ τοιαύτη ἀνωμαλία, ὥστε τὸ πρότερον μόριον τῆς ἀρτηρίας, πρότερον φαίνεσθαι κινούμενον, ἀλλ᾽ ὅταν γίγνηται, πάντως τισὶν αὐτῇ καὶ τῶν ἄλλων τῶν προειρημένων μίγνυται. τὸ γὰρ ὑπ᾽ Ἐρασιστράτου λεγόμενον, ὡς ἀεὶ τὸ πρότερον φαίνεται κινούμενον, οὐ τὸ τῆς αἰσθήσεως πάθος διδάσκει. πᾶν γὰρ τοὐναντίον, καὶ καταψεύδεται τοῦ φαινομένου, δόγματος δὲ ἕνεκα λέγεται, καθάπερ καὶ ἄλλα πολλά, πολλοὶ τῶν δόγμασι συναγορευόντων, ἀναπλάσαντες ἔγραψαν ὡς φαινόμενα, μηδ᾽ ὄναρ πώποτε πεφηνότα. ὥσπερ δὲ τὸν κυματώδη σφυγμὸν ὁ σκωληκίζων διαδέχεται μικρότερον γινόμενον, οὕτω τὸν σκωληκίζοντα ὁ μυρμηκίζων, ὅταν ἀθροιζομένων τῶν κινήσεων τῶν πολλῶν εἰς μίαν καὶ ταύτην παντελῶς μικρὰν τελευτήσῃ, καὶ διὰ τοῦτο οὐδ᾽ ἀνώμαλος παντελῶς φαίνεται, καίτοι πιθανόν ἐστιν ἐκ τοῦ γένους αὐτὸν εἶναι τῶν ἀνωμάλων, ἀλλὰ διὰ τὴν μικρότητα, λανθάνει ἡ ἀνωμαλία. κέκληται δ᾽ οὗτος ὁ μυρμηκίζων, ἀπὸ τῆς πρὸς τὸ ζῷον τὸν μύρμηκα ὁμοιότητος, ὡς μέν τινες φασὶ κατὰ σμικρότητα, ὡς ἕτεροι δέ, διὰ τὸν τρόπον τῆς κινήσεως, ἵν᾽ ὁμοίως τῷ σκωληκίζοντι, καὶ δορκαδίζοντι, καὶ οὗτος ᾖ κεκλημένος. ἐκεῖνοί τε γὰρ ὁμοιότητι κινήσεως τῆς πρὸς τὰ ζῷα ὧν τὴν ἐπωνυμίαν ἔχουσιν ἐκλήθησαν, οὗτός τε αὐτὸς ὁ μυρμηκίζων οὕτως. τινὲς δὲ καὶ δι᾽ ἄμφω φασὶν αὐτὸν οὕτως ὀνομάζεσθαι, διά τε τὴν μικρό-

τητα. καὶ τῆς κινήσεως τὸ εἶδος. ἡμῖν δὲ, περὶ μὲν τούτων οὐ φιλοτιμητέον. οἷος δ' ἐστὶν ὁ μυρμηκίζων λεκτέον. ἔστι δὲ μικρὸς ἄγαν, οὗ μικρότερος ἄλλος οὐκ ἔστιν, ὡσαύτως δὲ καὶ ἀμυδρότατος πάντως καὶ πυκνότατος, οὐ μὴν ταχύς γε, ὥς τισι δοκεῖ. διαχθήσεται δὲ τοῦτο ἐν τοῖς περὶ σφυγμῶν διαγνώσεως. ἀλλὰ νῦν γε τὸ λεῖπον ἔτι προσθέντες, τὰς περὶ τὴν κατὰ μίαν διαστολὴν ἀνωμάλων σφυγμῶν διαφορᾶς, ἐπὶ τοὺς ἄλλους μεταβῶμεν. εἰσὶ δὲ οἵ τε κλονώδεις ἔτι καὶ οἱ σπασμώδεις, ἐοικότες μὲν ἀλλήλοις, τῷ μὴ φυλάττειν ἕνα τόπον τὴν ἀρτηρίαν, ἀλλ' ἄνω τε καὶ κάτω φέρεσθαι, τῆς κατὰ φύσιν θέσεως ἐξισταμένην, διαφέροντες δὲ καὶ κατὰ τοῦτο μὲν αὐτό, βραχὺ γὰρ τοῦ τοιούτου παθήματος οἱ σπασμώδεις μετέχουσι, μέγα δὲ καὶ σαφὲς ἱκανῶς τοῖς κλονώδεσιν ὑπάρχει καὶ καθ' ὅσον δέ, οἱ μὲν σπασμώδεις ἑκατέρωθεν ἐκ τῶν περάτων ἀνθέλκεσθαι, καὶ τείνεσθαι καὶ σπᾶσθαι φαίνονται, τοῖς κλονώδεσι δὲ οὐδὲν τοιοῦτον ὑπάρχει. καὶ προσέτι μεγάλη μὲν πολλάκις ἡ διαστολὴ τοῖς κλονώδεσι, μικρὰ δ' ἀεὶ τοῖς σπασμώδεσι. καὶ τῶν μορίων τῆς ἀρτηρίας, τὰ μὲν ἀναφέρεσθαι, τὰ δὲ καταφέρεσθαι καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον, ἐν τοῖς κλονώδεσι φαίνεται ἐναργῶς, τῶν σπασμωδῶν παντελῶς ὀλίγοις καὶ ἀμυδρῶς τοῦ τοιούτου συμπίπτοντος. καθ' ὅλου δὲ φάναι οἷον χορδῆς τινὸς τεταμένης αἴσθησις ἐστὶν ἐπὶ τοῦ σπασμώδους σφυγμοῦ, καθ' ὃ καὶ οὐδενὶ τῶν ἄλλων ἔοικεν. ἐπὶ τῶν κλονωδῶν, οὐδὲν τοιοῦτον φαίνεται. μάλιστα γὰρ ἄν τις αὐτῶν τὴν κίνησιν εἰκάσειε τοῖς ἀκοντίοις, ὅσα σφοδρῶς ἀφεθέντα, ταχέως φέρεται κραδαινόμενα. καλοῦσι γὰρ οὕτως τὸν πυκνὸν αὐτῶν καὶ ἀνώμαλον σεισμόν, ὅπερ οὐχ ὑπάρχει τοῖς σπασμώδεσι. τούτους δὲ πάντας τοὺς σφυγμοὺς τοὺς ἔξω τῶν πέντε γενῶν τῶν πρώτων κατὰ μίαν διαστολὴν ἀνωμάλους γινομένους, δύο ταῦτα προσιόντα συνίστησι, τό, τε παρὰ τὴν θέσιν τῆς ἀρτηρίας εἶδος τῆς ἀνωμαλίας, καὶ τὸ πρωϊαίτερον, ἢ ὀψιαίτερον ἄρχεσθαι τῆς κινήσεως τὰ μόρια, τὸν μὲν πρῶτον ἐν αὐτοῖς ῥηθέντα, τὸν παρὰ τὴν θέσιν τῶν μορίων ἀνώμαλον, αὐτὸ τοῦτο μόνον. τοὺς δὲ ἄλλους, καὶ τοῦτο μὲν καὶ ἄλλαι δέ τινες ἀνωμαλιῶν προσιοῦσαι διαφοραὶ τῶν πρώτων πέντε γενῶν. σύνθετοι γὰρ αἵ τε νόσοι καὶ αἱ γενέσεις αὐτῶν, τοῦ τε κυματώδους καὶ τοῦ σκωληκίζοντος, καὶ τοῦ κλονώδους καὶ τοῦ σπασμώδους. ὁ δὲ μυρμηκίζων ὡς ἔφαμεν, ἀνώμαλος μὲν ἐστίν, οὐ μὴν καὶ φαίνεταί γε. καὶ ὁ δορκαδίζων δὲ κληθεὶς ὑπὸ Ἡροφίλου σφυγμός, ἔστι μὲν ἐκ τῶν κατὰ μίαν διαστολὴν ἀνωμάλων, σύνθετος δὲ καὶ αὐτός ἐστιν, οὐδετέρας ἐφαπτόμενος τῶν προσιουσῶν τοῖς πρώτοις πέντε γένεσιν ἀνωμαλιῶν, ἀλλ' ὅταν καθ' ἓν μόριον ὁτιοῦν διακόπτηται τὴν κίνησιν ἡ ἀρτηρία, τηνικαῦτα μάλιστα γινόμενος, οὐχ ἁπλῶς. οὐ γὰρ ὅλον τοῦτο τὸ γένος δορκαδίζων ἐστὶ σφυγμός, ἀλλ' ὅταν ἡ μετὰ τὴν ἡσυχίαν δευτέρα κίνησις, ὠκυτέρα τε καὶ σφοδροτέρα τῆς προτέρας ᾖ. τῷ γὰρ τοιούτῳ μόνῳ τοῦτο ἐπίκειται τὸ ὄνομα, κατὰ τὴν πρὸς τὰ ζῶα τὰς δορκάδας ὁμοιότητα. καὶ γὰρ ἐκεῖνα τοῦτον φαίνεται πηδῶντα τὸν τρόπον, οἷον διπλῆν τινὰ κίνησιν ποιούμενα. πρὸς βραχὺ γὰρ ὑψώσαντα ἑαυτά, καί τινα δόκησιν, ὡς αὐτοῦ που τὴν κίνησιν καταπαύσαντα παρασχόντα, δευτέραν ἀδόκητον ὁρμὴν κινήσεως ποιεῖται, πολὺ τῆς πρόσθεν ὠκυτέραν, ὡς οἷον ἐπεμπηδῶντα ἑαυτοῖς. αὗται αἱ πᾶσαι κατὰ μίαν διαστολὴν ἀνωμαλίαι. περὶ δὲ τῆς κατὰ πυκνότητα καὶ ἀραιότητα καὶ ῥυθμόν, νῦν ἐροῦμεν. οἴονται δὲ συστηματικὰς μόνον γίνεσθαι τὰς τοιαύτας ἀνωμαλίας. οὕτω δὲ καλοῦσι τὰς ἐν πλείοσι σφυγμοῖς συνισταμένας. εἴπωμεν δὲ πρότερον περὶ τῶν ἐν ἀθροίσματι γινομένων, εἶθ' οὕτως ἐπὶ τὰς καθ' ἕνα μεταβησώμεθα, προχειρισάμενοι παραδείγματος ἕνεκα μίαν αἵρεσιν τῶν περὶ πυκνότητος γεγραμμένων, ἥπερ δὴ καὶ σαφεστάτη ἐστί, περὶ τὰ διαλείμματα τῶν πληγῶν συνίστασθαι νομίζουσα τὸ γένος τοῦτο τῶν σφυγμῶν. ὅταν οὖν ἑξῆς πάντα τὰ διαλείμματα ἴσα κατὰ πάντας τοὺς σφυγμούς, ὁμαλὸν τοῦτον εἶναι φασί. εἰ δὲ τὰ μὲν μείζω, τὰ δ' ἐλάττω, δηλονότι ἀνώμαλον, ἐν πυκνότητι καὶ ἀραιότητι. καὶ τὸν ῥυθμὸν δ' ὡσαύτως ἐν τῷ λόγῳ τοῦ χρόνου τῆς πληγῆς, πρὸς τὸν τοῦ διαλείμματος συνιστάμενον, ὅταν ἐφεξῆς ὁ αὐτὸς μένῃ, τότε εἶναι φασὶ ὁμαλόν. εἰ δὲ μεταβάλλει τὸν ἐξ ἀρχῆς λόγον, ἀνώμαλον γίγνεσθαι, καθάπερ εἰ καὶ τῶν διαλειμμάτων, ἃ καὶ ἡσυχίας καλοῦσιν, μεταπέσῃ τὰ μεγέθη τὴν κατὰ πυκνότητα καὶ ἀραιότητα γίγνεσθαι ἀνωμαλίαν. ταῦτα μὲν οὖν ὀρθῶς λέγουσιν, καὶ ἔστιν ἀπὸ τῆς εἰρημένης αἱρέσεως, ἐπὶ τὰς ἄλλας μετιόντα, γνωρίζειν ὁμαλότητα τε καὶ ἀνωμαλίαν ἐν ἀμφοτέροις τοῖς γένεσι, τὴν ἐν πλείοσι ὡς ἔφαμεν σφυγμοῖς συνισταμένην, ἣν καὶ συστηματικὴν καλοῦσιν. περὶ δὲ τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας αὐτῶν ἣν ἅπαντες παραλελοίπασιν, οὐκ ἔθ' ὁμοίως σαφές, ἀλλ' ὑπὲρ τοῦ μηδὲν λείπειν τῇ προκειμένῃ πραγματείᾳ, καὶ περὶ τούτων πειράσομαι, καθ' ὅσον οἷόν τε σαφῶς εἰπεῖν, ἀρχὴν τοῦ λόγου τήνδε ποιησάμενος. τὰ μόρια τῆς ἀρτηρίας, ἤτοι πάνθ' ἅμα τῆς κινήσεως ἄρχεται, ἢ τὰ μὲν αὐτῶν πρωϊαίτερον, τὰ δὲ ὀψιαίτερον. εἰ μὲν οὖν πάνθ' ἅμα κινεῖσθαι ὑπάρξαιτο, εἶτα καὶ κινηθέντα μὴ ἐν ἴσοις χρόνοις αὖθις τῆς δευτέρας διαστολῆς ἅμα πάλιν ἄρξαιτο, τῶν δύο γενῶν ἀνωμαλία καθ' ἕνα σφυγμὸν συστήσεται, ὅτι μὲν ἐγένετο, γνωρισθεῖσα, τῆς δευτέρας διαστολῆς ἀρξαμένης, οὐ μὴν ἐν τῇ γε δευτέρᾳ τὴν ὕπαρξιν ἔχουσα, ὥσπερ οὐδὲ ὁ ῥυθμὸς αὐτός, οὐδὲ τὸ κατὰ πυκνότητα καὶ ἀραιότητα γένος. καὶ γὰρ καὶ ταῦτα, καθ' ἕνα μὲν σφυγμὸν γίγνεται, δεῖται δὲ πάντως εἰς τὸ γνωσθῆναι τοῦ δευτέρου. πρὶν γὰρ ἄρξασθαι τοῦτον, οὐχ οἷόν τε τοῦ προτέρου τὸ πέρας γνωρίσαι. ἔτι δ' ἀγνώστου μένοντος τοῦ πέρατος, οὔτε τὴν πυκνότητα δυνατόν, ἢ τὴν ἀραιότητα, οὔτε τὸν ῥυθμὸν ἐπιγνῶναι. ὥστε καὶ περὶ τὴν τῆς ἀνωμαλίας γένεσιν, ἣν εἰρήκαμεν, οὐδὲν θαυμαστὸν ἀναμένειν τὴν τῆς δευτέρας διαστολῆς ἀρχήν. οὐ μὴν τούτου γε ἕνεκα συστηματικὴν αὐτὴν χρὴ νομίζειν. ἀμέλει πρὶν συμπερανθῆναι τὴν δευτέραν διαστολήν, εὐθὺς ἀρχομένης αὐτῆς γνωρίζεται, μηδὲν μήτε τοῦ δευτέρου σφυγμοῦ δεηθέντων ἡμῶν, μήτε τοῦ τρίτου, μήτε τῶν ἑξῆς. οὕτως, ἐν τῷ πρώτῳ μόνῳ γίγνεται. διὰ τοῦτ' οὖν ἔφαμεν, ὅταν ἅμα πάντων τῶν μορίων ἀρξαμένων κινεῖσθαι κατά τε τὴν προτέραν καὶ τὴν δευτέραν διαστολήν, μὴ ἴσος αὐτοῖς ὁ τῆς κινήσεως γένηται χρόνος, τῶν δύο γενῶν ἀνωμαλίαν συνίστασθαι, τὴν μὲν κατὰ πυκνότητα καὶ ἀραιότητα, τῷ τῶν διαλειμμάτων ἀνίσῳ. τὴν δὲ κατὰ ῥυθμόν, τῷ λόγῳ τοῦ χρόνου τῆς πληγῆς πρὸς τὸν τοῦ διαλείμματος. ὁ μὲν γὰρ τοῦ πρώτου πάντων παυσαμένου τῆς κινήσεως μορίου χρόνος, ἐλάχιστος ἔσται. μέγιστος δέ, ὁ τοῦ ὑστάτου. οἱ δ' ἐν τῷ μέσῳ, ἀνάλογον, ἐφ' ὅσον ἂν ἢ τοῦ πρώτου, ἢ τοῦ ἐσχάτου ἀφεστηκότες ὦσιν. ἔμπαλιν δὲ τοῖς τῆς κινήσεως χρόνοις,

οἱ τῶν

ὶ τῶν ἡσυχιῶν, μείζους μὲν ἔσονται περὶ τὰ πρῶτα παυσάμενοι. ἐλάττους δὲ περὶ τὰ ὕστατα. ὥστε ὁ μὲν περὶ τὸ πρῶ-
τον παυσάμενον μόριον χρόνος τῆς κινήσεως ἐλάχιστος ὢν, μεγίστῳ παραβάλλεται χρόνῳ, τῷ τῆς περὶ τὸ αὐτὸ μό-
ριον ἡσυχίας. ὁ δὲ, περὶ τὸ ὕστατον μέγιστος ὢν ἁπάντων τῶν τῆς κινήσεως χρόνων, ἐλαχίστῳ, τῷ τῆς περὶ τὸ αὐτὸ μό-
ριον ἡσυχίας παραβάλλεται, καὶ οὕτως ὁ ῥυθμὸς ὑπαλλάττεται καθ᾽ ἑκάστην, εἰς ὅσον ὁ λόγος τοῦ τῆς κινήσεως χρό-
νου, πρὸς τὸν τῆς ἡσυχίας, οὐχ ὁ αὐτὸς ἐν ἅπασι μένει. ἂν μέντοι τῆς προτέρας διαστολῆς ἅμα μὲν ἁπάντων τῶν μο-
ρίων τὴν ἀρχὴν τῆς κινήσεως ποιησαμένης, οὐκ ἰσόχρονον δὲ πᾶσιν ἡ δευτέρα διαστολὴ μὴ ἅμα πάντων ποιή-
σηται τὴν ἀρχὴν τῆς κινήσεως, ἀλλὰ προτέρου μὲν τοῦ προτέρου παυσαμένου, καὶ τοσούτῳ γε προτέρου, ὅσῳ πρό-
τερον ἐπαύσατο, δευτέρου δὲ τοῦ δευτέρου, καὶ οὕτως ἑξῆς, ἡ μὲν περὶ τὸν ῥυθμὸν ἀνωμαλία γένοιτ᾽ ἂν οὕτως, ἡ
δὲ περὶ πυκνότητα καὶ ἀραιότητα οὐκ ἔτι. τὸ μὲν γὰρ τῆς ἡσυχίας ἴσον ἐν ἅπασι γενόμενον, οὐδεμίαν ἐργάσεται περὶ
πυκνότητα καὶ ἀραιότητα διαφοράν, οὐ μήν γε ὁ λόγος ὁ αὐτὸς ἔσται τοῦ τῆς κινήσεως χρόνου πρὸς τὸν τῆς ἡσυ-
χίας, εἴ γε ὁ μὲν τῆς κινήσεως οὐκ ἴσος ἦν ἅπασιν, ὁ δὲ τῆς ἡσυχίας, ἴσος. ὥστ᾽ οὐδὲ ὁ ῥυθμὸς ἅπασιν ὁ αὐτός. εἰ δ᾽ ἅμα
πάντα τὰ μόρια τῆς ἀρτηρίας ἀρξάμενα κινεῖσθαι, μήθ᾽ ἅμα πάλιν ἄρξαιτο τῆς δευτέρας διαστολῆς, μήθ᾽ ἅμα
παύσαιτο τῆς προτέρας, ἀλλὰ μηδὲ τὸ τῆς ἡσυχίας ἴσον ἐν ἅπασι γένοιτο, διττὴν ἐν τῷ τοιούτῳ διαφορὰν ἀνά-
γκη συστῆναι. τὴν μὲν περὶ πυκνότητα καὶ ἀραιότητα καθ᾽ ἑτέραν τῶν διαφορῶν ἀνωμαλίας συνισταμένης,
οὐ μὴν τήν γε περὶ τὸν ῥυθμὸν ἐξ ἀνάγκης. ἐνδέχεται γὰρ ἐν τῷ αὐτῷ λόγῳ πάντων τῶν μορίων τοὺς τῆς κινήσεως
χρόνους, πρὸς τοὺς τῶν ἡσυχιῶν γενέσθαι. καὶ εἰ τοῦτο συμβαίνει, καὶ ὁ ῥυθμὸς ὁμαλὸς ἂν εἴη, μὴ σωζομένου δὲ τοῦ αὐ-
τοῦ κατὰ πάντα τὰ μόρια λόγου, καὶ γὰρ καὶ τοῦτο ἐνδέχεται γενέσθαι, διαφθαρείη ἂν οὕτω καὶ ὁ ῥυθμός. εἰ δ᾽
αὖ πάλιν ἅμα πάντων ἀρξαμένων τῶν μορίων κινεῖσθαι, καὶ κινηθέντων ἐν ἴσῳ χρόνῳ τῆς δευτέρας διαστολῆς,
μὴ ἅμα πάντα τὰ μόρια τὴν αὐτὴν ἀρχὴν ποιήσαιτο, ἀλλὰ τὰ μὲν πρωϊαίτερον αὐτῶν ἄρξαιτο, τὰ δὲ, ὀψιαί-
τερον, οὔτε ὁ ῥυθμὸς ἔτι ὁμαλὸς, οὔτε ἡ κατὰ πυκνότητα καὶ ἀραιότητα διαφορά. ταύτην μὲν γὰρ ἀνώμαλον
ποιεῖ τῶν ἡσυχιῶν τὸ ἄνισον. τὸν δὲ ῥυθμὸν, ἡ τῶν λόγων ἑτερότης, ἁπάντων μὲν τῶν μορίων ἐν ἴσῳ χρόνῳ κι-
νηθέντων, οὐ μὴν καὶ ἡσυχασάντων ἐν ἴσῳ χρόνῳ. τοσαῦται μὲν ἀνωμαλίας αἱ διαφοραὶ, τῆς καθ᾽ ἕνα σφυ-
γμὸν ἀμφοῖν τοῖν γενοῖν, ὅταν ἅμα πάντα τὰ μόρια τῆς ἀρτηρίας ἄρξηται διαστέλλεσθαι. ὅταν δὲ τὸ μὲν, πρό-
τερον αὐτῶν, τὸ δὲ δεύτερον ἄρξηται τοῦ διαστέλλεσθαι. παυσαμένων μὲν ἁπάντων ἅμα καὶ αὖθις τῆς δευτέ-
ρας διαστολῆς ἀρξαμένων ἅμα, κατὰ θάτερον γένος τὸ τοῦ ῥυθμοῦ μόνον, τὴν ἀνωμαλίαν ἀνάγκη γίνεσθαι. τὰ
μὲν γὰρ διαλείμματα τῶν κινήσεων, ἴσα πᾶσιν ἔσται τοῖς μορίοις. ὥστε οὐδεμία κατά γε τοῦτο τὸ γένος ἀνω-
μαλία συστήσεται. ἴσῳ δὲ ὄντι τῷ χρόνῳ τῷ τῆς ἡσυχίας ἐν ἅπασι τοῖς μορίοις, ἄνισος παραβαλλόμενος, ὁ τῆς καθ᾽
ἕκαστον αὐτῶν κινήσεως, ἐν διαφέρουσι λόγοις τὸν ἑκάστου μορίου ῥυθμὸν ἀποτελέσει. εἰ δὲ κατὰ τὸν αὐτὸν τρόπον
ἄρξαιτο τῆς δευτέρας διαστολῆς ἡ ἀρτηρία, καθ᾽ ὃν καὶ τῆς προτέρας, ὥστε καθ᾽ ἑκατέραν τῶν διαστολῶν ταυ-
τὸ μόριον ἄρχεσθαι πρωϊαίτερον ἑτέρου τῷ ἴσῳ. καὶ τοῦτ᾽ ἐν ἅπασι τοῖς μορίοις φυλάττοιτο, παυσαμένων αὐτῶν
ἅμα τῆς προτέρας διαστολῆς, ἀνάγκη καθ᾽ ἑκάτερον τῶν γενῶν γενέσθαι, τὴν ἀνωμαλίαν. ὁ μὲν γὰρ πᾶς χρόνος
ὁ συγκείμενος, ἔκ τε τῆς κινήσεως καὶ τοῦ διαλείμματος, ἴσος ἔσται πᾶσι τοῖς μορίοις τῆς ἀρτηρίας. ἄνισοι δὲ οἱ τῶν
κινήσεων λόγοι, πρὸς τοὺς τῶν ἡσυχιῶν, τῷ τὸν ὅλον χρόνον μὴ εἰς ἴσα τέμνεσθαι. τῶν μὲν γὰρ πρότερον ἀρξαμέ-
νων μορίων κινεῖσθαι, ὁ μὲν τῆς κινήσεως χρόνος, μείζων ἔσται τοῦ τῶν ὕστερον ἀρξαμένων. ὁ δὲ τοῦ διαλείμματος,
ἐλάττων. τῶν δ᾽ ὕστερον ἀρξαμένων ἔμπαλιν, ὁ μὲν τῆς κινήσεως χρόνος ἐλάττων, ὁ δὲ τῆς ἡσυχίας μείζων. ὥστε
ἀνάγκη καὶ τὸν ῥυθμὸν ἄνισον εἶναι καθ᾽ ἕκαστον τῶν μορίων. καὶ τὴν κατὰ πυκνότητα δὲ καὶ ἀραιότητα συνίστα-
σθαι περὶ αὐτοὺς ἀνωμαλίαν, ἀναγκαῖον, εἰς ὅσον οἱ τῶν διαλειμμάτων χρόνοι διαφέρουσιν. εἰ δ᾽ ὁμοίως τῆς δευ-
τέρας διαστολῆς τὴν ἀρχὴν τῆς τῶν μορίων κινήσεως ποιησαμένης, ἥνπερ ἡ προτέρα ἐπεποίητο, τουτέστιν ἵνα καθ᾽
ἑκατέραν τὸ αὐτὸ μόριον ἄρχηται, τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον τῆς κινήσεως, ἡ τελευτὴ τῆς προτέρας διαστο-
λῆς, μὴ ἴση πᾶσι γένοιτο, δύο ἔσονται διαφοραί. δύναται γὰρ καὶ πολλῷ πρότερον παύσασθαι τὸ πρότερον τῆς
κινήσεως ἀρξάμενον μόριον, δύναται δὲ καὶ ὕστερον. εἰ μὲν γὰρ ἐν ἴσῳ παύσαιτο τὸ πρότερον, ὅσῳ πρότερον
ἤρξατο, κατ᾽ ἄμφω τὰ γένη, γένοιτ᾽ ἂν οὕτως ὁμαλὸς σφυγμός. εἰ δὲ πολλῷ παύσαιτο πρότερον ἤπερ ἤρξατο,
τὴν ἀνωμαλίαν οὕτω γεννήσει τῶν δύο γενῶν. παυσάμενον δ᾽ ὕστερον τὸ πρότερον ἀρξάμενον, πάντως ἐργά-
σεται τῶν δύο γενῶν τὴν ἀνωμαλίαν, ἄντε πολλῷ τύχοι παυσάμενον ὕστερον, ἄντε ὀλίγῳ. εἰ δὲ μήτε τῆς προ-
τέρας διαστολῆς ἡ ἀρχὴ πᾶσιν ἅμα τοῖς μορίοις γένοιτο, μήτε τῆς δευτέρας, ἐνδέχεται ποτὲ μὲν τὸν ῥυθμὸν ὁ-
μαλὸν γίνεσθαι, ἐνδέχεται δὲ καὶ τὸ τῆς πυκνότητος καὶ ἀραιότητος γένος, εἰ μὲν οὕτω μερισθεῖεν οἱ τῶν κινή-
σεων χρόνοι, πρὸς τοὺς τῶν ἡσυχιῶν. ὥστε τὸν αὐτὸν ἐν ἅπασιν εἶναι λόγον, ὁμαλοῦ τοῦ ῥυθμοῦ γιγνομένου. εἰ δ᾽ οἱ τῶν
ἡσυχιῶν χρόνοι μόνοι ἴσοι γεννηθεῖεν, ὁμαλότης ἐν θατέρῳ γένει. ταῦτα μὲν οὖν σπάνια. τὰ δὲ τῶν ἀνωμαλιῶν,
ἱκανῶς πολλά. καὶ γὰρ ἅμα πάντα δύναται τῆς κινήσεως παύσασθαι τὰ μόρια καὶ οὐχ ἅμα. κἂν τῷ μὴ ἅμα παύ-
σασθαι, τὰ μὲν πρότερον. τὰ δ᾽ ὕστερον. καὶ ἤτοι πολλῷ πρότερον, ἢ πολλῷ ὕστερον. οἷαι δὲ καὶ ὅσαι γένοιτ᾽ ἂν αἱ
ἀνωμαλίαι κατὰ ταῦτα, τοῖς προειρημένοις ἂν εὑρίσκοις. ὥστε οὐδὲν δεῖ μηκύνειν ἔτι. μόνον δὲ ὑπομνήσαντας,
ὡς τὸ προτεθὲν ἀποδέδεικται, τὸ γίνεσθαι τινὰς καὶ καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίας, ἔν τε τῷ κατὰ πυκνότητα καὶ
ἀραιότητα γένει, κἂν τῷ κατὰ τὸν ῥυθμόν, ἐνταῦθά που καταπαῦσαι καιρὸς ἤδη τὸν πρῶτον λόγον. ἃ γὰρ ἐπὶ
μιᾶς αἱρέσεως τῆς μεριζούσης εἰς πληγὴν καὶ διάλειμμα τὸν σφυγμόν, ὡς ἐπὶ παραδείγματος εἰρήκαμεν, οὐδὲν χα-
λεπὸν καὶ ἐπὶ τὰς ἄλλας μεταφέρειν, ὁμοίως ἡμῶν καὶ κατ᾽ ἐκείνας ἁπάσας ἀποδεῖξαι δυναμένων ἐν τοῖς δυο
γένεσι τούτοις, ὑπὲρ ὧν δὴ πέπαυμαι λέγων τὰς καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίας συνισταμένας.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Β'.

Οὐ τὴν αὐτὴν χρείαν ἐπαγγέλλεται τὸ δὲ τὸ γράμμα τῷ πρόσθεν, ἀλλ' ὃν ἔχει λόγον ἐλλέβορος, ἢ σκαμμωνία πρὸς ἄρτον, ἢ κρέας, τοῦτον καὶ τὰ νῦν λεχθησόμενα πρὸς τὰ εἰρημένα. τρέφειν μὲν γὰρ ἐκεῖνα τὰς ὑγιαινούσας ἐδύνατο ψυχάς, ἐκκαθαίρειν δὲ ταῦτα τὰς μοχθηρὰς δόξας, ὥσπερ τινὰ νοσήματα. συγκατασκευάζεσθαι δ' εἰκὸς τοῖς ἐλέγχοις τῶν διημαρτημένων πίστιν βεβαίαν τῶν ὀρθῶς εἰρημένων. ὥστ' εἴ τις τῷ παρόντι λόγῳ καὶ ταύτην προσθείη τὴν χρείαν, εὑρήσει τινὰ καὶ ὠφέλειαν ἑπομένην.

Περὶ τῆς χρήσεως τῶν ὀνομάτων.

Ἐστὶ δὴ πρῶτος μοι λόγος πρὸς τοὺς σοφιστάς, ὁ περὶ τῆς χρήσεως τῶν ὀνομάτων. ἡμεῖς γὰρ ἑπόμεθα τῇ τῶν ἑλλήνων συνηθείᾳ. καὶ γὰρ ἐτράφημεν ἐν αὐτῇ, πειρώμεθά τε διὰ τῶν σαφεστάτων ὀνομάτων, ἑρμηνεύειν ἀεὶ τὸ νοούμενον. οὐ μὴν ἐγκαλοῦμέν γε τοῖς ὀλιγωροῦσιν αὐτῆς, ἀλλ' εἰ καὶ καθ' ἑκάστην λέξιν ἐθέλει τις βαρβαρίζειν φθέγγεσθαι, μὴ λυμαινόμενος τῷ σαφεῖ τῆς ἑρμηνείας, οὐδὲν ἡμῖν μέλει. τούτου γὰρ ἕνεκα χρώμεθα τῇ πρὸς ἀλλήλους διαλέκτῳ, τοῦ νοῆσαι τὰ δηλούμενα, καὶ τοῦτον ἡγούμεθα κάλλιστα χρῆσθαι λόγῳ τὸν ἐναργέστατα δηλοῦν ἃ βούλεται δυνάμενον. ἡ μὲν ἡμετέρα προαίρεσις τοιαύτη, μέτριος, ὡς νομίζω, καὶ φιλάνθρωπος, οὐ μὴν ἐπιτρέπουσιν ἡμῖν οἱ σοφισταί, ἀλλ' ὥσπερ ἀλλήλοις ἐρίζουσι περὶ τῶν ὀνομάτων, ἀμελοῦντες αὐτῶν τῶν πραγμάτων, οὕτω καὶ ἡμῖν ἐπηρεάζουσιν ὑβρίζοντες ἀεί, καὶ καταγελῶντες, εἰ μὴ χρησαίμεθα τοῖς ἐκείνων ὀνόμασιν. εἰ μὲν οὖν ἅπαντες συνθέμενοι μίαν διάλεκτον, ὥσπερ νόμισμα καινὸν ὑπὸ ψηφίσματος εἰσηγήσαντο, τάχα ἂν ἐπεράθημεν ἐπιλαθέσθαι μὲν τῆς τῶν ἑλλήνων, ἐκμαθεῖν δὲ τὴν πρὸς ἐκείνων νομοθετεῖσαν. ἀλλ' οὐδ' εἰ τῶν βαρβάρων τινὰ μιᾷ διαλέκτῳ συνέθεντο χρήσασθαι, μαθεῖν ἂν οὐδὲ ταύτην ἀκνήσαμεν, ὑπὲρ τοῦ πάντ' αὐτοῖς χαρίσασθαι. ἐπεὶ δὲ οὐχ ἑλληνικὴν διάλεκτον εἰλικρινῶς οὐδεμίαν, οὐδὲ βάρβαρον ἁπλῶς, ἀλλά τινα μικτὴν ἐξ ἁπασῶν, οἷον καρύκην, ἤ τινα ποικιλωτέραν τε, καὶ ἀλλοκοτωτέραν καρύκης συντεθείκασιν, ὡς ἂν ἕκαστος αὐτῶν βούληται, τὰ μὲν ἐκ φοινίκης τε καὶ συρίας, τὰ δὲ ἐξ αἰγύπτου τε καὶ θρᾴκης, ἢ ποθὲν ἄλλοθεν συμφορήσας, εἶτα τοῖς τῶν ἑλλήνων ὀνόμασι μιγνύς, οὐδὲ τούτοις γνησίοις, ἀλλὰ πολυειδῶς παρεφθαρμένοις, ἐγὼ μὲν οὐκ ἔχω μὰ τοὺς θεοὺς ὅτι καὶ γένωμαι, μήτ' ἐκμανθάνειν τὰς τοιαύτας διαλέκτους δυνάμενος, μήτ' ἐκείνους πείθων μίαν ἐκμανθάνειν τὴν τῶν ἑλλήνων, μήτ' ἐπειδὴ τούτων οὐδ' ἑτέρου τυγχάνω, τοῦ γοῦν τρίτου τε καὶ λοιποῦ τυχεῖν παρ' αὐτῶν δυνάμενος, τοῦ συγχωρεῖν ἡμῖν ἐν ᾗ τεθράμμεθα φωνῇ, ταύτῃ χρήσασθαι. τὸ μὲν δὴ περὶ τὴν τῶν ὀνομάτων χρῆσιν κακὸν τηλικοῦτον. ἕτερον δὲ τὸ περὶ τοὺς ὁρισμοὺς μακρῷ τούτου χαλεπώτερον. ἔνιοι γὰρ αὐτῶν δοκοῦσί μοι μηδὲ λάχανον ἂν πρίασθαι χωρὶς ὅρου, καὶ ταῦτα μέντοι μηδ' ὄναρ διαλεκτικῆς ἡμμένοι, καὶ προτείνουσιν ὡς ἂν τοιοῦτοί τε κἀν τοιούτοις τεθραμμένοι, τῶν ὀνομάτων τι τούτων τῶν καλῶν τῶν ἐκ μέσης συρίας, ἢ κιλικίας, καὶ τοῦτο ὁρίζεσθαι κελεύουσιν, ὃ μηδ' ἴσως ἤκουσε τὴν ἀρχὴν ἄνθρωπος ἕλλην μηδεπώποτε. εἶθ' ὁ μὲν ὡς ἂν ξένον τε καὶ βάρβαρον ἀγνοεῖ, ὁ δ' ἤδη καταγελᾷ τε καὶ σκώπτει καὶ τωθάζει, καὶ παιδία, καὶ μειράκιον ἀποκαλεῖ. πολλάκις δὲ τὸ μὲν προταθὲν ὄνομα τῶν ἑλληνικῶν ἐστι, οὐ μὴν καθ' οὗ γε παρὰ τοῖς ἕλλησιν ἐπίκειται πράγματος, οὕτως αὐτὸ νοοῦσιν οἱ δαιμόνιοι σοφισταί. κἄπειτα κελεύουσιν ὁρίσασθαι. καί τις ἴσως ἕλλην ἀνὴρ ὁριεῖται κατὰ τὴν τῶν ἑλλήνων συνήθειαν. οἱ δὲ οὐ μόνον οὐ πείσονται, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ καὶ καταγελῶσι, καὶ διαπαίζουσιν. οὗτος μὲν ὁ δεύτερος τρόπος τῶν περὶ τοὺς ὁρισμοὺς κακῶν. ὁ δὲ δὴ τρίτος ὁ μηκέτι κατὰ τοὔνομα, καὶ τὸ σημαινόμενον, ἀλλ' ἤδη καὶ κατ' αὐτὸ τὸ ὑποκείμενον σφαλλόμενος, ὅταν ἐπιχειρῇ τις ἀνὴρ διαλεκτικὸς τοὺς ὅρους αὐτῶν, τοὺς μὲν ἐλλιπεῖς, τοὺς δὲ περιττούς, τοὺς δὲ ἀδιορίστους, τοὺς δὲ ἀσαφεῖς, τοὺς δὲ μακρούς, τοὺς δὲ ψευδεῖς, τοὺς δ' ὅλως οὐδ' ὅρους δεικνύειν, ἐξαίφνης, ὥσπερ ἐνθουσιῶντες, πικροὶ τῆς διαλεκτικῆς ἀναφαίνονται κατήγοροι, καὶ τό τ' αὖθις μάτην, καὶ πρὸς κακοῦ δοκεῖ τῷ τε βίῳ παντί, καὶ ταῖς τέχναις ἐπιτηδεύεσθαι. ὥστ' ἐγὼ μὲν πολλάκις νὴ τοὺς θεοὺς ἐξεπλάγην, εἰ παρακαλούντων μὲν ἡμῶν, μὴ πάντα δι' ὅρων πειρᾶσθαι μήτε διδάσκειν, μήτε μανθάνειν, οἱ δ' οὐ πείθονται. συγχωρησάντων δὲ ὁρίσασθαι, κἄπειτα δεικνύντων ἡλίκον σφάλλονται, τηνικαῦτα τοὺς ὅρους ἀχρήστους εἶναι φασί. καὶ ταῦτ' οὐ μιᾶς ἡμέρας, ἢ δυοῖν ἐν τῷ μέσῳ γινομένων, ἀλλ' ἐν ἀκαρεῖ χρόνῳ, τὸ λεγόμενον δὴ τοῦτο μεταπεσόντος ὀστράκου, ποτὲ μὲν ὅρον ἐρωτῶσι προβάλλοντες ὄνομα, ποτὲ δὲ ἀχρήστους εἶναι τοὺς ὅρους φασί. τὸ δὲ τέταρτον αὖθις ἐν τοῖς τοιούτοις πλημμέλημα, μηδ' ὅτι πάντων οὐκ εἰσὶν ὅροι γινώσκειν, εἶθ' ὡς ἂν τοῦτο ἀγνοοῦντες ἐπιχειρεῖν ὁρίζεσθαι πάντα, καὶ πρὸς ἀλλήλους διαφέρεσθαι, καὶ κεκραγέναι μάτην ὑπὲρ πραγμάτων ὁρισθῆναι μὴ δυναμένων. τὸ δὲ δὴ πέμπτον καὶ θαυμασιώτατον αὐτῶν ἐν τοῖς ὁρισμοῖς ἁμάρτημα, πρὶν διελθεῖν τὴν ὁμωνυμίαν, ἕνα τῶν πολλαχῶς λεγομένων, ὁρισμὸν ποιοῦνται, ὥσπερ οὐ τῶν πραγμάτων τοὺς ὅρους, ἀλλὰ τῶν ὀνομάτων ὄντας. ἐμὲ γοῦν ποτε τούτων τις τῶν ἐπιπολαζόντων σοφιστῶν ὀλίγου δεῖν ἀπέπνιξε. προβαλόντι γὰρ ὡδί πως αὐτῷ, τί ἐστι πλήρης σφυγμός, ἐγὼ μὲν ὑπολαβὼν εἶπον τῶν πολλαχῶς λεγομένων εἶναι τοὔνομα, καὶ διὰ τοῦτο μηδ' ἔχειν ὅρον ἕνα, πρὶν διελέσθαι τὴν ὁμωνυμίαν. ὁ δ' ἔτι μου ταῦτα λέγοντος, οὐκ οἶδ' ἔφη τί ληρεῖς. ἀρκεῖ μοι μαθεῖν παρὰ σοῦ τί ἐστι πλήρης σφυγμός. τοὺς δ' ἐκ τῆς διαλεκτικῆς λήρους τοὺς ἐπιτρίψαντας τὴν ἰατρικὴν ἀπόλιπε. καὶ μὴν ἔφην οὐδὲν πώποτε ἤκουσας ἐμοῦ σπουδάζοντος οὐδὲν τῶν κατ' ἰατρικὴν ὁρίζεσθαι. τοῦτο γάρ τοι φησὶ τὸ δεινότατόν ἐστιν, ὅτι μηδ' ὁρίζεσθαι τολμᾶτε, καὶ διαλεκτικῇ φλυαρίᾳ καταντλεῖν ἡμᾶς οὐκ ὀκνεῖτε. ἀλλ' εἰπέ, φθέγξαι, λάλησον, ἀπόκριναι τίς πλήρης ἐστὶ σφυγμός; οὐ δυνατὸν δ' ἔφην ἐγώ, πρὶν διαστείλασθαι τὴν ὁμωνυμίαν. ὁ δ' ανα-

ὁ δ' ἀνακραγὼν, ὁμωνυμίας πάλιν ἔφασκε καὶ λήρους μακροὺς ἀφῖχθαι, τὰ τὴν ἰατρικὴν ἐπιτρίψαντα, καὶ ἡ-
μᾶς ἀπολέσαντα. οὐ μὴν οὖν ἡμᾶς εἶπον, ἀλλ' ὑμᾶς ἀπώλεσε τοὺς ὁρίζεσθαι πάντα βουλομένους. ἰδοὺ φησὶ καὶ
λοιδορεῖν ἡμᾶς ἐπιχειρεῖ. τί μᾶλλον ἔφην, ἢ ἐμὲ σύ. κἂν τούτῳ διαναστὰς τυπτήσων, ἀλλὰ τοῦτον μὲν ἐπέσχον οἱ πα-
ρόντες, καὶ σοβαρῶς ἐπεγγελάσας ἐκεχώρει τό. τῶν δ' ὑπολοίπων ἤδη τις πρεσβύτης πώγωνά τε μέγιστον ἀρχι-
τῶν ἑτέρων καθεικὼς, καὶ τἄλλα πάνυ σκυθρωπὸς, τοῦτο γὰρ νῦν τὸ σεμνὸν νενόμισται, παύσασθε ἔφη καὶ μὴ θο-
ρυβεῖτε ὦ παῖδες, ἀλλ' ἐάσατε τὸν ἑταῖρον ἡμῖν ἀποσαφῆσαι τί ποτε καὶ λέγει. κἀγὼ προσβλέψας αὐτῷ, τί
γὰρ ἔφην πυνθάνῃ; τοῦτ' αὐτὸ, εἶπεν, ὑπὲρ οὗ διελέγεσθε, τὸ περὶ τοῦ πλήρους σφυγμοῦ. βούλει τοίνυν εἶπον μὴ
πάνυ ἀποδιδράσκειν, ἵν' ἕπωμαί σοι. βραδὺς γὰρ εἰμὶ φύσει, καὶ τοῖς ἐπειγομένοις οὐ ῥαδίως ἀκολουθῶ. ὡς οὐ ἀποδρά-
σοντος ἔφη, διαλέγου. ἆρ' οὖν ἔφην βραχύ μοι συγχωρήσεις ἕνεκα παραδείγματος, ἔρεσθαι κοινῇ πάντας ὑμᾶς;
10 δέξεται γὰρ ἀποκρίνασθαι τῷ βουλομένῳ, συνεχώρει. κἀγὼ συγχωρήσαντος, ἐπυνθανόμην τί ἐστι γλῶττα, καὶ
μετ' ὀλίγον τις ἀποκρίνεται, ὄργανον ζώου γευστικόν. ἕτερος δὲ διαλεκτικὸν εἶπε. καὶ τις τρίτος γευστικόν θ' ἅμα
καὶ διαλεκτικόν. κἀγὼ πρὸς αὐτοὺς ἀποβλέψας, καὶ ἡ τοῦ ὑποδήματος ἔφην, καὶ ἡ τοῦ αὐλοῦ γλῶττα, ὄργανον ἐστὶ
ζώου γευστικὸν, ἢ διαλεκτικόν. ὡς δὲ διεσιώπησαν ἐπὶ τούτῳ, καὶ ὁ σκυθρωπὸς γέρων, πολὺ δή τι σκυθρωπότε-
ρος ἐγεγόνει, πάλιν αὐτὸν παρεκάλουν ἕν ἔτι παραπλήσιον ἔρεσθαι. ὁ δὲ πάνυ μὲν σεμνῶς καὶ μόγις, ὑπέσχετο δ'
ὅμως. κἀγὼ φοβηθεὶς μὴ μεταγνῷ βραδύναντος, αὐτίκα προὔβαλον, τί ποτ' ἐστὶ κύων; ἀποκρινομένου δέ τινος
ἐκ τῶν παρόντων, ζῶον τετράπουν ὑλακτικὸν, καὶ ὁ θαλάττιος ἔφην κύων ζῶόν ἐστι τετράπουν ὑλακτικόν, καὶ τὸ
κατ' οὐρανὸν ἄστρον, καὶ τὸ κατὰ πρόσωπον πάθος; ἐπὶ τούτοις ὁ μὲν γέρων ὥσπερ ὄνος ἔσειεν ἤδη τὰ ὦτα. καὶ τοῖς
ἄλλοις δὲ τοῖς παροῦσιν, ἐδόκουν μὲν τι λέγειν, καὶ πάντες ἠξίουν ὧνπερ ἕνεκα ταῦτα ἐπηρώτησα, περαίνειν, ἐπει-
δὴ καὶ κατ' ἀρχὰς εὐθὺς ὑπεσχόμην παραδείγματος ἕνεκα τῶν ἑξῆς ποιήσασθαι τὴν ἐρώτησιν. ὡς δὲ σιωπῶν-
20 τας αὐτοὺς καὶ ποθοῦντας ἀκούειν ἔχον, οἶμαι νοεῖν ὑμᾶς ἔφην ἤδη, πηλίκον ἐστὶν ἁμάρτημα πρὶν διαστείλασθαι
τὴν ὁμωνυμίαν ἐπιχειρεῖν ὁρίζεσθαι. οὐ γὰρ δὴ τῶν ὀνομάτων, ἀλλὰ τῶν πραγμάτων οἱ ὅροι εἰσίν. ὅταν οὖν ὑφ'
ἑνὸς ὀνόματος πολλὰ δηλῶται πράγματα, τοσούτοις ἀνάγκη τοὺς ὅρους ὑπάρχειν, ὅσα περ καὶ τὰ πράγματα.
φέρε γὰρ ἐπὶ τῆς γλώττης ὄνομα μὲν ἕν, τρία δ' ἐξ αὐτοῦ δηλοῦται, καὶ καθ' ἕκαστον αὐτῶν ἴδιος ἐστὶν ὁρισ-
μός. αὖθις δ' εἰ τύχοι, δύο μὲν ὀνόματα καὶ πολλάκις γε τρία καθ' ἑνὸς πράγματος, ὡς ἐπὶ τοῦ, ξίφος τε,
καὶ ἄορ, καὶ φάσγανον. ὁ δ' ὅρος, εἷς, οὐ τρεῖς, ὥσπερ τὰ ὀνόματα. ἴσον γὰρ ἀεὶ τὸ πλῆθος τῶν ὅρων τῷ πλή-
θει τῶν πραγμάτων ἐστίν. ὥστ' οὐ δ' ὅταν ἓν πρᾶγμα πολλοῖς ὀνόμασιν ᾖ κεκλημένον, ὅρους ἀξιώσεις λέγεσθαι
πολλοὺς, οὐθ' ὅταν ἓν μὲν ὄνομα, πολλὰ δὲ τὰ δηλούμενα, τὸν ὅρον ἀξιώσεις ἕνα σοι ῥηθῆναι. μετρήσεις γὰρ
ἀεὶ τὸν ἀριθμὸν τῶν ὅρων τῷ πλήθει τῶν πραγμάτων. εἰ μὲν δὴ τὸ πλήρους ὄνομα καθ' ἑνὸς ὑποκειμένου λέγε-
ται πράγματος, ἐνδέχεται προτεθέντος αὐτοῦ λέγειν ἤδη τὸν ὅρον. εἰ δ' οἱ περὶ τὸν Ἀρχιγένη μάλιστα δὴ
30 πάντων οὐκ εἴασαν ἓν ἐκ τοῦ πλήρους ὄνομα δηλοῦσθαι, τάξαντες τε πολυειδῶς τὸν τόπον, καὶ πλῆθος ἐπε-
σκυκλήσαντες σημαινομένων, οὐκ ἡμῖν ἐγκαλεῖν χρὴ μὴ τολμῶσιν ὁρίζεσθαι, τοῖς δ' ἀπαρξαμένοις, εἴπερ
ἄρα, τῆς τοιαύτης ταραχῆς. εὑρίσκω γὰρ τοὺς νεωτέρους ἰατροὺς, τοὺς μὲν ὅταν ὁ τῆς ἀρτηρίας χιτὼν ὅπως ἔχει
συστάσεως μηνύσαι θελήσωσι, χρωμένους τε τοῦ πλήρους ὀνόματι, καὶ τῷ τοῦ κενοῦ κατὰ τοῦτον χρωμένους, τοὺς δ'
ὅταν τὴν ἐν τῇ κοιλότητι περιεχομένην οὐσίαν. καὶ ταύτης οἱ μὲν τὸ ποσὸν διὰ τῶν ὀνομάτων δηλοῦσθαι
νομίζουσιν. οἱ δὲ τὸ ποιὸν, οἱ δ' ἀμφότερα. Ἀρχιγένει δ' ὡς ἔοικεν οὐκ ἀρκεῖ μόνον ταῦτα, προσεπισάγει δ'
ἡμῖν καὶ τὸ τῆς τοῦ πνεύματος δυνάμεως σημαινόμενον. οὔκουν οὐδ' ὅρον ἕνα δυνατὸν ποιήσασθαι πλή-
ρους σφυγμοῦ. ἀλλὰ τοῦ μὲν τὸ ποσὸν, ἢ τὸ ποιὸν, ἢ τὰ ἀμφότερα τῆς ἐγκεχυμένης οὐσίας δηλοῦντος, ἑτέ-
ρους ὁρισμοὺς ποιητέον. τοῦ δὲ τὴν δύναμιν τοῦ πνεύματος, ἑτέρους. τοῦ δὲ τὸ ποιὸν τοῦ χιτῶνος, ἄλλους.
ταῦτ' εἰπὼν, ἐγὼ μὲν ἐσιώπων. ἤνυστο γάρ μοι τὸ προτεθέν. οἱ δ' ἠξίουν διελθεῖν αὐτοῖς τὸν λόγον, ἐπειδὴ
40 ἅπαξ ἀπηρξάμην. ἐκείνοις μὲν οὖν δεομένοις ἐχρησάμην. ἐν δὲ τῷ παρόντι πάντα μὲν οὐ προσήκει λέγειν ἐ-
κεῖνα, μέλλοντά γε τὸ πλεῖστον αὐτῶν, καὶ τὸ χρησιμώτατον ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως ἐρεῖν.
ὅσον δ' εἰς τὰ προκείμενα χρηστὸν, εἰρήσεται, τὸ μήθ' ὁρίζεσθαι πάντα ἀξιοῦν, μήτε πολλὰ σημαινόμενα παρα-
πόντα, τὸν ὁρισμὸν ἕνα ποιεῖν, ὅπερ ἐπὶ τοῦ πλήρους σφυγμοῦ διημάρτηται τῷ Ἀρχιγένει. διὰ τοῦτο οὐδ' αὐ-
τὸς ὁ ὅρος αὐτοῦ σαφής ἐστιν, οὐδ' ἔχει συμβαλεῖν, εἴτε περὶ τοῦ σώματος τῆς ἀρτηρίας, εἴτε περὶ τῆς ἐν τῇ κοι-
λότητι περιεχομένης οὐσίας διαλέγεται. κινδυνεύει γὰρ ὀνόματος ὁρισμὸν, οὐ πράγματος ποιῆσαι. πάν-
τως γὰρ ἂν εἴπερ ἐτεθέατο τὰ πράγματα, πλείονας ἐποίησεν ὅρους, ἀλλ' ὅτι γε τοὔνομα μόνον σκοπεῖ, μα-
θεῖν ἔνεστι κἀξ ὧν εὐθὺς κατ' ἀρχὰς τοῦ περὶ τῶν σφυγμῶν συγγράμματος ὀκτὼ λέγει ποιότητας παρέπε-
σθαι τοῖς σφυγμοῖς, μέγεθος, σφοδρότητα, τάχος, πυκνότητα, πληρότητα, τάξιν, ἢ ἀταξίαν, ὁμαλότητα, ἢ
ἀνωμαλίαν, ῥυθμόν. εἰ γὰρ τὸ τῆς πληρότητος ὄνομα κατὰ πλειόνων λέγεται ποιοτήτων, οὐκ οἶδα πῶς ἔτι
50 μένουσιν ὀκτώ. φέρε γοῦν εἴ τις ἐπὶ ταῖς ἑπτὰ ταῖς ἄλλαις προσθεὶς, τήν τε κατὰ τὸ σῶμα τῆς ἀρτηρίας,
καὶ τὴν κατὰ τὸ καλούμενον ἔγχυμα, καὶ τὴν κατ' αὐτὸ τὸ πνεῦμα, δέκα λέγει τὰς πάσας εἶναι ποιότη-
τας τῶν σφυγμῶν, τί πρὸς τοῦτον ἐροῦμεν, ἵν' ἠδίκα εἴ τις εἰς δύο τέμνων τὴν ἐγκεχυμένην οὐσίαν, ἑτέραν
μὲν ἐπὶ τῷ ποσῷ ταύτης, ἑτέραν δ' ἐπὶ τῷ ποιῷ τίθεται τὴν ποιότητα, οὕτως ἐπὶ τοῖς ὀνόμασιν ὁ Ἀρ-
χιγένης ἔοικε καταμένειν μὴ διαρθρῶν τὰ σημαινόμενα. καὶ δίκαιον ἤδη τὸ τῆς παροιμίας εἰπεῖν, ἰδιωτι-
κὸν μὲν ἱκανῶς δ' ἐοικὸς τοῖς παροῦσιν. ὅταν γάρ φησι τὸ ὕδωρ πνίγῃ, τί ἐπιρροφήσομεν; εἰ γὰρ Ἀρχιγένης
ἁμαρτάνει τοιαῦτα, πρὸς τίνα προσδυθῶμεν; τίς ἡμῖν ἐπανορθώσεται τὰ τούτων σφάλματα; καὶ γὰρ οὐδὲ ταῦ-
τα μόνον, ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἄλλα πλείω φαίνεται σφαλλόμενος. αὐτίκα γέ τοι κατὰ τὰς ὀκτὼ τὰς
πρώτας ποιότητας οὐδαμοῦ μνημονεύσας σκληρότητος καὶ μαλακότητος, ἐξῆς ὑπὲρ αὐτῶν διαλέγεται.

πρῶτον μὲν γὰρ περὶ μεγέθους, δεύτερον δὲ περὶ σφοδρότητος, καὶ τρίτον περὶ πληρότητος, τέταρτον δὲ περὶ σκληρότητος διείλεκται. εἰ μὲν οὖν σύνθετον τινὰ ἐξ ἁπλῶν εἰργάζετο ποιότητα αὐτήν, τάχ' ἄν τις ἀπελογήσατο ὑπὲρ αὐτοῦ, δεόντως μὲν ἐν ἀρχῇ παραλελεῖφθαι φάσκων, ἡνίκα τῶν ἁπλῶν ἐμνημόνευσε μόνων, εὐλόγως δ' ἑξῆς ἐν τοῖς συνθέτοις γεγράφθαι. νυνὶ δὲ περὶ τετάρτης αὐτῆς τὸν λόγον ἐποιήσατο, μέσην ὡς ἔνι μάλιστα τάξας ἁπασῶν τῶν ἁπλῶν ποιοτήτων. ἐξηγούμενος δὲ τί ποτ' ἐστὶ, τὴν κατὰ σύστασιν, ἢ διάλυσιν τῆς ἀρτηρίας ἀντίληψιν εἶπεν, ἐξ ὧν δηλονότι τῶν ἁπλῶν αὐτὴν εἶναι βούλεται. ταῦτα μὲν οὖν εὐθὺς κατ' ἀρχὰς ἡμάρτηται τῷ Ἀρχιγένει, περὶ τὴν ἐξαρίθμησιν τῶν πρώτων ποιοτήτων, ἃς οὐδ' ἀποδεῖξαι, πῶς τοσαῦται τὸν ἀριθμόν εἰσιν, ἠξίωσεν, ἀλλ' ἁπλῶς ὡδί πως ἔρριψε τὸν λόγον. ὀκτὼ λέγονται ποιότητες παρέπεσθαι τοῖς σφυγμοῖς οἱ διηχημέναι παρά γε τοῖς καθαρείοις. ἐγὼ δὲ τί μὲν ἐστὶ τὸ διηχημέναι, ἀκριβῶς συμβαλεῖν οὐ δύναμαι. οὐδὲ γὰρ εὗρον τοὔνομα παρά τινι τῶν ἑλλήνων. ὥστε οὐδὲ καθ' οὗ τέτακται πράγματος ὑπὸ Ἀρχιγένους ἐπίσταμαι, καὶ ταῦτα μὴ δὲ γράψαντος αὐτοῦ βιβλίον περὶ τῆς ἰδίας διαλέκτου. καθάπερ Χρύσιππος ὑπὲρ ὧν ἔθος κατὰ τὴν διαλεκτικὴν ὀνομάτων. μόνως γὰρ ἂν οὕτως συνίεμεν αὐτοῦ. ἐκ μέν τοι τῆς ὅλης λέξεως ὑπονοήσειεν ἄν τις, κατὰ τοῦ παρὰ πᾶσι λεγομένου τε καὶ πεπιστευμένου τὸ διηχημέναι φέρειν αὐτόν. καί τοι γε οὐδὲ τοῦτ' ἐστὶν ἁπλῶς ὑπονοῆσαι δυνατόν. οὐ γὰρ ἅπασιν, ἀλλὰ τοῖς καθαρείοις φησὶν, οὓς οὐδ' αὐτοὺς πάλιν ἐπίσταμαι, τίνες ποτ' εἰσί. καί τοι μαθεῖν γε ἐδεόμην, ἵνα σκέψωμαι πότερον πιστευτέον αὐτοῖς χωρὶς ἀποδείξεως ἢ μή. παρὰ μὲν γὰρ Ἀριστοτέλους ἔνδοξα λήμματα ἤκουσα, τὰ πᾶσιν ἀνθρώποις, ἢ τοῖς πλείστοις, ἢ τοῖς σοφοῖς δοκοῦντα. νυνὶ δὲ εἰ τοὺς καθαρείους ἀντὶ τῶν σοφῶν χρὴ νοεῖν, οὐκ οἶδα. κάλλιον δ' ἂν ἦν πολλῷ προσθεῖναι τινά, εἰ καὶ μὴ βεβαίαν ἀπόδειξιν, παραμυθίαν δὲ οὖν ἱκανὴν τῷ λόγῳ περὶ τῶν ὀκτὼ ποιοτήτων, ἵνα μή τις εὐθὺς κατ' ἀρχάς, ὡς εἰς Μωϋσοῦ καὶ Χριστοῦ διατριβὴν ἀφιγμένος, νόμων ἀναποδείκτων ἀκούῃ, καὶ ταῦτα ἐν οἷς ἥκιστα χρή. μέλλων γὰρ ἐρεῖν ὑπὲρ ἁπάντων τῶν σφυγμῶν, ὡς αὐτὸς ἐξ ὧν προὔγραψεν, ἑκάστου ὁπόσοι γ' εἰσίν, οὐδεμιᾷ μεθόδῳ λογικῇ προβιβάζειν ἡμᾶς ἠξίωσεν, ἀλλ' ἐμπειρικὴν ἐποιήσατο διδασκαλίαν, ὀκτὼ τοῖς καθαρείοις λέγων διηχεῖσθαι ποιότητας. τί δέ, εἰ ῥαθυμότερον οἱ καθάρειοι παρέλιπόν τινας ἐξ αὐτῶν, τούτου χάριν οὐδὲ πρὸς τὴν φύσιν αὐτὴν πλείους εἰσίν, ἢ τὰ δοκοῦντα τοῖς καθαρείοις ἀπόχρη λέγειν ὡς ἀληθῆ; καὶ ταῦτ' οὐκ εἰδότα τίνες ποτ' εἰσὶν οἱ καθάρειοι, πότερον οἱ γράμματα μεμαθηκότες, ἢ οἱ τὰ πρῶτα μαθήματα, ἢ οἱ συνετοί, ἢ οἱ φρόνιμοι, ἢ οἱ σοφοί. ἀλλὰ καὶ τὸ ποιότητας ὀνομάζειν τὰς πρώτας καὶ γενικὰς τῶν σφυγμῶν διαφοράς, ὀλίγωρον. ἡ γοῦν κατὰ μέγεθος καὶ μικρότητα διαφορά, ποιότης οὐκ ἐστίν, εἰ μὴ καὶ τὸ τρίπηχυ ποιὸν ἐρεῖς. ἐγὼ μὲν γὰρ ᾤμην ποσόν. ἀλλὰ καὶ περὶ τοῦ μεγάλου καὶ μικροῦ, οὐκ ὀλίγον οἶδα γεγονότα λόγον, πότερον ποσόν τι δηλοῦσιν, ἢ πρός τι. ἢ ὅπερ καὶ ἀληθές, πρός τι μὲν ἔν τε τῇ τοῦ ποσοῦ κατηγορίᾳ, οὐ μὴν τῇ τοῦ ποιοῦ γένους οὐδαμῶς, ὥσπερ οὐδὲ ῥυθμόν, οὐδ' ἀταξίαν, καὶ τάξιν, οὐδ' ὁμαλότητα, καὶ ἀνωμαλίαν. φανερῶς γὰρ καὶ ταῦτα, τῶν πρός τι. τὸ δὲ καὶ κοινὸν γένος νομίζειν τὸ μὲν μέγεθος τοῦ μεγάλου τε καὶ μικροῦ σφυγμοῦ, τήν τε σφοδρότητα τοῦ σφοδροῦ τε καὶ ἀμυδροῦ, τὸ δὲ τάχος τοῦ ταχέος τε καὶ βραδέος, τὴν δὲ πυκνότητα, τοῦ πυκνοῦ τε, καὶ ἀραιοῦ, καὶ αὖθις ἐφεξῆς ἐν τοῖς κατωτέρω, πληρότητα μὲν πλήρους τε καὶ κενοῦ, σκληρότητα δὲ σκληροῦ τε καὶ μαλακοῦ, πῶς οὐχὶ ταῦτα δεινῶς ἄτοπα; εἰ γὰρ ἐπιθυμεῖν πάντως ἑνὶ τὸ γένος ὅλον ὀνόματι κατηγορῆσαι, τί δή ποτ' ἐπὶ τάξεώς τε καὶ ἀταξίας, ὁμαλότητός τε, καὶ ἀνωμαλίας, οὐχ ὑπέμεινεν αὐτό; ἢ εἴπερ οὐκ ἐδεῖτο ἐπὶ τούτων κοινῆς κατηγορίας, τίς ἦν χρεία δεηθῆναι κατὰ τὰς ἄλλας διαφοράς; ἢ εἰ κατὰ τὰς ἄλλας ἅπαξ ἐτόλμησεν ὑπερβῆναι τὸ τῶν ἑλλήνων ἔθος, τί δή ποτε πυκνότητα μὲν πυκνοῦ κατηγόρησε καὶ ἀραιοῦ σφυγμοῦ, ὁμαλότητα δ' οὐκ ἐτόλμησεν ὁμαλοῦ τε καὶ ἀνωμάλου κατηγορῆσαι; ταῦτ' οὖν ὅπως ἀλλήλοις ὁμολογεῖ, βουλοίμην ἂν μαθεῖν. τὰ μὲν γὰρ ὡς αἰδούμενος τὴν τῶν ἑλλήνων συνήθειαν, τὰ δ' ὡς καταφρονῶν, καὶ ταράττων γράφει. ἐφ' ἑνὸς οὖν τοῦ πρώτου γένους παρείσδυσιν ποιησάμενος, ἐνεδείξατο μὲν ὡς ἐπὶ πάντα τὰ ἄλλα τὸν αὐτὸν ἕξει λόγον, οὐ μὴν ἐνέμεινέ γε τῇ τόλμῃ, δέον ἐξ ἀρχῆς, ἢ μὴ παρακόπτειν τῆς συνηθείας μηδέν, ἢ τολμηρῶς καθ' ὅλης ἰέναι. τὸ γάρ τοι μέγεθος τοῦ σφυγμοῦ γενικῶς φήσας λέγεσθαι, καὶ γὰρ τὸν μικρὸν ἔχειν ἴδιον μέγεθος, εἶτα καὶ τὴν σφοδρότητα γενικῶς εἰπών, πῶς οὐ κατὰ τοῦ σφοδροῦ μόνου, ἀλλὰ καὶ κατὰ τοῦ ἀμυδροῦ κατηγορεῖσθαι, περὶ τῆς πληρότητος εὐθὺς ὀκλάζει γράφων ὡδί. τῷ πλήρει σφυγμῷ καὶ τῷ κενῷ ἐστὶ τι κοινὸν γένος. τοῦτ' ἐστὶν ὅτε πληρότης καλεῖται. τὸ γὰρ ἔσθ' ὅτε προσέθηκεν ἐν τούτῳ τῷ γένει, μὴ προσθεὶς τοῖς ἔμπροσθεν, οἷον ἐπιτιμώμενος ἤδη τὴν τοῦ παλαιοῦ τῆς λέξεως ἔθους σύγχυσιν. ἐρομένου γὰρ οἶμαί τινος πρὸς αὐτὸν τῶν παρ' ἕλλησι τεθραμμένων, ὦ ἄνθρωπε, τῷ κενῷ τίς ὑπάρχει πληρότης; τί ταῦτα παρανομεῖς, εἰς τὰς κοινὰς τῶν ἑλλήνων φωνάς; ἵνα μὴ τοῦτο γίνηται προσέθηκεν, ἔσθ' ὅτε καλεῖται. καὶ δῆλον ὡς ἡμεῖς μὲν ἐρησόμεθα, πότε καὶ ποῦ, καὶ πρὸς τίνων. τοῦτο γὰρ βούλεται τὸ ἔσθ' ὅτε. ὁ δ' οὐδὲν μὲν ἕξει τῶν ἑλλήνων δεῖξαι βιβλίον, ἐξ οὗ τὴν χρῆσιν πιστώσαιτο. μόνον δὲ ἴσως ἀρκέσει αὐτῷ λέγειν παρὰ τοῖς ναύταις, καὶ τοῖς ἐμπόροις, καὶ τοῖς καπήλοις, καὶ τοῖς βαλανεῦσιν. ἀεὶ γὰρ ἐπὶ τούτους καταφεύγουσι μάρτυρας, ὅταν ὑπὲρ ὀνόματος ἡ ζήτησις ᾖ. τάχα τις ἐρεῖ πρὸς ἡμᾶς. σὺ δ' ὦ ταῦ, οὕτως ἄρα τὴν τῶν ἑλλήνων συνήθειαν ὑπερτετίμηκας, ὥστε μὴ δ' ἐπιτρέπειν μηδενί, μηδὲ τοὐλάχιστον αὐτῆς παρακόπτειν; οὐ μὲν οὖν φήσω μὰ τὸν Ἡρακλέα, καὶ πάντας θεούς. ἀλλ' εἰ καὶ βέκος ἐθέλεις τὸν ἄρτον καλεῖν ὥσπερ οἱ φρύγες, οὐδὲν ἡμῖν διαφέρει. μόνον δίδαξόν με πρῶτον σοῦ τὴν διάλεκτον, ἵν' ἕπωμαι, καὶ μὴ λέγε, καλεῖται. πάντως γὰρ ἐρήσομαί σε, παρὰ τίσιν; οὐ γὰρ δή γε παρὰ τοῖς ἕλλησιν. ἀλλὰ πῶς φασι καλεῖσθω. καὶ εἰ τοῦτο σοῦ λέξαντος ἔτι γρύζων εὑρεθείην, ἐμαυτῷ θανάτου τιμῶμαι. νυνὶ δ' ἐπὶ μὲν τινῶν καλεῖται λέγεις, καταψευδόμενος τῆς συνηθείας τῶν ἑλλήνων. ἐπὶ δὲ τινῶν οὐκ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ, ἔσθ' ὅτε καθάπερ ἐπὶ τῆς πληρότητος. τί γὰρ φὴς τοῦτ' ἔσθ' ὅτε πληρότης καλεῖται. ἀλλὰ περὶ μὲν δὴ τῆς πληρότητος, ὀκλάζων ἤδη ταῦτ' ἔγραψεν. περὶ δὲ τῆς σκληρότητος, οὐδ'

ὀκλάζων

ὀκλάζων ἔτι. καταπεπτωκότος γὰρ ἤδη, καὶ νενικημένου τελέως ὁ τοιοῦτος λόγος. ἔστι δὲ μαλακότητος καὶ σκλη-
ρότητος σφυγμοῦ κοινόν τι γένος, ὃ τάχ' ἂν τριβεὶν, σκληρότης καλεῖται. καὶ οὐκ ἔτ' ἐνταῦθα ἐτόλμησε προ-
σθεῖναι τοῦτ' ἐστὶν ὅτε σκληρότης καλεῖται. καίτοι οὐδὲν ἦν ἡ πληρότης τιμιωτέρα τῆς σκληρότητος, ἵν' ἐπ' ἐ-
κείνης μὲν λαμβάνῃ, ἐν ταύτῃ δ' αἰδεσθείη. ἀλλ' ὅπερ ἔφην οὗτος περὶ βραχὺ πίπτουσιν ἔοικεν. γενναιότερον δ' ἦν οἶμαι μὴ
περὶ μικρὸν, ἀλλ' ἀθρόως πεσεῖν. καὶ μήθ' ἡμῖν, μήτ' αὐτῷ πράγματα παρέχειν. ὃ τάχ' ἂν τριβεὶν φησὶ σκληρότης
καλεῖται. ὑπό τινων τάχ' ἂν τριβεὶν, τῶν σῶν ἴσως κληρονόμων. ἡμεῖς μὲν γὰρ ὥσπερ νόμισμα καθ' ἑκάστην τῶν
πόλεων ἴσμεν σύμβολον ὠνῆς, καὶ πράσεως, ὃ τοὺς παραχαράττοντας οἱ νομοθέται κολάζουσιν, οὕτω καὶ διαλέ-
κτων χαρακτῆρας ἴσμεν πολλοὺς, οὓς φυλάττειν ἀξιοῦμεν ἕκαστον τῶν ἑλομένων ὅντινοῦν ἐξ αὐτῶν. ἡμεῖς μὲν οὖν
συνήθημεθα τὴν κοινὴν καλουμένην διάλεκτον, εἴτε μία τῶν ἀτθίδων ἐστὶ, πολλὰς γοῦν εἴληφε μεταπτώσεις ἡ
10 τῶν ἀθηναίων διάλεκτος, εἴτε καὶ ἄλλη τις ὅλως. δείκνυμι γὰρ ἑτέρωθι τὴν ἡμετέραν περὶ τούτου γνώμην. καὶ
ταύτην τὴν διάλεκτον πειρώμεθα διαφυλάττειν, καὶ μηδὲν εἰς αὐτὴν παρανομεῖν, μὴ δὲ κίβδηλον ἐπεισά-
γειν φωνῆς νόμισμα, μὴ δὲ παραχαράττειν. σὺ δὲ εἰ μὲν ἐπιθυμεῖς κατ' αὐτὴν ἡμῖν διαλέγεσθαι, πρότερον ἐκ-
μαθεῖν αὐτὴν πειράθη τι. εἰ δ' ἄλλῃ τινὶ χαίρεις, καὶ ταύτην μήνυσον. εἰ μὲν γὰρ, τῶν ἑλληνίδων ἐστὶ μία, πάντως πω
καὶ ταύτην γνωρίζομεν. καὶ γὰρ καὶ τὰ τῶν ἰώνων, καὶ τὰ τῶν αἰολέων, καὶ τὰ τῶν δωριέων ἀνελεξάμεθα γράμ-
ματα. εἰ δ' οὐδεμία τούτων, ἀλλά τις τῶν βαρβάρων, καὶ τοῦτ' εἰπὲ, μόνον πειρῶ φυλάττειν αὐτὴν ἄκρατον ἥτις
ἂν ᾖ. καὶ μή μοι τρία μὲν ἐκ κιλικίας φέρειν ὀνόματα, τέσσαρα δ' ἐκ συρίας, πέντε δ' ἐκ γαλατίας, ἓξ δ' ἀθή-
νηθεν. ἐγὼ γὰρ οὕτω πολλὰς ἐκμανθάνειν οὐ δύναμαι διαλέκτους, ἵν' ἀνδράσιν εἰς τοσοῦτον πολυγλώττοις ἕ-
πωμαι. δίγλωττος γάρ τις ἐλέγετο πάλαι, καὶ θαῦμα τοῦτ' ἦν ἄνθρωπος εἷς, ἀκριβῶν διαλέκτους δύο. σὺ δ'
ἡμᾶς ἀξιοῖς πολλὰς ἐκμαθεῖν, δέον αὐτὸν ἐκμανθάνειν μίαν. οὕτω μὲν ἰδίαν, οὕτω δὲ κοινὴν ἅπασιν. οὕτω δ'
20 εὔγλωττον. οὕτω δ' ἀνθρωπικήν. ὅπερ ἐὰν προσέχῃς τὸν νοῦν ταῖς φωναῖς τῶν βαρβάρων διαλέκτων, εἴσῃ σαφῶς
τὰς μὲν ταῖς τῶν συῶν, τὰς δὲ ταῖς τῶν βατράχων, ἢ κολοιῶν, ἢ κοράκων ἐοικείας, ἀσχημονούσας τε καὶ κατ' αὐ-
τὸ τὸ τῆς γλώττης τε καὶ τῶν χειλέων, καὶ παντὸς τοῦ στόματος εἶδος. ἢ γὰρ ἔσωθεν ἐκ τῆς φάρυγγος τὰ πολλὰ
φθέγγονται τοῖς ῥέγχουσι παραπλησίως, ἢ τὰ χείλη διαστρέφουσι, καὶ συρίττουσιν. ἢ περὶ πᾶσαν αὔξουσι τὴν φωνὴν,
ἢ κατ' οὐδεμίαν ὅλως, ἢ κεχήνασι μέγιστον καὶ τὴν γλῶτταν προσείουσι, καὶ διανοίγειν οὐδαμῶς δύνανται τὸ
στόμα, καὶ τὴν γλῶτταν ἀργὴν, καὶ δυσκίνητον, καὶ ὥσπερ δεδεμένην ἔχουσιν. εἶτα σὺ πρὸς τὴν ἡδίστην τε καὶ
ἀνθρωπικωτάτην διάλεκτον, ᾗ τοσοῦτον κάλλος ὁρᾶται καὶ χάρις ἐπανθεῖ, ἐκ πολλῶν ἀτόπων, καὶ δυσφώνων ἀθροί-
ζεις ὀνόματα. πολὺ ῥᾷον ἦν μίαν ἐκμαθεῖν τὴν καλλίστην, ἢ μυρίας μοχθηράς. ἀλλ' οὐ μόνον αὐτοὶ μανθάνειν ὀλι-
γωροῦσιν, ἀλλὰ καὶ ἡμᾶς ἀναγκάζουσιν, ἐν ᾗ τεθράμμεθα καὶ πεπαιδεύμεθα φωνῇ, ταύτην καταλιπόντας,
ἐκμανθάνειν τὰς ἐκείνων. οὐ βούλει μαθεῖν ἄνθρωπε τὴν τῶν ἑλλήνων διάλεκτον; ὡς ἐπιθυμεῖς βαρβάριζε. μόνον
30 ὥσπερ ἐγὼ συγχωρῶ καθ' ὃν αὐτὸς προῄρησαι τρόπον λαλεῖν, οὕτω, κἀμοὶ συγχώρησον ὡς ἔμαθον διαλέγε-
σθαι. πατὴρ ἦν ἐμοὶ ἀκριβῶν τὴν τῶν ἑλλήνων διάλεκτον. καὶ διδάσκαλος, καὶ παιδαγωγὸς ἕλλην· ἐν τούτοις
ἐτράφην τοῖς ὀνόμασιν. οὐ γνωρίζω τὰ σά. μήτ' ἐμπόρων μοι, μή τε καπήλων, μήτε τελωνῶν χρῆσιν ὀνομά-
των ἔπαγε, οὐχ ὡμίλησα τοιούτοις ἀνθρώποις. ἐν ταῖς τῶν παλαιῶν ἀνδρῶν βίβλοις διετράφην. καὶ ταῦτα λέγω,
μηδενί πώποτ' εἰπὼν, μήθ' ὅτι βαρβαρίζεις ὦ οὗτος, μήθ' ὅτι σολοικίζεις, μήθ' ὅτι κακῶς καὶ οὐ κυρίως ὠνόμασας,
ἀλλ' ἐπιτρέπω πᾶσιν ὡς βούλονται φθέγγεσθαι. κἂν ὁ κυβερνήτης εἴπῃ φέρε τὸ πῦς, οὐδὲν ἐμοὶ διαφέρει. ταῦτα φα-
βωρῖνος, καὶ δίων, οὐκ ἐγὼ μέμφομαι. συνιέναι μόνον βούλομαι τῶν λεγομένων. ὅταν δέ ποτε καὶ κατ' αὐτὸ τοῦτο
ταράττωμαι, τό τε ἀναγκαίως πυνθάνομαι, τί δηλοῦν βούλεται τοὔνομα, καὶ μηνύσαντος ὃ βούλεται, σιω-
πῶ, μήτ' ἐξελέγχων, μή τε μεμφόμενος, εἰ παρὰ τὴν τῶν ἑλλήνων εἴρηται συνήθειαν. ἑνὸς γάρ μοι μόνου φρον-
τὶς, τοῦ γνῶναι τὸν νοῦν τῶν λεγομένων. τοῖς δὲ ὡς ἔοικεν οὐκ ἀρκεῖ τὸ τοιοῦτον, ἀλλ' ὅταν ἡμεῖς τοῖς τῶν ἑλλήνων
40 ὀνόμασι χρησόμεθα, τότ' ἐκεῖνοι πρῶτον μέμφονται, τὰ μὲν ὡς διαλεκτικοὶ, τὰ δὲ ὡς φυσικοί τινες ἄνδρες,
τὰ δ' ὡς ῥήτορες, τὰ δ' ὡς γραμματικοί. πολυειδῶς γὰρ ἐπηρεάζουσιν. εἶθ' ὅταν τις αὐτοῖς εἰς μακρότερον ἀ-
ναγκασθεὶς ἀφίκηται διάλογον ἐξελέγχῃ μηδὲν γινώσκοντας, ὧν ὡς γινωσκόντες ἐθρασύνοντο, παραχρῆμα
σφῶν αὐτῶν ἐπιλανθανόμενοι κατηγοροῦσι τῶν αὐτῶν τούτων, ὑπὲρ ὧν ἐξ ἀρχῆς, ὡς χρησίμων διελέγοντο. τίς
γὰρ ἡμῖν οὐκ ἐπιπηδᾷ τῶν θρασέων τούτων, ἐπειδὰν εἴπωμεν τὰς διαφορὰς τούτων περὶ τοὺς σφυγμοὺς γενῶν
εἶναι τοσαύτας, κακῶς φάσκων διαφορὰς ἡμᾶς εἰρηκέναι, καὶ πολὺ χεῖρον ἔτι γενῶν. φευγόντων δὲ αὐτῶν ἡ-
μεῖς τὴν ματαίαν ἐπήρειαν, ἀλλ' εἰ βούλει φαμὲν, ποιότητας αὐτὰς κάλεσον, ἢ ὅτι ἂν ᾖ σοι φίλον. οὐ γὰρ ὑπὲρ
ὀνομάτων ὁ λόγος ἡμῖν, ἀλλὰ περὶ πραγμάτων. πόσα γὰρ τὰ πρῶτα γένη τῶν σφυγμῶν χρηστὸν εἰδέναι, μή
πως εὐθὺς ἐν τῇ πρώτῃ διαιρέσει γένος ὅλον παραλίπωμεν. οἱ δὲ οὐκ ἐπιτρέπουσιν ἡμῖν οὐδ' αὐτὰ ταῦτα
εἰπεῖν. ἀλλ' εὐθὺς ἐπισομίζουσι πράγματος ὅλου λέγοντας, οὐκ ὀνόματος εἶναι τὴν ἄγνοιαν. εἶτα ἀναγκάζου-
50 σιν ἡμᾶς λέγειν πρὸς αὐτοὺς, ἃ μηδέ ποτ' ἂν ἑκόντες εἴποιμεν. κᾄπειτ' ἐξελεγχόμενοι, πρῶτον μὲν ὅτι περὶ ὀ-
νόματος, οὐ περὶ πράγματός ἐστιν ἡ ζήτησις. ἔπειθ' ὅτι κακῶς αὐτοὶ κέχρηνται τοῖς ὀνόμασιν, οὐχ ἡμεῖς, ἀγανακ-
τοῦσι δεινῶς, καὶ ὥσπερ ἐξ ὕπνου διεγερθέντες ἄχρηστον εἶναι λέγουσι τὴν ἐν τοῖς ὀνόμασιν μικρολογίαν, ὥσπερ ἡ-
μῶν ἐξ ἀρχῆς ἄλλο τι λεγόντων, ἢ βουλομένων. ἢ οὐκ αὐτοὶ κατάρξαντες τῆς τοιαύτης ψυχρολογίας. ὀκτὼ λέγεις
ποιότητας ἄνθρωπε τῷ σφυγμῷ παρέπεσθαι. συγχωρήσω σοι τῷ τῆς ποιότητος ὀνόματι καλῶς κεχρῆσθαι, μη-
δὲν περὶ τούτου φθεγξάμενος. ἐπίδειξον πῶς οὐκ εἰσὶν ὀκτώ. περὶ πράγματος αὕτη ἡ ζήτησις, εἰς ἣν ἐγὼ
προσκαλοῦμαι τοὺς γενναίους τούτους σοφιστάς. οἶδ' ἵν' ἐκ ταύτης διαλύσεις ποριοῦνται, λέγοντος ἄν μου
μεταξὺ κατὰ τὸν λόγον, ὀνόματος τινὸς ἐπελάβοντο. εἶθ' ὅταν ἐξελεγχθῶσιν ὑπὲρ ἀμφοτέρων, τῶν τε πρα-
γμάτων ἅμα, καὶ τῶν ὀνομάτων, ἀγανακτοῦσι, δέον οἶμαι περὶ μὲν τῶν πραγμάτων τὴν μοχθηρὰν ἀχθεσθῆναι δόξαν,

τοῖς δ' ὀνόμασιν, ὥσπερ ἡμεῖς ἐκείνοις χρῆσθαι συγχωροῦμεν, οὕτω καὶ αὐτοὺς ἡμῖν ἐπιτρέπειν. ἀλλ' οὐκ ἐπιτρέπουσιν. διὰ τοῦτο κἀγὼ βραχέα, περὶ τῆς φωνῆς αὐτῶν ἀναγκασθεὶς, εἶπον. καὶ νῦν ἔτι δέομαι παύσαντας τὸ περὶ τῶν ὀνομάτων ἐρίζειν, καὶ συγχωρήσαντας ἡμῖν ἐπὶ τὸ τῶν ἑλλήνων ἔθος διαλέγεσθαι, μαθεῖν ὅτι κακῶς ὀκτὼ ποιότητας λέγουσιν. οὐ γάρ ἐστιν ἅπαντα τὰ πρῶτα γένη τῶν σφυγμῶν ποιότητες, ὡς ἐδείξαμεν. ἀλλὰ πῶς λέγειν χρὴ φασίν. ἐρωτῶσι δὲ ταῦτα, οὐχ ἵνα μάθωσιν, ἀλλ' ἵν' ἀρχὴν ἔχωσιν ἀμφισβητήσεως. σὺ τοίνυν ἀποκρίθητι, διαφορὰς χρῆναι λέγειν τῶν πρώτων ἐν τοῖς σφυγμοῖς γενῶν, ἢ καὶ νὴ Δί' οὕτως, τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν τὰ πρῶτα γένη. οἱ δ' ἐξ ἀνάγκης ποῖα πρῶτα γένη φήσουσι, καὶ τίνα, καὶ ποίας διαφοράς. σὺ δὲ καὶ πρὸς ταῦθ' ὧδέ πως αὐτοῖς ἀπόκριναι, πρῶτον ἄκουσον εἰπὼν αὐτῶν, ὅτι γενῶν, καὶ τότε ἀκούσεις ὅτι πρώτων, καὶ μετὰ τοῦθ' ὅτι διαφορῶν. ὅτι μὲν οὖν γενῶν, ἐντεῦθεν ἴσθι. λέγεταί τις μέγας σφυγμός. καὶ ἐναντίως αὐτῷ μικρός. καί τις ἀμφοῖν μέσος ὁ σύμμετρος αὐτῶν. καὶ νὴ Δία γε μακρός τις καλεῖται σφυγμός. καὶ βραχὺς, καὶ πλατὺς, καὶ στενὸς, καὶ ὑψηλὸς, καὶ ταπεινὸς, καὶ οἱ μέσοι τούτων ἁπάντων οἱ σύμμετροι. δοκεῖ σοι τούτων τῶν εἰρημένων σφυγμῶν εἶναι τι κοινὸν γένος ὁποῖον. φήσουσι δηλαδὴ θρασυνόμενοι τῇ φωνῇ. σὺ δὲ μὴ ταραχθεὶς ἐν τούτῳ, λαβὼν ἀνάγνωθι τὸ τοῦ Ἀρχιγένους βιβλίον αὐτοῖς, πρῶτον μὲν τὸ ἐπίγραμμα τοῦ κεφαλαίου τοιοῦτον ἔχον. περὶ μεγέθους σφυγμοῦ. εἶτα καὶ αὐτὴν τὴν ἀρχὴν τοῦ λόγου ἐπὶ λέξιν ὧδέ πως γεγραμμένην. τὸ μέγεθος τοῦ σφυγμοῦ γενικῶς λέγεται. ἔχει γὰρ μέγεθος καὶ ὁ μικρὸς σφυγμός, καὶ ὁ μέγας. εἶτα μικρὸν ἐπειλίξας τὸ βιβλίον, αὖθις ἐκ τοῦ περὶ σφοδρότητος ἀνάγνωθι ταύτην τὴν λέξιν. οὐκοῦν γένος μὲν ἡ σφοδρότης, εἴδη δ' αὐτῆς, ὅ, τε σφοδρὸς σφυγμὸς καὶ ἀμυδρὸς, καὶ ὁ μέσος. εἶτα πάλιν ἐπειλίξας τὸ βιβλίον ὀλίγον, τὴν ἀρχὴν ἀνάγνωθι, τοῦ περὶ τῆς πληρότητος λόγου, τοιαύτην οὖσαν. τῷ πλήρει σφυγμῷ, καὶ τῷ κενῷ, ἐστὶ κοινὸν γένος. τοῦτ' ἔστιν ὅτι πληρότης καλεῖται. καὶ μικρὸν ὑπερβὰς τὸν λόγον, τὴν ἀνάγνωσιν τοῦ βιβλίου φάθι πρὸς αὐτοὺς, ὡς οὐδὲν ἡμεῖς καινὸν λέγομεν ἀλλ' ὅπερ εἴρηται καὶ Ἀρχιγένει. καθ' ἕκαστον γοῦν τῶν σφυγμῶν 20
ἐστί τι κοινὸν πλειόνων διαφορῶν γένος, ὥσπερ ἐν τῷ παρόντι τρία ταυτὶ πρὸς Ἀρχιγένους εἴρηται, μέγεθος, σφοδρότης, πληρότης. εἶθ' ἑξῆς φάθι τέταρτον αὐτὸν γράφειν γένος τὴν σκληρότητα, καὶ τὴν λέξιν ἀνάγνωθι τὸν δὲ τὸν τρόπον ἔχουσαν. ἐστὶ δὲ μαλακότητος καὶ σκληρότητος σφυγμοῦ κοινὸν γένος, ὃ τάχ' ἂν τριβείη καλεῖται σκληρότης. ἔτι δὲ σαφέστερον ἐν τῷ περὶ τάξεως, καὶ ἀταξίας, ὁμαλότητός τε καὶ ἀνωμαλίας λόγῳ, τὰ γένη τούτων τῶν διαφορῶν, ἀκατονόμαστα λέγων εἶναι, τὸν δὲ τὸν τρόπον ἄρχεται. ὁ δὲ Ἡρόφιλος ἐπὶ γένος τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἐκθέμενος οὕτως. μέγεθος, τάχος, σφοδρότης, ῥυθμός. ἀσυζύγως κατ' εἶδος, τάξεως ἐμνήσθη καὶ ἀταξίας. ὁμαλότητός τε καὶ ἀνωμαλίας. ἐγκαλεῖται τοίνυν ὑπὸ τῶν μικραιτίων, ὡς γένεσιν εἴδη ἀντιδιαστειλάμενος. ταῦτα μὲν ἐπὶ τὴν ἀρχὴν τοῦ λόγου. κατωτέρω δὲ οὐκέτι τὸ, Ἡροφίλῳ δοκοῦν ἐξηγούμενος, ἀλλὰ τὴν ἑαυτοῦ γνώμην γράφων, ἐν τῷ περὶ τάξεως καὶ ἀταξίας λόγῳ, τί φησι. μᾶλλον οὖν ῥητέον, ὅτι τὸ γένος ἐστὶν ἀκατονόμαστον. τοῦτο δὲ δὴ τί βούλεται αὐτῷ. ὅτι μεγέθους μὲν καὶ μικρότητος 10
τὸ κοινὸν γένος ὠνόμασε μέγεθος. καὶ σφοδρότητος, καὶ ἀμυδρότητος, σφοδρότητα. καὶ πληρότητος καὶ κενότητος, πληρότητα. καὶ σκληρότητος, καὶ μαλακότητος, σκληρότητα. καὶ τάχους, καὶ βραδυτῆτος, τάχος. καὶ πυκνότητος, καὶ ἀραιότητος, πυκνότητα. τάξεως δὲ καὶ ἀταξίας τὸ γένος ἐπινοεῖ μὲν ὄνομα δὲ οὐδὲν ἔχει κατ' ἀμφοῖν τοιοῦτον εἰπεῖν, οἷον ἐπὶ μεγέθους καὶ μικρότητος, τὸ μέγεθος. οὐ γὰρ ὥσπερ ἐκεῖ τῷ μικρῷ σφυγμῷ μέγεθος ὑπάρχειν ἔφησεν, οὕτω κἀνταῦθα τῷ ἀτάκτῳ, τάξιν τολμᾷ φάναι συμβεβηκέναι. ἐπὶ ταὐτὰ δὲ οὐδὲ τῷ ἀνωμάλῳ, ὁμαλότητα. ὅθεν οὐδὲ τούτων τὸ γένος τὸ κοινὸν ὁμαλότης ὠνόμασαι. καὶ διὰ τοῦτο ἀκατονόμαστα φησὶ τούτων τῶν διαφορῶν εἶναι τὰ γένη. γένη μὲν δὴ ἐπὶ τὰς τῶν σφυγμῶν διαφορὰς οὐχ ἡμεῖς μόνον, ἀλλὰ Ἀρχιγένης εἶναι φησί. καὶ Ἀγαθῖνος, καὶ πάντες σχεδὸν οἱ περὶ σφυγμῶν γράψαντες ὑπομνήματα. τῷ τοίνυν αὐτῶν διαφέρομεν, ὅτι κυριωτέροις ἡμεῖς χρώμεθα τοῖς ὀνόμασιν. εἰπόντος γοῦν Ἀρχιγένους ἐπὶ μέγεθος εἶναι τινὰ ποιότητα, καὶ αὖθις ἑτέραν ἐπὶ σφοδρότητα, καὶ τρίτην ἐπὶ πληρότητα, καὶ τετάρτην ἐπὶ σκληρότητα, καί τινος ἐπὶ ταύταις ἐπὶ τάχος καὶ πυκνότητα, τὸ μὲν ἐπὶ μέγεθος ἡμεῖς ἐπὶ τὸ ποσὸν τῆς διαστολῆς ὀνομάζομεν. οὐ γάρ ἐστι κοινὸν γένος μεγέθους καὶ μικρότητος, μέγεθος, οὐ μᾶλλον ἢ λευκότητος καὶ μελανότητος, λευκότης. ἀλλ' εἴπερ τούτων γένος τι τὸ χρῶμα, ζητητέον τί ποτ' ἐστὶ τοῦ μεγάλου καὶ μικροῦ γένος. ἢ γὰρ τὸ ποσόν ἐστιν, ἢ τὸ πρός τι ἢ σύνθετον ἅμα τῷ πρός τι καὶ τὸ ποσόν. ἴσμεν γὰρ ὅτι ἐπὶ πολλὰ γένη συνίστατο τὸ πρός τι. καὶ γὰρ λευκότερον καὶ μελάντερον, ἐν τῷ γένει τοῦ χρώματος. ποιὸν δὲ τὸ χρῶμα. καὶ ἀνωτέρω καὶ κατωτέρω πάλιν ἐν τῷ τοῦ ποῦ γένει. καὶ πρωϊαίτερον, καὶ ὀψιαίτερον ἐν τῷ τοῦ ποτὲ, καὶ κατ' ἄλλας πλείους γενικὰς κατηγορίας τὸ πρός τι συνίσταται. τί δὴ θαυμαστὸν, εἰ καὶ ἐπὶ τὴν τοῦ ποσοῦ συνέστη. μάλιστα γὰρ ἂν ἐβουλήθημεν εἴπερ ἦν δυνατὸν ὡρισμένῳ μέτρῳ τὸ ποσὸν τῆς διαστολῆς ὀνομάσαι. καθάπερ ἐπὶ πολλῶν ποδιαῖόν τε καὶ πηχυαῖον, ἢ διπηχυαῖον, καὶ τὰ τοιαῦτα καλοῦμεν. ἐπεὶ δὲ οὐδὲν εὕρομεν τοιοῦτον ἐκ τῶν ὄντων, ἐγγυτάτω προσίεμεν ὡρισμένων, γιγνώσκοντες γὰρ οἶμαι τόνδ' ἁπλῶς, καὶ τὸν καθ' ἕκαστον ἡμῶν σύμμετρον σφυγμὸν, τοὺς ὑπερβάλλοντας ἢ 50
ἐλλείποντας ὀνομάζειν σαφῶς πειρώμεθα, ποτὲ μὲν οὑτωσὶ λέγοντες, ἢ κἂν μὴ λέγωμεν πρὸς ἀλλήλους, ἐν ἡμῖν γοῦν αὐτοῖς νοοῦντες. οὗτος ὁ σφυγμὸς βραχὺ τοῦ συμμέτρου μείζων ἐστὶν, αὖθις δὲ πάλιν οὗτος ὁ σφυγμὸς οὐκ ὀλίγῳ τοῦ συμμέτρου μείζων ἐστί. τὸ δ' αὐτὸ καὶ οὕτως λέγομεν ἀξιολόγως τοῦ συμμέτρου μείζων, ἢ ἱκανῶς μείζων. ἢ πάλιν ἁπλῶς οὑτοσὶ μέγας ἐστὶν ὁ σφυγμὸς, ἢ καὶ οὕτως. ὁ σφυγμὸς οὗτος ἱκανῶς μέγας ἐστί. ἢ καὶ νὴ Δία οὕτως. πάνυ μέγας ὁ σφυγμὸς οὗτος ἐστί. ἢ μᾶλλον ἔτι προσαύξοντες τὴν νόησιν, πάνυ σφόδρα μέγαν εἶναι φαμὲν, ἢ καὶ νὴ Δία μέγιστον. ἅπασαι γὰρ αἱ δὲ αἱ λέξεις τὸν τοῦ συμμέτρου μείζονα δηλοῦσαι, τὸ μᾶλλον τε καὶ ἧττον ἐμφαίνουσιν, ὥστε τινὰ τὸ πρὸς τὴν χρείαν σύμμετρον αὐταρκέστατον δηλοῦν, εἰ μόνον ἐπιστάμενος εἴη τὸ σύμμετρον. ἀρκεῖ γὰρ ἐν αὐτῷ τῷ μείζονι τοῦ συμμέτρου πέντε ποιησάμενον, ἢ καὶ νὴ Δία, ἓξ διαφορὰς, τὸν μὲν ὑπὲρ ἅπαντας ὤν

τας ὃν ἡμῖν, καὶ αὐτὸν ἐγνῶσθαι χρή. καθάπερ τὸν σύμμετρον ὀνομάζειν μέγιστον. τὸν δ' ὥσπερ τοῦ μεγίστου καὶ
τοῦ τε μέσου, μέγαν ἁπλῶς. μεταξὺ δὲ τούτου τε κἀκείνου καθ' ἑκάτερον ἄλλας δύο τάξαι, τὸν μὲν ὀλίγῳ τοῦ συμ
μέτρου μείζονα, τὸν δ' ἀπολειπόμενον ὀλίγῳ τοῦ μεγάλου, καὶ τὸν μὲν ὑπὲρ τὸν μέγαν, τὸν ἐγγυτάτω τοῦ μεγίστου.
ταῦτα εἴρηταί μοι πρὸς ἔνδειξιν τοῦ δηλωτικὸν ποσότητος εἶναι τόν τε μέγαν, καὶ τὸν μικρόν, κἂν ὅτι μάλιστα
δοκῶσι τοῦ πρός τινα κατηγορίας ἔχεσθαι. διὰ τοῦτο οὖν ἡμεῖς τοῦ σαφοῦς τῶν μανθανόντων πεφροντικότες,
ἐπὶ τὸ ποσὸν τῆς διαστολῆς ἅπαντα τὰ τοιαῦτα ὠνομάσθαι λέγομεν, ἅμα μὲν τὴν χρείαν αὐτοὺς διδάσκοντες τῶν
ὀνομάτων, ἅμα δὲ οὐ ταράττοντες ὅταν τῷ μικρῷ τὸ μέγεθος ὑπάρχειν λέγωμεν. αὐτίκα γὰρ καὶ ἰδιώτης τις ἢ
καὶ ἀγύμναστος τῶν πρώτων μαθημάτων, πᾶν μᾶλλον ἢ τοῦτο προσήσεται, ἂν δ' ἤ τι καὶ προμεμαθηκὼς, εὕρηκεν
οἶμαι μυριάκις παρὰ τοῖς ἕλλησι γεγραμμένα, μέγεθος καὶ μικρότητα. καὶ συνείθισται τῷ μὲν μεγάλῳ μέγεθος

10 ὑπάρχειν νοεῖν, τῷ δὲ μικρῷ μικρότητα. καί τινα οἶδά ποτε ἐξηγούμενόν μοι τὸ τοῦ Ἀρχιγένους περὶ τῶν σφυ-
γμῶν βιβλίον ὑπολαβόντα μηδαμῶς ὑπάρχειν, μέγεθος τῷ μικρῷ. εἰ γὰρ δὴ τούτῳ τινί φησιν ἡ μικρότης ὑ-
πάρξει, καὶ ἀμφότερα τῷ αὐτῷ. διασιωπήσαντος δέ μου, ποσότητα μὲν ἔφησεν, ἢ πηλικότητα, ἤ τι τοιοῦτον
ἄλλο δύνασθαι νοεῖν ὑπάρχειν τῷ μικρῷ, μέγεθος δὲ οὐδαμῶς. ταῦτ' ἐγὼ μήτε διαβάλλειν ἔχων, ὡς οὐκ ὀρθῶς
εἰρημένα, μήτε παρὰ καιρὸν ταράττειν βουλόμενος τοὺς πρῶτον μανθάνοντας ἐν τῷ διδάσκειν αὐτοὺς, ὅτι τῶν
ὁμωνύμων τε καὶ διχῶς λεγομένων τὸ μέγεθος ἐστιν, ὀρθότερον ἐνόμισα λέγειν δεῖν, ἐπὶ τὸ ποσὸν τῆς διαστολῆς
συνίστασθαι πολλὰς διαφορὰς σφυγμῶν. οὕτως γὰρ οἶδα τὴν μικρότητα διὰ ἔθους τοῖς ἕλλησιν οὖσαν, ὥσπερ συμ
βεβηκὸς, καὶ ἀχώριστον τῶν μικρῶν. ὥστε που Πλάτων, καὶ ἰδέας ἐποίει μεγέθους τε καὶ μικρότητος, καὶ τῇ τούτων
μεταλήψει τὸ μέγα καὶ τὸ μικρὸν ἐγγίνεσθαι τῷ λόγῳ. καὶ ταῦτα εἴ τις πάντα παρελθὼν συγχωρήσειε μεγέθους
τι καὶ τοῖς μικροῖς ὑπάρχειν σφυγμοῖς, ἐπὶ θάτερον τῶν κατὰ τὴν ὁμωνυμίαν, σημαινομένων τὸ σπανιώτερον.

20 ἀλλὰ τοῖς γε μακροῖς καὶ βραχέσι καὶ πλατέσι, καὶ στενοῖς, καὶ ταπεινοῖς, καὶ ὑψηλοῖς ἐκ ταὐτοῦ γένους οὖσι, τῷ
τε μεγάλῳ, καὶ μικρῷ, πῶς ἂν ὑπάρχειν λέγοιτο μέγεθος. ὁ μὲν γὰρ μακρὸς ὁ ἐπὶ μῆκος ἐστὶν ἐπιπλέον ηὐξη-
μένος τῷ κατὰ φύσιν. ὁ δὲ πλατὺς, ὁ κατὰ πλάτος, καὶ ὑψηλὸς ὁ ἐπὶ βάθος. οὐδεὶς αὐτῶν ἐπὶ τὰς τρεῖς διαστά
σεις νοούμενος τῆς ἀρτηρίας, ὧν οὐκ ἄνευ, μέγεθος συνίσταται. τὸ γὰρ ἐπὶ μίαν διάστασιν ποσὸν, οὐ μέγεθος, ἀλ
λὰ μῆκος ἐστὶ, καὶ μακρὸς καὶ βραχεῖς κατὰ τοῦτο τινὰς λέγομεν, οὐ μεγάλους, οὐδὲ μικρούς. οὐδὲ γὰρ γραμμὴν οὕ-
τω ποτὲ καλοῦμεν, ἀλλ' ἤτοι μακρὰν, ἤτοι βραχεῖαν. ὅσα δὲ τριχῆ διεστηκε σώματα, ταῦτα μόνα μεγάλα τε
καὶ μικρὰ λέγεται. αὐτὸς γοῦν ὁ Ἀρχιγένης μέγεθος εἶναί φησι σφυγμοῦ, τὸν ὄγκον τῆς ἐπαναστάσεως τῶν ἀρτη-
ριῶν. ὄγκος δὲ οὐχ ὑπάρχει γραμμῇ, ἀλλὰ μόνοις τοῖς τριχῶς διεστῶσι. φανερῶς γοῦν καὶ κατ' ἐκεῖνον τοῦ κατὰ
μέγεθος γένους ἐκπεπτώκασιν ἅπαντες οἱ κατὰ μίαν διάστασιν λεγόμενοι σφυγμοί. ἢ τοίνυν ἴδιον ἐξῆς ποιη
σάτω γένος, ὥσπερ τῷ μεγάλῳ τε καὶ μικρῷ τὸ μέγεθος, ἢ μὴ ποιῶν, ζητησάτω μὴ μεγάλου μόνου καὶ μικροῦ

30 κοινὸν γένος, ἀλλὰ καὶ μακροῦ καὶ βραχέος, καὶ πλατέος, καὶ στενοῦ, καὶ ὑψηλοῦ, καὶ ταπεινοῦ. καὶ τῶν ἄλλων ἐν ἅ-
πασιν αὐτοῖς συμμέτρων, ἀλλ' οὐδὲν ἕξει ἐπὶ πάντων κοινῇ κατηγορῆσαι πλὴν τοῦ ποσοῦ. γίγνοιτο δ' ἂν οὕ-
τω καὶ ἡ διδασκαλία πᾶσα σαφὴς, καὶ διηρθρωμένη. τίς γὰρ εἰς τοσοῦτον σκαιός ἐστιν, ὡς μὴ συνιέναι τῶν οὕτωσὶ
λεγομένων τὸ ποσὸν τῆς διαστολῆς τῶν ἀρτηριῶν, ὅταν μὲν τὸ ἐπὶ μίαν διάστασιν ἡντινοῦν δηλῶσαι βουληθῶ-
μεν, ὀνόμασι τοῖς δὲ χρώμεθα, τὸν μὲν ὑπερβάλλοντα τὸ κατὰ φύσιν μῆκος, μακρὸν, τὸν δ' ἐλλείποντα, βραχὺν
καλοῦμεν, ὡσαύτως δὲ καὶ τὸν μὲν ὑπὲρ τὸ κατὰ φύσιν πλάτος πλατὺν, τὸν δὲ ἐναντίον αὐτῷ, στενόν. καὶ ὑψη-
λὸν αὖ καὶ ταπεινὸν ἀνάλογον τούτοις ἐν τῇ κατὰ βάθος διαστάσει. τὸ δὲ κατὰ τὰς τρεῖς ἅμα διαστάσεις πο-
σὸν, ὧδέ πως ὀνομάζομεν, τὸν μὲν ἤδη πλεῖον τοῦ κατὰ φύσιν ηὐξημένον πάντῃ, μέγαν. τὸ δὲ πάντῃ μεμειω-
μένον, μικρόν. ὅστις δ' αὖ φυλάττει πάντῃ τὸ κατὰ φύσιν μέτρον, σύμμετρον τὸν τοιοῦτον καλοῦμεν. ὅταν δὲ μὴ
φυλάττωσι τὴν ἀναλογίαν αἱ τρεῖς διαστάσεις, ἀλλά τις ἐξ αὐτῶν, ἢ τινὲς ἐλλείπωσιν, ἢ πλεονεκτήσωσι, τέτ

40 ταρες καὶ εἴκοσι διαφοραὶ σφυγμῶν γίγνονται, ἃς ἡμεῖς ἤδη διαγράμματος ἐξεθέμεθα μετὰ τῶν προειρημέ
νων τριῶν, ἵνα δείξωμεν ἑπτὰ καὶ εἴκοσιν εἶναι τὰς πάσας τῶν κατὰ τὰς τρεῖς ἅμα διαστάσεις συνισταμένων σφυ
γμῶν διαφοράς. τοῦτο γὰρ ἦν οἶμαι χρήσιμον τοῖς ἀρχομένοις μανθάνειν τὴν κατὰ τοὺς σφυγμοὺς θεωρίαν, ἁπάν
των γνῶναι τὸν ἀριθμὸν αὐτῶν καθ' ἕκαστον γένος, ὅπερ οἱ πρὸ ἡμῶν παραλελοίπασιν. ἀλλὰ τοῖς μὲν ἄλλοις συγ
γνώμη. τί γὰρ ἄν τις τοῖς τελέως καταπεπτωκόσι προσπαλαίοι, τοῖς δὲ περὶ τὸν Ἀρχιγένην πῶς οὐκ ἂν ἐγκα-
λέσαιμεν εἰκότως, οἷς δέον εἰς τὴν τῶν τοιούτων εὕρεσιν χρῆσθαι τῇ διαλεκτικῇ. οἱ δ' ἐν οἷς οὐ χρὴ, περιεπιδείκνυν-
ται κακῶς αὐτὴν, ταράττοντες μόνον τοὺς μανθάνοντας, διδάσκοντες δ' οὐδέν. ἄμεινον γὰρ ἦν ἔχοντάς γε
διαιρετικὴν, καὶ συνθετικὴν μέθοδον, ἐξευρίσκειν μὲν αὐτῇ τὸ πλῆθος ἁπάντων τῶν ἐν τοῖς σφυγμοῖς διαφο-
ρῶν, μὴ μέντοι περιεπιδείκνυσθαί γε ὀψιμαθῶς, ἀλλὰ μὴ δὲ δηλοῦν αὐτὸ τοῦτο τοῖς εἰσαγομένοις, ὡς ἐστι τίς μέθο-
δος καθ' ἣν συνέστη τὸ διάγραμμα. τοῖς μὲν γὰρ μὴ μεμαθηκόσι τὰ παιδικὰ μαθήματα, μάτην ἐρεῖς. οἱ μεμαθη

50 κότες δὲ καὶ πρὸ τοῦ σὲ μηνῦσαι, γνωρίζωσιν ἐκ τῶν ἔργων τὴν μέθοδον. τί δή ποτ' οὖν οὐδεὶς αὐτῶν, οὐδὲ τῇ διαι-
ρετικῇ φαίνεται κεχρημένος μεθόδῳ πρὸς τὴν ἐξαρίθμησιν τοῦ καθ' ἕκαστον γένος πλήθους, οὔτε τῇ συνθετικῇ
πρὸς τὴν τῶν πρώτων εὕρεσιν. καίτοι διαλεκτικοῖς μόνοις ταύταις ἐστὶ χρῆσθαι ταῖς μεθόδοις, ποτὲ μὲν ἀπὸ τῶν
ἀτόμων τε καὶ ἀπεράντων τὸ πλῆθος, ἤδη τὸ ἐν ἐκεῖνο τὸ πρῶτον ἁπάντων γένος ἀνιόντα διὰ τῶν ἐν μέσῳ
γενικῶν τε καὶ εἰδικῶν διαφορῶν, ποτὲ δ' ἀπ' ἐκείνου πάλιν ἤδη τὸ ἄπειρον ἰόντα, διὰ τῶν αὐτῶν τῶν ἐν μέσῳ. ἀλ
λὰ τούτων οὐδεὶς ἐτόλμησεν οὐδεμιᾷ μεθόδῳ πιστώσασθαι τὸν ἀριθμὸν, ἢ τῶν πρώτων γενῶν, ἢ τῶν ἐκ τῆς τούτων το-
μῆς γινομένων διαφορῶν. ἀλλ' ἡμεῖς γε πεποιήκαμεν αὐτὸ, καὶ ὡς ἂν ὁδῷ βαδίζοντες εὕρωμεν τῶν ἑπτὰ καὶ
εἴκοσι σφυγμῶν, τῶν κατὰ τὰς τρεῖς διαστάσεις λεγομένων, καὶ τῶν ἐννέα τῶν κατὰ μίαν, ἐν κοινὸν γένος τὸ
ποσὸν ἐν τῇ διαστολῇ τῆς ἀρτηρίας. εἰ δὲ καὶ τὴν συστολὴν ἐθέλεις ἀφῇ γνωρίζειν, γένοιτο ἂν οἶμαι κἂν ταύτῃ τὸ

ἴσον πλῆθος τῶν διαφορῶν. ἀλλὰ περὶ μὲν τούτου ζητήσομεν ἐν τοῖς περὶ διαγνώσεως. Ἀρχιγένης δὲ, τούτου γὰρ
πρώτου δίκαιον μνημονεύειν, μετά γε τὸν Ἡρόφιλον ἀντιφωνήσαντα τὸν Ὅμηρον οἷος πέπνυται, τοὶ δὲ σκιαὶ
ἀΐσσουσιν, οὐ μόνον ἐν τοῖς ὀνόμασιν ἔοικεν, ἀλλὰ καὶ πολὺ πρότερον ἐν τοῖς πράγμασιν αὐτοῖς τεταράχθαι.
» καὶ διὰ τοῦτο παρὰ πόδας ἑαυτῷ τἀναντία λέγων οὐκ αἰσθάνεται, μάθοις δ᾽ ἂν ἐξ αὐτῆς τῆς λέξεως ἐχούσης ὧ-
» δε. εἰσὶ δέ τινες ἄλλοι σφυγμοὶ οὔτε μέσοι, οὔτε μεγάλοι, οὔτε μικροὶ κατὰ μέγεθος θεωρούμενοι, ἢ τάς γε τοῦ με-
» γέθους διαστάσεις. εἶθ᾽ ἑξῆς φησιν. ἔστι γὰρ σφυγμὸς κατὰ μῆκος τῆς ἀρτηρίας διϊσταμένης ἐφ᾽ ἱκανὸν, στενουμένης δὲ
» κατὰ τὸ πλάτος καὶ ταπεινότερον ἐγειρομένης. καλείσθω μακρός. ἕτερος δὲ πλατείας μὲν τῆς διαστολῆς, ταπει-
» νῆς δὲ κατὰ τὸ μῆκος βραχείας ὑποπιπτούσης, καλείσθω πλατύς. τρίτος ἱκανῶς εἰς ὕψος ἐπαιρομένης, στενῆς
» δὲ καὶ βραχείας κατὰ μῆκος σπάνιος ὢν, ὑψηλὸς λεγέσθω. ἐν τούτοις πρῶτον μὲν εἰπεῖν τοὺς κατὰ μίαν διάστασιν
λεγομένους, μὴ συνεπινοουμένων τῶν λοιπῶν δυοῖν. ἀπεπλανήθη δὲ καὶ περὶ τῶν κατὰ τὰς τρεῖς διαστάσεις νενοη-
μένων γράφων. τὸν μὲν γὰρ πρῶτον αὐτῶν οὐ μακρὸν μόνον, ἀλλὰ καὶ στενὸν καὶ ταπεινὸν πεποίηκεν, οὐ τῇ νοή-
σει μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ὀνόμασι. τί γάρ φησι. κατὰ μῆκος μὲν τῆς ἀρτηρίας διϊσταμένης ἐφ᾽ ἱκανὸν, στενου-
μένης δὲ κατὰ πλάτος, καὶ ταπεινότερον ἐγειρομένης, τὸ μὲν γὰρ στενουμένης κατὰ πλάτος, τὸν στενὸν σφυγμὸν
δηλοῖ. τὸ δὲ καὶ ταπεινότερον ἐγειρομένης τὸν ταπεινόν. πάλιν δ᾽ αὖ τὸν δεύτερον, οὐ πλατὺν μόνον, ἀλλὰ
καὶ ταπεινὸν, καὶ βραχὺν ἐποίησεν, οὐ τῇ νοήσει μόνον, ἀλλὰ καὶ αὐτῇ τῇ λέξει. καὶ τὸν τρίτον δὲ κατὰ τὰ
αὐτὰ, οὐχ ὑψηλὸν μόνον, ἀλλὰ καὶ στενὸν, καὶ βραχύν. εἰσὶ δὲ οἱ τρεῖς οὗτοι, τῶν κατὰ τὰς τρεῖς διαστάσεις ἅμα
λεγομένων τῶν ἑπτὰ καὶ εἴκοσιν, οὓς ἐπὶ τοῦ διαγράμματος ἐξεθέμεθα. γέγραπται δὲ ὁ μὲν πρῶτος ἐν τού-
τοις εἰρημένος, ἔνατος ἐν τῷ διαγράμματι, τὸν δὲ τὸν τρόπον, μακρὸς, στενὸς, ταπεινός. ὁ δὲ δεύτερος ἐν τού-
τοις πρῶτος καὶ εἰκοστὸς ἐν τῷ διαγράμματι γέγραπται τὸν δὲ τὸν τρόπον, βραχὺς, πλατὺς, ταπεινός. ὁ δὲ
τρίτος ἐν αὐτοῖς πέμπτος καὶ εἰκοστός ἐστιν ἐν τῷ διαγράμματι. γέγραπται δὲ οὕτως. βραχὺς, στενὸς, ὑψηλός.
εἰ τοίνυν τὴν ἀρχὴν τοῦ περὶ αὐτῶν ὑπαλλαξάτω λόγου, ἐν ᾧ φησι κατὰ μέγεθος αὐτοὺς θεωρεῖσθαι, ἢ τάς γε τοῦ
μεγέθους διαστάσεις ἁπλῶς γραψάτω κατὰ μέγεθος, ἢ προσκειμένου τοῦ κατὰ τὰς τοῦ μεγέθους διαστάσεις, μη-
κέτι ἐκ τῶν κατὰ μέγεθος διαφορῶν αὐτοὺς ἡγείσθω. τί γὰρ καὶ βούλεται, πότερα τῶν κατὰ τὰς τρεῖς ἅμα δια-
στάσεις, νοουμένων ὑπάρχειν αὐτοὺς, ἢ τῶν κατὰ μίαν μόνην. ἑκατέρως γὰρ ἄπορον, εἰ μὲν τῶν κατὰ τὰς τρεῖς ἀ-
κούοιμεν, ἁπάντων μὲν τῶν κατὰ μίαν διάστασιν παραλελειμμένων ἐννέα τὸν ἀριθμὸν ὄντων, ἄλλων δ᾽ ὀκτωκαίδεκα
τῶν κατὰ τὰς τρεῖς ἅμα. ἐννέα γὰρ οὕτω φανεῖται μόνων μνημονεύων, τριῶν μὲν τῶν πρώτων ῥηθέντων μεγάλου
τε καὶ μικροῦ καὶ τοῦ μέσου αὐτῶν, τριῶν δὲ τῶν νῦν ῥηθέντων, καὶ τριῶν ἄλλων τῶν τούτοις ἐναντίων, ὧν ἑξῆς
μνημονεύει, καὶ πρὸς τούτοις ἔτι μάτην προσκείσεται τῷ λόγῳ, τῷ κατὰ τὰς τοῦ μεγέθους διαστάσεις. ἤρκει γὰρ
ἁπλῶς εἰπεῖν κατὰ μέγεθος. εἰ δ᾽ αὖ πάλιν περὶ τῶν κατὰ μίαν διάστασιν νοουμένων οἰηθεῖμεν αὐτὸν ταῦ-
τα γράφειν, πρῶτον μὲν ἄτοπον τὸ μεμνῆσθαι καὶ τῶν λοιπῶν δυοῖν καθ᾽ ἕκαστον. ἔπειτα δὲ οὐκ ὀκτωκαίδε-
κα μόνους, ἀλλὰ τέτταρας καὶ εἴκοσι φανεῖται παραλελοιπὼς τῶν ἐκ τοῦ διαγράμματος. καὶ τρίτον ὅτι μοχθη-
ρῶς δόξει λέγειν κατὰ μέγεθος αὐτοὺς θεωρεῖσθαι, δέον οὐ κατὰ μέγεθος, ἀλλὰ κατὰ τὰς διαστάσεις τοῦ μεγέθους
εἰπεῖν, εἴ γε ὡς αὐτὸς εἴρηκεν ὄγκος τίς ἐστι τὸ μέγεθος. οὐ μὴν τό γε μῆκος αὐτὸ καθ᾽ ἑαυτὸ μόνον, ἀλλ᾽ οὐδὲ τὸ
βάθος, ἢ τὸ πλάτος ὄγκος ἐστὶν, ἀλλ᾽ ὥσπερ καὶ ὀνομάζεται διάστασις. οὐ ταὐτὸν δὲ δή που ὄγκος τε καὶ ὄγκου
διάστασις μία. ἑκατέρως μὲν δὴ σφάλλεται πάντως ὁ τοῦ Ἀρχιγένους λόγος, διὰ τὸ συγκεχυμένως τε καὶ ἀ-
διαρθρώτως εἰρῆσθαι, καὶ οἷον ἐπαμφοτερίζειν τῇ νοήσει. κατὰ τί δὲ μᾶλλον ἠθέλησεν εἰπεῖν, εἰ χρὴ μαντευσά-
μενον ἀποφήνασθαι καὶ τοῦτο τολμήσω. δοκεῖ μοι τοὺς κατὰ μίαν διάστασιν νοουμένους ἐπιχειρῆσαι γράφειν. καὶ διὰ
τῆς ἀρχῆς γε αὐτὸ τοῦτο ἐνδείξασθαι, ἢ τάς γε τοῦ μεγέθους διαστάσεις εἰπεῖν, σφαλῆναι δὲ περὶ τὴν ἑρμηνείαν,
ὡς ἂν ἐν ὅλῳ τῷ γράμματι συγκεχυμένος τε καὶ τεταραγμένος τὴν διάνοιαν. τὸ γὰρ ἀγνοεῖν ἑπτὰ καὶ εἴκο-
σιν εἶναι τὰς κατὰ τρεῖς ἅμα διαστάσεις νενοημένους, μέγιστον τεκμήριον τοῦ παχεῖ λόγῳ καὶ ἀδιαρθρώτῳ περὶ
» αὐτῶν ἀποφήνασθαι. ὅτι δὲ ταύτης μὲν ἔχεται τῆς προαιρέσεως, ἁμαρτάνει δ᾽ αὐτῆς ἄκων, ἐκ τῶν ἐπιφερομένων
» ἐστὶ δῆλον. τί γάρ φησιν εὐθὺς ἐφεξῆς. συντρεχουσῶν γὰρ πολλάκις καὶ δυοῖν τινων διαστάσεων, ὥσθ᾽ ἅμα βρα-
χὺν, καὶ ταπεινὸν εἶναι, ἢ βραχὺν, καὶ στενὸν, ἐπί τε τῆς ἑτέρας συζυγίας μακρὸν καὶ πλατὺν, ἢ μακρὸν καὶ ὑψη-
λόν. δῆλος γὰρ ἐκ τούτων ἐστὶ τοὺς προειρημένους κατὰ μίαν μόνην διάστασιν νοεῖσθαι βουλόμενος. τούτους γοῦν κα-
τὰ τὰς δύο μόνας γράφει, τὴν τρίτην ὅπως ἂν ἔχει παραλιπών. τί γάρ φησι συντρεχουσῶν πολλάκις καὶ δυοῖν
τινῶν διαστάσεων, ὥσθ᾽ ἅμα βραχὺν καὶ ταπεινὸν εἶναι. δεῖ γὰρ ἐν τούτῳ τῷ λόγῳ προεγνῶσθαι τίς ὁ βραχὺς ἁ-
πλῶς, καὶ τίς ὁ ταπεινὸς ἁπλῶς. ἢ οὐκ ἔσται σαφὴς ὁ βραχὺς ἅμα καὶ ταπεινός. ἀλλ᾽ οὐδὲ μακρὸς ἅμα καὶ πλα-
τὺς, γένοιτ᾽ ἄν ποτε σαφὴς, μὴ προνοηθέντων ἰδίᾳ καὶ κατὰ μόνας ἑκατέρου. χρὴ γὰρ πρότερον μὲν νοῆσαι τὸν
μακρὸν ἰδίᾳ, μετὰ ταῦτα δ᾽ αὐτὸν πλατὺν ἰδίᾳ καὶ τοῦτον. ἔπειτα συντιθέναι τὰς νοήσεις αὐτῶν εἰς ταὐτόν.
καὶ οὕτως λέγειν μακρὸν ἅμα, καὶ πλατὺν, ὥστε καὶ δηλονότι τεταραγμένος ἐναντία παρὰ πόδας αὐτῷ λέγει. τὸν
μὲν γὰρ μακρὸν οὐκ ἠρκέσθη κατὰ μῆκος φάναι τῆς ἀρτηρίας ἐπὶ πολὺ διϊσταμένης γίνεσθαι. καίτοι γ᾽ ἤρκει τοῦτο
μόνον, ἀλλὰ προσέθηκεν ἐκ περιττοῦ, στενουμένης δὲ κατὰ πλάτος, καὶ ταπεινότερον ἐγειρομένης. τὸν δὲ πλατὺν
πάλιν οὐδ᾽ αὐτὸν ἠρκέσθη φάναι πλατείας τῆς διαστάσεως γινομένης, ἀλλὰ προσέθηκε, ταπεινῆς δὲ καὶ κατὰ
μῆκος βραχείας. ἀλλ᾽ εἰ ταύτας μὲ χρὴ τὰς ἐννοίας φυλάττειν ὦ Ἀρχίγενες, πῶς νοήσω τὸν αὐτὸν ἅμα γινό-
μενον μακρὸν καὶ πλατὺν, ὡς ἐξῆς γράφεις. ἀφεῖλες γὰρ αὐτὸς σὺ, τῆς μὲν τοῦ μακροῦ νοήσεως τὴν πλατύτη-
τα, τῆς δὲ τοῦ πλατέος, τὴν ὡς ἄν τις εἴποι μακρότητα. ταῦτα οὖν ἐναργῶς ἀλλήλοις διαφέρεται, κατὰ μὲν τὸν
πρότερον λόγον, ἐξαιροῦντος αὐτοῦ τῆς κατὰ τὸν μακρὸν ἐννοίας τὴν πλατύτητα, κατὰ δὲ τὸν δεύτερον φυ-
λάττοντος. καὶ κατὰ τὸν πλατὺν καὶ ὑψηλὸν ὡσαύτως, ἐν μὲν τῷ προτέρῳ λόγῳ τὴν ὑπόληψιν ὧν καθ᾽ ἑκά-
τερον

τέρον δυοῖν διαστάσεων, ὥστε τὴν ποσότητα, κατὰ δὲ τὸ δεύτερον φυλάττει. ταῦτα δὲ πάντα σφάλματα πέπονθεν ἐν τῇ τῶν ὀνομάτων ἐξηγήσει, διὰ τὸ πολὺ πρότερον ἐν αὐτοῖς τοῖς πράγμασιν ἐσφάλθαι. φαίνεται γὰρ οὔτε τῇ διαιρετικῇ μεθόδῳ κεχρημένος, οὔτε τῇ συνθετικῇ κατ' οὐδεμίαν τῶν διδασκαλιῶν. κινδυνεύω δ' εἰπεῖν ὅτι τὸ τῶν πολλῶν καὶ περὶ λόγους ἀγυμνάστων πέπονθεν, ὥστε πολλάκις μὲν ἐπιχειρεῖν τὸ τῇ φύσει σύνθετον ἀναλύειν εἰς τὰ πρῶτά τε καὶ ἁπλᾶ, πολλάκις δὲ ἐπεὶ μηδὲν τούτων ἰδίᾳ τε καὶ καθ' ἑαυτὸ δυνατὸν ὑπάρχειν, ἵστασθαί τε καὶ παλινδρομεῖν ἐπὶ τὸ σύνθετον. αὖθις δ' αὖ πάλιν, ἐπειδὴ σύνθετον ἀδιάρθρωτόν τε καὶ ἀδιόριστον ἔχει τὴν διδασκαλίαν, καὶ παντάπασιν ἰδιωτικήν τε καὶ ἄτεχνον μὴ διαιρεθὲν εἰς τὰ πρῶτα, τοῦ διαιρεῖν ἀποστῆναι μὴ δύνασθαι, εἶτ' ἐντεῦθεν πάλιν ἐπὶ τὸ σύνθετον ἀνακάμπτειν, ὡς ἂν ἀκριβῶς τῇ νοήσει τῶν ἁπλῶν ἕκαστον ἀδυνατοῦντα διορίζεσθαι. καὶ τοῦτον τὸν δίαυλον κάμπτοντά τε κυλινδούμενον ἐν τῷ μέσῳ τῶν ἄκρων διαπαντὸς ἐπαμφοτερίζειν τε ταῖς νοήσεσι, καὶ ταῖς εἰρημέναις ἐναντιολογίαις ἐξ ἀνάγκης συνέχεσθαι. χρὴ δ' οἶμαι τόν γε διαλεκτικὸν εἶναι προσποιούμενον ἕξιν ἱκανὴν ἔχειν, ὥστε τὸ προχειρισθὲν ἅπαν ὅταν ᾖ σύνθετον ἀναλύειν εἰς τὰ πρῶτα τε καὶ ἁπλᾶ κατ' ἐπίνοιαν, οὐχ ὡς ἰδίᾳ καὶ μόνα ποθ' ὑπάρξαντα, τοῦτο γὰρ ἀμήχανον, ἀλλ' ὡς νοηθῆναι μόνα δυνάμενα, μὴ συνεπιβαλλόντων ἡμῶν ἐν τῷ νοεῖν αὐτὰ, μηδεμιᾶς διαφορᾶς τῶν ἐξ ἀνάγκης ἐζευγμένων. ὡς γὰρ σιμὸν ἄνθρωπον νοοῦμεν καὶ γρυπὸν, οὔτ' εἰ μέγας ἐστὶν ὁ τοιοῦτος, οὔτε εἰ μικρὸς, οὔτε εἰ λευκὸς, οὔτ' εἰ μέλας, οὔτ' εἰ παχὺς, οὔτ' εἰ λεπτὸς δεόμενοι, οὕτως ὑψηλόν τινα νοοῦμεν σφυγμὸν, οὐ δεόμενοι πῶς ἔχει μήκους, ἢ πλάτους εἰδέναι. ταῦτ' ἄρα καὶ οἱ φάσκοντες μηδένα μακρὸν ἁπλῶς ἐπινοεῖν σφυγμὸν, δεῖν γὰρ αὐτὸν ἐξ ἀνάγκης ἔχειν πως πλάτος τε καὶ βάθος, ἄγροικοί, καὶ ἀμαθεῖς εἰσὶ τῶν πρώτων μαθημάτων, ἃ ἐχρῆν αὐτοὺς μεμαθηκότας, καὶ γεγυμνασμένους γε κατ' αὐτὰ πρὸς ἡμᾶς ἥκειν οὕτως. ἐκ γὰρ τοῦ μὴ δύνασθαι συστῆναι τὸν μακρὸν ἰδίᾳ, μὴ δ' ἐννοηθῆναι δύνασθαι, φασὶν αὐτὸν ἰδίᾳ. μὴ τοίνυν μὴ δὲ σιμὸν ἄνθρωπον, μὴ δὲ γρυπὸν ἰδίᾳ νοείτωσαν, ἂν μὴ μάθωσιν ἅπαντ' αὐτοῦ τἆλλα, πότερον μέγας, ἢ μικρός ἐστι, ἢ παχὺς, ἢ λεπτὸς, ἢ μέλας, ἢ λευκὸς, ἢ ἕλλην, ἢ βάρβαρος, ἢ πονηρὸς, ἢ ἀγαθὸς, ἢ ὑγιαίνων, ἢ νοσῶν, ἢ νέος, ἢ πρεσβύτης. πῶς δ' οὐκ ἄτοπον, μακρὸν μέν τινα καὶ ὑψηλὸν καὶ πλατὺν ἅμα νοεῖν ὁμολογεῖν, καὶ καλεῖν δι' ἑνὸς ὀνόματος μέγαν, μακρὸν δὲ μὴ δύνασθαι φάσκειν νοεῖν ἰδίᾳ καὶ μόνον, ὥσπερ οὐ τὴν αὐτὴν ἀναλογίαν ἔχοντος καὶ τοῦ μεγάλου πρὸς τὸν ὅλον σφυγμὸν, ἥνπερ ὁ μακρὸς πρὸς τὸν μέγαν. ὡς γὰρ μακρὸς ἰδίᾳ καὶ κατὰ μόνας, οὐδεὶς ἐστὶν ἄνευ τοῦ πῶς ἔχειν βάθους τε καὶ πλάτους οὕτως οὐδὲ μέγας σφυγμός ἐστι τις χωρὶς τοῦ ταχὺς, ἢ βραδὺς ἢ σφοδρὸς ἢ ἀμυδρὸς ὑπάρχειν, ἤ τινα τῶν ἄλλων ἔχειν διαφορῶν. ἀλλ' οὐδ' εἰ μετὰ πασῶν τῶν διαφορῶν νοήσαις κινουμένην τὴν ἀρτηρίαν, ἰδίᾳ δύναται ποτὲ γενέσθαι κινουμένη. τίς γοῦν εἶδεν ἀρτηρίαν ἔξω τοῦ σώματος ἔτι σφύζουσαν; ἀνάγκη τοίνυν αὐτὴν ἐν τῷ ὅλῳ σώματι οὖσαν ἐπικεῖσθαι μέν τινι νεύρῳ, καὶ τοῦτο εἶναι ποιὸν, καὶ ποσὸν, ὑποκεῖσθαι δὲ φλεβὶ, καὶ ταύτην εἶναι καὶ ποιὰν καὶ ποσήν. περικεῖσθαι δ' αὐτῇ σώματα πολλά. καὶ πάντα τις ἐντεῦθεν ἀρξάμενος δύναται λέγειν, ὧν χωρὶς οὐχ οἷόν τε εἶναι τὸν σφυγμόν. ἀλλ' οἶμαι νοῦν ἔχων ἄνθρωπος, ἐὰν ὑπακούσῃ τοῦ ταῦτα λέγοντος, ἐρήσεταί τινα τῶν παρόντων, ἄρά γε παίζων, ἢ μαινόμενος τὰ τοιαῦτα ληρεῖ. πῶς γοῦν οὐδωλύγιος ὄντως καὶ μακρὰ φλυαρία, τὰ χωρὶς ἑτέρων ὑπάρχειν μὴ δυνάμενα, μηδ' ἐπινοεῖσθαι, χωρὶς ἐκείνων ὁμολογεῖν. ὅτι μὲν οὖν ἄνευ τοῦ πῶς ἔχειν βάθους, καὶ πλάτους οὐ δύναται μακρὸς εἶναι σφυγμὸς, οὐδεὶς ἀντιλέγει. ἀλλ' οὐ τοῦτο ἦν τὸ ζητούμενον, ἀλλ' εἰ μὴ δὲ νοεῖσθαι χωρὶς ἐκείνων δύναται. τοῦτο γοῦν εἴτις λέγοι, λέληθεν ἑαυτὸν ἁπάσας μὲν ἀνατρέπων τὰς τέχνας, ἅπασαν δὲ τὴν ἐν τῷ βίῳ χρείαν τῶν ὀνομάτων. τίς γὰρ ἡμῶν ποτε τὴν θεραπευτικὴν τέχνην ἔμαθε πλευριτικοῦ Δίωνος, οὐδ' εἷς. οὐ μὴν οὐδ' ἁπλῶς ἀνθρώπου πλευριτικοῦ, ἀλλ' ἐν ταῖς ἰδικαῖς τε καὶ γενικαῖς ἐπινοίαις αἱ τέχναι συνίστανται, πρῶτον μὲν κατ' αὐτὸ τὸ πάθος ἰδίων διορισμῶν παραληφθέντων. ἤτοι γὰρ πρὸς κλεῖν τὴν ὀδύνην, ἢ εἰς ὑποχόνδριον ἐνστηριζομένην τελευτῶσαν, καὶ οὐδαμοῦ Δίων ἐνταῦθα ἢ Θέων συνεπινοεῖται. ἔπειτα δὲ τὰ προηγούμενα καὶ τὰ συμπίπτοντα, πληθωρικὸς ἐστὶν ὁ πλευριτικὸς ἢ τοὐναντίον ἐνδεῶς ἔχων χυμῶν, εὔχυμος, ἢ κακόχυμος. καὶ τούτων ἑκάτερον, ἄρά γε νῦν, ἢ πάλαι. καὶ εἰ πάλαι, πότερον ἐκ διαίτης ἢ φύσει. καὶ οὐδαμοῦ πάλιν ἐνταῦθα Δίων ἢ Θέων, ἀλλ' οὐδ' ὅταν περὶ κράσεως τοῦ νοσοῦντος ὁ λόγος ἡμῖν ᾖ Δίωνος ἢ Θέωνος ἀνάγκη μνημονεύειν, ἢ ὅλως ἐπινοεῖν, ἢ δεῖσθαί τι, γεωμετρία δ' ὅπως ἀπόλλυται τί δεῖ καὶ λέγειν, ἐάν τις μήτε γραμμὴν φῇ νοεῖν, μήτ' ἐπιφάνειαν, ὅτι χωρὶς στερεοῦ σώματος ἀδύνατον ὑπάρχειν αὐτοῖς. τί δὲ τὰ κατὰ τὸν βίον σύμπαντα, τὰ χωρὶς ἀλλήλων εἶναι μὴ δυνάμενα, πῶς οὐκ ἄντις ἄτοπα εἴη μὴ δὲ νοεῖσθαι κατὰ μόνας συγχωρῶν. ἀλλὰ τὴν μὲν τοιαύτην ἀγροικίαν οὐκ ἂν ποθ' ὑπέμεινεν ὁ Ἀρχιγένης. φαίνεται γοῦν αὐτὸς τοὐναντίον ἀεὶ δρῶν ἀναλύων ἕκαστον εἰς τὰ πρῶτά τε καὶ ἁπλᾶ. σφάλλεται δὲ τοῦ σκοποῦ καὶ διαμαρτάνει πολλάκις ἄκων, ὑπ' ἀγυμνασίας ἐμοὶ δοκεῖ. ἔνεστι γοῦν ἐπ' αὐτοῦ τοῦ νῦν προκειμένου, σαφῶς ὃ λέγω τεκμήρασθαι. συντρεχουσῶν γάρ φησι πολλάκις καὶ δυοῖν διαστάσεων, ὥσθ' ἅμα βραχὺν καὶ ταπεινὸν εἶναι. ἡμεῖς δὲ τούτους κατὰ συνδυουμένοις, τοῖς μὲν κατὰ μίαν, ὅτι τε τοὺς κατὰ τὰς τρεῖς διαστάσεις νοουμένας ἑπτὰ καὶ εἴκοσιν ὄντας, οὐκ ἦν διδάξαι πρὸ τοῦ μίαν ἑκάστην τῶν διαστάσεων ἰδίᾳ νοεῖν ἐθίσαι, ποτὲ μὲν αὐξανομένην, ποτὲ δὲ μειουμένην, ποτὲ δὲ σύμμετρόν τε, καὶ τῷ κατὰ φύσιν διαμένουσαν, καὶ προσέτι διὰ τὸ πολλὰ δύνασθαι διαγινώσκειν ἡμᾶς ἀπὸ μιᾶς διαστάσεως. ὡς γὰρ ὁ μέγας σφυσφυγμὸς ἴδιόν τι πέφυκεν δηλοῦν, οὕτω καὶ ὁ ὑψηλὸς αὐτὸς καθ' ἑαυτὸν, οὐ συνεπινοουμένων αὐτῷ τῶν ἄλλων διαστάσεων. οἱ δὲ κατὰ δύο διαστάσεις, οὔτε πρὸς τὴν τῶν κατὰ τὰς τρεῖς ἅμα νοουμένων ἔχουσί τι χρήσιμον, ἐκπεπτώκασί τε τῆς διαιρετικῆς μεθόδου, καὶ διὰ τοῦτο καὶ διδασκαλίας ἀτέχνου μάτην κατατρίβουσι τὸν εἰσαγόμενον, ὥσπερ εἰ καὶ οὕτως τὶς ἐδίδασκε σφυγμὸν εἶναι, λέγων τὸν μέν τινα μέγαν ἅμα καὶ ταχὺν, ἄλλον δὲ μέγαν ἅμα καὶ σφοδρὸν, καὶ ἄλλον ταχὺν καὶ σφοδρὸν, καὶ οὕτω κατὰ συνδύο προϊὼν, ἐξεύγνυεν, ὅπερ οὐδ' αὐτὸς ὁ Ἀρχιγένης ἐποίησεν. ὡς ἂν ἄτεχνον τε καὶ ἀμέθοδον ἱκανῶς καὶ ἄχρηστον. τό τε γὰρ ἐξ ἁπασῶν τῶν δια-

φορῶν συνθέτων καὶ νοεῖν ἠβουλόμεθα, καὶ ἡ τέχνη ζητεῖ γνῶναι, πρὸς τὸ τὴν ὅλην εἰδέναι τοῦ προκειμένου πράγματος τὴν φύσιν, τότ' εἰ τὰς ἁπλᾶς ἀναγόμενον διαφοράς. ἄνευ γὰρ τούτου, τὸ σύνθετον οὐχ οἷόν τε διηνεκῶς ἐκμαθεῖν. τὸ δὲ μήτε τὴν ὅλην τοῦ πράγματος φύσιν εἰς ἓν συλλαμβάνειν, μήτ' ἐπὶ μιᾶς καὶ ἁπλῆς καταμένειν διαφορᾶς ἄτεχνόν τε καὶ ἀμέθοδον, καὶ ἄχρηστον. διὰ τοῦθ' ἡμεῖς πρῶτον μὲν τὴν ὅλην φύσιν τῶν σφυγμῶν ἀνελύσαμεν εἰς τὰς συντεθείσας αὐτὴν διαφοράς, τὴν μέν τινα κατὰ τὸ ποσὸν τῆς διαστολῆς ὀνομάσαντες, τὴν δὲ περὶ τὸ ποιὸν τῆς πληγῆς. ἄλλην δὲ περὶ τὸ τοῦ χιτῶνος ποιόν, καὶ τὰς ἄλλας τὰς ἑξῆς εἰρημένας. εἶτ' ἐν αὐταῖς ταύταις πάλιν ἐζητήσαμεν ἁπλᾶς νοήσεις, ἵν' ὃν ἔχει λόγον ἡ κατὰ τὸ ποσὸν τῆς διαστολῆς διαφορὰ πρὸς τὴν ὅλην τοῦ σφυγμοῦ φύσιν τὴν ἐκ πάντων συγκειμένην, οὕτως ἡμῖν εὑρεθῇ τι παραπλησίως ἔχον ἄλλο πρὸς αὐτὴν ταύτην. ὡς γὰρ τοῦτο τὸ γένος συμπληρωτικόν ἐστι τῆς ὅλης τοῦ σφυγμοῦ φύσεως, οὕτως αὐτὸ πάλιν τοῦτο τῶν διαστάσεων ἑκάστη συμπληροῖ. συνδύο δὲ διαστάσεις ἅμα νοεῖν, οὔθ' ὡς πρὸς τὴν τοῦ ὅλου σφυγμοῦ συμπλήρωσιν ἀναγκαῖον, οὔθ' ὡς πρὸς μίαν τὴν περὶ τὸ ποσὸν τῆς διαστολῆς. διὰ τοῦτο περιττὸς ὁ περὶ αὐτῶν λόγος, καὶ καλῶς μὲν ὑφ' ἡμῶν ἑκόντων παρελήφθη. κακῶς δ' ὁ Ἀρχιγένης οἷον ἐσπάραξεν αὐτὸν καὶ μόνας ἓξ εἰπὼν συζυγίας, τὰς ἄλλας μίαν οὔσας καὶ εἴκοσι παρέλιπεν. ἁπάσας γὰρ δεῖ τὰς διαφορὰς ἑκάστης τῶν διαστάσεων, ἁπάσαις ταῖς διαφοραῖς τῶν ἄλλων ζευχθῆναι. ὥστε γενέσθαι καθ' ἑκάστην δυοῖν διαστάσεων σύζευξιν ἐννέα διαφορῶν. τὰς πάσας δ' ἑπτὰ καὶ εἴκοσι. παραγεγράφθω δὲ μίαν, ἑξῆς καὶ περὶ τῶν λοιπῶν ἔνεστι μαθεῖν.

α	μακρὸς	πλατὺς	β	μακρὸς	σύμμετρος	γ	μακρὸς	στενός
δ	πλατὺς	σύμμετρος	ε	σύμμετρος	σύμμετρος	ς	στενὸς	σύμμετρος
ζ	βραχὺς	πλατὺς	η	βραχὺς	σύμμετρος	θ	βραχὺς	στενός

ἐν τούτῳ μὲν οὖν τῷ διαγράμματι τὰς περὶ τὸ μῆκος τρεῖς διαφοράς, ταῖς περὶ τὸ πλάτος τρισὶ συμπλέξαντες, ἐννέα συζυγίας ἐποιήσαμεν. ἕτερον δ' αὖ διάγραμμα κατὰ τὸν αὐτὸν γένοιτο τρόπον ταῖς τοῦ μήκους τρισὶ διαφοραῖς, τὰς τοῦ βάθους τρεῖς ἔχον ἐζευγμένας, καὶ ἄλλο τρίτον ἐν ᾧ ταῖς τοῦ βάθους τρισίν, αἱ τοῦ πλάτους τρεῖς συμπλακήσονται. καὶ πρόδηλον, ὡς καθ' ἕκαστον αὐτῶν ἐννέα γενήσονται συζυγίαι. ὥστ' εἶναι τὰς πάσας ἑπτὰ καὶ εἴκοσι. δῆλον οὖν ἤδη γέγονεν, ὡς καὶ τούτων τῶν κατὰ συνδύο νοουμένων παμπόλλους παρῆκεν ὁ Ἀρχιγένης, ὥσπερ καὶ τῶν ἄλλων. ἡμεῖς δὲ τούτους μὲν παρήκαμεν δι' ἃς εἴπομεν αἰτίας. ἐγράψαμεν δὲ τάς τε κατὰ μίαν διάστασιν νοουμένας ἐννέα τὸν ἀριθμὸν οὔσας, καὶ τοὺς κατὰ τὰς τρεῖς ἅμα τοὺς ἐν τῷ διαγράμματι τοὺς ἑπτὰ καὶ εἴκοσιν. ἁπάντων δὲ τούτων κοινὸν γένος ἐποιησάμεθα, οὐ τὸ μέγεθος, ἀλλὰ τὸ ποσὸν τῆς διαστολῆς, δηλοῦμεν τε τῶν περὶ τοὺς σφυγμοὺς διαφορῶν, τὰς μὲν ὀνόματι, τὰς δὲ λόγοις. οὔτε γὰρ ἔχουσιν ὀνόματα πᾶσαι, καὶ νομοθετεῖν καινὰ περιττὸν ἡγούμεθα, μηδέν γε δὴ χεῖρον τῶν λόγων δηλοῦν δυναμένων. ἐμοὶ μὲν γὰρ δοκοῦσι μὴ πολὺ χεῖρον, ἀλλὰ καὶ πολὺ βέλτιον τῶν ὀνομάτων διδάσκειν οἱ λόγοι. τά τε γὰρ ἄλλα καὶ τὰς πλείστας τῶν διαφορῶν τέμνουσιν εἰς ἄλλας πλείους, καθάπερ εἰρήκαμεν ἐπὶ τοῦ μεγάλου σφυγμοῦ. τούτου γὰρ αὐτοῦ πάλιν ἓξ διαφοράς ἐστι καὶ νοῆσαι καὶ λόγῳ διερμηνεῦσαι, τὸν μέν τινα μέγιστον ἐν αὐταῖς νοήσαντα, καὶ καλέσαντα τὸν πλεῖστον ἀπέχοντα τοῦ συμμέτρου, τὸν δ' ἁπλῶς μέγαν, τὸν μεταξὺ τοῦ μεγίστου καὶ τοῦ συμμέτρου. μεταξὺ δ' ἑκατέρων ἄλλας θεῖναι δύο διαφορὰς ἐγχωρεῖ, τὴν μὲν λόγῳ μείζονα τοῦ συμμέτρου, τὴν δ' ἀπολειπομένην ὀλίγῳ τοῦ μεγίστου. τὸ δ' οὕτως τέμνειν ὅτι μέν ἐστιν εἰς τὰς προγνώσεις χρησιμώτατον, ἅπαντι δῆλον, ὅτῳ καὶ μικρὸν ἐμέλησε τῶν ἔργων τῆς τέχνης. καὶ γὰρ ἐπὶ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ καὶ πάντων ἁπλῶς τῶν κατὰ τὴν τέχνην τὸ διαιρεῖν ἐπὶ σμικρότατα δύνασθαι, καὶ ταῖς κατ' ὀλίγον ὑπεροχαῖς πειρᾶσθαι παρακολουθεῖν, ἀνδρός ἐστιν, ἄλλως τε συνετοῦ καὶ προσέτι γεγυμνασμένου κατὰ τὰ ἔργα, καὶ περὶ παντὸς ποιουμένου τὸ στοχαστικὸν τῆς τέχνης εἰς στενὸν ὡς ἔνι μάλιστα συγκλεῖσαι. οὐ μὴν ἔν γε ταῖς ἀρχαῖς τῆς διδασκαλίας τμητέον οὕτως. τοῖς μὲν γὰρ ἀσυνέτοις τῶν μανθανόντων ταραχὴν οὐκ ὀλίγην παρέξει, τοῖς δὲ συνετοῖς εἰς ἐκ τῶν εἰρημένων ὑπονοηθήσεται. διὰ τοῦτο οὐδὲ ἡμεῖς ἐμνημονεύσαμεν αὐτῶν ἐν τῷ πρώτῳ τῶν ὑπομνημάτων, ἀλλ' οὐδὲ νῦν ἂν εἴπομεν, εἰ μὴ πᾶν τὸ πλῆθος τῶν κατὰ τὸ ποσὸν ὀνομαζομένων τε καὶ νοουμένων σφυγμῶν ἠβουλήθημεν ἐνδείξασθαι. καὶ γὰρ τῶν κατὰ μίαν διάστασιν νοουμένων τάσδ' ὑπερβολὰς καὶ τὰς ἐνδείας οὐκ ἐξ ἀρχῆς τέμνειν δυνατόν, ὥσπερ ἐπὶ τοῦ μεγάλου συνεδείξαμεν. ὁ γὰρ σύμμετρος μόνος ἐν ἑκάστῳ τῶν γενῶν εἷς ἐστι καὶ ἄτμητος. οἱ δὲ ἄλλοι πλείστας τομὰς δέχεσθαι δύνανται, πρὸς μέν γε τὴν φύσιν αὐτῶν ἀπείρους, κατὰ γὰρ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν παντὶ γένει τῷ δεξαμένῳ τὴν ὑπερβολήν, καὶ ἔλλειψιν ἀπείρας ἀναγκαῖον εἶναι τὰς διαφοράς, οὐ μὴν πρός γε τὴν αἴσθησιν οὕτως ἔχει, ἀλλὰ παρὰ τὸ βέλτιον ἢ χεῖρον αὐτοὺς ἠσκῆσθαι, τῇ μὲν καὶ τὰς παρὰ μικρὸν ἔνεστι διαφορὰς γνωρίζειν, τῇ δὲ τὰς ἀξιολόγους μόνον. καὶ γὰρ καὶ τὰς τῆς φωνῆς ὑπεροχὰς ὁ μὲν μουσικὸς οὐκ ἄχρι τόνου, καὶ ἡμιτονίου μόνον, ἀλλὰ καὶ μέχρι διέσεως ἱκανῶς διαγινώσκει, ὁ δ' ἰδιώτης οὐδὲ δυοῖν τόνοιν ὑπεροχὴν ἀκούειν οἷός τε. καὶ γοῦν καὶ ἡμεῖς τό γε νῦν εἶναι τὴν ἡμετέραν αἴσθησιν ἐξηγησάμεθα. παρακολουθοῦμεν γὰρ ἐν τῇ τοῦ συμμέτρου καθ' ἕκαστον γένος ὑπερβολῇ τε καὶ ἐνδείᾳ, διαφοραῖς σφυγμῶν ἕξ. ἀλλ' ἀρκεῖ τοῖς εἰσαγομένοις τὰ μὲν πρῶτα μιᾶς ἑτέρας αἰσθάνεσθαι, καὶ χωρίζειν αὐτὰς δύνασθαι τῆς συμμέτρου. χρόνῳ δ' ἂν οἶμαι τριβομένοις αὐτοῖς περὶ τὸ πρᾶγμα, πρῶτον μὲν ἴσως διχῇ τέμνειν αὐτάς, εἶτα δὲ καὶ τριχῇ, καὶ τετραχῇ περιέσται. ταῦτα πάντα μάλιστα μὲν ὑπὲρ τοῦ δεῖξαι πολλῶν σφυγμῶν ἓν γένος κοινόν, εἴρηται. χρήσιμα δ' ἐστὶ καὶ αὐτὰ καθ' ἑαυτὰ γινώσκεσθαι, καὶ ἡμεῖς τοῖς ἤδη προήκουσιν ἐν τοῖς μαθήμασιν τὰ τοιαῦτα λέγομεν, ὧνπερ δὴ καὶ μόνων ἐστὶν ἀκούσματα. ὅτι μὲν οὖν ἐστί τι γένος σφυγμῶν τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένων, αὐτάρκως δέδεικται. ὅτι δὲ καὶ τῶν πρῶτον ἐστὶ γενῶν, οἶδα γὰρ καὶ τοῦτ' ἐπαγγειλάμενος δείξειν, ὧδ' ἂν μάλιστα μάθοις, εἰ παραβαλεῖς καθ' ἕκαστον τῶν ἄλλων γενῶν τὴν αὐτὴν ποιήσασθαι γυμνασίαν,

ἣν ἐπὶ

ἂν ὑπὲρ τούτου νῦν ἐποιησάμεθα. ποιήσεις δὲ μάλιστα οὕτως, εἰ καθ' ἕκαστον αὐτῶν προχειριζόμενος, ἐπισκοπεῖς ἢ
κοινὸν γένος ἀνωτάτω ἐνδέχεται συστῆναι, τούτου τε τοῦ περὶ τὸ ποσὸν τῆς διαστολῆς, καὶ τοῦ σὺν αὐτῷ προτεί-
νομένου. φέρε γοῦν ἐπειδὴ ταχύς τίς ἐστι καὶ βραδὺς καὶ σύμμετρος ἐν τῇ κινήσει τῆς ἀρτηρίας σφυγμός, καὶ τοῦτο
κοινὸν γένος ἐστὶ τὸ ποιὸν τῆς κινήσεως, ὡς κἀν τοῖς περὶ διαγνώσεως σφυγμῶν ὑποδείκνυται, σκεπτέον ἡμῖν
ἐστὶ, τί ποτε κοινὸν γένος εὑρεῖν δυνησόμεθα ποιοῦ τε καὶ ποσοῦ. μὴ δυνηθέντων γὰρ ἐν τοῖς πρώτοις γένεσι τά-
ξομεν τό, τε ποσὸν τῆς διαστολῆς καὶ τὸ ποιὸν τῆς κινήσεως. ἀλλ' ἐπεὶ καὶ τὸ ποιὸν τοῦ σώματος τῆς ἀρτηρίας ἄλ-
λο γένος ἦν σφυγμῶν, ἐν αὐτῷ γὰρ ὅ τε μαλακὸς, καὶ ὁ σκληρὸς, καὶ ὁ σύμμετρος περὶ τὴν σύστασιν τοῦ χιτῶ-
νος τῆς ἀρτηρίας ἦσαν, ἐπισκεπτέον αὖ πάλιν τί καὶ τούτων ἐστὶ κοινὸν γένος, λέγω δὲ τούτου τε τοῦ νῦν εἰρημέ-
νου καὶ τοῦ περὶ τὸ ποσὸν τῆς διαστολῆς. ἂν δὲ μηδὲν φαίνηται, τῶν πρώτων ἡμῖν καὶ αὐτὸ θετέον εἴη. ὅτι δ' ἐν τῷ
10 περὶ τῶν τοιούτων σκοπεῖσθαι, γεγυμνάσθαι χρὴ διαγινώσκειν τὰς κατηγορίας, ἡγοῦμαι πρόδηλον ὑπάρχειν, ἵν'
ὅταν ὑπὸ μίαν μὲν ἄμφω ἄγηται κατηγορίαν τὰ ζητούμενα, μὴ μέντοι κοινὸν γένος τι ἐπ' αὐτοῖς ᾖ, μὴ πα-
ραπτώμεθα τῷ κοινῷ τῆς κατηγορίας, ὡς τούς γε πλείστους τῶν ὀψιμαθῶν τε καὶ ἀγυμνάστων ψευδοδιαλεκτικῶν,
ἔνθα κατηγορία κοινὴ, καὶ γένος ἐνταῦθα κοινὸν εὑρήσεις νομίζοντας, ὡς ἂν μὴ δυναμένους διαιρεῖσθαι τὴν ὁ-
μωνυμίαν. οὕτω γοῦν ἔχει κἀπὶ τοῦ περὶ τὴν κίνησιν καὶ τὸ σῶμα τῆς ἀρτηρίας ποιοῦ. κατηγορία μὲν ἡ τοῦ ποιοῦ
κοινὴ κατ' ἀμφοῖν τοῖν γενοῖν, οὐ μὴν καὶ γένος γέ τι κοινὸν ἐπ' ἀμφοῖν. ὁμωνύμως γὰρ οὐ συνωνύμως ἄμφω
ποιὰ λέγεται. οὐ γοῦν ἐν ταυτὸν ἐστὶν ἐν ἀμφοτέροις τὸ ποιὸν καθάπερ ἐν λευκῷ, καὶ μέλανι, ἢ ἐν ψυχρῷ, καὶ θερ-
μῷ, ἀλλὰ κινήσει μὲν τὸ ποιὸν ἴδιον, καὶ γένους ἄλλου. τῷ δὲ σώματι τῆς ἀρτηρίας ἴδιον, καὶ γένους ἄλλου. οὐ γὰρ
ἐστὶν ἐν ταὐτῷ γένει κίνησις τε καὶ σύστασις ἀρτηρίας σώματος. ἀλλὰ περὶ μὲν τούτων τάχ' ἂν ἐν τοῖς ἑξῆς ἐπὶ
πλέον ῥηθείη, περὶ δὲ τοῦ περὶ τὸ ποσὸν γένους τῶν σφυγμῶν ἤδη δῆλον ὅπως χρὴ σκοπεῖσθαι, πότερα τῶν πρώ-
20 των ἐστὶ γενῶν, ἢ τῶν δευτέρων. τοῦ μὲν γὰρ κατά τε τὴν κίνησιν καὶ τὸ σῶμα τῆς ἀρτηρίας φανερῶς ἕτερον ὑ-
πάρχει. εἴ γε καὶ τὸ ποσὸν ἕτερον τοῦ ποιοῦ. διὰ ταῦτα γε καὶ τοῦ περὶ τὸν τόνον, ἐν ᾧ σφοδροί τέ τινες καὶ ἀμυ-
δροὶ γίνονται σφυγμοί. καὶ γὰρ οὗτοι περὶ τὸ ποιὸν ἤτοι τῆς πληγῆς, ἢ τοῦ ζωτικοῦ τόνου συνίστανται. καὶ μὴν καὶ ῥυ-
θμοῦ καὶ τοῦ περὶ τάξιν τε καὶ ἀταξίαν, ὁμαλότητά τε καὶ ἀνωμαλίαν. ὑπὸ γοῦν τὴν τοῦ πρός τι κατηγορίαν ἔρχε-
ται ταῦτα σύμπαντα. λοιπὸν δ' ἂν εἴη παραβάλλειν αὐτὸ τῷ περὶ τὴν πυκνότητα καὶ ἀραιότητα γένει. φαίνεται
γὰρ τοῦτο περὶ τὸ ποσὸν τοῦ χρόνου τῆς ἡσυχίας συνιστάμενον. ἀλλὰ κἀνταῦθα πάλιν ὑπὸ μὲν τὴν αὐτὴν κατηγο-
ρίαν ἀναχθήσεται. γένος δ' οὐ ταυτὸν ἀμφοῖν γενήσεται. γένει γὰρ ὅλῳ διαφέρει τὸ ἐν διαστάσει σώματος
ποσὸν, τοῦ περὶ χρόνον ποσοῦ, καὶ δῆλον ὡς οὐδὲν ἀνωτέρω γένος ἐν σφυγμοῖς ἐστὶ τοῦ περὶ τὸ ποσὸν τῆς διαστολῆς,
ὥσπερ οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων οὐδενός. ὅστις δ' ἀκριβῶς τούτοις ἕπεσθαι βούλεται, γεγυμνάσθαι πρότερον
αὐτὸν χρὴ περὶ τὰς κατηγορίας. τὸ γὰρ τοῦ Ἀρκεσιλάου καλὸν, ὡς οὐδεὶς πόκον εἰς γναφεῖον φέρει. τάξις γάρ
30 ἐστὶν ὥσπερ ἐρίων ἐργασίας, οὕτω καὶ μαθημάτων διδασκαλίας, καὶ οὐδεὶς οὔτ' ἀναγινώσκειν διδάσκεται
πρὶν πάσας ἐκμαθεῖν τὰς συλλαβὰς αὐτὰς, πρὶν ἅπαντα τὰ στοιχεῖα τῆς φωνῆς, οὔτε τὰ σύνθετα παλαίσμα-
τα. πρὸ τῶν ἁπλῶν καὶ ῥᾳδίων; οὐδὲ ταῦτα, πρὶν τρίψασθαι καλῶς, οὐδὲ τοῦτο, πρὶν ἀλείψασθαι γυμναστικῶς;
ἀλλ' ἕκαστον αὐτῶν τὸ μὲν πρῶτον, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον ἐστὶν, ἐν ἁπάσαις ταῖς τέχναις. οὕτω δὴ καὶ
τοῖς περὶ τὴν διαλεκτικὴν, οὐκ ἐνδέχεταί τινα πρὶν ἐν τοῖς πρώτοις καὶ οἷον στοιχείοις γυμνάσασθαι, ταῖς τῶν ἑ-
ξῆς ἀποδείξεσιν ἕπεσθαι. περὶ μὲν τούτων εἴς γε τὸ παρὸν ἱκανὰ καὶ ταῦτα. λοιπὸν δ' ἂν εἴη περὶ τοῦ τῆς διαφο-
ρᾶς ὀνόματος εἰπεῖν, πρῶτον μὲν ὅτι μὴ καινοτομοῦμεν ἡμεῖς περὶ τοὔνομα, δείξομεν. ἔπειτα δὲ καὶ οἷόν τι δη-
λοῖ παρὰ τοῖς Ἕλλησιν ἐξηγησόμεθα. τοῦ μὲν δὴ μὴ καινοτομεῖν, πρῶτος Ἀρχιγένης μάρτυς, ὧδέ πως γρά-
φων, κατὰ τὴν ἀρχὴν τοῦ περὶ τάξεως τε καὶ ἀταξίας, ὁμαλότητός τε καὶ ἀνωμαλίας γένους. Ἡρόφιλος
κατὰ γένος τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἐκθέμενος οὕτως. μέγεθος, τάχος, σφοδρότης, ῥυθμὸς, ἀσυ-
40 ζύγως κατ' εἶδος τάξεως ἐμνήσθη καὶ ἀταξίας, ὁμαλότητός τε καὶ ἀνωμαλίας. ἐν ταύτῃ τῇ λέξει σαφῶς
ὁ Ἀρχιγένης οὐ μόνον ὅτι διαφοραὶ περὶ τοὺς σφυγμούς εἰσιν, ἀλλὰ καὶ ὡς αἱ μέν τινες αὐτῶν κατὰ γένος,
αἱ δὲ κατ' εἶδος ἐμνημόνευσεν. οὐ μόνον δὲ κατὰ τὴν ἀρχὴν τοῦτ' ἐποίησεν, ἐπελάθετο δὲ ἐν τῷ μετὰ ταῦτα
λόγῳ παντί. μυριάκις γὰρ μνημονεύει τοῦ τε τῆς διαφορᾶς ὀνόματος, τοῦ τε τῶν γενῶν, καὶ εἰδῶν ὀρθότατα
φρονῶν καὶ γινώσκων, ὅτι τῶν διαφορῶν αἱ μέν τινες εἰσὶ γενικαὶ, αἱ δὲ εἰδικαὶ, καὶ αὐτῶν γε τούτων αἱ μὲν
γενικώτεραι, αἱ δὲ εἰδικώτεραι. ὀλίγας οὖν παραγράψομεν ῥήσεις αὐτοῦ εἰς ἀπόδειξιν τοῦ προκειμένου, πρώτην
μὲν ταύτην ἐκ τοῦ αὐτοῦ λόγου περὶ τάξεως καὶ ἀταξίας. οἱ μέν γε τὴν ὁμαλότητα ἐπὶ τίνων διαφορῶν ἤκουον
μόνων. ἐγὼ δ' ἐπὶ πασῶν ἐφ' ὅσων καὶ τὴν τάξιν. εἶθ' ἑξῆς. ἀνωμαλία μὲν ἀνισότης σφυγμῶν κατά τινα τῶν
παρεπομένων αὐτῇ διαφορῶν. ἀταξία δὲ ἀσυστασία χρονικὴ κατά τινα τῶν τοῦ σφυγμοῦ διαφορῶν. ἐν ταύτῃ
μέν γε τῇ ῥήσει δὶς ἔγραψε τὸ τῆς διαφορᾶς ὄνομα. εἶτα μετ' ὀλίγον. οὐδ' εἰρήκασιν οὐδ' ὑπὲρ τούτων, εἴγε δεῖ
50 τὸν κατὰ πᾶσαν διαφορὰν ἴσον ὁμαλὸν λέγειν. αὖθις δ' ἐφεξῆς. καὶ ὁ μὲν καθάπερ τεταγμένος, οὗτος καθ'
ἡμᾶς ἔσται ἴσος μεγέθει, σφοδρότητι, τάχει, ῥυθμῷ, καὶ εἴ τινι ἄλλῃ τοιαύτῃ διαφορᾷ σχέσιν ἔχων θεωρεῖται κα-
τὰ πάσας. πρὸς ᾗ δὲ ὁ κατὰ μίαν τινὰ τούτων διαφορὰν ἐν σχέσει θεωρούμενος, ἢ κατὰ δύο, ἢ κατὰ πλείονας.
ἐν ταύτῃ γὰρ πάλιν τῇ ῥήσει δὶς ἐμνημόνευσε τοῦ τῆς διαφορᾶς ὀνόματος. συνάπτων δ' αὐτῇ τὸν ἑξῆς λόγον,
πρῶτον μὲν οὕτως ἐρεῖ. ἡ μὲν γὰρ καθάπαξ καὶ ἀπλελυμένη πασῶν τῶν διαφορῶν ἐστὶν ἰσότης. ποτὲ δὲ οὕτως.
καὶ ἀνώμαλον μὲν σφυγμὸν τὸν καθάπαξ καὶ κατὰ μίαν διαφορὰν ἄνισον λεγόμενον. ποτὲ δ' οὕτως. ἔσθ' ὅτε
δὲ τὰ μὲν ἄλλα διὰ τριῶν, ὡς εἶπον, ἀναλογεῖ. ἡ σφοδρότης δὲ ὡς ἂν ἀμφιμερινὸς ἐστὶν ὁμαλὴς οὖσα καὶ ἴση
ἐφεξῆς, ἢ ἄλλη τις τῶν λοιπῶν διαφορῶν, ἢ ἄλλη. τούτοις δὲ συνάπτων τὸν ἑξῆς λόγον ἐρεῖ. ἀναλογούντων τῶν
σφυγμῶν ὁ, [illegible] τε πάσαις ταῖς διαφοραῖς καὶ τινὶ ἢ τισίν. εἶθ' ἐφεξῆς. ἔσθ' ὅτε δὲ τὰ μὲν ἄλλα πάντα τε τα-

γμένα ἐστὶν, ἢ νὴ Δί' ὁμαλά. μία δὲ ἡ διαφορά. οἷον τὸ μέγεθος, ἢ δύο, ἢ πλείους, ἅπαντα τελέως εἰσίν. εἶτ' ἐπὶ τῇ τελευτῇ τοῦ λόγου. νοεῖσθαι γὰρ δεῖ φησίν, ἃ ἔφην περὶ τάχους καὶ βραδυτῆτος, ἐπὶ πάσης ἄλλης διαφορᾶς σφυγμοῦ. τοσαῦτα μὲν ἐκ τούτου τοῦ λόγου παραγεγράφθω. τί γὰρ ἄν τις πλειόνων μνημονεύοι. μεταβῶμεν δὲ αὖθις ἐφ' ἕτερον ὑπὲρ τοῦ μὴ δοκεῖν ἐξ ἑνὸς τόπου μαρτυρίας λαμβάνειν. παραγράψωμεν οὖν ῥήσεις ἐκ τῶν ἑξῆς, καὶ πάλιν ἐκ τῶν ἔμπροσθεν. ἑξῆς μὲν οὖν ἐστὶ πρόγραμμα τοιοῦτον. τίς ἡ καθ' ἕνα σφυγμὸν ἀνωμαλία. γράφει δ' εὐθέως μετὰ τὴν ἀρχὴν τοῦ λόγου τόνδε τὸν τρόπον. εἰσὶ δ' αὗται πλείους διαφοραί, τῆς καθ' ἕνα δηλονότι σφυγμὸν ἀνωμαλίας. εἶθ' ἑξῆς. τὰ πολλὰ δὲ ταύταις ταῖς διαφοραῖς, καὶ ταῖς κατὰ μέγεθος συντρέχουσιν ἀνωμαλίαις, καὶ πάλιν ἐφεξῆς. ἄλλη δ' ἐστὶ διαφορὰ κατὰ μέγεθος ἀνωμάλου ἑνὸς σφυγμοῦ. ταῦτα μὲν καὶ ἐκ τούτου τοῦ λόγου λαβεῖν ἐστί. προσπαραγράψωμεν δ' αὐτοῖς ἔτ' ὀλίγα τῶν εὐθὺς κατ' ἀρχὰς εἰρημένων τοῦ βιβλίου. μία μὲν οὖν ῥῆσις ἐν τῷ περὶ σφοδρότητος σφυγμοῦ λόγῳ τοιαύτη τίς. ἔστι δὲ κατὰ τὴν σφοδρότητα τοιαύταις καὶ ἄλλαις ἐντυγχάνειν διαφοραῖς. ἑτέραν δὲ ταύτην ἀμυδροῦ σφυγμοῦ διαφορὰν θείη τις ἄν. καὶ ἑξῆς ἄλλην. εἰ δ' οὐκ ἔκλυτος μὲν ἀλλ' οἷον παραπεποδισμένος, καὶ εἴσω ῥέπον τὸ βάρος ἔχουσα πεποδισμένη, καὶ δεδυκυῖα διαφορά, κατὰ σφοδρότητα ἂν εἴη σφυγμοῦ. ἑξῆς δ' ἐν τῷ περὶ πληρότητος λόγῳ, ποτὲ μὲν οὕτως γράφει, πλῆθος τοσούτων διαφορῶν, ποτὲ δ' οὕτως. ἡ διαφορὰ μόνον πρὸς τὸν διανεστηκότα ψιλῶς θεωρείσθω. πάλιν δ' ἐν τῷ περὶ πυκνότητος καὶ τάχους ὧδέ πως γράφει. ὀλίγοι δέ τινες ἐμφαίνουσι σαινόμενοι διαφοράς, καὶ κατὰ τὴν τελευτὴν τοῦ παντὸς λόγου. ταχύτητος μὲν δὴ καὶ πυκνότητος διαφοραὶ αὗται. πάλιν δ' * ἐν τῷ τίς ὁ δίκροτος, καὶ ὁ διὲ ἴσου σφυγμός. οὐκ ἔστι δὲ ἰδία τις διαφορὰ σφυγμοῦ αὕτη. ἀλλ' ἐν εἴδει κεῖται ἢ ῥυθμοῦ, ἢ τάξεως. ἅλις ἤδη γε διαφορᾶς, μή πως λάθωμεν εἰς ἐκφορὰν ἐκπεσόντες. εἰ γάρ τις βούλεται τὸ περὶ σφυγμῶν βιβλίον ὅλον ἀναγινώσκειν τοῦ Ἀρχιγένους, ἄλλο βιβλίον ἐξ αὐτοῦ πληρῶσαι δυνήσεται τοῦ τῆς διαφορᾶς ὀνόματος. νῦν μὲν γὰρ ἡμεῖς οὐδ' ἐκ τοῦ πέμπτου μέρους ἐξελέξαμεν ταῦτα. καὶ πολλὰς παραγράψαμεν ῥήσεις, οὐχ οὕτως ὑπὲρ τοῦ τῆς διαφορᾶς ὀνόματος σπουδάσαντες, ἀλλ' ἵν' ἐπιδείξωμεν τὸ σημαινόμενον πολυειδὲς ὄν. καὶ γὰρ τὰ γένη πολλάκις διαφορὰς κέκληκε, τά τε πρῶτα, καὶ τὰ δεύτερα, καὶ τὰ εἴδη τῶν γενῶν, οὐδὲν ἧττον. καὶ ὅσα δὲ μήτε γένη, μήτ' εἴδη τέταχεν ὄντα. διαφορὰς δ' αὐτὸ τοῦτο μόνον, καὶ ταύτας διαφορὰς κέκληκεν, ἐν ᾧ καὶ ἡ παρακοὴ τῶν ψευδοδιαλεκτικῶν ἐστί. τοῦ γὰρ τῆς διαφορᾶς ὀνόματος παρά τε τοῖς ἄλλοις Ἕλλησιν ἅπασι, καὶ παρὰ τοῖς παλαιοῖς φιλοσόφοις, κατὰ τῶν τριῶν τούτων ὧν εἴπομεν ἄρτι λεγομένου, κατὰ μὲν τῶν γενῶν, καὶ τῶν εἰδῶν κοινότερον, κατὰ δὲ τῶν μὲν ἐν ταῖς διαιρέσεσιν εὑρισκομένων, ὄντων δὲ μήτ' εἰδῶν μήτε γενῶν ἰδικώτερον, τοῦτο μόνον τὸ σημαινόμενον ἐμνημόνευσαν, τοῦ κοινοῦ παντάπασιν ἐπιλαθόμενοι, ἀλλ' ὑπὸ τῆς ἀδρασείας νεμεσώμενοι ταῖς σφετέραις ἑαυτῶν οὐκ ἐμμένουσι νομοθεσίαις. διὰ τοῦτ' ἐγὼ νῦν οὐ παρὰ τῶν ἄλλων Ἑλλήνων τὰ σημαινόμενα τῶν ὀνομάτων ἀναμιμνήσκω, ῥᾷστον ὄν μοι παρὰ πάντων λαβεῖν, ἀλλὰ παρ' αὐτῶν τούτων τῶν ψευδοδιαλεκτικῶν. τοὺς γὰρ ἐπαγγελλομένους μὲν ἐξηγεῖσθαι τὰς ἐννοίας τῶν ὀνομάτων, καὶ ταύτην ἀρχὴν τῆς διαλεκτικῆς θεωρίας τιθεμένους, οὐκ ἐξηγουμένους δὲ, ἀλλὰ νομοθετοῦντας μόνον, οὕτως ὀνομάζειν εἴωθα. καὶ γὰρ Ἀρχιγένης, οἶδ' ὅτι θᾶττον ἂν ὁτιοῦν παθεῖν εἵλετο, πρὶν ὁμολογῆσαι τὸ τῆς διαφορᾶς ὄνομα, καὶ κατὰ τῶν εἰδῶν λέγεσθαι. τά τε γὰρ ἄλλα καὶ ἡ αἵρεσις αὐτῶν θᾶττον πόλιν, ἢ δόγμα φησὶ χρῆναι προδιδόναι, ἀλλ' ἐὰν σιωπήσῃς νομοθετούντων καὶ μηδόλως ἀντείπῃς, εἶτ' ἐπιτρέψῃς περί τινος διαλέγεσθαι, παραχρῆμα ταῖς ἑαυτῶν νομοθεσίαις ἐναντία φθέγγονται. πολὺ δὲ τοῦτ' ἐστὶ παρὰ τῷ προπάππῳ τῆς αἱρέσεως αὐτῶν Χρυσίππῳ. νομοθετεῖ μὲν γὰρ ὀνόματα πλεῖον, ἢ Σόλων Ἀθηναίοις ἐστὰς τοῖς ἄξοσι νομίσματα. συγχεῖ δ' αὐτὸς πρῶτος αὐτά. καὶ εἰ ὅμοιο τοὺς διαδόχους αὐτοῦ τῆς νομοθεσίας, τί δή ποτε οὐκ ἐμμένει τοῖς ἑαυτοῦ παραγγέλμασι, καταχρῆται φασίν. ἔξεστιν οὖν ὦ βέλτιστοι καταχρῆσθαι, καὶ οὐχ ἁμαρτάνουσιν οἱ τοῦτο ποιοῦντες; ἔξεστι φασί. τί γὰρ ἄλλο εἰπεῖν ἔχουσιν, ὅταν ἐν φρέατι, τοῦτο δὴ τὸ τοῦ λόγου, συνέχωνται. τί δή ποτ' οὖν τοῖς ἄλλοις ἀνθρώποις οὐκ ἐπιτρέπουσιν, ἢ μόνῳ Χρυσίππῳ, καὶ τοῖς ἀπ' αὐτοῦ τοῦτο δρᾷν ἔξεστι; διὰ τί πρὸς τῶν θεῶν; ὅτι δηλαδὴ γηγενὴς Ἀττικὸς ἦν τῶν ἀμφὶ Κόδρον τε καὶ Ἐρεχθέα. ἀλλ' εἰ τῶν τοιούτων ὄντως ἦν, οὐκ ἂν παρεχάραττεν οἷον νόμισμα τι τὸ τῆς παλαιᾶς φωνῆς ἔθος. νυνὶ δὲ τὸ δεινότατον, οὔτε γεννηθεὶς Ἀθήνησιν, οὔτε τραφεὶς, ἀλλὰ χθὲς καὶ πρῴην ἥκων ἐκ Κιλικίας, πρὶν ἀκριβῶς αὐτὸν ἐκμαθεῖν ἥντινοῦν Ἑλλάδα φωνὴν, Ἀθηναίοις ὑπὲρ ὀνομάτων ἐπιχειρεῖ νομοθετεῖν. ἃ κίτταν ἐκείνων μιμούμενα. ἵνα κίτταν εἴπωμεν, μὴ κολοιὸν, μὴ δὲ κόρακα. μηδ' ἄλλο μηδὲν, ὧν οἰκειότερον ἦν εἰπεῖν τὸν οὕτω θρασύν. ὅσα μὲν οὖν Χρύσιππος εἰς τὴν τῶν Ἀθηναίων ἐξυβρίζει διάλεκτον. τάχ' ἄν ποτε καὶ αὖθις ἡμῖν διελθεῖν γένοιτο. τὰ δ' Ἀρχιγένους ταυτὶ τὰ νῦν ἡμῖν προκείμενα θαυμαστῶς ὁρᾷς ὁμολογεῖς, φοβηθέντος μὲν εἰπεῖν πρῶτα γένη καὶ πρώτας διαφορὰς, καὶ γενικὰς διαφορὰς, καὶ γένη διαφορῶν, καί τοι τούτων ἁπάντων συνήθων μὲν τοῖς Ἕλλησιν ὄντων, ὑπὸ Ἡροφίλου δὲ καὶ τῶν Ἡροφιλείων σχεδὸν ἁπάντων μυριάκις εἰρημένων, ἐξευρόντος δὲ τὸ τῆς ποιότητος ὄνομα κατὰ πάντων κοινόν. καὶ μὴν τὸ μὲν τῆς διαφορᾶς ἐγχωρεῖ κατὰ πάντων λέγειν, καὶ τῶν ποιῶν, καὶ τῶν ποσῶν, καὶ τῶν πρός τι, καὶ ὅλως ἁπαξαπάντων. παρὰ γὰρ τὸ διαφέρειν ἕτερον ἑτέρου τὸ τῆς διαφορᾶς ὄνομα γέγονέ τε καὶ νενόηται. διαφέρει δ' ἀλλήλων τὰ μὲν εὐθὺς ἐν τοῖς πρώτοις γένεσι τῶν κατηγοριῶν, ὡς ἄνθρωπος, καὶ λευκὸν, καὶ δίπηχυ, καὶ δεξιόν. τὸ μὲν γὰρ αὐτῶν οὐσία; τὸ δὲ ποιὸν, τὸ δὲ ποσὸν, τὸ δὲ πρός τι. τὰ δ' ἐν τοῖς ὑπ' αὐτὰ, καθάπερ τὸ λευκὸν, καὶ τὸ τρίγωνον. τοῦ μὲν γὰρ τὸ χρῶμα γένος, τοῦ δὲ τὸ σχῆμα. πέπτωκε δ' ἄμφω ταῦτα πάλιν ὑπὸ τὴν τοῦ ποιοῦ κατηγορίαν. ὥστε τὸ λευκὸν τῷ τριγώνῳ κατὰ μὲν τὴν πρώτην κατηγορίαν ὡσαύτως ῥηθήσεται. ποιὸν γὰρ ἑκάτερον. ἐν γένει δ' ἔσται διαφέροντι, τὸ μὲν τῶν χρωμάτων, τὸ δὲ τῶν σχημάτων. ἄλλα δ' αὖ κατ' εἶδος διαφέρει, τῷ γένει μὴ διαφέροντα, καθάπερ τὸ λευκὸν καὶ τὸ ξανθόν. τῷ μὲν γὰρ γένει ταυτὰ, χρώματα γὰρ, εἰδικὴν δέ τινα ἔχει διαφοράν. εἴδη γὰρ χρώματος ὥσπερ τὸ μέλαν, καὶ τὸ ἐρυθρὸν, καὶ τὸ κυανοῦν, οὕτω τὸ λευκόν τε καὶ ξανθόν. ἀλλὰ δ' αὖ κατὰ τὸ ἄτομόν τε καὶ ἀριθμῷ ἐν, διαφέρει

φέρει, καθάπερ καὶ τὸ λευκὸν ὃ δ' ἐχθῆναι δύναται, τοῦ δὲ τοῦ λευκοῦ τῆς διακριτικῆς δυνάμεως, διαφέρει μέν τινα διαφορὰν ἰδίαν, ὑπὸ δὲ ταυτὸν πέπτωκεν εἶδος τὸ λευκόν. ἀλλὰ καὶ γένος αὐτῶν ταυτὸν, τὸ χρῶμα, καὶ κοινὸν κατηγορία, τὸ ποιόν. οὕτως πᾶν παντὸς, ἕτερον ἑτέρου πάντως κατά τι διαφέρει. ἐπεὶ οὖν ἡ διαφορὰ παρὰ τὸ διαφέρειν εἴρηται καὶ νενόηται, τὸ διαφέρειν δὲ κἂν τοῖς ἀτόμοις, κἂν τοῖς εἴδεσι, καὶ τοῖς ὑπ' ἄλληλα γένεσιν εὑρίσκεται, καὶ περὶ πάνθ' ἁπλῶς τὰ ὁπωσοῦν ὄντα, ἀνάγκη καὶ τὴν διαφορὰν ἐν ἅπασιν ὑπάρχειν τοῖς οὖσιν, οὐ μὴν τήν γε ποιότητα. διὰ τοῦτο Ἀρχιγένης μὲν κακῶς τὰ πρῶτα γένη τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν, ποιότητας ὠνόμασεν, ἡμεῖς δὲ ὀρθῶς καὶ ταῦτα καὶ τἄλλα πάντα διαφορὰς, ὅθεν καὶ τὴν ἐπιγραφὴν τῷ λόγῳ παντὶ περὶ σφυγμῶν διαφορᾶς ἐποιησάμεθα. τί λοιπὸν ἔτι λείπει τῶν ἀναβληθέντων; οὐδὲν, ἢ τὸ δεῖξαι τήν τε παρὰ τοῖς παλαιοῖς ἰατροῖς, καὶ τοῖς ἄλλοις Ἕλλησι περὶ τοὔνομα τῆς διαφορᾶς συνήθειαν. ὁ μὲν γὰρ ἔμπροσθεν λόγος παρ' Ἀρχιγένους αὐτοῦ τὰς πίστεις ἐποιήσατο, καὶ οὐδ' ἐξ ἁπάντων μέν τοι τῶν βιβλίων αὐτοῦ, ἀλλ' οὐδ' ἐκ τοῦ περὶ σφυγμῶν ὅλου. ὡς εἴγε κἀπὶ τἄλλα τις ἔρχοιτο τοῦ Ἀρχιγένους συγγράμματα, καὶ πυρετῶν διαφορὰς εὑρήσει καλοῦντα τὸν ἄνδρα, καὶ παθῶν καὶ διαιτημάτων, τοῦ μυριάκις χρώμενον καθ' ὧν εἴπομεν πραγμάτων τῷ τῆς διαφορᾶς ὀνόματι. τὸ δὲ καὶ παρὰ τῶν ἄλλων τε ἰατρῶν, καὶ ὅλως Ἑλλήνων χρήσεις παραγράφειν, οὕτω μοι δοκεῖ μακρὸν ὑπάρχειν, ὥστε βίβλους μεγίστας δύνασθαι πληρῶσαι. κάλλιστον οὖν αὐτῶν ἕκαστον ἐκλέγειν. εὐθὺς γοῦν καὶ τοῖς ἄλλοις τῶν Ἑλλήνων ὀνόμασιν ἐθισθήσεται, καὶ ἧττον ἡμῖν πράγματα παρέξει πρὸς τὸν ἑξῆς λόγον. καὶ ἡμετέρας δὲ δύο πραγματείας ὁ βουλόμενος ἔχει, τήν τε περὶ ἀττικῶν ὀνομάτων, καὶ τὴν περὶ τῶν ἰατρικῶν. ἴσως δ' ἄν ποτε καὶ περὶ τῶν ἰωνικῶν ποιήσαιμ' ἄν, ὥστε ἐξ ἐκείνων ὅσα περὶ λέξεώς τε καὶ ὅλως ὀνομάτων ζητεῖται, μανθάνειν. νυνὶ δὲ τὸ συνεχὲς τοῦ λόγου παραινέσθω, τοῦτον μὲν ἐνταῦθα καταπαυσάντων ἡμῶν, ἐν δέ τοι τοῖς ἑξῆς ὅσα λείπει προσθέντων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Γ΄.

Τὸ μὲν δὴ περὶ τῶν πραγμάτων ἡμᾶς διαφέρεσθαι, τῷ μὲν ἴσως ἀναγκαῖον εἶναι δόξει, τῷ δ' εὔλογον, τῷ δὲ τινὶ καὶ συγγνώμης ἄξιον. κατὰ μὲν γὰρ τὸν τραγικὸν ποιητὴν, εἰ πᾶσι καλὸν ἔφυ σοφόν θ' ἅμα, οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις, νυνὶ δὲ οὐδὲ δοκεῖ πᾶσι ταυτὸν, οὔτε καλὸν, οὔτε σοφὸν, οὔτε ἀληθὲς εἶναι, ἀναγκαῖον οἶμαι διαφέρεσθαι. κατὰ δὲ τὸν φιλόσοφον τὸν εἰπόντα. ἣν γὰρ καὶ τὰ μέγιστα τύχῃ τετελεσμένα, εἰπὼν αὐτὸς, ὅμως οὐκ οἶδε, δοκὸς δ' ἐπὶ πᾶσι τέτυκται. διὰ τὸν δοκὸν τοῦτον εὔλογον διαφέρεσθαι κατά γε τοὺς ἡγουμένους εἶναι βεβαίως τε καὶ ἀραρότως γνωστὸν, ἀλλὰ χαλεπὸν εὑρεθῆναι τοῖς πολλοῖς, συγγνωστὸς ὁ μὴ τυγχάνων αὐτοῦ, τὸ δὲ καὶ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, καὶ μὴ δὲ μετρίως τοῦτο, μὴ δ' ὡς ἔτυχε ποιεῖν, ἀλλὰ βίβλους ὅλας μεγίστας ἀναπιμπλάναι τῆς περὶ ταῦτα τερθρείας οὔτ' ἀναγκαῖον, οὔτ' εὔλογον, οὔτε συγγνώμης ἄξιον, ἐμοὶ γοῦν εἶναι δοκεῖ. τοσαύτης γὰρ οὔσης τῆς ἐν τοῖς πράγμασιν ἀσαφείας, ὥστε εἰ καὶ τριπλασίονα βίον ζήσαιμεν, οὗ νῦν ζῶμεν, οὐδὲ τότ' ἂν ἴσως ἁπάντων ἡμῖν ἀκριβῶς γνωσθέντων. εἰ καὶ διὰ τοῦτ' εἰπόντος Ἱπποκράτους ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ, πῶς οὐκ ἄτοπος ὁ περὶ τὰ μηδὲν προσήκοντα τρίβων τὸν χρόνον; ὥσπερ οὕτω πολὺν ἔχων, ὥστε καὶ τοῦτ' ἐκ περιττοῦ μανθάνειν, καὶ τἀναγκαῖα κατὰ σχολὴν ζητεῖν. ἆρ' οὖν οὐ τοῦτο δρῶσιν οἱ τὰ τοιαῦτα γράφοντες, οἷά περ καὶ ὁ Ἀρχιγένης ἐν τῷ περὶ σφοδροῦ σφυγμοῦ λόγῳ. ἔστι δὲ ἡ ῥῆσις μακρὰ, καὶ πᾶσαν παραγράφειν ἐνταῦθα αὐτὴν, ἄτοπον. ἀλλ' ὅμως ὁ βουλόμενος ἐκ τοῦ περὶ τῶν σφυγμῶν συγγράμματος ἀναγινωσκέτω. τέταρτον γάρ ἐστιν ἀπὸ τῆς ἀρχῆς κεφάλαιον. ἄρχεται δ' αὐτοῦ τοῦτον τὸν τρόπον, τὴν σφοδρότητα τοῦ σφυγμοῦ οὐκ εἶναι ἁπλῶν ποιοτήτων φησὶ Μάγνος. ὡς οὖν ἀνεγνωκότι σοι τοῦτον ἅπαντα τὸν λόγον τὸν περὶ τῆς σφοδρότητος, ἤδη πειράσομαι λέγειν ἃ γινώσκω. θαυμάζω γὰρ οὐ τοῦτο μόνον ὅτι περὶ ὀνόματος ἐρίζει. τοῦτο μὲν γὰρ τὸ ἁμάρτημα σχεδὸν ἤδη τοῖς πλείστοις οὐκ ἰατροῖς μόνον, ἀλλὰ καὶ φιλοσόφοις συνήθες, ἀλλ' ὅτι μὴ δ' αὐτὸ τοῦτ' αἰσθάνεται, ὅτι περὶ ὀνομάτων ἐρίζει, καὶ διὰ τοῦτο οἶμαι, νομίζων περὶ πράγματος διαλέγεσθαι, μακροὺς ἀποτείνει λόγους. οἱ πρὸς τοῖς ἄλλοις ἀτόποις, ἔτι καὶ ἀσαφῶς κείμενοι, βίβλου τινὸς ἑτέρας ἐξηγουμένης αὐτοὺς οὐ μικρᾶς δέονται, ἵν' ἀεὶ κατατριβώμεθα δηλαδὴ περὶ ὄνου σκιᾶς ἀμφισβητούντων, μὴ δὲ τοσοῦτόν γ' ἄρα πρὸς τῆς διαλεκτικῆς ὠφεληθέντων, ὡς γνωρίζειν δύνασθαι, τίς μὲν ὑπὲρ ὀνόματος ἐστὶ, τίς δὲ ὑπὲρ αὐτοῦ ζήτησις τοῦ πράγματος. ὄντος γάρ τινος σφυγμοῦ βιαίου κατὰ τὴν προσβολὴν, ὡς ὠθεῖν τε καὶ ἀνατρέπειν τὴν ἁφὴν, τὸ μὲν ὅπως ἄν τις αὐτὸν ἀκριβῶς διαγινώσκει ζητεῖν, καὶ προσέτι τὰς αἰτίας ὑφ' ὧν γίνεται, καὶ τί δηλοῦν πέφυκεν ὁ τοιοῦτος σφυγμὸς, περὶ πράγματος ἐστὶ σκοπεῖσθαι. τὸ δὲ τί κλητέον αὐτὸν, ὑπὲρ ὀνόματος. ἵν' οὖν σαφῶς ἐπιγνῶμεν, ὅτι τὸ μὲν ὑπὲρ ὀνομάτων ἐστὶ τὸ μηδὲν ζητεῖν, τὸ δ' ὑπὲρ αὐτῶν τῶν πραγμάτων σκοπεῖσθαι, τὰς τέχνας αὔξει, καλέσωμεν τὸν προειρημένον σφυγμὸν Δίωνα. κἄπειτα λέγωμεν, ὅπως μὲν ἀκριβῶς διαγινώσκεται, τουτέστιν ὅτι θλιβόντων τὴν ἀρτηρίαν, οὐκ ἐπιπολῆς ψαυόντων, ἔπειθ', ὅτι γίνεται τῇ ῥώμῃ τῆς ζωτικῆς δυνάμεως, ὡς ἐν τοῖς περὶ σφυγμῶν αἰτίας ἐνδείκνυμεν. εἶθ' ὅτι σημεῖον ἐστὶν ἐν νόσοις ἀγαθὸν, καὶ ἄλλα τέ τινα, καὶ κρίσεις οἵας πέφυκε δηλοῦν. εἰς τέτταρα γάρ τοι μέρη νενεμημένης ἁπάσης τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας, εἴς τε τὸ περὶ τῆς διαφορᾶς αὐτῶν, καὶ τὸ περὶ διαγνώσεως, καὶ τὸ περὶ τῶν αἰτίων, καὶ τέταρτον τὸ περὶ τῆς δι' αὐτῶν προγνώσεως, οὐδὲν αὐτῶν παραβλάπτεται, καλεσάντων ἡμῶν τὸν ἰσχυρῶς πλήττοντα σφυγμὸν Δίωνα. καὶ γὰρ ὅτι τῶν

ἄλλων διαφέρει μεμαθήκαμεν. ἄν τε θέων, ἄν τε δίων, ἄν τ' ἄλλό τι καλῆται, καὶ ὅπως διαγνωσθήσεται, καὶ ὑπὸ τίνος αἰτίας γίγνεται, καὶ τί δηλοῖ. φιλονεικείτω δὴ λοιπὸν ὑπὲρ αὐτοῦ πρὸς Μάγνον Ἀρχιγένης, τάχα μὲν παρανομοῦντα καὶ αὐτὸν εἰς τὸ τῶν ἑλλήνων ἔθος, τὸ περὶ τὰς προσηγορίας, ὅμως δὲ σωζόντα τό γε τοσοῦτον, ὡς τὸ πλεῖστον αὐτῷ τῆς πρὸς τοὺς πρεσβυτέρους ἀμφισβητήσεως ὑπὲρ ὀνόματος εἶναι. τί γὰρ δὴ καὶ φησὶν ὁ Μάγνος αὐτῇ λέξει. χρὴ τοίνυν καὶ μέγεθος ἀξιόλογον εἶναι τοῖς σφυγμοῖς καὶ πληρότητα καὶ μετὰ τάχους προσπίπτειν τοῖς δακτύλοις, εἰ μέλλει τις κυριολογεῖν σφοδρὸν σφυγμὸν ὀνομάζων. οἶδεν οὖν σαφῶς ὁ Μάγνος ὅτι μὴ περὶ πράγματος, ἀλλὰ τοῦ κυρίως ὀνομάζειν, ἢ μὴ κυρίως πρὸς τοὺς ἄλλους ἰατροὺς ἀμφισβητεῖ. σαφέστερον δ' ἔτι ποιεῖ τοῦτο διὰ τῶν ἐφεξῆς. ἀξιοῖ γὰρ τὸν Δημήτριον ὃ ταῦτα τὰ βιβλία τὰ περὶ τῶν ἐφευρημένων μετὰ τοὺς Θεμίσωνος χρόνους ἀνέθηκε, συνεπισκέψασθαι καὶ αὐτόν, ὡς ἂν φιλόσοφόν τε ὄντα, καὶ τί τὸ κύριον ὄνομα, καὶ τί τὸ μὴ τοιοῦτον, ἀκριβέστερον εἰδότα. λέγει δ' οὕτως. οὐδὲν γὰρ χεῖρον καὶ ταῦτα παραγράψαι τῆς ῥῆσιν αὐτὴν τοῦ Μάγνου. πῶς οὖν τοῦτον καλῶς ἐν ταῖς ἁπλαῖς διαφοραῖς κατέταξαν, σύ μοι δίαιτησον. σοὶ γὰρ ἐπιβάλλει μᾶλλον τὰς κυριολογίας κρίνειν, καὶ ἀπὸ τῶν ὀνομάτων τεκμήρασθαι τὴν ὑπόστασιν τῶν σημαινομένων. εἶθ' ἑξῆς μᾶλλον σαφέστερον ποιεῖ λέγων ὡδί. ἐγὼ δ' οὐκ ἀλλάσσω τὴν ἐμαυτοῦ γνώμην μέχρι τοῦ δέφημι δὲ τὸ τῆς σφοδρότητος ὄνομα σημαίνειν οὐχ ἁπλῆν διαφορὰν σφυγμῶν. σύμμετρον δὲ ἐκ μεγέθους, καὶ τάχους, καὶ πληρότητος. οὐκοῦν κἀνταῦθα περὶ τοῦ τί σημαίνει τὸ ὄνομα τὸ τῆς σφοδρότητος, ἀμφισβητεῖν ὁμολογεῖ. καὶ ὅλως εἴ τις βούλεται τὸν πάντα λόγον ἀναλέξασθαι, γέγραπται δὲ ἐν τῷ τρίτῳ τῶν ἐφευρημένων μετὰ τοὺς Θεμίσωνος χρόνους, εὕροι αὐτὸν αἰσθανόμενον, ὅτι περὶ ὀνόματος ἡ ζήτησις ἐστί. τάχ' οὖν τινὶ θαυμάζειν ἐπέρχεται τῆς καινοτομίας τοῦ Μάγνου. καὶ γὰρ ἔδει μετατιθέναι τὰ σημαινόμενα τῶν ὀνομάτων, εἴτε ὀρθῶς, εἴτε οὐκ ὀρθῶς οἱ πρόσθεν ἰατροὶ κατεχρήσαντο αὐτοῖς. θεωρίαν μὲν γάρ τινα ἐφευρίσκειν εἰς τὰ τῆς τέχνης ἔργα διαφέρουσαν, ἀνεμέσητον οὐ Μάγνῳ μόνον, ἀλλὰ καὶ παντὶ τῷ δυναμένῳ, κἂν τήμερον τις ᾖ τοιοῦτος, κἂν μετὰ μυριάδας ἐτῶν παμπόλλας γένηται. τὸ δ' ὑπὲρ ὀνομάτων ἐρίζειν οἷς τοσοῦτον πάρεστι σκέψις, οὐκ ὀρθόν. ἀλλ' εἴ τις ταῦτα θαυμάζει τε καὶ μέμφεται, καλῶς μὲν ἴσως ποιεῖ, δοκεῖ δὲ ἀγνοεῖν τὴν προαίρεσιν τῶν ἀνδρῶν. ἀρέσκονται γὰρ οὗτοι πάντες οἱ πνευματικοὶ καλούμενοι τοῖς ἀπὸ τῆς στοᾶς δόγμασιν. ὥστ' ἐπεὶ Χρύσιππος αὐτοὺς εἴθισεν ἀμφισβητεῖν περὶ τῶν κατὰ τὴν φιλοσοφίαν ὀνομάτων, οὐδ' αὐτοὶ περὶ τῶν κατὰ τὴν ἰατρικὴν ταῦτα ποιεῖν ὀκνοῦσι. καὶ Ζήνων δὲ ὁ κιτιεὺς, ἔτι πρότερον ἐτόλμησε καινοτομεῖν τε καὶ ὑπερβαίνειν τὸ τῶν ἑλλήνων ἔθος ἐν τοῖς ὀνόμασιν. οὐκοῦν ἔτι θαυμαστὸν οὐδὲν, εἰς τοσοῦτον ἐκπεπτωκέναι τῆς ἐν αὐτοῖς φιλονεικίας τοὺς νεωτέρους ἰατρούς τε καὶ φιλοσόφους. ἀλλὰ τί θαυμάζειν αὐτῶν ἄξιον, εἰ μὴ δ' ὅτι περὶ ὀνόματος ἐρίζουσι συνιᾶσιν. ὥσπερ οὖν οὐδ' ὁ Ἀρχιγένης, καί τοι τ' ἄλλα συνετὸς ὤν, οὐκ ἠξίωσεν αὐτὸ τοῦτ', ἐπισημηνάμενος, ὅτι καινοτομεῖ περὶ τοὔνομα τῆς σφοδρότητος ὁ Μάγνος, οὕτω παρελθεῖν ἤδη τι τῶν χρησιμωτέρων, ἀλλ' ἄνω καὶ κάτω στρέφεται κατὰ τὸν τόπον, τά τ' ἄλλα διαμαρτάνων, καὶ ὅτι μηδ' αὐτὴν τὴν ῥῆσιν ἑκάστοτε τοῦ Μάγνου παρατίθεται, ὅτι πολὺ σαφεστέραν οὖσαν ὧν αὐτὸς γράφει, μεταλαμβάνων. ἄλλο δέ τι μεῖζον ἁμάρτημα τῆς ἐν τοῖς ὀνόμασι μικρολογίας ἁμαρτάνουσι σχεδὸν ἅπαντες οἱ μεθ' Ἡρόφιλον περὶ τῶν σφυγμῶν γεγραφότες. δέον γάρ, ὡς ὀλίγῳ πρόσθεν ἡμεῖς διειλόμεθα, καὶ αὐτοὺς οὕτω διελομένους, ἰδίᾳ μὲν περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν, ἰδίᾳ δὲ περὶ τῆς διαγνώσεως αὐτῶν, ἰδίᾳ δ' ἔτι περὶ τῶν ἐν αὐτοῖς αἰτίων, κἄπειθ' ἑξῆς ἰδίᾳ περὶ τῆς δι' αὐτῶν προγνώσεως διδάσκειν; οὐκ οἶδ' ὅπως ἅπανθ' ὁμοῦ συγχέουσί τε καὶ ταράττουσι; τὰ μὲν παραλιπόντες ὅλως, τῶν δ' ἤδη σμικρὸν κομιδῇ μνημονεύοντες, τὰ δ' ἀσαφῶς τε καὶ περιττῶς ἑρμηνεύοντες. τὰ δ' ἀλόγως εἰς ταυτὸ συναγαγόντες, ὥσπερ ἓν ὄντα, καί τοι πάμπολυ διαφέροντα. κατὰ γοῦν τοῦτον αὐτὸν λόγον τὸν περὶ τῆς σφοδρότητος ὁ Ἀρχιγένης, ὅταν μὲν γράφῃ ὡς ἐκ τοῦ καθ' ἕνα χωρισμοῦ φανερὰ γίγνεται καθ' αὑτὴν ἡ σφοδρότης οὖσα, ὁ τόνος ὡς εἶπον τῆς τῶν ἀρτηριῶν κινήσεως, τὸ τῆς σφοδρότητος αἴτιον εἰπών, αὐτὴν οἴεται δεδηλωκέναι τὴν σφοδρότητα. εἰ γὰρ δὴ τοῦτο ἐστὶν ὦ Ἀρχίγενες ἡ σφοδρότης, ἀπόκριναι τὴν αἰτίαν ἡμῖν αὐτῆς. ἀλλ' οὐχ ἕξεις. ἢ πάλιν ταυτὸν ἀναγκασθήσῃ λέγειν τὸν τόνον. καὶ ἔσται σοι ὁ τόνος τῆς τῶν ἀρτηριῶν κινήσεως ἅμα μὲν αἰτία τῆς σφοδρότητος, ἅμα δὲ ἡ σφοδρότης αὐτή. πολλῷ τοίνυν ἄμεινον οἱ πρὸ Ἀρχιγένους περὶ σφυγμῶν γράψαντες, οἱ μὲν τὸ ἀντιβατικόν, οἱ δὲ τὸ βίαιον, οἱ δὲ τὸ ἰσχυρόν, οἱ δὲ τὸ ἀνατρεπτικὸν τῆς προσβολῆς τῶν ἀρτηριῶν, ἐκάλεσαν σφοδρότητα. καὶ τοῦτο καὶ αὐτὸς ὁ Ἀρχιγένης ἐπίσταται. τί γοῦν φησί. δοκεῖ δέ τισι ἐν τῇ τῆς ἁφῆς πληγῇ κεῖσθαι, καθ' ὃ καὶ πληγὴν ἀπ' ἀρτηρίας φασὶν αὐτὴν τινές. εἶτ' οὐκ οἶδ' ὅπως οἴεται διαβάλλειν αὐτῶν τὴν δόξαν, ὡδί πως γράφων. φαίνεται δὲ καθ' ὅλην τὴν διαστολὴν τὸ στεγανὸν τῆς ὁρμῆς, καθ' ὃ καὶ εἰ προσπιέζοιμεν τοὺς δακτύλους, στερεωτέρα ὑποπίπτει ἡ πληγή, οὐ κατὰ τὸ πέρας τῆς διαστολῆς, ἀλλὰ κατωτέρω τό τε γινομένη. ἡ μὲν λέξις αὕτη. πάρεστι δὲ ἐπισκοπεῖσθαι ὡς οὐδὲν ἡ ἀντιλογία περαίνει. τί γὰρ πρὸς ἔπος, εἰ καὶ πρὸ τοῦ πέρατος τῆς διαστολῆς, ἡ τῆς πληγῆς ποιότης δήλη γίγνεται, πρὸς τὸ μὴ οὐκ εἶναι πληγὴν ἀπ' ἀρτηρίας τὴν σφοδρότητα. εἰ μὲν γὰρ τοῦτ' ἔλεγον οἱ πρὸ Ἀρχιγένους, ὡς οὐκ ἔστι ἡ σφοδρότης ἀντιβατικὴ πληγὴ κατὰ τὸ πέρας τῆς διαστολῆς γινομένη, καλῶς ἀντέλεγεν αὐτοὺς ὑπομιμνήσκων, ὅτι καὶ πρὸ τοῦ πέρατος ἤδη φαίνεται τὸ βίαιον τῆς προσβολῆς, ἐπεὶ δ' ἁπλῶς ἔφασαν ἀντιβατικὴν εἶναι πληγὴν τὴν σφοδρότητα, τὸ δεικνύειν ὅτι καὶ πρὸ τοῦ πέρατος τῆς διαστολῆς ἤδη φαίνεται τοιαύτη, μάταιον. ἀλλ' ἔστω τοῦθ' ὅπερ ὁ Ἀρχιγένης βούλεται, τόνος μέν τις ἡ σφοδρότης, τὸ δ' ἰσχυρὸν τῆς πληγῆς οὐκ εἶναι σφοδρότης. ἐρωτήσωμεν αὐτὸν τίς αἰτία σφοδρότητος σφυγμῶν. οὐ γὰρ δή που ταυτόν ἐστι, σφοδρότης τε καὶ σφοδρότητος αἰτία. τὸ μὲν γὰρ φαίνεται, καὶ πᾶς ἰατρὸς ζητεῖ ἤδη νοσοῦντος. ὅγε μὴν παντάπασιν ἀγύμναστος, εὐθὺς γνωρίζει τὸν σφυγμὸν ἢ σφοδρὸν, ἢ ἀμυδρὸν εἶναι. οὐ μὴν ἥ γε

αἰτία

αἰτία φαίνεται. καὶ διὰ τοῦτο οὐδὲν ὑπὲρ αὐτοῦ ὁμολόγηται. Ἡρόφιλος μὲν γάρ φησι ῥώμην τὴν κατὰ τὰς ἀρτη-
ρίας ζωτικῆς δυνάμεως αἰτίαν εἶναι σφοδροῦ σφυγμοῦ. Ἀθήναιος δὲ τοῦ ζωτικοῦ τόνου τὴν ἰσχύν. Ἀσκληπιάδης δὲ
ἀμφοῖν καταγελᾶσεται. καὶ τόνους, καὶ δυνάμεις, καὶ πάντα τὰ τοιαῦτα καινὰ φάσκων ὑπάρχειν ὀνόματα.
τὴν δ' αἰτίαν τῆς σφοδρότητος εἰς πλῆθος καὶ λεπτότητα πνεύματος ἀνοίσει, καθάπερ οἶμαι καὶ Ἐρασίστρα-
τος. οὐδὲ γὰρ οὗτος τοῖς χιτῶσιν αὐτοῖς τῶν ἀρτηριῶν μεταδίδωσι τῆς τονικῆς δυνάμεως, ἀλλὰ τῆς καρδίας
ἰσχυρῶς ἐκθλιβούσης τὸ πνεῦμα, τῇ τούτου διὰ τῶν ἀρτηριῶν φορᾷ τὸ ἀντιβατικὸν ἐν τῇ πληγῇ φησι γεννᾶσθαι.
καὶ τί δεῖ τούτων μνημονεύειν; ὁ γάρ τοι Μάγνος καὶ αὐτὸς ἀπὸ τῆς πνευματικῆς αἱρέσεως εἶναι προσποιούμενος,
ἑτέρως τὸ ἰσχυρὸν τῆς πληγῆς γίνεσθαί φησιν, ἢ ὡς Ἀρχιγένης. ἀλλὰ περὶ μὲν τῆς τοιαύτης διαφωνίας οὐ νῦν ὁ και-
ρός. ὑπομεμνήσθω δ' οὖν εἰς τὰ παρόντα τό γε τοσοῦτον, ὡς τὸ μὲν ἰσχυρὸν τῆς πληγῆς ἐν τῷ τὴν ἁφὴν ὠθεῖν
καὶ ἀντιβαίνειν, καὶ ἀνατρέπειν κείμενον ἅπασιν ὁμολόγηται. τὸ δ', ὑπό τινος αἰτίας γίγνεται, διαφωνεῖ-
ται. γελοῖον δ' ἐστιν ἐν τῇ διαφωνίᾳ τοῦ τί ποτ' ἐστὶν ὁ δὲ τὶς ὁ σφυγμός, καὶ τοῦτο διδάσκειν, ἀλλ' ὑπό τινος γί-
γνεται γράφειν. τὸ μὲν γὰρ τί ποτ' ἐστὶ φαίνεσθαι δεῖ, τὸ δ' ὑπό τινος γίγνεται λόγῳ φωρᾶσθαι. δῆλον οὖν ὡς
οὐδ' ὅπη διήνεγκεν ὁ σφοδρὸς σφυγμὸς τῆς αἰτίας, ὑφ' ἧς γίνεται, διηκριβωμένως ἐγίγνωσκεν ὁ Ἀρχιγένης.
καὶ διὰ τοῦτο ἐν τῷ τόνῳ τῆς κινήσεως τῶν ἀρτηριῶν τὴν σφοδρότητα τίθεται, δέον τοῦτο μὲν αἴτιον εἰπεῖν σφο-
δρότητος, αὐτὴν δὲ κατὰ τὸ ποιὸν τῆς πληγῆς φάναι συνίστασθαι βίαιον τινα οὖσαν καὶ ἀντιβατικὴν προσ-
βολήν. ὅτι δὲ συγκέχυται περὶ τὰ πράγματα καὶ διηκριβωμένον οὐδὲν λέγει, δῆλον ἐξ ὧν ἐπιφέρει, προελό-
μενος ὁρίζεσθαι τοὺς σφυγμούς. τί γάρ φησι, σφοδρὸς μὲν οὖν σφυγμὸς ὁ μείζονα τόνον ἔχων τῆς κινήσεως, καὶ ῥοι-
ζώδης ὤν. ἀμυδρὸς δὲ ὁ ἐκλελυμένον τὸν τόνον ἔχων, καὶ ἀσύστροφον τὴν πληγήν. οὐ γὰρ ἁπλῶς εἶπε, σφο-
δρὸς μὲν οὖν ἐστιν σφυγμὸς ὁ μείζονα τὸν τόνον ἔχων τῆς κινήσεως, ἀλλὰ προσέθηκε καὶ ῥοιζώδης ὤν. ὅ τι ποτ'
αὐτῷ βούλεται μὰ τοὺς θεοὺς οὐκ ἀκριβῶς συνίημι. ποιητικὸν γὰρ τοὔνομα ἐστὶν ὁ ῥοῖζος, οὐ πολιτικόν, οὔτε συνή-
θως λεγόμενον οὐδ' ἕν, οὐδὲ τί ποτε σημαίνει, πρόδηλον. ἀλλ' εἰ μέν τι χρὴ τοῖς γραμματικοῖς πιστεύειν ἐξηγου-
μένοις τὸ παρὰ τῷ ποιητῇ λεγόμενον ἐπὶ τοῦ κύκλωπος. πολλῷ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα, τάχος
κινήσεως ὁ ῥοῖζος δηλοῖ. οὐ μὴν ἐβούλετό γε τοῦτο Ἀρχιγένης αὐτὸς ὁπότ' ἀντέλεγε τῷ Μάγνῳ. πλὴν εἶναι παραπλή-
σιόν τι τοῖς ῥήτορσι ποιεῖ, κατηγορεῖ πολλάκις ὧν οὐκ ἔγνωκεν. ἀλλ' οὐκ ὤμην ἔγωγε τί ποτ' οὖν ἐστιν ὃ βού-
λεται δηλοῦν ὁ ῥοῖζος, εἰ μὴ τὸ τάχος. ἀλλ' ἆρά γε τὸ ἰσχυρὸν τῆς πληγῆς; ἀλλ' οὕτως πάλιν ἅμα διττὸν ἔσται τὸν
ὁρισμὸν πεποιημένος, αἰτίου τε τοῦ ποιοῦντος καὶ γιγνομένου πρὸς αὐτοῦ, καὶ μείζων ἡ ἀχρεία. πότερον ἑκά-
τερον αὐτῶν βούλεται τὸν σφοδρὸν εἶναι σφυγμόν, τό, τε τοῦ τόνου μέγεθος, καὶ τὸ βίαιον τῆς πληγῆς, ἢ τὸ συν-
αμφότερον. ἄν τε γὰρ ἑκάτερον, ἄν τε συναμφότερον, οὐ καλῶς. ὅτι μὴ δυνατόν, ὡς ἐλέχθη, τὴν αἰτίαν τῷ
γιγνομένῳ. πρὸς αὐτῆς ταυτὸν εἶναι. καὶ γὰρ δὴ τὸ φάναι μείζονα τόνον ἔχει τῆς κινήσεως τὸν σφοδρὸν σφυγμόν,
ἀσαφές. οὐδὲ γὰρ οὐδ' ἐνταῦθα συνίημι τί λέγει, πότερον ὑπὸ μείζονος τόνου γίγνεσθαι τὸν σφοδρὸν σφυγμόν,
ἢ τὸν μείζονα τόνον σφοδρὸν εἶναι σφυγμόν. κατὰ μὲν γὰρ τὸ πρότερον τῶν σημαινομένων, οὐ τί ποτ' ἐστὶν ὁ σφο-
δρὸς σφυγμός, ἀλλ' ὑπὸ τίνος γίνεται, δεδηλωμένον ἂν εἴη. κατὰ δὲ τὸ δεύτερον, ἀδήλου τε καὶ ἀμφισβη-
τουμένου κατὰ τὰς αἱρέσεις ἡ διδασκαλία. χρὴ δ' εἴπερ τι καὶ ἄλλο, καὶ τὸν σφοδρὸν σφυγμὸν ἕν τι τῶν αἰσθη-
τῶν εἶναι πραγμάτων. ἀλλ' ὁ τόνος οὐκ αἰσθητός, ἢ πάντως ἂν ἅπασιν ὡμολόγητο. τινὲς μὲν γὰρ οὐδὲ συνιέ-
ναι φασὶν ὅλως τί ποτε σημαίνεται πρὸς τοῦ τόνου ὀνόματος, καίτοι συνιέντες τε καὶ αἰσθανόμενοι σφοδροῦ
σφυγμοῦ. τινὲς μὲν ὁμολογοῦσι τὸ λεγόμενον, ὑπάρχειν δ' οὐ συγχωροῦσιν. οὕτως οὐ ταυτόν ἐστι τόνος κινή-
σεως καὶ σφοδρὸς σφυγμός, εἴγε τὸ μὲν αὐτῶν αἰσθήσει φαίνεται, τὸ δὲ οὐ μόνον ἄδηλον ταῖς αἰσθήσεσιν, ἀλ-
λὰ καὶ διαμφισβητούμενον καὶ ἀσαφὲς ὅλως ἐστίν. ἆρ' οὖν ἡ μὲν τοῦ σφοδροῦ σφυγμοῦ διδασκαλία καὶ ἀσα-
φής, καὶ ψευδὴς κατὰ πάντα τὰ σημαινόμενα, σαφεστέρα δὲ καὶ ἀληθεστέρα ἡ τοῦ ἐναντίου αὐτοῦ τοῦ ἀμυ-
δροῦ; τάχα γὰρ ἐκ τῆς ἀντιθέσεως συνιέναι τινὸς τῶν ἐν τῷ προτέρῳ λόγῳ δυνησόμεθα. τί δή φησιν. ἀμυδρὸς
δὲ ὁ ἐκλελυμένον τόνον ἔχων καὶ ἀσύστροφον τὴν πληγήν. ἐνταῦθα δὴ φανερῶς τῷ μὲν μεγάλῳ τόνῳ τὸν
ἐκλελυμένον ἀντέθηκε, δέον οὐ τοῦτον, ἀλλὰ τὸν μικρὸν ἀντιθεῖναι. ἢ καλῶς ἐν τῷ σφοδρῷ τὸν μέγαν εἶπε, τῷ
δὲ ῥοιζώδει ἀσύστροφον τῆς πληγῆς. εἰ μὲν οὖν ἐνόουν τί ποτ' ἐστὶν τὸ ἀσύστροφον, ἴσως ἂν συνῆκα τοῦ ῥοιζώδους.
νυνὶ δ' αὐτὸ τοῦτο πάλιν ἀσαφέστερον ἐστι πολλῷ τοῦ ῥοιζώδους. ὥστ' οὐδέτερον αὐτῶν ἐξηγητικὸν γίνεται θα-
τέρου. πότερον γὰρ βραδὺ νομίζομεν λέγειν αὐτὸν ἀσύστροφον, ἢ τὸ ἄρρωστον, ἢ τὸ μαλακόν, ἢ τὸ εὐανά-
τρεπτον, ἢ τὸ διαλελυμένον, οὐκ ἔχω συμβαλεῖν. ἓν δὲ μόνον ἐν τούτῳ τῷ τρόπῳ πλέον μοι νομίζω γεγονέ-
ναι, τὸ καὶ τὴν ποιότητα τῆς πληγῆς αὐτὸν εἰς τὴν ἔννοιαν τῆς σφοδρότητος παραλαμβάνειν. καίτοι κατ'
ἀρχὰς ὁπότ' ἀντέλεγε τῷ Μάγνῳ μόνον τόνον εἰπόντι τῆς τῶν ἀρτηριῶν κινήσεως. ἀλλὰ νῦν καὶ ἀσύστροφον
ἔφη τὴν πληγήν. καὶ μὴν ἀντεῖπεν ὀλίγῳ πρόσθεν τοῖς ἐν τῇ τῆς ἁφῆς πληγῇ κεῖσθαι νομίζουσιν αὐτόν. ἐ-
μοὶ μὲν δὴ καὶ ταῦτα πάντη τεταραγμένου, καὶ μηδὲν ἀκριβὲς ἔχοντος εἰπεῖν, εἶναι δοκεῖ. σὺ δ' εἰ πρὸ
μὴ ταῦτα, τὰ δ' οὖν ἐφεξῆς αὐτῶν οἶδ' ὅτι λῆρος εἶναι δόξει μακρός, ἄν γε μὴ σοφιστὴς τις ᾖς καὶ αὐτός,
ἀλλὰ τῶν τῆς ἰατρικῆς ἔργων ἐραστής. ἡ μὲν οὖν ῥῆσις αὕτη τοῦ Ἀρχιγένους τόνδε τὸν τρόπον ἔχει. ἔστι δὲ κα-
τὰ τὴν σφοδρότητα τοιαύταις καὶ ἄλλαις ἐντυγχάνειν διαφοραῖς, ἐκλελυμένη ἐμπίπτει ἡ πληγὴ καὶ
ἀβαρής, ὃν ἀμαυρὸν σφυγμὸν ἤδη τινὲς ἐκάλεσαν. ἄλλη δὲ βαρεῖα μὲν ἔκλυτος, ταύτην ἀμυδροῦ σφυγμοῦ
διαφορὰν θείη τις ἄν, ἡ δ' οὐκ ἔκλυτος μὲν ἀλλ' οἷον παραπεποδισμένη, καὶ εἴσω ῥέπον τὸ βάρος ἔχουσα.
πεπιεσμένη καὶ δεδυκυῖα διαφορά, κατὰ σφοδρότητα εἴη ἂν σφυγμοῦ, καὶ κατὰ τὸν σφοδρόν, ἡ μέν τις
πληγὴ εἴη ἂν ἐξεστική, ὑγρότερον ἐξωθοῦσα τὴν ἁφήν, οἷα ἀπὸ τροφῆς μάλιστα νεαρᾶς ἐγγίνεται. ἡ δὲ δυσ-
θραυστος ἐστὶ μᾶλλον οἷον δινηγκωνισμένου τοῦ κινοῦντος. ἡ δ' ἐμπέσοι πισὶ καὶ ἐπὶ τοῖς ἐν σαρκὶ πλεονασμοῖς

φαίνεται. ταῦτ' ὦ πρὸς θεῶν πότερον θαυμαστά τις, ἢ ληρήματα φήσει; τὸν γοῦν βίον βραχὺν ὡς πρὸς τὸ τῆς τέχνης ὄντα μέγεθος, οὐ βραχὺν αὐτὸς γε. ἀλλὰ τὸ μηδὲν ποιεῖ, τοσοῦτον ὄχλον ἐπεισάγων αὐτῇ ψευδοῦς θεωρίας. πόθεν γοῦν οὗτοι πάλιν ἥκουσιν ἡμῖν οἱ σφυγμοὶ, βαρὺς καὶ ἀβαρής. τί δ' οὐ καὶ ταύτην ἐν ἀρχῇ τὴν διαφορὰν ἐδήλωσεν, ἡνίκ' ὀκτὼ ποιότητας ἔλεγεν ὑπάρχειν τοῖς σφυγμοῖς. ὡς γὰρ μέγεθος καὶ τάχος, καὶ σφοδρότητα, καὶ τἄλλα. τί τὸ κωλῦον ἦν καὶ βαρύτητα προσγράψαι. πόθεν αὕτη πάλιν ἡ καινὴ τραγῳδία. βαρὺς σφυγμὸς ἔστι τίς. πόσῳ μικρὸν ὦ Ἀρχίγενες, ἑρμήνευσον ἡμῖν εἴ γε μὴ μόνον ὄνομα γεγραφὼς ἔσῃ, πρᾶγμα δ' οὐδὲν εἰρηκώς. ἔστι τὶς σφοδρὸς σφυγμὸς, ὡς οἱ μὴ τραγῳδοῦντες ἔγραψαν, ἀντιβατικὸς περὶ τὴν πληγήν. διάγνωσις δ' αὐτοῦ θλιβόντων τὴν ἀρτηρίαν, οὐκ ἐπιπολῆς ψαυόντων. αἰτία δ' ἄλλη μὲν κατ' ἄλλον, ἄλλη δὲ περὶ τοῦ πνευματικοὺς ὑμᾶς ἡ ῥώμη τοῦ τόνου. λέξον μοι καὶ περὶ τοῦ βαρέος ὡσαύτως, τήν τε φύσιν αὐτοῦ, καὶ τὴν διάγνωσιν, καὶ τὴν αἰτίαν. ἢ γελοιότατος ἂν εἴης, τὶς μὲν ἔστι σφοδρὸς σφυγμὸς, καὶ ταχὺς, καὶ μέγας, ἐξηγούμενός τε καὶ ὁριζόμενος, οὓς καὶ χωρὶς ὁρισμῶν ἐνοήσαμεν ἂν, εἴ γε μὴ παντάπασιν ἀήθεις ἦμεν ἑλληνικῆς λέξεως; τίς δ' ἐστὶν ὁ σφυγμὸς ὁ βαρὺς οὗτος, ὃν ἐπεισάγεις ἡμῖν καινὸν οὐκ ἐξηγούμενος, ἀλλ' ὑπολαμβάνων εἰ τοὔνομα μόνον γράψειας εἰρηκέναι τι πλέον. τοῦτο δὲ οὐ λέγειν, ἀλλὰ λαλεῖν, ἐστί. εἰ μὲν οὖν βούλει κατὰ τὸν κωμικὸν, λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν, ἕτερος ἂν εἴη λόγος. εἰ δ' οὐ λαλεῖν, ἀλλὰ λέγειν, τί καὶ διδάσκειν ἔθελεις, δήλωσον ἡμῖν, τίνι τῶν αἰσθήσεων, καὶ πῶς διαγνωσόμεθα τὸν βαρὺν τοῦτον σφυγμόν. ἐγὼ μὲν γὰρ οὐδὲ λίθου βάρος, οὐδὲ ξύλου δύναμαι διαγνῶναι, μὴ ταῖς χερσὶν ἀράμενος, ἢ ἀναθέμενος τοῖς ὤμοις, ἢ ἐξαρτησάμενος τοῦ τραχήλου. πότερον οὖν καὶ τὴν ἀρτηρίαν τοῦ νοσοῦντος ἐν ταῖς χερσὶ βαστάζοντας ἡμᾶς, ἢ ἀναθεμένους δεήσει διαγιγνώσκειν, οὕτως τὸ βάρος τῶν σφυγμῶν, ἢ τί κελεύεις ὦ Ἀρχίγενες. πρὸς δὲ ταῦτα τῶν ἀπ' αὐτοῦ τὶς γέρων σεμνὸς ἐννενηκοντούτης, ὦ τᾶν, ὦ τέκνον ἔφη, ἐκλελυμένος καὶ νωχελὴς, καὶ βραδὺς, καὶ μέλλων ὁ σφυγμὸς ἂν εἴη. πάλιν οὖν ἡμεῖς ἔφαμεν, ὦ πάτερ, ἐκλελυμένον τίνα λέγεις, ἆρά γε τὸν βραδὺν, ἢ τὸν ἀραιόν. οὐ γὰρ συνίεμεν. ὀλίγον οὖν διασιωπήσας τὸν βραδὺν ἀπεκρίνατο. καὶ μὴν περί γε τοῦ νωχελοῦς ἔφην, οὐκ ἂν ἐροίμην σε. δῆλον γὰρ ὅτι καὶ τοῦτον βραδὺν εἶναι φήσεις. ἀλλὰ καὶ ὁ μέλλων ἔφην οἶμαι βραδὺς ἐστί. ἐκ τούτων συνεὶς ὁ γέρων ὡς ἐξ ἁπάντων τῶν τεττάρων ὀνομάτων ἐν ἐδείκνυτο δηλούμενον πρᾶγμα, βραδύτης σφυγμοῦ, ταράττεσθαί τε καὶ φιλονεικεῖν ὑπήρξατο. καὶ πρῶτον μὲν τὸν μέλλοντα πρὸς αὐτοῦ κληθέντα σφυγμὸν οὐ κατὰ τὸ βραδὺ τῆς κινήσεως. ἀλλὰ κατὰ τὸ τῆς ἡσυχίας ἔφασκε μῆκος κεῖσθαι. τοῦτο γὰρ εἶναι τὸ μέλλειν, ὀκνεῖν ἄρξασθαι. μετὰ δὲ ταῦτα καὶ τὸν ἐκλελυμένον τε καὶ τὸν νωχελῆ τὸν οἷον ἄρρωστον ἔλεγεν. ἐκλελύσθαι γὰρ καὶ ἀδυνατεῖν, καὶ ἀσθενεῖν, καὶ ἀρρωστεῖν ταυτὸν δηλοῦν. ἐγὼ τοίνυν πρὸς αὐτὸν ὑπολαβὼν, οὐδὲν ἔφην πρᾶγμα. καὶ γὰρ εἰ δεύτερον καὶ τρίτον ἀναθέσθαι περὶ τῶν αὐτῶν ἔθελεις, συγχωρήσομέν σοι. ζητοῦμεν γὰρ ἐξευρεῖν τἀληθὲς, οὐκ ἀμφισβητοῦμεν φιλονεικοῦντες. ἔστωσαν δὴ ἔφην, ὁ μὲν μέλλων κατὰ τὸ τῆς ἡσυχίας μῆκος νενοημένος, ὁ δὲ ἐκλελυμένος, καὶ νωχελὴς κατὰ τὴν ἀρρωστίαν. ἀναμνήσθητι τοίνυν ὡς βαρὺν ἔφησθα σφυγμὸν εἶναι τὸν ἐκλελυμένον, καὶ νωχελῆ, καὶ βραδὺν, καὶ μέλλοντα. σαφέστερον δὲ μου περὶ τῶν σημαινομένων ἀξιώσαντος μαθεῖν, ἐν ἀρχῇ μὲν οὐδὲν πλέον ἅπαντος τοῦ βραδέος ἐφαίνετο δηλοῦν. νυνὶ δὲ τὸν μὲν ἐκλελυμένον, καὶ νωχελῆ, τὸν οἷον ἄρρωστον ἔφαμεν εἶναι. τὸν μέλλοντα δὲ περὶ τὸ μῆκος τῆς ἡσυχίας νενοεῖσθαι. τὸ βραδὺν δὲ βραδὺν καὶ νῦν ἔτι μένειν. αὖθις οὖν ἀπόκειναί μοι τὸν ἀραιόν, εἰ μὴ τὸν ἀμυδρὸν λέγεις. ἀλλὰ λέγω φησί. τί δὲ τὸ τὸν ἡσυχάζοντα μέχρι πολλοῦ. ἆρ' οὐ καὶ τοῦτον ἀραιὸν ἐρεῖς; ὡμολόγει. περαίνοιτ' ἂν οὖν ἔφην ἐκ τῶν ὡμολογημένων ὁ βαρὺς σφυγμὸς ἀμυδρὸς τὶς ἅμα καὶ βραδὺς εἶναι, καὶ ἀραιός. ἐσιώπησεν ἐπὶ τούτοις ὁ πρεσβύτης μάλα σεμνῶς. ἀλλ' εἰ καὶ τοῦτ' ἔφην οὐκ ἂν εἴη ποιότης ἑτέρα τις, παρ' ἃς ἅπαντες λέγουσιν ἡ τοῦ βαρέος, ἀλλ' ὄνομα κατὰ τριῶν ποιοτήτων συνόδου κείμενον. τὸν γὰρ ἀμυδρὸν ἅμα καὶ βραδὺν, καὶ ἀραιὸν βαρὺν εἶναι φήσομεν. οὐκ οἶδ' ἔφη τί λέγεις, καὶ φιλονεικεῖς μάτην, καὶ τοῦτ' εἰπὼν ἀπηλλάττετο, προσβλέψας ἡμῖν ἐπιτιμητικόν τι καὶ καταγνωστικόν. ἀλλ' ἡμεῖς μετ' ὀλίγας ἡμέρας ἐπὶ νοσοῦντος τινὸς, αὐτοῦ τε παρόντος ἐκείνου τοῦ γέροντος, καὶ ἄλλων πολλῶν εὐδοκίμων ἰατρῶν, καὶ πάντων ταραττομένων ἐπὶ τοῖς ὑπάρχουσι τῷ κάμνοντι συμπτώμασι, κοιλίαν ἐκταραχθήσεσθαι προειπόντες, εἶτ' ἐρωτώμενοι πρὸς αὐτῶν ὁπόθεν αὐτὸ προειρήκαμεν, πόνον εἴπομεν εἰς γναφεῖον οὐδεὶς ἀποφέρει. δηλοῦντες αὐτοῖς, ὡς πολλοῦ δέουσι τὰ τηλικαῦτα μανθάνειν, μὴ δὲ τὰ βραχύτατα γινώσκοντες. ὀλίγων δ' ὕστερον ἡμερῶν, ἐξ ἀριστεροῦ μυκτῆρος αἱμορραγίαν προειπόντες, εἶτ' αὖθις παρωτίδας ἐσομένας, εἶτα ἄλλο τι καὶ ἄλλο, τὸ μὲν προγνόντες, τὸ δὲ θεραπεύσαντες, ὧν ἠδυνάτουν ἐκεῖνοι, δεομένοις αὐτοῖς εἰπεῖν ἐκ τίνος τὰς τοιαύτας θεωρίας προλέγετε, καὶ πράττετε, διαπαντὸς ἐσιωπῶμεν, ἐκείνοις μὲν οὐδὲν ἀποκρινόμενοι, πρὸς δ' ὑμᾶς αὐτοὺς λέγοντες τὸ τοῦ κωμικοῦ, ὡς οὔτε στρεβλὸν ὀρθοῦται ξύλον, οὔτε γεράνδρυον μεταφυτευθὲν μοχλεύεται. θᾶττον γὰρ ἄν τις τοὺς ἀπὸ Μωϋσοῦ καὶ Χριστοῦ μεταδιδάξειεν, ἢ τοὺς ταῖς αἱρέσεσι προστετηκότας ἰατρούς τε καὶ φιλοσόφους. ὥστ' ἐγὼ τελευτῶν ἔγνων κερδαίνειν μακρὰν ἀδολεσχίαν περὶ μηδενὸς αὐτοῖς ὅλως διαλεγόμενος. καί μοι τοῦτο πράττεται καὶ πραχθήσεται. καὶ τά δὲ τὰ γράμματα σαφῶς εἰδὼς ἀνωφελῆ πᾶσιν ὀλίγου δεῖν ἐσόμενα, πλὴν ἑνὸς ἴσως τινὸς, ἢ δυοῖν, οἳ ἂν καὶ φύσει θαυμαστῇ, καὶ διδασκαλίᾳ καὶ μελέτῃ χρήσωνται, καὶ πρὸ τούτων ἁπάντων ἔξω τῆς περὶ τὰς αἱρέσεις καταστῶσι μανίας, ὅμως γράφω, ἅμα μὲν παιδιὰν οὐκ ἄμουσον παίζων, ἅμα δὲ εἰς τὸ τῆς λήθης γῆρας, ὡς ὁ Πλάτων φησὶν ὑπομνήματα ἑαυτῷ παρασκευαζόμενος, ἅμα δὲ καί τισι τῶν ἑτέρων δεηθεῖσι χαριζόμενος. ἀλλὰ περὶ μὲν τῆς ἐπιπολαζούσης ἀμαθείας ἅμα καὶ φιλονεικίας ἀρκεῖ καὶ ταῦτα. περὶ δὲ ὧν προὐθέμεθα λέγειν, ἐπανίωμεν αὖθις, ἐπιδεικνύντες τοῖς ἕπεσθαι δυναμένοις, ὡς ὁ βαρὺς σφυγμὸς ὄνομα μόνον ἐστί, πρᾶγμα δὲ οὐδὲ ἕν. εἰ γὰρ ὡς ὁ σοφώτατος τῶν καθ' ἡμᾶς Ἀρχιγενείων ἀναγκαζόμενος αὐτὸν ἐξηγεῖσθαι, μετελάμβανεν, ἀμυδρὸς ἔσται καὶ

βραδὺς,

βραδὺς, καὶ ἀραιός. εἰ δὲ τὸν τοιοῦτον σφυγμὸν ἐνδείκνυσθαι φαίην ὑπὸ πλήθους βαρύνεσθαι τὴν φύσιν, καὶ διὰ
τοῦτο καλεῖσθαι δεῖν βαρὺν σφυγμὸν, ὥρα καλεῖν αὐτοὺς οὐ βαρὺν μόνον, ἀλλὰ καὶ ὠμὸν αὐτὸν καὶ ψυχρόν. ὃς οὐ-
δὲν ἧττον πλήθους ὠμότητος χυμῶν, καὶ κατάψυξιν ἐνδείκνυσθαι δύναιτ' ἄν. οὕτω δ' οἶμαι καὶ χολώδη τινὰ,
καὶ φλεγματώδη σφυγμὸν ὀνομάζειν οὐκ ὀκνήσομεν ἅπαξ τῶν ποιούντων αὐτοὺς αἰτίων τὰς προσηγορίας
αὐτοῖς τοῖς σφυγμοῖς ἐπιφέρειν ἐθίσωμεν. ὅπερ οὖν ἀεὶ λέγεται τὸ μὴ διῃρεῖσθαι παρ' αὐτοῖς, ἰδίᾳ μὲν τὴν περὶ
διαφορᾶς σφυγμῶν πραγματείαν, ἰδίᾳ δὲ τὴν περὶ διαγνώσεως, ἰδίᾳ δὲ τὴν περὶ τῶν ἐν αὐτοῖς αἰτίων, ἰδίᾳ δὲ
τὴν περὶ προγνώσεως, εἰς τὰς τοιαύτας ἀδολεσχίας ἐμβάλλει. ὁ γ' οὖν ἀρχιγένης περὶ πρώτου πάντων γράφων τοῦ
κατὰ τὸ μέγεθος γένους τῶν σφυγμῶν, οὔτε τῶν ποιούντων αὐτοὺς αἰτίων, οὔτε τῆς ἐξ αὐτῶν προγνώσεως ἐμνη-
μόνευσεν, ἀλλὰ τὰς διαφορὰς τῶν κατὰ τὸ γένος τοῦτο συνισταμένων σφυγμῶν, καὶ τοὔνομα ἑκάστης αὐτῶν ἐδί-
δαξε. βραχέα μέν που παρεμβάλλων αὐτοῖς τῆς διαγνώσεως, ἀλλ' οὐδὲ αὐτὸ τοῦτο γινώσκων. ὡς ἐν τοῖς ἑξῆς ἀπο-
δειχθήσεται. δεύτερον δὲ τοῦ κατὰ τὴν σφοδρότητα γένους μνημονεύων τὰς τρεῖς ὁμοῦ διδασκαλίας συνέ-
χεεν, οὐ περὶ διαφορᾶς μόνον καὶ διαγνώσεως, ἀλλὰ καὶ περὶ τῶν ποιούντων αὐτῶν αἰτίων διαλεχθείς. κἂν τῇ
περὶ πληρότητος ἔτι μᾶλλον ταραχθεὶς, ἑξῆς ἐν τῇ περὶ ῥυθμῶν, ὀλίγα μὲν προσήψατο, τῆς διαγνωστικῆς θεω-
ρίας. τὰ πλεῖστα δὲ ἐν τῇ πρώτῃ κατέμεινεν. ἐν μόνῃ δὲ τῇ περὶ τάξεώς τε καὶ ἀταξίας, ὁμαλότητός τε, καὶ ἀνω-
μαλίας τὸ πρῶτον μέρος τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας ἠδυνήθη φυλάξαι καθαρὸν, μήτε περὶ διαγνώσεως,
καὶ προγνώσεως τῆς ἐξ αὐτῶν, ἀλλ' οὐδὲ περὶ τῶν αἰτίων οὐδὲν εἰπὼν ἐνταυθοῖ. ἐν δὲ τῷ περὶ τοῦ βαρέος τε καὶ
ἀβαροῦς ὡς αὐτὸς ὀνομάζει λόγῳ, πρὸς τοῖς ἄλλοις ἔτι καὶ τοῦτο θαυμαστῶς οὕτως ἔγραψεν. ὃν ἀμαυρὸν σφυγμὸν
ἤδη τινὲς ἐκάλεσαν. τίνος ὦ οὗτος ἔχρην εἰπεῖν; ἐκ ποίας σκυθίας ἥκοντος; ἵνα γνῶσιν ὡς οὐδὲν πλέον δηλοῖ
τὸ ἀμαυρὸν ὄνομα, τοῦ ἀμυδροῦ, ἄμφω γὰρ κατὰ τοῦ αὐτοῦ λέγουσιν οἱ ἕλληνες. ἀλλὰ συνηθέστερον αὐτοῖς τὸ ἀμυ-
δρόν. οὗτοι μὲν δὴ δύο σφυγμοὶ βαρύς τε καὶ ἀβαρὺς, ἀρχιγένεια δῶρα, μέχρι τοῦ λαληθῆναι προελθόντος,
οὐδεμίαν ἔχουσι διάγνωσιν. οἱ δ' ἐφεξῆς αὐτῶν ἔτι ἀλλοκοτώτερον σύγκεινται. τίς γάρ ἐστιν ἡ ἔσω ῥέπον τὸ βά-
ρος ἔχουσα διαφορὰ σφυγμῶν, ἐγὼ μὲν οὐκ οἶδα. καὶ διὰ τοῦτο πάλιν ἠναγκάσθην ἐρωτᾶν τοὺς ἀπ' αὐτοῦ, τί πο-
τε εἴη τὸ αἴνιγμα. τῶν δ' αἰνιγματωδέστερόν τε καὶ ἀλλοκοτώτερόν τε αὐτοῦ τοῦ συγγράψαντος ἀποκειναμέ-
νων, ἔγνων βεβαίως, ὡς εἰσὶν ἄρα τινὲς ἄνθρωποι θαυμάζοντες ἃ μὴ νοοῦσι. καί μοι δοκεῖ τοῦτ' αὐτὸ κατανοή-
σας ὁ ἀρχιγένης, ἑκὼν ἐστὶν πολλαχόθι γράφων ἀσαφῶς. ἐγὼ μὲν οὖν οὐδὲ χωρὶς τοῦ γελᾶν δύναμαι μνημονεῦσαι
ποτὲ τοῦ ῥέποντος ἔσω βάρους. δῆλον γὰρ ὡς ἕτερον τι βάρος ἔξω ῥέπον ἐστί. καὶ τοῦτο μὲν ὡς οἶμαι τῷ δέρματι τοῦ
ἀνθρώπου βαρύ. τὸ δ' ἕτερον τοῖς ὀστοῖς ἐστί. πῶς γοῦν ἂν ἄλλως τὸ μὲν ἔξω, τὸ δ' εἴσω ῥέπειν λέγοιτο. τὸ δὲ παρα-
πεποδισμένην, καὶ περιπιεζομένην, καὶ δεδυκυῖαν ὀνομάζειν τινὰ διαφορὰν σφυγμοῦ, ἆρ' οὐ καὶ αὐτὰ τῶν ἐξηγη-
σομένων δεῖται; τίς γάρ ἐστιν ἡ παραπεποδισμένη; καὶ γὰρ ἡ βραδυτέρα, ἢ χρὴ κινουμένη παραπεποδίσθαι. καὶ ἡ ἀ-
ραιοτέρα, ἢ προσήκει, καὶ ἡ διαλείπουσα, καὶ ἡ ἐκλείπουσα, καὶ ἡ ἀνώμαλος πᾶσα καὶ ἡ ἄτακτος, καὶ ἡ ἄρυθμος,
ἀλλὰ καὶ ἡ μικροτέρα τοῦ δέοντος, καὶ ἡ ἀμυδροτέρα, πάντως δή που καὶ αὗται τῶν παραπεποδισμένων εἰ-
σίν. ὅλως γὰρ τὸ παραπεποδίσθαι μᾶλλον αἰτίας ἐστὶν, ἢ διαφορᾶς σφυγμοῦ δηλωτικόν. ἡ δ' αὖ περιπιεζομένη, καὶ
αὕτη πότερον ἀμυδρά τίς ἐστιν, ἢ σμικρά. ἢ τί μέν τοι βούλεται κἀπὶ τῆς δεδυκυίας διαφέρειν; δόξειε γὰρ ἂν ἡ δε-
δυκυῖα μικρά τις ὑπάρχειν. ἀλλ' ἴσως μὲν ἡμεῖς σκαιοὶ παντάπασιν ἐσμέν. ἀρχιγένης δὲ μόνος, αὐτὸς ὁ ἑρμῆς,
ἕνεκα συνέσεως. ἐχρῆν οὖν αὐτὸν ὡς θεὸν ἀνθρώπους διδάσκειν ἐπιχειροῦντα, μὴ μόνον ὀνόματα γράφειν, ἀλλὰ
καὶ διαγνώσεις, ὡς ὑπὲρ τῶν σαφεστέρων ἐποίησεν. ἀλλ' εἴπερ ὅλως ἐπεχείρησεν, αἰσθητοῖς γνωρίσμασι διακρί-
νειν αὐτοὺς. οὐκ ἂν οὕτως μάταια λέγων ἐλάνθανεν, ὥσπερ οὖν καὶ ἡμῶν ἑτέρους πλείονας ἄχρι λόγου συνθεῖναι
δυναμένων. καὶ δὴ λέγω, πρῶτον μὲν τὸν ἀναπεπταμένον σφυγμόν. οὐ γὰρ δή που δεδυκότα μὲν ἐκείνῳ λέγειν
ἔξεστιν, ἀναπεπταμένον δ' ἡμῖν, οὔ. καὶ νὴ δία ἄλλον νηχόμενον, ἤδη δὲ καὶ γλίσχρον, καὶ κραῦρον ἐρῶ, καὶ μέ-
40 λανα, καὶ λαμπρὸν, καὶ καθαρὸν, καὶ θολερὸν, καὶ δεινὸν, καὶ ἱλαρόν. καί που καὶ βλιτυρίζομενον ἐρῶ σφυ-
γμὸν, καὶ σκινδαψιζόμενον εἰ χρὴ λέγειν ὀνόματα μόνον. ἀλλὰ καὶ τὸ βλίτυρι φασὶ, καὶ τὸ σκινδαψὸς ἄση-
μα παντελῶς ἐστί. τὰ δ' ἀρχιγένους δῆλα. τί ληρεῖς ἄνθρωπε ἑκών. καὶ γὰρ τὸ βλίτυρι κροῦμα τι δηλοῖ, καὶ τὸ
σκινδαψὸς, οὐκ οἰκέτου μόνον, ἀλλὰ καὶ ὀργάνου τινός ἐστιν ὄνομα. τί δὴ φήσει τοῦτο τις οἶμαι πρὸς τοὺς σφυγμούς.
τί δὲ ἃ σὺ λέγεις ὀνόματα πρὸς αὐτοὺς ἐστὶ, τά τε μικρῷ πρόσθεν εἰρημένα, καὶ ὁ ἀποκεκρημνισμένος, καὶ ὁ τρύ-
ζων, καὶ ὁ ὑγροφανὴς, καὶ ὁ καρώδης, καὶ βομβῶν, καὶ ὁ ἐκτεθαμβημένος, καὶ ὁ ἀναληθὴς, καὶ ὁ ἀτενὴς, καὶ ὁ ἀδρα-
νὴς, καὶ ὁ ἀποπεπηγὼς, καὶ ὁ διαπεφυσημένος, καὶ ὁ δινηγλωνισμένος, καὶ ὁ ἐγκαλυπτόμενος, καὶ ὁ ἐξώστης, καὶ
ὁ ἐμβριθὴς, καὶ ὁ ἐγκρίνων, καὶ ὁ νότυλος, καὶ ὁ κατανενυγμένος, καὶ ὁ διανενυγμένος, καὶ ὁ λαγαρίζων,
καὶ ὁ ὑποκλεπτόμενος, καὶ ὁ ῥακώδης, καὶ ὁ σεσοβημένος, καὶ ὁ σκυθρωπῶς ἀποχωρῶν. ὅ, τε τῆς ἀρτηρίας ὁλκίμου
προσαπιπτούσης, ἄλλων τε τοιούτων ὀνομάτων πάμπολυ πλῆθος, ἅπερ ἰδίᾳ μέν τι καὶ καθ' αὑτὰ δηλοῖ. κοινὸν δὲ
50 αὐτοῖς πρὸς τοὺς σφυγμοὺς οὐδέν ἐστι. ὥσπερ οὐδὲ τὸ ὑγρότερον ἐξωθεῖν λέγεσθαι τινὰ σφυγμόν. ἐνταῦθα γὰρ πά-
λιν ἀποπλανᾶται τῆς τῶν σφυγμῶν διδασκαλίας ὁ ἀρχιγένης ὑγρότητος μνημονεύων, εἰς μὲν τὰς προγνώσεις χρησί-
μου πράγματος, ἀλλ' οὐκ ἐκ τῆς περὶ σφυγμῶν θεωρίας. μίξας οὖν αὐτῇ τῇ ἐξερειστικῇ πρὸς αὐτὸ κληθείσῃ πληγῇ μη-
δὲν διαφερούσῃ τοῦ σφοδροῦ σφυγμοῦ διαφορὰν ἵνα προσποιεῖται ἑτέραν ταύτην διδάσκειν οὖσαν οὐχ ἑτέραν;
ἀλλὰ σφοδρὸν σφυγμὸν μεθ' ὑγρότητος. εἶτα ἐξαπατᾷ τοὺς ἰδιώτας τῆς θεωρίας, ὡς μέγα τι προσγράψας, τὸ,
οἷα ἀπὸ τροφῆς μάλιστα νεαρᾶς ἐγγίνεται. ἡ γοῦν ἐξερειστικὴ πληγὴν φησίν. αὕτη μὲν ὑγρότητος ὑγροτέρου ἀπὸ τροφῆς
μάλιστα νεαρᾶς γίγνεται, τίς λόγος καὶ φησὶν ὦ ἀρχίγενες ἀληθὲς τοῦτο λέγεις. ἀλλὰ ἀδιαρθρωτόν τε καὶ συγκεχυμέ-
νως. καὶ διὰ τοῦτο ἀσαφῶς. ἐχρῆν γὰρ ὅτι εἰπεῖν ὑπὸ τροφαῖς προσφάτοις σφοδρὸς γίνεται σφυγμὸς μεθ' ὑγρότητος.
τοῦτο δ' οὐκ ἔστι ἄλλον ἵνα παρὰ τὸν σφοδρὸν σφυγμὸν εἰπεῖν, ἀλλὰ σφοδρὸν σφυγμὸν, καὶ ἄλλο τι ὃ οὐκ ἔστι ὅλως

σφυγμός, πρὸς τῷ καὶ ἀκαίρως ἅπτεσθαι κοινῆς θεωρίας, τοῦ τε περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων τόπου, καὶ τοῦ περὶ τῆς διὰ αὐτῶν προγνώσεως. ἐν ἐκείνοις γὰρ ἄμεινον ἦν εἰπεῖν ἐπὶ τροφῇ ποῖός τις σφυγμὸς γίνεται. καὶ ἡμεῖς λέγομεν ὦ Ἀρχίγενες, οὐχ οὕτως ῥαθύμως, ὡς σὺ νῦν, ἀλλὰ μετὰ τῶν οἰκείων διορισμῶν. οὐ γὰρ ἁπλῶς ἐπὶ τροφῇ πάσῃ σφοδρὸς μεθ᾽ ὑγρότητος γίνεται σφυγμός, ἀλλὰ καὶ ἐπὶ τῇ συμμέτρῳ μὲν κατὰ ποσόν, ὑγρᾷ δὲ κατὰ τὸ ποιόν. οὔτε γὰρ ἡ πλείων τροφὴ σφοδρὸν τὸν σφυγμόν, ἀλλ᾽ ἀνώμαλον ἐξ ἀμυδρῶν καὶ σφοδρῶν καὶ μέσων. οὔτε ἡ ξηρὰ τὸν ὑγρὸν ἐργάζεται. ὥστε τῇ μὲν ὑγρότητι τῆς τροφῆς ὑγροτέρου ποτὲ γινομένου τοῦ δέρματος. οὐδὲ γὰρ διὰ τοῦτο διαπαντός, ἀλλὰ δεῖται τινὸς διορισμοῦ. τῇ συμμέτρῳ δ᾽ αὖ κατὰ τὸ ποσὸν τροφῇ πάντως ἑπομένης σφοδρότητος ἄμεινον ἐστὶ, ὑγρότητος μὲν μηδόλως μνημονεύειν, ἥ γε οὐδὲ πρέπει ποτὲ κατὰ τὸν ἑαυτῆς λόγον τοὺς σφυγμούς. τροφῆς δὲ συμμέτρου μνημονεύοντας σφοδρὸν ὑπ᾽ αὐτῆς λέγειν γίνεσθαι τὸν σφυγμόν. ἀλλὰ τοῦτο κἂν ἀληθὲς ᾖ, πρώτης μὲν τῆς τῶν ἐν σφυγμοῖς αἰτίων ἐστὶ διδασκαλίας, ἐφεξῆς δὲ τῆς προγνωστικῆς. οὐ μὴν πρόκειτο σοι περὶ τούτων λέγειν. εἰ δ᾽ ἀδιορίστως ἅμα καὶ οὐκ ἐν καιρῷ γράφειν συγχωρεῖται, μὴ μόνον ἐπὶ νέᾳ τροφῇ τὸν τοιοῦτον ἴσθι γινόμενον σφυγμόν, ἀλλὰ κἂν τοῖς βαλανείοις ποτὲ, κἂν τοῖς γυμνασίοις, καὶ τοῖς θυμοῖς. γίνεται γὰρ κἂν τούτοις ἔσθ᾽ ὅτε. καὶ πῶς καὶ τίνι τρόπῳ γίνεται, εἰ μὲν μόνον εἰπόντες ἀρκεσθείημεν, οὐδὲν δή που πλέον ἐδιδάξαμεν, εἰ δὲ διορίζομεθα τῆς προκειμένης ἀποστησόμεθα πραγματείας. μὴ τοίνυν παραφλυαρῶμεν. ἀλλ᾽ εἴ τινα ἔχεις ἡμᾶς διδάξαι διαφορὰν σφυγμῶν ἑτέραν ὧν ἴσμεν, δίδασκε. μὴ μόνον ὀνόματα λέγων, ἀλλὰ καὶ τὸ σημαινόμενον αὐτῶν, καὶ τὴν διάγνωσιν ὅλου τοῦ πράγματος. ἐπεί τοι πάλιν ἵνα ταῦτα τις παραλίπῃ, συνάπτεις αὐτοῖς ἑξῆς τὸν δικηκονισμένον σφυγμὸν παραλίπων τὸν διεζωσμένον τε καὶ ἀναπεπλεγμένον, καὶ περιβεβηκότα, καὶ ἀναβεβηκότα, καὶ λακτίζοντα. καὶ γονατίζοντα, καὶ γαστρίζοντα. τίς γοῦν ἡ νομοθεσία δικηκονισμένον μέν τινα καλεῖν, τοὺς δ᾽ ἄλλους παραλιπεῖν. ἀλλὰ δικηκονισμένον μέν φησι λέγομεν τὸν οἷόν τε θυμωμένον, οὐκοῦν πάλιν κακῶς παραλείπεις τὸν οἷον λυπούμενον, καὶ ὀργιζόμενον, καὶ μηνιῶντα. μὴ παῖζε φησί, τὸν γὰρ ἰσχυρὸν οὕτως καλοῦμεν. οὐ παίζω βέλτιστε. σὺ δ᾽ ἐπιτρέπεις ἡμᾶς. ἐνὸν ἰσχυρὸν εἰπεῖν, δικηκονισμένον λέγειν. εἰ γὰρ ἰσχυρὸν εἰρήκεις, ἐπυθόμην ἄν σοι, τίς ποτέ ἐστιν οὗτος ὁ ἰσχυρός. καὶ πῶς αὐτὸν διαγνωσόμεθα. τὸν μὲν γοῦν σφοδρὸν ὅταν ἐν τῷ θλίβειν ἡμᾶς τὴν ἀρτηρίαν ἀντιβαίνῃ, καὶ τὸν ἐναντίον αὐτῷ τὸν ἀμυδρόν, ὅταν ἀφανίζεται, θλιβόντων διαγνώσκομεν. τὸν δ᾽ ἰσχυρὸν ἐὰν εἴπῃς καὶ τοῦτον ὅπως διαγνωσόμεθα, διδάξεις τι πλέον. εἰ δὲ μὴ, κἀνταῦθα ὄνομα μόνον οὐ πρᾶγμα προσθήσεις, ὅταν βιαίως φησὶν ἀνατρέπῃ, καὶ ὠθῇ τὴν ἁφήν. ἀλλὰ καὶ ὁ σφοδρὸς ἀνέτρεπεν, ἀλλ᾽ ἧττον φησὶ τοῦτο βιαίως, οὐκοῦν ἐπιτεταγμένον σφοδρότητι λέγεις, τὸν ἰσχυρὸν δὴ τοῦτον, καὶ δικηκονισμένον σφυγμόν; ναὶ φησὶν οὕτω λέγομεν. ὥρα τοίνυν ἡμῖν καὶ τὸν ἐπιτεταγμένον τῷ τάχει, μὴ τάχιστον, ἀλλ᾽ ἄλλο τι καλεῖν. καὶ τὸν ἐπιτεταγμένον μεγέθει μὴ μέγιστον, ἀλλ᾽ ἕτερόν τι, καὶ τοὺς ἄλλους ὡσαύτως. εἰ δ᾽ ἐκείνοις ἀρκεῖ τάχιστον εἰπεῖν, καὶ μέγιστον καὶ βραδύτατον καὶ ἀραιότατον καὶ πυκνότατον, ἀρκεῖ κἀνταῦθα σφοδρότατον εἰπεῖν, καὶ μὴ νομίζειν παρακειμένης τινὸς τῇ σφοδρότητι μνημονεύειν ἑτέρας διαφορᾶς. αἱ γὰρ ἐν ἑκάστῳ τῶν γενῶν ἐπιτάσεις οὐκ εἰσὶν ἔξω τοῦ γένους. οὔτε γὰρ τὸ λίαν λευκόν, ἄλλο τι καὶ οὐ λευκόν ἐστι. οὔτε τὸ λίαν μέλαν, ἄλλο τι καὶ οὐ μέλαν. οὐκοῦν οὐδὲ τὸ λίαν σφοδρόν, ἄλλο τι καὶ οὐ σφοδρόν. ἅπαντ᾽ οὖν τὰ τοιαῦτα λῆρος ἐστὶ μακρὸς, ἐξ ἀνάγκης ἑπόμενα τῷ μὴ διηκριβῶσθαι καλῶς ἀπ᾽ αὐτῶν, μήτε τὴν ἔννοιαν ἑκάστου τῶν σφυγμῶν, μήτε τὴν οὐσίαν, μήτε τὴν διάγνωσιν, μήτε τὰς αἰτίας ὑφ᾽ ὧν γίνωνται. χρὴ γὰρ ὡς ἤδη πολλάκις εἴρηταί μοι, τὸν ἀληθείας ἐφιέμενον ἀπὸ τῶν πραγμάτων αὐτῶν ἀρξάμενον, ὁπόσα τε ταῦτα ἐστὶ καὶ ὁποῖα διορίσασθαι. κἄπειτα ἑξῆς αὐτοῖς ὀνόματα θέσθαι. καὶ μετὰ ταῦτα περὶ τῆς διαγνώσεως εἰπεῖν. εἶτ᾽ ἐπὶ τοῖς δὲ, τῆς αἰτίας, εἶτα τῆς προγνώσεως, ὅπερ ἡμεῖς πεποιήκαμεν. ἐν μὲν τῇ δὲ τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ τὰς διαφορὰς ἁπάσας ἐπελθόντες τῶν σφυγμῶν, ἐν δὲ τῇ περὶ διαγνώσεως ὅπως χρὴ τοὺς δακτύλους ἐπιβάλλοντα καθ᾽ ἑκάστην αὐτῶν ἀκριβῶς αἰσθάνεσθαι. καὶ μετὰ ταῦτα τὴν περὶ τῶν αἰτίων πραγματείαν συνθέντες, εἶτα τὴν προγνωστικήν, ἀλλὰ νῦν γε, περὶ μὲν τῆς πρώτης ὁ λόγος ἡμῖν ἐστὶ, ἧς τὸ χρήσιμον αὐτὸ πρὸς τὰ τῆς τέχνης ἔργα, διὰ τοῦ πρώτου βιβλίου δεδήλωται, κεφαλὴν ἐπιθῶμεν ἤδη τῷ περὶ σφοδρότητος λόγῳ. ἔστι δέ τις σφυγμὸς ὁ ἀνατρέπων τὴν ἁφήν. τουτέστι ἰσχυρῶς τε καὶ ἀντιβατικῶς πλήττων. τοῦτον εἴτε σφοδρὸν εἴτ᾽ εὔτονον, εἴθ᾽ ὅτι βούλεται καλεῖν τις οὕτω θέμενος, ἴστω διαγινωσκόμενον αὐτόν, ἐρειδόντων ἐπὶ πλεῖον τοὺς δακτύλους, οὐκ ἐπιπολῆς ψαυόντων. αἰτία δ᾽ αὐτοῦ ῥώμη τῆς τοὺς σφυγμοὺς ἐπιτελούσης δυνάμεως. εἰ μὲν οὖν ἡμεῖς πρῶτοι τὴν ὅλην ἐξουσίαν ἔχομεν τῆς θέσεως τῶν κατὰ τὴν ἰατρικὴν ὀνομάτων, εὔτονον ἂν οὐ σφοδρὸν ἐκαλέσαμεν τὸν τοιοῦτον σφυγμόν. ἐπεὶ δ᾽ ἔφθασεν ὑπὸ τῶν πλείστων ὀνομάζεσθαι σφοδρός, οὐ μετατίθεμεν τοὔνομα. καί τοι γινώσκοντες παρὰ τοῖς Ἕλλησι τὸ τῆς σφοδρότητος ὄνομα, κατ᾽ ἐνεργείας ἀεὶ λεγόμενον, ἰσχυρᾶς τε ἅμα καὶ ταχείας. παλαίσματά τε γοῦν ὀνομάζεται σφοδρὰ τὰ μετὰ συντονίας τε ἅμα καὶ τάχους γινόμενα. καὶ ἄνθρωποι κατὰ τὸν αὐτὸν τρόπον, ὅταν εὐτόνως τε ἅμα καὶ ταχέως ἐνεργῶσι, σφοδροὶ προσαγορεύονται. καὶ δὴ καὶ τὸ τῶν λεόντων γένος, ἅπαντες ὀνομάζουσι σφοδρόν, ὅτι καὶ τοῦτο μετὰ συντονίας τε ἅμα, καὶ τάχους ἐνεργοῦν ὁρῶσιν, ὥστ᾽ εἴπερ ἦν ἐπ᾽ ἐμοὶ θέσθαι τοὔνομα, τὴν μὲν ἁπλῆν ποιότητα τῶν ἀντιβατικῶν τε καὶ ἀνατρεπτικῶν τῆς ἁφῆς τῶν σφυγμῶν, ἰσχὺν ἂν ἢ ῥώμην ἢ εὐτονίαν, ἤ τι τοιοῦτον ἕτερον ὠνόμασα. τὴν δ᾽ ἐκ ταύτης ἅμα καὶ τάχους σύνθετον οὐκ ἐκάλεσα σφοδρότητα. νυνὶ δ᾽ ἐπειδὴ τὸ τῆς σφοδρότητος ὄνομα δι᾽ ἔθους ἐγένετο τοῖς πλείστοις τῶν ἰατρῶν ἐπὶ μιᾶς τῶν πρώτων λέγεσθαι διαφορῶν, ἔγνων χρῆναι μὴ φεύγειν αὐτό. καὶ διὰ τοῦτο τὸν μὲν εὐρωστότερον πλήττοντα σφυγμὸν ὠνόμασα σφοδρόν, τὸν δ᾽ ἀρρώστως ἀμυδρόν, οὐδὲν διαφέρον ἢ εὐρώστως ἢ ἰσχυρῶς, ἢ βιαίως, ἢ εὐτόνως εἰπεῖν. αἰτίαν δ᾽ αὐτοῦ ῥώμην τῆς κινούσης τὰς ἀρτηρίας δυνάμεως εἶναι φησί, διάγνωσιν δὲ τῶν δακτύλων εἰς βάθος ἐρειδομένων. ἐν γοῦν τῷ τοιούτῳ τρόπῳ τῆς ἐπαφῆς, ὁ μὲν ἰσχυρὸς σφυγμός,

ἰσχυρότερος

ἰσχυρότερος φαίνεται, βιαιότερον ἀνθιστάμενος τοῖς θλίβουσι δακτύλοις. ὁ δ' ἀσθενὴς οὗτος ἐνίοτε καταπίπτει τε καὶ νικᾶται πρὸς αὐτῶν, ὡς ἄσφυκτον δοκεῖν εἶναι τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τούτων ἐν ταῖς ἐχομέναις πραγματείαις ἐροῦμεν. ὁ δὲ νῦν ἐνεστηκὼς λόγος ἤδη μοι πέρας ἐχέτω. βούλομαι γὰρ ἑξῆς ἐπὶ τὴν πολυθρύλλητον ἀφικέσθαι πληρότητα, πολλὰ πράγματα παρεσχηκυῖαν ἅπασι τοῖς ἰατροῖς τοῖς νεωτέροις, μέλλουσάν γε δή που καὶ ἡμῖν οὐκ ὀλίγα παρέξειν, οὐκ ἐν τῇ δὲ τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ μόνον, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ πολὺ δὴ μᾶλλον ἐν τῇ διαγνωστικῇ. τὴν μὲν γὰρ ἔννοιαν αὐτῆς ὁμολογοῦμεν ὑπάρχειν ἐναργῆ, διάγνωσιν δὲ οὐδὲ μίαν αἰσθητὴν εἶναι φαμέν. ἀλλὰ περὶ μὲν τῆς διαγνώσεως, αὖθις εἰρήσεται. περὶ δὲ τῆς ἐννοίας, ἐπειδὴ καὶ ταύτην ἔνιοι συγχέουσιν, ἤδη λέγομεν. ἀπὸ μὲν οὖν τῶν πραγμάτων ἀρχομένοις ἤτοι τοῦ τῆς ἀρτηρίας σώματος, ἔσται τις ποιότης ἡ πληρότης, ἢ τῆς ἐγκεχυμένης οὐσίας. ἀπὸ δὲ τῶν ὀνομάτων ἐνθένδ' ἄν μάλιστα τις ὑπάρξαιτο, πλῆρες φαμὲν εἶναι τὸ κεράμιον οἴνου, καὶ πλήρη τὸν θύλακα ἀλφίτων. οὕτω δὲ καὶ τὸ θέατρον, ἢ τὸ στάδιον, ἢ τὸ βουλευτήριον ἀνθρώπων πλήρη λέγομεν ὑπάρχειν, ὥσπερ αὖ καὶ κενά. οὕτω δὲ καὶ τὴν γαστέρα, καὶ τὸ στόμα ποτὲ μὲν φαμὲν πλήρη εἶναι, ποτὲ δὲ κενά. Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο, Πλῆρές τοι σχαδόνων, καὶ ἀπ' αἰγίλω ἰσχάδα τρώγοις. καὶ ὅλως ἅπαν ἀγγεῖον ἐντὸς αὐτοῦ περιέχων εὐρυχωρίαν, ἤτοι πλῆρες ἢ κενὸν εἶναι φαμέν, ἐπειδὰν μὲν ὑφ' ἑτέρου τινὸς σώματος, εἴθ' ἑνός, ἢ καὶ πλειόνων ἡ εὐρύτης αὐτοῦ καταλαμβάνηται, πλῆρες. ἐπειδὰν δὲ μόνον ἀέρα περιέχει, κενόν. οὕτω μὲν ἅπαντες ἄνθρωποι κυρίως τε καὶ πρώτως ὀνομάζουσι. μεταφέροντες δ' ἐντεῦθεν ἤδη τινὲς ἐπὶ τὰς ἑαυτῶν τέχνας, οὐκέτι δηλονότι κυρίως οὐδὲ πρώτως, ἀλλὰ δευτέρως τε καὶ τροπικῶς, ὁ μὲν ἔριον ὀνομάσει πλῆρες, ὁ δὲ οἶνον, ὁ δ' ἄλλο τι τῇ χρείᾳ κείνων ἕκαστος τὸ πρᾶγμα. τὸ μὲν γὰρ διαρκῆ τε καὶ μόνιμον ἔχον αὐτήν, ὀνομάζουσι πλῆρες, ὥσπερ τὸν οἶνον οἱ γευσάμενοι μέχρι πλείστου παραμενούσης αἰσθάνοντες τῆς ποιότητος, οὗ δ' ἂν ἐν τάχει παύηταί τε καὶ ἐκλύηται ἡ ποιότης, ἢ δύναμις, ἢ χρεία, κενὸν ἐκεῖνον προσαγορεύουσι. οὕτως οὖν καὶ τοὺς λόγους ἐνίοτε ψευδεῖς, ὀνομάζουσι κενούς, οὐ μήν γε ὅταν κενὸν εἶναι τινὰ λέγουσιν νοῦν μεταφορᾷ χρῶνται τηνικαῦτα, καθάπερ οὐδ' ὅταν τοὺς μὲν ἰσχνοὺς ἀνθρώπους κενὸν ἔχειν τὸ σῶμα σαρκῶν φάσκωσι, τοὺς δὲ παχεῖς πλῆρες. ἀλλ' ἐν τούτοις φυλάττουσι τὴν ἀγγείου τε καὶ περιεχομένου νόησιν. ἐφ' ὧν ὡς ἐρρέθη κυρίως τε καὶ πρώτως εἴθισται λέγεσθαι τὸ πλῆρές τε τὸ καὶ κενόν. ἕτερα δ' αὖ σώματα διάκενα λέγουσιν, οὐ κενά, καθάπερ σπόγγον τε καὶ κίστηριν. οὐδὲ γὰρ σῶμα νομίζουσι εἶναι τὸν ἀέρα, χώραν δέ τινα καὶ τόπον κενὸν ἐπιτήδειον ὑποδέχεσθαι σώματα. οὐ μὴν οἱ γε λόγῳ διασκεψάμενοί τι περὶ τοῦ ἀέρος ἰατροί τε καὶ φιλόσοφοι κενὸν εἶναι παντάπασιν ὑπολαμβάνουσιν αὐτόν, ἀλλ' οἱ μὲν τινὲς ὧν τῆς δόξης καὶ ἡμεῖς μετέχομεν, ἓν ὑπάρχειν σῶμα συνεχὲς ἑαυτῷ πάντη, μηδαμόθεν κενοῦ παραπλοκὴν ἔχον. οἱ δέ τινες ἐν κενῷ πολλὰ σώματα τὰ μικρὰ τὰ πρῶτα περιφερόμενα, προσκρούοντά τε καὶ ἀποπαλλόμενα, μὴ μέντοι περιπλεκόμενά τε καὶ συγκρινόμενα. καὶ τοίνυν καὶ τὸν κενὸν σφυγμὸν οὕτω μὲν ἡμῖν ἀδύνατον ὀνομάζειν, ὡς οἱ πολλοὶ λέγουσι τὸν ὄντως κενόν. οὐδὲν γὰρ ἐστὶν ἐν κόσμῳ τοιοῦτον ἀλλ' οὐδὲ κατ' ἐπικράτειαν. οὐδενὸς γὰρ ὑπάρχοντος ὅλως ἐν κόσμῳ κενοῦ, πῶς ἂν εἴη τι κατ' ἐπικράτειαν κενόν. ὑπόλοιπον δὴ κενὸν ἡμᾶς λέγειν σφυγμόν, ὥσπερ θύλακον, ἢ ἀσκόν, ἢ τάλαρον, ἢ σάκκον, ἢ ὅλως ἀγγεῖον ὁτιοῦν. ἀλλ' εἴπερ οὕτω λέγοιτο διχῶς ἐπινοηθήσεται τοιοῦτος γινόμενος, ἕνα μὲν τρόπον, ὥσπερ ὁ πίθος ὅταν ἀέρα μόνον ἐν αὑτῷ ἔχων, ἕτερον δὲ καθάπερ ἀσκός. ἢ θύλακος, ἢ τι τοιοῦτον ἕτερον, οὐ δυνατὸν ἐστὶ συμπίπτειν ἐπ' ἀλλήλους τοὺς χιτῶνας, ὥσπερ τὸν πεφυσημένον ἀσκὸν οἴνου μένειν ἀεὶ κενόν, ἀέρος δὲ μεστόν. εἰ δὲ καὶ τούτων ἐκκενώσεις ὡς συμπεσεῖν πανταχόθεν ἀκριβῶς, τηνικαῦτα ἀκριβῶς γίνεσθαι κενόν. καὶ τοίνυν καὶ τὴν ἀρτηρίαν εἰ οὕτως ἐροῦμεν ὑπάρχειν κενὴν ὡς ἀέρα περιέχουσαν, ὥς τε κἂν ἐπὶ πλεῖστον ἡ διαπεφυσημένη τε καὶ διεστῶσα κενὴν ὀνομάζεσθαι, ἢ οὐχ οὕτως. ἀλλ' ὥσπερ ἐλέγομεν ἐπὶ τῶν ἀσκῶν. ἐπειδὰν καὶ τὸν ἀέρα τις ἐξ αὐτῶν ἐκκενώσῃ. κατὰ μὲν δὴ τὸ πρότερον τῶν σημαινομένων ὁ κενὸς σφυγμὸς ἔσται τοιοῦτος, οἷόνπερ Ἐρασίστρατος ἀεὶ βούλεται κατὰ φύσιν ὑπάρχειν αὐτόν. κατὰ δὲ τὸ δεύτερον οὐδὲν διοίσει τοῦ μικροῦ. τὸ γὰρ δὴ τρίτον τῶν σημαινομένων, οὔτε Ἀρχιγένης, οὔτε Ἀγαθῖνος, οὔτε Μάγνος, οὔτ' Ἀθήναιος, οὔτε ἄλλος οὐδεὶς τῶν πνευματικῶν ἰατρῶν ἀληθὲς ὁμολογήσει. λέγω δὲ ὅταν ὀλίγα μὲν σώματα περιέχῃ ἐν αὐτῇ ἡ ἀρτηρία. πλείστην δὲ τὴν κενὴν χώραν. οὐ γὰρ εἶναι τοιαύτην οὐδεμίαν ἐν κόσμῳ νομίζουσιν. ἀλλ' ἡνῶσθαι τὴν ὅλην οὐσίαν ἑαυτῇ. λοιπὸν οὖν ὡς ἔφαμεν ἤτοι τὸν μικρὸν σφυγμόν, ἢ τὸν ἀερώδη κενὸν ὀνομάζομεν. οὕτω δὲ καὶ τοὺς ἐναντίους αὐτοῖς, πλήρεις. τόν τε μέγαν, καὶ τὸν οἷον ὑγροφανῆ. ἀλλὰ τούτους μὲν κατὰ τὴν ἐγκεχυμένην οὐσίαν. καθ' ἣν δὴ καὶ μάλιστ' ἄν τις ὀνομάσειε κυρίως, ἢ πλῆρες, ἢ κενὸν ἀγγεῖον. ἑτέρως δὲ καθ' αὐτὸ τῆς ἀρτηρίας τὸ σῶμα. τουτέστι τοὺς χιτῶνας αὐτῆς. οὓς ἄμεινον ἦν οἶμαι σκληροὺς καὶ μαλακούς, οὐ πλήρεις, ἢ κενοὺς ὀνομάζειν. οὐδὲν γὰρ ὁμοιομερὲς σῶμα κενὸν ἢ πλῆρες καλεῖται, πλὴν εἰ μὴ κατὰ μεταφοράν. ἧς οὐ χρὴ προσάπτεσθαι κατὰ τὰς ἐπιστημονικὰς διδασκαλίας. ἀλλ' εἰ μὲν ἔχοιμεν ὀνόματα κύρια τούτοις χρῆσθαι προσήκειν. εἰ δὲ μὴ λόγῳ μᾶλλον ἑρμηνεύειν ἕκαστον τῶν πραγμάτων οὐκ ἐκ μεταφορᾶς ὀνομάζειν, ὅταν γε διδάσκειν τις βούληται καὶ μὴ περιλαλεῖν. ἐπεὶ τῷ γε μεμαθηκότι τὸ πρᾶγμα συντόμου δηλώσεως ἕνεκεν ἐγχωρεῖ καὶ διὰ τῶν ἐκ μεταφορᾶς ὀνομάτων, καὶ διὰ τῶν ἐκ καταχρήσεως ἐνδείκνυσθαι τὸ λεγόμενον. ἡ πρώτη μέντοι διδασκαλία τῶν τεχνικῶν ἁπάντων πραγμάτων ὑπὲρ τοῦ σαφής τε εἶναι, καὶ διηρθρωμένη κυρίων ὀνομάτων δεῖται. τὸ τοίνυν σῶμα τῆς ἀρτηρίας τουτέστιν ὁ χιτὼν αὐτοῦ ἤτοι σκληρότερος ἐστὶ τοῦ δέοντος, ἢ μαλακώτερος, ἢ δηλονότι σύμμετρός τε καὶ κατὰ φύσιν ἔχων. οὐ γὰρ δὴ κατ' αὐτό γε τοῦτο πάλιν, ἢ ἀερώδη τινὰ φήσομεν περιέχεσθαι οὐσίαν, ἢ ὑγράν· ἓν γάρ ἐστι τὸ συνεχὲς ἑαυτῷ πανταχόθι. πλὴν εἴπου τρήματά τινα πάνυ σμικρὰ κέκτηται. ἀλλὰ καὶ ταῦτα ἢ ἀερώδη τινὰ περιέχειν οὐσίαν, ἢ ὑγράν, ἢ ἀτμώδη πάντως ἀναγκαῖον ἐστίν. ἢ συμπεπτωκέναι παντάπασιν, ἀλλὰ συμπεπτωκότα μὲν εἰς ἴσον τοῖς οὐδ' ὅλως ἔχουσι καθίσταται, περιέχοντα δὲ ὑγρόν, ἢ ἀτμόν, ἢ ἀέρα μαλακώτερον ἐργάσεται τὸ τῆς ἀρτηρίας σῶμα. ὥς τε ἐκ

περίοδον πάλιν εἰς τὸ θ' ἥκειν ἡμᾶς ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν. ὡς ἤτοι σκληρός ἐστιν ἢ μαλακὸς ὁ τῆς ἀρτηρίας
χιτών. ὁ γὰρ ἐν τῷ μεταξὺ λόγος οὐκ ἄλλην τινὰ τρίτην ἐδήλωσε φύσιν, ἀλλὰ τῶν εἰρημένων δυοῖν, διαφο-
ράς τε γενέσεων αἰτίας. ἣν δὲ οὐ περὶ τὸ προκείμενον, οὐδὲ χρήσιμον ὅλως εἰς τὰ παρόντα. ὡς ἔγωγε καὶ πά-
σας εἰπεῖν ἕτοιμός εἰμι τὰς τῶν σκληρῶν τε καὶ μαλακῶν γενέσεις, εἰ μέλλοιμι τινὸς ἐντεῦθεν ἀπολαύειν εἰς
τὰ παρόντα χρηστοῦ. πειράσομαι δ' ὡς ἔνι μάλιστα διὰ βραχυτάτων αὐτὸ πρᾶξαι. πάντων τῶν σωμάτων ἐκ
γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ πυρὸς συνισταμένων, ἐν οἷς μὲν ἂν ὑπάρχῃ πλεῖον ἤτοι τὸ γεῶδες στοιχεῖον, ἢ
τὸ ὑδατῶδες ὑπὸ ψύξεως πεπηγός, ἀναγκαῖον εἶναι τὰ τοιαῦτα σκληρά. ἐν οἷς δ' ἂν ἢ τὸ πυρῶδες, ἢ τὸ ἀερῶ-
δες, ἢ τὸ ὑγρὸν στοιχεῖον ἀπαγὲς ἐπικρατῇ, μαλακὰ ταῦτ' εἶναι πάντα. οὕτω δὲ καὶ εἰ τρήματα τινὰ καὶ πόρους
ἔχοιεν, εἰ μὲν ἤτοι γεώδους οὐσίας, ἢ ὑδατώδους πεπηγυίας ἐπικρατούσης ἐν αὐτοῖς, ἀναγκαῖον εἰς σκληρότη-
τα τοῦ παντὸς σώματος συντελεῖν. εἰ δ' ἤτοι λεπτομεροῦς τινός, ἢ ὑγρᾶς ἀπαγοῦς, εἰς μαλακότητα. τούτων οὕ- 10
τως ἐχόντων, ἤδη δίκαιον ἐρέσθαι τοὺς ἄνδρας. ἐπί τι μάλιστα φέρουσιν ὑποκείμενον πρᾶγμα τὸ τῆς πληρότητος
ὄνομα. πάντως γὰρ ἢ τὴν σκληρότητα καλοῦσιν πληρότητα ἁπλῶς, ἢ τινὰ τῶν εἰρημένων αὐτῆς διαφορῶν.
αἱ διαφοραὶ δ' ἦσαν. ὅταν ἤτοι ξηρότης ἐπικρατῇ γεώδης, ἢ πῆξις ὑδατώδης, εἴτ' οὖν ἔχει πόρους τινὰς τὸ ὑπο-
κείμενον ἐν ἑαυτῷ, εἴτε μή. περὶ ταῦτα δὲ καὶ τὴν κενότητα, πότερον τὴν μαλακότητα λέγουσιν. ἢ τινὰ τῶν
διαφορῶν αὐτῆς. ἦσαν δ' οἶμαι καὶ αἱ ταύτης διαφοραὶ κατ' ἐπικράτειαν, ἤτοι λεπτομεροῦς οὐσίας, ἢ ὑδα-
τώδους ἀπαγοῦς. ἀλλ' οὐδεμίαν ἀποκρίνασθαι τούτων τολμῶσιν. εἶεν γὰρ ἂν οὕτως δήπου μήτε τῆς σκληρότη-
τος ἕτερόν τι τὴν πληρότητα, μήτε τῆς μαλακότητος τὴν κενότητα τιθέμενοι. φεύγουσι δ' ἀπὸ τοῦ λόγου πάν-
τα τρόπον, ἔνιοι μὲν αὐτῶν ἀναισχυντότερον. εἰσὶ δ' οἳ καὶ μετ' αἰδοῦς τινός. ἡ δ' ἀπόδρασις ἡ γοῦν εὐσχή-
μων εἰς τὴν τοῦ πνεύματος καταφεύγει δύναμιν. ὡς γὰρ οἴνου φασὶ ποιότης λέγεται πληρότης, οὕτω καὶ τοῦ
πνεύματος ἐστί τις πληρότης. ἀλλ' ἐνταῦθα πάλιν ἡμῶν ἀξιούντων, οἵαν τινὰ πληρότητα καλοῦσιν ἀποσαφεῖν 20
αὐτούς, ἄρρητον εἶναι φασὶ τὸ πρᾶγμα. πῶς οὖν ὦ πρὸς Διὸς ἢ ὀνομάζειν ἐπιχειρεῖτε τὸ ἄρρητον, ἢ διδάξειν ἡμᾶς ἐλ-
πίζετε. εἰ γοῦν μήτε διδάξαι δύνασθε τὸ πρᾶγμα, μήτ' ἑρμηνεῦσαι λόγῳ, πῶς ἂν ἢ μάθοιμεν τι τῶν γραφομένων
ὑφ' ὑμῶν, ἢ κρῖναι δεῖ; καὶ μὴν ἰδοὺ φασὶν ἐπ' αὐτῶν τῶν νοσούντων δείκνυμί σοι τὸν πλήρη σφυγμόν. καλῶς τοίνυν
ποιήσεις ὦ οὗτος εἴπερ ἐστὶν ἄρρητος μέν, δεικτὸς δέ, μηδὲν μὲν γράφων ὑπὲρ αὐτοῦ. δεικνὺς δὲ μόνον ἡμῖν τὸ
πρᾶγμα. καὶ μὴν καὶ γράφεις ὡς ἑρμηνεῦσαι δυνάμενος καὶ δεικνύειν ἀδυνατεῖς. οὐ δὲ γὰρ συνεῖναι δύνα-
ται κατὰ λέξιν οὐδεμία διδασκαλία χωρὶς ἐξηγήσεως. ἐπιβάλλειν οὖν με κελεύεις τοὺς δακτύλους ὡς οἶμαι
ἐπὶ τὴν ἀρτηρίαν, εἶτ' ἐρεῖς, ἰδοὺ πλήρης ὁ σφυγμὸς ὁ τοιοῦτος ἐστὶν ὃ νῦν αἰσθάνῃ. ὥσπερ δὲ εἰ μὲν ἁπλῆ τις ὑπῆρ-
χε καὶ μία ποιότης τοῖς σφυγμοῖς, ἀληθῶς ἂν ἐλέγετο. νυνὶ δ' ἐπειδὴ πολλαὶ μὲν αὗται καὶ καθ' ὑμᾶς εἰσίν.
ἅπασαι δὲ ὑποπίπτουσιν ἀθρόως, οὐκ ἔθ' οἷόν τε χωρὶς ἐξηγήσεως οὐδεμίαν αὐτῶν ἐκμαθεῖν. ἰδοὺ γοῦν ἅπτομαι τῆς
ἀρτηρίας ὡς κελεύεις, ἀλλ' οὐκ εἰδὼς ὅ, τι ποτὲ τῶν συμβεβηκότων αὐτῇ πληρότητα καλεῖς, οὐδὲν μᾶλλον ἐπὶ τῇ 30
δείξει σου συνίημι τοῦ πράγματος, ἢ πρόσθεν, ὅτ' οὐκ ἐδείκνυες. ἔστω γὰρ ὁ ποτ' ἐπιβάλλω τοὺς δακτύλους τὸν
σφυγμὸν διαίρεσθαι μὲν ἐπὶ πλεῖστον αὐτὸν εἰς μῆκός τε καὶ κύκλον. εἰ δὲ καὶ θλίψαιμι, καὶ πιέσαιμι, βιαιότε-
ρον ἐμπίπτειν τῇ ἁφῇ. φαίνεσθαι δὲ καὶ σκληρὸν καὶ ταχύν. εἶτά με τὴν βίαιον αὐτοῦ προσβολὴν ὑπονοήσαι
λέγεσθαι πληρότητα, πῶς οὐκ ἄτοπον τι συμβαίνοι περὶ τὴν δεῖξιν. ὃν γὰρ ἐν τοῖς ἔμπροσθεν ἐμάθομεν ὀνομάζειν
σφοδρὸν σφυγμόν, τοῦτον νῦν μεταδιδασκόμεθα πλήρη καλεῖν. ἢ τοίνυν ἕτερόν τι σύμπτωμα τῆς διαστελλομέ-
νης ἀρτηρίας εἰπέ, καθ' ὃ κελεύεις με τὸ τοῦ πλήρους ὄνομα φέρειν, ἢ εἴπερ παρὰ ταῦτα οὐδὲν ἄλλο ἐστίν, ὄνομα μὲν
ἐπεισάγεις τοῖς σφυγμοῖς, πρᾶγμα δ' οὐδὲν διδάσκεις. εἰ δ' ἀρκεῖ σοι λέγειν ἄρρητον εἶναι τὸ πρᾶγμα, συγχω-
ρήσεις δή που κἀμοὶ λέγειν ἄλλας ἐπὶ ταῖς εἰρημέναις ὑφ' ἡμῶν ποιότητας ἐν τοῖς σφυγμοῖς ὑπάρχειν κατὰ
τὴν διαστολὴν τῆς ἀρτηρίας φαινομένας τρεῖς τὸν ἀριθμόν, οὐκ ὀρθῶς ὑφ' ἡμῶν παραλελειμμένας. εἰ δ' ἐρωτήσει-
τέ με τίνας ταύτας, ἀρρήτους εἶναι φήσω κυρίοις ὀνόμασιν. ἐκ μεταφορᾶς δ' εἰ βούλοισθε, διδάξειν ὑφέξομαι. κα- 40
θάπερ γὰρ φωνὴν τὴν μὲν λευκὴν εἶναι, τὴν δὲ μέλαιναν φαμέν, οὕτω καὶ τῶν σφυγμῶν τὸν μέν τινα λευκὸν ὑ-
πάρχειν ἐρῶ, τὸν δὲ μέλανα. καὶ ταύτην πρώτην εὐθέως τὴν ποιότητα παραλελεῖφθαι πρὸς ὑμῶν. ἑτέραν δὲ
δευτέραν. καθ' ἣν ἤ τοι γλυκύτης τις, ἢ πικρότης αὐτῶν ὁρᾶται. χρὴ δὲ καὶ τούτων τῶν ὀνομάτων ἀκούειν ἐκ
μεταφορᾶς. ἄρρητον γοῦν εἶναι τὸ πρᾶγμα. δειχθῆναι μέντοι δυνάμενον. ἰδοὺ γέ σοι δείκνυμί σοι τὸν σφυγμὸν τοῦτον
τὸν πικρόν, ἀλλὰ καὶ ἡ τρίτη ποιότης ἄρρητος μέν ἐστι, δειχθῆναι μέντοι δυναμένη. καλῶ δ' αὐτὴν ὑπογραφῆς
ἕνεκα στρυφνότητα. καθάπερ γὰρ ἐν τῇ γεύσει τὸν στρυφνὸν χυμὸν διαγινώσκομεν, οὕτω κἂν τῇ ἁφῇ τὴν οἷον στρυ-
φνὴν τῆς ἀρτηρίας προσβολήν, τούτῳ τῷ τρόπῳ τις χρώμενος οὐ τρεῖς μόνον, ἀλλὰ καὶ τριάκοντα φήσει παραλε-
λεῖφθαι διαφορὰς σφυγμῶν. καὶ πρὸ πάντων ἐκείνῳ μοι πρόσεχε τὸν νοῦν, ὅτι στρυφνὸς μέν τις χυμὸς κυρίως
ὀνομάζεται. πλήρης δ' οἶνος οὐδεὶς κυρίως. ἀλλ' εἴ τις οὕτω προσαγορεύει, μεταφορᾷ χρῆται, κατ' ὃν ὀλίγον 50
ἔμπροσθεν ἐξηγησάμεθα τρόπον. ἀπὸ μὲν δὴ τῶν κυρίως ὀνομασμένων ἅπασιν ἀνθρώποις, ἐγχωρεῖ μεταφέ-
ρειν. οὐ μὴν ἀπὸ τῶν μετενηνεγμένων αὖθις ἑτέρας ποιεῖσθαι μεταφοράς. οὐδὲ γὰρ ποιηταῖς τοῦτό γε συγχω-
ρητέον ἐστίν. μή τί γε τοῖς ἐπιστημονικόν τι καὶ τεχνικὸν ἐπαγγελλομένοις διδάξειν. ὥσθ' ὁ μὲν ἀπὸ τῶν χυμῶν ἐπὶ
τὴν ἁφὴν μεταφέρων τὸ στρυφνὸν ὄνομα συγγνωστὸς ἀπὸ τῶν χυμῶν κυρίως ἀρχόμενος. ὁ δ' ἀπὸ τοῦ περὶ γεῦσιν
πλήρους ἐπὶ τὸ περὶ τὴν ἁφὴν πλῆρες ἀξιῶν μεταβαίνειν, οὐδὲ περὶ νόμον οὗτός γε ποιεῖται τὴν μετάβασιν, ἀλ-
λὰ καὶ τῆς τῶν ποιητῶν ἐξουσίας ἐπέκεινα πρόεισιν, ἀπὸ τῆς προτέρας μεταφορᾶς ἑτέραν ποιῶν δευτέραν
μεταφοράν. εἰ γὰρ ἅπαξ τοῦτο συγχωρηθείη, καὶ τρίτην ἀπὸ τῆς δευτέρας οἶμαι τολμήσει, καὶ τετάρτην ἀπὸ
τῆς τρίτης, καὶ πέμπτην ἀπὸ τῆς τετάρτης ποιήσασθαι μεταφοράν. ὥστε εἰς ἐκφορὰν ὄντως ἐμβάλλειν τοὺς
ἐπιτριβομένους ὑπ' αὐτῶν. καί τοι γε οὐδ' ἀπὸ τῶν κυρίων ὡς ἔτυχε μεταφέρειν ἔξεστιν οὐδὲ τοῖς ποιηταῖς.
ἀλλὰ κἂν Πίνδαρος ἢ τις ἄλλος τις ὠκεανοῦ τὰ πέταλα τὰς κρήνας λέγων, οὐκ ἐπαινεῖται. καὶ πολὺ μᾶλλον ἐπει-

δὰν ἀψευδῶς

δαν ἀψευδῆ δὲ πρὸς ἄκμονι χαλκεύειν γλῶσσαν, ἤ τι τοιοῦτον ἕτερον εἴπῃ. ἀλλὰ γάρ, ὡς ἔοικεν, οὐδὲν οὕτω
πολυλογίας ἐστὶ ποιητικόν, ὡς ἀπειροτολμῶν ἀνήρ, οἷς ἀγνοεῖ. διαφορὰς γοῦν ἑκάστου τῶν πραγμάτων ἐξευρεῖν,
ὅσαι τ' εἰσὶ τὸν ἀριθμόν, ὁποῖαι τὸ εἶδος, ἀνδρὸς ἔργον ἐστὶ θεωρίαν λογικὴν ἠκριβωκότος. ἐφεξῆς δ' ὀνόματα κα-
τ' αὐτῶν θέσθαι, ἐμπειρικοῦ τινός, ἢ τἀληθέστερον φάναι, διαλεκτικοῦ. ὅταν οὖν ἄνθρωποι μήτε λογικὴν θεω-
ρίαν ἠκριβωκότες, μήθ' ἑρμηνεύειν ἱκανοί, τολμῶσι ἅπτεσθαι πολὺ μειζόνων ἢ καθ' ἑαυτοὺς πραγμάτων αὐτοί
τε πολυλογοῦσι, καὶ τοὺς ἐξελέγχοντας ἀναγκάζουσι κἂν ὅτι μάλιστα βραχυλογίαν ἀσκοῦσιν, εἰς τὴν αὐτὴν ἐκεί-
νοις ἐμπίπτειν μακρολογίαν, ὅπερ οἶμαι κἀγὼ νῦν πάσχω. διὰ γάρ τοι τὸ πλῆθος ὧν ἡμαρτήκασιν ἐξίσταμαι
τῆς συνήθους ἐμαυτῷ βραχυλογίας. ἀλλὰ κἀνταῦθα καθ' ὅσον οἷόν τε, συντέμνειν πειράσομαι. γένοιτο δ' ἂν
τοῦτο τὰ καὶ καθόλου, κοινὰ πάντων ἁμαρτήματα διελέγχοντός μου, τὰ δὲ κατὰ μέρος ἑκάστου παραλείποντος.
10 ἔστι δὲ κοινά, καὶ καθόλου ταυτί, πότερα ποιότητά τινα τοῦ τῆς ἀρτηρίας χιτῶνος ὁ πλήρης σημαίνει σφυγ-
μός, ἢ τῆς ἐγκεχυμένης οὐσίας τὸ ποσόν, ἢ τὸ ποιόν, ἢ τοῦ συμφύτου πνεύματος. ὡς καὶ τοῦτο τινὲς ἐτόλμησαν
εἰπεῖν, ἤτοι δύναμίν τινα, ἢ ποιότητα. τοῦ μὲν γὰρ σώματος αὐτοῦ τῆς ἀρτηρίας αἱ ποιότητες ὡς ὀλίγον ἔμ-
προσθεν ἐδείκνυμεν, οὐ πληρότης ἂν οὐδὲ κενότης. ἀλλὰ σκληρότης τε, καὶ μαλακότης ὀνομάζοιντο δικαιότε-
ρον. τῆς δ' ἐγκεχυμένης οὐσίας αὐτῆς τὸ ποσόν, ὀρθῶς μὲν ἄν τις ὀνομάσειε πληρότητα καὶ κενότητα. διαφέ-
ρουσι δ' οὐδὲν αὗται μεγέθους τε καὶ σμικρότητος. εἰ δὲ μὴ τὸ ποσόν, ἀλλὰ τὸ ποιὸν τῆς περιεχομένης ἐν αὐτοῖς οὐσίας
ὑπὸ τῶν ὀνομάτων φάσκοιεν δηλοῦσθαι, κυρίως μὲν οὐκ ἂν ὀνομάζοιεν. ὑπάρχουσαν μέν τοι τινὰ ἐροῦσι διαφοράν, οὐ
μὴν αἰσθήσει γε διαγνωστήν, ὡς ἐν τοῖς περὶ διαγνώσεως ἐπιδείξομεν. ἡ δὲ τοῦ πνεύματος πληρότης τε καὶ κε-
νότης, ἔτι δὴ καὶ μᾶλλον ἀναίσθητος ἐστὶ αὐτὴ καθ' αὑτήν, εἰ δ' ὡς αἴτιον τις αὐτὴν ἐν λέξει λαμβάνοι, τῆς μὲν ῥώμης
αὐτοῦ τὸν σφοδρὸν σφυγμὸν θήσεται σημεῖον, τῆς δὲ ἀρρωστίας τὸν ἀμυδρόν, εἴη δ' ἂν ὁ ταῦτα τιθέμενος ἐκ τῆς πνευ-
20 ματικῆς αἱρέσεως. ὥστε κἂν νῦν δῆλον ὡς οὐ κοινὴν ἔννοιαν, οὐδ' αἰσθήσεως πάθος εἰς διάγνωσιν ἧκον ἐρεῖ τις,
ἀλλ' ἑαυτοῦ δόγμα πρεσβεύσει. χρὴ δ' οὐδ' ἐν ταῖς τῆς ἐννοίας τοῦ πράγματος ἀποδόσεσιν, οὔτε ἐν ταῖς διαγνώσεσι
περιέχεσθαι δόγμα. κοινὰ γὰρ ἁπάντων ἐστὶν ἀλλ' ἐν μόναις ταῖς αἰτίαις λέγεσθαι, καθάπερ ἡμεῖς ποιήσομεν ἐν τοῖς
περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ὑπομνήμασιν. ἐν ἐκείνοις μὲν γὰρ ἁπάσας διεξιόντες τὰς ἀλλοιούσας τοὺς σφυγμοὺς
αἰτίας ἀναγκασθησόμεθα δογμάτων ἐφάπτεσθαι. κατὰ μέν τοι τὴν νῦν ἐνεστῶσαν, αὐτὸ τοὐναντίον οὐδενὸς χρὴ
ψαῦσαι τὸν λόγον, οὐδ' ἐπὶ ἐλάχιστον δόγματος. ἀρκεῖν ἡγοῦμαι ταῦτα καὶ περὶ πληρότητός τε καὶ κενότητος
εἴς γε τὰ παρόντα. λεχθήσεται γὰρ ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἐν τοῖς περὶ διαγνώσεως. καὶ μὲν δὴ καὶ ὅσα περὶ αὐτῶν ἐπὶ
πλεῖστον Ἀρχιγένης περιλαλεῖ, καὶ ταῦτ' ἐν τῷ κρίνειν αὐτοῦ τὸ περὶ τῶν σφυγμῶν βιβλίον εἰρήσεται. διεγνώκειν
μὲν γὰρ ἐγὼ τό τε κατ' ἀρχὰς ἀρκεσθῆναι ταῖς τέτρασι ταύταις πραγματείαις, ὑπὲρ ὧν ἤδη πολλάκις ἐμνη-
μόνευσα, πρώτης μὲν τῆς ἐνεστώσης. δευτέρας δὲ τῆς διαγνωστικῆς, καὶ τρίτης τῆς αἰτιολογικῆς. καὶ τετάρ-
30 της τῆς προγνωστικῆς. ἀλλ' ἕτεροι πολλοὶ βιαζόμενοί τε καὶ καταναγκάζοντες ὑπὲρ τοῦ περὶ σφυγμῶν Ἀρ-
χιγένους βιβλίου γράψαι με, καὶ δεικνύντες τινὰ μὲν ὀρθῶς αὐτῷ, τινὰ δὲ οὐκ ὀρθῶς εἴρηται, συντομωτέραν εἰρ-
γάσαντο τὴν νῦν ἐνεστῶσαν ἡμῖν διέξοδον. ἀναχωρήσας γὰρ ἐν αὐτῇ τῶν κατὰ μέρος ἁπάντων, αὐτὰ τὰ κα-
θόλου δίειμι κατὰ τὸν ἑξῆς λόγον. οὐχ ὥσπερ ἔν τε τῷ δευτέρῳ τῷ πρὸ τοῦδε. καὶ κατ' αὐτὸ δὲ τοῦτο τὸ βιβλίον ἐν
τῷ περὶ τῆς σφοδρότητος λόγῳ τὰς ῥήσεις παρέγραψα τοῦ Ἀρχιγένους ὑπὲρ τοῦ δεῖξαι τὰ κακῶς εἰρημένα. με-
ταβὰς οὖν ἤδη πρὸς τὸν περὶ τῆς σκληρότητός τε καὶ μαλακότητος λόγον ἐπιδεῖξαι πειράσομαι κἀνταῦθα τὴν
περὶ τὰ ὀνόματα πλημμέλειαν τῶν ἀνδρῶν. δι' ἣν ἀναγκαίως καὶ περὶ τὴν διάγνωσίν τε καὶ πρόγνωσιν ἐσφά-
λησαν. ἐν γὰρ κυρίως σημαίνοντος ἑκατέρου τῶν ὀνομάτων, οὐκ οἶδ' ὅπως ἐκ μεταφορῶν οὗτοι μεταφορὰς ποιοῦ-
σιν. τίς γοῦν οὐκ οἶδεν ὡς τὸν μὲν σίδηρον καὶ τὸν λίθον, καὶ τὸ ξύλον σκληρὰ σώματα εἶναι φαμέν. ἔλαιον δὲ καὶ
μέλι, καὶ γάλα, καὶ ὕδωρ, μαλακά. κριτήριον γὰρ οἶμαι πάντες ἄνθρωποι σκληροῦ καὶ μαλακοῦ σώματος ἔχομεν
40 τὴν ἁφήν. ταύτην οὖν ἐπιβάλλοντες τοῖς ἐκτὸς ὑποκειμένοις, ὅσα μὲν ἂν αὐτὴν εὑρίσκωμεν ὑποδεχόμενα, καὶ
οἷον ἐγκαταβαινούσῃ πως ὑπείκοντα, μαλακὰ προσαγορεύομεν. ὅσα δ' ἔμπαλιν, αὐτὰ τὸ ἡμέτερον δέρμα
βιάζηταί τε καὶ ὠθεῖ. τὸ δ' ὑπεῖκον εἰς ἑαυτὸ δέχηται, τὰ βιαζόμενα, σκληρὰ ταῦτα προσαγορεύομεν.
εἰ μὲν γὰρ ἁπλῶς εἴκοι τε καὶ ἀνατρέποιτο πρὸς τοῦ βιαζομένου, τὸ μὲν ἀνατρεπόμενον ἀσθενέστερον ἅπαντες
ὀνομάζουσι. τὸ δ' ἀνατρέπον, ἰσχυρότερον. οὕτω γοῦν καὶ ἄνεμος ἰσχυρὸς οὐχ ἡμᾶς μόνον, ἀνατρέπειν τε καὶ καταβάλ-
λειν πέφυκεν, ἀλλὰ καὶ δένδρα μέγιστα καὶ πλοῖα. καὶ ἡμεῖς δ' αὐτοὶ καὶ χαλκόν, καὶ σίδηρον, καὶ λίθους καὶ ξύλα, καὶ
εἴ τι τούτων ἔτι ἢ σκληρότερον ἀνατρέπομεν, ἐπειδὰν τοῖς ὄγκοις ᾖ μέτρια. καὶ ταύτῃ διήνεγκε τὸ ἰσχυρὸν τοῦ
σκληροῦ. τὸ μὲν γὰρ ὡς εἴρηται νῦν ἤδη, τῆς ἀρχαίας ἕδρας ἐξίστησί τε καὶ ἀνατρέπει τὸ πλησιάζον. τὸ δὲ σκληρὸν μέν,
οὐ μὴν καὶ ἰσχυρόν, οὐκ ἐξίστησι μέν, ἐγκαταβαίνει δὲ τῷ μαλακωτέρῳ, κοιλαῖνόν τε, καὶ βοθρεῦον, καὶ πιλοῦν αὐτό. ταῦ-
τά τοι καὶ ὁ Πλάτων ἔλεγε, σκληρὰ μὲν οἷς ἂν ἡμῶν ἡ σὰρξ ὑπείκοι. μαλακὰ δέ, ὅσα ἂν τῇ σαρκί. πολὺ δ' ἀκρι-
50 βέστερον ὁ Ἀριστοτέλης οὐ τὸ ὑποκείμενον ὀνομάζων μαλακόν, ἀλλὰ προστιθεὶς αὐτῷ, ποτὲ μὲν τὸ εἰς ἑαυτό, ποτὲ
δὲ τὸ μὴ μεθιστάμενον. ἄν τε γὰρ οὕτως εἴπωμεν. μαλακόν ἐστι τὸ ὑπεῖκον εἰς ἑαυτό, ἄνθ' οὕτω, μαλακόν ἐστι τὸ ὑπεῖ-
κον, ἄνευ τοῦ μεθίστασθαι, καλῶς ὁριούμεθα. καὶ μέν τοι καὶ εἰ τὸ συναμφότερον ἅμα προσθέντες ὡς ἐν τῷ δευτέρῳ
περὶ γενέσεώς τε καὶ φθορᾶς ὁ Ἀριστοτέλης ἐποίησε, μαλακὸν εἶναι φαίημεν τὸ ὑπεῖκον εἰς ἑαυτὸ καὶ μὴ μεθιστάμε-
νον. ἔτι σαφέστερον ὁριούμεθα διὰ δυοῖν οἰκείων συμπτωμάτων ἐνδειξάμενοι τὸ μαλακόν. εἰς ἑαυτό τε γὰρ ὑπεί-
κει καὶ οὐ μεθίσταται. ἑκάτερον δ' ἐστὶ αὐτῷ μόνῳ συμβεβηκός. ὡς τό γε ὑπείκειν κοινὸν ὑπάρχει σύμπτωμα μαλα-
κοῦ τε καὶ ἀσθενοῦς. τὸ δὲ εἰς ἑαυτό, μόνου τοῦ μαλακοῦ. καθάπερ τὸ μὴ εἰς ἑαυτό, μόνου τοῦ ἀσθενοῦς. καὶ μὲν δὴ καὶ ὥσπερ
εἰς τὸ περιέχον μεθίστασθαι τοῦ ἀσθενοῦς ἴδιον, οὕτω τὸ μὴ μεθίστασθαι μόνου τοῦ μαλακοῦ. τὸ μὲν οὖν ὑπεῖκον εἰς ἑαυ-
τό, καὶ μὴ μεθιστάμενον ἅπαντες Ἕλληνες ὀνομάζουσι μαλακόν. τὸ δ' οὕτως αὐτὸ διατιθέν, σκληρόν. οὐ δέ ἐστιν ὥσ-
περ ἄλλων τινῶν ὀνομάτων πλείω τὰ σημαινόμενα κυρίως ὀνομάζοντι, καὶ μὴ τροπικῶς οὕτως, καὶ μαλα-

κοῦ, καὶ σκληροῦ. ἢ γὰρ ἂν αὐτὰ καὶ ὁ πάντων δεινότατος εἰς σημαινομένων διαίρεσιν εἶπεν Ἀριστοτέλης. ὥσπερ ἀμέλει τούτων ἐφεξῆς ἐν ταὐτῷ βιβλίῳ τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς ὑπὲρ ὑγροῦ τε καὶ ξηροῦ διαλεγόμενος, ἑκάτερον αὐτῶν ἐδίδαξε πλεοναχῶς λεγόμενον, ἀλλ' οὐ σκληρόν τε καὶ μαλακόν. οὐδ' ἐν ἐκείνῳ τῷ συγγράμματι πολλῶν ὀνομάζεσθαι φησίν. ὥσπερ οὐδὲ ἐν ἄλλῳ τινί. καθάπερ οὐδὲ ὁ Πλάτων. ἀλλ' ἐν ἑκατέρου τῶν ὀνομάτων ἄμφω τὼ ἄνδρε εὑρίσκετον σημαινόμενον. ὅταν γε, ὡς εἴρηται, κυρίως τις ὀνομάζῃ καὶ μὴ τροπικῶς. ἐπεὶ κατά γε τὰς μεταφορὰς ἀναρίθμητον ἔσται τὶ πλῆθος σημαινομένων, οὐ τούτων μόνον τῶν ὀνομάτων, ἀλλὰ καὶ τῶν ἄλλων σημαινομένων ἁπάντων. αὐτίκα γέ τοι Πλάτων αὐτὸς φησὶν ἐν Σοφιστῇ, σκληροὺς λέγεις καὶ ἀντιτύπους ἀνθρώπους, οὐ περὶ τοῦ σώματος δή που φέρων ἑκάτερον τῶν ὀνομάτων. οὔτ' οὖν τὸ σκληρὸν οὔτε τὸ ἀντίτυπον. ἀλλὰ καὶ τὸ τῆς ψυχῆς καὶ ταύτης μάλιστα τοῦ ἤθους τε καὶ τοῦ τρόπου. οὕτω δὲ καὶ οἶνον ἔφη σκληρόν τις ἐκ μεταφορᾶς ὀνομάζων, καὶ φωνὴν σκληρὰν, ἐπιτήδευμά τε καὶ βίον, ἔθος τ' αὖ καὶ νόμον, ἄνεμόν τε καὶ ὕδωρ, ἤ τοι τὸ ἀπηνὲς, ἢ τὸ δύσμικτον, ἢ τὸ δυσξύμβολον, ἢ τὸ ἀηδὲς, ἢ τὸ δυσκατέργαστον, ἢ τὸ δυσκαταγώνιστον, ἤ τι τοιοῦτον ἕτερον ἐκ μεταφορᾶς ὀνομάζων. τὸ δὲ σκληρὸν σῶμα τὸ κυρίως τε καὶ πρώτως λεγόμενον ἀντίτυπόν τε ἐστὶ καὶ κατ' οὐδὲν εἴκει τῷ πλησιάζοντι. τὸν αὐτὸν οἶμαι τρόπον, ἄνθρωπον μὲν σκληρὸν λέγουσι τὸν μονότροπον καὶ δυσπειθῆ, καὶ πρὸς ἅπαν ἀντιτείνοντα. νόμον τε σκληρὸν καὶ δίκην, οἷς μηδὲν μέτεστι συγγνώμης. οἶνον μὲν τι σκληρὸν ὅταν ἰσχυρὸς ᾖ τῇ ποιότητι. καὶ πλήττῃ βιαίως, ἤ τοι τὴν κεφαλὴν, ἢ τὴν αἴσθησιν τὴν γευστικὴν, ὕδωρ δ' αὖ σκληρὸν, τὸ δυσκατέργαστόν τε καὶ βραδύπορον, ὡς ἐπὶ πλεῖστον ἐν τοῖς ὑποχονδρίοις μένον, ἕκαστόν τε τῶν ἄλλων ὅσα σκληρὰ λέγομεν οὐ κυρίως, οὐδὲ πρώτως. ἀλλὰ κατὰ συμβεβηκός τε καὶ μεταφέροντες ἀπό τινος ὁμοιότητος οὕτως ὀνομάζομεν. ἐπειδὴ δὲ πολλὰ συμβέβηκε τῷ σκληρῷ σώματι, καθ' ἕκαστον αὐτῶν αἱ μεταφοραὶ γίγνονται, οὐ μὴν τούτου γε ἕνεκεν ἐπιλαθέσθαι προσήκει τοῦ πρώτου τε καὶ κυρίου τοῦ σημαινομένων. ἁπλοῦν γὰρ εἶναι τὸ σκληρὸν ἐστὶ, καὶ ἡ σκληρότης ἁπλῆ ποιότης. ὅταν οὖν ἐπὶ γεῦσιν ἢ ὄσφρησιν ἢ ὄψιν, ἢ ἀκοὴν ὁ λέγων μεταφέρῃ τοὔνομα, τηνικαῦτα χρὴ τὸν ἀκούοντα τῆς πρὸς τὸ κύριον ὁμοιότητος ἀναμιμνήσκεσθαι. καὶ γὰρ καὶ ἡ κρίσις αὕτη τῶν μεταφορῶν ἐστὶν εἴτε ὀρθῶς εἴτε οὐκ ὀρθῶς εἰσὶν εἰρημέναι. τὰς μὲν γὰρ ἐναργῆ τὴν ὁμοιότητα καὶ πρόδηλον ἐχούσας ἐπαινοῦμεν. ὅσαι δὲ ἀμυδραί τε εἰσὶ καὶ ἄδηλοι, ἀπολείπομεν ἅπαντες. ἀλλ' οὐ τι ἄλλο τι τοῖς νεωτέροις ἰατροῖς ἀγαθὸν ἑρμηνείας ἔγνωσται. διόπερ ἀσαφεῖς ἐσχάτως εἰσὶν, οὐθ' ὡς ἐν καιρῷ χρηστέον ἐστὶ ταῖς μεταφοραῖς. εἰ μὲν οὖν ἀσαφῆ μόνον ἦν αὐτῶν τὰ συγγράμματα, τάχ' ἄν τις ἧττον ἐμέμψατο. νυνὶ δ' ἐπεὶ καὶ τὴν ἀλήθειαν αὐτὴν τῶν πραγμάτων ὧν διδάσκειν ἐπιχειροῦσι διαφθείρουσι ταῖς ἀκαίροις † διαφοραῖς δίκαιον ἤδη μέμψασθαι μειζόνως αὐτοῖς. ὅταν δ' ἔτι πρὸς τούτῳ τις εἰς τοσοῦτον ἐμπληξίας ἥκῃ, ὥστε αὐτὰ τὰ πρῶτά τε καὶ κυριώτατα τῶν ὀνομάτων ἐπιφέρων τοῖς οἰκείοις πράγμασιν ἐκ μεταφορῶν λαμβάνει τὰ σημαινόμενα, πῶς ἄν τις ἀνάσχοιτο; φωνὴν μὲν γὰρ λευκὴν ἐκ μεταφορᾶς νοήσειεν ἄν τις, οὐ μὴν χρῶμά γε λευκὸν ἔθ' ὁμοίως ἐκ μεταφορᾶς ἀκούειν ἐγχωρεῖ. εἰ μὴ γὰρ τοῦτο λέγεται κυρίως λευκὸν, οὐδ' ἄλλο τῶν κυρίως οὐδέν. οὕτω δὲ καὶ ἄνθρωπον μὲν στρυφνὸν ἐκ μεταφορᾶς. οἶνον δὲ στρυφνὸν οὐκέτ' ἐκ μεταφορᾶς, ἀλλὰ δηλονότι πρώτως τε καὶ κυρίως. ὥσπερ οὖν εἴ τις τὸν Θηραῖον οἶνον ὀνομάσας στρυφνὸν. εἶτ' ἐξελεγχόμενος ὡς ψευδῶς δοξάζει γλυκὺν οἶνον, ᾧ μηδὲ βραχὺ μέτεστι στρυφνότητος οὕτω προσαγορευομένῳ, ἀπίθανος ἂν εἶναι δόξειεν, εἰ κατ' ἐκεῖνο τὸ σημαινόμενον φαίη εἰρῆσθαι οἱ, στρυφνὸν τὸν οἶνον. ὥσπερ καὶ ἀνθρώπους ἐνίοτε λέγομεν εἶναι στρυφνοὺς ἐν ἴσῳ τῷ ἀηδεῖς. οὕτω καὶ ὅστις ἁπλῶν ὁπηοῦν σῶμα σκληρὸν εἰπὼν οὕτω κελεύσειεν ἀκούειν τῆς προσηγορίας ὡς οἶνος λέγεται σκληρός, οὐκ ἂν οἶμαι δόξειε σώφρων εἶναι. πασῶν γὰρ τῶν ἁπλῶν ποιοτήτων ἐχουσῶν ὀνόματα λῆρος μακρὸς ἐστὶν ἐκ μεταφορῶν αὐταῖς ἕτερα ἐπεισάγειν. ἐπὶ μὲν τὰς ὀσμὰς ὄντως οὐκ ἔστι ἁπασῶν τῶν ποιοτήτων ὀνόματα, καὶ συγχωρήσειεν ἄν τις ἀλλοτρίοις χρῆσθαι μεταφέροντα. ἐπὶ μέν τοι τὴν ἁφὴν ἅπαντα ὠνόμασται. καθάπερ που καὶ τοῦτ' Ἀριστοτέλης ἐδίδαξεν ἁπάσας ἐκθέμενος ἐφεξῆς αὐτῶν τὰς προσηγορίας. ἃς κἀγὼ νῦν ἐρῶ. θερμότης, ψυχρότης, ξηρότης, ὑγρότης, βαρύτης, κουφότης, σκληρότης, μαλακότης, γλισχρότης, κραυρότης, τραχύτης, λειότης, παχύτης, λεπτότης. οὕτω μὲν οὖν αἱ ἁπλαῖ ποιότητες ἅπασαι ῥηταί. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὰ μετέχοντα αὐτῶν σώματα. καὶ γὰρ καὶ τούτων ἑπτὰ μὲν αἱ κατ' ἐναντίωσιν εἰσὶ συζυγίαι. τεσσαρεσκαίδεκα δὲ τὰ ὀνόματα. πρώτη μὲν οὖν ἐναντίωσις θερμοῦ καὶ ψυχροῦ, δευτέρα δὲ ξηροῦ καὶ ὑγροῦ, τρίτη δὲ βαρέος τε καὶ κούφου, τετάρτη σκληροῦ τε καὶ μαλακοῦ, πέμπτη γλίσχρου, καὶ κραύρου. ἕκτη τραχέος καὶ λείου. ἑβδόμη παχέως καὶ λεπτοῦ. μὴ τοίνυν ὦ οὗτος ἐμπλήκτα λήρει. μηδ' ὀνόμασιν ἑλληνικοῖς τε καὶ κοινοῖς ἁπάντων οἴκοθεν ἐπίφερε καὶ παρὰ σαυτοῦ τὰ σημαινόμενα. ἀλλὰ τὸ μὲν σῶμα τῆς ἀρτηρίας, ἢ σκληρὸν, ἢ μαλακὸν εἰπὲ πρώτως καὶ μάλιστα. τὸν δ' ὅπως ἔχει τοῦτον δεικνύντα σφυγμὸν, οὐ κυρίως μὲν, οὐδὲ πρώτως ἔτι. κατὰ συμβεβηκὸς δ' ἐξέσται σοι καλεῖν σκληρὸν, ἢ μαλακόν. εἴ τε γὰρ ἡ κίνησις αὐτὴ τῶν ἀρτηριῶν ὁ σφυγμός ἐστι, οὐκ ἄν τις εἴποι κυρίως ὀνομάζων σκληρὰν κίνησιν. εἴθ' ἡ ἀπ' αὐτῆς πληγὴ κατὰ τὴν ἡμετέραν ἁφήν. εἴτε ἡ τῆς πληγῆς αἴσθησις, οὐδὲν οὐδὲ τοῦτο λέγεται κυρίως οὐδὲ πρώτως σκληρόν. ἀλλὰ παρονομάζεται δηλονότι τοῦ σκληροῦ σώματος ὁ σκληρὸς σφυγμός. ἐκεῖνο δὲ μόνον οὐκ ἄλλῳ τινὶ παρονομάζοντες, οὔτε κατὰ συμβεβηκὸς οὔτε μεταφέροντες, ἢ καταχρώμενοι προσαγορεύομεν σκληρὸν, ἀλλὰ κυρίως τε καὶ πρώτως. ὅταν οὖν τις σκληρὸν σφυγμὸν, ἢ κατὰ τὴν τοῦ πνεύματος λέγει ποιότητα φαίνεσθαι τοιοῦτον, ἢ καὶ κατὰ τὴν ἰδιότητα τῆς θερμότητος, ἢ κατὰ ἄλλό τι τῶν λαληθῆναι μὲν δυναμένων, διδαχθῆναι δὲ ἀδυνάτων, οὐκ ἀνεξόμεθα τοῦ τὰ τοιαῦτα δηλονότι ληροῦντός τε καὶ παραλαλοῦντος. ὥσπερ οὐδ' Ἀρχιγένους ἔν τε τῷ περὶ σφυγμῶν αὐτοῦ γράμματι, κἂν τῷ δευτέρῳ τῆς τοῦ πυρετοῦ σημειώσεως.

† αἱ. μεταφοραῖς

ΓΑΛΙΝΟΥ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Δ.

Ἴρηταί μοι καὶ κατὰ τὴν ἀρχὴν εὐθέως τοῦ δευτέρου γράμματος, ὅσον εἰς τὰ τῆς τέχνης ἔργα χρήσιμον ἐν τῷ πρώτῳ πεπλήρωται βιβλίῳ, καὶ γὰρ ὁπόσον ἐστὶ τὸ πᾶν πλῆθος τῶν σφυγμῶν, ἐδείχθη. καὶ τὰς προσηγορίας, ὅσαι γε εἰσὶ προσήγοροι, διήλθομεν. ἠξίωσά τε τὸν βουλόμενον τοῦ ἤδη τὸ χρήσιμον ἰέναι τῆς θεωρίας τὴν περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν πραγματείαν, ἐφεξῆς τῇδε γεγραμμένην ἐν τέτταρσι βιβλίοις ἀναλεξάμενον. εἶτ' ἐπ' ἐκείνῃ τὴν περὶ τῶν αἰτίων ἐν τέτταρσιν ἄλλοις. οὕτως ἤδη τὴν ἐξ αὐτῶν ἡμῖν γινομένην ἀφικνεῖσθαι, γεγραμμένην καὶ αὐτὴν ἐν τέτταρσιν ἄλλοις βιβλίοις. τὰ δὲ μετὰ τὸ πρῶτον ἐν τῇδε τῇ πραγματείᾳ τῇ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν εἰρημένα. καθάπερ καὶ ταυτὶ τὰ νῦν γραφησόμενα, διὰ τὴν περίεργον φλυαρίαν τῶν νεωτέρων ἰατρῶν εἴρηται, δεηθέντων τινῶν ἑταίρων, καίτοι γ' ἀντιτείνοντος αὐτοῖς ἐμοῦ μέχρι πολλοῦ. βέλτιον γὰρ ἐνόμιζον εἶναι μηδόλως ἄχρηστα γράφειν, καὶ περιττά, μήθ' ἑκόντα μήτ' ἄκοντα τοῖς φλυαροῦσιν ἀντιφλυαρεῖν. ἀλλὰ γὰρ ὄντως ἀφόρητον ἐστὶν ἐνίων τὸ θράσος ἀγνοούντων μὲν ὁπόσας χρείας ἔχει τὰ περὶ τοὺς ὁρισμούς, προχείρως δ' ὁριζομένων, οὐ τοὺς σφυγμοὺς μόνον, ἀλλὰ καὶ τἄλλα ξύμπαντα. καίτοι γε οὐδεμιᾶς χρείας οὔσης τῶν ὅρων ὅταν καὶ πρὸ ἐκείνων σαφῶς νοῆται τὰ πράγματα, καθάπερ ἤδη τῆς τοῦ σφυγμοῦ προσηγορίας, ἣν οὐ μόνον ἰατροὶ νοοῦσιν, ἀλλὰ καὶ πάντες ἄνθρωποι. ὅταν γοῦν ἐκτείνοντες τὴν χεῖρα παρέχωσιν αὐτοῖς τὸν καρπόν, ἅψασθαι κελεύοντες τοῦ σφυγμοῦ τὸν ἰατρόν, ἆρ' οὕτως οἰηθῶμεν χρὴ λέγειν τοῦ σφυγμοῦ τὴν προσηγορίαν ὡς εἰ καὶ σκινδαψὸν εἶπον, ἢ πρᾶγμά τι σημαίνοντες ἐφθέγξαντο τὴν φωνὴν τήνδε; δοκεῖ μοι βέλτιον εἶναι φάναι νοοῦντας τι πρᾶγμα, κατ' ἐκείνου τίθεσθαι τοὔνομα τοῦ σφυγμοῦ. πότερον οὖν οὕτω λέγουσι τὸν σφυγμόν, ὡς τὸν ἱπποκένταυρον καὶ τὰς σειρῆνας, ἢ τὴν σκύλλαν, ἢ ἐπί τινος πράγματος ὑπάρχοντος ἐπιφέρουσι τοὔνομα; ἐμοὶ μὲν κἀνταῦθα βέλτιον εἶναι δοκεῖ φάναι, κατά τινος ὑπάρχοντος πράγματος ὑπ' αὐτῶν λέγεσθαι τὸ τοῦ σφυγμοῦ ὄνομα. καὶ τοῦτ' εἶναι τὸ πρᾶγμα, τὴν κίνησιν τῶν ἀρτηριῶν, ἣν ὁρῶντου κινουμένην δι' ὅλου τοῦ βίου πᾶσιν ἀνθρώποις ἐν ἅπαντι μορίῳ τοῦ σώματος, ἔνθα περ ἂν οὖσαι τύχωσι. καὶ μέντοι, καὶ κατὰ τὰ φλεγμαίνοντα μόρια σφυγμοῦ τινος αἰσθάνεσθαι φασί. καὶ κροτάφων σφυζόντων ἔν τε πυρετοῖς διαπύροις καὶ πλείονος ἀκράτου πόσει, καὶ κεφαλαλγίαις τισί, καὶ μάλιστα ταῖς ἐξ ἐγκαύσεως ἡλίου, καὶ ταῦτα ἀλλήλοις ἑρμηνεύοντες, οὐ δέονται μακρῶν λόγων, ὧν ἐπλήρωσαν οἱ νεώτεροι τῶν ἰατρῶν τὰ βιβλία, μετὰ τῶν θαυμαστῶν ἀντιλογιῶν ὧν πρὸς ἀλλήλους ποιοῦνται περί τε τοῦ κατ' αὐτὸν τὸν σφυγμὸν ὅρου, καὶ τῶν ἐν μέρει διαφορῶν αὐτοῦ πασῶν. οἷον τοῦ σφοδροῦ, καὶ μεγάλου, καὶ πλήρους, ὁμαλοῦ τε καὶ τεταγμένου καὶ τῶν ἄλλων ὑπὲρ ὧν ἤδη πλέον εἴρηται δι' ἐκείνων τῶν ὑπομνημάτων, ἐν οἷς ἐξηγοῦμαί τε ἅμα καὶ κρίνω τὸ περὶ σφυγμῶν Ἀρχιγένους βιβλίον, ἐπεὶ καὶ τοῦτον τὸν ἄνδρα σὺν τοῖς ἄλλοις ἰατροῖς τοῖς νεωτέροις τὸ τῆς φιλαυτίας ἐπενείματο νόσημα. καινὴν γὰρ ἐγὼ τήνδε τὴν προσηγορίαν ἐπὶ τῷ καινῷ πράγματι τέθειμαι. καίτοι γε οὐκ ἦν ἄξιος Ἀρχιγένης παθεῖν τοῦτο τὸ κακόν, οὐκ ἀμελῶς ἐσχηκὼς ἀνὴρ περὶ τὰ τῆς τέχνης ἔργα, ἀλλ' ὥσπερ ψώρας καὶ ὀφθαλμίας ἀπολαύουσιν ἔνιοι τῶν πλησιαζόντων ἄκοντες, οὕτω καὶ ὁ ἀνὴρ οὗτος εἰς τὴν περὶ τῶν ὁρίσεων φλυαρίαν ὑπεσύρη. καίτοι μᾶλλον τῶν ἄλλων ἀντιποιούμενος τῶν ἔργων τῆς τέχνης. ὅτι τοίνυν ὧν μάλιστα ἀγνοοῦσι, τούτων ἐφίενται, δείκνυμι διὰ συντόμων αὐτοῖς, ἀξιῶν ὧν βούλονται προβάλλειν ὄνομα. ἐπειδὰν τοῦτο πράξωσι κελεύων αὖθις ἀριθμὸν ἐπῶν εἰπεῖν. ἐν ὁπόσῳ βούλονται μέτρῳ ἐλθεῖν ὑπὲρ τοῦ κατὰ τὸ προβληθὲν ὁρισμοῦ. τιτρώσκονται γὰρ ἐκ τῆς τοιαύτης ἤδη δείξεως. καίτοι γε ἀναισθησίας ἤδη πλεῖστον ἥκοντες. ὡς γὰρ ἐγχωρεῖ μὲν ὑπὲρ ἑκάστου τῶν ὀνομάτων ἐν ὅλον ποιεῖσθαι βιβλίον, ἔσται δὲ ἔπη πλείω τῶν χιλίων. ταῦτα περὶ πάντων ἡμῶν ὁμοίως διερχομένων, ἀλλὰ νῦν γε δεινὸν ἔοικα πείσεσθαι προβάλλειν ἀναγκαζόμενος ἐμαυτῷ τι τῶν κατὰ τοὺς σφυγμούς, εἰς ἐπίδειξιν αὐτῶν τῆς ματαίας φλυαρίας.

Ἔστω δὴ τοῦτ' αὐτὸ τὸ πρῶτον καὶ σαφέστατον ὁ σφυγμός. εἰ γὰρ ἤδη τοῦτο δείξαιμι πόσον ἐποιήσατο ματαιολογίαν, οὐδὲ περὶ τῶν ἄλλων ἔτ' ἄδηλος ὁ λόγος μένει. τὸν γοῦν σφυγμὸν κίνησιν ἀρτηριῶν ὡρίσαντό τινες, οἷς ἀντιλέγοντες ἔνιοι πρῶτον μὲν ἡμαρτῆσθαι τὸν ὅρον ἔφασαν. ἐπειδὴ παραλέλειπται τὸ καὶ τῆς καρδίας. ἐχρῆν γὰρ οὕτως ὁρίσασθαι σφυγμός ἐστιν ἀρτηριῶν καὶ καρδίας κίνησις, ἔνιοι δὲ οὐ καρδίας φασὶ δεῖν, ἀλλὰ τοῦ τῆς καρδίας ἀρτηριώδους μέρους προσθεῖναι, ὡς γίνεσθαι τὸν ὅρον τοιοῦτον, σφυγμός ἐστι κίνησις ἀρτηριῶν καὶ τῆς κατὰ τὴν καρδίαν ἀρτηριώδους κοιλίας. ἢ νὴ δί' οὕτως. σφυγμός ἐστι κίνησις ἀρτηριῶν, καὶ τῆς ἀρτηριώδους κοιλίας τῆς καρδίας. οἷς αὖθις ἕτεροι μεμφόμενοι κακῶς εἰρῆσθαι φασὶ τὸ σφυγμὸν κίνησιν ἁπλῶς. εἶναι γὰρ καὶ ἄλλας κινήσεις ἀρτηριῶν, καὶ καρδίας, οἷον τὴν δὲ πεπτικὴν τοῦ περιεχομένου κατ' αὐτὰς αἵματος. ἑλκτικήν τε τούτου καὶ προωστικήν. ἀποκριτικήν τε τῶν περιττωμάτων. ἐχρῆν οὖν φασὶ προσκεῖσθαι τῷ ὅρῳ τὸ τῆς τῶν σφυγμῶν κινήσεως εἶδος. ἵν' ἴδιος αὐτῶν ᾖ, καὶ μὴ πολλῶν κινήσεων κοινός, καὶ τοίνυν αὐτοὶ τὸν ὅρον ἐποιήσαντο τοιόνδε. σφυγμός ἐστιν ἀρτηριῶν καὶ καρδίας διαστολή τε καὶ συστολή, καὶ δηλονότι καὶ τούτου πάλιν αὐτοῦ τοῦ ὅρου τοσαῦται γεγόνασιν ἐπανορθώσεις, ὅσαι τοῦ πρόσθεν. ἐνίων μὲν αὐτῷ προστιθέντων, καὶ τὸ τῆς καρδίας, ἐνίων δ' οὐχ ἁπλῶς καρδίας, ἀλλὰ τοῦ κατ' αὐτὴν ἀρτηριώδους γένους, ἐνίων δὲ τῆς ἀρτηριώδους κοιλίας τῆς ἀριστερᾶς. εἰσὶ γὰρ οἱ καὶ τοῦτο προσέθεσαν ὡς γίνεσθαι τοὺς ὅρους τοσούτους. σφυγμός ἐστιν ἀρτηριῶν καὶ καρδίας διαστολή τε καὶ συστολή, σφυγμός ἐστιν ἀρτηριῶν καὶ τοῦ τῆς καρδίας ἀρτηριώδους μέρους διαστολή τε καὶ συστολή, σφυγμός ἐστιν ἀρτηριῶν, καὶ τῆς ἀρτηριώδους κοιλίας τῆς καρδίας διαστολή τε καὶ συστολή, πολεμοῦσι δὲ τούτοις ἅπασιν ἕτερος χορὸς ἀνδρῶν, οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰς μήνιγγας

σφύζειν λέγοντες. ἔνιοι δὲ καὶ τὸν ἐγκέφαλον. ἄλλοι δὲ ἀμφότερον. τινὲς δὲ πρώτως μὲν τὸν ἐγκέφαλον. κατὰ
συμβεβηκὸς δὲ τὰς μήνιγγας. ἄλλοι δὲ αὖ πάλιν οὔτε τὰς μήνιγγας, οὔτε τὸν ἐγκέφαλον ἡγοῦνται σφύζειν
πρώτως. ἀλλὰ ταῖς μὲν ἀρτηρίαις ὑπάρχειν τοῦτο, κατὰ συμβεβηκὸς δ᾽ ἐκείνοις. συνεξαίρεσθαι γὰρ αὐτὰ, ταῖς ἐν
αὐτοῖς ἀρτηρίαις φασὶ παμπόλλαις οὔσαις. εἰ μὲν οὖν συνεξαίρεται μόνον οὐδεμίαν αὐτὰ δύναμιν ἔχοντα τῆς προει-
ρημένης τοιαύτης κινήσεως οὐδὲν ἔτι δέησει προστιθέναι τοῖς προειρημένοις ὅροις. εἰ δ᾽ ἔχει τινὰ δύναμιν οἰκείαν
ὁμοίαν ταῖς ἀρτηρίαις, ἀναγκαῖον ἔσται μνημονεύειν καὶ τὸν ὅρον ἐγκεφάλου καὶ μηνίγγων. ὡς γενέσθαι τὸν ὅ-
λον ὁρισμὸν τοιόνδε, σφυγμός ἐστι διαστολὴ, καὶ συστολὴ καρδίας, καὶ ἀρτηριῶν ἐγκεφάλου τε καὶ μηνίγγων. εἰ δὲ τὸ
ἕτερον αὐτῶν μόνον ἔχει τὴν τοιαύτην δύναμιν, ἐκείνου μόνου μνημονεύσωμεν, ἤτοι γ᾽ οὕτω ποιοῦντες τὸν ὅρον.
σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν, καὶ μηνίγγων, ἢ οὕτω. σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρ-
δίας καὶ ἀρτηριῶν, καὶ ἐγκεφάλου. καὶ καθ᾽ ἕκαστον γένος τῶν ἔμπροσθεν εἰρημένων ὅρων ὁμοία προσθήκη γενήσε-
ται. τινὲς μὲν γὰρ, ὡς ἔφην, ἠρκέσθησαν εἰπεῖν. σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας, καὶ ἀρτηριῶν. ἔνιοι
δὲ οὐχ ἁπλῶς οὕτως, ἀλλ᾽ ἤτοι τῆς ἀρτηριώδους ἐν τῇ καρδίᾳ κοιλίας, ἢ τῆς ἀριστερᾶς, ἢ τοῦ μέρους αὐτῆς τοῦ ἀρτηριώ-
δους προσέθεσαν. ἑκάστου δὴ τούτων τῶν ὅρων, οἱ μὲν ἐγκέφαλον, οἱ δὲ μήνιγγας, οἱ δ᾽ ἀμφότερα προσθήσουσι. καὶ
γενήσεται πλῆθος ὅρων οὐκ ὀλίγων. ἠμφισβήτηται δὲ οὐδὲν ἧττον αὐτοῖς καὶ περὶ τῶν τῆς καρδίας κοιλιῶν. ἔνιοι
γὰρ ἡγοῦνται μὴ σφύζειν τὴν δεξιάν. εἰσὶ δὲ οἱ σφύζειν μὲν, οὐ μὴν πρώτως, οὐδὲ δι᾽ αὐτὴν, ἀλλὰ τῷ πνεύματι
κεκαλυμμένην συγκινουμένην, ὥστε ὅσοι τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας ἢ τῆς ἀρτηριώδους, ἢ ὁπωσοῦν ἄλλως ὀνομά-
ζοντες μνημονεύουσι διηνεχθέντες τοῖς κατὰ τὴν δεξιὰν ἡγουμένοις σφύζειν. ἔτι δὲ μείζων ἄλλη διαφορὰ τοῖς
ἰατροῖς ἐκ παλαιοῦ περὶ τῶν ἀρτηριῶν ἐγένετο, τινῶν μὲν ἡγουμένων αὐτὰς ἐξ ἑαυτῶν σφύζειν, σύμφυτον ἐχούσας
ὁμοίως τῇ καρδίᾳ τὴν τοιαύτην δύναμιν, ὧν ἐστι καὶ ὁ Πραξαγόρας. ἐνίων δὲ σφύζειν μὲν αὐτοῦ τοῦ χιτῶνος αὐ-
τῶν διαστελλομένου τε καὶ συστελλομένου, καθάπερ ἡ καρδία, τὴν δύναμιν δὲ οὐκ ἐχουσῶν σύμφυτον ἐκ τῆς φύ-
σεως, ἀλλὰ παρὰ καρδίαν λαμβανουσῶν. ἧς γνώμης ἔχεται καὶ Ἡρόφιλος. Ἐρασιστράτῳ δὲ οὐδέτερον ἀρέσκει. βού-
λεται γὰρ ἔμπαλιν τῇ καρδίᾳ τὰς ἀρτηρίας σφύζειν. ἐκείνης μὲν ὅτι διαστέλλεται πληρουμένης τῇ πρὸς τὸ κενού-
μενον ἀκολουθίᾳ. τῶν δὲ ἀρτηριῶν ὅτι πληροῦνται διαστελλομένων, πληροῦσθαι δὲ αὐτὰς τοῦ παρὰ καρδίας ἐπιπεμ-
πομένου πνεύματος φησίν. ἅμα μὲν οὖν ἀναγκαῖόν ἐστιν ἀμφότερα γίνεσθαι τήν τε διαστολὴν, καὶ τὴν πλήρωσιν
αὐτῶν, ἡγεῖσθαι δὲ τὸ ἕτερον θατέρου λόγον αἰτίας ἔχον. ἐν μὲν τῇ καρδίᾳ τὴν διαστολὴν, ἐν δὲ ταῖς ἀρτηρίαις τὴν
πλήρωσιν, ὥσπερ ὁρᾶται κἀπὶ τῶν ἐκτός. αἱ μὲν γὰρ τῶν χαλκέων φῦσαι, διότι διαστέλλονται διὰ τοῦτο πληροῦν-
ται. οἱ σάκκοι δὲ καὶ οἱ θύλακοι, καὶ οἱ ἀσκοὶ, διότι πληροῦνται, διὰ τοῦτο διαστέλλονται. τὸν ὁρισμὸν οὖν ὑπὲρ ὅλην
τὴν οὐσίαν ἀκριβῶς τοῦ πράγματος μέλλει δηλώσειν, οὐδὲν αὐτῶν τῶν κυριωτάτων παραλείπειν προσήκει. τῆς δ᾽ οὐ-
σίας ἀμφισβητουμένης ἀναγκαῖον ἔσται καθ᾽ ἑκάστην αἵρεσιν, ἴδιον ὁρισμὸν γενέσθαι, ὥστε τοῖς Ἐρασιστρατείοις,
οὕτως ὁριστέον ἐστὶν, ἐνδείκνυσθαι τὸ ἴδιον τοῦ Ἐρασιστράτου δόγμα περὶ τῆς τῶν σφυγμῶν οὐσίας. τοῖς δ᾽ Ἡροφιλείοις
ὡς τὸ ἴδιον Ἡροφίλῳ, καὶ τοῖς ἄλλοις ἅπασιν ὡσαύτως, οἰκεῖον ἑκάστοις ἐστὶν ὅρον ποιητέον τῷ σφετέρῳ δόγματι.
τοῦτο δὲ εὐθέως αὐτὸ, οὐδεὶς σχεδὸν αὐτῶν ἐπίσταται, καὶ τούτου γ᾽ ἔτι μᾶλλον ἀναγκαῖον ἐνδεῖξαι δύο μὲν τὰ πρῶτα
τῶν ὁρισμῶν εἶναι, τὸ μὲν ἕτερον ἐξηγούμενον σαφῶς τὴν τοῦ πράγματος ἔννοιαν, ἣν ἔχουσιν οἱ ὀνομάζοντες αὐτὸ,
τὸ δ᾽ ἕτερον, ὡς εἴρηται, τὸ τὴν οὐσίαν διδάσκον. ἀρετὴ δ᾽ ἑκατέρου τῶν ὅρων ἰδία. τοῦ μὲν τὴν ἔννοιαν ἑρμηνεύοντος
ὁμολογεῖσθαί τε πᾶσι τοῖς ὁμοφώνοις, καὶ μὴ προσάπτεσθαι τῆς οὐσίας τοῦ πράγματος. τοῦ δὲ τὴν οὐσίαν διδάσκοντος,
ὁμολογεῖν μὲν τῷ κατὰ τὴν ἔννοιαν, ἕτερον δὲ ὑπάρχειν αὐτοῦ. πρῶτον οὖν τοῦτό σοι γιγνέσθω γνώρισμα τῶν
εἰκῇ φλυαρούντων, ὅταν ἕνα τοῦ προκειμένου πράγματος ἀκούσῃς αὐτῶν λεγόντων ὅρον. ἐπίνοιαν μὲν γὰρ οὐ δύο
μόνον, ἀλλὰ καὶ τρεῖς καὶ τέτταρας, ἄμεινόν ἐστι ποιεῖσθαι. πρῶτον μὲν τὸν ὁμολογούμενον ἅπασι τοῖς ὁμοφώνοις,
ὅστις οὐδὲν ἀποφαίνεται περὶ τῆς τοῦ πράγματος οὐσίας ἀλλὰ ψιλῆς κατηρτημένον τῆς ἐννοίας. ἕτερον δ᾽ ἐπ᾽ αὐτῷ
βραχὺ μέν τοι τῆς ἐννοίας ἀποχωροῦντα. βραχὺ δέ τι καὶ τῆς οὐσίας ἐφαπτόμενον. καὶ τρίτον ἐπὶ τῷδε, πλέον
μὲν ἤδη τῆς ἐννοίας, πλέον δὲ καὶ τῆς οὐσίας ἑρμηνεύοντα, καὶ τέταρτον ἐπ᾽ αὐτοῖς τὸν τὴν οὐσίαν ὅλην διδάσκον-
τα. τοῦτον μὲν οὖν δείκνυσθαι δεῖ, τὴν ἀναφορὰν ἐπὶ τὸν τρίτον ἔχοντα. τοῦτον δ᾽ αὖ πάλιν, ἐπὶ τὸν δεύτερον,
κἀκεῖνον αὖθις ἐπὶ τὸν πρῶτον. αὐτὸν δὲ τὸν πρῶτον ἐξ αὐτοῦ πιστεύεσθαι, φαινομένων ἐναργῶς πραγμάτων ἑρ-
μηνείαν ἔχοντα. διὸ καὶ λόγον αὐτὸν ὀνοματώδη κέκληκεν ὁ Ἀριστοτέλης, ὡς εἰ καὶ λόγον ὀνόματος ἑρμηνευ-
τικὸν εἰρήκει. τὸν δ᾽ ἕτερον ὅρον, οὐσιώδη τινὲς ἐκάλεσαν, λόγον εἶναι φησὶν, τὸ τί ἦν εἶναι δηλοῦντα. τί μὲν γὰρ
ἐστιν ἑκάστῳ τῶν ὁριζομένων, τὸ εἶναι τοῦτο ἑρμηνεύειν φησί. τὰ συμβεβηκότα δὲ ἰδίως αὐτῷ συνδιέρχεσθαι τὸν
ἐννοηματικόν. ὑπολαμβάνει δὲ καὶ ἄλλων ὁρισμὸν εἶναι τὸν καὶ τὴν οὐσίαν τοῦ πράγματος διδάσκοντα. καὶ τί με
δεῖ λέγειν μακρότερον ἔτι περὶ τηλικούτων πραγμάτων, ἃ δυοῖν ἐδεήθη βιβλίων τοῦ τρίτου, καὶ τετάρτου τῶν
ὑπομνημάτων ὧν ἐποιησάμην εἰς τὸ δεύτερον Ἀριστοτέλους τῶν δευτέρων ἀναλυτικῶν. ἐπ᾽ αὐτοῦ δέ σοι τοῦ
σφυγμοῦ πειράσομαι δεῖξαι τούτων ἕκαστον. ὅσον οἷόν τε μοι διὰ βραχυτάτων. ὡς τις δὲ οἷς εἶπον ὑπομνή-
μασι πρότερον ὡμίλησεν, οὗτος ῥᾷον ἀκολουθήσει τοῖς λεχθησομένοις. αἰσθανόμεθα κατ᾽ ἔνια μόρια τοῦ δέρμα-
τος κινήσεώς τινος, οὐ μόνον ἐπιβάλλοντες αὐτῷ τὴν ἁφὴν, ἀλλὰ καὶ τοῖς ὀφθαλμοῖς ἐνίοτε. καὶ ἤδ᾽ ἡ κίνησις ἐπὶ
πάντων φαίνεται τῶν ὑγιαινόντων ἐν πολλοῖς μέρεσι τοῦ σώματος. ὧν ἕν ἐστι καὶ τὸ κατὰ τὸν καρπὸν τῆς χειρός. ἐναρ-
γῶς μὲν οὖν ἀνιόντος τινὸς ἐκ βάθους ἐπὶ τὸ δέρμα καὶ πλήττοντος ἡμᾶς αἰσθανόμεθα. μετὰ δὲ τὴν πληγὴν ἐνίοτε
μὲν ἀποχωροῦντος αὐτοῦ σαφῶς. εἶθ᾽ ἡσυχάζοντος, ἐνίοτε δ᾽ εὐθέως ἀπ᾽ ἀρχῆς ἡσυχάζοντος ἔμφασις γίγνεται. καὶ
μετὰ ταῦτα πάλιν ἀνιόντος τε καὶ πλήττοντος, εἶτ᾽ αὖθις ἀπιόντος τε καὶ ἡσυχάζοντος, καὶ τοῦτο διὰ παντὸς
ποιοῦντος ἀφ᾽ ἧς ἂν ἡμέρας γεννηθῇ τις ἕως θανάτου τὴν τοιαύτην κίνησιν οἱ ἄνθρωποι πάντες ὀνομάζουσι σφυγ-
μόν. καὶ ὅστις ἂν αὐτὴν διὰ ταχέως ἑρμηνεῦσαι δυνηθῇ, κάλλιστα τὸν ἐννοηματικὸν ὅρον ὁ τοιοῦτος ἐργάζεται.
μήτε παραλιπὼν δηλονότι, μήτε προστιθεὶς ἐκ περιττοῦ παρ᾽ ἃ δῆλον ἀρτίως, εἰ δέ γέ τι προσθείη καὶ τοῦ

σμικρόν, εἰ μὲν ἄχρηστον εἴη τὸ προστιθέμενον ἀδολεσχήσει μάτην, εἰ δὲ χρήσιμον, ἀποχωρήσει κατ' ἐκεῖνο τῆς ἐννοίας ἐννοίας ἐπὶ τὴν οὐσίαν τοῦ πράγματος. οἷον εἰ φαίη τὴν τῶν ἀρτηριῶν τοιάνδε κίνησιν εἶναι σφυγμόν. ὁ γὰρ τοιοῦτος ὅρος, οὐ τὴν κίνησιν μόνον, ἀλλὰ καὶ τίνων ἐστὶν ἑρμηνεύειν. καί τοι τῶν ἰδιωτῶν, ὅτι μὲν ἔστι τις ἐν τῷ σώματι τοιάδε κίνησις ἐναργῶς αἰσθανομένων, ἀγνοούντων δ' αὐτὸ τὸ κινούμενον σῶμα. εἰ δέ τις οὐ μόνον εἴδε τὴν ἀρτηρίαν γυμνώσας τοῦ δέρματος ἁπλῶς οὑτωσὶ ἐπὶ τὴν ἔξωθεν αὐτῆς περιγραφὴν, ἀλλὰ καὶ τοὺς χιτῶνας, ὁπόσοι τε εἰσὶ καὶ ὁποῖοι κατεσκέψατο, περαιτέρω προὐχώρησεν οὗτος, ἢ ἐπὶ τὴν ἔννοιαν. ἔτι καὶ μᾶλλον ἐκείνου τοῦ πρόσθεν, ὃς ἔξωθεν αὐτὴν ἑώρα μόνον. εἰ δὲ δὴ καὶ τὴν δύναμιν εὕροι, καθ' ἣν αἱ ἀρτηρίαι σφύζουσι, καὶ πότερον ἐξ ἑαυτῶν ἔχουσι τὴν ἀρχὴν τῆς κινήσεως, ἢ παρὰ τῆς καρδίας, καὶ εἰ παρὰ ταύτης, ὅπως ἄρά γε πνευματικὴν ὕλην ἐπιπεμπούσης ἐπὶ τὴν ἐντὸς κοιλότητα τῶν ἀγγείων, ἢ δύναμίν τινα διὰ τῶν χιτώνων αὐτῶν, ἔτι τε πρὸς τούτοις, 10 ἥ τις ποτέ ἐστιν ἡ χρεία τῆς κινήσεως αὐτῶν, οὗτος ἀκριβῶς εἴσεται τὴν οὐσίαν ὅλην τῆς τῶν σφυγμῶν γενέσεως. οὐ μὴν ἅπαντά γε ταῦτα δυνατὸν ὅρῳ περιλαβεῖν. οὐ γὰρ βούλονται μακροὺς εἰς τοσοῦτον γίνεσθαι τοὺς ὅρους οἱ χαίροντες αὐτοῖς. ὥστε οὐδ' ἔστι πᾶς ὅρος σφυγμῶν οὐσιώδης ἀκριβῶς, ἢ πάνυ μακρὸς ἔσται. πρόσκειται δὲ τῷ λόγῳ τὸ ἀκριβῶς, ὅτι τῶν ἐπὶ τὴν οὐσίαν ἄλλος ἄλλο προελθόντες ἔνιοι τῶν νεωτέρων ἰατρῶν οὐσιώδη νομίζουσιν ὅρον εἰρηκέναι τοῦ σφυγμοῦ, πρὸς τῷ κἀκεῖνο μέγιστον ἡμαρτηκέναι τὸν μόνον εἰρηκέναι τὸ ὁριζόμενον ὑπ' αὐτῶν οὐσιώδη, μὴ προειρημένον τοῦ ἐπὶ τὴν ἔννοιαν. ὃς ἐν τοῖς περὶ τούτων λογισμοῖς ἡμῖν ἐπιδέδεικται, κρείττειον γενόμενος τοῦ ἐπὶ τὴν οὐσίαν. ἀλλ' οὐδὲ τοῦτ' αὐτὸ γινώσκοντες, εἰκότως ἀποφαίνονται δόξαν ἀλόγως ἑαυτοῖς. ἀρξώμεθα οὖν αὖθις ἀπὸ τῶν ἐννοηματικῶν ὅρων, οὓς οὐδὲν ἔφαμεν ἑρμηνεύειν πλέον, ὧν ἅπαντες ἄνθρωποι γινώσκουσιν. ἔοικε δ' οὐδεὶς εἰρῆσθαι τοιοῦτος. οὐδ' ὑπὸ τῶν ἐμπειρικῶν οἷς ἔπρεπε μάλιστα πάντων ὅροις χρῆσθαι τοιούτοις, οὓς οἱ δεινοὶ περὶ τὰς προσηγορίας οὐδ' ὅρους ἀξιοῦσιν, ἀλλ' ὑπογραφάς τε καὶ ὑποτυπώσεις ὀνομάζειν. ἐγένοντο δ' ἂν αἱ ὑπογραφαὶ τοιαίδε τινες. 20 κίνησις ἀπροαίρετος ἔν τισι μορίοις ὑπάρχουσα τῶν ἐναίμων ζώων, ἡσυχίᾳ διακοπτομένη. καὶ μὲν δὴ καὶ εἰ φυσικὴν εἴποι τις τὴν κίνησιν ἢ οὐχ ἑκουσίαν, ἢ οὐ καθ' ὁρμὴν, οὐ διοίσει. εἰ δὲ καὶ ὅτι ἐπὶ τὰ σμικρὰ μόρια γίνεται τοῦ δέρματος, ἢ ὅτι βραχυχρόνιος ἐν τῷ τῆς ὑπογραφῆς λόγῳ περιλάβοι, τελεώτερον ἀποδώσει τὴν ἔννοιαν. εἰ οὐδὲ καὶ τὰς τῶν σοφιστῶν ἐπηρείας φυλάττοιτο, προσθήσει τῷ τῆς κινήσεως ὀνόματι τὸ αἰσθητοῦ. καί τοί γε αἱ τοιαῦται προσθῆκαι δειλίας ἀλόγου μᾶλλον εἰσὶν, ἢ ἀσφαλείας εὐλόγου σημεῖον, τὸ γὰρ τῆς κινήσεως ὄνομα πάντες ἄνθρωποι ἐπὶ τῆς ἐναργοῦς φαινομένης αἰσθήσει λέγειν εἰώθασιν, ἐπεί τοι τὰς λόγῳ θεωρητὰς ἔστι τις λόγος πιθανὸς ἐπιδεικνὺς ὑπάρχειν ἀεὶ τοῖς σώμασιν ἅπασιν, κἂν μὴ φαίνηται κινούμενα. καὶ αὐτὸ δὲ τοῦτο τὸ αἰσθητὸν ὄνομα δύο σημαίνει, τότ' ὑποπίπτειν αἰσθήσει πρᾶγμα νῦν ἤδη, καθ' ὃν ἂν λέγοιτο χρόνον. ἑτέρον τε πρὸς τούτῳ τὸ δυνάμενον αἰσθητὸν γενέσθαι κἂν νῦν ᾖ μηδέπω. καθὸ καὶ τὸν ἐν τῷ βυθῷ λίθον αἰσθητὸν εἶναι λέγομεν ὅσον ἑαυτῷ διὰ τὸ τῆς φύσεως εἶναι δηλονότι τῶν αἰσθητῶν. ἡ τοίνυν αἰσθητὴ κίνησις ἔν τισι μέρεσι τοῦ σώματος 30 ἕως ἂν ζῶμεν ἡμῖν φαινομένη, σφυγμὸς ὀνομάζεται. διακόπτεται δὲ ὡς ἔφην ἡσυχίᾳ. τοῦτο γὰρ ἀσφαλὲς εἶναι νομίζουσι λέγειν μᾶλλον ἔνιοι τῶν ἰατρῶν, ἤπερ ἐκ διαστολῆς τε καὶ συστολῆς συγκεῖσθαι τὴν ὅλην κίνησιν. καί τοί γε οὕτω ἔχει τὸ φαινόμενον ἐναργῶς, εἰς ὕψος τε καὶ πλάτος καὶ μῆκος ἐκτεινομένης τῆς κινήσεως ἐπὶ τῶν ἰσχνῶν τε καὶ μεγαλοσφύκτων. ἕτεροι δὲ τούτων ἀτολμότεροι τῶν ἰδίων παθῶν τῆς ἁφῆς αἴσθησιν αὐτοῖς εἶναι φασὶ, δεδιότες ἀποφήνασθαι περί τινος τῶν ἐκτὸς ὡς ὑπάρχοντος ἐκ τῆς τῶν σκεπτικῶν καὶ ἀπορητικῶν ὀνομαζομένων ἀγωγῆς, ἐπὶ τοῦτο γε ἡγμένοι. τούτους μὲν οὖν ἀπολειπτέον ἡμῖν ἐστί. ἴσως γὰρ οὐδ' ὅτι φαίνονταί τις αὐτοῖς κίνησις ἀποφήνασθαι τολμήσουσιν, εἰ τὰ πάντα πείθοιντο τοῖς ἀπορητικοῖς. ἐκείνων γοῦν ἔνιοι φασὶν οὐδὲ τὰ σφῶν αὐτῶν πάθη βεβαίως γινώσκειν, οὓς καλοῦσιν εἰκότως ἀγροικοπυῤῥωνείους. ἐπὶ δὲ τοὺς ὁμολογοῦντας πεπεῖσθαι κίνησιν ὁρᾶν ἐναργῶς ὑπὸ τῷ δέρματι σώματός τινος εἰς μῆκος, καὶ πλάτος, καὶ βάθος ἐκτεινομένου μεταβάντες, ἐπειδὴ μετριώτεροι τῶν ἄλλων εἰσὶ παρακαλέσωμεν αὐτοὺς διαιρεθέντος τοῦ δέρματος, ἢ κατὰ 40 τὴν ἡμετέραν προαίρεσιν, ἢ ἐπὶ τύχην ποτὲ, σκέψασθαι τί ποτ' ἐστὶ τὸ φαινόμενον ὑπ' αὐτὸ κινεῖσθαι. δῆλον γὰρ ὅτι παραπλήσιον ἀγγεῖον ὄψονται τῇ φλεβὶ, πλὴν ὅσῳ τὸν χιτῶνα διπλοῦν τε καὶ πολὺ ῥωμαλεώτερον ἔχον, ὃ καλοῦμεν ἀρτηρίαν. ὄψονται δὲ ἐναργῶς καὶ τὸ πρόσθεν αὐτοῖς ἀμυδρῶς ὁρώμενον. ὡς ἐπὶ κύκλον τοῦτο τὸ ἀγγεῖον διαστέλλεται. ἐπὶ δὲ τὸν αὐτὸν τρόπον ἥ τε καρδία γυμνωθεῖσα φαίνεται κινουμένη. καὶ ὁ ἐγκέφαλος. ὥστε τολμῆσαί ποτε λέγειν αὐτοὺς τὴν ὁρωμένην κίνησιν ἐν τῇ τῶν σφυγμῶν γενέσει περὶ σώματα γίνεσθαι τὰ προειρημένα. πότερα δὲ πρώτως τε καὶ καθ' αὐτὸ ἡ δεξιὰ κοιλία τῆς καρδίας, ἢ συγκινουμένη τῇ ἀριστερᾷ ἐπὶ τὸν αὐτὸν ἐκείνῃ ῥυθμὸν φαίνεται σφύζουσα, παραιτήσεται ζητεῖν ὁ ἐπὶ τὴν πρώτην μετάβασιν ἀπὸ τῆς ἰδιωτικῆς ἐννοίας περὶ τὴν οὐσίαν προερχόμενος, ὡσαύτως δὲ κἀπὶ τοῦ ἐπὶ τὸν ἐγκέφαλον φαινομένου σφυγμοῦ παραιτήσεσθαι ζητεῖν, εἴτε πρῶτος τε καὶ ἐξ ἑαυτοῦ τὴν ἐνέργειαν ἔχει ταύτην, εἴτε συνεξαιρόμενος ταῖς κατ' αὐτὸν ἀρτηρίαις πολλαῖς καὶ μεγάλαις οὔσαις. ὁ δ' ἐπὶ μᾶλλον τοῦδε τολμῶν ἀπο50 φήνασθαι περὶ τῆς τῶν σφυγμῶν οὐσίας, καὶ τοῦτο προσθήσει. τέλεον δ' ἂν τις ὁρισμὸν ποιοῖτο τοῦ σφυγμοῦ προσθεὶς τοῖς εἰρημένοις τὴν χρείαν τῆς γενέσεως αὐτῶν. ἣν ἡμεῖς ἐν τῷ περὶ χρείας σφυγμῶν ὑπομνήματι, φυλακήν τε τῆς ἐμφύτου θερμασίας ἔφαμεν εἶναι, γινώσκοντες, δηλονότι τοῦ τὸν τοιοῦτον ὅρον ποιουμένου ἐπὶ τίνα τρόπον γίνεται τὸ φυλάττεσθαι τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας. ἆρά γε τὸ ῥιπίζεσθαι κατὰ τὴν κίνησιν, ἢ διὰ τὴν πρόσπτωσιν τοῦ ψυχόντος ἀέρος συναγομένης, ὡς μὴ διαφορεῖσθαι ῥᾳδίως, ἢ καθαιρομένης τὸ καπνῶδές τε καὶ λιγνυῶδες περίττωμα. χρεία δ' ἐνδέχεται τῆς ἐπὶ τὰς ἀρτηρίας πνευματικῆς οὐσίας, καὶ πρὸς τὴν τοῦ ψυχικοῦ πνεύματος γένεσιν. τῆς δ' οὐσίας τῶν σφυγμῶν ἐστὶ, καὶ πότερον ὅταν αἱ ἀρτηρίαι διαστέλλωνται, τηνικαῦθ' ἕλκεσθαι συμβαίνει τὰς ὕλας αὐτὰς, ἢ ὅταν συστέλλονται. καὶ πάλιν περὶ τοῦ ἐκκρίνεσθαι τι τῶν ἀρτηριῶν, ὁ αὐτὸς λόγος, ἡμεῖς γὰρ ἐδείξαμεν ἕλκεσθαι μὲν διαστελλομένων, ἐκκρίνεσθαι δὲ συστελλομένων. οἱ δ' ἀπὸ τῆς πνευματικῆς καλουμένης αἱρέσεως, συστελλομένων μὲν ἕλκεσθαι νομίζουσι, διαστελλομένων

δ᾽ ἐκκρίνεσθαι. προσθήσει δ᾽ ἄλλος τούτοις ὁριζόμενος τὸν σφυγμὸν καὶ τὴν ποιητικὴν αἰτίαν αὐτοῦ. περὶ ἧς αὐτῆς ἐζήτηται. πότερον ζωτική τίς ἐστιν, ἢ ψυχικὴ δύναμις, ἢ ὅλως οὐδὲ δύναμις, ὡς Ἀσκληπιάδης κατασκευάζει. δῆλον οὖν ἐστιν ὡς ὅτι οὐσιώδης ὀνομαζόμενος ὅρος, ὅσπερ ἐστὶ λόγος διδασκαλικὸς τῆς τοῦ πράγματος οὐσίας, τὸ δὲ γένος ἐρεῖ τοῦ σφυγμοῦ, καὶ τὰς διαφοράς, τήν τε χρείαν τῆς γενέσεως, καὶ τὴν ποιητικὴν αἰτίαν, ἔτι τε πρὸς τούτοις ὑλικήν, ἢ ὀργανικήν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλει. οἷον τὸ μὲν γένος ἤτοι κίνησιν, ἢ ἐνέργειαν, ἢ πάθος ἀρτηριῶν. τὰς δὲ διαφοράς, ὅτι κατὰ διαστολὴν καὶ συστολήν. καὶ ὅτι χωρὶς προαιρέσεως, τὴν δὲ χρείαν ὅτι τῆς ἐμφύτου θερμασίας ἕνεκεν, ἢ πνεύματος ζωτικοῦ γενέσεως, ἢ καὶ νὴ Δία ψυχικοῦ. τὴν ποιητικὴν δ᾽ αἰτίαν, ὅτι δύναμις τίς ἐστι διαστέλλουσα τήν τε καρδίαν, καὶ τὰς ἀρτηρίας, ἤτοι ζωτική τις ἢ ψυχική, ἢ ἀμφότερα. τὴν ὑλικὴν δὲ καὶ ὀργανικὴν τὴν κατασκευὴν τῶν ἀρτηριῶν εἰς ἣν εἶπον ἐνέργειαν ἐπιτηδείαν δεῖξαι. καὶ γενήσεται δηλονότι καθ᾽ ἑκάστην αἵρεσιν λογικὴν ἴδιος ὅρος. ὁ μὲν γὰρ Ἐρασίστρατος ἐρεῖ τὸν σφυγμὸν εἶναι κίνησιν ἀρτηριῶν κατὰ διαστολὴν, καὶ συστολὴν ὑπὸ ζωτικῆς τε καὶ ψυχικῆς δυνάμεως γινομένην ἐπὶ πληρώσεως ἕνεκεν ἀρτηριῶν ἐχουσῶν ἐν αὐταῖς πνεῦμα ζωτικόν. ὁ δ᾽ Ἀσκληπιάδης, κίνησιν ἀρτηριῶν κατὰ διαστολὴν, καὶ συστολὴν πληρουμένων μὲν πνεύματος τῇ πρὸς τὸ λεπτομερὲς φορᾷ, κενουμένων δὲ τῇ καταπτώσει τοῦ χιτῶνος αὐτῶν. ἡμεῖς δὲ φήσομεν ἐνέργειαν εἶναι τὸν σφυγμὸν ἰδίαν. πρώτως μὲν τῆς καρδίας, δευτέρως δὲ τῶν ἀρτηριῶν κατὰ διαστολὴν, καὶ συστολὴν κινουμένων ὑπὸ ζωτικῆς δυνάμεως, ἕνεκα τοῦ φυλάττεσθαι μὲν τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας, γεννᾶσθαι δ᾽ ἐν ἐγκεφάλῳ πνεῦμα ψυχικόν. ἀνάλογον δὲ τοῖς ὅροις τοῖς δὲ καὶ οἱ ἀπὸ τῶν ἄλλων αἱρέσεων ὁριοῦνται τὸν σφυγμόν. ἕκαστος δηλονότι κατὰ τὰς οἰκείας ὑποθέσεις. ἐὰν μὲν οὖν τελέως ὁρίζωνται συμφωνήσουσιν ἀλλήλοις. ἐὰν δὲ ἐλλιπῶς, ἢ περιττῶς, ἢ κατά τι μοχθηρῶς, διενεχθήσονται. τούτου δὲ σοι πίστις μεγίστη, τὸ τοὺς Ἡροφιλείους, οἵπερ δὴ καὶ πρῶτοι τὸν σφυγμὸν ἐπεχείρησαν ὁρίζεσθαι, διενεχθῆναι πρὸς ἀλλήλους, ἀντιπαρεξάγοντας δὲ αὐτοῖς καὶ τοὺς Ἐρασιστρατείους. ἤκμασε γὰρ ἄμφω ταῦτα πάντα τὰ διδασκαλεῖα μετὰ τὸν Ἡροφίλου θάνατον, ἑτέρως πάλιν καὶ αὐτοὺς ποιεῖσθαι τὸν ὅρον τοῦ σφυγμοῦ, διαφωνοῦντας ἀλλήλοις τε, καὶ τοῖς Ἡροφιλείοις. αὐτοὶ μὲν γὰρ οἱ παλαιοὶ χωρὶς ὅρων ἐποιοῦντο τὰς διδασκαλίας. ἐνδεικνύμενοι τὰ σημαινόμενα τῶν ὀνομάτων ὧν ἔλεγον αὐτῇ τῇ κατὰ τὴν ἑρμηνείαν ἰδέᾳ, καθ᾽ ἣν δηλονότι καὶ τὰς παρ᾽ Ὁμήρῳ λέξεις ἅπασί τε τοῖς ἄλλοις παλαιοῖς οἱ γραμματικοὶ σαφηνίζουσι. τὸ γὰρ τῇδε τῇ ἑρμηνείᾳ μήπω σαφές, ἐξ ἑτέρας εὔδηλον γίνεται, καθάπερ ἐπὶ τοῦ πίσυρος. ἐν μὲν γὰρ τῷ, πίσυρες ἐριαύχενες ἵπποι, σαφὲς οὐδέπω τὸ σημαινόμενον ἐστί. ἐν μέντοι τῷ, ἔνθεν μὲν τέσσαρα σάκε᾽ ἕλοντο δούρατα δ᾽ ὀκτώ, καὶ πίσυρας κυνέας, εὔδηλον ἐγένετο. τεττάρων γὰρ ὄντων τῶν καθοπλιζομένων ὥσπερ σάκη τέσσαρα λαβεῖν αὐτοὺς φησίν, οὕτω καὶ περικεφαλαίας τέσσαρας. ὡσαύτως οὖν ὅταν ἀναγνῶμεν ἔν τινι τῶν παλαιῶν ἰατρῶν βιβλίῳ, σφύζειν τὸ φλεγμαῖνον μόνον μόριον, ἢ τὴν ἐπὶ φλεγμονῇ κίνησιν τῶν ἀρτηριῶν σφυγμὸν ὀνομάζοντας μόνην, ἐπὶ δὲ τοῦ κατὰ φύσιν ἔχοντος τοῦ σώματος, οὐδέποτε χρωμένους τῇ προσηγορίᾳ, λογιζόμεθα μὴ πᾶσαν ἀρτηριῶν κίνησιν, ἀλλ᾽ ἤτοι τὴν μεγάλην καὶ σφοδράν, ἢ τὴν αἰσθητικὴν αὐτῷ τῷ κάμνοντι προσαγορεύεσθαι σφυγμόν. οὕτω δὲ δοκεῖ τῇ προσηγορίᾳ τοῦ σφυγμοῦ κεχρῆσθαι, καὶ ὁ Ἐρασίστρατος. ὅταν δ᾽ αὖ πάλιν ἀναγνῶμεν Αἰγιμίου τὸ περὶ παλμῶν βιβλίον, εὑρίσκομεν ὃ νῦν ἡμεῖς καλοῦμεν σφυγμὸν ὑπ᾽ ἐκείνου παλμὸν ὀνομαζόμενον. ἐναντίως δ᾽ αὐτῷ τὸν Ἡρόφιλον εὕροις ἂν εὐθὺς ἐν ἀρχῇ τῆς περὶ σφυγμῶν πραγματείας διορίζοντα σφυγμὸν παλμοῦ. φαίνεται γὰρ ὁ ἀνὴρ οὗτος ἅπασαν ἀρτηριῶν κίνησιν ἣν ὁρῶμεν ἐξ ἀρχῆς ἡμῖν ἕως τέλους ὑπάρχουσαν ὀνομάζων σφυγμόν, ἐξ οὗ καὶ τὰς διαγνώσεις τῶν παρόντων καὶ τὰς προγνώσεις τῶν ἐσομένων ποιούμεθα, μηδὲν τοῦ κατὰ τὴν καρδίαν, ἢ τὸν ἐγκέφαλον, ἢ τὰς μήνιγγας δεόμενοι σφυγμοῦ. κυριωτάτη μὲν οὖν ἔννοιαν τοῦ σφυγμοῦ πᾶσι τοῖς νῦν ἰατροῖς ἐστιν ἡ εἰρημένη. καὶ γὰρ δέονται ταύτης ὡς εἶπον ἄρτι. τὸ δ᾽ ἐπὶ τῇδε, πᾶν ἤδη σοφιστικόν. ὅθεν οὐδὲ ὁρίζεσθαι προσήκει τὰ τοιαῦτα τῶν πραγμάτων· οὐδ᾽ αὐτὸν ἐμβάλλειν εἰς λόγους. καὶ παρ᾽ αὐτοῖς τοῖς διαλεκτικοῖς διαπεφωνημένους ἕξεώς τε μεγάλης δεομένους, ἵν᾽ ἀκριβῶς τις αὐτοὺς κατορθώσῃ, πρὸς τῷ μηδ᾽ ἀναγκαῖον εἶναι διὰ ὅρων οὐσιωδῶν ποιεῖσθαι τὰς διδασκαλίας. οἱ δ᾽ ἐννοηματικοὶ καλούμενοι τῶν ὅρων τοῖς μὲν ἤδη γινώσκουσι τὸ πρᾶγμα, περιττοί. τοῖς δ᾽ ἀγνοοῦσιν οὐκ ἀναγκαῖοι, δυναμένους γε δὴ τῆς διδασκαλίας διὰ μακροτέρου λόγου γενέσθαι σαφεστέρας. εἰ μὲν γάρ τις δύναται διὰ βραχέος θ᾽ ἅμα καὶ σαφοῦς λόγου περιλαβεῖν ἀκριβῶς τὴν ἔννοιαν τοῦ δηλουμένου πράγματος ὑπὸ τῆς προσηγορίας, ἄριστος ἂν εἴη διδάσκαλος. οὐ μὴν οὐδ᾽ ἀπολειπόμενος τῆς τοιαύτης ἕξεως ἄχρηστος, ὥσπερ οὐδ᾽ ὁ μὴ καλῶς ἑρμηνεύων, ἄριστον μὲν γὰρ οὕτως σαφῶς ἑρμηνεύειν, ὡς οἱ περὶ Λυσίαν τε καὶ Δημοσθένην ῥήτορες. οὐκ ἄχρηστοι δὲ εἰσὶ καὶ οἱ νῦν ἐν τοῖς δικαστηρίοις λέγοντες. οὔκουν κωλύω τοὺς δυναμένους τὰ σημαινόμενα πράγματα πρὸς ἑκάστου τῶν ὀνομάτων ἐναργῶς τε ἅμα καὶ ταχέως ἑρμηνεύειν τοῖς ἀγνοοῦσιν. ὅς γε καὶ αὐτὸς ἔργῳ φαίνομαι τοῦτο σπουδάζων. ἀλλ᾽ ὅτι περιττόν ἐστι πράττειν οὕτως, ἐν οἷς ἤδη γινώσκουσι τὸ ἑρμηνευθησόμενον ἅπαντες. οὐδ᾽ ὅλως τε χρὴ τοὺς οὐσιώδεις ὅρους λέγεσθαι τοῖς ἀρχομένοις ἡστινοσοῦν μαθήσεως. ἀλλ᾽ ὅταν ἀπὸ τῆς ἐννοίας ἀρξάμενοι προσάγωμεν αὐτοὺς ἐπὶ τὴν τῆς οὐσίας γνῶσιν, εἴη ἂν ἤδη χρήσιμον ἐν βραχεῖ λόγῳ περιλαβεῖν τὸ σύμπαν, ἕνεκα προχείρου μνήμης. ὅσοι τοίνυν ἰατροὶ καὶ φιλόσοφοι τοῖς ἀρχομένοις ὁτιοῦν μανθάνειν ἀπὸ τῶν οὐσιωδῶν ὅρων τὴν ἀρχὴν τῆς διδασκαλίας ποιοῦνται. κἂν ὅτι μάλιστα δυνατοὶ λέγειν ὦσι, κἂν σαφῶς ἑρμηνεύσωσιν, ὅμως, ἀσαφεῖς γίνονται μὴ δυναμένων νοεῖν τῶν ἀκουόντων ἐν ὅροις βραχέσι λεγόμενα πράγματα, μακρᾶς ἑρμηνείας εἰς νόησιν δεόμενα. προαποδεχθῆναι γὰρ χρὴ διὰ λόγων πολλῶν τὴν οὐσίαν τοῦ ζητουμένου πράγματος, ἵνα γνωσθεῖσαί τε καὶ πιστευθεῖσαι νοηθῇ ποθ᾽ ὕστερον ἐν βραχείᾳ λέξει. ταῦτα οὖν εἰκότως μεμφόμενος ἀεὶ τοῖς ἐπιχειροῦσι ἅπαντα δι᾽ ὅρων διδάσκειν εἵνεκα παραδείγματος, ἐπὶ τὸν δὲ τὸν λόγον ἧκον, ἔργῳ πολλάκις ἐπιδειξάμενος, ὡς ὅτι περ ἂν προβάλλῃ τις ὄνομα, βιβλίον ὅλον ποιεῖν ἐπιδεικνῦντα πῶς ὁριστέον ἐστὶ τὸ δηλούμενον ὑπ᾽ αὐτοῦ πρᾶγμα. λέγωμεν οὖν αὖθις ἀναλαβόντες ὑπὲρ τοῦ κατὰ τὸ σφυγμὸν ὅρου μνημονεύοντες ὀνομαστὶ τῶν δεξάντων αὐτὸν ὁρίσασθαι καλῶς.

ἤρξαντο

ἤρξαντο μὲν οὖν, ὡς ἔφην, τῆς τοιαύτης περιεργίας, οἱ Ἡροφίλειοι. διεδέξαντο δ' αὐτοὺς ἔνιοι τῶν Ἐρασιστρατείων. εἶθ' οἵ τε πνευματικοὶ καλούμενοι καί τινες τῶν μεθοδικῶν. εἰ μὲν οὖν ἁπάντων μνημονεύω, δυοῖν οὐχ ἑνὸς ἔσται χρεία βιβλίων. βουλομένῳ δέ μοι τὴν οὐκ ἀναγκαίαν ταύτην πολυλογίαν ἐν ἑνὶ καταπαῦσαι γράμματι, τοσούτους αὐταρκές ἐστι διελθεῖν ὅρους ἅμα τοῖς εἰποῦσι ἀνδράσιν αὐτούς, ὅσους ἂν ὑποδέξασθαι δύνηται τὸ βιβλίον. ἐκ τούτων γὰρ γνώσεται καὶ τοὺς ἄλλους ἅπαντας κρίνειν. ὁ μὲν Ταραντῖνος Ἡρακλείδης ἐμπειρικῷ πρέπουσαν ὑπογραφὴν ποιούμενος, τὸν σφυγμὸν εἶναί φησι κίνησιν ἀρτηριῶν καὶ καρδίας. ἴσμεν δ' ὅτι τὴν ἀρχὴν οὐδ' ὁρίζεσθαι σπουδάζουσιν οἱ ἀπὸ τῆς ἐμπειρικῆς αἱρέσεως, ἀλλ' ὑποτυπώσεσί τε καὶ ὑπογραφαῖς χρῶνται. καλοῦσι δ' οὕτως αὐτοὶ τοὺς λόγους, ὅσοι διὰ βραχέων ἑρμηνεύουσι τὴν ἔννοιαν τοῦ πράγματος, οὐ τὴν προσηγορίαν, τοῦ πράγματος φθεγγόμενοι. ταύτην οὖν ἡγεῖται τοὺς ἀνθρώπους ἔχειν ἔννοιαν τὴν τοῦ σφυγμοῦ προσηγορίαν, αὐτούς τε προτείνοντας, ἐνίοτε τὴν χεῖρα καὶ τὸν σφυγμὸν ἀξιοῦντας ἅψασθαι τὸν ἰατρόν. ὅταν δέ τινα λέγωμεν ἄσφυκτον ἐκ τῆς φωνῆς ταύτης ἡγούμεθα σημαίνεσθαι τὸν οὕτω διακείμενον ἄνθρωπον, ὡς μηδεμίαν ὑποπίπτειν κίνησιν ἐν μηδενὶ μορίῳ τοῦ σώματος ἀρτηρίας μηδεμιᾶς. εἰ δ' ἔστι τις ἄλλη κίνησις ἐν ταῖς ἀρτηρίαις αὐξανομέναις τε, καὶ τρεφομέναις, καὶ πληρουμέναις, κενουμέναις, οὐδὲν αὐτῷ μέλει, καὶ διότι μηδ' ὑποπίπτει μηδεμιᾷ τῶν ἡμετέρων αἰσθήσεων τὸ γένος τοῦτο τῶν κινήσεων, ἀλλ' ἔστι λόγῳ θεωρητόν. ᾧ λόγῳ καὶ τὰ φυτὰ πάντα φασὶν οἱ φυσιολογοῦντες ἀεὶ κινεῖσθαι, καὶ τό γε τούτου μεῖζον, ὅτι καὶ τἄλλα πάντα μέχρι τῶν σκληροτάτων λίθων, καὶ γὰρ καὶ τούτων ἀποῤῥεῖ τι διαπαντός. ἔνιοι δὲ καὶ προσκρίνεσθαι φασὶν αὐτὰς ἐκ τοῦ περιέχοντος. τὴν μὲν οὖν τοιαύτην κίνησιν οὐ μόνον ἔτι ζῶντος, ἀλλὰ καὶ τεθνεῶτος ἤδη τ' ἀνθρώπου περὶ τοὺς ταῦτα φυσιολογοῦντας ἀναγκαῖον ὑπάρχειν, ὥστε οὐκ ὀρθῶς ἐροῦμεν ἀκινήτους ὑπάρχειν τὰς ἀρτηρίας ἤδη τῶν τεθνεώτων, οὐδ' ἀσφύκτους ἐνίοις φαίνεσθαι τῶν ἔτι ζώντων. εἰ δὲ λέγοιντο πρὸς ἁπάντων οὕτως, δῆλον εἶναι κίνησιν, ἡμᾶς νοεῖν τε καὶ ὀνομάζειν, οὐ τὴν λόγῳ θεωρητήν, ἀλλ' ἥτις ἂν εἰς ἐναργῆ γνῶσιν ἥκῃ διαθέσεως. ἐκ τοιούτων μὲν οὖν λογισμῶν, ὅτε Ταραντῖνος Ἡρακλείδης, καὶ ἄλλοι τινὲς τῶν ἐμπειρικῶν ἑαυτοὺς πείσαντες ὑπεγράψαντο τὸν σφυγμὸν εἶναι κίνησιν ἀρτηριῶν καὶ καρδίας. ἐπειδὴ καὶ ταύτην ἑώρων αἰσθητῶς κινουμένην ὡσαύτως ταῖς ἀρτηρίαις. ἀντεῖπον δ' αὐτοῖς ἔνιοι τῶν δογματικῶν οὐκ ἀξιοῦντες αἰσθήσει μόνῃ κρίνεσθαι τὴν κίνησιν, ἀλλ' ἐνίοτε καὶ τῷ λόγῳ. τὸν γοῦν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας ἅπαντας ὁμολογεῖσθαι μὲν ἅπασιν ἀνθρώποις κινεῖσθαι. μὴ γὰρ ἂν ἀπ' ἀνατολῆς εἰς δύσιν ἀφικνεῖσθαι τοσαύτην φορὰν ἄνευ κινήσεως, οὐ φαίνεσθαι δὲ κινουμένους. ἐχρῆν οὖν φασὶν εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν προσκεῖσθαι τῷ λόγῳ τῶν ἐμπειρικῶν, τὸ τὴν κίνησιν τῶν ἀρτηριῶν καὶ τῆς καρδίας αἰσθητὴν εἶναι. καὶ λέγειν αὐτοὺς τὸν σφυγμὸν εἶναι κίνησιν τῶν ἀρτηριῶν καὶ καρδίας αἰσθητήν. ἔνιοι δ' ἀντιλέγοντες αὐτοῖς, κινήσεις αἰσθητὰς φασὶ κατά τε τὴν καρδίαν τε καὶ τὰς ἀρτηρίας, οὐ τὰς σφυγμώδεις μόνον, ἀλλὰ καὶ τὰς παλμώδεις φαίνεσθαι. καὶ ταύτας οὖν ἐχρῆν περιλαμβάνεσθαι κατὰ τὴν ὑπογραφὴν τῶν σφυγμῶν. ἐάν θ' ἁπλῶς εἴπωσιν ἀρτηριῶν καὶ καρδίας εἶναι τὸν σφυγμὸν κίνησιν, ἐάν τε προσθῶσι τὴν αἰσθητήν. ἔνιοι δὲ καὶ σπασμοῦ, καὶ τρόμου μνημονεύουσιν. ὡς καὶ τοιούτων τινῶν κινήσεων ἔστιν ὅτε γινομένων ἐν ἀρτηρίαις τε καὶ καρδίᾳ παρὰ φύσιν δηλονότι. καὶ διὰ τοῦτο ἀξιοῦσι προσκεῖσθαι τῷ ὅρῳ, τὸ φυσική. τοιοῦτον ὅλον αὐτὸν ἐργαζόμενοι. σφυγμός ἐστιν ἀρτηριῶν τε καὶ καρδίας κίνησις φυσική. τούτοις ἀντιλέγοντες οἱ συναγορεύοντες τῷ τοῦ Ταραντίνου ὅρῳ φασί, μηδέ ποτ' ἐν ἀρτηρίαις ἢ καρδίᾳ τὰς τοιαύτας γίνεσθαι κινήσεις, μόνων τῶν νευρωδῶν σωμάτων οὔσας. ἀλλ' ὅτι μὲν ὅτε σπασμός, καὶ ὁ τρόμος ἐν νεύροις μόνον γίνονται, κἀγὼ σύμφημι. παλμὸς δὲ προφανῶς ὁρᾶται καὶ περὶ τὸ δέρμα συνιστάμενος. ἐναργῶς δὲ κἂν τοῖς σαρκώδεσι μορίοις, ἅπερ ἐστὶ μυῶν μέρη καὶ κατά γε τοὺς φόβους, καὶ τὰς ἀγωνίας ἐναργῶς ἡ καρδία φαίνεται παλλομένη. οὐ σμικρὰ δ' ἀντιλογία περὶ τῶν παθῶν τούτων γέγονεν Ἡροφίλῳ πρὸς τὸν διδάσκαλον Πραξαγόραν, οὐκ ὀρθῶς ἀποφηνάμενον ἀρτηριῶν πάθος εἶναι καὶ παλμὸν καὶ τρόμον, καὶ σπασμόν, οὐ γένει διαφέροντα τῆς σφυγμώδους ἐν αὐτῇ κινήσεως, ἀλλὰ μεγέθει. κατὰ φύσιν μὲν γὰρ ἐχόντων ἄνευ πάσης περιστάσεως γίνεσθαι τοὺς σφυγμούς, αὐξηθείσης δὲ τῆς κινήσεως αὐτῶν εἰς τὸ παρὰ φύσιν, πρῶτον μὲν σπασμὸν ἀποτελεῖσθαι, δεύτερον δ' ἐπ' αὐτῷ τρόμον, καὶ τρίτον τὸν παλμὸν ἀλλήλων διαφέροντα μεγέθει πάντα ταῦτα τὰ πάθη. διὰ τοῦτ' οὖν Ἡρόφιλος εὐθέως ἐν ἀρχῇ τῆς περὶ σφυγμῶν πραγματείας ἀνατρέπειν πειρᾶται τὴν τοῦ διδασκάλου δόξαν. ἀλλ' ὡς ἔθος Ἡροφίλῳ διὰ ἑρμηνείας ἀσαφοῦς, ἣν ἤδη τὸ σαφὲς οἱ ἀπ' αὐτοῦ μεταλαμβάνοντες ἔγραψαν, ἐν αἷς ἐποιήσαντο πραγματείαις περὶ τῆς Ἡροφίλου αἱρέσεως. ὥστε εἰ μνημονεύω νῦν αὐτῆς Ἡροφίλου ῥήσεως, ἣν ἐν ἀρχῇ τοῦ πρώτου περὶ σφυγμῶν ἔγραψεν, ἢ τῶν εἰρημένων τοῖς ἀπ' αὐτοῦ, μέγεθος ἑνὸς βιβλίου γενήσεται περὶ μόνων τούτων ἐπιμελῶς διερχομένου. ὅπου καὶ χωρὶς τοῦ μνημονεῦσαι τούτων ἓν ὅλον ἐμόν ἐστιν ὑπόμνημα περὶ τρόμου, καὶ παλμοῦ, καὶ σπασμοῦ καὶ ῥίγους. ἀρκεῖ δέ μοι κἀνταῦθα τὸ πλῆθος ἐνδεδειγμένῳ τῶν ἐπεισαχθησομένων λόγων εἰς τὸ προκείμενον ζήτημα καταλιπεῖν αὐτό. τοσοῦτον μόνον εἰπόντι κατὰ φύσιν μὲν ἐχόντων ἡμῶν τὰς περὶ τὴν καρδίαν τε καὶ τὰς ἀρτηρίας κινήσεις διαστελλομένων τε περὶ κύκλῳ αὐτῶν, καὶ αὖθις εἰς ἑαυτὰς συναγομένων γίνονται. παρὰ φύσιν δὲ ἐχόντων, κἂν παλμώδης, ἢ κλονώδης, ἢ σπασμώδης, ἢ τρομώδης ἡ κίνησις φαίνοιτο τῶν ἀρτηριῶν, οὐδὲν ἄτοπον εἶναι τὸν σφυγμὸν ὀνομάζεσθαι ποτὲ μὲν σπασμώδη, ποτὲ δὲ κλονώδη, ποτὲ δὲ παλμώδη, ποτὲ δὲ τρομώδη καὶ γὰρ οὖν καὶ καλεῖν ἔθος ἡμῖν ἐστι τινὰ κλονώδη σφυγμὸν οὐκ ὀλίγα φαινόμενον ἐναργῶς, οὐ τῇ φύσιν ἀρμηνεύουσα περὶ τὸ πρῶτον γράμμα τῆς δὲ τῆς πραγματείας, ὥστε καὶ περὶ τοῦτον τὸν λόγον οὐκ ὀρθῶς ἄν τις προσθείη τῷ ὅρῳ τοῦ σφυγμοῦ, τὸ φυσική. περὶ δὲ τοῦ αἰσθητῆς ἐπειδὴ καὶ ταύτην ἔνιοι τὴν πρόσθεσιν ἀξιοῦσι ποιεῖσθαι τὸ πολλάκις εἰρημένον ὑπ' Ἀριστοτέλους ἄξιον εἰπεῖν. ἐκεῖνος γὰρ ὁ ἀνὴρ αὐτάρκως ἐνίοτε διελθών, τί προσιέναι φησὶ δεῖν αὐτῷ διὰ τὰς σοφιστικὰς ἐνοχλήσεις ἔξωθεν ἄλλο, τὸ δοκοῦν ἑκάστοτε συμφέρειν τῷ λόγῳ. κἀγὼ τοίνυν ὑπογράφομαι τὸν σφυγμὸν ἀρτηριῶν καὶ καρδίας κίνησιν αἰσθητήν. καὶ μάλισθ' ὅτι καλοῦμεν ἀσφύκτους οἷς οὐκ ἔστιν ἡ κίνησις αἰσθητή. καίτοι σωζομένης αὐτῆς πολλάκις, ὡς πρὸς τὴν οἰκείαν ὕπαρξιν. οὐ γὰρ ἂν ἔζησαν εἰ παν-

τάπασιν ἡ κίνησις ἀπόλωλε τῆς καρδίας, καὶ τῶν ἀρτηριῶν. ὅ γε μὴν ἡροφίλειος Ἀλέξανδρος ὁ Φιλαλήθης ἐπικληθεὶς, διττὸν ἐποιήσατο διὰ τὰς τοιαύτας ἐπηρείας τὸν ὁρισμὸν τοῦ σφυγμοῦ, τὸν μὲν ἕτερον ἐξ αὐτοῦ τοῦ πράγματος ἐξ οἰκείας φύσεως, ὃν ὡς ἐν ὑποκειμένοις ὀνομάζει. τὸν δὲ ἕτερον ὡς ἐν ἐπισκέψει. τὸν μὲν οὖν ὡς ἐν ὑποκειμένοις σφυγμὸν εἶναι φησὶ καρδίας, καὶ ἀρτηριῶν συστολὴν, καὶ διάστασιν ἀπροαιρέτως οἵαν τε φαίνεσθαι. τὸν δ' ὡς ἐν ἐπισκέψει, τὴν ἐκ τῆς τῶν ἀρτηριῶν διαπαντὸς ἀπροαιρέτου κινήσεως πρὸς τὴν ἁφὴν πληγὴν, καὶ τὸ μετὰ τὴν πληγὴν γινόμενον διάλειμμα. καὶ λέγει γε τινὰς λογισμοὺς ἐπ' αὐτοῖς ὡς οἴεται πιθανοὺς ἐν τῷ .ε. τῶν ἀρεσκόντων. ὥσπερ καὶ ὁ Ταραντῖνος Ἡρακλείδης ἐν οἷς ἀντιλέγει πρὸς τὸ περὶ σφυγμῶν Ἡροφίλου. ἀντιλογίαι δ' οὐχ ἥκιστα πρὸς τοὺς τοῦ Φιλαλήθους ὅρους ἐγένοντο τοῖς μετ' αὐτὸν, ἔνιαι μὲν ἀπίθανοι πάνυ, καὶ προφανῶς ἐριστικαὶ, τινὲς δὲ ἧττόν τε καὶ μᾶλλον πιθαναὶ, πρὸς ἃς ἀπήντησαν τινὲς τῶν ἀπ' αὐτοῦ, καὶ μακρός γε λόγος ἑκατέροις περαίνεται. διὰ κεφαλαίων δὲ κἀγὼ περὶ αὐτῶν ἴσως ὀλίγον ὕστερον ὅλως ἐρῶ. πρότερόν γε παραγράψας τοὺς τοῦ Δημοσθένους ὅρους, ὡσαύτως τῷ διδασκάλῳ Φιλαλήθους ἐπικληθέντος. οὗ καὶ τὰ τρία περὶ ὀφθαλμῶν ἐστὶ συγγράμματα, παρὰ πολλοῖς εὐδοκιμοῦντα. διαιρεῖται δ' οὖν καὶ οὗτος τὸν σφυγμὸν ὁμοίως τῷ Ἀλεξάνδρῳ, καί φησιν εἶναι, τὸ μὲν κατὰ τὸ ὑποκείμενον καρδίας, καὶ ἀρτηριῶν διαστολὴν ἢ συστολὴν φυσικὴν, φαίνεσθαι δυναμένην. τὸν δὲ ἐξ οὗ ποιούμεθα τὰς ἐπισκέψεις καρδίας, ἢ ἀρτηριῶν πρὸς τὴν ἁφὴν πλῆξιν φυσικήν. καὶ τὸ μετὰ τὴν πληγὴν γινόμενον διάλειμμα. χρῆται δὲ κατὰ τοὺς ὅρους τῷ ἢ συνδέσμῳ παραδιαζευκτικῷ. νομίζων τὸν καὶ συμπλεκτικὸν ὄντα, τὸ μὲν συγκείμενον ἐξ ἀμφοῖν ὁρίζεσθαι μόνον, ἰδίᾳ δ' ἑκάτερον οὐχ ὁρίζεσθαι, μόνον ἰδίᾳ δ' ἑκάτερον οὐχ ὁρίζεσθαι. βούλεται δ' αὐτὸς τὴν τῶν ἀρτηριῶν κίνησιν εἶναι σφυγμὸν αὐτὸν καθ' ἑαυτὸν μόνον. εἶναι δὲ δηλονότι καὶ τὴν τῆς καρδίας αὐτὴν καθ' ἑαυτὴν μόνην καὶ ταύτην. εἶναι δὲ καὶ τὸ συναμφότερον σφυγμόν. ὡσαύτως δὲ καὶ τὴν διαστολὴν μόνην σφυγμὸν ὀνομάζεσθαι, καὶ τὴν συστολὴν καὶ τὸ συναμφότερον. ἐπειδὴ δ' οὕτως ὀνομάζεσθαι τὸν σφυγμόν, ἐπειδὴ κατὰ τὴν διαστολὴν μέγας τε καλεῖται καὶ μικρὸς καὶ σφοδρὸς, καὶ ἀμυδρὸς, καὶ ταχὺς, καὶ βραδύς. κατὰ δὲ τὴν συστολὴν ἀραιὸς καὶ πυκνός. ὅταν μὲν οὖν κατὰ τὸ ὑποκείμενον τὰ μέρη λέγει τοῦ σφυγμοῦ, διαστολὴν ὀνομάζει καὶ συστολήν. ὅταν δ' ὡς ἐν ἐπισκέψει, πληγὴν, καὶ διάλειμμα νομίζων ἀδιάγνωστον αἰσθήσει τὴν συστολὴν εἶναι. μεγάλη δὲ πάλιν ἐνταῦθα γέγονεν ἐναντιολογία τοῖς ἰατροῖς οὐ περὶ ὀνόματος μόνου ἔτι, καθάπερ ἔνιαι τῶν εἰρημένων οὐ μὴν οὐδὲ περίεργός τε καὶ περιττὴ ταῖς πολλαῖς αὐτῶν ὁμοίως. ἀλλὰ τὸ μέγιστον αὐτὸ καὶ κυριώτατον ἐπισκεπτομένη τῆς θεωρίας, καὶ κρῖναι ἀδεκάστως ἐγὼ, καθάπερ καὶ τἄλλα περὶ ὧν διεφώνησαν οἱ ἰατροὶ προελόμενος, οὕτως καὶ τοῦτο παμπόλλοις ἔτεσιν ἀκριβῶν διετέλεσα. χρόνῳ δ' ὕστερον οὐκ ὀλίγῳ τήν τε αἰτίαν τῆς διαφωνίας αὐτῶν εὗρον, ἔν τε περὶ τούτου μόνου βιβλίον ἔγραψα τὸ πρῶτον περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἐν ᾧ δείκνυται τινῶν μὲν σφυγμοὶ τὴν συστολὴν αἰσθητὴν ἔχουσι. τινῶν δ' οὐ φαίνεται. δι' οὗ ὁ κατ' ἐκεῖνο τὸ βιβλίον ἅπας λόγος ἐπ[illegible]γόμενος τοῖς οἰομένοις αὐτὸν ἐκ πληγῆς τε καὶ διαλείμματος συγκεῖσθαι. τινὲς γὰρ καὶ χωρὶς τοῦ διελέσθαι τὸν ὡς ἐν ὑποκειμένῳ τοῦ κατὰ τὰς ἐπισκέψεις ἁπλῶς, ἀπεφήναντο τὸν σφυγμὸν ἐκ πληγῆς καὶ διαλείμματος συγκεῖσθαι. καίτοι κἂν ἐκ διαστολῆς τε καὶ συστολῆς λέγηται συγκεῖσθαι, ζήτημά τι γίνεται περὶ τῶν ἠρεμιῶν, ἥν τε ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συστολῆς, καὶ ἣν περὶ τῇ συστολῇ πρὸ τῆς διαστολῆς, ἥ τε καρδία καὶ αἱ ἀρτηρίαι ποιοῦνται. κἂν παραλίπωμεν δέ ποτε τὸ τῆς καρδίας ὄνομα μόνον τῶν ἀρτηριῶν μνημονεύσαντες, ὑπακούειν χρὴ κατ' ἐκείνης εἰρῆσθαι τὰ αὐτά. καθάπερ κἂν ἐπὶ τῆς καρδίας εἴπωμέν τι, παραλιπόντες τὰς ἀρτηρίας, ἡγεῖσθαι χρὴ καὶ ἐπ' ἐκείνων λελέχθαι τὸ αὐτό. τὴν δ' αὐτὴν ἀπορίαν ἔχει καὶ ἡ κατὰ τὴν ἀναπνοὴν ἠρεμία διττὴ τῶν ἀναπνευστικῶν ὀργάνων. ἡσυχάζει γὰρ ὅτε θώραξ ὁ καὶ πνεύμων ἐν τῷ μεταξὺ χρόνῳ τῆς εἴσω τε καὶ ἔξω φορᾶς τοῦ πνεύματος, καὶ κατά γε τὸν χρόνον τῶν ἡσυχιῶν τούτων ἀραιὰν, ἢ πυκνὴν ὀνομάζουσι τὴν ἀναπνοήν. ἥ γε μὴν διάγνωσις οὐχ ὁμοία τούτων ἐστὶ τῶν ἡσυχιῶν καὶ τῶν ἐν τοῖς σφυγμοῖς. ἐναργῶς μὲν γὰρ ἀεὶ περὶ τῆς ἀναπνοῆς φαίνονται. τῶν δ' ἐν τοῖς σφυγμοῖς ἠρεμιῶν, ἐνίοις μὲν ἔδοξεν οὐδ' ὅλως εἶναι διάγνωσιν, ἐνίοις δὲ τοῖς ἐκτὸς μόνοις. ἥνπερ δὴ αἰσθητὴν καὶ ἡμεῖς εἶναι φαμέν. οὐ μὴν ἐπὶ πάντων γε τῶν σφυγμῶν. ὅτι μὲν οὖν ὥσπερ ἀναπνοὴ πυκνὴ καὶ ἀραιὰ τῶν ἐπικαίρων ἐστὶ σημείων, οὕτω καὶ σφυγμὸς πυκνὸς, καὶ ἀραιὸς ἐν τῇ δι' αὐτῶν προγνώσει μαθήσῃ. τὸ δὲ μέρη τὰς ἡσυχίας εἶναι τῆς ὅλης ἀναπνοῆς τε καὶ τῶν σφυγμῶν, ἀμφισβητεῖται. καὶ γὰρ οἱ δοξάζοντες οὕτως, οὐ πρώτως ἀλλὰ κατὰ συμβεβηκὸς εἶναι μέρη φασὶν ἐν ταῖς ἐνεργείαις ταύταις τὰς ἡσυχίας. ἐν μὲν γὰρ ταῖς εἰσπνοαῖς τε καὶ ἐκπνοαῖς ἐνεργεῖ προφανῶς τὰ τῆς ἀναπνοῆς ὄργανα. κατὰ δὲ τοὺς σφυγμοὺς διαστελλομένης τε καὶ συστελλομένης τῆς καρδίας τὰς μεταξὺ τῶν ἐνεργειῶν τούτων ἡσυχίας παραπλήσιόν τι πρᾶγμα εἶναι τῇ κἀπὶ τῶν τεθνεώτων αὐτοῖς ὑπαρχούσῃ. ὥσπερ καὶ οἱ λέγοντες ἐνέργειαν εἶναι ἀρτηριῶν τε καὶ καρδίας τὸν σφυγμὸν, ἢ κίνησιν ἀρτηριῶν τε καὶ καρδίας, ἢ διαστολὴν καὶ συστολὴν ἀρτηριῶν τε καὶ καρδίας, δόξουσι παραλιπεῖν τὰς ἡσυχίας, οὐ μικρὰν μοῖραν ἐχούσας εἰς πρόγνωσιν. οἱ γοῦν ἀραιὸς, καὶ πυκνὸς σφυγμὸς κατὰ τοῦτο τὸ γένος εἰσὶ μετὰ τῆς ἐν αὐτοῖς ὁμαλότητός τε καὶ ἀνωμαλίας, ἀταξίας τε καὶ τάξεως, οὐ σμικρὰ δηλοῦντες, ὥσπερ καὶ ὁ διαλείπων, καὶ ὁ παρεμπίπτων κατ' αὐτὸ τὸ γένος τοῦτο συνιστάμενοι σημεῖον οὐ σμικρὸν, οὐδ' αὐτοὶ τῶν ἐσομένων ὄντες. ἐὰν οὖν τις ἐθέλοι τὸν σφυγμὸν ὁριζόμενος ἐπεισάγειν αὐτῷ τὸν περὶ τῶν ἡσυχιῶν λόγον, εἴτε μέρη τίθεσθαι χρὴ τῶν σφυγμῶν αὐτὰς, εἴτε μὴ, καὶ εἰ μέρη πότερον πρῶτα καὶ κατὰ τὸν ἴδιον αὐτῶν λόγον, ἢ κατὰ συμβεβηκὸς, οὐκ ὀλίγον ἀναλώσει χρόνον, ἀλλ' ἡμεῖς ὥσπερ ἐπὶ τῶν ἄλλων ἄχρι τοῦ δεῖξαι τὴν καθ' ἕκαστα μακρολογίαν ἀφικόμενοι μετέβημεν ἐφ' ἕτερόν τι καὶ νῦν οὕτω πράξομεν ἐπανελθόντες ἐπὶ τοὺς Ἀλεξάνδρου καὶ Δημοσθένους ὅρους, οὓς ἐποιήσαντο τοῦ σφυγμοῦ. φαίνεται γὰρ εἰ καὶ μὴ τῇ λέξει, τῇ γε δυνάμει ταὐτὰ τῷ διδασκάλῳ βουλόμενος ὁ Δημοσθένης. ὁ μὲν γὰρ Ἀλέξανδρος ἀπροαίρετον ἔφη τὴν τῶν σφυγμῶν ἐνέργειαν ὑπάρχειν. ὁ δὲ φυσικήν. καὶ ὁ μὲν οἵαν τε φαίνεσθαι, ὁ δὲ φαίνεσθαι δυναμένην. οὕτως μὲν οὖν ἐν τῷ κατὰ τὸ ὑποκείμενον ὅρῳ τοῦ σφυγμοῦ φαίνεται τῷ διδασκάλῳ συμφερόμενος ὁ

Δημοσθένης. ὡσαύτως δὲ καὶ τῷ κατὰ τὰς ἐπισκέψεις. δῆλον γὰρ ὡς οὐδὲν διαφέρει πληγὴν, ἢ πλῆξιν
εἰπεῖν. ὥσπερ οὐδ᾽ ἀπροαίρετον ἢ φυσικήν. ὅτι δὲ μόνῳ τῷ τόν. ἢ. σύνδεσμον εἰς τὸν ὅρον παραλαβεῖν, ἀπείη
τοῦ διδασκάλου πρόσθεν εἴρηται. καὶ καθ᾽ ὅν τινα λογισμὸν οὕτως ἔπραξεν. ἑξῆς οὖν ἐπισκεψώμεθα τοὺς ὑπὸ τῶν
ἄλλων ἡροφιλείων εἰρημένους ὅρους. ὁ μὲν οὖν βακχεῖος ἐν ταῖς ἄλλαις ἀκροάσεσι τὸν σφυγμὸν εἶναί φησι συ-
στολὴν, καὶ διαστολὴν ἅμα, ἐν ἁπάσαις ταῖς ἀρτηρίαις γιγνομένην. πρὸς ὃν ὅρον ἐπηρεαστικῶς μὲν ἀντεῖπον
οἱ ἐρασιστράτειοι, τὸ σφέτερον ἁμάρτημα κατηγορίας ἀρχὴν ποιησάμενοι. δοκεῖ γὰρ αὐτοῖς ἡ μὲν καρδία
πρώτη διαστέλλεσθαί τε καὶ συστέλλεσθαι τῶν ἀρτηριῶν ἁπασῶν. ἐπιπεμπομένου δὲ τοῦ πνεύματος ἀπ᾽ αὐ-
τῆς εἰς τὰς ἀρτηρίας κατὰ τὴν ἐπιπλήρωσιν αὐτῶν γίνεσθαι τὴν διαστολήν. πρῶτον μὲν τῶν πλησίον αὐ-
τῆς τῆς καρδίας, δεύτερον δὲ τῶν ἐφεξῆς ταύταις. εἶθ᾽ ἑξῆς τῶν ἐπὶ ταῖσδε. καὶ οὕτω κατὰ τὸ συνεχὲς ἐπὶ τὰς
10 ἐσχάτας ἁπασῶν ἀρτηριῶν διικνεῖσθαι τὴν κίνησιν. οὐδεμίαν αὐτῶν τῶν ἀρτηριῶν ἐχουσῶν δύναμιν, οὔτε
ἰδίαν, οὔτε παρὰ καρδίας ἐπιπεμπομένην αὐταῖς ᾗ χρώμεναι διαστέλλουσί τε καὶ συστέλλουσιν ἑαυτὰς ὥσ-
περ ἡ καρδία. τοῖς δὲ περὶ τὸν ἡρόφιλον ἀρέσκει τὰς ἀρτηρίας συνεχεῖς οὔσας τῇ καρδίᾳ διὰ τῶν χιτώνων
ἐπιρρέουσαν ἔχειν τὴν παρ᾽ αὐτοῖς δύναμιν, ᾗ χρώμεναι παραπλησίως αὐτῇ τῇ καρδίᾳ, διαστελλόμεναι
μὲν ἕλκουσι πανταχόθεν, ὅθεν ἂν δύνωνται τὸ πληροῦσον αὐτῶν τὴν διαστολὴν, συστελλόμεναι δὲ ἐκθλίβου-
σι. καὶ διὰ τοῦτο φαίνεσθαι καθ᾽ ἕνα χρόνον ἅμα πάσας αὐτὰς διαστελλομένας τε καὶ συστελλομένας τὴν αὐ-
τὴν προθεσμίαν τῇ καρδίᾳ τῶν κινήσεων ἀμφοτέρων φυλαττούσας. ἐρασιστράτῳ δὲ ἀκολουθεῖ μὲν οὐχ ἅμα
φαίνεσθαι τήν τε καρδίαν καὶ τὰς ἀρτηρίας διαστελλομένας τε καὶ συστελλομένας. ἔχει δ᾽ οὐχ οὕτως τὸ φαι-
νόμενον ὥστ᾽ οὐκ ὀρθῶς ἐνεκάλεσαν οἱ ἐρασιστράτειοι τῷ Βακχείῳ τὸ φαινόμενον εἰπόντι. βέλτιον δ᾽ ἀντεῖ-
πον ὅσοι φασὶ μόνων τῶν κατὰ φύσιν σφυγμῶν ὑπ᾽ αὐτοῦ γεγονέναι τὸν ὁρισμὸν, ἐν γὰρ τὸ παρὰ φύσιν ἔ-
20 χειν τὸ ζῶον, ἐνίοτε φαίνεσθαι μὴ πάσας ἅμα διαστελλομένας τὰς ἀρτηρίας. Ἀριστόξενος δὲ ὁ ἡροφίλειος
οὐ τοῦτο μόνον ἐνεκάλεσεν, ἀλλὰ καὶ τὸ παραλελεῖφθαι μὲν τὸ γένος τῶν σφυγμῶν κατὰ τὸν ὅρον, ἐκ διαιρέσεως δ᾽
αὐτοῦ λελέχθαι τὰ περὶ διαστολῆς, καὶ συστολῆς, αὐτὸς γὰρ ἀξιοῖ τὸν σφυγμὸν λέγειν ἐνέργειαν ἀρτηριῶν.
τοῦτο γὰρ εἶναι τὸ πρῶτον γένος. εἶτ᾽ ἐπεὶ καὶ ἄλλαι τινὲς ἐνέργειαί εἰσι τῶν ἀρτηριῶν αὐξανομένων τε καὶ τρε-
φομένων, προστίθησι τὴν ἰδίαν, ὡς εἶναι τὸν ὅλον ὅρον τοιόνδε. σφυγμός ἐστιν ἐνέργεια καρδίας καὶ ἀρτηριῶν
ἴδιος. ὅτι μὲν οὖν τὸ γένος τοῦ πράγματος οὗπερ ἂν ὁριζόμενοι τύχωμεν ἁπάντων πρῶτον λέγεσθαι χρὴ κα-
τὰ τὸν ὅρον, ὀρθῶς εἶπεν ὁ Ἀριστόξενος. ἐπειδὴ ἐστὶ τὸ μέν τι προσεχὲς αὐτοῦ γένος, οὕτω γὰρ ὀνομάζουσι τὸ διὰ
μηδενὸς ἑτέρου μέσου. τὸ δ᾽ ἔτι δι᾽ ἑνὸς ἢ δυοῖν μέσων, ἢ καὶ τὸ πάντων ἀνωτάτω, ζήτησις οὐ μικρὰ γέγο-
νεν. ποῖον χρὴ γένος λέγεσθαι πρῶτον ἁπάντων κατὰ τὸν ὅρον. ἆρά γε τὸ ἀνωτάτω μεθ᾽ ὃ μηδὲν ἐστὶν ἔτι γενικώ-
τερον, ἢ τὸ προσεχές. ἢ καί τι τῶν μεταξὺ τούτων. ὅταν ἀμφοτέρων τῶν εἰρημένων ᾖ σαφέστερον. εἰκότως οὖν
30 ἐνίοις ἤρεσε τὸ προσεχὲς γένος τῶν σφυγμῶν κίνησιν εἰπεῖν. οὐσῶν δὲ κινήσεων πολλῶν, ἥ τε γὰρ φορὰ, καὶ ἡ
ἀλλοίωσις, ἥ τε αὔξησις τε καὶ φθίσις. ἔτι τε πρὸς τούτοις γένεσίς τε καὶ φθορὰ, κινήσεις εἶναι δοκοῦσιν, ἀκό-
λουθον ἦν εἰπεῖν ἥν τινα κίνησιν εἶναι βούλονται τὸν σφυγμόν. εἶπον γὰρ ἂν δηλονότι φοράν. εἶτα τῆς φορᾶς
πολλὰς ἐχούσης διαφορὰς ἐχρῆν ἐφεξῆς εἰπεῖν ἥν τινα φορὰν εἶναι βούλονται τῶν τοὺς σφυγμοὺς ἀποτελούν-
των ὀργάνων. ἄνωθεν δέ τι ἀρξάμενος ἀπὸ τοῦ πρώτου γένους εἰ τοῖς διαλεκτικοῖς ἕπεσθαι βούλοιτο τὸν σφυ-
γμὸν ἂν ὁρίσαιτο καρδίας, καὶ ἀρτηριῶν ἐνέργειαν εἶναι κατὰ κίνησιν τὴν κατὰ φορὰν γινομένην ἐν τῷ δια-
στέλλεσθαι, καὶ συστέλλεσθαι. τάχα δὲ ἀξιώσει τις τούτοις προσθεῖναι καὶ τὰς ἠρεμίας. ὥσπερ οὖν καὶ ἠ-
ξίωσαν ἔνιοι. τινὲς δ᾽ ἀφαιροῦσιν ὡς κατὰ συμβεβηκὸς οὐ πρώτως αὐτῶν γινομένων, ἀλλὰ πρὸς Ἀριστόξενον ἱκα-
νὰ καὶ ταῦτα. διαλεκτικῶς μὲν ὁρίζεσθαι βουλόμενον, οὐ φυλάττοντα δὲ τοὺς διαλεκτικοὺς νόμους οὐδ᾽ αὐτόν.
ἀξιοῦσιν γὰρ οἱ δεινοὶ περὶ τοὺς ὁρισμοὺς ἀπὸ τοῦ πρώτου γένους ἀρξαμένους ἡμᾶς, εἶτα διὰ τῶν μεταξὺ προϊόν-
40 τας ποιεῖσθαι τὸν ὅλον ὅρον. ἔγραψα δ᾽ ἂν ἴσως τὸ παράδειγμα τοῦ τοιούτου τρόπου τῶν ὅρων, εἰ μὴ τὰ
Πλάτωνος ἦν δύο βιβλία πᾶσι γνώριμα. καθ᾽ ἃ διδάσκει τε καὶ γυμνάζει, τῇ διαιρετικῇ μεθόδῳ χρωμέ-
νους ποιεῖσθαι τοὺς ὁρισμούς. ἐπιγράφει δὲ τῶν βιβλίων τούτων, τῷ μὲν ἑτέρῳ σοφιστής, τῷ δ᾽ ἑτέρῳ, πολιτικός.
ἐπὶ δὲ τὸν ὑπὸ τοῦ Ζήνωνος εἰρημένον ὅρον ἔλθωμεν, ἀνδρὸς οὐδενὸς δευτέρου τῶν ἡροφιλείων. οὗτος δὴ τὸν
σφυγμόν φησιν εἶναι τῶν ἀρτηριωδῶν μορίων μικτὴν ἐνέργειαν ἐκ συστολῆς καὶ διαστάσεως, καθ᾽ ἣν ἐν ἅπασι
τοῖς μέρεσι τὴν αὐτὴν ὑπάρχειν τάξιν ἠκολούθησεν, ἐάν τε ἐν τοῖς ἴσοις, ἐάν τε ἐν τοῖς ἀνίσοις ἐκείνη συν-
τελεῖται χρόνοις. καὶ οὕτως οὖν ἐνέργειαν μὲν εἰπὼν εἶναι μικτὴν, οὐ μόνον τὸ γένος ἀπεφήνατο τῶν
σφυγμῶν, ἀλλὰ καὶ τὴν, ὡς οἴεται προσεχῆ διαφοράν. ὑπερβὰς μὲν ὅτι κατὰ κίνησιν ἡ ἐνέργεια γίγνοιτο,
καὶ τῆς κινήσεως κατὰ φοράν. τῶν δὲ τῆς φορᾶς εἰδῶν ἢ διαφορῶν μνημονεύσας συστολῆς τε καὶ διαστολῆς.
δῆλον γὰρ ὅτι τὴν διάστασιν ἀντὶ τῆς διαστολῆς εἴρηκεν. οὐ κακῶς δ᾽ εἶπε μικτὴν εἶναι τὴν κίνησιν οὐχ
50 ἁπλῆν, οὐδὲ μονοειδῆ, σύνθετος γάρ ἐστιν ἐξ ἐναντίων μορίων, ὡσαύτως τῇ κατὰ τὴν ἀναπνοήν. δῆλον δὲ
καὶ ὅτι τὸ ἕτερον μέρος μόνον τῆς συνθέτου ταύτης κινήσεως, οὐ βούλεται σφυγμὸν ὀνομάζειν. ἀλλὰ μέ-
ρος σφυγμοῦ. τὸ γὰρ οἴεσθαι διὰ τοῦτο καὶ τὴν διαστολὴν ὅλην ὀνομάζεσθαι σφυγμὸν, ὅτι μέγας σφυγμὸς
λέγεται κατ᾽ αὐτὴν, οὐκ ἐννενοηκότων ἐστὶ, ὡς ἀπὸ τῶν ἐν τοῖς μέρεσι συμβεβηκότων ἐνίοτε τὴν ἐπωνυμίαν
ἴσχει τὸ σύμπαν. ἐν γοῦν τῷ σιμὸς ἄνθρωπος, καὶ γρυπὸς, καὶ γλαυκὸς, καὶ χαροπὸς, καὶ φαλακρὸς, ἑ-
τέροις τε παμπόλλοις ἀπὸ τῆς κατὰ τὰ μόρια διαθέσεως ἐπωνυμία τῷ ὅλῳ γίγνεται. τῶν δ᾽ ἄλλων σχε-
δὸν ἁπάντων ἡροφιλείων, ἢ ἀρτηριῶν, ἢ καρδίας, ἢ ἀμφοτέρων τούτων τὴν διαστολὴν, καὶ συστολὴν σφυγ-
μὸν ὀνομαζόντων οὗτος οὐ καρδίας καὶ ἀρτηριῶν. ἀλλὰ τῶν ἀρτηριωδῶν μορίων ἔφη διὰ τὴν περὶ τῆς καρδίας ζή-
τησιν ἣν ἔμπροσθεν εἶπον. ἐκπέφυκε γὰρ ἡ μεγίστη τῶν κατὰ τὸ ζῶον ἀρτηριῶν ἐκ τῆς ἀριστερᾶς κοιλίας αὐτῆς. αὐ-
τὴ δὲ τὸ σῶμα τῆς κοιλίας ταύτης ὅτι μὴ ταὐτόν ἐστι τὸ τῶν ἀρτηριῶν ὁμολογεῖται καὶ αὐτοῖς τοῖς ἀρτηριώδη

καλοῦσιν αὐτήν, ὡς γὰρ νευρῶδές τι σῶμα λέγομεν ἕτερον ὂν νεύρου, οὕτω καὶ ἀρτηριώδη τὴν κοιλίαν ταύτην ἐκάλεσαν. ἑτέραν περιφανῶς ἔχουσαν οὐσίαν τῶν ἀρτηριῶν. οὐ συγχωρεῖται δ' αὐτοῖς ὑπὸ τῶν ἀντιλεγόντων οὐδ' ἀρτηριώδης ὀρθῶς ὀνομάζεσθαι. τὴν αὐτὴν γὰρ ἔχει φύσιν τῇ δεξιᾷ σαρκοειδεῖ τὴν οὐσίαν οὔσῃ. διὸ καὶ τοῖς μυσὶν ἔνιοι τὴν καρδίαν συνηρίθμησαν. ἀλλ' οὗτοι μὲν ὅπως σφάλλονται δι' ἑτέρων δέδεικται. λέγειν δ' οὕτως ἐτόλμησαν διὰ τὴν ὁμοιότητα τῆς σωματικῆς οὐσίας αὐτῶν. ὁμοιότατον γάρ ἐστι τὸ τῆς καρδίας σῶμα τῷ τῶν σκληρῶν μυῶν. καὶ μέντοι καὶ φαίνεται σαφῶς ἀμφοτέρας ταῖς κοιλίαις σφύζουσα. καὶ καθ' ὃν ἔγκειται καιρὸν ἔτι τῷ ζώῳ, καὶ μετὰ τὴν ἐξαίρεσιν ἄχρι χρόνου τινός, ἀλλὰ καὶ ὅτι τὸν κατὰ φύσιν μόνον ὁρίζεται σφυγμὸν ὁ ζήνων. καὶ κατὰ τοῦτο εἰκότως ἐγκέκληται, τὸ γὰρ ἐν ἅπασι τοῖς μέρεσι τὴν αὐτὴν ὑπάρχειν τάξιν τῆς κινήσεως τῶν ἀρτηριῶν, ἐπὶ μὲν τῶν κατὰ φύσιν ἐχόντων, ἀληθές. ἐπὶ δὲ τῶν παρὰ φύσιν, ἐνίοτε ψεῦδος. ἐγκαλεῖ δ' ἀριστόξενος εἰκότως τῷ ζήνωνι, καθάπερ καὶ ἄλλοις πολλοῖς τῆς περιττῆς προσθήκης ἐν τῷ φάναι, ἐάν τε ἐν τοῖς ἴσοις, ἐάν τε ἐν τοῖς ἀνίσοις ἐκείνη συντελεῖται χρόνοις. κατὰ γὰρ τὴν κοινὴν καὶ γενικὴν ἔννοιαν τῶν σφυγμῶν μὴ περιέχεσθαι μήτε τοῦτο, μήθ' ὅλως ἄλλο τι τῶν κατὰ τὴν διαίρεσιν τοῦ προκειμένου πράγματος εἰς τὸν ὁρισμόν. ὁ γοῦν εἰπὼν τὸν ἄνθρωπον εἶναι ζῶον, εἶτα προσθεὶς αὐτῷ διαφορὰν τὸ πεζόν. εἶθ' ἑξῆς τὸ δίπουν, οὐκέτι δεῖται τὰς ἐν αὐτοῖς τοῖς ἀνθρώποις προσθεῖναι διαφοράς. ὡς γενέσθαι τὸν ὅρον τοιοῦτον. ἄνθρωπός ἐστι ζῶον πεζὸν δίπουν. καθ' ὃ τεχνῖται, καὶ ἄτεχνοι, καὶ σοφοί, καὶ ἀμαθεῖς γίνονται. μόνων μὲν γὰρ ἀνθρώπων ὄντως εἰσὶν αἱ τοιαῦται διαφοραί. περιτταὶ δὲ ὡς πρὸς τὸν οἰκεῖον ὁρισμόν. ἀρκεῖ γὰρ ἤτοι ζῶον, πεζόν, δίπουν εἰπεῖν, ἢ ζῶον λογικὸν θνητόν. οὐ γὰρ τὸ προκείμενον εἰς τὸν ὁρισμὸν πρᾶγμα τέμνεσθαι χρή, καθάπερ ἔφην. ἀλλὰ τὸ γένος αὐτοῦ, καὶ μέχρι γε τούτου τέμνεσθαι, μέχρις ἂν ἐπὶ τὸ προκείμενον ἀφικώμεθα πρᾶγμα. συμπληρωθείσης δ' ἀκριβῶς αὐτοῦ τῆς ἐννοίας, καὶ τοῦ λόγου τὴν οὐσίαν αὐτάρκως δηλοῦντος, ἄχρηστος ἡ μετὰ ταῦτα προσθήκη πᾶσα. καὶ μάλιστα ἡ κατὰ τὴν διαίρεσιν αὐτοῦ τοῦ μέλλοντος ὁρίζεσθαι πράγματος γιγνομένη. τὸ γὰρ κοινὸν ἁπάντων σφυγμῶν προσήκει δηλοῦσθαι κατὰ τὸν ὅρον. ὅπερ ἐστὶ καθ' ὃ σφυγμοὶ νοοῦνταί τε, καὶ λέγονται. οὐ καθὸ τοιοίδε τινὲς σφυγμοί. ὡς ἐάν γέ τινος ἐφάψηται διαφορᾶς ὁ κατὰ τὸν ὅρον λόγος ὑποκάτω τοῦ προκειμένου πράγματος οὔσης, ἀφορμὴν παρέξει τοῖς ἐγκαλεῖν βουλομένοις ὡς κακῶς τῶν ἄλλων παραλελειμμένων. ὡς γὰρ ὁ Ζήνων προσέθηκεν, ἐάν τε ἐν τοῖς ἀνίσοις χρόνοις συντελῆται τὴν κατὰ χρόνον ἔν γε τοῖς σφυγμοῖς διαφορὰν ἐνδεικνύμενος, οὕτως ἄλλος προσθήσει τὴν κατὰ μέγεθος, εἶτ' ἄλλος τὴν κατὰ σφοδρότητα, καὶ ἄλλος μέν γε τὴν κατὰ πυκνότητα. τὴν κατ' ἀριθμὸν δ' ἄλλος. ἁπάσας δὲ τὰς ὑπολοίπους διαφοράς, ἄλλος εἷς καὶ ἄλλος. ταῦτα μὲν οὖν εἰκότως ἐμέμψαντο τῷ τοῦ ζήνωνος ὅρῳ πλεονάσαντι περιττῶς. εἶχον δ' ἐγκαλεῖν εἴπερ ἐβούλοντο, καὶ τὰ παρὰ τοῖς διαλεκτικοῖς εἰρημένα περὶ τῶν πλεοναζόντων ὅρων κατὰ τὴν λέξιν. ἐπιδεικνύουσι γὰρ οἱ ἄνδρες ἐκεῖνοι. τὴν τῆς λέξεως αὔξησιν, μείωσιν ἐργαζομένην τοῦ κατὰ τὸν ὁρισμὸν πράγματος, καθάπερ εἰ καὶ τὸν ἄνθρωπόν τις εἴποι πεζὸν ζῶον γεωμετροῦν. οἱ γὰρ μὴ γεωμετροῦντες οὐκ ἔσονται ἄνθρωποι. προδήλου γεγονυίας ἤδη καὶ τῆς κατὰ τοῦτον τὸν ὅρον ἀντιλογίας αὐτῶν, ἐς ὅσον ἐκτείνεσθαι δύναται, μεταβῶμεν ἀπὸ τοῦ ζήνωνος ἐπὶ τὸν χρύσερμον, ὁριζόμενον οὑτωσὶ τὸν σφυγμόν. σφυγμός ἐστι διάστασις καὶ συστολὴ ἀρτηριῶν, πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου, καὶ πάλιν εἰς ἑαυτὸν συντρέχοντος ὑπὸ ψυχικῆς καὶ ζωτικῆς δυνάμεως παρεπομένη διαπαντὸς ἐν τῷ ὑγιαίνειν καὶ νοσεῖν πρὸς αἴσθησιν ληπτή. φαίνεται δὲ καὶ οὗτος ὁ ἀνὴρ παραλελοιπὼς μὲν τὴν καρδίαν, τὴν δὲ τοῦ χιτῶνος τῶν ἀρτηριῶν κατὰ κύκλον ἐπανίστασίν τε καὶ συνίζησιν ὀνομάζων σφυγμόν, ἅπερ οἱ πλεῖστοι συστολήν τε καὶ διαστολὴν ἐκάλεσαν. οἱ δ' ἄλλοι τινὲς ἐκ τῶν ἡροφιλείων παρέλιπον, αὐτὸς προσέθηκεν. ὑπὸ γὰρ ψυχικῆς, καὶ ζωτικῆς δυνάμεως ἔφη γίνεσθαι τὴν εἰρημένην τῶν ἀρτηριῶν κίνησιν. ἐκ περιττοῦ μὲν προστιθέμενον, εἰς τὸν ἐννοηματικὸν ὀνομαζόμενον ὅρον ἀποδείξειεν τις. οὐκ ἐκ περιττοῦ δὲ τοῖς ἀξιοῦσι τοὺς ὅρους οὐσιώδεις λέγεσθαι. τῶν γὰρ ἐν γενέσει πραγμάτων ὁ περιέχων τὸ ποιοῦν αἴτιον ὅρος ἄριστος εἶναι δοκεῖ. τῶν τοιούτων δ' ἐστὶ καὶ ὁ σφυγμὸς ἐν τῷ γίνεσθαι τὴν ὕπαρξιν ἔχων. ὥσπερ καὶ πᾶσα κίνησις. εἰ δ' ἀληθῶς ἢ οὐκ ἀληθῶς ὑπὸ ψυχικῆς καὶ ζωτικῆς δυνάμεως ἔφη γίνεσθαι τὸν σφυγμόν, οὐ μικρὰ ζήτησις ἐκδέχεται τὸν λόγον. ἣν ὁ πάντ' ἐν πᾶσι λέγειν βουλόμενος ἐπεισάξαι τῇ προκειμένῃ σκέψει. καίτοι γε οὐκ οὔσης ἀνάγκης, οἱ γὰρ τὴν οὐσίαν τοῦ πράγματος ἑρμηνεύοντες ὅροι κατὰ τὰ δόγματα τῶν ὁριζομένων γίγνονται, πρὸς ἃ τὴν ἀντιλογίαν ἰδίᾳ χρὴ ποιεῖσθαι. δι' αὐτὰ δὲ τὸν ὅρον ὡς οὐ νομίμως γεγονότα μὴ συκοφαντεῖν. ἐν δὲ τῇ περὶ τῆς ἀληθείας σκέψει τῶν εἰρημένων, ἐν αὐτῇ περιέχεται καὶ ἡ τοιαύτη πᾶσα μακρολογία. εἰ δ' ἐγκαλεῖν τις ἐθέλοι διότι συνέχεεν εἰς ἕνα λόγον ἀμφοτέρους τοὺς ὅρους, τόν τε ἐννοηματικὸν ὀνομαζόμενον, ὃς κατὰ τὴν κοινὴν ἔννοιαν προέρχεται, καὶ τὸν οὐσιώδη καλούμενον, ὃς τὴν οὐσίαν ἑρμηνεύει τοῦ πράγματος, ὀρθῶς τ' ἐγκαλέσει, καὶ πολλοὺς τῶν εἰρημένων ὅρων ὑπευθύνους ἀποδείξει τῇ τοιαύτῃ κατηγορίᾳ. τὴν ἀρχὴν μὲν γὰρ ἁπάσης τῆς διδασκαλίας ἀπό τινος κατὰ τὴν ἔννοιαν ὁρισμοῦ γίγνεσθαι προσήκει. ἀπ' ἐκείνης δ' ἤτοι κατὰ βραχὺ μεταβαίνειν ἐπὶ τοὺς οὐσιώδεις, ἢ ἀθρόως ἐπὶ τὸν ἀκριβῶς ἑρμηνεύοντα τὴν οὐσίαν τοῦ προκειμένου πράγματος. εἴρηται δέ μοι κατὰ τὴν ἀρχὴν εὐθέως τοῦ δὲ τοῦ πράγματος, ὁποῖον μέν τινα τὸν ἀκριβῶς τὸν ἐννοηματικὸν ὅρον προσήκει εἶναι. ὁποίους δὲ τοὺς ἀποχωροῦντας αὐτοῦ κατὰ βραχύ. διόπερ οὐδὲ χρονίζειν ἔτι κατὰ τὸν λόγον ἀναγκαῖον. ὥσπερ γὰρ τοῦτο λέλεκται πρόσθεν οὕτω καὶ περὶ τῶν ἄλλων ὅλων. ὅσα κατὰ τὸν ὅρον ὁ χρύσερμος εἶπεν. ὅ γε μὴν ἐρυθραῖος ἡρακλείδης ἐνδοξότατος τῶν μαθητῶν αὐτοῦ γενόμενος οὐ πάνυ φαίνεται προσιέμενος τὸν τοῦ διδασκάλου ὅρον. συστολὴ γὰρ ἔφη καὶ διαστολὴ ἀρτηριῶν καὶ καρδίας εἶναι τὸν σφυγμὸν ὑπὸ ζωτικῆς, καὶ ψυχικῆς δυνάμεως πλεῖστον δυναμένης ἀποτελούμενον. τὸ μὲν οὖν διαστολὴν ἀντὶ διαστάσεως εἰπεῖν, ἐν φωνῇ μόνον, οὐκ ἐν πράγματι διαφωνοῦντός ἐστι. τὸ δ' ἀφελεῖν ἐξ αὐτοῦ τὸ παρεπομένην διαπαντὸς ἐν τῷ ὑγιαίνειν, καὶ νοσεῖν ἐν πράγματι. παραλείπει γὰρ ὡς περιττὸν τοῦτο. καθάπερ γε καὶ τὸ πρὸς αἴσθησιν ληπτὴν εἶναι τὴν εἰρημένην κίνησιν τῶν ἀρτηριῶν καὶ τῆς καρδίας. καίτοι τὸ μὲν διαπαντὸς ἐν τῷ ὑγιαίνειν φαίνεσθαι τὸν σφυγμόν, κατὰ τὴν ἔννοιάν ἐστιν αὐτοῦ μάλιστα. καὶ μέντοι

καὶ κατὰ

καὶ ἐπὶ τὰς πλείστας τῶν νόσων. οὐ γὰρ δὴ πάσας γε. τὸ δὲ πρὸς αἴσθησιν λεπτὴν εἶναι τὴν κίνησιν αὐτῶν, εἴρηταί
μοι πρόσθεν, ὁποίου χρήζει δὴ ὁρισμοῦ ἐπὶ τὸν λόγον ἐκεῖνον, ἐν ᾧ περὶ τῶν ὑπὸ ἀλεξάνδρου τε καὶ δημοσθένους
εἰρημένων ὅρων ἐσκοπούμην. ἀφεῖλε δὲ καὶ τὸ πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου, καὶ πάλιν εἰς ἑαυ-
τὸν συντρέχοντος, ὡς ἐν τῷ διαστέλλεσθαί τε καὶ συστέλλεσθαι δεδηλωμένων αὐτῷ. τῶν δ' ὑπὸ ζωτικῆς καὶ ψυχι-
κῆς δυνάμεως γίνεσθαι τὸν σφυγμὸν ὑπὸ χρυσέρμου λελεγμένῳ προσέθηκεν ὁ ἡρακλείδης, τὸ πλειστοδυνα-
μοῦντος. ἐπειδὴ καὶ ἄλλα τινὰ συντελεῖν εἰς τὴν τῶν σφυγμῶν γένεσιν, ὁ ἡρόφιλος αὐτός φησι, καὶ πάν-
τες οἱ ἀπ' αὐτοῦ, κληθέντες ἡροφίλειοι. μέμφεταί γε μὴν ὁ ἀριστόξενος καὶ τούτῳ, καὶ ἀπολλωνίῳ τῷ μυῒ προ-
σθέντι ἐν αὐτῷ τὸ πλειστοδυναμοῦντος. οὐ γὰρ ἐχρῆν φησὶ τὸ κοινὸν ἁπάσης ἐνεργείας φυσικῆς ὡς ἴδιον τῶν σφυγ-
μῶν λέγεσθαι. μέμφεται δὲ καὶ τῷ πάντῃ τὸν χιτῶνα τῆς ἀρτηρίας κυκλοτερῶς διΐστασθαι λελέχθαι ἐπὶ τὸν ὅ-
ρον, οὐ μόνον ὥσπερ ὁ ἡρακλείδης ὡς περιττῷ, ἀλλ' ὅτι καὶ τῶν παρὰ φύσιν σφυγμῶν ἔνιοι τὴν διαστολὴν τῆς ἀρ-
τηρίας οὐκ ὁμαλὴν ποιοῦνται καθάπερ ἑαυτῶν μέρος. ἐπηρεάσει δὲ τῷ δὲ περιδήλως, εἰ γὰρ αὐτὸς ὁ χρύσερ-
μος ἐνεγεγράφει τῷ ὅρῳ τὸ ὁμαλῶς, εἰκότως ἂν ἤλεγχεν αὐτὸν ἀναμιμνήσκων τῶν ἀνώμαλον ἐχόντων τὴν κί-
νησιν σφυγμῶν, ἐπεὶ δ' ἁπλῶς ἔφη πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου καὶ πάλιν εἰς ἑαυτὸν συντρέχον-
τος, οὐκέτ' εὐλόγως ἐγκαλεῖν. βέλτιον δ' ἦν εἴπερ ὅλως ἐφιλοτιμεῖτο διελέγχειν τὸν χρύσερμον, ἐπὶ τοὺς τοιού-
τους τῷ λόγῳ ἀφικέσθαι σφυγμοὺς, ἐν οἷς ὁ χιτὼν τῆς ἀρτηρίας ὥσπερ χορδὴ φαίνεται τεταμένος. ἄνω μὲν
καὶ κάτω τῆς ἀρτηρίας ὅλης φερομένης, οὐ μὴν διαστελλομένης γε. τοῦτο γὰρ εἴρηταί τισιν εἰς μὲν ἐξήγησιν τοῦ
τοιούτου σφυγμοῦ χρησίμως. οὐ μὴν εἰς ἀκριβῆ γε ἐπιστήμην. ἀδύνατον γοῦν ἐστι, μὴ δ' ὅλως διαστέλλεσθαί τε καὶ
συστέλλεσθαι τὰς ἀρτηρίας ἔτι ζῶντος τοῦ ζώου. δυνατὸν δὲ μὴ φαίνεσθαι ταύτας παχύσας ἐναργῶς διά τε τὴν
βραχύτητα τῆς διαστολῆς, καὶ τὸ ἐζευγμένον κλόνον ταῖς τοιαύταις ἀρτηρίαις. ἐλέγομεν γ' οὖν τηνικαῦτα
ταῖς τεταμέναις χορδαῖς ὁμοίως φαίνεσθαι τὰς ἀρτηρίας, ἐνιούσας, τε καὶ κατιούσας, οὐ μὴν διαστελλομένας
τε, καὶ συστελλομένας σαφῶς. ὥστε οὐ δὲ κατὰ τοῦτον τὸν λόγον εἰκότως ἄν τις ἐγκαλέσειεν ὡς ψευσαμένῳ
τῷ χρυσέρμῳ περὶ τῆς κατὰ κύκλον διαστολῆς τε, καὶ συστολῆς τῶν ἀρτηριῶν. οὐ περὶ τῆς αἰσθητῆς κινήσεως
αὐτῶν ποιησαμένῳ τὸν ὅρον, ἀλλὰ περὶ τῆς οὐσιώδους ὑπάρξεως τοῦ σφυγμοῦ. ἀλλὰ γὰρ εἴ τις βούλοιτο καὶ
περὶ τούτων, ἢ αὐτὸς γνῶναι τὰ λελεγμένα τοῖς ἀνδράσιν, ἢ μεταστρέφειν εἰς ὑπομνήματα, τοῦ μὲν Ἐρυ-
θραίου τὸ ἕβδομον ἀναγνώτω περὶ τῆς ἡροφίλου αἱρέσεως. τοῦ ἀπολλωνίου δὲ τὸ εἰκοστὸν ἔνατον. ἀριστοξένου δὲ τὸ
τρισκαιδέκατον. ἐμοὶ δ' ἀρκεῖ καθ' ἑκάστην ἀντιλογίαν ἐνδεικνυμένῳ τὰ κεφάλαια τῶν λόγων ἐφ' ἕτερόν τι
μετέρχεσθαι. καὶ γὰρ καὶ οὕτω πράττοντι τὸ βιβλίον ὅλον ὑποπληρώσεται. κάλλιον δὲ ἴσως μηδὲ τοῦτο παραλι-
πεῖν ὡς αὐτὸς ὁ ἀριστόξενος ἀλεξάνδρου τοῦ φιλαλήθους γεγονὼς μαθητὴς ἐλέγξας τε τοὺς τῶν πρεσβυτέ-
ρων ἑαυτοῦ πάντας ὅρους, ὡς οἴεται. κάλλιστα δ' ἔχειν εἰπὼν τόνδε. σφυγμός ἐστι καρδίας, καὶ ἀρτηριῶν
ἐνέργεια ἴδιος. ὅμως αὐτὸς ἐφεξῆς οὐδὲν κωλύει φησὶ καὶ τοιοῦτον ὅρον ποιήσασθαι. σφυγμός ἐστι καρδίας
καὶ ἀρτηριῶν ἐνέργεια ἴδιος, μικτὴ, ἀπροαίρετος. ἐπαινεῖ δὲ τοῦτον τὸν ὅρον ὡς σαφέστερον τοῦ πρόσθεν. ἐκεί-
νῳ μαρτυρῶν τὴν σύντομον τε καὶ τεχνικόν. οἴεται γὰρ ἀπροαιρέτους κινήσεις πολλάκις ὅμως ἔχειν τι
καὶ προαιρετικόν. ὅπερ εὔδηλον ἐστὶ ὁπόσας ἀντιλογίας ἔχει καὶ ζητήσεις. ἀλλὰ τὰ μὲν τοιαῦτα πρὸς τοὺς
ἀμφοτέρων αἱρέσεων ἀμφισβητεῖται καὶ τούτῳ καὶ τοῖς ἄλλοις ἡροφιλείοις. αὐτῷ δὲ τῷ ἡροφίλῳ φαίνοιτ' ἂν
διαφερόμενος ἐν τῷ τὸν σφυγμὸν ἐνέργειαν μὲν εἶναι νομίζειν ἀρτηριῶν, καὶ καρδίας. μέρη δ' αὐτῷ τί-
θεσθαι τὴν διαστολήν τε καὶ συστολήν. καί ποτε καὶ τὰς ἠρεμίας. ἐὰν γὰρ ἀκριβῶς ἕπηται τοῖς ἡροφίλου δό-
γμασιν, ἡ συστολὴ μὲν ἐνέργεια τῶν ἀρτηριῶν ἐστὶ, ἡ διαστολὴ δὲ εἰς τὴν οἰκείαν τε καὶ φυσικὴν κατάστασιν τοῦ
σώματος αὐτῶν ἐπάνοδος. βούλεται γὰρ ὥσπερ ἐπὶ τῶν τεθνεώτων ὁρᾶται διεστὼς ὁ χιτὼν τῆς ἀρτηρίας, οὕτω
κἀπὶ τῶν ζώντων, ὅσον ἐφ' ἑαυτῷ διεστάναι. τοὐναντίον ἀσκληπιάδου δοξάζοντος, οἴεται γὰρ ὁ ἀνὴρ οὗτος καὶ
τὴν καρδίαν καὶ τὰς ἀρτηρίας διαστέλλεσθαι πληρουμένας πνεύματος εἰσρέοντος αὐταῖς διὰ λεπτομέρειαν,
ἣν ἐντὸς ἑαυτῶν ἔχουσιν, ὅταν δὲ πληρωθείσαις εἰς τὸ ἔμπροσθεν οὐκέτι ῥέῃ, καταπίπτειν αὖθις εἰς τὴν ἔμ-
προσθεν ὑπάρχουσαν ἑαυταῖς κατάστασιν φύσει τὸν χιτῶνα, καὶ τοῦτ' ἐν παρέργῳ τὸ ζήτημα παρεισέρ-
χεσθαι δύναται τοῖς ἀπέραντα μακρολογεῖν ἐθέλουσι σοφισταῖς. ὥσπερ δ' ἐνταῦθα πολλῶν λόγων ὑπόθεσιν
ἑαυτῷ τις πορίσασθαι δύναται κατὰ τὸν αὐτὸν τρόπον, ἐὰν τὰ γεγραμμένα φιλωνίδῃ τῷ σικελῷ κατὰ τῆς
ἰατρικῆς ὀκτωκαιδέκατον προχειρίζηταί τις. ὧν ἐπὶ βραχὺ καὶ ἀγαθῖνος ἐμνημόνευσε μεμφόμενος αὐτῷ.
πρῶτον μὲν ὡς μοχθηρῶς ἀφωρισμένῳ τὸν σφυγμὸν ἐν ἀρτηρίαις μόναις γίγνεσθαι. δεύτερον δὲ ὡς καὶ τὸν
βακχεῖον οὐκ ὀρθῶς ἑαυτῷ συνεπισπωμένῳ τὴν πολυλογίαν αὐξήσει δηλονότι κἂν τοῦ τοιούτου τρόπου τῶν
λόγων. πρῶτον μὲν γὰρ δεήσει τὰ ἐπιχειρήματα λέγειν οἷς πεισθεὶς ὁ φιλωνίδης ἀρτηριῶν μόνων τὸν σφυγμὸν
οἴεται εἶναι. δεύτερον δ' ἐξελέγχειν αὐτά. καὶ τρίτον ἐπιδεικνύναι τὸν βακχεῖον ἐν μὲν ταῖς ἀκροάσεσιν
οὕτως εἰρηκέναι τὸν σφυγμὸν εἶναι συστολὴν καὶ διαστολὴν ἐν ἁπάσαις ταῖς ἀρτηρίαις γινομένην. ἐν δὲ τῇ τῶν
σφυγμῶν συντομῇ ἐπὶ λέξιν οὕτως γράφει. σφυγμὸς δὲ καὶ πᾶν πάθος σφυγμοῦ μόνος ἐν ἀρτηρίαις, καὶ
καρδίᾳ συμβαίνει. εἶτα μετ' ὀλίγα πάλιν. ὁ μὲν γὰρ σφυγμὸς καθάπερ ἐρρέθη διάστασίς τε ἐστι τῆς ἀρτηρίας, ἢ
τοῦ ἀρτηριώδους μέρους τῆς καρδίας. καὶ πρὸ πάντων ἐκείνου μέμνησο τοῦ μέχρι δεῦρο μόνων σχεδὸν τῶν ἡρο-
φιλείων ἡμᾶς τοὺς ὅρους προκεχειρίσθαι. πολλῶν καὶ τοῖς ἐρασιστρατείοις, καὶ τοῖς ἀσκληπιαδείοις γεγονό-
των. ὥσπερ γε καὶ τοῖς ἀπ' ἀθηναίου τοῦ ἀτταλέως, οὓς πνευματικοὺς ὀνομάζουσιν, εἰ καὶ μὴ τοσούτων ὅρων,
ὅμως γοῦν οὐ τοσούτων εἰρημένων, ὁ γοῦν ἀγαθῖνος οὐ σμικρὸν ἔμπροσθεν ἐμνημόνευσα, καίτοι τοῖς δὴ ὅρων
ἐπιχειρήσεσιν ἅπαντα διδάσκειν ἐπιτιμῶν, ὅμως καὶ αὐτὸς ἐν ἔγραψεν ὅλον βιβλίον τὸ πρῶτον περὶ σφυγ-
μῶν, ἐξηγούμενος ἕκαστον τῶν ἐν τοῖς σφυγμοῖς ὀνομάτων ἅμα τοῖς οἰκείοις ὅροις τῶν πραγμάτων. ἀλλὰ περὶ
μὲν τῶν ἄλλων σιωπῶ, πρόκειται γὰρ ἐν τῷ δὲ τῷ γράμματι τὰ ἐπὶ τὸν σφυγμὸν ὅρου μόνου μνημονεύειν. ἐπιδέδει-

χόντος μου πολλάκις οὐδὲν ἧττον τοῦ δὲ καθ' ἑκάστην διαφορὰν σφυγμῶν, ὁμοίως δύο αὐτὰ πληρωθῆναι βιβλία. ἐάν τε τις ὁρίζηται τὸν μέγαν σφυγμὸν ἅμα τοῖς παρακειμένοις αὐτῷ ἐπὶ τὸ πηλίκον τῆς διαστολῆς, ἐάν τε τὸν μικρὸν ἅμα τοῖς ἐπὶ θάτερα παρακειμένοις. οὕτω δὲ καὶ τοὺς ἄλλους ἅπαντας, καὶ νῦν, ὡς ἔφην, ὑπὲρ αὐτοῦ μόνου τοῦ σφυγμοῦ πρόκειται διελθεῖν ἐπὶ κεφαλαίων. ὁ τοίνυν Ἀγαθῖνος ἐπιτιμῶν τοῖς πάντως ὁρίζεσθαι τὸν σφυγμὸν βουλομένοις ὅμως καὶ αὐτὸς εἰς μακρολογίαν οὐκ ἀναγκαίαν ἐνέπεσε μετὰ τοῦ καὶ σφάλλεσθαι φανερῶς. οἰόμενος ὁμωνύμως λέγεσθαι τὸν σφυγμόν. ἄλλως μὲν γάρ φησι τὴν τῆς καρδίας καὶ τῶν ἀρτηριῶν κίνησιν λέγομεν σφυγμόν. ἄλλως δὲ τὴν ἐν ταῖς φλεγμοναῖς γινομένην αὐτῷ τῷ κάμνοντι συναίσθησιν. καὶ γὰρ καὶ ταύτην ὁμωνύμως φησὶ καλεῖσθαι σφυγμόν. ἀλλὰ καὶ τὴν διαστολὴν τῆς ἀρτηρίας μόνην, καὶ ταύτην ὀνομάζεσθαι σφυγμόν. ἐπειδὰν ἤτοι μέγαν, ἢ σφοδρὸν εἶναι λέγομεν αὐτόν, οὐ γινομένων τούτων ἐν τῇ συστολῇ. καὶ μέντοι καὶ τὸν Ἀθήναιόν φησιν οἴεσθαι καὶ τὴν συστολὴν ὀνομάζεσθαι σφυγμόν, ᾧ σημαινομένῳ κελεύει τὸν Ἡρόδοτον ἐπιστῆναι. τούτῳ ἀνδρὶ προσεφώνησε τὸ βιβλίον ἑαυτοῦ μὲν ὄντι μαθητῇ, πάνυ δ' ἐπιφανῶς ἰατρεύσαντι ἐπὶ τῇ τῶν ῥωμαίων πόλει. ἀλλὰ τὸν σύνθετον ἐκ πλειόνων διαστολῶν ὀνομάζεσθαί φησι σφυγμόν. ἔτι τε πρὸς τούτοις οὐ μόνον τὸν ἐκ τῶν διαστολῶν, ἀλλὰ καὶ τῶν συστολῶν. ὅρα δέ φησι μή τις καὶ ὁ ἐπὶ τὸν καρπὸν ἴδιος ὀνομάζεται σφυγμός. δοκεῖ δέ μοί φησι σφυγμὸς λέγεσθαι καὶ ἡ τῶν ἐν προχείρῳ τεταγμένων ἀρτηριῶν κίνησις. ἐπὶ τούτοις ἅπασι καὶ τοῦ ἐπὶ τὰ ὑποχόνδρια γινομένου παλμοῦ μνημονεύει ζητῶν, εἰ καὶ τοῦτον ἐκεῖνον δεῖν ὀνομάζειν σφυγμόν. γίνεσθαι μὲν γὰρ αὐτὸν ἐνίοις τῶν παρακοπτικῶν. εἶναι δὲ τῆς ἐπὶ τὴν ῥάχιν ἀρτηρίας τῆς παχείας. καὶ εἴπερ καὶ ταύτην φησὶ τὴν κίνησιν ὀνομάζομεν οὐ σφυγμόν, ἀλλὰ παλμόν, ἔσται τις ἀρτηριῶν κίνησις, οὐ σφυγμός, ἀλλὰ παλμὸς ὀνομαζομένη. καθ' ὃ σημαινόμενον καὶ ὁ κλεινὸς Αἰγίμιος ἐπέγραψε τὸ περὶ παλμῶν βιβλίον, ἐν ᾧ περὶ τῶν σφυγμῶν διαλέγεται. παρεισέρχεται δὲ κἀνταῦθα πάλιν λόγος ἕτερος τοῖς μακρολογεῖν ἐθέλουσι. σκοπουμένοις εἰ γνήσιον ὄντως ἐστὶν Αἰγιμίου τὸ βιβλίον. ἢ εἰ πρῶτος Αἰγίμιος ἁπάντων ἔγραψε περὶ σφυγμῶν βιβλίον. ἢ καί τις ἄλλος πρὸ αὐτοῦ. τοῦτο μὲν ὄντως περιττόν. οὐ περιττὸν δ' ἴσως δόξειεν εἶναι, καίτοι περιττὸν ὂν ἐπισκέψασθαι πότερον ἕν τι σημαίνεται πρὸς τοῦ σφυγμοῦ ὀνόματος, ἢ πολλά. φαίνεται γὰρ καὶ ὁ Ἀρχιγένης ἠκολουθηκέναι ἐπὶ τούτου τῷ διδασκάλῳ, πολλαχῶς οἰόμενος λέγεσθαι τὸν σφυγμόν. ἵνα δέ τις ἐπικρίνῃ τοὺς τοιούτους λόγους ἀναγκαῖον ἐστὶν αὐτὸν ἐν τῇ τῶν γενῶν εἰς εἴδη τε καὶ διαφορὰς τομῇ γεγυμνάσθαι. μόνως γὰρ οὕτως τά τε ἴδια καὶ τὰ κοινὰ σημαινόμενα τῶν ὀνομάτων ἑκάστου δυνατὸν εὑρίσκειν ἐστί. πολλαχόθι γοῦν μοι δοκοῦσι καὶ οἱ δόξαν ἐπὶ διαλεκτικῇ μεγάλην ἔχοντες ἡμαρτηκέναι, τοσαῦτα σημαινόμενα τῶν γενικῶν προσηγοριῶν οἰηθέντες ὑπάρχειν, ὅσαιπερ εἰσὶν αἱ καθ' ἕκαστον αὐτῶν οἰκεῖαι διαφοραί. λέγω δὲ εἴ τις οἰηθείη τὸ ζῶον φωνὴν οὐχ ἕν τι σημαίνειν. ἄλλως μὲν γὰρ λέγεσθαι ζῶον ἀθάνατον, ἄλλως δὲ θνητόν. καὶ λογικὸν μὲν ἄλλως, ἄλογον δὲ ἄλλως. καὶ δὴ καὶ ἄγριόν τε καὶ ἥμερον. ἀγελαῖόν τε καὶ μονότροπον. ὅσα τ' ἄλλα τοιαῦτα. ὥς τε ἐάν τις ἐπεξίοι τῷ λόγῳ τῷδε, καὶ γυμνάζῃ τὸν μαθητὴν ἐπὶ παραδειγμάτων πλειόνων ἑτοίμως ὁρᾶν, τό τε κοινὸν ἐν πολλοῖς καὶ τὸ καθ' ἕκαστον ἴδιον οὐκ ὀλίγον τρίψεσθαι χρόνον. καὶ μὴν οὐχ οἷόν τε χωρὶς ταύτης διδασκαλίας ἐπιδεῖξαι τὴν τοῦ σφυγμοῦ προσηγορίαν, ἕν τι σημαίνειν ὥσπερ τὴν τοῦ ζώου, κἂν ὅτι μάλιστα ἐπὶ τὴν ἑκατέρου τομὴν εὑρίσκωνται διαφοραὶ πολλαί. πρόδηλον οὖν ἤδη κἀνταῦθα τὸ μῆκος τῶν λόγων, καί τινος ἑνὸς ὅλου καὶ αὐτὸ δεόμενον βιβλίου τῷ βουλομένῳ διελθεῖν. ἀφ' ὧν ὁρμηθέντες οἱ ἄνδρες οὗτοι νομίζουσι πολλαχῶς λέγεσθαι τὸν σφυγμόν. ὅτι τε τὸ παρακρουσάμενον αὐτούς ἐστί. εἴρηται μὲν οὖν μοι περὶ τούτων ἐπ' ὀλίγον, κἂν τῷ πρώτῳ τῶν ἐξηγητικῶν. ὧν εἰς τὸ περὶ σφυγμῶν Ἀρχιγένους πεποίημαι, τὸν ἀριθμὸν ὄντων ὀκτώ. καὶ νῦν δὲ ἀρκέσει καθάπερ ἐπὶ τῶν ἔμπροσθεν, ἐνδεῖξαι τὸ μῆκος τῶν ἐσομένων λόγων, ἐὰν ἅπαντά τις ἐπεξέρχηται τὰ τοιαῦτα. φαίνεται δ' οὖν καὶ ὁ Ἀγαθῖνος εἰ καὶ ὅτι μάλιστα τοῖς ἐπιχειροῦσιν ὁρίζεσθαι τὸν σφυγμὸν ἐπιτιμᾷ διὰ αὐτῶν τῶν λεγομένων ὑπ' αὐτοῦ, ποτὲ μὲν ἐνέργειαν ἀρτηριῶν τε καὶ καρδίας αὐτὸν εἶναι νομίζων, ποτὲ δὲ κίνησιν ἀρτηριῶν τε καὶ καρδίας. ἔστι δ' ὅτε καὶ διαστολὴν καὶ συστολὴν ἀρτηριῶν καὶ καρδίας. οὐ μαχομένων ἀλλήλοις τῶν εἰρημένων λόγων. ἀλλὰ τοῦ μὲν ὡς ἂν εἴποι τις ὄντος γενικωτέρου, τῶν δ' εἰδικωτέρων.

ὁ γοῦν Ἀρχιγένης ἐξεργάσασθαι δοκῶν τὸν περὶ τῶν σφυγμῶν λόγον ἐν ἑνὶ μεγάλῳ βιβλίῳ ἐπὶ τὴν ἀρχὴν αὐτοῦ τόνδε τὸν ὅρον ἔγραψε. σφυγμός ἐστι καρδίας καὶ ἀρτηριῶν διαστολὴ φυσική τε καὶ συστολὴ φυσική. προσθεὶς δηλονότι τὸ φυσικὴ διὰ τοῦ Ἀγαθίνου λόγῳ, δι' ἣν ἔμπροσθεν αἰτίαν εἶπον. ἐκ διαστολῆς τε καὶ συστολῆς ὡς μορίων συγκεῖσθαι νομίζουσι τὸν σφυγμὸν οἱ πνευματικοὶ πάντες, ἐνεργείας ἡγούμενοι τὰς κινήσεις ἀμφοτέρας εἶναι τῶν περὶ τὸν Ἡρόφιλόν τε καὶ Ἀσκληπιάδην οὐχ ὁμοίως δοκούντων φέρεσθαι. τὸν μὲν οὖν Ἡρόφιλον περὶ διαστολῆς τε καὶ συστολῆς ἀρτηριῶν ζήτησιν ἰδίαν ἔχειν μακροτέραν. ἐνίοτε μὲν γάρ τοι σοι δόξει, καὶ τὴν διαστολήν, καὶ τὴν συστολὴν ἐνέργειαν νομίζειν. ὡς τὸ πολὺ δέ, μόνην τὴν συστολήν. ὁ δὲ Ἀσκληπιάδης οὐδεμίαν ὑπολαμβάνων δύναμιν ὑφ' ἧς ἥ τε καρδία καὶ αἱ ἀρτηρίαι κινοῦνται. ποικίλος ἐστὶν ἐπὶ τὴν λέξιν, ὥσπερ ἐν ταῖς ἄλλαις ἁπάσαις ἐνεργείαις φυσικαῖς τε καὶ ψυχικαῖς. οὕτω κἀν τῇδε ποτὲ μὲν γάρ σοι δόξει μὴ ἐνεργείας αὐτὰς τίθεσθαι. καίτοι γε ἀκόλουθον αὐτοῦ ταῖς ὑποθέσεσι τοῦτ' ἐστί. ἐνίοτε δὲ ἐνεργείας αὐτὰς τίθεσθαι, ὡς καταχρώμενος, ἢ τῷ ἔθει συγχωρῶν. οἱ δ' ἀπὸ Ἀθηναίου πάντες ὡς εἴρηται τὰς κινήσεις ἀμφοτέρας ἐνεργείας ἡγοῦνται, τήν τε ἐν τῷ διαστέλλεσθαι γιγνομένην, καὶ τὴν ἐν τῷ συστέλλεσθαι. οὕτω τε καὶ ἡμεῖς ὑπολαμβάνομεν οὐκ ἐπὶ μόνων τῶν ἀρτηριῶν τε τῆς καρδίας, ἀλλὰ καὶ τοῦ θώρακος. καὶ γὰρ καὶ τοῦτον ἐνεργεῖν ἐδείξαμεν ἔν τε τῷ διαστέλλεσθαι, καὶ συστέλλεσθαι. διορίζομαι δὲ ὡς ἐπὶ τοῦ θώρακος, οὕτω κἀπὶ τῶν ἀρτηριῶν τὰς ἐπὶ τὴν μέσην κατάστασιν ἀπὸ τῶν ἄκρων φοράς, ἐνίοτε μὲν ἐνεργείας χωρίς, ἐνίοτε δὲ σὺν ταύτῃ γινομένας. ἐὰν οὖν καὶ τὰς περὶ τούτων ἀποδείξεις ἐπεισάγῃ τις τῷ λόγῳ καὶ κατὰ τοῦτ' αὐτὸν εἰς μῆκος προάξει μακρότερον. ἐὰν δὲ καὶ τῆς τῶν ὀνομάτων ὑπαλλαγῆς ἣν ἐποιήσατο ἐπὶ τοὺς ὅρους, ἃς αὖθις προσέθεσαν αἰτίας εὐλόγους διέρχεταί τις, εἶθ' ἑξῆς ὅπως ἐμέμψαντο τινὲς αὐτάς, εἶθ' ὅπως ἀπελογήσαντο περὶ τῶν εἰπόντων. ἕτεροι

τῶν. ἕτεροι μῆκος ἔτι κἀκ τοῦ δὲ περὶ τὸν ὅλον λόγῳ προστεθήσεται. μάγνος οὖν οὐ διαστολὴν καὶ συστολὴν, ἀλ-
λὰ καὶ διόγκωσιν, καὶ συνίζησιν αἰσθητὴν καρδίας καὶ τῶν ὁμοιοπαθούντων αὐτῇ τὸν σφυγμὸν εἶναι φησίν.
αὐτὸς δ᾽ ὁ τῆς αἱρέσεως αὐτῶν ἡγεμὼν ἀθήναιος τὸν σφυγμὸν ὁρίζεται κίνησιν κατὰ διαστολὴν φυσικὴν, καὶ ἀπροαί-
ρετον τοῦ ἐν ἀρτηρίαις καὶ καρδίᾳ σφυγμοῦ, ἐξ ἑαυτοῦ τε καὶ εἰς ἑαυτὸ κινουμένου καὶ συγκινοῦντος καρδίαν καὶ ἀρ-
τηρίας. οὐ μόνον οὐσιώδη τὸν ὁρισμὸν ποιησάμενος, ἀλλὰ καὶ μετὰ τοῦ τῆς αἰτίας λογισμοῦ. καθ᾽ ὃν τρόπον ὁρίζεσθαι κε-
λεύουσιν οἱ διαλεκτικοὶ τὰ ἐν τῷ γίγνεσθαι τὸ εἶναι κτώμενα. καὶ συντομώτερον δὲ τὸν σφυγμὸν εἶναι φησι διάπνοιαν
φανερὰν πρὸς αἴσθησιν λεπτὴν ὅλον ἐφ᾽ ἑαυτῇ καρδίας καὶ ἀρτηριῶν. ἔστι δὲ καὶ ὅδε ὁ ὅρος ἀθηναίου. σφυγμός ἐστι
διαστολὴ καὶ συστολὴ κατὰ διάπνοιαν καρδίας καὶ ἀρτηριῶν. ἔξεστι δὲ τῷ βουλομένῳ καὶ τὸν περὶ τούτων τῶν ὅρων λό-
γον ἐκτείνειν ἐπὶ πλεῖστον, ἀνασκευάζοντί τε, καὶ κατασκευάζοντι. καὶ ἄλλοι δέ τινες τῶν ἀπὸ τῆς πνευματικῆς
10 αἱρέσεως ὅρους ἐποιήσαντο τοῦ σφυγμοῦ, βραχὺ παραλλάττοντες ὡς εἶπον. ὧν οὐ χρὴ μνημονεύειν αὐτῶν, ἐπειγο-
μένους καθ᾽ ὅσον οἷόν τε διαδραμεῖν τὸν λόγον. ὡσαύτως δὲ καὶ τοῖς ἀπὸ ἀσκληπιάδου διαφωνία ἐγένετο πρὸς
ἀλλήλους. τοῖς μὲν προστιθεῖσί τι τοῖς εἰρημένοις ὑπὸ ἀσκληπιάδου. τοῖς δ᾽ ἀφαιροῦσι. τοῖς δ᾽ ὑπαλλάττουσιν. αὐτὸς
μὲν γὰρ ὁ ἀσκληπιάδης τὸν μὲν σφυγμὸν εἶναι συστολὴν, καὶ διαστολὴν καρδίας τε καὶ ἀρτηριῶν. οὐκ ὀλίγοι δὲ τῶν ἀπ᾽
αὐτοῦ γινομένων προστεθείκασιν. οὐχ ἅπαξ, ἀλλὰ πολλάκις γιγνομένην κατὰ μίαν εἰσπνοήν. ὡς εἶναι τὸν ὅλον ὅρον τοιόν-
δε, σφυγμός ἐστι διαστολὴ, καὶ συστολὴ καρδίας τε καὶ ἀρτηριῶν, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις γινομένη κατὰ μίαν εἰσ-
πνοήν. ἐξηπατήθησαν δὲ ὑπὸ τοῦ γεγραφότος κατὰ τὸ περὶ τῆς ἀναπνοῆς καὶ τῶν σφυγμῶν αὐτοῦ βιβλίου. οὕτως τὴν
λέξιν ἐπιλαθόμενοι τῶν λόγων. ἐν ᾧ τοῦτ᾽ ἔγραψε. πρόκειται γὰρ αὐτῷ δεῖξαι. τίνα μὲν ὁμοίως γίγνεται κατά τε
τὰς ἀναπνοὰς, καὶ τοὺς σφυγμούς. τίνα δὲ ἑτέρως τε καὶ διαφερόντως. ἐν ᾧ τοίνυν ἐπιδείκνυσι τὰ διαφέροντα, καὶ
ἡ προκειμένη γέγραπται λέξις, εἰς διορισμὸν ἀναπνοῆς τε καὶ σφυγμῶν, ἔχουσα προκείμενον, οὐχ ἅπαξ, ἀλλὰ καὶ
20 πολλάκις γιγνομένη κατὰ μίαν εἰσπνοήν. ἔνιοι δὲ καὶ αὐτοῖς τούτοις προσέθεσαν τινὰ, καθάπερ καὶ μοσχίων ὁ
διορθωτὴς ἐπικληθείς. ἐπειδὴ τινὰ τῶν ὑπὸ ἀσκληπιάδου λελεγμένων ἐπηνώρθωτο μὴ πάντη πειθόμενος τἀν-
δρί. καθάπερ οὐδ᾽ ὁ ἀλέξανδρος ἡροφίλῳ. τίς οὖν ὁ τοῦ μοσχίωνος ὅρος εἰπόντες, ἀπαλλαγῶμεν ἤδη καὶ τοῦ ἀσκλη-
πιάδου. σφυγμός ἐστι κίνησις ἴδιος καρδίας, καὶ ἀρτηριῶν, καὶ φλεβῶν, καὶ ἐγκεφάλου, καὶ τῆς περὶ αὐτῶν μήνιγγος,
κατὰ μίαν εἰσπνοήν, οὐχ ἅπαξ δὲ, ἀλλὰ πολλάκις γιγνομένη. καί σοι καὶ τῆς ἐξηγήσεως ἑκάστου τῶν κατὰ τὸν ὅρον εἰρη-
μένων οὐκ οἶμαι δεῖσθαι, εἰ μέμνησαι τῶν ἄχρι δεῦρο λεγομένων. ἄξιον οὖν ἴσως ἐστὶ καὶ τῶν περὶ τὸν ἐρασίστρα-
τον μνημονεῦσαι διενεχθέντων. καὶ αὐτῶν πρὸς ἀλλήλους οὐχ ἧττον, ἢ οἱ ἄλλοι. τὸ γάρ σοι θαυμάσιον, τοῦτ᾽ ἐστὶν, ὅτι
μὴ μόνον ἀπὸ διαφερουσῶν αἱρέσεων, ἀλλὰ καὶ αὐτῶν τῶν ἐφ᾽ ἑνὸς ἀνδρὸς ἀναγομένων, οἱ πλεῖστοι διεφώνησαν.
ἔνιοι δὲ καὶ δύο καὶ τρεῖς ὅρους ἔγραψαν. ὥσπερ ἀπολλώνιος ὁ ἀπὸ στράτωνος, ἕνα μὲν τόνδε. σφυγμός ἐστι κατὰ τὴν
ἐπιπλήρωσιν τοῦ ἀπὸ καρδίας πνεύματος ἐκπεμπομένου περὶ τὴν ἀρτηρίαν διάστασις γινομένη. δεύτερον δὲ τόν-
30 δε. σφυγμός ἐστιν ἡ ἀπὸ τῆς ἀρτηρίας διάστασις, καὶ συστολὴ ἀπὸ τῆς ἐν αὐταῖς παρακειμένης, καὶ ἀνάλογον δυνάμεως.
τρίτον δ᾽ ἄλλον. σφυγμός ἐστι διάστασις, καθ᾽ ἣν πρὸς τὴν ἀφὴν ἡ ἀρτηρία προσπίπτει. οὗτος μὲν οὖν ὁ τρίτος ὅρος
ὅτι τὴν αὐτὴν ἔχει δύναμιν, τῷ κατὰ τὸν ἐν ἐπισκέψει σφυγμὸν ὁρισμῷ πρόσθεν ὑπὸ τῶν περὶ τὸν ἀλέξανδρον εἰρη-
μένων, παντὶ δῆλον. ὁ δὲ πρῶτος ὑπὸ αὐτοῦ γεγραμμένος οὐσιώδης ἐστὶ κατὰ τὴν ἐρασιστράτου δόξαν συγκείμενος.
ἐπειδὴ καὶ τὰς ἀρτηρίας, ὡς καὶ πρόσθεν ἔφην, οἴεται διαστέλλεσθαι κατὰ τὴν ἐπιπλήρωσιν τοῦ παρὰ τῆς καρδίας
ἐπιπεμπομένου πνεύματος. ἀξιοῦσι γὰρ ἡμᾶς ἐπιπλήρωσιν, οὐ πλήρωσιν λέγειν. ἵνα μή τις ὑπονοήσῃ πᾶν ἐκκε-
νοῦσθαι τὸ πνεῦμα τῶν ἀρτηριῶν ἐν ταῖς συστολαῖς. ὁ δὲ δεύτερος ὅρος ἐφάπτεται καὶ τοῦ τῶν δυνάμεων λόγου, βέλ-
τιον ὑπὸ ἄλλων ἐρασιστρατείων συντεθείς. ὅσοι τὸν σφυγμὸν ἔφασαν εἶναι διαστολὴν, καὶ συστολὴν ἀρτηριῶν τε καὶ
καρδίας, ὑπὸ ζωτικῆς τε καὶ ψυχικῆς δυνάμεως ἐπιτελουμένην. αὐτὸς γὰρ ὁ ἐρασίστρατος ἐν τοῖς περὶ πυρετῶν
ἀπεφήνατο σαφῶς, οὐ μόνον ζωτικὴν δύναμιν εἶναι κατὰ τὴν καρδίαν, ἀλλὰ καὶ ψυχικήν. ἐνίοις δ᾽ αὐτῶν ἤρεσε
40 τὸν σφυγμὸν εἰπεῖν εἶναι κοινὴν ἐνέργειαν καρδίας τε καὶ ἀρτηριῶν. ἔνιοι δὲ περιεργότερον ἀντιδιαστολὴν ἀρτη-
ριῶν πρὸς καρδίαν ἔφασαν εἶναι τὸν σφυγμόν. ἐν ᾧ μὲν χρόνῳ διαστέλλεσθαι συμβαίνει τὴν καρδίαν, ἐν τούτῳ συστέλ-
λεσθαι τὰς ἀρτηρίας οἰόμενοι, καθ᾽ ὃν δ᾽ ἐκείνη συστέλλεται τὰς ἀρτηρίας διαστέλλεσθαι. ὅ γε μὴν πρῶτος τῶν
ἀπὸ τοῦ ἀπολλωνίου ῥηθέντων, τὴν διαστολὴν μόνην σημαίνει σφυγμὸν εἶναι. ἣν αὐτὸς ὠνόμασε διάστασιν, ὧδέ πως
γράψας. σφυγμός ἐστι κατὰ τὴν ἐπιπλήρωσιν τοῦ ἀπὸ καρδίας πνεύματος ἐκπεμπομένου περὶ τὴν ἀρτηρίαν διά-
στασις γιγνομένη. ὅ γε μὴν ἐρασίστρατος ἔοικεν οὐ τὴν κατὰ φύσιν ἐν ἀρτηρίαις κίνησιν ὀνομάζων σφυγμὸν, ἀλλὰ
μόνην τὴν ἐπὶ φλεγμονῇ. δῆλον δὲ ἐκ τῶν ῥήσεων αὐτοῦ τῶν τῷ πρώτῳ περὶ πυρετῶν. ἐν αἷς κίνησιν μὲν ἀρτη-
ριῶν ὀνομάζει τὸν κατὰ φύσιν ὑφ᾽ ἡμῶν καλούμενον σφυγμόν. ὃν δ᾽ αὐτὸς ἐπὶ φλεγμονῇ τὴν μεταβολὴν ἔχειν
φησὶ σφυγμὸν φαίνεται καλῶν. ὡς οὐ κατὰ πάσης κινήσεως ἀρτηριῶν ἐπιφέρειν ἡγούμενος χρῆναι τὴν τοῦ
σφυγμοῦ προσηγορίαν. ἀλλ᾽ ἐπ᾽ ἐκείνης μόνης, ἥ τις ἐξίσταται τοῦ κατὰ φύσιν ὑπὸ τῆς κατὰ τὴν φλεγμονὴν
50 διαθέσεως. εὔδηλον οὖν ἤδη, τὸ πλῆθος τῶν ἐσομένων λόγων, ἐάν τις ἐπεξέρχηται ταῦτα πάντα, καὶ μνημο-
νεύῃ τῶν τε πρὸς ἀλλήλους εἰρημένων τοῖς ἐρασιστρατείοις, καὶ τῶν πρὸς τοὺς ἄλλους. ὅσα τε πάλιν ἐκεῖνοι πρὸς αὐτοὺς
ἀντεῖπον. ὁπότ᾽ οὖν τὰ κεφάλαια μόνον αὐτὰ λέγων ἐγὼ νῦν ἐπλήρωσα ὅλον βιβλίον, οὐδ᾽ οὖν οὐδὲ πάντας ἐπελ-
θὼν τοὺς εἰρημένους ὅρους, ἆρ᾽ οὐ πρόδηλον ὡς τῷ παντὶ ἐπεξέρχεσθαι βουλομένῳ καὶ τρία καὶ τέτταρα πληρωθή-
σεται βιβλία; καὶ τοίνυν νόμιζε πεπληρῶσθαι τὰ τοιαῦτα. καὶ τι μειράκιον εἰς φλύαρον ἐμπεσὸν σοφιστὴν ἅ-
παντα λέγειν ἐσπουδακότα. καὶ μηδὲν ὅλως παραλιπεῖν τῶν εἰρημένων τοῖς ἰατροῖς ἐν πολλῷ χρόνῳ φιλοπόνως
ἐκμαθεῖν αὐτά. κἄπειτα συντυχεῖν ἐξ ἀρρώστου τινὸς ἑτέρῳ μειρακίῳ παρ᾽ ἑτέρου διδασκάλου. πῶς τε χρὴ διαγι-
γνώσκειν ἕκαστον τῶν σφυγμῶν. καὶ τί δηλοῦν πεφύκασι μεμαθηκότι. πότερον σοι δοκεῖ χρήσιμόν τι πρὸς τὴν τέχνην
εἰς πρόγνωσιν ἐπὶ τῶν νοσούντων εὑρίσκειν, ἢ πότερον εὐδοκιμήσειν παρ᾽ αὐτῷ τε τῷ κάμνοντι, καὶ τοῖς παροῦσι. τὸ μὲν
γὰρ ἕτερον μειράκιον ὅπως ὁρίζεσθαι χρὴ τὸν σφυγμὸν διέξεισι λόγους μακρούς. εἴτε δ᾽ ἀκινδύνως εἴτε κινδυνωδῶς ὁ

κάμνων ἔχει, καὶ πότερον εἰς χρόνου μῆκος αὐτῷ προελθεῖν, ἢ διὰ ταχέων κριθῆναι συμβήσεται παντάπασιν ἀγνοήσει. τὸ δ' ἕτερον μειράκιον ἀκριβῶς μὲν ταῦτα προγνώσεταί τε καὶ προερεῖ τοῖς πᾶσιν, ἀγνοήσει δὲ πῶς ὁρίζεσθαι χρὴ τὸν σφυγμόν. ἐκ παραβολῆς δ' οὕτως ἐναργῶς διαγνωσθήσεται ποῖον μέν τι τὸ ἄχρηστόν ἐστι τῆς διδασκαλίας εἶδος, ὁποῖον δὲ τὸ χρήσιμον, ἀλλ' ὡς ἡ παροιμία φησὶ γλυκὺς πόλεμος ἀπείρῳ, οὕτω μοι δοκοῦσι καὶ οἱ πάνθ' ὁρίζεσθαι προαιρούμενοι μηδόλως ἐγνωκέναι τὰς γεγονυίας ζητήσεις τοῖς διαλεκτικοῖς περὶ τοῦ πῶς ὁρίζεσθαι προσήκει. τὸ μὲν γὰρ οὖν ἑρμηνεύειν λόγῳ τὸ δηλούμενον ἐκ τοῦ ῥηθέντος ὀνόματος ὅταν γε μὴ πάνυ τι τοῦ προκειμένου πράγματος ἐναργῆ πάντες ἔχωσι τὴν νόησιν, οὐ μόνον χρήσιμον, ἀλλὰ καὶ ἀναγκαῖόν ἐστι. ἀναγκαῖον δὲ κἀπειδὰν ἤτοι γ' ἑκὼν τις αὐτὰ καθ' ὑπὸ πανουργίας, ἢ ἄκων ὑπὸ ἠλιθιότητος ἐναλλάττῃ τὰ σημαινόμενα πρὸς τῶν ὀνομάτων ἐπιφέρων ἑτέρων πραγμάτων ἢ πάντες ἄνθρωποι. μηθ' ἑτέρου δὲ τούτων ὄντος, οὐδὲ λόγῳ χρὴ δηλοῦσθαι τοῦ πράγματος τῆς ἰδίας προσηγορίας αὐτάρκως αὐτὸ σημαινούσης. τὸ δὲ ὁρίζεσθαι πάντως ἐθέλειν ἅπαν πρᾶγμα σοφιστικῆς διδασκαλίας ἔργον ἐστί. καὶ ταῦτα ἔξεστι λέγειν ἐμοί, μάλιστα πεῖραν ἱκανὴν ἐν αὐτοσχεδίοις προβλήμασι πεῖραν δεδωκότι. περὶ παντὸς γὰρ ἀεὶ τοῦ προβληθέντος εἰς ὁρισμόν, ἔδειξα δι' ὅλης ἡμέρας δύνασθαι τινὰ λέγειν. οὐκοῦν ἀπορίᾳ λόγων εἰς ὅρους ἐπιτηδείων ἐγκαλῶ τοῖς εὐποροῦσιν. ἀλλ' ἐπιδείξας ἐμαυτὸν ἁπάντων εὐπορώτατον εἰς τὴν τοιαύτην ἀδολεσχίαν φλύαρον ἡγησάμην εἶναι τῶν μανθανόντων ἕνεκα τῆς ὠφελείας τὰς τέχνας, ἐπιδεῖξαι τὴν ἀλήθειαν. οὐχ ὥσπερ οἱ πολλοὶ τῶν ὁτιοῦν ἐπισταμένων ἐπιχειροῦσιν, αὐτὸ σεμνύνειν. ἀλλ' ἐκεῖνοι καὶ σφᾶς αὐτοὺς ἡγούμενοι φανεῖσθαι σεμνοτέρους, ἀλλ' ἀεὶ τῶν ἐγνωσμένων ἑαυτῷ διακρίνειν ἀπὸ τῶν ἀχρήστων τὰ χρήσιμα. πλὴν γὰρ ὀλίγων ἅπαντες οἱ διδάσκοντες τὰς τέχνας ἐν τοῖς ἀχρήστοις πλεονάζουσιν, ὧν ἓν καὶ τοῦτ' ἐστὶ ὃ νῦν ἐν ἅπαντι τῷ διηνυσμένῳ λόγῳ προεχειρισάμην, ἐπινενεμημένου τοῦ τῆς φιλοριστίας νοσήματος, οὐ μόνον τοὺς ἰατροὺς καὶ φιλοσόφους, ἀλλὰ καὶ ῥήτορας, καὶ μουσικούς, καὶ γραμματικούς. ἅπασιν οὖν ἐὰν σωφρονῶσιν ἐφ' ἑνὸς πράγματος τοῦ περὶ τὸν σφυγμὸν ὠφέλιμον ἡγοῦμαι πεποιῆσθαι βοήθειαν. ἐὰν δ' αὖθις ποτὲ δόξῃ περὶ πολλὴν σχολὴν ἅπαντα τὰ περὶ τῶν ὅρων ἀμφισβητούμενα διελθεῖν τε καὶ κρῖναι, καὶ τοῦτ' ἀόκνως πράξω. τινὲς μὲν γὰρ αὐτοὺς ἀχρήστους εἶναι φασί, τινὲς δὲ χρησίμους μὲν εἶναι λέγουσιν, ὅπως δ' ὁρίζεσθαι χρὴ διαφέρονται. καὶ νῦν δ' ἤδη δύο βιβλία περὶ αὐτῶν ἐστί μοι γεγραμμένα, τῶν εἰς τὰ περὶ ἀποδείξεως Ἀριστοτέλους ὑπομνημάτων, τοῦ δευτέρου τὸ τρίτον καὶ τέταρτον. ἐπιγράφεται δ' ὑπὸ τῶν πλείστων ἀναλυτικῶν δεύτερον ἡ τοιαύτη πραγματεία, καθάπερ ἡ περὶ συλλογισμοῦ προτέρων ἀναλυτικῶν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΟΣΕΩΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ α'.

Τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας εἰς τέτταρα μέρη νενεμημένης, τὸ μὲν πρῶτον, ἐξαριθμεῖται τὰς κατ' εἴδη τε καὶ γένη διαφορὰς αὐτῶν, τὸ δὲ δεύτερον αὐτὸ δὴ τοῦθ' ὃ νῦν ἐστιν ἡμῖν προκείμενον, τὸ περὶ τῆς διαγνώσεως αὐτῶν. τὸ δὲ τρίτον τὰς αἰτίας τῆς γενέσεως ἑκάστου διδάσκει. τὸ δὲ τέταρτόν τε καὶ ἔσχατον οἷόν τι δηλοῦν πέφυκεν ἰατροῖς μὲν ἁπάντων τὸ τιμιώτατον. ὥς τε καὶ τἄλλα διὰ τοῦτο μεταχειρίζονται, φιλοσόφοις δ', ὅσοι τὴν περὶ φύσεως ἐπιστήμην ἐζήτησαν, οὐ παντελῶς ἄτιμον, ὅθεν εἰκότως τὸ μὲν πρῶτον ἁπάντων μόριον κοινὸν ἐξ ἴσου ἰατροῖς τε καὶ φιλοσόφοις. τὸ δὲ δεύτερόν τε καὶ τέταρτον, ἰατρῶν μᾶλλον ἴδιον. ὥσπερ τὸ τρίτον φιλοσόφων. ταῦτ' ἄρα τὸ μὲν τρίτον ἱκανῶς ἀμφοτέροις ἐσπούδασται. τοῖς μὲν αὐτὸ δὴ τὸ τιμιώτατον ὑπάρχον. τοῖς δ' ἐγγύτατα τοῦ τιμιωτάτου. τὸ δὲ τέταρτον ἧττον μὲν τούτου, μόνων ἰατρῶν ὑπὲρ αὐτοῦ γραψάντων, μᾶλλον δὲ τῶν ἄλλων. τὸ δὲ πρῶτον, ὑπὸ μὲν τῶν σοφιστῶν, ἀμετρότερον. ἰατροῖς δὲ ὅσοις τῶν ἔργων τῆς τέχνης πλείων φροντίς, ἢ τοῦ ληρεῖν ἐν διατριβαῖς αὐτάρκως ἐσπούδασται. λοιπὸν δὲ τὸ δεύτερον οὔτε φιλοσόφων τις ἔγραψεν. οὐ γὰρ δὴ τῷ τρίτῳ γε, ἀλλὰ τῷ τετάρτῳ χρήσιμον ἦν, οὔτε ἰατρῶν, πλὴν ἐπὶ βραχὺ παντελῶς οἱ περὶ τὸν Ἀρχιγένην. δεῖται δὲ λόγου μέν, ἥκιστα συχνοῦ τοῦτο, χρόνου δ' ὁμοῦ τῶν ἄλλων ἁπάντων μακροτέρου. πρὸς γὰρ τὸ χρῆναι τὴν ἁφὴν ἀσκῆσαι, ὥς τε τῆς παρὰ μικρὸν ἀκριβῶς αἰσθάνεσθαι διαφορᾶς, οὐδ' ἐφ' ἡμῖν ἐστὶν ἡ ἄσκησις αὐτῆς. τὴν μὲν γὰρ τῶν ἀρμένων τε καὶ ὀργάνων χρῆσιν, ἔτι τε τὰς ἀνατομάς, καὶ τὴν περὶ τοὺς ἐπιδέσμους τε καὶ βρόχους ἐμπειρίαν, ὅσαι τ' ἄλλαι χειρουργίαι τοῖς ἰατροῖς ἀναγκαῖαι, τάχ' ἄν τις καὶ χωρὶς τῶν ἔργων ἐκμάθοι. καὶ τά γε πολλὰ οὕτω δρῶμεν, μιμήματα τῶν ἀληθινῶν μηχανώμενοι, δι' ὧν εἰς μὲν τὸ τέλειον ἐλθεῖν, οὐχ οἷόν τε πλεῖστον δ' οὖν προελθεῖν καὶ πλησίον τοῦ τέλους ἀφικέσθαι δυνατόν. ἐν δὲ τῇ περὶ τοὺς σφυγμοὺς τριβῇ, τί ἄν τις ἐξεύροι μίμημα, δορκαδίζοντος ἢ σκωληκίζοντος ἢ τινὸς τῶν ἄλλων τῶν σπανίως μὲν γινομένων, μέγα δέ τι δηλούντων; οὐδὲν οὐδ' ἐγγύς. ἀλλὰ λόγῳ μὲν αὐτῶν τὴν φύσιν ἑρμηνεῦσαι, δυνατώτερος ἕτερος ἑτέρου. ὥς τε δ' ἀσκῆσαι γνωρίζειν ἐντυχόντα, ῥᾷστα καὶ ἀκριβέστατα, χωρὶς τῆς ἐπ' αὐτῶν τῶν ἔργων τριβῆς, οὐδὲν ἂν εὕροι τοιοῦτο μηχάνημα τοῖς ἰατροῖς ἐπινενοημένον, οἷα περὶ τὰς ἄλλας χειρουργίας. διά τε οὖν τοῦτο, χρόνου δεῖται μακροῦ. καὶ προσέτι διὰ τὴν τῆς φύσεως τῶν πραγμάτων ἀκρίβειαν. εἰ γὰρ οἱ πλαστικοὶ μὲν καὶ γραφικοὶ τὴν ὄψιν, οἰνοτροπικοὶ δὲ καὶ μαγειρικοὶ τὴν γεῦσιν, τὴν ὄσφρησιν δὲ οἱ περὶ τὴν τῶν μύρων σκευασίαν, καὶ τὴν ἀκοὴν οἱ μουσικοί, καίτοι τὴν ὕλην τῆς τέχνης ἄφθονον ἔχοντες, οὐχ ἡμέραις οὐδὲ μησὶν ἀλλ' ἔτεσι συχνοῖς εἰς ἀκρίβειαν ἀσκοῦσι, πόσου χρὴ δοκεῖν δεῖσθαι χρόνου τὸν ἰατρὸν εἰς τὴν τῆς ἁφῆς ἄσκησιν; ὃν καθ' ἕνα χρόνον πάμπολλα χρὴ γνωρίσαι, παθήματα τῆς ἀρτηρίας, οὐχ ὡς οἱ πλαστικοὶ τὰ σχήματα μόνον, ἢ οἱ γραφικοὶ τὰς χρόας, ἀλλὰ πρῶτον μὲν τὸ ποσὸν τῆς διαστάσεως. εἶτα τήν τε ποιότητα καὶ τὸν χρόνον τῆς κινήσεως. κἄπειθ'

οὕτω τῆς κινήσεως αὐτὰ δυνάμεθα. εἶτ' αὐτὸν τὸν χιτῶνα τῆς ἀρτηρίας ὅπως ἔχει. ταῦτα γὰρ πάνθ' ἅμα γνωρίζειν
χρὴ διαστελλομένης αὐτῆς. καὶ μὲν δὴ καὶ τὴν τῆς θερμασίας ποιότητα, σαφέστερον ἡ διὰ τῆς κινήσεως προσβολὴ τῆς
ἀρτηρίας γνωρίζει. καὶ εἰ ὁμαλῶς ἢ ἀνωμάλως ἅπαντα τὰ εἰρημένα γίγνεται, καθ' ἕν τι μόριον, καὶ κατὰ διαφέ-
ροντα. ταῦτα μὲν ἐν τῷ διαστέλλεσθαι χρὴ γνωρίσαι. παραπλήσια δ' αὐτοῖς ἐν τῷ συστέλλεσθαι, καὶ τὸν μεταξὺ χρό-
νον ἀμφοῖν ὃν ἠρεμεῖ διττὸν ὄντα. τὸν μὲν, ἐπὶ τῷ διαστῆναι πρὸ τοῦ συστέλλεσθαι, τὸν δ' ἐπὶ τῷ συσταλῆναι πρὸ τοῦ δια-
στέλλεσθαι, καὶ τὸν τούτων πρὸς ἀλλήλους λόγον, τοῦ τε τῆς κινήσεως χρόνου, πρὸς τὸν τῆς κινήσεως, καὶ τοῦ τῆς ἡσυ-
χίας, πρὸς τὸν τῆς ἡσυχίας, καὶ συναμφοτέρου πρὸς συναμφότερον, ἃ σύμπαντα πρὸς τοῦ δευτέρου πλήττειν
τὴν ἀρτηρίαν, ἐγνῶσθαι χρὴ τοῦ πρώτου συμπληρωμένου σφυγμοῦ. τοῦ γὰρ δὴ δευτέρου ὑπαρξαμένου, αὐτά τε
πρῶτα χρὴ σκοπεῖσθαι περὶ ὧν ἐπὶ τοῦ πρώτου δεδήλωται, καὶ παραβάλλειν τὰ κατ' ἐκεῖνον ῥηθέντα τοῖς
10 ἐπὶ τούτων, ἵν' ὁμαλότητα καὶ ἀνωμαλίαν αὐτῶν γνωρίσῃς, καὶ ἁπάσας τὰς διαφοράς. εἶτα καὶ τρεῖς καὶ τέτταρας,
καὶ πέντε καὶ πολλοὺς ἐφεξῆς ἰδεῖν σφυγμούς. ἵνα καὶ τάξις τε καὶ ἀταξία γνωρισθῇ. ταῦτ' οὖν ἅπαντα πόσης οἴει
δεῖσθαι τριβῆς; ἐμοὶ μὲν γὰρ εἰ χρὴ μὴ ψευσάμενον εἰπεῖν ἅπαντος τοῦ ἀνθρωπίνου βίου δεῖσθαι δοκεῖ πρός γε τὴν τε-
λεωτάτην ἐπιστήμην. εἰς δὲ τοσαύτην ὅση καὶ ἡμῖν ἤδη ἐστὶν, οὐχ ἓξ μηνῶν μόνον ἐν οἷς οἱ σοφώτατοι μεθοδικοὶ
τὴν ἰατρικὴν ὅλην ἐπαγγέλλονται διδάξειν, ἀλλ' ἐτῶν πάνυ πολλῶν. ἐγὼ μὲν γε ἀφ' οὗ τὸ πρῶτον εἰς ἰατροὺς
φοιτᾶν ἠρξάμην, παῖς ἔτι ὢν, θαυμαστήν τινα ἐπιθυμίαν ἔχων τῆς περὶ τοὺς σφυγμοὺς τέχνης. εἶτ' ἐξ ἐκείνου μέχρι
καὶ εἰς τόδε μελετῶν, οὐδέπω μοι δοκῶ πᾶσαν αὐτὴν ἐκμεμαθηκέναι. πολλοῖς μὲν γὰρ ἔτεσιν, οὐδ' εἰ σαφῶς ἐστι τῇ ἁ-
φῇ διαγνῶναι τὴν συστολὴν τῆς ἀρτηρίας ἠπιστάμην. ἀλλ' ἦν δ' ἄπορόν μοι πότερον οἱ περὶ τὸν Ἀρχιγένην καὶ Ἡρόφι-
λον, οἱ περὶ τὸν Ἀγάθινον καὶ σχεδὸν ἅπαντας τοὺς ἐμπειρικοὺς ἀληθεύουσι. τοσοῦτον ἀπελιπόμην τοῦ πότερον ὅλης
αὐτῆς αἰσθάνεσθαι δυνατόν ἐστιν, ἢ μορίου τινός, καὶ πόσου τούτου, σαφές τι γινώσκειν. ἀλλὰ καὶ περὶ τῶν τῆς διαστο-
20 λῆς οὐδὲν ἧττον ἠπόρουν παραπλήσια. καίτοι ταῦτά γε τὰ πρῶτα καὶ οἷον στοιχεῖα τῆς ἐν τοῖς σφυγμοῖς τέχνης ἐστὶν,
ὧν ἀγνοουμένων, οὐδὲ τῶν ἄλλων οὐδὲν οἷόν τ' ἦν γνῶναι βεβαίως. τοσοῦτον δὲ μόνον ἠπιστάμην αἰσθήσει διαγινώ-
σκειν, ὅτι διαστέλλεται ἡ ἀρτηρία καὶ οὐκ ἀνέρχεται καὶ κατέρχεται καθάπερ οἱ ἐμπειρικοὶ καλούμενοι λέγουσιν
ἐνδέχεσθαι, καὶ τοῦτ' ἀληθὲς εἶναι μὴ γὰρ διαστολῆς, ἀλλὰ πληγῆς μόνον αἰσθάνεσθαι τὴν ἁφήν. εἴτε δ' ἀνιόντος
τινός. εἴτε διαστελλομένου, μηκέτι φαίνεται, μόνον δὲ σχεδόν τοῦτ' ἡμῖν ἐν πολλοῖς ἔτεσιν ἐγνώσθη. κἀπὶ τῶν ἐφε-
ξῆς ἐν ἡ τοῦ σφοδροῦ σφυγμοῦ διάγνωσις, τῶν δ' ἄλλων οὐδὲν οὐδέ πω γνώριμον ἦν, ἀλλ' ἐν βαθείᾳ τινὶ κυλινδου-
μένοις ἀγνοίᾳ συχνῶν ἐτῶν, οὐ μὴν ἀφισταμένοις τε τῆς ζητήσεως, ἀλλ' ἀεὶ καὶ μᾶλλον λιπαρῶς ἐγκειμένοις ἐφάνη τέ-
λος ποτὲ συστολὴ σαφὴς τῇ ἁφῇ. τοὐντεῦθεν ἀσκοῦσιν ἐπὶ πλέον, οὐ φάντασμα ἔτι ἀμυδρὸν, ἀλλ' ἐναργὴς ἡ διά-
γνωσις αὐτῆς, οὐδὲν ἧττον τῆς διαστολῆς ἐγίνετο. ἐπὶ ταύτῃ δ' εἰπεῖν οὐκ ἔχω τὸ τάχος τῆς τῶν ἄλλων διαγνώσεως.
ἐπέρρει γὰρ ἅπαντα. καὶ σαφῶς λοιπὸν ἐφαίνετο, καθάπερ ἐν σκότῳ λαμπροῦ φωτὸς ἀθρόως ἐκλάμψαντος.
30 εἴ τις δὲ τοῦτον τὸν λόγον, ὡς ἀληθῆ λόγον καὶ μὴ μῦθον δέξαιτο, κερδανεῖ μεγάλα, μὴ προαπογινώσκων τῆς τῶν
ζητουμένων εὑρέσεως, μηδὲ προαφιστάμενος κἂν ὅτι μάλιστα παμπόλλῳ χρόνῳ ζητῶν ἔτ' ἀγνοεῖ. λεληθυῖα γὰρ
τις ἐν αὐτῷ τῷ ζητεῖν ἕξις ὑποτρέφεται ἐπὶ βραχὺ προϊοῦσα, πρὸ μὲν τοῦ τελειωθῆναι, μηδ' εἰ ἄρχεταί πω
δήλη τυγχάνουσα, τελειωθεῖσα δ' ἀθρόως, ἐκφαίνεται πάντων τῶν προπονηθέντων τὸν καρπὸν ἀποδιδοῦσα διὰ
ταχέων, καὶ εἰ ἀγροικότερον φάναι, σὺν αὐτοῖς τοῖς τόκοις. προσυγγνωμένης δὲ τοῖς μετὰ ἡμᾶς ἀνθρώποις,
οὐ σμικρὰς μοίρας τῆς ἐμῆς εἰς ταῦτα προθυμίας ἄχρι τοῦ καὶ λόγῳ πάντα τὰ τῆς αἰσθήσεως ἐπιχειρεῖν ἑρμη-
νεῦσαι πάθη, ἐν ἐλάττονι ἂν χρόνῳ καὶ ἀταλαιπωρότερον ἡ περὶ τοὺς σφυγμοὺς ἀσκοῖτο τέχνη. ἐγὼ γὰρ τάτ' ἄλ-
λα καὶ τὰς ὁδοὺς πειράσομαι, ἐνδεῖξαι, δι' ὧν ἄν τις μάλιστα τοῦ σκοποῦ τυγχάνοι. μόνον εἴη τῆς ἀπλήστου περὶ
πλοῦτόν τε καὶ δόξαν σπουδῆς τῆς νῦν κατεχούσης χαλάσαι τοὺς ἀνθρώπους. καὶ οὐδέν οὐ δὲ τῆς δὲ τῆς πρα-
γματείας πλέον ἔς ἂν ἀρκεῖ τῶν σπουδαζόντων ἀλήθειαν. ἀρκέσει δὲ μέχρις ἂν ἡδονὴ μὲν κρατεῖ καὶ βα-
40 σιλεύει. τὸ καλὸν δ', ἀπεσκιμμένον τε καὶ ἄτιμον ᾖ. οὐ γὰρ τρυφόντων ὅ δε ὁ λόγος, ἀλλ' ἱκανῶς συντεταμένων
τε καὶ προθύμων δεῖται. τοιοῦτοι δ' εἰσὶ παντελῶς ὀλίγοι τῶν νῦν. ἀλλὰ κατὰ τὸν Ἡράκλειτον, εἷς, ἐμοὶ μύ-
ριοι. καὶ ἥδιον ἂν τοὺς λόγους πρὸς τοῦτον τὸν ἕνα ποιησαίμην, ἢ πρὸς τοὺς μυρίους τοὺς ἑνὸς, ἢ οὐδενὸς ἀξίους. οὐ
γὰρ δὴ πλήθει τὸ ἀληθὲς, ἀλλὰ φρονήσει κρίνεται. λέγωμεν οὖν ἤδη πρὸς τοῦτον τὸν ἕνα τὸν τῆς ἀληθείας
ἐραστὴν, ὅστις ποτ' ἂν ἢ νῦν ᾖ τοιοῦτος, ἢ αὖθις γενήσεται. πρῶτον μὲν ὡς οὐ δ' ἀδύνατόν ἐστι λόγῳ πολλὰ τῶν
τῆς αἰσθήσεως ἑρμηνεῦσαι παθῶν. ἔπειτα δ' ὅτι κἂν ἀδύνατον ᾖ, οὐ χρὴ τούτου γ' ἕνεκα τῆς ἡμετέρας σπου-
δῆς καταγινώσκειν. εἰ γὰρ καὶ μὴ κατὰ πᾶν ἀκριβῶς. ἀλλ' ἐγγυτέρω τε τοῦ μηδόλως ἀφίκοιτ' ἄν τις διὰ τοῦ λό-
γου πρὸς τὴν ἐπίγνωσιν αὐτῶν. τίς γοῦν ἀκριβῶς τὴν ἰδέαν ἑκάστου τῶν ἀνθρώπων διδάξαι λόγῳ δύναται;
οὐ δ' εἰς δήπουθεν, ἀλλ' ὅμως καὶ τοὺς ἀποδιδράσκοντας οἰκέτας κηρύττουσιν ὁ σύμβολα κατὰ τὰ τῆς ἰδέας
γνωρίσματα. καί τινι καὶ τοῦτο μόνον ἤρκεσεν ἀκοῦσαι. γυρὸς ἐν ὤμοισι μελάγχροος οὐλοκάρηνος, κἀγὼ μηδέ-
50 ποτε τοῦ γλυκέος φαλερίνου, πρὶν εἰς τὴν ῥώμην ἀφικέσθαι γευόμενος, ἡνίκα πρῶτον ἐνέτυχον οὐκ ἠγνόησα,
δι' ὧν ἀνεγνώκειν αὐτοῦ γνωρισμάτων ἐξευρών. ἡμέτερος δέ τις ἑταῖρος τὸν ἐν τῇ Λυδίᾳ γινόμενον οἶνον γλυ-
κὺν τὸν καρύϊνον ὑπὸ τῶν ἐπιχωρίων καλούμενον, ἐγνώρισε ῥαδίως, τοσοῦτον μόνον παρ' ἡμῶν προακηκοὼς
ὡς ἔοικε τῷ τε γλυκεῖ τῷ κρητικῷ καὶ τῷ σκυβελίτῃ καλουμένῳ, κατά τε τὴν χρόαν καὶ γλυκύτητα καὶ
πάχος, σύψιν δέ τινα θαυμαστὴν καὶ ἡδίστην παρ' ἐκείνους εἰσφέρεται. τοιαῦτ' οὖν καὶ ἡμεῖς ἐρεῖν ἐπαγγελλό-
μεθα τῆς τῶν σφυγμῶν διαγνώσεως σημεῖα. καὶ προσέτι πῶς ἄν τις ἐπιβάλλοι τὴν χεῖρα καθ' ἕκαστον. ἐπί τινων
μὲν γὰρ χρὴ βιαίως ἐρίδειν. ἐπί τινων δὲ μαλακῶς ἅπτεσθαι, καθάπερ ἐπὶ τοῦ σφοδροῦ, τε καὶ ἀμυδροῦ, τὸν μὲν γὰρ
οὐκ ἂν γνωρίσαις εἰ μὴ θλίβοις τὴν ἀρτηρίαν, τὸν δ' οὐχ ὅπως ἂν γνοίης θλίβων, ἀλλὰ καὶ παντάπασιν ἀκίνητος
εἶναι δόξει τοῦτο δρῶντι. καὶ μὲν δὴ καὶ ὅσοι μεγάλοι θ' ἅμα καὶ ἀμυδροὶ σφυγμοὶ καθάπερ ἐπὶ τῶν ληθαργι-
κῶν, καὶ τούτων τὸ μέγεθος, οὐκ ἂν γνοίης, εἰ μὴ πάνυ μαλακῶς ἅπτοιο, ὅτι δὲ καὶ τοὺς ὑψηλοὺς, τῶν ἀδρῶν καὶ

μεγάλων καὶ σκληρῶν καὶ σφοδρῶν ἱκανὸς ὁ λόγος διδάξαι διακρίνειν, εἰ μέγαν εἴποιμι εἶναι τοῦτον ὑπάρχειν, ὃς
ἂν εἰς τὰς τρεῖς διαστάσεις ἀνάλογον αὐξημένος ᾖ, εἰς μῆκος καὶ πλάτος καὶ βάθος. ἁδρὸν δὲ τὸν εἰς τὰς δύο μόνας
πλάτος τε καὶ βάθος. ὑψηλὸν δὲ, τὸν εἰς μίαν μόνην τὴν ἄνω. καὶ τὸν μὲν σκληρὸν βίαιον ποιεῖσθαι τὴν πληγὴν, τῇ τοῦ
χιτῶνος τῆς ἀρτηρίας ποιότητι. τὸν δὲ σφοδρὸν τῇ ῥώμῃ τοῦ ζωτικοῦ τόνου, οὐκ ἂν εἴποις, ὡς οὐκ ἀρκεῖ τινι συνε-
τῷ, καὶ μὴ ῥαθύμῳ, παντάπασιν ἀπὸ τούτων ὁρμωμένῳ, κτήσασθαί ποτε βεβαίαν ἐπιστήμην τῆς διαγνώσεως
αὐτῶν, εἰ μόνον περὶ τὰ πρῶτα καὶ οἱονεὶ στοιχεῖα τῆς τέχνης ἱκανῶς εἴη τετριμμένος, ὑπὲρ ὧν καὶ ἡμεῖς πρῶτον
εἰπόντες, οὕτως ἤδη τὰ λοιπὰ κατὰ τὴν προσήκουσαν τάξιν μετελευσόμεθα. ἔστι δὲ τέτταρα ταῦτα. τὸ μὲν
πρῶτον ἁπάντων, ὅπερ ἔφαμεν ἐρίζοντας μᾶλλον ἢ ἀληθεύοντας λέγειν τοὺς ἐμπειρικοὺς, ὡς πληγῆς μόνης
αἰσθάνονται, διαστολὴν δ᾽ ἀρτηρίας οὐ γνωρίζουσι. καὶ διὰ τοῦτο τινὲς ἐξ αὐτῶν τὸν σφυγμὸν ὁρίζονται μνή-
μην παθῶν ἁφῆς ἐκ κινήσεως ἀρτηριῶν. οὐ γὰρ ἐκ διαστολῆς ἀρτηριῶν, ἀλλ᾽ ἐκ κινήσεως ἔφασαν. δι᾽ οὐδὲν ἄλλο, ἢ ὅτι 10
τὰ τῆς διαστολῆς οὐχ ὁμολογοῦσιν αἰσθάνεσθαι. ἀλλὰ λόγῳ μὲν φασὶ ἴσως ἄν τις πιστώσαιτο αὐτὴν, οὐ μὴν τῇ γε ἁφῇ
κατάδηλον γίγνεσθαι. τοὐναντίον δ᾽ ἅπαν ἐχρῆν αὐτοὺς λέγειν, εἴπερ ὅλως φιλονεικεῖν ἑαυτοὺς ἀφήκασιν. ὡς ἡ μὲν ἁφὴ
διαστελλομένης αἰσθάνεται τῆς ἀρτηρίας, εἰ δὲ καὶ κατ᾽ ἀλήθειαν διαστέλλεται τοῦτ᾽ οὐκέτι γινώσκειν ἀκριβῶς. τὸ δ᾽
ὅτι μὴ φαίνεται φάσκειν καταψευδομένων ἐστὶ τῆς αἰσθήσεως. εἰ γοῦν τις αὐτοὺς ἔροιτο, ποῖός τις ὁ σπασμώδης σφυγ-
μὸς φαίνεται, τί ἂν ἄλλο ἔχοιεν εἰπεῖν, ἢ ὅτι τεταμένης ἐφ᾽ ἑκατέρας τῆς ἀρτηρίας, οἷον χορδῆς προσβολή
τις ὑπ᾽ αὐτῆς γίνεται τῇ ἁφῇ μηδὲ φυλαττούσης ἀκριβῶς τὴν ἀρχαίαν ἕδραν, ἀλλ᾽ ἠρέμα πως ἄνω καὶ κάτω
φερομένης. εἰ δὲ δὴ καὶ περὶ τοῦ κλονώδους ἐροίμεθα, καὶ τοῦτον ὁμολογήσουσιν, εἴπερ ὅλως παρεφύλαξαν τὰ
πάθη τῆς ἁφῆς, ἀπολιπούσης τῆς ἀρτηρίας τὴν ἰδίαν χώραν φαίνεσθαι γινόμενον, εἴπερ ὅλως παρεφύλαξαν
τὰ πάθη τῆς ἁφῆς, ἀπολιπούσης τῆς ἀρτηρίας τὴν ἰδίαν χώραν φαίνεσθαι γινόμενον. ἐναργῶς γοῦν ἄνω τε καὶ κάτω
φερομένης αὐτῆς αἰσθανόμεθα κατὰ τοὺς τοιούτους σφυγμούς. καὶ μὲν δὴ καὶ τὴν καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίαν, τὴν 20
παρὰ τὰ μὲν ὑψηλότερα φαίνεσθαι κείμενα τῆς ἀρτηρίας μόρια, τὰ δὲ ταπεινότερα εἰ μὴ ὁμολογοῖεν γνωρίζειν,
ἀμαθεῖς ἐξελεγχθήσονται τῆς ἐμπειρίας ἣν ἀεὶ πρεσβεύουσιν. οὐ γὰρ δὴ τῶν ἐκ λόγου δεικνυμένων ἐστὶ τὸ πισ-
τὸν, ἀλλὰ φαίνεται μὲν σαφῶς τῇ ἁφῇ. τὴν δὲ αἰτίαν αὐτοῦ ζητοῦντες οἱ δογματικοὶ κληθέντες ἰατροὶ δια-
φέρονται πρὸς ἀλλήλους, διενεχθέντες ἂν καὶ περὶ τοῦ φαίνεσθαι, εἰ μὴ πάνυ ἐναργὲς ἦν. ἀλλὰ καὶ κατὰ μέγε-
θος, ἀνώμαλός ποτε γίνεται σφυγμὸς ἐν τῇ μιᾷ διαστολῇ, τῶν μὲν ἐπὶ πλέον, τῶν δ᾽ ἐπ᾽ ἔλαττον αὐτοῦ μορί-
ων διισταμένων, οὐκ ἂν γινόμενος, εἰ μὴ τὸ φαίνεσθαι διαστελλομένην τὴν ἀρτηρίαν ἀληθὲς ἦν. μακρολογῶν δ᾽ ἴσως
σαφέστερον αὐτοῖς, ἢ ἐναργέστερον διαλεγόμενος συνίημι. ἀρκεῖ γὰρ εἰπεῖν ὡς μακρὸς ἢ βραχὺς καὶ ὑψηλὸς ἢ
ταπεινὸς, καὶ πλατὺς ἢ στενὸς, καὶ μέγας ἢ μικρὸς, καὶ ἁδρὸς ἢ ἰσχνὸς, καὶ δηλονότι ὅτι οἱ μέσοι αὐτῶν οὐκ ἂν ἐ-
γένοντο σφυγμοὶ, μὴ κατὰ πᾶν μόριον φαινομένης διαστέλλεσθαι τῆς ἀρτηρίας καθὸ δοξάζουσι μόνην κίνησιν γίνε-
σθαι, ἀλλὰ μόνον ἂν ἢ ὑψηλὸς ἢ ταπεινὸς ἢ ὁ μέσος αὐτῶν ἐγίγνετο, τῶν δ᾽ ἄλλων οὐδείς. οἷος οὖν ὁ σπασμώδης 30
σφυγμός ἐστι σπανίως γιγνόμενος, τοιούτους ἀξιοῦσιν ἀεὶ φαίνεσθαι πάντας, οἱ μὴ συγχωροῦντες αἰσθητὴν εἶναι τὴν
διαστολήν. οὕτως γοῦν ἤδη τοῦ σπασμώδους, ἢ οὐδόλως αἴσθησις γίγνεται τῆς διαστολῆς, ἢ περὶ βραχὺ καὶ ἀμυδρῶς οἷον
χορδῆς τῆς ἀρτηρίας ἄνω τε καὶ αὖθις κάτω φερομένης. τὸ δ᾽ ὑπὸ τοῦ Ἀρχιγένους λεγόμενον ὅτι καὶ τῶν ἰσχνῶν ἀνθρώπων,
αἱ ἐν τοῖς ἀσάρκοις μέρεσιν ἀρτηρίαι φαίνονται τῇ ὄψει διαστελλόμεναι καὶ συστελλόμεναι πρὸς μὲν αἰδήμονας ἀν-
θρώπους, ὀρθῶς λέγεται, πρὸς δὲ τοὺς ὄντας αὖθις δόξῃ, μηδὲ τῶν φαινομένων πεφροντικότας, οὐκ ὀρθῶς. ἢ γοῦν οὐδὲ τοῦτο
φαίνεσθαι φήσουσι. τῶν αὐτῶν γάρ ἐστιν ἐκείνων καὶ τοῦτ᾽ ἀρνεῖσθαι. ἢ εἰ καὶ ὁμολογήσαιεν ὄψει μὲν φαίνεσθαι δια-
στελλομένην ἐροῦσιν τὴν ἀρτηρίαν. ἁφῇ δ᾽ οὐκ ἔτι. περὶ ταύτης δ᾽ εἶναι τὴν ζήτησιν. ὅθεν ἡμεῖς οὐκ ἤδη τὴν ὄψιν τοῦ λό-
γου ἄγομεν, ἀλλ᾽ ἐξ αὐτῶν τῶν κατὰ τὴν ἁφὴν φαινομένων ὑπομιμνήσκοντες αὐτοὺς πειρώμεθα δυσωπεῖν.
εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν, οὐ τοσοῦτον ἐκείνων ἕνεκεν, ὅσον τοῦ διορθουμένην ποιεῖσθαι τοῖς εἰς τὴν θεωρίαν ταύτην
εἰσαγομένοις τὴν διάγνωσιν τῶν αἰσθητῶν παθῶν ὑπεμνήσαμεν, τῶν τε φανερὰν ἐχόντων τὴν διαστολὴν τῆς ἀρ- 40
τηρίας σφυγμῶν. καὶ τῶν ἀφανῆ καθάπερ οἱ σπασμώδεις. ἔτι δὲ καὶ ὅπως τῶν κατὰ τὸ ποσὸν τῆς διαστο-
λῆς συνισταμένων σφυγμῶν, μὴ συγκεχυμένην ποιῶνται τὴν ἐπίσκεψιν. ἀλλ᾽ ἀεὶ μεμνημένοι τῶν τριῶν δια-
στάσεων, ἔχωσι παραβάλλειν τὸν νῦν γινόμενον σφυγμὸν, τῷ πρόσθεν ὑπάρξαντι πότερον κατὰ τὰς τρεῖς
διαστάσεις, ὁ αὐτός ἐστιν, ἢ κατά τινας αὐτῶν ἢ τινά. τοὺς γὰρ ἑπτὰ καὶ εἴκοσι σφυγμοὺς, οὓς κατὰ τὸ ποσὸν
τῆς διαστολῆς συνισταμένους, ἐν τῷ πρώτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ἐπὶ διαγράμματος ἐξεθέμεθα,
κατὰ τοῦτον ἄν τις μάλιστα γνωρίζοι τὸν τρόπον, εἰ μεμνημένος εἴη τῶν διαστάσεων ἑκάστης, ἰδίᾳ τὸ ποσόν. ὅτι δ᾽
αὐτῶν τούτων τῶν εἰρημένων καὶ τῶν ἄλλων ἁπάντων τῶν ἑξῆς μελλόντων λέγεσθαι, προηγεῖσθαι χρὴ ἐκεῖνο τὸ βι-
βλίον, καὶ κατ᾽ ἀρχὰς εὐθὺς τοῦ δὲ τοῦ λόγου προειρήκαμεν, ὥσθ᾽ ὅστις πρὶν ἐκεῖνα ἐκμαθεῖν ἤδη τάδε ἥκει τοῦ παν-
τὸς ἁμαρτάνων. τοῦτο μὲν δὴ καὶ ἡμῖν παρὰ πάντα τὸν λόγον ὑπαρχέτω. νυνὶ δὲ τὸ προκείμενον περαινέσθω,
τὸ σαφῶς ὑποπίπτειν τῇ ἁφῇ τὴν διαστολὴν τῆς ἀρτηρίας οὐ πληγὴν μόνην, ὡς οἱ πρὸς ἅπαντας φιλονει- 50
κοῦντες ἐμπειρικοί φασι. ὥστε πεισθέντες ἐμοὶ, τἀναντία τῶν ἔμπροσθεν λέγοντες, εἰ μή που σοφισταί τινες, καὶ
πιθανοὶ εἶναι δοκεῖν γλίχονται, τὴν μὲν διαστολὴν τῆς ἀρτηρίας φαίνεσθαι πρός γε τὴν ἁφὴν, οὐ μὴν εἴ γε καὶ
πρὸς τὴν φύσιν οὕτως ἔχει γινώσκειν. ἢ γὰρ ἂν οἰκειότερα ταῦτ᾽ εἴη τῇ αἱρέσει τῶν ἀνδρῶν, ἤτοι πάθοντες
ἐν μὲν τοῖς ἄλλοις ἅπασι λόγοις τὸ φαίνεσθαι τιθέντες, ἀποροῦσι τὸ πρὸς τὴν φύσιν, ἐνταυθοῖ δὲ οὐκέτι ποιή-
σουσιν αὐτό. καὶ μὴν εἰ τοῦτο δράσουσιν οὐκ ἐγχωρήσει λέγειν, ἴσως μὲν διαστέλλεται ἡ ἀρτηρία, οὐ μὴν καὶ φαί-
νεται, ἀλλ᾽ ἔμπαλιν, ἴσως μὲν οὐ διαστέλλεται, φαίνεται μέντοι. τοῦτο γὰρ ἀκόλουθόν ἐστι τοῖς τὸ φαινόμενον
μόνον καὶ μὴ τὸ αὐτὸ πρὸς τὸ δοξαζόμενον αὐτῶν τιθεῖσιν. εἴ γε τὸ φαινόμενον πάντῃ σθένει, οὗπερ ἂν ἔλθῃ
κατὰ τὸν Τίμωνα. τί ποτ᾽ οὖν νῦν πλαθὲν οὐ σθένει. καὶ μὴν ἐχρῆν γε εἴπερ πάντῃ σθένει. καὶ νῦν οὖν ἀρχεῖν λα-
βόντες τὸ φαίνεσθαι διαστελλομένην τὴν ἀρτηρίαν ὅταν γὰρ μὴ σπασμωδῶς κινῆται, μετὰ τοῦτ᾽ ἂν ἴσως διαφερό-

μεθα πρὸς

μεθα πρὸς ἀλλήλους, εἰ ἡμεῖς μὲν ἐκείνοις πιστεύοιμεν, ἐκεῖνοι δ' ἀπιστοῖεν. ἴσως δὲ κἀνταῦθα πάλιν αὐτοὺς ὑπομνήσαντες τοῦ σφετέρου λόγου, εἰς ὁμολογίαν κοινὴν προκαλεσόμεθα, τί γὰρ δὴ καὶ βούλονται; μὴ ἄλλο τι ἢ φαίνεσθαι μὲν ἕκαστον τῶν φαινομένων, ἀπιστεῖσθαι δὲ μάλιστα μὲν εἰ οἷον φαίνεται καὶ ἔστιν, ἔπειτα δ' εἰ καὶ τὴν ἀρχὴν ὅλως ἐστί. λαβέτωσαν οὖν καὶ παρ' ἡμῶν ὁμολογούμενον τοῦτο. πάντα γοῦν αὐτοῖς βούλομαι χαρίζεσθαι. καὶ μήτ' εἰ ἔστιν ὅλως ἥλιος, ἢ σελήνη, ἢ γῆ, μήτ' εἰ θάλαττα, μήτ' εἰ ἐγρηγόραμεν, ἀλλ' εἰ μηδὲ φρονοῦμεν ἢ ζῶμεν. μηδ' ὅλως μηδὲν ἁπάντων, ὡς ἔχει φύσει γινώσκειν ἡμᾶς. οὐκ οἶδ' εἰ ταύτης ἔτι μείζονος ἀγροικίας ἐπιθυμοῦσιν. ἐχέτωσαν αὐτὴν παρ' ἡμῶν ἑκόντων, μὴ καμνέτωσαν τῷ λόγῳ δεικνύναι διαψιλῶς συγχείσθωσαν τῆς περὶ φύσιν ἀγνοίας. μόνον ἡμῖν ἀποκρινάσθωσαν βραχύ τι. πότερον καὶ πρὸς τὴν χρῆσιν τῶν πραγμάτων τὴν κατὰ τὸν βίον ἀπορεῖν ἀξιοῦσιν καὶ μηθ' ὅταν ἀνατέλλων ὁ ἥλιος ἐναργῶς φαίνεται πράττειν ἡμᾶς ἃ πράττομεν, ὡς ἐν ἡμέραις, ἀλλ' ἡσυχάζειν ἐπὶ τοῦ σκίμποδος κατακειμένους, ἀποροῦντας εἴτε νύξ ἐστιν ἔτι, εἴθ' ἡμέρα. μηδ' ὅταν ἐν πλοίῳ καὶ πελάγει τυγχάνωμεν ὄντες, οὕτω καὶ πράττειν, ἀλλ' ἀπιστοῦντας ἐκπηδᾶν τολμᾶν εἰς τὴν θάλατταν, ὡς ἴσως μὲν οὖσαν θάλατταν, ἴσως δ' οὔ. μηδ' ὅταν ἤδη καταγώμεθα, καὶ ἡ ναῦς ἐν τῷ λιμένι πλησίον τῆς γῆς καταφέρηται, καὶ πάντας περὶ τὴν γῆν ἐξιόντας ὁρῶμεν, πιστεύειν ταῖς αἰσθήσεσι καὶ μέχρι τῆς χρείας, ἀλλ' ἔνδον καθέζεσθαι σκεπτομένους καὶ ἀποροῦντας καὶ λέγοντας. ἴσως γε φαίνεται μὲν ἡμῖν γῆ, οὐκ ἔστι δὲ γῆ. καὶ κατ' αὐτοὺς ἐκείνους ἅπαντα τὰ τοιαῦτα μέχρι μὲν τῆς χρείας πιστά. πρὸς δὲ τὴν φύσιν ἀπορεῖται. καὶ ἡμεῖς δ' αὐτοὶ τοῦτο δήπου βουλόμεθα. χρῆσθαι δ' αὐτοῖς ὡς πιστοῖς. τὸ δ' ἐπέκεινα τῆς χρήσεως περιττὸν εἶναι φαμέν. εἰ οὖν ὃ βουλόμεθα συγχωροῦσιν ἡμῖν, οὐκ οἶδα περὶ τίνος ἔτι διαφερόμεθα. περὶ τοῦ πρὸς τὴν φύσιν φασί. ψαῦσαι ἀνε. οὐδὲ φθεγξόμεθα πότε τοῦτο εἰ καὶ κελεύεις. ἀλλὰ σὲ καὶ εἰς συνθήκας ἕτοιμος εἰμι προσκαλέσασθαι. καὶ τοῦ λοιποῦ περὶ τούτου καθάπερ τοῖς ἄλλοις ἀνθρώποις, οὕτω καὶ ἡμῖν εἰ βούλεσθε. τά τε τῶν πράξεων καὶ τὰ τῶν λόγων ἐπειδὴ καὶ ἡμᾶς αὐτοὺς ὁρῶ περὶ πολλοῦ ποιουμένους, μηδὲν τῶν κατὰ τὸν βίον ὡμολογημένων τοῖς ἀνθρώποις ἅπασιν, ἀνατρέπειν. ὡς οὖν ἐκείνοις περαίνεται τὰ κατὰ τὰς πράξεις οὕτω καὶ ἡμῖν περαινέσθω, μὴ πολυπραγμονοῦσιν περὶ τὸ φαινόμενον ἐναργῶς μηδέν, ἀλλ' ἐκ τοῦ προχείρου πιστεύουσί τε καὶ ἑπομένοις. ὡς εἴ γέ τινος ἀπαγγέλλοντος ὑετοῦ γενομένου, τὸν ποταμὸν αὐξηθέντα τὴν γέφυραν ἀνατρέψαι, παρών τις ὑμῶν κωλύει οὕτως ἁπλῶς, ὑετοῦ γενομένου λέγειν. ἀλλὰ τοῦ φαινομένου γεγονέναι, μηδὲ ποταμόν, ἀλλὰ τὸν φαινόμενον καὶ δοκοῦντα, μηδ' αὐξηθέντα ἀλλὰ ηὐξῆσθαι δόξαντα, μηδὲ τὴν γέφυραν καταβαλεῖν. ἀλλὰ φαίνεσθαι καταβεβληκότα. πῶς οὐκ ἂν δόξειε μαίνεσθαι. τί ποτ' οὖν τοῖς ἄλλοις ἀνθρώποις ἅπασιν ἑτέρως διαλεγόμενοι, μόνοις ἡμῖν πράγματα παρέχετε, καίτοι ταῖς αἰσθήσεσι χρωμένοις ἔν τε τῷ κατὰ τὴν ἰατρικὴν καὶ τῷ λοιπῷ βίῳ. εἶτα τὸν μὲν ἀσκὸν εἰ οὕτως ἔτυχε καὶ τὴν κύστιν καὶ τὸν θύλακον καὶ τὰς τῶν χαλκέων φύσας τί διαστέλλεσθαι λέγοντες συστέλλεσθαι, τὸ φαίνεσθαι παρελείψατε. τῇ δ' ἀρτηρίᾳ μόνῃ, τῇ πρὸς ὑμᾶς κακὸν ἐργασαμένῃ πράγματα παρέξετε. καὶ τὴν ἀπιστίαν τῶν φαινομένων κατ' αὐτῆς κινήσετε καὶ οὐχ ἁπλῶς ἐρεῖτε, διέσταλται καὶ διαστέλλεται καὶ συνέσταλται καὶ συστέλλεται. ἀλλὰ φαίνεται διαστελλομένη. εἰ δὲ καὶ ὄντως διαστέλλεται, οὐκ οἶδα. παύσεσθε πρὸς τοῦ Διὸς ἤδη ποτὲ μηδὲν προσήκουσι λήροις ἐπιφορτίζεσθαι τὴν τέχνην, οὐκ οὖσαν καθ' ἑαυτὴν μακράν. εἰ σχολὴν ἄγετε, καὶ τὸν βίον οὐκ ἀνατρέπειν, ἀλλ' ὠφελεῖν προῄρησθε, καὶ τὴν τέχνην οὐ κωλύειν, ἀλλ' αὔξειν ἐσπουδάκατε, τὴν φιλοτιμίαν ταύτην εἰς τὰ χρηστότερα τρέψατε. πολλὰ τῆς ἰατρικῆς εὑρήσετε ζητήσεως οὐ σμικρᾶς δεόμενα περὶ ταῦτα δεινοὶ γίνεσθε. τὴν σύνεσιν ἐν τούτοις ἐπιδείκνυσθε. τὴν δὲ τῶν ἐναργῶς φαινομένων ἀπιστίαν ἤδη ποτὲ μισήσατε, πλέον οὐδὲν ἕξειν ἀπ' αὐτῆς μέλλοντες, ἀναγκασθήσεσθε γὰρ ἑκόντες τι καὶ ἄκοντες, ὡς πιστοῖς χρῆσθαι τοῖς ἐναργέσιν, ἢ οὐδὲ φθέγξασθαι ὑμῖν οὐδὲ τὸ βραχύτατον ἔσται. ὅταν οὖν ζητήσαντάς γε καὶ μὴ ζητήσαντας, ἡ αὐτὴ χρῆσις ἐκδέχηται, περιττὸν τὸ ζητεῖν. εἰσὶ δ' ἕτεραι πολλαὶ τοῖς ἀνθρώποις. αἱ μὲν τῶν αἰσθήσεων ἀσκήσεις, αἱ δὲ καὶ τοῦ λογισμοῦ. περὶ ταύτας σπουδάσατε τὴν σχολὴν περὶ ταῦτα διάθεσθε. τοῖς δ' ἐναργέσι χωρὶς ζητήσεως, ὡς τοιούτοις οὖσιν οἷα φαίνεται πιστεύετε. συγχωρήσαντες οὖν μοι λέγειν τὴν ἀρτηρίαν εἰς μῆκος καὶ πλάτος καὶ βάθος διαστέλλεσθαι, τὸ ἐπὶ τῷδε διασκέψασθε, πότερον αἰσθήσεσθε δυνατόν ἐστι τῆς συστολῆς, ἢ οὔ. ἀλλ' ἡμεῖς ἵνα μηδὲ τοῦτο μηδ' ἄλλο ζητήσητε, τὴν περὶ τῆς ὑπάρξεως τῶν ἐναργῶν ἀπορίαν ἐκινήσατε, συχνὸν μέν τινα λόγων ἐσμὸν ἔχουσαν οὐ μὴν καταβαλεῖν γε δυναμένην, οὐδ' ἀνατρέψαι τὴν χρείαν τῶν ἐναργῶν. ἡμεῖς οὖν ἔμπαλιν ὑμῖν πράξομεν. ἅπασι μὲν τοῖς φαινομένοις ἐναργῶς χωρὶς ζητήσεως χρησόμεθά τε καὶ πιστεύσομεν, ὡς τοιούτοις οὖσιν οἷα καὶ φαίνεται. τὰ δ' ἀμυδρότερα διασκεψόμεθα. τὰ μὲν τῷ λόγῳ, τὰ δὲ ταῖς αἰσθήσεσι, τὰ δ' ἀμφοτέροις ἐπιχειροῦντες ἑλεῖν ἥτις μὲν οὖν ἡ ὁδὸς τῆς εὑρέσεως αὐτῶν, ἐπὶ πλέον ἑτέρωθι λέγομεν. ἐν δὲ τῷ παρόντι, τὸ χρήσιμον εἰς τὰ προκείμενα λεχθήσεται μόνον.

Ἀγαθίνου τοίνυν λέγοντος, ἀναίσθητον εἶναι τὴν συστολὴν τῆς ἀρτηρίας. Ἡροφίλου δὲ διὰ παντὸς ὡς ὑπὲρ αἰσθητῆς διαλεγομένου, χαλεπὸν ὄντως ἦν καὶ ἄπορον ἑτέρῳ πρὸ θατέρου πιστεῦσαι. τοσαύτην μὲν ἀμφοτέρων σπουδὴν εἰσενηνεγμένων, εἴς τε τἆλλα τῆς ἰατρικῆς καὶ τὴν περὶ τοὺς σφυγμοὺς τέχνην αὐξῆσαι μακρῷ τε χρόνῳ τόν τε λογισμὸν καὶ τὴν αἴσθησιν ἱκανῶς γεγυμνασμένων ἐδόκει δή μοι δίκαιον εἶναι πρῶτον μὲν ἀσκῆσαι τὴν ἁφήν, τῆς παρὰ μικρὸν αἰσθάνεσθαι διαφορᾶς. ἵν' εἴπερ ἡμῖν αὐτοῖς ποτε καταφανὴς ἐναργῶς γένοιτο ἡ συστολή, μηκέτ' ἄλλου δεόμεθα μάρτυρος, δεύτερον δέ, καὶ τὴν τῶν πρεσβυτέρων ἱστορίαν ἀναλέξασθαι. τῶν πλείστων μὲν γὰρ καὶ τῶν ἀξιοπίστων αἰσθητὴν λεγόντων μηδ' ἂν ὅτι μάλιστα πολλῷ χρόνῳ τριβομένοις ἡμῖν ἔτ' ἀναίσθητος φαίνηται, προαφίστασθαί τε καὶ ἀπογινώσκειν τῆς εὑρέσεως. εἰ δὲ μὴ μηδεὶς ἄλλος. ἢ ὀλίγοι παντελῶς καὶ ἄπιστοι τοῦτο λέγοιεν, ἡμῖν τε περὶ αὐτὸ ἔχουσιν ἀδιάγνωστον φαίνεται, τηνικαῦτ' ἤδη καὶ ἀπογινώσκειν τῆς εὑρέσεως αὐτοῦ. καὶ ἀναίσθητον ὁμολογεῖν ὑπάρχειν. εὑρίσκοντες οὖν τοὺς μὲν Ἡροφιλείους σχεδὸν ἅπαντας αἰσθητὴν εἶναι λέγοντας, τοῦ δὲ περὶ τὸν Ἐρασίστρατον χοροῦ, τοὺς μὲν ὁμολογοῦντας, τοὺς δ' ἀρνουμένους, καὶ τρίτους τοὺς ἀπ' Ἀθηναίου τοῦ Ἀτταλέως, ὧν εἷς ἦν καὶ Ἀγαθῖνος, ὡσαύτως πρὸς ἀλλήλους διαφερομένους, ὅσον μὲν ἐπὶ τῇ τῶν πρεσβυτέρων ἱστορίᾳ, πλέον οὐδὲν

ἡμῖν ἔγνωμεν ἐσόμεθα. ἴσων σχεδὸν ἀριθμῷ τε καὶ ἀξιώματι τῶν ὁμολογούντων τοῖς ἀρνουμένοις ὑπαρχόντων. ἐφ' ἡμῶν
δ' αὐτῶν ἅμα τοῖς διδασκάλοις διεσκοπούμεθα μηδ' αὐτοῖς ὁμολογοῦσι σαφῆ διάγνωσιν ἐσχηκέναι ποτὲ τῆς συ
στολῆς. ἐν τούτῳ δ' οἷα εἰκὸς καὶ λόγοι τινὲς ἐκινοῦντο. καὶ πᾶσαι μὲν αὐτοῖς ἐδόκει πιθανὸν εἶναι, μὴ δύνασθαι τῆς
ἀποχωρούσης ἀρτηρίας αἰσθάνεσθαι τὴν ἁφήν. ἤτοι γὰρ τῆς κινήσεως αὐτῆς, ἢ τῆς ἅμα αὐτῆς πληγῆς αἴσθησιν ἡμῖν
γίνεσθαι κατὰ τὴν διαστολήν. ἀποχωρούσης δὲ καὶ συστελλομένης, οὔτε πληγῆς ἐφ' ἡμᾶς, οὔτε κινήσεως αἰσθάνεσθαι.
τῶν γοῦν ὁμιλούντων αὐτῇ καὶ προσιόντων καὶ ψαυόντων, οὐ τῶν ἀφισταμένων εἶναι διαγνωστικήν. ἐπεὶ οὕτως ἂν καὶ
τῶν ἐκ μακροῦ διαστήματος εἰς ἐπίγνωσιν ἐλθεῖν, εἴπερ ἅπαξ αὐτῇ συγχωρηθείη. τῶν οὐχ ἁπτομένων αἰσθάνεσθαι.
ταῦτα καὶ τοιαῦτα λέγοντες, ἀνέπειθόν με ῥᾳδίως, ὡς ἂν καὶ αὐτὴν τὴν ἁφὴν μάρτυρα ὧν ἔφασκον ἔχοντες. οὐ
γὰρ ᾐσθανόμην τῆς συστελλομένης τῆς ἀρτηρίας, καὶ ὀλίγου δεῖν ἀπέστην ὡς οὐκ αἰσθητῆς αὐτῆς, εἰ μή μοι ποτὲ κα
θάπερ ἐκ τῆς τρίψεως πυκνῆς, πῦρ ἐξαφθὲν καὶ λάμψαν ἐναργῶς, ἔδειξε τὸ ἀληθές, ὥστε μηκέτι ἑτέρων
δεῖσθαι μαρτύρων καὶ κριτῶν, ἀλλ' αὐτὸν ἱκανὸν ἐμαυτῷ γενέσθαι. δηλώσω δὲ τὸ σύμπαν, ἐντεῦθεν ἀρξάμενος,
ὅθενπερ καὶ αὐτὸν ἐμὲ ὁ λόγος ἐποδήγησεν. ἐπειδὴ τῶν ἁπτομένων σωμάτων, τὰ μὲν ἐπιπολῆς ἀλλήλων ἅπτε
ται ψαύοντα μόνον, ἕτερα δέ τε βιάζεται καὶ ὠθεῖ καὶ ἀνατρέπει, κἀνταῦθα τὸ μὲν ἰσχυρότερόν τε καὶ σκληρότερον
οἷον ἐγκαταβαίνει τῷ ἀσθενεστέρῳ τε καὶ μαλακωτέρῳ, θάτερον δ' εἴκει τε καὶ ἀνατρέπεται καὶ οἷον περιεχί
ζεται τῷ βιαζομένῳ τὴν διάλυσιν αὐτῶν ἀπ' ἀλλήλων, οὐ τὸν αὐτὸν ἐνδέχεται γίνεσθαι τρόπον. ἀλλὰ τὰ μὲν
ἐπιπολῆς ἁπτόμενα, καὶ ἀποχωρεῖν ἀθρόως. ὅσα δ' εἴκοντος τοῦ μαλακωτέρου, πρωσωτέρω ἰόντα οἷον ἐγκατα-
βαίνειν ἑαυτῷ ταῦτα, οὐκ ἔτ' ἀθρόως ἀφίσταται. ἀλλ' ὅσον ἀπὸ τῆς πρώτης προσβολῆς ἐσωτέρω χωροῦντα, ἐβιά-
σατο. τοσοῦτον ἀναχωριζομένοις αὐτοῖς, αἰσθητὸν φυλάττεσθαι. χρόνος γάρ τις ἐν τῷ μεταξὺ γενήσεται, τῆς τε
πρώτης ὁρμῆς τοῦ ἀφίστασθαι, καὶ τῆς ἐσχάτης τελευτῆς, μεθ' ἣν οὐκέτ' ἀφίστασθαι, ἀλλ' ἐφεστάναι ἤδη λεχθήσε-
ται ἐν ᾧ χρόνῳ παντὶ κατὰ βραχὺ μὲν ἀποχωροῦντος τοῦ ἑτέρου. κατὰ βραχὺ δὲ τῆς θατέρου θλίψεως ἐκλυομένης, ἑκα
τέρων ἡ κίνησις αἰσθητὴ γενήσεται. εἰ δὲ δὴ καὶ οὕτω προσείη, ὥστε τὸ μὲν κινούμενον κάτωθεν, ἄνω φέρεσθαι,
τὸ δ' ἁπτόμενον ἄνωθεν ἐπικεῖσθαι πρὸς τῷ τῆς θλίψεως ἀφαιρεῖσθαι τὸ ἐπικείμενον. ἔτι καὶ οἷον καταπίπτειν αὐ-
τῷ συμβήσεται. τοῦ προτέρου ἀντερείδοντός τε καὶ ὠθοῦντος ἄνω, νῦν κάτω φερομένου.

Ταῦτα διά τε κυστέων καὶ ἀσκῶν καὶ φυσῶν καὶ τῶν τοιούτων ἁπάντων ὀργάνων ἔνεστι πεῖραν μαθεῖν, ὅτῳ μὴ πά-
νυ ἐναργὴς ἡ διὰ τοῦ λόγου ἔνδειξις. εὑρεθήσεται γὰρ ἐπὶ πάντων, ἔνθα μὲν ἀβίαστος ἡ τῶν ἁπτομένων ὁμιλία
καὶ ἡ ἀναχώρησις ἄνευ χρόνου γιγνομένη, θατέρου δ' ὑπάρχοντος ἰσχυροτέρου, εἰς ὅσον ἂν ὠθούμενον εἴη τὸ ἀσθενέ-
στερον, εἰς τοσοῦτο καὶ τὸ κινούμενον, ὅταν ἀφίσταται τὸ βιασάμενον. εἰ δὲ δὴ καὶ κάτωθεν ἄνω τὸ θλῖβον ἔρχοιτο,
πολὺ δήπου ῥᾷόν τε καὶ θᾶττον, τηνικαῦτα τὸ ἀσθενέστερον ἀκολουθήσει τῷ ἰσχυροτέρῳ, σύμμαχον τῆς ἀκολουθήσε-
ως προσλαβὸν τὴν εἰς τὸ κάτω ῥοπήν. δυνήσει δὲ πληρώσας ἢ ἀσκὸν ἢ κύστιν, ἢ τι τοιοῦτον ἄλλο ὑγρᾶς οὐσίας ἢ ἀέ-
ρος ἐπιπολῆς μὲν ψαύειν. αἴροντι καὶ αὖθις προσφέρων μὲν δακτύλους, ἔπειτα δ' ἤδη καὶ ὠθεῖν τε καὶ βιάζεσθαι
πρόσω. κἀνταῦθα πάλιν ἐναλλὰξ αἴρων τε καὶ προσφέρων. ὄψει γὰρ ἐναργῶς τὴν μὲν ἑτέραν τῶν ἀποχωρήσε-
ων, τὴν ἐπὶ τῇ ψαύσει χωρὶς αἰσθητοῦ χρόνου, τὴν δ' ἑτέραν τὴν ἐπὶ τῇ θλίψει μετά τινος ἀεὶ χρόνου γιγνομένην.
καὶ κατὰ μὲν τὴν προτέραν, ἀκίνητον ὄψει τὸ ἀγγεῖον. εἴτε προσάγοις εἴτ' ἀπάγοις τὸν δάκτυλον. ἐν δὲ τῇ δευτέρᾳ
κινούμενον, οὐ προσβάλλοντος μόνον, ἀλλὰ καὶ ἀφαιροῦντος. ἀνάλογον δή μοι τίθει. τῷ μὲν δακτύλῳ ἀρτηρίαν. τῷ
δ' ἀγγείῳ, τὸ ἐφαπτόμενον αὐτῆς σῶμα, καὶ μένοντος δηλονότι τοῦ ἁπτομένου καθ' ἕνα καὶ τὸν αὐτὸν τρόπον. ἡ ἀρ
τηρία κινουμένη προσίτω τε καὶ ἀποχωρείτω. γιγνέσθω δὲ ἡ μέν τις προσβολὴ τῆς ἀρτηρίας τῷ ἔξωθεν ἁπτομένῳ
σώματι, οἷον ψαῦσίς τε καὶ ἐπαφή, καθάπερ ἐπὶ τῶν ἀμυδρῶν ἔχει σφυγμῶν. ἡ δέ τις οὐ ψαῦσις μόνον, ἀλλὰ καὶ
εἰς τὸ βάθος ὦσις ὡς ἐπὶ τῶν σφοδρῶν ἀνάγκη τοίνυν ἐπὶ μὲν τῆς προτέρας, ὅταν ἡ ἀρτηρία συστέλληται τὸ μὲν ὅτι
ἀπεχώρησε τοῦ ἔξωθεν ἁπτομένου δύνασθαι λέγειν. τὸ δ' ὅτι νῦν ἀποχωρεῖ μὴ δύνασθαι. χρόνου γὰρ ἡ τοιαύτη χρῄζει διά
γνωσις. ἀθρόως δὲ καὶ χωρὶς αἰσθητοῦ χρόνου τῶν ἐπιπολῆς ἁπτομένων σωμάτων αἱ ἀποστάσεις γίγνονται. κατὰ δὲ
τὴν ἑτέραν προσβολὴν τῆς ἀρτηρίας; τὴν ἐπὶ τῶν σφοδρῶν σφυγμῶν. ὑφ' ἧς ἀπαθεῖσθαι τὴν ἁφὴν ἡμῶν συμ
βέβηκε. πρότερον μὲν τοῦ χωρίζεσθαι ἡ αἴσθησις, ἐφεξῆς δ' αὐτοῦ τοῦ κεχωρεῖσθαι ἡ διάγνωσις, οὐκέτι τῆς αἰσθή-
σεως οὕτω γνωριζούσης. ἀλλὰ τῷ παύεσθαι τὸ ταύτης πάθος, τοῦ νοῦ τό τε ὡς χωριζόμενον, νῦν κεχωρεῖσθαι συλ-
λογισαμένου, τοῦ δ' ἐπιπολῆς ἁπτομένου τὸ μὲν χωρίζεσθαι παντάπασιν ἀδιάγνωστον, τὸ κεχωρίσθαι δὲ κἀπὶ τούτων
συλλογισμοῦ ληπτέον. ὅτι δ' οὐ προσιόντος ἢ ἀπιόντος ἢ θλίβοντος ἢ ἁπτομένου ἢ ἀπωθουμένου τὴν πρώτην
αἴσθησιν ἔχομεν, ἀλλὰ τῶν κατὰ τὸ ἡμέτερον σῶμα παθημάτων, οὐδ' αὐτὸ οἴομαι λανθάνειν. αἰσθανόμεθα μὲν γὰρ
ἀνατρεπομένης ἡμῶν τῆς σαρκὸς ἅμα τῷ περικειμένῳ δέρματι κατὰ τὴν προσβολὴν τῶν σφοδρῶν σφυγμῶν.
συνεισέρχεται δὲ αὖ τῷ κινουμένου τε καὶ βιαζομένου ἡ γνῶσις. καὶ μὲν δὴ καὶ ἀποχωρούσης τῆς ἀρτηρίας. ἡ μὲν
αἴσθησις οὐκ ἔστι τῆς ἐν αὐτῷ τῷ ἡμετέρῳ σώματι κινήσεως. ἕπεται γοῦν τὸ εἴσω θλιβέν, ἢ τοῦ δέρματος ἡμῶν, ἢ τῆς σαρ
κὸς μόριον ἀφισταμένῃ τῇ ἀρτηρίᾳ, τὴν ἐξ ἀρχῆς χώραν, ὅθεν ἀπεώσθη, καταλαμβανομένη, ἡ δὲ τοῦ χωρίζεσθαι
γνῶσις συνεπινοεῖται. πρῶτα γοῦν ἐστὶν αἰσθητὰ ἐν τοῖς ἡμετέροις σώμασι τὰ παθήματα, δεύτερα δὲ τὰ τούτων
ποιητικὰ ἐκτὸς ὑποκείμενα τῆς τοῦ μετὰ τὴν θλῖψιν ἀποχωρούσης τῆς ἀρτηρίας, γινομένης ἡμῖν ἐν τοῖς ἁπτομένοις
μορίοις κινήσεως αἰσθανόμενοι πρώτης ἐπὶ τῶν σφοδρῶν σφυγμῶν, κατὰ τοῦτο καὶ τὴν συστολὴν τῆς ἀρτηρίας ὑπο-
πίπτειν αἰσθήσει φαμέν, ὡς τῶν ποιούντων δηλονότι τὰ ἐν ἡμῖν πάθη, συγκεχωρημένων αἰσθητῶν καλεῖσθαι, τό,
τε τῆς θλίψεως ἄνισον, ἐνδείκνυται τὴν τοῦ θλίβοντος ἐπάνοδον. οὐδὲ γὰρ οὐδὲ τὴν ῥώμην, οὐδὲ τὴν κίνησιν αὐ-
τοῦ δι' ἄλλου τινὸς ἐγνωρίσαμεν, ἢ διὰ τοῦ τῆς θλίψεως ἀνίσου. ἐπιβαλλόντων γὰρ ἡμῶν τοὺς δακτύλους τοῖς σφο-
δροῖς σφυγμοῖς, ἡ μὲν πρώτη προσβολή, βραχὺ παντελῶς ὠθεῖ τὴν ἁφήν, ἀπὸ ταύτης δ' ἀεὶ καὶ μᾶλ-
λον ἄχρι τῆς τελευτῆς, ἐπιτείνεται ἡ θλῖψις, ἥτις ἐνδείκνυται δηλονότι τήν τε κίνησιν καὶ τὴν ῥώμην τοῦ
ἀπωθουμένου. θαυμαστὸν γὰρ δὴ ὅπως οἱ ἀμυδροὶ σφυγμοὶ κἂν μέγιστοι τυγχάνωσιν ὄντες, οὐχ ὅπως μικροὶ παν

τελῶς

πλῶς φαίνονται θλιβόντων, ἀλλὰ καὶ παντάπασιν ἀφανίζονται. καὶ τις ἴσως ἀγνοῶν ὡς χρὴ τῶν τοιούτων ἐπιπολῆς ψαύειν, ἄσφυκτον εἶναι φησὶ τὸν ἄνθρωπον, ἐξ ὧν αὐτὸς κακῶς ἥψατο, ψευδῶς ἀποφηνάμενος. οἱ σφοδροὶ δ' ἅπαν τοὐναντίον ἐρειδόντων ἰσχυρῶς δέονται τῶν ἁπτομένων εἰς τὴν τῆς ῥώμης αὐτῶν διάγνωσιν. ἀπωθεῖσθαι γὰρ τηνικαῦτα οἱ μᾶλλον δόξουσιν, ὅταν ἐπὶ πλεῖον αὐτοὺς βιάζῃ. καὶ γοῦν καὶ τὴν συστολὴν αἰσθητὴν, οἱ σφοδροὶ μὲν ἅπαντες ἔχουσι, τῶν ἀμυδρῶν οὐδείς. αὐτῶν δὲ τῶν σφοδρῶν ἄλλος ἄλλου μᾶλλον ἢ παρ' αὐτὸ τὸ μᾶλλον τε καὶ ἧττον ἐν τῇ σφοδρότητι. ἢ διὰ μέγεθος καὶ μικρότητα. ἢ διὰ σκληρότητα καὶ μαλακότητα. ἢ διὰ βραδύτητα καὶ τάχος. ὅστις γὰρ ἂν μέγιστος θ' ἅμα καὶ σφοδρότατος καὶ σκληρὸς, καθ' ὅσον οἷόν τε μεγέθει μιχθῆναι σκληρότητα, καὶ μὴ ταχὺς, σαφεστάτην οὗτος ἔχει τὴν συστολήν. οἱ δ' ἄλλοι πάντες, καθ' ὅσον ἂν τούτων τινὸς ἔλαττον ἢ πλέον μετέχωσι, κατὰ τοσοῦτον ῥᾷον, ἢ χαλεπώτερον γνωσθήσονται. προσεθήκαμεν δ' ἐπὶ τῆς κατὰ τὴν σκληρότητα καὶ τὸ μέγεθος μίξεως, τὸ καθ' ὅσον ἐνδέχεται. τοῦδε χάριν, ἵνα μή τις ὑπονοήσῃ δύνασθαί ποτε γενέσθαι τὸν αὐτὸν ἅμα σφυγμὸν, ὥσπερ μέγιστόν τε καὶ σφοδρότατον, οὕτω καὶ σκληρότατον. οὐ γὰρ οἷόν τε συνελθεῖν ὥσπερ σφοδρότητι τὸ μέγεθος, οὕτω καὶ σκληρότητι. μεγίστους μὲν γὰρ καὶ σφοδροτάτους σφυγμοὺς πολλάκις ἂν εὕροις, σκληροτάτους δ' ἅμα καὶ μεγίστους τοὺς αὐτοὺς, οὐκ ἂν εὕροις. οὐ μὴν οὐδὲ σκληροὺς ἅμα καὶ μεγίστους, ἀλλ' ὁ μέσος σκληροῦ καὶ μαλακοῦ σφυγμὸς, ὁ σύμμετρός τε κατὰ φύσιν ἅμα τῷ μεγίστῳ πολλάκις εὑρίσκεται. καὶ μὲν δὴ καὶ σκληρόν θ' ἅμα καὶ σφοδρὸν τὸν αὐτὸν εὑρήσεις πολλάκις. καὶ σκληρὸς θ' ἅμα καὶ σφοδρότατός ἐστιν ὅτε φαίνεται. σφοδρότατόν τε καὶ σκληρότατον, οὐκέτ' ἂν εὕροις τὸν αὐτόν. ὥσπερ οὐδὲ μέγιστόν τε ἅμα καὶ σφοδρότατον καὶ ταχύτατον. ἀλλ' οἱ μέγιστοι καὶ σφοδρότατοι, τοὐπίπαν μὲν καὶ ταχεῖς εἰσιν. εἰ δὲ μὴ, ἀλλ' οὐδὲ βραδεῖς γε. εἰ μὲν οὖν ἐνεδέχετο τὸν αὐτὸν ἅμα γενέσθαι σφυγμὸν, σφοδρότατόν τε καὶ μέγιστον καὶ σκληρότατον καὶ βραδύτατον, ἡ πασῶν σαφεστάτη τῶν συστολῶν ἐπὶ τῶν τοιούτων ἐφαίνετ' ἄν. ἐπεὶ δ' ἀδύνατος ἡ μίξις, ὁ σφοδρότατος ἔτι καὶ μέγιστος, καὶ μὴ μαλακὸς καὶ μὴ ταχὺς, ἐναργεστάτην ἕξει τὴν συστολήν. σαφὴς δὲ καὶ ὁ σφοδρότατός γε καὶ μέγας καὶ σκληρὸς, καὶ μετὰ δὴ καὶ ὅσοι σφοδροί θ' ἅμα καὶ μεγάλοι καὶ σκληροὶ, καὶ τούτων ἧττον μετὰ ἢ τῶν πρόσθεν. ὅμως δ' ἔτι σαφὴς ἱκανῶς ἡ συστολή. τούτων δ' ἧττον, ἀλλὰ καὶ αὕτη σαφὴς ἡ τοῦ σφοδροῦ καὶ μεγάλου καὶ μαλακοῦ. σαφὴς δ' ἔτι καὶ ἡ τοῦ σφοδροῦ τε ἅμα καὶ συμμέτρου κατὰ μέγεθος καὶ σκληρότητα. τούτου δ' ἀσαφεστέραν ἔχει τὴν συστολὴν, οὐ μὴν ἀδιάγνωστόν γε ὁ μέγας μὲν, σύμμετρος δ' ἐν ταῖς λοιπαῖς δύο διαφοραῖς. καὶ ὅστις δὲ κατὰ τὰς τρεῖς διαφορὰς συμμέτρως ἔχει, δήλη καὶ ἡ τοῦδε συστολή. δυσγνώριστος δ' ἥ τε τοῦ σφοδροῦ τε καὶ μικροῦ. πάντως δ' ὁ τοιοῦτος καὶ σκληρός ἐστι καὶ ἡ τοῦ μικροῦ μὲν καὶ σκληροῦ, συμμέτρου δὲ κατὰ τὸν τόνον, ἔτι μᾶλλον ἀσαφής. εἰ δὲ μικρὸς καὶ μὴ σκληρὸς εἴη, καὶ σύμμετρος κατὰ τὸν τόνον, ἱκανῶς γεγυμνασμένης αἰσθήσεως ὁ τοιοῦτος δεῖται πρὸς τὴν γνῶσιν· ἔτι δὲ μᾶλλον εἰ μικρὸς, καὶ μαλακὸς ὢν, μετρίως ἔχοι τοῦ τόνου. ἀμυδρὸς δὲ σφυγμὸς εἴτε μεγάλῳ μιγνύμενος, εἴτε μικρῷ, δήλην ἔχει τὴν συστολήν. τῷ μὲν οὖν μεγίστῳ τὴν ἀρχὴν οὐδὲ μίγνυταί ποτε καθάπερ οὐδὲ τῷ σκληροτάτῳ, μεγάλῳ δὲ μίγνυται μέν ποτε ἀλλὰ πάντως ὁ τοιοῦτος ἐσχάτως μαλακός ἐστιν. εἰ δὲ τῷ σκληρῷ μιχθείη μικρότατος ὁ τοιοῦτος ἐξ ἀνάγκης ἔσται. χρὴ τοίνυν τὸν βουλόμενον ἀσκῆσαι τὴν ἁφὴν αἰσθάνεσθαι τῆς συστολῆς ἐναργῶς, αὐτό τε τοῦτο πρῶτον ἐπίστασθαι, τὸ παραλειφθὲν ὑπὸ τῶν πρεσβυτέρων, ὡς οὔτε παντὸς σφυγμοῦ δυνατὸν αἰσθάνεσθαι τῆς συστολῆς, οὔθ' ὧν αἰσθάνεσθαι δυνατὸν ὁμοίως ἐστὶν ἁπάντων σαφὴς, ἔπειτα δὲ καὶ τοὺς διορισμοὺς μεμνῆσθαι τοὺς ὑφ' ἡμῶν ἄρτι γεγραμμένους, ἵνα μήτ' ἐφ' ὧν ἀδύνατον αὐτῆς αἰσθέσθαι γλιχόμενος ἐξολισθαίνῃ, εἶτ' ἀπορῶν ἀποστῇ τελευτῶν ἁπάσης ὡς ἀναισθήτου, μήτ' ἐφ' ὧν δυνατὸν μὲν αἰσθέσθαι, μὴ σαφῶς δὲ πρώτοις αὐτοῖς ἐγχειρῶν, αὐτῶν τε τούτων ἀπογνοὺς τῆς εὑρέσεως, καὶ πρὸς τὴν τῶν ἄλλων ζήτησιν ἀποκνέοι παντάπασιν, ἀλλ' ἐφ' ὧν ἐναργεστάτην συστολὴν φαίνεσθαι συμβέβηκεν, ἀπὸ τούτων ἄρξασθαι, τήν τε τῆς χειρὸς ἐπιβολὴν ὡς εἴρηται ποιούμενος καὶ μεμνημένος ὧν εἴρηται σκοπῶν, ὡς χρὴ πάντως ἢ σφοδρὸν, οὐκ ἀμυδρόν γε τὸν σφυγμὸν εἶναι τὸν μέλλοντα ποιήσειν αἰσθητὴν τοῖς ἁπτομένοις τὴν συστολήν. καὶ τοῦτο μὲν ἀχώριστον ὑπάρχειν αὐτῷ δεῖ, πρὸς δὲ τὴν σαφεστέραν διάγνωσιν, οὐ σμικρὰ συντελεῖν τὸ μέγεθος, εἶναι δέ τινα καὶ παρὰ τῆς σκληρότητος ὠφέλειαν καὶ τῆς βραδύτητος. ὥστε μήτ' ἐν ἀμυδρῷ ποτε σφυγμῷ συστολὴν αἰσθητὴν δύνασθαι γενέσθαι, μήτ' ἀναίσθητον ἐν σφοδρῷ, μᾶλλόν τε καὶ ἧττον ἐναργῆ παρὰ τὸν αὐτὸν τὸν ζωτικὸν καλούμενον τόνον ἧττόν τε καὶ μᾶλλον ἐνταθέντα καὶ παρὰ τὸ ποσὸν τῆς διαστολῆς, καὶ παρὰ τὸ ποιὸν, τοῦ τε χιτῶνος τῆς ἀρτηρίας καὶ τῆς κινήσεως.

Ἵν' οὖν ὁλόκληρον ἔχωσιν οἱ φιλομαθεῖς τὴν ὁδὸν τῆς ἀσκήσεως, μὴ τὸ καθόλου μόνον ἀρκεσθῶμεν αὐτῆς εἰρηκότες, ἀπὸ τίνων ἄρχεσθαι σφυγμῶν προσήκει γυμνάζειν τὴν ἁφὴν ἐν τῷ ζητεῖν τὴν συστολὴν, ἀλλὰ καὶ οἷστισιν ὑπάρχουσιν οὗτοι νοσοῦσί τε καὶ ὑγιαίνουσιν ἐφεξῆς εἴπωμεν. εἰ γὰρ ἔτι τοῦτο μάθοιεν ῥᾷον οἶμαι τοῦ προκειμένου τύχοιεν. ἐπὶ μὲν οὖν τῶν ὑγιαινόντων ὅσοι σύμμετροί τε τὴν ἕξιν εἰσὶ καὶ τὴν φύσιν εὔκρατοι, καὶ τῆς ἡλικίας ἐν ἀκμῇ, μάλιστα καὶ τῶν ὡρῶν τοῦ ἔτους ἐν τῷ ἦρι καὶ γῆν ἐποικοῦσιν εὔκρατον, ἀργοῦσί τε καὶ λύπης καὶ δέους καὶ πλησμονῆς καὶ κινήσεως ἐκτὸς εἰσὶν, οὗτοι πάντες σφοδρὸν καὶ μέγαν ἔχουσι τὸν σφυγμόν. εἰ δὲ καὶ γυμνάσαιντο σύμμετρα καὶ λουτροῖς μετρίοις θαλφθεῖεν. ἢ οἶνον μὴ πολὺν πάνυ προσενηνεγμένοι τύχοιεν, ἢ θυμωθεῖεν ἢ ἀνδρίζοιντο, οὐ μεγάλους ἔτι καὶ σφοδροὺς ἁπλῶς, ἀλλ' εἰς ἄκρον μεγίστους τε καὶ σφοδροτάτους ἕξουσι τοὺς σφυγμούς. οἱ αὐτοὶ δὲ νοσοῦντες οὗτοι τὸν ἀκριβῆ τριταῖον ἢ καῦσον τὸν ἐπιεικῆ καὶ ἁπλοῦν ἤ τινα ἄλλον θερμὸν ἰσχυρῶς, καὶ οἷον ζέοντα πυρετὸν καὶ τῶν ἐφημέρων τινὰ τῶν ἐπὶ βουβῶσι, καὶ ἐγκαύσεσι, καὶ κόποις μετρίοις συνισταμένων, μεγίστους καὶ τόθ' ἕξουσιν καὶ σφοδροτάτους σφυγμούς. εἰ δέ τινα μὲν ὧν εἶπον παρείη αὐτοῖς, τινὰ δὲ μὴ, σφοδροὺς μὲν καὶ μεγάλους ἔτι ἔχοιεν ἄν, ἀλλ' ἧττον εἰ οὕτως ἔτυχεν, εἴ τινος ἀκμάζοντος καὶ ὑγιαίνοντος, οὐ μὴν συμμέτρου τὴν ἕξιν, ἀλλ' ἤτοι πίονος, ἢ ἰσχνοῦ, χωρίον οἰκοῦντος ψυχρὸν, ἅπτοιο τῶν σφυγμῶν. σφοδροὺς μὲν εὑρήσεις αὐτοὺς καὶ μεγάλους. ἀλλ' οὐχ ὁμοίως τοῖς προειρημένοις. οὐ μὴν ἀλλὰ κἀπὶ τῶν τοιούτων ἁπάντων, ἐφ' ὧν ὁ σφυγμὸς ἔτι μένει σφοδρὸς καὶ μέγας, εἰ καθ' ὃν εἴπομεν τρόπον, ἅπτοιο τῆς ἀρτηρίας αἰσθήσῃ τῆς συστολῆς, ἐναργεστάτης δ' ἐφ' ὧν εἴρηται μέγιστός τε καὶ σφοδρότατος. ὅτι μὲν οὖν εἰ ὁ σφοδρότατος

ἂν μᾶλλον ἐμπίπτει τῇ ἁφῇ, καὶ διὰ τοῦτο ἡ ἔφοδος αὐτοῦ σαφεστέρα γίγνεται, πρόσθεν ἐλέχθη. ὅτι δὲ καὶ εἰ μέγιστος, ὧδ' ἂν μάλιστα μάθοις, εἰ νοήσειας ὅτι τοσοῦτον ἐν ταῖς συστολαῖς ἡ ἀρτηρία κάτω πέφυκε φέρεσθαι, ὅσον ἐν ταῖς διαστολαῖς ἄνω φέρεται. εἰ δὲ τοῦτο, ἐπὶ μεγίστης διαστάσεως, ἑκατέραν ἀνάγκη φέρεσθαι τὴν κίνησιν. ἄνω μὲν, ἐν τῷ διαστέλλεσθαι, κάτω δ' ἐν τῷ συστέλλεσθαι· ὥστε τὴν μὲν ἄνω θεῖν ἐπὶ πλεῖστον, τὴν δ' ἀφίστασθαι. τοῦ δ' ἀφίστασθαι τὴν αἴσθησιν ἐλέγομεν, οὐ τοῦ ἀφεστάναι γίγνεσθαι. ἐφ' ὅσον οὖν αὐξηθῇ τὸ ἀφίστασθαι τῷ τε τῆς διαστάσεως καὶ τῷ τοῦ χρόνου μεγέθει, καὶ ἡ διάγνωσις ἐπὶ τοσοῦτον αὐτοῦ σαφεστέρα γενήσεται. διὰ τοῦτο ἔφαμεν εἶναι τὴν πρώτην ἄσκησιν τῆς ἁφῆς, οὐκ ἐπὶ τῶν σφοδροτάτων μόνον, ἀλλὰ καὶ μεγίστων ἅμα ποιεῖσθαι σφυγμῶν. καὶ μηδ' ὠκέως πάνυ κινουμένων. ἐλέχθη δ' ὅτι καὶ ἡ σκληρότης συντελεῖ τι, πρὸς τὴν τῆς συστολῆς διάγνωσιν. οὐ μὴν τὴν αἰτίαν εἴπομεν ἐκεῖ. νῦν δ' οὐδὲν κωλύει καὶ ταύτην ἤδη προσθεῖναι. τῷ γὰρ πληγῆς βιαίῳ μέγα συμβάλλεται, καὶ ἡ τοῦ χιτῶνος τῆς ἀρτηρίας σκληρότης. εἴσῃ δ' αὐτὸ κἀπὶ τῶν ἐκτὸς σαφῶς, εἰ τῇ ἴσῃ ῥώμῃ χρώμενος, ἢ λίθον σκληρότατον ἐπερείδοις ὁτῳοῦν. ἢ ξύλον ἤ τι τῶν μαλακῶν. ἀνάγκη γὰρ οἶμαι πολὺ θᾶττόν τε καὶ μᾶλλον ὑπὸ τοῦ λίθου θλιφθῆναί τε καὶ ἀνατραπῆναι τὸ ἐπερειδόμενον, ἢ πρὸς τοῦ ξύλου. τῷ δ' ἀνάλογον ἔχειν ἀεὶ τῇ κατὰ τὸ διαστέλλεσθαι βίᾳ τὴν αἴσθησιν τοῦ συστέλλεσθαι, σαφέστεραι γίνονται τῶν συστολῶν αἱ διαγνώσεις, ὁπόσαι βιαιοτέραις ἕπονται διαστολαῖς. μέγας δὲ σφυγμός, ὅτε ῥᾳδίως μίγνυται τῷ σκληρῷ. καὶ τὰς διαθέσεις ἐν αἷς εἰς τ' αὐτὸν ἥκουσιν ἔν τε τῇ περὶ τῶν κατὰ τοὺς σφυγμοὺς αἰτίων πραγματείᾳ, καὶ τῇ περὶ τῆς δι' αὐτῶν προγνώσεως ἐροῦμεν. ἐν δὲ τῷ παρόντι τοσοῦτον ἀρκέσει τοῖς εἰσαγομένοις παραδείγματος ἕνεκα μαθεῖν, ὡς τοῖς ἰσχυροῖς μὲν, τὴν ζωτικὴν δύναμιν, ἣν καὶ ζωτικὸν τόνον ἔνιοι τῶν ἰατρῶν καλοῦσι, πλημμελήσουσι δὲ κατὰ τὴν δίαιταν, ἄλλα τέ τινα, οὐχ ἥκιστα δὲ, καὶ περὶ τὰς τῶν οἴνων οὐκ ἐν καιρῷ πόσεις, οἱ τοιοῦτοι συμπίπτουσι σφυγμοί. καὶ γὰρ οὖν καὶ ἐπὶ τούτων ὥσπερ κἀπὶ τῶν ἔμπροσθεν εἰρημένων, ἡ συστολὴ τῆς ἀρτηρίας ἐναργής.

Ὅτι δὲ καὶ ἡ βραδύτης ἐφ' ὅσον αὔξει τὸν χρόνον τῆς ἀποχωρήσεως, ἐπὶ τοσοῦτον ἐναργεστέραν ἐνδείξεται τὴν κίνησιν, οὐδ' αὐτὸ ἀδύνατον συλλογίσασθαι. καὶ διὰ τοῦτο καὶ αὕτη συντελεῖ τι πρὸς τὴν διάγνωσιν. οἷον μὲν οὖν εἶναι χρὴ σφυγμὸν, τὸν αἰσθητὴν μέλλοντα ποιήσειν τὴν συστολὴν, αὐτάρκως εἴρηται. Ποίῳ δέ τινι τρόπῳ, τὴν ἐπιβολὴν τῆς χειρὸς προσήκει ποιεῖσθαι, μετὰ τοῦθ' ἡμῖν ζητητέον ἐστὶν, ἆρά γε διὰ παντὸς ἄνωθεν τῆς ἀρτηρίας ἢ κάτωθεν. ἢ ποτὲ μὲν οὕτως, ποτὲ δ' ἐκείνως. καὶ πότερα θλίβοντας, ἢ ψαύοντας, ἢ ἐπιτιθέντας ἁπλῶς. ἢ ποτὲ μὲν οὕτως, ποτὲ δ' ἐκείνως, ὡς ἂν ἡ τοῦ σφυγμοῦ δέηται φύσις, οὐδὲ γὰρ οὐδὲ περὶ τούτων οὐδὲν διώρισται τοῖς πρὸ ἡμῶν. ἡμεῖς δὲ καὶ ταῦτα ζητήσαντες, ὅσα τῷ τε λογισμῷ καὶ τῇ πείρᾳ περὶ αὐτῶν ἐξεύρομεν, εἰς τὸ κοινὸν φέροντες καταθήσομεν, ἵν' εἰ μὲν αὐτάρκη φαίνοιτο, πᾶν ἤδη τὸ δέον ἔχοι παρ' ἡμῶν ὁ λόγος. εἰ δὲ μὴ, ἀλλ' ἐπὶ πλέοσί γε τοῖς χρηστοῖς εὑρημένοις, ἄλλος τις καὶ ἄλλος ῥᾷον ἐξευρίσκοι τὸ λεῖπον. εἰ μὲν δὴ μετὰ τοῦ θλίβειν ἐπιβάλλοιμεν τὴν ἁφὴν, οὐδὲ μίαν εὑρίσκομεν αἰσθητὴν διαφορὰν ἐκ τοῦ κάτωθεν ἢ ἄνωθεν τῆς ἀρτηρίας ἐπιφέρειν τὴν χεῖρα. καὶ εἰ ψαύοντες δὲ μόνον, οἷον αἰωροῦντες τοὺς δακτύλους, οὐδ' οὕτως οὐδὲ μιᾶς αἰσθανόμεθα διαφορᾶς. ὁ δὲ τρίτος τρόπος τῆς ἐπιβολῆς, ὁ μεταξὺ τοῦ θλίβειν τε καὶ ψαύειν ἐπιπολῆς, οὐδὲ συστῆναι δύναται κάτωθεν ἁπτομένοις τῆς ἀρτηρίας. ἐκλῦσαι γὰρ ἁπασῶν τηνικαῦτα χρὴ τὴν χεῖρα τῶν κατὰ προαίρεσιν κινήσεων, οἷον παρετὸν ἐπιθέντα. τοῦτο δ' εἰ δρᾶσαι μὲν ὑπὸ τοῦ βάρους καταφερομένης, τῆς κατὰ τὴν ἀρτηρίαν ἐπαφῆς ἀπορρυήσεται κατὰ τοῦτον οὖν τὸν τρόπον τῆς ἐπιβολῆς, μόνον ἄνωθεν ἐστὶν ἅψασθαι, κάτωθεν δ' οὐδέ ποτε. γίνεται δ' ἐν αὐτῷ πολλάκις μὲν καὶ πάνυ σαφὴς ἡ συστολὴ, πολλάκις δ' ἀμαυρὰ μὲν, οὐ μὴν ἄδηλός γε τοῖς ἠσκημένοις, ἐπὶ μὲν τῶν σφοδρῶν καὶ μεγάλων καὶ μὴ ταχέων ἐναργὴς, ἐπὶ δὲ τῶν συμμέτρων ἐν ἅπασι τοῖς εἰρημένοις γένεσιν, ἀμαυρά. τὸ δ' ὅτι θλιβόντων τοὺς σφοδροὺς καὶ μεγάλους καὶ μὴ ταχεῖς σφυγμοὺς, ἐναργεστάτη πασῶν ἐστιν συστολὴ, πρόσθεν εἴρηται. τὰς δ' αἰτίας τούτων, οὐ χαλεπὸν ἐξ ὧν ἐν ἐκείνοις εἶπον ἐξευρίσκειν. εἰς ὅσον γὰρ ὑπὸ τῆς ἀρτηρίας διαστελλομένης ἀνατρέπεσθαι συμβαίνει τὴν ἁφὴν, εἰς τοσοῦτον ἀποχωρούσης αὐτῆς, αἰσθητὴν ἀνάγκη γίνεσθαι τὴν συστολήν. ἀνατρέπεται δ' ἐν μὲν ταῖς θλίψεσιν, ἐπὶ πλέον γ' ἐν τοῖς προειρημένοις σφυγμοῖς, ἐν δὲ ταῖς ψαύσεσιν, εἰς ἴσον τῷ μηδόλως. κατὰ δὲ τὰς μεταξὺ τούτων ἐπιβολὰς, ἃς οἷον παρειμένης τῆς χειρὸς ἔλεγον γίγνεσθαι, συμμέτρως ἀνατρέπεται. ὥστε καὶ τῆς συστολῆς μᾶλλον ἐπὶ ταῖς θλίψεσι, ἤπερ ἐν ταῖς ἁπλαῖς ἐπιβολαῖς αἰσθήσεται. καὶ οὐδὲν ἧττον κάτωθεν ἁπτομένων ἢ ἄνωθεν. ὁμοίως γὰρ ἀκολουθεῖ καθ' ἑκάτερον ἡ ἁφὴ συστελλομένῃ τῇ ἀρτηρίᾳ. χρὴ δὲ καὶ αὐτὴν εἶναι τὴν ἁπτομένην χεῖρα μὴ μόνον εὐαίσθητον, ἀλλὰ καὶ μαλακήν. οὕτω γὰρ ὑπάρξει ῥᾳδίως αὐτῇ, καὶ τῶν ἐλαχίστων αἰσθάνεσθαι κινήσεων. ὅτι μὲν οὖν ὥσπερ ὁρῶμέν τε καὶ ἀκούομεν ἑτέρων ἕτεροι φύσει βέλτιον τε καὶ χεῖρον. οὕτω καὶ διὰ τῆς ἁφῆς αἰσθανόμεθα, πρόδηλον οἶμαι παντὶ τοῦτό γε ὑπάρχει. ὅτι δ' εἰ πρὸς τούτῳ καὶ μαλακή τις ἡ σύστασις εἴη τῆς ἐν τοῖς δακτύλοις σαρκώδους φύσεως, ἐπιμονώτερον τε καὶ μᾶλλον ἐν τῷ προσπίπτειν τὴν ἀρτηρίαν ἀνατρεπομένην, κατὰ μείζονος ἐν τῷ συστέλλεται διαστάσεως ἐνεχθήσεται, οὐδ' αὐτὸ νομίζω τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων, ἀσαφὲς εἶναι. οὐ μὴν οὐδ' ὅτι κατὰ μείζονος φερομένη διαστάσεως. ἐναργέστερον αἰσθήσεται τῆς συστολῆς, οὐδὲ τοῦτ' ἄδηλον. ὥστ' ἄλογον τὴν μαλακωτέραν χεῖρα τῆς σκληροτέρας τῶν ἄλλων ἐπίσης ἐχόντων, ἀκριβέστερον αἰσθάνεσθαι τῆς συστολῆς οὐκ οὖν. κεφαλῇ γὰρ ἤδη ἐπιθέντες τῷ λόγῳ, μεταβαίνωμεν ἐφ' ἕτερον.

Ζητήσεως οὔσης τοῖς ἰατροῖς, περὶ τῆς κατὰ τὰς ἀρτηρίας συστολῆς, καὶ τῶν μὲν λεγόντων αἰσθητὴν, τῶν δ' ἀναίσθητον ὑπάρχειν αὐτὴν, ἐδείξαμεν ἡμεῖς μήτε διαπαντὸς αἰσθητὴν εἶναι καὶ πρῶτον μὲν τοὺς σφυγμοὺς εἴπομεν, ἀφ' ὧν ἐστιν αἰσθητὴ, δεύτερον δὲ τὰς διαθέσεις ἐν αἷς τοὺς τοιούτους ἐξευρήσομεν σφυγμοὺς, μετὰ ταῦτα δὲ, πῶς μὲν, ἅπτεσθαι προσήκει τὸν βουλόμενον ἀκριβῶς αἰσθάνεσθαι τῆς συστολῆς, ὁποίαν δ' εἶναι χρὴ τὴν ἐπιβαλλομένην χεῖρα.

Τούτων δ' οὕτως ἐχόντων, ἑξῆς ἂν εἴη σκοπεῖσθαι, πότερον ὅλης αἰσθανόμεθα τῆς τε διαστολῆς καὶ τῆς συστολῆς, ἢ μόριον ἡμᾶς ἑκατέρας διαλανθάνει. καὶ εἰ διαλανθάνει, τί τοῦτ' ἐστὶ καὶ πόσον; ἀρχὴν δὲ καὶ τούτου τοῦ λόγου τὴν περὶ τῆς διαστολῆς κίνησιν ποιησόμεθα, καὶ πρῶτον μὲν, ἀναμνήσομεν ἡμᾶς αὐτοὺς ὡς πολλάκις ἐπὶ

πολλῶν

πολλῶν ἀῤῥώστων μικροὺς καὶ ἀμυδροὺς ἐχόντων τοὺς σφυγμοὺς, οἷοι μάλιστα τοῖς τε συγκοπτομένοις γίνονται
καὶ σχεδὸν ἅπασι τοῖς ἀποθνήσκουσι. τινὲς μὲν τῶν ἰατρῶν ἐπὶ βραχὺ τῆς κινήσεως αἰσθάνονται. τινὲς δ' οὐδ' ὅ-
λως. δεύτερον δ' ὅτι καὶ ὁ αὐτὸς ἰατρὸς πολλάκις παρὰ τὸ προσεχόντως τε καὶ ἀκριβῶς, ἢ ῥαθύμως τε καὶ ἀ-
μελῶς ἅπτεσθαι. ποτὲ μὲν αἰσθάνεται τῆς κινήσεως, ποτὲ δ' οὔ. ὅταν οὖν τὴν αὐτὴν ἀρτηρίαν, ὁ μέν τις τῶν ἰα-
τρῶν ἄσφυκτον ὑπάρχειν, καθ' ὃ δέ τις σφύζειν ἔτι λέγῃ, καὶ πολλάκις ὁ αὐτὸς ἰατρὸς ἐν ἑνὶ καιρῷ παρὰ τὰς
διαφορὰς ἐπιβολὰς τῆς χειρὸς ἐν μέρει τἀναντία φησὶ, δῆλον ὡς διαφεύγει μόριόν τι τῆς κινήσεως τὴν ἁφήν.
ἴσως τις ἐρεῖ τὰ ἄριστα μὲν πεφυκότα, κάλλιστα δ' ἐπιβάλλοντα τὴν χεῖρα, τετριμμένον δ' ἀκριβῶς ἁπά-
σης αἰσθάνεσθαι τῆς διαστολῆς. καὶ πῶς τοῦτον εὑρήσομεν; τίς ἡμῖν ἐγγυήσεται φύσιν ἀνθρωπίνην εἰς τοσαύτην ἀκρί-
βειαν αἰσθήσεως ἥκειν; ὡς μηδὲν αὐτὴν μηδὲ τοὐλάχιστον παρελθεῖν; ἐγὼ μὲν γὰρ οὐδ' ἐπὶ τῶν ἐκτὸς τούτων σω-
10 μάτων, ὧν ἐστιν αὐτῶν ἅψασθαι, μηδενὸς ἐπιπρόσθεν ὄντος ἑτέρου, δυναίμην ἂν ἀλαζονεύσασθαι βεβαίαν διάγνω-
σιν, οὐχ ὅπως ἐπὶ σώματος, οὗ πιμελὴ καὶ ὑμένες καὶ δέρμα πρόκειται παχύτερον αὐτοῦ πολλάκις τοῦ τῆς ἀρ-
τηρίας σώματος. εἰ δέ τις οὕτως ἐστὶ θρασὺς ὡς ἀπαυθαδιάσασθαί τε καὶ φάναι τὴν πρώτην ὁρμὴν τῆς κινήσεως
γνωρίζειν ἐν ταῖς διαστολαῖς τῆς ἀρτηρίας, ἡδέως ἂν αὐτοῦ πυθοίμην περὶ ποίαν ἐπιβολὴν τῆς χειρὸς τοῦτο δια-
γιγνώσκειν, πότερον ἐπιπολῆς ψαύων, ἢ θλίβων, ἢ ἀβίαστος ἐπιβάλλων. ἴσως μὲν οὖν ἐάν τις τῶν μεγάλων ἢ σο-
φιστῶν, οἳ τὰ μὲν ἔργα τῆς τέχνης μέχρι τοσούτου τρίβοντες εἰσὶν, ὥστε μηδ' εἰ πυρέττει τὴν ἀρχὴν ὁ αὐτὸς εἰδέ-
ναι, περὶ λόγων δ' ὑποφθέγγονται. τὴν ἀλήθειαν οὐδ' εἰ πλείους εἰσὶν ἐπιβολαὶ τῆς χειρὸς, οὐδ' εἰ καθ' ἑκάστην αὐ-
τῶν διαφοράν τινα λαβεῖν ἐστιν, ὁ τοιοῦτος ἐπίσταται. καὶ λῆρος αὐτῷ μακρὸς εἶναι δόξει τὰ ἡμέτερα, καὶ οὐδ' ἀρ-
μένει τὴν ἀρχὴν ὑπακοῦσαι τῶν λόγων. ἀλλ' ἡμεῖς ὥσπερ καὶ τἄλλα τὰ πρόσθεν, οὕτω καὶ ταῦτα πρὸς τὸν τῆς
ἀληθείας ἐραστὴν, κἂν εἷς ᾖ, λέγωμεν. ὡς ἡ μὲν μέση τῶν ἐπιβολῶν ἡ ἀβίαστος, τοσοῦτον αἰσθητὸν ἕξει τῆς κινήσε-
20 ως, ἔν γε τοῖς οὐκ ἀμυδροῖς σφυγμοῖς, ὅσον καὶ ἡ ὄψις, ἐν γὰρ τοῖς ἀμυδροῖς, καὶ τῆς ὄψεως αὐτῆς ἔλαττον αἰσθή-
σεται. ἡ δευτέρα δὲ, καθ' ἣν θλίβομεν, ἐν μὲν τοῖς ἀμυδροῖς, ἔτι καὶ μᾶλλον τῆς προτέρας, ἀφανῆ τὴν κίνησιν
ἐργάσεται τῆς ἀρτηρίας. ἐν δὲ τοῖς σφοδροῖς, προτέρα διαγνώσεται. ἡ δὲ τρίτη καθ' ἣν οἷον αἰωροῦμεν τὴν χεῖρα
παντελῶς ὀλιγοχρονίου τῆς κινήσεως αἰσθήσεται. τούτων δὲ καὶ τὰς ἀποδείξεις πειραθῶμεν εἰπεῖν ἀπ' αὐτῶν τῶν
ἐναργῶν λαμβάνοντες τὰς ἀρχάς. τί δ' ἂν ἐναργέστερον εἴη τοῦ πάσας τὰς ἀρτηρίας, μήτ' ὄψει, μήθ' ἁφῇ φαίνεσθαι
κινουμένας; ἀλλὰ μόνας ὅσας τὸ δέρμα καλύπτει, καὶ τοῦτο μὴ πάνυ παχύ. τὰς δ' ὑπὸ σαρκὸς κρυπτομένας, ἤ καί
τινων ἄλλων σωμάτων, ἀφανῆ τὴν κίνησιν ἔχειν, πλὴν εἴποτε τῶν ἐπικειμένων ἐκτακέντων ἰσχυρῶς, αἰσθητὴ
γένοιτο. καὶ αὐτῶν δὲ τῶν αἰσθητὴν ἀεὶ τὴν κίνησιν ἐχουσῶν ἀρτηριῶν, ὅσαι γυμνότερα μόρια, καὶ ὑπ' αὐτῷ τῷ
δέρματι, σαφεστέραν ὄψει τε καὶ ἁφῇ τὴν κίνησιν ἐνδείκνυνται. καὶ ἡ μεγίστη τῶν ἀρτηριῶν ἡ περὶ τὴν ῥάχιν ἀφανῆ
τέως ἔχουσα τὴν κίνησιν, ἐκτακέντος τοῦ ζώου διασημαίνει περὶ τὸ ἐπιγάστριον, ᾧ δῆλον, ὅτι τὰ μὲν κουφότερα σώ-
30 ματα ῥᾳδίως συνεξαίρουσιν αἱ ἀρτηρίαι διαστελλόμεναι. τὰ δὲ βαρύτερα, δυσχερέστερον. ὅσα δ' ἱκανῶς βαρέα,
ταῦτ' οὐδ' ὅλως κινοῦσιν. ἔτι δ' ἂν μᾶλλον ὃ λέγω μάθοις σαφῶς. εἰ ἐν ταῖς ἐπιφανῆ τὴν κίνησιν ἐχούσαις ἀρτηρίαις
ἔξωθεν ἐπιβάλλοις τι περὶ τοῦ δέρματος. ἕτερον σῶμα λεπτὸν, οἷον φύλλον, ἢ ὑμένα, ἢ ὀθόνιον, ἢ ῥάκος, ἤ τι τοιοῦ-
τον ἄλλο. φανεῖται γάρ σοι κινούμενον αὐτῇ διαστελλομένῃ. δεύτερον δ' αὖθις ἴσον ἐπιβάλλοντι τῷ προτέρῳ
πολλῷ νῦν ἧττον ἄμφω φανεῖται κινούμενα, καὶ εἰ τρίτον ἐπιβάλλοις, ἧττον ἔτι μακρῷ, καὶ εἰ τέταρτόν γε καὶ
πέμπτον. ὥστε εἰ καὶ παντάπασιν ἀκίνητα εἶναί τοι δόξει τὰ ἐπικείμενα γεγονέναι. καὶ εἰ μὲν ἔτι μᾶλλον σφο-
δρὸς ὁ σφυγμὸς εἴη, πλειόνων ἐπίθεσιν ἀνέξεται σωμάτων, εἰ δ' ἧττον, ἐλαττόνων, εἰ δὲ μηδ' ὅλως εἴη σφοδρὸς, ἴσως
ἂν οὐδὲ τὴν ἑνὸς ἀνάσχοιτο σώματος ἐπιβολήν. εἰ δὲ καὶ ἀμυδρὸν αὐτὸν ἐπινοήσαις γινόμενον, οὐχ ὅπως τι τῶν
ἔξωθεν ἐπικειμένων τῷ δέρματι, οὐ κινήσει σωμάτων, ἀλλ' οὐδ' αὐτὸ πολλάκις τὸ δέρμα. καὶ μὴν οὖν καὶ φαίνεται
τοῦθ' οὕτως γιγνόμενον, εἰς ὅσον γὰρ ἂν εὐρωστότερος, ὁ τόνος ᾖ τῆς ἀρτηρίας, εἰς τοσοῦτον ὄψει τὸ δέρμα κινούμε-
40 νον. ἐκλυθέντος δ' ἱκανῶς τοῦ τόνου, παντάπασιν ἀκίνητον φαίνεται. ὡς οὖν ἡ μὲν ἰσχυροτέρα κίνησις τῆς ἀρτηρίας,
οὐ τὸ δέρμα μόνον, ἀλλὰ καὶ πολλὰ τῶν ἔξωθεν ἐπιτιθεμένων σωμάτων ἠδύνατο συγκινεῖν, ἡ δ' ἀσθενεστέρα, τὸ
δέρμα μόνον, ἡ δ' ἔτι μᾶλλον ταύτης ἀῤῥωστοτέρα οὐδὲ τὸ δέρμα. τί θαυμαστὸν εἶναι ταύτης ἑτέραν πάλιν ἀσθε-
νεστέραν, ἣ μηδὲ τοὺς ὑποκειμένους ὑμένας ταῖς ἀρτηρίαις, μηδὲ τὴν πιμελὴν ἐξαίρειν δυνήσεται. τίς οὖν ἁφὴ τῆς
τοιαύτης αἰσθήσεται κινήσεως; οὐδεμία δηλονότι. πρὸς γὰρ αὖ τοῖς εἰρημένοις, οὐδὲ τοῦτ' ἐστὶν εἰπεῖν ὡς θλίψαι
προσήκει, τὸ περὶ τῆς ἀρτηρίας δέρμα πιέσαντα τοῖς δακτύλοις, ἵν' ἀπαντήσωμεν ἐλλιπῶς ἀναφερομένῳ τῷ
σφυγμῷ. καὶ γὰρ ἐπὶ τῶν ἐχόντων αἰσθητὴν κίνησιν, ἀμυδρῶν δὲ, θλιψάντων ἡμῶν τὸ δέρμα, παντελὴς ἀσ-
φυξία γίνεται. τί ποτ' οὖν οἴει πείσεσθαι; τὴν μηδὲ τὸ δέρμα κινεῖν δυναμένην ἀρτηρίαν, εἰ προσέτι βαρύνοις
μετ' αὐτὴν τοῖς δακτύλοις ἢ δηλονότι καὶ τὸ σωζόμενον τῆς κινήσεως προσαπολέσθαι. τὸ δ' ὅλον ἀγνοεῖν μοι δοκοῦ-
σι τὴν ἐκ τῆς ἀνατομῆς θέσιν τῶν ἀρτηριῶν οἱ διστάζοντες, ὡς τὸ πρῶτον μέρος τῆς διαστολῆς αἰσθητόν ἐστιν. οὐδε-
50 μία γὰρ αὐτῶν τοῦ δέρματος ἅπτεται, ἀλλ' εἰ καὶ τὰς πάνυ δοκούσας προφανεῖς εἶναι, καὶ πλησίον αὐτοῦ παραδεί-
ρας, ἑκατέρωθεν ἐθέλοις ἐπισκοπεῖσθαι, πολὺ τοὐν μέσῳ φανεῖταί σοι, τοῦ τε δέρματος καὶ τοῦ χιτῶνος τῶν ἀρ-
τηριῶν. καὶ γὰρ ἂν καὶ ἀτόπως ἐπέπρακτο μόνον τοῦτο τῇ φύσει, καίτοι μηδὲν εἰκῇ δημιουργούσῃ, κατασκευά-
σαι μὲν ὄργανον πάντῃ διαστέλλεσθαι δυνάμενον, χώραν δ' αὐτῷ μηδεμίαν παρασχεῖν ἐν ᾗ κινήσεται. ἀλλ'
οὐκ ἔχει ταῦθ' οὕτως πολλοῦ γε καὶ δεῖ, φαίνεται γὰρ ἐν ταῖς ἀνατομαῖς, εὐρυχωρία τις ἱκανὴ περὶ τὴν ἀρτηρίαν,
εἰς ἣν ἐν ταῖς ἀμετροτέραις σαρκώσεσιν ἡ σὰρξ ἀποχεομένη κωλύει διαστέλλεσθαι τὸ ἀγγεῖον εἰς ὅσον ἀπέφυκε.
καὶ διὰ τοῦτο, μικρός ἐστιν ὁ τῶν παχέων σφυγμός. τὸ μὲν γὰρ μῆκος αὐτοῦ βραχύτερον γίνεται, καὶ τὸ πλάτος στενό-
τερον, τῷ πλήθει τῆς σαρκὸς θλιβόμενον. ἡ δ' εἰς ὕψος ἄνοδος κωλύεται τῇ τῶν ἐπικειμένων σωμάτων εὐτροφίᾳ
βαρυνθεῖσα. τῶν δ' ἰσχνῶν μὲν τὴν ἕξιν, τἄλλα δ' εὐρώστων ἱκανὸν μετά τό γε πλάτος καὶ τὸ μῆκος ὁ σφυγμὸς ἔχει
ἀξιόλογον δὲ καὶ τὴν εἰς ὕψος ἀνάβασιν. ἔτι δὲ μᾶλλον ἐφ' ὧν χαλαρόν ἐστι τὸ δέρμα, κατάδηλον γίνεται τὸ τῆς δια-

στήματος αὐτοῦ τε καὶ τοῦ τῆς ἀρτηρίας χιτῶνος. εἰ γὰρ οὕτως ἔχοντος σφοδρὸς ὁ σφυγμὸς, ἢ μὴ ἀμυδρός γ᾽ εἴη,
δυνήσῃ τὸ κῶλον ὑπαλλάττων, καὶ ποτὲ μὲν ὕπτιον, ποτὲ δὲ πρηνὲς ποιούμενος, τὰς διαφορὰς τῶν τῆς ἀρτηρίας
διαστάσεων, ἃς ἐγὼ νῦν εἶπον φράσαι σαφῶς, τῇ θλίψει. κατὰ μὲν γὰρ πλάτει καὶ κατὰ μήκει, τὸ πρανὲς σχῆμα πλεονε-
κτεῖν σοι φαίνεται. κατὰ δ᾽ ὕψει καὶ τῷ χρόνῳ τὸ ὕπτιον. αἴτιον δ᾽ ἀμφοῖν τὸ χαλαρὸν τοῦ δέρματος, ἐν μὲν τοῖς ὑπτίοις
σχήμασι τῆς χειρὸς, ὡς ἂν ἄνωθεν ἐπικείμενον, καὶ καταπίπτον ἐπὶ τὴν ἀρτηρίαν, ἐν δὲ τοῖς πρηνέσιν, ὡς ἂν κά-
τω ῥέπον ἐκκρεμανύμενόν τε καὶ πλεῖστον ἀφιστάμενον. διὰ τοῦτο ἐν μὲν τοῖς ὑπτίοις σχήμασιν, ἐν τῷ διΐστασθαι
τὴν ἀρτηρίαν ἀπὸ τῶν ὑψηλοτέρων ἐπὶ τὰ πλάγια περιῤῥέον, διπλοῦταί τε καὶ οἷον ῥυτιδοῦται καὶ πλεῖστον ἀθροι-
ζόμενον ἐνταῦθα, κωλύει καὶ ταῦτα μάλιστα τὰ μέρη τὸ μέγεθος τοῦ σφυγμοῦ. ἐν δὲ τοῖς πρανέσιν, οὐδαμοῦ
βαρῦνον, οὐδὲ διακωλῦον τὴν κίνησιν τῆς ἀρτηρίας, οὐδὲ τοῦ μεγέθους τοῦ κατὰ τὸν σφυγμὸν ἀφαιρεῖται. πῶς οὖν οὐ 10
καὶ κατὰ τὸ βάθος ἐπὶ πλέον ἐνταῦθα φαίνεται διαστελλόμενος ὁ σφυγμὸς, ἢ εἰ μὴ πλέον, ἀλλὰ τό γ᾽ ἴσον τῇ κατὰ τὸ
ὕπτιον; ὅτι τῇ τοῦ πλάτους τε καὶ τῇ τοῦ μήκους αὐξήσει, κατακρύπτεται τὸ βάθος. καὶ ἄλλως, ὅπερ ἕνεκα πάν-
τα ταῦτα λέγεται, χρόνῳ πλέονι φαινομένης, ὡς πρὸς τὴν ὄψιν κινεῖσθαι, τῆς ἐν τοῖς ἄνω μέρεσι τοῦ κώλου τεταγ-
μένης τῆς ἀρτηρίας, συμφαντάζεται καὶ ἡ εἰς ὕψος ἄνοδος μείζων γίνεσθαι. τὸ γὰρ ἐν χρόνῳ πλέονι φαινό-
μενον ἄνω φέρεσθαι, ῥαδίως ἀναπείθει τὴν ὄψιν, ὡς καὶ μείζονος διαστάσεως ἐνηνεγμένον. τὸ δὲ, φέρεται μὲν
καὶ τῆς ἴσης, πρός γε τὴν ἀλήθειαν, ὅπως ἂν ἔχῃ θέσεως ἡ ἀρτηρία, κατὰ δὲ περαιτέραν εἰς τὸ δέρμα διαδίδοσθαι τὴν
ἐν τοῖς ὑπτίοις σχήμασι κίνησιν, ὁ χρόνος αὐξανόμενος ὡς πρὸς τὴν ὄψιν, ὁ τῆς διαστολῆς, τὴν τοῦ βάθους οὕτως
συναύξει φαντασίαν. ταῦτά τε οὖν τὰ φαινόμενα καὶ ἄλλα τινὰ παραπλήσια τὰ πρῶτα μέρη τῆς διαστολῆς
ἐκφεύγειν ἐνδείκνυται τὴν ὄψιν. ὅσον δέ ἐστι ταύτῃ τῇ κινήσει τὸ τῆς ὄψεως αἰσθητὸν, τοσοῦτον καὶ τῇ ἀβιάστῳ 20
ἁφῇ κατά γε τοὺς σφοδροὺς σφυγμοὺς, ἐπὶ τῶν δὲ ἀμυδρῶν, ἔλαττον πολλάκις. φανερὸν μὲν γὰρ ὡς οὐκ ἐνδέχε-
ται κατὰ τὸν τοιοῦτον τρόπον τῆς ἐπαφῆς αἰσθέσθαι τῶν πρώτων τῆς διαστολῆς, ἀλλ᾽ οὐδ᾽ εἰ ψαύεις ἐπιπολῆς οἷον αἰω-
ρῶν τὴν χεῖρα. λοιπὸν οὖν, εἴπερ ἄρα, ἐν ταῖς θλιβούσαις ἐπιβολαῖς τῆς χειρὸς, αἰσθέσθαι δυνατὸν τῶν πρώτων τῆς
διαστολῆς. ἀλλ᾽ ὅτι γε μὴ κατὰ πάντας τοὺς σφυγμοὺς, ἀλλ᾽ εἴπερ οἷόν τε, κατὰ μόνους τοὺς σφοδροὺς, ἄντικρυς δῆλον
ἔτι μεμνημένοις τῶν εἰρημένων. τοῦτο μὲν δὴ ἡμῖν μέχρι τοσούτου προελήλυθε, κατὰ μηκέτ᾽ ἄλλην τινὰ ἐπιβολὴν,
μήτ᾽ ἄλλον σφυγμὸν ὁμολογηθῆναι τὴν ἀρχὴν τῆς διαστολῆς αἰσθητὴν ἐγχωρεῖν ἐργάζεσθαι, πλὴν τῆς μετὰ θλίψεως
ἐν τοῖς σφοδροῖς γινομένης. ἐξῆς δ᾽ ἴδωμεν εἰ τοῦτ᾽ αὐτὸ τὸ ἐνδεχόμενον, ὄντως ἀληθές ἐστιν, ἢ μόνον πιθανόν.
ἐμοὶ μὲν γὰρ δοκεῖν κἀν τούτοις διαφεύγειν, ἔτι τὰ πρῶτα τῆς διαστολῆς, οὐ μὴν ὁμοίως γ᾽ ὥσπερ ἐπὶ τῶν ἄλλων
σφυγμῶν, ἀλλὰ παντελῶς ἐλάχιστον εἶναι τὸ λανθάνον. μάθοις δ᾽ ἂν εἰ νοήσαις ὡς ἀναγκαῖόν ἐστι τὴν ἐκ τῆς ἀρτη-
ρίας ἀρχομένην κίνησιν διαδοθῆναι, πρώτοις μὲν, τοῖς περικειμένοις σώμασιν, εἶτα κατὰ δέρματι παντὶ, καὶ 30
τότ᾽ ἤδη τοῖς ἡμετέροις δακτύλοις. οὔκουν ἐνδέχεται παντάπασιν ἄχρονον εἶναι τὴν οὕτω γινομένην τῆς κινήσε-
ως μετάληψιν. εἰ δὲ τοῦτ᾽ ἀληθὲς εἴρηται, λανθάνειν ἀναγκαῖόν ἐστι τὴν ἀρχὴν τῆς κινήσεως. ἀλλὰ κἀκ τοῦ πολὺ
μακροτέρας αἰσθάνεσθαι τὴν ἁφὴν τῆς μετὰ τὸ συνιζῆσαι τὴν ἀρτηρίαν πρὸ τοῦ διαστέλλεσθαι γιγνομένης ἡσυ-
χίας, ἤπερ τῆς μετὰ τὸ διασταλῆναι πρὸ τοῦ συνιζάνειν. οὐκ ἀλόγως ἄν τις ὑπονοήσειεν, ἐκφευγόντων ἡμᾶς μορί-
ων τινῶν τῆς ἐντὸς κινήσεως, τοῦτο γίνεσθαι. δῆλον γὰρ ὡς εἴπερ ἄληπτον τὸ πρῶτον τῆς διαστολῆς, εἴη ἂν καὶ τὸ τῆς
συστολῆς ἔσχατον ἀδιάγνωστον. οὐ γὰρ ἄν ποτε πλείονος ἢ μείζονος αἴσθοιτο κινήσεως, κατὰ τὴν συστολὴν ἡ ἁφή. εἴ
γε ἀσμενιστέον ἐστὶ κἂν ταῖς ἴσης αἰσθέσθαι διαστολῆς. δηλοῦσι δὲ τοῦτο οἱ μηδόλως αὐτὴν αἰσθητὴν εἶναι λέγον-
τες, οὐκ ὀλίγοι τὸν ἀριθμὸν ὄντες, οὔτε εὐκαταφρόνητοι κατὰ τὴν ἐν τῇ τέχνῃ τριβήν. ἡμεῖς δ᾽ ὅτι μὲν αἰ-
σθητὴ, καὶ πότε, μάλιστα φθάνομεν, ἤδη δεδιδαχότες, συναπεδείξαμεν δὲ καὶ ὡς οὐκ ἐνδέχεται πλείονος
αἰσθάνεσθαι κινήσεως τὴν ἁφὴν ἐν ταῖς συστολαῖς, ἤπερ ἐν ταῖς διαστολαῖς, πλὴν εἰ μεταβολή ποτε κατὰ τὸ πο- 40
σὸν τῆς διαστολῆς, ἢ τῆς συστολῆς γίγνοιτο. τοῦτο δ᾽ ἐν ταῖς συστηματικαῖς ἀνωμαλίαις συμβαίνει. κείσθω τοίνυν καὶ
διὰ τὸ τῆς ἐντὸς ἠρεμίας μέγεθος, ἐκφεύγειν τὴν αἴσθησιν ποτὲ τότε τῆς συστολῆς πέρας, καὶ τὴν τῆς διαστολῆς ἀρ-
χήν. καὶ ἡμῖν ἤδη καὶ τὸ ἕτερον τῶν ζητημάτων τὴν προσήκουσαν ἐχέτω τελευτήν. ἐξῆς γὰρ ἦν κατὰ περὶ τῆς δια-
στολῆς εἰ ἔστιν αἰσθητὴ πᾶσα, τὸ περὶ τῆς συστολῆς ὁμοίως ἐπισκέψασθαι. φαινόμεθα δ᾽ ἐξ ὧν περὶ τῆς διαστολῆς,
εἴπομεν ἤδη καὶ τὸν περὶ τῆς συστολῆς πεπληρωκέναι λόγον. εἰ γὰρ οὐκ ἐνδέχεται πλείονος αἰσθέσθαι κινήσεως ἐν ταῖς
συστολαῖς, ἀλλ᾽ ἤτοι τῆς ἴσης τῇ κατὰ τὰς διαστολὰς, ἢ ὅπερ ἀληθὲς, ἐλάττονος, πάσης δ᾽ οὐκ αἰσθανόμεθα τῆς ἐν
ταῖς διαστολαῖς, δῆλον ὡς οὐδὲ πάσης αἰσθανόμεθα ταῖς ἐν ταῖς συστολαῖς. λοιπῶν δ᾽ ὄντων δυοῖν προ-
βλημάτων, τοῦ τε πόσον ἀναίσθητόν ἐστι τῆς διαστολῆς εἰπεῖν, καὶ τοῦ τῆς συστολῆς, ἐοίκαμεν καὶ περὶ τούτων ἐξ ὧν
εἰρήκαμεν ἔχειν ἤδη τὸ καθόλου. τοσοῦτο γὰρ ἀναίσθητον τῆς διαστολῆς ὁ λόγος ἀπέδειξεν, ὅσον ἐν κατὰ μεταξὺ γί-
γνεται τῆς τε πρώτης ὁρμῆς τοῦ κινεῖσθαι τὴν ἀρτηρίαν, καὶ τοῦ διαδοθῆναι τὴν πληγὴν ἄχρι τῆς ἡμετέρας ἁ- 50
φῆς. κατ᾽ εἴδη δὲ τέμνοντες αὐτὸ, πλεῖστον μὲν ἐν τοῖς ἀμυδροῖς τε ἅμα καὶ μεγάλοις εὑρήσομεν, ὧν ἐπιπολῆς
ψαύομεν, ἐλάχιστον δ᾽ ἐν τοῖς σφοδροῖς οὓς θλίβοντες διαγινώσκομεν, μέσον δ᾽ ἀμφοῖν ἐν ταῖς μέσαις ἐπιβολαῖς
τῆς χειρὸς, κἂν ταύταις δὲ, παρὰ τὸ σφοδρὸν, ἢ οὐ σφοδρὸν εἶναι τὸν σφυγμὸν ἄνισον. ἐπειδή τοι ἴσον αἰσθανόμεθα
τῆς συστολῆς, ὅσον περ καὶ τῆς διαστολῆς ἢ βραχεῖ τινι μεῖον. εἴη ἂν καὶ τὸ τῆς συστολῆς ἀναίσθητον, ἤτοι τοσοῦτον
ὅσον καὶ τὸ τῆς διαστολῆς. ἢ βραχεῖ τινι πλέον. τὰ μὲν οὖν πρῶτα ζητήματα καὶ οἱονεὶ στοιχεῖα τοῦ λόγου.

Τὰ περὶ τῶν κυριωτάτων μορίων τοῦ σφυγμοῦ, σχεδὸν ἤδη τέλος ἔχει. τὰ γὰρ ὑπόλοιπα δύο κατά τι συμβεβη-
κὸς μᾶλλον, οὐ κυρίως, οὐδὲ πρώτως ἐστὶ μόρια τοῦ σφυγμοῦ, ἥτ᾽ ἐντὸς καὶ ἡ ἐκτὸς ἡσυχία τῆς ἀρτηρίας. ἐπεὶ δὲ καὶ
διὰ τούτων προγινώσκεταί τινα, περὶ τῆς διαγνώσεως αὐτῶν, ἀναγκαῖον εἰπεῖν, τὴν μὲν οὖν ἐκτὸς ἡσυχίαν ἁπλῶς
ἐπιβάλλων τὴν χεῖρα, μάλιστ᾽ ἂν γνωρίσαις πηλίκη τίς ἐστιν. ἢ εἰ καὶ θλίβειν ἐθέλοις ἐν τοῖς σφοδροῖς δηλονότι
σφυγμοῖς εἰς τοσοῦτον βιαζόμενος, εἰς ὅσον οὐ δύνῃ κωλῦσαι τῆς κινήσεως. τὴν δ᾽ ἐντὸς εἰ θλίβοις εἰς ὅσον ἡ προσοῦσα
σφοδρότης ἐγχωρεῖ μάλιστ᾽ ἂν οὕτως διαγνοίης. καὶ τὴν μὲν ἐκτὸς ἠρεμίαν ὅλην ἀκριβῶς διαγνώσῃ δεόντως ἁπτό-
μενος.

μενος. τὴν δ᾽ ἐντὸς ὡς καὶ πρόσθεν εἴρηται σὺν τοῖς ἀναισθήτοις μορίοις ἑκατέρας τῶν κινήσεων, τοῦ τε τῆς συστολῆς πέρατος καὶ τῆς ἀρχῆς τοῦ διαστέλλεσθαι. τὰς δ᾽ αἰτίας τούτων, οὐ χαλεπὸν μὲν οὐδ᾽ αὐτῷ τινὶ τῶν ἐντυγχανόντων ἐξευρίσκειν, εἰ μὴ μάτην τῶν ἔμπροσθεν ἤκουσεν. εἰρήσονται δὲ καὶ πρὸς ἡμῶν οὐδὲν ἧττον διὰ βραχέων. ἐπεὶ τοίνυν οὐκ ἐνδέχεται γνῶναι εἰ τοιαύτην τινὰ τὴν ἐκτὸς ἠρεμίαν ὁ σφυγμὸς ποιεῖται, μὴ συγχωρήσαντας κινηθῆναι τὴν ἀρτηρίαν, ὡς οἷόν τε, κωλύομεν δ᾽ ὅταν ἀμετρότερον ἐπιθλίβομεν, δῆλον ὡς οὐκ ἄν ποτε σαφῶς αἰσθοίμεθα τοῦ ποσοῦ τῆς ἐκτὸς ἠρεμίας, εἰ θλίβοιμεν ἐπὶ τὴν παροῦσαν σφοδρότητα. ἀλλ᾽ ἴσως τις ἐρεῖ, τὸ μὲν τῆς διαστολῆς μέγεθος θλιβόντων κολούεσθαι, τὴν δὲ κίνησιν ἐμφαίνεσθαι μέχρι παντός, ἀπωθεῖσθαι γὰρ ὑπὸ τῆς ἀρτηρίας ἀνιούσης τὴν ἁφήν, καὶ τότε παύεσθαι πρῶτον ὠθουμένην τε καὶ κινουμένην ὑπ᾽ αὐτῆς ὅταν κἀκείνη παύσηται. ἴστω δ᾽ ὅτι ψεῦδός ἐστιν ἐν τῷ καθόλου, καὶ διορισμοῦ δεῖται γνωσόμεθα ῥᾳδίως ἂν τῶν ἔμπροσθεν ἀναμνησθῶμεν, ἡνίκ᾽ ἐλέγομεν, ὡς κινοῦμεν τὴν ἀρτηρίαν, ἐνίοτε συμβαίνει μὴ συγκινεῖν ἑαυτῇ τὰ ἐπικείμενα, νικηθεῖσαν ὑπὸ τοῦ βάρους αὐτῶν. οὐκ οὖν οὐδ᾽ ὁπόταν πιέζωμεν, εὔλογον ἐστὶν ἄχρι τοσούτου χρόνου προϊέναι τὴν κίνησιν αὐτῆς αἰσθητὴν ἐν ἅπασι τοῖς σφυγμοῖς, εἰς ὅσον ἄθλιπτός τε καὶ ἀβίαστος οὖσα προῄει. ὥστε κινουμένης κατὰ τὸν ἑαυτῆς λόγον τῆς ἀρτηρίας, ἡσυχάζειν πολλάκις ἡμῖν ἤδη δόξουσιν οἱ σφυγμοὶ καὶ τοσούτῳ θᾶττον ἄρχεσθαι τῆς ἠρεμίας, ὅσῳ τῆς αἰσθητῆς κινήσεως ἀπολαύουσιν. ἐπεὶ δ᾽ ὅσον ὠθεῖ τὴν ἁφὴν ὁ σφυγμὸς ἐκ τοῦ διαστέλλεσθαι τὴν ἀρτηρίαν, τοσοῦτον κἂν τῷ συστέλλεσθαι γίγνεται τὸ αἰσθητόν, ἀνάγκη πᾶσα μηδὲ τῶν πρώτων μορίων τῆς συστολῆς αἰσθάνεσθαι, ἀναισθήτων γενομένων τῶν ἐσχάτων τῆς διαστολῆς. πῶς οὖν δυνατὸν ἀκριβῶς διαγνῶναι τὴν ἐκτὸς ἠρεμίαν, τὸν οὕτως ἁπτόμενον, ὡς οὐκ ἐνδέχεται, μετρεῖν γὰρ δεῖ τὸ ποσὸν τῆς θλίψεως πρὸς τὴν ῥώμην τῆς ἀρτηρίας, εἰς τοσοῦτον θλίβοντας εἰς ὅσον μηδὲν τῶν ἐσχάτων τῆς κινήσεως μορίων ἀναίσθητον ἔσται. δῆλον οὖν ὡς οὐκ ἐνδέχεται θλίβειν ἐν ἅπασιν, ἀλλ᾽ ἐν τοῖς σφοδροῖς μόνοις, οὐδ᾽ ἐν τούτοις εἰς τοσοῦτον, ὡς νικῆσαι τῷ βιαίῳ τῆς ἐπιβολῆς τὴν ῥώμην τῆς ἀρτηρίας. Ἀσφαλέστατον οὖν ὅταν τὴν ἐκτὸς ἡσυχίαν διαγινώσκειν ἐθέλῃς ἀβιάστως ἐπιβάλλειν τὴν ἁφήν. τὴν δ᾽ ἐντὸς ἐκ τῶν ἐναντίων, εἰ μὴ βιάζοιο καὶ θλίβοις οὐκ ἂν γνωρίσαις. ἀκολουθῆσαι γὰρ δεῖ τὴν ἁφὴν μέχρι παντὸς συστελλομένῃ τῇ ἀρτηρίᾳ, θλίβειν δ᾽ ἐν τοῖς σφοδροῖς μόνοις ἐγχωρεῖ. δῆλον οὖν ὡς καὶ ἐν τούτοις μόνοις διαγνωρίσῃ τὴν ἐντὸς ἡσυχίαν, οὐδὲν τούτοις ἀκριβῶς, ἀλλὰ πολλάκις μὲν συχνῷ μείζονος, ἤπερ ὄντως ἐστί, πολλάκις δ᾽ ὀλίγῳ μέν, ὅμως δ᾽ οὖν ἔτι μείζονος αὐτῆς ἐπαισθήσῃ. προσέρχονται γὰρ ἐξ ἀνάγκης δύο χρόνοι τῶν ἀναισθήτων μορίων ἑκατέρας τῶν κινήσεων. ὁ μέν, ἐπὶ πέρατι τῆς συστολῆς. ὁ δ᾽ ἐν ἀρχῇ τῆς διαστολῆς, ὧν ἄλλο μῆκος ἐχόντων ὡς ἔμπροσθεν ἐδείξαμεν, οὔτ᾽ ἴσον ἀεὶ τὸ προσιὸν ἔσται τῷ χρόνῳ τῆς ἐντὸς ἡσυχίας. οὔτ᾽ ἀκριβὴς ποθ᾽ ἡ διάγνωσις.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ Β′.

ΟΠΩΣ μὲν οὖν χρὴ τὰ μόρια τοῦ σφυγμοῦ διαγινώσκειν ἐν τῷ πρὸ τοῦ δε λόγῳ δεδήλωται. ὡς ἄν τις καὶ τὰ τοῖς μορίοις αὐτοῖς ὑπάρχοντα γνωρίζειν ἱκανὸς εἴη, νῦν ἐροῦμεν, ἀπὸ τοῦ τῆς διαστολῆς ἀρξάμενοι λόγου. καὶ γὰρ κυριώτατον ἐστὶ τῶν τοῦ σφυγμοῦ μορίων, καὶ πλείστην μὲν ἔχον τὴν ποικιλίαν τῆς διαγνώσεως, πλείστην δέ, τῆς δι᾽ ἑαυτοῦ προγνώσεως τὴν χρείαν. ὄντων δὲ πλειόνων τῶν ὑπαρχόντων ταῖς διαστολαῖς, κυριώτατον ἁπάντων καὶ κατὰ τὸν τῆς οὐσίας τῶν σφυγμῶν μάλιστα λόγον, ἡ κίνησίς ἐστιν. ἁπάσῃ δὲ κινήσει χρόνος τέ τις ἐν ᾧ γίνεται συμβέβηκε, καὶ τάχος ἢ βραδύτης, ἢ ὁμαλότης, ἢ ἀνωμαλία. καὶ πρὸς τούτοις ἔτι διάστημα καθ᾽ οὗ φέρεται.

Περὶ τούτων οὖν πρῶτον λεγέσθω. καὶ γὰρ οὐ δὲ δοκεῖ τοῖς πλείστοις τῶν ἰατρῶν ἑτέρα μέν, ἡ τοῦ χρόνου τῆς κινήσεως εἶναι διάγνωσις, ἑτέρα δ᾽ ἡ τοῦ τάχους τε καὶ τῆς βραδυτῆτος. εἰ γὰρ γνωσθείη πόσος τίς ἐστιν ὁ χρόνος, εὐθὺς καὶ πότερα ὠκέως ἢ βραδέως ἢ συμμέτρως κεκίνηται, δῆλον ὑπάρχειν φασίν. ἐμοὶ δ᾽ ἑτέρα μέν, ἡ τοῦ χρόνου φαίνεται διάγνωσις, ἄλλη δὲ κατὰ ἢ βραδυτῆτα καὶ τάχος. οὐ γὰρ εἰ βραχύτερος ὁ τῆς κινήσεως εἴη χρόνος, ἤδη καὶ τὸν σφυγμὸν ὠκύτερον εἶναι φημί. τὴν δ᾽ ἀπάτην τοῖς οὕτως ὑπολαμβάνουσιν ἐκ τοῦ κατὰ τὸν ταχὺν καὶ βραδὺν σφυγμὸν ὅρου νομίζω γεγονέναι, ὃς ἐὰν μὲν τοῦθ᾽ ὃ νοοῦσιν οὗτοι δηλοῖ, μοχθηρός ἐστιν, εἰ δ᾽ ὡς ἡμεῖς ἀκούομεν, ὁ μὲν ὅρος ὀρθός, οὗτοι δ᾽ οὐ συνιᾶσιν αὐτοῦ. λέγει μὲν γὰρ ὁ ὅρος. ταχὺν εἶναι σφυγμὸν τὸν ἐν ὀλίγῳ χρόνῳ τὴν κίνησιν περιγράφοντα. καὶ βραδὺν τὸν ἐν πολλῷ. τοῦ δ᾽ ὀλίγου καὶ τοῦ πολλοῦ πρός τι λεγομένων, οὗτοι μὲν οἴονται τοὺς τῶν σφυγμῶν χρόνους ἀλλήλοις παραβάλλεσθαι. τὸ δ᾽ ἀληθὲς οὐχ οὕτως ἔχει. πολλάκις γὰρ ἡ τοῦ μακρότερον τὸν χρόνον ἔχοντος σφυγμοῦ κίνησις, ὠκυτέρα τῆς τὸν βραχύτερον ἐχούσης ἐστίν. καὶ τοῦτ᾽ εἰ μή τις ἀκριβῶς διαγνοίη, πολλὰ καὶ μεγάλα τῶν ἐκ τῆς διὰ σφυγμῶν προγνώσεως εὑρισκομένων ἀγνοήσει. τοῖς μὲν οὖν ἡμῶν πεπειραμένοις ἐπ᾽ αὐτῶν τῶν ἀρρώστων καὶ τόπους πεπονθότας πολλάκις εἰρηκότων, πρὶν γυμνῶσαι τὰ μέρη, καὶ τῶν ἐπιγιγνομένων τε καὶ προγεγονότων αἰτίων καὶ συμπτωμάτων ἕκαστον, οἶδ᾽ ὅτι τῶν νῦν λεχθησομένων οὐδὲν ἄπιστον εἶναι δόξει. τὴν γὰρ ἀκριβεστάτην ἁπασῶν πίστεων ἐσχήκασιν οὗτοι, διὰ τῆς τῶν προρρηθέντων ἀληθείας. τοῖς δ᾽ ἄλλοις ἄπιστος τήν γε πρώτην ὁ λόγος φαίνεται καὶ θρασύς, εἰ τοσούτους τε καὶ τοιούτους ἰατροὺς σφάλλεσθαι λέγοιμεν, ἐν ταῖς τοῦ τάχους τε καὶ τῆς βραδυτῆτος διαγνώσεσιν. εἰ δ᾽ ἀνάσχοιτό τις καὶ προθυμοῖτο τῶν νῦν λεγομένων ἐπακοῦσαι λόγων, οἶδ᾽ ὅτι κἂν μὴ τελέως αὐτὸν πείσω πιστεύειν, ἀλλ᾽ ἀρκέσω τοῦ παντάπασιν ἀπιστεῖν τοῖς λεγομένοις. οὐ γὰρ οἷόν τε μεταπεῖσαι ῥᾳδίως περὶ τῶν ἐκ μακροῦ χρόνου παμπόλλοις ὡμολογημένων, καὶ μάλιστα ὅταν οὕτω παμπόλλης τε καὶ ἀκριβοῦς δέηται θεωρίας. καὶ εἰ τῇ θεωρίᾳ δέ, τις αὐτῶν παρακολουθή-

σαι, ἀλλ᾽ ἵνα καὶ τῇ πείρᾳ γε κρίνῃ, παμπόλλης γε δεῖται τῆς κατὰ τὴν ἁφὴν τριβῆς. ὁ γοῦν μυρμηκίζων καλούμενος σφυγμὸς, ἀκριβοῦς αἰσθήσεως δεόμενος εἰς διάγνωσιν, ὡς ἂν εἰς ἐσχάτην ἀμυδρότητα τε καὶ μικρότητα καταπεπτωκὼς, τὴν ἀρχὴν ὅλως ἐστὶ λανθάνειν τοὺς ἀγυμνάστους τὴν ἁφήν. ὥς τε πολλάκις ἀσφύκτους εἶναι λέγουσι τοὺς ἀνθρώπους ἐφ᾽ ὧν ὁ τοιοῦτος εὑρίσκεται σφυγμός. εἰ τοίνυν τοῖς ταχὺν εἰποῦσιν αὐτὸν ἀντιλέγοιμι, καὶ πόθεν ἐσφάλην δεικνύοιμι, τίς ἂν μοι κριτὴς γένοιτο. τοὺς γὰρ εἰ μὴ δ᾽ εἰ τὴν ἀρχὴν ὁ σφυγμὸς οὗτος ὑπάρχει τοῦ τοσοῦτον διαγνῶναι δυναμένους, πῶς ἂν ποιός τις ἐστὶ διδάξαιμι. ταῦτ᾽ ἄρα καὶ λέγειν ὀκνῶ περὶ τῆς τοιαύτης θεωρίας. ἀρκεῖ γὰρ ἤδη τῶν ἔργων δεικνῦναι τὴν ὕπαρξιν αὐτῆς. ἐπεὶ δ᾽ ὅπερ ἐλέχθη καὶ κατ᾽ ἀρχὰς οὐ πρὸς τοὺς πολλοὺς ταῦτα τὰ γράμματα σύγκειται, ἀλλὰ τὸν ἕνα τῶν μυρίων ἄξιον ἀναμένει, δι᾽ ἐκεῖνον γραπτέον τοὺς λόγους, οἳ μυριάκις πρότερον ὡς ἀδύνατοί τε καὶ ἀλάζονες περιπλακισθήσονται, πρὶν εἰς τὸ ἄξιον ἀφικέσθαι. δέομαι γὰρ ἐγὼ νῦν ἀκροατοῦ τοιούτου τινὸς οἷος ἦν Ἀρχιγένης, ἵν᾽ εἴπω πρὸς αὐτὸν οὑτωσί. τί δή ποτ᾽ ὦ γενναιότατε ταῦτα γράφεις ἐν τῷ περὶ σφυγμῶν σου γράμματι περὶ τοῦ μυρμηκίζοντος σφυγμοῦ, διαλεγόμενος ὧδέ πως κατὰ λέξιν. σύνθετος δέ μοι δοκεῖ εἶναι ἐκ μικρότητος, ἀμυδρότητος, πυκνότητος. ἀναγκαίως δὲ καὶ ταχύτητος. οὐ γὰρ οἶδα τί σοι βούλεται τὸ πάντων ἔσχατον εἰρημένον. ὥς τε τά γε πρὸ τούτου συνίημί τε καὶ ἀποδέχομαι παντὸς μᾶλλον ἀληθῆ τε ὄντα καὶ σοὶ πρέποντα. τὸ δ᾽ ἀναγκαίως ἐξευχθαι ταχύτητα τῷ μυρμηκίζοντι, πῶς εἴρηται ζητῶ. πλέον γὰρ ἐστὶ τοῦ ψιλῶς ῥηθέντος ἄν, χωρὶς τοῦ προκεῖσθαι τὸ ἀναγκαίως. καὶ ἦν μὲν ἂν καὶ οὕτω ψεῦδος. ἀλλ᾽ ἄνευ προσθήκης εἰρημένον ἐν μόνῃ τῇ τῆς ἁφῆς ἁμαρτίᾳ, ἐφαίνετ᾽ ἂν ἔχειν τὴν ἀπάτην. τὸ δ᾽ ἀναγκαίως προσκείμενον λογικήν τιν᾽ ὑπόληψιν ἐμφαίνει. τίς οὖν ἐστιν αὕτη μαθεῖν ἐδεόμην. ἐγὼ μὲν οὐδὲ μίαν ἀνάγκην ὁρῶ, δι᾽ ἣν ἄρρωστόν τε καὶ πυκνὴν καὶ μικρὰν κίνησιν, εὐθὺς καὶ ταχεῖαν εἶναι νομίζω. οὐδὲ γὰρ αὐτὸς ὁ μύρμηξ ᾧ παρώνυμος ὁ σφυγμὸς, τῶν ὠκέως κινουμένων ἐστὶν, ἀλλὰ βραχείας μὲν αὐτοῦ καὶ ἀμυδρὰς καὶ πυκνὰς τὰς κινήσεις ὁρῶμεν, ὠκείας δὲ οὐδαμῶς. τίνι γὰρ τούτων ἐξ ἀνάγκης ὠκύτης ἕπεται. πότερον τῇ ἀμυδρότητι; ἀλλὰ θαυμάζοιμ᾽ ἄν, εἴ τις τῶν ἄλλων ἁπάντων ἐπίσης ἐχόντων διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως ὠκέως κινήσεται, τοὐναντίον γὰρ ἅπαν, ἤδη τοῖς ἄλλοις ὡσαύτως ἔχουσιν, ἡ ῥώμη τῆς δυνάμεως προσιοῦσα, ταχεῖαν τὴν κίνησιν ἐργάζεται, ὡς κᾀν τοῖς περὶ σφυγμῶν αἰτίοις ἀποδείκνυμεν. ἀλλ᾽ οὐδ᾽ ἡ πυκνότης αἰτία τοῦ τάχους. τίς γὰρ ἀνάγκη τὸν πυκνῶς ἀθλήσαντα εἰς τὸν Πειραιᾶ πορευόμενον εὐθὺς καὶ τρέχειν; ἄλλαι μὲν γὰρ αἰτίαι, τοῦ πυκνῶς τι πράττειν, ἄλλαι δὲ τοῦ ταχέως. ἀλλ᾽ ἴσως διὰ τὴν μικρότητα φησὶν ἐξ ἀνάγκης εἶναι τὸν μυρμηκίζοντα σφυγμὸν, ταχύν. τί γὰρ ἄλλο τις ἐπινοήσει; εὔλογον μὲν οὖν τό γε τοιοῦτον, εἰ δὲ καὶ ἀληθὲς ἤδη σκοποῦμεν. ἀναγκαῖον μὲν γὰρ ἐστὶ τὴν ἀρτηρίαν τῆς βραχυτάτης διαστάσεως φαινομένην ἐλάττονα χρόνον ἀναλοῦν, ἤπερ ὅτε τῆς μεγίστης ἐφίετο. οὐ μὴν εἴ τις ἐν ὀλίγῳ χρόνῳ περιγράφεται κίνησις, ἀναγκαῖον ἐστὶ ταύτην ὠκείαν εἶναι. τὴν οὖν ἐν πολλῷ χρόνῳ γινομένην ὠκείαν εἶναι λέγεις; ἴσως ἄν τις ἐπανέροιτο. ἐγὼ δ᾽ οὐ ταύτην φημί. καθόλου γὰρ οὐκ ἀξιῶ τοῦ χρόνου τὸ ποσὸν ἐπισκοπεῖσθαι μόνον, ἀλλὰ καὶ τῆς διαστάσεως. ὅταν οὖν ἐθέλῃς πύθεσθαί μου τὴν ἐν ὀλίγῳ χρόνῳ γινομένην κίνησιν, ὁποίαν τινὰ εἶναι φημὶ, πρόσθες εὐθέως τὸ ποσὸν τῆς διαστάσεως, ἵν᾽ ἀποκρίνωμαί σοι. εἰ δὲ μὴ, ἀλλ᾽ ἐγὼ προσθήσω καὶ διορισμένως ἐρῶ, τὰς ἐν ἐλάττονι χρόνῳ γινομένας κινήσεις οὐκ ἐξ ἅπαντος εἶναι τῶν ἐν πλείονι συντελουμένων ὠκυτέρας. ἀλλ᾽ εἰ μὲν ὁ αὐτὸς ὑπάρχει λόγος τῷ τε χρόνῳ πρὸς τὸν χρόνον, καὶ τῇ διαστάσει πρὸς τὴν διάστασιν, ἰσοδρομοῦσιν. εἰ δ᾽ ἤτοι τοῦ χρόνου πρὸς τὸν χρόνον, ἢ τῆς διαστάσεως πρὸς τὴν διάστασιν ὁ λόγος μείζων γένοιτο, τὴν μὲν ὠκυτέραν, οὕτως, τὴν δὲ βραδυτέραν ἔσεσθαι φημὶ κίνησιν. ἐμοὶ μὲν εἴρηται τὸ πᾶν. σὺ δ᾽ εἰ μὲν ἐνόησας, ἔχοι τάχ᾽ ἂν ἤδη τὴν προσήκουσαν ὁ λόγος τελευτήν. εἰ δ᾽ οὐκ ἐνόησας, ἐξηγήσομαί σοι διὰ μακροτέρων τὸ ταχέως εἰρημένον. ὅσαι μὲν ἐν ἴσοις χρόνοις ἴσα μήκη διέρχονται, κινήσεις ταύτας ἰσοχρόνους τε καὶ ἰσοδρόμους ὀνομάζομεν. ὅσαι δ᾽ ἐν ἴσῳ μὲν χρόνῳ, μείζονα δ᾽ ἀνύουσι διαστήματα, ταύτας ὠκυτέρας. ὁμοίως δὲ καὶ ὅσαι διάστημα μὲν ἴσον, ἐλάττονι δὲ χρόνῳ. παραδείγματος δ᾽ ἕνεκα δύο τινὲς ἄνθρωποι σταδίους πεντήκοντα διερχέσθωσαν ὥρᾳ μιᾷ, ἰσοδρόμους ἂν εἴποις τοὺς τοιούτους. εἰ δ᾽ ὁ μὲν ἕτερος ὥρᾳ μιᾷ διανύσειεν, ὁ δ᾽ ἕτερος τριάκοντα, δῆλον ὡς θᾶττον ἂν εἴη κινούμενος ὁ πρότερος ὁ τὴν μείζονα διάστασιν ἐν ἴσῳ χρόνῳ διελθών. εἰ δὲ τοὺς πεντήκοντα σταδίους, ὁ μὲν, ὥρᾳ μιᾷ, ὁ δὲ τρισὶν, εἰ οὕτως ἔτυχεν διέλθοι, δῆλον ὡς ὁ πρότερος, ὠκύτερος, εἴ γε τὸ ἴσον διάστημα θᾶττον ἤνυσεν. ἐν μὲν δὴ τούτοις, οὐδὲν ἀσαφές. ἴσως δ᾽ ἐν τοῖς ἐφεξῆς ἄν γε μὴ προσέχωσι τὸν νοῦν. προσέχουσι δὲ, κᾀκεῖνα παραπλησίως τούτοις ἔσται σαφῆ. ποιήσωμεν γὰρ δυοῖν τινοῖν κινήσεως, τὴν μὲν ἐν ὥρᾳ μιᾷ, πεντήκοντα, τὴν δ᾽ ἐν τρισὶν, ἑκατὸν πεντήκοντα διανύουσαν σταδίους. ἆρ᾽ οὖν καὶ ταύτας ἂν εἴποιμεν ἰσοδρόμους; πάνυ μὲν οὖν. εἰ γοῦν ἡ τοὺς πεντήκοντα κινηθεῖσα σταδίους ἐν ὥρᾳ μιᾷ, ταῖς τρισὶν ἔτυχε κινουμένη, πάντως ἄν που καὶ αὕτη πρὸς τοὺς πεντήκοντα, τοὺς ἑκατὸν ἐκινήθη. καὶ εἰ τούτους ἐν τρισὶν ὥραις κινουμένη, μιᾷ μόνον ὥρᾳ κινηθεῖσα ἔτυχε, πάντως ἂν καὶ ἥδε, τοὺς πεντήκοντα μόνους ἐκινήθη. ὥστ᾽ εἶεν ἂν ἰσόδρομοι αἱ ἐν ἴσοις χρόνοις ἴσα διαστήματα περαίνουσαι. προσέχειν οὖν δεῖ τοῖς τε τῶν διαστάσεων μήκεσι, καὶ τοῖς τῶν χρόνων, ἵν᾽ εἰ μὲν ὃν ἔχει λόγον ἡ διάστασις πρὸς τὴν διάστασιν, τὸν αὐτὸν ὁ χρόνος ἔχοι πρὸς τὸν χρόνον, ἰσοδρόμους εἶναι λέγομεν τὰς κινήσεις. εἰ δ᾽ ἤτοι μείζονα ἔχοι τὸ διάστημα, πρὸς τὸ διάστημα, ἤπερ ὁ χρόνος πρὸς τὸν χρόνον, ἤπερ ἡ διάστασις πρὸς τὴν διάστασιν, μηκέτι ἰσοδρόμους αὐτὰς εἶναι νομίζομεν. ἔστω γοῦν ἡ μὲν διάστασις τῆς διαστάσεως, τετραπλάσιος. ὁ δὲ χρόνος τοῦ χρόνου διπλάσιος. δῆλον ὡς μείζονα λόγον ἡ διάστασις ἕξει πρὸς τὴν διάστασιν, ἤπερ χρόνος πρὸς τὸν χρόνον. καὶ οὕτως γένοιτ᾽ ἂν ἡ ἑτέρα τῶν κινήσεων ὠκυτέρα. φέρε γὰρ εἶναι τῆς μὲν, τὴν διάστασιν τετρακοσίων πηχέων, τῆς δ᾽ ἑκατόν. τὸν δὲ χρόνον τῆς προτέρας μὲν, δυοῖν. τῆς δ᾽ ἑτέρας μιᾶς ὥρας, εἰ τοίνυν ἡ μὲν ἑτέρα τῶν κινήσεων ἐν δυοῖν ὥραις τετρακοσίους διῆλθε πήχεις. ἡ δ᾽ ἑτέρα ἐν μιᾷ τοὺς ἑκατὸν, δῆλον ὡς ἐὰν μὲν τὴν προτέραν τοὺς ἑκατὸν μόνους κινουμένην νοήσωμεν, ἐν ὥρας ἡμίσει μέρει κινηθήσεται. καὶ οὕτως ὠκυτέρα τῆς δευτέρας γενήσεται, τὴν ἴσην διάστασιν ἐν ἐλάττονι χρόνῳ κινηθεῖσα. ἐὰν δὲ τὴν δευτέραν, τοὺς τετρακοσίους νοήσωμεν κινουμένην, τεττάρων ὡρῶν αὕτη δεήσει, καὶ οὕτως ἔσται

οὕτως ἔσται βραδυτέρα τῆς προτέρας, εἴ γε τὸ ἴσον διάστημα πλείονι χρόνῳ κινήσεται. φανερὸν οὖν ὡς ὅταν ἡ διάστασις τῇ διαστάσει παραβαλλομένη μείζονα λόγον ἔχῃ, περὶ χρόνῳ τοῦ χρόνου παραμετρουμένου, τὴν τοιαύτην κίνησιν ὠκυτέραν ἀναγκαῖον ὑπάρχειν. εἰ δ' ἔμπαλιν ἡ τῆς προτέρας κινήσεως διάστασις, πρὸς τὴν τῆς δευτέρας ἐλάττονα λόγον ἔχῃ, ἤπερ ὁ χρόνος τὸν χρόνον, ἀναγκαῖον ἂν εἴη τὴν προτέραν εἶναι βραδυτέραν. εἰρήσεται δὲ καὶ αὐτοῦ τούτου παράδειγμα. νόησον γάρ μοι τῆς προτέρας κινήσεως τὸ μὲν διάστημα, τοῦ τῆς δευτέρας διαστήματος εἶναι διπλάσιον, τὸν δὲ χρόνον τοῦ χρόνου, τετραπλάσιον, ὥστ' εἰ τύχοι τὴν μὲν προτέραν τέτταρας πήχεις τέτταρσιν ὥραις κινεῖσθαι. τὴν λοιπὴν δὲ, δύο πήχεις ὥρᾳ μιᾷ, δῆλον, ὡς ἐὰν τὴν προτέραν τοὺς δύο μόνους πήχεις νοήσωμεν κινουμένην, δυοῖν ὥραιν κινήσεται ἄν, καὶ οὕτως ἔσται τῆς δευτέρας τῆς τοὺς αὐτοὺς δύο πήχεις ὥρᾳ μιᾷ κινουμένης, βραδυτέρα. ἀνθ' ἡ δευτέρα τοὺς τέτταρας πήχεις κινηθῇ, δυοῖν ὥραιν κινηθήσεται. καὶ οὕτως ἔσται τῆς τοὺς τέσσαρας τέσσαρσι κινουμένης, ὠκυτέρα. τὸ γὰρ ἴσον διάστημα, θᾶττον ἀνύσει. τούτου τοίνυν ὑποκειμένου δύο τινὰς ἐννοήσωμεν ἤδη σφυγμοὺς ἀνίσους τῆς εἰς ὕψος ἀνόδου. ταύτης γὰρ μάλιστα τῆς διαστάσεως εἰς τὸν λόγον δεόμεθα, καὶ ποιήσωμεν εἰ βούλει παραδείγματος ἕνεκα. τὸ μὲν βάθος, τοῦ βάθους δεκαπλάσιον. τὸν δὲ χρόνον τοῦ χρόνου διπλάσιον. ἆρ' οὐ φανερῶς ἡμῖν εἴ τι μεμνήμεθα τῶν προειρημένων, ὁ σφυγμὸς ὁ δεκαπλάσιον ἔχων τὸ ὕψος, ὠκύτερος ἔσται πολὺ θατέρου. εἰ γὰρ τὴν αὐτὴν κίνησιν διαφυλάττων ὁ ταπεινὸς δεκάκις αὐξηθείη κατὰ τὴν τοῦ βάθους διάστασιν, ὁμοίως μὲν ὑψηλὸς γενήσεται θατέρῳ, χρόνῳ δὲ πολλῷ πλέονι, ἢ κατ' ἐκεῖνον. εὑρέθη τοίνυν ταπεινός τις σφυγμὸς βραχυχρόνιος, ὑψηλοῦ πολυχρονίου βραδύτερος. καὶ τοῦτ' ἦν τὸ λεγόμενον ἐξ ἀρχῆς, ὡς ἑτέρα μὲν ἡ τοῦ χρόνου τῆς κινήσεως, ἑτέρα δ' ἡ τοῦ χρόνου τοῦ τάχους ἐστὶ διάγνωσις. ἀλλ' ἴσως μέχρι μὲν λόγου ἐπινοεῖται ταῦτα. ταῖς δ' ἀληθείαις οὐ φαίνεται. καὶ μὴν εἰ παραβάλλοις ἀκμάζοντος ὑγιαίνοντος σφυγμὸν, παιδὸς σφυγμῷ μυρμηκίζοντι, δεκαπλασίαν τὴν εἰς ὕψος εὑρήσεις ἄνοδον. εἰ δέ γε τὸν αὐτὸν ἄνδρα ἀκμάζοντα διαθερμήνας μετρίως, ἢ λουτροῖς, ἢ τρίψεσιν, ἢ γυμνασίοις εἰς θυμόν τινα καὶ ἀγανάκτησιν ἐμβάλλοις οὐ δεκαπλάσιον, ἀλλὰ πέντε καὶ δεκαπλάσιον εὑρήσεις αὐτοῦ τὸ ὕψος τῆς κατὰ τὸν ἐν τῷ παιδὶ μυρμηκίζοντα σφυγμὸν ταπεινῆς διαστάσεως.

Ἀλλ' ὁ μὲν ἐν τῷ παιδὶ μυρμηκίζων ὑπὸ τῆς ἡλικίας ἐπιβοηθεῖται, πρὸς τὸ μὴ παντελῶς βραδὺς εἶναι. τὸν δ' ἐν τῷ γέροντι μυρμηκίζοντα, τίς ἂν εἰδὼς ἅπτεσθαι σφυγμοῦ, ταχὺν εἶναι λέγοι οὐ μᾶλλον, ἢ τὸν σκωληκίζοντα. τούτου μέν γε βραδύτερος οὐκ οἶδ' εἴ τις ἄλλος ἐναργῶς φαίνεται σφυγμός. ὁ μὲν γὰρ μυρμηκίζων διὰ βραχύτητα, τὴν ἐναργῆ διάγνωσιν ἐκπέφευγε. ὁ δὲ σκωληκίζων, οὐ δ' ἀσαφῶς ἐστι βραδὺς, ἀλλ' εἴπερ τις ἄλλος ἱκανῶς σαφής. τί δή ποτ' οὖν καὶ τοῦτον ἐν τοῖς ταχέσιν οἱ πλεῖστοι καταριθμοῦνται, εἰ μή τι πρὸς τὸν μυρμηκίζοντα διασώζειν ὁμολογίαν βουληθέντες, ὡς ὑπὲρ ἀναισθήτων ἑαυτῶν ἀποφαίνονται. μεταπιπτόντων γὰρ εἰς ἀλλήλους τῶν σφυγμῶν τούτων ῥᾳδίως, καὶ τῆς μὲν τοῦ σκωληκίζοντος ῥᾳδίως ἐσχάτης καταπτώσεως τὸν μυρμηκίζοντα γεννώσης, τῆς δὲ τοῦ μυρμηκίζοντος πρώτης αὐξήσεως τὸν σκωληκίζοντα, φανερῶς ἄτοπον αὐτοῖς ἐδόκει, ταχὺν μὲν εἰπεῖν τὸν ἕτερον αὐτῶν, βραδὺν δὲ, τὸν ἕτερον. ἐπεὶ τοίνυν ἐτύγχανον οὐκ ὀρθῶς ταχὺν εἰρηκότες τὸν μυρμηκίζοντα, διὰ τοῦτ' ἐξ ἀκολουθίας ὑπέμειναν, οὕτως ψευδῶς τε καὶ φανερῶς ἐναργεῖ μαχόμενον ὁμολογῆσαι, τὸ, καὶ τὸν σκωληκίζοντα ταχὺν εἶναι, καί τοι σκώληκος εἰκάζουσιν αὐτὸν πορείᾳ, καθάπερ τὸν μυρμηκίζοντα μύρμηκος, ὅρα πῶς ὠκέων ζώων, εἶθ' ἅμα μὲν οὕτως εἰκάζουσιν, ἅμα δὲ ταχεῖς εἶναι φασὶν οὐκ αἰσθανόμενοι τῆς πρὸς ἑαυτοὺς μάχης. ἐπεὶ δ' ἅπαξ εἰς τηλικαῦτ' ἐνέπεσον ἁμαρτήματα, καὶ τοὺς ἐπὶ ταῖς στομαχικαῖς διαθέσεσι, σφυγμοὺς ἅπαντας ταχεῖς εἶναι λέγουσιν, οὐ δ' αὐτοὺς ἅπαντας ὄντας ταχεῖς, καὶ ἄλλους μυρίους. οὓς ἑτέρωθι μᾶλλον εἰπεῖν οἰκειότερόν ἐστιν. ἅπαντα δ' αὐτοῖς ἠκολούθησε τὰ τοιαῦτα σφάλματα, διὰ τὸ τῆς ἐννοίας τοῦ τάχους ἀδιάρθρωτόν τε καὶ πάντῃ συγκεχυμένον. μόνῃ γὰρ τῇ βραχύτητι τοῦ χρόνου κρίνοντες τὸν ταχὺν σφυγμόν. μὴ προσδιορίζοντες δὲ πῶς ἔχει μεγέθους, ἀφ' ὧν ψευδῶς ἐδόξασαν, ἐκ τούτων ἐν τῇ διαγνώσει σφάλλονται. ἀλλ' ἡμεῖς ἐπεδείξαμεν οἶμαι σαφῶς ἕτερον μὲν εἶναι τὸν ὀλιγοχρόνιον, ὡς ἄν τις οὕτω καλέσειε σφυγμὸν, ἕτερον δὲ, τὸν ταχύν. ὡσαύτως δὲ καὶ τῶν ἐναντίων αὐτοῖς, ἕτερον μὲν, τὸν πολυχρόνιον. ἕτερον δὲ τὸν βραδύν. ἴσως οὖν οἴει τὸ πᾶν ἤδη πεπληρῶσθαι τοῦ λόγου, καὶ γινώσκειν σαφῶς ὅτι ταχὺς σφυγμὸς βραδέος διενήνοχεν. ἐγὼ δ' ηὐξάμην μὲν ἀποχωρῆσαι περὶ σκέμματος τοσοῦδε λόγου. οὐ μὴν γ' οὕτως ἔχει τἀληθές. ἀλλ' ἔστι τὰ νῦν εἰρημένα προοίμιόν τι τῆς τοῦ ταχέος τε καὶ βραδέος σφυγμοῦ διαγνώσεως. ἐν ἅπαντι γὰρ τούτῳ περὶ προειρημένῳ λόγῳ παραβάλλοντες ἀλλήλαις δύο κινήσεις, τὴν μὲν βραδυτέραν, τὴν δὲ ὠκυτέραν ἀπεδείξαμεν, οὐ μὴν περί τε βραδείας καὶ ταχείας εἴπομέν τι. πάμπολυ δ' ὅσον διενήνοχεν, ἢ βραδυτέραν λέγειν κίνησιν, ἢ βραδεῖαν. καὶ αὖθις ὠκυτέραν ἢ ὠκεῖαν. αὐτίκα τὸν μὲν εἰπόντα βραδυτέραν εἶναι τήνδε τὴν κίνησιν, ἐπανερωτῶμεν ἧς τινός φησιν αὐτὴν εἶναι βραδυτέραν. ἀεὶ γὰρ ἑτέρας ἡ βραδυτέρα λέγεται βραδυτέρα. τὸν δ' εἰπόντα βραδεῖαν εἶναι τήνδε τινὰ κίνησιν, οὐκ ἔτ' ἐπανερωτῶμεν ἧς τινος, ἢ γελοῖοι δόξομεν εἶναι. καὶ σφυγμὸν δ' εἰ φαῖμεν εἶναι βραδύτερον, ἢ θάττονα πάντως τις ἡμᾶς ἐρήσεται, τίνος βραδύτερον λέγομεν, ἢ τίνος θάττονα. βραδὺν δ' εἰπόντων, ἢ ταχὺν, οὐκ ἔτ' οὐδεὶς ἐπανερωτᾷ τίνος. ἆρ' οὖν ὁ μὲν ταχὺς καὶ βραδὺς τῶν ἁπλῶς λεγομένων εἰσὶν, ὁ δὲ θάττων τε καὶ βραδύτερος τῶν πρὸς ἕτερον. ἴσως μὲν τις ἐκ προχείρου θήσει τοῦτ' ὡς ἀληθὲς, μοὶ δ' οὐχ οὕτως ἔχειν δοκεῖ, ἀλλὰ παμπόλλης δεῖται σκέψεως, τά τ' ἄλλα καὶ ὅτι κοινὴ πλειόνων πραγμάτων ἐστὶν ἡ τοιαύτη θεωρία. οὐ γὰρ δὴ περὶ ταχέος τε καὶ βραδέος, ἢ θάττονος καὶ βραδυτέρου διαιρεῖσθαι χρὴ, περὶ μεγάλου δὲ καὶ μικροῦ, καὶ μείζονος καὶ μικροτέρου, καὶ τῶν ἄλλων τῶν οὕτω λεγομένων παραλιπεῖν. ἀλλ' ἐπισκέψασθαι πότερα ταὐτόν ἐστι μείζονα φάναι καὶ μέγαν σφυγμὸν, καὶ μικρότερον αὖ καὶ μικρὸν, ἢ διαφέροντα πράγματα ὑπόκειται τούτοις τοῖς ὀνόμασι. καὶ τὸν μὲν μείζονα νοοῦμεν ἀεὶ τοῦ μικροτέρου μείζονα, καὶ τὸν μικρότερον τοῦ μείζονος μικρότερον. τὸν μέγαν δ' οὐδενὸς μέγαν, ἀλλ' ἁπλῶς, ὥσπερ οὐδὲ τὸν μικρὸν, οὐδενὸς μικρὸν, ἀλλ' ἁπλῶς. τὰ δ' αὐτὰ, καὶ περὶ βραχυτέρου καὶ βραχέος, καὶ μακροτέρου καὶ μακροῦ, καὶ πλατυτέρου καὶ πλατέος, καὶ στενοτέρου καὶ στε-

νοῦ, καὶ νὴ Δία μαλακωτέρου καὶ μαλακοῦ, καὶ σκληροτέρου καὶ σκληροῦ, καὶ τῶν ἄλλων ἁπάντων οὕτω λεγομένων, ἄξιον διορίσασθαι. σχεδὸν γὰρ εἰς ὅλην τὴν ἰατρικὴν, καὶ τὰς ἄλλας δὲ τέχνας ἁπάσας ἐκτείνεται τὸ σκέμμα. καὶ γὰρ θερμότερον λέγομεν καὶ θερμὸν, καὶ ψυχρότερον καὶ ψυχρὸν, καὶ ξηρότερον καὶ ξηρὸν, καὶ ὑγρότερον καὶ ὑγρόν. καὶ τό γε ἐπὶ πᾶσι τούτοις πλέον γε καὶ πολύ. καὶ πάλιν ἔλαττον γε καὶ ὀλίγον. ἐφ' ἑνὸς οὖν τινὸς τὸν λόγον, ὡς ἐπὶ παραδείγματος βασανίσαντες, εἰ μὴ τύχοιμεν εὑρόντες τι πλέον, οὕτως ἤδη κἀπὶ τὰ ἄλλα πάντα μεταφέρειν πειρασόμεθα τὴν μέθοδον. εἰ δ' ἀπορήσωμεν, αὐτὴν γοῦν τὴν ἀπορίαν ἐπὶ πάντα μετοισόμεν, καὶ δυοῖν θάτερον, ἢ χρησιμωτάτην εἰς πολλὰ μέθοδον ἐξευρήσομεν ἢ τὴν οἴησιν τοῦ δοκεῖν γιγνώσκειν, ἃ μὴ γινώσκομεν, ἀφαιρησόμεθα. φέρε δὴ προκεχειρίσθω γὰρ ἡμῖν εἰς μὲν σκέψιν τό τε μέγα καὶ τὸ μικρὸν, ὅπῃ διαφέρει τοῦ μείζονος τε καὶ μικροτέρου. καὶ πρῶτον μὲν ἁπάντων, τῶν κατὰ τὸν βίον λεγομένων, ἐν οἷσπερ εἰθίσμεθά τε καὶ τεθράμμεθα, τί νοοῦμεν τὸ μέγα καί τι τὸ μικρὸν, ἀναμνήσωμεν αὐτούς. ἆρα γε περὶ τὸ μεῖζον τε καὶ μικρόν. ἢ μεῖζον μὲν, οὐκ ἀνεχόμεθα τοῦ λέγοντος ἁπλῶς, εἰ μὴ προσθείη, τὸ τινὸς λέγει μεῖζον, μέγα δ' ἁπλῶς αὐτοί τε λέγομεν καὶ τῶν ἄλλων ἀκούομεν ἄνευ προσθήκης. ἆρ' οὖν τῶν καθ' ἑαυτὰ λεγομένων ἐστὶ τὸ μέγα καὶ τὸ μικρόν. ἀλλ' εἰ τοῦτο, πάντως δήπουθεν, ἢ οὐσίας ἐστὶ δηλωτικὰ, ἢ ποιότητος, ἢ τινὸς τῶν κατὰ τὰς ἄλλας κατηγορίας λεγομένων. οὐσίας μὲν οὖν οὐκ ἔστι δηλωτικὰ, καθάπερ Σωκράτης, ἢ Πλάτων, ἢ ἵππος, ἢ ἄνθρωπος. οὐ μὴν οὐδὲ ποιοῦ τινὸς, οὔτ' οὖν σχήματος, οὐδὲ χρώματος, οὐδὲ θέσεως, οὔτε διαπλάσεως, οὐδ' ὅλως οὐδενὸς τῶν οὕτω λεγομένων. ἀλλ' οὐδὲ τὸ, δηλοῦν πέφυκεν, ἢ τὸ ποτέ. οὐ μὴν οὐδὲ τὸ κεῖσθαι, ἢ ἔχειν, ἢ ποιεῖν, ἢ πάσχειν, ἀλλ' ἐν μόνοις αὐτὰ δεῖ ζητεῖν τοῖς κατὰ τὸ ποσὸν, ἢ πρός τι λεγομένοις. ἐὰν οὖν ὥσπερ ὀλίγῳ πρόσθεν ἐφαίνετο, μὴ δοκῇ τῆς πρός τι κατηγορίας ἔχεσθαι, κατὰ τὴν τοῦ ποσοῦ ζητητέον αὐτά. καὶ μὴν ἀπορώτατόν ἐστι ὁρίσαι πηλίκου χρὴ νοεῖν ἑκάτερον αὐτῶν, ἆρά γε τὸ μὲν σταδιαῖον, μέγα. τὸ δὲ πηχυαῖον, μικρόν. καὶ μὴν τὸ μὲν ὄρος μικρὸν λέγομεν, κἂν σταδιαῖον ᾖ, τὸν δὲ μύρμηκα μέγαν, πάμπολυ δηλονότι πήχεος ἀπολειπόμενον. ἀλλ' ἴσως φησί τις, ὥσπερ τῶν ἡμετέρων ἑταίρων ἤρεσέ τινι, ποσὸν μέν τι δηλοῦσθαι πρὸς αὐτῶν, οὐ τὴν ἀφωρισμένον γε τοῦτο. καθάπερ τὸ ποδιαῖον, ἀλλ' ὡς ἐκεῖνος ἔλεγεν, ἐν πλάτει τε καὶ ἀορίστως. ἆρ' οὖν ἔχομεν ὅρους περιλαβεῖν τὸ πλάτος αὐτῶν, ὥσπερ τῶν ἄλλων τῶν οὕτως λεγομένων οἷον χοροῦ, καὶ πόλεως, καὶ ὄρους, καὶ στρατεύματος, καὶ λίμνης. ἕκαστον γὰρ τούτων, μετὰ ποσότητος ἀορίστου λέγεται. δυνατὸν μὲν εἰπεῖν, ὡς οὔτε τοὺς τρεῖς, ἢ τέτταρας χορευτὰς ἤδη νοοῦμεν χορὸν, οὐ μὴν οὐδὲ τοὺς μυρίους ἔτι. καθάπερ οὐδὲ πόλιν, οὔτε τὴν ἐκ τριῶν οἰκιῶν συγκειμένην, οὔτε τὴν εἰς χιλίους σταδίους ἐκτεταμένην, οὐδ' ὄρος οὐ τὸ πηχυαῖον μόνον, ἀλλά τι μεῖζον, οὐδ' αὖ πάλιν τὸ μέχρι τῆς σελήνης ἀνατεταμένον, οὔτε λίμνην συστατικὴν ὕδατος ἀμφορέων τριῶν, οὐ μὴν οὐδ' ὥστε τὴν γῆν ὅλην ἐπικλύζειν. ἑκάστου γοῦν τούτων, εἰ καὶ μὴ δυνατὸν ἀκριβῶς ἀφορίσαι τὸ ποσὸν, ἀλλ' ἐξευρεῖν γε δυνατὸν, πολλὰ σώματα παντελῶς ἐκπεπτωκότα τῆς νοήσεως αὐτῶν ἐφ' ἑκάτερον, τὰ μὲν, τῷ μηδέπω, τὰ δὲ, τῷ μηκέτ' εἶναι τηλικαῦτα.

Τίνες οὖν ὅροι τοῦ μεγάλου τε καὶ μικροῦ καθάπερ ἑκάστου τῶν εἰρημένων οὐκ ἔχομεν εἰπεῖν. ἀλλ' εἰς τοσοῦτον ἔτι πλάτος ἡ νόησις ἐκτέταται τοῦ μεγάλου, ὥστε καὶ αὐτοῦ τοῦ κόσμου παντὸς εἰπεῖν ἔτι μεῖζον δύναιτό τις νοῆσαι, καὶ τοῦτο δέξεται τὴν τοῦ μεγάλου κατηγορίαν. ἀλλὰ καὶ μύρμηξ καὶ κώνωψ καὶ κέγχρος, καὶ εἴ τι τούτου μικρότερον εἴη ζῶον, ἢ σπέρμα, δέχεται τὴν τοῦ μεγάλου κατηγορίαν. οὐ γὰρ μύρμηξ μόνον, ἀλλὰ κέγχρός τις καὶ κώνωψ μέγας λέγεται. δῆλον οὖν τό γε τοσοῦτον ὡς ἕκαστον τοῖς ὁμογενέσι παραβαλλόμενον, ἢ μικρὸν, ἢ μέγα λέγομεν, ἁπλῶς δ' οὐδέν. καὶ ταύτῃ διήνεγκε τὸ μεῖζον τοῦ μεγάλου, τὸ μὲν μεῖζον παντὸς τοῦ μικροτέρου δύνασθαι μεῖζον λέγεσθαι. τὸ μέγα δ' οὐ παντὸς, οὔ τινος μεῖζον, ἀλλὰ τὸ μόνον τῶν ὁμογενῶν. οὕτω δὲ καὶ περὶ μικροτέρου καὶ μικροῦ χρὴ διορίζεσθαι, καὶ περὶ ταχέως καὶ θᾶττον, καὶ βραδέως καὶ βραδυτέρου, τὸν αὐτὸν τρόπον. εἴ γε καὶ ἵππος βραδὺς λέγεταί τις, καὶ μύρμηξ ταχύς. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον ὀνομασμένον εὑρήσεις. ἔν τε τοῖς τῶν σφυγμῶν γένεσιν ἅπασιν καὶ κατὰ τὴν ὅλην ἰατρικήν. ἤδη δὲ καὶ κατὰ τὸν σύμπαντα βίον τῶν ἀνθρώπων καὶ σκληρὸν καὶ σκληρότερον, καὶ μαλακὸν καὶ μαλακώτερον, καὶ πυκνὸν καὶ πυκνότερον, καὶ τἆλλα πάντα παραπλήσια. τὰ μὲν, πρὸς ἕτερον, ὅτι δὴ ποτε παραβάλλεται. τὰ δὲ πρὸς μόνον τὰ κατὰ τὸ ἐν αὐτοῖς γένος. ἆρ' οὖν ἤδη τὸ πᾶν ἔχομεν, ἢ καὶ τούτῳ τις τῷ λόγῳ λείπει διορισμός. οὐ γὰρ ἅπασι τοῖς ἐκ τοῦ αὐτοῦ γένους τὸ μέγα παραβάλλοντες, οὕτω ὀνομάζομεν. οὐ γὰρ αὖ Ἀχιλλεύς θ' ἅμα καὶ Αἴας ἐλέγοντο μεγάλοι. καὶ Πολυδάμας καὶ Μίλων. εἴ γε τοῦ μὲν Αἴαντος ὁ Ἀχιλλεύς, τοῦ δὲ Μίλωνος Πολυδάμας ἦν μείζων. ἀλλὰ δῆλον, ὅτι τῷ μέσῳ τε καὶ μετρίῳ, καὶ συμμέτρῳ προσαγορευομένῳ, καθ' ἕκαστον γένος, ὥσπερ κανόνι καὶ κριτηρίῳ τἄλλα παραβάλλοντες. ὅσα μὲν ὑπὲρ αὐτὸ, μεγάλα πάντ' εἶναι λέγομεν. ὅσα δ' ἐναντία, σμικρά. καὶ τοῦτ' ἔστιν μὲν κἂν τῷ βίῳ παντὶ, μάλιστα δ' οὖν ἐν ταῖς τέχναις. περὶ γὰρ τὴν τοῦ συμμέτρου θήραν ἔχουσιν ἅπασαι. καὶ τοῦτ' ἐκπορίζειν σπεύδουσαι ταῖς οὐσίαις περὶ ἃς καταγίγνονται. καὶ πολὺ σιτίον ἐδηδοκέναι τόν δέ τινά φησιν ὁ ἰατρὸς, ὅταν ὑπὲρ τὴν τοῦ τρεφομένου σώματος ᾖ φύσιν, καὶ ὀλίγον αὖθις ὅταν ἀπολείπηται συμμετρίας τοῦ τρεφομένου. οὕτω γοῦν ἀθλητῇ δύο μνᾶς κρεῶν ὀλίγον εἶναι λέγοντες, τῷ νοσοῦντι πολλάκις ἀπαγορεύομεν, χυλοῦ πτισάνης ἐκροφῆσαι λεκάνιον, ὡς πλέον ὂν τοῦ συμμέτρου. καὶ μέγαν οὖν σφυγμὸν καὶ μικρὸν ἐροῦμεν, τὸν ἐξιστάμενον τῆς συμμετρίας. καὶ τούτους μὲν, πολλοὺς ἑκατέρους, ἕνα δὲ τὸν σύμμετρον, ὃν χρὴ θηρᾶσαί τε καὶ τῇ μνήμῃ παραθεμένους ἐπάγειν τοῖς ἄλλοις ἅπασιν, οἷον μέτρον τι δίκαιον ὑπὸ αὐτῆς τῆς φύσεως ὡρισμένον. ὅπως οὖν αὐτὸν ἐξεύρωμεν, ἤδη σκοπῶμεν. ἐπὶ τούτῳ γὰρ ὁ πᾶς σπεύδει λόγος, καὶ τούτου χάριν εἴρηται τὰ πρόσθεν ἅπαντα. εὕροιμεν δ' αὐτὸν εἴπερ δυναίμεθα μεθόδῳ. χρήσιμον γὰρ τοῦτο, πρὸς τὸ κατὰ πάντων τῶν συμμέτρων ἕνα λόγον ἔχειν, καὶ μὴ ζητεῖν αὖθις, ὅπως μὲν εὑρίσκειν χρὴ τὸ κατὰ τὴν κίνησιν σύμμετρον, ὅπως δὲ τὸν κατὰ τὴν

ἡσυχίαν

ἡσυχίαν, ἢ τὸν πόνον, ἢ τὸ περὶ ἀρρωστείας σῶμα. καὶ πρῶτον μὲν τοῦτ᾽ εἴδωμεν εἰ χρὴ καθ᾽ ἕκαστον γένος
σφυγμὸν ἕνα ζητεῖν τὸν σύμμετρον, ἢ πλείους. ἀλλ᾽ ὁ μὲν, ὡς ἐν ἡλικίᾳ σύμμετρον. ἄλλον δ᾽ ὡς ἐν ἕξε
σι σωμάτων, ἄλλον δ᾽ ὡς ἐν κράσεσιν, ἄλλον δ᾽ ὡς ἐν ὥραις, ἢ χώραις, ἢ καταστάσεσιν, ἢ ἐπιτηδεύμασιν, ἢ ψυ
χικαῖς διαθέσεσιν. ἐν ἅπασι γὰρ τούτοις, τοὺς μὲν μεγάλους, τοὺς δὲ μικροὺς, τοὺς δὲ συμμέτρους λέγομεν
εἶναι σφυγμοὺς, καὶ τοὺς μὲν ταχεῖς, τοὺς δὲ βραδεῖς, τοὺς δὲ συμμέτρους, καὶ κατὰ τὰς ἄλλας διαφορὰς
ὡσαύτως. καὶ τάχ᾽ ἄν τινι δόξειε τοῦτ᾽ εὐλογώτερον εἶναι, καὶ τῇ χρείᾳ μᾶλλον ὁμολογοῦν, τὸ, καθ᾽ ἕκαστον γέ
νος σφυγμῶν, ἕνα ποιεῖν τὸν σύμμετρον. ἐπισκεψώμεθα οὖν ἀκριβέστερον αὐτὸ, καὶ προχειρισάμενοι γένος
ἓν σφυγμῶν ὡς ἐν παραδείγματι, τὸ τῶν μεγάλων τε καὶ μικρῶν, ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν ἐλέγομεν, τὸν
μέσον αὐτῶν καὶ τὸν σύμμετρον ἐξευρεῖν πειραθῶμεν. ἰδίᾳ μὲν, ἐν ἡλικίαις, ἰδίᾳ δ᾽ ἐν ὥραις τε καὶ χώραις καὶ
10 φύσεσι, καὶ κράσεσι, καὶ τοῖς ἄλλοις ἅπασι τοῖς τοιούτοις. ἀρκέσει γὰρ εἰ τοῦθ᾽ εὕροιμεν εἰς τὴν χρείαν, εἴτε πρό
κειται μὲν ἡμῖν τὸν οἰκεῖον ἑκάστου τῶν εἰρημένων σφυγμῶν εἰδέναι, καὶ τὰς εἰς τὸ παρὰ φύσιν ἐκτροπὰς
αὐτοῦ διαγινώσκειν. ἡ δὲ νῦν εἰρημένη διδασκαλία φαίνεται τοῦθ᾽ ἡμῖν ἐκποριζουσα. σκεψώμεθ᾽ οὖν ἀκρι
βῶς εἰ δυνατὸν ἐξευρεῖν αὐτό. φαίνεται γὰρ ἐμοὶ μὲν χαλεπώτατον, ἴσως δὲ καὶ ἀδύνατον. ἡ χαλεπότης
δὲ, ἐν τῷ μηδὲν τῶν εἰρημένων ἰδίᾳ καὶ καθ᾽ αὑτὸ λαβεῖν δύνασθαι. πότε γὰρ ἰδίᾳ καὶ καθ᾽ αὑτὴν ἐστὶν ἰδεῖν
τὴν ἐν ταῖς ὥραις διαφορὰν τῶν σφυγμῶν ἄνευ σώματος, ὃ καὶ μὴ κράσεως πῶς ἔχει καὶ ἕξεως, καὶ ἡλικίας
καὶ τῶν ἄλλων τῶν εἰρημένων. ὥστ᾽ οὐκ ἂν ἔχεις εἰπεῖν ἦρι μὲν τηλικοῦτος σφυγμὸς οἰκεῖος, θέρει δ᾽ ὁ τηλικοῦ
τος. ἐρωτηθεὶς γὰρ ἐν τίνι καὶ λέγεις σώματι, πότερον ἐν θερμοτέρῳ τὴν κρᾶσιν, ἢ ψυχροτέρῳ καὶ ἰσχνῷ, ἢ
παχεῖ. καὶ ἀκμάζοντος, ἢ γέροντος. ἢ ψυχρᾷ χώρᾳ, ἢ θερμῇ. καὶ ἀνδρὸς, ἢ γυναικός. καὶ ἐπὶ τὰς ἄλλας διαφο
ρὰς ὡσαύτως. ὥς τε φαίνεται δεῖν ἐπὶ τὴν ὅλην τῶν ὑποκειμένων σωμάτων φύσιν ἐπισκοπεῖσθαι, τὸν οἰκεῖον
20 τε καὶ οὐκ οἰκεῖον σφυγμόν. ἵνα εἴδωμεν εἰ οὕτως ἔτυχεν ὅτι Δίωνι μὲν ὁ σφυγμὸς τηλικοῦτος ἐστὶ φύσιν, Θέω
νι δὲ τηλικοῦτος. ἀλλὰ καὶ τοῦτ᾽ ἄτοπον, οὐ μόνον τὸ χρῆναι καθ᾽ ἕκαστον ἄνθρωπον, ἰδίαν ἡμᾶς ἔχειν μνή
μην τε τῶν οἰκείων σφυγμῶν, καὶ μὴ δύνασθαι περὶ μηδενὸς διαγνῶναι μηδὲν, ᾧ πρῶτον οὐκ ἐντυγχάνο
μεν, ἀλλὰ καὶ τὸ μηδ᾽ ἀπ᾽ αὐτοῦ τοῦ Δίωνος, εἰ τύχοι τὸν ἕνα ἔχειν τὸν οἰκεῖον σφυγμὸν ἐν ἑκάστῳ γένει
δυνατὸν ἰδίᾳ καὶ χωρὶς περὶ τῶν ἔξωθεν πραγμάτων περιστάσεως λαβεῖν. πότε γὰρ καὶ λήψει, πότερα τοῦ ἐν
χειμῶνι Δίωνος, ἢ τοῦ κατὰ τὸ θέρος. καὶ πότερα τοῦ ἐν ῥώμῃ, ἢ τοῦ ἐν Λιβύῃ, καὶ τοῦ ἰσχνοτέρου γεγονότος,
ἢ τοῦ παχυτέρου καὶ ἀργοτέρου, ἢ ἐπιπονωτέρου διηγμένου, καὶ ἐνδεέστερον, ἢ δαψιλέστερον διῃτημένου.
καὶ οἶνον, ἢ ὕδωρ πεπωκότος, ἢ διψῶντος. οὐ γὰρ ἐστὶν ἄνευ τούτων, καὶ ἄλλων μυρίων περιστάσεων, ἰδίᾳ ποτὲ καὶ τ
αὐτὸ λαβεῖν τὸ Δίωνος σῶμα. μένει τοίνυν καὶ νῦν ἔτι ἡ ἐξ ἀρχῆς ἀπορία. τὸν γὰρ τῇ ὅλῃ φύσει τοῦ ὑποκειμέ
νου σώματος, οἰκεῖον σφυγμὸν, ὃν δὴ καὶ σύμμετρον ἐκαλοῦμεν, ἐν ἴσῳ τὸ μέτριον εὑρεῖν ἀδυνατοῦμεν. ἄμει
30 νον οὖν ἴσως μὴ ταύτῃ μετιέναι τὴν περὶ τοῦ σφυγμοῦ διάγνωσιν, ἀλλ᾽ ὡς τοῖς εἰσαγομένοις ἔγραψε, ἐφ᾽ ἑκά
στου τῶν εἰρημένων αἰτίων τὴν τροπὴν ἐκμαθεῖν. ἔστι γάρ τιν᾽ εὑρεῖν τοῦ τοιούτου μέθοδον, ἣν καὶ νῦν παραγρά
ψαντες πρότερον ἐφεξῆς ἐπισκεψώμεθα, πότερ᾽ αὐτάρκης ἐστὶν εἰς ἅπαν, ἢ καὶ αὐτὴ κατά τι, ἐλλιπής. εἴη
δ᾽ ἂν ἡ μέθοδος, τοιάδε, προχειρισαμένων ἡμῶν, ἕνεκα παραδείγματος, ἕν τι τῶν τρέπειν τοὺς σφυγμοὺς πε
φυκότων αἰτίων, οἷον γυμνάσιον. προτεθέντος γὰρ σκοπεῖσθαι τίνα τρόπον τῶν σφυγμῶν ἐργάσεται γυμνά
σιον τὴν τροπὴν, λαβὼν τὶν᾽ οὖν ἄνθρωπον, ἅπάσας αὐτοῦ τὰς διαφορὰς τῶν σφυγμῶν ἐπίσκεψαι πρότερον,
εἶτα γυμνάσας αὖθις, ἐπίσκεψαι, τίς μὲν αὐτῶν ἐξετάσθη, τίς δ᾽ ἐξελύθη, καὶ μέχρι πόσου, καὶ οὕτως ἐξευρή
σεις ὁποῖον πέφυκε γυμνάσιον, τρέπειν τοὺς σφυγμούς. ὁμοίως δὲ καὶ περὶ λουτρῶν, καὶ πομάτων, καὶ ἐδε
σμάτων, καὶ τῶν ἄλλων ἁπάντων, ἐπὶ περὶ καθ᾽ ἕκαστον ἄνθρωπον πεῖρας, ἕτοιμον εὑρεῖν τὰς τροπάς. οὕτω μὲν
ἡ πεῖρα ῥᾴστη. τὰ δὲ τῶν ἐπὶ τῇ τοιαύτῃ πείρᾳ λογισμῶν οὐκέτι ῥᾴδια. κίνδυνος γὰρ ὥσπερ ἐν πάσῃ πείρᾳ
40 σφαλῆναι παρὰ τὸ ἀδιόριστον, οὕτω κἀνταῦθα. Διχῶς δὲ τοῦτ᾽ αὐτὸ ἀδιόριστον γίνεται. τὸ μὲν, τῷ
μὴ τεμεῖν τὸ κοινὸν εἰς τὰς ἐν αὐτῷ πάσας διαφοράς, τὸ δὲ, τῷ μὴ σκέψασθαι τοῖς τρέπουσιν αἰτίοις, τίνα
μὲν προηγουμένως, ἢ πρώτως ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, τίνα δὲ κατὰ συμβεβηκὸς ἠκολούθησε. τὸ μὲν
δὴ μὴ τέμνειν τὸ κοινὸν εἰς τὰς ἐν αὐτῷ πάσας διαφοράς, τοιόνδε. δεῖται γὰρ ὁ λόγος, ἵν᾽ ᾖ σαφὴς, παραδεί
γματος. εἴ τις ἀποφήναιτο τῶν γυμνασαμένων, τοὺς σφυγμοὺς τοιοὺσδε γίγνεσθαι, μὴ διορισάμενος, μήθ᾽ ᾧ τινι λέ
γει τῶν γυμνασαμένων, μήτε πῶς γυμνασαμένῳ, μήτε πότε, μήτ᾽ ὁπόσα, παρὰ τὸ μὴ τεμνεῖν τὸ κοινὸν εἰς τὰς
διαφορὰς ἐσφάλη. τίνι γοῦν καὶ λέγω τῶν γυμνασαμένων, πῶς ἡλικίας ἔχοντι, πῶς δ᾽ ἰσχύος ἢ ἀσθενείας, πῶς δ᾽ χυ
μῶν, πῶς δὲ ἕξεως, πῶς δὲ κράσεως, πῶς δὲ περὶ τῶν μορίων τοῦ σώματος συμπηγίας, πῶς δὲ τοῦ πρὸς τὸ γυμνά
σιον ἔθους. εἰς τοσαῦτα γὰρ διαιρεῖται τὸ, τινί. τὸ δὲ πῶς ἐγυμνάσατο, πάλιν εἰς ἄλλας τέμνεται διαφοράς.
ἆρά γε συντόμως, ἢ οὔ. καὶ ὀξέως, ἢ οὔ. καὶ ὁμαλῶς, ἢ οὔ. καθ᾽ ἕκαστον γὰρ τούτων, οὐχ ὡσαύτως τραπήσεται.
50 ὁμοίως δὲ καὶ περὶ τὸ ποτὲ διαφέρουσαν ἀνάγκη γενέσθαι τὴν τροπήν. οὐ γάρ ἐστι ταυτὸν ἐδηδοκότα γυμνά
ζειν, ἢ νῆστιν. καὶ λυπούμενον, ἢ χαίροντα. καὶ πρόθυμον, ἢ ῥάθυμον. καὶ ἐρριγωκότα, ἢ διατεθερμασμένον,
καὶ πλέονα τοῦ δέοντος, ἢ ἐλάττονα, ἢ σύμμετρα κεκοιμημένον. ὁμοίως δὲ καὶ περὶ τὸ ποσὸν τῶν γυμνασίων
ἡ τροπὴ διάφορος γενήσεται. οὐ γοῦν ὡσαύτως τὰ σύμμετρα τοῖς πλείοσιν ἢ ἐλάττοσιν ὑπαλλάξει τοὺς σφυγμούς.

Τὸ δὲ ἐπὶ συμβεβηκὸς, ἢ πρώτως γίνεσθαι τὴν τροπὴν, ὧδε χρὴ διορίζεσθαι. μή τι ἄρα περιττωμάτων
μὲν ἦν μεστὸς, ἀρξαμένῳ δ᾽ αὐτῷ γυμνάζεσθαι, ῥυέντων εἰς τὴν γαστέρα πλειόνων χυμῶν μοχθηρῶν, ἢ δάκνεσθαι τὸ
στόμα συνέβη περὶ γαστρὸς τῇ κακίᾳ τῶν χυμῶν, ἢ βαρυνθῆναι τῷ πλήθει, ἢ ἀνατρέπεσθαί τε καὶ ναυτιᾶν, καὶ διὰ
ταῦτα τὸν ἄνθρωπον, ἢ ἀναλύειν ἢ ἐκλύεσθαι, ἢ καταψύχεσθαι, ἢ πνίγεσθαι. τούτων γὰρ ἕκαστον ἀλλοιώσει τοὺς
σφυγμοὺς, καὶ τὶς ἴσως οἰήσεται κατὰ τὸν τοῦ γυμνασίου λόγον αὐτοὺς τετράφθαι. καὶ γὰρ εἰ πληθωρικὸς ὢν
καὶ τοῖς κατὰ θώρακα, καὶ πνεύμονα νοσωδέστερος, ἀρξάμενος ὠκέως γυμνάζεσθαι, δύσπνους γένοιτο,

τραπήσονται μὲν οἱ σφυγμοὶ ἐπὶ τὸν τῆς δυσπνοίας λόγον, ἴσως δ᾽ οἰήσεται ἐπὶ τὰ γυμνάσια. πῶς οὖν χρὴ διορί-
ζεσθαι πρὸς τὸ μηδὲν ἐν τῇ πείρᾳ σφάλλεσθαι, εἴρηται μὲν ἑτέρωθι μακρότερον, εἰρήσεται δὲ κἀνταῦθα
διὰ βραχέων. πάσας τὰς εἰρημένας διαφορὰς, εἰς τρεῖς ταύτας ἀναγαγεῖν χρὴ τὰς καθόλου, τὸ μὲν ὑποκεί-
μενον σῶμα παραλαμβάνοντας εἰς τὴν πεῖραν, ὑγιαῖνόν τε καὶ κατὰ μηδεμίαν τῶν ἔξωθεν τροπὴν δυνα-
στευόμενον τὸ προσαγόμενον δ᾽ αὐτῷ γυμνάσιον σύμμετρον τῇ ποσότητι φυλάττοντας, ἐν δὲ τῇ τροπῇ σκοποῦ-
μένους, μή τι ἐπὶ συμβεβηκὸς ἀπήντησεν, καὶ οὐ κατὰ τὴν αὐτὴν τοῦ γυμνασίου τὴν φύσιν. ἂν γὰρ εἰς ταῦτα τὰ
τρία βλέπῃς, ῥᾳδίως ἐξευρήσεις, πῶς καὶ μέχρι πόσου τρέπει τὸ προσιὸν αἴτιον. καὶ οὕτως ἔξεσταί σοι καθ᾽ ἕκα-
στον εἶδος αἰτίου, τῇ πείρᾳ τὴν τροπὴν ἐκμαθόντι, χρῆσθαι πρὸς τὰς ἐν ταῖς νόσοις διαγνώσεις, ῥᾳδίως εὑρίσκον-
τι, πόσον μὲν ὑπὸ τῶν ἔξωθεν αἰτίων ἐτράπησαν οἱ σφυγμοὶ, πόσον δ᾽ ὑπὸ τοῦ νοσήματος. ὡς τό γε οὐκέτι σοι δεήσει
προγιγνώσκειν ποῖός ἐστι φύσει σύμμετρος, ἀλλὰ τὸν ἑκάστῳ τῶν ὑποκειμένων οἰκεῖον ἐπιστάμενος εἰς ὅσον οὕτως
ὑπό τε τῶν ἄλλων αἰτίων καὶ αὐτοῦ τοῦ νοσήματος ἐτράπη, γνωρίζειν δυνήσῃ. καὶ μὴν εἰ μὴ πρὸς ταῦτα δεό-
μεθα τῆς τοῦ συμμέτρου γνώσεως, ἐκ περιττοῦ ζητήσωμεν αὐτόν. πῶς οὖν ἐροῦμεν τινὰ μέγαν ἢ ταχὺν, πρὶν τὸν
σύμμετρον ἐξευρεῖν. ἔτι γὰρ ἔοικε τὸ ἐξ ἀρχῆς φυλάττεσθαι ζήτημα. τί δὲ καὶ δεόμεθα τοῦ μέγαν ἢ ταχὺν λέγειν.
ἀρκέσει γὰρ ἡμῖν τῶν τρόπων μόνων μνημονεύειν, ὧδέ πως λέγουσι. γυμνάσια σύμμετρα τοὺς σφυγμοὺς, εἰς
μέγεθος, καὶ τάχος, καὶ σφοδρότητα, καὶ πυκνότητα τρέπει. καὶ ταῦτα φήσομεν. καὶ τοὺς ἄλλους βουλομένους δηλοῦν
ἐν γυμνασίοις φάσκειν μεγάλους καὶ ταχεῖς, καὶ σφοδροὺς, καὶ πυκνοὺς γίγνεσθαι τοὺς σφυγμούς. ἀλλ᾽ ἡμεῖς πρῶ-
τον μὲν, οὐχ ἁπλῶς ἐροῦμεν ἐν γυμνασίοις, ἀλλ᾽ ἐν τοῖς συμμέτροις προσθήσομεν. τὰ γὰρ πλείω τῆς φύσεως τοῦ
γυμναζομένου σώματος, εἰς ἕτερον εἶδος τροπῆς μεθιστᾶσι τοὺς σφυγμούς. ἔπειτα δ᾽ οὐδ᾽ ἁπλῶς οὕτως μεγάλους
καὶ ταχεῖς ἐροῦμεν, ἀλλὰ καὶ μείζονας, καὶ θάττονας, καὶ σφοδροτέρους, καὶ πυκνοτέρους, καὶ τἆλλα πάντα φή-
σομεν οὕτως χρῆναι λέγειν. οἷον ὅτι κατὰ μὲν τὰς ἡλικίας, μέγιστοι μὲν, οἱ τῶν ἀκμαζόντων, μικρότατοι δ᾽ οἱ τῶν γε-
ρόντων. οἱ δὲ τῶν παρακμαζόντων, μείζους μὲν, τῶν ἐν τοῖς γέρουσιν. ἐλάττους δὲ, τῶν ἐν τοῖς ἀκμάζουσιν. καὶ
κατὰ τὰς ὥρας ὡσαύτως. καὶ κατ᾽ ἄλλα πάντα, τὴν αὐτὴν ποιησόμεθα διδασκαλίαν, ἐν ἑκάστῳ τῶν γε-
νῶν τοὺς σφυγμοὺς ἀλλήλοις παραβάλλοντες, οὐχ ἁπλῶς ὑπὲρ αὐτῶν ἀποφαινόμενοι, τοῖς μὲν οὖν ἐμπειρι-
κοῖς τάχα ἂν ἀρκέσειεν ἡ τοιαύτη διδασκαλία. καὶ μετ᾽ ὀλίγον ἀκριβέστερον ὑπὲρ αὐτῆς ἐπισκεψόμεθα τοῖς δὴ
τὰς πρώτας καὶ συνεκτικὰς ὀνομαζομένας αἰτίας, ἑκάστου τῶν σφυγμῶν ἐξευρεῖν βουλομένοις, καὶ σὺν λόγῳ
τε καὶ μεθόδῳ τὴν τέχνην ἀσκοῦντι, τὸ σύμμετρον ἑκάστῳ τῶν γενῶν ἀναγκαῖον ἐπίστασθαι. φέρε γὰρ ζητεῖ-
σθαι διὰ τί μικρὸς ὁ τοῦ παιδίου σφυγμὸς, εἶτα ἀπορεῖν ἡμᾶς αἰτίας εὐλόγους. καὶ γὰρ ἀπορήσωμεν, ἂν φθάνωμεν
ἀκριβῶς ἐζητηκότες τὰς τῶν μεγάλων τε καὶ μικρῶν σφυγμῶν τῆς γενέσεως αἰτίας. οὐ γὰρ εὑρήσομεν τῶν παι-
δίων, τὰς τοὺς μικροὺς γεννώσας. καὶ μὴν εἰ καθ᾽ ἓν ὁτιοῦν ὁ τῆς αἰτίας λογισμοὺς σφάλλοιτο, κἂν τοῖς ἄλλοις ἐν
οἷς εὐπορεῖν δοκεῖ, δικαίως ὑποπτευθήσεται. πάντῃ γὰρ ὁμολογεῖν αὐτὸν, εἴπερ ἀληθής ἐστιν ἑαυτῷ προσήκει.
διὰ ταῦτ᾽ οὖν ἀναγκαῖον ἐπίστασθαι τὸν σύμμετρον. ἴσως γὰρ καὶ ὁ τοῦ παιδίου ὑπὲρ τὸν σύμμετρόν ἐστιν. Ἡρό-
φιλος γοῦν ποτὲ μὲν εὐμεγέθη τὸν σφυγμὸν τοῦτον ὀνομάζει. τί δή ποτ᾽ οὖν φησίν τις, ὁ Ἀρχιγένης μικρὸν αὐ-
τὸν εἶναι φησίν, ἴσως ἂν εἴποιμί σοι τὴν αἰτίαν τῆς διαφωνίας, ἂν πρότερον γνῷς, ὅτι τὸ προκείμενον ἀποδέδει-
κται, τὸ, δεῖν εἰς τὴν περὶ τῶν ἐν σφυγμοῖς αἰτίων θεωρίαν ἐπίστασθαι τὸν σύμμετρον ἀνδρὶ λογικῷ τ᾽ εἶναι βουλομένῳ,
καὶ σὺν τῷ τῆς αἰτίας λογισμῷ πάντ᾽ ἐπίστασθαι προῃρημένῳ. καὶ τοῦτο μὲν ἴσως ἧττον, (ἐρεῖ γάρ τις μὴ βούλε-
σθαι λογικὸς εἶναι) τὸ δ᾽ ὀλίγῳ πρόσθεν ἀναβληθὲν, ὡς ἀξίων σκέψεως, ἤδη θεασώμεθα, τὸ, μηδένα τῶν ἐμπειρι-
κῶν δύνασθαι τὴν τήρησιν ἀκριβῆ καὶ διηρθρωμένην ποιήσασθαι, πρὶν τὸν ἁπλῶς σύμμετρον ἐξευρεῖν. ἐπειδὴ
γὰρ αὐτῷ πρόκειται μὴ μόνον εἰ τρέπει τοὺς σφυγμοὺς εἰς τάχος, ἢ μέγεθος, ἤ τι τῶν ἄλλων, ὧν παρῆλθε περίστα-
σις, ἀλλὰ καὶ μέχρι πόσου τρέπει γιγνώσκειν. ἡ γὰρ ὅλη χρεία τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, ἐν τούτῳ μάλι-
στα περιέχεται. τὸ δ᾽ ἄχρι πόσου τρέπειν διαγινώσκειν, ἀμήχανον, ἀγνοοῦντα τὸ κατὰ φύσιν. ἀνάγκη προεπί-
στασθαι τὸ, κατὰ φύσιν ἑκάστου τῶν νοσούντων, εἰ μέλλει τὸ ποσὸν τῆς παρούσης τροπῆς διαγνώσεσθαι. οὐ μὴν ἅπα-
σι καὶ τοῖς νοσοῦσιν ὑγιαίνουσιν ἐνέτυχεν, ἵν᾽ ἐκ τῆς πείρας μάθοι, εἶτα μεμνημένος παραβάλλοι τοῖς νοσοῦσι τὴν
φύσιν. πῶς οὖν ἔτι δυνήσεται δι᾽ ἐμπειρίας ἔχειν τὸ προκείμενον; ἢ πάλιν κἀνταῦθα ἐπὶ κοινότητάς τινας, ἡ
τήρησις ἔσται, πῶς καὶ τίνα τρόπον; οὐ γὰρ ἔθ᾽ ὁμοίως ἐνταυθοῖ δυνατὸν ὡς ἐπὶ τῶν ἔξωθεν αἰτίων, τὰ μὲν
ἄλλα φυλάττειν ἄτρεπτα, μόνον δ᾽ ὑπαλλάττειν καθ᾽ ὃ τὴν τήρησιν ἐποιούμεθα. καὶ γὰρ χρώματα, καὶ σχή-
ματα, καὶ ὀσμαὶ, καὶ μήκη, καὶ πλάτη, καὶ βάθη σωμάτων, καὶ λεπτότητες καὶ πάχη, καὶ ἡ κατὰ γένη τε καὶ ἡλικίας
καὶ χώρας, καὶ ὥρας, καὶ τὴν παροῦσαν κατάστασιν διαφορὰ, πᾶσιν ἐξ ἀνάγκης, ὑπάρχει τοῖς ἀνθρώποις. ὥστ᾽
ἐπειδὴ χωρὶς μὲν τούτων, οὐκ ἂν εὕροις οὐδένα, τὴν τήρησιν τὴν ἐν αὐτοῖς χαλεπὸν ἀγαγεῖν ὑπὸ τῶν ὀλίγων
πρόσθεν εἰρημένων. ἐπὶ τῶν ἔξωθεν αἰτίων τροπέων, ἑτέρας τινὸς ἡμῖν δεήσει μεθόδου. ὅτι δὲ χαλεπὸν ἐπὶ
τούτου τὴν ῥῆσιν ποιήσασθαι, μάθοις ἂν εἰ μὴ λόγῳ μόνον, ἀλλὰ καὶ δι᾽ αὐτῶν τῶν ἔργων ἐθέλοις ἐξευρίσκειν
ἀνθρώπους δύο καθ᾽ ἕν τι μόνον ἑκάστοτε διαφέροντας, ἐν δὲ τοῖς ἄλλοις ἅπασιν ὡσαύτως ἔχοντας. οὐ γὰρ
εὑρήσεις ῥᾳδίως, πρὸς τῷ, καὶ παμπόλλας γίνεσθαι τὰς τῶν ἐπαλλάξεων συζυγίας, καὶ μακροῦ μὲν χρόνου
δεῖσθαι πρὸς τὴν τήρησιν, ἀμηχάνου δὲ τινὸς καὶ θαυμαστῆς μνήμης. τά τε γὰρ ἄλλα, καὶ τὰ μηδὲν εἰς τὴν τρο-
πὴν τῶν σφυγμῶν διαφέροντα παραφυλάττειν ἀναγκαῖον ἐστὶ μέχρι πλείστου τοῖς ἐμπειρικοῖς, ἵν᾽ αὐτό γε
τοῦθ᾽, ὅτι μηδὲν διαφέρει βεβαίως ἐπιγνῶσι. καὶ τοῦτ᾽ ἐστὶ τὸ μάλιστα τὴν ἄλογόν τε καὶ ἀμέθοδον κίνησιν, εἰς ἀ-
πέραντόν τι χρόνου μῆκος ἐκτοπίζον. καὶ διὰ τοῦτ᾽ ἀεὶ φαμὲν, ὥσπερ οὖν καὶ δι᾽ ἑτέρων ἐπέδειξα, τηρήσει μό-
νῃ συστήσασθαι τὴν τέχνην ἄνευ λογισμοῦ τῶν ἀδυνάτων ὑπάρχειν. κἂν εἰ συγχωρηθείη γε ταῦτα πάντα. τὸ
γοῦν ποσὸν τῆς καθ᾽ ἕκαστον αὐτῶν τροπῆς, ἀμνημόνευτον γενήσεται πρὸς μηδὲν μέτρον ὡρισμένον, ἀναφέρειν
ἡμῶν, τὰς θ᾽ ὑπερβολὰς, καὶ τὰς ἐνδείας δυναμένων. πῶς γὰρ ἄν τις μνημονεύσειεν ἅπαντα ταῦτα συμπλέξας

ἀλλήλοις τὰ τοῖς σώμασιν ἐξ ἀνάγκης ὑπάρχοντα, μετὰ τοῦ καθ᾽ ἕκαστον αὐτῶν ποσοῦ. πάντως γὰρ ἡ συμπλοκὴ τοιάδε τις ἔσται. τῷ λευκῷ μὲν ἐπὶ τοσοῦτον. εὐρυστέρνῳ δὲ, ἐπὶ τοσοῦτον. ὁμοίως δὲ παχεῖ μέχρις τοσοῦδε. καὶ πλάτους καὶ βάθους τοῦ κατὰ τὸ σῶμα μέχρι τοσοῦδε προσήκοντι. ἄρρενι ὄντι καὶ παιδὶ, καὶ ἐν ὥρᾳ θερινῇ, καὶ ἐν χωρίῳ φύσει ψυχρῷ, καὶ ἐν καταστάσει ξηρᾷ, τοιός δέ τις ὁ σφυγμός ἐστι. τοιαύτας γάρ τινας συμπλοκὰς ἀπεράντους τὸ πλῆθος, ὑπὸ μηδενὸς ἀνθρώπου μήτε τηρηθῆναι, μήτε μνημονευθῆναι δυναμένας, ἀλλ᾽ ἄχρι λόγου μόνου ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς τὸ δυνατὸν ἐχούσας, ἐπ᾽ αὐτῶν δὲ τῶν ἔργων τῆς τέχνης, ἀδυνάτους ἐξελεγχομένας, ἀναγκαῖον ἔσται συμπλέκειν, εἰ δὲ δὴ καὶ τῷ μᾶλλόν τε καὶ ἧττον ἅπασι τοῖς εἰρημένοις, αἱ τοιαῦται συζεύξεις μέλλοιεν ἀλλήλων διαφέρειν, ὥσπερ οὖν διαφέρουσιν, εἰς ὅσην ἀμηχανίαν ἄξουσι τὴν τηρητικὴν, οἶμαι πρόδηλον ὑπάρχειν. ἄμεινον οὖν ἴσως μὴ διατρίβειν ἔτι, μηδ᾽ ἐγχρονίζειν, ἐνδεικνύμενον τὸ χαλεπὸν, καὶ ἀπέραντον τῆς ἐμπειρικῆς τηρήσεως, ἀλλ᾽ αὐτὸν δεῖξαι μέθοδον τινὰ λογικὴν, ᾗ χρώμενοι τὸ παρὰ τῆς ἐμπειρίας χρηστὸν, ἑτοίμως ληψόμεθα. τίς δ᾽ ἂν εἴη μέθοδος; ἡ τοιάδε. μάλιστα τὴν ἀρίστην τοῦ σώματος ἡμῶν ἐξευρόντας κατασκευὴν, πρῶτα μὲν, ἐπισκέψασθαι χρὴ, ποῖοι τινὲς οἱ κατ᾽ αὐτὴν εἰσὶ σφυγμοὶ, καὶ τοῦθ᾽ οὐχ ἁπλῶς, οὐδ᾽ ὡς ἔτυχε ποιητέον, ἀλλ᾽ ἐν τοιαύτῃ καταστάσει λαβόντας τὸν ἄνθρωπον, ἐν οἵᾳ τὴν οἰκείαν κίνησιν οἱ σφυγμοὶ φυλάττουσιν ὑπὸ μηδενὸς τῶν ἔξωθεν αἰτίων τετραμμένοι. γένοιτο δ᾽ ἂν τοῦτο μήτ᾽ ἀργίᾳ μακρᾷ κατεσχημένου, μήθ᾽ ὑπόγυον γεγυμνασμένου, ἀλλὰ μηδ᾽ ἐν ἀσιτίᾳ μακρᾷ γεγονότος, ἢ ἀρτίως ἐδηδοκότος. εἶναι δὲ χρὴ καὶ τὸ περιέχον εὔκρατον δηλονότι, καὶ τὸν ἄνθρωπον ἔξω τῶν ψυχικῶν παθημάτων, ἐν γαλήνῃ καθαρᾷ τὴν ψυχὴν ἔχοντα. μετὰ δὲ ταῦτα τὰς μοχθηρὰς τοῦ σώματος κατασκευὰς εὑρόντα, πρῶτα μὲν ἐξαριθμήσασθαι τὰς διαφορὰς αὐτῶν, ἔπειτα καὶ τάς τε ὑπερβολὰς καὶ τὰς ἐνδείας τὰς ἐν αὐταῖς κατιδόντα τῇ συμμέτρῳ τε καὶ ἀρίστῃ παραβάλλειν. καὶ λογίσασθαι μὲν πρῶτον ὅσον εἰκὸς διαλλάττειν, τοὺς ἐν ταῖς τοιαύταις φύσεσι σφυγμοὺς, τῶν ἐν τῇ ἀρίστῃ. ἔπειτα καὶ δι᾽ αὐτῆς τῆς πείρας βασανίσαι τὸν λόγον, εἰ ὁμολογεῖ τοῖς ἐναργέσι, καὶ τοῦτο πολλάκις ποιήσαντα, καὶ δι᾽ ἀσκήσεως μακρᾶς τόν τε λογισμὸν καὶ τὴν ἁφὴν γυμνάσαντα, τό τε νομίζειν ἤδη βεβαίως ἐπίστασθαι τόν τε σύμμετρον ἐν ἅπασι τοῖς γένεσιν τῶν σφυγμῶν, καὶ τοὺς ὁπωσοῦν ὑπερβάλλοντας τοῦδε, ἢ ἐλλείποντας. ἐμοὶ μὲν εἴρηται, τὸ πᾶν. ὅς τις δὲ ἢ τὴν φύσιν τοῦ σώματος ἡμῶν, ἢ τὰς μοχθηρὰς οὐκ οἶδεν, ἢ λόγῳ μὲν αὐτὰς ἐπεσκέψατο, διαγινώσκειν δ᾽ ἐντυγχάνων, οὐκ ἐμελέτησεν, οὐδὲ ἂν ἔχοι πλέον ἐκ τοῦ παρόντος λόγου. δικαίως οὖν οὖσιν ἐκεῖνα πρότερον ἐκμαθὼν, οὕτως ἐπὶ τάδε ἥκειν. καὶ γοῦν, οὐ τὴν τυχοῦσαν ἐν αὐταῖς εὑρήσει διαφωνίαν τοῖς τε παλαιοῖς ἰατροῖς πρὸς ἀλλήλους, τοῖς τε νεωτέροις, οὐ πρὸς ἀλλήλους μόνων, ἀλλὰ καὶ πρὸς τοὺς παλαιούς. οὔτε γοῦν τίς ἡ ἀρίστη φύσις ὁμολογεῖται πᾶσιν, οὔτε τῶν μοχθηρῶν ὁ ἀριθμὸς εὕρηταί πως. καὶ τὰ σημεῖα, δι᾽ ὧν τις ἢ τὰς ἀρίστας, ἢ τὰς μοχθηρὰς γνωρίζοι, παντάπασιν ὀλίγοι τῶν ἰατρῶν ἔγραψαν. εἰ δὲ καὶ ταῦτα πάντα τοῖς ἔμπροσθεν ὁμολογοῖτο τε καὶ δεόντως εὑρηθῇ, διαγινώσκειν γοῦν ἐπ᾽ αὐτῶν τῶν ἔργων τὰς φύσεις ἐχρῆν πρότερον ἀσκήσαντας, καὶ οὕτως ἐπιχειρεῖν τῇ περὶ τοὺς σφυγμοὺς τέχνῃ. τάχα τινὲς ἀχθεσθήσονται τῷ πλήθει τῆς ἐπαγομένης θεωρίας, ἀλλ᾽ ἡμεῖς γ᾽ οὐκ ἀχθεσθησόμεθα περιπλακιζομένοις τοῦ πράγματος. οὐ δὲ γὰρ ἠλπίσαμεν ποτὲ πάντας ἀρέσκειν ἢ ὠφελήσειν αὐτό. πάνυ δὲ τοῦτο σαφῶς καὶ ἀκριβῶς ἐπιστάμενοι, πλὴν ἑνὸς τοῦ τῆς ἀληθείας ἐραστοῦ, τοῖς ἄλλοις ἅπασι λῆρον εἶναι μακρὸν δόξαι τοὺς τοιούτους λόγους, πρὸς τοῖς νοσοῦσι αὐτῶν ἐτραπόμεθα, τὸν ἕνα τῶν πολλῶν προτιμήσαντες. εἰ δὲ δὴ καὶ ἡμᾶς τις αὐτοὺς ἐθεάσατο ἐπὶ τῆς διεξόδου τά τε προγεγονότα καὶ μέλλοντα προλέγοντας, οἶμαι καὶ τοῦτον εἰ μὴ παντάπασιν, εἴη τυφλὸς, ἐρασθήσεσθαι τῆς θεωρίας, εἰ καὶ μακρότερον φαίνοιτο, χρήσιμον οὕτω καὶ καλὸν τέλος ἐπαγγελλομένης.

Μαθὼν οὖν τις πρότερον ὡς χρὴ τὴν ἀρίστην τοῦ σώματος ἡμῶν γνωρίζειν φύσιν, ἑτέρωθι δ᾽ αὐτῆς εἴρηται τὰ γνωρίσματα, τὸν ἐν ταύτῃ σφυγμὸν μέσον ἁπασῶν τῶν ἄλλων ἴστω, καὶ οἷον τι μέτρον καὶ κανόνα τοῦτον ἐν ἁπάσαις ταῖς περὶ σφυγμῶν πραγματείαις, τὸν σύμμετρόν τε καὶ μέτριον ὑφ᾽ ἡμῶν μεμνῆσθαι λεγόμενον, ᾧ παραβάλλοντες τοὺς ἄλλους ἅπαντας ταχεῖς καὶ βραδεῖς, καὶ μεγάλους καὶ μικροὺς εἶναι φαμέν. ὁ δ᾽ ἐν τῇ συμμέτρῳ τε καὶ κατὰ πᾶν ἀρίστῃ φύσει, τοῦτον οὐδὲ καλεῖσθαι δίκαιον, οὔτε μέγαν, οὔτε μικρὸν, οὔτε ταχὺν, οὔτε βραδὺν, ἀλλ᾽ οὐδὲ σκληρὸν, ἢ μαλακὸν, ἢ τι τῶν ἄλλων, τῶν τὰς ἀμετρίας δηλούντων ὀνομάτων. ἀλλ᾽ ὥσπερ ἐν τῷ περὶ κράσεων λόγῳ τὴν ἀρίστην ἁπασῶν κρᾶσιν, οὔτε θερμὴν ἔφαμεν, οὔτε ψυχρὰν, οὔτε ξηρὰν, οὔθ᾽ ὑγρὰν, οὔτε μαλακὴν, οὔτε σκληρὰν ὑπάρχειν (ἁπάσας γὰρ ταύτας ὑπερβολαῖς τέ τισι καὶ ἐλλείψεσι, τῆς τε μιᾶς ἐκείνης τῆς εὐκράτης τε καὶ συμμέτρου συνίστασθαι.) οὕτω καὶ νῦν, οὔτε μέγαν, οὔτε μικρὸν, οὔτε ταχὺν, οὔτε βραδὺν, οὔτ᾽ ἄλλ᾽ οὐδὲν ὅσα τῆς μετριότητος ἐξίστανται τὸν ἐν τῇ καλλίστῃ φύσει σφυγμὸν, οὔτε προσαγορεύομεν, οὔτε νοοῦμεν. οὐδὲ γὰρ αὐτὸν τὸν ἄνθρωπον, ἐν ᾧ τὸν τοιοῦτον εὑρίσκομεν σφυγμὸν, οὐδενὶ τῶν τὰς ἀμετρίας δηλούντων ὀνομάτων προσαγορεύομεν. οὔτε γὰρ παχὺν, οὔτ᾽ ἰσχνὸν, οὔτε θερμὸν, οὔτε ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, οὔτ᾽ ἄλλ᾽ οὐδὲν τοιοῦτον ἀλλ᾽ εὔκρατόν τε καὶ σύμμετρον ἅπασι τοῖς μορίοις τοῦ σώματος ὀνομάζομεν. ἐν τούτῳ τοίνυν, ὅταν γε μάθῃς αὐτὸν διαγινώσκειν, ἁπάσας τὰς διαφορὰς τῶν σφυγμῶν ἐπισκεψάμενος μέμνησό τε καὶ κρίνειν πρὸς αὐτὰς τοὺς ἄλλους ἅπαντας σφυγμοὺς, ἢ σκληροὺς οὕτως ἢ μαλακοὺς, ἢ ἀραιοὺς, ἢ πυκνοὺς, ἢ τι τῶν ἄλλων ἀνάλογον καλεῖ. ὁπότ᾽ οὖν ἤδη ἔχειν τὸ πᾶν δοκοῦμεν, οὐ χεῖρον ἂν εἴη κινῆσαι τινὰ ἀπορίαν ἀναγκαίαν, ἵνα δόξαντες μηδὲν εὑρεῖσθαι μηδέπω, προσθῆναι τινὰ τῷ λόγῳ πειραθῶμεν διορισμὸν, ὃς ἡμᾶς πείσει τε ἅμα καὶ διδάξει, πρῶτον μὲν ὡς ἤδη τὸ πᾶν ἔχομεν, ἐφεξῆς δὲ τὴν τελεωτάτην τῶν προκειμένων ἐνδέχεται διάγνωσιν, ἀρκτέον οὖν ἤδη τῆς ἀπορίας, καὶ ῥητέον, ὡς οὐκ ἐνδέχεται πάσας τὰς ἐν τῷ σώματι πεφυκυίας ἀρτηρίας, οὔτ᾽ ἴσας ἀλλήλαις ὑπάρχειν, οὔτ᾽ εἰς ἴσον διαστέλλεσθαι. πῶς γὰρ ἐνδέχοιτο τὴν ἐπὶ τῆς ῥάχεως ἀρτηρίαν ταῖς κατὰ τὸν τράχηλον, ἢ τὰς μασχάλας τε καὶ τοὺς βουβῶνας, ἢ αὐτὴν ἴσην ὑπάρχειν, ἢ τὴν διαστολὴν αὐτῆς ταῖς ἐκείνων διαστολαῖς. πολὺ δὲ δὴ μᾶλλον, οὐδὲ ταῖς κατὰ τοὺς ἀγκῶνας τε καὶ τὰς ἰγνύας, καὶ μᾶλλον ἔτι ταῖς κατὰ τοὺς καρποὺς τε καὶ τοὺς ταρσοὺς, καὶ πολὺ δὴ μᾶλλον ἔτι ταῖς κατὰ τοὺς κροτάφους τε καὶ τοὺς δακτύλους. ὅπου ἐνδέχεται κατὰ τὸ πο-

σὸν τῆς διαστολῆς ἕνα σφυγμὸν εἶναι τὸν σύμμετρον, οὐδ' ἐν αὐταῖς ταῖς ἀρίσταις φύσεσιν, ἀλλὰ τὸ μὲν τῇ
ἐν κινήσει τε καὶ τῷ τόνῳ καὶ τοῖς ἄλλοις γένεσιν, ἕνα τυγχάνειν εἰκὸς ὑπάρχοντα κατὰ πάσας τὰς ἀρ-
τηρίας. οὐ γὰρ οἷόν τε κατὰ φύσιν ἔχοντος τἀνθρώπου, καὶ μάλιστα τοῦ τὴν ἀρίστην κεκτημένου κατα-
σκευήν, τὰς μὲν τινας τῶν ἀρτηριῶν θᾶττον, τὰς δέ τινας βραδύτερον, ἢ τὰς μὲν, σφοδρότερον, τὰς δ' ἀ-
μυδρότερον, ἢ τὰς μὲν σκληρότερον, τὰς δὲ μαλακώτερον, ἢ τὰς μὲν πυκνότερον, τὰς δ' ἀραιότερον σφύ-
ζειν, ἀλλὰ παραπλησίως ἀλλήλαις τε καὶ τῇ καρδίᾳ πάσας ἀναγκαῖον κινεῖσθαι, τῷ δ' ὄγκῳ καθάπερ τὰ σώματα
τῶν αὐτῶν διενήνοχεν, οὕτω καὶ τὰς διαστολὰς εἰκὸς εἶναι διαφερούσας. ἴσως οὖν τις ἡγήσεται πρόχειρον εἶναι
τῆς ἀπορίας τὴν λύσιν. οὐδὲν γὰρ κωλύει, ἤτοι τῶν κατὰ τοὺς καρποὺς μόνων ἀρτηριῶν ἁπτόμενον ἀεί, πηλί-
κος μὲν ἐν ταῖς ἀρίσταις φύσεσιν ὁ ἐν αὐταῖς ἐστὶ σφυγμός, ἐπίστασθαι, πηλίκος δὲ τῶν ἐν ταῖς ἄλλαις ἑκάστου, ὁ
τούτῳ παραβαλλόμενος. εἰ δὲ νὴ Δί' εἴ τις ἐθέλοι, καὶ τῶν ἐπὶ τοὺς ταρσούς, ἤ τι μέρος ἄλλο τοῦ σώματος, μεμνῆ-
σθαι χρὴ τοῦ ποσοῦ τῆς διαστολῆς, ἐπί γε τῆς ἀρίστης φύσεως, ἵν' ἔχῃ μετρεῖν τούτοις, τοὺς ἐν τοῖς αὐτοῖς μέρεσιν ἐν
ταῖς ἄλλαις φύσεσιν γιγνομένους σφυγμούς, οὐδὲν ἄτοπον, οὔτε χαλεπόν, οὔτε δύσγνωστον ἔσεσθαι, ἀλλ' ὁ ταῦτα
λέγων, οὐκ οἶδεν ἐν τοῖς περὶ τῆς ἀρίστης τοῦ σώματος κατασκευῆς ἀποδεδειγμένοις, ὡς ἔν τε μεγάλοις καὶ μι-
κροῖς σώμασιν, ὁμοίως συνίστασθαι πέφυκεν ἡ τοιαύτη φύσις. εἰ γὰρ τοῦτ' ἐγίνωσκεν, οὐκ ἔτ' ἂν οὐδὲ τῶν ἀρτη-
ριῶν αὐτῶν τῶν καθ' ἕκαστον μόριον, οὔτε τῶν καθ' αὐτὰς διαστολῶν, τὸν ἴσον ἐνόμιζεν ὄγκον ἐν ἁπάσαις εἶναι
ταῖς ἀρίσταις φύσεσιν, ἀλλ' ἐξαλλάττεσθαι κατά τε τὰ μεγέθη τῶν σωμάτων, καὶ τὰς μικρότητας, ὥστε μέ-
νειν τὸ ἐξ ἀρχῆς ἄπορον, οὐ δυναμένων ἡμῶν ἕνα σύμμετρον ἐξευρεῖν κατὰ τὸ ποσὸν τῆς διαστολῆς. ἆρ' οὖν ἄξιον
ἐπειδὴ τελέως ἠπορήκαμεν, ἁπάντων θαυμάσαι τῶν ἰατρῶν, μεγάλους μὲν ἀεὶ καὶ μικρούς, ὡς ἔτυχεν, ὀνομα-
ζόντων σφυγμούς, πηλίκος δέ τις ὁ σύμμετρος, ᾧ παραβάλλοντες αὐτοὺς εὑρήσομεν, οὐ διδασκόντων. ἐοίκα-
σι γὰρ οὐδ' εἰς ἔννοιάν τινα διηρθρωμένην ἀφῖχθαι τοῦ τοιούτου σφυγμοῦ, ἀλλὰ μᾶλλον ἐν τῷ πρός τι κατηγο-
ρεῖν μέγα, ἢ μικρόν, ἐν ἴσῳ τῷ μείζονά τε καὶ μικρότερον, ἐγὼ γοῦν καὶ τῶν καθ' ἡμᾶς ἀρίστων ἰατρῶν, ὅταν ἁψά-
μενοι τινὸς μέγαν ἢ μικρὸν εἴπωσι τὸν σφυγμόν, εἴωθα πολλάκις πυνθάνεσθαι, τίνος αὐτὸν μείζονα λέγουσιν,
ἢ τίνος μικρότερον. οἱ δὲ τοῦ κατὰ φύσιν, φασί. αὖθις δ' ἂν ἐρωτήσαντος ἐμοῦ, τοῦ τίνος κατὰ φύσιν, οὐχ ὅπως
ἀξίαν ζητήσεως εἶναι νομίζουσι τὴν ἐρώτησιν, ἀλλὰ καὶ θαυμάζουσιν, εἰ τινὸς ἄλλου νομίζοιμι λέγειν, πλὴν
αὐτοῦ τοῦ νοσοῦντος, ὅπερ ἂν ἐν τῷ παρόντι τυγχάνωσιν ἁπτόμενοι. ὧδι τοίνυν γε καὶ τοὺς παῖδας ἤδη γιγνώ-
σκειν φασί, ὡς ἄλλος ἄλλου, μείζονά τε καὶ μικρότερον ἐν αὐτῷ τῷ ὑγιαίνειν ἔχει σφυγμόν. ἆρ' οὖν οὗτοι μὲν,
οὕτως. οἱ δὲ τούτων βελτίους, οἱ τὰ περὶ σφυγμῶν ἡμῖν συγγράμματα καταλιπόντες ἑτέρως ὑπολαμ-
βάνουσιν, ἢ κἀκεῖνο παραπλησίως; οἵ γε δὴ λέγουσιν. ἦρος μὲν καὶ φθινοπώρου τὰ μέσα, μεγίστους ἐργάζεσθαι
τοὺς σφυγμούς, χειμῶνος δὲ καὶ θέρους ἐλαχίστους, οἱ δὲ μεταξὺ τῶν εἰρημένων καιροί. μέσους μεγάλων τε καὶ
μικρῶν. οὐδὲ γὰρ οὐδ' οὗτοι δοκοῦσί μοι λέγειν ἁπλῶς ἢ μεγάλους ἢ μείους, ἀλλ' ἐν τῷ πρός τι. διὰ τοῦτο γοῦν
καὶ προστεθείκασιν αὐτῶν τινὲς ἐν τῷ λόγῳ, τό, ὡς ἐν ὥραις, ὧδέ πως γράφοντες. ἦρος μὲν καὶ φθινοπώρου τὰ
μέσα μεγίστους ὡς ἐν ὥραις ἐργάζεται τοὺς σφυγμούς. οἱ δ' αὐτοὶ καὶ ταῖς ἡλικίαις οὐχ ἁπλῶς γράφουσιν, ὥσ-
περ ἕτερος μεγάλους μὲν εἶναι τοὺς ἀκμαζόντων, μικροὺς δὲ τοὺς τῶν παίδων καὶ τῶν γερόντων, ἀλλὰ κἀνταῦ-
θα προσγράφουσιν, ὡς ἐν ἡλικίαις. ὥστε οὕτως λέγουσιν μεγάλους καὶ μικρούς, ὡς εἰ καὶ μείζονας ἔλεγον καὶ μικρο-
τέρους, ἀλλήλοις παραβάλλοντες δηλονότι αὐτούς, οὐκ ἐν τῷ συμμέτρῳ. ὅτι δ' ἀλλήλοις δῆλον οἶμαι κἀξ αὐτῆς ὑπάρ-
χειν τῶν πραγμάτων τῆς φύσεως, ὑπὲρ ὧν διαλέγονται. οὐ γὰρ δὴ πάντων γε τῶν ἀνθρώπων, ὡσαύτως οἱ
σφυγμοὶ μέγιστοι τυγχάνουσιν ὄντες ἐν τοῖς μέσοις τοῦ ἦρος, ἀλλ' ἑκάστου κατὰ τὴν ἰδίαν φύσιν. καὶ τοῦτο μέν-
τοι καὶ αὐτό, παχεῖ λογισμῷ παντάπασιν ἀδιάρθρωτον καὶ συγκεχυμένον. λῆρος γὰρ οὐ σμικρός, εἴ τις οἴοιτο
τὸν χολώδη τε καὶ θερμόν τε καὶ διακαῆ τὴν φύσιν, ἢ τὸ ἐναντίον αὐτοῦ, τὸν φλεγματώδη τε καὶ ψυχρόν, μεγί-
στους ἐν ἦρος μέσῳ γίγνεσθαι τοὺς σφυγμούς. ἐν μὲν γὰρ ταῖς διατριβαῖς, καὶ μέχρι λόγου, τάχ' ἂν ἴσως δόξειε γί-
γνεσθαι, πειρωμένους δ' οὐκ ἂν εὑρεθείη. τοὺς μὲν γὰρ θερμοτέρους καὶ ξηροτέρους τὴν κρᾶσιν οὐκ ἀναμένοντας ὀ-
ψὲ τὰ μέσα τοῦ ἦρος, ἀλλὰ πολὺ πρότερον τοὺς σφυγμοὺς μεγίστους σφῶν αὐτῶν ἴσχοντας, τοὺς δ' ἐναντίους αὐ-
τοῖς τοὺς ὑγροτέρους τε καὶ ψυχροτέρους ἐπέκεινα πολὺ τῶν μέσων τοῦ ἦρος. ἤδη τοῦ θέρους ἀρχομένου. μόνους δὲ
τοὺς τὴν ἀρίστην κατασκευὴν τοῦ σώματος ἔχοντας ἐν τοῖς μέσοις τοῦ ἦρος ἔστιν εὑρεῖν μεγίστους σφῶν αὐτῶν
τοὺς σφυγμοὺς ἴσχοντας. οὕτω δὲ καὶ κατὰ τὰς ἡλικίας ἔχει. καὶ γὰρ τούτων, αἱ μὲν εὔκρατοι τοῖς μέσοις τοῦ ἦρος. αἱ
δὲ δύσκρατοι πρότερον ἢ ὕστερον, μεγίστους ἔχουσι τοὺς σφυγμούς. ἀλλ' οὐδεὶς τῶν ἰατρῶν οὐδὲν ἡμῖν τούτων διω-
ρίσατο, ἀλλ' ὡς ἂν πάντων ἀνθρώπων ὁμοίως διατιθεμένων ἐν ἑκατέραις τῶν ὡρῶν, οὕτως ἀπεκρίναντο. καίτοι τάγ'
Ἱπποκράτους οἶμαι τινὰ λανθάνειν, ὅστις τε καὶ οἷα περὶ τῶν ὡρῶν εἴρηται παρ' αὐτῷ, σαφῶς ἐνδεικνυμένῳ, μήτε
φύσεις μήθ' ἡλικίας ἁπάσας πρὸς τῶν αὐτῶν ὡρῶν ὡσαύτως διατίθεσθαι. τοὺς μὲν γάρ, ὁ χειμών, ἰσχυροτέρους καὶ ὑγιει-
νοτέρους, καὶ κατὰ πάντα βελτίους, τοὺς δὲ τὸ θέρος ἐργάζεται. πῶς οὖν ἐνδέχεται τὸν ὠφελούμενον τῷ βλαπτομένῳ τὴν
αὐτὴν ἔχειν τροπὴν τῶν σφυγμῶν. πῶς δ' οὐκ αἰδοῦνται γράφοντες ἡμῖν ἁπλῶς οὕτως, καὶ ἀδιορίστως, ἦρος τὰ μέ-
σα μεγίστους ἐργάζεται τοὺς σφυγμούς. εἰ γὰρ μὴ προσθείη τισὶ μεγίστους, οὐδὲν ἐμάθομεν. πῶς δ' ὅταν εἴπωσιν θέρους
καὶ χειμῶνος μικροὺς γίγνεσθαι τοὺς σφυγμούς, οὐδ' ἄχρι τοῦ, ποτέρα τῶν ὡρῶν τοὺς σφυγμοὺς μικροτέρους ἐργάζε-
ται, τολμῶσι προσπαραγράφειν. οὐ γὰρ δήπου μικράν γε φήσουσιν εἶναι τὴν διαμαρτίαν, εἴ τις τὸ θέρος τοῦ χει-
μῶνος οἴοιτο μικροτέρους ἐργάζεσθαι τοὺς σφυγμούς, τὸ δ' εἰ τύχοι μείζονας ἐργάζοιτο, ἢ εἰ τὸν χειμῶνα τοῦ
θέρους, ἔμπαλιν ἔχοντος τἀληθοῦς. ὅτι γὰρ ἂν τις εἴπῃ τῶν τριῶν τούτων, εἴτε τὸ θέρος τοῦ χειμῶνος. εἴτε τὸν χει-
μῶνα τοῦ θέρους ἢ ἐπίσης ἐν ἀμφοτέροις εἶναι τοὺς σφυγμούς, οὐκ ἀληθεύσει, μὴ προσθεὶς τό, τίσιν. εἰ δὲ προσθείη τε
καὶ διορίσαιτο, κατά τε τὰς φύσεις τῶν σωμάτων, καὶ τὰς ἡλικίας, ἕκαστον τῶν τριῶν ἀληθὲς γενήσεται,
καθάπερ ἡμῖν ἐν τοῖς ἰδίοις περὶ τούτων λόγοις διορίζεται. ἀλλ' οὔτ' αὐτὸν ἕκαστος, οὔτ' ἀλλήλους ἐξελέγξαι

περὶ τούτων

περὶ τούτων ἠδυνήθησαν, ὡς πολλὰ μὲν, ψευδῆ, πολλὰ δ' ἀδιόριστα λέγουσιν. οὐδὲ διὰ μίαν ἄλλην αἰτίαν τὸ τοιοῦτο παθόντες, ἢ ὅτι τοῦ συμμέτρου καθ' ἕκαστον γένος σφυγμοῦ παντάπασιν ἀμαθῶς εἶχον. ἢ διά τι, καί τοι περὶ πάντων οὕτω πικρῶς ἀλλήλοις ἐρίζοντες, περὶ τούτων οὐδὲ ζητοῦσιν ὅλως, ἀλλὰ ταλαιπώρως παρατρέχουσιν; δι' οὐδὲν ἄλλο, ἢ ὅτι πεφυρμένον τε καὶ ἀδιάρθρωτον ὑπὲρ αὐτῶν ἔχοντες τὸν νοῦν, ἑνί γε τῷ πρώτῳ σφαλέντι πάντες ἠκολούθησαν. εἶτα περὶ τῶν ἀξιολόγων οὐδὲ μίαν εἰς αὐτὰ τὰ τῆς τέχνης ἔργα, βλάβην ἢ ὠφέλειαν εἰσφερομένων, πικρῶς ἐριζόντων, οὐκ ἀλλήλοις μόνον, ἀλλὰ καὶ Ἡροφίλῳ. καὶ ταῦτα μέν τοι τῆς ἔριδος ὑπὲρ ἀδήλων πραγμάτων συνισταμένης, καὶ πολλῶν καὶ μακρῶν λόγων. ἵν' ἀποδειχθῇ, δεομένων. περὶ τῶν οὕτως ἐναργῶν, ὡς καὶ διὰ μόνης τῆς αἰσθήσεως ἔνεστι λαβεῖν, οὔτ' αὐτοὶ διωρισμένως γράφουσιν, οὔτε τοὺς σφαλέντας ἐλέγχουσιν, οὐδ' εἴ τις τῶν παλαιῶν ἕτερόν τι παρὰ τὸ δοκοῦν αὐτοῖς ἔγραψε, μνημονεύουσιν. ἀλλὰ μικρὸν μὲν τὸν τοῦ παιδὸς εἰρήκασι σφυγμὸν, ὡσαύτως δὲ καὶ τὸν τοῦ γέροντος μικρὸν, ὁπότερος δ' αὐτῶν μικρότερος, οὐκέτι γράφουσι, καί τοι σαφῶς Ἡροφίλου τοῖς τε μὴ παρέργως ἐντυγχάνουσιν αὐτοῦ τοῖς βιβλίοις ὑπὲρ ἀμφοτέρων γεγραφότος. ἢ καὶ γελοῖον ἴσως ποιῶ, τὰ τοιαῦτα διορίζεσθαι βουλόμενος αὐτοῖς, οἷς οὐδὲ τὰ πρῶτα καὶ ἁπλούστατα καλῶς εἴρηται; μικρὸν γ' οὖν λέγουσι τὸν τοῦ παιδὸς σφυγμὸν, Ἡροφίλου μηδὲ πώποτε μικρὸν εἰρηκότος, ἀλλὰ ποτὲ μὲν ἱκανὸν τῷ μεγέθει, ποτὲ δὲ, ἀξιόλογον, ἢ πῶς οὕτως ὀνομάζοντος. εἶτα τῆς μὲν ἡ κινοῦσα τὰς ἀρτηρίας αἰτία ζητοῦσι, καὶ τῶν εἰς τοῦτ' Ἡροφίλῳ γεγραμμένων, οὐδὲν παραλείπουσι, τῶν δ' εἰς τὰ ἔργα τῆς τέχνης διαφερόντων θεωρημάτων. οὔτ' εἰ καλῶς οὔτ' εἰ μὴ καλῶς ἔγραψεν Ἡρόφιλος, οὐδεὶς ὅτι μέμνηται, ὦ πρὸς τῶν θεῶν, οὐ πολὺ μέν τοι βέλτιον ἦν μὴ περὶ τοῦ τέτταρας ὑπὸ Ἡροφίλου λέγεσθαι τὰς διοικούσας τὰ ζῶα δυνάμεις ζητεῖν, μηδὲ πικρῶς ἐρίζειν τε καὶ ἀντιλέγειν αὐτῷ, περί γε τούτων. ἀλλ' εἴπερ ἐβούλοντο καταβάλλειν τε καὶ διεξελέγξαι αὐτὸν εἰκῇ ληροῦντα, τῶν τοιούτων αὐτοῦ μνημονεύειν, ἃ φανερῶς τοῖς ἐναργέσι μάχεται καὶ ταῦτα μαρτύρων ἀριθμὸν οὐκ ὀλίγον ἀθροῖσαι κατ' αὐτοῦ δυνάμενοι; τούς τε γὰρ μετ' Ἡρόφιλον τὰ περὶ σφυγμῶν πραγματευσαμένους, καὶ σχεδὸν τοὺς νῦν ἅπαντας ἕξουσι μαρτυροῦντας, ὡς ὁ τῶν παίδων σφυγμὸς μικρότερός ἐστι τοῦ τῶν γερόντων, καὶ πολλῷ γέ τις μικρότερος. ὥστε τις ἐμοὶ πρώην ἔφασκε καταγελῶν ὅλου τοῦ ἐρωτήματος, οὐδὲ ζητήματος, ἄξιον εἶναι τὸ πρᾶγμα. πολὺ γὰρ μικροτέρους ὑπάρχειν τοὺς τῶν παίδων, καὶ διὰ τοῦτο καλῶς μηδὲ γεγράφθαι τι περὶ αὐτῶν. τοιούτους οὖν μυρίους ἔχοντες μάρτυρας, καὶ τ' ἄλλα φιλονεικοῦντες ἀεὶ πρὸς Ἡρόφιλον, οὐκ οἶδ' ὅπως τὰ τοιαῦτα παραλελοίπασι τὴν ἀρχὴν, οὐδ' εἰ γέγραφεν αὐτὰ γιγνώσκουσιν. οὐδὲ γὰρ αὐτῆς τῆς ἰατρικῆς, αὐτοῖς πάνυ φροντίς ἐστιν, ἀλλὰ μόνον ἐκείνων τῶν δογμάτων, ἃ τὰς ἐν ταῖς διατριβαῖς φλυαρίας αὐξῆσαι δύναται. ταῦτ' οὖν ἐκλέγουσι μόνον τῶν Ἡροφίλου βιβλίων τὰ κεφάλαια, τὰ δὲ ἄλλα παντάπασιν ὑπερβαίνουσι, καὶ διὰ τοῦτ' οὐδ' ὅλως ἴσασι τί γέγραφεν Ἡρόφιλος, εἰς μὲν τὰ τῆς τέχνης ἔργα μεγάλως διαφέρον, ἐναντίον δ' οἷς οὗτοι λέγουσι. διὰ τοῦτο γοῦν καὶ περὶ τῶν ῥυθμῶν, ὅσα μὲν ἐχρῆν αὐτοὺς ἔτι παῖδας ὄντας ἐν τοῖς τῆς μουσικῆς διδασκαλείοις ἐκμαθεῖν, ταῦτ' οὐδόλως εἰς τὰ τῆς ἰατρικῆς συγγράμματα φέρουσι, τὸ τῶν ὀψιμαθῶν πάθημα πάσχοντες, οὐδὲ σιωπῆσαι δυνάμενοι κἂν ἕτερα ἦ τέχνης. πῶς δ' ἀπὸ ῥυθμοῦ δεῖ σημειοῦσθαι, οὐκέτ' οὐδεὶς ἔγραψεν αὐτῶν ἀλλ' Ἡρόφιλός γε τὴν ἐναντίαν ὁδὸν ἰὼν αὐτοῖς, παραλείπει μὲν ἃ παρὰ τοῖς μουσικοῖς ἐχρῆν μεμαθηκέναι τὸν ἀξίως τῆς τέχνης πεπαιδευμένον, ὡς ἐπισταμένοις δ' αὐτοῖς διαλέγεται, τὸ χρήσιμον εἰς τὴν ἰατρικὴν ἐξ αὐτῶν λαμβάνων. οἱ δ' ὅταν τὴν θαυμαστὴν ταύτην, ὡς αὐτοὶ καλοῦσι, τεχνολογίαν τὴν περὶ τῶν ῥυθμῶν διεξέλθωσιν, οὐκέτ' αὐτοῖς μέλει δεῖξαι, πῶς ἄν τις ἱκανῶς προγνῶναί τι δι' αὐτῶν, ἢ σημειώσασθαι γένοιτο. ταῦτ' ἄρα καὶ τὸν παίδων σφυγμὸν μικρὸν λέγουσιν, Ἡροφίλου τἀναντία γράφοντος, οὐδὲ μέχρι τοσούτου διασκέψασθαι σπουδάζοντες, ὡς ἐννοῆσαι δυνηθῆναι ποία τις παρὰ τοῖς ἀνθρώποις μεγάλη καὶ μικρὰ διαστολὴ λέγεται, καὶ γὰρ ἐπὶ κύστεων, καὶ φυσῶν χαλκευτικῶν καὶ ἀσκῶν καὶ γαστέρων καὶ μητρῶν καὶ παντὸς ἁπλῶς τοῦ κοιλότητά τινα κεκτημένου, μεγάλας τε καὶ μικρὰς εἰώθαμεν διαστολὰς ὀνομάζειν. καὶ πολλάκις γε μικρὸν μὲν τὸν ὄγκον εἶναί φαμεν τῆς γαστρὸς, μέγαν δ' εἰ τύχοι τὸν τῆς κύστεως. καὶ μικρὸν μὲν τὸν τοῦ ἀσκοῦ, μέγαν δὲ τὸν τῆς γαστρός. εἴποιμεν δ' ἂν ποτὲ καὶ τὴν κύστιν, εἰς ὄγκον τε μέγαν καὶ διαστολὴν ἀφικέσθαι μεγίστην, τὸν δ' ἀσκὸν καὶ τὸν σάκκον, εἴκοσι πολλάκις ἑαυτῶν ἐντὸς τοιαύτας κύστεις δέξασθαι δυναμένους, μηδέπω τὴν μεγίστην ἔχειν διαστολήν. λογιζόμεθα γὰρ οἶμαι πρὸς τὴν ἑκάστου τῶν σωμάτων κοιλότητα, τὴν διάστασιν αὐτοῦ χρῆναι παραβάλλειν, οὐχ ἁπλῶς ἀποφαίνεσθαι ἐπὶ πάντων ἑνὶ μέτρῳ χρωμένους. ἔστι γάρ τι τὸ μέτρον ἐν ἑκάστῳ καθ' ὃ μή τε τείνεσθαι τοὺς τὰς κοιλότητας ἑαυτῶν ἐντὸς ἔχοντας χιτῶνας, μήτε χαλαροὺς εἶναι συμβέβηκεν. ὅταν οὖν ἤ τοι τάσις ἐν αὐτοῖς ἢ κοιλότης ἐμφαίνηται, τότε μεγάλους καὶ μικροὺς λέγομεν ὑπάρχειν τὰς διαστολάς. ἡνίκα δὲ μή τε αἰσθητὴν κοιλότητα δυνατὸν ἔτι θεάσασθαι, μήτ' ἤδη πονοῦσιν οἱ χιτῶνες ὑπὸ τῆς διαστολῆς τεινόμενοι, μετρίαν τέ τινα, καὶ σύμμετρον, καὶ κατὰ φύσιν τῷ σώματι τὴν τοιαύτην διάστασιν εἶναί φαμεν. τί δὴ οὖν χαλεπὸν ἐκ τούτων ὁρμηθέντας, ἐννοῆσαι περὶ τῆς ἀρτηρίας, ὡς καὶ ταύτην σῶμα κοῖλον ὑπάρχουσαν, ἀναγκαῖον ὅρους ἔχειν τῆς ἐφ' ἑκάτερα κινήσεως, καὶ μήτ' εἰς ἄμετρον διίστασθαι (ῥαγείη γὰρ ἄν) μήθ' εἰς ἐλάχιστον συστέλλεσθαι; κωλύειν γὰρ τὴν τῶν χιτώνων φύσιν σκληρὰν καὶ δυσσύμπτωτον ὑπάρχουσαν.

Ἔστιν οὖν τις αὐτάρκης διαστολὴ τῆς ἀρτηρίας, ὡς μή τε διατείνειν, μήτ' ἀπολιπεῖν τι χαλαρὸν αὐτῆς μόριον, ἣν σύμμετρόν τ' εἶναί φαμεν καὶ κατὰ φύσιν. εἰ δὲ μὴ, καθ' ἕνα γε τὸν αὐτὸν ἄνθρωπον ἀναγκασθησόμεθα λέγειν μεγάλους τε καὶ μικροὺς, καὶ συμμέτρους ὑπάρχειν σφυγμοὺς, καί τοι δεινὸν ἐν ἀρίστῃ φύσει, τὸ μὴ πάντας εἶναι συμμέτρους, πολὺ δὲ δεινότερον τὸν αὐτὸν σφυγμὸν, μέγαν θ' ἅμα καὶ μικρὸν, καὶ σύμμετρον γίνεσθαι, τοῖς μὲν μικροτέροις παραβαλλόμενον, μέγαν, τοῖς δὲ μείζοσι μικρὸν, ἀμφοτέροις δ' ὁμοῦ, σύμμετρον. δέον, ὅταν μὲν τῷ μικροτέρῳ παραβάλληται μείζονα καλεῖν αὐτὸν. ὅταν δὲ τῷ μείζονι, μικρότερον. ἀμφοῖν δὲ, μέσον, οὕτως

γὰρ ἡμῖν ἔξεστι καλεῖν τοὺς ἐν ταῖς ἀρίσταις φύσεσι σφυγμοὺς, ἀλλήλων μὲν, μείζονάς τε καὶ μικροτέρους, συμμέτρους δ᾿ ἅπαντας, εἴπερ τι τῶν ἀνωτέρω λεχθέντων μνημονεύοιμεν, ὁπόταν πρὸς τὴν φύσιν τοῦ ὑποκειμένου σώματος ἀποβλέπειν ἐφάσκομεν δεῖν, ὅταν τὸ σύμμετρον τε καὶ τὸ μέγα καὶ τὸ μικρὸν ἐξευρεῖν ἢ προκείμενον. ὅταν δ᾿ ἁπλῶς ἀλλήλοις παραβάλλωμεν τοὺς ὄγκους τῶν σωμάτων, μεῖζον μὲν καὶ ἔλαττον καὶ μέσον ἀμφοῖν ὀνομάζειν, μέγαν δὲ καὶ μικρὸν καὶ σύμμετρον μηδέπω. τὸ μὲν γὰρ μεῖζον τοῦ ἐλάττονός ἐστιν ὑπερέχον, τὸ δὲ μέγα τοῦ ὁμογενοῦς συμμέτρου, μεῖζον. ὥστ᾿ ἄμφω μὲν ἐν τῷ πρός τι λέγεσθαι, ἀλλὰ τὸ μὲν μεῖζον, πρὸς ἅπαντα τοῖς μικροτέροις παραβαλλόμενα, τὸ δὲ μέγα πρὸς ἓν μόνον τὸ ὁμογενὲς μέτριον. εἰ γὰρ ἐκείνου μεῖζον εἴη, μέγα καλεῖται. ἀντίστροφα δὲ τούτοις, ἐπί τε μικροτέρου καὶ μικροῦ χρὴ νοεῖν. σύμμετρον δὲ καὶ μέτριον εἶναι λεκτέον, τὸ κατὰ τὴν οἰκείαν φύσιν ἔχον, ὥσπερ ἀσύμμετρον τε καὶ ἄμετρον τὸ παρὰ τὴν φύσιν. Ἐπεὶ τοίνυν ἐστὶ σῶμα κοῖλον ἡ ἀρτηρία, τὴν διάστασιν αὐτῆς ἀνάγκη ποτὲ μὲν οἰκείως τε καὶ συμμέτρως τῆς τε χρείας, ἧς ἕνεκα πρὸς τῆς φύσεως ἐγένετο τοιαύτη, καὶ πρὸς ἔτι τῶν χιτώνων τῶν αὐτῆς, ποτὲ δ᾿ ἀμέτρως ἐπιτελεῖσθαι. δέδεικται δ᾿ ἐν ἑτέροις, ὡς ἐν ταῖς ἀρίσταις φύσεσιν εἰς τοσοῦτον διαστέλλεσθαι πέφυκεν, εἰς ὅσον τήν τε χρείαν ἱκανῶς πληρῶσαι, καὶ μηδὲν τοὺς χιτῶνας λυπῆσαι. τὸν οὖν βουλόμενον ἐν κανόνι προσέχειν ἐν ταῖς τῶν μεγάλων τε καὶ μικρῶν σφυγμῶν διαγνώσεσι, τὴν ἀρίστην φύσιν ἐξευρόντα, καὶ γνόντα μιᾶς ἀρτηρίας ἡστινοσοῦν ἐν αὐτῇ τόν τε τε τοῦ σώματος ὄγκον, τόν τε τῆς διαστολῆς, μεμνῆσθαι χρὴ καὶ συλλογίζεσθαι, μέχρι πόσου, τὴν μείζονα ταύτης ἀρτηρίαν, εἰκὸς ἔχειν μείζονα καὶ τὴν διαστολὴν ἐν ταῖς ἀρίσταις φύσεσιν. εἶτ᾿ εἰ μὲν εὑρίσκοιτο τηλικαύτην ἡλίκην ἔσεσθαι στοχάζοιτο, σύμμετρον οὕτω καλεῖν τὸν σφυγμόν. εἰ δ᾿ ἤτοι μείζονα ταύτης, ἢ ἐλάττονα, μέγαν ἢ μικρόν. εἴσεται δὲ τὸ τῆς ἀρτηρίας μέγεθος ἐπὶ τῆς ἀρίστης φύσεως, ἤτοι διὰ τῆς ἀνατομῆς, ἤτοι οὖν κατὰ πείρασιν. εἴτε κατ᾿ αὐτὴν ἀπόδυσιν γιγνομένης, ἢ συλλογισάμενος, ἐκ τῶν ἐν τοῖς περὶ τῆς ἀρίστης κατασκευῆς εἰρημένων. καί τοι κἂν εἰ μὴ γιγνώσκῃ πηλίκη τίς ἐστιν ἡ ἀρτηρία τοῖς τὴν ἀρίστην φύσιν ἔχουσιν, ἀλλὰ τόν γε σφυγμὸν αὐτῶν μεμνημένος, εἶθ᾿ αὖθις συντυχὼν ἑτέρῳ τινὶ, καὶ δυνάμενος συλλογίσασθαι, πότερον εἰκὸς μείζονα τοῦτον, ἢ μικρότερον ἐκείνου τὰς ἀρτηρίας ἔχειν, οὕτως ἤδη παραβάλλειν τε τῷ κατὰ τὴν διαστολὴν ὄγκῳ δυνήσεται, καὶ στοχάζεσθαι, πότερα σύμμετρος, ἢ μέγας, ἢ μικρὸς ὁ σφυγμός ἐστιν. εἰ μὲν γὰρ ὅσῳ φαίνεται μείζονας τὰς ἀρτηρίας ἔχειν ὁ παραβαλλόμενος ἄνθρωπος, τοσούτῳ καὶ τὴν διαστολὴν αὐτῶν ἔχοι μείζονα, σύμμετρον ἐροῦμεν τὸν σφυγμόν. εἰ δ᾿ ἤτοι πλέονι τὸ τῆς ἀρτηρίας μέγεθος, ἤπερ τὸ τῆς διαστολῆς ὑπερβάλλειν δόξειεν, ἢ ἔλαττον εἴη, μέγαν οὕτως, ἢ μικρὸν καλέσομεν. εἰ μὲν τὸ τῆς ἀρτηρίας σῶμα φαίνοιτο μεῖζον, ἤπερ τὸ τῶν σφυγμῶν, μικρόν. εἰ δὲ τὸ μὲν τῆς ἀρτηρίας ἔλαττον τὸ δὲ τῶν σφυγμῶν μεῖζον, μέγαν. οὕτω δὲ καὶ κατὰ λοιπὰ γένη τῶν σφυγμῶν, τό τε κατὰ τὴν κίνησιν αὐτὴν, ἐν ᾧ τάχος τε καὶ βραδυτῆτα διαγινώσκομεν, καὶ τὸ κατὰ τὴν ἠρεμίαν ἐν ᾧ πυκνότητα καὶ ἀραιότητα, καὶ τὸ κατὰ τὸν τόνον, ἐν ᾧ σφοδρότητα καὶ ἀμυδρότητα, καὶ προσέτι τὸ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας, ἐν ᾧ σκληρότητα καὶ μαλακότητα. ἐν ἅπασι γὰρ τούτοις, τόν τε σύμμετρον ἐπὶ τῆς ἀρίστης φύσεως ἐξευρήσομεν, τούς τε ἀμέτρους, ἢ δι᾿ ὑπερβολὴν, ἢ δι᾿ ἔλλειψιν οὐκ ἀλλήλοις, ἀλλὰ τῷ συμμέτρῳ παρεξετάσωμεν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ γ΄.

ΟΤΙ μὲν ἡ τοῦ συμμέτρου καθ᾿ ἕκαστον γένος σφυγμοῦ νόησις τε καὶ διάγνωσις ἡγεῖται τῆς τῶν ἀμέτρων, καὶ ὡς ἐν τοῖς ἄριστα κατασκευασμένοις σώμασιν, αἱ ἀρτηρίαι πᾶσαι σύμμετρον σφύζουσιν, ἐν τῷ πρὸ τούτου λόγῳ διήλθομεν. εἰς τίνα δὲ χρὴ σκοπούμενον γνωρίσματα, καθ᾿ ὅν τινα χρὴ τρόπον ἐπιβάλλοντα τοῖς σφυγμοῖς τοὺς δακτύλους ἀσκεῖν τὴν ἁφὴν διαγνωστικὴν ἐξ ἑτοίμου γίγνεσθαι, τῆς τε συμμετρίας αὐτῶν, καὶ τῆς ἀμετρίας ἐφεξῆς ἐροῦμεν, ἀπὸ τοῦ κατὰ τὴν κίνησιν ἀρξάμενοι γένους. Ὅτι μὲν οὖν τὸ πόσον τοῦ χρόνου μόνον οὐχ ἱκανὸν γνώρισμα συμμέτρου τε καὶ ἀσυμμέτρου κινήσεως, ἀλλὰ καὶ τὰς διαστάσεις καθ᾿ ὧν ἠνέχθη τὸ κινούμενον ἐπιβλέπειν χρὴ, διὰ τῶν ἔμπροσθεν αὐτάρκως ἐπεδείξαμεν, ἔνθα καὶ τοὺς ἐξηγουμένους κακῶς τὸν ὅρον τοῦ ταχέως σφυγμοῦ διηλέγξαμεν, οὐ μὴν αὐτοῖς γ᾿ εἴπομεν ὅπως ἀκούειν χρὴ βέλτιον, ἀλλὰ νῦν ἐροῦμεν. οὔτε γὰρ μακροῦ δεησόμεθα λόγου, φθάνοντος ὅσα πρὸς τὴν νόησιν αὐτοῦ συντελεῖ διὰ τῶν ἔμπροσθεν ἐξηγήσασθαι, καὶ ἄλλως χρήσιμος ἡμῖν ὁ λόγος ἔσται πρὸς τὰ παρόντα. τοῦ τοίνυν ἐν ὀλίγῳ χρόνῳ περιγράφοντος ἡμῖν τὴν κίνησιν σφυγμοῦ ταχέος λεγομένου, καὶ βραδέος αὖ τοῦ ἐν πολλῷ πρὶν, μὲν διορθῶσαι τὰ σημαινόμενα τῶν ὀνομάτων εἰκότως ἐσφάλλοντό τινες, οἰόμενοι ταὐτὸν ἔκ τε τοῦ πολλοῦ καὶ τοῦ πλείονος, ὀλίγου τ᾿ αὖ πάλιν καὶ ὀλιγωτέρου δηλοῦσθαι. δειξάντων δ᾿ ἡμῶν, τὰ πρὸς ὁτιοῦν τὸ τυχὸν ἑκάστοτε λεγόμενα, τὰ δὲ πρὸς τὸ σύμμετρον ὁμογενὲς μόνον, οὐκέτι χαλεπὸν, οὐδὲ νῦν εἶναι, πῶς ἐν ὀλίγῳ μὲν χρόνῳ τὴν τοῦ ταχέος σφυγμοῦ κίνησιν περιγράφεσθαι λέγομεν, ἐν πολλῷ δὲ, τὴν τοῦ βραδέος. εἰ γὰρ φαίνοιμεν γιγνώσκοντες ἐπὶ πόσῳ χρόνῳ πόσην ἀνύσει διάστασιν ὁ σύμμετρος σφυγμός. εἶθ᾿ ἕτερον τὸν ἴσον ἔχοντος χρόνον, ἐλάττονα τὴν διάστασιν εὕροιμεν, ἐν πολλῷ χρόνῳ τὸν τοιοῦτον ἐροῦμεν κεκινεῖσθαι. θαυμαζέτω δὲ μηδεὶς, εἰ δυοῖν κινήσεων τὸ ποσὸν τοῦ χρόνου ταὐτὸν ἐχουσῶν, τὴν ἑτέραν μόνον ἐν πολλῷ χρόνῳ γεγονέναι φαμὲν, οὐ μὴν ἀμφοτέρας ὁμοίως. καὶ γὰρ δυοῖν ἅμα παίδων πεμφθέντων εἰς διαφέροντας τόπους, εἶτ᾿ ἐπανελθόντων ἅμα, τὸν μὲν ἕτερον ἐπῃνέσαμεν, ὡς ἐν ὀλίγῳ χρόνου τὴν ὁδὸν ἀνύσαντα, τὸν δ᾿ ἕτερον ἐψέξαμεν, ὡς ἐν πολλῷ.

πολλῷ. πρὸς γὰρ τὸ τῆς ὁδοῦ μῆκος ἀποβλέποντες, ὀλίγον, ἢ πολὺν τὸν χρόνον εἶναι φαμὲν, οὐχ ἁπλῶς. κατὰ ταῦτα μὲν δὴ καὶ σφυγμὸν ἐροῦμεν, ἐν ὀλίγῳ χρόνῳ γιγνόμενον ταχὺν εἶναι, καὶ βραδὺν ἐν πολλῷ, καὶ τοὺς ὅρους τοὺς εἰρημένους ἀπεδεξάμεθα, καθ' ὃν εἰρήκαμεν τρόπον ἐξηγούμενοι. εἰ δὲ τῷ βίαιος ὁ τοιοῦτος εἶναι δοκεῖ τρόπος, ἀναμνησθεὶς ὅτι ἐπὶ θατέρου σημαινομένου ἀκουόντων τῆς λέξεως, ἀπεδείχθησαν ψευδεῖς οἱ ὁρισμοὶ, πειράσθω ποιεῖν ἑτέρους ὅρους. οὐ γὰρ πῶς ἂν ὁρίσαι τὸ νῦν ἡμῖν πρόκειται σκοπεῖν, ἀλλὰ τὰς ἐννοίας τῶν πραγμάτων ἀκριβῶς διορθῶσαι μή πῃ σφαλέντες ἐν ταύταις, καὶ περὶ τὴν διάγνωσιν αὐτῶν τῶν σφυγμῶν σφαλλώμεν. ὅπερ οὖν ἀναγκαῖον ἦν εἰς τὴν διάγνωσιν ὑφ' ἡμῶν εἰρημένον. εἰ δέ τις βούλοιτο μαθεῖν ἐπ' αὐτῷ συντεθῆναι τινὰς ὁρισμοὺς, οὐκ ἄχαρον μὲν ἴσως γυμνάσιον γυμνάσαιτ' ἄν, οὐ μὴν τοῖς γε προκειμένοις ἀναγκαῖον.

Ὅθεν οὐδ' ἡμεῖς περὶ τοῦ πῶς ὁρίζεσθαι χρὴ τοὺς τοιούτους σφυγμοὺς ἐροῦμεν. οὔτε γὰρ ἀναγκαῖον ὅλως, οὔτ' εἴπερ καὶ ἀναγκαῖον φαίνοιτο, τῆς προειρημένης πραγματείας οἰκεῖον, ἀλλ' ἐν τῷ τετάρτῳ περὶ διαφορᾶς σφυγμῶν, ἱκανῶς εἴρηται περὶ αὐτῶν. τῆς δ' ἐννοίας μόνης ἀξιώσαντες εἰς τὰ προκείμενα μνημονεύειν, ἐπὶ τὸ συνεχὲς τοῦ λόγου μεταβῶμεν. Ἤδη γὰρ ὅπερ ἡμεῖς εὕρομεν ἐν αὐτοῖς, εἰπεῖν καιρὸς, εἰς τὴν διάγνωσιν αὐτοῦ συντελοῦν μέγαν. μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, τὸ πᾶν ἤδη ῥηθήσεται. ἀξιοῦμεν γὰρ ὥστε τοῦ χρόνου καὶ τῆς διαστάσεως τὸ ποσὸν σκοπεῖν. ἀλλ' οὐδὲ τὰς ἐν αὐτοῖς ἀναλογίας, ὑπὲρ ὧν ἐν τῷ πρὸ τοῦδε βιβλίῳ διεληλύθαμεν, ἡνίκα τὸν θάττονα καὶ τὸν βραδύτερον ἐδιδάσκομεν σφυγμόν. ἐκεῖ μὲν γὰρ ἀναγκαίως εἴρηται πρὸς τὸ τῆς πλάνης ἐπιχειρεῖν τοὺς περὶ τοῦ χρόνου μόνου διακρίνοντας αὐτοὺς, εἰς ποσὸν δὲ τὴν διάγνωσιν χαλεπὰ καὶ μακρὰ καὶ δυσσυλλόγιστα καὶ δύσκριτα, καὶ σχεδὸν ἀδύνατα ἐμοί γ' ὄντα ἔφανον. τὸ μὲν γὰρ τάχος τε καὶ τὴν βραδυτῆτα ἐπὶ τὴν πρώτην ὁρμὴν τῆς ἀρτηρίας γνωρίζομεν, τὸν δὲ λόγον τοῦ χρόνου πρὸς τὸν χρόνον, καὶ τῆς διαστάσεως πρὸς τὴν διάστασιν, ἵν' ἐξεύροιμεν, παμπόλλου δεόμεθα χρόνου. ὡς οὐδ' ἀναμένομεν, αὐτὰ λογίζεσθαι πρὸς τὴν ἐπὶ τῶν ἀρρώστων διάγνωσιν. ἀλλ' ὥσπερ εἰ καὶ παρόντα τινὰ θεασάμενοι τύχοιμεν, αὐτὸς ὁ ῥοῖζος τῆς ὁρμῆς ἱκανὸς τὸ τάχος ἐνδείξασθαι, οὕτως ἔχει κἀπὶ τῆς ἀρτηρίας. καὶ γὰρ ἢ ἐπειγομένην, ἢ ἐκλελυμένην ἐστὶν εὑρεῖν τὴν κίνησιν αὐτῆς. ἑκάστου γὰρ τῶν κινουμένων σωμάτων ἐκ τῶν τόπων ἐν οἷς ἑκάστοτε γίγνεται διαγινώσκομεν ὅπως κινεῖται. ὅταν μὲν γὰρ ἐγχρονίζῃ τοῖς τόποις βραδεῖαν εἶναι τὴν κίνησιν φαμέν. ὅταν δ' ἀπαλλάττηται ῥᾳδίως, ὠκεῖαν. οἶδα δὲ φυσικὴν ἐνδεχομένην ζήτησιν τὸν λόγον, εἰς τὸ κινούμενον σῶμα καὶ μένει κατά τι. δείκνυται μὲν οὖν καὶ αὐτὸ τοῦτο παντὸς μᾶλλον ἀληθὲς ἐν τοῖς περὶ τῆς κινήσεως. ἀλλὰ νῦν φυλαξώμεθα τηλικούτοις ἡμᾶς αὐτοὺς προσαρτᾶν ζητήμασι. ὅπερ δὲ φαντάζεται μόνον ἡ αἴσθησις εἰς τὴν διάγνωσιν τῶν ταχέων τε καὶ βραδέων σφυγμῶν, τοῦτο ἀρκεῖ λεχθῆναι, τὸ τὴν μὲν ἀπολιποῦσαν φαίνεσθαι τοὺς τόπους ἐν οἷς ἑκάστοτε γίγνεται ῥᾳδίως, τὴν δ' ἐπὶ πλέον ἐν αὐτῷ μένουσαν. καὶ καλεῖσθαι τὴν μὲν, ὠκεῖαν οὕτως, τὴν δὲ βραδεῖαν, ἐπὶ τὰς ἐκ τῶν τόπων μεταβάσεις, τῆς αἰσθήσεως τὴν διάγνωσιν ποιουμένης, οὐκ ἐπὶ τῶν τῆς ὅλης κινήσεως χρόνον, οὔθ' ἰδίᾳ καὶ μόνον, οὔθ' ὅσα τῷ ποσῷ παραβάλλεται. καὶ ἐπὶ τοῦτ' ἡμῖν, ἑτοίμη τοῦ τάχους τε καὶ τῆς βραδυτῆτος ἡ διάγνωσις γίγνεται, οὐκ ἂν γενομένη, εἴπερ ἀνεμένομεν, ποσότητα χρόνων τε καὶ διαστάσεων, λαβόντες τὰς ἐν αὐτοῖς ἀναλογίας σκοπεῖσθαι, ἀλλ' οὐκ ἀναμένομεν δηλονότι. ἐπὶ γὰρ τὴν πρώτην ἐπιβολὴν τῆς ὄψεως ἀρρήτῳ τινὶ χρόνου βραχύτητι προσχρησάμενοι, τὴν μονὴν τοῦ κινουμένου σώματος ἐγνωρίσαμεν, ἐφ' ἧς συνελογισάμεθα τὴν μετάβασιν. ὅσα γοῦν πόῤῥωθεν ὁρῶμεν, οὐκ ἔστιν ὅτε ταῦτα μέχρι πλείονος, ἡμῖν μένοντα φαντάσεται, κἂν ὅτι τάχιστα κινῆται, ὃ καὶ δῆλον ὅτι συλλογισμῷ τὴν κίνησιν, οὐκ αἰσθήσει γνωρίζομεν. Ὅταν μὲν γὰρ ἕκαστον τῶν πρώτων αἰσθητῶν μορίων τοῦ κινουμένου σώματος, ἐν τῷ πρώτῳ αἰσθητῷ τόπῳ, τὸν πρῶτον αἰσθητὸν χρόνον ὑπομένῃ, τηνικαῦτα ἀκίνητον εἶναι δοκεῖ τὸ βλεπόμενον. Ὅταν δὲ τὸ πρῶτον αἰσθητὸν μόριον, ἐν τῷ πρώτῳ ἐστὶ τόπῳ, τοῦ πρώτου αἰσθητοῦ χρόνου, βραχύτερον ὑπομένῃ χρόνον, τηνικαῦτα κινεῖσθαι δοκεῖ. ἕκαστον μὲν γὰρ τῶν εἰρημένων εἰς ἄπειρον τέμνεσθαι δύναται, πρός γε τὴν φύσιν, αἰσθήσει δὲ μετρούμενα, πρῶτα τινὰ καὶ ἄτμητα κέκτηται μόρια, ᾧ καὶ δῆλον, ὅτι συλλογισμῷ μὲν ἅπασα κίνησις, οὐκ αἰσθήσει διαγιγνώσκεται. τῷ δὲ παρακεῖσθαι μὲν αἰσθήσει τὸν συλλογισμὸν, ταχίστην δ' εἶναι τοῦ νοῦ τὴν μετάβασιν, οὐ συλλογισμῷ πολλάκις, ἀλλ' αἰσθήσει διαγινώσκεσθαι δοκεῖ. ὧν γὰρ ἐν τῷ πρώτῳ πρὸς αἴσθησιν χρόνῳ, τὸ πρότερον ἐστὶ τὸ μόριον, ἐν τῷ πρώτῳ πρὸς αἴσθησιν τόπῳ μένει, τούτων μόνων τὰς κινήσεις ἐναργῶς ὁμολογοῦμεν, οὐκ αἰσθήσεσιν, ἀλλὰ συλλογισμῷ λαμβάνειν, ὥσπερ τῆς τε ἐπὶ γνώμονος σκιᾶς, καὶ σελήνης καὶ ἡλίου, καὶ τῶν ἄστρων ἁπάντων, ὅσα τ' ἄλλα πλεῖστον ἡμῶν ἀφέστηκεν. ὧν δ' ὡς ἐῤῥέθη, βραχύτερος ὁ χρόνος τοῦ πρώτου πρὸς αἴσθησιν, ἄχρονος ἥ τε μονὴ καὶ ἡ ἐξάλλαξις τῶν τόπων δοκεῖ, πᾶν γὰρ ὅτι ἐν ἐλάττονι τοῦ πρώτου πρὸς αἴσθησιν χρόνῳ γίγνεται, τοῦτ' ἄχρονον εἶναι φαντάζεται. ταῦτα μὲν οὖν ἰδίᾳ κάλλιον πεφιλοσοφῆσθαι τῷ προῃρημένῳ, τά τε νῦν προκείμενα καλῶς ἐκμανθάνειν, ἄλλά τε πολλὰ τῆς ἰατρικῆς. ἡμῖν δ' ἀρκείσθω καὶ τὰ τοσαῦτα πρὸς ἔνδειξιν τοῦ μὴ χρόνων καὶ διαστημάτων ἐπισκοπεῖσθαι τὸ ποσὸν, ἀλλ' αὐτὸ τὸ ποιὸν τῆς κινήσεως, ὅπερ ἐστὶ μὲν δύσκριτον, ἐξ ὧν δ' εἴπομεν ὁρμώμενος, ἄν γε μὴ παντάπασιν ἀδύνατός τε καὶ ἀταλαίπωρος ᾖς, οὐ χαλεπῶς τεύξῃ τἀληθοῦς, εἰς δύναμιν ἀνθρωπίνην. ἔτι δὲ μᾶλλον, εἰ τοὺς ἀνωμάλους ἐπὶ τάχος καὶ βραδυτῆτα σφυγμοὺς διαγινώσκειν μελετώης, εὕροις ἂν ὡς ἐν τῷ ποιῷ κινήσεως, ἡ γένεσις αὐτοῖς. μιᾶς γοῦν διαστολῆς πολλάκις, ἡ μὲν ἀρχὴ τῆς κινήσεως ἐναργῶς ὠκυτέρα φαίνεται, τὸ δ' ἑξῆς βραδύτερον, αὖθις δὲ τὸ πέρας ὠκύτερον, οὐ ποσότητας τινὰς, ἢ χρόνων, ἢ δυνάμεων, ἢ διαστάσεων ἀριθμούντων ἡμῶν, ἀλλ' αὐτὸ μόνον τὸ ποιὸν τῆς κινήσεως σκοπουμένων. οὔκουν οὐδ' ἐπὶ πολλῆς ψαυστέον, ὁπόταν τὸ γένος τοῦτο τῶν σφυγμῶν ἐπισκοποίμεθα. τοῦ γὰρ ἔξω πέρατος τῆς κινήσεως οὕτως ἂν αἰσθανοίμεθα μόνον, οὐ πάσης αὐτῆς. ἐκ δὲ τούτων οὐκ ἄδηλον ἤδη, τὸ, τοὺς τοιούτους σφυγμοὺς δεῖν εἶναι πάντως, μήτε μικροὺς, μήτ' ἀμυδροὺς. οὐ γὰρ οἷόν τε τριχῇ τέμνειν τὴν κίνησιν, οὔτε ἐν ταῖς μικραῖς διαστάσεσιν, οὔτ' ἐν ταῖς ἀῤῥώσταις δυνάμεσι. κωλύει γὰρ ἐπὶ μὲν τῶν προτέρων ἡ σμικρότης, οὐχ ὑπομένουσα τομὴν εἰς αἰσθητὰ μόρια, ἐπὶ δὲ τῶν δευτέρων, ἡ ἀῤῥωστία τῆς φύσεως ὀκλάζουσα πρὸς τὴν θλίψιν. διὰ τοῦτο γοῦν οὐδ' ἐπὶ τῶν ληθαργικῶν σφυγμῶν ἐστὶν φωράσαι τινὰ ἀνωμαλίαν, ἴσως οὖσαν, ὅτι δεῖται μὲν πάν-

τως θλίψεως εἰς τὴν διάγνωσιν, οὐχ ὑπομένει δ' αὐτὴν ὑπὸ ἀῤῥωστίας. συνετὸν οὖν ἱκανῶς καὶ τετριμμένον ἅμα περὶ τὰς διαγνώσεις εἶναι χρὴ, τὸν μέλλοντα τὴν προσήκουσαν ἑκάστου τῶν σφυγμῶν ἐξευρήσειν ἐπαφήν. εἰ γὰρ ὁ μὲν μέγιστος θ' ἅμα καὶ σφοδρότατος ἰσχυρᾶς ἀνέχεται θλίψεως, τῶν δ' ἄλλων ἕκαστος εἰς ὅσον ἂν, ἤτοι σφοδρότατος ἢ μεγέθους ἐνδεῶς ἔχει, εἰς τοσοῦτον ἐλάττονος. πρῶτον μὲν ἀκριβῶς χρὴ πόσον ἀπολείπονται τοῦ μεγίστου θ' ἅμα καὶ σφοδροτάτου διαγινώσκειν, δεύτερον δὲ συλλογίζεσθαι πόσον ἀρκεῖ τῆς θλίψεως ἐπενεγκεῖν τοῖς οὕτως ἔχουσιν. ἑκατέρως γὰρ ἁμαρτάνειν ἀναγκαῖον, εἴθ' ὑπερβάλλοιμεν τῆς ἀναλογίας, εἴτ' ἐλλείποιμεν. ἐφ' ὧν μὲν γὰρ ἂν ἔλαττον ἤδη θλίψωμεν, ἐκφεύξεταί τι τῆς ἐντὸς ἡμᾶς κινήσεως, ἐφ' ὧν δ' ἂν πλέον, τῆς ἐκτός. ὥστε πρῶτον μὲν ἀνώμαλόν ποτε τὴν κίνησιν οὖσαν, οὐ γνωριοῦμεν. ἔπειτα δὲ καὶ ψευδῶς ὑπὲρ ὅλης ἀποφαινόμεθα πολλάκις, ἀφ' ὧν τοῖς μέρεσι κακῶς διέγνωμεν. εἰ γοῦν ἤτοι τὸ πρότερον αὐτῆς μόριον ὠκύτερον ἢ τὸ δεύτερον ὑπάρχει, γιγνώσκοιτο δ' ἡμῖν αὐτῶν θάτερον μόνον, ἀνάγκη πρῶτον μὲν ὡς ἀνώμαλός ἐστιν ἡ σύμπασα κίνησις ἀγνοεῖν, ἔπειτα δ' ἤτοι ταχεῖαν, ἢ βραδεῖαν αὐτὴν εἶναι νομίζομεν, οὐδ' ἑτέραν ἁπλῶς ὑπάρχουσαν. ἧς γὰρ κινήσεως τὸ μὲν πρότερον ἡ μόριον, ὠκὺ, τὸ δὲ δεύτερον βραδύ. ταύτην οὐκ ἄν τις, οὔτ' ὠκεῖαν ἁπλῶς, οὔτε βραδεῖαν ἐνδίκως καλέσειεν. οὐκ οὖν κεφαλὴν γὰρ ἐπιθέντας τῷ λόγῳ, χρὴ μεταβαίνειν ἐφ' ἕτερα. τὸν σύμμετρον κατὰ τὴν κίνησιν σφυγμὸν ἐπὶ τῆς ἀρίστης κατασκευῆς ἐξετάσαι προσήκειν, οὐ κατὰ διαστάσεως καὶ χρόνων ποσότητα, ἀλλὰ κατ' αὐτὸ τὸ ποιὸν ὡς εἴπομεν, ὅπως ἀπαλλάττηται τῶν τόπων ἐφάσκομεν δεῖν σκοπεῖσθαι, καὶ τούτου μνημονεύοντας, ὃς μὲν ἂν θᾶττον ἀπαλλαττόμενος φαίνηται, ταχὺν, ὃς δ' ἂν βραδύτερος, βραδὺν ὀνομάσαι. ἐμφαίνεσθαι δὲ τοῦτο, κατ' αὐτὴν τὴν πρώτην ἐπιβολὴν τῆς ἁφῆς, πρὶν κατὰ πάσης τῆς διαστάσεως ἐνηνέχθαι τὴν ἀρτηρίαν, ὥστ' εἴπερ ὁμαλὸς ὁ σφυγμὸς εἴη, οὐ περιμένοντας τὴν ὅλην διαστολὴν, ἐκ τοῦ μέρους αὐτῆς, περὶ πάσης ἔχει τεκμαίρεσθαι. ἀνωμάλου δ' ὄντος ἁπάσῃ τε χρῆναι παρακολουθεῖν ἐλέγομεν, ἐπιβαλεῖν τε τὴν ἁφὴν διαφερόντως, ὡς ἂν ἔχει μεγέθους τε καὶ σφοδρότητος ὁ σφυγμός. περὶ μὲν δὴ τοῦ κατὰ τὴν κίνησιν γένους, ἱκανὰ καὶ ταῦτα πρός γε τὸ παρόν. αὖθις γὰρ ἡμῖν, ἐν ταῖς περὶ τῶν σφυγμῶν διαγνώσεσιν, ἀναγκαῖον αὐτῆς ἔσται μνημονεῦσαι. περὶ δὲ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐφεξῆς λέγομεν. τριῶν δ' ἡ διαστάσεων οὐσῶν τοῦ σώματος τῆς ἀρτηρίας, μήκους καὶ πλάτους καὶ βάθους, οὐδὲ μιᾶς οἷόν τε πάσης αἰσθέσθαι. τῆς μὲν κατὰ τὸ μῆκος, ἄντικρυς δῆλον, μέχρι μὲν γὰρ ἐσχάτου πέρατος, ἑκατέρωθεν ἡ ἀρτηρία σφύζει. βραχεῖ δ' αὐτῆς μέρει τὴν ἁφὴν ὑπερβάλλομεν, ὅσον ἂν ὑπερκύπτῃ τὸν ὄγκον τοῦ περικειμένου σώματος. αὐτὸ δὲ τοῦτ' ἐστὶ τὸ ποιοῦν ἢ μακρὸν ἢ βραχὺν εἶναι τὸν σφυγμόν, τὸ μὴ πάσης ἅψασθαι δύνασθαι τῆς ἀρτηρίας κατὰ τὸ μῆκος, ἀλλ' εἶναί τι πάλιν κἀνταῦθα καθ' ἑκάστην φύσιν σώματος ἐπιφανὲς ὑπὸ τῷ δέρματι, τῇ δ' ἀρίστῃ φύσει δηλονότι τὸ σύμμετρον, οὗ τὸ μὲν πλέον, μακρὸν, τὸ δ' ἔλαττον, βραχὺν ποιεῖ τὸν σφυγμόν, οὐκ ἀριθμῷ δακτύλων ὁρισθῆναι δυνάμενον, ὥσπερ τινὲς, εἰ μὲν τοῖς τέτταρσιν ὑποπίπτοι, μακρὸν εἶναι λέγουσιν, εἰ δὲ τοῖς τρισίν, μέσον, εἰ δὲ τοῖς δύο, βραχύν. οὐ γάρ ἐστιν ἐν μέτρον σώματος, ἀρίστης φύσεως, ἀλλὰ καθ' ἑκάστην οὐ χαλεπῶς ἐξευρήσεις τὸ ποσὸν, ἀπὸ μιᾶς ὁρμηθεὶς, εἰ μόνον συλλογίζεσθαι δυνατὸς εἴης, τὸ ἀνάλογον. ἐκείνῃ δὲ πάλιν τοὺς ἄλλους παραβάλλων ἀνθρώπους, τοὺς ἴσους κατὰ τὸ τοῦ παντὸς τοῦ σώματος μῆκος, οὕτως ἐρεῖς, ἢ μακροὺς, ἢ βραχεῖς ἔχειν τοὺς σφυγμούς. ὡσαύτως δὲ, ἢ πλατεῖς, ἢ στενοὺς, ἢ ὑψηλοὺς, ἢ ταπεινοὺς, καὶ κατὰ τὰς τρεῖς διαστάσεις, ἅμα μεγάλους, ἢ μικροὺς, πανταχοῦ γὰρ ἐπὶ τὸ σύμμετρον ἀναφέρων, τοὺς ἄλλους κρίνεις. ὅτι δὲ καθ' ἕκαστον μὲν τῶν ἄλλων ἐν τοῖς σφυγμοῖς γενῶν, εἷς ὁ σύμμετρος, ἐν μόνῳ δὲ τῷ κατὰ τὸ ποιόν, οὐχ ἁπλῶς εἷς, ἀλλὰ καθ' ἕκαστον μέρος σώματος ἴδιος, ἔμπροσθεν εἴρηται. νυνὶ δ' οὐ τοῦτο προὔκειτο λέγειν, ἀλλ' εἰρημένον ὑπομνήσαντας ἐπ' αὐτὸ τὸ προκείμενον ἐπανελθεῖν ἤδη προσήκει, προὔκειτο δ' οἶμαι λέγειν, ὡς οὐδὲ μιᾶς διαστάσεως ἀκριβῶς οἷόν τε τὸ ποσὸν αἰσθήσει διαγνῶναι. ἡ δ' αἰτία τὸ μέν τι κοινὸν ἐν ἁπάσαις ἔχει, τὸ δ' ἴδιον ἐν ἑκάστῃ. πρότερον δ' ἐρήσεται τὸ κοινόν. ἐπεὶ τοίνυν οὐδὲ μία μέν ἐστιν τῶν ἀρτηριῶν γυμνὴ, περίκειται δὲ πάσαις αὐταῖς, πολλαχόθι μὲν ἐλάττω τε καὶ λεπτότερα σώματα, πολλαχόθι δὲ πλείω τε καὶ παχύτερα, τοὐναντίον δῆλον, ὡς οὐκ ἴσον ἁπάσαις τὸ αἰσθητὸν ἔσται τῆς κινήσεως, ἀλλὰ ταῖς μὲν πλέον, ὅσαις ἐλάττονά τε καὶ λεπτότερον, ταῖς δ' ἔλαττον, ὅσαις πλείονά τε καὶ παχύτερα περίκειται σώματα. τὸ μὲν δὴ κοινὸν, τοῦτο. τὸ δ' ἴδιον, ἑκάστης τῶν διαστάσεων, τῆς μὲν κατὰ τὸ μῆκος, παμπόλλην εἶναι διαφορὰν, τοῦ κατ' ἀλήθειαν ὑπάρχοντος πρὸς τὸ φαινόμενον, τῆς δὲ κατὰ τὸ πλάτος ὀλίγην, ἐλαχίστην δὲ τῆς κατὰ τὸ βάθος. ἐν μὲν γοῦν τῷ μήκει δύο καὶ τρεῖς πήχεις πολλάκις ἐπεχούσης, ὅλης τῆς ἀρτηρίας, τρισὶν ἢ τέτταρσι μόνοις δακτύλοις ἡ κίνησις φαίνεται τῆς ἀρτηρίας, τοῦ λοιποῦ παντὸς, διὰ τὸ πλῆθος τῶν περικειμένων σωμάτων ἐγκαλυπτομένου. κατὰ δὲ τὸ πλάτος, ὅταν ὑπὸ τῶν ἑκατέρωθεν ἐν αὐτῇ περικειμένων πολλῶν ἢ παχέων ὑπαρχόντων, μήτ' αὐτῷ τῷ σώματι τῆς ἀρτηρίας δυνατὸν ᾖ τὴν ἁφὴν ἐπιβάλλειν, μήτε διὰ τὸ πάχος αὐτῶν ἢ τὸ πλῆθος, εἰς τοὐκτὸς ἡ κίνησις διϊκνεῖται, πολλαχόθι μὲν ἀπώλεια παντελὴς γίγνεται, πολλαχόθι δ' εἰς ἐλάχιστον ἡ κίνησις στενοῦται, ὅλη δ' οὐδαμοῦ φαίνεται, διὰ τὸ μηδὲ τὴν ἀρτηρίαν εἶναί που γυμνήν. οὐ μὴν οὐδὲ τὸ βάθος ἀκριβῶς ἐστί που γυμνὸν, ἵνα κατὰ τοῦτο γοῦν ἡ κίνησις αὐτῆς ἅπασα σαφὴς φαίνηται, ἀλλ' εἰ καὶ μηδὲν ἄλλο, δέρμα γοῦν αὐτῷ περίκειται, δι' οὗ τὸν σφυγμὸν αἰσθανόμεθα, πάντως πού καὶ αὐτὸ κατακρύπτον. Ὁπότ' οὖν οὕτως ἔχει ταῦτα, πειρατέον ἐνδείξασθαι τὸν τρόπον τῆς ἀρίστης διαγνώσεως ἐν ἑκάστῃ διαστάσει, καὶ περὶ πρώτης γε λεγέσθω τῆς κατὰ τὸ μῆκος. Ὅτι μὲν δὴ καὶ ταύτην ἀρίστην ἡγητέον, ἥτις ἂν πλείστης αἰσθάνεται κινήσεως, ἄντικρυς δῆλον. ὡς γοῦν εἰ καὶ πάσης αἰσθέσθαι δυνατὸν ἦν, τοῦτ' ἂν ἦν ἄριστον, οὕτως ἐπειδὴ τοῦτ' ἀδύνατον, ὅταν μηδὲν τῶν ἐνδεχομένων αὐτῆς γνωσθῆναι μορίων διαφεύγῃ, τὴν ἁφὴν ἀρίστην νομιστέον. ὅπως δ' ἄν τις αὐτὴν ποιήσαιτο, πειρατέον εἰπεῖν ὑπομνήσαντας πρότερον, ὡς ἐν τρισὶ τούτοις αἱ τῶν αἰσθητικῶν γνώσεων ἅπασαι συνίστανται διαφοραὶ, φύσει τε καὶ ἀσκήσει καὶ τρόπῳ τῆς ἐπιβολῆς. ὃς μὲν γὰρ ἂν εὐαισθητοτάτην φύσιν τε τὸ αἰσθητήριον ἔχει γεγυμνασμένον ἱκανῶς, καὶ καθ' ὃν χρὴ τρόπον ἐπιβάλλῃ τοῖς αἰσθητοῖς, οὗτος ἂν ἄριστος εἴη γνώμων τῶν ἐντὸς ὑποκειμένων. ὃς δ' ἂν κατά τι τούτων ἀπολείπηται, καθ' ὅσον ἂν ἀπολίπηται, κατὰ τοσοῦτο χείρων εἰς ἀκριβῆ διάγνωσιν, εὑρήσεται δ' οὖν τῷ πεφυκότι μὲν ἄριστα, γεγυ-

μνασμένῳ δὲ, μὴ ῥαθύμως, ὅπως ἂν ἐπιβάλλων τὴν ἁφὴν ἀκριβῶς αἰσθάνοιτο τῆς κατὰ τὴν ἀρτηρίαν κινήσεως
εἰς δύναμιν ἀνθρωπίνην. καὶ ἐπειδὴ περὶ πρώτης τῆς κατὰ τὸ μῆκος διαστάσεως προὐθέμεθα λέγειν τὸν εἰς ταύ-
την ἐπιτηδειότατον τρόπον τῆς ἐπαφῆς ἐροῦμεν. ἄθλιπτος μὲν οὖν πάντως ἔστω, πολλαχόθι δὲ καὶ ψαύων ἐπιπο-
λῆς καὶ οἷον αἰωρῶν τὴν χεῖρα. χρηστὸς δὲ ὁ τοιοῦτος μάλιστα τρόπος, ἐν τοῖς μικροῖς ἅμα, καὶ ἀῤῥώστοις σφυγμοῖς.
θλιψάντων γὰρ τούτους κατά τι, πολὺ τῆς κινήσεως ἀπόλλυται, πολλάκις δὲ, καὶ σύμπασα. παρά τε γὰρ τὸ ποσὸν τῆς
θλίψεως, καὶ προσέτι τὸ ποιὸν τοῦ κατὰ τὴν ἀρτηρίαν τόνου, ποτὲ μὲν πολὺ ἀπολείπεται τῆς κινήσεως, ποτὲ δ' ἔλατ-
τον, ἔστιν δ' ὅτε καὶ πᾶσα, καὶ διὰ ταῦτα ἀσφαλέστατόν ἐστιν εἰς τὴν τοῦ μήκους διάγνωσιν, ἀθλίπτως ἐπιβάλλειν τὴν
ἁφήν. καὶ γὰρ οἱ σφοδροὶ σφυγμοὶ φέρουσι μὲν ἀλύπως τὴν μετρίαν θλίψιν, ἀλλ' οὐδὲν οὐδ' οὗτοι βλάπτονται
ψαυόντων ἀθλίπτως. Ὅταν οὖν ὁ τοιοῦτος τρόπος τῆς ἐπαφῆς χρηστότατος μὲν ᾖ τοῖς ἀμυδροῖς σφυγμοῖς,
ἀβλαβὴς δὲ καὶ τοῖς σφοδροῖς, οὐκ ἄν τις ἕτερον ἀντ' αὐτοῦ προέλοιτο. χρὴ δὲ καὶ τοῦτο προσδιορίσασθαι φαινόμενον
ἐναργῶς, ὡς ἐν ταῖς κατὰ διαφέροντα μόρια τοῦ μήκους τῆς ἀρτηρίας θλίψεσιν οὐχ ὁμοίως ἐν ἅπασιν ἡ κίνησις φαίνε-
ται βλαπτομένη· ἀλλ' ἐν μὲν τοῖς ἀνωτέρω μέρεσιν μείζων ἡ βλάβη, βραχεῖα δ' ἐν τοῖς κατωτέρω, καὶ λανθά-
νουσα γε πολλάκις ἐν τοῖς σφοδροῖς σφυγμοῖς, οὐ μὴν ἔν γε τοῖς ἀμυδροῖς. ἔν γε τούτοις εἰ τὸ κατωτέρω μέ-
ρος θλίψομεν, εὔδηλος ἡ περὶ τῶν ἀνωτέρω γίνεται βλάβη. τὰ δ' ἀνωτέρω καὶ κατωτέρω πῶς ἐνταῦθα
χρὴ νοεῖν, οὐκ ἄδηλον. Οἱ τὰ ποῤῥώτερα μὲν μέρη τῆς καρδίας, κατωτέρω, τὰ δ' ἐγγυτέρω καλοῦμεν ἀνώ-
τερα. τοῦτο ἐπὶ μὲν τῶν κώλων καὶ πάνυ συνήθως. ἐπὶ δὲ τῶν ἐν τῇ κεφαλῇ μορίων καὶ κατὰ τὸν τράχηλον, οὐκ ἔθ'
ὁμοίως. κοινὸν δ' οὖν, ἐφ' ἁπάντων, ὡς εἴρηται, τὸ τὰ τῆς καρδίας ἐγγυτέρω θλιβόμενα, μεγάλην τὴν βλάβην ἐργά-
ζεσθαι τοῖς ἐφεξῆς, τὰ δ' ἀπωτέρω πολλάκις μὲν, οὐδ' ὅλως αἰσθητὴν, ὅταν ἱκανῶς ᾖ σφοδρὸς ὁ σφυγμὸς, ἔστι
δ' ὅτε καὶ φαινομένην, ἐν τοῖς οὐ σφοδροῖς. Περὶ μὲν οὖν τῆς κατὰ τὸ μῆκος διαστάσεως ἀρκείσθω καὶ ταῦτα,
περὶ δὲ τῶν λοιπῶν δυοῖν ἤδη λέγομεν, ἃς οὐχ οὕτως εἶναι δύο χρὴ νομίζειν, ὡς ἐπὶ τῶν τετραπλεύρων καὶ κυβικῶν
σωμάτων ἔστιν ἰδεῖν, ἰδίᾳ μὲν τὸ πλάτος, ἰδίᾳ δὲ τὸ βάθος ἀφωρισμένον, ἀλλ' ὥσπερ ἐν κύκλῳ καὶ σφαίρᾳ συγ-
κέχυται πάντα, καὶ μία τις ἡ γραμμῆς ἢ ἐπιφανείας περιφέρεια φαίνεται, τὸν αὐτὸν τρόπον ἡγητέον ἔχειν καὶ
ἐπὶ τῆς ἀρτηρίας, φαίνεται γὰρ ἐν ταῖς ἀνατομαῖς πολλαχόθι μὲν, κυλινδροειδὴς, πολλαχόθι δὲ κωνοειδὴς τὸ
σχῆμα. πόθεν οὖν ἐπῆλθε τοῖς ἰατροῖς ἰδίᾳ μὲν περὶ πλάτους, ἰδίᾳ δὲ, περὶ βάθους, ἀρτηρίας διαλέγεσθαι, δέον,
ὥσπερ ἔστι καὶ φαίνεται κατὰ τὰς διαιρέσεις, τὸ μέν τοι μῆκος αὐτῆς, τὸ δὲ κύκλον ὀνομάζειν. ἀμέλει
καὶ ὀνομάζουσιν οὕτω πολλοὶ πολλάκις, οὐ μὴν διὰ παντός γε δυνατὸν, οὔτε τούτοις, οὔτ' ἄλλῳ τινὶ περὶ τῶν ἐναρ-
γῶς φαινομένων διηγουμένῳ, μῆκος καὶ κύκλον ὀνομάζειν μόνον, ἀλλ' ἀναγκασθήσονται πολλάκις εἰπεῖν τινα
διαστολὴν αὐτῆς, ὑψηλὴν μὲν, στενὴν δέ. καὶ αὖθις ἑτέραν, ταπεινὴν μὲν, πλατεῖαν δέ. καὶ γὰρ φαίνεται ταῦ-
θ' οὕτως ἐναργῶς, ὡς ἀμφισβητῆσαι μηδένα, καὶ διὰ τὰ τοιαῦτα φαινόμενα διαφερούσας ἐννοίας πλάτους τε καὶ
βάθους ἠναγκάσθημεν ἔχειν ἐπὶ τῶν ἀρτηριῶν. ὥσπερ δὲ τὰς τοιαύτας διαφορὰς αἰσθήσει διέγνωμεν, οὕτω πολ-
λάκις ὁμολογοῦμεν ἀκριβῶς κυκλοτερῆ τὴν κίνησιν ἡμῖν φαίνεσθαι. καὶ νῦν ἐροῦμεν ὑπὲρ ἑκατέρων τῶν διαφορῶν
κοινῇ, πῶς ἄν τις ἄριστα τὴν ἐπιβολὴν ποιούμενος τῶν δακτύλων, διαγιγνώσκειν αὐτὰς δύναιτο. καὶ γὰρ οὐ μι-
κρά τις ἀτοπία δόξειεν ἂν ἐν τῇ διαγνώσει ταύτῃ περιέχεσθαι, κατὰ μηδεμίαν ἐπιβολὴν, ἁπάσης τῆς διαστάσε-
ως ἡμῶν αἰσθάνεσθαι δυναμένων, μήθ' ὅταν ἐπιπολῆς ψαύωμεν (ἡ γὰρ τοιαύτη μόνον τῶν ἐσχάτων τῆς κινήσεως
αἰσθανομένη, τὸ πρὸ τοῦ, πᾶν ἀγνοήσει) μήθ' ὅταν ἱκανῶς θλίβωμεν (πρὸς γὰρ τῷ, κατὰ τοὺς σφοδροὺς σφυγμοὺς
μόνους ἐγχωρεῖν τοῦτο δρᾶν, ἔμπαλιν ἡ τοιαύτη τῇ πρότερον, τῶν ὑστέρων τῆς διαστάσεως ἀναίσθητος ἔσται, τῶν
πρώτων μόνον αἰσθανομένη) κατὰ ταυτὰ δ' ἱκανὸν εἰ μέσῃ τινὶ τῶν εἰρημένων ἐπιβολῶν ἑτέρᾳ χρησαίμεθα, τά
τε πρῶτα καὶ τὰ τελευταῖα τοῦ διαστήματος ἀγνοήσομεν. Ὅτι δ' ἀληθές ἐστιν ὃ λέγω, πειραθεὶς ὁ βουλόμενος
γνώσεται. θλίψας γὰρ τοὺς σφοδροὺς σφυγμοὺς (τούτους γὰρ μόνους ἐγχωρεῖ θλίβειν) οὐκ εἴσεται πηλίκοι τινές εἰσιν.
ἀπόλλυται μὲν γάρ τι καὶ αὐτῆς τῆς κινήσεως, ἐν ταῖς πλείσταις τῶν θλίψεων ὡς καὶ πρόσθεν εἴρηται. τὸ διάστη-
μα δ' οὐκέτι μικρὸν, ἀλλ' ὀλίγου δεῖν ὅλον διαφθείρεται. ψαύσας δ' αὖ πάλιν ἐπιπολῆς, οὐχ ἕξει μαντεύσασθαι
κατὰ πηλίκου διαστήματος ἡ κίνησις ἠνέχθη. ἡ μὲν οὖν ἀπορία τοιαύτη. λύσις δ' αὐτῆς, τὸ μὴ ζητεῖν πάντως αἰσθή-
σει διαγνῶναι τὸ ποσὸν τῆς διαστολῆς, ἀλλ' εἰ καὶ συλλογισμῷ τινὰ δυνάμεθα μηδὲν ἡγεῖσθαι βεβλάφθαι. πρόκει-
ται γὰρ ἡμῖν οὐκ αἰσθήσει πάντως γνῶναι τὰ συμβεβηκότα τοῖς σφυγμοῖς, ἀλλ' ἁπλῶς γνῶναι. πᾶσα μὲν οὖν
ἡ τοιαύτη γνῶσις, αἰσθήσεως δεῖται, οὐ μὴν μόνης γε ταύτης, οὐδ' ὡς ἀεὶ τὸ πᾶν εὑρίσκειν δυναμένης, ἀλλ' ἱκα-
νὸν πολλάκις, ἕν τι τῶν αἰσθητῶν παθημάτων, γνώρισμα ποιήσασθαι τῆς τοῦ πράγματος ὅλης οὐσίας. ἔχει γοῦν οὕτως
κἀπὶ τῶν νῦν προκειμένων. εἰ γὰρ ἐπιπολῆς ψαύοις ἀναγκαῖον ἤτοι κατὰ πλείονα μόρια προσπιπτούσης αἰσθάνεσθαι
τῆς ἀρτηρίας, ἢ κατ' ἐλάττονα, μεθ' ἣν διάγνωσιν, συλλογισμὸς αἰσθήσει συμπλεκόμενος, ἡμᾶς εἰσέρχεται, μεγάλην
μὲν εἶναι διαστολὴν, τὴν κατὰ τὰ πολλὰ μόρια κινοῦσαν τὴν ἁφὴν, μικρὰν δὲ, τὴν κατ' ὀλίγα. φέρε γὰρ εἶναι κυκλο-
τερῆ τὴν πρόσπτωσιν αὐτῆς, ἆρ' οὐ πρόδηλον, εἰ μὲν ἀξιόλογος εἴη τὸ μέγεθος ἡ τοῦ κύκλου περιφέρεια, καὶ τὴν
ὅλην εἶναι διαστολὴν τῆς ἀρτηρίας ἁδράν. εἰ δ' ἡ περιφέρεια μικρὰ, καὶ τὴν διαστολὴν ὅλην ἰσχνὴν εἶναι; οὔτε γὰρ τὴν
ἰσχνὴν διαστολὴν μεγάλοις ὁρίζεσθαι κύκλοις δυνατὸν, οὔτε τὴν ἁδρὰν μικροῖς. ἀλλ' ἀνάγκη ἀνάλογον ἔχειν τῷ πο-
σῷ τῆς διαστολῆς, τὸ ποσὸν τοῦ περιγράφοντος αὐτὴν κύκλου, κατὰ ταυτὰ δὲ κἂν εἰ μὴ κύκλος ἀκριβὴς εἴη τὸ πέ-
ρας τῆς διαστολῆς, ἀλλ' οἷον κολοβὸς κατὰ μέρος, ὅπερ ἐν τοῖς ὑψηλοῖς καὶ στενοῖς, ἢ ταπεινοῖς, καὶ πλατέσιν εὑρί-
σκεται σφυγμοῖς, ὁ συλλογισμὸς ὁ τοῦ ποσοῦ τῆς διαστολῆς ὁμοίως ἂν γίγνοιτο. τά τε γὰρ τῆς διαστολῆς, τά τε
τῆς εἰς ὕψος ἀνόδου πέρατα, τμήματα κύκλου πάντως ἔσται, καὶ ταῦτ' ἤτοι μείζονα ἢ μείονα καθ' ἑκατέρωθεν
ἤτοι κοιλότερα τῆς περιφερείας ταύτης, ἢ κυρτότερα φαινόμενα, πάντως ἤτοι μακροτέραν, ἢ βραχυτέραν ἀπο-
φαίνει τῆς ἀκριβῶς κυκλοτεροῦς, τὴν νῦν φαινομένην γραμμήν. καὶ οὕτως τότ' ἄνισον τῆς εἰς πλάτος τε καὶ βά-
θος διαστάσεως, τό τε διαστολῆς ὅλης τὸ ποσὸν ἀναλογιζόμεθα. φέρε γὰρ φαίνεσθαι κυρτοτέρας μὲν καὶ περι-

τέτρας τὰς ἐν τοῖς πλαγίοις τῆς ἀρτηρίας προσπιπτούσας, κοιλοτέραν δέ πως καὶ ταπεινοτέραν τὴν κατὰ βάθος· ὥστε μὴ δὲ κύκλου περιφέρειαν ἔτι δοκεῖν ὑπάρχειν, ἀλλ' οἷον εὐθεῖαν γραμμὴν εἶναι, δῆλον, ὡς ὁ τοιοῦτος σφυγμὸς πλατὺς ἔσται καὶ ταπεινός. ἡ μὲν γὰρ εἰς τὸ πλάτος κίνησις ἐπὶ πλέον ἐκταθεῖσα πλατὺν εἰκότως ἐργάζοιτ' ἄν, ἡ δ' εἰς ὕψος κωλυθεῖσα ταπεινόν. ἔμπαλιν δέ, εἰ τὰ μὲν ἐν τοῖς πλαγίοις μόρια τῆς κινήσεως ἀπολίποιτο πολὺ τοῦ μέσου, τὸ μέσον δ' αὐτὸ κυρτὸν ἱκανῶς φαίνοιτο, δῆλον ὡς ὁ τοιοῦτος σφυγμὸς ὑψηλὸς μὲν ἔσται, στενὸς δέ. παντάπασι δὲ στενῆς τῆς κατὰ τὸ πλάτος αὐτοῦ προσβολῆς γινομένης, ὡς μὴ δοκεῖν μεμειῶσθαι μόνον τὴν ἐν τοῖς πλαγίοις κίνησιν, ἀλλ' ὅλην τελέως ἀπολωλέναι, χαλεπὸν γνῶναι, μᾶλλον δ' ἀδύνατον, ὅσον γε ἐπὶ τούτοις, ὁποῖός τίς ἐστιν ὁ σφυγμός. εἰ μὴ γὰρ διορισμούς τινας προσλάβοιμεν, οὐκ εἰσόμεθα πότερον ὑψηλός, ἢ ταπεινός, ἢ σύμμετρός ἐστι κατὰ τὸ βάθος. ἅπαντα γὰρ εἶναι δύναται. καὶ γὰρ εἰ ταπεινὸς ἅμα καὶ στενὸς εἴη, τοιοῦτος φανήσεται, καὶ εἰ ὑψηλὸς ἅμα καὶ στενὸς εἴη, τοιοῦτος φανήσεται, καὶ εἰ σύμμετρος κατὰ βάθος ἅμα καὶ στενός. τὸ μὲν γὰρ εἶναι στενῷ τῷ τοιούτῳ σφυγμῷ, πάντως ὑπάρχει διὰ τὴν εἰς τὸ πλάτος κίνησιν κεκωλυμένην. ἡ δ' ἀπορία περὶ τοῦ βάθους ἐστίν, ὃ κἂν ἐκ πολλοῦ διαστήματος, κἂν ἐξ ὀλίγου, καὶ ἐκ συμμέτρου τὴν κίνησιν ἀρχομένην ἔχει, τὴν αὐτὴν τοῖς ἐπιπολῆς ἁπτομένοις φαντασίαν ἐργάσεται. στενῆς γὰρ αἰσθάνονται τῆς κινήσεως. πῶς οὖν διορισθήσεται; πολλαχῇ μὲν καὶ τοῖς τῆς ἁφῆς παθήμασιν, διὰ παντὸς δὲ τῷ λογισμῷ. λεκτέα δὲ πρότερα τὰ τῆς ἁφῆς, ἐφ' ὧν ἐγχωρεῖ διὰ ταύτης τι λαβεῖν σαφές. ἐγχωρεῖ δ' ἐπὶ σφοδρῶν σφυγμῶν, ὑπὲρ ὧν εἴρηται πολλάκις, ὅτι μόνοι θλιβόντων τὴν ἀρτηρίαν οὐκ ἀπόλλυνται. ῥᾷστον οὖν ἐπί γε τῶν τοιούτων γνωρίσαι τὸ βάθος τοῦ σφυγμοῦ. θλίψαντι γάρ σοι τάχα μὲν καὶ δι' αὐτῆς τῆς ἁφῆς, ἐὰν ᾖ γεγυμνασμένη τε καὶ ἁπαλή, καὶ ἀκριβῶς αἰσθανομένη φύσιν, γενήσεταί τι διάγνωσις τοῦ διαστήματος τῆς κινήσεως. εἰ δὲ μή, ἀλλ' ὅ γε χρόνος ὁ τῆς κινήσεως ἐνδείξεται τὸ ποσὸν τῆς διαστάσεως. εἰ γὰρ οἷός τ' εἴης διακρίνειν, ἰδίᾳ μὲν τὸ ποιὸν τῆς κινήσεως, ἐν ᾧ τὴν κατὰ τάχος τε καὶ βραδυτῆτα διαφορὰν εὑρίσκομεν, ἰδίᾳ δὲ τὴν κατὰ τὸν χρόνον ἐν ᾧ βραχυχρονίους κινήσεις διαγιγνώσκομεν, οὐκ ἄν σε λανθάνοι κατὰ τὴν ἐπίβλεψιν αὐτῶν οὐδέτερον. εἰ δ' ἄμφω λάβοις, οὐ χαλεπῶς συλλογιῇ περὶ τῆς διαστάσεως. φέρε γὰρ εἶναι ταχεῖαν μὲν τὴν κίνησιν, πολυχρόνιον δέ, παντί που δῆλον, ὡς κατὰ μεγίστης αὐτῇ διαστάσεως ἐνήνεκται. πάλιν οὖν ἔστω βραδεῖά τε καὶ βραχυχρόνιος, εἴη ἂν οἶμαι καὶ ἥδε κατὰ ἐλαχίστης διαστάσεως ἐνηνεγμένη. σφοδροῦ μὲν ὄντος τοῦ σφυγμοῦ κατὰ τόνδε τὸν τρόπον διαγινώσκειν τοῦ βάθους τὸ ποσόν, ἀμυδροῦ δ' ὄντος, ἡ μὲν αἴσθησις ὠφελεῖν ἡμᾶς οὐδὲν ἔτι δύναται, θλιβόντων γὰρ ἀπόλλυται παντελῶς ἡ κίνησις ἐν τοῖς τοιούτοις σφυγμοῖς, τῷ λόγῳ δὲ τηνικαῦτα, τὸ πᾶν ἐξιχνευτέον. εἰρήσεται δὲ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὡς οὐ πᾶσι πάσας διαφορὰς μίγνυσθαι δύνανται καὶ διορισθήσεται, τίνες δ' εἰσὶ καὶ ὁπότε, καὶ ὅπως, ὡς ἐκ τῶν ἄλλων τῶν φαινομένων ἐναργῶς, εἰδέναι τι καὶ περὶ τῶν οὐ φαινομένων, ἐν ἐκείνοις διδαχθήσεται. καὶ διότι στενὸς θ' ἅμα καὶ ἀμυδρὸς σφυγμὸς ὑψηλὸς οὐκ ἄν ποτε γένοιτο. περὶ μὲν δὴ τούτων ἀρκέσει καὶ τὰ τοσαῦτα.

Περὶ δὲ τῶν ῥυθμῶν ἐφεξῆς ἐροῦμεν εἰς ταύτην τὴν τάξιν τῆς διδασκαλίας ἀγόμενοι, κατὰ τὴν οἰκειότητα τῆς διαγνώσεως, ἐπεί τοι κατά γε τὴν φύσιν αὐτῶν τῶν πραγμάτων, τὰ καθ' ἓν μόριον σφυγμοῦ, καὶ μάλιστα τὴν διαστολὴν συνιστάμενα γένη, πρότερον ἐχρῆν ἐπελθεῖν, ὡς ἐν τοῖς περὶ διαφορᾶς σφυγμῶν ἐποιησάμεθα. ἀλλ' ἐπεὶ τὰ μὲν ἐν ἑνὶ μορίῳ συνιστάμενα γένη, τὰ τῶν εἰρημένων ὑπόλοιπα, κοινῆς δεῖται διδασκαλίας, τὸ δὲ τῶν ῥυθμῶν τοῖς προειρημένοις δύο γένεσιν ἔζευκται κατὰ τὴν διάγνωσιν, ὡς αὐτὸ περὶ αὐτῶν λόγος ἐνδείξεται, διὰ τοῦτ' ἐφεξῆς ἐροῦμεν περὶ ῥυθμῶν, τὸν περὶ σκληρότητος καὶ σφοδρότητος λόγον, εἰς τὸ μετὰ τοῦτο βιβλίον ἀναβαλλόμενοι. ὥσθ' ἕκαστον τῶν ὑπομνημάτων τελείαν ἔχειν τῶν παρακειμένων ἀλλήλοις κατὰ τὴν διάγνωσιν τῶν γενῶν τὴν διδασκαλίαν. ἐπεὶ τοίνυν ὁ ῥυθμὸς ἐν τῷ παραβάλλειν τὸν χρόνον τῆς διαστολῆς τῷ χρόνῳ τῆς συστολῆς γίνεται, χρὴ δηλονότι διαγνωστικοὺς ἡμᾶς ὑπάρχειν, ἰδίᾳ πρότερον ἑκατέρου τοῦ χρόνου. τοῦτο δ' οὐ πάνυ τι ῥᾴδιον. εἰ γὰρ ἐν τῷ πρώτῳ βιβλίῳ λεχθέντων ἀναμνησθείημεν ἡνίκ' ἐζητοῦμεν πότερα πάσης αἰσθέσθαι δυνατόν ἐστι τῆς διαστολῆς, καὶ τῆς συστολῆς ἢ διαφεύγει τι τῆς κινήσεως ἡμᾶς ἑκατέρας, εἰσόμεθα ὅπως χαλεπόν ἐστι, μᾶλλον δ' ἀδύνατον, ἅπαντος τοῦ κατὰ ταύτας χρόνου τὴν διάγνωσιν ποιήσασθαι. δέδεικται γὰρ ἐκεῖ τά γε πρῶτα τῆς διαστολῆς, τὰ δὲ τελευταῖα τῆς συστολῆς ἄγνωστα. καθ' ὅσον δ' ἄν τι τῆς κινήσεως διαλανθάνει κατὰ τοσοῦτον οἶμαι καὶ τοῦ χρόνου διαφεύξεται. πρῶτον δ' αὐτὸ τοῦτο πάλιν, ἀναμνηστέον τε, καὶ διοριστέον ὡς τ' αὐτὸν ἦν τότ' ἐν τῷ πρώτῳ βιβλίῳ ζητηθὲν καὶ τὸ νῦν ὀλίγον ἔμπροσθεν. ἐκεῖ μὲν γάρ, ἐζητεῖτο περὶ διαστολῆς ἁπλῶς, ἐνταυθοῖ δέ, περὶ τοῦ κατὰ τὸ ἐν αὐτῇ ποσὸν χρόνου. ἐν μὲν οὖν τῷ ζητεῖν ἁπλῶς εἰ πάσης αἰσθάνεσθαι δυνατόν ἐστι τῆς διαστολῆς. ὅταν ἂν διαφεύγῃ τῆς κινήσεως τὴν ἁφήν, τοῦτ' ἂν ἀδιάγνωστον εἶναι φήσομεν. ἐν δὲ τῇ διαγνώσει τοῦ κατ' αὐτὴν ποσοῦ, πηλίκον ἐστὶ τὸ διάστημα, καθ' ὃ κεκίνηται, σκοπούμεθα. καὶ δέδεικται μικρῷ πρόσθεν, ὡς εἰ μόνου τοῦ πέρατος τῆς διαστολῆς ἀκριβῆ τὴν διάγνωσιν ἔχοιμεν, συλλογισμὸς ἡμῖν, παρακείμενος αἰσθήσει τὴν ἔνδειξιν τοῦ κατ' αὐτὴν ποσοῦ ποιήσεται δυνατὸν οὖν ἐστι μηδενὸς ἄλλου μέρους τῆς κινήσεως, πλὴν τοῦ ἔξω πέρατος αἰσθανομένους, ὅθεν ὅση μέν τις ἐστὶ κατὰ τὸν χρόνον, ἀγνοεῖν, κατ' ἐνήνεκται διαστήματος διαγιγνώσκειν. τούτων οὖν τὸ μὲν ἕτερον ἐν τῷ πρώτῳ βιβλίῳ τὴν ζήτησιν ἔχει. τὸ δ' ἕτερον οὐ πρὸ πολλοῦ πεπαύμεθα διεξιόντες. ἀναμνησθῶμεν οὖν πάλιν ὡς ἐν τοῖς σφοδροῖς σφυγμοῖς, εἰ θλίψαιμεν συμμέτρως τὴν ἀρτηρίαν, τὰ μὲν πρῶτα κινήσεως γνωριοῦμεν, ἀγνοήσομεν δὲ τὸ ποσὸν τοῦ διαστήματος. ἔτι δὲ καὶ τοῦτο προσαναμνησθῶμεν, ὡς ἐν τῷ δευτέρῳ βιβλίῳ κατ' ἀρχὰς εὐθὺς ἐδείχθη, μήτ' αὐτοῦ εἶναι ποσότητα χρόνου κινήσεως ἐξετάζειν, καὶ τάχος ἢ βραδύτητα διαγιγνώσκειν, τούτων γὰρ ἡμῖν εἰς τὰ προὔντα δεῖ πάντων, ἵν' ἀκριβῶς καὶ διηρθρωμένως εἰδῶμεν, εἰ διεγνώσχων ἡ τοῦ διαστήματος, καθ' ὃ τὴν κίνησιν ἐνηνέχθαι συμβέβηκεν διάγνωσις, τῆς τοῦ χρόνου, καὶ ὡς ἑκατέρων, ἑτέρα τίς ἐστιν. ἡ τάχους ἢ βραδυτῆτος σκοπουμένη. μετρεῖ γὰρ ἡ μὲν πρώτη λεχθεῖσα τοῦ διαστήματος, τὸ ποσόν. ἡ δὲ δευτέρα τοῦ χρόνου τῆς κινήσεως τὸ ποσόν. ἡ δὲ τρίτη τὸ ποιὸν τῆς κινήσεως. εἰς οὖν τὴν περὶ τῶν ῥυθμῶν διάγνωσιν, οὔτε τῆς πρώτης. οὔτε τῆς τρίτης, ἀλλ' αὐτῆς τῆς δευτέρας μόνης δεόμεθα. τοιαύτην τοιγαροῦν εἶναι χρὴ τὴν ἐπιβολὴν τῆς ἁφῆς, οἵα μάλιστ' ἅπασαν ἀκριβῶς θεωρήσει τὴν κίνησιν τῆς ἀρτηρίας.

τηρείας ὡς ὅσα περὶ τὸ πρῶτον βιβλίον εἴρηται, ἑκουσίων ἡμῶν, εἰ πάσης αἰσθήσεσθαι δυνατόν ἐστι τῆς κινήσεως ἀναμνησθῆναι προσήκει γνῶντας, ἐν ᾧ καὶ ταυτὸν ἐκεῖνό τε καὶ τοῦτ' εἶναι τὸ πρόβλημα, τῇ γε δυνάμει. προβάλλεσθαι δὲ τῇ λέξει διαφερόντως. εἰ δὴ ταῦτα πάντα προεννοήσαιμεν, εἰσόμεθα τὸ χαλεπὸν τῆς προκειμένης διαγνώσεως. Ἔστω γὰρ ἵνα σφυγμὸν εἶναι μέγαν μὲν, ἀλλ' ἀμυδρόν. οὔκουν οἷόν τε τούτου φωρᾶσθαι τῆς διαστάσεως ἁπάσης τὴν κίνησιν, ἀλλὰ μόνον τοῦ ἔξω πέρατος. ὡσαύτως δὲ καὶ τῆς συστολῆς, εἴπερ ἄρα, τὴν ἀρχὴν μόνην καὶ τὴν ἀναχώρησιν, ἄλλο δ' οὐδέν, ἐπὶ πολλῆς οὖν ψαύειν τῶν τοιούτων χρὴ σφυγμῶν ὡς πολλάκις εἴρηται. τῇ δὲ τοιαύτῃ τῆς ἁφῆς ἐπιβολῇ τοῦ μὲν διαστήματος τῆς διαστολῆς τὸ ποσὸν, οἷόν τε διαγνῶναι· τοῦ δὲ χρόνου τῆς κινήσεως ἀδύνατον. ἐπὶ δὲ τῆς συστολῆς οὐ μόνον τοῦ χρόνου τῆς κινήσεως ἀδύνατον ἐξευρεῖν τὸ ποσὸν, ἀλλὰ καὶ τοῦ διαστήματος αὐτοῦ. τελέως γὰρ αὐτῆς ἀναισθήτου γινομένης, ἀνάγκη πάντων ὁμοῦ τῶν ὑπαρχόντων αὐτῇ τὴν ἀπώλειαν γίγνεσθαι. ὥστ' οὐ μόνον τὸ ποσὸν τοῦ διαστήματός τε καὶ τοῦ χρόνου τῆς κινήσεως, ἀλλὰ καὶ τὸ ποιὸν ἐν ᾧ τάχους τε καὶ βραδυτῆτος διάγνωσις ἡμῖν ἐγίγνετο, παντάπασιν ἡμῖν ἀναίσθητον ἔσται. πῶς γὰρ ἂν ἔτι καὶ δύναιτο διαγιγνώσκεσθαι τὸ ποσὸν τῆς κινήσεως, ὅπου μηδ' ὅλως αἴσθησις γίνεται κινήσεως. ὑπάρχειν γὰρ δεῖ πρότερον τὴν οὐσίαν τοῦ πράγματος τῆς ποιότητος. ταύτης τοίνυν παντάπασιν ἐκφυγούσης τὴν αἴσθησιν οὐχ οἷόν τε τὴν ποιότητα διαγιγνώσκεσθαι. πῶς οὖν ἐν τοῖς τοιούτοις σφυγμοῖς οἷόν τε διαγνῶναι τὸν ῥυθμὸν, ἐν οἷς ἄρδην μὲν ἀπόλωλεν ἡ συστολή, τῆς διαστολῆς δὲ, μόνον τὸ ἐκτὸς ἀποσώζεται πέρας. ἀλλ' οὐδ' ἐπ' ἄλλου τινὸς τῶν ἀμυδρῶν οἷόν τε τῆς συστολῆς αἰσθέσθαι. μόνων τοίνυν τῶν οὐκ ἀμυδρῶν γυμνάζοντες τὴν κίνησιν, τῷ τε ὑπὸ διαστέλλεσθαι καὶ συστέλλεσθαι τὴν ἀρτηρίαν, μόνων τούτων καὶ τὸν ῥυθμὸν διαγνωσόμεθα, συμμέτρον οὕτω δηλονότι τὴν ἐπιβολὴν τῶν δακτύλων ποιούμενοι, καθὰ πρόσθεν εἴπομεν, ὡς μηδὲν τῆς ἐκτὸς κινήσεως κωλύσαι. μᾶλλον γοῦν ἤδη θλίψαντες τὴν ἀρτηρίαν μᾶλλον ἢ δεῖ, παύσασθαι τὴν κίνησιν αὐτῆς ἀναγκάσομεν. εἰ μή τις κἂν τούτοις ἀδιάγνωστος ὁ ῥυθμὸς, εἴ γε διὰ παντὸς ἡμᾶς τά τε πρῶτα τῆς διαστολῆς καὶ τὰ τελευταῖα τῆς συστολῆς ἐκφεύγει, εἰ μή τι παντελῶς βραχέος ὄντος τοῦ διαφεύγοντος, οὐδὲν ὁ ῥυθμὸς μέγα βεβλάψεται. τάχα γὰρ ἄν τις εἴποι καὶ τοῦτο. διορισμοῦ μέν τοι δεῖ τῷ λόγῳ. περὶ μὲν γὰρ τοὺς σφοδροτάτους σφυγμοὺς, ἀληθὲς ἂν εἴη τὸ λεγόμενον, κατὰ δὲ τοὺς ἄλλους οὐκέτ' ἀληθὲς, καὶ μάλισθ' ὅσοι σφοδρότητος ὀλίγον μετέχουσιν. ἱκανὸν γὰρ ἦν ἐπὶ τούτων τὸ διαφεῦγον τὴν αἴσθησιν, καὶ βλάπτειν ἤδη τὸν ῥυθμὸν δυνάμενον. ἐκ τῶν εἰρημένων οὖν ἁπάντων σαφὲς ἤδη γέγονεν ὡς ἐν τοῖς σφοδροτάτοις μόνοις σφυγμοῖς ἡ διάγνωσις ἐστὶ τῶν ῥυθμῶν. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων ἢ καὶ παντάπασιν ἀδιάγνωστος ὡς ἐπὶ τῶν ἀμυδρῶν, ἢ πόῤῥω τῆς ἀκριβοῦς ὡς ἐπὶ τῶν ἧττον μὲν σφοδρῶν, οὐδέπω δὲ ἀμυδρῶν. ἡ μὲν οὖν ἀπορία, τοιαύτη. πειρατέον δ' αὐτὴν ἰᾶσθαι καθ' ὅσον οἷόν τε. πρῶτον μὲν οὖν, οὐκ ἐπὶ τῶν ἀμυδρῶν τε σφυγμῶν, οὐ μὴν ἱκανῶς γε σφοδρῶν, ὁμοίας τῆς βλάβης, ἔν τε ταῖς διαστολαῖς καὶ ταῖς συστολαῖς γινομένης, ἔνεστιν πως ἐν τούτοις παραμυθήσασθαι τὴν ἀπορίαν. ὃν γὰρ ἔχει λόγον ὁ πᾶς τῆς διαστολῆς χρόνος πρὸς τὸν πάντα τῆς συστολῆς, τὸν αὐτὸν ἔχει λόγον καὶ τὰ διαφεύγοντ' αὐτῶν τὴν ἁφὴν μόρια, πρὸς ἄλληλα, δηλονότι, καὶ τὰ σωζόμενα, τὸν αὐτὸν ἕξει πρὸς ἄλληλα λόγον. ὥστ' εἰς τὴν ἀπ' αὐτῶν πρόγνωσιν οὐ μέγα βεβλαψόμεθα, διπλασίου γὰρ ὄντος, εἰ τύχοι, τοῦ παντὸς τῆς συστολῆς χρόνου, τῷ παντὶ τῆς διαστολῆς παραβαλλομένου, διπλασίου δ' ὁμοίως ὄντος καὶ σωζομένου παραμετρουμένου, τὴν ἀπὸ τῶν ῥυθμῶν πρόγνωσιν, ὁμοίαν ἕξομεν ἐκ τῶν αἰσθητῶν μορίων τῆς κινήσεως, ἣν ἂν καὶ πάσης αὐτῆς σωζομένης ἔχομεν. ἐπὶ μέν τοι τῶν ἀμυδρῶν τὴν ἀπορίαν οὐκ ἔθ' ὁμοίως οἷόν τε παραμυθήσασθαι. καὶ γὰρ ἦν οἱ τὸν χρόνον τῆς διαστολῆς τῷ λοιπῷ παντὶ παραβάλλοντες, εὑρίσκειν εὐπορίαν ζητοῦσιν, κἄδηλός ἐστι. πειρατέον δὲ πρότερον εἰπεῖν αὐτὴν σαφῶς, εἶθ' οὕτως ὅπη μεμψόμεθα δεικτέον. ὄντων τοίνυν τεττάρων μορίων τοῦ σφυγμοῦ, διαστολῆς τε καὶ συστολῆς καὶ δυοῖν ἠρεμιῶν. ἑτέρας μὲν ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συστολῆς, ἑτέρας δ' ἐπὶ τῇ συστολῇ πρὸ τῆς διαστολῆς, ὅσοι μὲν ἀδιάγνωστον αἰσθήσει τὴν συστολὴν εἶναι φασίν, ἰδίᾳ μὲν τὸν τῆς διαστολῆς χρόνον τιθέασιν, ὃν δὴ κινήσεως καλοῦσιν, ἰδίᾳ δὲ τῶν ὑπολοίπων δυοῖν μορίων, καὶ ἠρεμίαν τε καὶ συστολὴν ὀνομάζουσιν, καὶ τὸν τούτων τῶν τριῶν χρόνων πρὸς ἀλλήλους λόγον, ῥυθμὸν εἶναι φασίν. ὅσοι δὲ τῆς συστολῆς αἰσθάνεσθαι φασίν, οἱ μέν τινες αὐτῶν, τὸν τῆς διαστολῆς μόνον χρόνον τῷ τῆς συστολῆς παραβάλλοντες, τὸν ῥυθμὸν γίγνεσθαι φασίν, οἱ δέ τινες προσνέμουσιν ἑκατέρᾳ τῶν κινήσεων τὸν χρόνον τῆς μετ' αὐτὴν ἡσυχίας. τριῶν οὖν τούτων δοξῶν οὐσῶν περὶ τῶν ἐν τοῖς σφυγμοῖς ῥυθμῶν, οἱ μὲν ἀπὸ τῆς δευτέρας ὁμολογήσουσι μηδὲν εἰπεῖν ἔχειν πρὸς τὰς εἰρημένας ἀπορίας. οἱ δ' ἀπὸ πρώτης τε καὶ τρίτης ἴσως ἂν εὐπορεῖν δόξαιεν, οἱ μὲν, ὅτι τὸν τῆς φαινομένης κινήσεως χρόνον ἅπαντι τῷ λοιπῷ τῷ τῆς ἡσυχίας ὑπ' αὐτῶν καλουμένης παραβάλλουσιν, οἱ δ' ὅτι τὸν τῆς φαινομένης κινήσεως χρόνον ἅμα τῷ χρόνῳ τῆς μετ' αὐτῶν ἡσυχίας πρὸς τὸν λοιπὸν, τὴν ἀρχὴν τῆς συστολῆς, ὅρον τῆς τῶν προτέρων δυοῖν χρόνοιν συνθέσεως ποιούμενοι. ἄξιον δ' ἑκατέρων θαυμάσαι, τῶν μὲν πρώτων, εἰ τὰ περὶ τῆς συστολῆς εἰρημένα μέμνηνται μόνα, τῶν ἐπὶ τῆς διαστολῆς ῥηθέντων ἐπιλαθόμενοι. ἐν γὰρ τοῖς ἀμυδροῖς σφυγμοῖς τὸ μὲν ποσὸν τοῦ διαστήματος, ἐν ταῖς διαστολαῖς, συλλογισμῷ γνωστὸν ἐδείκνυμεν ὑπάρχειν. τὸν δὲ χρόνον τῆς κινήσεως ἀδιάγνωστον ὑπάρχειν, μόνων τῶν ἐκτὸς αὐτῆς περάτων εἰς αἴσθησιν ἡκόντων. οὐκ οἶδ' οὖν ὅπως λέγουσιν παραβάλλειν τὸν χρόνον τῆς διαστολῆς τῷ λοιπῷ παντὶ, ὅς γε καὶ τῆς ταύτης χρόνου τὸ αἰσθητὸν, ὀλίγον παντάπασιν, εἰ μή τι τοῦτ' αὐτὸ μόνον ἐθέλουσι παραβάλλειν τῷ λοιπῷ παντί. καὶ γένοιτ' ἂν οὕτως ὁ ῥυθμὸς αὐτοῖς λόγος τοῦ φαινομένου χρόνου τῆς κατὰ τὴν διαστολὴν κινήσεως πρὸς τὸν λοιπὸν ἅπαντα. τοῦτο δ' εἰ λέγουσι, δυνατὸν μέν τοι λέγουσιν, οὐ μὴν καὶ χρήσιμόν γε. μηδενὸς ἐκ τοῦ τοιούτου ῥυθμοῦ προγνωσθῆναι δυναμένου, καθ' ὃν ὁ χρόνος τοῦ φαινομένου μέρους τῆς διαστολῆς τῷ λοιπῷ παντὶ παραβάλλεται, τῷ συγκειμένῳ ἔκ τε τοῦ τῆς ἐκτὸς ἠρεμίας καὶ τῆς συστολῆς, καὶ τρίτου τοῦ τῆς ἐντὸς ἠρεμίας, καὶ τετάρτου τοῦ μὴ φαινομένου μέρους τῆς διαστολῆς. πρὸς δὲ τὸ μηδὲν χρήσιμον ἐκ τῆς τοιαύτης διδασκαλίας δύνασθαι λαβεῖν, ἔτι καὶ τὴν ἔννοιαν οὗτοι τοῦ

ῥυθμοῦ ἔχουσιν, ὡς εἰ καὶ μουσικός τις εἴη προσποιούμενος, οὐ τὸν τῆς ἄρσεως χρόνον πρὸς τὸν τῆς θέσεως λόγον ἔφασκεν ὑπάρχειν τὸν ῥυθμόν, ἀλλὰ τοῦ φαινομένου μέρους τῆς ἄρσεως πρὸς τὴν λοιπὸν πάντα, παραπλήσια δὲ αὐτοῖς καὶ οἱ ἀπὸ τῆς τρίτης αἱρέσεως ἁμαρτάνουσι, μόνῳ γὰρ προσνέμειν τὸν χρόνον τῆς ἐκτὸς ἠρεμίας τὸν τῆς διαστολῆς, βέλτιον ἐκείνων φρονοῦντες, καθ᾽ ὅσον δὲ ἐπελάθοντο καὶ αὐτοί, τὸν τῆς συστολῆς χρόνον ἀδιάγνωστον ὑπάρχειν αἰσθήσει κατὰ τοὺς ἀμυδροὺς σφυγμούς, ὁμοίως σφαλλόμενοι. τρίτον δ᾽ αὖ πάλιν ἐξαίρετον οὗτοι προσυπετίθεντο γὰρ καὶ τῆς συστολῆς τὴν πρώτην ὁρμὴν αἰσθητὴν εἶναι διαπαντός, οὔσης οὐδὲ ταύτης ἐπὶ τῶν ἀμυδρῶν σφυγμῶν αἰσθητῆς. καὶ ταῦτ᾽ οὖν ἅπαντα τὰς ἐν ταῖς αἱρέσεσι πολλὰς ἀπορίας ἀνάγκη συμπίπτειν ἐν ταῖς τῶν ῥυθμῶν διαγνώσεσι. καὶ διὰ τοῦτ᾽ οἶμαι μηδ᾽ ἐπιχειρῆσαι τι γράψαι τοὺς μεθ᾽ Ἡρόφιλον εἰς τὴν ἀπ᾽ αὐτῶν πρόγνωσιν. αὐτὸς δὲ ὁ Ἡρόφιλος πολλαχόθι μὲν ῥυθμῶν εἰς τὰς προγνώσεις μνημονεύει. χαλεπὸν μὴν ἐξευρεῖν τί ποτε καὶ λέγει τὸν ῥυθμόν, ἆρά γε τὸν λόγον τὸν τοῦ διαστολῆς μόνου χρόνου πρὸς τὸν τῆς συστολῆς μόνης, ἢ καὶ αὐτὴν τῆς ἑπομένης ἑκατέρᾳ τῶν κινήσεων ἠρεμίας προσνέμει. καὶ διὰ τούτου οὐδὲ τοῖς ὑπ᾽ αὐτοῦ κληθεῖσιν Ἡροφιλείοις ὁμολογεῖται τί ποθ᾽ ὑπὲρ αὐτῶν φρονεῖ δεόντως. οὔτε γὰρ ἡ λέξις αὐτοῦ θάτερον ἐνδείκνυται σαφῶς, οὔθ᾽ ἡ τῶν πραγμάτων φύσις ἱκανὴ πιστώσασθαι. εἰ μὲν οὖν τὴν ἑτέραν τῶν δοξῶν φυλάττωμεν ἑπόμενοι τοῖς μουσικοῖς, τοὺς τῶν ἡσυχιῶν χρόνους προσθήσομεν τοῖς τῶν προηγουμένων κινήσεων. εἰ δὲ τὴν εἰς τὰς προγνώσεις χρείαν τὴν κίνησιν τῇ κινήσει παραβάλλοντες, ἰδίᾳ τὸν τῶν ἡσυχιῶν χρόνον ἐπισκεψόμεθα. Ὅταν οὖν δυοῖν θάτερον ἢ τὴν ἔννοιαν τῆς προσηγορίας ἀναγκαῖον ἢ διαφθείρειν, ἢ τὴν χρείαν ἀνατρέπειν, ἐν ἀπορίᾳ δυσμεταχειρίστῳ καθιστάμεθα. χρὴ δ᾽ ὅμως ἐπειδὴ τὸ ἕτερον αὐτῶν ἑλέσθαι προσήκει, προτιμῆσαι τὸ χρήσιμον εἰς τὰς προγνώσεις, καταφρονήσαντα τοῦ παρὰ τοῖς μουσικοῖς ὀνόματος. τί γὰρ καὶ βλαβησόμεθα, προγιγνώσκοντες μὲν ἐκ τοῦ λόγου τὸν κατὰ τὰς κινήσεις χρόνον, ὄνομα δ᾽ ἴδιον αὐτοῦ μηδὲν ἔχοντες. οὐ γὰρ ἐν οἷς ἀποροῦμεν ὀνόμασιν, ἀλλ᾽ ἐν οἷς προγιγνώσκειν ἀδυνατοῦμεν ἡ τέχνη βλάπτεται. κείσθω τοίνυν διὰ τὴν χρείαν ἐν τῷ λόγῳ τοῦ χρόνου τῶν κινήσεων τὸν ῥυθμὸν συνίστασθαι, ζητησόντων ἡμῶν ἰδίᾳ ποτὲ τὸ δοκοῦν Ἡροφίλῳ. ἀλλὰ κἂν τοῦτο θῶμεν, ἔοικεν ἔτι μένειν ἡ ἀπορία, μή τε παντὸς τοῦ τῆς διαστολῆς χρόνου δυναμένου γνωσθῆναι, πλὴν ἐν τοῖς σφοδροτάτοις σφυγμοῖς, μή τε τῆς συστολῆς τὴν ἀρχὴν περὶ πάντων αἰσθητὴν ἐχούσης. πῶς οὖν Ἡρόφιλος πρῶτος τινὰ πρὸς αἴσθησιν, ὑποτίθεται χρόνον, ᾧ τοὺς ἄλλους μετρῶν, ἢ δυοῖν, ἢ καὶ τριῶν, ἢ καὶ πλειόνων εἶναι φάσκει. ἤτοι τελέων τε καὶ ὡς αὐτοὶ καλοῦσιν ἀπαραύξων ἢ καὶ ἀπηυξημένων ἐπ᾽ ὀλίγον, ἢ ἐπὶ πλεῖον, ἢ ἐπὶ πλεῖστον. ὡς γὰρ ἐπὶ πάντων ἀκριβῶς τῶν σφυγμῶν διαγινώσκων τοὺς χρόνους εἴ τε τῶν κινήσεων μόνων, εἴ τε καὶ τῶν μετ᾽ αὐτὰς ἡσυχιῶν, οὐδὲν διαφέρει πρός γε τὴν παροῦσαν ἀπορίαν, ἔοικε ταῦτα γράφειν. εἰ μή τι οὐκ ἐπὶ πάντων, ἀλλ᾽ ἐφ᾽ ὧν δυνατὸν ἐπὶ τούτων μόνον ἡγητέον αὐτὸν τὰ τοιαῦτα γράφειν. τοῦτο μὲν οὖν τάχ᾽ ἂν ἰδίᾳ ποθ᾽ ὕστερον ἐπισκεψόμεθα. νυνὶ δ᾽ οὐ γὰρ πρόκειται τὸ δοκοῦν Ἡροφίλῳ ζητεῖν, ἀλλὰ τἀληθές τε ἅμα καὶ χρήσιμον ἐξευρεῖν, τοῦτο πειρατέον ἐνδείξασθαι σαφῶς, ὡς ἐπ᾽ αὐτῶν τῶν ἔργων ἡμῖν πειρωμένοις εὑρέθη. ἔχει δὲ ὧδε. τὸ ποιὸν τῆς κινήσεως κατὰ τὴν διαστολὴν τῷ ποιῷ τῆς κατὰ τὴν συστολὴν κινήσεως παραβάλλοντες, ἐννέα μὲν τὰς πρώτας εὑρίσκομεν διαφορὰς τὰς ἐν τῷ διαγράμματι δηλουμένας. ἐν ἑκάστῃ δ᾽ αὐτῶν, ἄλλας πολλάς, ἀρρήτους μὲν λόγῳ, τὸ δὲ μᾶλλον καὶ ἧττον ἐπ᾽ αὐτῶν τῶν ἔργων διαγιγνωσκομένας. οἷον δέ τι δηλοῦν ἑκάστη διαφορὰ πέφυκεν, ἐν τοῖς περὶ προγνώσεως ἐροῦμεν. ἀλλὰ οὖν γε πρῶτον ὑπογράψωμεν τὸ διάγραμμα, σαφὲς ἑτοίμως γνωσθησόμενον τοῖς ἐν τῷ πρώτῳ περὶ διαφορᾶς σφυγμῶν γεγυμνασμένοις. ἐφεξῆς δὲ μνημονεύσομεν, ὅπως πάλιν ἑκάστη διαφορὰ πολλαὶ συνυσταντῆ τῷ ποσῷ, διαφέρουσαι κἂν ὁμογενεῖς ὦσι. διαστολαί. συστολαί. ταχεῖα, ταχεῖα, ταχεῖα, σύμμετρος. ταχεῖα, βραδεῖα, σύμμετρος, ταχεῖα, σύμμετρος, σύμμετρος. σύμμετρος, βραδεῖα. βραδεῖα, ταχεῖα. βραδεῖα, σύμμετρος. βραδεῖα, βραδεῖα. τῆς τοίνυν πρώτης ἐν τῷ διαγράμματι γεγραμμένης διαφορᾶς, ἑκατέραν τῶν κινήσεων ταχεῖαν ἐχούσης, ἐνδέχεται μὲν τὴν ἐν διαστολῇ κίνησιν ἐσχάτως ἠπεῖχθαι, τὴν δ᾽ ἐν τῇ συστολῇ βραχεῖ τινὶ τῆς συμμέτρου τε καὶ μέσης ὑπερέχειν. ἢ ἔμπαλιν, βραχεῖ μὲν ὑπερέχειν τὴν ἐν τῇ διαστολῇ, παμπόλλῳ δὲ τὴν ἐν τῇ συστολῇ. ἢ ἀμφοτέραν ὀλίγῳ, ἢ ἀμφοτέραν παμπόλλῳ. τὴν μὲν ὀλίγῳ τὴν δὲ πλέονι μέν. ἢ κατ᾽ ὀλίγον ἐλάττονι. ἢ καὶ πολύ, ἢ ὅπως οὖν ἑτέρως. ἡ γὰρ ποικιλία σαφής. καὶ οὐκ ἔστι εἰπεῖν, ἢ ὡς οὐ φαίνεται τοῦτο γιγνόμενον, ἢ ὡς δηλοῦν οὐδὲν πέφυκεν. καὶ γὰρ καὶ γίνεται καὶ δηλοῖ μέγιστα καὶ ἡμῖν ἀπὸ τῆς τοιαύτης διαγνώσεως, ἤρκει προγινώσκειν, οὐ δεομένης τῶν πρώτων χρόνων ὁλοκλήρων τε καὶ παρηυξημένων. ὅτι δ᾽ ἡ τοιαύτη διάγνωσις, οὐ δεῖται πάσης τῆς κινήσεως, ἀλλὰ καὶ διὰ μέρους αὐτῆς τοῦ τυχόντος δύναται γίγνεσθαι πρόδηλον παντί. πλὴν εἰ ἀνώμαλος ποτ᾽ εἴη. τηνικαῦτα γὰρ οὐκ ἔθ᾽ ὅμοιον τὸ μέρος τῷ ὅλῳ. καὶ μὲν δὴ τοὺς ἐσχάτως ἀμυδροὺς σφυγμούς, οὐ δὲ τῇ τοιαύτῃ χρῆσθαι δυνατόν. οὐ γάρ ἐστιν ἐπ᾽ ἐκείνων, οὐδὲ τὴν πρώτην ἀρχὴν τῆς συστολῆς γνωρίσαι. μήτι γε δὴ μόριον αὐτῆς ἀξιόλογον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ Δ'.

Ὅσα μὲν ὑπάρχει τοῖς σφυγμοῖς κατὰ τὸν ἴδιον τῆς οὐσίας αὐτῶν λόγον, ἔμπροσθεν εἴρηται πάντως. περὶ δὲ τῶν ἄλλων ὅσα μήτ᾽ ἄνευ τῆς κινήσεως τῶν ἀρτηριῶν διαγνωσθῆναι δύναται, μήτ᾽ ἐστὶν αὐτῆς ἴδια, νῦν ἐροῦμεν. ἔστι δή τις ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν, ἁπτομένοις ἡμῖν, οἷον πληγὴ γιγνομένη κατὰ τὴν ἁφήν, ἣν ὅταν μὲν βίαιος ᾖ, κυρίως ἐθέλουσι πληγὴν καλεῖν, οὐ μὴν οὕτως ἐὰν ἀβίαστος ᾖ. περὶ ταύτης δὴ τῆς ὄντως πληγῆς, ἣν βίαιον προσβολὴν εἶναι φαμέν, σκεπτέον ἀκριβῶς. ἐπειδὴ γὰρ οὐκ ὀλίγοις εἴδεσι σφυγμῶν δοκεῖ, σκληρῷ καὶ σφοδρῷ, καὶ μεγάλῳ, καὶ ταχεῖ, καὶ ὑψηλῷ, καὶ σπασμώδει, καὶ κλονώδει. ἵν᾽ οὖν τις μὴ ἐξαπατηθεὶς τῷ κοινῷ συμπτώματι, περὶ τὴν διάγνωσιν αὐτῶν σφαλῇ, σκεπτέον ὑπὲρ ἁπάντων ἐπιμελῶς. εἰ μὲν γὰρ ἄλλοις γνωρίσμασι διακρίνειν αὐτοὺς δυνατόν ἐστι, ἐκεῖνα μαθόντες ἔχοιμεν ἂν ἤδη τὸ πᾶν. εἰ δ᾽ ἀδύνατον, ἀρκέσαι γοῦν τὸ γιγνώσκειν, ὡς κοινὸν τοῦτο πλειόνων ἐστὶ σφυγμῶν. ἀρχὴ δὲ τῆς σκέψεως ἀρίστη, τὸ μαθεῖν τὴν αἰτίαν, δι᾽ ἣν πολλοῖς οὕτω σφυγμοῖς ἓν κοινὸν ἕπεσθαι δοκεῖ πάθημα, τὸ βίαιον τῆς πληγῆς. ὧδ᾽ οὖν. ἐπειδὴ χρὴ μὲν ἀπωσθῆναι τὴν ἁφὴν ὑπὸ τοῦ σφυγμοῦ, μέλλουσαν αἰσθήσεσθαι τῆς προσβολῆς αὐτοῦ, ὠθεῖται δ᾽ οὐχ ὁμοίως διὰ παντός, ἀλλὰ ποτὲ μὲν μᾶλλον, ποτὲ δ᾽ ἧττον, ποτὲ δ᾽ ὥστε ψαύειν μόνον. ὅσαι κινήσεις αὐτὴν ὠθοῦσι καὶ ἀνατρέπουσιν ἐπὶ πολύ, βίαιον αὗται φαντασίαν ἐργάζονται τῆς πληγῆς. ἐπὶ πολὺ δ᾽ ὠθεῖν δύνανται κινήσεις, ἥ τε τῆς σκληρότητος τῆς ἀρτηρίας, οἷον θλῶσα τὴν ἁφήν, καὶ ἡ τῇ ῥώμῃ τῆς κινούσης αὐτὰ δυνάμεως, οἷον ἀνατρέπουσα. καὶ ἡ τῷ μεγέθει τῆς διαστολῆς ἐπὶ πλεῖστον ἐξικνουμένη. καὶ ἡ τῷ τάχει τῆς φορᾶς ὠθοῦσα συντόμως. καὶ ἡ διὰ τὸ ὕψος οἷον ἐγκαταβαίνουσα. καὶ ἡ διὰ τὸ τετάσθαι δυσκίνητος. καὶ ἡ διὰ τὸν κλόνον ἅμα τάσεώς τε καὶ σκληρότητος, καὶ ταχείας προσβολῆς ἔμφασιν ἔχουσα. ταῦτ᾽ ἄρα παμπόλλοις ἐστὶν ἐντυχεῖν ὁσημέραι τῶν ἰατρῶν ἅπαντας τοὺς εἰρημένους σφυγμοὺς σφοδροὺς εἶναι λέγουσιν. εἰ μὲν οὖν ᾐσθάνοντο τῆς ἐν αὐτοῖς διαφορᾶς, τοῦ καλεῖν ὅπως ἐβούλοντο κοινῇ πάντας, οὐδὲν ἂν ἐφροντίσαμεν. ἐπεὶ δ᾽ ὥσπερ ὄνομα κοινὸν ἐπιφέρουσιν, οὕτω καὶ τὴν φύσιν ἁπάντων μίαν εἶναι νομίζουσιν, πειρατέον αὐτοῖς ἐνδείξασθαι τὴν ἀπάτην, ἀπὸ τῶν προφανεστάτων ἀρξαμένους, οἷον εὐθέως ἀπὸ τοῦ τάχεως. πρόχειρον γὰρ ἐντεῦθεν τὸ σφάλμα, τῷ γε δυναμένῳ συνιδεῖν τὸ τάχος τῆς προσβολῆς, οὐ ταὐτὸν ὂν τῷ βιαίῳ τῆς πληγῆς. τά τε γὰρ ἄλλα, καὶ μέχρι πλείονος ὁ ταχὺς ὠθεῖν οὐ δύναται τὴν ἁφήν, ἂν μὴ καὶ μέγας ᾖ. ᾧ δῆλον, ὅτι μὴ κατὰ τὴν ἑαυτοῦ φύσιν ἔχει τοῦτο σύμπτωμα. τὸ γὰρ ὅταν ᾖ ταχὺς μόνον οὐ διὰ τὸ μέγεθος ὑπάρχον, τῇ δὲ τοῦ μεγέθους παρουσίᾳ προσγινόμενον αὐτῷ πῶς ἄν τις ἴδιον εἶναι λέγοι. ὁ γοῦν ταχὺς ἅμα καὶ μικρὸς οὐκ ὠθεῖ μέχρι πολλοῦ τὴν ἁφήν, ἀλλά τοι τὸ μέχρι τοῦ πολλοῦ, μεγέθους ἐστὶν οἰκειότερον ἢ καὶ τούτου κατὰ συμβεβηκός. ἂν γὰρ ἀναμνησθῶμεν ὅσα περὶ τῆς τοῦ μεγέθους διαγνώσεως εἰρήκαμεν, οὐ τῷ μέχρι πλείονος ἔσω χωρεῖν, ἀλλὰ τῷ κατὰ πολλὰ μόρια, μήκους θ᾽ ἅμα καὶ πλάτους καὶ βάθους ἅπτεσθαι τῆς ἁφῆς ἐγνωρίζετο. τὴν γὰρ κατὰ κύκλον τοῦ σφυγμοῦ περιφέρειαν, ἱκανὴν τὸ μέγεθος οὖσαν αἰσθήσει διαγνόντες, ἐπ᾽ αὐτῇ λοιπὸν ἤδη συνελογισάμεθα τὴν ἐκ πολλοῦ βάθους ἄνοδον, οὐκ ἀκολουθησάσης παντὶ τῷ διαστήματι τῆς ἁφῆς ἀλλὰ τῆς ἐκτὸς τελευτῆς μόνης αἰσθομένης. εἰ γοῦν ἀπὸ τῆς πρώτης ὁρμῆς τοῦ διαστέλλεσθαι τὴν ἀρτηρίαν τῆς κινήσεως ἐθελήσωμεν αἰσθάνεσθαι, πολὺ τοῦ μεγέθους ὡς καὶ πρόσθεν ἐρρέθη κωλύσομεν. ὥσθ᾽ ἡμῖν μηδὲ μέγαν ἔτι φαίνεσθαι τὸν σφυγμόν. ἀλλὰ καὶ αὐτὸ τοῦτ᾽ οὐκ ἐν ἅπασι οἷόν τε ποιεῖν τοῖς μεγάλοις, ἀλλ᾽ ὅσοι πρὸς τὸ μέγεθος, σφοδρότητος μετέχουσι. τοῖς γὰρ μεγάλοις μόνον, οὐ μὴν καὶ σφοδροῖς, οὐδ᾽ ἀπαντῆσαι δυνατὸν ἀνιοῦσιν, οὐ δὲ θλῖψαι τὴν ἀρτηρίαν. ἀπόλλυνται γὰρ εὐθὺς ὅλοι. δῆλον οὖν ὡς οὐδ᾽ ὁ μέγας διαγινώσκεται τῷ πλεῖστον ἔσω τὴν ἁφὴν ὠθεῖν ἀλλὰ τῷ κατὰ πολλὰ μόρια τοῦ τε μήκους καὶ τοῦ κύκλου τῆς ἀρτηρίας προσπίπτειν. ἆρ᾽ οὖν ὁ ὑψηλὸς ἐπὶ πλεῖστον ἔσω βιάζεται. καὶ μὴν ὅπερ ὁ μέγας ἐν ταῖς τρισὶ διαστάσεσι, τοῦτο οὕτως ἐν μιᾷ κέκτηται. ἤπερ οὖν μηδ᾽ ἐκεῖνος, οὐδὲ οὗτος. ἀλλὰ μὴν ὁ μέγας ἐδείχθη χωρὶς τοῦ καὶ σφοδρὸς εἶναι, μὴ δυνάμενος ἐπὶ πλέον ὠθεῖν τὴν ἁφήν. οὐκ οὖν οὐδὲ ὁ ὑψηλός. εἰ δὲ τῷ μεγάλῳ μὲν ὑπάρχει πολλάκις ἀμυδρότης, τῷ δ᾽ ὑψηλῷ μέν, μὴ μεγάλῳ δέ, τὰ πολλὰ μὲν ἡ σφοδρότης, ἀμυδρότης δὲ οὐδέποτε, τοῦθ᾽ ἕτερος λόγος. ἕξει μὲν γὰρ ὡς εἶπον, μέχρι πλείονος, ὠθεῖν ὁ ὑψηλός, οὐ μὴν κατὰ τὸν ἴδιον λόγον, ἀλλ᾽ ὅτι πάντως σφοδρός, ἢ οὐκ ἀμυδρός γε ἐστί. ἅπαντες μὲν οὖν οἱ εἰρημένοι σφυγμοὶ φαίνονται σφοδρότητος δεόμενοι, πρὸς τῷ μέχρι πολλοῦ τὴν ἁφὴν ὠθεῖν. καὶ διὰ τοῦτο ὅσοις μὲν αὐτῶν διὰ παντὸς σύνεστι σφοδρότης ἀεὶ βιαίως πλήττουσιν. ὅσοις δ᾽ οὐκ ἀεὶ μέν, ὡς τὸ πολὺ δέ, καὶ οὗτοι τὰ πολλὰ βίαιοι φαινόμενοι, τοῖς ἀμελέστερον τὰ τοιαῦτ᾽ ἐπισκοποῦσιν ἐπιστεύθησαν ἀεὶ τοιοῦτοί τινες ὑπάρχειν. ἄλλοι δ᾽ αὖ σφυγμοὶ διὰ τὴν ἀχώριστον αὐτῶν σκληρότητα, βιαίως πλήττουσιν, ὥσπερ ὅ τε κλονώδης, καὶ ὁ σπασμώδης. οὐδὲ γὰρ οὗτοι δι᾽ ἄλλο τι βίαιον ἔχουσι τὴν πληγήν, ἀλλὰ διὰ τὴν ἀχώριστον αὐτῶν σκληρότητα. καὶ δύο ταῦτ᾽ ἔοικεν εἶναι μόνα σφυγμῶν εἴδη βιαίως πλήττοντα, τό τε τῶν σφοδρῶν καὶ τῶν σκληρῶν. εἰσὶ δ᾽ οἱ κἂν τούτοις δεῖσθαι σφοδρότητος ἔφασαν πρὸς τὴν σκληρότητα. μὴ γὰρ δύνασθαι μόνην βίαιον ποιήσασθαι πληγήν, ὥσπερ οὐδ᾽ εἰ λίθον ἀτρέμα προσάγοις. δεῖ γὰρ δὴ καὶ τούτῳ τόνου τινὸς εἰ μέλλοι πλήττειν ἰσχυρῶς. ἀλλὰ τούτους μὲν ἔρεσθαι δίκαιον τί ποτε καὶ βούλονται, πότερον οὐδὲν ὅλως εἶναι σῶμα σκληρόν, ἀλλὰ τοὔνομα τὸ σκληρὸν μάτην ὑπὸ τῶν ἀνθρώπων εἰρῆσθαι κατ᾽ οὐδενὸς ὑποκειμένου πράγματος, ἢ πρᾶγμα μὲν

εἶναί τι καθ' οὗ λέγεται, διάγνωσιν δ' αὐτοῦ μηδὲ μίαν ὑπάρχειν αἰσθήσει, ἢ δι' ἄλλης τινὸς αἰσθήσεως, οὐ διὰ τῆς ἁφῆς γνωρίζεσθαι. πάντα γὰρ ἄτοπα τό τε μηδὲν εἶναι σῶμα σκληρὸν, τό τε λόγῳ μᾶλλον ἢ αἰσθήσει διαγινώσκεσθαι, τό τ' αἰσθήσει μὲν, ἄλλῃ δέ τινι μᾶλλον, ἢ ἁφῇ. καὶ μὴν εἰ συγχωρηθείη γέ τις σκληρὸν εἶναι, καὶ διὰ τῆς ἁφῆς γνωρίζεσθαι, τί λοιπὸν ἢ περὶ ὀνόματος ἐρίζοντες εὑρεθήσονται, φάσκοντες ἄνευ τόνου μὴ δύνασθαι βίαιον ἀπ' αὐτοῦ γίνεσθαι τὴν πληγήν. εἰ γὰρ καὶ μὴ βίαιον ἐθέλοιεν καλεῖν, ἀλλ' οἷον θλῶσαν γε πάντως, ἢ ἀπωθουμένην, ἢ ἀνατρέπουσαν εἰπεῖν ἀναγκασθήσονται. τὸ μέν γε τοῦ τόνου διαμφισβητεῖται. τὴν ἀρχὴν γὰρ οἷός τίς ἐστιν ὁ τόνος ἐν τοῖς τῶν ζώων σώμασιν οὐχ ὡμολόγηται, πρὸς τῶν εἰς ἐλάχιστα ἢ εἰς ἄτομα, ἢ εἰς ἄναρμα τὴν ὅλην οὐσίαν καταθραυόντων. μόνοις γὰρ ὁμολογεῖται τοῖς ἡνῶσθαι φάσκουσιν αὐτήν. ὥστ' οὐδ' αἰσθήσει διαγνωστὸς ὁ τόνος, ἀλλ' εἴπερ ἄρα διὰ σημείου τινὸς, ἢ σημείων, ἤτοι κατ' ἔνδειξιν, ἢ κατ' ἀπόδειξιν τινός. σκληρὸν δὲ καὶ μαλακὸν σῶμα πάντες ἄνθρωποι διαγινώσκομεν αἰσθήσει. καὶ δίκαιον οὐ περὶ τῆς ὑπάρξεως αὐτῶν ζητεῖν, ἀλλὰ περὶ τῆς διαγνώσεως, μᾶλλον δ' οὐδὲ περὶ ταύτης, ἀλλὰ περὶ τοῦ πῶς ἄν τις ἑρμηνεύσῃ ἑτέρῳ τὸ γιγνόμενον ἑαυτῷ πάθημα κατὰ τὴν ἁφὴν ἐν τῇ προσβολῇ τῶν σκληρῶν σωμάτων, ὅπῃ τε διαφέρει τῶν τῶν σφοδρῶν. ἀλλ' ἐπεὶ τοῖς ἔμπροσθεν παραλέλειπται, πειρασόμεθα ἡμεῖς αὐτὸ ποιῆσαι, ἀρχὴν τοῦ λόγου τὰ πᾶσιν ἀνθρώποις ὁμολογούμενα θέμενοι. ἐπεὶ τοίνυν σφοδρά τινα καλοῦμεν οὐ ζῶα μόνον, ὥσπερ λέοντάς τε καὶ ταύρους, ἀλλὰ καὶ τῶν ἀψύχων ἔνια, καθάπερ τά τε τῶν ποταμῶν κατάντη ῥεύματα, καὶ ἀνέμους τοὺς μεγάλους. ἕτερα δὲ σκληρὰ καθάπερ χαλκὸν, καὶ σίδηρον, καὶ λίθους, ἀναμνησθῆναι χρὴ τί δή ποτ' ἐστὶν, ἀφ' ἑκατέρων αὐτῶν, ὅταν ὁμιλῶσιν ἡμῖν διάφορα ἐγγινόμενα τοῖς σώμασι παθήματα. τό τε γὰρ βίαιον τῆς προσβολῆς κοινὸν ἀμφοῖν, τῶν τε σφοδρῶν ἀνέμων, καὶ τῶν σκληρῶν σωμάτων. πλεονεκτεῖ δ' οἶμαι, κατὰ μὲν τοὺς ἀνέμους τε καὶ τὰ τῶν ποταμῶν ῥεύματα, τὸ ἀνατρέπεσθαι πρὸς αὐτῶν, κατὰ δὲ τοὺς λίθους καὶ τὰ ξύλα τὸ θλίβεσθαί τε καὶ θλᾶσθαι. ὑπὸ μὲν γὰρ τῶν προτέρων εἰ καὶ πάνυ προθυμηθείημεν, ἐναντίοι βαδίζειν πρὸς αὐτὰ πάντως ἰσχόμεθά τε καὶ ἀνατρεπόμεθα, καὶ εἰς τοὐπίσω βιαίως ὠθούμεθα, χωρὶς τοῦ θλίβεσθαί τε καὶ θλᾶσθαι καὶ πιέζεσθαι τὰ μόρια τοῦ σώματος. ὑπὸ δὲ τῶν δευτέρων αὐτὸ τὸ θλίβεσθαί τε καὶ θλᾶσθαι πλεονεκτεῖ. μάλιστα δ' ἂν αὐτὸ μάθῃς, εἴ τινι τῶν τοῦ σώματος μορίων ἐπιθείης λίθον μὴ πάνυ βαρὺν, ἀλλ' ὥς τε βουληθέντας, ἀπορρίψαι ῥᾳδίως. γνώσῃ γὰρ ὅπως ἐπικείμενος μὲν βαρύνει καὶ θλίβει καὶ θλᾷ, καὶ οἷον ἐγκαταβαίνει τῷ δέρματι, ἀφαιρεθεὶς δὲ καταλείπει τι περὶ τὸ μόριον ἴχνος καὶ γνώρισμα τῆς θλίψεως. ἢ γὰρ κοιλότερον ἑαυτοῦ, καὶ μέχρι πολλοῦ διασώζον τὴν ἕδραν τὸ μέρος ἀπέφηνεν, ἢ πρὸς τούτῳ καὶ πελιδνόν. οὐ μὴν ἄνεμός γε κἂν ἰσχυρότατος ὢν τύχῃ, κἂν ἀνατρέψῃ τινὰ, κἂν καταβάλῃ, πιλεῖ που καὶ κοῖλον ἀπεργάζεται τὸ σῶμα. μαλακὸς γὰρ ὢν καὶ ῥᾳδίως περιχεῖταί τε καὶ περιρρεῖ. διὰ τοῦτο μέγιστα μὲν πλοῖα ῥᾳδίως ὠθεῖ καὶ καταβάλλει πολλάκις, οὐ μὴν κοιλότερόν γέ τι τῶν ξύλων τῶν ἐν αὐτοῖς εἰργάσατο, καθάπερ εἰ λίθος ἦν ἢ σίδηρος τὸ προσπίπτον. ταῦτα γὰρ θλᾶσθαι μὲν καὶ συντρίψασθαι δύναται, ἀπώσασθαι δὲ καὶ ἀνατρέψαι τοῖς ἀνέμοις παραπλησίως οὐ δύναται. μή ποτ' οὖν οἷς μὲν ἂν ὑπείκουσαν ἔχωμεν τὴν τῆς σαρκὸς φύσιν, ταῦτα μὲν σκληρὰ καλοῦμεν. ἃ δ' ἂν αὐτῇ ὑπείκοι τῇ σαρκὶ, καθάπερ τὸ ὕδωρ μαλακὰ κέκληται. καὶ τοῦτ' ἄρ' ἦν τὸ πρὸς τοῦ Πλάτωνος λεγόμενον. σκληρὰ μὲν ὅσοις ἂν ἡμῶν ἡ σὰρξ ὑπείκοι. μαλακὰ δ' ὅσα ἂν τῇ σαρκί. φέρε γὰρ ἡμῶν τὴν ἁφὴν ὑποπίπτειν ὑγρῷ τινι, παντί που δῆλον, ὡς ἐγκαταβήσεται μὲν αὐτὰ, τὸ δ' ὑγρὸν εἴξει τε καὶ ὑποδέξεται. σκληρῷ δ' εἴ τινι προσπέσοι, δῆλον ὡς αὐτὴ μᾶλλον εἴξει τε καὶ κοίλη γενήσεται. ἵν' οὖν ἤδη συμπεραινώμεθα τὸν λόγον, ἐπινοήσωμεν τὴν ἡμετέραν χεῖρα ποτὲ μὲν ὕδατος ὀξεῖ ῥεύματι, ἢ ἀνέμῳ σφοδρῷ ἐξ ἐναντίας ἀπαντῶσαν, ποτὲ δὲ λίθῳ τινὶ, διὰ τῆς ἑτέρας χειρὸς ἀτρέμα προσαγομένῳ, ἆρ' οὐ πρόδηλον ὡς ὑπὸ μὲν τῶν προτέρων ἀνατραπήσεται μὲν μὴ θλιφθεῖσα. τὸν δὲ λίθον αὕτη μὲν ἀνατρέψει, θλιφθήσεται δ' ὑπ' αὐτοῦ. τὸ μὲν γὰρ σκληρὸν ὅσον ἐφ' ἑαυτῷ κωλύειν οὐχ ἱκανὸν ἡμᾶς ἰέναι πρόσω, ἀλλ' ἤτοι διὰ βάρος, ἢ διὰ τὴν ἔξωθεν αὐτῷ προσιοῦσαν κίνησιν ἴσχειν ποτὲ δύναται. τὸ δὲ σφοδρὸν κατ' αὐτὸ τοῦτο τὸ ἴσχειν τε καὶ κωλύειν καὶ ἀπωθεῖσθαι καὶ ἀνατρέπειν νενόηται. δῆλον οὖν ὡς ἑτέρα μὲν αἴσθησις ἡμῖν ἐν τῇ τῶν σφοδρῶν, ἑτέρα δ' ἐν τῇ τῶν σκληρῶν ὁμιλίᾳ γίγνεται. τὰ μὲν γὰρ θλίβει μόνον τὴν σάρκα. τὰ δ' ἴσχει που πρόσω. πολλάκις δ' εἰς ταυτὸν ἀμφοτέρων συνιόντων, ὡς εἶναι τὸ προσπίπτον ἅμα μὲν σκληρὸν, ἅμα δὲ σφοδρῶς κινούμενον, ἀνάγκη καὶ τὴν αἴσθησιν ἡμῖν τὴν ἀπ' αὐτῶν διπλῆν γίνεσθαι, τὴν μὲν ὡς θλίβοντος, τὴν δ' ὡς ἀνατρέποντος. καὶ εἴπερ ταῦθ' οὕτως ἔχει, καθάπερ οὖν ἔχει, τὴν τοῦ σκληροῦ σφυγμοῦ διάγνωσιν ἐν τῷ θλίβεσθαι θετέον τὴν ἁφὴν, ὡς εἶναι τὸ μὲν τῆς πληγῆς βίαιον κοινὸν ἀμφοτέροις, τὸ δ' ἴδιον ἑκατέρου. τὸ μὲν θλίβειν τοῦ σκληροῦ. τὸ δ' ἀνατρέπειν τοῦ σφοδροῦ. τὰ μὲν δὴ πάθη τῆς ἁφῆς ταῦτα, καὶ τὰ συνήθη τοῖς Ἕλλησιν ἐπ' αὐτοῖς ὀνόματα.

δύναιτο δ' ἄν τις καὶ δι' ἑτέρων ὀνομάτων ταῦτα τὰ πράγματα δηλοῦν, ὥσπερ ἀμέλει ῥᾳδίως αὐτὸ ποιήσουσιν οἱ τὸ συνεχὲς τῆς ὅλης οὐσίας διακόπτοντες τῷ κενῷ. τοῦτ' ἔστιν ἅπαντες ὅσοι σώματα αὐτὰ σμικρὰ καὶ ἀδιαίρετα καὶ ἄτμητα καὶ ἄναρμα, ποτὲ μὲν συγκρινόμενα, ποτὲ δὲ διακρινόμενα, τάς τε γενέσεις καὶ τὰς φθορὰς ἐργάζεσθαι φασίν, οὗτοι γὰρ ὡς ἂν οὐδένα τόνον εἰδότες ζωτικὸν, ὅταν ἀθρόα καὶ πολλὰ καὶ ταχέως φέρηται ταυτὶ τὰ σμικρὰ σώματα, τό τε τὴν ἀπ' αὐτῶν πληγὴν σφοδρὰν φήσουσι γίνεσθαι, καθάπερ ὑπὸ τῶν ἀνέμων τε καὶ τῶν εἰς τὸ κατάντες φερομένων συμπίπτει ῥευμάτων. τὸ δὲ ἀθρόα καὶ πολλὰ καὶ πυκνὰ λέγειν, ταυτὸν εἶναι φήσουσι τῷ βραχὺ παρεσπάρθαι κενόν. τοῦ δὲ τῷ πεπληρῶσθαι στερεᾶς οὐσίας τὴν εὐρυχωρίαν τῆς ἀρτηρίας ταυτὸν ὑπάρχειν. τὴν γὰρ δὴ κένωσιν αὐτῆς, ὥσπερ καὶ αὐτὸ τοὔνομα δηλοῖ παρὰ τὸ κενὸν ὠνομάσθαι. τοῦτο γὰρ ἐν ἅπασιν ἀεὶ τοῖς συγκρίμασι περιέχεσθαι. τῷ δ' ἧττον ἢ πλέον εἶναι ποτὲ μὲν σκληρὰ, ποτὲ δὲ μαλακὰ γίγνεσθαι τὰ σώματα. καὶ νῦν μὲν πλήρεις

αὐτῶν

αὐτῶν τὰς ἐντὸς κοιλίας, αὖθις δ' εἰ τύχῃ, κενάς. τὸν μὲν οὖν χιτῶνα τῆς ἀρτηρίας σκληρὸν ἢ μαλακὸν φή-
σουσι γίγνεσθαι διὰ τὸ ποσὸν τοῦ παραπεπλεγμένου τῷ συγκρίματι κενοῦ. τὴν δ' ἐντὸς εὐρύτητα πλήρη καὶ διά-
κενον, διὰ τὸ ποσὸν πάλιν κἀνταῦθα τῆς παρεσπαρμένης αὐτῇ κενότητος. μέγαν δέ τινα εἶναι φήσουσι σφυ-
γμόν, οὐ μὴν τόν γ' ἀντιβατικὸν ἔχειν κατὰ τὴν προσβολήν, ὅταν πολὺ μὲν τὸ κατὰ τὴν κοιλότητα τῆς ἀρτη-
ρίας κενόν, ὀλίγα δὲ τὰ πρῶτα σώματα. μέγαν δ' ἅμα καὶ ἀνατρεπτικόν, ὅταν ὀλίγον μὲν τὸ κενόν, πολλὰ
δὲ τὰ σώματα. δῆλον οὖν ἤδη γέγονεν, ὡς οὐδὲν κατ' ἐκείνους διοίσει λέγειν πλήρη σφυγμὸν σφοδροῦ. καὶ
γὰρ καὶ τὸ τῆς ἁφῆς πάθος, ἓν ὑπάρχειν, καὶ τοῦ σφυγμοῦ τὴν φύσιν μίαν εἶναι. κενοῦ γὰρ ὀλίγου ταῖς εὐρυχω-
ρίαις τῶν ἀρτηριῶν παρακειμένου, διὰ μὲν τὸ πλῆθος τῶν ὄγκων πλήρη λέγεσθαι τὸν σφυγμόν, διὰ δὲ τὸ τῆς
πληγῆς ἰσχυρὸν σφοδρόν. ὥστε τῶν ὀνομάτων τὸ μὲν ἕτερον αὐτῆς τῆς οὐσίας δηλωτικὸν εἶναι τοῦ σφυγμοῦ. τὸ
δ' ἕτερον τοῦ ποιοῦ τῆς προσβολῆς. οὔκουν εἶναι σφυγμόν, ἄλλον μὲν πλήρη, σφοδρὸν δ' ἄλλον. δυοῖν γὰρ ὀνόμα-
σιν ἓν πρᾶγμα δηλοῦσθαι κατὰ διαφόρους ἐννοίας. ἀλλ' ἡμεῖς γε ὅσοι ζωτικόν τινα τόνον εἶναι φαμέν, διττὴν
μὲν ἐξ ἀνάγκης ὁμολογήσομεν ὑπάρχειν τὴν φύσιν τῶν σφυγμῶν. εἰ δὲ καὶ τὴν διάγνωσιν ἐπιμελέστερον τού-
των ἐπισκεψάμεθα. χαλεπὴ δ' ἡ σκέψις μάλιστα γίνεται, διὰ μηδένα τῶν ἔμπροσθεν ἀξιόλογον μηδὲν γράψαι
περὶ διαγνώσεως σφυγμῶν, ἀλλὰ τοὺς μὲν τελέως παραλιπεῖν, τοὺς δὲ ἐπὶ μικρὸν κομιδῇ προσάψασθαι. Ἡρό-
φιλος μὲν οὖν ὡς ἂν τὰ τῆς αἰσθήσεως πάθη γράφων, οὐδαμῇ πληρότητος ἐμνημόνευσεν ἧς οὐδὲ πώ ποτε
ᾔσθετο. οἱ δ' ἀπ' αὐτοῦ μὲν κληθέντες Ἡροφίλειοι, πάντα μᾶλλον ὄντες, ἢ τοῦτο λέγεσθαι βούλονται, σοφισταὶ
καὶ πολύλογοι γενόμενοι σχεδὸν ἅπαντες, οὔτ' ἄλλο τι τῶν Ἡροφιλείων θεωρημάτων ἐπ' αὐτῶν τῶν ἔργων τῆς τέ-
χνης προὐθυμήθησαν ἀσκῆσαι. καὶ πρὸς ἄλλοις πολλοῖς οἷς ἐλυμήναντο τὴν τέχνην, ἔτι τε καὶ τὸν πλήρη σφυ-
γμὸν ἡμῖν ἐπεισήγαγον ταῖς διαγνώσεσιν, ἵνα δηλαδὴ μικρᾶς οὔσης τῆς τέχνης ἔχωμεν ἡμεῖς νῦν ὃ πράττω-
μεν. οὔτε γὰρ παρελθεῖν οἷόν τε σφυγμὸν ὑπ' ἀνδρῶν οὕτως ἐνδόξων πεπιστευμένον, οὔθ' ὃν οὐδέ πω ποτὲ
εὕρομεν ἐπὶ τῶν ἔργων, διαγνῶναι προχείρως ἡμῖν θετέον, ἀλλοτρίαις ἀκολουθήσασιν ἀποφάσεσιν. ἀλλ' ἀνάγ-
κη δεῖξαι πρῶτον μὲν ὅτι μέχρι τῆς ἐννοίας ὁ σφυγμὸς οὗτος πρόεισιν, ἔπειτα ὡς οὐδ' Ἡρόφιλος αὐτὸν αἰσθήσει
διεγίνωσκεν. εἰ μὲν οὖν μὴ συγκεχύκεσαν αὐτοὶ τὸ σημαινόμενον τοῦ ὀνόματος, ἤδη εἶχόν τι κἀγὼ λέγειν,
ὧν ἐπαγγέλλομαι. ἐπεὶ δὲ πολυειδῶς ἐτάραξαν αὐτὸ πρὸς ἀλλήλους τε καὶ πρὸς ἑαυτὸν ἕκαστος, οὐχ ὁμολο-
γοῦντες, ἀναγκαῖον ἐστὶν ὑπὲρ τοῦ σημαινομένου πρότερον ἡμᾶς διασκέψασθαι, μή πη λάθωμεν ἡμᾶς αὐτοὺς
ὡς κόρακες, ἢ κολοιοὶ φωνὰς μόνας προφερόμενοι, τὰ δὲ πράγματα καθ' ὧν αὗται λέγονται παντάπασιν
ἀγνοοῦντες. ὄντων οὖν πολλῶν τῶν γραψάντων τοὔνομα τοῦ πλήρους σφυγμοῦ, τοὺς μὲν ἄλλους παραλείψειν
μοι δοκῶ, πλὴν εἴπου κατὰ τὴν ἀνάγκην τοῦ λόγου μνημονεύσαιμι διὰ βραχέων. ἀρκέσει δέ μοι τὰ πρὸς
Ἀρχιγένους τε καὶ Ἀγαθίνου γεγραμμένα προχειρισαμένῳ διασκέψασθαι. λέγει δὲ ὁ μὲν Ἀρχιγένης ὑπὲρ
αὐτοῦ τὸν δὲ τὸν τρόπον. ἔστι δὲ πλήρης σφυγμὸς ὁ ναστοτέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν, καὶ τὴν ὑπόπτω-
σιν αὐτῆς διασεσαγμένην ἐγχύλως. κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥστε
κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν. ἐν τούτῳ τε δὴ τῷ λόγῳ πρῶτον τί δη-
λοῖ τὸ ναστοτέραν οὐ πάνυ σαφῶς οἶδα, διὰ τὸ μηδὲ σύνηθες εἶναι τοῖς Ἕλλησιν ὄνομα, κατὰ τοῦ τοιούτου πρά-
γματος λέγεσθαι. ἄρτον μὲν γάρ τινα ναστὸν ἐκάλουν, οὐ μὴν ἄλλο γέ τι σῶμα πρὸς αὐτῶν οὕτως ὠνομα-
σμένον ἐπίσταμαι. αὐτὸς δὲ ὁ Ἀρχιγένης, δικαιότατον γὰρ τὴν ἐν τοῖς ὀνόμασιν αὐτοῦ συνήθειαν παρ' αὐτοῦ
μανθάνειν, δοκεῖ μοι τὸ ναστὸν ἄν τι τοῦ πλήρους ὀνομάζειν, ἐν γοῦν τῷ περὶ σφοδρότητος σφυγμοῦ λό-
γῳ, διηγούμενος τὰ ὑπὸ Μάγου εἰρημένα, κατὰ λέξιν οὕτως γράφει. ὅλως γάρ φησιν ἡ σφοδρὰ πληγὴ
οὐ γίγνεται, εἰ μὴ ναστοῦ ὄντος τοῦ προσπίπτοντος, μεγάλου καὶ ταχέος ἐπιφερομένου. ἐφ' ἃ μετ' ὀλίγον οὕ-
τως ἄρα φησί. καὶ σφοδρότης σφυγμοῦ, ἐκ τάχους, μεγέθους, σφοδρότητος, πληρότητος, ἐστὶ σύνθετος.
τὸ γὰρ ἀνωτέρω ναστὸν τοῦτο νῦν πλῆρες ἐκάλεσεν, ὡς οὐδὲν διάφορον, ἢ οὕτως, ἢ ἐκείνως εἰπεῖν. ἀλλὰ καὶ
πανταχοῦ μοι δοκεῖ κατὰ τὸν αὐτὸν τρόπον χρῆσθαι τῇ τοῦ ναστοῦ προσηγορίᾳ. μεταλάβωμεν οὖν ἤδη τὸ να-
στότερον εἰς τὸ πληρέστερον, ἵνα καὶ γνῶμεν τί ποτ' ἐστὶν ὃ λέγει. ἔστι δὲ ἡ λέξις τοιάδε. ἔστι δὲ πλήρης μὲν σφυ-
γμὸς ὁ πληρεστέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν. ἀλλὰ τοῦτο μὲν δι' ἑαυτοῦ δηλούμενον, οὐδὲν ἡμᾶς διδάξει πλέον.
ἆρ' οὖν ἄμεινον ὑπερβάντας ὅλον τὸ ναστότερον, σκέψασθαι τὸ ἐπιφερόμενον ἐν τῷ λόγῳ καὶ τὴν ὑπόπτωσιν
αὐτοῦ διασεσαγμένην ἐγχύλως. τοιοῦτον γάρ τι δηλοῦν ἔοικεν ἡ λέξις, ὡς τοῦ πλήρους σφυγμοῦ κατὰ τὴν προσβο-
λὴν δεικνυμένου διασεσαγμένην ἐγχύλως τὴν ἀρτηρίαν. αὐτὸ δὲ πάλιν τὸ διασεσαγμένην, πότερα ταὐτὸν
ἐστὶ τῷ μεμεστωμένην, ἢ ἄλλο τι δηλοῖ, σαφῶς οὐκ ἔχω συμβαλεῖν. καὶ γάρ τοι καὶ ἀντιθεὶς ἐξῆς τῷ πλήρει
καὶ τοῦ ναστοτέρου, τὸν ὁρισμὸν τοῦ κενοῦ, οὔτε τῷ ναστοτέραν τὸ ἐναντίον ἔλαβεν, οὔτε τὸ διασεσαγμένην, δέον οἴ-
μαι λαβεῖν εἴπερ ἐναντίον πρᾶγμα ὡρίζετο. οὐδὲν ἔλαβεν, ἀλλὰ τί φησι. κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν
τῆς ἀρτηρίας ποιούμενος. τοῦτο γὰρ τὸ πομφολυγῶδες οὔτε τῷ ναστοτέραν, οὔτε τῷ διασεσαγμένην ἐναντίον ἐστίν.
ἀλλ' εἴπερ ἄρα μόνῳ τῷ ἐγχύλως, ἵνα τὸ μὲν ἔγχυλον, οἷον ὑγρότερόν πως εἴη. τὸ δὲ πομφολυγῶδες ἀερωδέστερον.
πάλιν δὲ τῷ τοῦ κενοῦ λόγῳ πρόσκειται. ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπί-
πτειν, τινὶ τῶν ἐκ τοῦ πλήρους ἐναντίον ἐστὶ, οὐκ ἂν εὕροις. τῷ μὲν γὰρ τῆς κενεμβατήσεως ὀνόματι τὸ τῆς ἀντιβάσεως
μάλιστ' ἀντιθείη. παραλέλειπται δ' ὅλον τοῦτ' ἐν τῷ πλήρους λόγῳ. καίτοι γ' ἠδύνατο κατὰ τὸν αὐτὸν εἰρῆσθαι
τρόπον, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων ἀντίβασιν ὑποπίπτειν, ἀλλ' οὐκ εἴρηται. εἰ μή τι ἄρα περὶ
τὸ ναστοτέραν ἐπιδείκνυσθαι τὴν ἀρτηρίαν τοῦτ' ἐστίν, ἵν' ἐν ἑκατέρῳ τῷ λόγῳ, μή ποτ' ἐστὶν ὁ πλήρης σφυγμὸς ἢ δη-
λούμενος, ἀλλὰ πῶς διαγινώσκεται, καὶ εἰ τοῦτο, τάχ' ἂν ἀπολύειν ἤδη δυναίμην. εἰ γὰρ τῶν ἡμετέρων κατὰ
τὴν ἁφὴν παθημάτων ἐξήγησίς ἐστιν ὁ λόγος, οὐδαμοῦ τῆς τοῦ πράγματος αὐτοῦ φύσεως ἁπτόμενος, ἀναμνη-
σθῆναι δύναμαι πάντων ὧν κατὰ τὴν διαστολὴν τῆς ἀρτηρίας ἡ ἁφὴ πάσχει. τάχ' ἂν εὑρήσωμεν οὕτως τί

ποτε βούλεται δηλοῦν ὁ Ἀρχιγένης. ἃ δὲ πάσχει ταῦτ' ἐστίν. αἰσθάνεται περιπίπτοντος αὐτῇ κινουμένου σώματος ἐν χρόνῳ τινί, καὶ τοῦτο ποτὲ μὲν κατὰ πολλὰ μόρια περιπίπτειν ἑαυτῇ φαντάζεται, ποτὲ δ' οὔ. καὶ θλίβειν τε καὶ αὖθις μὴ θλίβειν. καὶ ἡμῶν θλιβόντων ἀντιβαίνειν, ἢ νικᾶσθαι. ταῦτ' ἐστὶ τὰ πρῶτα καὶ οἷον στοιχεῖα τοῦ παντὸς περὶ τῶν σφυγμῶν λόγου, πάθη τῆς ἁφῆς. τὰ γὰρ ἄλλα πάντα, τὰ μὲν ἐκ τούτων σύγκειται, τὰ δ' ἐν τῷ πρός τι νοεῖται, ἤτοι καὶ τὰ μόρια τῶν εἰρημένων ἀλλήλοις παραβαλλομένων, ἢ ὅλων πρὸς ὅλα. κατὰ τίνος οὖν λέγεται τούτων τὸ τοῦ πλήρους ὄνομα; πότερον κατὰ τῆς κινήσεως αὐτῆς; ἀλλ' ἐν ἐκείνῃ τάχος ἦν καὶ βραδύτης, καὶ τῶν ῥυθμῶν αἱ γενέσεις. ἀλλ' ὅταν κατὰ πολλὰ μόρια τῆς διαστολῆς αἰσθάνεται ἡ ἁφή; ἀλλ' ἐνταῦθα μακροὶ καὶ πλατεῖς καὶ ὑψηλοὶ καὶ μεγάλοι γίνονται σφυγμοί. ἀλλ' ὅταν κατ' ὀλίγα; οἱ ἐναντίοι δηλονότι, τῶν εἰρημένων. ἀλλ' ὅταν θλίβηται; σκληρός. ἀλλ' ὅταν ἀνατρέπηται; σφοδρός. τί γὰρ δὴ περὶ τῶν ἐναντίων αὐτοῖς ἢ μέσων μακρολογεῖν; πότ' οὖν πλήρης γενήσεται; ἢ τί πάσχει πάθος ἡ ἁφή; πότερον, ὅταν θερμασίας πλείονος ἢ δριμυτέρας αἰσθάνηται; ἀλλ' οὐκ ἔστιν ἐκ τῶν κατὰ τοὺς σφυγμοὺς διαφορῶν, ἡ τοιαύτη διάγνωσις. ἀλλ' ὅταν ὑγρότητος ἢ ξηρότητος; ἀλλ' οὐδὲ ταῦτα τῆς τῶν σφυγμῶν διαφορᾶς ἐστὶ τὰ παθήματα. καὶ γὰρ καὶ χωρὶς τῶν σφυγμῶν γένεσιν αὐτὰ διαγινώσκειν, ἐπιβάλλοντα τὴν χεῖρα τῷ σώματι τοῦ νοσοῦντος. μή τι οὖν τὸ τῆς ἀντιβάσεως εἶδος, ἕτερον μὲν ἐν τοῖς σφοδροῖς, ἕτερον δὲ ἐν τοῖς πλήρεσιν ὀνομάζουσι. τάχα γὰρ καὶ ὁ Ἀγαθῖνος τοιοῦτόν τι βούλεται. ἀλλ' εἰ τοῦτο, ἐχρῆν ἀποσαφῆσαι τοῦτ' αὐτὸ ἡμῖν, καὶ μὴ σφιγγὸς προβάλλειν αἰνίγματα. ἢ βούλονται, μὴ μόνον περὶ τῶν πραγμάτων ἡμᾶς ζητεῖν οὕτω χαλεπῶν ὄντων, ἀλλ' ἐξ ἐπιμέτρου τί ποτε λέγουσι σκοπεῖν, καὶ πολλαπλάσιόν γε χρόνον εἰς τοῦτ' ἀναλίσκειν, ἢ εἰς αὐτῶν τῶν πραγμάτων τὴν εὕρεσιν; ἴδωμεν οὖν ἤδη καὶ τὴν τοῦ Ἀγαθίνου ῥῆσιν καὶ ζητήσωμεν εἰ τὸ τῆς ἀντιβάσεως εἶδος, ἕτερον μὲν ἐν τοῖς σφοδροῖς, ἕτερον δὲ ἐν τοῖς πλήρεσιν εἶναι βούλεται. γράφει οὖν καὶ αὐτὸς ὧδε. παρακολούθει γὰρ ἐν ταῖς ἐπισκέψεσι πληρότητος, καὶ κενότητος, σφυγμοῦ, τοῦ μὲν πλήρους τεταμένον, καὶ ἐξερειστικὸν δι' ὅλου τὸ πνεῦμα περιστάντος, τοῦ δὲ κενοῦ διαρρέον, καὶ ταῖς ἀντιβάσεσιν ἐναφανιζόμενον, ὡς ῥήξει τινὸς ὑδατίνης πομφόλυγος ἐοικέναι. τούτῳ μὲν τό γε τοσοῦτον ἤδη χάριν ἴσμεν, ὅτι τε μὴ σφιγγὸς αἰνίγματα προβάλλει, καθάπερ Ἀρχιγένης τε καὶ πολλοὶ τῶν ἄλλων. εἰ μὲν γὰρ ὀρθῶς ἢ μὴ λέγει κατὰ σχολὴν ἐνέσται σκοπεῖσθαι. τὸ δ' οὖν λεγόμενον αὐτὸ σαφές ἐστιν ἤδη. βούλεται γὰρ τεταμένον, καὶ ἐξερειστικὸν δι' ὅλου τὸ πνεῦμα κατὰ τοὺς πλήρεις ἐμφαίνεσθαι σφυγμούς. ἄρρωστον δὲ καὶ καταπῖπτον ῥᾳδίως καὶ μηδεμίαν ἔχον ἀντίβασιν ἐν τοῖς κενοῖς. εἴ τε δὲ τὸ σύμφυτον πνεῦμα καὶ ζωτικὸν τὸ διὰ τῶν σωμάτων, ὡς αὐτοὶ βούλονται τεταμένον, εἴτε τὸ ἀερῶδές τε καὶ ὑλικόν, τὸ ἐν ταῖς εὐρυχωρίαις, οὐ πάνυ μὲν ἡ λέξις ἀποσαφεῖ, τῇ δ' ὅλῃ τῶν ἀνδρῶν γνώμῃ τεκμαίραιτ' ἄν τις τὸ ζωτικὸν αὐτὸν λέγειν. ἀλλ' εἴτε τοῦτο ἢ ἐκεῖνο, τό γε τοσοῦτον παρακλητέον, αὐτόν τε καὶ τοὺς ἀπ' αὐτοῦ μηδέπω δόγματα τοῖς τῆς αἰσθήσεως ἀναμιγνύναι πάθεσιν, ἀλλ' ὡς ἐμπειρικόν. οὐ γὰρ ἀτιμάζει τὴν ἐμπειρίαν, διαλεχθῆναι πρότερον ἡμῖν ὑπὲρ αὐτῶν τῶν λεγομένων κατὰ τὴν ἁφήν, εἶτ' αὖθις, ὅπως ἐξ αὐτῶν χρὴ διὰ τοῦ λόγου μεταβαίνειν ἐπὶ τὰ δόγματα, διδάξαι. τίνα τοίνυν τὰ τῆς αἰσθήσεως πάθη κατ' αὐτὸν εἰ μεταθείημεν τὸ τοῦ πνεύματος ὄνομα καὶ πληγὴν εἴποιμεν; ἔσται γὰρ ὁ λόγος τοιοῦτος. ὁ πλήρης σφυγμὸς τεταμένην καὶ ἐξερειστικὴν δι' ὅλου τὴν πληγὴν παρίστησιν. ὁ δὲ κενὸς οἷον διαρρέουσαν, καὶ ταῖς ἀντιβάσεσιν ἐμφανιζομένην, ὡς ῥήξει τινὸς ὑδατίνης πομφόλυγος ἐοικέναι. τούτων δὲ οὕτως καλῶς μετειλημμένων μικρὸν ἐπελίξαντες αὐτοῦ τὸ βιβλίον, θεασώμεθα τί λέγει περὶ σφοδροῦ καὶ ἀμυδροῦ σφυγμοῦ. ἔχει δὲ ἡ λέξις οὕτως. διότι μὲν οὖν σφοδρός ἐστι ὁ σφυγμὸς βιαίως κρούων τὴν ἁφήν, καὶ κατὰ τὴν προσέλασιν ἰσχυρῶς αὐτὴν ἀνατρέπων, δῆλόν τ' ἐστὶν αὐτόθι, καὶ συμφωνεῖται τοῖς πλείστοις, εἶτ' ἐπιφέρων φησί. τῶν ἐναντίων ἐπιγινομένων δηλονότι περὶ τὸν ἀμυδρὸν σφυγμόν. ἀμενηνῶς γὰρ καὶ ἐκλύτως πρόσεισι τῇ ἁφῇ. ταῦθ' ὀρθῶς ὁ Ἀγαθῖνος, ἀλλ' οὐ μὲν διαφέρει τῶν περὶ τοῦ πλήρους τε καὶ κενοῦ. τὸ μὲν γὰρ ἐξερειστικὴν δι' ὅλου τὴν πληγὴν εἶναι, ταυτόν ἐστι τῷ βιαίως τε κρούειν τὴν ἁφὴν καὶ ἰσχυρῶς ἀνατρέπειν, εἴρηται δ' αὐτῶν τὸ μέν, ἐπὶ τοῦ πλήρους, τὸ δὲ ἐπὶ τοῦ σφοδροῦ. τὸ δ' αὖ ταῖς ἀντιβάσεσιν ἀφανίζεσθαι, ταυτόν ἐστι τῷ ἀμενηνῶς καὶ ἐκλύτως ἐναφανίζεσθαι τῇ ἁφῇ. εἴρηται δὲ τούτων τὸ μὲν πρότερον, ἐπὶ τοῦ κενοῦ. τὸ δὲ δεύτερον ἐπὶ τοῦ ἀμυδροῦ. ἆρ' οὖν ὁ μὲν Ἀγαθῖνος οὕτως ἐξηγήσατο τὰ τῆς ἁφῆς πάθη, κατά γε τοὺς σφοδροὺς σφυγμοὺς καὶ τοὺς ἀμυδρούς, ὁ δ' Ἀρχιγένης ἑτέρως, οὐ μὴν ἀλλὰ κἀκεῖνος ὧδε γράφει. ὡς ἐκ τοῦ καθ' ἓν χωρισμοῦ, γίνεσθαι καθ' ἑαυτὴν τίς οὖσα ἡ σφοδρότης, ὁ τόνος ὡς εἶπον τῆς τῶν ἀρτηριῶν κινήσεως. εἶθ' ἑξῆς. φαίνεται δὲ καθ' ὅλην τὴν διαστολὴν τὸ τελανὸν τῆς ὁρμῆς, καθὸ καὶ εἰ περιπιέσαιμεν τοὺς δακτύλους, στερεωτέρα ὑποπίπτει ἡ πληγή. ταῦτα μὲν οὕτω φανερὰ τὰ περὶ τῶν τῆς ἁφῆς παθῶν, ἐν οἷς οὐκ ἔχομεν ἴδιον πάθος εἰπεῖν τῆς πληρότητος, εἰ μή τι ἄρα καθάπερ τινὲς τῶν οὖν ἔλεγον ὅταν ἐπὶ πλεῖστον ὁ σφυγμὸς ἐξαιρόμενος, ἀντιβατικὸς εἴη. τοῦτο δὲ δύο ἐστὶν εἴδη σφυγμῶν, οὐκ ἓν τὸ γὰρ ἐπὶ πλεῖστον ἐξαίρεσθαι, κατὰ μὲν τὰς τρεῖς διαστάσεις γινόμενον, μέγαν ποιεῖ τὸν σφυγμόν. κατὰ δὲ μίαν μόνην, ἢ μακρόν, ἢ πλατύν, ἢ ὑψηλόν. τὸ δ' ἀντιβατικὸν εἶναι πάλιν ταυτόν ἐστι τῷ σφοδρῷ. εἰ δέ τις τὸν μέγαν ἅμα καὶ σφοδρὸν ἑνὶ καλεῖν ὀνόματι, τῷ τοῦ πλήρους βούλεται, καλείτω. περὶ γὰρ ὀνόματος οὐ διαφερόμεθα. γιγνωσκέτω δ' οὐδεμίαν εἰσάγων ἔξωθεν παρὰ τὰς εἰρημένας διαφορὰς κατὰ νοῦν, δύο δὲ καὶ τρεῖς ἐξ αὐτῶν λαμβάνων ἰδίοις ὀνόμασι προσαγορεύειν εἰ βούλοιτο, φθόνος οὐδὲ εἷς. ἀλλ' ἡμῖν οὐ περὶ ὀνομάτων ἡ ζήτησις, ἀλλὰ περὶ πραγμάτων, ἐν οἷς εἴ τι πλέον ἔχοι τις λέγειν ἡδέως μαθησόμεθα. τὸ μὲν γὰρ ἐπινοεῖσθαι τινὰ διαφορὰν σφυγμῶν, κατὰ τὸ τῆς ἀρτηρίας ἔγχυμα, καλοῦσι γὰρ οὕτως τὸ περιεχόμενον ὑγρὸν ἐν αὐτῇ, κἀγὼ σύμφημι, καὶ δύναμαι νοῆσαι ποτὲ μὲν παχύτερον, ποτὲ δὲ λεπτότερον αὐτό. καὶ αὖθις γλισχρότερον ἢ ὑδατωδέστερον, ἢ πλέον ἢ ἔλαττον. ἢ ἀφρωδέστερον. ἢ ὅπως οὖν ἄλλως ἔχον. καὶ γὰρ πνεῦμα μόνον ἐν αὐταῖς περιεχόμενον νοῶ, καὶ τοῦτο ποτὲ μὲν

καθαρὸν καὶ αἰθριῶδες, ποτὲ δ' ἀχλυῶδές τε καὶ ὁμιχλῶδες. ἀλλ' οὐ τοῦτο νῦν πρόκειται τῶν ἐνδεχομένων
ἔννοιαν λαβεῖν, ἀλλὰ περὶ τῆς ὑπάρξεως αὐτῶν ζητεῖν. τὸ μὲν γὰρ ἐπινοεῖν τἀναντία δυνατόν. τὸ δ' ὑπάρχειν
ἅμα ἀδύνατον. αὐτίκα γέ τοι καὶ περιέχειν νοοῦμεν τὰς ἀρτηρίας αἷμα καὶ μὴ περιέχειν. ἢ οὐκ ἂν ἐζητοῦμεν
ὑπὲρ οὗ μηδόλως ἐννοοῦμεν. ἀλλ' οὐ ταύτης ἐστὶν ἐν οἷς ζητοῦμεν τὸ προκείμενον εἰς ἔννοιαν ἐλθεῖν αὐτῶν, ἀλλ'
ἀποδεῖξαι τὴν ὕπαρξιν, οὐδεὶς γάρ ἐστιν. ὃς οὐκ ἂν ἐπινοήσειεν ἐν ταῖς ἀρτηρίαις αἷμα περιεχόμενον, ἀλλ' εἰ
κατ' ἀλήθειαν ἐν τῷ κατὰ φύσιν ἔχειν περιέχεται ζητοῦμεν. καὶ πολλὰ περὶ αὐτοῦ λέγοντας, οἶδα τοὺς περὶ τὸν
Ἀρχιγένην. καίτοι γ' εἴπερ αἰσθήσει διαγνωστὸν ἦν, μάτην πολλὰ ληροῦσιν, ἐνὸν εἰπεῖν ἄντικρυς ψεύδεσθαι
τὸν Ἐρασίστρατον, ἃ διὰ τῆς αἰσθήσεως ἐμάθομεν, ταῦτα μεταπείθειν ἡμᾶς λόγῳ πειρώμενον. ἀλλ' οὐδεὶς ἐτόλμησεν
εἰπεῖν αἰσθάνεσθαι τὴν ἁφὴν τῆς ἐν ταῖς ἀρτηρίαις ὑγρότητος. ὡς ἐβουλόμην ἄν μοι τοῦτο παντὸς μᾶλλον
10 ὑπάρχειν, μὴ ἵνα πράγματα ἔχοιμι λόγῳ ζητῶν ἐξευρεῖν τὸ ἀληθές. τί ποτ' οὖν ἐστιν ὃ βούλονται λέγειν οὐ συνίη-
μι. πλήρης ἐστὶν ὁ σφυγμὸς ὁ τὴν ὑπόπτωσιν τῆς ἀρτηρίας διασεσαγμένην ἐγχύλως ἐμφαίνων. πότερον
ὡς αὐτῆς τῆς ἁφῆς τοῦτο γνωρίσαι δυναμένης, ἢ ταύτης μὲν πασχούσης ὅ τι δὴ πάσχει, τοῦ πάθους δὲ ἀφορμὴν
συλλογισμοῦ, πρὸς ἔνδειξιν τῆς τῶν ἀρτηριῶν διαθέσεως, παρασχεῖν δυναμένου. ἀλλ' εἰ τοῦτο λέγουσιν ὡς ἔστιν
ἐκ τῶν κατὰ τὴν ἁφὴν παθῶν συλλογίσασθαί τι περὶ τῶν κατὰ τὰς ἀρτηρίας διαθέσεων, οὐκ ἀντιλέγω. καὶ
γὰρ Πραξαγόρας αὐτὸ ποιεῖ καὶ Ἡρόφιλος καὶ πάντες ὀλίγου δεῖν. οἱ μὲν μᾶλλον. οἱ δὲ ἧττον, καὶ οἱ μὲν χεῖ-
ρον. οἱ δὲ βέλτιον. τὸ μέν γε τοῦ Πραξαγόρου. καὶ θαυμαστὸν ἴσως σοι φανεῖται. μὴ δὲ γὰρ περιέχεσθαι λέγων ἐν
ἀρτηρίαις τοὺς χυμοὺς, ὅμως ἐκ τῶν σφυγμῶν, ἰδέας τινὰς αὐτῶν ἀναλογίζεσθαι πειρᾶται. ἀλλ' οὐδαμῶς πά-
θος αἰσθήσεως ἐπεισάγει κοινόν. αἴνιγμα γὰρ ἂν οὕτως τὸν λόγον ποιήσειεν, ἵνα τις ἀναγινώσκων, εἶτα μὴ
νοῶν οἴηταί τι βύθιον ἐγκεκρύφθαι τῷ λόγῳ καὶ θαυμαστόν. εἶτα κατατρίβηται, δηλαδὴ ζητῶν μὲν διὰ παν-
20 τός. εὑρίσκων δ' οὐδέν. πῶς γὰρ ἂν εὕροιτο μηδ' ὅλως φαινόμενον. ἄνθρωπε μὴ μόνον εἰ βούλει χυμῶν ἰδέας
διαγίνωσκε ταῖς τῶν σφυγμῶν διαφοραῖς, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς ἤθη καθάπερ Ἱπποκράτης ἐπιχειρεῖ. μόνον
μοι φίλτατε τὰ τῆς αἰσθήσεως πάθη, καὶ μήθ' ἃ μηδ' ὅλως πάσχει καταψεύδεσθαι τόλμα, καὶ μήτ' ἐξ ἑνὸς πα-
θήματος ἄλλο τἀλλοῖον σφυγμὸν γνωρίζειν ἐπαγγέλλου. ἔστι τις σφυγμὸς πολὺ τὸ ἀντιβατικὸν ἔχων. ὡς εἰ
καὶ θλίβοις τὴν ἀρτηρίαν μὴ κινηθῆναι πρὸς τῆς χειρός. ἕνα τοῦτον φύλαττε καλὸν ὅτι βούλει. τὸ δὲ νῦν μὲν αὐτὸν
σφοδρὸν, νῦν δὲ πλήρη καλεῖν, αὖθις δὲ ἴσως ἄλλο τι, καὶ τῷ πλήθει τῶν ὀνομάτων οἴεσθαι πολλὰ ποιεῖν πράγματα,
δεινῶς ἄτοπος. ἔχω κἀγὼ γνωρίσματα διὰ σφυγμῶν καὶ χυμῶν ἰδέας καὶ παθῶν ψυχῆς, ἀλλ' ἀφ' ὧν εἶπον ἔμπρο-
σθεν αἰσθητῶν παθῶν ἅπαντα διαγινώσκειν πειρῶμαι, μηδαμοῦ μήτ' ἀποκεκρημνισμένον σφυγμὸν λέγων, μή-
τε κοῦφον, μήτε βαρὺν μήτε ὑγροφανῆ, μήτε πνευματώδη μήτε διηγκωνισμένον, μήτε διατενῆ, μήτε μο-
γυλὸν, ἢ στεγνὸν, ἢ κατανενυγμένον, ἢ περιλελωσμένον, ἢ ῥοπαλώδη, μήτ' ἄλλο μηδὲν, ὧν οὗτοι λογικαῖς ἐπινοί-
30 αις ἀναπλάττουσιν, οὐκ αἰσθητοῖς πάθεσι διαγινώσκουσιν. ὥστ' εἰ δὴ καὶ τὰ τῆς ἀκοῆς μόνης αἰσθητὰ μεταφέρει
ἐπὶ τὴν ἁφήν. οὐδὲν γὰρ ἐστὶν ἄλλο, τὸ τρίζοντας λέγειν καὶ ψοφοῦντας καὶ βομβοῦντας σφυγμοὺς, ἢ περὶ τῆς ἁ-
φῆς ὡς ἀκοῆς διαλέγεσθαι; εἶθ' οὕτως ἀπιστεῖσθαι ποιοῦσι δηλαδὴ καὶ αὐτὰ τἀληθῆ. καί τις τῶν νῦν ἀνὴρ οὐχ ὁ
φαυλότατος, περιλάλησιν ἔφησεν εἶναι τὴν τῶν σφυγμῶν θεωρίαν, ὀρθότατα λέγων, τῷ πολλὰς μὲν φωνὰς
τέγγεσθαι, μηδὲν δὲ χρηστὸν διδάσκειν. ἀλλ' εἰ μὴ κἂν ταῖς διαλέξεσιν, ἐν γοῦν τοῖς συγγράμμασιν ἐχρῆν αἰδεῖ-
σθαι παθεῖν, ὅπερ ὁ κωμικὸς ἔφη· λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν. εἶτα γράφεις μοι πλήρη σφυγμὸν, μὴ δ'
ἄχρι τοσούτου σαφῶς ἐξειπεῖν δυνάμενος ὃ φαντάζῃ. πότερα τοῦ χιτῶνος τῆς ἀρτηρίας ποιότητα δηλοῖς ἢ
τὸ ποσὸν τῆς ἐγκεχυμένης οὐσίας αὐταῖς, ἢ τὸ ποιόν. ἢ πνεύματος. ἢ καὶ τῆς θερμασίας δύναμίν τινα, ἢ ποιότη-
τα. πάντα γὰρ ταῦτα δοκεῖς μοι λέγειν ἀδιαρθρώτως τε καὶ συγκεχυμένως. ἢ τί σοι βούλεται πληρότητος οἴ-
νου μνημονεύειν, ὡς ἐν παραδείγματι. τί δ' ἐν τῷ περὶ πληρότητος λόγῳ ποτὲ μὲν λέγεις αὐτοῖς ὀνόμασιν
40 οὕτως. ὥς τε καὶ εἴ τις τὸν πλήρη μὴ κατ' οὐσίαν, ἀλλὰ κατὰ δύναμιν θεωρεῖν βούλοιτο. καὶ μετ' ὀλίγον. τάχα δὲ τὸ
ἐν δυνάμει ταρῶδες ἐπὶ τῶν τοιούτων τὸν πλήρη σφυγμὸν χαρακτηρίζει. ὀνόματα ὄντα τῆς δυσκρασίας τοῦ
πνεύματος. καὶ ὃν τρόπον διαγευσάμενοι οἴνου τὸν πλήρη διαγινώσκουσιν οἱ οἰνογεῦσται, οὕτω καὶ οἱ σφυ-
γμῶν ἔμπειροι τὸν πλήρη κατὰ τὸ καρῶδες τῆς δυνάμεως, κἂν μεσόκενος, ἢ διαθεωροῦσιν. ἐν τούτοις μὲν ἐπὶ τὴν
δύναμιν ἀναφέρων τὸν πλήρη σφυγμὸν δοκεῖ μοι νοεῖν. ἐν αὐτοῖς δὲ τοῖς περὶ τῆς πληρότητος λόγοις πάνθ' ὁμοῦ
συγχεῖ καὶ ταράττει. μάθοι δ' ἂν τις ἐξ αὐτῆς τῆς λέξεως ἐχούσης οὕτως. ὃν τρόπον δὲ καὶ ἐρίων ἡ σύστασις
αὐτόθεν ἐστὶ ληπτὴ, καθ' ἣν κενὰ καὶ πλήρη λέγεται, καὶ οἴνου ποιότης, οὐ προστάττουσα, ἀλλ' αὐτόθι παρακει-
μένη τῇ γλώττῃ διαγινώσκεται. καθ' ἣν τοὺς πλήρεις καὶ κενοὺς οἴνους διαχωρίζομεν. καὶ τοῦ σώματος δ' αὐτοῦ
τε κενοῦ καὶ πλήρους ἀντιλαμβανόμεθα ἔν τε τῷ κατὰ φύσιν τι ἔχειν ἄλλον ἄλλως. ἔν τε ταῖς παρὰ φύσιν δια-
θέσεσιν, καὶ ἐπὶ φλεγμοναῖς, οἰδήματος, ἐμφυσήματος. οὕτω καὶ τὰς ἀγυμνάστους σάρκας τῶν γεγυμνασμένων
50 διακρίνομεν. ἐν ταύτῃ πάλιν τῇ ῥήσει τὰ μὲν περὶ τοῦ οἴνου λεγόμενα τῇ κατὰ τὴν δύναμιν πληρότητι
δόξειεν ἂν ὁμολογεῖν. τὰ δὲ περὶ φλεγμονῆς καὶ οἰδήματος τῇ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας αὐτό. τὸ δὲ τῶν
ἐρίων παράδειγμα, ἐγὼ μὲν οὐδ' ἐννοῶ τὴν ἀρχήν. οὐδὲ γὰρ ἤκουσα τινὸς λέγοντος πλῆρες καὶ κενὸν ἔριον,
ἵν' ἔρωμαι πῶς λέγει. καί τοι τὰ περὶ φλεγμονῆς καὶ οἰδήματος οὐδ' αὐτὰ πρός τινος ἤκουσα λεγόμενα,
πλὴν Ἀρχιγένους. ἀλλ' ἐν τούτοις ἐπινοῆσαι δύναμαι τί βούλεται δηλοῦν αὐτῷ τὸ πλῆρες ὄνομα. τὸ γὰρ
ἐναντίον τῷ χαύνῳ πλῆρες καλεῖται. κενὰ δέ τινα καὶ πλήρη σώματα, καὶ τὰ τῶν ἀνδραποδοκαπήλων καὶ
τῶν παιδοτριβῶν ἤκουσα λεγόντων, ἀλλ' οὐκ ἀνάλογον οἰδήμασι καὶ φλεγμοναῖς, ἀλλ' ὥσπερ καὶ κυριώτα-
τα καὶ συνηθέστατα λέγεται παραπλησίως τοῖς ἀγγείοις τοῖς πλήρεσι, τε καὶ κενοῖς ὠνόμαζον, καὶ ἀπολαμβά-
νοντές γε τοῦ δέρματος ἐπειρῶντο, διαγινώσκοντες εἰ χαλαρὸν ἢ ἐσφιγμένον εἴη, καὶ οὕτως ἐκ μὲν τοῦ χαλαροῦ
τὸ κενὸν, ἐκ δὲ τοῦ περιτεταμένου, τὸ πλῆρες ἐτεκμαίροντο, καὶ πολλάκις γε τὸν ἰσχνότερον τοῦ ἁδροτέρου,

πληρέστερον

πληρέστερον ἐκάλουν, ἀλλὰ τῆς ἰδιώτης διαγνώσεως. ταῦτα ἀναγκαζόμεθα λέγειν, διὰ τοὺς πρώτους τὰ μηδὲν ὡς ἔπος λεγήσαντες. ὥσπερ γὰρ ὀνομάτων ἐξήγησιν γράφων ὁ Ἀρχιγένης, οὐ πράγματα διδάσκειν ἐπιχειρῶν, συνεφόρησεν εἰς ταὐτὸν πολλὰ παραδείγματά τε καὶ ὀνόματα, μήτε πάντα καθ' ἑνὸς πράγματος ἁρμόττειν δυνάμενα, μήτε συνήθως τοῖς Ἕλλησιν ὀνομασμένα, παρά τισι γὰρ Ἑλλήνων ἢ σπάνια πλήρη καὶ κενὰ δυνατὸν εὑρεῖν γεγραμμένα. δεῖ τοίνυν ἡμᾶς ἐπί τε τοὺς τῶν οἴνων καπήλους καὶ τὰς γυναῖκας ἰέναι, καὶ πυνθάνεσθαι τί βούλονται δηλοῦν, καὶ ποῦ τοῦτο χρήσιμον. ἐνῆν γὰρ εἴπερ ὅλως ἐπεθύμει χρήσασθαι τῷ τοῦ πλήρους ὀνόματι, μηνύσαντα τὸ πρᾶγμα σαφῶς καθ' οὗ τοὔνομα ἐπέφερε, μηδὲν ἔτι παραδειγμάτων δεηθῆναι. ἀλλὰ περὶ μὲν τῆς κατὰ τοὔνομα χρήσεως, κἂν τῷ τρίτῳ τῶν περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς αὐτάρκως εἴρηται καὶ νῦν ἐμνήσθημεν αὐτοῦ χάριν τοῦ δεῖξαι τὸ τεταραγμένον ἐν τῇ διδασκαλίᾳ τοῦ Ἀρχιγένους. οὐ γὰρ ἐχρῆν περιπλέκειν μακρὰ, καὶ λαλεῖν ἀπέραντα, δι' ὀλίγων ἐπὰν δυναμένους τῆς διδασκαλίας ῥᾳδίως περιϊέναι τοῦτον δὲ τὸν τρόπον. εἰρήσεται γὰρ ὑφ' ἡμῶν διὰ βραχέων σαφῶς, ἃ διὰ πολλῶν ἐκεῖνος ἀσαφῶς ἔγραψεν. ἔστι τι γένος σφυγμῶν αὐτὸ τὸ σῶμα τῆς ἀρτηρίας ὡς ἔχει συστάσεως ἐνδεικνύμενον. ἕτερον δὲ τῆς ἐν αὐτῇ περιεχομένης οὐσίας ποιότητα. καὶ τρίτον τοῦ συμφύτου πνεύματος αὐτῆς τὴν δύναμιν γνωρίζον. ὄνομα δὲ τοῖς τρισὶ τούτοις γένεσι, πληρότης. ταῦτα γράψας καὶ σαφῶς ἂν ἔγραψε καὶ ταχέως. καὶ οὐκ ἂν νῦν ἡμᾶς ἐπέτριβε, ζητοῦντας πρότερον μὲν τί λέγει, δεύτερον δὲ εἰ καλῶς λέγει, ἀλλ' ἄντικρυς ἂν ὃ λέγει γνόντες, ἐπὶ τὸ ζητεῖν εἰ καλῶς λέγει μετεβαίνομεν, ὧδέ πως πάλιν καὶ αὐτοὶ τὸν λόγον ποιούμενοι. τούτων τῶν τριῶν γενῶν ὧν Ἀρχιγένους τὸ μὲν πρῶτον ἔστι τε καὶ διαγινώσκεται τὸ κατὰ τὴν σύστασιν τῆς ἀρτηρίας, οὐ μὴν πληρότης γε πρὸς τῶν Ἑλλήνων ὀνομάζεται, καθάπερ ἐδείξαμεν ἐν τῷ τρίτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς. ἐν ἐκείνοις γὰρ περὶ ὀνομάτων ἦν ἡμῖν ὁ λόγος. ἐνταυθοῖ δὲ, οὐ γὰρ ἔτι περὶ ὀνομάτων, ἀλλὰ περὶ διαγνώσεως αὐτῶν τῶν σφυγμῶν σκοπούμεθα, σὺ μὲν ὡς ἐθέλεις, αὐτὸ κάλει. συγχωρήσεις δ' ἡμῖν τοῖς τῶν Ἑλλήνων ὀνόμασι χρῆσθαι, σκληρόν τέ τινα σφυγμὸν ὀνομάζουσι, καὶ μαλακὸν ἕτερον ἐναντίον αὐτῷ, καί τινα τρίτον ἀμφοῖν μεταξὺ τὸν σύμμετρόν τε καὶ κατὰ φύσιν ἐν τῇ συστάσει τοῦ τῆς ἀρτηρίας σώματος. τοῦτον οὖν ὃν σὺ μὲν πλήρη καλεῖς, ἐγὼ δὲ σκληρόν, τίσιν αἰσθητοῖς παθήμασι τῆς ἁφῆς γνωριοῦμεν. ὅτι μὲν γὰρ ἀναγκαῖόν ἐστιν ἤτοι πεπιλημένον εἶναι τὸ σῶμα τῆς ἀρτηρίας ἢ χαῦνον, οὐδεὶς ἀμφισβητεῖ. ἀλλ' οὐ τοῦτο νῦν ἐστι τὸ προκείμενον, ἀλλὰ πῶς αὐτὸ διαγνωσόμεθα. τοῦτ' οὖν ἡμᾶς δίδαξον σαφῶς, μὴ περιπλέκων. ἀλλ' οὐ ποιεῖς οὐ μὴν ἡμεῖς γε σοὶ μεμφόμεθα τούτου χάριν, οὐδ' ὅτι σαφῶς ἐξηγησάμεθα τὸ πάθημα τῆς ἁφῆς, ἕτερον μὲν ἐπὶ τοῖς σφοδροῖς, ἕτερον δὲ ἐπὶ τούτοις τοῖς σφυγμοῖς γινόμενον, ἀγαλλόμεθα. διὰ ὑμᾶς γὰρ τοὺς πρεσβυτέρους τοὺς περὶ τούτων ἐπιμελῶς ζητήσαντας, ἐξεύρηται καὶ πρὸς ἡμῶν χρηστόν, οὐκ ἂν ἄλλως εὑρεθέν, εἰ μὴ πρὸς ἡμῶν τῶν προπονησάντων ἐν αὐτοῖς καὶ προκαμόντων ἐγυμνάσθημεν. τοῦτο μὲν δὴ καταλελείφθω τῷ θλιπτικῷ τῆς ἁφῆς παθήματι, διαγινωσκόμενόν τε καὶ διακρινόμενον τοῦ σφοδροῦ. τὸ γὰρ ἀνατρεπτικόν τε καὶ ἀντιβατικὸν ἀπεδώκαμεν ἐκείνῳ. ζητήσωμεν δ' ἑξῆς ἐκείνῳ τὰ λοιπὰ δύο γένη τῆς πληρότητος. πρότερον γε τὸ κατ' αὐτὸ τὸ πνεῦμα νοούμενον, ὡς φατὲ τί δή ποτ' ἐστὶν, οὐδ' αὐτὸ μὲν οἷόν τε ἐννοῆσαι, καθάπερ καὶ τοῦτ' ἐν τῷ τρίτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ἐδείξαμεν. ἀλλ' ἐπειδὴ νῦν συντέμνειν βούλομαι τὸν λόγον ἐν ἐκείνοις διὰ μακροτέρων εἰρημένων, ἢ τὸ τῆς θερμασίας πυρῶδες, ἢ τὸν τόνον αὐτοῦ λέγετε. ταῦτα γὰρ ἐκ τῶν ῥήσεων ὑμῶν ὥσπερ λοξῶν χρησμῶν ἐξευρεῖν ἠδυνήθημεν. νῦν οὖν ἤδη καιρὸς διδάσκειν αὐτῶν τὰ γνωρίσματα. τοῦ μὲν δὴ τόνου μεμαθήκαμέν τε καὶ χάριν ἴσμεν. ἀντιβαίνει μὲν γὰρ θλιβόντων ὡς φατὲ καὶ ἀνατρέπει τὴν ἁφήν. τοῦ δὲ τῆς θερμασίας τοῦ πυρώδους τούτου, μόνον δεόμεθα μαθεῖν, ἐς ἄν γε τὴν ἁφὴν αἰσθανομένην ἔχωμεν. οὐ γὰρ ἀγνοήσομεν οἶμαι ψαύσαντες οὐδὲ μίαν ἐν θερμότητι διαφοράν. ἐκεῖνο δὲ θαυμάζομεν ὑμῶν, εἰ τὰ τοιαῦτα ἐν ταῖς τῶν σφυγμῶν διαφοραῖς, ἀλλ' οὐκ ἐν ταῖς τῶν πυρετῶν καταριθμεῖσθε. ἀλλ' ἔα, τό γε νῦν, περὶ τούτου μηδὲν διαφερόμεθα. τοῦ δὲ λοιποῦ γένους τῆς πληρότητος ἐπισκεψώμεθα τὴν διάγνωσιν. οὐδὲ γὰρ ἐν τούτῳ διὰ τῆς ἁφῆς οὐδὲν ἔχω συμβαλεῖν, οὔτ' εἰ πνεῦμα μόνον ἐν ταῖς ἀρτηρίαις, οὔτ' εἰ καὶ χυμοὶ περιέχονται τινές. ἀλλ' οὐδὲ δύναμαι ὡς καὶ πρόσθεν ἔφην, ἐπειδὰν πρὸς Ἐρασίστρατον ἢ Πραξαγόραν ἀντιλέγητε, περὶ τοῦ τὰς ἀρτηρίας αἷμα περιέχειν, τὴν αἴσθησιν ἐπικαλεῖσθαι μάρτυρα πάντως ἂν αὐτὸ ποιήσας εἴπερ ἐναργὲς ἦν, ἀλλ' οὐδ' αὐτῶν ἐκείνων οὐδεὶς ἐπὶ τὴν αἴσθησιν μάρτυρα. κατέφυγεν, ὡς εἶεν αἱ ἀρτηρίαι χυμῶν μὲν καθαραὶ, πνεύματος δ' ὄργανα μόνου δεόντως. ἁφὴ γὰρ οὔτ' εἰ πνεῦμα περιέχεται μόνον ὑπὸ τῶν ἀρτηριῶν, οὔτ' εἰ καὶ χυμοί τινες ἐνδέξασθαι δύναται. καταλιπόντες οὖν ἤδη τὴν ματαίαν αὐτῶν φλυαρίαν, αὐτοὶ κατὰ μόνας εἴπωμεν, ὡς οὐκ ἔστιν ἅμα οὐδὲν τῶν αἰσθήσεων διαγνῶναι τὸ περιεχόμενον ἐν ταῖς ἀρτηρίαις ἅμα πότερον εἴθ' ὁποῖον τί ἐστι. πρῶτον μὲν γὰρ ἀναμνήσωμεν ἡμᾶς αὐτοὺς, ὡς οὐδὲ κατὰ τοὺς ὑδέρους ὑγρὸν, ἢ πνεῦμα περιεχόμενον ἐν τοῖς κατὰ γαστέρα χωρίοις ἁφῇ διαγνῶναι δυνάμεθα, μὴ βομβουμένου γε πιεζόντων τοῦ δέρματος. ὥσπερ οὖν οὐδὲ φαίνεται βομβούμενον πολλάκις, ἔν τε τοῖς ἀσκίταις τοῖς ἀκριβέσι, καὶ τοῖς τυμπανίαις καλουμένοις ὑδέροις. ἀλλ' ἀναγκαζόμεθα πρὸς τὴν ἀκριβῆ διάγνωσιν πρῶτον μὲν κρούειν τὸ ἐπιγάστριον, ἵνα γνῶμεν εἰ οἷον τύμπανον ἐπηχεῖ. δεύτερον δὲ καὶ μετασχηματίζειν καὶ μεταβάλλειν ἐπὶ τὰς πλευρὰς τὸν ἄνθρωπον, ὑπὲρ τοῦ κλύδωνος αἰσθέσθαι τινός. καὶ ἡμῖν ὁ μὲν τυμπανώδης ψόφος, πνεύματος σημεῖόν ἐστιν. ὁ δὲ κλύδων, ὑγρότητος. τῇ δ' ἁφῇ μόνῃ κατὰ τὴν ἐπιβολὴν, τὸ τεταμένον ὑπογάστριον οὐκ ἔστι διαγνῶναι, πότερον ὑπ' ἀέρος, ἢ ὕδατος τοῦτο πέπονθε. καίτοι συντέτηκεν ἐπὶ τούτων τό τε δέρμα, καὶ πᾶν ἔτι σαρκῶδες ἐπὶ τῷ περιτοναίῳ, καὶ πολύδερμον ἦν, διά τε τὴν λεπτότητα τῶν περικειμένων, καὶ τὸ πλῆθος τε περιεχομένης οὐσίας, τεκμαίρεσθαι διά τε ἁφῆς, εἴθ' ὑγρὸν, εἴ τε πνεῦμα τὸ περιεχόμενον ἐστι, ἀλλ' ὅμως οὐδ' ἐπὶ τούτων ἀσφαλὲς ἁφῇ μόνῃ πιστεύειν. πῶς οὖν ἐπὶ τῆς ἀρτηρίας, οὕτω μὲν παχὺν ἐχούσης χιτῶνα, ὡς ἑξαπλάσιον εἶναι τοῦ περιτοναίου, δέρματος δ' ἱκανῶς παχέος ἐπικειμένου πολλάκις, οὐ γὰρ δὴ πάντας γε τοὺς νοσοῦντας φθινώδεις ἐπισκοπούμεθα καὶ

τρίτου πρὸς

τρίτου προσιόντος τοῦ τῆς κινήσεως, οὐ μικρὰν οὐδ' αὐτοῦ δύναμιν εἰς τὸ συγχεῖν μὲν τὴν διάγνωσιν ἔχοντος ἐσόμεθά τι διὰ τῆς ἁφῆς ἀκριβές. καί τοι πρὸς τὸ συγχυθῆναι περὶ τὸ ὑποκείμενον. εἴρηται τὸ διὰ παντὸς ἐν κινήσει τὴν ἀρτηρίαν εἶναι. πόθεν οὖν γνῶναι δυνατὸν ἢ ποσότητα τοῦ περιεχομένου χυμοῦ κατὰ τὰς ἀρτηρίας, ἢ ποιότητα; τῷ μὲν γὰρ μεγέθει τοῦ σφυγμοῦ τὸ πλῆθος τῆς περιεχομένης οὐσίας γνωρίζομεν, ἀλλ' οὐ πάντως ὑγρὸν εἶναι χυμὸν αὐτὴν ἐντεῦθεν διαγινώσκομεν, τῇ δὲ σκληρότητι, τὴν σύστασιν τοῦ τῆς ἀρτηρίας σώματος. τὸ δ' ἀντιβατικὸν πληγῆς, οὐ πάχους οὐσίας σημεῖον, ἀλλὰ τῆς ῥώμης τοῦ ζωτικοῦ τόνου. καὶ γὰρ ἂν καὶ γελοῖον εἴη παχεῖαν οὕτως ταῖς κοιλότησι τῶν ἀρτηριῶν ὑπολαμβάνειν ὑγρότητα περιέχεσθαι ποτὲ, ὡς θλιβόντων ἀντιβαίνειν. εἰ γὰρ καὶ βόρβορος εἴη ῥᾳδίως εἴξει θλιβόντων, εἰ μή τε λίθους καὶ ψάμμον ἐν ταῖς ἀρτηρίαις περιέχεσθαι νομίζουσιν. οὕτως γὰρ μόνως τὸ πάχος τῆς οὐσίας ἀντιβήσεται θλίβουσιν, ἄλλως δὲ οὐδαμῶς. ἐβουλόμην δ' ἂν ἀσκὸν πληρώσας ὑγρᾶς οὐσίας, τοῖς οὕτως ἀκριβῶς ἐπαγγελλομένοις τὴν ἁφὴν, ὡς τὴν ἀλήθειαν αὐτὴν ὑπερφθέγγεσθαι παρέχειν, εἰς διάγνωσιν ὁποία τίς ἐστιν ἡ περιεχομένη κατ' αὐτὸν οὐσία. μόνον γὰρ οὐκ ἂν διακρίναιεν ὕδωρ λεπτὸν οἴνου παχέος. ἀλλ' οὐδ' εἰ τῶν ἀσκῶν, ὁ μὲν εἴη πίττης ὑγρᾶς πλέως, ὁ δὲ ἀέρος, οὐδ' οὕτως διαγνώσονται. μόνοι γὰρ οἱ κλυδωνοῦντές τε καὶ ψοφοῦντες δυνατοὶ διακρῖναι εἰσὶν, ὁποῖόν τι τὸ περιεχόμενόν ἐστιν. ἡ δὲ διὰ τῆς ἁφῆς αἴσθησις ὁμοία κατὰ πᾶν. οὐ μὴν οὐδ' οἱ κλυδωνοῦντες τὰς ποιότητας τῶν ὑγρῶν οἷοί τε δηλοῦν, ἀλλ' αὐτὸ τοῦτο μόνον τὸ κοινὸν, ὅτι ὑγρὸν τὸ περιεχόμενον, καὶ οὐ πνεῦμα. καίτοι πῶς ἄν τις πιστεύσειε, τοὺς οὐδ' ἑνὸς χιτῶνος τοῦ κατὰ τὸν ἀσκὸν μὴ δυναμένους διαγνῶναι τοῦ περιεχομένου τὴν ποιότητα, δυνατοὺς εἶναι διά τε δέρματος, οὐχ ἧττον, ἢ κατ' ἀσκὸν παχέος, καὶ ὑμένων τοὐλάχιστον δυοῖν, καὶ χιτώνων ἐξ ἀνάγκης δυοῖν, τὴν ἐντὸς τῆς ἀρτηρίας διαγνῶναι ποιότητα. ταῦτ' οὖν αὐτοὶ μὲν λεγέτωσαν. Ἡροφίλου δὲ μὴ καταψευδέσθωσαν, μηδὲ δυσωπείτωσαν ὀνόματι σεμνῷ τοὺς ἀμαθεῖς τῶν Ἡροφίλου γραμμάτων, μὴ δ' ἐκ τούτου τὴν πίστιν τῷ λόγῳ πορίζεσθωσαν. αἰσχρὸν γὰρ ὄντως μαρτύρων ἀγωνίζεσθαι, καθάπερ ἐν δικαστηρίῳ. εἰ λέγειν ἔχεις εἰς ἀπόδειξιν, ἡδέως ἀκουσόμεθά σου. τὸ δ' Ἡρόφιλόν τε καὶ Ἡροφιλείους καλεῖν μάρτυρας, ἀποδιδράσκοντός ἐστι τὸν ἐξ εὐθείας ἀγῶνα, καὶ λόγον καὶ διαδύσεις τε καὶ μηχανὰς ἐξευρίσκοντος ἐλέγχου φόβῳ. δῆλον ὡς ἕνεκα τοῦ μὴ περὶ πράγματος ἔτι ζητεῖν, ἀλλ' ἱστορίας οἱ κατεψευσμένοι μάρτυρας ἐπεισάγονται. λέγει τοῦτ' Ἡρόφιλος; οὐ μὲν οὖν. ἀλλὰ σὺ δὲ ψεύσῃ. δεῖξον πῶς ψεύδομαι. δεῖξον πῶς λέγει. κἄπειτα λέξις, εἰ οὕτως ἔτυχεν, ἀμφίβολος προβάλλεται. καὶ πόλεμος ἀμφ' αὐτῇ συνίσταται. τί ποθ' ἡ λέξις λέγει. καὶ τί ποτε βούλεται, καὶ κατὰ ῥητὸν ἤδη καὶ διάνοιαν ἐπιχειρήματα ῥητορικὰ καλινδεῖται, καὶ κατ' ἀμφιβολίαν ἕτερα, καὶ κατὰ συλλογισμοὺς, νὴ Δία. ἀλλὰ καὶ πᾶσαν οὕτω μεταφέρουσιν τὴν ῥητορικὴν ὥσπερ ὑπόθεσιν μελετῶντες, οὐ τὸ προκείμενον περαίνοντες. τί γὰρ οὐκ εἴρηται τοῖς νεωτέροις ἰατροῖς εἰς τὸ πρόβλημα, τοῖς μὲν κατασκευάζουσιν ἐπίστασθαι τὸν Ἡρόφιλον, καὶ ταύτην τοῦ σφυγμοῦ τὴν διαφοράν, τοῖς δ' ὡς οὐκ οἶδεν ἐγχειροῦσι δεικνύειν. ἀταλαίπωροι μὲν οὖν ἑκάτεροι καὶ ἐλεεῖσθαι δίκαιοι, τῆς μὲν ἀμαθείας οἱ πρότεροι, τῆς φιλονεικίας δ' οἱ δεύτεροι. ἀταλαίπωροι δὲ καὶ ἡμεῖς, οἷς γε οὐκ ἀρκεῖ τὴν ἰδίαν ἀσκεῖν θεωρίαν τῆς τέχνης, ἀλλὰ τί μὲν Ἡρόφιλος εἶπεν, τί δ' Ἡρακλείδης τε καὶ Χρύσερμος, καὶ Ἡγήτωρ οὐκ ὀρθῶς ἐξηγήσαντο, τί δ' ἂν εἶπεν Ἀπολλώνιός τε καὶ Βακχεῖος τε καὶ Ἀρίστοξενος εἰδέναι βουλόμεθα. καὶ εἰ μὴ βουλόμεθα δὲ πάντως ἀναγκαζόμεθα. καὶ δῆλον ἀποκλαιόμεθα κακῶν. ὅτι τε φλυαροῦμεν οὐδὲν δέον, ὅτι τε μὴ βουλόμενοι ταῦτα δρῶμεν ὥσπερ ἐκεῖνοι, νῦν γοῦν ἐμὲ δεῖ δυοῖν θάτερον εἰ δοκεῖν Ἀρχιγένει τε καὶ Ἡροφίλῳ καὶ μυρίοις ἄλλοις τἀναντία λέγειν, ἢ δεικνύειν, ὅτι καθ' Ἡρόφιλον, οὐδείς ἐστι πλήρης σφυγμός. εἰ μὲν οὖν ὡς ἔργον αὐτὸ προὐχειρισάμην. ἦν γὰρ ὁμοίως ἐκείνοις ἄξιος μέμψεως ὄντως τῇ ματαίᾳ σπουδῇ. νυνὶ δὲ κατ' αὐτὴν τῶν πραγμάτων τὴν ἀλήθειαν ἐξελέγξας αὐτῶν τὴν δόξαν, τοὺς μὲν πρὸς αὐτὰ τὰ ἔργα τῆς τέχνης σπεύδοντας, ἀπολύσω πρὸς ἐκεῖνα, συντετελεσμένης ἡμῖν ἤδη τῆς προκειμένης ζητήσεως. ὅσοι δὲ καὶ ἱστορίαν ἐκμανθάνειν παλαιὰν ἐθέλουσι καὶ χρόνον εἰς τοῦτ' ἔχουσιν, ἅπαντα προσθήσω, δεικνὺς ὅτι μηδαμοῦ χρῆται πρὸς μηδὲν Ἡρόφιλος τῷ πλήρει σφυγμῷ. πρῶτον δ' ἀπ' αὐτῆς ἄρξομαι τῆς λέξεως ἧς ἐκεῖνοι προβάλλουσιν ἐν τῷ πρώτῳ περὶ τῶν Ἡροφίλου περὶ σφυγμῶν γεγραμμένης. ἣν καὶ μόνην ἀνεγνωκέναι μοι δοκοῦσιν. ἔχει δὲ οὕτως. καθόλου μὲν οὖν δοκεῖ διαφέρειν σφυγμὸς σφυγμοῦ, πλήθει, μεγέθει, τάχει, σφοδρότητι, ῥυθμῷ. ταύτην γὰρ προβάλλοντες ἐρωτῶσι τί ποτ' ἐστὶ τὸ πλῆθος, ὥσπερ εἰ μὴ γιγνώσκομεν ὁποῖόν τι δηλοῖ τῷ πλήθει, τῆς πληρότητος ἐξ ἀνάγκης ὑπ' αὐτοῦ δηλουμένης. ἐγὼ τοίνυν, ὡς νομίζω, χαριέντως ἀποκρίνομαι. τὸ γὰρ πλήθει πυκνότητα φημὶ δηλοῦν. αὖθις δ' ἂν ἑτέροις ἀποκριναίμην τὸ, πλήθει σφοδρότητα δηλοῦν, καὶ πάντα μᾶλλον ἢ πληρότητα φήσαιμ' ἂν, ἵνα γνῶσιν ὅση τοῖς φλυαρεῖν βουλομένοις ἐστὶν ἐξουσία. διὰ τί γὰρ πληρότητι μᾶλλον οὐ πυκνότητι δηλοῦται τὸ πλῆθος. ἢ ὅτι τὴν πρώτην συλλαβὴν ἔν τε τῇ πληρότητι καὶ πλήθει διὰ τῶν αὐτῶν στοιχείων λέγομεν, ἀλλ' εἰ τοῦτο καὶ ἡ πληγὴ, καὶ τὸ πλησίον καὶ ἡ πλησμονὴ, καὶ τὸ πλῆκτρον, καὶ μυρία ἕτερα τὴν πρώτην συλλαβὴν ἐκ τῶν αὐτῶν ἔχει στοιχείων συγκειμένην. ἀλλὰ πόρρω φασίν ἐστι τὰ τούτων σημαινόμενα τοῦ κατὰ τὸ πλῆθος. τί δ' οὐ καὶ τὸ τῆς πληρότητος σημαινόμενον πάμπολυ τοῦ κατὰ τὸ πλῆθος διῴκισται; ἀλλ' εὔλογον φασὶν ἐστὶ καὶ τὴν κατὰ πληρότητα διαφορὰν ὑπάρχουσαν ἐν τοῖς σφυγμοῖς, εἰρῆσθαί τε καὶ νῦν καὶ γινώσκεσθαι πρὸς Ἡροφίλου. τί δ' οὐκ εὔλογον καὶ τὴν σκληρότητα γινώσκεσθαι καὶ λέγεσθαι. καὶ γὰρ καὶ αὗται διαφοραί τε εἰσὶ σφυγμῶν, καὶ πάντως, αὐτὰς ἐγίνωσκεν Ἡρόφιλος. πόθεν οὖν τὴν κατὰ πληρότητα λέγει, κάλλιον ἦν οἶμαι μακρῷ πρότερον ἀναγνῶναι πάντ' αὐτοῦ τὰ περὶ σφυγμῶν συγγράμματα. καὶ γάρ μοι καὶ νόμος οὗτος ἐξηγήσεως, ἕκαστον τῶν ἀνδρῶν ἐξ ἑαυτοῦ σαφηνίζεσθαι, καὶ μὴ κεναῖς ὑπονοίαις καὶ φάσεσιν ἀναποδείκτοις ἀποληρεῖν, ὅτι τις βούλεται. ποῦ τοίνυν εὗρεν ἀλλαχόθεν τὸ τοῦ πλήρους ὄνομα παρ' Ἡροφίλῳ. τὸ μὲν γὰρ τοῦ πυκνοῦ μυριάκις. ὅταν οὖν ἡ μὲν κατὰ πληρότητα διαφορὰ, μήτ' εἰς διάγνωσιν ἥκει, καθότι δέδεικται, μήθ' Ἡρόφιλος αὐτῆς ἑτέρωθεν μνημονεύῃ, ἡ δὲ κατὰ πυκνότητα καὶ πρὸς ἁπάντων ὁμολογῆται, καὶ μυριάκις αὐτὴν Ἡρόφιλος εὑρίσκεται γράφων, εὐλογώτερον ἂν εἴη πυκνότητα νομίζειν εἰρῆσθαι

μᾶλλον ἢ πληρότητα, καὶ οὐδέπω φημὶ νῦν ὡς τῷ πλήθει γέγραφεν Ἡρόφιλος, ἀντὶ τοῦ πυκνότητα, γελοῖος γὰρ ἂν εἴην ὁμοίως ἐκείνοις ἐξηγητὴς εἰ τοῦτο λέγοιμι, ἀλλ' ὅτι ῥᾷον ἐστὶν καὶ πυκνότητα καὶ σκληρότητα καὶ πάντα μᾶλλον ἢ τὴν πληρότητα δεῖξαι δηλούμενα. ἐγὼ δὲ τί μὲν δηλοῖ τὸ πλήθει παρ' Ἡροφίλῳ, δι' ἑτέρων οἶμαι σαφῶς ἐξηγήσασθαι, νῦν δὲ ὅτι οὐ δηλοῖ πληρότητι. πῶς οὖν ἀποδείκνυμεν αὐτό; πρῶτον μὲν ἐπιφέρων εὐθὺς φησὶν ὡδί. γράψω γὰρ τὴν ῥῆσιν ὅλην, ἵνα μᾶλλον θαυμάσῃς τὴν ἄνοιαν τῶν ἀνθρώπων, πληρότητι τὸ πλήθει νομιζόντων λέγεσθαι. καθ' ὅλου μὲν οὖν δοκεῖ διαφέρειν σφυγμὸς σφυγμοῦ πλήθει, μεγέθει, τάχει, σφοδρότητι, ῥυθμῷ. ἐκ δὲ τῶν κατὰ ταῦτα διαφέρειν φανερὸς γίνεται ἐνίοτε ὅτε οἰκεῖος καὶ οὐκ οἰκεῖος. φαίνεται δὲ διαφέρειν καὶ ἐπιγινώσκεσθαι καθόλου μὲν ἕτερος ἑτέρου σφυγμός, ὡς εἴρηται, ῥυθμῷ, μεγέθει, τάχει, σφοδρότητι. εἰ δὲ ἐν τῷ αὐτῷ ῥυθμῷ φαίνεται διαφέρειν ἕτερος ἑτέρου, σφυγμὸς σφυγμοῦ, τάχει, μεγέθει, σφοδρότητι, τίνα βούλει πιστότερον Ἡροφίλου λαβεῖν μάρτυρα τῆς Ἡροφίλου γνώμης. φαίνεται φησὶν ἕτερος ἑτέρου διαφέρειν σφυγμός, ὥσπερ εἴρηται, ῥυθμῷ, μεγέθει, τάχει, σφοδρότητι. πῶς οὖν εἴπερ ὅλως διαφοράν τινα σφυγμῶν τὸ πλήθει δηλοῖ, παρέλιπεν αὐτὴν νῦν, ἐπαναλαμβάνων τὸν λόγον οὐκ ἁπλῶς οὐδ' ἀργῶς, ἀλλὰ μετὰ τοῦ προσθεῖναι, ὡς εἴρηται. πῶς δὲ τοὺς ἐν τῷ αὐτῷ ῥυθμῷ σφυγμοὺς φησί, τάχει, καὶ μεγέθει καὶ σφοδρότητι διαφέρειν. πῶς δ' ἐφεξῆς τὰς καθ' ἡλικίαν διαφορὰς ἐκτιθέμενος, ταῖς μὲν ἄλλαις διορίζει τοὺς σφυγμούς, παρέλιπε δὲ τὴν πληρότητα. καὶ κατὰ τὰ πάθη δὲ καὶ τὰς ὥρας καὶ τὰ ἐπιτηδεύματα καὶ τἄλλα πάντα διορίζων τοὺς σφυγμούς, τῶν μὲν ἄλλων πασῶν ἀεὶ μνημονεύει διαφορῶν, τῆς πληρότητος δ' οὐδαμοῦ. καὶ τὸ μεῖζον, αὐτὴν ταύτην τὴν λέξιν σχεδὸν καθ' ἕκαστον αὐτῶν προσγράφων, οὐδαμοῦ τὸ πλήθει προστέθεικεν, ἀλλ' ἐν τῷ α. βιβλίῳ μόνον οὐκ ἐν τοῖς ἅπασι λόγοις, οὐκ ἂν παραλιπὼν εἴπερ ὄνομα διαφορᾶς ἦν σφυγμῶν. ταῦθ' ὥσπερ ἐπιτομὴ τῶν εἰρημένων ἡμῖν ἐν τοῖς περὶ τῆς καθ' Ἡρόφιλον ἐν τοῖς σφυγμοῖς διαφορᾶς ἔστω λελεγμένα. δι' ἐκείνων γὰρ ἐπὶ πλέον ἐξηγησάμεθα τὴν Ἡροφίλου τῶν κατὰ σφυγμοὺς ὀνομάτων συνήθειαν. ἤδη τοιγαροῦν καταπαύσω τὸν περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν λόγον. ὅσα γὰρ ἢ περὶ τῆς διαστροφῆς θέσεως τῶν ἀρτηριῶν, ἢ περί τινος ἄλλου τῶν κατὰ μέρος εἰς τόνδε τὸν λόγον ἀνεβαλλόμην, ταῦτ' ἐν ταῖς ἐχομέναις δύο πραγματείαις εἰρήσεται τῇ τε περὶ τῶν ἐν σφυγμοῖς αἰτίων, καὶ τῇ δι' αὐτῶν προγνώσεως, τεττάρων ἑκατέρα βιβλίων ἐσομένων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ

ΛΟΓΟΣ. α.

Τῶν τοὺς σφυγμοὺς τρεπόντων αἰτίων, τὰ μὲν τῆς γενέσεως αὐτῶν ἐστὶν αἴτια, τὰ δέ, τῆς ἀλλοιώσεως μόνον. τῆς γενέσεως μὲν ἥ τε χρεία δι' ἣν γίνονται, καὶ ἡ δύναμις ὑφ' ἧς, καὶ τὰ ὄργανα δι' ὧν διαπράττονται. τῆς δ' ἀλλοιώσεως τὰ λοιπὰ πάντα, τά τε προηγούμενα καλούμενα, καὶ τὰ τούτων ἔτι τὰ προκατάρχοντα. τριττὸν γὰρ δὴ τὸ γένος τῶν αἰτίων, οὐκ ἐν σφυγμοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, ἓν μὲν τὸ πρῶτόν τε καὶ κυριώτατον. ὃ δὴ καὶ συνεκτικὸν καλοῦσιν, ἀπὸ τοῦ συνέχειν αὐτῶν τὴν οὐσίαν ὠνομασμένον, ὅπερ ὡς ἔμπροσθεν ἐῤῥέθη γενέσεως αἴτιον. τὰ δ' ἄλλα δύο γένη τοῦ μὲν γίνεσθαι τοὺς σφυγμοὺς ἀναίτια. τοῦ δὲ γεγενημένους τρέπειν, αἴτια. πάχος γοῦν χυμῶν, ἢ πλῆθος, ἢ γλισχρότης, ἢ δριμύτης ποιεῖν μὲν οὐ δύνανται σφυγμούς, ἀλλοιοῦν δὲ δύνανται. οὕτω δὲ καὶ ψυχρὸν λουτρὸν ἢ θερμόν, καὶ χειμών, καὶ θέρος, καὶ ὅλως κρύος, καὶ θάλπος, ἀλλοιώσεως μὲν σφυγμῶν αἴτια, γενέσεως δ' οὐκ ἔστι. ταυτὶ μὲν οὖν τὰ νῦν εἰρημένα προκαταρκτικὰ λέγεται. τὰ δ' ἔτι τούτων ἔμπροσθεν τὰ κατὰ τοὺς χυμούς, προηγούμενα. καθόλου γὰρ εἰπεῖν ὅσα μὲν ἔξωθεν ὄντα τοῦ σώματος, ἀλλοιοῖ τι τῶν κατ' αὐτό, προκαταρκτικὰ λέγεται. προκατάρχοντα γε δὴ τῶν ἐν τῷ σώματι διαθέσεων. αὗται δὲ αἱ διαθέσεις ὅταν τὰ συνεκτικὰ τρέπωσι, προηγούμεναι γίνονται αὐτῶν αἰτίαι. φέρε γὰρ ὑπὸ προσπεσόντος ἔξωθεν ψυχροῦ πυκνωθῆναι μὲν τὸ δέρμα, διὰ δὲ τὴν τούτου πύκνωσιν ἐπισχεθῆναι τὴν κατὰ φύσιν διαπνοήν, ἐπισχεθεῖσαν δ' ἀθροισθῆναι, κἄπειτ' οὕτως ἐξάψαι πυρετόν, ἐφ' ᾧ τὴν χρείαν τῶν σφυγμῶν ἀλλοιωθῆναι, καὶ οὕτω πρὸς αὐτῆς τοὺς σφυγμούς, τῶν σφυγμῶν προκαταρκτικὸν μὲν αἴτιον τὸ προσπεσὸν ἔξωθεν ψυχρόν. τὰ δ' ἄλλα πάντα τὰ μέχρι τῆς χρείας τῶν σφυγμῶν προηγούμενα. διὰ μέσων οὖν τῶν προηγουμένων, τὸ προκαταρκτικὸν αἴτιον ἀλλοιῶσαν, τὴν χρείαν τῶν σφυγμῶν ἓν οὖσαν τῶν συνεκτικῶν αἰτίων, ἔτρεψεν οὕτω, καὶ αὐτοὺς τοὺς σφυγμούς. οὐ γὰρ ἐνδέχεται τραπῆναι μέν τινα συνεκτικὴν αἰτίαν, ἄτρεπτον δὲ μεῖναι τὸ πρὸς αὐτῆς ἀποτελούμενον. πρὶν δ' ἐπί τι τῶν συνεκτικῶν διαδοθῆναι τὴν ἀλλοίωσιν, ἀδύνατον τραπῆναι τοὺς σφυγμούς. διὸ καὶ κυριώτατα καὶ μάλιστα καὶ πρῶτα ταῦτ' αἴτια τῶν σφυγμῶν. τὰ δ' ἄλλα πάντα διὰ ταῦτα. τῷ γὰρ τὴν ἔξωθεν γεγενημένην ἀλλοίωσιν, εἰς τὰ συνεκτικὰ διαδίδοσθαι, σφυγμῶν αἴτια λέγεται, κατά γε τὴν ἰδίαν τε οὐσίαν καὶ φύσιν, οὐδαμῶς τρέπειν αὐτοὺς δυνάμενα. χρὴ τοίνυν ὅς τις βούλεται τὴν περὶ τοὺς σφυγμοὺς τέχνην ἱκανὸς γενέσθαι, γυμνάζεσθαι πολυειδῶς ἐν ἅπασι τοῖς γένεσι τῶν αἰτίων, ὡς ἑνός οὗ τινος οὖν αὐτῷ προτεθέντος, ἔχειν εἰπεῖν τὴν γενομένην ἐν τοῖς σφυγμοῖς ἀλλοίωσιν. ἀρχὴ δὲ τῆς γυμνασίας ἀρίστη, τὰς συνεκτικὰς αἰτίας ἐπισκέπτεσθαι, καθ' ὅ τι γεννᾷ ἑκάστη πέφυκε σφυγμόν. ᾧ γὰρ λόγῳ τῆς γενέσεως αὐτῶν ἐξηγοῦνται, τούτῳ καὶ τῆς ἀλλοιώσεως. αἱ γὰρ κατὰ τὸ πόσον καὶ ποῖον ἐν ταῖς αἰτίαις διαφοραί, τὰς κατὰ τὸ ποσόν τε καὶ ποιὸν ἐν τοῖς

σφυγμοῖς

σφυγμοῖς ἐργάζονται διαφοράς. φαίνεται δὴ διὰ παντὸς ἡ καρδία μετὰ πασῶν τῶν ἀρτηριῶν τὴν σφυγμικὴν καλουμένην κίνησιν, ἔστ' ἂν περιῇ τὸ ζῶον κινουμένη, ἀποθανόντος δ' οὔτε τῶν ἀρτηριῶν οὐδὲ μίαν, οὔτ' αὐτὴν τὴν καρδίαν ἔστιν ἰδεῖν ἔτι σφύζουσαν. ὥστε δῆλον, ὡς ἦν τις αἰτία τέως ὑφ' ἧς ἐκινοῦντο. τίς δ' αὕτη, χαλεπὸν εὑρεῖν. ὁ μὲν γὰρ τὴν ἔμφυτον θερμασίαν, ὁ δὲ τὸν τόνον, ὁ δὲ τὴν ἰδιότητα τῆς κράσεως, ὁ δὲ τὴν ὅλην κατασκευὴν τοῦ σώματος, ὁ δὲ τὸ πνεῦμα μόνον, ὁ δέ τινα τούτων, ὁ δὲ καὶ πάνθ' ἅμα φησί. ἤδη δέ τινες ἀσώματόν τινα εἰσηγήσαντο δύναμιν, οἰκείοις ὀργάνοις τῆς κινήσεως τοῖς εἰρημένοις χρωμένην, ἤτοι πᾶσιν, ἢ τισὶν, ἢ τινί. ταύτην οὖν τὴν αἰτίαν τὴν δημιουργοῦσαν τοὺς σφυγμούς, ἥτις ἂν ᾖ κατὰ τὴν οὐσίαν αὐτοῦ ἀγνοοῦμεν, ἀπὸ τοῦ δύνασθαι σφυγμοὺς ἐργάζεσθαι δύναμιν αὐτὴν ἐκαλέσαμεν, ὥσπερ οἶμαι καὶ πᾶσαν ἑτέραν δύναμιν ἀπὸ τοῦ δύνασθαι ποιεῖν ὅπερ ἂν δύνηται, καλεῖν εἰθίσμεθα. τινός γοῦν ἡ δύναμις ἐστί, καὶ τὴν νόησιν αὐτοῦ ἐν τῷ πρός τι κεκτήμεθα, καὶ διὰ τοῦτο οὕτως αὐτὴν ὀνομάζομεν, ὅταν τὴν οὐσίαν ἀγνοοῦμεν. ὅταν δὲ ῥώμην ἢ ἀρετὴν δυνάμεως λέγομεν, ἢ αὖ πάλιν ἀῤῥωστίαν τε καὶ κακίαν ὡς πρὸς τὴν ἐνέργειαν ἀκούειν χρὴ τούτων τῶν ὀνομάτων. ἡ γὰρ δραστική τε καὶ ποιητικὴ καὶ δημιουργικὴ τῆς ἐνεργείας αἰτία, ποτὲ μὲν βέλτιον ὡς πρὸς ταύτην, ποτὲ δὲ χεῖρον διάκειται. καὶ διὰ τοῦτο νῦν ἄμεινον, αὖθις δ' εἰ τύχοι χεῖρον, ἡ ἐνέργεια συντελεῖται. τὸ μὲν οὖν βέλτιον ὡς πρὸς τοὔργον ἔχειν τὴν δύναμιν, ἀρετή τε καὶ ῥώμη. τὸ δὲ χεῖρον, ἀῤῥωστία τε καὶ κακία. περὶ μὲν δὴ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως, ἀρκεῖ καὶ ταῦτα διαγινώσκειν εἴς γε τὰ παρόντα. περὶ δὲ τῆς χρείας αὐτῶν ἀναμνησθῆναι χρὴ τῶν ἐν ἑτέροις ἀποδεδειγμένων. ὅτι φυλακῆς ἕνεκα τῆς καθ' ὅλον τὸ σῶμα θερμασίας γεγόνασιν, ἐμψύχοντές τε ταύτην καὶ ἔτι λιγνυῶδες ἐκ τῆς τῶν χυμῶν συγκαύσεως ὑποστρέφοιτο, τοῦτ' εὐθέως ἀποκρίνοντες. εἴρηται δ' ἐν ἐκείνοις, ὡς καὶ τῇ γενέσει τοῦ ψυχικοῦ πνεύματος συντελοῦσι. λοιπὴ δὲ καὶ τρίτη σφυγμῶν γενέσεως αἰτία συνεκτική, τὸ σῶμα τῶν ἀρτηριῶν ἐστιν αὐτό. πᾶσα γὰρ δύναμις ἐνεργοῦσα τινὸς ἕνεκεν, ὀργάνων ἐπιτηδείων δεῖται πρὸς τοὔργον. ἦν δ' ἐπιτήδειον ὄργανον πρὸς τὰ παρόντα, τὸ στεγανὸν μὲν τοῖς χιτῶσι, κοῖλον δ' ἔνδοθεν, οἷόν περ τὸ τῶν ἀρτηριῶν ἐστι. ὡς οὖν οἱ κατὰ τὰς πόλεις οὗτοι δημιουργοί, σκυτοτόμοι τε καὶ χαλκεῖς καὶ γραφεῖς, δι' ὀργάνων τινῶν ἐπιτελοῦσι τὸ σφέτερον ἔργον, οὕτως ἡ τοὺς σφυγμοὺς ἐργαζομένη δύναμις, δι' ὀργάνων τῶν ἀρτηριῶν, τὸ ἑαυτῆς ἔργον τὴν φυλακὴν τῆς ἐμφύτου θερμασίας ἀποτελεῖ, τοσόνδε μόνον τῶν ἄλλων διαφέρουσα δημιουργῶν, ὅτι τοῖς ὀργάνοις ἐνδέδεται, καὶ δι' ὅλων αὐτῶν ἅπασα διελήλυθεν, οὐκ ἔξωθεν, ἅπτεται καθάπερ ἐκεῖνοι. καὶ τοίνυν ἐπειδὰν μὲν τὴν ψύχουσαν αἰτίαν ἕλκῃ, διαστέλλεται τὸ σῶμα τῶν ἀρτηριῶν, ἐπειδὰν δὲ τὸ αἰθαλῶδες ἐκκρίνῃ, συστέλλεται. πλεονεκτεῖ δὲ ποτὲ μὲν ἡ τοῦ διαστέλλεσθαι, ποτὲ δὲ ἡ τοῦ συστέλλεσθαι χρεία. πάντως δ' ἕπεται θατέρῳ μέρει τῆς κινήσεως τὸ λοιπόν. κατὰ ταύτας δὲ τὰς αἰτίας, τῶν σφυγμῶν γινομένων, ἀνάγκη πάσας τὰς ῥοπὰς αὐτῶν ἕπεσθαι ταῖς τῶν αἰτίων ἀλλοιώσεσιν, ὥστε τὰς πρώτας μὲν καὶ γενικωτάτας τοσαύτας εἶναι διαφορὰς σφυγμῶν, ὅσαι περ καὶ τῶν αἰτίων. τῆς μὲν δὴ δυνάμεως αἱ διαφοραί, ῥώμη τε καὶ ἀῤῥωστία ἐστί. τῆς δ' ἐμφύτου θερμασίας, ἐκπύρωσίς τε καὶ κατάψυξις. τοῦ δὲ τῶν ἀρτηριῶν χιτῶνος, σκληρότης τε καὶ μαλακότης, καὶ πρὸ τούτων ἁπάντων, αἱ καθ' ἕκαστον γένος τῶν εἰρημένων συμμετρίαι. ἀλλ' αἱ μὲν συμμετρίαι τοὺς κατὰ φύσιν ἐργάζονται σφυγμούς, τοὺς μέσους τῶν ὑπερβαλλόντων, αἱ δ' ἀμετρίαι τοὺς παρὰ φύσιν. αἱ μὲν ἄλλαι σαφεῖς. ἡ δὲ κατὰ τὴν εὐρωστίαν τῆς δυνάμεως, ἔχει τι ζητήσεως ἄξιον, ὃ προϊὼν ὁ λόγος διασκέψεται. ῥώμη μὲν οὖν δυνάμεως, σφοδρὸν ἐξ ἀνάγκης ἐργάζεται τὸν σφυγμόν, ἀῤῥωστία δ' ἀμυδρὸν καὶ σκληρότης μὲν ὀργάνων, σκληρόν, μαλακότης δὲ μαλακόν. οὐ μὴν ἐπί γε ταῖς αὐξήσεσιν, ἢ ταῖς μειώσεσι τῆς κατὰ φύσιν θερμασίας, ἓν εἶδος σφυγμῶν ἐξ ἀνάγκης ἕπεται ταὐτὸν ἀεί. οὔτε γὰρ ὁ ταχύς, ὥς τισιν ἔδοξεν, οὔθ' ὁ μέγας, οὔθ' ὁ πυκνός, ἐκπυρουμένης ἀεὶ γίνονται τῆς φύσεως, οὔθ' ὁ βραδύς, ἢ μικρός, ἢ ἀραιός, σβεννυμένης. ἀλλ' οἱ περὶ τούτων ἀμφισβητοῦντες, ὁμοίως ἁμαρτάνουσιν ἀρχιγένει, πρὸς Μάγνον διαφερομένῳ, περὶ τάχους σφυγμοῦ, ὡς οὐχ ὑπὸ ῥώμης μᾶλλον, ἢ ἀῤῥωστίας γίνεται δυνάμεως. οὐδέτερα μὲν γὰρ ἐξ ἀνάγκης ἕπεται. μᾶλλον μὴν ἐστὶν οἰκεῖον, τάχος μὲν, ῥώμη τε δυνάμεως καὶ πλήθει θερμασίας καὶ προσέτι μαλακότητι τῶν ὀργάνων, βραδύτης δὲ τοῖς ἐναντίοις. ὡσαύτως δὲ, καὶ μέγεθος μὲν ἰσχυρᾷ δυνάμει, καὶ πλήθει θερμασίας, καὶ μαλακοῖς ὀργάνοις ἐστὶν οἰκεῖον. μικρότης δὲ τοῖς ἐναντίοις. ὡσαύτως δὲ καὶ πυκνότης οὐδενὶ μὲν τῶν εἰρημένων ἐξ ἀνάγκης ἕπεται. μάλιστα μὴν ἐστὶν οἰκεία δυνάμεως ἀῤῥωστίᾳ, πλήθει δὲ θερμασίας, ὀργάνων δὲ σκληρότητι. καὶ ἀραιότης δὲ κατὰ ταῦτα τοῖς ἐναντίοις οἰκεία μᾶλλον, οὐ μὴν ἐξ ἅπαντος ἑπομένη. πειράσομαι δ' ἀποδεῖξαι τῶν εἰρημένων ἕκαστον ἀναλαβὼν τὸν λόγον ἐπ' ἀρχήν. πλείονος θερμασίας ἠθροισμένης ἐν τῷ σώματι, μείζονος μὲν χρῄζειν ἀνάγκη τὸ ζῶον τῆς ἀναπνοῆς, μειζόνων δὲ καὶ τῶν σφυγμῶν, ὧν δὲ λόγῳ μειζόνων, τούτῳ καὶ θαττόνων τε καὶ πυκνοτέρων. ὡς γοῦν οἱ διψῶντες τὸ πολὺ μόνον, ἀλλὰ καὶ ταχέως, καὶ πυκνῶς προσφέρονται τὸ πόμα, οὕτως καὶ οἱ τῆς ἐμψυχούσης οὐσίας δεόμενοι, πολλήν θ' ἅμα ταύτην, καὶ ταχέως, καὶ πυκνῶς ἐπισπῶνται, κατὰ τοῦτο δὴ οὖν ἔφαμεν οἰκείους εἶναι σφυγμοὺς πλήθει θερμασίας, τόν τε μέγαν καὶ τὸν ταχὺν καὶ τὸν πυκνόν, οὐ μὴν δ' ἐξ ἀνάγκης γ' ἑπομένους αὐτῇ. χρῄζει γὰρ ἵνα τοιοῦτοι γενηθῶσι, δυνάμεως μὲν ἐῤῥωμένης, ὀργάνων δὲ μαλακῶν. εἰ γοῦν ἀσθενὴς ἡ δύναμις, ἢ σκληρὸν ἢ τὸ ὄργανον, οὔτε μεγάλους, αὐτούς, οὔτε ταχεῖς ἐνδέχεται γενέσθαι, τοῦ μὲν ὀργάνου διὰ σκληρότητα δυσπειθοῦς γινομένου τῇ κινούσῃ δυνάμει, τῆς δυνάμεως δ' αὐτῆς δι' ἀῤῥωστίαν ἀδυνατούσης ἐξαίρειν τὰς ἀρτηρίας εἰς ὅσον προσήκει. χρὴ τοίνυν συνεργεῖν ἀλλήλοις τὰ τρία γένη τῶν αἰτίων, ἵν' ὁ σφυγμὸς ταχύς, ἢ μέγας ἀποτελεσθῇ, τὴν μὲν χρείαν τῆς γενέσεως αὐτοῦ ἐπείγουσαν, τὴν δὲ δύναμιν εὐεκτοῦσαν, τῶν δ' ἀρτηριῶν τοὺς χιτῶνας μαλακούς, ἢ πάντως γε μὴ σκληροὺς ὄντας. ὡς γὰρ καὶ θεῖν ὠκέως, ἢ μέγα προβαίνειν, οὔθ' οἱ πάνυ γέροντες, οὔθ' οἱ μικροὶ παῖδες δύνανται, κἂν ὅτι μάλιστα χρῄζωσιν ἐπειγομένης κινήσεως, οὕτως οὐδ' ἡ ἄῤῥωστος δύναμις οὔτε ταχέως, οὔτ' εἰς μέγα τὰς ἀρτηρίας ἐξαίρειν δύναται, κἂν δέηται. ὥσπερ δὲ πάλιν ἡ μὲν μαλακὴ κύστις ἑτοίμως εἰς πολὺ διαστέλλεται, ἡ σκληρὰ δὲ οὐδ' εἰ πάνυ σφόδρα βιάζοιο, οὕτω καὶ τῶν ἀρτηριῶν ὁ χιτών, ὁ μὲν μαλακὸς ῥᾳδίως ἐπὶ πλέον ἐξαίρεται, κἂν ἄῤῥωστος ἡ δύναμις ᾖ, ὁ δὲ σκληρὸς ἀντιπίπτει τε καὶ ἀντιβαίνει τῇ κινούσῃ δυνάμει, κἂν σφοδρότατα περὶ αὐτὸν ἐνεργοῦσα τύχῃ. μέθοδος δὲ καὶ κατὰ τούτων ἀπαν-

των μία. τῆς δ' ἐξεταζομένης αἰτίας μόνης ὑπαλλαττομένης, τῶν δ' ἄλλων ἐν ταὐτῷ μενουσῶν, τὴν διάκρισιν ποιεῖσθαι τῆς ἀλλοιώσεως τῶν σφυγμῶν. εἰ γὰρ ἅμα πολλῶν ὑπηλλαγμένων ἐπισκέπτοιο, πρῶτον μὲν ἄδηλον εἰ διὰ τὸ πασῶν ὁμοῦ συνιουσῶν ἀθρόον κεφάλαιον ἡ τροπὴ γέγονεν, ἢ διά τινα, μίαν ἐξ αὐτῶν. ἔπειτα δ' εἰ καὶ συγχωρηθείη διὰ μίαν, ἥτις ἐστὶν αὕτη μία, ἐξ αὐτῶν οὐδέπω δῆλον. ἂν γοῦν αὐξηθῇ μὲν ἡ θερμασία μόνη, φυλάττοιντο δὲ ἥ τε δύναμις, καὶ οἱ χιτῶνες τῶν ἀρτηριῶν ἄτρεπτοι, μείζους τε καὶ θάττους ἐξ ἀνάγκης οἱ σφυγμοὶ γενήσονται, καὶ συναυξηθήσονταί γε τῷ πλήθει τῆς θερμασίας, ἄχρι περ ἂν ἐπὶ τὴν μεγίστην ἀφίξονται διαστολήν. τάχιστοι δὲ οὐδὲ νῦν οὐδέ ποτε φαινοῦνται πρὶν τὴν θερμασίαν ὑπὲρ τὴν μεγίστην αὐξηθῆναι διαστολήν. τότε δ' ὑπὲρ τὴν μεγίστην αὔξεται διαστολήν, ὅταν ἐνδεῶς ὑπ' αὐτῆς ἀναψύχηται. τὸ τοίνυν λεῖπον ἐπανισοῖ τηνικαῦτα, τῷ τάχει τῆς κινήσεως. καὶ οὕτως οἱ σφυγμοὶ τάχιστοι γίνονται. ἀρκεῖ δ' οὐδὲ ταῦτα τῇ μεγάλως ἐκπυρωθείσῃ, ἀλλ' ὃν ἡσύχαζε πρότερον χρόνον μεταξὺ τῶν κινήσεων, ἤδη καὶ τοῦτον συντέμνει. πολλάκις δὴ οὕτως βραχὺν ἀπέφηνεν, ὡς συνεχεῖς ἀλλήλαις δοκεῖν εἶναι τὰς κινήσεις, μηδαμῇ χωριζομένας ἡσυχίᾳ. τοῦτο δ' ὅταν ἐσχάτως ἐκκαυθῇ, γίνεται. τριῶν γὰρ ὄντων τρόπων ἐπικουρίας ἐν ἁπάσαις ὑπερβολαῖς, πᾶσιν ὁμοῦ χρῆται. καὶ γὰρ πλείστης ἀπολαύει τῆς ἐμψυχούσης αὐτὴν οὐσίας, καὶ τάχιστα καὶ συνεχέστατα. τούτων δὲ τὸ μὲν πρῶτον μεγίστους ποιεῖ τοὺς σφυγμούς, τὸ δὲ δεύτερον ταχίστους, τὸ δὲ τρίτον πυκνοτάτους. οὔτε γὰρ ὅταν ἱκανῶς ἀναψύχηται τῷ μεγέθει τῆς διαστολῆς, κατεπείγει τὸ τάχος, οὔθ' ὅταν αὐτάρκως ὑπ' ἀμφοῖν ὠφελῆται, τὴν πυκνότητα. θατέρου δ' αὐτῶν ἀεὶ τὸ λεῖπον ἐπανισοῖ θατέρῳ, τοῦ μὲν μεγέθους τῷ τάχει, τοῦ δὲ τάχους τῇ πυκνότητι. καθόλου γὰρ φάναι, πυκνότητος σφυγμῶν αἰτία μία, τὸ τῆς προτέρας ἐνεργείας ἐνδεές, γίνεται δὲ τοῦτο καὶ δι' ἄλλας μὲν αἰτίας, ἃς ἑξῆς ἐροῦμεν· ἀτὰρ οὖν καὶ διὰ πλῆθος θερμασίας, ὡς νῦν ἀποδέδεικται. καὶ σχεδὸν ἤδη πέρας ἔχει τὸ προκείμενον. ἐδείχθη γὰρ ὡς οὐκ ἐξ ἀνάγκης ἕπεται πλήθει θερμασίας, μέγας καὶ ταχὺς καὶ πυκνὸς σφυγμὸς οὐδείς, οἰκεῖοι δ' εἰσὶν αὐτῇ, μάλιστα μὲν ὁ μέγας καὶ ταχύς, ἤδη δέποτε καὶ ὁ πυκνὸς κατά τι συμβεβηκός. εἴη δ' ἂν οἶμαι δῆλον ἤδη καὶ περὶ τῶν ἐν ταῖς ἐνδείαις τῆς ἐμφύτου θερμασίας, ἑπομένων σφυγμῶν. καὶ γὰρ καὶ τούτοις ἐξ ἀνάγκης μὲν οὐδεὶς ἕπεται. οἰκεῖοι δ' εἰσί, μάλιστα μέν, ὅ τε μικρὸς καὶ βραδύς, ἤδη δὲ καὶ ὁ ἀραιός. ὥσπερ γὰρ οὔτε πολλῆς, οὔτε ταχείας τῆς ἐμψύξεως ἡ φθάνουσα κατεψῦχθαι δεῖται φύσις, οὕτως οὐδὲ δι' ὀλίγου. ταὐτὸν δ' ἐστὶ τὸ μὲν δι' ὀλίγου, τῷ πυκνῷ. τὸ δὲ διὰ μακροῦ, τῷ ἀραιῷ. ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, τὸ ἀναβληθὲν ὀλίγῳ πρότερον, ἐφ' ὅσον εἰς τὰ παρόντα χρήσιμόν ἐστι, διασκεψάμενοι, τὸ συνεχὲς τοῦ λόγου περαινώμεν. τοῦ μὲν γὰρ μεγάλου τε καὶ μικροῦ σφυγμοῦ, μέσος τίς ἐστιν ὁ κατὰ φύσιν τε καὶ σύμμετρος, ᾧ παραβάλλοντές τε καὶ παραμετροῦντες τοὺς ἄλλους ἅπαντας, ὅσοι μὲν ἂν μείζους ὦσιν αὐτοῦ, τούτους μὲν μεγάλους ὀνομάζομεν. τοὺς δ' ἐλάττους, μικρούς. κατὰ ταὐτὰ δὲ καὶ τοῦ ταχέως τε καὶ βραδέως ὁ μέσος τε καὶ σύμμετρος, ὁ κατὰ φύσιν ἔχων ἐστίν, καὶ τοῦ πυκνοῦ δὲ καὶ τοῦ ἀραιοῦ, καὶ προσέτι σκληροῦ καὶ μαλακοῦ κατὰ τὸν αὐτὸν λόγον, οἱ μέσοι κατὰ φύσιν. οὐ μὴν ἀμυδροῦ τε καὶ σφοδροῦ μέσος ὁ κατὰ φύσιν εἶναι δοκεῖ. ἐρρωμένης γὰρ ἔργον δυνάμεως ὁ σφοδρὸς σφυγμός, ὥσπερ οὖν καὶ ὁ ἀμυδρός, ἀρρώστου. τὸ δ' ἐρρῶσθαι ταύτην, οὐ παρὰ φύσιν δήπουθεν, ἀλλὰ τοῦτο μέν, ἀρετή τε καὶ κατὰ φύσιν, ἡ δ' ἀρρωστία τῆς δυνάμεως, κακία τε καὶ παρὰ φύσιν. ὅσον δ' ἐν τῷ μεταξὺ ῥώμης τε καὶ ἀρρωστίας ὁδός ἐστιν ἀπὸ θατέρου πρὸς θάτερον ἐν μεθορίῳ πού τεταγμένον ἀμφοῖν, τοσοῦτον μὲν βέλτιον ἀρρωστίας, ὅσῳ χεῖρον εὐρωστίας. τοσοῦτο δ' αὖ πάλιν, εὐρωστίας χεῖρον, ὅσῳ βέλτιον ἀρρωστίας. οὔκουν ἐνταῦθα φασὶ χρῆναι τὸ κατὰ φύσιν ζητεῖν, ἀλλ' ἐν τῷ ἄκρῳ τε καὶ εὐρώστῳ, τούτου δ' ἔγγονον ὑπάρχειν τὸν σφοδρὸν σφυγμόν. εἰσὶ δ' οἳ τοῦτο μὲν ἀληθὲς εἶναι συγχωροῦσιν, ἀμφισβητοῦσι δὲ πρὸς τὸ καθόλου, καὶ φάσκουσι, τὸν κατὰ φύσιν σφυγμὸν τὸν ἐν τούτῳ τῷ γένει, γίνεσθαι καὶ αὐτὸν ὑπὸ τῆς ἄκρας τε καὶ ἀρίστης ἕξεως, ὥσπερ οὖν κἂν τοῖς ἄλλοις ἅπασι γένεσιν, οὐ μὴν ἄκρον γε καὶ ἔσχατον ὑπάρχειν, ἀλλ' εἶναί τινα τῶν οὐ κατὰ φύσιν, ἕτερον τούτου σφοδρότερον. ἴδιον γάρ τι συμβεβηκέναι τούτῳ τῷ γένει τῶν σφυγμῶν παρὰ τὰ ἄλλα πάντα φασί, διὸ καὶ τὴν ἀπορίαν τε καὶ τὰ σφάλματα τοῖς μὴ δυναμένοις αὐτὸ συνιδεῖν ἀπηντηκέναι. γίνεσθαι μὲν γὰρ εὐρωστούσης τῆς δυνάμεως τὸν σφοδρὸν σφυγμόν, εἶναι μέντοι τι καὶ τούτου μέτρον τῆς σφοδρότητος, οὗ προσωτέρω χωρῶν ἐξίσταται τοῦ κατὰ φύσιν. ἐν γοῦν τοῖς θυμοῖς φασί, καὶ πολλάκις ἐν τοῖς γυμνασίοις, καὶ ταῖς οἰνοποσίαις εὑρίσκεσθαι σφοδρότερον τοῦ κατὰ φύσιν κινουμένας, τὰς ἀρτηρίας. ὁμολογεῖσθαι δὲ πρὸς ἁπάντων, τὸν ὡς ἀκριβῶς κατὰ φύσιν ἔχοντα σφυγμὸν ἐπὶ ζῴου θεωρητέον, ἐν ἠρεμίᾳ καθεστηκότος ἁπασῶν τῶν μεγάλων τε καὶ ἰσχυρῶν ἀλλοιώσεων. ἰσχυρὰ δὲ ἀλλοίωσις ἡ ἐκ θυμοῦ καὶ γυμνασίου, καὶ οἴνου, οὐκ οὖν τοῦτον εἶναι τὸν κατὰ φύσιν, ἀλλ' ὡς ἂν ἐρρωμένης τε ἅμα τῆς φύσεως καὶ πρὸς μηδενὸς τῶν ἔξωθεν αἰτίων βιαίων παραττομένης γίνεται. οὕτως δὲ πῶς μὲν εἶναι μέσον, πῶς δὲ οὐκ εἶναι τὸν κατὰ φύσιν ἐν τούτῳ τῷ γένει σφυγμῶν. καθόσον μὲν γὰρ αὐτοῦ εἰσί τινες ἕτεροι σφοδρότεροι σφυγμοί, καὶ νὴ διὰ ἕτεροι γ' ἧττον σφοδροί, κατὰ τοσοῦτον μὲν εἶναι μέσον, καθόσον δὲ τριῶν οὐσῶν διαφορῶν ἐν τούτῳ τῷ γένει, σφοδρότητός τε καὶ ἀμυδρότητος καὶ τῆς ἀμφοῖν μεσότητος, οὐκ ἐκ τῆς μεσότητός ἐστιν, ἀλλὰ ἐκ μιᾶς τῶν ἀκροτάτων, κατὰ τοῦτον οὐκ ἔτι εἶναι μέσον. [ἄλ. πῆ] ὅλον οὖν τὸ λοιπὸν οἶμαι περὶ αὐτοῦ, καλῶς ἂν ἅμα καὶ ἀληθῶς ῥηθῆναι, τὸν κατὰ φύσιν ἐν τούτῳ τῷ γένει σφυγμόν, μέσον ἐν θατέρῳ τῶν ἄκρων εὑρίσκεσθαι διαφορῶν. εἰσὶ δ' οἳ καὶ πρὸς τοῦτ' ἀντιλέγουσιν, οὐ γίνεσθαι σφοδροὺς ἐν τοῖς εἰρημένοις καιροῖς τοὺς σφυγμούς, ἀλλὰ φαίνεσθαι φάσκοντες, ἐξαπατᾶσθαι δὲ τοὺς ἀμελέστερον ἁπτομένους ὑπὸ τοῦ προσγινομένου τάχους αὐτοῖς, καὶ μεγέθους, ἔστι δ' ὅτε καὶ ὕψους, ὥσπερ ἐν τοῖς θυμοῖς, δῆλον δέ, ὡς τῆς τοιαύτης διαφωνίας ἡ κρίσις, εἰς τὴν διάγνωσιν ἀναφέρεται. τίς οὖν ἡ ἀληθὴς διάγνωσις, χρὴ γὰρ ἀποφήνασθαι τὸ φαινόμενον ἡμῖν. ἐπὶ μὲν ταῖς τῶν οἴνων πόσεσιν, ταῖς γοῦν μετρίαις, οἱ σφυγμοὶ σαφῶς ὥσπερ μείζους καὶ θάττους, οὕτω καὶ σφοδρότεροι γίνονται. ἐπὶ μέντοι τοῖς θυμοῖς τε καὶ τοῖς μετρίοις γυμνασίοις, οὐκ ἔθ' ὁμοίως σαφῶς, ἀλλ' εἰ ἄρα καὶ προσγίνεταί τι σφοδρότης αὐτοῖς, ὀλίγον τοῦτο, καὶ δυσδιάγνωστόν ἐστιν. ὅπως δ' ἂν ἔχοι τὸ ἀληθὲς οὐδὲν κωλυόμεθα

λυόμεθα περαίνειν τὸ προκείμενον αὐτὸ τοῦτο μόνον ζητοῦντες, εἰ μέγεθος καὶ τάχος σφυγμῶν οἰκεῖα δυνά-
μεως ἐῤῥωμένης, ὅπερ εἶναι φαίνεται, τοῖς μὴ παρέργως σκοπουμένοις, ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύ-
σεως. ὡμολογημένου γὰρ τοῦ διαστέλλεσθαι τὰς ἀρτηρίας ὑπὸ δυνάμεως, εὔλογον ἤδη πλέον ἐξαίρειν μὲν
αὐτὰς τὴν ἰσχυρὰν ἔτι, ὀλίγον δὲ τὴν ἀσθενῆ, καὶ θᾶττον μὲν τὴν ἰσχυρὰν, βραδυτέραν δὲ τὴν ἀσθενῆ, ὥσπερ
οὖν ἐφ' ἡμῶν αὐτῶν ἔχει βαδιζόντων τε καὶ θεόντων, καὶ ὀρυσσόντων καὶ σκαπτόντων, καὶ ὁτιοῦν ἄλλο δρών-
των· ὁ γὰρ ἰσχυρότερος ἐν τούτοις, οὐ μείζονα μόνον, ἀλλὰ καὶ θάττονα τὴν ἐνέργειαν ἐπιδείκνυται, τῶν γ'
ἄλλων ὡσαύτως ἀμφοτέροις ἐχόντων. εἰ γὰρ ὁ μὲν ἀσθενέστερος ἐπείγοιτο πρὸς τῆς χρείας εἰς τὴν ἐνέργειαν,
ὁ δ' ἰσχυρότερος ἤτοι μηδὲν αὐτῆς ὅλως, ἢ ὡς ἐλαχίστης δέοιτο, θᾶττον ἂν οὕτως ὁ ἀσθενέστερος ἐνεργήσειεν.
ἀλλ' οὐ χρὴ κατὰ τοῦτον τὸν τρόπον παραβάλλειν, ἀλλ' ὡς καὶ πρόσθεν ἐῤῥέθη, τῶν μὲν ἄλλων ἁπάντων ὁ-
μοίως ἀμφοῖν ὑπαρχόντων, καθ' ἓν δ' ὁτιοῦν μόνον ὅπερ ἂν ἑκάστοτε τύχῃ ζητούμενον, τῆς ὑπαλλαγῆς γινο-
μένης, οἷον εἰ καὶ λυσσῶν ἐπιόντων, φεύγειν δεήσειεν, οὐκ ἴσα δήπουθεν διαβαίνοντες. οὐδ' ἐν ὁμοίῳ τῷ τά-
χει δραμοῦνται νεανίσκος ἰσχυρὸς καὶ γέρων ἀσθενής. εἰ μὲν δὴ παραβάλλεις κίνησιν γέροντος, ἔφοδον λυσσῶν
δεδιότος, νεανίσκου κινήσει ῥαθύμως ἐν ἄστει βαδίζοντος, ὠκυτέρα τε καὶ μείζων οὕτως ἡ τοῦ γέροντος φανεῖταί
σοι, οὐχ ὅτι δύναται θᾶττον κινεῖσθαι τοῦ νέου, καὶ μᾶλλον τὰ κῶλα μεταφέρειν, ἀλλ' ὅτι δεῖται κινήσεως ἠπειγμένης, διὰ
τὸν φόβον ὑφ' οὗ καταναγκαζόμενος, ἁπάσῃ χρῆται πρὸς τοὔργον τῇ δυνάμει. τῷ νεανίσκῳ δὲ τὰ μὲν τῆς δυνά-
μεως ῥωμαλεωτέρῳ, ἀλλ' οὐδὲν αὐτῆς δεῖται πρὸς τὴν ἐνέργειαν, ὡς εἴγε δεηθείη παραπλησίως τῷ γέροντι, τοσού-
τῳ θᾶττόν τε καὶ μᾶλλον ἐνεργήσει, ὅσῳ καὶ τὰ τῆς δυνάμεως αὐτῷ βελτίω. ἄξιον οὖν ἐνταῦθα μέμψασθαι
τῷ Ἀρχιγένει. καὶ Μάγνῳ. τῷ πολύ γε μειζόνως τῷ Ἀρχιγένει. ὁ μὲν γὰρ, εἰ καὶ μὴ πᾶν τὸ ἀληθές, ἀλλὰ μέρος
τι καλῶς κατεῖδεν. ὁ δ' Ἀρχιγένης, δέον τὸ λεῖπον προσθεῖναι, καὶ τὸ καλῶς εὑρημένον ἀνατρέπειν πειρᾶ-
ται, γράφων ὡδί. δίκαιον γὰρ αὐτὴν παραθέσθαι τὴν λέξιν. ἐπὶ μὲν οὖν τῶν ἀρτιγενῶν μικρὸς παντελῶς
ὁ σφυγμός ἐστι καὶ οὐ σφοδρὸς, καὶ πυκνὸς ἄγαν καὶ ταχύς. Μάγνος δὲ οὐκ εἶναι ταχὺν αὐτόν φησι, δι'
ὅλου συστῆσαι βουλόμενος, τὸ μὴ οἰκεῖον ἀσθενείᾳ τὸν ταχὺν σφυγμὸν εἶναι ἀλλὰ τὸν πυκνόν. ἔστι γὰρ καὶ
τὰ τηλικαῦτα ἀσθενῆ, καὶ μικρὸν ὁ Ἀρχιγένης προσελθὼν, ἐμοὶ μὲν, οὐ κατὰ τὴν ἰσχὺν φησὶ τὸ τάχος δοκεῖ
κεῖσθαι, ὅταν εὕρω ἐπὶ χολερικῶν καὶ ἐπὶ καρδιακῶν συνῃρημένην τὴν κίνησιν τῶν ἀρτηριῶν. ἡ μὲν οὖν λέ-
ξις ἡ τοῦ Ἀρχιγένους τοιάδε, πιθανὴ πάνυ, καὶ παρακρούσασθαι ῥᾳδίως δυναμένη τὸν ἀκροατὴν, ὡς ἂν ἐξ
ὧν οἱ πολλοὶ τῶν ἰατρῶν ἐπιδιδόασι λημμάτων συλλογιζομένη. πάντες γὰρ ὀλίγου δεῖν ὁμολογοῦσι, τὸν
ἐπὶ τῶν χολερικῶν τε καὶ καρδιακῶν σφυγμὸν ταχὺν ὑπάρχειν. ὑφ' ἡμῶν δ' ἱκανῶς ἐν τῷ πρώτῳ περὶ τῆς
διαγνώσεως τῶν σφυγμῶν εἴρηται περὶ τάχους τε καὶ βραδυτῆτος, ἕτερον μὲν δεικνύντων τὸν ταχὺν, ἕτε-
ρον δὲ τὸν ὀλιγοχρόνιον σφυγμόν. ὡσαύτως δὲ καὶ περὶ τῆς βραδυτῆτος, ἕτερον μὲν τὸν βραδὺν, ἕτερον δὲ
τὸν πολυχρόνιον, οὔκουν ἔτι περὶ τῶν αὐτῶν ἐνταῦθα λέγειν προσήκει. ἀλλὰ τοῦ συμπεράσματος μόνου
μνημονεύσαντες. ὡς ἐν τοῖς προειρημένοις πάθεσιν οἱ σφυγμοὶ, βραχυχρόνιοι μὲν εἰσὶν οὐ μὴν καὶ ταχεῖς,
οὕτως ἤδη τὸ προκείμενον, ἐπανίωμεν. περανθήσεται γὰρ οὐδὲν ἔτι τῷ Ἀρχιγένει, μὴ συγχωρηθέντων τῶν ἐν
τοῖς χολερικοῖς καὶ καρδιακοῖς πάθεσι σφυγμῶν ταχέων ὑπάρχειν. καίτοι κἂν εἰ τοῦτο συνεχωρεῖτο,
σημεῖον μὲν ἀσφαλὲς οὐκ ἐγίνετο ῥώμης δυνάμεως τὸ τάχος, οἰκεῖον δ' αὐτῆς ὑπάρχειν οὐκ ἐκωλύετο,
διωρισμένου γε ἤδη σαφῶς πρὸς ἡμῶν, ὡς τινὲς μὲν ἐξ ἀνάγκης ἕπονται σφυγμοὶ ταῖς συνεκτικαῖς αἰ-
τίαις, τινὲς δ' οἰκεῖοι μὲν εἰσὶ αὐταῖς, οὐ μὴν ἀναγκαίως ἀκολουθοῦσι. ὧν μὲν γὰρ σφυγμῶν μιᾶς αἰτίας, ἡ
γένεσις χρῄζει, ταύτῃ διὰ παντὸς ἀκολουθήσωσιν οὗτοι. καὶ σημεῖον γὰρ ἀκριβὲς ἔσονται τῆς αἰτίας, ὡς σφο-
δρὸς μὲν τῆς ἐῤῥωμένης δυνάμεως, ὁ δ' ἀμυδρὸς τῆς ἀῤῥώστου. ὧν δ' εἰ μὴ πλείους συνέλθοιεν αἰτίαι, οὐχ οἷόν-
τε τὴν γένεσιν συστῆναι, τούτους οἰκείους μὲν εἶναι ταῖς αἰτίαις ἐροῦμεν, οὐ μὴν καὶ δηλοῦντά τινα ἐξ ἀνάγ-
κης αὐτῶν μίαν. ὡσαύτως δ' εἰ καὶ πρὸς μιᾶς αἰτίας γίγνοιτό ποτε σφυγμὸς, ἀλλὰ μὴ τῆς αὐτῆς διὰ παν-
τὸς οἰκεῖος μὲν ἔσται πάσαις ταῖς ποιούσαις αἰτίαις, οὐ μὴν δηλώσει γε βεβαίως αὐτῶν οὐδὲ μίαν. οὐδὲ γὰρ εἰ
τάχος σφυγμῶν, ἐξ ἀνάγκης καὶ ῥώμη δυνάμεως, ἀλλ' ἔστι μὲν, ὅτε πλείων ἡ χρεία τῆς γενέσεως τοῦ ψυχι-
κοῦ πνεύματος, ἔστι δ' ὅτε πλεονεξία θερμασίας, ἢ ὀργάνων μαλακότης, ἤ τινα τούτων ἢ πάνθ' ἅμα. κατὰ
ταῦτα δὲ καὶ εἰ μέγεθος σφυγμῶν, ἤτοι ῥώμη δυνάμεως, ἢ δαπάνη πλείων ψυχικοῦ πνεύματος, ἢ πλεονε-
ξία τῆς ἐν τῇ καρδίᾳ θερμασίας, ἢ ὀργάνων μαλακότης, ἤ τινα τούτων ἢ καὶ πάντα. Μάγνος μὲν οὖν φήσας οἰκεῖον
μὲν εἶναι δυνάμεως ἐῤῥωμένης τὸ τάχος, οὐδὲν ἁμαρτάνειν. γίνεται γοῦν ποτε τῷ διὰ ταύτην ὠκύτερος ὁ σφυγ-
μός. Ἀρχιγένης δ' ἁμαρτάνων, ἀντιλέγει. πρῶτον μὲν ὅτι καταψεύδεται τοῦ φαινομένου, τοὺς ὀλιγοχρονίους
σφυγμοὺς πάντας ταχεῖς εἶναι νομίζων· ἔπειτα δ' ὅτι κἂν ταχεῖς ὦσιν, οἴεται περαίνεσθαι τὸ μηδαμῶς οἰκείους
αὐτοὺς ὑπάρχειν ἐῤῥωμένης δυνάμεως, φανερῶς ψεῦδος ὄν. οὐδὲ γὰρ ὡς οὐδέ ποτε γίνονται σφυγμοὶ ταχεῖς
δι' εὐρωστίαν δυνάμεως, ἀλλ' ὡς οὐ διὰ παντὸς ὑπ' ἐκείνης μόνης, περαίνοιτ' ἂν, εἰ καὶ τοὺς προειρημένους σφυγ-
μοὺς ταχεῖς εἶναι συγχωρήσαιμεν. εἰ δ' οὐκ οἰκείους μόνης ἐῤῥωμένης δυνάμεως τοὺς ταχεῖς σφυγμοὺς ὁ Μά-
γνος ἐνόμιζεν, ἀλλ' ὡς καὶ σημείοις ἐχρῆτο διὰ παντὸς, ἐσφάλλετο. οὐ γὰρ εἰ τάχος σφυγμῶν ἤδη καὶ ῥώμη
δυνάμεως, ἀλλ' ὡς εἴρηται πρόσθεν ἤτοι τῆς χρείας ἐπειγούσης, ἢ τῶν ὀργάνων μαλακωτέρων γινομένων θᾶτ-
τον αἱ ἀρτηρίαι κινοῦνται, ποτ' οὖν ἕπεται ῥώμῃ δυνάμεως τὸ τάχος καί ποτε πλήθει θερμασίας, ἢ δα-
πάνῃ ψυχικοῦ πνεύματος, ἢ ὀργάνων μαλακότητι, βέλτιον ἦν εὑρόντα τὸν Ἀρχιγένην προσθεῖναι τῷ τοῦ
Μάγνου λόγῳ. τέλειος γὰρ ἂν οὕτως ἐγένετο καὶ διαρκὴς εἰς ἁπάσας τὰς διαγνώσεις. ἐπεὶ τοίνυν ἐκεῖνος αὐ-
τὸ παρέλιπε καίτοι πρόσθεν ὑφ' Ἡροφίλου κεκινημένον, ἡμεῖς οἷς καλῶς, ὅτε Μάγνος ἔγραψε καὶ ἔτι μᾶλ-
λον ὁ Ἡρόφιλος, τὸ λεῖπον προσθέντες, τελείαν τὴν διδασκαλίαν τῆς διαγνώσεως τῶν τὸ τάχος ἐργαζο-
μένων αἰτίων ποιησόμεθα. πρότερον δ' ὑπομνῆσαι χρὴ τῶν ἐν τῷ δευτέρῳ περὶ διαγνώσεως σφυγμῶν εἰ-

ρημένων, ἵνα τοῖς σημαινομένοις ὑπὸ τῶν ὀνομάτων ἑπόμενοι, μηδὲν παρακούωμεν ἐν τῷ λόγῳ. ταχεῖς γὰρ δὴ λέγομεν εἶναι τοὺς σφυγμούς, ὡσαύτως δὲ καὶ βραδεῖς, οὐ τοῖς νοσοῦσι μόνον, ἀλλὰ καὶ τῶν ὑγιαινόντων, ἔστιν οἷς καὶ φύσει γε τούτους αὐτοῖς ὑπάρχειν φαμέν, ὥσπερ οὖν ἑτέροις οἳ ἂν ἄριστα τῆς κατασκευῆς τοῦ σώματος ἔχωσιν, οὔτε βραδεῖς, οὔτ' ὠκεῖς, ἀλλὰ συμμέτρους ὑπάρχειν φύσει τοὺς σφυγμούς. τοῖς δ' αὐτοῖς τούτοις οὐδὲ μεγάλους, οὐδὲ μικρούς, ἀλλὰ τοὺς μέσους ἀμφοῖν τοὺς συμμέτρους, οὐδὲ πυκνοὺς ἢ ἀραιούς, ἀλλὰ καὶ τοὺς ἐν τούτῳ γένει συμμέτρους. ἀπὸ τούτου τοίνυν πρότερον τοῦ τὴν ἀρίστην κατασκευὴν ἔχοντος, ὁ λόγος προΐτω. καὶ γὰρ δὴ οἷον κανών τις, καὶ μέτρον ὁ τοιοῦτος ἁπάντων ἐστὶ τῶν ἄλλων ἀνθρώπων. μεγάλους γὰρ καὶ μικροὺς καὶ ταχεῖς καὶ βραδεῖς, καὶ τοὺς ἀνάλογον τούτοις ὠνομασμένους καθ' ἕκαστον γένος σφυγμούς, τὰς ὑπερβολὰς δηλοῦντας, οὐ πρὸς ἄλλον τινά, ἢ τοῦτον ἀναφέροντες ὀνομάζομεν. ὁ δὴ τοιοῦτος ἄνθρωπος εἰ θερμότερος ἑαυτοῦ γένοιτο, καὶ τοῦτο μᾶλλον ἀλλοιωθείη, τῇ μὲν σφοδρότητι τῶν σφυγμῶν οὐκ ἂν ὑπαλλάξειεν, ἀλλ' οὐδὲ τὸ κατὰ σκληρότητα ἢ μαλακότητα γένος, εἰς μέγεθος μέν τοι καὶ τάχος ὑπαλλάξει πάντως, ἔστι δ' ὅτε καὶ εἰς πυκνότητα παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον ηὐξῆσθαι τὴν θερμασίαν. ὀλίγῳ μὲν γάρ τινι θερμότερος ἑαυτοῦ γενόμενος, ἐναργῶς μὲν ἕξει μείζους τοὺς σφυγμούς, οὐ μὴν καὶ θάττους ἐναργῶς. εἰ δ' ἐπὶ πλέον αὐτῷ τὰ τῆς θερμασίας αὐξηθείη, συναυξηθήσεται μὲν αὐτῷ καὶ τὸ τῶν σφυγμῶν μέγεθος ἀνάλογον, ἐπίδηλον δ' ἔσται καὶ τὸ τάχος. ἐπὶ πλεῖστον δ' αὐξηθείσης τῆς θερμασίας, μέγιστοι μὲν οἱ σφυγμοὶ γενήσονται, τάχιστοι δὲ οὐδέπω, ἀλλ' ὡς καὶ πρόσθεν ἐρρέθη τό τε πρῶτον, ὅταν ὑπὲρ τὴν μεγίστην αὐξηθῇ διαστολήν. τηνικαῦτα δ' ἤδη καὶ ἡ πυκνότης ἐναργῶς διαγινώσκεται. τοὺς δὲ περὶ τούτων τῶν φαινομένων λογισμούς, τοὺς μὲν ἤδη φθάνομεν εἰρηκέναι, τοὺς δ' οὐ χαλεπὸν ἐκ τῶν εἰρημένων ἀνευρίσκειν. εἰ μέν τοι ψυχρότερος ἑαυτοῦ ὁ τοιοῦτος ἄνθρωπος γένοιτο, πρώτη μὲν ἡ ἀραιότης ἐναργῶς φαίνεται, δευτέρα δ' ἡ βραδύτης, τρίτη δ' ἡ μικρότης. καὶ τίνι τάχ' ἂν δόξειε μάχεσθαι τὰ φαινόμενα καὶ ἀλλήλοις καὶ ταῖς ὑποτεθείσαις αἰτίαις. χρῆν γὰρ ὥσπερ ἐπὶ τῆς θερμασίας, πρῶτον μὲν τὸ μέγεθος, δεύτερον δὲ τὸ τάχος, τρίτη δ' ἡ πυκνότης ἦν, οὕτω καὶ ἐπὶ τῆς ψύξεως, πρώτην μὲν γίνεσθαι τὴν μικρότητα, δευτέραν δὲ τὴν βραδυτῆτα, τρίτην δὲ τὴν ἀραιότητα. τίς οὖν ἡ λύσις τῆς ἀπορίας; ὅτι τῆς δυνάμεως ἐρρωμένης, κἂν τὰ τῆς χρείας ἐλάττω βραχὺ γένηται, τὴν μὲν πρώτην ἐνέργειαν οὔτε μικρὰν, οὔτε βραδεῖαν ἀναγκαῖον γενέσθαι, τὴν δευτέραν μέντοι, μετὰ πλείονα χρόνον, εἰ τὰ τῆς χρείας ἐπείγει, εὔλογον ὑπάρξεσθαι. ὡς γὰρ καὶ ὅτ' ἤπειγεν ἐκέντριζέ τε καὶ ἀνίστη τὴν δύναμιν ἐπὶ τὴν ἐνέργειαν, οὕτως οὖν ὅτ' οὐκ ἐπείγει, μέχρι πλείονος ἡσυχάζειν ἐπιτρέπει. ἂν μέντοι πλείων ἡ ψύξις γένηται, καὶ διὰ τοῦτο τὰ τῆς χρείας ἱκανῶς ἐκλυθῇ, συνεκλυθήσεται μὲν οὕτως καὶ τὸ τάχος τῆς κινήσεως. μικροτέρα δ' εὐθὺς ἔσται καὶ ἡ διαστολή, ἐπὶ πλεῖστον δὲ προϊούσης τῆς ψύξεως, ἀραιοτάτους μέν, οὐ μὴν καὶ βραδυτάτους τε καὶ μικροτάτους ἀνάγκη γενέσθαι τοὺς σφυγμούς, ἀλλ' ἀρκεῖ βραδυτέρους ἀεὶ καὶ μικροτέρους τῶν κατὰ φύσιν γίνεσθαι. τελέως γὰρ βραδεῖς, ἢ μικροὶ τῆς δυνάμεως ἐρρωμένης οὐκ ἄν ποτε γένοιντο, κἂν τὰ τῆς χρείας ἱκανῶς ἐκλυθῇ. ταῦτα δὲ φαίνεται κἀπὶ τῶν ἄλλων ἐνεργειῶν ὡσαύτως ἔχοντα. αὐτίκα γοῦν ἐπὶ τῆς βαδίσεως, αὐξηθείσης μὲν τῆς χρείας, τοῦτ' ἔστιν εἰ δεήσειε καθ' ἑκάστην ἡμέραν πολλοὺς διανύειν σταδίους, καὶ θᾶττον καὶ μεῖζον προβαίνομεν, καὶ τὰς ἐν ταῖς καταγωγαῖς διατριβὰς ὀλιγοχρονίους ποιούμεθα. μειωθείσης δ' εἰς τὸ τοσοῦτον, ὡς εἰ τύχῃ, πεντεκαίδεκα μόνους ἀνύειν δεῖ ἑκάστης ἡμέρας σταδίους, ἐν μὲν ταῖς καταγωγαῖς ἐπὶ πλεῖστον διατρίβομεν, οὐ μὴν εἰς ἔσχατον βραδυτῆτός τε καὶ μικρότητος, ἐκλύομεν τὴν ἐνέργειαν. ὡσαύτως δ' ἔχει κἀπὶ τῆς ἀναπνοῆς. ἀλλὰ περὶ μὲν ταύτης ἐν τοῖς περὶ δυσπνοίας αὐτάρκως εἴρηται.

περὶ δὲ τῶν σφυγμῶν αὖθις ἀναλαβόντες εἴπωμεν, ὡς ἐπειδὰν μέν, ἢ διὰ θερμασίαν μόνην, ἢ διὰ ψύξιν ἀλλοιῶνται, μηδενὸς τῶν ἄλλων αἰτίων τῶν συνεκτικῶν ἀρχαίας φύσεως ἐξισταμένων, ἀνάγκη τὴν ἀλλοίωσιν αὐτῶν οἵαν εἰρήκαμεν γενέσθαι. ἡνίκα δὲ μὴ μόνον τὰ τῆς χρείας, ἀλλ' ἤδη καὶ τὰ τῆς δυνάμεως ὑπαλλάττηται, τέσσαρες μὲν οὕτως ἅπασαι συζυγίαι διάφοροι γίνονται. καθ' ἑκάστην δ' αὐτῶν ὧδέ πως αἱ ἀρτηρίαι φαίνονται κινούμεναι, ἐπὶ μὲν τὴν ἀρρωστοτέραν ἅμα καὶ θερμήν, εἰ μὲν ἐπὶ πλέον ὑπ' ἀμφοτέρων τῶν αἰτίων δυναστεύοιτο, ἥ τε δύναμις ἱκανῶς ἄρρωστος εἴη, καὶ τὸ θερμὸν πυρῶδες, μικροὶ καὶ βραδεῖς οἱ σφυγμοὶ καὶ πυκνότατοι γίνονται. μετρίας δ' οὔσης τῆς βλάβης, πυκνοὶ μὲν ὁμοίως, σύμμετροι δὲ ἐπὶ τὴν διάστασιν καὶ τὴν κίνησιν. τί δή ποτε πυκνοὶ μὲν ὁμοίως μικροὶ δ' οὐκέθ' ὁμοίως, οὔτε βραδεῖς; ὅτι τῆς ἐσχάτης πυκνότητος οὐδέν ἐστι πυκνότερον, ἣν ὁμοίως ἔχουσιν ἀμφότεροι. εἰ δέ γε καὶ ταύτης δυνατὸν ἦν ἑτέραν γενέσθαι πυκνοτέραν, εἶχον ἂν πάντως αὐτὴν οἱ ἀσθενέστεροι, ὅσον ἐπί γε τῷ μηδέπω τὴν χρείαν πληροῦν. διὰ τί δ' ἐπὶ ταῖς μετρίαις βλάβαις, τῆς τε δυνάμεως ἅμα καὶ τῆς θερμασίας οἱ σφυγμοὶ πυκνοὶ μὲν γίνονται, μικροὶ δ' οὐκέτι, οὐδὲ βραδεῖς, ἀλλὰ σύμμετροι; ἢ ὅτι τῆς δυνάμεως ἀρρωστούσης μέν, οὐ μὴν εἰς τοὔσχατον συνηρημένης, σύμμετρος διαστολὴ καὶ κίνησις γένοιτ' ἄν ποτε, καθάπερ καὶ τῶν ἀσθενεστέρων μὲν ἀνθρώπων ἐπειγομένων δὲ πρὸς τὰς χρείας, ἡ σύμμετρος βάδισις. ὃ γὰρ τοῖς ἰσχυροῖς ἄνευ μεγάλης ἀνάγκης, τοῦτο τοῖς ἀσθενεστέροις ἀναγκαζομένοις γίνεται. τοῖς δ' αὐτοῖς τούτοις, καὶ τὸ συνεχῶς ἐνεργεῖν, ὁπόταν ὑπὸ τῆς χρείας ἐπείγωνταί τε καὶ οἷον βιάζωνται, συμβαίνει. ἀλλ' οὗτοι μὲν εἰ καὶ μόγις, ἀλλ' οὖν πληροῦσί γε τὴν χρείαν. οἱ δ' ἐσχάτως ἀσθενεῖς, κἂν ὅτι μάλιστα προθυμηθῶσιν ὅσον πλεῖστον δύνανται προσθεῖναι μεγέθους τε καὶ τάχους καὶ πυκνότητος ταῖς ἐνεργείαις, οὐδ' οὕτως ἐκπληροῦσι τὴν χρείαν. ὅτι δ' ἀμυδρὸν ἅπαντες ἔχουσιν οἱ ἀσθενεῖς τῇ δυνάμει τὸν σφυγμὸν ἔμπροσθεν εἴρηται. καὶ εἰς τοσοῦτόν γ' ἀμυδρόν, εἰς ὅσον καὶ τὰ τῆς δυνάμεως πεπόνθασιν. περὶ μὲν δὴ τῆς διὰ πλῆθος θερμασίας καὶ ἀρρωστίας δυνάμεως κακοσφυξίας, ἱκανὰ καὶ ταῦτα. μεταβῶμεν δ' ἐπὶ τὴν ἑτέραν συζυγίαν τὴν ἐξ ἀρρωστίας τε καὶ καταψύξεως συγκειμένην. ἐφ' ἧς ἀμυδρὸς μὲν εἰς τοσοῦτον, εἰς ὅσον ἂν καὶ τὰ τῆς δυνάμεως ἔχῃ κακῶς, ὁ σφυγμὸς γίνεται, μικρὸς δὲ καὶ βραδύς, ὥσπερ καὶ οἱ ἐπὶ τῆς προτέρας συζυγίας, οὐ μὴν ὁμοίως γ' ἐκείνοις εἰς ἐσχάτην ἀφικνεῖται πυκνότητα. πλὴν εἴποθ' ἡ δύναμις ἐσχάτως εἴη κεκμηκυῖα, δῆλον ὡς σμικρότατος ἐπὶ τῶν τοιούτων ὁ σφυγμὸς ἔσται, καὶ διαλείπων τε καὶ ἐκλείπων τὰ πολλά. μετρίως μέν τοι τῆς δυνάμεως ἀρρωστούσης,

ῥωσούσης, ἰσχυρᾶς δὲ τῆς κατὰ ψύξεως οὔσης, οὐδόλως ὁ σφυγμὸς γίνεται πυκνός, ὡς ἂν πληρουμένης τῆς χρείας, αὐτάρκως καὶ πρὸς τῆς τοιαύτης δυνάμεως.

Τρίτη δὲ συζυγία σφυγμῶν ἀλλοιώσεως, αὐξανομένης ὁμοῦ θερμασίας τε καὶ δυνάμεως, ἐν ᾗ σφοδρότατοι καὶ μὲν μέγιστοι, τάχιστοι δ' οὐκ ἔθ' ὁμοίως οἱ σφυγμοὶ γίνονται. πυκνότατοι δὲ τὰ πολλὰ μὲν οὐκ ἐναργῶς, ὅσον ὅτε μὲν εἰσὶ καὶ σαφῶς ὑπὲρ τὸ κατὰ φύσιν εἰσί. καὶ γίνεται τοῦτο, ὅταν ἐπὶ πλεῖστον αὐξηθῇ τὰ τῆς θερμασίας. τηνικαῦτα γοῦν καί εἰσι μέγιστος ὁ σφυγμὸς γινόμενος καὶ ταχύς, ὅμως οὐχ ὑπηρετεῖ τῇ χρείᾳ, διὰ τὸ πλῆθος τῆς θερμασίας. ἡ δὲ λοιπὴ καὶ τετάρτη συζυγία τῆς περὶ τοῦτο τὸ γένος τῶν σφυγμῶν ἀλλοιώσεως, ὅταν εἰς ταυτὸν ἀφίκηται, ῥώμη τε δυνάμεως καὶ θερμασίας ἔνδεια. γίνονται δ' οὗτοι σύμμετροι μὲν τῷ μεγέθει, βραδύτεροι μέν εἰσι καὶ ἱκανῶς ἀραιοί, καὶ μάλιστα ὅταν ἐπὶ πλέον ἡ ψύξις κρατῇ. βραχείας γὰρ οὔσης τηνικαῦτα τῆς τῶν σφυγμῶν χρείας, καὶ πάσης πληρουμένης ῥαδίως τῷ μεγέθει τῆς διαστολῆς, εὐλόγως ἐπὶ πλεῖστον ἡσυχάζουσιν αἱ ἀρτηρίαι. ὡς γὰρ ὅτ' ἤπειγεν ἡ χρεία συνεχὴς ἡ κίνησις αὐτῶν ἦν, οὕτω νῦν ὅτ' ἐκλύεται, διὰ μακροῦ γίνεται. τὸ μέν τοι τῆς διαστάσεως αὐτῶν ποσὸν οὐ κωλύεται σαφῶς, οὐδ' ἐναργῶς, διὰ τὴν εὐρωστίαν τῆς δυνάμεως. οὕτω οὐδὲ ἡ βραδύτης ἐπὶ πολὺ κρατεῖ, διὰ τὴν αὐτὴν αἰτίαν. ἐρρωμένη γὰρ ἡ δύναμις σώζεται τὰ κατὰ φύσιν τῆς κινήσεως μέτρα, κἂν ἡ χρεία μὴ καλῇ. μεγάλως μὲν γοῦν δεῖ τὴν χρείαν ἐκλυθῆναι τῆς ψύξεως ἰσχυρῶς κρατούσης, ἵν' ὁ σφυγμὸς ἐναργῶς γένηται μικρότερος. ὡς τὰ πολλὰ δὲ τὴν κατὰ φύσιν σώζει ποσότητα τῆς διαστάσεως, ἢ ὀλίγῳ γέ τινι καὶ οὐ πάνυ σαφεῖ γίνεται μικρότερος, ἐπὶ πλέον μέν τοι βραδύτερος, ἢ μικρότερος ἐν ταῖς καταψύξεσι φαίνεται, παραπλησίως τοῖς βαδίζουσιν, ὅταν μὴ δέωνται τῆς κινήσεως ἠπειγμένης. ἧττον γὰρ οὗτοι τοῦ μεγέθους τῆς βαδίσεως ἀφαιροῦσιν ἢ τοῦ τάχους. καὶ εἰ δεήσειε δέ ποτε θᾶττον αὐτοὺς βαδίσαι, τῷ μεγέθει πλέον, ἢ τῷ τάχει προστιθέασι. προσέχειν ἐνταῦθα χρὴ τὸν νοῦν ἀκριβῶς τῷ λεγομένῳ, μή τι παρακούσωμεν αὐτοῦ, καὶ δόξωμεν ἐπὶ πάσῃ διαθέσει τὴν κατὰ μέγεθός τε καὶ μικρότητα τροπὴν πλείονα γίνεσθαι τῆς κατὰ τάχος καὶ βραδυτῆτα. πλείων μὲν γὰρ οὐ γίνεται διὰ παντός, ἑτοιμοτέρα μέντοι καὶ διὰ τοῦτο καὶ προτέρα. τὴν γὰρ ἀπὸ τοῦ συμμέτρου μετάστασιν εἰς μέγεθος καὶ μικρότητα ῥᾷον ἐστιν ἰδεῖν γινομένην τῆς εἰς τὸ τάχος καὶ βραδυτῆτα. προελθούσης μέντοι τῆς τροπῆς εἰς ἀξιόλογον μέγεθος, ἐὰν ἔτι συμβαίνει τὴν θερμασίαν αὐξάνεσθαι, τὸ τάχος τηνικαῦτα ἐπιδίδωσιν ἀθρόως. καὶ τοῦτ' εὐλόγως συμβαίνει, καθάπερ καὶ πρόσθεν εἴπομεν. εἰς γὰρ τὸ πληρῶσαι τὴν χρείαν, ἀρκεῖ τῇ καρδίᾳ τὸ μέγεθος τῆς διαστολῆς αὐξάνειν, οὐδὲν δεομένῃ καὶ τὸ τάχος ἀνάλογον αὐτῷ συναυξάνειν.

Ὅταν δ' ἤδη τὸ μέγεθος μὲν ἀξιόλογον ᾖ, εἶτα δὲ καὶ τὰ τῆς χρείας ἐπείγῃ, τότε καὶ τῷ τάχει τὸ λοιπὸν πᾶν προστίθησιν. εἰ δὲ μηδὲ τοῦτ' ἀρκοίη, συνεχεῖς ποιεῖται τὰς κινήσεις, ὅπερ ἐστὶ ταυτὸν τῷ πυκνός. ἀλλὰ περὶ μὲν τούτων, ἱκανὰ καὶ ταῦτα.

Μεταβάντες δ' αὖθις ἐπὶ τὰς τῶν ὀργάνων διαφορὰς ἐπισκεψώμεθα, πρῶτον μὲν τοὺς οἰκείους ἑκατέρας αὐτῶν σφυγμούς, ἔπειτα δ' ἤδη καὶ τὰς μετὰ τῶν ἄλλων αἰτίων ὑπαλλάξεις, ὥσπερ ὀλίγῳ πρόσθεν ἐποιήσαμεν. ὅτι μὲν οὖν ἐπειδὰν σκληρότερον καὶ μαλακώτερον ἑαυτοῦ γένηται τὸ τῆς ἀρτηρίας σῶμα καὶ τοὺς σφυγμοὺς αὐτούς, ἢ σκληρούς, ἢ μαλακοὺς ἀπεργάζεται, πρότερον εἴρηται, καὶ οὐ δεῖται μακροτέρων λογισμῶν τὸ τοιοῦτον, ὑπὸ πάντων τῶν ἐναργῶν μαρτυρούμενον, ὡς κατὰ τὴν τοῦ πλήττοντος φύσιν καὶ ἡ τῆς πληγῆς ἀποτελεῖται ποιότης. ὅτι δὲ καὶ μέγεθος μὲν ταῖς μαλακότησι τῶν ὀργάνων, μικρότης δὲ ταῖς σκληρότησιν οἰκεία, λέλεκται μέν τοι καὶ περὶ τούτων ἔμπροσθεν, εἰρήσεται δὲ καὶ νῦν διὰ τὴν ἀκολουθίαν τοῦ λόγου. τὸ μὲν μαλακὸν ὄργανον, ἑτοίμως ἐκτεινόμενον πάντῃ ῥᾳδίως διαστέλλεται. τὸ δὲ σκληρὸν οὐκ ἄνευ μεγάλης βίας. ἕπεται δὲ τῷ μὲν ἑτοίμῳ τῆς διαστολῆς, τὸ μέγεθος. τῷ δ' ἀντιβατικῷ τε καὶ δυσπαθεῖ, σμικρότης. ὡσαύτως δὲ καὶ τάχος μὲν, τῷ προτέρῳ, βραδύτης δὲ τῷ δευτέρῳ γίνεται, οὐ μὴν κατὰ τὴν αὐτὴν ἀναλογίαν μεγέθει τε καὶ μικρότητι. θᾶττον μὲν γὰρ ὀλίγῳ, παμπόλλῳ δὲ μείζων, ὁ ἐπὶ μαλακότητι τῶν ὀργάνων σφυγμός, τοῦ διὰ σκληρότητα. τὸ γὰρ ὑμενῶδες τοῦ σώματος τῆς ἀρτηρίας κἂν σκληρότερον ποτὲ γένοιτο, πρὸς μὲν τὸ τάχος τῆς κινήσεως ἕτοιμόν τε καὶ εὐπειθές, εἰς δὲ τὸ μέγεθος τῆς διαστολῆς ἁπάντων ἀφυέστατον, εἴ γε χρὴ ῥᾳδίως ἐκτείνεσθαι πάντῃ, τὸ μεγίστην διαστολὴν ποιησάμενον. τοιοῦτον δ' ἐστὶ τὸ μαλακόν. καὶ ὅταν ἐπὶ πλεῖστον ἐκστῇ τοῦ κατὰ φύσιν, ἢ εἰς μαλακότητα, ἢ εἰς σκληρότητα τὸ τῶν ἀρτηριῶν σῶμα, βραδύτερος ὁ μαλακὸς σφυγμὸς τοῦ σκληροῦ γίνεται. τὸ μὲν γὰρ βραχεῖ τοῦ κατὰ φύσιν μαλακώτερον σῶμα, τοῦ βραχεῖ σκληροτέρου, διότι πρὸς τὸ μέγεθος τῆς διαστολῆς εὐπειθέστερόν ἐστι, διὰ τοῦτο καὶ πρὸς τὸ τάχος τῆς κινήσεως, τὸ δ' ἐπὶ πλεῖστον ἐκλυθὲν εἰς μαλακότητα καὶ οἷον καταρρέον τε καὶ καταπῖπτον εἰς ἑαυτὸ διὰ ὑπερβολὴν ὑγρότητος, οὔτ' εἰς τὸ μέγεθος τῆς διαστολῆς ὁμοίως ἕτοιμον, οὔτ' εἰς τὸ τάχος τι κινήσεως, καὶ κατὰ τοῦτ' ἀπολείπεται τῷ τάχει τοῦ σκληροῦ, μεγέθει δὲ καὶ νῦν ἔτι πλεονεκτεῖ, οὐ τοῦ σκληροῦ μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ κατὰ φύσιν. αἱ μέν τοι τοιαῦται διαθέσεις, ἐν αἷς εἰς ἄμετρον ὑπερβολὴν ἥκουσιν αἱ ἀρτηρίαι, σκληρότητος, ἢ μαλακότητος, οὐκ ἄνευ καὶ τῆς τῶν ἄλλων συνεκτικῶν αἰτίων γίνονται μεταβολῆς. οὔτε γὰρ τὴν δύναμιν εὔρωστον ἔτι μένειν οἷόν τε, οὔτε τὴν θερμασίαν ἐν τοῖς κατὰ φύσιν ὅροις. ὅθεν αὐτῆς μόνης ἤτοι μαλακότητος ἢ σκληρότητος ἄνευ τῶν ἄλλων αἰτίων, τοὺς οἰκείους σφυγμοὺς ἀποφαινώμεθα, μείζους μὲν καὶ θάττους ἐπὶ ταῖς μαλακότησιν ἐροῦμεν, ἐλάττους δὲ καὶ βραδυτέρους ἐπὶ ταῖς σκληρότησι γίνεσθαι, καὶ ἐπὶ πλέον γε μείζους ἢ ὠκυτέρους δι' ἣν εἴπομεν ἔμπροσθεν αἰτίαν. πυκνότητι δὲ καὶ ἀραιότητι τοσοῦτον ἀλλήλων τε καὶ τοῦ συμμέτρου παραλλάττειν, ὅσον ἐκ τοῦ μεγέθους, ἢ τῆς μικρότητος, ἢ τοῦ τάχους, ἢ τῆς βραδυτῆτος, ἐξίσταται τοῦ κατὰ φύσιν. ἐρρέθη δὲ καὶ πρόσθεν ὡς ἔστιν αἰτία μία καθόλου πυκνότητος ἐνεργειῶν ἁπασῶν, ὅταν ἐλλιπέστερον τῆς χρείας ἑκάστης συντελῆται, τῶν μὲν οὖν σκληρῶν ὀργάνων ἡ διαστολὴ σκληροτέρα, καὶ διὰ τοῦτ' ἐλλιπεστέρα τῆς χρείας ἡ ἐνέργεια. τῶν δὲ μαλακῶν τοὐναντίον, ἀξιόλογος μὲν ἡ διαστολή, πληροῦται δ' ἱκανῶς ἡ χρεία. εὐλόγως οὖν τοῖς μὲν σκληροῖς σφυγμοῖς, αἱ πυκνότητες. τοῖς δὲ μαλακοῖς αἱ ἀραιότητες ἕπονται. εἰ δὲ σύνδρομοι ποτὲ τῇ μὲν σκληρότητι ψύξις. τῇ δὲ μαλακότητι θερμασία, γένοιντ' ἂν οὕτω οἱ σκληροὶ σφυγ

μοί, τῶν μαλακῶν ἀραιότεροι. κατὰ συμπλοκὴν δὲ τὴν ἤδη τῶν ἐν τοῖς συνεκτικοῖς αἰτίοις διαφορῶν ἡ τοιαύτη τῶν σφυγμῶν ἀλλοίωσις γίνεται. ἐπεὶ δὲ κατὰ τὴν ἀκολουθίαν αὐτὴν τοῦ λόγου πρώτης ἐμνημονεύσαμεν τῆς κατὰ σκληρότητα καὶ ψύξιν συζυγίας, τὸ πᾶν ἤδη περὶ αὐτῆς λεγέσθω. σκληρότερον τὸ σῶμα τῶν ἀρτηριῶν γινόμενον ἅμα τῇ ψύξει τῆς ἐμφύτου θερμασίας, τοὺς σφυγμοὺς ποιήσει μικροτέρους τε καὶ βραδυτέρους τῶν κατὰ φύσιν. εἰ μὲν ἡ σκληρότης κρατεῖ μικροτέρους πλέον ἢ βραδυτέρους. εἰ δ' ἡ ψύξις, ἔμπαλιν βραδυτέρους πλέον, ἢ μικροτέρους. οὕτω δὲ καὶ πυκνοτέρους μὲν, εἰ ἡ σκληρότης πλεονεκτεῖ τῆς ψύξεως, ἀραιοτέρους δὲ εἰ ἡ ψύξις κρατοίη. εἰ δ' ἴση καθ' ἑκάτερον αὐτῶν ἡ εἰς τὸ περὶ φύσιν ἐκτροπὴ γένοιτο, τοσούτῳ μικροτέρους, ὅσῳ καὶ βραδυτέρους. ἀραιότητι δὲ, ἢ πυκνότητι τῶν κατὰ φύσιν οὐδὲν ἀλλοιότερον. ὅσον γὰρ ἡ χρεία τῆς γενέσεως αὐτῶν ἀφεῖλε διὰ τὴν ψύξιν, τοσοῦτον καὶ τοῦ ποσοῦ τῆς διαστολῆς καὶ τοῦ χρόνου τῆς κινήσεως, συγκαθεῖλεν. οὔκουν δεῖται συνεχέστερον κινεῖν τὰς ἀρτηρίας ἡ φύσις, ὥσπερ ἐν τοῖς πλείστοις τῶν μικρῶν σφυγμῶν, ἐφ' ὧν ἐλλιπεστέρα τῆς χρείας ἡ διαστολή. εἰ μέντοι ἡ σκληρότης μὲν ἱκανὴ, ὀλίγη δ' εἴη παντελῶς ἡ ψύξις, αὐτὸ δὲ τοῦτο ἔσται τηνικαῦτα τὸ προειρημένον, τὸ τῆς χρείας ἐλάττονα γινομένην τὴν διαστολὴν, συνεχεῖς τὰς κινήσεις ἐργάζεσθαι. ὥσπερ οὖν εἰ καὶ τοὔμπαλιν γένοιτο, πάμπολυ μὲν ἡ ψύξις, ἐλάττων δ' ἐλαχίστῳ τοῦ κατὰ φύσιν ἡ σκληρότης. ἀνάγκη γὰρ τότε τοὺς σφυγμοὺς ἀραιοτέρους ἤδη πλέον ἢ μικροτέρους γενέσθαι, ὅτι καὶ τὰ τῆς χρείας ἤδη πλέον ἠλάττωται τοῦ ποσοῦ τῆς διαστολῆς. τοιαύτη μέντοι ἡ πρώτη συζυγία τῶν αἰτίων. δευτέρα δ' ἣν ἐφ' ἧς ἐκράτει μαλακότης ἅμα θερμότητι. τρεῖς δ' ἀνάγκη κἀνταῦθα γενέσθαι τὰς πρώτας διαφοράς. ποτὲ μὲν ὁμοίως εἴς τε μαλακότητα καὶ θερμότητα τῆς τροπῆς γινομένης. ποτὲ δ' ἤτοι τῆς μαλακότητος, ἢ τῆς θερμότητος κρατούσης. εἰ μὲν οὖν ὅσον ἡ μαλακότης τοσοῦτον καὶ ἡ θερμότης τοῦ κατὰ φύσιν ἐξίστατο, μεγάλους ἀνάγκη καὶ ταχεῖς γίνεσθαι τοὺς σφυγμοὺς, πυκνοὺς δ' οὐκ εὐθέως, ἀλλ' ὅταν ἡ χρεία τῆς γενέσεως αὐτῶν ὑπὲρ τὸ μέγεθος ᾖ τῆς διαστολῆς. εἰ δ' ἡ μαλακότης κρατεῖ, πλεονεκτήσει καὶ τὸ μέγεθος τοῦ τάχους. εἰ δ' ἡ θερμότης κρατεῖ, οὐκ ἔθ' ἁπλῶς ἀποφήνασθαι δυνατὸν, ἀλλὰ χρὴ διορίζεσθαι. παμπόλλης μὲν γὰρ οὔσης, τῆς θερμασίας, ὡς μὴ πληροῦσθαι τὴν χρείαν ὑπὸ τῆς ἐνεργείας, πλέον ὠκυτέρους ἢ μεγάλους ἀνάγκη γίνεσθαι τοὺς σφυγμοὺς, εὐθὺς δὲ δηλονότι καὶ πυκνούς. ὅταν δ' ἱκανῶς ἀπολαύει τῆς χρείας ἡ φύσις, εἰς ὅσον μεγάλους, εἰς τοσοῦτον καὶ ταχεῖς. τρίτη δ' ἂν εἴη συζυγία τῶν κατὰ ταῦτα τὰ γένη τὸν σφυγμὸν ἀλλοιούντων αἰτίων, ὅτ' εἰς ταυτὸν ἥκει σκληρότης θερμότητι. μεγάλης μὲν οὖν τῆς καθ' ἑκάτερον εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γινομένης, οἱ σφυγμοὶ τάχιστοι μὲν ἔσονται καὶ πυκνότατοι, μικρότατοι δ' οὐκ ἔτι, πλὴν εἰ καὶ τὰ τῆς δυνάμεως ἔχοι κακῶς, ὅπερ οὐχ ὑπόκειται νῦν, ἀλλ' ἥττους μὲν τῶν κατὰ φύσιν, οὐ μὴν εἰς ἔσχατόν γε μικρότητος ἥκοντες. εἰ μέντοι τὰ τῆς θερμασίας ἀμέτρως ἔχοι, τὸ δ' ὄργανον μὴ πάνυ σκληρὸν, ἀλλ' ὀλίγῳ δέ τινι τοῦ συμμέτρου παραλλάττον, οὐχ ὅπως ἔλαττον τοῦ κατὰ φύσιν ἡ διαστολὴ τῶν ἀρτηριῶν, ἀλλὰ καὶ μείζων γένοιτ' ἄν. οἰκείων γὰρ ὄντων σφυγμῶν, τῇ μὲν σκληρότητι τῶν ὀργάνων τοῦ μικροῦ, τῇ δ' ἀμετρίᾳ τῆς θερμασίας τοῦ μεγάλου, κατὰ λόγον ἐν τοιαύταις διαθέσεσιν ὁ σφυγμὸς μέγας γίγνεται, συνεξομοιούμενος τῷ κρατοῦντι, ὥσπερ ὅταν ἡ σκληρότης κρατῇ, μικρός. ταχὺς μέντοι πάντως ὁπότερον ἂν τῶν αἰτίων πλεονεκτῇ, καὶ πολὺ μᾶλλον ὅταν ἡ θερμασία. τηνικαῦτα δὲ καὶ ἡ πυκνότης ἐπιφανεστέρα. λοιπὴ δ' ἂν εἴη συζυγία κατὰ τὰ νῦν προκείμενα γένη τῶν σφυγμῶν, ὅταν εἰς ταυτὸν ἀφίκηται μαλακότητι ψύξις. ὅντινα δὲ κἀνταῦθα τοῦ μὲν μεγάλου σφυγμοῦ ταῖς μαλακότησιν οἰκείου, τοῦ δὲ μικροῦ ταῖς ψύξεσιν, ὁπότερον ἂν αὐτῶν πλέον ἐξίστηται τῆς φύσεως, ἐκείνῳ συνεξομοιοῦσθαι τοὺς σφυγμοὺς ἀναγκαῖον. ὥστε μεγάλου μὲν, τῆς μαλακότητος τῶν ὀργάνων κρατούσης, μικροὶ δ' ἐν ταῖς ψύξεσιν ἔσονται. σύμμετροι δ' ὅταν ὅσον εἰς μέγεθος ὑπὸ τῆς μαλακότητος αὔξωνται, τοσοῦτον καθαιρῶνται πρὸς τῆς ψύξεως εἰς μικρότητα. καθόλου γὰρ εἰπεῖν οὐκ ἤδη τῶν νῦν προκειμένων μόνων αἰτίων, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπάντων τῶν παρὰ φύσιν, οἱ σύμμετροι γίνονται σφυγμοὶ, τῶν εἰς τἀναντία ῥεπόντων αἰτίων ἑκατέρων ὁμοίως δυναμένων, καὶ δόξαν γε ψευδῆ τοῦ κατὰ φύσιν διακεῖσθαι τοὺς οὕτω νοσοῦντας, οἱ πολλοὶ τῶν ἰατρῶν ἴσχουσιν. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς διὰ τῶν προγνώσεως ἤδη πλέον εἰρήσεται. τὸ δὲ νῦν εἶναι, τοῦτ' ἀρκεῖ μόνον ἐνδεδηλωμένον, ὅσον τῆς προκειμένης πραγματείας ἴδιον, ὡς πάντες μὲν οἱ κατὰ φύσιν σφυγμοὶ μέσοι τῶν ὑπερβολῶν εἰσὶ καὶ σύμμετροι, οὐ μὴν ἅπαντες γε οἱ σύμμετροι κατὰ φύσιν. ἀραιοὶ μέντοι καὶ βραδεῖς οἱ τοιοῦτοι σφυγμοὶ πάντες εἰσὶ, καὶ μᾶλλον ὅταν ἡ ψύξις κρατῇ.

ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, ἐπαλλάξομεν ἑξῆς τὰς ἀπὸ τῶν ὀργάνων διαφορὰς, ταῖς ἀπὸ τῆς δυνάμεως, ἐκεῖνο πρότερον ἀναμνήσαντες, ὡς ὅσα πλεονεξίᾳ θερμασίας ἕπεται πάθη σφυγμῶν. τοσαῦται καὶ χρεῖαι γενέσεως ψυχικοῦ πνεύματος. ὀργάνων οὖν σκληρότης ἅμα μὲν ἀσθενείᾳ δυνάμεως, μικροὺς καὶ βραδεῖς καὶ πυκνοὺς ἀποτελεῖ τοὺς σφυγμούς. ἅμα δὲ ῥώμῃ, μικροὺς μὲν καὶ πυκνοὺς, οὐ μὴν καὶ βραδεῖς, ἀλλ' ἔστιν ὅτε πολὺ τοῦ κατὰ φύσιν ὠκυτέρους. ὅσον γὰρ διὰ τὴν σκληρότητα τῶν ὀργάνων ἐλλιπὲς τῆς συμμέτρου τῆς διαστολῆς, τοσοῦτ' ἀναπληροῦται πρὸς τοῦ τάχους τε καὶ τῆς πυκνότητος. εἰ δέ γε μαλακὸν μὲν εἴη τὸ ὄργανον, ἐρρωμένη δ' ἡ δύναμις, μείζονες μὲν ἐπιφανῶς οἱ σφυγμοὶ γίνονται, ὀλίγῳ δέ τινι βραδύτεροι καὶ ἀραιότεροι. εἰ δ' ἀρρωστία δυνάμεως συνέλθοι μαλακότητι τῶν ὀργάνων, ἴσης μὲν ἀμφοτέρων καὶ μετρίας ἅμα τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γινομένης, σύμμετροί τε καὶ πάνυ τοῖς κατὰ φύσιν ὡσαύτως ἔχοντες οἱ σφυγμοὶ φαίνονται, πλὴν ὅσα μαλακότητι διαλλάττουσιν. ἀμέτρως δ' ἱκανῶς, μικροὶ καὶ βραδεῖς, καὶ πυκνοὶ γίνονται. ὡσαύτως δ' εἰ καὶ τὰ τῆς ἀρρωστίας κρατοίη πολλῷ. καὶ γὰρ οὖν καὶ τότε μικροὶ καὶ βραδεῖς, καὶ πυκνοὶ γίνονται. τῆς μέντοι μαλακότητος κρατούσης, ἐγγύς τι τῶν κατὰ φύσιν οἱ σφυγμοὶ φαίνεται. βραχεῖ γὰρ ἀπολειπομένη τοῦ κατὰ φύσιν ἡ δύναμις οὐ κωλύεται διαφυλάττειν, οὔτε τὸ ποσὸν τῆς διαστολῆς, οὔτε τὸ ποιὸν τῆς κινήσεως, ὥσπερ ὅταν ὀργάνων συμπέσῃ σκληρότητι τηνικαῦτα μὲν γὰρ κωλύεται ἡ διαστολή. πυκνοῦνται δ' ἐξ ἀνάγκης εἰς τοσοῦτον οἱ σφυγμοὶ, εἰς ὅσον ἐλλιπὴς ἑκάστη γίνεται

τῶν ἐνεργειῶν

τῆς ἐνεργείας. Ὅταν δ᾽ ἡ μὲν δύναμις ἐπ᾽ ὀλίγον ἀσθενῇ, μαλακοὶ δ᾽ οἱ χιτῶνες ὦσιν οἱ τῶν ἀρτηριῶν, οὔτε
βραδυτέρας γινομένης τῆς κινήσεως, οὔτε μικροτέρας τῆς διαστολῆς, καὶ διὰ τοῦθ᾽ ἱκανῶς τῆς χρείας πληρουμένης,
οὐδ᾽ εἰς πυκνότητα τις γίνεται μεταβολὴ τῶν σφυγμῶν. Λοιπὸν δ᾽ ἂν εἴη πάσας ὁμοῦ συμπλέξαι τὰς τῶν
συνεκτικῶν αἰτίων διαφοράς, γίνονται δὲ τὸν ἀριθμὸν ὀκτώ. δύο μὲν ὅταν ἐκλυθείσης ἅμα τῆς τε δυνάμεως
καὶ τῆς χρείας, ποτὲ μὲν μαλακώτερον αὐτοῖς γίνηται τὸ ὄργανον, ποτὲ δὲ σκληρότερον. δύο δ᾽ ἄλλαι, τῆς μὲν
δυνάμεως ἐκλυθείσης, τῆς δὲ χρείας ἐπιταθείσης, τῶν δ᾽ ὀργάνων ἢ μαλακῶν ἢ σκληρῶν γινομένων· καὶ ἄλλαι
δύο τῆς μὲν δυνάμεως ἐρρωμένης, τῆς χρείας δὲ ἐκλελυμένης ἅμα τῇ τῶν ὀργάνων ὑπαλλαττομένῃ διαφορᾷ.
δύο δὲ λοιπαὶ τῆς μὲν δυνάμεως ἐρρωμένης, τῆς δὲ χρείας ἐπιτεταμένης, ἅμα τῇ προειρημένῃ τῶν ὀργάνων διαφο-
ρᾷ. ἐκλυθείσης μὲν οὖν τῆς δυνάμεως ἅμα καὶ τῆς χρείας, εἰς μικρότητα μὲν καὶ βραδυτῆτα πάντως οἱ σφυ-
10 γμοὶ τρέπονται καθ᾽ ἑκατέραν τῶν ὀργάνων τὴν διαφοράν. πυκνοῦνται δ᾽ οὐκ ἐξ ἀνάγκης. ὥσπερ οὐδ᾽
ἀραιοῦνται, ἀλλὰ τούτων ἑκάτερον αὐτοῖς ἐν μέρει προσγίνεται, παρά τε τὴν τῶν ὀργάνων διαφοράν, καὶ
τὸ ποσὸν τῆς βλάβης καθ᾽ ἑκάστην τῶν συνεκτικῶν αἰτίων. ὀλίγης μὲν γὰρ οὔσης τῆς ἐν τῇ δυνάμει βλάβης, καὶ
τῶν ὀργάνων μὴ πάνυ σκληρῶν ὑπαρχόντων, οὐδὲ μία γίνεται κατὰ πυκνότητα σφυγμῶν ἀλλοίωσις. ἐρρέθη
γοῦν καὶ πρόσθεν, ὅτι μὴ τοὺς σφυγμοὺς μόνους, ἀλλὰ καὶ πάσας ἁπλῶς τὰς ἐνεργείας πυκνοῦσθαι συμβαίνει, διὰ τὸ
καθ᾽ ἑκάστην αὐτῶν ἐλλιπές, τὸ δ᾽ ἐλλιπές, ὡς τῇ χρείᾳ, μετρεῖται, καὶ τοῦτ᾽ εἴρηται πρόσθεν. ὅταν οὖν ἐκλυθῇ
μὲν αὐτή, βραχεῖα δ᾽ ἡ τῆς δυνάμεως ἡ βλάβη, τηνικαῦτα μὲν οὐκ ἂν ἐλλιπὴς ἡ ἐνέργεια γίνοιτο, πλὴν εἰ διὰ ὀρ-
γάνων ἄμετρον σκληρότητα. ἐὰν οὖν μεγάλως μὲν ἡ δύναμις βλαβῇ, μετρίως δ᾽ ἡ χρεία ἐκλυθῇ, σκληρὰ δ᾽ ἱκα-
νῶς ἀποτελεσθῇ τὰ ὄργανα, μικροτέρους ἀνάγκη γίνεσθαι τοὺς σφυγμοὺς τῆς χρείας, καὶ διὰ τοῦτ᾽ ἐλλιπῆ τὴν
ἐνέργειαν. εἰς ὅσον δ᾽ ἐλλιπεστέραν, εἰς τοσοῦτον καὶ πυκνοτέραν. ἀλλὰ καὶ αὐτὴν τὴν μικρότητά τε καὶ βρα-
20 δυτῆτα τῶν τοιούτων σφυγμῶν οὐχ ὡσαύτως ἔχειν διὰ παντὸς οἷόν τε. περὶ γὰρ τὸ μᾶλλόν τε καὶ ἧττον, ἤτοι τὴν
δύναμιν, ἢ τὴν χρείαν βεβλάφθαι, ἀνάγκη καὶ αὐτοὺς τοὺς σφυγμούς, ἢ μᾶλλον ἢ ἧττον εἰς μικρότητά τε καὶ βραδυτῆ-
τα μεταβάλλεσθαι. μικρότεροι μὲν γὰρ καὶ διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως γίνονται, καὶ διὰ τὴν χρείαν ἐκλελυμένην,
καὶ διὰ τὴν τῶν ὀργάνων σκληρότητα, ἀλλ᾽ ἧττόν τε καὶ μᾶλλον πάσχουσι τοῦτο παρὰ τὸ ποσὸν τῆς ἀλλοιώσεως ἑκά-
στου τῶν αἰτίων, ἢ κατὰ μόνας, ἢ κατὰ σὺν δύο, ἢ πάντων ὁμοῦ βεβλαμμένων. κατὰ μόνας μέν, ὅταν μικρότα-
τος ὁ σφυγμὸς γίνηται, ἤτοι τῶν ὀργάνων σκληροτάτων ἀποτελεσθέντων, ἢ τῆς δυνάμεως ἀρρωστούσης
ἐσχάτως. ἀρκεῖ γὰρ καὶ τὸ ἕτερον αὐτῶν ὁποτερονοῦν, ὡς εἴρηται, βλαβέν, μικρότερον ἐργάσασθαι τὸν σφυ-
γμόν. κατὰ σὺν δύο δέ, ὥσπερ ὅταν ἐσχάτως μὲν γίνηται μικρός, οὐκ εἰς ἔσχατον δὲ βλάβης ἥκῃ τι τῶν εἰρημένων
αἰτίων, ἀλλ᾽ ἑκάτερον αὐτῶν τοσοῦτον ἀπολείπεται τῆς ἄκρας βλάβης, ὥστε τὸν ἐξ ἀμφοῖν ἀποτελούμενον σφυ-
γμόν, ὁμοίως ἠλλοιῶσθαι τῷ διὰ θάτερον ἐσχάτως βεβλαμμένον. οὕτω δὲ καὶ εἰ τὰ τρία γένη τῶν αἰτίων εἰς ἑ-
30 νὸς σφυγμοῦ γένεσιν συνδράμοι, ποιήσειεν ἄν ποτε τηλικαύτην ἀλλοίωσιν, ὅση καὶ δι᾽ ἓν ἐξ αὐτῶν ἄκρως βε-
βλαμμένον ἐγένετο. καὶ χρὴ τούτου μεμνῆσθαι παρὰ πάντα τὸν λόγον, ὅπως μή τις ἐξαπατηθεὶς τὴν ἐξ ἁπάντων
τῶν αἰτίων ἐσχάτως βεβλαμμένων γινομένην ἀλλοίωσιν, ἐξ ἀνάγκης ἡγεῖται μείζονα τῆς ἐξ ἑνὸς ὑπάρχειν. ἀρκεῖ
γοῦν, ὡς εἴρηται, δι᾽ ἓν ὁτιοῦν αἴτιον ἀκριβῶς βεβλαμμένον, εἰς ἐσχάτην ἀλλοίωσιν ἀφικέσθαι τοὺς σφυγμούς. ἡ γοῦν
τῆς δυνάμεως εἰς τοὔσχατον κατάπτωσις μικροτάτους ἐργάζεται τοὺς σφυγμούς, κἂν μαλακοὶ μὲν οἱ χιτῶνες
οἱ τῶν ὀργάνων ὑπάρχωσιν. ἐπεὶ δὲ ἡ χρεία, ὥστε καὶ τούτου πάλιν ἐν τῷ καθόλου μεμνῆσθαι χρήσιμον, ὡς πολ-
λάκις μὲν εἰς τὴν τῶν ἐσχάτων σφυγμῶν γένεσιν πλειόνων αἰτίων δεῖ, πολλάκις δ᾽ ἓν ἀπόχρη. μέγιστος μὲν οὐκ
γένοιτο δι᾽ εὐρωστίαν ἄκραν δυνάμεως, εἰ μὴ καὶ τἆλλα συντελεῖ. μικρότατος δ᾽ ἄν ποτε γένοιτο δι᾽ ἀρρωστίαν.
καὶ τό γε τούτου θαυμασιώτερον, τῶν λοιπῶν αἰτίων πολλάκις τὸν ἐναντιώτατον σφυγμὸν οἰκεῖον ἐχόντων, καὶ καθ᾽
ἓν ἐξ αὐτῶν τὸ κρατοῦν ἡ τροπὴ γίνεται. κρατεῖ δ᾽ ἄλλο, νῦν μὲν εἰ τύχῃ, δυνάμεως ἀρρωστία, δι᾽ ἣν μικρότατος ὁ
40 σφυγμὸς ἐγένετο. αὖθις δ᾽ ὀργάνων σκληρότης, καὶ αὖθις πάλιν χρείας κατάλυσις. ὥσπερ γὰρ ἀρρωστούσης
ἐσχάτως τῆς δυνάμεως, οὐκ ἂν οὔθ᾽ ἡ μαλακότης τῶν ὀργάνων, οὔθ᾽ ἡ τῆς χρείας ἔπειξις αὐξήσει τὸ μέγεθος, οὕτω
καὶ κατασκληρυνθέντων τῶν ὀργάνων, οὐδὲν οὔθ᾽ ἡ δύναμις ἐρρωμένη συντελέσει πρὸς τὸ μέγεθος οὔθ᾽ ἡ τῆς
χρείας ἔπειξις. ὥσπερ δὲ δι᾽ ἓν αἴτιον ἐσχάτως βεβλαμμένον ἐσχάτη σφυγμῶν ἀλλοίωσις γίνεται πολλάκις, οὕτως
ἐστὶν ὅτε πάντων ἅμα τῶν αἰτίων εἰς ἑνὸς σφυγμοῦ γένεσιν συντελούντων, οὐδ᾽ ἔπω τὴν ἐσχάτην ἀλλοίωσιν ἔχη-
κεν ὁ πρὸς αὐτῶν ἀποτελούμενος. εἰ γοῦν ἅμα μὲν ἄρρωστος ἡ δύναμις, ἅμα δὲ ἡ σκληρότης μὲν τῶν ὀργάνων, ἔκλυσις
δὲ τῆς χρείας, οὐδ᾽ οὕτως ἀναγκαῖον μικρότατον γενέσθαι τὸν σφυγμόν, καίτοι πάντων τῶν εἰρημένων αἰτίων
μικρὸν γεννᾶν πεφυκότων. ἀλλ᾽ ἐὰν μήτε ἓν ὁτιοῦν ἐξ αὐτῶν ἔσχατον ἥκῃ βλάβης, μήτε τὸ ἐξ ἁπάντων ἀθροι-
ζόμενον κεφάλαιον ἴσον ᾖ τῷ καθ᾽ ἓν μεγίστῳ κακώσει, τὸν σφυγμὸν οὐκ ἐνδέχεται γενέσθαι μικρότατον. ὅπερ οὖν ἔφην,
οὐδὲν οὕτω σκοπεῖν χρὴ κατὰ τὰς ἀλλοιώσεις τῶν σφυγμῶν, ὡς τὸ ποσὸν τῆς βλάβης τῶν αἰτίων. ἀλλὰ ταῦτα
50 μὲν κἂν τοῖς περὶ τῆς δι᾽ αὐτῶν προγνώσεως ἐροῦμεν, ἐν δὲ τῷ παρόντι λόγῳ μεταβῶμεν, ἤδη τὴν τρίτην τε καὶ τετάρ-
την συζυγίαν τῶν ὀκτὼ τῶν προειρημένων, ἐνταῦθά που καταλιπόντες ἤδη τὸν περὶ τῶν πρώτων δυοῖν λόγον. εἰ
γάρ τι καὶ παρεῖται κατὰ ταύτας, ῥᾳδίως ἐκ τῶν προειρημένων ἂν εὑρεθήσεται. ὅταν οὖν ἀρρωστῇ μὲν ἡ δύναμις. ἐπείγῃ δ᾽
ἡ χρεία, σκληρὸν δ᾽ ᾖ τὸ ὄργανον, μάλιστα μὲν εἰς πυκνότητα, δεύτερον δ᾽ εἰς μικρότητα, τρίτον δ᾽ εἰς βραδυτῆ-
τα τὴν τροπὴν τῶν σφυγμῶν εὑρήσεις γινομένην, οὐ μήν γ᾽ ἐξ ἀνάγκης οὔτε διὰ παντός, οὔτε καθ᾽ ἕκαστον αὐτῶν
ὁτιοῦν, οὔθ᾽ ἅμα, συμπίπτει πάντα. μεγάλης μὲν γοῦν οὔσης καθ᾽ ἕκαστον τῶν αἰτίων τῆς βλάβης, μικρότατοι, καὶ πυκνό-
τατοι, καὶ βραδεῖς οἱ σφυγμοὶ γίνονται. βραδεῖς μέν, ὅτι καὶ ἡ δύναμις ἀσθενής. μικρότατοι δέ, διά τε ταύτην, καὶ διὰ
τὴν τῶν ὀργάνων σκληρότητα. ὅτι δὲ τοιοῦτοι, διὰ τοῦτο καὶ πυκνότατοι, καὶ πολὺ μᾶλλον, ὥσαν τῆς χρείας ἐπειγούσης.
καὶ τοίνυν καὶ χωρὶς ταύτης, ἀρρωστία δυνάμεως ὀργάνων σκληρότητι συνελθοῦσα, ἱκανὴ μικροτάτους τε καὶ
πυκνοτάτους ἐργάσασθαι τοὺς σφυγμούς, ἐξ ὑπομέτρου δὲ τούτοις τὸ ἀπὸ τῆς χρείας βίαιον προσιόν, εἰς ὄλεθρον μὲν

οὐ μικρὰ συντελεῖ, πυκνοτέρους δ᾽ οὐκ ἂν ἔτι τοὺς σφυγμοὺς ἐργάσαιτο. καὶ γὰρ καὶ χωρὶς ταύτης ἦσαν ἤδη
πυκνότατοι. εἰ μέντοι βραχεῖα μὲν ἥτε τῶν ὀργάνων εἴη βλάβη, καὶ ἡ τῆς δυνάμεως, πολλὴ δ᾽ ἡ χρεία τῆς
γενέσεως αὐτῶν, οὔτε μικρότεροι τῶν κατὰ φύσιν οὗτοί γε, οὔτε βραδύτεροι γένοιτ᾽ ἄν, ἀλλ᾽ ἔστιν ὅτε θάττους
μὲν σαφῶς, μείζους δὲ κἂν μὴ σαφῶς, ἀλλ᾽ ἴσοι γε ἐναργῶς τοῖς κατὰ φύσιν. ἐπειγούσης γὰρ ἱκανῶς τῆς χρείας
κἂν ἀρρωστοτέρα τοῦ κατὰ φύσιν ἡ δύναμις ᾖ κινεῖται ταχέως. πολὺ δ᾽ ἂν μᾶλλον ηὔξησε τὸ μέγεθος τοῦ τά-
χους, εἰ μὴ πρὸς τῆς σκληρότητος ἐκωλύετο. νυνὶ δὲ διὰ τοῦτ᾽ ἐπιδηλότερον γίνεται τὸ τάχος τοῦ μεγέθους, ὅτι τὸ
μὲν, οὐδὲν ἐμποδίζει βραχεῖ σκληρότερον ἑαυτοῦ, γενόμενον τὸ ὄργανον. τῷ μεγέθει δ᾽ ἐναντιοῦται μάλιστα
πάντων. πυκνοὶ δ᾽ ἐπὶ τῶν τοιούτων οἱ σφυγμοὶ γίνονται τῷ μὴ πληροῦσθαι τὴν χρείαν. εἰ δέ γε βραχεῖα, καὶ
ταύτης ἡ εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ γένοιτο, παντελῶς ὀλίγη τε. καὶ δυσδιάγνωστος ἔσται καὶ ἡ πυκνότης.
πληροῦται γὰρ αὐτάρκως τηνικαῦτα τῷ τάχει τε καὶ τῷ μεγέθει, καὶ καθόλου φάναι, χρὴ παραβάλλειν ἐπὶ τῆς 10
τοιαύτης συζυγίας, τῷ ποσῷ τῆς χρείας, τὴν ὑπὸ τῆς δυνάμεως διὰ τῶν ὀργάνων ἀποτελουμένην ἐνέρ-
γειαν. ὅσον γὰρ ἀπολείπεται τῆς χρείας ἡ ἐνέργεια, τοσοῦτον ἐπιδίδωσιν εἰς πυκνότητα. μικρότεροι δ᾽ ἂν
πάλιν εἰς τοσοῦτον καὶ βραδύτεροι γίνονται τοῖς οὕτω διακειμένοις, εἰς ὅσον ἂν ἤτοι τὰ τῆς δυνάμεως, ἢ τὰ τῶν
ὀργάνων ἐξίσταται τοῦ κατὰ φύσιν. ἀλλὰ περὶ μὲν τῆς τρίτης ἐπαλλάξεως τῶν αἰτίων ἱκανὰ καὶ ταῦτα.
περὶ δὲ τῆς τετάρτης συζυγίας ἤδη λεκτέον. ἐφ᾽ ἧς ἄρρωστος μὲν ἡ δύναμις, ηὔξηται δ᾽ ἡ χρεία σὺν τῇ τῶν
ὀργάνων μαλακότητι. δῆλον οὖν κἀπὶ ταύτης, ὡς εἰ μὲν ἡ κατὰ τὴν χρείαν αὔξησις, παμπόλλη γένοιτο, βρα-
χὺ δ᾽ ἀπολείποιτο τοῦ κατὰ φύσιν ἥ τε δύναμις καὶ τὰ ὄργανα, πολὺ μᾶλλον εἰς μέγεθος ἤπερ εἰς τὸ τάχος
ἐπιδώσουσιν οἱ σφυγμοί. κατὰ μὲν γὰρ τὴν πρὸ ταύτης εἰρημένην συμπλοκὴν ἡ σκληρότης τῶν ὀργάνων
ἀντέπραττε τῷ μεγέθει τῆς διαστολῆς. κατὰ δὲ τὴν νῦν προκειμένην, οὐχ ὅπως ἀντιπράττει πρὸς τὴν διαστολὴν
ἡ μαλακότης αὐτῶν, ἀλλὰ καὶ συνεργεῖ πάντων μάλιστα. μείζων οὖν ἐναργῶς ἔσται τοῦ κατὰ φύσιν ὁ σφυ- 20
γμὸς, οὐ μὴν ὁμοίως γε καὶ θάττων ἐναργῶς. ἔσται δὲ καὶ πυκνότερος ὁ τοιοῦτος σφυγμὸς τοῦ κατὰ φύσιν. οὐ
μὴν ὡσαύτως, οὐδ᾽ οὕτως τῷ κατὰ τὴν τρίτην συζυγίαν, ὅτι νῦν ἡ χρεία μᾶλλον ἢ κατ᾽ ἐκείνην πληροῦται.
εἰ δὲ τὰ μὲν ἀπὸ τῆς χρείας τε καὶ τῆς δυνάμεως ὀλίγῳ τινὶ παραλλάττοιτο τοῦ κατὰ φύσιν, ἡ δ᾽ εἰς μαλακό-
τητα τροπὴ τῶν ὀργάνων εἴη συχνὴ, πλησίον τῶν κατὰ φύσιν ἐν ταῖς τοιαύταις διαθέσεσι οἱ σφυγμοὶ γενή-
σονται, καὶ τῷ ποσῷ τῆς διαστολῆς, καὶ τῷ ποιῷ τῆς κινήσεως, καὶ τῷ χρόνῳ τῆς ἡσυχίας, ἑνὶ δὲ μόνῳ τῷ
μαλακῷ τῆς προσβολῆς, τοῦτο γὰρ ἴδιον ἀχώριστον αὐτῶν, διαλλάξουσι τῶν κατὰ φύσιν. εἰ δὲ τὰ τοῦ μὲν ἀπὸ τῆς
χρείας τε καὶ τῶν ὀργάνων μὴ μεγάλην ἔχοι τὴν ἐκτροπὴν, ἡ δύναμις δ᾽ ἰσχυρῶς κάμνοι, μικροὶ μὲν ἱκα-
νῶς καὶ πυκνοὶ, μετρίως δ᾽ ἂν εἶεν οἱ τοιοῦτοι βραδεῖς. ἀρκεῖ καὶ περὶ ταύτης τῆς συμπλοκῆς τοσαῦτα.
μεταβῶμεν δ᾽ ἐπὶ τὰς ἐξῆς δύο, κοινὸν μὲν ἐχούσας τήν τε ῥώμην τῆς δυνάμεως, καὶ τὴν χρείαν τῆς γενέ-
σεως τῶν σφυγμῶν ἐκλελυμένην διαφερούσας δ᾽ ἐν τοῖς ὀργάνοις, ἡ μὲν δὴ ἑτέρα αὐτῶν ἐφ᾽ ἧς σκληρὸν μὲν 30
τὸ ὄργανον, εὐρωστία δ᾽ ἐστὶ δυνάμεως, ἐλάττων δ᾽ ἡ χρεία, μικροτέρους μὲν πάντως ἐργάζεται τοὺς σφυ-
γμούς. οὐ μὴν οὔτε βραδυτέρους, οὔτε πυκνοτάτους ἐξ ἀνάγκης. ἀλλ᾽ εἰ μὲν ἱκανῶς ἐκλυθείη τι τῆς χρείας με-
τρίως τῶν ὀργάνων ἐσκληρυσμένων, οὐ μικρότεροι μόνον, ἀλλὰ καὶ βραδύτεροι σαφῶς καὶ ἀραιότεροι
γενήσονται. εἰ δὲ πλείων ἡ τῶν ὀργάνων εἴη κάκωσις ἤπερ ἡ τῆς χρείας, μικρὸς ἱκανῶς ὁ τοιοῦτος σφυγμὸς
γίνεται, καὶ διὰ τοῦτο πυκνός. διὰ δὲ αὐτὸ τοῦτο καὶ ἧττον βραδὺς τῷ κατὰ τὴν προτέραν διάθεσιν. εἰ γὰρ
μήθ᾽ ἡ χρεία πληροῦται καὶ ἡ δύναμις εὔρωστος ἐστὶν, οὐκ ἂν ἀξιολόγως γένοιτο βραδύς. οὐ πληροῦται δ᾽ ἡ
χρεία διὰ τὴν μικρότητα διαστολῆς. αὕτη δ᾽ εἵπετο τῇ σκληρότητι τῶν ὀργάνων. μαλακὰ δ᾽ εἴπερ ἦν, οὐκ ἂν
ἐλάττων σαφῶς τοῦ κατὰ φύσιν ὁ σφυγμὸς ἦν, πλὴν εἰ μὴ μεγάλως ἠλάττωτο τὰ τῆς χρείας. καὶ πάντως ἂν
εἰς τοσοῦτον ἀραιότερος ἐφαίνετο, εἰς ὅσον ἂν καὶ τὰ τῆς χρείας καθῄρητο. καὶ μέντοι καὶ βραδὺς, σαφῶς
μὲν, ἐπὶ ταῖς ἀξιολόγοις τῆς χρείας ὑπαλλαγαῖς, οὐ σαφῶς δ᾽ ἐπὶ ταῖς ἐλάττοσι. ἀλλ᾽ ἤδη καὶ περὶ τούτων 40
τῶν συμπλέξεων αὐτάρκως διειλεγμένοι, τῶν ὑπολοίπων δυοῖν μνημονεύσωμεν, ἐφ᾽ ὧν αὐξηθείσης μὲν τῆς χρεί-
ας ῥωσθείσης δὲ τῆς δυνάμεως οἱ χιτῶνες τῶν ἀρτηριῶν, ποτὲ μὲν μαλακοί. ποτὲ δὲ σκληροὶ γίνονται. μαλα-
κῶν μὲν δὴ ὄντων αὐτῶν, πάντως μὲν οἱ σφυγμοὶ μεγάλοι τε καὶ ταχεῖς γενήσονται. πυκνοὶ δ᾽ οὐκ ἐξ ἅπαν-
τος, ἀλλ᾽ ὅταν ἐξαίσιος ἡ τῆς χρείας αὔξησις ᾖ. τηνικαῦτα γὰρ οὔτε τὸ μέγεθος τῆς διαστολῆς, οὔτε τὸ τάχος τῆς κι-
νήσεως ἱκανὰ πληροῦν τὴν χρείαν. ὀλίγης δ᾽ οὔσης τῆς ὑπερβολῆς ἀποχρώντως ὑπηρετεῖ καὶ τὸ μέγεθος μόνον.
εἰ μέντοι σκληροὶ γενηθεῖεν οἱ τῶν ἀρτηριῶν χιτῶνες πολυειδῶς ἐν ταῖς τοιαύταις διαθέσεσιν οἱ σφυ-
γμοὶ τρέπονται. βραχείας μὲν γὰρ οὔσης τῆς σκληρότητος, ἀξιολόγου δὲ τῆς κατὰ τὴν χρείαν ὑπαλλαγῆς, καὶ μεί-
ζους καὶ θάττους καὶ πυκνοτέρους τῶν κατὰ φύσιν ἔσονται. ἴσης δὲ καθ᾽ ἑκάτερον τῶν αἰτίων τῆς εἰς τὸ παρὰ φύσιν
ἐκτροπῆς γενομένης, καὶ μηδὲ πάνυ τι μηδ᾽ ἑτέρας ἰσχυρᾶς, ἴσοι μὲν τοῖς κατὰ φύσιν, ὠκύτεροι τε καὶ πυκνότεροι
γίνονται. εἰ δ᾽ ἰσχυρὰ βλάβη καὶ τῆς χρείας καὶ τῶν ὀργάνων γένοιτο, τῶν μὲν σκληρυνθέντων ἐπὶ μᾶλλον, τῆς 50
δ᾽ ἐπειγούσης ἀμετρότερον, θάττους μὲν ἂν ἔτι καὶ νῦν εἶεν τῶν κατὰ φύσιν, μικρότεροι δὲ καὶ πυκνότεροι. ἐπεὶ
δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, λοιπὸν ἂν εἴη προχειρισάμενον ἕνα τινὰ σφυγμὸν, ἐπ᾽ αὐτοῦ διδάξαι τὸ
χρήσιμον τῆς αὐτοῦ γυμνασίας. ἔστω δὴ ὁ ταχὺς, ὃν οἰκεῖον ῥώμης τε καὶ δυνάμεως ἐλέγομεν ὑπάρχειν, καὶ χρεί-
ας ἐπειγούσης καὶ ὀργάνων μαλακότητος. πῶς οὖν οὕτως εὑρεθεὶς ἐφ᾽ ἑνὸς ἀρρώστου διορισθήσεται, πηνίκα μὲν
ὑφ᾽ ἑνὸς τῶν εἰρημένων αἰτίων πηνίκα δ᾽ ὑπὸ δυοῖν, ἢ καὶ πάντων γίνεται, τὸν ᾗ τρόπον. ἐπειδὴ τῆς μὲν ἰσχυρᾶς
δυνάμεως, ὁ σφοδρὸς ἀχώριστος ἐστὶ, τῶν δὲ μαλακῶν ὀργάνων ὁ μαλακὸς, ὅταν μὲν χωρὶς ἀμφοτέρων τούτων
τὸ τάχος, ἐκ τῆς χρείας ἐπειγούσης μόνης γίνεται. ὅταν δὲ μετὰ θατέρου, πάντως μὲν καὶ ἐφ᾽ ἐκείνου τοῦ
γνώρισμα παρέχοντος ἐξ ἀνάγκης δὲ καὶ διὰ τὴν τῆς χρείας αὔξησιν. ἐδείχθη γὰρ ἔμπροσθεν, ὡς οὐχ οἷόν τε γενέ-
σθαι ταχεῖς σφυγμοὺς, ὥσπερ οὐδὲ μεγάλους ἄνευ τοῦ τὴν χρείαν καλεῖν. ὁπότερον μὲν οὖν τι μετέβαλλεν εἰς
ῥώμην

ῥώμην ἢ εἰς ἀῤῥωστίαν ἡ δύναμις, ἐκ τῶν ἰδίων αὐτῆς σφυγμῶν ἐστι διαγινώσκειν. οὕτω δὲ καὶ περὶ τῶν ὀργάνων τῆς ποιότητος. καὶ γὰρ καὶ ταύτης ἐνδεικτικοὺς ἔχομεν σφυγμούς. ὁπόσον δὲ ἡ χρεία τῆς γενέσεως αὐτῶν, τεκμήρασθαι χρὴ συλλογιζόμενον ἐκ τῆς κατὰ τὸ μέγεθός τε καὶ τὴν πυκνότητα καὶ τὸ τάχος μεταβολῆς. εἰ γὰρ καὶ μέγιστος καὶ πυκνότατος ἅμα αὐτὸς εἴη καὶ τάχιστος, ἐσχάτως ἐπείγεται τῆς χρείας. εἰ δ' ἁπλῶς μέγας τε καὶ θάττων βραχεῖ, μὴ μέν τοι μέγιστός τε καὶ πυκνός, οὐκ ἂν εἴη μεγάλη τῆς χρείας ἡ μεταβολή, πρὸς δὲ καὶ ἀπὸ τῶν ἄλλων γνωρισμάτων χωρὶς τῶν σφυγμῶν δύνασθαι προγινώσκεσθαι τὰ τῆς χρείας πῶς ἔχει. εἴτε γὰρ θερμασίας εἴη πλῆθος, εἴτε δαπάνη τοῦ ψυχικοῦ πνεύματος, οὐ χαλεπὸν διορίσασθαι. ἡ μὲν γὰρ θερμασία τὴν ἁφὴν οὐκ ἂν λάθη, τὰ πολλὰ δὲ καὶ διὰ τῆς δυσπνοίας ἤδη σαφέστατα γνωρίζεται, καὶ δίψει, καὶ τῇ ἔνδον αἰσθήσει τοῦ κάμνοντος. ἡ δὲ τοῦ ψυχικοῦ πνεύματος ἀνάλωσις, ἔν τε τοῖς γυμναζομένοις καὶ διαφορουμένοις, καὶ τοῖς ἔσω ῥεύμασι γίνεται, ὧν οὐδὲν λάθοι τὸν ἰατρόν. οὐ δὲ χρὴ νῦν ἡμᾶς ἔτι πλέον ὑπὲρ αὐτῶν λέγειν, οὐ γὰρ τῆς ἄρτι προκειμένης πραγματείας, ὅτι μὴ πάρεργον, ἀλλὰ τῆς προγνωστικῆς ἐστιν ὁ τοιοῦτος λόγος. ἐμνημονεύσαμεν δ' αὐτοῦ νῦν, ἐνδείξασθαι τοῖς περὶ τὸν Ἀρχιγένην βουλόμενοι, πρὸς τοῖς περὶ τῆς γενέσεως τοῦ τάχεος σφυγμοῦ καλῶς αὐτοῖς εἰρημένοις ὡς οὐ χαλεπόν ἐστιν ἐξευρίσκειν ἑκάστοτε τὴν ποιήσασαν αἰτίαν. ἔσται δὲ καὶ διὰ τῶν ἐξῆς ἔτι σαφέστερον ταυτὸ τοῦτο, περὶ τῶν ὑπολοίπων σφυγμῶν τῆς γενέσεως, εἰ διέλθωμεν πρότερον, οἷον τῶν τε ἀτάκτων καὶ ἀῤῥύθμων καὶ ἀνωμάλων καλουμένων. καὶ μάλιστα εἰ καὶ κατὰ μίαν διαστολὴν τῆς ἀρτηρίας εἶεν τοιοῦτοι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ

ΛΟΓΟΣ. Β'

Περὶ μὲν οὖν τοῦ σφοδροῦ σφυγμοῦ καὶ τοῦ σκληροῦ καὶ τοῦ μεγάλου, καὶ προσέτι τάχεός τε καὶ πυκνοῦ καὶ τῶν ἐναντίων αὐτοῖς, διὰ τοῦ πρώτου δεδήλωται λόγου, τίς θ' ἡ γένεσις ἑκάστου καὶ πόσων αἰτίων δεῖται, καὶ πῶς ἀλλήλοις συμπραττόντων, καὶ τίνες μὲν ἐξ ἀνάγκης αὐτῶν ἕπονται ταῖς γεννώσαις αἰτίαις, τίνες δ' οἰκεῖοι μὲν εἰσὶν αὐταῖς, οὐ μὴν ἀναγκαίαν γε τὴν ἀκολουθίαν ἔχουσιν. ἐξῆς δ' ἂν εἴη περὶ τῶν ὑπολοίπων σφυγμῶν τῆς γενέσεως διελθεῖν, καὶ πρῶτόν γε τῶν ἀνωμάλων. ἐπεὶ δὲ τούτων, οἱ μὲν ἐν μιᾷ κινήσει τῆς ἀρτηρίας τὴν ἰσότητα διαφθείρουσι, οἱ δ' ἐν πλείοσιν, ἣν περ δὴ καὶ συστηματικὴν ἀνωμαλίαν ἔθος ἐστὶ τοῖς ἰατροῖς ὀνομάζειν. καὶ ἔστιν αὕτη πολὺ σαφεστέρα τῆς καθ' ἕνα μόνον σφυγμὸν γινομένης, κάλλιον ἂν εἴη περὶ προτέρας ταύτης ποιήσασθαι τὸν λόγον. ἕπονται δὴ πάντες οἱ τοιοῦτοι σφυγμοί, καθόλου μὲν φάναι, ταῖς τε τῆς καρδίας ἀνωμάλοις δυσκρασίαις, καὶ κακώσεσιν ὀργάνων, ἢ δυνάμεων. ἢ γὰρ ἐμφράξεσιν, ἢ θλίψεσιν, ἢ σκληρότησιν, ἢ πλήθεσιν ἐπιγίνονται. πλήθους νῦν ἀκουομένου, τοῦ πρὸς τὴν δύναμιν μετρουμένου. οὐ μὴν ἀρκεῖ τοῦτο μόνον γιγνώσκειν ὑπὲρ αὐτῶν, ἀλλὰ χρὴ τά τε κατὰ μέρος ἅπαντα διορίσασθαι καὶ τὴν οἰκείαν ἀπόδειξιν ἑκάστῳ προσθεῖναι, τριῶν οὖν ὄντων συνεκτικῶν αἰτίων γενέσεως σφυγμῶν, ὀργάνου καὶ δυνάμεως καὶ χρείας, διὰ μὲν τὴν τῆς χρείας ἀλλοίωσιν, οὐχ οἷόν τε γενέσθαι τὴν ἐν τοῖς σφυγμοῖς ἀνωμαλίαν συστηματικὴν ἐναργῆ. οὐ δὲ γὰρ ἐξαίφνης, οὐ δὲ ἀθρόως εἰς τοσοῦτόν ποτε μεταβάλλειν ἐγχωρεῖ τὴν χρείαν, ὥστε, εἰ τύχοι τὸν σφυγμὸν τὸν πρότερον μὲν γενέσθαι μέγαν, ἢ ταχύν, ἢ πυκνότερον, τὸν δὲ δεύτερον μικρόν, ἢ βραδύν, ἢ ἀραιόν. εἴ τε γὰρ αὔξησις εἴη τῆς κατὰ φύσιν θερμότητος, εἴτε μείωσις, εἴτε πλείων, εἴτε ἐλάττων, δαπάνη τοῦ ψυχικοῦ πνεύματος, οὐδὲν τούτων ἀθρόαν οὕτως ἴσχοι μεταβολήν, ὡς τοὺς σφυγμοὺς ἀνίσους ἐργάσασθαι. μάθοις δ' ἂν ἀκριβῶς ἐκ τῶν γινομένων παροξυσμῶν ἐν ἅπασι τοῖς ἐπιεικέσι πυρετοῖς, οἷον τοῖς τ' ἐπὶ βουβῶσι καὶ τριταίοις τοῖς ἀκριβέσι, καὶ τοῖς δι' ἔγκαυσιν, ἢ ψύξιν, ἢ ὁτιοῦν ἄλλο τοιοῦτον. ἅπας γὰρ ὁ ἀπὸ τῆς ἀρχῆς αὐτῶν ἕως τῆς ἀκμῆς χρόνος, ἀνάλογον τῇ κατὰ θερμασίαν αὐξήσει, καὶ τοὺς σφυγμοὺς εἰς μέγεθος, καὶ τάχος, καὶ πυκνότητα τρέπων, οὐδέ ποτε τὸν δεύτερον σφυγμὸν τοῦ προτέρου σαφῶς ἐνδείκνυται διαφέροντα. ἀλλ' εἰ μὲν χρόνον τινὰ συχνὸν διαλείποις, καὶ μείζων ἐναργῶς καὶ θάττων καὶ πυκνότερος φαίνεται. παραυτίκα δ' οὐ δὲ ἀλλοιότερος, πλὴν εἰ συνέλθοι ποτὲ τῶν προειρημένων τι ἢ πλῆθος, λέγω τὸ πρὸς τὴν δύναμιν νοούμενον, ἢ σφήνωσις, ἢ θλίψις, ἢ σκληρότης ὀργάνων, ἢ τῆς καρδίας αὐτῆς δυσκρασία τις ἀνώμαλος. ἄπερ οὐκ ἔτ' ἐπιεικοῦς νοσήματος. καὶ γάρ τοι καὶ αὐτοῖς τοῖς ὑγιαίνουσιν, ὅταν ἤ τοι λουσάμενοι τύχωσιν, ἢ γυμνασάμενοι, δαπανωμένου μὲν τοῦ πνεύματος, αὐξανομένης δὲ τῆς θερμασίας, μείζους καὶ θάττους καὶ πυκνότεροι τῶν κατὰ φύσιν οἱ σφυγμοὶ φαίνονται. σαφῆ δὲ οὐδέ ποτε ὁ δεύτερος τοῦ προτέρου τὴν διάγνωσιν ἴσχοι. ὅς τις δ' ἀνωμάλως καὶ τοὺς τοιούτους εἶναι λέγει σφυγμούς, κἂν μὴ φαίνονται, τῆς μὲν ἐν τοῖς ὀνόμασι συνηθείας ὑποφορεῖ, σαφέστερον δ' οὐδὲν διδάσκει. οὐ δὲ γὰρ οὓς ἂν ὁ λόγος ἐξεύρῃ κατά τινα συλλογισμόν, ἀνίσους τούτους ἢ ἀνωμάλους εἰώθαμεν καλεῖν, ἀλλ' οὓς ἂν ἐναργῶς αἰσθήσει διαγινώσκομεν ὄντας τοιούτους. καλείτω δ' οὖν εἰ βούλοιτό τις καὶ τούτους ἀνωμάλους, ἀλλ' ἐκεῖνό γ' ἴσω, ὡς οὐδὲ μία τῶν αἰσθητῶν ἀνωμαλιῶν διὰ τὴν τῆς χρείας ἀλλοίωσιν γίνεται. ταῦτα μὲν οὖν ἤρκει καὶ τοσαῦτ' εἰς ἔνδειξιν, τοῦ μηδέ ποτε τὴν συστηματικὴν καλουμένην ἀνωμαλίαν ἀλλοιώσει χρείας ἕπεσθαι. προσκείσθω δ' ἔτι, τὸ, κατὰ τοὺς θυμοὺς ἐνίοτε φαινόμενον, ἐπειδὴ καὶ οὗτοι τῆς ἐμφύτου θερμασίας οἷον ζέσις τις εἶναι δοκοῦσιν, ἀνώμαλοι τοίνυν καὶ τούτοις οἱ σφυγμοὶ γίνονταί ποτε, κατὰ μὲν τὸν ἴδιον αὐτῶν λόγον οὐδαμῶς, ἦσαν γὰρ ἂν ἀεὶ τοιοῦτοι, φόβου δέ τινος συνδραμόν-

τος αὐτοῖς. εὐλόγως δὴ τηνικαῦτα ποικίλοι τε καὶ ἀνώμαλοι φαίνονται, ὡς ἂν οὐ μόνον ὑπὸ διαφερόντων αἰτίων, ἀλλὰ καὶ τῇ φύσει ἐναντίων ἀλλοιούμενοι. διὰ μὲν γὰρ τὴν τῆς ἀντιτιμωρήσεως ὄρεξιν, ὑψηλοὶ καὶ μεγάλοι καὶ ταχεῖς καὶ σφοδροί, διὰ δὲ τὴν τοῦ τι παθεῖν μᾶλλον ἢ δρᾶσαι προσδοκίαν, μικροὶ καὶ ταπεινοὶ καὶ ἀμυδροὶ καὶ βραδεῖς γίνονται. ἐναλλὰξ οὖν ἀλλήλοις ἑκάτεροι φαίνονται κατὰ τὴν τοῦ κρατοῦντος αἰτίου φύσιν ὑπαλλαττόμενοι. κρατεῖ δὲ ποτὲ μὲν ὁ θυμὸς μᾶλλον, ποτὲ δὲ τὸ δέος. ἀλλὰ καὶ αὐτὸς ὁ φόβος, ὁ γοῦν ἰσχυρὸς ἀνωμάλους ἐργάζεται τοὺς σφυγμούς, κακώσει δυνάμεως, μὴ ἀλλοιώσει χρείας. πῶς οὖν ἡ δύναμις κακουμένη τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζεται; τοῦτο γὰρ ἐφεξῆς ἐστὶν εἰπεῖν. ὑπὲρ μὴ πάντῃ τῶν ὀργάνων κρατεῖν, ὡς ὅταν γε κρατῇ, πάντας ὁμοίους τε καὶ ἴσους ἀποτελεῖ. εἰ δέ που σφάλλει περὶ τὴν ἐνέργειαν, οἷον ὀκλάσασα, διαφθείρει ταύτῃ τὴν ἰσότητα. χρὴ δὲ προσέχειν ἀκριβῶς τῷ λεγομένῳ τὸν νοῦν, ἵνα μή τις οἰηθῇ πάσῃ κακώσει δυνάμεως ἐξ ἀνάγκης ἕπεσθαι τὴν συστηματικὴν ἀνωμαλίαν. οὐ γὰρ οὕτως ἔχει. ἀλλ᾽ ὅταν μὲν κατὰ τὸν ἑαυτῆς λόγον ἀρρωστῇ, σπανίως ποτὲ τοὺς σφυγμοὺς ἀνωμάλους ἀποτελεῖ. ὅταν δ᾽ αὐτὴ μὲν ἰσχυρὰ καθ᾽ ἑαυτὴν ᾖ, βαρύνηται δ᾽ ὑπὸ πλήθους, ἢ δυσπειθῆ παντάπασιν ἔχει τὰ ὄργανα, τηνικαῦτα τὴν εἰρημένην ἀνωμαλίαν ἐργάζεται. μαθεῖν δ᾽ ἐνεστὶν ὃ βούλομαι σαφέστερον διὰ παραδείγματος. ἀναμνησθῶμεν γὰρ δυοῖν ἀνθρώπων βαδιζόντων ἀτρέμα. ἔστω δὲ ὁ μὲν ἕτερος ἰσχυρότατός τε ἅμα καὶ νεώτατος, ἀλλὰ βασταζέτω μέγιστον φορτίον. ὁ δ᾽ ἕτερος μηδὲν ὅλως βασταζέτω, πάνυ δ᾽ ἀσθενὴς ἔστω διὰ νόσον, ἢ γῆρας. οὔτ᾽ ἂν μέγα προβαίνοντες, οὔτε ταχέως οὗτοι, καὶ ταύτῃ μηδὲν ἀλλήλων διαφέροντες εἰς τὴν ἐνέργειαν ἐκείνους διοίσουσι, ᾗ τὰ πολλὰ μὲν ὡσαύτως ὁ ἀσθενὴς βαδιεῖται, διαφερόντως δὲ καὶ ἀνωμάλως, καὶ ἄλλοτ᾽ ἀλλοίως ὁ ἰσχυρός. ὁ μὲν γὰρ οὐδ᾽ εἰ προθυμηθείη δυνατός ἐστιν, ἢ μεγάλην ἢ ταχεῖαν ποτὲ τὴν ἐνέργειαν ποιήσασθαι, ὁ δ᾽ ἰσχυρὸς τὰ πολλὰ μὲν καὶ αὐτὸς ὁμοίως, ἔστι δ᾽ ὅτε πλείονι προθυμίᾳ χρησάμενος, καὶ θᾶττον καὶ μᾶλλον ἐνήργησε πρὸς γοῦν ὀλίγον εἶτ᾽ αὖθις ὑπὸ τοῦ φορτίου κινηθεὶς εἰς τὴν ἐξ ἀρχῆς βραδυτῆτά τε καὶ μικρότητα τῆς ἐνεργείας ὑπηνέχθη. ταυτὸν δὴ τοῦτο συμπίπτει καὶ τῇ διὰ τῶν ἀρτηριῶν ἐνεργείᾳ. καταπεπτωκυίας μὲν γὰρ εἰς ἱκανὴν ἀσθένειαν τῆς δυνάμεως, ἀμυδροὶ καὶ μικροὶ καὶ βραδεῖς οἱ σφυγμοὶ γίνονται. εἰ δ᾽ ἐρρωμένη μὲν εἴη κατὰ τὸν ἑαυτῆς λόγον, ὑπὸ δέ τινος πλήθους βαρύνοιτο, ποικίλους οὕτω καὶ ἀνωμάλους ἀποτελεῖ, τοὺς πλείστους μὲν ἀμυδροὺς καὶ βραδεῖς καὶ μικρούς, ὅταν ἰσχυρῶς βαρυνθῇ, τοὺς πλείστους δ᾽ αὖ πάλιν σφοδροὺς καὶ ταχεῖς καὶ μεγάλους, ὅταν ἐπ᾽ ὀλίγον. ὁπόταν δὲ μήτ᾽ ἰσχυρὰ πάνυ, μήτ᾽ ἄγαν ἀξιόλογος ἡ κάκωσις γίνηται, ἐγγύς τι τῷ πλήθει τοὺς ἐναντίους ὡς μήτε πλείους ἔχειν εἰπεῖν μήτ᾽ ἐλάσσους, ἢ τοὺς σφοδροὺς τῶν ἀμυδρῶν, ἢ τοὺς μεγάλους τῶν μικρῶν, ἢ τοὺς ταχεῖς τῶν βραδέων. οὕτω μὲν αἱ τῆς δυνάμεως βλάβαι τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζονται.

Αἱ δὲ τῶν ὀργάνων τόνδε τὸν τρόπον. ὅταν αἱ περικείμεναι χῶραι τῆς ἀρτηρίας ἕνεκα τοῦ διαστελλομένας αὐτὰς ἐκδέχεσθαι, καταληφθῶσιν ὑπό τινος ἑτέρου σώματος, ἀνάγκη στενοχωρουμένας ἐν τούτῳ τὰς ἀρτηρίας ἀδυνατεῖν αὐτάρκως διαστέλλεσθαι. τὸ καθ᾽ ἑκάστην οὖν ἐνέργειαν ἐλλιπές, ἀθρόον ἔν ποτε κεφάλαιον ἀξιόλογον ἀποτελεῖ, ὥστε πολὺ τῆς χρείας ἀπολείπεσθαι τὴν ἐνέργειαν. τότε δ᾽ ἤδη καὶ ἡ δύναμις ἀναγκάζεται βιαίως τε καὶ σφοδρῶς ἐνεργεῖν, ἀποσείεσθαι καὶ διώσασθαι σπεύδουσα τὰ περικείμενα τοῖς ὀργάνοις αὐτῆς, καὶ κωλύοντα τὰς κινήσεις. κἂν τούτῳ μείζονά τε τῶν ἔμπροσθεν, ἀνάγκη καὶ σφοδρότερον καὶ ὠκύτερον γίνεσθαι τὸν σφυγμόν. πυκνότερος δ᾽ ἂν οὐ νῦν πρῶτον ἀλλ᾽ εὐθὺς ἐξ ἀρχῆς ἐγένετο. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου λόγῳ ταῖς ἐλλιπεστέραις τῆς χρείας ἐνεργείαις, ἐξ ἀνάγκης ἑπομένη πυκνότης σφυγμῶν. εἰ μὲν οὖν τὴν ἴσην ὁρμὴν ἡ δύναμις ἀεὶ τούτων ἐφύλαττεν ἐν ἁπάσαις ἐφεξῆς διαστολαῖς, ὁμοίως ἂν ἀεὶ μεγάλοι καὶ σφοδροὶ καὶ ταχεῖς ἐγίνοντο. νυνὶ δ᾽ οὐ γὰρ φυλάττει ἀλλὰ πάλιν ἀεὶ τὴν ἐξ ἀρχῆς φέρεται κίνησιν, ἐν τούτῳ πολυειδής τε καὶ συνεχὴς ἡ ἀνωμαλία γίνεται. τοῦ δὲ μὴ φυλάττειν αἴτιον ἐστί, τὸ μηδὲν ἀνύουσαν αὐτὴν μέγα, κάμνειν ματαίως. εἰ μὲν οὖν ὑγρότης εἴη τις περικεχυμένη ταῖς ἀρτηρίαις, ταῖς σφοδραῖς καὶ βιαίαις κινήσεσιν ὠθουμένη, μεταρρεῖν ἄλλοτ᾽ εἰς ἄλλους ἀναγκάζεται τόπους, ἔστ᾽ ἂν ἤτοι κατά τινα πόρον ἐνεχθεῖσα, τὸν ἐξοχετεῦσαι δυνάμενον αὐτήν, ἐκπέσῃ τοῦ σώματος, ἢ καὶ λεπτυνθεῖσα τῷ χρόνῳ, ἢ καὶ τελέως εἰς ἀτμοὺς λυθεῖσα διαπνευσθείη. κἂν τούτῳ τέως ἀνάγκη ποικίλην τε καὶ συνεχῆ γίνεσθαι τὴν διαστολήν, μήτ᾽ ἴσον τὸ πλῆθος ἐν παντὶ τῷ μεταξὺ χρόνῳ τῶν ὑγρῶν φυλαττομένων, μήτε τὰς αὐτὰς στενοχωρούντων ἀρτηρίας, ἀλλ᾽ ἐξ ἀκυρωτέρων πολλάκις μορίων εἰς τὰ κυριώτερα, κἀκ τούτων αὖθις εἰς ἀκυρώτερα μεθισταμένων. εἰ δ᾽ ἤτοι φλεγμονή τις, ἢ ἀπόστασις, ἢ σκίρρος εἴη τὸ πάθημα τῶν περικειμένων ταῖς ἀρτηρίαις σωμάτων, ὑφ᾽ οὗ θλίβονταί τε καὶ στενοχωροῦνται, διὰ μακροτέρων οὕτως ἀνάγκη χρόνων τοῖς ἴσοις σφυγμοῖς παρεμπίπτειν τοὺς ἀνίσους. ἀεὶ γὰρ τὰ αὐτὰ μόρια τῶν αὐτῶν ἀρτηριῶν θλίβεται πρὸς τῶν αὐτῶν, ἢ ἴσων τοῖς μεγέθεσιν, ἢ καὶ παραπλησίων ὄγκων. γίνεται δέ ποτε καὶ διὰ πλῆθος αἵματος ἤτοι ταῖς φλεψὶν ἢ ταῖς ἀρτηρίαις αὐτῶν ἐγκεχυμένου ἀνωμαλία σφυγμῶν. ἀλλ᾽ αὕτη γε ταῖς φλεβοτομίαις τάχιστα καθίσταται. τὸ μὲν γὰρ ἐν ταῖς φλεψὶ πλῆθος, ὡς ἂν παρακειμένων ἑαυταῖς ἀρτηριῶν θλίβοντε καὶ στενοχωροῦν αὐτὰς ὁμοίως τῷ παρὰ φύσιν ὄγκῳ, κενωθὲν ταῖς φλεβοτομίαις, αὐτίκα μὲν συγκαθεῖλε τὸν ὄγκον τῶν φλεβῶν. εὐθὺς δὲ καὶ ταῖς ἀρτηρίαις χώραν εὐπετῆ πρὸς τὴν κίνησιν παρέσχεν, ἐφ᾽ ἧς τὴν κατὰ φύσιν ἐνέργειαν ἀκώλυτον λαβοῦσαι, τὴν ὁμαλότητα τῶν σφυγμῶν ἅμ᾽ αὐτῇ τὴν κατὰ φύσιν ἀνεκτήσαντο. τὸ δ᾽ ἐν ταῖς ἀρτηρίαις αὐταῖς αἷμα τούτῳ μὲν ὅπως ἐνίσταται ταῖς ὁδοῖς τοῦ πνεύματος οὐ δὲ λόγου δεῖται. καὶ μάλιστα ἦν καὶ παχύ πως, ἢ γλίσχρον, ἢ κἂν τοῖς ἐσχάτοις αὐτῶν πέρασιν ἐσφηνωμένον εἴη. τηνικαῦτα γὰρ οὐδ᾽ ἕλκειν ἐκπέμπειν τὸ πνεῦμα δυνάμεναι, πολυειδῆ θ᾽ ἅμα καὶ χαλεπωτάτην ἐργάζονται τὴν ἀνωμαλίαν, καὶ μάλιστα ὅταν ἤτοι τῆς καρδίας αὐτοῦ ἐγγύς, ἢ καὶ πόρρω μέν, ἀλλ᾽ ἐν κυρίοις μορίοις ἡ σφήνωσις τῶν ἐμφραττόντων χυμῶν γίνεται. καθόλου τοίνυν εἰπεῖν, ἢ θλιβομένων ἰσχυρῶς τῶν ἀρτηριῶν, ἢ ἐμφραττομένων ἀνωμαλία τις γίνεται περὶ τοὺς σφυγμούς, κἂν μηδὲν ἡ δύναμις πέπονθεν. εἰ μέν τοι καὶ ἡ δύναμις ἔχει φαύλως, ἐπὶ τῇ τοιαύτῃ τῶν ὀργάνων διαθέσει, παντί που δῆλον, ὡς πολυειδεστέραν ἀνάγκη γίνεσθαι τὴν ἀνωμαλίαν, ὥσπερ γε καὶ εἰ

κατὰ τὴν

περὶ τὴν καρδίαν αὐτὴν ἀνώμαλος ὑπάρχει δυσκρασία, περὶ ἧς ἅπαντα τὸν λόγον ἀκριβώσαιμι ἐν τῇ προγνωστικῇ πραγματείᾳ. εἰ δὲ τὰ μὲν τῶν ὀργάνων ἔχει καλῶς, ἡ δύναμις δ' ἀσθενὴς εἴη μεγάλως, ἡ προειρημένη μὲν οὐκ ἂν εἴη ἡ μύουρος ὀνομαζομένη, γένοιτ' ἂν ἀνωμαλία. περὶ γὰρ τὴν ἐπιβολὴν τῶν δακτύλων ἡ δύναμις νικωμένη, μικροτέρους ἀεὶ καὶ ἀμυδροτέρους ἐργάζεται τοὺς σφυγμούς. ἀποδείξεως δ' οὐκ ἔτι δεῖ τοῦ λόγου. δέδεικται γὰρ ἐν τοῖς περὶ διαγνώσεως αὐτάρκως. ἀλλ' ὃ χρὴ προσθεῖναι χρήσιμον εἰς τὰ παρόντα, τοῦτο προσκείσεται.

Τὴν ἀσθένειαν τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως οὐκ ἴσην ἐν πάσαις ταῖς διαθέσεσιν ὑπάρχειν ἀναγκαῖον. ἀλλὰ πάμπολυ δή τοι τὸ μᾶλλόν τε καὶ ἧττον ὑπάρχειν. ἡ μὲν δὴ πρώτη καὶ βραχεῖα, μικροτέρους μὲν καὶ ἀμυδροτέρους, οὐ μήν γε μυούρους ἐργάζεται τοὺς σφυγμούς. ἡ δὲ ἐπὶ ταύτῃ τοσούτῳ μείζων, ὡς ἤδη καὶ τοὺς ἐπιβαλλομένους δακτύλους ἄχθος εἶναι τῇ δυνάμει, τῶν μυούρων ἐστὶ σφυγμῶν ἀποτελεστική. διττῆς δ' οὔσης ἐν αὐτοῖς τούτοις διαφορᾶς, οἱ μὲν γὰρ αὐτῶν εἰς τὴν ἐξ ἀρχῆς κίνησιν ἐπανέρχονται, καὶ καλοῦσιν αὐτοὺς μυούρους παλινδρομοῦντας, οἱ δ' αὐτόθι που καταστρέφουσιν, ἰστέον ὡς οἱ μὲν πρότεροι μικροτέραν ἐνδείκνυνται τὴν ἀσθένειαν. ἀναμάχεται γάρ πως ἡ δύναμις ἔτι, καὶ οἷον ἀθροίζουσα καὶ συστρέφουσα πολλάκις ἑαυτήν, τάξει μὲν τὸ μέγεθος οὕτω, τῶν σφυγμῶν, αὔξει δὲ καὶ τὸν τόνον. οἱ μέν τοι καταμένοντες ἐν ἐσχάτῃ μικρότητι, καὶ μηκέτ' ἐπανερχόμενοι, μειζόνως ἢ περὶ τούτους ἐμφαίνουσι λελύσθαι τὴν δύναμιν, ὥσπερ εἰ καὶ τελέως ἐκλείποιεν, ἐσχάτην τινὰ τὴν ἀρρωστίαν ἐνδείξονται. ὅτι μέν τοι τούτων ἁπάντων ἡ διάγνωσις ἐπικειμένων τῶν δακτύλων ταῖς ἀρτηρίαις, καὶ μηδόλως αἰρομένων γίνεται, παντί που πρόδηλον. εἰ γὰρ αἴροντες αὐτούς, εἶτα μετ' ὀλίγον ἐπιφέροντες εὑρίσκομεν καθ' ἑκάστην ἐπιβολὴν ἐκλελοιπυῖαν τὴν κίνησιν. ἀσφυξίαν τε τοῦτο καλοῦμεν παντελῆ καὶ οὐκ ἐκλείποντα σφυγμόν. πολὺ δ' οἶμαι διαφέρειν ἀσφυξίαν ἐκλείποντος σφυγμοῦ. ἡ μὲν γὰρ οἷον στέρησίς ἐστιν ἁπάσης τῆς ἐνεργείας, πρὸς γοῦν τὴν αἴσθησιν, ὁ δ' ἐξ ἡμισείας ἀπώλεια. ὁπόταν οὖν ἐπιβάλλοντι μέν σοι τοὺς δακτύλους ἡ κίνησις ἐμφαίνηται, φυλάττοντι δ' ἐπικειμένους, ἐκλυθεῖσα, μετὰ βραχὺ παύσηται παντάπασι, τοὺς μὲν σφυγμοὺς τοὺς τοιούτους ἐκλείποντας ὀνομάζειν. τὴν διάθεσιν δ' ἡγεῖσθαι μέσην τῆς τε τῶν μυούρων σφυγμῶν καὶ τῆς παντελοῦς ἀσφυξίας. ὅσῳ δὲ τῶν μυούρων χαλεπωτέραν, τοσούτῳ τῆς ἀσφυξίας ἐπιεικεστέραν. τρεῖς μὲν οὖν αὗται διαθέσεις τοῦ ποσοῦ τῆς βλάβης διαφέρουσαι. τετάρτη δ' ἡ τῶν παλινδρομούντων μυούρων, ἡ πασῶν ἐπιεικεστάτη. πέμπτη δ' ἔτι προσκείσθω ταύταις, ἡ τῶν διαλειπόντων, προηγουμένη δηλονότι τῆς τῶν ἐκλειπόντων ὅ γε ἐφ' ἑνός, ἢ δυοῖν, ἢ ὅλως ἀριθμοῦ τινὸς σφυγμῶν ἦν, τοῦθ' ἡ τῶν ἐκλειπόντων ἐπὶ πάντων ἐργάζεται. πρόδηλοι δὲ καὶ αὐτῶν τῶν διαλειπόντων αἱ διαφοραί. μείζονες μὲν γὰρ αἱ βλάβαι τῆς δυνάμεως, ὅταν πλείονες. ἐλάττονες δ' ὅταν ὀλιγώτεραι κινήσεις ἐκλείπωσιν. ἡ δὲ τῶν παρεμπιπτόντων καλουμένων σφυγμῶν διάγνωσις, ἐναντία τῇ τῶν διαλειπόντων ἐστίν, ἔχει δ' αὖ δηλονότι καὶ οὗτοι τῶν ἀνωμάλων ἐν ἀθροίσματι, καὶ γίνονται τῆς δυνάμεως ἐρρωμένης μέν, ἀλλ' ὑπὸ πλήθους χυμῶν, ἢ ἐμφράξεως ὀργάνων ἐνοχλουμένης. ὡς οὖν ἵνα διώσηται τὰ λυποῦντα μείζονας πολλάκις καὶ σφοδροτέρους καὶ ὠκυτέρους τοὺς ἐργάζεται σφυγμούς, οὕτω καὶ πλείονας, ἐν ταῖς τοιαύταις διαθέσεσι μάλιστα, ὅτε καὶ ὑψηλοὶ γίνονται σφυγμοί. καὶ διὰ τοῦτο κριτικῆς ἐκκρίσεως εἰσὶ σημεῖα. οὐ μόνον δὲ δι' ἀρρωστίαν δυνάμεως, ὁ διαλείπων γίνεται σφυγμός. ἀλλὰ καὶ δι' ἔμφραξιν ὀργάνων ἰσχυράν, ἢ θλίψιν τινὰ καὶ στενοχωρίαν, ὅταν μηδ' ὅλως εἰς ἑαυτὰς ἕλξαι τι δυνηθῶσιν αἱ ἀρτηρίαι. περὶ μὲν οὖν τῆς ἐν ἀθροίσματι τῶν σφυγμῶν ἀνωμαλίας, ἱκανὰ καὶ ταῦτα.

Περὶ δὲ τῆς καθ' ἕνα λεκτέον ἐφεξῆς. εἰσὶ δὲ ταύτης πάμπολλαι μὲν αἱ κατὰ μέρος διαφοραί. πειρατέον δ' ἡμῖν εἰς τὰς καθόλου πάσας ἀναγαγεῖν, ὧν σαφῶν γενομένων, κἄν εἴ τι τῶν κατὰ μέρος ὑπολείποιτο, ῥᾳδίως ἐκ τῶν προειρημένων εὑρήσεται καὶ τὰ λοιπά. καὶ ἡ γ' ἀρχὴ τοῦ λόγου ἡ αὐτὴ γινέσθω, ἥπερ κἀν τῷ περὶ διαφορᾶς αὐτῶν. ἠρξάμεθα δ' ἐν ἐκείνῳ διαιρούμενοι τῆς κινήσεως αὐτοῦ πρῶτον τὴν ἀνωμαλίαν, ἤτοι διακοπτομένης, ἢ συνεχοῦς μενούσης, ἢ ἐπανερχομένης. καὶ τοίνυν ἐννέα διαφορὰς ἐδιδάξαμεν γινομένας, ὁπόταν διαστελλομένης τῆς ἀρτηρίας ἡσυχία τις ἐν τῷ μέσῳ γινομένη τὴν ὅλην διαστολὴν εἰς τρεῖς τέμνῃ χρόνους. ἑξῆς οὖν ὑπὲρ ἑκάστης αὐτῶν ἐνταῦθα σκεψώμεθα τὰς αἰτίας ζητοῦντες. καὶ πρῶτόν γε τῆς πρώτης ἐν αὐταῖς ῥηθείσης, ὅταν ὠκέως ἀρξαμένη τῆς κινήσεως ἡ ἀρτηρία, κἄπειτα μικρὸν ἡσυχάσασα τὸ λεῖπον τῇ διαστολῇ, μετὰ ταῦτα προσθῇ, βραδέως κινηθεῖσα. γίνεται γὰρ τοῦτο τῆς μὲν χρείας ἐπειγούσης, τῆς δυνάμεως δὲ ὑπηρετούσης μὲν ὅσον ἐφ' ἑαυτῇ, κωλυομένης δ' ἤτοι δι' ὀργάνων βλάβην, ἢ πλῆθος ἀξιόλογον. ἐπεὶ εἴ γε μὴ διεκόπτετο ποτὲ τῆς ἡσυχίας ἡ διαστολή, πάντως ἂν ἦν μεγάλη. τοιαύτη δ' οὐκ ἂν γένοιτο χωρὶς τοῦ καὶ τὴν χρείαν καλεῖν καὶ τὴν δύναμιν ὑπηρετεῖν. ὅτι δὲ οὐκ ἐνδέχεται μικρὰν διαστολὴν ἡσυχίᾳ μεταλαβεῖσθαι, μάθοις ἂν ἐννοήσας, ὡς οὐδεὶς τῶν μικρῶν σφυγμῶν εἰς δύο αἰσθητὰ μόρια τμηθῆναι δύναται. οὗτος δέ γε ὑπὲρ οὗ νῦν ὁ λόγος, εἰς δύο τέτμηται σαφεῖς σφυγμούς, τόν τε πρὸ τῆς ἡσυχίας τὸν ταχύν, καὶ τὸν ἐπὶ ταύτῃ τὸν βραδύν. εἰ μὲν δὴ καὶ ἑκάτερος αὐτῶν ἀξιόλογον ἔχοι μέγεθος, οὗτος ἂν ὅλος εἴη τῶν μεγίστων. εἰ δὲ μή, ἀλλ' οὐ μικρός γε πάντως ἐστί, κἂν ἐκ μικρῶν δυοῖν συντεθῇ. δηλοῖ δὲ τὴν ῥώμην τῆς δυνάμεως, καὶ τὸ τῆς προτέρας κινήσεως τάχος, ὥσπερ γε καὶ τὸ τῆς χρείας ἐπεῖγον, ἡ μετὰ τὴν ἡσυχίαν κίνησις ἐνδείκνυται. οὐ γὰρ ἄνευ τούτου, συνεπλήρωσεν ἄν ποτε τὴν ἐξ ἀρχῆς ὁρμὴν ἡ δύναμις, ἀλλ' ἔνθα πρῶτον ἐπεσχέθη κινουμένη, κατέπαυσεν ἂν ἐνταῦθα τὴν διαστολήν, μικρὸν ἕνα τοῦτον ἐργασαμένη σφυγμόν. ὥσπερ οὖν καὶ φαίνεται μυριάκις ἐν ταῖς συστηματικαῖς ἀνωμαλίαις μικρὸς γινόμενος ὁ σφυγμός, οὐ τῷ μὴ δύνασθαι κινεῖσθαι τὴν δύναμιν, ἀλλὰ τῷ κωλύεσθαι. πολλάκις οὖν τὸν ἐφεξῆς αὐτῷ μέγιστον εἰργάσατο, συστρέψασα, καθάπερ ἂν εἴποι τις ἑαυτήν, καὶ οἷον ἀθροίσασα καὶ ἀνακτησαμένη, καὶ παντὶ τῷ τόνῳ βιαίως χρησαμένη. ἐνὸν οὖν αὐτῇ καὶ νῦν ἐργάσασθαί τι τοιοῦτον, οὐκ ἐργασαμένη, τὴν χρείαν ἐπείγειν ἐνεδείξατο. πόθεν οὖν ὅτι πλῆθος ἄμετρον, ἢ θλίψις ὀργάνων, ἢ ἔμφραξις ἐμποδίζουσι τὴν κίνησιν, πρῶτον μὲν ἐκ τοῦ τήν τε δύναμιν ἐρρῶσθαι καὶ τὴν χρείαν ἐπείγειν, οὐ γὰρ ἂν ἔτι λοιπὸν οὐδὲν εἴη τῆς βλάβης αἴτιον ἔξω τῶν εἰρημένων, ἔπειτα δὲ κἀξ αὐτῆς τῆς

φύσεως αὐτῶν. εἴτε γὰρ πλῆθος εἴη τὸ βαρῦνον, οὐκ ἀδύνατον ἐν τῷ μέσῳ τῆς διαστολῆς στᾶσαν τὴν δύναμιν καὶ οἷον ἀναπαυσαμένην οὕτως τὸ λεῖπον προσθεῖναι, εἴτ' ἔμφραξις τῶν ὀργάνων ἰσχυρά, ἢ θλῖψις τις βίαιος, ἴσχεσθαι τὴν κίνησιν εἰς τοσοῦτον εὔλογον, εἰς ὅσον ἀπορρεῖ τοῦ πληρώσοντος πνεύματος τὴν χώραν τῆς διαστολῆς. ἀλλ' ἐπεὶ τὸ τελέως ἴσχεσθαι, τοῦ τελέως ἀποκεκλεῖσθαι τὰς ὁδοὺς τοῦ πνεύματος ἐνδεικτικόν ἐστιν. διὰ τοῦτο καὶ τὴν θλῖψιν καὶ τὴν ἔμφραξιν ἰσχυρὰν εἶναι φαμέν. τοῦτο μὲν δὴ κοινὸν ἁπασῶν τῶν ἐφ' ἡσυχίας τεμνομένων διαστολῶν. ἴδια δὲ ἑκάστης αὐτῶν τὰ νῦν λεχθησόμενα. τῆς μὲν πρώτης ἱκανῶς βαρύνεσθαι τὴν δύναμιν ὑπὸ τοῦ πλήθους ὅταν γε διὰ πλῆθος ὁ σφυγμὸς γίνεται τοιοῦτος. ἡ γὰρ ὑστέρα κίνησις ἡ μετὰ τὴν ἡσυχίαν οὐκ ἂν ἄλλως ἐγένετο βραδεῖα τῆς προτέρας οὔσης ὠκείας, εἰ μὴ ἐνενίκει τότε καὶ ἰσχυρῶς ἐβεβάρητο πρὸς τοῦ πλήθους ἡ δύναμις. ἔμπαλιν δ' ἐπὶ τῆς δευτέρας ἔχει διαφορᾶς ἐφ' ἧς ἀμφότερα τὰ μόρια τῆς κινήσεως ἐστὶ ταχέα. φαίνεται γὰρ ἀναφέρουσα καὶ διασώζουσα τὸν τόνον ἡ δύναμις καὶ διαμαχομένη τῷ πλήθει. μέση δ' ἀμφοῖν ἐστὶ δηλονότι διάθεσις ἐφ' ἧς καὶ ἡ κίνησις ἡ δευτέρα μέση ταχείας τε καὶ βραδείας ὅπερ ἐστὶ σύμμετρος. αὗται μὲν οὖν τρεῖς διαφοραὶ τῶν ἡσυχίᾳ σχιζομένων διαστολῶν. ἕτεραι δὲ τρεῖς ὅταν τῆς προτέρας κινήσεως βραδείας γινομένης, ἡ δευτέρα τὰς τρεῖς τρέπηται τροπὰς ἤτοι βραδεῖα, ἢ ὠκεῖα, ἢ σύμμετρος γινομένη, καὶ δηλονότι καὶ ταύτας χείρους μὲν ἐφ' ἧς αἱ κινήσεις ἄμφω βραδεῖαι. πολὺ δ' ἐπιεικεστέρα ταύτης ἐφ' ἧς ἡ δευτέρα ταχεῖα. μέση δ' ἀμφοῖν ἐφ' ἧς ἡ σύμμετρος. οὕτω δὲ κἂν εἰ τῆς πρώτης κινήσεως συμμέτρου γινομένης, ἡ δευτέρα τὰς τρεῖς τρέποιτο τροπάς. ἐπιεικεστέραν μὲν ἐνδείξεται διάθεσιν ἡ ὠκεῖα κίνησις. ὀλεθριωτέραν δ' ἡ βραδεῖα. μέσην δ' ἡ σύμμετρος. πασῶν δὲ τῶν ἐννέα διαφορῶν, ὑφ' ἧς τινος ἂν αἰτίας γίνωνται, χειρίστη μὲν ἡ ἀμφοτέρας ἔχουσα τὰς κινήσεις βραδείας. ἐπιεικεστάτη δ' ἡ ἀμφοτέρας ταχείας. μέση δ' ἐφ' ἧς ἀμφότερα σύμμετρα. καὶ ἄλλαι δὲ μεταξὺ τῆς τε μέσης καὶ τῶν ἄκρων ἑκατέρας, ἀνάλογον. ἀλλὰ καὶ χρόνος οὗτος ὁ τῆς ἡσυχίας, ὅσῳ περ ἂν πλείων γίγνηται καθ' ἑκάστην τῶν εἰρημένων ἐννέα διαφορῶν, τοσούτῳ χαλεπώτερον. ἔμπαλιν δὲ τῶν κινήσεων ὁ χρόνος αὐξανόμενος ἐπιεικεστέραν ἐμφαίνει τὴν διάθεσιν. ὡσαύτως δὲ καὶ τὸ τῶν διαστολῶν ἀμφοτέρων μέγεθος ἄριστον. ὥσπερ οὖν ἡ μικρότης χείριστον. οὕτω δὲ καὶ ἡ μὲν σφοδρότης ἄριστον, ἡ δ' ἀμυδρότης, χείριστον. εἰ δ' ἅπαντα ἅμα συνέλθοι τὰ εἰρημένα κακὰ περὶ ἕνα σφυγμόν, οὗτος ἂν ὁ χείριστος εἴη αὐτῶν. ὥσπερ εἰ καὶ πάντα τὰ ἐπιεικέστατα, ὁ βέλτιστος. ὁ μὲν γάρ, εἴτε πλῆθος εἴη τὸ βαρῦνον τὴν δύναμιν, νενικῆσθαι αὐτὴν ἀξιολόγως, εἴτ' ἔμφραξίς τις ἐν ταῖς ἀρτηρίαις, ἐν κυρίαις μὲν ταύταις, καὶ οὐ πόρρω τῆς ἀρχῆς, μεγάλην δὲ καὶ αὐτὴν τὴν ἔμφραξιν ἐπιδείκνυται, εἴτε θλῖψις τις καὶ στενοχωρία, πᾶσαν ὀλίγου δεῖν κατειλῆφθαι δηλοῖ τὴν χώραν τῶν ἀρτηριῶν. ὁ δ' ἐπιεικέστατος ἐν αὐτοῖς, ἐφ' οὗ δηλονότι καὶ αἱ κινήσεις ἀμφότεραι ταχεῖαί τε καὶ μεγάλαι καὶ σφοδραί, καὶ ὁ χρόνος ὁ τῆς ἡσυχίας βραχύς, τὴν μὲν δύναμιν κρατεῖν τοῦ πλήθους ἐνδείξεται, τάς δ' ἐμφράξεις τε καὶ θλίψεις τῶν ἀρτηριῶν, ἢ μικράς, ἢ οὐκ ἐν κυρίοις, ἢ πόρρω τῆς ἀρχῆς. ταῦτα μὲν οὖν τῆς καλουμένης ἰδίως προγνωστικῆς θεωρίας ἔχεται τῇ κοινωνίᾳ τοῦ λόγου συναναγραφέντα.

Μεταβάντες δ' ἤδη σκεψώμεθα περὶ τῶν συνεχῆ μὲν τὴν κίνησιν ὅλης αὐτῆς τῆς διαστολῆς ἐχόντων σφυγμῶν, οὐ μὴν ἰσοταχῆ τε πᾶσαν. εἴρηται δὲ καὶ περὶ τούτων ἱκανῶς ἐν τῷ περὶ διαφορᾶς τῶν σφυγμῶν, ὁπόσαι μὲν αἱ πᾶσαι τούτου τοῦ γένους διαφοραὶ γίνονται, πόσοι δὲ καὶ οἱ καθ' ἑκάστην αὐτῶν σφυγμοί. ὥστε οὐδὲ τούτων τὸν ἀριθμὸν ἔτι χρὴ νῦν ἐπεξιέναι, ἀλλ' ἐπὶ τὰς αἰτίας αὐτῶν ἰτέον, ὡς οἷόν τε καὶ ταύτας ἐν τῷ καθόλου διεξιόντας, ὑπὲρ τοῦ βραχύτερον γίνεσθαι τὸν ἅπαντα λόγον. ὅσοι μὲν δὴ αὐτῶν ἀπὸ τῆς ἀρχῆς ἄχρι τοῦ τέλους εἰς τάχος διαδιδόασιν, ἧττον βαρύνεσθαι τὴν δύναμιν ἐμφαίνουσιν, ὅσοι δ' ἔμπαλιν, μᾶλλον. οὐ μὴν λυομένης γε τῆς δυνάμεως οὐδεὶς τούτων γίνεται. μεγάλοι γὰρ ἅπαντές εἰσι, καὶ μάλισθ' ὅσον εἰς διαστήματα τρία καὶ χρόνους τρεῖς ἢ τέτταρας αἰσθητοὺς ἐγχωρεῖν οἷόν τε τὴν κίνησιν. ἴδιον δὲ τῶν ἀθρόαν εἰς τἀναντία ποιουμένων τὴν μεταβολήν, τὸ μὴ τῆς δυνάμεως μόνης βαρυνομένης, ἀλλὰ καὶ ἔμφραξιν ἢ θλῖψιν ὀργάνων γίνεσθαι, λέγω δ' εἰς τἀναντία ποιεῖσθαι μεταβολὴν ἀθρόως, εἰ κινούμενοι ταχέως ἐξαιφνίδιον ἐγένοντο βραδεῖς, ἢ ἔμπαλιν ἐκ βραδείας τῆς προόδου κινήσεως, ὠκεῖς. γίγνονται γὰρ οὗτοι δι' ἐμφράξεις μέν τινας καὶ στενοχωρίας, ἀλλ' ἧττον χαλεπὰς τῶν διαλειπόντων, καὶ τῆς δυνάμεως δ' αὐτῆς ὑπὸ πλήθους βαρυνομένης, ἀλλ' ἧττον ἢ ἐν τοῖς διαλείπουσιν. οὐ γὰρ ἴσον δή που τὸ κακόν ἐστιν, ἢ ὑπαλλαγῆναι τὴν κίνησιν, ἢ κωλυθῆναι. οἱ γοῦν κατὰ μέρος μέν τοι τούτου τοῦ γένους τῆς ἀνωμαλίας σφυγμοί, τί ποτ' ἀλλήλων διαφέρουσι, καὶ τίνος μὲν εἰσὶν αὐτῶν ὀλεθριώτεροι, τίνος δέ, καὶ αὐτοί, καὶ ἐπιεικέστεροι, ῥᾴδιον μὲν καὶ αὐτόν τινα τῶν ἐντυγχανόντων ἐξευρεῖν, κἀξ ὧν ἐπὶ τῶν διαλειπόντων εἰρήκαμεν † ὡρμημένοι. εἰρήσονται μέν τοι καὶ πρὸς ἡμῶν ἐν τοῖς περὶ τῆς διὰ σφυγμῶν προγνώσεως. ὁ γάρ τοι παρὼν λόγος, οὐδὲν αὐτῶν ἔτι δεῖται, ὡς κατὰ τὸ κοινὸν τοῦ γένους, κοινὰς καὶ τὰς τῆς γενέσεως ἐχόντων αἰτίας, ἃς δὴ νῦν πέπαυμαι λέγων.

† αλ. ὡρμημένου

ἀλλ' ἐπὶ τὸ λοιπὸν ἔτι γένος τὸ καθ' ἓν μόριον τῆς ἀνωμαλίας, οὓς δικρότους ὀνομάζομεν σφυγμοὺς ἤδη μετιτέον. ἐλέγομεν δ' αὐτοὺς ἐξ ἀνάγκης εἶναι κλονώδεις. οὔκουν οἷόν τε τὰς αἰτίας αὐτῶν ἐξευρεῖν ἀκριβῶς, πρὶν τὰς τοῦ κλονώδους ἐπιμελῶς διασκέψασθαι. γίνονται τοίνυν οὗτος ὅταν ἡ μὲν δύναμις εὔρωστος ᾖ, τὸ δ' ὄργανον σκληρόν, ἐπείγῃ δ' ἡ χρεία. εἰ γὰρ ἕν τι τούτων ἐκλείπῃ, κλονώδης οὐκ ἂν γένοιτο. τὸ γάρ τοι συνέχον αὐτοῦ τὴν γένεσιν, ἐστὶ βίαιος διαστολὴ σκληρᾶς ἀρτηρίας. οὐ γὰρ ἂν ἄλλως κραδαίνοιτό τε καὶ διασείοιτο πάντῃ, μὴ οὐκ ἀμφοτέρων τούτων συνελθόντων. εἴτε γὰρ ἡ ἀρτηρία μόνη σκληρυνθείη, μὴ μέν τοι βιάζοιτο διαστέλλειν αὐτὴν ἡ δύναμις ἐπὶ πλεῖστον, οὐκ ἂν οὐδεὶς δή που γένοιτο κλόνος, ἀλλ' αὐτὸ δὴ τοῦτο μόνον ὁ καλούμενος σκληρὸς σφυγμός. εἰ δ' ἐπὶ πλεῖστον μὲν ἡ δύναμις ἐθέλῃ διαστέλλειν τὰς ἀρτηρίας, αἱ δ' ἕποιντο μαλακότητι συμμέτρῳ, μέγας μὲν ἂν οὕτως, ἀλλ' οὔ τι γε κλονώδης, οὐδ' ὅλως σκληρὸς ἔσται. εἴπερ οὖν μέλλει κλονώδης ἔσεσθαι, δῆλον ὡς διαστέλλειν αὐτὰς ἡ δύναμις ἐπὶ πλεῖστον ἢ πεφύκασι βιάζεται. ἀλλ' οὐκ ἂν εἰ μὴ πρὸς τῆς χρείας ἐπειγούσης ἠναγκάζετο, βιαίως ἂν ποθ' ὥρμησεν ἐνεργεῖν ἡ δύναμις. ὥστ' εὐλόγως ἐρρῶσθαι μὲν ἔφαμεν χρῆναι τὴν δύναμιν, ἐσκληρῦνθαι δὲ τὰς ἀρτηρίας, ἐπείγειν δὲ τὴν χρείαν.

χρείαν. αὐτὴν δὲ ταύτην τὴν ἐπείξιν ὑπό τινος ποτὲ αἰτίας γίγνεται λεκτέον. οὐδὲ γὰρ οὐδὲ τοῦτο χρὴ παρα-
λιπεῖν. ἔστι δὲ μία μὲν, ὡς ἂν οὕτω τις εἴποι, προσεχὴς αἰτία. πολλαὶ δ' αὐτῆς δημιουργοί. τίς οὖν ἡ μία, καὶ
τίνες αἱ πολλαί; ἡ μία μὲν ὅταν ἀπλήρωτος ἡ χρεία μένῃ πρὸς τῆς ἐνεργείας. αἱ πολλαὶ δὲ ταύτης ποιη-
τικαὶ, καθόλου μὲν φάναι δυνάμεως ἀρρωστία, καὶ ὀργάνων δυσπάθεια, καὶ τῆς χρείας αὔξησις. ἀλλ' ἐπὶ
τοῦ νῦν προκειμένου γένους τῶν σφυγμῶν ἀφελεῖν χρὴ τὴν ἀρρωστίαν τῆς δυνάμεως. ἐδείχθη γὰρ ἐρρῶσθαι.
λοιπὸν οὖν ἤτοι τῆς χρείας αὐξανομένης, ἢ τῶν ὀργάνων ἀπειθούντων, ἢ καὶ ἀμφοῖν ἅμα συνελθόντων ἐλάτ-
των ἡ διαστολὴ τῆς χρείας ἐν τοῖς κλονώδεσιν ἔσται σφυγμοῖς. ἀλλ' ἡ μὲν χρεία τῇ πλεονεξίᾳ τῆς θερμότητος,
ἢ τῇ δαπάνῃ τοῦ ψυχικοῦ πνεύματος αὐξάνεται. δυσπαθῆ δὲ γίνεται τὰ ὄργανα, δι' ἐμφράξεις, ἢ θλί-
ψεις, ἢ σκληρότητας. αὗται δὲ αἱ σκληρότητες, ἢ φλεγμαινόντων, ἢ σκιρρουμένων, ἢ σκληρυνομένων, ἢ ξη-
10 ραινομένων, ψυχομένων † τεινομένων γίνονται τῶν ὀργάνων. καὶ οὕτως ἤδη πάσας εὑρίσκομεν τὰς αἰτίας τῶν † αἱ ἢ
κλονωδῶν τῆς γενέσεως. ἡ γάρ τοι δύσκρατος ἀνωμαλία προϊοῦσα μὲν, αὐξήσει τὸν κλόνον, οὐ μὴν αἰτία γε αὐτῶν
ἐστι τῆς γενέσεως. ἀλλ' ἡ κατὰ διαφέροντα μόρια τῆς ἀρτηρίας ἀνωμαλία τῶν σφυγμῶν, ταῖς τοιαύταις ἕ-
πεται προσεχῶς δυσκρασίαις. ἔνθα μὲν γὰρ ὑγρότερον θ' ἅμα καὶ θερμότερον ᾖ τὸ μόριον τῆς ἀρτηρίας, ἐν-
ταῦθα ὁ μείζονος καὶ θάττονος τοῦ σφυγμοῦ γινομένου, ἔνθα δ' ἂν ἤτοι ψυχρότερον, ἢ ξηρότερον, ἐνταῦθ' ἐλάττο-
νος τε καὶ βραδυτέρου. καὶ δὴ καὶ προεξορμᾶται μὲν εἰς τὴν κίνησιν τὸ πρότερον εἰρημένον, ὕστερον δ' ἄρχε-
ται, τὸ δεύτερον. ὥστε κατὰ τοῦτο μὲν, καὶ τοὺς κλονώδεις συναυξήσει, προσεχὲς δ' αἴτιον γενήσεται τῆς κατὰ
διαφέροντα μόρια τῶν ἀρτηριῶν ἀνωμάλου κινήσεως, ὁ τοίνυν δίκροτος καλούμενος σφυγμὸς, ἤδη γάρ-
ποτε καὶ περὶ τούτου λέγωμεν, ὧδέ πως γίνεται. ὅταν τοῦ μέρους τῆς ἀρτηρίας ᾧ τὴν ἁφὴν ἐπιβάλλομεν,
σκληρότερα καὶ ψυχρότερα, καὶ διὰ τοῦτο δυσκινητότερα, τὰ ἑκατέρωθεν ὧν οὐκ ἁπτόμεθα γένηται, κἄπει-
20 τα προεξορμῆσαν αὐτῶν εἰς τὴν διαστολὴν τὸ μέσον, ἀντισπασθῇ πάλιν ἔσω καὶ αὖθις συνεξαίρει, δὶς ἀνάγκη
πλήττεσθαι τὴν ἁφήν. ὁ μὲν οὖν τοιοῦτος σφυγμὸς, δίκροτός ἐστι μόνον, οὐ μέντοι καὶ κλονώδης σαφῶς. ἕτε-
ρος δέ τις ἅμα καὶ κλονώδης ἱκανῶς ἐστι, καὶ δίκροτος γίνεται κατὰ τοιόνδε τινὰ τρόπον. ὅταν κλονωδῶς
ἀναφερομένης τῆς ἀρτηρίας, ὅσον μὲν ὑπὸ τῷ δέρματι μόνῳ γυμνὸν ἑτοίμως ἀναφέρεται, τὰ δ' ἑκατέρω-
θεν τοῦ δὲ βαρύνηται διὰ πάχος ἢ πλῆθος τῶν ἐπικειμένων σωμάτων, ὡς μηδὲ τὴν κίνησιν αὐτῶν ὑποπίπτειν
τοῖς ἁπτομένοις, ἀνάγκη τηνικαῦτα τοῦ φανεροῦ μέρους ἤδη παντὸς ἀνηνεγμένου, τὰ μὴ φαινόμενα τὰ ἑκα-
τέρωθεν ἔτ' ἀναφέρεσθαι. καὶ οὕτω φθάνον καταφέρεσθαι τὸ μέσον, αὖθις συνεξαίρεσθαι τοῖς ἑκατέρωθεν. ὥστ'
ἐπανέρχεσθαι τε καὶ προσπίπτειν ἐκ δευτέρου τοῖς ἔξωθεν ἁπτομένοις. εὔδηλον οὖν ὅτι δίκροτος ὁ τοιοῦτος
ἔσται, ταύτῃ πλεονεκτῶν τοῦ κλονώδους μόνον † ὅτι κατὰ μεγάλα μόρια τῆς ἀρτηρίας, τὴν ἀνωμαλίαν τῆς κι- † αἱ μόνου
νήσεως ἐκτήσατο. τοῦ μὲν γὰρ ὑποπίπτοντος τοῖς δακτύλοις ἅπαντος ὁμοίως κινουμένου, πλὴν ὅσα κλονεῖ-
30 ται. τῶν δ' ἑκατέρωθεν αὐτοῦ διαφερόντων, ὁ δίκροτος γίνεται, τῷ κλονώδει δὲ μόνῳ οὐδὲν πλέον ὑπάρχον
τοῦ κραδαίνεσθαι καὶ διασείεσθαι παρὰ μικρὸν ἅπαντα τὰ μόρια, τὴν δὲ ἐν οὕτω μεγάλοις μέρεσι διαφορὰν τῆς κινή-
σεως ὥσπερ ὁ δίκροτος οὐκ ἔχει. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὡς ὁ δίκροτος, ἔσθ' ὅτε μὲν ἐπὶ δυσκρασίᾳ γίνεται
μεγάλῃ, καὶ σκληρότητι βραχείᾳ τῆς οὕτω κινουμένης ἀρτηρίας, ἔσθ' ὅτε δ' ἐπὶ σκληρότητι μεγάλῃ μετά τινος
δυσκρασίας, ἢ πάχους ἢ πλήθους χυμῶν τε καὶ σαρκῶν. ὁ μέντοι δορκαδίζων καλούμενος, κοινὸν μὲν ἔχει πρὸς
τὸν δίκροτον, τὸ δὶς πλήττειν, οὔτε κοινὴν δὲ τὴν αἰτίαν. οὐ γὰρ τῆς σκληρότητος τῶν ὀργάνων, οὔτε τῆς δυσκρα-
σίας ἐξ ἀνάγκης ἐφάπτεται, ἀλλ' ὅταν ἡ δύναμις ὅσον μὲν ἐφ' ἑαυτῇ σώζει τὸν κατὰ φύσιν τόνον, ἴσχηται δὲ τῆς
κινήσεως, ἤτοι διὰ πλῆθος ἄμετρον, ἢ δι' ἔμφραξιν, ἢ θλίψιν τῶν ὀργάνων, ἡσυχία τηνικαῦτα διακόπτει τὴν δια-
στολήν. εἰκότως ἄρα τὸ δεύτερον μέρος αὐτῆς τὸ μετὰ τὴν ἡσυχίαν εὐρωστότερον φαίνεται τοῦ πρὸ τῆς ἡσυχίας.
ἀθροίσασα γὰρ ὡς ἂν εἴποι τις ἑαυτὴν καὶ συλλέξασα, καὶ ῥώσασα καὶ ἀνακτησαμένη ἡ τέως νενικημένη δύνα-
40 μις, ἐπιτίθεται σφοδρότερον, ἐκνικῆσαί τε καὶ διώσασθαι τὰ λυποῦντα ἀποδύσα. καὶ δὴ καὶ δρᾷ τοῦτο
πολλάκις. ἢν δέ ποτε καὶ κατὰ τὴν δευτέραν ὁρμὴν νικηθῇ, χεῖρον μὲν ἂν οὕτως εἴη τοῦ δορκαδίζοντος ὁ τοιοῦ-
τος σφυγμὸς, ἀνώνυμος δέ ἐστι. καίτοι τινὲς ἅπαντας τούτους, ὧν τὸ συνεχὲς τῆς διαστολῆς ἡσυχία διακόπτει, δορ-
καδίζοντας καλοῦσιν. ἡμῖν δὲ ὀνομάτων μὲν οὐδὲν μέλει, πλὴν ὅσα τοῦ σαφοῦς τῆς διδασκαλίας ἕνεκα, δεδηλω-
μένου τοῦ πράγματος ἤδη σαφῶς, ἐφ' ἕτερον εἶδος ἀνωμάλων σφυγμῶν ἰτέον ἐστὶν, οὓς καλοῦσιν κυματώδεις
ποτὲ καὶ σκωληκίζοντας. ἐλέχθη γὰρ οὖν καὶ περὶ τούτων, ὅτι τῷ ποσῷ μόνῳ διαφέρουσιν ἐν εἴδει ἄμφω κει-
μένοι. καὶ εἰσὶ δηλονότι τῶν κατὰ διαφέροντα μόρια τῆς ἀρτηρίας ἐν μιᾷ διαστολῇ τὴν ἀνωμαλίαν ἐχόν-
των. αἰτίαι δ' αὐτῶν τῆς γενέσεως, ἀρρωστία τῆς δυνάμεως, ἢ πλῆθος χυμῶν, ἢ μαλακότης ὀργάνων ἐσχάτη.
ὅταν μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς διικνούμενος εἰς τὰς κατὰ μέρος ἀρτηρίας ὁ τόνος, ἱκανῶς ὅλον ἐξαίρειν ἀδυ-
νατῇ τὸ ἀγγεῖον, ἐν τούτῳ τὰ μὲν ἐγγυτέρω τῆς ἀρχῆς πρότερον ἄρχεται τῆς κινήσεως, τὰ πορρωτέρω δ' ὕστε-
50 ρον. εἰ μὲν οὖν ὁμαλῶς τὸ τοιοῦτον γίγνοιτο δι' ὅλων τῶν ἀρτηριῶν, ἀεὶ τὸ πρότερον αὐτοῦ μόριον, πρότερον
φανεῖται κινούμενον, ὡς εἰ καὶ ῥέοντός τινος ἀκωλύτως δι' αὐτῶν, ἤτοι πνεύματος, ἢ ὑγροῦ, τοὺς σφυγμοὺς ἐπι-
τελεῖσθαι συνέβαινε. καὶ τοῦτ' Ἐρασίστρατος μὲν ἀεὶ γίνεσθαι φησὶ καταψευδόμενος τοῦ φαινομένου. τῶν δ' ἄλλων
οὐδεὶς μὴ ὅτι ἰατρῶν, ἀλλὰ μηδὲ τῶν φιλοσόφων, ἢ ἰδιωτῶν. ἅπασι γὰρ ἐναργῶς φαίνεται ἅπαντα τὰ μόρια † αἱ ἐν τῷ
τῶν ἀρτηριῶν ἐν τ † αὐτῷ χρόνῳ διαστελλόμενα. σπανίως δὲ καὶ οὐδὲ κατὰ φύσιν ἔτι, τὸ, τὰ μὲν ἐγγυτέρω τῆς
καρδίας πρότερον φαίνεσθαι κινούμενα, τὰ δ' ἀπωτέρω, δεύτερα. οὐ μὴν ἤδη γέ πως κυματώδης, ἢ σκωληκί-
ζων ὁ τοιοῦτος σφυγμὸς, ἀλλ' ὅταν αὐτῷ προσγένηται τὸ διὰ τῶν ἀρτηριῶν ῥεῖν φανταζόμενον, ἴσχεσθαί πη καὶ
μένειν καὶ ἡσυχάζειν δοκεῖν, εἶτ' αὖθις ῥεῖν καὶ πάλιν ἴσχεσθαι, καὶ τοῦτο γίγνεσθαι δι' ὅλης τῆς ἀρτηρίας, ὁ τοι-
οῦτος σφυγμὸς ἤτοι κυματώδης ἢ σκωληκίζων ἐστί. περιγραφομένων γὰρ ἀεὶ τῶν κατὰ μέρος κινήσεων ἡσυ-
χίαις, τὴν οἷον κυμάτων διαδοχὴν, ἢ σκώληκος διέρποντος φαντασίαν γίνεσθαι συμβαίνει. εἰ μὲν ἐπὶ ὑπὸ

πλήθους βαρύνοιτο, τοῦτ' ἴσχει καὶ διακόπτει καὶ διασχίζει τὸν τόνον ἔνθα ἂν ᾖ πλεῖστον ἠθροισμένον, καὶ οὕτω
πολλαὶ διαστολαὶ δίκην κυμάτων, ἀλλήλας ἐκδεχόμεναι, καθ' ὅτι ἂν ὁ τόνος σχισθῇ, τῆς ἀκινησίας ἐνταῦθα περι-
γραφούσης τὸ κῦμα. εἰ δὲ καὶ χωρὶς ὑγρότητος ἡ δύναμις αὐτὴ μόνη κάμνοι πᾶσαν μὲν ἀθρόως ἀδυνατοῦσα δια-
στέλλειν τὴν ἀρτηρίαν, κατὰ μόρια δὲ ἐργαζομένη τοῦτο, γίνοιντ' ἂν καὶ οὕτως οἷον κυμάτων τινῶν περιγραφαὶ πολλαὶ
διαδεχομένων ἀλλήλας τῶν διαστολῶν. τό γε μὴν διάφορον τούτων γε τῶν σφυγμῶν καὶ τῶν διὰ πλῆθος γινο-
μένων, μέγεθός ἐστι. καὶ διὰ τοῦτο σκωληκίζοντες μὲν οὗτοι διὰ τὴν μικρότητα, κυματώδεις δ' ἐκεῖνοι διὰ τὸ μέ-
γεθος ὠνομάσθησαν. αἰτία δὲ τοῖς μὲν, ἡ τῆς δυνάμεως ἀρρωστία. τοῖς δ' ἡ περὶ τῆς ὑγρότητος πλεονεξία. καὶ μὴν
καὶ διὰ μαλακότητα τῶν ὀργάνων ἑκάτεροι γίνονται οἱ τοιοῦτοι σφυγμοὶ, παραπλησίως τοῦ συμβαίνοντος τῷ κατὰ
τὰς μαλακὰς καὶ νεαρὰς ῥάβδους, ὡς αἰρομένων ἐξ ἄκρου, τὰ μέν τινα τῶν μερῶν, καὶ μάλιστα τὰ πλησίον τῆς λα-
βῆς συνεξαίρεται. τὰ δέ τινα λυγιζομένων αὐτῶν ἔτι μένει ταπεινὰ, κἂν τῷ κάτω. οὐ μὴν ἔν γε ταῖς σκληραῖς 10
καὶ ξηραῖς ῥάβδοις φαίνεταί τι τοιοῦτον, ἀλλ' ὁμοτόνως ἅπασα καθ' ὅτι ἂν αὐτῆς λαβόμενος ἐξαίρειν ἐθέλοις,
συνεξαίρεται. τοιοῦτον δέ τι συμπέπτωκε καὶ ταῖς ἀρτηρίαις, ὅταν ὑγρότητι πολλῇ διάβροχοι γενηθῶ-
σιν, οὐκ ἔτι γὰρ δέχονται τὸν ἀπὸ τῆς ἀρχῆς τόνον ὁμοίως ἅπασι τοῖς μορίοις. ἀλλ' οἷον λυγιζόμεναι καὶ κλώ-
μεναι πολλαχόθεν διακόπτουσι, κἂν τούτῳ τὰ πολλὰ μὲν κυματώδης, ἔστι δ' ὅτε καὶ σκωληκίζων ὁ σφυ-
γμὸς ἔσται. σὺν μὲν γὰρ ἐρρωμένῃ τῇ δυνάμει κυματώδης, μεγάλα γὰρ ἐξαίρειν οὕτω δύναται μέρη τῶν ἀρ-
τηριῶν, σὺν ἀρρωστοτέρᾳ δὲ σκωληκίζων, ἐκ μικροῦ δηλονότι διαστήματος τηνικαῦτα κινουμένου τοῦ τόνου.
ἀλλ' εὐθὺς ἀνάγκη τοῦτον ἀνώμαλόν τε ἄλλως καὶ προσέτι καὶ διαλείποντα γίνεσθαι, καθάπερ καὶ ἐπὶ τῶν
ὑδερούντων ἔχει. ἐφ' ὧν ἔτι μὲν ἀντέχοντος τοῦ τόνου, καθάπερ καὶ ἐν τοῖς περὶ αὐτῶν λόγοις ἐφεξῆς εἰρήσε-
ται, πλατὺς καὶ κυματώδης ἐστὶ, νικωμένου δὲ, πολυειδῶς ἀνώμαλος γίνεται. ἀλλ' ἐπεὶ καὶ περὶ τούτων
αὐτάρκως εἴρηται, τῶν μυούρων ἐφεξῆς μνημονεύσωμεν, ἀσθενείας τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως 20
ἑπομένων. ὅταν γὰρ ὁ ἀπὸ τῆς καρδίας ἐπὶ τὰς κατὰ μέρος ἀρτηρίας διήκων τόνος, ἀεὶ καὶ μᾶλλον ἐν τοῖς
πορρωτέρω μέρεσιν ἐκλύεται, μικροτέρας οὕτω καὶ ἀμυδροτέρας ἀναγκαῖον γίνεσθαι τὰς ἐν αὐτοῖς κινή-
σεις. πῶς οὖν ἐν τοῖς ἐγγυτέρω μέρεσι τῆς ἀρχῆς εὑρηκέναι τινὲς φασὶν ἐνίοτε τὰς ἐλάττους κινήσεις; οὐκέτι γὰρ
οἷόν τε λέγειν ἐπὶ τούτων, ὡς ὁ παρὰ τῆς ἀρχῆς τόνος, ἐν τοῖς ἐγγυτέρω μᾶλλον, ἢ ἐν τοῖς πορρωτέρω διαλύεται.
ἐμοὶ μὲν δοκοῦσιν ἢ διὰ τὴν τῆς θέσεως τῶν ἀρτηριῶν ἀνωμαλίαν οὕτως φαντασθῆναι, ἢ εἰ καὶ ὄντως ἀληθεύου-
σιν, εἰς δυσκρασίας ἀνωμαλίαν ἀναφέρειν χρὴ τῶν τοιούτων σφυγμῶν ἁπάντων τὴν γένεσιν, ἵν' ἡ παρὰ τῆς
ἀρχῆς εἰς τὰς ἀρτηρίας ἐκτεταμένη δύναμις, τοῖς μὲν εὐκράτοις αὐτῶν μορίοις εὐλόγως βέλτιον ᾖ χρωμένη,
τοῖς δυσκράτοις δὲ χεῖρον. ὑπὸ γὰρ ἴσου τε καὶ ταυτοῦ τόνου, τὸ μὲν ὑγρότητί τε καὶ θερμότητι μετρίᾳ
κεκραμένον ὄργανον, ἑτοιμότερόν τε καὶ μᾶλλον κινεῖται. τὸ δ' αὐχμῶδες, ἢ ὑγρὸν ὑπερβαλλόντως, ἢ ψυ-
χρὸν, ἀργότερόν τε καὶ ἧττον. ἆρ' οὖν καὶ τοὺς οἷον ἐπινενευκότας τε καὶ περινενευκότας σφυγμοὺς ὡ- 30
σαύτως φυσιολογήσομεν. ἢ δύνανται μὲν ἴσως ποτὲ καὶ οὕτως γίνεσθαι, πολλὰ μὴν ἐναργῶς ἐφάνησαν ἐμοὶ
γοῦν δι' ἑτέρας γιγνόμενοι προφάσεις. ὅταν μὲν γὰρ ἡ δύναμις ἄρρωστος ᾖ, σύντηξις δὲ τῶν περικειμένων ταῖς
ἀρτηρίαις σωμάτων. καθ' ὅτι ἂν αὐτῶν μάλιστ' ἐκτετηκὸς, καὶ διὰ τοῦτο κουφότερον ὂν, ἡ κίνησις ἀνακύψαι
δυνηθῇ, κατὰ τοῦτο μάλιστα καὶ τὸ μέγεθος αὐτῆς ἐμφαίνεται. παραβαλλομένη γὰρ ἡ ἐν τούτῳ διαστολὴ ταῖς
ἑκατέρωθεν μικροτέραις οὔσαις, μύουρον κατ' ἄμφω τὰ μέρη τὴν κίνησιν ἀποφαίνει. τοῦτο δ' ἐν ταῖς ἰσχυ-
ροτάταις δυνάμεσιν οὐκ ἐνδέχεται γίνεσθαι, χρὴ γὰρ ἀκίνητον αὐτὴν εἶναι, καὶ μὴ φέρειν τὸ βάρος τῶν ἐπι-
κειμένων σωμάτων, ἵν' αἰσθητὴν ποιήσῃ τὴν ὑπεροχὴν τῆς ἐν τῷ γυμνοτέρῳ μορίῳ διαστάσεως, παρὰ τὰς ἐν τοῖς
βεβαρημένοις. πῶς οὖν ἡ παρὰ τὴν θέσιν τῆς ἀρτηρίας ἀνωμαλία γίνεται τῶν σφυγμῶν; τοῦτο γὰρ ἔτ' ἐνδεῖν
ἔοικε τῷ λόγῳ. πῶς δ' ἄλλως, ἢ ὥσπερ Ἱπποκράτης εἶπε καθόλου περὶ πάσης ἡμᾶς διδάσκων διαστροφῆς. καὶ
γὰρ καὶ αἱ τῆς μήτρας ὡσαύτως, καὶ αἱ τῆς ῥάχεως, καὶ τῶν μυῶν γίνονται, τεινομένων εἰς ἐκεῖνα τὰ μέρη τῶν 40
σωμάτων, εἰς ἅπερ καὶ διαστρέφεται. τῷ δ' εἶναι πολλὰς τὰς τεινούσας αἰτίας, δυσφώρατον τὸ καθόλου τοῖς
πλείστοις τῶν ἀρχαίων ἰατρῶν ἐγένετο. καὶ γὰρ φλεγμοναὶ καὶ σκίρροι καὶ ἀποστήματα καί τινων ἀπέπτων φυ-
μάτων γένεσις, καὶ ὅλως ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι τείνειν πρὸς ἑαυτοὺς δύνανται τὰ συνεχῆ. ἤδη δὲ καὶ
σκληρότης αὐχμώδης καὶ ψύξις ἄμετρος, ὅμοιόν τι πήξει δρῶσα, καὶ σπασμώδης σύντασις, ὧν ἄλλοτ' ἄλλα
διαστρέφει τὰς ἀρτηρίας. μάλιστα δὲ τὴν ἀνώμαλον δυσκρασίαν ἡγητέον διαστρέφειν. ἀλλ' ἐπεὶ καὶ περὶ τού-
των εἴρηται τὰ εἰκότα προσθεῖναι χρὴ τὸν περὶ τοῦ σπασμώδους σφυγμοῦ λόγον, ᾧ τὸ μὲν ὄνομα πρέπον, ἀπό-
τε τῆς ἰδέας αὐτοῦ καὶ τοῦ παθήματος ὃ δηλοῦν πέφυκε. τείνεσθαι μὲν γὰρ ἐπ' ἄμφω τὰ πέρατα δόξεις τὴν ἀρ-
τηρίαν, καὶ μικρὸν ὕστερον σπασμὸς τὸν ἄνθρωπον καταλαμβάνει. τί οὖν δὴ τὸ ἄπορον ἐνταῦθα, καὶ τίνος
ἕνεκα προβέβληται; εἰ μὲν ἡ καρδία καθάπερ ἀρτηριῶν, οὕτω καὶ νεύρων ἐστὶν ἀρχὴ, οὔτ' ἄπορον οὐδὲν καὶ μά-
την προβέβληται. εἰ δ' ἄλλη μὲν ἀρχὴ νεύρων, ἄλλη δ' ἀρτηριῶν, καὶ ταῖς μὲν σφυγμὸς ἐνέργεια, τοῖς δ' αἴσθη- 50
σίς τε καὶ κίνησις ἑκούσιος, ὥσπερ οὐκ ἔστι τῶν ἐνεργειῶν αὐτοῖς, οὐδὲ μία μετουσία, οὕτως οὐδὲ τῶν παθημάτων ἔσται
τις κοινωνία. ἢ καλῶς τοῦτο καὶ ψευδόμενοι λέγουσιν, ὅσοι γε δοκοῦσιν οὐκ εἶναι σύμφυσιν ἐπιμιξίαν. ὁ γάρ τοι πατὴρ
τοῦ δόγματος ὁ θεῖος ἐκεῖνος Ἱπποκράτης, σύρροια μία φησὶ, σύμπνοια μία, πάντα πᾶσι συμπαθέα, φύσις κοι-
νή. ἢ γὰρ ἂν εἰ μὴ τοῦτ' ἦν, δύο ἦσαν οὕτω ζῶα καὶ οὐκ ἓν ἕκαστος ἡμῶν. νυνὶ δὲ καρδία μὲν ἀρτηρίας ἐγκεφάλῳ
ἐκπέμπει δεσμὸν τῆς κοινωνίας, νεῦρα δ' ἐγκέφαλος καρδίᾳ, κἂν εἰ μὴ μεγάλα, τό γοῦν ἐκ τοῦ λόγου πρόσταγμα
διαστέλλειν δυνάμενα. οὕτω δὲ καὶ ταῖς κατὰ μέρος ἀρτηρίαις αἱ παρὰ τῶν νεύρων ἶνες εἰς κοινωνίαν ἥκονται,
δι' ὧν οὐκ ἔργων μόνων ἀλλὰ καὶ παθημάτων ἀλλήλοις μεταδιδόασι. καὶ οὐδὲν ἔτι θαυμάσιον, εἰ τοῦ νευρώδους γέ-
νους ἅπαντος ἑνουμένου ταῖς ἀρτηρίαις, ἡ κοινωνία τοῦ παθήματος ἐμφαίνεται. τῶν γε κατὰ μέρος ἀποφύ-
σεων ἀλλήλαις ἐπιμιγνυμένων. ἀλλὰ γὰρ ἐπεὶ καὶ τὰ περὶ σπασμώδους εἴρηται σφυγμοῦ, τὸ λοιπὸν ἔτι προ-

θετέον

δεύτερον ἡμῖν ἐστιν, ἐς τὴν περὶ τῶν ἀνωμάλων ἁπάντων φυσιολογίαν. λείπεται δ᾽ ὡς οἶμαι πῶς ὑψηλός, καὶ
ταπεινοί, καὶ πλατεῖς, καὶ στενοί, καὶ μακροί, καὶ βραχεῖς γίνονται σφυγμοί. πλεῖστοι γὰρ δὴ οὗτοι, καὶ μάλι-
στα ποικίλλουσι τὰς ἀνωμαλίας πάσας τάς τε καθ᾽ ἕνα σφυγμόν, καὶ πολὺ δὴ μᾶλλον τὰς ἐν ἀθροίσματι.
συμβαίνει δή τι τοιοῦτον, ἐν τῷ διαστέλλεσθαι τὰς ἀρτηρίας, ἐπί τε τοῖς ὑγιαίνουσιν ἅπασι καὶ τοῖς πλείστοις
τῶν νοσούντων τῆς ἄνω περιφορᾶς αὐτῆς μᾶλλον αἰσθανόμεθα κινουμένης, ἢ τῶν ἐν τοῖς πλαγίοις μερῶν. ἡ
μὲν γὰρ ἐγγυτέρω τῆς ἀφῆς ἡμῶν ἐστι, καὶ δι᾽ ἐλαττόνων ὁμιλεῖ σωμάτων, τὰ δ᾽ ἑκατέρωθεν αὐτῆς αὐτά τε
πλέον ἄπεστι, καὶ πλείω περιβέβληται τὰ διὰ μέσου σώματα. καὶ τοίνυν αὐτὸς ὁ κατὰ φύσιν σφυγμός, ἂν
ἀκριβῶς ἐξετάζῃ τις ὑψηλότερος ἐστιν, ἀπολειπομένης μὲν ἀεὶ τῆς εἰς τὸ πλάτος ἐν αὐτῷ κινήσεως, πλεονεκτού-
σης δὲ τῆς εἰς ὕψος, ἀλλ᾽ ἐπεὶ μέτρον οὗτος ἡμῖν καὶ κανὼν ἁπάντων τῶν ἄλλων, οὔθ᾽ ὑψηλόν, οὔτε στενὸν ὀνο-
10 μάζομεν αὐτόν, ἀλλ᾽ ὥσπερ οὖν πρέπει καὶ δίκαιον ἐστι, σύμμετρόν τε τοῦτον μέσον ἁπασῶν τῶν ὑπερβολῶν.
εἰθισμένοι δὲ τούτῳ καὶ συντεθραμμένοι, καὶ πολλάκις εὑρίσκοντες αὐτὸν οὐκ ἐπὶ τῶν ὑγιαινόντων μόνων,
ἀλλὰ καὶ ἐπὶ τῶν νοσούντων, ῥᾳδίως γνωρίζομεν τοὺς ἀπολειπομένους, ἢ ὑπερβάλλοντας αὐτόν, καθ᾽ ἥν τινα
οὖν τῶν διαστάσεων. καὶ γάρ τοι καὶ ὁ μακρὸς καὶ ὁ βραχύς, ὡς πρὸς τοῦτον λέγονται. καὶ ὅστις μὴ εἴθισται τούτῳ
δέ, οὐχ ὅπως ὑψηλοῦ καὶ ταπεινοῦ καὶ πλατέος καὶ στενοῦ γένοιτ᾽ ἂν ἀκριβὴς γνώμων, ἀλλ᾽ οὐδὲ μακροῦ καὶ
βραχέος. ὡς οὖν ἄνθρωπόν τινα πάντῃ σύμμετρον εἶναι φαμέν, οὐ τῇ προχείρῳ κατὰ τὴν αἴσθησιν ἰσότητι,
τὸ μῆκος τῷ πλάτει καὶ βάθει παραβάλλοντες, ἀλλὰ τῇ κατὰ δύναμιν, οὐδεὶς γὰρ οὕτως εὐηθὴς εἴη βραχὺς ὡς
ἀπολείπεσθαι τὸ μῆκος τοῦ πλάτους. οὕτω καὶ σφυγμὸν σύμμετρον ὀνομάζομεν, τὴν κατὰ φύσιν ἀναλογίαν
τε καὶ συμμετρίαν, κανόνα τῆς ἰσότητος, οὐ τὴν αἴσθησιν ποιούμενοι. πάντως δὲ ἐν αὐτῷ τὸ μὲν μῆκος ὑπερέχει
τοῦ βάθους, τοῦτο δ᾽ αὖ τοῦ πλάτους. αὐτὴν μὲν γὰρ εἰ νοήσαιμεν καθ᾽ αὑτὴν τὴν ἀρτηρίαν γυμνὴν ἁπάντων τῶν
20 περικειμένων σωμάτων, ἴσον ἔσται τὸ πλάτος τῷ βάθει. μᾶλλον δ᾽ οὐδ᾽ εἰπεῖν ἕξομεν ἐπί γε τῆς τοιαύτης, τουτὶ
μὲν εἶναι τὸ πλάτος, τουτὶ δὲ βάθος, ἀλλ᾽ ὥσπερ ὅμοιον ἑαυτῷ πάντῃ τὸ σῶμα κυκλοτερὲς ἀκριβῶς ὑπάρχει,
οὕτω καὶ τῶν διαστημάτων, οὐδὲ μία διαφορά. τεθείσης μέντοι κατά τινος ἑτέρου σώματος αὐτῆς, κάτω μὲν ἂν
εἰκότως λέγοιτο καθ᾽ ὧν στηρίζεται μορίων, ἄνω δὲ τὸ κατ᾽ ἀντικρύ. τὸ δ᾽ ἐν τῷ μέσῳ τῶν διαστημάτων κάτωθεν
μὲν ἄνω, νοοῦσιν ὕψος. ἄνωθεν δὲ κάτω, βάθος. ἔνθα δ᾽ ὕψος καὶ πλάτος, ἐνταῦθα θάτερον τῶν διαστημάτων
βάθος καὶ πλάτος. εἰ δὲ μὴ μόνον στηρίζοιτο κατά τινος, ἀλλὰ κἀκ τῶν πλαγίων αὐτῶν, καὶ προσέτι τῶν ἄνω περι-
λαμβάνοι τινὰ σώματα, παντί που δῆλον, ὡς τὰ δι᾽ ἐλαττόνων σκεπασμάτων ἡμῖν ὁμιλοῦντα μόρια, σαφε-
στέραν ἐνδείξεται τὴν κίνησιν, ἤπερ τὰ διὰ πλειόνων. ἀλλὰ μὴν ὧν γε ἐστὶν ἀρτηριῶν ἡ θέσις ὑπὸ τῷ δέρματι, τοι-
αῦται δ᾽ εἰσὶν ὧν ἐφαπτόμεθα, τοὺς σφυγμοὺς διαγινώσκοντες, τούτων τὸ μὲν ἄνω διὰ μόνου τοῦ δέρματος ἡμῖν
ὁμιλεῖ, τὰ δ᾽ ἑκατέρωθεν εἰς ὅσον ἀποχωρεῖ πρὸς τὸ πλάγιον εἰς τοσοῦτο διά μακροτέρου τε τοῦ διαστήματος, πλεό-
30 νων τε τῶν ἐν τῷ μέσῳ σωμάτων. καὶ διὰ ταύτην τὴν ἀνάγκην ὑψηλότερος μὲν ἀεὶ πᾶς σφυγμὸς ἐστὶν ὁ κατὰ φύ-
σιν, εἰ παραβάλλοις ἀλλήλοις τὰ διαστήματα. λέγεται δὲ σύμμετρος καὶ κανὼν τῶν ἄλλων ὁμοίως τῷ Πολυκλεί-
του κανόνι. ὡς γὰρ ἐκείνῳ παραβάλλοντες τοὺς ἄλλους ἀνδριάντας, ἁδρούς, ἢ ἰσχνούς, ἢ πλατεῖς, ἢ στενούς, ἤ τι τῶν ἄλ-
λων ἀμετριῶν ὄνομα προσαγορεύομεν, οὕτω καὶ τοὺς σφυγμοὺς τῷ κατὰ φύσιν ἀντεξετάζοντες, ὑψηλούς, ἢ τα-
πεινούς, ἢ πλατεῖς, ἢ στενούς, ἢ μακρούς, ἢ βραχεῖς, ἢ ἁδρούς, ἢ ἰσχνούς, ἢ μεγάλους, ἢ μικροὺς ὀνομάζομεν. τίνες οὖν
αἰτίαι τῆς γενέσεως αὐτῶν; τοῦτο γὰρ εἰπεῖν προὔκειτο. πρόχειρον μὲν ἦν ἤτοι δυσκρασίαν ἀνώμαλον αἰτιᾶσθαι τῶν
ὀργάνων, ἢ διαστροφὴν ἐν τῇ θέσει. δέδεικται γὰρ ὅπως ἐν ταῖς τοιαύταις διαθέσεσιν αἱ κινήσεις ἀνώμαλοι
φαίνονται. ἀλλ᾽ ἐγὼ τοὺς μὲν ὑψηλοὺς ἔν τε τοῖς θυμοῖς καὶ πρὸ τῶν κρίσεων εὑρίσκω γινομένους, τοὺς δὲ πλατεῖς
τοὔμπαλιν ἐπὶ ταῖς κριτικαῖς ἐκκρίσεσιν. οὐκ ἔτι δὲ δύναμαι δυσκρασίαν ὀργάνων ἢ διαστροφὴν θέσεως αἰ-
τιᾶσθαι μόνας, γένοιτο γὰρ ἄν ποτε καὶ διά τι τούτων, ἀλλ᾽ αἱ πλεῖσται διαθέσεις ἐφ᾽ ὧν οἱ τοιοῦτοι φαίνονται
40 σφυγμοὶ τῶν εἰρημένων αἰτίων ἐκτὸς εἰσίν. οὔτε γὰρ ἀνωμαλία κράσεως, ἥγουν εἰς τοσοῦτο τὴν φύσιν ὑπαλλάτ-
τουσα τῶν ὀργάνων, ὡς ἀνωμάλους ἐργάσασθαι τοὺς σφυγμούς, οὔθ᾽ ἡ τῆς θέσεως ἐξαλλαγὴ δύναιτ᾽ ἂν συστῆναι πο-
τὲ χωρὶς μεγάλης βλάβης, ἢ χρόνου μακροῦ, ὧν οὐδὲν οὔτε τοῖς θυμουμένοις, οὔτε τοῖς ἤδη κεκριμένοις, οὔτε τοῖς ὅσον
οὐδέπω κριθησομένοις ὑπάρχει. ἀλλ᾽ ἔστι τὸ γινόμενον ἐπ᾽ αὐτῶν, τοιοῦτο. μείζονα τὸν σφυγμὸν ἐργάζεται τοῖς
θυμουμένοις τε καὶ κριθησομένοις. οὐ μὴν ὅσον γε μεῖζον τι γίγνεται, τοσοῦτον καὶ φαίνεται. τῇ μὲν γὰρ εἰς
ὕψος κινήσει τε καὶ διαστολῇ τῆς ἀρτηρίας ὅσον προσέρχεται φαίνεται πᾶν, τῇ δ᾽ εἰς τὸ πλάγιον, † τὸ πλεῖστον ἀ-
φανίζεται, κατὰ τὸν αὐτὸν οἶμαι λόγον, καθ᾽ ὃν καὶ τοῖς ἄνευ περιστάσεως τινὸς ὑγιαίνουσιν, ἀεὶ πλεονεκτεῖν
ἐνδείκνυται ἡ εἰς ὕψος κίνησις. μεμνημένοι τοιγαροῦν τῆς τε καταστάσεως τῶν σφυγμῶν οὓς συμμέτρους ὀνο-
μάζομεν, εἶτα νῦν εὑρίσκοντες ἱκανὸν μὲν εἰς ὕψος, οὐχ ἱκανὸν δ᾽ εἰς πλάτος, ἀλλ᾽ ἤτοι παντάπασιν ὀλίγον,
ἢ οὐδὲν ὅλως ἐπιδεδωκυῖαν τὴν κίνησιν, εὐλόγως ὑψηλοὺς ὀνομάζομεν τοὺς τοιούτους σφυγμούς, εἰ μέν τι καὶ τῷ
50 πλάτει σαφὲς προσεγένετο, μεγάλους ἅμα καὶ ὑψηλοὺς καλοῦντες. εἰ δ᾽ οὐδὲν ὅλως αἰσθητὸν ὑψηλοὺς μόνον.
εἰ δ᾽ εἰς ἄμφω μὲν ηὐξήθησαν ὕψος τε καὶ πλάτος, οὐκ ἀξιόλογος δ᾽ ἡ τοῦ ὕψους εἴη παρὰ τὸ πλάτος, ὑπεροχή,
μεγάλους μόνον τοὺς τοιούτους ὀνομάζομεν. ὅταν γὰρ ἐν ταὐτῷ λόγῳ τὸ προσαυξόμενον ὕψος ὑπερέχει τοῦ πλά-
τους, ᾧ καὶ τῷ κατὰ φύσιν ὑπερέχῃ, τὴν αὐτὴν ἰδέαν τῷ συμμέτρῳ κληθέντι διασώζειν ἀνάγκη τὸν νῦν γι-
νόμενον. οὐκ οὖν ὑψηλός, ὥσπερ οὐδ᾽ ἐκεῖνος, ἀλλὰ μείζων μόνον αὐτοῦ φαίνεται. τῶν γὰρ ταὐτὸν εἶδος διασωζόν-
των, οὐκ ἐνδέχεται τὸν μὲν σύμμετρον, τὸν δ᾽ ὑψηλὸν καλεῖν. ἀλλ᾽ εἴπερ πάντῃ κατὰ τὴν αὐτὴν ἀναλογίαν
ὁ ἕτερος ηὐξήθη, μείζονα μόνον. καὶ γὰρ οὖν καὶ περὶ τοῦ μήκους ὡσαύτως ἔχει. κατὰ μὲν γὰρ τὴν αὐτὴν ἀναλο-
γίαν καὶ τοῦτο συναυξανόμενον τῷ βάθει τε καὶ τῷ πλάτει, τὸν ὅλον σφυγμόν, ὡς ἤδη λέλεκται μείζονα
φαίνεσθαι ποιεῖ. οὐκοῦν ἴσων ἁπλῶς δεῖ τῶν ἐπαυξανομένων ἐν τοῖς τρισὶ διαστήμασι κινήσεων, ἀλλ᾽ ἀνα-
λόγως ἴσων, ἵν᾽ ὁ σφυγμὸς μείζων γένηται. τοῖς οὖν εἰθισμένοις τῇ τοῦ κατὰ φύσιν ἀναλογίᾳ ῥᾳδίως τὸ

† al. πλάτος

προσιὸν, ὅσον ἔξω τοῦ λόγου, γνωρίζεται. καὶ τοιαῦται μὲν τινές εἰσιν αἱ γενέσεις τῶν προκειμένων σφυγμῶν.
ἑξῆς δ᾽ ἂν εἴη τὰς αἰτίας εἰπεῖν, δι᾽ ἃς ἢ σώζεσθαι τὴν φυσικὴν ἀναλογίαν ἐπ᾽ αὐτῶν, ἢ διαφθείρεσθαι πέφυκε.
σώζεται μὲν οὖν ὅταν μηδεμία μεγάλη τοῦ κατὰ φύσιν εἰς πολυσαρκίαν, ἢ λεπτότητα τῆς ἕξεως γίνηται μεταβο-
λὴ, ἀλλὰ μηδὲ ξηρότης ἄμετρος, ἢ ὑγρότης, ἢ τις ἀνάγκη μεγάλη ἐσχάτης διαστολῆς. φθείρεται δὲ καὶ συγχεῖ-
ται διά τι τούτων παρὸν, οἷον αὐτίκα, τὰ μὲν ἄλλα πάντα καλῶς ἐχέτω, μεγάλην δ᾽ οὕτως ἡ δύναμις ἐπει-
γέσθω ποιήσασθαι διαστολὴν, ὡς μὴ χωρεῖσθαι τὸν ὄγκον αὐτοῦ ὑπὸ τῶν περιεχουσῶν τὰς ἀρτηρίας χωρῶν. ἀ-
νάγκη γὰρ ἐν τῇ τοιαύτῃ καταστάσει τὸν σφυγμὸν ὑψηλὸν φανῆναι, κἂν μηδὲν τῶν ἄλλων ἔχῃ μέμψασθαι. ἄ-
χρι γὰρ ἂν εἰς τοσοῦτον αἴρηται μέγεθος ἡ διαστολὴ τῆς ἀρτηρίας, ὡς μηδέπω στενοχωρεῖσθαι μηδαμοῦ, τὴν κατὰ
φύσιν ἐν τοῖς τρισὶ κατασκήμασι ἀναλογίαν ἀποσώζει. στενοχωρηθεῖσα δὲ τοῦτον τοῦ κατ᾽ ἐκείνην τὴν διάστα-
σιν ἀφείλεν, ὅθεν ἔτυχε κωλυθεῖσα τοῦ πρόσω. διὰ τοῦτο τοῖς θυμουμένοις, κἂν ἄμεμπτον ἔχωσι τὴν ἕξιν, ὁ σφυγ-
μὸς ὑψηλὸς γίνεται. τὸ γὰρ τῆς διαστολῆς ἐσχάτως ἄμετρον, οὐδ᾽ ἡ τοιαύτη πέφυκεν ἕξις ἀλύπως ἀνέχεσθαι,
ἀλλ᾽ ἤδη θλίβεται κάτωθέν τε κἀκ τῶν πλαγίων ἡ ἀρτηρία. μόνον οὖν ὅσον γυμνὸν αὐτῆς ὑπὸ τῷ δέρματι, τὴν
θερμὴν ἅπασαν ἐκδέχεται, ὅταν δ᾽ ἐν τοῖς ἄλλοις μὲν ἅπασιν ἡ διαστολὴ κωλυθῇ, τὸ δ᾽ ἄνω μόνον αὐτῆς
ἀπαραπόδιστον φυλαχθῇ, πλεονεκτεῖν ἀνάγκη τῶν ἄλλων, τὴν κατ᾽ ἐκεῖνο κίνησιν. ὅπερ ἦν οὐδὲν ἄλλο, ἢ ὑψη-
λὸς σφυγμός. ἐπεὶ δὲ τοῖς θ᾽ ὑγιαίνουσιν ἅπασι καὶ τῶν νοσούντων τοῖς πλείστοις ταῖς μεγίσταις διαστολαῖς τῶν
ἐπιπολῆς ἀρτηριῶν ὧν ἁπτόμεθα, τὰ μὲν ἄλλα πάντα μόρια θλίβεταί τε καὶ στενοχωρεῖται, καὶ κωλύει τὰς
καθ᾽ αὑτὰ κινήσεις, τὰ δ᾽ εἰς ὕψος ἀνέχοντα μόρια πᾶσαν ἐλευθερίαν τε καὶ ἀπαραπόδιστον ἐπιδέχεται τὴν
διαστολὴν, διὰ τοῦτο καὶ τοῖς ἰατροῖς τετήρηταί τε καὶ γέγραπται τῶν θυμουμένων σφυγμὸς ὑψηλός. ἢ γὰρ οὐκ
εἶδον τὸ σπάνιον, ἢ ἀμελῶς εἶδον, ἢ τοῦτον οἰκεῖον ἐνόμιζον ἑκάστου τῶν παθῶν σφυγμὸν, ὃν ἐπὶ συνεδρεύοντα αὐ-
τοῖς ἑώρων πλειστάκις. εἰσὶ δ᾽ οἳ καὶ σιωπῶσιν ἑκόντες τὸ σπάνιον, ὅταν ἀπορῶσι τῆς αἰτίας, ἀλλὰ τούτῳ μὲν
ἕνεκα κἂν μέμψαιτό τις αὐτοῖς, τῶν ἄλλων ἁπάντων συγγνώμην νέμας. μόρια γὰρ οὕτως ἄξια γινώσκεσθαι,
σιωπηθήσεται. χρὴ δὲ τὸν ἀληθείας ἐραστὴν ἅπαν ἀκριβῶς τὸ φανὲν ἐκδιηγεῖσθαι κἂν ἀπορῇ τῆς αἰτίας. τί δὴ οὖν
τὸ φαινόμενόν ἐστι; πολλοῖς τῶν ἰσχνῶν ἐπὶ οὐ πάνυ τὴν δύναμιν ἐρρωμένων οἱ σφυγμοὶ θυμουμένοις, μεγάλοι μὲν,
οὐκέτι δὲ καὶ ὑψηλοὶ φαίνονται. τίς γοῦν καὶ ἡ τοῦδε αἰτία; οὐδὲ γὰρ οὐδὲ πόῤῥω που τῶν ἐξ ἀρχῆς ὑποκει-
μένων ἔοικεν ὑπάρχειν, εἴγε δὴ τὴν ῥώμην τῆς δυνάμεως τηλικαύτην ἐλέγομεν εἶναι δεῖν ἐν τοῖς ὑψηλοῖς
σφυγμοῖς, ὡς δύνασθαι μὲν ἐργάσασθαι μεγίστην διαστολὴν, μὴ χωρεῖσθαι δὲ ὑπὸ τῶν περιεχουσῶν τὰς ἀρτη-
ρίας χωρῶν. εἰ γὰρ τοῦτο, παντί που δῆλον ὡς ἐν ταῖς προειρημέναις διαθέσεσιν, οὐκ ἐγχωρεῖ γίνεσθαι τὸν σφυγ-
μὸν ὑψηλὸν, μήτε τῆς δυνάμεως ἐρρωσούσης καὶ τῶν περὶ τὰς ἀρτηρίας χωρῶν εὐρυτάτων διὰ τὴν ἕκτη-
ξιν γεγενημένων. ἐπεὶ δὲ καὶ τοῦτο θᾶττον ἢ κατὰ τὴν προσδοκίαν εὕρηται, δῆλον οἶμαι σὺν αὐτῷ καὶ τὸ
τῶν πλατέων γεγενῆσθαι σφυγμῶν. ὁπόταν γὰρ ἀπολείπηταί πως ἡ δύναμις τῆς κατὰ φύσιν εὐρωστίας,
εὐρύτης δ᾽ ἀξιόλογος ἡ χωρῶν, προσγίνηται δέ τι βάρος ἐκ τῶν ἄνωθεν μορίων ταῖς ἀρτηρίαις, πλατύτερος
ὁ τοιοῦτος σφυγμὸς φαίνεται τοῦ συμμέτρου παραβαλλόμενος. τὸ δὲ βάρος τοῦτο τὸ προσγινόμενον, πολ-
λάκις μὲν ἡ τοῦ δέρματός ἐστιν αὐτοῦ ξυσότης, ὥσπερ ἤδη τῶν γερόντων ἔχει, καὶ τῶν ἰσχνῶν μὲν, οὐ μὴν τῶν
κατεξηραμμένων γε τὴν ἕξιν, ἐξ οὐ γενοῦς εἰσὶ οἱ λελειμμένοι προσφάτως. πολλάκις δὲ δι᾽ ὑγρότητα, καὶ μά-
λιστα ὅταν αὐτὰ τὰ σώματα τῶν ἀρτηριῶν γεγένηται διάβροχα, καθάπερ ἐν τοῖς ὑδέροις. καταῤῥεῖ γὰρ αὐ-
τῶν τὰ ἐπ᾽ ἄκρου τοῦ ὕψους τεταγμένα μόρια, καὶ φέρεται κάτω, τὰ μὲν εἰς αὐτὴν τῶν ἀρτηριῶν τὴν κοι-
λότητα, τὰ δ᾽ εἰς τὰ πλάγια. τοσοῦτον οὖν ἀνάγκη τῆς εἰς ὕψος ἀνόδου κωλύεσθαι τὸν σφυγμὸν, ὅσον ὑπερ-
ῥύη κάτω τὸ νῶτον τῆς ἀρτηρίας. καὶ δὴ καὶ πλεονεκτεῖν διχόθεν ἀναγκαῖον ἤδη τὸ πλάτος, ἔκ τε τῶν εἰς
τὰ πλάγια παραῤῥεόντων τῆς ἀρτηρίας μορίων θλιβόντων τε καὶ διὰ τοῦτο πλατυνόντων τὰ κάτω, κἀξ ὧν
αὐτὸ τὸ ὕψος ἔφθανε κεκολοῦσθαι. ἤρκει δ᾽ οἶμαι καὶ θάτερον αὐτῶν τὸν σφυγμὸν ἀποφῆναι πλατὺν ἢ μειω-
θὲν τὸ ὕψος, ἢ αὐξηθὲν τὸ πλάτος. ἐπεὶ δ᾽ ἄμφω συνέπεσε, διὰ τοῦτ᾽ ἐναργὴς καὶ ἀξιόλογος ἐν ταῖς τοιαύ-
ταις διαθέσεσιν ἡ πλατύτης ἐμφαίνεται. πῶς οὖν ὁ μακρὸς καλούμενος γίνεται σφυγμός; εὑρίσκεται γάρ
ποτε τοῖς μὲν τέσσαρσι δακτύλοις ἡ κίνησις ὑποπίπτουσα, στενὴ μέν τοι καὶ ἀμαυρὰ εἰς τοσοῦτον ὡς χορδῆς
ἔμφασιν εἶναι λεπτῆς, ἢ καὶ τοῦτο χαλεπὸν οὐδὲν ἐξευρεῖν ἐξ αὐτῶν ὧν εἴπομεν ὁρμωμένους. εἴτε γὰρ οἷον
ἰσχνῆς τινὸς χορδῆς, εἴτε οἷον τριχὸς ἡ προσβολὴ φαίνοιτο, σκληρότης ἐξ αὐτοῦ τούτου μεγάλη τις ἐμφαίνε-
ται τοῦ χιτῶνος τῶν ἀρτηριῶν. ἀλλ᾽ οὐ μόνη. οὕτω μὲν γὰρ ἂν σκληρὸς ἁπλῶς ἦν ὁ σφυγμός. ἐπεὶ δὲ καὶ στενὸς
καὶ ταπεινός ἐστιν, ἀναγκαῖον ἀῤῥωστοτέραν εἶναι τὴν δύναμιν, ἢ ὥστε διαστέλλειν βιαίως δυσπειθὲς ὑπὸ
σκληρότητος ὀργάνων. τί δ᾽ οὖν εἰ τοῦτ᾽ ἐστὶν ἀληθὲς, οὐχὶ καὶ βραχὺς εὐθέως ὁ τοιοῦτος γίνεται σφυγμός; ἢ καὶ
τούτου τὴν αἰτίαν εὑρήσομεν, ἀναμνήσαντες τὰς διαθέσεις ἐφ᾽ ὧν οἱ τοιοῦτοι γίνονται σφυγμοί. τίνες οὖν αἱ
διαθέσεις; ἡ μὲν ἕξις τοῦ σώματος λεπτὴ, περιτεταμένον δὲ καὶ ξηρότερόν πως τὸ δέρμα. ἅπερ οὖν τὸ χαλαρὸν
ἅμα καὶ παχὺ κατακρύπτει πολὺ τῆς κινήσεως, τὸ λεπτὸν καὶ τεταμένον ἀκριβῶς ἅπαν διασώζει. καὶ δῆ-
λον ἤδη γέγονεν, ὡς χρὴ συνελθεῖν λεπτότητα μὲν ὅλης τῆς ἕξεως, ξηρότητα δὲ τοῦ δέρματος, σκληρότητα δὲ
τῶν ὀργάνων, ἀῤῥωστίαν δὲ τῆς δυνάμεως, ἀλλ᾽ οὐκ ἐσχάτην. ἄσφυκτος γὰρ ἂν οὕτως ἦν ὁ ἄνθρωπος, οὐ μακρόσφυκτος.
οὐδ᾽ ὅλως γὰρ εἰς αἰσθητὴν ἐξαίρει κίνησιν, ἡ παντελῶς ἐκλελυμένη δύναμις, μὴ ὅτι τὸ σκληρὸν ἀγγεῖον, ἀλλ᾽ οὐδὲ
τὸ μαλακόν. ὁ μὲν οὖν οὕτως μακρὸς σφυγμὸς κατ᾽ ἐξοχὴν ἵνα προσαγορεύηται, λεπτὸς δ᾽ αὐτῷ καὶ ἰσχνὸς, ὄνομα, τό-
γε ἴδιον ὁ δ᾽ ἁπλῶς καὶ κυρίως μακρὸς, ᾧ μὴ συνεπινοεῖται τῶν ἑτέρων δυοῖν διαστάσεων τὸ ποσὸν, ἤτοι διὰ λεπτό-
τητα τοῦ σώματος, ἢ δι᾽ οἰκεῖον μέγεθος ἀποτελεῖται τοιοῦτος. ὁ δὲ δὴ βραχὺς, ὅταν καθ᾽ ἓν ὁτιοῦν μόριον μικρὸν
ἡ ἀρτηρία μόνῳ τῷ δέρματι σκέπηται. τὸ δ᾽ ἑκατέρωθεν ἐκείνου πᾶν αὖθις ἀθρόως εἰς τὸ βάθος δύηται. τό γε
γὰρ ἀνάγκη ἐπιπολῆς μόριον αὐτῆς τὸ ὑπὸ τῷ δέρματι, σαφῆ τὴν κίνησιν ἅπασαν ἐνδείκνυσθαι, τὰ δ᾽ ἐν
τῷ βάθει,

ἐν βάθει, πολλῶν ἐπιπροσθούντων σωμάτων κατακεκρύφθαι. τοῦτο δὲ φύσει μὲν πολλοῖς ὑπάρχει, κατὰ διαθέσεις μέν τοι νοσώδεις ὀλίγοις, ὅταν ἐν τῇ διαθέσει διαστροφή τις τῆς ἀρτηρίας γένηται, καὶ μικρὸν μὲν ὑπερφανὲς αὐτῆς ᾖ μόριον, τὰ δ᾽ ἄλλα πάντα πρὸς τὸ βάθος ἔσω κατασπασθῇ. ἔστι δὲ καὶ ὁ τοιοῦτος σφυγμὸς τῶν κατ᾽ ἐξοχὴν λεγομένων βραχέων, ἐπεὶ τό γ᾽ ἴδιον ὄνομα καὶ τοῦδε παχὺς καὶ ἀδρός. ὁ δ᾽ ἁπλῶς βραχὺς, ἢ πολυσαρκίας ἢ μικρότητος ἔγγονος ὑπάρχει. εἴρηται μοι σχεδὸν ὑπὲρ ἁπάντων ἤδη τῶν τὴν ἀνωμαλίαν ἐργαζομένων αἰτίων, εἰ γάρ τι καὶ παραλέλειπται μικρὸν, οὐδὲν ἂν εἴη χαλεπὸν ἐκ τῶν εἰρημένων ἀνευρίσκειν. Περὶ δὲ τῶν ἀτάκτων τε καὶ τεταγμένων ἤδη ῥητέον. ἐπεὶ τοίνυν ἀνώμαλοι πάντες εἰσὶν οἱ τοιοῦτοι σφυγμοὶ, καθάπερ καὶ ἐν τοῖς περὶ διαφορᾶς αὐτῶν δεδήλωται, διαλλάττουσι δὲ, τῷ τοὺς μὲν ἐν περιόδοις τισὶ διασώζειν τὴν ἰσότητα, τοὺς δὲ πάντη συγχέειν, ἓν κοινὸν ἐπὶ πάντων αὐτῶν ἐν βραχεῖ τόδε χρὴ διαγινώσκειν. ὡς τῆς αἰτίας ἥτις ἂν ἑκάστοτε τὴν ἀνωμαλίαν ἐργάζηται, ἐστηριγμένης μὲν ἐν τοῖς τεταγμένοις, ἀστηρίκτου δ᾽ ἐν τοῖς ἀτάκτοις οὔσης. καὶ μὲν δὴ καὶ τῆς φύσεως εἴπερ τι ἄλλο καὶ ἡ τάξις οἰκεῖον, ὥσπερ οὖν καὶ ἡ ὁμαλότης. ἐὰν οὖν θάτερον αὐτῆς συγχυθῇ, μικροτέραν ἐνδείκνυται τὴν βλάβην, ἐὰν δ᾽ ἄμφω, μείζονα, συγχεῖται δ᾽ ἄμφω μὲν ἐν τοῖς ἀτάκτοις. θάτερον δ᾽ ἐν τοῖς τεταγμένοις μὲν, ἀνωμάλοις δὲ δηλονότι. Τὰ δ᾽ ἐν ταῖς τῶν ῥυθμῶν ἐξαλλαγαῖς αἴτια. ταῦτα γοῦν ὑπόλοιπα διελθεῖν, οὐ χαλεπῶς ἂν οὐδ᾽ αὐτά τις εὑρίσκοι τῶν ἐξ ἀρχῆς ἐχόμενος. εἴπερ γοῦν ὀρθῶς ἡμῖν ἀποδέδεικται, κατὰ μὲν τὰς διαστολὰς τῶν ἀρτηριῶν ἕλκεσθαί τις ἀερώδης οὐσία, κατὰ δὲ τὰς συστολὰς ἐκκρίνεσθαι τὸ περιττῶδες, καὶ οἷον καπνῶδες τῆς ἐκ τῶν χυμῶν συγκαύσεως, ἀναγκαῖον ἔσται. τῆς μὲν τοῦ διαστέλλεσθαι χρείας ἐπειγούσης, μείζω τε καὶ θάττω γίνεσθαι τὴν διαστολὴν, τῆς δὲ τοῦ συστέλλεσθαι τὴν συστολήν. ταῦτ᾽ ἄρα καὶ τῶν ἡλικιῶν ἐν αἷς μὲν πλείστη δαπάνη χυμῶν, αὗται δ᾽ εἰσὶν αἱ μέχρι τῆς ἀκμῆς, ἐν ταύταις μὲν ὀλίγον ἀπολείπεται ἡ διαστολὴ τῆς συστολῆς. ἐν αἷς δ᾽ ἐλαχίστη, τοῦτο δ᾽ ἐν ταῖς πρεσβυτικαῖς γίνεται, παρὰ πολὺ πλείων ἐν ταύταις ὁ τῆς συστολῆς ἐστὶ χρόνος τοῦ τῆς διαστολῆς. εἰ γάρ τοι καθ᾽ ὅλον τὸ σῶμα διαπνοὴ, τῆς συστολῆς τῶν ἀρτηριῶν ἔργον ἐστίν. ἐν μὲν γὰρ ταῖς διαστολαῖς ἕλκουσιν εἰς ἑαυτὰς, ὥσπερ οὖν διὰ τῶν ἄλλων ἁπάντων στομάτων, οὕτω καὶ διὰ τῶν εἰς τὸ δέρμα περαιουμένων. οὔκουν ἐκκρίνεταί τι τηνικαῦτ᾽ ἐκ τοῦ σώματος, ἀλλ᾽ εἴσω μᾶλλον πάντως ἕλκεται. ἐν δ᾽ αὐταῖς ταῖς συστολαῖς ἔμπαλιν, ἐκκρίνεται μὲν, ἕλκεται δ᾽ οὐδέν. ὅτι δ᾽ ἐν αἷς ἡλικίαις οὐκ εἰς τὸ τρέφεσθαι μόνον, ἀλλὰ καὶ εἰς τὸ αὐξάνεσθαι κατεργάζεται τοὺς χυμοὺς ἡ φύσις, ἐν ταύταις ἀνάγκη καὶ τὰ περιττώματα πλείω γίνεσθαι, πρόδηλον ἐστίν. ἀνάλογον γὰρ ἀεὶ τῷ ποσῷ τῶν κατεργαζομένων χυμῶν, τὸ ποσόν ἐστι τῶν περιττωμάτων. ἔνθα οὖν ἡ πλείστη κατεργασία, πλεῖστον ἐνταῦθα καὶ τὸ περίττωμα. ἔνθα δ᾽ αὖ πλεῖστον περίττωμα συνεχοῦς τε ἅμα τούτῳ καὶ πολλῆς δεῖται τῆς ἐκκρίσεως, ὥσπερ οἶμαι καὶ ἐν τοῖς κατὰ τὴν γαστέρα τε καὶ τὴν κύστιν ἔχει περιττώμασιν, ἀλλὰ τὰς μὲν τούτων ἐκκρίσεις ταῖς αἰσθήσεσι διαγινώσκομεν, τὰς δὲ τῶν ἐν ταῖς ἀρτηρίαις ὁ λόγος ἐξευρίσκει. καὶ οὐκ οἶδ᾽ εἴ τις, ἢ οὐ καὶ διὰ τῆς ἐκτὸς ἐπιφανείας ὁμολογήσει κενοῦσθαι τὰς ἀρτηρίας, ἢ οὐ καθ᾽ ὃν εἴπομεν τρόπον. ἀποδέδεικται δ᾽ εἰς ὅσον ἐχρῆν ὑπὲρ αὐτῶν ἐν τῷ περὶ χρείας σφυγμῶν. εἰς δὲ τὸν παρόντα λόγον ἀρκεῖ καὶ τὰ νῦν εἰρημένα.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΙΤΙΩΝ

ΣΦΥΓΜΩΝ. ΒΙΒΛΙΟΝ γ΄.

Τὰς μὲν ὑπὸ τῶν πρώτων τε καὶ κυριωτάτων αἰτίων ἀλλοιώσεις τῶν σφυγμῶν, ὁ πρόσθεν λόγος αὐτάρκως ἐξηγήσατο, τὰς δ᾽ ὑπὸ τῶν ἄλλων ἁπάντων, ὅσαι μὴ δι᾽ ἑαυτῶν ἄντικρυς, ἀλλὰ τῷ τὰ πρῶτα τρέπειν αἴτια σφυγμῶν λέγεται, νῦν ἐπέξιμεν. ἐπεὶ δὲ τούτων τὰ μὲν, ἐστὶ παρὰ φύσιν, τὰ δὲ, κατὰ φύσιν, τὰ δ᾽ ἐν τῷ μεταξὺ τούτων ἃ δὴ καὶ οὐ φύσει καλοῦσι. εὔλογον ἀπὸ τῶν κατὰ φύσιν ἄρξασθαι, καὶ τάξιν γε τὴν αὐτὴν ἐπιθεῖναι τῷ λόγῳ, ἥνπερ καὶ τῷ τοῖς εἰσαγομένοις γεγραμμένῳ πεποιήμεθα, τά τε γὰρ ἄλλα, καὶ γένοιτ᾽ ἂν ἐξήγησις θ᾽ ἅμα τῶν ὀρθῶς ἐν αὐτῷ λεγομένων, ἔνδειξίς τε τῶν εὐλόγως παραλελειμμένων. παραλέλειπται μὲν δὲ τὰ μὲν ὅλως, τὰ δ᾽ ἐν τῷ μὴ διωρίσασθαι. πᾶν γὰρ ὅσον ἔμελλεν ἀσαφὲς ἔσεσθαι τοῖς ἀρχομένοις τῆς θεωρίας, ἐδόκει χρῆναι παραλιπεῖν. παραλέλειπται δ᾽ οὐχ ἥκιστα καὶ ὁ τῆς αἰτίας λογισμός. ἄμεινον γὰρ ἦν, τοῖς εἰσαγομένοις ἐπ᾽ αὐτῶν τῶν ἔργων γυμνάσασθαι πρότερον ἐμπειρικῶς, ἔπειθ᾽ ὕστερον ἅπασαν ἐκδιδαχθῆναι τῷ λόγῳ τὴν οὐσίαν τοῦ πράγματος. ὡς τοίνυν γεγυμνασμένοις αὖθις καὶ μανθάνειν τοὺς τελεώτερον λόγους δυναμένοις, ἥδε ἡ πραγματεία σύγκειται, διὰ μὲν τῶν προτέρων δυοῖν ὑπομνημάτων, εἰς ὅσον αὔταρκες, ὑπὲρ τῶν συνεκτικῶν ὀνομαζομένων αἰτίων διαλεχθεῖσα, διὰ δ᾽ αὐτῶν λοιπῶν δυοῖν, τούτου τε καὶ μετ᾽ αὐτὸν, περὶ τῶν ἄλλων ἁπάντων ἐκδιδάξουσα. ἀρκτέον δὲ ἤδη τοῦ λόγου προχειριζομένους ἑκάστην ῥῆσιν τῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένων. ἔπειτ᾽ ἐξηγουμένους. εἴη δ᾽ ἂν ἡ πρώτη τῶν εἰς τὸν παρόντα λόγον ἐπιτηδείων, ἥδε. ἄνδρες μὲν οὖν γυναικῶν ὡς ἐπίπαν μείζονα πολλῷ, καὶ σφοδρότερον ὡσαύτως πολλῷ, καὶ βραδύτερον ὀλίγῳ, καὶ ἀραιότερον ἱκανῶς τὸν σφυγμὸν ἔχουσιν. ἡ μὲν λέξις αὕτη. καὶ διότι πρῶτος οὗτος ὁ λόγος ἐπιτηδειότερος ἦν λέγεσθαι, δι᾽ ἐκείνου τοῦ γράμματος δεδήλωται. ὡς οὐ γὰρ ἔθος ἡμῖν περὶ τῶν αὐτῶν γράφειν πολλάκις, ὥστε τὰς αἰτίας ἰτέον ἤδη, καὶ δεικτέον τὴν ἀνάγκην τῆς φύσεως τοῦ πράγματος, δι᾽ ἣν οὕτω μὲν ἀνδράσιν, οὕτω δὲ γυναιξὶν ἔχει τὰ κατὰ τοὺς σφυγμούς. ὧδ᾽ οὖν. ἐπειδὴ θερμότερον ἐστὶ καὶ ξηρότερον τὸ ἄρρεν τοῦ θήλεος, ὡς καὶ τοῖς ἀρίστοις τῶν ἔμπροσθεν ἰατρῶν τε καὶ φιλοσόφων εἴρηται, καὶ ἡμῖν δὲ δι᾽ ἑτέρων ἀποδέδεικται, τήν τε χρείαν ἀναγκαῖον ἤδη τῆς τῶν σφυγμῶν γενέσεως, καὶ τὴν τῶν ὀργάνων κατασκευὴν ἑτέρως ἔχειν αὐτοῖς. εἰ δὲ τοῦτο, καὶ αὐτοὺς

τοὺς σφυγμούς. ἐδείχθη γὰρ ἐν τοῖς ἔμπροσθεν λόγοις, ὡς πλήθει θερμασίας οἰκεῖός ἐστιν ὁ μέγας σφυγμός. εἴπερ οὖν θερμότερον τὸ ἄρρεν τοῦ θήλεος, εὐθὺς ἂν καὶ μείζους ἔχει τοὺς σφυγμούς. καὶ εἰ πολλῷ θερμότερον, πολλῷ μείζους. ἀλλὰ μὴν καὶ θερμότερον, καὶ πολλῷ θερμότερόν ἐστιν, ὥστε καὶ μείζους καὶ πολλῷ μείζους ἕξει τοὺς σφυγμούς. ἀλλ᾽ ὅτι μὲν θερμότερον, ἔκ τε τῶν περὶ κράσεως ἡμῖν ἤδη γεγραμμένων, καὶ τῶν ἔτι πρότερον τοῖς παλαιοῖς εἰρημένων, αὐτάρκως ἀποδέδεικται. ὅτι δὲ καὶ πολλῷ, τοῦτ᾽ οὐκέτι οὔτε ἡμεῖς, οὔτε ἄλλος τις ἀπέδειξε. νῦν οὖν ἀποδεικνύσθω, ἢ οὐδέπω πιστὸς ὁ σύμπας λόγος. πρῶτον μὲν ἀναμνησθῆναι χρὴ τοῦ προκειμένου τῇ λέξει, καὶ πᾶσαν αὐτὴν ἀναγνῶναι καθ᾽ ἕκαστον ὄνομα προσέχοντα τὸν νοῦν. τί γάρ φησιν, ἄνδρες μὲν τῶν γυναικῶν ὡς ἐπίπαν μείζονα πολλῷ τὸν σφυγμὸν ἔχουσι. τί δὴ τοῦτ᾽ ἐστι, τὸ ἐπίπαν ἐπιμελῶς χρὴ διασκέψασθαι. οὐ γὰρ δὴ μάτην γε πρόσκειται, ἀλλ᾽ ἔστιν ἐν αὐτῷ τὸ πᾶν κῦρος τοῦ λόγου. τῷ γὰρ μήτε ἐξ ἀρχῆς εὐθὺς ὡσαύτως ἅπαντας ἡμᾶς κεκρᾶσθαι, μήτ᾽ ἐπιτηδεύμασι, μήτε διαίταις ὁμοίαις κεχρῆσθαι, τὸ καθόλου τῆς ἀποφάσεως διαφθείρεται, δυναμένης ποτὲ γυναικὸς εὑρεθῆναι, μὴ ὅτι πολλῷ μικρότερον, ἀλλὰ μὴ δὲ μικρὸν ὅλως, μὴ δ᾽ ἴσον, ἀλλὰ καὶ σαφῶς μείζονα τινῶν ἀνδρῶν ἐχούσης τὸν σφυγμόν. ἄνδρα γάρ μοι νόει φλεγματικώτερον φύσει, ψυχρὰ δ᾽ ἂν ἥδε κρᾶσις εἴη καὶ ὑγρά, παραβαλλομένη γυναικὶ χολωδεστέρα φύσει, τουτ᾽ ἔστι θερμοτέρα τε καὶ ξηροτέρα. ἀρκείτω δὲ μὴ τοῦτο μόνον, ἀλλ᾽ ὁ μὲν, τὴν πόλιν. ἡ δὲ, τὴν ἀγυπιλον ἐποικείτω, καὶ σκιατροφείσθω μὲν καὶ ἀργείτω, καὶ διατεθρύφθω κατὰ τὴν δίαιταν ὁ ἀνήρ. θηραυλείτω δ᾽ ἡ γυνὴ, καὶ γυμναζέσθω πολλὰ, καὶ μετρίως διαιτάσθω. μείζων ὁ τῆς τοιαύτης γυναικὸς, ἢ ὁ τοῦ ἀνδρὸς ἔσται σφυγμός. ἀλλ᾽ ἐὰν ἐν τῇ φύσει διαιτώμενον ἑκάτερον φυλάξῃς, καὶ τὴν οἰκείαν κρᾶσιν ἐξ ἀρχῆς κεκραμένων, ἔν τε χωρίῳ καὶ ταὐτῷ χρώμενον, οὐ μείζων μόνον, ἀλλὰ καὶ πολὺ μείζων, ὁ τοῦ τοιούτου ἀνδρὸς σφυγμὸς γένοιτ᾽ ἄν. ὅσον μὲν γὰρ ἐπὶ τῇ φυσικῇ κράσει μείζων ἁπλῶς, οὐ μὴν πολλῷ μείζων γένοιτ᾽ ἄν. ἐπεὶ δὲ τὸ ἀπὸ τῶν οἰκείων ἐπιτηδευμάτων ἑκατέρῳ προσέρχεται διάφορον, ἡ μὲν γὰρ ἀταλαίπωρον, ὁ δὲ, ἐν πόνοις πλείοσι διαιτᾶται, πολὺ δή τι θερμότερος ὁ ἀνὴρ οὕτω γίνεται. καὶ διὰ τοῦτο τοὺς σφυγμοὺς πολλῷ μείζους ἴσχει τῆς γυναικός. πρόσκειται δὲ, τὸ ἐπίπαν, ἐν τῇ ῥήσει τοῖς εὐφυεστέροις τῶν εἰσαγομένων οἷον κέντρον τι διεγεῖρόν τε καὶ παρορμῶν ἐπὶ τὴν ἔρευναν ἁπάσης τοῦ πράγματος τῆς φύσεως. εὐθὺς γὰρ καὶ περὶ τῆς κατὰ φύσιν ἐν ἀνδρὶ καὶ γυναικὶ διαφορᾶς ἐννοήσουσί τε, καὶ πᾶν ἐπιβλέψουσιν, τὸ κατὰ πάντα ζῶα γένος ἄρρεν ὡς ἰσχυρότερόν ἐστιν τοῦ θήλεος. καὶ ὡς τῷ μὲν θήλει, τὸ κύειν τε καὶ θηλάζειν, καὶ ὅλως ἐκτρέφειν τὰ γεννηθέντα κατὰ φύσιν. τῷ δ᾽ ἄρρενι, τό τε τροφὰς ἐκπορίζειν αὐτοῖς καὶ ὑπερμαχεῖν ἐπιβουλευομένοις, ἐξ ὧν εἰδέναι τὴν μὲν ὡς ἄρρενος ἀεὶ πρὸς θῆλυ διαφορὰν, μείζονας ἁπλῶς τοὺς σφυγμοὺς ἐργαζομένην, τὴν δ᾽ ὡς ἀνδρὸς πρὸς γυναῖκα πολλῷ μείζονας. οὕτω δὲ καὶ σφοδροτέρους μὲν ἁπλῶς ὅσον ἐπὶ τῇ φύσει τοὺς τῶν ἀρρένων σφυγμοὺς, πολὺ μέντοι σφοδροτέρους τοὺς τῶν ἀνδρῶν παρὰ τὰς γυναῖκας, ὅτι τοῖς μὲν αὐξάνεσθαι τὸν φυσικὸν τόνον ἐν τοῖς πόνοις ἀνάγκη, ταῖς δ᾽ ἀργούσαις, ἐκλύεσθαι. εἰ δὲ καὶ μηδὲν τούτων αὐτός τις ἐξεύροι σαφῶς, ἀλλ᾽ εἰς ὑπόνοιάν γε αὐτῶν ἀφίκοιτ᾽ ἂν ζητῶν, ἢ τοὔσχατόν γε οἷον διψῶν ὧν ἐπιθυμεῖ μὲν εὑρεῖν, οὐδέπω δ᾽ εὕρηκεν, ἐπὶ τὸν διδάξαι δυνάμενον ἀφικόμενος, τάχιστά τε ἂν οὕτω μάθοι, καὶ μάλιστα μνημονεύσειεν. ἀλλὰ ταῦτα μὲν οὕτως ἡ δὲ ῥώμη τῆς δυνάμεως ἣ τοῖς ἄρρεσι ὑπάρχει, δοίη ἄν τι καὶ αὐτὴ τοῖς σφυγμοῖς μεγέθους. ὥστ᾽ οὐ μόνον διὰ τὸ πλῆθος τῆς θερμασίας, ἀλλὰ καὶ διὰ τὴν ῥώμην, οἱ τῶν ἀρρένων σφυγμοὶ μείζους γίνονται. δέδεικται γὰρ οὖν καὶ τοῦτ᾽ ἐν τῷ πρώτῳ λόγῳ, τὸ ταῖς εὐρώστοις δυνάμεσι τοὺς μεγάλους σφυγμοὺς οἰκείους ὑπάρχειν. ἆρ᾽ οὖν ταύτῃ μόνον ἀνδρῶν γυναικῶν εἰς σφυγμῶν αἰτίας διαλλάττουσιν; ἢ καὶ τὸ περὶ τῆς ἕξεως τοῦ σώματος τοῖς ἑκατέροις πάμπολυ προσέρχεται. τοῖς μὲν γὰρ ὅλον σῶμα εὔπνουν τε καὶ καθαρὸν, καὶ ἀπέριττον, καὶ ἄθλιπτον. ταῖς δὲ τἀναντία, στεναὶ μὲν αἱ μεταξὺ τῶν ἀγγείων χῶραι, πιμελῆς αὐτῆς καὶ σαρκὸς μαλακῆς, καὶ τινῶν φλεγματωδῶν περιττωμάτων καταλαμβανόντων, πυκνόν τε τὲ καὶ δύσπνουν τὸ σῶμα, καὶ τινὲς συστάσεις πολλαχόθι τοῦ σώματος ἀργῶν καὶ παχέων καὶ ἀπέπτων ὑγρῶν, ὑφ᾽ ὧν ἁπάντων θλίβεσθαί τε καὶ στενοχωρεῖσθαι τὰς ἀρτηρίας αὐτῶν ἀναγκαῖον, ὅσας καὶ φύσει πολὺ τοῖς ὄγκοις ἐλάττους. ὥστε πάντη πανταχόθεν εἰς μικρότητα σφυγμῶν αὐταῖς παρασκευάσασθαι τὴν ἕξιν. ἐν δὲ μόνον εἰς τὸ μέγεθος ἐπιτήδειον ἔχουσαι τὴν μαλακότητα τῶν ὀργάνων, οὐδὲν οὐδ᾽ ἀπὸ ταύτης ὀνίνανται. πρῶτον μὲν ὅτι πλείω τε καὶ ἰσχυρότερα τὰ τῆς μικρότητος αἴτια γίνεται δεύτερον δ᾽ ὅτι πολλὴ μὲν ἡ παρ᾽ ἐκείνοις διαφορὰ τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας. ἐλαχίστη δ᾽ ἡ διὰ τὴν μαλακότητα τῶν ὀργάνων. οὐ γὰρ οὕτω ξηρότερον λέγεται τὸ τῶν ἀνδρῶν σῶμα, τοῖς τῶν γυναικῶν παραβαλλόμενον, ὡς ἂν εἰ τύχοι λίθος τις εἴη πηλοῦ ξηρότερος. οὐδ᾽ ἂν εὕροις ἐν αὐτοῖς τοῖς χιτῶσι τῶν ἀρτηριῶν πολλὴν τὴν ὑπεροχὴν, ἀλλὰ καὶ τὸ τῶν ἀνδρῶν ὄργανον, οὕτως ἔχει κατασκευῆς ὡς εὐπειθὲς εἶναι πρὸς τὴν ἐνέργειαν. εἰ δὲ καὶ μεγάλη τις ἦν ὑπεροχὴ, καὶ πολλῷ τὸ τῆς γυναικὸς ὄργανον ὑπῆρχε μαλακώτερον, αὐτὸ δὴ τοῦτο μικροτέρους ἂν εἰργάσατο τοὺς σφυγμούς. ἔνθα μὲν γὰρ οὐδὲν ἐστι τὸ βαρῦνον, ἢ θλίβον, ἢ στενοχωροῦν, ἐνταῦθα τὸ μαλακώτερον ὄργανον, ἐπιτηδειότερον εἰς μέγεθος διαστολῆς. ἔνθα δ᾽, ὡς ἔμπροσθεν ἐπὶ τῆς γυναικείας ἕξεως ἐρρήθη, τὰ θλίβοντα καὶ βαρύνοντα καὶ στενοχωροῦντα πολλὰ, ἐνταῦθα τὸ μαλακώτερον ὄργανον ἀφυέστερον εἰς τὴν διαστολὴν, ὡς ἂν ῥᾷον ὑπὸ πάντων τῶν λυπούντων νικώμενον. ὅτι μέντοι ταῦτα πάντα περὶ τῶν ἄριστα μὲν κατεσκευασμένων σωμάτων, οἰκείως δὲ ταῖς κατασκευαῖς διαιτωμένων λέγεται, δῆλον μὲν, κἀξ ὧν ἤδη προειρήκαμεν. ὁ μέντοι σύμπας καὶ τέλεος ὑπὲρ αὐτῶν λόγος ὁ μετὰ ἀποδείξεως περαινόμενος, ἐν τῷ δευτέρῳ περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως γέγραπται. ὅστε κἀκείνην τὴν πραγματείαν ἀναγνωστέον ἐστὶν τοῖς ὀρθῶς μέλλουσι μετρῆσαι τὰ περὶ τοῦ σφυγμούς. καὶ μέντοι καὶ περὶ τοῦ ταχέως σφυγμοῦ διὰ τοῦ τρίτου τῶν ὑπομνημάτων ἐκείνων ἀποδέδεικται, πηλίκον ἁμαρτάνουσιν οἱ πλεῖστοι τῶν ἰατρῶν εἰς τὴν διάγνωσιν αὐτῶν, τὸν βραχύχρονον, εὐθὺς καὶ ταχὺν εἶναι νομίζοντες. ἀμέλει καὶ τὸν τῆς γυναικὸς σφυγμὸν, ἕνεκα γάρτοι τῶν νῦν προκειμένων, ἐμνημόνευσα τῶν ἐν ἐκείνοις ἀποδεδειγμένων, ἱκανῶς ταχὺν

νὰς ταχεῖαν εἶναι νομίζουσιν. ὁ δ' ἐστὶ μὲν θᾶττον, οὐ μὴν ἀξιολόγῳ γέ τινι καὶ μεγάλῃ διαφορᾷ τοῦ τῶν ἀῤῥένων ὑπερέχει. τὸ μὲν οὖν ἀληθὲς τοῦτο καὶ γέγραπται καλῶς τοῖς εἰσαγομένοις, βραχεῖ βραδύτερος ὁ τῶν ἀνδρῶν εἶναι σφυγμὸς τοῦ τῶν γυναικῶν. οὐ μὴν ἥ γ' αἰτία πρόσκειται καθάπερ οὐδ' ἄλλῳ τινὶ τῶν ἐκεῖ γεγραμμένων. ἀλλὰ νῦν εἰρήσεται. ὅσον μὲν οὖν ἐπὶ τὸ καὶ τὴν δύναμιν ἀῤῥωστοτέραν εἶναι καὶ τὴν θερμασίαν ἐλάττονα τὴν τῶν γυναικῶν, ἐχρῆν ὁ τὸν σφυγμὸν εἶναι βραδύτερον, ἀμφοτέροις γὰρ τοῖς εἰρημένοις αἰτίοις οἰκεῖος ὁ τοιοῦτος ἐδείχθη. ἀλλὰ ἐπεὶ πολλῷ μικρότερός ἐστι, καὶ διὰ τοῦτο καὶ τὸ τῆς χρείας οὐχ ἱκανῶς πληροῦται, προστίθησιν ὅσον δύναται τῷ τάχει. τοῦτο γὰρ ὁ πρῶτος λόγος ἔδειξεν ἀναγκαῖον ὑπάρχειν, καὶ ὅστις οὐ μέμνηται τῶν ἐν ἐκείνῳ γεγραμμένων, μάτην καὶ τούτοις ἐντυγχάνει. εἰ μὲν οὖν τὸ προστιθέμενον τοῦ τάχους τοσοῦτον ἦν, ὡς αὐτάρκως ἅπασαν τὴν χρείαν πληροῦν, οὐδὲν ἂν ἔδει πυκνότητος. ἐπεὶ δὲ πολλῷ μὲν ἀπολείπεται τῆς χρείας ἡ ἐνέργεια διὰ τὴν μικρότητα τῆς διαστολῆς, βραχὺ δ' ἐπωφελεῖται διὰ τὸ τάχος, ἀναγκαῖον ἤδη πυκνὸν ἀξιολόγως γίνεσθαι τὸν σφυγμόν. καὶ γὰρ καὶ τοῦτο διὰ τοῦ πρώτου δέδεικται λόγου. γυναικῶν μὲν οὖν ἀνδρῶν, οὕτω διαφέρουσι τοῖς σφυγμοῖς, τὸ δ' ἄῤῥεν βρέφος τοῦ θήλεος ἀνάλογον μὲν, οὐ μὴν πάντη γε ὡσαύτως, ἀλλ' ὡς ἔμπροσθεν εἴπομεν. ἁπλῶς γὰρ μείζονα καὶ σφοδρότερον καὶ ἀραιότερον, οὐκέτι δὲ καὶ πολλῷ τὸν σφυγμὸν ἔχει τὸ ἄῤῥεν τοῦ θήλεος. περὶ μὲν δὴ τούτων ἀρκεῖ καὶ ταῦτα. μεταβῶμεν δ' ἐπὶ τὴν ἐφεξῆς ῥῆσιν περὶ τῆς κατὰ τὴν κρᾶσιν διαφορᾶς διδάσκουσαν. Οἱ δὲ φύσει θερμοὶ, μείζονα μὲν καὶ ὠκύτερον καὶ πυκνότερον πολλῷ. σφοδρότερον δὲ οὐ πολλῷ.

Καὶ οὗτος ὁ λόγος ἐν ἑαυτῷ περιέχει ζήτημα μέγιστον, ᾧ μηδ' ἐπιβάλλειν τις δύναται τὴν διάνοιαν τῶν εἰσαγομένων, εἰ μὴ πάνυ συνετὸς ὑπάρχει. τῶν γὰρ φύσει θερμῶν, τοὺς μὲν ὑγροὺς εἶναι λέγουσι, τοὺς δὲ ξηρούς. ἐχρῆν οὖν οὐχ ἁπλῶς εἰρῆσθαι τῶν φύσει θερμῶν τοὺς σφυγμούς. ἀλλὰ πρότερον μὲν τῶν μεθ' ὑγρότητος, δεύτερον δὲ τῶν μετὰ ξηρότητος. οὐ γὰρ δὴ πάντες οἱ θερμοὶ φύσει τοὺς αὐτοὺς ἔχουσι σφυγμούς, ἀλλὰ καὶ τρίτοι τινὲς εἰσὶν, εὔκρατοι μὲν, ὅσον ἐφ' ὑγρότητι, καὶ ξηρότητι, δύσκρατοι δ' ὅσον ἐπὶ θερμότητι. καὶ ὡς οὐκ ὀρθῶς αὐτοὺς παρεῖδον, ὅσοι πρὸ ἡμῶν διείλοντο τὰς κράσεις ἀποδέδεικται διὰ τῶν γραφέντων ἡμῖν περὶ κράσεων ὑπομνημάτων. τούτους δὴ καλεῖν ἔθος ἐστὶ θερμοὺς τοὺς τῶν τεττάρων δυνάμεων, μίαν μόνην ταύτην ὑπὲρ τὰς ἄλλας ἔχοντας οὗτοι τοίνυν εἰς ὅσον θερμότεροι τῶν εὐκράτων εἰσὶν, εἰς τοσοῦτον καὶ μείζονας καὶ ὠκυτέρους καὶ πυκνοτέρους ἔχουσι τοὺς σφυγμούς. καὶ ἡ αἰτία πρόδηλος τοῖς μεμνημένοις τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων. ἀλλὰ διατί σφοδροτέρους οὐ πολλῷ τοὺς τοιούτους εἴπομεν σφυγμούς; καίτοι γ' ἐν τῷ πρώτῳ λόγῳ τῆσδε τῆς πραγματείας ἀπεφήναντες, εἰ δύναται γίνεσθαι σφοδρότερος ὁ σφυγμὸς, ἄνευ τοῦ κατὰ τὴν δύναμιν εἰς ῥώμην ὠφεληθῆναι. ὅτι τοῖς εἰσαγομένοις οἱ τοιοῦτοι πάντως σφυγμοὶ σφοδρότεροι φαίνονται. παράκειται γάρ πως ὁ ταχὺς ἅμα καὶ μέγας σφυγμὸς, κατά γε τὴν ἀδιάρθρωτον φαντασίαν τῷ σφοδρῷ ὥστε καί τινων καὶ αὐτῶν τὰ συγγράμματα καταλελοιπότων ἡμῖν ἰατρῶν, οὐδ' ἄλλον τινὰ σφοδρὸν ἔφασαν εἶναι σφυγμὸν, ἢ τὸν ἐκ μεγέθους τε καὶ τάχους σύνθετον, οὔκουν ἐχρῆν τοῖς εἰσαγομένοις κινεῖν τηλικαῦτα ζητήματα. συμφέρει γὰρ αὐτοῖς ἐπὶ πολλῶν τὸ ἀδιόριστον τε καὶ συγκεχυμένον μᾶλλον τοῦ διηρθρωμένου, ὅταν γε βαθείας τοῦτο δέηται θεωρίας, καὶ λόγων μακρῶν, καὶ χρόνου πολλοῦ. ἀλλ' ἡμεῖς ἐν τῷ πρώτῳ λόγῳ τῆς δὲ τῆς πραγματείας, αὐτάρκως περὶ τούτου διειλεγμένοι, μέλλοντες δὲ κἀν τοῖς ἑξῆς, ὅταν ὁ περὶ τῶν ῥυθμῶν ἀφίκηται λόγος, αὖθις ἐρεῖν τι, κατὰ μὲν τὸ παρὸν ἐνταυθοῖ καταπαύσομεν τὴν ἐξήγησιν. ἑτέραν δ' ἤδη λέξιν προχειρισόμεθα. Οἱ δ' ἰσχνότεροι μείζονα μὲν καὶ ἀραιότερον πολλῷ, σφοδρότερον δ' ὀλίγῳ.

Πάλιν ἐνταῦθα τοὺς ἰσχνοτέρους ἀκουστέον ἄνευ τινὸς ἄλλης διαθέσεως. εἰ γὰρ ἤτοι τῆς κράσεως ὑπαλλαγείσης, ἢ τῆς δυνάμεως, ἢ διά τι πάθος ἰσχνότερος γένοιτο, σύνθετος ἡ τροπὴ τῶν σφυγμῶν ἔσται, καὶ οὐκ ἔτι διὰ μόνην τὴν ἰσχνότητα. ἰσχνότης οὖν αὐτὴ μόνη κατὰ τὸν ἑαυτῆς λόγον, εὐρυτέρας μὲν τὰς χώρας τῶν ἀρτηριῶν ἐργαζομένη κουφότερα δὲ τὰ ἐπικείμενα σώματα, μέγεθος ἱκανὸν προστίθησι τοῖς σφυγμοῖς. ἔνθα δ' ἂν ἴσης τῆς χρείας μενούσης αὐξάνηται τὸ μέγεθος, ἀραιοτέρους ἐνταῦθα ἀναγκαῖον γίνεσθαι τοὺς σφυγμοὺς, εἰς τοσοῦτον εἰς ὅσον καὶ μείζονας. μείζους δ' ἦσαν πολλῷ, γένοιντ' ἂν οὖν οὕτω καὶ ἀραιότεροι πολλῷ. σφοδρότεροι δὲ τοσοῦτον φανοῦνται, ὅσῳ διὰ λεπτοτέρων ὁμιλοῦσι τοῖς ἁπτομένοις σωμάτων, οὐκοῦν τῷ προσκτᾶσθαι τινὰ τόνον, ἀλλὰ τῷ μᾶλλον ὃν ἔχουσιν ἐνδείκνυσθαι, τοιοῦτοι φαίνονται. περὶ δὲ τάχους καὶ βραδυτῆτος, οὐδὲν ὑπὲρ αὐτῶν εἴρηται, οὐδὲν γὰρ οὐδέτερον τούτων ἐκ τῆς ἰσχνότητος προσλαμβάνουσιν, ἀλλ' ὡσαύτως ἔχουσι τοῖς βραχυτέροις, ὅταν καὶ ῥώμης καὶ χρείας αὐτοῖς ὡσαύτως ἔχωσιν. ἑξῆς δὲ περὶ τῶν ἡλικιῶν ὧδέ πως γέγραπται. Τρέπονται δὲ κατὰ μὲν τὰς ἡλικίας ὧδέ πως. ὁ μὲν τοῦ νεογενοῦς παιδίου πυκνότατος. ὁ δὲ τοῦ γέροντος ἀραιότατος. οἱ δ' ἐν τῷ μεταξὺ πάντων, ἀνάλογον, ἐφ' ὅσον ἂν ἢ παιδὸς ἢ γέροντος ἐγγύτεροι τυγχάνουσιν ὄντες. ὡσαύτως δὲ τάχιστος μὲν ὁ τοῦ παιδός. βραδύτατος δ' ὁ τοῦ γέροντος. οἱ δὲ τῶν ἄλλων ἡλικιῶν ἐν τῷ μεταξύ. πολλῷ δὲ μείζων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον, τῆς κατὰ τάχος. ἐν δὲ τῇ κατὰ σφοδρότητα καὶ μέγεθος διαφορᾷ, μέγιστος μὲν ὡς ἐν ἡλικίαις ὁ τῶν ἀκμαζόντων. μικρότατος δὲ ὁ τῶν γερόντων. μέσος δὲ βραχεῖ μείζων ὁ τῶν παιδίων. καὶ σφοδρότατος μὲν, ὁ τῶν ἀκμαζόντων. ἀμυδρότατος δὲ ὁ τῶν γερόντων. μέσος δ' αὐτῶν ὁ τῶν παιδίων. Ὅτι πυκνότης καὶ ἀραιότης σφυγμῶν κατὰ διττὸν νοεῖται τρόπον, ἑτέρως μὲν ὑπὸ τῶν καὶ τῆς συστολῆς αἰσθάνεσθαι λεγόντων, ἑτέρως δ' οἷς ἀναίσθητος αὕτη, σαφέστερον μὲν ἐν τοῖς περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν εἴρηται λόγοις. οὐ μὴν ἀλλὰ, καὶ ἐν αὐτῷ τούτῳ τῷ βιβλίῳ τῷ τοῖς εἰσαγομένοις γεγραμμένῳ δεδήλωται, καὶ ἠξιοῦμεν γε αὐτοὺς ὡς ἔτι ἀναισθήτῳ πρότερον γυμνάσασθαι τῆς συστολῆς. ἔστι μὲν οὖν ἀκριβέστερόν τε ἅμα καὶ μακρῷ χρησιμώτερον, ἐν τῷ τῶν ἠρεμιῶν ποσῷ συνίστασθαι νομίζειν τοῦτο τὸ γένος τῶν σφυγμῶν, οὕτω γὰρ ἡμῖν καὶ τὰ κατὰ τοὺς ῥυθμοὺς εἰς ἀκριβῆ διάγνωσιν ἀφίξεται. ἀλλ' ἐπεὶ τοὔμπαλιν αἱ διαθέσεις αἱ πυκνὸν, ἢ ἀραιὸν ἐργαζόμεναι τὸν σφυγμὸν, ἑκατέραις αὐτῶν ταῖς αἱρέσεσι τοιοῦτον φαίνεσθαι ποιοῦσιν, εἴη ἂν καὶ ὁ τῆς αἰτίας λόγος

σμὸς κοινὸς ἀμφοῖν. ἀλλ' ἄμεινον αὐτὸν ἐπὶ τὸ ἀληθέστερον ἀνάγοντας, κατ' ἐκεῖνο περαίνειν τὸν λόγον, τῆς γε
νῦν δὴ προκειμένης ἡμῖν πραγματείας μηκέτι τῶν εἰσαγομένων στοχαζομένης, ἀλλ' ἅπαν τὸ ἀληθὲς ἐκδι-
δασκούσης. οἱ τοίνυν παῖδες ἔχοντες μὲν καὶ τὸ θερμὸν οὐκ ὀλίγον, οὐδὲ τῆς ἐμψυχούσης αὐτὸ χρήζουσιν οὐσίας ὀλί
γης, καὶ διὰ τοῦτο μεγάλων δέονται τῶν σφυγμῶν. ἔχοντες δὲ καὶ τὴν τῶν χυμῶν δαπάνην πλείστην, ὡς ἂν οὐκ εἰς
θρέψιν μόνον, ἀλλὰ καὶ εἰς αὔξησιν ὑπηρετοῦσαν, ἐν ταῖς κατεργασίαις αὐτῶν ἀναγκαίως ἀθροίζουσιν ἐν ὅλῳ τῷ
σώματι πλῆθος ἀτμωδῶν τε καὶ ὡς ἂν εἴποι τις λιγνυωδῶν περιττωμάτων, ὥστε καὶ διὰ ταῦτα τῆς συστολῆς
τῶν ἀρτηριῶν δέονται μεγίστης, καὶ μέντοι καὶ τὴν τοῦ ψυχικοῦ πνεύματος οὐσίαν οὐ τρέφεσθαι μόνον, ὡς τοῖς τελεί
οις, ἀλλὰ καὶ συναυξάνεσθαι τοῖς ὀργάνοις ἀναγκαῖον. ὥστε καὶ διὰ ταύτην μειζόνων δέονται τῶν δια-
στολῶν. καὶ σχεδὸν εἰς ἴσον ἥκει τοῖς βρέφεσιν ἡ τοῦ συστέλλεσθαι τὰς ἀρτηρίας χρεία τῇ τοῦ διαστέλλεσθαι. πλεῖ-
στα μὲν γὰρ τὰ περιττώματα, καὶ διὰ τοῦτο μεγίστης δεόμεναι τῆς συστολῆς, τὸ θερμὸν δ' εἰ καὶ μὴ πλεῖστον ἁπλῶς,
ἀλλά τοι καὶ διὰ τὴν τοῦ ψυχικοῦ πνεύματος αὔξησιν, εἰς ἴσον ἥκει τῇ τοῦ πλείστου χρείᾳ θερμοῦ τῆς διαστο
λῆς αὐτοῖς. ὅσον γὰρ τῶν νεανίσκων ἀπολείπεται τοῦ πλεονάζοντος ἐν ἐπικτήτῳ θερμότητι, τοῦτο ἐκ τῆς
διὰ τὸ πνεῦμα χρείας προσέρχεται. μεγίστων οὖν ἅμα καὶ ταχίστων οἱ παῖδες ἀμφοτέρων χρήζουσι τῶν κινήσεων,
καὶ διὰ τοῦτ' ἐλλιπεστέρα τῆς χρείας ἐστὶν ἐπ' αὐτῶν ἡ ἐνέργεια. καὶ γὰρ εἰ ὅτι μάλιστα ταχεῖς εἰσὶ καὶ μεγάλοι,
ἀλλ' οὐδέπω τῆς χρείας ἀξίως. ἀναγκαῖον οὖν ἐν τούτῳ πυκνὰς γίνεσθαι τὰς κινήσεις. ἐπὶ δὲ τῶν γερόντων ἐναν-
τία πάντα, τὸ μὲν θερμὸν ὀλίγον. ἀνάλογον δὲ τούτῳ, καὶ ἡ τῶν οἷον αἰθαλωδῶν περιττωμάτων γένεσις, καὶ
ἡ τοῦ πνεύματος τοῦ ψυχικοῦ θρέψις, ὥστε ἐναντίους αὐτοῖς εὔλογον εἶναι καὶ τοὺς σφυγμοὺς μικροὺς, καὶ βραδεῖς,
καὶ ἀραιούς. ἀναμνησθῆναι δ' ἐνταῦθα χρὴ τῶν ἐν τῷ δευτέρῳ περὶ διαγνώσεως σφυγμῶν εἰρημένων, ἵν' ἴδω
μεν ἔκ τινος ἀπατώμενοι πολλοὶ τῶν ἰατρῶν, μικροὺς ὑπέλαβον εἶναι τοὺς τῶν παιδίων σφυγμοὺς, καίτοι μεγάλοι
μὲν εἰσὶν, εἰ τοῖς ὄγκοις τῶν ἀρτηριῶν αὐτοὺς παραβάλλοις, μικροὶ δὲ, εἰ κατὰ τὴν πρόχειρον ἐξετάζοις φαν-
τασίαν, τοῦτ' ἔστιν εἰ τὸ ποσὸν τῆς διαστάσεως μόνον ἐν αὐτοῖς σκοποίο, τοῖς τῶν ἀκμαζόντων παραβάλλων. οὐ
μὴν μεγίστους γ' ἔχουσιν οἱ παῖδες τοὺς σφυγμοὺς, οὐδ' εἰ πρὸς τοὺς ὄγκους τῶν ἀρτηριῶν ἐξετάζοις αὐτούς. τὸ γὰρ
μήτε τὴν δύναμιν ἥκειν εἰς ἄκρον ῥώμης αὐτοῖς, καὶ τὸ συγχωρεῖσθαί τε καὶ θλίβεσθαι τοὺς χιτῶνας τῶν ἀρτη-
ριῶν ἔτι μαλακοὺς ὄντας, ἀφαιρεῖται πολὺ τῆς μεγίστης διαστολῆς. ὅμως μὴν ἔτι τηλικοῦτος ἐστὶν αὐτοῖς ὁ σφυγμὸς,
ὡς ὑπὲρ τὸν μέσον ὑπάρχειν. τῷ τάχει δ' ὡσαύτως ἔχει κατά τε τὴν διαστολὴν καὶ συστολὴν, ὅτι καὶ ἡ χρεία τῶν
κινήσεων ἀμφοτέρων ἴση, οὐχ ὥσπερ ἐπὶ τῶν γερόντων, εἰς ὅσον γὰρ ἡ τοῦ συστέλλεσθαι χρεία λείπεται τῆς τοῦ δια-
στέλλεσθαι, εἰς τοσοῦτον καὶ ἡ συστολὴ τῆς διαστολῆς ἐστὶ βραδυτέρα. λείπεται δ' εὔλογος τοῖς πρεσβύταις, ὅτι βρα
χὺ παντελῶς, ἢ οὐδὲν ἐκ τῆς τῶν χυμῶν συγκαύσεως γίνεται περίττωμα διὰ τὴν ἀρρωστίαν τοῦ θερμοῦ. καὶ ὅτι μή
τε ἀξιολόγως τρέφονται, μήτε ὅλως αὐξάνονται. ἡ μέντοι τοῦ διαστέλλεσθαι χρεία, καὶ εἰ μὴ μεγάλη, μέτριος γοῦν
ἔτι μένει τοῖς πρεσβύταις, ῥιπίζεσθαι μὲν γὰρ δεῖται τὸ ἔμφυτον θερμὸν, καὶ τρέφεσθαι τὸ πνεῦμα τὸ ψυχικόν.
πολὺ δὲ πλείων ἡ εἰς ἀραιότητα τροπὴ τῶν γερόντων τῆς εἰς βραδυτῆτα, διὰ τὸ τὴν χρείαν τῶν σφυγμῶν οὐ μόνον
καὶ πληροῦσθαι τελέως ὑπὸ τῆς ἐνεργείας, ἀλλὰ καὶ κατὰ τὸν ἑαυτῆς λόγον ἐκλελύσθαι παντελῶς. μακροτάτην οὖν
εὔλογον ἐν τούτῳ γίνεσθαι τὴν ἡσυχίαν. ὥσπερ γε καὶ ὅτ' οὐκ ἐξεπληροῦτο μετὰ τοῦ μεγάλως ηὐξῆσθαι, συνεχεῖς
ἠνάγκαζεν εἶναι τὰς κινήσεις. ὅτι γὰρ ἐπὶ τῶν βρεφῶν οὐκ ηὔξηται μόνον εἰς ἔσχατον ἡ χρεία τῆς γενέσεως τῶν σφυ-
γμῶν, ἀλλὰ καὶ τῆς μεγίστης διαστολῆς, ἣ μόνη τάχ' ἂν ἐπλήρωσε τὴν χρείαν, οὐκ ὀλίγον ἀφῄρηται, πρότερον εἴρηται,
τοσοῦτον εἶναι τὸ ἀφαιρούμενον εἰπόντων ἡμῶν, ὅσον ἥ τε δύναμις ἀπολείπεται τῆς ἄκρας ῥώμης, καὶ βαρύνεται καὶ
συγχωρεῖται τὰ ὄργανα μαλακὰ διὰ ὑγρότητα τοῖς τηλικούτοις ὄντα. καὶ γὰρ οὖν καὶ τοῦτ' ἔμπροσθεν εἴπομεν, ὡς
αἱ μαλακότητες τῶν ὀργάνων, αἱ μὲν χωρὶς τοῦ θλίβεσθαι καὶ βαρύνεσθαι καὶ συγχωρεῖσθαι, μεγέθεσι σφυγμῶν συν
τελοῦσιν, αἱ δὲ σὺν τούτοις μικρότησι, καὶ μάλισθ' ὅταν ἡ δύναμις ἐνδεέστερον ἔχῃ τόνου. εἰς ὅσον δὲ μεταπέπτω
κεν ὁ τῶν γερόντων σφυγμὸς ἐκ τῆς τῶν παιδίων πυκνότητος εἰς ἀραιότητα, σχεδὸν εἰς τοσοῦτο καὶ ἡ τῆς συστολῆς
κίνησις ἐκ τοῦ τάχους εἰς τὴν βραδυτῆτα. καὶ ἡ αἰτία πρόδηλος, εἴ γε δὲ τελέως ἐκλελύσθαι τὴν χρείαν τῆς συστολῆς
ἐν ταῖς τοιαύταις ἡλικίαις ὀρθῶς ἐλέγομεν, οὐ μὴν εἴ γε τῆς διαστολῆς χρεία τελέως ἀπόλωλεν, ὡς καὶ τοῦτο ἐδείξα
μεν. ὅθεν ἧττόν ἐστιν ἡ ἐν ταύτῃ κίνησις βραδεῖα τῆς ἐν τῇ συστολῇ. ταύτης δ' ἦν διαγνωστικὸς ὁ εἰσαγόμενος μό
νης. ὡς εὐλόγως ἐῤῥήθη πλείων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον τῆς κατὰ βραδυτῆτα. ἀλλὰ
νῦν γε τὸ λοιπὸν πᾶν ἤδη προσδιώρισται, περί γε αὐτῆς ταύτης τῆς διαφορᾶς, καὶ προσέτι τῆς κατὰ τοὺς ἐν ταῖς ἡλι
κίαις ῥυθμοὺς μεταβολῆς, ὑπὲρ ὧν ἀσαφέστερον εἶναι νομίσαντες, ἢ κατὰ τοὺς εἰσαγομένους τὸν λόγον, οὐδὲν εἰρήκαμεν.
ὡς γὰρ περὶ τῆς πυκνότητος, οὕτω καὶ περὶ τῶν ῥυθμῶν διτταὶ γεγόνασιν αἱρέσεις, τῶν μὲν δὴ μηδόλως αἰσθάνεσθαι
λεγόντων τῆς συστολῆς, τὸν τῆς διαστολῆς χρόνον τῷ λοιπῷ παντὶ παραβαλλόντων, ὃς οὐκ ἐκ τῆς συστολῆς μόνον, ἀλλὰ
κἀκ τῶν δυοῖν ἠρεμιῶν σύγκειται. τῶν δὲ καὶ ταύτης αἰσθάνεσθαι φασκόντων ἐν τοῖς τῶν κινήσεων χρόνοις τοὺς ῥυ
θμοὺς συνιστάντων. ὅσῳ δὲ ἀκριβεστέρα ἥδε ἡ αἵρεσις, καὶ εἰς τὰς προγνώσεις χρησιμωτέρα, δῆλον ἔσται πολὺ μᾶλ
λον ἐν τῇ μελλούσῃ γράφεσθαι πραγματείᾳ. οὐκ ἄδηλος δ' οὐδὲ νῦν ἐστιν, εἰ μὴ παρέργως τις ἤκουσε τῶν εἰρημένων.
ἐκ τῶν αὐτῶν δὲ, καὶ τὰς ἐν ταῖς ἡλικίαις διαφορὰς τῶν ῥυθμῶν, παρ' ἥν τινα γίγνονται τὴν αἰτίαν ἐξευρίσκειν
οὐδὲν ἔτι χαλεπόν. ἐπειδὴ γὰρ πλείστη μὲν ἑκατέρας τῶν κινήσεων τῆς ἀρτηρίας χρεία τοῖς βρέφεσιν, ἐλα-
χίστη δὲ τοῖς γέρουσιν, ὁ δ' ἐν τῷ μεταξὺ χρόνος πᾶς τῶν ἡλικιῶν ἐκλύει μὲν ἀμφοτέρας τὰς χρείας, ἀλλὰ μᾶλλον
τὴν τῆς συστολῆς, εὐλόγως ὅσῳ περ ἂν ἀποχωρῶσι τῶν βρεφῶν ὡς ἐπὶ τοὺς γέροντας, ἀμφοτέρας μὲν ἔξουσιν ἀεὶ τὰς
κινήσεις βραδυτέρας, ἀλλὰ μᾶλλον τὴν τῆς συστολῆς. ἐκ τούτων δὲ αἱ κατὰ τὰς ἡλικίας γίνονται τῶν ῥυθμῶν διαφο
ραὶ, περὶ ὧν ἐπὶ πλέον ἐροῦμεν ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν προγνώσεως ὑπομνήμασιν. ἀλλὰ καὶ διότι σφο-
δρότατος μὲν ὁ τῶν ἀκμαζόντων, ἀμυδρότερος δ' ὁ τῶν γερόντων, εὔδηλον. ἰσχυροτάτη μὲν γὰρ ἡ δύναμις ἐν τοῖς
ἀκμάζουσιν, ἀσθενεστάτη δ' ἐν τοῖς γέρουσιν. οὕτω δὲ καὶ ἐν ταῖς ἄλλαις ἡλικίαις, ὡς ἂν ἰσχύος ἔχωσιν ἢ ἀσθενείας οἱ
σφυγμοὶ

σφυγμοί, διοίσουσιν ἀμυδρότητι τε καὶ σφοδρότητι. Κατὰ δὲ τὰς ὥρας ἦρος μὲν τὰ μέσα, μεγίστους καὶ σφοδροτάτους, ὡς ἐν ὥραις, τάχει δὲ καὶ πυκνότητι συμμέτρους, ὡσαύτως δὲ καὶ φθινοπώρου τὰ μέσα. προϊὸν δὲ τὸ μὲν ἔαρ ἀφαιρεῖται μεγέθους καὶ σφοδρότητος, προστίθησι δὲ τῷ τάχει καὶ τῇ πυκνότητι. καὶ τέλος ἡνίκα ἂν ἐπιλάβοι τὸ θέρος ἀμυδροὶ καὶ μικροὶ καὶ ταχεῖς καὶ πυκνοὶ γίνονται. τὸ δὲ φθινόπωρον προϊὸν ἁπάντων ἀφαιρεῖ, μεγέθους, σφοδρότητος, τάχους, πυκνότητος. ὥστε τοῦ χειμῶνος ἐπελθόντος εἰς μικρότητα καὶ ἀμυδρότητα καὶ βραδυτῆτα καὶ ἀραιότητα τετράφθαι. ἔοικε δὲ τὰ μὲν πρῶτα τοῦ ἦρος, τοῖς ὑστάτοις τοῦ φθινοπώρου. τὰ δ᾽ ὕστατα τοῖς πρώτοις. καὶ τὰ μὲν πρῶτα τοῦ θέρους τοῖς ὑστάτοις τοῦ θέρους. τὰ δὲ τοῦ χειμῶνος πρῶτα, τοῖς ὑστάτοις τοῦ χειμῶνος. ὡς ὅσα θέρους μέσου καὶ μέσου χειμῶνος ἴσον ἐφ᾽ ἑκάτερον ἀφέστηκεν, ὁμοίως τρέπειν. μέσον δὲ θέρος ἐστὶν, ἣ μὲν ὡσαύτως, ἣ δὲ ἐναντίως ἔχει μέσῳ χειμῶνος. μικροὶ μὲν γὰρ καὶ ἀμυδροὶ καθ᾽ ἑκάτερον, ὠκεῖς δὲ καὶ πυκνοὶ θέρους, καὶ βραδεῖς καὶ ἀραιοὶ χειμῶνος. οὐ μὴν οὕτως μικροὶ θέρους ὡς χειμῶνος. ἀλλ᾽ ἧττον θέρους. οὐδ᾽ οὕτως ἀμυδροὶ χειμῶνος ὡς θέρους. ἀλλ᾽ ἧττον χειμῶνος. Καὶ τὰ κατὰ τὰς ὥρας εἰς τρεῖς ταύτας αἰτίας ἀνάγεται, τὴν χρείαν, τὴν δύναμιν, τὰ ὄργανα. παρὰ γὰρ τὸ διαφερόντως ἔχειν ἕκαστον τούτων ἐν αὐτοῖς, καὶ αἱ τῶν σφυγμῶν ἀλλοιώσεις γίνονται. τοῦ μὲν οὖν ἦρος ἐν τοῖς μέσοις, εὐκρατοτάτη κατάστασις ἐστὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ὅθεν καὶ τὰ σώματα ὑγιεινά. τούτου γὰρ ἀεὶ χρὴ μεμνῆσθαι, μάλιστα ἐφ᾽ ὧν αὐτὸς ζῶν διάκειται, καὶ ταῖς δυνάμεσιν εὐρωστότατα καὶ ταῖς θερμασίαις εὐκρατότατα, καὶ τοῖς ὀργάνοις ὄντα συμμετρότατα, ὡς ἂν μήθ᾽ ὑγρότητι περιττῇ τεγγόμενα, μήθ᾽ ὑπὸ ξηρότητος αὐχμοῦντα, μήθ᾽ οἷον πεφρικότα τε καὶ πεπηγότα τῷ κρύει, μήθ᾽ οἷον ἐκλελυμένα τε καὶ παρειμένα τῷ θάλπει. ταῦτ᾽ ἄρα καὶ οἱ σφυγμοὶ μέγιστοί τε καὶ σφοδρότατοι γίνονται τοῖς ἄριστα κατεσκευασμένοις δηλονότι σώμασιν. Ὅτι γὰρ ἐπὶ τῶν τοιούτων αἱ περὶ τὰς ἡλικίας, καὶ ὥρας, καὶ χώρας, καὶ τὰ ἄλλα τὰ παραπλήσια, τροπαὶ τῶν σφυγμῶν ἐγράφησαν τοῖς ἰατροῖς αὐτάρκως, ἐν ἄλλοις τε καὶ τῷ δευτέρῳ τε περὶ σφυγμῶν διαγνώσεως ἐπιδέδεικται. ἀλλὰ καὶ τοῖς οὕτως ἔχουσιν οἱ σφυγμοὶ μεγάλοι καὶ σφοδροὶ γίνονται, διὰ τοῦ πρώτου δεδήλωται λόγου. εἰσὶ γὰρ οἰκεῖοι δυνάμεως ἐρρωμένης καὶ χρείας συμμέτρου, καὶ ὀργάνων κατὰ φύσιν ἐχόντων. ὡς εἴ γε τὰ τῆς χρείας ἦν ἀμετρότερα, οὐ μεγάλοι μόνον καὶ σφοδροὶ, ἀλλὰ καὶ ταχεῖς ἂν ἐγίνοντο. καὶ εἰ ἐπὶ πλέον ἄμετρα ὡς μὴ πληροῦσθαι πρὸς τῆς ἐνεργείας αὐτήν, εὐθὺς ἄν τις καὶ εἰς πυκνότητα μεταβολὴ προσεγίγνετο. ἀλλ᾽ ἐπεὶ τὰ τῆς χρείας ἔχει συμμέτρως, οὔτ᾽ εἰς τάχος οὔτ᾽ εἰς πυκνότητα γίνεταί τις τροπή. πρόσκειται δὲ τῷ λόγῳ τὸ, ὡς ἐν ὥραις, δεόντως. οὐ γὰρ ἁπλῶς μέγιστοι καὶ σφοδρότατοι τηνικαῦτα γίνονται, πολλῷ γὰρ αὐτῶν ἐν ταῖς φύσεσιν ἕτεροι σφοδρότεροί τε καὶ μείζους εὑρίσκονται, ἀλλ᾽ ὡς ταῖς ἄλλαις ὥραις παραβαλλόμενοι οἱ σφυγμοί, τοιοῦτοι γίνονται μεσοῦντος τοῦ ἦρος. θέρους μὲν γὰρ ἐπιτείνεταί μὲν τὰ τῆς χρείας, ἐκλύεται δὲ τὰ τῆς δυνάμεως. ὥστε διὰ μὲν ταύτην ἀφαιροῦσί τι τῆς εἰρημένης σφοδρότητος, ὡσαύτως δὲ καὶ τοῦ μεγέθους, ἀλλ᾽ ἔλαττον. ἡ γὰρ τῆς χρείας ἐπαύξις προστίθησί τι. διὰ ταύτην δέ τι καὶ τῷ τάχει καὶ τῇ πυκνότητι πρόσεισιν ἀξιόλογον. χειμῶνος δ᾽ αὖ πάλιν τἀναντία, ἢ τοῦ θέρους ἐστὶν, ἰσχυροτέρα μὲν ἡ δύναμις, πλὴν οὐκ εἰς τοσοῦτον εἰς ὅσον ἦρος, ἐκλέλυται δὲ καὶ ἡ χρεία τῆς τῶν σφυγμῶν γενέσεως. ὅθεν ἀμυδροὶ μὲν μᾶλλον ἢ τοῦ ἦρος, σφοδροὶ δὲ μᾶλλον ἢ τοῦ θέρους, οἱ ἐν τῷ χειμῶνι σφυγμοί, μέσοι πως ὄντες ἀμφοτέρων, τῶν ὡρῶν, ὅτι καὶ ἡ δύναμις ἐν τῷ μέσῳ, ἱκανῶς μέν τοι μικροί, διὰ τὸ καὶ τὴν δύναμιν ἀπολείπεσθαί τι τῆς ἄκρας εὐρωστίας καὶ τὴν χρείαν ἀξιολόγως ἐκλελύσθαι· διὰ δὲ τὴν αὐτὴν ταύτην ἔκλυσιν, καὶ βραδεῖς, καὶ ἀραιοί. μεμνῆσθαι δὲ χρὴ πάλιν κἀνταῦθα τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων, ἃ δι᾽ ἑτέρων ἐξηγησάμεθα. χρεία γὰρ αὐτῶν ἐστιν ἐπί τε τῶν κατὰ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τὰς χώρας, καὶ τὰς καταστάσεις, καὶ πάντα τὰ τοιαῦτα μεταβολῶν ἵνα μή τις ἐναντίον με λέγειν αὐτῷ νομίσῃ. οὐδὲ γὰρ ἐκεῖνος ἁπλῶς εἶπε τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ θερμὸν, ἀλλὰ τὸ ἔμφυτον προσέθηκεν, ὡς ἂν ἕτερον εἰδὼς θερμὸν ἐπίκτητον, ᾧ πλεονεκτοῦσιν οἱ ἀκμάζοντες· εὔκρατον μὲν γὰρ τὸ ἔμφυτον θερμὸν, ἄκρατον δὲ καὶ οἷον πυρῶδες ἤδη τὸ ἐπίκτητον. οὕτω δὲ καὶ αἱ κοιλίαι φησὶ χειμῶνος καὶ ἦρος θερμόταται φύσει. οὐχ ἁπλῶς οὖν οὐδὲ αὗται θερμόταται, ἀλλὰ τῷ ἐμφύτῳ θερμῷ. ἐν δὲ τῷ θέρει τούτου μὲν ἥκιστα μετέχουσι, κρατεῖ δ᾽ ἐν αὐταῖς τὸ ἐπίκτητόν τε καὶ αὐχμῶδες θερμὸν, ὃ συντήκει μᾶλλον, ἢ τρέφει τὸ σῶμα. καὶ τὰς ἐνεργείας μὴ ὅτι κρείττους, ἀλλ᾽ οὐδ᾽ ὁμοίας ἐργάζεται ταῖς ἐπὶ τοῦ συμμέτρου γινομέναις. ταῦτ᾽ οὖν μεμνημένοις τοῖς ἀναγινώσκουσιν, οὔτ᾽ ἐν τοῖς παροῦσι λόγοις, οὔτ᾽ ἐν τοῖς ἔπειτα δόξει τις εἶναι πρὸς Ἱπποκράτην διαφωνία. ἑξῆς δὲ περὶ τῶν χωρῶν τε καὶ καταστάσεων γέγραπται τοῖς εἰσαγομένοις. καὶ ἔστιν ὁ λόγος σαφὴς ἐκ τῶν ἤδη προειρημένων, καὶ τὴν αἰτίαν ἔχων γνωριμωτάτην. ὥστε αὐτὴν μόνην παραγράψω τὴν ῥῆσιν. ἔστι δὲ ἥδε. Παρὰ δὲ τὰς χώρας ὡσαύτως ταῖς ὥραις ἐν μὲν ταῖς ἄγαν θερμαῖς οἷον μέσου θέρους. ἐν δὲ ταῖς ἄγαν ψυχραῖς οἷον χειμῶνος. ἐν δὲ ταῖς εὐκράτοις ἦρος. ἀνάλογον δὲ καὶ ταῖς μεταξύ. καὶ τῶν ἄλλων δὲ καταστάσεων τοῦ περιέχοντος ἡμᾶς ἀέρος, αἱ μὲν, θερμαὶ, ταῖς θερμαῖς ὥραις, αἱ δὲ ψυχραὶ, ταῖς ψυχραῖς. αἱ δὲ μέσαι, ταῖς μέσαις τοῦ ἦρος ἐοίκασιν. Ἐν δὲ τῷ κύειν οἱ σφυγμοὶ μείζονες καὶ πυκνότεροι καὶ ὠκύτεροι γίνονται. τὰ δ᾽ ἄλλα φυλάττουσιν.

Ἐπὶ τῶν κυουσῶν οὐδὲν παρήλλακται τῶν πρόσθεν ἢ τὰ τῆς χρείας. ἦλις δ᾽ ἂν ἤδε ἢ πάντως ἐπιτείνεταί τε καὶ προσαύξεται, μηκέτι τῆς γυναικὸς ἑαυτῇ μόνον ἀναπνεῖν τε καὶ σφύζειν, ἀλλὰ καὶ τῶν κυουμένων δεομένης. ὡς εὐλόγως ὠκύτεροι μὲν, καὶ μείζονες ἔσονται, καὶ πυκνότεροι. οὐ μὴν σφοδρότεροί γε ἢ ἀμυδρότεροι, ἢ σκληρότεροι, ἢ μαλακώτεροι, κατ᾽ αὐτόν γε τὸν τοῦ κύειν λόγον. οὐδὲ γὰρ ὅσον ἐπὶ τούτῳ τὰ τῆς δυνάμεως, ἢ τῶν ὀργάνων ταῖς κυούσαις ὑπαλλάττεται. Εἴη δ᾽ ἂν, εἴπερ τι ἄλλο, καὶ ὕπνοι κατὰ φύσιν. τρέπουσι δὲ καὶ οὗτοι τοὺς σφυγμοὺς, ἀρχόμενοι μὲν μικροτέρους καὶ ἀμυδροτέρους καὶ βραδυτέρους καὶ ἀραιοτέρους ἐργαζόμενοι, προϊόντες δὲ βραδυτῆτα ἐπιτείνουσι καὶ ἀραιότητα καὶ μάλιστα μετὰ τροφήν. μείζους δὲ γίνονται

καὶ σφοδρότεροι. χρονίσαντες δὲ πάλιν τρέπονται εἰς ἀμυδρότητα, φυλάττουσι δὲ βραδυτῆτα καὶ ἀραιότητα. Τίς μὲν ἡ αἰτία δι᾽ ἣν ἐν τοῖς ὕπνοις αἱ πέψεις ἀμείνους, οὐ τῶν κατὰ γαστέρα μόνον, ἀλλὰ καὶ τῶν κατὰ τὰς φλέβας τε καὶ ἀρτηρίας, καὶ πᾶσαν τοῦ ζώου τὴν ἕξιν, οὐ τοῦ παρόντος καιροῦ διελθεῖν. οὐδὲ γὰρ ὡμολόγηται πᾶσι τοῖς ἰατροῖς περὶ τῆς αἰτίας, ἥ τις δ᾽ ἂν ᾖ. τοῦτο δ᾽ οὖν ἤδη καθόλου περὶ αὐτοῖς ἀποφαινόμεθα, ὡς ἡ δύναμις ἡ τὰς πέψεις ἐργαζομένη, εἴσω μᾶλλον ἑαυτὴν καὶ πρὸς τὸ βάθος ἐπιστρέφει κατὰ τοὺς ὕπνους. διά γε οὖν τὴν εἴσω κίνησιν, καὶ ὅτι περὶ τὴν ὕλην ἐνεργεῖ, τὸ μὲν πρῶτον οἷον ἀῤῥωστοτέρα καὶ βεβαρημένη γίνεται, μικρὸν δὲ ὕστερον ἀπολαύσασα τῆς τροφῆς, ἧς κατεργάζεται, ῥώννυταί τε αὕτη καὶ τὸ θερμὸν αὐξάνει τὸ ἐν τῷ ζώῳ, ὥσπερ γε καὶ οἱ τὰ ψυχρὰ σιτία προσενεγκάμενοι, παραχρῆμα μὲν ψυχροτέρων ἑαυτῶν αἰσθάνονται, καὶ πολλοί γε αὐτῶν, καὶ φρίττουσι καὶ ῥιγοῦσι φανερῶς, μικρὸν δὲ ὕστερον θερμότεροι γίνονται. εἰ μὲν δὴ τὸ ἔμφυτον θερμὸν ἐστὶ τὸ πέττον τὰς τροφὰς, καὶ τούτου κρατοῦσι κινήσεις, ὡς Ἱπποκράτης ὑπελάμβανεν, αἱ μὲν ἔξω τὴν ἐγρήγορσιν, αἱ δ᾽ εἴσω τὸν ὕπνον ἐργάζονται, ῥᾷστ᾽ ἂν ἡμῖν φυσιολογεῖτο τὰ κατὰ τὰς ἐν τοῖς ὕπνοις τῶν σφυγμῶν ἀλλοιώσεις. εἰ δ᾽ ἄλλη τις δύναμις ἐστὶν, ταύτης δημιουργὸς, ἀλλὰ περί γε δεδεῖχθαι συμπάσχειν ἀλλήλοις ἁπάσας τὰς διοικούσας τὸ ζῶον δυνάμεις οὐδὲν θαυμαστὸν, οὐδὲ τὴν φυσικὴν ταύτην δύναμιν συνδιατίθεσθαι πως ἐκείνῃ. ἀλλ᾽ εἰ τοῦθ᾽ ἅπαξ συγχωρηθείη, τὸ, ῥώννυσθαι καὶ αὖθις χείρω γίνεσθαι τὴν τοὺς σφυγμοὺς ἐργαζομένην δύναμιν, εὔπορος ὁ τῆς αἰτίας λογισμός. ἐν μὲν γὰρ ταῖς ἀρχαῖς τῶν ὕπνων βαρυνομένης τε καὶ χεῖρον γινομένης αὐτῆς, μικροτέρους καὶ ἀμυδροτέρους εὔλογον γίνεσθαι τοὺς σφυγμοὺς μετ᾽ ὀλίγον μέν τοι ῥωσθείσης, τἀναντία μείζονάς τε καὶ σφοδροτέρους. τί δήποτ᾽ οὖν καὶ βραδύτεροι καὶ ἀραιότεροι γίνονται. Ἐρασίστρατος μὲν φησι διὰ τὴν ἠρεμίαν τῶν κατὰ προαίρεσιν κινήσεων, ἣν καὶ τοῦτο πέττειν καλῶς, οὐκ αὐτοὺς τοὺς ὕπνους αἰτιᾶται. Ἱπποκράτης δὲ καὶ ὅσοι τὸ θερμὸν εἴσω συνδύειν ἐν τοῖς ὕπνοις φασὶ, σχεδὸν δ᾽ εἰσὶν ἁπάντων ἰατρῶν τε καὶ φιλοσόφων οἱ δοκιμώτατοι, ταῖς τούτου μειώσεσί τε καὶ αὐξήσεσι καὶ διαφορούσαις κινήσεσιν, ἀνοίσουσι τὰς αἰτίας. ἔλαττον μὲν γὰρ ἑαυτοῦ γίνεσθαι καὶ οἷον καταπνίγεσθαι φήσουσιν, ἐμπεσὸν ἀθρόως εἰς τὸ πλῆθος, τῆς ἐντὸς ὕλης, ὥσπερ γε καὶ τὸ πῦρ, ὅταν εἰς τι πλῆθος ξύλων σεσωρευμένων ἐμπέσῃ. ὥσπερ δὲ αὐτὸ τοῦτο τὸ πῦρ, ὅταν ἐγκρατὲς τῆς ὕλης γένηται, ῥώννυταί τε καὶ εἰς μέγεθος αἴρεται, οὕτω καὶ τὸ ἔμφυτον θερμὸν, ὅταν ἀπολαύσῃ τῆς τροφῆς, κατεργασάμενον τοὺς χυμοὺς οἷς ἐνέπεσεν, ἑαυτοῦ τε πλέον ἤδη καὶ ῥωμαλεώτερον γίνεται. ἀλλ᾽ οὐδέπω βραδυτῆτος οὐδ᾽ ἀραιότητος αἰτίας εἰρήκαμεν. ἄλλως δ᾽ ἔχει τὸ ἀληθὲς, ἐμοὶ γοῦν κριτῇ. ἐπειδὴ τοῖς κοιμωμένοις ἡ μὲν ἔξω κίνησις, τοῦ θερμοῦ μεμείωται, κρατεῖ δ᾽ ἡ εἴσω, τὴν μὲν συστολὴν εὔλογον γίνεσθαι θάττονα, τὴν δὲ διαστολὴν βραδυτέραν. ἀτὰρ οὖν καὶ φαίνεται γινόμενον ὧδε, καὶ ὅσοι μὴ παρακολουθοῦσιν τῇ συστολῇ τῶν ἀρτηριῶν, ἀλλ᾽ ἐκ μόνης τῆς διαστολῆς τὰς διαγνώσεις ποιοῦνται, βραδὺν ἁπλῶς ἀποφαίνονται τῶν κοιμωμένων τὸν σφυγμόν. ὁ δ᾽ οὐκ ἔστιν οὐ βραδὺς ἁπλῶς, ἀλλὰ κατὰ θάτερον μέρος τῶν κινήσεων βραδὺς, ὅλος δὲ οὐδὲ μᾶλλον βραδὺς, ἢ ταχύς. οὐ γὰρ ἡ μὲν διαστολὴ βραδεῖα, ταχεῖα δ᾽ ἡ συστολὴ, τούτων οὐδέτερον, ἁπλῶς χρὴ καλεῖν, οὔτε ταχὺν, οὔτε βραδὺν, ἀλλὰ διοριζόμενον τοῖς μορίοις, ὥσπερ καὶ Ἱπποκράτης ἐπὶ τῆς ἀναπνοῆς ἐποίει. καὶ μὲν δὴ καὶ μικρὸς κατὰ θάτερον οὐ τῶν ἑαυτοῦ μορίων τοῖς κοιμωμένοις ὁ σφυγμός. ἐπὶ πλεῖστον μὲν γὰρ καὶ συστέλλεται, διαστέλλεται δ᾽ οὐκ ἐπὶ πλεῖστον, ἀλλ᾽ ὅσον ἀνάγκη τὴν ἐναντίαν ἀποδοῦναι κίνησιν, τῇ συστολῇ. κινεῖται μὲν οὖν κατ᾽ ἴσον διαστήματος ἡ ἀρτηρία διὰ παντὸς ἔν τε τῷ συστέλλεσθαι καὶ τῷ διαστέλλεσθαι, πλὴν εἰ μὴ μεταβάλλοι ποτὲ ἐξαίφνης τὸν ῥυθμὸν, ἀλλὰ τοῖς ὅροις ὅθεν τε ἄρχεται, καὶ οἷς τελευτᾷ διαλλάττει. πλεονεκτούσης μὲν γὰρ τῆς εἴσω κινήσεως, εἰς ἐσχάτην δ᾽ ἐρχομένης σύμπτωσιν, ἐντεῦθεν τε πάλιν ἀρχομένης τῆς ἔξω, τὴν διαστολὴν οὐκέτ᾽ ἐπὶ πλεῖστον ποιεῖται. κρατούσης δ᾽ αὖ πάλιν τῆς ἐκτὸς κινήσεως, ἀσθενοῦς δ᾽ οὔσης τῆς ἐναντίας, οὐκ ἔτι μὲν ἀπὸ τῆς ἐσχάτης ἄρχεται συμπτώσεως ἐν τῷ διαστέλλεσθαι, τελευτᾷ δ᾽ εἰς ἔσχατον μέγεθος. ἐντεῦθεν δὲ πάλιν ὑπαρξαμένης τῆς εἴσω κινήσεως, τὴν τελευτὴν τῆς συστολῆς, ὅθεν περ ἤρξατο διαστέλλεσθαι ποιεῖται. καὶ οὕτως οἷον δίαυλόν τινα τῶν κινήσεων ἀεὶ ποιουμένη, ποτὲ μὲν εἴσω μᾶλλον, ποτὲ δὲ ἔξω φέρεται. τοῖς οὖν μόνοις αἰσθανομένοις τῆς διαστολῆς, ἀναγκαῖον ἐν τοῖς ὕπνοις τὸν σφυγμὸν φαίνεσθαι καὶ μικρὸν καὶ βραδὺν. ἀναγκαῖον δὲ τοῖς αὐτοῖς τούτοις ὡς ἂν καὶ ἀγυμναστοτέροις οὖσιν περὶ τὰς διαγνώσεις, ὀλίγον μέν τοι φαίνεσθαι τῆς κατὰ τὴν διαστολὴν κινήσεως, λανθάνειν δὲ τὸ πλεῖστον. ἐπεὶ γὰρ τῆς οὕτως κινουμένης ἀρτηρίας, οὐδ᾽ οἱ σφόδρα γεγυμνασμένοι τοῖς ἔσω πέρασι τῶν κινήσεων ἀκολουθοῦσιν, ἀλλὰ καὶ τῆς συστολῆς καὶ αὐτοὺς ἡ τελευτὴ λανθάνει, καὶ τῆς διαστολῆς ἡ ἀρχή. ὥστε τούς γε ἀγυμνάστους ἀμήχανον ὅσον εἰκὸς ἐκφεύγειν τῆς κινήσεως, τὴν μὲν συστολὴν σχεδὸν ἅπασαν, μέρος δ᾽ οὐκ ἐλάχιστον οὐδὲ τῆς διαστολῆς. ὅσον δ᾽ αὖ ἐκφύγῃ τῆς κινήσεως ἀναίσθητον τοῖς ἁπτομένοις γενόμενον, † τοῦτο τῷ χρόνῳ τῆς ἡσυχίας προσγενόμενον, ἀραιὸν ποιεῖ φαίνεσθαι τὸν σφυγμὸν, ἐπεὶ πρός γε τὴν ἀλήθειαν αὐτὴν οὐδαμῶς ἀραιότερος ὁ τῶν κοιμωμένων ἐστὶ σφυγμὸς, ὥσπερ οὐδ᾽ ἡ ἀναπνοή. ἀλλὰ σαφῶς μὲν κἀπὶ ταύτης ἡ ἐκπνοὴ πλεονεκτεῖ μετ᾽ ἐκφυσήσεως γινομένη, τῆς δ᾽ ἡσυχίας ὁ χρόνος οὐδὲν προσαυξάνεται. εἴρηταί μοι σχεδὸν ἤδη τὸ σύμπαν ὕπνων πέρι. σαφηνείας δ᾽ ἕνεκα προσκείσεται τὸ ὑπόλοιπον. ὁ σφυγμὸς ὁ τῶν κοιμωμένων κατὰ μὲν τὴν ἐκτὸς ἠρεμίαν, ὅμοιος ἐστὶ τοῖς τῶν ἐγρηγορότων. κατὰ δὲ τὴν ἐντὸς, ἱκανὸν φαίνεται διαλλάττειν, οὐκέτ᾽ ἀκολουθούσης ἡμῶν τῆς αἰσθήσεως τοῖς ἔσω πέρασι τῶν κινήσεων. ἀλλὰ καὶ μικρότερος ἐστὶ καὶ ἀμυδρότερος, ἢ ὁ τῶν ἐγρηγορότων, καὶ μάλιστα κατ᾽ ἀρχὰς εὐθὺς, ὕστερον γὰρ αὐτῷ προσέρχεταί τι μεγέθους τε καὶ σφοδρότητος. ἀλλὰ καὶ βραδὺς μὲν ἐν ταῖς διαστολαῖς, ταχὺς δὲ ἐν ταῖς συστολαῖς ἐστι. καὶ ὅλως εἴσω μᾶλλον κινεῖται. ὥστε καὶ σφοδρὸν αὐτὸν ἐν ταῖς συστολαῖς εἰπὼν, οὐκ ἂν ἁμάρτοις. καὶ γὰρ οὖν καὶ τὸ περίττωμα τῆς τῶν χυμῶν ἐργασίας τὸ οἷον αἰθαλῶδες ἐκκρίνειν ἐφίεται σφοδρότερον ἡ ἀρτηρία κατὰ τοὺς ὕπνους, ὡς ἂν καὶ πλέον τότε γινόμενον. ὥστε καὶ διὰ τοῦτο τὰ τῆς εἴσω κινήσεως πλεονεκτεῖ. ὅταν μὲν τοι καταπαύσηται μὲν ἡ ἐργασία τῶν χυμῶν, μένῃ δ᾽ ὑπνώττων ὁ ἄνθρωπος, ἄμετρος ἂν δήπουθεν ὁ τοιοῦτος ὕπνος

† αἱ τῶν

τος ὕπνος εἴη, μικρότεραι δ᾽ αἱ κινήσεις ἑκάτεραι, καὶ βραδεῖαι, καὶ ἄῤῥωστοι καὶ ἀραιαὶ γίνονται κατὰ λόγον. ὕπνος γὰρ ὡς καὶ τῶν ποιητῶν ἐστιν ἀκοῦσαι λεγόντων, ἀδελφός ἐστι θανάτου. καὶ ἐν αὐτῷ κοινὸν ὑπάρχει μόνον πρὸς τοὺς ζῶντας, ἡ περὶ τὴν τροφὴν ἐργασία, τὰ δ᾽ ἄλλα πάντα τοῖς ἀποθνήσκουσιν ὅμοια, μὴ βλέπειν, μὴ ἀκούειν, μὴ φρονεῖν, μὴ νοεῖν, ἀναίσθητον, ἀκίνητον, ἀλόγιστον, ἐῤῥίφθαι. ἂν οὖν τοίνυν, ὃ κοινὸν ἔτι μόνον ἔχει πρὸς τοὺς ζῶντας ἀπόλλυται, τί ἄλλο ἢ ὀρθῶς ἐπὶ θάνατον ὁδὸς ἂν λέγοιτο. καὶ γὰρ οὖν καὶ ὅτι πρώτη μέν ἐστι καὶ κατὰ φύσιν ἡ ἔξω τε καὶ ἀφ᾽ ἑαυτοῦ κίνησις τοῦ θερμοῦ, δευτέρα δ᾽ ἡ εἴσω τε καὶ εἰς ἑαυτό, διὰ τὴν τροφὴν γινομένη, πολλάκις ἤδη φθάνομεν εἰρηκέναι. ὅταν οὖν μήτε περὶ τὴν τροφὴν ἔτι πραγματεύηται μηδέν, μήτε τῆς ἔξω οἰκείας ἀναμιμνήσκηται κινήσεως, ἀλλ᾽ ἀργὸν ἑκατέρωθεν ᾖ, θανάτῳ δηλονότι πελάσει. καὶ λύεται μὲν ὁ τόνος αὐτοῦ, καὶ διὰ τοῦτο ἀμυδρὸς ὁ σφυγμὸς γίνεται. καταλύεται δ᾽ ἡ κίνησις, καὶ διὰ τοῦτο μικρὸς καὶ βραδὺς καὶ ἀραιός. κἂν ἐπὶ πλέον γε προέλθοι μικρότητός τε καὶ βραδυτῆτος καὶ ἀραιότητος, ἐγγὺς ἂν ἥκῃ τοῦ μηδόλως κινεῖσθαι. τοῦτο δ᾽ ἦν ὁ θάνατος. οὕτω μὲν ἔχει πάντα τὰ κατὰ τοὺς ὕπνους. εἰ δ᾽ Ἀρχιγένης μὲν πρὸς τοῖς εἰρημένοις καὶ πληρεστάτους φησὶ φαίνεσθαι τοὺς σφυγμούς, Ἀπολλωνίδης δὲ κενοτάτους, οὔ μοι δοκεῖ μηκύνειν ἔτι δεῖν ἡμᾶς περί γε τῶν τοιούτων, ἱκανῶς ἀποδεδειχότας ἐν ταῖς ἔμπροσθεν πραγματείαις, ὡς μάτην τοῦτο τὸ γένος τῶν σφυγμῶν οἱ μεθ᾽ Ἡρόφιλον ἐπεισήγαγον, ὥσπερ καὶ ἄλλα πολλά. καὶ θαυμαστὸν οὐδὲν ἐν πράγματι μηδόλως διαγινωσκομένῳ τἀναντία λέγειν Ἀρχιγένει τε καὶ Ἀπολλωνίδῃ, οὐ γὰρ αἰσθήσεως κοινῆς τὸ πάθος ἀλλὰ φαντασμάτων ἰδίων ἑκάτερος ἔγραψεν.

« Τῶν δ᾽ ἐξ ὕπνου μεταπεπτωκότων εἰς ἐγρήγορσιν, ἐν μὲν τῷ παραχρῆμα, μεγάλοι, καὶ σφοδροί, καὶ ταχεῖς, καὶ πυκνοί, καί τινα κλόνον ἔχοντες, μετ᾽ ὀλίγον δ᾽ εἰς συμμετρίαν ἔρχονται.

Οὐχ ὡσαύτως εἰς ὕπνον ἐξ ἐγρηγόρσεως, κἀξ ὕπνου πάλιν εἰς ἐγρήγορσιν μεταπίπτομεν, ἀλλὰ τὸ μὲν κατὰ βραχὺ πάντως. τὸ δ᾽ ἀθρόως ὡς τὸ πολὺ γίνεται. καὶ γὰρ ἐνύπνια ταραχώδη, καὶ φωνήσας τις καὶ ψοφήσας, καὶ ἁψάμενος τοῦ κοιμωμένου, ταχεῖαν τε κἀξαίφνης εἰργάσατο τὴν μετάπτωσιν. τοιγάρτοι καὶ οἱ προγεγραμμένοι σφυγμοὶ τοῖς μὲν οὕτως μεταπίπτουσιν ἐναργέστατα φαίνονται. οὐ μὴν οὐδ᾽ ἐπὶ τῶν ἄλλων, ἐφ᾽ ὅσων αὐτῇ πρὸς τοὐκτὸς κινήσει τῆς ἐμφύτου θερμασίας ἡ ἐγρήγορσις ἐγένετο, λανθάνει τοὺς γεγυμνασμένους. ὁ μὲν γὰρ ὕπνος γίνεται τῆς ἐμφύτου θερμασίας ἤτοι διὰ κάματόν τινα, καὶ ξηρότητα πλείονα πρὸς τὴν τροφὴν ἐπεστραφείσης, ἢ δι᾽ ἀμετρίαν ὑγρότητος ἀδυνατούσης ἐκτὸς ἀποτείνεσθαι. ἔστι δ᾽ ὁ μὲν πρότερος ὑγιεινός τε καὶ κατὰ φύσιν. ὁ δὲ δεύτερος ῥηθείς, οἷος ὁ ἐν κώμασί τε καὶ ληθάργοις, ᾧ πάλιν ἀντίκειται ἡ ἐν φρενίτισί τε καὶ ταῖς παρὰ φύσιν ἀγρυπνίαις ἁπάσαις ἐγρήγορσις, ὑπεξηρανθείσης τε τῆς ἐμφύτου θερμασίας τηνικαῦτα, καὶ οἷον ἐκπυρωθείσης, καὶ διὰ τοῦτο καὶ ἐκτὸς ἀμέτρως κινουμένης. ἀλλὰ τὰς μὲν παρὰ φύσιν διαθέσεις, ἃς οὐδ᾽ ἐγρήγορσιν, οὐδ᾽ ὕπνον, ἀλλ᾽ ἀγρυπνίαν καὶ κῶμα κάλλιον ὀνομάζειν ἐστίν, ἐατέον ἔν γε τῷ παρόντι. τῶν δ᾽ ὕπνων τῶν κατὰ φύσιν, ὥσπερ οὖν καὶ τῶν ἐγρηγόρσεων ἡ γένεσις, οἵα πρόσθεν εἴρηται, δεομένου μὲν ἅμα καὶ ἀθροοῦντος ὑγρότητος διαψιλοῦς τοῦ κατὰ φύσιν ἐν τοῖς ζώοις θερμοῦ, καὶ διὰ τοῦτο συνιόντος εἰς τὰ σπλάγχνα καὶ τὴν γαστέρα τῶν ὕπνων γινομένων, αὐτάρκως δ᾽ ἀπολαύσαντος ταύτης, ὡς ἤδη τὴν κατὰ φύσιν ἔχειν ποιότητα, τῆς ἐγρηγόρσεως ἀποτελουμένης, ἐν ᾧ δὴ καιρῷ τὰς μεταπτώσεις γινομένας ἀναγκαῖόν ἐστιν ἔχειν τι βίαιον. ἐν γὰρ τῇ κατεργασίᾳ τῆς τροφῆς ὑγρότητος ἀτμώδους πολλῆς ἀποτρεφομένης κατά τε τὸ θερμὸν αὐτό, καὶ τοὺς πόρους, καὶ πάντα τὰ μεταξὺ σώματα μέχρι τῆς ἐκτὸς ἐπιφανείας, οὐκέτ᾽ εὐπετὴς ὁμοίως ἡ ἐπὶ τὰ ἐκτὸς κίνησις ἐστὶ τοῦ θερμοῦ. δεῖται τοίνυν ἵνα ταύτην ἀπώσηταί τε καὶ διασείσηται καὶ τοὺς πόρους ἐκκαθάρῃ καὶ πάντῃ πόριμον ἑαυτῷ τὸ σῶμα παράσχῃ, σφοδροτέρων καὶ βιαίων τῶν πρώτων κινήσεων. ὅταν δ᾽ εὔπνουν ἤδη τοῦτο καὶ καθαρὸν ἔχῃ, τῆς κατὰ φύσιν ἀναμιμνήσκεται συμμετρίας. διὰ ταῦτα τοίνυν ἐν μὲν τῷ παραχρῆμα τοῖς ἀπεγερθεῖσιν ἐκ τῶν ὕπνων οἱ σφυγμοὶ μεγάλοι καὶ σφοδροὶ καὶ ταχεῖς γίνονται, καὶ προσέτι βραχύ τι κλόνου προσλαβόντες διὰ τὸ βίαιον τῆς κινήσεως. ὀλίγῳ δ᾽ ὕστερον εἰς τὴν κατὰ φύσιν ἐπανέρχονται συμμετρίαν. ἑξῆς δὲ τούτων περὶ τῶν ἐπικτήτων ἕξεων τοῦ σώματος γέγραπται τοῖς εἰσαγομένοις, ἕξεις μὲν αὐτὰς ὀνομασάντων ἡμῶν, ὥσπερ καὶ Ἱπποκράτης ἐν τῷ περὶ τῶν ἄρθρων εἰπών, διαφέρει μέντοι τι καὶ ἕξις σώματος, σφυγμοὺς δ᾽ ἐφ᾽ ἑκατέρας αὐτῶν γραψάντων ἡμῶν τοὺς ἐναργῶς φαινομένους, ὧν τὰς αἰτίας οὐ χαλεπὸν ἂν εἴη νῦν προσθεῖναι τοῖς εἰρημένοις †ἑπομένου. ἃ γὰρ ἐπὶ τῶν φυσικῶν διαφορῶν τοῦ σώματος, ταῦτα κἀπὶ τῶν ἐπικτήτων ῥηθήσεται. ὥστ᾽ οὐ χρὴ μηκύνειν, ἀλλὰ μόνον αὐτὴν γράψαι τὴν ἐκεῖθεν ῥῆσιν ὑπομνήσεως ἕνεκεν τῶν πραγμάτων ἔχουσαν ὧδε.

† al. ἑπομένων

« Αἱ δ᾽ ἐπίκτητοι ἕξεις τοῦ σώματος ὁμοίως ταῖς φυσικαῖς τρέπουσι τοὺς σφυγμούς. ὁ μὲν γὰρ ἰσχνὸς φύσει γενόμενος εὔσαρκος, ἀνάλογον τῷ τοιούτῳ φύσει τὸν σφυγμὸν ἴσχει. ὁ δ᾽ εὔσαρκος ἰσχνὸς γινόμενος, τοῖς ἰσχνοῖς φύσει παραπλήσιον. δῆλον δ᾽ ὅτι χωρὶς τοῦ τὴν δύναμιν ὑπαλλαχθῆναι, τὴν κατ᾽ ἰσχνότητα, καὶ εὐσαρκίαν διαφορὰν ἐξετάζειν χρή. καὶ ἐπὶ τῶν ἄλλων δὲ ἁπάντων ὡσαύτως. ὥς τε καθ᾽ ἓν μόνον ὑπὲρ οὗ τὸν λόγον ἑκάστοτε ποιούμεθα τὴν τροπὴν γεγονέναι. ἅπερ δ᾽ ἐπὶ τῶν εὐσάρκων εἴρηται, ταῦτα καὶ ἐπὶ τῶν παχέων εἰρῆσθαι χρὴ δοκεῖν ἐπιτεταμένα μᾶλλον.

οὕτω μὲν ἐν ἐκείνοις περὶ τῶν ἕξεων τοῦ σώματος διώρισται. πρόσκειται δὲ καὶ περὶ τῶν κράσεων ὡσαύτως. καὶ μόνον ἀρέσκει κἀπὶ τούτων παραγράψαι τὴν ῥῆσιν ὑπομνήσεως ἕνεκα τόνδε τὸν τρόπον ἔχουσαν.

Καὶ αἱ κράσεις δὲ τοῦ σώματος αἱ ἐπίκτητοι ταῖς φυσικαῖς κράσεσιν ἀνάλογον τρέπουσι τοὺς σφυγμούς.

Καὶ δηλονότι κἀνταῦθα, καθὰ καὶ περὶ τῶν ὡρῶν εἴπομεν, ὡς αἱ μὲν θερμαὶ ταῖς θερμαῖς, αἱ δὲ ψυχραὶ ταῖς ψυχραῖς ἐοικότας ἐργάζονται σφυγμούς. ἡ γὰρ καθ᾽ ὑγρότητα καὶ ξηρότητα διαφορὰ τῶν κράσεων ἐν ταῖς ἕξεσι τοῦ σώματος περιείχετο. ταῖς μὲν γὰρ ξηραῖς αἱ ἰσχνότητες, ταῖς δ᾽ ὑγραῖς αἱ παχύτητες οἰκεῖαι. δέδεικται δὲ ταῦτα ἐν τοῖς περὶ κράσεων. ὥσπερ γε καὶ ὅτι σκληρότης μὲν τοῦ σώματος ταῖς ξηραῖς κράσεσιν, μαλακότης δὲ ταῖς ὑγραῖς ἕπεται. καὶ διὰ τοῦτο καὶ ὁ σφυγμὸς ταῖς μέν, σκληρός. ταῖς δέ, μαλακός.

« Ἑξῆς δ᾽ ἂν εἴη λέγειν τὰς ἄλλας τροπὰς τὰς ἐπὶ τοῖς οὐ φύσει γινομένας αἰτίοις. γυμνάσια κατ᾽ ἀρχὰς μὲν καὶ μέχρι τοῦ μετρίου σφοδρούς, καὶ μεγάλους, καὶ ταχεῖς, καὶ πυκνοὺς τοὺς σφυγμοὺς ἐργάζεται. πολλὰ δὲ καὶ ὑπὲρ τὴν δύναμιν

τοῦ πονοῦντος, μικρούς, καὶ ἀμυδρούς, καὶ ταχεῖς, καὶ πυκνοὺς ἐσχάτως. ὑπερβαλλόντως δ' ἄμετρα, καὶ ὡς τῆς μόγις ἔτι κινεῖσθαι δύνασθαι, καὶ διὰ μακρῶν ἀναπαύσεων, ἢ μηδόλως, ἀλλ' ἱκανῶς ἐκλελύσθαι, πάνυ μικρούς, καὶ ἀμυδρούς, καὶ βραδεῖς, καὶ ἀραιούς. εἰ δὲ εἰς διάλυσιν τῆς δυνάμεως καταστρέφοι, τοὺς ἐκείνης ἰδίους. εἰρήσεται δὲ μικρὸν ὕστερον ὁποίους διαλυομένη δύναμις ἐργάσεται σφυγμούς. Αὕτη μὲν ἡ ῥῆσις ἡ ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένη. προσκείσεται δὲ νῦν καὶ ἡ αἰτία. ἐν τοῖς γυμνασίοις, ἡ μὲν δύναμις ἅπαντι χρῆται τῷ τόνῳ, καὶ διὰ τοῦτο οἱ σφυγμοὶ σφοδροὶ γίνονται. τὰ δὲ τῆς χρείας αὐξάνεται, καὶ διὰ τοῦτο μεγάλοι καὶ ταχεῖς. καὶ ἐπειδὴ διχῶς αὐξάνεται, τῇ τε τοῦ πνεύματος δαπάνῃ, καὶ τῇ τῆς θερμασίας αὐξήσει, διὰ τοῦτο καὶ πυκνοὶ γίνονται μὴ πληρουμένης αὐτάρκως τῆς χρείας πρὸς τοῦ μεγέθους τε καὶ τοῦ τάχους αὐτῶν. τὰ δ' ὑπὲρ τὴν δύναμιν τοῦ γυμναζομένου, μικροὺς μὲν καὶ ἀμυδρούς, διὰ τὴν ταύτης ἀῤῥωστίαν, πυκνοὺς μὲν ἔτι διὰ τὴν τῆς χρείας ἔπειξιν, οὐ μὴν ταχίστους διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, ἀλλ' ἀντὶ τούτων πυκνοτάτους, καὶ παρ' ὅσον ἡ ἐνέργεια πάμπολυ τῆς χρείας ἀπολείπεται. ὅταν δ' ἐπὶ τοσοῦτόν τις ἀναγκάζηται πονεῖν, ὥστε μὴ μόνον ὑπὲρ τὴν δύναμιν εἶναι τοὺς πόνους, ἀλλὰ καὶ συνεχῶν τῶν μεταξὺ διαναπαύσεων δεῖσθαι, καταψύχεται μὲν ἐν τῷ τοιούτῳ τὸ σύμπαν σῶμα. οἱ σφυγμοὶ δὲ διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, ἀμυδροὶ καὶ μικροί. διὰ δὲ τὴν ψύξιν, οὔτ' ὠκεῖς, οὔτε πυκνοί. πρόδηλος γὰρ ὁ λογισμὸς τῷ μεμνημένῳ τῶν πρώτων. Λουτρὰ θερμὰ μέν, μεγάλους καὶ ταχεῖς καὶ πυκνοὺς καὶ σφοδρούς, ἔστ' ἂν ᾖ σύμμετρα. τὰ δ' ἄμετρα μικρούς τε καὶ ἀμυδρούς, ὠκεῖς δ' ἔτι καὶ πυκνούς. εἰ δ' ἐν τούτῳ μὴ παύσαντο, μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς καὶ ἀραιούς.

Ἐν τοῖς βαλανείοις ὅταν γε κατὰ καιρὸν παραλαμβάνηται, πάντως τις ὠφέλεια γίνεται τῷ σώματι. ἤτοι γὰρ κεκμηκότες, ἢ τεθερμασμένοι, ἢ ἐψυγμένοι, ἢ ἐξηρασμένοι, ἢ ἄσης τινός, ἢ ἀνωμάλου κράσεως αἰσθανόμενοι, ἢ πέψεως χρήζοντες, εἰς ταῦτα παραγινόμεθα. ἀλλ' ἐν τοῖς εἰρημένοις ἅπασι καιροῖς, εἰς εὐκρασίαν μὲν ἐπανέρχεται τὸ σῶμα, βελτίων δ' ἡ δύναμις γίνεται, πρόσκαιρος δέ τις αὐξάνεται θερμασία, καί τι διαφορεῖται τοῦ πνεύματος ἅμα τοῖς ἱδρῶσι. ὥστ' εὐλόγως τά γε σύμμετρα λουτρὰ τὰ θερμά, τοιαύτην τροπὴν ἐργάζεται σφυγμῶν, οἵαν ἀπεδείξαμεν γίνεσθαι τῆς τε δυνάμεως ὠφελουμένης καὶ τῆς χρείας αὐξανομένης. τὰ δ' ἄμετρα πρόδηλον, ὡς τὴν μὲν δύναμιν ἐκλύει, τὴν χρείαν δ' ἀμέτρως ἐπαύξει, καὶ διὰ τοῦτο πυκνοτάτους ἐργάζεται, τάχει δ' ὁμοίως τοῖς πρόσθεν, ὅταν γε μὴ εἰς ἔσχατον ἥκῃ καταπτώσεως ἡ δύναμις. οὕτω γὰρ ἂν οἱ μυρμηκίζοντες καλούμενοι γίνοιντο. εἰ δ' ἀμέτροις βαλανείοις χρησάμενοι παύσαιντο, καὶ μηκέτι λούοιντο, δῆλον ὅτι καὶ ἡ ἕξις κατέψυκται, καὶ ἡ δύναμις καταλέλυται. ὥστε καὶ ἡ τροπὴ τῶν σφυγμῶν τοιαύτη γένοιτ' ἄν, οἵαν ἐδείξαμεν ἐν τῷ πρώτῳ λόγῳ, δυνάμεως ἀῤῥωστίᾳ καὶ χρείας ἀκολουθεῖν ἐκλύσει. τοῦτο γὰρ ἐν τῷ παρόντι μόνον ἀρκέσει τὸ δεικνύναι, πῶς ἐξ ἑκάστου τῶν προηγουμένων τε καὶ προκαταρχόντων αἰτίων εἰς τὰ πρῶτα καὶ κυριώτατα καὶ συνεκτικὰ κληθέντα διικνεῖται ἡ τροπή. τὸ δ' ὅπως ἐπ' ἐκείνοις ἀνάγκη τοὺς σφυγμοὺς ἀλλοιοῦσθαι, διὰ τοῦ πρώτου δεδήλωται λόγου. Ψυχρὰ δὲ λουτρὰ παραχρῆμα μέν, μικροὺς καὶ ἀμυδροτέρους καὶ βραδεῖς καὶ ἀραιούς, εἰς ὕστερον δέ, οἵων ἂν ᾖ καὶ τύχῃ ἐργασάμενα. πάντως γὰρ ἢ ναρκοῖ σφᾶς ἢ ῥώσει. ναρκώσαντα μὲν οὖν καὶ καταψύξαντα, μικροὺς καὶ ἀμυδροὺς καὶ βραδεῖς καὶ ἀραιούς. ἐκθερμήναντα δὲ καὶ ῥώσαντα, μεγάλους μὲν καὶ σφοδρούς, τάχει δὲ καὶ πυκνότητι συμμέτρους. Τὰ ψυχρὰ λουτρὰ παραυτίκα μὲν ἐμψύχει πάντως, εἰς ὕστερον δὲ ἤτοι ῥώννυσιν, ἢ καταλύει τὴν δύναμιν μετὰ καταψύξεως. τοῦτο γάρ ἐστι τὸ ναρκοῦν. ὥστε καὶ αἱ τροπαὶ τῶν σφυγμῶν ἀνάλογον ταῖς εἰρημέναις αἰτίαις. ὅπερ δ' οὐκ οἷόν τ' ἦν προσδιορίσαι τοῖς εἰσαγομένοις, νῦν εἰρήσεται. ἡ ἔσω κίνησις τῶν ἀρτηριῶν ἐπὶ ταῖς ψυχρολουσίαις πλεονεκτεῖ τῆς ἔξω, ὡς ἂν καὶ τοῦ θερμοῦ ταύτῃ μᾶλλον ἐν τῷ παραυτίκα κινουμένου. καὶ εἰ δυνατὸν ἦν ἔσωθεν ἅψασθαι τῶν ἀρτηριῶν, πάντα τὰ τέως ἐν ταῖς διαστολαῖς φαινόμενα, νῦν ἀνεφάνη κατὰ τὰς συστολάς, τὸ μέγεθος, τὸ τάχος, ἡ σφοδρότης. ἐπεὶ δὲ τοῦτο ἀμήχανον, ἀπὸ τῶν ἐν ταῖς διαστολαῖς φαινομένων τοὺς σφυγμοὺς ὅλους οὕτως ὀνομάζομεν, μικροὺς μέν, ὅτι πολὺ μείων ἡ ἐν τοῖς τοιούτοις καιροῖς διαστολὴ τῆς ἔμπροσθεν. οὕτω δὲ καὶ βραδεῖς ὅτι καὶ ἡ κίνησις ἐκλέλυται σαφῶς. ἀλλὰ καὶ ἀραιούς, ὅτι καὶ οἱ ἄλλοι πάντες, ἐφ' ὧν ἡ ἔσω πλεονεκτεῖ κίνησις, ἐφαίνοντο τοιοῦτοι τοῖς τῆς συστολῆς οὐκ αἰσθανομένοις. καὶ ἡ αἰτία πρόσθεν εἴρηται. ἀμυδροὺς δὲ οὐχ ἁπλῶς εἴπομεν, ἀλλ' ἀμυδροτέρους ἐγράψαμεν, ἐνδεικνύμενοι διὰ τῆς λέξεως τὴν βραχύτητα τῆς εἰς τοῦτο μεταβολῆς. Σιτία πολλὰ μὲν ὥστε βαρῦναι τὴν δύναμιν, ἀνωμάλους τε καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζεται. Ἀρχιγένης δὲ φησὶν ὠκυτέρους πλέον ἢ πυκνοτέρους. τὰ δὲ σύμμετρα, μεγάλους καὶ ταχεῖς καὶ πυκνοὺς καὶ σφοδρούς. τὰ δ' ἐλάττω ἢ ὡς τρέφειν αὐτάρκως οὐχ ὁμοίως τοῖς συμμέτροις, ἀλλ' ἐλάττονά τε τὴν τροπὴν ἐργάζεται καὶ μέχρι χρόνου βραχέος. Καθ' ἕκαστον κεφάλαιον τῶν ἐν τῷδε τῷ γράμματι προβαλλομένων, ἐνὸν ἡμῖν πρῶτον μὲν τὰ τοῖς ἄλλοις ὑπὲρ αὐτῶν δόξαντα λέγειν, ἔπειθ' ὡς οὐκ ὀρθῶς ὑπέλαβον ἀντιλέγειν, οὐ ποιοῦμεν οὕτως, ἀλλ' εὐθὺς ἐπ' αὐτὸ τὸ δόκιμόν τε καὶ ἀληθὲς ἐρχόμεθα, τὸ μέγεθος τῆς πραγματείας, ὡς ἔνι μάλιστα, ἐπιτέμνειν σπεύδοντες. ὅπου γὰρ καὶ νῦν αὐτὴ καθ' ἑαυτήν ἐστι μακρά, τί χρὴ νομίζειν εἰ καὶ τὰς τῶν ἔμπροσθεν δόξας προσέλαβεν, μετὰ τῆς δεούσης ἀντιλογίας. ἆρ' οὐκ εἰς ἀπέραντόν τι μῆκος ἐκταθήσεται; ὅτῳ μέντοι καὶ σχολῆς τῆς πρὸς τὰ μαθήματα καιρός, καὶ προθυμία τὰς δόξας τῶν ἰατρῶν ἁπάσας ἀναλέγεσθαι, τούτῳ σαφῶς οἶδα τήνδε τὴν πραγματείαν ἐπιβάθραν τινὰ ἐσομένην εἰς τὸ καὶ καθ' ἑαυτὸν ἐξευρεῖν ὅπου μὲν ἀληθεύουσιν, ὅπη δὲ καὶ σφάλλονται. καὶ μέντοι καὶ ἡμῖν αὐτοῖς ἑτέρωθι γέγραπται πολλὰ τοῖς οὕτω προῃρημένοις συντελοῦντα. περί γέ τοι τοῦ νῦν προκειμένου σκέμματος, ἐν οἷς ὑπὲρ τῆς Ἐρασιστράτου περὶ τοὺς σφυγμοὺς τέχνης ἐσκοπούμεθα, σαφῶς οἶμαι δεδεῖχθαι τὸ μοχθηρὸν τῆς δόξης. ἀλλὰ καὶ ὅσα διαφερόμεθα πρὸς τοὺς ἄριστα δοκοῦντας ἐγνωκέναι τὰ κατὰ τοὺς σφυγμούς, καὶ ταῦτά μοι δοκεῖ συνετὸς ἀνὴρ ἐκ τῶν ἐνθάδε γεγραμμένων ὁρμώμενος, οὐ χαλεπῶς διαιτήσειν. εὑρήσει γὰρ αὐτῶν τὰ πλεῖστα, τὰ μὲν ἐν τῇ λέξει μόνῃ, τὰ δ' ἐν τῷ τῶν διορισμῶν ἀκριβεῖ συνιστάμενα, καθάπερ καὶ ταυτὶ τὰ νῦν προκείμενα, γράφοντος γὰρ Ἀρχιγένους οὕτω περὶ τῆς βαρυνούσης τὴν δύναμιν τροφῆς, ἡ δὲ τῷ θλίβειν ἀμυδροτέρους καὶ μικροτέρους

κροτέρους, ταχυτέρους τε πλέον ἢ πυκνοτέρους. ἡμεῖς οὐχ οὕτως. ἀλλὰ πρὸς ἐγράψαμεν, σιτία πολλὰ μὲν ὥστε βαρῦναι τὴν δύναμιν, ἀνωμάλους τε καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζεται. καὶ ὅσῳ μέλει τῶν ἔργων τῆς τέχνης. οὐκ ἐπὶ τῶν σιτίων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπασῶν διαθέσεων, ἐν αἷς ἡ δύναμις βαρύνεται, τοὺς σφυγμοὺς ἀνωμάλους εὑρήσει. καὶ τοῦτο γ' ἐστὶν αὐτὸ τὸ διορίζον τὴν ἄῤῥωστον δύναμιν τῆς βαρυνομένης. εὐθὺς δ' αὐτῷ συνεμφαίνεται καὶ τὸ ποσὸν τῆς βλάβης. εἰ μὲν γὰρ ἐν πολλοῖς τοῖς μεγάλοις καὶ σφοδροῖς ὀλίγοι τινὲς εὑρίσκοιντο μικροὶ καὶ ἀμυδροί, βραχεῖα ἡ βλάβη τῆς δυνάμεως. εἰ δ' ἔμπαλιν, ὀλίγοι μὲν οἱ μεγάλοι καὶ σφοδροί, πολλοὶ δ' οἱ μικροὶ καὶ ἀμυδροὶ γίνοιντο, μεγάλως ἐπὶ τῶν τοιούτων διαθέσεων ἡ δύναμις κάμνει βαρυνομένη. μικροὶ δὲ καὶ ἀμυδροὶ σφυγμοὶ διαπαντὸς γίνονται, μηδενὸς αὐτοῖς τῶν ἐναντίων παρεμπίπτοντος, οὐκ ἐν ταῖς βαρυνομέναις, ἀλλ' ἐν ταῖς διαλυομέναις δυνάμεσιν. ἐὰν δὲ κατὰ μὲν τὴν ἰδίαν οὐσίαν εὐρωστῶσι, βαρύνονται δ' ὑπό του καὶ θλίβονται, πάντως παρεμπίπτουσι οἱ σφοδροὶ καὶ ἀμυδροὶ σφυγμοί, κἂν ἐν ἐσχάτῳ βλάβης ὑπάρχωσιν. ὀλιγώρως οὖν ὁ Ἀρχιγένης ἀμυδροτέρους τε καὶ μικροτέρους γράφει γίνεσθαι, τοὺς ἐπὶ ταῖς βαρυνομέναις ὑπὸ τῶν σιτίων δυνάμεσι σφυγμούς. καταλυομένης γὰρ οὗτοι καὶ οὐ θλιβομένης δυνάμεως εἰσὶ γνωρίσματα. ὥσπερ δ' ἐν ταῖς κατὰ μέγεθός τε καὶ σφοδρότητα διαφοραῖς ἀνώμαλοι τυγχάνουσιν ὄντες, οὕτω κἂν ταῖς κατὰ πυκνότητα καὶ τάχος. οὐκ οὖν οὐδὲ τοῦτ' ἔχω συμβαλεῖν, ὅπως ἔγραψεν ὁ Ἀρχιγένης, θάττονας αὐτοὺς πλέον, ἢ πυκνοτέρους ὑπάρχειν, εἰ μὴ ἄρα τοῦτο βούλεται δηλοῦν, ὡς ἀνωμάλων ὄντων αὐτῶν, ὅμως πλείους εἰσὶν οἱ ταχεῖς τῶν βραδέων, ἢ οἱ πυκνοὶ τῶν ἀραιῶν. καίτοι οὐδὲ τοῦτ' ἀληθές ἐστιν ἁπλῶς οὕτω, καὶ ἀδιορίστως λεγόμενον. ἀλλ' αἱ μὲν ἐλάττους βλάβαι ταχεῖς μᾶλλον ἢ πυκνούς, αἱ δὲ μείζους ἔμπαλιν ἐπὶ πλέον πυκνοὺς ἢ ταχεῖς ἀπεργάζονται τοὺς σφυγμούς. ἡ δ' αἰτία πρόδηλος ἐκ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ δεδειγμένων. ἔστι τάχος μὲν οἰκεῖον εὐρώστου δυνάμεως. πυκνότης δ' ἀῤῥώστου. καὶ τῶν ἄλλων δὲ τῶν ἐφεξῆς εἰρημένων, ὁ τῆς αἰτίας λογισμὸς πρόδηλος, εἴ τις τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων εἴη μεμνημένος. Οἶνος τὰ μὲν ἄλλα παραπλησίως σιτίοις τρέπει τοὺς σφυγμούς. διαφέρει δέ, τῷ τε παραχρῆμα τὴν τροπὴν ἐργάζεσθαι, καὶ τῷ πρότερον παύεσθαι τὴν ἀπ' οἴνου τῆς ἀπὸ σιτίων. καὶ τῷ, τὸ τάχος πλέον αὔξειν, καὶ τὸ μέγεθος, ἤπερ τὴν σφοδρότητα καὶ πυκνότητα. σχεδὸν γὰρ ὅσῳ σφοδροτέραν τε καὶ διαρκεστέραν ἰσχὺν ἡ σύμμετρος τροφὴ παρέχει, τοσούτῳ καὶ τὸ μέγεθος ὁ οἶνος ἐξαίρει. Καὶ οὗτος ὁ λόγος αὐτὸς αὑτὸν ἐξηγεῖται, τὰ πρὸς ἁπάντων εἰρημένα τῶν ἰατρῶν ὑπὲρ οἴνου δυνάμεως ἀναμιμνήσκων ἡμᾶς. ἔστι γὰρ ἡ ἀπ' αὐτοῦ πρόσθεσις ταχεῖα, διότι καὶ ὑγρὸς καὶ θερμός. δεῖ γὰρ ταχείας φησὶν προσθέσεως δέοντι, ὑγρὸν ἴημα. ὅταν οὖν καὶ προσηγῆται πρὸς τῆς θερμότητος ἡ ὑγρότης, ἔτι δὴ καὶ μᾶλλον. ἀλλὰ καὶ τῶν ἀθρόως καὶ ταχέως τρεφόντων, ταχεῖα καὶ ἡ διαχώρησις γίνεται. διὰ τοῦτο οὖν ὥσπερ ταχεῖα, οὕτω καὶ βραχυχρόνιος ἡ ἀπὸ τοῦ οἴνου προσθήκη τοῖς σώμασιν. εὐδιάπνευστος γάρ. ὅτι δὲ διὰ μὲν τὸ τρέφειν ὁμοίως τοῖς σιτίοις ἀλλοιώσει τοὺς σφυγμούς, διὰ δὲ τὸ θερμαίνειν μᾶλλον ἢ ἐκεῖνα, μέγεθός τε καὶ τάχος ἐπιφανέστερον αὐτοῖς προσθήσει, τοῖς μεμνημένοις τῶν ἐν τοῖς πρώτοις ὑπομνήμασι λελεγμένων, ἄντικρυς δῆλον. τῶν δ' ἐξῆς λεγομένων διὰ τῆς εἰσαγωγῆς οὐδενὸς ἄδηλος ἡ αἰτία, τῷ μεμνημένῳ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων. ὑπερβάντες οὖν αὐτῶν τὰ πολλά, μόνων τῶν ἀσαφεστέρας ἐχόντων αἰτίας μνημονεύσωμεν, ὧν ἓν καὶ τόδε ἐστίν. τί δή ποτε χολέραις μὲν καὶ ῥεύμασιν ἰσχυροῖς κοιλίας, καὶ τῷ καλουμένῳ γυναικείῳ ῥῷ, καὶ πᾶσι τοῖς ἐκ τοῦ κενοῦν τὸ σῶμα καταλύουσι τὴν δύναμιν, οἱ σκωληκίζοντες ἕπονται σφυγμοί, ταῖς δ' ὑπὸ κακοήθους πυρετοῦ καταλυομέναις δυνάμεσιν οἱ μυρμηκίζοντες ἕπονται; ἢ ὅτι βραδὺν εἶναι δεῖ καὶ ἀραιὸν τὸν σφυγμὸν πάντως, ἵν' ᾖ σκωληκίζων, οὔτε γὰρ οἷόν τε τὸ πρότερον τῆς ἀρτηρίας μόριον πρότερον φαίνεσθαι κινούμενον, οὔθ' οἷον περιγραφάς τινας γίνεσθαι πολλὰς ἐν μιᾷ διαστολῇ, μὴ οὐ βραδείας τε ἅμα καὶ ἀραιᾶς οὔσης τῆς κινήσεως. ἐν δὲ τοῖς ὀξέσι πυρετοῖς, ἐξ ἀνάγκης γὰρ οἱ κακοήθεις ὀξεῖς, οὐκ ἀνέχεται τὸ πλῆθος τῆς θερμασίας, οὔτε βραδὺν ἐσχάτως, οὔτ' ὅλως ἀραιὸν γίνεσθαι τὸν σφυγμόν. ἀλλὰ βραδὺς μέν ἐστιν, ἢ πάντως γε οὐ ταχὺς ὁ ἐν ταῖς καταλυομέναις δυνάμεσι, κἂν τινες ἁμαρτάνωσιν περὶ τὴν διάγνωσιν αὐτοῦ, οὐ μὴν ἐσχάτως γε βραδύς, ἀραιὸς δὲ οὐδόλως, ἀλλ' ἀεὶ πυκνός, καὶ ὅταν τὰ τῆς θερμασίας ἐπείγῃ πάνυ σφόδρα πυκνός. καιρὸς εἶναι μοι δοκεῖ καὶ τουτονὶ τὸν τρίτον λόγον ἐνταυθοῖ καταπαύσειν. ἐν δὲ τῷ τετάρτῳ τὰ λείποντα προσθήσομεν, ἀπὸ τῶν ψυχικῶν παθῶν ἀρξάμενοι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΙΤΙΩΝ

ΣΦΥΓΜΩΝ. ΒΙΒΛΙΟΝ δ'.

ΤΩΝ ἀλλοιούντων τοὺς σφυγμοὺς αἰτίων, ὅσα μὲν δι' ἑαυτὰ τὴν τροπὴν ἐργάζεται συνέχοντα τὴν γένεσιν αὐτῶν, καὶ διὰ τοῦτο συνεκτικὰ κεκλημένα, διὰ τῶν προτέρων δυοῖν ὑπομνημάτων ἐγράψαμεν. ὅσα δὲ ἐκείνων προηγεῖται, τὰ μὲν ἐν αὐτοῖς τῶν ζώων τοῖς σώμασιν ὑπάρχοντα, τὰ δ' ἔξωθεν προσπίπτοντα, ταῦτα ἐν τοῖς ἐχομένοις δύο προθέμενοι διελθεῖν, ἐπειδὴ καὶ διὰ τοῦ τοῖς εἰσαγομένοις γεγραμμένου περὶ τῶν σφυγμῶν ἐφθάσαμεν εἰρηκέναι περὶ αὐτῶν ἐν κεφαλαίοις τε καὶ χωρὶς ἀποδείξεως, ἄμεινον ἐκρίναμεν εἶναι καὶ νῦν αὐτῶν μνημονεύοντες αὐτοῖς ὀνόμασιν, ἅμα μὲν τὸν διορίζειν ἀκριβέστερον, ἅμα δὲ καὶ τὰς αἰτίας ἀποδοῦναι. διὰ μὲν οὖν τοῦ τρίτου γράμματος, τὸν περὶ τῶν ἡλικιῶν τε καὶ χωρῶν καὶ ὡρῶν καὶ φύσεων, καὶ προσέτι τῶν καλουμένων ἐπιτηδευμάτων ἐδεσμάτων τε καὶ πομάτων ἐποιησάμεθα λόγον. ἐν δὲ τούτῳ τῷ τετάρτῳ τε καὶ ὑστάτῳ τῆς προκειμένης πραγματείας ὄντι, περὶ τῶν παρὰ φύσιν αἰτίων ὁ λόγος ἡμῖν ἔσται, τὴν ἀρχὴν μὲν ἀπὸ τῶν ψυχικῶν παθῶν ποιησαμένοις, ἐφεξῆς δὲ καὶ περὶ τῶν σωματικῶν διελθοῦσι. προσγράψομεν δὲ κἀνταῦθα καθ' ἕκαστον κεφάλαιον τὰς ῥήσεις ἐκ τοῦ τοῖς εἰσαγομένοις γεγραμμένου βιβλίου. Θυμοῦ μέν, ὑψηλός ἐστιν ὁ σφυγμός, καὶ μέγας καὶ σφοδρός, καὶ ταχύς, καὶ πυκνός. Καὶ τὰ περὶ θυμοῦ λεγόμενα, δῆλα τῷ μεμνημένῳ τῶν

ἔμπροσθεν. ὑπὲρ οὐδὲ οὐδέπω πρότερον ἀπεφηνάμεθα, νῦν ἀναγκαῖον ἤδη προσθεῖναι. πότερον φαίνεται μόνον
σφοδρότερος ὁ τῶν θυμουμένων σφυγμός, ἢ ὄντως τοιοῦτος γίνεται. κατελίπομεν γὰρ αὐτό, καίτοι διελθόντων
ἡμῶν πλέον ἐν τῷ πρώτῳ λόγῳ, σχεδὸν ἄκριτον. οὐδὲ γὰρ οὕτως ἄν τις ἐπείσθη τότε, λεγόντων ἡμῶν ὅτι μὴ φαί-
νεται μόνον, ἀλλὰ καὶ γίνεται σφοδρότερος, ὡς νῦν πεισθήσεται, προακηκοὼς ἐν τῷ μεταξὺ λόγῳ πολλὰ συντελοῦν-
τα πρὸς τὴν πίστιν, καὶ μάλιστα τὰ περὶ τῶν ἀνωμαλιῶν εἰρημένα. φαίνεται γὰρ ἐναργῶς ἐναλλὰξ ἐν ταύταις ὁ σφυγ-
μὸς ἀμυδρὸς καὶ σφοδρὸς γινόμενος, οὐ δήπου τῆς δυνάμεως οὕτω ταχέως εἰς ἀρρωστίαν τε καὶ ῥώμην μεταπιπτού-
σης, ἀλλὰ διαμαχομένης μὲν τοῖς λυποῦσιν αἰτίοις, οὐκ ἀεὶ δ' αὐτῶν κρατούσης. ἐναργέστατα δ' οὖν τῶν ἀγαθῶν κρί-
σεων οἱ σφυγμοὶ γίνονται σφοδροί, ἐπεγειρούσης τηνικαῦθ' ἑαυτὴν τῆς δυνάμεως ὑπὲρ τοῦ διώσασθαι τὰ λυ-
ποῦντα. φαίνεται δὲ τοῦτο κἀπὶ τῆς ψυχικῆς δυνάμεως γινόμενον, οὐ μόνης τῆς ζωτικῆς. ἐκλελυμένοι γοῦν τινὲς
ἐσχάτως, ἢ διὰ γῆρας, ἢ διὰ νόσον, ἢ διά τινα προηγησάμενον κάματον, εἶτ' ἐξαίφνης θεασάμενοι λῃστῶν ἔφοδον, ἢ
πολεμίων, ἢ θηρίου τινός, ἔδραμον ὠκέως ἀποφεύγοντες τὸ δεῖν, οὐδὲν ἧττον τῶν ἰσχυρῶν. οὕτω δὲ καὶ διὰ σεισμὸν τι-
νὲς ἐκπηδήσαντες τῶν οἰκιῶν, ἢ δι' ἐμπρησμόν, ὠκύτατα διαθέουσιν, ἔμπροσθεν μόλις ὑπὸ τῆς ἀρρωστίας προβαί-
νοντες. ἐν ἅπασι οὖν τοῖς τοιούτοις δῆλον ὅτι ὡς αἱ διοικοῦσαι τὸ ζῷον δυνάμεις ἀνάγκης τινὸς καταλαβούσης, σφο-
δρότερον ἐνεργοῦσιν. καὶ οὐ χρὴ θαυμάζειν οὐδ' εἰ ἐν τοῖς θυμοῖς τοῦτο γίνεται. καὶ γὰρ φαίνεται καὶ λόγον ἔχειν, ὥσπερ
οὖν καὶ γυμναζομένων, καὶ ὁπωσοῦν ἀνδριζομένων, οὐκ εἰς μέγεθος μόνον, ἀλλὰ καὶ εἰς σφοδρότητα τοὺς σφυγμοὺς
ἰδεῖν ἐστὶν τρεπομένους. Ἡδονῆς δὲ μέγας καὶ ἀραιὸς καὶ βραδύς, οὐ μὴν σφοδρότητί γε διάφορος.

Διαχεῖται μὲν τὸ θερμὸν τοῖς ἡδομένοις εἰς ἅπαν τὸ σῶμα, καὶ ἡ ἐκτὸς αὐτοῦ κρατεῖ κίνησις, ὥσπερ τοῖς λυπουμέ-
νοις, ἡ ἐντός. εὐλόγως οὖν μείζων μὲν αὐτῶν ὁ σφυγμὸς γίνεται, σφοδρότερος δ' οὐκ ἔτι. ὅτε γὰρ ἐπίκτητός τις προσ-
γίνεται διὰ τὸ πάθος, τότ' ἰσχυροτέρας ἐνεργείας χρεία. †δῆλον δ' ὡς οὖν τῆς κατὰ τὸν ἴδιον λόγον τῆς συμμέτρου
ἀλλοιούσης τοὺς σφυγμοὺς ἡδονῆς εἴρηται ταῦτα. πολλάκις γὰρ ἤδη συμβεβηκός, καὶ οἱ ἐναντίοι γίνονται σφυγ-
μοί, τῆς ἡδονῆς ἀμέτρου γινομένης, καὶ διὰ τοῦτο καταλυούσης τὴν δύναμιν. ἀλλὰ τό τε γε οἱ οὖν καταλύσεως
δυνάμεως γίνονται σφυγμοί. προείρηται γὰρ ὡς τὰ σφοδρότερα τῶν παθῶν, καθ' ἑαυτὰ τὴν ὅλην τῶν σφυγμῶν
ἀλλοίωσιν ἐργάζεται. Λύπης δὲ μικρός, καὶ ἀμυδρός, καὶ βραδύς, καὶ ἀραιός. Καὶ ἡ λύπη μετά τε
καταψύξεως γίνεται, καὶ τῆς ἔσω τοῦ θερμοῦ κινήσεως. εὐλόγως οὖν ἐπ' αὐτῆς οἱ ἐναντίοι σφυγμοὶ τοῖς προειρη-
μένοις ἔπεσθαι ταῖς ἡδοναῖς ἀποτελοῦνται. Φόβου δέ, τοῦ μὲν ὑπογύου καὶ σφοδροῦ, ταχὺς καὶ ἄτακτος, καὶ
ἀνώμαλος. τοῦ δὲ ἤδη κεχρονισμένου, οἷος ὁ τῆς λύπης. Ὁ φόβος ἐν μὲν τῷ παραυτίκα πολλοῖς ταραχὴν τῆς
διανοίας ἐργαζόμενος, εὐλόγως εἰς ἀνωμαλίαν τρέπει τοὺς σφυγμούς. εἴρηται γὰρ ἔμπροσθεν ὑπὲρ τούτου, ἐν δὲ τῷ
χρόνῳ, τοῖς τῆς λύπης ἐξομοιοῖ, οὐδὲ γὰρ οὐδ' ἄλλό τι λύπης γίνεται χρονίζων φόβος. ἅπασι δὲ τούτοις χρονίζου-
σιν, ἢ σφοδροῖς ἄγαν γινομένης οἷοι διαλυομένοις τῆς δυνάμεως ἕπονται σφυγμοί. καὶ γὰρ καὶ λύει τὴν δύναμιν
ἅπαντα ταῦτα, συντόμως μὲν ὅσα ἰσχυρά, χρονίως δὲ τἀναντία. τοῦτο δὲ καὶ μικρῷ πρόσθεν ἐκ τῶν οὖν ταῖς ἡδο-
ναῖς λεχθέντων ἐδηλοῦτο. καὶ νῦν προσγέγραπται, διά τε τὸ ἤδη τὴν εἰσαγωγὴν ἐφεξῆς ἐκείνων εἰρῆσθαι, καὶ
διὰ τὸ περὶ τῶν ὁμοίων ἁπάντων ἀποφήνασθαι καθόλου προσήκειν. ἐξηγήσεως δὲ περιττοτέρας οὐ δεῖται τὰ λεγό-
μενα. ἀλλ' οὖν τὰ συνεχῆ μεταβαίνομεν ἤδη. Ἄλγημα δὲ τὸ τρέπον τοὺς σφυγμούς. τρέπει δὲ τὸ ἰσχυρόν, ἢ ἐν
κυρίοις μορίοις, ὡς καὶ ἡ φλεγμονή. μικρὸν μὲν ὂν ἔτι καὶ ἀρχόμενον, μείζονα καὶ σφοδρότερον καὶ ὠκύτερον καὶ πυκνό-
τερον τὸν σφυγμὸν ἐργάζεται, αὐξηθὲν δὲ καὶ ἰσχυρὸν πάνυ γινόμενον, ὡς ἀδικεῖν ἤδη τὸν ζωτικὸν τόνον, μι-
κρότερον καὶ ἀμυδρότερον καὶ ταχὺν καὶ πυκνόν. καὶ ὅσῳ ἂν ἐγχρονίζῃ μᾶλλον, ἢ σφοδρότερος γίνεται, τῶν
εἰρημένων ἕκαστον ἐπιτείνει. τὸ δὲ ἤδη διαλῦον τὴν δύναμιν, καὶ εἰς ἀμυδρότητα καὶ μικρότητα, καὶ τάχους
ψευδῆ φαντασίαν, καὶ ὑπερβάλλουσαν πυκνότητα τὴν τροπὴν ἐργάζεται. ὥσπερ οὖν τῶν ἄλλων ἁπάντων
τῶν λυπούντων, οὕτω καὶ τῶν ἀλγημάτων ἡ δύναμις ἐπεγείρειν πέφυκεν ἑαυτὴν καὶ διαμάχεσθαι, καὶ διωθεῖ-
σθαι πᾶν τὸ ἐνοχλοῦν, ὅθεν εὐλόγως εἰς μέγεθος καὶ τάχος καὶ σφοδρότητα τρέπει τοὺς σφυγμούς. εἰ μέντοι μη-
δὲν ἀνύσει, ἐν τῷ δὲ δῆλον, ὡς ἐκ περιττοῦ κάματος αὐτῇ καὶ κατάλυσις τοῦ τόνου γίνεται, καὶ οὕτως εἰς ἀμυ-
δρότητα μεταπίπτουσιν αἱ κινήσεις, ἡττηθείσης πρὸς τῶν λυπούντων τῆς δυνάμεως. διὰ τί δὲ τάχους ψευδῆ
φαντασίαν εἴπομεν, ἐν τῷ τρίτῳ περὶ τῆς διαγνώσεως εἴρηται. καὶ μέντοι καὶ διὰ τί τοῖς μικροῖς σχεδὸν ἅπα-
σι σφυγμοῖς ἔζευκται πυκνότης, ἐν τῷ πρώτῳ λόγῳ τῶν δὲ τῶν ὑπομνημάτων ἀποδέδεικται. Φλεγμονῆς
σφυγμός, ὁ μὲν κοινὸς ἁπάσης. οἷον ἐμπρίων ἐστίν, ὡς δοκεῖν τὸ μέντοι διεστάλθαι τῆς ἀρτηρίας, τὸ δέ, μή, σκλη-
ροτέρας δηλονότι φαινομένης αὐτῆς ἔχει δέ τι καὶ κλονώδους σφυγμὸς ὁ οὗτος, καὶ ταχὺς μέν ἐστι καὶ πυκνός
οὐκ ἀεὶ δὲ μέγας. ὁ δὲ ἴδιος ἑκάστης· ὁ μέν, τῆς ἀρχομένης, μείζων τοῦ κατὰ φύσιν, καὶ σφοδρότερος καὶ ὠκύτερος
καὶ πυκνότερος. ὁ δ' αὐξανομένης ἔτι, ταῦτά γε προσάξει πάντα, καὶ σαφῶς ἤδη σκληρότερος ἐστὶ καὶ κλονω-
δέστερος. μικρότερος δὲ ἢ πρόσθεν οὐ μὴν ἀμυδρότερός γε, πλὴν εἰ μὴ ὑπὲρ τὴν δύναμιν εἴη τὸ πάθος. ἀλλὰ
καὶ πυκνότητος γίνεται καὶ ταχύς. εἰ δ' ἱκανῶς χρονίζοι, καὶ ἤδη σκληρύνοιτο σκιρρωδῶς, τοῖς εἰρημένοις
ἰσχνότης σφυγμοῦ καὶ σκληρότης γίνεται. ταῦτ' οὖν τῆς τὸν ἐν ὅλῳ τῷ ζῴῳ σφυγμὸν τρεπούσης φλεγμονῆς,
ἢ διὰ τὸ μέγεθος, ἢ διὰ τὸ κύριον τοῦ μορίου ἐν ᾧ συνέστη. τῆς δὲ μὴ συγκινούσης τὸ πᾶν, ὅ γ' ἐν τῷ φλεγμαί-
νοντι μορίῳ σφυγμὸς οἷος εἴρηται. ἐπιτείνεται δὲ καὶ ἀνίεται τῶν εἰρημένων ἕκαστον, ἢ παρὰ τὸ ποσὸν τῆς φλεγ-
μονῆς, ἢ παρὰ τὴν αὐτοῦ τοῦ φλεγμαίνοντος ὀργάνου φύσιν. τὰ μὲν γὰρ νευρωδέστερα μόρια σκληροτέρους,
καὶ μᾶλλον ἐμπρίοντας, καὶ μικροτέρους τοὺς σφυγμοὺς ἐργάζεται, τὰ δὲ φλεβωδέστερα, καὶ ἀρτηριωδέστε-
ρα, τοὺς ἐναντίους. αὐτῶν δὲ τούτων μείζων ὁ ἐν τοῖς ἀρτηριωδεστέροις, καὶ ῥᾳδίως ἀνώμαλος, καὶ ἄτακτος γι-
νόμενος. δῆλον οὖν ἤδη καὶ ὁ τῶν τὸ ἧπαρ φλεγμαινόντων σφυγμός, οἷος ἂν εἴη, καὶ ὁ τῶν τὸν σπλῆνα, καὶ ὁ
τῶν τοὺς νεφρούς, ἢ τὴν κύστιν, ἢ τὸ κῶλον, ἢ τὴν γαστέρα, καὶ πλευριτικῶν, καὶ περιπνευμονικῶν, καὶ πάντων
ἁπλῶς εἰπεῖν, ὧν τῇ τοῦ μορίου φλεγμονῇ πυρετὸς ἕπεται. πλήν, ὅσα διὰ τὴν τῶν συμπτωμάτων φύσιν

τῶν τε

> † αἱ δῆλον τὸ ὡς οὖν τῆς ἤδη τὸν ἴδιον λόγον ἀλλοιούσης τοὺς σφυγμοὺς τῆς συμμέτρου ἡδονῆς εἴρηται ταῦτα

τῶν τε ἐξ ἀνάγκης ἑπομένων αὐτοῖς, καὶ τῶν κατὰ τύχην συνδραμόντων, ὡς ἂν ἕκαστα γίγνεσθαι δύναται. καὶ τῶν σφυγμῶν μὲν ἐπὶ τοσοῦτον ἀλλοιοῦσθαι συμβήσεται, μικτῆς ῥοπῆς ἐν αὐτῷ γινομένης τοῦ τε κατὰ τὸν λόγον τῆς φλεγμονῆς, καὶ ἣν ἡ τοῦ τόπου φύσις, ἢ τοῦ παρόντος συμπτώματος ἐργάζεται. παθῆναι μὲν γὰρ τοῖς τὰς φλέβας φλεγμαίνουσιν ἕτοιμον. πνιγῆναι δὲ τοῖς τὸν πνεύμονα. συγκοπῆναι δὲ τοῖς τὸ στόμα τῆς γαστρός. ἀτροφῆσαι δὲ τοῖς τὸ ἧπαρ. ἀπεπτῆσαι δὲ τοῖς τὴν κοιλίαν, ἐπισχεθῆναι δὲ τὰ οὖρα τοῖς τοὺς νεφρούς. καὶ τὰ μὲν αἰσθητικώτερα μόρια καὶ διὰ τὰς ὀδύνας τρέπει τοὺς σφυγμούς, τὰ δὲ ἀναισθητότερα, κατὰ τὴν διάθεσιν μόνην. ἐκ τούτων οὖν ἁπάντων πολυειδεῖς αἱ ἀλλοιώσεις γίνονται τῶν ἐπὶ ταῖς φλεγμοναῖς σφυγμῶν. καὶ ὡς χρὴ διορίζειν αὐτάς, εἴρηται μὲν ἐν ἑτέροις τελέως. εἴρηται δὲ καὶ νῦν εἰς ὅσον τοῖς εἰσαγομένοις χρήσιμον. Καὶ ἡ μὲν ῥῆσις ἐκ τῆς εἰσαγωγῆς αὕτη, σαφῶς ἐκδιδάσκουσα τὴν ὑπὸ τῶν φλεγμονῶν γινομένην ἀλλοίωσιν ἐν τοῖς σφυγμοῖς. ὅπως δὲ τὰ πρῶτα καὶ συνέχοντα τὴν γένεσιν αὐτῶν αἴτια διατιθέμενα πρὸς τῆς φλεγμονῆς, τὴν εἰρημένην ῥοπὴν ἐργάζεται, λέγειν ἂν εἴη, τὴν ἀρχὴν ἐνθένδε ποιησαμένους. παντὶ γὰρ φλεγμαίνοντι μορίῳ δύο ταῦτ᾽ ἐξ ἀνάγκης συμβέβηκε, θερμοτέρῳ τε τοῦ κατὰ φύσιν ὑπάρχειν, καὶ τετάσθαι. ταῦτ᾽ οὖν ἄμφω παντὶ γὰρ σώματι μεταδίδωσιν, ὅταν ἤτοι κύριον ὑπάρχῃ τὸ μόριον, ἢ μεγάλην ἱκανῶς ἔχῃ τὴν φλεγμονήν. ἀλλ᾽ ἡ μὲν καθ᾽ ὅλον τὸ ζῷον πλεονεξία τῆς θερμασίας, πυρετός ἐστιν, καὶ δῆλον ὡς τὴν χρείαν οὗτος ἀλλοιώσει τῶν σφυγμῶν. ἡ δ᾽ ἐκ τοῦ φλεγμαίνοντος τάσις διαδίδοται καὶ εἰς τὰς ἀρτηρίας. διὰ ταύτην μὲν δὴ σκληρότερος ὁ σφυγμὸς ἔσται, καὶ μᾶλλόν γε σκληρότερος ἐπὶ τοῖς νευρώδεσι μορίοις, ὅτι καὶ τείνεται ταῦτα τῶν ἄλλων μᾶλλον ἐν ταῖς φλεγμοναῖς, ὡς ἂν ἤδη φύσει τεταμένα. καὶ συντείνειν ἑαυτοῖς τὰ συνεχῆ μᾶλλον πέφυκεν, ὡς ἂν ἰσχυρότερα. ἡ δὲ τῆς θερμασίας πλεονεξία ταχὺν ἐνδείκνυται καὶ μείζονα κατὰ τὸν ἑαυτῆς λόγον ἐργαζομένη τὸν σφυγμόν. ἐπειδὰν δὲ ἐλλείπῃ τι τῇ χρείᾳ, τηνικαῦτα ἤδη καὶ πυκνόν. εὐλόγως οὖν σκληρότερος ἅπασι τοῖς ἐπὶ φλεγμονῇ πυρέττουσιν ὁ σφυγμὸς γίνεται, καὶ προσέτι γε, διὰ τὴν δυσκρασίαν τὴν ἐν ταῖς ἀρτηρίαις, ἀνώμαλος κατὰ μίαν προσβολήν, καὶ δῆλον ὡς ἀμφοῖν συνελθόντων, τὸ εἰρημένον ὑπό τινων εἶδος ἔσται γὰρ σφυγμῶν, τὸ οἷον ἐμπρίον τὴν ἁφήν. οὕτω γὰρ ἀνάγκη φαντασιοῦσθαι τῶν ἁπτομένων ὀργάνου σκληροῦ τὴν προσβολὴν ἀνώμαλον ἔχοντος. ἔσται δ᾽ ὡς εἴρηται θᾶττον ἐπιφανῶς, καὶ εἰ μὴ ἀντιβαίνοι γε ἡ σκληρότης, καὶ μείζων σαφῶς. εἰ δ᾽ ἀντιβαίνοι κατά τι, τοσοῦτον προσλήψεται [illegible] κινήσεως, ὅσῳ ἀφῃρέθη τοῦ μεγέθους. ὅτι δ᾽ ἐν τούτῳ καὶ πυκνότερος ἔσται τοσοῦτον ὅσον οὐχ ἱκανῶς ἐπλήρωσε τὴν χρείαν ἡ διαστολή, καὶ τοῦτο, τῷ μεμνημένῳ τῶν ἐν τοῖς ἔμπροσθεν ἀποδεδειγμένων, πρόδηλον. ὥσπερ γε καὶ ὅτι τοῖς ἴσοις μεγέθεσι τοῖς φλεγμονῶν οὐκ ἴση τῶν σφυγμῶν ἀλλοίωσις ἕπεται, ἀλλ᾽ ἐν μὲν τοῖς φλεβώδεσιν μορίοις αἱ φλεγμοναί, μείζους ἐργάζονται σφυγμούς, ἐν δὲ τοῖς νευρώδεσιν ἐλάττους, ὥσπερ καὶ σκληροτέρους τε καὶ μᾶλλον ἐμπρίοντας. οὐδὲ γὰρ τούτων ἀσαφὲς οὐδέν, εἰ μνημονεύοιμεν ὅτι μειζόνως τείνεσθαι τὰς ἀρτηρίας ἀναγκαῖον, ὑπὸ τῶν νευρωδῶν μορίων φλεγμαινόντων. τὰ δ᾽ ἀρτηριώδη μόρια, δῆλον ὡς καὶ ταῦτα τό τε πλῆθος τῆς ἐν ταῖς ἀρτηρίαις θερμασίας ὡς ἂν θερμοτέραις οὔσαις ἐπὶ μᾶλλον προαυξήσει, καὶ διὰ τοῦτο μεγίστους ἀναγκάζει γίνεσθαι τοὺς σφυγμούς. καὶ ἥτις ἀνωμαλία συνίσταται, καθ᾽ ὅντιναοῦν λόγον, ἐπιφανέστερον αὐτὴν ἀποδείξει. δύο γάρ, εἴ τι μεμνήμεθα, τὰς πρώτας αἰτίας ἐδείκνυμεν ἀνωμαλίας σφυγμῶν, ἀρρωστίαν τε τῆς κινούσης δυνάμεως τὰς ἀρτηρίας διὰ πλῆθος βαρῦνον, καὶ προσέτι τῶν ὀργάνων αὐτῶν τὰς διαθέσεις. ἐμφράξεις δή τινας, καὶ στενώσεις, καὶ τάσεις, καὶ θλίψεις. οὐδὲν οὖν θαυμαστόν, ἀνωμάλους ἐπὶ τοῖς ἀρτηριώδεσι μορίοις φλεγμαίνουσι τοὺς σφυγμοὺς ἀποτελεῖσθαι, τῆς τε δυνάμεως τῆς ἐργαζομένης αὐτοὺς ῥᾷστον ἐν τοῖς τοιούτοις καμνούσης, αὐτῶν τε τῶν ὀργάνων κακῶς διακειμένων. τὰ δ᾽ ἄλλα τὰ εἰρημένα διὰ τοῦ τοῖς εἰσαγομένοις γεγραμμένου βιβλίου, ταῖς ἐπὶ φλεγμοναῖς τροπαῖς τῶν σφυγμῶν ὑπάρχειν, οὐδὲ μιᾶς ἐξηγήσεως δεῖσθαι νομίζω. μεταβαίνειν οὖν ἤδη καιρὸς ἐπί τινα τῶν ἑξῆς ῥήσεων. Τῶν μὲν πλευριτικῶν ταχύς, καὶ πυκνός, καὶ οὐ λίαν μέγας. δόξειε δ᾽ ἂν καὶ σφοδρός. ὁ δ᾽ ἐστίν, οὐκ ἀμυδρὸς μέν, οὐ μὴν ἤδη καὶ σφοδρός, ὅσον ἐπὶ τῷ πάθει. τοῦτο γοῦν ἐπὶ πάντων μεμνῆσθαι χρή, τὸ δεῖν ἐφ᾽ ἑκάστου τῶν πραγμάτων, ὅσον ἐπ᾽ ἐκείνῳ τὴν τροπὴν ἐξετάζειν, διορίζοντα τὸ διά τι ἄλλο, καὶ μὴ δι᾽ ἐκεῖνο συμβεβηκός. ὁ τοίνυν τῶν πλευριτικῶν σφυγμός, νευρωδεστέραν πως καὶ σκληροτέραν ἐργαζόμενος τὴν ἀρτηρίαν ὡς ἂν εἰς σφοδρότητα τρέπων, ἀπατᾷ τοὺς ἀγυμνάστους οὐ δυναμένους διακρῖναι σκληρὰν πληγὴν σφοδρᾶς. οὕτω δὲ καὶ ἄλλας διαφορὰς σφυγμῶν ἀδυνατοῦντες διακρίνειν οἱ πολλοί, τάχ᾽ ἂν ἴσως μέμψαιντο τοῖς ἐνταῦθα γεγραμμένοις, ἐξ ὧν αὐτοὶ μὴ συνιᾶσι τῶν ὀρθῶς λεγόντων καταγινώσκοντες. ἀλλ᾽ οὐ χρὴ μηκύνειν ἐν γὰρ νῦν λόγῳ περὶ αὐτῶν. γέγραπται γοῦν ἡμῖν ἴδια περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἀσκεῖν οὖν παρακελεύομαι τόν τε λογισμὸν ἅμα καὶ τὴν ἁφήν, ὡς ἐπ᾽ αὐτῶν τῶν ἔργων γνωρίζειν δύνασθαι τὴν ἁφὴν τοὺς σφυγμούς, οὐ λόγῳ διαιρεῖν μόνον. ἀρχὴ δὲ τῆς ἐπὶ τῶν ἔργων τριβῆς, ἡ διὰ τῶν λόγων διδασκαλία. καὶ γάρ τοι καὶ τῆς πυκνότητος τὸ ποσὸν οὐχ οἷόν τε ἑρμηνεῦσαι, καί τοι μεγάλην ἔχει διαφορὰν ἢ ὑπερβαίνουσα τὸ εἰθισμένον μέτρον πλευρίτιδος, ἢ ἐλλείπουσα. τὰς γοῦν ὑπερβολὰς εἰς περιπνευμονίαν μεθισταμένης, ἢ συγκοπὴν ἀπειλούσης ἀνάγκη γίνεσθαι. τὰς δ᾽ ἐνδείας εἰς καταφοράν, ἢ νεύρων τελευτᾶν βλάβην. οὕτω δὲ καὶ τὸ τῆς ἀνωμαλίας εἶδος τὸ ἐμπριστικὸν ἴδιον οὐχ ἥκιστα πλευρίτιδος ὑπάρχον, ἀνιεμένων μέν, μαλακῆς καὶ οὐχ ἥκιστα πεφθησομένης, ἐπιτεινομένων δὲ χαλεπῆς καὶ δυσπέπτου γνώρισμα πλευρίτιδος. αἱ τοιαῦται σὺν ἀσθενεῖ τῇ δυνάμει κινδυνώδεις, σὺν ἰσχυρᾷ δέ, ἢ χρονίως ἐπέφθησαν, ἢ εἰς ἐμπύημα μετέπεσον, ἢ φθινώδης αὐτὰς μαρασμὸς διεδέξατο. τῆς μὲν οὖν πεπτομένης ὁ σφυγμὸς πᾶσαν ἀποτίθεται κατὰ βραχὺ τὴν παρὰ φύσιν ῥοπήν. τῆς δ᾽ εἰς ἐμπύημα μεταβαλλούσης, οἱ τῶν ἐμπυημάτων ἴδιοι γίνονται, κατὰ ταῦτα δὲ καὶ τοῖς φθινωδῶς μαραινομένοις, οἱ τῶν μαρασμῶν. Αὕτη μὲν ἐκ τῆς εἰσαγωγῆς ἡ ῥῆσις, αὐτὰ τὰ φαινόμενα συμπίπτειν τοῖς πλευριτικοῖς ἐκδιδάσκουσα, οὐ μὴν τὰς αἰτίας ἔτι διηγουμένη. νῦν οὖν λεγέσθωσαν, ἡ πλευρῖτις τοῦ ὑπεζωκότος τὰς πλευρὰς ὑμένος ἐστὶ φλεγμονή, καὶ διὰ τοῦτο πυρέττουσι μὲν ὀξέως, ὡς ἂν πλησίον κειμένης τῆς καρδίας, ὅτι δ᾽ οὕτω πυρέττουσι, ταχὺς αὐτοῖς ὁ σφυγμός. ὅτι δὲ καὶ νευρῶδες τὸ πεπονθὸς μόριον, ἐπιφανῶς σκληρός. ἐπεὶ δὲ τοῦτο, διὰ τοῦτο καὶ μικρότερος ἢ κατὰ τὴν ἀξίαν τοῦ πυρετοῦ. δεόντως γοῦν καὶ πυκνὸς ἀποτελεῖται, τῆς μὲν θερμασίας δεομένης μεγέθους σφυγμῶν, τῆς σκληρότητος δ᾽ οὐχ ὑπα-

κούσης. ἐδείχθη δ᾽ ἐν τοῖς ἔμπροσθεν. ὅσον ἂν ἐλλείπῃ τῇ χρείᾳ τὸ μεγέθει τοῦ σφυγμοῦ, τοῦτ᾽ ἐκ τῆς πυκνότητος ἀναπληρούμενον. ἄνισον δ᾽ ἐστὶν αὐτῶν ἡ πυκνότης, ὅτι καὶ τῶν ἐργαζομένων τὴν φλεγμονὴν χυμῶν, οὐκ ἓν εἶδος. εἰ μὲν οὖν χολωδέστεροι τύχοιεν ὄντες, ὅ, τε πυρετὸς ὀξύτερος ἂν γένοιτο, καὶ τις ἀκολουθήσει βλάβη τῆς δυνάμεως. εἰ δὲ φλεγματωδέστεροι πραότερος μὲν ὁ πυρετός, ἑτοιμότερος δ᾽ εἰς καταφοράν. ἀεὶ μὲν γὰρ ἐπὶ πλευρίτισι καὶ περιπνευμονίαις, ἡ κεφαλὴ κακοῦται, τῶν ἐν ταῖς φλεγμοναῖς σηπομένων χυμῶν ἐκδεχομένη τὴν λιγνύν. ἀλλ᾽ ὅταν μὲν ὁ σηπόμενος χυμὸς ᾖ χολώδης, ἀτμίζων δριμύ, καθάπερ αἰθάλην τινά, δάκνει τοῦτον καὶ διαβιβρώσκει καὶ ἐρεθίζει τὰ περὶ τὸν ἐγκέφαλον, καὶ οὕτως εἰς παραφροσύνην ἄγει. φλεγματώδης δ᾽ ὑπάρχων οὐ καπνῷ δριμεῖ παραπλησίῳ, ἀλλ᾽ ἀχλύϊ τινὶ παχείᾳ καὶ θολερᾷ καθάπερ τι νέφος ἐπὶ τὴν κεφαλὴν ἀναπέμπει, ὑγραίνει τε τοῦτον καὶ βαρύνει τὸν ἐγκέφαλον ἀναγκάζει τε καταφέρεσθαι καὶ καρώδη γίνεσθαι τὸν ἄνθρωπον. εὐλόγως οὖν ἡ μὲν εἰς πλείονα πυκνότητα ῥοπὴ τῶν σφυγμῶν, ἢ περιπνευμονίαν, ἢ συγκοπὴν ἐπιφέρει. περιπνευμονίαν μὲν ἐπιλαμβανούσης ἀεὶ καὶ βλαπτούσης τὰ συνεχῆ τῆς ἐν τῇ πλευρᾷ φλεγμονῆς, ὡς ἂν ὑπὸ θερμοῦ καὶ ζέοντος, καὶ ῥᾳδίως κινουμένου χυμοῦ γεγενημένης. συγκοπὴν δ᾽ αὖ, κακώσει τῆς δυνάμεως, ἤτοι διὰ νεύρων βλάβην ἢ καταφοράν, ὅταν ἐκ τῶν φλεγματωδῶν χυμῶν ἀτμιζόντων ὁ ἐγκέφαλος πληρωθῇ. καὶ γὰρ αὖ καὶ οὕτως, εἰ μὲν ἀπώσασθαι δυνηθείη τὸ βλάπτον εἰς τὰς ἀποφύσεις, ἡ τῶν νεύρων ἀκολουθεῖ κάκωσις. εἰ δ᾽ ἀδυνατήσειεν, ἡ καταφορά. τοῖς μὲν οὖν τοιούτοις χυμοῖς ἀραιότεροι, τοῖς δ᾽ ἐναντίοις τοῖς χολώδεσιν, πυκνότεροι τοῦ συνήθους μέτρου τῆς πλευρίτιδος οἱ σφυγμοὶ συμπίπτουσιν. τὸ δὲ δὴ μέσον ἀμφοῖν ἐστιν ἀραιότητός τε καὶ πυκνότητος ἐν πλευρίτιδι μέτρον, ὅταν αἱματικὸς ὁ τὸ πάθος ἐργαζόμενος ὑπάρχῃ χυμός. οὕτω δὲ καὶ τὸ τῆς σκληρότητος ὑπάρχον μέσον, ἐπί γε τῷ τοιούτῳ χυμῷ καὶ τῇ μέσῃ κατὰ τὸ μέγεθος γίνεται φλεγμονῇ. ἐπιτείνεται δ᾽ ἤτοι διὰ μέγεθος ὑπερβάλλον φλεγμονῆς, ἢ χολώδεις χυμούς. ὥσπερ γε καὶ καθαιρεῖται διὰ τἀναντία. δῆλον δὲ ὡς καὶ τοῖς σκληροῖς σφυγμοῖς ἐναργέστερον ἀκολουθήσει τὸ ἐμπρηστικὸν εἶδος τῆς προσβολῆς.

Ἔστι δὲ τῶν ἐμπύων ὁ σφυγμός, ἄρτι μὲν ἀρχομένων οἷος ὁ τῆς ἀκμαζούσης φλεγμονῆς. αὕτη γὰρ καὶ αὐτῶν τῶν ἐμπυημάτων ἐστὶν ἀρχὴ δ᾽ ἔσθ᾽ ὅτε καὶ ἀνώμαλος καὶ ἄτακτος. ἑκτικὸς ἐστι πᾶσιν. ἤδη δὲ τοῦ πύου παρακειμένου. τἆλλα μὲν παραπλήσια ἀλλ᾽ ὁμαλώτερος. ἐν δὲ ταῖς ῥήξεσιν ἀμυδρότερος, πλατύτερος, βραδύτερος, ἀραιότερος. τοὺς ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος εὐρυχωρίᾳ πλῆθος τι πύου περιεχόμενον ἔχοντας ἔνιοι μὲν ἐμπύους, οἱ δ᾽ ἐμπυϊκοὺς ὀνομάζουσι. γίνονται δὲ οὗτοι διὰ μέγεθος τῆς ἐν ταῖς πλευραῖς φλεγμονῆς εἰς πύον μεταβαλλούσης. ἔστι δ᾽ ὅτε καὶ περιπνευμονίαις ἀκολουθοῦσι. ἤδη δὲ καὶ πάντας οἷς σπλάγχνον τι φλεγμῆναν ἐξεπύησεν, ἐμπύους ὀνομάζουσιν. ὁ τοίνυν προγεγραμμένος περὶ τῶν ἐμπύων λόγος, ἐκ τῆς εἰσαγωγῆς, μάλιστα μὲν ἐπὶ τῶν πρώτων εἰρημένων, ἤδη δὲ κατὰ τῶν ἄλλων ἁπάντων, ἀληθής. εἰς πύον γάρ τοι μεταβαλλούσης τῆς φλεγμονῆς ἀναγκαῖον ἀνωμαλίαν γέ τινα καὶ ἀταξίαν ἐν τοῖς σφυγμοῖς γενέσθαι, διά τε τὴν τῶν ὀργάνων κάκωσιν, καὶ τὴν τῆς δυνάμεως ἀσθένειαν. ἐξ ἐπιμέτρου δὲ προσέρχεται ἡ οἷον διαμάχη τῆς φύσεως πρὸς τὸ σύμπτωμα. τὸ γὰρ ἐκ τῆς σήψεως ὑγρὸν ὡς ἂν ἄλλοτ᾽ ἀλλαχόσε μεταρρέον ἀτάκτως, ἅμα μὲν ἐμποδὼν ἵσταται ταῖς διεξόδοις τοῦ πνεύματος, ἅμα δ᾽ ἐπεγείρει τὴν φύσιν ἀπώσασθαι τὰ λυποῦντα, κἂν τούτῳ μεγάλοι τε καὶ σφοδροὶ καὶ ὑψηλοὶ καὶ ταχεῖς οἱ σφυγμοὶ γίνονται. μικρὸν ὕστερον δὲ ἤτοι καμνούσης ἐν τῇ διαμάχῃ τῆς δυνάμεως, ἢ κατά τι μόριον ἐμφράξεως ἰσχυροτέρας γινομένης, εἰς τἀναντία μεταπίπτουσι, μέχρις ἂν ἡ ζωτικὴ δύναμις ἑαυτὴν ἐπεγείρασα πρὸς διωθεῖσθαι ῥάπτεται τὰ λυποῦντα, κἂν τούτῳ πάλιν ὑψηλότεροι καὶ σφοδρότεροι τῶν ἔμπροσθεν οἱ σφυγμοὶ ἀποτελοῦνται. συνεχοῦς οὖν τῆς τοιαύτης μεταβολῆς γινομένης, ἀνωμαλία τέ τις ἐξ ἀνάγκης ἐν αὐτοῖς συνίσταται καὶ ἀταξία, καὶ ταῦτα παραμένει διηνεκῶς, ἄχρις ἂν ἡ ῥῆξις γένηται. διὰ τοῦτο καὶ ἑκτικὸς αὐτῶν ὁ σφυγμὸς εἴρηται. δηλωτικὸν γάρ ἐστι τοῦτο τὸ ὄνομα παρὰ τοῖς νεωτέροις ἰατροῖς τοῦ διὰ παντὸς μένειν αὐτὸν ὅμοιον, καὶ μὴ κατὰ περιόδους οἷον καταβολάς γέ τινας ποιεῖσθαι, καὶ αὖθις διαλείμματα, καθάπερ ἐν τοῖς ἄλλοις πυρετοῖς. παραμένει γὰρ ὁ προειρημένος σάλος ἐν τῇ κινήσει τῶν ἀρτηριῶν, ἄχρις ἂν ἡ ῥῆξις γένηται. ῥαγέντος μέντοι τοῦ διαπυΐσκοντος μορίου, δῆλον ὡς τἀναντία πάντα γενήσεται. καὶ χρὴ μεμνῆσθαι τῶν ἐν τῷ δευτέρῳ λόγῳ περί τε πλάτους εἰρημένων καὶ ὑψηλοῦ σφυγμοῦ, καὶ μὴ περὶ πάντων ἐθέλειν ἀκούειν πολλάκις. ἐπὶ γάρ τοι ταῖς ῥήξεσι τῶν ἐμπυημάτων, ἥ τε τάσις ἤδη τῶν ἀγγείων παύεται, καὶ ἡ δύναμις ἐν τῇ διαμάχῃ κέκμηκε, καὶ ἰσχνὸς ὁ ἄνθρωπος ἐξ ἀνάγκης γέγονεν. ὧν συνελθόντων, ὁ πλατὺς ἐγένετο σφυγμός. αὔξει δ᾽ αὐτοῦ μάλιστα τὴν ὡς πρὸς τὴν αἴσθησιν φαντασίαν ἡ πρὶν ῥαγῆναι, ἡ τῶν ἀρτηριῶν εἰς ὕψος ἄνοδος. ἐκείνης γὰρ ἔτι μεμνημένοι, καὶ παραμετροῦντες αὐτῇ τὰ νῦν φαινόμενα, πλατὺν ἱκανῶς ἀποτελεῖσθαι τὸν σφυγμὸν ὑπολαμβάνομεν.

Ἑξῆς ἐστιν ὁ περὶ τῶν μαραινομένων λόγος, ἐφ᾽ οὗ καὶ αὐτοῦ προγράψαντες ὅσα πρὸς τὴν τῆς αἰτίας εὕρεσιν ἐστὶ χρήσιμα, μετὰ ταῦθ᾽ ὑπογράψομεν τὴν ἐκ τῆς εἰσαγωγῆς ῥῆσιν. ὠνόμασται δὲ τὸ πάθος ἀπὸ τῶν φλογῶν τῶν μαραινομένων. ἐνδείᾳ δ᾽ αὗται τροφῆς ἀποσβέννυνται. ὅταν οὖν κατὰ τὸν αὐτὸν λόγον ἡ σύμφυτος τοῖς ζώοις θερμασία μαραίνηται, τοὺς σφυγμοὺς ἀναγκαῖον ἀμυδροὺς ὑπάρχειν, ὡς ἂν ἐξ ἀνάγκης ἀρρώστου τοῖς οὕτως ἔχουσι τῆς δυνάμεως ἀποτελουμένης. διὰ δὲ ταὐτὸ τοῦτο καὶ μικροὶ γίνονται. καὶ μὴν καὶ τάχος ἔχειν τι φαίνονται, ὅπερ καὶ τοῦτ᾽ ἀχώριστον ἐστὶ τῶν πυρεττόντων. ἐπεὶ καὶ πυρέττουσι μέν, ἄρρωστοι δ᾽ εἰσὶ τὴν δύναμιν, καὶ διὰ τοῦτο καὶ τὸν σφυγμὸν ἔχουσι μικρόν, ἀναγκαῖον αὐτοῖς ἐστι, καὶ πυκνὸν ἔχειν. ἐδείχθη γὰρ καὶ τοῦτ᾽ ἐν τοῖς ἔμπροσθεν λόγοις. ἀρρωστίᾳ δὲ δυνάμεως ἐδείκνυτο καὶ ὁ περινενευκὼς ἐπεὶ δὴ σφυγμός, μείουρος ὢν καθ᾽ ἑκάτερα τὰ μέρη. δῆλον δ᾽ ὡς καὶ διὰ παντὸς ὅμοιον ἑαυτῷ τὸν σφυγμὸν ἔχουσιν οἱ τοιοῦτοι, τῆς διαθέσεως οὐκ ἐκ τῶν ὑγρῶν, ἢ τοῦ πνεύματος ὡρμημένης, ἀλλ᾽ ἐν αὐτοῖς τοῖς στερεοῖς ὑπαρχούσης. ὅλη γὰρ ἐπὶ τούτων ἡ ἕξις τοῦ σώματος, οἷον ἄνθραξ τις γέγονε. καὶ διὰ τοῦτο ἑκτικοὺς οἱ νεώτεροι τῶν ἰατρῶν ὀνομάζουσι τοὺς τοιούτους σφυγμούς. ἐφ᾽ ὧν δ᾽ ἤδη τελέως ἀποσβέννυται τὸ θερμόν. ἐπὶ γερόντων δὲ μάλιστα τοῦτο συμπίπτει. καὶ ἀραιότερος ὁ σφυγμὸς γίνεται. καλεῖ δὲ τὸν τοιοῦτον μαρασμὸν ὁ Φίλιππος ἐκ νόσου γῆρας. καὶ συμπίπτει μάλιστα μὲν τοῖς παρηβῶσιν, ἐνίοτε καὶ τοῖς ἔτι ἀκμάζουσι. καὶ καλῶς ὑπὲρ αὐτῶν γέγραπται τῷ Φιλίππῳ, ὅτι τούτων ἡ διάθεσις οὐ τοῖς ἀκριβῶς διαπύροις

ἄνθραξιν

ἀνθρακιὰν ἔοικεν, ἀλλὰ τοῖς οὕτω σβεννυμένοις ὡς εἰς τέφραν ἤδη μεταβάλλειν. ἀρκεῖ ταῦτα τῷ γε νοῦν ἔχοντι πρὸς τὸ παρακολουθῆσαι τοῖς ἑξῆς. ὑπογράψομεν οὖν ἤδη τὴν ἐκ τῆς εἰσαγωγῆς λέξιν. Ὁ δὲ τῶν μαραινομένων οὐ καθ' ἓν εἶδος σφυγμὸς τρέπεται. χρὴ γοῦν καθόσον ἐνδέχεται διαφοραῖς ἀλλήλοις διορίζεσθαι περὶ αὐτοῦ. οἱ μὲν δὴ ταῖς μὴ λυθείσαις φλεγμοναῖς ἐπὶ βραχὺ συναπομαρανθέντες, ἀμυδροὺς καὶ θάττονας καὶ πυκνοὺς ἄγαν, καὶ μυούρους ἐπὶ μέγεθος ἐν μιᾷ πληγῇ τοὺς σφυγμοὺς ἴσχουσιν, οὓς Ἀρχιγένης ὑπονενευκότας τε καὶ προνενευκότας καλεῖ, σαφῶς δηλοῦν βουλόμενος, τὸ ἐπὶ τῆς διαστολῆς βραχὺ μετὰ τὴν τῶν ἑκατέρωθεν περάτων οἷον ὑπονεύσεως. οὐ γὰρ ὡς ἀποκεκομμένων ἀθρόως, ἀλλ' ὡς ὑποκεκαμμένων τῶν ἑκατέρωθεν μορίων, εἰς βραχὺ συνίσταται, μύουρος ὢν τῷ μεγέθει καὶ καθ' ἑκάτερα τὰ μέρη. τοῦτο μὲν οὖν οὐ τούτοις μόνοις, ἀλλὰ καὶ τοῖς πλείστοις τῶν ὁπωσοῦν μαραινομένων ὑπάρχει, τοῖς μὲν διὰ φλεγμονὰς πᾶσιν, ἤδη δὲ καὶ τῶν ἄλλων πολλοῖς, εἰ μή τι ἄρα κἀκεῖνοι, διά τινας φλεγμονὰς λανθανούσας μαραίνονται. καὶ εἴη ἂν οὗτος τῶν ἐπὶ φλεγμοναῖς μαραινομένων ἴδιος, οὐδενὶ τῶν ἄλλως μαρανθέντων ὑπάρχων. ἑκτικὸς δὲ πᾶσι τοῖς μαραινομένοις ὁ σφυγμός ἐστι, καὶ τοῦτ' αὐτοῖς κοινότερον. ἐν δ' αὐτῷ ἔσθ' ἡ ἐπὶ τὸ μέγεθος τῆς διαστολῆς ἀνωμαλία μυουρίζουσα. καὶ γὰρ καὶ τοῦτο τοῖς πλείστοις ὑπάρχει. τρίτον δὲ τὸ τῆς πυκνότητος. ὑπάρχει γὰρ καὶ τοῦτο πᾶσι μὲν τοῖς ἐπὶ φλεγμοναῖς μαρανθεῖσιν ἀχώριστον, ἅπασί τε τοῖς ἐπὶ καρδιακαῖς ἢ στομαχικαῖς συγκοπαῖς ὀξέως κινδυνεύσασιν. εἶτα ὑπὸ οἴνου πόσεως διαφυγοῦσι μὲν τὴν ὀξύτητα, μαρανθεῖσι δὲ τῷ χρόνῳ. εἰ μή τι ἄρα καὶ τούτους φήσειέ τις ἐπὶ μικραῖς φλεγμοναῖς ἀδήλοις ἡμῖν ἀπόλλυσθαι. καὶ γάρ τινες αὐτῶν τὸν ὑπονενευκότα σφυγμὸν ἔχουσιν, εἰ μή τι ἄρα πάλιν, τούτους μὲν ὑπὸ φλεγμονῆς, τοὺς δ' ἄλλους χωρὶς φλεγμονῆς μαραίνεσθαι φασί. τοῦτο μὲν δὴ ἄπορον. ἔχουσι δ' οὖν οὗτοι σφυγμὸν ἑκτικόν, ἀμυδρόν, πυκνὸν ἄγαν, καί τινες αὐτῶν ὑπονενευκότα καλοῦσι. δευτέρα μὲν αὕτη διαφορὰ σφυγμῶν τοῖς μαραινομένοις. ἄλλη δὲ τρίτη τῶν ἀραιὸν ἰσχόντων, ἀλλὰ καὶ τούτοις πάντως ὅτε προηγησάμενος πυρετὸς ἐπύκνωσεν αὐτούς, τῆς τε δυνάμεως ἡ ἐσχάτη λύσις ἱκανῶς πυκνοί. τὸν μέσον δὲ πάντων πυρετῶν ἀποψυχθέντων, μηδέπω δὲ ἀπολλυμένων αὐτῶν, τῆς εἰς ἀραιότητα ῥοπὴν ἐργάζεται. τοῦτο τὸ εἶδος τοῦ μαρασμοῦ πρεσβυτικῆς ἡλικίας ἴδιον εἴη ἂν μάλιστα τῶν περὶ πνεύμονα καὶ θώρακα πεπονθός τι τύχοι. οὗτοι τὴν πυρεκτικὴν σκληρότητα τοῦ σφυγμοῦ φυλάττουσι κἂν ἀραιὸς ᾖ. παντελῶς δ' ὀλίγοις τῶν μαραινομένων εἰς ἄλλην ἀνωμαλίαν ὁ σφυγμὸς ῥέπει, πλὴν τῆς εἰρημένης περὶ τὸ μέγεθος. Ἑξῆς περὶ τῶν φθισικῶν ὀνομαζομένων ὁ λόγος ἐστί. μικρὸν μὲν καὶ ἀμυδρὸν ἐχόντων τὸν σφυγμὸν ἀρρωστίᾳ τῆς δυνάμεως, οὐ μὴν ἱκανῶς γε ταχύν, ὥσπερ οἱ πολλοὶ τῶν πυρεττόντων, ὅτι μηδὲ πάνυ καὶ πυρέττουσι πυρετόν. ἑκτικὸν δὲ καὶ οὗτοι τὸν σφυγμὸν ἔχουσιν, ὅτι καὶ τὸν πυρετόν. ἀπὸ γοῦν τοῦ κατειληφότος τὴν ὅλην ἕξιν τοῦ σώματος αὐτῶν πυρετοῦ ὁ σφυγμὸς οὕτως ὀνομάζεται. ἑξῆς δὲ τούτων ἐν τῷ τοῖς εἰσαγομένοις γεγραμμένῳ βιβλίῳ περὶ τῶν περιπνευμονικῶν ὁ λόγος ἐστί. προγράψαι δὴ κἀνταῦθα τὴν ῥῆσιν ἄμεινον εἶναί μοι δοκεῖ τοιαύτην ὑπάρχουσαν. Ὁ δὲ τῶν περιπνευμονικῶν μέγας ἐστί, καὶ ἀμυδρός, καὶ μαλακός, ὁμοίως τῷ τῶν ληθαργικῶν, πλὴν ὅσα πλεονάζει τῇ ἀνωμαλίᾳ τῇ τε κατὰ μίαν πληγήν, καὶ τῇ συστηματικῇ καλουμένῃ. κατὰ μὲν τὴν μίαν πληγὴν οἷον διακεκομμένος τε καὶ κυματιζόμενος, καὶ δίκροτος ἔσθ' ὅτε γινόμενος, ἐν δὲ τῇ συστηματικῇ τάς τε ἄλλας διαφορὰς ἔχει, καὶ ποτὲ μὲν διαλείπει, ποτὲ δὲ παρεμπίπτει. Ἡ μὲν ῥῆσις αὕτη τὰ συμπίπτοντα τοῖς περιπνευμονικοῖς ἀκριβῶς ἐκδιδάσκουσα. τὰς δ' αἰτίας αὐτῶν οὐ χαλεπὸν ἐξευρίσκειν τῷ μεμνημένῳ τῶν ἐν τοῖς πρώτοις ὑπομνήμασιν ἀποδεδειγμένων. οὐδὲν γὰρ θαυμάσιον, οὔτε μέγαν εἶναι τὸν σφυγμὸν αὐτῶν, οὔτε ἀμυδρόν, οὔτ' ἀνώμαλον ἐπὶ φλεγμοναῖς τοῦ πνεύμονος, οὕτω μὲν χαύνου καὶ μαλακοῦ σπλάγχνου, καὶ μεστοῦ ὑγρῶν χωρίων μυρίων, οὕτω δὲ πλησίον τῆς καρδίας κειμένου. διότι μὲν γὰρ χαῦνον καὶ μαλακὸν καὶ πολύκενον, ὑπὸ φλεγματικωτέρου τε καὶ παχυτέρου τὴν σύστασιν αἵματος εἰς φλεγμονὴν ἄγεται, τοῦ λεπτοῦ καὶ χολώδους, ὡς τὰ πολλά, διαρρέοντός τε καὶ σφηνοῦσθαι μηδαμῶς κατὰ τὸ σπλάγχνον δυναμένου. τὸ δὲ τοιοῦτον ῥεῦμα λέγω δὲ τὸ φλεγματικόν, διαβρέχει μὲν τὸν χιτῶνα τῶν ἀγγείων, διαλύει δὲ τὸν τόνον τῆς ἐν αὐτοῖς δυνάμεως, καὶ οὕτω μεγάλους τε ἅμα καὶ ἀμυδροὺς ἀποτελεῖ τοὺς σφυγμούς. ὅτι δὲ καὶ τῆς καρδίας ἐγγὺς τὸ σπλάγχνον, ἡ ἀνωμαλία πολυειδὴς γίνεται. θλίψεσι γὰρ ἀρτηριῶν καὶ σφηνώσεσι, καὶ ὅλως πληθωρικαῖς διαθέσεσιν ἐδείξαμεν ἕπεσθαι τὴν ἀνωμαλίαν, καὶ μᾶλλον, ἐπειδὰν ἐγγὺς ὦσι τῆς καρδίας. ὅτι δ' ἐν ταῖς περιπνευμονίαις θλίβονται, καὶ βαρύνονται, καὶ σφηνοῦνται, καὶ ἀρρωστοῦσιν αἱ ἀρτηρίαι τοῦ πνεύμονος, οὐ δεῖ λόγου. διὰ τοῦτο δὲ καὶ ὁ δίκροτος ἐπ' αὐτῶν σφυγμὸς σπανίως γίνεται, καίτοι τῆς γ' ἄλλης ἀνωμαλίας πολλῆς συμπιπτούσης, ὅτι δεῖ τοὐπίπαν τῷ δικρότῳ προσεῖναί τι σκληρότητος ἀγγείου. ταύτην δ' ἐκ φλεγματικοῦ ῥεύματος οὐχ οἷόν τε κτήσασθαι. τοῦ γὰρ χολωδεστέρου, τὸ συνάγειν καὶ ξηραίνειν καὶ τείνειν καὶ σκληρύνειν ἔργον. ἐπεὶ τοίνυν σπανίως τοῦτο διοχλεῖ τῷ πνεύμονι, δῆλον ὡς καὶ ἡ σκληρότης σπανίως ἔσται. εἰ δὲ τοῦτο, καὶ ὁ δίκροτος σφυγμός. ὅτι δὲ παρὰ τὸ τῆς βλάβης μέγεθος, ἤτοι διαλείποντες, ἢ παρεμπίπτοντες ἔσονται σφυγμοί, καὶ τοῦτ' ἐν τῷ δευτέρῳ λόγῳ δεδήλωται. καὶ ὅστις οὐ μέμνηται ἐκείνων, μάτην καὶ ταῦτα ἀναλέγεται. μεμνημένῳ δὲ περιττοτέρας ἐξηγήσεως οὐκ ἡγοῦμαι δεῖν ἔτι. καὶ γὰρ τὰ τούτοις ἐφεξῆς εἰρημένα διὰ τῆς εἰσαγωγῆς ὑπὲρ τῶν περιπνευμονικῶν, οὐκ ἔχει τὰς αἰτίας ἀσαφεῖς τῷ μεμνημένῳ τῶν πρώτων. ἀλλ' ἀπόχρη κἀνταῦθα τὴν ῥῆσιν αὐτὴν παραγράψαι μόνον. πυρεττόντων δὲ ἁπάντων τῶν περιπνευμονικῶν ὀξέως, καί τι καὶ κωματωδῶς ἐχόντων, ὁποτέρου ἂν αὐτῶν ἐπικρατῇ, κατ' ἐκεῖνο μάλιστα τὸ ποσὸν τῆς πυκνότητος εὑρίσκεται. πυρεττωδεστέρας μὲν γὰρ ὑπαρχούσης τῆς περιπνευμονίας, ἱκανῶς πυκνὸς ὁ σφυγμός, κωματωδεστέρας δὲ ἧττον πυκνός. Ὁ δὲ τῶν ληθαργικῶν σφυγμὸς ὅμοιος ὢν τῷ τῶν περιπνευμονικῶν „
κατὰ μέγεθος καὶ ἀσθένειαν καὶ μαλακότητα, βραδύτερος ἐστὶν αὐτοῦ καὶ ἀραιότερος, καὶ ἧττον ἀνώμαλος, „
διαλείπων μᾶλλον ἢ παρεμπίπτων. γίνεται δ' ἔστιν ὅτε καὶ δίκροτος. ἀεὶ μέντοι κυματώδης ἐστὶν ἔν γε ταῖς „
βαθείαις καταφοραῖς ἐφ' ὧν ταῦτα λέγεται. τῶν γὰρ συμπεπληρωμένων ἅπασι τοῖς ἑαυτῶν γνωρίσμασι νοσημάτων „
τοὺς σφυγμοὺς διεξιμεν, ἵνα καὶ τῶν ἐλλειπόντων κατά τι καὶ μηδέπω τελέως ἱκανῶς γνωρίζειν δυνηθῶμεν „

τὸ μέγεθος. ὅσον τε ἤδη ἔχουσι, καὶ ὅσον οἷόν τε προσγίνεσθαι αὐτοῖς. Ὅτι καὶ ὁ λήθαργος ὑπὸ φλεγματώδους
γίνεται χυμοῦ, δέδεικται καὶ τοῦτ' ἐν τοῖς ἰδίοις ὑπὲρ τῶν νοσημάτων λόγοις. ὥστε καὶ εὐλόγως ὁ σφυγμὸς ὁμοιότατος
ἐστὶ τῷ τῶν περιπνευμονικῶν, βραδύτερος εἰς τοσοῦτον, εἰς ὅσον ἀποκεχώρηκε τῆς καρδίας οὐκ ὀλίγον ὁ ἐγκέφαλος. ὁ
γὰρ δὴ πνεύμων τῇ γειτνιάσει τῇ πρὸς ἐκείνην, εὐλόγως ὠκυτέρους τε καὶ πυκνοτέρους ἀπεργάζεται τοὺς σφυγμοὺς,
ἐπειδὰν θερμότερος ᾖ. ὅτι δὲ καὶ ἀνωμάλους μᾶλλον εὔλογον γίνεσθαι διὰ τὴν γειτνίασιν, οὐδὲ τοῦτο ἄδηλον τοῖς με-
μνημένοις τῶν πρώτων. διὰ τοῦτο δὲ καὶ διαλείπων ἐστὶν, ἢ παρεμπίπτων μᾶλλον ὁ τῶν ληθαργικῶν σφυγμός. ὑπὸ πλέ-
ον γὰρ ψυχρότερον, καὶ ὡς ἂν εἴποι τις νεκρωδέστερον τοῦ τῆς περιπνευμονίας ἐστὶ, τὸ τοῦ ληθαργικοῦ νόσημα. ψυχρᾶς
δ' ἦν οἰκεῖος διαθέσεως, καὶ δυνάμεως ὑπὸ πλέον ἀπεψυγμένης, ὁ διαλείπων σφυγμός. Ὁ δὲ τῶν φρενιτικῶν σφυγ-
μὸς μικρός ἐστι. σπανιώτατα δ' ὤφθη ποτὲ μέγας, καὶ τόνου μετρίως ἔχει καὶ σκληρὸς καὶ νευρώδης ἐστὶ, καὶ πυκνὸς
ἄγαν καὶ ταχύς. ἔχει δέ τι καὶ κυματῶδες. ἐνίοτε δὲ καὶ ὑποτρέμειν τοῖς δόξει. ποτὲ δὲ καὶ ἀποκεκόφθαι σπασμω-
δῶς. τὸ γὰρ τῶν πυρετῶν ἴδιον ἐν τῷ τάχει σύμπτωμα μάλιστα οὗτος ἐναργῶς ἐκτήσατο κατ' ἀμφότερα τῆς διαστο-
λῆς τὰ πέρατα, καὶ μᾶλλον τὸ ἔξω. ἔστι δὲ καὶ τὸ τῆς κατὰ τὴν θέσιν ἀνωμαλίας εἶδος εὑρεῖν ἐν αὐτῷ σφο-
δρὸν γινόμενον ποτέ. ἀλλὰ καὶ ὅλη σοι δόξει πολλάκις ἡ ἀρτηρία καταλιποῦσα τὸν ἑαυτῆς τόπον ἄνω φέ-
ρεσθαι, κλονωδῶς ἀναβραττομένη μᾶλλον, ἢ σφυγμωδῶς διαστελλομένη. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ κάτω
χωρεῖν κατασπωμένη μᾶλλον, ἢ συσπωμένη. τὸ δ' ἄγαν αὐτῆς πυκνὸν ἐφεδρεύουσαν ἀπειλεῖ συγκοπήν. οὐ
δ' ἐνταῦθα χαλεπὸν οὐδὲν ἐξευρεῖν τὰς τῶν εἰρημένων αἰτίας, τῷ γιγνώσκοντι μὲν, ὡς ὑπὸ χολώδους χυμοῦ
φρενῖτις γίνεται, καθάπερ ὑπὸ φλεγματώδους λήθαργος, εἰδότι δὲ, ὅτι καὶ κατὰ μὲν αὐτὸν τὸν ἐγκέφαλον ὁ
λήθαργος μᾶλλον ἔχει τὴν γένεσιν, ὁ φρενῖτις δὲ κατά τε τὴν λεπτὴν μάλιστα μήνιγγα, καὶ τὸ διάφραγμα.
τούτων γάρ τις μεμνημένος, καὶ ὅτι μικροὶ, καὶ ὅτι σκληροὶ κατὰ λόγον οἱ σφυγμοὶ γίνονται, μαθεῖν οὐ δεῖ-
ται. καὶ μὴν εἰ θερμὸν μὲν τὸ πάθος, μικροὶ δ' οἱ σφυγμοὶ, πάντως δή που καὶ πυκνοί. δέδεικται γὰρ ἐν τοῖς
ἔμπροσθεν ὡς τὸ τῆς προτέρας διαστολῆς ἐλλιπὲς, εἰς πυκνότητα τρέπει τοὺς σφυγμούς. ὥσπερ δ' ὁ περιπνευ-
μονικὸς σπανίως ποτὲ δίκροτος γίνεται, διότι σκληρότητος ἥκιστα μετέχει, οὕτως ὁ φρενιτικὸς κυματώδης σπα-
νιώτατα γίνεται, διότι καὶ αὐτὸς ἥκιστα μετέχει μαλακότητος. τὸ δ' ὑποτρέμειν ὅτι δυνάμεως ἐστὶν ἀρρωστού-
σης γνώρισμα, δέδεικται δι' ἑτέρων. ὅταν οὖν ἡ ἐν ταῖς ἀρτηρίαις δύναμις ὑπὸ πλέον διαστέλλειν αὐτὰς ἐγ-
χειρῇ. δεῖται γὰρ τούτου διὰ τὸ πλῆθος τῆς θερμασίας, ἔπειτα μὴ δύνηται διὰ τὴν σκληρότητα τοῦ χιτῶ-
νος, ὑποτρέμειν πως ὁ σφυγμὸς δοκεῖ. καὶ δῆλον, ὡς τηνικαῦτα μάλιστα γίνεται τὸ τοιοῦτον, ἐπειδὰν καὶ
συγκοπήσεσθαι μέλλωσιν, ὥσπερ ἐπειδὰν σπασθήσεσθαι, σπασμώδης ἐστὶ καὶ ἡ τῶν σφυγμῶν κίνησις. τὸ δ' ἀπο-
κεκόφθαι σπασμωδῶς τὴν κίνησιν καὶ μὴ κατὰ βραχὺ παύεσθαι, διὰ παντὸς ὑπάρχει τοῖς φρενιτικοῖς, ὡς ἂν καὶ τῆς
θερμότητος ἐπικρατούσης, καὶ τῶν ὀργάνων σκληρῶν ὑπαρχόντων. ὀρεγομένης γὰρ ἔτι τῆς δυνάμεως διαστέλ-
λειν τὰς ἀρτηρίας, ἡ τῶν χιτώνων ἀντιβαίνει σκληρότης, κἀντεῦθεν, τὸ βίαιον καὶ τὸ οἷον σπασμωδῶς ἀπο-
κεκομμένον. οὕτω δὲ καὶ ἡ ἀρχὴ τοῦ διαστέλλεσθαι τὰς ἀρτηρίας, ἐξαιφνίδιός τέ τις καὶ ἀθρόα, ὥσπερ ἐκθορ-
νυμέναις γίνεται μᾶλλον, οὐ κατὰ βραχὺ διαστελλομέναις. οὕτω δὲ καὶ τοῖς ὑπὸ φλεγμονῇ πυρέττουσιν ἅ-
πασι, τοῖς μὲν, μᾶλλον, τοῖς δ' ἧττον, φαίνεται τὸ τοιοῦτο συμβαῖνον, οὐκ ἐν τῷ πέρατι μόνον τῆς κινήσεως,
ἀλλὰ καὶ κατὰ τὴν ἀρχὴν εὐθύς. αἰτία δὲ κοινὴ τούτων ἁπάντων, ἡ τῆς χρείας τῶν σφυγμῶν αὔξησις, ἅμα τῇ τοῦ
χιτῶνος σκληρότητι. ὅταν γὰρ ἐπείγῃ μὲν ἡ χρεία, καὶ διὰ τοῦτ' ἡ δύναμις ὡς ἐπὶ μεγάλην τε καὶ ταχεῖαν
ἐξορμᾷ διαστολὴν, ἀντιβαίνει δ' ἡ τῶν ὀργάνων σκληρότης, ἀνάγκη τὴν προειρημένην ἰδέαν ταῖς κινήσεσι
συμπίπτειν. ἀλλὰ καὶ ὅτι διὰ τὴν αὐτὴν ταύτην ξηρότητά τε καὶ σκληρότητα καὶ τάσιν τῶν ἀγγείων, ἀνώ-
μαλος ὁ σφυγμὸς φαίνεται κατὰ τὴν θέσιν, οὐδὲν θαυμαστὸν ἐννοεῖν, τοῖς μεμνημένοις τῶν ἔμπροσθεν. ὥσπερ
οὐδ' ὅτι τὸ λίαν πυκνὸν, ἐφεδρεύουσαν ἀπειλεῖ συγκοπήν. ἀρρώστου γὰρ δυνάμεως ἡ πυκνότης ἔγγονος ἐδείκνυ-
το. ἐφεξῆς ὁ λόγος ἐστὶ περὶ τοῦ μικτοῦ δοκοῦντος εἶναι πάθους ἔκ τε φρενίτιδος καὶ ληθάργου, καὶ διὰ τοῦτο
καὶ τοὺς σφυγμοὺς ἐν τῷ μέσῳ τῆς ἑκατέρου τῶν παθῶν ἔχοντος ἰδέας. ἥτις μὲν δὴ τοῦ δὲ τοῦ πάθους ἐστὶν ἡ
φύσις, ἐν ἑτέροις δεδήλωται. διότι δ' εὔλογον αὐτῷ καὶ τοὺς σφυγμοὺς ἔχειν μικτοὺς, ὡς ἂν καὶ αὐτῷ μικτὴν
τὴν φύσιν ὑπάρχοντι, θαυμάσιον οὐδέν. ὥστε τις τοῦτο γινώσκων οὐδὲν ἔτι δεῖται λόγου πλείονος. ἀλλ' ἀρκεῖ
» μοι κἀνταῦθα παραγράψαι τὴν ἐκ τῆς εἰσαγωγῆς ῥῆσιν ὧδέ πως ἔχουσαν. ἔστι δέ τι καὶ ἄλλο πάθος ὃ εἴτε
» μέσον αὐτὸ ληθάργου καὶ φρενίτιδος χρὴ νομίζειν, ὡς οὐδ' ἑτέρῳ ταὐτὸν ὂν, εἴτε κοινὸν ἀμφοῖν, ὡς μικτὸν ἔκ τε
» τῶν τῆς φρενίτιδος εἰδῶν, ἔκ τε τῶν τοῦ ληθάργου, τοῦτο μὲν ἰδίᾳ σκεψόμεθα. περὶ δὲ τῶν σφυγμῶν νῦν αὐτοῦ
» ἐροῦμεν. καὶ ἵνα μὴ ὥσπερ αἴνιγμά τι προσβεβλημένον ᾖ, τοῖς συνεδρεύουσιν αὐτὸ δηλώσω. τὰ μὲν πολ-
» λὰ μύουσι τοῖς ὀφθαλμοῖς καὶ ὑπνώδεις εἰσὶ καὶ ῥέγχουσιν. αὖθις δ' αὖ ὑπὸ πλεῖστον ἀτενὲς ὁρῶντες διετέλου-
» σαν ἀσκαρδαμυκτὶ, παραπλησίως τοῖς κατόχοις. καὶ εἰ πυνθάνοιό τι καὶ εἰ διαλέγεσθαι βιάζοιο, δυσχερεῖς
» ἀποκρίνασθαι καὶ ἀργοί. τὰ πολλὰ δὲ παραφόρως φθεγγόμενοι, καὶ οὐκ ὀρθῶς ἀποκρινόμενοι, καὶ ληροῦν-
» τες εἰκῇ. τοιοῦτον μὲν ἐστὶ τὸ πάθος, ὃ νῦν βούλομαι δηλοῦν τοῖς συνεδρεύουσι γνωρισθὲν, ἀπορίᾳ οἰκείου
» ὀνόματος. οἱ σφυγμοὶ δ' αὐτοῦ ταχεῖς μὲν καὶ πυκνοὶ παραπλησίως φρενιτικοῖς, ἀλλ' ἧττον. οὕτω δὲ καὶ
» ἰσχύος ἧττον ἐκείνων ἔχουσιν, πλατεῖς δὲ καὶ βραχεῖς. καὶ τὸ κατὰ τὴν ἔξω κίνησιν ἀθρόως ἀποκεκομμένον οὐκ
» ἔχοντες, ἀλλ' ἑτέρῳ μὲν τρόπῳ, καθάπερ εἴσω σπεύδοντες ὑποφεύγουσιν, ἐπιταχύνοντες τὴν συστολὴν, καὶ
» οἷον ὑποκλέπτοντές τι τῆς διαστολῆς, οὐ μὴν ὅμοιοί γε κατ' αὐτὴν τῷ τῶν φρενιτικῶν. τὸ γὰρ οἷον ἀποκεκομμένον οὐκ
» ἔχουσιν. οἱ δὲ τῶν κατόχων σφυγμοὶ, κατόχους γὰρ αὐτοὺς καὶ κατεχομένους ἐκάλουν οἱ παλαιοὶ, κα-
» τοχὴν δὲ καὶ κατάληψιν οἱ νεώτεροι τὸ πάθος ὀνομάζουσιν. ἐοίκασι μὲν τὰ ἄλλα τοῖς ληθαργικοῖς μεγέ-
» θους τε χάριν καὶ βραδυτῆτος καὶ ἀραιότητος, ὥσπερ καὶ ὅλον τὸ πάθος τοῦ πάθους οὐ πόρρω τὴν ἰδέαν
» ἐστὶν, οὐ μὴν ἀσθενὴς ὁ τῶν κατόχων σφυγμὸς, οὐ δὲ μαλακὸς, ἀλλ' ἐν τούτοις δὴ καὶ πάνυ διαφέρει, ὥσ-
τε καὶ

τε καὶ τῷ λύεσθαι μὲν καὶ οἰδίσκεσθαι τὴν ὅλην ἕξιν τοῖς ληθαργικοῖς, ἐσφίγχθαι δὲ καὶ συνέχεσθαι τοῖς κατόχοις. οὕτω δὲ καὶ ἀνωμαλίᾳ καὶ ὁμαλότητι διαφέρουσιν ἀλλήλων. ὁμαλὸς γὰρ ὁ τῶν κατόχων σφυγμός, ἀνώμαλος δὲ ὁ τῶν ληθαργικῶν. Ἀρχιγένης δὲ φύσει τὸν τῆς ἀρτηρίας τόπον ἰδίως ἐπ' αὐτῶν θερμότερον εὑρίσκεσθαι, καθάπερ τοῖς ἀπαθυμουμένοις μετὰ καταφορᾶς. Σύμπαντα σχεδὸν τἆλλα ταὐτὰ τοῖς κατόχοις ἐστὶ πρὸς τοὺς ληθάργους. πλὴν τοῦ διοιδίσκεσθαί τε καὶ οἷον νεκροῦσθαι τὴν ἕξιν. ὅθεν καὶ οἱ σφυγμοὶ τήν τε ἀμυδρότητα καὶ τὴν μαλακότητα, παραλλάττουσαν ἔχουσι, τὴν μὲν ὅτι μή πω τῆς δυσκρασίας ὅλην τὴν ἕξιν διαδεδυκυίας, ἡ δύναμις εὔρωστος ἐστί. τὴν μαλακότητα δὲ οὐδ' αὐτὴν ἔχουσιν, ὅτι μηδὲ τὸν χιτῶνα τῆς ἀρτηρίας ἤδη μαλακόν. ὁ δὲ τῆς ἀρτηρίας τόπος οὐκ ἀεὶ μὲν ἐναργῶς, ἐμοὶ γοῦν ἐφάνη θερμότερος, ὡς τὰ πολλὰ μέντοι σαφῶς εὑρίσκεται θερμότερος. αἴτιον δὲ κἀν τούτῳ τῷ πάθει κἀν τοῖς ἄλλοις ἐν οἷς ταὐτὸν εὑρίσκεται σύμπτωμα, τὸ τὴν ψῦξιν τῆς ἕξεως οὐχ ὁμοίως ἧφθαι τῶν ἀρτηριῶν. πολλὰ γὰρ τοιαῦτα συμπίπτει ταῖς ἀνωμάλοις δυσκρασίαις. φαίνεται τοίνυν θερμότερος ὁ τῶν ἀρτηριῶν τόπος τῶν πέριξ, ἐνίοτε μὲν αὐτῷ τῷ θερμαίνεσθαι μᾶλλον, ἐνίοτε δὲ τῷ τῶν περικειμένων ἧττον ἀψύχθαι. Τῶν δὲ σπωμένων αὐτὸ μὲν τὸ σῶμα τῆς ἀρτηρίας συνῆχθαι δοκεῖ, καὶ πανταχόθεν ἐσφῖχθαι, οὐχ ὡς τεθλιμμένον ὑπό τινος, ἢ στενοχωρούμενον, οὐ μὴν οὐδ' ὡς πεφρικὸς οἷον τὸ πυρετικόν, καὶ μάλιστα ὡς ἐν ἐπισημασίαις, οὐδ' ὡς διὰ σκληρότητα δυσεπέκτατον, οἷον τὸ ἐπὶ χρόνου μήκεσι, καὶ μάλιστα σὺν ἁμαρτήμασιν, ἢ σπλάγχνων κακώσεσιν, ἀλλ' ὡσανεὶ σῶμα νευρῶδες κοῖλον, οἷον ἔντερον ἤ τι παραπλήσιον ἐξ ἀμφοτέρων τῶν περάτων τεταμένον. οὕτω δὲ καὶ ἡ κίνησις ἀνώμαλος, ἄνω καὶ κάτω μεθισταμένης τῆς ἀρτηρίας ὥσπερ χορδῆς. οὐδὲ γὰρ διαστολῆς, ἢ συστολῆς ἔμφασίς ἐστιν, ἀλλὰ κλόνῳ μᾶλλον ἔοικεν, οἷον ἐκπηδώσης ἄνω, καὶ αὖθις ἔσω σπωμένης. καὶ οὐδὲ διακεκριμένως τοῦτο πασχούσης, ἀλλ' ἐνὶ χρόνῳ πολλάκις τὸ μέν τι μέρος αὐτῆς ἄνω φέρεσθαι δοκεῖ, καθάπερ ἐκτοξευόμενον, τὸ δὲ ἔσω φέρεσθαι, καθάπερ ὑπό τινος ἑλκόμενον. καὶ τὸ μὲν ταχέως κινεῖσθαι, τὸ δέ, βραδέως. δοκεῖ δὲ καὶ σφοδρὸς εἶναι καὶ μέγας ὁ τῶν σπωμένων σφυγμός. ὁ δ' ἐστὶ μὲν οὔτ' ἄρρωστος, οὔτε μικρός, οὐ μὴν ἐφ' ὅσον φαντάζεται σφοδρός, ἢ μέγας. ἐξαπατᾷ γὰρ ἡ πληγή, διὰ μὲν τὴν τάσιν εὔρωστος φαινομένη, διὰ δὲ τὸν κλόνον, ἐκπηδητική. ὅθεν καὶ ὑψηλότερος ἔσθ' ὅτε φαίνεται, καὶ οἷον ψόφον τινὰ τραχὺν ἀποτελεῖ πρὸς τὴν ἁφήν. καὶ οὐκ ἄν τινα λάθοι τῶν ἠσκημένων ὁ σφυγμὸς οὗτος. οὐδενὶ γὰρ ἔοικεν, οὔτε κατὰ τὴν ἐφ' ἑκάτερα τάσιν, οὔτε τὸ σπασμῶδες τῆς κινήσεως. μιγνυμένου δ' αὐτοῦ τῷ τῆς καταφορᾶς, δυσφορώτατος ἡ κίνησις, καὶ μόνῳ τῷ καθ' ἑαυτὸν ἑκάτερον γνωρίζειν ἀκριβῶς ἠσκημένῳ, δυνατὸν καὶ τὴν μίξιν ἐπιγνῶναι. Ἡ μὲν ῥῆσις ἡ ἐκ τῆς εἰσαγωγῆς αὕτη. πρόδηλος δὲ τῶν εἰρημένων ἡ αἰτία, τῷ μεμνημένῳ διότι συμπάσχουσιν ἀλλήλαις αἱ ἀρχαί.

Παραλύσεως σφυγμός, μικρὸς καὶ ἀμυδρὸς καὶ βραδύς ἐστι. καί τισι μὲν αὐτῶν καὶ ἀραιός, τισὶ δὲ καὶ πυκνὸς μέν, ἀλλ' ὑποδιαλείπων ἀτάκτως. Μικρὸς μὲν καὶ βραδύς ἐστιν ὁ τῶν παραλελυμένων σφυγμός, ὅτι ψυχρὸν τὸ πάθος. ἀμυδρὸς δέ, ὅτι καὶ ἡ δύναμις ἀρρωστοτέρα. μείζονος δὲ τῆς ἐν αὐτῷ γινομένης καταλύσεως, πυκνὸς ἅμα καὶ ἀνώμαλος καὶ ὑπολείπων ἀτάκτως. εἴρηται δ' ἐν τοῖς ἔμπροσθεν ἡ αἰτία κατὰ τὸ δεύτερον τῶνδε τῶν ὑπομνημάτων. Ἐπιλήπτων δὲ καὶ ἀποπλήκτων οἱ σφυγμοὶ παραπλήσιοι. ὅσα οὖν περὶ τῶν ἐπιλήπτων εἰρήσεται, τοσαῦτα καὶ περὶ τῶν ἀποπλήκτων εἰρῆσθαι χρὴ δοκεῖν, ἐπιτεταμένα μᾶλλον. ἐν μὲν δὴ τῷ μετρίως ἐνοχλεῖσθαι, καὶ μηδέπω τῆς φύσεως ἱκανῶς ἰσχυρότερον εἶναι τὸ πάθος, οὐδεμίαν εὔδηλόν ἐστιν εὑρεῖν τροπὴν ἐν μεγέθει, καὶ σφοδρότητι, καὶ τάχει, καὶ πυκνότητι καὶ σκληρότητι. μόνον δὲ ὥσπερ τεταμένη καθ' ἑκάτερόν ἐστιν ἡ ἀρτηρία, τοῖς σπωμένοις εἰκότως. εἰ δ' ἰσχυρὸν εἴη τὸ πάθος, ὡς βαρύνειν τὴν δύναμιν, ἀνωμαλίαν τέ τινα λαμβάνει καὶ τάσιν ἰσχυράν, καὶ μικρότερος, καὶ ἀμυδρότερος γίνεται, καὶ ἀραιός, καὶ βραδύς, μεγάλως δὲ θλίψαν, καὶ καταβαλὸν τὴν δύναμιν, ἀμυδροὺς, καὶ μικροὺς, καὶ ταχεῖς ἐργάζεται. Ἡ μὲν ῥῆσις αὕτη, τοσούτῳ δὲ οὐ δεῖ νεωτέρας ἐξηγήσεως τοῖς δὲ τοῖς σφυγμοῖς εἰς εὕρεσιν αἰτίας, ὥστε καὶ μαρτυρεῖ σαφῶς τοῖς ἐν τῷ πρώτῳ καὶ δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένοις. Ὁ τῶν συναγχικῶν σφυγμός, τάσιν μέν τινα παραπλησίαν ἔχει τῷ σπασμώδει, μέγας δ' ἐστὶ καὶ κυματώδης, ὡς ὁ τῶν περιπνευμονικῶν, καὶ ὁπότερον ἂν ἐν αὐτῷ μεγάλως ἐπικρατῇ, κατ' ἐκεῖνον χρὴ προσδοκᾶν τὴν μετάπτωσιν. εἰ μὲν γὰρ τὸ περιπνευμονικὸν εἶδος ἐπικρατήσειεν, εἰς περιπνευμονίαν. εἰ δ' αὖ τὸ σπασμῶδες, εἰς σπασμὸν ἡ συνάγχη τελευτήσει. ὅσοι δ' ἂν ἐξ αὐτῶν ἰσχυρῶς πνίγωνται, μικρὸς τούτοις καὶ ἀραιὸς ὁ σφυγμὸς γίνεται. τελευτώντων δὲ ἤδη πυκνὸς καὶ ἀνώμαλος. Πάσῃ μὲν φλεγμονῇ τὴν ἀρχὴν εἰς συμπάθειαν ἀγούσῃ, κοινὸν σύμπτωμα τείνειν τὸν σφυγμόν. ἀλλὰ μᾶλλον τοῦτο δρῶσιν, αἵ τε τῶν νευρωδῶν σωμάτων, καὶ ὅσα πλησίον εἰσὶ τῆς ἀρχῆς. ταῦτά τοι καὶ ὁ τῶν συναγχικῶν σφυγμός, οὐκ ἂν ἄνευ μὲν τάσεως, ἀλλ' ἤτοι πλέον ἢ ἧττον αὐτῆς μετέχει. γίνεται γὰρ τοῦτο διά τε τὸν ἐπιῤῥέοντα χυμόν, ἢ χολωδέστερον, ἢ φλεγματικώτερον ὑπάρχοντα, καὶ διὰ τὴν τῶν ὀργάνων αὐτῶν τῶν ἐν τῷ τραχήλῳ διαφοράν. τὰ μὲν γὰρ νευρωδέστερά τε καὶ συντονώτερα, τείνει μᾶλλον τὸν σφυγμόν. ὅσα δὲ σαρκώδη τε καὶ χαῦνα, κυματωδέστερον ἀπεργάζεται, τὰ δ' ἄλλα τῆς λέξεως δῆλα, πλὴν τοῦ κατὰ τὸ τέλος εἰρημένου, τοῦ μικρὸν μὲν καὶ ἀραιὸν γίνεσθαι τοῖς πνιγομένοις ἐξ αὐτῶν τὸν σφυγμόν, ἐπὶ τελευτῇ δὲ πυκνὸν καὶ ἀνώμαλον. ἔχει γὰρ οὕτως. ἐν μὲν ταῖς ἀρχαῖς τοῦ πνίγεσθαι μικρότεραι καὶ ἀραιότεραι τῶν ἀρτηριῶν αἱ διαστολαὶ γίνονται, τῆς τε δυνάμεως ἀῤῥωστούσης ἤδη καὶ τῆς χρείας μειουμένης. ἐφεξῆς δ' ὅταν ἤδη πλησίον ὦσι θανάτου. πειρᾶται ἡ δύναμις ἐπισπᾶσθαι συνεχέστερον, ὡς ἂν καὶ τῆς οὐσίας ἤδη τοῦ ψυχικοῦ πνεύματος ἐλλειπούσης ἀῤῥωστοῦσα δὲ μικρὰς μὲν ἐξ ἀνάγκης ἐργάζεται τὰς διαστολάς. ὅτι δὲ μικράς, διὰ τοῦτο καὶ πυκνάς. εἴρηται γὰρ ὑπὲρ τούτου ἔμπροσθεν. εἶτ' ἐξαίφνης ὡσπερεὶ πεδηθεῖσα. πολλάκις μὲν ἔστι, πολλάκις δ' ἐμέλλησε στῆναι. τούτων δὲ τὸ μὲν ἕτερον διαλείποντα, τὸ δ' ἕτερον ἀραιὸν ἐργάζεται τὸν σφυγμόν. ἄμφω δ' ἀνώμαλον, ἐν τῇ κατὰ τοῦτο τὸ γένος διαφορᾷ. Ὀρθοπνοίας ὀξείας σφυγμός, ἀνώμαλος ἄτακτος, ὑπεκλείπων, καὶ τῆς μὲν μέσης τῇ κακίᾳ πυκνός, τῆς δ' ἐσχάτως

βιαίας βραδὺς, καὶ ἐκλείπων. τῆς δ' ἀναιρούσης ἤδη, πυκνὸς καὶ ἀμυδρός. τοῦ χρονίου νοσήματος, ὃ δὴ προσαγορεύουσιν ὀρθόπνοιαν, ὀξεῖς εἰσὶν οἱ παροξυσμοὶ, καθάπερ καὶ τῆς ἐπιληψίας. ἐν τε οὖν τούτοις, οὐχ ἥκιστα δὲ κἂν ταῖς ἄλλαις ἁπάσαις ὀρθοπνοίαις ταῖς ὁπωσοῦν ἐξαιφνίδιον γινομέναις οἱ σφυγμοὶ πάντως μὲν ἀνώμαλοί τε καὶ ἄτακτοι καὶ ὑπεκλείποντες γίνονται διὰ τὰς ὀλίγον ἔμπροσθεν εἰρημένας αἰτίας. ἤδη δὲ παρὰ τὰς διαφορὰς τῆς κακίας, ἢ πυκνοὶ μᾶλλον ἢ ἀραιοί. ταχεῖς μὲν γὰρ οὐδέ ποτε διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως. ἐν μὲν δὴ τῇ μέσως μοχθηρᾷ, πυκνὸς μᾶλλον, ἅμα δὲ καὶ ἀνώμαλος ἐστὶ δηλονότι, καὶ ὑπεκλείπων. ἐν ἀρχῇ γὰρ τοῦ λόγου ταῦθ' ὡς ἀχώριστα προείρηται. διότι δὲ πυκνὸς γίνεται, τῆς χρείας μὲν ἐπειγούσης, τῆς δυνάμεως δ' ἀῤῥωστούσης, ἐν τοῖς ἔμπροσθεν εἴρηται. καὶ μὲν δὴ καὶ ἤδη νενεκρωμένης τῆς δυνάμεως, βραδὺς ἅμα καὶ ἐκλείπων. ἄμφω γὰρ ταῦθ' ὑπάρχει τῇ μηκέτι κινεῖσθαι δυναμένῃ. κατ' αὐτὸ δὲ τὸ ἀποθνήσκειν ἤδη, βιαιοτάτης μὲν τῆς τοῦ πνεύματος ἐπιζητήσεως τῇ φύσει γινομένης, ἀῤῥωστούσης δὲ δηλονότι τῆς δυνάμεως, ἐπὶ τὸ κινεῖσθαι μὲν ἔρχεται τῆς χρείας καταναγκαζούσης, οὐ δυναμένης δ' εἰς τοσοῦτον ἐξαίρειν τὴν ἀρτηρίαν, εἰς ὅσον ἡ χρεία ποθεῖ, πυκνοὺς ἐξ ἀνάγκης ἐργάζεται τοὺς σφυγμούς. καὶ τοῦτ' ἔτι ὀλίγον τινὰ χρόνον ἅπαν ὅσον εἶχε δυνάμεως ἐπιδεξαμένη, τελέως εὐθὺς ἀπεσβέννυται. ὑστερικῆς πνίξεως ἀποτεταμένος ἐστὶ σπασμωδῶς καὶ ἀραιός. τῆς δ' ὀλεθρίας πυκνὸς, ἄτακτος, καὶ ὑπεκλείπων. οὐδ' ἐπὶ ταύτης ἄπορος ἡ αἰτία τοῖς μεμνημένοις τῶν πρόσθεν. διὰ μὲν γὰρ τὸ πεπονθὸς ὄργανον νευρῶδες ὑπάρχον, εὐλόγως ἀποτείνεται σπασμωδῶς ὁ σφυγμός. ὅτι δὲ τὸ πάθος ψυχρὸν, ἡ ἀραιότης συνεδρεύει. καταλυομένης δ' εἰς ἔσχατον ἤδη τῆς δυνάμεως, εὐλόγως πυκνοῦται τε καὶ ἀνώμαλος ἅμα καὶ ὑπεκλείπων γίνεται. προείρηται γὰρ ἤδη καὶ περὶ τούτων, ὡς ὅταν ἐπείγῃ μὲν ἡ χρεία, κακῶς δ' ἡ δύναμις ἔχῃ, τοιοῦτον ἀνάγκη γίνεσθαι τὸν σφυγμόν. Στόμαχος πεπονθὼς, οὕτω γὰρ καλείσθω καὶ ὑφ' ἡμῶν ἐν τῷ παρόντι τὸ στόμα τῆς κοιλίας διὰ τὴν τῶν πολλῶν συνήθειαν, οὐ καθ' ἓν εἶδος τρέπει τὸν σφυγμόν. ἀλλ' ὁ μὲν, φλεγμαίνων μόνον, οἷον ἐπὶ φλεγμονῇ νευρώδους σώματος ἔμπροσθεν γίνεσθαι τὴν τροπὴν ἰδίαν ἐργάζεται. ὁ δὲ, θλιβόμενος, ἢ δακνόμενος, ἢ ἀλύων, ἢ λύζων, ἢ ἐμετικὸς, ἢ ναυτιώδης, ἢ ἀνόρεκτος, ἢ ὀδυνώμενος, κατὰ τὸ τοῦ συμπτώματος εἶδος. αἱ μὲν γὰρ δήξεις καὶ οἱ ἔμετοι, καὶ αἱ ναυτίαι, καὶ οἱ λυγμοὶ, καὶ ὁ ἀλυσμὸς, ἰσχυρῶς πυκνοῦσιν, σὺν τῷ μικρὸν καὶ ἀμυδρὸν ἐργάζεσθαι, καί τισι μετρίως θάττονα. θλίψις δὲ μόνη χωρὶς τούτων τινὸς, καὶ ἀραιὸν καὶ βραδὺν καὶ μικρὸν καὶ ἀμυδρόν. ἡ δὲ τοιαύτη θλίψις, ἐπί τε τροφαῖς βαρυνούσαις γίνεται μηδὲ μίαν ἐχούσαις ἰσχυρὰν δύναμιν, ἀλλ' αὐτῷ μόνῳ τῷ ποσῷ διοχλούσαις, καί τισιν ὑγροῖς συῤῥέουσιν εἰς αὐτὸν ἀδήκτοις. εἰ δὲ καὶ ψύχοιτο πρὸς αὐτῶν, τότε δὴ καὶ μάλιστα τοιοῦτος ὁ σφυγμὸς ἔσται. καὶ ὁ τῶν βουλιμιώντων τοιοῦτός ἐστιν. αἱ μὲν οὖν εἰς πυκνότητα τρέπουσαι διαθέσεις ἅπασαι χρονίζουσαι, ἢ σφοδρότεραι γινόμεναι, τὸν σκωληκίζοντα σφυγμὸν ἐργάζονται. αἱ δ' εἰς ἀραιότητα πρὸς τὰς εἰρημένας διαφορὰς ἐπιτείνειν, τοιοῦτόν τι σὺν αὐταῖς εἶδος ἐν τῇ καθ' ἕνα σφυγμὸν ἀνωμαλίᾳ γεννῶσιν, ὡς εἰς πολλὰ δοκεῖν τετρύφθαι τὸ σῶμα τῆς ἀρτηρίας, ὡς μὴ καὶ συνεχὲς εἶναι. καὶ οἷον ψάμμου προσπιπτούσης αἴσθησις γίνεται τῇ ἁφῇ κατὰ τὴν διαστολήν. Η μὲν ἐκ τῆς εἰσαγωγῆς ῥῆσις αὕτη. τὰς δ' αἰτίας τῶν εἰρημένων, ὅσαι μὲν πάνυ σαφεῖς εἰσὶ τοῖς μεμνημένοις τῶν ἔμπροσθεν, οὐ δέομαι λέγειν. ὅσαι δ' ἀσαφέστεραι, ῥηθήσονται. δυνάμεως γὰρ ἀῤῥωστούσης, τῆς μὲν κατὰ τὸν ἑαυτῆς λόγον ἐπὶ δυσκρασίᾳ δηλονότι, τῆς δὲ, διά τι τῶν ἔξωθεν, ἤτοι βαρυνομένης, ἢ ἐρεθιζομένης κακοήθως. ἐπὶ μὲν ταῖς βαρυνομέναις, μικρὸς καὶ βραδὺς καὶ ἀραιὸς ὁ σφυγμὸς γίνεται, μικρὸς μὲν ὡς ἂν τῆς δυνάμεως κεκακωμένης, βραδὺς δὲ διά τε τοῦτο καὶ τῆς χρείας λελυμένης. ψυχραὶ γὰρ αἱ βαρύνουσαι τὴν δύναμιν εἰσὶ διαθέσεις. διὰ τοῦτο δὲ καὶ ἀραιὸς, ἐδείχθη γὰρ ἐκλυομένης τῆς χρείας τοιοῦτος γινόμενος. ἐπὶ δὲ ταῖς ἐρεθιζούσαις μόνον καὶ λυπούσαις τὴν δύναμιν διαθέσεσιν, μικρὸς μὲν κἀπὶ ταύταις καὶ ἀμυδρὸς διὰ κάκωσιν τῆς δυνάμεως, πυκνὸς δὲ διό τι καὶ ἀμυδρὸς, ἔστι δ' ὅτε καὶ βραχεῖ θάττων. ὥσπερ γὰρ καὶ ἡμεῖς αὐτοὶ πολλάκις ἀσθενέστεροι γινόμενοι, κἄπειτα διά τινα χρείαν ἐπειχθέντες, ἐπὶ πλεῖστον μὲν διαβαίνειν τοῖς σκέλεσιν ἀδυνατοῦμεν, εἰς ὅσον δ' οἷοί τε ὦμεν ἀναγκάζομεν ἡμᾶς αὐτοὺς θᾶττόν τε καὶ πυκνότερον προσβαίνειν, οὕτω καὶ ἡ τὰς ἀρτηρίας κινοῦσα δύναμις, ὅταν ἐπείγηται μὲν ὑπὸ τῆς χρείας εἰς τὰς κινήσεις, ἀσθενὴς δ' ᾖ, μεγάλας μὲν οὐχ οἵα τέ ἐστι ποιεῖσθαι τὰς διαστολὰς, ἔτι ὀλίγον δ' ἔπως ὠκυτέρας, πυκνὰς μὲν εἰς τοσοῦτον εἰς ὅσον ἐνδεέστερον τῆς χρείας αἱ διαστολαὶ γίνονται. κατὰ λόγον οὖν, ταῖς μὲν εἰς πυκνότητα τρεπούσαις στομαχικαῖς διαθέσεσιν τὸν σφυγμὸν ἐπιτεινομέναις, ὁ σκωληκίζων καλούμενος ἐπιγίνεται, καταλυομένης γὰρ ἦν οὗτος οἰκεῖος δυνάμεως, ταῖς δ' εἰς ἀραιότητα, οἷον διατεθρυμμένος ἀνώμαλος δυσκρασίας αὐτῶν τῶν ὀργάνων ἔγγονος ὑπάρχων. ὑδέρων σφυγμοὶ, τοῦ μὲν ἀσκίτου, μικρὸς καὶ πυκνότερος καὶ ὑπόσκληρος σύν τινι τάσει. τοῦ δὲ τυμπανίου, μακρότερος, οὐκ ἄῤῥωστος, θάττων, πυκνὸς, ὑπόσκληρος σύν τινι τάσει. τοῦ δὲ κατὰ σάρκα κυματώδης, πλατύτερος, μαλακός. Ο ἀσκίτης ὕδερος, ἐν τοῖς κατὰ τὴν γαστέρα χωρίοις ἀθροίζων ὑδατῶδους ὑγροῦ πλῆθος οὐκ ὀλίγον εἰς συμπάθειαν ἄγει τὰς μεγάλας ἀρτηρίας, ὡς τείνειν τε ἅμα, καὶ βαρύνειν, καὶ καταψύχειν. τείνειν μὲν, ἅμα τοῖς ἄλλοις τοῖς τῇδε, βαρύνειν δὲ διὰ τὸ βάρος. ψύχειν δὲ, διὰ τὴν περιττὴν ὑγρότητα. διὰ μὲν δὴ τὴν τάσιν, εὐλόγως τὸν σφυγμὸν ποιεῖ ὑπόσκληρον σύν τινι τάσει. διὰ δὲ τήν τε τῆς δυνάμεως κάκωσιν καὶ τὴν κατάψυξιν, μικρότερον. εἰς ὅσον δὲ μικρότερον τοῦ δέοντος, εἰς τοσοῦτον καὶ πυκνότερον, καὶ μᾶλλον ὅταν σὺν πυρετῷ. ὁ δὲ τυμπανίας ὕδερος ἧττον μὲν βαρύνει τὰς μεγάλας ἀρτηρίας, καὶ ὅλως τὴν δύναμιν, οὐχ ἧττον δὲ τείνει. διὰ τοῦτο οὖν ὑπόσκληρος μὲν σύν τινι τάσει, καθάπερ ἐν τοῖς ἀσκίταις ὁ σφυγμὸς γίνεται θάττων δ' ἐκείνων, καὶ ἧττον ἄῤῥωστος, πυκνὸς δὲ κατὰ τὰς αὐτὰς αἰτίας ἐκείνῳ. μακρότερος δὲ διὰ τὴν κουφότητα τῶν ἐπικειμένων ταῖς ἀρτηρίαις σωμάτων. ἐδείχθη γὰρ ἐν τῷ δευτέρῳ λόγῳ βραχὺς μὲν ὁ σφυγμὸς γινόμενος, ἐπειδὰν τῷ βάρει τε καὶ πλήθει τῶν ἐπικειμένων τε καὶ περικειμένων αὐτῶν σωμάτων θλίβονται, μακρὸς δὲ ἐκ τῶν ἐναντίων αἰτίων, ὧν ἐστι κεφάλαιον ἡ κουφότης τῶν ἐπικειμένων, ἣ καὶ τοῖς τυμπανίαις γίγνεται. πνεύματος γὰρ ὑποπιμπλᾶσιν ὅλον

τὸ σῶμα

τὸ σῶμα. λοιπὸς δ᾽ ὁ περὶ σάρκα τε καὶ ἀνὰ σάρκα προσαγορευόμενος, ὑγρότητι πολλῇ διαβρέχων ὅλην τὴν ἕξιν, ὡς τοὺς χιτῶνας τῶν ἀρτηριῶν ἐργάζεται μαλακοὺς οὕτω καὶ τοὺς σφυγμοὺς μαλακούς τε καὶ κυματώδεις, καὶ πλατυτέρους ἀποφαίνεται.

Ἐλεφαντιώντων σφυγμὸς, μικρὸς, ἀμυδρὸς, βραδὺς. πυκνός.

Ὁ τῶν ἐλεφαντιώντων σφυγμὸς οὐκ εὐθὺς ἐξ ἀρχῆς, ἀλλ᾽ ἐπειδὰν ἤδη πλεῖστον ἥκωσι κακώσεως, ὡς ἄῤῥωστον αὐτοῖς εἶναι τὴν δύναμιν, μικρὸς καὶ ἀραιὸς καὶ βραδὺς, καὶ πυκνὸς ἀποτελεῖται. ἐδείχθησαν γὰρ οἵδε, δυνάμεως ἅμα ψύξει κεκακωμένης οἰκεῖοι.

Ἰκτερώντων ἄνευ πυρετοῦ μικρότερος, σκληρότερος, πυκνότερος, οὐκ ἀμυδρὸς, οὐ ταχύς.

ὁ τῆς ξανθῆς χολῆς χυμὸς ἔχει τι φύσει ξηραντικὸν ὥσπερ ἅλμη καὶ θάλαττα, καὶ διὰ τοῦτ᾽ οὖν καὶ τὸν χιτῶνα τῶν ἀρτηριῶν, σκληρότερόν τε καὶ ξηρότερον ἐργαζόμενος, ἅμα αὐτῷ καὶ τὸν σφυγμὸν ἀποφαίνει σκληρότερον. εὐθὺς δὲ καὶ μικρότερον, ἀδυνατούντων δηλονότι τελέως διατείνεσθαι τῶν σκληρῶν ὀργάνων. ὡς δ᾽ εὐλόγως εἰς ὅσον τοῦ προσήκοντος γίνεται μικρότερος, εἰς τοσοῦτο καὶ πυκνότερος. οὐ μὴν ἀμυδρός γε. οὐ γὰρ ἄῤῥωστος ἡ δύναμις. οὐ μὴν οὐδὲ ταχὺς, ὅτι χωρὶς πυρετῶν. ὡς τοῖς γε μετὰ πυρετῶν, καὶ ταχὺς, διὰ τὴν τῆς χρείας ἔπειξιν.

Τῶν δ᾽ ἐλλέβορον εἰληφότων ὀλίγον μὲν πρὸ τῶν ἐμέτων ἡνίκα ἀνθλίβονται, πλατὺς, ἀραιὸς, ἀμυδρότερος, βραδύτερος. ἐμούντων δὲ καὶ σπαραττομένων ἀνώμαλος καὶ ἄτακτος. ἤδη δὲ βελτιόνων γινομένων, τεταγμένος μὲν ἀλλ᾽ ἔτι ἀνώμαλος. ἧττον δὲ ἢ πρόσθεν. ἐγγὺς δὲ τοῦ κατὰ φύσιν ἐλθόντων ὁμαλὸς καὶ μείζων τοῦ πρόσθεν καὶ σφοδρότερος. ὅσοι δ᾽ ἐξ αὐτῶν συγκόπτονται, καὶ σπῶνται καὶ λύζουσι, μικρὸς τούτοις, καὶ ἀμυδρὸς, καὶ ἄτακτος, καὶ θάττων, καὶ πυκνὸς ἄγαν. τοῖς δὲ πνιγομένοις αὐτῶν, μικρὸς, καὶ ἀμυδρὸς, καὶ ἄτακτος, καὶ ἀνώμαλος. οὐ μὴν πυκνὸς, οὐδὲ ταχὺς, ἀλλ᾽ ἔτι βραδύων μᾶλλον. ἐμφαίνει δέ τι καὶ κυματῶδες, καὶ πλατὺ, καὶ ποτὲ τάσιν τινὰ τῆς ἀρτηρίας βραχεῖαν.

Οὐδ᾽ ἤδη τῶν ἐλλέβορον εἰληφότων ἀλόγως οἱ σφυγμοὶ, θλιβομένων ἔτι, βραδύτεροι καὶ ἀραιότεροι καὶ ἀμυδρότεροι γίνονται. πάσης γὰρ θλίψεως ἦσαν οὗτοι κοινοί. τὸ δ᾽ ἴδιον αὐτῶν ἐστιν ἡ πλατύτης, ἣν ἐκ τοῦ τὸ πνεῦμα πᾶν ἔσω μετὰ τῆς θερμασίας ἕλκεσθαι συμβαίνει γίνεσθαι. τῆς μὲν γὰρ πρὸς τὰ πέρατα κινουμένης δυνάμεως, οἰκεῖος σφυγμὸς ὁ ὑψηλὸς, τῆς δ᾽ ὀκλαζούσης τε καὶ ἀντισπωμένης ἤδη τὸ ἔνδον ὁ ταπεινός. οὗτος οὖν ἐστιν ὁ καὶ τὴν τοῦ πλάτους ἀποτελῶν φαντασίαν, τὰ δ᾽ ἄλλα τὰ συμπίπτοντα αὐτοῖς, δῆλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Α'

Ὅτι μὲν οὐ τῶν μελλόντων ἡ πρόγνωσίς ἐστι μόνον, ἀλλὰ καὶ τῶν παρόντων τε καὶ τῶν προγεγονότων, ἀρκεῖ τὸ πάλαι πρὸς Ἱπποκράτους δεδηλωμένον. ἐγὼ γὰρ οὐ τί δήποτ᾽ ἐστὶ πρόγνωσις ἐρῶν ἔρχομαι νῦν, οὐδὲ μὴν πάρεργον, ἀλλὰ τοῖς εἰδόσιν ὃ δύναται περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, ἃ γινώσκω φράσω. διττῆς δὲ οὔσης τῆς κατ᾽ αὐτοὺς διδασκαλίας, ὥσπερ καὶ τῆς τῶν βοηθημάτων, ἑτέρας μὲν τῆς περὶ τὰς οἰκείας αὐτῶν δυνάμεις, ἑτέρας δὲ τῆς περὶ τὸ πάθημα, βέλτιον ἡγοῦμαι κατ᾽ ἀμφοτέρας γυμνάζεσθαι, ὥστε καὶ πάθους οὑτινοσοῦν προχειρισθέντος, ἑτοιμότατα δύνασθαι τοὺς σφυγμοὺς αὐτῶν διελθεῖν. ἑκάστου τ᾽ αὖ πάλιν ἰδίᾳ ῥηθέντος σφυγμοῦ τῶν παθῶν ἁπάντων ἀναμιμνήσκω διὰ ταχέων ὅσοι συμπίπτειν εἰώθεν. εἰ γάρ τις ἐν ἀμφοτέροις ἱκανῶς γυμνασάμενος ἀσκήσειεν ἑαυτὸν ἕκαστον τῶν σφυγμῶν ἀκριβῶς διαγινώσκειν, οὗτος ἂν οἶμαι τελέως ἂν εἴη τὰ κατ᾽ αὐτοὺς ἐκμεμαθηκώς. ὥστε καὶ εἴ τις εἰς δέον ὁμιλεῖ τοῖσδε τοῖς γράμμασιν, ἀναλέξασθαι χρὴ πρότερον αὐτὸν, ἣν ἐγράψαμεν ὑπὲρ τῆς τῶν σφυγμῶν διαγνώσεως πραγματείαν. ἐκείνης δὲ ἔτι πρότερον τὴν ὑπὲρ τῆς διαφορᾶς αὐτῶν, ἐν ᾗ πόσοι τε εἰσὶν οἱ σύμπαντες, ποῖός τε τίς ἕκαστος, ᾧ τέ τινι προσαγορευόμενος ὀνόματι διήλθομεν. ἔστι δὲ καὶ τρίτη τις ἑτέρα πραγματεία περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὧν ἁπασῶν εἰς τὰ παρόντα δεῖ. τῆς μὲν γοῦν πρώτης χωρὶς, οὐδὲν νοῆσαι τῶν λεγομένων οὐδὲν οἷόν τε μὴ προγινώσκοντα τῶν ὀνομάτων ἕκαστον ἐφ᾽ ὅτου πράγματος λέγεται. τῆς δὲ δευτέρας ἀγνοουμένης, οἴχεται σὺν αὐτῇ τὸ χρήσιμον ἅπαν ἐκ τῆς νῦν προκεχειρισμένης θεωρίας. εἰ γὰρ ἐγὼ μὲν γράφοιμι τὸν ταχὺν, ἢ τὸν μέγαν ἢ σφοδρὸν, ἤ τινα τῶν ἄλλων σφυγμῶν ἐνδείκνυσθαι τὸ δεῖνα προγεγονὸς, ἢ παρὸν, ἢ γενησόμενον, ὁ δὲ ἀναγινώσκων ἀγνοεῖ διαγινώσκειν ἤδη τῶν ἔργων αὐτοὺς, οὔτε κρῖναι δυνήσεται τῶν λεγομένων τὴν ἀλήθειαν, οὔτε προγνῶναι ποτ᾽ ἐξ αὐτῶν οὐδέν. ἡ δὲ τρίτη πραγματεία τὰς ἀλλοιούσας τοὺς σφυγμοὺς αἰτίας ἐκδιδάσκουσα, καὶ πρὸς ἀπόδειξιν τοῖς νῦν λεχθησομένοις ἐστὶν ἀναγκαία, καὶ πρὸς μνήμην καὶ πρὸς ἀνάμνησιν. εἰσόμεθα δὲ καὶ τοῦτ᾽ αὐτὸ σαφέστερον ἑνὸς οὑτινοσοῦν σφυγμοῦ προχειρισθέντος, οἷον εἰ τύχοι τοῦ μεγάλου. διαιρησόμεθα γὰρ ἐν αὐτῷ πρότερον μὲν τὴν ὁμωνυμίαν, ἐπειδὴ διχῶς ὁ μέγας λέγεται σφυγμός. εἶθ᾽ ἑξῆς καθ᾽ ἑκάτερον τῶν σημαινομένων ἐπισκεψόμεθα τί δηλοῦν πέφυκεν ἐνεστὸς, ἢ προγεγονὸς, ἢ μέλλον. τὰ μὲν δὴ σημαινόμενα δύο, τοιαῦτα ἐστίν. μέγας λέγεται σφυγμὸς, ὁ μὲν, ὡς πρὸς τὸν σύμμετρόν τε καὶ κατὰ φύσιν, ὁ δὲ, ὡς πρός τινα οὖν τὸν ἤδη τυχόντα. τὰ δὲ ἐξ ἑκατέρου προγινωσκόμενα, τὰ μέν τινα κοινὰ τῶν σφυγμῶν ἀμφοτέρων ἐστὶ, τὰ δὲ ἴδια. καθ᾽ ἑκάτερον ἑξῆς οὖν ἅπαντα διέλθωμεν, ἀπὸ κοινῶν ἀρξάμενοι. ῥᾴστη δ᾽ αὐτῶν ἡ εὕρεσις, εἴ τις εἴη μεμνημένος ὧν ἐν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ διήλθομεν, ἐπιδεικνύντες ὡς οὐχ ἓν τὸ γένος ἐστὶ τῶν ἀλλοιούντων αὐτοὺς αἰτίων, ἀλλὰ τὸ μὲν ὡς ἂν οὕτως τις εἴποι, συνεκτικὸν τῆς γενέσεως, ὅπερ δὴ καὶ κατὰ φύσιν ἐστίν. ἕτερον δ᾽ ἐναντίον, τὸ δὲ τῶν παρὰ φύσιν αἰτίων. ἐφ᾽ ᾧ τρίτον ἄλλο τῶν οὐ φύσει. ταῦτα μὲν

ὡς πρὸς τὴν ἀληθινὴν αὐτῶν ὕπαρξιν τε καὶ φύσιν. ἄλλο δὲ τέταρτον ὡς πρὸς τὴν φαινομένην, ὃ μάλιστα νῦν ἀναγκαῖον ἐστὶν ἀκριβῶς ἐξηγήσασθαι τῆς προγνωστικῆς πραγματείας ἰδιαίτατον ὑπάρχον. ἐκ γὰρ τοῦ φαίνεσθαι τοιόνδε ἢ τοιόνδε ἕκαστον τῶν σφυγμῶν, ἡ ἀρχὴ τῆς προγνώσεως ἡμῖν ἐστιν. οὐκ ἀεὶ δὲ φαίνεται τοιοῦτος οἷος καὶ ὄντως ἐστίν. καὶ λέλεκται μὲν ἤδη καὶ περὶ τούτου κατὰ τὸ δεύτερον τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπὶ τελευτῇ τοῦ βιβλίου. κἂν τῷ τρίτῳ δ' ἐπ' ὀλίγον, ἔνθα καὶ περὶ τῶν ἰσχνῶν διελεγόμεθα, λεχθήσεται δὲ καὶ νῦν ὀλίγον ὕστερον, ἐπειδὰν πρότερον ὑπὲρ τῶν ἀλλοιούντων αὐτοὺς αἰτίων διέλθωμεν. ἐδείχθη δὲ ἐν τῷ πρώτῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὡς οὐχ οἷόν ἐστιν ἀλλοιωθῆναι σφυγμὸν οὐδένα χωρὶς τοῦ τὴν ἐργαζομένην αὐτοῦ δύναμιν, ἢ τὸν χιτῶνα τῆς ἀρτηρίας, ἢ τὴν χρείαν δι' ἣν γίνεται, μεταβολήν τινα καὶ ἀλλοίωσιν ἔχειν. οὕτως οὖν κἀπὶ τῆς νῦν προκειμένης τροπῆς τῆς εἰς τὸ μέγεθος τῶν σφυγμῶν ἐπισκεψόμεθα τί ποτ' ἐστὶ τῶν εἰρημένων, ἢ τίνα, τὰ τὴν μεταβολὴν εἰληφότα, πότερον ἡ δύναμις εὐρωστοτέρα γινομένη, μεμαθήκαμεν γὰρ ὡς ὅσον ἐφ' αὐτῇ τὸν σφυγμὸν ἐργάζεται μείζονα, ἢ ταύτης ὁμοίας διαμενούσης, ὁ χιτὼν τῆς ἀρτηρίας ἐμαλάχθη. καὶ γὰρ καὶ τοῦτ' ἐμάθομεν, ὡς ὁ μαλακώτερος χιτὼν εἰς μέγεθος ἐξαίρει τὸν σφυγμόν, ἢ διὰ τὴν τῆς χρείας αὔξησιν ἡ τοιαύτη γέγονεν ἀλλοίωσις. εἰ μὲν οὖν ἡ δύναμις ἐῤῥώσθη, σφοδρότερος ἂν ἦν πάντως. ὑπόκειται δὲ γε μείζων μόνον γεγονώς. εἰ δὲ ὁ χιτὼν τῆς ἀρτηρίας μόνη ἐμαλάχθη, μαλακώτερος ἂν ἐξ ἀνάγκης ἐγένετο. εἴπερ οὖν μηδέτερον φαίνεται, δῆλον ὡς οὔθ' ἡ δύναμις, οὔθ' ὁ χιτὼν τῆς ἀρτηρίας ὑπήλλακται. λοιπὸν οὖν ἀναγκαῖον ἐξηλλάχθαι κατά τι καὶ μεταβεβλῆσθαι τὴν χρείαν τῆς τῶν σφυγμῶν γενέσεως. ἐδείχθη δὲ αὐτῶν ἡ χρεία διττή, πρώτη μὲν καὶ μεγίστη, φυλακὴ τῆς ἐμφύτου θερμότητος, δευτέρα δὲ γένεσις πνεύματος ψυχικοῦ. καλῶ δὲ οὕτω νῦν, ᾧ χρῆται πρὸς τὰ κατὰ προαίρεσιν ἐνεργείας ἡ ψυχή. τούτων ἄρα τι πάντως ὑπήλλακται παρὰ τὰ πρόσθεν, ὁπότ' εἰς μέγεθος ὁ σφυγμὸς μεταβέβληται. ἀλλὰ μὴν καὶ ὅτι βραχείας μὲν γινομένης τῆς διὰ τὴν χρείαν ἐκ τοῦ κατὰ φύσιν ἀλλοιώσεως, τὸ μέγεθος τῶν σφυγμῶν μόνον ἐπιφανὲς ἔσται, τὸ δὲ τάχος οὐδέπω. πλείονος δέ, τὸ μέγεθος ἐπὶ μᾶλλον αὐξηθήσεται, καὶ τὸ τάχος ἐναργῶς φανεῖται. παραυξανομένης δ' ἔτι, καὶ τὸ μέγεθος μὲν καὶ τὸ τάχος ἐπιταθήσεται, προσέτι δὲ καὶ πυκνότης, ὡς ἐκ τῆς περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείας εὔδηλον ἐστί. εἰ τοίνυν κατὰ τὸ μέγεθος μὲν ὁ σφυγμὸς ἠλλοιῶσθαι φαίνεται, τοῦτο γὰρ ὑπόκειται νῦν, ἀναγκαῖον ἐπὶ βραχὺ τὴν χρείαν ὑπηλλάχθαι. εἰ δὲ μὴ γέγονε μείζων ὁ σφυγμός, ἀλλὰ φαίνεται μείζων, ἰσχνότερον ἑαυτοῦ τὸ σῶμα τοῦ ἀνθρώπου δι' ἥν τινα οὖν αἰτίαν ἀποτελεσθῇ. τοῦτ' οὖν προεπιστάμενος τις, ἐπὶ τὰς διαγνώσεις ἡκέτω, πρῶτον μὲν τὰς τῶν ἁπλῶς ὑγιαινόντων σωμάτων. εἶθ' ἑξῆς ἐπὶ τὰς μετά τινος ἐπικτήτου κινήσεως. εἶτα ἤδη καὶ ἐπὶ τὰς τῶν νοσούντων ἁπλῶς. καὶ τελευταῖον ἐπὶ τὰς μετά τινος ἔξωθεν ἀλλοιώσεως. ἐν μὲν γὰρ τοῖς ἁπλῶς ὑγιαίνουσι σώμασιν, ὁ μέγας σφυγμὸς ἐνδείξεται τήν τε κρᾶσιν τἀνθρώπου καὶ τὴν σχέσιν τοῦ σώματος. ἐν δὲ τοῖς μετ' ἐπικτήτου διαθέσεως, ἐκείνην τὴν κίνησιν ἐπικρατεῖν ἧς οἰκεῖος ὁ μέγας ἐστὶ σφυγμός. εἴρηται δὲ ἐπὶ τῶν τοιούτων ἁπασῶν κινήσεων, ἐν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ. οὕτω δὲ κἂν τοῖς νοσοῦσι, τοῖς μὲν ἁπλῶς, ὁ μέγας σφυγμὸς ἐνδείξεται θερμὴν τῆς νόσου τὴν διάθεσιν. τοῖς δὲ μετὰ προσφάτου τινὸς ἔξωθεν ἀλλοιώσεως, ἐκείνην τὴν κίνησιν ἐπικρατεῖν, ἧς ἂν οἰκεῖος ὁ μέγας εὑρίσκεται σφυγμός. οἷον αὐτίκα τῶν ὑγιαινόντων ὅσοι τὸν σφυγμὸν ἔχουσι μέγαν, ὡς πρὸς τὸν σύμμετρον δηλονότι παραβαλλόμενον, ἀναμνησθῆναι χρὴ πρῶτον μὲν αὐτὸ δὴ τοῦτο, τίς ἐστιν ὁ σύμμετρος ἐν τούτῳ τῷ γένει, καὶ κατὰ τίνα φύσιν σώματος. ἐπιδέδεικται δ' ἐν τῷ δευτέρῳ τῆς τῶν σφυγμῶν διαγνώσεως ἐν ταῖς ἀρίσταις κατασκευαῖς τοῦ σώματος ὁ σύμμετρος ὑπάρχων σφυγμός, οὐδ' ἐπὶ τούτων διαπαντός, ἀλλὰ ὅταν ἁπάσης ἐπικτήτου ποιότητος καὶ κινήσεως ἀπηλλαγμένον ᾖ τὸ σῶμα τῶν ἐκ τοῦ γυμνασίου τινός, ἢ τροφῆς, ἢ πόματος, ἢ λουτρῶν, ἢ φαρμάκων, ἢ πάθους ψυχικοῦ γινομένων. ἀναμνησθέντα δή σε τοῦ συμμέτρου σφυγμοῦ, καὶ τὸν νῦν εὑρόντα, μέγαν ὡς πρὸς ἐκεῖνον ἐννοεῖν προσήκει, ὑπό τινος αἰτίας εἰς μέγεθος ἐπιδεδωκέναι. ἤτοι γὰρ διὰ τὴν ἰσχνότητα τοῦ σώματος, ἢ διὰ τὴν θερμότητα τῆς κράσεως, ἢ διὰ τὴν ἐπίκτητον κίνησιν, ἀλλ' αἱ μὲν ἐπίκτητοι κινήσεις, αὐτίκα καθίστανται παραμένουσι δ' ἔτι διὰ τὴν ἰσχνότητα καὶ τὴν κρᾶσιν. αὐτώ τε οὖν τούτω διορίζεσθαι χρὴ καὶ οἷς ὀλίγον ὕστερον ἐρῶ, μικρόν τι προειπὼν ἀναγκαῖον εἰς τὴν ἑξῆς ἅπασαν διδασκαλίαν. ἔστι δ' ὃ προειπεῖν βούλομαι, τοιόνδε. ἀκριβεστάτη διάγνωσις ἁπασῶν τῶν κατὰ τὸ σῶμα γινομένων ἀλλοιώσεων ἐκείνων ἡμῖν ἐστι τῶν σωμάτων, ὧν ἐπιστάμεθα τὴν φύσιν. εἰς ὅσον γὰρ ἐξίσταται τῆς φύσεως ἐπί γε τοῖς παρὰ φύσιν αἰτίοις, καὶ προσέτι τοῖς οὐ φύσει λεγομένοις, οὐκ ἐνεστιν ἄλλως ἐξευρεῖν ἀκριβῶς. οὐ μὴν ἀεί γε ταύτην γινώσκομεν, οὐκ οὖν οὐδ' ἀκριβῆ διάγνωσιν ἐπὶ πάντων ἕξομεν, ἀλλ' ἀεὶ τοσοῦτον ἀπολειπομένην τῆς ἀκριβείας, εἰς ὅσον καὶ τῆς τοῦ κατὰ φύσιν γνώσεως. ὑποκείσθω δὴ πρῶτον ἐν τῷ προκειμένῳ λόγῳ τὴν διάγνωσιν γίνεσθαι τῆς τοῦ ἀνθρώπου φύσεως, καὶ τοῦτ' αὐτῷ μόνον ἐξαίρετον ὑπαρχέτω, μείζων ὁ σφυγμὸς ἔστω τοῦ συμμέτρου χωρὶς ἁπάσης ἀλλοιώσεως ἐπικτήτου. τὸν γὰρ τοιοῦτον ἄνθρωπον ἀναγκαῖον ἐστι, τοῦ τὴν ἀρίστην ἔχοντος κατασκευήν, ἤτοι θερμότερον, ἢ ἰσχνότερον ὑπάρχειν εἴ τι μεμνήμεθα τῶν προγεγραμμένων ἡμῖν δυοῖν πραγματειῶν, τῆς τε περὶ διαγνώσεως σφυγμῶν, καὶ τῆς περὶ τῶν ἐν αὐτοῖς αἰτίων. ὑπομνήσθω δὲ καὶ τοῦθ' ἡμῖν ἐν ἅπασι τοῖς τοιούτοις λόγοις ὡς ἐν οἷς παραδιαζευκτικῷ χρώμεθα συνδέσμῳ, † τὴν πάντα ἅμα τὰ κατὰ μέρος ἐγχωρεῖ συνελθεῖν, εἴτε δύο, καθάπερ νῦν, ἥ τε θερμότης καὶ ἡ ἰσχνότης, εἴτε καὶ πλείω φαίνοιτο τὰ τὴν ἀλλοίωσιν ἐργαζόμενα. ὁ μὲν δὴ μέγας σφυγμὸς ὁ ἁπλῶς λεγόμενος, ὥσπερ ἐδείκνυτο πρὸς τὸν ἁπλῶς σύμμετρον παραβαλλόμενος, ἤτοι τὴν κρᾶσιν, ἢ τὴν παροῦσαν σχέσιν δηλώσει τοῦ σώματος. ὁ δέ γε ὃς πρὸς τὸν ἑκάστου κατὰ φύσιν μέγας ἐν ἐκείνῳ τῷ σώματι. δηλώσει καὶ αὐτός, ἤτοι θερμότητά τινα προσγινομένην τῷ κατὰ φύσιν ἢ ἰσχνότητα. τὰς δὲ ἀπό τινος ἔξωθεν αἰτίου τροπὰς τῶν σφυγμῶν κατὰ τάδε διορίζειν. ἡ μὲν ἐκ βαλανείων τε καὶ δρόμων, καὶ τρίψεων, καὶ τῶν ἄλλων κινήσεων γινομένη, βραχυχρόνιός τε ἐστι καὶ οὕτω ταχέως εἰς τὴν ἀρχαίαν ἐπανέρχεται κατάστασιν, ὥστ' ἐνίοτε τῶν σφυγμῶν ἁψαμένῳ, κἄπειτα βραχὺ

† δὲ. ἢ

τα βραχὺ

ται βραχὺ διαλειπόντι, καὶ πάλιν ἐφαψαμένῳ σαφέστατα διαγνῶναι τὴν μεταβολήν. ἡ δευτέρα γὰρ ἁφὴ τῆς
προτέρας διαλλάττουσα φαίνεται, κἂν βραχύτατόν τις χρόνον διαλείπῃ. τὸ δὲ ἀπ᾽ οἴνου καὶ τροφῆς μέγεθος τῶν
σφυγμῶν, ἄχρι μὲν πλείστου παραμένει. διορίζεται δὲ τῇ συνούσῃ σφοδρότητι, σφοδρὸς γὰρ οὐχ ἧττον, ἢ μέ-
γας τούτοις ὁ σφυγμὸς γίνεται, νυνὶ δὲ ὑπόκειται μείζων μόνον γεγενημένος. οὐκοῦν ἀπὸ τούτων ἠλλοίωται. καὶ
μήν γε καὶ ἡ ἀπὸ τοῦ θυμοῦ μετὰ σφοδρότητος γίνεται, καὶ οὐδ᾽ ἂν ἄλλως λάθοι τόν γε συνετὸν εἴς τε τοὺς ὀφ-
θαλμοὺς καὶ τὸ σύμπαν πρόσωπον ἀποβλέποντα. κατέχειν μέντοι καὶ κρύπτειν βουλομένῳ τὸν θυμὸν ἀνώμα-
λος ὁ σφυγμὸς γίνεται, καὶ μᾶλλον ἀνώμαλός ἐστιν τοῖς ἀγωνιῶσί τε καὶ αἰδουμένοις. ἡ δ᾽ ἀπὸ τῶν ἡμιπέ-
πτων ἐν τῷ σώματι χυμῶν πεττομένων τε καὶ τρεφόντων τὴν φύσιν εἰς μέγεθος ἐπίδοσις, ὁμοίως τοῖς εἰλη-
φόσι τροφὴν συναυξάνει καὶ τὴν σφοδρότητα. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἴ τις ἐν ἡλίῳ τε καὶ πυρὰ πυρὶ θαλ-
10 φθείη, πρὸς τῷ μὴ παραμένειν ἄχρι πολλοῦ τὴν ἀλλοίωσιν, ἔτι καὶ ὁ χρὼς αὐχμηρὸς αὐτοῖς, καὶ οὐχ ὑγρὸς ὡς ἀπὸ
βαλανείων ἐστί. οὗτοι μὲν οὖν ἐξ ὑπεναντίου πῶς διάκεινται τοῖς λελουμένοις, ὅσον ἐπὶ μαλακότητι καὶ ὑγρότη-
τι τοῦ δέρματος. μέσοι δ᾽ ἀμφοῖν ἐν τῇ καθ᾽ ὑγρότητά τε καὶ ξηρότητα μεταβολῇ τοῦ δέρματός εἰσιν οἱ τριψά-
μενοί τε καὶ γεγυμνασμένοι. καὶ μὲν δὴ καὶ ἡ θερμότης αὕτη πλείων μέν ἐστι περὶ τὰ στέρνα τοῖς γεγυμνα-
σμένοις τε καὶ θυμουμένοις, ἐλάττων δὲ τοῖς λελουμένοις, καὶ μᾶλλον ἄχρι τῶν ἄκρων ὁμαλῶς ἐκτεταμένη
μεθ᾽ ὑγρότητός τε ἅμα καὶ μαλακότητος. ὡσαύτως δὲ καὶ εἰ ὁ ἄνθρωπος ἠλείψατο μεταξύ τινι θερμαίνοντι
φαρμάκῳ, δακνώδης † δέ τις αἴσθησις ἀπὸ τῆς θερμότητος ἁπτομένῳ σοι γίνεται, καὶ τάχ᾽ ἂν οὐδ᾽ ἄλλως λάθοι † al. δὴ
τὸ ἐμπεπλασμένον αὐτοῦ τῷ δέρματι λίπος ἐκ τοῦ φαρμάκου. αἱ μὲν δὴ τεχνικαὶ διαγνώσεις αὗται τῶν εἰς
μέγεθος τρεπόντων αἰτίων τοὺς σφυγμοὺς ἐπί τε ὑγιαινόντων καὶ νοσούντων εἰσίν. αἱ δὲ ἔξωθεν αἱ μετ᾽ ἐξ ἀνακρί-
σεως, ὡς ὅτε γε μὴ ἐν ἐχθροῖς τισιν, ἢ ἐνεδρεύουσι, ἢ κακοήθεσιν ἀπειρωμένοις ἀνθρώποις ποιεῖ τε τὰς ἐπισκέ-
20 ψεις. αἱ δὲ ἀπὸ τοῦ μὴ κεχωρῆσθαι τοῦ κάμνοντος αὐτὸν τὸν ἰατρόν, ἅσπερ δὴ καὶ ἀρίστας φαμὲν τῶν διαγνώσεων. ὡς
ὅσαι γε μή τε διαπαντὸς παρόντος τοῖς νοσοῦσιν τοῦ θεραπεύοντος γίνονται, μήτ᾽ ἀληθῆ βουλομένους ἀπαγ-
γέλλειν, αὗται χαλεπώτεραί τε εἰσί, καὶ συνετοῦ πάνυ δέονται τοῦ ἰατροῦ. ἐμοὶ γοῦν συνέβη τῶν ἄλλων ἁπάν-
των ἀφωρισμένων αἷς πρόσθεν εἴρηκα διαγνώσεσιν, ὑπολείπεσθαι ζητῆσαι, εἴτε φάρμακον θερμαῖνον ὁ κά-
μνων προσενήνεκτο μεταξὺ μὴ παρόντων ἡμῶν, εἴτε καὶ τῷ τῆς ἐπισημασίας λόγῳ μέγεθος ὁ σφυγμὸς
προσέλαβεν. ἐν μὲν δὴ τοῖς τοιούτοις καιροῖς ἀναγκαῖόν ἐστι πανταχόθεν ἐπιτεχνᾶσθαί τε καὶ στοχάζεσθαι τἀ-
ληθοῦς. πρῶτος μὲν οὖν σκοπὸς ἐν τοῖς τοιούτοις ὁ παροξυντικός ἐστι χρόνος. ἐφεξῆς δὲ τοῦ κάμνοντος τὸ ἔθος
τε καὶ τὸ ἦθος. εἰ μὲν γὰρ ἄλλῳ τινὶ χρόνῳ, καὶ μὴ τῷ παροξυντικῷ μέγεθος ὁ σφυγμὸς προσεκτήσατο,
πιθανὸν ἀπὸ τοῦ θερμαίνοντος φαρμάκου μᾶλλον, οὐ λόγῳ παροξυσμοῦ γεγενῆσθαι τὴν ἀλλοίωσιν. εἰ δ᾽ ἐν τῷ
παροξυντικῷ, πιθανώτερον ἐπισημασίας λόγῳ. διορισθήσεται δὲ ἀκριβῶς εἰ βραχὺ διαλείποντες αὖθις ἁψό-
30 μεθα. τὴν μὲν γὰρ ἀπὸ τοῦ φαρμάκου θερμότητα, δι᾽ ἣν ὁ σφυγμὸς ἐπέδωκεν ἀεὶ καὶ μᾶλλον ἐκλύεσθαι συμ-
βαίνει τοῦ χρόνου προϊόντος. ἐπιτείνεσθαι δὲ τὴν ἐκ τοῦ παροξυσμοῦ. αὕτη μὲν οὖν ἡ διάγνωσις ἐκ τῶν ἰδίων
τῆς τέχνης ἐστίν. ἡ δ᾽ ἀπὸ τοῦ ἔθους τε καὶ ἤθους τῶν καμνόντων ἐξ ἐπιμέτρου προσέρχονται. τινὲς μὲν γὰρ ἀήθεις
τ᾽ εἰσὶ καὶ φοβεροὶ πρὸς τὰς τῶν φαρμάκων πόσεις, ἔνιοι δὲ συνήθεις τε καὶ χωρὶς φαρμάκων ζῆν οὐχ ὑπο-
μένοντες. καὶ τοίνυν ἡ πρόγνωσις τοῦ προσενηνέχθαι τι φάρμακον θερμαῖνον, ἐπὶ μὲν τῶν ὑπόπτων πρὸς αὐτά,
παντάπασιν ἀμυδρὰ καὶ βραχεῖα, μεγάλη δὲ ἐπὶ τῶν εἰθισμένων. ἤδη δὲ καὶ τὸ ἦθος αὐτὸ τοῦ κάμνοντος εἰς
τὴν τοιαύτην πρόγνωσιν οὐκ ὀλίγα συντελεῖ. τινὲς μὲν γὰρ ἐνεδρευτικοί τ᾽ εἰσίν, καὶ καταβλητικοὶ τῶν πέλας,
ἐξελέγχειν ἅπαντας ὡς μηδὲν βέβαιον ἐπισταμένους ἔργον πεποιημένοι. τινὲς δὲ ἁπλοῖ τε καὶ χρηστοὶ καὶ
πάντα φανερῶς διαπραττόμενοι, καὶ μηδὲν ὑποστελλόμενοι, μηδὲ κρύπτοντες. ἐπὶ μὲν δὴ τούτων, οὐδὲν ὑπο-
νοεῖν χρὴ πεπρᾶχθαι λαθραίως. ἐπὶ δὲ τῶν ἐνεδρευόντων ὑποπτεύειν προσήκει πάντα, καὶ περισκέπτεσθαι
40 καὶ διορίζεσθαι, τά τε κατὰ τὸν ἴδιον λόγον τῆς τέχνης ὑποπίπτοντα ταῖς διαγνώσεσι, καὶ τὰ παρὰ τῶν
ἔξωθεν προσερχόμενα. καθάπερ ἐγώ ποτ᾽ ἠναγκάσθην ἐπί τινος ἀνδρὸς πλουσίου ποιῆσαι, φιλοφαρμάκου τε
καὶ προσφερομένου συνεχέστατα φάρμακα. ἦν δὲ καὶ τὸ ἦθος οἷος ἥδεσθαι μάλιστα τοῖς τῶν πέλας ἐλέγ-
χοις, ὡς μηδὲν ἀκριβὲς ἐπισταμένων. εὑρὼν οὖν αὐτοῦ τοὺς σφυγμοὺς εἰς μέγεθος ἐπιδεδωκότας, εἶτα τῶν ἄλ-
λων ἁπάντων αἰτίων τῶν εἰρημένων ἀφορίσας, ὑπολοίπου δὲ ἔτι μένοντος διορισμοῦ, πότερον ὑπὸ φαρ-
μάκου θερμαίνοντος, ἢ λόγῳ παροξυσμοῦ πυρετικοῦ δὲ τοιοῦτον γέγονεν, καὶ γάρ πως καὶ ὁ καιρὸς αὐτὸς ἦν,
ὁ τῆς εἰσβολῆς τοῦ πυρετοῦ, δεῖξαι μοι τὴν γλῶτταν ἐκέλευσα, καὶ κεχρωσμένην ὑπὸ φαρμάκου θεασάμε-
νος, αὖθις ἡψάμην αὐτοῦ τῶν σφυγμῶν οὐδὲ μίαν ὑποψίαν ἐνδοὺς. ἐν τούτῳ δὲ καὶ, ὅτι μὴ πιεῖν φαρμά-
κου βουλόμενον αὐτὸ ἐν τῇ προτέρα διεκωλύσαμεν, ἀνεμνήσθην. εἶπον οὖν εὐθέως πρὸς τὸν ἄνθρωπον ὅτι πεπωκὼς
εἴη φάρμακον. ὁ δὲ συνεὶς ὡς ἀπὸ τοῦ κατὰ τὴν γλῶτταν χρώματος ἐτεκμηράμην, αὖθις ποτὲ ποιήσας σφαι-
50 ρία μικρὰ τοῦ φαρμάκου κατέπιεν, ὡς μὴ χρωσθῆναι τὴν γλῶτταν. ἀλλ᾽ ἐγὼ καὶ τοῦτ᾽ ἐξεῦρον αὐτοῦ τὸ σόφισ-
μα. θεασάμενος γὰρ τὴν γλῶτταν, εἶτ᾽ αὖθις ἁψάμενος τοῦ σφυγμοῦ, καὶ τἄλλα διορισάμενος, ἃ μικρὸν ἔμπροσθεν
εἴρηται, μᾶλλον πως ἐπὶ τὸ φάρμακον ἐφερόμην τὴν γνώμην. καὶ πάλιν διαλιπὼν καὶ πάλιν ἁψάμενος,
ἠπιστάμην δὲ τὸ φιλόνεικον τοῦ ἀνδρὸς ἐπόπτευσά τε τὸ γεγονός, ἀποτολμήσας τε πρὸς αὐτὸν ἔφην. ἀλλὰ μέντοι
σύ μοι δοκεῖς εἰληφέναι φάρμακον. τοῦ δ᾽ ἀρνουμένου κατὰ τὸ καρτερώτατον καὶ μάρτυρας τοὺς παραμέ-
νοντας οἰκέτας ἐπικαλουμένου, κατέχων αὐτοῦ τὴν χεῖρα καὶ τῶν σφυγμῶν ἐφαπτόμενος. ἆρ᾽ οὖν ἔφην,
δύναιο μοι καὶ ὀμόσαι τινὰ ὅρκον, ὃν ἂν ἐγὼ σε κελεύσω. ὁ δ᾽ οὐκ ἑτοίμως ἀπεκρίνατο πρὸς τοῦτο, καὶ τὴν
τῶν ἀρτηριῶν κίνησιν ἀνώμαλον ἴσχεν ὡς ὑπ᾽ ἀγωνίας. καὶ μὴν ἔφην ἀκριβῶς ἔλαβες τοῦ φαρμάκου, καὶ μὴ
ὄμνυε. πρὸς μὲν δὴ τοὺς οὕτως ἀβελτέρους καὶ αὐτὸν εὐμήχανον εἶναι χρή. τὰ πολλὰ δὲ οὐ μόνον οὐκ ἀντιπράτ-
τουσιν οἱ ἰδιῶται τοῖς ἰατροῖς εἰς τὸν ἀπὸ τῶν ἔξωθεν διορισμόν, ἀλλὰ καὶ συμπράττουσιν αὐτόματοι διηγού-

μένοι πάντα. καὶ ἡμῖν περὶ μὲν τῆς εἰς μέγεθος ἐπιδόσεως τῶν σφυγμῶν αὐτάρκως εἴρηται τά γε πρῶτα. μετιέναι δὲ ἤδη καιρὸς ἐπὶ τὰ συνεχῆ τοῦ λόγου. ἐπειδὴ γὰρ οὐ καθ' ἕνα τρόπον ὁ μέγας λέγεται σφυγμός, ἀλλ' ὁ μὲν ὡς πρὸς τὸν σύμμετρον, ὁ δ' ὡς πρὸς οὗ ἦν ἐν τῷ παρατυχόντι, δῆλος δ' ἐστὶν οὗτος ὁ παρατυχών, ὁ μὲν ἐλάττων ἢ κατὰ τὸν σύμμετρον, ὁ δὲ μείζων, ἐφεξῆς ἂν εἴη διελθεῖν περὶ τῆς εἰς μέγεθος ἐπιδόσεως, ηὐξῆσθαι τὴν θερμότητα μόνην καθ' ὃν δηλονότι χρόνον, οὔθ' ἡ δύναμις οὔτε τὰ ὄργανα πέπονθε, ἀκίνητος δ' ἐστὶν ὁ κάμνων. ἴδιον δὲ τῆς μὲν ἐκ τοῦ κατὰ φύσιν ἐκτροπῆς, τὸ μόνον τὸ μέγεθος αὐξηθῆναι. τῶν δ' ἄλλων δυοῖν τὸ, καὶ τὸ τάχος, ἔστιν ὅτε δὲ καὶ τὴν πυκνότητα. φέρε γὰρ, εἰ οὕτως ἔτυχεν, ὃν ὀλίγον ἔμπροσθεν ἀπελιπόμεν ἄνδρα εἰς μέγεθος ἐπιδεδωκότα τὸν σφυγμὸν εὑρεῖν ἡμᾶς, ἐπὶ πλέον ἔτι τὴν αὔξησιν αὐτῶν ἐσχηκότα, τούτῳ καὶ τὴν θερμασίαν μὲν ἀναγκαῖον ἐπιτετάσθαι. κοινὸν γὰρ τοῦτο ἦν τῶν εἰς μέγεθος ἐπιδόσεων ἁπασῶν. ἴδιον δὲ ἐπὶ τῷ κοινῷ, τὸ, καὶ

† ἄλ. εἰ

τὸ τάχος ἐξηλλάχθαι. καὶ ἔτι πλέον γε ἡ † εἰς τὸ μέγεθος ἐπίδοσις γίγνοιτο τῶν σφυγμῶν, οὐ τὸ τάχος μόνον, ἀλλ' ἤδη καὶ τὴν πυκνότητα. δέδεικται γὰρ ἐν τῷ πρώτῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπὶ βραχὺ μὲν αὐξανομένης τῆς θερμότητος, εἰς μέγεθος μὲν ἐναργῶς ἐπιδιδοὺς ὁ σφυγμός, εἰς τάχος δ' οὐκ ἐναργῶς, ἐπὶ πλέον δ' αὐξηθείσης καὶ τῷ μεγέθει μὲν ἔτι προσλαμβάνων, ἀλλὰ καὶ εἰς τὸ τάχος ἐναργῶς ἐπιδιδοὺς καὶ τῆς πυκνότητος προσκτώμενος, ὥσπερ γε καὶ εἰ ἐπὶ πλεῖστον αὐξάνοιτο, καὶ ἡ χρεία τῆς τῶν σφυγμῶν γενέσεως ὑπὲρ τὴν μεγίστην εἴη διαστολήν, εἰς μέγεθος μὲν οὐκ ἐπιδιδούς, ὅτι εἰς ἔσχατον ηὔξητο, τῷ τάχει δ' ὅσον ἐγχωρεῖ προστιθεὶς ἅμα τῇ πυκνότητι, κἀπειδὰν μηδὲ τὸ τάχος ἔτ' ἐπιτείνεσθαι δύνηται, τὴν πυκνότητα κατεπείγων.

Ὑποκείσθω δὴ πάλιν ἕτερος ἄρρωστος οὐδὲν μὲν οὔτε τὴν δύναμιν, οὔτε τὰ ὄργανα βεβλαμμένος, ἐλάττονα δὲ τοῦ κατὰ φύσιν ἔχων τὸν σφυγμόν, εἶτα καὶ τῷ τοιούτῳ μείζων γιγνέσθω χωρὶς τῆς ἔξωθεν κινήσεως, ἀληθὲς μὲν εἰπεῖν ὅτι καὶ τῷδε πλείων ἡ θερμότης ἐγένετο τῆς ἔμπροσθεν, καὶ κατά γε τὴν κοινὴν ἀπόφασιν ἕξει τῇ δὶς ἤδη προειρημένῃ. τὸ δ' ἴδιον αὐτῆς ἔσται, τὸ μὴ ἐκ μικροτέρου μόνον τοῦ σφυγμοῦ γεγονέναι τὴν εἰς τὸ μέγεθος ἐπίδοσιν, ἀδύνατον γὰρ ἄνευ τοῦ καὶ βραδύτερον καὶ ἀραιότερον γενέσθαι, μικρότερον ἀπεργασθῆναι ποτὲ τοῦ κατὰ φύσιν αὐτὸν, ἀλλὰ μηδὲ μείζονα μόνον οἷόν τε γενέσθαι χωρὶς τοῦ θάττονα τε καὶ πυκνότερον· ὅτι γὰρ ἡ τοιαύτη διάθεσις ἐν ᾗ μικρότερος ὁ σφυγμὸς τοῦ κατὰ φύσιν ἐγένετο σὺν ἀραιότητι τε καὶ βραδύτητι συνίσταται, τῷ μεμνημένῳ τῶν ἐν τῷ πρώτῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων εὔδηλον ἐστί. μεταβάντες οὖν περὶ τῆς εἰς μικρότητα τροπῆς τῶν σφυγμῶν ἐπισκεψώμεθα. τρεῖς μὲν δὴ καὶ ταύτης εἰσὶν ἅπασαι διαφοραί. ἤτοι γὰρ ἐκ τοῦ κατὰ φύσιν τε καὶ συμμέτρου προσαγορευομένου, ἢ ἐκ τοῦ μείζονος, ἢ κατὰ τοῦτον, ἢ ἐκ τοῦ μικροτέρου τὰς εἰς μικρότητα συμβαίνει γίνεσθαι διαφοράς. καλεῖται δὲ ὁ μὲν μείζων τοῦ συμμέτρου μέγας ἁπλῶς, ὁ δ' ἐλάττων, μικρός. ἀρξώμεθα οὖν πάλιν κἀνταῦθα ἀπὸ τῶν κοινῶν ἐν αὐτοῖς. εἶθ' ἑξῆς ἐπὶ τὰ καθ' ἕκαστον ἴδια μεταβῶμεν. εὐθὺς γὰρ ἐν τῷ τὸ κοινὸν ἐπισκοπεῖσθαι, καὶ ἡ τῶν ἰδίων εὑρέσεως ὁδὸς ἐγκαλύπτεται. ὑποκείσθω δή τις σφυγμὸς ἐπί τινος ἀνθρώπου μικρότερος μὲν τοῦ πρόσθεν, ἑτέραν δὲ μηδεμίαν ἐσχηκὼς μεταβολὴν κατ' ἄλλο γένος μηδέν, καὶ ζητείσθω, τίς γ' ἔμπροσθεν ἦν διάθεσις αὐτῷ, καὶ τίς νῦν ἐστιν. ἡ δὲ τῆς ζητήσεως ὁδὸς ἥδε.

Μικρότερος ἑαυτοῦ γίνεται σφυγμός, ἤτοι τῆς δυνάμεως ἀσθενεστέρας ἀποτελεσθείσης, ἢ τῶν ὀργάνων σκληροτέρων, ἢ τῆς χρείας ἐκλυθείσης. ἀλλ' οὔθ' ἡ δύναμις ἀσθενεστέρα γέγονε νῦν, ἢ πάντως ἀμυδρότης συνῆν τῇ μικρότητι. οὔτε τὸ σῶμα τῆς ἀρτηρίας σκληρότερον, οὕτω γὰρ οὐ μόνον μικρότερος, ἀλλὰ καὶ σκληρότερος ἦν ὁ σφυγμός. ἀπολείπεται οὖν ἡ χρεία μόνον ἠλλοιῶσθαι. καὶ εἴπερ ἀκίνητος ὁ ἄνθρωπος ἐν τῷ τέως ἐγένετο, κατὰ τὸ ποσὸν τῆς ψύξεως, τὸ ποσὸν τῆς μεταβολῆς γεγενῆσθαι. καὶ μὲν δὴ καὶ ὡς ἐκ τοῦ μείζονος ἢ κατὰ φύσιν σφυγμοῦ τὴν τοιαύτην γεγονέναι τροπήν, εὔδηλον ἐστὶ τοῖς μεμνημένοις ἐν τῷ πρώτῳ τῶν δεδειγμένων περὶ τῶν ἐν σφυγμοῖς αἰτίων. ἤτε γὰρ ἐκ τοῦ κατὰ φύσιν εἰς μικρότητα τροπὴ διὰ ψύξιν, εὐθὺς καὶ ἀραιότερον αὐτὸν ἐργάζεται καὶ βραδύτερον, ἤτε ἐκ τοῦ μεγάλου ὑπὲρ τὸ σύμμετρον ηὐξημένου, καθαίρεσις τοῦ συμμέτρου εὐθὺς καὶ τοῦ τάχους τι καὶ τῆς πυκνότητος προσλαμβάνει, διὰ τὸ τὸν ἐπὶ πλέον ηὐξημένον ὑπὲρ τὸν κατὰ φύσιν ἐν τοῖς τρισὶ γένεσιν μεταβάλλειν. ὁ τοίνυν τοῦ μεγέθους μόνου ἀφῃρηκώς, τὰ ἄλλα δὲ φυλάττων ἄτρεπτα σφυγμός, ὁ βραχεῖ μείζων ἐστὶ τοῦ κατὰ φύσιν. οὗτος γὰρ μόνος ἐπὶ βραχείᾳ θερμότητος αὐξήσει συνίσταται. τῶν δ' ἄλλων τῶν εἰς μέγεθος ἀλλοιουμένων οὐδεὶς ἄνευ τοῦ καὶ τάχος προσλαβεῖν, ἢ πυκνότητα τοιοῦτος ἀποτελεῖται, ὥστε οὐδὲ καθαιρήσει τις ἄλλος πλὴν τοῦδε μόνον τὸ μέγεθος. ὁ γὰρ εἰς τοῦτο μόνον αὐξηθεὶς ἐπὶ θερμότητι, μειώσει τοῦτο μόνον ἐπὶ ψύξει. ὁ δέ γε εἰς τοσοῦτον ἀλλοιωθεὶς ὑπὸ θερμότητος, ὡς μὴ τὸ μέγεθος μόνον, ἀλλὰ καὶ τὸ τάχος ὑπαλλάξαι καὶ τὴν πυκνότητα, τὴν εἰς τοὔμπαλιν ὁδὸν ἕξει διὰ τῶν αὐτῶν κατὰ γένος ἀλλοιώσεων. ὥστε οὐ μόνον μικρότερος, ἀλλὰ καὶ βραδύτερος καὶ ἀραιότερος ἔσται τοῦ πρόσθεν. ὁμοίως δὲ καὶ ἡ ἐκ τοῦ συμμέτρου πρὸς τὸν ἐλάττονα τροπή, καὶ ἡ ἐκ τούτου πάλιν ἐπὶ τὸν ἔτι μικρότερον ἀλλοίωσις εὐθέως καὶ ἀραιότερον ἑαυτοῦ καὶ βραδύτερον ἐργάζεται τὸν σφυγμόν. συμμετρίαν γάρ τινα διαστολῆς σφυγμὸς κέκτηται κατὰ φύσιν ἐχόντων ἣν ἀπόλλυσι μὲν ἐξ ἀνάγκης. ἄν τε θερμότερον, ἄν τε ψυχρότερον ἑαυτοῦ γένηται τὸ σῶμα. οὐ μὴν ὅ γε τῆς ἀπωλείας τρόπος ὁ αὐτός. ἐν μὲν γὰρ τῷ θερμαίνεσθαι τὸ μέγεθος ἐναργῶς, πρῶτον, εἶτα τὸ τάχος, εἶθ' ἡ πυκνότης αὐτῷ προσγίνεται. ψυχομένων δ' ἔμπαλιν ἀραιότης μὲν ἐναργὴς πρώτη, δευτέρα τε βραδύτης, μικρότης ἐσχάτη. λέλεκται δ' ὑπὲρ αὐτῶν ἱκανὰ ἐν τῷ πρώτῳ τῶν ἐν σφυγμοῖς αἰτίων. οὔκουν ἔτι χρὴ μηκύνειν περί γε τούτων, ἀλλ' ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβάντας ἑξῆς τοῖς εἰρημένοις διορίζεσθαι τὰς τὴν ψύξιν ἐργαζομένας αἰτίας. τοσαύτας κατὰ γένος οὔσας, ὅσαι περ αἱ θερμαίνουσαι. καὶ γὰρ ἀὴρ ψυχρὸς ἔξωθεν προσπεσὼν ὥσπερ οὖν καὶ ὕδωρ ψυχρόν, ἢ λουτρόν, ἢ φάρμακον ἐπαλειφθὲν τῷ σώματι ψυχρόν, ἢ καὶ μακρά τις ἡσυχία καὶ οἷον φωλεία, ψυχρότερον ἐργάζεται τὸ σῶμα. καὶ τῶν εἴσω μεταλαμβανομένων, ὅτ' ἂν ἀναπνεόμενος ἀὴρ ψυχρὸς ὤν, καὶ τροφὴ φλεγματώδης, καὶ φάρμακόν τι φύσει ψυχρόν, ὕδατός τε ψυχροῦ χρῆσις ἄμετρος. ἔκ τε τῶν παθῶν τῆς ψυχῆς, ὁ πο-

χῆς, ὁ πολυχρόνιος φόβος. ἔκ τε τῶν ἐν τῷ σώματι περιεχομένων χυμῶν, ὅσοι ψυχροὶ τῇ κράσει ἡσυχάζοντες πρό-
τερον, ἐκινήθησαν νῦν, ἢ ὅλως ἰσχνότεροί πως ἐγένοντο τῶν θερμῶν. διορίζεσθαι δ' αὐτὰ κατὰ μέρος ἀνάλο-
γον τοῖς εἰρημένοις ἐπὶ τῶν θερμαινόντων αἰτίων. δὶς γὰρ ὑπὲρ τῶν ὁμοίων λέγειν οὐκ ἀναγκαῖον. ἡ μὲν δὴ κα-
τὰ μέγεθός τε καὶ μικρότητα τροπὴ τῶν σφυγμῶν, ὑπὸ τοιούτων τε καὶ τοσούτων αἰτίων ἀποτελεῖται, πρὸς γοῦν
τὴν φύσιν αὐτοῦ τοῦ πράγματος, ἐπεὶ πρός γε τὴν ἡμετέραν διάγνωσιν ἔτ' ἐνδεῖ, πολλάκις γὰρ ἡ μὲν ἀρτη-
ρία διαστέλλεται μέγιστον ὅσον ἐπ' αὐτῇ, ἀποκρύπτεται δ' ἢ κωλύεται τὸ μέγεθος τῆς διαστολῆς διὰ τὸ πλῆθος, ἢ
τὸ πάχος, ἢ τὴν σκληρότητα τῶν περικειμένων, ἢ προκειμένων σωμάτων. αὕτη μὲν γὰρ ἡ οὐσία τῶν μεγάλων τε καὶ
μικρῶν σφυγμῶν περὶ τὸν κύκλον τῆς ἀρτηρίας συνίσταται, τοῦ μήκους ἴσου φυλαττομένου διὰ παντός. οὐ μὴν γε φαί-
νεται γ' ἴσον, ἀλλ' ἀποκρύπτεταί τι μέρος αὐτοῦ, καὶ λέλεκται μὲν οὖν ἤδη περὶ τούτου κἂν τῷ δευτέρῳ τῶν ἐν σφυ-
10 γμοῖς αἰτίων. εἰρήσεται δὲ καὶ νῦν ὅσον εἰς τὰ παρόντα χρηστὸν ἀναμνήσεως ἕνεκεν. Τῆς ἀρτηρίας τὸ μὲν
ὕψος ἀναλόγως ἀεὶ τῷ πλάτει διαστέλλεται. κατακρύπτεται δέ, ἢ κωλύεται πολλάκις ὑπὸ τῶν περικειμέ-
νων τε καὶ προσκειμένων σωμάτων, ἤτοι σύμπασα ἡ κίνησις, ἢ μοῖρά γέ τις αὐτῆς. καὶ τοῦτο τὸ κωλυόμενον, ἤτοι
κατὰ τὸ βάθος μᾶλλον, ἢ κατὰ τὸ πλάτος, ἢ κατὰ τὸ συναμφότερον ὡσαύτως φαίνεται. ὅταν μὲν οὖν ἀδιά-
γνωστος ὡς πρὸς τὴν ἡμετέραν ἁφὴν ἡ κίνησις ᾖ, καθ' ὅλον μὲν τὸ ζῶον συμβάντος τούτου, ὡς μηδαμόθι μη-
δὲ μίαν ἀρτηρίαν φαίνεσθαι κινουμένην, ἀσφυξία τὸ πάθημα προσαγορεύεται, κατὰ μὲν τὴν ἀλήθειαν οὐδέ-
ποτε ἐν ζῶντι σώματι γινομένη, κινεῖται γὰρ ἡ καρδία διαπαντὸς ἅμα ταῖς ἀρτηρίαις ἁπάσαις, ὡς μέντοι
πρὸς τὴν ἡμετέραν ἁφὴν ἔξωθεν ἐπιβαλλομένην πολλάκις εὑρισκομένη. πρόκεινται γὰρ δὴ † τούτων ἀρτη-
ριῶν σωμάτων, πάντως μὲν ὑμένες τέ τινες καὶ δέρμα, πολλαχόθεν δὲ καὶ πιμελὴ καὶ σάρξ, ὑφ' ὧν οὐ μόνον
ἀποκρύπτεσθαι τὸν σφυγμόν, ἀλλὰ καὶ κωλύεσθαι συμβαίνει. τελέως μὲν οὖν ἀποκρυπτομένης τῆς κινήσεως,
20 εἰ μὲν ἐν ἅπασι τοῖς μέρεσι τῶν ἀρτηριῶν ἁπασῶν τοῦτο συμβαίνει, τὸ πάθος ἀσφυξίαν ὀνομάζουσιν. εἰ δὲ κα-
τὰ μέν τινα μέρη φαίνοιτο κινούμενα, τὰ δὲ μή, κατὰ τὸ μῆκος ἐν τούτῳ διαφορὰν ἴσχουσιν οἱ σφυγμοί. καὶ δὴ
καὶ καλοῦνται μακροὶ μέν, οἷς ἂν τὸ τῆς αἰσθητῆς κινήσεως μῆκος ὑπὲρ τὸ κατὰ φύσιν, βραχεῖς δὲ οἷς ἂν ἔλαττον τοῦ
κατὰ φύσιν. οἷς δ' ἴσον τῷ κατὰ φύσιν σύμμετροι. τοσοῦτον γὰρ ἀεὶ φαίνεται τῆς κινήσεως τῶν ἀρτηριῶν, ὅσον ἐπι-
τρέπει τὰ προβεβλημένα σώματα. καὶ διὰ τοῦτο τοῖς μὲν παχέσι βραχεῖς οἱ σφυγμοί. τοῖς δ' ἰσχνοῖς μακροί. καθά-
περ καὶ τοῖς εὐσάρκοις τε καὶ συμμέτροις σύμμετροι φαίνονται. καὶ † αὖθις μὲν τοι τῆς φαινομένης κινήσεως οὐκ ἀεὶ ὁμοίως
κωλύεται τῷ βάθει τὸ πλάτος. ἀλλ' ἐπειδὰν μὲν αἱ περὶ τὰ πλάγια χῶραι τῶν ἀρτηριῶν, ἤτοι πιμελῆς, ἢ σαρκός, ἢ
ἀτμῶν, ἢ ὑγρῶν ὦσι πλήρεις, τὸ δ' ἐπικείμενον ἄνωθεν δέρμα καὶ μηδὲν αὐτὰς βαρύνῃ τὸ πλάτος. ἡ κίνησις ἀ-
μαυροῦται μόνον. καὶ μᾶλλον εἰ σφοδρὸς ὁ σφυγμὸς εἴη καὶ μέγας, ὅσον ἐφ' ἑαυτῷ. ἐπειδὰν καθαραὶ μὲν αἱ πα-
ρακείμεναι χῶραι, ῥυσσὸν δ' ᾖ τὸ ἐπικείμενον αὐταῖς δέρμα, τοῦ βάθους ἡ κίνησις ἐν τῷ τοιούτῳ σώματι πλέον
30 ἀφανίζεται, καὶ μᾶλλον εἰ μή τε σφοδρὸς εἴη ὁ σφυγμός, καὶ μέγας ὅσον ἐφ' ἑαυτῷ. Ὅταν οὖν εὕρῃς
μακρότερον τοῦ κατὰ φύσιν σφυγμόν, εἰ μὲν καὶ τὸ πλάτος αὐτοῦ, καὶ τὸ βάθος εἴη συνηυξημένον, ἐπισκέπτου
πότερον ὁ ἄνθρωπος ἰσχνότερος ἑαυτοῦ γέγονεν, ἢ θερμότερος, ἀφωρισμένης τῆς ἐπικτήτου κινήσεως. εἰ μὲν γὰρ
ἰσχνότερος εἴη γεγενημένος, εἰ μὲν ἐπὶ τοσοῦτον ἐφ' ὅσον καὶ ὁ σφυγμὸς μείζων, ἐν τοῦτο μόνον ἠλλοίωσεν αὐτόν,
εἰ δ' ἐπ' ἔλαττον, οὐ μόνον τοῦτ' ἔστιν αἴτιον, ἀλλὰ καὶ θερμότης. εἰ δ' ἐν αὐτῷ μένοι τὰ τῆς τοῦ σώματος ἕξ-
εως, ἡ θερμότης ηὔξηται μόνον. εἰ δὲ καὶ παχύτερος εἴη γεγονώς, διπλάσιον ηὐξῆσθαι λογίζου τὴν θερμότη-
τα. τὸ δ' ὑπὸ τίνος αἰτίας ηὔξηται διορίζεσθαι τοῖς ἔμπροσθεν εἰρημένοις. Εἰ μέντοι μακρότερος ὁ σφυγμὸς
εἴη γεγονώς, καὶ πλατύτερος, μὴ μέντοι κατὰ τὴν αὐτὴν ἀναλογίαν εἰς ὕψος ηὐξημένος, ἀλλὰ διαμένων σύμ-
μετρος, ἐπὶ τοῖς προειρημένοις διορισμοῖς ἔτι καὶ τοῦτ' ἐξαίρετον ὑπάρχειν ἀναγκαῖον αὐτῷ, ῥυσσότερον γε-
γονέναι τὸ κατὰ τῆς ἀρτηρίας ἄνωθεν ἐπικείμενον δέρμα. καὶ εἰ καταστρέψοις τὸ κῶλον, ὥσθ' ὅπερ ἄνωθεν ἦν
40 αὐτοῦ πρότερον, εἶναι νῦν κάτωθεν, οὐδ' ἐν οὕτως ἐκκεκολοῦσθαι φανεῖται τὸ βάθος. οὗτοι μὲν οὖν οἱ δύο σφυγ-
μοὶ πρῶτοι πάντων εἰσὶ γεγραμμένοι κατὰ τὸ διάγραμμα τῶν ἑπτὰ καὶ εἴκοσι σφυγμῶν ἐν τῷ προτέρῳ
περὶ τῆς διαφορᾶς αὐτῶν, ὃ περὶ τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐν ταῖς τρισὶν ἅμα διαστάσεσι συνιστα-
μένων ἐποιησάμεθα. Ἑξῆς δὲ αὐτῶν γέγραπται τρίτος ὁ κατὰ τὸ μῆκός τε καὶ τὸ πλάτος ὑπερβάλ-
λων τὸν κατὰ φύσιν, ἐν δὲ τῇ κατὰ βάθος διαστάσει ταπεινός, ὃς καὶ σπανιάκις εὑρίσκεται. μεγάλως γὰρ ὑπὸ
τῶν ὑποκειμένων σωμάτων βαρυνομένης γίνεται τῆς ἀρτηρίας, ὅπερ οὐκ ἄν ποτε συμβαίνῃ χωρὶς τοῦ καὶ τὴν
δύναμιν ἀσθενεστέραν γενέσθαι, καὶ τὸν χιτῶνα τῆς ἀρτηρίας ἐσχάτως μαλακόν, ὧν τὸ μὲν ἀτονώτερον τοῦ
κατὰ φύσιν, τὸ δὲ μαλακὸν ἱκανῶς ἐργάζεται τὸν σφυγμόν. ὥστε μετὰ μὲν τούτων γίνοιτ' ἄν ποτε μακρὸς
ἅμα καὶ πλατὺς καὶ ταπεινός, ἄλλως δ' οὐκ ἂν γένοιτο. καὶ μὲν δὴ καὶ ὁπότε φαίνεται τοιοῦτος, οὐδὲ τότε
πολὺ τοῦ κατὰ φύσιν, οὔτ' ἐπὶ τὸ ταπεινότερον, οὔτ' ἐπὶ τὸ πλατύτερον ἐξίσταται, οὐ γὰρ ἐγχωρεῖ κατὰ μὲν τὸ
50 βάθος ἐσχάτως βαρύνεσθαι τὴν ἀρτηρίαν, κατὰ δὲ τὸ πλάτος οὐδ' ὅλως. ὥσπερ γε οὐδ' ἐπὶ πλεῖστον μὲν ὕψος
ἀνέρχεσθαι, παντάπασι δ' ἐστενῶσθαι. πλέον μὲν γὰρ ἐπιδίδωσιν ὕψος ὡς τὰ πολλά, καὶ μάλισθ' ὅταν ᾖ σφο-
δρὸς ὁ σφυγμός, οὐ μὴν εἰς τοσοῦτόν γε ὡς τὸν αὐτὸν ὑψηλότατόν τε ἅμα καὶ στενώτατον ὑπάρχειν. εἰ μέντοι πε-
ριστραφείη κἀπὶ τούτου σφυγμοῦ τὸ κῶλον, ὡς τὰ τέως ὑπερκείμενα μέρη, νῦν ὑποκείμενα γενέσθαι, καὶ ἡ κα-
τὰ τὸ βάθος αὐτοῦ διάστασις ἐπίδοσιν ἕξει, καὶ οὐκ ἔτι φαίνεται ταπεινός. ἀλλ' ὥσπερ μακρὸς καὶ πλατύς,
οὕτω καὶ ὑψηλὸς ὅπερ ἐστὶ μέγας. ὁ γὰρ κατὰ τὰς τρεῖς διαστάσεις αὐξηθεὶς μέγας λέγεται. διοριστέον οὖν ἐπ'
αὐτῷ πρὸς τοῖς εἰρημένοις καὶ τὰ τῶν πρώτων ἁπάντων εἰρημένα. προσεπισκεπτέον δὲ καὶ εἰ τοῦ πλάτους ἀφαι-
ρεῖ τι περιστρεφομένου τοῦ κώλου. γίνεται γὰρ καὶ τοῦτ' ἐνίοτε. καὶ δηλοῖ πόσον ὑπὲρ τὴν τοῦ βάθους ἀναλο-
γίαν ἔμπροσθεν ἐπλατύνετο τὸ ἀγγεῖον. Ὁ δ' ἐπὶ τοῖς δὲ τέταρτος ὁ μακρὸς ἅμα καὶ ὑψηλὸς καὶ σύμ-
μετρος κατὰ τὸ πλάτος, ὅσον μὲν ἐφ' ἑαυτοῦ πλατύς ἐστιν, ὥσπερ καὶ ὑψηλός, ἀλλὰ ὑπὲρ τοῦ στενοχωρεῖσθαι κα-

† al. τοῦ τῶν ἀρτηριῶν σώματος

† al. αὐτῆς

τὰ τὰ πλάγια, ἐκκολοῦσθαι τὴν εἰς τοῦτο κίνησιν. ὅλως γὰρ ἐπειδὰν ἤτοι τὸ πλάτος ὑπὲρ τὴν τοῦ βάθους ἀναλογίαν, ἢ τὸ βάθος ὑπὲρ τὴν τοῦ πλάτους ᾖ, παραποδίζεται τὸ ἕτερον αὐτῶν, ἤτοι διὰ πλῆθος, ἢ πάχος, ἢ σκληρότητα τῶν περικειμένων σωμάτων, ἃ μεταξὺ τῆς ἀρτηρίας ἐστὶ καὶ τῆς ἐπιβαλλομένης ἁφῆς. καὶ γὰρ καὶ ἡ ῥυσσότης, πλέονα τὰ ἐπικείμενα σώματα ποιεῖ, κατὰ τὰς ῥυτίδας ἐνδιπλοῦσα τὸ δέρμα. ὥστε καὶ ὁ τοιοῦτος σφυγμός, ἢ ὄντως μέγας ὑπάρχων ἐμποδίζεται κατὰ τὸ πλάτος, ἢ φαίνεσθαι μέγας δυνάμενος ἐπὶ λεπτότητος τοῦ σώματος, ὅμως οὐ φαίνεται, διότι κατὰ μίαν τῶν διαστάσεων ἐστενοχώρηται. Ὁ δὲ πέμπτος ἐν τῷ διαγράμματι γεγραμμένος, ὁ μακρότερος μὲν τοῦ κατὰ φύσιν, ἐν δὲ ταῖς ἄλλαις ταῖς δύο διαστάσεσι σύμμετρος, ἰσχνότερον μὲν δηλοῖ ἑαυτοῦ τὸν ἄνθρωπον γεγονέναι, τὸν σφυγμὸν δὲ ὅλον ἐφ᾽ ἑαυτῷ μικρότερον τοῦ κατὰ φύσιν. ἐπειδὴ γὰρ ὁ μακρὸς σφυγμός, ἢ διὰ μέγεθος οἰκεῖον, ἢ διὰ λεπτότητα φαίνεται τοιοῦτος οὐ μὴν νῦν γε διὰ μέγεθος ἐγγίγνεται μακρός, ἦν γὰρ ἂν οὕτω καὶ ὑψηλὸς ἅμα καὶ πλατύς, ἢ πάντως γε τὸ ἕτερον αὐτῶν, ἀπολείπεται διὰ λεπτότητα μακρὸς γεγονέναι. ἀλλ᾽ ἐπεὶ τοῖς ἰσχνοτέροις τοῦ κατὰ φύσιν οἱ σφυγμοὶ μείζους φαίνονται, δῆλον ὡς στενώτερός τε καὶ ταπεινότερος ὁ σφυγμός ἐστι, τοῦ κατὰ φύσιν, ὅσον ἐφ᾽ ἑαυτῷ. εἰ δὲ ταῦτα καὶ μικρότερος ὅσον ἐφ᾽ αὐτῷ. Ὁ δ᾽ ἐφεξῆς τῷ δὲ γεγραμμένος ἕκτος ὁ μακρὸς καὶ ταπεινὸς καὶ σύμμετρος κατὰ τὸ πλάτος, διὰ τὰς προειρημένας αἰτίας, ἥττων τοῦ κατὰ φύσιν ὑπάρχων ὅσον ἐφ᾽ ἑαυτῷ, διὰ λεπτότητα φαίνεται μακρός. ἀλλὰ τοῦτο μὲν αὐτῷ κοινὸν πρὸς τὸν πέμπτον. ἴδιον δ᾽ ἐξαίρετον ἐκκολοῦσθαι τὸ βάθος, δι᾽ ἣν ὀλίγον ἔμπροσθεν εἶπον αἰτίαν. Ἕβδομος δ᾽ ἦν ἐν τῷ διαγράμματι σφυγμὸς μακρὸς ἅμα καὶ στενὸς καὶ ὑψηλός, ὃς ἐφαίνετ᾽ ἂν ὁμοίως τῷ πάντων πρώτῳ μέγας, εἰ μὴ τὸ πλάτος ἐστενοχωρεῖτο. τὰ δὲ ἄλλα καὶ περὶ τοῦ δὲ παραπλησίως τῷ πρώτῳ πάντων δεῖ διορίζεσθαι. καὶ μετὰ δὴ καὶ ὅσα κατὰ τὸν τρίτον εἴρηται, καὶ ταῦθ᾽ ἐνταῦθα προστιθέναι, τό, μήτε πολλάκις φαίνεσθαι τὸν τοιοῦτον σφυγμόν, μήθ᾽ ὅταν φαίνηται, πλεῖστον ὅσον ὑπερβάλλειν μὲν τοῦ συμμέτρου κατὰ τὸ ὕψος, ἀπολείπεσθαι δὲ κατὰ τὸ πλάτος.

Ὁ δ᾽ ἐφεξῆς αὐτῷ γεγραμμένος ὄγδοος ὁ μακρὸς ἅμα καὶ στενὸς καὶ σύμμετρος κατὰ τὸ βάθος. ὅτι μὲν μικρός ἐστι κατὰ τὴν οἰκείαν οὐσίαν, εὔδηλον ἐκ τῶν ἐπὶ τοῦ πέμπτου προειρημένων, ἰσχνοῦ δὲ τοῦ σώματος γενομένου φαίνεται μακρότερος. τὸ δὲ ἴδιον ἐξαίρετον αὐτῷ παρὰ τὸν πέμπτον ἡ τοῦ πλάτους στενότης, ἐστενοχωρεῖσθαι κατὰ τοῦτο δηλοῦσα τὴν ἀρτηρίαν. Ὁ δὲ ἔνατος σφυγμὸς ὁ μακρὸς καὶ στενὸς καὶ ταπεινός, ἔτι δὴ καὶ μᾶλλον ἐνδείκνυται μικρὸς μὲν ὢν ὅσον ἐφ᾽ ἑαυτῷ, φαινόμενος δὲ μακρὸς δι᾽ ἔκτηξιν τοῦ σώματος. ὡς ἐπὶ τὸ πολὺ δέ, αὐτῷ σύνεστιν ἀμυδρότης καὶ σκληρότης. εἰ δὲ μήτε σκληρὸς ᾖ, μήτ᾽ ἄγαν ἀμυδρὸς ἐπὶ καταψύξει τοιοῦτος ἀποτελεῖται. οὕτως μὲν οὖν ἅπαντες οἱ εἰρημένοι νῦν ἐννέα σφυγμοὶ μακρότερον ἔχουσι τὸ μῆκος τοῦ κατὰ φύσιν, ἐξαλλάττονται δὲ κατὰ τὰς λοιπὰς δύο διαστάσεις. οἱ δ᾽ ἐφεξῆς ἐννέα σύμμετροι κατὰ τὸ μῆκος ὄντες ὑπαλλάττονται κατά τε τὸ βάθος καὶ τὸ πλάτος. Ὁ μὲν οὖν δέκατος ὑψηλὸς ἅμα καὶ πλατὺς φαινόμενος, ἐφ᾽ ἑνὸς μὲν ἀνθρώπου τῷ συμμέτρῳ παραβαλλόμενος ἀδύνατος συστῆναι, πλὴν εἴποτε κατὰ τὸ ὕπτιον ἡ θέσις ὅλη τῆς ἀρτηρίας ἐξαλλάττοιτο, πρὸς δὲ τὸν ἁπλῶς σύμμετρον εἰ παραβάλλοιτο, καὶ γενέσθαι δυνατός ἐστι. καὶ αἰτία τῆς γενέσεως αὐτοῦ κατὰ τὴν τῆς διαπλάσεως ἰδιότητα. σύμπτωμα γάρ ἐστιν ἀρτηρίας ἑκατέρωθεν μὲν ὑπὸ βαθείᾳ σαρκὶ κρυπτομένης, κατὰ δέ τι μέσον ὀλίγον ἐκκειμένης προπετοῦς. Ὁ δ᾽ ἑνδέκατος τοῦ προγεγραμμένου παραλλάττων ἑνὶ μόνῳ τῷ βάθος ἴσον ἔχειν τῷ κατὰ φύσιν, ἐκ περιττοῦ προσερχομένην ἔχει τὴν τοῦτο ταπεινοῦσαν αἰτίαν. τὰ δ᾽ τῷ δεκάτῳ ταῦτα. Ὁ δὲ δωδέκατος ὁ πλατὺς καὶ ταπεινὸς ἐπὶ συμμέτρῳ μήκει, περιστραφέντος τοῦ κώλου γίνεται. ἤτοι γὰρ φανεῖται πάντῃ σύμμετρος, ἢ μέγας. εἰ μὲν οὖν πάντῃ σύμμετρος φαίνοιτο, δηλώσει τὸ μὲν ὕψος ἔμπροσθεν ὑπ᾽ ὀλίγον τεθλίφθαι. τὸ δὲ πλάτος ἐκτετάσθαι διὰ μαλακότητα τῆς ἀρτηρίας. εἰ δὲ μέγας, ἐπὶ πλεῖστον τεθλίφθαι τὸ ὕψος. Ὁ δὲ ιγʹ. ὑψηλὸς ἅμα καὶ σύμμετρος ἐν ταῖς λοιπαῖς δύο διαστάσεσιν, ὅμοια μὲν τῷ δεκάτῳ κατά τε τὴν φυσικὴν διάπλασιν ἀποτελεῖται, καὶ προσέτι τὴν τῆς κατὰ φύσιν θέσεως ἀλλοίωσιν. ἐκ περιττοῦ δ᾽ αὐτῷ πρόσεστι παρ᾽ ἐκεῖνον ἡ στενοχωρία τοῦ πλάτους. Ὁ δὲ ιδʹ. ὁ κατὰ τὰς τρεῖς διαστάσεις σύμμετρος ὅτι μὲν τῷ κατὰ φύσιν ὁ αὐτὸς φαίνεται, πρόδηλον. εἰ δὲ καὶ ὄντως ἐστὶν ἴσος τῷ κατὰ φύσιν ἐκ τῆς τοῦ σώματος σχέσεως διορίζεται. εἰ μὲν γὰρ ἰσχνότερον εἴη τοῦ κατὰ φύσιν, οὗτος ἂν ὅσον ἐφ᾽ ἑαυτῷ μικρότερος ὢν ὁ σφυγμός, ἴσος φαίνοιτο τῷ συμμέτρῳ. εἰ δὲ παχύτερον εἴη τὸ σῶμα τοῦ κατὰ φύσιν, ὁ σφυγμὸς ὅλον μὲν ἐφ᾽ ἑαυτῷ μέγας ἐστί, φαίνεται δὲ σύμμετρος ὑπὸ πολυσαρκίας κωλυόμενος. εἰ δὲ μήτ᾽ εἰς ἰσχνότητα, μήτ᾽ εἰς παχύτητα παραλλάττοι τὸ σῶμα, σύμμετρον ἐν τῷ τοιῷδε τὸν σφυγμὸν ἀναγκαῖον οὐ φαίνεσθαι μόνον, ἀλλὰ καὶ εἶναι. καὶ δέδεικταί γε ἡμῖν ἐν τῷ δευτέρῳ περὶ σφυγμῶν διαγνώσεως, ὅτι πρὸς τοῦτον οἱ ἄλλοι πάντες παραβαλλόμενοι, μεγάλοι καὶ μικροί, καὶ μακροί, καὶ βραχεῖς, καὶ πλατεῖς, καὶ ὑψηλοί, καὶ ταπεινοὶ λέγονται. Ὁ δὲ πέντε καὶ δέκατος ὁ ταπεινὸς μὲν κατὰ τὸ βάθος, σύμμετρος δὲ ταῖς λοιπαῖς δύο διαστάσεσιν, ὁ αὐτός ἐστιν τῷ προγεγραμμένῳ τεσσαρεσκαιδεκάτῳ κατὰ πάντα, πλὴν ὅσα τὸ βάθος αὐτοῦ τεθλιπται. ὥσθ᾽ ὅσα ἐπ᾽ ἐκείνου προείρηται, ταῦτα κἀπὶ τούτου χρὴ δοκεῖν εἰρῆσθαι. μεμνῆσθαι δὲ περὶ τῶν τοιούτων ἁπάντων προσήκει, τό, ἢ καταστρεφομένου τοῦ κώλου μηκέτι φαίνεσθαι ταπεινόν. Ὁ δὲ ἑκκαιδέκατος ὁ σύμμετρος μὲν ἐν τῷ μήκει στενὸς δὲ καὶ ὑψηλός, ἤτοι κατὰ τὴν τῆς διαπλάσεως ἰδιότητα γίνεται φύσει τοιοῦτος, ἢ κατὰ τὸ πλάτος ἐπὶ τῇ κατὰ τὰ πλάγια θλίψει τῶν ἀρτηριῶν. Ὁ δὲ ιζʹ σύμμετρος μὲν κατὰ τὸ μῆκος τε καὶ τὸ βάθος, ἐν δὲ τῇ λοιπῇ διαστάσει στενός, ὅτι μὲν στενοχωρεῖται κατὰ τὰ πλάγια πρόδηλον ἐκ τῆς τοῦ βάθους συμμετρίας. τὰ δ᾽ ἄλλα πάντα κἀπὶ τούτου τοῖς κατὰ τὸν ιδʹ. τε καὶ πεντεκαιδέκατον ὡσαύτως ἔχει. Ὁ δὲ ιηʹ. ὁ σύμμετρος μὲν κατὰ τὸ μῆκος, στενὸς δὲ καὶ ταπεινὸς κατὰ μὲν τὴν οἰκείαν οὐσίαν, μικρός ἐστι. φαίνεται δὲ τῷ μήκει σύμμετρος ἐπ᾽ ἰσχνότητι, συλλήβδην καὶ εἰπεῖν, ὅταν ὑπὲρ τὴν τοῦ βάθους τε καὶ τοῦ πλάτους ἀναλογίαν ἐκταθῇ τὸ μῆκος,

ἰσχνότητα

ἰσχνότητα τοῦ σώματος ἐνδείκνυται, οὐ μὴν ὅταν γε μειωθῇ παρὰ τὴν ἀναλογίαν τοῦ βάθους δυσαρκίαν σημαίνει. ἀλλ' ἤτοι φυσικήν τινα διάπλασιν, ἢ θέσιν τῆς ἀρτηρίας ἀνώμαλον. Ὁ δὲ ιθ΄. βραχὺς καὶ πλατὺς καὶ ὑψηλός, ἤτοι φύσει φαίνεται τοιοῦτος διὰ διαπλάσεως ἰδιότητα, ἢ κατὰ τὸ πάθος ἐν τῇ θέσει διαστρεφομένης τῆς ἀρτηρίας. Καὶ εἰκοστὸς δὲ κατὰ μὲν τὰς ἄλλας δύο διαστάσεις αὐτὰς τῷ ιθ΄. φαινόμενος. ἐν δὲ τῷ βάθει σύμμετρος. ἐξαίρετον ὡς ἔτι ἐκείνου προείρηται τὸ κεκολοῦσθαι τὸ ὕψος ἔχει.
Ὁ δὲ κα΄, ὁ βραχὺς καὶ πλατὺς καὶ ταπεινὸς ὑπὸ τοῖς αὐτοῖς αἰτίοις. ἔτι κἀκεῖνα προσλήψεται τὰ πλατὺν ἅμα καὶ ταπεινὸν ἀπεργαζόμενα τὸν σφυγμόν. Ὡσαύτως δὲ ὁ κβ΄. ὁ βραχὺς ἅμα καὶ ὑψηλὸς καὶ σύμμετρος κατὰ τὸ πλάτος ὑπὸ ταῖς αὐταῖς αἰτίαις προσλήψεται τὰ ποιοῦντα σύμμετρον ἐν τῷ πλάτει καὶ ὑψηλὸν σφυγμόν. Ὥσπερ γε καὶ ὁ κγ΄. ὁ βραχὺς μὲν κατὰ τὸ μῆκος. ἐν δὲ ταῖς λοιπαῖς δύο διαστάσεσι σύμμετρος. ἐν ταῖς αὐταῖς αἰτίαις ἀναχθήσεται. ὁ δὲ κδ΄. ἐξαίρετον ὑπὸ ταῖς αὐταῖς αἰτίαις προσλήψεται τὴν ταπεινοῦσαν τὸ ὕψος αἰτίαν. οὕτως δὲ καὶ οἱ ἐφεξῆς δύο κατὰ τὸν αὐτὸν τρόπον εἰς τὰς προειρημένας αἰτίας ἀναχθήσονται, μεμνημένων ἡμῶν ὡς ἂν ἐν οἷς σφυγμοῖς ἀπολείπεται τὸ μῆκος τῆς κατὰ τὸ βάθος καὶ κατὰ τὸ πλάτος ἀναλογίας, ἐν τούτοις, ἤτοι φυσικῇ διαπλάσει τὴν αἰτίαν ἀνατιθέναι προσήκει, ἢ διαστρόφῳ θέσει τῆς ἀρτηρίας. εἴρηται δὲ κἀπειδὰν ὑπερέχῃ τὸ μῆκος τῆς κατὰ τὸ πλάτος, ἢ τὸ βάθος ἀναλογίας, ἤτοι κεκολοῦσθαι τὸ ἕτερον αὐτῶν μόνον ὑπὸ στενοχωρίας, ἢ καὶ τὸ ἕτερον ηὐξῆσθαι. καὶ ὡς τὸ μὲν κεκολοῦσθαι πολλάκις συμπίπτει, τὸ δὲ ηὐξῆσθαι σπανιάκις. ὑπὸ μὲν τοῦ πλάτους, ὅταν βαρύνηται τὸ ὕψος ὑπὸ μαλακῷ τῷ χιτῶνι τῆς ἀρτηρίας, δῆλος δὲ καὶ ὡς οὐδὲ σφοδρὸς ὁ τοιοῦτός ἐστι σφυγμός. ὑπὸ δὲ τοῦ βάθους, ὅταν στενοχωρῆται μὲν τὸ πλάτος, ὁ σφυγμὸς δὲ ᾖ σφοδρός τε ἅμα καὶ μέγας, ὅσον ἐφ' ἑαυτῷ. λοιπὸς δὲ ὑπὸ πᾶσιν. ὁ κζ΄. ἐστὶν ὁ βραχὺς καὶ στενὸς καὶ ταπεινός, ὅσπερ δὴ καὶ μικρός ἐστιν ἤτοι φαινόμενος τοιοῦτος, ἢ κατὰ τὴν ἑαυτοῦ φύσιν ὑπάρχων. ἃ γὰρ ὑπὲρ τοῦ πρώτου πάντων διώρισται τοῦ μεγάλου, ταῦτα κἀπὶ τούτου διορίζεσθαι χρή. κατὰ φύσιν μὲν γὰρ ἐχούσης τοῦ σώματος τῆς ἕξεως ὁ τοιοῦτος σφυγμὸς οὐ μόνον φαίνεται μικρός, ἀλλὰ καὶ ὄντως ἐστί. παχυτέρας δὲ γενομένης, εἰ μὲν ὅσον περ ἑαυτοῦ παχύτερος ὁ ἄνθρωπος ἐγένετο, τοσούτῳ καὶ ὁ σφυγμὸς μικρότερος, εἴη ἂν οὕτω γε σύμμετρος μὲν ὅσον ἐφ' ἑαυτῷ. διὰ δὲ παχύτητα τοῦ σώματος ἐλάττων τοῦ κατὰ φύσιν φαινόμενος. εἰ δὲ πλέονι παχύτερος ἤπερ ὁ σφυγμὸς μικρότερος, μείζων ἂν εἴη τοῦ κατὰ φύσιν ὁ τοιοῦτος σφυγμός, ὅσον ἐφ' ἑαυτῷ. εἰ δ' ἔλαττον παχύτερος, ἤπερ ὁ σφυγμὸς μικρότερος, ἐλάττων ἂν εἴη τοῦ κατὰ φύσιν ὁ τοιοῦτος, ὅσον ἐφ' ἑαυτῷ. λεπτοτέρου μέντοι τοῦ σώματος ὄντος, ἤπερ ὁ σφυγμὸς φαίνοιτο μικρός, ἔσται μὲν καὶ οὗτος τῇ φύσει μικρός, ἀλλ' ἔλαττον φαίνεται μικρός, ἢ ὄντως ἐστίν. ἡ γὰρ ἰσχνότης τοῦ σώματος εἰς ὅσον ἐξίστη τοῦ κατὰ φύσιν, εἰς τοσοῦτον μέγεθος αὐτῷ προσδίδωσι φαντασίαν. ἃ δ' ὑπὲρ τοῦ μικροῦ τε καὶ μεγάλου σφυγμοῦ διώρισται ταῦτα κἀπὶ τῶν ἄλλων ἁπάντων διορίζεσθαι χρή, γινώσκοντας ὡς κἀκείνων ἕκαστος, ἤτοι μικρός, ἢ μέγας, ἢ σύμμετρός ἐστιν ὅσον ἐφ' ἑαυτῷ. καὶ τρεῖς οὗτοι σφυγμοὶ κατὰ τὸ ποσὸν τῆς διαστολῆς εἰσίν, ὡς πρὸς τὴν φύσιν αὐτοῦ τοῦ πράγματος. φαίνονται δ' ἑπτὰ καὶ κ΄. διὰ πάχος, ἢ λεπτότητα τοῦ σώματος, ἢ ξυστοτέρου τοῦ δέρματος, ἢ στενοχωρίαν ἀνώμαλον τῶν περὶ ταῖς ἀρτηρίαις χωρίων, ἢ διαπλάσεως ἰδιότητα. χρὴ τοίνυν ἕκαστον ὅστις μὴ μέχρι λόγου ψιλοῦ μετέρχεται, ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων ἀσκεῖν προαιρεῖται, μεμνημένον ἁπάντων, ὧν νῦν δὴ πέπαυμαι λόγων, ἐπειδὰν ἐπισκέπτηται τινὰ τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένων σφυγμῶν. πρῶτον μὲν ἐπισκοπεῖσθαι τίς ἐστι τῶν ἑπτὰ καὶ εἴκοσιν, εἶθ' ἑξῆς αὐτοῦ χωρίζοντα τὰς διὰ τὰ περικείμενα σώματα γινομένας ἀλλοιώσεις, ἐξευρεῖν, εἴτε σύμμετρός ἐστιν, εἴτε μέγας, εἴτε μικρός, εἶθ' ἑξῆς τὰς διαθέσεις ὑφ' ὧν τοιοῦτος ἐγένετο. διδάσκουσι γὰρ αὗται τά τε προγεγονότα καὶ τὰ μέλλοντα. οἷον εὐθέως ὑπὲρ τοῦ μικροῦ, καὶ στενοῦ καὶ ταπεινοῦ, παραδείγματος γὰρ ἕνεκα τοῦ λόγου ὑπὲρ τούτου διαλέξομαι, ὅτι μέν ἐστιν ὅσον ἐφ' ἑαυτῷ μικρός, εὔδηλον ἐκ τοῦ τὴν μὲν κατὰ κύκλον αὐτοῦ μεμειῶσθαι διάστασιν, ηὐξῆσθαι δὲ τὴν κατὰ μῆκος. εἰ γὰρ ὑπὸ δυοῖν αἰτίων ὁ κύκλος τῆς διαστολῆς ἐλάττων φαίνεται, διά τε πολυσαρκίαν, καὶ ὅτι μικρότερος ὄντως ὁ σφυγμὸς ἐγένετο, νυνὶ δὲ οὐκ ἔστι πολυσαρκία. πάντως γὰρ ἂν μόνον οὐδὲν ηὔξητο τοῦ μήκους, ἀλλὰ καὶ μεμείωτο. δῆλον ὡς κατὰ τὴν οἰκείαν οὐσίαν ὁ σφυγμὸς μικρὸς ἐγένετο. ὁπότ' οὖν κεχώρισται τὸ περὶ τὴν τοῦ σώματος ἕξιν ἐγγινόμενον αὐτῷ φάντασμα τοῦ μήκους ἐκ τῶν μικρῶν ὑπάρχοντι κατὰ τὴν ἰδίαν οὐσίαν, ἐξῆς ἐπισκεψώμεθα διὰ τίνα ποτ' αἰτίαν ἐγένετο μικρός. μέγιστον δ' εἰς τοσοῦτον συντελεῖ τὸ διαγινώσκειν δύνασθαι τὸ ποσὸν τῆς τε μικρότητος καὶ τοῦ μήκους. ἤτοι γὰρ ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν ἐγένετο μικρότερος, ἢ πολλῷ, ἢ ὡς ἂν εἴποι τις μετρίῳ, καὶ δὴ καὶ κατὰ τὸ μῆκος, ἢ ὀλίγον, ἢ μέτριον, ἢ πολὺ τῶν κατὰ φύσιν ὑπερβάλλει. ἔστω δὴ τὸ ἕτερον ὑπὲρ πλεῖστον μὲν εἰς μῆκος ἐκτεταμένος. ἐπὶ πλεῖστον δὲ καὶ μικρότητος ἥκων, τουτέστι στενὸς καὶ ταπεινός, ὁ τοιοῦτος σφυγμός ἐστι μὲν τῇ φύσει πολὺ μικρότερος ἢ φαίνεται. ὑπάρχει δ' αὐτῷ τὸ μὴ φαίνεσθαι τοιοῦτος διὰ ὑπερβάλλουσαν ἰσχνότητα. τὸ δὲ εἶναι φύσει μικρότερον διὰ τὰς μικροτέρας γνώσας αἰτίας, ψύξιν, ἀτονίαν, ἰσχνότητα. τίς οὖν ἐκ τούτων ἐστίν, ἢ τίνες ποιήσασαι τὸν νῦν φαινόμενον σφυγμόν, μακρὸν καὶ στενὸν καὶ ταπεινόν; λέλεκται μὲν ἤδη καὶ πρόσθεν, ὡς ἀχώριστον ἐστὶ σημεῖον τῆς μὲν σκληρότητος τῶν ἀρτηριῶν ὁ σκληρὸς σφυγμός, τῆς δὲ ἀρρώστου δυνάμεως ὁ ἀμυδρός, ὅσπερ δὴ καὶ ἄτονός τε καὶ ἄρρωστος ὀνομάζεται, καθάπερ γε καὶ ὁ ἐναντίος αὐτῷ, σφοδρός, καὶ εὔτονος, καὶ εὔρωστος. ἀλλ' ἐπὶ τοῦ προκειμένου σφυγμοῦ κἀκεῖνο χρὴ γινώσκειν. ὡς ἐξ ἀνάγκης ἐστὶν ἀμυδρός. οὐδέποτε γὰρ ἐσχάτως μικρὸς γίνεται σφυγμὸς εὐρωστούσης δυνάμεως. ἡ μέντοι σκληρότης οὐκ ἐξ ἀνάγκης σύνεστι. περὶ δὲ τῆς ψύξεως οὐχ ἁπλῶς εἰπεῖν ἐγχωρεῖ, ἀλλὰ χρὴ πρῶτον μὲν γινώσκειν, ὡς ἕτερον μέν ἐστι τὸ ἐψύχθαι τὴν καρδίαν ἅμα ταῖς ἀρτηρίαις, ἕτερον δὲ τὸ ψύχεσθαι. καὶ ὡς τὸ μὲν ἐψύχθαι κεκακῶσθαι τὴν δύναμιν ἐστίν. τὸ δὲ ψύχεσθαι τὴν χρείαν ἠλλοιῶσθαι. πάνυ δ' ἀκριβῶς χρὴ προσέχειν τῷ λεγομένῳ τὸν νοῦν εὖ εἰδότας ὡς οὐ μόνον εἰς τὰς διὰ τῶν σφυγμῶν προγνώσεις, ἀλλὰ καὶ τὰς ἄλλας σχεδὸν ἁπάσας, οὐδὲν ἐστὶν αὐτοῦ χρησιμώτερον εἴρηται δ' ἅπας ὁ λόγος οὗτος ἐκ τοῦ γινώσκειν τὴν οὐσίαν τῆς δυνάμεως, ὑπὲρ ἧς ἐν μὲν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ διὰ τὸ μηδὲ μίαν ἀνάγκην εἶναι παρελίπομεν εἰπεῖν, ἐνταυθοῖ δέ, πρὸς

γὰρ ἐπιστήμην ἀκριβῆ τῶν λεχθησομένων ἡ γνῶσις αὕτη συντελεῖ, καιρὸς εἶναί μοι δοκεῖ διελθεῖν, οὐκ ἐνταῦθα μετὰ τῶν οἰκείων ἀποδείξεων, ἑτέρωθεν γὰρ εἴρηται μακρότερον, ἀλλ' ὅσον ἐν κεφαλαίῳ ἐνθένδε εἰς τὰ ἐνεστῶτα νῦν χρηστόν. ἡ οὐσία τῆς δυνάμεως ἑκάστου τῶν μορίων ἐν τῇ καθ' ἕκαστον αὐτῶν εὐκρασίᾳ τέτακται. τό τε γὰρ ἐπιτελεῖ τὸ ἴδιον ἔργον εὐρώστως, ὅταν εὐκρατότατον ᾖ. καὶ μέντοι καὶ κακῶς ἐργάζεται, δύσκρατον γινόμενον, καὶ εἰς τοσοῦτόν γε κακῶς, εἰς ὅσον δύσκρατον. οὕτως οὖν καὶ αὐτὸ τὸ τῆς καρδίας σῶμα ψυχθὲν μὲν, ἢ θερμανθὲν, ἢ ὑγρανθὲν, ἢ ξηρανθὲν ἀμέτρως εἰς οἷον δύσκρατον ἐλθὸν, καὶ τοὺς σφυγμοὺς εἰς τοσοῦτον ἀμυδροὺς ἀποτελεῖ. ὅπερ μέν ἐστιν αὐτῷ βεβλάφθαι τὴν δύναμιν. τὸ δὲ ὁμιλεῖν ἤτοι τῷ περιεχομένῳ κατὰ τὰς κοιλίας ἑαυτῆς αἵματι, καὶ πνεύμονι θερμοτέρῳ πολὺ τοῦ κατὰ φύσιν, ἢ τὸ κατὰ τὸ περικάρδιον σκέπασμα, ἢ τὸ πνεῦμα ἢ καὶ αὐτῷ τῷ περικαρδίῳ, καὶ τῷ πνεύμονι, τὴν χρείαν ἐστὶ μόνον ὑπηλλάχθαι, χωρὶς τοῦ βεβλάφθαι τὴν δύναμιν. ὡσαύτως δὲ κἂν τῷ κατεψῦχθαι τε καὶ ψύχεσθαι, κατὰ μὲν αὐτὸ τὸ σῶμα τῆς καρδίας ἐπικρατοῦντος ἐν τῇ κράσει τοῦ ψυχροῦ στοιχείου, βλάβη τῆς δυνάμεως. κατὰ δὲ τὸν περικάρδιον χιτῶνα καὶ τὸν πνεύμονα καὶ τὸ κατὰ τὰς κοιλίας αὐτῆς αἷμα καὶ πνεῦμα, τῆς χρείας ἔκλυσις. αἱ δ' ὑγρότητες, καὶ ξηρότητες αἱ μὲν κατ' αὐτὸ τῆς καρδίας τὸ σῶμα, βλάβαι τῆς δυνάμεώς εἰσιν. αἱ δὲ κατά τι τῶν ὁμιλούντων, οὐκ ἐξαλλάττουσι τὴν χρείαν. αἱ μὲν γὰρ εὐκρασίαι τε καὶ δυσκρασίαι περὶ τὰ τέτταρα γίνονται στοιχεῖα. αἱ δὲ τῆς χρείας ἐπιτάσεις τε καὶ ἀνέσεις ἐν τῷ θερμῷ καὶ ψυχρῷ μόνοις. ὅταν οὖν εἰς ἔσχατον ἐκλύσεως ἥκῃ τὰ τῆς χρείας, ἐψυγμένων ἰσχυρῶς τῶν ὁμιλούντων τῇ καρδίᾳ σωμάτων, ἀνάγκη πᾶσα, καὶ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἴσχειν δυσκράτως, ὅπερ ἐστὶν οὐδὲν ἄλλο τοῦ τὴν δύναμιν ἀρρωστοτέραν γίνεσθαι. καὶ διὰ τοῦτ' ἔλεγον ἀδύνατον εἶναι περὶ τῆς ψύξεως ἁπλῶς εἰπεῖν. οὐ γὰρ ὥσπερ ἐπὶ μόνῃ καταπτώσει δυνάμεως, ἢ ὀργάνων σκληρότητι μόνῃ γίνεται ποτὲ μικρότερος ὁ σφυγμὸς, οὕτω καὶ διὰ κατάψυξιν μόνην, ὡς εἴρηται νῦν, οὐ τῆς καταψύξεως ἀκουομένης ἐπὶ τῆς κατὰ τὴν χρείαν ἐκλύσεως. οὐ γὰρ ἐνδέχεταί ποτε τὴν καρδίαν εἰς τὸ καταψύχεσθαι μὲν σφοδρῶς ἀφῖχθαι, μὴ κατεψῦχθαι δὲ καὶ αὐτήν. ἐναργέστατα δ' ἂν ὃ λέγω μάθοις, εἰ πειραθείης ποτὲ τῶν ἐν ὁδοιπορίαις ἀποθνησκόντων ἐπὶ κρύει καρτερῷ. πάντες μὲν γὰρ εὐθέως ἅμα τῷ ψυχρὸν ἐκπνεῖν τὸν ἀέρα, καὶ τὸν σφυγμὸν ἔχουσι μικρότερον. οὐ μὴν μικρότατόν γε οὐδεὶς αὐτῶν ἴσχει, πρὶν εἰς ἔσχατόν γε ἀφικέσθαι καταψύξεως, ἡνίκ' οὐ μόνον ἡ χρεία τέτραπται τῆς τῶν σφυγμῶν γενέσεως, ὅπερ ἐξ ἀρχῆς ὑπῆρχεν αὐτοῖς, ἀλλὰ καὶ ἡ δύναμις ἀρρωστεῖ, μηκέτι φυλαττομένης ἐν τῇ καρδίᾳ τῆς φυσικῆς εὐκρασίας. καὶ ἀθρόως γε τοῦτ' αὐτοῖς εἴωθεν ὡς τὸ πολὺ συμβαίνειν, οὐ κατὰ βραχὺ καθάπερ ἐν ἄλλαις διαθέσεσιν, ὧν ἐστι μία καὶ ἡ νῦν ἡμῖν προκειμένη, καθ' ἣν ἅμα τε μικρὸς ὁ σφυγμὸς φαίνεται καὶ στενὸς καὶ ταπεινὸς ἐν νοσήμασι χρονίοις. οἱ γὰρ οὕτω διακείμενοι τὸν μὲν κίνδυνον οὐχ ἧττον ἐφεδρεύοντα τῶν ἐν ὁδοιπορίαις ἔχουσιν, οὐ μὴν ἐξαίφνης γε μικρὸς αὐτοῖς ὁ σφυγμὸς, ἀλλὰ κατὰ βραχὺ γίνεται μαραινομένοις. ἓν γὰρ καὶ τοῦτ' εἶδός ἐστι μαρασμοῦ, τὸ πρὸς τοῦ Φιλίππου καλούμενον γῆρας ἐκ νόσου. ὡς ὅ γε περιφρυγὴς μαρασμὸς οὐ διὰ ψύξιν, ἀλλὰ δι' ἀρρωστίαν μόνην δυνάμεως ἀσθενεῖς καὶ μικροὺς ἀποτελεῖ τοὺς σφυγμούς. διορίζεται δὲ τοῦ προτέρου τῷ τε τάχει τῆς κινήσεως καὶ τῇ πυκνότητι καὶ τῇ σκληρότητι καὶ τῷ πυρώδει τῆς θερμότητος. ἀλλὰ περὶ μὲν τούτων οὐ τοῦ νῦν ἐνεστῶτος λόγου διελθεῖν. ἐπὶ δὲ τὸ προκείμενον ἐπάνειμι. ὁ μικρὸς καὶ στενὸς καὶ ταπεινὸς σφυγμὸς ὁ ἐπὶ πλέον ἐξεστηκὼς τοῦ κατὰ φύσιν ἐν ταῖς τρισὶ διαστάσεσιν, ἐπειδὰν μὲν ἄνευ σκληρότητος φαίνηται τοιοῦτος, ὑπό τινων γίνεται καὶ πόσων αἰτίων, αὐτάρκως εἴρηται. ἐπειδὰν δὲ μετὰ σκληρότητος, εὐθὺς μὲν καὶ ταύτῃ σύνεστιν ἤτοι γ' ὁ ἀμυδρὸς σφυγμὸς, ἢ ὁ μέσος ἀμυδροῦ καὶ σφοδροῦ, ὁ μήτ' ἀνατρέπων τὴν ἁφὴν, μήτ' ἀνατρεπόμενος ὑπ' αὐτῆς, μεμνημένων γε ἡμῶν ὡς καθ' ἕτερον τρόπον οὐδείς ἐστι μέσος ἀμυδροῦ καὶ σφοδροῦ. δηλοῦται δ' ἐπικρατεῖν ἐν τῷ σώματι διάθεσις, ἡ σκληρὰν ἀποτελοῦσα τὴν ἀρτηρίαν. ὅπερ δ' ἐστὶν ἤτοι ξηρότης, ἢ πῆξις ὑπὸ ψύξεως, ἢ τάσις. ξηρότης μὲν ἐν τοῖς καυσωδεστάτοις πυρετοῖς, ὅταν κακοήθως χρονίσωσι, καὶ μάλιστα τῷ περιφρυγεῖ μαρασμῷ, καὶ τισὶν εἴδεσι μελαγχολικῶν τε καὶ τεταρταίων πυρετῶν. πῆξις δ' ἐκ ψύξεως ἐπί τε ψυχροῦ πόσεσιν ἀκαίροις, ἢ ἀμέτροις, ἢ λουτροῖς ὁμοίοις, ἐπί τε ταῖς ψυχούσαις ὀπώραις ἀκαίροις, ἢ ἀμέτροις, ἢ ὅλως ὅσα τὸ ψυχρὸν φλέγμα γεννᾶν πέφυκεν ἱκανῶς, ὅπερ ὑαλώδη χυμὸν ὁ Πραξαγόρας ὀνομάζειν εἴωθεν. τάσις δὲ κατά γε τὰς σπασμώδεις διαθέσεις, καὶ τὰς μεγάλας φλεγμονάς. ἐν δὲ τοῖς σκίρροις καὶ πῆξις καὶ τάσις γίνεται τῶν ἀρτηριῶν. συμβαίνει δὲ τὸ τοιοῦτον ἐφ' ἥπατι μάλιστα καὶ σπληνί. ἐπὶ τούτοις γὰρ τοῖς σπλάγχνοις οἱ σφυγμοὶ σαφέστατα καὶ συνεχέστατα σκληροὶ φαίνονται, μάλιστα μὲν σκιρρουμένοις, ἤδη δὲ κἂν ταῖς μεγάλαις φλεγμοναῖς. ἀλλὰ τὰ μὲν τοιαῦτα πάθη καὶ διὰ τῆς ἁφῆς ἐστι γνωρίσαι, καὶ δι' οὔρων, καὶ διαχωρημάτων, καὶ τοῦ χρώματος ὅλου τε τοῦ σώματος, καὶ τῆς γλώττης. ἤδη δὲ καὶ διὰ τῆς ἰδέας τῶν πυρετῶν. ὅσαι δ' ἄλλαι διαθέσεις τὸν σφυγμὸν σκληρὸν ἀποτελοῦσιν, αἱ μὲν ἐξ ἁμαρτημάτων προσφάτων ἐξαιφνίδιον ἔχουσι τὴν γένεσιν. αἱ δ' ἄλλαι πᾶσαι κατὰ βραχύ. τὰ δ' ἁμαρτήματα τὰ τὰς τοιαύτας ἐργαζόμενα διαθέσεις οἴνου πόσις ἄκαιρός ἐστι καὶ ψυχροῦ. πολλάκις δὲ καὶ ὀπῶραι ψύχουσαι, καὶ ψυχρὸν λουτρόν. διαγνώσῃ δὲ τὴν μὲν ἀπ' οἴνου βλάβην, ὅταν ἐξαιφνίδιον ὁ σφυγμὸς μὴ μόνον ᾖ σκληρὸς, ἀλλὰ καὶ μείζων καὶ θάττων γίνεται καὶ σφοδρότερος. τὰς δὲ ἄλλας κοινῇ μὲν ἁπάσας οἴνου διακρινεῖς τῷ μήτε μέγεθος αὐταῖς προσγίνεσθαι, μήτε σφοδρότητα, μήτε τάχος. ἰδίᾳ δ' ἑκάστην, ἐστὶν ὅτε μὲν ἐπιφανεστέρως, ἐστὶν ὅτε δὲ ἀμαυρότερός τε καὶ στοχαστικωτέρως. ἐπιφανεστέρως μὲν ὅταν καὶ σύμπτωμά τι συμπίπτηται τῶν ὀπώραις ἕπεσθαι πεφυκότων, λέγω δὲ ἐμφύσωσιν γαστρὸς, ἢ δῆξιν διαφθαρόντων, ἢ θλῖψιν τινὰ κατὰ τὸν στόμαχον, ἢ παραφροσύνην ὡς ἐπὶ ταῖς οἰνόδεσιν ὀπώραις, ἢ ἔμετον, ἢ διαχώρησιν ὑγροτέραν τε καὶ πλείονα. ταῦτα μέν γε οὐ δὲ διὰ σημείων, ἀλλ' ἄντικρυς αὐτὴν τὴν οὐσίαν τῶν ἐδηδεσμένων ἐνδείκνυται. ὅταν δὲ μήτε τούτων τι παρῇ, μήτε τῶν ἀπ' οἴνου σημείων, ὕδωρ ψυχρόν ἐστι τὸ τὴν βλάβην ἐργασάμενον, ἤτοι ποθὲν, ἢ οὐ προσηκόντως ἐν αὐτῷ λουσαμένοις. εἰς δὲ τὴν ἀσφαλεστέραν ἐπὶ τούτων ἁπάντων ἀπόφασιν, οἱ τῶν φοβουμένων τε καὶ ἀγωνιώντων σφυγμοὶ μέγιστον γνώρισμα. καὶ εἰ τοῖς εἰρημένοις ἔμπροσθεν ὕστερον ἐπά-

γεὶς ἀεὶ τοῦτο, ὅτι ἠτάκτησεν ὁ νόσος, βεβαιοτέραν τε καὶ θαυμασιωτέραν ἐργάζεται τὴν πρόρρησιν. ὡς ἐνίοτε
τοὺς ἀκούοντας ἀπιστεῖν καὶ νομίζειν οὐκ ἐκ τῶν σφυγμῶν εἰρῆσθαί τι τῶν τοιούτων, ἀλλ᾽ ἐξαγγείλαντός τινος
τῶν εἰδότων τὸ πλημμεληθὲν παρὰ κάμνοντι. χρὴ δὲ προσαψάμενον ἀκριβῶς τῶν σφυγμῶν, εἶτα τὸ φανὲν ὑπὸ
τῶν σημείων ἀποφηνάμενον, ἅπτεσθαι πάλιν ἐπισκοπούμενον εἰ τετάρακταί πως ὁ κάμνων. εἰ μὲν γὰρ
ὅλως μὴ ταραχθείη, σκόπει μή τινα τῶν προειρημένων γνωρισμάτων, ἢ παρέλιπες, ἢ ὀρθῶς οὐκ ἐπεσκέψω.
εἰ δὲ ταραχθείη καὶ σοὶ δόξειεν ἀγωνιᾶν, ἢ φοβεῖσθαι, μὴ παραχρῆμα πίστευε τοῖς σημείοις, πολλάκις γὰρ οὐκ
ὑπὸ τοῦ συνειδέναι τοιοῦτόν τι πεποιηκόσιν ἑαυτοῖς οἱ κάμνοντες ἀγωνιῶσιν. ἀλλὰ φύσει πως ὄντες δει-
λότεροι. τούτοις μὲν οὖν ὀλίγον ὕστερον ὁ σφυγμὸς καθίσταται. τοῖς δὲ ὄντως εἰργασμένοις εἰς ὅσον ἂν ἀπο-
φαίνηταί τι περὶ αὐτοῦ, εἰς τοσοῦτον καὶ ὁ τοῦ φόβου σφυγμὸς ἴδιος ὑπάρχει. πάντα δὲ τὰ εἰρημένα νῦν
10 ἁμαρτήματα τῶν καμνόντων, ἤτοι τὰς φλεγμονὰς, ἢ τοὺς σκίρρους, ἢ τὰς ξηρότητας, ἢ τὰς διὰ τὴν ψύξιν
πήξεις τῶν σπλάγχνων ἐπιτείνοντα, τὴν ἀλλοίωσιν, οἵαν εἰρήκαμεν ἐργάζεται. κατὰ δὲ τὴν τῶν νεύρων ἀρχὴν,
ἔτι τούτων ἀποτελεσθείη, τὴν σπασμώδη διάθεσιν ἐργάζεται. καλῶ δ᾽ ἐκείνας τὰς διαθέσεις ὅσαις ἐξ ἀ-
νάγκης πρὸ τοῦ θανάτου σπασμῶδές τι γίνεται σύμπτωμα. καὶ ἀποθνήσκουσι γε οἱ τοιοῦτοι πάντες ἔτι θερμοὶ,
ἔμπαλιν τοῖς συγκοπτομένοις. οὗτοι μὲν γὰρ ἱκανῶς ὄντες ἤδη ψυχροὶ ζῶσιν ἔτι. οἷς δ᾽ ἡ σπασμώδης διάθεσις
ἐστὶν ἐν τῇ τῶν νεύρων ἀρχῇ, νεκροὶ κείμενοι παντάπασιν, ἐπὶ πλεῖστον διαμένουσιν θερμοί. εἰσὶ μὲν τῶν τοιούτων
ἁπάντων οἱ σφυγμοὶ παρὰ γεγυμνασμένῳ τὴν ἁφὴν εὐθὺς ἐν τῇ πρώτῃ προσβολῇ τήν τε τάσιν ἐνδεικνύμενοι
καὶ τὴν οἷον σπασμώδη κίνησιν ἐμφαίνοντες. εἰ δέ τισι τῶν τὸν προειρημένον ἐχόντων σφυγμὸν, αἱ διαχωρήσεις
γένονται πολλαὶ, συμβαίνει δὲ τοῦτο μάλιστα κατὰ τοὺς σκίρρους τοῦ ἥπατος, οὐκ ἔτι τούτοις ὁ σφυγμὸς μακρός ἐστιν,
ἀλλ᾽ ἤτοι παρὰ κατὰ φύσιν ἐν τῷ μήκει παραπλήσιος, ἢ καὶ βραχύτερος ἔτι. καὶ μὴν καὶ τοῦτο περὶ ἁπάντων τῶν σκλη-
20 ρῶν τε ἅμα καὶ μικρῶν σφυγμῶν ἐπίστασθαι καλὸν, ὡς κλονώδεις γίνονται τάχιστα, καὶ ὡς ὅσοι γ᾽ οὐκ εἰσὶ κλονώ-
δεις, ἤτοι δι᾽ ἀρρωστίαν τῆς ζωτικῆς δυνάμεως, ἢ δι᾽ ἔκλυσιν τῆς χρείας, ἢ δι᾽ ἄμφω συνελθόντα, τὴν τοιαύτην
κίνησιν οὐ προσλαμβάνουσιν. ὡς ὅταν γε καὶ ἡ χρεία δέηται μεγάλης διαστολῆς, καὶ ὁ τόνος ὁ ζωτικὸς ἐργάζεσθαι
δύνηται, μόνον δ᾽ ἀντιλέγει τὸ σῶμα τῆς ἀρτηρίας, ὑπὸ σκληρότητος ἀδυνατοῦν εἰς μεγάλην ἐξαίρεσθαι δια-
στολὴν, ὁ κλόνος ἐν τῇ τοιαύτῃ καταστάσει γίνεται. ἄλλως δὲ ἀμήχανον γενέσθαι κλονώδη κίνησιν ἀρτηρίας: ὥστε
καὶ ὁ προκείμενος σφυγμὸς ἄκλονος μὲν φαινόμενος, ἢ ἀρρωστίαν ἐσχάτην τῆς δυνάμεως, ἢ τῆς χρείας μεγίστην
ἔκλυσιν ἐνδείκνυται. κλονώδης δὲ γενόμενος, εὐθὺς μὲν καὶ τόνου τι προσειληφέναι δηλοῖ τὴν δύναμιν. εὐθὺς δὲ
καὶ τὴν χρείαν τῆς τῶν σφυγμῶν γενέσεως οὐκ εἰς ἔσχατον ἐκλελύσθαι, καὶ μὲν δὴ καὶ μικρότητος οὐκ ἐπὶ πλεῖστον
ἥκει, ὥσπερ ὁ προκείμενος σφυγμὸς ἥκειν ἐλέγετο. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καὶ χωρὶς κλόνου μακρότερος
μὲν εἴη τοῦ κατὰ φύσιν ὁ σφυγμὸς, στενώτερος δὲ καὶ ταπεινότερος, οὐ μὴν ἐπὶ πλεῖστον γε καθ᾽ ἕκαστον αὐτῶν ἀποκε-
30 χωρηκὼς τοῦ κατὰ φύσιν, ἀλλ᾽ ἐπ᾽ ὀλίγον, ἐπισκέπτεσθαι προσήκει, πότερα σκληρὸς ὢν οὐκ ἔτι κλονώδης, ἢ ὅλως
οὐ μετέχει σκληρότητος. εἰ μὲν γὰρ σκληρὸς ὢν ἄκλονος εἴη, ψύξιν ἢ ἀρρωστίαν δυνάμεως, ἢ παρὰ συναμφότερον
ἐνδείκνυται. διορίζεσθαι δ᾽ ἐκ τῶν ἑπομένων. ὅτῳ μὲν γὰρ ἐπὶ καταψύξει μόνῃ τοιοῦτος ὁ σφυγμός ἐστιν, εὐθὺς
καὶ βραδύτης αὐτῷ καὶ ἀραιότης συνυπάρχει. ὅτῳ δ᾽ ἐπ᾽ ἀσθενείᾳ δυνάμεως ἡ ἀμυδρότης ἀχώριστος. ἀλλ᾽ εἰ μὲν
τὰ τῆς χρείας ἀτρεπτα διαφυλάττοιτο, τοσούτῳ τοῦ κατὰ φύσιν ὁ σφυγμὸς ἔσται θάττων τε καὶ πυκνότερος, ὅσον ἡ
μικρότης ἐξετράπετο τοῦ συμμέτρου. εἰ δ᾽ ὅσῳ περ ἡ δύναμις ἀρρωστοτέρα, τοσούτῳ καὶ ἡ τῆς χρείας ἔκλυσις,
ὅμοιος παρὰ κατὰ φύσιν ὁ σφυγμὸς φανεῖται κατ᾽ ἀμφοτέρας τὰς διαφορὰς, καὶ οὔτε θάττων, οὔτε βραδύτερος,
οὔτε πυκνότερος, οὔτε ἀραιότερος. εἰ δὲ θάτερον ὑπερέχει, κατὰ τὴν τῆς ὑπεροχῆς ἀναλογίαν, ὡς ἔμπροσθεν
εἴρηται. εἰ δὲ ἅμα τε σκληρὸς εἴη καὶ κλονώδης, τὰς μὲν αὐτὰς ἐνδείξεται διαθέσεις, ὑφ᾽ ὧν ἔμπροσθεν ἐλέγομεν
ἀποτελεῖσθαι τὸν σκληρὸν σφυγμὸν, οὐ μὴν οὔτε ἄτονον, ὡς ἐπ᾽ ἐκείνων τὴν δύναμιν, οὔτε ἐκλελύσθαι τὴν χρείαν.
40 εἰς ὅσον δὲ ἑκάτερον αὐτῶν βεβλαμμένον, ἐπὶ μὲν τῆς δυνάμεως ἡ κατὰ σφοδρότητά τε καὶ ἀμυδρότητα δηλώ-
σει διαφορὰ, σὺν παρὰ ποσῷ τοῦ κλόνου. ἐπὶ δὲ τῆς χρείας ἡ κατὰ τάχος τε καὶ πυκνότητα κἀνταῦθα σὺν τῷ ποσῷ
τοῦ κλόνου τὰ δ᾽ ἄλλα ἐκ τῶν προειρημένων συντεκμαίρεσθαι. ὡσαύτως δὲ κἂν μήτ᾽ ὀλίγῳ, μήτε πολλῷ τοῦ
κατὰ φύσιν ἐξίστηται κατὰ τὰς τρεῖς διαφορὰς, ἀλλὰ μετρίως πως καὶ μέσως, ἐκ τῶν εἰρημένων διαιρεῖσθαι. πολλάκις
δ᾽ ἐπὶ τῶν τοιούτων σφυγμῶν, λέγω δὲ τῶν ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν εἰς μῆκος τε καὶ στενότητα καὶ ταπεινότητα
τὴν μεταβολὴν ἐσχηκότων, οὐ μόνον οὐδὲν τι φαίνεται σκληρότητος, ἀλλὰ καὶ μαλακότης αὐτοῖς σύνεστιν
ἐπιφανής. καὶ γίνεται μὲν καὶ τῇδε διὰ τὰς αὐτὰς κατὰ γένος αἰτίας, ἐξαλλάττεται δὲ παρὰ ποσῷ καθ᾽ ἑκάστην. εἴτε
γὰρ διὰ τὴν τῆς δυνάμεως ἀσθένειαν ἐλάττων ὁ σφυγμὸς ἀποτελοῖτο τοῦ συμμέτρου, μείζων ἡ βλάβη δηλοῦται
τῆς δυνάμεως. εἴτε διὰ τὴν τῆς χρείας ἔκλυσιν, ἐπὶ πλέον ἥκειν καὶ ταύτην κακώσεως. εἰς ὅσον γὰρ ἡ μαλακότης τοῦ
χιτῶνος ἑτοιμοτέρα πρὸς τὸ μέγεθος τῆς διαστολῆς ἐστιν, εἰς τοσοῦτο τὴν μικρὸν ἐργαζομένην τὸν σφυγμὸν αἰτίαν
50 ἐπιτετάσθαι δηλώσει. τῆς μὲν οὖν κατὰ τὴν δύναμιν ἀρρωστίας τὸ ποσὸν αὐτάρκως ἐδηλοῦτο διὰ τοῦ ποσοῦ τῆς ἀμυ-
δρότητος. ἐκ περιμέτρου δ᾽ ἂν εἴη καὶ τὸ νῦν εἰρημένον. ἡ δὲ τῆς χρείας ἔκλυσις εἰς ὅσον ἥκει κακώσεως, ἐκ μόνων τῶν
εἰρημένων σημείων εὑρίσκεται. περὶ ὧν εἰρήσεταί τι καὶ διὰ τῶν ἐφεξῆς, ὅταν συμπλέκωμεν ἀλλήλοις τὰ γένη τῶν
σφυγμῶν. νυνὶ γὰρ οὐ τοῦτ᾽ ἡμῖν τὸ προκείμενον, ἀλλὰ περὶ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐγχειρήσαντες λέγειν,
ἠναγκάσθημεν ἐφάψασθαι καὶ τῶν ἄλλων. αὖθις οὖν ἐπὶ τὸ πρότερον ἐξ ἀρχῆς ἐπανέλθωμεν, ἐπὶ τὰ λοιπὰ γένη
μεταβαίνοντες. οὐδὲν γὰρ οἶμαι δεῖν ἔτι τοὺς ἄλλους ὁμοίως ἐπανέρχεσθαι σφυγμοὺς ἐκ τοῦ διαγράμματος. ἀλλὰ κατὰ
τὴν αὐτὴν μέθοδον ἣν νῦν ἐπὶ τοῦ μακροῦ καὶ στενοῦ καὶ ταπεινοῦ πεποιήμεθα, καὶ περὶ τῶν ἄλλων ἑκάστου διορίζεσθαι, πρό-
τερον μὲν ἀποχωρίζοντες ὅσα διὰ τὴν τοῦ σώματος σχέσιν ἐξαλλάττονται κατὰ μῆκος, ἢ πλάτος, ἢ βάθος, ὡς μὴ μεγάλοι
μόνον ἢ μικροὶ φαίνεσθαι. δεύτερον δὲ τὰς αἰτίας ἐπισκεπτομένους, δι᾽ ἃς ἤτοι μείζονες τοῦ κατὰ φύσιν, ἢ μικρότε-
ροι γίνονται. περὶ μὲν δὴ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς γένους τῶν σφυγμῶν αὐτάρκως εἴρηται πρός γε τὰ

παρόντα. περὶ δὲ τῆς εἰς τάχος τε καὶ βραδυτῆτα μεταβολῆς αὐτῶν, ὅπερ ἰδιαίτατόν ἐστι γένος αὐτῆς τῆς κινήσεως τῶν ἀρτηριῶν, ἐξῆς ἂν εἴη ῥητέον. Ἀρκτέον δὲ κἀνταῦθα πάλιν ἀπὸ τοῦ διαστείλασθαι τὴν ὁμωνυμίαν. λέγεται δὴ ταχὺς σφυγμὸς ὁ μὲν ὡς πρὸς τὸν σύμμετρον, ὁ δὲ ὡς πρὸς ὁντιναοῦν τὸν ὑπερέχοντα. καὶ μὲν δὴ καὶ αὐτὸς ὁ σύμμετρος, ὁ μὲν ἁπλῶς ἐστι, ὁ κατὰ τὴν ἀρίστην δηλονότι φύσιν, ὁ δὲ καθ' ἕκαστον ἄνθρωπον ἀμέμπτως ὑγιαίνοντα. κρίνεται δ' οὗτος ἐν τῇ πρὸς τὸν ἁπλῶς σύμμετρον παραβολῇ, καὶ διδάσκει τὴν κρᾶσιν ὁποία τίς ἐστιν. ὁ μὲν οὖν θάττων θερμοτέραν, ὁ δὲ βραδύτερος ψυχροτέραν ἐνδείκνυται τὴν κρᾶσιν. οὐ μὴν εὑρεῖν γε ἀκριβῶς ἐστι μόνην εἰς τάχος καὶ βραδυτῆτα μεταβολήν, οὔτ' ἐν τοῖς κατὰ φύσιν, οὔτ' ἐν τοῖς οὐ κατὰ φύσιν ἔχουσι σώμασιν. ὁ γὰρ θερμότερος τῆς ἁπλῶς συμμέτρου κράσεως εἰ θάττονα φαίνοιτο τὸν σφυγμὸν ἔχων, ἐξ ἀνάγκης αὐτὸν ἔχει μείζονα, ὅ, τε τοῦ κατὰ φύσιν ἑαυτῷ σφυγμοῦ κατά τινα καιρὸν ἔχων θάττονα, καὶ μείζονα πάντως ἔχει. οὐ μὴν πυκνότερός γε οὐδέτερος αὐτῶν ἐξ ἀνάγκης. ἐν γὰρ τῷ παραύξεσθαι τὴν θερμασίαν ἐπὶ πλέον ἡ πυκνότης αὐτοῖς προσγίνεται. τῷ τάχει τοίνυν ἐνίοτε μὲν καὶ τὸ μέγεθος, ἔστι δ' ὅτε καὶ ἡ πυκνότης σύνεστι. ὥσπερ αὖ πάλιν ἐνίοτε πυκνότης μόνη, ὅταν ἀπολιπόντες τινὰ τὴν ἐνδεχομένην ἐν ἐκείνῳ τῷ καιρῷ μεγίστην διαστολὴν ἔχοντα, μετὰ ταῦτ' ἐπανελθόντες εὕρωμεν ἴσον μὲν τὸ μέγεθος, ἐπιτεταμένον δὲ τὸ τάχος. ἐξ ἀνάγκης γὰρ τῷ τοιούτῳ καὶ ἡ πυκνότης συνεπιτέταται. εἰ δὲ ἐκλελυμένην τὴν χρείαν τῶν σφυγμῶν ἔχοντά τινα καταλιπόντες, ἐπανελθόντες εὕροιμεν εἰς τάχος ἐπιδεδωκότα τὸν σφυγμόν, οὐ δὲ τό τε μόνον εἰς τάχος ἐπέδωκεν, ἀλλὰ καὶ πυκνότητα μὲν πάντως ἐγχωρεῖ καὶ εἰς μέγεθος. ἐπειδήπερ ἡ τῆς χρείας ἔκλυσις εἰς ἀραιότητα μὲν ἐναργέστερον, ἐφεξῆς δὲ εἰς βραδυτῆτα, καὶ τρίτον εἰς μικρότητα τρέπει τὸν σφυγμόν. οὕτω δὲ καὶ αἱ εἰς βραδυτῆτα μεταβολαὶ τῶν σφυγμῶν, αἱ μὲν ἐκ τοῦ κατὰ φύσιν, εὐθὺς καὶ εἰς ἀραιότητα τρέπονται. πολλάκις δὲ καὶ εἰς μικρότητα, ὅταν ἐπὶ πλέον ἡ χρεία μεμείωται. αἱ δ' ἐκ τῆς οὐ κατὰ φύσιν καταστάσεως, αἱ μὲν ἐπὶ παρηυξημένῃ τῇ χρείᾳ, πολλάκις μὲν μετὰ τῆς εἰς μικρότητα ῥοπῆς, ἔστι δ' ὅτε μετὰ τῆς ἀραιότητος, καὶ ποτὲ μετὰ τῆς εἰς ἀμφότερα. αἱ δ' ἐπὶ μεμειωμένῃ τῇ χρείᾳ μεταβολαὶ τῶν σφυγμῶν, εἰς βραδυτῆτα μετὰ ἀραιότητός τε καὶ μικρότητος γίνονται. αὗται μὲν αἱ πρῶταί τε καὶ ἁπλούσταται ῥοπαὶ τῶν σφυγμῶν, εἰς τάχος καὶ βραδυτῆτα, καὶ τούτων αἰτίαι προηγούμεναί τε καὶ κατάρχουσαι, κατὰ τὸν αὐτὸν τρόπον εὑρισκόμεναι, ταῖς ἐπὶ μεγέθους τε καὶ μικρότητα εἰρημέναις. αἱ δ' ἐπίμικτοί τε καὶ σύνθετοι τροπαὶ μετὰ σφοδρότητός τε καὶ ἀμυδρότητος, ἢ σκληρότητος, ἢ μαλακότητος συνίστανται. περὶ ὧν καὶ αὐτῶν ἐπισκέπτεσθαί τε καὶ διορίζεσθαι προσήκει κατὰ τὴν αὐτὴν μέθοδον, ἣν ἐν τῷ περὶ τῶν μακροῦ καὶ στενοῦ καὶ ταπεινοῦ λόγῳ διήλθομεν, ἕνεκα τοῦ γνῶναι διά τινα τὴν αἰτίαν εἰς τάχος ἢ βραδυτῆτα τὴν ἀλλοίωσιν ὁ σφυγμὸς ἐποιήσατο. δυνατὸν μὲν γάρ ἐστιν, ὡς εἴρηται, διὰ τὴν χρείαν ἐπιταθεῖσαν, εἰς τάχος ἐπιδοῦναι τὸν σφυγμόν. οὐκ ἀδύνατον δὲ καὶ διὰ τὴν μαλακότητα τῆς ἀρτηρίας, καὶ τὴν ἰσχὺν τῆς δυνάμεως. ἀλλ' ὅταν μὲν ἄτρεπτος ᾖ, κατὰ μαλακότητα, καὶ σκληρότητα, καὶ σφοδρότητα, καὶ ἀμυδρότητα, διὰ τὴν χρείαν μόνην ἡ ἀλλοίωσις. ὅταν δὲ καὶ μετὰ τούτων τινός, ἐπισκέπτεσθαί τε καὶ διορίζεσθαι προσήκει τὸ ἐπικρατοῦν αἴτιον, ὡς ἔμπροσθεν ἐδείκνυμεν, οἷον εὐθέως εἰ μετὰ τοῦ θάττων εἶναι μαλακώτερος φαίνοιτο, προσήκει σκοπεῖσθαι, πότερον τοσούτῳ θάττων, ὅσῳ μαλακώτερος, ἢ πλείονι. εἰ μὲν γὰρ ὅσῳ περ μαλακώτερος τοσούτῳ καὶ θάττων, ἐπὶ τῇ μαλακότητι μόνῃ τὴν ἀλλοίωσιν ἔχει. εἰ δὲ πλείονι θάττων, ἢ μαλακώτερος, οὐκ ἐπὶ τῇ μαλακότητι μόνον, ἀλλὰ καὶ διὰ τὴν χρείαν ἐπιταθεῖσαν. εἰ δ' αὖ πλείονι μαλακώτερος, ἤπερ θάττων, ὅσῳ πλείονι μαλακώτερος τοῦτ' ἐκ τῆς κατὰ μόνην τὴν χρείαν ἐκλύσεως ἀφῃρέθη. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ μετὰ τοῦ θάττων γενέσθαι καὶ σφοδρότερος γένοιτο, σκεπτέον εἰ τοσούτῳ θάττων ὅσῳ σφοδρότερος. οὕτω μὲν γὰρ ἂν ἡ ῥώμη μόνη τῆς δυνάμεως τοῦ τάχους αἰτία εἴη. εἰ δ' ἔλαττον σφοδρότερος, ἤπερ θάττων, ὅσῳ θάττων, τοῦτ' ἐκ τῆς χρείας αὐξηθείσης προσῆλθεν. εἰ δὲ πλείονι σφοδρότερος, ἤπερ θάττων, οὐχ ἡ ῥώμη τῆς δυνάμεως μόνον, ἀλλὰ καὶ ψύξις τις ἠλλοίωσε τοὺς σφυγμούς. εἰ δὲ θάττων τε ἅμα καὶ μαλακώτερος καὶ σφοδρότερος φαίνοιτο, ἱκανῶς γε γυμνασμένου δεῖται γνωσομένου πότερον τοσούτῳ θάττων ἐστὶ τοῦ κατὰ φύσιν, ὅσον ἐξ ἀμφοῖν τῶν αἰτίων ἐγένετο τῆς τε μαλακότητος καὶ τῆς εὐτονίας, ἢ οὐ τοσούτῳ. εἰ μὲν γὰρ τοσούτῳ δι' ἐκεῖνα μόνα τὴν ἀλλοίωσιν ἔχει. εἰ δὲ πλείονι, καὶ διὰ τὴν τῆς χρείας ἐπίτασιν. εἰ δ' ἐλάττονι, καὶ διὰ τὴν τῆς χρείας ἔκλυσιν. οὕτως δὲ κἀπὶ τῆς εἰς βραδυτῆτα τροπῆς τῶν σφυγμῶν ἐπισκεπτέον, εἴτε διὰ τὴν χρείαν μόνην ἐκλυθεῖσαν, εἴτε δι' ἀρρωστίαν τῆς δυνάμεως, εἴτε διὰ σκληρότητα τῶν ὀργάνων, ἡ ἀλλοίωσις ἐγένετο. διὰ μὲν οὖν τὴν χρείαν μόνην εὔλογον ἠλλοιῶσθαι τὸν σφυγμόν, ὅταν μήτε σκληρότερος εὑρίσκηται, μήτ' ἀτονώτερος. διὰ δὲ τὴν ἀρρωστίαν τῆς δυνάμεως, ὅταν ὅσῳ περ ἀμυδρότερος, τοσούτῳ καὶ βραδύτερος. οὕτω δὲ καὶ διὰ τὴν σκληρότητα τῶν ὀργάνων, ἐπειδὰν ὅσῳ σκληρότερος τοσούτῳ καὶ βραδύτερος. εἰ μέντοι φαίνοιτο πλείονι τοῦ συμμέτρου βραδύτερος, ἐλάττονι δ' ἀμυδρότερος ἐξ ἀτονίας τε καὶ καταψύξεως ἐγένετο τοιοῦτος. καὶ τό γε δυναστεῦον ἐν αὐτῷ τῶν αἰτίων εὑρήσεις ἐκ τῆς πρὸς τὸν κατὰ φύσιν τε καὶ σύμμετρον παραβολῆς. εἰ μὲν γὰρ ἡ ἀμυδρότης ἀριθμοῖς εἰ τύχοι πέντε τοῦ κατὰ φύσιν ἐξίστασθαι φαίνοιτο, πέντε καὶ δέκα ἀριθμοῖς ἡ βραδύτης, ἐπικρατεῖν ἐν τῇ τοῦ τοιούτου σφυγμοῦ γενέσει, τὸ ψυχρὸν αἴτιον οὐ τὴν ἀτονίαν τῆς δυνάμεως αἰτίαν ὑποληπτέον. εἰ δὲ πεντεκαίδεκα μὲν ἀριθμοῖς ἡ βραδύτης φαίνοιτο, δέκα δ' ἀριθμοῖς ἡ ἀμυδρότης, ἡ ἀτονία πλέον ἐν τῇ τοῦ σφυγμοῦ γενέσει δύναται τῆς ψυχρότητος. εἰ δ' ἐλάττονι μὲν εἴη βραδύτερος, ἀμυδρότερος δὲ πλείονι, διά τε τὴν ἀτονίαν τῆς δυνάμεως καὶ προσέτι θερμότητα τοιοῦτος ἐγένετο. καὶ τό γε μέγεθος ἑκατέρου τῶν αἰτίων ἐκ τῆς κατὰ τὴν ἀναλογίαν ὑπεροχῆς εὑρήσεις, μεμνημένων ἡμῶν, ὡς ἅπαντα ταῦτα λέγεται τῆς ἐπικτήτου κινήσεως ἀφωρισμένης. ὡσαύτως δὲ κἀπειδὰν εἰς βραδυτῆτα τῆς ῥοπῆς γινομένης εὑρίσκηται τις σκληρότης, ἐπισκεπτέον, εἴθ' ὑπὸ μόνης τῆς σκληρότητος ἡ ἀλλοίωσις, εἴθ' ὑπ' ἀμφοῖν ἐγένετο. εἰ μὲν γὰρ ὅσῳ περ ὁ σφυγμὸς βραδύτερος ἐγένετο, τοσούτῳ καὶ σκληρότερος φαίνοιτο, διὰ τὴν σκληρότητα μόνην ἡ ἀλλοίωσις. εἰ δὲ πλείονι βραδύτερος, ἤπερ σκληρότερος, οὐ διὰ τὴν σκληρότητα μόνην, ἀλλὰ καὶ διὰ τὴν ψύξιν.

ψύξιν. εὑρήσεις δὲ κἀνταῦθα τὸ ἰσχυρότερον αἴτιον, ὡς ὀλίγον ἔμπροσθεν εἴρηται. εἰ δὲ πλέονι μὲν εἴη σκληρότερος, ἐλάττονι δὲ βραδύτερος, οὐ διὰ τὴν σκληρότητα μόνον, ἀλλὰ καὶ διὰ τὴν θερμότητα, τοιοῦτος ἐγένετο. γνώσῃ δὲ κἀνταῦθα τὸ μέγεθος ἑκατέρου τῶν αἰτίων ἐκ τῆς κατὰ τὴν ἀναλογίαν ὑπεροχῆς. εἰ δὲ βραδύτερός τε ἅμα καὶ σκληρότερος καὶ ἀμυδρότερος εἴη, γεγυμνασμένου κἀνταῦθα χρεία τοῦ γνωσομένου, πότερον τοσούτῳ βραδύτερός ἐστι τοῦ κατὰ φύσιν, ὅσον ἐξ ἀμφοῖν τῶν αἰτίων ἐγένετο τῆς ἀτονίας τε καὶ σκληρότητος, ἢ οὐ τοσούτῳ. εἰ μὲν γὰρ τοσούτῳ, δεῖ ἐκεῖνα μόνα τὴν ἀλλοίωσιν ἔχειν, εἰ δὲ πλέονι καὶ διὰ τὴν τῆς χρείας ἔκλυσιν. εἰ δ' ἐλάττονι καὶ διὰ τὴν τῆς χρείας ἐπίτασιν. Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, πρός γε τὰ παρόντα βραχύ τι τὸν λόγον ἐπιστήσαντες, ἐνταῦθα πρὶν ἐπ' ἄλλο τι μεταβῆναι γένος, εἴπωμέν τινα πρός τε τὰ προειρημένα, καὶ πρὸς τὰ μέλλοντα λεχθήσεσθαι χρήσιμα. τεττάρων γὰρ οὐσῶν γενικῶν διαφορῶν ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν, πρώτης μὲν οἰκειοτάτης τοῖς σφυγμοῖς τῆς κατὰ τὸ ποιὸν τῆς κινήσεως, δευτέρας δὲ τῆς κατὰ τὸ ποσὸν τῆς διαστολῆς, ἡμεῖς καὶ νῦν κἀν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν, οὐ τῆς κυριωτέρας διαφορᾶς ἐμνημονεύσαμεν, ὅτι χαλεπωτέραν ἔχει τὴν διάγνωσιν, ἀλλὰ τῆς τοῖς εἰσαγομένοις διαγνωσθῆναι σαφεστέρας, καὶ διὰ τοῦτο καὶ δηλῶσαί τι χρησιμωτέρας. ὑπάρχει δ' αὐτῇ καὶ τοῦτ' ἴδιον ἐξαίρετον, ὅπερ οὐδὲ μία τῶν ἄλλων, τὸ, φαίνεσθαι μὲν ἑπτὰ καὶ εἴκοσι διαφορὰς σφυγμῶν ἐν αὐτῇ, κατ' ἀλήθειαν δ' εἶναι τρεῖς. ἐν γὰρ τοῖς ἄλλοις ἅπασι γένεσιν, ὅσαι περ εἰσὶν αἱ διαφοραὶ φύσει, τοσαῦται καὶ φαίνονται. λοιπὰ δὲ ἄλλα δύο γένη σφυγμῶν ἐστὶ κατὰ τὴν διαστολήν, τὸ μὲν ἕτερον ἐνδεικτικὸν τῆς δυνάμεως, τὸ δὲ ἕτερον τοῦ χιτῶνος τῆς ἀρτηρίας. ἑκάτερον τε, καὶ ὡς ἂν φαίη τις, οὐκ οἰκεῖον, οὐ δὲ συγγενές, ἀλλ' ἐπίκτητον γένος σφυγμῶν. ὑπάρχει δὲ τοῖς μὲν δύο τούτοις γένεσιν ἀεὶ τὴν αἰτίαν, ὑφ' ἧς γίνεται, σαφῶς ἐνδείκνυσθαι. τοῖς δ' ἄλλοις δύο τοῖς προειρημένοις οὐκ ἀεί. καὶ γὰρ καὶ συμβέβηκε τοῖς μὲν δύο τοῖς ὑστέροις γένεσιν, ὑπὸ μιᾶς αἰτίας ἑκάτερον δημιουργεῖσθαι. τοῖς πρώτοις δὲ δύο πρὸς ἁπασῶν τῶν αἰτιῶν, ἃς τρεῖς εἶναι πολλάκις ἐδείξαμεν. ὅθεν καὶ χαλεπώτερος ἐπὶ τῶν πρώτων δύο γενῶν ὁ λόγος ἐστὶν, καὶ διορισμῶν χρήζων πλειόνων εἰς τὴν τῆς αἰτίας εὕρεσιν. ἐπὶ δὲ τῶν ὑπολοίπων γενοῖν δυοῖν, τό, τε γένος τῆς αἰτίας ἓν καθ' ἑκάτερον, ἥ τε τοῦ ποσοῦ διάγνωσις ἀφωρισμένη. Σφοδρὸς μὲν ὁ σφυγμὸς ὑπὸ ῥώμης ἀεὶ γίνεται δυνάμεως, καὶ ὅσῳ γε σφοδρότερος, τοσούτῳ καὶ τὴν ῥώμην τῆς δυνάμεως ἐπιτετάσθαι δηλοῖ. ἀμυδρὸς δὲ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, καὶ ὅσῳ γ' ἂν ἀμυδρότερος ᾖ, τοσούτῳ καὶ τὴν δύναμιν ἀσθενεστέραν ὑπάρχειν ἐνδείκνυται. κατὰ ταῦτα δὲ καὶ ὁ μὲν σκληρὸς σφυγμός, ὑπὸ σκληροῦ χιτῶνος τῆς ἀρτηρίας ἀποτελεῖται. ὁ δὲ μαλακὸς ὑπὸ τοῦ μαλακοῦ. καὶ δὴ τὸ ποσὸν τῆς κατὰ τὸν σφυγμὸν σκληρότητός τε καὶ μαλακότητος, ἐνδεικτικόν ἐστι τοῦ ποσοῦ τῆς κατὰ τὴν ἀρτηρίαν σκληρότητος καὶ μαλακότητος. ἀλλ' ὁ μὲν τοῦ σκληροῦ καὶ μαλακοῦ μέσος, ὥσπερ καὶ σύμμετρος ὀνομάζεται, πρῶτός τ' ἐστὶν αὐτῶν τῇ φύσει καὶ μόνος κατὰ φύσιν. ἀμυδροῦ δὲ καὶ σφοδροῦ κατὰ τοῦτον μὲν τὸν λόγον, οὐδείς ἐστι μέσος. ὁ μὲν γὰρ ἀμυδρὸς ἀῤῥωστούσης τε καὶ παρὰ φύσιν ἐχούσης τῆς δυνάμεως ἐστὶν ἔγγονος, ὁ δὲ σφοδρὸς εὐρωστούσης τε καὶ κατὰ φύσιν διακειμένης. καθ' ἕτερον δὲ τρόπον, ὡς κἀν τοῖς ἔμπροσθεν ἐλέγομεν, εἴη ἄν τις μέσος ἀμυδροῦ, καὶ σφοδροῦ. ὁ δὲ τρόπος ὁ κατὰ τὴν διάγνωσιν ἐστὶ τῆς ἐπικαλουμένης ἀφῆς, ἡνίκα μὲν ἀνατρέπεται πρὸς τοῦ σφυγμοῦ, σφοδρὸν ἡμῶν αὐτὸν ὀνομαζόντων, ἡνίκα δ' ἀνατρέπῃ τὸν σφυγμόν, ἀμυδρόν, ἡνίκα δὲ οὐδέτερον, ἐν τῷ μέσῳ τούτων εἶναι λεγόντων ἀμυδροῦ τε καὶ σφοδροῦ παρὰ φύσιν ὄντα καὶ αὐτόν, ὥσπερ καὶ τὸν ἀμυδρόν. αἱ δ' ἀλλοιώσεις τῶν σφυγμῶν, αἱ μὲν εἰς ἀμυδρότητα καὶ σφοδρότητα, καὶ μόναι γίνονται πολλάκις, καὶ ὑφ' ἑνὸς αἰτίου. ὅταν γὰρ τοῦ χιτῶνος τῆς ἀρτηρίας ἅμα τῇ χρείᾳ κατὰ φύσιν ἔχοντος, ἐπὶ βραχύ πως ἀλλοιωθῇ τὰ τοῦ τόνου τῆς δυνάμεως, ἀμυδρότερος μὲν, ἢ σφοδρότερος ἐν τούτῳ τοῦ πρόσθεν ὁ σφυγμὸς γίνεται. τῶν δὲ ἄλλων γενῶν, οὐδὲν αὐτῷ συμμεταβάλλοι. οὕτως μὲν δὴ μόναι γίγνονται καὶ ὑφ' ἑνὸς αἰτίου. καθ' ἕτερον δ' αὖ τρόπον ὑπὸ μιᾶς μὲν αἰτίας, οὐ μόναι δέ. τῆς μὲν οὖν δυνάμεως ἐπὶ πλέον ἐκλυθείσης, ἢ ἐπιταθείσης, εἰ καὶ τῶν ἄλλων αἰτίων τῶν συνεκτικῶν μηδέ ποτε ἀλλοιωθείη, τὴν μὲν τροπὴν τῶν σφυγμῶν ὑφ' ἑνὸς αἰτίου γενέσθαι συμβήσεται. γένος δ' οὐχ ἓν ἀλλοιωθῆναι μόνον. ἥ τε γὰρ ἐπὶ πλέον ἀῤῥωστοτέρα δύναμις, οὐ μόνον ἀμυδρόν, ἀλλὰ καὶ μικρὸν ἐργάζεται τὸν σφυγμόν. καὶ διότι μικρόν, διὰ τοῦτο καὶ πυκνόν. ἥ τ' ἐπὶ πλεῖστον ῥωσθεῖσα, σὺν τῷ σφοδρότατον, εὐθέως καὶ μείζονα τὸν σφυγμὸν ἀποτελεῖ, καὶ εἰ μηδὲν ὑπαλλάττοιτο ἡ χρεία, καὶ ἀραιότερον. ἡ δ' εἰς σκληρότητά τε καὶ μαλακότητα μεταβολὴ τῶν σφυγμῶν, εἰ μὲν ὑφ' ἑνὸς αἰτίου γίνοιτο, πάντως καὶ τῶν ἄλλων τι σύμμετρον βάλλοι γενῶν. εἰ δὲ μόνη συνίσταται, τῶν πλειόνων αἰτίων συνελθόντων ἀποτελεῖται. ἅμα δὲ μόνη τε καὶ ὑφ' ἑνὸς αἰτίου κατ' οὐδένα τρόπον γίνεται, πλὴν εἰ παντελῶς ἐλάχιστον ἐκτραπείη τοῦ κατὰ φύσιν, ὥστε βραχυτάτῳ μέν τινι γίγνεσθαι σκληρότερον τὸν σφυγμόν. ἴσον μέν τοι κατὰ τὸ μέγεθος. οὕτω γὰρ οὐδὲ τὸ τάχος, οὐδ' ἡ πυκνότης ὑπαλλαχθήσεται. σαφεστέρας δὲ καὶ μείζονος τῆς σκληρότητος γινομένης, ἀνάγκη καὶ τὸν σφυγμὸν γίνεσθαι μικρότερον καὶ τοσοῦτόν γε πυκνότερον, ὅσον μικρότερον. εἰ δ' ἅμα τε σκληρότερος ὁ χιτὼν τῆς ἀρτηρίας γένοιτο, καὶ ἡ θερμότης αὐξηθείη, σκληρότερος μὲν ἂν ὁ σφυγμὸς ἐπὶ τοσοῦτον εἴη τοῦ κατὰ φύσιν, ἐφ' ὅσον καὶ ὁ χιτὼν τῆς ἀρτηρίας. ἐν μέν τοι τῷ μεγέθει τῷ κατὰ φύσιν ἴσος, εἴπερ ὅσον τὸ θερμὸν ἐγένετο τοῦ συμμέτρου, τοσοῦτο καὶ ὁ χιτὼν τῆς ἀρτηρίας σκληρότερος τοῦ κατὰ φύσιν. ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ μέτρια πρός τε τὴν ἐνεστῶσαν ὑπόθεσιν, ἑξῆς ἂν εἴη τὰς προηγουμένας καὶ προκαταρχούσας αἰτίας τῶν προειρημένων δύο γενῶν διελθεῖν. αἱ μὲν οὖν αὐξάνουσαι τὴν ῥώμην τῆς δυνάμεως αἰτίαι προηγούμεναι, αἱ μὲν ἐν αὐτῷ τῷ σώματι, χυμοί τε τινές εἰσιν ἡμίπεπτοί τε καὶ ἄπεπτοι, πεττόμενοι νῦν, ἤτ' ἐπὶ τὴν κρίσιν ὁρμὴ τῆς φύσεως, εἰ μὴ ἄρα καὶ ἡ δὲ κατὰ τὸν αὐτὸν εἴρηται τρόπον. ἔτι δὲ πρὸς τούτοις θυμός. αἱ δ' ἔξωθεν, οἶνός τε, καὶ τροφαί, καὶ γυμνάσια μέτρια, καὶ προσέτι τὰ τὴν δυσκρασίαν ἐπανορθούμενα τοῦ σώματος αὐτοῦ τῆς τε καρδίας καὶ τῶν ἀρτηριῶν, εἴτουν ἐδέσματα, εἴτε πόματα, εἴτε καὶ φάρμακα εἴη. καταλύουσι δὲ τὴν δύναμιν, ἀσιτίαι τε καὶ ἀγρυπνίαι,

καὶ φροντίδες, καὶ λῦπαι, καὶ κενώσεις ἄμετροι διὰ γαστρὸς, ἢ οὔρων, ἢ ἐμέτων, ἢ μήτρας, ἢ τινος αἱμοῤῥαγίας, καὶ αἱ σφοδραὶ τῶν ὀδυνῶν, ἢ μετά τινος ἰδιότητος γινόμεναι, καθάπερ ἡ καὶ στομαχικὴ καλουμένη διάθεσις, ἐφ᾽ ᾗ συγκόπτονται. ἔτι τε πρὸς τούτοις ἅπανθ᾽ ὅσα δυσκρασίαν ἐργάζεται κατὰ τὴν καρδίαν, ἢ τὰς ἀρτηρίας, εἴτουν ἐν τῷ σώματι περιεχόμενα, τὰ μὲν ἐν ὑγροῖς, τὰ δ᾽ ἐν τοῖς στερεοῖς, εἴ τε καὶ τούτων ἔξωθεν προηγούμενα. καὶ ταῦτα σύμπαντα καταλύει τὴν δύναμιν, ἀμέτρως ὑγραίνοντα καὶ ξηραίνοντα, καὶ θερμαίνοντα, καὶ ψύχοντα, καὶ διαφοροῦντα. ὅσαι δὲ αἰτίαι προηγούμεναι τε καὶ προκατάρχουσαι τὸν σφυγμὸν ἐργάζονται σκληρότερον, εἴρηνται πρόσθεν ἐν τῷ περὶ τοῦ μακροῦ τε ἅμα καὶ στενοῦ καὶ ταπεινοῦ λόγῳ. ὥστ᾽ οὐδὲν ἔτι δεῖ νῦν αὐτὰς ἐπεξέρχεσθαι. μόνας δὲ τὰς τοῦ μαλακοῦ προσθέντας, ἐνταυθοῖ που καταπαύειν ἤδη τὸν λόγον. μαλακὴν οὖν ἐργάζονται τὴν ἀρτηρίαν, αἵθ᾽ ὑγραὶ τροφαὶ, καὶ τὰ πλείω λουτρὰ, καὶ ὕπνοι πολλοὶ, καὶ ἡ ἀβροτέρα δίαιτα, καὶ ἡ εὐθυμία. ταῦτα μὲν ἐν τῷ κατὰ φύσιν ἔχειν. ἐν δὲ τῷ παρὰ φύσιν ἐν κώμασι, καὶ ληθάργοις, καὶ ὑδέροις, ὅσα τ᾽ ἄλλα τοὺς χιτῶνας τῶν ἀρτηριῶν ὑγρότητι πολλῇ καὶ μάλιστα φλεγματώδει διαβρέχει, περὶ ὧν ἐπὶ πλέον εἰρήσεται διὰ τῶν ἑξῆς, ὁπόταν ὑπὲρ τῶν παθῶν ὁ λόγος ᾖ. νυνὶ δ᾽ ἤδη καιρός ἐστι καταπαύειν τὸν ἐνεστῶτα λόγον εἰς ἓν ἀθροίσαντα κεφάλαιον, ὅπερ ἐξ αὐτοῦ χρήσιμον. ἔστι δὲ τὸ δὲ. τὴν ἐνεστῶσαν διάθεσιν ἑκάστου τῶν συνεκτικῶν αἰτίων, οἱ σφυγμοὶ πρώτην ἐνδείκνυνται. γνωσθείσης δὲ ταύτης αἵ τε προηγησάμεναι καὶ αἱ προκατάρξασαι τῆς πρώτης αὐτῶν αἰτίαι λαμβάνονται. κἂν τούτῳ τῶν προγεγονότων ἡ πρόγνωσις. ἡ δὲ τῶν μελλόντων πρόγνωσις, ἐκ τῶν ἑπομένων ταῖς διαθέσεσι λαμβάνεται. καθ᾽ ὃν δὲ μάλιστα τρόπον ἕκαστον τῶν εἰρημένων γίγνοιτο ἂν, ἐν τοῖς μετὰ ταῦτα λόγοις διαιρήσομαι, πρότερον γε κατὰ τὸ δεύτερον τῶν δὲ τῶν ὑπομνημάτων, ὅπερ ὑπόλοιπόν ἐστι νῦν ἡμῖν προτεθέντων διελθεῖν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ
ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ β'

Περὶ μὲν δὴ τῶν πρώτων τε καὶ, ὡς ἂν εἴποι τις, στοιχειωδεστάτων σφυγμῶν, ὧν ἐν τῇ διαστολῇ τῆς ἀρτηρίας ἡ διάγνωσις, ἐν τῷ πρὸ τούτου λόγῳ διῄρηται. περὶ δὲ τῶν ὑπολοίπων, ἑξῆς ἂν εἴη ῥητέον ἀπὸ τῆς συστολῆς ἀρξαμένοις. ἔστι μὲν οὖν κἂν ταύτῃ τὰ τέσσαρα γένη τῶν σφυγμῶν, ὥσπερ κἀπὶ τῆς διαστολῆς. καὶ γὰρ ὠκυτέρα καὶ βραδυτέρα καὶ μείζων καὶ μείων καὶ σφοδροτέρα, καὶ ἀμυδροτέρα κατά γε τὴν φύσιν αὐτὴν τοῦ πράγματος, ἡ ἐν τῇ συστολῇ κίνησις γίνεται. ὥσπερ γε καὶ τὸ σῶμα τῆς ἀρτηρίας, ἤτοι σκληρὸν, ἢ μαλακὸν ἀποτελεῖται, οὐ μὴν διαγνῶναί γε δυνατόν ἐστι τῶν εἰρημένων γενῶν οὐδὲν, ὅτι μὴ βραδυτῆτα μόνην καὶ τάχος. οὐ δὲ ταῦτ᾽ ἐπὶ πάντων, ἀλλ᾽ ἐν ἐκείνοις τοῖς σφυγμοῖς, ἐν οἷς αἰσθητὴ διάγνωσις ἐστὶ τῆς συστολῆς. ὡς ἐν τῷ πρώτῳ περὶ διαγνώσεως σφυγμῶν ἐπιδέδεικται. καὶ μὲν δὴ κἂν τῷ περὶ χρείας σφυγμῶν ἐδέδεικτο τῆς ἀρτηρίας ἐνέργειά τις εἶναι καὶ ἡ συστολὴ τῆς διαστολῆς οὐδὲν ἧττον. ἀμφότεραι γὰρ διαφυλάττουσι τὴν συμμετρίαν τῆς κατὰ φύσιν κινήσεως. ἡ μὲν γὰρ διαστολὴ καθάπερ εἰσπνοή τις ἐμψύχουσά τε τὸ ὑπερβάλλον τῆς φλογώσεως, καὶ τῷ ῥιπίζειν ἀνάπτουσα τὸ σβεννύμενον. ἡ δὲ συστολὴ, τὸ λιγνυῶδες ἀποχέουσα δίκην ἐκπνοῆς. δηλώσει τοιγὰρ οὖν τὸ μὲν τάχος τῆς συστολῆς ἀξιόλογόν τι πλῆθος αἰθαλωδῶν περιττωμάτων ἀθροίζεσθαί τε ἅμα καὶ ἐκκρίνεσθαι, κατ᾽ ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ περ ἂν εὑρίσκηται. ἡ δὲ βραδύτης τοὐναντίον, οὔτε ἀθροίζεται πολὺ τὸ τοιοῦτο περίττωμα, καὶ διὰ τοῦτο μὴ δὲ κενώσεως δεῖσθαι. πάμπολυ μὲν γὰρ ἀθροίζεται κατὰ τὰς σήψεις τῶν χυμῶν, ἐφ᾽ αἷς ἀνάγκη πυρετοὺς ἀνάπτεσθαι. παντάπασι δ᾽ ὀλίγον ὅταν εὔχυμον ᾖ τὸ σῶμα. κατὰ δὲ τὰς ἄλλας διαθέσεις ὁπόσαι μεταξὺ τούτων εἰσὶν, ἀνάλογον ἑκάστης τῶν διαθέσεων, ἐπὶ μὲν ταῖς ἐδωδαῖς τε καὶ τοῖς ὕπνοις πλέον, ἐγρηγορούντων δὲ καὶ ἀσιτούντων, ἔλαττον. οὕτως δὲ καὶ κατ᾽ αὐτὴν τῶν ἐδεσμάτων τὴν φύσιν, ἐπὶ μὲν τοῖς κακοχύμοις πλέον, ἐπὶ δὲ τοῖς εὐχύμοις ἔλαττον. ἀνάλογον δὲ καὶ κατὰ τοὺς πυρετοὺς, ἐν μὲν ταῖς ἐπισημασίαις, πλέον, ἐν δὲ τοῖς ἄλλοις καιροῖς ἧττον. καὶ πλέον μὲν ἐπὶ τοῖς παχέσι καὶ γλισχροῖς χυμοῖς, οἵοιπερ οἱ φλεγματώδεις εἰσὶ, καὶ οὓς ὀνομάζουσιν ὠμοὺς, ἧττον δὲ ἐπὶ τοῖς πικροχόλοις τε καὶ μελαγχολικοῖς. ἐν δὲ τῷ μεταξὺ τούτων ἐφ᾽ αἵματι. καὶ γὰρ καὶ τοῦτο σήπεται κατὰ τὰς φλεγμονὰς ἐφ᾽ αἷς πυρέττουσι, τάς τε ἄλλας, καὶ ὧν ἡ φλόγωσις εἰς τοσοῦτον ἄμετρος, ὡς κατακαίειν τε τὸ δέρμα καὶ πάθος ἐργάζεσθαι τὸ προσαγορευόμενον ἄνθρακα. τῆς αὐτῆς δέ πως εἰσὶ φύσεως καὶ οἱ μετὰ ἀναβρώσεως ἕρπητες, οὓς ἐσθιομένους Ἱπποκράτης ὠνόμαζεν. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις οἱ χυμοὶ σήπονται. καθ᾽ ἕτερον δ᾽ αὖ τρόπον οἱ ἐν ταῖς τραχείαις ἀρτηρίαις χυμοὶ σηπόμενοι, μεταδιδόασι γοῦν τῆς σφετέρας κακοῦ τῷ πνεύμονι, καὶ σήπεται καὶ τοῦτο τὸ σπλάγχνον ἐν τῷ χρόνῳ. ἀθροίζονται μὲν οὖν ἐν ταῖς τραχείαις ἀρτηρίαις, ἤτοι διὰ τὸν ἀπὸ τῆς κεφαλῆς κατάῤῥουν, ἢ ἐκ πλευρίτιδος, ἢ περιπνευμονίας, ἢ τοῦ πνευμονώδους πάθους, ἢ συνάγχης, ἢ ἐξ ἐμπυήματος μεταληφθέντος. τὴν δ᾽ ἀρχὴν τοῦ σήπεσθαι λαμβάνουσι διὰ τὸ μὴ καλῶς ἀναπτύεσθαι. δέονται γὰρ ἐν τάχει κενοῦσθαι, διά τε τὴν σφετέραν μοχθηρίαν, καὶ τὴν ἐν τῷ χωρίῳ θερμότητα, πολλάκις δὲ καὶ ῥῆξις ἀγγείου κατὰ τὸν πνεύμονα γινομένη, προχεῖ τι τοῦ αἵματος εἰς τὰς τραχείας ἀρτηρίας. ὃ δὴ σηπόμενον ἐν τῷ χρόνῳ φθόην ἐργάζεται. θᾶττον δ᾽ εἰς τοῦτ᾽ ἔρχεται, τὸ κατὰ διάβρωσιν τῶν ἀγγείων ἐκχυθέν. ἐν ἁπάσαις δὴ ταύταις, αἷς κατέλεξα διαθέσεσιν, ὅσαι τ᾽ ἄλλαι σηπεδόνα τινὰ χυμῶν ἔχουσιν, ἡ ἔσω κίνησις αὐξάνεται τῶν ἀρτηριῶν, καὶ κατὰ τὸ ποσὸν μὲν, ὡς ἐπὶ πλέον αὐτὰς συστέλλεσθαι, ἀλλὰ τοῦτό γε οὐκ ἂν αἰσθήσει διαγνοίης ἀκριβῶς. ἡ γοῦν εἰς τάχος ἐπίδοσις, ἐναργής τ᾽ ἐστὶ καὶ διαγνῶναι ῥᾳδία τῷ τετριμμένῳ περὶ τὸ ἔργον. ὃν οὐδ᾽ ἄρξασθαι τριβῆς οἷόν τε πρὶν τὰ περὶ διαγνώσεως ὑφ᾽ ἡμῶν γεγραμμένα μαθεῖν, ὧν

θεῖν, ὧν οὐδὲν οὐδεὶς τῶν ἔμπροσθεν ἰατρῶν ἐδίδαξεν ἡμᾶς. ἀλλ' ἔνιοι μὲν ἄχρι λόγου πιθανοῦ προέρχον-
ται, τεχνολογίας δή τινας ἡροφιλείας ὑπὲρ τῶν ἐν τοῖς σφυγμοῖς ῥυθμῶν γράφοντες. ἔνιοι δὲ παντάπα-
σίν τε τὴν τοιαύτην θεωρίαν ἀπεκάλυψαν, καὶ τελέως αὐτῆς ἀφίσταντο. τὸ δ' ἀληθές, οὐδέτεροι κατεῖδον
ὡς εἰς τάχος τε καὶ βραδυτῆτα χρὴ βλέπειν τῆς διαστολῆς καὶ τῆς συστολῆς ἑκατέρας πολλὰ σημαίνειν δυ-
ναμένης, ὥσπερ γε ἤδη νῦν εἴρηται ἡμῖν διὰ κεφαλαίων. ἐν τε τοῖς ἑξῆς ἔτι πλέον εἰρήσεται κατὰ τὸν περὶ
τῶν νοσημάτων λόγον. ἐν δὲ τῷ παρόντι μετιτέον ἐστὶν, ἔτι τὸν περὶ πυκνότητός τε καὶ ἀραιότητος λό-
γον. διττῆς δ' οὔσης ἑκατέρας, ὅτι καὶ τὰς ἠρεμίας τῆς ἀρτηρίας δύο εἶναι συμβέβηκε. τὴν μὲν ἔτι διαστα-
λεῖσαι πρὸ τοῦ συστέλλεσθαι, τὴν δὲ ἔτι τὸ συσταλεῖσαι πρὸ τοῦ διαστέλλεσθαι. τὸ μέν τοι κοινὸν ἀμφοτέραις
ὑπάρχει τόδ', ἴδιον ἑκατέρᾳ. κοινὸν μὲν ὅτι βραχύνονταί τε κατὰ διττὴν αἰτίαν ἤτοι τῆς προηγουμένης κινή-
10 σεως μηκυνθείσης, ἢ τῆς ἑπομένης πρωϊαίτερον ἀρξαμένης. μηκύνονταί τε πάλιν, ἤτοι τῆς προηγουμένης κινήσε-
ως βραχυνθήσεις. ἢ τῆς ἑπομένης ὀψιζούσης. ἴδιον δ' ἑκατέρας ὃ σημαίνειν πεφύκασιν. δῆλον δ' ὡς ἐκεῖ-
νο σημαίνουσιν, ὅπερ ἂν ἐκ τοῦ μεμηκύνθαι τὴν ἑτέραν κίνησιν, ἢ πρωϊαίτερον ἄρχεσθαι τὴν ἑτέραν ὑπάρ-
χει δηλούμενον, ἢ πάλιν ἐκ τοῦ βραχεῖαν μὲν γεγονέναι τὴν ἑτέραν, βραδύνειν δὲ τὴν λοιπήν. ἐπειδὴ γὰρ ἡ μὲν
καθαρὰ θερμότης καὶ ἥκιστα περιττωματικὴ τὴν διαστολὴν ἐργάζεται μείζονά τε ἅμα καὶ ὠκυτέραν, ἡ δὲ τεθολω-
μένη σηπεδονώδεσι περιττώμασι, τὴν διαστολήν, ὅταν δ' ὑπὸ τῷ πρωϊαίτερον μὲν ἔτι τῷ μεγέθει τῆς διαστολῆς
ὁ σφυγμὸς γίνηται πυκνότερος, ηὐξῆσθαι δηλώσει θερμότητα πολλὴν ἐν τῷ σώματι καθαράν, ὅταν δ' ὑπὸ
τῷ πρωϊαίτερον ἄρχεσθαι τὴν συστολήν, ἀκαθάρτου τε καὶ περιττωματικῆς θερμασίας ἐνδείξεται πλῆθος.
ὡσαύτως δὲ κἂν ἀραιότερος ὁ σφυγμὸς γίνηται κατὰ τὴν ἐκτὸς ἠρεμίαν. εἰ μὲν ἔτι ταχύτητι τῆς διαστολῆς,
ἐψύχθαι τὴν ἐν τῷ ζώῳ θερμότητα δηλώσει. εἰ δὲ διὰ τὸ βραδύνειν τὴν συστολήν, ἐλάττω γεγονέναι τὰ κα-
20 πνώδη περιττώματα, ἐπὶ δὲ τὴν ἐντὸς ἠρεμίαν ἔμπαλιν, εἰ μὲν ὑπὸ τῷ μηκυνθῆναι τὴν συστολὴν ὁ σφυγμὸς
πυκνωθείη. πλῆθος ὑποτρέφεσθαι καπνωδῶν περιττωμάτων, εἰ δὲ διὰ τὸ πρωϊαίτερον ἄρχεσθαι τὴν διαστο-
λήν, ηὐξῆσθαι τὴν θερμότητα. πάλιν δ' αὖ ἐπὶ τὴν ἠρεμίαν ταύτην ἀραιούμενος ὁ σφυγμός, εἰ μὲν διὰ τὸ με-
μειῶσθαι τὴν συστολήν, ἠλαττῶσθαι τὰ περιττώματα δηλώσει, εἰ δὲ τὸ βραδύνειν τὴν διαστολήν, μεμειῶσθαι τὴν θερ-
μότητα. συνελθόντων δὲ ἀμφοῖν ἅμα τοῦ τε μεμηκύνθαι τὴν προτέραν κίνησιν καὶ τοῦ πρωϊαίτερον ἄρχεσθαι
τὴν δευτέραν, εἴτε κατὰ τὴν ἐκτὸς ἠρεμίαν, εἴτε ἐπὶ τὴν ἐντὸς τοῦτο συμβαίνει, σύνθετον ἐνδείξεται διάθεσιν
ἐξ ἐκείνων ὧν ἑκάτερον ἐδήλου ἐπὶ μόνας. ὁμοίως δὲ κἂν ἀραιός, ὁ σφυγμὸς γίνηται, καθ' ὁποτέραν οὖν τῶν ἠ-
ρεμιῶν ἀμφοῖν ἅμα συνελθόντων τοῦ τε συνῃρῆσθαι τὴν προτέραν κίνησιν, καὶ τοῦ μετὰ πλέον ἄρχεσθαι τὴν
ἑτέραν, ἡ διάθεσις ἔσται καὶ οὕτω διττή τε καὶ σύνθετος, ἐξ ἑκατέρας τῶν ἤδη προδεδηλωμένων. ὑπομεμειωμένης
μὲν ὁποτέρας οὖν τῶν κινήσεων, ἀναβεβλημένης δὲ καὶ μετὰ πλέον ἀρχομένης τῆς ἑτέρας. οὐ μὴν ἥ γε διάγνω-
30 σις εἰς ἴσαν ἐνάργειαν ἥκει καθ' ἑκατέρας, τὰς ἡσυχίας. ἡ μὲν γὰρ ἐκτὸς, ἐναργῶς, αἰσθητή, τὴν δ' ἐντὸς οὐχ ὅ-
πως ἐναργῶς, ἀλλ' οὐδ' ἀμυδρῶς ἔνεστιν αἰσθήσει διαγνῶναι. στοχασμῷ δ' ἂν μόνῳ τις αὐτὴν ἐξεύροι, συλλο-
γισάμενος ἐκ τῆς καθ' ἑκατέραν τὴν κίνησιν ὁρμῆς, καὶ μᾶλλον ἐπ' ἐκείνων τῶν σφυγμῶν, ἐν οἷς ἐναργῶς ἐστιν, αἰ-
σθήσει διαγνῶναι τὴν συστολήν. εἴρηταί μοι καὶ περὶ τούτου τοῦ γένους τῶν σφυγμῶν, ὅσον ἱκανὸν τὰ πα-
ρόντα. ἑξῆς δ' ἐστὶν ἐπί γε τῇ τάξει τοῦ λόγου περὶ ῥυθμῶν διελθεῖν, ὑπὲρ ὧν ἡροφίλῳ μὲν ἔτι πλέον εἴρη-
ται τήρησιν τινὰ καὶ ἐμπειρίαν ἱστοροῦντι μᾶλλον, ἢ λογικὴν μέθοδον ἐκδιδάσκοντι. τοὺς γὰρ καθ' ἑκάστην ἡλικίαν
ὡς τὸ πολὺ φαινομένους ῥυθμοὺς τῶν σφυγμῶν ἔγραψε, πρῶτον μὲν οὐδ' ἐφ' ὧν τινων φύσεων ἐτήρησεν αὐτοὺς
οὐδὲν ἡμῖν εἰπών. εἶτ' ἐξ αὐτῶν ὧν διδάσκει δηλῶν, ὅτι συγκέχυταί τε καὶ ἀδιάρθρωτός ἐστι περὶ τὴν τῆς συστο-
λῆς τε καὶ τῶν ἠρεμιῶν διάγνωσιν. εἴπερ γὰρ ἡγεῖταί ποτε δύνασθαι γίνεσθαι συστολὴν ἔτι τῶν γεγραμμένων,
των, ἄχρι τῶν δέκα πρώτων χρόνων ἐκτεταμένην, εὔδηλός ἐστι τῆς ὄντως συστολῆς ἀναισθήτως ἔχων. αὕτη γὰρ
40 ἐνίοτε μὲν ὀλιγοχρονιωτέρα τῆς διαστολῆς ἐστιν. ἐνίοτε δ' ἰσόχρονός ἐστιν. ὅτε δὲ ὡς ἐκεῖνος γράφει, πολυχρονιω-
τέρα μὲν, οὐ μὴν ὡς οἴεται πενταπλασίων, ἀλλὰ βραχεῖ τινι μείζων. ὅσα δ' ἄλλα μοχθηρὰ καὶ ἀδιάρθρωτα καὶ
ἀδύνατα πρὸς τὰς προγνώσεις ἔχει τὰ περὶ ῥυθμῶν ὑφ' ἡροφίλου λεγόμενα. τὰ μὲν ἐκ τοῦ τρίτου περὶ τῆς
διαγνώσεως τῶν σφυγμῶν ἔνεστι μαθεῖν. τὰ δ' ἐξ ὧν ἰδίᾳ γράψομεν ὑπὲρ τῆς ἡροφίλου περὶ τοὺς σφυγμοὺς
τέχνης. νῦν δὲ, οὔτε γὰρ ἱστορικὴν οὔτ' ἀντιλογικὴν ποιοῦμαι πραγματείαν, ἀλλὰ τῶν ἡμῖν ἐγνωσμένων διδα-
σκαλικὴν, ἔτι τὸν περὶ τῶν ἀνωμάλων σφυγμῶν ἤδη μεταβήσομαι λόγον. Διττὸν δ' αὐτῶν ἐστι τὸ γένος.
ἔνιοι μὲν ἐν μιᾷ πληγῇ τὴν ἀνωμαλίαν λαμβάνοντες. ἄλλοι δ' ἐν ἀθροίσματι. καὶ καλεῖν ἔθος ἐστὶ τοῖς νεωτέροις
ἰατροῖς, συστηματικὴν τὴν τοιαύτην ἀνωμαλίαν, ὅτι οἶμαι καὶ τὸ ἄθροισμα σύστημα προσαγορεύουσιν. ἰστέον οὖν
ὑπὲρ τῶν ἀνωμάλων σφυγμῶν, κοινὴ μὲν τοῦτο ἐπὶ πάντων, ὅπερ ἐν τῷ δευτέρῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων
ἀποδέδεικται, δι' ἐμφράξεις αὐτοὺς ἢ θλίψεις ὀργάνων ἢ πλῆθος τὸ πρὸς τὴν δύναμιν νοούμενον, ἢ τὴν τῆς καρδίας
50 ἀνώμαλον δυσκρασίαν συνίστασθαι. χαλεπωτέραν δ' εἶναι τὴν καθ' ἕνα σφυγμὸν ἀνωμαλίαν, τῆς ἐν ἀθροίσμα-
τι. καὶ μὲν δὴ καὶ τὸ μηδόλως κινεῖσθαι τὴν ἀρτηρίαν, ὅπερ ὀνομάζεται διαλείπειν, ἄν τε καθ' ἕνα σφυγμὸν,
ἄν τε ἐπὶ σύστημα γίνηται, χαλεπόν ἐστιν, ὡς οὐδὲν ἁπάντων τῶν εἰδῶν ἄλλο τῶν ἀνωμάλων γινομένων. ἴδια δὲ
ἑκατέρου γένους ὑπὲρ ἁπάντων τῶν εἰδῶν ἐπίστασθαι χρὴ, ἀπὸ τῆς ἐν ἀθροίσματι τῶν σφυγμῶν ἀνωμαλίας
ἀρξαμένους. γυμνάσωμεν δὲ τὸν λόγον, καὶ πρῶτον ἐν τῇ ἐπὶ σύστημα, ἐπειδὴ σαφεστέρα τῆς καθ' ἕνα τετύχη-
κεν οὖσα. τοὺς μὲν δὴ διαλείποντας σφυγμοὺς, ἤτοι διὰ τὸ βαρύνεσθαι πρὸς τοῦ πλήθους ἡ δύναμις ἐργάζεται,
κωλυομένη ἐπὶ τὸν προσήκοντα καιρὸν ὑπὸ τὴν κίνησιν ἐξορμᾶν διὰ πάχος, ἢ πλῆθος χυμῶν, ἐμφράττον ἤτοι
τὰ στόματα τῶν πλησίον τῆς καρδίας ἀρτηριῶν, δι' ὧν ἕλκει τε καὶ αὖθις ἐκπέμπει τὰς ὕλας, ἢ καὶ μέχρι τινὸς
ἀπὸ τῶν στομάτων ὅλην τῶν ἀγγείων τὴν εὐρύτητα. πολλάκις δ' ἔξωθεν αὐταῖς περιχυθὲν τὸ τοιοῦτον πλῆθος,
οἷον δεσμὸς γίνεται. τὸ μὲν πρῶτον τι βαρῦνον αὐτὰς οἷον φορτίον. ἔστι δ' ὅ τε καὶ τὰς χώρας, εἰς ἃς διαστέλλονται κατὰ

λαμβάνον. ἐνίοτε δὲ καὶ φλεγμονή τις, ἢ σκίῤῥος, ἤ τις ἕτερος ὄγκος τοιοῦτος ἐν τοῖς περιέχουσι τὰς ἀρτηρίας σώμασι συνιστάμενος, ἐμποδὼν ἵσταται ταῖς διαστολαῖς αὐτῶν. εἰ δὲ καὶ κατὰ τοὺς χιτῶνας αὐτῶν τῶν ἀρτηριῶν τοιοῦτόν τι συσταίη μείζων ὁ κίνδυνος. εἰ δὲ καὶ κατὰ τὸ τῆς καρδίας αὐτῆς σῶμα, τοῦτο μὲν ἤδη κακὸν ἔσχατον, ἐξαιφνίδιον γὰρ οἱ τοιοῦτοι συγκόπτονται. οὐ μὴν ἥ γε δυσκρασία τῆς καρδίας ὁμοίως ὀλέθριος, ἀλλ' ἐπιεικεστέρα μακρῷ φλεγμονῆς. ἕπεται δ' αὐτῇ δυνάμεως ἀῤῥωστία. καὶ ὅ γε ἀμυδρὸς σφυγμὸς, οὐκ ἄλλου τινὸς ἐστὶν, ἢ τῆς τοιαύτης διαθέσεως γνώρισμα. συμμέτρως μὲν γὰρ ἔχουσα κράσεως ἡ καρδία, τὸν σφοδρὸν σφυγμὸν ἀπεργάζεται, μοχθηρῶς δὲ, τὸν ἀμυδρόν. τὸ δ' ἧττόν τε καὶ μᾶλλον, ἑκατέρῳ. διά τε τὴν τῆς εὐκρασίας ἐπίτασίν τε καὶ ἄνεσιν. ἐδείχθη γὰρ πλάτος ἔχειν, καὶ διὰ τὴν τῆς δυσκρασίας οὐδὲν ἧττον ὑπάρχειν τοῖς σφυγμοῖς. ἀλλὰ μόνη μὲν ἡ δυσκρασία μικρὸν καὶ ἀμυδρὸν ἀποτελεῖ τὸν σφυγμὸν, οὐ μὴν ἤδη γέ πω καὶ ἀνώμαλον, εἰ μὴ παραβαλλομένη τοῖς χυμοῖς ἡ δύναμις, ὅσοι τε κατ' αὐτὴν τὴν καρδίαν εἰσὶ, καὶ ὅσοι κατὰ τὰς πλησίον αὐτῆς ἀρτηρίας τε καὶ φλέβας, ἐλάττων αὐτῶν φαίνοιτο κατὰ τὴν ἰσχὺν, ὅπερ οὐδὲν ἄλλ' ἐστὶν ἢ τὸ πρὸς τὴν δύναμιν πλῆθος. ἐν γὰρ ταῖς τοιαύταις διαθέσεσιν ἀνωμαλία τις ἐξ ἀνάγκης συνυπάρξει τοῖς μικροῖς καὶ ἀμυδροῖς σφυγμοῖς. ἔνθα δ' ἀῤῥωστεῖ μόνον ἡ τῆς καρδίας δύναμις, οὐ μὴν βαρύνεταί γε πρὸς τῶν χυμῶν, ἐνταῦθα μικροὶ καὶ ἀμυδροὶ πάντες εἰσὶν οἱ σφυγμοί. διὰ τὴν ἀτονίαν τῆς δυνάμεως δ' οὐδεμία συνέστιν αὐτοῖς, εἰ μή ποτε ἄρα καὶ αὐτὸ τῆς καρδίας τὸ σῶμα, δυσκρασίαν ἀνώμαλον ἐπιδέξεται, περὶ ἧς ὀλίγον ὕστερον εἰρήσεται. νυνὶ δ' ἐπὶ τοὺς διαλείποντας ἐπάνειμι παρακειμένους μὲν τοῖς ἀραιοτέροις, διοριζομένους δ' αὐτῶν κατὰ ῥυθμὸν ὅλον ἀπολωλεκέναι σφυγμοῦ κατὰ τοὺς διαλείποντας. εἰ δὲ μὴ μόνον ἑνὸς σφυγμοῦ χρόνον ἡσυχάσειεν, ἀλλὰ καὶ πλείονα, σαφέστερόν τ' ἂν ὁ τοιοῦτος διαλείπων φαίνοιτο, καὶ κινδυνωδέστερος εἰς τοσοῦτον ἔσται τοῦ πρόσθεν, εἰς ὅσον ἂν ἐπὶ πλέον ἡσυχάζῃ. ὥστε, οὐκ οἶδα, εἴ τινα σωθῆναι δυνατόν ἐστι δυοῖν σφυγμῶν χρόνον ἡσυχαζούσης τῆς ἀρτηρίας· ἑνὸς δὲ σφυγμοῦ χρόνον, ἢ καὶ βραχεῖ πλέονι πολλάκις ἐθεασάμεθα διαλειπούσης τῆς κινήσεως τῶν ἀρτηριῶν, ἀναῤῥωσθέντα τὸν ἄνθρωπον, καὶ μάλισθ' ὅταν ἄγῃ πρεσβυτικὴν ἡλικίαν, καί τι τάχ' ἂν δόξειεν ἄλογον εἶναι τὸ τοιοῦτον. εἰ γὰρ καὶ ἄλλως ἀσθενής ἐστιν ὁ γέρων, καὶ κάμνουσιν αἱ δυνάμεις αὐτῷ καὶ πρὸ τοῦ νοσεῖν, τί ποτε χρὴ προσδοκᾶν ἀποβήσεσθαι τοῦ διὰ τὴν ἡλικίαν καμάτῳ προσγινομένου τοῦ διὰ τὴν νόσον. ἀλλ' ὡς ἔοικεν οὐ ταύτῃ χαλεπόν ἐστιν, ἀλλ' ἐκείνῃ μᾶλλον ἐπιεικές, ὅτι τὰς ἀσθενεῖς δυνάμεις ὑπὸ μικρῶν πολλάκις αἰτίων ἐπηρεάζεσθαι συμβαίνει, τὰς δ' ἰσχυρὰς ὑπὸ τῶν μεγίστων μόνον νικᾶσθαι. ταῦτά τοι καὶ ὅσοι ταῖς ἕξεσιν ἰσχυροὶ, καὶ χρόνῳ παμπόλλῳ διετέλεσαν ἄνοσοι, κινδυνεύουσι νοσήσαντες. οἱ δ' ἀσθενεῖς καὶ συνεχῶς ὑπὸ παντὸς αἰτίου βλαπτόμενοι, ῥᾷστα διασώζονται, ὅτι δηλαδὴ τούτων μὲν, οὐδεὶς ἀναμένει μέγεθος αἰτίου, φθάνων ὑπὸ παντὸς ἐπηρεάζεσθαι, καὶ τοῦ σμικροτάτου, τῶν δ' ἰσχυρῶν ἡ ῥώμη, πρὸς ἅπαν ἀπομάχεται τὸ μικρὸν κακὸν, ὡς θ' ὑπὸ μόνων νικᾶσθαι τῶν μεγάλων. γέροντες μὲν οὖν διὰ τοῦτο τοὺς διαλείποντας σφυγμοὺς ἧττον ὀλεθρίους ἔχουσι τῶν ἀκμαζόντων. οἱ δὲ δὴ παῖδες ἑξῆς, ὅτι τήν τε πεπτικὴν δύναμιν ἰσχυρότατοι, καὶ τὸ σῶμα μαλακώτατοί τε καὶ ῥᾳδίως διαπνεόμενοι. ἐκπέττουσί τε οὖν καὶ διαφοροῦσι τάς τε ἀνωμάλους δυσκρασίας, καὶ τὸ πλῆθος, καὶ τὸ πάχος τῶν χυμῶν. συμβαίνει δὴ καὶ τούτους ἧττον κινδυνεύειν τῶν ἀκμαζόντων, ἐν τοῖς διαλείπουσι σφυγμοῖς διὰ διττὴν αἰτίαν, ὅτι τε τὴν σφυγμικὴν δύναμιν, ἀσθενεστέραν ἔχουσι τῆς τῶν ἀκμαζόντων, ὥσθ' ὑπὸ βραχυτέρων αἰτίων ἑτοιμότερον νικᾶσθαι, καθάπερ οἱ γέροντες, καὶ ὅτι τὴν πεπτικὴν ἰσχυροτέραν ὡς ῥᾷον ἐπανορθοῦσθαι τὰ λυποῦντα. πρόσεστι δὲ καὶ τὸ τῆς διαπνοῆς ἕτοιμον, οὐ μικρὸν ἀγαθὸν εἰς ἐπανόρθωσιν νοσημάτων. ὡς καὶ πρὸς Ἱπποκράτους ἐλέγετο. εἰ μὲν οὖν ἀρέσκοιτό τις τοῖς εἰρημένοις λογισμοῖς, ἔνεστι αὐτοῖς χρῆσθαι, εἰ δ' οὐκ ἀρέσκοιτο, τὸ γοῦν ἐκ τῆς πείρας φαινόμενον, ἴστω τοιοῦτον ὑπάρχον οἷον εἴρηται. μάλιστα μὲν οὖν οἱ ἀκμάζοντες, ἧττον δ' αὐτῶν οἱ παῖδες. ἥκιστα δ' οἱ γέροντες ἐν τοῖς διαλείπουσι κινδυνεύουσιν. οὐδὲν δὲ θαυμαστὸν ὀλεθριωτάτην εἶναι τῶν ἀνωμαλιῶν τὴν διαλειπτικήν. αἱ μὲν γὰρ ἄλλαι πλημμελεῖς πως εἰσὶ κινήσεις, ἡ δὲ κατὰ τὸ διαλείπειν ἐν στερήσει κινήσεως γίνεται. καθ' ὃν γὰρ χρόνον ὁ σφυγμὸς διαλείπει, κατὰ τοῦτον οὐδόλως ἡ ἀρτηρία κινεῖται. καὶ σχεδὸν εἰς ὅσον ἀλλήλων διαφέρουσιν ὑγεία καὶ θάνατος καὶ νόσος, εἰς τοσοῦτον καὶ ἡ κατὰ φύσιν κίνησις, ἀκινησίας τε καὶ μοχθηρᾶς κινήσεως. ἡ μὲν γὰρ κατὰ φύσιν κίνησις, οἷόν περ ὑγεία. ἡ δὲ μοχθηρὰ κίνησις, οἷόν περ ἡ νόσος. ἡ δ' ἀκινησία, θανάτῳ προσέοικεν. οἷς μὲν οὖν δοκεῖ κατὰ τὰς ἐνεργείας αὐτὰς γίνεσθαι τό θ' ὑγιαίνειν καὶ τὸ νοσεῖν, οὐ κατὰ τὰς τοῦ σώματος διαθέσεις, ἀφ' ὧν ἐνεργοῦμεν, τούτοις οὐχ οἷόν περ ὑγεία τις ἡ κατὰ φύσιν κίνησις τῶν ἀρτηριῶν, ἀλλ' ἄντικρυς ὑγεία λεχθήσεται. κατὰ ταῦτα γοῦν καὶ ἡ πλημμελὴς κίνησις οὐχ οἷόν περ νόσος, ἀλλ' αὐτὸ δὴ τοῦτο νόσος, ἡ δ' ἀκινησία, νέκρωσίς τις, εἰ μὴ ἐπὶ πλέον γίνοιτο παντελής, εἰ δ' ἄχρι τοῦ δοκεῖν ἑνὸς σφυγμοῦ χρόνον ἢ δυοῖν ἡσυχάζειν, οἷόν περ κάρος, ἢ ἀποπληξία τις, ἢ παράλυσις τῶν καθ' ὁρμὴν ἐνεργειῶν. οἷα γὰρ ταῦτα περὶ ἑτέραν ἀρχήν ἐστι τὴν ἐν ἐγκεφάλῳ, τοιοῦτό τι καὶ ἡ τῶν σφυγμῶν ἡσυχία περὶ τὴν ἐν τῇ καρδίᾳ. καὶ ὥσπερ ἐπ' ἐκείνης ὀρθῶς εἴρηται λύειν ἀποπληξίαν, ἰσχυρὴν μὲν, ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥᾴδιον, οὕτω κἀνταῦθα καλῶς εἰρήσεται, λύειν ἀκινησίαν σφυγμῶν μακροχρόνιον μὲν, ἀδύνατον, βραχυχρόνιον δὲ, οὐ ῥᾴδιον. μακροχρόνιος μὲν οὖν ἐστὶν ἡ δυοῖν σφυγμοῖν χρόνον ὑπερβαίνουσα, βραχυχρόνιος δὲ ἡ τοῖν δυοῖν ἐντός. ἡ δὲ περὶ τὸν ἑνὸς σφυγμοῦ χρόνον ἡσυχία, μετριωτάτη τῶν διαλείψεων ἐστὶ, καὶ πολλοὶ διεσώθησαν ἐκ ταύτης γέροντές τε καὶ παῖδες, ἀκμάζων δ' οὐδεὶς οὐδὲ ἐκ ταύτης. ἀλλ' ὑπ' ἀγνοίας ἔνιοι τὴν μακρὰν ἀραιότητα διάληψιν εἶναι νομίζοντες, ἡγοῦνται σεσῶσθαί τινας ἀκμάζοντας ἐκ τῆς τοιαύτης κακοσφυξίας. ἔστι μὲν οὖν καὶ ἥδε χαλεπὴ, καὶ μάλιστα τοῖς ἀκμάζουσιν, οὐ μὴν ὀλέθριος πάντως. ἐπὶ μέντοι τῶν παίδων τε καὶ τῶν γερόντων, ἔτι δὴ καὶ μᾶλλον ἐπιεικής. ὅ γε μὴν θάνατος ἐξαιφνίδιος ἐπὶ τοῖς διαλείπουσι γίνεται σφυγμοῖς ἀνάλογον ἀποπληξίᾳ. σβέννυται γὰρ ἐν ἀμφοτέροις ἡ ἐν τῇ καρδίᾳ θερμότης ἀναπνοῆς στερηθεῖσα. ἀραιότης μὲν οὖν διαλείποντος σφυγμοῦ διώρισται τῷ μήκει τοῦ χρόνου. προσδιορισθήσεται δ' ἐνίοτε, καὶ κατὰ τὴν μὲν ἀραιότητα καὶ μεθ' ὁμαλότητος

τος ποτὲ

τος ποτὲ συνίστασθαι πάντων τῶν πληγῶν. τὸν διαλείποντα δὲ σφυγμὸν, ἐξ ἀνάγκης ἀνώμαλον γίνεσθαι, ἐνίοτε μὲν γὰρ διὰ τριῶν, ἐνίοτε δὲ διὰ τεσσάρων, ἔστι δ᾽ ὅτε διὰ πέντε πληγῶν, ἢ καὶ πλειόνων εὑρίσκεται διαλείπων τε καὶ ἡσυχάζων ἐν ᾗ χρόνον ἢ καὶ πλείονα κινήσεως, συμμεταβάλλεται δ᾽ εὐθὺς αὐτῷ καὶ τῶν ἄλλων τι γενῶν, εἰς ἀνωμαλίαν τρεπόμενον. οὐ μὴν ἀλλὰ καὶ τοῦ ταῖς ἐκτεταμέναις ἐπὶ πλείονα χρόνον ἀραιότησιν ἀχώριστον ὑπάρχει, τὸ βραδυτέραν τοῦ προσήκοντος, ἀποτελεῖσθαι τὴν κίνησιν. ἐνίοτε μὲν εἰς τοσοῦτον, εἰς ὅσον περ καὶ ἡ ἀραιότης. ἐνίοτε δ᾽ ἐπὶ πλέον, ἢ ἔλαττον, ὡς ἂν ἡ τὴν τοιαύτην κακοσφυξίαν ἐργαζομένη διάθεσις ἔχει. κατάψυξις δ᾽ ἐστὶν ἰσχυρὰ τῶν τοιούτων σφυγμῶν αἰτία τῆς γενέσεως, ἤ τοι κατὰ τὸ σῶμα τῆς καρδίας, ἢ κατὰ τὸ πνεῦμά τε καὶ αἷμα τὸ ἐν ταῖς κοιλίαις αὐτῆς, ἢ κατά τι τῶν ὁμιλούντων μορίων. ἡ μὲν οὖν κατὰ τὸ σῶμα τῆς καρδίας αὐτὸ κατάψυξις μεγάλη, εἰς τοῦτο καὶ τοὺς σφυγμοὺς ἀμυδροὺς ἐργάζεται, καὶ βραδεῖς, καὶ μικροὺς, εἰς ὅσον ἂν καὶ αὐτὴ δυναστεύῃ. ἡ δ᾽ ἀπό τινος τῶν ἄλλων ὡρμωμένη, τὴν ἀραιότητα πλέον ἢ τὰ ἄλλα τὰ εἰρημένα γένη τοῦ κατὰ φύσιν ἐξίστησιν. ὥστ᾽ ἔνιοι τινὲς ἐξ αὐτῶν, οὐ πολὺ τῶν κατὰ φύσιν ἐλάττους τε καὶ βραδυτέρους καὶ ἀμυδροτέρους ἔχοντες τοὺς σφυγμοὺς, ὅμως ἀπόλλυνται διὰ ταχέων. ὁ δὲ θάνατος ἀφυκτότερος μὲν ἐστὶν, ὅταν αὐτὸ τὸ σῶμα τῆς καρδίας δέξηται τὴν κατάψυξιν. ἐξαιφνίδιος δὲ γίνεται, καὶ κατὰ τὴν ἑτέραν διαφοράν. καὶ ἀποθνήσκουσιν, οἱ μὲν πρότεροι κοιμώμενοι μᾶλλον ὡς μηκέτ᾽ ἐξαναστῆναι, οἱ δὲ δεύτεροι, καὶ οὕτως μὲν, ἀλλὰ καὶ διαλεγόμενοι τινὲς ἐξ αὐτῶν ὡς δοκεῖν τοῖς ἰδιώταις μηδὲν ἔχειν ἄτοπον, ἐξαίφνης οἷον περ λειποθυμήσαντες, ἀπέθανον, οἱ μὲν, ἐφιδρώσαντες, οἱ δὲ καὶ χωρὶς τούτου. καὶ καταλαμβάνει τὸ σύμπτωμα τοῦτο καὶ ἡ διάθεσις αὕτη καὶ τῶν ἐν νόσοις μὲν τινὰς, ὅταν ἀπύρετοι γίνωνται παραλόγως, καὶ τῶν ὑγιαινόντων δέ τινας ἐν πρεσβυτικῇ μάλιστα τῇ ἡλικίᾳ. ἀραιότης μὲν οὖν σφυγμῶν, εἰς τοσοῦτον ὀλέθριος. καὶ μὲν δὴ καὶ οἱ διαλείποντες ἔτι καὶ μᾶλλον, εἴ γε καὶ ἡ γένεσις αὐτῶν ἐπιτεινομένης τῆς ἀραιότητος, καὶ ἡ λύσις, ἐπάνοδος εἰς τὴν ἀρχαίαν συμμετρίαν ἐστὶ δι᾽ ἀραιότητος, οὐδεὶς γὰρ τῶν σωθέντων ἐπὶ διαλείπουσι σφυγμοῖς ἑτέρως ἐσώθη, ἀλλὰ καθ᾽ ὃν εἴρηται τρόπον ἅπαντες. ἀραιότητος μὲν πρῶτον ἱκανῶς ἐκτεταμένης διαδεξαμένης τὸν διαλείποντα σφυγμόν. ἔπειτ᾽ αὐτῆς δ᾽ ἀεὶ καὶ μᾶλλον ὀλιγοχρονιωτέρας γινομένης τῆς ἡσυχίας ἄχρι τοῦ τὴν κατὰ φύσιν ἀπολαβεῖν συμμετρίαν.

Ἐναντίοι δ᾽ εἰσὶ τοῖς εἰρημένοις σφυγμοῖς ἕτεροι δύο, τῷ μὲν ἀραιῷ, πυκνὸς, τῷ διαλείποντι δ᾽ ὁ παρεμπίπτων, οὓς ὁ Ἀρχιγένης ἔοικεν οἴεσθαι χαλεπωτέρους εἶναι τῶν προειρημένων, ἐξαπατώμενος ὑπὸ τῶν πυκνῶν, ὅτι καὶ προηγοῦνται καὶ συνεδρεύουσι συγκοπαῖς. ἐπὶ δὲ τῶν παρεμπιπτόντων ὅτι περιπνευμονικοῖς ἐνίοτε προσπίπτουσιν ὀλεθρίως ἔχουσι. καὶ πυρετοῖς ἐστὶν ὅτε καθ᾽ οὓς ἔμφραξις, ἢ θλίψις ἐστὶν ἀρτηριῶν κυρίων. οὐ μὴν εἴς γε τὴν γένεσιν ἀποβλέψαντι τῶν τοιούτων σφυγμῶν, ἀληθὴς ἡ δόξα φαίνεται τοῦ Ἀρχιγένους. ὁ μὲν γὰρ παρεμπίπτων ἐπ᾽ ἀνωμάλῳ γίνεται πυκνότητι, διὰ τὸ πολλάκις ἐνδεέστερον τῆς χρείας ἐνηνοχέναι τὴν καρδίαν. αὐτὸ δὲ τοῦτο πάλιν, ἤ τοι βαρυνομένης γίνεται τῆς καρδίας ὑπὸ πλήθους, ἢ τῶν ὀργάνων ἐμπεφραγμένων, ἢ στενοχωρουμένων, ἅπερ οἶμαι καὶ τῶν διαλειπόντων ἦν αἴτια, διαλλάττουσιν οὖν ἀλλήλοις, τοὺς μὲν παρεμπίπτοντας ἀπομαχομένην τε καὶ διαγωνιζομένην τοῖς ἐνοχλοῦσιν αἰτίοις ἔχειν τὴν δύναμιν, τοὺς δὲ διαλείποντας ὀκνοῦσαν τοῦτο πράττειν. ἀμέλει πολλάκις οἱ παρεμπίπτοντες σφυγμοὶ, κρίσιν ἤνεγκαν. εἰ γὰρ καὶ ἔστιν ὥσπερ κατ᾽ ἄπειρον, τῆς εἰς ἀγῶνα παρασκευαζομένης τῆς φύσεως. εἰ δὲ ἐκ τῶν τοιούτων κρίσεων ἀπόλλυνταί τινες, οὐδὲν τοῦτο πρὸς τὸ χαλεπωτέραν εἶναι τὴν τῶν παρεμπιπτόντων διάθεσιν, τῶν διαλειπόντων. πολὺ πλείους γὰρ ἐκ τῶν διαλειπόντων ἀπόλλυνται, κατὰ δὲ τὸν αὐτὸν τρόπον κἀκ τῶν ἱκανῶς, ἤπερ ἐκ τῶν πυκνῶν. οἱ γοῦν περικαεῖς ἅπαντες πυρετοὶ πυκνὸν ἔχουσι τὸν σφυγμὸν, ἔνιοι τινὲς αὐτῶν ὄντες ἀκίνδυνοι. οἱ δ᾽ ἐν ταῖς συγκοπαῖς πυκνοὶ διὰ τὴν ἀμυδρότητα, κινδυνώδεις εἰσὶν, ἀχώριστοι οὖσαι ἁπασῶν συγκοπῶν, καὶ χρὴ οἶμαι τοὺς ἀμυδροτάτους σφυγμοὺς, εἴπερ τινὰς καὶ ἄλλους κινδυνώδεις νομίζειν, οἷοί περ οἱ τῶν συγκοπτομένων εἰσὶν, ὅλως δ᾽ ἐπισκέψασθαι καλῶς ἔχει, περὶ τῶν ἐν ἅπασι τοῖς τῶν σφυγμῶν γένεσιν ἀκροτάτων. ὅτι μὲν γὰρ ὀλέθριοι καὶ πρὸς Ἀρχιγένους ὡμολόγηται, ποία δ᾽ ὀλεθριωτάτη πασῶν ἐστὶν, οὔτ᾽ ἐκεῖνος, οὔτ᾽ ἄλλος τις ἀκριβῶς ἐπεσκέψατο. καί τοι δῆλον ὡς ὅση περ ἂν ἀκρότης σφυγμῶν φαίνηται τῶν ἄλλων ὀλεθριωτάτη, καὶ τὸ κατ᾽ ἐκείνην γένος ὀλεθριώτατον, εἰκότως νομισθήσεται τῶν ἄλλων γενῶν. οὕτω δὲ καὶ εἰ παραβάλλοντες ἐν ἑνὶ, τὸ κατὰ θάτερον αὐτῶν ἄκρον εὑρίσκοιμεν ὀλεθριώτερον, οὐ κἂν ἀλόγως οὐδὲ τὸ γένος ὅλον τοῦ γένους ὀλεθριώτερον εἴποιμεν, ἡ μὲν οὖν ἄκρα πυκνότης, οὐδὲν ἧττον τῶν συγκοπτομένων ὑπάρχει τοῖς περικαῶς πυρέττουσιν οὐκ ἐξ ἅπαντος ὀλεθρίως διακειμένοις, ἡ δ᾽ ἀραιότης οὐκ ἔστιν ὅτε ἀκίνδυνος ὑπάρχει. καθάπερ οὐδ᾽ ἡ ἀμυδρότης, οὐδ᾽ ἡ σμικρότης. αἱ μὲν γὰρ τρεῖς αὗται διαφοραὶ τῶν σφυγμῶν εἰς ἄκρον ἥκουσαι, κινδυνώδεις εἰσὶ διαπαντός. οὐ μὴν τό γε μέγεθος ὥσπερ οὐδ᾽ ἡ σφοδρότης, ἀλλ᾽ αὕτη μὲν μόνη πασῶν ἀκροτάτων, οὐχ ὅπως κινδυνώδης, ἀλλὰ καὶ μέγιστον ἀγαθὸν, ἄν περ τις αὐτὴν ἐπίστηται διαγινώσκειν. τὸ δ᾽ ἔσχατον μέγεθος, ἐπειδὰν μὲν ἅμα νοσώδει μαλακότητι συνίστηται, κινδυνῶδες, ἐπειδὰν δὲ μετά τινος ὑγιεινῆς τοῦ χιτῶνος συστάσεως οὐδὲν ἄτοπον ἔχει. μυριάκις γὰρ ἐν τοῖς πυρετοῖς ἀκινδύνοις μὲν θερμοῖς δὲ καὶ περικαέσιν, ὁ σφυγμὸς γίνεται μέγιστος, ὅταν ἡ δύναμις ἔρρωται. οὐκοῦν οὐδ᾽ ἐκ τῆς τῶν ἀκροτάτων παραβολῆς, οὔτε τὸ τῶν πυκνῶν σφυγμῶν γένος ὀλεθριώτερον ἂν ἐπιδείξειέ τις τῶν ἀραιῶν. οὔτε τὸ τῶν παρεμπιπτόντων, τοῦ τῶν διαλειπόντων. ἐπεὶ δὲ ὁ λόγος ἔσπευδε μὲν ἐπὶ τὴν περὶ τούτων ἀπόδειξιν μόνων, ἐν παρέργῳ δὲ καὶ περί τινων ἄλλων ἐσκέψατο γενῶν, οὐδὲν ἂν εἴη χεῖρον ἔργον τὸ πάρεργον ποιησαμένους, τῇ μνήμῃ παραθέσθαι τὰ διδαχθέντα περὶ μεγάλου τε καὶ μικροῦ καὶ σφοδροῦ καὶ ἀμυδροῦ σφυγμοῦ. κάλλιον δ᾽ εἰ καὶ τὴν λοιπὴν διαφορὰν αὐταῖς προσθείημεν τὴν κατὰ βραδυτῆτα καὶ τάχος. φαίνεται γὰρ κἀνταῦθα τὸ τῶν ταχέων γένος, ἀκινδυνώτερον ὑπάρχον τῶν βραδέων. εἴ γε δὴ καὶ ἡ ἄκρα ταχυτὴς, τῆς ἄκρας βραδυτῆτος. ἡ μὲν γὰρ ἄκρα βραδυτὴς ὥσπερ γε καὶ ἡ ἀραιότης, σβεννυμένης ἀποτελοῦνται τῆς ἐμφύτου θερμασίας, ἡ δ᾽ εἰς τὸ τάχος αὔξησις διά τε τὴν χρείαν ἐπείγουσαν γίνεται καὶ πάντως ὑπὸ δυνάμεως ἐρρωμένης. Ἀρχιγένης δὲ, κἂν τούτῳ σφάλλεται τὸν μυς-

μηκύνοντα σφυγμὸν ὑπολαμβάνων ταχὺν ὑπάρχειν. οὔτε γὰρ ταχὺς ὅλως ὁ τοιοῦτός ἐστι σφυγμός, οὔτ' εἰς ἄκρον ἥκει πυκνότητος. ὅτι δ' ἐπιεικεῖς αἱ κατὰ πυκνότητα καὶ μέγεθος καὶ τάχος ἀκρότητες, ἔνεστί σοι κἀνθάδε καταμαθεῖν. ἐκλεξάμενος ὑγιαίνοντα νεανίσκον, ὀξύτατα κέλευσον δραμεῖν, καὶ τὰς τρεῖς εὐθέως εὑρήσεις γινομένας ἀκρότητας, οὐδὲν οὔτ' ἔχοντος, οὔθ' ἕξοντος κακὸν ἀνθρώπου. ὁ δὲ σκληρότατος σφυγμός, εὔλογον γὰρ καὶ περὶ ταύτης ἀφορίσασθαί τι τῆς διαφορᾶς, ὅπως μηδὲν ἐλλείπῃ τοῦ λόγου, παραπλησίως ἐστὶ τοῦ μαλακωτάτου κινδυνώδης. ὁ μὲν γάρ ἐστιν ἤτοι διὰ σκίῤῥον, ἢ φλεγμονὴν τοῦ σπλάγχνου μεγάλην, ἢ πῆξιν ἐκ ψύξεως, ἢ ξηρότητα τὴν ἐκ καυσωδεστάτου πυρετοῦ γινομένην, ἢ σπασμὸν ἰσχυρόν. ὁ δὲ διά τε κῶμα βαθὺ, καὶ τοὺς λευκοφλεγματίας ὕδρους, καὶ συλλήβδην εἰπεῖν ἄμετρον ὑγρότητα τῆς ἕξεως τοιοῦτος ἀποτελεῖται. ἀναλαβόντες οὖν αὖθις ἐν κεφαλαίοις τὰ λεχθέντα τελευτὴν ἐπιθῶμεν ἤδη τοῦ λόγου. πάντες οἱ σφυγμοὶ τῶν κατὰ φύσιν ἐπὶ πολὺ συμμετρίας ἀποχωροῦντες οὐκ ἀγαθοί, ἀλλ' ὁ μὲν ἀμυδρότατός τε καὶ βραδύτατος καὶ ἀραιότατος ἁπάντων χείριστος. ἑξῆς δ' αὐτῶν ὁ μικρότατος καὶ μαλακώτατος καὶ σκληρότατος, εἶθ' ὁ πυκνότατος. οὐ μὴν ὁ τάχιστός γε, οὐδέ γε ὁ μέγιστος, ἀλλὰ μετρίως εἰσὶ κινδυνώδεις. μόνος οὖν ἐκ τῶν ἄκρων ἄριστος ἁπάντων ὁ σφοδρότατος. Ἀρχιγένης δὲ περὶ τούτων ἑτέρως ἀπεφήνατο, μήτ' ἀπόδειξιν τινὰ τοῦ λόγου προσθείς. οὐδὲ γὰρ εἶχε, μήτε τὴν ἐμπειρίαν ὁμολογοῦσαν ἔχων, ἀλλὰ παραλογισθεὶς ὑφ' ὧν ὀλίγον ἔμπροσθεν εἶπον. ὅστις οὖν ἐθέλει τῶν ἔργων τῆς τέχνης ἔχεσθαι φιλοπόνως, ἐξεταζέτω τὰ νῦν ὑφ' ἡμῶν εἰρημένα διὰ τῆς τῶν καμνόντων ἐμπειρίας. ἀλλὰ τοῦτο μὲν οἶδ' ὅτι πράξουσι, οἷς ἀληθείας σπουδάζεται. ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, καιρὸς ἂν εἴη λέγειν ἤδη τι καὶ περὶ τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας.

Ἔστι δὲ κἀνταῦθα χαλεπωτάτη πασῶν ἡ διαλείπουσα. γίνεται δ' αὕτη διακοπείσης ἡσυχίας τὴν διαστολήν. ἰδέαι δὲ πλείους αὐτῆς, ἅπασαι μὲν χαλεπαὶ, διαφέρουσαι δ' ἀλλήλων, τοῦ μᾶλλόν τε καὶ ἧττον. ὅταν μὲν γὰρ ἡ δευτέρα κίνησις σφοδροτέρα γίνηται τῆς προτέρας, ἐπιεικέστερον. ὅταν δ' ἀμυδροτέρα χαλεπώτερον. οὕτω δὲ καὶ ἡ μὲν βραδυτέρα χαλεπώτερον σημεῖον, ἡ δὲ θάττων, ἐπιεικέστερον. γίνονται γὰρ οἱ τοιοῦτοι σφυγμοὶ διαγωνιζομένης τε ἅμα καὶ ἐμποδιζομένης τῆς φύσεως ὑπὸ τῶν νοσωδῶν αἰτιῶν. ὅταν μὲν οὖν ἀποσείσασθαί πως αὐτὰ δυνηθεῖσα, καὶ οἷον ἐκ δεσμοῦ τινὸς ἀπολυθεῖσα τὴν μετὰ τὴν ἡσυχίαν κίνησιν ἀμείνονα ποιήσεται τῆς ἔμπροσθεν ἐπιεικέστερον ἐστιν, ὁπόταν δὲ χείρονα, χαλεπώτερον. βελτίων δὲ κίνησις ἡ σφοδρὰ καὶ ταχεῖα, τῆς ἀμυδρᾶς καὶ βραδείας. ἡ μέντοι κατὰ μέγεθός τε καὶ σμικρότητα διαφορὰ τῆς προτέρας κινήσεως πρὸς τὴν δευτέραν, οὐδὲ μίαν ἀξιόλογον ὑπεροχὴν ἔχει. ἐνδέχεται γὰρ ὁμοίως καὶ ἴσης οὔσης τῆς διαθέσεως, ποτὲ μὲν τὸ πρὸ τῆς ἡσυχίας μέρος τῆς κινήσεως μεῖζον, ποτὲ δὲ τὸ μετὰ τὴν ἡσυχίαν, ἔστιν ὅτε δ' ἄμφω γίνεσθαι παραπλήσια. κατὰ μέντοι σκληρότητά τε, καὶ μαλακότητα διαφορὰ τῶν δύο προσβολῶν τῆς ἀρτηρίας, οὐκ ἄν ποτε γένοιτο διὰ τὸ χρόνου πλέονος ἀεὶ δεῖσθαι τὴν τοιαύτην μεταβολήν, ὅπου γε κἀν ταῖς συστηματικαῖς ἀνωμαλίαις σπάνιόν ἐστι κατὰ μίαν ἐπίσκεψιν ἀνώμαλον κατὰ σκληρότητά τε καὶ μαλακότητα περιτυχεῖν σφυγμῷ. κλονωδεστέρα μέντοι πολλάκις ἡ δευτέρα προσβολὴ φαίνεται τῆς προτέρας, ἔν τε τῇ καθ' ἕνα σφυγμὸν ἀνωμαλίᾳ, κἀν τῇ συστηματικῇ. καὶ διὰ τοῦτ' ἂν ἴσως ἐξαπατήσειεν τοὺς ἀνασκηκοτέρους, ὡς σκληροτέρα. σύμπτωμα δ' ἐστιν ὁ κλόνος ἀρτηρίας σκληρᾶς, ἐπὶ πλέον ἀναγκαζομένης βιαίως διαστέλλεσθαι. γίνεται δ' οὐ σκληροτέρα τηνικαῦτα κατά γε τὴν ἀλήθειαν, ἀλλ' ἐπὶ πλέον ἀναγκαζομένη βιαίως διαστέλλεσθαι, τὸ τοιοῦτον σύμπτωμα πάσχει. καὶ ἔστιν ἡ κλονώδης προσβολὴ, χείρων τῆς ὁμαλοῦς, ὅταν μὴ διά τινα πρόσφατον αἰτίαν ὁ χιτὼν τῆς ἀρτηρίας ἐσκληρωμένος ᾖ, χειρίστη δὲ ἧς ὁ τῆς ἡσυχίας χρόνος ἐπιμηκέστερος. ἡ μὲν οὖν διαλείπουσα καθ' ἕνα σφυγμὸν ἀνωμαλία χαλεπωτάτη πασῶν ἐστιν ἀνωμαλιῶν. γίνεται μὲν γὰρ ὑπὸ τῶν αὐτῶν κατὰ γένος αἰτιῶν ὑφ' ὧνπερ καὶ ἡ συστηματικὴ, πολὺ δὲ χείρων αὐτῆς ἐστιν. ἐκείνη μὲν γὰρ, εἰ καὶ μηδὲν ἄλλο, τὰς γοῦν ἁπλᾶς κινήσεις ἀπαρεμποδίστους ἐᾷ συντελεῖσθαι. αὕτη δὲ, οὐ ταύτας ἐᾷ γίγνεσθαι κατὰ φύσιν, ἀλλ' ἐμποδὼν ἵσταται, καὶ στερίσκει τῆς κινήσεως τὰς ἀρτηρίας, οὐ διὰ τριῶν, ἢ τεττάρων, ἢ διά τινων ἔτι πλειόνων σφυγμῶν, ἀλλὰ κατὰ τὸν πρῶτον εὐθὺς αὐτόν. ἅπερ οὖν ἐπ' ἐκείνης εἴρηται, ταῦτα πάντα κἀπὶ ταύτης, εἰρῆσθαι χρὴ δοκεῖν ηὐξημένα, κἂν τούτῳ μόνῳ παραλλάττοντα, τοῦ τὸν θάνατον ἐγγύθεν(?) ἀπειλεῖν, ἐκ τούτου τοῦ γένους τῶν σφυγμῶν ἐστὶ, καὶ ὁ δορκαδίζων, ἐξηγήμεθα δ' αὐτοῦ τὴν ἰδέαν, ὥσπερ οὖν καὶ τῶν ἄλλων ἁπάντων, ἐν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς αὐτῶν.

Ἕτερον δὲ ἐστὶ γένος σφυγμῶν ἀνωμάλων κατὰ μίαν διαστολήν. κοινὸν μὲν ἐχόντων, τὸ δὶς παίειν, οὐ κοινὴν δὲ τὴν αἰτίαν. ἀλλ' ὡς καὶ ἐν τῷ δευτέρῳ τῶν ἐν σφυγμοῖς αἰτιῶν εἴρηται, τρεῖς εἰσὶν αἱ πρῶται τῆς γενέσεως αὐτῶν αἰτίαι. περὶ μὲν δὴ τῶν δυοῖν, εἴρηται καὶ δι' ἐκείνου τοῦ γράμματος. εἰρήσεται δὲ καὶ νῦν, ἀναμνήσεως ἕνεκα περὶ τῆς τρίτης αἰτίας, εἴρηται μὲν ἤδη καὶ περὶ ταύτης τό γε τοσοῦτον, ὡς ἀνώμαλος ἐστὶ δυσκρασία τοῦ σώματος αὐτοῦ τῆς καρδίας, ἀνεβαλλόμεθα δὲ τὸν σύμπαντα λόγον ὑπὲρ αὐτῆς ἐνταῦθα ποιήσασθαι. καὶ τοίνυν ἥκει καιρὸς αὐτῷ καὶ λεγέσθω. διὰ δὲ τὴν κοινωνίαν τοῦ λόγου, καὶ τοὺς ἄλλους ἅπαντας, ἀνωμάλους σφυγμοὺς, ὅσοι ταῖς τοῦ σώματος αὐτοῦ τῆς καρδίας ἀνωμάλοις ἀκολουθοῦσι δυσκρασίαις, ἐν τῷδε τῷ λόγῳ δίειμι, ἀρξάμενοι κἀνταῦθα πάλιν ἀπὸ τῶν σαφεστέρων ἀνωμαλιῶν, ἃς ὀνομάζουσι συστηματικάς. τὸ σῶμα τῆς καρδίας, ἐν ἑαυτῷ τινὰ δύναμιν ἔχει διαστολικήν τε, καὶ συσταλτικήν, οὐ μάτην, οὐδ' ὡς ἔτυχεν, οὔτε δοθεῖσαν ὑπὸ τῆς φύσεως, οὔτ' ἐνεργοῦσαν, ἀλλ' ὡς ἐν ἑτέροις ἐπιδέδεικται, τοῦ φυλάττειν ἕνεκα τὴν ἔμφυτον θερμότητα. κατὰ μὲν οὖν τὰς συστολὰς, ἀποχεῖ τὸ λιγνυῶδες περίττωμα, κατὰ δὲ τὰς διαστολὰς, ἐπισπᾶται τὸ ἀναψύχον αὐτήν. ὅταν μὲν οὖν ὁμαλῶς θερμὸν, ἢ ψυχρὸν, ἢ καθαρὸν, ἢ τεθολωμένον ᾖ, πάντ' αὐτοῦ τὰ μόρια πρὸς τὴν ἐνέργειαν ὡσαύτως ἐξορμᾷ. ὅταν δ' ἤτοι τὰ μὲν θερμότερα, τὰ δὲ ψυχρότερα τύχοι τῶν μορίων αὐτοῦ, καὶ τὰ μὲν ἀκριβῶς καθαρὰ, τὰ δὲ τεθολωμένα τῷ πλήθει τῶν περιττωμάτων, οὐ τὴν αὐτὴν ὁρμὴν ἴσχει πρὸς τὴν ἐνέργειαν ἅπαντα, ἀλλὰ τὰ μὲν αὐτῶν φθάνει, τὰ δὲ μέλλει. κἂν τούτῳ τοῖς πλείοσί τε καὶ ἰσχυροτέροις ἐξορμήσασι πρὸς τοὔργον ἕπεται, τἄτ' ὀλιγώτερα καὶ ἀσθενέστερα. οὐ γὰρ δὴ διασπασθῆναί τε χωρισθῆναι δυνατὸν αὐτοῖς ἀπ' ἀλλήλων, ἑνὸς ὀργάνου μέρεσιν οὖσιν

ὥσπερ

ὥσπερ δὲ τὰ πλείω τε καὶ σφοδρότερον ἐνεργεῖν ἐπειγόμενα, σύμπασαν ἐξορμᾷ τὴν καρδίαν, οὕτω πάλιν, ὅταν
ἐλάττω μὲν ᾖ τὰ πρὸς τὴν κίνησιν ἐπειγόμενα, πλείω δὲ τὰ μένοντα, σύμπασαν ἐν ἡσυχίᾳ κατέχειν πλείονι.
καὶ δὴ καὶ τὸ τῆς κινήσεως ποιὸν ἐκ τῶν κρατησάντων ἐν αὐτῇ μορίων ὅλῳ τῷ σπλάγχνῳ γίνεται. ᾗ μὲν γὰρ
τὰ θερμότερα τῆς κινήσεως ἐξηγεῖται, πρωϊαίτερόν τε ἅμα καὶ θᾶττον καὶ μείζων ἡ διαστολὴ γίνεται. τῶν ψυ-
χρῶν δ᾽ ἡγουμένων, ὀψιαίτερόν τε καὶ βραδυτέρα καὶ μικροτέρα. πολλάκις μὲν οὖν τῷ πλήθει τῶν μορίων ἡ τῆς
κινήσεως ἡγεμονία συνέπεται. πολλάκις δὲ, τῷ μεγέθει τῆς χρείας. ὅσα γὰρ ἱκανῶς δεῖταί τινος, ἑτοιμότερον
τε καὶ σφοδρότερον ἐπὶ τοὔργον ἐξορμᾷ, μὲν κἂν ἴσα τῷ πλήθει ὑπάρχει τοῖς μηδεομένοις. ὅταν μὲν οὖν πολὺ
πλείω τὰ ἕτερα τῶν ἑτέρων ᾖ, κατ᾽ ἐκεῖνα διαπαντὸς κινεῖται καὶ ἐνεργεῖ τὸ σπλάγχνον. ὅταν δὲ ἤτοι βραχεῖ τινὶ
τὰ ἕτερα τῶν ἑτέρων, ἢ πλείω, ἢ ἀκριβῶς ἴσα, διαπαντὸς μὲν οὐκ ἐνδέχεται κρατεῖν τὰ ἕτερα, νικῶντα δ᾽ ἐν
10 μέρει τε καὶ νικώμενα, ποικίλας τε καὶ ἀνωμάλους ἐργάζεται τὰς ὅλου τοῦ σπλάγχνου κινήσεις, ἔστω γοῦν, εἰ τύχοι,
πλείω μὲν, οὐ μὴν πολλῷ γε τινὶ τὰ ψυχρὰ μόρια τῶν θερμῶν, ἀνάγκη τὴν πρώτην ἐνέργειαν ἐλάττονά τε καὶ βρα-
δυτέραν γίνεσθαι, καὶ μὲν δὴ καὶ τὴν ἡσυχίαν ἐν τούτοις κρατοῦσι μακροτέραν, ἢ εἴπερ ἐκράτει τὰ θερμά. καὶ
τοίνυν καὶ ἡ δευτέρα τῆς καρδίας ἐνέργεια τῶν ψυχρῶν κρατούντων γινέσθω, καὶ μετ᾽ αὐτὴν αὖθις ἡσυχία, καὶ τρί-
τη γε καὶ τετάρτη πρὸς ταύταις ἐνέργειά τε καὶ ἡσυχία κατὰ τὰ ψυχρὰ νικῶντα συντελείσθω, ἆρ᾽ οὐ πρό-
δηλον ὡς τὰ θερμότερα μόρια τὰ μείζονός τε ἅμα καὶ θάττονος, καὶ πυκνοτέρας δεόμενα τῆς κινήσεως ἐν-
δεῶς ἀπολαύσει τῆς ἑαυτῶν χρείας, ὥστε ἐν τούτῳ θερμότερα γενήσεται, καί τι καὶ τοῖς ὁμιλοῦσι μεταδώ-
σει θερμότητα. οὐκοῦν ἔτι φυλαχθήσεται τῆς καρδίας ἡ ἐξ ἀρχῆς διάθεσις, εἴπερ καὶ πλείω γενήσεται τὰ
θερμότερα μόρια, καὶ μᾶλλον ἢ πρόσθεν θερμά. τούτου τοίνυν ἀεὶ συμβαίνοντος, ἔσται ποτὲ χρόνος ἐν ᾧ καὶ
αὐτὰ κρατήσει τῶν ἐναντίων, ὥστε καὶ πρωϊαίτερον ἐπὶ τὴν ἐνέργειαν ἐξορμῆσαι, διὰ τὴν τῆς χρείας ἔπειξιν,
20 αὐτήν τε τὴν κίνησιν ποιήσασθαι θάττονά τε καὶ μείζονα τῶν ἔμπροσθεν ἁπασῶν κινήσεων, ὧν ἡγεῖτο τὰ ψυ-
χρά. συμβήσεται τοιγαροῦν ἐν τούτῳ, τὰ μὲν κρατοῦντα συμμέτρως ἀπολαύειν ἐμψύξεως. ὅσα δ᾽ ἦν ψυχρό-
τερα, πλέον ἤδη καταψύχεσθαι. καὶ οὕτως μεταπεσεῖν αὖθις ἐν τῷ χρόνῳ τὴν διάθεσιν ὅλης τῆς καρδίας, ὡς
κρατῆσαι τὰ ψυχρότερα. τῶν μὲν γὰρ θερμοτέρων ἱκανῶς ἀπολαυόντων ἐμψύξεως, τῶν δὲ ψυχροτέρων αὐ-
τῶν τε πλέον, ἢ δεῖ, ψυχομένων, καὶ τὰ πλησιάζοντα συγκαταψυχόντων, ἀναγκαῖον οὕτω γενέσθαι πλεο-
να τὰ ψυχρότερα. πάλιν δ᾽ αὖ ἐν τούτῳ τῷ χρόνῳ τὴν κίνησιν ὅλης τῆς καρδίας, ἀναγκαῖον ἔσται κατὰ τὴν
τοιούτων χρείαν τυπωθῆναι, καὶ γενέσθαι τὰς διαστολὰς αὐτῆς ἀραιὰς καὶ βραδείας καὶ μικράς, οἷαί περ ὑπέ-
κειντο γίνεσθαι κατ᾽ ἀρχάς. ἅπερ οὖν ὀλίγον ἔμπροσθεν εἴρητο περὶ τῆς μεταπτώσεως αὐτῶν, ταῦτα γοῦν λεγέ-
σθω καὶ νῦν, ὡσαύτως, καὶ ὅσα περὶ τῆς εἰς τὴν ἐξ ἀρχῆς κατάστασιν ἐπανόδου λέλεκται πρόσθεν, ἀναμνησθή-
τι νῦν. οὕτω γὰρ οἶμαί σε πεισθήσεσθαι περὶ τῆς τῶν σφυγμῶν συνεχοῦς μεταπτώσεως, ἄχρι περ ἂν ἡ εἰρημένη
30 δυσκρασία, κατὰ τὴν καρδίαν παραμένῃ. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐπειδὰν ἐν τῷ πλήθει τῶν λιγνυωδῶν
περιττωμάτων, ἀνώμαλος ἡ δυσκρασία κατὰ τὸ σπλάγχνον, εἰς τὴν συστηματικὴν ἀνωμαλίαν, καὶ ἡ τῶν σφυγ-
μῶν κίνησις ἀχθήσεται. οὐδὲν δὲ δήπου θαυμαστὸν, οὐδὲ τὴν καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίαν ἐπὶ ταῖς τῆς καρ-
δίας δυσκρασίαις γίνεσθαι. τὰ μὲν γὰρ τοῖς θερμοτέροις αὐτῆς μέρεσι κατευθὺ τῶν ἀρτηριῶν μόρια, θερμό-
τερά τε γενήσεται τῶν ἄλλων καὶ διαστήσεται μεῖζον, καὶ κινήσεται θᾶττον. τὰ δὲ τοῖς ψυχροτέροις αὐτά τε
ἔσται ψυχρότερα, καὶ βραδύτερον κινήσεται, καὶ διαστήσεται μεῖον. ὅταν δ᾽ ὅλον ἀγγεῖον ποτὲ κατευθὺ γένη-
ται τοῖς θερμοτέροις μέρεσι τῆς καρδίας, θᾶττόν τε κινήσεται, καὶ μεῖζον διαστήσεται ὑπὲρ τῶν τοῖς ψυχροτέ-
ροις κατευθὺ τεταγμένων. καὶ χωρὶς δὲ τῆς καρδίας, οἰκεῖαί τινος γινόμεναι ταῖς ἀρτηρίαις δυσκρασίαι, τάς
τε εἰρημένας ἀνωμαλίας ἀποτελοῦσι, τὰς κατὰ μέγεθος καὶ μικρότητα, καὶ τάχος, καὶ βραδυτῆτα, καὶ
ἀραιότητα, καὶ πυκνότητα. καὶ εἰ πολὺ τοῦ κατὰ τὴν φύσιν ἐκτρέποιντο, καὶ τὰς κατὰ σφοδρότητά τε καὶ
40 ἀμυδρότητα. καὶ μὲν δὴ καὶ κατὰ αὐτήν γε τὴν καρδίαν, καὶ προσέτι τὰς ἀρτηρίας ἁπάσας ἐκ τῆς κατὰ
τὸ σπλάγχνον ἀνωμάλου δυσκρασίας ἐν μιᾷ διαστολῇ πλείους γενήσονται διαφοραὶ τῶν κινήσεων, τῶν μὲν,
εἰς τάχος αὐτὴν ἐξορμώντων, ἐνίων δ᾽ ἐπεχόντων τε καὶ βραδύνειν ἀναγκαζόντων, ὥστε ποτὲ καὶ στῆναι με-
ταξὺ κατὰ τὴν ἄνοδον, οἷόν τι συμβαίνει καὶ τοῖς ἐν ὁδοιπορίαις, ἢ καὶ ἄλλως ὁπωσοῦν ἕλκουσιν ἑτέρους βρα-
δύνοντας. ἀντισπώμενοι γὰρ ὑπ᾽ αὐτῶν ἀτάκτως ἐκκόπτονταί τε καὶ διακόπτονται τὴν ὁρμήν, ὡς μήτε
διαπαντὸς ὁμοίαν ποιεῖσθαι τὴν κίνησιν, ἴσχεσθαί τε πολλάκις. εἰ δὲ καὶ ἀντιπράττοντάς τε καὶ ἀντισπῶντας
ἕλκοιεν, οὐ μόνον ἴσχονται τῆς κινήσεως ὡς ἤτοι βραδύτερον, ἢ μηδόλως ἐνίοτε βαδίζειν, ἀλλὰ καὶ ἀνθειλκίσθη-
σαν ποτὲ εἰς τοὐπίσω. ταῦτ᾽ οὖν ἅπαντα συμβαίνει, τῇ τε καρδίᾳ, καὶ ταῖς ἀρτηρίαις, ἐν ταῖς ἀνωμάλοις
δυσκρασίαις. καὶ ὅ γε δορκαδίζων σφυγμὸς ἐκ τοῦ γένους μὲν ἐστι τῶν ἐν ἡσυχίᾳ διαλαμβανομένων, ἐπι-
γίνεται δ᾽ ἐνίοτε τοιούτοις πάθεσι καρδίας, ὥσπερ γε καὶ ὁ δίκροτος ἐκ τοῦ γένους μὲν ἐστι τῶν ἀνθελκομέ-
50 νων ἔσω, συνεδρεύει δὲ καὶ αὐτὸς δῆλον ὅτι ταῖς ἀνωμάλοις τῆς καρδίας δυσκρασίαις, καὶ μᾶλλον γε ὅταν ἀξιό-
λογον ᾖ κατ᾽ αὐτὴν τὸ πλῆθος τῶν αἰθαλωδῶν περιττωμάτων ἐν πολλοῖς τῶν μορίων αὐτῆς. ἂν γὰρ ἅμα συμ-
βῇ, τὰ μὲν ἁπλῶς εἶναι πάνυ θερμὰ, τὰ δὲ καταπνίγεσθαι καπνώδει λιγνύϊ, πρὸς τὰς ἐναντίας ἐξορμήσει κι-
νήσεις, ὡς διαστέλλεσθαι μὲν ἐπιχειρεῖν τὰ ἕτερα, συστέλλεσθαι δὲ θάτερα. καὶ οὕτως ἤτοι διαστελλομένης τῆς ἀρ-
τηρίας ἐνεργησάντων τῶν συστελλόντων, διαδέξεταί ποτε τὴν διαστολὴν, ἡ συστολὴ καὶ χωρὶς τῆς ἐκτὸς ἠ-
ρεμίας, ἢ συστελλομένης ἐνεργησάντων τῶν διαστελλόντων. ἑκάτερον δὲ αὐτῶν ἔσται κατὰ πλείονας τρόπους,
ἤτοι γὰρ ἐκνικήσει τελέως ἡ δευτέρα κίνησις τὴν προτέραν, ἢ ἐπ᾽ ὀλίγον μὲν ἀντισπάσει, νικηθεῖσα δὲ ἡ προ-
τέρα πληρώσει τὸ προκείμενον ἑαυτῇ μέτρον, ὥστε γίνεσθαι τρεῖς τὰς πάσας διαφορὰς σφυγμῶν, ἔν τε τῷ
διαστέλλεσθαι, κἂν τῷ συστέλλεσθαι. πρώτην μὲν ἐπειδ᾽ ἂν ἐν τῷ διαστέλλεσθαι, πρὶν πληρῶσαι τὸ μέτρον ἡ συ-
στολὴ διαδέξεται, δευτέραν δ᾽ ὅταν ἀκριβῶς πληρωθεῖσα ἐκδέξηται τῆς ἐκτὸς ἠρεμίας ἀπολλυμένης. τὴν τρί-

τὴν δ' ὅταν ἔτι γιγνομένην τὴν διαστολὴν ἀντισπάσῃ μὲν ἡ ἐναντία κίνησις, ἀσθενεστέρα δὲ γιγνομένη, συγχωρήσει τὸ λεῖπον ἐκπληρῶσθαι. κατὰ ταῦτα δὲ καὶ τὴν συστολὴν ἡ διαστολή, ποτὲ μὲν ἤδη γεγενημένην, ἐκδέχεται, μὴ συγχωρήσασα εἶναι, ποτὲ δὲ καὶ πρὸ τοῦ πληρωθῆναι κωλύσασά τε καὶ νικήσασα διεδέξατο. ποτὲ δ' ἀντέσπασε μὲν ἐπὶ ὀλίγον, ἐνικήθη δέ. τοιαῦται κινήσεις ἀρτηριῶν γίνονται ποτὲ καὶ χωρὶς τοῦ τὴν καρδίαν πεπονθέναι, ἤτοι διὰ δυσκρασίαν ἀνώμαλον ἐν αὐταῖς συστᾶσαν, ἢ δι' ἀῤῥωστίαν τῆς δυνάμεως, ἢ διὰ σκληρότητα τοῦ χιτῶνος, ὑπὲρ ὧν εἴρηται μὲν ἤδη τι κἀν τῷ δευτέρῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, εἰρήσεται δέ, καὶ νῦν ἐν κεφαλαίοις, ἐκεῖνο πρότερον ὑποσημηναμένων ἡμῶν, ὡς τὸν περὶ τῆς κατὰ τὴν καρδίαν ἀνωμάλου δυσκρασίας λόγον, ὃν νῦν διήλθομεν, εἰς τὴν δὲ τὴν πραγματείαν ἀνεβαλλόμεθα διά τε τὸ ζητεῖν ἔτι καὶ βασανίζειν αὐτὸν ἐμπειρίᾳ μακρᾷ, καθάπερ καὶ τὰ ἄλλα ἅπαντα τὰ εἰρημένα τε καὶ λεχθησόμενα, καὶ διότι κατ' ἐκείνην τὴν πραγματείαν, οὐδέπω περὶ δυνάμεως οὐσίας οὐδὲν εἰρήκαμεν. οὐδὲ γὰρ οὐδὲ τοῦτο τὸ δόγμα πρὶν ἐν ἅπασι τοῖς κατὰ μέρος ὁμολογουμένοις ἐξευρεῖν, ἐτολμήσαμεν ἀποφήνασθαι. νῦν δ' ἐπειδὴ πεπείσμεθά τε τὴν οὐσίαν τῶν δυνάμεων οὐδὲν ἄλλο παρὰ τὴν ποιὰν εἶναι κρᾶσιν, ἅπαντά τε τὰ περὶ τὰς διαγνώσεις τε καὶ προῤῥήσεις καὶ θεραπείας ἐπὶ τούτῳ τῷ δόγματι συμφωνοῦνθ' εὑρίσκομεν, εὐλόγως οἶμαι καὶ τοὺς ἑπομένους ταῖς ἀνωμάλοις δυσκρασίαις τῆς καρδίας σφυγμοὺς ἐνταῦθα διήλθομεν. εἰσὶ δ' ὡς ἐλέγομεν ἔνιοί τινες ἐξ αὐτῶν καὶ χωρὶς ἐκείνης συνιστάμενοι. δίκροτος οὖν τίς ἐστι σφυγμὸς κλονώδης, ὃν δὴ καὶ μόνον, ὥμην τό γε κατ' ἀρχὰς εἶναι πλήττοντα δίς, ἐξαπατώμενος ὑφ' ὧν ἔλεγεν Ἀρχιγένης, εἰκάζων αὐτὸν ταῖς τῶν σφυρῶν διπλαῖς πρὸς τὸν ἄκμονα πληγαῖς· ἀποπάλλεσθαι γάρ τι σκληρὸν ἀφ' ἑτέρου σκληροῦ κατὰ τὰς τοιαύτας πληγὰς ὑποθέμενος, ἐξ ὧν ἐσφάλην περὶ τὴν ἔννοιαν τοῦ πράγματος, ἐκ τούτων καὶ περὶ τὴν διάγνωσιν ἐσφαλλόμην, ἐπεὶ δὲ ἐν τῷ χρόνῳ προσεδρεύων ἀεί, καὶ λιπαρῶς ἐγκείμενος τῇ διαγνώσει τῆς συστολῆς, ἐναργῶς ᾐσθόμην ἀρτηρίας ποτὲ μαλακῆς καὶ ἀκλόνου συσταλείσης ἐπὶ βραχύ, κἄπειτ' αὖθις ἐκ πληρώσεως τὴν διαστολήν, ἐκ τούτου τάς τε διαθέσεις, ἐφ' αἷς οἱ τοιοῦτοι γίνονται σφυγμοὶ παρεφύλαξα, καὶ χρόνῳ ποτὲ μακρῷ, σὺν πολλῇ τῇ σκέψει, βεβαίως ἠδυνήθην ἀποφήνασθαι ταῦθ' ἅπερ νῦν διεξέρχομαι. φαίνεται δέ μοι καὶ ὁ Ἀρχιγένης ἐπιμελῶς μὲν παραπεφυλακέναι τοὺς δὶς παίοντας σφυγμούς, οὔτε δ' ἑρμηνεῦσαι αὐτοὺς ὀρθῶς, οὔτε τὰς διαθέσεις, αἷς ἕπονται διαγινώσκειν, ἢ οὐκ ἂν ἁπλῶς οὕτως, οὔτε ταῖς τῶν σφυρῶν διπλαῖς πρὸς τὸν ἄκμονα πληγαῖς εἴκασεν αὐτούς, οὔτε παρέλιπεν εἰπεῖν, ὅστις ὁ τρόπος ἐστὶ τῆς γενέσεως αὐτῶν. ἀλλ' ἡμῖν γε καὶ τοῦτο εὑρέθη μετὰ χρόνον πολύν, ὥσπερ καὶ ἄλλα παμπόλλα τῆς θεωρίας. καὶ εἰ μόνον ἐθελήσαι τινὰ φιλοπονίαν τε καὶ σπουδὴν εἰσενέγκασθαι περὶ τοὔργον, οἵαν ἡμεῖς εἰσηνεγκάμεθα. χωρὶς γὰρ ταύτης οὔτε γνῶναι δυνήσεται, τὴν ἐν αὐτοῖς ἀλήθειαν, οὔτ' αὐτὸς ὠφεληθῆναί τι. τρεῖς οὖν εὑρήκαμεν ἄχρι δεῦρο καὶ διαθέσεις, καὶ γενέσεις τῶν δὶς παιόντων σφυγμῶν. μίαν μὲν τὴν τῶν κλονωδῶν, κατὰ τοῦτο μόνον αὐτῶν ἀποκεχωρηκυῖαν, ὅτι βραχέος γιγνομένου κατὰ τὸ μῆκος τοῦ σφυγμοῦ τῶν ἑκατέρωθεν μερῶν τῆς ἀρτηρίας, ἀφανὴς ὁ κλόνος ἐστί, καὶ διὰ τοῦτο δίκροτος, οὐ κλονώδης φαίνεται. δευτέραν δέ, καθ' ἣν ὁ μὲν σφυγμὸς ἄκλονός ἐστιν, ἡ δ' ἀρτηρία σκληρά, καὶ ἡ δύναμις ἀσθενὴς εἰς τοσοῦτον, ὡς βαρύνεσθαι μὲν ὑπὸ τῶν ἐπικειμένων σωμάτων, ὅμως δὲ κατά τι μέρος ἐν τῷ δέρματι τεταγμένον ἀκωλύτως ἀναφέρεσθαι. τούτου γὰρ μόνου τοῖς ἁπτομένοις αἴσθησιν ἥκοντος, ἔσται ποτὲ δίκροτος ὁ σφυγμός, ὅταν ἐξορμῆσαν αὐτὸ διὰ τὴν τῶν ἐπικειμένων κουφότητα πάλιν ἀντισπάσῃ κατέχοντά τε καὶ μὴ συνεπόμενα τὰ ἑκατέρωθεν μόρια, τὰ πρὸς τῶν ἐπικειμένων σωμάτων βαρυνόμενα, καὶ διὰ τοῦτο καὶ μηκέτ' αἰσθητὴν ὅλως ποιούμενα τὴν κίνησιν, μεθ' ἧς ποιεῖται τὴν αὐτὴν τῷ φαινομένῳ μορίῳ τῆς ἀρτηρίας, ἀλλὰ μεμελημένην τε καὶ βραδύνουσαν. ἐν τούτῳ γὰρ ἀντισπᾶσθαι συμβαίνει πρὸς αὐτῶν τὸ φθάνον ἐξορμῆσαι, σκληρᾶς οὔσης τῆς ἀρτηρίας. ἄλλως γὰρ οὐκ ἐγχωρεῖ γίνεσθαι τὴν ἀντίσπασιν ἐν ταῖς τοιαύταις διαθέσεσιν. οὗτοι μὲν οὖν οἱ δύο σφυγμοὶ δίκροτοί τ' εἰσὶ καὶ σκληροί, ὁ δὲ τρίτος ὁ ἐπὶ δυσκρασίᾳ γινόμενος, οὔτε δίκροτος, ἀλλὰ δὶς πλήττων μόνον, οὔτ' ἐξ ἀνάγκης σκληρός. εἰ δὲ καὶ τοῦτόν τις ὀνομάζειν ἐθέλει δίκροτον, οὐδὲν διαφέρει. μεμνήσθω δὲ μόνον, ὡς οὐκ ἔστιν ὅμοιος τοῖς ἀποπαλλομένοις σώμασιν ἀεί, σκληρῶν σκληροῖς, ἀλλ' ὡς ὀλίγου ἔμπροσθεν εἴρηται διαμαχομένων ἀλλήλαις γίγνεται τῶν δύο δυνάμεων, τῆς τε διαστελλομένης καὶ τῆς συστελλούσης τὴν καρδίαν. ἐν τίσι δὲ νοσήμασι, καὶ κατὰ ποίας αἰτίας τε καὶ διαθέσεις εἰς ἀνώμαλον ἀφικνεῖται δυσκρασίαν ἡ καρδία, νῦν μὲν οὐκ ἐπείγει λέγειν. ἐν δὲ τοῖς ἑξῆς ὑπομνήμασιν εἰρήσεται. κατὰ δὲ τὸ παρόν, ἀρκέσει τό γε τοσοῦτον, ὡς ἐπὶ ταῖς ἀνωμάλοις δυσκρασίαις τῆς καρδίας, καὶ ὅσαι γε κατ' αὐτὸ τὸ σῶμα τοῦ σπλάγχνου συνίστανται, γίγνεται μὲν ὁ δὶς παίων σφυγμός, γίγνεται δὲ καὶ ὁ τὴν ἐκτὸς ἠρεμίαν ἀπολλύς. ἔτι τε πρὸς τούτοις καὶ ὁ κολουόμενος τὴν διαστολήν. ἐδείχθη δ' ὅτι καὶ οἱ διακοπτόμενοι τὴν κίνησιν ἡσυχίᾳ καὶ αὐτοὶ γίγνονται πάντες, ἐπὶ ταῖς ἀνωμάλοις τῆς καρδίας δυσκρασίαις. οὐ μήν, ἀλλὰ καὶ ὅσοι χωρὶς τοῦ διακόπτεσθαι τὴν διαστολήν, ἀνώμαλοι φαίνονται κατὰ βραδυτῆτά τε καὶ τάχος, εὔδηλον ὅτι καὶ οὗτοι πρὸς ταῖς ἄλλαις αἰτίαις, ὑφ' ὧν ἐδείχθησαν γίγνεσθαι, καὶ αὐτὴν ταύτην ἔξουσιν, ὑπὲρ ἧς ὁ λόγος ἐνέστηκε τὴν ἀνώμαλον τῆς καρδίας δυσκρασίαν, ὅταν ἐπὶ τοσοῦτον ἀλλήλοις διαμάχηται τὰ θερμὰ μόρια τοῖς ψυχροῖς, ὡς ποτὲ μὲν ἀναγκάζεσθαι βραδύνειν τὰ θερμά, πρὸς τῶν ψυχρῶν κατεχόμενα. ποτὲ δὲ θᾶττον κινεῖσθαι τὰ ψυχρά, πρὸς τῶν θερμῶν ἐφελκόμενα. ἕτερον ἐπὶ τοῖς εἰρημένοις γένος ἐστὶν ἀνωμαλίας, τῆς καθ' ἕνα σφυγμόν, οὐκ ὀλιγάκις φαινόμενον, οὐδ' ἐπ' ὀλίγων παθῶν. ἀλλ' εἴπερ τι καὶ ἄλλο πολλάκις τε καὶ ἐπὶ πολλῶν. εὑρίσκεται δὲ ἐν αὐτῷ τὸ ἐγγύτερον τῆς ἀρχῆς μέρος τῆς ἀρτηρίας, πρότερον κινούμενον. καὶ ὅ γε κυματώδης τε καὶ ὁ σκωληκίζων σφυγμός, ἐκ τούτου τοῦ γένους εἰσίν, ἐπὶ μαλακῇ μὲν ἀρτηρίᾳ, δυνάμει δ' οὐκ εὐρώστῳ, συνιστάμενοι. ὁ μὲν οὖν σκωληκίζων, οὐ μόνον οὐκ εὔρωστον. ἀλλὰ καὶ καταλελυμένην ἐνδείκνυται τὴν δύναμιν, ὁ δὲ κυματώδης ἐστὶν ὅτι μὲν αὐτὸ δὴ τοῦτο μόνον οὐκ εὔρωστον, οὐ μὴν ἤδη γέ πω καταλελυμένην. ἔστι δ' ὅτε καὶ τόνου μετρίου μετέχουσαν, ἡνίκα μάλιστα κρίσιμον ἱδρῶτα προδηλοῖ. εὑρίσκεται

μὲν γὰρ

μὲν γὰρ ἐν ὑγροῖς τε καὶ φλεγματικοῖς νοσήμασιν, ὅταν αὐτὰ τὰ στερεὰ σώματα μαλακὰ γένηται τῷ πλήθει τῆς ὑγρότητος τεγχθέντα. συμβαίνει δὲ μάλιστα τοῦτο κατὰ τὰ ληθαργικὰ πάθη, καὶ τοὺς ἀμφημερινοὺς πυρετοὺς, καὶ προσέτι τοὺς ἑλώδεις τε καὶ τυφώδεις ὀνομαζομένους. καὶ δὴ καὶ βραδυτῆτα καὶ ἀραιότητα καὶ μέγεθος ἐν τοῖς τοιούτοις ἅπασιν ὁ σφυγμὸς προσλαμβάνει. εἰ δὲ καὶ ὕψος, ἢ σφοδρότητα ποτὲ προσκτήσαιτο, κρίσιμον ἱδρῶτα δηλώσει. μᾶλλον δ' ἐλπίζειν ἔσεσθαι τοῦτο, πλειόνων τῶν σφοδρῶν τε καὶ ὑψηλῶν φαινομένων, ἤπερ τῶν ἐναντίων. εἰ δ' ὁμαλῶς τοιοῦτοι φαίνοιντο, χρηστὸν ἅμα καὶ διὰ ταχέων ἔσεσθαι τὸν ἱδρῶτα σημαίνουσι, καὶ μᾶλλον, εἰ καὶ τὰ τῆς πέψεως τοῦ νοσήματος ὑπάρχει γνωρίσματα. πρόδηλον δὲ δήπουθεν, ὡς οὔτε φλεγμονή τις, οὔτε σκίῤῥος, οὔτε πῆξις ἐκ ψύξεως, οὔτε ξηρότης ἄμετρος, οὔτε σπασμώδης διάθεσις ὑπάρχει κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου κυματώδους ὄντος τοῦ σφυγμοῦ. διότι μήτε σκληρύνεσθαι δυνατόν ἐστι μήτε τετάσθαι τὴν ἀρτηρίαν ἐν τῷ τοιούτῳ σφυγμῷ. χρὴ γὰρ ὡς ἀρτίως εἴρηται, μαλακὴν ἀκριβῶς ὑπάρχειν αὐτὴν, ἵν' ὅταν ὁ διεγείρων τε καὶ διαστέλλων τόνος ὀκλάσῃ κατά τι, κατ' ἐκεῖνο καὶ αὕτη καταπίπτουσα τὴν οἷον κύματος ἐργάζεται περιγραφήν. ἡ σκληρὰ δὲ, καὶ ἡ τεταμένη κἂν ἐνδῷ κατά τι τῆς διαστελλούσης αὐτὴν δυνάμεως ἀῤῥωστούσης, ἀλλά τοι καὶ αὐτὸ τοῦτο τὸ μόριον αὐτοῖς συνεξαίρεται τοῖς ἑκατέρωθεν, ὅθεν οὐδ' εἰ φανείη ποτὲ κατὰ τὴν σκληρὰν ἀρτηρίαν ὁ σφυγμὸς τοιοῦτος ὡς τὸ πρότερον ἀεὶ μέρος αὐτῆς διαστέλλεσθαι πρότερον, οὐδὲ τότε κυματώδης ἢ σκωληκίζων γενήσεται. ἀλλὰ μᾶλλον ἀνωμαλίαν ἔχων τὴν κατὰ τὸ πρότερόν γε καὶ ὕστερον μέρος τῆς ἀρτηρίας τοῦ χιτῶνος κινουμένης γινομένην. οἱ κυματώδεις δὲ καὶ οἱ σκωληκίζοντες, καὶ τοῦτο μὲν ἔχουσιν, ἀλλὰ καὶ τὴν οἷον κυμάτων περιγραφὴν ἐπὶ ἐπιμέτρου προσλαμβάνουσιν, εὑρίσκονται δ' ἐν τοῖς ὑγροῖς, ὡς εἴρηται, πάθεσιν, ὅταν μήτε σκίῤῥος ἢ περὶ σπλάγχνόν τι, μήτε φλεγμονή. ἐπεί τοι κἂν τοῖς ὑδέροις καὶ μάλιστα τοῖς ἀνασάρκα τε καὶ λευκοφλεγματίας ὀνομαζομένοις, τοιοῦτος ἂν ἐφαίνετο διαπαντὸς ὁ σφυγμὸς, εἰ μὴ διὰ τὸ σκιῤῥοῦσθαί τινα σπλάγχνα συνέβαινον οἱ ὕδεροι τὰ πολλά. τοῖς γὰρ ἐξ αἱμοῤῥοΐδος ἐπισχέσεως, ἢ καταμηνίων ἀποχῆς ἐθεασάμεθα πολλάκις ἀκριβεῖς κυματώδεις τε καὶ σκωληκίζοντας ἑπομένους σφυγμοὺς, ἐπειδὴ πολλάκις ἐν τοῖς τοιούτοις ὑδέροις οὐδὲν τῶν σπλάγχνων σκιῤῥοῦται. οὐκοῦν, ἀναληπτέον γὰρ αὖθις ἐπὶ κεφαλαίων τὸν λόγον, ὁ κυματώδης σφυγμὸς ὑγρᾶς ἐστὶ καὶ μαλακῆς ἀρτηρίας ἔγγονος, ἅμα δυνάμει καμνούσῃ μετρίως. ὁ δὲ σκωληκίζων, ἀρτηρίας μὲν μαλακῆς, ἀῤῥώστου δ' ἱκανῶς δυνάμεως. διὰ τοῦτο γοῦν καὶ χωρὶς πυρετῶν ὡς τὰ πολλὰ φαίνεται γινόμενος ἐπὶ κενώσεσι λάβροις αἱμοῤῥαγίαις τε καὶ διαῤῥοίαις καὶ χολέραις, καὶ καθάρσεσιν ἰσχυραῖς, ἐμέτοις τε σφοδροῖς, καὶ οὔροις παμπόλλοις, καὶ καταμηνίων ἀμέτροις καταῤῥήξεσιν. οὕτως δὲ καὶ ταῖς δι' αἱμοῤῥοΐδων κενώσεσι, καὶ ταῖς ἐκ μήτρας αἱμοῤῥαγίαις, ἔτι τε τῷ καλουμένῳ ῥῷ γυναικείῳ καὶ μοχθηροῖς ἱδρῶσιν ὁ τοιοῦτος ἐπιγίνεται σφυγμὸς, οὐδὲν ἧττον δὲ καὶ τοῖς ὑγρότητι πολλῇ διασαπεῖσι τὸν πνεύμονα, καθ' ὃν ἤδη χρόνον ἂν, ἡ δύναμις αὐτῶν κάμνῃ. εἰ μέντοι τι φλεγμονῶδες ἐπιγένηται τῇ τοιαύτῃ διαθέσει, σκληρότητα προσλαμβάνοντες, οὐκ ἔτι φαίνονται σκωληκίζοντες. διὰ τοῦτο γοῦν οὐδὲ τοῖς ἑκτικοῖς ὀνομαζομένοις πυρετοῖς ὧν εἰσὶ καὶ οἱ μαρασμώδεις ἅπαντες, καὶ οἱ ἐπὶ ταῖς φθόαις οὐ γίνονται σκωληκίζοντες οἱ σφυγμοὶ, γενόμενοι πάντως ἂν, ὅσον ἐπὶ τῷ κάμνειν τὴν δύναμιν. ἀλλ' ἡ συνοῦσα τοῖς πάθεσι ξηρότης σκληρὰς ἀποτελεῖ τὰς ἀρτηρίας. ἡ μέντοι τοῦ γένους τούτου τῶν σφυγμῶν ἀνωμαλία συμπίπτει πάντως αὐτοῖς, ὅταν ἱκανῶς κάμνουσι τὴν δύναμιν, ἐφ' ἧς εἴπομεν ἐν προτέρῳ μορίῳ τῆς ἀρτηρίας τὴν κίνησιν φαίνεσθαι πρότερον, ὅπερ Ἐρασίστρατος μὲν ἀεὶ βούλεται γίνεσθαι. φαίνεται δ' οὐχὶ ὧδε συμβαῖνον, ἀλλ' ὡς δὴ νῦν λέλεκται. Ἑξῆς τοῖς εἰρημένοις σφυγμοῖς εἰσὶν, οἱ προσαγορευόμενοι μύουροι. διττὸν δὲ τὸ γένος αὐτῶν ἐστι. τὸ μὲν ἕτερον ἐν μιᾷ διαστολῇ τῆς ἀρτηρίας, τὸ δ' ἕτερον ἐν ἀθροίσματι. τὸ μὲν οὖν ἐν μιᾷ διαστολῇ γιγνόμενον ἀσθένειαν ἐνδείκνυται δυνάμεως ἅμα σώματος ἰσχνότητι. χρὴ δ' ἐπιβάλλοντα τοὺς δακτύλους, ἅπτεσθαι τῆς ἀρτηρίας, εἶθ' ὅταν ἐν τούτῳ φαίνηται κατὰ μὲν τὰ πρῶτα μέρη τῆς ἀρτηρίας, μείζων ὁ σφυγμὸς ἢ σφοδρότερος, ἢ συναμφότερον, ἐν δὲ τοῖς ὑποκάτω, μικρότερος ἢ ἀμυδρότερος ἢ ἄμφω, τὸν μὲν πρῶτον τῶν ἐπιβεβλημένων δακτύλων ἐπαίρειν καὶ σκοπεῖσθαι, πότερον ὁμοίας τῇ πρὶν ἀρθῆναι τοῦτον αἰσθάνονται κινήσεως οἱ ἐφεξῆς, ἢ σφοδροτέρας τε καὶ μείζονας. ἀμυδροτέρας μὲν γὰρ ἢ μικροτέρας ἀδύνατον αἰσθάνεσθαι τοῦ πρώτου δακτύλου μετεωρισθέντος. εἰ μὲν οὖν ὁμοίας ἔτι κινήσεως οἱ μετὰ τὸν ἐπαρθέντα δάκτυλον αἰσθάνονται, κατὰ τὸν ἑαυτῆς λόγον ἡ ἀρτηρία μυούρως διεστέλλετο, καὶ εἴη ἂν τοῦτο σημεῖον ἀτόνου δυνάμεως, ἣν ἀπὸ τῆς καρδίας ἐπιῤῥεῖν αὐταῖς ἐπεδείξαμεν. ἐν μὲν γὰρ τῷ κατὰ φύσιν ἔχειν ἄχρι τοῦ πέρατος, ἁπασῶν τῶν ἀρτηριῶν ὁ διαστέλλων αὐτὰς τόνος ὁμοίως ἐξικνεῖται. κατὰ δὲ τοὺς μυουρίζοντας, ἐκλύεται κατὰ βραχὺ τοσοῦτον ἑαυτοῦ γινόμενος ἀσθενέστερος, ὅσον ἀποχωρεῖ τῆς ἀρχῆς. εἰ δ' ἐπαίροντός σου τὸν πρῶτον δάκτυλον, μετ' αὐτὸν ἰσχυροτέρας τε καὶ μείζονος ἢ πρόσθεν αἰσθάνοιο τῆς κινήσεως. ἐνδείκνυται μὲν δήπου καὶ νῦν ἀῤῥωστίαν τῆς κατὰ τὴν ἀρτηρίαν δυνάμεως. ἀλλ' ἐλάττονα τῆς προειρημένης. ἐν ἐκείνῃ μὲν γὰρ ἡ δύναμις ἐξελύετο τῆς ἀρχῆς ἀποχωροῦσα, νυνὶ δὲ διαμένει μὲν ἴση κατὰ τὸν ἑαυτῆς λόγον, ἡ δ' ἀρτηρία βαρυνομένη πρὸς τῆς τῶν δακτύλων ἐπιβολῆς, ἀσθενέστερον κινεῖται. ἧττον δ' ἔσται τοῦτο κινδυνῶδες. οὐ γὰρ αὐτῆς καρδίας τοσοῦτον, ὅσον τῆς ἀρτηρίας ἧς ἁπτόμεθα τὴν διάθεσιν ἐνδείκνυται. τὸ δ' ἕτερον αὐτὴν μᾶλλον ἀῤῥωστεῖν ἐνδείκνυται τὴν καρδίαν, μὴ δυναμένην ὁμοίως ὡς πρόσθεν ἐκτείνειν ἀφ' ἑαυτῆς ἄχρι τῶν ἐσχάτων τοῦ ζώου μορίων τὴν ἐνέργειαν. πολυειδῶς οὖν ἐπιβάλλειν ἐν τοῖς τοιούτοις σφυγμοῖς χρὴ τοὺς δακτύλους, ὑπὲρ τοῦ μαθεῖν ἀκριβῶς ἅπασαν τῶν ἀρτηριῶν τὴν διάθεσιν. ἡ μὲν γὰρ πιέζουσα τὴν ἀρτηρίαν ἐπιβολὴ τῶν δακτύλων ἀσφυξίαν εἶναι δόξει κατὰ τὰς τοιαύτας διαθέσεις, ἡ δ' ἐπιπολῆς ψαύουσα, μυούρου φαντασίαν ἕξει τοῦ σφυγμοῦ, καὶ ἤτοι μόνοις δύο δακτύλοις ἢ τρισὶν ἢ καὶ τοῖς τέσσαρσιν ὑποπίπτοντος. ἔσται δὲ τοῦτο παρά τε τὴν ἰσχνότητα τοῦ ζώου καὶ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως. εἰς ὅσον μὲν γὰρ ἰσχνότερόν ἐστιν, εἰς τοσοῦτον πλείον ἡ ἀρτηρία σημαίνει. εἰς ὅσον δ' ἧττον, εἰς τοσοῦτον ἔλαττον. οὕτω δὲ καὶ κατὰ τὴν δύναμιν, εἰς

ὅσον μὲν εὐρωστοτέρα, πλέον. ἔλαττον δ᾽ εἰς ὅσον ἀσθενεστέρα. κατὰ δὲ τὴν τοιαύτην ἐπιβολὴν ὁπόταν ἀρθῶσι τοῦ πρώτου δακτύλου μηκέτι παραπλήσιος ὁ σφυγμὸς διαμένει κατὰ τὸν δεύτερον, ἀλλὰ μείζων τε φαίνεται καὶ ἰσχυρότερος, ὁ μὲν ἀπὸ τῆς καρδίας † τόνος, ὁμαλῶς γὰρ ἄχρι πέρατος ἐπιῤῥεῖ. βαρυνθεῖσα δ᾽ ἡ ἀρτηρία κατὰ τὴν ἐπιβολὴν τοῦ πρώτου δακτύλου, χεῖρον ἐν τῷ μετ᾽ αὐτὸν διαστέλλεται. καὶ διὰ τοῦτο τοῦ βαρύνοντος ἀρθέντος, ἄμεινον. εἰ δ᾽ ὅμοιος ὁ σφυγμὸς φαίνοιτο κατὰ τὸν δεύτερον δάκτυλον τῷ φαινομένῳ, πρὶν ἀρθῆναι τὸν πρῶτον, τὸ μύουρον τῆς κινήσεως ἐν αὐταῖς ταῖς ἀρτηρίαις ἐστὶν, οὐκ ἐν τῇ πρὸς τὴν ἁφὴν διαγνώσει. καὶ γίγνεται τοῦτο τῆς ἀπὸ καρδίας αὐταῖς ἐπιῤῥεούσης δυνάμεως ἐκλυομένης κατὰ βραχύ. εἰ δὲ κρείττων μὲν ἡ κίνησις φαίνοιτο τῆς ἀρτηρίας ἀρθέντος τοῦ πρώτου δακτύλου, μὴ μέντοι γε ἀκριβῶς. ἴση τῇ πρὸ τοῦ πρώτου, ἀμφοτέρας ἐνδείκνυται τὰς διαθέσεις ὑπάρχειν ἅμα. καὶ ὡς τὰ πολλά γε, οὕτω συμπίπτειν εἴωθεν ἐν ἁπάσαις ταῖς τοιαύταις ἀνωμαλίαις. ἐπιβλέπειν οὖν χρὴ μετὰ τοῦτο πολλοὺς ἐφεξῆς σφυγμοὺς, καὶ παραβάλλειν ἀκριβῶς ἀλλήλαις τὰς κινήσεις. ἐνίοτε μὲν γὰρ οἷα περ ἡ κατὰ τὴν πρώτην ἐπιβολὴν τοιαῦται γίνονται πᾶσαι. πολλάκις δὲ ἐπὶ τὸ μικρότερόν τε καὶ ἀμυδρότερον ἴασιν. ἐφ᾽ ὧν δηλονότι καὶ ἡ δύναμις ἐστὶν ἀσθενεστέρα. εἰ δὲ καὶ τελέως ἐκλείποιεν, ἔτι δὴ καὶ μᾶλλον ἐνδείξονται τὴν ἀῤῥωστίαν τῆς δυνάμεως. ἐν τούτῳ δὲ χρὴ πάντας ἄραντας τοὺς δακτύλους, εἶτ᾽ ὀλίγον τινὰ διαλειπόντας χρόνον αὖθις ἐπιβάλλειν. εὑρεθήσονται γὰρ τὰ πολλὰ κατὰ τὴν δευτέραν ἐπιβολὴν αἱ ἀρτηρίαι σφύζουσαι. ὡς εἴ γε ποτὲ παντελὴς ἀσφυξία φαίνοιτο καὶ κατὰ ταύτην τὴν ἐπιβολὴν, ἴστεον ἐν ἐκείνῳ γ᾽ αὐτῷ τῷ χρόνῳ πεποιῆσθαι τὴν προτέραν ἐπαφὴν, ἐν ᾧ συνέβαινε ταῖς ἀρτηρίαις εἰς ἀσφυξίαν ἀφικνουμέναις, ὀλίγον ἔτι τῆς κινήσεως ἀποσώζειν, ἀλλὰ τοῦτο μὲν ὡς ἔφην σπάνιον. ὡς τὰ πολλὰ δὲ διαλείποντες, εἶτ᾽ αὖθις ἁπτόμενοι σφυζούσας εὑρίσκομεν, ᾧ καὶ δῆλον ὡς οὐ φέρουσαι τῶν δακτύλων τὴν ἐπιβολὴν, εἰς ἐσχάτην ἀμυδρότητα κινήσεως ἀφικνοῦνται. καὶ τοῦτ᾽ ἦν αἴτιον ἄρα τὸ διαλανθάνειν ἡμᾶς τὸν σφυγμὸν, ὡς ἂν καὶ αὐτῆς τῆς ἀσφυξίας κατὰ διττὸν τρόπον γινομένης, ἢ τῷ μὴ σφύζειν ὅλως τὰς ἀρτηρίας ὅπερ ἂν εἴη κακὸν ἔσχατον, ἢ τῷ σφύζειν μὲν, ἀλλ᾽ οὕτως μὲν ἀμυδρόν τε καὶ μικρὸν, ὡς ἐκφεύγειν τὴν αἴσθησιν. ἔστι μὲν δὴ καὶ ἡ τοιαύτη διάθεσις εἰ χωρὶς λειποθυμίας τινὸς προσφάτου γίνοιτο, χαλεπωτάτη. πολὺ δὲ ἔτι χείρων ἡ ἑτέρα, καθ᾽ ἣν ὄντως οὐ σφύζουσι, μᾶλλον δ᾽ οὐ πολὺ χείρονα χρὴ λέγειν ἐκείνην, ἀλλ᾽ ὀλεθριωτάτην τε καὶ χειρίστην, ὡς ἂν ἤδη νενεκρωμένων τῶν ἀρτηριῶν. εἰ μέντοι πλέονι χρόνῳ τῶν δακτύλων ἐπικειμένων ἀβιάστως τε καὶ ὡς ψαύειν μόνον ἐπανέρχοιτο πάλιν ἡ κίνησις, ἧττον ὀλέθριος ἡ τοιαύτη διάθεσις. ἐπανέρχεται δὲ, ποτὲ μὲν εἰς ἀσφυξίαν ἐσχάτην ἀφικνουμένη. ποτὲ δ᾽ εἰς μικροσφυξίαν τε καὶ ἀμυδρότητα. καὶ τοίνυν καὶ καλοῦνται παλινδρομοῦντες μὲν ἀμφότεροι, διαφέρουσι δὲ τῷ τοὺς μὲν, μυούρους εἶναι παλινδρομοῦντας. τοὺς δ᾽, ἐκλείποντας παλινδρομοῦντας. ἄμεινον δ᾽ ἐν ταῖς τοιαύταις ἐπισκέψεσιν οὕτω σχηματίζειν τὸ μόριον, ὅπου περ ἂν ἁπτόμενοι τύχωμεν, ὡς ὑποκάτω τῆς ἀρτηρίας εἶναι τὴν ἡμετέραν ἁφὴν, οὕτω γὰρ ἥκιστα πρός τε τῶν δακτύλων θλίβοιτο, καὶ αὐτοῦ τοῦ περιβεβλημένου δέρματος. ἔνεστι δ᾽ ἐργωδῶς μαθεῖν ἑκάστῳ τῶν βουληθέντων ὁπόσον εἰς διάγνωσιν ἀφανῆ κινήσεως ἡ τοιαύτη τῶν δακτύλων ἐπιβολὴ συντελεῖ. πολλάκις γοῦν ἡμεῖς ἄνωθεν μὲν ἐπιβεβληκότες τοὺς δακτύλους κατὰ τὰς ἀρτηρίας οὐδὲ μιᾶς αἰσθανόμεθα κινήσεως. ἐν δὲ τῷ καταστρέψαι τὸ κῶλον, εὐθέως ᾐσθόμεθα. χείριστοι δὲ πάντων εἰσὶν, οἱ ἂν εἰς ἀκινησίαν τελευτήσαντες, αὖθις μηκέτι ἐπανέρχονται τοῦ κώλου περιστραφέντος. ἧττον δὲ τούτων οἱ ἂν ἐν τῷ περιστραφῆναι φαίνονται κινούμενοι. τούτων δ᾽ ἔτι ἧττον οἱ μύουροι μὲν γινόμενοι, μὴ μέντοι γ᾽ εἰς ἀκινησίαν παντελῆ τελευτῶντες. καὶ τούτων ἔτι ἧττον οἱ ἐπανερχόμενοι μύουροι. καὶ μᾶλλον ἐπειδὰν ὑποπίπτωσιν ἅμα πλείοσι δακτύλοις. ᾧ καὶ αὐτῷ μάλιστα προσέχειν ἄξιον. καὶ σκοπεῖσθαι τὸ ποσὸν τῆς ἰσχνότητος τοῦ σώματος ἀκριβῶς. εἰ μὲν γὰρ ἐσχάτως ἰσχνοῦ τοῦ σώματος ὄντος ἡ τῶν ἀρτηριῶν κίνησις ὑποπίπτει πλείοσι δακτύλοις, οὐ διὰ ῥώμην δυνάμεως, ἀλλὰ διὰ τὴν ἔκτηξιν τοῦ σώματος οὕτω συμβαίνει. μετρίως δ᾽ ὄντος ἰσχνοῦ, τρισὶν ἢ τέσσαρσιν ὑποπίπτειν δακτύλοις τὴν κίνησιν τῆς ἀρτηρίας, οὐ μικρὸν ἀγαθὸν ὡς ἐν τοιούτοις. ἐμφαίνεται γὰρ ἀποσώζειν τι τόνου κατὰ τὴν ἐνέργειαν. ὁ δ᾽ ἀριθμὸς τῶν δακτύλων ὅσοις ὑποπίπτειν ἡ κίνησις μέλλει, καθ᾽ ἑκάστην τῶν ἀρτηριῶν ἴδιός ἐστιν. οὐ γὰρ ἁπασῶν ἴσον ἐξέχει τε καὶ διασυμβαίνει πρὸς τὸ δέρμα. κάλλιον δ᾽ εἰς τοῦτο τῆς φύσεως αὐτοῦ τοῦ κάμνοντος ἔχειν ἐμπείρως. τοῖς μὲν γὰρ φύσει μικρότερος ὁ σφυγμός ἐστι, τοῖς δὲ, βραχύτερος. ἑκάστῳ δὲ τοῦ ποσοῦ τὸ μέτρον, ὡς πρὸς τὴν ἑαυτοῦ φύσιν ἐστὶν, ἀγνοοῦντες οὖν τὸ κατὰ τὴν φύσιν ἴδιον αὐτοῦ τοῦ κάμνοντος, ἀπὸ τῶν κοινοτέρων διαφορῶν στοχαζόμεθα τῶν κατά τε τὴν κρᾶσιν τοῦ σώματος καὶ τὴν ἕξιν, ἐν μὲν τῇ κράσει μάλιστα τὴν κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἐπισκοπούμενοι διαφορὰν, ἐν δὲ ταῖς ἕξεσι, τὴν κατὰ λεπτότητά τε καὶ πολυσαρκίαν. ἐνίοτε μὲν οὖν ἅμα καὶ συμπίπτουσιν αἱ δύο ἀνωμαλίαι τῶν σφυγμῶν, ἥτε κατὰ μίαν κίνησιν, ἥτε ἐν ἀθροίσματι. πολλάκις δὲ ἡ μὲν κατὰ μίαν οὐκ ἔστιν, ἡ δ᾽ ἐν ἀθροίσματι σαφῶς εὑρίσκεται. καὶ τοῦ μὴ φαίνεσθαι τὴν κατὰ μίαν, αἴτιον διττὸν, ἤτοι τῆς διαθέσεως ἡ σμικρότης, ἢ τῶν σφυγμῶν αὐτῶν ἡ βραχύτης. ἄν τε γὰρ ἡ διάθεσις ἡ τοὺς ἐν ἀθροίσματι μυούρους ἐργαζομένη μὴ πάνυ τις ᾖ χαλεπὴ, κατὰ τὴν μίαν διαστολὴν ὁμαλός ἐστιν, ἐν πλείοσι δὲ τὴν μυουρίζουσαν ἀνωμαλίαν λαμβάνει. ἄν τε μεγάλη μὲν ἡ διάθεσις ὑπάρχει, βραχὺς δ᾽ ᾖ κατὰ τὸ μῆκος ὁ σφυγμὸς, ὡς ἑνὶ μόνῳ ὑποπίπτειν δακτύλῳ, κἂν ὅτι μάλιστα κατ᾽ ἀλήθειάν τε καὶ ὄντως ᾖ μύουρος, οὐχ ἕξει τὴν ἀνωμαλίαν αἰσθητήν. πλείοσι γὰρ ὑποπίπτειν χρὴ δακτύλοις τὴν καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίαν μυουρίζουσαν. ἐξ οὖν τῶν εἰρημένων εὔδηλον ὡς ἄμφω μὲν τὰ γένη τῶν μυούρων σφυγμῶν ἀσθένειαν ἐνδείκνυται δυνάμεως. ἀλλὰ τὸ μὲν κατὰ μίαν διαστολὴν συνενδείκνυται λεπτότητα τοῦ κάμνοντος σώματος, τὸ δ᾽ ἐν ἀθροίσματι δύναιτ᾽ ἂν ποτὲ καὶ χωρὶς ἰσχνότητος γενέσθαι. δέδεικται δὲ καὶ ὡς αὖθις ἐξευρίσκοι τὸ ποσὸν τῆς βλάβης ἐν ἑκατέρῳ τῷ γένει. περὶ μὲν τῶν μυουριζόντων σφυγμῶν ἱκανὰ καὶ ταῦτα. γεγράφασι δέ τινες ὡς ἀνεστραμμένον εὑρίσκοντές ποτ᾽ εἶδος σφυγμοῦ τοῖς εἰρημένοις. ἐπὶ γοῦν τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας, ἧς δὴ καὶ συνηθέστατον ἅπτεσθαι, πεφαγκέναι φασὶν ἑαυτοῖς

δεύτερον

10 20 30 40 50

† ἄλ. τόνος εὐρωστότερος

εὐρύτερον τὸν ἐν τῷ κάτω μέρει σφυγμόν. μύουρον μὲν ὄντα δηλονότι καὶ τοῦτον, ἀλλὰ τὸ λεπτότερον αὐ-
τοῦ μέρος, οὐ κάτω τετραμμένον ὡς ἐπὶ τοὺς δακτύλους, ἀλλ' ἄνω τε καὶ πρὸς τὰ κατ' ἀγκῶνα χωρία ἔχοντα.
ἐγὼ δ' ἡγοῦμαι τοὺς ἀνθρώπους, ἐφ' ὧν εὑρηκέναι φασὶ τοὺς τοιούτους σφυγμούς, οὐ πρόσκαιρόν τινα τὴν αἰτίαν,
ἀλλ' ἐπὶ φυσικῇ διαπλάσει τῶν περὶ τὸν καρπὸν ἐσχηκέναι μορίων. σπανίως μὲν γὰρ εὑρίσκεται δ' οὖν ποτε τοι-
αύτη διάπλασις, ὡς τὸ μὲν πρὸς τῷ καρπῷ μέρος τῆς ἀρτηρίας ὑπὸ αὐτῷ τῷ δέρματι τετάχθαι, τὸ δ' ἄνω
πᾶν αὐτῆς τὸ μέρος, ἀνωτέρω κεκαλύφθαι πλείονι σαρκί, τὸ δὲ κατωτέρω τε καὶ κατ' αὐτὸν τὸν καρπόν, ἀθρόον εἰς
τὸ βάθος ἐνδύεσθαι. τοῖς τοιούτοις οὖν ἀνθρώποις οὐ νοσοῦσι μόνον, ἀλλὰ καὶ ὑγιαίνουσιν, ὁ σφυγμὸς φαίνεται μύ-
ουρος, ἄνω μὲν ὡς πρὸς τὸν πῆχυν ἔχων τὸ στενότερον, ἐν δὲ τοῖς κάτω τε καὶ πρὸς τὸν καρπὸν ὡς εὐρύτερον. δῆ-
λοι δὲ εἰσὶν οἱ γράψαντες ὑπὲρ τῶν τοιούτων σφυγμῶν ὡς νοσωδῶν, οὐ προσεσχηκότες τῷ πράγματι τὴν
10 διάνοιαν ἀκριβῶς, ἔκ τε τῶν ἄλλων ὧν γράφουσι, κἀκ τοῦ μὴ δ' ὅτι σημαίνουσι προσγράψαι τῷ λόγῳ. πρό-
δηλον γὰρ ὡς οὐδὲν εὗρον ἐξαίρετον ὑπ' αὐτῶν σημαινόμενον ἐπὶ φυσικῇ διαπλάσει τοιούτων γινομένων, οὐ νο-
σώδει διαθέσει. διὸ καὶ πολλάκις εἴρηταί μοι πρὸς τὰς διαγνώσεις τῶν σφυγμῶν, οὐδὲν οὕτως εἶναι χρήσιμον ὡς τὸ γι-
νώσκειν ὁποῖός τις ἐστὶν ἑκάστῳ φύσει σφυγμός. καὶ γὰρ οὖν καὶ ἄλλαι τινὲς ἀρτηρίαι ταῖς εἰρημέναις ἔμ-
παλιν ἔχουσιν, ὡς ἐν μὲν τοῖς ἄνω μέρεσιν ὑπὸ τῷ δέρματι μόνῳ τετάχθαι γυμνῷ, κατωτέρω δ' ἐρχόμε-
ναι, πρὸς τὸν καρπόν, εἰς τὸ βάθος καταδύεσθαι. καὶ διὰ τοῦτο καὶ τούτων ὁ σφυγμὸς φαίνεται μύουρος. ἑτέ-
ρων δέ γε φύσει περινενευκώς τε καὶ ἐπινενευκώς, ἑκατέρωσε πλέον, ἢ κατὰ τὴν κοινὴν φύσιν. οὐ νοσήματος ἢ
τινὸς ὅλως αἰτίας παρὰ φύσιν, ἀλλὰ φυσικῆς διαπλάσεως ἐργαζομένης αὐτόν. ἅπερ εἰ μὴ γινώσκοιμεν, ὁπότ'
εἴη φύσει, μέγιστα σφαλησόμεθα. γίγνεται μὲν γὰρ ὡς εἴρηται μύουρος ὁ σφυγμὸς ἔν τισι παρὰ φύσιν αἰτίοις,
εὑρίσκεται μέντοι τισὶ καὶ κατὰ τὴν τῆς διαπλάσεως ἰδιότητα, καθάπερ καὶ ὁ ἐπινενευκώς τε καὶ περι-
20 νενευκὼς ὀνομαζόμενος ἐστίν. ὅ γε μὲν οὖν οὕτω τῆς ἀρτηρίας κατασκευασθείσης, ὡς τὸ μέσον αὐτῆς μόνον ὑπὸ
τῷ δέρματι τετάχθαι ψιλῷ, τὰ δ' ἑκατέρωθεν ἀθροώτερον ἐγκαταβαίνειν τῷ βάθει. γίνεται δὲ καὶ διαῤῥωστίαν
δυνάμεως ἀδυνατούσης ἐπαίρειν τὰ βαρύνοντα, καὶ ὅταν γε τὸ τοιοῦτον πάθος ἰσχυρότερον αὐτῇ γένηται καμ-
πήν τινα φαίνεται κατὰ τὸ ὕψος ἔχειν ὁ σφυγμός, οὐ κύκλου περιφέρειαν, ἥν τινα καμπὴν οὐ κακῶς ὁ Ἀρχι-
γένης ὀνομάζει γωνίωσιν. οὐκέτι γὰρ ὡς κύκλου περιφέρεια τὸ ὕψος τῆς ἀρτηρίας, ἀλλ' ὡς τριγώνου κορυφὴ κι-
νεῖ τὴν ἁφήν. ἔτι δὲ μᾶλλον αὐτῇ γίγνεται τοῦτο, φριττούσῃ τε καὶ πηγνυμένῃ διὰ ψύξιν, ἢ ἁπλῶς οὖν ἄλλως σκλη-
ρυνθείσῃ καὶ διὰ τοῦτ' εὑρεῖν αὐτὸν ἔστι πλειστάκις ἐν ταῖς μετὰ ψύξεως ἐμβαλλούσαις ἰσχυραῖς ἐπισημασίαις. οὐ
γὰρ δὴ ἐν ἁπάσαις γε, ἢ μόναις ὡς ἔνιοι νομίζουσι. ἂν γὰρ ἥ τε σκληρότης τῶν ἀρτηριῶν ἔχει τὰ δυσκαμπῆ, ἥ τε
δύναμις ἀσθενὴς οὖσα βαρύνηται καθ' ἑκάτερα, τὴν μὲν οἷον κύκλου περιφέρειαν ἀπόλλυσιν, ὁμοιοῦται δὲ τρι-
γώνου κορυφῇ, μὴ δυναμένης τῆς ἀρτηρίας διὰ σκληρότητα κατὰ βραχὺ κάμπτεσθαί τε καὶ πρὸς τὸ βάθος
30 ἐπινεύειν ἑκατέρωθεν, ἀλλὰ κλωμένης μᾶλλον, ἢ καμπτομένης διὰ τὴν σκληρότητα. ταῦτ' οὖν αὐτῇ τὰ πα-
θήματα, πολλάκις μὲν ἐν ταῖς ψυχούσαις ἱκανῶς ἐπισημασίαις γίνεται. συμπίπτει μὴν ἐνίοτε καὶ χωρὶς εἰσ-
βολῆς παροξυσμῶν, ὥσπερ αὖ πάλιν ἐν ταῖς ἀπεριψύκτοις ἐπισημασίαις, οὐδ' ὅλως γίνεται τοιοῦτος ὁ σφυγ-
μός, ἄμεινον δ' ἴσως ἐστὶ μηδὲ χρονίζειν ἔτι κατὰ τὸν τόπον, ἐν τοῖς μετὰ ταῦτα μέλλοντας ἐπὶ πλέον ὑπὲρ αὐ-
τῶν διεξέρχεσθαι. ἔστι δὲ ἐκ τοῦ αὐτοῦ τοῖς εἰρημένοις γένους, καὶ ὁ τρομώδης σφυγμός, οὐ πάνυ τι φαινόμενος
ἐναργῶς. ἐπειδὴ δὲ καθάπερ ἐπιδέδεικται διὰ τοῦ δευτέρου τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων, ἀσθενείᾳ δυνάμεως
ἕπεται τρόμος, ἀναγκαῖον οὖν ἐστι διὰ τοῦτο καὶ τὸν τρομώδη σφυγμὸν ἀμυδρόν τε ἅμα καὶ μικρὸν εἶναι. ἐν δὲ τῷ
τοιούτῳ λανθάνουσιν αἱ τρομώδεις κινήσεις, ἀξιόλογον διαστολῆς εἰς τὸ γνωσθῆναι δεόμεναι. φαντάσεται δὲ
ἐνίοτε τοῖς ἀγυμνάστοις ὁ τρομώδης σφυγμός, ὡς κλονώδης. καὶ διὰ τοῦτ' οἴονται πολλάκις ἑωρακέναι τοιοῦτον.
ἀλλ' οὐδεῖ μακρότερον ὑπὲρ αὐτῶν διεξέρχεσθαι κατὰ τὸν ἐνεστῶτα λόγον. εἴρηται γὰρ ἐν τῷ δευτέρῳ τῶν ἐν
40 τοῖς συμπτώμασιν αἰτίων εἰς ὅσον ἀλλήλων διαφέρουσι τρόμος καὶ κλόνος, ἐξ ὧν ὁρμώμενος ἄν τις ὁποῖός γέ τις
ὁ κλονώδης ἐστὶ σφυγμός, ἀκριβῶς εἴσεται. καὶ ὡς ὀλιγάκις ὁ τρομώδης ὁρᾶται κατ' ἐκείνους μόνους τοὺς καιρούς, ἐν
οἷς οὔθ' ἡ δύναμις ἐσχάτως ἀσθενής ἐστιν, ὅ τε χιτὼν τῆς ἀρτηρίας μαλακός, ἥ τε τοῦ σώματος ἕξις ἰσχνή. συμβήσεται
γὰρ οὕτως, μήτε πάνυ μικροὺς εἶναι τοὺς σφυγμούς, ἀλλ' ἐγγύς τι τῶν κατὰ φύσιν, μήτε ἐσχάτως ἀμυδρούς, ἀλλ'
ὥστε φέρειν ἀλύπως ἐπιβολὴν δακτύλων ὧν ἐξ ἀνάγκης εἰς διάγνωσιν δεῖται. καὶ εἴποτε ἄρα φανείη τρο-
μώδης σφυγμός, ἐνδείξεται, τήν τε δύναμιν ἀσθενῆ, καὶ τὸν χιτῶνα τῆς ἀρτηρίας μαλακόν, καὶ τὴν τοῦ σώματος ἕξιν
ἰσχνήν, περὶ μὲν οὖν ἀνωμαλίας τε καὶ τῶν ἐργαζομένων αὐτὴν αἰτίων ἱκανὰ καὶ ταῦτα. καὶ γὰρ εἴ τι πα-
ραλέλειπται ῥᾷστον εὑρίσκεσθαι τῷ ταῦτά τε τὰ νῦν εἰρημένα μὴ κατὰ τὸ πάρεργον ἐκμαθόντι, καὶ ὅσα κα-
τὰ τὸ δεύτερον εἴρηται τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων. ὑπόλοιπον δ' ἐστὶ περὶ τάξεως καὶ ἀταξίας διελ-
θεῖν. δοκεῖ μὲν δὴ πᾶσα τάξις ἀταξίας ὁμογενοῦς ἀμείνων εἶναι. πρόσκειται δ' ὁμογενῶς τῷ λόγῳ διὰ τὸ
50 δύνασθαί ποτε τὴν ἐξ ἑτέρου γένους ἀταξίαν αἱρετωτέραν ὑπάρχειν ἑτερογενοῦς τάξεως. οἷον εἰ οὕτως ἔτυ-
χεν ὁ κατὰ μέγεθος, ἢ τάχος, ἄτακτος, ἧττον ἐστὶ χαλεπός, τοῦ διαλείποντος ἐν τάξει τινί. οὕτω δὲ καὶ ὁ μεμυ-
κυσμένος ἀραιός, εἰ καὶ φυλάττοι τάξιν τινά, χείρων ἐστὶ τοῦ κατὰ σφοδρότητα καὶ μέγεθος καὶ τάχος ἀνωμάλου.
ἀλλ' ἥ γε ὁμογενὴς τάξις ἐπέκεινα τῆς ἀταξίας εἶναι δοκεῖ, διὰ τό, τῆς φύσεως ἡμῶν εἴπερ τι ἄλλο καὶ τὴν
τάξιν οἰκείαν ὑπάρχειν. οὐ μὴν ἁπλῶς γε οὕτως ῥητέος ὁ λόγος, ἀλλὰ μετὰ τοιοῦδε διορισμοῦ. ἡ μὲν τάξις
ἐστηριγμένον πως εἶναι δοκεῖ δηλοῦν τὸ αἴτιον. ἡ δ' ἀταξία μεταῤῥέον τε καὶ μὴ μένον ἐφ' ἑνός, ἢ μεγέθους, ἢ
εἴδους, ἢ χωρίου. τὸ δὲ τοιοῦτον αἴτιον, οὐκ ὀλεθριώτερον, ἀλλὰ σφαλερώτερον εἶναι χρὴ νομίζειν. ἐνδέχεται
γὰρ αὐτὸ μεταῤῥέον, ἔστιν ὅτε μὲν εἰς ἀκυρώτερον, ἔστιν ὅτε δ' εἰς κυριώτερον ἀφικέσθαι χωρίον, ὥστε ἤτοι θά-
νατον ἐξαπιναῖον, ἢ σωτηρίαν ἐνεγκεῖν. τὸ μέντοι τῆς τάξεως, οὐκ ἀδόκητον, ἀλλ' ὡρισμένην ἔχει τὴν ἔκβασιν. ἡ
μὲν γὰρ ἐπὶ χαλεπῆς ἀνωμαλίας τάξις, ὥσπερ εἰ οὕτως ἔτυχε τῆς διαλειπτικῆς, ὀλέθριος βεβαίως ἐστίν.

ἡ δ' ἐπὶ μετρίας ὥσπερ ἐπὶ τῆς κατὰ μέγεθος καὶ μικρότητα βεβαίως ἐπιεικής. ἡ δ' ἀταξία καὶ τὴν ἐπιεικῆ χαλεπὴν ἐργάσασθαι δύναται, μεταρρυείσης εἰς κυριώτερον χωρίον τῆς τὴν ἀνωμαλίαν ἐργαζομένης αἰτίας καὶ μέντοι καὶ τὴν χαλεπὴν ἐπιεικῆ, μετελθούσης καὶ νῦν τῆς αἰτίας ἐκ τῶν κυριωτέρων εἰς ἀκυρώτερα. οὐδὲν οὖν ἀσφαλὲς, οὐδὲν βέβαιον ἐπὶ τῆς ἀταξίας ἐστὶν, οὔτε τοιοῦτον οἷον ἐπὶ τῆς τάξεως, οὔτε ἀγαθὸν, οὔτε κακόν. ἀλλὰ μέντοι μετὰ σφοδρότητος σφυγμοῦ γίγνεται τις ἀταξία, εἴτ' οὖν ὁμαλοῦ, εἴτε καὶ ἀνωμάλου τῆς σφοδρότητος οὔσης, παρόντων καὶ τῶν τῆς πέψεως σημείων, ἐλπίζειν χρὴ κρίσιν ἔσεσθαί τινα καὶ μᾶλλον εἰ καὶ τὰ ἄλλα σημεῖα κρίσεως γένοιτο ὅτε καὶ κατὰ τὴν διαφορὰν αἱ ἀταξίαι τῶν τάξεων, καθ' ὅσον ἐπὶ τοῖς ἄλλοις ἅπασι τοῖς αὐτοῖς ἑτοιμότερον ἐπὶ κρίσιν ἡ φύσις ἐξορμᾷ κατὰ τὰς ἀρτηρίας.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ. ΒΙΒΛΙΟΝ γ'.

Ἥτις μὲν ἑκάστου σφυγμοῦ δύναμίς ἐστιν ἔμπροσθεν εἴρηται. περὶ δὲ τῶν οἰκείων τοῖς πάθεσιν, ἐν τῷδε λεχθήσεται. πάθος μὲν οὖν ὀνομάζω νῦν ἅπαν τὸ παρὰ φύσιν. οἰκείους δ' ἑκάστῳ λέγω σφυγμοὺς, ὅσοι τε διαπαντὸς ὑπάρχουσιν αὐτῷ, καὶ ὅσοι πλειστάκις. ἐπεὶ δὲ τῶν παρὰ φύσιν ἁπάντων ὡς ἐν ἑτέροις ἐπιδέδεικται, τὰ μέν εἰσι διαθέσεις τινὲς ὑφ' ὧν πρώτως ἐνέργεια βλάπτεται, τὰ δὲ τούτων αἴτια, τὰ δὲ συμπτώματα. περὶ πρώτων τῶν διαθέσεων ζητέον. ἐπεὶ δὲ καὶ τούτων ἐδείχθησαν, αἱ μέν τινων ἴδιαι τῶν ὁμοιομερῶν σωμάτων. αἱ δὲ τῶν ὀργανικῶν. ἀπὸ τῶν ἐν τοῖς ὁμοιομερέσιν ὑπαρχουσῶν ἀρκτέον. εἰσὶ δὲ ὀκτὼ τὸν ἀριθμὸν, ἅπασαι μὲν κατὰ δυσκρασίαν γινόμεναι, διαφέρουσαι δὲ τῷ τὰς μὲν ἁπλᾶς εἶναι, τὰς δὲ συνθέτους. ἁπλαῖ μὲν οὖν εἰσι δυσκρασίαι, θερμότης τε καὶ ξηρότης, ὑγρότης καὶ ψυχρότης. σύνθετοι δὲ, ψυχρότης ἅμα ξηρότητι. καὶ θερμότης ἅμα ξηρότητι, καὶ ψυχρότης ἅμα ὑγρότητι, καὶ θερμότης ἅμα ὑγρότητι. δέδεικται γὰρ οὖν ἡμῖν καὶ περὶ τῆς δυσκρασίας, ἐν τοῖς περὶ τῶν κράσεων ὑπομνήμασι. καὶ δῆλον ἔσται πῶς μὲν ἐνίοτε τὸν ὑγιαίνοντα θερμὸν καὶ ὑγρὸν εἶναι φαμὲν, ὅπως δὲ τὸ νόσημα τὰ δι' ἀμετρίαν ὑγρότητός τε καὶ θερμότητος ἐνέργειάν τινα βλάπτον. ἔτι δὲ πρὸς τούτοις ἀναμνηστέον ἐστὶν, ὡς οὐκ ἄν ποτε σφυγμὸς ἀλλοιωθείη διὰ δυσκρασίαν χωρὶς τοῦ τὰς ἀρτηρίας τι παθεῖν, ἢ τὴν καρδίαν. καὶ ὡς ἐνδέχεται ποτὲ τὰς μὲν ἀρτηρίας τι πεπονθέναι. τὴν καρδίαν δὲ ὑπάρχειν ἀπαθῆ. τῆς μέντοι καρδίας πασχούσης, οὐκ ἐνδέχεται τὰς ἀρτηρίας ἀπαθεῖς διαμένειν, ἀλλ' ἀναγκαῖον ἀπολαύειν τι τῆς δυσκρασίας αὐτὰς ἔλαττον, ἢ μεῖζον. ἡ μὲν οὖν κατὰ ψυχρότητά τε καὶ θερμότητα δυσκρασία τῆς καρδίας ἑτοίμως εἰς ἁπάσας διαδίδοται τὰς ἀρτηρίας. ἡ δὲ καθ' ὑγρότητά τε καὶ ξηρότητα χαλεπώτερον. ἀρκτέον οὖν ἀπὸ τῆς κατὰ θερμότητα, καὶ διοριστέον ἐν αὐτῇ τόδε πρῶτον, ὡς ἐνδέχεται καθ' ὃν χρόνον γίνεται καιρὸν, ἤτοι κατὰ φύσιν ἔχειν τὰς ἀρτηρίας, ἢ πεπονθέναι τι καὶ αὐτὰς, καὶ ἤτοι πάσας, ἤ τινάς. αἱ μὲν δὴ κατὰ φύσιν ἔχουσαι τὴν ἐν τῇ καρδίᾳ δυσκρασίαν, ὁμοίως διαδέξονται. τῶν δὲ παρὰ φύσιν διακειμένων ἡ διάθεσις ἔσται μικτή. τὸ μὲν φυλάττουσα τῆς ἰδίας καταστάσεως. τὸ δ' ἔτι περὶ καρδίας λαμβάνουσα. πρότερον οὖν ὑποκείσθωσαν ἀπαθεῖς εἶναι, τό γε κατ' ἀρχὰς αἱ ἀρτηρίαι θερμοτέρας γενομένης τῆς καρδίας. εἶθ' ἑξῆς σκοπώμεθα τίνες ἐξ ἀνάγκης ὑπάρχουσι σφυγμοὶ τῇ τοιαύτῃ διαθέσει, καὶ τίνες ὡς τὸ πολύ. πάλιν οὖν ἀναμνησθέντες ὧν ἔν τε τῷ πρὸ τούτου λόγῳ διειλόμεθα, κἂν τῇ περὶ τῶν ἐν σφυγμοῖς αἰτίων πραγματείᾳ. τοὺς οἰκείους θερμότητος πλεονεκτούσης σφυγμοὺς ἐπέλθωμεν, ἵν' ἐξ αὐτῶν ἐπισκεψόμεθα, τίνες μὲν ἀχώριστοι τῆς προκειμένης διαθέσεώς εἰσι, τίνες δ' ὡς τὸ πολὺ συμπίπτουσι. εἰσὶ οὖν οἰκεῖοι σφυγμοὶ πλήθει θερμότητος ὅ τε μέγας, καὶ ὁ ταχὺς, καὶ ὁ πυκνὸς, ἀλλ' ὁ μέγας μὲν οὐ θερμότητος μόνης ἐπικρατούσης, ἀλλὰ καὶ ὀργάνων δεῖται μαλακῶν, καὶ δυνάμεως ἐῤῥωμένης. ὥστ' οὐκ ἂν ἀχώριστος εἴη τῆς κατὰ θερμότητος δυσκρασίας. οὕτως δὲ καὶ ὁ ταχὺς ἐῤῥωμένης δεῖται δυνάμεως, καὶ ὀργάνων ἑτοίμως διαστελλομένων, ὥστ' οὐδ' οὗτος ἀχώριστος. ὁ δέ γε πυκνὸς εἰ μὲν αὐτάρκως ὑπό τε τοῦ μεγέθους τε καὶ τάχους ἡ χρεία πληρωθείη, τὴν ἀρχὴν οὐδ' ἂν συσταίη. δέδεικται γὰρ καὶ τοῦτο. μὴ πληρουμένης δὲ γίγνοιτ' ἂν, ὥστ' οὐδ' οὗτος ἀχώριστος, οὐ μὴν οὐδ' ἐκ τῶν οἰκείων εἴη ἄν τις ἀχώριστος. ἐκ δὲ τῶν οἰκείων μὲν, οὐκ ἀχωρίστων δὲ κρατήσει, ποτὲ μὲν ὁ μείζων, ποτὲ δὲ ὁ θάττων, ποτὲ δὲ ὁ πυκνότερος. εἰ μὲν γὰρ ἡ θερμότης αὐξηθείη μόνη, κατὰ φύσιν δ' ἔχοιεν ἥ τε δύναμις καὶ τὰ ὄργανα, βραχείας μὲν τῆς ἐκτροπῆς γενομένης, εἰς μέγεθος μόνον ἐπιδώσουσιν οἱ σφυγμοί. πλέονος δὲ, καὶ εἰς τάχος. ἀξιολόγου δὲ, καὶ εἰς πυκνότητα. προσέχειν δ' ἐν τούτῳ δεῖ τὸν νοῦν ἀκριβῶς τῷ μᾶλλόν τε καὶ ἧττον ἐν ἑκάστῳ γένει σφυγμῶν. εἰ μὲν γὰρ εἰς τὸ μέγεθος ἐξαλλάττοιντο πλέον, ἤπερ τὸ τάχος καὶ τὴν πυκνότητα. μὴ πάνυ πολλὴν ἡγοῦ τὴν ἐν τῇ καρδίᾳ θερμότητα. εἰ δ' εἰς τὰ τρία παραπλησίως, εὐθὺς μὲν δήπου καὶ μεγάλως ἐξαλλαχθήσονται. εὐθὺς δὲ καὶ πολλὴν ἐνδείξονται τὴν θερμότητα. εἰ δ' ἐπιπλέον αὐξηθείη τὸ τάχος τοῦ μεγέθους, ἔτι δὴ καὶ μᾶλλον. εἰ δὲ καὶ, ἡ πυκνότης, ἔτι μᾶλλον. εἰ δ' ἅμα μέγιστός τε καὶ τάχιστος ὁ αὐτὸς εἴη σφυγμὸς καὶ πυκνότατος, εἰς ἄκρον ηὐξῆσθαι δηλώσει τὴν θερμότητα. εἰ δὲ τάχιστος μὲν εἴη καὶ πυκνότατος, μέντοι καὶ μέγιστος, ἄλλως μὲν οὐκ ἂν δύναιτο συμβῆναι τοῦτο, χωρὶς τοῦ τὴν δύναμιν ἀῤῥωστοτέραν, ἢ τὴν ἀρτηρίαν γενέσθαι σκληροτέραν. † εὐδιόριστον δὲ τοῖς ἀχωρίστοις ἑκατέρου σφυγμοῖς, ἥ γε μὴν ἔνδειξις κἀνταῦθα τῆς ἐν τῇ καρδίᾳ θερμότητος ἡ αὐτή. καὶ μὴν καὶ ὅταν ἡ πυκνότης ἐπὶ πλεῖστον προήκῃ, μὴ συναυξάνηται δ' εἰς ἴσον αὐτῇ τὸ τάχος καὶ τὸ μέγεθος, ἀνάγκη καὶ τότε θερμότητα μὲν εἶναι, πολλὴν, ἤτοι δι' ἀῤῥωστίαν δυνάμεως, ἢ ὀργάνων σκληρότητα. σὺν ἀῤῥωστίᾳ μὲν οὖν ἀμυδρὸς ὁ σφυγμὸς ἔσται. σὺν σκληρότητι δὲ, σκληρὸς ἅμα καὶ κλονώδης. εἰ δὲ καὶ χωρὶς κλόνου σκληρὸς εἴη πυκνὸς ὢν ἐσχάτως, ἀσθενῆ τὴν δύναμιν ἅμα τῷ πλήθει τῆς θερμότητος ἐνδείξεται, πάντως οὖν ὁ τοιοῦτος ἔσται καὶ ἀμυδρὸς καὶ κίνδυνον ἐπά-

† al. εὐδιόριστον

δύον ἐπάξει συγκοπῆς. ἀναμνησθῆναι δὲ χρὴ κἀνταῦθα τίνα τρόπον ἐγχωρεῖ θερμότητα μὲν ὑπάρχειν ἐν τῇ
καρδίᾳ παμπόλλην, ἐῤῥῶσθαι δὲ τὴν δύναμιν. εἰ γὰρ ἡ μὲν ῥώμη ταῖς εὐκρασίαις, ἡ δ' ἀῤῥωστία ταῖς δυσκρασίαις ἕ-
πεται, δυσκρασία καταλήψεται τὴν καρδίαν, ἅμα τῇ πλεοναζούσῃ θερμότητι. ὥστε ἐξ ἀνάγκης καὶ ἡ δύναμις ἀῤῥω
στήσει. πῶς οὖν ὅταν ὁ σφυγμὸς ἅμα μέγιστός τε ᾖ καὶ τάχιστος καὶ πυκνὸς καὶ σφοδρὸς, οὐ μόνον θερμότητα παμπόλ
λην ὑπάρχειν ἐν τῇ καρδίᾳ φαμὲν, ἀλλὰ καὶ δυνάμεως εὐρωστίαν. ὅτι διώρισται πολλάκις ἐν ἑτέροις ἡμῖν κἀν ταῖς
τῶν πυρετῶν διαγνώσεσι τὸ θερμαίνεσθαι τοῦ τεθερμάνθαι διαφέρειν. ὅταν μὲν γὰρ θερμαίνηται τὸ σῶμα τῆς καρ-
δίας ὑπὸ τῆς περιεχομένης ἐν ταῖς κοιλίαις αὐτῆς οὐσίας, ἐγχωρεῖ τὴν δύναμιν ἐῤῥῶσθαι, καὶ δι' αὐτό γε τοῦτο πλεῖ
στον μὲν καὶ τάχιστον καὶ πυκνότατον εἰσπνέουσιν οἱ τοιοῦτοι. μέγιστον δὲ καὶ τάχιστον καὶ πυκνότατον σφύζουσιν,
ἀντιμαχομένης ἔτι τῆς καρδίας πρὸς τὴν θερμαίνουσαν οὐσίαν, καὶ ψύχουσαν ἑτέραν ἔξωθεν ἐπισπωμένης ἀντίῤῥο
πον τῇ θερμότητι. ὅταν δέ ποτε νικηθεῖσα τύχῃ καὶ συνεκθερμανθεῖσα τῇ κατὰ τὰς κοιλίας οὐσίᾳ, τεθέρμανται μὲν
ἤδη τηνικαῦτα καὶ οὐκέτι μόνον θερμαίνεται. τῇ δυσκρασίᾳ δὲ αὐτῆς ἕπεται δυνάμεως ἀσθένεια. καὶ ἢν ἐπὶ-
πλέον θερμανθῇ, καὶ δι' ὅλης αὐτῆς τὸ πυρετῶδες δέξηται θερμὸν, τὸν καλούμενον ἑκτικὸν ἐπιφέρει πυρετόν.
ἐνίοτε δ' ἔμπαλιν ἢ ὡς νῦν εἴρηται συμβαίνει. ψυχροτέρας μὲν τῆς κατὰ φύσιν ἐν ταῖς κοιλίαις τῆς καρδίας οὐσίας
περιεχομένης, τοῦ σώματος δὲ αὐτῆς ἐπὶ πλέον τε θερμασμένου. καὶ γίγνεται τοῦτο, τοῖς ἠθροικόσι μὲν ὠμοὺς καὶ
ψυχροὺς καὶ φλεγματώδεις χυμούς. ἤτοι δὲ σφοδρότατα θυμωθεῖσιν, ἢ ἀγρυπνήσασιν ἀμέτρως μετὰ φροντίδος
ἰσχυρᾶς, ἢ διά λοιμώδη τινὰ εἰσπνοὴν, ἁπτομένου τοῦ σώματος αὐτοῦ τῆς καρδίας, ἢ τινὸς ὅλως δηλητηρίου ποιό
τητος ἰδιότητα, καθ' ὁντινοῦν τρόπον ἐπὶ τὴν καρδίαν ἀφικνουμένης. ταυτὶ μὲν οὖν ἀνεμνήσθην. πρὸς τὸ μὴ θαυ-
μάζειν τινὰ πῶς ἐγχωρεῖ θερμότητος ἐπικρατούσης ἀκμάζειν τῆς καρδίας τὸν τόνον. ἐπανέλθωμεν οὖν αὖθις
ἐφ' ἃ λέγοντες ἀπελίπομεν. ἡ γάρ τοι θερμότης ἡ ἐν τῇ καρδίᾳ τρέπει μὲν ὡς εἴρηται τοὺς σφυγμούς. ἀλλ' ἐπεὶ
διττὴ κατ' εἶδος ἐστὶν, ἡ μὲν ἑτέρα καὶ σηπεδόνος χυμῶν ἔγγονος, ἧς ἡ ποιότης δριμεῖά τε ἐστὶ καὶ καπνώδης. ἡ δὲ
ἑτέρα μεθ' ὑγρότητος ἡδείας αὐτῷ μόνῳ τῷ ποσῷ τοῦ κατὰ φύσιν ἀποκεχωρισμένη. μόνιμος μὲν οὖν ἐστὶ καὶ δύσλυτος,
ἡ πρότερον ῥηθεῖσα, ὀλιγοχρόνιος δὲ ἡ ἑτέρα, λουτροῖς καὶ γυμνασίοις καὶ τροφῇ θερμαινούσῃ καὶ οἴνου πόσει, καὶ
τῶν τῆς ψυχῆς παθῶν αἰδοῖ καὶ θυμῷ συνεπομένη. εἰσὶ δ' ἐκ τούτου τοῦ γένους τῆς θερμασίας εἰσὶ τινὲς πυρετοὶ, καθά
περ οἱ ἐπὶ κόποις, ἢ ἐγκαύσεσιν, ἢ ψύξεσιν ἢ ἐπὶ βουβῶσιν, ἢ θυμοῖς τῶν ἀμφισβητουμένων ἐστί. καὶ λέλεκται μὲν
ἐπὶ πλέον ὑπὲρ αὐτῶν, ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ. λελέχθω δὲ καὶ νῦν εἰς τοσοῦτον, ὡς ἡ μὲν ἑτερο-
γενὴς τοῦ κατὰ φύσιν θερμότης ὀλιγοχρόνιον μὲν ἔχει τὴν ἐκτὸς ἠρεμίαν, ταχεῖαν δὲ τὴν συστολὴν ἐπὶ πλέον ἢ
κατὰ τὴν ἀναλογίαν τῆς διαστολῆς. ἡ δὲ τῷ ποσῷ μόνῳ διαλλάττουσα, μείζονά τε ἅμα καὶ θάττονα τὴν διαστολὴν
ἤπερ τὴν συστολήν. ἡ μὲν γὰρ τοιαύτη θερμότης, μόνης ἐμψύξεως δεῖται, ἣν ἐδείξαμεν ἐν τῷ διαστέλλεσθαι
γινομένην, ἡ καπνώδης δὲ καὶ ταύτης μὲν ἐπὶ πλέον, ἀλλὰ ἐπὶ πλεῖστον τῆς ἀποχύσεως τοῦ περιττοῦ, ὅπερ ἔργον ἦν
τῆς συστολῆς. ὥσθ' ἡ μὲν τοιαύτη καὶ τὴν διαστολὴν ὠκυτέραν ἐπὶ πλέον ἐργάσεται, καὶ τὴν συστολὴν ἐπὶ πλεῖστον.
ἡ δ' οὐ τοιαύτη τὴν συστολὴν μὲν οὐδ' ὅλως ἀλλοιώσει, τὴν διαστολὴν δ' εἰς τοσοῦτον, εἰς ὅσον ἂν ἐκβῇ τὰ μέτρα τῆς
κατὰ φύσιν εὐκρασίας. ἀλλὰ περὶ μὲν τούτων ἐπὶ πλέον ἐξῆς ἐροῦμεν, ἐν τοῖς περὶ τῶν πυρετῶν λογισμοῖς. ἐν δὲ
τῷ παρόντι τὸν περὶ τῶν ἀρτηριῶν λόγον διέλθωμεν. ὅταν ἐναντίως ἔχουσι τῇ καρδίᾳ, λέγω δὲ ὅταν ἐκείνη μὲν ἡ θερ
μοτέρα τοῦ κατὰ φύσιν. αἱ δὲ ἀρτηρίαι ψυχρότεραι, ἤτοι χυμῶν τινῶν ψυχρῶν ἐν αὐταῖς περιεχομένων, οὐδέπω
διασηπομένων, ἢ καὶ τινὸς ἑτέρας ψύξεως ἐπικρατούσης. ἀνάγκη δὲ ταύτας τηνικαῦτα, τὸ μὲν ἐψύχθαι κατὰ τὴν
οἰκείαν ἔχειν διάθεσιν. ἐπικτᾶσθαι δ' ἔτι παρὰ τῆς καρδίας τὸ θερμαίνεσθαι. ἀλλὰ ἐπεὶ τὴν καὶ κινοῦσαν αὐτὰς δύναμιν
ἐξ ἐκείνης ἐπίῤῥυτον ἔχουσιν. καὶ τόνος εἷς ἐστὶν ὁ διαστέλλων τε καὶ συστέλλων ἅμα τῇ καρδίᾳ τὰς ἀρτηρίας. ἀναγ
καῖον ἐστὶν τὸ μέν τι ταυτὸν ὑπάρχειν, τῇ τε τῆς καρδίας κινήσει, καὶ τῇ τῶν κατὰ μέρος ἀρτηριῶν ἁπασῶν, τὸ
δέ τι διαλλάττον. αἱ μὲν δὴ πρῶται τῶν κινήσεων ἀρχαὶ, κατὰ τὴν αὐτὸν ἔσονται χρόνον ὅταν γε δέχωνται τὴν
παρ' αὐτῆς δύναμιν ἀμέμπτως. οὔτε δὲ τὸ μέγεθος, οὔτε τὸ τάχος, οὔτε ἡ σφοδρότης ὁμοίως ἀμφοτέραις ὑπάρ-
ξει ἀλλ' ἡ καρδία τηνικαῦτα καὶ μείζονα καὶ θάττονα καὶ σφοδρότερον ἕξει τὸν σφυγμὸν ἁπασῶν τῶν κατὰ μέρος
ἀρτηριῶν. ἡ μὲν γὰρ ἀρχὴ τῆς κινήσεως αὐταῖς ἐκ τῆς καρδίας ἐστίν. ὁ δὲ τρόπος, ἑκάστῃ τῆς οἰκείας κινήσεως,
ὡς ἂν καὶ τύχῃ τῇ καρδίᾳ συνδιατεθεῖσα συνδιατίθεται γὰρ ἡ μὲν ὡσαύτως ἔχουσα τῇ κράσει, καθ' ὃν ἂν ἡ καρ
δία τρόπον ἐνεργῇ, ἡ δ' ἐναντίως, εἰς ὅσον ἂν καὶ τύχῃ δεξαμένη τὴν ἐξ αὐτῆς ἀλλοίωσιν. ἐνδέχεται τοι γὰρ οὖν
ἐνίοτε τὴν ψυχρὰν ἀρτηρίαν ὑπὸ τῆς καρδίας θερμαινομένην, οὔτε μικρὸν ἐργάσασθαι τὸν σφυγμὸν οἷόσπερ ὁ τῆς ψυ
χρᾶς ἐστι, οὔτε μέγαν, οἷόσπερ ὁ τῆς θερμῆς, ἀλλὰ τὸν ἀμφοῖν μέσον, ὅπερ δὴ καὶ σύμμετρος καὶ κατὰ φύσιν ἐστίν.
οὕτω δὲ καὶ τῷ τάχει σύμμετρος ἐν ταῖς τοιαύταις διαθέσεσιν ὁ σφυγμὸς ἔσται. καὶ τῇ σφοδρότητι μέτριος, ἐναρ
γῶς δὲ διαγνώσῃ τὸ λεγόμενον, εἰ κατὰ τὸν αὐτὸν χρόνον ἅπτοιο, τῇ μὲν ἑτέρᾳ χειρὶ τῆς καρδίας, τῇ δὲ ἑτέρᾳ τῶν ἀρ
τηριῶν τινός. αἱ μὲν γὰρ ἀρχαὶ τῆς κινήσεως ἅμα σοι φαίνονται γίνεσθαι. διαλλάξουσιν δὲ μεγέθει καὶ τάχει, καὶ σφοδρό
τητι τηνικαῦτα. ἐνίοτε δὲ συμβαίνει καὶ τὸ μὴ δέχεσθαι καθ' ἕνα χρόνον ἁπάσας τὰς ἀρτηρίας τὴν ἐκ τῆς καρδίας
ἐπιῤῥέουσαν δύναμιν τοῦ σπλάγχνου, ἀλλὰ τὰς μὲν ἐγγυτέρω τοῦ σπλάγχνου προτέρας. ὑστέρας δὲ τὰς πορῤωτέρω. γί
νεται δὲ μάλιστα τὸ τοιοῦτον ἐπειδὰν εἰς ἕνα χρόνον συνέλθοι τάς τε ἀρτηρίας εἶναι ψυχροτέρας, ἄπονόν τε τὴν καρδί
αν. ἐὰν δὲ καὶ αὐτῶν τῶν ἀρτηριῶν τὰ πορῤωτέρω τῆς ἀρχῆς μέρη μᾶλλον ᾖ ψυχρά. καθάπερ ἐν ἐπισημασίαις
τε τισὶ καὶ τοῖς λιπυρίαις συμβαίνει πυρετοῖς. οὐ μόνον ὑπάρξεται πρωϊαίτερον, ἀλλὰ καὶ τὴν κίνησιν αὐτῆς θάττονά
τε καὶ μείζονα ποιήσεται, τὰς τῆς καρδίας ἐγγυτέρω. καὶ μὲν δὴ ὁ τόνος ἐν ταῖς τοιαύταις περιστάσεσιν ἀσθενὴς
μὲν ἐν ἁπάσαις φαίνεται, μᾶλλον δ' ἐν ταῖς πορῤωτέραις, ὥστε ἐναργῶς εἶναι τὸν σφυγμὸν ἐν αὐταῖς ἀμυδρότε-
ρον τοῦ κατὰ φύσιν τῶν ὑπερκειμένων. συμβαίνει δέ ποτε καὶ κατὰ τὴν καρδίαν ἡ τοιαύτη τῶν κράσεων ὑπεναν-
τίωσις. ἐνίοτε μὲν γὰρ αὐτὸ τὸ σῶμα τοῦ σπλάγχνου ψυχρότερον ἐστι τοῦ κατὰ φύσιν. ἡ περιεχομένη δὲ ἐν ταῖς κοι
λίαις οὐσία θερμοτέρα. ἐνίοτε δ' ἔμπαλιν, ἡ μὲν οὐσία ψυχροτέρα, θερμοτέρα δὲ ἡ καρδία. καὶ γίνονται καὶ τότε τῆς

καρδίας οἱ σφυγμοὶ τοῖς κατὰ φύσιν ὅμοιοι. μέση γάρ πως ἐν αὐτῇ κατάστασις ἀποτελεῖται, ἐκ δυοῖν ἐναντιοτάτων
συγκειμένη, καὶ σφάλλουσί γε, καὶ τοὺς ἀρίστους ἰατροὺς αἱ τοιαῦται διαθέσεις. ὥσπερ καὶ νῦν ἐπὶ τοῦ μεγάλου λοιμοῦ
συνέπεσαν. ἔνιοι μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς ἕως πλείστου, τινὲς δὲ καὶ διὰ ὅλου τοῦ νοσήματος ἦσαν οὐ σφυκτοὶ βραχύ τι
τοῦ κατὰ φύσιν ἐξηλλαγμένους ἔχοντες τοὺς σφυγμούς. ἀλλ' οὗτοι μᾶλλον τῶν ἄλλων ἀπώλλοιντο. καὶ διαγινώσκομεν
αὐτοὺς εὐθέως ἐν ταῖς πρώταις ἡμέραις ὅτι τε λοιμώττουσι καὶ ὅτι χείριστα διάκεινται, τῷ τε τῆς θερμασίας δριμεῖ,
καὶ αὐτῷ τῷ τῆς θερμασίας εἴδει, καὶ αὐτῷ βραχύ τι τοῦ κατὰ φύσιν ἐξηλλαγμένους ὄντας αὐτοῖς τοὺς σφυγμοὺς
ἀεὶ διαμένειν τοιούτους. ἐν εἴδει γὰρ μάλιστα τῶν ἑκτικῶν ὀνομαζομένων πυρετῶν οἱ τοιοῦτοι σφυγμοὶ συνίστανται.
καὶ ὅσοι γε τῶν καμνόντων οὐκ ἔφασκον πυρέττειν. ἐν ἕξει τούτοις ἀκριβῶς ἦν ὁ πυρετὸς αὐτὸ τῆς καρδίας καταλη-
φὼς τὸ σῶμα. δύο γὰρ δὴ ταῦτα γνωρίσματα τῶν ἑκτικῶν πυρετῶν ἐστὶν ἴδια. τό τε διαπαντὸς ὁμοίους ἑαυτοῖς
ὑπάρχειν αὐτούς, οὔτε εἰς βολὴν παροξυσμοῦ τινός, οὔτ' ἀνάβασιν, οὔτ' ἀκμήν, οὔτε παρακμὴν οὐδὲ μίαν ἔχοντας, τό, 10
τε μὴ γινώσκειν ὅτι πυρέττει τὸν κάμνοντα. γίνονται δ' οἱ τοιοῦτοι τῶν σφυγμῶν, οὐκ ἐξ ἀνάγκης μὲν μείζονες τῶν
κατὰ φύσιν, ἐνίοτε δ' οὐδὲ πυκνότεροι, θάττονες μέν τοι πάντως. καὶ ὀρθῶς ἄρα παρὰ τοῖς πλείστοις τε καὶ ἀρίστοις τῶν
ἰατρῶν ἐπιστεύθη, τῶν πυρεττόντων τοὺς σφυγμοὺς ἀχώριστον ἔχειν τὸ τάχος. ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις, ὅπερ
δὲ λέγοντες ἀπελίπομεν, ἐπειδὰν ὑπὸ σηπεδονώδους ποιότητος ὁ εἰσπνεόμενος ἀὴρ μιανθῇ καὶ ἅψηται τοῦ σώμα-
τος τῆς καρδίας ἡ σηπεδών, οἱ τοιοῦτοι γίνονται σφυγμοί. καὶ οὐδὲν ἔτι θαυμαστὸν οὔθ' ὅτι τοὺς σφυγμοὺς ἔχουσιν ὁ-
ποίους εἰρήκαμεν οἱ οὕτω λοιμώττοντες, οὔθ' ὅτι λοιμώδη τὴν ἀναπνοήν, οὔθ' ὅτι τεθνήξονται πάντως. τί γὰρ ἂν ἄλλος
εὑρεθείη τῆς ἐν τῇ καρδίᾳ σηπεδόνος. ὡς ὅσοις γε τὸ σηπεδονῶδες παρὰ θερμόν, εἰς τοὺς ἐν ταῖς κοιλίαις τῆς καρδίας
ἐτράπετο χυμοὺς μᾶλλον, ἤπερ εἰς αὐτὸ τὸ σῶμα τοῦ σπλάγχνου, πολλοὶ τούτων ἐσώθησαν. ἡ διάγνωσις δ' αὐτῶν
τῶν λοιμωττόντων εἰ πρῶτον μὲν αἰσθάνονται πυρέττοντες. ἔπειτα δὲ εἰ μὴ διαπαντὸς ὡσαύτως πυρέττοιεν. ἔτι δὲ
πρὸς τούτοις εἰ μὴ †διάτονον ἔχοιεν τὸν σφυγμόν. οἱ γὰρ ἐπὶ δυσκρασίᾳ τοῦ σώματος αὐτοῦ τῆς καρδίας ἅπαντες 20
ἄτονοι. αἱ μὲν δὴ κατὰ θερμότητα δυσκρασίαι τῆς καρδίας ὁποίους τινὰς ἐργάζονται τοὺς σφυγμοὺς αὐτάρκως λέ-
λεκται. αἱ δὲ κατὰ ψυχρότητα πάντως μὲν δήπου τοὺς ἐναντίους ἀποτελοῦσι, τοὺς μικροὺς καὶ βραδεῖς καὶ ἀ-
ραιοὺς ἤτοι δ' ἀνάλογον εἰς τὰς τρεῖς διαφορὰς ἀλλοιοῦσιν, ἢ τὰς μέν τινας ἐξ αὐτῶν, ἢ τινὰς μᾶλλον ἢ ἧττον. ἑτέ-
ρας δέ τινας, ἢ ἑτέραν, ἧττον ἢ μᾶλλον. ἀλλὰ χρὴ κἀνταῦθα κατὰ τὸν αὐτὸν τρόπον ἐπίστασθαι τὴν ἐλλείπουσαν, ἢ
καὶ πλεονάζουσαν ὡς καὶ πρόσθεν εἴρηται. πρῶτον μὲν γὰρ ὑπαλλάξει τὴν πυκνότητα, δεύτερον δέ, τὸ τάχος, ἑξῆς
δέ, τὸ μέγεθος, ἀπαθοῦς γε τῆς δυνάμεως οὔσης. ὡς εἴ γε καὶ ἥδε τι πάθοι, γνωρισθήσεται μὲν ὑπὸ τῆς ἰδίας τε καὶ
ἀχωρίστου ποιότητος τῶν σφυγμῶν ἣν ἀμυδρότητα καλοῦμεν, † εἰς μικρότητα δὲ καὶ βραδυτῆτα μᾶλλον ἤπερ
εἰς ἀραιότητα τὴν ἀλλοίωσιν ἐργάζεται τῶν σφυγμῶν. ὡς ὅταν γε ἐπὶ πλεῖστον ἡ δύναμις κάμνει, κἂν ψύξις συνῇ,
μικροὶ μὲν ἐσχάτως οἱ σφυγμοὶ γίνονται, βραδεῖς δ' οὐκ ἐσχάτως, ἀλλ' ἔστιν ὅτε τοῖς κατὰ φύσιν ὅμοιοι, πυκνότη-
τα δ' οὐ μόνον ἀποτίθενται τὴν πρόσθεν, ἀλλὰ καὶ προσαυξάνουσι. ἐπειδὰν μέν τοι τὰ τῆς δυνάμεως ἐπ' ὀλίγον ἀῤ- 30
ῥωστῇ, τὰ δὲ τῆς ψύξεως ἐπὶ πλεῖστον κρατῇ, μακροτάτη μὲν ἡ εἰς ἀραιότητα τροπὴ γίνεται τῶν σφυγμῶν, βραχυτά-
τη δ' ἡ εἰς μικρότητα, μέση δ' ἀμφοῖν ἡ εἰς βραδυτῆτα. τὴν αὐτὴν δὲ δηλονότι καὶ αἱ ἀρτηρίαι πᾶσαι κινηθή-
σονται κίνησιν, ἂν τῇ κράσει κατὰ φύσιν ἔχωσιν. ἂν δὲ τῆς καρδίας ψυχροτέρας γεγενημένης, αὗται θερμότεραι τοῦ
κατὰ φύσιν ὦσιν, ἀλλοιώσουσιν τὸν τῆς καρδίας σφυγμὸν εἰς τοσοῦτον, εἰς ὅσον ἂν ἐκστῶσι τοῦ κατὰ φύσιν. ὥστε ποτὲ
καὶ ἀκριβῶς ὅμοιος ἔσται τῷ κατὰ φύσιν ὁ κατὰ τὰς ἀρτηρίας, ὅσον γε ἐπὶ μεγέθει καὶ τάχει, τοῦ κατὰ τὴν καρδίαν
ἐλάττονός τε καὶ βραδυτέρου γιγνομένου. εὔδηλον δ' ὡς αἱ τοιαῦται διαθέσεις ἄνευ πυρετῶν εἰσὶν αὐτῆς τῆς καρ-
δίας μόνης ψυχθείσης, ὑπὸ χυμῶν ψυχρῶν τε ἅμα καὶ γλίσχρων καὶ παχέων. σπανίως μὲν οὖν ἐστιν ἡ τοιαύτη
διάθεσις, ἀλλὰ γιγνομένη ποτὲ καὶ μάλιστα ὅταν ἐν πνεύμονι οὗτοι περιέχωνται χυμοί. συμβαίνει δ' ὡς τὰ πολλὰ
τοῖς ἐπὶ τῇ τοιαύτῃ διαθέσει σφυγμοῖς εὐθὺς καὶ ἀνωμάλοις εἶναι διὰ τὰς ἐμφράξεις, ἃς οἱ προειρημένοι χυμοὶ κατὰ
τὰ στόματα τῶν ἐκφυομένων τῆς καρδίας ἀγγείων ποιοῦσιν. εἰ μέν τοι συμβαίη ποτὲ καὶ τὰς ἀρτηρίας ὁμοίως τῇ 40
καρδίᾳ ψυχροτέρας γενέσθαι τοῦ κατὰ φύσιν, αὐξήσουσι τὴν ἀργίαν τῶν κινήσεων αὐτῆς ἐν ταὐτῷ φυλάττουσαι
γένει. ὥστε τῆς καρδίας βραδύτερόν τε καὶ μικρότερον καὶ ἀραιότερον τοῦ κατὰ φύσιν σφυζούσης, αὐτὰς ἔτι
δὴ καὶ μᾶλλον ἐκείνης καὶ βραδύτερον καὶ μικρότερον σφύζειν. εὐθὺς δὲ δήπου καὶ ἀμυδρότερον. συμβαίνει δὲ
* ποτὲ ψυχροτέραν τε ἅμα τοῦ κατὰ φύσιν εἶναι τὴν καρδίαν καὶ πλήρη περιττωμάτων δακνωδῶν, ἐν ᾧ καιρῷ τὴν
μὲν διαστολὴν μικροτέραν τε ἅμα καὶ βραδυτέραν γίγνεσθαι συμβαίνει, τὴν δὲ συστολὴν ὠκυτέραν. ἐφαίνετο
δ' ἂν καὶ μέχρι πλείονος ἔσω χωρεῖν, ἡ ἀρτηρία εἰ μέχρι παντὸς αἰσθητὴν εἶχε τὴν κίνησιν, νυνὶ δὲ τοῦτο μὲν ἀδιά-
γνωστον αἰσθήσει. τὸ δὲ τὸν τῆς ἐντὸς ἡσυχίας χρόνον ἐπιμηκέστερον τοῦ κατὰ φύσιν γίγνεσθαι, πρόδηλον καὶ ἁπτομέ-
νοις ἐστί. σύνθετος δ' ὁ χρόνος οὗτος ἅπας ἐκ τριῶν ἐδείκνυτο χρόνων, πρῶτον μὲν τῶν ἐσχάτων τῆς συστολῆς,
δευτέρου δὲ τῆς ἐντὸς ἠρεμίας, καὶ τρίτου τῶν πρώτων τῆς διαστολῆς. οὗτος μὲν ὁ χρόνος ἱκανῶς ἐκταθήσεται κατὰ
τὴν εἰρημένην διάθεσιν. ὁ δὲ τῆς ἐκτὸς ἡσυχίας, ἤτοι βραχύτερος ἔσται τοῦ κατὰ φύσιν, ἢ παραπλήσιος. ἐπειγομένης 50
γὰρ ἀεὶ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως ἀποκρίνειν τὰ περιττώματα καὶ σπευδούσης ἐπὶ τὴν ἐνέργειαν
ἐκείνην δι' ἧς ὑπάρχει παρὰ πράττειν αὐτῇ, τὴν πρὸ τῆς ἐνεργείας ἡσυχίαν ὀλιγοχρονιωτέραν γίνεσθαι συμβαίνει.
καθάπερ καὶ τὴν πρὸ τῆς ἑτέρας ἐνεργείας, λέγω δὲ τῆς διαστολῆς, μακροτέραν, διὰ ψυχροτέραν οὖσαν τὴν καρ-
δίαν ἐκλελυμένως ἐπὶ τὴν ἐνέργειαν ἰέναι, διὰ μίαν ἔτι μόνην χρείαν τὴν τῆς ῥιπίσεως, ἀπολωλεκυῖαν ἤδη τὴν ἑ-
τέραν τὴν μείζονα τὴν τῆς ἐμψύξεως. ἡ μὲν γὰρ ὑπόλοιπος ἡ τρίτη κατ' ἐκείνας μόνας τὰς διαθέσεις, ἐπεγεί-
ρει τὴν καρδίαν εἰς τὴν ἐνέργειαν, ὅταν ἤτοι κίνησιν τινὰ κινῆται τὸ ζῶον ἀξιόλογον, ἢ κένωσις πολλὴ ἐμπίπτει, τῶν
ἀρτηριῶν ἐπὶ πλέον ἀνεστομωμένων μὲν εἰς τὰ ἐκτός, ἔν γε τοῖς βαλανείοις, καὶ εἰ δή τινες ἄλλοι καθ' ἥντιναοῦν αἰ-
ἱδρῶτες ἐκχέοντες πολλοί. εἰ δὲ ταὐτὸν ἔν τε ταῖς καθάρσεσι καὶ τῶν παθῶν ἐν χολέραις καὶ δυσεντερίαις, καὶ ἰχυ-
ραῖς διήξεσι τῶν ἐντέρων. ἐπειδὰν μὲν οὖν συμβῇ καὶ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἐν ἑαυτῷ τινὰ δυσκρασίαν ἀνώμαλον

ἔχειν, ανα

† al. δίτονον

† al. ἡ εἰς μικρότητά τι

ἔχειν, ἀναγκαῖόν ἐστι καὶ τοὺς σφυγμοὺς αὐτῆς τε τῆς καρδίας καὶ τῶν ἐν τῷ ζώῳ πασῶν ἀρτηριῶν εἰς ἀνωμαλίαν
ἐκτραπῆναι πολυειδῆ. καὶ γὰρ καὶ ἡ συστηματικὴ καλουμένη. καὶ ἡ καθ' ἕνα σφυγμόν, ἁπάντων ἔσται τῶν γενῶν
εἰς μέγεθος καὶ μικρότητα, καὶ τάχος καὶ βραδυτῆτα, καὶ ἀμυδρότητα, καὶ πυκνότητα, καὶ ἀραιότητα, συνεχῶς τῆς
μεταπτώσεως γινομένης. εἰς μέντοι σκληρότητα καὶ μαλακότητα μεταβολὴ συνεχὴς οὐκ ἄν ποτε γένοιτο. δέ-
δεικται γὰρ ὑπὲρ τούτου πολλάκις. ἄκλονος μέντοι ποτὲ καὶ κλονώδης ἐν ταῖς τοιαύταις διαθέσεσι συνεχῶς ἀλ-
λήλους διαδέχονται, συνελθούσης τῇ δυσκρασίᾳ τῆς καρδίας τῆς σκληρότητος ἢ τάσεως ἀρτηριῶν. ἐδείκνυτο γὰρ
εἴ γε μεμνήμεθα, περὶ τὰς τοιαύτας διαθέσεις ὅταν ἐπὶ πλέον ὁρμήσῃ διαστεῖλαι τὰς ἀρτηρίας ἡ καρδία, κλόνος ἐμ-
πίπτων τῇ κινήσει. τούτου δὲ συμβαίνοντος ἕτοιμον δικρότῳ γενέσθαι τῷ σφυγμῷ. καὶ γίνεται δύσκολον ἐν ταύτῃ τῇ
καταστάσει τὴν διάθεσιν ἀκριβῶς ἐξευρεῖν, ὡς ἂν τῆς εἰρημένης ἀνωμαλίας οὐκ ἐπὶ δυσκρασίᾳ μόνῃ καρδίας, ἀλλὰ
καὶ κακώσει τῶν ὀργάνων, καὶ πλήθει* συνισταμένης. ἐπειδὴ γὰρ αἱ τοιαῦται τῶν ἀνωμαλιῶν ἐπ' ἐμφράξεσι γί-
νονται τῶν περὶ τὴν καρδίαν στομάτων, ἕπονται δὲ καὶ ταῖς ἀνωμάλοις αὐτῆς δυσκρασίαις, οὐκ ἔστι διαγνῶναι ῥᾳδίως τὴν
διάθεσιν. ὁ μὲν οὖν δὶς πλήττων σφυγμός, ἴδιον οὐδὲ σύμπτωμα τῆς περὶ τὸ σῶμα τοῦ σπλάγχνου δυσκρασίας, ὡς ἐν τῷ
πρὸ τούτου δέδεικται λόγῳ, διαφέρων τοῦ δικρότου μαλακότητι. σκληρότητος δὲ προσγινομένης ἀπόλλυται καὶ ἡ παρὰ
τοῦ δὲ διάγνωσις, εἰς γὰρ τὸν δίκροτον μεταπίπτει κοινὸν ὄντα πλειόνων διαθέσεων. ὁ μέντοι κλονώδης δίκροτος
ἐδείκνυτο τὴν γένεσιν ἴσχων, ἐπειδὰν ὁ κλονώδης ἁπλῶς σφυγμὸς βραχὺς τῷ μήκει γένηται. ὅδε ἄκλονος δίκρο-
τος, ὁμοίως μὲν τῷ κλονώδει σκληρὸς ὤν, ἀλλὰ διά τε τὴν αὐτοῦ βραδυτῆτα καὶ τὸ βάρος τῶν ἐπικειμένων σωμάτων
ἀποτελούμενος δίκροτος. ὥσθ' ἑκάτερος μὲν αὐτῶν ἀκολουθήσει πλείοσιν αἰτίοις. διοίσουσι δ' ἀλλήλων τῷ πλήθει τῶν ἐρ-
γαζομένων αὐτοὺς δυνάμεων καὶ προφάσεων. παμπόλλοις μὲν γὰρ ὁ κλονώδης δίκροτος, ἐλάττοσι δὲ ὁ ἄκλονος ἕ-
πεται. χρὴ δ' ἀναμνησθῆναι πρῶτον μὲν ὅσοις αἰτίοις ὁ κλονώδης ἁπλῶς ἀκολουθεῖ. πᾶσαι γὰρ εἴρηνται πρόσθεν.
ἑξῆς δὲ τὴν οἷον συνεκτικὴν αἰτίαν αὐτοῦ. γίνεται γὰρ ἐπειδὰν ἐπὶ πλέον ἀναγκάζηται διαστέλλεσθαι σκληρὸν ἢ τετα-
μένον ἀρτηρίας σῶμα. τρίτον ἐπὶ τούτοις, ὅτι προσελθούσης τῷ δέ, δυνάμεως ἀρρωστίας ἢ φυσικῆς διαπλάσεως
ὁ κλονώδης δίκροτος ἐδείκνυτο γίγνεσθαι. καὶ πρὸς τούτοις ὁ δίκροτος ἄκλονος ἐγένετο ἐν σκληρότητι μὲν ἀρτηρίας,
βραδυτῆτι δὲ τοῦ σφυγμοῦ, βάρει δὲ τῶν ἐπικειμένων ἄνωθεν ἑκατέρωθεν τῆς αἰσθητῆς κινήσεως. ἐν γὰρ ταῖς τοιαύ-
ταις καταστάσεσιν, ὅταν ὑπὸ τῶν ἑκατέρωθεν μερῶν ἀντισπασθῇ τὸ μέσον ἀναφερόμενον ἔτι, κἄπειτ' αὖθις αὐτοῖς
συνέρχηται, δίκροτος ὁ σφυγμὸς γίγνεται. αὗται μὲν οὖν αὐτῶν εἰσὶν οἷον συνεκτικαί τινες αἰτίαι. προηγούμεναι
δ' ἑκάστου πολλαί. καὶ χρὴ κἀκείνας προχείρους ἔχειν τῇ μνήμῃ, τὸν μέλλοντά τι τῶν προηγησαμένων ἐξευρήσειν.
ὁ μὲν οὖν δὶς παίων σφυγμὸς ἀνωμάλοις τε ἕπεται δυσκρασίαις αὐτοῦ τοῦ σώματος τῆς καρδίας, ἠσκημένης δ' ἀκρι-
βῶς ἁφῆς δεῖται διαγινώσκειν τὴν συστολήν, ὡς εἴ τις ἀνάσκητός ἐστι τῆς τοιαύτης διαγνώσεως, οὐδὲν ὁ τοιοῦτος σφυ-
γμὸς αὐτῷ διαφέρειν δόξει, τοῦ περὶ τὴν ἄνοδον ἱσταμένου τε καὶ ἡσυχάζοντος ὀλίγον. διαγνωσθήσεται δὲ βραχύ τι μετα-
σχὼν εὐτονίας. ὡς ὅ γε παντάπασιν ἄτονος, ἀδιάγνωστον ἔχει τὴν συστολήν. ὑπάρχει δ' ὡς τὰ πολλὰ τόνος ἅπασι
τοῖς δὶς παίουσι σφυγμοῖς. οὐ γὰρ ἂν ἐπὶ τοσοῦτον ὕψος ἀνῄεσαν, εἰ μὴ μετεῖχον εὐτονίας τινός, ἢ πολὺ μαλακω-
τέρους ἀναγκαῖον αὐτοὺς γενέσθαι τοῦ κατὰ φύσιν, ἵν' ἀμυδροί τε ἅμα καὶ μικροὶ φαίνονται. γίγνονται μὲν καὶ τοιοῦτοι περὶ τὰς
ληθαργώδεις διαθέσεις, ἀλλ' οὐκ ἔστι διακρῖναι τηνικαῦτα τὸν ἡσυχάζοντα βραχὺ τοῦ δὶς παίοντος, ὥς τε οὐδὲ τὰς
διαθέσεις οἷόν τε διακρῖναι κατά γε τοῦτο. δι' ἄλλου μέντοι γνωρίσματος ἐγχωρεῖ. ἴδιον δ' ἐστὶ τοῦτο τὸ γνώρισμα τοῦ
*κεκρᾶσθαι κακῶς τὸ τῆς καρδίας σῶμα. καὶ οὐδέν γε χεῖρον οὐδὲ ὡς πυρετόν τινα καὶ σφυγμὸν ἑκτικόν, οὕτω καὶ ἀνωμα-
λίαν ἡμᾶς ὀνομάζειν ἑκτικήν, ἕνεκα συντόμου διδασκαλίας. ὅστις δ' οὐ χαίρει τῷ ὀνόματι, μόνιμον αὐτὴν καλείτω.
μόνιμος δ' οὐδὲν ἧττον ἑξῆς ἴση διαφυλάττεται. ἂν δὲ δὴ καὶ τἄλλα σύμπαντα γνωρίσματα τὸν πυρετὸν ἑκτικὸν εἶναι
σημαίνει, πολὺ μᾶλλον οἶμαι βεβαίως διαγνώσει περὶ τὸ τοῦ σπλάγχνου σῶμα τὴν ἀνώμαλον εἶναι δυσκρασίαν. εἴρηται
δ' ὑπὲρ αὐτῶν ἐν ταῖς διαφοραῖς τῶν πυρετῶν. ἐπιβλέπειν δὲ δήπου χρὴ καὶ τἄλλα σύμπαντα. τά τε παρόντα καὶ
τὰ προηγησάμενα, καὶ τὰ προκατάρξαντα. περιπνευμονίας μὲν γὰρ ἢ ἐμπυήματος, ἢ πλευρίτιδος, ἢ φθόης.
ἢ τινὸς ὅλως ἀποστήματος αὐτόθι γεγονότος ἢ ἄσθματος, ἢ καταρροϊκοῦ νοσήματος, ἢ αἵματος πτύσεως ἢ πνευμο-
νώδους τινός, ἢ συλλήβδην εἰπεῖν ἐφ' οὗ πλῆθος, ἢ πάχος, ἢ γλισχρότης χυμῶν, ἐν τῷ πνεύμονι περιέχεται, προσέ-
χειν ἀκριβῶς χρὴ μή τι δι' ἔμφραξιν ἀρτηριῶν ὁ σφυγμὸς ἀνώμαλος γίνεται. μηδενὸς δὲ τούτων προόντος τὰ περὶ τὸ
σπλάγχνον αὐτὸ διασκέπτεσθαι, καὶ πολὺ δὲ μᾶλλον ὅταν ὁ πρόσθεν βίος ὃς ὁ κάμνων ἐβίου, μήτε παχεῖς ἠθροῖσθαι περὶ
τὸ σῶμα μήτε γλίσχρους ἐμφαίνῃ χυμούς, ὑφ' ὧν ἤτοι περιχυθέντων ἔξωθεν, ἢ φραξάντων τὰ στόματα τῶν ἀρτη-
ριῶν, ἡ ἀνωμαλία συνίσταται. δέδεικται γὰρ ὡς ἤτοι τούτων τινός, ἢ φλεγμονῆς ἢ ἁπλῶς ὄγκου παρὰ φύσιν αὐτό-
θι συνιστάντος, ἢ πλήθους βαρύνοντος τὴν δύναμιν ἀνωμαλίαι συμπίπτουσι τοῖς σφυγμοῖς. ἐὰν τοίνυν μήτε δι'
ὧν τὰ τοιαῦτα πάθη γνωρίζεται παρῇ. μόνη δὲ ἑκτική τε καὶ μόνιμος ἀνωμαλία διαμένῃ, δυσκρασίαν ἡγητέον ἀνώ-
μαλον ἐν τῷ σώματι τῆς καρδίας εἶναι. οὔσης δὲ καὶ αὐτῆς ταύτης διττῆς, ἑτέρας μὲν ἐν τοῖς ὑγροῖς οἰκείοις αὐτῆς, ἑτέ-
ρας δὲ ἐν τοῖς στερεοῖς, ἡ μὲν ἐκ τῶν ὑγρῶν ὁρμωμένη μετὰ παλμοῦ γίνεται τῆς ὅλης καρδίας. ἡ δὲ ἐκ τῶν στερεῶν ἄνευ
παλμοῦ. ὅστις δ' ἐπιστημονικῶς ἐκμαθεῖν βούλεται, τὰ νῦν λεγόμενα τοὺς περὶ τῶν ἑκτικῶν πυρετῶν ἀναλεξάσθω λόγους
ἀκριβῶς. ἔκ τε τῆς περὶ τῶν πυρετῶν πραγματείας κἀκ τοῦ περὶ τοῦ μαρασμοῦ γράμματος. ἡ μὲν δὴ τῆς καρδίας ἀνώ-
μαλος δυσκρασία, διαγινώσκεταί τε καὶ χωρίζεται τῶν παρακειμένων διαθέσεων ἐξ ὧν εἴρηκα σημείων. ἡ δ' ἄλλη πᾶ-
σα δυσκρασία περὶ τὸ σπλάγχνον, ὅταν ἑτέρας μὲν ἔχῃ τὸ σῶμα αὐτὸ κράσεως, ἑτέρας δὲ τὸ περὶ τὰς κοιλίας αὐτοῦ
αἷμα καὶ πνεῦμα τοὺς ἀνωμάλους σφυγμοὺς οὐδέ ποτε ἐργάζεται, ἀλλ' ὡς εἴρηται πρόσθεν ἐκ τῆς τῶν διαθέσεων ἐπιμι-
ξίας, εἰς μέσην τινὰ κατάστασιν οἱ σφυγμοὶ παραγίνονται. εἰσὶ δ' αἱ μίξεις τῶν διαθέσεων, ἔστιν ὅτε μὲν ἀκριβῶς ἀλ-
λήλαις ἐναντίαι, ἔστιν ὅτε δ' οὐκ ἀκριβῶς. λέγω δ' ἀκριβῶς μὲν ἐναντίας ἀλλήλαις διαθέσεις περὶ τὴν κρᾶσιν, ὅταν
ὅσῳ θερμοτέρα τοῦ κατὰ φύσιν ἡ ἑτέρα, τοσούτῳ συμβῇ τὴν ἑτέραν εἶναι ψυχροτέραν. οὐκ ἀκριβῶς δὲ ὅταν ἡ ἑτέρα τῆς ἑ-
τέρας ἐξίσταται πλέον. ἐγχωρεῖ δέ ποτε ὁμογενῶν οὐσῶν ἀμφοτέρων, ἐν τῷ πόσῳ γίνεσθαι τὴν διαφορὰν ἤτοι τῆς καρδίας

αὐτῆς ἐπὶ πλέον οὔσης θερμοτέρας τῶν κατὰ τὰς κοιλίας ὑλῶν, ἢ τούτων μὲν ἐπὶ πλέον ἐξεστηκυιῶν τοῦ κατὰ φύσιν, ἔλαττον δὲ τῆς καρδίας. οὕτω δὲ καὶ ψυχρότερον ἤτοι τὸ σῶμα τῆς καρδίας, ἢ τὰς ὕλας ἐγχωρεῖ γίνεσθαι. διάγνωσις δὲ τῶν εἰρημένων ἐπιπλοκῶν οὐχ ὁμοίως ἁπασῶν ἐναργής. ἀλλ' ἐνίοτε καὶ τὰς οὐκ ἐναργεῖς ἐξ ἄλλων δεῖ ποιεῖσθαι συλλογιστικῶς. ἡ μὲν οὖν πρώτη ῥηθεῖσα μίξις ἐν ᾗ τὸ μὲν σῶμα τῆς καρδίας θερμότερον ἐστὶ τοῦ κατὰ φύσιν, αἱ δ' ὗλαι ψυχρότεραι, τρεῖς ἔχει τὰς διαφοράς. ἤτοι γὰρ τοσούτῳ θερμότερον ἐστιν, ὅσῳ περ ἐκεῖναι ψυχρότεραι, ἢ πλέονι τούτου θερμότερον, ἤπερ ἐκεῖναι ψυχρότεραι, ἢ ἔλαττον, θερμότερον, ἤπερ ἐκεῖναι ψυχρότεραι. κατὰ μὲν οὖν τὴν πρώτην διαφορὰν ὁ σφυγμὸς ὁμοίως ἀκριβῶς φαίνεται τῷ κατὰ φύσιν, ἔν τε μεγέθει καὶ τάχει καὶ πυκνότητι. παραλλάττει δὲ τοσοῦτον εἰς ἀτονίαν, ὅσον ἐξέστη τὸ σπλάγχνον ἐκ τῆς κατὰ φύσιν εὐκρασίας. ἐμοὶ δ' ἐφάνη πολλάκις ἐν ταῖς τοιαύταις διαθέσεσι, καὶ περὶ τάχει προσεληλυθέναι τι σαφὲς, οὐ μὴν ἀεί γε φαίνεται τοῦτ' ἐναργῶς, καί μοι δοκεῖ κἀκ τούτου, τίς ἂν ἑτέρου μείζονος εὐπορῆσαι γνωρίσματος. εἰς ὅσον γὰρ ἐξέστηκε τὸ σῶμα τῆς καρδίας αὐτὸ τῆς κατὰ φύσιν εὐκρασίας, ἐκ τοῦ τάχους ἔνεστι τεκμήρασθαι. πρὸς γὰρ τὴν κίνησιν ἑτοιμότερον ἐστὶν ἀεὶ τὸ θερμότερον σῶμα τῶν ἄλλων ἴσων ὑπαρχόντων. ἐπειδὰν μὲν οὖν αὐτὸ τῆς καρδίας τὸ σῶμα κατὰ φύσιν ἔχον, ἤτοι πρὸς τῶν ἐν ταῖς κοιλίαις ὑλῶν, ἢ καὶ τῇ τοῦ πνεύμονος ὁμιλίᾳ φλεγμαίνοντος, ἢ καὶ ἔκ τινος ἄλλου τῶν πλησιαζόντων μορίων θερμαινόμενον, ἀναψύξεως ἐνδέον εἰς μέγεθος καὶ τάχος καὶ πυκνότητα τοὺς σφυγμοὺς ἀλλοιώσῃ, τηνικαῦτα πρώτη μὲν ἡ εἰς τὸ μέγεθος ἐκτροπὴ, δευτέρα δ' ἡ εἰς τὸ τάχος, ἐφεξῆς δὲ ἡ εἰς πυκνότητα γίνεται. ἐπειδὰν δὲ θερμότερον γένηται τῶν ψαυόντων αὐτοῦ κατὰ φύσιν ἐχόντων, εἰς τὸ τάχος μὲν πρῶτον ἡ κίνησις ἐπιδίδωσιν, εἰς μέγεθος δὲ δεύτερον. ὥσθ' ὅταν εὕρωμεν εἰς τὸ τάχος μὲν ἐναργῶς ἐπιδεδωκότα τὸν σφυγμόν, εἰς μέγεθος δὲ καὶ πυκνότητα μηδὲ μίαν ἀλλοίωσιν ἐσχηκότα, πολλὴν ἐν τῷ τοιούτῳ σώματι λογιζόμεθα τήν τε εἰς θερμότητα τῇ καρδίᾳ γεγονέναι μεταβολὴν, καὶ τὴν εἰς ψυχρότητα τῶν ψαυόντων αὐτῆς. δῆλος δὲ δή που καὶ ἡ ἀμυδρότης τῶν σφυγμῶν ἐναργὴς καὶ ἀξιόλογος ἐν τοῖς τοιούτοις φαίνεται σώμασι. εἰ δὲ μὴ τὸ τάχος ἐναργὲς εἴη, μηδ' ἡ ἀμυδρότης, ὀλίγην ἐλπίζε προσγεγενῆσθαι τῷ σώματι τοῦ σπλάγχνου θερμασίαν. οἱ τοιοῦτοι πυρετοὶ τοὺς πολλοὺς τῶν ἰατρῶν ἐξαπατῶσιν, ἅτε καὶ τῶν καμνόντων αὐτῶν ἀπυρέτους εἶναι λεγόντων. οὐ γὰρ αἰσθάνονται τοῦ πυρετοῦ διά τε τὴν μικρότητα καὶ τὴν τοῦ σπλάγχνου θερμασίαν, καὶ ὅτι τοῦ σπλάγχνου τὸ σῶμα κατείληφεν. ἔρχονται γὰρ ὑπὲρ τούτου πολλάκις. ὅλως μὲν οὖν οὐδὲ γίνεται μέγας πυρετὸς οὐδεὶς τῶν ἑκτικῶν. δ' ἔτι καὶ μᾶλλον ὅταν ὀλίγη τις εἴη κατὰ τὸ σπλάγχνον ἡ θερμότης. ὅσον οὖν ἀπὸ τῆς καρδίας ἐπιρρεῖ τῷ παντὶ σώματι θερμασίας, τοῦτο μόνον αἴσθησιν αὐτῆς ἀνωμαλίας ἀσώδους φέρει, δι' ἣν καὶ λουτρῶν ἐπιθυμοῦσιν, ὥσπερ καὶ οἱ ἄλλοι ἀσώδεις τε καὶ ἀνώμαλοι, διὰ κόπον, ἢ ἔγκαυσιν, ἢ ἀλουτίαν, ἢ ἀγυμνασίαν. καὶ χαίρουσί γε οἱ πλεῖστοι τῷ λουτρῷ καὶ βελτίους γίνεσθαι φασίν. ἅτε γὰρ ἀποθέμενοι μὲν ἀπὸ παντὸς τοῦ σώματος τὴν ἀνωμαλίαν, οὐδὲν δὲ ἀξιόλογον εἴς τε τὸ παραυτίκα βλαπτόμενοι, χάριν τοῦ λουτροῦ γινώσκουσιν. ἴσως δὲ οὐδὲ βλάπτονταί τινες αὐτῶν ὅλως. ἀλλ' οὐ τοῦ νῦν ἐνεστῶτος καιροῦ τὰ τοιαῦτα σκοπεῖσθαι. διοριούμεθα γὰρ ὑπὲρ ἁπάντων τούτων ἐν ταῖς τῶν πυρετῶν θεραπείαις. εἴτε ἰδίᾳ δόξει γράφειν αὐτὰς, εἴτ' ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. εἰς δὲ τὴν ἐνεστῶσαν ὑπόθεσιν ἡ διάγνωσις μόνη προχειριζέσθω. καὶ γὰρ καὶ δόξει τισὶν ἴσως ἄπορός τε καὶ ἄγνωστος ὑπάρχειν. ὅταν γε μήτε διαφορά τις σφυγμῶν ἐξαλλάττηται τοῦ κατὰ φύσιν. ὅ τε κάμνων αὐτὸς ἀναίσθητος μὲν εἶναι λέγει τοῦ πυρετοῦ. τὴν ἀνωμαλίαν δ' ἣν ἐμέμφετο μόνην ἐκ τῶν βαλανείων ἐκθεραπεύεται. ἵνα δ' ἀκριβέστερον ἔτι ποιήσω τὸν λόγον. οὐδ' ἐκ τῶν οὔρων ἔνεστι ἀκριβῆ διάγνωσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἀεὶ λαμβάνειν, ἀλλ' ἔστιν ἀμφίβολα καὶ ταῦτα τοῖς πλείστοις αὐτῶν. καὶ χροιᾷ καὶ συστάσει τοῖς κατὰ φύσιν ἐοικότα. μυρίοι τοιοῦτοι κατὰ τὴν πολυχρόνιον λοιμὸν ὤφθησαν ἡμῖν, ἐφ' ὧν ἦν θεάσασθαι τοὺς ἰατροὺς ἰδιώταις ὁμοίους, ἐνίους δὲ καὶ πολυχείρους ἰδιώτου συνετοῦ. καὶ πολλοὺς γ' οὖν τῶν ἰδιωτῶν εἰ καὶ μηδὲν ἄλλο, τὴν γοῦν ἔκπνοιαν τῶν καμόντων ἔστιν ἰδεῖν ἐπισκοπουμένους, καὶ εἰ δυσώδης φαίνοιτο τὰ χείρω προσδοκῶντας. ἐκείνοις μὲν οὖν ἐκ πείρας εὕρηται κατὰ τοὺς λοιμώδεις πυρετοὺς τὸ τοιοῦτον γνώρισμα. σοὶ δ' οὐκ ἐκ πείρας μόνον, ἀλλὰ κἀκ τοῦ λόγου φαινέσθω. συνεπισκοποῦνται δὲ δὴ πρὸς καὶ τὰ κατὰ τὸ στόμα μόρια, καὶ εἰ βραχύ τι τῆς λοιμώδους ἐμφαίνοιτο χρόας αὐτοῖς, ἀποφαίνονται λοιμώττειν τοὺς οὕτως ἔχοντας. ἰατρῷ δέ γ' οἶμαι μᾶλλον ἰδιώτου φαίνεσθαι καὶ ταῦτα, τοῖς μὲν γὰρ ἐρυσιπελατώδης, τοῖς δ' ὁμοία τοῖς ἐσθιομένοις ἕρπησιν ἡ χρόα φανεῖται, διεσπαρμένη κατὰ πλείονα μόρια τῆς κατ' ἀρχὰς ὡς οἶμαι. καὶ εἰ ἐπιβάλοι τῷ θώρακι τὴν χεῖρα πεπειραμένος ἰατρὸς ἐν διαγνώσει πυρετώδους θερμασίας, οὐδὲ αὐτὸν λαθεῖν ἐάσει τὴν διάθεσιν. ἐπισκεπτέον δ' οὐχ ἥκιστα καὶ τὰ οὖρα. καὶ γὰρ ἀνατεταραγμένα τισὶν αὐτῶν φαίνεται καὶ ὑδατωδέστερα, καὶ λεπτότερα πολὺ τοῦ κατὰ φύσιν ἐνίοις. ταῦτα μὲν οὖν ἀναμφισβήτητα. καθάπερ καὶ ὅσα τοῖς κατὰ φύσιν ἐοίκασιν ἀκριβῶς, κατά τε χρόαν καὶ κατὰ πάχος, ἀναμφισβήτητα καὶ ταῦτα πρὸς τὴν δευτέραν ἐλπίδα, καὶ εἰ ἐναιώρημά γε ποιήσαιτο χρηστὸν, ἔτι καὶ μᾶλλον ἀναμφισβήτητα. τήν γε ὑπόστασιν ἔχοντα λευκὴν καὶ λείαν καὶ ὁμαλήν. τοῖς δ' ἐναιωρήμασι μάλιστα προσεκτέον τὸν νοῦν. ἔνια γὰρ αὐτῶν ὑποπελιδνά πως ὄντα λανθάνει. καθάπερ ἄλλα πλατείαις ἀράχναις ἐοικότα, δίκην ἐρίων ἐπιβεβλημένων ἀλλήλοις. εἰ μὲν οὖν τι τοιοῦτον εὑρίσκοις, ἢ ὅλως μηδὲν ἐμφερόμενον ἐναιώρημα τοῖς οὔροις, ἐν τῷ χείρονι μερίδι, ταῦτα πάντα τίθεσο. τῶν δ' ἐναντίων φανέντων ὁποῖα διῆλθον ἀρτίως, ἀδύνατον ἐστὶν ἐν κακῇ διαθέσει τὸν ἄνθρωπον εἶναι. ἔκ τε οὖν τούτων διορίζεσθαι, πότερον ἀνωμαλία τίς ἐστι περὶ αὐτὸν, ἢ λοιμώδους εἰσβολὴ νοσήματος ὀλεθρίου πυρετὸν ἑκτικὸν ἔχοντος. ἐπί τε τοῖς μετὰ τὸ λουτρὸν, ἀπόσιτοί τε γὰρ εἰσὶ καὶ διψῶσι πλέον ἢ προσῆκεν, ἐπιθυμοῦσί τε ψυχροῦ. προσεπιθεωρεῖν δ' ἀκριβῶς αὐτῶν προσήκει καὶ τοὺς ὀφθαλμούς. ἐν γὰρ τῷ λούεσθαι μάλιστα γίνονται κατάδηλοι θερμοὶ καὶ φλογώδεις ἀποτελούμενοι, ἔνιοι δ' ἐντεῦθεν ἀρξάμενοι διαμένουσιν, οὓς δὴ σαφῶς γνωριοῦμεν ὅσοι λοιμώττουσι. ἀλλὰ λοιμοῦ μὲν ὁποῖος ἡμῖν ἐγγύς ἐστι καὶ ἔστιν ἔτι, μηδέ ποτ' εἴη πειραθῆναι τοῖς ἀνθρώποις. εἰδέναι μέντοι χρὴ καὶ ἄλλως γινομένους ἄνευ λοιμοῦ τοὺς αὐτοὺς τούτους πυρετοὺς, ὥσπερ καὶ γέγρα-

πται περὶ

πλὴν περὶ αὐτῶν, ἅπασι τοῖς ἀξιολόγοις ἰατροῖς, καὶ καλοῦσί γε λοιμώδεις αὐτούς, ὑπὲρ ὧν τῆς ἰδέας ἁπάσης ἐν ταῖς τῶν πυρετῶν διαφοραῖς ἐπὶ πλέον εἴρηται. νυνὶ μὲν γὰρ οὐχ ὡς ἄν τις κάλλιστα διαγινώσκοι πυρετοὺς ὁ λόγος, ἀλλ᾽ ὡς ἂν ἐκ σφυγμοῦ κάλλιστα. καὶ ἴσως ἐπὶ πλεῖον τοῦ δέοντος εἴρηται περὶ τῶν ἀπὸ τοῦ σώματος αὐτοῦ τῆς καρδίας ἀναπτομένων πυρετῶν, αὖθις οὖν ἀνάγωμεν ἐπὶ τοὺς σφυγμοὺς τὸν λόγον, ὅσον ὑπόλοιπόν ἐστι τῶν ἑκτικῶν πυρετῶν διηγούμενοι. γίνονται μὲν γὰρ ὡς εἴρηται καὶ τῶν λοιμωδῶν οὐκ ὀλίγοι κατ᾽ ἀρχὰς εὐθέως ἑκτικοὶ διαφέροντες ἁπάντων, τῶν ἄλλων πυρετῶν οἱ ἐν ἰσχυρᾷ σκεπεδόνι. γίνονται δὲ ἐπὶ διὰ λύπην ἐνίοτε καὶ θυμὸν ἐξ ἀρχῆς, ἔνιοι τῶν ἑκτικῶν. ἄλλως δ᾽ οὐκ εἶδον γιγνόμενον οὐδένα πυρετὸν ἑκτικὸν εὐθέως ἀπὸ τῆς ἀρχῆς. ἀλλ᾽ ἐπεὶ προήκοντι τῷ χρόνῳ πολλοῖς τῶν ἄλλων ἐπιγίγνονται. ἐπὶ διορίζει σαφῶς αὐτούς, ἥ τε μόνιμος ἰσότης εἰ καί τινι τῶν ἄλλων ἐπὶ πλέον ὑπάρχοι, καθάπερ ἐδείξαμεν, ὅσα τ᾽ ἄλλα κατὰ τὴν περὶ τῆς διαφορᾶς τῶν πυρετῶν εἴρηται πραγματείαν. ἡ δ᾽ ἀπὸ τῶν σφυγμῶν διάγνωσις ὡς ὀλίγον πρόσθεν εἶπον, ἐν ἀρχῇ μὲν ἔτι ἐπὶ περὶ τὰς πρώτας ἡμέρας δύσγνωστός ἐστιν. ὁπότ᾽ ἂν κοινὴν ἔχουσιν ἔτι τοῖς ἐφημέροις τὴν ἰδέαν, μετὰ δὲ τὴν τρίτην ἤδη σαφέστεροι γίνονται, καὶ τῇ διὰ τοῦ σφυγμοῦ διαγνώσει. ἐπὶ γὰρ θάττους οὗτοί γε σαφῶς ἔχουσι τοὺς σφυγμοὺς τῶν κατὰ φύσιν, εἰ ἐπὶ ἄλλα μηδὲν διαφέροιεν. ἥ τε θερμασία κατὰ τὸν θώρακα καὶ σαφῶς ἐστι πυρετώδης αὐτοῖς. ἀμυδρότεροί τε τοσοῦτον οἱ σφυγμοὶ τῶν κατὰ φύσιν εἰσὶν εἰς ὅσον ἡ θερμασία προσαύξηται. ταῦτα μὲν οὖν ἱκανὰ περὶ τῶν πυρετῶν ὅσοις ἡ καρδία γέγονε θερμοτέρα τοσοῦτον τοῦ κατὰ φύσιν, ὅσον αἱ κατ᾽ αὐτὴν ὗλαι ψυχρότεραι. προσκείσθω δ᾽ ἀσφαλείας ἕνεκα ταῖς ὕλαις ἐκεῖνα τὰ σώματα σύμπαντα τὰ ψαύοντα τῆς καρδίας, εἴη δ᾽ ἂν ταῦτα τὸ μὲν σπλάγχνων, ὁ πνεύμων. ὑμένων δὲ ὅ τε περικάρδιος ὀνομαζόμενος, ὅσον τε τῶν διαφραττόντων τὸν θώρακα τῆς καρδίας ἐγγύς. ὁμιλεῖ δὲ δή πού τῷ σπλάγχνῳ τούτῳ ἐπὶ ὁ περιεχόμενος ἀὴρ ὑπὸ τοῦ περικαρδίου σκεπάσματος, ὥσπερ γε καὶ ἀρτηρίαι καὶ αἱ φλέβες, ὧν ἐν ταῖς κοιλίαις αὐτῆς φαίνεται μέγιστα στόματα. ταυτὶ γὰρ ἅπαντα ταῖς ὕλαις ἀνάλογον ἀλλοιοῖ τῆς καρδίας τὸν σφυγμόν, καὶ καλείσθω συντόμου διδασκαλίας ἕνεκεν, ἅπαντα τὰ κατειλεγμένα ψαύοντα τῆς καρδίας. ἑξῆς οὖν λέγωμεν ὑπὲρ ἐκείνων πυρετῶν τῶν ἐν οἷς ἡ μὲν καρδία θερμοτέρα πλείονι μέτρῳ. τὰ ψαύοντα δ᾽ αὐτῆς ἐλάττονι μέτρῳ ψυχρότερα. γενήσονται γὰρ ἐν ταῖς τοιαύταις διαθέσεσιν οἱ σφυγμοὶ θάττους τε ἅμα καὶ μείζους, καὶ πυκνότεροι, ἐπὶ ἀμυδρότεροι τῶν κατὰ φύσιν. ἀλλὰ πλείονι μὲν, εἰς ἀμυδρότητα καὶ τάχος. ἐλάττονι δὲ, εἰς πυκνότητα τε καὶ μέγεθος τοῦ κατὰ φύσιν ἐξιστάμενοι. μόνιμος δὲ καὶ ἡ τούτων γένεσις, ὥσπερ καὶ ἡ τῶν ἄλλων ἑκτικῶν. εἰ δὲ τὸ μὲν σπλάγχνον ἔλαττον ἐξίσταιτο τοῦ κατὰ φύσιν εἰς θερμότητα, τὰ δὲ ψαύοντα αὐτοῦ πλέον εἰς ψυχρότητα, μικρότεροι μὲν ἐπὶ τῶν τοιούτων οἱ σφυγμοὶ καὶ ἀραιότεροι γίνονται, τῷ τάχει δ᾽ ἤτοι παραπλήσιοι τοῖς κατὰ φύσιν ἢ βραδύτεροι, παραπλήσιοι μὲν, ὅταν μὴ πολὺ πλέον ἐπὶ τὸ ψυχρότερον ἐξίσταται τὰ ψαύοντα. βραδύτεροι δὲ, ὅταν πολὺ πλέον ἀποκεχωρήκῃ ταῦτα τοῦ κατὰ φύσιν ἐπὶ τὸ ψυχρὸν, ἤπερ ἡ καρδία πρὸς τὸ θερμόν. ἡ δ᾽ ἀμυδρότης κἀνταῦθα κατὰ τὸ ποσὸν τῆς θερμότητος. εἰ δὲ τὸ μὲν σῶμα τῆς καρδίας αὐτὸ, ψυχρότερον εἴη τοῦ κατὰ φύσιν, αἱ δ᾽ ὗλαι καὶ ἄλλα τὰ ψαύοντα αὐτῆς θερμότερα, γίνονται μὲν δή που κἀνταῦθα τρεῖς αἱ πᾶσαι διαφοραί. τρέπονται δ᾽ οἱ σφυγμοὶ, καθ᾽ ἑκάστην ἀνάλογον ταῖς προειρημέναις. ἔστω γὰρ πρότερον ἐπὶ τοσοῦτον ἐψύχθαι τὴν καρδίαν, ἐφ᾽ ὅσον τεθέρμανται τὰ ψαύοντα. βραδύτερος ὁ τοιοῦτος ἔσται σφυγμὸς τοῦ κατὰ φύσιν, ὅταν ἀξιόλογος ἡ ἀλλοίωσις ᾖ. ἀνάλογον δ᾽ αὐτῷ ἐπὶ τὸ τῆς ἀμυδρότητος ὑπάρχει. τῷ μεγέθει δὲ, οὐδὲ ἐν ἐξαλλαχθήσεται τοῦ κατὰ φύσιν. ὥσπερ οὐδὲ τῇ πυκνότητι σαφὲς, οὐδὲ ἀξιόλογον οὐδέν. ἐν μέντοι ταῖς τοῦ κατὰ φύσιν βραχείαις ἐκτροπαῖς ἐφ᾽ ἑκάτερα, δυσφωρατοτέρα ἡ διάκρισις, ὡς πρόσθεν ἐπὶ εἴρηται, καὶ μάλιστα γίνεται δύσγνωστος ἐν οἷς σώμασι τὸ κατὰ φύσιν οὐ προεπιστάμεθα. γινωσκομένου δὲ τούτου, δυνατόν ἐστι καὶ τὴν βραχεῖαν ἐπιγνῶναι μεταβολὴν, ὅταν ἠσκημένος ᾖ τις, ἐν διαγνώσει σφυγμῶν. ὥσπερ δ᾽ ὀλίγον ἔμπροσθεν, ἡνίκα τοῦ σπλάγχνου θερμοτέρου γινομένου, τῶν ψαυόντων δ᾽ αὐτοῦ ψυχροτέρων, ἐσκοπούμεθα τοὺς σφυγμοὺς, ἑκτικὸν ἐλέγομεν εἶναι τὸν πυρετὸν, οὕτως νῦν εἰ μὲν τὸ σπλάγχνον εἴη ψυχρότερον ἅπαντος τοῦ κατὰ φύσιν ὅρου, τὰ δὲ ψαύοντα θερμότερα, πυρέξει μὲν ὁ ἄνθρωπος. ἀλλ᾽ οὐ τὸν ἑκτικὸν ὀνομαζόμενον πυρετὸν, ἀλλ᾽ ἤτοι τὸν ἐφήμερον, ἢ τὸν ἐπὶ σήψει χυμῶν. ἴδια δ᾽ ἑκατέρου τὰ γνωρίσματα. τοῦ μὲν ἐφημέρου πυρετοῦ μιχθέντος ψυχροτέρῳ σώματι καρδίας, ὅταν ἴσως ἑκάτερος ἐξεστήκῃ τοῦ κατὰ φύσιν ὁ σφυγμὸς, οὐδὲν μὲν τῷ μεγέθει παραλλάττει τοῦ κατὰ φύσιν, ὥσπερ οὐδὲ πυκνότητι σαφὲς οὐδὲν, οὐ δὲ τάχει, πρὶν ἀξιόλογον ἑκατέρου γενέσθαι τὴν ἐκτροπὴν, ἀμυδρότερον δ᾽ εἰς τοσοῦτον, εἰς ὅσον καὶ τὸ σπλάγχνον ψυχρότερον ἔσται. τοῦ δ᾽ ἐπὶ σήψει χυμῶν, ἴσον μὲν ἀεὶ καὶ τούτου τὸ μέγεθος. οὐχ ὅσον δὲ τῶν κατὰ φύσιν, οὐ δὲ τῶν ἄλλων γινομένων, ἀλλ᾽ ἐπειδὰν μὲν ὀλίγον ἐξεστήκει τοῦ κατὰ φύσιν, οὐδὲν ὅτι καὶ ἀξιόλογον. πλέον δ᾽ ἐκστάντων, ἐναργῶς θάττων ὁ σφυγμὸς γίνεται κατὰ τὴν συστολὴν, ὥσπερ ὁ πρότερος ἐν τῇ διαστολῇ. καὶ μὲν δὴ καὶ πυκνότερος ἐναργῶς κατὰ τὴν ἐκτὸς ἠρεμίαν, ἀμυδρότερος δὲ φαίνεται τοσοῦτον, ὅσον ἡ καρδία κατέψυκται. ἔστω δὴ πάλιν ἐπὶ πλέον ἐψύχθαι τὴν καρδίαν, ἢ τεθέρμανται τὰ ψαύοντα, καὶ εἶναι τὸν πυρετὸν ἐφήμερον, οἱ σφυγμοὶ μὲν τούτων σαφῶς ἀμυδροὶ γίνονται καὶ μικρότεροι. βραδεῖς δ᾽ οὐχ ὁμοίως σαφῶς, ἀλλ᾽ ὅσον ἐπὶ πλέον ἐψύχθη τὸ σῶμα τῆς καρδίας τῶν ψαυόντων ἑαυτοῦ. καὶ μὲν δὴ καὶ ἀραιοὶ καὶ μικροὶ κατὰ τὴν ἀναλογίαν ἔσονται. ἔστω δὲ πάλιν ἐπὶ σήψει χυμῶν ὁ πυρετὸς, ὁ σφυγμὸς τούτων ἀμυδρὸς ἔσται ὡσαύτως τῷ προειρημένῳ. μικρότερος δ᾽ ἔτι κἀκείνου κατά γε τὴν διαστολὴν καὶ βραδύτερος. ἡ μέντοι συστολὴ θάττων αὐτοῦ γενήσεται τοῦ κατὰ φύσιν. ἔτι δὲ μᾶλλον ἐν ἐκείνοις ἔσται τοῖς καιροῖς τοῦ παροξυσμοῦ τὸ τοιοῦτον, ἐν οἷς τε ἐστὶν ἀρχὴ καὶ ἐπίδοσις. ἐπεὶ κατά γε τὰς ἀκμὰς ἧττον. ἔτι δ᾽ ἧττον ἐν ταῖς παρακμαῖς. ὑποκείσθω δὴ τὸ τρίτον εἶδος τῆς ἐπαλλάξεως, ὅπερ ἐστὶν ἔλαττον εἰς ψυχρότητα μεθεστηκέναι τὴν καρδίαν, ἤπερ εἰς θερμότητα τὰ ψαύοντα αὐτῆς. καὶ εἶναι τὸν πυρετὸν ἐφήμερον. οἱ σφυγμοὶ τῷ τοιούτῳ σώματι τοσούτῳ μὲν ἀμυδρότεροι τοῦ κατὰ φύσιν, ὅσῳ περ καὶ τὸ σῶμα τῆς καρδίας δυσκρατότερον. ἔσονται μείζονες τε καὶ θάττονες τῶν κατὰ φύσιν, καὶ πλέον γε μείζονες, ὅσωπερ ἢ θάττονες. ἔσονται δὲ καὶ πυκνότεροι ταῦτα σύμπαντα λέλεκται μήτ᾽ εἰς σκληρότητα, μήτ᾽ εἰς μαλακότητα τῶν σφυγμῶν

ἐπ' ἀλλήλως ἠλλοιωμένων. ὡς εἴ γε καὶ ἐπὶ τοῦ θ' ὑπαλλαχθεῖεν. ἡ μὲν ἐπὶ τὸ μαλακὸν αὐτῶν ἐκτροπὴ τὸ μέγεθος μὲν πάντως αὐξήσει καὶ τὴν ἀραιότητα. προσθήσει δ' ἐνίοτε καὶ βραδυτῆτα. εἰ δ' ἐπὶ τὸ σκληρὸν, τἀναντία μικρότητα τε καὶ πυκνότητα, καί τοι καὶ τάχος ἐνίοτε προσθήσει. ἐγὼ μὲν δή μοι πάσας ἤδη δοκῶ τῶν πυρετῶν εἰρηκέναι τὰς ἐκ σφυγμῶν διαφοράς. εἴ γε δὴ τὴν οὐσίαν αὐτῶν ἐπὶ πλεονεξίᾳ τῆς ἐν τῇ καρδίᾳ θερμασίας ὀρθῶς ἐθέμεθα. καὶ σὺν τοῖς πυρετοῖς τε καὶ ἄλλων οὐκ ὀλίγων ἐμνημονεύσαμεν διαθέσεων ἐναντίων τοῖς πυρετοῖς ἐφ' ὧν ἡ τῆς καρδίας διάθεσις ψύξις ἐστίν. ἀλλὰ καὶ περὶ τῶν μικτῶν διαθέσεων εἴπομεν, ὧν ἡ μίξις ἐξ ἐναντίων ἐπιπλεκομένων ἀλλήλοις γίγνεται. καὶ ἦν ἤδη μοι καιρὸς ἐφ' ἕτερον τινὰ μετιέναι λόγον. ἐπεὶ δὲ οὐκ οἶδ' ὅπως εἰς παμπόλλην διαφωνίαν ἐμπεπτώκασιν οἱ περὶ πυρετῶν πραγματευσάμενοι. δι' ἐκείνους ἀναλαβεῖν ἐπὶ κεφαλαίων ἔγνωκα τὰ προειρημένα κατὰ τόδε τὸ γράμμα, ἐν ᾧ περὶ τῆς τῶν πυρετῶν ἐκ σφυγμῶν διαγνώσεως. καὶ εἴ γε χρὴ τἀληθὲς εἰπεῖν δι' ἀρχιγένην μάλιστα τοῦτο ποιεῖν ἔγνωκα. πάντων γὰρ ἐπιμελέστατος ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ δόξας γεγονέναι, κινδυνεύει μηδὲν ἡμᾶς διδάσκειν ὁμοίως ἐρασιστράτῳ. δῆλος γάρ ἐστι τῶν μηδὲν διδασκόντων ὁ τρόπος, ἐνίων μὲν εἰς ἰδιότητα καταφευγόντων ἄρρητον, ἐνίων δὲ λεγόντων μὲν ὀνόματα, μήτε δ' ἃ σημαίνει φυλαττόντων, μήθ' ἃ βούλονται σημαίνειν ἑρμηνευόντων. ὁ γάρ τοι σκληρὸς σφυγμὸς ὃν ἀχώριστον εἶναι βούλεται τῶν πυρεττόντων ὁ ἀρχιγένης, ὄνομα μόνον ἐστὶν, οὐδὲν πρᾶγμα σημαίνων ἐπιστημονικῶς τε καὶ βεβαίως νοηθῆναι δυνάμενον. εἴρηται δ' ἐπὶ πλέον ὑπὲρ τοῦ τοιούτου σφυγμοῦ κατά τε τὴν περὶ διαφορᾶς σφυγμῶν πραγματείαν. ἔτι τε καὶ τὴν διαγνωστικὴν, οὐχ ἥκιστα δὲ καὶ δι' ὧν ἐξηγούμεθά τε ἅμα καὶ κρίνομεν, ὅσα κατά γε τὸ περὶ τῶν σφυγμῶν βιβλίον ὁ ἀρχιγένης ἔγραψεν. ἀναγκαῖον δ' ἐστὶν ὡς ἔοικεν εἰπεῖν τι καὶ νῦν ἐπὶ κεφαλαίων ὑπὲρ αὐτῶν. ὥσπερ τῶν ἄλλων ὀνομάτων ἕκαστον ἴδιον δηλοῖ πρᾶγμα παρὰ τοῖς ἕλλησι πᾶσιν. οὕτω καὶ ἐπὶ τῶν ὑποπιπτόντων ταῖς αἰσθήσεσιν, ἔθεντο προσηγορίας τινάς, ἰδίᾳ μὲν ὅσαι δηλοῦσι τὰς ἀκουστὰς διαφοράς, ἰδίᾳ δ' ὅσαι τὰς ὁρατάς, ἢ ὀσφρητάς, ἢ γευστάς, ἢ ἁπτάς. οὔτ' οὖν ἐπ' ἄλλην φέρουσιν αἴσθησιν τό τε λευκὸν καὶ μέλαν καὶ ξανθὸν καὶ πυρρὸν ὠχρόν τε καὶ φαιόν, καὶ κυανοῦν, ὅσα τ' ἄλλα χρωμάτων ἐστὶν ὀνόματα πλὴν τῆς ὁρατῆς. οὔτ' αὖ πάλιν ἐπ' ἄλλα τὸ αὐστηρὸν καὶ γλυκὺ καὶ πικρὸν καὶ στρυφνὸν καὶ στῦφον, ἁλυκόν τε καὶ ἁλμυρόν, ὅτι μὴ τῶν γευστῶν. οὐ μὴν δ' ἐπ' ἄλλων τινῶν θερμὸν καὶ ψυχρόν, ξηρὸν καὶ ὑγρόν, καὶ μαλακὸν καὶ σκληρόν, ἀλλ' ἐπὶ τῶν ἁπτῶν ἅπαντες. εἰ δέ τις ἐπ' ἄλλο μεταφέρει τῶν εἰρημένων ὁτιοῦν, ὁ μὲν τρόπος τῆς τοιαύτης χρήσεως ὀνομάζεται μεταφορά. γίνεται δὲ δή πως ταῖς ἄλλαις ὡσαύτως μεταφοραῖς καθ' ὁμοιότητα τινὰ καὶ ἀναλογίαν, καθ' οἵαν ὁμοιότητα, καὶ πόδες (ἵνα) εἴρηνται καὶ κορυφαὶ καὶ λαγόνες ὀρῶν, ὡς γὰρ ἐπὶ τῶν ζώων τὰ κατωτάτω μὲν οἱ πόδες, ἡ κορυφὴ δὲ τὰ ἀνωτάτω πάντων ἐστίν. οὕτως ἐπὶ τῶν ὀρῶν συγχωροῦμεν τοῖς ποιηταῖς τὰ μὲν ἀνωτάτω, κορυφὰς ὀνομάζειν, τὰ κατωτάτω δὲ πόδας. ἐὰν οὖν τις ἐπὶ ζώου ποιούμενος τὸν λόγον, εἶτα πόδας εἰπὼν, ἢ λαγόνας ἀξιώσει μήτε τῶν ποδῶν ἀκούειν ὡς ἅπαντες ἀκούουσιν, μήτε τῶν λαγόνων ὡς σύνηθες, ἀλλ' οὕτως δεῖν φάσκει λαγόνων ἀκούειν, ὡς ἐπὶ τοῦ ὄρους τοῦ βριλησσοῦ καλλίμαχος εἴρηκε, βριλησσοῦ λαγόνες εἰσὶ νομοί, ὃν ἐκτήσαντο. γελοιότατος ἂν εἴη, δῆλον τε καὶ παλινδρομούσῃ χρώμενος ἀπὸ τῶν οὐ κυρίων ἐπὶ τὰ κύρια τῇ μεταφορᾷ. ἐπὶ δὲ τὸν αὐτὸν τρόπον καὶ ὅστις ἐπὶ, ἤθους, ἢ οἴνου λεγομένου τοῦ σκληροῦ κατὰ μεταφοράν, ὑπὲρ τῶν ἁπτῶν σωμάτων ποιούμενος τὸν λόγον, οὐχ ὡς σύνηθες ἅπασιν οὕτως ἀξιοῖ τῆς προσηγορίας ἀκούειν, ἀλλ' ὡς οἶνος λέγεται σκληρός, ἢ ἄνθρωπος, τὸ ἦθος σκληρόν. ὅμοιον γὰρ ἐκείνῳ τοῦτο τὸ περὶ πραγμάτων ὁρᾷ τῶν διαλεγόμενον, εἶτα λευκὸν μὲν εἰπόντων μὴ συγχωρεῖν ἀκούειν οὕτως. ὡς ἔθισται πᾶσιν, ἀλλ' ἐπειδὴ πυρετούς τινας λευκοὺς αὐτὸς ὁ ἀρχιγένης εἴρηκεν, οὕτως ἀκούειν χρῆναι καὶ τὸ χρῶμα τὸ λευκόν. ὥσπερ οὖν ὁ τοιοῦτος οὐκ ἂν δόξειε σωφρονεῖν, εἰ τὸ κυρίως ἐπὶ χρώματος λεγόμενον ὄνομα μετάγειν ἐπ' αὐτὸ, κατὰ δευτέραν μεταφοράν, ἀπὸ τῶν οὐ κυρίως ἀξιώσειεν, οὕτως οἶμαι καὶ ὅς τις ἐπὶ σώματος ἁπλοῦ τὸν λόγον ποιούμενος, ἐκ μεταφορᾶς κελεύσει τὸ σκληρὸν ὄνομα ἀκούειν, συμβαίνει γὰρ ἐν τοῖς τοιούτοις ἅπασιν λόγοις, μηδὲν μανθάνειν τοὺς ἀκούοντας ὅταν εἴργονται τε τοῦ κυρίως λεγομένου, μηδὲν τ' ἄλλο νοῆσαι δύνανται. τί γὰρ ἄλλο τις νοήσειε χρῶμα τὸ λευκὸν ἀκούσας ὄνομα, τοῦ τε συνήθους εἰργόμενος, ἀκούειν τε κελευόμενος ἐκ τῆς τῶν λευκῶν πυρετῶν μεταφορᾶς. οὕτως οὖν καὶ ὁ σκληρὸς σφυγμὸς ὑπὸ τοῦ ἀρχιγένους εἰσαγόμενος ἐφ' ἁπτοῦ πράγματος, εἰ μὴ τὸ κύριον σημαίνει τοῦτο δὴ τὸ συνήθως ἅπασι λεγόμενον, ἀλλ' ὡς ἐκεῖνος ἐκ μεταφορᾶς τῆς τῶν οἴνων βούλεται, παντάπασιν ἀσαφής τε καὶ ἄγνωστος γίγνεται, καὶ τοιοῦτος, οἷος εἰ καὶ σκινδαψὸς ἐλέγετο. πρὸς γὰρ καὶ δύναιτο πᾶν ὁτιοῦν ἄλλο ἐπὶ τοῦ τῶν πυρετῶν ἰδίου σφυγμοῦ φέρειν ὄνομα, καὶ δοκεῖν τι λέγειν ὡς πρὸς ἀνθρώπους μὲν ἀγυμνάστους ἐν διαιρέσεσι σημαινομένων, εὐγνώμονας δὲ καὶ πεπιστευκότας, ὅτι γέρων ἄνθρωπος ἐν τοσαύτῃ γεγονὼς δόξῃ καὶ πολλὰ τὴν τέχνην ὠφεληκὼς, οὐκ ἂν ἑκὼν (εἶναι) ποτὲ τοιαύτην ἀσάφειαν ἐμηχανήσατο κατὰ τὸν λόγον, ὡς ὀνόματα προσφέρεσθαι μηδὲν σημαίνοντα. φέρε γὰρ εἴ τις εἴποι τὸν τοῦ πυρέττοντος σφυγμὸν εἶναι πικρόν, ἀξιώσει οὕτως ἀκούειν τοῦ πικροῦ ὀνόματος ὡς ἐπὶ γευστῶν ἐνίοτε λέγομεν, ἆρ' ἕξομέν τι νοῆσαι σαφές; οὐ μᾶλλον, ἢ στρυφνόν, ἢ αὐστηρόν, ἢ ὀξὺν ἀκούσαιμεν εἶναι τὸν σφυγμόν. ἐν ἅπασι μὲν γὰρ αὐτοῖς, ἀηδές τι καὶ παρὰ φύσιν ἐμφαίνεται, τί δὲ τοῦτ' ἐστὶν οὐ δηλοῦται, καί τοι κατὰ μὲν τὰς τοιαύτας μεταφορὰς ἀπὸ τῶν κυρίων, ἐφ' ἕτερον οὐ κύριον ἡ μετάθεσις γίνεται, συγκεχωρημένον ἅπασι καὶ εἰθισμένον πρᾶγμα. ἐπὶ δὲ τὸ τοῦ σκληροῦ σφυγμοῦ σημαινόμενον, ὅπερ ὁ ἀρχιγένης ἐνομοθέτησεν, οὔτε συγκεχωρημένον, οὔτε εἰθισμένον, οὔτε ὅλως γεγονὸς, ἢ γενέσθαι δυνάμενον, ἀκοῦσαι χρὴ σημαινόμενον, ἀπὸ τῶν μεταφορικῶν ἐπὶ τὸ κύριον ἐπανερχομένους. διόπερ ὀνόματος μὲν ἐστὶν ἀκοῦσαι, πρᾶγμα δὲ οὐδ' ἐννοῆσαι. ἀλλ' οὐκ ἔτι δεῖ περί γε τούτου μηκύνειν, ἐν ἄλλοις ἐπὶ πλέον ὑπὲρ αὐτοῦ διειλεγμένους. ἀναλαβόντας δὲ τὰ προειρημένα διὰ κεφαλαίων ὑπὲρ ἁπάντων τῶν πυρετῶν ἐπελθεῖν.

ὅτι μὲν δὴ τρία ἐστὶ τὰ πάντα αὐτῶν γένη, δέδεικται δι' ἑτέρων. ὁποία δέ τις ἑκάστου διάγνωσις ἐκ σφυγμῶν ἐν τῷδε ῥητέον. οἱ μὲν ἐφήμεροι πάντες εἰς μέγεθος, καὶ τάχος, καὶ πυκνότητα ῥέπουσι τοὺς σφυγμούς, ὅσον

ἐφ' ἑαυτοῖς

ἐφ' ἑαυτοῖς. εἰ γὰρ ἐπιμιγνύοι τούτοις ἄλλη διάθεσις, ἀνάγκη μικτὴν γενέσθαι τὴν τροπὴν, ἐξ ἐκείνης τε καὶ τῆς
κατὰ τὸν λόγον τοῦ πυρετοῦ συνισταμένης. ὡσαύτως δὲ καὶ οἱ ἑκτικοὶ τῶν πυρετῶν, εἰς τὰς αὐτὰς διαφορὰς ἀλ-
λοιοῦσι τοὺς σφυγμοὺς, ὅσον γ' ἐφ' ἑαυτοῖς, καὶ πλέον γ' ἐπὶ τούτοις ἐξαλλάττεται τὸ τάχος. οἱ δὲ ἐπὶ σήψει χυ-
μῶν, ἐν μὲν ταῖς ἀκμαῖς ἀμφοτέρας ἔχουσι τὰς κινήσεις ταχείας, τήν τε τῆς διαστολῆς καὶ τὴν τῆς συστολῆς.
ὡσαύτως δὲ καὶ τὰς πυκνότητας ἀμφοτέρας ὁμοίως ἀλλοιοῦσι τήν τε κατὰ τὴν ἐκτὸς ἡσυχίαν γινομένην, καὶ
τὴν κατὰ τὴν ἐντὸς, ἐν δὲ ταῖς εἰσβολαῖς οὐχ ὁμοίως, ἀλλὰ μᾶλλον ἐπιτείνουσι τῆς συστολῆς τὸ τάχος. ἐν δὲ ταῖς
ἀναβάσεσι, καὶ ταύτην μὲν, καὶ τὴν ἐκτὸς ἡσυχίαν δ' ἐπὶ πλεῖστον συνεργοῦσιν, ὡς πυκνότατον φαίνεσθαι κατ' αὐτὰς
τὸν σφυγμόν. οὗτοι μόνοι πυρετῶν εἰσὶν ἴδιοι σφυγμοὶ κατὰ τὸν ἑαυτῶν λόγον. οἱ δ' ἄλλοι πάντες οἱ τοῖς πυ-
ρέττουσι συμπίπτοντες ἄλλῃ τινὶ διαθέσει μᾶλλον, ἢ τῇ τῶν πυρετῶν ἕπονται. δύο δ' ἐστὶ γένη κἀκείνων τῶν δια-
10 θέσεων, ἤτοι τῆς δυνάμεως, ἢ τῶν ὀργάνων ἡ κάκωσις. ἐδείχθη γὰρ ὡς εἰς τρία χρὴ βλέποντας ταῦτα, ἐξευρί-
σκειν τὰς ἐλαττούσας αἰτίας τὸν σφυγμὸν, ὄργανόν τε καὶ χρείαν καὶ δύναμιν. ἐπιδέδεικται γὰρ καὶ ὅσα καθ' ἕκα-
στον αὐτῶν γένος ἐξισταμένου τοῦ κατὰ φύσιν ἀναγκαῖον ἐστὶ συμπίπτειν τοῖς σφυγμοῖς. οὔκουν ἔτι θαυμαστὸν εἰ
διαφέρονταί τε πρὸς ἀλλήλους οἱ σοφοὶ ἰατροὶ περὶ τῶν ἰδίων τοῦ πυρετοῦ σφυγμῶν, ἁμαρτάνουσί τε πάντες,
ἅτε μήτε τὰ γένη τῶν πυρετῶν διελόμενοι, τάς τε διὰ τὴν δύναμιν, ἢ τὴν τῶν ὀργάνων κάκωσιν ἀλλοιώσεις
τῶν σφυγμῶν, αὐτῶν τῶν πυρετῶν ἰδίας εἶναι νομίζοντες. οἷον αὐτίκα παροξυσμῶν εἰσβαλόντων, οἱ μὲν
τοὺς πυκνούς τε καὶ μικροὺς, οἱ δὲ πρὸς τούτοις καὶ τοὺς ἀμυδροὺς, ἔνιοι δὲ καὶ τοὺς ἀνωμάλους, εἰσὶ δ' οἳ
καὶ τοὺς βραδεῖς, ὥσπερ ἄλλοι τοὺς ταχεῖς ἔθεντο γνωρίσματα. καί τοι γ' ἔνιοι τῶν πυρετῶν ἀθλίπτους, ὡς
αὐτοὶ καλοῦσι, ποιοῦνται τὰς εἰσβολὰς, ἐφ' ὧν εἰς μέγεθός τε καὶ τάχος ἡ πρώτη τροπὴ γίνεται τῶν σφυγ-
μῶν, εἶτ' ὀλίγον ὕστερον αὐξανομένοις, τοῖς δὲ καὶ ἡ πυκνότης ἐπιγίνεται, τῶν δ' ἄλλων σφυγμῶν τῶν εἰρη-
20 μένων οὐδεὶς αὐτοῖς, οὔτ' ἀρχομένων τῶν παροξυσμῶν, οὔτε αὐξανομένων, οὔτε ἀκμαζόντων ἐπιφαίνεται.
ἀλλὰ τούτοις μὲν, οὔτε ῥίγος, οὔτε φρίκη, τὶς οὔτ' ἀνωμαλία σαφής. ἀλλ' οὐδὲ ψύξις ἄκρων, ἢ τῆς ἐκτὸς ἐπι-
φανείας, οὐδὲ δῆξις, ἢ βάρος, ἢ θλίψις στομάχου συνεισβάλλει. τοῖς πλείστοις δ' ἤτοι ἔνια τῶν εἰρημένων, ἢ καὶ
πλείω συνεδρεύει. κἀν τισιν αὐτῶν ὀλίγον ὕστερον ἔμετος, ἐναργῶς ἐνδεικνύμενος ὡς ἐκ τοῦ συῤῥεῖν εἰς τὴν γαστέ-
ρα μοχθηροὺς χυμοὺς, οἱ μὲν ἐδήχθησαν αὐτῶν, οἱ δὲ ἐθλίφθησαν, οἱ δ' ἀσώδεις ἐγένοντο. προφανέστατα γὰρ ἐπὶ
τῶν πλείστων ἀρχῶν ἀναχωρεῖν μὲν ἁπάσης τῆς ἐκτὸς ἐπιφανείας τὸ αἷμα, συῤῥεῖ δ' εἰς τὰ σπλάγχνα, κἀκ τούτου,
θλίψεις τε καὶ σφηνώσεις, ἐμφράξεις τε καὶ διατάσεις ἀρτηριῶν γίνονται κυριῶν, ἐφ' αἷς οἱ ἀνώμαλοι σφυγμοὶ
ταῖς εἰσβολαῖς τῶν τοιούτων παροξυσμῶν συνεδρεύουσιν, ὥσπερ αὖ πάλιν οἱ ἀμυδροὶ διὰ τὴν τοῦ στομάχου
τε καὶ τῆς δυνάμεως κάκωσιν. οὕτως δὲ καὶ οἱ μικροὶ διά τε τὴν ἀῤῥωστίαν γίνονται τῆς δυνάμεως, καὶ διὰ τὴν ψύξιν.
ὥσπερ γε καὶ οἱ βραδεῖς ἐπὶ ταῖς ἰσχυραῖς ψύξεσιν. ἀλλὰ τούτων γε οὐδεὶς ὁμοίως τῇ διαστολῇ τὴν συστολὴν
30 ἐποιήσατο βραδεῖαν. ἀλλ' ἔστιν ἀχώριστόν τε καὶ ἰδιώτατον εἰσβολαῖς πυρετοῦ ἐπὶ σήψει χυμῶν, ἡ συστολὴ τῆς
ἀρτηρίας ὠκυτέρα γινομένη. καὶ ὅστις ἤσκηται γινώσκειν συστολὴν, ἀχώριστον ἀρχῆς παροξυσμοῦ τοῦθ' ἕξει
τὸ σημεῖον, ὅταν ὡς εἴρηται πολλάκις ὁ σφυγμὸς ἔχῃ τινὰ τόνον. ἐδείχθη γὰρ ἐπὶ τῶν ἀμυδρῶν ἀδιάγνωστος ἡ
συστολή. τοῦτ' οὖν ἀσκητέον ἐν τοῖς μάλιστα τὸν ἀκριβῶς βουλόμενον ἀρχὴν γνωρίζειν παροξυσμοῦ. ὅπως δ' ἂν
τις ὑπάρξοιτο τῆς ἀσκήσεως, ἐν τῷ πρώτῳ περὶ διαγνώσεως σφυγμῶν ἐπὶ πλεῖστον εἴρηται. τοῦτο τὸ σημεῖον ἀψευ-
δέστατόν ἐστι, καὶ χρὴ θαῤῥεῖν αὐτῷ μάλιστα, μετὰ τὰς διαγνώσεις ἐναργῶς φανέντι. ἔγωγ' οὖν ἐπὶ πολλῶν πολλά-
κις ὢν οὐδεπώποτε πρόσθεν ἡψάμην τῶν σφυγμῶν, οὐθ' ὑγιαινόντων οὔτε νοσούντων τούτῳ τῷ σημείῳ μόνῳ πι-
στεύσας, ἥμαρτον οὐδέποτε. ταῖς μὲν γὰρ ἄλλαις ἁπάσαις, εἴτ' οὖν ψύξις εἴη ὅλου τοῦ σώματος, εἴτε καὶ τοῦ στόματος
τῆς γαστρὸς, ὃ καταχρώμενοι στόμαχον ὀνομάζομεν, εἴτ' εἰς τὸ βάθος ῥοπαὶ τοῦ αἵματος, ἤτοι διὰ λύπην, ἢ φό-
βον, ἢ δι' ἄλλην τινὰ αἰτίαν γιγνόμεναι, παραπλήσιός ἐστιν ἡ βραδύτης τοῦ σφυγμοῦ, διαστελλομένης τε καὶ
40 συστελλομένης τῆς ἀρτηρίας, εὐθὺς δ' αὐτῇ σύνεστι καὶ ἡ ἀραιότης κατ' ἄμφω τὰς ἡσυχίας. μόναις δὲ ταῖς
πυρετικαῖς εἰσβολαῖς, κἂν ἡ διαστολὴ ποτὲ γένηται βραδυτέρα τῆς ἔμπροσθεν, ἀλλ' ἥ γε συστολὴ τάχος προσ-
κτᾶται, συναιρεῖται δ' ἔτι καὶ τῆς ἐκτὸς ἡσυχίας, ὡς πυκνότερον ἐνταῦθα γίνεσθαι τὸν σφυγμὸν οὐ μὴν
κατά γε τὴν ἐντὸς, ἀλλ' ἤτοι τῷ πρόσθεν ὡσαύτως, ἢ βραχεῖ τινι κατὰ τὸν καιρὸν τοῦτον ἀραιότερος φαίνεται.
παραβάλλειν δὲ δηλονότι χρὴ τὴν ἔμπροσθεν ἡσυχίαν ὡς πρὸς τὴν ἀφανῆ τῇ νῦν φαινομένῃ, μεμνημένον μὲν
ὅτι σύνθετός ἐστιν ἔκ τε τοῦ πέρατος τῆς συστολῆς καὶ τῆς ἀρχῆς τῆς διαστολῆς, καὶ τῆς μεταξὺ τούτων ἠρε-
μίας, ἐκλογιζόμενον δ' ὅσον ἑκατέρωθεν αὐτῇ προσῆλθεν ἐκ τοῦ μὴ φαινομένου μορίου τῶν κινήσεων, αὐτὸ δὲ
δὴ τοῦτο πάλιν ἐκλογίζεσθαι τῷ τόνῳ παραμετροῦντα. εἰ μὲν γὰρ ὡσαύτως ἔχει τόνου νῦν τε καὶ πρόσθεν ὁ
σφυγμὸς εἰς ὅσον ἂν ὁ χρόνος τῆς αἰσθητῆς ἡσυχίας γένηται μακρότερος, εἰς τοσοῦτο καὶ τὴν ὄντως ἡσυχίαν
ἡγεῖσθαι μεμηκύνθαι. εἰ δ' ἀμυδρότερος ἢ πρόσθεν γένοιτο, λογίζεσθαί τι καὶ διὰ τοῦτ' ἀποκεκρύφθαι τῶν
50 κινήσεων, ὅπερ ὑφαιρεῖν χρὴ τῆς αἰσθητῆς ἡσυχίας. εἰς τὴν τῆς ὄντως εὕρεσιν. εἰ γὰρ ὀλίγῳ μέν τινι τοῦ πρόσθεν
ὁ σφυγμὸς ἀτονώτερος γένηται, πολλῷ δὲ ἀραιότερος, ἡγητέον ἐκτετάσθαι τὴν ὄντως ἡσυχίαν. εἰ δ' ἀτο-
νώτερος μὲν πολλῷ, βραχεῖ δ' ἀραιότερος, ὡς πρὸς τὴν αἰσθητὴν διάγνωσιν, οὐκέτι καὶ τὴν ὄντως ἡσυ-
χίαν τὴν ἔνδον ἡγητέον ἐκτετάσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἰ τοῦ σφυγμοῦ βραχεῖαν ἀτονίαν προσλα-
βόντος ἀξιολόγως τινὶ φαίνοιτο τὰ τῆς πυκνότητος ἐπιτετάσθαι, συναιρεῖσθαι λογιστέον τὴν ὄντως ἡσυ-
χίαν. ἐφ' ὧν μὲν οὖν ἀμυδρότερος ὁ σφυγμὸς ἐγένετο κατὰ τὸν τῆς διαγνώσεως καιρὸν, ὡς εἴρηται, λογι-
στέον. ἐφ' ὧν δ' ὡσαύτως ἔχει τόνου, σαφεστάτη διάγνωσις ἐπὶ τούτων ἐστὶ καὶ τῆς ἐντὸς ἡσυχίας, ὡς λέλεκται
σκοπουμένοις. ὅταν οὖν ποθ' ὁ σφυγμὸς ἄτρεπτος μὲν ᾖ τἄλλα, θάττων γένηται κατὰ τὴν συστολὴν, ἀρχῆς
παροξυσμοῦ σημεῖον ἀχώριστον τέθεισο. γίγνεται δ' εὐθὺς τοιοῦτος σφυγμὸς καὶ πυκνότερος κατὰ τὴν ἐκτὸς
ἡσυχίαν, ἐπειγομένης τῆς φύσεως ἀποτρίψασθαι τὸ καπνῶδες περίττωμα, διὸ θᾶττον συστέλλεται. κατὰ μὲν

οὖν τὴν πρώτην ἀρχὴν τῆς γενέσεως αὐτοῦ διὰ τάχει τῆς συστολῆς μόνον ὁ σφυγμὸς παραλλάττων φαίνεται τοῦ πρόσθεν, ὀλίγῳ δ' ὕστερον καὶ πυκνοῦσθαι κατὰ τὴν ἐκτὸς ἠρεμίαν, πρωϊαίτερον ἀρχομένης συστέλλεσθαι τῆς ἀρτηρίας. τοῖς δ' ἐφημέροις πυρετοῖς, οὐχ ὑπάρχει τοῦτο, διὰ τὸ χωρὶς σήψεως γίγνεσθαι χυμῶν. οὐ μὴν οὐδὲ τοῖς ἑκτικοῖς, ὅτι μηδὲ ἄρχονταί ποτε, πλὴν εἰ συνέλθοι κατὰ τύχην ἑτέρα τις διάθεσις αὐτοῖς, ὥστ' ἐφ' ὧν ζητεῖται μάλιστα πυρετῶν ἡ ἀρχὴ τῶν παροξυσμῶν, ἔχειν ἡμᾶς δεῖ διαρκὲς τὸ σημεῖον. εἰ δὲ κατὰ τὴν πρώτην ἡμέραν, ἄρτι μεταπίπτοντος ἐξ ὑγείας εἰς νόσον ἀνθρώπου τινὸς ἁπτοίμεθα τῶν σφυγμῶν, εὐθὺς καὶ τὸ γένος ἡμῖν ἐνδείξεται τοῦ πυρετοῦ τὸ σημεῖον τοῦτο, συνεισβάλλον γὰρ τῷ παροξυσμῷ τὸν ἐπὶ σήψει τινὶ χυμοῦ τὸν πυρετὸν εἶναι φασίν. ἐδείχθησαν δ' ἐν ταῖς τῶν πυρετῶν διαφοραῖς ἐκτὸς αὐτοῦ γένους ὄντες τοῦ δέ, καὶ οἱ ἐπὶ ταῖς φλεγμοναῖς. ἀλλὰ διοριστέον αὐτοὺς τῶν ἐπὶ σήψει χυμῶν μόνῃ τῇ σκληρότητι. σκληρὰ γὰρ ἡ προσβολὴ τῆς ἐπὶ φλεγμοναῖς. εἰ μὲν οὖν διαγινώσκειν δύναιο τὴν ἐπὶ τάσει τῆς ἀρτηρίας σκληρὰν προσβολὴν τῆς ἐπὶ ψύξει τε καὶ σκληρότητι, τρεῖς ἕξεις ἐκ τούτου προγνώσεις αἰτίων προγεγονότων, ποτὸν ψυχρόν, οἶνον ἀκρατέστερον, φλεγμονήν, ἣν οὐ μόνον ἔμπροσθεν τοῦ παροξυσμοῦ γεγονὸς αἴτιον, ἀλλὰ καὶ παραμένον ἐροῦμεν. τὴν δὲ τοῦ ψυχροῦ τε καὶ τοῦ πλέονος ἀκράτου πόσιν, αὐτὴν μὲν προγεγονέναι, τὴν δ' ἀπ' αὐτῆς διάθεσιν ἔτι φυλάττεσθαι. σκληρύνονται μὲν οὖν ἐπὶ ταῖς βλαψάσαις ψυχροποσίαις οἱ χιτῶνες τῶν ἀρτηριῶν, ἐξηραίνονται δὲ ἐπὶ ταῖς τοῦ πλείονος οἴνου πόσεσιν. εἰ δὲ καὶ τῆς τῶν νεύρων ἀρχῆς ὁ οἶνος ἅψαιτο, καὶ τείνονται παραπλήσιον τοῖς προδηλοῦσι τὸν σπασμόν. ἐπὶ δὲ ταῖς φλεγμοναῖς ἄνευ τῆς τοῦ χιτῶνος οἰκείας σκληρότητος τείνονται, καὶ καλεῖται μὲν καὶ τότε σκληρὸς ὁ σφυγμὸς διὰ τὸ τῆς πληγῆς βίαιον, οὐ μὴν ἐσκλήρυνταί γε κατὰ τὸν ἑαυτῆς λόγον ἡ ἀρτηρία, καθάπερ ὅταν ἤτοι ξηρανθῇ πως, ἢ ψυχθῇ βίαιον, ἢ οἷον σκιρρώδη τινὰ δέξηται διάθεσιν. ταῦτα μὲν οὕτω διωρίσθω. τοὺς δ' ἐν τῇ πρώτῃ τῶν ἡμερῶν μηδόλως ἔχοντας τὸ λελεγμένον γνώρισμα, τῶν μὲν ἐπὶ σήψει χυμῶν ἀφοριστέον ἐστίν, ἤτοι δ' ἐφημέρους νομιστέον, ἢ ἑκτικούς. σπανιώτατα μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς συνίσταται πυρετὸς ἑκτικός. οὐ μὴν ἀδύνατός γε οὐδ' ἡ τοιαύτη γένεσις αὐτοῦ, ἀλλ' ὤφθησαν πού ἡμῖν καὶ οἱ τοιοῦτοι. τὰ μὲν οὖν ἄλλα πάντα αὐτῶν γνωρίσματα δι' ἑτέρας εἴρηται πραγματείας, ἐν ᾗ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς ἐσκοπούμεθα. τὰ δ' ἀπὸ τῶν σφυγμῶν εἰρήσεται νῦν. οὔθ' ὁ μέγας, οὔθ' ὁ σφοδρὸς σφυγμὸς ἅμα τοῖς ἑκτικοῖς ποτε συνεισβάλλουσι πυρετοῖς, ἀλλ' ὅτιπερ ἂν ὑπάρχῃ τούτων αὐτοῖς, οὐκ εἰσὶν ἑκτικοί. εἰ δὲ καὶ πάνθ' ἅμα παρείη, προφανῶς εἰσὶν ἐφήμεροι, τῆς γε συστολῆς αὐτῶν ὡς εἴρηται μὴ ταχυνούσης, ἴδιον γὰρ ἐκείνης τὸ τάχος ἐπὶ σήψει χυμῶν, ὧν τὰς κατὰ μέρος ἁπάσας διαφορὰς, ἐν τῇ προειρημένῃ πραγματείᾳ διῆλθον. εἰσὶ δ' ὡς ἐπὶ κεφαλαίων φάναι, πάντως μὲν οἱ κατὰ περιόδους παροξυνόμενοι, πάντως δ' οἱ συνεχεῖς ὅταν ὑπὲρ τὴν τρίτην ἡμέραν ἐκταθῶσιν. ἐκτὸς αὐτοῦ δὲ αὐτοῖς εἰσι γένους, καὶ οἱ ταῖς φλεγμοναῖς ἐπιγινόμενοι. κατὰ μὲν οὖν τὰς παρακμὰς, ἐκλύεται τὸ τάχος τῆς συστολῆς, καὶ μάλισθ' ὅταν εἰς ἀπυρεξίαν ἢ ἐγγὺς αὐτῆς ἀφίκωνται, κατὰ δὲ τὰς ἀρχὰς τῶν παροξυσμῶν γίνεται τυφομένων τρόπον τινὰ τῶν χυμῶν, ἐπιτείνεται δὲ κατὰ τὰς ἀναβάσεις. ἐγγὺς δ' ἤδη τῆς ἀκμῆς, ἐξημμένων τε τῶν χυμῶν καὶ ζεόντων ἀθρόαν μὲν αὔξην τὸ τάχος τῆς συστολῆς λαμβάνει, διαμένει δὲ ἴσον ἑαυτῷ τὸ τάχος τῆς συστολῆς. ὅταν δ' ἀκμάσῃ τελέως ὁ πυρετὸς, εἰς ἄκρον μὲν ἥκει τοῦ κατ' ἐκεῖνον τὸν παροξυσμὸν τάχους ἡ διαστολή, μειοῦται δὲ τὸ τάχος τῆς συστολῆς. οἱ μὲν οὖν πλεῖστοι τῶν ἰατρῶν καὶ μάλισθ' ὅσοι τὴν συστολὴν ἀδιάγνωστον αἰσθήσει φασὶν ὑπάρχειν, οὐδεὶς οὐδ' ἐγγὺς ἥκουσι τοῦ λελεγμένου σημείου, τῶν τε ἐπὶ σήψει χυμῶν ἁπάντων πυρετῶν τῆς τε καθ' ἕκαστον αὐτῶν παροξυσμὸν ἀρχῆς. ὀλίγιστοι δέ τινες ἀμυδρὰν εἰκόνα τοῦ πράγματος ἐοίκασιν ἑωρακέναι. γράφουσι γοῦν ἀδιορίστως τε καὶ ἀσαφῶς εἰς τοσοῦτον, ὡς μηδ' εἰκάσαι μηδένα τί ποτε βούλονται δηλοῦν. ἐξ αὐτῶν ἐστὶ καὶ ὁ Ἀρχιγένης, ὡς ἔνεστι γνῶναι τῷ βουληθέντι τό τε περὶ σφυγμῶν αὐτοῦ βιβλίον ἀναγνῶναι καὶ τὰ περὶ τῆς τῶν πυρετῶν σημειώσεως, ἢ τήν γ' ἐπιτομὴν αὐτῶν. ἐπεσκέμμεθα δὲ καὶ ἡμεῖς ἅμα ταῖς τῶν ἀσαφῶν ἐξηγήσεσιν ἐν ὑπομνήμασιν ὀκτὼ τὴν περὶ τῶν σφυγμῶν αὐτοῦ πραγματείαν. ἄριστα δέ μοι δοκοῦσιν ἀφωρίσασθαί τινες, εἰ προσθείημεν αὐτῷ τῷ λόγῳ διορισμόν τινα, τὴν ἐφ' ἑκάτερα μεταβολὴν τῶν σφυγμῶν ἀρχῆς παροξυσμοῦ σημεῖον ὑπάρχειν. ὃν δέ φημι χρῆναι προσθεῖναι διορισμόν ἐστιν, εἰ χωρὶς ἑτέρας προφάσεως ἡ ἀλλοίωσις γένοιτο. προφάσεις δ' ἔνιαι μὲν ἔξωθεν εἰσίν, οὐ μόνοις τοῖς ἰατροῖς, ἀλλὰ καὶ τοῖς ἰδιώταις γνώριμοι, τροφῶν καὶ ποτῶν προσφορὰ, καὶ κίνησις ἡτισοῦν, καὶ πάθος ψυχικὸν ὀργισθέντων, ἢ φοβηθέντων, ἢ ἀγωνισάντων, ἢ ὁπωσοῦν ἑτέρως ταραχθέντων. ἔνιαι δ' ἐξ αὐτοῦ τοῦ σώματος ὡρμώμεναι περὶ ὧν ὀλίγον ἔμπροσθεν εἶπον, ἡνίκα φρίκης τε καὶ ῥίγους καὶ καταψύξεως, ἔτι τε τῶν εἰς τὴν γαστέρα συρρεόντων ἐμνημόνευσα. μηδενὸς γὰρ τοιούτου περὶ τὸν κάμνοντα συμβαίνοντος ἡ ἐξαιφνίδιος ἐφ' ὁποτερονοῦν μεταβολὴ παροξυσμὸν ἀγγέλλει, θᾶττον μὲν καὶ μείζονος γινομένου τοῦ σφυγμοῦ, θερμασίας ὑποστρεφομένης τῇ τῶν ἀρτηριῶν ἀρχῇ, βραδυτέρου δ' ἢ μικροτέρου, ψύξεως, οὕτω δὲ καὶ ἡ μὲν πυκνότης ὁμολογήσει τῇ πλεονεξίᾳ τῆς θερμασίας, ἡ δ' ἀραιότης τῇ ψύξει. καὶ ἡ ἀμυδρότης δέ, καίτοι δι' ἄλλο τι σύμπτωμα γινομένη ταῖς τῶν παροξυσμῶν εἰσβολαῖς ἐστὶν οἰκεία, συρρεόντων ὑγρῶν μοχθηρῶν εἰς τὴν γαστέρα τηνικαῦτα, καὶ τῇ τοῦ στόματος αὐτῶν βλάβῃ κακούντων τὴν δύναμιν. ἡ δὲ ἀνωμαλία τῶν σφυγμῶν ἡ πολλοῖς τῶν παροξυσμῶν συνεισβάλλουσα θλιβομένων, ἢ ἐμφραττομένων ὑπόγυον ἀρτηριῶν, ἢ πλήθους τοῦ πρὸς τὴν δύναμιν ἐστὶ γνώρισμα. λόγῳ καὶ τούτων τοῦ παροξυσμοῦ γίγνεσθαι δυναμένων. ὅσαι μὲν οὖν μεταβολαὶ σφυγμῶν, ἤτοι τῆς ἐν τῇ καρδίᾳ θερμασίας αὐξανομένης, ἢ συρρεόντων ἔσω τῶν χυμῶν ἀποτελοῦνται, φανερῶς ἂν αὗται δόξαιεν ἐνδείκνυσθαι παροξυσμὸν ἀρχόμενον. ὅταν γ' ὡς εἴρηται τῶν ἄλλων ἀφορισθῶσι προφάσεων. ὅσαι δὲ ψύξεως, οὐκ ἔτ' ἐξ ἀνάγκης αὗται δόξουσι πυρετὸν εἰσβάλλοντα σημαίνειν, ἀλλ' ἐὰν κἀνταῦθα τὰς ἄλλας προφάσεις ἀφορισώμεθα ἁπάσας, ἕξομεν καὶ τὴν ψύξιν ἀγγέλλουσαν, ὅσον οὐδέπω πυρετὸν ἀναφθήσεσθαι. πνίγεται γὰρ κατ' αὐτὸ τῆς συρρεούσης ὕλης εἰς τὸ βάθος ἱκανῶς ψυχρᾶς ὑπαρχούσης, ὡς κινδυνεύειν σβεσθῆναι τὴν ἀρχήν, οἷον τι

κάπνος

ἱκανῶς συμβαίνει πολλάκις, ὅταν ὕλην ἅμα τε πολλὴν καὶ δύσκαυστον ἐπιβάλλωμεν ἀθρόως ὀλίγῳ πυρί,
κινδυνεύει μὲν γὰρ αὐτίκα σβεσθῆναι, μὴ σβεσθὲν δ' ἀλλ' ἀντισχόν, ὑποτύφειν τε τὴν ὕλην ὀλίγον ὕστερον ἄρ-
ξεται καί τινα θερμασίαν γεννᾷ, τὰ μὲν πρῶτα καπνώδη, προϊόντος δὲ τοῦ χρόνου καὶ φλογώδη. μέχρι περ
ἀκριβῶς κρατήσαν τῆς ὕλης καθαρὰν ἐργάζεται τὴν φλόγα. τῆς γὰρ τοιαύτης φλογός, οὐ καπνός ἐστι τὸ ἀ-
πορρέον, ἀλλ' αἰθαλός τε καὶ λιγνύς ἐστιν, ἄμφω γὰρ ὀνομάζεται τὸ καθοπτηθὲν τῆς ὕλης ἀναφερὲς περίττωμα,
καθάπερ γε τὸ κατωφερές, τέφρα τε καὶ σποδιὰ καλεῖται. ἀνάλογον δή μοι νόει κἀπὶ τῶν πυρετῶν. ὅταν
ἐν ἀρχῇ παροξυσμοῦ πλῆθος ὕλης ψυχρᾶς ἐπὶ τὴν καρδίαν ἀφίκηται, τὰ μὲν πρῶτα κίνδυνον γίνεσθαι
θανάτου, καὶ προδηλώσει τὸν κίνδυνον ἡ ἐπὶ πλεῖστον εἰς ἀραιότητά τε, καὶ βραδυτῆτα, καὶ μικρότη-
τα τροπὴ τῶν σφυγμῶν. ἂν γὰρ ἐπιγένηται τούτοις ἀμυδρότης ἀξιόλογος, αὐτίκα τεθνήξονται. μὴ γενο-
10 μένης μέντοι τῆς ἀμυδρότητος, ἀναμάχεται τὴν ἧτταν ταύτης ἡ φύσις, ἐπεγείρει τε τὴν κίνησιν τῶν ἀρ-
τηριῶν ἐπὶ τὸ μεῖζόν τε καὶ θᾶττον καὶ πυκνότερον, ὥστε τὰς κινήσεις ἀμφοτέρας μὲν γίνεσθαι θάττονας, ἀλλ'
ἐπιφανέστερον τὴν τῆς συστολῆς, καὶ παραυξάνεσθαί γε διὰ ταχέων αὐτὴν αἰσθητῶς, ἄχρις ἂν ὁ παροξυσμὸς αὐ-
ξάνηται, τῷ χρόνῳ δ' ὅταν ἐγκρατὲς τῆς ὕλης γένηται τὸ θερμόν, ἡ οἷον φλὸξ ἀνάπτεται. καὶ τοῦτ' ἔστιν ἡ
ἀκμὴ τῶν παροξυσμῶν, τὸ μὲν αἰθαλῶδες περίττωμα διά τε τῆς ἐκπνοῆς, καὶ τῆς τῶν ἀρτηριῶν συστολῆς ἀ-
ποχεούσης τῆς φύσεως, τὸ δ' οἷον τεφρῶδες διὰ πάχους μὲν οὐ δυναμένης ἐκκρίνειν ὁμοίως, αἰσθητοῖς δὲ
τισιν ἐξοχετευούσης πόροις. ἔστι δὲ τοῦτο κατὰ μὲν τὰ φλεγμαίνοντα μόρια τὸ πῦον. ἐν δὲ τοῖς ἀγγείοις αὐ-
τοῖς, ὅπερ ἐν τοῖς οὔροις ὑφίσταται. περὶ μὲν δὴ τούτων ἐν ταῖς περὶ τῶν πυρετῶν πραγματείαις, ἐπὶ πλεῖ-
στον εἴρηται, τοὺς σφυγμοὺς δ' ὡς ἔφαμεν ἀναγκαῖον ἐστὶ τὰς εἰρημένας τροπὰς ἐν ἑκάστῳ τε καιρῷ τοῦ σύμ-
παντος ἔχειν παροξυσμοῦ. καὶ δὴ καὶ κατὰ τὴν ἀρχὴν ὡς ἐλέγομεν, οὐ κακῶς ἀποφαίνεσθαι τινὰς ἅπασαν
20 μεταβολὴν αὐτῶν ἐφ' ἑκάτερα. πρὸς δὲ τὸ φυλάττειν ἀκριβῶς τὰς εἰρημένας διαγνώσεις ἀσκητέον ἐστὶ δια-
κρίνειν ἁπάσας τὰς ἀπὸ τῶν ἄλλων προφάσεων ἀλλοιώσεις τῶν σφυγμῶν, εἰς ἃς καί τοι φυλαττόμενος ὁ ἀρ-
χιγένης ἐμπίπτει πολλάκις, ὥστε μακρολογεῖν τε ἅμα καὶ ταράττειν τὴν διδασκαλίαν τοῖς ἰδίοις, καὶ ἀχω-
ρίστοις ἑκάστου τῶν καιρῶν γνωρίσμασι, συνακολουθοῦντα πολλάκις ὁ μοτίμως γράφων, καίτοι γ' ἐν ἐλα-
χίστῳ κεῖται μεθόδῳ ληφθέντα. τὴν μὲν γὰρ καθαρὰν θερμότητα τῆς διαστολῆς ἡ κίνησις ἐνδείκνυται. τὴν δὲ
οἷον καπνώδη τῆς συστολῆς. αἱ δ' ἄλλαι τῶν σφυγμῶν ἀλλοιώσεις, ἤτοι διὰ τὴν τῆς δυνάμεως, ἢ τὴν τῶν ὀρ-
γάνων γίνονται μεταβολήν. ἑκάτερον δὲ τούτων ἐπί τισιν ἑτέροις αἰτίοις προηγουμένοις, ὧν τὰ πλεῖστα πά-
λιν ἐφ' ἑτέροις προκατάρξεσιν. ὀνομαζέσθω γὰρ ἕνεκα σαφοῦς διδασκαλίας, ὅσα μὲν ἐκ τοῦ σώματος ὁρ-
μᾶται τῶν ἀλλοιούντων αἰτίων, ἤτοι τὴν δύναμιν, ἢ τὰ ὄργανα προηγούμενα. τούτων δ' αὐτῶν ὅσα ἂν πά-
λιν ἔξωθεν ὄντα τοῦ σώματος αἴτια τῆς ἀλλοιώσεως ἐγένετο προκατάρχοντα. λέλεκται δ' ἡμῖν ἡ περὶ ταῦτα
30 μέθοδος ἅπασα δι' ἑτέρας πραγματείας, ἣν περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπιγράφομεν. οὐδὲν οὖν
θαυμαστόν ἐστιν, εἰ ταῦτά τις ἅπαντα μνήμῃ πρόχειρα ποιησάμενος ἀσκήσας τε διαγινώσκειν ἑτοίμως ἅ-
παντας τοὺς σφυγμοὺς ἐπιστημονικῶς, ἐνίοτε τὰ προγεγονότα τῶν αἰτίων ἐπὶ τῶν καμνόντων ἐξευρήσει.
οὗτος μὲν οὖν ὁ λόγος ἐνταυθοῖ τελευτάτω. περὶ δὲ τῆς καθ' ὑγρότητά τε καὶ ξηρότητα δυσκρασίας,
αὐτῆς τε τῆς καρδίας καὶ προσέτι τῶν ἀρτηριῶν, ἑκάστης τε καταμόνας, ἁπασῶν τε κοινῶς, ἐφεξῆς δίειμι.
εἴρηται μὲν οὖν τινὰ καὶ περὶ τούτων ἔμπροσθεν, ἀλλ' ἡ τοῦ λόγου τάξις ἰδίαν αὐτῶν ἀπαιτοῦσα διδασκα-
λίαν, ὡς οὐδενὸς εἰρημένου περανθήσεται. ποτὲ μὲν οὖν ἡ καρδία ξηροτέρα γενομένη τοῦ κατὰ φύσιν, ἁπά-
σας ἑαυτῇ συναλλοιώσει τὰς ἀρτηρίας, ἐνίοτε δὲ καθ' ἕν τι τοῦ ζώου μόριον, ἢ καὶ πλείω συμβήσεται τοῦτο
ταῖς ἀρτηρίαις. ἔστι δὲ ὅτε τὴν ἐναντίαν μὲν ἕξουσι διάθεσιν ὅσον ἐφ' ἑαυταῖς αἱ ἀρτηρίαι τῇ καρδίᾳ, δέ-
ξονται δὲ καὶ τὴν παρ' ἐκείνης, ὥστε συστῆναι μέσην τινὰ διάθεσιν αὐτοῖς ἐν ὑγρότητί τε καὶ ξηρότητι, ὥσ-
40 περ ἔμπροσθεν ἐπὶ τῆς κατὰ θερμότητα καὶ ψυχρότητα δυσκρασίας ἐλέγομεν, αἴτια δὲ προηγούμενα τὰ μὲν
τὰς ἀρτηρίας ἀποφαίνοντα ξηροτέρας, ὕδατα θειώδη καὶ στυπτηριώδη. καὶ ἁπλῶς εἰπεῖν ὅσα ξηραίνειν πέ-
φυκε, οὐχ ὕδατα μόνον, ἀλλὰ καὶ φάρμακα πολυχρονίως ὁμιλήσαντα μορίῳ τινὶ τοῦ σώματος, ἐν ᾧπερ ἂν ἡ τοι-
αύτη δυσκρασία κατὰ τὰς ἀρτηρίας γενομένη, τὸν σφυγμὸν αὐτὸν ἐργάσεται σκληρότερον. οὐχ ἥκιστα δὲ
κἂν ταῖς πλείσταις τῶν ἀτροφιῶν, αἱ ἀρτηρίαι τῶν ἀτροφούντων μορίων γίνονται ξηρότεραι, καὶ τὸν
σφυγμὸν ἀποφαίνουσι σκληρότερον. ἐν αὐτῇ δὲ τῇ καρδίᾳ τὴν κατὰ ξηρότητα δυσκρασίαν ἀποτελεῖ.
καὶ ἡ δίαιτα μὲν εἰ πολυχρόνιος ἐπὶ τὸ ξηρότερον ἀχθείη. καὶ μέντοι καὶ τῶν φαρμάκων τῶν ξηραινόντων
ἐδωδαί τε καὶ πόσεις, ἐν οἷς ἐστὶ καὶ ὁ ἄκρατος οἶνος, ἔνδειά τε τροφῆς, ἢ κατὰ ἄλλην τινὰ αἰτίαν, ἢ διὰ πάν-
δημον λιμόν, ἐνίοτε δὲ καὶ ποτόν ὡς ἐν ἀπλοίαις μακραῖς. ἔτι δὲ πόνων ἀμετρία καὶ γῆρας καὶ φροντὶς καὶ
λύπη καὶ ἀγρυπνία πολυχρόνιος, οἵ θ' ἑκτικοὶ πυρετοὶ καὶ μάλισθ' ὁ μαρασμώδης. ταῦτα οὖν πάντα τὰ
50 εἰρημένα καὶ κατὰ μόνας γενόμενα καὶ σὺν δύο καὶ τρία καὶ πλείονα συνιόντα, ξηροτέραν μὲν ἐργάζεται
τὴν καρδίαν, σκληρότερον δὲ τοῦ κατὰ φύσιν εἰς τοσοῦτον τὸν σφυγμὸν εἰς ὅσον ἂν ἡ ξηρότης αὐξηθῇ. ὑγρᾶς
δὲ δυσκρασίας αἴτια, τά τε τοῖς μορίοις ἐγγινόμενα πολυχρόνια τῶν οἰδημάτων, καὶ οἱ λευκοφλεγματίαι
τῶν ὑδέρων, οἳ καὶ τὴν καρδίαν ἀλλοιοῦσι, καὶ μέντοι καὶ τὰ τῶν κυρίων σπλάγχνων οἰδήματα πάντα ταῦ-
τα τὰς μὲν ἀρτηρίας ὑγρὰς ὥσπερ καὶ τὴν καρδίαν. τοὺς σφυγμοὺς δὲ ἐργάζεται μαλακούς. αἴτια δὲ μα-
λακότητος σφυγμῶν ἐστι μετρίας τε καὶ οὐχ ἱκανῶς ἐκδήλου καὶ τὰ τοιαῦτα, ἐδωδαὶ πλείους ὑγραινόν-
των ἐδεσμάτων, ἀργία τε πολλή, καὶ ὕπνοι μακροί, καὶ τὰ μετὰ τροφὴν λουτρά. τοῖς μὲν οὖν σκληροῖς σφυ-
γμοῖς ἐδείκνυτο πρόσθεν ἑπομένη ἡ μικρότης, ὥσπερ τοῖς μαλακοῖς τὸ μέγεθος. αὐτοῖς δὲ τούτοις πάλιν
ἑπόμενα, τάχος τε καὶ βραδύτης, ἔτι τε πυκνότης καὶ ἀραιότης. ἐδείχθησαν δὲ καὶ τῶν ἄλλων αἰτίων
αἱ συζυγίαι. λέγω δ' αἴτια νῦν, τὰ πρῶτά τε καὶ οἷον συνεκτικὰ τῆς τῶν σφυγμῶν γενέσεως τὴν χρείαν τε

καὶ τὴν δύναμιν. ὥστε οὐδὲν ἔτι λείπει τῶν τῇ καρδίᾳ συμβαινόντων ἐπὶ δυσκρασίαις. οὐ μὴν οὐδ᾽ ὄγκοι τινὲς ἐν αὐτοῖς γίνονται τοὺς σφυγμοὺς ἀλλοιοῦντες εἰς σκληρότητα, καθάπερ ἐφ᾽ ἑτέρων σπλάγχνων αἱ φλεγμοναί τε καὶ οἱ σκίρροι. φθάνει γὰρ ἀπολέσθαι τὸ ζῷον συγκοπτόμενον ἐπὶ τῇ τῶν τοιούτων ὄγκων γενέσει. πάντ᾽ οὖν εἴρηται τὰ περὶ τὴν καρδίαν ὅσα τοὺς σφυγμοὺς ἀλλοιοῖ. ὥστε κἀμοὶ καιρὸς ἥκει καταπαύειν μὲν ἤδη τὸν ἐνεστῶτα λόγον, ἐν τῷδε. μεταβάντι δ᾽ ἐπὶ τὸν τέταρτον, ἁπάντων τῶν ἄλλων μορίων τῶν τοῦ σώματος ἐξηγήσασθαι τὰς διαθέσεις, ὅσαι τε κατὰ δυσκρασίαν τινὰ γίνονται, καὶ ὅσαι δι᾽ ὄγκους παρὰ φύσιν, ὁποῖός τέ τις ἑκάστῃ σφυγμὸς ἕπεται.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ. ΒΙΒΛΙΟΝ Δ΄.

Τέταρτος ἡμῖν οὗτος ὁ λόγος ἐστὶ τῆς διὰ σφυγμῶν προγνώσεως. ἐν μὲν τοῖς πρώτοις δύο καθ᾽ ἕκαστον σφυγμὸν προελθόντα τὰς γεννώσας αὐτὸν ἐπισκεψαμένοις διαθέσεις, ἐν δὲ τῷ τρίτῳ καθ᾽ ἑκάστην διάθεσιν τοὺς οἰκείους σφυγμοὺς ἐξευροῦσιν. ἠρξάμεθα δ᾽ ἀπὸ τῶν τῇ καρδίᾳ συμβαινόντων, ἐν οἷς εἰσὶ καὶ πυρετοὶ πάντες, ὡς ἐν τοῖς ὑπὲρ αὐτῶν ἐπιδέδεικται λόγοις. ὅπερ οὖν ὑπόλοιπον ἔτι τὰς ἐν τοῖς ἄλλοις ἅπασι μορίοις τοῦ ζώου διαθέσεις, αἷς ἡ καρδία συμπάσχουσα τοὺς σφυγμοὺς ἀλλοιοῖ, διέλθωμεν ἁπάσας, ἑξῆς ὥσπερ καὶ τἄλλα πρόσθεν εἰς μέθοδον ἄγοντες. ἐν μὲν δὴ τοῦτο μόνον ἁπασῶν αὐτῶν κοινὸν ἐπίστασθαι χρή, τὸ μηδέ ποτε δύνασθαι τοὺς ἐν ὅλῳ τῷ ζώῳ σφυγμοὺς εἰς κοινὴν ἀλλοίωσιν ἀχθῆναι, πρὶν τὴν καρδίαν συμπαθεῖν τῷ προτέρῳ πεπονθότι μορίῳ, κατὰ μέρη δέ τινα τοῦ σώματος, ἀλλοιωθῆναι τινὰς ἀρτηριῶν κινήσεις δύνασθαι, καὶ χωρὶς τοῦ πρὸς τὴν καρδίαν ἀφικέσθαι τὴν βλάβην. ἐπὶ δὲ τούτῳ μνημονευομένῳ πρώτας μὲν ἐπέλθωμεν ὅσαι τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐγγίνονται διαθέσεις, εἶθ᾽ ἑξῆς, ὅσαι τοῖς τροφικοῖς ὀνομαζομένοις, εἶτ᾽ αὖθις, ὅσαι τοῖς κατὰ κεφαλήν. καὶ τελευταίας, ὅσαι τοῖς περὶ κῶλα, καὶ τὰ προφανῆ τοῦ ζώου μόρια. κἄπειθ᾽ ὅσαι τοῖς γεννητικοῖς. τὰ μὲν οὖν ἀναπνευστικὰ μόρια τοῦ ζώου δύο ἐστὶ μόνα, πνεύμων, καὶ θώραξ. τὰ δὲ τῆς τροφῆς ὄργανα πολὺ πλείω δυοῖν, ἧπαρ, καὶ γαστήρ, ἔντερά τε καὶ σπλήν, οἱ νεφροί, καὶ αἱ κύστεις ἀμφότεραι. ταχίστην θ᾽ ἅμα καὶ μεγίστην ἁπάντων ἐπιφέρει τῇ καρδίᾳ τὴν βλάβην ὁ πνεύμων. καὶ γὰρ τῇ θέσει πάντων ἔγγιστα καὶ τοῖς ἀγγείοις αὐτῇ συγγενέστατος ὑπάρχει, καὶ σύρρους μεγίστοις στόμασιν εἰς ἀμφοτέρας τὰς κοιλίας ἐστίν. εἰ γοῦν ἑαυτοῦ γένοιτό ποτε θερμότερος αὐτίκα καὶ τὴν καρδίαν θερμαίνει. κἂν ᾖ ψυχρότερος, οὐδὲ τοῦτ᾽ ἀναβάλλεται. τάς τε καθ᾽ ὑγρότητά τε καὶ ξηρότητα δυσκρασίας, οὐχ ὁμοίως μὲν ταῖς εἰρημέναις, θᾶττον δ᾽ οὖν καὶ ταύτας ἁπάντων τῶν ἄλλων ὀργάνων ἐπιπέμπει τῇ καρδίᾳ. καὶ τὰ πληθωρικὰ δ᾽ ἐν αὐτῷ νοσήματα, καὶ μάλιστα ὅταν ἐρυσιπέλας, ἢ φλεγμονὴ καταλάβῃ τὸ σπλάγχνον, αὐτίκα τῆς καρδίας ἀλλοιοῖ τὰς ἐνεργείας. ὡσαύτως δὲ καὶ ὅσα διὰ φλεγματικὸν ῥεῦμα συνίσταται παθήματα, κατ᾽ αὐτὸν εἰς συμπάθειαν ἐπισπᾶται τὴν καρδίαν. ἀλλ᾽ ἀπὸ τῶν δυσκρασιῶν ἀρκτέον ὅσαι ἄνευ ῥεύματος γίνονται. καὶ πρώτην γ᾽ ἐξ αὐτῶν προχειριστέον ἐστὶ τὴν κατὰ θερμότητα. τῷ τοίνυν πνεύμονι θερμανθέντι, νοσωδῶς ἡ καρδία συνθερμανθεῖσα, τοὺς ἐπὶ τῇ χρείᾳ τῶν σφυγμῶν αὐξηθείσῃ γιγνομένους ἐργάζεται σφυγμούς. εἰ δ᾽ ἐν πλείονι χρόνῳ τοῦτο συμβαίνῃ, κίνδυνος αὐτῇ τὸν ἑκτικὸν ἀναδέξασθαι πυρετόν. οὗ τὰ γνωρίσματα πρόσθεν εἴρηται. ἡ μὲν δὴ τῶν σφυγμῶν ἀλλοίωσις ἡ αὐτὴ γενήσεται τῆς καρδίας μόνης αὐτῆς καθ᾽ ἑαυτὴν δυσκράτως ἐχούσης, ἐπί τε τῇ πρὸς τὸν πνεύμονα συμπαθείᾳ. καὶ μέντοι καὶ ἡ τῆς ἀναπνοῆς ἰδέα τὴν αὐτὴν ἕξει κατάστασιν, εἴθ᾽ ἡ καρδία μόνη τὴν πυρετώδη πάθοι δυσκρασίαν, εἴτε τῷ πνεύμονι συμπάσχοι. πλέονος δ᾽ αἰσθήσεται καύματος ἐν ἅπαντι τῷ κύτει τοῦ θώρακος, ὁ διὰ τὸν πνεύμονα πάσχων, ἐκπνεύσει τε θερμὸν ἱκανῶς ὡς καὶ διψήσει θατέρου μᾶλλον, καὶ θερμοτέραν ἕξει τήν τε φάρυγγα καὶ τὴν γλῶτταν, ὡς τὰ πολλὰ δὲ καὶ ξηροτέραν. εἰ δ᾽ ἐπὶ πλέον ἥκει τὸ κακόν, χρωσθήσεται χρώματι μέλανι τὴν γλῶτταν, καὶ τραχεῖαν ἐσχάτως ἕξει. ψυχθέντος δὲ τοῦ πνεύμονος ἡ καρδία συμπάσχουσα κατ᾽ ἀρχὰς μὲν εἰς ἐκείνην ἄξει τοὺς σφυγμοὺς τὴν ἀλλοίωσιν, ἣν ἔμπροσθεν ἐδείξαμεν ἐκλυομένης τῆς χρείας συνίστασθαι, προϊόντος δὲ τοῦ χρόνου ψύξιν ἑκτικὴν ἀναδεξαμένη τοὺς ἐπὶ ταύτῃ κρατούσῃ λελεγμένους γίγνεσθαι σφυγμοὺς ἀπεργάσεται. τὰ μὲν οὖν ἄλλα κοινὰ τοῖς τε τὴν καρδίαν μόνην ἐψυγμένοις ἐστί, καὶ τοῖς τὸν πνεύμονα, συμπάσχει γὰρ ἐξ ἀνάγκης τὸ ἕτερον τῷ ἑτέρῳ. πρόσεστι δ᾽ ἐξαίρετον οἷς ὁ πνεύμων ἔψυκται πρῶτος αἴσθησις ψυχρᾶς τῆς ἀναπνοῆς. εἰ δὲ καὶ κατὰ ξηρότητα δύσκρατος ὁ πνεύμων γένοιτο, κατ᾽ ἀρχὰς μὲν οὐδέν τι σαφὲς ἀλλοιώσει τοὺς σφυγμούς, ἐν τῷ χρόνῳ δ᾽ ἄν ποτε σκληροτέρους ἐργάσεται, τῆς καρδίας συμπαθούσης αὐτῷ. τούτοις ἡ φάρυγξ ἑτοίμως ξηραίνεται, καίτοι γ᾽ οὐ διψῶσιν, ἡ δὲ καθ᾽ ὑγρότητα δυσκρασία πλαδαρὰν μὲν καὶ ἄδιψον ἐργάζεται τὴν φάρυγγα, τῷ χρόνῳ δ᾽ ἀλλοιοῖ τοὺς σφυγμοὺς εἰς μαλακότητα. τοιαῦται μὲν αἱ ἁπλαῖ δυσκρασίαι τοῦ πνεύμονος. αἱ σύνθετοι δ᾽ ἐκ τούτων γνωριζέσθωσαν. ἥκει γὰρ ἤδη καιρὸς ἐπὶ θάτερον ἰέναι γένος, ὃ ῥευμάτων ἔγγονον ἔφην ὑπάρχειν. ἔστι δ᾽ ἐν αὐτῷ κοινὸν μὲν ἁπάντων ἀνωμαλία τῶν σφυγμῶν, ἔμφραξίς τε γὰρ ἑτοίμως, καὶ σφήνωσις, καὶ θλῖψις τῶν κυριωτάτων ἀρτηριῶν, ἐπὶ τοῖς τοιούτοις γίνεται ῥεύμασιν. οὐχ ἧττον δὲ τούτων καὶ τὸ πρὸς τὴν δύναμιν πλῆθος, ὡς ἂν ἐγγὺς οὕτω κειμένης τῆς καρδίας τῷ πνεύμονι, καὶ διὰ μεγάλων στομάτων ἐχούσης τὴν σύρροιαν. ἡ μὲν οὖν ἀνωμαλία κοινὴ πάντων ῥευμάτων, ὅσα κατασκήπτει τῷ πνεύμονι, τοῦ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτῇ, παρά τε τὴν σύστασιν καὶ τὸ ποσὸν τοῦ χυμοῦ, γιγνομένου. ἐλάττων μὲν γὰρ ἐπί τε τοῖς λεπτοῖς καὶ ὀλίγοις, ἀξιολογωτέρα δὲ ἐπί τε τοῖς παχέσι καὶ γλίσχροις, καὶ πολλοῖς ἀποτελεῖται ῥεύμασι, καὶ γὰρ ἐμφράττει ταῦτα καὶ θλίβει καὶ βαρύνει μᾶλλον.

λου. αἱ δ' εἰς τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἀλλοιώσεις, ὑπὸ μὲν τοῖς θερμοτέροις ῥεύμασιν, οἵας ὑπὸ
πλήθει θερμασίας. ὑπὸ δὲ τοῖς ψυχροτέροις, οἵας ἐπὶ ἐνδείᾳ πρόσθεν ἔφαμεν συνίστασθαι. σκληρότεροι δὲ γί-
νονται παρὰ φύσιν ὑπό τε ταῖς ξηραῖς δυσκρασίαις, καὶ τοῖς φλεγμονώδεσιν ὄγκοις ἢ σκιῤῥώδεσιν τοῦ πνεύμο
νος. ὥσπερ γε καὶ μαλακώτεροι διὰ τὰς οἰδηματώδεις διαθέσεις. οὐ μὴν οὐδὲ τὸ τῆς ἀναπνοῆς εἶδος ὅμοιον,
ἐπί τε ταῖς δυσκρασίαις ἐστὶ, καὶ τοῖς ῥεύμασιν, αἱ μὲν γὰρ ψυχραὶ δυσκρασίαι, μικρὰν, καὶ βραδεῖαν, καὶ
ἀραιὰν ἐργάζονται τὴν ἀναπνοὴν, ὥσπερ καὶ τοὺς σφυγμούς. τὰ μὲν δὴ ῥεύματα τὰ ψυχρὰ τοὺς μὲν σφυγ-
μοὺς ὁμοίως ἀλλοιοῖ, τὴν δ' ἀναπνοὴν, οὔτε μικρὰν, οὔτε βραδεῖαν, οὔτε ἀραιὰν ἐργάζεται. διὰ γὰρ τὴν
στενοχωρίαν ὀλίγου πνεύματος ἐμπίπτοντος τῷ πνεύμονι, καὶ διὰ τοῦτο τῆς φύσεως ἐκλιπῶς ἀπολαβούσης
αὐτοῦ, συμβαίνει τὴν δευτέραν ἐνέργειαν αὐτίκα τε καὶ ταχεῖαν ἅμα καὶ μεγάλην ἀποτελεῖσθαι, καὶ μόναις
ταύταις τῶν δυσπνοιῶν ὡς κἀν τῇ περὶ αὐτῶν ἐδείχθη πραγματείᾳ, συμβέβηκεν ὑπεναντίως ἔχειν τῇ διασ-
τολῇ τοῦ θώρακος τὸ ποσὸν τῆς εἰσπνοῆς. μέγιστον μὲν γὰρ ὁ θώραξ διαστέλλεται, πλεῖστον δ' οὐκ εἰσπνεῖται,
καθάπερ ὅτε ἄφρακτος ὁ πνεύμων ὑπάρχων. ἡ μὲν οὖν ἰδέα τῆς ἀναπνοῆς ὁμοία τοῖς ῥεύμασιν ἅπασιν ὑπάρ-
χει. τὸ πνίγεσθαι δ' οὐχ ὁμοίως ἅπασιν, ἀλλὰ τοῖς θερμοῖς ἅπασι μᾶλλον ἕπεται, ἐπειδὴ πλείονος τῆς εἰσ-
πνοῆς ἡ φύσις δεῖται τηνικαῦτα. διὰ δὲ τὰς δυσκρασίας μόνας οὐδεὶς ἕπεται κίνδυνος πνίξεως. καὶ τοῖς
σφυγμοῖς δ' αὐτοῖς ἐγγίνεταί τις ἑτέρα διαφορὰ παρὰ τὰς ἔμπροσθεν εἰρημένας, ἐν τῷ τὸ ῥεῦμα ποτὲ μὲν
εἰς αὐτὰς μόνας ἐμπίπτειν τὰς τραχείας ἀρτηρίας, ποτὲ δ' εἰς τὰς λείας τε, καὶ τὰς φλέβας, ἢ καὶ τὰς με-
ταξὺ χώρας αὐτῶν ἁπάσας μεταλαμβάνειν. ὑπὸ μὲν γὰρ ταῖς τραχείαις ἀρτηρίαις μόναις πληρωθείσαις, οὐδὲ μία
κατὰ σκληρότητα γίνεται μεταβολὴ τοῖς σφυγμοῖς. ὑπὸ δὲ ταῖς λείαις, αἱ καθ' ὅλον τὸ ζῶον ἀρτηρίαι τει-
νόμεναι σκληρότερον ἐργάζονται τὸν σφυγμόν. τὰ δ' οἰδήματα τοσοῦτον ἐνδεῖ τοῦ σκληρύνειν αὐτὸν, ὥς
τε καὶ μαλακώτερον ἀποτελεῖν, διαβρέχοντα μὲν ἐν τῷ χρόνῳ τοὺς χιτῶνας τῶν ἀρτηριῶν, τάσιν δ' οὐδὲ μί-
αν ἐργαζόμενα, καθάπερ ὑπὸ τῶν φλεγμονωδῶν τε καὶ σκιῤῥωδῶν ὄγκων ἔχει. μὴ τοίνυν ὀνόματα ζήτει ἀ-
κούειν ἔτι περὶ πνευμονιῶν ἢ ἀσθμάτων ἢ πνευμονωδῶν παθῶν, μεμαθηκὼς τὰς διαθέσεις τοῦ πνεύμονος. ὅτι
γὰρ ἡ διὰ τῶν ὀνομάτων διδασκαλία πρώτην μὲν ἔχει τὴν περὶ τὸ σημαινόμενον ἀμφισβήτησιν, δευτέ-
ραν δὲ τὴν τοῦ ἀριθμοῦ τῶν νοσημάτων ἄγνοιαν, ἐν πολλαῖς πολλάκις ἐπιδέδεικται πραγματείαις.   ἀλλ'
ἤδη τὰ τοῦ θώρακος ἰέναι καιρὸς ἤδη νοσήματα κατὰ τὴν αὐτὴν μέθοδον. αἱ μὲν δὴ δυσκρασίαι τὰς αὐτὰς ἀλλοιώ-
σεις ἐργάζονται ταῖς ὀλίγον ἔμπροσθεν ἐπὶ τοῦ πνεύμονος εἰρημέναις. οἱ δ' ὄγκοι κατά τε τὴν ποσότητα
καὶ τὴν ἰδέαν ἑκάστου τῶν ἐργασαμένων αὐτῶν χυμῶν. διαλλάξουσι δὲ τῷ θᾶττον μὲν καὶ μᾶλλον τῷ
πνεύμονι συμπάσχειν τὴν καρδίαν, ἧττον δὲ καὶ βραδύτερον τῷ θώρακι. διαλλάξουσι δὲ κἀν τῷ ποτὲ μὲν
νῦν εἶναι τὸ πάσχον μόριον τοῦ θώρακος. ποτὲ δὲ τὸν ὑπεζωκότα τὰς πλευρὰς χιτῶνα. πλείων γὰρ ἡ τά-
σις ὑπὸ τοῖς σκληροῖς καὶ πυκνοῖς μορίοις εἰς ὄγκον ἀρθεῖσιν. καὶ διὰ τοῦτο καὶ οἱ πλευριτικοὶ τῶν περιπνευ-
μονικῶν ἀεὶ σκληρότερον ἔχουσι τὸν σφυγμόν. ὁμαλὸς δὲ τοὐπίπαν ὑπὸ τοῖς κατὰ τὰς πλευρὰς ὄγκοις ὁ σφυγ-
μος, οὐχ ὥσπερ ἐπὶ τοῖς κατὰ τὸν πνεύμονα παντοίως ἀνώμαλος. οὔτε γὰρ διὰ μεγάλων ἀγγείων, οὔτ' ἐγγὺς
τῆς καρδίας ἡ κοινωνία τῷ θώρακι πρὸς αὐτήν ἐστι. περὶ δὲ τῆς κατὰ τὴν δύσπνοιαν ἰδέας, οὐδὲν ἐν τῷ δὲ τῷ
λόγῳ δέομαι λέγειν ὥσπερ ἐπὶ πνεύμονος ἐνδέηθεν διακεῖναι. ποτὲ μὲν ἡ καρδία πρώτη πάσχει, ποτὲ δὲ ὁ
πνεύμων. ἑτοίμη γὰρ ἡ διάγνωσις ἐπὶ τῷ θώρακι πάσχοντι.   ἥπατος δὲ νοσοῦντος ἀλλοιοῦνται σφυγμοὶ, κατὰ
μὲν τὰς δυσκρασίας ὡς ἔμπροσθεν εἴρηται, κατὰ δὲ τοὺς παρὰ φύσιν ὄγκους, ἀνάλογον μὲν πως κἀν τούτοις,
ἀλλ' ἧττον ἐπὶ ταῖς φλεγμοναῖς γίνονται σκληροὶ τῶν ὑπὸ θώρακι τοσοῦτον, ὅσον τῶν ἐπὶ πνεύμονι μᾶλλον. οὐ-
δέ ποτε δ' οὔτ' ἐπὶ θώρακος οὔτ' ἐφ' ἥπατος ὄγκῳ, μαλακὸς ὁ σφυγμὸς γίνεται, διότι μηδ' ὑπογίνεται
ποτὲ τοῖς ὀργάνοις τούτοις οἴδημα φλεγματικόν. ὁ μὲν γὰρ θώραξ πυκνότερος, ἢ ὥστε δέξασθαι τοιοῦτον
ῥεῦμα. τὸ δ' ἧπαρ οὐ πυκνότερον μόνον, ἀλλὰ καὶ τῇ συμφύτῳ δυνάμει ῥᾳδίως ἀλλοιοῖ τὸ φλέγμα. συμπά-
σχει δ' ἑτοιμότερον ἡ καρδία τῷ ἥπατι, καίτοι ποῤῥωτέρω τοῦ θώρακος κειμένῳ, διὰ τὴν τῆς κοίλης φλεβὸς κοι-
νωνίαν.   συμπάσχει δὲ καὶ τῷ διαφράγματι μᾶλλον τῶν ἄλλων ἁπάντων τοῦ θώρακος μορίων, ὅτι περὶ αὐτῆς
τῆς κοίλης αἱ φλέβες κεῖνται. τάσιν δ' οὐδὲν οὕτω μόριον ἄλλο ταῖς ἀρτηρίαις ἐργάζεται, καὶ μάλιστα ὅταν
αὐτὸ τὸ νευρῶδες αὐτοῦ πάθοι. εἰ μὲν οὖν ὑπὸ τῶν ἐν αὐτῷ περιττωμάτων διατείνοιτο χωρὶς πυρετῶν, ὀδύ-
νη τε καὶ δύσπνοια τό γε κατ' ἀρχὰς ἐπιγίνεται. προϊόντος δὲ τοῦ χρόνου πυρέττουσι σηπομένων τῶν περιττω-
μάτων. εἰ δὲ ἐκ ῥεύματος εἰς αὐτὸ κατασκήψαντος, εἶναι μὲν χρὴ τοῦτο πάντως ἤτοι χολῆς ξανθῆς, ἢ αἵματος
θερμοῦ καὶ λεπτοῦ, παχὺ γὰρ αἷμα καὶ φλέγμα γλίσχρον, οὐχ ἂν ποτε δέξαιτο διὰ πυκνότητα. παραφρονί-
ζουσι δ' ἐξ ἀνάγκης, ἕξουσί τε τὸν σφυγμὸν ἱκανῶς σκληρὸν, καὶ διὰ τοῦτο καὶ μικρόν. ὅτι δ' ἄμφω γε ταῦτα
καὶ ἡ θερμασία πολλὴ, διὰ τοῦτο καὶ πυκνότατος. ὁ δ' αὐτοῦ πυρετοῦ σφυγμὸς ἐπὶ διαφράγματι δυσπραγοῦντι,
σκληρὸς μὲν γίνεται καὶ μικρὸς, οὐ μὴν πυκνός τε ἐπιπλέον, ἀλλ' ἤτοι βραχὺ παντάπασιν, ἢ οὐδ' ὅλως εἰς
τοιαύτην ἀφικνεῖται μεταβολήν. ἀνάλογον δὲ τοῖς ἐπὶ τῷ νευρώδει τοῦ διαφράγματος, ἕπεται πάντα ταῖς
μεγάλαις πλευρίτισιν, ὅτι καὶ ὁ ὑπεζωκὼς τὰς πλευρὰς χιτὼν πλείστων τε νεύρων μετέχει, καὶ συνῆπται
ταῖς φρεσὶ, καὶ τοῖς τὸν θώρακα διαπλάττουσι ὑμέσι, δι' ὧν κατὰ συνέχειαν ἐγγὺς τῆς καρδίας ἀφικνεῖται.
καὶ μέγιστον δὴ τοῦτ' ἐστι γνώρισμα πλευρίτιδος ἀληθείας, εἰ σκληρὸς ἱκανῶς ὁ σφυγμὸς γένοιτο, καὶ διὰ τοῦτο
καὶ μικρὸς, καὶ δι' ἄμφω τε ταῦτα καὶ τὴν θερμότητα, πυκνότατος. οὐδεὶς ἐσώθη πλευριτικὸς ἐπὶ τοιού-
τῳ σφυγμῷ. παραπαίουσι δ' ἧττον οὗτοι τῶν τὸ διάφραγμα φλεγμαινόντων. ἐγγυτέρω γάρ ἐστι τῆς ἀρ-
χῆς ἡ τῶν τοῦ διαφράγματος νεύρων ἔκφυσις, ἀλλ' οὐ χρὴ μηκύνειν ἐν ταῖς ἄλλαις διαγνώσεσι περὶ σφυ-
γμῶν προτεθειμένους λέγειν. ἐν γὰρ τοῖς τῶν πεπονθότων τόπων ὑπομνήμασιν, ἐπιπλέον ὑπὲρ τῶν τοιού-
των εἴρηται.   γαστὴρ δὲ κακοπραγοῦσα, κατὰ δυσκρασίαν μὲν, ἀνάλογον τοῖς προειρημένοις ἀλλοιώσει

τοὺς σφυγμούς. δι' ὄγκον δέ τινα, περὶ μὲν τὸ πυθμένα συμβάντα, τοῖς ἄλλοις ἀνάλογον. εἰ δ' ἐν τῷ στόματι γένοιτο, σκληρότερος ὁ σφυγμὸς ἔσται διὰ τὸ πλῆθος τῶν νεύρων, οὐ μὴν οὕτω γε σκληρὸς ὡς ἐπὶ διαφράγματι. παμπόλλῳ γὰρ ἀπολείπεται τούτου, καίτοι γ' οὐκ ἀπολειπομένου τοῦ μορίου τῷ μεγέθει τῶν νεύρων. ἀλλὰ διὰ μὲν ταῦτα τὰ νεῦρα τὸ περιττὸν τῆς αἰσθήσεως ἔχει. μαλακὰ γάρ ἐστι καὶ μεγάλα καὶ ἀπ' αὐτῆς ἐκπέφυκε τῆς ἀρχῆς. διὰ δὲ τὸ τῆς τοῦ σώματος οὐσίας σαρκοειδές, ἀπολείπεται σκληρότητι τοῦθ' ὑπεζωκότος καὶ τῶν φρενῶν. σύντονα γὰρ ἐκεῖνα τὰ μόρια καὶ σκληρὰ καὶ πυκνά, διὸ καὶ τείνεται μᾶλλον εἰς ὄγκον αἰρόμενα. καὶ τὰ νεῦρα δ' αὐτῶν ὁμοίως αὐτοῖς τοῖς ὀργάνοις σκληρὰ καὶ σύντονα. τὰ δὲ τῆς γαστρὸς ὡς εἴρηται μαλακά. ταῦτά τοι σκληρότατοι μὲν ἐπὶ διαφράγματι καὶ ὑπεζωκότι, καὶ διὰ τοῦτο καὶ μικροὶ γίνονται σφυγμοί. καὶ εἰ θερμασία τις τοῖς αὐτοῖς συνείη καθάπερ ἐν φλεγμοναῖς τε καὶ πυρετοῖς, ὀξεῖς καὶ πυκνότατοι. περὶ δὲ τὸ τῆς γαστρὸς † στόμα, σκληρὸς μὲν οὐδέποθ' οὕτως ὁ σφυγμός, ὅτι μήτ' αὐτὰ τὰ νεῦρα, μήτε τὸ μόριον σύντονον. μικροὶ μέντοι καὶ πυκνοὶ πολλάκις ἐπὶ τῷ περιττῷ τῆς αἰσθήσεως, ὅτι τάχιστα καμνούσης τε καὶ καταλυομένης τῆς δυνάμεως. ἐμάθομεν γὰρ ὁποίους ἄλγημα καὶ μάλιστα τὸ τῆς δυνάμεως ἁπτόμενον, ἐργάζεται τοὺς σφυγμούς. ὥσπερ δ' ἐπὶ τοῖς ἀλγήμασι τοῖς κατὰ τὸ στόμα τῆς γαστρὸς ἡ δύναμις τάχιστα κάμνει, κατὰ τὸν αὐτὸν λόγον οὐκ ἀνέχεται πλήθους οὐδ' ἐπ' ὀλίγον, ἀλλὰ βαρύνεταί τε καὶ κάμνει, καὶ τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζεται. λέλεκται δ' ἐν τοῖς ἔμπροσθεν ὁποῖοι σφυγμοὶ γίνονται βαρυνομένης δυνάμεως ὑπὸ πλήθους ὕλης, ὥσπερ γε καὶ οἷοί τινες ἀρρωστούσης. ἀμφοτέρας οὖν τὰς βλάβας τῆς δυνάμεως ἑπομένας ἔχον τὸ στόμα τῆς γαστρός, εὐλόγως ἐργάζεται τοὺς σφυγμούς, ἐνίοτε μὲν ἀμυδροὺς καὶ μικρούς, καὶ πυκνούς, ἐνίοτε δὲ ἀνωμάλους, ἔν τε τοῖς εἰρημένοις τρισὶ γένεσι, καὶ προσέτι τῷ περὶ τάχος τε καὶ βραδυτῆτα. καὶ τοίνυν οὐδὲν ἔτι χαλεπὸν οὐδὲ ἐπὶ τῶν ὑπολοίπων ὀργάνων τῆς τροφῆς ἐξευρίσκειν τὰς τροπὰς τῶν σφυγμῶν, εἰς τὰ προειρημένα σύμπαντα, καθάπερ εἰς στοιχεῖα βλέποντας, ὡς μηδὲν αὐτῶν ἄσκοπον παραλιπεῖν. ὅσα μὲν γὰρ ἐγγυτέρω τε τῆς καρδίας ἐστί, καὶ διὰ μεγάλων ἀγγείων κοινωνεῖ, θᾶττόν τε καὶ μᾶλλον αὐτὴν εἰς συμπάθειαν ἄξει. ὅσα δ' ἀπωτέρω τε καὶ διὰ μικρῶν, ἧττόν τε καὶ βραδύτερον. οὕτως δὲ καὶ ὅσα μὲν ἐστὶ σκληρὰ καὶ σύντονα καὶ νεύρων πλείστων μετέχει σκληρῶν, ἑτοίμως ταῦτα τοὺς σφυγμοὺς ἐργάζεται σκληρούς, ὅσα δὲ ἐναντία, μαλακούς. ὅσα δ' αἰσθητικὰ βλάπτει τὴν δύναμιν, ἑκατέραν τὴν βλάβην. ὥστε οὐδὲν χαλεπὸν ἐξευρεῖν αὐτόν τινα καθ' αὑτὸν ἕκαστον τῶν μορίων, ὁποῖόν τινα τὸν σφυγμὸν ἐργάζεται καθ' ἕκαστον πάθος. οἷον αὐτίκα, κύστις καὶ μήτρα τῇ θέσει μὲν, οὐδὲν ἀλλήλων διαφέρουσι. σκληροτέρα δ' ἐστὶ καὶ νευρωδεστέρα ἡ κύστις. ὥστε καὶ τοὺς σφυγμοὺς φλεγμαίνουσα μᾶλλον τῆς μήτρας ἐργάζεται σκληρούς. ἀλλοιώσει δὲ θᾶττόν τε καὶ μᾶλλον αὐτοὺς εἰς μέγεθός τε καὶ μικρότητα καὶ τὰς ἄλλας διαφορὰς ἡ μήτρα. μείζους τε γὰρ ἀρτηρίας ἔχει καὶ φλέβας καὶ πολὺ πρότερον ἀποφυομένας τῶν κατὰ ῥάχιν ἀγγείων τῶν μεγάλων, ἤπερ αἱ εἰς τὴν κύστιν ἥκουσαι. τὰ δὲ τῆς ὀδύνης ἀμφοτέροις τοῖς ὀργάνοις, ὅσον μὲν ἐπὶ τῷ νεύρων ἐξ ἴσου μετέχειν, ὡσαύτως, ὅσον δ' ἐπὶ τῷ πυκνότερον καὶ σκληρότερον εἶναι τὸ τῆς κύστεως σῶμα, μείζους ἐν τούτῳ. τὰ γὰρ ἐν πυκνοτέροις σώμασιν ἐμφραττόμενά τε καὶ σφηνούμενα τῶν ὑγρῶν ὀδυνηρότερά τε τῶν ἀραιοτέροις τε οὖσι καὶ μαλακοῖς, ὡς ἂν βιαιοτέραν ποιούμενα τὴν τάσιν. ᾗ τὸ τῆς ὀδύνης εἵπετο μέγεθος. οὕτως μὲν οὖν χρὴ μεθόδῳ ζητεῖν ἁπάσας τῶν μορίων τὰς διαφοράς. ἀλλ' ἐγὼ γυμνασίας ἕνεκα καὶ τὰς τῶν ἄλλων ἔπειμι τῶν ἐκτὸς βουβώνων τε καὶ μασχάλων, ἐπειδὴ καὶ τούτοις ἐστὶ μέν τι παρὰ τὰ πρόσθεν εἰρημένα σύμπαντα διάφορον, ὥσπερ καὶ πρὸς ἄλληλα κατὰ μέρος, ἔστι δέ τι καὶ κοινὸν ἀλλήλοις τε καὶ τοῖς προειρημένοις. τὸ μὲν δὴ πόρρω τῆς καρδίας εἶναι κοινὸν ἀμφοῖν ἐστι καὶ μᾶλλον τοῖς κάτω. διαφέρει δ' ἀλλήλων ταῖς οὐσίαις τε καὶ ταῖς ἐνεργείαις, ὥσπερ γε κοινόν τι πρὸς ἄλληλα, καὶ τὰ πρόσθεν εἰρημένα σύμπαντα, κέκτηται κατὰ τὰς προειρημένας ἁπάσας διαφοράς. ἔστι γάρ τοι καὶ τούτων αὐτῶν, τὰ μὲν σκληρότερά τε καὶ πυκνότερα. τὰ δ' ἀραιότερά τε καὶ μαλακώτερα. καὶ τὰ μὲν, πλειόνων τε καὶ μειζόνων. τὰ δ' ἐλαττόνων τε καὶ μικροτέρων ἀγγείων τε καὶ νεύρων μετέχει. καὶ τὰ μὲν αἰσθητικώτερα τετύχηκεν ὄντα τὰ δ' ἀναισθητικώτερα. τὴν δ' ἐν ταῖς ἐνεργείαις αὐτῶν διαφορὰν οὐδεὶς ἀγνοεῖ, καὶ μάλιστα τῶν ἄνω μασχάλων. σκέλη μὲν γὰρ καὶ χεῖρες ἐνεργειῶν ἕνεκα προαιρετικῶν ἐγένοντο, παραπλησίαν ἀλλήλαις περὶ γένος. ὀφθαλμοὶ δὲ καὶ ὦτα καὶ γλῶττα, μήνιγγές τε καὶ αὐτὸς ὁ ἐγκέφαλος, ὅσα τε κατὰ τὸν τράχηλόν ἐστι μόρια, πολὺ δή τι ταῖς ἐνεργείαις διαφέρει τῶν κατὰ τὰ κῶλα μορίων. ἐπειδὴ τοίνυν εἰκὸς ἑκάστου συμπτωμάτων οἰκείαν ἰδέαν, οὐχ ὁμοίως ἀλλοιοῦσαν τοὺς σφυγμούς. οἷον αὐτίκα, καὶ τοί γ' ἐν τούτῳ κειμένων ἐγκεφάλου τε καὶ μηνίγγων ἅπασι τοῖς περὶ τὴν κεφαλήν. ἐπὶ μὲν ταῖς τούτων φλεγμοναῖς ἐξ ἀνάγκης πυρέττουσί τε καὶ παραφρονοῦσιν. ἐπὶ δὲ ταῖς τῶν ἄλλων οὐκ ἐξ ἀνάγκης. αἱ γοῦν τῶν κροταφιτῶν μυῶν φλεγμοναὶ καὶ πυρετοὺς καὶ παραφροσύνας καὶ σπασμοὺς καὶ κάρους ἐπιφέρουσι πολλάκις, ὁπόταν μεγάλαι γίνωνται, οὔθ' ἐξ ἅπαντος οὔθ' ὅταν μικραὶ τύχωσιν οὖσαι τὰ τοιαῦτα συμπτώματα φέρουσιν. ὁ δ' ἐγκέφαλος αὐτὸς ὁπόταν εἰς δυσκρασίαν ἐμπέσῃ νοσώδη, τὸ τῆς δυσκρασίας οἰκεῖον ἐξ ἀνάγκης ἐπιφέρει σύμπτωμα, περὶ μὲν τὰς ἀμέτρους θερμασίας, εἰ μὲν αὐταὶ μόναι καθ' αὑτὰς ποτὲ γένοιντο παραφροσύνην. εἰ δὲ μετὰ ξηρότητος ἅμα ταῖς ἀγρυπνίαις. οἰκεῖον γὰρ ξηρότητι τὸ σύμπτωμα τοῦτο, καθάπερ γε καὶ ὑγρότητι βαθὺς ὕπνος, ἢ κῶμα. τῆς ψύξεως δ' αὐτοῦ σύμπτωμα ἐστὶν ἀχώριστον ἡ καλουμένη μώρωσις. εἰ δὲ σὺν ὑγρότητι γένοιτο βαθεῖα τοῖς τοιούτοις ἕπεται καταφορά. πολλῷ δὲ τοῦ κατὰ φύσιν ὑγροτέρα τε καὶ θερμοτέρα ἀποτελεσθεῖσα, τὴν σὺν ἀγρυπνίᾳ τε καὶ παραφροσύνῃ φέρει † διαφοράν. εἴρηται δὲ αὐτῆς ἡ ἰδέα πᾶσα καθ' ἕτερον γράμμα τι περὶ τοῦ παρ' Ἱπποκράτους κώματος. ἰσχυρὰ δὲ ψύξις ἐγκεφάλου μετὰ ξηρότητος γινομένη, ἀκινησίαν μὲν ἐπάγει τοῦ σώματος σύμπαντος, οὐ μὴν κωματώδεις εἰσὶν ἀλλ' ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς ἀσκαρδαμυκτὶ βλέπουσιν. οἱ σφυγμοὶ δ' ὧν ἕνεκεν εἴρηται ταῦτα, θερμοῦ μὲν ἱκανῶς ἐγκεφάλου χωρὶς ξηρότητος, ἐν μὲν τῇ συστάσει τῆς ἀρτηρίας, σύμμετροί τε καὶ τοῖς κατὰ φύσιν ὅμοιοι, μεγέθει δ' ὑπερβάλλοντες καὶ τάχει καὶ πυκνότητι τοσοῦτον, ὅσον ἂν

ἡ νοσώδης

† ἄλ. σῶμα

† ἄλ. καταφοράν

ἡ νοσώδης θερμότης ὑπὲρ τὴν κατὰ φύσιν ᾖ. εἰ δὲ μὴ μόνον εἴη θερμότερος, ἀλλὰ καὶ ξηρότερος νοσωδῶς, εὐθὺς μὲν δήπου καὶ ἡ διεζωκυῖα μῆνιγξ αὐτὸν ἡ λεπτὴ παραπλησίως διακείσεται. σὺν αὐτῇ δὲ καὶ τὰ νεῦρα σύμπαντα, καὶ ἐκεῖνα καὶ αἱ ἀρτηρίαι σκληρότερον ἔχουσι τὸν σφυγμόν, ὅτι τε τείνονται τὸν χιτῶνα καὶ ξηραίνονται. δέδεικται γὰρ ἑτέρωθι περὶ τῆς τῶν ἀρχῶν συμπαθείας. εἰ δ' ἐκ χολώδους χυμοῦ πλεονεξίας εἰς θερμὴν καὶ ξηρὰν ἀχθείη διάθεσιν ὁ ἐγκέφαλος, ἔτι δὴ καὶ μᾶλλον ἡ τάσις ἐγγίνεται ταῖς ἀρτηρίαις. οὕτω δὲ καὶ ἡ διὰ αἵματος θερμοῦ καὶ οἷον ζέοντος, ἡ μὲν ξηρότης ἥττων, μείζων δ' ἡ τάσις αὐταῖς τε ταῖς μήνιγξιν ὑπάρχει, καὶ τοῖς νεύροις, καὶ ταῖς ἀρτηρίαις. ὁ μὲν χολώδης χυμός. ὁ γοῦν ὠχρὸς οὗ νῦν μεμνήμεθα λεπτομερὴς ὑπάρχων οὐχ ὁμοίως σφηνοῦται κατὰ τὰ μαλακὰ σώματα, ὥστε οὐδ' εἰς ὄγκον αἴρειν αὐτὰ δύναται. τὸ δ' αἷμα τὸ θερμὸν ἐμφράττεταί τε καὶ σφηνοῦται μᾶλλον. ὥστε καὶ τὸν ὄγκον ἐργάζεται μείζω, καὶ τὴν τάσιν ἰσχυροτέραν. καὶ τοίνυν προσέχειν ἀκριβῶς χρὴ τῇ τῆς ἀρτηρίας συστάσει, πότερον ὑπὸ ξηρότητος, ἢ τάσεως ὁ χιτὼν φαίνεται σκληρός. εἶτ' εἰ μὲν ἐπὶ ξηρότητι φαίνοιτο, δυοῖν θάτερον ἡγεῖσθαι κατὰ τὸν ἐγκέφαλον ὑπάρχειν, ἢ δυσκρασίαν θερμὴν καὶ ξηράν, ἢ χολῆς πλεονεξίαν. εἰ δ' ἐπὶ τάσει, φλεγμονώδη διάθεσιν. εἰ δ' ἐπ' ἀμφοῖν, ἡγεῖσθαι χρὴ καὶ αὐτὴν τὴν διάθεσιν εἶναι σύνθετον ἐξ αἱματώδους τε καὶ πικροχόλου χυμοῦ. παραφρονοῦσι μὲν οὖν ἅπαντες οἱ τοιοῦτοι διηνεκῆ παραφροσύνην, διαλλάττουσι δ' ἀλλήλων παρὰ τὸ τοὺς μὲν ἐπὶ δυσκρασίᾳ μόνῃ μετρίως τε πάσχειν καὶ ἀρρωστεῖν ἁπάσαις ταῖς προαιρετικαῖς ἐνεργείαις. τοὺς δ' ἐπὶ χολώδει χυμῷ μήτ' ἀρρωστεῖν διΐστασθαί τε κατὰ τὰς παραφροσύνας ἰσχυρῶς. ὅσοι δ' ἐπὶ μελαίνῃ χολῇ ζεσάσῃ διὰ συμπεδῶνα τοιοῦτόν τι πάσχουσι, ῥᾳδίως διΐστανται, σκληροὶ δὲ καὶ τούτων εἰσὶν οἱ σφυγμοὶ δι' ἀμφοτέρας τὰς αἰτίας ξηρότητά τε καὶ τάσιν. εὐθὺς δὲ δήπου καὶ μικροὶ διὰ τὴν σκληρότητα. καὶ θάττους τῶν κατὰ φύσιν, ὅτι πυρέττουσι καὶ πυκνοί, διὰ τὸ μὴ πληροῦσθαι τὴν χρείαν. αἱ δ' ὑγραὶ δυσκρασίαι αἱ κατὰ τὸν ἐγκέφαλον μαλακοὺς ἐν τῷ χρόνῳ τοὺς σφυγμοὺς ἀποτελοῦσι, καὶ κωματώδη τὸν ἄνθρωπον. εἰ δὲ πυρετώδης αὐταῖς συνείη θερμότης, λήθαργος μὲν ὀνομάζεται τὸ νόσημα, γίνεται δ' ὁ σφυγμὸς οὐ μαλακὸς μόνον, ἀλλὰ καὶ μέγας. εἰ δ' ἐπὶ σηπομένῳ φλέγματι κατὰ τὸν ἐγκέφαλον ἡ τοιαύτη γίνεται διάθεσις. εἴη μὲν ἂν καὶ οὕτως τὸ νόσημα λήθαργος, ἕξει δ' ὁ σφυγμὸς ἔμφασίν τινα τεινομένης τῆς ἀρτηρίας, καίτοι μαλακῆς ὑπαρχούσης. μεγάλοι δ' εἰς τὸ σύνολον ἐν τοῖς τοιούτοις νοσήμασι πᾶσίν εἰσιν, εἰς ὅσον ἂν ἡ θερμότης αὐξηθῇ. τὸ δὲ τάχος ἤτοι παντάπασιν ἐλάχιστον, ἢ ἀδήλως ἐπιτείνεται τούτοις, ὡσαύτως δὲ καὶ πυκνότης. ἅπαντα δὲ συναύξεται ταῦτα παρὰ πλήθει τῆς θερμασίας. ἐπιμίκτου μέν τοι τῆς διαθέσεως ἐκ χολῆς καὶ φλέγματος γινομένης, οὔτ' ἄγρυπνοι τὸ σύμπαν ὑπάρχουσιν. οὔτ' ἐν βαθεῖ κώματι. καταφερόμενοι δὲ παραπαίουσιν ἐπαίρειν ἀδυνατοῦντες τὰ βλέφαρα. καὶ τὸ σύμπαν εἰπεῖν, οἱ τοιοῦτοι κωματώδεις εἰσὶ καὶ ἄγρυπνοι. καὶ τοίνυν καὶ οἱ σφυγμοὶ τούτοις ἐν μέσῳ τὴν ἰδέαν ὑπάρχουσι τῶν ἐπιπεπλεγμένων ἀλλήλαις διαθέσεων. ψύξεως δὲ νοσώδους ἐν ἐγκεφάλῳ γινομένης, ὅταν εἰς συμπάθειαν ἀφίκηται ἡ καρδία μικρότεροι καὶ βραδύτεροι καὶ ἀραιότεροι τῶν κατὰ φύσιν οἱ σφυγμοὶ γίνονται. καὶ εἰ μὲν ὕλης ἄνευ μόνῃ τῇ δυσκρασίᾳ τοῦ ἐγκεφάλου, χωρὶς ἁπάσης τάσεως. εἰ δὲ σὺν ὕλῃ, μελαγχολικῆς μὲν αὐτῆς ἀρχούσης, τείνεσθαί τε συμβήσεται τὰς ἀρτηρίας, καὶ διὰ τοῦτο σκληρότερον φαίνεσθαι τὸν σφυγμόν. φλεγματικῆς δὲ οὐχ ἁπλῶς. ἀλλ' εἰ μὲν παχὺ καὶ γλίσχρον εἴη τὸ φλέγμα ταθήσονται, σκιῤῥώδης γὰρ ὄγκος ὁ τοιοῦτος ἐργάζεται χυμός. εἰ δ' ὑγρὸν καὶ πνευματῶδες, ὑφ' οὗ μάλιστα τὸ καλούμενον οἴδημα γίνεται, χωρὶς τοῦ τείνεσθαι μαλακὸς ὁ σφυγμὸς ἔσται. εἰ δ' ἐπίμικτον εἴη τὸ φλέγμα τῶν προειρημένων ἀμφοτέρων μετέχον εἰδῶν. ἅμα τε μαλακὸς καὶ σὺν τάσει τινί. πρόδηλον δ' ὡς ὁπότε μαλακὸς ὁ σφυγμὸς γίνεται, καὶ μείζων ἀποτελεσθήσεται τοῦ πρόσθεν. ὁποία γέ τις ἡ τῶν ἄλλων συμπτωμάτων αὐτοῖς ἰδέα γενήσεται, στοχάζεσθαί τινι καὶ αὐτῷ δυνατὸν ἐκ τῶν προειρημένων ὁρμωμένῳ. ἐμοὶ δ' ἐπὶ πλέον ἐνθάδε μηκύνειν οὐκ ἀναγκαῖον ἐν τῇ τῶν πεπονθότων τόπων πραγματείᾳ τὰ τοιαῦτα πάντα ἐπὶ πλεῖστον ἐξειργασμένῳ. νυνὶ γὰρ οὐχ ἅπασαν, ἀλλὰ τὴν ἐκ σφυγμοῦ μόνου διάγνωσιν ἐπισκέψασθαι προὐθέμην. ὥστε ἐκ περιουσίας τε καὶ κατὰ τὸ πάρεργον εἴρηται ἔνια τῶν ἄλλων συμπτωμάτων, οὐκ ἐν ἔργῳ. καταπαύσας οὖν ἤδη τὸν ἐνεστῶτα λόγον, ἐφ' ἕτερόν τι τῶν εἰς τὰ παρόντα χρηστῶν μέτειμι, μακροτέρας μὲν τῆς ἐπισκέψεως ἐν τῇ τῶν πεπονθότων τόπων πραγματείᾳ τετυχηκός, ἀναγκαῖον δὲ καὶ νῦν λεχθῆναι.

ἡ λεπτὴ μῆνιγξ ἡ διεζωκυῖα τὸν ἐγκέφαλον, οὔ μοι δοκεῖ δύνασθαι μόνη ποτὲ παθεῖν τῶν εἰρημένων νοσημάτων οὐδέν, ἐγκεφάλου χωρίς. ὥσπερ οὐδ' ἐγκέφαλος ἄνευ τῆς μήνιγγος. ἀλλ' εἴτε δυσκρασία χωρὶς ῥεύματος, εἴτε καὶ ῥεῦμα κατασκήψειεν εἰς ὁπότερον αὐτῶν, εὐθὺς ἀναγκαῖον εἶναι νομίζω μεταδίδοσθαι τοῦ πάθους εἰς τὸ λοιπόν. ἡ μέν τοι σκληρὰ μῆνιγξ οἷά τε ἐστὶ καὶ μόνη πάσχειν ἐπὶ πλεῖστον ἀφεστῶσα τοῦ ἐγκεφάλου. καὶ εἴπερ ἡ διὰ αὐτῆς διάθεσις ἀξιόλογος γινομένη τήν τε καρδίαν εἰς συμπάθειαν ἐπισπάσοιτο, καὶ τὰς ἀρτηρίας, ἀνάλογον ταῖς κατὰ τὸν ἐγκέφαλον διαθέσεσιν ὁ σφυγμὸς ἀλλοιωθήσεται, τῶν μὲν θερμῶν ἐν αὐτῇ διαθέσεων τὴν χρείαν αὐξανουσῶν, τῶν δὲ ψυχρῶν ἐκλυουσῶν τε ἅμα ταύτην καὶ σκληροτέρας ἀτρέμα τὰς ἀρτηρίας ἐργαζομένων, καὶ μάλισθ' ὅσαι τῆς καρδίας εἰσὶν ἀνωτέρω. καὶ τῶν μὲν ξηρῶν, σύντονόν τε καὶ σκληρὸν ἐργαζομένων τὸν σφυγμόν, τῶν δ' ὑγρῶν μαλακόν. οὐ μὴν εἰς τοσοῦτόν γε μαλακὸν καὶ σκληρόν, εἰς ὅσον ὁ ἐγκέφαλος, ἀλλ' ἐπὶ πλεῖον μὲν σκληρόν, ἐπ' ἔλαττον δὲ μαλακόν. ὅσα μὲν γὰρ φύσει σκληρὰ σώματα σκληρυνούσας ἐδέξατο διαθέσεις, εἰς μεγίστην ἀφικνεῖται σκληρότητα. καθάπερ γε καὶ τὰ φύσει μαλακὰ τὰς ὑγραινούσας τε καὶ χεούσας δεξάμενα, τελέως ἔκλυτά γε γίνεται καὶ μαλακά. ὅσα δ' ἤτοι σκληρὰ τὰς ὑγραινούσας ἐδέξατο διαθέσεις, ἢ μαλακὰ τὰς σκληρυνούσας, οὐκέτ' εἰς ἄκραν ἀφικνεῖται τὴν ἐναντίαν αὐτοῖς κατάστασιν. οὕτως οὖν οὔτ' ἐπὶ μηνίγγων οἰδήματι γένοιτ' ἂν ποτε ὁ σφυγμὸς εἰς τοσοῦτον μαλακός, εἰς ὅσον ὑπ' ἐγκεφάλου τε καὶ πνεύμονος. οὔτ' ἐπ' ἐγκεφάλῳ τε καὶ πνεύμονι φλεγμήνασιν, οὕτω σκληρὸς ὡς ἐπὶ μήνιγξιν. ἀλλὰ τοῖς μὲν ἐπὶ μήνιγξι σκληροῖς, ὅμοιος ὁ ἐπὶ διαφράγματι καὶ ὑπεζωκότι. τοῖς δὲ ἐπὶ ἐγκεφάλῳ τε καὶ πνεύμονι, μαλακὸς μὲν ὁμοίως οὐδείς, ἐγγυτέρω δὲ τῶν ἄλλων ὁ ἐφ' ἥπατι καὶ σπληνὶ κατὰ τὰς οἰδηματώδεις διαθέσεις, ὡς σκιῤῥωθέντα γε καὶ ταῦτα τὰ σπλάγχνα, σκληροὺς ἱκανῶς ἀποτελεῖ τοὺς σφυ-

γμὸς, ἧττον δὲ τῶν σκίρρων ἐν ταῖς φλεγμοναῖς. ἐγκέφαλος δὲ καὶ πνεύμων, ἴσως ἂν οὐδ' ἐδέξαιντό ποτε διάθε
σιν σκιρρώδη, σκληροῖς γὰρ καὶ πυκνοῖς σώμασιν, οὐκ ἀραιοῖς καὶ μαλακοῖς ἡ τοιαύτη διάθεσις οἰκεία, κοινὰ δ'
ἐπὶ πᾶσι τοῖς εἰρημένοις ἐπίστασθαι, κἂν εἰ μὴ λελεγμένα καθ' ἕκαστον τύχοι, τότε τὰς ψυχρὰς διαθέσεις, ὅταν
ὑπερβαλλόντως γένωνται τοιαῦται, σκληρὸν ἐργάζεσθαι τὸν σφυγμὸν, ἄλλως δ' οὐχί. καὶ τὸ τὰς ἀρτηρίας ὅ/
σαι πλησίον, ἀλλοιοῦσθαι μᾶλλον εἰς μαλακότητά τε καὶ σκληρότητα. τὰς δ' ἤτοι πόρρω τῶν πεπονθότων, ἢ
διὰ μέσης τῆς καρδίας, ἧττον. τοῦτ' οὖν ἐπιστάμενός τις οὐδὲ περὶ τῶν ἄλλων ὅσα περὶ πρόσωπον, ἢ τὸν τράχηλον,
ἢ τὰ κῶλα νοσήματα γίνεται, διδασκαλίας ἑτέρας δεήσεται. εἰ μὲν γὰρ πυκνὸν καὶ σκληρὸν εἴη τὸ πεπον-
θὸς μόριον, σκληρὸν ἐργάσεται τὸν σφυγμὸν, εἴτε φλεγμαῖνον, εἴτε σκιρρούμενον, εἴθ' ὑπερβαλλόντως ψυχό/
μενον εἰς συμπάθειαν ἄγει τὰς ἀρτηρίας. εἰ δὲ σαρκῶδες, εἰ μὲν ἤτοι φλεγμαίνοιεν, ἢ σκιρρωθείη, σκληρὸν,
ἀλλ' ἧττον τῶν προειρημένων. εἰ δ' οἰδήσειε, μαλακόν. συμπαθήσουσι τε τοῖς μὲν ἀρτηριώδεσι θᾶττον, αἵ τ' ἐγγὺς
ἀρτηρίαι πᾶσαι καὶ ἡ καρδία. τοῖς δὲ φλεβώδεσιν ἐφεξῆς τούτων. ἥκιστα δὲ τοῖς νευρώδεσιν. ἐν χρόνῳ τε γὰρ ταῦτα
καὶ μεγάλως πάσχοντα τὴν κίνησιν τῶν ἀρτηριῶν ἀλλοιοῖ. οὐδὲν οὖν θαυμαστὸν, οὐδὲ διότι τοῖς περὶ ὑπογάστριόν τε καὶ
θώρακα μυσὶ φλεγμήνασι πυρετοὶ μὲν ἑτοίμως ἕπονται, καὶ διὰ τοῦτο καὶ οἱ σφυγμοὶ μεγάλοι γίγνονται, καὶ τα
χεῖς καὶ πυκνοὶ, σκληρὸς δ' ἐπ' αὐτῶν ἱκανῶς ὁ σφυγμὸς, ἢ σπασμώδης οὐδέ ποτε γίγνεται. τῶν δ' ἐν πήχει καὶ
κνήμῃ μυῶν φλεγμηνάντων καὶ μάλιστα καθ' ὃ μέρος αὐτῶν ἐκπεφύκασιν οἱ τένοντες, ἕτοιμον μὲν ἁλῶναι καὶ
σπασμῷ, ῥᾷστα δ' οἱ σφυγμοὶ τείνονταί τε καὶ σκληρύνονται. σαρκώδεις μὲν γὰρ οἱ περὶ τὸν θώρακά τε γαστέρα.
νευρώδεις δ' ἱκανῶς οἵ τ' ἐν χερσὶ καὶ ποσί. ἔτι δὲ μᾶλλον εἰ τένων φλεγμήνειε τῶν περὶ χεῖρας ἄκρας ἢ πόδας,
ἑτοίμως μὲν ὁ σφυγμὸς αὐτοῖς γίνεται σκληρὸς. ἑτοίμως δὲ σπῶνται. γίνονται δ' ἱκανῶς σκληροὶ καὶ διὶ ἥπατος
ἢ σπληνὸς σκίρρον. ἀλλ' ἐπὶ τοῖς οὕτω σκληροῖς ἀδεὲς σπαθῆναι. σπληνὶ μὲν οὖν μεγάλως σκιρρωθέντι πολλά
κις ἐθεασάμεθα μηδόλως ἐπιγενόμενον ὕδρον. ἥπατι δ' ἐξ ἀνάγκης ἕπεται, καὶ γίνεται τηνικαῦθ' ὁ σφυγμὸς,
θαυμαστὸν, ὅπως ἀμφοτέρων τῶν διαθέσεων ἔχων τὰ σημεῖα, τὸν μὲν χιτῶνα τῶν ἀρτηριῶν αὐτὸν ὑγρότερόν τε
καὶ μαλακώτερον, ἐνδεικνύμενον δὲ σαφῶς τὴν ὑπὸ τοῦ σκίρρου τάσιν, καὶ διὰ τοῦτο καὶ σκληρότερον. αὐτὸς δὲ καθ' ἑαυ
τὸν ὕδερος ἄνευ σπλάγχνων φλεγμονῆς, οὐδὲ μίαν ἐργάζεται περὶ τὸν σφυγμὸν τάσιν. συνίστανται δ' οἱ τοιοῦτοι,
διὶ αἱμορροΐδας ἄμετρον κένωσιν, ἢ ἐπίσχεσιν ἀήθη. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱ τῶν καταμηνίων ἐπισχέσεις τε καὶ ἄμε
τροι κενώσεις, ὕδερους ἐπιφέρουσιν. ὅσα δὲ περὶ μήτραν πάσχουσι γυναῖκες, εἴρηται πρόσθεν, ὅπως ἀλλοιοῖ τὸν σφυ
γμὸν ἡνίκα παρεβάλλομεν αὐτὴν κύσει. λοιπὸν οὖν ἔτι περὶ τῶν περὶ τοὺς ὄρχεις μνημονεῦσαι προσήκει. ταυ
τὶ γὰρ τὰ μόρια καίτοι γ' οὖν ἐντὸς ὄντα βουβώνων αὐτίκα πυρετὸς ἐπιφέρει φλεγμήναντα, διὰ τὴν τῶν
ἀγγείων γειτνίασιν. ἄνωθεν γὰρ ἀπὸ τῶν περὶ τοὺς νεφροὺς χωρίων καταφέρεται φλὲψ καὶ ἀρτηρία διὰ τῶν τοῦ
περιτοναίου τρημάτων ἐπὶ τοὺς ὄρχεις, ἀξιόλογα τὸ μέγεθος ἀγγεῖα. καὶ ὁ ἐρυθροειδὴς δὲ χιτὼν ἀπ' αὐτοῦ τοῦ περι
τοναίου πέφυκεν, ὥστ' εὐλόγως ἐπὶ τούτων μὲν φλεγμήναντι σκληρὸς ὁ σφυγμὸς γίγνεται. καὶ διὰ τοῦτο καὶ
μικρότερος. ἐπ' ὄρχεσι δ' οὐχ' ὁμοίως σκληρὸς καὶ μέγας διὰ τὸν πυρετόν. ὅσα μὲν γὰρ ἀρτηριώδη τέ ἐστι καὶ
φλεβώδη μόρια πυρετὸν ἐγείρει μᾶλλον. ὅσα δὲ νευρώδη ἢ οὐδόλως ἢ μικρόν. τετάνων δ' ἐστὶ καὶ σπασμῶν γεννη
τικά. τὰ μὲν οὖν προτεθέντα πάντα ἤδη τέλος ἔχει, τὰς γὰρ ἐν ἑκάστῳ μορίῳ διαθέσεις ἁπάσας ὑπελθόντες ἐδη
λώσαμεν, ὁποῖον τινὰ ἑκάστη ῥοπὴ ἐργάζεται σφυγμόν. ὅπερ δ' ἀναγκαιότατόν ἐστιν εἰς ὀλίγα κεφάλαια
τὴν σύνοψιν αὐτῶν ἀναγαγεῖν πειραθῶμεν. ἡ μὲν δὴ τῶν ἐνεστώτων διάγνωσις, οὐδὲν ἄλλ' ἐστὶν ἢ διαθέσεων εὕρε
σις. ἡ δὲ τῶν προγεγονότων, οὐδὲν αὖ πάλιν ἄλλο τῶν τὰς διαθέσεις ἐργαζομένων αἰτίων. εἰ τοίνυν ἅπασαι μὲν αἱ δια
θέσεις ἐν τῇ δὲ τῇ πραγματείᾳ διῄρηνται, ἅπαντα δ' εἴρηται τὰ ποιητικὰ μὲν, ἐν ἑτέραις πραγματείαις, τὰ δ' ἐν τῇ
προκειμένῃ τῇσδε. τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, λείποιτ' ἂν οὐδὲν ἔτι τῶν εἰς πρόγνωσιν ἀναγκαίων. ἤτοι
τῶν προγεγονότων ἢ τῶν παρόντων. ὅτι δὲ καὶ ἡ τῶν μελλόντων πρόγνωσις ἐκ τῶν ἐνεστώτων γίνεται, πολλάκις μὲν ἤδη
καὶ διὰ τῶν ἔμπροσθεν εἰρημένων ἐνεδειξάμεθα, καὶ νῦν δ' ἀναγκαῖον ἅπαντα διελθεῖν ἐπὶ κεφαλαίων τοῦ λόγου, ἀρ
χὴν αὐτῶν, τήνδε ποιησάμενος τῶν περὶ τὸ μέλλον ἀκριβήσεσθαι διαγνώσεως. ἓν μὲν καὶ πρῶτον ἐστὶν εἰς ὅτι τελευτή
σει τὸ νόσημα, πότερον εἰς ὄλεθρον ἢ εἰς σωτηρίαν. ἕτερον δ' ἐπ' αὐτῷ δεύτερον, ἐν τίνι μάλιστα τοῦτ' ἔσται χρόνῳ
καὶ τρίτον δ' ἐπὶ τούτοις, τίς ὁ τρόπος ἔσοιτο τοῦ τε θανάτου καὶ τῆς σωτηρίας. ἁπάντων δὲ τούτων ἡ πρόγνωσις
ἐκ τῶν διαθέσεων ἐστί. ἐξ αὐτῶν γὰρ ὡς ἐδείξαμεν ἥτε τοῦ νοσήματος ἰδέα καὶ τῆς δυνάμεως ἀρρωστία τε καὶ ῥώμη
διαγιγνώσκεται. τούτων δ' ἀλλήλοις παραβαλλομένων τὰ μέλλοντα γενήσεσθαι, προγινώσκεται. τοῦ μὲν γὰρ νοσήμα
τος ἡ γνῶσις, ἐκ τόπου τοῦ πεπονθότος ἐστὶ, καὶ τῆς ἐν αὐτῷ διαθέσεως. τῆς δὲ δυνάμεως ἐκ τῆς εὐκρασίας τε καὶ
δυσκρασίας τῶν στερεῶν σωμάτων. εἰ γὰρ καὶ ἀσθένειαι γίνονται τινὲς διὰ τὸ πνεῦμα τὸ ψυχικὸν, ὀλιγοχρόνιοί τε
εἰσὶ, καὶ συμπτωματικοί. ἀλλήλοις δὲ τούτων παραβαλλομένων, εἰ μὲν οἵα τέ ἐστι τὴν ἀκμὴν τοῦ νοσήματος ἐνεγ-
κεῖν ἡ δύναμις, ἀνάγκη σωθῆναι τὸν ἄνθρωπον, ἔξωθέν γε μηδενὸς ἁμαρτηθέντος. εἰ δ' οὐχ οἵα τε, πάντως τεθνή
ξεσθαι. τοῦ χρόνου δ' ἡ πρόγνωσις ἐν ᾧ τῶν εἰρημένων ἑκάτερον ἔσοιτο, διὰ τῶνδε γινώσκεται. σωθήσονται μὲν οἱ μέλλον
τες σώζεσθαι κατ' ἐκεῖνον τὸν χρόνον, ἐν ᾧπερ ἂν ἡ φύσις ἐπικρατήσῃ τελεώτατα τῆς νοσώδους διαθέσεως. τεθνήξεται
δὲ καθ' ἐκεῖνον τὸν χρόνον, ἐν ᾧπερ τὸ νόσημα τῆς δυνάμεως εἰς τοσοῦτον ἔσται κρεῖττον ὡς ἐνέργειαν τινὰ τῶν
πρὸς τὸ ζῆν ἀναγκαίων ἀπολέσθαι. καὶ μὲν δὴ καὶ ὁ τρόπος, ὅτε τοῦ θανάτου, καὶ ὁ τῆς σωτηρίας ἐκ τῶν αὐτῶν προ/
γνωσθήσεται. τῶν γὰρ ἀπολλυμένων ἐνεργειῶν ἀναγκαίων εἰς τὸ ζῆν, ἔνιαι μὲν πνῖξιν ἐπιφέρουσιν. ἔνιαι δὲ
τῆς ζωτικῆς δυνάμεως κατάπτωσιν. ἔνιαι δ' ἀνάλογον τῆς ζωτικῆς κατάπτωσίν τε καὶ οἷον πνῖξιν. αἱ μὲν οὖν
τῆς ζωτικῆς δυνάμεως ἐπιφέρουσιν πνῖξιν, ἐκ τῶν τοῦ θώρακός τε πνεύμονος, ἔτι τε τραχείας ἀρτηρίας καὶ
λάρυγγος καὶ φάρυγγος * ὁρμώμεναι διαθέσεων. ἔνιαι δὲ καὶ κατ' αὐτὴν εὐθέως συνίστανται τὴν καρδίαν. αἱ
δὲ τὴν κατάπτωσιν, ἔκ τε τῶν στομαχικῶν ὀνομαζομένων διαθέσεων ἐφ' αἷς συγκόπτονται, καὶ προσέτι τῶν
καθ' ἧπαρ χρονίων, ἐφ' αἷς ἀτροφοῦσι, καὶ ἀλγημάτων χρονίων ἢ σφοδρῶν. ἔτι τε τῶν ἑκτικῶν ἁπάντων πυ-
ρετῶν.

ρετῶν. συνελόντι δὲ φάναι τοῦ τῆς καρδίας σώματος αἱ μεγάλαι δυσκρασίαι, καθ' ὃν ἂν τινα τρόπον, ἢ αὗται καθ'
ἑαυτὰς εὐθὺς ἐξ ἀρχῆς, ἢ δι' ἕτερα σπλάγχνα πάθωσιν, κατάπτωσιν ἐπάγουσι τῆς ζωτικῆς δυνάμεως. οὕτω δὲ καὶ
τῆς ψυχικῆς δυνάμεως. αἱ μὲν ἀῤῥωστίαι, ταῖς ἐγκεφάλου μεγάλαις ἕπονται δυσκρασίαις. αἱ δ' οἷον πνίξεις, ταῖς τε
πληρώσεσι τῶν κοιλιῶν αὐτοῦ καὶ ταῖς ἐμφράξεσι τῶν εἰς αὐτὰς ἐχόντων πόρων. ὥσθ' ὅστις ἀκριβῶς διαγινώσκει μέ-
τρον τε δυνάμεως, καὶ τόπον πεπονθότα, καὶ τὴν ἐν αὐτῷ διάθεσιν, οὗτος ἐστὶν ὁ προγνωστικώτατος τῶν ἐσομένων. ὅπως
μὲν οὖν χρὴ διαγινώσκειν τὰ πεπονθότα μόρια, δι' ἑτέρας δεδήλωται πραγματείας. ὅπως δὲ καὶ τὰς διαθέσεις
αὐτῶν ἐν ἐκείνῃ τε συνεπιδέδεικται, κἀν τοῖς περὶ κρίσεων οὐχ ἥκιστα, καὶ μέν τοι κἀν τῇδε τῇ πραγματείᾳ. λέλεκ-
ται περὶ τῶν δυνάμεων ἐν πολλοῖς πολλάκις, ὥστ' ἔκ τε ἐνεργειῶν αὐταῖς ἡ διάγνωσις, ἔκ τε τῆς τῶν ἐνεργούν-
των δυσκρασίας. περὶ μὲν δὴ τῶν ἄλλων δυνάμεων ἐν ἑτέροις διώρισται, περὶ δὲ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης, ἣν
10 δὴ καὶ ζωτικὴν ὀνομάζομεν, εἴρηται μὲν καὶ ἐν τούτοις, οὐκ ὀλίγα λεχθήσεται δὲ καὶ νῦν. ἐπειδὴ μὲν ἅπαν-
τες ἀμυδροὶ τυγχάνωσιν ὄντες οἱ σφυγμοὶ κατὰ τὸν ἑαυτῆς λόγον, ἡ δύναμις ἀῤῥωστεῖ. καθ' ὅλον μὲν τὸ σῶμα
τούτου γινομένου τοῦ τῆς καρδίας σώματος ἔχοντος δυσκράτως. καθ' ἓν δέ τι μόριον, ἐκείνου μόνου τοῦ μορίου. ἐπειδὰν
δὲ κατὰ τὰς αὐτὰς ἀρτηρίας, ἐνίοτε μὲν ἀμυδρὸς ὁ σφυγμὸς, ἐνίοτε δ' ἢ σφοδρὸς, οὐ κατὰ τὸν ἑαυτῆς λόγον ἡ δύνα-
μις, ἀσθενὴς ἐστὶν, ἀλλ' ὑπὸ πλήθους βαρύνεται, μόνην δὲ οὐ περὶ εὖρον, οὔτ' ἐν ὅλῳ τῷ σώματι τὴν τοιαύτην ἀνω-
μαλίαν, οὔτε καθ' ἕν τι μόριον, ἀλλὰ καὶ τἄλλα τρία γένη συμμεταβάλλοντά τε καὶ ἀνώμαλα γινόμενα. λέ-
γω δὲ τρία γένη τό τε κατὰ μέγεθος καὶ μικρότητα, καὶ τὸ κατὰ τάχος καὶ βραδυτῆτα, καὶ τὸ κατὰ πυκνότητα καὶ
ἀραιότητα. καὶ γὰρ μεγάλοι καὶ μικροὶ καὶ μέσοι. καὶ ταχεῖς καὶ βραδεῖς καὶ μέσοι. καὶ πυκνοὶ καὶ ἀραιοὶ καὶ μέσοι.
καθάπερ γε καὶ ἀμυδροὶ καὶ σφοδροὶ καὶ μέσοι. ταῖς ὑπὸ πλήθους χυμῶν βαρυνομέναις γίνονται δυνάμεσιν.
εἰ μὲν οὖν οἱ σφυγμοὶ οἱ σφοδροὶ καὶ μεγάλοι πλείους τῶν ἐναντίων ὑπάρχειν, ἧττον ἡ δύναμις ὑπὸ τοῦ πλήθους κέκμη-
20 κεν. εἰ δ' οἱ μικροὶ καὶ ἀμυδροὶ, μᾶλλον. οὕτω δὲ καὶ τῶν κατὰ μίαν πληγὴν ἀνωμάλων, ὅσοι τε διακοπτομένης ἡσυ-
χίᾳ τῆς κινήσεως, ὅσοι τε συνεχοῦς μενούσης ἐλέχθησαν γίνεσθαι. πάντες οὗτοι τὰ τέλη τῶν κινήσεων εὐτονώτερά τε
καὶ θάττονα ποιούμενοι, ῥωμαλεωτέραν ἐνδείκνυνται τὴν δύναμιν ὑπάρχειν, ἁπάντων τῶν ἀμυδροτέραν τε καὶ
βραδυτέραν ποιουμένων. ἐλέχθη δ' αὐτάρκως καὶ περὶ τῆς ἐν τοῖς μυούροις διαφορᾶς. ὅταν οὖν ποτὲ ἐπὶ τῇ τοιαύ-
τῃ καταστάσει σφυγμῶν ὑψηλὸς ὁ σφυγμὸς φανῇ. δῆλον μὲν ὅτι μέγας ἱκανῶς ὁ τοιοῦτος ἐστὶν ὡς ἔμπροσθεν εἴρηται,
δηλώσει δὲ τὴν φύσιν ἐπικρατεῖν ἤδη τοῦ πλήθους. ἀμυδρὸς μὲν οὖν σφυγμὸς ὑψηλὸς οὐδέποτε γίνεται, μᾶλλον
μέν τοι καὶ ἧττον ὁ σφοδρὸς, ὅσωπερ ἂν ὑψηλότερός τε ἅμα καὶ σφοδρότερος ἀποτελεσθῇ, τήν τε ῥώμην ἐνδείκ-
νυται τῆς δυνάμεως, ἀκώλυτόν τε τὴν κίνησιν. εὐθὺς δὲ τῇ τοιαύτῃ μεταπτώσει συμμεταβάλλειν ἀναγκαῖον ἐστὶ τὴν ἔμ-
προσθεν ἀνωμαλίαν, καὶ πρῶτον μὲν τοὺς μεγάλους καὶ ὑψηλοὺς σφυγμοὺς πολὺ πλείους γίνεσθαι τῶν ἐναντίων. ἔπει-
τα δὲ καὶ πάντας ἑξῆς ὁμαλοὺς, ἐξ ἀνάγκης οὗτοι δι' ἐκκρίσεων κριθήσονται. καὶ οὐ μόνον τοῖς ὑψηλοῖς τε καὶ σφο-
30 δροῖς σφυγμοῖς, ἀλλὰ καὶ τοῖς μεγάλοις ὁμοῦ καὶ σφοδροῖς ἕπεται τοῦτο. βεβαιότερον δὲ καὶ ἀδιαψευστότερον, ὅταν
ὑψηλοὶ γεννηθῶσιν. ἐπισκέπτεσθαι δὲ τηνικαῦτα τὴν κίνησιν τῆς διαστολῆς. ἀεὶ μὲν γὰρ ἀποτιθεμένην εὑρήσει αὐτὴν
τὸ πρόσθεν τάχος, ἧττον δὲ καὶ μᾶλλον πάσχουσαν τοῦτο. διορισμὸς οὖν ἐντεῦθεν σοὶ τοῦ τῆς κρίσεως ἤθους ὑπάρξει. βελ-
τίων γὰρ ἡ κρίσις ἀκολουθεῖν εἴωθε τοῦ κατὰ τὴν συστολὴν τάχους ἐπὶ πλέον ἐκλυθέντος. εἰ δὲ καὶ τἄλλα τῆς πέψεως
ὑπάρχει γνωρίσματα. γέγραπται δ' ἐν τοῖς περὶ κρίσεων ἅπαντα. τὴν ἀρίστην κρίσιν ἡ τοιαύτη προδηλοῖ κα-
τάστασις. εἰ δὲ τὸ τάχος τῆς συστολῆς ἐπ' ὀλίγον ἐκλυθῇ, ἢ καὶ μήπω φαίνοιτο πεπέφθαι τὸ νόσημα, γενήσεται μὲν
ἡ μετ' ἐκκρίσεως κρίσις, οὐ μὴν ἀγαθή γε πάντως, ἀλλ' ἕξει τι τῶν κακῶν κρίσεων, ἢ ἓν, ἢ δύο, ἢ καὶ πάνθ' ἅμα
συνόντα. χωρὶς μέν τοι τοῦ προηγεῖσθαι τὴν προειρημένην ἀνωμαλίαν, ὁ σφυγμὸς μέγας τε καὶ σφοδρὸς γινόμενος, οὐκ
ἀεὶ σημαίνει τὴν ἔκκρισιν. ὁ δ' ὑψηλὸς ἀεὶ μὲν, ἀλλὰ χωρὶς οὐ προγεγονέναι τὴν ἀνωμαλίαν εἰ συσταίη, μετρίας
ἐκκρίσεις ἔσεσθαι σημαίνει. παμπόλλας δὲ, ὅταν ἐπὶ ταῖς πολλαῖς τὸ πρὸς τὴν δύναμιν πλῆθος ἐνδεικνυμέναις
40 ἀνωμαλίαις γεννηθῇ. θαυμαστὸν οὖν ἴσως δόξει τὸ τῶν ἀρίστων ἐκκρίσεων ὑψηλόν τε ἅμα καὶ σύμμετρον τῷ τάχει κατὰ
τὴν συστολὴν προηγεῖσθαι σφυγμὸν ἑπομένων γε τῶν ἐκκρίσεων. οὐκ ἐν ταῖς διαστολαῖς τῶν ἀρτηριῶν ἡνίκα ἕλκουσιν
εἰς ἑαυτάς. ἀλλ' ἐν ταῖς συστολαῖς, ἡνίκα ἐκκρίνουσι. καὶ μοὶ δοκεῖ τοῦτο μάλιστα καὶ τοὺς περὶ τὸν Ἀρχιγένην πεῖσαι. κατὰ
μὲν τὰς συστολὰς ἕλκειν τι τὰς ἀρτηρίας εἰς ἑαυτὰς κατὰ δὲ τὰς διαστολὰς ἐκκρίνειν. ἀλλ' ὅτι μὲν ἀδύνατον τοῦτο, δέ-
δεικται διὰ τῶν περὶ χρείας σφυγμῶν. ἥτις δ' ἐστὶν ἡ αἰτία δι' ἣν ὁ ὑψηλός τε ἅμα καὶ ὁ ταχὺς ἐν τῇ συστολῇ σφυ-
γμὸς ἀγγέλλει κριτικὰς ἐκκρίσεις, ἐν τῷδε λελεχθήσεται, οὐχ ἡ αὐτὴ δύναμις ἐστὶν ἥ τε ζωτικὴ προσαγορευομένη καὶ
ἡ θρεπτική τε καὶ ἡ φυσική. τῆς μὲν γὰρ ἔργον ἐστὶ τοῦτο μόνον ἡ τῶν σφυγμῶν γένεσις. ἡ φυσικὴ δὲ τό τ' οἰκεῖον εἰς τὴν θρέ-
ψιν ἕλκειν καὶ τὸ μὴ τοιοῦτον ἀποκρίνειν σὺν τῷ καὶ κατέχειν δηλονότι ἀλλοιοῦν τὸ οἰκεῖον. εἰς γὰρ τὸ τρέφεσθαι τὰ σώ-
ματα, τούτων ἁπάντων δεῖται, καθάπερ γε καὶ εἰς τὸ φυλάττεσθαι τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας τοῦ δια-
στέλλεσθαί τε καὶ συστέλλεσθαι τὰς ἀρτηρίας καὶ τὴν καρδίαν. ἣν τινα δύναμιν, οὔτ' ἐν τοῖς φυτοῖς ἐστὶν εὑρεῖν, οὔτ' ἐν τοῖς
50 ζώοις ὅσα ψυχρὰ, καθάπερ τά τ' ὄστρεα. καὶ ὅσα προσπέφυκε πέτραις ἢ τισὶν ἄλλοις στερεοῖς σώμασιν. ὅσα δὲ θερ-
μὰ τῶν ζώων ἐστὶ καὶ μάλιστα τὰ ἔναιμα, φανερωτάτην τε καὶ σφοδροτάτην ἔχει τὴν τοιαύτην δύναμιν. αὕτη μὲν
οὖν ἐν ταῖς συστολαῖς τῶν σφυγμῶν ἀποχεῖ τὸ λιγνυῶδες περίττωμα μόνον, ὅσον ἂν ἐμποδὼν ἴσταται τῇ συμμετρίᾳ
τῆς ἐμφύτου θερμασίας, ὥσπερ γε καὶ κατὰ τὰς διαστολὰς ἐπισπᾶται τὸ ἀναψῦχον αὐτήν. ἡ δὲ ἑτέρα δύναμις ἡ θρε-
πτικὴ τό τ' οἰκεῖον εἰς τὴν θρέψιν ἕλκει, καὶ τὸ ἄχρηστον ἐκκρίνει. διάφοροι μὲν οὖν αἱ ἀρχαὶ τῶν δυνάμεών εἰσιν, ὡς καὶ τοῦτ'
ἐν τοῖς περὶ τῶν Ἱπποκράτους τε καὶ Πλάτωνος ἐπιδέδεικται δογμάτων. ἐπιμίγνυνται δ' ἀλλήλαις ἐν τοῖς κατὰ
μέρος ὀργάνοις. αἱ γοῦν ἀρτηρίαι καθόσον τρέφονται, τῇ θρεπτικῇ διοικοῦνται δυνάμει, καὶ ταύτης ἔργον ἐστὶν
ἔκκρισις τῶν περιττωμάτων τῆς τροφῆς. ὥσπερ τῆς ἑτέρας ζωτικῆς ἡ τῶν καπνωδῶν περιττωμάτων ἔκ-
κρισις. ὅταν μὲν οὖν ταῦτα πλεονάζῃ, μεγίστην τε ἅμα καὶ ταχεῖαν αἱ ἀρτηρίαι ποιοῦνται τὴν συστολὴν,
καὶ εἴπερ ἣν ἐπ' αὐτὰς ἔσω καθιέντα τὸν δάκτυλον ἐπὶ τὴν τῶν σφυγμῶν διάγνωσιν ἥκειν, ᾐσθόμεθα ἄν

αὐτῶν ἀκριβῶς ἐπὶ πλεῖστον εἴσω φερομένων. ἐπεὶ δ' ἀδύνατον ἰδεῖν, περὶ τάχει μὲν πρώτως καὶ μάλιστα προσέχειν τὸν νοῦν χρή. ἐφεξῆς δὲ καὶ περὶ ποσῷ τῆς συστολῆς, εἴ τις ἱκανῶς εἴη διαγινώσκειν αὐτὴν γεγυμνασμένος. ἐπειδὰν δὲ ταῦτα μὲν τὰ περιττώματα μηκέτι ᾖ, πεφθῶσι δ' οἱ πρότερον σηπόμενοι χυμοί, τῇ ἑτέρᾳ δυνάμει τῇ φυσικῇ τὰ περιττώματα τῶν πεφθέντων ἐκκρίνεται. διαπεφοίτηκε δ' αὕτη διὰ παντὸς μορίου τοῦ ζώου, καὶ διὰ τῶν σαρκῶν καὶ διὰ τῶν νεύρων καὶ διὰ τῶν συνδέσμων καὶ διὰ τῶν ὀστῶν. οὐ διὰ μόνων τῶν ἀρτηριῶν τε καὶ φλεβῶν διατέταται. αὕτη τοίνυν ἐστὶν ἡ δύναμις ἡ καὶ τὰς κρίσεις ἐργαζομένη, καὶ καθόσον ταύτης μετέχουσιν αἱ ἀρτηρίαι, τὸ περιττὸν ἀποτρίβονται. διὰ δὲ τὴν ἑτέραν δύναμιν τὴν σφυγμικήν, ἧς μόναι μετέχουσιν, ἀποκρίνουσιν ἐν ταῖς συστολαῖς τὸ καπνῶδες περίττωμα, καθάπερ ἐν ταῖς διαστολαῖς ἕλκουσι τὸ ἀναψῦχον αὐτάς. ἡ χρεία δ' οὐκ ἴση διὰ παντὸς ἑκατέρων ἐστίν. ἀλλ' ἡ τοῦ πλεονάζοντος, ἐστὶν ὅτε κρατεῖ. καὶ τοίνυν καὶ τυποῖ καθ' ἑαυτὴν τὸν σφυγμόν, εἰ καὶ τὰ τῆς δυνάμεως ὡσαύτως ἔχοι. τοῦ μὲν γὰρ καπνώδους περιττώματος κρατοῦντος, ἐπὶ πλεῖστον μὲν συστέλλεται, διαστέλλεται δ' οὐκ ἐπὶ πλεῖστον ἡ καρδία μετὰ τῶν ἀρτηριῶν. ἀλλὰ τοσοῦτον μόνον ὅσον αὐτάρκες εἰς ἀνάψυξιν ἀπὸ τῆς ἐσχάτης συστολῆς αὐταῖς ὑπάρχει. εἰ δὲ τὸ μὲν καπνῶδες θερμὸν ὀλίγον εἴη, πλεῖστον δὲ τὸ ἀτμῶδές τε καὶ καθαρόν, καὶ οἷον φλογῶδες, ἐπὶ πλεῖστον μὲν ἐξαίρονται διαστελλόμενα, συστέλλονται δὲ τοσοῦτον μόνον, ὅσον ἱκανὸν εἰς τὴν τῆς ἑτέρας χρείας ἐκπλήρωσιν. ὥστε ἀεὶ μὲν ἴση κατὰ τὸ μέγεθος ἐστὶν ἡ διαστολὴ τῇ συστολῇ, πλὴν εἰ κατά τινα τύχην ἐπιβαλλόντων ἡμῶν τοὺς δακτύλους ἐξαίφνης ἡ μεταβολὴ γίνοιτο. διαφέρει δὲ ἐν τῷ ποτὲ μὲν τὴν ἔξω κίνησιν ἐπικρατεῖν, ποτὲ δὲ τὴν ἔσω. καὶ σημαίνει καθάπερ εἴρηται καπνώδη μέν τινα κατὰ τὰς ἀρτηρίας εἶναι θερμασίαν ἡ εἴσω κίνησις κρατοῦσα, πυρώδη δὲ καὶ καθαρὰν ἡ ἔξω. διὰ ταύτην μὲν δὴ τὴν αἰτίαν ὁ ὑψηλὸς σφυγμὸς ἐκκρίσεώς ἐστι δηλωτικός, ἐπὶ πεπεμμένοις ἤδη τοῖς τὸν πυρετὸν ἐργαζομένοις γινόμενος χυμοῖς. ἀεὶ δ' ἔκκρισις ἅπασα κατὰ λόγον φύσεως ἀποτελουμένη πέψεσιν ἕπεται. καὶ γὰρ καὶ τὴν γαστέρα τότ' ἀποκρίνουσαν φαίνεται τὸ περιττὸν ἡ φύσις, ὅταν πέψῃ. τὰς δὲ ἄλλας ἁπάσας ἐκκρίσεις, ὅσαι πρὶν πεφθῆναι τὴν τροφὴν γίνονται, ποτὲ μὲν ὑπὸ δάκνεσθαι πρὸς τῶν ἐν αὐτῇ περιεχομένων, ποτὲ δὲ ὑπὸ βαρύνεσθαι, πρὸ τοῦ καιροῦ τῆς πέψεως ἀναγκάζεται ποιεῖσθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ καθ' ὅλον τὸ σῶμα δύναμις, ἐπειδὰν ἱκανῶς πέψῃ τὸν οἰκεῖον ἑκάστου μορίου χυμόν, ἀποκρίνει τηνικαῦτα τὸ περιττόν, ὅταν γε ὡς εἴρηται μηδὲν αὐτὴν ἐρεθίζῃ πρὸ τοῦ καιροῦ. τὸ πλῆθος δὲ τῆς ἐκκρίσεως, ἔκ τε τοῦ τὰ πληθωρικὰ προγεγονέναι σημεῖα, καὶ ἐκ τῆς παρούσης φλογώδους θερμασίας προγινώσκεται. διὰ δὲ τὴν αὐτὴν ταύτην θερμασίαν οἱ σφυγμοὶ μεγάλοι φαίνονται, καὶ ὑψηλοί. χείριστοι γὰρ οὖν τῶν ἐκκρίσεων εἰσὶν ἐφ' ὧν ὁ σφυγμός, οὔτε μέγας ἐστί, καὶ ταχὺς ἐν τῇ συστολῇ φαίνεται. εἰ δὲ δὴ καὶ μέχρι πλείονος εἴσω χωροίη, τὸ καπνῶδες οὗτος μάλιστα σημαίνει περίττωμα κρατεῖν. καὶ διὰ τοῦτ' ἄπεπτον ὑπάρχειν τὴν νόσον. εἰ δ' ἐν τούτῳ καὶ ἄτονος ὁ σφυγμὸς εἴη, κίνδυνος συγκοπῆναι. φλεγματωδεστέρου δὲ τοῦ νοσήματος ὑπάρχοντος, ὅταν ἐπὶ τοῖς ἀνωμάλοις σφυγμοῖς, ἡ μετάπτωσις εἰς πλείους τοὺς σφοδροὺς καὶ μεγάλους ἀποτελεσθῇ, δι' ἀποστάσεως ἡ κρίσις. καὶ μᾶλλον ὅταν ἤδη χρονίζῃ. καὶ μᾶλλον, ὅταν ἔτι κατὰ χειμῶνα, καὶ ψυχρὰν ἡλικίαν, καὶ φύσιν, καὶ χώραν. εἰς ὅ, τι δὲ μάλιστα τοῦ σώματος ὁρμήσει μόριον ἡ ἀπόστασις ἐκ τῶν σφυγμῶν οὐκ ἔνεστι προγινώσκειν. ἀλλ' ὡς κἂν τοῖς περὶ κρίσεων εἴρηται, σκέπτεσθαι χρὴ τὰς ῥοπὰς τῆς φύσεως, ἃς κἂν τοῖς περὶ κρίσεων λογισμοῖς, τὸν τρόπον τῆς κινήσεως ἔφαμεν ἐνδείκνυσθαι. ὅταν γοῦν ὁ σφυγμὸς ἐκκριτικὸς ἀκριβῶς ᾖ, συνόντων μὲν αὐτῷ τῶν αἱμορραγικῶν καλουμένων σημείων, ἐκ ῥινῶν αἱμορραγήσουσιν. ἀπόντων δὲ αὐτῶν, ἐξ ἄλλου τινὸς χωρίου διασκέπτεσθαι τὴν ἔκκρισιν. εἴρηται δὲ περὶ τοιούτων ἁπάντων αὐτάρκως ἐν τοῖς τῶν κρίσεων ὑπομνήμασιν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΧΡΕΙΑΣ ΣΦΥΓΜΩΝ ΒΙΒΛΙΟΝ.

ΤΙΣ ἡ χρεία τῶν σφυγμῶν; ἆρά γε ἥπερ καὶ τῆς ἀναπνοῆς, ὥς, σχεδὸν ἅπασιν ἰατροῖς τε καὶ φιλοσόφοις ἔδοξεν, ἤ τις ἑτέρα παρὰ ταύτην; οὐ γὰρ δὴ ἀβασανίστως πιστέον αὐτοῖς, ἐναντιοῦσθαι δοκούντων, ἄλλων τε τινῶν οὐκ ὀλίγων φαινομένων, καὶ τοῦ νῦν εἰρῆσθαι μέλλοντος οὐχ ἥκιστα. στερηθέντες μὲν γὰρ τῆς ἀναπνοῆς, εὐθέως ἀποθνήσκομεν, ἄσφυκτα δ' ἀπεργάσῃ πολλὰ τῶν μορίων, ἄνευ μεγάλης βλάβης. εἰ γοῦν ἐθελήσεις, ἢ τὰς διὰ τῶν βουβώνων ἐπὶ τὰ σκέλη καθηκούσας ἀρτηρίας, ἢ τὰς διὰ τῶν μασχάλων εἰς τὰς χεῖρας βρόχῳ διαλαβεῖν, ἀσφύκτους μὲν εὐθέως ἐργάσῃ τὰς ἐν τοῖς κώλοις ἀπάσας, οὐ μὴν παραλύσεις ταῦτα τῆς καθ' ὁρμὴν κινήσεως, ὥσπερ οὐδὲ τῆς αἰσθήσεως. εἰ δ' ἐν τῷ χρόνῳ ναρκώδη τέ καὶ ψυχρὰ καὶ ὠχρὰ καὶ ἄτροφα γίνεται, τάχ' ἂν ἰδεῖν, κατὰ συμπάθειαν μᾶλλον, ἢ τὴν τῶν σφυγμῶν ἀπώλειαν συμβαίνει. εἰ δὲ τὰ νεῦρα βρόχοις διαλάβοις, ἀκίνητά τε παντελῶς καὶ ἀναίσθητα παραχρῆμα ποιήσεις τὰ μόρια. ἐχρῆν οὖν καὶ τὰς ἀρτηρίας ὁμοίως τοῖς νεύροις κακωθείσας, εἰς ἅπερ ἔμπροσθεν ὠφέλουν ἕκαστον τῶν μορίων, εἰς ταῦτα καὶ βλάπτειν εὐθέως. τὸ δὲ δὴ πάντων ἀτοπώτατον, εἰς τὰς κατὰ τὸν τράχηλον ἀρτηρίας βρόχοις διαλάβοις, οὐδὲν σαφὲς βλάψοις τὸ ζῶον, καίτοι συνάπτουσιν αὗται καρδίαν ἐγκεφάλῳ τὸ κυριώτατον τῶν ζωτικῶν ὀργανον, τῷ κυριωτάτῳ τῶν ψυχικῶν. εἴπερ οὖν τῶν οὕτως ἐπικαίρων ἀρτηριῶν ἡ βλάβη μηδὲν σαφὲς ἀδικεῖ τὸ ζῶον, σχολῇ γ' ἂν τῶν ἄλλων τις ἀδικήσειεν.

εἰ δ' οὐ-

εἰ δ' οὐδὲν βλάπτουσιν παθοῦσαι, παντί που δῆλον, ὡς οὐδ' ὠφελοῦσιν, οὐδ' αὖ ἐῤῥωμέναι τύχωσιν. πῶς οὖν ἐκ σφυγμῶν τὸ μέγιστον προγινώσκομεν; οὐχ ὡς ἐξ αἰτίων πολὺ δυναμένων φήσει τις. ἀλλ' ὡς σημείων ἐπικαίρων ὡς εἰ καὶ γρυπουμένοις τοῖς ὄνυξι καὶ μελαινομένοις τεκμαίροιτό τις περὶ θανάτου. ὅτε γὰρ τοῖς χρησίμοις εἰς τὴν ζωὴν ἕπηταί τινα κατ' ἀνάγκην, ὁ μὲν κίνδυνος ἐπὶ τῇ τοῦ χρησίμου βλάβῃ, τὸ δ' ἐξ ἀνάγκης ἑπόμενον σημεῖον γίνεται τοῦ κινδύνου. κύριον μὲν οὖν σπλάγχνον ἡ καρδία. ἐκπεφύκασι δ' ἀπ' αὐτῆς αἱ ἀρτηρίαι, καὶ κινοῦνται τὸν αὐτὸν ἐκείνῃ τρόπον. ὥστε καὶ βλάπτονται τὸν αὐτὸν, καὶ ταύτῃ μέγα δηλοῦν πεφύκασιν. ἐδείχθη δ' οὐ ταὐτὸν ὂν τὸ δηλοῦν μεγάλα καὶ δύνασθαι μεγάλα. πόθεν οὖν ἐπῆλθεν ἅπασιν ἰατροῖς τε καὶ φιλοσόφοις, εἰς τὴν αὐτὴν χρείαν ἀνάγειν τήν τε ἀναπνοὴν καὶ τοὺς σφυγμούς; τῆς μὲν, οὕτως εἰς μέγα διαφέρειν ἡμῖν φαινομένης, τῶν δ' ὡς ἔοικεν, ἢ παντάπασιν εἰς οὐδὲν, ἢ παντελῶς μικρόν. ἐμοὶ μὲν οὖν δοκοῦσιν ὥσπερ οὖν καὶ γράφουσιν οἱ πλείους τῶν, ἐκ τοῦ τρέπεσθαι παραπλησίους τροπὰς ἐπὶ τοῖς αὐτοῖς αἰτίοις ἀμφότερα, κοινὴν εἶναι καὶ τὴν χρείαν αὐτῶν ὑπονοῆσαι. τῶν τε γὰρ γυμναζομένων, καὶ λουομένων, καὶ τῶν ὁπωσοῦν ἄλλως θερμαινομένων, οὐ τὴν ἀναπνοὴν μόνον ὠκυτέραν τε καὶ πυκνοτέραν καὶ μείζονα γινομένην ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ τοὺς σφυγμοὺς ὡσαύτως τρεπομένους. τῶν τ' ἀργούντων, καὶ τῶν ὁπωσοῦν ἄλλως ψυχομένων, οὐ τὴν ἀναπνοὴν μόνην ἀραιοτέραν τε καὶ βραδυτέραν καὶ μικροτέραν, ἀλλὰ καὶ τοὺς σφυγμούς. καὶ ἐν τοῖς καυσώδεσι πυρετοῖς πλεῖστον μὲν καὶ τάχιστον καὶ πυκνότατον ἀναπνέουσι. μεγίστους δ' ἔχουσι καὶ ταχίστους καὶ πυκνοτάτους τοὺς σφυγμούς. εἰ δ' ἐπὶ ταῖς ἀσυμμέτροις τροφαῖς, οἱ μὲν σφυγμοὶ μείζονες, αἱ δ' ἀναπνοαὶ γίνονται μικρότεραι, οὐδὲ τοῦτο ἀπόρημα τῷ λόγῳ. μικρότερον μὲν γὰρ ἀναπνέουσιν, ἢ σφύζουσι, στενοχωρίᾳ τῶν φρενῶν. ἀλλ' ὅσῳ μικρότερον, τοσούτῳ πυκνότερον, ἰώμενοι τὴν μικρότητα τῆς ἀναπνοῆς, διὰ συνεχεῖ τῆς ἐνεργείας. ὅσον γὰρ ἐνδεέστερον ἀπέλαυσεν ἡ φύσις ἀέρος, οὐ δυνηθέντος ἐπὶ πλεῖστον διαστῆναι τοῦ θώρακος, τοῦτ' ἐπανορθοῦται τῇ πυκνότητι. καὶ διὰ τοῦτο ἴσον δύναται τὸ μικρότερόν τε ἅμα καὶ πυκνότερον πνεῦμα, τῷ μείζονί τε ἅμα καὶ ἀραιοτέρῳ. λέγομεν δὲ νῦν ἀραιότερον σφυγμὸν, τὸν ἐπὶ τροφαῖς οὐ πρὸς τὸν πρὸ τῆς τροφῆς, ἐκεῖνος μὲν γὰρ πυκνότερός ἐστιν, ἀλλὰ τῇ τῆς ἀναπνοῆς ἰδέᾳ παραβάλλοντες. εἰ τοίνυν τρέπεται μὲν ὡσαύτως ἐπὶ τοῖς αὐτοῖς αἰτίοις ἡ ἀναπνοὴ τοῖς σφυγμοῖς, βλάπτεται δ' οὐχ ὡσαύτως ἀναιρουμένη, καὶ γὰρ τοῦτ' ἔμπροσθεν ἐδείχθη, περαίνοιτ' ἂν οὐδὲν ἧττον ὁμοίως ἀλλήλοις τὰ ἀντικείμενα, τό, τε τῆς αὐτῆς ἕνεκα χρείας ἄμφω γεγονέναι, καὶ τὸ, μὴ τῆς αὐτῆς. ἀλλ' οὐκ ἐνδέχεται. χρὴ γὰρ θάτερον αὐτῶν ἀληθὲς ὑπάρχειν, οὐκ ἄμφω. ζητητέον οὖν ὅπη τῶν λόγων ὁ ἕτερος παραλογίζεται, κανόνα τῆς κρίσεως ποιησαμένοις ἡμῖν, τὴν χρείαν τῆς ἀναπνοῆς, ἣν ἐδείξαμεν ἐν τοῖς περὶ αὐτῆς λόγοις, διττὴν οὖσαν, ὡς ἐδόκει καὶ Ἱπποκράτει. τὴν μὲν γὰρ ἑτέραν τὴν μείζω, φυλακὴν τῆς ἐμφύτου θερμασίας, τὴν δὲ ἑτέραν τὴν ἐλάττονα, θρέψιν τοῦ ψυχικοῦ πνεύματος. ἀλλ' εἰς ἄμφω ταῦτα, παρὰ τῆς διὰ τῶν ῥινῶν εἰσπνοῆς, ὠφελεῖσθαι τὸν ἐγκέφαλον ἐλέγομεν. ὥστ' οὐδὲν θαυμαστὸν ὀλίγης αὐτῷ παρὰ καρδίας χορηγουμένης τῆς ἐπικουρίας, ὀλίγην εἶναι καὶ τὴν βλάβην τῶν καρωτίδων λεγομένων ἀρτηριῶν βρόχοις διαληφθεισῶν. ἀλλ' ἴσως τις φύσει μηδ' ἐλαχίστην φαίνεσθαι. δι' ὅλης γὰρ ἡμέρας τὸ ζῶον, ὡς ἐπειράθημεν πολλάκις, ἀβλαβὲς διαμένει. καὶ ὀρθῶς γε φήσει. καὶ δὴ τοῦθ' ἡμεῖς ἀγνοοῦντες, ἐπενοήσαμεν τοιούτου τινὸς ἀποπειραθῆναι φαινομένου. πρότερον δ' ἐρῶ τὸν λογισμὸν, ὅθεν εἰς τοῦθ' ἥκομεν. ἐπεὶ γὰρ ἐν ἑτέροις ἡμῖν ἀποδέδεικται, τὰς κατὰ τὸν ἐγκέφαλον κοιλίας πνεύματος εἶναι ψυχικοῦ μεστὰς, τροφῆς χρῄζοντος συνεχοῦς. ἀποδέδεικται δὲ καὶ ὡς δαπανᾶται τοῦτο ἐν ταῖς καθ' ὁρμὴν κινήσεσι, ἄμεινον ἐδόκει τρέχειν ἀναγκάζειν τὸ ζῶον, οὗ τὰς ἀρτηρίας βρόχοις διελάβομεν. ἐπεὶ δὲ μέχρι μὲν πολλοῦ καλῶς ἔτρεχε, μέχρι παντὸς δ' οὐκ ἠδύνατο, ζητεῖν ἐδόκει χρῆναι πάλιν αὐτὸ, τὸ μέχρι πολλοῦ διαρκεῖν, ἀλλ' οὐκ εὐθέως ἐκλύεσθαι δαπανωμένου τοῦ ψυχικοῦ πνεύματος, ἀλλὰ καὶ αὐτοῦ τούτου τὸ δικτυοειδὲς πλέγμα πρὸς τῶν ἀμφὶ τὸν Ἡρόφιλον, κληθὲν, ἐδόκει τὴν αἰτίαν ἔχειν. ἐκεῖ γὰρ αἱ ἐπὶ τὸ ἐγκέφαλον ἀνιοῦσαι καρωτίδες ἀρτηρίαι, πρὶν διελθεῖν τὴν σκληρὰν μήνιγγα, σχίζονται πολυειδῶς ὑπ' αὐτῆς, περιπλεκόμεναι κατὰ πολλοὺς στίχους, ὡς εἰ νοήσαις ἀλλήλοις ἐπικείμενα δίκτυα πλείω, καὶ χώραν παμπόλλην, ἣν καλοῦσιν, ἐγκεφάλου βάσιν, καταλαμβάνουσιν, ἐνίων αὐταῖς εὐθὺς μὲν διεκπεσεῖν τὰς μήνιγγας, ἐμφῦναι δὲ εἰς τὸν ἐγκέφαλον, ὥσπερ ἐξ ἀρχῆς ἵενται. τοῦθ' οὖν τὸ θαυμαστὸν πλέγμα πρὸς τῆς μηδὲν εἰκῇ ποιούσης φύσεως ἐν οὕτως ἀσφαλεῖ χώρᾳ ταχθῆναι, μεγάλης τινὸς ἐδόκει χρείας ἐνδεικτικὸν ὑπάρχειν. ἀλλ' ἐπεὶ δὴ τὴν τῶν ἐντέρων ἕλικα, καὶ τὴν εἰς τοὺς ὄρχεις ἐμφυομένων ἀγγείων ἀκριβοῦς τε πέψεως ἕνεκα τῶν περιεχομένων ὑλῶν, καὶ προσέτι δαψιλοῦς παρασκευῆς ταῖς ἐξῆς ἐνεργείαις ἑωρῶμεν γεγενημένην, εὔλογον ἐδόκει κἀνταῦθα τοιοῦτόν τι μεμηχανῆσθαι τὴν φύσιν, ἅμα τε κατεργαζομένην πολλῷ χρόνῳ τὴν ἐν ταῖς ἀρτηρίαις ὕλην, αἷμα θερμὸν καὶ λεπτὸν καὶ ἀτμῶδες ὑπάρχουσαν, ἅμα τε κατασκευάζουσαν τροφὴν δαψιλῆ τῷ κατὰ τὸν ἐγκέφαλον ψυχικῷ πνεύματι. καὶ διὰ τοῦτο κἂν στερηθῇ τῆς πρὸς τὴν καρδίαν συνεχείας ὁ ἐγκέφαλος, ἐξαρκεῖν αὐτῷ τὸ δικτυοειδὲς πλέγμα μέχρι πολλοῦ, καὶ μάλισθ' ὅταν ἀτρεμῇ τὸ ζῶον, ὡς ἂν μὴ δαπανωμένου τηνικαῦτα τοῦ ψυχικοῦ πνεύματος εἰς τὴν καθ' ὁρμὴν ἐνέργειαν. τὸ μὲν δὴ χαλεπώτατόν τε καὶ ἀπορώτατον δοκοῦν τὸ κατὰ τὰς καρωτίδας ἀρτηρίας, οὐδὲν ἔχειν ἄπορον ἐπιφαίνεται. παραπλησίως δ' αὐτῷ καὶ τὸ κατὰ τὰς ἄλλας ἁπάσας, ὧν ἑκάστης βρόχῳ διαληφθείσης, οὐδὲν ἐν τῷ παραυτίκα βλάπτεται τὸ μέρος. ἐχρῆν γὰρ οἶμαι κἀνταῦθα σκοπεῖν, ὡς οὐκ ἴσον ἐστὶν, ἢ τὴν ἀρχὴν αὐτὴν τῆς ἐμφύτου θερμασίας παθεῖν, ἢ τι τῶν ὑπ' αὐτῆς θερμαινομένων. τὴν μὲν γὰρ, ἀεὶ χρὴ θερμὴν ἱκανῶς ὑπάρχειν. καὶ γὰρ ἑαυτὴν καὶ τἄλλα κινεῖ τε ἅμα σφυγματωδῶς καὶ θερμαίνει. τοῖς δὲ, ἀπόχρη βραχείας εὐπορεῖν θερμασίας εἰς τὸ διασώζεσθαι. καὶ τὴν μὲν, εἰ στερήσαις τῆς ἐμφύτου θερμασίας, αὐτήν τε ψύξεις, καὶ τἄλλα πάντα, ὅσα πρότερον ὑπ' αὐτῆς ἐθερμαίνετο. τῶν δ' ἄλλων οὐδὲν στερῆσαι τελέως δυνήσει τῆς θερμασίας, κἂν βρόχοις διαλάβοις τὰς ἀρτηρίας, διά τε γὰρ τῶν χιτώνων ἐπιῤῥυήσεταί τι, καὶ γὰρ σύμπνουν ἐστὶ καὶ σύῤῥουν ἑαυτῷ πᾶν τὸ σῶμα κατὰ

τὸν Ἱπποκράτους λόγον. ὥς τε κἂν μὴ διὰ τῶν ἀρτηριῶν, ἀλλά γε διὰ τῶν ἄλλων καὶ μάλιστα διὰ φλεβῶν περὶ συνε-
χεῖ τῆς μεταλήψεως, εἰς πᾶν μόριον ἐνεχθήσεταί τι τῆς θερμασίας. ἅπαντα οὖν τὰ τοιαῦτα τοῖς φαινομένοις ὁμο
λογεῖ. καὶ θαυμαστὸν οὐκ ἔτι δόξει τὴν ἀρχὴν τῆς θερμασίας μᾶλλον τῶν ἄλλων βλάπτεσθαι στερηθείσης τῆς ἀναπνοῆς.
καὶ γὰρ ἐν ταῖς ἰατρικαῖς σικύαις, ἡ μὲν φλὸξ ἀπόλλυται παραχρῆμα, μένει δ' ἄχρι πλεῖον ἡ θερμασία περί τε τὸν
ἐντὸς ἀέρα, καὶ κατ' αὐτὸ τὸ σῶμα τοῦ τραφείου. οὕτω δὲ κἂν τοῖς οἴκοις τοῖς ὑπὸ πυρὸς θερμανθεῖσιν θερμασία φαί-
νεται διαμένουσα, τοῦ πυρὸς ἐσβεσμένου πολλάκις. οὐχ ὅμοιον οὖν ἐστι τὸ κατὰ φύσιν τῇ τε καρδίᾳ καὶ τοῖς ἄλλοις μορί-
οις. τῇ μὲν γὰρ ζεῖν ἀεὶ χρή. τοῖς δ' ἀρκεῖ τὸ μὴ παντάπασι καταψύχεσθαι. μάθοις δ' ἂν ἐναργῶς τὸ λεγόμενον, εἰ
γυμνώσαις καρδίαν ζῶντος, αὐτοῦ δηλῶν, τὸ σκέπασμα ὃ καλοῦσι περικάρδιον χιτῶνα, χωρὶς τοῦ τὸν ἄλλον θώρακα
συντρῆσαι. τάχιστα γὰρ ἀποθνήσκει τὸ ζῶον, εἰ καταψύξεις τὴν καρδίαν. εἰ μὲν τὴν θερμὴν φυλάττεις, οὐδὲν πάσχει.
ψύξεις μὲν οὖν αὐτὴν ἐν ἀέρι τὴν χειρουργίαν ψυχρῷ ποιούμενος, καὶ ψυχρὸν καταῤῥαίνων ὕδωρ. φυλάξεις δὲ ὡς πλεῖστον
θερμήν, διὰ τῶν ἐναντίων. ἀλλ' εἰ κατεψυγμένης ἤδη. καὶ διὰ τοῦτο τοῦ ζώου τεθνεῶτος, ἐθέλοις παραχρῆμα τρώ-
σας ὁποτέραν οὖν τῶν κοιλιῶν, καὶ μᾶλλον τὴν ἀριστεράν, καθεῖναι δάκτυλον εἰς αὐτήν, αἰσθήσῃ πολλῆς τῆς θερ-
μασίας. καὶ πολύ γε πλείονος, ἢ ἐν τοῖς ἄλλοις μορίοις τοῖς κατὰ φύσιν διακειμένοις. τὸ γὰρ ἴσον μέρος τῆς θερμασί
ας, ἐλάχιστον μὲν τῇ καρδίᾳ, πάμπολυ δὲ τοῖς ἄλλοις ἐστί. καὶ τοίνυν ὅταν μὴ φυλάττηται τοῦτο, τὸ μὲν ἐκ τῆς καρ
δίας, οἷον φλὸξ διαφορεῖται. τὸ δ' ἐν τοῖς ἄλλοις, ἄχρι πολλοῦ παραμένει. φυλακὴ δὲ τὴν ἐκείνης μέν, ἡ ἀναπνοὴ μό-
νη, τοῖς δ' ἄλλοις, διττή· σφυγμὸς μέν, οἷον περιαναπνοή. τότε ἀπὸ τῆς ἀρχῆς ἐπιῤῥέον ἐξ ἐπιμέτρου. κατὰ δύο τοίνυν
αἰτίας ἕκαστον τῶν μορίων πλεονεκτεῖ τῆς καρδίας εἰς τὸ μὴ ταχέως βλάπτεσθαι θερμασίας ἐνδείᾳ. καὶ γὰρ ὅτι
πλείστης μὲν ἐκείνη χρήζει, τὰ δ' ἄλλα, βραχείας. καὶ ὅτι τῇ μέν, οὐδαμόθεν ἐπιῤῥεῖ, τοῖς δὲ ἀπ' ἐκείνης ἡμὲν ἑτοί-
μως ἐξίσταται τοῦ κατὰ φύσιν, τὰ δέ, οὔ. περὶ δὲ τοῦ μὴ δι' ἀρτηριῶν μόνον, ἀλλὰ καὶ διὰ τῶν φλεβῶν, καὶ τῶν ἄλλων
ἁπάντων ἐπιῤῥεῖν ἐκ τῆς καρδίας τοῖς μορίοις τὴν θερμασίαν, ἐπεὶ διὰ βραχέος εἴρηται πρόσθεν, αὖθις ἡμῖν ἀνα
ληπτέον τε καὶ ἀποδεικτέον, εἰποῦσι πρότερον τὰ φαινόμενα, δι' ὧν ἄν τις αὐτὸ συλλογίσαιτο. πολλοὺς οὖν ἤδη
πολλάκις μονομάχους, μονάρχους τε, καὶ στρατιώτας, καὶ κυνηγέτας οὕτω τρωθῆναι συνέβη φλέβας καὶ ἀρτηρί-
ας, ὥστε ἀναγκασθῆναι τοὺς ἰατροὺς βρόχῳ διαλαβεῖν αὐτάς. καὶ οὗτοι πάντες οὐ μετὰ πολὺν χρόνον ψυχροτέ-
ρων αἰσθάνονται τῶν μορίων, πρωϊαίτερον μὲν εἰ τὰς φλέβας καὶ τὰς ἀρτηρίας βρόχῳ διαλάβοις, ὀψιαί-
τερον δέ, εἰ τὰς ἀρτηρίας μόνον, ἥκιστα δὲ εἰ μόνας τὰς φλέβας. ἐξ ὧν δῆλον, ἥκειν μέν τινα καὶ διὰ τῶν φλε-
βῶν εἰς τὰ μόρια θερμασίαν, ἀλλ' ἐλάττονα μακρῷ τῆς διὰ τῶν ἀρτηριῶν. εἰ δέ, χωρὶς τραύματος ἐθελήσαις μό-
ριόν τι τοῦ σώματος λαβὼν ἰσχυρῶς καταδῆσαι, παραχρῆμα πελιδνόν τε καὶ ψυχρὸν αὐτὸ γινόμενον θεάσῃ. δῆ-
λον ὡς στερηθὲν τῆς ἄνωθεν ἐπιῤῥεούσης διὰ πάντων τῶν μερῶν αὐτοῦ θερμασίας. ὁπότ' οὖν καὶ τοῦτο δέδεικται, καὶ
φαίνεται μηδὲν ἐναντιούμενον τὸ μὴ μίαν εἶναι τὴν χρείαν τῆς ἀναπνοῆς καὶ τῶν σφυγμῶν ἕτοιμον, ἤδη συλλογίσασθαι,
φυλακῆς ἕνεκα τῆς καθ' ἕκαστον, μόριον θερμασίας γεγονέναι τοὺς σφυγμούς. ὥσπερ ὅ, περ ἐκ τῆς ἀναπνοῆς τῇ καρ-
δίᾳ μόνῃ, τοῦτ' ἐξ ἐκείνων παρὰ καθ' ὅλον τὸ ζῶον ὑπάρχει θερμῷ. εἴη δὲ καὶ τὸ τῆς * πέψεως τοῦ ψυχικοῦ πνεύμα-
τος, κοινὸν μὲν ἀμφοῖν, ἀλλ' ἰδιαίτατον τῶν ἀρτηριῶν. εἴ γε δὴ μεμνήμεθα τῶν ὀλίγον πρόσθεν εἰρημένων περὶ
τοῦ δικτυοειδοῦς πλέγματος. ἐπεὶ τοίνυν ἐν τῷ περὶ χρείας ἀναπνοῆς ἐδείκνυτο, διὰ μὲν τῆς εἰσπνοῆς ἐμψυ-
χόμενον τὸ ἔμφυτον θερμόν, διὰ δὲ τῆς ἀναπνοῆς, οἷον καθαιρόμενον, ἐκκρινομένου τοῦ καπνώδους περιττώματος,
ἄμφω δὲ ταῦτ' εἰς τὴν φυλακὴν αὐτοῦ συντελεῖν, δῆλον ὡς κἀπὶ τῶν σφυγμῶν ἐροῦμεν ἐν μὲν ταῖς διαστολαῖς
ἕλκεσθαί τινα οὐσίαν ἀερώδη, κατὰ δὲ τὰς συστολάς, ἐκκρίνεσθαι τὸ ἐκ τῆς τῶν χυμῶν συγκαύσεως καθ' ὅλον τὸ ζῶον γινόμε-
νον οἷον καπνῶδες περίττωμα. καί τοι γινώσκω τοὺς περὶ τὸν Ἀρχιγένην. καί τινας ἔτι πρότερον ἐν μὲν ταῖς συ-
στολαῖς, πληροῦσθαι τὰς ἀρτηρίας οἰομένους, ἐν δὲ ταῖς διαστολαῖς κενοῦσθαι. πρὸς γὰρ τὴν ἕλξιν ἐπιτηδειοτάτην εἶναι
νομίζουσι τὴν συστολήν, τεκμαιρόμενοι μάλιστα παρά τε στόματι καὶ ταῖς ῥισίν, κατὰ μὲν τὰς εἰσπνοάς, ὡς ἐκεῖνοί φα-
σι, συστελλομένοις, κατὰ δὲ τὰς ἐκπνοάς, διαστελλομένοις. ὅπερ ἐπὶ τῶν ἀῤῥώστων μὲν τὴν δύναμιν ὁρᾶται γινομένων.
οὐδ' οὖν οὐδ' ἐπὶ τούτων, κἂν ἄλλο τι μόριον ἢ ἐν τοῖς ὑστάτοις καὶ χονδρώδεσι τῶν ῥινῶν. ὁρᾶται δέ ποτε κἀπὶ τῶν
δραμόντων ὠκέως, ἢ ἄλλως πως συντόνως γυμναζομένων. οὐ μὴν ἐπ' ἄλλου γε οὐδενὸς οὔθ' ὑγιαινόντων, οὔτε νοσούν-
των. χρὴ δὲ τὴν φυσικὴν κατάστασιν, ἥ τις ἂν ᾖ, τοῖς ἀπαραποδίστως τε καὶ ἀκριβῶς ὑγιαίνουσι μᾶλλον, ἤπερ τοῖς
ἄλλοις φαίνεσθαι. ἀλλ' ἔστω γίνεσθαι πᾶσιν ὁμοίως καὶ φαινέσθωσαν αἵ τε ῥῖνες καὶ τὰ χείλη συστέλλεσθαι τοῖς εἰσ-
πνέουσι, τίς ἡ ἐκ τούτου πίστις περὶ ζητουμένου; οὐ γὰρ δὴ ἀνάλογον φήσουσιν ἔχειν ταῖς ἀρτηρίαις τὰ χείλη, καὶ τὰς
ῥῖνας. ἀλλὰ τούτοις μὲν ἀνάλογον, τὰ πέρατα τῶν ἀρτηριῶν, αὐταῖς δὲ ταῖς ἀρτηρίαις αἱ ἀπὸ τούτων ἐπὶ τὴν καρ-
δίαν οἷον ὁδοὶ τοῦ πνεύματός εἰσιν. εἰ μὲν οὖν ἐκείνας ἔχουσι δεῖξαι συστελλομένας ἐν ταῖς εἰσπνοαῖς, εἴη ἄν τι πλέ-
ον αὐτοῖς τοῦ παραδείγματος. εἰ δὲ πρὸς τὸ μηδὲν ὠφελεῖσθαι, ἔτι καὶ καθ' ἑαυτὸν αὐτὸ ἐφέλκονται ἐρούντων ἂν ἡμῖν,
ὥσπερ ἡ φάρυγξ καὶ ὁ πνεύμων καὶ σύμπας ὁ θώραξ ἐν ταῖς εἰσπνοαῖς διαστέλλεται, καὶ τὰς ἀρτηρίας οὕτω χρῆναι
διΐστασθαι, καθ' ὃν ἕλκουσι καιρόν, οὐ καθ' ὃν ἐκπέμπουσι τὸ πνεῦμα. ἀλλὰ καὶ ἡ μετὰ τὴν συστολὴν αὐτῶν ἡσυχία πολ
λῷ μακροτέρα γινομένη τῆς μετὰ τὴν διαστολήν, ὥσπερ καὶ ἡ πρὸ τῆς εἰσπνοῆς τῆς μετ' αὐτὴν ἐνδείκνυταί τινα καὶ κατὰ
τοῦτο ἀναλογίαν εἶναι τοῖς σφυγμοῖς πρὸς τὴν ἀναπνοήν. οἷον γοῦν τι ἡ εἰσπνοὴ τοῖς ἀναπνευστικοῖς ὀργάνοις, τοιοῦ-
τον ἡ διαστολὴ ταῖς ἀρτηρίαις. καὶ οἷον γοῦν τι ἐκείνοις ἡ ἐκπνοή, τοιοῦτον ταῖς ἀρτηρίαις ἡ συστολή. ταύτης δὲ τῆς
διπλῆς καὶ συνθέτου τῶν ἀρτηριῶν κινήσεως, ἣν δὴ καὶ σφυγμὸν ὀνομάζομεν, ἐξηγεῖται μὲν ἡ καρδία, καθάπερ
καὶ ἡμῖν ἐν ἑτέροις, καὶ μυρίοις ἄλλοις πρὸ ἡμῶν ἀποδέδεικται. οὐ μὴν καθ' ὃν Ἐρασίστρατος ὑπελάμβανε τρόπον,
ἀλλ' ὡς Ἡρόφιλός τε καὶ Ἱπποκράτης, καὶ σχεδὸν οἱ δοκιμώτατοι πάντες τῶν παλαιῶν ἰατρῶν τε καὶ φιλοσόφων.
ἡ γὰρ ἐν τῷ σώματι τῆς καρδίας δύναμις, ὑφ' ἧς διαστέλλεται, καὶ συστέλλεται διὰ τῶν χιτώνων ἐπιῤῥέουσα ταῖς ἀρτηρί-
αις ἁπάσαις, οὕτως αὐτὰς διαστέλλει, καὶ συστέλλει καθάπερ καὶ αὐτὴν τὴν καρδίαν. ὡς οὖν ἐκείνη διαστελλομένη μὲν εἰς
ἑαυτὴν ἕλκει τὰ πλησιάζοντα τοῖς στόμασιν αὐτῆς, συστελλομένη δέ, ἐκθλίβει. οὕτω καὶ αἱ ἀρτηρίαι διαστελλόμεναι

μὲν ἕλκουσι

μὲν ἕλκουσι πανταχόθεν, συστελλόμεναι δ' ἐκθλίβουσι πανταχόσε. τί δὴ τοῦτ' ἐστὶ πανταχόθεν καὶ πανταχόσε, σαφέστερον ἔτι διαιρήσω σοι. πάμπολλοι πόροι ταῖς ἀρτηρίαις οἱ μὲν ἐν αὐτοῖς τοῖς χιτῶσιν οἷον ὀπαί τινες, ἄλλοι δὲ δίκην στομάτων εἰς ἔντερα, καὶ γαστέρα, καὶ ὑπὸ δὴ τὸ ἐκτὸς δέρμα περαίνονται. ἀλλὰ καὶ συνεχεῖς ἀλλήλαις τε καὶ τῇ καρδίᾳ κατὰ μεγίστους εἰσὶ πόρους κατὰ τὰς αὐτὰς ἀρτηρίας, μᾶλλον δὲ εὐρυχωρίας ἁπάσας. ταῖς γε φλεψὶν οὔπω κατὰ μεγάλας. ἀλλ' ἐκφεύγουσι μὲν τὰς αἰσθήσεις αἱ συναναστομώσεις αὐτῶν. ὥστε κἂν ἀπιστοίης δικαίως ὡς οὐκ οὔσαις, πιστεύσεις ἂν διὰ τά τε ἄλλα τὰ πρὸ τῶν παλαιῶν εἰρημένα, καὶ οὐχ ἥκιστα διὰ τόδε τὸ φαινόμενον. εἰ γάρ τις λαβὼν ζῷον ὁποιονοῦν τούτων δὴ τῶν μεγάλας τε καὶ σαφεῖς τὰς φλέβας τε καὶ τὰς ἀρτηρίας ἐχόντων, οἷον βοῦν, ἢ σῦν, ἢ ὄνον, ἢ ἵππον, ἢ πρόβατον, ἢ ἄρκτον, ἢ πίθηκον, ἢ πάρδαλιν, ἢ ἄνθρωπον αὐτὸν ἤ τι τῶν ἄλλων τῶν παραπλησίων, κατὰ μεγάλας καὶ πολλὰς ἀρτηρίας τρώσειεν, ἐκκενώσει δι' αὐ-

10 τῶν ἅπαν τοῦ ζῴου τὸ αἷμα. τούτου πολλάκις τοῦ φαινομένου ἡμεῖς πεῖραν ἐποιησάμεθα, καὶ διαπαντὸς εὑρίσκοντες ἐκκενουμένας τὰς φλέβας ἅμα ταῖς ἀρτηρίαις, ἀληθὲς τὸ τῶν συναναστομώσεων, ἐκ τούτου ἐπεδείξαμεν δόγμα. διὰ γοῦν τούτων τῶν ἀναστομώσεων, ἐκ τῶν φλεβῶν ἕλκουσι μὲν ἐν ταῖς διαστολαῖς ἀρτηρίαι, ἐκθλίβουσι δὲ εἰς αὐτὰς ἐν ταῖς συστολαῖς. ὥσπερ διὰ τῶν εἰς τὸ δέρμα περαινομένων στομάτων, ἐκκρίνουσι μὲν ἔξω πᾶν ὅσον ἀτμῶδές τε καὶ καπνῶδες περίττωμα, μεταλαμβάνουσι δὲ εἰς ἑαυτὰς ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος οὐκ ὀλίγην μοῖραν. καὶ τοῦτ' ἔστι τὸ πρὸς Ἱπποκράτους λεγόμενον ὡς ἔκπνουν καὶ ἔσπνουν ἐστὶν ὅλον τὸ σῶμα. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἔκ τε τῆς γαστρὸς καὶ τῶν ἐντέρων ἕλκουσί τε καὶ αὖθις ἐκκρίνουσιν. οὕτω δὲ καὶ ἐκ τῶν περιεχουσῶν αὐτὰς χωρῶν διὰ τῶν οἷον ὀπῶν τῶν καθ' ὅλους τοὺς χιτῶνας αὐτῶν, ἐν μέρει μὲν ἕλκουσιν, ἐν μέρει δ' ἐκκρίνουσι. παρὰ δὲ τῆς καρδίας λαμβάνουσι μὲν πλεῖον, διδόασι δ' ἔλαττον. αἰτία δὲ, αἱ τῶν ὑμένων ἐπιφύσεις. ὑπὲρ ὧν αὐτάρκως Ἐρασιστράτου διειλεγμένου, περιττὸν ἡμᾶς νῦν γράφειν. ἀλλ' ἐκεῖνος μὲν

20 ἔοικεν ὑπολαμβάνειν μηδὲν ὅλως εἰς τὴν καρδίαν ἐκ τῶν ἀρτηριῶν μεταλαμβάνεσθαι, πλήν γε διὰ τῶν ἐν πνεύμονι. τὸ δὲ, οὐχ οὕτως ἔχει. τάχα μὲν γὰρ καὶ τὰ κατ' αὐτὸν τὸν τῆς φύσεως νόμον διοικουμένου τοῦ ζῴου μεταλαμβάνεταί τι μικρόν. οὐχ οὕτως γάρ μοι δοκοῦσιν ἀκριβῶς ἀποφράττειν τὸ στόμα τῆς μεγάλης ἀρτηρίας οἱ ὑμένες. ὡς μηδὲν ἐξ αὐτῆς εἰς τὴν καρδίαν παλινδρομεῖν. εἰ δὲ μὴ, ἀλλά τοι γε βιαίας τινὸς περιστάσεως καταλαβούσης τὸ ζῷον ἀναγκαῖον οὕτως γίνεται. πάντως δὲ μᾶλλον ἀληθὲς εἶναί μοι δοκεῖ. τοῦτο δὲ καὶ δι' ἑτέρων ἡμῖν γραμμάτων ἀποδέδεικται, καὶ οὐ μεγάλη τις αὐτοῦ χρεία πρὸς τὸν ἐνεστῶτα λόγον. εἰ μὲν γάρ τι καὶ τῇ καρδίᾳ μεταδιδόασιν αἱ ἀρτηρίαι, πανταχόθεν ἂν οὕτως ἕλκοιεν τε καὶ αὖθις ἀντιπέμποιεν. εἰ δὲ μὴ πανταχόθεν μὲν ἕλξουσιν, ἐπιπέμψουσι δὲ καὶ πλὴν εἰς τὴν καρδίαν πανταχόσε. καί μοι δοκεῖ πολλῷ βέλτιον εἶναι τοῦτο τὸ δόγμα τῆς Ἐρασιστρατείων ὑποθέσεων, οὐδὲ γὰρ οὐδὲ σύμπνουν, οὐδὲ σύρρουν ἐστὶ τὸ σῶμα δυνατὸν ἑαυτῷ τῶν ἀρτηριῶν ἑλκουσῶν μὲν πανταχόθεν, μὴ ἐκπεμπουσῶν δὲ πανταχόσε. καὶ μὲν δὴ τό τε τῆς ἐνεργείας αὐτῶν χρη-

30 στὸν, ὧδ' ἂν μᾶλλον εἰς ἅπαν ἐκταθείη τὸ ζῷον. οὕτω γὰρ ἅπαν μόνον ἀναψύχεσθαί τε καὶ καθαίρεσθαι δυνήσεται, ταῖς τῶν ἀρτηριῶν διαφόροις κινήσεσιν ἐπιστατούμενον. ὡς δ' Ἐρασίστρατος ὑπελάμβανεν, ὀχετοὶ ἀψύχων ἔργον οὐκ ὀργάνων ζωτικῶν αἱ ἀρτηρίαι τοῖς ζῴοις ὑπηρετοῦσιν. ἡμεῖς δὲ καὶ δι' ἑτέρου τινὸς ὅλου βιβλίου πολυειδῶς ἀπεδείξαμεν, αἷμα καὶ δεῖ κατὰ φύσιν ἔχειν τὸ ζῷον ἐν αὐταῖς ἀρτηρίαις περιέχεσθαι. εἰ δὲ τοῦτο, πάντῃ που δῆλον, ὡς οὐχ ὅτι πληροῦνται τοῦ παρὰ τῆς καρδίας ἐπιπεμπομένου πνεύματος, ὡς Ἐρασίστρατος ἐνόμιζε, διὰ τοῦτο διαστέλλονται μᾶλλον, ἢ ὅτι διαστέλλονται, διὰ τοῦτο πληροῦνται. κενῶν μὲν γὰρ αἵματος οὐσῶν, ἐνδέχοιτ' ἂν ἴσως ἐν ὀλίγῳ χρόνῳ τὸ ἀπὸ τῆς καρδίας ἐπιρρυὲν, ἐξικνεῖσθαι μέχρι τῶν περάτων. αἷμα δὲ εἴπερ ἔχοιεν οὐδαμῶς ἐγχωρεῖ τὸ τάχος τῆς κινήσεως ὁμολογεῖν δεῖ παρὰ τῆς καρδίας πληρουμένας αὐτὰς διαστέλλεσθαι. οὐ γὰρ ὅτι πληροῦνται, διὰ τοῦτο διαστέλλονται. ἀλλ' ὅτι διαστέλλονται, διὰ τοῦτο πληροῦνται. τοῦτο μὲν δὴ πολλάκις τε καὶ πανταχοῦ καὶ ἡμῖν, καὶ πολλοῖς τῶν ἔμπροσθεν ἀποδέδεικται, τὸ, τὰς ἀρτηρίας ἐνεργεῖν αὐ-

40 τὰς, ὡς καὶ ἡ καρδία, συστελλομένας τε καὶ διαστελλομένας ἐν μέρει, κατὰ τὴν αὐτὴν ἐκείνῃ δύναμιν, ἣν ἐκ τῆς καρδίας ὁρμωμένην διὰ τῶν χιτώνων αὐτῶν ἐλέγομεν πέμπεσθαι. κάλλιον δ' ἐστί μοι δοκοῦσι ποιεῖν οἱ ζητοῦντες, ἆρά τε τὴν διαστολὴν, ἢ τὴν συστολὴν, ἢ ἀμφοτέραν, ἐνέργειαν χρὴ νομίζειν τῶν ἀρτηριῶν. ὥσπερ οἶμαι καὶ περὶ τῶν τῆς ἀναπνοῆς μορίων εὐλόγως ἐζητήθη πότερον τὴν ἐκπνοὴν, ἢ τὴν εἰσπνοὴν, ἢ ἀμφοτέρας ἐνεργείας ὑποληπτέον ὑπάρχειν. ἀλλὰ περὶ μὲν ἐκείνων ἐν ἑτέροις εἴρηται τὰ εἰκότα. περὶ δὲ τῆς τῶν σφυγμῶν κινήσεως νῦν ζητητέον. εἰ μὲν οὖν ὥσπερ εἴρηται τῆς αὐτῆς ἐνεργείας ἕνεκα γεγόνασιν ἀναπνοή τε καὶ σφυγμὸς, καὶ πρὸς τῶν αὐτῶν ἐδημιουργοῦντο δυνάμεων, ῥᾷστον ἂν εἴη τῇ πρὸς ἐκείνην ὁμοιότητι καὶ περὶ τῶν σφυγμῶν τι τεκμήρασθαι. ἐπεὶ δὲ τῶν μὲν σφυγμῶν ἡ ζωτικὴ δύναμις, ἡ ἀπὸ τῆς καρδίας ὁρμωμένη, δημιουργὸς, τῆς δ' ἀναπνοῆς, ὡς ἐδείξαμεν, ἡ ἀπ' ἐγκεφάλου ψυχικὴ, οὐδὲν ἂν ἡμῖν ἐκ τῶν ὑπὲρ ἐκείνης εὑρημένων εὐπορεῖ τῆς πρὸς τὰ παρόντα χαλεπωτέρας δήπου τῆς εὑρέσεως, καὶ διότι μετὰ τὸν θάνατον, οὐχ ὥσπερ τὰς φλέβας ἐστὶν ἰδεῖν

50 εἰς ἑαυτὰς συμπιπτούσας, οὕτω καὶ τὰς ἀρτηρίας. αἱ μὲν γὰρ ὅταν κενωθῶσι τοῦ αἵματος, εἰς ἑαυτὰς συνιζάνουσι τελέως. ὥστε τῶν ἄνωθεν αὐτῶν χιτῶνας ἐπιπίπτειν τοῖς κάτωθεν. αἱ δ' ἀρτηρίαι μέχρι παντὸς διεστηκυῖαι φαίνονται διὰ τὸν ἕτερον δηλονότι τῶν ἐν αὐταῖς χιτώνων τὸν σκληρόν. καί τοι τινὲς καὶ αὐτὸ τοῦτο, μετὰ τὸν θάνατον γίνεσθαί φασι πηγνυμένων ὑπὸ τῆς ψύξεως αὐτῶν, καὶ οὐ φύσει τοιούτων οὐσῶν. ἕτεροι δὲ εἰς θερμὸν ὕδωρ ἐμβαλόντες, εἶτ' ἔτι διεστώσας ὁρῶντες, οὕτω πείθονται διακεῖσθαι καὶ πρὸ τοῦ θανάτου. ἐπανελθεῖν γὰρ εἰς τὴν ἀρχαίαν φύσιν ἀπελθούσης τῆς ψύξεως, εἰ δὴ ταύτῃ τινὶ νεωτέρισο. *πανδείως ὂν ἀπόρου, τοῦ ζητουμένου ὄντος, οἷς τεκμαιρόμεθα ἀμφοτέρας τὰς κινήσεις τῶν ἀρτηριῶν ἐνεργείας εἶναι νομίζω, καὶ δὴ φράσω. τὴν μὲν διαστολὴν, ὅτι τῆς δυνάμεως ἐρρωμένης, μεγάλην γίνεσθαι. ἐχρῆν δὲ, εἴπερ ὥς τινες οἴονται, τὸ μὲν συστέλλεσθαι, τῶν ἀρτηριῶν ἐνέργεια, τὸ δὲ διαστέλλεσθαι εἰς τὴν κατὰ φύσιν τῶν χιτώνων διάστασιν, ἐπάνοδος αὐτόματος, πρῶτον μὲν ἴσον ἀεὶ τὸν ὄγκον ὑπάρχειν τῶν διαστολῶν, ἔπειτα μηδὲν μᾶλλον ἐρρωμένης, ἢ ἀρρώστου δυνάμεως ἐστὶν ἐρ-

γον τὸ μέγεθος. ὑστέρου δ᾽ οὕτως ἔχει. καὶ πρόσεστιν ἕτερον τεκμήριον οὐ μικρὸν εἰς ταὐτὸ συντελοῦν. μέγιστοι καὶ
ὑψηλότατοι σφυγμοὶ τοῖς κάλλιστα κριθησομένοις γίνονται. καί τοι τότ᾽ οὐκ ἄν τις οὐδὲ μαινόμενος εἴπῃ τὴν δύ-
ναμιν ἀῤῥωστεῖν. εἰ γὰρ τὸ καλῶς κριθῆναι γίνεται ἐνδείᾳ δυνάμεως, τὸ κακῶς δ᾽ εὐρωστίαν δηλονότι γενήσεται.
εἰ δὲ τοῦτο, καὶ τὸ ἀποθανεῖν αὐτό, ῥώμης ἔργον εἶναι φήσομεν. τί οὖν ἂν εἴη γελοιότερον; ἀλλὰ καὶ τὸ σφοδρὸν
τῆς πληγῆς ἐν τῷ διαστέλλεσθαι, τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον ὑπάρχειν, τῶν σφυγμῶν ἐπίτασιν καὶ ἄνεσιν ἐνερ-
γείας ἐνδείκνυται. εἰ δὲ τὸ φαῦλον τῆς ἐνεργείας ἦν ἡ διαστολή, καθάπερ ἡ ἐκπνοή, οὔτ᾽ ἂν τὸ μᾶλλόν τε καὶ ἧττον
ἦν ἐν αὐτῇ καθ᾽ ἐν ταῖς ἐκπνοαῖς, οὔθ᾽ ὅλος ὁ τόνος τε καὶ ἡ σφοδρότης τῆς προσβολῆς. ἡ μὲν οὖν διαστολὴ διὰ
ταῦτά τε καὶ ἄλλα παραπλήσια τούτοις, ἐκ τοῦ τῶν ἐνεργειῶν εἶναί μοι φαίνεται γένους, καὶ σώζοιτ᾽ ἂν ἔτι
καὶ κατὰ τοῦτο ἡ πρὸς τὴν ἀναπνοὴν τῶν σφυγμῶν ὁμοιότης. ἐφεξῆς ἂν εἴη σκεπτέον εἰ ὥσπερ ἡ ἐκπνοὴ ἄνεσις
ἐστί, καὶ οἷον ἀνάπαυσις τῆς ἐνεργείας τοῦ θώρακος, ἐκφύσησις δὲ ἐνέργεια, καὶ διὰ τοῦτο τὸ μᾶλλόν τε καὶ ἧττον ἔχει. 10
τῆς ἐκπνοῆς οὐκ ἐχούσης. οὕτως καὶ ἡ συστολὴ μὲν ἐν τοῖς σφυγμοῖς, ἔκλυσις τῆς ἐνεργείας ἐστὶ τῶν ἀρτηριῶν.
ἑτέρου δ᾽ ἔτι ταύτῃ παρακειμένου ἀνάλογος ταῖς ἐκφυσήσεσιν, ἡ ἐνέργεια. καί μοι δοκεῖ καὶ τοῦτο, παντὸς μᾶλλον
ἀληθὲς εἶναι. τεκμαίρομαι δὲ ἔκ τε τῶν κοινῇ περὶ πασῶν ἡμῖν τῶν ζωτικῶν δυνάμεων ἑτέρωθι δεδειγμένων,
ἱκανῆς πρὸς αὐτὴν τὴν ἀναπνοὴν ἀναλογίας. ἐν μέντοι γε τοῖς περὶ τῶν δυνάμεων λογισμοῖς ἑκάστῳ τῶν
ὀργάνων ἐμφαίνει ἐναντίως ἔχειν ἐμφύτους δυνάμεις. ἡ δ᾽ αὖ τῆς ἀναπνοῆς ὁμοιότης ζητεῖ τὴν ἐνέργειαν ἐν
ταῖς ἀρτηρίαις ἀνάλογον ταῖς ἐμφυσήσεσιν. καὶ γὰρ ἀτοπώτατον ἂν εἴη, μᾶλλον δ᾽ ἀδύνατον, ὑπάρχειν μέν τι-
να χρείαν τῇ φύσει τῆς συστολῆς τῶν ἀρτηριῶν, μηδεμίαν δ᾽ αὐταῖς δεδόσθαι σύμφυτον δύναμιν δημιουργὸν τῆς τοι-
αύτης κινήσεως. εὐλογώτερον οὖν μακρῷ, καθάπερ ἐν τοῖς περὶ δυσπνοίας ἐδείκνυμεν, ὁπόταν μὲν ἡ ἐκ τῆς τῶν
χυμῶν συγκαύσεως, ἀθροιζομένη λιγνυώδης ἀναθυμίασις ἀξιόλογος ᾖ, τηνικαῦτα μὲν ἐκφυσήσεως ἡμῶν ἐφίε-
σθαι. ὁπόταν δ᾽ ἤτοι διὰ τὴν εὐχυμίαν, ἢ τὴν τοῦ θερμοῦ μετριότητα μηδὲν τοιοῦτον ὑποτρέφεται περίττω- 20
μα, μόνης τῆς ἐκπνοῆς. κἂν ταῖς ἀρτηρίαις, τὴν μὲν ἀνάλογον ταῖς ἐκφυσήσεσι συστολὴν ἐν ταῖς πλεονεξίαις τοῦ
τοιούτου περιττώματος γίνεσθαι. τὰς δ᾽ ἄλλας ὅταν ἀτμῷ μᾶλλον ἢ καπνῷ παραπλήσιον ᾖ τὸ καιόμενον ἐξ
αὐτῶν. ἐναργῶς δὲ μαρτύρια πάμπολλα τῶν ἐν τοῖς σφυγμοῖς φαινομένων. οἷον εὐθέως τὰ περὶ τοὺς ὕπνους αὐτῶν
τῶν ἐδηδοκότων δαψιλῶς. ἐν τούτοις γὰρ ἐκλύεται μὲν ἡ διαστολὴ μικροτέρα τε ἅμα καὶ βραδυτέρα γινομένη,
ἐπιτείνεται δὲ κατ᾽ ἄμφω ἡ συστολή, καὶ γὰρ ὠκυτέρα, ἢ πρόσθεν, καὶ ἐπὶ πλέον εἴσω κατιοῦσα φαίνεται. ἔοικε γὰρ
ταῦτα γίνεσθαι κατὰ τοὺς ὕπνους εὐλόγως θ᾽ ἅμα καὶ ἀνάλογον ταῖς ἐκπνοαῖς. ἔσω γὰρ μᾶλλον, ἢ ἔξω κινουμέ-
νης τῆς ἐμφύτου θερμασίας, καὶ διὰ τοῦτο πολλῆς ἀθροιζομένης κατά τε τὰ σπλάγχνα καὶ τὴν γαστέρα κατεργα-
ζομένην τούς τε χυμοὺς καὶ τὰ σιτία, πλεῖον ἀνάγκη καὶ τὸ περίττωμα γινόμενον δεῖσθαι τῆς φυσικῆς κενώσεως.
καὶ διὰ τοῦτο ἐν μὲν ταῖς ἀναπνοαῖς, ἡ ἐκπνοὴ θάττων τε καὶ μείζων καὶ ὡς ἐπὶ τὸ πολὺ μετ᾽ ἐκφυσήσεως τοῖς
κάμνουσι κοιμωμένοις, καὶ μάλισθ᾽ ὅταν ἐδηδοκότες ὦσιν ἱκανά. περὶ δὲ τοὺς σφυγμοὺς ἡ συστολὴ τὸν αὐτὸν διατί- 30
θεται τρόπον. οὕτω τοι καὶ τοῖς παισὶν ἄμφω πλεονεκτεῖ. πλείστη γὰρ καὶ ἡ τῶν χυμῶν ἐργασία τοῖς τοιούτοις
διὰ τὴν αὔξησιν. ἔμπαλιν δὲ ἡ τῶν γερόντων ἡλικία, βραδυτάτην τε καὶ μικροτάτην ἔχουσα φαίνεται τὴν συστο-
λήν, ὡς ἀμυδρὰν, καὶ περὶ τὰς πέψεις ἀσθενοῦσαν, καὶ τοὺς χυμοὺς ἥκιστα κατεργαζομένην ὡς μὴ ἀναγκαίαν.
ἀνάλογον δὲ τούτοις καὶ τὰς ὥρας τε καὶ χώρας, καὶ πάσας ἁπλῶς τοῦ περιέχοντος ἡμᾶς ἀέρος τὰς μετα-
βολάς, εἰς κρύος τε καὶ θάλπος ἀλλοιοῦσθαι φασὶ, τοὺς σφυγμούς. οὕτω δὲ καὶ τῶν ψυχικῶν παθῶν καὶ τῶν ἐπι-
τηδευμάτων τε καὶ νοσημάτων ἕκαστον, ἤτοι τὴν ἔξω κίνησιν αὐξάνει τῶν ἀρτηριῶν, ἢ τὴν εἴσω. καίτοι γ᾽ ἐχρῆν
εἰ διὰ παντὸς ἀνάπαυσίς τις ἦν ἡ διαστολή, πρῶτον μηδαμῶς μήτ᾽ ὠκυτέραν ἑαυτῆς μήτε βραδυτέραν ταύ-
την γίνεσθαι. δεύτερον δὲ καὶ τῆς κινήσεως ὅρον, ἵνα διὰ παντὸς ὑπάρχειν ὃν ἐκ τῆς φυσικῆς κατασκευῆς αἱ
ἀρτηρίαι κέκτηνται, τόδε καὶ τοῦτο προσωτέρω κινεῖν αὐτάς, ἐνδεικτικὸν ἐστὶ τῆς τότε γινομένης ἐνεργείας. ἀλλ᾽
οὐκ ἐνεργοῦσα φασὶν ἡ ἀρτηρία θᾶττόν τε καὶ μέχρι πλέονος, εἴσω προσέρχεται, ἀλλὰ διὰ τῶν χιτώνων μα- 40
λακότητα. πεφύκασι γὰρ οἱ τοιοῦτοι τῆς διαστολῆς ἀφεθέντες, ἐπὶ πλεῖόν τε καὶ θᾶττον τῶν σκληρῶν εἰς ἑαυ-
τοὺς συνιζάνειν. ἀλλὰ τοῦτο φήσομεν ὦ γενναῖοι τῇ μὲν κατὰ τὰς ἡλικίας ἐξαλλαγῇ τὸν ῥυθμὸν ἴσον ὁμολογεῖ.
καί τοι δείξομεν ὀλίγον ὕστερον ὅπως διαφέρεται. παμπόλλαις τ᾽ ἄλλαις διαθέσεσιν ἐναργῶς διαφωνεῖ
καθ᾽ ἃς ἐξαιφνίδιος ἡ ἀλλοίωσις γίνεται τῶν ῥυθμῶν, οὐδὲν μέγα τῶν χιτώνων ἐν οὕτως ὀλίγῳ χρόνῳ μετα-
βάλλειν τε εἰς μαλακότητα καὶ σκληρότητα δυναμένων. ἐξαπατᾶται δὲ οὐχ ἥκιστα ἡμᾶς καὶ τὸ καλῶς ὑπὸ
τῶν παλαιῶν ἰατρῶν εἰρημένον, οὐ συνιέντας αὐτὸ προσηκόντως. ἑτοιμότεροι γάρ εἰσί τε πρὸς τὰς κινή-
σεις οἱ μαλακοὶ χιτῶνες, ὅταν ἐνεργῶσι τί δὴ αὐτῶν αἱ δυνάμεις. εὐπειθέστεροι γὰρ οὕτως αὐταῖς εἰσὶ καὶ
ὡς ἂν εἴποι τις εὐαγωγότεροι πρὸς ὅτι ἂν ἐθέλωσιν. ὅταν δ᾽ ὑπ᾽ ἐκείνων κινηθέντες αὖθις (ἔλθωσιν) ἐαθῶ-
σιν εἰς τὴν ἑαυτῶν κατάστασιν ἐπανιέναι, τὸ θ᾽ οἱ σκληροὶ θᾶττον ἐπανέρχονται τῶν μαλακωτέρων. ὥσπερ
καὶ τῶν φυτῶν τὰ σκληρότερα τῶν μαλακωτέρων, χαλεπώτερον μὲν ὑπείκει τοῖς βιαζομένοις, καὶ μόλις 50
ἕπεται τοῖς ἕλκουσιν. ἀφεθέντα δ᾽ αὖθις εὐκωλώτερον εἰς τὴν ἔμπροσθεν ἐπανέρχεται κατάστασιν. ἀλλὰ
καὶ λόγον ἔχον ἐστὶ τοῦτο περὶ τοῦ φαίνεσθαι γινόμενον οὕτως. ἑκάστῳ γὰρ τῶν σωμάτων ἐστί τις ἴδιος λόγος
συστάσεως ἄλυπός τε καὶ ὡς Ἱπποκράτης ἔλεγεν, ἀκάματος, ἐν τῷ μέσῳ δηλονότι τῶν ἀμέτρων αὐτοῦ
κινήσεων καθεστηκυίας. καὶ ταύτης οὐκ ἄνευ καμάτου τινὸς ἐξίσταται. καὶ μείζων δὲ κάματος καὶ αὐτῷ τῷ
κινουμένῳ σώματι καὶ τῇ κινούσῃ δυνάμει τότε μᾶλλον ἐστίν, ὅταν σκληρόν τε καὶ ξηρὸν ὑπάρχει. τὸ γὰρ
οὕτω συνεστηκὸς ἰσχυροτέραν ἔχει τὴν ἕξιν τοῦ μαλακωτέρου τε καὶ ὑγροτέρου. ὅσῳ δ᾽ ἂν ἕκαστον τῶν ὁτιοῦν
πάσχειν μελλόντων ἰσχυρότερον ᾖ, τοσούτῳ τῷ διατιθέντι δυσκινητότερον γίνεται. εἴπερ οὖν πάσχει μὲν τὸ
κινούμενον ὑπὸ τοῦ κινοῦντος, ἐνεργεῖ δὲ καὶ δρᾷ περὶ αὐτὸ τὸ κινοῦν, εὔλογον ἦν ὅσον δυσπαθέστερον ἐστὶ τὸ
σκληρότερον, εἰς τοσοῦτον, καὶ δυσκινητότερον αὐτὸ γενέσθαι. καὶ διὰ τοῦτο εἴτε φυτὸν ὁτιοῦν, εἴτε τῶν ὀργα-

νικῶν

νικῶν τι τοῦ ζώου μορίων ὑπὸ δυνάμεώς τινος κινοῖτο, τὸ μὲν σκληρὸν, ὡς ἂν δυσπαθέστερόν τε καὶ δυσκινητότερον, ἧττον ἀκολουθεῖ, ῥᾷον δὲ τὸ μαλακώτερον. τοῦ μαλακωτέρου δὲ τὸ σκληρὸν θᾶττον εἰς τὴν ἑαυτοῦ κατάστασιν ἐπανέρχεται, ὡς ἂν ἰσχυροτέρᾳ συνεχόμενον ἕξει. φαίνεται γὰρ ἐν τοῖς φυτοῖς ὅσα μὲν ἁπαλὰ καὶ νέα λυγιζόμενά τε καὶ βραδύνοντα κατὰ τὰς εἰς τὴν φύσιν ἐπανόδους, ὅσα δ' ἤδη τέλεα καὶ σκληρὰ μετὰ πλείονος τοῦ τόνου, καὶ θᾶττον τῆς κινήσεως ἐπανερχόμενα. πρὸς τὸ τοίνυν, ὡς ἔφην, καταβάλλειν αὐτῶν τὸν λόγον τὰς ἐξαίφνης γιγνομένας μεταβολὰς τῶν ῥυθμῶν, οὐδ' ἄλλως ἔοικεν ὁμολογεῖν τοῖς φαινομένοις ἡ ὑπόθεσις, δειχθέντος. τοῦ μὲν μαλακωτέρου σώματος καὶ ἀσθενεστέρου. ῥᾷον μὲν ἑπομένου τῷ κινοῦντι, βραδύτερον δ' εἰς τὴν φύσιν ἐπανερχομένου, τοῦ δὲ σκληροτέρου διὰ συντονίαν μόγις μὲν νικωμένου, καὶ διὰ τοῦτο βραδύτερον ἑπομένου. θᾶττον τε ὅταν ἀφεθῇ, πρὸς τὴν οἰκείαν ἐπειγομένου φύσιν. συνελόντι δὲ φάναι καὶ ταῖς μαλακαῖς ἀρτηρίαις ἄμφω συμβέβηκε πάσχειν ἐν μέρει, καὶ ταῖς σκληραῖς. εἴρηται μοι τὸ πᾶν ἤδη περὶ χρείας σφυγμῶν. καὶ γὰρ ὅτι φυσικῆς ἕνεκα τῆς καθ' ὅλον τὸ ζῶον θερμασίας. καὶ ὅτι κατὰ μὲν τὰς διαστολὰς διαψύχεται τοῦτο, κατὰ δὲ τὰς συστολὰς, καθαίρεται. καὶ ὡς αἱ κινήσεις αὗται, ταῖς ἀναπνευστικαῖς ἐοίκασι πάντη, καὶ ὡς καὶ τῷ ψυχικῷ πνεύματι χρήσιμοι. καὶ ὡς καθ' ἓν μόνον ἀναπνοὴ καὶ σφυγμὸς διαφέρουσι, τῷ τὴν μὲν ὑπὸ τῆς ψυχικῆς δυνάμεως, τὸν δ' ὑπὸ τῆς ζωτικῆς γίνεσθαι. τὰ δ' ἄλλα πάντα καὶ χρείας ἕνεκα καὶ τρόπου κινήσεως, ὁμοίως ἔχουσιν, εἴρηταί τε καὶ δέδεικται. ῥᾷστον δὴ ταῦτ' ἐπιμελῶς ἀναλεξαμένῳ διακρίνειν δύνασθαι τά τε καλῶς ὑπὸ τῶν ἔμπροσθεν εἰρημένα. καὶ τὰ μή. ῥᾴδιον δὲ τῷ τοιούτῳ καὶ ὅσα κατὰ μέρος ὑπὲρ ἀμφοτέρων ζητεῖται τῶν ἐνεργειῶν, ἐξευρίσκειν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΧΡΕΙΑΣ ΑΝΑΡΝΟΗΣ.

ΤΙΣ ἡ τῆς ἀναπνοῆς χρεία; ὅτι γὰρ οὐχ ἡ τυχοῦσα, φανερὸν, ἐκ τοῦ μηδὲ βραχύτατον ἡμᾶς χρόνον ἀρκεῖν δύνασθαι ἀπεστερημένους αὐτῆς. ᾧ καὶ δῆλον, ὅτι πρὸς οὐδεμίαν τῶν κατὰ μέρος ἐνεργειῶν, ἀλλ' εἰς αὐτὴν τὴν ζωὴν διαφέρει. ὥσπερ γὰρ ὅσα γέγονε πρὸς τὸ βαδίζειν, τούτων στερηθέντων εἰς τὸ βαδίζειν βλαπτόμεθα. καὶ ὅσα πρὸς τὸ βλέπειν χρήσιμα, τούτων στερηθέντων οὐ βλέπομεν. οὕτως ὅσα πρὸς τὸ ζῆν ἀναγκαῖα, τούτων στερηθέντων ἀποθνήσκομεν. τί ποτε οὖν τηλικοῦτόν ἐστι, τὸ παρὰ τῆς ἀναπνοῆς ἡμῖν χρηστόν; ἆρά γε τῆς ψυχῆς αὐτῆς ἐστι γένεσις, ὡς Ἀσκληπιάδης φησὶν, ἢ γένεσις μὲν οὐχὶ, ῥῶσις δέ τις, ὡς τοῦ Νικάρχου Πραξαγόρας, ἢ τῆς ἐμφύτου θερμασίας ἀνάψυξίς τις, ὡς Φιλιστίων τε καὶ Διοκλῆς ἔλεγον; ἢ καὶ θρέψις καὶ ἔμψυξις ὡς Ἱπποκράτης; ἢ τούτων μὲν οὐδὲν, ἐπιπληρώσεως δὲ ἕνεκεν ἀρτηριῶν ἀναπνέομεν, ὡς Ἐρασίστρατος οἴεται; σχεδὸν γὰρ τοσαῦται γεγόνασιν αἱρέσεις περὶ χρείας ἀναπνοῆς, εἰ καί τινες τῶν εἰρημένων δοκοῖεν μὴ διαφέρειν, ὥσπερ ἥ τε τῶν λεγόντων ῥώννυσθαι τὴν ἔμφυτον θερμασίαν ὑπὸ τῆς ἀναπνοῆς, καὶ ἡ τῶν ῥιπίζεσθαι διαφέρουσι γὰρ οὐδὲν αὗται τῆς λεγούσης ἐμψύχεσθαι, πλὴν οὐ τὴν λέξιν χρὴ, ἀλλὰ τὴν διάνοιαν σκοπεῖν, ἥτις ἐν ἁπάσαις ἐστὶ μία. τὴν γὰρ ψῦξιν οὐχ αὐτὴν δήπου δι' αὐτὴν, ὥσπερ οὐδὲ τὴν ῥίπισιν, ἢ τὴν ῥῶσιν, ἀλλ' ὅτι φυλάττουσι τὴν ἔμφυτον θερμότητα, διὰ τοῦτο εἶναι φησὶ χρησίμους. καὶ εἰ τοῦτ' ἐστι τὸ κοινὸν ταῖς τρισὶ δόξαις, ἡ φυλακὴ τῆς ἐμφύτου θερμασίας, χαλεπὸς ὁ περὶ πασῶν αὐτῶν γίνεται λόγος καὶ δυσδιαίρετος, ὅτι ψυχῆς οὐσίαν οὐκ ἴσμεν. εἴπερ οὖν ἐνέργεια μὲν ψυχῆς ἡ ζωὴ, μεγάλα δ' αὐτὴ φαίνεται πρὸς τῆς ἀναπνοῆς ὠφελεῖσθαι, μέχρι πόσου τὸν τρόπον τῆς ὠφελείας ἀγνοεῖν εἰκός ἐστιν ἡμᾶς; μέχρις ἂν οἶμαι τὴν οὐσίαν τῆς ψυχῆς ἀγνοῶμεν. ἀλλ' ὅμως τολμητέον τε καὶ ζητητέον τὸ ἀληθές. εἰ γὰρ καὶ μὴ τύχωμεν αὐτοῦ πάντως δήπου πλησιέστερον, ἢ νῦν ἐσμὲν, ἀφιξόμεθα. καὶ πρῶτον γε δύο κεφάλαια πασῶν τῶν εἰρημένων αἱρέσεων ποιησάμενοι, πότερον αὐτῶν ἀληθέστερόν ἐστιν, εὑρεῖν πειραθῶμεν. ἐοίκασι γὰρ αἱ μὲν, εἰς τὴν οὐσίαν ἀποβλέπειν τοῦ εἰσπνεομένου ἀέρος, αἱ δὲ εἰς τὴν ποιότητα. τὸ μὲν οὖν γεννᾶσθαι λέγειν τὴν ψυχὴν, καὶ τὸ τρέφεσθαι, καὶ τὸ τὰς ἀρτηρίας ἐπιπληροῦσθαι, τὴν οὐσίαν ἐστὶ μόνον αἰτιωμένων. τὸ δὲ ῥιπίζεσθαι καὶ ῥώννυσθαι καὶ ψύχεσθαι, τὴν ποιότητα. καθ' ὃν οἶμαι λόγον καὶ σιτίον, ὁ μὲν ὡς γλυκὺ προσφερόμενος, ἢ αὐστηρὸν, ἢ θερμὸν, ἢ ψυχρὸν, τὴν ποιότητα μόνον. ὁ δ' ὡς τρέφον, εἰς τὴν οὐσίαν ἀποβλέπων αἱρεῖται. τοῦτ' οὖν πρῶτον διορισόμεθα, πότερον αὐτῆς τῆς οὐσίας χρῄζομεν τοῦ κατὰ τὴν εἰσπνοὴν ἐρχομένου ἀέρος, ἢ τῆς ποιότητος ἢ ἀμφοτέρων. ἐπεὶ τοίνυν εἰσπνεύσαντες μὲν τῆς μὲν οὐσίας εὐποροῦμεν, πνιγόμεθα δὲ οὐδὲν ἧττον, ἢ εἰ μηδόλως εἰσεπνεύσαμεν, ἐμφαίνεσθαι δοκεῖ τὸ μὴ δεῖσθαι τῆς οὐσίας. ἀλλὰ πρὸς τοῦτ' ὁ Ἐρασίστρατος φησὶν, ὅτι μὴ δ' ἕλκειν δύναται τὸν ἐκ τοῦ πνεύμονος ἀέρα κατὰ τὴν τῆς ἀναπνοῆς ἐπίσχεσιν ἡ καρδία. φυλάττεσθαι γὰρ τῶν ἀναπνευστικῶν ὀργάνων τὸν ἴσον ὄγκον τῆς διαστάσεως ἐν ταῖς τοιαύταις καταστάσεσιν. εἴπερ οὖν εἵλκυσέ τι μέρος ἀέρος ἡ καρδία, κενὸς ἂν ὁ τοῦ καταληφθέντος ἐγένετο τόπος. τοῦτο δὲ ἐγένετο ἀδύνατον. ἵν' οὖν μὴ γένηται ἀδύνατον, οὐδὲ μεταλήψεσθαι φησὶ τὴν ἀρχήν. δεῖ γὰρ ἵνα τι μεταληφθῇ μὴ μόνον εἶναι τὸ ἕλξον, ἀλλὰ καὶ τὸ μεταδοῦν, οὐ μεταδίδωσιν δὲ ὁ θώραξ τὸν ἴσον ὄγκον τῆς διαστάσεως φυλάττων, οὐ δ'

οὖν οὐδ᾽ ἡ καρδία δύναται μεταλαμβάνειν. ἀλλ᾽ ἐπιχειρεῖ μὲν, ὡς ἔμπροσθεν, ἀνύει δ᾽ οὐδέν. κἀντεῦθεν τὸ
πνίγεσθαι. ἐπεὶ τοίνυν ἵν᾽ ἑλκύσῃ τι τοῦ ἀέρος ἡ καρδία, συγχωρεῖν χρὴ τὸν θώρακα, συγχωρεῖ δ᾽ ἡνίκα με-
ταβάλλῃ τὴν διάστασιν· μεταβάλλει δ᾽ εἰσπνεόντων, ἢ ἐκπνεόντων· τηνικαῦτα ἡ καρδία μεταλήψεται.
ταυτὶ μὲν ὁ Ἐρασίστρατος. οἱ δ᾽ ἀντιλέγοντες αὐτῷ, πρῶτα μὲν, οὐδ᾽ ἀπέδειξέ που μηδ᾽ ὅλως πα-
ρεσπάρθαι τοῖς σώμασί που κενὸν, ἀλλ᾽ ὅτι μὴ ἀθρόον, ὑπομιμνήσκουσιν. ἔπειτα δὲ εἰ καὶ τοῦτο συγ-
χωρηθείη, τὸ μὴ δ᾽ ὅλως ἐν τῷ κόσμῳ μηδαμοῦ παραπλέκεσθαι κενὸν, ἀλλ᾽ οὔτοι γ᾽ οὐκ ἀδύνατον εἶναι φα-
σὶ τὴν αὐτὴν οὐσίαν χεομένην τε καὶ πάντη τεινομένην, μείζονα τοῦ πρόσθεν τόπον ἐπιλαμβάνειν. καὶ
τρίτον ὅτι τοῖς ἐναργέσιν ὁ λόγος αὐτοῦ μάχεται. βλέπομεν μὲν γὰρ ὡς ἕλκει κατὰ τὰς ἐπισχέσεις τῆς
ἀναπνοῆς ἡ καρδία, τὸν ἐκ τοῦ πνεύμονος ἀέρα. τοῦτο δ᾽ ἕπεται τῷ διαστέλλεσθαι τὴν καρδίαν. οὐδὲ γὰρ ἐν-
δέχεται κατ᾽ αὐτὸν διαστέλλεσθαι μὲν, μηδὲν δ᾽ ἕλκειν. κενὸς γὰρ ἂν οὕτω γένοιτο τόπος. εἰ δ᾽ οὐ διαστέλ-
λεται, δῆλον ὡς οὐδὲ κινεῖται. ἀλλὰ μὴν φαίνεται κινουμένη, τὸ ἐναντίον ἄρα τοῦ πρώτου περαίνεται, τὸ
τὴν καρδίαν ἕλκειν ἐν ταῖς ἐπισχέσεσι τῆς ἀναπνοῆς τὸν ἀέρα. πρὸς δὲ ταῦθ᾽ οἱ Ἐρασιστράτειοι πάλιν ἀμ-
φισβητοῦσι, περί τε χύσεως καὶ συστολῆς, τὰ ἐναντία σκευάζειν πειρώμενοι. καὶ περὶ τῆς κενοῦ παραπλο-
κῆς. καὶ ὡς ἡ μὲν καρδία, παρὰ μὲν τοῦ πνεύμονος, οὐδὲν ἕλκει τηνικαῦτα. παρὰ μέντοι τῆς μεγάλης ἀρ-
τηρίας, ἣ πρόσθεν ἐχορήγει. τινὲς δὲ, οὐδὲ διαστέλλεσθαι, ἢ συστέλλεσθαι λέγουσιν αὐτὴν, ἀλλ᾽ οἷον κραδαίνε-
σθαι. τὰ μὲν γὰρ ὑπὸ τῶν περὶ τὸν Ἀσκληπιάδην εἰρημένα, κάλλιον εἶναί μοι δοκεῖ παραλιπεῖν, ἄτοπά τε
φανερῶς ὄντα, καὶ τῶν προσηκόντων ἐλέγχων ὑπὸ Ἀσκληπιάδου τετυχηκότα. διττὴν οὖν ἀνάγκη πρός γε
τοὺς γίνεσθαι τὴν ἀντιλογίαν. πρὸς μὲν τοὺς παρὰ τῆς ἀρτηρίας ἕλκεσθαι τὸν ἀέρα λέγοντας, ἀντιλέγοντας τῇ
διὰ τῶν ὑμένων ἐπιφύσει κωλυούσῃ, ὡς αὐτὸς ὁ Ἐρασίστρατος εἴρηκε. πρὸς δὲ τοὺς κραδαίνεσθαι μόνον, ὅτι παρὰ
τὸ φαινόμενον λέγουσι. φαίνεται γὰρ ἐν μέρει διαστελλομένη τε καὶ συστελλομένη. κοινὴ δ᾽ αὖ πρὸς ἀμφοτέ-
ρους, τὴν πασῶν τῶν ἀρτηριῶν κίνησιν ὁμοίως γινομένην, κατά τε τὴν ἀναπνοὴν καὶ τὴν ἐπίσχεσιν. ἡ μὲν
οὖν περὶ χύσεως οὐσίας ζήτησις, εἰς τὸ ἀπέραντον μῆκος λόγου ἑκατέροις ἐκπίπτει. πρὸς δὲ τὸ μὴ δύνασθαι
παρὰ τῆς μεγάλης ἀρτηρίας ἑλκύσαι τι τὴν καρδίαν, διὰ τὴν τῶν ὑμένων ἐπίφυσιν, ἀπολογούμενοι φασὶ
περὶ τῆς κατὰ φύσιν οἰκονομίας ταῦτα εἰρηκέναι τὸν Ἐρασίστρατον, οὐ περὶ τῆς βιαίου καὶ παρὰ φύσιν. ἐπειδὴ
γὰρ ἀναγκαῖόν ἐστι διαστελλομένην ἑλκύσαι τὴν καρδίαν, ὅταν μὲν ἐκ τοῦ πνεύμονος ἕλκειν ἔχῃ, παρὰ τῆς
μεγάλης ἀρτηρίας μὴ λαμβάνεσθαι, κωλυόντων τῶν ὑμένων. ὅταν δ᾽ ἀπορῇ τῆς ἐκ τοῦ πνεύμονος χο-
ρηγίας, τηνικαῦτα ἐκ τῆς μεγάλης ἀρτηρίας ἀντισπᾶν βιαζομένην τοὺς ὑμένας. περὶ δὲ τῆς τῶν ἀρτη-
ριῶν κινήσεως ὁμοίως ἔν τε ταῖς ἀναπνοαῖς καὶ ταῖς ἐπισχέσεσι γιγνομένης, οὔ φασι χρῆναι θαυμάζειν οἱ Ἐρα-
σιστράτειοι, τοσοῦτον γὰρ μόνον παραλλάττειν αὐτὴν τῆς ἐν τῷ κατὰ φύσιν διοικήσεως, ὅτι μὴ παρὰ τοῦ πνεύ-
μονος, ἀλλὰ παρὰ τῆς μεγάλης ἀρτηρίας ἡ καρδία τὴν ὁλκὴν τοῦ πνεύματος ποιησαμένη, πάλιν εἰς ἐκείνην
πέμπει, καὶ δι᾽ αὐτό γε φασὶν πνίγεσθαι τὸ ζῶον. ὅτι τῆς παρὰ τοῦ πνεύμονος ἐστέρηται χορηγίας. τὰ μὲν δὴ
πρὸς ἑκατέρων ἀντιλεγόμενα, τοιαῦτα τετύχηκεν ὄντα. καὶ πρὸς τούτοις ἔτι, τὸ μήπω μὲν εἰρημένον, νῦν
δὲ ἰδίᾳ καὶ χωρὶς τῶν ἄλλων εἰρησόμενον, ὅτι μοι δοκεῖ περαίνειν ἐναργέστατον μόνον. ἐν μὲν γὰρ δὴ ταῖς ἐπι-
σχέσεσι τῆς ἀναπνοῆς, τί τὸ κωλῦον ἐστὶν, ἕλκειν μὲν τὴν καρδίαν ἐκ τοῦ πνεύμονος ἀέρα, συστέλλεσθαι δὲ τὸν
θώρακα, πεφυκότα γε τοῦτο πάσχειν. εἰ μὲν γὰρ μήτε διαστῆναι, μήτε συνιζῆσαι δυνάμενον ὄργανον ἦν, ἴσως
ἄν τινα νοῦν εἶχε τὸ πρὸς Ἐρασίστρατον λεγόμενον. ἐπειδὴ δὲ κατ᾽ αὐτὸν ἐκεῖνον συστέλλεσθαι δύναται, τί κω-
λύει κἀκεῖνο εἰς τοσοῦτον συνιζάνειν καὶ νῦν αὐτὸν, εἰς ὅσον ὑπὸ τῆς καρδίας ἐκκενοῦται; τά τε γὰρ ἄλλα καὶ
διὰ μυῶν ὑπὸ τῆς τοῦ ζώου προαιρέσεως κινεῖσθαι φησὶν ὁ Ἐρασίστρατος τὸν θώρακα, κἂν ὁπουοῦν χαλεπὸν θλίψαι
πανταχόθεν αὐτὸν τοῖς μυσὶ, μετὰ τοῦ κωλῦσαι τὴν ἄνωθεν κένωσιν, ὅπερ ἐν ταῖς καλουμέναις τοῦ πνεύμα-
τος καταλήψεσι, κἂν ταῖς ἀκρατήσεσι γίνεται. πανταχόθεν γὰρ ἐν ταῖς τοιαύταις ἐνεργείαις, θλίβομέν τε
τὸν θώρακα καὶ συστέλλομεν, βιαίως κλείσαντες τὸν ἄνω πόρον τῆς τραχείας ἀρτηρίας, ὡς μηδὲν δι᾽ αὐτῆς κε-
νοῦσθαι, ὡς εἴγε μὴ μόνον θλίψαιμεν, ἀλλὰ καὶ τοῦτον ἀνοίξαιμεν, λάβρος ἐκτὸς ὁ ἀὴρ μετά τινος φέρεται ψό-
φου, καὶ καλεῖται τὸ τοιοῦτον ἐκφύσησίς τις, ἀπὸ τῆς ἀψόφου μόνον ἐκπνοῆς διαφέρουσα πλήθει καὶ τάχει κενώσε-
ως. ἵνα γὰρ εἰσπνευσθεὶς ἀὴρ, ἀθρόως αὖθις ἀντεκπνευσθῇ, τάσεως πολλῆς πανταχόθεν ἐδέησε τῷ θώρακι. τὸ
μὲν δὴ τῆς τάσεως, κοινὸν τρισὶν ἐνεργείαις. τὸ δὲ κατέχεσθαι τὸν ἄνω πόρον, ἴδιον τῆς ἐκφυσήσεως. οὐδὲν μὲν
οὖν χαλεπὸν, οὐδ᾽ ὅταν ἐπέχωμεν τὴν ἀναπνοὴν, θλίβειν πανταχόθεν τὸν θώρακα, κλείσαντας τὸν ἄνω πό-
ρον, οὕτως γὰρ οὐχ ὅπως ἀντιπράττειν, ἀλλὰ καὶ συνεργεῖν ἑλκούσῃ τῇ καρδίᾳ δυνήσεται. καὶ φανερῶς ἐξε-
λήλεγκται ψεῦδος ὂν, τὸ πρὸς Ἐρασιστράτου λεγόμενον, ὡς οὐχ οἷόν τέ ἐστι τὴν καρδίαν μεταλαβεῖν ἐκ πνεύ-
μονος ἀέρα, κατὰ τὰς ἐπισχέσεις τῆς ἀναπνοῆς. ἔστι γὰρ ἑκάστῳ τὴν πεῖραν ἐφ᾽ ἑαυτοῦ λαβεῖν μυριάκις εἰσπνεύ-
σαντα πλεῖστον θλίβειν πανταχόθεν τὸν θώρακα, καὶ μηδὲν ἀντεκπνέοντα. φανήσεται γὰρ σφύζουσα μὲν ἐν
τούτῳ ἡ καρδία, πνιγόμενος δ᾽ ὁ ἄνθρωπος, καὶ τοσοῦτόν γε μᾶλλον καὶ θᾶττον πνιγόμενος, ὅσον πλεῖον εἰσε-
πνευσεν, ὅπερ καὶ αὐτὸ μετρίως ἐνδείκνυται μὴ τῆς οὐσίας, ἀλλὰ τῆς ποιότητος τοῦ πνεύματος δεῖσθαι τὴν
καρδίαν. ἦν γὰρ ἡ καρδία τῆς οὐσίας ἐδεῖτο, μειζόνως ἂν ἐκ τῆς ἀπορείας αὐτῆς, εἴπερ ἐκ τῆς αὐτῆς πορείας ἀε-
φλέβου συνέπιπτον. οὐ μὴν φαίνεταί γε τοῦτο γιγνόμενον, ἀλλ᾽ ὅταν εὐπορῇ πλεῖστον πνεύματος, ἀνιᾶται
τηνικαῦτα μάλιστα. τρίτον ἐπὶ τούτοις, οὐ τὸ τυχὸν γνώρισμα, τὸ τὴν ἴασιν τοῖς οὕτω πνιγομένοις, ἐκπνο-
ὴν εἶναι. χρὴ δὲ μᾶλλον εἰσπνοὴν εἶναι, εἴπερ δι᾽ ἔνδειαν οὐσίας ἀέρος ἐπνιγόμεθα. τρία δὴ ταῦτα φανερῶς καταβάλλει τὸν
Ἐρασιστράτου λόγον, ἓν μὲν δὴ τὸ πρῶτον, τὸ δύνασθαι τὴν καρδίαν ἕλκειν ἀέρα κατὰ τὰς τῆς ἀναπνοῆς ἐπισχέσεις.
οὐδὲν γὰρ ἐφάνη πρὸς τοῦτο ἀντιπράττων ὁ θώραξ. ἕτερον δὲ δεύτερον, τὸ τηνικαῦτα πνίγεσθαι μᾶλλον, ἡνίκα εἰσ-
πνεύσομεν πλέον. τὸ τρίτον, τὸ μηδὲ πάνυ σφόδρα θλίβομεν τὸν θώρακα πανταχόθεν ἐν ταῖς ἐπισχέσεσι τῆς
ἀναπνοῆς

ἀναπνοῆς δαπανᾶσθαι τὸν ἀέρα πρὸς τῆς καρδίας, ἀλλ' ὀρέγεσθαι τὸ ζῶον ἐκπνεῦσαι, καὶ τοῦτ' εἶναι τὸ τῆς πνίξεως ἄκος.
ἐκ τούτων μὲν δὴ φανερῶς περαίνεται, τὸ μὴ δι' ἔνδειαν οὐσίας ἀέρος, ἀλλὰ δι' ἄλλο τι πνίγεσθαι τὰ ζῶα. πρὸς δὲ τὰς
ὑπολοίπους τῶν εἰρημένων ἀμφισβητήσεων αὖθις μεταβάντες, ἐπισκεψώμεθα πρότερον εἰ λέγουσιν ἀληθέστερα, καὶ
πρώτην γε πάλιν ἐξ αὐτῶν μεταχειρισόμεθα τὴν περὶ τῆς κινήσεως τῶν ἀρτηριῶν. οἱ γάρ τοι τοῖς Ἐρασιστρατείοις ἀμφισ-
βητοῦντες, ἀλλοιοῦσθαι, φασὶ χρῆναι τὴν κίνησιν τῶν ἀρτηριῶν παρὰ τὸν τῆς ἐπισχέσεως καιρόν, εἴτε κραδαίνεσθαι τὴν καρ-
δίαν μόνον, εἴτε καὶ καταστέλλεσθαι ὑποθοῖτο, κραδαινομένης μὲν γὰρ παντάπασιν ἀκινήτους χρὴ ἐγγίνεσθαι, μηδὲν
λαμβανούσας παρ' αὐτῆς. διαστελλομένης δὲ καὶ συστελλομένης, διπλοῦν φαίνεσθαι δεῖ τὸν σφυγμόν. ἐν μὲν γὰρ δὴ τῷ κατὰ
φύσιν ἔχειν τὸ ζῶον, συστελλομένη μὲν, τὸ πνεῦμα ταῖς ἀρτηρίαις ἐπιπέμπειν, αἱ δὲ πληρούμεναι, διιστέλλονται. διαστελ-
λομένη δὲ ἤδη εἵλκειν ἐκ τοῦ πνεύματος. αἱ δὲ τηνικαῦτα κενούμεναι, συστέλλονται, κατὰ δὲ τὸν ἐπισχέσεως καιρὸν ἐπει-
δὴ διαστελλομένη περὶ τῶν ἀρτηριῶν ἕλκει, παντί που δῆλον, ὅτι παλινδρομήσει τὸ δι' αὐτῶν πρότερον ἐκ τῆς καρδίας
ἐνηνεγμένον πνεῦμα. καὶ οὕτως εἰ μὲν ἴσον εἴη τῷ πρόσθεν, ἴσην καὶ ποιήσεται τὴν διαστολὴν ἀρτηριῶν. εἰ δὲ μεῖον, ἐλάτ-
τονα πάντως ἢ πρόσθεν ποιήσεται διαστολήν, καὶ αὐτὴν δηλονότι κατὰ τὸν καιρὸν ἐκεῖνον ποιήσεται, καθ' ὃν συνεστέλλε-
το πρότερον, τοῦτο δὲ οὐδὲν ἐστὶν ἄλλο, ἢ διπλασιασθῆναι τὰς κινήσεις τῶν ἀρτηριῶν, οὐ μὴν φαίνεται οὕτως γινόμενον,
ᾧ δῆλον ὅτι ψευδεῖς αἱ ὑποθέσεις εἰσίν. ἔτι δὲ καὶ τοῦτο ἐπανερωτῶσιν. εἰ μηδὲν ἐκ τῶν ἀρτηριῶν κενοῦται περὶ τὸν τῆς ἐ-
πισχέσεως καιρόν. ἔμπροσθεν μὲν γὰρ ἡνίκα εἶχε κατὰ φύσιν τὸ ζῶον, αὐτὸς ὁ Ἐρασίστρατος οἴεται πᾶν ἐκκενοῦσθαι τὸ
παρὰ τῆς καρδίας ἐκπεμπόμενον αὐταῖς. δῆλον ὡς ἐκτὸς τοῦ σώματος ἐκείνου, ἢ πῶς ἄλλως ἐκενοῦτο. νυνὶ δὲ τί ποτε
φήσουσιν ἆρα διεξέρχεσθαι μὲν οὕτως ὠκέως αὐτὸ διὰ τῶν ἀρτηριῶν ὥσπερ καὶ πρόσθεν οὐ μὴν ἐκκενοῦσθαι τὸ βραχύτα-
τον αὐτοῦ. καὶ πῶς ἐνδέχεται ἀλλὰ κενοῦσθαι μὲν, οὐ μὴν δ' ἕλκεσθαι αὖθις ἐκ τοῦ περιέχοντος, ὅταν ἡ καρδία παρὰ τῶν
ἀρτηριῶν ἀνέλκῃ διαστελλομένη, οὐ δὲ τοῦτο εἰπεῖν ἐγχωρεῖ. καὶ μὴν εἴπερ ὅλως ἐστὶν ἀδύνατον ἐν τῷ διαστέλλεσθαι τὴν
καρδίαν, ἕλκεσθαι τι περὶ τῶν ἀρτηριῶν ἔξωθεν, ἐκ τοῦ περιέχοντος θώρακος καὶ πνεύμονος ἐγχεῖτο. οὐδὲ γὰρ τοῦτο ἐστὶν εἰπεῖν
ὡς ἔλαττον ἂν εἵλκεν ἐκ τῶν ἀρτηριῶν, ἢ τοῦ πνεύμονος. ὅπου τῶν ὑμένων ἐπικειμένων, ἕλκειν οὐδὲν ἧττον δύναται. δια-
κωλύεται δὲ τοῦτ' ἐκ τοῦ μεγέθους τῶν σφυγμῶν. παντί που δῆλον ὡς πολὺ μᾶλλον εἵλκεν ἄν, εἰ μὴ δ' ἐπεφύκεισαν
ὑμένες ἐν τῷ στόματι τῆς μεγάλης ἀρτηρίας. τὸ δ' ὅλον εἰ μήθ' ἡ καρδία, μήτε τις τῶν κατὰ μέρος ἀρτηριῶν, ἀπορροίην
πνεύματος ἐν ταῖς περὶ ἀναπνοῆς ἐπισχέσεσιν, ὡς δηλοῦσιν αὐτῶν αἱ διαστολαί, τὸν ἴσον ὄγκον τῷ πρόσθεν διασώ-
ζουσαι, τὸ πνίγεσθαι δὲ δέχεται, σαφῶς δῆλον ὡς οὐχὶ τῆς οὐσίας αὐτῆς τοῦ ἀέρος ἔνδεια πνίγει τὰ ζῶα. δήλη μὲν ἤδη
καὶ ἡ Ἀσκληπιάδου ἐξεληλεγμένη δόξα, μετὰ τῆς Ἐρασιστράτου. δήλη τε καὶ ἡ Πραξαγόρου καὶ Φιλοτίμου, καὶ εἴ τις ἕτε-
ρος ἕνεκα θρέψεως μόνης τοῦ ψυχικοῦ πνεύματος ἀναπνεῖν ἡμᾶς φησι. πρόσκειται δ' ἐν τῷ λόγῳ τό, μόνης εὐλόγως.
οὐδὲ γὰρ ὡς μὴ ἐνδέχεται τρέφεσθαι τὸ ψυχικὸν πνεῦμα πρὸς τῆς ἀναπνοῆς ἀπέδειξεν ὁ λόγος. ἀλλ' ὡς τὸ πνίγεσθαι τοῖς
ζώοις ἐπεχομένης τῆς ἀναπνοῆς οὐ διὰ τὴν ἀτροφίαν τοῦ ψυχικοῦ πνεύματος γίνεται. πάρεστι γὰρ αὐτοῖς δαψιλὲς ἐν
τῷ πνεύμονι τὸ πνεῦμα. καὶ ἄλλως χρόνου μικροτέρου δεῖται τὸ δι' ἔνδειαν τοῦ τρέφοντος πνεύματος ἀπόλλυσθαι μέλ-
λον. Ἀσκληπιάδῃ δὲ οὐδὲ, ταῦτα μόνον, ἀλλὰ καὶ τὰ δι' ἑτέρων ἡμῖν εἰρημένα, πρὸς τοὺς περὶ ψυχῆς αὐτοῦ λόγους
μάχεται. δείκνυται γὰρ ἐν ἐκείνοις ὡς ἡ τῆς ψυχῆς οὐσία, κἂν μὴ μία ᾖ, διὰ παντὸς τοῦ βίου μέχρι χρόνου συχνοῦ δια-
μένει. κατὰ δὲ τὸν Ἀσκληπιάδην, οὐδὲ ἀριθμῆσαι δυνατὸν ὅσας ἔχει. κἂν μὲν γὰρ ὀλίγον πρόσθεν οὖσα νῦν οἴχεται
τελέως. ἄλλη δ' ἐστὶν ἡ νῦν οὖσα. μικρὸν δ' ὕστερον, οἰχήσεται μὲν αὕτη, γενήσεται δ' ἑτέρα. ὡς ἐστὶν ἀδύνατον καὶ
ἄτοπον δι' ἐκείνων ἀποδέδεικται. εἴτοι νῦν, ἤτοι τῆς οὐσίας αὐτῆς τοῦ ἀέρος, ἢ τινος τῆς ἐνδείας ποιότητος ἀποθνήσκει
τὰ ζῶα, πνιγόμενα. δέδεικται θάτερον ἀδύνατον. ἀπολείπεται θάτερον ἐνδείᾳ ποιότητός τινος, ἐν ταῖς ἐπισχέ-
σεσι τῆς ἀναπνοῆς πνίγεσθαι τὰ ζῶα. τί γοῦν ἐστιν αὐτὴ σκεπτέον. ἐπεὶ τοίνυν ὅταν ἐν τοῖς κατὰ τὴν καρδίαν καὶ τὸν
θώρακα τόποις ἀθροισθῇ θερμασία πλείων τῆς κατὰ φύσιν, ὡς ἐν τοῖς καυσώδεσι πᾶσι συμπίπτει νοσήμασιν, εὐ-
θὺς καὶ πλέον τοῦ συνήθους ἀναπνεῖν ὀρεγόμεθα. δόξειεν ἂν ἐμψύξεως ἕνεκα ἡ ἀναπνοὴ γενέσθαι. ἀλλὰ πάλιν εἰ
κατεψυγμένων τῶν αὐτῶν τούτων ὀργάνων, ὡς ἔν τε τοῖς βουλίμοις καλουμένοις, κἀπειδὰν τις ἰσχυρῷ ὁμιλήσῃ κρύει,
μὴ ὅτι ψύχει τὴν ἡμῶν θερμασίαν, ἀλλὰ καὶ θερμαίνειν δι' ὀλίγου δεῖν ἅπασαν ἐψυγμένην, ὅμως εἰσπνεῖν ὀρεγό-
μεθα. δόξει ἐναντιοῦσθαι, τὴν ἀναπνοὴν ἐμψύξεως ἕνεκα γίνεσθαι. καί τοι τινὲς ἀντιλαμβανόμενοι, δεῖσθαι ἀεί φασιν
ἐμψύξεως τὴν τοῖς ζώοις θερμασίαν. ἀλλ' ὅταν μὲν αὐξηθῇ, πλείονος. ἐλάττονος δέ, ὅταν ἀρρωστοτέρα γένηται. καὶ τὰς
τοιαύτας διαθέσεις, οὐ γὰρ οὕτως ἐναντιοῦσθαι τῷ δόγματι φασίν, ἀλλὰ καὶ μαρτυρεῖν οἴονται. χαλεπὸν τοίνυν
αὐτὸ τοῦτο πρότερον γίγνεται καὶ δυσδιαίτητον, ὅταν ἀπὸ τῶν αὐτῶν φαινομένων ὑπεναντίας ἐνδείξεις ἔχωσι. με-
ταστῆναι γὰρ οὐδετέρους οἴονται. τοὺς μέν, ὡς ἔμψυξις ἐστὶν ἡ χρεία τῆς ἀναπνοῆς, εἰ θερμαινομένων τῶν ἀναπνευστικῶν
ὀργάνων, ἔλαττον ἀναπνέομεν. τοῖς δ' οὐδαμῶς ὅσον ἐπὶ τούτοις, ἐμψύχεσθαι δεόμεθα. λέγοντος γοῦν φασιν
Ἱπποκράτους ἐν προγνωστικῷ. ψυχρὸν δ' ἐκπνεόμενον ἐκ τε τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίγνεται.
τὴν τοιαύτην τις ἐννοησάτω διάθεσιν, οἵα τίς ποτε ἐστίν. εὑρήσει γὰρ οἶμαι κατεψυγμένων ἱκανῶς τῶν ἀναπνευ-
στικῶν ὀργάνων γινομένην αὐτήν. ἐχρῆν οὖν φασὶ μηδόλως ἀναπνεῖν τοὺς οὕτω διακειμένους, ὡς ἂν τὸ τῆς ἐμψύ-
ξεως δεόμενον οὐκ ἔχοντας. ὡς γὰρ εἰ μηδὲν ὅλως εὐθὺς ἐξ ἀρχῆς ἐγένετό τι τὸ δεόμενον ἐμψύξεως, οὐκ ἂν ἦν οὐδεμία
χρεία τῆς ἀναπνοῆς. οὕτως εἰ πρόσθεν ἦν, οἴχεται δὲ νῦν, οὐ δεησόμεθα. πρὸς δὴ ταῦτα φασὶν ἡ διὰ τῆς ἀναπνοῆς
κίνησις ἐξάπτει ῥιπίζουσα. τὸ δὲ ὅτι μὴ ταὐτόν ἐστι τῷ πρόσθεν, οὐ μικροῦ μοι δοκεῖ δεῖσθαι λόγου. πρόσθεν μὲν γὰρ ἔλε-
γον ἐμψύχεσθαι, νῦν δὲ ἐξάπτεσθαι. ἐναντίον δὲ δήπου τὸ ἐμψύχεσθαι τῷ ἐξάπτεσθαι. τὸ μὲν γὰρ σβέννυσι, τὸ δέ, ἐξά-
πτει τὴν θερμότητα. καὶ τὸ μέν, ἵνα μὴ καυθῇ τὸ δεχόμενον αὐτῆς σῶμα. τὸ δέ, ἵνα μὴ καταψυχθῇ, γίνεται, πλὴν εἰ κατὰ
συμβεβηκὸς καὶ τὸ ψυχρὸν ἐξάπτειν λέγοιεν. οὕτως δ' οὐ τὴν χρείαν τῆς ἀναπνοῆς, ἀλλὰ τὴν ποιητικὴν αἰτίαν εἰρή-
κεν. ἔστι γοῦν ἄμεινον, ἐπὶ τὸ κοινὸν τῶν τοιούτων αἱρέσεων μεταβάντας, ἐκεῖνο πρότερον διασκέψασθαι. κινδυ-
νεύουσι γὰρ ἅπαντες, ὅσοι περὶ τῆς ἐμφύτου θερμασίας εἰρήκασί τι, τὴν μὲν σωτηρίαν αὐτῆς ὀνειρώττειν, οὐ δύνασθαι δὲ
ἀκριβῶς καὶ διηρθρωμένως ἐξηγήσασθαι τὸ σφέτερον νόημα, καὶ διὰ τοῦτο οἶμαι, οἱ μὲν, ἔμψυξιν, οἱ δέ, ῥίπισιν, οἱ δέ,

ῥᾶσιν γράφουσι. μάλιστα δὲ αὐτῶν οἶμαι προβλέπειν τὰ περὶ τὰς φλόγας φαινόμενα. ταύτας γὰρ ἐναργῶς ὁρῶμεν ὑ-
πὸ τάχει ἀπολλυμένας, ὅταν ἀποστερηθῶσιν ἀέρος, ὥσπερ τὰ ζῶα, καθάπερ δηλοῦσιν αἱ τῶν ἰατρῶν σικύαι, καὶ πάνθ' ὅ-
σα στενὰ καὶ κοῖλα περιτιθέμενα, τῆς διαπνοῆς αὐτὰ εἴρξαντα, ῥᾳδίως κατασβεννύουσιν. ἂν τοίνυν εὑρεθῇ τί ποτε
φλογὸς ἐν ταῖς τοιαύταις διαθέσεσι παθούσαις, σβέννυται. τάχα ἂν εὑρεθείη τί ποτέ ἐστιν ὃ παρὰ τῆς ἀναπνοῆς
ἀπολαύει χρηστὸν ἡ ἐν τοῖς ζώοις θερμασία. πρὸς δὴ τὴν εὕρεσιν αὐτῶν, πάντας ἐπέλθωμεν τοὺς τρόπους, καθ' οὓς αἱ
φλόγες ὁρῶνται σβεννύμεναί τε καὶ αὐξανόμεναι, οὐ γὰρ μόνον εἰ περιθείη τις τιτανόν αὐταῖς, ἀλλὰ καὶ τοῖς βα-
λανείοις τε καὶ τοῖς ἡλίοις τοῖς διακαέσι, καὶ τοῖς ψύχεσι τοῖς ὑπερβάλλουσι, καὶ σφοδρῶς ῥιπιζόμεναι, καὶ πλήθε-
σιν ὕλης ἐπ' αὐτῶν σωρευθείσης, καὶ τοὐναντίον ἐνδείᾳ τροφῆς ὁρῶνται σβεννύμεναι. ῥωννύμεναι δὲ καὶ αὐξανόμε-
ναι, πρός τε τοῦ μετρίου ψυχροῦ, κἂν εἰ μετρίως ῥιπίσῃς, καὶ τροφῆς εὐπορούσαι συμμέτρου. ἐπὶ τοίνυν τούτοις, ἔτι
κἀκεῖνο προσκείσθω, τὸ φαίνεσθαι πάσας τὰς φλόγας διττὴν κίνησιν κινουμένας, ἑτέραν μὲν ἀπὸ τῆς ὕλης, ὅθεν ἐξά-
πτονται, μάλιστα μὲν ἄνω φερομένας ἤδη, καὶ πάντῃ σκιδναμένας. ἑτέραν δὲ, ἐναντίαν ταύτῃ πρὸς τὴν ἀρχὴν ἑαυ-
τῶν, καὶ οἷον ῥίζας, συστελλομένας τε καὶ συνιζούσας. καὶ γὰρ εἰ λαμπάδος μεγίστης τὸ ἄνω πέρας ἐξάψεις, ἐπὶ τὸ
κάτω ταχέως ἀφίξεται τὸ πῦρ. κἂν εἰ τὴν λυχνιαίαν φλόγα σβέσας, ὑπὸ τὸ πέρας τῆς ἄνω φερομένης, αἰθαλώδους
λιγνύος προσενέγκαις ἕτερον πῦρ. εἶτ' αὖ καιομένην ὄψει τοῦ λύχνου τὴν θρυαλλίδα, οὐδενὸς τῶν τοιούτων γίνεσθαι δυ-
ναμένου, εἰ μόνον τὸ πῦρ ἔχει τὴν ἐπὶ τὰ ἄνω κίνησιν. ἐπὶ δὴ τούτοις ἅπασι τοῖς φαινομένοις, τῷ λόγῳ σκεψώ-
μεθα, πρῶτον μὲν τὸ πάντων ὕστατον ῥηθέν, τὸ διττὸν τῆς κινήσεως, ὑπό τινος ἀνάγκης γίνεται. μετὰ δὲ τοῦτο καὶ τῶν ἄλ-
λων ἕκαστον. ἐπεὶ τοίνυν ἅπασα φλὸξ, ὠκυτάτην ἔχει τὴν διαφθοράν, ἀεὶ γὰρ εἰς τὸ περιέχον σκίδναται, διὰ τοῦτο ἀ-
ναγκαῖον αὐτῇ καὶ τὴν γένεσιν ταχίστην ὑπάρχειν, ἄλλως γὰρ οὐκ ἂν οὐδ' ἐπ' ἐλάχιστον διήρκεσεν. ἀλλ' ἔστιν ἑκάστῃ
φλογὶ γένεσις ἐκ τῆς ὑποκειμένης ὕλης ἐξάπτεσθαι. εἰκότως ἄρα κίνησιν οὐ τὴν ἔξω μόνον τῆς ἰδίας ἀρχῆς ἀλλὰ καὶ τὴν
ἐναντίαν αὐτῇ, τὴν εἴσω σύμφυτον ἔχει. καὶ τοίνυν καὶ φθείρεσθαι πᾶσαν φλόγα ἀναγκαῖόν ἐστι, τῆς ὕλης στερηθεῖσαν,
ἢ τῆς κινήσεως τῆς ἑτέρας. καθόλου γὰρ εἰπεῖν, ὡς πολλάκις ἐν ἑτέροις δέδεικται τῶν δεχομένων ἀλλήλας κινήσεων μὲν
ἐναντίων, τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας οὐ διασώζεσθαι. ταῦτ' ἄρα συμμέτρως ψυχροῦ τοῦ περιέχοντος ἀέρος δεῖται
πᾶσα φλόξ. ὁ μὲν γὰρ ὑπερβαλλόντως ἔνθερμος, τὴν ἔξω κίνησιν αὐτῆς ἀμέτρως ἐργαζόμενος. ὁ δὲ ψυχρὸς, τὴν ἔσωθεν
σβέννυσιν. ἀμφότεροι τοίνυν ῥιπιζόμενοι ἀσυμμέτρως ἀναστέλλουσι τὴν φλόγα πρὸς τὴν ὕλην, ὥσπερ καὶ τὸ ψυχρόν.
τὸ δὲ ὑπερβαλλόντως κινεῖσθαι, σκεδαννύουσιν, ὥσπερ καὶ τὸ θερμόν. τῶν δὲ τὴν ἔξω κίνησιν ἄμετρον ἐργαζομένων, ἐστὶ
καὶ σικύα, καὶ πᾶν ὅτιπερ ἂν τοῦ ὑπὸ τῆς ἔνδον φλογὸς ἀέρα διακεκαυμένου, εἴργῃ τὴν πρὸς τὴν ἔξω τοῦ πυρὸς τοῦ ψυχροῦ
ὁμιλίαν † εἰσιέναι. πᾶσι συμμετρία σωτηρία τῆς φλογός ἐστιν. οὕτως οὖν οὐκ ἀπεικός ἔχειν κἀπὶ τῆς ἐν τοῖς ζώοις θερ-
μασίας. εἰς ὕλην μὲν ὅθεν ἀνάπτεται, τὸ αἷμα. σύμφυτον δὲ ἔχουσαν κινήσεως ἀρχὴν ἐφ' ἑκάτερα τῆς ἑτέρας στερηθεὶς,
καὶ τῆς λοιπῆς ἐξ ἀνάγκης στερίσκεται. καὶ διὰ τοῦτ' αὐτό, ἐάν τε ἀναπνοῆς εἴρξεις, ἐάν θ' αἵματος, εὐθέως διαφθείρεται.
καὶ γὰρ καὶ τὴν τοῦ λύχνου φλόγα ἅμα ἀφαιρήσεις καταπνίξας, ἢ παντάπασιν ἐλαίου στερήσας. ἀνάλογον οὖν τίθεσο
τῇ μὲν θρυαλλίδι τὴν καρδίαν. τῷ δὲ ἐλαίῳ, τὸ αἱματῶδες. τῷ δὲ ὀργάνῳ, τὸν πνεύμονα. περίκειται γὰρ δή τοι ἔξω-
θεν τῇ καρδίᾳ δίκην σικύας. ἀλλὰ παρ' ὃν μὲν ἀναπνεῖ τὸ ζῶον χρόνον, εἰκάσαις ἂν αὐτὸν οἶμαι τετρημένῃ σικύᾳ.
παρὰ δὲ τὸν τῆς ἐπισχέσεως καιρὸν, ἀτρήτῳ τε καὶ πανταχόθεν στεγούσῃ. ὡς οὖν ἡ μὲν τετρημένη σικύα σβεννύειν οὐ δύ-
ναται τὴν ἔνδον φλόγα διὰ τοῦ τρήματος ἀναπνέουσαν, ἡ δὲ τοὐναντίον παραχρῆμα σβέννυσι καταπνίγουσα, τὸν αὐτὸν ὁ
πνεύμων τρόπον, ὁ μὲν στεγανὸς οἷος ὁ περὶ τὰς ἐπισχέσεις, σβέννυσι. ὁ τετρημένος δὲ, οἷος ὁ περὶ τὰς ἀναπνοὰς, διασώ-
ζει τὴν ἔμφυτον θερμότητα. ἐγὼ δὲ καὶ κάμινον ἰδὼν σβεννυμένην ὑπὸ τοῦ μὴ διαπνεῖσθαι, κἄπειτα αὐτὴν παρανοιχ-
θεῖσαν, πολὺ μὲν αἰθαλῶδες ἐκπνεύσασαν, πολὺ δ' ἔξωθεν εἰσπνεύσασαν τὸν ἀέρα καθαρὸν, ἐπ' ἀμφοτέροις ἀναλάμ-
ψαι, οὐ μικρὰν τῆς ἐκπνοῆς εὐλογισάμην εἶναι τὴν χρείαν εἰς τὸ κενοῦν τὴν οἷον λιγνὺν τοῦ αἵματος. αἴθαλος γὰρ καὶ καπ-
νὸς καὶ λιγνὺς, καὶ πᾶν τὸ τοιοῦτον περίττωμα τῆς καιομένης ὕλης, οὐδὲν ἧττον ὕδατος, ἀποσβεννύναι πέφυκε τὸ πῦρ.
ἐξ ἁπάντων οὖν τούτων ἐστὶν ἀποδέξασθαι τῶν λεγόντων, τῆς ἐμφύτου θερμασίας ἕνεκεν, ἀναπνεῖν τὰ ζῶα. καὶ γὰρ τὸ
ῥιπίζεσθαι, συμμέτρως, χρήσιμον. καὶ τὸ μετρίως ψύχεσθαι. ἄμφω γὰρ ταῦτα φαίνεται ῥωννῦντα τὴν εἴσω θερμασίαν,
κίνησίν τε ἀναγκαῖον ἔχειν κάτω τὸ καπνῶδες ὡς ἂν εἴποι τις ἐκκενοῦν τῆς τοῦ αἵματος συγκαύσεως. ταῦτ' ἐπιστημονι-
κὴν μὲν οὐκ ἔχει τὴν πίστιν, οὐδ' ἀναγκαίαν τὴν ἀπόδειξιν, οἵαν ἐν τοῖς ἄλλοις ἀεὶ μεταχειρίζεσθαι σπεύδομεν, οὐ μὴν
ἐστέρηται τοῦ πιθανοῦ. τὸ γὰρ τάχος τῆς ἀπωλείας τῶν ζώων, τοιαύτην ἐπιζητεῖ τὴν αἰτίαν τῆς τροφῆς, ἣν οἱ θρέψεως ἕνεκα
ψυχῆς ἀναπνεῖν ἡμᾶς λέγοντες, αἰτιῶνται χρόνου μακροτέρου δεῖν, γενέσεως δὲ τῆς ψυχῆς Ἀσκληπιάδης φύσιν,
ὁμολογουμένης μὲν τῷ τάχει, μαχομένης δὲ ἄλλοις μυρίοις καὶ τοῖς κατ' ἀρχὰς εἰρημένοις ἐν τῷδε τῷ λόγῳ κοινῇ
πρὸς ἁπάσας τὰς αἱρέσεις, ὅσαι δι' ἔνδειαν ἀέρος, ἀπόλλυσθαι τὰ ζῶα νομίζουσι στερηθέντα τῆς ἀναπνοῆς. εἰ τοίνυν
τὸ τάχος τῆς ἀπωλείας τῶν ζώων, διὰ μὲν ἀτροφίαν τῆς ψυχῆς οὐσίας οὐκ ἐγχωρεῖ γίγνεσθαι, διὰ δὲ τὴν γένεσιν, ἐγχωρεῖ
μὲν, ἀλλ' ἐπὶ ψευδέσι ταῖς ὑποθέσεσιν. ἡ δὲ τῆς ἐμφύτου θερμασίας ἀπώλεια, μηδὲν ἔχει τῶν φαινομένων ἐναν-
τιούμενον, εὐλογώτερον ἐκείνου προσίεσθαι. πᾶσαν τοίνυν αὐτὴν ἀναλαβόντες, βασανίσωμεν, ἐπεὶ τῶν ἄλλων
ἀληθεστέρα φαίνεται. οὐκοῦν ἔκ τε τοῦ ῥιπίζεσθαι τὴν ἀρχὴν τῆς ἐμφύτου θερμασίας, κἀκ τοῦ συμμέτρως ἐμ-
ψύχεσθαι, κἀκ τοῦ τὸ οἷον καπνῶδες αὐτῆς ἅπαν ἀπορρεῖν, ἐν οἷς ἠθροίζετο, κεφάλαιον ἡ σωτηρία τῆς κατὰ
φύσιν θερμασίας. εἰς ταύτας οὖν τὰς ἀρχὰς ἴδωμεν εἰ δυνατὸν ἀναναγαγεῖν τὰ κατὰ μέρος ἅπαντα, καὶ πρό-
τερον προχειρισθήτω, τὸ κατὰ τὰ βαλανεῖα συμβαῖνον, ἐν οἷς ἐπὶ πλέον διατρίψαντες, ἐκλυόμεθα, τελευτῶν-
τες δὲ καὶ ἀποθνήσκομεν. εἰ γὰρ διότι θερμὸν ἀναπνέομεν, ἐχρῆν φασὶ καὶ τοῦ ὑπὲρ λέβητος ὕδατος θερμοῦ
συστάντος, εἶτα ἀναπνέοντας τὸν ἀναφερόμενον ἀτμόν, ὁμοίως ἀδικεῖσθαι. οὐ μὴν φαίνεσθαι ἀδικουμένους,
ᾧ δῆλον ὅτι μὴ διὰ τὴν ἀναπνεομένην θερμασίαν, ἀλλὰ διὰ τὴν ἐξ ὅλου τοῦ σώματος κένωσιν τοῦ πνεύματος, ἐν
τοῖς βαλανείοις ἐκλυόμεθα. πῶς οὖν καὶ ταύτην τὴν ἀμφισβήτησιν διαλύσομεν; ἤν, τὸ μὲν συνημμένον, ἀληθὲς
εἶναι φήσομεν, ὅτι δεῖ πνίγεσθαι τοὺς τὸν ἐκ λέβητος ἀτμὸν εἰσπνέοντας, εἴπερ ὅλως ἐμψύξεως ἕνεκεν ἀναπνέο-
μεν. οὐ μὴν

† ἀλ. ἰέναι

μὴν. οὐ μὴν τήν γε πρόσληψιν αὐτῶν. ἀλλὰ μὴν οὐ πνίγονται. πνίγονται γὰρ οὐδὲν ἧττον ἐν τοῖς βαλανείοις, οἱ
τὸν ἐκ λεβήτων ἀτμὸν ἀναπνέοντες. εἰ δὲ καὶ μὴ πνιγόμεθα, θαυμαστὸν οὐδὲν ἂν ἦν ἴσως· ἡ γὰρ καθ' ὅλον τὸ σῶ-
μα διαπνοὴ περὶ τὰ βαλανεῖα, τῆς διὰ τοῦ στόματος ὁμοίως βέβλαπται. οὐκ ἔστι δὲ ταυτὸν τὸ περὶ τὸ στόμα μόνον ἀνα-
πνεῖν τινα κακῶς, τοῦ περὶ τοῦτο, καὶ καθ' ὅλον τὸ σῶμα. μεγίστη δ' ἀπόδειξις ἐπὶ πολλῶν ἀρρώστων γίγνεται, δι'
ὅλης μὲν ἡμέρας ἱδρούντων κρισίμως, πολλῷ μᾶλλον ἐν τοῖς βαλανείοις, οὐ μὴν ἐκλυομένων ὁμοίως ἐκείνοις, οὐδὲ
πνιγομένων ὅλως, ἕως ἂν ἀναπνέωσι τὸν ἔξωθεν ἀέρα τὸν ψυχρόν. εἰ δὲ καὶ συνείρξας αὐτοὺς ἱματίοις τι θερμὸν
ἀναπνεῖν ἀναγκάσαις, ἀποπνίξαις αὐτίκα, τοὺς μέν τοι κατεψυγμένους καὶ ῥιγοῦντας οὕτως συνείρξας, οὐχ ὅπως
οὐκ ἀποπνίξῃ, ἀλλ' οὐδ' ἀδικήσεις οὐδὲν, ἄχρις ἂν ἐκθερμανθέντες τύχωσι. τηνικαῦτα δ' οὐκέθ' ὑπομένουσιν ὡς μὴ
συνήθους. ἐξ ὧν ἁπάντων δῆλον, ὡς οὐ διὰ τὸ κενούμενον ἐξ ὅλου τοῦ σώματος ἐν τοῖς βαλανείοις πνεῦμα κατα-
λυόμεθά τε καὶ τελευτῶμεν τὸν βίον, ἀλλὰ διὰ τὴν θερμασίαν. θαυμάσαι δὲ ἔστιν οὐ τῶν ἄλλων τοσοῦτον Ἐρα-
σίστρατον, τῶν τοιούτων φαινομένων κατατολμῶντα καταψεύδεσθαι, ὃν οὐκ εἰκὸς ἄπειρον εἶναι τῆς διὰ τοῦ πίθου πυ-
ρίας τῶν ὑδερικῶν, εὐδοκιμησάσης οὐχ ἥκιστα τῶν ἄλλων παλαιῶν, παρὰ Χρυσίππῳ τῷ Κνιδίῳ. κενοῦνται γὰρ
οὗτοι τὸ πᾶν σῶμα πολὺ θᾶττόν τε καὶ μᾶλλον, ἢ ἐν τοῖς βαλανείοις. οὐ μὴν πνίγονται δὲ διὰ τὸν ψυχρὸν
εἰσπνεῖν ἀέρα. τούτου δ' ἄν τις αὐτοὺς στερήσειεν, ἀποθνήσκουσιν ἐν τάχει. πῶς οὖν φασιν ἔν τε τοῖς βαρυοδμέοις βα-
ράθροις καὶ τοῖς νεωστὶ κεχρισμένοις οἴκοις τιτάνῳ, καὶ πρὸς τῆς τῶν ἐσβεσμένων ἀνθράκων ὀσμῆς πνιγόμεθα; περὶ
μὲν τὸν Ἐρασίστρατον, ὅτι λεπτὸς ὢν ἐν ταῖς τοιαύταις καταστάσεσιν ὁ ἀὴρ, οὐ στέγεται πρὸς τῶν ἀρτηριῶν, ἀλλ'
ἐκκενοῦται, ῥαδίως, καὶ ἐνδείᾳ πνεύματος ἀπόλλυται τὸ ζῷον. ἡμεῖς δὲ φαμὲν, ὅτι οὐδὲν ἐξετέλεσεν ὡς Ἐρασι-
στράτου δείξαντος, ἢ λεπτὸν ἐν τοῖς τοιούτοις τὸν ἀέρα γιγνόμενον. ἢ μὴ στεγόμενον, τοῖς ζῴων σώμασιν. ἢ μὴ τῆς ἀ-
ληθοῦς αἰτίας ἑτέρας οὔσης, ἢ χαλεπῆς ὑπαρχούσης εὑρεθῆναι. μακρότερα μὲν οὖν ἀναγκαζόμεθα λέγειν, πρὸς
τὰ εἰρημένα, χρὴ δὲ ὅσον οἷόν τε πειρᾶσθαι τεμεῖν αὐτὰ συντομώτερον. εἰ δ' οὐδὲν ἔχω φάναι τὰς πολλὰς ἀντιλογί-
ας περικόψας τοῦ φαίνεσθαι τὰς κινήσεις τῶν ἀρτηριῶν ἐν ταῖς τοιαύταις διαθέσεσι μηδὲν ἀπολειπομένας με-
γέθει τε καὶ χρόνῳ τῶν ἔμπροσθεν. ὡς ἂν πλήρεις οὔσας δηλονότι τοῦ δι' αὐτῶν φερομένου πνεύματος. ἐχρῆν δ' αὐ-
τὰς μὴ ὅτι θᾶττον ἢ μικρότερον φαίνεσθαι σφυζομένας, ἀλλ' ἀσφύκτους γίνεσθαι παντάπασιν, ὡς ἐστερημένας
τελέως τοῦ πληροῦντος αὐτῶν τὰς κοιλίας ἀέρος. ἀλλ' εἰ τὴν Ἐρασιστράτου φασὶ διαβάλλεις αἰτίαν εἰπέ. λέξω δὲ
ἐὰν πρότερον ὑμεῖς εἴποιτέ μοι διὰ ποίαν αἰτίαν θαλάττιοι ζωγρεῖς νάρκης ἁψάμενοι, ναρκῶσι. εἰ δὲ οὐδὲν
λέγειν ἔχετε, τοῦτο ὅμως ἡμῖν εἰπεῖν συγχωρήσετε, τὸ τὴν δύναμιν εἶναι τοῦ ζῴου ναρκωτικὴν τῶν ἁψαμένων, οὕ-
τως ἰσχυρὰν, ὥς τε καὶ διὰ τοῦ πεπηγότος αὐτοῦ τριόδοντος, εἰς τὰς χεῖρας τῶν ἁλιέων ῥαδίως ἀνατρέχειν τὸ πά-
θος. οὐκοῦν συγχωρήσετε εἶναι τινὰς ἰχθύων ποιότητας καὶ δυνάμεις, ὧν αἱ μὲν, νάρκην, αἱ δὲ, κάρον, αἱ δὲ ψύξιν,
αἱ δὲ, σῆψιν, αἱ δὲ, ἄλλο τι φέρουσι κακόν. ἀέρος δὲ, οὐδὲ μίαν συγχωρήσετε εἶναι τοιαύτην δύναμιν. ἀλλ' οὐκ
ἔχομεν φασὶ ἐναργῶς δεῖξαι, τίς ἡ ποιότης αὕτη, καὶ τίς ἡ δύναμις αὕτη. τί οὖν τοῦτο πρὸς τὰ παρόντα; διὰ
γὰρ τῶν ἀδήλων, οὔτε ἀνατρέπεσθαί τι δίκαιον, οὔτε κατασκευάσασθαι. μεταβαίνομεν οὖν ἀπὸ τῶν τοιούτων ἐπὶ
τὸ κατασκευάζειν ἐναργῶς. ὁποτέραν οὖν τῶν αἱρέσεων ἀνατρέπειν δυνάμεθα. τὰ μὲν οὖν ἐξ ἀνάγκης ἀνα-
τρέποντα τὴν Ἐρασιστράτειον δόξαν, εὐθὺς κατ' ἀρχὰς ἡμῖν ἐρρήθη. τὰ δὲ τὴν ἡμετέραν κατασκευάζοντα, τοιαῦ-
τα μὲν οὖν ὡς οὐχ εὕρομεν ὡς ἐξ ἀνάγκης παραινεῖν. ἁπάντων μέν τοι τῶν ἄλλων πιθανώτατον, πρὸς τὸ μὴ δὲ
ἀνατρέπεσθαι πρός τινος τῶν φαινομένων ταύτην τὴν δόξαν. ὥς τε τὴν μὲν Ἐρασιστράτου περὶ χρείας ἀναπνοῆς ὑπό-
ληψιν, ἤδη καταλιπεῖν δίκαιον, ἐπειδὴ κἀν τοῖς περὶ σφυγμῶν λόγοις, ἐξελέγχεται πολυειδῶς σφαλλομένη.
αὐτοὺς δὲ διὰ βραχέων ἐπιδραμεῖν τῶν ἄλλων φαινομένων τὰς αἰτίας εἰς τὴν προκειμένην ἀναφέροντας ὑπόθε-
σιν, ὥσπερ κατά γε τὴν γυμνασίαν μεῖζόν τε καὶ πυκνότερον ἡμᾶς ἀναπνεῖν. οὐ γὰρ ἀπεικὸς οὐδὲ τοῦτο γίνεσθαι διὰ
τὴν τοῖς σφοδρῶς κινουμένοις αὐξανομένην θερμασίαν. ὅτι γὰρ οὐδ' ἐνταῦθα διὰ τὴν τῶν ἀρτηριῶν ἐπιπλήρωσιν,
ἐναργὲς ἐστὶν, ἐκ τοῦ γίνεσθαι μὲν ἐξ ἀρχῆς εὐθὺς πολλάκις σφοδρῶς, οὐ μὴν ἀλλοιοῦσθαι τὴν ἀναπνοὴν, πρὶν ἱκα-
νῶς θερμανθῆναι. ἐκ θερμανθέντων δὲ, κἂν ἐπαυσάμεθα κινούμενοι μέχρι πολλοῦ διασωζόμενοι ὁρᾶσθαι τὴν αὐ-
τὴν ἰδέαν τῆς ἀναπνοῆς. ἀλλὰ κἀν τοῖς καυσώδεσι πυρετοῖς, ὁμοίως ἀναπνεῖν ὀρεγόμεθα, διὰ τὴν αὐτὴν αἰτίαν.
ὅπου γὰρ ἂν ᾖ μέγιστον τὸ τῆς χρείας δεόμενον, ἐνταῦθα οὐκ ἀπεικὸς ἱκανῶς αὐξάνεσθαι καὶ τὴν χρείαν αὐτήν. ἡ μὲν
γὰρ μείζων φλὸξ, μείζονος ἀέρος. ἡ δὲ ἐλάττων, ἐλάττονος δεῖται, πᾶσα οὖν δεῖται δι' ἣν ἔμπροσθεν εἴπομεν ἀνάγ-
κην. οὐκοῦν ἔτι θαυμαστὸν εἰ κατεψυγμένον τὰ περὶ τὴν καρδίαν καὶ τὸν πνεύμονα τὸν ἔξωθεν ἀέρα ποθοῦσί τε καὶ δέον-
ται διὰ τῆς εἰσπνοῆς ἐπισπᾶσθαι. ἐπισπᾶται μὲν γὰρ, ἀλλ' ὀλίγον καὶ διὰ καιροῦ πολλοῦ. μεγάλως γὰρ καὶ πυκνῶς οὐκ
ἐγχωρεῖ ῥιπίζειν τὴν βραχεῖαν θερμασίαν. διατί τοίνυν οἱ μὲν παῖδες, πλεῖόν τε καὶ πυκνότερον, οἱ δὲ ἀκμάζον-
τες, ἔλαττόν τε καὶ ἀραιότερον ἀναπνέουσιν; ἢ ὅτι τὰ αὐξανόμενα, πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, ἕπεται δ' ἐξ
ἀνάγκης πλήθει θερμασίας, μέγεθός τε καὶ πυκνότης ἀναπνοῆς. εἰ δὲ καὶ τρέφεται τὸ ψυχικὸν πνεῦμα πρὸς
τῆς ἀναπνοῆς, καὶ διὰ τοῦτο ἀναπνέουσι πλεῖστόν τε καὶ πυκνότατον οἱ παῖδες. ἔτι καὶ τροφῆς πλείονος
ὡς ἂν αὐξανόμενοι δέονται. εἰ δὲ τὸ λιγνυῶδες ἀποχεῖται πλεῖστον ἐν ταῖς ἀναπνοαῖς, καὶ διὰ τοῦτο ἀναπνέουσι, πλεῖ-
στόν τε καὶ πυκνότατον. ἔνθα γὰρ ἡ τῆς τροφῆς ἐργασία πλείων, ἐκεῖ καὶ τὸ περίττωμα πλέον. οἷς δ' οἱ νεανίσκοι
θερμότεροι τῶν παίδων εἶναι δοκοῦσιν, οὗτοι τὴν μὲν προειρημένην αἰτίαν οὐ προσίενται. περὶ μέν τοι τῶν γερόν-
των, οὐδεὶς ἀμφισβητεῖ τὸ μὴ οὐκ εἶναι πολὺ ψυχροτέρους αὐτοὺς τῶν παίδων καὶ νεανίσκων. ὁμολογεῖ δὲ τῇ ψύξει
καὶ ἡ τῆς ἀναπνοῆς ἰδέα, μικροτέρα τε ἅμα καὶ ἀραιοτέρα γιγνομένη. παραπλησία δὲ ταῖς ἐπὶ τῶν ἡλικιῶν φαι-
νομέναις ἐν ὥραις καὶ χώραις καὶ φύσεσι συμβέβηκε. καὶ ὁμολογεῖ γὰρ ἀεὶ τοῖς μὲν θερμοῖς, ἡ μείζων τε καὶ
πυκνοτέρα. τοῖς δὲ ψυχροῖς, ἡ ἐλάττων τε καὶ ἀραιοτέρα. μικρόν τε καὶ πυκνὸν ἀναπνέουσιν, οἵ τε ἐδηδοκό-
τες καὶ οἱ πεπωκότες στενοχωρίᾳ τοῦ διαφράγματος. οὕτω δὲ καὶ αἱ κύουσαι, κἂν τοῖς ὑδέροις τε καὶ ταῖς
φλεγμοναῖς τοῦ ἥπατος, καὶ τῆς γαστρὸς, καὶ τοῦ σπληνὸς, ὁμοίως ἀναπνέουσι διὰ τὴν αὐτὴν αἰτίαν. ἀλλὰ

περὶ μὲν τῆς οἰκείας τούτων ἀναπνοῆς, ἐν τοῖς περὶ δυσπνοίας εἰρήσεται. νῦν δὲ ἀρκεῖ καὶ ταῦτα αὖθις ἐνδείξειν, τὸ πάνθ' ὁμολογεῖν τὰ φαινόμενα τῷ προειρημένῳ δόγματι περὶ χρείας ἀναπνοῆς. ἴδωμεν δ' ἐφεξῆς εἰ δύναται τρέφεσθαι τὸ ψυχικὸν πνεῦμα πρὸς τῆς ἀναπνοῆς. εἴπωμεν δὲ πρότερον πῶς καλοῦμέν τι ψυχικὸν πνεῦμα, ἀγνοεῖν ὁμολογοῦντες οὐσίαν ψυχῆς. ἐπεὶ τοίνυν αἱ κατὰ τὸν ἐγκέφαλον κοιλίαι τοῦ πνεύματος, ἐπειδὰν τρωθῇ, εὐθὺς ἀκινήτους τε καὶ ἀναισθήτους ἡμᾶς ἐργάζονται, χρὴ τοῦτο τὸ πνεῦμα πάντως, ἤτοι τὴν οὐσίαν αὐτὴν εἶναι τῆς ψυχῆς, ἢ τὸ πρῶτόν γε αὐτῆς ὄργανον. εἴρηται δὲ ἑτέρωθι περὶ αὐτῶν διὰ πλειόνων ἀκριβέστερον, ἐν οἷς καὶ τοῦτ' εὐθὺς εἴρηται, ὡς ἀναγκαῖον ἐστὶ τοῦτο τὸ πνεῦμα τρέφεσθαι. πόθεν οὖν φασιν ἄλλοθεν ἕξει τὴν τροφήν, εἰ μὴ παρὰ τοῦ διὰ τῆς εἰσπνοῆς ἑλκομένου, καί τοι κἀκ τῆς τοῦ αἵματος ἀναθυμιάσεως, οὐκ ἀπεικὸς αὐτὸ τρέφεσθαι, καθάπερ καὶ πολλοῖς τῶν ἐλλογίμων ἰατρῶν τε καὶ φιλοσόφων ἔδοξεν. ἀλλ' οὐδ' ἐκ τῆς εἰσπνοῆς ὁμοίως οἱ περὶ τὸν Ἐρασίστρατον τοῖς περὶ τὸν Ἱπποκράτην τρέφεσθαι φασὶ τὸ ψυχικὸν πνεῦμα. τοῖς μὲν γὰρ ἐκ τῆς καρδίας διὰ τῶν ἀρτηριῶν ἐπὶ τὰς μήνιγγας. τοῖς δὲ εὐθὺς διὰ τῶν ῥινῶν εἰς τὰς κατὰ τὸν ἐγκέφαλον κοιλίας ἔρχεσθαι τὸ πνεῦμα δοκεῖ. τὴν μὲν Ἐρασιστράτου περὶ τούτων δόξαν, κἀνταῦθα καταλίπωμεν, ἐξελεγχομένην πολυειδῶς περὶ τῶν ἐν σφυγμοῖς αἰτιῶν. ἐπὶ δὲ τὴν ἀληθῆ μεταβάντες, τὴν καὶ ταῖς ἀρτηρίαις αἷμα μεταδιδοῦσαν, ἐπισκεψώμεθα τουτὶ τὸ φαινόμενον, ὃ πολλάκις ἐπειράθημεν. ἐν γὰρ τοῖς βρόχοις διαλαμβάνεσθαι τὰς κατὰ τὸν τράχηλον ἀρτηρίας, οὐδὲν πάσχει τὸ ζῶον, οὔτ' εὐθὺς, οὔθ' ὕστερον, ὡς ὑμεῖς ἐνίοτε πειρώμενοι ἐν βρόχοις αὐτὰς διελαμβάνομεν. ὅλην δὲ ἡμέραν τὸ ζῶον εἰσπνέον τε καὶ ἐκπνέον καὶ κινούμενον ἀκωλύτως ἰδόντες, νυκτὸς ἤδη βαθείας ἐσφάξαμεν. οὐκέθ' ἡγούμενοι τὴν ἐπὶ πλέον πεῖραν πίστιν ὑπάρχειν. δύνασθαι γὰρ ἐν τοσούτῳ χρόνῳ διὰ τοὺς περικειμένους βρόχους συμπαθῆναί τι τῶν κυριωτάτων μορίων. ἐθαυμάζομεν οὖν, τὰς ἐκ τῶν κυριωτάτων τῶν ζωτικῶν ὀργάνων τῆς καρδίας, εἰς τὰ κυριώτατα τῶν ψυχικῶν τὸν ἐγκέφαλον τεταμένας ἀρτηρίας, οὕτως ἄλυπον τῷ παντὶ βίῳ, τὴν βλάβην ἐχούσας εὑρίσκοντες. ἀλλὰ περὶ μὲν τούτων, κἀν τῷ περὶ χρείας σφυγμῶν ἐπὶ πλέον ζητήσομεν. ὅπερ δ' ἐξ αὐτῶν ἐστιν εἰς τὰ παρόντα χρήσιμον, οὗ χάριν ἐμνημόνευσα τῶν καρωτίδων ἀρτηριῶν, τοῦτ' αὖθις λεγέσθω, τοῦ μὴ πάνυ τι δεῖσθαι, τοῦ παρὰ τῆς καρδίας πνεύματος τὸν ἐγκέφαλον. ἀπολείπεται γοῦν ἤτοι τὴν ἀναθυμίασιν αὐτῷ τὴν ἐκ τοῦ αἵματος ἱκανὴν ὑπάρχειν, ἢ τὴν διὰ τῶν ῥινῶν εἰσπνοήν. ἀλλ' οὐδὲ τὴν ἀναθυμίασιν εἰκὸς γίνεσθαι δαψιλῆ βρόχῳ διαληφθεισῶν τῶν ἀρτηριῶν. δείκνυται δὲ τοῦτο ἐν τῷ περὶ χρείας σφυγμῶν. ἀναγκαῖον οὖν ἐκ τῆς διὰ τῶν ῥινῶν (ἐστὶν) ὡς τὴν πλείστην εἶναι τροφὴν τῷ ψυχικῷ πνεύματι. τουτέστι τὸ παρ' Ἱπποκράτους λεγόμενον, ἀρχὴ τροφῆς πνεύματος στόμα, ῥῖνες, βρόγχος, πνεύμων, καὶ ἡ ἄλλη ἀναπνοή. ἐξ ἁπάντων γὰρ τούτων τρέφεται μηδαμῇ παραποδιζόμενον. εἰ δὲ καὶ παρεμποδίζοιτο κατ' ἓν ὁτιοῦν αὐτῶν, ἀλλ' ἔτι διά γε τῶν λοιπῶν ὑπηρετεῖται. μαθεῖν δὲ ἐναργῶς ἐστιν ἐξ ὧν μέλλομεν εἰπεῖν φαινομένων, περὶ τῆς οἰκείας πνεύμονος εἰς τὰς καθ' ὅλον ἀρτηρίας μεταλήψεως τοῦ πνεύματος. ὡς ἤτοι βραχὺ ἔτι παντελῶς, ἢ οὐδ' ὅλως γίγνεται. περιτιθέντες γὰρ παιδὸς τῷ στόματι καὶ ταῖς ῥισὶ μεγάλην κύστιν βοείαν, ἤ τι τοιοῦτον ἕτερον ἀγγεῖον ὡς μηδαμῇ παραπνεῖσθαι, μηδὲν τῆς ἀναπνοῆς δι' ὅλης ἡμέρας. εἰ μὲν ἀκωλύτως πνέομεν ταὐτὸν. ἐξ οὗ δῆλον ὡς ἤτοι μικρὸν παντελῶς, ἢ οὐδ' ὅλως αἱ κατὰ τὸ ζῶον ἀρτηρίαι, ἔχουσι τῶν ἔξωθεν ποιοτήτων ἀνάγκην, καὶ μάλιστα τῆς θερμότητος. τὸ μὲν γὰρ ψυχρότερον, οὐχ ὁμοίως εὔπορον ἅπασι. χρὴ δ' ἑτοίμως ἰέναι διὰ πάντων τῶν ὀργάνων τὸ τῆς ψυχῆς πνεῦμα. τὸ δ' αὖ θερμότερον ἅπασι μὲν, πόριμον, ἀλλὰ πρῶτον μὲν κατακαίεται, καὶ συντήκει τὸ σῶμα. τελευταῖον δὲ καὶ αὐτὸ συναπόλυται καὶ ἀποσβέννυται. καὶ ἐν μὲν ταῖς ἀποπληξίαις, ψυχρότερον. ἐν δὲ τοῖς πυρετοῖς, θερμότερον τοῦ μέτρου γιγνόμενον. ἐν μὲν ταῖς ἀποπληξίαις, ἴσχεται τοῦ πάντῃ ῥᾳδίως εἰσιέναι, καὶ διὰ τοῦτο εἰς ἀκινησίαν τελευτᾷ τὸ πάθος. ἐν δὲ τοῖς πυρετοῖς, εὔπορον μέν τοι πάντῃ, κατακαίειν δὴ καθάπερ πῦρ ἀλλὰ μήτε τρέφειν μήτε αὐξάνειν τὰ σώματα δύναται. μὴ τοίνυν εἶναι μικρὰν νομίζωμεν τὴν χρείαν τοῖς ζώοις τῆς συμμέτρου θερμασίας, ἀλλ' ἐν τοῖς ἀναγκαιοτάτοις, μάλιστα μὲν οὖν τῷ πνεύματι τῷ ψυχικῷ, καὶ τοῖς κυριωτάτοις ὀργάνοις, ἤδη δὲ καὶ καθ' ὅλον τὸ σῶμα. εἰκότως ἄρα τὴν ἀρχὴν τῆς φυσικῆς θερμασίας, τὴν καρδίαν εἰς τοσοῦτον ἀναπνοῆς χρῄζουσαν ἔχομεν, εἰς ὅσον περ καὶ συμμέτρου θερμασίας αὐτοὶ χρῄζομεν. ἐδείχθη γὰρ ἀδύνατος ἡ σωτηρία τῆς θερμασίας χωρὶς τῆς ἀναπνοῆς. ἔκπνουν μὲν δὴ καὶ εἴσπνουν ἐστὶ ὅλον τὸ σῶμα κατὰ τὸν Ἱπποκράτους λόγον, ἀλλὰ καὶ πρὸς ἡμῶν ἑτέρωθι δέδεικται. σύμμετρος δὲ ἀναπνοὴ, τοῖς μὲν ἄλλοις ἅπασι μορίοις ἡ διὰ τῶν ἀρτηριῶν ἐστιν. ἐγκεφάλου δὲ καὶ καρδίας, δύο ἐξαίρετα πρόσκειται τῆς ἀναπνοῆς ὄργανα. τοῦ μὲν, ῥῖνες. τοῦ δὲ, πνεύμων. ὅπως δὲ ὁ πνεύμων κινοῖτο, θώρακος ἐδεήθη. καὶ δι' αὐτὸ, ὡς μὲν τῇ καρδίᾳ συνημμένος ὁ πνεύμων, τὸ πρῶτον ἐστὶ πνευστικὸν ὄργανον. ὡς δὲ τοῦ θώρακος κινούμενον, τὸ δεύτερον. εἰ δὲ τῆς τοῦ αἵματος ἀναθυμιάσεως εἰς θρέψιν χρῄζει τὸ ψυχικὸν πνεῦμα, πιθανὸν γὰρ καὶ τοῦτο, μεγίστην ἂν ἔχοι καὶ ταύτην τῆς συμμέτρου θερμασίας τὴν χρείαν τὰ ζῶα. τὸ μὲν γὰρ ψυχρὸν αἷμα, πῶς ἂν εἰς ἀτμοὺς λύοιτο. ἀμέτρως δὲ θερμὸν, εὐσκέδαστον μὲν εἰς ἀτμοὺς, ἀλλ' εἰς θολεροὺς τούτους, καὶ καπνώδεις. οὐ μὴν τοιούτῳ γε εἶναι πρέπει τῷ ψυχικῷ πνεύματι, ἀλλ' εἴπερ τῷ ἄλλῳ, καθαρωτάτῳ τε καὶ χρηστοτάτῳ. ταῦτ' ἄρα τὸ μελαγχολικὸν αἷμα καὶ τὸ πικρόχολον εἰς ἀτμοὺς μοχθηροὺς λυόμενον, τὸ μὲν, εἰς μελαγχολίαν, τὸ δὲ, εἰς φρενῖτιν ἄγει. διὰ τοῦτο δὲ κἀν τοῖς καυσώδεσι πυρετοῖς ἑτοίμως παραφρονοῦσιν. εἰ γὰρ χρηστὸν ᾖ τηνικαῦτα τὸ αἷμα, διά γοῦν τὸ πλῆθος τῆς θερμασίας, ἀτμίζει καπνωδῶς. εἴη δ' ἂν καὶ τοῦτο τῆς κατὰ φύσιν θερμασίας, ὄφελος οὐ σμικρὸν, ἀτμίζειν σύμμετρόν τε καὶ καθαρὸν καὶ χρηστόν. οὐ μὴν οὐδὲ ταῖς οἰκείαις κατασκευαῖς δεῖσθαι ὅτῳ τῶν μορίων ὑπόθοιτό τις, οὐδὲ οὕτως εἰς τὴν φυλακὴν τῆς κατασκευῆς ὠφέλοι μικρὸν ἡ σύμμετρος θερμασία. ξηρὸν μὲν γὰρ ἀμέτρως ἢ ὑγρὸν, οὐκ ἐν ἀκαρεῖ χρόνῳ γίγνοιτο τῶν μορίων οὐδέν. ψυχρὸν δ' ἐσχάτως ἢ θερμὸν δύναιτ' ἂν ἐμφανῶς γενέσθαι. καὶ μὴν ἰδία ἑκάστου τῶν μορίων οὐσία, ψυχροῦ καὶ θερμοῦ, καὶ ξηροῦ καὶ ὑγροῦ ποιά τις κρᾶσις ἐστίν. ὥστε καὶ διαφθείρεσθαι ταύτην ὑπ' οὐδενὸς οὕτω ταχέως εἰκὸς, ὡς ὑπὸ τῆς κατὰ τὴν θερμασίαν ἀμετρίας. εἰ δὲ καὶ τοῦτο, καὶ τὴν ἐνέργειαν ὑπ' οὐδενὸς ἑτοιμότερον ἐγχωρεῖ βλαβῆναι. τῶν μὲν οὖν ἄλλων

ὀργάνων αἱ βλάβαι τῶν ἐνεργειῶν, μικραί. τῶν δ᾽ εἰς αὐτὴν τὴν ζωὴν διαφερόντων, μεγάλαι. τῶν δ᾽ οὐ μόνον εἰς ζωὴν αὐτὴν διαφερόντων, ἀλλὰ καὶ πρὸς τὰ ἄλλα λόγον ἀρχῆς ἐχόντων, μέγισται. τοιαῦται δ᾽ ἐστὶν ἐγκέφαλος καὶ καρδία. ὥστε ἡ τούτων τῆς κατασκευῆς βλάβη, παραχρῆμα βλάψει τὴν ζωήν. ἀλλ᾽ οὐδὲν ὑπαλλάττειν αὐτὴν οἷόν τε ἐστὶν ἑτοιμότερον ἀμέτρου θερμασίας, ὥς τε ἄμφω δέδεικται διὰ τοῦ λόγου, τό τε χρήσιμον τῆς συμμέτρου θερμασίας καὶ τὸ ἐν τῇ ἀναπνοῇ εἰς αὐτήν. ἀναγκαῖον οὖν ἤδη μὴ πιθανὸν μόνον, ἀλλὰ καὶ τὸ ἀληθὲς εὑρηκέναι, ἑτοίμως μὲν ἀποφαίνεσθαι, καὶ χρείαν εἶναι τῆς ἀναπνοῆς λέγομεν ἐμφύτου θερμασίας ἀναπνοήν. ἐνέσται δ᾽ εἰ καὶ τὴν οὐσίαν τῆς ψυχῆς ἀγνοοῦμεν, ἀλλ᾽ ἐκ διαιρέσεως οὐδὲν ἧττον λογίζεσθαι λήμματα τῶν ἀποδείξεων τοῖς ἐναργῶς γινωσκομένοις χρησαμένους, ὧν ἓν καὶ τοῦτό ἐστι, τὸ περιεχόμενον ἐν ταῖς κατὰ τὸν ἐγκέφαλον κοιλίαις πνεῦμα, δυοῖν θάτερον ἀναγκαῖον εἶναι. ἤτοι τὴν οὐσίαν τῆς ψυχῆς, ἢ τὸ πρῶτον αὐτῆς ὄργανον. ἀλλ᾽ εἰ πρῶτον ὁ ἐγκέφαλος ἐν ἑαυτῷ τὴν οὐσίαν τῆς ψυχῆς ἔχει, ἀναγκαῖόν ἐστι καὶ ταύτην ἔμφυτον εἶναι θερμασίαν, ἢ τὸ πνεῦμα, ἢ τὸ σύμπαν αὐτῆς τῆς κατασκευῆς εἶδος. ἢ παρ᾽ αὐτὴν ἑτέρα τις δύναμις ἀσώματος. ἀλλ᾽ ἀναγκαῖον τοῦτο πρῶτον, εἰς τὰς κινήσεις ὄργανον ἕν τι τῶν εἰρημένων ἔχειν, αὐτὴν μὲν ἀπαθῆ παντελῶς ὑπάρχουσαν. ἐν δὲ τοῖς θανάτοις τῶν πρώτων αὐτῶν ὀργάνων παθόντων λυομένην. ὥς τε ἐξ ἀνάγκης ἤτοι τῆς κατασκευῆς τοῦ ἐγκεφάλου βλαπτομένης, ἢ ὁμοῦ τοῦ κατ᾽ αὐτὸν πνεύματος, ἢ τῆς θερμασίας μόνης, ὁ θάνατος ἐστὶ τοῖς ζώοις. ἀλλ᾽ οὔτε τὴν κατασκευὴν ἐν τάχει βλαβῆναι δυνατὸν ἑτέρως, ἀλλ᾽ ἢ διὰ τὴν τῆς θερμασίας ἀμετρίαν ὡς ἐδείξαμεν, οὔτ᾽ αὐτὴν πολὺ μᾶλλον τὴν θερμασίαν, ἀλλ᾽ οὐ διὰ τὸ λοιπὸν ἔτι καὶ τρίτον, ἔχειν τὸ πνεῦμα δύναται πρόφασιν ἑτέρας φθορᾶς ἐξαιφνιδίου, παρὰ τὰς ἐμποδὼν εἰρημένας, τήν τε τῆς οὐσίας ὅλης αὐτῶν κένωσιν, καὶ τὴν τῆς θερμασίας ἀμετρίαν. ἀλλ᾽ ἐν ταῖς τῆς ἀναπνοῆς ἐπισχέσεσιν, οὐκ ἔχομεν αἰτίας ἐρεῖσθαι τὴν κένωσιν ὅλης τῆς οὐσίας, ὡς ἐπὶ τῶν εἰς τὰς κοιλίας τρώσεων ἀπολείπεται, ὅτι διὰ θερμασίας ἀμετρίαν ἀποθνήσκομεν. αὕτη μὲν οὖν ἡ μεγίστη χρεία τῆς ἀναπνοῆς. δευτέρα δὲ θρέψις τοῦ ψυχικοῦ πνεύματος. γίνεται δὲ ἡ μὲν προτέρα, δι᾽ ἀμφοτέρων τῆς ἀναπνοῆς τῶν μερῶν, εἰσπνοῆς τε καὶ ἐκπνοῆς. τῆς μὲν οὖν ἀναψυχούσης τε καὶ ῥιπιζούσης. τῆς δὲ, τὸ αἰθαλῶδες ἀποχεούσης. ἡ δευτέρα δὲ διὰ τῆς εἰσπνοῆς μόνης. ἐπεὶ μὲν οὖν εἰς τὴν καρδίαν ἕλκεταί τις ἀέρος μοῖρα κατὰ τὰς διαστολὰς αὐτῆς, ἀναπληροῦσα τὴν γινομένην κένωσιν, τὸ μέγεθος αὐτό γε τῆς διαστάσεως ἱκανὸν ἐνδείξασθαι. ὅτι δὲ καὶ εἰς τὸν ἐγκέφαλον εἰσπνεῖται δι᾽ ἑτέρας ἐπιδέδεικται πραγματείας, ἐν ᾗ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων διαλεγόμεθα. διατί δὲ τῆς καρδίας εἰς ἑαυτὴν τι παρὰ τοῦ πνεύμονος ἑλκούσης ἀέρος ἐπιπεμπούσης τε ταῖς πλησίον ἀρτηρίαις, ὅμως γε ὁ ἐκπνεόμενος οὐδὲν ἐλάττων φαίνεται τοῦ κατὰ τὴν εἰσπνοὴν ἑλχθέντος, εἰρήσεται μὲν καὶ δι᾽ ἑτέρων ἐπὶ πλέον. ἀρκέσει δὲ καὶ νῦν εἰπεῖν τό γε μόνον, ὡς ἀτμός τις ἐκπνεῖταί τε τοὐπίπαν, ἴσος ὑπὸ πλήθει τῆς μεταληφθείσης μοίρας τοῦ πνεύματος, εἴς τε τὴν καρδίαν καὶ τὰς ἀρτηρίας. αἳ τινές εἰσι καὶ διαθέσεις τοῦ σώματος, ἐν αἷς ἤτοι βραχεῖ πλείων ὁ ἀτμὸς τοῦ μεταληφθέντος ἀέρος, ἢ ἐλάττων, ἢ ἴσος ἐν ταῖς περὶ δυσπνοίας εἰρήσεται. ἀρκεῖν μὲν μοι δοκεῖ ταῦτα περὶ χρείας ἀναπνοῆς. ὅσα δὲ ὑπὲρ αὐτῆς πίστιν εἴρηται μοχθηρῶς ῥᾷστα φωραθῆναι δύναιτ᾽ ἂν, μὴ παρέργως ἕκαστον τῶν ἐνταυθοῖ γεγραμμένων ἐκλεξαμένοις.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΤΩΝ ΤΗΣ ΑΝΑΠΝΟΗΣ ΑΙΤΙΩΝ.

ΤΑ ΤΗΣ ἀναπνοῆς αἴτια ὁ προκείμενος ἀποδεῖξαι λόγος ἐπαγγέλλεται. οὔτε γὰρ βεβαιώσασθαι τὴν ὑπόθεσιν τῆς ἀναπνοῆς, οὔτε παραποδιζομένην ἢ καὶ τέλεον εἰργομένην, ἐπανορθώσασθαι δυνατὸν, τὰς αἰτίας αὐτῆς ἀγνοοῦντα. ὁ γάρ τι τὸ ποιοῦν φωράσας πρὸς ἀλήθειαν οὗτος εἰδήσει μόνος καὶ τῆς βλάβης τὴν διαφορὰν, καὶ τῆς ἰάσεως τὸν τρόπον. ὄντων δὲ τριῶν κατὰ γένος ὡς τύπῳ φάναι τῶν αἰτίων τῆς ἀναπνοῆς, δυνάμεως προαιρετικῆς, ὀργάνων τῶν ὑπηρετουμένων τῇ προαιρέσει, κἀπὶ τούτοις, τῆς χρείας, δι᾽ ἣν καὶ τῶν προκειμένων αἰτίων δεόμεθα, ἡ μὲν χρεία τὸ κυριώτατόν ἐστι τῶν τῆς ἀναπνοῆς αἰτίων, τηροῦσα μὲν τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας, τρέφουσα δὲ τὴν οὐσίαν τοῦ ψυχικοῦ πνεύματος. ἡ προαίρεσις δὲ διατάττει, καὶ οἷον ῥυθμίζει τὰς ἀναπνευστικὰς ἐνεργείας. τό γε μὴν τῶν ὀργάνων εἶδος πολυσχιδὲς καὶ πολυτροπόν τι καθέστηκε. τὰ μὲν γὰρ τῇ παρακομιδῇ τοῦ πνεύματος ἀνάκειται. τὰ δ᾽ ὑποδέχεται τὸν ἀέρα. τὰ δὲ τούτων ἐστὶ κινητικὰ τῶν κινούντων. ἀρχὴ μὲν οὖν διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν ἑλκόμενος ἀὴρ, ὕλη τυγχάνων τῆς κατὰ τὴν ἀναπνοὴν χρείας, διχῆ μεριζόμενος, θατέρῳ μὲν τῷ μείονι διὰ τῶν ῥινῶν εἰς τὸν ἐγκέφαλον φερόμενος, θατέρῳ δὲ τῷ πλείονι διὰ τῆς τραχείας ἀρτηρίας εἰς τὸν πνεύμονα κομιζόμενος. αὕτη γε μὴν ἡ ἀρτηρία ὄργανον οὖσα φωνῆς, ὁδός ἐστιν ἀναπνοῆς. ὁ δὲ πνεύμων, οἷα βαθὺς γαστὴρ ὑποδέχεται τὸ πνεῦμα. τούτου δὲ τὰς διαστολάς τε καὶ συστολὰς, θώραξ οἰακίζει, μυσὶ κινούμενος, ὅσοις τε διαρθρούμενος. καὶ μὴν καὶ τὸ διάφραγμα, καὶ γὰρ δὴ καὶ αὐτὸ τοῦτο ἦν ὄργανον ἀναπνοῆς, κυκλοτερές τε ἐστι καὶ νευρῶδες μὲν περὶ τὸ κέντρον ἑαυτοῦ, σαρκῶδες δὲ τὰ πέριξ. οὕτω δὲ καὶ οἱ κατὰ τὰς πλευρὰς μύες, οἱ μὲν ἐν ταῖς μέσαις χώραις αὐτῶν, δύο καὶ εἴκοσιν τυγχάνουσιν καὶ δύο μὲν οἱ τῶν πρώτων πλευρῶν. ἰσάριθμοι δὲ τούτων οἱ τῶν ἐσχάτων δύο. καὶ πρὸς τούτοις οἱ καθήκοντες ἐκ τοῦ τραχήλου τρεῖς. εἶθ᾽ οἱ παρατεταμένοι τῇ ῥάχει τοῖς ἑπτά. σὺν αὐτοῖς δὲ οἱ κατ᾽ ἐπιγάστριον ὀκτώ. τοσοῦτοι μὲν οἱ ὑπηρετοῦντες μύες τῇ ἀναπνοῇ. ἐνέργειαι δὲ καθ᾽ ἕκαστον τούτων, τῶν μὲν, τῶν φρενῶν ἀβίαστον ἐργάζεσθαι τὴν ἀναπνοήν. τῶν δὲ κατὰ τὰς πλευρὰς, διαστέλλειν τε καὶ συστέλλειν ἀκριβῶς τὸν θώρακα, διπλῶν δὲ ὄντων αὐτῶν, οἱ μὲν ἐκτὸς, τὴν ἐκπνοὴν, οἱ δ᾽ ἐντὸς, τὴν εἰσπνοὴν ἀποτελοῦσιν, καὶ τῶν μὲν πρώ

των δυοῖν, ἐνέργεια μὲν ἐστὶ διαστέλλειν μόνον τὸ ἄνω τοῦ θώρακος μέρος. τῶν δ᾽ ἐσχάτων συστέλλειν μόνον τὸ κάτω μέρος. οἱ δ᾽ ἐκ τῶν τραχήλων καθήκοντες ἀνασπῶσί τε ἅμα καὶ διαστέλλουσι τὰ τοῦ θώρακος ὑψηλὰ μόρια. τῶν δὲ ὀρθίων τῶν κατὰ τὸν τράχηλον. οἱ μὲν πρὸς τὰς κλεῖς ἀνατεινόμενοι προστέλλουσι τὰ ταύτῃ πέρατα τῶν χόνδρων, ὥσπερ καὶ οἱ παρατεταμένοι ταῖς ῥαχίτισι ῥίζαις τῶν πλευρῶν. οἱ δὲ κατ᾽ ἐπιγάστριον, ἕδρα τῶν φρενῶν ὄντες, τῇ τοῦ θώρακος βοηθοῦσι συστολῇ. διττῶν τοίνυν οὐσῶν κατὰ γένος τῶν ἀναπνοῶν ἀβιάστου τε καὶ βιαίας, εἶθ᾽ ἑκατέρας αὐτῶν ἐχούσης οἰκεῖα μόρια β᾽. τήν τε εἰσπνοὴν καὶ τὴν ἐκπνοήν, τέτταρα τὰ σύμπαντα μόρια γίγνεται τῆς ἀναπνοῆς. καθ᾽ ἕκαστον δὲ τῶν τεττάρων, ἰδία τις φύσις ὀργάνων ἐστὶ. ἀβιάστου μὲν εἰσπνοῆς τὸ διάφραγμα, βιαίας δὲ ἥ τε κατὰ τὰ σιμὰ τῶν ὠμοπλατῶν, ἥ τ᾽ ἐντὸς τῶν μεσοπλευρίων μοῖρα. ὡσαύτως δὲ καὶ τῆς ἐκπνοῆς, ἀβιάστου μὲν, οἱ κατ᾽ ἐπιγάστριον μύες. βιαίας δὲ, τῶν μεσοπλευρίων ἡ ἐκτὸς μοῖρα. τὰ μὲν δὴ κατὰ τοὺς μῦς ὧδ᾽ ἔχει. τῶν δὲ νεύρων τὰ μὲν εἰς τὸ διάφραγμα καθήκοντα ἐκ τῆς μεταξὺ τετάρτης τε καὶ πέμπτης τῶν ἐν τῷ τραχήλῳ σπονδύλων διαρθρώσεως ὁρμηθέντα, δύο ὄντα, εἰς αὐτὸ τὸ νευρῶδες αὐτοῦ μέρος καταφύεται. τὰ δ᾽ εἰς τοὺς μεσοπλευρίους μῦς, ἐκ τοῦ ῥάχεως διασπειρόμενα, εἰς τὸ στέρνον φέρονται. οὐ γοῦν ὀρθὰ κατὰ τοῦ ζώου μῆκος ἐκτεινόμενα, οὔτ᾽ ἐγκάρσια ὁμοίως τοῖς μυσὶν, ἀλλὰ λοξὰ φερόμενα, κεφαλὴν μὲν ἔχοντα τὸν ταύτῃ σπόνδυλον, τελευτὴν δὲ τὸ στέρνον. καὶ μὴν καὶ τὰ εἰς τοὺς ἄλλους μῦς τοὺς τῆς ἀναπνοῆς δημιουργοὺς φερόμενα, σχεδὸν ἅπαντα ἐκ τοῦ ῥαχίτου μυελοῦ βεβλάστηκε. τοιούτων οὖν καὶ τοσούτων ὑπαρχόντων τῶν τῆς ἀναπνοῆς αἰτίων, οὐδ᾽ ἄδηλον τῷ γε μὴ παντάπασιν ἀνοήτῳ, τίνι δ᾽ ἡνιόχου ἕκαστον αὐτῶν. ἡ μὲν γὰρ προαίρεσις ἔοικε τῷ κινοῦντι τὰς ἡνίας καὶ τοὺς ἵππους ἀναβάτῃ. ταῖς δ᾽ ἡνίαις, τὰ νεῦρα ἐοίκασι, καθάπερ καὶ ἵπποις οἱ μύες, οὕτω δὲ καὶ ἡ χρεία τὸ ἔσχατον ὀρεκτὸν καθέστηκε καὶ τῆς ἀναπνοῆς. ὥσπερ ἡ νίκη, τῆς ἡνιοχικῆς.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΥΣΠΝΟΙΑΣ. ΒΙΒΛΙΟΝ. α.

ΟΤΙ μὲν ἡ δύσπνοια βλάβη τίς τῆς ἀναπνοῆς ἐστιν, ὥσπερ ἡ δυσαισθησία τῆς αἰσθήσεως, καὶ ἡ δυσκινησία τῆς κινήσεως, ἱκανὸν ἐνδείξασθαι τοὔνομα. πόσαι δὲ τῆς βλάβης διαφοραὶ, καὶ διὰ τίνας αἰτίας γιγνόμεναι, καὶ πῶς ἑκάστην αὐτῶν χρὴ διαγινώσκειν, οὐκ ἐκ τῆς προσηγορίας διδαχθῆναι νῦν ἐστιν, ἀλλ᾽ ἡ φύσις αὐτὴ τῆς ἀναπνοῆς ἐνδείξεται. τοῦτό τοι καὶ διεσπούδασται τοῖς παλαιοῖς ἰατροῖς ἅπασιν ἡ τοῦ κατὰ φύσιν ἐπίγνωσις, ἄλλων τε πολλῶν ἕνεκα, καὶ τῆς ἐν τοῖς παρὰ φύσιν ἐνδείξεως οὐχ ἥκιστα. ἐπειδὴ γὰρ ἓν μέν τοι τὸ κατὰ φύσιν, καὶ οἷον κανὼν, ἢ μέτρον, ἢ ὅμοιον ἑαυτῷ, ποικίλον δὲ ἢ ἀνόμοιον ἢ πολυειδὲς τοῖς σφάλμασιν τὸ παρὰ φύσιν, ὡς κινδυνεύειν ἄπειρον εἶναι τῷ πλήθει, τῇ τέχνῃ δὲ ἀπεριόριστον ὑπάρχειν, ἀδύνατον ἔδοξε περιλαβεῖν ὅροις τισὶ τὴν ἀπειρίαν αὐτοῦ χωρὶς τῆς τοῦ κατὰ φύσιν γνώσεως. ἐπειδὴ γοῦν ἓν ἐστὶ τοῦτο, καὶ χρηστὸν τῷ ζώῳ, δῆλον ὡς καὶ σύμμετρον, εἰ δὲ τοῦτο σύμμετρον ἄμετρον, ἂν εἴη τὸ παρὰ φύσιν. εἰ δὲ ἄμετρον, διττὸν μὲν τῷ γένει πάντως, ἢ γὰρ ἐλλείπει τι τοῦ κατὰ φύσιν, ἢ ὑπερβάλλει. τοσαύτας δὲ ἐν αὐτῷ διαφορὰς ἕξει τὰς κατὰ μέρος, ὅσας περ ἂν οἷόν τε ᾖ δείξασθαι τὸ πρᾶγμα κατὰ τὰς θ᾽ ὑπερβολὰς τοῦ μετρίου, καὶ τὰς ἐλλείψεις, δέχεται δὲ τὸ μὲν ἁπλοῦν διττάς. τὸ δ᾽ ἐκ πλειόνων σύνθετον διπλασίας, κατὰ τὸν ἀριθμὸν τῶν συντεθέντων αὐτό. εἰ μὲν οὖν ἕν τι ἢ ἁπλοῦν ἐστιν ἡ ἀναπνοὴ, διττὰς μὲν ἕξει τὰς ἀμετρίας, διττὰς δὲ τῷ γένει τὰς δυσπνοίας. εἰ δ᾽ οὐχ ἕν, τὰς διαφορὰς ἕξει διπλασίας, τοῦ ἀριθμοῦ τῶν συντεθέντων αὐτό. εἰ μὲν οὖν αὕτη σαφής τε ἅμα καὶ σύντομός ἐστιν ἡ διδασκαλία, μακρὰ δικαίως ἡ παρὰ ταῦτα. καὶ τοίνυν ἐπειδὴ δύο μέν ἐστι τὰ πρῶτα καὶ κυριώτατα μόρια τῆς ὅλης ἀναπνοῆς, εἰσπνοή τε καὶ ἐκπνοὴ, δύο δ᾽ ἄλλα κατὰ συμβεβηκὸς, αἱ μεταξὺ τούτων ἡσυχίαι, ἐν τέσσαρσιν ἂν οὕτω τοῖς πᾶσι, ἡ περὶ δυσπνοίας γίνεται σκέψις. ὥς τε πάντως δεήσει τινὶ τῶν εἰρημένων, ἢ τισὶν, ἢ καὶ πᾶσιν ἅμα, πλημμελεῖσθαι τε καὶ διαφθείρεσθαι τῆς κατὰ φύσιν ἰδέας, εἰς δυσπνοίας γένεσιν. ὀνομάζειν δὲ σαφοῦς ἕνεκα διδασκαλίας οὐδὲν ἂν εἴη χεῖρον, ἁπλῆν μὲν δύσπνοιαν, ἥ τις ἂν ἓν μόριον ἑκάστοτε τῆς ὅλης ἀναπνοῆς καταλαμβάνει. σύνθετον δὲ τὴν ἐν πλείοσι συνισταμένην. ἀλλ᾽ ἐπεὶ δεύτερον ἐστὶν ἀεὶ τὸ σύνθετον τῶν ἁπλῶν, κατὰ λόγον ἂν εἴη, πρότερον περὶ φύσεως προτέρων, ποιήσασθαι τὸν λόγον, ὥς τε καὶ ἀπὸ τῶν ἁπλῶν δυσπνοιῶν ἄρξασθαι. ἐπειδὰν δὲ ταύτας αὐτάρκως διέλθωμεν, μετὰ ταῦτα ἐπαλλάττοντες τάς τε κινήσεις καὶ τὰς ἡσυχίας κατ᾽ ἀλλήλας τε καὶ καθ᾽ ἑαυτὰς, οὕτως τὰς συνθέτους ἐξευρήσομεν. τίνες οὖν εἰσὶν αἱ κατὰ φύσιν αἰτίαι τῆς ἔσω τε καὶ ἔξω φορᾶς τοῦ πνεύματος, καὶ τίνες ἑκατέρας τῶν ἡσυχιῶν; ταυτὶ γὰρ ἦν τὰ πάντα μόρια τῆς ἀναπνοῆς. ἐπειδὴ δύο μὲν ἐξ ὧν εἴπομεν μορίων κινήσεις εἰσὶν, ἡ ἔξω καὶ ἔσω φορὰ τοῦ πνεύματος. δύο δὲ διορίζουσαι ταύτας ἠρεμίαι, γένεσις δὲ ταῖς μὲν κινήσεσι σύνθετος ταῖς δ᾽ ἠρεμίαις ἁπλῆ, δῆλον ὡς τῶν μὲν πλείους ἀμετρίαι, τῶν δ᾽ ἡσυχιῶν, διτταὶ γενήσονται. αὗται μὲν γὰρ οὖσαι ἁπλαῖ, τοῦ χρόνου τῷ ποσῷ τὰς διαφορὰς ἴσχουσι μόνῳ. αἱ κινήσεις, δ᾽ οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ ποσῷ τοῦ διαστήματος καθ᾽ ὃ φέρονται διοίσουσιν. ὥστε ἔσονται διτταὶ μὲν ἀμετρίαι αὐτῶν, καθὰ καὶ τῶν ἡσυχιῶν, ἑκάτεραι τοῦ χρόνου τῷ ποσῷ διαιρούμεναι, καθ᾽ ἃς ἤ τοι ταχεῖαι, ἢ βραδεῖαι λεχθήσονται. διτταὶ δ᾽ ἄλλαι τῷ ποσῷ τῆς διαστολῆς τῶν ἀναπνευστικῶν ὀργάνων διαφέρουσαι, καθ᾽ ἃς ἤτοι μεγάλας ἢ μικρὰς αὐτὰς ὀνομάζουσιν. ἔπειτα γὰρ ἀχώριστα πάσης ἐστὶ τῆς κατὰ τόπον κινήσεως, ὅ, τε χρόνος ἐν ᾧ κινεῖται τὸ κινούμενον, καὶ τὸ διάστημα καθ᾽ ὃ φέρεται, διὰ μὲν τὸν χρόνον, ταχέως μὲν καὶ βραδέως ἐροῦμεν τὴν κίνησιν, διὰ δὲ τὸ διάστημα πολὺ ἢ ὀλίγον. ἀλλὰ τήν γε διαστολὴν τῶν ἀναπνευστικῶν ὀργάνων, οὐκ ὀλίγην καὶ πολλὴν, ἀλλὰ μικρὰν ἢ μεγάλην ὀνομάζειν ἔθος, ὥσπερ γε ἢ τὴν συστολὴν, ὁ γὰρ αὐτὸς λόγος ἐπ᾽ ἀμφοτέρων τῶν κινήσεων. ὥσπερ δὲ κινήσεως

δὲ κινήσεως ἴδιον τάχος καὶ βραδύτης, οὕτως καὶ τοῦ ποσοῦ τῶν διαλειμμάτων, ἀραιότης καὶ πυκνότης. πυκνὰς
γοῦν τὰς ἀμπέλους, ἢ τὰς ἐλαίας, ἢ ὁτιοῦν ἄλλο τοιοῦτον φυτὸν λέγομεν, ὅταν τὸ βραχύτατον διάστημα αὐτῶν
δηλῶσαι βουληθῶμεν. οὕτως δὲ καὶ ἀραιὰς, ὅταν πολὺ τὸ ἐν μέσῳ τῶν πεφυτευμένων σωμάτων ᾖ, καὶ καθόλου
φάναι, πάντα τὰ ἐκ πλειόνων διωρισμένων συγκείμενα, τούτοις χρῆται τοῖς ὀνόμασιν. ἐπεὶ οὖν καὶ ἡ ἀναπνοὴ
σύνθετός ἐστιν ἐξ ἐναντίων κινήσεων, ἡσυχίαις διωρισμένων. πυκνὴν αὐτὴν ἐργάζεται τὸ βραχὺ τῶν ἡσυχιῶν.
ἀραιὰν δὲ τὸ μακρόν. αὗται μὲν οὖν πᾶσαι δυσπνοίας ἁπλαῖ διαφοραί. καὶ ταῦτ' αὐτῶν τὰ ὀνόματα, τοῖς τε
ἄλλοις παλαιοῖς συνήθη, καὶ Ἱπποκράτει. εἰ δέ τις ἑτέρως ὀνομάζειν ἐθέλει, καθάπερ ἤδη τινὲς τῶν νεωτέρων ἰα-
τρῶν, οὐδὲν ἡμῖν διαφέρει. πλὴν ἴστω γε οὗτος, μήτε τοῖς Ἱπποκράτει συνήθεσι, μήτε τοῖς ἄλλοις παλαιοῖς, μήθ'
ὅλως τοῖς ἄλλοις Ἕλλησιν ὀνόμασι χρησάμενος, ἀλλ' εἰ καὶ τούτων καταφρονοίη, μήτε κυρίως, μήτε σαφῶς ἑρμη-
νεύων. εἰ μὲν γὰρ ἓν ὄνομα κατ' ἀμφοῖν φέρει τῆς τε κινήσεως καὶ τῆς ἡσυχίας ἤτοι τὸ τάχος μόνον ἢ τὴν πυκνό-
τητα, καὶ αὖθις ἐπὶ τῶν ἐναντίων, ἢ τὴν βραδυτῆτα μόνον, ἢ τὴν ἀραιότητα, τοῖς ἑτέροις μηδόλως χρώμε-
νος ἀσαφείας ἄντικρυς ὁ τοιοῦτος ἐπιθυμεῖ. πολὺ γὰρ οἶμαι σαφέστερον ἓν ἑκατέρῳ τῶν πραγμάτων ὄνομα θέ-
μενον ἴδιον, ἐκεῖνο καλεῖν διαπαντὸς, εἰδότα γε ὡς τὰ τε κοινὰ τῶν ὀνομάτων οὐδὲν μᾶλλον γε τὸ ἕτερον τούτων
δηλοῦντα, συγχεῖ καὶ ταράττει τὸν ἀκροατὴν, ὡς μὴ γνῶναι τί ποτ' ἐστὶ τὸ λεγόμενον, πρὶν διαστείλασθαι τὴν ὁμω-
νυμίαν. εἰ δὲ ἐν μέρει ἑκατέρῳ τῶν πραγμάτων ἐπιφέρει τις ὄνομα, μὴ ὡς ἡμεῖς μέν τοι διείλομεν, ἀλλ' ὑπεναντίως,
τάχος μὲν καὶ βραδυτῆτα, ἐπὶ τῶν ἡσυχιῶν, ἀραιότητα δὲ καὶ πυκνότητα, ἐπὶ τῶν κινήσεων, οὐκ οἶδ' ὅτι βούλεται
αὐτῷ, τοῖς ἀκύροις τε καὶ ἀήθεσιν ὀνόμασι πρὸ τῶν κυρίων τε καὶ δι' ἔθους χρῆσθαι. ὅτι γὰρ καὶ οἱ νῦν ἅπαντες
ἄνθρωποι καὶ οἱ παλαιοὶ βραδυτῆτα καὶ τάχος οὐδενὸς ἄλλου κατηγοροῦσι, πλὴν τῶν κινουμένων, οὐδεὶς ἀγνοεῖ.
τίποτ' οὖν σοφὸν ἀπειργασμένον ἔσται τῷ μεταπιθέντι τὴν τῶν ὀνομάτων χρῆσιν εἰς τοσοῦτον, ὡς τὰς ἡσυχίας
τῶν κινήσεων προσαγορεύειν ὀνόμασιν; τί δὲ σοφὸν εἰς τὰ τῶν διαλειμμάτων ὀνόματα ταῖς ἐνεργείαις ἐπιφέ-
ρειν; ὡς γὰρ καὶ τὰς ἀμπέλους πυκνὰς καὶ τὰς ἐλαίας, ὅταν ὀλίγον ἔχωσι τὸ μεταξὺ διάστημα λέγομεν.
ἀραιὰς δὲ ὀνομάζοντες, εἰ πλέον εἴη, οὕτω τὰς τῶν ζώων ἐνεργείας, τὰς μὲν δι' ὀλίγου χρόνου γινομένας πυκνὰς.
ἀραιὰς δὲ, τὰς διὰ πολλοῦ καλοῦμεν. εἰ δέ τις ὡς ἔφην οὐχ οὕτως, ἀλλ' ἑτέρως ὀνομάζειν ἐθέλει, μήθ' Ἱπποκρά-
τει, μήτε τοῖς ἄλλοις παλαιοῖς, μήθ' ὅλως τοῖς Ἕλλησιν ἑπόμενος, ἀλλὰ μηδὲ τοῦ σαφοῦς τῆς ἑρμηνείας φροντίζων,
ἐκείνῳ μὲν ἐπιτρεπτέον νικᾶν, νίκην καδμείαν. τοῖς δ' ἄλλοις, ὅσοι τῶν μὲν ὀνομάτων εἰς τοσοῦτον φροντίζουσιν,
ὅσον αὐτῶν εἰς διδασκαλίαν χρηστόν, ἅπασα δ' αὐτοῖς ἡ σπουδὴ, τὴν ἐν τοῖς πράγμασιν ἐξευρεῖν ἀλήθειαν, ἤδη
διαλεξώμεθα περὶ ὧν ἐξ ἀρχῆς γράφειν προὐθέμεθα. Τῆς ἀναπνοῆς, τῷ μὲν γένει κινήσεως οὔσης, συγ-
κειμένης δὲ ἐκ δυοῖν μορίων, ἐναντίων ἀλλήλοις, ὧν τὸ μὲν εἰσπνοὴν, τὸ δὲ, ἐκπνοὴν ὀνομάζομεν, ἀλλὰ καὶ δύο
ἄλλα, κατά τι συμβεβηκὸς ἐχούσης οὐχ ὅμοια, τὰς καλουμένας ἠρεμίας τε καὶ ἡσυχίας. αἱ βλάβαι γίνονται,
περὶ μὲν τὰς κινήσεις εἰς τάχος καὶ βραδυτῆτα, καὶ μέγεθος καὶ σμικρότητα. περὶ δὲ τὰς ἡσυχίας, εἰς ἀραιό-
τητα καὶ πυκνότητα. καὶ παρὰ ταύτας, οὐκ ἂν εὕροις ἁπλῆν ἄλλην δυσπνοίας διαφοράν. ἡ γὰρ τῆς διαιρέσε-
ως μέθοδος οὕτως οὐ δείκνυσι. λοιπὸν δ' ἂν εἴη τὰς αἰτίας αὐτῶν ἐξευρόντας, ἐπὶ τὰς συνθέτους αὖθις τρέπεσθαι.
Τίς οὖν αἰτία ταχείας ἀναπνοῆς καὶ βραδείας, καὶ τῶν ἄλλων ἑκάστου; ἐμοὶ μὲν δοκεῖ κἀνταῦθα μεθόδῳ χρῆ-
ναι ζητεῖν αὐτὰς, οὐχ ἁπλῶς ἀποφαίνεσθαι. τίς οὖν ἡ μέθοδος; ἐπειδὴ πρὸς τῶν αὐτῶν ἕκαστον ἢ χεῖρον ἢ βέλ-
τιον γίνεται πρὸς ὧνπερ ὅλως γίγνεσθαι πέφυκεν, ἐὰν εἰδῶμεν ὑπό τινων αἰτίων ἀναπνοὴ γίγνεται, γνωσό-
μεθα δηλονότι καὶ τὰς δυσπνοίας αἰτίας. τίνες οὖν αἰτίαι τῆς ἀναπνοῆς, ἔχεις μὲν αὐτὰς ἑτέρωθι μετ'
ἀποδείξεως γεγραμμένας. νῦν δ' ἀρκεῖ τῶν κεφαλαίων ἀναμνησθῆναι μόνον. ἡ μὲν δύναμις ἡ ψυχικὴ κινεῖ
τὸν θώρακα, τῷ δὲ, ὁ πνεύμων συγκινεῖται. ταῖς τούτου δ' ἕπεται κινήσεσι, διαστελλομένου μὲν εἰσπνοὴ, συ-
στελλομένου δὲ, ἐκπνοή. δέδεικται δ' ἐν ἐκείνοις καὶ ὡς ἡ χρεία τῆς ἀναπνοῆς, ἡ μεγίστη μὲν καὶ κυριωτάτη, φυ-
λακὴ τῆς ἐμφύτου θερμασίας ἐστὶν, ἤδη δὲ καὶ τοῦ ψυχικοῦ πνεύματος θρέψις. οὕτω δὲ τούτων, ἐχόντων, ἐπειδὰν
μὲν ἡ δύναμίς τε καὶ ἡ χρεία καὶ τῶν ὀργάνων ἕκαστον εὐπραγῇ, νόμῳ φύσεως ἀναπνεῖ τὸ ζῶον, ἐπειδὰν δέ τι
πάθοι, κατ' ἐκεῖνο καὶ τὴν ἀναπνοὴν ἀναγκαῖον ἐμποδίζεσθαι. καὶ τοίνυν ὥσπερ ἐν ταῖς περὶ τῶν σφυγμῶν
πραγματείαις, διττὴν ἐποιούμεθα διδασκαλίαν ἢ καθ' ἕκαστον αὐτῶν ζητοῦντες τὰς αἰτίας, ἢ καθ' ἕκαστον ἐκεί-
νων τὰς ἀλλοιώσεις, οὕτω κἀνταῦθα χρὴ καθ' ἑκάτερον γυμνάσασθαι. ὥστε καὶ τῆς αἰτίας προβληθείσης,
εὐθὺς ἔχειν εἰπεῖν καὶ τὴν ἑπομένην δύσπνοιαν, καὶ τῆς δυσπνοίας ῥηθείσης, ἀναμιμνήσκεσθαι ῥαδίως, τῆς ποιού-
σης αἰτίας. ἀρκτέον οὖν ἡμῖν κἀνταῦθα κατὰ τὸν αὐτὸν τρόπον ἀπὸ τῶν ἁπλῶν δυσπνοιῶν, ὡς ἐν ἐκείνοις ἀπὸ
τῶν σφυγμῶν, καὶ ζητητέον τίνες αἰτίαι ταχεῖαν εἰσπνοὴν ἐργάζονται. ταχὺν μὲν γὰρ σφυγμὸν ἀπεδείξα-
μεν, ἐπειγούσης μὲν τῆς χρείας, ἐρρωμένης δὲ τῆς δυνάμεως, εὐπειθῶν δ' ὄντων γίγνεσθαι τῶν ὀργάνων. ἐοί-
καμεν δὲ κἀνταῦθα τὰς αὐτὰς ἐρεῖν αἰτίας εἴ γε μὴ κακῶς ἐν τῷ περὶ χρείας σφυγμῶν ἐδείξαμεν τὴν
αὐτὴν ὠφέλειαν, παρὰ μὲν τῆς ἀναπνοῆς, τῷ κατὰ τὴν καρδίαν θερμῷ, παρὰ δὲ τῶν σφυγμῶν, τῷ καθ' ὅλον
γίγνεσθαι τὸ ζῶον. ἐν ἐκείνῳ δ' αὖ τῷ λόγῳ τῷ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, αὐτάρκως εἴρηται, καὶ πε-
ρὶ τῆς Ἀρχιγένους πρὸς Μάγνον ἀντιλογίας, ὡς οὐχ ὑπὸ ῥώμης δυνάμεως ὁ ταχὺς γίνεται σφυγμὸς, ἀλλὰ
μᾶλλον ὑπὸ ἀρρωστίας. καὶ οὐ χρὴ δὶς περὶ τῶν αὐτῶν λέγειν, ἑνὸς καὶ ταυτοῦ τρόπου τῆς ἀποδείξεως ἐσο-
μένου. καὶ εἴπερ οὕτω περὶ δυσπνοίας, ὡς περὶ σφυγμῶν, οἱ νεώτεροι τῶν ἰατρῶν ἐπραγματεύσαντο, καὶ
μὴ τελέως αὐτῆς ὠλιγώρησαν, οἰκειότερον ἂν ἦν ἐνταῦθα ζητεῖσθαι τὸν περὶ τῆς ταχείας κινήσεως λόγον,
ὡς ἂν καὶ σαφεστέρας τῆς δὲ τῆς πραγματείας οὔσης, καὶ διὰ τοῦτο πρότερος ὠφελούσης διδάσκεσθαι. ἀλλ'
οὐκ οἶδ' ὅπως περὶ μὲν αὐτῆς τῆς ἀναπνοῆς ἐπὶ πλεῖστον ἐζήτησαν, οὔτε χρείαν ἧς ἕνεκα γίγνεται παραλί-
ποντες ἄσκεπτον, οὔτε δύναμιν ὑφ' ἧς δημιουργεῖται. ἐπολυπραγμονήσαντο δὲ καὶ περὶ τῶν ὀργάνων αὐτῶν
ἐπιμελῶς, πόσα τι καὶ τίνα, καὶ ὅπως εἰ κινούμενα, περὶ δὲ τῆς δυσπνοίας, ὥσπερ οὐκ ἀναγκαιότερον ὄντα τὸν λό

γον, ἢ οὐ ποικιλώτερον, ἢ οὐ χαλεπώτερον εὑρεθῆναι, παντάπασιν ἀργῶς παρέδραμον. οἱ μὲν μὴ δ᾽ ὅλως, μὴ δὲ
τοὐλάχιστον ὑπὲρ αὐτῆς εἰπόντες. οἱ δὲ ἐπὶ βραχὺ κομιδῇ προσαψάμενοι. καί τοι γράψαντος Ἱπποκράτους ἐν
τοῖς περὶ τῶν ἐπιδημιῶν, ὥσπερ τινὰ μύωπα, τὰς διαφορὰς τῶν δυσπνοιῶν, ὑφ᾽ οὗ νυττομένους αὐτοὺς ἐχρῆν ἐξεγ-
ερθῆναι ποτὲ τοῦ βαθέος ὕπνου, καὶ ζητῆσαι τίς ἐφ᾽ ἑκάστης αὐτῆς ὁ πεπονθὼς τόπος ἐστὶν, καὶ τίς ὁ τρόπος τῆς δια-
θέσεως, καὶ τίς ἡ αἰτία, καὶ εἰ παραλέλειπται ταῦτα τελέως ὑφ᾽ Ἱπποκράτους, ἢ τινὰ μὲν εἴρηται πρὸς αὐτοῦ, τινὰ
δ᾽ οὐ καί που τῶν συγγραμμάτων, καὶ πῶς ἆρά γε τελέως καὶ σαφῶς, ἢ ἐλλιπῶς τε καὶ οἱονεὶ ὑπομνηματικῶς. οὐδὲν
γὰρ τούτων ἐζήτησεν οὐδεὶς, οὔτ᾽ αὐτοῦ τοῦ πράγματος ἀξίως, τῶν θ᾽ Ἱπποκρατείους ἑαυτοὺς ὀνομαζόντων ἐξηγητι-
κά τε γραφόντων ὑπομνήματα τῶν συγγραμμάτων αὐτοῦ, τὸν περὶ τῆς δυσπνοίας οὐδεὶς τελέως ἐπεξῆλθε λό-
γον, ἀλλ᾽ ἡμεῖς τά τε καθ᾽ ἕκαστα εἰρημένα τῶν βιβλίων εἰς ταὐτὸν ἀθροίσωμεν ἅπαντα, καὶ δείξωμεν, ὡς κἀν
τούτοις, ὁ ἀνὴρ πολύ δή τι ὑπὲρ τοὺς ἄλλους ἐστίν. οὐ μὴν ἤδη γε τοῦτο ποιητέον. οὐ γάρ μοι πρόκειται μόνον ἐξηγήσα-
σθαι τὴν Ἱπποκράτους γνώμην, ἀλλὰ καὶ τὰς οἰκείας ἀποδείξεις τῶν δογμάτων προσθεῖναι, καὶ τῆς ἐν αὐτοῖς ἀλη-
θείας ἀκρίβειαν παρασχεῖν τοῖς ἐντυγχάνουσιν. εἰς δὲ τοῦτο πολὺ κάλλιόν ἐστι μὴ προκαταλαμβάνειν τὸν καιρὸν τῆς
δόξης τοῦ παλαιοῦ, καὶ τοίνυν ὅδε μὲν ὁ πρότερός μοι λόγος διδασκαλία μετὰ ἀποδείξεως ἔσται τῶν ἀληθῶν. ὁ δ᾽
ἑξῆς δεύτερος ἐξήγησις, ὧν Ἱπποκράτης ἐγίγνωσκε περὶ δυσπνοίας. αὖθις οὖν ἀναλάβωμεν ὅθεν λέγοντες ἀπε-
λίπομεν, ὡς ἡ περὶ τάχους κινήσεως ζήτησις ἐν τοῖς περὶ σφυγμῶν ἡμῖν ἅπασι περαίνεται, διὰ τὸ ἀποδοθῆ-
ναι μὲν ἐκείνην τὴν πραγματείαν τοῖς πλείστοις τῶν νεωτέρων ἰατρῶν. ἀμεληθῆναι δὲ τὴν νῦν προκειμένην σχε-
δὸν ἅπασι, καίτοι σαφεστέραν τε καὶ μακρῷ, καὶ οὐχ ἧττον ἐκείνης χρησίμην ὑπάρχουσαν. ἀλλὰ καὶ αὐτὸς, ταύτην τὴν
αἰτίαν εἴποιμι ἂν, ἐπὶ προήκοντι τῷ λόγῳ. νυνὶ δὲ τὸ συνεχὲς περαντέον, ὡς ἅπασιν ἡ ταχεῖα κίνησις, διά τε
τὴν ἐπείγουσαν χρείαν γίνεται, καὶ προσέτι τὴν δύναμιν ὑπηρετεῖν αὐτῇ δυναμένην, ὅπερ ἐστὶν ἐῤῥωμένην, καὶ
τῶν ὀργάνων οὐδενὸς ἀντιπράττοντος, ὧν τὰς ἀποδείξεις ἐν τοῖς περὶ σφυγμῶν ἐλέγομεν εἰρῆσθαι. εἴρηται δ᾽ ἐν ἐκείνοις
καὶ ὡς ἐνδέχεταί ποτε τῆς χρείας ἱκανῶς ἐπειγούσης, κἂν ἡ δύναμις ἀῤῥωστοτέρα μετρίως ᾖ, τὴν κίνησιν γί-
νεσθαι ταχεῖαν. εἰ δ᾽ ἐπὶ πλέον ἀσθενείας ἥκοι, μηκέτ᾽ ἐγχωρεῖν γενέσθαι ταχέως, ἀλλὰ τηνικαῦτα πυκνὴν
μᾶλλον ἀντὶ ταχείας γίνεσθαι τὴν ἐνέργειαν. ἁπάσης γὰρ πυκνότητος ἐνεργειῶν μίαν ὑπάρχειν αἰτίαν,
τὸ τῆς προτέρας ἐνεργείας ἐνδεές. ἀναγκάζονται γὰρ ἐπειγούσης ἐκείνης, μηκέθ᾽ ἡσυχάζειν ἐπὶ πλέον. ἅπαν-
τα δὲ ταῦτα δι᾽ ἐκείνων μὲν ἀποδέδεικται. κοινὸς δ᾽ αὐτῶν ὁ λόγος ἐστὶ καὶ πρὸς τὴν ἀναπνοὴν, πρῶτον μὲν
ὅτι περὶ κινήσεως ἁπάσης ἐν τῷ καθόλου λέλεκται. ἔπειτα καὶ ἡ ἀναπνοὴ ὀλίγου δεῖν ἅπασα, τῇ τῶν σφυγμῶν
ἀναλογίᾳ ἀνάλογον ἔχει. σύνθετος γάρ ἐστιν ἐξ ἐναντίων κινήσεων ἠρεμίαις διαιρουμένων, καὶ χρείας ἕνεκα τῆς
αὐτῆς γίνεται. καὶ τῶν μορίων δ᾽ αὐτῆς ἡ μὲν εἰσπνοὴ παραπλήσιος οὖσα τῇ διαστολῇ τῶν σφυγμῶν, ἀναψύχει
τὴν ἔμφυτον θερμασίαν. ἡ δ᾽ ἐκπνοὴ, καθάπερ ἡ συστολὴ τῶν σφυγμῶν ἐκκρίνει τὸ καπνῶδες τῆς συγκαύσεως.
ἀλλὰ καὶ τὸ, τῇ θρέψει τοῦ ψυχικοῦ πνεύματος ἀμφοτέρας τὰς ἐνεργείας συντελεῖν. καὶ τὸ, τῶν ἠρεμιῶν, τὴν
μὲν ἐπὶ τῇ διαστολῇ, βραχυτέραν ὑπάρχειν, τὴν δ᾽ ἐπὶ συστολῇ μακροτέραν, ἀμφοτέρων κοινά. τάχος μὲν οὖν
ταῖς ἀναπνευστικαῖς κινήσεσιν ὅπως προσγίνεται, καὶ δὴ λέλεκται. περὶ τοῦ μεγέθους δὲ ἑξῆς δίειμι. χρὴ τοίνυν κἂν
τούτῳ καλεῖν μὲν τὴν χρείαν εἰς τοὔργον, ὑπηρετεῖν δ᾽ αὐτῇ τὴν δύναμιν ἐῤῥωμένην, ἑτοιμότητα δὲ ὑπάρχειν
τοῖς ὀργάνοις. τῆς αὐτῆς γάρ τοι συνόδου τῶν αἰτίων δεῖται, μέγεθος ἀναπνοῆς, ἧσπερ καὶ τάχος. Τά γε μὴν
ἐναντία τούτων βραδύτης τε καὶ μικρότης, οὐ πάντῃ γε δεῖται τῶν ἐναντίων ἁπάντων ὁμοῦ, ἀλλ᾽ ἓν μὲν ἐξ αὐτῶν
χρὴ παρεῖναι πάντως, πλείω δὲ οὐκ ἀναγκαῖον. ἄν τε γὰρ ἡ χρεία μεγάλως ἐκλυθῇ, συνεκλύεται καὶ τὸ τάχος κι-
νήσεως, καὶ τὸ μέγεθος τῆς διαστολῆς, κἂν ὅτι μάλιστα ῥώμης ἔχῃ καλῶς ἡ δύναμις. ἀργὴν γὰρ ἕξει ταύτην, ἔστ᾽ ἂν
μὴ δεήσεται τὸ ζῷον ἐνεργούσης αὐτῆς. ἄν τε μεγάλη μὲν ἡ χρεία, ἐκλύηται δέ πως ὁ τόνος τῆς δυνάμεως, ἄν-
τε ταῦτα μὲν ὑπάρχῃ, βλάβη δέ τις συμβῇ τοῖς ὀργάνοις, οἵαν ἐν τοῖς περὶ σφυγμῶν διήλθομεν. ὅτι γὰρ ἂν
εἴη τούτων κωλυθήσεται τὸ τάχος καὶ τὸ μέγεθος τῆς ἀναπνοῆς. Κατὰ μὲν δὴ ταῦτα πάντως ἐοίκασιν οἱ σφυ-
γμοὶ ταῖς ἀναπνοαῖς. ὥστε εἰ καὶ τὰς αἰτίας πρῶτα προχειριζόμενοι, τὰς ἀκολουθούσας αὐταῖς ἀλλοιώσεις τῆς
ἀναπνοῆς ἐπισκοποίμεθα, παραπλησίως εὑρήσομεν, οἱονεὶ καὶ τῆς θερμασίας αὐξηθείσης, τῶν ἄλλων αἰτίων
τῆς ἀναπνοῆς ἀτρέπτων μενόντων, ὁποῖόν τι τὸ τῆς δυσπνοίας εἶδος ἔσται ζητοῦμεν. εὑρήσομεν γοῦν ὡς κἀν τῷ πρώ-
τῳ δέδεικται τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων. ὅτι βραχὺ μὲν αὐξηθείσης αὐτῆς, μείζων μὲν σαφῶς, οὐ μὴν καὶ θάτ-
των, ἐπὶ πλεῖον δὲ, καὶ μεγίστη καὶ ταχεῖα, καὶ ἤδη πυκνὴ γίγνοιτ᾽ ἂν ἡ εἰσπνοή. κατὰ ταῦτα δὲ καὶ εἰ μειωθείη
τὸ κατὰ φύσιν θερμὸν, τῶν ἄλλων αἰτίων ἀτρέπτων μενόντων, ὅτι μικρὰν οὕτω, καὶ βραδεῖαν, καὶ ἀραιὰν ἀνάγκη
γίνεσθαι τὴν εἰσπνοὴν, ἀλλ᾽ ὀλίγῳ μέν τινι τοῦ κατὰ φύσιν μικροτέραν, πολὺ δὲ βραδυτέραν. πάμπολυ δ᾽ ἀραιο-
τέραν. ἐῤῥωμένης γὰρ τῆς δυνάμεως οὔσης οὐκ ἐνδέχεται πολλῷ μικροτέραν γίνεσθαι τὴν διαστολήν. ἀλλ᾽
εἴπερ ἐκλυθείη τὰ τῆς χρείας ἱκανῶς ἐπὶ πλεῖον ἡσυχάζειν εἰκὸς, οὐ μὴν οὐδὲ κινεῖσθαι διὰ ταῦτα παντάπα-
σι βραδέως, ἐῤῥωμένης τῆς δυνάμεως. ἃ δὲ ἐπὶ τῆς θερμασίας αὐξανομένης, ταῦτα κἀπὶ τῆς τοῦ ψυχικοῦ
πνεύματος ἐπειγούσης θρέψεως εἴδη δυσπνοιῶν ἔσται, δηλονότι τῶν περὶ τὴν εἰσπνοὴν συνισταμένων. ὥσπερ
γε καὶ ἡ ἀμετρία τῆς λιγνυώδους τῶν χυμῶν συγκαύσεως, τὰς αὐτὰς τῆς ἐκπνοῆς δυσπνοίας ἐργάσεται, ταῖς
ἐπὶ τῆς εἰσπνοῆς εἰρημέναις. ταχεῖαι μὲν γὰρ ἔσονται καὶ μεγάλαι καὶ πυκναὶ, πολλοῦ τοιούτου περιττώματος ἠ-
θροισμένου. βραδεῖαι δὲ καὶ μικραὶ καὶ ἀραιαὶ κατὰ τὰς ἐναντίας διαθέσεις. ἆρ᾽ οὖν ὁ μὲν λόγος οὕτως ἀξιοῖ, μά-
χεται δέ τι τῶν ἐναργῶς φαινομένων; ἐγὼ μὲν ὁμολογοῦντα ταῦτα πάντα κατά τε τὰς ἡλικίας καὶ τὰς χώ-
ρας, καὶ ὅλως τὰς καταστάσεις ἁπάσας τοῦ περιέχοντος ἡμᾶς ἀέρος, εὑρίσκω. μαρτυρεῖ δ᾽ οὐχ ἥκιστα καὶ τὰ ἐν
τοῖς ἐπιτηδεύμασιν ἅπασιν, καὶ τὰ ἐν τοῖς νοσήμασιν. ἔνθα μὲν γὰρ τὸ θερμὸν πλεονεκτεῖ, ταχείας καὶ μεγά-
λας καὶ πυκνὰς ἐστὶν ἰδεῖν γιγνομένας εἰσπνοάς. ἔνθα δ᾽ αὖ τὸ ψυχρὸν τὰς ἐναντίας βραδεῖς τε καὶ μικρὰς καὶ
ἀραιάς. καὶ μὴν ὅσοις μὲν κενοῦται τὸ ψυχικὸν πνεῦμα, καὶ διὰ τοῦτο τάχα δεῖται τῆς ἀναθρέψεως, οὐ μόνον μέγα,

ἀλλὰ καὶ

ἀλλὰ καὶ ταχὺ καὶ πυκνὸν εἰσπνέουσιν. οἷς δ' οὐδὲν κενοῦται, τὸ ἐναντίον τούτοις εἶδος τῆς εἰσπνοῆς. εἰ δ' ἄμφω συνδράμοι, καὶ θερμασίας αὔξησις, καὶ πνεύματος ἀνάλωσις, οὗτοι τὴν μεγίστην ἁπασῶν καὶ ταχίστην καὶ πυκνοτάτην εἰσπνοὴν ἴσχουσι. καὶ μάλιστ' εἰ σφοδρῶς ἑκάτερα αὐξηθείη. ὥσπερ γε καὶ μειωθέντων ἀμφοῖν ἰσχυρῶς, μικρόταται καὶ βραδύταται καὶ ἀραιόταται γίνονται εἰσπνοαί. καὶ μὲν δὴ καὶ τὸ τῶν ἐκπνοῶν εἶδος. εἰ μὲν ἀθροισθείη πολλὰ καπνώδη περιττώματα, μέγιστόν τε καὶ τάχιστον καὶ πυκνότατον. εἰ δ' ὀλίγιστα παντελῶς εἴη, μικρότατόν τε καὶ βραδύτατον καὶ ἀραιότατον. ἡλικιῶν μέν γε, τὰς μὲν ἐν αὐξήσει πάσας καὶ μέγα καὶ ταχὺ καὶ πυκνὸν εἰσπνεούσας ὁρῶμεν. τὰς δ' ἐν παρακμῇ, τοὐναντίον, ἀραιὸν μὲν καὶ μικρὸν καὶ βραδύ. ὅτι ταῖς μὲν, θερμὸν πλέον. ταῖς δ' ἔλαττον. καὶ ταῖς μὲν συναύξεσθαι τῷ σώματι τὴν οὐσίαν τοῦ ψυχικοῦ πνεύματος ἀνάγκη. ταῖς δὲ συμμαραίνεσθαι. δι' ἀμφοτέρας οὖν τὰς αἰτίας, πολλοὶ παραλλάττουσιν ἐν ταῖς τῆς εἰσπνοῆς ἰδέαις οἱ νέοι τῶν πρεσβυτέρων. δι' ἄλλας δ' αὖ δύο αἰτίας ἐν ταῖς ἐκπνοαῖς. ἐπεὶ γοῦν ταῖς αὐξανούσαις ἡλικίαις, διά τε τὴν τῆς ἐμφύτου θερμασίας ῥώμην, καὶ δι' αὐτὴν τὴν αὔξησιν, παμπολύ τι πλῆθος ἀναλίσκεται χυμῶν, ταῖς δὲ παρακμαστικαῖς, ὅσον εἰς αὐτὸ τὸ ζῆν μόνον, ὡς μήτε αὐξανομέναις ἔτι καὶ ἀποψυχομέναις ἤδη, κατὰ λόγον ταῖς μὲν, ταχεῖα καὶ μεγάλη καὶ πυκνή, ταῖς δὲ, ἐναντίως διακειμένη κατὰ πᾶν ἡ ἐκπνοὴ φαίνεται. τὴν αὐτὴν δὲ ταύτην ἰδέαν, καὶ οἱ σφυγμοὶ κατὰ τὰς τῶν ἡλικιῶν διαφορὰς ἔχοντες εὑρίσκονται, καθάπερ καὶ τοῦτ' ἐν τρίτῳ τῶν ἐν αὐτοῖς αἰτίων διήλθομεν. ὡς δ' ἐν ταῖς ἡλικίαις, οὕτω κἂν ταῖς ὥραις, καὶ ταῖς χώραις καὶ πάσαις ταῖς τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεσιν, οἵ τε σφυγμοὶ ταῖς ἀναπνοαῖς, αἵ τ' ἀναπνοαὶ τοῖς σφυγμοῖς ἀνάλογον ἔχουσιν, ἐν μὲν ταῖς θερμαῖς, εἰς μέγεθος καὶ τάχος καὶ πυκνότητα τρεπόμεναι, κατὰ δὲ τὰς ψυχρὰς, εἰς τἀναντία. καὶ εἴρηται περὶ τούτων ἁπάντων ἐν ἐκείνοις, ὥσπερ γε καὶ περὶ τῶν ἐπιτηδευμάτων, ἐν μὲν γὰρ τῷ τρέχειν, καὶ παλαίειν, καὶ ὁπωσοῦν ἄλλως ἀνδρίζεσθαι, μέγα καὶ ταχὺ καὶ πυκνὸν ἀναπνέομεν. ἡσυχάζοντες δὲ, μικρὸν καὶ βραδὺ καὶ ἀραιόν. ὅτι ταῖς μὲν συντόνοις κινήσεσιν αὐξάνεται μὲν τὸ θερμὸν, δαπανᾶταί τε δὲ τὸ πνεῦμα τὸ ψυχικόν. ἠρεμούντων δὲ καὶ ἀκινήτων μενόντων, τὸ μὲν θερμὸν, μαραίνεται. πνεῦμα δ' οὐδ' ὅλως, ἢ παντελῶς ὀλίγον ἀναλίσκεται. καὶ τοίνυν καὶ τῶν λουτρῶν, τὰ μὲν θερμὰ, ταχεῖάν τε μεγάλην, καὶ πυκνὴν ἐργάζεται τὴν ἀναπνοήν. τὰ δὲ ψυχρὰ, τὴν ἐναντίαν. ἐν τοῖς ὕπνοις δὲ, καὶ πάνυ δεῖ προσέχειν τὸν νοῦν τοῖς γινομένοις. πλεονεκτεῖ γὰρ καὶ κατὰ μέγεθος καὶ τάχος κινήσεως ἡ ἐκπνοὴ τῆς εἰσπνοῆς, ὅτι τῶν σιτίων τε καὶ χυμῶν ἁπάντων αἱ κατεργασίαι καὶ αἱ πέψεις μάλιστα γίνονται. πλεῖστον οὖν εἰκὸς ἐν αὐτοῖς καὶ τὸ καπνῶδες ἀθροίζεσθαι περίττωμα. ἐπὶ τῶν νοσημάτων δὲ, καὶ γὰρ καὶ περὶ τούτων ἤδη λεκτέον. ἐν μὲν τοῖς πυρετώδεσιν ἅπασι, καὶ μάλιστα, ὅσοις περί τι τῶν ἀναπνευστικῶν ὀργάνων, ἢ τὴν καρδίαν ἤθροισταί τι πολὺ πλῆθος θερμότητος, ἡ ἀναπνοὴ πᾶσα μεγάλη καὶ ταχεῖα καὶ πυκνὴ φαίνεται γιγνομένη. ἐν οἷς δὲ ἀπέψυκται τὸ θερμὸν, ἡ ἐναντία. ὥστε καὶ τισὶν ἤδη τελέως ἔδοξεν ἀπολωλέναι, καὶ ἣν ὁ Ποντικὸς Ἡρακλείδης ἄπνουν ἔγραψεν, ἤδε ἐστίν. τὸ ἀνάλογον γὰρ ἔχειν ἔοικεν, ὥσπερ ἐν τοῖς ἄλλοις ἅπασιν ἀναπνοή τε καὶ σφυγμὸς, οὕτω κἂν τῷδε. παντελῶς γοῦν οὐδέτερον αὐτῶν ἐκλελοιπέναι δυνατὸν, ἕως ἂν περιείη τὸ ζῶον, ἐκλελοιπέναι μέντοι δόξαι διὰ σμικρότητα, θαυμαστὸν οὐδέν. οὐ δὲ γὰρ τούτοις γε δὴ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ἐσχάτως μικροῖς, τὸ διαφεύγειν τὰς αἰσθήσεις κοινόν.

Ἀλλ' ἐπεὶ καὶ περὶ τῶν ὡσαύτως ὑπαρχόντων ἀναπνοαῖς τε καὶ σφυγμοῖς, αὐτάρκως εἴρηται, ζητήσομεν ἤδη καὶ ὅσον ἐν αὐτοῖς οὐχ ὡσαύτως ἔχει. τὸ γὰρ ἀπὸ τῆς τῶν δυνάμεων ἑτερότητος ἐν ἑκάστῳ τῶν ἐνεργειῶν ἴδιον, εἰκὸς ἐστι πολλαχῶς καὶ τὰς ἰδέας αὐτῶν διαφερούσας ἐργάσασθαι. τοῦτ' οὖν χρὴ σκοπῆσαι καὶ ζητῆσαι καὶ ἀνευρίσκειν μεθόδῳ. δοκῶ δή μοι καθορᾶν εὐθὺς ἀπ' αὐτῆς τῆς οὐσίας τῶν πραγμάτων μεγίστην τινὰ διαφορὰν ἁπάντων τῶν ψυχικῶν ἔργων πρὸς τὰ ζωτικά. τῶν μὲν γὰρ ἡ προαίρεσις ἐξουσίαν ἔχει τῆς γενέσεως, καὶ δύναταί ποτε κἂν ἡ χρεία καλῇ καὶ ἡ δύναμις εὐεκτῇ κἂν τῶν ὀργάνων ἕκαστον ἐπιτήδειον ᾖ πρὸς τὴν ἐνέργειαν, ὅμως ἴσχειν τε καὶ κωλύειν αὐτὰ τῆς κινήσεως. ὅπου δ' ἴσχειν, μέγα οὕτως, ἤπου γε, καὶ τὸ βραδέως κινεῖν ἢ ταχέως, καὶ ἐπὶ πλέον ἢ ἐπ' ἔλαττον ἐξαίρειν, καὶ διὰ πλείονος ἢ ἐλάττονος χρόνου, ῥᾷστον αὐτῷ. τοῖς ζωτικοῖς δ' ἔργοις οὐχ οὕτως ἔχει, ἀλλ' ὅταν ἡ χρεία καλῇ, τῆς γε δυνάμεως ἐρρωμένης, καὶ τῶν ὀργάνων ἐπιτηδείων ὑπαρχόντων εἰς τὰς κινήσεις, οὔτε βραδεῖαν, οὔτε μικρὰν γενέσθαι οἷόν τε τὴν ἐνέργειαν. ἐπὶ γοῦν τῶν κατὰ φλεγμαίνοντα μόρια σφυγμῶν, ἐνεργέστατα φαίνεται διὰ τὴν τῶν ἐν αὐτοῖς ἀρτηριῶν κίνησιν, ὀδύνη μὲν σφοδρὰ προσγινομένη, διὰ τὸ μὴ ἐφ' ἡμῖν εἶναι τὴν κίνησιν ἐλάττονα ποιῆσαι τῷ μεγέθει, ἢ βραδυτέραν τῷ τάχει. καίτοι γε εἴπερ ἦν ἐφ' ἡμῖν ἐλάττονά τε καὶ βραδυτέραν αὐτὴν ἐργάσασθαι, οὐδὲν ἂν προυργιαίτερον ἐποιησάμεθα, μέλλοντές γε ἐκ τούτου παρηγορήσειν τὴν ὀδύνην. παντὶ μὲν γὰρ τῷ φλεγμαίνοντι, τελέας ἡσυχίας δεῖ. κινουμένων γὰρ καὶ τριβομένων πρὸς ἄλληλα τῶν ἐν αὐτοῖς μορίων, θλίβεταί τε καὶ ῥευματίζεται καὶ παντοίως ὀδυνᾶται. εἰ δ' ἄρα ποτὲ καὶ διὰ τὴν τῆς χρείας ἔπειξιν ἀναγκάζοιτο, τὴν μικροτέραν τε καὶ βραδυτέραν κίνησιν ῥᾷον φέρει τῆς μείζονός τε καὶ ὠκυτέρας. οὕτω καὶ τὸ σκέλος, ὅταν φλεγμαίνῃ τι μέρος ἐν αὐτῷ, μάλιστα μὲν ἀναπαύεσθαι ποθεῖ. εἰ δ' ἀναγκαζοίμεθα κινεῖν αὐτὸ χρείας τινὸς ἐπειγούσης, ἔλαττόν τε καὶ βραδύτερον βαδίζομεν. ἀλλ' οὐχ οἷόν τε τοῦτ' ἐπὶ τῶν ἀρτηριῶν ἐργάσασθαι. οὐ γάρ ἐστιν ἐφ' ἡμῖν ἡ κίνησις αὐτῶν, οὐθ' ὥστε καταπαύειν γιγνομένην, ὥστε βραδυτέραν ἐξ ὠκυτέρας, ἢ ἐκ μείζονος, ἐλάττω ποιεῖν, ἀλλ' ἀνάγκη στέργειν τῇ παρούσῃ. κἂν ὠκεῖα, κἂν μεγάλη, κἂν ὅπως οὖν ᾖ βίαια. διὰ τοῦτο ἐν τοῖς φλεγμαίνουσι μορίοις τῶν ἀρτηριῶν κινουμένων, ὀδυνώμεθα μὲν, ἀλλ' οὔτε ἀμυδροτέραν, οὔτε ἐλάττω τὴν κίνησιν, οὔτε βραδυτέραν ἐργάσασθαι δυνάμεθα, καίτοι τῶν γε κατὰ τὴν προαίρεσιν ἐνεργειῶν, ἢ παντελῶς ἀναπαύοντες τὸ σκέλος, ἢ μικρὰν κομιδῆ καὶ βραδεῖαν ποιοῦντες. ὅταν δὲ λέγω μὲν μικρὰν καὶ μεγάλην κίνησιν. ὅτι μὴ κυρίως, ἀλλ' ἀπὸ τῶν διαστημάτων φαμὲν, καθ' ὧν τὸ κινούμενον φέρεται, παντί που δῆλον, οὐκ οὖν ἐπειδὴ καὶ ὁ θώραξ ἕν τι τῶν τοῦ ζώου μορίων, ἐστὶν ὄργανον ἀναπνοῆς, ὡς ἡ μὲν

ἀρτηρίαι σφυγμῶν, τὸ δὲ σκέλος βαδίσεως, εἰ μὲν δὴ τῶν ζωτικῶν ἔργων ἡ ἀναπνοὴ, ταῖς ἀρτηρίαις ἀνάλογον, εἰ δὲ τῶν ψυχικῶν, τοῖς σκέλεσιν ὁμοίως κινηθήσεται. ἀλλὰ μὴν τῶν ψυχικῶν, ὡς ἐν ἄλλοις ἀποδέδεικται. δῆλον ἄρα ὡς τοῖς σκέλεσιν ὁμοίως κινηθήσεται. εἰ τοίνυν φλεγμαίνων εἴη ἀναγκάζοιτό τε κινεῖσθαι, βραδύτερόν τε καὶ πολὺ ἧττον τοῦ δέοντος διαστήσεται. ἀλλ᾽ εἰ τοῦτο ποιήσει, ἐνδεῶς ἀναπνεύσει. εἰ δὲ καὶ δεύτερον ἔτι καὶ τρίτον, ταυτὸ τοῦτ᾽ ἐργάσεται, τὸ καθ᾽ ἑκάστην ἐνδεὲς, ἐν ἀξιόλογον ποτὲ κεφάλαιον γενόμενον, ἐγγὺς ἄξει τοῦ πνίγεσθαι τὸ ζῶον. ἵν᾽ οὖν μὴ γένηται τοῦτο, πυκνοτέρας ποιεῖται τὰς ἐνεργείας, μηκέτι ἡσυχάζων τοσοῦτον, ὅσον ὁπόταν εἶχε κατὰ φύσιν. ὅμοιόν τι ποιῶν τοῖς διὰ τὸ μὴ δύνασθαι τὴν αὐτάρκη τροφὴν εἰς ἅπαξ προσφέρεσθαι, συνεχῶς ὀλίγον τρεφομένοις. ἀλλ᾽ ἐν τούτῳ ἀναγκαῖον τὴν ὅλην ἀναπνοὴν γενέσθαι μικρὰν καὶ βραδεῖαν καὶ πυκνὴν, καὶ πλέονί γε μικροτέραν τοῦ προσήκοντος, ἢ βραδυτέραν. οὐχ οὕτως γὰρ ἰσχυρὸς ὁ πόνος τῷ θώρακι διὰ τὸ τάχος τῆς κινήσεως, ὡς διὰ τὸ μέγεθος τῆς διαστολῆς. τὸ μὲν γὰρ τάχος, εἰ καὶ κατ᾽ αὐτὴν τὴν ἐνέργειαν ὀδυνηρὸν, ἀλλὰ τῷ γε βραχυχρόνιον ἐργάζεσθαι τὴν ὅλην κίνησιν, ἧττον λυπεῖ τὸν θώρακα. συντόμως γὰρ ἐφ᾽ ὃ σπεύδει παραγίνεται. σπεύδει δὲ δήπουθεν ἐπὶ τὴν ἡσυχίαν, καὶ ταύτης ὅτι τάχιστα γλίχεται τυχεῖν, ὡς ἂν μόνης αὐτῷ τὴν ἐκ φλεγμονῆς ὀδύνην παραμυθουμένης. τὸ δὲ μέγεθος τῆς διαστολῆς, πάντως χαλεπὸν, αὐτῷ τε τῷ βιαίῳ τῆς κινήσεως, καὶ τῷ θλίβειν τε ἅμα καὶ τείνειν τὰ φλεγμαίνοντα, καὶ παντοίως ὀδυνᾶν τὸν θώρακα. ταῦτ᾽ ἄρα καὶ πλέον ἀφαιρεῖ τοῦ μεγέθους, ἢ τοῦ τάχους. καὶ ὅταν γε τοῦτ᾽ αὐτὸ μόνον ᾖ τὸ πάθημα, πόνος τις τῶν κατὰ τὸν θώρακα μορίων, μὴ μέντοι τά γε τῆς χρείας ἐπείγει, μενούσης δηλονότι τῆς ἐν τῇ καρδίᾳ θερμασίας ἐν τοῖς κατὰ φύσιν ὅροις, ἐναργῶς ἡ κίνησις τοῦ θώρακος βραδυτέρα γίνεται. πυρώσεως δέ τινος ἐν αὐτῇ γενομένης, τὸ μὲν τάχος οὐκ ἐκλύεται, δι᾽ ἃς ἔμπροσθεν εἴπομεν αἰτίας, καθαιρεῖται δὲ κἀνταῦθα τὸ μέγεθος ἱκανῶς, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ πυκνότης γεννᾶται, διὰ τὴν τῆς χρείας ἔπειξιν.

Ὥστε κἂν τῶν εἰρημένων ἤδη πρόδηλον ὑπάρχει, ὡς αὐτὴ μὲν καθ᾽ ἑαυτὴν ὀδύνη περί τι τῶν ἀναπνευστικῶν ὀργάνων γενομένη, μικρὸν καὶ βραδὺ, καὶ πυκνὸν ἐργάσεται τὸ πνεῦμα. μετὰ φλογώσεως δὲ, μικρὸν μὲν ἔτι καὶ νῦν ὁμοίως, ἀλλὰ πυκνότερόν γε τοῦ διὰ μόνην τὴν ὀδύνην, καὶ ἤδη κατά τι ταχύτερον. ἡ δὲ διὰ μόνην τὴν πύρωσιν γιγνομένη δύσπνοια, πρόσθεν ἐλέχθη μέγα καὶ ταχὺ καὶ πυκνὸν ἐργαζομένη τὸ πνεῦμα. ὥστε σαφὴς ἤδη καὶ εὐδιόριστος τῶν θ᾽ ἁπλῶν ἑκατέρα, καὶ ἡ ἐξ ἀμφοῖν σύνθετος. ἡ μὲν γὰρ ἐπὶ μόνῳ τῷ πλήθει τῆς θερμασίας, εἰ καὶ πυκνὸν ἐργάζεται τὸ πνεῦμα παραπλησίως τῇ διὰ μόνην τὴν ὀδύνην, ἀλλὰ τῷ μεγέθει καὶ τῷ τάχει, σαφῶς διορίζεται. ἡ δ᾽ ἐξ ἀμφοῖν τῶν αἰτίων συνελθόντων, τῆς μὲν διὰ τὴν φλόγωσιν, μόνῃ τῇ μικρότητι διαφέρει, τῆς δὲ διὰ τὴν ὀδύνην, μεγέθει καὶ τάχει. καὶ μὲν δὴ καὶ ἡ διὰ τὴν κατάψυξίν γε τῆς κατὰ φύσιν θερμασίας δύσπνοια, σαφέσι τισὶ γνωρίσμασιν ἁπασῶν τούτων διορίζεται. μικρὸν γὰρ αὕτη γε ὡς ἐδείκνυτο καὶ βραδὺ καὶ ἀραιὸν ἐργάζεται τὸ πνεῦμα. τῶν δ᾽ ἄλλων οὐδεμιᾷ συμβέβηκεν ἅμα βραδύτης καὶ ἀραιότης. ἀλλ᾽ ὅσον μὲν ἐπὶ ταῖς ἐνδείαις τε καὶ πλεονεξίαις τῆς θερμασίας, ἡ τῆς ἀναπνοῆς ἰδέα τοῦ κατὰ φύσιν ἐξίσταται ῥυθμοῦ, ταῦτα καὶ τοῖς σφυγμοῖς ὡσαύτως ἔχει. τὰ δ᾽ ἐπὶ ταῖς ὀδυνηραῖς τῶν ὀργάνων διαθέσεσιν, οὐκέθ᾽ ὡσαύτως, ἀλλ᾽ ὅπῃ παραλλάττει σαφῶς οἶμαι δέδεικται. αἱ λοιπαὶ μέντοι διαθέσεις τῶν ὀργάνων ὅσαι χωρὶς ἀλγήματος ἐπ᾽ ἐμφράξεσιν, ἢ σκιρρώσεσιν, ἢ θλίψεσιν, ἢ ὅλως στενοχωρίαις τισὶ γίνονται, παραπλησίως ἐργάζονται τὰς ἀλλοιώσεις ἑκατέραις ταῖς ἐνεργείαις ψυχικαῖς τε καὶ ζωτικαῖς. μικρὸν γὰρ ἐπ᾽ αὐτοῖς καὶ ταχὺ καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. μικρὸν μὲν, ὅτι διὰ τὴν στενοχωρίαν τῶν ὑποδεχομένων, ἔλαττον τοῦ δέοντος ἕλκεται. πυκνὸν δὲ, ὅτι τὰ τῆς χρείας οὐ πληροῦται. διὰ δὲ τὴν αὐτὴν ταύτην αἰτίαν καὶ ταχύ. δέδεικται δὲ ἐν τοῖς περὶ σφυγμῶν ὑπομνήμασιν, ὅτι τὸ μέγεθος τῆς διαστολῆς, ὅταν μὲν ἱκανῶς πληροῖ τὴν χρείαν, οὐδὲν δεῖται τάχους, ὅταν δ᾽ ἀπολείπηται κατά τι, τηνικαῦτα ἤδη καὶ εἰς τάχος ἡ τροπὴ γίνεται τῆς δυνάμεως ἐρρωμένης. καὶ ὅταν μηδὲ τοῦτ᾽ ἱκανὸν ᾖ, τότε καὶ εἰς πυκνότητα. διὰ ταῦτα μὲν δὴ μικρὸν καὶ ταχὺ καὶ πυκνὸν γίνεται τὸ πνεῦμα κατὰ τοὺς σφυγμοὺς καὶ τὰς ἀναπνοὰς ἐν ταῖς προειρημέναις διαθέσεσιν. ἐρρέθη δ᾽ ἐν τοῖς περὶ σφυγμῶν, ὅτι καὶ ἀνώμαλον, καὶ τοῦτ᾽ ἐστὶ μάλιστα τὸ ἴδιον αὐτῶν γνώρισμα, καὶ ὁ τῆς αἰτίας λογισμὸς, ἐν ἐκείνοις εἴρηται, καὶ ὅτι γε κατὰ μὲν αὐτὰ τὰ τὰς ἐμφράξεις ἔχοντα μόρια, καὶ ὅσα τούτοις κοινωνεῖ, τὰ τῆς ἀνωμαλίας μάλιστα εὔδηλα, καὶ ἡ μικρότης τῶν σφυγμῶν, ἢ διὰ παντὸς, ἢ ὡς τὸ πολὺ συνεδρεύει. κατὰ δέ τ᾽ ἄλλα, τὸ μέγεθος μᾶλλον. εἰ δὲ πλησίον τῆς ἀρχῆς εἴη τὸ πάθημα κοινὸν οὕτω γίνεται πάσαις ταῖς ἀρτηρίαις. ταῦτα μὲν οὖν ἐν ἐκείνοις εἴρηταί τε, καὶ δέδεικται. Τὰ δὲ τῶν ἀναπνευστικῶν ὀργάνων ἴδια νῦν ἐπέξιμεν, ὡς μηδὲν ἐλλείπειν τῷ λόγῳ. ὅταν οὖν ἤτοι φυμάτων ἀπέπτων ἐν αὐτοῖς συστάντων, ἢ γλίσχρων καὶ παχέων χυμῶν καταλαβόντων τὰς ὁδοὺς τοῦ πνεύματος, ἢ τινὸς ὄγκου σκιρρώδους ἐν αὐτοῖς ὑποτραφέντος, ἢ τῶν ὁμιλούντων αὐτοῖς σωμάτων ὅτου δὴ, καθ᾽ ὁντινοῦν τρόπον εἰς ὄγκον ἀμετρότερον ἀρθέντος, ἔλαττον τοῦ δέοντος εἰσπνέηται διὰ στενοχωρίαν τὸ πνεῦμα, προσγίνεται ἐξ ἀνάγκης αὐτῷ, διὰ τὰς εἰρημένας αἰτίας τάχος καὶ πυκνότης. ἰδέαι δέ τινες ἐν τῷ γένει τῆς δυσπνοίας ταύτης πλείους συνίστανται, ἄλλων ἄλλοτε μορίων στενοχωρουμένων ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις. οἱ μὲν γὰρ κατὰ τὴν γαστέρα καὶ ἧπαρ, ἤδη δὲ καὶ τὸν σπλῆνα καὶ τὸ κῶλον, καὶ τὰ τούτοις συνάπτοντα συνιστάμενοι παρὰ φύσιν ὄγκοι, στενοχωρίᾳ τοῦ διαφράγματος μικρὸν καὶ ταχὺ καὶ πυκνὸν ἐργάζονται τὸ πνεῦμα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τοῖς ὑδερικοῖς καὶ ταῖς κυούσαις, καὶ τοῖς ὑπερεμπεπλησμένοις, καὶ τοῖς προγάστορσι, τοιοῦτον γίνεται τὸ τῆς ἀναπνοῆς εἶδος. ἐν δὲ ταῖς καλουμέναις ὀρθοπνοίαις γλίσχρων καὶ παχέων ὑγρῶν, ἐν ταῖς κατὰ τὸν πνεύμονα τραχείαις ἀρτηρίαις ἀθροιζομένων. οὕτω δὲ, καὶ εἰ σκιρρωθείη τι κατ᾽ αὐτὸν, ἢ φῦμα γένοιτο θλίβον καὶ στενοχωροῦν τὸ τῶν τραχειῶν ἀρτηριῶν γένος, αὗται γὰρ ὑποδέχονται τὸν εἰσπνεόμενον ἀέρα, μικρὸν καὶ πυκνὸν καὶ ταχὺ, ἔσται τὸ πνεῦμα. κατὰ τὸν αὐτὸν δὲ τρόπον, εἰ κἂν τῷ θώρακι τοιοῦτον συσταίη φῦμα, οἷς δὴ πολλάκις κυφοῦνται καὶ λορδοῦνται, καὶ σκολιοῦνται τὰ κατὰ

τὴν

τὴν ῥάχιν, μικρὸν καὶ πυκνὸν καὶ ταχὺ τὸ πνεῦμα γενήσεται, καταλαμβάνοντος δηλονότι τοῦ παρὰ φύσιν ὄγκου τὴν χώραν τοῦ πνεύμονος, εἰς ἣν διαστελλόμενος ἐκτείνεται. πολλάκις δὲ καὶ αὐτὸν ὅλον τὸν θώρακα στενότερον αἱ τοιαῦται διαθέσεις ἀπέφηναν, ἢ κυρτώσεις εὐθέως συμπεσοῦσαι, ἢ καὶ μετὰ ταῦτα ὕστερον ἁπαντήσασαι. διαφέρει δ' οὐδὲν πρός γε τὸ στενοχωρούμενον τὸν πνεύμονα μὴ δύνασθαι τὸν ἱκανὸν ἕλκειν ἀέρα, ἢ στενὸν ὅλον γενέσθαι τὸν θώρακα, καθ' ἥν τινα οὖν διάθεσιν, ἢ τὴν μεταξὺ χώραν ἀπολέσαι καταληφθεῖσαν ὑπό τινων παρὰ φύσιν ἐν αὐτῷ συστάντων σωμάτων, ἢ καὶ σκιῤῥωθέντος αὐτοῦ, ἢ φραχθέντος, ἢ ἀνοιδήσαντος, ὡς ἐν τοῖς καλουμένοις πνευμονώδεσί τε καὶ περιπνευμονικοῖς γίνεται πάθεσιν. ἐν γὰρ ἐπὶ πάντων ἐστὶ τοῦτο τὸ συνεκτικὸν αἴτιον, τοῦ μικρὰν γίνεσθαι τὴν εἰσπνοήν, ἡ στενοχωρία τῶν τραχειῶν ἀρτηριῶν. διότι δ' αὐτὴ μικρά, διὰ τοῦτο ὡς πολλάκις εἴρηται, προσέρχεται πυκνότης καὶ τάχος. ἀλλ' ὅταν μὲν κατ' αὐτὸν τὸν πνεύμονα τὸ πάθημα συμπέσῃ, καί τοι διαστέλλειν δυναμένου μέχρι πλείστου τοῦ θώρακος, μικρὸν ὅμως εἰσπνέουσιν. οὕτω δὲ καὶ ὅταν αἱ μεταξὺ τῶν ὀργάνων χῶραι καταληφθῶσιν. ὅταν δ' ὅλος ὁ θώραξ ἤτοι κυουμένων, ἢ καὶ ἄλλως, μικρὸς καὶ στενὸς γένηται, δῆλον ὡς καὶ τὴν διαστολὴν ἀνάλογον ἑαυτῷ μικρὰν ἐργαζόμενος, αἰτία τῷ πνεύμονι, τῆς περὶ τὴν εἰσπνοὴν ταχυτῆτος καθίσταται. οὕτως δὲ καὶ ὅταν αἱ φρένες ὑπό του θλίβωνται κατ' αὐτὸ τὸ κάτω πέρας ἰδίᾳ τοῦ θώρακος, ὡς ἐν τοῖς ἀνωδύνοις παθήμασι. τούτου γὰρ χρὴ μεμνῆσθαι μάλιστ', ὅτι ποτὲ μὲν ἡ τοῦ θώρακος μόνου διάθεσις, ποτὲ δὲ ἡ τοῦ πνεύμονος, ποτὲ δὲ ἡ τῆς μεταξὺ χώρας ἀμφοῖν, εἰς μικρότητα, καὶ διὰ τοῦτο εἰς τάχος, καὶ εἰς πυκνότητα, τὴν τροπὴν τῆς ἀναπνοῆς ἐργάσεται, τῆς γε δυνάμεως ἐῤῥωμένης. καὶ γὰρ καὶ τούτου χρὴ μεμνῆσθαι πολλάκις ἤδη καὶ πρόσθεν εἰρημένου. μὴ τοίνυν ἔτι τῶν πλευριτικῶν, ἢ τῶν ἀποστάσεις τινάς, ἢ ὅλως ὄγκους ὀδυνηροὺς ἐχόντων κατὰ τὸν θώρακα μνημονεύσωμεν, ἐν τῷ δὲ τῷ λόγῳ. περὶ δὲ τῶν ἀνωδύνων παθημάτων, ὅσα τῷ θλίβειν τε τὸν πνεύμονα, καὶ στενοχωρεῖν τὰς ἐν αὐτῷ τραχείας ἀρτηρίας, μικροτέραν ἐργάζεται τὴν εἰσπνοήν, ὁ προειρημένος ἅπας ἐπεραίνετο λόγος. ἀλλ' ἐκεῖνα μὲν τοῖς πρὸ τούτων γεγραμμένοις πάθεσιν τοῦ θώρακος προσνείμωμεν, ἐφ' ὧν ἐλέγομεν διὰ τὴν ὀδύνην ἧττον διϊστάμενον τὸν θώρακα, μικρὸν ἐργάζεσθαι τὸ πνεῦμα. τὴν δὲ τῶν ἐμπύων καλουμένων διάθεσιν, κἂν ὅτι μάλιστα πολλάκις ἐκ πλευρίτιδος ἡ γένεσις αὐτοῦ συμπίπτῃ, τούτοις τοῖς νῦν εἰρημένοις συγκαταριθμήσομεν, ὅσα χωρὶς ἀλγήματος στενοχωρίαν ἐργαζόμενα κατὰ τὸν πνεύμονα, μικρὰν ἀποφαίνει τὴν ἀναπνοήν. τὸ γάρ τοι περιεχόμενον ἐν αὐτῷ πῦον κατὰ τὰς τοιαύτας διαθέσεις, αἴτιον γίγνεται τῆς περὶ τὴν διάστασιν μικρότητος. ὡς οὖν μηκέτ' αὐτὸς κατὰ φύσιν διαστελλόμενος, οὐδὲ τὴν ὁλκὴν ἴσην ποιεῖται τοῦ πνεύματος. πῇ ποτ' οὖν ταῦτα χωρὶς ἀλγήματος πάθη τῶν ἀναπνευστικῶν ὀργάνων (τοῦτο γὰρ ἔτι λείπει τῷ παρόντι λόγῳ) διορισθήσεται τοῖς μετ' ἀλγήματος, εἴ γε καὶ μικρὸν ὡσαύτως ἀμφοτέροις καὶ πυκνὸν γίνεται τὸ πνεῦμα; ἐν τῷ τάχει τῆς κινήσεως. ἐν γὰρ τοῖς μετ' ὀδύνης, ὀλίγον μὲν ἀναπνέουσι καὶ πυκνόν, οὐ μὴν ταχέως, ὅταν γε χωρὶς πυρετοῦ τὸ τοιοῦτον συμπίπτῃ πάθημα, μετὰ μέντοι πυρετοῦ κἂν εἰ τῇ μικρότητι καὶ τῷ τάχει παραπλήσιον ἀναπνέουσιν, ἀλλὰ τῇ γε πυκνότητι διοίσονται. οὐ μετρίως γὰρ αὐτοῖς πυκνοῦται τὸ πνεῦμα. τοῦτο δ' οὐχ ὑπάρχει τοῖς διὰ στενοχωρίαν τῶν ἀναπνευστικῶν δυσπνοοῦσιν. ἀλλ' εἰ καὶ πυκνότερον αὐτοῖς γίγνοιτο τὸ πνεῦμα, μετρίως τοῦτο πάσχει, καὶ πολὺ κατωτέρω τῆς ἄκρας πυκνότητος. ἀλλὰ καὶ ἡ ἐκπνοὴ τοῖς πυρέττουσι μείζων τε ἅμα καὶ θερμοτέρα, ὅπερ οὐχ ὑπῆρχε τοῖς διὰ στενοχωρίαν μικρὸν καὶ πυκνὸν ἐκπνέουσιν. ὅπως δὲ χρὴ διαγινώσκειν ἀκριβῶς μικρότητά τε καὶ μέγεθος ἑκατέρων τῶν μορίων τῆς ὅλης ἀναπνοῆς, ὀλίγον ὕστερον εἰρήσεται, τελεσάντων πρότερον ἡμῶν ἅπαντα τὸν περὶ τῶν ὀργάνων λόγον. ὅτι μὲν γὰρ διαφέρουσιν αἱ χωρὶς ὀδύνης αὐτῶν δύσπνοιαι, τῶν μετ' ὀδύνης, καὶ δὴ λέλεκται. πότερον δὲ ὥσπερ ἁπλῶς ἀπεφηνάμεθα, τὴν στενοχωρίαν δεῖν εἰς τὸν πνεύμονα διήκειν, καὶ τούτου τὰς τραχείας μάλιστα ἀρτηρίας, ἵνα δυσπνοήσῃ τὸ ζῶον, οὕτω καὶ τὴν ὀδύνην ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις χρῆναι γίγνεσθαι, καὶ μάλιστά γε τῷ θώρακι, λεκτέον. ὁ γὰρ πνεύμων ὀλίγου δεῖν ἀναίσθητος, ἢ τινα ἑτέραν ἡμῖν ἐπὶ τῶν τοιούτων δυσπνοιῶν ζητητέον ἀπόφανσιν. οὐ δὲ γὰρ ἂν οἶμαι δόξειεν, ὅ γε τοῖς τῶν ἀναπνευστικῶν ὀργάνων ἀλγήμασι μόνοις τὸ τοιοῦτον εἶδος ἕπεσθαι τῆς δυσπνοίας λέγων, ἐγνωκέναι καλῶς ὑπὲρ αὐτῶν τὸ σύμπαν, οὐδὲ μεμνῆσθαι τῶν ἔμπροσθεν λογισμῶν, ἐν οἷς οὐ διὰ τὸ πάθημα, διὰ δὲ τὴν τῆς ἐνεργείας δύναμιν ψυχικὴν οὖσαν, ἐδείκνυτο μικρὸν καὶ πυκνὸν γινόμενον τὸ πνεῦμα. τὸ μέντοι ταῖς στενοχωρίαις τοῦ πνεύμονος εἶδος τῆς δυσπνοίας ἑπόμενον, οὐδὲν προσδεῖται τῆς δυνάμεως εἰς τὴν γένεσιν. ὅθεν ἐπὶ μὲν τούτου καλῶς ἀπεφηνάμεθα καθ' ὅλου τοῦ πράγματος τὸν λόγον ποιησάμενοι. περὶ δὲ τῶν ὀδυνηρῶν παθῶν οὐχ ἁπλῶς ἐχρῆν λέγειν, ὅταν γ' ἐν τοῖς ἀναπνευστικοῖς συνίσταται μορίοις. οὐ γὰρ διὰ αὐτὴν τῶν μορίων τὴν φύσιν ἰδίως, ἀλλ' ὅτι ψυχικὴ δύναμις ἐπετρόπευεν αὐτῶν τῆς κινήσεως, εἰς μικρότητα τὴν ἀναπνοὴν τρέπεσθαι συνέβαινεν. ὑπὲρ τοῦ μὴ μειζόνως ὀδυνᾶσθαι τὸ ζῶον, ἔλαττον τοῦ προσήκοντος διϊστάσης αὐτῆς τὸν θώρακα. αὐτὴ δ' ἡ τοῦ μὴ μειζόνως ὀδυνᾶσθαι πρόνοια, καὶ τοῖς ἄλλοις δήπου ἅπασιν ὑπάρχει μορίοις, ὅσα κινουμένοις τοῖς ἀναπνευστικοῖς συγκινεῖται, στομάχῳ, καὶ γαστρί, καὶ ἥπατι καὶ σπληνί, καὶ περιτοναίῳ, καὶ τῷ κώλῳ τε, καὶ τῶν λεπτῶν ἐντέρων τοῖς ἄνω, καὶ τοῖς καθ' ὑποχόνδριον μυσί. ταῦτα γὰρ ταῖς τοῦ θώρακος κινήσεσι, καὶ μάλιστ' ἐὰν μείζους ὦσι συγκινεῖται. πρόδηλον οὖν ὅτι μειζόνως μὲν ἐπὶ ταῖς μεγάλαις τοῦ θώρακος ὀδυνῶνται κινήσεσιν, ἔλαττον δὲ ἐπὶ ταῖς μικραῖς. καὶ διὰ τοῦτο μικρὸν καὶ πυκνὸν οὐ τοῖς πλευριτικοῖς μόνον, ἀλλὰ καὶ τοῖς τὸν στόμαχον, ἢ τὴν γαστέρα διακειμένοις ὀδυνωδῶς, ἔσται τὸ πνεῦμα, ἧττον μέν, ὅτι καὶ τὰ τῆς αἰσθήσεως ἐλάττω, παραπλησίως μέντοι δυσπνοοῦσιν, ὅσοι τὸ ἧπαρ ἢ τὸν σπλῆνα ἢ τῶν ἑτέρων τι τῶν προειρημένων ὀδυνῶνται. ἅπαντα γὰρ τὰ τοιαῦτα τὰ μὲν ἐξηρτημένα, τὰ δὲ συμπεφυκότα τοῖς ἀναπνευστικοῖς ὀργάνοις, συσσείεται κινουμένοις αὐτοῖς, καὶ διὰ τοῦτ' ἀναπνεόντων ἄχθεται. καὶ οὕτως οὐχ ὡς ἔμπροσθεν ἐπὶ τῶν ἀναπνευστικῶν μορίων, ἀλλ' ἐπὶ πάντων τῶν ἁπλῶς κινουμένων ἐν ταῖς ἀναπνοαῖς, ὁ λόγος ἡμῖν γιγνέσθω, καὶ τολμήσωμεν ἀποφήνασθαι καθόλου, τὸ μικρὸν καὶ πυ-

κενὸν πνεῦμα σημεῖον ὑπάρχειν ὀδύνης ἁπάντων τῶν τοῦ ζώου μορίων, ὅσα κινεῖται κατὰ τὰς ἀναπνοάς. ἆρ' οὖν
ταύτῃ μόνον ἀνομοίως ἔχουσιν οἱ σφυγμοὶ ταῖς ἀναπνοαῖς, ἢ καὶ κατ' αὐτὴν ἰδίᾳ τὴν ἀρχὴν τῆς δυνάμεως αἰ-
τίαν. ἄνευ τοῦ συμπεπλέχθαι τοῖς ὀργάνοις, ἐνεστιν εὑρεῖν τινὰ διαφοράν; αἱ μὲν γὰρ φυσικαὶ δυνάμεις πᾶσαι
διαπαντὸς σχολάζουσι τοῖς ἀναγκαίοις σφίσιν ἔργοις, καὶ οὐδέποτε ῥαθυμοῦσιν, οὐδ' ἀμελοῦσιν. ὅσα δὲ ὑπὸ
τὴν τῆς προαιρέσεως ἐξουσίαν ἔρχεται, ταῦτα πολλάκις, ἀσχολουμένης αὐτῆς περὶ πράξεις ἑτέρας, ἀμελέ-
στερον ἀποτελεῖται. βαδίζοντος γοῦν ἐνίοτε συντόνως ἐπί τινα πρᾶξιν, εἶτα μεταξὺ κατὰ τὴν ὁδὸν ἐννοήσαν-
τές τι, κἄπειτα ἐπισκοπούμενοι τοῦτο καὶ φροντίζοντες ἀμφ' αὐτό, πολὺ τῆς κατὰ τὸν περίπατον συντονί-
ας ἐκλυόμεθα, οὐ μὴν συνιέμεν γε, οὐδὲ γινώσκομεν αὐτὸ τοῦτο, μέχρι περ ἂν τῷ φροντίσματι προσέχωμεν τὸν
νοῦν. ὁπόταν δὲ παυσώμεθα, καὶ περὶ μηδὲν ἔτι τὴν διάνοιαν ἔχωμεν, ἀλλ' ἢ περὶ τὸ βαδίζειν μόνον, τότε ὥσ-
περ ἐξ ὕπνου τινὸς ἐπεγερθέντες, ἐγνωρίσαμέν τε τὸ καταδεέστερον τῆς προούσης ἐνεργείας, ὡς πρὸς τὴν ἐξ ἀρ-
χῆς ὁρμήν. αὖθίς τε πρὸς τοὔργον ἐπεγείραμεν ἡμᾶς. οὕτως καὶ οἱ παραπαίοντες, ὡς ἂν οἶμαι τὸν νοῦν ἐν τισι
φαντάσμασιν ἔχοντες, καθάπερ τισὶ φροντίσμασιν, ἀμελοῦσι τῶν ψυχικῶν ἐνεργειῶν, καὶ οὔτε οὐροῦσιν, εἰ μὴ
ὑπομνήσειέ τις, οὔτ' ἀποπατοῦσιν, οὔτε πιεῖν, οὔτε φαγεῖν αἰτοῦσιν, οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων. εἰ δὲ τύχοιεν
αἰτήσαντές ποτε, μεταξὺ προσενεχθέντος ἐπελάθοντο, καὶ αὖθις τῶν ὑπομνημάτων δέονται. παμπόλ-
λους γοῦν ἴσμεν αἰτήσαντας ἀμίδα, εὐθέως δὲ μηκέτ' οὐροῦντας, ἀλλ' ἀργῶς ἐν ταῖν χεροῖν κατέχοντας. ἑτέ-
ρους δὲ διαναστάντας μὲν ὡς ἀποπατήσοντας, ἐπεὶ δ' ἐκάθισαν ἐπιλαθομένους τελέως, καὶ μηδὲν ἐνεργοῦντας, ἄ-
χρις αὐτοὺς οἱ παρόντες ἀναμνήσωσιν. ὥσπερ δὲ διὰ πολλοῦ χρόνου ποιοῦσι τὰς ἐνεργείας οὗτοι πάντες, οὕτω
καὶ μεγάλας. ἀθρόως γοῦν οὐροῦσι πάμπολυ, καὶ πίνουσιν εἰς ἅπαξ ὑπὲρ τὸ σύμμετρον, ἕκαστόν τε τῶν ἄλλων
ὡσαύτως δρῶσιν, καὶ οὐδὲν οἶμαι θαυμαστόν. ὃ γὰρ ἐχρῆν πολλάκις ἐν τοῖς προσήκουσι χρόνοις δρᾶν, ἀθρόως
ἐπειξάσης τῆς χρείας, ἀναγκάζονται πληροῦν, καὶ μάλισθ' ὅταν ἀναγκαῖον ᾖ πρὸς τὴν ζωήν. ἧττον μὲν γὰρ
τις πιὼν τοῦ δέοντος, οὐχ ἡμέραις μόνον, ἀλλὰ καὶ μησὶν ὅλοις ἱκανὸς ἐξαρκεῖν, ἧττον δ' ἀναπνέων, οὐδ' εἰς
ἐλάχιστον μόριον τῆς ἡμέρας ἐξίκοιτ' ἄν. ὅθεν εἰ καὶ πλεῖον εἰς ἅπαξ οἱ παραπαίοντες πίνουσιν. ἀλλὰ τῷ γε
διὰ πολλοῦ χρόνου προσφέρεσθαι, τὸ σύμπαν αὐτοῖς πόμα πολὺ τοῦ συμμέτρου ἀπολείπεται. ἡ δὲ τῆς ἀνα-
πνοῆς χρεία μὴ πληρουμένη, τόν τε κίνδυνον ὑπόγυιον θ' ἅμα καὶ ἀνιαρὸν ἔχειν, ἐπεγείρει τε πρὸς τὴν ἐνέργει-
αν, καὶ οὐκ ἐᾷ ῥαθυμεῖν, οὐδὲ εἰς πάνυ μικρόν, ἀπολαμβάνει δὲ εὐθὺς ἅπαν, ὅσον ἐκ τοῦ τῆς ἠρεμίας ἀπεστέ-
ρηται χρόνου, καὶ οὕτως οὐκ ἀραιὸν μόνον ἀλλὰ καὶ μέγα γίνεται, καὶ τοσοῦτόν γε μεῖζον τοῦ προσήκοντος,
ὅσῳ καὶ ἀραιότερον, ὅπερ ἐπὶ τοῦ ποτοῦ γίνεται. πολλῷ μὲν γὰρ ἀραιότερον, ὀλίγῳ δὲ πλέον πίνουσιν. ὅ-
θεν Ἱπποκράτης βραχυπότας αὐτοὺς ἐκάλεσεν. ὁ μὲν δὴ λόγος οὗτος ἀποδείκνυσι, τῶν παραπαιόντων, εἰς
ἀραιότητα καὶ μέγεθος τρέπεσθαι τὴν ἀναπνοήν, μαρτυρεῖ δ' οὐχ ἥκιστα καὶ ἡ αὐτοψία, τοῖς γε βουλο-
μένοις ἐπ' αὐτῶν τῶν ἔργων τῆς τέχνης ἐξετάζειν τὴν θεωρίαν. ὅσοι δὲ ἐν ταῖς μετὰ τῶν νέων διατριβαῖς,
ἐφ' ὑψηλῶν θρόνων ὑψηλοὶ καὶ περίβλεπτοι καθεζόμενοι, τῶν μὲν ἔργων τῆς τέχνης ἠμελήκασιν, ὅτι δ' ἂν ἐπὶ
γλῶτταν ἔλθῃ τοῦτο ληροῦσιν, τούτοις οὐδὲν μᾶλλον πιστὰ τὰ μαρτυρούμενα πρὸς τῶν ἐναργῶς φαινομέ-
νων, ἢ τοῖς μὴ δὲ τὴν ἀρχὴν οὐδ' εἰ φαίνεταί τι δεῖ γινώσκουσιν, ἀλλά τις ἐμοί ποτε τῶν τοιούτων σοφι-
στῶν ἠμφισβήτησεν, περὶ τοῦ γίγνεσθαι μέγα καὶ ἀραιὸν τὸ πνεῦμα τοῖς παραπαίουσιν. ὑπετίθετο μὲν γὰρ
ἐν τι τῶν ζωτικῶν ἔργων εἶναι τὴν ἀναπνοήν, οὐχ ὡμολόγει δὲ πρὸς τὴν τοιαύτην ὑπόθεσιν τὸ φαινόμενον,
ὅθεν ὁμόσε χωρεῖν αὐτῷ δεῖν ἔγνωκε. τὴν ἀρχὴν γὰρ ἔφη μὴ φαίνεσθαι τὸ τοιοῦτον εἶδος ἀναπνοῆς ἐν παρα-
φροσύναις. ἃ γὰρ οὐδὲ πώποτε ἐπεχείρησαν ἐπ' αὐτῶν τῶν νοσούντων οἱ σοφισταὶ παραφυλάξαι, περὶ τού-
των ὡς μυριάκις ἑωρακότες ἀναιδῶς διατείνονται, καὶ μακρὰν ἔχειν ἐμπειρίαν οὐκ ὀκνοῦσιν ἐπαγγέλλε-
σθαι τῶν μηδ' ὄναρ αὐτοῖς ἑωραμένων. ἀλλ' ὅσοι γε παραφυλάττουσι τὰ φαινόμενα, καὶ τὰ συμπίπτοντα
τοῖς νοσοῦσιν, οὕτω γράφουσιν ὥσπερ καὶ Ἱπποκράτης. ἑωράκασι γὰρ οἶμαι πολλοὺς ἀρρώστους ὁμοίους οἷς
ἐκεῖνος ἔγραψεν, μαρτυροῦντας τῷ προειρημένῳ λόγῳ. καὶ παρεθέμην ἂν ἤδη αὐτοὺς ἐν ταῖς ἐπιδημίαις ὑπ'
αὐτοῦ γεγραμμένους, εἰ μή μοι προὔκειτο τὸν ἐξῆς μοι λόγον ἅπαντα τὸν δεύτερον εἰς τὴν τούτων ἐξήγη-
σιν, ὡς καὶ πρόσθεν εἶπον, ἀναβάλλεσθαι, τουτονὶ δὲ μόνον αὐτὸν καθ' ἑαυτὸν ἅμα ταῖς οἰκείαις ἀποδείξεσι
συμπεραίνεσθαι. καὶ τοίνυν ὁ μὲν τῶν παραπαιόντων λόγος ἐνταυθοῖ τελευτάτω. πῶς δ' ἄν τις διαγι-
νώσκει κάλλιστα μεγάλην τε καὶ μικρὰν ἀναπνοήν, οἶδα γὰρ καὶ τοῦτ' ἀναβαλλόμενος ἐν τοῖς ἔμπροσθεν, ἤδη
λεγέσθω. Πρόχειρον μὲν γὰρ ἦν, οὐδὲν διαφέρειν, ἢ τῷ μεγέθει τῆς διαστάσεως τῶν ἀναπνευστικῶν ὀργάνων,
ἢ τῷ πλήθει τῆς εἰσπνεομένης οὐσίας, διαγιγνώσκεσθαι τὴν μεγάλην εἰσπνοήν, ὥσπερ ἀμέλει καὶ λέγουσι
τινές, ἀνάλογον ἀεὶ δεῖν ἔχειν ἡγούμενοι τῷ ποσῷ τῆς διαστολῆς τῶν ὀργάνων, τὸ ποσὸν τῆς εἰσπνοῆς. οὐ μὴν ἔν
γε τῷ καθόλου τὸ τοιοῦτον ἀληθές ἐστιν, ἀλλὰ δεῖταί τινος διορισμοῦ. ἐχόντων γὰρ κατὰ φύσιν τῶν ὀργάνων,
ἀνάλογος ἀεὶ ταῖς διαστολαῖς αὐτῶν ἡ ποσότης τοῦ πνεύματος, οὐ μὴν ὅταν γε καὶ παρὰ φύσιν ᾖ διακείμενα,
ἀλλ' ἐνδέχεταί ποτε διΐστασθαι μὲν ἐπὶ πλεῖστον τὸν θώρακα, βραχὺ δ' εἰσπνεῖσθαι τὸν ἔξωθεν ἀέρα. πολλαὶ
γάρ εἰσιν διαθέσεις, ἔτι μεμνήμεθα τῶν προειρημένων, ὑφ' ὧν ὁ πνεύμων στενοχωρούμενος, ἀδυνατεῖ τὸν ἱκα-
νὸν ἀέρα δέξασθαι. οὔκουν ἀνάλογον πάντων τῶν ἀναπνευστικῶν ὀργάνων ταῖς διαθέσεσιν, ἀλλὰ μόνον τῶν τρα-
χέων ἀρτηριῶν αἱ εἰσπνοαὶ γίγνονται. ἀλλὰ τούτων οὐδὲ μιᾷ τῶν αἰσθήσεων οἷόν τε διαγνῶναι τὴν διαστολήν.
οὐκ οὖν οὐδὲ προσέχειν χρὴ τὸν νοῦν τοῖς ἀναπνευστικοῖς ὀργάνοις, ὁπόταν τὸ ποσὸν τῆς εἰσπνοῆς διαγνῶναι βουλώ-
μεθα. ἀρκεῖ γὰρ μόνον αὐτὸν ἐπισκοπεῖσθαι τὸν ἀέρα, πόσος μὲν εἰσπνεῖται, πόσος δ' αὖ ἐκπνεῖται. οὐδὲ γὰρ
τοῖς τῆς γαστρὸς ὄγκοις τεκμαιρόμεθά τι περὶ πλήθους ἐδεσμάτων, ἀλλ' ἀρκεῖ κἀνταῦθα τὸ ποσὸν μόνον ἐπι-
σκοπεῖσθαι τῶν ἐσθιομένων. ἐπεὶ δ' ἐν ταῖς ἐκπνοαῖς, ποτὲ μὲν ἀργοῦσι παντελῶς ἅπαντες οἱ μύες, ἐπιτρέ-
ποντες τῷ θώρακι καταπίπτοντι τὴν οἰκείαν ἀπολαμβάνειν κατάστασιν, ποτὲ δ' ἐνεργοῦντες ἐπὶ πλέον αὐ-
τὸν συστέλ-

τὸν συστέλλουσιν, ἀπεδείχθη γὰρ ἡμῖν πολλάκις περὶ τούτων, αἱ μὲν χωρὶς τῆς τούτων συνεργίας συστολαὶ τοῦ θώρακος οὐκ ἄν ποτε μεγάλην ἐκπνοὴν ἐργάσαιντο, αἱ δὲ μετὰ ταύτης, ἅπερ δὴ καὶ ἐκφυσήσεις εἰσὶ, ὡς καὶ τοῦτ᾽ ἐδείχθη, δημιουργοὶ τοῦ μεγέθους εἰσίν. ἀλλ᾽ οὐδ᾽ ἐνταῦθα τούτων γυμνοῦντας τὸν ἄνθρωπον ὁρᾶν ἀξιῶ τὴν τάσιν τῶν μυῶν, ἀλλ᾽ ἀρκεῖ τὸ μετ᾽ ἐκφυσήσεως εἶδος τῆς ἐκπνοῆς γνώρισμα τίθεσθαι μέγιστον. ἐπειγούσης γοῦν τῆς χρείας ἄθροον ἐκπνεῖν ἀναγκαζόμεθα, ὥσπερ καὶ ὅταν ἡ τῆς εἰσπνοῆς ἐπείγῃ χρεία, πολὺν καὶ ἀθρόον ἕλκομεν τὸν ἔξωθεν ἀέρα. Ἐπειδὴ καὶ περὶ τούτων αὐτάρκως διήλθομεν τὰ κεφάλαια, τῶν ἀπ᾽ ἀρχῆς εἰρημένων ἀναλαβόντες, ἐνταῦθα τὰ λείποντα τραπώμεθα. κεφάλαια δ᾽ ἦν ὡς οἶμαι ταῦτα, τὰς ἁπλᾶς δυσπνοίας ἐξευρόντας, συνάψαι τοῖς συνεκτικοῖς αἰτίαις τῆς ἀναπνοῆς, καὶ δεῖξαι ἑκάστην αὐτῶν, τὴν ποιοῦσαν αἰτίαν, αὖθις δὲ καθ᾽ ἑκάστην τῶν αἰτιῶν τὴν ἀκολουθοῦσαν δύσπνοιαν, ἐν ᾧ δὴ καὶ συνθέτων ἠναγκάσθημεν μνημονεῦσαι δυσπνοιῶν. ἀλλὰ πῇ μὲν ὁμολογεῖ τὰ κατὰ τοὺς σφυγμοὺς ταῖς ἀναπνοαῖς, πῇ δὲ καὶ διαφέρεται, καὶ τοῦτ᾽ ἦν οὐ μικρὸν ὧν διήλθομεν κεφάλαιον. Ἐπεὶ δ᾽ ἅπαντα ταῦτα πεπέρανται, τὰς συνθέτους ἑξῆς σκοπώμεθα δυσπνοίας. αὗται γὰρ ἔτι λείπουσιν εἴς γε τὸ πρότερον ὧν προὐθέμεθα ὑπομνημάτων. εὑρημένων δὲ τῶν ἁπλῶν, οὐδὲν ἔτι χαλεπὸν, οὐδὲ ταύτας εὑρεῖν, ἐξ ἐκείνων συντεθείσας. μεγάλης γάρ τινος οὔσης εἰσπνοῆς, ὡσαύτως δὲ καὶ ταχείας, καὶ τῶν ἐναντίων αὐταῖς μικρᾶς καὶ βραδείας, ἀνάγκη τέτταρας γίγνεσθαι τὰς ἁπάσας δυσπνοίας συνθέτους περὶ τὴν εἰσπνοὴν, τήν τε μεγάλην ἅμα καὶ βραδεῖαν, καὶ μεγάλην καὶ ταχεῖαν, καὶ μικρὰν καὶ ταχεῖαν, καὶ τετάρτην, μικρὰν καὶ βραδεῖαν. οὕτω δὲ καὶ κατὰ τὴν ἐκπνοὴν, τὰς αὐτὰς τέτταρας συζυγίας ἀναγκαῖον ὑπάρχειν, διττὰς μὲν τὰς μεγάλας, διττὰς δὲ τὰς μικρὰς, τάχει καὶ βραδυτῆτι διαιρουμένας. ἐν μέντοι ταῖς ἠρεμίαις οὐκ ἐνδέχεται σύνθετον ἰδέαν γενέσθαι δυσπνοίας. οὐδὲ γὰρ δύο ἀντιθέσεις αὐταῖς ὑπῆρχον, ὥσπερ ταῖς κινήσεσιν, ἀλλὰ μία μόνη, κατὰ πυκνότητα καὶ ἀραιότητα συνισταμένη. καὶ μὲν δὴ καὶ αὐτῶν τῶν κινήσεων, ἀλλήλαις παραβαλλομένων, τῆς εἰσπνοῆς λέγω πρὸς τὴν ἐκπνοὴν, ὥσπερ ἐν τοῖς σφυγμοῖς τῆς διαστολῆς πρὸς τὴν συστολὴν, ἰδέαι τινὲς ἔσονται ῥυθμῶν τῆς ὅλης ἀναπνοῆς. ἐνδέχεται γὰρ εἰσπνοὴν μὲν γενέσθαι μεγάλην, ἐκπνοὴν δὲ μικρὰν. ἢ ἔμπαλιν εἰσπνοὴν μὲν μικρὰν, ἐκπνοὴν δὲ μεγάλην, ἢ ἀμφοτέρας σμικρὰς, ἢ ἀμφοτέρας μεγάλας. οὕτω δὲ καὶ ταχείας, ἢ βραδείας ἀμφοτέρας. ἢ τὴν μὲν ταχεῖαν, τὴν δὲ βραδεῖαν. Καὶ μὲν δὴ καὶ ἀνώμαλός τις ἐστὶν ἀναπνοὴ καθάπερ καὶ σφυγμὸς, ἥ τ᾽ ἐν ἀθροίσματι καὶ κατὰ μίαν κίνησιν. ὡσαύτως δὲ καὶ τεταγμένη καὶ ἄτακτος ἀναπνοὴ γίγνοιτ᾽ ἂν, ὥσπερ καὶ σφυγμὸς, ὅσαι τε διαφοραὶ τῶν ἀνωμάλων σφυγμῶν, τῶν τε κατὰ μίαν κίνησιν, καὶ τῶν ἐν πλείοσι συνισταμένων, τοσαῦται, καὶ τῶν ἀναπνοῶν. ἀλλ᾽ ὅπερ ἔφην ἐν ἀρχῇ εὐθὺς τοῦ λόγου, παντάπασιν ὀλιγώρως ὑπὲρ ἀναπνοῆς ἐπραγματεύσαντο πάντες, καὶ τὴν αἰτίαν τῆς περὶ ταύτην ῥαθυμίας αὐτῶν, εἴποιμι ἂν ἐνταῦθα προσήκοντι τοῦ λόγου. νυνὶ δὲ τὸ προκείμενον ἡμῖν περαντέον, ἀπὸ τῆς κατὰ μίαν κίνησιν ἀνωμαλίας ἀρξαμένοις, ὅτι καὶ κατὰ φύσιν δόξειεν ἂν ἤδε μεταξὺ τετάχθαι τῶν ἀκριβῶς ἁπλῶν, καὶ τῶν ὁμολογουμένως συνθέτων. ἠμφισβήτει γοῦν ποτέ τις ὑπὲρ αὐτῆς πρὸς ἡμᾶς, ὡς οὐ σύνθετος, οὐκ ἂν ἄλλως εἴπερ παθῶν, εἰ μὴ πλησίον ἦν τῶν ἁπλῶν. ἀλλ᾽ ὅτι μὲν σύνθετος ἐστὶν ἐνθένδε δῆλον, εἴ τις ἀρχόμενος μὲν εἰσπνεῖν ταχέως ἐπισπᾶται τὸν ἀέρα, τελευτῶν δὲ βραδέως. ἢ ἔμπαλιν ἐκ βραδείας τῆς ἀρχῆς, εἰς ταχὺ μεθίσταται τὸ τέλος, οὐκ ἂν οὔτε ταχεῖαν, οὔτε βραδεῖαν ἁπλῶς ταύτην φαίημεν εἶναι τὴν εἰσπνοὴν, ἀλλὰ σύνθετον δηλονότι, τὸ μέντοι μόριον ἑαυτῆς ἔχουσαν ὠκὺ, τὸ δ᾽ ἔτι βραδύ. κατὰ ταὐτὸν δὲ καὶ τὴν ἐκπνοὴν εἰ παντοίως ἀλλοιοῦται, μεταπιπτούσης τῆς κινήσεως, ἢ ἐκ βραδυτῆτος εἰς τάχος, ἢ ἔμπαλιν ἐκ τάχους εἰς βραδυτῆτα, συγκεῖσθαι φήσομεν, ἐξ ἐναντίως ἐχόντων πρὸς ἄλληλα τῶν μορίων, καὶ διὰ τοῦτο μὴ δ᾽ ἁπλῆν ἀλλὰ σύνθετον ὑπάρχειν. ὡσαύτως δὲ καὶ ὅταν ἡσυχία τις σχίζῃ τε καὶ διακόπτῃ τὴν ἑτέραν τῶν κινήσεων, ἤτοι τὴν εἰσπνοὴν, ἢ τὴν ἐκπνοὴν, σύνθετον καὶ τότε φήσομεν εἶναι τὴν διῃρημένην, ἥ τις ἂν ᾖ. ὤφθαι δέ ποτε σπανίως οὐ θατέρου μόνου, ἀλλ᾽ ἀμφοτέρων τὰ μόρια τῆς ὅλης ἀναπνοῆς κατὰ τὸν αὐτὸν ἄνθρωπον οὕτως ἔχοντα, καὶ γίγνεσθαι μάλιστα τὸ τοιοῦτον, ὅταν ὑγρῶν πλῆθος ἠθροισμένον ἐν ταῖς βραχείαις ἀρτηρίαις, ἀποπνίγῃ τὸν ἄνθρωπον ἐκ πλευρίτιδος ὀλεθρίας, ἢ περιπνευμονίας μὴ ἐκκαθαρθείσης, ἢ ἐμπυήματος αὐτόθι συστάντος, ὥστε κατὰ τοῦτο τὰς ἀναπνοὰς ὁμολογεῖν τοῖς σφυγμοῖς. ἐδείκνυτο γὰρ οὖν καὶ ἐπ᾽ ἐκείνων, ἐμφράξεσιν ὀργάνων καὶ θλίψεσι, καὶ ὅλως στενοχωρίαις ἡ ἀνωμαλία γιγνομένη. ὁ τοίνυν ὅσα περὶ τῶν ἄλλων ἀρτηριῶν, τῶν καθ᾽ ὅλον τὸ ζῶον ἐν τῷ δευτέρῳ περὶ τῶν ἐν σφυγμοῖς αἰτίων εἴρηται, μαθών τις, εὐπορώτερος ἂν εἴη περὶ τῶν ἐν πνεύμονι τραχειῶν καλουμένων, λέγειν τὰ παραπλήσια. τὰς μὲν γὰρ, ἵν᾽ ἀνώμαλος ὁ σφυγμὸς γίνηται, στενοχωρεῖσθαι χρὴ, τὰς τραχείας δὲ ἀρτηρίας, ἵν᾽ ἡ ἀναπνοή. ἐρρέθη δ᾽ ἐν ἐκείνοις, ὅτι καὶ δι᾽ ἀρρωστίαν δυνάμεως ἀνωμαλότης σφυγμῶν γένοιτ᾽ ἂν, ὅταν ἀδυνατῇ τελέως διαστέλλειν εἰς ἅπαξ τὰς ἀρτηρίας. ἵστανται γὰρ ἐν τῷ μεταξὺ καὶ διαναπαύονται, καθάπερ οἱ πρεσβῦται κατὰ τὰς ὁδοιπορίας. γένοιτο δ᾽ ἂν ὅ ποτε καὶ κατὰ τὴν ἀναπνοὴν ἀνωμαλία τις, ἥ τε κατὰ μίαν μόνην ἐνέργειαν, καὶ ἡ συστηματικὴ καλουμένη δι᾽ ἀσθένειαν τινὰ, τῆς δημιουργούσης αὐτὴν δυνάμεως. οὔσης δὲ ταύτης μὲν ψυχικῆς, ζωτικῆς δὲ τοὺς σφυγμοὺς ἐργαζομένης, γένοιτ᾽ ἄν τις ἐνταῦθα τὰς προγνώσεις ἐξ αὐτῶν διαφορὰ, τῶν μὲν σφυγμῶν, ἀνάλογον ἀεὶ τῇ καθ᾽ ἑαυτοὺς βλάβῃ, τὴν τῆς δυνάμεως ἀρρωστίαν ἐνδεικνυμένων, τῶν δ᾽ ἀναπνοῶν, οὐκέθ᾽ ὡσαύτως, εἰ μὴ προσδιορίσοιτό τις τοῦ κάμνοντος τὴν προαίρεσιν. εἰ γὰρ ἐκ κοσμίου ἡ τὴν ἀπόκρισιν τὴν θρασεῖαν. κακὸν εἶναι φησὶν ὁ Ἱπποκράτης, οὐ μήν τοι ἐνταῦθα τῶν θρασέων φύσει, μὴ ὅτι τὴν τοιαύτην ἀπόκρισιν, ἀλλὰ μὴ δ᾽ αὐτὴν τὴν παραφροσύνην μέγα τι δηλοῦν νόμιζε. οὕτως ἔχει καὶ ἐνταῦθα τῆς ἀναπνοῆς. οἱ μὲν γὰρ ἀταλαίπωροι καὶ μαλακοὶ καθ᾽ ἅπαν ἔργον ἀνωμάλως ἀναπνεύουσι, κἂν μηδὲν αὐτοὺς μέγα βιάζοιτο. ὅσοι δὲ φιλόπονοι καὶ γενναῖοι τὴν γνώμην, οὐκ ἄν ποτε πρὶν εἰς ἐσχάτην ἀρρωστίαν ἀφικέσθαι τὴν δύναμιν, ἀνωμάλως ἀναπνεύσειαν, ὥστε δὲ τῆς κατὰ τοὺς σφυγμοὺς ἀνωμαλίας, ἡ αὐτὴ πρόγνωσις τῆς διαθέσεως, ἔν τε

τοῖς βελτίοσι τὴν γνώμην, καὶ τοῖς χείροσι. καθόλου γὰρ εἰπεῖν, ὅλως ὅπου μηδὲν συντελεῖ πρὸς τὴν ἐνέργει-
αν ἡ προαίρεσις, ἐνταῦθα τὸ δηλούμενον ἴσον ἅπασιν. ἐν οἷς δ' ἤτοι τὸ πᾶν ἢ τὸ πλεῖστον, ἐπὶ τούτοις προσεπι-
σκοπεῖσθαι χρὴ τὸ ἦθος τοῦ κάμνοντος. ὥσπερ δὲ ὁ τῶν δημιουργουσῶν τὰς ἐνεργείας δυνάμεων, διαφορὰ, κα-
τά τε τοὺς σφυγμοὺς καὶ τὰς ἀναπνοὰς, διαφόρους ἐργάζεται τὰς προγνώσεις, οὕτω καὶ παρ' αὐτὴν τὴν τῶν
ὀργάνων φύσιν, ἔσται τις ἐνδείξεως ἑτερότης. οἱ μὲν γὰρ σφυγμοὶ, διὰ τῶν λείων ἀρτηριῶν, ἀναπνοαὶ δὲ, οὐ
διὰ μόνων γίγνονται τῶν τραχείων ἀρτηριῶν, ἀλλ' οὐχ ἧττον αὐτῶν, εἰ μὴ ἄρα καὶ μᾶλλον διὰ τοῦ μυώδους γέ-
νους. τοῦτο γὰρ ἐστὶν ὃ πρῶτον ἡ ψυχικὴ κινεῖ δύναμις εἰς γένεσιν ἀναπνοῆς. ὑπὸ δὲ τούτου ὁ θώραξ ὅλως κινηθεὶς,
αὐτὸς πάλιν τὸν πνεύμονα συγκινεῖ, καθ' ὃν ἐν τοῖς περὶ αὐτῶν ἐδείξαμεν λογισμοῖς τρόπον. τοῦ πνεύμονος δ' εἰσὶ
μόριος αἱ τραχεῖαι ἀρτηρίαι, εἰς ἃς πρώτας ὁ ἀναπνεόμενος ἀὴρ ἔρχεται. ὥσπερ οὖν τὰ τούτων παθήματα τὴν ἀναπνο-
ὴν ὅλην ἀνώμαλον ἐργάζεται πολλάκις, οὕτως καὶ τὰ τῶν μυῶν, αἱ μὲν ὅτι χῶραι τοῦ πνεύματος εἰσὶν, οἱ μύες δ' ὅτι
τὸ πρῶτον ὄργανον τῆς κινήσεως. ἀλλ' οὐ ταυτὸ πάθος ἐν ἑκατέρῳ τῷ γένει τῶν ὀργάνων, ἀνώμαλον ἐργάζεται
τὴν ἀναπνοὴν, ὅτι μηδὲ τὰ τῆς χρείας αὐτῶν ὅμοια. εἴπερ οὖν ἕκαστον τῶν ὀργάνων, εἰς ὅπερ ὑγιαῖνον ὠφελεῖ τὴν ἐνέρ-
γειαν, εἰς ταῦτα καὶ νοσῆσαν βλάπτεται, τῶν μὲν τραχείων ἀρτηριῶν ἡ βλάβη, στενοχωρία τίς ἐστι, τῶν δὲ μυῶν, πλημ-
μελὴς καὶ ἄτακτος κίνησις, τῶν μὲν γὰρ ὡς χωρίων τοῦ πνεύματος, τῶν δ' ὡς ὀργάνων κινήσεως ἡ βλάβη. τῆς μὲν οὖν
ἐν ταῖς τραχείαις στενοχωρίας, τοὺς παρὰ φύσιν ὄγκους ἠτιασάμην, τῶν δ' ἐν τοῖς μυσὶ πλημμελῶν κινήσεων
τὰς προφάσεις νῦν ἐροῦμεν. ἔστιν οὖν ἴδια παθήματα μυῶν, σπασμοὶ καὶ παλμοὶ καὶ τρόμοι, ὡς δι' ἑτέρων ἀποδέ-
δεικται. ἀλλὰ καὶ ὅτι πλημμελεῖς κινήσεις εἰσὶν, οὐ δεῖται λόγου, εἴπερ ἄμφω ταῦθ' ὑπάρχει τοῖς παθήμασιν,
ὥστε καὶ πλημμελέσι κινήσεσιν εἶναι, καὶ μυῶν, αὐτὰ δὲ ταῦτ' εἴη τὰ ζητούμενα, ἤδη πέρας ἂν ἡμῖν ἔχει καὶ ὅδε
ὁ λόγος. ἔσται γὰρ ποτ' ἀνώμαλος ἡ ἀναπνοὴ, καὶ διὰ ταῦτα. ὡς γὰρ καὶ ἡ βάδισις ἀνώμαλος γίνεται, τῶν ἐν τοῖς σκέ-
λεσι μυῶν ἤτοι τρεμόντων ἢ παλλομένων, ἢ σπωμένων, οὕτω καὶ ἀναπνοὴ γίνετ' ἄν ποτε ἀνώμαλος διὰ τοὺς κινοῦν-
τας τὸν θώρακα μῦς, ὡς εἴρηται, βεβλαμμένους. ὥστε καὶ πασῶν τῶν ἀνωμαλιῶν, τῶν τε κατὰ μίαν ἐνέργειαν, καὶ τῶν
κατὰ πολλὰς ἐξῆς συνισταμένων, ἤτοι στενοχωρία τῶν τραχείων ἀρτηριῶν, ἢ τῶν τοῦ θώρακος μυῶν πλημμελὴς κίνη-
σις, ἢ ἀρρωστία τῆς δημιουργούσης αὐτὴν δυνάμεως, αἴτιον γενήσεται. γέγραπται δ' ὡς ἔφην ἐπὶ πλεῖστον ὑπὲρ ἁπα-
σῶν ἀνωμαλιῶν, ἐν τῷ δευτέρῳ τῶν ἐν σφυγμοῖς αἰτίων. καὶ διὰ τοῦτο μὲν ὅσα κοινὰ πρὸς ἐκεῖνον τὸν λόγον, ἅπαντα
παραλείπομεν, ὑπομιμνήσκοντες αὐτῶν μόνον, ὅσα δὲ ἴδια τῆς ἀναπνοῆς, ἐπέξιμεν ἐν τῷδε τῷ γράμματι. Τὰ
μὲν οὖν τῆς χρείας, ὡς καὶ πρόσθεν εἴρηται, κοινὰ, καὶ τὰ τῶν ἀρτηριῶν δὲ τῶν τραχείων, ταῖς λείαις ἀνάλογον. ἴδιον δὲ
ἐξαίρετον ταῖς ἀναπνοαῖς παρὰ τοὺς σφυγμοὺς, τὸ τῶν μυῶν ὑπάρχει γένος. αἱ δημιουργοὶ δ' αὐτῶν δυνάμεις, ἔστι
μὲν ᾗ ἀναλόγως. ἔστι δὲ ᾗ, καὶ οὐχ οὕτως ἔχουσιν. ᾗ μὲν γὰρ αἰτίαι δραστικαί εἰσι, ταύτῃ μὲν ἀνάλογον ἔχουσιν,
ᾗ δὲ τῆς ἀναπνευστικῆς δυνάμεως, ἡ προαίρεσις ἐπιτροπεύει, τῆς ζωτικῆς δὲ οὐδεὶς ἀνώτερος κύριος, ἀλλ' ἐλευθέρα
τελέως ἐστὶν, ταύτῃ διαφέρουσιν. καὶ τοίνυν περιττόν τι εἰς ἀνωμαλίας γένεσιν, ἕξει ἡ ἀναπνοὴ πρὸς τοὺς σφυγ-
μοὺς, ὃ μηδὲ τοῦτο παραλείπωμεν. ἔστι δὲ διττὸν, τὸ μὲν ἀπ' αὐτῆς τῆς ψυχικῆς δυνάμεως μόνης ὁρμώμενον, τὸ δ' ἀπὸ
τῆς πρὸς τὰς ὀδύνας συμπλοκῆς. ὀλίγον μὲν καὶ δυσσυνώριστον τὸ ἀπὸ τῆς δυνάμεως μόνον, πλεῖον δὲ καὶ σαφέστερον
καὶ ποικιλώτερον, τὸ διὰ τὰς ὀδύνας. ἐν γὰρ ταῖς παραφροσύναις, ἐπικρατεῖ μὲν ἡ ἀραιότης καὶ τὸ μέγεθος, ἐμ-
φαίνεται δέ τις ἀνωμαλία καὶ ἀταξία, κατά τε πλείους ἀναπνοὰς, καὶ κατὰ μίαν ἐνίοτε μόνην, ὡς ἂν οἶμαι καὶ τῶν
φαντασμάτων ποτὲ μὲν μᾶλλον ποτὲ δ' ἧττον ἐξιστάντων τὸν κατὰ φύσιν τὸν λογισμόν. ἐν γὰρ ταῖς τοιαύταις φαν-
τασίαις, εὔλογον καὶ τὴν ἀναπνοὴν μεταβάλλεσθαί τε καὶ ποικίλλεσθαι, πρὸς τὴν τῆς ἀνωμαλίας τε καὶ ἀταξίας γένε-
σιν, καὶ τὸ παρὰ τῆς χρείας ποσόν. ἕως μὲν γὰρ ὀλίγον αὐτῆς ἑκάστου τῶν ἐνεργειῶν ἀπολείπεται, μικρὰ τοῦ κατὰ φύ-
σιν ἡ ἐναλλαγή. ἐπειδὰν δὲ τοῦ κατὰ φύσιν ἔλλειμμά τι ἱκανῶς πολὺ γένηται, τότ' ἀναγκαῖον ἤδη, τῶν μὲν ἡσυχι-
ῶν τὸ ποσόν. τῶν δὲ κινήσεων, οὐ τὸ ποσὸν μόνον, ἀλλ' ἤδη καὶ τὸ ποιὸν ἀλλοιοῦσθαι, κἀν τούτῳ τὴν ὅλην ἀναπνοὴν
ἀνώμαλόν τε καὶ ἄτακτον γίνεσθαι. Ταυτὸν δὲ τοῦτο καὶ ταῖς ὀδύναις συμπίπτειν ἀναγκαῖον. οὐδὲ γὰρ οὐδ' ἐν
ἐκείνων ἡ χρεία πληροῦται καθ' ἑκάστην ἐνέργειαν. οὔτε γὰρ ταχέως οὔτε πυκνῶς, οὔτ' ἐπὶ πλεῖστον δύναται δια-
στέλλειν τὸν θώρακα. πάντα γὰρ ταῦτ' αὐτοῖς ἀνιαρὰ, μάλιστα μὲν τὸ μέγεθος, δεύτερον δὲ τὸ τάχος, ἤδη δὲ καὶ
πυκνότης. ἀλυπότερον γὰρ τοῖς ἀλγοῦσι, τὸ διὰ πλείονος χρόνου κινεῖσθαι, τοῦ δι' ἐλάττονος. διὰ τοῦτ' οὖν τοῦ μὲν μεγέ-
θους, ἀφαιροῦσι πάμπολλα, τάχους δ' ἐλάχιστα, πυκνότητος δὲ, ἀφαιροῦσι μὲν οὐδὲν, ἀλλά τι καὶ προστιθέασι, τὴν
ἐκ τῶν κατὰ φύσιν τῆς σμικρότητος ἔνδειαν ἐπανορθούμενοι. οὐ μέντοι γε τοσοῦτον ἐστὶ τὸ προστιθέμενον, ὡς ἀνα-
πληρῶσαι τὸ λεῖπον ἅπαν. ὅσον οὖν ἀπλήρωτον τῆς χρείας ἀπολείπεται, τοῦτ' ἐν πολλαῖς ἐξῆς ἐνεργείαις ἀθροιζό-
μενον, ὅταν ἐγγὺς ἤδη τοῦ πνίγεσθαι τὸ ζῶον ἀφίκηται, τότε καὶ τὴν προαίρεσιν ἀναγκάζει, μέχρι γοῦν χρόνου
τινος, μείζονά τε ποιήσασθαι τὴν ἀναπνοὴν, καὶ θάττονα πολὺ, καὶ τῆς ἔμπροσθεν πυκνοτέραν. ἀλλ' ἐν ταῖς
ταύτης ἐνεργείαις τῆς μὲν χρείας πληρουμένης, ἀποκναιομένου δὲ τοῖς ἀλγήμασι τοῦ ζώου, πάλιν ἡ προαίρεσις
ἀφαιρεῖ καὶ τοῦ μεγέθους καὶ τοῦ τάχους καὶ τῆς πυκνότητος, ἄλλοτε ἄλλου πλέον, ὡς ἂν ἀπορουμένη τε καὶ μήτε
στῆσαι τὴν ἐνέργειαν δυναμένη, φόβῳ πνίξεως, μήθ' εὑρίσκουσά τινα τῆς ὀδύνης ἴασιν. ἄλλοτε γοῦν ἐπ' ἄλλο με-
τέρχεται, τὸ μὲν, ὡς τὴν χρείαν πληρῶσον, τὸ δ' ὡς τὴν ὀδύνην παραμυθησόμενον. ἁπάντων δὲ, τῶν μὲν τὴν χρείαν
πληρούντων, παροξυνόντων τὰς ὀδύνας, τῶν δὲ ταύτας πραϋνόντων, αὐξανόντων τὴν χρείαν, οὐδενὸς δ' ἀμφο-
τέρων ἰάματος εὑρισκομένου κοινοῦ, πολυειδῶς ἐπὶ πάντα μετέρχεται δι' ἀπορίαν ἀεὶ δυσαρεστουμένη τῷ παρ-
όντι. κἀνθένδε τό τ' ἀνώμαλον ἑκάστῳ τε καταμόνας, καὶ ἁπάσαις ἐξῆς ταῖς ἀναπνοαῖς, καὶ τὸ πολυειδῶς
ἄτακτον ὑπάρχει. ἐν γὰρ τῇ τῆς ἰσότητος διαφθορᾷ, τῶν τε ἀνωμαλιῶν ἁπασῶν καὶ τῶν ἀταξιῶν ἡ γένεσις. ἐδεί-
χθη γὰρ καὶ τοῦτο, ἐν τοῖς περὶ διαφορᾶς σφυγμῶν, ὡς ἡ μὲν καὶ ἐφεξῆς ἰσότης, ὁμαλότης ἐστὶν. ἡ δὲ κατὰ περιόδους, τάξις.
καὶ ὡς τῆς μὲν ἐφεξῆς ἰσότητος διαφθειρομένης, ἡ ἀνωμαλία, τῆς δὲ κατὰ περιόδους, ἡ ἀταξία γίγνεται. ἀλλ' ὅμως, πολ-
λῆς μὲν ἀνωμαλίας, πολλῆς δὲ ἀταξίας ταῖς τοιαύταις διαθέσεσι συμπιπτούσης, ἐπικρατεῖ τὸ κατὰ μικρότητα

καὶ πυκνότητα

καὶ πυκνότητα γένος τῆς δυσπνοίας. εἰ γὰρ καὶ μέγα ποτ᾽ ἀναπνεύσειαν εἰς ἅπαξ, οἷον ἀποπειρώμενοι τῆς τοιαύ-
της ἀναπνοῆς, ἀφίστανται παραχρῆμα διὰ τὴν ὀδύνην. καὶ χρόνῳ γε παμπόλλῳ, μικρὸν πάνυ ἀναπνέουσιν,
ἄχρι περ ἂν ὑπὸ τῆς χρείας ἐπειγούσης ἀναγκασθέντες, ἐφ᾽ ἑτέραν αὖθις πεῖραν τράπωνται μεγάλης ἀναπνοῆς.
τὸ συνεχὲς οὖν τῆς ἀνωμαλίας καὶ ἀτάκτου μεταβολῆς αὐτοῖς ἐν τάχει καὶ βραδυτῆτι, καὶ ταῖς τῆς πυκνότη-
τος ἐξαλλαγαῖς, μάλιστα συνίσταται, μή ποτε μὲν ἁπλῶς ἀραιᾶς γιγνομένης τῆς ἀναπνοῆς, διὰ τὴν τῆς χρείας
ἔπειξιν, ἧττον μέν τοι καὶ μᾶλλον πυκνῆς, κἂν τούτῳ τὴν ἀνωμαλίαν κτωμένης. ὥστε οὐδὲ πυκνὸν μὲν ἀεὶ τοῖς οὕ-
τω διακειμένοις τὸ πνεῦμα, μέγα δὲ σπανίως, βραδὺ δ᾽ οὐδὲν μᾶλλον ἢ ταχὺ, διὰ τὴν εἰς ἑκάτερον αὐτῶν ὀξύῤ-
ῥοπον μετάπτωσιν. ὀρθῶς οὖν ἔμπροσθεν ἐῤῥέθη πᾶσι τοῖς ὀργάνοις ὀδυνωμένοις, ὅσα κινεῖται πρὸς τὰς ἀναπνοὰς,
μικρὸν καὶ πυκνὸν ἔσεσθαι τὸ πνεῦμα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐν ταῖς παραφροσύναις, μέγα τε γίγνεσθαι καὶ ἀ-
10 ραιὸν, εἰ καὶ ὅτι μάλιστα καὶ ταύταις ἀνωμαλία τις ἕπεται. πλεονεκτεῖ γὰρ ἐν αὐταῖς, ἥ τε ἀραιότης καὶ τὸ μέ-
γεθος. μᾶλλον μὲν γὰρ καὶ ἧττον ἀραιὸν, καὶ μᾶλλον καὶ ἧττον μέγα, τοῖς παραφρονοῦσι γίγνεται τὸ πνεῦμα. μικρὸν
δὲ καὶ πυκνὸν, οὐδέ ποτε. τοσαῦτα ἀρκεῖν μοι δοκεῖ περὶ τῶν ἀνωμαλιῶν εἰδέναι, τῶν τε κατὰ μίαν ἐνέργειαν,
καὶ τῶν ἐν πλείοσι συνισταμένων. καὶ γὰρ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα τῇ κοινωνίᾳ τοῦ λόγου. καὶ μέν τοι
σαφῶς μὲν αὗται σύνθετοι, παμπόλλων ἐνεργειῶν εἰς γένεσίν τε καὶ διάγνωσιν, δεόμεναι, αἱ δὲ κατὰ μίαν ὡς
καὶ πρόσθεν εἴρηται, τάχ᾽ ἂν τῷ δόξειαν ὑπάρχειν ἁπλαῖ. οὐ μόνον δὲ περὶ τῶν συστηματικῶν ἀνωμαλιῶν, ἀλλὰ
καὶ περὶ τῶν ἀταξιῶν ἐνταυθοῖ διήλθομεν. ἐν εἴδει γάρ τινι τῶν ἀνωμαλιῶν εἰσὶν, ὡς κἂν τοῖς περὶ σφυγμῶν ἐδείχθη.
ἐπὶ τὰς ὑπολοίπους οὖν αὖθις ἐπανέλθωμεν δυσπνοίας συνθέτους, καὶ πρώτας γε αὐτῶν προχειρισώμεθα, τὰς κατὰ
μίαν ἐνέργειαν ἡντιναοῦν συνισταμένας. ἡ μὲν δὴ μεγάλη τε καὶ ἅμα καὶ ταχεῖα εἰσπνοὴ, τῆς μὲν χρείας ἐπειγού-
σης γίνεται, τῶν δ᾽ ὀργάνων ἀπαθῶν ὑπαρχόντων, τῆς δυνάμεως δὲ, ἢ τὴν ἰδίαν εὐρωστίαν εὐρωστούσης, ἢ μικρὸν με-
20 ταβεβλημένης. ἀκριβείας δὲ οὐ δεῖ τῷ λόγῳ, πρὸς σὲ μεμνημένους τῶν ἔμπροσθεν. ἡ δ᾽ αὖ μεγάλη μὲν, βραδεῖα
δὲ, μόνοις τοῖς παραπαίουσιν γίνεται. καὶ τούτοις, οὐκ ἀεί. καὶ πρόδηλος τῆς αἰτίας ὁ λογισμὸς κἀνταῦθα, ἐκ τῶν
προειρημένων, ὥσπερ καὶ ὅταν μικρὸν εἰσπνέουσι καὶ βραδέως, οἷς ἱκανῶς ἔψυκται τὸ ἔμφυτον θερμόν, ἡ δὲ λοι-
πὴ καὶ τετάρτη συζυγία μικρότης ἦν ἅμα τῷ τάχει, καὶ γίγνεται διὰ παντὸς μὲν, ἐπ᾽ οὐδεμιᾷ διαθέσει ἁπλῇ.
καθάπερ οὐδὲ ἡ μεγάλη τε ἅμα καὶ βραδεῖα ἦν ἐστιν ὅτε τοῖς παραπαίουσι συμπίπτειν ἔφαμεν. ἕπεται μέν τοι
κἂν εἰ μὴ διηνεκῶς, ἀλλ᾽ ὡς τὸ πολύ γε συνελθόντων εἰς ταυτὸν, ἀλγήματός τε καὶ χρείας αὐξήσεως. μικρὸν
μὲν γὰρ ἐν τοῖς ἀλγήμασιν ἐξ ἀνάγκης ἀναπνέουσιν. ἀπληρώτου δὲ τῆς χρείας μενούσης, διά τε τὴν αὐτὴν ταύ-
την μικρότητα, καὶ ὅτι πλεονεκτεῖν ὑπόκειται καθ᾽ ἑαυτὴν, οὐκ ἀρκεῖ πυκνωθεῖναι μόνον τὰς ἐνεργείας, ἀλλ᾽ ἀναγ-
κάζονται πολλάκις ἐσπασμένως εἰσπνεῖν. ἀνάλογον δὲ τοῖς εἰρημένοις, κἀπὶ τῶν κατὰ τὰς ἐκπνοὰς συζυγιῶν,
τὰς διαθέσεις ἐξευρίσκειν χρή. καὶ γὰρ οὖν κἀπὶ τούτων ἤτοι τὴν δύναμιν, ἢ τῶν ὀργάνων τι πεπονθὸς εὑρήσο-
30 μεν, ἢ τῆς θερμασίας τὸ μέτρον ὑπηλλαγμένον. ἃ γὰρ οἷον αἰθαλώδη τε καὶ λιγνυώδη καὶ καπνώδη περιττώ-
ματα καλοῦμεν, ἐν τῷ τῆς θερμασίας γένει, γνώδη εἰσὶ ταῦτα πάντα, καὶ οἷον ἡμίπεπτα τῷ συμφύτῳ θερμῷ,
καθάπερ καπνὸς τῷ πυρί. φαίνεται γὰρ ἐναργῶς ἐπὶ τούτου, δριμέα πάντα καὶ θερμὰ τὰ καπνώδη τῆς ὕλης
περιττώματα ἐνδεικνύμενα, δέδεχθαι μὲν εἰς ἑαυτὰ τὴν τοῦ πυρὸς δύναμιν, οὐ μὴν πάντα γε ὑπ᾽ αὐτοῦ κεκρα-
τεῖσθαι. φλὸξ γὰρ ἂν οὕτως ἐγεγόνει, καὶ οὐκέτι καπνός. ὥστε εἴ τις θερμασίας καπνώδους ἐν τοῖς σώμασι τῶν
ζώων πλεονεκτούσης, τὴν ἐκπνοὴν λέγοι, μεγάλην τε ἅμα γίνεσθαι καὶ ταχεῖαν οὐκ ἂν ἁμάρτοι. δῆλον δ᾽ ὅτι
καὶ τὴν δύναμιν ἐῤῥῶσθαι χρὴ τηνικαῦτα, καὶ τῶν ὀργάνων μηδὲν πεπονθέναι. κατὰ ταυτὰ δὲ καὶ τὴν μεγά-
λην τε ἅμα καὶ βραδεῖαν ἐνίοις τῶν παραφρονούντων, ὥσπερ εἶχε κἀπὶ τῆς εἰσπνοῆς. οὕτω δὲ καὶ τὴν μικρὰν ἅ-
μα καὶ βραδεῖαν, οἷς μηδὲν συνήθροισται καπνῶδες περίττωμα. καὶ τὴν μικρὰν καὶ ταχεῖαν οἷς ἤθροισται. καὶ ἀ-
δυνατεῖ τῶν μορίων, ὅσα δηλονότι κινεῖται πρὸς τὰς ἀναπνοάς. ἀεὶ γὰρ χρὴ τούτων μεμνῆσθαι, κἂν τῇ λέξει ποτὲ παρα-
40 λειφθῇ. αὗται μὲν οὖν αἱ τέτταρες συζυγίαι τῶν δυσπνοιῶν, καθ᾽ ἑκάτερον ἰδίᾳ τῆς ὅλης ἀναπνοῆς μόριον συνί-
στανται. ἕτεραι δὲ κατὰ τὸν οἷον ῥυθμὸν αὐτῆς, οὐ καθ᾽ ἑκάτερον. ὅταν δὲ παραβάλλωμεν εἰσπνοὴν ἐκπνοῇ, καθά-
περ ἐν τοῖς σφυγμοῖς διαστολὴν συστολῇ, ῥυθμὸν τὸ τοιοῦτον ὀνομάζομεν. δῆλον δ᾽ ὅτι τὴν αὐτὴν θεωρίαν ὁ τό-
πος ἐκδέξεται, τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς ῥυθμῶν ὑφ᾽ Ἡροφίλου γεγραμμένῃ. εἴρηται μὲν οὖν ἡμῖν περὶ
αὐτῶν ὅσα χρὴ, κἂν ταῖς περὶ τῶν σφυγμῶν πραγματείαις εἰρήσεται δὲ καὶ νῦν ὅσον οἷόν τε διὰ βραχυ-
τάτων, οἷς χρὴ προσέχοντα τὸν νοῦν οἷον σκοποῖς τισιν, ἐξευρίσκειν τὰς αἰτίας ῥᾳδίως τῆς ἐν ταῖς ἀναπνοαῖς
ἀῤῥυθμίας. τὰ γὰρ ἄρτι καθ᾽ ἑκάτερον τῆς ὅλης ἀναπνοῆς μόριον, τήν τε εἰσπνοὴν λέγω καὶ τὴν ἐκπνοὴν, ἅ-
περ ἐν τῷ πρόσθεν λόγῳ φθάνομεν εἰρηκότες, αὐτὰ ταῦτα καὶ νῦν ἀξιῶ σκοπεῖσθαι κατὰ τὰς ἀῤῥυθμίας
αὐτῶν. οἷον, οὐδὲν γὰρ χεῖρον ἐφ᾽ ἑνός τινος, ὡς ἐπὶ παραδείγματος ὑποδεῖξαι τὸ λεγόμενον. βραδυτέρα μὲν ἔστω
καὶ μικροτέρα τοῦ κατὰ φύσιν εἰσπνοὴ, θᾶττον δὲ καὶ μείζων, ἡ ἐκπνοὴ, μεμειῶσθαι φήσομεν τοῖς οὕτω δια-
50 κειμένοις τὸ κατὰ φύσιν θερμὸν, ηὐξῆσθαι δὲ τὸ καπνῶδες. ἐφ᾽ ἑτέρας δ᾽ αὖθις ἔμπαλιν ἀῤῥυθμίας ἐχούσης,
ὡς τὴν μὲν εἰσπνοὴν εἶναι μεγάλην καὶ ταχεῖαν, τὴν δ᾽ ἐκπνοὴν μικρὰν, καὶ βραδεῖαν, ηὐξῆσθαι μὲν τὸ κατὰ φύσιν
θερμὸν, μηδὲν δ᾽ εἶναι καπνῶδες περίττωμα, δῆλον γὰρ ἀεὶ χρὴ νοεῖν τῷ γένει τὸ θερμὸν, τὸ μὲν οἰκεῖον καὶ σύμφυ-
τον σώματι, τὸ δ᾽ ἐπίκτητόν τε καὶ νόθον. δῆλον οὖν ὡς οὐδὲν ἡ τοιαύτη σύζευξις ὑπαλλάττει τῶν ἑκατέρᾳ κα-
τὰ μόνας ὑπαρχόντων. εἰ γὰρ ἡ εἰσπνοὴ μικρὰ καὶ βραδεῖα τύχοι γινομένη, κατάψυξιν δηλοῖ τῆς κατὰ φύσιν θερ-
μασίας, ὅπως ἂν ἔχῃ ἡ ἐκπνοή. εἰ δὲ ἡ ἐκπνοὴ κατὰ ταυτὸ ᾖ διακειμένη, ἐνδείξεται ταυτόν. καὶ γὰρ εἰ μεγάλη
ποτὲ καὶ ταχεῖα γένοιτο πλεονεκτοῦσα, δηλώσει καὶ παρὰ φύσιν θερμασίαν ὅπως ἂν ἔχῃ τὰ τῆς εἰσπνοῆς.
ὅθεν οὐδὲν πλέον εἰς τὰς προγνώσεις ἡ τοιαύτη συμπλοκὴ διδάσκει, τῶν ἤδη κατὰ μόνας ὑπὲρ ἑκατέρας αὐτῶν
ἐγνωσμένων. μόναις γοῦν προσεκτέον ἡμῖν τῶν νῦν ἐκείναις τῶν συνθέτων δυσπνοιῶν, ἐν αἷς, αἱ μὴ ἁπλαῖ, κοιναὶ
πλειόνων εἰσὶν διαθέσεων, ἢ διὰ τοῦτο σαφὲς οὐδὲν ἐνδείκνυνται. συνεζευγμέναι δ᾽ ἕτεραι τινὲς εἰς διορισμὸν ἥκει

σιν ἀσφαλῆ. τὸ γὰρ μέγεθος τῆς ἀναπνοῆς, αὐτὸ μὲν καθ' ἑαυτὸ, δύσπνοια τίς οὐκ ἔστιν ἁπλῆ. γνώρισμα δ' οὐδὲν οὐδ' ὑπάρχει βέβαιον, εἴ γε καὶ τῆς χρείας ἐπειγούσης γίνεται, καὶ τῆς διανοίας βεβλαμμένης. ἀλλ' εἰ μὲν ἅμα πυκνότητι συσταίη, τῆς χρείας ἔπειξιν. εἰ δὲ σὺν ἀραιότητι, παραφροσύνην ἐνδείκνυται. ὡσαύτως δὲ καὶ ἡ σμικρότης αὐτὴ μὲν καθ' ἑαυτὴν ἢ ὀδυνᾶσθαί τι μόριον, ἢ τὴν χρείαν ἐκλελύσθαι δηλοῖ. ὥστ' οὐδὲν, οὐδ' αὐτὴ σαφὲς ἐνδείκνυται. συνθέτος δὲ γινομένη, μετὰ μὲν πυκνότητος ἄλγημα. σὺν ἀραιότητι δὲ τῆς χρείας ἔκλυσιν δηλοῖ. κἂν εἰ τὴν πυκνότητα, δι' αὐτὴν μόνην, ἢ τὴν ἀραιότητα προχειρήσαιο, καὶ τούτων ἂν εὕροις οὐδετέραν οὐδὲν σαφὲς δηλοῦσαν ἄνευ τοῦ διορισθῆναι, συμπλακεῖσαν ἑτέρῳ τινὶ δυσπνοίας εἴδει. πυκνὴ γὰρ ἅμα καὶ μεγάλη, τῆς δυνάμεως αὔξησιν ἐνδείκνυται. πυκνὴ δὲ ἅμα καὶ μικρὰ, τινὸς τῶν ταῖς ἀναπνοαῖς συγκινουμένων ὀργάνων ἄλγημα. καὶ ἡ ἀραιὰ δὲ, παραφροσύναις ἑπομένη καὶ καταψύξεσιν, εἰ μὲν μετὰ μεγέθους εἴη τὸ πρότερον τῶν εἰρημένων, εἰ δὲ μετὰ σμικρότητος, τὸ δεύτερον ἐνδείκνυται. καὶ διὰ τοῦτο πασῶν τῶν συνθέτων δυσπνοιῶν αἱ τοιαῦται συζυγίαι χρησιμώταται, καὶ σαφῶς καὶ βεβαίως, μίαν ἑκάστην διάθεσιν ἐνδεικνύμεναι, πυκνότης μὲν ἅμα μικρότητος, πόνον. εἰ δὲ σὺν μεγέθει γένηται, τῆς χρείας αὔξησιν. ἀραιότης δὲ, μετὰ μὲν μεγέθους παραφροσύνην, μετὰ δὲ σμικρότητος τῆς χρείας ἔκλυσιν. γίγνονται δὲ τέτταρες αὗται συζυγίαι τῶν ἐν ταῖς ἐνεργείαις κατὰ μέγεθος καὶ μικρότητα διαφορῶν, ταῖς τῶν ἠρεμιῶν διαφοραῖς μιγνυμένων. δύο γὰρ ἀντιθέσεις ἀλλήλαις ἐπαλλαττόμεναι, τέτταρας ποιοῦσι τὰς συζεύξεις. ὥστε κἀνταῦθα δῆλον ἤδη γέγονεν, ὡς οὔτε πλείους, οὔτ' ἐλάττους ἐνδέχεται τὰς ἐκ τῶν ἀντιθέσεων τούτων συμπλοκὰς γενέσθαι. ἀλλ' ἐπὶ μὲν ταῖς ἠρεμίαις, ἀντίθεσις μία μόνη συμβέβηκεν, ἡ κατὰ πυκνότητα καὶ ἀραιότητα, ταῖς δ' ἐνεργείαις, οὐχ ἡ κατὰ μέγεθος καὶ μικρότητα μόνον, ἀλλὰ καὶ ἡ κατὰ τάχος καὶ βραδυτῆτα. τέτταρες δὲ δηλονότι καὶ κατὰ τὰς τούτων ἐπαλλάξεις, γενήσονται αἱ συζυγίαι. πρώτη μὲν πυκνὴ καὶ ταχεῖα, δευτέρα πυκνὴ ἅμα καὶ βραδεῖα, τρίτη ἀραιὰ ἅμα καὶ ταχεῖα, καὶ τετάρτη βραδεῖα τε ἅμα καὶ ἀραιά. γνωρίζουσι δ' οὐδὲν ἁπλῶς ἐξ ἀνάγκης ὡς αἱ πρότεραι τέτταρες, ἀλλ' ὧδε χρὴ διορίζεσθαι, πολλῆς μὲν εἰς πυκνότητα μεταπτώσεως γινομένης, ὀλίγης δὲ τῆς εἰς τάχος, ὀδύνης τε ἅμα καὶ χρείας ἐστὶν αὔξησις. εἰ δ' ἔμπαλιν εἰς τάχος μὲν πλέον, εἰς πυκνότητα δὲ, ἔλαττον ἐξίσταιτο τοῦ κατὰ φύσιν, τὴν χρείαν μόνην ἐπιτετᾶσθαι δηλώσει. συνδραμεῖται δὲ τῇ μὲν τοιαύτῃ δυσπνοίᾳ πάντως καὶ μέγεθος. τῇ δὲ ἑτέρᾳ τῇ πρὸ αὐτῆς εἰρημένῃ σμικρότης. ὥστ' οὐδὲν δεησόμεθα τάχους μνημονεύειν. εἰ γὰρ ἡ ἀδιόριστος μὲν κατὰ τάχος καὶ πυκνότητα συζυγία, μηδὲν ἡμῖν δηλοῖ σαφὲς, εἰς διορισμὸν δ' ἐλθοῦσα, τοῦ μὲν τάχους πλεονεκτοῦντος, εὐθὺς καὶ μετὰ μεγέθους γίγνεται, τῆς δὲ πυκνότητος κρατούσης, ἐξ ἀνάγκης ἑπομένην ἔχει τὴν μικρότητα, πυκνὴ μὲν ἅμα καὶ μεγάλη κατὰ τὸν ἕτερον ἔσται διορισμὸν, πυκνὴ δ' ἅμα καὶ μικρὰ κατὰ τὸν ἕτερον. οὕτω δὲ καὶ πυκνὴ καὶ βραδεῖα συζυγία δειχθήσεται. πλεονεκτούσης μὲν γὰρ τῆς πυκνότητος, ἄλγημα μόνον ἐνδείξεται. τοσοῦτον δὲ ἐξισταμένη τοῦ κατὰ φύσιν, ὅσον καὶ κατὰ βραδυτῆτα, συνθέτου διαθέσεως ἔσται γνώρισμα. καὶ γὰρ τὴν δύναμιν μεμειῶσθαι δηλώσει, καὶ ὀδυνᾶσθαί τι μόριον. οὕτω δὲ καὶ εἰ πλεονεκτεῖ τῆς πυκνότητος ἡ βραδυτὴς, ἔσται γνώρισμα διαθέσεως τῆς ἤδη λελεγμένης, ἀλλ' ἔλαττον μὲν ὀδυνᾶσθαι δηλώσει τοὺς οὕτως ἔχοντας, μειζόνως δὲ τὴν δύναμιν μεμειῶσθαι. οὐκοῦν οὐδὲ ταύτης εἰς τὰς προγνώσεις δεόμεθά τι τῆς συζυγίας. ἐν μὲν γὰρ ταῖς πρώταις ῥηθείσαις τέτταρσιν, ἃς χρησιμωτάτας ἐλέγομεν ὑπάρχειν, ἔχομεν γνωρίσματα καὶ πόνου, καὶ χρείας μειώσεως μεγάλα. καὶ ἡ τρίτη δὲ ῥηθεῖσα συζυγία ἡ ἀραιά τε ἅμα καὶ ταχεῖα, δηλώσει μὲν οὐδὲν ἐξ ἀνάγκης, συνεδρεύει δ' ἤτοι παραφροσύναις τισὶν, ἢ καὶ σὺν αὐταῖς, ταῖς τῆς χρείας αὐξήσεσιν. εἴρηται δὲ καὶ πρόσθεν ὡς τῶν παραπαιόντων, ἀραιὰ μὲν πάντως ἐστὶν ἡ ἀναπνοὴ καὶ μεγάλη. ταχεῖα δὲ οὐ πάντως, ὥσπερ οὐδὲ βραδεῖα. γίγνεσθαι γὰρ ἑκάτερον αὐτῶν, ἀτάκτως τε καὶ ἀνωμάλως. ὅταν μέντοι συνέλθῃ καὶ ἡ τῆς χρείας αὔξησις, ἀναγκάζονται τηνικαῦτα καὶ πολὺ μεῖζον ἀναπνεῖν, ἢ εἰ παρέπαιον μόνον, καὶ ἤδη τε καὶ θᾶττον, ὥστε καὶ ταύτης τῆς συζυγίας, οὐδὲν εἰς τὰς προγνώσεις δεόμεθα, τὰ δι' αὐτῆς δηλούμενα μετὰ τοῦ διορισμοῦ φθάνοντες ἔχειν ἐν ταῖς πρώταις συζυγίαις τέτταρσι. λοιπὸν δ' ἦν ἡ τετάρτη τῶν κατὰ τοῦτο τὸ γένος συνθέτων δυσπνοιῶν, ἡ βραδεῖα τε ἅμα καὶ ἀραιὰ, ἥ τις καὶ αὐτὴ παραφροσύναις τέ τισι συνεδρεύει καὶ χρείας μειώσεσιν, οὐκοῦν οὐδὲ ταύτης οὐδ' ἔτι προσδεόμεθα. καὶ γὰρ παραφροσύνην καὶ χρείαν μειουμένην ἐγνωρίζομεν ἐκ τῶν πρώτων τεττάρων συζυγιῶν. οὐ μόνον ἐκ τοῦ δεῖξαι τὴν κατὰ τάχος τε καὶ βραδυτῆτα διαφορὰν, οὐκ ἀναγκαίαν εἰς τὰς προγνώσεις, οὔτ' εἰ μόνην, οὔτ' εἰ συμπλέκοις ταῖς ἄλλαις, τὸ χρήσιμον ἐκείνων γίνεται εὔδηλον, ἀλλὰ κἀξ αὐτῆς τῆς φύσεως τοῦ πράγματος φαίνεται. ἐπεὶ γὰρ τρία τὰ πρῶτα γένη τῶν αἰτίων ἐστὶ τῆς ἀναπνοῆς, ἡ χρεία, καὶ ἡ δύναμις, καὶ τὰ ὄργανα, δῆλον ὡς ἂν εὕρωμεν ἐκ τίνων καὶ πόσων δυσπνοιῶν, τὰς ἐν αὐτοῖς διαθέσεις γνωρίζομεν, αὗται μὲν ἡμῖν χρησιμώταται πρὸς τὰς προγνώσεις ἔσονται, τὰς δ' ἄλλας ἁπάσας, ἐκ περιουσίας ἐπισκεψόμεθα. ἀλλ' εὑρέθησαν, αὔξησιν μὲν τῆς χρείας, ἡ μεγάλη καὶ πυκνή. μείωσιν δὲ, ἡ ἐναντία ἡ μικρὰ καὶ ἀραιὰ δηλοῦσαι, παραφροσύνης τε ἴδιος, ἡ μεγάλη τε καὶ ἀραιά. πόνου δ' ἡ μικρὰ καὶ πυκνή. προσίεσαν δ' ἔξωθεν οἱ ἀνώμαλοι, ποτὲ μὲν τοῦ μυώδους γένους τὰς διαθέσεις, ποτὲ δὲ καὶ τῶν τραχειῶν ἀρτηριῶν τὰς στενοχωρίας δηλοῦσαι. δυνάμεως δ' ἀρρωστούσης, πρῶτον μὲν ἐξ ἀνάγκης οὐδὲν εὑρίσκεται γνώρισμα δυσπνοίας, ἑτέρως μὲν τῶν ἀταλαιπώρων, ἑτέρως δὲ τῶν καρτερικῶν τυπούντων τὴν ἀναπνοήν. εἰ δ' ἄρα καί τοι εἴη ἀνώμαλόν τε καὶ ἄτακτον, ἀφανές ἐστι καὶ τὰς ἀνωμαλίας τε καὶ τὰς ἀταξίας αὐτάς, αἳ κατὰ πυκνότητα καὶ ἀραιότητα καὶ μικρότητα καὶ μέγεθος ἀνισότητες γίνονται, πρὸς τούτοις, καὶ δι' ἄλλων μορίων, ἀρρωστίαν δυνάμεως ψυχικῆς γνωρίζεσθαι, μηδέν τι ἡμῶν ἀναπνοῆς δεομένων, ὧν τὰ μὲν ἐπικαιρότατα καὶ πλεῖστα διὰ τοῦ προγνωστικοῦ γράμματος ἐδίδαξεν Ἱπποκράτης. εἰ δέ τι καὶ παραλέλειπται, ῥᾷστον ἐκ τῶν εἰρημένων εὑρίσκειν. εἰ δέ τις αὐτῆς τῆς ἀναπνευστικῆς δυνάμεως ἀρρωστούσης, καὶ κοινῶς ἁπάσης τῆς ψυχικῆς, ἐθέλοι γ' ἔχειν ἴδια γνωρίσματα καὶ μάλιστα τῆς ἐψυγμένης, τήν τε τῶν πτερυγίων τῆς ῥινὸς κίνησιν ἕξει, καὶ τὴν ἁπάντων τῶν κατ' ὠμοπλάτας μυῶν ἐνέργειαν, καὶ τὴν ἀθρόαν κατάπτωσιν τοῦ θώρακος. ὅπου γὰρ οὗτος ἀρρωστότερον τοῦ προσήκοντος κινεῖται, καὶ

ται, κατὰ μὲν τὰς εἰσπνοὰς περισιμοῦντες τῇ τοῦ πνεύματος ῥύμῃ τὰ τῆς ῥινὸς πτερύγια, συνεπισπώμενα πως καὶ αὐτὰ τὸν ἔξωθεν ἀέρα, καθ' ὃν τρόπον καὶ διὰ τοῦ στόματος ἕλκειν τι προαιρούμενοι, τὰ χείλη συνάγομεν. κατὰ δ' αὖ τὰς ἐκπνοὰς, ἀθρόα κατάπτωσις γίνεται τοῦ θώρακος, οὐ κατὰ βραχὺ σύμπτωσις. εἴρηται δ' ἤδη πλέον ἐν τοῖς περὶ μυῶν κινήσεως, ὅπῃ τε διαφέρει κατάπτωσις μορίου, καθέσεώς τε καὶ χαλάσεως, ὅτι τὸ μὲν ἀῤῥωστούσης δυνάμεως γίγνεται, τὸ δ' ἐῤῥωμένης. συμβαίνει δ' ἔτι κατὰ τὰς ἐκπνοὰς τοῖς ἀσθενέσι κατὰ τὴν ἀναπνευστικὴν δύναμιν, τοιόνδε. τὴν τάσιν ἣν ἐκέκτητο τέως κατὰ τὰς εἰσπνοὰς, ὁ θώραξ ἅμα τῷ διαφράγματι, πᾶσαν ἀθρόως ἀποτίθεται, καθάπερ νεκρούμενος ἐξαίφνης. ἐῤῥέθη δ' ἐν τοῖς περὶ τῆς ἀναπνοῆς ὑπομνήμασιν, ὡς μόνον ἐκλύουσιν αἱ φρένες τὴν τάσιν ἐκπνεόντων. ἀλλ' οὐ ταυτὸν ἐκλῦσαι κατὰ βραχὺ, καὶ ἀθρόως ἀποθέσθαι πᾶσαν. ὀλίγον δέ τι συνεργάζονται ταῖς τοιαύταις ἐκπνοαῖς, οἱ κατὰ τὰ μεσοπλεύρια μύες, ὧν ἐνεργούντων τὰς ἐκφυσήσεις, ἐδείξαμεν γίνεσθαι. τοιοῦτον μὲν δή τι, καὶ διὰ ταύτας τὰς αἰτίας, τὸ τῆς ἀναπνοῆς εἶδος τοῖς ἀῤῥωστοῦσι τὴν δύναμιν. ὃ δ' ἐμοὶ δοκεῖ λείπειν ἔτι πρὸς τὸ συμπληρῶσαι τὸν πρῶτον λόγον, ἤδη λελέξεται. διττῆς οὔσης ἠρεμίας ἐν ταῖς ἀναπνοαῖς, περὶ τῆς εἰσπνοῆς μὲν μιᾶς, ἑτέρας δὲ περὶ τῆς ἐκπνοῆς, ὁποτέρα ἂν τῶν κινήσεων βλάπτηται, καὶ τὴν περὶ αὐτῆς ἠρεμίαν ἐξίστησι τοῦ κατὰ φύσιν. διττῆς μὲν οὖν οὔσης ἐν ταῖς κινήσεσι βλάβης, διττῆς δὲ καὶ ταῖς ἠρεμίαις, αἱ μὲν ἐλλείψεις τῆς χρείας, ἀεὶ πολυχρονίους ἀποτελοῦσι τὰς ἡσυχίας, αἱ δὲ πλεονεξίαι, βραχυχρονίους. ὡς θ' ὅταν εἴπωμεν πυκνὴν καὶ μεγάλην γίγνεσθαι τὴν ἀναπνοὴν ὑπὸ πλήθους θερμασίας ἐφ' ἑκατέρας τῶν κινήσεων, ἀληθὴς ὁ λόγος. αἱ μὲν γὰρ τοῦ κατὰ φύσιν θερμοῦ πλεονεξίαι, τὴν εἰσπνοὴν μεγάλην ἐργαζόμεναι, βραχυχρόνιον εὐθέως καὶ τὴν προηγουμένην αὐτῆς ἠρεμίαν ἀποφαίνουσιν. αἱ δὲ τοῦ παρὰ φύσιν τε καὶ καπνώδους, ὥσπερ τὴν ἐκπνοὴν μεγάλην, οὕτω καὶ τὴν περὶ αὐτῆς ἡσυχίαν ὀλιγοχρόνιον ἐργάζονται. ὥς τε μέγα μὲν γίνεται καὶ πυκνὸν τὸ πνεῦμα πάντως, ὁπόταν τῆς θερμασίας πλεονεκτῇ γένος. οὐ μὴν οὔτε τὸ αὐτὸ μόριον τῆς ἀναπνοῆς εἰς μέγεθος, οὔτε τὴν αὐτὴν ἠρεμίαν εἰς πυκνότητα μεταβάλλει. οὕτω δὲ καὶ εἰ καθαιρεθείη τὰ τῆς χρείας, τοῦ θερμοῦ μειωθέντος. ἤδη μὲν τοῦ συμφύτου θερμοῦ βλαβέντι μικρᾶς τῆς εἰσπνοῆς γινομένης ἠρεμία μακρὰ προηγεῖται. τοῦ παρὰ φύσιν δ' ἀπολλυμένου, μικρὰ μὲν ἡ ἐκπνοὴ, μακρὰ δ' ἡ περὶ αὐτῆς ἡσυχία γίγνεται. πολλάκις δὲ, τὸ μὲν παρὰ φύσιν θερμὸν ηὐξήθη, τὸ δὲ κατὰ φύσιν ἐμειώθη. καὶ οὕτως ἡ μὲν περὶ τῆς ἐκπνοῆς ἡσυχία, πολυχρόνιος γίνεται. βραχυχρόνιος δ' ἑτέρα. ὁποτέραν γὰρ ἂν τῶν κινήσεων ἡ χρεία κατεπείγῃ, τὴν προειρημένην ἡσυχίαν οὐκ ἀνέχεται χρονίζειν. εἴρηται μὲν οὖν ἤδη περὶ αὐτῶν ὅσον εἰς τὰ παρόντα χρήσιμον. εἰ δέ τις ἀπορεῖ περὶ τῆς ἐν ταῖς θερμασίαις διαφορᾶς, οὐ καιρὸς νῦν ἂν εἴη διδάσκειν, αὐτὸν, ἀλλ' εἰς τὰ περὶ τῆς ἐμφύτου θερμασίας ἀναπέμπειν ὑπομνήματα. νομίζω γὰρ αὐτὸν εἰ μὴ παντάπασιν ἐριστικὸς εἴη πασῶν τῶν ἀποριῶν εὑρήσειν ἐν ἐκείνοις ἰάματα. τί οὖν λοιπὸν ἔτι, προσθεῖναι μὲν οὐδὲν, ὅτι μὴ καὶ πρόσθεν εἴρηται, τῶν εἰρημένων δ' ὑπομνῆσαι, πρὸς τὸ ῥᾳδίως ἀκολουθεῖν τοῖς ἑξῆς εἰρησομένοις, ἐν ὀλίγῳ τὴν ἅπασαν αὐτῶν σύνοψιν ἔχοντας. ἔστι δὲ ἡ σύνοψις ἀπ' αὐτῆς τῆς οὐσίας τοῦ πράγματος ὡρμημένη. χρὴ γὰρ τάς τε τῆς δυνάμεως καὶ τὰς τῶν ὀργάνων, καὶ τὰς τῆς χρείας διαθέσεις γνωρίζειν. ἐδείξαμεν δὲ, πόσαι μὲν ἑκάστου τῶν εἰρημένων διαθέσεις, τίνες δ' αὐτῶν, αἱ γνωριστικαὶ δύσπνοιαι, καὶ ὡς ἀναγκαῖαι μὲν αἱ τέτταρες συζυγίαι, καὶ πρὸς ταύταις ἡ ἀνωμαλία, πέμπτη. τὰ δ' ἄλλα πάντα τὰ ταῖς ἀναπνοαῖς συμπίπτοντα, τά τε ἁπλᾶ καὶ τὰ σύνθετα, τίσιν αἰτίαις ἕπεται, ἀναγκαῖον ἀσκεῖν, οὐ προσήκει δὲ ἐξ ἀνάγκης, τὸ δέ τι δηλοῦν νομίζειν, ἀλλ' ὥστ' ἐξ ἐπιμέτρου μέν τι ἔχειν παρὰ τούτων εἰς πρόγνωσιν, ἐπιμελεστάτην δὲ καὶ βεβαίαν εἶναι μόνην, ἐπὶ τῆς ταῖς πολλάκις εἰρημέναις τέτταρσι συζυγίαις, καὶ ἔτι τὴν κατὰ τὴν ἀνωμαλίαν διαφορὰν τῆς δυσπνοίας.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΟΥ ΔΥΣΠΝΟΙΑΣ ΒΙΒΛΙΟΝ. β'.

ΟΔΕ μὲν ὁ λόγος ἐξήγησίς ἐστι τῶν Ἱπποκράτους περὶ δυσπνοίας εἰρημένων. εἴρηται δὲ πολλὰ πολλαχοῦ τὰ μὲν ἐν τοῖς συγγράμμασιν αὐτοῦ, τὰ δὲ κἂν τοῖς ὑπομνήμασι. τὰ πλεῖστα γάρ τοι τῶν ἐπιδημιῶν, εἰ μὴ ἄρα καὶ πάντα δικαίως ἄν τις ὑπομνήματα νομίζοι. ἔστι μὲν οὖν ἡ ἐξήγησις, ὥς πού τις τῶν παλαιῶν εἶπεν, ἀσαφοῦς ἑρμηνείας ἐξάπλωσις. ἡμεῖς δ' οὐ τοῦτο μόνον ἐοίκαμεν δράσειν, ἀλλ' ὅτι καὶ ἀληθῶς ἔχει πάντα τὰ περὶ δυσπνοίας ὑπ' αὐτοῦ γεγραμμένα, μαρτυρήσειν. οὐ μὴν ἀποδείξειν οὐδὲν αὐτῶν ἐν τῷδε τῷ γράμματι, ἀλλ' εἰς τὸ προηγούμενον τούτου βιβλίον ἀναπέμψειν, ἐν ᾧ χωρὶς ἀποδείξεως οὐδὲν εἴρηται. καὶ ἵνα γε μὴ δυσωποῖτο τις ὑπὸ τῆς Ἱπποκράτους δόξης, καὶ θᾶττον ἤδη τοῖς λεγομένοις πιστεύοι πρὶν ὑπὸ τῶν ἀποδείξεων ἀναγκασθῆναι, τὸν πρῶτον λόγον, ἰδίᾳ τε καὶ καθ' ἑαυτὸν ἐγράψαμεν. ἐπεὶ δ' ἐκεῖνος ἐτελειώθη μετὰ τῶν προσηκόντων συλλογισμῶν, ἐν τῷδε τῷ γράμματι τὸν εὑρετήν τε καὶ οἷον πατέρα τῶν δογμάτων τιμήσωμεν. αὕτη γὰρ καὶ δικαία τέ ἐστιν ἅμα καὶ πρέπουσα τοῖς ὁτιοῦν ἀγαθὸν ἐξευροῦσι τιμὴ, μή τε κατακεκρύφθαι τὰ εὑρέματα αὐτῶν, μή τ' ἀγνοεῖσθαι τοῖς ἀνθρώποις, ἀλλ' αὐτά τε φαίνεσθαι, τήν θ' εὑροῦσαν αὐτὰ μέθοδον γιγνώσκεσθαι. οὕτως γὰρ αὐτοῖς καὶ τὸ θαυμάζεσθαι κατὰ τὴν ἀξίαν ὑπάρξει. πρῶτον οὖν, ὅπερ ἀεὶ διαφυλάττειν ἀξιοῦμεν, οἷς ἂν ἀλήθεια σπουδάζηται, τὸ μηδὲν ἀποκρύπτεσθαι τῶν ἐναργῶς φαινομένων, μὴ δ' ἂν ὅτι μάλιστα τὸν τῆς αἰτίας λογισμὸν ἀπορώτατον ἔχῃ, τοῦτ' ἐπαινεῖν Ἱπποκράτην ἄξιον, ἔν τε τοῖς ἄλλοις ἅπασι, καὶ τοῖς περὶ δυσπνοίας λόγοις οὐχ ἥκιστα. τὸ γὰρ ἀραιὸν καὶ μέγα πνεῦμα, μυρίοις μὲν τῶν παραφρονούντων ὁσημέραι φαίνεται συμπίπτειν. ὅσοι δ' οὐ δύνανται τῶν σοφιστῶν εἰπεῖν αὐτοῦ τὴν αἰτίαν, οὕτως

δ᾽ εἰσὶν, ὡς ἔμπροσθεν ἐλέγξαμεν, οἱ τὴν ἀναπνοὴν ἀπροαίρετόν τε καὶ φυσικὸν ἔργον ὑπειληφότες, οὐδὲ γίγνεσθαί φασιν, οὐδέ ποτε τοιοῦτον εἶδος δυσπνοίας, ἐξ ὧν περὶ τῆς αἰτίας ἀκριβοῦσιν, ἐκ τούτων τὴν οὐσίαν τοῦ πράγματος ἀνατρέπειν τολμῶντες, δέον οὐ ταύτην, ἀλλὰ τὴν αὐτῶν μοχθηρὰν ὑπόληψιν ἀνατρέψαντας, αὐτὰ τὰ συμπίπτοντα τοῖς νοσοῦσι παραφυλάττειν, ὡς Ἱπποκράτης ἐποίει. τουτωῒ γάρ φησιν, πνεῦμα διατέλεος, ὥσπερ ἀνακαλεομένῳ ἀραιὸν καὶ μέγα, τουτωῒ, Φιλίσκῳ δηλονότι, τῷ πρώτῳ γεγραμμένῳ, μετὰ τὰς τρεῖς καταστάσεις, ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. ἆρ᾽ οὖν τούτῳ μόνῳ τὸ πνεῦμα, μέγα τε ἀραιόν, ἢ τε ἄλλοις, τισὶν Ἱπποκράτης ἐθεάσατο γιγνόμενον, οὐ τούτῳ μόνον, ἀλλὰ καὶ ἄλλοις τε πολλοῖς, καὶ τῷ μετὰ ταῦτα γεγραμμένῳ Σιληνῷ τοὔνομα. διελθὼν γοῦν καὶ περὶ τούτου, πάνθ᾽ ὅσα συνέπεσεν αὐτῷ νοσοῦντι, κατ᾽ αὐτὴν τοῦ λόγου τὴν τελευτὴν ταῦτα γράφει. ἐξ ἀρχῆς τούτῳ τε διατέλεος, πνεῦμα ἀραιόν, μέγα. αὖθις δ᾽ ἐν τοῖς ἐξῆς ἀῤῥώστοις τὴν Δρομάδεω φησὶ γυναῖκα τεκοῦσαν, καὶ τῶν ἄλλων γινομένων πάντων κατὰ λόγον, δευτεραίην ἐοῦσαν, ῥῖγος ἔλαβεν. εἶτα μικρὸν προελθὼν φησί. πνεῦμα ἀραιὸν μέγα. τοῦτο μὲν οὖν εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἔγραψεν οὕτως. αὖθις δὲ περὶ τῆς ς´. διαλεγόμενος ὧδί γράφει. ἕκτῃ πρωῒ ἐπεῤῥίγωσε. ταχὺ διεθερμάνθη. ἵδρωσεν δι᾽ ὅλου. ἄκρεα ψυχρά. παρέκρουσε. πνεῦμα ἀραιόν, μέγα. ἐν μὲν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἑκκαίδεκα τοὺς πάντας ἀῤῥώστους Ἱπποκράτης γράψας, τετράκις φαίνεται μνημονεύων, ἀραιοῦ καὶ μεγάλου πνεύματος. οἱ γενναῖοι δ᾽ ἡμῖν οὗτοι σοφισταί, τὴν ἀρχὴν οὐδὲ ἑωρακέναι φασὶν οὐδένα, μέγα καὶ ἀραιὸν ἀναπνέοντα, ἢ ἀλλ᾽ ἴσως μὲν τοῦτο αὐτοῖς πιστευτέον. οὐ γὰρ ἑωράκασιν οὔτε ταύτης, οὔτ᾽ ἄλλης δυσπνοίας διαφορὰν οὐδεμίαν, ὅτι μηδὲ τοὺς ἀῤῥωστοῦντας αὐτοὺς ὁρῶσιν, ἀλλ᾽ ἔνδον καθέζονται, μοχθηρὰ σοφίσματα συντιθέντες. ἆρ᾽ οὖν ἔτι καὶ τῶν ἄλλων ἀῤῥώστων μνημονευτέον ἡμῖν ἐστὶν οὓς ἐν τοῖς ἄλλοις βιβλίοις τῶν ἐπιδημιῶν ἔγραψεν, μέγα καὶ ἀραιὸν ἀναπνέοντας, ἢ πρὸς μὲν τὴν τοῦ νῦν προκειμένου πίστιν ἀρκεῖ μὲν ταῦτα; φαίνεται γὰρ ὁ ὑπὸ πάντων ἰατρῶν Ἱπποκράτης ὡμολογημένος εἰς τὴν τῶν συμβαινόντων τοῖς νοσοῦσι τήρησιν ἐπιμελέστατος γεγονέναι, πολλοὺς ἑωρακὼς οὕτως ἀναπνέοντας. ἐν δὲ τῷ μετὰ τοῦτα λόγῳ καὶ ἄλλων τινῶν ἀῤῥώστων ἀναγκαῖον ἡμῖν ἐστὶ μνημονεῦσαι μέγα καὶ ἀραιὸν ἀναπνευσάντων, οὓς ἐν τοῖς ἐξῆς βιβλίοις ἔγραψεν ὁ Ἱπποκράτης, ἀλλ᾽ εἰς οὐκ πίστιν ἔσται τοῦ νῦν προκειμένου, τοῦτο μὲν γὰρ ἤδη δῆλον, ἀλλ᾽ εἰς ἑτέρων τινῶν ἐν τῷ κατ᾽ αὐτοὺς λόγῳ προκειμένων ζητημάτων ἐξήγησιν, ἐν παρέργῳ δὲ καὶ ἡ πίστις, τοῦ, πολλοὺς οὕτως ἀναπνεῖν, αὐξηθήσεται. τίνος οὖν διαθέσεως ἡ τοιαύτη δύσπνοια γνωριστική; οὐδὲ μιᾶς ἄλλης, ὅτι μὴ παραφροσύνης. διὰ τίνα τὴν αἰτίαν, ἐν μὲν τῷ προτέρῳ λόγῳ σαφῶς δέδεικται, ὑπομνήσεως δ᾽ ἕνεκα, καὶ νῦν εἰρήσεται διὰ βραχέων. τῷ γὰρ ὄντι παραφροσύνης ἴδιον σύμπτωμα μεγάλην τε καὶ ἀραιάν, ὅπερ ἐστὶ διὰ πολλοῦ τοῦ χρόνου, τὴν ἀναπνοὴν ποιεῖσθαι. τί γὰρ ἔδει πλέον εἰσπνεῖν, μὴ δεόμενον πλέονος. ἢ τί διὰ πολλοῦ χρόνου, πρὸν δὴ ἐλάττονος. ὅτι δ᾽ οὐ δέονται πλέονος ἀθρόως, οἱ μέγα τε καὶ ἀραιὸν εἰσπνέοντες, ἡ ἀραιότης κατηγορεῖ. πάντως γὰρ ἂν ἠπείγοντο συνεχέστερον εἰσπνεῖν, εἴπερ ἐδέοντο πλέονος. τὸ δ᾽ ἡσυχάζειν εἰς μακρόν, σημεῖον ἐστὶ τοῦ μὴ δεῖσθαι πολλοῦ, ἀλλ᾽ ἔοικεν ἄμφω ταῦτα οἷον ἐπιλαμβανομένου, τῆς ἐνεργείας εἶναι παθήματα. τὸ γὰρ ἄμετρον μὲν ποιήσασθαι τὴν ὅλην τοῦ πνεύματος, ἄμετρον δὲ τὴν ἡσυχίαν, οὔθ᾽ ὅπου καταπαῦσαι χρὴ τὴν ἐνέργειαν εἰδότος ἐστὶν, οὔθ᾽ ὅτε πάλιν ἄρξασθαι, ἀλλ᾽ ἐν ἀμφοτέροις τὸ μέτρον ὑπερβαίνοντος, ἀγνοίᾳ τοῦ προσήκοντος. ὡς οὖν ἀμίδα πολλάκις αἰτήσαντες, ἵν᾽ οὐρήσουσιν οἱ παραφρονοῦντες, ἐπιλάθοντο ἐν τῷ μεταξύ, εἶτ᾽ οὐκ ἂν οὐρήσαιεν, εἰ μὴ ὑπομνήσει τις, οὕτως ἐπειδὴ καὶ τὸ ἀναπνεῖν ψυχικόν ἐστιν ἔργον, βέβλαπται δ᾽ αὐτοῖς ὁ λογισμός, ἐπιλησμονέστεροι περί τε τὰς ἐνεργείας αὐτάς, καὶ περὶ τὰ διαλείμματα αὐτῶν γίγνονται. ἀμφότερα οὖν ἐν πολλῷ χρόνῳ ποιοῦντες, καὶ τὰς ἐνεργείας, καὶ τὰς ἡσυχίας, μέγεθος οὕτω καὶ ἀραιότητα περὶ τὴν ὅλην ἀναπνοὴν ἐργάζονται. ἆρ᾽ οὖν ἡμεῖς μὲν οὕτω φαμέν, Ἱπποκράτης δ᾽ ἄλλως ἐγίγνωσκεν, ἢ κἀκεῖνος ἐν προγνωστικῷ, τόν δὲ τὸν τρόπον ἔγραψεν; Μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει. ὃ γὰρ ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἀραιὸν ὠνόμασε, τοῦτ᾽ ἐν τῷ προγνωστικῷ, διὰ πολλοῦ κέκληκε, εἰς λόγον μεταβαλὼν τοὔνομα. καὶ γὰρ οὖν κἀπὶ τῶν ἀῤῥώστων ἐκείνων, οἷς μέγα καὶ ἀραιόν φησι γίγνεσθαι τὸ πνεῦμα, πρὸς τοῖς ἄλλοις συμπτώμασι καὶ παραφροσύνην γράφει. ἐπὶ μὲν τοῦ πρώτου πάντων τοῦ Φιλίσκου, τόν δὲ τὸν τρόπον. νύκτα δύσφορος, οὐκ ἐκοιμήθη, πάντα παρέκρουσε. οὕτως μὲν ἐν τῇ τῆς τρίτης ἡμέρας διηγήσει. ἐν δὲ τῇ τῆς πέμπτης πάλιν. ὕπνοι σμικροί, λόγοι, λῆρος. Ἐπὶ δὲ τοῦ δευτέρου τῶν ἀῤῥώστων ᾧ Σιληνὸς ἦν ὄνομα, ἐν μὲν τῇ τῆς δευτέρας ἡμέρας διηγήσει, σμικρὰ παρέκρουσε φησίν, ἐν δὲ τῇ τῆς τρίτης. λόγοι πολλοί, γέλως, ᾠδή, κατέχειν οὐκ ἠδύνατο. εἶτ᾽ ἐφεξῆς ἐρεῖ, τετάρτῃ διὰ τῶν αὐτῶν. Φιλίσκος μὲν δὴ καὶ Σιληνὸς ὅτι παρεφρόνησαν, οὕτω ἐμνημόνευσεν. ἐπὶ δὲ τῆς Δρομεάδεω γυναικός, καὶ γὰρ καὶ ταύτην ἀραιὸν καὶ μέγα ἀναπνεῦσαι φησί, τόν δὲ τοῦ τρόπου ἔγραψε. περὶ μέσης ἡμέρης, πολλὰ παρέκρουσε. καὶ πάλιν ταχὺ σμικρὰ κατενόει. οὕτως μὲν οὖν ἐν τῇ πέμπτῃ τῶν ἡμερῶν. εἶτα ἐπιφέρει. νυκτὸς ἐπεκοιμήθη, παρέκρουσε. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰ διὰ τῆς ἕκτης ἡμέρας γινόμενα, γράφων ὧδέ πως φησί. ἄκρεα ψυχρά, παρέκρουσεν οὕτω μὲν οὖν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἔνθα μεγάλου καὶ ἀραιοῦ πνεύματος, ἐνταῦθα καὶ παραφροσύνης μνημονεύει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ διὰ τῶν ἐξῆς βιβλίων ἡμᾶς ὑπομνήσκει, μηδαμοῦ μεγάλου καὶ ἀραιοῦ πνεύματος μνημονεύων, ὅπου μὴ μεγάλης παραφροσύνης. ὅτι μὲν οὖν ἐπὶ τῶν νοσούντων ἐθεάσατο πολλάκις Ἱπποκράτης τὴν τοιαύτην δύσπνοιαν ἐπὶ παραφροσύνῃ γινομένην, καὶ ὅτι καθόλου περὶ αὐτοῦ ἀπεφήνατο διὰ τοῦ προγνωστικοῦ, καὶ ταῦτα μὲν ἱκανῶς ἔχειν ἡγοῦμαι. βεβαιωθήσεται δ᾽ οὐδὲν ἧττον ἔτι καὶ διὰ τῶν ἐξῆς εἰρησομένων. καὶ γάρ τοι καὶ δίκαιον ἦν, μὴ πάνυ πολλὰ λέγεσθαι περὶ αὐτῆς, ἀλλὰ διὰ τοὺς ἐν τοῖς περὶ φύσεως ἀναπνοῆς λογισμοῖς σφαλέντας, εἶθ᾽ ὑπὸ φιλονεικίας ἀναισχυντοῦντας, ἠναγκάσθημεν καὶ ἡμεῖς πλέω τοῦ προσήκοντος εἰπεῖν, ὅπως αὐτοὺς δυνηθείημεν, κἂν νῦν γοῦν, μετάξαι πρὸς τὸ βέλτιον. ἔστι δ᾽ ὡς ἔοικεν οὐδεμία βαφὴ δευσοποιὸς οὕτως, ὡς τὸ τῶν ἄνευ λογισμοῦ πρὸς τὰ μοχθηρὰ δόγματα πάθος. οὐ γὰρ ἐστὶ μεταπεῖσαι τοὺς ἐν αὐτοῖς τραφέντας, ὡς ἂν μήτ᾽ ἐν ταῖς ἀποδεικτικαῖς μεθόδοις γεγυμνασμένους, μήθ᾽ ὅλως πεπεισμένους τι κριτήριον ἀληθῶν καὶ ψευδῶν,

ἀλλὰ μὴ

ἀλλὰ μὴ δ᾽ εἶναι βουλομένους ὅσοι γε πλέους αὐτῶν, καὶ ταύτην μισοῦντας τὴν σοφίαν. τῶν δὴ τοιούτων ποτέ τις ἄρρωστον ἡμῖν ἐπιδείξας, παραφρονοῦντα μὲν, ἀλλὰ μή τε μέγα, μήτ᾽ ἀραιὸν ἀναπνέοντα καταγελᾶν, μᾶλλον δὲ καγχάζων ἀναισχύντως, καὶ διαπαίζων Ἱπποκράτους, καὶ ἡμᾶς, ἀπηλλάττετο, μὴ δὲ λόγου μεταδοὺς ἡμῖν, μὴ δ᾽ ἀναχόμενος μηδὲν ἐπακοῦσαι, καί τοι διδάξειν ἐπαγγελλομένοις, ὡς οὐ μάχεται τὸ φαινόμενον, οὔτε τοῖς πρὸς ἡμῶν λεγομένοις, οὔτε τοῖς Ἱπποκράτει γεγραμμένοις. ὁ μὲν γὰρ τὸ μέγα καὶ ἀραιὸν πνεῦμα παραφροσύνης εἶναί φησι γνώρισμα, οὐ μὴν εἴ τις παραφρονεῖ, πάντως τοῦτον ἀραιὸν ἀναπνεῖν καὶ μέγα, τά, τε πρὸς ἡμῶν λεγόμενα, ταυτὸ τοῦτ᾽ ἐπαγγέλλεται, μηδὲν παραχαραττόντων ἡμῶν, μὴ δὲ μεταποιούντων ὧν ἐκεῖνος ἔγραψεν, ἀλλὰ τὰς ἐξηγήσεις, καὶ τὰς ἀποδείξεις μόνας προστιθέντων. εἰ δὲ ὃ νῦν ἔφην, ὡς οὗτος ἐξεύρηκε, τό, πᾶσι τοῖς παραφρονοῦσιν, ἀραιὸν καὶ μέγα γίγνεσθαι τὸ πνεῦμα, σαφῶς ἐνδείκνυται μηδὲν τῶν Ἱπποκράτους ἀνεγνωκώς, καί τοι προσποιεῖς γε, καταγιγνώσκειν αὐτῶν, ὡς ἀνεγνωκὼς δή που πρότερον. ἀλλ᾽ ἐκεῖνος μὲν ἀπηλλάγη πρὶν μαθεῖν τι χρηστόν. σὺ δ᾽ ὁ τοῖς δὲ τοῖς γράμμασιν ὁμιλῶν, εἴπερ ὄντως ἀληθείας ἐρᾷς, ἐπάκουσον Ἱπποκράτους ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, ἐπ᾽ ἀρρώστου τινὸς ὄνομα Πυθίωνος ὧδι γράφοντος ἐν τῇ τῆς. ζ΄. ἡμέρας διηγήσει. νυκτὸς ταραχὴ πολλή, παρέλεγεν. οὐδὲν ἐκοιμήθη. εἶθ᾽ ἑξῆς ἐπὶ τῆς. η΄. ἡμέρας, ὧδι. ὀψὲ πάλιν ἀνεθερμάνθη, παρέκρουσε. καὶ μετὰ ταῦτα πάλιν ἐπὶ τῆς ἐννάτης. περὶ δὲ ἡλίου δυσμὰς ἐδυσφόρει, παρέλεγεν. ὡς οὖν ταῦτα ἐπάκουσας, οὕτω πάλιν ἐπάκουσον, οἷόν τι τὸ τῆς δυσπνοίας εἶδος ἐγένετο τούτῳ τῷ Πυθίωνι. γνώσει γὰρ ὅτι μή τε μέγα μήτ᾽ ἀραιὸν ἀνέπνει, καί τοι παραφρονῶν. ἐμνημόνευσεν οὖν τῆς γενομένης αὐτῷ δυσπνοίας ὁ Ἱπποκράτης, δὶς τὸ σύμπαν ἐν ὅλῃ τῇ διηγήσει. κατά τε τὴν δευτέραν ἡμέραν καὶ κατὰ τὴν ὀγδόην. ἀλλ᾽ ἐγὼ τὸ κατά. η΄. παραθήσομαι πρότερον, ἐν ᾗ καὶ παραπαῦσαι φησὶ καὶ δυσπνοῆσαι τὸν ἄνθρωπον, ὧδί γράφων. ὀγδόη, πρωῒ μὲν ἐκοιμήθη σμικρόν. ἄφνω δὲ ψύξις, ἀφωνίη λεπτὸν πνεῦμα, καὶ μινυθῶδες. ὀψὲ πάλιν ἀνεθερμάνθη. παρέκρουσεν. ἑξῆς οὖν ἐν ταῦθα γέγραφεν ἀλλήλων. ὅτι λεπτὸν αὐτῷ καὶ μινυθῶδες ἦν τὸ πνεῦμα, καὶ ὅτι παρέκρουσεν ἐν μιᾷ καὶ αὐτῇ ἡμέρᾳ ταύτῃ τῇ ὀγδόῃ. ἆρ᾽ ὦ πρὸς Διὸς οὐκ ἤδη σαφές ἐστιν, ὡς οὐκ ἐπὶ πάσης παραφροσύνης Ἱπποκράτης, ἀραιὸν καὶ μέγα φησὶν γίγνεσθαι τὸ πνεῦμα; εἰ μή τι νομίζεις ὦ οὗτος οὐδὲν διαφέρειν τοῦ μεγάλου τὸ μινυθῶδες. εἰ γὰρ τοῦτο, δῆλον, ὡς οὐδὲ τὸ μινύθειν, οἷόν τί ἐστιν οἶσθα, καὶ νομίζεις ταυτὸν εἶναι τῷ αὐξάνειν αὐτό. μὴ τοίνυν παρ᾽ ἡμῶν τά γε τοιαῦτα μάνθανε, ἀλλ᾽ ἐπὶ τοὺς τὰ πρῶτα γράμματα διδάσκοντας ἴθι. ἀλλ᾽ ὥσπερ ταῦτα οὐκ ἔμαθεν ὁ τὸ μινύθειν ἀγνοῶν, οὕτως οὐδὲ τὰ Ἱπποκράτους ἀνέγνω συγγράμματα. πάντως γὰρ ἂν ἐν αὐτοῖς μυριάκις εὗρε, καὶ τὸ μινύθειν, καὶ τὸ μινυθῆναι, καὶ τὴν μινύθησιν, κατὰ πάντας σχεδὸν ἀριθμούς, καὶ γένη, καὶ πτώσεις ἐγκεκλιμένα πανταχοῦ, τοὐναντίον αὐξήσει τε καὶ τῷ αὐξάνειν δηλοῦντα. ὥς τε καὶ τὸ μινυθῶδες εἴη ἂν τὸ ἐναντίον τῷ ηὐξημένῳ. εἴπερ οὖν τὸ ηὐξημένον μέγα, τὸ μινυθῶδες μικρόν ἐστιν. οὕτως οὖν καὶ ὁπόταν τὴν δευτέραν ἡμέραν διηγεῖτο τοῦ Πυθίωνος βραχύπνοον αὐτὸν ὠνόμασε. ἡ γάρ τοι βραχύπνοια, καὶ τὴν ἐνέργειαν αὐτὴν βραχεῖαν γίγνεσθαι δηλοῖ, καὶ τὴν ἡσυχίαν. ὥσπερ ἡ μακρόπνοια, κατὰ τοὐναντίον, ἄμφω μεμηκῦνθαι. καί τοι κἂν εἰ θάτερον αὐτῶν ἐδήλου, τό γε, μὴ πᾶσι γίγνεσθαι τοῖς παραπαίουσι μέγα τε καὶ ἀραιὸν τὸ πνεῦμα, καὶ οὕτως ἂν ὡμολόγητο. τὸ μὲν γὰρ ἀραιὸν καὶ μέγα, κατ᾽ ἄμφω μακρόν ἐστι, καὶ κατὰ τὴν ἐνέργειαν καὶ κατὰ τὴν ἡσυχίαν. ἡ βραχύπνοια δὲ πάντως κατὰ τὸ ἕτερόν γε αὐτῶν βραχεῖα, ὥσπερ καὶ τὸ λεπτὸν καὶ τὸ μινυθῶδες πνεῦμα, βραχὺ πάντως ἐστίν. Ἱπποκράτης οὖν αὐτὸς οἶδε σαφῶς οὐκ ἐξ ἀνάγκης ὑπάρχειν ἅπασι τοῖς παραπαίουσι τὸ μέγα καὶ ἀραιὸν πνεῦμα, οὐ μὴν μάχεταί γε τοῦτο τῇ περὶ τῆς τοιαύτης δυσπνοίας ἀποφάνσει. τὸ μὲν γὰρ ἀραιὸν καὶ μέγα, παραφροσύνης ἴδιον καὶ διὰ τοῦτ᾽ ἐξ ἀνάγκης αὐτὴν δηλώσει. οὐ μὴν εἰ παραφρονεῖ τις μέγα καὶ ἀραιὸν ἐξ ἀνάγκης ἀναπνεῖ. οὐ γὰρ ἀχώριστον, ἀλλὰ ἴδιον ἔφαμεν εἶναι παραφροσύνης τὸ ἀραιὸν καὶ μέγα πνεῦμα, καθάπερ τὸ γεωμετρεῖν. τὸ τεκταίνεσθαι, τὸ φιλοσοφεῖν, τὸ ῥητορεύειν καὶ ἄλλα μυρία, ὧν ἕκαστον οὐδενὶ μὲν ὑπάρχει τῶν ἄλλων ζώων, ὅτι μὴ ἀνθρώπῳ μόνῳ, καὶ διὰ τοῦτο ἴδιον αὐτοῦ λέγεται οὐ μὴν ἀχώριστόν γέ τι, καθάπερ τὸ λογικόν. οὐ γὰρ πᾶν ἴδιον εὐθὺς καὶ ἀχώριστον. ὥσπερ δὲ ταῦθ᾽ ἡμᾶς ἡ λοιδορουμένη πρὸς αὐτῶν ἐδίδαξεν διαλεκτική, οὕτως καὶ ὅτι τὸ τοιοῦτον ἀξίωμα, εἰ μέγα καὶ ἀραιὸν ἀναπνεῖ παραφρονεῖ, οὔτε ταυτόν ἐστι τῷ, εἰ παραφρονεῖ, μέγα καὶ ἀραιὸν ἀναπνεῖ, οὔτ᾽ ἀναγκαῖον αὐτὰ συναληθεύεσθαι. οὐ γὰρ ἀντιστρέφει πρὸς ἄλληλα ταῦτα, ἀλλὰ μόνον ἀναστρέφει. ὡς οὖν οὐδεὶς ὀλύμπια νικῆσαι δύναται, μὴ πολλῷ πρότερον γυμνασάμενος, οὕτως οὐδὲ τῆς ἐν τοῖς λόγοις ἀληθείας ἐπηβόλοντος γενέσθαι μὴ μαθὼν τὰ κἂν τούτοις παλαίσματα, καὶ εἴπερ οὐδὲ πεσεῖν εὐσχημόνως ἴσασιν οἱ παντάπασιν ἀμαθεῖς παλαισμάτων, ἀλλ᾽ ἔσθ᾽ ὅτε κατὰ τῆς γῆς ὕπτιοι κείμενοι κρατοῦσι καὶ ἄγχουσι, καὶ οὐ μεθίασι τὸν αὐτὸν οἶμαι τρόπον οἱ ἀμαθεῖς τῆς ἐν τοῖς λόγοις τέχνης, ἐναργῶς πεπτωκότες πολλάκις αἴσχιστον πτῶμα, τοσοῦτα δέουσιν αἰδεῖσθαι, ὥς τε καὶ νενικηκέναι νομίζουσιν. ὥσπερ καὶ ὁ τὸν παραφρονοῦντα δεικνύων μικρὸν ἀναπνέοντα, κἄπειτα νομίζων ἐξελέγχθαι διὰ τούτου τοῦ φαινομένου τὴν Ἱπποκράτους ἀπόφανσιν, οὗτος γοῦν αἴσχιστον πτῶμα πεσὼν, ᾤετο καταβεβληκέναι. πῶς γὰρ οὐκ αἴσχιστα, ἅμα μὲν εὑρεθῆναι μηδὲν τῶν Ἱπποκράτους ἀνεγνωκότα, καὶ διὰ τοῦτο οἴεσθαι κενῶς εἰρῆσθαι, τὰ πάλιν πρὸς ἐκείνου γεγραμμένα, ἅμα δὲ μηδὲ συνιέναι τῶν λεγομένων, ἀλλὰ παρακούειν τε, καὶ ταυτὸν εἶναι νομίζειν, τὸ μέγα καὶ ἀραιὸν πνεῦμα παραφροσύνης εἶναι γνώρισμα, τῷ πάντως ἕπεσθαι παραφροσύνῃ τὴν εἰρημένην δύσπνοιαν. εἶτα τί θαυμαστόν ἐστιν, ἐν τοῖς τῶν ἰάσεων λογισμοῖς τυφλώττειν τοὺς μὴ δὲ τὰ οὕτως σμικρὰ γιγνώσκοντας. ἀλλ᾽ ἤρτηται δηλονότι τὰ σμικρὰ ταῦτα, ἐξ ἑτέρων σμικρῶν μὲν, καὶ αὐτῶν, ὀλιγωρηθέντων δ᾽ αὐτοῖς. τὸ γὰρ ἀγνοῆσαι τίς δύναμις ἐπιτροπεύει τὴν ἀναπνευστικὴν ἐνέργειαν, ἀρχὴ τῶν τοιούτων σφαλμάτων. ἠγνοήθη δ᾽ ἐκεῖνο, διότι προηγνοήθη, ὅπερ ἐχρῆν πορίζεσθαι ταῖς ἀποδείξεσι τὰς προτάσεις. τοῦτο γάρ τοι τοῦ παλαίσματος, οἱ μὲν ἀγύμναστοι γενηθέντες, οἱ δὲ τελέως ἀμαθεῖς, τὰ τηλικαῦτα πίπτουσι πτώματα. καὶ ἡμῖν ἐν ἑτέροις ἀποδέδεικται, καὶ μάλιστ᾽ ἐν τῷ δευτέρῳ περὶ μυῶν κινήσεως, ὅτι τοῖς ἀπροαίρετον εἰποῦσιν ἔργον εἶναι τὴν ἀναπνοήν, ἐκ τοῦ μὴ δυνηθῆναι παρὰ τῆς οὐσίας αὐτῆς τοῦ πρὸ-

γματος ποιεῖσθαι τὰς εἰς τὴν ἀπόδειξιν προτάσεις, ἀλλὰ τοῖς ἄλλοις ὡς συμβεβηκὸς ἀκολουθῆσαι, σφαλῆναι συνέπεσεν. ἀλλὰ καὶ Ἱπποκράτης γε ὁ τὴν φύσιν μὲν αὐτὴν ὁρῶν τῶν πραγμάτων, ὑπερορῶν δὲ τῶν ἄλλων ὡς συμβεβηκότων, ἐν μὲν τῷ καθόλου βεβαίως ἀπεφήνατο διὰ τοῦ προγνωστικοῦ. μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει. κατὰ μέρος δὲ διὰ τῶν ἐν τοῖς νοσήμασι φαινομένων ἐβασάνισε τὸν λόγον ἐσχάταις εἰς ἀκρίβειαν βασάνοις, ἃς οἶμαι θαυμάσειεν εἴ τις ἐθελήσειεν προσέχειν τὸν νοῦν τοῖς λεγομένοις. μαθήσεται γὰρ ὅτι παραφροσύναις μὲν ἁπάσαις, ἐπεὶ μέγα καὶ ἀραιὸν πνεῦμα κατὰ τὸν ἴδιον αὐτῶν λόγον, οὐ μήν γε τοῖς παραφρονοῦσιν ἅπασιν, ἀλλὰ μόνοις ἐκείνοις, ὅσοι μὴ δι' ἄλλην τινὰ διάθεσιν μείζονα τῆς παραφροσύνης ἑτέρως ἠλλοιωμένην ἔχουσι τὴν ἀναπνοήν. συγχωρησάτω δέ μοι πρότερον μιᾶς ἀρρώστου γυναικὸς προθεῖναι διήγησιν ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν γεγραμμένης, εἰς ἀπόδειξίν τε ἅμα τῶν ἤδη προειρημένων, εὕρεσίν τε τῶν νυνὶ προκειμένων. ἄρχεται μὲν οὖν τοῦ περὶ αὐτῆς λόγου, τόνδε τὸν τρόπον. ἐν Θάσῳ Δεάλκους γυναῖκα ἣ κατέκειτο ἐπὶ τοῦ λείου, πυρετὸς φρικώδης ὀξὺς ἐκ λύπης ἔλαβεν, ἐξ ἀρχῆς δὲ περιεστέλλετο. καὶ διατέλεος ἀεὶ σιγῶσα ἐψηλάφα, ἔτιλλεν, ἔγλυφεν, ἐτριχολόγει, δάκρυα, καὶ πάλιν γέλως, οὐκ ἐκοιμᾶτο, ἀπὸ κοιλίης ἐρεθισμός. οὐδὲν διήει σμικρὰ ὑπομιμνησκόντων, ἔπινεν. οὖρα σμικρά, λεπτά. οὐκ ἔχοντα ὑπόστασιν. πυρετοὶ πρὸς χεῖρα λεπτοί. ἀκρέων ψύξις. ἐνάτῃ πολλὰ παρέλεγε, καὶ πάλιν ἐνιδρύνθη σιγῶσα. οὐκοῦν ὅτι μὲν ἐξ ἀρχῆς τε καὶ διατέλους αὕτη παρεφρόνει, μεμαθήκαμεν. οὐ δὲ γὰρ ἕν τι παραφροσύνης εἶδος αὐτῇ συνέπεσεν, οὐδὲ τὸ τυχόν, ἀλλὰ πολλά τε καὶ ἰσχυρά, τὰ μὲν σιωπώσῃ, τὰ δὲ φθεγγομένῃ, καὶ τὰ μὲν μετὰ δακρύων, τὰ δέ γε μετὰ γέλωτος. ἀκούσωμεν δ' ἑξῆς, καὶ τοῦ Ἱπποκράτους, οἷόν τι δυσπνοίας εἶδος αὐτῇ γενέσθαι φησί. γράφει δὲ ὧδε. Τεσσαρεσκαιδεκάτῃ, πνεῦμα ἀραιὸν μέγα διὰ χρόνου καὶ πάλιν βραχύπνοος. Ἐνταῦθα μέν γε σαφῶς πάλιν κατ' ἀντίθεσιν ἡ βραχύπνοος εἴρηται τῇ μέγα καὶ ἀραιὸν ἐχούσῃ πνεῦμα, καὶ οὐδεὶς ἂν ἔτι, οὐδ' εἰ παντάπασιν εἴη σκαιότατος, ἀπορήσειεν, ὅτι μὴ πᾶσι τοῖς παραφρονοῦσιν ὁ Ἱπποκράτης ἀραιὰν καὶ μεγάλην γίγνεσθαί φησι τὴν ἀναπνοήν. ἐπὶ γοῦν μιᾶς καὶ τῆς αὐτῆς γυναικὸς τῶν δυσπνοιῶν ἑκατέρων ἐφεξῆς μέμνηται. καὶ μικρὸν ἔτι προσελθὼν, ὧδέ πως γράφει. Εἰκοστῇ λόγοι πολλοί. καὶ πάλιν ἱδρύνθη, ἄφωνος, βραχύπνοος. εἶτα εἰπὼν, μίαν, καὶ εἰκοστῇ ἀπέθανεν, ἐπὶ τέλει τοῦ παντὸς λόγου, τάδε προσέγραψεν. ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιὸν, μέγα. ἀναισθήτως πάντων εἶχεν. ἀεὶ περιεστέλλετο. Δῆλος οὖν ἐστιν ὁ Ἱπποκράτης, ἐξ ἁπάντων παρεθέμεθα, ποτὲ μὲν τὸ μέγα καὶ ἀραιὸν πνεῦμα τοῖς παραφρονοῦσι γιγνόμενον εἰδὼς, ποτὲ δὲ τὸ ἐναντίον αὐτοῦ, ποτὲ δ' ἀμφότερα κατὰ τὸν αὐτὸν ἄνθρωπον ἐν μέρει συμπίπτοντα. καί σοι νομίζω δείξειν, ἂν προσέχῃς τὸν νοῦν, καὶ μὴ παρέργως ἀκούῃς τῶν λεγομένων, ἐν αὐτοῖς οἷς ἔγραψεν ἀρρώστοις, ἐνδεικνυμένην αὐτῷ ἑκάστης τῶν προειρημένων διαφορῶν τὴν αἰτίαν. ἄρξομαι δ' ἀπὸ τῆς ὑστάτης ἡμῖν παραγραφείσης ἀρρωστίας τῆς Δεάλκους γυναικὸς, ἐφ' ἧς ἅπαντα συμπληρώσας τὸν λόγον, εἶθ' ὥσπερ εἴωθεν ἀναλαμβάνων ἐν ὀλίγῳ τὰ συνέχοντα κεφάλαια, ταυτὶ γράφει. ταύτῃ διατέλεος πνεῦμα ἀραιόν. μέγα, ἀναισθήτως πάντων εἶχεν, ἐν γὰρ τῷ πάντων καὶ ἡ τῆς ἀναπνοῆς χρεία, ἧς καὶ αὐτῆς ὠλιγώρει μέχρι πλείονος. ὅτι μηδὲν ᾐσθάνετο, κἂν τούτῳ μακρᾶς ἡσυχίας ἀποτελουμένης, ἀραιὸν ἐγίγνετο τὸ πνεῦμα τό τε πρῶτον ἐπὶ τὴν ἐνέργειαν ἐξορμώσης τῆς προαιρέσεως, ἡνίκα πλησίον ὀλέθρου καὶ πνίξεως ἀφικνεῖται. ὥσπερ δὲ οὐκ ἔπινεν αὐτάρκως ἡ ἄνθρωπος αὕτη. μικρὰ γάρ φησιν ὑπομιμνησκόντων ἔπινεν, οὕτως οὐδ' ἀνέπνει πρὶν ὑπὸ τῆς κατὰ τὸ πνίγεσθαι βίας ἀναμνησθῆναι πολὺ σφοδρότερον νυττούσης τε καὶ κεντριζούσης, καὶ πρὸς τὴν ἐνέργειαν ἐπεγειρούσης, τῶν πίνειν ὑπομνησκόντων. ἀρξαμένη δ' ἀναπνεῖν, ἀνεκαλεῖτο μηδὲν ἧττον πᾶν τὸ πρόσθεν λεῖμμα τῷ μεγέθει τῆς ἐνεργείας, ὁμοίως τοῖς ἐν ταῖς λύπαις καὶ τῷ κλαίειν στενάζουσιν. ἀλλ' ἐκεῖνοι μὲν ὑπὸ διττῆς αἰτίας τοῦτο πάσχουσιν, ὅτι τε περὶ τὸ φροντιζόμενον ἐφ' ᾧ λυποῦνται, καταγίγνονται, καὶ διὰ τοῦτο ἀραιότερόν τε καὶ μικρότερον ἀναπνεύσαντες ἐπὶ πολλαῖς ἐνεργείαις ἐφεξῆς, ἔπειτα βιασθέντες ὑπὸ τοῦ λείποντος, ἅπαν εἰσάπαξ ἠναγκάσθησαν αὐτὸ πληρῶσαι. καὶ προσέτι, διότι κατὰ τὰς λύπας ἔσω κινεῖται, τό, τε πνεῦμα, καὶ τὸ θερμὸν, ἐπὶ δὲ ταῖς τοιαύταις διαθέσεσι λεληθότως τε καὶ κατὰ βραχὺ πολλὴ κατὰ τοῦ βάθους ἀθροιζομένη θερμότης ὁπότε πρῶτον ἀνιάσῃ τὸν ἄνθρωπον, ἀνάγκη μεῖζον ἀναπνεῦσαι. ἐν δὲ ταῖς κατὰ τοὺς παραφρονοῦντας διαθέσεσιν, ἡ μὲν ἀπὸ τῆς πρώτης αἰτίας, ἀνάγκη παραπλήσιος. ἡ δ' ἀπὸ τῆς δευτέρας, οὐκέθ' ὑπάρχει. οὐ γὰρ δὴ ἔσω δὴ μᾶλλον, ἢ ἔξω κινεῖται τούτοις τὸ θερμὸν, εἰ μή τι ἄλλο κατὰ τύχην προσγένηται σύμπτωμα. διαφέρουσι δὲ, καὶ τῷ πυρέττειν οἱ παραπαίοντες τῶν ἄλλως λυπουμένων. καὶ τοίνυν καὶ αὐτὸς ὁ Ἱπποκράτης εὑρίσκεται χρώμενος τῷ, τῷ τῆς ἀνακλήσεως ὀνόματι, καθάπερ ἄλλοτε, καὶ περὶ Φιλίσκου λέγων, τούτῳ τὸ πνεῦμα διατέλεος, ὥσπερ ἀνακαλεομένῳ. τί ποτ' οὖν ἐστι τὸ διὰ χρόνου; καὶ δὴ τοῦτ' ἐξηγήσασθαι δίκαιον. εἴτε γὰρ ἐλλείποι, τὸ πολλοῦ, ταὐτὸν δύναται, τὸ, διὰ χρόνου, τῷ κατὰ τὸ προγνωστικὸν εἰρημένῳ. μέγα δ' ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην σημαίνει. ἀλλ' εἰ τοῦτο, δὶς ἂν ἐφεξῆς εἴη ταὐτὸ λεγόμενον, ἐπί τε τῆς Δεάλκους γυναικὸς, καὶ τοῦ ἐν Μελιβοίῃ νεανίσκου. γράφει οὖν ἐπ' ἀμφοῖν ὡσαύτως. πνεῦμα ἀραιὸν, μέγα, διὰ χρόνου, εἴτε, τὸ, πολλοῦ προστεθείη, γένοιτ' ἂν τὸ λεγόμενον τοιοῦτον. πνεῦμα ἀραιὸν, μέγα, διὰ χρόνου πολλοῦ, καὶ δὶς ἂν εἴη λεγόμενον, τὸ ἀραιόν. οὐκ οὖν ἐλλείπειν ἡγητέον, τὸ, πολλοῦ ἢ οὐχ οὕτως ἐλλείπειν ὡς καὶ νῦν εἴπομεν, ἀλλ' ἑτέρως τε καὶ καθ' ἕτερον τρόπον, ἵνα ᾖ τὸ λεγόμενον τοιοῦτον. πνεῦμα μέγα, καὶ ἀραιὸν, οὐ συνεχῶς, οὐδ' ἐφεξῆς, ἀλλὰ διὰ χρόνου πλείονος. εἰ μὲν γὰρ συνεχῶς, καὶ κατὰ τὸ ἑξῆς ἁπάσας τὰς ἀναπνοὰς συμπέσοι γενέσθαι μεγάλας τε καὶ ἀραιὰς, μὴ προσθεῖναι ταῖς τοιαύταις αὐτῶν τὸ διὰ χρόνου, ἀλλ' ἁπλῶς γράφει, πνεῦμα μέγα καὶ ἀραιόν. εἰ δ' αἱ μὲν πλείους τῶν ἀναπνοῶν μὴ γίγνοιντο μεγάλαι, καὶ ἀραιαί, παρεμπίπτοιεν δέ τινες ὀλίγαι τοιαῦται, τό τ' οὐκέθ' ἁπλῶς αὐτὸν ἀραιὸν καὶ μέγα λέγειν, ἀλλὰ τὸ διὰ χρόνου προσθεῖναι. ᾗ καὶ τούτῳ μάχεται τὸ ἐπὶ τῆς Δεάλκους γυναικὸς εἰρημένον ἐπὶ τῇ τελευτῇ τοῦ παντὸς λόγου. ταῦτα γάρ φησιν. πνεῦμα διὰ τέλεος ἀραιὸν καὶ μέγα. Καίτοι ἀνώτερον εἶπεν ἐπὶ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας, πνεῦμα ἀραιὸν, καὶ μέγα διὰ χρόνου. σαφῶς γὰρ ὅπερ νῦν διὰ χρόνου, τοῦτ' ἐν τοῖς ἑξῆς διατέλεος εἴρηκεν. τί οὖν ἐστι τὸ διὰ τέλεος; τὸ μέχρι τέλους δηλονότι διὰ παν-

τος τοῦ νοσήματος γινομένου. ἀλλὰ τούτῳ δόξειεν ἂν μάχεσθαι, τὸ ἐπὶ τῆς τεσσαρεσκαιδεκάτης εἰρημένον. Πνεῦμα ἀραιὸν καὶ μέγα διὰ χρόνου, καὶ πάλιν βραχύπνοος. πῶς γὰρ εἰ διὰ παντὸς τοῦ χρόνου μέγα καὶ ἀραιὸν ἦν τὸ πνεῦμα, τὸ, καὶ πάλιν βραχύπνοος προσγέγραπται. εἴπερ γὰρ ὅλως ἐγγίνεται τις χρόνος, ὅταν βραχύπνους, οὐ διαπαντὸς ἦν μακρόπνους. καὶ μὴν ὅτι γε διὰ παντὸς ἤθελεν αὐτὴν γενέσθαι μακρόπνουν, εἰ καὶ μὴ διὰ ταύτης τῆς λέξεως, τῆς ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, ἀλλ' ἐπί γε τῆς τελευτῆς, ἡνίκα ἔφη διατέλεος, ἐναργῶς δηλοῦται, καὶ πᾶσιν ὁμολογηθήσεται τοῖς ἠθισμένοις ἀκούειν τῆς Ἱπποκράτους λέξεως. οὐ γὰρ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πάνυ πολλάκις εὑρίσκεται παρ' αὐτῷ τὸ διὰ τέλεος, οὐδ' ἐφ' ἑνὸς ἄλλου ταττόμενον, ἢ ὅταν τὸ διὰ παντὸς τοῦ χρόνου δηλῶσαι βουληθῇ. ὥστε τοῦτ' ἄπορον μένει πάντως, εἴτε αὐτὸ τὸ διὰ τέλεος, τὸ διὰ χρόνου δηλοῦν ὑπολαμβάνοιμεν, εἴθ' ἕτερόν τι. μήτε τοίνυν οὐδ' ἄπορόν ἐστιν, ἀλλ' ἐπηρεάζομεν ἡμᾶς αὐτοὺς μάτην. οὐ γὰρ διακόπτει, τὸ σπανίως παρεμπίπτον, ἐν οὐδενὶ τῶν οὕτως λεγομένων τὴν ἐν τῷ καθόλου γιγνομένην ἀπόφανσιν, ὥσπερ εἰ καὶ οὕτως ἐλέγομεν, ταύτῃ τῇ γυναικὶ, διὰ παντὸς μὲν τοῦ χρόνου μέγα καὶ ἀραιὸν ἦν τὸ πνεῦμα, παρενέπιπτε δέ ποτε κατὰ τὸ σπάνιον ἡ βραχύπνοια. καὶ ὅτι γε αὐτῷ τῷ Ἱπποκράτει συνηθές ἐστι τὸ τοιοῦτον, ἔκ τε τῶν ἄλλων ἔστιν ἐπιδεῖξαι βιβλίων, κἀξ αὐτοῦ τοῦ τρίτου τῶν ἐπιδημιῶν, ἐν ᾧ καὶ ἥδε ἡ ἄρρωστος γέγραπται. τὴν γὰρ λοιμώδη κατάστασιν ἐκδιηγούμενος ὧδέ πως ἤρξατο. Ἔτος νότιον ἔπομβρον, ἄπνοια διατέλεος. καί τι βραχὺ προελθὼν φησιν, ἐτήσια σμικρὰ διεσπασμένα ἔπνευσεν. ἀλλὰ δὲ αὐτὸ τοῦτ' ἄπνουν εἶπε τὸ ἔτος, ὅτι μήτ' ἄλλοι τινὲς ἄνεμοι, μήθ' οἱ ἐτήσιοι καλούμενοι συνεχῶς τε καὶ ἀξιολόγως ἔπνευσαν, ἀλλὰ μικρά τε καὶ διεσπασμένως. Ἀπολλώνιόν τε τὸν ἐν Ἀβδήροις τρισκαιδέκατον, ἀπὸ ταύτης τῆς καταστάσεως γράφων, ὁπότε περὶ πασῶν τῶν αὐτοῦ διελέχθη τῶν κατὰ τὴν νόσον ἡμερῶν, ἐπὶ τῇ τελευτῇ τοῦ παντὸς λόγου προσέθηκε. παράληρος διατέλεος. καί τοι μικρὸν ἄνω περὶ αὐτοῦ γράψας αὐτοῖς ὀνόμασιν. περὶ δὲ τετάρτης καὶ εἰκοστῆς, διὰ παρηγορίης. τὰ μὲν ἄλλα ἐπὶ τῶν αὐτῶν. σμικρὰ δὲ κατενόησεν. ἀλλ' οὐχ ἱκανόν γε ἦν, τὸ σμικρὰ κατανοῆσαι, τὴν περὶ παντὸς τοῦ νοσοῦντος ἀπόφανσιν ἀνατρέψαι, καὶ διὰ τοῦτ' ὀρθῶς εἶπε παράληρος διὰ τέλεος, τουτέστιν ἕως τέλους, ὅπερ ταυτὸν δύναται τῷ, διαπαντὸς τοῦ νοσήματος. οὐκοῦν, ἤδη γὰρ ἐπιθεῖναι χρὴ κεφαλὴν τῷ λόγῳ, τὸ (ὅτι) διὰ χρόνου τῷ διὰ τέλεος οὐ ταυτόν ἐστι. καὶ ἐπειδὴ τοῦτο δέδεικται τὴν αἰτίαν ἐφεξῆς εἴπωμεν, δι' ἣν τισὶ μὲν τῶν παραφρονούντων ἀραιὸν καὶ μέγα διὰ παντὸς τοῦ νοσήματος γίνεται τὸ πνεῦμα. τισὶ δὲ οὐδέποτε, καὶ τισὶ μὲν ἐν τῷ πλείονι τοῦ χρόνου, παρεμπίπτοντος ὀλιγάκις, ἢ τοῦ διαφέροντος ἁπλῶς, ἢ καὶ τοῦ ἐναντίου. τισὶ δ' ἔμπαλιν, ὀλιγάκις μὲν τὸ μέγα καὶ ἀραιὸν, πολλάκις δ' ἤτοι τὸ ἐναντίον, ἢ τὸ διάφορον ὁπωσοῦν. τισὶ δὲ ἐπίσης ἑκάτερον. ἀναμνησθῶμεν πάλιν κἀνταῦθα τῶν προδεδειγμένων ἐν τῷ προτέρῳ λόγῳ, περὶ τῶν ἁπλῶν διαθέσεων. ἄλγημα μὲν γὰρ μόνον ἔν τινι τῶν κινουμένων κατὰ τὰς ἀναπνοὰς μορίων γιγνόμενον, μικρὰν καὶ πυκνὴν ἐργαζόμενον ἐδείκνυτο τὴν ὅλην ἀναπνοήν. παραφροσύνη δὲ μόνη, τὴν ἐναντίαν αὐτοῦ τὴν ἀραιὰν καὶ μεγάλην. αὔξησις δὲ τοῦ θερμοῦ, τὴν μεγάλην καὶ πυκνήν. ἡ δ' ἐναντία αὐτῷ ψύξις, τὴν μικρὰν καὶ ἀραιάν. εἰ μὲν οὖν ὑπὸ παραφροσύνης μόνον ὁ τῆς ἀναπνοῆς κόσμος συγχέοιτο, μέγα καὶ ἀραιὸν ἔσται τὸ πνεῦμα διὰ παντός. εἰ δ' ὑπὸ πόνου μόνου, σμικρὸν καὶ πυκνόν. εἰ δ' ἄμφω συνέλθοι, κρατοῦντος μὲν τοῦ πόνου σφοδρῶς, ἀφανὴς παντάπασιν ἡ ἐκ τῆς παραφροσύνης ἀλλοίωσις, μετρίου δ' ὄντος, ἤτοι πλεῖον μὲν ἐκ τοῦ πόνου, ἔλαττον δ' ἐκ τῆς παραφροσύνης, τὴν ἀναπνοὴν ἀλλοιοῦσθαι συμβήσεται. ἢ ἔμπαλιν, ἢ ὑπ' ἀμφοῖν ἐπίσης. ἀφανίσαι μὲν γὰρ, οὐ πάνυ τι τελέως ἡ παραφροσύνη δύναται τὴν ἐκ τοῦ πόνου ἀλλοίωσιν, πλὴν εἰ αὐτὴ μὲν εἴη μεγάλη καὶ σφοδρά τις ἄγαν, ὁ δὲ πόνος μικρὸς καὶ ἀμυδρός. ὁ μέντοι πόνος ἐκνικᾷ τελέως, ὅταν ἰσχυρὸς ᾖ, τὴν ἐκ τῆς παραφροσύνης δύσπνοιαν, ὡς μηδ' ὅλως ἐμφαίνεσθαι. οὕτω δ' εἰ καὶ πρός τινα τῶν ἑτέρων διαθέσεων ἡ παραφροσύνη συμπλέκηται, τὴν ἰδέαν τῆς ἀναπνοῆς, ἄλλοτ' ἄλλην ἐργάσεται, παρὰ τὸ κρατεῖν, ἢ κρατεῖσθαι, ἢ ἰσοσθενῶς ἔχειν, ἢ νῦν μὲν, εἰ τύχοι κρατεῖν, αὖθις δ' ἐν ἑτέρῳ καιρῷ τοῦ νοσήματος κρατεῖσθαι. δείξομεν οὖν ὅτι καὶ κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία τοῦτ' αὐτὸ διδάσκει, διὰ τῶν ἐν αὐτοῖς γεγραμμένων ἀρρώστων. ἐναργῶς δὲ καὶ σαφῶς δειχθήσεται, προειπόντων ἡμῶν ὀλίγον τι περὶ τῆς προαιρέσεως τοῦ Ἱπποκράτους, δοκοῦσι γὰρ οἱ παλαιοὶ πάντα τὰ τοῖς νοσοῦσι συμβαίνοντα γράφειν αὐτὸν, ὥσπερ καὶ τὸν Θουκυδίδην. ἔχει δ' οὐχ οὕτως, ἀλλ' αὐτὸ δὴ τοῦτο, τὸ ἐναντιώτατον, ὑπάρχει τοῖς Ἱπποκράτους γράμμασι πρὸς τὰ Θουκυδίδους. ὁ μὲν γὰρ πάντα γράφει, τὰ καὶ τοῖς ἰδιώταις γνώριμα, μηδὲν ὅλως αὐτῶν παραλιπὼν ὁ Θουκυδίδης, ὁ δ' Ἱπποκράτης ὀλίγα μὲν τούτων, ὅσα πρὸς τὴν ἄλλην διάθεσιν καθ' ἣν ἐκινδύνευσεν ὁ κάμνων διαφέρει, πάμπολλα δ' ἄλλα τοῖς ἰδιώταις μὲν παρεωραμένα, τεχνικὴν δὲ πάνυ καὶ ἀκριβῆ τὴν διάγνωσιν παρεχόμενα, καὶ δυνάμενα πολλάκις καὶ αὐτοὺς τοὺς ἀρίστους ἰατροὺς λαθεῖν. οὗτος δ' ὢν ταχὺς ἐν τῷ ἑρμηνεύειν, καὶ μηδὲν ὅτι μὴ καὶ μεγάλως ὀνήσει γράφειν ἀξιῶν, δόξειεν ἂν πάλιν ἐξεστάναι τῶν οἰκείων φρενῶν, ὅταν τὰ μηδ' ὅλως γενόμενα τῷ νοσοῦντι γράφῃ, τοῦτ' αὐτὸ προσδηλῶν, ὅτι μὴ ἐγένετο. ὁ γὰρ καὶ τῶν γενομένων τὰ πλεῖστα παραλείπων, οὐκ ἂν δόξειε τοῖς μὴ γενομένοις διατρίβων παραπαίειν, ἀλλ' εἰ γνοίης ὅτι διὰ τὴν αὐτὴν αἰτίαν, κἀκεῖνα παραλείπει, καὶ ταῦτα γράφει, τότ' οἶμαι σε θαυμάσειν αὐτόν. οὐ δὲ γὰρ τὸ τυχὸν, οὐδ' εἰς τὸν τυχόντα δυνάμενον ἰατρὸν ἐλθεῖν ἐκεῖνος ἔγραψεν. ἀποδέδεικται δὲ καὶ περὶ τούτων ἡμῖν, ἔν ἄλλοις τε πολλοῖς, καὶ δὴ κἂν τοῖς περὶ τῆς Ἱπποκράτους ἀνατομῆς, οὐχ ἥκιστα δὲ κἂν τοῖς περὶ τοῦ παρὰ τοῦ Θουκυδίδους λοιμοῦ. τούτων τοίνυν μεμνημένος, οὐ χαλεπῶς αἰσθήσῃ τῶν λεγομένων. μέλλω γὰρ δείξειν, εἰ καὶ τὸ παράδοξον εἶναι δόξει, πολλοὺς μὲν τῶν ἐν ἐπιδημίαις γεγραμμένων δυσπνοήσαντας, μηδὲν δ' ὑπὲρ τῆς δυσπνοίας αὐτῶν εἰπεῖν τὸν Ἱπποκράτην, διότι σαφὴς ἦν, καὶ πρόδηλος ἅπασιν ἰατροῖς. εἰ γὰρ ἤτοι τὸ στέρνον, ἢ τὰς πλευρὰς, ἢ τὰ περὶ τὰς κλεῖς καὶ τὴν φάρυγγα συνέβαινε τῷ φλεγμαίνειν, καὶ διὰ τοῦτο μικρὸν καὶ πυκνὸν ἐξ ἀνάγκης ἀναπνεῖν, ὡς ἐν τῷ πρόσθεν ἐπεδείκνυτο λόγῳ, γράφειν οὐκ ἂν ἠξίωσεν Ἱπποκράτης. οὔτε τὸ τῆς δυσπνοίας εἶδος, οὔτε τὴν ἀρχὴν ὅτι δύσπνους ἐγένετο. πολὺ γάρ ἐστι τὸ τοιοῦτον τῆς δυσπνοίας εἶδος.

ἑκάστης σχεδὸν ἡμέρας ὁρώμενον. ἐπί τε περιπνευμονικῶν, καὶ πλευριτικῶν, καὶ συνα(γ)χικῶν, καὶ πάντων ἁπλῶς
οἷς τι περὶ τὸν θώρακα καὶ τὸν πνεύμονα φλεγμαίνει. καὶ ταῖς ἥπατος δὲ φλεγμοναῖς, καὶ μάλιστα ταῖς περὶ τὰ
κυρτὰ καὶ ταῖς τοῦ σπληνός, καὶ ταῖς κατὰ τὴν κεφαλὴν αὐτοῦ, καὶ ταῖς τοῦ περιτοναίου, τὸ τοιοῦτον εἶδος
ἕπεται τῆς δυσπνοίας. ἀλλὰ καὶ οἷς ἡ γαστὴρ φλεγμαίνει, καὶ μᾶλλον εἰ τὸ στόμα τε καὶ ὁ στόμαχος αὐτῆς, καὶ οἷς
τῶν ὑμένων τις, ἢ τῶν μυῶν τῶν καθ' ὑποχόνδριον, ἢ αἱ φρένες αὐταί, τούτοις ἅπασι μικρὸν καὶ πυκνὸν γίνεται τὸ
πνεῦμα, πολλάκις δὲ καὶ τῶν ἐντέρων τι τῶν λεπτῶν, καὶ μάλιστα τῶν περὶ τὴν νῆστιν τε καὶ τοῦ κώλου τὰ ἄνω, μειζό-
νως φλεγμῆναντα, δυσπνοεῖν οὕτως ἠνάγκασε τὸν ἄνθρωπον, φλεγμονῆς νῦν ἀκουομένης, τοῦ σκληροῦ καὶ θερμοῦ
καὶ ὀδυνῶντος ὄγκου, καθάπερ παρ' Ἐρασιστράτῳ καλεῖν ἔθος ἐστί, καὶ τοῖς νεωτέροις ἰατροῖς πᾶσιν, ἐπεὶ ὅτι γε
τὴν φλόγωσιν οὕτως ὀνόμαζον οἱ παλαιοί, σχεδὸν οὐδεὶς ἀγνοεῖ. δέδεικται δ' ἐν παρὰ (τ)ῷ πρὸ τούτου λόγῳ, καὶ
διότι τοῖς ὑδερικοῖς, καὶ τοῖς ὑπερεμπεπλησμένοις, ἢ πόματος, ἢ σιτίων, καὶ ταῖς κυούσαις, καὶ τοῖς προγάστορσι 10
μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα, καὶ καθόλου φάναι, πᾶσιν ὅσοις στενοχωρεῖταί τι τῶν ἀναπνευστικῶν ὀρ-
γάνων. οὕτω γὰρ καὶ τοῖς ἀσθματικοῖς καὶ τοῖς πνευμονώδεσι καὶ τοῖς ἐμπύοις, καὶ οἷς ἡ ῥάχις διέστραπται μεγά-
λως, καὶ οἷς ἀπέπτων φυμάτων σύστασις, ἢ ἐν θώρακι, ἢ ἐν πνεύμονι, καὶ ὅλως ἅπασιν οἷς σκίρρος, ἢ ἄλλος τις
ὄγκος ἀξιόλογος ὅπου δὴ τῶν προειρημένων μορίων ἐστὶν ἁπάντων, μικρὸν καὶ πυκνὸν ἀναπνεῖν ἀνάγκη. οὔτ' οὖν
οὗτοι δύνανται λαθεῖν οὐδὲ τὸν ἐπιτυχόντα τῶν ἰατρῶν, οὔτε αἱ διαθέσεις αὐτῶν αἷς ἐξ ἀνάγκης ἕπεται δύ-
σπνοια. καὶ γὰρ αἱ διαθέσεις σαφεῖς, καὶ τὸ τῆς δυσπνοίας εἶδος ἐναργές ἐστι, καὶ πολλοῖς μονονουχὶ καθ' ἑκάστην
ἡμέραν γιγνόμενον. ἀλλ' ὅτι μηδὲν τῶν οὕτως σαφῶν Ἱπποκράτης γράφει, πολλάκις ἀποδέδεικται. Θουκυδίδης
μὲν γὰρ τὰ συμβάντα τοῖς νοσοῦσιν, ὡς ἰδιώτης, ἰδιώταις ἔγραψεν. Ἱπποκράτης δέ, ὡς τεχνίτης, τεχνίταις.
εἴπωμεν οὖν ἤδη καὶ αὐτοὺς δὴ τοὺς δυσπνοήσαντας ἀρρώστους, ἐφ' ὧν οὐκ ἠξίωσεν οὐχ ὅπως τὸ τῆς δυσπνοίας εἶ-
δος, ἀλλ' οὐδ' αὐτὸ τοῦτο μόνον ἁπλῶς εἰπεῖν, ὅτι ἐδυσπνόησαν. ἐπεὶ δ' ἑπτὰ μέν ἐστιν ἅπαντα τὰ τῶν ἐπιδη- 20
μιῶν βιβλία, τούτων δὲ τὸ μὲν ἕβδομον σαφῶς νόθον εἶναι πᾶσι δοκεῖ, καὶ νεώτερον, καὶ διεσκευασμένον, τὸ
δὲ πέμπτον, οὐ τοῦ μεγάλου Ἱπποκράτους, τοῦ Ἡρακλείδου υἱέος, ἀλλὰ τοῦ νεωτέρου τοῦ Δράκοντος, τὸ δὲ δεύ-
τερον καὶ τὸ τέταρτον καὶ τὸ ἕκτον, ἔστι μὲν οἷς τοῦ Ἱπποκράτους υἱέος, ἐστὶ δὲ οἷς καὶ αὐτοῦ Ἱπποκράτους ἔδοξεν, οὐ
μὴν συγγράμματά γε οὐδ' ὥστε διαδοθῆναι τοῖς Ἕλλησι μέλλοντα, ἀλλ' ὑπομνήματα μᾶλλον εἶναι, τισὶ δὲ οἵπερ
καὶ ἀκριβέστερά μοι δοκοῦσι καταμαθεῖν τῶν βιβλίων τὴν δύναμιν, ὑπὸ μὲν τοῦ Θεσσαλοῦ γεγράφθαι δοκεῖ τὰ
ε. δύο δ' εἶναι τοῦ μεγάλου Ἱπποκράτους, καὶ ἐπιγεγράφθαι γέ που διὰ τοῦτο, τὰ ἐκ τοῦ μικροῦ πινακιδίου, δηλο-
νότι τοῦ Θεσσαλοῦ πάντα ὅσαπερ ὁ πατὴρ αὐτοῦ γεγραφὼς ἔτυχεν, ἀθροῖσαι σπουδάσαντος εἰς ταυτόν, ὡς μη-
δὲν ἀπόλλοιτο. μόνα δὲ καὶ λοιπὰ τῶν ζ'. τούτων βιβλίων, Ἱπποκράτους εἶναι τοῦ μεγάλου σχεδὸν ἅπασιν ὁμολο-
γεῖται, τό τε πρῶτον καὶ τὸ τρίτον. εὔλογον ἔδοξε μοι, πρῶτον μὲν τοὺς ἐν τούτοις τοῖς βιβλίοις γεγραμμένους
ἀρρώστους προχειρίσασθαι, μετὰ δὲ τοῦτο καὶ τοὺς ἐν τοῖς ἄλλοις τῶν ἐπιδημιῶν εὐθὺς αὐτοῖς συνάπτοντα, περὶ τὴν 30
» τῶν λόγων οἰκειότητα, καὶ ὅσα διὰ τῶν ἄλλων συγγραμμάτων αὐτῷ περὶ δυσπνοίας εἴρηται. καὶ δὴ καὶ πρώτου
» πάντων μνημονεύσωμεν Ἀναξίωνος ὅν τινα ὥς φησιν αὐτός. πυρετὸς ὀξὺς ἔλαβεν. πλευροῦ δεξιοῦ ὀδύνη ξυνε-
χής, ἔβησσε ξηρά. οὐδ' ἔπτυε τὰς πρώτας ἡμέρας. καὶ πρῶτόν γε αὐτὸ τοῦτο διέλθωμεν, τί δή ποτε καίτοι βραχυ-
λόγος ὢν ὁ Ἱπποκράτης, ἐνὸν εἰπεῖν αὐτὸ δι' ἑνὸς ὀνόματος, ὅτι πλευριτικὸς ἦν ὁ Ἀναξίων, οὕτως εἰπὼν τὰ
συμπτώματα τὰ περὶ τοῦτο τὸ νόσημα, δι' ἐκείνων μᾶλλον ἠξίωσε τὴν ὑπὲρ αὐτοῦ ποιήσασθαι διήγησιν. οὔτε
γὰρ ἔθος αὐτῷ τὸ τοιοῦτον, ἀλλ' αὐτὸ τοὐναντίον ἐστίν, εἰς ἓν ὄνομα καὶ κεφάλαιον, ἀνάγειν ἀεὶ τὰ περὶ μέρος, οὔ-
τε μὴν κατὰ τὸ τυχόν, ἐνδέχεται νῦν οὕτω γράφειν, τὸν μηδ' ἓν εἰκῇ γράφοντα. τίς οὖν ἡ αἰτία; τῶν νοσημά-
των ἑκάστῳ συμπτώματα, τὰ μὲν ἐξ ἀνάγκης ὑπάρχει, τὰ δ' ὡς τὸ πολύ. αὐτῶν δὲ τῶν ἐξ ἀνάγκης ὑπαρχόν-
των πλείους εἰσὶ διαφοραί, τινὲς μὲν πλειστάκις ὁρώμεναι, καὶ διὰ τοῦτ' οἰκεῖαι τῇ φύσει τοῦ νοσήματος εἶναι πε-
πιστευμέναι, τινὲς δὲ σπανίως πάνυ, καὶ διά τι σύμπτωμα ἰδίως ἐξαίρετον. ὁ τοίνυν Ἱπποκράτης, ὅταν μὲν αἱ 40
συνήθεις ἰδέαι, τῶν συμπτωμάτων ὦσιν, ἀρκεῖται τηνικαῦτα μόνῳ τῷ καθόλου τοῦ νοσήματος ὀνόματι, ὅταν
δ' ἔτι ἐμπίπτῃ τῶν σπανίων, μετὰ τὴν καθόλου τε καὶ κοινὴν ἅπαντος τοῦ νοσήματος προσηγορίαν εὐθὺς ἐκεῖνο
διορίζεται. εἰ δὲ πλείους ποτὲ θεάσαιτο παθημάτων ἰδέας, ὑπὲρ τὴν κοινὴν καὶ συνήθη φύσιν, δεομένην ἑκά-
στην οἰκείου διορισμοῦ, τηνικαῦτα ὑπερβαίνει μὲν τὸ καθόλου, διηγεῖται δ' εὐθὺς ἕκαστον τῶν περὶ μέρος, ὡς ἂν
ἐκ τούτων κἀκεῖνου δηλουμένου. πλευριτικοῖς οὖν ἐξ ἀνάγκης μὲν συμπίπτει, τό, τε τῆς πλευρᾶς ἄλγημα, καὶ
μετὰ τοῦ πυρετοῦ, καὶ ἡ δύσπνοια καὶ ἡ βήξ. οὐκ ἐνδέχεται γὰρ πλευριτικὸν, εἶναι μέν, μὴ οὐ πάντα δὲ ταῦθ'
ὑπάρχειν αὐτῷ. τὸ δὲ ἀνάγεσθαί τι τῶν ἀπὸ τῆς φλεγμονῆς ἅμα ταῖς βηξίν, οὐκ ἀναγκαῖον μέν, ὡς τὸ πολὺ μέν-
τοι συμβαίνει. οὕτω δὲ καὶ ἡ τῶν ἀναγομένων ἰδέα ὑπέρυθρος, ἢ ὑπόξανθος, ἢ ἀφρώδης ἐστίν. ὥσπερ δ' ἐν τοῖς
εἰρημένοις, τὸ μὲν ἐστι σύνηθες, τὸ δὲ ξένον, οὕτω καὶ ἐν αὐτοῖς τοῖς ἐξ ἀνάγκης συμπίπτουσι, τινὲς μὲν ἰδέαι πλει-
στάκις, τινὲς δὲ σπανίως ὁρῶνται. καὶ τοίνυν ὁ Ἱπποκράτης, ἐπὶ τοῦ προκειμένου νῦν ἀρρώστου τοῦ Ἀναξίωνος, 50
ἐπειδὴ τὰ κατὰ μέρος παθήματα, διορισμοῦ ἐδεῖτο, τῆς σπανιωτέρας ἰδέας ὄντα, διοριζομένων δ' αὐτῶν
ἤδη γνωρισθησομένην σαφῶς τὴν πλευριτικὴν συνδρομήν, περιττὸν ἡγήσατο γράφειν ὃ πάντως ἔμελλεν καὶ
χωρὶς τοῦ συγγραφῆναι νοηθήσεσθαι. πυρετὸς γάρ φησιν, ὀξὺς ἔλαβε. καὶ πλευροῦ δεξιοῦ ὀδύνη συνεχής, καὶ
ἔβησσε ξηρά, δηλονότι βηχία. οὐκ οὖν οὐ μόνον ὅτι πυρετός, ἀλλὰ καὶ ὁ ποῖός τις ἔμαθεν, ὀξὺς γάρ φησιν, οὐδ'
ὅτι πλευρᾶς πόνος, ἀλλὰ καὶ ὁποῖος, ὅτι συνεχής. οὐδ' ὅτι βῆχες μόνον, ἀλλὰ καὶ ὁποῖαι καὶ τίνες, ὅτι ξηραὶ καὶ
ἄπτυσοι. ἐνταυτῷ δὲ τούτῳ παρὰ λόγῳ, καὶ ὅτι πλευριτικὸς ἦν οὗτος ὁ ἄνθρωπος, ἔμαθες. οὐδενὶ γὰρ τῶν πάν-
των νοσημάτων, ἢ τῶν εἰρημένων παθῶν ὑπάρχει συνοδος, ὅτι μὴ πλευρίτιδι. δι' ἑνὸς οὖν λόγου, καὶ ὅτι πλευ-
ρίτιδι, ἐκάμνεν ὁ ἄνθρωπος, καὶ ὁποίᾳ τινὶ ταύτῃ, δεδήλωται. ἐπεὶ δ' ἐξ ἀνάγκης ἕπεται πλευρίτισιν
ἡ δύσπνοια, παρέλειψε γράφειν, ὅτι καὶ δύσπνους ἦν. εἰ μὲν γὰρ καὶ περὶ ταύτης τι ξένον εἶχεν εἰπεῖν καὶ σπα-

νιον, οὐκ

νίου, οὐκ ἂν ἐσιώπησεν, ἐπεὶ δ' ὡς ἔοικεν, ἐφύλαξε τὴν εἰθισμένην ἰδέαν, εὐλόγως παρέλιπεν. ὥσπερ γὰρ ταῦτα παρῆκεν, οὕτως ἄλλα παρέγραψεν, ἃ μήτε ἐξ ἀνάγκης ὑπάρχει πλευρίτισι, μήθ' ὡς πολὺ, μήτ' ἐκ τῶν εἰρημένων νοηθῆναι δύναται. (τὸ) τί γάρ φησι; διψώδης, ἄγρυπνος, οὖρα δὲ εὔχροα, πολλὰ, λεπτά. εἶτα ἐπιφέρων, ἕκτη παράληρος, πρὸς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου. τούτων οὐδὲν οὔτ' ἀναγκαίως ὑπάρχει πλευρίτισιν, οὔθ' ὡς τὸ πολύ. εἰ δὲ καὶ περὶ τὴν ἑβδόμην ἡμέραν ἀκούσῃς αὐτοῦ διηγουμένου, σαφέστερον ἐπιγνώσῃ τὴν προαίρεσιν τοῦ ἀνδρός. ἔχει δ' οὕτως. ἑβδόμη ἐπίπονος, ὅτε γὰρ πυρετὸς ἐπέτεινεν, οἵτε πόνοι οὐ ξυνεδίδωσαν, αἵτε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν, ἐνταῦθα δυσπνοίας ἐμνημόνευσεν ὁπότε τοῦ κακῶς διακεῖσθαι τὸν ἄνθρωπον ἐποιεῖτο συλλογισμὸν, ἐν τοῖς ἄλλοις καὶ αὐτὴν καταλέγων, τοῖς ἐξ ἀρχῆς μὲν αὐτῷ συμπεσοῦσι, μήτε δὲ πεπαυμένοις, μήτε ἐνδεδωκόσι. τὸν μὲν γὰρ πυρετὸν, καὶ προσεπιτεῖναι φησί. τὰ δὲ λοιπὰ τρία, τέτταρα γὰρ εὑρέθη τὰ συμπληροῦντα τὴν πλευριτικὴν συνδρομὴν, ἐπὶ τῆς αὐτῆς διαμεῖναι φησὶν, τοὺς πόνους, τὰς βῆχας, τὰς δυσπνοίας, ἀπ' αὐτῆς τῆς οὐσίας τοῦ νοσήματος συλλογιζόμενος ἐπιπόνως ἔχειν τὸν ἄνθρωπον. εἰ γὰρ τῶν συμπληρωτικῶν αὐτοῦ παθημάτων, τεττάρων ὄντων, τὰ τρία μὲν ὡσαύτως ἔχοντα διέμενε, τὸ τέταρτον δὲ χεῖρον ἐγένετο, παντὶ δῆλον, ὅτι κακῶς ὁ ἄνθρωπος εἶχεν. ὁρᾷς οὖν ἐναργῶς, ὅτι διὰ τὸ χρῄζειν εἰς πρόγνωσιν τῆς τοῦ νοσήματος καταστάσεως, ἐμνημόνευσε τῆς δυσπνοίας, οὐκ ἂν ἄλλως μνημονεύσας αὐτῆς. καὶ διὰ τοῦτο πρὸ τῶν ἄλλων τοῦτον προχειρισάμην τὸν ἄρρωστον, ἵνα δείξω, ὑπὲρ ἧς μηδὲν εἶπεν κατ' ἀρχὰς δυσπνοίας, ὅτι μηδ' ἔχρῃζεν ὅλως αὐτοῦ, ὡς οὐ κακῶς μνημονεύει νῦν. εἰ γὰρ προσέχεις τῇ λέξει τὸν νοῦν, εὑρήσεις αὐτὴν τοῦτ' ἐνδεικνυμένην. ἑβδόμη φησὶν ἐπίπονος. ὅτε, γὰρ πυρετὸς ἐπέτεινε φησίν, οἵ τε πόνοι οὐ ξυνεδίδωσαν, αἵτε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. ἐνταῦθα μὲν γὰρ ὡς ἔφην, ἓν μὲν, ἐπιτετᾶσθαι δηλοῖ, τὰ δ' ἄλλα μένειν ἐπὶ τῆς αὐτῆς. ὃ γὰρ ἐδήλωσεν, οὐ ξυνεδίδωσαν, εἰπὼν, τοῦτ' ἐπὶ τῶν λοιπῶν, τῶν βηχῶν καὶ τῆς δυσπνοίας, ἀπὸ κοινοῦ χρὴ νοεῖν, συνηθεστάτης οὔσης τῆς τοιαύτης ἑρμηνείας, οὐχ Ἱπποκράτει μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις παλαιοῖς σχεδὸν ἅπασι. ὡς γὰρ οἱ πόνοι οὐδὲν ξυνεδίδωσαν, οὕτω καὶ αἱ βῆχες ἠνώχλεον, ὡσαύτως δηλονότι, μηδὲν ἐνδιδοῦσαι, δύσπνοός τε ἦν, ὡσαύτως δηλονότι, μηδὲν τῆς δυσπνοίας ἐνδιδούσης. ἐνδείκνυται δὲ καὶ αὐτὸ τὸ, ἦν, ταυτὸν, τοῦ ὡς πρώην. οὐ γὰρ δύσπνοος ἐγένετο εἶπε, καίτοι δυνάμενος εἰπεῖν, μᾶλλον δὲ παντὸς ἂν εἰρηκὼς, εἰ περὶ τὴν ἑβδόμην προσεγεγόνει τοῦτο τὸ πάθημα, πρότερον οὐκ ὄν. ἀλλ' οὔτε προσεγένετο δηλονότι. πάντη γὰρ ἐχρῆν ἐξ ἀρχῆς αὐτὸ συστῆναι τοῖς ἄλλοις, Ἱπποκράτης τε δεόντως ἐδίδαξεν, ἐν ἀρχῇ μὲν τῆς διηγήσεως παραλιπὼν αὐτὸ, μετὰ ταῦτα δὲ μνημονεύσας, ἐπ' ἄλλων μέντοι παμπόλλων ἀρρώστων, ὥσπερ ἐν ἀρχῇ παρέλιπεν, οὕτως οὐδ' ἐπὶ προήκοντι τῷ λόγῳ, φαίνεται μνημονεύων δυσπνοίας. ἅπαντας δ' αὐτοὺς ἐξῆς παραγράψω, τούς τ' ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ὡς ἔφην, καὶ τοὺς ἐν τῷ τρίτῳ γεγραμμένους, πρότερον γε προσθεὶς τὰ λείποντα τῆς εἰς τὸν προγεγραμμένον ἄρρωστον ἐξηγήσεως. ὥσπερ οὖν ὅτι δύσπνους ἦν, ἐξ αὐτοῦ τοῦ νοσήματος τῆς φύσεως ἂν ἔγνωμεν, εἰ καὶ μὴ πρὸς Ἱπποκράτους εἴρηται μετὰ ταῦτα, οὕτω καὶ ὅτι τὸ τῆς δυσπνοίας ἦν εἶδος αὐτῷ μικρὸν καὶ πυκνὸν οὐκ ἄδηλόν ἐστι, κἂν Ἱπποκράτης μὴ γράφῃ. ὡς γὰρ ὅτι δυσπνοοῦσιν οἱ πλευριτικοὶ, φαίνεται, οὕτω καὶ ὅτι μικρὸν καὶ πυκνὸν ἀναπνέουσιν, εἴπομεν δὲ ἔμπροσθεν, ὡς οὐδὲν τῶν καὶ τοῖς ἄλλοις σαφῶς γιγνωσκομένων Ἱπποκράτης γράφει. καίτοι καὶ παρεφρόνησεν, οὗτος ὁ ἄνθρωπος. λέγει γοῦν οὕτω περὶ αὐτοῦ, ἕκτη παράληρος ἀλλὰ τοῦτο μὲν οὐχ ὡς σύμπτωμα φύσει παρακοπτικὸν, ἀλλ' ὡς ἐπιγιγνόμενον πάθημα, πλευρίτισιν ἰσχυραῖς, οὐκ ἔμελλε δήπουθεν ἐκκινήσειν τὴν ἀπὸ τοῦ πόνου ῥοπὴν, οὐδὲ καθ' αὑτὸ τυπώσειν τὴν τῆς δυσπνοίας ἰδέαν. ὁ δ' ἐν τῇ πλευρᾷ πόνος ἰσχυρὸς ὢν, καθ' ἑαυτὸν πάντως ἔμελλεν ἀλλοιώσειν τὴν ἀναπνοήν. εἰ δέ γε καθ' ὑπόθεσιν ὁ μὲν πόνος ἦν ἀμυδρὸς, σφοδρὰ δὲ ἡ παραφροσύνη, πάντη ἂν, ἢ τελέως ἐνίκησεν ἡ παραφροσύνη τὸν πόνον, ἢ ὡς τὸ πολύ. καὶ οὕτως ἂν ἤτοι διὰ παντὸς τοῦ νοσήματος ἀνέπνευσεν ὁ τοιοῦτος ἄρρωστος μέγα καὶ ἀραιὸν, ἢ πλεῖστα μὲν οὕτως, σπανιάκις δὲ σμικρὸν, καὶ πυκνόν. καὶ τοῦτο πάντως ὁ Ἱπποκράτης προσεσημήνατο, καθάπερ ἐπὶ τοῦ ἐν Μελιβοίῃ νεανίσκου. τούτῳ γὰρ ἦν μέν τις καὶ καθ' ὑποχόνδριον ἔντασις ὑπολάπαρος. ἀλλὰ καὶ παρεφρόνησε μεγάλως. γράφει γοῦν ἐπὶ μὲν τῆς ἐντάσεως οὕτως, ὑποχονδρίου ἔντασις ὑπολάπαρος, παραμήκης ἐξ ἀμφοτέρων, περὶ δὲ τῆς παραφροσύνης οὕτως, ἐν μὲν τῇ δεκάτῃ τῶν ἡμερῶν παρέκρουσεν ἀτρεμέως. ἐπὶ δὲ τῆς τεσσαρεσκαιδεκάτης πολλὰ παρέλεγεν. ἐπὶ δὲ τῆς εἰκοστῆς, ἐξεμάνη, φησίν. ἦν μὲν οὖν καὶ μόνον αὐτὸ τοὔνομα τὸ, ἐξεμάνη, μέγεθος παραφροσύνης ἱκανὸν ἐνδείξασθαι. ἀλλὰ καὶ τὸ, κόσμιον εἶναι καὶ σιωπηλὸν, τὸν νεανίσκον, αὐξητικόν ἐστιν οὐ σμικρὸν τοῦ μεγέθους αὐτῆς, εἴγε δὴ κἂν τῷ προρρητικῷ, καὶ τὰς ἀποκρίσεις τὰς θρασείας, μήτοι γε τὰς παραφροσύνας αὐτὰς, κακὰς φησὶν εἶναι τοῖς κοσμίοις. οὐ γὰρ δὴ οὐδ' ἄλλου τινὸς ἕνεκεν ἐν τῇ τῆς δεκάτης ἡμέρας διηγήσει προσέγραψεν τὰ περὶ τοῦ ἤθους τοῦ νεανίσκου. ἵνα δὲ μὴ δόξωμεν, ἐπειδὴ γέγραπται, παρέκρουσεν ἀτρεμέως, ἁπλῆν τινὰ εἶναι καὶ τὴν τυχοῦσαν παραφροσύνην, διὰ τοῦτο ἐπιφέρει, ἦν δὲ κόσμιος καὶ σιγῶν, ἐξ ὧν πάντων μὲν δὴ τούτων, τὸ σφοδρὸν τῆς παραφροσύνης ἐνεδείξατο. τὴν δὲ καθ' ὑποχόνδριον ἔντασιν ἐξ ἀμφοτέρων τῶν ἡμερῶν, τάχ' ἄν τις δόξειεν μικρὸν καὶ πυκνὸν ἐργάσασθαι τὸ πνεῦμα. δι' αὐτὴν γὰρ ὧν ὑπὲρ αὐτῆς ἔγραψεν, ἐνεδείξατο νενικημένην εὐλόγως ὑπὸ τῆς παραφροσύνης. οὐ γὰρ ἁπλῶς εἶπεν. ἦν δὲ καθ' ὑποχόνδριον ἔντασις, ἀλλὰ προσέθηκεν. ὑπολάπαρος, δηλῶν ὡς οὐκ ἦν σὺν ὄγκῳ μεγάλῳ. λαπαρὸν γὰρ, τὸ κενόν. ἐκ δὲ τοῦ, παραμήκης, τοὐναντίον ἐμφαίνει, ὃ πολλάκις αὐτὸς λέγει, τῷ ἀνεσπασμένῳ ὑποχονδρίῳ. ὅταν μὲν γὰρ ὑπὸ τῶν φρενῶν τείνηται, τότε μὲν ἀνασπᾶταί τε καὶ κατακρύπτεται πᾶν, ἑλκόμενον εἰς τὸν θώρακα, ὅταν δ' ὑπό τινος τῶν κάτω, παραμήκης τηνικαῦθ' ἡ τάσις φαίνεται. οὐδὲν γάρ ἐστιν ἐπίπροσθεν τὸ κατακρύψον αὐτὴν, ὥσπερ ἐπὶ τοῦ θώρακος, αἵτε νόθοι πλευραὶ, καὶ τὸ στέρνον. οὐ μόνον οὖν ἐκ τούτων δῆλον, ὡς σμικρὰ παντάπασιν ἡ περὶ τὸ ὑποχόνδριον ἦν διάθεσις εἰς δυσπνοίας γένεσιν, ἀλλὰ κἀξ αὐτοῦ, τοῦ, προσγράψαι τὸν Ἱπποκράτην περὶ τῆς ὀδύνης αὐτοῦ μηδέν. οὐ γὰρ ἂν ἐσιώπησεν εἴπερ ἦν ὀδυνηρὸν, ἔθος ὂν αὐτῷ μηδὲν τῶν τοιούτων ἀργῶς παρέρχεσθαι. εἴπερ οὖν ταῦτα μὲν ἦν πάντως σμικρὰ, οὔτε γὰρ ὄγκος τις ἐν αὐτῷ μέγας, οὔτε πόνος, οὔτε τὰς φρένας ἔθλιβεν, ἀλλὰ κατὰ

τῆς γαστρὸς ὅλου ἐξετέτατο, τῇ παραφροσύνῃ δ' οὐδὲν ἐνδεῖ πρὸς τὸ μεγίστην εἶναι καὶ χαλεπωτάτην κατὰ λόγον ἐνικήθη τελέως ὑπ' αὐτῆς, ἡ περὶ τὸ ὑποχόνδριον διάθεσις, ὥστε γενέσθαι διὰ ὅλου τοῦ νοσήματος τὴν ἀναπνοήν, ἀραιάν τε καὶ μεγάλην. διὰ τοῦτ' οὖν καὶ ὁ Ἱπποκράτης ἀμφοτέρων ὁμοῦ μνημονεύει, τοῦ τε τῆς δυσπνοίας εἴδους, καὶ τῆς περὶ τὸ ὑποχόνδριον διαθέσεως, ἔχει δ' ἡ λέξις ὧδε. πνεῦμα ἀραιόν, μέγα, διὰ χρόνου. ὑποχόνδριον ἔντασις ὑπολάπαρος, ἵνα μή τις ἀργῶς παρέλθοι τὸν λόγον, ἀλλ' ἑξῆς ἀλλήλων ἀναγνοὺς δύο διαθέσεις, ἐναντίον εἶδος δυσπνοίας ἐργάζεσθαι πεφυκυίας, ἐπισκέψηται τὴν αἰτίαν, τοῦ κρατῆσαι μὲν τελέως τὴν παραφροσύνην, νικηθῆναι δὲ τὴν καθ' ὑποχόνδριον ἔντασιν. ἀλλ' ἡμεῖς γε καὶ τὴν αἰτίαν εἰρήκαμεν, καὶ τὴν γνώμην τἀνδρὸς ἐξηγησάμεθα, καὶ χρὴ μεταβάντας ἤδη, τὸ λοιπὸν μέρος τοῦ προτεθέντος λόγου διελθεῖν. ὅταν μὲν γὰρ ἡ παραφροσύνη τελέως νικήσει τὴν ἐναντίαν διάθεσιν, αὕτη μόνη κατὰ τὴν ἑαυτῆς δύναμιν, ἀλλοιοῖ τὴν ἀναπνοήν, ὡς ἐπὶ τοῦ προγεγραμμένου γέγραπται νεανίσκου, τοῦ κατὰ τὸ τρίτον τῶν ἐπιδημιῶν ὑστάτου γεγραμμένου. ἀλλὰ μὴν καὶ ὅτι τοῦ πόνου τελέως κρατοῦντος, οὐδὲν παρεμφαίνεται τῶν κατὰ τὴν παραφροσύνην δυσπνοιῶν, ἐπ' Ἀναξίωνος ἐδείξαμεν, ὃς ἐν τῷ τρίτῳ καὶ αὐτὸς γέγραπται τῶν ἐπιδημιῶν, ὄγδοος ἀπὸ τῆς λοιμώδους καταστάσεως. ἐπὶ δ' αὐτῆς Δεάλκους γυναικός, ἧς καὶ πρόσθεν ἐμνημονεύσαμεν, ὀγδόης μὲν ἀπὸ τούτου, πεντεκαιδεκάτης δὲ μετὰ τὴν λοιμώδη κατάστασιν γεγραμμένης, ὡς τὰ πολλὰ μὲν ἡ παραφροσύνη κρατεῖ, σπανιάκις δὲ καὶ κρατεῖται. ἀλλὰ τὰς μὲν ῥήσεις ὀλίγον ἔμπροσθεν, ἡνίκ' ἐξηγούμην οἷόν τι δηλοῖ τὸ διὰ χρόνου, παρέγραψα. νυνὶ δὲ καὶ τὰς διαθέσεις αὐτὰς τὰς μαχομένας ὁρῶ, ἑπόμενος κἀνταῦθα ταῖς ὑφ' Ἱπποκράτους εἰρημέναις λέξεσιν. ἐπώδυνος μὲν οὖν διάθεσις οὐδεμία ταύτῃ τῇ ἀνθρώπῳ συμβῆναι φαίνεται, κατάψυξις δὲ ἐπεκράτησε μαραινομένης τῆς ἐμφύτου θερμασίας. ἐκ γὰρ τοῦ γεγράφθαι περὶ αὐτῆς, πυρετοὶ πρὸς χεῖρας λεπτοί, ἀκρέων ψύξις, τοῦτο δηλοῦται, κἀκ τοῦ περιεστέλλεσθαι δι' ὅλου τοῦ νοσήματος, εἰπὼν γὰρ ἐξ ἀρχῆς δὲ περιεστέλλετο, μετὰ ταῦτα, ἐπὶ τέλει τῆς ὅλης διηγήσεως, ἀεὶ περιεστέλλετο φησί. ἀλλὰ καὶ τὸ ἀπὸ λύπης ἄρξασθαι, τούτοις ὁμολογεῖ. τί γάρ φησι; πυρετὸς φρικώδης ἐκ λύπης ἔλαβε, ἀλλὰ καὶ αὐτὸς ὁ φρικώδης πυρετός, περὶ τὴν αὐτὴν αἰτίαν ἐγγόνος. καὶ μὲν δὴ καὶ τὸ τὰ πινόμενα διεξέρχεσθαι τὴν γαστέρα, μὴ δ' ἐπὶ βραχὺ συνιστάμενα, μέγιστον τεκμήριον τοῦ τὴν ἔμφυτον θερμασίαν ἀποσβέννυσθαι. καὶ τό, δέρμα δὲ τὸ καρφαλέον, τὸ ἀπεξηραμμένον ἐστί. συναπόλλυται δὲ ταῖς τοιαύταις ξηρότησι, τὸ ἔμφυτον θερμόν. ἀλλὰ μὴν ὅτι γε τοῦτ' ἐπ' αὐτῆς ἐγένετο, δηλοῦσιν αἱ λέξεις αὐτοῦ, ἑπτακαιδεκάτῃ, γάρ φησιν, ὀρθισμοὶ ἀπὸ κοιλίης ταραχώδεες. ἔπειτα δι' αὐτὰ τὰ ποτὰ διῄει. οὐ δὲ συνίστατο, ἀναισθήτως εἶχε πάντων. δέρματος περίτασις καρφαλέα. εὐλόγως οὖν διὰ ὅλου τοῦ νοσήματος ἐπεκράτησε τὸ μέγα καὶ ἀραιὸν πνεῦμα. παρεγένετο δέ ποτε καὶ τὸ βραχὺ τὸ ταῖς καταψύξεσιν ἑπόμενον. ἀναμνήσω δὲ καὶ νῦν τῶν ῥήσεων ὡς ἔμπροσθεν ἤδη παρέγραψα, τεσσαρεσκαιδεκάτῃ πνεῦμα ἀραιόν, μέγα, διὰ χρόνου. καὶ πάλιν βραχύπνοος. εἰκοστῇ λόγοι πολλοί. πάλιν ἱδρώθη, ἄφωνος, βραχύπνοος. μιᾷ καὶ εἰκοστῇ ἀπέθανε. ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιόν, μέγα. ἐνταῦθα μὲν οὖν ἡ παραφροσύνη τῆς καταψύξεως ἐπεκράτει, καὶ διὰ τοῦτο σπανίως μὲν βραχύπνους, δι' ὅλου δὲ τοῦ νοσήματος, μακρόπνους ἐτηρήθη. ἔμπαλιν δὲ ἐπὶ τοῦ Πυθίωνος, οὗ καὶ πρόσθεν ἐμνημόνευσα, βραχύπνοια μὲν ἦν δι' ὅλου τοῦ νοσήματος, ὀλιγάκις δέ ποτε συνέβαινεν ἡ μακρόπνοια κατὰ λόγον· δύο γὰρ ἀντέκειντο τῇ παραφροσύνῃ διαθέσεις, βραχυπνοίας αἰτίαι, πόνος καὶ κατάψυξις, ἄμφω μὲν μικρὰν πεφυκότα ποιεῖν τὴν ἀναπνοήν, ἀλλ' ὁ μὲν πόνος, μετὰ πυκνότητος, ἡ δὲ κατάψυξις, μετὰ ἀραιότητος. ὅτι μὲν οὖν παρεφρόνησε, γέγραπται πολλάκις αὐτοῖς ὀνόμασιν, ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους. ὥστε τοῦτο μέν, οὐκ ἄν τινα λάθοι, ἀλλ' οὐδὲ τὸ τοῦ πόνου τοῦ περὶ τὴν κοιλίαν, καὶ γὰρ καὶ τοῦτο σαφῶς ὧδε γέγραπται, κατὰ δὲ κοιλίην, βάρος μετὰ πόνου. ὅτι δὲ κατέψυκτο, καὶ ἡ ἔμφυτος θερμασία ἐμαραίνετο, δῆλον ἐκ τῶνδε, δευτέρῃ περὶ μέσον ἡμέρης ψύξις ἀκρέων. τὰ δὲ περὶ χεῖρας καὶ κεφαλὴν μᾶλλον. εἶθ' ἑξῆς, ἐν τῇ τῆς τρίτης ἡμέρας διηγήσει, ὀψὲ δὲ περὶ ἡλίου δυσμὰς ὑπεψύχθη μικρά, ἐπὶ δέ γε τῆς τετάρτης ἡμέρας, οὐ μόνον ὅτι ψύξις, ἀλλὰ καὶ ὅτι ἀνεθερμάνθη μετὰ χρόνου, προγέγραπται, σαφέστερον δὲ περὶ τῆς ὀγδόης ἡμέρας διηγούμενος, πρωῒ μὲν ἐκοιμήθη, φησί, μικρά, ταχὺ δὲ ψύξις. ὀψὲ δὲ πάλιν ἀνεθερμάνθη, αὖθις δ' ἐπὶ τῆς δεκάτης ἡμέρας, πολλὴ ψύξις, φησί. ἐκ δὲ τῶν μὲν οὖν δῆλον ὅτι καὶ ψύξις ἦν, οὐ μόνον πόνος, καὶ παραφροσύνη τῷ Πυθίωνι. ὅτι δὲ ἐπεκράτει μὲν ἡ βραχύπνοια, ἦν δ' ἔστιν ὅτε καὶ μακρόπνοια, γένοιτ' ἂν σαφές, ἐν τῇ τῆς δευτέρας ἡμέρας διηγήσει. γέγραπται γὰρ ὧδε, βραχύπνοος ἐπὶ χρόνον πολύν, τοῦτο γὰρ τὸ χρόνον πολύν, ἐνδεικτικόν ἐστι, τοῦ γε μὴ μόνην εἶναι τὴν βραχύπνοιαν, ἀλλὰ καὶ τοῦ πλεονεκτεῖν αὐτὴν τῆς ἐπὶ μακροπνοίας. γέγραπται δὲ καὶ οὗτος ὁ Πυθίων ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, τρίτος μετὰ τὴν λοιμώδη κατάστασιν. ὥστ' ἔνεστιν ἑκάστῳ καθ' ἑαυτὸν ἐπὶ πλέον ἐνδιατρίβειν ταῖς τοῦ παλαιοῦ ῥήσεσιν, ἵνα μὴ πάσας αὐτὰς ἡμεῖς παραγράφοντες, μακρὸν ποιῶμεν τὸν λόγον. ἀλλὰ καὶ ὅτι μηδεμίαν λέξιν ἐναντίαν τοῖς ὑφ' ἡμῶν λεγομένοις ἑκόντες εἶναι παραλείπομεν, ὅστις ἐπ' αὐτὰ τὰ βιβλία παραγένηται, μάλιστ' ἂν πεισθείη. καὶ διὰ τοῦτο μηνύομεν ἡμεῖς, ἐν τίνι τε τῶν βιβλίων ὁ ἄρρωστος, ὑπὲρ οὗ ποτ' ἂν ἑκάστοτε διαλεγόμενοι τύχωμεν, γέγραπται. καὶ πόστος ἐστίν, ἢ ἀπὸ τῆς ἀρχῆς, ἢ ἀπὸ καταστάσεως ἀριθμοῦντι, πρὸς τὸ μὴ καταμέλλειν διὰ ταῦτά τινα καὶ περὶ τὴν ἀνεύρεσιν ὀκνοῦντα, ἢ ἀβασανίστως ἡμῖν πιστεύειν, ὅπερ οὐ βουλόμεθα, ἢ ὑποπτεύειν, ὥστε καὶ παραγράφοντας ἡμᾶς, ὃ δὴ πολλοὶ τῶν ἐξηγησαμένων ἐποίησαν. ἀλλ' ἐκεῖνοι μὲν διὰ τοῦτο σιγῶσι τὰ βιβλία, καὶ κατακρύπτουσιν ἑκόντες, ἐξ ὧν ἂν ἑκάστοτε παραγράφωσι τὰς λέξεις, ἡμεῖς δὲ οὐκ αὐτὰ μόνον, ἀλλὰ καὶ τοὺς τόπους αὐτῶν καὶ τὰ κεφάλαια μηνύομεν ὑπὲρ τοῦ ῥᾷον εὑρίσκειν τὰ βουλόμενα. ἴσμεν γὰρ ὅτι βεβαιοτέραν πίστιν ὧν λέγομεν ἕξουσιν οἱ πᾶν ἀναγνόντες τοῦ βιβλίου τὸ χωρίον, ἐξ οὗ τὴν ῥῆσιν παραγράφομεν. τῶν μὲν δὴ προειρημένων ἀρρώστων ἠνάγκασεν ἡμᾶς ἡ ἀκολουθία τοῦ λόγου μνημονεῦσαι, βουληθέντας δηλῶσαι καθ' ὅντινα τρόπον, ἐνίοτε μὲν ἡ παραφροσύνη μόνη τὴν δύσπνοιαν ἐργάζεται, νικῶσα τὴν ἐναντίαν διάθεσιν. ἐνίοτε δὲ νικηθεῖσα τελέως, ἐξίτηλος γίνεται. καὶ ποτὲ μὲν ὡς τὸ πολὺ κρατεῖ, σπανίως ἐμπιπτούσης τῆς διαφερούσης δυσπνοίας.

δυσπνοίας. ποτὲ δὲ κρατεῖται, κατὰ τὸ ἐναντίον αὐτῇ που παρεμφαινομένη. καὶ ἤδη δῆλον ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, ὡς ᾧ μὲν τὸ μέγα καὶ ἀραιὸν πνεῦμα, πάντως καὶ παραφροσύνη, ᾧ δὲ παραφροσύνη, οὐ πάντως τούτῳ μέγα καὶ ἀραιὸν τὸ πνεῦμα. ὅπερ δέ τι λείπει τῶν προστεθέντων, προσθῶμεν τοῦ λόγου πάντας ἐπελθόντες τοὺς ἐν τε τοῦ πρώτου, καὶ τοῦ τρίτου τῶν ἐπιδημιῶν ἀῤῥώστους γεγραμμένους, ἀπὸ τοῦ πρώτου μέχρι τοῦ πάντων ὑστάτου τὴν τάξιν τοῦ λόγου τὴν αὐτὴν ἐντιθέντες, ἥπερ δὴ καὶ τῆς γραφῆς ἐστιν αὐτῷ. ὁ μὲν δὴ πρῶτος ἁπάντων Φιλίσκος, ὅτι μὲν καὶ παρεφρόνησε, καὶ μέγα, καὶ ἀραιὸν εἶχε τὸ πνεῦμα διὰ τῶν ἔμπροσθεν λόγων ἐδείξαμεν, αὐτοῦ τοῦ Ἱπποκράτους παραθέμενοι τὴν ῥῆσιν. ὅτι δὲ οὐδὲ ἦν τις πόνος αὐτῷ κατ' οὐδὲν μορίων, ὧν πασχόντων ἐλέγομεν μικρὰν καὶ πυκνὴν γίνεσθαι τὴν ἀναπνοὴν, νυνὶ δείξομεν, αὐτῆς κἀνταῦθα τῆς τοῦ παλαιοῦ λέξεως ὑπομνήσαντες ἐχούσης, ὧδε. σπλὴν ἐπήρθη περιφερεῖ κυρτώματι, οὐκοῦν οὔτ' ἄλλο ὀδυνηρὸν τὸ σπλάγχνον ὁ σπλὴν, οὔτε θλίβει τὰς φρένας, ὁμοίως ἥπατι, καὶ γαστρὶ, πλὴν εἰ μὴ μέγιστόν ποτε ὄγκον σχοίη κατὰ τὴν κεφαλὴν, ὅπερ οὐκ ἦν τοῦ Φιλίσκου, καὶ διὰ τοῦτο οὐχ ἱκανὸς ἐγένετο νικῆσαι, τὴν ἐκ τῆς παραφροσύνης δύσπνοιαν ὁ σπλὴν, μήτ' ἐπώδυνος ὢν, μήτε θλίβων τὰς φρένας. ὁ δ' ἐφεξῆς τούτου γεγραμμένος Σιληνὸς, οὗ καὶ αὐτοῦ ἐν τοῖς ἔμπροσθεν λόγοις, (μετὰ τοῦ ἔμπροσθεν λόγου) ἐμνημονεύσαμεν, ὅτι μὲν ἀραιὸν καὶ μέγα καὶ αὐτὸς εἶχε τὸ πνεῦμα, καὶ ὅτι παρεφρόνησεν ἐν ἐκείνοις ἐδείξαμεν. ὅτι δὲ οὐδεμία διάθεσις ἦν αὐτῷ νικῆσαι δυναμένη παραφροσύνην ἐν τῷδε δειχθήσεται. ἡ γάρ τοι τῆς τρίτης τοῦ νοσήματος ἡμέρας διήγησις ἔχει καὶ τοῦτο γεγραμμένον. ὑποχονδρίου ξύντασις, ἐξ ἀμφοτέρων παραμήκης, πρὸς ὀμφαλὸν ὑπολάπαρος, οὐκοῦν καὶ πρὸς ὀμφαλὸν ἀπεχώρει ἡ σύντασις, καὶ οὔτ' ὀδύνη τις, οὔτ' ὄγκος ἀξιόλογος. ἀλλὰ καὶ τὸ ἐπὶ τῆς τελευτῆς εἰρημένον, ὑποχονδρίου παλμὸς, οὐχ ἱκανὸν, οὐδ' αὐτὸ τὴν ἐκ τῆς παραφροσύνης ἀλλοιῶσαι δύσπνοιαν. ἐῤῥέθη γὰρ ἤδη μυριάκις, ἤτοι πόνον δεῖν εἶναι περί τι τῶν κατὰ τὰς ἀναπνοὰς κινουμένων μορίων, ἢ στενοχωρεῖσθαί τι τῶν ἀναπνευστικῶν ὀργάνων, ἵνα μικρὸν καὶ πυκνὸν γένηται τὸ πνεῦμα. οὐκοῦν οὔτ' οὗτος ὁ Σιληνὸς, ὥσπερ οὐδ' ὁ πρότερος ὁ Φιλίσκος εἶχέ τινα διάθεσιν ἑτέραν, ἀλλοιοῦν δυναμένην τὴν ἀναπνοὴν, ὅτι μὴ παραφροσύνην. οὔτε γὰρ πόνος, οὔτε θλίψις τῶν ἀναπνευστικῶν ὀργάνων, ἀλλ' οὐδὲ κατάψυξίς τις ἦν, οἵαν ἐν τοῦ τρίτου τῶν ἐπιδημιῶν ἐδείξαμεν Πυθίωνί τε καὶ τῇ Δεάλκους γυναικὶ γινομένην. τοὺς μέντοι τρεῖς τοὺς ἑξῆς τούτων γεγραμμένους, Ἡροφῶντα, καὶ τὴν Φιλίνου γυναῖκα, καὶ τὴν Ἐπικράτους, εὕροις ἂν ἀκριβῶς ἀναλεγόμενος τὰς ὑπὲρ αὐτῶν διηγήσεις, ἐλάττονα τὴν παραφροσύνην ἔχοντας, ἢ ὥστε κατὰ ταύτην ἀλλοιωθῆναι ἀναπνοήν. ἀλλ' Ἡροφῶντι μὲν, ὅτε, σπλὴν ἐπήρθη, καὶ ὑποχονδρίου, φησὶ, ξύντασις, οὐκέτι προσθεὶς, ὑπολάπαρος, οὐδὲ, παραμήκης, οὐδὲ, πρὸς ὀμφαλὸν, ὥστε τούτῳ τὰ περὶ τὰς φρένας ἐφλέγμαινεν, ἅπερ ἐδείχθησαν ἡμῖν ἐν τοῖς περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων, τὸ πρῶτόν τε καὶ κυριώτατον αὐτῶν ὄργανον. ἡ δὲ τοῦ Φιλίνου γυνὴ ἤλγει φησὶ καρδίην καὶ ὑποχόνδριον δεξιὸν, ἡ δέ γε τοῦ Ἐπικράτους, οὐ τὴν καρδίαν μόνην, ἀλλὰ καὶ πλευροῦ, φησὶν, ἀριστεροῦ βάρος μετ' ὀδύνης εἶχε. διὰ τοῦτ' οὖν, οὐδὲ προσέγραψεν οὐδ' ἐπὶ τούτων πνεῦμα μικρὸν καὶ πυκνὸν, ἀλλ' ὅλως ἐσιώπησεν, ἔθος ἔχων, ὡς καὶ πρόσθεν ἐδείξαμεν, τὰ σαφῶς ἅπασι γινωσκόμενα παραλείπειν. σαφεστάτη δὲ καὶ πᾶσι γνώριμος ἦν, ὡς καὶ τοῦτ' ἐδείξαμεν, ἡ κατὰ μικρότητα καὶ πυκνότητα δύσπνοια, ἣν ἐδυσπνόουν ἐξ ἀνάγκης οἱ προγεγραμμένοι τρεῖς ἄῤῥωστοι. καὶ μὲν δὴ καὶ ὁ μετ' αὐτοὺς γεγραμμένος Κλεανακτίδης, ἐξ ἀνάγκης ἂν καὶ αὐτὸς ὁμοίως ἐδυσπνόει διὰ τὴν ὀδύνην τῆς ἀριστερᾶς πλευρᾶς, ἀλλ' οὐδ' ἐπὶ τούτου γέγραπταί τι περὶ δυσπνοίας, ὡς ἂν καὶ χωρὶς τοῦ γραφῆναι νοηθῆναι δυναμένης. οὐ μὴν παρεφρόνησέ γε οὗτος ὁ Κλεανακτίδης. ὁ δέ γε μετ' αὐτὸν γεγραμμένος Μέτων, οὔτ' ὀδυνῆσαι δυναμένην διάθεσιν, οὔτε στενοχωρῆσαί τι τῶν ἀναπνευστικῶν ὀργάνων, εἶχεν, ἀλλ' οὐδὲ παραφροσύνης ὑπόθεσιν οὐδεμίαν νοσώδη. παράδοξον δέ τι, καὶ οὐκ εἰθισμένον ἀπαντᾶν συνέπεσεν αὐτῷ. τῇ γὰρ ε. τῶν ἡμερῶν αἱμοῤῥαγήσας τε καὶ ἱδρώσας, ἐκρίθη τελέως. ἡμοῤῥάγει οὖν ἔτι καὶ μετὰ κρίσιν ἄγρυπνος ὢν, ἀλλὰ καὶ, παρέλεγε, φησί. καί τοι πρὶν κριθῆναι μηδ' ὅλως παραφρονήσας. διὰ τοῦτ' οὖν καὶ ἡμεῖς ἔφαμεν αὐτῷ μηδεμίαν γενέσθαι νοσώδη διάθεσιν παραφροσύνης. ἀλλ' οὕτως παρέλεγεν, ὡς τοῖς μεθύουσι συμβαίνει, πληρώσει τῆς κεφαλῆς. δι' αὐτὸ δὲ τοῦτο καὶ τὸ, παρέλεγεν, ὄνομα γέγραπται πρὸς Ἱπποκράτους, ἐνδεικνυμένου τὴν πρὸς μέθην ὁμοιότητα γενομένην αὐτῷ, ἐκ τῆς περὶ τὴν κεφαλὴν πληρώσεως. ἧκε γὰρ ἐπ' αὐτὴν, ὡς ἐκ τῶν συμβάντων ἐστὶ τεκμήρασθαι, πλῆθος οὐκ ὀλίγον αἵματος, ἐφ' ᾧ δὴ καὶ τὸ σύμπαν ἐκρίθη νόσημα, δεξαμένης τῆς κεφαλῆς ἅπασαν αὐτοῦ τὴν διάθεσιν. ἀλλὰ τοιούτου τοῦ αἵματος οὐκ ὀλίγον μὲν εὐθὺς ἐν τῇ ε. τῶν ἡμερῶν λάβρως ἐξεκρίθη σὺν ἱδρῶτι, πολὺ δ' ἔτι πλέον τοῦ κενωθέντος ὑπέμεινεν ἐν τῇ κεφαλῇ, βαρύνοντε αὐτὴν, καὶ παραλέγειν τὸν ἄνθρωπον ἀναγκάζον, ὅθεν Ἱπποκράτης λουτροῖς ἐχρήσατο κατακεφαλῆς εἰπὼν, ἡμοῤῥάγει πολλάκις μετὰ κρίσιν. ὥστ' ἐπί γε τούτου οὐ μόνον οὐκ ἔγραψεν οὐδ' ἕνα τρόπον δυσπνοίας, ἀλλ' οὐδὲ εἴ γε γέγονε τὴν ἀρχὴν δύσπνοος. οὐ γὰρ τοῖς παραλέγουσιν ὁπωσοῦν, ἢ τοῖς μεθύουσιν, ἀλλὰ τοῖς παραφρονοῦσι μόνοις μέγα γίνεται καὶ ἀραιὸν τὸ πνεῦμα. καὶ διὰ τοῦτ' ἐν τῷ προγνωστικῷ φησίν. μέγα δ' ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει. ἀλλ' ὅ γε μετ' αὐτὸν ἄῤῥωστος, Ἐρασῖνος, ἐξ ἀνάγκης μὲν ἐδυσπνόει, παραλέλειπται δ' ἡ δύσπνοια διὰ τὴν πολλάκις εἰρημένην αἰτίαν. ὅλως γὰρ οὐδαμοῦ φαίνεται προειπὼν οὐδεμίαν διάθεσιν ὀδυνηρὰν ἢ θλίβουσάν τι τῶν ἀναπνευστικῶν ὀργάνων, εἶθ' ἑξῆς ταῦτα παραγράφων τὴν ἑπομένην δύσπνοιαν, ἀλλὰ πανταχοῦ παραλειπὼν ὡς ἅπασι γνώριμον. ὅτι δ' ἦν τοιαύτη διάθεσις τοῦ Ἐρασίνου σαφὲς ἐποίησεν εἰπὼν, ὑποχόνδρια μετέωρα, σύντασις μετ' ὀδύνης, μέγεθος γάρ τι φλεγμονῆς ἐμφαίνεται). δι' ἣν καί τι παραφρονήσας ὁ ἄνθρωπος, οὐκ ἐδυσπνόησε τὴν τῆς παραφροσύνης ἰδίαν δύσπνοιαν, ἢ πάντως ἂν καὶ ταύτης ἐμνημόνευσεν Ἱπποκράτης. ὥσπερ γὰρ τὴν ἐπὶ ταῖς ὀδύναις, τὴν μικρὰν καὶ πυκνὴν ἀεὶ παραλείπων οὐδ' εὑρίσκεται, διότι σαφής ἐστιν, οὕτω τὴν ἐπὶ ταῖς παραφροσύναις εἰδὼς ἀμφισβητουμένην, οὐδαμοῦ παρέλιπεν, οὐ παρῆλθεν ἀόριστον. τὰ γὰρ ἐπὶ Κρίτωνος τοῦ μετ' αὐτὸν ἑξῆς γεγραμμένου σαφῆ τὴν αἰτίαν ἔχει. δευτεραῖος γὰρ ἀποθανόντος αὐτοῦ παραδοξοτάτως, ὡς ἐξ αὐτῆς τῆς διηγήσεως ἔνεστι μαθεῖν, εἰκότως παρέλιπεν εἰπεῖν τι περὶ δυσπνοίας

ὁ Ἱπποκράτης, ἢ οὐ παραφυλάξας τὴν γενομένην δύσπνοιαν, ἢ οὐκ ἀξιώσας μνημονεύειν. ἔστι γὰρ ἑκάτερον αὐτῶν εὔλογον, τὸ μὲν μὴ παραφυλάξαι, διά τε τὸ τάχος τοῦ θανάτου, καὶ τὸ τοῦ συμπτώματος ἐκπληκτικόν. οὐ γὰρ δὴ μικρόν γε θαῦμα περιερχόμενον ἄνθρωπον, καὶ τὰ συνήθη πράττοντα, κἄπειτα τὸν μέγαν ἐν τῷ ποδὶ δάκτυλον ἀλγήσαντα σφοδρῶς τῇ πρώτῃ μὲν ἡμέρᾳ μικρὸν ὑποθερμανθῆναι, τῇ δ᾽ ἑξῆς ἀποθανεῖν. οὔτ᾽ οὖν διακριβοῦν ἐν τῷ μεταξὺ γενομένους, ἀλλ᾽ ἐν τάχει μὲν ἀποθανόντος τοῦ ἀνθρώπου, παραφρονήσαντος δ᾽ οὐχ ἁπλῶς ἀλλ᾽ ἐκμανέντος ὥς φησιν, οὐχ οἷόν τε ἦν παραφυλάττειν, ὅπως ἀνέπνει. τοῖς μὲν γὰρ ἐκμανεῖσιν, οὐδ᾽ ἐγγὺς ἐλθεῖν ὑπομένομεν, ἀλλ᾽ ἐξιστάμεθα παντὶ τρόπῳ δεδιότες, μή τι κακὸν ἡμῖν προστρίψωνται. ἢ οὖν οὐ παρεφύλαξεν, ὡς εἴπομεν, ἢ οὐκ ἠξίωσε μνημονεῦσαι τοῦ τῆς δυσπνοίας εἴδους, διὰ τὸ παράδοξον τῆς ὅλης συνδρομῆς, ᾗ μόνῃ προσέχειν τὸν νοῦν ἡμᾶς ἄξιον, καὶ μὴ περιέλκεσθαι πρὸς τὰ διὰ τῶν ἄλλων ἀρρώστων εὑρεθῆναι δυνάμενα. ἑξῆς δὲ γράφει τὸν Κλαζομένιον, ὃς ἤλγει φησὶ κεφαλὴν καὶ τράχηλον, καὶ ὀσφὺν ἐξ ἀρχῆς, ἀλλὰ ταῦτα μὲν οὐχ ἱκανὰ μικρὸν καὶ πυκνὸν ἐργάσασθαι τὸ πνεῦμα, πλὴν εἴπερ ἄρα ὁ τράχηλος, ἔστι δὲ καὶ ὅτι τούτου προϊόντος τοῦ λόγου διορισθήσεται. τὸ δὲ ὑποχόνδριον τὸ μετ᾽ ὄγκου ἐπηρμένον, ἱκανόν. ὥστ᾽ εἰ καὶ παρεφρόνησεν οὗτος, οὐκ ἐδυσπνόησε τὴν οἰκείαν τῇ παραφροσύνῃ δύσπνοιαν, κρατησάντων τῶν εἰρημένων ἐπωδύνων παθημάτων. ἡ μὲν δὴ μετὰ αὐτὸν Δρομάδεω γυνή, ἣν καὶ κατ᾽ ἀρχὰς εὐθὺς τοῦδε τοῦ λόγου προὐθέμην, οὐ μόνον παρεφρόνησεν, ἀλλὰ καὶ μέγα καὶ ἀραιὸν εἶχε τὸ πνεῦμα, μηδενὸς γὰρ μήτε περὶ θώρακα, μήτε καθ᾽ ὑποχόνδριον γενομένου παθήματος, ὃ μικρὰν καὶ πυκνὴν ἐπεφύκει τὴν ἀναπνοὴν ἐργάσασθαι. ταῦτ᾽ ἄρα καὶ ὁ Ἱπποκράτης ἀκριβῶς πάντα τὰ καταλαβόντα τὴν ἄνθρωπον γράφων, ἤρξατο πονέειν τὴν πρώτην περὶ ὑποχόνδριον, ἔφη, ἀσώδης. ἀλύουσα, μοχθηρῶν δηλονότι χυμῶν αὐτόθι δακνόντων τὸ στόμα τῆς γαστρός, οὐ μὴν φλεγμονῆς δὲ οὐδεμιᾶς ὑπαρχούσης, οὐδ᾽ ἄλλου παθήματος οὐδενὸς ὑφ᾽ οὗ μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. καὶ μὲν δὴ καὶ βραχὺ προελθὼν ἐπὶ τὴν διήγησιν ὁ Ἱπποκράτης. εἶτα γράψας, ὑποχονδρίου πόνος, τὸ, ἀσώδης, προσέθηκεν. εἶθ᾽ ἑξῆς πάλιν, διψώδης, οὔτ᾽ οὖν τῶν καθ᾽ ὑποχόνδριον ἢ θώρακά τι γινομένων, ἱκανὸν ἦν κρατῆσαι τῆς παραφροσύνης, ἀλλ᾽ οὐδὲ τὸ ἔμφυτον θερμὸν ἐσβέννυτο, καθάπερ ἐδείξαμεν ἑτέροις οὕτω συμβαῖνον, ὥστ᾽ εὔλογον μηδεμιᾶς διαθέσεως τῶν ἀντιτεταγμένων τῇ παραφροσύνῃ, τὴν ἀναπνοὴν ἀλλοιῶσαι δυνηθείσης, μέγα ταύτῃ καὶ ἀραιὸν τὸ πνεῦμα ἐγένετο. ἐπεὶ δὲ προσγέγραπται τό, αὐτίκα ἀνεσπασμένον, τούτου ἐπισημήνασθαί με χρὴ νῦν ἵνα μήτις ὑπολάβοι μέλλειν ἡμᾶς αὐτὸ ῥᾳθύμως παρέρχεσθαι. ἐξηγεῖσθαι δὲ οὐ νῦν καιρός, ἀλλ᾽ ἐν τῷ μετὰ ταῦτα λόγῳ σὺν τοῖς ἄλλοις ὁμοίως εἰρημένοις ἐξετασθήσεται. ἐν δέ γε τῷ παρόντι τοὺς ὑπολοίπους τρεῖς ἀρρώστους προχειρισόμεθα, παραφρονήσαντας μὲν καὶ αὐτούς, οὐ μὴν δυσπνοήσαντάς γε τὴν ἰδίαν τῆς παραφροσύνης δύσπνοιαν. διὰ τί; ἐπὶ μὲν τοῦ πρώτου γέγραπται, ὑποχονδρίου δεξιοῦ πόνος, φλεγμονὴ ὑπολάπαρος ἐκ τοῦ ἔσω μέρεος, τοῦ πρὸς τὰς φρένας δηλονότι. ἐπὶ δὲ τοῦ δευτέρου, ἐπὶ τὸ ὑποχόνδριον ἔπαρμα σὺν ὀδύνῃ, καὶ μετ᾽ ὀλίγον, ὑποχονδρίου πόνος, καὶ αὖθις ἑξῆς, περὶ δὲ κληῗδα ἀριστερὰν πόνος παρέμενεν. ἐπὶ δὲ τοῦ τρίτου τῶν ἀρρώστων, γυνὴ δὲ ἦν αὕτη ὥσπερ καὶ ἡ πρὸ αὐτῆς, κεφαλῆς, φησί, καὶ τραχήλου καὶ στήθεος πόνος ἰσχυρός, καὶ μετ᾽ ὀλίγον, οἱ πόνοι παρέμενον. οὗτοι μὲν δὴ οἱ τεσσαρεσκαίδεκα ἄρρωστοι, ἐκ τοῦ πρώτου τῶν ἐπιδημιῶν εἰσιν, ἐφεξῆς οὕτως ὑφ᾽ Ἱπποκράτους, ὥσπερ καὶ ἡμεῖς αὐτῶν ἐμνημονεύσαμεν, γεγραμμένοι. ἐν δὲ τῷ τρίτῳ τῶν ἐπιδημιῶν, δώδεκα μέν εἰσιν οἱ πρὸ τῆς λοιμώδους καταστάσεως, ἑκκαίδεκα δὲ οἱ μετ᾽ αὐτήν, ὁμολογοῦντες ἅπαντες οἷς ἐξ ἀρχῆς ὑπεθέμεθα. καὶ οἶδα σαφῶς, ὅτι παραλιπὼν μὲν αὐτούς, καὶ τοῖς βουλομένοις ἐπισκέπτεσθαι τὴν ἐν ἅπασιν ὁμολογίαν ἐπιτρέψας ἰδίᾳ καὶ καθ᾽ ἑαυτοὺς ἀναλέγεσθαι τὰς ὑπὸ τοῦ παλαιοῦ γεγραμμένας διηγήσεις, οὐ διὰ τὸ φυλάττεσθαι μακρολογεῖν δόξω τοῦτο δρᾶν, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι τὰς ἐξ ἀρχῆς ὑποθέσεις, ἐν ὅλῳ τῷ λόγῳ διασώζειν. εἰ δὲ πάντας ἑξῆς ἐπίοιμι, φλύαρός τις εἶναι δόξω, καὶ ληρώδης, ἃ καὶ καθ᾽ ἑαυτὸν ἕκαστος ἱκανὸς ἦν ἐξετάζειν, αὐτὸς ταῦτα μάτην παραγράφων. οὐ μὴν δὲ ἀλλ᾽ εἰ πάντως με χρὴ θάτερον ὑπομεῖναι τῶν ἀτόπων, ἤτοι τὴν ὑποψίαν τῆς μοχθηρίας τοῦ δόγματος, ἢ τὴν μακρολογίαν, εὑρίσκω δὲ τῆς μὲν μακρολογίας, παραμυθίας τινάς, τῆς δ᾽ ὑποψίας, οὐδεμίαν, εὐλογώτερον τὸ περὶ πάντων εἰπεῖν. τίνες οὖν αἱ τῆς μακρολογίας παραμυθίαι; πρώτη μὲν τὸ διὰ ταχέων ἐπιδραμεῖν τῷ λόγῳ τοὺς ἀρρώστους, μηκέθ᾽ ὁμοίως ἐγχρονίσαντα καθ᾽ ἕκαστον, ἀλλ᾽ ἢ μόνον ὑπομιμνήσκοντα, δευτέρα δέ, τοὺς μὴ δὲ τῶν οὕτω βραχέων ὑπακούειν ἀνεχομένους ὑπερβαίνειν αὐτὰ παρακαλέσαι, μὴ δὲ γεγράφθαι νομίζοντας. ὡς γὰρ ἐν ἑστιάσει λαμπρᾷ, πολλῶν παρασκευασθέντων, ἄλλος ἄλλο προαιρεῖται, τὸ μὲν ὡς ἡδύ, τὸ δ᾽ ὡς ὠφέλιμον, οὕτω χρὴ καὶ τῶν λόγων τὴν μὲν παρασκευὴν εἶναι δαψιλῆ, τὴν δ᾽ αἵρεσιν ἐπὶ τοῖς χρωμένοις. ὁ μὲν δὴ πρῶτος ἁπάντων ἄρρωστος, ᾧ Πυθίων ὄνομα, δῆλος οὐδὲν ἐξ αὐτῆς τῆς διηγήσεως, οὐδεμίαν ὑπόθεσιν ἔχων δυσπνοίας. ὁ δὲ δεύτερος, Ἑρμοκράτης, ἤρξατο, φησίν, ἀλγέειν κεφαλήν, ὀσφύν· ὑποχονδρίου ἔντασις ὑπολάπαρος, οὐ μὴν ὅτι κάτω καὶ πρὸς ὀμφαλὸν ἔρρεπεν ἡ τάσις, ἢ ὅτι, προμήκης ἦν, ἔτι προσέγραψεν, ᾧ δῆλον, ὅτι πρὸς τὰς φρένας φλεγμαινούσας ἀνεσπᾶτο τὸ ὑποχόνδριον. καὶ διὰ τοῦτο καὶ ὑπολάπαρον ἐφαίνετο, ὡς ἂν μηδεμίαν οἰκείαν ἔχον φλεγμονήν, οὗτος οὖν εἰ καὶ παρέπαιεν, ἀλλ᾽ ὑφ᾽ ἑτέρου γε μείζονος ἐνικᾶτο ἡ παραφροσύνη. ὥσπερ οὖν καὶ ἐπὶ τοῦ τρίτου, καὶ τετάρτου καὶ πέμπτου, καὶ ἕκτου. ἐπὶ μὲν γὰρ τοῦ τρίτου, ὑποχονδρίου δεξιοῦ ξύντασις ὑπολάπαρος, γέγραπται. ἐπὶ δὲ τοῦ τετάρτου, ὑποχονδρίου δεξιοῦ συνετάθη, ἔρρεπεν εἰς τὰ ἔσω. ἐπὶ δὲ τοῦ πέμπτου, τράχηλον ἐπ᾽ ὀδύνῃ ὡς εἶχεν. ἐπὶ δὲ τοῦ ἕκτου τῶν ἀρρώστων, γυνὴ δὲ ἦν αὕτη προφασιῶν ὁ Ἱπποκράτης, αὕτη ἀρχομένη τοῦ νοσήματος, ἤλγει φάρυγγα, καὶ διατελέος ἔρευθος εἶχε. γαργαρεὼν ἀνεσπασμένος. ῥεύματα πολλά, λεπτά, σμικρά, δριμέα. ἔβησσε, πέπονα δ᾽ οὐδὲν ἀνῆγε. μετ᾽ ὀλίγον ἐρεῖ, ἦν δέ τι καὶ ξυναγχικὸν φθινῶδες. ὥστε δήλη κἀπὶ ταύτης ἡ ἐπικρατοῦσα διάθεσις ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις συστᾶσα. τὴν μὲν δὴ μετὰ ταύτην ἄρρωστον διηγούμενος, ἄρχεται τόνδε τὸν τρόπον. ἡ κυναγχικὴ ἡ παρὰ τὰ Ἀρκεσίωνος προελθὼν δέ φησι. πνεῦμα μετέωρον. ὃ καὶ αὐτὸ προϊόντος ἐξηγησόμεθα τοῦ λόγου. νυνὶ δὲ τὸ προκείμενον περαντέον. ἐπὶ μὲν τοῦ ὀγδόου ἀρρώστου γέγραπται. ὑποχονδρίου ἔντασις ὑπολάπαρος ἐξ ἀμφοτέρων. ἐπὶ δὲ τοῦ ἐννάτου, πόνοι περὶ ὑποχόνδριον, ἀλλ᾽ αὕτη γε οὐ παρεφρόνησε. τὰς δ᾽ ἑξῆς δύο γυναῖκας ἐξ ἀποφθορᾶς μὲν φησὶ χεῖν κακῶς. αἱ θέσεις δ᾽ αὐτῶν ἃς διηγεῖται, τὸ μὲν καθόλου ἀποφαίνει φλεγμονὰς τῶν ὑστερῶν εἰσίν, ἐπὶ μέρος δέ, ὅσα ταύταις ἕπεται παθήματα. μίαν δέ τι τὴν λοιπήν, καρδίαν ἀλγῆσαι, φησί, μὴ προσθεὶς, ἀσώδης, ἀλλὰ καὶ ἱδρῶσαι ψυχρόν, καὶ δι᾽ ὅλου τοῦ νοσήματος. φρικώδη γενέσθαι, καὶ καταψυχομένην μεγάλως, καὶ μόγις ἀναθερμαινομένην, ἢ οὐδ᾽ ὅλως. ὥστε δῆλον ὅτι καὶ αὕτη βραχύπνους μὲν ἦν πάντως κατ᾽ ἀμφοτέρας τὰς διαθέσεις, τήν τε τῆς ὀδύνης καὶ τὴν τῆς καταψύξεως, οὐ μὴν ἠξίωσέ γε οὐδ᾽ ἐπὶ ταύτης

εἶπεν περὶ δυσπνοίας ὁ Ἱπποκράτης ὡς πάνυ σαφῶς. ἑξῆς δ' ἐστὶν ἡ λοιμώδης κατάστασις μεθ' ἣν πάλιν, πρῶτον μὲν ἄρρωστον γράφει τὸν Γάλειον, ἐφ' ᾧ περὶ τὴν τελευτὴν τοῦ λόγου, ἔνθα τὰ ἐν ὅλῳ τῷ σώματι διηνεκῶς παραμένοντα γράφει, προσκεῖται καὶ τοῦτο, μετὰ πόνου ἄγρυπνος. δεύτερον δὲ τὸν ἐν Θάσῳ περὶ οὗ φησι, βῆχες δὲ συνεχέες ὑγραὶ πολλαί. τρίτος δέ ἐστι Πυθίων, ὃν ἐξηγήσασθαι φθάνομεν. καὶ τέταρτος ὁ φρενιτικός. καὶ πέμπτος ὁ ἀρξάμενος ἐξαίφνης τοῦ δεξιοῦ μηροῦ ἀλγεῖν. τοῦ ῥεύματος δ' εἰς τὰ περὶ τὴν κεφαλὴν ἐπανελθόντος, εὐθὺς μὲν παραφρονήσαντος, εὐθὺς δὲ καὶ ἀποθανόντος, ὁμοίως τῷ περὶ τὸ πρῶτον τῶν ἐπιδημιῶν, ἀρξαμένῳ μὲν ἀπὸ τοῦ περὶ τὸν μέγαν δάκτυλον πόνου, δευτεραίῳ δὲ ἀποθανόντι. ὡς τοῦ δ' ἐπὶ τούτοις περὶ δυσπνοίας ὅλως οὐδὲν ἔγραψε, δι' ἃς ἐπ' ἐκείνου φθάνομεν αἰτίας εἰρηκέναι. ὁ δ' ἕκτος οὔτε παρεφρόνησεν, οὔτ' ἄλλην τινὰ ἔσχε διάθεσιν δυσπνοίας ποιητικήν. ὁ δ' ἕβδομος ἄρρωστος ἡ παρθένος ἐστὶν, ἡ διὰ τὸ πλῆθος τοῦ αἵματος ἐνοχληθεῖσα τὴν κεφαλὴν οὕτως, ὡς ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ὁ ἕβδομος γεγραμμένος αἱμοῤῥαγήσας ἐκ ῥινῶν. ὥστε ὅσα φθάνομεν εἰρηκότες ὑπὲρ ἐκείνου, ταῦτα κἀνταῦθα μεταφερέσθω. ὁ δὲ ὄγδοος ἄρρωστος Ἀναξίων ἐστὶν, ὃν διὰ τῶν ἔμπροσθεν ἐξηγησάμεθα. ὁ δ' ἔννατος, τῇ τε παρθένῳ καὶ τῷ αἱμοῤῥαγήσαντι ἐκείνῳ τῷ ἐκ τοῦ πρώτου τῶν ἐπιδημιῶν παραπλήσιον ἔχει τὴν ὅλης νόσου τὴν ὑπόθεσιν. ὁ δὲ δέκατος, ὥσπερ ἐστὶν ὁ ἐν Ἀβδήροις Νικόδημος, παρέπαισε μὲν ἅπαξ, ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν. εἶτα εἰκοσταῖος κριθεὶς ἱδρῶτι. καὶ δόξας ἀπύρετος γενέσθαι, αὖθις ἀνεπύρεξε. καὶ αὖθις μικρὰ παρέκρουσε, γράφει δ' ἐπ' αὐτοῦ καὶ τάδε, οἱ δὲ παροξυσμοὶ καὶ οἱ πόνοι τούτῳ διατελέος, τίνων πόνοι; τάχ' ἄν τις ἔροιτο, καρδιαλγικὸν μὲν εὐθὺς κατ' ἀρχὰς ἔφησεν αὐτὸν γενέσθαι. μικρὸν δὲ προελθὼν, πόνοι πάντων, ἔγραψε. ταῦτ' ἄρα καὶ ἡ παραφροσύνη μικρὰ καὶ ὀλιγοχρόνιος γενομένη, τὴν ἀναπνοὴν οὐκ ἠλλοίωσε. εἶθ' ἑξῆς ἐστὶ τὸ γύναιον τὸ ἐκ τῆς λύπης ἀρξάμενον ἐφ' ᾧ γράφει, πόνοι μεγάλοι συνεχεῖς, ἀλλὰ καὶ σπασμοὶ πολλοὶ, φησί. γράφει δ' ἐν ἀφορισμοῖς περὶ σπασμῶν ὧδε, ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακὸν, σπασμὸν γὰρ σημαίνει. καὶ τοίνυν καὶ τὸ τῆς δυσπνοίας εἶδος τῇ γυναικὶ ταύτῃ, τὸ μέν τι περὶ τὰς ὀδύνας, τὸ δέ τι περὶ τοὺς σπασμοὺς ἐγένετο. διὰ τοῦτ' οὖν καί τοι παραφρονήσασα, μέγα καὶ ἀραιὸν οὐκ ἔσχεν, οἷα νικηθὲν ὑφ' ἑτέρων δυοῖν ἰσχυροτέρων διαθέσεων. μετὰ ταῦτα δὲ ἡ ἐν Λαρίσσῃ παρθένος, ἡ δωδεκάτη μετὰ τὴν λοιμώδη κατάστασιν γεγραμμένη, διὰ πλῆθος αἵματος νοσήσασα, καὶ κριθεῖσα τῇ τε διὰ ῥινῶν αἱμοῤῥαγίᾳ, καὶ ἱδρῶτι καὶ γυναικείοις, τότε πρῶτον ἐπιφανεῖσιν, οὐδεμίαν ἔσχε κατασκευὴν δυσπνοίας οὐδεμιᾶς. τῷ δὲ μετὰ ταῦτα Ἀπολλωνίῳ τῷ ἐν Ἀβδήροις, ὑποχονδρίου δεξιοῦ, φησὶν, ἔπαρμα σὺν ὀδύνῃ, ἀλλὰ καὶ ὅτι διὰ παντὸς ἦν μεγαλόσπλαγχνος καὶ συνήθης αὐτῷ περὶ τὸ ὑποχόνδριον ὑπῆρχεν ὀδύνη, καὶ τοῦτ' ἐν ἀρχῇ γέγραπται τῆς διηγήσεως. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ παρεφρόνησε, μὴ δυσπνοῆσαι περὶ τὸ τῆς παραφροσύνης εἶδος αὐτὸν, οὕτως μεγάλην διάθεσιν ὀδυνηρὰν ἐν ὑποχονδρίῳ κεκτημένον. ἑξῆς δὲ τούτου ἡ ἐν Κυζίκῳ τὰς διδύμους θυγατέρας τεκοῦσα ἐστὶν, ὑπὲρ ἧς ὧδέ πως ἔγραψε, κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης, ὥστε καὶ ἡ δύσπνοια περὶ τοῦτο. λοιποὶ δ' ἐπὶ ταύτης δύο εἰσὶν ἄρρωστοι περὶ τὸ τρίτον τῶν ἐπιδημιῶν. ἡ Δεάλκους γυνὴ, καὶ ὁ ἐν Μελιβοίῃ νεανίσκος ἀμφότεροι παραφρονήσαντές τε, καὶ μέγα καὶ ἀραιὸν ἔχοντες τὸ πνεῦμα, περὶ ὧν ἔμπροσθεν αὐτάρκως διελέχθη. ἀλλ' ἐπεὶ καὶ τοῦθ' ἡμῖν τὸ βιβλίον ἱκανὸν ἤδη μέγεθος ἔχει, περὶ τῶν λοιπῶν ἁπάντων ὅσα περὶ δυσπνοίας εἴρηται τῷ παλαιῷ διὰ τοῦ μετὰ ταῦτα σκεψώμεθα.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΥΣΠΝΟΙΑΣ ΒΙΒΛΙΟΝ γ'.

Τὸν περὶ τῆς δυσπνοίας λόγον εἰς δύο διδασκαλίας τεμόντες, ἐν μὲν τῷ πρώτῳ τῶν ὑπομνημάτων, ὅσα χρὴ γινώσκειν ὑπὲρ αὐτῆς τὸν ἰατρὸν ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν ἐδηλώσαμεν, ἐν δὲ τῷ μετὰ τοῦτο δευτέρῳ καὶ αὐτῷ δὲ τούτῳ τῷ τρίτῳ τῶν Ἱπποκράτους περὶ δυσπνοίας εἰρημένων ἐν ἅπασι τοῖς συγγράμμασιν ἐξήγησιν ποιούμεθα. ὡς τοὺς μὲν αὐτῶν τῶν ἔργων τῆς τέχνης μόνον ἐφιεμένους, μηδὲν δὲ ὡς ἀντίφασιν, πολυπραγμονεῖν ἀξιοῦντας ὑπὲρ τῶν τοῖς παλαιοῖς εἰρημένων, ἔχειν ἅπαν ἱκανῶς, ὃ σπουδάζουσιν, ἐκ τοῦ πρώτου λόγου. τοὺς δὲ καὶ τὴν Ἱπποκράτους γνώμην ἐπιμαθεῖν ὀρεγομένους τε ἅμα καὶ δυναμένους, ἐκ τῶν δὲ τῶν γραμμάτων ἀναλέγεσθαι. τὸ μὲν οὖν ὀρέγεσθαι γνῶναι τὰ τοῖς ἀρίστοις εἰρημένα, κοινὸν ἁπάντων ἐστὶ τῶν φύσει φιλοκάλων. τὸ δὲ καὶ δυνηθῆναι μαθεῖν αὐτὰ, μακροτέρου χρόνου δεόμενον, οὐκέθ' ὁμοίως πᾶσιν ὑπάρχει. πολλοὶ γὰρ ὑπὸ πολλῆς περιστάσεως πραγμάτων ἀποστεροῦνται τῆς περὶ τὰ κάλλιστα σχολῆς. ταῦτ' ἄρα καὶ ἡμεῖς οἴδαμεν καὶ τὸ κατεπεῖγον εἰς τὰ τῆς τέχνης ἔργα δηλώσομεν ἐν τῷ πρώτῳ τῶν ὑπομνημάτων, ἰδίᾳ δ' ἑξῆς τὴν Ἱπποκράτους γνώμην ἐξηγούμεθα διὰ τῶν ὑπολοίπων δυοῖν γραμμάτων, ὧν τὸ μὲν, δεύτερόν ἐστι, τὸ δὲ, τρίτον γινόμενον κατὰ τὴν ἐξ ἀρχῆς τάξιν. καὶ χρὴ τὸν μέλλοντα τοῖς ἐν αὐτῷ λεγομένοις, ἀκολουθήσειν, ὡμιληκέναι τῷ δευτέρῳ πρότερον ἐπιμελῶς, ἐν ᾧ πρῶτον μὲν τὴν ὅλην γνώμην ἐδείξαμεν τοῦ Ἱπποκράτους, ὅτι μηδὲν τῶν ἐπιτυχόντων μηδ' ὧν οἱ πολλοὶ τῶν ἰατρῶν ἴσασι γράφειν ἀξιοῖ. δεύτερον δὲ καὶ κατὰ μέρος ἅπαντας ἐπήλθομεν, τοὺς ἐν τῷ πρώτῳ τε καὶ τρίτῳ τῶν ἐπιδημιῶν ἀῤῥώστους, ἐπιδεικνῦντες ἐπὶ πολλῶν μὲν, ὅτι εἰ καὶ δυσπνοεῖν ἀναγκαῖον ἦν τοῖς κάμνουσιν, ὅμως οὐκ ἔγραψε καθάπερ οὐδ' ἄλλα πολλὰ τῶν ἐξ ἀνάγκης τοῖς γεγραμμένοις ἑπομένων. ἃ γάρ ἐστι καὶ χωρὶς τοῦ παρ' ἐκείνου μαθεῖν ἐξ ὧν εἶπεν ὁρμώμενον αὐτόν τινα ἐξευρεῖν, ταῦτ' οὐκ ᾤετο χρῆναι γράφειν. ἐπὶ πολλῶν δὲ καὶ τὸ τῆς δυσπνοίας εἶδος αὐταῖς παραγράφει ταῖς τῶν νοσούντων διηγήσεσιν, ἐπειδὰν ἤτοι μὴ κατ' ἀνάγκην ἕπηται τοῖς νοσοῦσιν, ἢ μὴ πρόχειρον ᾖ γνωσθῆναι τοῖς ἀναλεγομένοις αὐτοῦ τὰ γράμματα. τούτων οὖν ἐχόμενοι καὶ νῦν τῶν σκοπῶν, ἐπειδὴ τὸ πρῶτόν τε καὶ τὸ τρίτον τῶν ἐπιδημιῶν διὰ τῶν ἔμπροσθεν ἐξηγησάμεθα, πάλιν ἀπὸ τοῦ δευτέρου τὴν ἀρχὴν ποιησόμεθα, συνάπτοντες αὐτῷ καὶ τὰ λοιπὰ τῶν Ἱπποκράτους συγγραμμάτων. ὥσπερ δὲ τὸ πρῶτον καὶ τὸ τρίτον, οὐ μόνον ὑφ' Ἱπποκράτους συγκεῖσθαι δοκεῖ τοῖς ἄριστα περὶ τούτων ἐγνωκόσιν, ἀλλὰ καὶ τῇ τῆς θεωρίας οἰκειότητι συνῆφθαι πρὸς ἄλληλα, τὸν αὐτὸν οἶμαι τρόπον ἔχειν, καὶ τὰ περὶ τὸ δεύτερον καὶ τὸ δ'. καὶ τὸ ἕκτον. ὁμολογεῖται γὰρ οὖν ἤδη καὶ ταῦτα συνθεῖναι Θεσσαλὸν τὸν Ἱπποκράτους υἱὸν, τὰ μὲν αὐτοῦ τοῦ πατρὸς ἐν διφθέραις τισὶν, ἢ δέλτοις εὑρόντα ὑπομνήματα, προσθέντα δέ τινα καὶ αὐτὸν οὐκ ὀλίγα. τό γε μὴν πέμπτον τε καὶ ἕβδομον τῶν ἐπιδημιῶν, οὐκ ἄν τις μοι δοκεῖ τῆς Ἱπποκράτους γνώμης οἰκείας ἀξιῶσαι, κατ' ἐμὴν δὲ γνώμην, οὐδὲ τὸ τέταρτον, εἰ καί τισιν ἔδοξε καὶ τοῦθ' ὑπὸ Θεσσαλοῦ συντεθῆναι.

τὸ δὲ προγνωστικὸν καὶ οἱ ἀφορισμοὶ, καὶ τὸ περὶ ὑδάτων καὶ τόπων καὶ ἀέρων ἔτι τε τὸ περὶ διαίτης ὀξέων ὃ τινὲς ἐπιγράφουσι, πρὸς τὰς κνιδίας γνώμας, οὐκ ἀλόγως Ἱπποκράτους αὐτοῦ πεπίστευται γράμματα εἶναι. τούτων τε οὖν τῶν βιβλίων ἐνθ᾽ ἂν ἡ χρεία καλῇ μνημονεύομεν, ὅσα τ᾽ ἄλλα τὰ μὲν εἰς αὐτὸν Ἱπποκράτην, τὰ δὲ εἰς Εὐρυφῶντα καὶ Θεσσαλὸν καὶ Πόλυβον ἀναφέρουσιν. ἀρκτέον οὖν ἤδη τῆς ἐξηγήσεως ἀπὸ τῆς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν γεγραμμένης ῥήσεως ἐχούσης ὧδε. πνεῦμα σμικρὸν, πυκνόν. μέγα, ἀραιόν. σμικρὸν, ἀραιόν. ἔξω μέγα, εἴσω μικρόν. τὸ μὲν ἐκτεῖνον, τὸ δὲ, κατεπεῖγον. διπλῆ εἴσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσιν, θερμὸν, ψυχρόν. ἡ δ᾽ αὐτὴ ῥῆσις ἡ δὲ ἐν τῷ ἕκτῳ γέγραπται τελεώτερον. ἐπὶ γὰρ ταῖς τρισὶ συζυγίαις αὐτῆς δυσπνοίας ἡ τετάρτη πρόσκειται, παραλελειμμένη σαφῶς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, οὐχ ὑπὸ τοῦ γράψαντος ἐμοὶ δοκεῖν αὐτοῦ, δῆλος γάρ ἐστιν οὐκ ἐξ ἐμπειρίας τινὸς καὶ μνήμης ἀθροίζων τὸ πλῆθος τῶν δυσπνοιῶν, ἀλλ᾽ ἐκ λογικῆς διαιρέσεως. οὐκ οὖν ἔμελλε παραλείψειν τινὰ δύσπνοιαν. ἀλλά τις τῶν παλαιῶν βιβλιογράφων ἥμαρτεν. ἐπεὶ δ᾽ οὕτως ἔχον, ἔφθασεν ἐκδοθῆναι τὸ βιβλίον, ἐφυλάχθη τε εἰκότως μέχρι δεῦρο τοῦτ᾽ αὐτὸ τὸ σφάλμα, τινῶν μὲν ὀλιγώρως ὁμιλούντων τοῖς τῶν παλαιῶν βιβλίοις, ὡς μήτ᾽ εἰ λείπει τι, μήτ᾽ εἰ δι᾽ ἑτέρου γράμματος εἴρηται, γνωρίζειν, ἐνίων δὲ γνωριζόντων μὲν, ἀλλὰ προσθεῖναι τὸ λεῖπον οὐ τολμώντων. οὐ γὰρ δὴ ὁμοίως τοῖς νῦν οἱ πρόσθεν εὐχερεῖς ἦσαν, οὐδ᾽ ἕτοιμοι παραγράφειν παλαιὰν λέξιν, ὡσαύτως γεγραμμένην ἐν ἅπασι τοῖς ἀντιγράφοις, ἀλλ᾽ ἐπισημήνασθαι μόνον αὐτοῖς ἱκανὸν ἦν, ὡς ἐνταῦθα μὲν, ἐλλιπῶς, ἐν τῷ ἕκτῳ δὲ τῶν ἐπιδημιῶν τελέως ἡ διαίρεσις γέγραπται τῶν δυσπνοιῶν, ἥτε κατὰ μέγεθος καὶ μικρότητα καὶ πυκνότητα καὶ ἀραιότητα. δύο γὰρ οὖν δὴ ταύτας ἀντιθέσεις ὁ Ἱπποκράτης, τήν τε κατὰ μέγεθος καὶ μικρότητα καὶ τὴν ἀραιότητα καὶ πυκνότητα, δῆλος ἐστὶν ἐπιπλέκων ἀλλήλαις, καὶ ποιῶν συζυγίας δυσπνοίας δ᾽. μίαν μὲν ἐν ᾗ μικροτέρα τε ἅμα καὶ πυκνοτέρα τῆς κατὰ φύσιν ἡ ἀναπνοὴ γίγνεται. ἑτέραν δ᾽ ὅταν, μείζων τε ἅμα καὶ ἀραιοτέρα καὶ πρὸς ταύταις ἄλλην τρίτην ἐν ᾗ μικροτέρα τε καὶ ἀραιοτέρα, καὶ πρὸς ταύταις τετάρτην, ἣν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν παραλελεῖφθαι φαμὲν, ἐν ᾗ μείζων τε ἅμα καὶ πυκνοτέρα γίγνεται. δέδεικται γάρ μοι πολλάκις, εἰ καὶ ἄρα χωρὶς τοῦ δειχθῆναι πρόδηλον ὑπάρχει πᾶσιν, ὡς δύο ἀντιθέσεις ἀλλήλαις ἐπιπλεκόμεναι, τέσσαρας ἀπεργάζονται συζυγίας. οὐ μόνον δὲ κατ᾽ αὐτὸ διενήνοχεν, ἡ ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν ῥῆσις τῆς ἐν τῷ δευτέρῳ, ἀλλὰ καὶ καθ᾽ ὅσον ἐν τοῖς ἐφεξῆς, ὁπότε παραβάλλοι τὸ τῆς εἰσπνοῆς μέγεθος, τῷ ἐκ τῆς ἐκπνοῆς, ἡ ἑτέρα συζυγία παραλέλειπται παντάπασιν ἐν τῷ δευτέρῳ, ἐνδεικνυμένου κἀνταῦθα σαφῶς τοῦ γραφέως, ἤτοι ῥαθυμίαν ἐσχάτην, ἢ ῥαδιουργίαν. εἰ μὲν γὰρ ὅλας ὑπερέβαινε λέξεις, ἐσχάτως ἦν ῥάθυμος. εἰ δὲ τὰς ὁμοίας ἀλλήλαις, ἀγνοῶν ὅπη διαφέρουσιν, ἓν καὶ ταυτὸν ἀμφοτέραις δηλοῦν ἐνόμιζεν, εἶτ᾽ ἐξῄρει τὴν ἑτέραν, εἰς ἄκρον ἀφῖκτο περιεργείας ἐπανορθωτὴν αὐτὸν τῶν Ἱπποκράτους συγγραμμάτων, οὐχ ὑπηρέτην, ἀποφαίνων. τοῦτο μὲν δὴ χρήσιμόν ἐστι μεμνῆσθαι πρὸς πολλὰς τῶν ἀσαφῶν ῥήσεων, ἐν αἷς ἤτοι παραλελεῖφθαί τι πιθανόν ἐστιν, ἢ παραγεγράφθαι. οὐδὲν γὰρ κωλύει κατ᾽ ἐκείνας, ἤτοι τὸ λεῖπον προστιθέντας, ἢ τὸ ἡμαρτημένον ἐπανορθοῦντας, ἀπεργάζεσθαι τέλειόν τε καὶ ἀληθῆ τὸν λόγον. ὥσπερ γὰρ τὸ μεταγράφειν τὰς παλαιὰς ῥήσεις προπετὲς, οὕτως καὶ φυλάττοντας ὡς γέγραπται, βραχείαις τισὶν ἢ προσθέσεσιν, ἢ ὑπαλλάξεσιν, διαλύεσθαι τὰς ἀσαφείας, ἀγαθῶν ἐξηγητῶν ἐστιν ἔργον. ἀλλὰ περὶ τούτων μὲν οἶμαι καὶ δι᾽ αὐτῶν τῶν ἔργων ἐπιδείξειν ὀλίγον ὕστερον ἅπερ χρὴ δρᾶν. οὐ γὰρ ἁπλῶς, οὐδ᾽ ὡς ἔτυχεν, αὐτὸ ποιητέον, ἀλλὰ μετὰ τοῦ δεικνύναι, τήν τε τῶν πραγμάτων ἀλήθειαν, ἔτι τε πρότερον αὐτὴν τοῦ παλαιοῦ τὴν γνώμην οὕτως ἔχουσαν, ὁμολογεῖν τε ἀμφοτέρας, κατὰ τὴν λέξιν μετακοσμηθεῖσαν. ἐπὶ δὲ τὸ προκείμενον ἤδη χωρήσαντες, καὶ παραθέμενοι τὴν τελεωτέραν λέξιν, τὴν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν, ἴδωμεν ὁποῖός τις ὁ νοῦς αὐτῆς ἐστιν. ὅτι μὲν γὰρ ἐκ διαιρέσεως λογικῆς εὑρίσκειν ἐπιχειρεῖ τὰς διαφορὰς ἁπάσας τῶν δυσπνοιῶν, τοῦτο μὲν καὶ τοῖς ἐξηγησαμένοις αὐτοῦ τὰ βιβλία δοκεῖ, καὶ πάντη ῥᾴδιον εἶναι νομίζω συμβαλεῖν. εἰ δ᾽ ὀρθῶς διαιρεῖται, καὶ εἰ μηδὲν παραλείπει δυσπνοίας εἶδος, οὐκ ἔτι τοῦτο ῥᾴδιον ἅπασιν ἐξευρεῖν, ἀλλὰ καὶ τῆς διαιρετικῆς μεθόδου χρεὼν ἔμπειρον εἶναι τὸν περὶ τούτων κρινοῦντα, καὶ τῶν Ἱπποκράτους δογμάτων οὐκ ἀμελέτητον. ἡ μὲν δὴ μέθοδος ἀποβλέπειν φησὶ χρῆναι πρὸς τὸ διαιρούμενον ὁποῖον τὴν φύσιν ἐστίν. εἰ μὲν γὰρ ἁπλοῦν εἴη τὰ κατὰ τὸν τῆς οὐσίας αὐτοῦ λόγον ὑπάρχοντα, πόσα τ᾽ ἐστὶ καὶ τίνα καὶ ὁποῖα σκοπεῖσθαι, κἀκ τούτων διαιρεῖσθαι, συνθέτου δ᾽ ὄντος ἑκάτερον μὲν, ἢ ἕκαστον τῶν μορίων, ὡς εἴρηται, διαιρεῖν, τὸ δ᾽ ὅλον ἐκ τοῦ τρόπου τῆς συνθέσεως. ἡ δ᾽ Ἱπποκράτους γνώμη περὶ τῆς συνθέσεως, ἥτις ποτέ ἐστιν, εἴρηται μὲν ἡμῖν ἐν ἑτέροις ἐπὶ πλεῖστον. εἴρηται δὲ καὶ ἐν τοῖς ἔμπροσθεν. ὥστ᾽ οὐδὲν κωλύει πρὸς τούτους τοὺς σκοποὺς ἀποβλέποντας, ἐπισκέψασθαι τὴν τῶν ἐπιδημιῶν ῥῆσιν, ὧδέ πως ἔχουσαν. πνεύματα μικρὰ πυκνά. μεγάλα ἀραιά. μικρὰ ἀραιά. μεγάλα πυκνά. ἔξω μέγα, εἴσω μικρόν, εἴσω μέγα, ἔξω μικρόν, τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον, διπλῆ εἴσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσιν θερμὸν, ψυχρόν. ὅτι μὲν οὖν οὐχ ἡ τετάρτη μόνη κατὰ τὸ πυκνὸν καὶ μέγα συζυγία παραλέλειπται κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν, ἀλλὰ καὶ τῶν ἐφεξῆς δυοῖν, ἐν οἷς παραβάλλοι τὴν ἐκπνοὴν τῇ εἰσπνοῇ, καὶ τούτων ἡ δευτέρα, γέγραπται μὲν ἐν τῇ νυνὶ προχειρήσει, παραλέλειπται δ᾽ ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, πρόχειρον συνιδεῖν. οὐκέτι γὰρ ἐκείνῳ τῷ βιβλίῳ πρόσκειται, τὸ, εἴσω μέγα, ἔξω μικρόν, ἀλλὰ περὶ θατέρου μόνον εἴδους τῆς δυσπνοίας δηλοῦται, καθ᾽ ὃ μέγα μὲν ἐκπνεῖται πνεῦμα, μικρὸν δὲ εἰσπνεῖται. πολλαχόθεν μὲν οὖν εὑρίσκειν ἐστὶ καὶ προσγεγραμμένον τοῦτο τὸ λεῖπον, ἀλλ᾽ ἐν τοῖς πλείστοις καὶ ἀξιοπιστοτάτοις τῶν ἀντιγράφων παραλέλειπται, καὶ οὐδὲν τοῦτό γε πρὸς τὸ παρὸν διαφέρει. πρόκειται γὰρ ἡμῖν τὴν τελεωτέραν ῥῆσιν ἐπισκοπεῖσθαι, τὴν νῦν γεγραμμένην. ὅτι μὲν οὖν ἐκ τῆς εἴσω τε καὶ ἔξω φορᾶς τοῦ πνεύματος, ἡ τῆς ὅλης ἀναπνοῆς ἐνέργεια σύνθετος ὑπάρχει, καὶ ὅτι τὸ μὲν ἕτερον αὐτῆς τῶν μορίων εἰσπνοή, τὸ δ᾽ ἕτερον ἐκπνοὴ προσαγορεύεται. λέλεκται μὲν καὶ διὰ τοῦ πρώτου γράμματος εὐθὺς κατ᾽ ἀρχὰς, ἀλλὰ κἂν εἰ μὴ πρὸς ἡμῶν εἴρηται, σχεδὸν οὐδεὶς ἀγνοεῖ. ὅτι δ᾽ οὐδενὸς ἄλλου τῶν πάντων ἢ κινήσεως ἴδια, τάχος τ᾽ ἐστὶ καὶ βραδύτης, εἴρηται μὲν ἤδη καὶ τοῦτ᾽ ἔμπροσθεν, ἀλλὰ καὶ νῦν εἰς ἀνάμνησιν ἡκέτω. μέγεθος μέντοι καὶ σμικρότης, ὡς πρὸ-

οὐκ ἴδια

ἡ ἰδία κινήσεως, οὕτως ἀχώριστα πάντος, τοῦ περὶ διαστήματος φερομένου. καὶ διὰ τοῦτο καθ' ἑκάτερον τῶν μορίων τῆς ἀναπνοῆς, ἀντιθέσεις διαφορῶν διτταὶ γενήσονται, μία μὲν ἡ περὶ τάχος καὶ βραδυτῆτα. δευτέρα δὲ, ἡ περὶ μέγεθος καὶ μικρότητα. τῆς δ' ὅλης ἀναπνοῆς, ὅτι ἑτέρα ἀντίθεσις τίς ἐστι περὶ πυκνότητά τε καὶ ἀραιότητα συνισταμένη, καὶ τοῦτ' ἔμπροσθεν εἴρηται. καὶ ὡς ἥδε ἀντίθεσις, οὐχ ὡς κινήσεως τῆς ἀναπνοῆς, ἀλλ' ὡς συνθέτου πράγματος ἐκ διαστάσεων ἐστὶ συγκειμένης. ὥστ' ἐν τρισὶ τούτοις γένεσιν, ἀνάγκη πάσας εἶναι τὰς τῆς ἀναπνοῆς διαφοράς, ἐν τάχει μὲν καὶ βραδυτῆτι, διότι κινήσεως ἁπάσης, ἰδιά τε καὶ ἀχώριστα ταῦτ' ἐστίν. ἐν μεγέθει δὲ καὶ μικρότητι, διότι περὶ διαστήματος ἡ τῶν ἀναπνευστικῶν ὀργάνων κίνησις. πυκνότης δὲ καὶ ἀραιότης τὸ τρίτον τῶν εἰρημένων γενῶν, οὐδ' ἑτέρου μέν ἐστι τῶν οἰκείων τε καὶ πρώτων μορίων τῆς ἀναπνοῆς, οὔτ' ἴδιον, οὔτ' ἀχώριστον ὅλης δὲ μόνης γίγνεται κατὰ τὸ συμβεβηκός, ἐπειδὴ σύνθετον πρᾶγμα ἐστὶν, ἐκ δυοῖν ἐναντίων κινήσεων ἡσυχίᾳ διειργομένων. αὗται μὲν οὖν αἱ πρῶται διαφοραὶ τῆς ὅλης ἀναπνοῆς. τῷ δ' εἶναι ποιεῖν τι καὶ πάσχειν πεφυκὸς τὴν ἀναπνοὴν, εἴη ἂν καὶ ἄλλο γένος ἐν αὐτῷ διαφορῶν ἑκατέρου τῶν μορίων ὁμαλῶς, ἢ ἀνωμάλως ἐπιτελουμένου. καὶ μὴν καὶ ἄλλο πάλιν ὅλης αὐτῆς ὡς συνθέτου, παραβαλλομένων ἀλλήλοις τῶν μορίων. τούτων οὕτως ἐχόντων, ἰστέον τὰς μὲν πρώτας γεγραμμένας ἐν τῇ προκειμένῃ ῥήσει δυσπνοιῶν διαφορὰς τέτταρας, ὅλης ἀναπνοῆς ὑπάρχειν. οὐδετέρου γὰρ τῶν μορίων ἐστὶ πυκνότης καὶ ἀραιότης, εἴγε δὴ μεμνήμεθα τῶν εὐθὺς κατ' ἀρχὰς τοῦ πρώτου τῶνδε τῶν ὑπομνημάτων εἰρημένων. οὕτως δὲ καὶ τὰς ἐφεξῆς αὐτῶν τὰς δύο, καὶ γὰρ ἐν ταύταις παραβάλλεται τὰ δύο μόρια τῆς ὅλης ἀναπνοῆς. καὶ διὰ τοῦθ' οὕτως γέγραπται, ἔξω μέγα, εἴσω μικρὸν, εἴσω μέγα, ἔξω μικρὸν, δηλονότι πνεῦμα. τὰς δ' ἐφεξῆς δύο διαφοράς. ἐν αἷς λέγεται, τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον, τῶν μορίων τῆς ἀναπνοῆς θατέρου, νομιστέον ἰδίας ὑπάρχειν, ὃ δὴ περὶ τὴν οὐσίαν εἶναι μάλιστα τῆς οὐσίας ἔφαμεν. ἐκτεῖνον μὲν γὰρ τὸ βραδὺ, κατεπεῖγον δὲ τὸ ταχύ. βραδύτης δὲ, καὶ ταχύτης ἁπάσης κινήσεως ἀχώριστα. τὸ δ' ἐφεξῆς λεγόμενον, τὸ, διπλῆ ἔσω ἐπανάκλησις οἷον ἐπεισπνέουσιν, ἔστι μὲν εἰσπνοῆς ἀνωμάλου δηλωτικὸν, ἐπιζητεῖ δὲ τὴν αὐτὴν ἀντίθεσιν ἐπὶ τῆς ἐκπνοῆς, ἣν ἐγὼ πέπεισμαι παραλελεῖφθαι πρὸς τῶν μεταγραφόντων μᾶλλον, ἢ πρὸς Ἱπποκράτους αὐτοῦ, εἴγε δὴ φαίνεται μεμνημένος ἐν ἑτέροις συγγράμμασι καὶ τοῦ τοιούτου τῆς δυσπνοίας εἴδους, ὡς ἐπιδείξω σαφῶς ἐν τοῖς ἐφεξῆς. εἰ δέ τῳ δοκεῖ πρὸς Ἱπποκράτους αὐτὸ παραλελεῖφθαι, οὗτος αἱρεῖται τὰ χείρω πρὸ τῶν βελτιόνων. τὸ μὲν γὰρ μηδ' ὅλως ἀνωμαλίας μνημονεῦσαι περὶ μηδ' ἑτέρου τῶν τῆς ἀναπνοῆς μορίων, ἀλλὰ τελέως ἐπιλαθέσθαι τε καὶ παραλιπεῖν, ἣν μὲν οὐ δι' ἄλλο κατὰ τὴν Ἱπποκράτους ἐπιμέλειαν. ἀλλ' ἔγωγ' ἂν εἰ καὶ τὸ νῦν γεγραμμένον ἐπὶ τῆς εἰσπνοῆς οὐδ' ὅλως ἐγέγραπτο, τοῦ γραφέως ἁμάρτημα ὑπάρχειν αὐτὸ μᾶλλον, ἢ Ἱπποκράτους εἰπεῖν ἐτόλμησα. λόγον δ' ἂν οὖν ἔχειν οὕτω τινὰ, τοῖς τὰ χείρω νοοῦσιν. ἐπεὶ δὲ καὶ τὸ τῆς εἰσπνοῆς εἶδος ἐμήνυσε σαφῶς οὕτως, ὡς μὴ μόνον εἰπεῖν, διπλῆν ἔσω γίγνεσθαι τοῦ πνεύματος τὴν ἐπανάκλησιν, ἀλλὰ καὶ τὸ οἷον ἐπεισπνέουσι προσθεῖναι, πῶς ἄν τις εὖ ὑπολάβοι τῆς ἐκπνοῆς αὐτὸν ἐπιλαθέσθαι; περὶ μὲν οὖν τούτων καὶ αὖθις. ἐφεξῆς δὲ πρόσκειταί τις ἀντίθεσις ἄλλη δυσπνοιῶν ἐπὶ τελευτῇ τοῦ λόγου παντὸς, ὧδέ πως γεγραμμένη θερμὸν, ψυχρόν. ἵνα δηλονότι κἀνταῦθα προσυπακούωμεν τὸ πνεῦμα. καθάπερ γὰρ μέγα καὶ μικρὸν καὶ πυκνὸν καὶ ἀραιὸν, οὕτω καὶ θερμὸν, καὶ ψυχρὸν ἐκπνεῖται τὸ πνεῦμα. καί τοι κἀνταῦθα παρακούοντές τινες, ἐξ ὧν αὐτοὶ μὴ συνιᾶσιν, ἐπανορθοῦνται, καὶ μεταγράφειν τὴν λέξιν τολμῶσιν, οὐ ψυχρὸν καὶ θερμὸν, ὡς νῦν εἴρηται γράφοντες, ἀλλὰ συνάπτοντες αὐτὰ τῷ προειρημένῳ, καὶ οὕτως ἀναγινώσκοντες, οἷον ἐπεισπνέουσι θερμῷ ψυχρόν. οὗτοι μὲν οὖν πρὸς τὸ μηδένα νοῦν ἔχουσαν ἐργάζεσθαι τὴν λέξιν, ὅτι μηδ' ἀνεγνώκασιν τὰ τοῦ παλαιοῦ βιβλία, κατάδηλοι γίνονται. πάντως γὰρ ἂν ἐμέμνηντο τῶν ἐν ἑτέροις ὑπ' αὐτοῦ γεγραμμένων, περί τε θερμῆς καὶ ψυχρᾶς ἐκπνοῆς, ἅ τινα λόγον εἶχεν, ἢ ἐν ἐκείνοις αὐτὸν γράφειν, ἢ ἐνταῦθα παραλιπεῖν, οὐκ ἂν εἰπεῖν ἔχοιεν. εἰ μὲν γὰρ οὐκ ἐνόμιζεν ἐκ τῶν δυσπνοιῶν εἶναι τὴν θερμὴν καὶ ψυχρὰν ἐκπνοὴν, οὐ καλῶς ἐν ἑτέροις, ὡς δυσπνοιῶν ἐμνημόνευσεν. εἰ δ' ὀρθῶς ἐν ἐκείνοις ἔπραξεν, οὐκ ὀρθῶς νῦν παρέλιπεν. ἀλλ' οὐχ ὧδ' ἔχει ταῦτα. καὶ γὰρ ἐνταῦθα τε καλῶς ἐν τῇ διαιρέσει τῶν δυσπνοιῶν περιέχονται, καὶ τί ποτ' οὖν δηλοῦν πεφύκασιν ὀρθῶς ἐν ἑτέροις εἴρηται. καταλιπόντες οὖν ἤδη τοὺς οὕτως παρακούοντας τοῦ παλαιοῦ, καὶ παντὸς μᾶλλον, ἢ τῆς γνώμης αὐτοῦ συνιέντας, αὐτοὶ καθ' ἡμᾶς αὐτοὺς ἐπισκεψώμεθα, τί δή ποτε περὶ τὸ προγνωστικὸν γράμμα περὶ δυσπνοίας ὧδέ πως γράφει, πνεῦμα πυκνὸν μὲν ἐὸν πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίγνεται, φαίνεται γὰρ ἐν τούτῳ τῷ βιβλίῳ τριῶν τούτων μόνων δυσπνοιῶν μνημονεύων, καί τοι γ', εἰ μὲν τοσαῦται μόνον εἰσὶν τί δή ποτε πολὺ πλείους ἐν τοῖς τῶν ἐπιδημιῶν αὐτὸς ἔγραψε; εἰ δὲ οὕτως εἰσὶ πολλαί, τί δή ποτε ὀλιγίστων ἐμνημόνευσεν ἐν τῷ προγνωστικῷ; ἢ τὸν μὲν ἀριθμὸν αὐτῶν ἐπίστασθαι ἐνόμιζε χρηστὸν, ὁποῖον δέ τι δηλοῦν ἑκάστη πέφυκεν, οὐκ εἶναι χρηστὸν, ἢ μόναις ταῖς εἰρημέναις δηλοῦν ὑπάρχει τι, ταῖς δ' ἄλλαις οὐδὲν, ἀλλ' ἐνδέχεταί ποτ' ἀναπνεῖν μὲν παρὰ φύσιν, οὐδεμίαν δ' εἶναι διάθεσιν ἐν τῷ ζώῳ παρὰ φύσιν. ἢ τοσοῦτον δεῖ τοῦτ' ἀληθὲς ὑπάρχειν, ὥστ' ἀνάγκη πᾶσαν, τὴν παρὰ φύσιν ἐν τῷ ζώῳ διάθεσιν αὐτὴν, γίγνεσθαι τῆς δυσπνοίας αἰτίαν. εἴπερ οὖν λόγον αἰτίας ἡ διάθεσις ἔχει πρὸς τὴν δύσπνοιαν, εἴη ἂν οὕτω, καὶ χρόνῳ, καὶ τάξει, καὶ δυνάμει πρότερον. πῶς οὖν φαίνεται παραλιπὼν ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ, τοσοῦτον ἀριθμὸν δυσπνοιῶν; ἐγὼ μὲν διὰ τοῦτ' ἐβουλόμην καὶ παραβάλλειν τοὺς ἐξηγητὰς ἀλλήλοις, καὶ ζητεῖν καὶ λύειν. ἔχει δ' οὐχ ὧδε. τῶν μὲν γὰρ ἐξηγουμένων, τίς ἄν τις καὶ μνημονεύοι; τῶν δ' ἔμπροσθεν, ὧν γε καὶ πρὸς ἡμᾶς ὑπομνήματα διασώζεται, πολλοὺς μὲν καὶ μακροὺς λήρους καταγεγραμμένους εὑρεῖν ἐστὶ, τὰ δ' οὕτως ἐπίκαιρα παραλέλειπται τελέως. ἀλλ' ἡμεῖς γε ζητῶμεν αὐτὰ, κἂν μηδεμίαν ὁδὸν εἰς τὴν εὕρεσιν ὑπ' ἐκείνων ἔχωμεν παραδεδομένην. εἴρηται μὲν δὴ κἀν τοῖς περὶ τῆς ἀρίστης αἱρέσεως, κἀν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὅπως χρὴ τὰ τοιαῦτα πάντα καὶ ζητεῖν καὶ ἀνευρίσκειν. ἀλλὰ κἀν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων διττὴν ὁδὸν ἔδειξα τῆς τῶν τοιούτων εὑρέσεως, ἑτέραν μὲν, ἐκ τῶν ἐν τῇ δυσπνοίᾳ διαφορῶν ὁρμωμένην. ἑτέραν δ' ἀπὸ τῶν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις διαθέσεων, ἣν καὶ ῥᾴω τε καὶ

σαφέστερον ὑπάρχειν ἔλεγον. καὶ ὅς τις ἐκείνοις ἐπιμελῶς ἐνέτυχε τοῖς γράμμασιν, οὐ δεήσεται λόγου πολλοῦ εἰς τὴν τῶν παρόντων λύσιν. εἰ δ' ἤτοι ῥαθύμως ἐκείνοις ὡμίλησεν, ἢ ἄλλως ἐστὶ δυσμαθὴς, ὁ μὲν ῥάθυμος αὖθις ἢ ἀναλεξάμενος αὐτὰ, πάλιν ἐπὶ ταῦθ' ἡκέτω. ὁ σκαιὸς δ' ἄλλο τι πραττέτω, γινώσκων ὡς οὐκ οἷά τε μεγάλου γνώμην ἀνδρὸς ἐκμαθεῖν φύσις μικρὰ, ὁποῖος ἦν ὁ Ἱπποκράτης. ἃ γοῦν οὐδεὶς ἔμπροσθεν οὔτε προὔβαλλεν, οὔτ' ἠπόρησεν, οὔτ' ἐζήτησεν, οὔθ' εὗρεν, ἐγὼ καὶ προβαλῶ καὶ ἀπορήσω, καὶ ὅπως χρὴ ζητεῖν ἐρῶ, καὶ σὺν θεοῖς εὑρήσειν ἐλπίζω. τὸ μὲν δὴ πρόβλημα, καὶ μικρῷ πρόσθεν εἴρηταί μοι, τί δή ποτε τοσαῦτα δυσπνοιῶν εἴδη, παρέλιπεν ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ. τὸ δ' ἀπόρημα νῦν εἰρήσεται τῶν ἐν τῷ πρώτῳ λόγῳ γεγραμμένων ἀναμνήσαντι πρότερον. ἁπάσας γὰρ τῶν δυσπνοιῶν τὰς διαφορὰς ἐν ἐκείνοις τοῖς λόγοις εἰς τέτταρα τὰ πάντα γένη διαθέσεών τε καὶ δυσπνοιῶν ἀνήγαγον. ὥστ' ἀπορώτερον ἔτι τὸ πρόβλημα καθίσταται, τῆς μόνης, ἧς ὑπολειπομένης ἐλπίδος, ἀνῃρημένης. ἐν γὰρ τοῖς τοιούτοις ἅπασιν, ἐν οἷς ὅσαι δή ποτε τῶν ὄντων διαφοραὶ, πλείους μὲν ὑφ' ἑτέρου τινὸς ἢ ἀνδρὸς, ἢ γράμματος, ἥττους δ' ὑφ' ἑτέρου λέγονται, μία μόνη τῆς συμφωνίας ἐλπὶς, εἴ τις ἐπιδεῖξαι δύναιτο, τὸν μὲν ἐν τοῖς πρώτοις μέρεσι τῆς διαιρέσεως μεμενηκότα, τὸν δὲ καὶ κατατέμνοντα. ταύτης τοίνυν ἡμῶν ἀφῃρημένης τῆς ἐλπίδος, ἐδείχθη γὰρ ἐν τῷ πρώτῳ λόγῳ μήτε τῶν διαθέσεων, μήτε τῶν δυσπνοιῶν εἰς ἀριθμὸν ἐλάττονα δύνασθαι ἀναχθῆναι τὰ γένη, τίς ἂν ἔτι μηχανὴ τῆς λύσεως τοῦ νῦν ζητουμένου εὑρεθείη; τά τε γὰρ ἄλλα, καὶ πρὸς τῷ παραλελεῖφθαι τινὰ τῶν πρώτων γενῶν, ἔτι καὶ τὸ διεσπάσθαι τε καὶ κακῶς ἀντιδιῃρῆσθαι πρὸς ἄλληλα, καὶ ἀσαφῶς ἡρμηνεῦσθαι μέμψαιτ' ἄν τις ἐν τῷ προγνωστικῷ, καίτοι γ' ἐπὶ τῶν καὶ ἄλλων, τῶν Ἱπποκράτους βιβλίων ὑπάρχοντι σαφεῖ. καὶ μὴν ἀσαφές τε ἅμα καὶ ἀδιόριστόν ἐστι τὸ κατὰ τὴν ἀρχὴν εὐθὺς εἰρημένον τῆς λέξεως, πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. εἰ μὲν γὰρ μὴ διττὸν ἦν τὸ πυκνὸν πνεῦμα, θάτερον μὲν μετὰ μεγέθους, θάτερον δὲ μετὰ σμικρότητος, ἢ εἰ μὴ διαφόρου διαθέσεως ἑκάτερον αὐτῶν ἔκγονον ὑπῆρχεν, εὐλόγως ἂν ὁ Ἱπποκράτης, ἢ ἄτμητον αὐτὸ κατέλιπε, ἢ τοῦ δηλουμένου καθ' ἑκάτερον, τὴν διαφορὰν οὐκ ἐμήνυσεν. ἐπεὶ δ' αὐτός τε σαφῶς ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ἕτερον μὲν τὸ πυκνὸν ἅμα καὶ σμικρὸν, ἕτερον δὲ τὸ πυκνὸν καὶ μέγα γινώσκει, καὶ ἡμεῖς ἀπεδείξαμεν ἐκ τῶν πρώτων εἶναι διαφορῶν αὐτὰ, κακῶς ἄτμητον ἐάσας τὸ πυκνὸν, ἁπλῶς οὕτως εἰπὼν ἠρκέσθη, πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. ἓν μὲν δὴ τοῦτ' ἄπορον. ἐφεξῆς δὲ τῆς τρίτης διαφορᾶς μνημονεύσας ὡδὶ, μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει, καὶ ταύτην εἰπὼν μόνην σαφῶς τῶν πρώτων διαφορῶν, οὐδ' ὁτιοῦν τῆς παρακειμένης αὐτῇ, τῆς ἀραιόν τε καὶ μικρὸν ἀποδεικνυούσης τὸ πνεῦμα δυσπνοίας ἐμνημόνευσε. καίτοι γε ὥσπερ τὸ πυκνὸν πνεῦμα διττὸν ἦν, μεγέθει καὶ σμικρότητι διαφερόμενον, οὕτω καὶ τὸ ἀραιὸν διττὸν ἐξ ἀνάγκης ἐστὶ, μεγέθει καὶ σμικρότητι διαφερόμενον. θατέρου δὲ μόνου κατὰ τὸ προγνωστικὸν ἐμνημόνευσεν εἰπὼν, μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει, ἕτερον δὲ τὸ ἀραιὸν ἅμα καὶ σμικρὸν, παραλελεῖφθαι φαίνεται. ὥστ' ἐκ τῶν τεσσάρων συζυγιῶν, ἃς ἐν τῇ ἐπιδημίᾳ ἔγραψε, τὰς μὲν δύο τὰς πρώτας ἀδιορίστως τε καὶ ἀσαφῶς καὶ συγκεχυμένως εἰρῆσθαι, μόνην δ' ὡς ἔφαμεν τὴν τρίτην αὐτήν τε, καὶ τὸ δηλούμενον ὑπ' αὐτῆς ἄμφω γεγράφθαι σαφῶς. οὐ μόνον δ' ἐν τούτοις ἀσαφής τε ἅμα καὶ ἀδιόριστος, καὶ παραλιπὼν τὰ πλείω δόξειεν ὑπάρχειν ὁ λόγος, ἀλλὰ κἀξ ὧν ἐπιφέρων φησὶ, ψυχρὸν δ' ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος ὀλέθριον κάρτα ἤδη γίγνεται. τί δή ποτε γὰρ, εἰ τὰς κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν διαφορὰς ἐπελθεῖν ἐγνώκει, τῆς ψυχρᾶς ἐμνημόνευσε μόνης; ἔπειτα δή ποτε τῶν ἄλλων δύο, ἥν τε ἀδιορίστως ὀνομάζει πυκνὸν πνεῦμα, καὶ ἣν διοριζόμενος, ἀραιὸν καὶ μέγα, τὰς διαθέσεις αὐτὰς μόνας παρέγραψεν, οὐ μὴν εἰς ὅ τι τελευτήσουσιν ἐμήνυσε, πόνον μὲν καὶ φλεγμονὴν ὑπὸ τῆς πυκνῆς, παραφροσύνην δ' ὑπὸ τῆς ἀραιᾶς τε ἅμα καὶ μεγάλης δυσπνοίας δηλοῦσθαι φάμενος. ἐπὶ δὲ τῆς κατὰ τὸ ψυχρὸν διαφορᾶς, οὐχ ὅτι μὲν τελευτήσει λέγει. φησὶ γὰρ, ὀλέθριον εἶναι κάρτα, τὸ τοιοῦτον πνεῦμα. τὴν διάθεσιν δ' ἀφ' ἧς οὕτω δυσπνοοῦσιν ἀσαφεστέραν οὖσαν, οὐκέτι λέγει, βέλτιον ὂν ἐπὶ πασῶν τῶν δυσπνοιῶν καὶ τὰς διαθέσεις αὐτὰς εἰπεῖν, αἵ τινες ποτ' ὑπάρχουσιν, καὶ τὸν τρόπον αὐτῶν προσγράψαι, διορίζοντα τὰς ἐπιεικεῖς ἀπὸ τῶν κακοήθων. οὐ τοίνυν οὕτως ἐποίησεν, ἀλλ' ἐπὶ μὲν τῶν προτέρων δυσπνοιῶν τὰς διαθέσεις, ἐπὶ δὲ τῆς ἐσχάτης, τὸν τρόπον μόνον ἐδήλωσεν. ὃ δὴ πάντων ἀφυκτότατόν ἐστι τῶν ἐγκλημάτων, τὸ, μηδὲν ὅλως εἰρῆσθαι περὶ τῆς ἀνωμάλου δυσπνοίας, ἥν γε δὴ καὶ αὐτὸ προσκέαθω τῷ λόγῳ. τὸ μὲν γὰρ, ἐκτεῖνον καὶ κατεπεῖγον πνεῦμα. καὶ τὸ ἔξω μέγα, καὶ εἴσω μικρὸν, οὐκ εἴρηται μὲν οὐδ' αὐτὰ, διὰ τοῦ προγνωστικοῦ γράμματος, ἐξ ὧν ἡμεῖς ἐν τῷ πρώτῳ λόγῳ διήλθομεν, ἐν ταῖς τέσσαρσι τῶν δυσπνοιῶν συζυγίαις εὑρίσκεται περιεχόμενα. τὴν δέ γε πέμπτην ἀνώμαλον, ἧς τὸ μὲν ἥμισυ μέρος, ἐν τοῖς τῶν ἐπιδημιῶν ἔγραψε, διπλῆν εἴσω, φάμενος, ἐπανάκλησιν, ἐν δὲ τῷ προγνωστικῷ τελέως παρέλιπεν, οὐκ ἔστιν ὑπ' οὐδεμιᾶς τῶν τεττάρων συζυγιῶν κατ' οὐδένα τρόπον εὑρεῖν περιεχομένην. αἱ μὲν οὖν ἀπορίαι τοσαῦταί τε καὶ τοιαῦται, χρὴ δὲ τοὐντεῦθεν, μὴ τοῖς πολλοῖς τῶν ἀντιλεγόντων Ἱπποκράτους παραπλησίως καὶ ἡμᾶς, τὰς μὲν ἀπορίας εὐπόρως ἐξευρίσκειν, ἐν δὲ ταῖς λύσεσιν αὐτῶν ἀπορεῖν, ἀλλὰ πρῶτον μὲν ὁδόν τινα τῆς εὐπορίας εὑρεῖν, ἐφεξῆς δ' ἀποδείξει πιστώσασθαι τὰ δι' αὐτῆς εὑρεθέντα. τίς οὖν ὁδὸς τῆς εὐπορίας; χρὴ γὰρ ἐντεῦθεν ἄρξασθαι. μία μὲν, ἡ κοινὴ πάντων τῶν παλαιῶν συνήθης βραχυλογία. δευτέρα δὲ ἡ Ἱπποκράτους αὐτοῦ μεγαλοφροσύνη. δέδεικται γὰρ ἡμῖν δεινὸς πολλάκις ὁ ἀνὴρ οὗτος, ὅσα μὲν καὶ τοῖς ἄλλοις ἰατροῖς ἐστι γνώρισμα παρατρέχων, ὡς ὑπὸ μηδενὸς τῶν γνησίως ἀσκούντων τὴν τέχνην, ἀγνοηθῆναι δυνάμενα, τὰ δὲ τοῖς τοιούτοις ἀγνοούμενα, πάντ' ἐπιμελῶς τε ἅμα καὶ σαφῶς ἐξηγούμενος. εἰ δὴ τοῦτ' ἔστιν ἔθος αὐτῷ, τί θαυμαστὸν ἀμφισβητουμένην τε καὶ ἀσαφῆ τοῖς πολλοῖς δυσπνοίας διαφορὰν τὴν κατὰ μέγεθος τε καὶ ἀραιότητα, διά τε τῶν ἄλλων συγγραμμάτων ἐπιδεῖξαι πειραθῆναι, παραφροσύνης ἰδίαν οὖσαν, ἔν τε τῷ προγνωστικῷ, σαφοῦς ἀξιῶσαι διδασκαλίας. τὰς δὲ τῆς πυκνότητος, ὡς ἂν μὴ δὲ ταύτας ἀγνοηθῆναι τοῖς ἰατροῖς δυναμένας, ἑνὶ κεφαλαίῳ περιλαβόντα, διὰ ταχέων δηλῶσαι. ἔν τε γὰρ πλευρίτισι, καὶ περιπνευμονίαις, καὶ συνάγχαις καὶ ὀρθοπνοίαις, πυκνὸν καὶ μικρὸν γίνεται τὸ πνεῦμα.

τὸ πνεῦμα. καὶ εἰ μὴ πλευρῖτις δ' εἴη, μόνη δ' ὀδύνη περὶ τὰς πλευρὰς ὑπάρχει, πυκνὸν καὶ μικρὸν ἔσται τὸ πνεῦ-
μα, καθάπερ εἰ καὶ περὶ τὸ στόμα τῆς κοιλίας, ἢ τὸν στόμαχον, ἢ τὴν τοῦ σπληνὸς κεφαλήν, ἢ τοῦ ἥπατος τὰ κυρτά.
καὶ γὰρ οὖν κἀνταῦθα πόνου τινὸς ὑπάρχοντος, ἀνάγκη μικρόν καὶ πυκνὸν γενέσθαι τὸ πνεῦμα. καὶ πολύ γε μᾶλλον
εἰ περὶ τὸ διάφραγμα γένοιτο, καὶ τὸ συνάπτον αὐτὸ τοῦ περιτοναίου, καὶ τοὺς μῦς τοὺς περικειμένους αὐτόθι. καί
τοι κἂν εἰ μὴ τῇδε μόνον, ἀλλὰ καὶ κατωτέρω μειζόνως πεπονθὸς τὸ περιτόναιον, αἰσθάνεταί τε τῆς βλάβης αὐ-
τοῦ τὸ διάφραγμα, καὶ οὕτω μικρὸν καὶ πυκνὸν ἐργάζεται τὸ πνεῦμα. καὶ τῆς γαστρὸς αὐτῆς αἱ μείζους διαθέσεις
αἱ σὺν ὀδύνῃ τε καὶ ὄγκῳ, καὶ τοῦ σπληνὸς τὰ κάτω, καὶ τοῦ ἥπατος, οὐδὲν ἧττον καὶ αὗται πυκνὸν καὶ μικρὸν
ἐργάζονται τὸ πνεῦμα. καὶ ὅλως, εἴτε ὄγκος τις εἴη θλίβων τε καὶ στενοχωρῶν, ὁτιοῦν τῶν ἀναπνευστικῶν ὀργάνων,
εἴτ' ὀδύνη περί τι μόριον, οὕτω πλησιάζον τοῖς ἀναπνευστικοῖς, ὡς κινουμένοις αὐτοῖς συγκινεῖσθαι, πυκνὸν καὶ μι-
κρὸν ἔσται τὸ πνεῦμα. τὰς δ' ἄλλας αἰτίας τούτων ἐν τῷ πρώτῳ γράμματι διήλθομεν, ὥσπερ γε καὶ ὅτι θερμα-
σίας πολλῆς ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἠθροισμένης πυκνὸν καὶ μέγα γενήσεται τὸ πνεῦμα. φαίνεται δὲ καὶ
τοῦτο σχεδὸν ἁπάσης ἡμέρας, ἐπὶ τῶν διακαῶν πάντων πυρετῶν, ὥστε οὐδ' αὐτὸ διαλάθοι τινά. καὶ μήν τοι καὶ ὡς
τὴν παρὰ φύσιν φλόγωσιν, οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες οἱ πρὸ Ἐρασιστράτου φλεγμο-
νὴν ὠνόμαζον, οὐχ ἡμῖν μόνοις, ἀλλὰ καὶ σύμπασιν, ὡς εἰπεῖν, τοῖς Ἱπποκράτους ἐξηγηταῖς ἀποδέδεικται. τούτων
οὖν ὑποκειμένων, οὐδὲν ἔτι θαυμαστὸν ἑνὶ κεφαλαίῳ τὰς εἰρημένας ἀμφοτέρας διαφορὰς δηλῶσαι τὸν Ἱπποκρά-
την, πνεῦμα δὲ πυκνὸν μὲν ἐόν, εἰπόντα, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισιν,
ὡς ἂν καὶ ἡμῶν νοῆσαι δυναμένων. ὅτι τὸ μὲν μετὰ μικρότητος, πόνον σημαίνει. τὸ δὲ μετὰ μεγέθους φλεγμονήν,
ὅπερ ἐστὶ φλόγωσιν δηλοῖ. προσθέντα δ' εὐλόγως, ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισιν, ἤτοι τοῖς ἀναπνευστι-
κοῖς, ὡς ἂν τῶν κάτω τοῦ διαφράγματος ἀμέτρων θερμασιῶν, εἰς μέγεθός τε καὶ πυκνότητα τὴν ἀναπνοὴν ἐξάραι
μὴ δυναμένων. ἡ μὲν ὁδὸς τῆς εὑρέσεως τῶν ζητουμένων κατά γε τὰς πρώτας διαφορὰς ἥδε. προσθεῖναι δ' ἀνάγ-
κη τινὰ καὶ ἀπόδειξιν τοῦ λόγου. νυνὶ μὲν γάρ, ὡς οὐκ ἀδύνατόν ἐστι, ταύτῃ τῇ γνώμῃ κεχρῆσθαι τὸν Ἱπποκράτην, δε-
δήλωται. δειχθήσεται δ' ἐφεξῆς ὅτι πάντως οὕτως ἔχει. τί δή ποτε γάρ, ἐν μὲν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις ἀμφο-
τέροις, ἔν τε τῷ δευτέρῳ καὶ τῷ ἕκτῳ πρώτας ἁπασῶν δύο ταύτας εὑρίσκεται διαφορὰς δυσπνοίας διαιρούμε-
νος; προτέραν μὲν τὸ μικρὸν καὶ πυκνὸν πνεῦμα, δευτέραν δὲ τὸ πυκνὸν καὶ μέγα, ἐπὶ δὲ τὸ προκείμενον, ἀγνοεῖν
αὐτὰς νομίζεται, πρὸς τῷ καὶ μετὰ ταῦτ' εὐθὺς ἐν τῷ προγνωστικῷ γράφειν, ἀραιὸν καὶ μέγα. ἀραιὸν μὲν οὖν καὶ μέ-
γα πνεῦμα γινώσκει, πυκνὸν δὲ καὶ μικρὸν ἀγνοεῖ. κἂν φαίη τις τῶν τὰ χείρω σπουδαζόντων, ὡς αὐτὸ μὲν τί ποτ' ἐστὶ
πυκνὸν καὶ μικρὸν πνεῦμα γινώσκειν ἠδύνατο, τίς δ' ἐστὶν ἡ ἀπεργαζομένη διάθεσις αὐτό, μὴ γινώσκειν ἠδύνα-
το. ἀλλ' ὅταν εἴποι, τὸ πυκνὸν πνεῦμα πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖς ὑπὲρ τῶν φρενῶν χωρίοις, δῆλός ἐστι καὶ
τὰς διαθέσεις γράφων, καὶ οὐδετέραν παραλιπών, ἀλλὰ κατὰ τὴν αὐτὴν τάξιν ἐδήλωσεν, ἣν κἂν τοῖς δύο τῶν ἐπιδημι-
ῶν βιβλίοις ἐποιήσατο. δῆλος οὖν ἐστι, τῷ μὲν πυκνῷ καὶ σμικρῷ τὸν πόνον, τῷ δὲ πυκνῷ καὶ μεγάλῳ, τὴν φλόγωσιν
συνάπτων. οὐ δὲ γάρ τοι τοῦτ' ἐστὶν εἰπεῖν, ὡς ἐν μὲν τοῖς τῶν ἐπιδημιῶν δύο ἐμνημόνευσε μικροῦ καὶ πυκνοῦ, καὶ μεγά-
λου καὶ πυκνοῦ πνεύματος, ἑτέρωθι δ' οὐδαμόθι. καὶ γὰρ ἐν αὐτοῖς ἐκείνοις πολλάκις, κἂν τῷ περὶ διαίτης ὀξέ-
ων. ὃν ἐπιγράφουσι περὶ πτισάνης, εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος, οὐ μόνον διαῤῥήδην ὀνομάζει τὸ τῆς δυσπνοί-
ας ταύτης εἶδος, ἀλλὰ καὶ τὴν διάθεσιν ἐφ' ᾗ γίγνεται, καὶ τὸν τρόπον αὐτῆς καθ' ὃν βλάπτειν πέφυκε. καί τοι
τῶν ὑπὸ φιλονεικίας πολλὰ παρακοπτόντων, ὡς οὐ γνήσια τοῦ Ἱπποκράτους βιβλία, οὐδεὶς ἐτόλμησεν ἀφελέσθαι
τὸν ἄνδρα, τουτὶ τὸ σύγγραμμα. τὰ μὲν γὰρ ἐπὶ τέλει, τὰ μετὰ τὴν τοῦ λουτροῦ χρῆσιν ἀφαιροῦσιν πολλοί,
τὰ δὲ ἕως τοῦ δὲ, φυλάττουσιν ἅπαντες. ἂν οὖν μὴ μόνον ἐν τούτῳ τῷ βιβλίῳ δείξομεν, ἀλλὰ καὶ δι' ἄλλων πολλῶν
ὁμοίως εὑρεθῇ, τάς τε διαφορὰς τοῦ πυκνοῦ πνεύματος γινώσκων καὶ τὰς διαθέσεις, ἐνδεῖν τι δόξει πρὸς τὴν ἀπό-
δειξιν; εἰ δὲ καὶ κατ' αὐτὸ τὸ προγνωστικὸν εὑρεθείη κατωτέρω, μήτε τὰς διαφορὰς ἀγνοῶν καὶ τὰς διαθέσεις ἐπιστά-
μενος, οὐκ ἂν ἔτι μᾶλλον πιστεύσαις ἀποδεδεῖχθαι τὸ προκείμενον; καὶ μὴν ὅτι ταῦθ' οὕτως ἔχει καὶ μηδὲν ψευδόμε-
θα πάρεστι σκοπεῖν ἐξ αὐτῶν τῶν ῥήσεων. ἄρξομαι δ' ἀπὸ τοῦ περὶ διαίτης ὀξέων. ἐν τούτῳ τῷ βιβλίῳ κατ' ἀρχὰς
εὐθὺς περὶ τῶν κατὰ πνεύμονα καὶ θώρακα νοσημάτων τὸν λόγον ποιούμενος, ὧδέ πως φησί, οἷσί τε γὰρ σῖτος αὐ- «
τίκα ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας, τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἄν, καὶ μὴ «
ἐνεοῦσαν, εὐθὺς ἐμποιήσειεν ἄν. καὶ πνεῦμα πυκνότερον γένοιτ' ἄν. κακὸν δὲ τοῦτο. ξηραντικὸν γὰρ πνεύμονος, καὶ κο- «
πώδες ὑποχονδρίων καὶ ἥτρου καὶ φρενῶν. ἐν τούτῳ τῷ λόγῳ πρῶτον μέν, ὅτι καὶ διὰ πόνον τὸ πυκνὸν γίνεται πνεῦμα «
δεδήλωκεν, ἡμῖν οἶμαι καταλιπὼν ἐπινοεῖν τὸν τρόπον τῆς γενέσεως, ὃν ἐν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων σα-
φῶς μοι δοκῶ διεληλυθέναι. καθ' ὃν γὰρ τρόπον ὀδυνώμενοι τὰ σκέλη, μέγα προβαίνειν οὐ δυνάμεθα, κατὰ τὸν αὐτὸν
τρόπον, ὅταν πονῇ τι τῶν κινουμένων ἐν ταῖς ἀναπνοαῖς ὀργάνων, μικρὸν ἀναπνεῖν ἀναγκαζόμεθα, καὶ θᾶττον παύ-
σασθαι γλιχόμεθα. ἐπεὶ γὰρ συμπαρεκτείνεται τῷ μήκει τοῦ χρόνου τῆς ἀναπνοῆς ὁ πόνος, ὁ θᾶττον ἀνεπισχὼν τὴν κίνησιν
τῶν ἀναπνευστικῶν, θᾶττον ὀδυνώμενος παύσεται. ἀλλ' ὅσον πρωϊαίτερον τοῦ δέοντος ἐπαύσατο, τοσοῦτον τὸ ζῶον ἐλλι-
πέστερον ἀπήλαυσε τῆς εἰσπνοῆς. ὥσπερ οὖν εἴ τις ἐλάττω τῆς χρείας σιτία προσφέροιτο, ταχέως οὗτος ἑτέρων δεήσεται
σιτίων, οὕτως εἴ τις εἰσπνεύσειεν ἔλαττον τῆς χρείας, θᾶττον οὗτος εἰσπνοῆς προσδεήσεται, κἀν τῷδε συμβήσεται
πυκνοῦσθαι τὸ πνεῦμα. ὃν γὰρ ἡσύχαζε χρόνον ἐν τῷ μεταξὺ τῶν ἐνεργειῶν, ἀναπαυόμενα τὰ τῆς ἀναπνοῆς ὄργα-
να, τοῦτον νῦν αὐτοῖς οὐκ ἐπιτρέπει ἡσυχάζειν τὸ ζῶον. ἅτε γὰρ ἐλλιπῶς ἀναπνέον ἑκάστην ἀναπνοήν, ἀεὶ καὶ μᾶλ-
λον, ἐγγυτέρω πελάζει πνίξεως. δέει δὲ αὐτοῦ τοῦδε τοῦ παθήματος, ἀναπνεῦσαι θᾶττον ἐπείγεται, καὶ κινεῖ τὰ τῆς
ἀναπνοῆς ὄργανα πρωϊαίτερον τοῦ δέοντος, οὐκ ἐπιτρέπων αὐτοῖς ἡσυχάζειν ἐπὶ ὅσον ἡσύχαζεν ὅτ' εἶχε κατὰ φύσιν.
ὅταν οὖν διὰ τὴν ὀδύνην ὁ Ἱπποκράτης πυκνότερον τὸ πνεῦμα γενέσθαι λέγει, φαίνεται δὲ διὰ μέσης τῆς μικρότητος
ἡ πυκνότης γεννᾶσθαι, παντάπου δῆλον, ὡς καὶ τὴν σμικρότητα γινώσκει. τίς γὰρ ἂν τὸ τρίτον ἀπὸ τοῦ πρώτου δύ-
ναιτο γνῶναι, τὸ μέσον ἀγνοῶν; καὶ μάλιστα ὅταν αὐτό, τῷ τρίτῳ τῆς γενέσεως αἴτιον ὑπάρχει. καὶ μήν γε καὶ περὶ

ελθὼν ὀλίγον, αὐτοῖς τοῖς ἰδίοις ῥήμασιν ἄντικρυς αἰτιᾶται τὴν μικρότητα τῆς πυκνότητος, γράφων ὧδι, καὶ γὰρ
αὐτὸ τὸ πτύελον ἐνεχόμενον, κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι. τὴν ἑτέραν ἐν
ταῦθα πάλιν αἰτίαν διδάσκει τῆς τοῦ πυκνοῦ πνεύματος γενέσεως, ὀνομάζει δ' αὐτὴν ἐν τοῖς ἔμπροσθεν λόγοις στενο
χωρίαν τῶν ἀναπνευστικῶν ὀργάνων. ὅπερ οὖν ἐπὶ τοῦ πόνου παρέλιπεν ἡμῖν ἐπινοῆσαι, τοῦτ' ἐνταῦθα αὐτὸς ἐξη
γήσατο. τί δ' ἐστὶ τοῦτο; πολλοῦ φησὶ τοῦ πτυέλου περιεχομένου κατὰ τὰς ἀρτηρίας, τοῦ πνεύμονος δηλονότι, καὶ τὴν
χώραν τοῦ πνεύματος αὐτοῦ φθάνοντος κατειληφέναι, κωλύεται μὲν τὴν τῆς εἰσπνοῆς ἐνέργειαν εἴσω παραγενέσθαι
τὸ πνεῦμα. ἄρ' οὖν ἕτερόν τι τῆς μικρᾶς εἰσπνοῆς, ἐστὶ τὸ νῦν λεγόμενον; οὐ μήν, εἴγε περὶ πλήθει τῆς εἰσπνεομένης οὐσίας
παραμετρεῖν χρή, τὸ μέγεθος τῆς ἀναπνοῆς, ὡς ἐν τῷ πρώτῳ δέδεικται λόγῳ. ἀλλὰ εἰ δὴ ἄλλην τινὰ αἰτίαν ἀναγ
κάζεσθαι ταχέως ἔξω φέρεσθαι τὸ πνεῦμα φησί, ἢ διὰ τὴν μικρότητα τῆς εἰσπνοῆς, οὐκ ἔστιν οὐδὲ τοῦτ' εἰπεῖν, ἐχούσης οὕ
τω τῆς λέξεως. καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνεχόμενον, κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως 10
φέρεσθαι ἔξω. διότι γὰρ ἐστερήθη τῆς εἴσω φορᾶς, ἡσυχάζειν οὐκ ἐπιτρέπει τὸ ζῶον, πνιγῆναι κινδυνεῦον, καὶ τῷδε
πυκνὸν γίνεται. τὸ γὰρ ἐπὶ τὴν ἐκπνοὴν ἰέναι ταχέως ἀπό τις εἰσπνοῆς, οὐδὲν ἕτερόν ἐστι τοῦ πυκνῶς ἀναπνεῖν.
οὐ γὰρ δὴ τάς γε συλλαβὰς τῶν ὀνομάτων αὐτὰς ἐθέλειν ἀκούειν προσήκει, τῶν λόγων ὅλων σαφῶς λεγομέ
νων, οὐδ' ἄλλο μέν τι νομίζειν εἶναι τὸ ταχέως ἐπὶ τὴν ἐκπνοὴν ὁρμᾶν, τοῦ πυκνῶς ἀναπνεῖν, ἄλλο δέ τι, τὸ
κωλύεσθαι τὴν εἰσπνοὴν αὐτάρκως γίγνεσθαι, τοῦ μικρὰν εἶναι τὴν ἀναπνοήν. ἀλλ' ἐνταῦθα μὲν αὐτὸς ὁ Ἱππο
κράτης ἐξηγήσατο σαφῶς, ὅπως ἐπὶ τῷ πτυέλῳ κατεχομένῳ πυκνὸν γίνεται τὸ πνεῦμα, διὰ μέσης τῆς μικρότη
τος, ἐπὶ δὲ τῆς ὀδύνης παρέλιπεν, ὡς ἂν οἶμαι πολλαχοῦ μὲν αὐτὸς εἰρηκώς, κωλύεσθαι τὰς ἐνεργείας τῶν ὀργάνων
ὑπὸ τοῦ πόνου, δυναμένων δὲ καὶ ἡμῶν, κἂν εἰ μὴ παρ' ἐκείνου προσηκούσαμεν, ἐκ τῶν ἐναργῶς φαινομένων εὑρεῖν
αὐτό. πρὸς τῷ τοίνυν ἄμφω ταῦθ' ἡμᾶς ἐν τῷδε τῷ λόγῳ διδάξαι σαφῶς, ὡς καὶ πόνος καὶ στενοχωρία μικρὰν
ἐργαζόμενα τὴν ἀναπνοήν, εὐθὺς καὶ πυκνὴν δείκνυσιν, ἔτι καὶ τοῦτ' ἐκδιδάσκει, τό, μὴ ταῦτ' εἶναι μόνον πυ 20
κνοῦ πνεύματος αἴτια. πρῶτον μὲν γὰρ ἐν τῷ φάναι, εἴρηται δ' οὕτως ἐπὶ τῆς ὀδύνης, αὐτὸ δῆλον ποιεῖται πυ
κνὸν ἤδη διὰ τὴν ἑτέραν αἰτίαν ὑπάρχον τὸ πνεῦμα, πυκνότερον γίγνεσθαι λέγων διὰ τὸν πόνον, ὡς ἂν οἶμαι,
κἂν τοῦθ' ἡμῶν λογίσασθαι δυναμένων, τὴν πυρετικὴν θερμασίαν πάντως αὐτὸ πυκνὸν ἀπεργάσασθαι. δεύ
τερον δ' ἐν τῷ λέγειν, ὅτι, ὑπὸ τοῦ πυκνοῦ καὶ πολλοῦ πνεύματος, ὡς ἤδη εἴρηται, γλισχραινόμενον τὸ πτύελον
ἀπέπτως, κωλύει τὴν ἐπάνοδον γίνεσθαι. τοῦ μὲν γὰρ πυκνοῦ πνεύματος, ὁ πόνος αἴτιον. τοῦ πολλοῦ δέ, οὐχ οὗτος,
ἀλλ' ἡ πυρετικὴ θερμασία. πάνυ δὲ κἀνταῦθα σαφῶς, οὐ μεγάλου πνεύματος εἶπεν, ἀλλά, πολλοῦ. τὸ μὲν
γὰρ μέγα τῷ καθ' ἑκάστην ἀναπνοὴν ποσῷ κρίνεται, τὸ δὲ πολὺ δυνατόν ἐστιν ἐκ μικρῶν ἐνίοτε πολλῶν, ἀθροίζε
σθαι. καὶ φαίνεταί γε σαφῶς τοῦτο γιγνόμενον ἐπὶ τῶν πλευριτικῶν, μέγα μὲν εἰσάπαξ ἀναπνεῖν μὴ δυναμένων
διὰ τὸν πόνον, καίτοι γε δέοντι πλέονος ἀέρος διὰ τὸν πυρετόν, τῇ συνεχείᾳ δὲ τῆς ἐνεργείας, ἴσον ταῖς μεγάλαις
ἀναπνοαῖς τὸ πλῆθος τοῦ πνεύματος ἀθροιζόντων. ὃ γὰρ ὀλίγαι μεγάλαι, τοῦτο πολλαὶ σμικραὶ δύνανται. κατὰ 30
δὲ ταῦτα, κἀπὶ τῶν περιπνευμονικῶν, πολλοῦ μὲν τοῦ πνεύματος ἡ χρεία, διὰ δὲ τὴν στενοχωρίαν ὀλίγον εἰσ
πνεῖται. κἀνταῦθ' οὖν ἡ πυκνότης πολλὰς ἐργαζομένη τὰς μικρὰς ἀναπνοάς, εἰς ἴσον ἄγει ταῖς ὀλίγαις τε καὶ
μεγάλαις. ἄρ' οὖν ἔτι δεησόμεθα τὰς συλλαβὰς εὑρίσκειν τῶν ὀνομάτων, ἐν τῷδε τῷ βιβλίῳ γεγραμμένας ἐ
φεξῆς οὕτω, μικρᾶς τε καὶ μεγάλης ἀναπνοῆς, οὐκ ἀρκούμενοι τοῖς πράγμασιν αὐτοῖς οὕτω σαφῶς δεδηλω
μένοις, καὶ μὴν οὐ τοῦτ' ἦν τὸ ζητούμενον, εἰ τοὔνομα γινώσκει τὸ τῆς μικρᾶς καὶ μεγάλης ἀναπνοῆς Ἱπποκράτης.
εὑρίσκεται γὰρ ἔν τε τοῖς τῶν ἐπιδημιῶν βιβλίοις γεγραμμένον, κἂν τῷ προγνωστικῷ πάλιν ἐν οἷς ἔλεγε, μέ
γα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει. ἀλλ' εἰ δῆλον οἶδε τὸ πυκνὸν πνεῦμα, καὶ
τὸ μὲν αὐτῶν ὑπὸ πόνου γίγνεσθαί φησι, τὸ δὲ ὑπὸ θερμασίας πολλῆς ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἀθροιζο
μένοις. ὅπου τοίνυν ἐπιδέδεικται ταῦτα, περιττὸν ἔτι ποθεῖν ἀκούειν τὰς τῶν ὀνομάτων συλλαβάς, ἐπεὶ καὶ
κατ' αὐτὸν τοῦτον, τὸν ἐν τῷ προγνωστικῷ λόγον, ὃν περὶ τῆς παραφροσύνης ἔγραψεν, ἐξέσται τινὶ λέγειν οὐκ ἀ 40
ραιόν μὲν καὶ μέγα, τὸ δηλοῦν αὐτήν, εἰρῆσθαι πνεῦμα, καὶ τὴν λέξιν προτείνεσθαι τόνδε τὸν τρόπον ἔχουσαν,
μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνειν, ὥσπερ οὐ ταυτὸν μόνον, ἢ ἀραιὸν εἰπεῖν,
ἢ διὰ πολλοῦ χρόνου, ἢ νῦν ἡμῶν ὀνόματα θηρευόντων, καὶ οὐ τὰ πράγματα ζητούντων. ἀλλ' ἐπειδή τινες εἰς τοι
οῦτον ἥκουσι σκαιότητος, ὡς καὶ τῶν ὀνομάτων ἀκούειν ἐθέλειν αὐτῶν, ἀναμνήσωμεν καὶ αὐτούς, ἐξ αὐτοῦ τοῦ περὶ
διαίτης ὀξέων βιβλίου, δυοῖν τινῶν ῥήσεων ὧδέ πως ἐχουσῶν, πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν ἢ μέ
γα, ἐνταῦθα μὲν ἔχεις, εἴπερ ἐπιθυμεῖς, τοὔνομα τὸ μέγα. τὸ δ' αὖ μικρόν, ἐπειδὰν φησί, καὶ πνεῦμα σμικρὸν
καὶ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ καὶ βιαίη παραγίγνηται. κατὰ δ' αὖ τὸ προγνωστικὸν αὐτό, δυσπετέως φέρειν
τὴν νοῦσον φησί, ἢ πνεῦμα μέγα ἢ πυκνόν, εἶναι τοῦτο μὲν οὖν ἄντικρυς αὐτοῖς τοῖς ὀνόμασιν ἔγραψε, μέγα ἢ πυ
κνόν, τὸ δ' αὖ μικρὸν καὶ πυκνὸν ἐν τῷ περὶ συνάγχης λόγῳ, πλεῖστον τε πόνον παρέχουσιν, ἢ ὀρθόπνοιαν, εἰπών.
ὅτι γὰρ ἐν ταῖς ὀρθοπνοίαις μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα διὰ τὴν στενοχωρίαν τῶν ἀναπνευστικῶν ὀργά 50
νων, οὐκ οἶδ' εἴ τις ἀγνοεῖ. καίτοι κἂν εἰ τὰ τοιαῦτα παρ' Ἱπποκράτους αὐτοῦ μαθεῖν ἐθέλομεν, ἐν μὲν τῷ περὶ
διαίτης ὀξέων, ἐν αἷς ὀλίγον ἔμπροσθεν ἔγραψα λέξεσιν, ἐδίδαξεν ἡμᾶς ὅπως γίγνεται μικρὸν καὶ πυκνὸν
πνεῦμα, κατὰ τὴν τῶν πτυέλων ἐπίσχεσιν. ἐν δὲ τῷ περὶ ἄρθρων εὐθὺς ἐν ἀρχῇ, τοῦ περὶ τῆς ῥάχεως αὐτοῦ τὰς ὑπὸ
τῶν ὄγκων ἢ νοσημάτων γιγνομένας κυφώσεις ἐν τοῖς ἀνωτέρω τῶν φρενῶν χωρίοις διηγούμενος, ὧδέ πως φη
σίν. ὅλην γὰρ οἶμαι κάλλιον εἶναι δοκεῖ παραγράψαι τὴν ῥῆσιν. οἷσι μὲν ἄνω τῶν φρενῶν τὸ κυφόν, τούτοισι
μὲν αἱ πλευραί, οὐκ ἐθέλουσιν εἰς τὸ εὐρὺ αὔξεσθαι, ἀλλ' ἐς τοὔμπροσθεν. τό, τε στῆθος ὀξὺ γίγνεται, ἀλλ' οὐ πλα
τύ, αὐτοί τε δύσπνοοι γίγνονται, καὶ κερχνώδεες. ἧσσον γὰρ ἰθυωρίην ἔχουσιν αἱ κοιλίαι τὸ πνεῦμα δεχόμε
ναι καὶ προπέμπουσαι. καὶ γὰρ δὴ καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σπόνδυλον, λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ
προπετὴς ἢ αὐτέοισιν ἡ κεφαλή. στενοχωρίην οὖν πολλὴν τῇ φάρυγγι παρέχουσι. καὶ τοῦτο συμβάλλεται εἰς

τὸ ἔσω

τὸ εἴσω ῥέπειν. καὶ γὰρ αὐτοῖσιν ὀρθοῖσι φύσει, δύσπνοιαν παρέχει ὅπερ τὸ ὀστέον, ἂν ἔσω ῥέπῃ, ἐς τὸ ἀναπνεῖσθαι. διὰ οὖν τὸ τοιοῦτον πρῆγμα ἐξεχέμβροχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ἢ ὑγιέες. φυματίαι τε ὡς ἐπὶ πολὺ τὸν πνεύμονα εἰσὶν οἱ τοιοῦτοι, σκληρῶν φυμάτων καὶ ἀπέπτων. καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος καὶ ἡ ξύντασις τοῖσι πλείστοισι διὰ τοιαύτας συστροφὰς γίγνεται. οἷσιν ἂν κοινωνήσωσιν οἱ ξύντονοι. ἐν τούτῳ τῷ λόγῳ παντὶ τὴν μὲν κύφωσιν ἐπὶ τοῖς ἐν πνεύμονι φύμασιν ἀπέπτοις τε καὶ σκληροῖς γίγνεσθαι λέγει, τὴν δὲ δύσπνοιαν ἐπὶ τῇ στενοχωρίᾳ. κερχνώδη δὲ κέκληκε τὴν τοιαύτην διαφορὰν αὐτοῦ. ἐν δέ γε τῷ περὶ διαίτης ὀξέων, ἡνίκα τῶν εἰς μικρότητά τε καὶ πυκνότητα τὴν ἀναπνοὴν τρεπομένων ἐμέμνητο, καὶ αὐτὸ μὲν ὅπερ τὸ τῆς ὀρθοπνοίας ὄνομα προσέθηκε, καὶ ῥέγχειν αὐτοὺς ἔφησεν. ὥς τε κἀπειδὰν ἐν προγνωστικῷ περὶ συνάγχης διηγούμενος, εἶπε, πλεῖστόν τε πόνον παρέχουσι καὶ ὀρθόπνοιαν, οὐκ ἄλλο τι δυσπνοίας εἶδος ἢ τὸ σμικροῦ καὶ πυκνοῦ πνεύματος, οὕτως ὀνομάζει. πάντες γὰρ οἱ διὰ στενοχωρίαν αὐτάρκως εἰσπνεῖν μὴ δυνάμενοι, πνίγεσθαι κινδυνεύουσιν, ἢν κατακλίνωνται. καὶ διὰ τοῦτ' ὀρθὸν ἔχειν δέονται τόν τε θώρακα σύμπαντα καὶ τὸν τράχηλον, ὡς ἂν οὐ σμικρᾶς αὐτοῖς βοηθείας ἐκ τοῦ τοιούτου σχήματος προσερχομένης. εὐρύτερά τε γὰρ ἅμα, καὶ μακρότερα σύμπαντα τὰ τῆς ἀναπνοῆς ὄργανα γίνονται, ὅπερ μὲν ἐξευθυνόμενα πρὸς τῶν ὀρθίων σχημάτων, ὅπερ δ' ἧττον εἰς ἑαυτὰ καταπίπτειν κωλυόμενα. δῆλος δὲ καὶ αὐτὸς ὁ Ἱπποκράτης οὕτω γινώσκων ὑπὲρ αὐτῶν, ὡς ἡμεῖς νῦν λέγομεν, ἐξ ὧν φησιν ἐν τοῖς περὶ ἄρθρων, αὐτοί τε δύσπνοοι γίνονται καὶ κερχνώδεες. ἧσσον γὰρ ἰθυωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. πᾶσιν οὖν τοῖς διὰ στενοχωρίαν δυσπνοοῦσιν, καὶ μικρὸν γίνεται τὸ πνεῦμα, καὶ δύο ἐξ ἀνάγκης ἕπεται συμπτώματα· τό, τε κερχνῶδες εἶδος τῆς ἀναπνοῆς, ὃ δὴ καὶ ῥέγχειν ὀνομάζεται, καὶ τὸ μικρῷ πρόσθεν εἰρημένον, ἡ ὀρθόπνοια. καὶ δὴ ὥσπερ ἐξεπίτηδες διατέμνων αὐτά, τὸ μὲν ἕτερον ἐν προγνωστικῷ γράφει ταῖς ὀλεθρίαις συνάγχαις προσεῖναι λέγων, τὸ δὲ δεύτερον ἐν τῷ περὶ ἄρθρων. ἐν μὲν τῷ προγνωστικῷ τὴν ὀρθόπνοιαν, ἐν δὲ τῷ περὶ ἄρθρων τὸ κερχνῶδες. ἄμφω δὲ ἐν τῷ περὶ διαίτης ὀξέων εἰς ταὐτὸν ἤγαγεν, οὕτως γράψας ὁ Ἱπποκράτης, οἱ δ' ὑπὸ τῆς ὀρθοπνοίας τε, καὶ τοῦ ῥέγχους ἀποπνιγέντες. ὃ γὰρ ἐν τῷ περὶ ἄρθρων κέρχνον, τοῦτ' ἐνταῦθα ῥέγχος ὠνόμασε. χρῆται δὲ καὶ ἀλλαχόθεν τῶν συγγραμμάτων ἀμφοτέροις τοῖς ὀνόμασιν, ὡς ταὐτὸν δυναμένοις δηλοῦν. ἐπειδὰν οὖν οὕτως ἐπιμελῶς αὐτὸς ἐν τῷ περὶ διαίτης, περὶ πάσης γενέσεως πυκνοῦ πνεύματος διεξῆλθε, θαυμαστὸν οὐδέν, εἰ μόνον τὸ κεφάλαιον αὐτὸ τοῦ παντὸς λόγου γέγραφεν ἐν τῷ προγνωστικῷ. ὅτι δ' ἐπιμελῶς διῆλθεν πάντα περὶ πυκνοῦ πνεύματος λόγον, οὐδὲν ἔτι δέομαι πλεῖον λέγειν, ἀλλ' ἀναμνήσας ὅπερ μόνον, ὡς ἤτοι διὰ πόνον, ἢ στενοχωρίαν, ἢ πλῆθος θερμασίας πυκνὸν γίνεται τὸ πνεῦμα, τὴν ὅλην ῥῆσιν ἐφεξῆς παραγράψω τόνδε τὸν τρόπον ἔχουσαν, οἷσί τε γὰρ σιτία αὐτίκα ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας τὸ ῥόφημα δοίη, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἄν, καὶ μὴ ἐνεοῦσαν εὐθὺς ἐμποιήσειεν ἄν, καὶ πυκνότερον γένοιτ' ἂν τὸ πνεῦμα, κακὸν δὲ ὅπερ. ξηραντικὸν γὰρ πνεύμονος, καὶ κοπῶδες ὑποχονδρίου, καὶ ἤτρου, καὶ φρενῶν. ἢν δὲ ἔτι τῆς ὀδύνης τῆς πλευρῆς ξυνεχέος ἐούσης, καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης, καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καὶ καταγλισχραινομένου ἀσαπέως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην, ἢ κοιλίην μαλθάξας, ἢ φλέβα τεμών, ὁπότερον ἂν τουτέων σημαίνει. τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι διδῷ, ταχέες οἱ θάνατοι τῶν τοιουτέων γίνονται. διὰ ταύτας οὖν τὰς προφάσιας, καὶ ἑτέρας τοιαύτας, ἔτι μᾶλλον οἱ ὅλῃσι χρεώμενοι πτισάνῃσιν, ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν, οἱ μέν τι καὶ τὴν γνώμην βλαβέντες, οἱ δ' ὑπὸ τῆς ὀρθοπνοίης τε καὶ τοῦ ῥέγχους ἀποπνιγέντες, μάλα δὲ τοὺς τοιουτέους οἱ ἀρχαῖοι βλητοὺς ὠνόμαζον εἶναι, διὰ τόδε μάλιστα, οὐχ ἥκιστα δὲ ὅτι ἀποθανόντων, ἡ πλευρὴ πελιὴ εὑρίσκεται ἴκελόν τι πληγῇ. αἴτιον δὲ τούτου ἐστὶν ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην θνήσκουσι. ταχέως γὰρ πνευματίαι γίνονται. ὑπὸ δὲ τοῦ πυκνοῦ καὶ πολλοῦ πνεύματος ὡς ἤδη εἴρηται γλισχραινόμενον τὸ πτύελον ἀπέπτως, κωλύει τὴν ἐπάνοδον γίγνεσθαι. ἀλλὰ τὴν ῥέγξιν ποιέει ἰσχόμενον ἐν τοῖσι βρόγχοισι τοῦ πνεύμονος, ὁπόταν δὲ ὅπερ ἔλθῃ, θανατῶδες, ὡς ἐπὶ τὸ πολύ ἐστι. καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνεχόμενον, κωλύει μὲν τὸ πνεῦμα ἔσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι ξυντιμωρέουσι. τό, τε γὰρ πτύελον ἐνεχόμενον, πυκνὸν τὸ πνεῦμα ποιέει, τό, τε πνεῦμα πυκνὸν ἐόν, ἐπιγλισχραίνει τὸ πτύελον, καὶ κωλύει ἀπολισθαίνειν. εἴ τις ταύτῃ τῇ ῥήσει τὸν νοῦν ἐπιμελῶς προσέχοι, καὶ πολλάκις αὐτὴν ἀναλέξαιτο, τοῦτον ἐλπίζω ῥᾳδίως πεισθήσεσθαι τοῖς εἰρημένοις. ὅτι γὰρ οὐ μεγάλης ἐδεῖτο σοφίας ἡ τοῦ πυκνοῦ πνεύματος εἰς τὰς ἐν αὐτῷ διαφορὰς τομή, καὶ ὅτι τελέως αὐτὴν ἔφθασεν ἐν τούτῳ τῷ βιβλίῳ γεγραφέναι, διὰ τοῦτο ἐν τῷ προγνωστικῷ ταχέως πάνυ παρεδράμε, ὡς πρὸς εἰδότας ἤδη τὸ σύμπαν, οἷον ἐπιτομήν τινα τοῦ λόγου ποιησάμενος. τρεῖς μὲν οὖν ἡμῖν ἤδη συζυγίαι δυσπνοιῶν ἐξεύρηνται. λείπεται δ' ἡ τετάρτη, ἐν ᾗ σμικρὸν καὶ ἀραιὸν τὸ πνεῦμα. τί δή ποτ' οὖν αὐτὴν παραλιπών, τὴν ψυχρὰν ἐκπνοὴν ἔγραψε; ἢ ὅτι οὐκ ἄλλη μέν τίς ἐστιν, ἡ μικρά τε ἅμα καὶ ἀραιά, ἄλλη δὲ ἡ ψυχρά. δῆλον δὲ τοῦτο. τὴν γὰρ ἐναντίαν αὐτῇ, τὴν μεγάλην τε ἅμα καὶ πυκνήν, ἀμέτρου θερμασίας ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἠθροισμένης ἔκγονον ὑπάρχειν ἐδείκνυμεν. ἐξ ἀνάγκης οὖν ἡ μικρὰ καὶ ἀραιά, τούτων αὐτῶν τῶν ὀργάνων κατεψυγμένων ἔσται. καὶ δύο ἡμῖν ἀπορήματα λελυμένα, περὶ μήτε τὴν τετάρτην συζυγίαν τῆς δυσπνοίας τὴν μικρὰν καὶ ἀραιὰν παραλελεῖφθαι, μήτε τὴν θερμήν. ἐκείνην γὰρ ἐν θατέρῳ μέρει τοῦ πυκνοῦ πνεύματος, τοῦ κατ' ἀρχὰς εἰρημένου περιειλημμένην ἔχομεν. ἡ αὐτὴ γάρ ἐστι τῇ πυκνῇ καὶ μεγάλῃ. τὴν ἀραιὰν δ' αὖ καὶ μικράν, ἐν τῇ ψυχρᾷ. καὶ γὰρ ἡ δὲ τῆς ψυχρᾶς ὅτου διαφέρει, τί δή ποτ' οὖν οὐκ ἀραιὰν καὶ μικράν, ἀλλὰ ψυχρὰν αὐτὴν ἔγραψεν; ὅτι πρῶτον μέν, ἀπὸ τοῦ προχειροτέρου συμπτώματος ἠβουλήθη αὐτὴν δηλῶσαι. δεύτερον δέ, ἐνδείξασθαι τὴν αἰτίαν, δι' ἣν ὀλεθρίαν αὐτὴν λέγει. καὶ τρίτον, ὅτι τάχιστα οὕτω νοήσειν ἡμᾶς ὑπενόησεν, αὐτήν τε ταύτην μηδὲν διαφέρειν τῆς ἀραιᾶς καὶ μικρᾶς, τήν τ' ἐναντίαν αὐτῇ τὴν θερμήν, τῆς πυκνῆς καὶ μεγάλης. τό, γὰρ ψυχρὸν πνεῦμα, πάντως ἀραιόν τ' ἐστὶ καὶ μικρόν, ὡς κἂν τῷ δευτέρῳ δεδήλωται λόγῳ, τὸ δὲ πυκνὸν καὶ μέγα, τὸ τῆς φλογώσεως τῶν ἀναπνευστι-

κῶν ὀργάνων ἐνδεικτικὸν, οὐδ᾽ ἂν ὀρθῶς τις λέγοι, εἰ μὴ καὶ θερμὸν ἐκπνέοιτο. καὶ μὲν δὴ κἂν τῷ προσθεῖναι τῷ ψυχρῷ πνεύματι μόνῳ, ὡς ὀλέθριον κάρτα ἤδη γίγνεται, δηλοῖ σαφῶς ἣν ἔχει γνώμην περὶ τῶν ἔμπροσθεν εἰρημένων τριῶν δυσπνοιῶν. εἴπερ γάρ τινα κἀκείνων ὀλεθρίαν ἡγεῖτο, πάντως ἄν που προσέγραψεν. ἆρ᾽ οὖν ἀκινδύνους αὐτὰς ὑπελάμβανεν ὑπάρχειν, οὐδαμῶς, ἀλλ᾽ οὐκ ὀλεθρίας μὲν, οὐκ ἀκινδύνους δὲ ἔτι. τὸ μὲν γὰρ καταψύχεσθαι τοῖς ἀναπνευστικοῖς ὀργάνοις, ἄντικρυς ὀλέθριον, ἐνταυθοῖ γε τῆς καρδίας τεταγμένης, ἣν ἀρχὴν καὶ πηγὴν ὑπεστάμεθα τῆς ἐμφύτου θερμασίας. τὸ δ᾽ ἤτοι φλόγωσιν εἶναι πολλὴν ἐν αὐτοῖς, ἢ ὀδύνην, ἢ παραφροσύνην, οὐ πάντως ὀλέθριον. ἥτε γὰρ τοιαύτη θερμασία πολλοῖς τῶν ὀξέων συνεδρεύει πυρετῶν, ἥτ᾽ ὀδύνη πόσοις καὶ τισὶ νοσήμασιν ὑπάρχει προείρηται. καὶ μέντοι καὶ ἡ παραφροσύνη τῶν οὐκ ἐξ ἀνάγκης ὀλεθρίων ἐστί. ὅτι δ᾽ οὕτως ὑπὲρ αὐτῶν γινώσκει σαφῶς, ἐνεδείξατο διὰ τῆς ἐπιφερομένης λέξεως εἰπών. εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖσίν ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. εἰ γὰρ δὴ μεγάλην δύναμιν ἐς σωτηρίαν ἔχειν ἐνόμιζε τὴν εὔπνοιαν, οὐκ ἀκινδύνους ἀεὶ δηλονότι τὰς δυσπνοίας ὑπελάμβανεν. ὥστε αἱ μὲν ἄλλαι δύσπνοιαι τοῦτ᾽ αὐτὸ μόνον, οὐκ ἀκίνδυνοί τινές εἰσιν, ἡ δ᾽ ὑστάτη πασῶν εἰρημένη, πρὸς τὸ κινδυνώδης τ᾽ εἶναι, καὶ ὀλέθριος, οὐκ εἰς μακρὰν τεθνήξεσθαι τὸν ἄνθρωπον ὑπαγορεύει. διὰ τοῦτ᾽ οὖν οὐχ ἁπλῶς, ὀλέθριον, εἶναι αὐτὴν ἔφη, ἀλλὰ καὶ τὸ, κάρτα, προσέθηκεν, καὶ οὐδὲ τούτῳ πάλιν ἀρκεσθεὶς, ἐπήνεγκε, τὸ, ἤδη, ὥσαν ὑπόγυον τὸν θάνατον, μόνης ταύτης τῆς δυσπνοίας ὑπαγορευούσης. οὕτως γὰρ ὀλέθριός ἐστιν ὥστε μοι, δοκεῖ ὅτι οὐδ᾽ ἂν ἔγραψέ τι περὶ αὐτῆς ὁ Ἱπποκράτης, εἰ μὴ τὸν τρόπον ὅλον ὑπεξῄει, εἰπὼν περὶ τῶν δυσπνοιῶν. ἃ γοῦν ἀποθνήσκουσιν ἤδη γίγνεται, ταῦτ᾽ οὐδεμίαν ἔχει μεγάλην ἐν προγνώσεσιν ἀξίαν. ἀγαθῶν δ᾽ ἰατρῶν ἔργον, οὐ τὰ τοῖς ἰδιώταις ἤδη φαινόμενα προγινώσκειν, ἀλλ᾽ ὅσα τε τούτους λανθάνῃ, καὶ μηδὲν φαῦλον ἔχειν δοκοῦντος τοῦ κάμνοντος φαίνεται. ἀλλὰ διὰ τὸ τὰ πάντ᾽ ἐφεξῆς ἐθελῆσαι γράψαι τὰ τῆς δυσπνοίας εἴδη, δοκεῖ μοι καὶ ταύτης ἐπιμνησθῆναι. καὶ προσέτι, διὰ τὴν τῆς μεγάλης τε καὶ πυκνῆς ἀντίθεσιν. ταυτὶ μὲν οὖν ἐνταῦθα τελευτάτω. διότι δ᾽ οὐδὲν ἔγραψεν ἐν τῷ προγνωστικῷ περὶ τῆς ἀνωμάλου δυσπνοίας, καίτοι γινώσκων αὐτὴν οὐκ ἐν τῷ δευτέρῳ καὶ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν μόνον, ἀλλὰ κἂν τῷ πρώτῳ καὶ τρίτῳ, καὶ προσέτι κἂν τῷ περὶ διαίτης ὀξέων καὶ τοῖς ἀφορισμοῖς, καὶ ἀλλαχόθεν πολλαχόθι τῶν συγγραμμάτων. ἐν μὲν γὰρ τῷ δευτέρῳ καὶ τῷ ἕκτῳ κατὰ τὴν προγεγραμ-
» μένην ῥῆσιν ἐμνημόνευσεν εἰπὼν, διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσι. καὶ προσέτι κατὰ μὲν τὸ δεύτε-
» ρον τῶν ἐπιδημιῶν, ἐν τῷ διηγεῖσθαι τὰ τῇ Λυκίῃ συμβάντα, πνεῦμα δὲ διπλασιάζετο, προσέγραψε. τοῦτο γὰρ
» οὐδὲν διαφέρει τοῦ, διπλῆ ἔσω ἐπανάκλησις, οἷον ἐπεισπνέουσιν. ἐν δὲ τῷ ἕκτῳ, ἣν πνεῦμα ἐγκαταλείπε-
» ται φησι. καὶ γοῦν καὶ τοῦτο ταυτόν ἐστι τῷ κατὰ τὸ περὶ διαίτης εἰρημένῳ, πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ. ὡς γὰρ εἰσπνέοντές τινες οὐχ ἅπαξ τοῦτο δρῶσιν, ἀλλ᾽ ἡσυχίᾳ διακόπτουσι τὴν ἐνέργειαν ὁμοίως τοῖς κλαυθμυριζομένοις παιδίοις, οὕτω καὶ ἐκπνέοντες. ἀλλὰ κἂν τοῖς μετὰ τὸν περὶ τῶν λουτρῶν λόγον, πνευμάτων προστάσεις εἴρηκε, τὴν διακεκομμένην ἐνέργειαν ἐνδεικνύμενος. ἐν δὲ τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐπὶ Φιλίσκου τὸν δὲ
» τὸν τρόπον ἔφη, τοῦτο πνεῦμα διατέλεος, ὥσπερ ἀνακαλεομένου. ὁμοίως γὰρ τῷ, διπλῆ ἔσω ἐπανάκλησις,
» εἴρηται κἀνταῦθα, τῷ ἀνακαλουμένῳ. πάλιν δ᾽ ἐπὶ τῆς Δρομεάδου γυναικὸς, πνεῦμα ἀραιὸν, μέγα, αὐτίκα
» ἀνεσπασμένον, ἔφη. καὶ γοῦν καὶ τοῦθ᾽ ὡσαύτως εἴρηται. ἐν δὲ τοῖς ἀφορισμοῖς, καίτοι ποτὲ σημαίνει τὸ τοιοῦτον
» πνεῦμα ἐκδιδάσκει γράφων ὧδε, ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον κακόν. σπασμὸν γὰρ σημαίνει.
» κατὰ λόγον οὖν κἀν τοῖς τῶν ἐπιδημιῶν, τὴν Δρομεάδεω γυναῖκα σπασθεῖσαν ἀποθανεῖν φησὶ, ἐφ᾽ ἧς προείρηκε,
» πνεῦμα ἀραιὸν μέγα, αὐτίκα ἀνεσπασμένον. ἔνθα δὴ καὶ θαυμάσαι μάλιστά ἐστιν, ὅπως ἑκατέρα τῆς δυσπνοίας τὴν οἰκείαν αὐτῆς ἐδήλωσε διάθεσιν. οὐ γὰρ ἐσπάσθη μόνον ἥδε ἡ ἄνθρωπος, ἀλλὰ καὶ παρέπαισεν, ὡς ἂν μὴ μόνον τὴν ἰδίαν τῶν σπασμῶν ἐσχηκυῖα δύσπνοιαν, ἀλλὰ καὶ τὴν τῆς παραφροσύνης. ὥστε ὅτι μὲν ἐγίγνωσκεν τὴν ἀνώμαλον ταύτην δύσπνοιαν ὁ Ἱπποκράτης, ἀποδέδεικται σαφῶς. ὅτι δὲ κἂν προγνωστικῷ παρέλιπεν εὐλόγως, ὥσπερ καὶ τὰ πολλὰ τῶν προγνωστικῶν γνωρισμάτων, ἐφεξῆς ἂν εἴη λεκτέον αὐτῷ, πρότερον ἀναμνήσαντας διὰ κεφαλαίων, ὡς οὔτε περὶ τῶν κατὰ τὰς ἡλικίας, ἢ χώρας, ἢ ὥρας, ἢ τὰς ἐπιδήμους καταστάσεις ἐν τῷ προγνωστικῷ γέγραφέ τι, καί τοι βιβλίου μὲν ὅλου τοῦ περὶ ἀέρων, τόπων, καὶ ὑδάτων ὑπ᾽ αὐτοῦ γεγραμμένου, κατὰ δὲ τοὺς ἀφορισμοὺς, ἐν ἐπιτομῇ πάντων τούτων εἰρημένων. ἀλλ᾽ οὐδὲ περὶ τῶν οὔρων τῆς διαγνώσεως, ὅσα τοῖς ἀφορισμοῖς ἐνέγραψε. ταῦτα κἂν τῷ προγνωστικῷ διῆλθεν, οὐδὲ δὴ τῶν ἀμφὶ τὰς γυναῖκας, ὅσα κατὰ τοὺς ἀφορισμοὺς ἔγραψεν, εἰς τὸ προγνωστικὸν μετέθηκε. καί τοι καὶ ταῦτα, καὶ ἄλλα πολλὰ τῶν ἐν ἀφορισμοῖς εἰρημένων, ἐκ τοῦ προγνωστικοῦ μέρους τῆς ἰατρικῆς ἐστιν, ὡς αὐτὸς ἐνδείκνυται διὰ τῶν αὐτοῦ ῥημά-
» των. ἔντε γοῦν τῷ, λέγειν, Ην δὲ βόρειος ᾖ, βῆχες, φάρυγγες. κοιλίαι ξηραί. δυσουρίαι, φρικώδεες. ὀδύναι πλευ-
» ρέων, στηθέων, ὅταν οὗτος δυναστεύῃ τοιαύτας προσδέχεσθαι ἐν τῇσιν ἀρρωστίῃσιν. ἐν δὲ τῷ φάσκειν, ὅταν θέρος
» γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι, δῆλός ἐστιν ἐπισημαινόμενος ὡς τοῦ
» προγνωστικοῦ μέρους τῆς τέχνης ἐστὶ τὰ τοιαῦτα. τὸ γὰρ προσδέχεσθαι καὶ προσδοκᾶν καὶ ἐλπίζειν, καὶ πάνθ᾽ ὅσα
» τοιαῦτα ῥήματα προγνώσεως ἴδια, καὶ μὲν δὴ κἂν τῷ φάσκειν. Ην μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ
» δ᾽ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξέας καὶ ὀφθαλμίας καὶ δυσεντερίας γίνεσθαι, σαφῶς ἐν-
» δείκνυται ταυτὸ τοῦτο, καὶ πολύ γε μᾶλλον, ὅταν ὡδί πως γράφῃ περὶ τῶν οὔρων. οἷσιν οὖρα παχέα, θρομβώδεα, οὐκ
» ὀλίγα ἀπυρέτοισιν, πλῆθος ἐλθὸν ἐκ τούτων λεπτὸν, ὠφελεῖ. μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, ἐν οἷσιν ἂν ἐξ ἀρχῆς διὰ
» ταχέων ὑπόστασιν ἴσχει. καὶ πάλιν, οἷσιν οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρει-
» σιν, ἢ παρέσονται. καὶ πάλιν, οἷσιν ἑβδομαῖα κρίνονται, ἐπινέφελον ἴσχει τῇ τετάρτῃ τὸ οὖρον ἐρυθρὸν, καὶ τἆλλα κατὰ λόγον. Ομοίως δὲ τούτοις, καὶ τῆς κύστεως καὶ τῶν νεφρῶν τὰς διαθέσεις δηλοῦντα κατὰ τοὺς ἀφορισμοὺς γέγραπται, παραλέλειπται δὲ ἐν τῷ προγνωστικῷ, καὶ ἄλλα πάμπολλα καθάπερ καὶ τὰ τοιαῦτα τῶν

νοσημάτων

νοσημάτων. ὁκόσοισιν ἀρχομένων, χολὴ μέλαινα, ἢ ἄνω, ἢ κάτω ὑπέλθοι θανάσιμον. δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον. οἷσιν πυρετοῖσιν αἱμοῤῥαγεῖ, πλῆθος ὁκοθενοῦν, ἐν τοῖσιν ἀναλήψεσι τοῖσι τοιουτέουσιν αἱ κοιλίαι καθυγραίνονται. Τοιαῦτα τε πάμπολλα κατὰ τοὺς ἀφορισμοὺς ἔστιν εὑρεῖν γεγραμμένα τοῦ προγνωστικοῦ μέρους τέχνης. τί δή ποτ' οὖν οὐδὲν τούτων ἐν τῷ προγνωστικῷ γράμματι διῆλθεν, ὅτι περὶ τῶν ὀξέων νοσημάτων ἐν ἐκείνῳ προὔθετο διδάσκειν, ὡς ἀρχόμενός τε ἅμα καὶ συντελέσας τὸ βιβλίον, αὐτὸς ἐμήνυσεν, ἐν ἀρχῇ μὲν εἰπών. σκέπτεσθαι δὲ χρὴ ὧδε, ἐν τοῖσιν ὀξέσι νοσήμασιν. ἐπὶ δὲ τῆς τελευτῆς προσγράψας ὧδε, ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τούτων γίγνεται. Τίνα δ' ἐστὶν ἐκ τούτων γιγνόμενα, πάλιν αὐτὸς ὁ Ἱπποκράτης ἐν ταυτῷ βιβλίῳ διέρχεται. οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί. αὖθις δὲ πάλιν, εὔπνοιαν δὲ χρὴ νομίζειν, κάρτα μεγάλην δύναμιν ἔχειν σωτηρίαν ἔχειν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖσι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. Κἀνταῦθα τῶν ἐκ μεταπτώσεως ὀξέων μνημονεύει, καθάπερ κἀν τοῖς περὶ κρισίμων ἀπεδείξαμεν. ἐπεσημήνατο δὲ καὶ ἄλλοθεν πολλαχόθεν τοῦ συγγράμματος, ὡς ἤτοι περὶ τῶν ὀξέων νοσημάτων, ἢ περὶ τῶν γινομένων ἐκ τούτων ὁ λόγος ἐστὶν αὐτῷ, καθάπερ κἀν τοῖσδε, οἱ δὲ ἱδρῶτες ἄριστοι μέν εἰσιν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσημάτων, οἳ ἂν ἐν ἡμέρῃσι κρισίμοισι γένονται. Καὶ τί δεῖ πολλὰ λέγειν; αὐτὸς γὰρ, ὡς ἑκὼν παραλείπει πολλὰ τῶν προγνωστικῶν σημείων ἐν ἐκείνῳ τῷ βιβλίῳ σαφῶς ἐνδείκνυται, ποτὲ μὲν ὧδέ πως λέγων. μὴ ἐξαπατάτω δέ σε, ἤν τι αὐτέη ἡ κύστις νόσημα ἔχουσα τῶν οὔρων τι ἀποδιδοῖ τουτέων. οὐ γὰρ τοῦ ὅλου σημεῖον, αὐτῆς καθ' ἑαυτήν. Οὐ μὴν περιτίθησί γε τὰ γνωρίσματα κατὰ τὸ προγνωστικόν, ἀλλ' ἐν τοῖς ἀφορισμοῖς, γράφει. αὖθις δ' αὖ λέγει. χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν νοσημάτων τῶν ἐπιδημεόντων ταχέως ἐνθυμέεσθαι, καὶ μὴ λανθάνειν τὴν ὥρης τὴν κατάστασιν. Οὐ μὴν οὐδὲ περὶ τούτου τι διδάσκων ἡμᾶς ἐν προγνωστικῷ. προὔθετο γὰρ ὡς ἔφην τὰ τῶν ὀξέων νοσημάτων ἴδια διελθεῖν μόνα. τὰ δέ γε τῶν χρονίων, ἴδια σύμπαντα παραλιπεῖν. ὥστ' εὐλόγως καὶ τὴν ἀνώμαλον δύσπνοιαν, ἐξ ἑτέρου γένους ὑπάρχουσαν νοσήματος, ἐνταῦθα παρέλιπεν. εἰ γὰρ διὰ σπωμένων γίγνεται τῶν ἀναπνευστικῶν ὀργάνων, εἴη μὲν ἂν καὶ τοῖς χρονίοις νοσήμασι συνεδρεῦον τὸ πάθημα, καὶ ταύτῃ γε, μηδὲν δὴ τῶν ὀξέων ἢ χρονίων ἴδιον, εἴη δ' ἂν καὶ χωρὶς πυρετοῦ γιγνόμενον. ὥς γε καὶ οἱ σπασμοί. πρόκειται δ' αὐτῷ κατὰ τὸ προγνωστικὸν ὑπὲρ τῶν ἰδίως ὀξέων ὀνομαζομένων ποιήσασθαι τὸν λόγον. ἔστι δὲ ταῦτα τὰ σὺν πυρετοῖς γινόμενα συνεχέσι τοὐπίπαν, ὡς αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων ἐδήλωσεν ὧδέ πως γράψας, ἔστι δὲ ὀξέα ταῦτα ὀξέα, ὁποῖα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρῖτιν, καὶ περιπνευμονίαν καὶ φρενῖτιν καὶ καῦσον, καὶ τἄλλα ὅσα τούτων ἐχόμενα ὧν οἱ πυρετοὶ τοὐπίπαν ξυνεχέες. ἐπειδὴ οἱ σπασμοὶ τούτου τοῦ γένους εἰσὶ τῶν νοσημάτων, ὅθεν οὐδὲ τὴν ἴδιον αὐτῶν δύσπνοιαν ἅμα τούτοις διῆλθε, καθάπερ οὐδὲ περὶ τῶν οὔρων, ἢ τῶν διαχωρημάτων, ἢ τῶν ἄλλων ἁπάντων ὅσα κατὰ τοὺς ἀφορισμοὺς ἔγραψε, διότι τῶν ὀξέων νοσημάτων οὐκ ἦν ἴδια. διὰ τί δ' οὐδὲν οὐδὲ περὶ τῶν τοιούτων δυσπνοιῶν ἐδίδαξεν ἐν τῷ προγνωστικῷ, ἐν αἷς ἤτοι μόνον τὸ εἰσπνεόμενον, ἢ μόνον τὸ ἐκπνεόμενον ἐστὶ μέγα, περιττὸν ἡγοῦμαι νῦν ἐπεξιέναι, δείξας γε σαφῶς, ἐν τῷ πρώτῳ τῶν δὲ τῶν ὑπομνημάτων, ὡς εἰς πέντε ταύτας τὰς δυσπνοίας, ὑπὲρ ὧν νῦν πέπαυμαι λέγων, αὐταρκὲς ἀνάγειν τὰς ἄλλας διαφοράς. οὐδὲ γὰρ ἢ ταχείας, ἢ βραδείας ἀναπνοῆς ἐμνημόνευσεν ἐν προγνωστικῷ. κατὰ τὸν αὐτὸν δὲ λόγον, ἐδείξαμεν ὡς πάσας τὰς ἄλλας διαφορὰς ἐν ταῖς προειρημέναις περιέχεσθαι συμβέβηκε. ὥστ' ἑκάτερον αὐτῶν ὀρθῶς ὁ Ἱπποκράτης φαίνεται ποιήσας, ἐν μὲν τοῖς τῶν ἐπιδημιῶν τὴν εἰς ἁπάσας τὰς κατὰ μέρος δυσπνοίας διαίρεσιν τιθέμενος, ἐν δὲ τῷ προγνωστικῷ καὶ τοῖς ἀφορισμοῖς, τὸ πρὸς τὴν χρείαν ἐπεῖγον. ὁπότ' οὖν ταῦθ' ἡμῖν ἱκανῶς ἀποδέδεικται. λείποιτ' ἂν ἔτι τὰς ὑπολοίπους ἐξ ἁπάντων αὐτῶν τῶν συγγραμμάτων ἐξηγήσασθαι ῥήσεις, ἀρξαμένους αὖθις ἀπὸ τοῦ δευτέρου τε καὶ ἕκτου τῶν ἐπιδημιῶν. ἐν ἀμφοτέροις γὰρ τούτοις τοῖς βιβλίοις ἐφεξῆς τῇ πρώτῃ πασῶν εἰρημένῃ ῥήσει τῇ διδασκούσῃ τὰς διαφορὰς ἁπάσας τῆς δυσπνοίας ὧδέ πως γέγραπται. ἰητήριον συνεχέων χασμέων μακρόπνοος. ἐν τοῖσιν ἀπότοισι, καὶ μόγις πίνουσιν, βραχύπνοος. ἐνταῦθ' εἴτε τὸν ἄνθρωπον μακρόπνουν, εἴτε τὴν δύσπνοιαν αὐτὴν οὕτως ὠνόμασεν, ὅτι τὸ διὰ μακροῦ χρόνου γινόμενον, τουτέστι τὸ ἀραιὸν πνεῦμα, καὶ προσέτι τὸ πολὺ, δηλοῦται διὰ τῆς προσηγορίας ταύτης, ἐν τῷ δευτέρῳ δεδεικται λόγῳ, καθάπερ γε καὶ ὡς τὸ δι' ὀλίγου, τουτέστι τὸ πυκνὸν, καὶ προσέτι τὸ μικρὸν, ἐκ τοῦ βραχύπνοος. ἰητήριον οὖν, ἤτοι σημεῖον ἢ αἴτιον, ἑκάτερον γὰρ ἔστι δέξασθαι, τῶν συνεχῶν χασμῶν, τὸ μέγα καὶ ἀραιὸν γίγνεσθαι τὸ πνεῦμα, σημεῖον μὲν, ὡς εἰς τἀναντία τῆς διαθέσεως μεθισταμένης, αἰτίων δὲ, ὅτι ἐναντίων ἐναντία τὰ ἰάματα. χασμῶνται γὰρ σκορδινῶνται συνεχῶς ἀτμώδους τινὸς καὶ παχέος πνεύματος ἐν τῷ μυώδει γένει κατειλημμένου, καθότι δέδεικται δι' ἑτέρων. εὐθὺς δ' οἷς τοῦτο συμβέβηκε, καὶ συνεχῶς ἐκπνέουσιν, ὡς ἂν ἐκκαθαιρομένου τε καὶ κενουμένου τοῦ τοιούτου πνεύματος ἐν ταῖς ἐκπνοαῖς. εἰ δ' ἔτι μηκέτι συνεχῶς, ἀλλ' ἤδη διὰ μακροῦ χρόνου τὰς ἐκπνοὰς ποιεῖται, δῆλον ὡς αἱ προϋπάρχουσαι διαθέσεις αὐτῷ πέπαυνται, καὶ σημεῖον οὕτως ἰητήριον, ἡ μακρόπνοια τῆς χάσμης ἔσται. καὶ μὲν δὴ καὶ ὡς αἰτίαν ἰωμένην τὴν μακρόπνοιαν τὰς χάσμας τὰς συνεχεῖς, ἀκούειν ἐγχωρεῖ. δοκεῖ μοι δὲ καὶ αὐτὸ μηκέτι δεῖσθαι μακροῦ λόγου. τὸ γὰρ ἕως πλείστου τὴν ἀναπνοὴν ἐπέχειν, ὅπερ ὀνομάζεται κατάληψις πνεύματος, ᾧ λόγῳ τοὺς λυγμοὺς ἰᾶται, τούτῳ καὶ τὰς χάσμας ἰᾶσθαι. καὶ γὰρ οὖν καὶ ποιοῦσιν ἐπὶ τοῖς γυμνασίοις αὐτὸ σύμπαντες οἱ ἀθληταὶ, διώσασθαι τῇ βίᾳ σπεύδοντες, ἅπαν ὅσον ἐν τοῖς κατὰ δέρμα λεπτοῖς πόροις, ἢ ὑγρὸν ἢ ἀτμῶν ἴσχεται. διὰ ταῦτα μὲν οὖν ἡ μακρόπνοια τῶν συνεχῶν χασμῶν σημεῖον ἐστὶν, ἢ αἴτιον ἰατρικόν. ἔνθ' αὖ, τοῖσιν ἀπότοισι καὶ μόγις πίνουσιν, ἡ βραχύπνοια, τοῦτο δ' οὐκέτι σαφῶς, ἀλλ' ἤδη συμβολικώτερον εἴρηται, πότερον γὰρ τοὺς φρενιτικοὺς ἡγητέον ὑπ' αὐτοῦ δηλοῦσθαι νῦν, ὅτι καὶ δι' ἄλλων εἶπεν, οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καταπτώμενοι τρομώδεες, μᾶλλον ἢ οἷς κατέψυκται τὰ περὶ τὸν πνεύμονα καὶ τὴν καρδίαν, ὡς ἀναπνεῖν τε ἅμα διὰ μακροῦ, καὶ ψυχρὸν ἐκπνεῖν. εἰσαγομένη γὰρ ἐξ ἀμφοῖν ἡ βραχύπνοια, σημεῖον ἰητήριον. ἐπὶ δὲ τῶν κατεψυγμένων, οὐ σημεῖον μόνον, ἀλλὰ καὶ αἴτιον, ὡς γὰρ ἡ κατάληψις τοῦ πνεύματος ἐκκενοῦν ἠδύνατο τὰ πε-

εἶτα, καὶ διὰ τοῦτο ταύτην ἐπὶ τῶν λυζόντων τε καὶ χασμωμένων πολλά, καὶ σκορδινωμένων, καὶ συντόνως γεγυμνασμένων παραλαμβανόμενον, οὕτως ἡ συνεχὴς ἀναπνοὴ ῥιπίσαι τε ἅμα καὶ ἐκθερμᾶναι τὰ κατεψυγμένα δυνήσεται. ἐπὶ τοῦτον οὖν τὸν λόγον, κἀν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν συνεβούλευσεν ἐπιτηδεύειν, ὀξυθυμίας ἐμποιέειν, καὶ χροιῆς ἀναλήψιος εἵνεκα, καὶ ἐκχυμώσιος. ὡς καὶ τῆς ὀξυθυμίας ἐπεγείρειν τὴν ἔμφυτον θερμασίαν δυναμένης. ἀλλ' ὅτι γε πυκνοτέραν ἐργάζεται πάντως ἡ ὀξυθυμία τὴν ἀναπνοήν, οὐδεὶς ἀγνοεῖ. παραληψόμεθα οὖν αὐτὴν ἐπὶ τῶν κατεψυγμένων τε καὶ ἀχροούντων καὶ ἰσχνῶν, ἐκ διαλειμμάτων τέ τινων, καὶ προσηκόντων καιρῶν, οὐ γὰρ δὴ συνεχῶς γε οὕτως, ὡς ἄγαν βλάψαι τὴν δύναμιν. ἀλλ' ὥσπερ τὰ γυμνάσια τὰ ῥωννύντα τὴν ἔμφυτον θερμασίαν, οὐκ ἄμετρα ποιεῖσθαι κελεύομεν, ἀλλ' ἐν καιρῷ τε καὶ μέτρῳ παραλαμβάνομεν, οὕτω καὶ βραχύπνοιαν, εἴτε κατὰ μόνας, εἴτε καὶ μετὰ τῆς ὀξυθυμίας ἐπιτηδεύομεν, οὐκ ἄνευ καιροῦ καὶ μέτρου παραληψόμεθα. προσέχειν δ' ἐνταῦθα χρὴ τῷ λόγῳ, καὶ μὴ νομίζειν τὴν αὐτὴν εἶναι διάθεσιν τῇ νῦν ὑφ' ἡμῶν δηλουμένῃ, τὴν ἐπὶ τὸ προγνωστικόν, ἐφ' ἧς ἔλεγε, ψυχρὸν δ' ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος ὀλέθριον κάρτα ἤδη γίγνεσθαι. ἐπὶ γὰρ τῶν ἐν ὀξέσι νοσήμασι περὶ ὧν ἐν ἐκείνῳ τῷ βιβλίῳ ποιεῖται τὸν λόγον, ἡ τοιαύτη δύσπνοια, θάνατον δηλοῖ. τοῖς δ' ἄλλοις νοσήμασιν, ὅσα χωρὶς πυρετοῦ, ψυχρότης τὴν ὅλην ἕξιν τοῦ ζώου καταλαμβάνει, συμπίπτει μὲν οὐδὲ τούτοις ἀκινδύνως, οὐ μὴν ἐξ ἅπαντός γε ὀλεθρίως. ἐκ τούτων δ' ἐστὶ καὶ ἡ καλουμένη ὑστερικὴ πνίξ, καὶ ὅλως αἱ ἄπνοιαι πᾶσαι, γυναιξὶ μὲν συνεχῶς, καὶ μάλιστα ταῖς στερευούσαις συμπίπτουσαι, σπανίως δέ ποτε καὶ ἀνδράσι. ἐπὶ γὰρ τῶν τοιούτων ἁπασῶν διαθέσεων ὑπὸ πλήθους ὕλης ψυχρᾶς, ἡ ἔμφυτος θερμασία βαρύνεται, δίκην φλογὸς ὑπὸ πολλῶν ὑγρῶν ξύλων καταπνιγομένης. ὥστε καὶ ἀνάψαι ποτὲ δυνατὸν ταύτην κρατήσαντα τῆς ὕλης, ἐφ' ὧν μέντοι δαπανηθείσης τῆς ὕλης ἐξ ἀνάγκης αὐτὴ συναποσβέννυται, καθάπερ ἐπὶ τῶν ἐν τοῖς ὀξέσι νοσήμασιν οὕτως ἐκπνεόντων, οὐδεμία σωτηρίας ἐλπὶς ὑπολείπεται. τούτων δὲ οὖν μεμνῆσθαι χρή, καὶ ὡς ἐν ταῖς ἀπνοίαις ἀπολωλέναι μὲν τελέως ἅπασαν τὴν ἀναπνοήν, οὐδ' ὑπονοῆσαι δυνατόν, οὐδ' οὕτως ἔχον φαίνεται τοῖς ἐπιμελῶς κατασκεπτομένοις τὸ συμβαῖνον. ἐλάχιστον δ' αὖθις ἅμα καὶ διὰ μακροτάτου χρόνου γίνεται τὸ πνεῦμα, καὶ ταύτῃ λανθάνει τοὺς πολλούς. ἀλλ' εἰ προσέχοι τις ἐπιμελῶς τὸν νοῦν, ἢ καὶ προσθείη τινὰ τῶν δακτύλων πρὸ τῶν τοῦ κάμνοντος ῥινῶν, αἰσθήσεται τῆς ἀναπνοῆς. εἰ δὲ καὶ θρίχα κατακρεμάσει πρὸ αὐτῆς, ἢ ἐρίου λεπτοῦ, ἀκριβῶς ἐξεσμένον, ὄψεται καὶ ταῦτα σειόμενα. ἐπὶ μὲν δὴ τὰς τοιαύτας διαθέσεις βραχύπνοια, τουτέστιν ἡ διὰ βραχέος χρόνου κίνησις τῶν ἀναπνευστικῶν ὀργάνων, ἥνπερ δὴ καὶ πυκνὸν πνεῦμα καλοῦμεν, αἴτιόν τε ἅμα καὶ σημεῖον ἰκτήρειον ὑπάρχει. ἐπὶ δὲ ταὐτό, τῶν συνεχῶν χασμῶν, οὐ μόνον ἡ διὰ μακροῦ, τουτέστιν ἡ ἀραιά, σημεῖόν τε ἅμα καὶ αἴτιόν ἐστιν ἰκτήρειον, ἀλλὰ καὶ ἡ μεγάλη. καλεῖται γὰρ καὶ ἥδε κατὰ δεύτερον λόγον μακρόπνοια. πρώτως μὲν γὰρ ἡ διὰ μακροῦ χρόνου γινομένη, τουτέστιν ἡ ἀραιὰ τοῦτο κέκτηται τοὔνομα, δευτέρως δὲ καὶ ἡ μεγάλη. περὶ μὲν δὴ τούτων ὧδε ἔχει, παραθώμεθα δὲ δὴ καὶ τἆλλα σύμπαντα, τὰ περὶ τῆς δυσπνοίας αὐτῷ γεγραμμένα. κατὰ μὲν δὴ τὸ δεύτερον τῶν ἐπιδημιῶν, ἐπὶ μὲν τῆς Ἀντιγένους προειπών, ὡς ἀσθμώδης ἐγένετο πρὸ τόκου, μετὰ ταῦτ' ἐπιφέρει, ἔπειθ' ἅμα τόκῳ πῦον ἀνήμεσεν. ὥσθ' ὁμολογεῖ καὶ τοῦτο τοῖς ὑφ' ἡμῶν ἀποδεδειγμένοις. ἀσθμαίνουσι μὲν γὰρ οἱ πυκνὸν ἀναπνέοντες, ἅμα καὶ τὸν θώρακα μέχρι πολλοῦ διαστέλλοντες. γίγνεται δὲ τοῦτο, ποτὲ μὲν ἐν διαθέσεσι πολλῆς εἰσπνοῆς δεομέναις, ἀμέλει καὶ τοῖς δραμοῦσιν, ἢ ὁπωσοῦν ἄλλως ὀξέως γυμνασαμένοις τὸ τοιοῦτον συμπίπτει, καὶ πᾶσι τοῖς περικαέσι πυρετοῖς. γίγνεται δ' ὡς ἐλέχθη, κἀπειδὰν ἔμφραξις, ἢ θλῖψις, ἢ στενοχωρία τις ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις ὑπάρχει. τοιοῦτον δ' ἔτι φαίνεται συμβῆναι καὶ τῇ τοῦ Ἀντιγένους, ὡς ἐδήλωσε τὸ πῦον. ταύτης μὲν δὴ πρώτης ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν δυσπνοίας μέμνηται. μετὰ δὲ ταύτην, τῆς συμβάσης τῇ Λυκίνῃ, περὶ ἧς, ὡς καὶ πρόσθεν ἐλέγομεν, ἔγραψε, πνεῦμα ἐδιπλασιάζετο. οὐ μὴν μέγα ἐπὶ λόγου. ἐπεπόνθει γὰρ αὐτῆς τὸ νευρῶδες γένος τῶν ὀργάνων, ὥστε καὶ τῶν οὔρων ἐπίσχεσιν παντελῆ γενέσθαι. διὰ τοῦτο μὲν δή, τὸ διπλασιαζόμενον ἐγίνετο πνεῦμα. διατί δὲ οὐ μέγα; ἢ διότι κατέψυκτο; περιεστάλτο γοῦν φησι, τούτῳ δ' ἐδείχθη χρώμενος τῷ ὀνόματι κατὰ τῶν ἀποψυχομένων τὴν ἔμφυτον θερμασίαν. ἐφεξῆς δὲ καὶ περὶ τῶν γενομένων τότε κυναγχικῶν διαλεγόμενος, ὧδέ γράφει, πνεῦμα δὲ τούτοισιν οὐ πάνυ μετέωρον. ὡς δηλονότι μετεώρου τὰ πολλὰ τοῖς κυναγχικοῖς γιγνομένου τοῦ πνεύματος. οὕτως δὲ καλεῖν ἔθος αὐτῷ τὸ μικρὸν πνεῦμα, καὶ ὡς δόξειέ τινι, αὐτόθι που μέχρι τῆς φάρυγγος εἰσιόν, οὐκ εἰς τὸ βάθος τοῦ θώρακος κατερχόμενον. ὅτι δὲ τοιοῦτον ἀνάγκη ὑπάρχειν τὸ πνεῦμα τοῖς ὁτιοῦν ὀδυνωμένοις τῶν ἀναπνευστικῶν ὀργάνων, ἔμπροσθεν εἴρηται. τίς οὖν ἡ αἰτία δι' ἣν τοῖς κυναγχικοῖς οὐ πάνυ τὸ πνεῦμα μετέωρον; ἢ διότι μηδὲ τὸ τῆς κυνάγχης εἶδος αὐτοῖς εἰθισμένως ἐγένετο. πρῶτον μὲν γάρ φησι, φάρυγξ οὐ φλεγμαίνουσα, κειμένη δέ. εἶθ' οὕτω φησίν, οὐ πνιγόμενοι οἱ πλεῖστοι, εἰ μὴ καταπίνειν προθυμοῖντο. καὶ ὅλως ἡ διήγησις ἅπασα τῆς τότε γενομένης κυνάγχης, ἀπαθῆ μὲν ἐδείκνυτο μένειν τὴν φάρυγγα, τὰ δ' ἐπιγειτνιῶντα ταύτῃ μόρια τὰ συνεχῆ τοῖς σπονδύλοις τοῦ τραχήλου παθεῖν. καὶ γὰρ οὖν καὶ μεταστῆναί φησι καὶ αὐτοὺς τοὺς σπονδύλους, τοὺς μὲν εἴσω μόνον, τοὺς δὲ καὶ εἰς τὰ πλάγια. μήτ' οὖν ἄλλου τινὸς τῶν ἀναπνευστικῶν ὀργάνων πεπονθότος, ἀλλὰ μηδὲ τῆς φάρυγγος αὐτῆς κατὰ τὸν ἴδιον λόγον, ὅτι μὴ τῇ κοινωνίᾳ τῆς θέσεως συναπολαυούσης τῶν παθημάτων, εἰκότως οὐ πάνυ μετέωρον ἦν αὖθις τὸ πνεῦμα. μὴ δ' ὅλως μὲν γὰρ ἐνοχλουμένης τῆς φάρυγγος, οὐδ' ἂν μετέωρον ἦν μηδαμῶς. ἐπεὶ δ' ἐκ τοῦ συμπάσχειν τοῖς παρακειμένοις ἠνοχλεῖτο, τὴν μέσην τῶν εἰρημένων κατάστασιν ἐκτήσατο μετρίως πύκνωσιν. ἐφεξῆς δὲ τῆς δὲ τῆς καταστάσεως ἑτέρας μνημονεύει, γενομένης ἐν Περίνθῳ τόνδε τὸν τρόπον. ἀρχόμενος τῆς διηγήσεως, ἐν Περίνθῳ περὶ ἡλίου τροπὰς ὀλίγον τὰς θερινὰς ἤλθομεν. ἔπειτα διηγεῖται τὴν ὅλην τῶν νοσημάτων ἰδέαν, ἀπὸ καύσου μὲν ἀρξαμένην, ἐμετώδη δὲ γενομένην, καὶ μέχρι πλείστου χρονίσασαν. ἀλλὰ καὶ ὡς χωρὶς ἐμέτων οἱ καῦσοι τούτοις ἐγίγνοντο, καὶ ὡς ἡ γαστὴρ αὐτοῖς διεχώρει πολλά, καὶ τοῦτο προστέθεικεν. ὡς ἐκ τούτων καὶ τῶν ἄλλων ἁπάντων, δῆλον εἶναι, τῆς καταστάσεως τὴν ὑπόθεσιν ἐν φλέγμασι δια-

μασὶ διακαιομένοις γεγενημένην, ἀπαθῶν μὲν τῶν ἀναπνευστικῶν μενόντων, καὶ τοῦ στόματος τῆς κοιλίας, ἐκ δὲ τῶν κατωτέρω μερῶν αὖθις ὁρμωμένου τοῦ καύσου. εἰκότως οὖν αὐτοῖς, οὐδ᾽ ὥσπερ οἷς ἐν πνεύμονί τε καὶ καρδίᾳ πλῆθος ἤθροιστο θερμασίας πυρώδους, ἐγένετο μέγα τὸ πνεῦμα, μικρόν τ᾽ οὐκ ἦν παντάπασιν, ὡς μήτ᾽ ὀδυνωμένοις, μήτε κατεψυγμένοις. εἴπερ οὖν τὸ μετέωρον οὐδὲν τοῦ μικροῦ διαφέρον δηλοῖ, κατὰ λόγον αὐτοῖς φησὶ τὰ πνεύματα μετέωρα γίγνεσθαι, οὐ μὴν πάνυ γε. μετὰ δὲ ταύτην τὴν κατάστασιν, οὐδεμιᾶς ἐν τοῖς ἐφεξῆς δυσπνοίας ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἄχρι τῆς ῥήσεως ἐκείνης ἣν πρώτην προὐθέμην ἁπάντων ἐν ἀρχῇ τοῦ δὲ τοῦ γράμματος, ἣ ἄρχεται τόνδε τὸν τρόπον. πνεύματα, πυκνὰ σμικρά. μεγάλα ἀραιά. Ταύτην δὲ σύμπασαν ἐξηγήσασθαι φθάνω. τῆς οὖν ἐφεξῆς αὐτῷ γεγραμμένης δυσπνοίας ἐπὶ ἀρρώστου τινὸς οὗ τὸ ὄνομα σκοπὸς εἴη ἂν ἤδη μνημονεύειν καιρὸς, ἔχει δ᾽ ἡ τοῦ παλαιοῦ λέξις ὧδε, πνεῦμα δὲ ὑπόπυκνον, ὑποχόνδρια ἤλγει, καὶ ἀναπνέων καὶ στρεφόμενος. Φαίνεται δὴ καὶ οὗτος ὁ ἄρρωστος μαρτυρῶν τοῖς πολλάκις ὑφ᾽ ἡμῶν προειρημένοις. ἐπεὶ γὰρ τὰ ὑποχόνδρια τοῖς ἀναπνευστικοῖς ὀργάνοις συνῆπται, διὰ τοῦτο ὀδυνωμένων αὐτῶν ὑπόπυκνον ἦν τὸ πνεῦμα. ταυτὶ μὲν οὖν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἴδη δυσπνοίας ἔγραψεν. ἐν δὲ τῷ τετάρτῳ, πρῶτον μὲν μέμνηται τῆς Νικοστράτου γυναικὸς, τῆς ἐν Κρανῶνι, μικρὸν καὶ πυκνὸν ἐχούσης τὸ πνεῦμα. δεύτερον δὲ, τῆς Ἀντιγένους, ἀσθματώδους οὐχ ὑπόγυον τότε γενομένης, ἀλλ᾽ ἐξ ἀρχῆς οὔσης, ὥστε καὶ βήττειν ἀεί. περὶ μὲν δὴ ταύτης οὐδ᾽ ἐν ἂν εἴη ζήτημα. περὶ δὲ τῆς ἐν Κρανῶνι, τῆς Νικοστράτου γυναικὸς, διὰ τοῦτο μοι δοκεῖ προσθεῖναι τὸ, μικρὸν καὶ πυκνὸν πνεῦμα, διότι οὐ παρεφρόνησεν. εἴρηται γὰρ ἤδη πολλάκις, ὡς τοὐναντίον, τὸ ἀραιὸν καὶ μέγα πνεῦμα παραφροσύνης ἐστὶν ἴδιον. ὥστε ἄξιον ζητῆσαι διατί, τουτὶ μὲν οὐκ ἐγένετο. τὸ δ᾽ ἐναντίον αὐτῷ, τὸ, τῶν ἀλγημάτων ἴδιον, τὸ μικρὸν καὶ πυκνόν. οὐ δὲ γὰρ προσέθηκεν ἐν τῇ διηγήσει τῆς ἀρρωστίας γίνεσθαι τινὰ ὀδύνην οὐδενὸς τῶν μορίων, ἀλλ᾽ οὐδ᾽ ὄγκον ἐπίσημον οὔτε καθ᾽ ὑποχόνδριον, οὔτε κατὰ θώρακα. τί δὴ οὖν ἐστὶ τὸ γινόμενον; ἐμοὶ μὲν δοκεῖ διττή τις ἰδέα νοσήματος συστῆναι περὶ τὸ γύναιον ἀπὸ διττῆς ἀρχῆς. ἐν μὲν γὰρ τῷ παραφρονῆσαι, καὶ τὸν τράχηλον, καὶ τὸ στόμα, καὶ τὴν ῥῖνα παρασπασθῆναι, δῆλον ὡς ἐν τῇ κεφαλῇ τις ὑπόθεσις αὐτῇ νοσήματος ὑπῆρχεν. ἐκ δὲ τοῦ τὸν σῖτον τε ἐγκατακλεισθῆναι μέχρι δεκάτης ἡμέρας, καὶ τοῖς οὔροις ὀροβοειδῆ γενέσθαι τὴν ὑπόστασιν, οὐ μικρὰν ἐν ἥπατι νομίζω γενέσθαι φλεγμονὴν, ἐφ᾽ ἧς τὴν ἄνωθεν διάθεσιν νικηθεῖσαν οὐ δυνηθῆναι καθ᾽ ἑαυτὴν τυπῶσαι τὴν ἀναπνοήν. εἴρηται γὰρ οὖν καὶ πρόσθεν ἤδη πολλάκις, ὡς κατὰ τὴν ἐπικρατοῦσαν διάθεσιν, ἡ τῆς δυσπνοίας ἰδέα σχηματίζεται. δηλοῖ δ᾽ οὐχ ἥκιστα, τὸ τῆς παραφροσύνης τὸ βραχὺ, καὶ ἡ λέξις αὐτὴ τοῦ παλαιοῦ. παραλέγειν, γοῦν αὐτὴν εἶπεν εἴωθεν δὲ τῷ τοιούτῳ ῥήματι χρῆσθαι, μικρὰν ἐνδείξασθαι βλάβην βουλόμενος, ὡς καὶ τοῦτ᾽ ἀποδέδεικται πολλάκις. οὐδὲν οὖν θαυμαστὸν ἐπὶ βραχὺ μὲν, αὐτῆς παραφροσύνης. ἰσχυρῶς δὲ φλεγμανθείσης κατὰ τὸ ἧπαρ, οὐ τὴν τῆς παραφροσύνης, ἀλλὰ τὴν τῆς φλεγμονῆς οἰκείαν ἀπαντῆσαι δύσπνοιαν. οὕτω μὲν δὴ καὶ περὶ τούτων ἔχει. τί δ᾽ ὅταν εἴπῃ, πνευματώδη τινὰ γενέσθαι χρὴ δέχεσθαι, πότερον ὃν ἐν τῷ περὶ διαίτης ὀξέων πνευματίαν ἐκάλεσεν, ἢ τὸν πεπνευματωμένον τὴν γαστέρα. τί δ᾽ ἐστὶν ὁ πνευματίας ἐν τῷ περὶ διαίτης ὀξέων αὐτὸς ἐξηγήσατο σαφέστατα. προειπὼν γὰρ ὡς, ταχέως πνευματίαι γίνονται συνάπτων εὐθὺς ἐπιφέρει, ὑπὸ δὲ πολλοῦ καὶ πυκνοῦ πνεύματος. τοῦτο μὲν δὴ καὶ κατ᾽ ἀρχὰς εὐθὺς ἐξηγησάμην ἐν τῷ δὲ τῷ βιβλίῳ. τὸ δ᾽ ἐν τῷ τετάρτῳ τῶν ἐπιδημιῶν ἐπισκεπτέον, αὐτὴν ὑπογράψαντας τὴν ῥῆσιν ἔχουσαν ὧδε, ὁ ἐκ τῶν μετάλλων ὑποχόνδριον δεξιὸν ἐντεταμένον, σπλὴν μεγὰς, κοιλίη ἐντεταμένη, ὑπόσκληρος, πνευματώδης, ἄχροος. Ἐγχωρεῖ γὰρ ἑκάτερον, καὶ δύσπνουν αὐτὸν γεγονέναι, διά τε τὰς ἐν τοῖς ὑποχονδρίοις διαθέσεις, καὶ πνευματωθῆναι τὴν γαστέρα. πολὺ δέ τι μᾶλλον ἀσαφὴς ὁ ἐφεξῆς ἄρρωστος, ἔχων ὧδί. ὁ Τιμαίνεως εἶχέ τι πνεύματος, ὡς ὀχλῶδες εἶναι. Καὶ γὰρ καὶ τούτῳ πάνυ τις ἦν ἥπατος κακοπραγία, δι᾽ ἣν ἐνεχώρει δυσπνοεῖν αὐτὸν, καὶ πνευματοῦσθαι τὴν γαστέρα. τὸ γὰρ ὀχλῶδες χρῶμα κακοπραγοῦντος ἥπατος γνώρισμα. τὸ δ᾽ ἐφεξῆς λεγόμενον ὧδί, ὁ τοῦ Λεχοῦς ἀνήρ. ὁ παρὰ Σιτοδόκα, ἰκτεριώδης, περὶ ὃν ἑβδομαῖον εἰσῆλθον, ὀγδόῃ ἀπώλετο, οὔτε οὐρέων, οὔτε διαχωρέων. ὑποχόνδρια μεγάλα καὶ σκληρὰ, καὶ πνεῦμα πυκνόν. Οὐ γὰρ ζήτημα ἔχει. σκληρῶν γὰρ οὐ μετρίως, καὶ μεγάλων τῶν ὑποχονδρίων γενομένων, εὔλογον πυκνὸν εἶναι αὐτῷ τὸ πνεῦμα. ἀσαφὲς δὲ τελέως ἐστὶ τὸ τούτου συνεχὲς ἐπὶ τοῦ Λεχοῦς εἰρημένον ὧδε. διαίροντος δὲ τοῦ πυρετοῦ, πνεῦμα οὐκ ἐλύθη. Τί γὰρ εἶδος εἶχε δυσπνοίας, οὔτ᾽ αὐτὸς ἐδήλωσε σαφῶς, οὔτε τι σύμπτωμα ἄλλο τοιοῦτον ἔγραψεν, ἐξ οὗ τεκμαίροιτ᾽ ἄν τις τὴν γενομένην αὐτῇ διάθεσιν. καὶ μέντοι καὶ μετὰ ταύτην οὐκ ὀλίγον προελθὼν ἄρχεται διηγεῖσθαι τόνδε τὸν τρόπον, ἡ Τιμαίνεω, πνευματώδης. Δύναται μὲν γὰρ δύσπνους ἀκούεσθαι, δύναται δὲ, καὶ ὥσπερ οἱ πλεῖστοι τῶν ἐξηγησαμένων οἴονται λέγεσθαι, ἐμπεπνευματωμένη τὰ ὑποχόνδρια. βέλτιον δὲ δοκεῖ μοι, καὶ ἴσως ἀναγκαῖον, τὴν πεπνευματωμένην τὰ ὑποχόνδρια λέγεσθαι μᾶλλον περ, ἢ δύσπνουν. ὀλίγον οὖν ἐν τῇ διηγήσει προελθὼν, καί τινι εὐπνοωτέρη, φησὶ, ὡς ἂν ἤδη προειρηκὼς ὑπὲρ αὐτῆς δύσπνουν εἶναι. ὅτι δὲ πνευματώδεις, οἷς πυκνόν ἐστι τὸ πνεῦμα, προσαγορεύειν εἴωθεν, εἴρηται μὲν κἀν τοῖς πρόσθεν, ἀλλὰ καὶ νῦν δῆλον. ἐπὶ τὸ χεῖρον γὰρ αὖθις ἐπιτραπέντα τὰ τῆς δὲ τῆς ἀνθρώπου συμπτώματα, καὶ κατὰ τὴν ἑξκαιδεκάτην ἡμέραν ἀποθανεῖν αὐτὴν φησὶ, πυκνὴν ἔχουσαν τὸ πνεῦμα. καὶ ὁ μετὰ ταύτην δὲ γεγραμμένος ἄρρωστος, ὅτι καὶ αὐτὸς ἀνέπνευσε πυκνὸν ἐπὶ τῇ τῶν ὑποχονδρίων διαθέσει, δῆλον ἡ ῥῆσις αὐτὴ ποιήσει, τόνδε τὸν τρόπον ἔχουσα. ὁποία ἦν τῆς γυναικὸς, τῆς τοῦ Ἀποιμάντου ἀδελφῆς. « ὑποχόνδρια μεγάλα καὶ σπλὴν. πνεῦμα. διαχώρησις πικρόχολος, Ὥσπερ γὰρ πνευματώδεις, ἐνίοτε καλεῖ τοὺς πυκνὸν ἀναπνέοντας, οὕτω ποτὲ καὶ ἁπλῶς γράφει πνεῦμα. θαυμαστὸν δ᾽ οὐδὲν εἰ μεγάλων ὄντων ὑποχονδρίων ἐγίγνετο πυκνὸν τὸ πνεῦμα. καὶ γὰρ αὖ καὶ προελθὼν ἐπ᾽ αὐτοῦ πάλιν ἐρεῖ, τὰ ὑποχόνδρια δὲ ἐντεταμένα ἦν. καὶ δὴ καὶ ἦν τι βηχίον ξηρὸν ἡσυχῆ. Καθόλου γὰρ, ὡς ἔφαμεν, ἐπειδὰν ἢ ὄγκος, ἢ ὀδύνη τις ἐν τοῖς καθ᾽ ὑποχόνδρια συστῇ, μικρὸν καὶ πυκνὸν ἐξ ἀνάγκης ἀναπνέουσιν, ὥστ᾽ οὐδὲν θαυμαστόν, οἱ δ᾽ ἐπειδὰν ἐν τοῖς μετὰ ταῦτα προειπὼν, ὑποχόνδριον ὑπολάπαρον, προσθῇ πνευματώδης δὲ οὐ κάρτα. εἰ γὰρ δὴ

τὸ μὲν λαπαρὸν κενόν, τὸ δὲ ὑπολάπαρον, ὑπόκενον, ἐπὶ τοσοῦτον δυσπνοήσουσιν, ἐφ' ὅσον αὐτοῖς ἔχει κακῶς τὰ καθ' ὑποχόνδριον. μετρίως οὖν αὐτῶν πεπονθότων, μετρίως δυσπνοήσουσιν. ὥσπερ πάλιν ἐν τοῖς
» κατωτέρω τοῦ βιβλίου ὧδέ πως γράφει, τὴν οἰκέτιδι ἣν νεώνητον ἐοῦσαν κατεῖδον, ἦν τὸ σκλήρυσμα ἐν τοῖσι
» δεξιοῖσιν ἐὸν μέγα, οὐ κάρτα ὀδυνῶδες, εὐλόγως ἐπάγει. καὶ οὐ πάνυ δύσπνοος. εἴπερ γὰρ τὸ σκλήρυσμα μὴ κάρτα ὀδυνῶδες ἦν, οὐδὲ πάνυ δύσπνουν εἶναι τὸν ἄνθρωπον εἰκὸς ἦν, οὕτω δὲ καὶ κατὰ τὴν τελευτὴν ἤδη τοῦ βιβλίου περὶ τοῦ πρεσβυτέρου διηγούμενος, εἶτα προειπὼν, παρημέχθη κοσμίως ἐπήνεγκεν οὐ πάνυ δύσπνοος. ἀεὶ γὰρ κατὰ τὸ μέγεθος τῆς ἐργαζομένης τὴν δύσπνοιαν αἰτίας, καὶ τὸ τῆς δυσπνοίας γίνεται μέγεθος. ἀλλὰ καὶ ταῦτα μὲν ἐν τῷ τετάρτῳ τῶν ἐπιδημιῶν γέγραπται, ὁμολογοῦντα
» τοῖς περὶ δυσπνοίας ὑφ' ἡμῶν προδεδειγμένοις. ἐν δ' αὖ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν ἰδ'. μὲν ἄῤῥωστος γέγρα-
» πται τόν δὲ τὸν τρόπον, ἐν λαρίσσῃ Ἱπποσθένης, περιπνευμονίη ἐδόκει τοῖς ἰητροῖσι συνέχεσθαι. ἦν δὲ οὐδα- 10
» μῶς. ἀρχὴν δὲ παλαίων, ἔπεσεν ἐν σκληρῷ χωρίῳ ὕπτιος. καὶ ἐπέπεσεν αὐτῷ, καὶ ἐλούσατο ψυχρῷ. ὁ ἔμεινε. καὶ ἔδοξε βαρύτερος γενέσθαι. τῇ δ' ὑστεραίῃ ἐπύρεσσε, καὶ βὴξ ἔχε ξηροτέρη. καὶ τὸ πνεῦμα πυκνόν.
» εἶτα μικρὸν προελθὼν, ὁπότε δ' ἐβήσσε, φησὶν, ὀδυνᾶται τὰ στήθεα καὶ τὰ νῶτα. οὐδὲν οὖν θαυμαστὸν οὕτω
» διακειμένων τῶν κατὰ θώρακα, πυκνὸν γενέσθαι τὸ πνεῦμα. τὸ δ' ἐπὶ τῇ τελευτῇ τοῦ λόγου προσκείμενον, οὐδὲ ῥέγχος εἶχεν, εἰς ἀπόδειξιν μὲν εἴρηται τοῦ μὴ γενέσθαι περιπνευμονικὸν τὸν ἄνθρωπον. ὁμολογεῖ δὲ καὶ αὐτὸ τοῖς κατ' ἀρχὴν εὐθὺς ἐν τῷ δε τῷ λόγῳ πρὸς ἡμῶν εἰρημένοις, ὁπότ' ἐν τῷ περὶ διαίτης ὀξέων ἐξηγούμεθα τὴν λέξιν ταύτην. οἱ δ' ἀπὸ τῆς ὀρθοπνοίας τε καὶ τοῦ ῥέγχους ἀποπνιγέντες. ἐννατός τε καὶ τριακοστὸς ἄῤ-
» ῥωστος ἐν τῷ πέμπτῳ τῶν ἐπιδημιῶν γέγραπται, πυκνὸν ἔχων καὶ αὐτὸς τὸ πνεῦμα. παραγράψω δὲ κἀνταῦ-
» θα τὴν ῥῆσιν αὐτὴν, ὧδέ πως ἔχουσαν, παιδίον ὑπὸ ὄρεος ἐπλήγη τὴν γαστέρα καὶ τὸ ἧπαρ, ἀπέθανε τεταρταῖον, τὸ πνεῦμα πυκνὸν εἶχε. καὶ οὐ κατεγίνωσκε. καὶ πυρετὸς εἶχεν. οὐκ ἄδηλον ἐπὶ τούτου, τὸ περιτόναιόν καὶ τὸ διάφραγμα συμφλεγμῆναι γαστρὶ καὶ ἥπατι, καὶ διὰ τοῦτο καὶ παραφρονῆσαι τὸ παιδίον, ἀλλ' οὐ διὰ τὴν παραφροσύνην ἐδυσπνόησεν. ἡ γὰρ μείζων διάθεσις ἡ καθ' ὑποχόνδριον καθ' ἑαυτὴν ἐτύπωσε τὴν ἰδέαν τῆς ἀναπνοῆς, ἡ δ' ἧττον ἡττήθη. ἐν δὲ τῷ. ε. ταῦτα, πάλιν δὲ μεταβάντες ἐπὶ τὸ ἕκτον, οὗ ὁ πρόσθεν ἤδη τὴν νῦν πρὸς τὸ δεύτερον ἐξηγησάμεθα ῥῆσιν, ἐπὶ τὰς ὑπολοίπους ἔλθωμεν. εἰσὶ δὲ ὀλίγου δεῖν ἅπασαι σαφεῖς ἤδη διὰ τὰ προειρημένα. τὸ γὰρ πνεῦμα μόνον ἁπλῶς οὕτω γράφων, ἐν ταῖς τῶν νοσημάτων ἐδέχθη συνδρομαῖς, ἀντὶ τῆς δυσπνοίας, ἀφ' ἧς πυκνὸν γίνεται τὸ πνεῦμα. τὸ δ' αὐτὸ τοῦτ' ἐπὶ πλέον πυκνούμενον, ἔθος αὐτῷ ἆσθμα καλεῖν. ὥστε κατὰ τὸ ἕκτον τῶν ἐπιδημιῶν ἐπειδὰν εἴπῃ, πνεῦμα ἐγκαταλέλειπται, τὴν μετὰ
» πυκνότητος ἀκουσόμεθα δύσπνοιαν. ὡσαύτως δὲ κἀπὶ τῆς ἐν κρανῶνι γυναικός, ἐφ' ἧς οὕτω γράφει, σπλὴν
» φύσει μέγας. πυρετὸς καυσώδης, ἐξέρυθρος. πνεῦμα, τὴν προειρημένην δύσπνοιαν ἀκουστέον, ἐφ' ἧς πυκνοῦ
φύσει μέγας. πυρετὸς καυσώδης, ἐξέρυθρος. πνεῦμα. τὴν προειρημένην δύσπνοιαν ἀκουστέον, ἐφ' ἧς πυκνοῦ/ 30
ται τὸ πνεῦμα. ὡς καὶ ἐπὶ τῆς Ἀγίσιος κόρης. ὅτι δὲ διαφέρει τὸ πυκνὸν πνεῦμα τοῦ ἄσθματος, ἐδήλωσε σα-
» φῶς. ἔχει δὲ ἡ ῥῆσις ὧδε. ἡ Ἀγίσιος, κόρη μὲν ἐοῦσα πυκνοπνεύματος ἦν. γυνὴ δὲ γενομένη, ἐκ τόκου οὐ πάλαι
» ἐπίπονος ἐοῦσα, ἐπὶ πολέως ἦρεν ἄχθος μέγα, καὶ αὐτίκα ψοφῆσαι μὲν ἐδόκει κατὰ τὸ στῆθος. τῇ δ' ὑστεραίῃ ἆσθμα τε εἶχε, καὶ ἤλγει ἰσχίον τὸ δεξιόν. εἶτ' ἐφεξῆς ἔπτυσεν ἀφρώδεα, φησίν. ἀρχομένη δ' ἦν ἀνθηρά. καὶ δῆλος ἐστὶν ἐξ ὅλης τῆς συνδρομῆς, ὡς φύματος ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις, παλαιοῦ καὶ δυσπέπτου ῥαγέντος, ἔπτυσε ταῦτα. καὶ ὡς διὰ ταῦτα τὰ φύματα πυκνοπνεύματος ἦν. ἐν δ' αὖ τοῖς κατωτέρω τοῦ
» βιβλίου, κατὰ μὲν τὴν κατάστασιν, ἧς ὑπῆρξατο τόν δὲ τὸν τρόπον. βῆχες ἤρξαντο περὶ ἡλίου τροπὰς τὰς
» χειμερινάς. οἷσι δὲ ὁ πνεῦμα συμμετεωρίζετο, φησί. καὶ ὅτι μετέωρον ἐστὶ πνεῦμα, τὸ μικρὸν καὶ πυκνὸν, δεδηλώκαμεν ἐν τοῖς ἔμπροσθεν. ἀμέλει καὶ συνάγχας γενέσθαι κατ' ἐκείνην τὴν κατάστασιν ἔφη. μοχθηροὶ γοῦν, οἱ τὸ μετέωρον ἀντὶ τοῦ μεγάλου νομίζοντες εἰρῆσθαι, διορίζετο μετεωρίζει τὸν θώρακα, διαίρων ἐπὶ πλεῖστον. 40
ὀλίγον δὲ προελθὼν, πνευματίας ὀνομάζει τινὰς, καὶ εἴρηται καὶ περὶ τοῦδε πρόσθεν, ὡς ἤτοι τοὺς ἐμπεπνευματωμένους, ἢ τοὺς ἀσθματώδεις, οὕτως καλεῖ. τὸ δ' ἐν τοῖς ἐφεξῆς λεγόμενον, ἄσημον πνεῦμα, σμικρόν ἐστι, καὶ διὰ τοῦτ' ἀφανὲς, οἷον καὶ ταῖς καλουμέναις ἀπνοίαις καὶ ταῖς ὑστερικαῖς πνιξὶ, συνεδρεύει. τοιοῦτον δ' ἔτι βούλεται δηλοῦν ἐξ αὐτῆς τῆς λέξεως ἐχούσης ὧδε. καὶ τὰ πνεύματα τοῖσι φθινώδεσι τὰ ἄσημα, κακά. καὶ τοῖσιν ἀτόκοισι. καὶ ὅσα ἄλλα τοιαῦτα ἀπὸ τῆς αὐτῆς καταστάσεως. αἱ γὰρ δὴ ἄτοκοι γυναῖκες αὗται δὲ τοὐπίπαν εἰσὶν αἱ μὴ καθαιρόμεναι καλῶς, ἁλίσκονται μάλιστα ταῖς ἀπνοίαις, ὥσπερ ἀμέλει καὶ ὅσαι χηρεύουσιν ἐπὶ πλεῖστον. ὡς θ' ὅσα μὴ διάσημα σαφῶς πνεύματα, μὴ δ' ἐστὶν ἡμῖν καταδῆλα, ταῦτ' ἄσημα κέκληκεν. ἐκ τούτων ὁρμώμενος ἄν τις εὑρίσκει καὶ χωρὶς ἐμοῦ τἄλλα πάντα τὰ περὶ δυσπνοίας εἰρημένα, κατά τε τὰ γνήσια, καὶ τὰ νόθα τῶν βιβλίων, καί τοι σχεδὸν ἡμεῖς πάντα διήλθομεν ἐν τῷ δε τῷ λόγῳ τὰ γνήσια. ἀλλ' ἐπεὶ καὶ τὰ Θεσσαλοῦ τοῦ υἱέος αὐτοῦ, καὶ τὰ Πολύβου τοῦ γαμβροῦ, τῆς Ἱππο- 50
κράτους ἐστὶ τέχνης, οὐ πόῤῥω δ' αὐτῶν οὐδ' ὅσα δοκεῖ μὲν, Εὐρυφῶντος εἶναι, φέρεται δ' ἐν τοῖς Ἱπποκράτους, ἐάν μοι σχολὴ γένηταί ποτε πλείων, ἄλλο τέταρτον προσθήσω βιβλίον, ἐξηγούμενον ἃ κατὰ τὰ λοιπὰ τῶν ἐπιγεγραμμένων Ἱπποκράτους εἴρηται περὶ δυσπνοίας. νυνὶ δ' ἑτέρων κατεπειγόντων, οὐκ ἐπ' ἐκεῖνα μεταβησόμεθα.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΔΙΑΦΟΡΑΣ ΝΟΣΗΜΑΤΩΝ,
ΒΙΒΛΙΟΝ α'.

ΠΡΩΤΟΝ μὲν εἰπεῖν χρὴ τί ποτε νόσημα καλοῦμεν, ἵν' ᾖ δῆλον ὑπὲρ οὗ σπουδάζει τὸ γράμμα. δεύτερον δ' ἐπὶ τούτῳ, πόσα τὰ σύμπαντά ἐστιν ἁπλᾶ τε καὶ πρῶτα νοσήματα, καὶ οἱονεὶ στοιχεῖα τῶν ἄλλων. ἐφεξῆς τε τρίτον ὁπόσα τὰ ἐκ τούτων συντιθέμενα γίνεται. ληπτέον δὴ κἀνταῦθα ὁμολογουμένην ἀρχὴν, ὡς ἅπαντες ἄνθρωποι τὰς μὲν ἐνεργείας τῶν τοῦ σώματος μορίων, ἐπειδὰν εἰς μὲν τὰς κατὰ τὸν βίον πράξεις ὑπηρετούσας ἀμέμπτως ἔχωσιν, ὑγιαίνειν εἰσὶ πεπεισμένοι, βλαβέντος δ' ἥντινα οὖν ἐξ αὐτῶν, νοσεῖν ἐκείνῳ τῷ μέρει νομίζουσιν. εἰ δὲ ταῦθ' οὕτως ἔχει, τὴν ὑγείαν ἐν δυοῖν τούτοιν ζητητέον, ἢ ἐν ταῖς κατὰ φύσιν ἐνεργείαις, ἢ ἐν ταῖς κατασκευαῖς τῶν ὀργάνων, ὑφ' ὧν ἐνεργοῦμεν. ὥστε καὶ ἡ νόσος, ἢ ἐνεργείας ἐστὶν ἢ κατασκευῆς βλάβη. ἀλλ' ἐπεὶ καὶ κοιμώμενοι, καὶ ἄλλως ἐν σκότῳ, καὶ ἡσυχίᾳ διάγοντες, ἢ κατακείμενοι πολλάκις, οὔτε τι μόριον κινοῦμεν, οὐθ' ὅλως αἰσθανόμεθα τῶν ἔξωθεν οὐδενὸς, οὐδὲν ἧττον ὑγιαίνομεν. κἀν τούτῳ δῆλον, ὡς οὐ τὸ ἐνεργεῖν ἐστι τὸ ὑγιαίνειν, ἀλλὰ τὸ δύνασθαι. δυνάμεθα δὲ ἐνεργεῖν ἐκ τῆς κατὰ φύσιν κατασκευῆς, ἐν ταύτῃ ἄρα τὸ ὑγιαίνειν ἐστίν. ἕξει δὴ λόγον αἰτίας, ἡ κατασκευὴ πρὸς τὴν ἐνέργειαν. ὥστ' εἴτε τὴν κατὰ φύσιν ἁπάντων τῶν μορίων κατασκευὴν ὑγείαν ὀνομάζειν ἐθέλοις, εἴτε τὴν τῶν ἐνεργειῶν αἰτίαν, εἰς ταὐτὸν ἄμφω τῷ λόγῳ συμβαίνουσιν. ἀλλ' εἴπερ ἡ ὑγεία τοῦτο, δῆλον ὡς ἡ νόσος τὸ ἐναντίον, ἤτοι κατασκευή τις παρὰ φύσιν, ἢ βλάβης ἐνεργείας αἰτία. δῆλον δὲ ὡς εἰ καὶ διάθεσιν εἴποις παρὰ φύσιν, ὀνόματί τε χρήσῃ παλαιῷ, καὶ δηλώσεις ταὐτό. κατὰ πόσους δὴ τρόπους ἐξιστάμενα τὰ σώματα τοῦ κατὰ φύσιν, ἐμποδίζεται πρὸς τὰς ἐνεργείας εἴπερ εὕροιμεν, οὕτως ἂν ἤδη τὸν ἀριθμὸν ἁπάντων τῶν ἁπλῶν νοσημάτων εὑρηκότες εἴημεν. Ἀρχὴ δὲ κἀνταῦθα ὁμολογουμένη, σύμμετρον μὲν εἶναι τὸ κατὰ φύσιν οὐκ ἐν ζώῳ μόνον, ἀλλὰ καὶ ἐν φυτῷ, καὶ σπέρματι, καὶ ὀργάνῳ παντί. τὸ δὲ αὖ, παρὰ φύσιν, ἄμετρον. εἴη ἂν οὖν ἡ μὲν ὑγεία συμμετρία τις. ἡ δὲ νόσος ἀμετρία. τίνων οὖν ἡ νόσος ἀμετρία σκεπτέον ἐφεξῆς. ἢ δηλονότι ὧν περ ὑγεία συμμετρία, τούτων, ἡ δὲ νόσος ἀμετρία. εἰ μὲν οὖν ἐν πόρων συμμετρίᾳ τὸ ὑγιαίνειν ἐστὶν, ἐν πόρων ἀμετρίᾳ γενήσεται καὶ τὸ νοσεῖν. εἰ δ' ἐν εὐκρασίᾳ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ τὸ ὑγιαίνειν ἐστὶν, ἐν τῇ τούτων δυσκρασίᾳ, καὶ τὸ νοσεῖν ἐξ ἀνάγκης συμβήσεται. κατὰ ταῦτα δὲ κἂν ἐν ἄλλῳ τινὶ γένει τὸ ὑγιαίνειν ὑπάρχῃ, δῆλον ὡς καὶ τὸ νοσεῖν ἐν τῷ κατ' ἐκεῖνο τὸ γένος ἀμέτρῳ συστήσεται. πάλιν γοῦν δὴ τὸ αὐτὸ τοῦτ' ἐπισκεψώμεθα λογικώτερον. ἁπλοῦν εἴ τι σῶμα, καὶ ἀκριβῶς ἐστὶν ἓν, οὐκ ἂν ποτε δέξαιτο τὸ μᾶλλόν τε καὶ ἧττον, οὐδ' ἂν εἴη τι κατ' ἐκεῖνο τὸ γένος ἕτερον ἑτέρου βέλτιόν τε, καὶ χεῖρον. εἰ δ' ἐκ πλειόνων συγκέοιτο, πολλοὶ μὲν ἂν οὕτω γε τρόποι τῆς συνθέσεως ἐν αὐτῷ γίνοιντο βελτίους τε καὶ χείρους. εἴη δ' ἂν οὕτω, καὶ αὐτὰ τὰ συντιθέμενα κρείττω τε καὶ φαυλότερα. τὸ δ' ἄριστα συγκείμενον ἁπάντων, ἄριστον ἂν εἴη τῶν ὁμογενῶν. ἀρ' οὖν ἐν τοῖς τῶν ζώων σώμασι τὸ μᾶλλόν τε καὶ ἧττόν ἐστιν, ὡς τὸ μὲν ἄκρως εὐεκτικὸν εἰπεῖν, τὸ δ' ἁπλῶς εὐεκτικὸν, οὐ μὴν ἄκρως. καὶ τοῦτο μὲν ὑγιεινὸν, οὐ μὴν εὐεκτικόν. ἕτερον δ' ἔτι δυσαρεστούμενον. ἄλλο δ' ἤδη νοσοῦν. καὶ τούτου τὸ μὲν ἐπιεικῶς, τὸ δὲ ὀλεθρίως, καὶ τὸ μὲν μετρίως, τὸ δὲ σφοδρῶς. ἢ πάντες ὁμοίως διακείμεθα νοσοῦντές τε καὶ ὑγιαίνοντες οὐκ ἔστιν εἰπεῖν. οὐκοῦν ἕν ἐστι τὸ τῶν ζώων σῶμα, καθάπερ ἢ ἄτομος ἢ ἐπικούρειος, ἢ τῶν ἀνάρμων τι τῶν ἀσκληπιάδου. σύνθετον ἄρα πάντως. ἀλλ' εἰ μὲν ἐξ ἀτόμων, ἢ ἀνάρμων, ἢ ὅλως ἐξ ἀπαθῶν τινων σύγκειται, τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τῷ ποιῷ τῆς συνθέσεως ἕξει, δίκην οἰκίας ἐκ ἀπαθῶν μὲν λίθων συγκειμένης, οὐ μὴν ἐν τῇ θέσει γε πάντῃ κατορθουμένης. εἰ δὲ εἶεν οἷοί τε πάσχειν τι καὶ οἱ λίθοι, πολυειδέστερον ἂν οὕτως γε τὸ μᾶλλόν τε καὶ ἧττον ὑποδέχεται κατὰ τὴν οἰκίαν. εἰ δὲ καὶ αὐτὰ τὰ στοιχεῖα τῶν ἡμετέρων σωμάτων ἀλλοιοῦσθαί τε καὶ πάσχειν πέφυκεν, οὐ μόνον ἂν ἐν τῇ συνθέσει τε καὶ οἷον διαπλάσει τῶν μορίων, ἀλλὰ καὶ δι' ὅλων ἑαυτῶν τὸ μᾶλλόν τε καὶ ἧττον ἐπιδέχοιτ' ἄν. καὶ δὴ καὶ νοσήσει δηλονότι δι' ὅλων ἑαυτῶν εἴδη τοσαῦτα νοσημάτων ἁπλᾶ τε καὶ πρῶτα, καὶ οἷον στοιχεῖα τῶν ἄλλων, ὅσα περ ἂν ᾖ τὰ συντιθέντα. τοῦτο δὲ τὸ δι' ὅλων οὐκ ἐν τοῖς ἀπαθέσιν ἐστὶ στοιχείοις. οὐ γὰρ ἐνδέχεται παθεῖν τι τὴν ἄτομον αὐτήν, ἀλλ' ἐν τῇ συνθέσει τε καὶ διαπλάσει τὸ πάθημα. σύνθεσις δὲ καὶ διάπλασις ἐν τοῖς τῶν ζώων σώμασιν ὑπάρχει τριττή. πρώτη μὲν ἡ τῶν ὁμοιομερῶν ὀνομαζομένων, ἀρτηριῶν, καὶ φλεβῶν, καὶ νεύρων, καὶ ὀστῶν, καὶ χόνδρων, καὶ συνδέσμων, ὑμένων τε, καὶ σαρκῶν, δευτέρα δὲ ἡ τῶν ὀργανικῶν, ἐγκεφάλου τε καὶ καρδίας, καὶ πνεύμονος, καὶ ἥπατος, καὶ κοιλίας, καὶ σπληνὸς, καὶ ὀφθαλμῶν, καὶ νεφρῶν. τρίτη δὲ ἡ τοῦ σύμπαντος σώματος. ἕκαστον γὰρ τῶν ὀργανικῶν τούτων μορίων ἐκ τινων ἑτέρων ἁπλῶν, ὡς πρὸς τὴν αἴσθησιν, σύγκειται, κἀκείνων ἕκαστον ἐκ τῶν πρώτων στοιχείων, σαρκὸς οὖν αὐτῆς ἡ σὰρξ ἐν τῇ συνθέσει μόνῃ τῶν πρώτων στοιχείων ἡ διαφορά, ἡ μὲν τοι μορίου ὀργάνου παρά τε τὴν διάπλασιν, καὶ τὸ μέγεθος. καὶ γὰρ οὖν, καὶ αὐτῶν τῶν ὀργάνων ἐν τούτοις αἱ διαφοραί, πόσα τοίνυν ἐστὶ, καὶ τίνα κατὰ τὴν πρώτην ὑπόθεσιν τὰ σύμπαντα νοσήματα τῶν ὁμοιομερῶν σωμάτων διελθόντες, ἑξῆς ἐπὶ τὴν ἑτέραν μεταβησόμεθα τὴν ἀλλοιοῦσθαί τε καὶ τρέπεσθαι τὴν οὐσίαν ὅλην δι' ὅλης ἑαυτῆς ὑποτιθεμένην. ἔστι δὲ δύο τὰ πρῶτα πάθη, τὸ μὲν εὐρύτης τις πόρων, τὸ δὲ στέγνωσις. ἀπαθῶν γὰρ ὑποκειμένων τῶν πρώτων στοιχείων, ἐν τῇ συνθέσει μόνῃ τὰ παθήματα. συνθέσεως δὲ πάσης αἱ προειρημέναι διαφοραί. ὥστ' ἀναγκαῖον ἐῤῥῶσθαι μὲν ἕκαστον τῶν ὁμοιομερῶν, ὁπότ' ἂν ἡ συμμετρία τῶν πόρων αὐτοῦ φυλάττηται. διαφθειρομένης δὲ ταύτης ἐξίστασθαι τοῦ κατὰ φύσιν. ἀλλ' ἐπειδὴ συμμετρίας ἁπάσης ἡ διαφορὰ διττή. τὸ μὲν γὰρ ὑπερβολὴ τὸ δ' ἔλλειψις. δῆλον ὡς καὶ τὰ πρῶτα νοσήματα τῶν ἁπλῶν σωμάτων ἔσται διττά. τὸ μὲν εὐρύτης τις πόρων, τὸ δὲ στε-

γνῶσις. καὶ ὀστοῦν δή, καὶ σάρξ, καὶ τῶν ἄλλων ἕκαστον τῶν ἁπλῶν σωμάτων πρὸς τὴν αἴσθησιν. εἰ μὲν στενότερον ἢ μανώτερον εἴη τοῦ συμμετρείου, κακῶς διακεῖσθαι φήσομεν. εἰ δ' ἐν τῷ μέσῳ τῆς ὑπερβολῆς ἑκατέρας, ὡς ἂν μάλιστα συμφέρῃ ταῖς χρείαις αὐτῶν, ἄκρως ὑγιαίνειν ἐροῦμεν τηνικαῦτα. τὰς δέ, ἐφ' ἑκάτερα τῆς ἀκριβοῦς συμμετρίας, βραχείας ἐκτροπάς, οὐδέπω μὲν εἶναι νόσους, ἕως ἂν μηδέπω βλάβην αἰσθητὴν ἐνεργείας τινὸς ἀπεργάζωνται. πολὺ δ' ἐν ταύταις ὑπάρχει τὸ μᾶλλόν τε καὶ ἧττον, ὡς ἂν ἱκανὸν ἐχούσης διάστημα τῆς νοσώδους ἀμετρίας παρὰ τὴν ἀκριβῶς ὑγιεινὴν συμμετρίαν. ἐν τούτῳ δὴ παντὶ τῷ πλάτει τὰς τῶν ὑγιαινόντων συνίστασθαι διαφοράς. ἐν δὲ τῷ μετὰ ταῦτα τῷ τῆς αἰσθητῆς ἀμετρίας, τὰς νόσους, ἄχρις ἂν ἐπ' ἐκείνην ἀφίκωνται τὴν ἀμετρίαν, ἥτις ἤδη φθορὰν ἐργάζεται τοῦ μορίου. οὐ γὰρ δὴ μέχρι γε παντὸς στενοῦσθαί τε, καὶ μανοῦσθαι τὰ τῶν ζώων σώματα πέφυκεν. ἀλλ' ἔστι τις κἀνταῦθα ὅρος, οὗ περαιτέρω προσελθεῖν αὐτοῖς, ἄνευ διαλύσεώς τε καὶ φθορᾶς, ἀδύνατον. ἡ μὲν δὴ τῶν ἀπαθῶν στοιχείων ὑπόθεσις ὧδε ἔχει. τῶν δὲ πάσχειν ὑποτιθεμένων αὐτά, καὶ μέντοι καὶ δρᾶν εἰς ἄλληλα, καὶ κεράννυσθαι δι' ὅλων, ὅσαπερ ἂν ὑπόθηταί τις εἶναι τὰ πρῶτα στοιχεῖα, τοσαῦτα ἐξ ἀνάγκης ἐρεῖ, καὶ τὰ πρῶτα νοσήματα. φέρε γὰρ εἶναι τὰ πρῶτα στοιχεῖα τέτταρα, τὸ θερμόν, καὶ τὸ ψυχρόν, καὶ τὸ ξηρόν, καὶ τὸ ὑγρόν, ἐκ τούτων δὲ κεραννυμένων ἀλλήλοις συμμέτρως μέν, ὑγιαίνειν τὸ ζῶον, ἀμέτρως δέ, νοσεῖν. ἔσται δὴ καὶ τὰ πρῶτα νοσήματα τέτταρα, τὸ θ' ὑπὲρ τὴν κατὰ φύσιν συμμετρίαν πρῶτον θερμόν, καὶ δεύτερον τὸ ψυχρόν, καὶ τρίτον τὸ ὑγρόν, καὶ τέταρτον τὸ ξηρόν. αὗται μὲν καὶ αἱ κατὰ τὴν δευτέραν ὑπόθεσιν νόσοι τῶν ὁμοιομερῶν ὀνομαζομένων σωμάτων, ἃ δὴ καὶ τελέως ἁπλᾶ φαίνεται. τὰ δὲ τῶν συνθέτων ἐν ἡμῖν ὀργάνων νοσήματα, κοινὰ τῶν ὑποθέσεων ἑκατέρων ἐστίν. ἐπέλθωμεν οὖν καὶ ταῦτα διὰ βραχέων, αὐτὸ τοῦτο πρῶτον ἐπιδεικνῦντες, ὅπως ἐστὶ κοινά. δεομένου δὴ παντὸς τοῦ πρὸς αἴσθησιν συνθέτου σώματος, ὃ δὴ καὶ ἀνομοιομερὲς ὀνομάζουσιν, εἰ μέλλοι καλῶς ἐνεργήσειν, οὔτ' ἐξ οἵων ἔτυχε συγκεῖσθαι μορίων τῶν ἁπλῶν, οὔτ' ἐξ ἀριθμοῦ τινος, ἢ μεγέθους οὐ προσήκοντος, οὔθ' ὃν ἔτυχε τρόπον συνθέσεως ὑπάρχειν, ἐν τέσσαρσι τούτοις γένεσι τὰ τῶν ὀργάνων ἁπάντων ἔσται νοσήματα. διαφοραὶ δὲ καθ' ἕκαστον γένος, αἵδε, κατὰ μὲν τὸ πρῶτον ῥηθέν, ὅταν ἡ προσήκουσα μορφὴ τοῦ μορίου διαφθείρηται, ἢ σχῆμα μὴ δέον, ἢ κοιλότητα λαβόντος, ἢ πόρον, ἤ τι τούτων ἀπολέσαντος, ὧν εἶναι δέον. ἐκ τούτου τοῦ γένους ἐστὶ καὶ ἡ τραχύτης αὐτοῦ, καὶ ἡ λειότης. οὐ προσηκόντως ὑπαλλαττόμεναι. ἐν δὲ τῷ δευτέρῳ γένει τῷ κατὰ τὸν ἀριθμὸν τῶν ἁπλῶν, καὶ πρώτων μορίων, διττὴ νοσημάτων ἔσται διαφορά, ἢ ἐλλείποντος τινὸς ὧν εἶναι δέον, ἢ πλεονάζοντος, ὧν οὐκ εἶναι δέον. καὶ μὲν δὴ κἂν τῷ τρίτῳ γένει τῷ κατὰ τὸ μέγεθος, ὁμοίως διττὴ διαφορά. μεῖζον γὰρ εἴ τι γένοιτο, δέον ἔλαττον ὑπάρχειν, ἢ αὖθις ἔλαττον ἀποτελεσθείη, μεῖζον εἶναι δεόμενον, οὐκ ὀρθῶς ἂν ἔχοι τὸ σύμπαν ὄργανον. ἐν δὲ δὴ τῷ λοιπῷ γένει τῶν νοσημάτων τῷ κατὰ τὴν σύνθεσιν, ἤτοι τῆς κατὰ φύσιν ἐξαλλαττομένης θέσεως, ἢ τῆς πρὸς ἄλληλα τῶν μορίων κοινωνίας, αἱ διαφοραὶ συνίστανται. ὥσπερ δ' ἐκ τῶν ἁπλῶν σωμάτων ἕκαστον τῶν πρώτων ὀργάνων, ἢ κατορθοῦται συντιθέμενον, ἢ διαμαρτάνεται, καὶ ἐκ τούτων αὐτῶν τό θ' ὑγιαίνειν ὑπάρχει, καὶ τὸ νοσεῖν, οὕτω πάλιν ἐξ αὐτῶν τούτων τῶν ὀργάνων τῶν πρώτων, τὰ δεύτερα συνίσταται. μῦς μὲν γάρ, καὶ φλέψ, καὶ ἀρτηρία τῶν πρώτων ὀργάνων, δάκτυλος δὲ τῶν δευτέρων, καὶ τούτου μᾶλλον ἔτι πούς, καὶ ποδὸς τὸ σκέλος. καθόλου γὰρ ὅσα μὲν ἐκ τῶν ὁμοιομερῶν συνελθόντων ἐγένετο μιᾶς ἐνεργείας ἕνεκεν, ἐν τοῖς πρώτοις ὀργάνοις ἀριθμηθήσεται. τὰ δ' ἐκ τούτων πάλιν συντιθέμενα, κἂν ὅτι μάλιστα μίαν ἐργάζεται τοῦ παντὸς ὀργάνου τὴν ἐνέργειαν, ἐν τοῖς δευτέροις τετάξεται. τὰ δὲ αὐτὰ ταῦτα, καὶ τούτων τῶν ὀργάνων ἔσται νοσήματα, τοῖς ἐπὶ τῶν πρώτων εἰρημένοις. ἀλλὰ περὶ μὲν τῶν ὀργάνων τῆς διαφορᾶς ἐν ἑτέρῳ δίειρηται λόγῳ. τίνα μὲν ἀκριβῶς ἐστὶ τὰ πρῶτα, τίνα δ' ἐπ' αὐτοῖς δεύτερά τε, καὶ τρίτα, καὶ τέταρτα τίθεσθαι προσήκει. ἔνια γὰρ ἐπαμφοτερίζει τοῖς γνωρίσμασιν, ὡς καὶ πρῶτα δοκεῖν εἶναι, καὶ δεύτερα. δεῖται δὲ οὐδὲ ὅ γε παρὼν λόγος τῆς τοιαύτης ἀκριβολογίας. εἰς ἐν δὲ τοῦτ' ἀποβλέπειν ἀξιῶ, εἴθ' ἁπλοῦν ἐστὶν ὡς πρὸς τὴν αἴσθησιν, εἴτε σύνθετον τὸ μόριον. τοῦ μὲν γὰρ ἁπλοῦ τὰ πρῶτα ῥηθέντα νοσήματα τῇ διαφορᾷ τῶν φυσικῶν στοιχείων εἰσὶ διωρισμένα. τοῦ συνθέτου δὲ τὰ δεύτερα, κοινὰ τῶν ὑποθέσεων ὑπάρχοντα. γένος δ' οὐδὲν ἐστὶ νοσήματος, οὔτ' ἐν τοῖς ἁπλοῖς σώμασιν, οὔτ' ἐν τοῖς συνθέτοις ἴδιον ἑκατέρων, ἡ γὰρ τῆς διαιρέσεως μέθοδος ἐνδείκνυται τὸ ἀδύνατον, ἀλλ' ἔν τι ἐστὶ κοινὸν ἁπάντων τῶν σωμάτων καὶ τῶν συνθέτων εἴτουν τῶν πρώτων ὀργάνων, εἴτε καὶ τῶν δευτέρων, καὶ τῶν τρίτων ὑπάρχει τὸ νῦν λεχθησόμενον. μέθοδος δὲ καὶ τούτου τῆς εὑρέσεως τὸ κοινῇ πᾶσιν τοῖς εἰρημένοις ὑπάρχον μορίοις. εἰ γὰρ ὑπάρχει τι κοινὸν αὐτοῖς ἐν τῷ κατὰ φύσιν ἔχειν, ὡς ἐνέργειαν, ἢ χρείαν τινὰ τῷ ζώῳ παρεχόμενον, πάντως δήπου καὶ διαφθειρομένου τούτου, κοινὸν αὐτοῖς τι καὶ νόσημα συστήσεται. τί δὲ τοῦτ' ἐστὶ τὸ πᾶσιν ὑπάρχον κοινόν; ἕνωσις τῶν ἰδίων μορίων, ἧς ἕκαστον μεταλαβὸν ἓν εἶναι λέγεται, καὶ μίαν ἐνέργειαν, ἢ χρείαν ἀποτελεῖν. εἰ δὲ καὶ ἤδε λύοιτο κατά τι, νόσος καὶ τοῦτ' ἐστὶ τοῦ μορίου. οἷον γέ τι καθ' ἕκαστον τῶν μορίων ἡ νόσος ἤδε κέκτηται τοὔνομα, μικρὸν ὕστερον ἐροῦμεν. ὅταν καὶ τὰς τῶν εἰρημένων γενῶν διαφορὰς εἰς τὰ κατὰ μέρος εἴδη διελώμεθα. καὶ δὴ ποιῶμεν ἤδη τοῦτο πάλιν ἀπὸ τῆς προτέρας ὑποθέσεως ἀρξάμενοι. δύο οὖν ἐν ταύτῃ τῶν ὁμοιομερῶν σωμάτων ὑπάρχει νοσήματα, ἐν πόρων ἀμετρίᾳ συνιστάμενα. τὸ μὲν εὐρύτης τις αὐτῶν οὖσα, τὸ δὲ στέγνωσις. ἑκατέρου δὲ τούτων ἡ διαφορὰ διττή, στεγνώσεως μὲν οὖν σύμπτωσίς τε τοῦ σώματος, εἰς ἑαυτὸ πανταχόθεν, καὶ αὐτῶν τῶν πόρων ἔμφραξις. εὐρύτητος δέ, τοῦ μὲν σώματος εἰς πᾶν μέρος ἔκτασις. αὐτῶν δὲ τῶν πόρων οἷον ἀναπέτεια τις οὖσα ἐκπετάσεως τῶν στοιχείων, ἃ δὴ καὶ κυρίως σώματα προσαγορεύεσθαί φασιν ἁπλᾶ τε καὶ πρῶτα ὑπάρχοντα. τὰ γὰρ ἐκ τούτων συντιθέμενα, συγκρίματα καλοῦσιν. ἐπὶ δὲ τῆς δευτέρας ὑποθέσεως ἡ διαφορὰ τῶν νοσημάτων, διττὴ τυγχάνει. ποτὲ μὲν ταῖς ποιότησι μόναις ἀλλοιουμένων τῶν ὁμοιομερῶν σωμάτων, ἔστιν ὅτε δὲ ῥυείσης εἰς αὐτὰ τινὸς οὐσίας, τὰς εἰρημένας ἐχούσης ποιότητας. ὁ μὲν δὴ δεύτερος τρόπος ὄγκον περὶ τοῖς σώμασιν ἐργαζόμενος, ὑπ' οὐδενὸς ἀγνοεῖται τῶν ἰατρῶν. ἐρυσιπέλατα γάρ, καὶ φλεγμοναί, καὶ οἰδήματα, καὶ φύματα, καὶ φύγεθλα, καὶ χοιράδες, ἐλεφαντιάσεις τε, καὶ ψῶραι, καὶ λέπραι, καὶ ἀλφοί, καὶ σκίρροι τούτου τοῦ γένους εἰσίν, οὐδὲν ἕνα λαθεῖν δυνάμενα. τὰ δ' ἐν τῇ τῶν ποιοτήτων αὐτῶν μόνῃ δυσκρασίᾳ,

συνιστάμενα

συνιστάμενα νοσήματα δυσφωρατώτερα, πλὴν εἰ μὴ μεγάλη ποθ' ἡ τοῦ μορίου εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ γένοιτο. τηνικαῦτα γὰρ ἅπασιν ἤδη γνωρίζεται ῥᾳδίως· ἐπὶ μὲν ὅλου τοῦ σώματος ὀνομαζόμενος πυρετός, ἐπειδὰν τὸ θερμὸν κρατῇ, καὶ ἐπὶ τὰ μόρια δ' ἐναργῶς ἐνίοτε φαινόμενον. καὶ γὰρ καὶ σκέλη τοῖς πλείω περιπατήσασιν ἀήθως, καὶ χεῖρες εἴ τις ταύταις πονήσειεν ἐπὶ πλέον, ἢ ἐρέσσων, ἢ σκάπτων, ἤ τι τοιοῦτον διαπραττόμενος, ἐναργῶς φαίνονται θερμότεραι, καὶ αὐτοῖς τοῖς κάμνουσι, καὶ τοῖς ἔξωθεν ἁπτομένοις αὐτῶν. ἐὰν μέντοι τις ὄγκος μέγας προσγένηται τοῖς μορίοις ἐπιρρυείσης τινὸς οὐσίας αὐτοῖς θερμῆς, ἐκ τῆς δευτέρας ἔσται διαφορᾶς τῶν νοσημάτων, ἐκ δὲ τῆς πρώτης ταῦτά τε πάντα τὰ νῦν εἰρημένα, καὶ ἡ καθ' ἓν ὁτιοῦν μέρος, ἢ τὸ σῶμα τοῦ ζώου σύμπαν ἐξ ἐγκαύσεως ἡλίου, ἢ παρὰ πυρὶ θάλψεως ὑπολειπομένη συνίσταται διάθεσις. οἷαι καὶ αἱ τυφώδεις, καὶ πυρετώδεις ὀνομαζόμεναι. τοῦ δὲ ἐναντίου τοῖς θερμοῖς νοσήματος τοῦ ψυχροῦ, περὶ μὲν τοῖς ἄκροις ἐναργῶς ἡ διάθεσις συνίσταται πολλάκις οὕτως, ὥστε καὶ ἀποπεσεῖν αὐτὰ νεκρωθέντα, περὶ δὲ τῷ σύμπαντι σώματι, οἵας τις ὁδοιπορήσασιν ἐν κρυμῷ καρτερῷ γίνεται. πολλοὶ γὰρ τούτων οἱ μὲν ἐν αὐταῖς ταῖς ὁδοῖς ἀπέθανον, οἱ δὲ εἰς πανδοχεῖον πρὶν, ἢ οἴκαδε παραγενέσθαι φθάσαντες, ἡμιθνῆτές τε καὶ κατεψυγμένοι φαίνονται. γίγνεται δὲ καὶ τοῖς ἀποπληκτικοῖς καὶ τοῖς ἐπιληπτικοῖς, καὶ τοῖς τρομώδεσι, καὶ σπασμώδεσιν, ἡ τοιαύτη πολλάκις διάθεσις. καὶ τῶν ὑπὸ κρύους ἐν ὁδοῖς ἀποθανόντων, οἱ μὲν ἐμπροσθοτόνοις, οἱ δὲ ὀπισθοτόνοις, οἱ δὲ τετάνοις, οἱ δὲ ταῖς καλουμέναις πήξεσιν ἑάλωσαν. οἱ δὲ ἀποπληξίᾳ τι παραπλήσιον ἔπαθον. ἐν δὴ τοῖς τοιούτοις ἅπασιν ἐν οἷς ἐπιγίγνεταί τι σύμπτωμα, περιέλκεται τὴν διάνοιαν τῶν πολλῶν ἐφ' αὐτό. ὡς τὸ μὲν σύμπτωμα νόσημα νομίζεσθαι. τὸ νόσημα δ' αὐτό, τὴν αἰτίαν τοῦ συμπτώματος. ὅσοις μέντοι τῶν ἐνεργειῶν αἱ βλάβαι νοσήματα νομίζονται κατὰ λόγον οὗτοι, καὶ τοὺς σπασμοὺς, καὶ τὰς ἀναισθησίας, καὶ τὰς νάρκας, καὶ τὰ ἄλλα τὰ τοιαῦτα νοσήματα καλοῦσιν. ἀλλ' ἡμῖν ἐν ἀρχῇ διῄρηνται περὶ τῶν ὀνομάτων, ὥστε γνωρίζειν ἐπὶ τῶν τοιούτων ἁπάντων, οὐκ ἐν τοῖς πράγμασιν αὐτοῖς εἶναι τὴν διαφωνίαν, ἀλλὰ ἐν τοῖς ὀνόμασιν. ἐκείνους μέντοι μέμψοιτ' ἄν τις μόνους, ὅσοι μὴ διαφυλάττουσιν ἐν ἅπασι τὴν σφετέραν ὑπόθεσιν, ἀλλ' οἴονται σφόδρα τι πράττειν, καίτοι γε πλημμελοῦντες. ἔστι γὰρ αὐτῶν ἀκοῦσαι διοριζομένων ἐνίοτε, καὶ φασκόντων, εἰ μὲν ἐπὶ φλεγμονῇ γίγνοιτο σπασμὸς, ἐπιγέννημά τε, καὶ σύμπτωμα εἶναι τῆς φλεγμονῆς αὐτόν. εἰ δ' ἐπὶ δυσκρασίᾳ μόνῃ, νόσημα. ταυτὸ δὴ τοῦτο, καὶ περὶ πυρετοῦ ποιοῦσιν, ἐπειδὰν μὲν ἐπιγίνηταί τινος μορίου αἰσθητὴ διάθεσις, σύμπτωμα νομίζοντες. εἰ δ' ἄλλως, νόσημά τε καὶ πάθος προσαγορεύοντες. τούτους μὲν οὖν μέμψεσθαι, οὐκ ἀναμένοντας τὸν ἔξωθεν ἔλεγχον, ἀλλ' αὐτοὺς ἑαυτοῖς περιπίπτοντας. ὅσοι δὲ ἤτοι τὰς βλάβας τῶν ἐνεργειῶν ὑποθέμενοι προσαγορεύειν νοσήματα, διὰ παντὸς οὕτω ποιοῦσιν, ἢ καὶ τι τοιοῦτον ἄλλο παρορῶσιν, ἐν ὀνόμασιν ἐσφάλθαι χρὴ νομίζειν αὐτοὺς, οὐδὲν δὲ εἰς τὰ πράγματα πλημμελεῖν. εἴρηται δ' ἐπὶ πλέον ὑπὲρ ἁπάντων τῶν ἰατρικῶν ὀνομάτων ἑτέρωθι, καὶ ὅς τις ὀρθῶς αὐτοῖς βούλεται χρῆσθαι, τὴν πραγματείαν ἐκείνην ἀναλεγέσθω. νῦν δὲ, περὶ γὰρ αὐτῶν τῶν πραγμάτων πρόκειται σκοπεῖσθαι, τῇ προειρημένῃ συνθήκῃ τῶν ὀνομάτων ἑπόμενοι, τῶν ἐφεξῆς ἐχώμεθα. περὶ μὲν δὴ τῶν χωρὶς ὕλης ἐπιρρύτου θερμῶν, καὶ ψυχρῶν διαθέσεων εἴρηται. κατὰ δὲ τὸν αὐτὸν τρόπον τά θ' ὑγρὰ, καὶ τὰ ξηρὰ νοσήματα γενήσεται. τῆς ὅλης φύσεως ἀλλοιουμένης τῶν σωμάτων, οὐκ ἔξωθεν οὐσίαν τινὰ εἰς ἑαυτὰ δεχομένων. αἱ μὲν οὖν μικραὶ παραλλαγαὶ δυσφώρατοι. τὰς μεγάλας δ' ἔστιν ἐναργῶς ἰδεῖν, ἐπὶ τῶν νεκρουμένων μάλιστα μορίων. ἔνια μὲν γὰρ αὐτῶν οἷον τεταριχευμένα φαίνεται καὶ πάνυ ξηρὰ, καὶ τοῦτο μὲν σπανιώτερον. ἔνια δὲ οὕτω βρυώδη τε καὶ πλαδαρὰ, καὶ θεωμένοις φαίνεται, καὶ ἁπτομένοις, ὥστ' εἰ καὶ μόρια αὐτῶν ἐθέλοις μεταχειρίσασθαι, διαρρεῖ παραχρῆμα, καὶ τῶν δακτύλων ἐκπίπτει καθάπερ ὕδωρ. οὕτω καὶ τῶν ὀστῶν τῶν σαπρῶν, τὰ μὲν, οἷον ψάμμος φαίνεται τοῖς ὑπὸ χρόνου διεφθαρμένοις ξύλοις ἐοικότα. τὰ δὲ, οἷον βρυώδη, ὧν ἡ τῆς δυσκρασίας ἀμετρία δι' ὑγρότητα γε ἢ ξηρότητα γενομένη, τὸ σύμπαν ὅσον ἐνεκρώσεν. αἱ δ' ἄλλαι πᾶσαι δυσκρασίαι τῶν μορίων αἱ βραχεῖαι λανθάνουσαι τοὺς πολλοὺς, ἀτονίαι πρὸς αὐτῶν ὀνομάζονται. φλεγμονῆς μὲν γὰρ, ἢ ἕλκους, ἤ τινος ἄλλου τοιούτου κατὰ τὴν κοιλίαν ὑπάρχοντος, οὐδεμίαν ἑτέραν ἐπιζητοῦσι τοῦ μὴ πέττειν αἰτίαν. εἰ δὲ μηδὲν εἴη τῶν τοιούτων, ἀτονίαν εἶναι φασὶ τῆς κοιλίας. ὥσπερ ἕτερόν τι λέγοντες αὐτοῦ τοῦ φανερῶς γιγνομένου, τοῦ μὴ πέττεσθαι καλῶς τὰ σιτία. τί γὰρ ἄλλο τὴν ἀτονίαν αὐτοὺς λέγειν ἄν τις ὑπολάβοι, πλὴν τῆς κατὰ τὴν ἐνέργειαν ἀρρωστίας. ἀλλ' οὐ τοῦτ' ἔστι τὸ ζητούμενον, ἀλλὰ τίς ἡ ταύτης τῆς ἀτονίας αἰτία, διὰ τί γὰρ ἀρρωστεῖ περὶ τὸ ἴδιον ἔργον ἡ γαστὴρ, μήτε φλεγμαίνουσα, μήτε σκιρρουμένη, μήθ' ἑλκουμένη μήτ' ἄλλο μηδὲν ἔχουσα τοιοῦτον, οὐ γὰρ δή γε χωρὶς αἰτίας τινὸς ἐστέρηται τοῦ πέττειν καλῶς. πάντως οὖν ἢ πόρων ἀμετρίαν, ἢ δυσκρασίαν αἰτιατέον, ᾧ καὶ δῆλον, ὡς οὐδὲν τῶν πρώτων νοσημάτων ὅσα τῶν ὁμοιομερῶν ἐστιν αὐτῶν ἴδια, λογικῶς θεραπεῦσαι δύνανται, χωρὶς τοῦ περὶ τῶν πρώτων τι ἐπεσκέφθαι στοιχείων. ἀλλὰ πρὸς μὲν τούτους ἐν ἑτέροις εἴρηται τὰ εἰκότα. τὸ δέ γε νῦν εἶναι, χρὴ γινώσκειν, ὡς καὶ γαστρὸς ἀτονίαν, καὶ φλεβὸς, καὶ ἀρτηρίας, καὶ μυὸς, καὶ παντὸς ἁπλῶς ὀργάνου ζωτικοῦ τε, καὶ ψυχικοῦ, ἢ διά τινα πόρων ἀμετρίαν, ἢ δυσκρασίαν ἀναγκαῖον ὁμολογεῖν γίγνεσθαι. πῶς δὲ χρὴ τὰς τοιαύτας αὐτῶν διαθέσεις γνωρίζειν, οὐ τοῦ νῦν ἐνεστῶτος ἐστὶ λόγου. πρόκειται γὰρ οὐ διαγνώσεις εἰπεῖν, ἀλλ' αὐτὰ τὰ πρῶτα καταριθμήσασθαι νοσήματα. καί μοι δοκεῖ τὰ μὲν τῶν ὁμοιομερῶν εἰρῆσθαι πάντα. λέγειν δὲ ἑπόμενον ἂν εἴη τὰ τῶν ὀργανικῶν. ἐν τούτοις οὖν ὅτι μὲν ἕν τι πάντως ἐστὶ μόριον αἴτιον τῆς ἐνεργείας, τὰ δ' ἄλλα πάντα χρείαν τινὰ τούτῳ παρέξοντα γέγονεν, ἑτέρωθι δέδεικται. βλαβήσεται δὲ ἡ ἐνέργεια τοῦ παντὸς ὀργάνου, μάλιστα μὲν καὶ πρώτως αὐτοῦ τοῦ τῆς ἐνεργείας αἰτίου σώματος νοσήσαντος. ἤδη δὲ καὶ τῶν ἄλλων ἁπάντων αἱ μείζους διαθέσεις ἐμποδίζουσι τὴν ἐνέργειαν. ὅσαι μὲν οὖν οὐ καθ' ἑαυτὰς, ἀλλὰ τῷ βλάπτειν δὴ τὸ πρῶτον αὐτῆς ὄργανον ἐμποδίζουσιν, αἰτίαι νοσημάτων εἰσὶν, οὐκ αὐταὶ νοσήματα εἰσίν. χωρὶς δὲ τοῦ βλάπτειν τι τὸ πρῶτον τῆς ἐνεργείας μόριον, εἰ τὴν ἐνέργειαν ἐμποδίζειν δύναιντο, νοσήματα ἤδη τὰς τοιαύτας διαθέσεις κλητέον. ἔσονται δὲ ὡς ἐλέγομεν, ἤτοι τῆς κατὰ φύσιν ὑπηλλαγμένης διαπλάσεως, ἢ μὴ σωζομένου τοῦ δέοντος ἀριθμοῦ τῶν μορίων, ἢ τὸ μὴ προσῆκον ἑκάστου φυλάττοντος μέγεθος,

Γαληνοῦ περὶ διαφορᾶς νοσημάτων

202

ἢ ὡς οὐ χρὴ συγκειμένων αὐτῶν. ἐπειδὴ γὰρ ἀπεδείχθη μηδὲν τούτων εἰκῇ γεγονέναι πρὸς τῆς φύσεως, ἀλλὰ πάντ'
ἕνεκα τοῦ βελτίονος, ἢ ἀσφαλέστερον ἐνεργεῖν τὸ σύμπαν ὄργανον, ἀνάγκη πᾶσα καὶ τὰς βλάβας αὐτῶν, ὅσαι μὲν
ἤτοι κωλύουσιν ὅλως ἐνεργεῖν, ἢ ἐμποδίζουσιν, αὐτὰ νοσήματα νομίζεσθαι. τὰς δὲ εἰς τὴν βλάβην τοῦ πρώτου τῆς
ἐνεργείας μορίου διαφθορὰς, αἰτίας νοσημάτων, ὡς ἀρτίως εἴρηται προσαγορεύεσθαι. διὰ τοῦτο οὖν οἵ τε βλαισοί,
καὶ ῥαιβοί, καὶ οἱ λείας ἔχοντες τὰς βάσεις, χεῖρον ἐνεργοῦσι τοῖς σκέλεσιν, ἁμαρτίᾳ τοῦ προσήκοντος σχήματος.
οὕτω δὲ καὶ ὅσοι κάταγμα ἔχοντες οὐκ ὀρθῶς διεπλάσθησαν, οὐδ' αὐτοὶ καλῶς ἐνεργοῦσι τῷ κώλῳ. καλῶς δὲ καὶ
ὅσοι διὰ μέγεθος ἀρθρίτιδος διεστράφησαν, ἢ τῶν ὀφρύων περιθραυσθεισῶν τῶν κατὰ τὰς διαρθρώσεις, ἑτοί-
μως ὑπερβαῖνον καὶ ἐκπίπτον ἔχον τὸ ἄρθρον, ἢ πώρου κατ' αὐτὸ πλείονος ἐπιτραφέντος, ἐν ταῖς τοιαύταις δια-
θέσεσι, δυσκίνητον ὑπὸ στενοχωρίας μετὰ ὅλην ἔχον διάρθρωσιν. αὗται μὲν οὖν ἐπίκτητοι κακίαι σχημάτων. σύμ-
φυτοι δὲ κυουμένων ἔτι κατὰ τὴν πρώτην διάπλασιν ἐμποδισθεῖσαι ἐν ἅπαντι μορίῳ τοῦ σώματος γίγνονται, νοσώ- 10
δεις ἐκείνου τοῦ μορίου τὸ ζῶον ἐργαζόμεναι. χρὴ γὰρ καὶ τὸ τῆς καρδίας σχῆμα, καὶ τὸ τοῦ πνεύμονος, καὶ τὸ τῆς γαστρός
ἐγκεφάλου τε, καὶ γλώσσης, καὶ σπληνὸς καὶ νεφρῶν, καὶ τῶν ἄλλων ἁπάντων φυλάττεσθαι. γενομένης γάρ
τινος βλάβης ἀμφ' αὐτά, χεῖρον ἀνάγκη, καὶ τὸ οἰκεῖον ἔργον ἀποτελεῖσθαι τοῦ σύμπαντος ὀργάνου καὶ μὴν καὶ
τὸ τῶν κοιλοτήτων ἁπασῶν τῶν κατὰ τὰ μόρια μέγεθός τε, καὶ πλῆθος, εἰ μὴ φυλάττοιτο, βλάπτοιτο ἂν ἐξ ἀνάγ-
κης καὶ διὰ τοῦθ' ἡ ἐνέργεια. πολλὰ δὲ τὰ τοιαῦτα νοσήματα, τὰ μὲν συμφύσει τινί, τὰ δὲ ἐμφράξει γλίσχρων
ὑγρῶν, καὶ παχέων συνιστάμενα, τὰ δ' αὖ ἀναινομένων τῶν σωμάτων, ἢ στενοχωρουμένων ὑπό τινος τῶν πέριξ
μένων ἐμπίπτοντος αὐτοῖς, καὶ θλίβοντος. ἐνίοτε δὲ καὶ αὐτῶν τῶν τοὺς τοιούτους πόρους ἐχόντων σωμάτων ἡ οὐσία
σκιρρουμένη τε, καὶ φλεγμαίνουσα, καὶ σφακελίζουσα, καὶ διαπυισκομένη, καὶ οἰδισκομένη, καὶ ἄλλως ὁπωσοῦν
ἐπίκτητον μέγεθος προσλαμβάνουσα, κἄπειτα τὸν ὄγκον εἰς τὰς ἐντὸς ἀποχέουσα κοιλότητας, ἐμφράττει τοὺς πό- 20
ρους ἑτέρους ὄντας τούτους ἐκείνων τῶν πόρων, ὧν ἡ τῆς προτέρας αἱρέσεως ἡγεμονὶς ὑπετίθεντο κατὰ τὴν τῶν
πρώτων καὶ ἀπαθῶν στοιχείων σύνοδον γίνεσθαι. τοὺς γὰρ τῶν ἐντέρων, καὶ φλεβῶν, καὶ ἀρτηριῶν, καὶ πάντων
τῶν τοιούτων ὀργάνων πόρους, τούτους δὴ τοὺς μεγάλους τε καὶ σαφεῖς, ἅπαντες ἐναργῶς ὁρῶμεν. εἰ δὲ καὶ δια-
λανθάνοι ποτὲ τὴν αἴσθησιν ὑπὸ σμικρότητος ὁ τοιοῦτος πόρος, οὐδ' οὕτως ἐκ τούτου τοῦ γένους ἐστὶν ἐκείνοις τοῖς
πόροις, οὓς ἡ προτέρα τῶν αἱρέσεων ὑπετίθετο. κατὰ δὴ τὰς τοιαύτας ἁπάσας διαθέσεις, ἐν αἷς τῶν σωμά-
των αὐτῶν εἰς ὄγκον τινὰ ἀρθέντων ἀποκλείεσθαί τε, καὶ στενοχωρεῖσθαι τοὺς πόρους συμβαίνει, ποτὲ μὲν
ἓν ἔσται νόσημα μόνον, ἡ ἔμφραξις ἡ τὴν ἐνέργειαν βλάπτουσα, ποτὲ δὲ καὶ τοῦτο μέν, ἀλλὰ καὶ ἡ τῶν σω-
μάτων διάθεσις, ἡ τὴν ἔμφραξιν ἐργασαμένη. μὴ δὲ μίαν οὖν ἔχοντος ἰδίαν ἐνέργειαν τοῦ τὸν ὄγκον κε-
κτημένου σώματος, ἓν μὲν τὸ νόσημα ἔσται, τὸ κατὰ τὴν ἔμφραξιν, αἰτία δὲ αὐτοῦ, καὶ οὐκ ἔτι νόσημα ἐστίν, ἡ τοῦ
τὸν ὄγκον ἔχοντος σώματος διάθεσις. εἰ μὲν γὰρ ὁ χιτὼν τῆς ἐν τοῖς σιμοῖς τοῦ ἥπατος, εἰ τύχοι, φλεβός, ὅτι- 30
οὖν τοιοῦτον παθὼν, ἐστενώθη τὸν πόρον, δι' οὗ μεταλαμβάνει τὸ αἷμα, τὰ ἐν τοῖς κυρτοῖς τοῦ ἥπατος ἀγγεῖα,
δύο ἂν οὕτως εἴη νοσήματα τό τε τῆς φλεβὸς αὐτῆς, ὃ πέπονθε, καὶ ἡ κατὰ τὸν πόρον ἔμφραξις. ἐμποδίζει γοῦν
ἡ μὲν τῆς φλεβὸς διάθεσις, αἵματος χρηστοῦ γένεσιν. ἡ δὲ ἔμφραξις, ἀνάδοσιν. ἐνέργεια δ' ἑκατέρα τούτων ἀναγ-
καία τῷ ζώῳ. δῆλον γὰρ ὡς αἱ διαθέσεις αἱ βλάπτουσαι τὰς ἐνεργείας πρώτως αὗται λέγοιντ' ἂν εἶναι νο-
σήματα. τῆς μέν τοι φλεβὸς αὐτῆς μηδὲν πεπονθυίας, εἰ διὰ γλίσχρους τινάς, ἢ παχεῖς χυμοὺς σφηνωθέντας
ἐν τοῖς πόροις. ἡ ἀνάδοσις βλάπτοιτο, μόνον ἂν τοῦτ' εἴη νόσημα κατὰ τὸ σπλάγχνον, ἡ ἔμφραξις. οὕτως δὲ καὶ
κατὰ τὸ ἔντερον, εἰ μὲν ἔμφραξις εἴη μόνον, ἓν ἔσται καὶ τὸ νόσημα. φλεγμαίνοντος δὲ αὐτοῦ καὶ διὰ τοῦτο ἀποκλείον-
τος τὴν ἐντὸς εὐρυχωρίαν, καὶ κωλύοντος ἰέναι κάτω τὰ περιττώματα, δύο ἂν εἴη καὶ τὰ νοσήματα. πολλάκις μὲν
γὰρ ὑπὸ νοσήματος γίγνεται νόσημα. καθάπερ ἐπί τε τῶν προειρημένων ἔχει, κἀπειδὰν ἐπὶ φλεγμοναῖς,
ἢ ἐρυσιπέλασιν. ἢ ἕρπησιν, ἢ ἄνθραξιν, ἢ τινὶ τοιούτῳ γένηται πυρετός. ἐνίοτε δὲ τὸ μὲν ἀποτελούμενον, ἐνερ- 40
γείας ἐστὶ βλάβη, καὶ χρὴ καλεῖν αὐτὸ πάθημά τε, καὶ σύμπτωμα. τὸ δ' αἴτιον αὐτοῦ δηλονότι νόσημα. καθά-
περ ἡ μὲν ἔμφραξις, τοῦ μηκέτι ἀναδίδοσθαι τὴν τροφήν. ἡ κατάψυξις δὲ, τῆς δυσαισθησίας αἴτιον ὑπάρχει,
νόσημα οὖσα συμπτώματος. ὅταν δ' αὐτὴ μὲν ἡ διάθεσις ἐνέργειαν βλάπτῃ πρώτως, τὸ δ' αἴτιον αὐτῆς μὴ
βλάπτῃ, τὴν μὲν διάθεσιν, νόσημα. τὸ δ' ἐργαζόμενον αὐτὴν αἰτίαν ὀνομάζειν χρὴ νοσήματος, ὥσπερ ἐπί τε
τῶν γλίσχρων ἔχει χυμῶν, καὶ τῆς ἐμφράξεως. αὐτὴ μὲν γὰρ ἡ ἔμφραξις, τὸ νόσημα ἐστίν, οἱ χυμοὶ δὲ αἴτιοι τοῦ
νοσήματος. ἅπαντ' οὖν ὅσα περὶ τὰς κοιλότητας γίνεται νοσήματα, ποτὲ μὲν ἐμφραττομένων, ποτὲ δὲ
ἀμέτρως εὐρυνομένων, ὑπὸ τὸ τῆς διαπλάσεως τοῦ μορίου ἀναχθήσεται γένος. ἐμποδίζεται γάρ πως ἐν τού-
τοις ἅπασιν, ἡ φυσικὴ διάπλασις. ἀλλὰ μὲν δὴ καὶ λειότης καὶ τραχύτης, οὐδ' αὗται ματαίως ὑπὸ τῆς φύ-
σεως ἐγένοντο διαπλαττούσης τὰ μόρια. συστήσεται γοῦν κἀνταῦθα νοσήματα κατὰ πάντα τὰ μόρια, τοῦ
μὲν φύσει λείου, τραχυνθέντος, τοῦ δ' αὖ τραχέος, λείου γενομένου. φανερώτατα δ' αὐτῶν τοῖς ἰατροῖς ἐστὶ 50
τἀτ' ἐν τοῖς ὀστοῖς γινόμενα τραχυνομένοις τε, καὶ λεαινομένοις. αἵ τε τῆς φάρυγγος τραχύτητες ἐργάζον-
ται βῆχας. χρὴ δὲ κἀνταῦθα γινώσκειν ὡς ἐνίοτε τὸ σχῆμα τοῦ μορίου βλαβέν, ἐκάκωσεν ἅμα ἑαυτῷ τινὰ πό-
ρον. οἷόν τι κἀπὶ τῆς ῥινὸς φαίνεται γιγνόμενον, ἐπειδὰν ὑπὸ πληγῆς βιαίου ποτὲ σιμωθεῖσα στενωθῇ
τὸν ἐντὸς πόρον εἰς τοσοῦτον, ὡς ἔτι μηδ' ὅλως, ἢ μόγις, ἀναπνεῖν δι' αὐτοῦ. δῆλον οὖν ὡς ἐν ταῖς τοιαύταις δια-
θέσεσιν, ἡ μὲν στενοχωρία τοῦ πόρου, τὸ νόσημα ἐστί. πρώτως γὰρ αὕτη τὴν τῆς ἀναπνοῆς ἐνέργειαν ἐμποδίζει.
προηγουμένη δ' αὐτῆς αἰτία τῆς ῥινὸς ἡ σιμότης, βλάβη τοῦ κατὰ φύσιν ἐν αὐτῇ σχήματος ὑπάρχουσα. κατὰ
μὲν δὴ τὸ τῆς διαπλάσεως γένος ἐξιστάμενον τοῦ κατὰ φύσιν εἰς τοσοῦτον ὡς ἐνέργειαν ἤδη βλάπτειν, αἱ προει-
ρημέναι διαφοραὶ τῶν νοσημάτων γίνονται. κατὰ δὲ τὸν ἀριθμὸν τῶν ἁπλῶν μορίων, ἐξ ὧν ἕκαστον τῶν ὀργανικῶν
συνίσταται, διτταὶ μὲν αἱ πρῶται διαφοραὶ τῶν νοσημάτων γίνονται. ἢ ἐλλείποντός τινος μέρους, ἢ περιττεύοντος
τος, ἐν ἑκατέρᾳ δ' αὐτῶν ἕτεραι. τῶν μὲν γὰρ περιττευόντων, τὰ μὲν ἐκ τοῦ γένους ἐστὶ τῶν κατὰ φύσιν, ὡς εἰ καίτοι

γένοιτο

γένοιτο ἕκτος δάκτυλος, ἢ ἐν ὀφθαλμῷ πτερύγιον, ἢ ἐν ῥινὶ βλάστημα σαρκὸς, ἢ κατ᾽ ἄλλον τινὰ πόρον ὁτιοῦν τοιοῦτον ἕτερον. ἔσται δὴ καὶ τούτων αὐτῶν τὰ μὲν νοσήματα, καθάπερ τὸ πτερύγιον. ἐμποδίζει γὰρ ὅταν ἱκανῶς αὐξηθῇ τὴν ὄψιν ἐπισκοτοῦν τῇ κόρῃ. τὰ δ᾽ αἴτια τῶν νοσημάτων, ὡς τὰ βλαστήματα, τοὺς πόρους ἐμφράττοντα. πρώτως γὰρ νόσημα, ἡ ἔμφραξις ἐστὶν, ὅτι καὶ πρώτως βλάπτει τὴν ἐνέργειαν. ἔνια δ᾽ ὅλως τῷ γένει παρὰ φύσιν ἐστὶν, ὡς ἕλμινθές τε καὶ ἀσκαρίδες, καὶ ὁ ἐν τῇ κύστει λίθος, καὶ τὸ χαλάζιον ἐν ὀφθαλμῷ, καὶ τὸ ὑπόχυμα, καὶ τὸ πῦον, ἀκροχορδόνες τε καὶ μελικηρίδες. καὶ ἀθερώματα, καὶ στεατώματα, καὶ ἀλφοὶ, καὶ λέπραι, καὶ λειχῆναι, καὶ πῶροι, καὶ τὰ ἐν τοῖς ἀποστήμασιν εὑρισκόμενα ἅπαντα. ὅτι δὲ καὶ τούτων ὅσα τὴν ἐνέργειαν ἐμποδίζει πρώτως νοσήματα ἐροῦμεν, ὥσπερ τὸ ὑπόχυμα. τὰ δὲ μὴ τοιαῦτα, νοσημάτων αἴτια πρόδηλον παντί. τῶν δ᾽ ἐλλειπόντων μορίων, τὰ μὲν ὅλα τελέως ἀπόλωλε. τὰ δὲ, οἷον ἐξ ἡμισείας ἀποκέκοπταί τε καὶ κεκολόβωται. κατὰ μὲν δὴ τὴν πρώτην γένεσιν, ὡς πάμπολλα γίγνεται τοιαῦτα, πρόδηλον παντί. μετὰ δὲ τὴν ἀποκύησιν, ἐξαιρεῖται μὲν ὅλα πολλάκις ὀστᾶ, κατά τε τοὺς δακτύλους καὶ τὰ κῶλα, καὶ τὴν κεφαλὴν, καὶ τὰς πλευράς. ἀφαιρεῖται δὲ καὶ δάκτυλος ἐνίοτε. καὶ ποὺς, καὶ ἄκρα χεὶρ, καὶ κνήμη, καὶ πῆχυς, ἐξαιροῦνται δὲ καὶ φλέβες κιρσώδεις, καὶ ἀδένες σκιῤῥωθέντες, καὶ ὀδόντες τρωθέντες. καὶ μὲν δὴ, καὶ γαργαρεὼν ἀφαιρεῖται, καὶ ἐπίπλοον, καὶ ποσθὴ, καὶ αὐτοῦ τι τοῦ αἰδοίου, καὶ πολλάκις γε καὶ σύμπαν αἰδοῖον. ὥσπερ γε καὶ οἱ ὄρχεις. ἐν δακνῶν δέ τις ἔναγχος ὑπὸ σπασμοῦ μεγάλου τοῦ παντὸς σώματος, ἀμέτρως γε τῆς γλώττης τὸ πρόσθεν. εἶτ᾽ ἐσώθη μὲν ἐκ τοῦ σπασμοῦ, διαλέγεσθαι δὲ, ὁμοίως οὐκ ἠδύνατο. τούτου τοῦ γένους ἐστὶ καὶ τὰ κολοβώματα καλούμενα χειλῶν καὶ ῥινῶν καὶ ὤτων. καὶ ὅσα ἑτέρων σαρκωδῶν μορίων, ἢ ἀποσπασθέντα σφοδρῶς, ἢ διασαπέντα, τελέως ἐξετμήθη. καὶ κατὰ πάσας γὰρ τὰς τοιαύτας περιστάσεις, καὶ ὁ κατὰ φύσιν ἀριθμὸς οὐ συμπεπλήρωται τῶν μορίων, ἢ ἑνὸς, ἢ δυοῖν, ἢ καὶ πολλῶν λειπόντων, καὶ ἤτοι τελέως ἀπολωλότων, ἢ ἐκ μέρους ἀφῃρημένων. ὅσα μὲν δὴ τῶν τοιούτων ἐνεργείας ἐμποδίζει κατὰ τὸν ἑαυτὸν λόγον, ἐν τῇ τῶν νοσημάτων γένει τάξεις. τὰ δ᾽ ἤτοι καταψύχοντά τι μόριον ἑτέρου ἐνεργείας ἀπεργαστικὸν, ἢ τροφὴν ἐλλιπῶς ἐπάρδοντα, νοσημάτων αἴτια, τινὰ δὲ ἄμφω συλλαβόντα ἔχει, καὶ τὴν ὡς αἰτίου χώραν, καὶ τὴν ὡς νοσήματος, οἷον καὶ γαργαρεὼν ὁπόταν ἕως βάσεως ἐκτμηθεὶς, καὶ τὴν φωνὴν παραβλάπτει, καὶ ψύχει τὰ κατὰ τὸν πνεύμονά τε καὶ τὸν θώρακα. ἐπειδὴ γὰρ ἔμαθες ἐν τοῖς τῶν ἐνεργειῶν τε καὶ χρειῶν λογισμοῖς, ὡς ἁπάντων, τῶν τοῦ ζώου μορίων, τὰ μὲν εἰς ἐνέργειάν τινα συντελεῖ τῷ παντὶ ζώῳ χρησίμην, τὰ δ᾽ αὐτὰ μὲν, οὐδὲν ἐνεργοῖ, χρείαν δέ τινα τοῖς ἐνεργοῦσι παρέχεται, δῆλον ὡς καὶ τὰς βλάβας αὐτῶν, τὰς μὲν εἰς ἐνέργειαν ἄντικρυς διαφερούσας, νοσήματα ἐρεῖς πρώτως τῶν τοῦ ζώου μορίων. τὰς δὲ εἰς χρείαν τινὰ νοσημάτων αἰτίας. ὡς θ᾽ ὅσα μόρια διττὰς ἐνεργείας, ἢ διττὰς χρείας ἀποτελεῖ, κατὰ μίαν ἐνίοτε βλάβην, διττὸν ἕξει λόγον, ἢ νοσήματος, ἢ αἰτίας. εἰ δέ τι μόριον ἅμα ἄμφω ποιεῖ χρείαν καὶ ἐνέργειαν, ὥσπερ ἐνίοις εἶναι δοκεῖ, καὶ ὁ γαργαρεὼν, ἡ τούτου τοῦ μέρους ἀπώλεια, καθ᾽ ἕτερον μὲν λόγον ἔσται νόσημα, καθ᾽ ἕτερον δὲ νοσήματος αἰτία. δῆλον δὲ, ὡς τῷ λοιπῷ τῷ μένοντι καὶ σωζομένῳ τὸ νόσημα ἐστὶν, οὐκ αὐτῷ τῷ μηκέτι ὄντι. τῆς γὰρ τοῦ στόματος εὐρυχωρίας κατ᾽ ἐκεῖνο τὸ μέρος οὗ νῦν ἐστὶ τὸ πάθος, μόριον εἶναι φήσεις, τὸν κίονά τε καὶ γαργαρεῶνα προσαγορευόμενον. ὅταν οὖν οὗτος ἀπόληται λείπει τῷ χωρίῳ. καὶ οὕτω τὸ ὅλον ἐν νόσημά τι γίνεται, μένοντος τοῦ κατ᾽ ἀρχὰς ὁμολογηθέντος, τοῦ, πᾶσαν ἐνέργειαν ὑπὸ νοσήματος βλάπτεσθαι. ἢ τοίνυν ὡς οὐκ ἔστι μία τις ἐνέργεια τοῦ ζώου ἡ φωνὴ, καὶ ἡ εἰσπνοὴ, καὶ ἡ ἐκπνοὴ λεκτέον ἐστὶν, ἢ εἴπερ τοῦθ᾽ οὕτως ἔχει, δῆλον ὡς ἡ τοῦ κίονος ἀπώλεια, νόσον ἐναπεργάζεται τῷ οὐρανίσκῳ. κατὰ δὲ τὰ αὐτὰ ταῦτα, καὶ ἡ τοῦ ὀδόντος ἀπώλεια, νόσημα ἐστὶν τοῦ στόματος, εἰ μὲν τῶν πρὸς τὴν μάσησιν ἐπιτηδείων εἴη τὸ κατ᾽ ἐκεῖνο τὸ μέρος, τῆς μασήσεως βλάπτοντος, εἰ δὲ τῶν τομέων ὀνομαζομένων, εἴς τε τὰς ἐδωδὰς καὶ τὰς διαλέξεις ἐμποδίζοντος. οὕτω δὲ καὶ εἰ τῆς γλώσσης ἀποτμηθείη τὸ ἥμισυ, τῷ λειπομένῳ μέρει παρὰ φύσιν ἐστὶ τὸ κεκολοβῶσθαι. κατὰ ταυτὰ δὲ καὶ τῷ ἐπιπλόῳ, καὶ τῷ αἰδοίῳ καὶ πᾶσι τοῖς οὕτω παθοῦσι. καὶ εἰ μὴ νόσημά τις αὐτὸ καλεῖν, ἀλλὰ πάθος ἢ πάθημα βούλοιτο, περὶ ὀνόματος, οὐ περὶ πράγματος ἀμφισβητήσει. δῆλον δὲ ὡς καὶ τῇ μὲν γλώττῃ, καὶ τῷ ἐπιπλόῳ, καὶ τῷ αἰδοίῳ, καὶ ὅλως ἅπασι τοῖς τοιούτοις κολοβωμένοις ὀργάνοις, ἔστι τις μείωσις τοῦ μεγέθους ἐν ἅπασι τοῖς εἰρημένοις νοσήμασιν. αὐτῷ δὲ τῷ ζώῳ μείωσις μὲν οὐκ ἐξ ἀνάγκης ἔσται σαφὴς, ὡς φαίνεσθαι κολοβόν. ἀριθμὸς δέ τις ἀφαιρεθήσεται μορίων, εἴγε δὴ καὶ ἀρτηρίαι, καὶ φλέβες, καὶ νεῦρα, καὶ δέρμα ἐνίοτε, καὶ πιμελὴ, καὶ ὑμένες, καὶ σὰρξ ἀφαιρεῖται κατὰ τὰς τοιαύτας διαθέσεις. ἐπὶ μέντοι τοῦ γαργαρεῶνος, καὶ τῶν κιρσωδῶν ἀγγείων ἐκτμηθέντων, καὶ αὐτῶν τῶν ὀργάνων ἀφαιρεῖται τις ἀριθμὸς μορίων. καὶ δὴ καὶ τετάξεται τὰ μὲν τοιαῦτα πάντα ὑπὸ τὸν ἀριθμὸν τῶν μορίων ὑπαλλαττομένων. ὅσων δὲ ὀργάνων ἀφαιρεῖται μὲν, οὐκ ἐξαιρεῖται δὲ τὰ μέρη, ταῦτα ἐν ἀμφοτέροις οἷον τετάξεται τοῖς γένεσι. καὶ γὰρ ἀριθμὸς ἐνδεῖ τῷ ζώῳ μορίων ἁπλῶν, καὶ μέγεθος ὀργάνου συνθέτου. κεκολόβωται γὰρ τὸ ὅλον. καὶ μὲν δὴ καὶ ὡς ἀμφοῖν τοῖν γενοῖν τοῦ τε κατ᾽ ἀριθμὸν καὶ τοῦ κατὰ μέγεθος, ἀνωτέρω τάττειν ἑτέραν ἐγχωρεῖ κατηγορίαν τὴν τοῦ ποσοῦ, παντί που, δῆλον. εἴγε δὴ τοῦ ποσοῦ τὸ μὲν διωρισμένον ἐστὶν, ὃ δὴ καὶ πόσον ἰδίως ὀνομάζεται, τὸ δὲ, συνεχὲς, ὃ δὴ καὶ πηλίκον προσαγορεύεται. ἀλλ᾽ ἐν τῷ παρόντι σαφέστερον ἔδοξέ μοι διαιρεῖν αὐτὰ οὕτως, κατὰ μὲν τὸν ἀριθμὸν τάξαντι τὴν ἑτέραν διαφορὰν τοῦ ποσοῦ, κατὰ δὲ τὸ μέγεθος, τὴν ἑτέραν. ἀλλ᾽ ἐπειδὴ καὶ τὰ κατὰ τοῦτο τὸ γένος εἴρηται νοσήματα, περὶ τῶν κατὰ τὸ μέγεθος, ἢ τὸ πηλίκον τῶν μορίων, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλει διέλθωμεν. ἔστι δὲ οὐ ταυτὸν τοῦτο τῷ προειρημένῳ. μένοντος γὰρ τοῦ κατὰ φύσιν σχήματος τῷ μορίῳ, διαφθειρομένου δὲ τοῦ μεγέθους, ὅταν ἐνέργειά τις βλάπτεται, διὰ τοῦτο νόσημα ἔσται τοῦ μορίου τὸ συμβεβηκὸς, οἷον εἴπερ τηλικαύτη γένοιτο ἡ γλῶττα κατὰ τὴν πρώτην εὐθὺς διάπλασιν, ὡς ἤτοι μηδεμίαν ἔχειν ἀναστροφὴν ἐν τῷ στόματι διὰ τὸ μέγεθος, ἢ διὰ σμικρότητα μὴ ψαύειν ἁπάντων αὐτοῦ τῶν μερῶν. ἐπὶ δὲ τῶν ἤδη τετελειωμένων αἱ μὲν παρὰ φύσιν ἐπαυξήσεις τῶν μορίων οὐ πάνυ τι φαίνονται συνεχῶς γιγνόμεναι, μειοῦνται μέντοι πολλάκις, καὶ καλεῖται τὸ νόσημα, πρὸς μὲν ἐνίων ἀτροφία, πρὸς ἄλλων δὲ φθίσις τοῦ μέρους. αἱ

δὲ ἐπαυξήσεις τῶν μορίων, ἔν τε τοῖς ὑπερσαρκοῦσιν ἕλκεσι γίγνονται, καὶ τοῦ καλουμένου πριαπισμοῦ. Νικομάχου δὲ τοῦ σμυρναίου πᾶν ἀμέτρως ηὐξήθη τὸ σῶμα, καὶ οὐδὲ κινεῖν ἔτι δυνατὸς ἦν ἑαυτόν. ἀλλὰ τοῦτον μὲν ὁ Ἀσκληπιὸς ἰάσατο. γλῶτταν δέ τινος ἐπὶ πλεῖστον αὐξηθεῖσαν ἐθεασάμεθα χωρὶς ἁπάσης ὀδύνης. ὥς τε μὴ τὸ οἴδημα δοκεῖν εἶναι, μήτε σκίρρον, μήτε φλεγμονήν. οὔτε γὰρ ἐκοιλαίνετο πιεζόντων, οὔτ᾽ ἀναίσθητος ἦν, οὔτ᾽ ὠδυνᾶτο. ἀλλ᾽ αὐτὸ τοῦτο μόνον αὔξησις τις ἄμετρος ὑπῆρχεν, οὐδὲν τῆς οὐσίας αὐτῆς τοῦ μορίου βεβλαμμένης. οὕτω δὲ καὶ ὄρχεις καὶ μαστοί, τοῖς μὲν ἀμφότεροι, τοῖς δὲ ἀμέτρως ὁ ἕτερος ηὐξήθη. καὶ ἡ καλουμένη δὲ χοιρὰς τούτου τοῦ γένους ἐστί, δυσχρηστίαν οὐ μικρὰν ἐν ταῖς ἐνεργείαις ὅταν ἀμέτρως αὐξηθῇ παρεχομένη. καὶ μὲν δὴ καὶ αἱ τῶν κανθῶν ἀμετρίαι, τούτου τοῦ γένους εἰσίν. ὀνομάζεται δὲ καὶ ἡ μὲν ἐπὶ πλέον αὔξησις ἐγκανθίς, ἡ μείωσις δὲ ῥυάς. τοιαῦται μὲν δή τινες καὶ τούτου τοῦ γένους τῶν νοσημάτων αἱ διαφοραί. τῆς δὲ συνθέσεως τῆς κατὰ φύσιν ὑπαλλαττομένης γίνεται νοσήματα. παρὰ μὲν τὴν θέσιν ἐν ταῖς ἐξαρθρήσεσί τε καὶ παραρθρήσεσι καὶ ταῖς ἐντεροκήλαις τε καὶ ἐπιπλοκήλαις ὀνομαζομέναις. παρὰ δὲ τὴν πρὸς τὰ παρακείμενα μόρια μὴ κατὰ φύσιν ὁμιλίαν, σύνδεσμός που χαλασθεὶς, ἢ συνταθεὶς, ἢ ἀπορραγεὶς ἐμποδίζει τὴν ἐν ἐκείνῳ τῷ μορίῳ κίνησιν τῆς διαρθρώσεως. ἐν τούτῳ τῷ γένει καὶ οἱ τῆς γλώττης εἰσὶν ἄμετροι δεσμοί, καὶ οἱ τῶν αἰδοίων ἐφ᾽ οἷς ἡ μὲν εἰς τὸ διαλέγεσθαί τε, καὶ μασᾶσθαι ἱκανῶς ἐμποδίζεται, τὸ δὲ αἰδοῖον ἐν τῷ καταπείρειν εἰς τὸ θῆλυ πόρρω καὶ κατ᾽ εὐθὺ προπέμπειν ἀδυνατεῖ τὸ σπέρμα, διεστραμμένου τοῦ πόρου. καὶ μὲν δὴ καὶ αἱ συμφύσεις αἱ παρὰ φύσιν, ἢ χειλῶν ἑλκωθέντων, ἢ βλεφάρων, ἢ δακτύλων, ἢ ἕδρας, ἢ τινὸς ἑτέρου τοιούτου, ταύτης εἰσὶ τῆς διαφορᾶς. τοιαῦται μὲν δὴ καὶ αἱ τοῦ παρὰ τὴν σύνθεσιν τῶν μορίων γένους ἰδέαι τῶν νοσημάτων. λοιπὸν δὲ ἐστὶ καὶ πέμπτον γένος νοσήματος ἡ τῆς ἑνώσεως λύσις, εἴτ᾽ οὖν ἐν ἑνί τινι τῶν ἁπλῶν γένοιτο μορίων τῶν ὁμοιομερῶν ὀνομαζομένων, εἴτε καὶ τοῖς συνθέτοις, ὅθεν καὶ μικρῷ πρόσθεν ἐν τοῖς κοινοῖς ἑκατέρων τῶν μορίων νοσήμασι ἐμνημονεύσαμεν αὐτῆς. ὅπου γοῦν διασπασθῇ σύνδεσμος, ἢ ἀρτηρία, κοινὸν τὸ πάθημα ἐστὶ, καὶ τοῦ παντὸς ὀργάνου, καὶ αὐτοῦ τοῦ διασπασθέντος μορίου. λέλυται γὰρ ἑκατέρου τῆς συνεχείας, τὸ μὲν ὅλον, μηκέτι συναπτομένων αὐτοῦ, μηδ᾽ ἑνουμένων τῶν μορίων, αὐτὸ δὲ τὸ διασπασθὲν, οὐκ ἔτι μένον ἕν, ἀλλὰ δύο γενόμενον. εἰ μέν τοι μὴ διασπασθείη τελέως, ἀλλ᾽ ἐκ μέρους τινὸς, οὐκ ἔτι τοῦτο τοῦ παντὸς ὀργάνου τὸ νόσημα ἐστὶ, πλὴν εἰ μὴ κατὰ συμβεβηκὸς ὅτι μόριον αὐτοῦ πέπονθεν, ἀλλ᾽ αὐτοῦ μόνου πεπονθότος ἴδιον ἐξαίρετον. ὀνομάζεται δὲ κατὰ μὲν ὀστοῦν ἡ τῆς συνεχείας λύσις κάταγμα. κατὰ δὲ τὰ σαρκώδη πάντα, κοινῶς ἕλκος. τὸ δὲ ῥῆγμα καὶ τὸ σπάσμα, τοῦ μὲν αὐτοῦ γένους ἐστὶ, συνίσταται δὲ τὸ μὲν ἐν σαρκώδει, τὸ δὲ ἐν νευρώδει μορίῳ, τῶν ἐν αὐτοῖς ἰνῶν διασπασθεισῶν ὑπὸ βιαίας τινὸς θλάσεως, ἢ ἐξαιφνιδίου τε καὶ ἀθρόας τάσεως. τὰ δὲ ἀποσπάσματα καλούμενα, μόνων τῶν ὀργανικῶν ἐστὶ μορίων ἴδια παθήματα. αὗται μὲν αἱ σύμπασαι διαφοραὶ τῶν ἁπλῶν νοσημάτων. ἐπὶ δὲ τὰς συνθέτους ἤδη μετιέναι καιρὸς, ἀπὸ τῶν ὁμοιομερῶν αὖθις ἀρξαμένους σωμάτων. ἔσται δὴ κατὰ μὲν τὴν προτέραν ὑπόθεσιν ἐξ εὐρύτητός τε καὶ στενώσεως πόρων, νόσημά τι σύνθετον οὐχ ἑκάστου τῶν κατὰ μέρος πόρων ἀμφότερα πάσχοντος, ἀλλὰ ἐναλλὰξ τῶν μὲν στενουμένων, τῶν δ᾽ εὐρυνομένων σωμάτων. ὡς μηδὲν μᾶλλον εὐρύτητα πόρων, ἢ στένωσιν ἔχειν ἀποφανθῇ κατὰ τὸ σύμπαν ὁμοιομερὲς σῶμα, μηδ᾽ εἶναί τι λαβεῖν αἰσθητὸν αὐτοῦ μέρος, ᾧ θάτερον ὑπάρχει μόνον, ἀλλ᾽ ἀεὶ τὸ λαμβανόμενον ἅπαν ἀπ᾽ ἀμφοτέρων συνέχεσθαι. κατὰ δὲ τὴν δευτέραν ὑπόθεσιν ἐπὶ μὲν ταῖς ποιότησι μόναις ἐξισταμέναις τοῦ κατὰ φύσιν ἐν ἑκάστῳ τῶν ὁμοιομερῶν σωμάτων ἔσται σύνθετα νοσήματα τέτταρα, θερμὸν ἅμα καὶ ξηρὸν, καὶ θερμὸν ἅμα καὶ ὑγρὸν, καὶ ψυχρὸν ἅμα καὶ ξηρὸν, καὶ ψυχρὸν ἅμα καὶ ὑγρόν. οὐσίας δέ τινος ἐπιρρυείσης αὐτοῖς, ὁμοίως ἕτερα τέτταρα, τὰς αὐτὰς τῶν ποιοτήτων ἔχοντα συζυγίας. ἐπεὶ δὲ καὶ ἡ τῆς συνεχείας διαίρεσις οὐκ ἐν τοῖς συνθέτοις μόνον ὀργάνοις, ἀλλὰ καὶ ἐν τοῖς ἁπλοῖς ἐγγίνεται σώμασιν ἐπιπλακήσεταί ποτε, καὶ ἤδη τοῖς τε νῦν εἰρημένοις συνθέτοις νοσήμασι κατ᾽ ἀμφοτέρας τὰς ὑποθέσεις, καὶ τοῖς εὐθὺς ἐν ἀρχῇ τοῦ παντὸς λόγου, γεγραμμένοις τοῖς ἁπλοῖς. οὐ γὰρ ἀδύνατον ἡλκῶσθαί τε ἅμα καὶ ξηρότερον εἶναι τοῦ κατὰ φύσιν, ἢ ὑγρότερον, ἢ ψυχρότερον ἢ θερμότερον, τὸ μόριον, οὐδ᾽ ἡλκῶσθαι μὲν ἅμα καὶ ὑγρότερον ὑπάρχειν, οὐχὶ δὲ καὶ θερμότερον εἶναι. τά γ᾽ οὖν ἡλκωμένα τε ἅμα καὶ φλεγμαίνοντα μόρια τριχῇ τοῦ κατὰ φύσιν ἐξίσταται, διὰ μὲν τὴν ἕλκωσιν ἀπολλῦντα τὴν ἕνωσιν τῶν οἰκείων μορίων. ὅτι δὲ φλεγμαίνει θερμότερά τε καὶ ὑγρότερα τοῦ κατὰ φύσιν ἀποτελούμενα. τὸν γὰρ δὴ ὄγκον τὸν ἐν αὐτοῖς, ὅταν μὲν ἐπὶ τοσοῦτον αἴρηται μεγέθους ὡς βλάπτειν τι δι᾽ αὐτὸ τοῦτο τὴν ἐνέργειαν, ἤδη νόσημα νομιστέον. ἄλλως δὲ σύμπτωμά τε καὶ πάθημα μόνον, ὥσπερ καὶ τὴν ὀδύνην. ἅπαντ᾽ οὖν τὰ φλεγμαίνοντά τε ἅμα καὶ ἡλκωμένα σώματα τριχῇ μὲν ἐξ ἀνάγκης, τετραχῇ δ᾽ ἔστιν ὅτε νοσεῖ, φλεγμονὴν ὀνομαζόντων ἡμῶν δηλονότι νῦν, οὐ τὴν οἷον φλόγωσιν τῶν μορίων, ὥσπερ ἦν ἔθος τοῖς παλαιοῖς, ἀλλὰ τὸν ἐρυθρόν τε καὶ ἀντίτυπον καὶ ὀδυνηρὸν ὄγκον. οὕτω δὲ καὶ τοῖς ἐρυσιπέλασι συμπίπτει, ποθ᾽ ἕλκη. τοῖς μὲν γὰρ ἄνθραξιν ἀδύνατον ἄλλως συστῆναι. μέσα δὲ τούτων ἐστὶ τὴν φύσιν ἕρπητές τε καὶ καρκῖνοι, τὰ πολλὰ μὲν ἅμα τοῖς ἕλκεσιν, ἔστιν ὅτε δὲ καὶ χωρὶς ἐκείνων συνιστάμενα. σύνθετα γοῦν ἐστὶ τὰ τοιαῦτα πάντα νοσήματα, κἂν χωρὶς ἕλκους γίγνηται, καθ᾽ ἕνα μὲν τρόπον, ὅτι πάντα περιττῆς ὑγρότητος, ἤτοι θερμῆς, ἢ ψυχρᾶς ἐστὶν ἔγγονα, χολῆς μὲν ξανθῆς ἐρυσίπελας, μελαίνης δὲ, καρκῖνος, αἵματος δὲ φλεγμονή, καὶ φλέγματος οἴδημα. καθ᾽ ἕτερον δὲ, διότι τῶν εἰρημένων χυμῶν, εἰ καὶ κατὰ τὴν ἰδέαν ὑγροὶ σύμπαντές εἰσιν, ἀλλὰ τήν γε δύναμιν οὐχ ὑγροί. ὁ μὲν γὰρ τῆς μελαίνης χολῆς, ξηρὸς καὶ ψυχρός. ὁ δὲ τῆς ξανθῆς ξηρὸς καὶ θερμός. ὁ δὲ τοῦ φλέγματος ὑγρὸς καὶ ψυχρός. ὑγρὸν δὲ καὶ θερμὸν τὸ αἷμα. κατὰ δ᾽ αὖ τρίτον τρόπον, ὅτι πάντα ἀλλήλοις ἐπιπλέκεται. καὶ σπάνιον αὐτῶν ἐστὶν εὑρεῖν ἕκαστον αὐτῶν εἰλικρινές. ἀναμέμικται γὰρ ὡς τὰ πολλὰ, ταῖς μὲν φλεγμοναῖς, ἢ ἐρυσιπελατῶδές, ἢ οἰδηματῶδες ἢ σκιρρῶδές τι. τοῖς δ᾽ ἐρυσιπέλασιν, ἢ φλεγμονῶδες, ἢ οἰδηματῶδες, ἢ σκιρρῶδες, καὶ τῶν ἄλλων ὁμοίως ἑκάστῳ. σύνθετα τοίνυν γίγνεται πολυειδῶς ἅπαντα τοιαῦτα νοσήματα, καὶ ῥηθήσεται περὶ αὐτῶν ἐπὶ πλέον ἔν τε τῷ περὶ τῶν νοσερῶν αἰτίων γράμματι, καὶ ἐν τῷ μετ᾽ αὐτὸ, τῷ τῶν νοσωδῶν συμπτωμάτων, καὶ πρὸς τούτοις ἔτι διὰ τῆς θεραπευτικῆς πραγματείας, ἧσπερ ἕνεκα σύμπαντα ταῦτα γράφεται. νυνὶ δὲ ἐπειδὴ τὸν τρόπον αὐτῶν τῆς ἐπιπλοκῆς εἴπομεν, ἐπὶ τὰ τῶν

ὀργάνων

ὀργάνων ἤδη μετέλθωμεν νοσήματα, δεικνῦντες ὅπως καὶ ταῦτα γίγνεται σύνθετα. πρότερον δ' ἀναμνῆσαι χρὴ τῶν κατ' ἀρχὰς εὐθέως, ὡς ἐστὶν ἕτερα μὲν τῶν πρώτων σωμάτων τῶν ὁμοιομερῶν, ἕτερα δὲ τῶν ὀργανικῶν τε καὶ συνθέτων τὰ νοσήματα, φλεγμονὴ μὲν τῶν πρώτων, ἐξάρθρημα δὲ τῶν ὀργανικῶν. ὅταν οὖν ἐξαρθρήσῃ τε ἅμα καὶ φλεγμήνῃ τὸ κῶλον, αὐτοῦ μὲν πρώτως ἐστὶ τοῦ σύμπαντος ὀργάνου νόσος ἡ ἐξάρθρησις. ἡ φλεγμονὴ δὲ οὐ πρώτως, οὐδ' ἰδίως, ἀλλὰ κατὰ συμβεβηκός. ἐπειδὴ γὰρ ἑνὸς ἑκάστου τῶν μορίων αὐτοῦ νόσημά ἐστιν ἡ φλεγμονὴ, κατὰ συμβεβηκὸς ἂν εἴη καὶ τοῦ σύμπαντος ὀργάνου τὸ νόσημα. καὶ μὲν δὴ καὶ ὀφθαλμία φλεγμονὴ μέν ἐστι τοῦ ἐπιπεφυκότος ὑμένος τῷ κερατοειδεῖ, κατὰ συμβεβηκὸς δὲ ὀφθαλμοῦ, νόσημα. συμβαίνει δέ ποτε τοῦ κερατοειδοῦς χιτῶνος ἕλκος ἔχοντος βαθὺ, κἄπειτα διαβρωθέντος ὅλου, προπεσεῖν μέν τι τοῦ μετ' αὐτὸν τοῦ ῥαγοειδοῦς ὀνομαζομένου, παρασπασθῆναι δὲ καὶ τὴν κόρην, καὶ τούτων ἕκαστον τῶν τριῶν, ὀφθαλμοῦ πάθημα νομίζεται. καίτοι τὸ μὲν ἑλκωθῆναί τε καὶ διαβρωθῆναι, τοῦ κερατοειδοῦς ἦν μόνου, τὸ δὲ προπεσεῖν, τοῦ ῥαγοειδοῦς, τὸ δὲ παρασπασθῆναι, τῆς κόρης. ἀλλ', ὡς εἴρηται, τὰ τῶν ὁμοιομερῶν σωμάτων νοσήματα, τοῦ σύμπαντος ὀργάνου κατὰ συμβεβηκός ἐστι. καὶ τοίνυν ἐπειδ' ἂν ᾖ μὲν ἓν ὁτιοῦν ἐξ αὐτῶν νοσοῦν σύνθετον νόσημα, τοῦ σύμπαντος ὀργάνου, καὶ τοῦτο ἔσται νόσημα κατὰ συμβεβηκός. ἐπειδ' ἂν δὲ πλείω μὲν, ἀλλ' ἕκαστον ἑνὶ κατέχεται νοσήματι, σύνθετον ἂν εἴη οὕτως τὸ νόσημα τοῦ σύμπαντος ὀργάνου. ἔστω γὰρ εἰ τύχοι κατὰ τὸν ὀφθαλμὸν, οὐ γὰρ ἀδύνατος ἡ ὑπόθεσις, ἅμα μὲν πτερύγιον, ἅμα δὲ ὀφθαλμία, καὶ διάβρωσις τοῦ κερατοειδοῦς, καὶ πρόπτωσις τοῦ ῥαγοειδοῦς, καὶ ἡ ἀρχὴ γενέσεως ὑποχύματος. ὅτι μὲν οὐχ ἓν, οὐδ' ἁπλοῦν ἐστὶ τὸ νόσημα, πρόδηλον παντί, καλέσει δὲ μέν τις αὐτὸ σύνθετον ὀφθαλμοῦ νόσον. ὁ δ' ἕτερος οὐ μίαν σύνθετον, ἀλλὰ πολλὰ νοσήματα φήσει κατὰ τὸν ὀφθαλμὸν ὑπάρχειν, ἐν διαφόροις αὐτοῦ μέρεσι συνεστῶτα. διαφέρει δ' οὐδὲν ὡς πρὸς τὴν ἐκ θεραπευτικῆς ἐνδείξεως ποικιλίαν, ἧσπερ ἕνεκα τὰ τοιαῦτα σύμπαντα ζητοῦμεν, εἴθ' ἓν εἴη σύνθετον, εἴτε πολλὰ μαχομένης ἰάσεως δεόμενα. ῥηθήσεται δὲ δηλονότι περὶ αὐτῶν ἐπὶ πλέον ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. εἰς δὲ τὸν νῦν ἐνεστῶτα λόγον ἀπόχρη τό γε τοσοῦτον ἐνδείξασθαι καὶ δηλῶσαι, τὸ πιθανῶς ἂν ἑκατέρους δοξάζειν. τούς τε πολλὰ νοσήματα κατὰ τὸν ὀφθαλμὸν ὑπάρχειν ὑπολαμβάνοντας, τούς τε καθάπερ ἓν τὸ πάσχον ὄργανον, οὕτω καὶ τὸ νόσημα ἓν εἶναι νομίζοντας. σύνθετον δὲ, ὅταν ὡς εἴρηται πλείονα μόρια πεπόνθῃ κατ' αὐτόν. ὥσπερ οὖν τῶν ἁπλῶν νοσημάτων τὸ μὲν, αὐτοῦ πρώτως ἦν νόσημα τοῦ σύμπαντος ὀργάνου, καθάπερ τὸ ὑπόχυμα, τὸ δὲ κατὰ συμβεβηκός, ὡς ἡ τοῦ κερατοειδοῦς ἕλκωσις, οὕτω καὶ τῶν συνθέτων νοσημάτων, ἴδια μὲν ἔσται τοῦ σύμπαντος ὀργάνου τὰ πολλοῖς αὐτοῦ μορίοις ἅμα διοχλοῦντα, κατὰ συμβεβηκὸς δὲ, τὰ καθ' ἕν τι μόριον ἐν αὐτῷ συνιστάμενα νοσήματα σύνθετα, καθάπερ ἡ ὀφθαλμία φλεγμονὴ τοῦ ἐπιπεφυκότος ὑμένος ὑπάρχουσα. σύνθετον γὰρ ἐδείκνυτο πάθος ἡ φλεγμονή. προσγινομένου δὲ ἕλκους κατὰ τὸν αὐτὸν τοῦτον ὑμένα, πολὺ μὲν ἂν οὕτω γε μᾶλλον ἐν συνθέτῳ νοσήματι τὸ μόριον εἴη. λέγοιτο δ' ἂν οὐδὲν ἧττον καὶ αὐτὸς ὁ σύμπας ὀφθαλμὸς ὑπὸ συνθέτου νοσήματος ἔχεσθαι. τὰ μὲν δὴ τοιαῦτα κατὰ συμβεβηκὸς ὅλων τῶν ὀργάνων νοσήματα σύνθετα. τὰ δ' ἐκ τοῦ πολλὰ μόρια πεπονθέναι καθ' ἕνα χρόνον αὐτῶν τῶν ὀργάνων ἐστὶ πρώτως νοσήματα σύνθετα, καὶ μᾶλλον εἰ καὶ τῶν κατὰ μέρος ἕκαστον τῶν ἁπλῶν μὴ κατά τι συμβεβηκὸς, ἀλλὰ πρώτως εἴη τοῦ σύμπαντος ὀργάνου νόσημα, καθάπερ ἐν ὀφθαλμῷ πτερύγιον, ὑπόχυμα, ῥοιάς. ἕκαστον γὰρ τούτων ἴδιόν ἐστιν ὀφθαλμοῦ νόσημα, καὶ πάνθ' ἅμα γιγνόμενα, σύνθετον ὀφθαλμοῦ νόσον ἰδίαν ἐργάζεται. τοιαύτῃ τις ἂν χρώμενος μεθόδῳ, πάντα ἐξευρίσκει τὰ σύνθετα νοσήματα τῶν ὅλων ὀργάνων. ἐμοὶ δὲ ἐπεξέρχεσθαί τε καὶ συντιθέναι πάντα περιττὸν ἐδόκει. μεμαθηκὼς τις γὰρ τά θ' ἁπλᾶ νοσήματα πάντα, καὶ τὸν τρόπον αὐτῶν τῆς συνθέσεως ἱκανὸς ἂν εἴη γυμνάζειν ἑαυτὸν ἐν τοῖς κατὰ μέρος. ὥς τό γ' ἀναγνῶναι μόνον εἰσάπαξ ὅσα γέγραπται κατὰ τόδε τὸ βιβλίον, οὐδὲν ὄφελος, εἰ μὴ μέλλει τις ἐν αὐτοῖς ἐπὶ πλεῖστον γυμνάζεσθαι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΝΟΣΗΜΑΣΙΝ ΑΙΤΙΩΝ.

ΒΙΒΛΙΟΝ. β'.

ΠΟΣΑ μέν ἐστι, καὶ τίνα τὰ σύμπαντα νοσήματα κατ' εἴδη τε καὶ γένη διαιρουμένοις, ἁπλᾶ τε καὶ σύνθετα, δι' ἑτέρου δεδήλωται γράμματος. ἑξῆς δ' ἂν εἴη τὰς αἰτίας αὐτῶν ἑκάστου διελθεῖν, ἀπὸ τῶν ἁπλῶν τε καὶ ὁμοιομερῶν ὀνομαζομένων τοῦ ζώου μορίων ἀρξαμένους. εἶτ' αὖθις, ἐπὶ τὰ σύνθετά τε καὶ ὀργανικὰ μεταβάντας. ἐπεὶ τοίνυν ἐδείχθη κατὰ μὲν τοὺς ἑνοῦσθαί τε καὶ ἀλλοιοῦσθαι τὴν ὑποβεβλημένην οὐσίαν γενέσει καὶ φθορᾷ δοξάζοντας, ἅπασα νόσος ὁμοιομεροῦς τε καὶ ἁπλοῦ πρὸς αἴσθησιν σώματος, ἤτοι δυσκρασία τις ὑπάρχουσα, ἢ τῆς συνεχείας αὐτοῦ τῶν μερῶν διαίρεσις. κατὰ δὲ τοὺς μήθ' ἑνοῦσθαι καὶ κενόν τι παραπεπλέχθαι πάσῃ σώματος συγκρίσει νομίζοντας ἀμετρία τε πόρων οὖσα, καὶ λύσις τῆς αἰσθητῆς ἑνώσεως. ἀρξάμεθα καὶ νῦν ἐπισκοπεῖσθαι τὰς αἰτίας ἑκάστου τῶν νοσημάτων τῆς πρώτης ὑποθέσεως, ἣν δὴ καὶ ἀληθῆ πεπείσμεθα ὑπάρχειν. ἦν δ', οἶμαι, τέτταρα μὲν ἁπλᾶ, τέτταρα δὲ σύνθετα. ποτὲ μὲν τοῦ θερμοῦ μόνου τὴν αὔξησιν ἄμετρον, ἢ τοῦ ψυχροῦ λαβόντος, ἢ τινὸς τῶν τῆς ἑτέρας ἀντιθέσεως, τῆς κατὰ τὸ ξηρὸν καὶ ὑγρόν. ἔστιν ὅτε δὲ καὶ κατὰ συζυγίαν τινὰ αὐξηθέντων αὐτῶν, ὡς εἶναι θερμὸν ἅμα καὶ ξηρὸν, ἢ ψυχρὸν καὶ ξηρὸν, ἢ θερμὸν καὶ ὑγρὸν, ἢ ψυχρὸν καὶ ὑγρὸν τὸ νόσημα. τίνες οὖν ἑκάστου εἰρημένων νοσημάτων αἰτίαι τῆς γενέσεως, ἤδη σκοπώμεθα, ἀρχὴν ἀπὸ τοῦ κατὰ θερμασίαν ἄμετρον δυσκράτου νοσήματος ποιησάμενοι. φαίνεται δὴ

κἀπὶ τῶν ἄλλων ἁπάντων σωμάτων, ὁπόσα θερμότερα γίγνεται σφῶν αὐτῶν, ἢ ἐκ κινήσεως τινὸς αὐξανομένου τοῦ θερμοῦ, ἢ ἐκ σηπεδόνος, ἢ διὰ ὁμιλίας ἑτέρου θερμοτέρου σώματος, ἢ ἐκ στεγνώσεως, ἢ διὰ ἐπιτηδείου τροφῆς. ἐκ μὲν κινήσεως ἐπί τε τῶν γυμναζομένων ὁπωσοῦν, καὶ τῶν παρατριβομένων ἀλλήλοις λίθων, ἢ ξύλων, καὶ τῆς ῥιπιζομένης φλογός. ἐκ σήψεως δὲ τῶν τε ἄλλων ἁπάντων, καὶ μάλιστα περιττωμάτων, ἢ κόπρου. ἐγὼ γοῦν οἶδα καὶ ἀναφθέντα ποτὲ περιστερῶν ἀποπατήματα διασαπέντα, καὶ μὲν δὴ καὶ ὡς ἐκ τῆς τῶν θερμοτέρων ὁμιλίας θερμαίνεται τὰ πλησιάζοντα, πρόδηλον παντὶ, βαλανείων ἀναμνησθέντι, καὶ ἡλίου θερινοῦ, καὶ φλογὸς ἁπάσης. οὕτω δὲ καὶ εἰ πῦρ ἀνάψαις χειμῶνος ἐν οἴκῳ μεγάλῳ, στεγνώσας μὲν αὐτοῦ τὰς διαπνοὰς, ἀθροίσαις ἂν ἔνδον τὸ θερμὸν, ἐάσας δὲ ἀνεῷχθαι πανταχόθεν, οὐδὲν ἕξει πλέον. ἀτὰρ οὖν καὶ τὰ βαλανεῖα, καὶ αἱ κάμινοι τὸν αὐτὸν τοῦτον τρόπον ἀθροίζουσι τὸ θερμὸν ἑαυτῶν ἔνδον, ᾧ δῆλον ὡς καὶ στέγνωσις ποτὲ θερμασίας πλείονος αἰτία. δῆλον δὲ καὶ τὸ ἀπὸ τῆς ὕλης, ὡς κάλαμοι μὲν οἱ ξηροὶ ῥᾳδίως ἐξαίρουσιν ἐπὶ μέγιστον τὴν φλόγα, ξύλα δέ γε χλωρὰ, καὶ μάλιστα ἢν πλείω σωρεύσῃς ἐπ' αὐτὴν, ἄχρι μὲν πολλοῦ βαρύνει τε καὶ οἷον καταπνίγει τὴν φλόγα, τελευτῶντα δὲ αὐξάνει. πῶς οὖν ἐν τῷ τοῦ ζώου σώματι τούτων ἕκαστον ἀποτελεῖται. γυμνασθεὶς μέν τις ἀμετρότερον, ἐκοπώθη. τοῦτο δ' ἐστὶ, θερμασίαν ἔχειν ἄμετρον ἐν τοῖς ἄρθροις τε καὶ τοῖς μυσὶ πλείονα τοῦ κατὰ φύσιν. ταῦτα γὰρ ἦν καὶ τὰ πρώτως κινούμενα. Καὶ εἰ μὲν ἐνταῦθα καταμείνειεν ἡ θέρμη καὶ φθάσειεν λυθῆναι, πρὶν ἐπινέμεσθαι σύμπαν τοῦ ζώου τὸ σῶμα, κόπος ἂν οὕτω γε μόνον εἴη τὸ γέγονος. εἰ δὲ εἰς ἅπαν ἐκταθείη τὸ σῶμα, πυρετὸς ὀνομάζεται τὸ νόσημα, τοῦ παντὸς ζώου θερμότης τις ἄμετρος οὖσα. οὕτω δὲ καὶ ὁ θυμὸς ζέσις τις ὢν τοῦ περὶ τὴν καρδίαν θερμοῦ, διὰ κίνησιν ἄμετρον, ὅλον ἐπινεμάμενος, ἐνίοτε τὸ σῶμα πυρετὸν ἀνῆψε. καὶ μὲν δὴ καὶ ὅσα σήπεται κατὰ τὸ τοῦ ζώου σῶμα, τινὰ μὲν ἐν αὐτοῖς τοῖς μορίοις, ἐν οἷς σήπεται, θερμασίαν ἄμετρον ἐργάζεται, καθάπερ ἐρυσιπέλατά τε καὶ ἕρπητες, καὶ ἄνθρακες, καὶ φλεγμοναὶ, καὶ φύγεθλα. τὰ δ' ὅλον τὸ σῶμα συνεκθερμήναντα, πυρετὸν ἤγειρε. καὶ γὰρ οὖν καὶ τὸ τρίτον αἴτιον ἀμέτρου θερμότητος, ἐκ τε τούτων ἤδη πρόδηλον, ὅπως ἐπιγίγνεται τοῖς ζώοις, κἀκ τῶν καλουμένων ἐγκαύσεων. ἐπί τε γὰρ τοῖς βουβῶσι καὶ ταῖς φλεγμοναῖς, καὶ τοῖς ἐρυσιπέλασι, καὶ πᾶσι τοῖς οὕτω θερμοῖς νοσήμασιν, ἀεὶ τὸ ψαῦον τε καὶ συνεχὲς μόριον, αὐτὸ μὲν πρῶτον ἀπολαύει τῆς θερμασίας. ἔπειτα δὲ καὶ τῷ πλησιάζοντι μεταδίδωσι, κἀκεῖνον αὖθις τῷ μεθ' ἑαυτὸ, καὶ οὕτως ἐπὶ τὴν ἀρχὴν τῆς ἐμφύτου θερμασίας ἀφικομένης τῆς δυσκρασίας, ὅλον ἐν τάχει τὸ σῶμα μεταλαμβάνει τοῦ τῆς ἀρχῆς παθήματος. αἱ δ' ἐν τοῖς ἡλιουμένοις χωρίοις διατριβαὶ πολυχρόνιοι, τῶν μὲν γυμνῶν ὅλον ἐκθερμαίνουσιν ἀμέτρως ἐνίοτε τὸ δέρμα, τῶν δ' ἠμφιεσμένων, μόνην τὴν κεφαλήν. καὶ τοῦτ' ἐστὶν ἡ ἔγκαυσις. εἰ δ' ἅπαν ἐπινεμηθείη τὸ σῶμα, πυρετὸς ἂν οὕτω γένοιτο. τὸ δὲ τέταρτον γένος τῆς αἰτίας τῆς ἀναπτούσης ἀμέτρως τὴν ἔμφυτον θερμασίαν ἐπί τε ταῖς ψύξεσι καὶ στύψεσιν ὁρᾶται γιγνόμενον. ῥιγώσας γάρ τις ἀμέτρως καὶ λουσάμενος ἐν ὕδατι στυπτηριώδει, ἤ τινος τοιαύτης ἑτέρας μετέχοντι δυνάμεως, ἐστέγνωσέ τε καὶ ἐπύκνωσε τὸ δέρμα, καὶ τὰς διαπνοὰς ἔνδον κατεῖρξεν. αἱ δ' εἰ τύχοιεν οὖσαι καπνώδεις ἀθροισθεῖσαι, πυρετὸν ἐγέννησαν. τὸ δὲ δὴ πέμπτον εἶδος τῆς ἀναπτομένης ἀμέτρως θερμότητος ἐδεσμάτων εἰσὶ ποιότητες δριμεῖαι καὶ θερμαὶ, σκορόδων τε καὶ πράσων καὶ κρομμύων, καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ γὰρ οὖν καὶ ἡ τούτων χρῆσις ἀμετροτέρα γιγνομένη πυρετὸν ἤγειρεν ἐνίοτε. Καὶ μὲν δὴ καὶ πομάτων θερμῶν, οἷον οἴνου τε παλαιοῦ καὶ δριμέως προσενεχθέντος πλείονος ἀσθενεῖ σώματι, καὶ φαρμάκων δριμέων ἀλεξιτηρίων τε καὶ δηλητηρίων, ἐπύρεξαν ἄνθρωποι. τί οὖν δή φασιν οὐ διὰ παντὸς ἐφ' ἑκάστῳ τῶν εἰρημένων αἰτίων, ἀνάπτεται πυρετός. ὅτι καὶ τὸ ποσὸν τῆς δρώσης αἰτίας ἄνισόν ἐστι, καὶ ἡ συστᾶσα διάθεσις ἀπ' αὐτῆς ἐν τῷ σώματι, παμπόλλην ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἔχει τὴν διαφορὰν, αὐτό τε τὸ σύμπαν τοῦ ζώου σῶμα, πάμπολυ διενήνοχεν ἕτερον ἑτέρου πρὸς τὸ ῥᾳδίως, ἢ μόγις ἐξίστασθαι τοῦ κατὰ φύσιν. ὡς οὖν οὐκ ἀρκεῖ διά τι πᾶσα κίνησις οὐκ ἐργάζεται κόπον, ἀλλ' ἐναργές ἐστί σοι τό γε τοσοῦτον, ὡς εἰ μὴ πλείων εἴη καὶ ἰσχυροτέρα τῆς τῶν ἄρθρων τε καὶ μυῶν φύσεως, οὐκ ἄν ποτε κοπώσειεν αὐτὰ, κατὰ τὸν αὐτὸν ἐχρῆν σε τρόπον ἐννοεῖν, ὡς οὐδ' ἡ κοπώδης αὕτη διάθεσις εἰ μὴ μεγέθους τε καὶ χρόνου ἀξιόλογον τύχοι, οὐκ ἂν τὸ πᾶν ἑαυτῇ σῶμα συγκακῶσαι δυνήσεται, ἢ κίνησις μὲν ὀλίγη κόπον οὐχ οἷά τε ἐστὶν ἐργάζεσθαι, μικρὸς δὲ κόπος, ἀνάψει πάντως πυρετὸν, ἢ κίνησις μὲν ἐν τῷ πρός τι τὸ δρᾶν ἕξει, κόπος δ' οὐχ ἕξει; Καὶ μὲν ὅτι γε τὰ μὲν τῶν ἀθλητῶν σώματα πολυχρονίων τε ἅμα καὶ σφοδροτάτων ἀνέχεται κινήσεων, ἄνευ τοῦ κοπωθῆναι, τὰ δ' ἡμῶν τῶν ἰδιωτῶν εἰ πλείω βραχὺ παρὰ τὰ καθεστῶτα πονήσαιμεν εὐθὺς ἀγανακτεῖ, πάντες ἤδη τοῦτό γε καὶ οἱ σκαιότατοι γινώσκουσιν. οὔκουν θαυμαστὸν οὐδὲν, εἰ κοπωθείς τις οὐδ' ὅλως ἐπύρεξεν ἢ γὰρ μικρὸς ὁ κόπος, ἢ ὀλιγοχρόνιος, ἢ τῆς τοῦ σώματος ἰσχύος ἧττον ἐγένετο. ἢ τὸ μὲν γυμνάσιον εἰ βραχυχρόνιον εἴη, καὶ μὴ σφοδρὸν, καὶ τῆς τοῦ γυμναζομένου φύσεως ἀσθενέστερον, οὐκ ἄν ποτε κόπον ἐργάσηται. κόπος δ' ἀνάψει πυρετὸν, κἂν βραχὺς, κἂν ὀλιγοχρόνιος ᾖ. κἂν τῆς τοῦ πάσχοντος σώματος ἰσχύος ἀσθενέστερος. ἀλλὰ τοῦτό γε κἀπὶ τοῦ πάντων δραστικωτάτου πυρὸς ἰδεῖν ἐστὶν, ὡς οὔτε τοὺς κατεψυγμένους ἐκθερμαίνει χωρὶς χρόνου καὶ ῥώμης. ἥκοντες γὰρ ἐκ κρύους ἐνίοτε διὰ μεγίστης φλογὸς τὰς χεῖρας διαφέρομεν ἀλύπως. οὔτε μὴν πᾶσαν ὕλην ἑτοίμως ἐξάπτει. κάλαμοι μὲν γὰρ οἱ ξηροὶ κατὰ τὴν πρώτην εὐθὺς ὁμιλίαν ἀνάπτονται. ξύλα δ' ὑγρὰ καὶ χλωρὰ χρόνου τε δεῖται μακροῦ, καὶ φλογὸς ἰσχυρᾶς, ἵν' ἐξαφθῇ. πῶς οὖν ἐπὶ τοῦ πυρὸς οὐδὲν τούτων θαυμάζειν, ἐπὶ τοῦ κόπου θαυμάζεις, εἰ καὶ μεγέθους δεῖται καὶ χρόνου, καὶ τοῦ σώματος ἐπιτηδείως ἔχοντος ἐξάπτεσθαι; ἄμεινον δ' ἦν σε μὴ τοῦτο θαυμάζειν, ἀλλ' ἐπισκέψασθαι ποῖον ζώου σῶμα ῥᾳδίως ἐκθερμαίνεσθαι πέφυκε, καὶ ποῖον δυσχερῶς. ἀλλὰ τοῦτο μὲν ἐφεξῆς ἀκούσῃ. ἐν δέ γε τῷ παρόντι μηδὲν εἶναί σοι φαινέσθω θαυμαστὸν, εἰ καὶ χρόνου δεῖται καὶ μεγέθους τὸ μέλλον ποιήσειν ὁπωσοῦν, καὶ προσέτι τοῦ πλησιάζοντος ἐπιτηδείου παθεῖν. οὐδὲ γὰρ τὸ πῦρ οἷόν τ' ἐστὶ χωρὶς τούτων καίειν, οὐδὲ τὸ ξίφος τέμνειν, οὐδ' ἄλλο τι τῶν δραστικωτάτων οὐδὲν, οὔτ' εἰς ἰσχυρότερον ἑαυτοῦ δρᾶν πέφυκεν, οὐδ' ἄνευ χρόνου τινὸς ἀξιολόγου. τῆς μὲν οὖν λυχνιαίας φλογὸς, οὐκ ἂν ἀθρόως οὐδὲ τὸ ἔλαιον κατασχέσ.

χέῃς, μή τοι γε δὴ τὸ ὕδωρ, καὶ τῷ ξίφει τέμνειν, οὐκ ἂν οὐδὲ τοὺς λίθους ἐπιχειρήσειας, μὴ ὅτι γε ἀδάμαντα. κόπον δὲ, καὶ θάλψιν, καὶ ψύξιν, καὶ τὰ ἄλλα τὰ τοιαῦτα πυρετὸν ἀξιώσεις ἀνάπτειν ἀεὶ, κἂν μικρὸν, κἂν ὀλιγοχρόνιον, κἂν ἀνεπιτήδειον ἔχῃ τὸ σύμπαν σῶμα πρὸς τὸ θερμαίνεσθαι, ἢ οὔ. τὸ μὲν γὰρ ἤδη θερμὸν ἑτοιμότερον ὑπερθερμανθῆναι, καθάπερ οὖν καὶ τὸ ψυχρὸν ὑπερψυχθῆναι. τὸ δ᾽ ἐναντίως ἔχον, ἀνεπιτήδειον. οὕτω μὲν οὖν ἀναίσθητός τε καὶ ἀμαθὴς ἡ τῶν τοιαῦτα ζητούντων ἀχρεία. τοὺς δὲ μηδὲν ἀκούοντας, ἀλλ᾽ ἀποφαινομένους ἑτοίμως τε, καὶ προπετῶς ὑπὸ μηδενὸς τῶν εἰρημένων μηδέ ποτε γίγνεσθαι πυρετὸν, ἢ τῆς ἀναισθησίας ἐλεεῖσθαι προσήκειν, ἢ τῆς φιλονεικίας μισεῖσθαι. λέλυται γοῦν καὶ τὰ τούτων σοφίσματα, δι᾽ ἑτέρου γράμματος, ὑπὲρ τῶν προκαταρκτικῶν αἰτίων ἰδίᾳ γεγραμμένου. καὶ νῦν οὐκ ἀντιλέγειν τοῖς ἡμαρτημένοις καιρός. ἀλλὰ τἀληθῆ διδάσκειν πρόκειται. πάλιν οὖν ἐπανελθόντες ἐχώμεθα τῶν προκειμένων. ἦν δὲ οἶμαι προκείμενον, ἑκάστου τῶν ἁπλῶν νοσημάτων εἰπεῖν τὰς προηγουμένας αἰτίας, ἄχρι καὶ τῶν προκαταρκτικῶν. οὐδὲν γὰρ χεῖρον τοῖς οὕτω διαστειλαμένοις τὰς προσηγορίας, τοῦ σαφοῦς ἕνεκα ἀκολουθῆσαι. τὰς μὲν δὴ κατ᾽ αὐτὸ τὸ ζῶον εἴτ᾽ οὖν διαθέσεις εἴτε καὶ κινήσεις παρὰ φύσιν αἰτίας ὀνομάζουσι προηγουμένας νοσημάτων, τὰ δ᾽ ἔξωθεν προσπίπτοντα καὶ ἀλλοιοῦντα καὶ μεταβάλλοντα μεγάλως τὸ σῶμα προκατάρχοντά τε καὶ προκαταρκτικὰ καλοῦσιν αἴτια. τοῦ μὲν δὴ θερμοῦ νοσήματος ἐν τῷ καθόλου τὰς αἰτίας εἴπομεν, ἐπὶ δὲ τὸ ψυχρὸν ἤδη μεταβῶμεν. εἰσὶ δὲ καὶ αἱ τοῦδε πλείους τὸν ἀριθμὸν αἰτίαι, οἷον ὁμιλίαι τῶν ψυχόντων, καὶ τῶν ἐσθιομένων καὶ πινομένων τό, τε ποσὸν, τὸ ποιὸν, καὶ στέγνωσίς τε καὶ μάνωσις. κἀπὶ τούτοις ἀργία τε καὶ κίνησις ἄμετρος. αὗται γὰρ οὖν δὴ καὶ αὐτὸ τὸ πῦρ σβεννύουσιν αἱ προφάσεις. ἄνθρακι μὲν γὰρ σμικρῷ χιόνα πολλὴν, ἢ κρύσταλλον ἐπιθεὶς, ἢ ὕδωρ ψυχρὸν ἐπιχέας, σβέσεις παραχρῆμα. κἂν εἰ τὸ περιέχον εἴη ἄκρως ψυχρὸν, οἷον μάλιστα περὶ τὸν Ἴστρον χειμῶνος, οὐ μόνον λύχνον ὑπαίθριον ὄψει σβεννύμενον εὐθὺς, ἀλλὰ καὶ πᾶν ἄλλο ὀλίγον πῦρ. οὕτω μὲν ὑπὸ τῆς τὸ ἄγαν ψυχρὸν ὁμιλίας νικᾶται τὸ πῦρ. ὑπὸ δὲ τῆς τῶν τρέφειν αὐτὸ φύσιν ἐχόντων ὑπερβολῆς, ἢ ἐνδείας, εἰ μὴ προσηκούσης ποιότητος ὡσαύτως βλάπτεται. ξύλα μὲν ἀθρόα καὶ πολλὰ σωρεύσας ἐπὶ σμικρᾶς φλογὸς, ἀποπνίξεις αὐτὴν ὑπερβολῇ ποσότητος ἀμέτρου. μὴ παρέχων δὲ ὅλως, ἢ παντάπασιν ὀλίγα, μαραινομένην ὄψει δι᾽ ἔνδειαν, ἢ ὀλιγότητα τροφῆς. οὕτω δέ που καὶ τὴν λυχνιαίαν φλόγα θεώμεθα μειουμένην τε καὶ κινδυνεύουσαν σβεσθῆναι, ταῖς ἀμετρίαις τῆς οἰκείας τροφῆς. εἴτε γὰρ μὴ παρέχῃς αὐτῇ τοὔλαιον δαψιλὲς, εἴτε ἀθρόως καταχέοις πάμπολυ, λυπήσεις ἑκατέρως. εἰ δὲ καὶ παρέχοις μὲν ἄφθονον αὐτῇ τὴν ὕλην, ἀλλ᾽ ἤτοι μηδ᾽ ὅλως καίεσθαι πεφυκυῖαν, ἢ σὺν πολλῷ καπνῷ, καὶ αὐτὴν εὐθέως ἐλάττονα ποιήσεις τὴν φλόγα, καθάπερ εἰ καὶ τοὔλαιον ἀναμίξας ὕδατι καταχέοις τοῦ πυρός.

Καὶ μὲν δὴ καὶ στεγνώσας τὸ περιέχον τὴν φλόγα, καὶ μανώσας ἀμέτρως, ὄψει καὶ οὕτως ἐλάττονά τε γιγνομένην ἐν τάχει καὶ κινδυνεύουσαν σβεσθῆναι. στεγνοῦται μὲν οὖν εἰ σικύαν ἰατρικὴν, ἢ πνιγέα περιθείης, ἤ τι τοιοῦτον ἕτερον. οὕτω δὲ καὶ τῶν καμίνων εἰ τὰς ὀπὰς ἐμφράξαις. εἰ δ᾽ ἐν ἡλίῳ πολλῷ καὶ θερινῷ καὶ προσειλίῳ χωρίῳ καταθείης, ἢ μείζονα παραθείης ἑτέραν φλόγα, θεάσῃ, καὶ τότε τὴν ἐλάττω μαραινομένην, ἐκ τοῦ μανοῦσθαί τε καὶ διαφορεῖσθαι σφοδρῶς ὑπὸ τῆς ἔξωθεν φλογὸς ἰσχυροτέρας ὑπαρχούσης. ὅτι δὲ καὶ ῥιπίζων αὐτὴν, ὅπερ ἐστὶ κινῶν, αὐξήσεις μὲν εἰ μεμετρημένως αὐτὸ ποιήσεις, ἀμέτρως δὲ ῥιπίσας διαλύσεις τε καὶ σκεδάσεις, οὐδὲ τοῦτ᾽ ἄδηλον. οὕτω γοῦν καὶ οἱ ἄνεμοι κατὰ τὸ μέγεθος ἀεὶ τῆς φλογὸς ἐθέλουσιν ὑπάρχειν ἔτι μέλλοιεν ὀνήσειν αὐτήν. οἱ δὲ μείζους ἢ κατ᾽ ἐκείνην, σκεδαννύουσιν, οὐ ῥιπίζουσιν. κἂν τῷ δὲ δῆλον ὡς δεῖται μὲν, τῆς ἐπικτήτου κινήσεως ἡ φλὸξ πρὸς αὔξησιν, οὐ μὴν ἀμέτρου γε ταύτης. ἀῤῥωσθῇ μὲν γὰρ οὐ δι᾽ ὅλως ῥιπιζομένη, σκεδάννυται δὲ καὶ διαφορεῖται πρὸς τῆς ἔξωθεν κινήσεως ἀμέτρως ἐπιπιπτούσης. κατὰ μὲν δὴ τὸ πρῶτον εἶδος τῆς αἰτίας, ὑπὸ παντὸς τοῦ προσπίπτοντος ἔξωθεν ψυχροῦ. τοῦ μὲν, κατὰ τὴν θίξιν μόνον, τοῦ δὲ κατὰ τὴν δύναμιν, ἔσται τι νόσημα ψυχρόν. οὕτως ἐν ὕδατι ψυχρῷ νηξάμενος τις ἐβλάβη, καὶ κακῶς λουσάμενος, καὶ διὰ κρύους ὁδοιπορήσας. ἐνίους δὲ καὶ ἀποθανόντας οἶδα πρὶν οἴκαδε παραγενέσθαι. κατὰ δὲ τὸ δεύτερον, ἢ ἀπόπληκτος, ἢ ἐπίληπτος, ἢ κίνησιν, ἢ αἴσθησιν βεβλαμμένος, ἤπως ἄλλως κατεψυγμένος ἐξ οἰνοφλυγίας τις ἐγένετο. καί τοι γε αὔξει τὴν ἔμφυτον θερμασίαν ὁ σύμμετρος οἶνος, ὡς ἂν οἰκειοτάτη τροφή. καὶ μὲν δὴ καὶ ἡ τῶν χρηστοτάτων τε καὶ τροφιμωτάτων τῷ ζώῳ σιτίων ἄμετρος προσφορὰ, νοσημάτων ψυχρῶν αἰτία γίγνεται. ὅσα δὲ ψυχρότερα φύσει τῶν ἐσθιομένων ἢ πινομένων, καὶ ταῦτα ψυχρῶν νοσημάτων αἰτία. τῶν τοιούτων δέ ἐστι καὶ μήκων καὶ μανδραγόρας καὶ ὑοσκύαμος καὶ κώνειον, ἃ δὴ καὶ κτείνει τῷ σφοδρῷ τῆς ψύξεως. ἡ δέ γε στέγνωσις ἡ ἐσχάτη, τρίτον γὰρ δὴ τῶν νοσημάτων ψυχρῶν αἴτιον ἐτιθέμεθα, κάρους τε καὶ κώματα καὶ ἀποπληξίας ἐργάζεται, καὶ τοῦτ᾽ ἐστὶ τὸ πρὸς Ἱπποκράτους λεγόμενον, ὡς τὸ ἐξαίφνης ἄφωνον γίνεσθαι, φλεβῶν ἀπολήψιες τὸ σῶμα λυπέουσιν. ὀνομάζει μὲν γὰρ ὁμοίως τοῖς ἄλλοις παλαιοῖς τὰ δύο γένη τῶν ἐναίμων ἀγγείων, φλέβας, οὐχ ὥσπερ οἱ νεώτεροι τὸ ἕτερον μόνον, τὸ μὴ σφύζον. ἐπειδὰν δὲ ἀποληφθῶσιν αἱ κατὰ τὸ ζῶον ἀρτηρίαι, τοῦτ᾽ ἔστιν οὕτω πληρωθῶσιν αἵματος, ὡς μηδεμίαν ἔτι κενὴν ἀπολείπεσθαι χώραν ἐν αὐταῖς, εἰς ἣν ἐν τῷ διαστέλλεσθαι τὸν ἔξωθεν ἀέρα ἐπισπᾶν δεήσονται, καταπνίγεται μὲν ἐν τῷδε καὶ σβέννυται τὸ ἔμφυτον θερμόν. ἀκίνητοι δὲ καὶ ἀναίσθητοι διὰ ταχέων οἱ οὕτω παθόντες ὅλῳ τῷ σώματι γίγνονται. δέδεικται γὰρ οὖν καὶ τοῦθ᾽ ἡμῖν ἐν μὲν τῷ περὶ χρείας σφυγμῶν ὡς ὑπὲρ τοῦ φυλάττεσθαι σύμμετρον ἐν ἅπασι τοῖς μέρεσι τοῦ ζώου τὸ κατὰ φύσιν θερμὸν, αἱ ἀρτηρίαι σφύζουσιν. ἐν δὲ τῷ περὶ χρείας ἀναπνοῆς, ὅτι καὶ ἥδε, τὴν ἐν τῇ καρδίᾳ θερμότητα φυλάττει σύμμετρον. ὥσπερ οὖν εἰ τὰς ἐκτὸς ταύτας φλόγας ἀποστερήσαις τῆς πρὸς τὸ περιέχον κοινωνίας, ἢ πνιγέα περιθεὶς αὐταῖς, ἢ σικύαν, ἤ τι τοιοῦτον ἄλλο, διαφθερεῖς παραχρῆμα, κατὰ τὸν αὐτὸν τρόπον, εἰ καὶ τὴν ἐν τοῖς ζώοις θερμότητα καθείρξαις τε καὶ κατακλείσαις, ὡς μηδαμῇ κοινωνεῖν τῷ πέριξ ἀέρι, διαφθερεῖς ἐν τάχει. ἡ μὲν οὖν ἐν τῇ καρδίᾳ θερμασία διὰ τοῦ τῆς φάρυγγος πόρου κοινωνεῖ τῷ περιέχοντι, καὶ εἰ τοῦτον στεγνώσαις, καταπνίξεις τε αὐτὴν αὐτίκα, καὶ διαφθερεῖς τὸ ζῶον. ἡ δ᾽ ἐν ταῖς καθ᾽ ὅλον τὸν ὄγκον τοῦ σώματος ἀρτηρίαις θερ-

μασία διά τε τῆς καρδίας αὐτῆς, καθὸ κοινωνεῖ τῇ φάρυγγι, καὶ διὰ παντὸς τοῦ δέρματος εἰς τὸ περιέχον ἀναπνεῖ, ἐκριπιζομένη μὲν ἐν ταῖς διαστολαῖς, ἀποχέουσα δὲ τὸ αἰθαλῶδες ἐν ταῖς συστολαῖς, ὑφ᾽ ὧν ἀμφοτέρων ἡ κατὰ φύσιν αὐτῆς συμμετρία διασώζεται. καὶ δὴ καὶ στεγνωθεισῶν τῶν ἀρτηριῶν ἤτοι καθάπερ ὀλίγον ἔμπροσθεν ἔφαμεν ὑπὸ πλήθους αἵματος, ἢ τινῶν ἐμφραγμάτων ἐν τοῖς στόμασιν αὐτῶν γενομένων, ὡς μηδαμῆ διαπνεῖσθαι, σβεσθῆναι μὲν ἀνάγκη τὸ θερμόν, νεκρωθῆναι δὲ τὸ διατεθὲν οὕτω σῶμα. μετρίας μέντοι τῆς στεγνώσεως γενομένης, οὐκ ἔτι ἐξ ἀνάγκης συστήσεται πάθημα τοιοῦτον περὶ τὴν ἔμφυτον θερμασίαν. ἀλλ᾽ εἰ μὲν οἷον αἰθαλῶδές τι καὶ καπνῶδες εἴη, τηνικαῦτα τὸ κατὰ τὸ τοῦ ζώου σῶμα περίττωμα γενόμενον, ἕτερον ἔσται πάθημα τῆς ἐμφύτου θερμασίας. εἰ δ᾽ ἀτμῶδες ἢ μόνον ἡδὺ καὶ χρηστόν, ἕτερον ἑκάτερον δ᾽ αὐτῶν διττόν, ὧδέ πως διαφέρον. ὅταν γὰρ αἷμα χρηστὸν ἀκριβῶς ἡ κατὰ τὸ σῶμα, μηδενὶ περιττώματι μοχθηρῷ τεθολωμένον, ἀτμὸς ἐξ αὐτοῦ θερμαινομένου χρηστὸς ἐγείρεται, μηδὲν διαφερόμενος ἅμ᾽ ἑαυτῷ πυρώδους ἢ δριμύ. τὸ μὲν δὴ τοιοῦτον σῶμα μετρίως στεγνωθὲν, ἢ πληθωρικὸν ἐν τάχει γένοιτ᾽ ἄν, ἢ θερμότερον τοῦ κατὰ φύσιν. ἀταλαιπώρως μὲν διαιτωμένοις πληθωρικόν, ἔνδον μενόντων ὧν ἐχρῆν ποιουμένων ἐκκενοῦσθαι. διαπονοῦσι δὲ θερμότερον, ὡς ἂν ἐκ μὲν τῆς κινήσεως αὐξανομένης τῆς ἐμφύτου θερμασίας, μὴ διαπνεομένης δὲ διὰ τὸ πεπυκνῶσθαι τὸ σῶμα. κατὰ δὲ τὸ καπνῶδες ὑποτρέφον περίττωμα σῶμα στεγνωθέν, ἤτοι πυρετὸς ἐξαφθήσεται, κατακλεισθείσης ἔνδον τῆς λιγνυώδους ἀναθυμιάσεως, ἢ καταπνιγήσεται, καὶ σβεσθήσεται τὸ ἔμφυτον θερμόν. ἑκάτερον δ᾽ αὐτῶν ἀκολουθήσει τῷ τε πλήθει τοῦ περιττώματος, καὶ τῷ ποσῷ τῆς στεγνώσεως. εἰ μὲν γὰρ τὸ καπνῶδες περίττωμα τὸ δεόμενον τῆς κενώσεως, εἴη πάμπολυ, καὶ ἡ στέγνωσις σφοδρά, κίνδυνος ἀποσβεσθῆναι καταπνιγεῖσαν ὑπὸ τοῦ περιττώματος τὴν ἔμφυτον θερμασίαν. εἰ δ᾽ ὀλίγον τε εἴη τὸ περίττωμα, καὶ ἡ στέγνωσις βραχεῖα, πυρετὸς ἀναφθήσεται, δῆλον οὖν ὡς καὶ τὰς φυσικὰς ἐπίστασθαι χρή, καὶ τὰς ἐπικτήτους διαθέσεις τοῦ σώματος, ἐν αἷς ἤτοι λιγνυῶδες, ἢ καπνῶδες, ἢ ἀτμῶδές ἐστι τὸ διαπνεόμενον. ἀλλὰ ταῦτα μὲν ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου λεχθήσεται πραγματείᾳ. νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπανίωμεν. ὥσπερ γὰρ ἡ στέγνωσις ψύξεως αἰτία πολλάκις γίγνεται, καθ᾽ ὃν εἴρηται τρόπον, οὕτω καὶ ἡ μάνωσις, ὅταν ἐπὶ πλέον ἢ προσῆκε διαφορήσῃ τε, καὶ σκεδάσῃ τὸ ἔμφυτον θερμόν, ψυχρότερον ἀπεργάζεται τὸ σῶμα. γίγνεται δὲ ταῦτα καὶ καθ᾽ ὅλον μὲν τὸ ζῷον. οὐ μὴν ἀλλὰ καὶ καθ᾽ ἕκαστον μόριον ὡσαύτως, ἤτοι στεγνούμενον, ἢ μανούμενον. εἰ γὰρ ἣν περ ὅλον ἔχει τὸ σῶμα διάθεσιν ἐπὶ ταῖς ἐμφράξεσί τε καὶ πληρώσεσι τῶν ἀρτηριῶν ταύτην σχοίη τὸ μόριον, ὑπὸ τῶν ἐν αὐτῷ μόνων πεπονθυιῶν ἀρτηριῶν, ἀνάγκη δήπου καὶ νοσῆσαι παραπλησίως αὐτῷ. καὶ μὲν δὴ καὶ τὰ προσπίπτοντα ἔξωθεν αὐτῷ φάρμακά τε καὶ ὕδατα φαρμακώδη καὶ ψυχρά, καὶ αὐτὸ τὸ περιέχον ἤτοι στέγνωσιν, ἢ μάνωσιν ἄμετρον ἐναπεργάζεσθαι δυνήσεται τῷ μορίῳ. καί τινες βίαιοι δεσμοὶ ποτὲ μὲν αὐτῷ τῷ μορίῳ, ποτὲ δὲ τοῖς ὑπερκειμένοις περιτιθέμενοι, νεκρώσουσί τε καὶ καταψύξουσιν αὐτό, τῆς πρὸς τὴν ἀρχὴν τοῦ ζώου κοινωνίας στερήσαντες, ἐξ ἧς αὐτῷ καὶ ἡ σύμφυτος ἐπέρρει θερμασία, καὶ ἡ κινοῦσα τὰς ἀρτηρίας δύναμις ἐχορηγεῖτο. περὶ μὲν δὴ τῶν θερμῶν τε καὶ ψυχρῶν νοσημάτων αὐτάρκως εἴρηται. περὶ δὲ τῶν ξηρῶν ἐφεξῆς λεγέσθω. εἰ δέ τις διαπονοίη μὲν πλείω, τρέφοιτο δὲ ἐλάττω, καὶ ταῦτα ξηρότερα τὴν δύναμιν, εἰς ξηρὸν ῥαδίως ὑπαχθήσεται νόσημα. καὶ μάλιστα εἰ φροντίσειεν, ἢ ἀγρυπνήσειε πλείω. καὶ μὴν καὶ αἱ τοῦ περιέχοντος ὑμᾶς ἀέρος καταστάσεις αἱ ξηραί, ξηραίνουσι δηλονότι καὶ αὐτὰ τὰ τῶν ζώων σώματα, καὶ νῆξις ἐν ὕδατι νιτρώδει τε καὶ θειώδει καὶ στυπτηριώδει καὶ ἀσφαλτώδει, καί τινος ἑτέρου τοιαύτης ποιότητος μετέχοντι. καὶ μέν γε καὶ ὅσα τῶν φαρμάκων ξηρὰ τὴν δύναμίν ἐστιν, εἴτ᾽ ἔσωθεν εἴτ᾽ ἔξωθεν προσφέροιτο, ξηραίνει καὶ ταῦτα. εἴρηται δὲ ὑπὲρ αὐτῶν ἐπὶ πλέον ἐν τοῖς περὶ φαρμάκων. αὗται μὲν καὶ αἱ τῶν ξηρῶν νοσημάτων αἰτίαι. τῶν δ᾽ ὑγρῶν αἱ ἐναντίαι σύμπασαι, ἐδεσμάτων μὲν ὑγροτέρων τὴν δύναμιν ἀφθονία, καὶ πλείω τὰ πόματα καὶ σύμπασα ἡ ἁβροτέρα δίαιτα, καὶ ἡ θυμηδία, καὶ λουτρὰ γλυκέων ὑδάτων πολλά, καὶ μᾶλλον μετὰ τροφήν. οὕτω δὲ καὶ ἀργὸς ὁ σύμπας βίος, καὶ ἄπονος, ὄμβροι τε πολλοί, καὶ ἡ πᾶσα κατάστασις ὑγρά, καὶ φάρμακα τοῦτο ποιεῖν δυνάμενα. πρόδηλον δ᾽ ὅτι καὶ τὰ τῶν συνθέτων νοσημάτων αἴτια, σύνθετα πάντως ἐστίν. εἰ γὰρ ἅμα θερμὴ καὶ ξηρὰ συνέλθοι ποτὲ αἰτία, θερμὸν καὶ ξηρὸν ἀνάγκη γενέσθαι τὸ νόσημα. καὶ εἰ θερμὴ καὶ ὑγρά, θερμὸν καὶ ὑγρόν. οὕτω δὲ κἀπὶ τῶν λοιπῶν δυοῖν συζυγιῶν ὑγρᾶς καὶ ψυχρᾶς, καὶ ξηρᾶς καὶ ψυχρᾶς. ὅπερ δ᾽ ἀναγκαῖόν ἐστιν ἐν τῷ λόγῳ προσθεῖναί τε καὶ διορίσασθαι, τοῦτο ἤδη λεγέσθω, τὸ πολλάκις μὲν ὑπὸ πάντων τῶν αἰτίων ὁμοειδῶν ἀλλήλοις ὄντων, ἀλλοιοῦσθαι τὸ σῶμα, πολλάκις δὲ ἐναντίων ταῖς δυνάμεσιν ὑπαρχόντων, ποτὲ μέν, τὰ πλείω κρατεῖν ἐξ αὐτῶν, ἢ τὰ πολυχρονιώτερα. ποτὲ δὲ τὰ ἰσχυρότερα, ποτὲ δὲ τὴν ἀπ᾽ ἀμφοτέρων βλάβην ὁμοίως ἀναδέχεσθαι τὸ σῶμα. καί τι δόξειεν ἂν εἶναι τοῦτό γε ἀδύνατον ἅμα θερμότερόν τε καὶ ψυχρότερον ἀποτελεῖσθαι τοῦ κατὰ φύσιν, ἐν καὶ ταὐτὸν σῶμα, καὶ ὑγρότερον αὖ καὶ ξηρότερον. ἀλλὰ καὶ γίνεται τοῦτο. καὶ δεόντως ἀνώμαλος ὀνομάζεται δυσκρασία, καὶ ἡμῖν ἰδίᾳ περὶ αὐτῆς ἐν ἑτέρῳ γράμματι λέλεκται τὰ εἰκότα. καὶ οὐ χρὴ νῦν ἔτι μηκύνειν ὑπὲρ αὐτῶν. ἀλλ᾽ ἐπὶ τὰ λοιπὰ γένη τῶν νοσημάτων ἰτέον ἤδη, τὰς αἰτίας αὐτῶν σκεψομένους. ἀναμνησθῆναι δὲ πάλιν κἀνταῦθα προσήκει τῶν εἰρημένων ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, ὡς ἐνίοτε μὲν αὐταῖς μόναις ταῖς τέτταρσι ποιότησι ἐξίσταται τοῦ κατὰ φύσιν ἔχειν τὰ σώματα, μηδεμιᾶς ἔξωθεν αὐτοῖς ἐπιῤῥυείσης ἑτέρας οὐσίας. ἐνίοτε δὲ ἐμπίπλαται ῥεύματος, ὑγροῦ μὲν πάντως τὴν ἰδέαν, οὐχ ὑγροῦ δὲ τὴν δύναμιν. εἴρηται μὲν οὖν κἂν τοῖς παλαιοῖς ἰατροῖς τε καὶ φιλοσόφοις ὑπὲρ τῆς τῶν τοιούτων ὑγρῶν δυνάμεως. ἀποδέδεικται δὲ καὶ ἡμῖν ἐν ἄλλοις τε τισί, καὶ ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν. ὅσον δ᾽ ἐξ αὐτῶν εἰς τὰ παρόντα χρήσιμον, εἰρήσεται καὶ νῦν, ὡς ἡ καὶ ξανθὴ χολὴ θερμὴ καὶ ξηρὰ τὴν δύναμιν ἐστίν. ἡ δὲ μέλαινα, ξηρὰ καὶ ψυχρά. ὑγρὸν δὲ καὶ θερμὸν τὸ αἷμα. καὶ ψυχρὸν καὶ ὑγρὸν τὸ φλέγμα. καὶ ὡς ἐνίοτε μὲν εἰλικρινὴς ἐπιῤῥεῖ τούτων εἷς τῶν χυμῶν, ἐνίοτε δ᾽ ἀλλήλοις ἐπιμίγνυνται. καὶ ὡς αἱ τῶν οἰδούντων τε καὶ

σκίρρουμένων καὶ φλεγμαινόντων μορίων διαθέσεις, ἐντεῦθεν ἤδη πλεῖστον ποικίλλονται. καὶ γὰρ οὖν καὶ ἄνθρακες καὶ καρκῖνοι καὶ ἕρπητες, ἐρυσιπέλατά τε καὶ γάγγραιναι καὶ φύγεθλα καὶ φαγέδαιναι καὶ σατυριάσεις ἐκ τούτου τοῦ γένους εἰσί. καὶ μὴν καὶ ἀλφοὶ καὶ ἀθερώματα καὶ ἀχῶρες, καὶ μελικηρίδες, καὶ γαγγλία, καὶ στεατώματα, ῥευμάτων εἰσὶν ἔγγονα νοσήματα. διαφέρει δ᾽ ἀλλήλων ταῦτα. καὶ ἄλλα σύμπαντα τὰ προειρημένα, τῷ τὰ μὲν ἐκ φλέγματος γίγνεσθαι μόνου. τὰ δ᾽ ἐξ αἵματος. τὰ δὲ ἐκ τῆς ξανθῆς χολῆς. τὰ δὲ ἐκ τῆς μελαίνης. τὰ δὲ ἐξ ἄλλου τινὸς χυμοῦ οὐ τελέως παρὰ φύσιν. ἀλλὰ καὶ ὅστις ὅς τις ἂν ᾖ. πάντως ἔκ τινος τῶν προειρημένων ἐστὶ γενῶν. οὐ γὰρ ἐνδέχεται μὴ οὐχὶ θερμὸν εἶναι καὶ ξηρὸν αὐτόν, ἢ θερμὸν καὶ ὑγρόν, ἢ ψυχρὸν καὶ ξηρόν, ἢ ψυχρὸν καὶ ὑγρόν. ἀλλ᾽ ὅσον ἤδη πλεῖστον ἥκει τάχους καὶ ψύξεως, ἐκπίπτει μὲν τοῦ κατὰ φύσιν φλέγματος τῆς ἰδέας. ἕτερος δὲ εἶναι δοκεῖ χυμὸς ὅλῳ τῷ γένει παρὰ φύσιν, οὐ μὴν οὕτως γε ἔχει τἀληθές. ὅστις ἂν γὰρ ὑγρὸς ᾖ καὶ ψυχρὸς τὴν δύναμιν, ἐν τῷ τοῦ φλέγματος γένει περιέχεται. κατὰ δὲ τὰ αὐτὰ καὶ ὅστις ἂν ᾖ ξηρὸς καὶ θερμὸς ὁμογενής ἐστι τῇ ξανθῇ χολῇ. λέλεκται δὲ καὶ περὶ τούτων ἤδη πλέον ἑτέρωθι. καὶ νῦν οὐ χρὴ μηκύνειν ὑπὲρ αὐτῶν, εἰρήσεται γὰρ οὖν καὶ αὖθις ἤδη πλέον ὑπὲρ ἁπάντων τούτων ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. ὃ δ᾽ ἐστὶν οἰκεῖον τῆς ἐνεστώσης διεξόδου πάλιν ἐπανίωμεν. ἅπαντα γὰρ τὰ τοιαῦτα νοσήματα τῆς φύσεως ἀποτιθεμένης ἑκάστοτε τὸ περιττὸν εἰς ἀκυρώτερα μόρια γίγνεται. ὅτι μὲν δὴ καὶ ἄλλοις ἔμπροσθεν εἴρηται πολλοῖς. ὅστις δὲ ὁ τρόπος ἐστὶ τῆς ἀποθέσεως, οὐκ ἔτ᾽ εἴρηται, λογισμὸν γάρ τινα καὶ νοῦν τῇ φύσει δώσομεν, ἐὰν ἁπλῶς οὕτως αὐτὴν ἀποτίνεσθαι φῶμεν ἐκ κυρίων μορίων εἰς ἄκυρα, πᾶν ὅτι οὖν ὑπάρχον μὴ χρηστόν. ἀλλ᾽ ὅτι μὲν ἐν τοῖς νοσήμασιν αἱ ἀγαθαὶ κρίσεις ὑπό τινος τοιαύτης γίγνονται δυνάμεως ἐναργῶς φαίνεται. τίς δὲ ὁ τρόπος ἐστὶν αὐταῖς τῆς γενέσεως οὐκ ἀκριβῶς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο, διότι μηδὲ τὰς φυσικὰς δυνάμεις, ὑπὲρ ὧν ἡμεῖς ἐν ἑτέροις ὑπομνήμασι διήλθομεν ἀκριβῶς ἠδυνήθησαν ἀποδεῖξαι πόσαι τέ εἰσι, καὶ τίνες, ὁποῖόν τέ τι ἐστὶ τὸ ἑκάστου αὐτῶν ἔργον. ἀλλὰ νῦν γε χαλεπὸν οὐδὲν ἐστὶ περὶ τούτων ἁπάντων διελθεῖν, ὑποθέσεσιν εἰς αὐτὰ χρησαμένοις τοῖς δι᾽ ἐκείνων ἀποδεδειγμένοις. οὐσῶν δὲ τεττάρων δυνάμεων ὧν ἅπαν μετέχει μόριον καὶ ζώου καὶ φυτοῦ, καὶ τῆς μὲν, ἑλκούσης τὸ οἰκεῖον, τῆς δὲ κατεχούσης, τῆς δὲ ἀλλοιούσης, τῆς δὲ ἀποκρινούσης τὸ περιττόν. ὄντος δὲ τοῦ περιττοῦ διττοῦ κατὰ γένος, ἢ γὰρ τῷ ποσῷ περιττόν ἐστιν, ἢ τῷ ποιῷ, καὶ τοίνυν καὶ τῶν τοῦ σώματος μορίων οὐκ ἴσην ἁπάντων ἐχόντων τὴν ῥώμην, ἀλλὰ τῶν κυριωτέρων εὐθὺς ἐξ ἀρχῆς ὑπὸ τῆς φύσεως ῥωμαλεωτέρων ἀποτελεσθέντων, εὔλογον ἐν τοῖς ἀκαθάρτοις τε καὶ περιττωματικοῖς σώμασιν ἤδη ῥεῖν τι τοῖς ἀκυρωτέροις μορίοις. ἅτε γὰρ ἐξ ἁπάντων τῶν ἰσχυροτέρων μορίων ἐλαυνόμενον τὸ περίττωμα, καὶ μηδαμόθι στῆναι δυνάμενον, εἰς τὸ πάντων ἀσθενέστατον ἀφικνεῖται μόριον. ἄλλο δὲ δι᾽ ἄλλο τοιοῦτόν ἐστιν, ἢ εὐθὺς ἐν τῇ πρώτῃ συμπήξει τοῦ ζώου πλημμεληθὲν ἢ ἐξ ὑστέρου βλαβέν, ἢ καὶ φύσει δεόμενον εἶναι τοιοῦτον ὥσπερ καὶ τὸ δέρμα. ὅτι γὰρ ἅτε μηδεμιᾶς ἐνεργείας ἕνεκεν, ἀλλὰ χρείας μόνης γεγενημένον, ἀσθενέστερον εἶναι προσήκει τῶν ἐνεργούντων. ἔστι γὰρ οἷον σκέπασμά τι, καὶ περίβλημα τοῦ ζώου σύμφυτον. οὔτ᾽ οὖν πέψιν, οὔτε ἀνάδοσιν τροφῆς, οὔτ᾽ ἐξαιμάτωσιν, οὔ τε σφυγμόν, οὔτε ἀναπνοήν, οὔτε κίνησιν καθ᾽ ὁρμήν, οὐδ᾽ ὅλως ἐνέργειάν τινα τῷ ζώῳ παρεχόμενον. ἅμα δὲ καὶ πάντων ἔξωθεν κείμενον, εὐλόγως ἐκδέχεται τὰ τοῦ σώματος ὅλου περιττώματα. πολλὰ μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς ἡ φύσις ἐτεχνήσατο τῶν περιττωμάτων καθάρσεως ἕνεκεν ὄργανα. καὶ πρός γε τὴν ὑγείαν, ἀρκεῖ μόνα ταῦτα, ἤδη δ᾽ αὖ μή τε τις ἐκ τοῦ περιέχοντος ἐγγίνεται βλάβη τῷ ζώῳ, μήτ᾽ ἐκ πλημμελοῦς διαίτης περιττωματικὸν ἀμέτρως ὅλον ἀπεργασθῇ τὸ σῶμα. τοιούτου δέ τινος συμβάντος ἁμαρτήματος, οὐκ ἔτ᾽ αὐτάρκη μόνα τὰ φυσικὰ τῶν ὀργάνων ἀποκαθαίρειν τὸ πλῆθος τοῦ περιττώματος. κἂν τούτῳ κατασκήπτει ῥεύματα τοῖς ἀσθενεστέροις μορίοις, ἐκ τῶν ἰσχυροτέρων ἐλαυνόμενα. συμβαίνει δέ ποτε καὶ στεγνωθέντων τῶν ἐκκαθαιρόντων αὐτὰ πόρων. ἑτέροις ἐπιρρυῆναι χωρίοις. αὗται μὲν αἱ ἀρχαὶ τῆς γενέσεως ἁπάντων εἰσὶ τῶν προειρημένων νοσημάτων. αὐξάνεται δ᾽ ἐν αὐτοῖς ἤδη τοῖς μέλεσι τὸ κακόν, ὡς ἂν σφηνουμένων τε καὶ διασηπομένων τῶν περιττωμάτων, καὶ οὕτως αὐτῶν τε χειρόνων γενομένων, τὸν ἐπιρρέοντα χυμὸν ἐξ ὑστέρου, κἂν χρηστὸς ᾖ, συνδιαφθειρόντων. ἀλλὰ γὰρ ἐπειδὴ καὶ τὰ τῶν ὁμοιομερῶν σωμάτων ἴδια νοσήματα διήλθομεν, ἑξῆς ἂν εἴη λέγειν τὰ τῶν ὀργανικῶν, ἀπὸ τοῦ πρώτου κατ᾽ αὐτὰ τοῦ παρὰ τὴν διάπλασιν ὑπαρξαμένους γένους. γίγνεται δὲ τοῦτο ποτὲ μὲν τοῦ κατὰ φύσιν σχήματος ὑπαλλαττομένου, ποτὲ δὲ λειότητός τινος, ἢ τραχύτητος, ἢ πόρου διαφθειρομένου. τῆς μὲν δὴ τοῦ κατὰ φύσιν σχήματος ἐξαλλαγῆς αἰτίαι, πρώτη μὲν ἡ κατὰ γαστρὸς ἔτι κυουμένων αὐτῶν διάπλασις μοχθηρά, πλήθους ὕλης ἢ ποιότητος οὐκ ἐπιτηδείου ταῖς φυσικαῖς τοῦ σπέρματος κινήσεσιν ἐμποδὼν γιγνομένης. δευτέρα δέ, ἡ τε κατὰ τὴν ἀποκύησιν αὐτήν, κἂν τὸ σπαργανοῦσθαι πλημμέλεια. μαλακὰ γὰρ ἔτι καὶ ὀλίγου δεῖν ῥυτὰ τὰ τῶν νεογνῶν παιδίων ὑπάρχοντα σώματα, ῥᾳδίως ἐκστρέφεται, δεχομένων τε τῶν μαιῶν αὐτὰ κατὰ τὴν ἀποκύησιν οὐκ ὀρθῶς, ἐνειλιττουσῶν τε τοῖς σπαργάνοις, ἔστιν ὅτε μὲν δεόντως, εἶτ᾽ αὖθις τῶν τροφῶν ἀναιρουμένων τε καὶ ἀποτιθεμένων οὐ κατὰ τρόπον, ἔν τε τῷ γάλα παρέχειν, καὶ ἐν τῷ λούειν, καὶ σπαργανοῦν. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις εἰ μή τις ἐπιτηδείως μεταχειρίζοιτο, ῥᾳδίως ἐκστρέφεται καὶ διαφθείρεται τὸ κατὰ φύσιν ἑκάστου τῶν μελῶν σχῆμα. Καὶ μὲν δὴ κἂν τῇ μετὰ ταῦτα ἀνατροφῇ συμπάσῃ, τὰ μὲν, ὑπὸ πλησμονῆς ἀμέτρου, τὰ δ᾽ ὑπὸ κινήσεως πλημμελοῦς, ἢ πρωϊαίτερον τοῦ δέοντος ἵστασθαί τε καὶ βαδίζειν ἐπιτραπέντος αὐτοῖς, ἢ σφοδρότερον κινεῖσθαι, πολλὰ τῶν μελῶν διαστρέφεσθαι συμβαίνει, τῶν μὲν πλησμονῶν, τὰς φυσικὰς ἐνεργείας ἐμποδιζουσῶν, τῶν δ᾽ ἀκαίρων, ἢ σφοδρῶν κινήσεων, λυγιζουσῶν τε καὶ περιαγουσῶν ἐφ᾽ ἃ μὴ χρὴ τὰ κῶλα. τὰ μὲν γὰρ σκέλη κἀξ αὐτοῦ τοῦ βάρους τῶν ὑπερκειμένων σωμάτων, ἢ πρὸς τοὐκτός, ἢ πρὸς τὸ ἐντὸς διαστρέφεται κατὰ τὴν ἀρχαίαν τῆς κνήμης ῥοπήν. οἷς μὲν γὰρ ὀρθότερα τοῦ δέοντός ἐστι φύσει, βλαισοῦται μᾶλλον. οἷς δὲ κοιλότερα, ῥαιβοῦται. Καλεῖ δὲ βλαισὸν μὲν, τὸ ἤδη τὰ ἐκτὸς ῥέπον, ῥαιβὸν δὲ τὸ ἤδη τἀναντία. καὶ κατὰ τὸν θώρακα δὲ μέλη διαστρέφεται πολλάκις ὑπὸ τῶν σφιγγου-

σῶν τροφῶν αὐτὰ κακῶς ἔξωθεν ἐν τῇ πρώτῃ ἀνατροφῇ. καὶ μάλιστα παρ' ἡμῖν ἔστι τὸ τοιοῦτον ἰδεῖν συνεχῶς γιγνόμενον ἐπὶ τῶν παρθένων, αὐξάνεσθαι γὰρ αὐτῶν αἱ τροφαὶ βουλόμεναι τὰ κατ' ἰσχία τε καὶ λαγόνας ὡς πολλῷ μείζω γίγνοιτο τῶν κατὰ τὸν θώρακα, ταινίαις τισὶν ὅλον ἐν κύκλῳ περιλαμβάνουσιν ἰσχυρῶς σφίγγουσαι τὰ κατ' ὠμοπλάτας τε καὶ θώρακα μόρια σύμπαντα, κἂν τούτῳ πολλάκις ἀνίσου γιγνομένης τῆς τάσεως, ἢ προπετὲς εἰς τὸ ἔμπροσθεν ἀπέφηναν τὸ στῆθος, ἢ τὰ ἀντικείμενα τὰ κατὰ ῥάχιν κυρτά. συμβαίνει δὲ ἐνίοτε καὶ ὥσπερ διακεκλασμένου καὶ παρηγμένου εἰς τὰ πλάγια γίγνεσθαι τὸ μετάφρενον, ὡς τὴν μὲν ἑτέραν ὠμοπλάτην ἀναυξῆ τε, καὶ μικρὰν, προσεσταλμένην ἱκανῶς φαίνεσθαι, τὴν δ' ἑτέραν ἐξέχουσάν τε καὶ προπετῆ, καὶ πάντη μείζονα. αὗται σύμπασαι κακίαι σχημάτων ἐν θώρακι συνίστανται, πλημμέλεια καὶ ἀμαθία τῶν τροφῶν, ἀγνοουσῶν ἰσοῤῥόπως περιδεῖν. οὕτω δὲ καὶ οἱ ἰατροὶ πολλάκις οὐκ ὀρθῶς περιδοῦντές τε καὶ διαπλάττοντες τὰ κατεαγότα κῶλα διέστρεψαν. ὥσπερ αὖ πάλιν οὐδὲν ἐξαμαρτάνοντος τοῦ θεραπεύοντος, αὐτὸς ὁ κάμνων πρὶν ἀκριβῶς κρατυνθῆναι τὸν πῶρον ἐπιχειρήσας χρῆσθαι τῷ κώλῳ, τῆς διαστροφῆς ἑαυτῷ γίνεται δημιουργός. ἀλλὰ καὶ θλασθέντα μόρια καθάπερ ῥίς, ἢ καὶ περιθραυσθέντα καθάπερ οἱ ἄμβωνες τῶν κοτυλῶν, ἔστιν ὅτε δὲ καὶ τῶν ὀστῶν ἐκκοπέντων, ἢ σαρκὸς πλείονος, εἶτ' οὐ κατ' ἴσον αὐξηθείσης, ἀπόλλυσι τὸ κατὰ φύσιν σχῆμα. ἕτερος δὲ τρόπος βλάβης σχημάτων, ὁ διὰ πλησμονὴν ἄμετρον, ἢ ἔνδειαν, ὥσπερ τοῖς ὑπερπαχυνθεῖσιν, ἢ συντακεῖσιν ἄγαν, ἤτοι καθ' ἕν τι μόριον, ἢ καὶ σύμπαντι τῷ σώματι. καὶ γὰρ οὖν καὶ ὁ ἐλέφας ὀνομαζόμενος καὶ ἡ φθόη φανερῶς ἐξαλλάττουσι τὴν μορφήν. σιμοῦται μὲν γὰρ ἡ ῥίς, καὶ τὰ χείλη παχέα, καὶ ἀπεξυσμένα τὰ ὦτα φαίνεται, καὶ τὸ σύμπαν ὅμοιοι τοῖς σατύροις οἱ ἐλεφαντιῶντες γίγνονται, ῥὶς δ' ὀξεῖα, καὶ κρόταφοι συμπεπτωκότες, καὶ ὀφθαλμοὶ κοῖλοι, καὶ τὰ κατ' ὠμοπλάτας τε καὶ βραχίονας οἱονεὶ πτέρυγες ἔξωθεν αἰωρούμεναι τοῖς φθίνουσι φαίνονται. καὶ διαφθείρεται μὲν ἐν τούτοις ἅπασιν κατὰ πρῶτον λόγον τὸ κατὰ φύσιν σχῆμα. κατὰ δ' αὖ συμβεβηκός, ἐν μὲν τοῖς παραλελυμένοις, ἢ σπωμένοις, ἢ φλεγμαίνουσιν, ἢ σκιῤῥουμένοις, ἢ νεῦρα διῃρημένοις, ἢ τένοντας, ἢ ὑπὸ σκληρῶν οὐλῶν δεδεγμένοις. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις, ἑτερόῤῥοπον γίγνεται τὸ μόριον, ἄλλο τε κατ' ἄλλην αἰτίαν. ἐν μὲν τοῖς κατὰ θάτερα παραλελυμένοις ὑπὸ τῶν ἐνεργούντων μυῶν ἑλκωμένων. οὕτω δὲ κἂν τοῖς ἑτεροῤῥόποις σπασμοῖς ὑπὸ τῶν σπωμένων. καὶ φλεγμοναὶ δὲ καὶ σκίῤῥοι, καὶ οὐλαὶ σκληραί, καὶ πάνθ' ὅσα τοιαῦτα παθήματα, τείνοντα πρὸς ἑαυτὰ τὸ συνεχές, οὕτω διαστρέφει τὸ μόριον. ἐν δ' αὖ τοῖς διατετμημένοις νεύροις, καὶ τένουσιν, ὥσπερ ἐν τοῖς παραλελυμένοις, ἡ τῶν ἀντιτεταγμένων τε, καὶ κατὰ φύσιν ἐχόντων ἐνέργεια, πρὸς ἑαυτὴν ἐπισπᾶται τὸ μέρος. ὥς τε τὰς πολλὰς ταύτας αἰτίας ἑνὶ τρόπῳ συμπάσας ὑπάγεσθαι τῇ διαστρεφούσῃ τὸ μέρος ἑτεροῤῥόπῳ τάσει. καὶ περὶ μὲν τῆς τῶν παρὰ φύσιν σχημάτων διαφορᾶς, ἱκανὰ καὶ ταῦτα. τὰς δ' ἐντὸς τῶν μορίων κοιλότητας, ἢ τοὺς πόρους αὐτῶν, ἤτοι διαφθείρεσθαι τελέως, ἢ βλάπτεσθαι συμβαίνει, κατὰ τὰς δὲ τὰς αἰτίας, σύμφυσιν, στεγνοχωρίαν, ἔμφραξιν, θλῖψιν, συνίζησιν, ἀναστόμωσιν. ἐνίοτε μὲν γὰρ ἑλκωθείσης τῆς ἔνδον ἐπιφανείας ἐν αὐτῇ τῇ κοιλότητι, κἄπειτα συμφύντων ἀλλήλοις τῶν ἡλκωμένων, ἡ διαφθορὰ γίγνεται τῆς κατὰ φύσιν διαπλάσεως. ἐνίοτε δὲ ἤτοι σαρκὸς ἐπιτραφείσης, ἢ ἄλλου τινὸς παρὰ φύσιν βλαστήματος, ἢ καὶ σκίῤῥου συστάντος, ἢ φλεγμονῆς, ἢ ἀποστήματος ἐν αὐτοῖς τῶν ὀργάνων τοῖς σώμασι. κἄπειτα τοῦ παρὰ φύσιν ὄγκου τὴν ἐντὸς κοιλότητα καταλαβόντος, ἡ στενοχωρία γίγνεται. καὶ μὲν δὴ καὶ ἡ τῶν γλίσχρων τε καὶ παχέων ὑγρῶν, καὶ τινῶν πόρων ἢ θρόμβων ἔμφραξις, εἰς τὴν αὐτὴν ἄγει τὰς κοιλότητας διάθεσιν. οὕτω δὲ κἂν εἴ τι τῶν ἔξωθεν ἐμπιπτόντων θλίβοις σφοδρῶς, ἀναγκαῖον εἰς τὴν ἐντὸς κοιλότητα συνωθεῖσθαι τὰ περιέχοντα αὐτὴν σώματα. κἂν εἰ συνιζάνοι δὲ εἰς ἑαυτὰ τὰ σώματα, καθάπερ ὑπὸ τοῦ στυφόντων πάχει συναγόμενα, καὶ ὑπὸ τῶν ψυχόντων πιλούμενα, καὶ πρὸς τῶν ξηραινόντων αὐαινόμενα, στεγνώσει δηλονότι κἂν τούτῳ, μάλιστα μὲν τοὺς πόρους, ἤδη δὲ καὶ αὐτὰς τὰς κοιλίας. τὰ μέν γε στόματα τῶν πόρων οὐ στεγνοῦται μόνον, ἀλλὰ καὶ παντελῶς τυφλοῦται πολλάκις ἐν ταῖς τοιαύταις διαθέσεσιν. ἀτὰρ οὖν καὶ ἡ τῆς καθεκτικῆς ὀνομαζομένης δυνάμεως ἄμετρος κίνησις, ἐσχάτως συνάγουσα, καὶ σφίγγουσα τὰ στόματα τῶν πόρων, αἰτία καὶ αὕτη ποτὲ γίγνεται στεγνώσεως. ὥσπερ γε καὶ τῆς μανώσεως ἐνίοτε μὲν, ἡ τῆς ἀποκριτικῆς δυνάμεως ἄμετρος κίνησις, αἰτία γίγνεται. πολλάκις δὲ καὶ ἡ τῆς καθεκτικῆς ἀῤῥωστία. καί τι φάρμακον, ἢ ὕδωρ ἀναστομωτικόν, ἢ πλῆθός τις ἄμετρος αὐτοῖς τοῖς ὀργάνοις ἐγγιγνόμενος, ἢ ἡ τοῦ περιέχοντος ἡμᾶς κρᾶσις, εἰς ὑγρότητά τε καὶ ἄμετρον θερμότητα μεθισταμένη. αὗται μὲν δὴ καὶ αἱ τῶν κατά τε τὰς κοιλίας, καὶ τοὺς πόρους διαθέσεων αἰτίαι. καὶ δῆλον, ὡς ἐκ τῶν εἰρημένων ἤδη πρόδηλον, ὁποίας τινὰς εἶναι βούλονται τὰς αἰτίας τῶν ἐν τοῖς ὁμοιομερέσι σώμασι νοσημάτων, ὅσοι συγκεῖσθαι νομίζουσιν ἐξ ὄγκων, καὶ πόρων αὐτά. ἐμοὶ δὲ περιττὸν ἐδόκει μνημονεύειν, καὶ τούτων ἰδίᾳ, ψευδοῦς ὅλης τῆς ὑποθέσεως αὐτῶν οὔσης, ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, εἴπωμέν τε τῶν ὑπολοίπων νοσημάτων τὰς αἰτίας, ἀπὸ τῶν κατὰ τὴν διάπλασιν αὖθις ὑπαρξάμενοι γένους. ὑπολείπεται δὲ ἐν αὐτῷ δισσὴ νοσημάτων γένεσις, ἤτοι τραχυνομένων παρὰ φύσιν, ἢ λεαινομένων τῶν ὀργάνων. τραχύνεται δή, τὰ πρότερον λεῖα. καὶ λεῖα γίγνεται, τὰ πρότερον τραχέα. τὰ μὲν, ὑπὸ δριμύτητος χυμῶν, ἢ φαρμάκων ῥυπτόμενα. τὰ δ' ὑπὸ λιπαρᾶς ὑγρότητος, ἢ γλίσχρου χυμοῦ τεγγόμενα. καὶ μάλιστα ἐν ὅσοις ἐναργῶς φαίνεται ταῦτα γινόμενα, ποτὲ μὲν ὑπὸ αὐτῶν τῶν ἰατρῶν οὐ δεόντως ἰωμένων, ἔστιν ὅτε δὲ κἀξ αὐτῶν τῶν ἐν τοῖς ζώοις ὑγρῶν ὁρμᾶται τῆς φύσεως. ὀφθαλμοῖς δὲ καὶ φάρυγγι τραχύτητες, οὐκ ἐκ τούτων μόνον, ἀλλὰ καὶ ἐξ ἀτμῶν δριμέων, ἢ κονιορτοῦ καὶ καπνοῦ προσγίνονται. καθάπερ οἶμαι καὶ στομάχῳ, καὶ γαστρί, καὶ ἐντέροις ἔκ τε τῶν ἐν αὐτῷ τῷ σώματι γεννωμένων περιττωμάτων, κἀκ τῆς τῶν ἐσθιομένων τε, καὶ πινομένων ποιότητος, ἐν οἷς ἐστὶ καὶ τὰ δηλητήρια. πρόδηλον δ' ὡς ἕκαστον τῶν τραχυνόντων αἰτίων σφοδρότερον γιγνόμενον, ἕλκωσιν μέν τινα, ἢ διάβρωσιν ἐν τοῖς σαρκώδεσι μορίοις, ἐν τοῖς ὀστοῖς δὲ τερηδόνας ἀπεργάζεται. αὗται μὲν οὖν αἱ τοῦ πρώτου γένους τῶν νοσημάτων, τοῦ παρὰ τὴν διάπλασιν αἰτίαι, τοῦ δευτέρου δ' αὐτοῦ παρὰ τὸν ἀριθμόν, εἰ μὲν ἀπόλλοιτό τι τῶν κατὰ φύσιν, ἤτοι τομή τις, ἢ καῦσις, ἢ σῆψις, ἢ ψύξις ἰσχυρὰ προηγεῖται.

ρα προηγεῖται, τὰ μὲν οὖν τῆς ψύξεως αἴτια προείρηται. σήπεται δὲ τὰ μὲν ὑπὸ τῶν σήπειν πεφυκότων φαρμάκων, ἢ τῶν ἐν αὐτοῖς τοῖς ζώοις γιγνομένων περιττωμάτων. τὰ δ' ὑπὸ τοῦ μὴ διαπνεῖσθαι. προείρηται δὲ καὶ τὰ τοῦ μὴ διαπνεῖσθαι προηγούμενα. εἰ δὲ τῶν οὐκ ὄντων τι κατὰ φύσιν ἐπιγίγνοιτο, νόσος μὲν καὶ τοῦτ' ἔστι παρὰ τὸν ἀριθμὸν τῶν μορίων. ἀλλ' εἰ μὲν τῆς κατὰ φύσιν ἰδέας ἔχοιτο τὸ ἐπιγιγνόμενον, ὕλης χρηστῆς πλῆθος αἴτιον. εἰ δὲ τῆς παρὰ φύσιν. εἴη ἂν καὶ ἡ τῆς ὕλης ποιότης παρὰ φύσιν. ἔρρωται δ' ἐν ἀμφοῖν ἡ δύναμις, ἢ οὐκ ἂν οὔτε διέπλαττε τὸ χρηστόν, οὔτ' ἀπέτριβε τὸ μοχθηρόν. διαπλάττει μὲν οὖν ἐν ταῖς κυήσεσιν ἐπειδὰν ἑξαδάκτυλον, ἢ τί τοιοῦτον ἕτερον ἀπεργάσηται. κἂν τοῖς ἤδη τελείοις ἐπειδὰν ἐπιτρέφει σάρκας ἰσχυρὰς τοῖς ἡλκωμένοις μορίοις, ἢ πτερύγιον τοῖς ὀφθαλμοῖς. ἀποτίθεται δὲ τὸ περιττόν, ἐν γαγγλίοις τε καὶ μελικηρίσι, καὶ στεατώμασι, καὶ ἀθερώμασι, καὶ τοῖς τοιούτοις ἅπασι. καὶ μὲν δὴ καὶ τὸ μέγεθος τῶν μορίων, αὐξάνεται μὲν ὑπό τε πλήθους ὕλης χρηστῆς, καὶ δυνάμεως ἐρρωμένης. μειοῦται δὲ ὑπὸ τῶν ἐναντίων. κἀπειδὰν ἤτοι τομή τις, ἢ καῦσις, ἢ σῆψις, ἢ νέκρωσις ἐκ καταψύξεως ἀμέτρου, διαφθείρῃ τινὸς ὀργάνου μόριον, ὡς εἶναι τὸ λειπόμενον αὐτοῦ κολοβόν. τὰ δ' ἐν τῷ τῆς † θέσεως γένει νοσήματα τινὰ μὲν ἐξαιφνιδίους τε καὶ σφοδρὰς ἔχει προηγουμένας κινήσεις. τινὰ δὲ δι' ἀμετρίαν τῆς ἐν τοῖς ἄρθροις ὑγρότητος γίγνεται, τεγγούσης μὲν τοὺς συνδέσμους καὶ χαλώσης, ὀλισθηρὰν δὲ τῇ γλισχρότητι τὴν ὅλην διάρθρωσιν ἐργαζομένης. ἐνίοις δὲ τῶν ἀμφὶ τὰς κοτύλας ὀφρύων περιθραυσθεισῶν, ἑτοίμη ταῖς κεφαλαῖς τῶν κώλων, ἡ παράλλαξις γίγνεται. τισὶ δ' εὐθὺς ἐξ ἀρχῆς ὕπτιαί τε καὶ προπετεῖς εἰσί, καὶ παντάπασιν ἐπιπολῆς αἱ κοτύλαι. ταυτὶ μὲν οὖν ἅπαντα τῶν ἐξαρθρημάτων αἴτια. περὶ δὲ τὰς ἐντεροκήλας τε καὶ τὰς ἐπιπλοκήλας ὀνομαζομένας ἀναμνησθῆναι μὲν τοὐπίπαν, ἐστὶν ὅτε δὲ καὶ ῥήγνυσθαι συμβαίνει τὸν ἀπὸ τοῦ περιτοναίου καθήκοντα πόρον ἐπὶ τοὺς ὄρχεις εἶθ' οὕτως εἰς αὐτὸν τὸν πόρον, ἢ εἰς τὸν ἐρυθροειδῆ χιτῶνα κατολισθάνειν, ἤτοι τὸ ἐπίπλουν, ἢ καί τι τῶν ἐντέρων. ἐξίσταται δὲ τῆς οἰκείας θέσεως ἔντερα, κἀπειδὰν τοῦ περιτοναίου διαιρεθέντος προπέσῃ. καὶ πνεύμονος δὲ λοβὸς ἐπὶ ταῖς τοῦ θώρακος τρώσεσι, ἐκπίπτει πολλάκις. καὶ ὁ ῥαγοειδὴς χιτὼν ἐπὶ πλεῖστον χαλᾶται, † διαβρωθέντος τοῦ κερατοειδοῦς. εἰ δὲ καὶ τῶν σπλάγχνων ὑποπίπτει τις ἐνίοτε λοβὸς ἐπὶ σφοδραῖς καταπτώσεσιν, ἢ θλίψεσιν, εἴη ἂν καὶ τοῦτο τὸ νόσημα τῆς τε θέσεως ἅμα καὶ τοῦ σχήματος ὑπάλλαξις ἐπὶ ταῖς εἰρημέναις αἰτίαις γιγνόμενον. ἡ δὲ πρὸς τὰ παρακείμενα μόρια κοινωνία διαφθείρεται, συμφύντων τινῶν ἀλλήλοις οὐ δέοντος, ἢ τινος ἀρτήματος, ἢ δεσμοῦ χαλασθέντος, ἢ συνταθέντος, ἢ ἀπορραγέντος. ἐκ τίνων δ' ἕκαστον τούτων γίγνεται προφάσεων, εὔδηλον. λοιπὸν δ' ἔτι γένους νοσήματος κοινοῦ πάντων τῶν μορίων, εἴτ' οὖν ὁμοιομερῆ τε καὶ ἁπλᾶ τελέως, εἴτε καὶ σύνθετα εἴη, τὰς αἰτίας τῆς γενέσεως εἰπεῖν χρή. καλεῖν μὲν οὖν εἴωθα τὸ γένος τοῦτο σύμπαν, ἑνώσεως λύσιν, ἢ διαφθορὰν ἑνώσεως, ἢ συνεχείας λύσιν, ἢ ὅπως ἂν ἄλλως ἐλπίσω τὸν λόγον σαφῆ ἔσεσθαι τοῖς ἀκούουσιν. οὐδὲν γὰρ ὄνομα κατ' αὐτοῦ κείμενον ὑπὸ τῶν ἔμπροσθεν παρελάβομεν, ὥσπερ ἐπί τινων εἰδῶν αὐτοῦ, κάταγμα μὲν καὶ τερηδόνα τῆς ἐν ὀστῷ συνεχείας διαιρουμένης. ἕλκος δὲ καὶ τραῦμα, τῆς ἐν σαρκί. περὶ μέν γε τὰ τῆς κεφαλῆς ὀστᾶ καὶ πλείω τὰ ὀνόματα. τὸ μὲν γὰρ οἷόνπερ ἐν τοῖς ἄλλοις ὀστοῖς κάταγμα ῥωγμή τε καὶ ῥῆξις, προσαγορεύεται. τὸ δ' ὑπό τινος ὀξέως ἐμπεσόντος αὐτοῖς, καὶ διακόψαντος, ἐγκοπή τε, καὶ διακοπή, καὶ ἕδρα. τὸ δὲ τῆς τερηδόνος ὄνομα, πλεονάζειν δοκεῖ τῷ στοιχείῳ. παρὰ γὰρ τὸ τρῆμα συγκεῖσθαι πεπίστευται, καθάπερ τερηδών τις οὖσα, καὶ γίνεται μὲν ὑπὸ δριμέων χυμῶν διαβιβρωσκόντων. ὑποπίπτει δὲ κατ' ἀρχὰς μὲν ἑτέρῳ γένει νοσήματος. ὀστοῦ γοῦν τραχύτης μᾶλλον, ἢ τερηδὼν ὀνομάζεται. μείζονος δὲ τοῦ τρήματος γενομένου, καὶ οἷον ὀπῆς τινὸς ἤδη φαινομένης τερηδὼν ὀνομάζεται. καὶ μὴν καὶ τὸ θλάσμα τούτου τοῦ γένους ἐστίν, ἐν μὲν τοῖς σαρκώδεσιν ὡς τὰ πολλὰ μέρεσι γιγνόμενον, ἔστιν ὅτε δὲ κἀν τοῖς τῆς κεφαλῆς ὀστοῖς, ἐπὶ παίδων μάλιστα. δεῖ μὲν γὰρ εἴκειν εἰς ἑαυτὸ πάντως τὸ θλασθησόμενον, δεῖ δὲ αὐτὸ τοῦτο μαλακὸν εἶναι, καὶ μὴ τελέως σκληρόν. ὥστε τῶν σαρκωδῶν ἐστι μορίων καὶ τῶν ἁπαλῶν ὀστῶν ὑπό τινος ἐμπεσόντος ἔξωθεν αὐτοῖς βιαίως ἰσχυροῦ τε καὶ σκληροῦ σώματος. ὅταν οὖν τῆς ἔξωθεν ἐπιφανείας τοῦ παθόντος οὕτω μορίου συνεχοῦς ἔτι φυλαττομένης ἐν τῷ βάθει γεννηθῶσι πολλαί, καὶ σμικραὶ διαιρέσεις, θλάσμα τε καὶ θλάσις ὀνομάζεται τὸ νόσημα. κοιλότητος δέ τινος ἐμφαινομένης, ἣν τὸ πλῆξαν ἐναπειργάσατο τῷ θλασθέντι, καλεῖται τὸ πάθος ἔνθλασις. ἀνάγκη μὲν οὖν ἅπασα κατ' αὐτὴν τὴν πληγὴν εἰς ἑαυτὸ συνωθεῖσθαι, καὶ κοῖλον γίγνεσθαι τὸ θλώμενον. ἢ οὐκ ἂν ἐνθλασθείη. διασώζεσθαι δὲ τὴν κοιλότητα τοῦ δρῶντος ἀπελθόντος, οὐκ ἔτ' ἀναγκαῖον. ἐπανέρχεται μὲν ὡς τὸ πολὺ τὰ μαλακὰ σύμπαντα, χωρισθέντος τοῦ πλήξαντος, εἰς τὴν ἀρχαίαν κατάστασιν. εἰ δὲ μὴ μόνον εἴσω χωρήσειε τὸ τῆς κεφαλῆς ὀστοῦν, ἀλλὰ καὶ ῥῆξίς τις αὐτῷ προσγένοιτο κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν, σύνθετον ἤδη τὸ τοιοῦτον, καὶ οὐδὲν ὄνομα κατ' αὐτοῦ κείμενον ἔχομεν εἰπεῖν παλαιόν. ἀλλὰ χρὴ λόγῳ δηλοῦν αὐτὸ μᾶλλον, ἤπερ ὀνόμασιν ἐσχάτως χρῆσθαι βαρβάροις, οἷα πολλὰ τοῖς νεωτέροις ἰατροῖς ἐξεύρηται. συνεχείας δ' ἐστὶ λύσις, καὶ τὸ ῥῆγμα, καὶ τὸ σπάσμα. τὸ μὲν ἐν σαρκώδει μορίῳ, τὸ δ' ἐν νευρώδει συνιστάμενον. αἰτία δὲ καὶ τούτων τῆς γενέσεως, ἐξαιφνίδιός τις, ἢ ἀνώμαλος, καὶ σφοδρὰ κίνησις, καὶ μάλισθ' ὅταν ἄτριπτά τε, καὶ ἀνώμαλα, καὶ ἀθέρμαντα, καὶ ἀμάλακτα πρὸς τὰς κινήσεις ἄγηται τὰ σώματα. διασπᾶται γὰρ ἐν ταῖς τοιαύταις διαθέσεσι πολλὰ, τῶν ἐν αὐτοῖς μορίων. συνελόντι δὲ φάναι, πάντα τὰ τοῦ τοιούτου γένους τῶν νοσημάτων αἴτια. τὰ μὲν ἔξωθεν ὁρμᾶται. τὰ δὲ ἐξ αὐτοῦ τοῦ σώματος. ἔξωθεν μὲν, ὅσα τιτρώσκειν, ἢ θλᾶν πέφυκεν, ἐξ αὐτοῦ δὲ τοῦ σώματος, ἀμετροί τε, καὶ ἄτακτοι κινήσεις τοῦ ζώου, καί τινων ὑγρῶν μοχθηρίαι διαβιβρώσκειν πεφυκυῖαι. τοιαῦται γάρ τινες αἰτίαι, καὶ αἱ τοῦ κοινοῦ νοσήματος ἁπάντων τῶν μορίων, τῶν θ' ἁπλῶν, καὶ πρώτων, ἃ δὴ καὶ ὁμοιομερῆ καλεῖται, καὶ τῶν ἐξ ἐκείνων συντιθεμένων, ἃ δὴ ὀργανά τε καὶ ὀργανικὰ προσαγορεύεται. τὰς δὲ τῶν συνθέτων νοσημάτων αἰτίας οὐδὲν ἔτι χαλεπὸν ἐξευρίσκειν ἐκ τῶν εἰρημένων συντιθέντας. ὥστ' ἐπειδὴ τοῦτο βουληθεὶς ἕκαστος, ἑαυτῷ δυνατός ἐστιν ἐκποιεῖσθαι, καιρὸς ἂν εἴη μοι καὶ τοῦτον ἤδη τὸν λόγον ἐνταυθοῖ καταπαύσαντι, περὶ τῶν συμπτωμάτων διαφορᾶς ἐφεξῆς διελθεῖν.

† ἀλ. συνθέσεως

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΣΥΜΠΤΩΜΑΤΩΝ ΔΙΑΦΟΡΑΣ ΒΙΒΛΙΟΝ. γ'.

ΤΙΝΑ μὲν ἐστὶ καὶ πόσα τὰ σύμπαντα νοσήματα, κατ᾽ εἴδη τε, καὶ γένη διῃρημένα, ἁπλᾶ τε καὶ σύνθετα, ὁπόσαι τε καθ᾽ ἕκαστον αὐτῶν αἰτίαι τῆς γενέσεως, ἐν ἑτέροις ὑπομνήμασι γέγραπται. λοιπὸν δ᾽ ἂν εἴη περὶ τῶν συμπτωμάτων διελθεῖν, ἵν᾽ ὁ τέλειος ὁ περὶ πασῶν τῶν παρὰ φύσιν διαθέσεων λόγος. ἅπασα γὰρ οὖν διάθεσις σώματος ἐξισταμένη τοῦ κατὰ φύσιν, ἢ τοι νόσημά ἐστιν, ἢ αἰτία νοσήματος, ἢ σύμπτωμα νοσήματος. ὅπερ ἔνιοι τῶν ἰατρῶν, ἐπιγέννημα καλοῦσιν. ἀλλὰ τοῦτο μὲν οὐ πάνυ τι σύνηθές ἐστι τοῖς Ἕλλησι τοὔνομα, σύμπτωμα δὲ καὶ πάθημα, καὶ πάθος ὀνομάζουσι συνήθως ἅπαντα τὰ τοιαῦτα. σημαίνεται μὴν οὐ πάντη ταυτὸν ἐκ τῶν ὀνομάτων, ἀλλ᾽ ὡς ἐγὼ νῦν διαιρήσω περὶ πάντων ἑξῆς τῶν παρακειμένων ἀλλήλοις κατὰ τὸν δὲ τὸν τρόπον ἐπεξιών. ἡ μὲν δὴ νόσος εἴρηται, κατασκευή τις οὖσα παρὰ φύσιν, ὑφ᾽ ἧς ἐνέργεια βλάπτεται πρώτως. δῆλον δὲ ὡς εἰ καὶ διάθεσίν τινα εἴποιμεν παρὰ φύσιν, ὑφ᾽ ἧς ἐνέργεια βλάπτεται, ταυτὸν ἐροῦμεν. ἕκαστον γὰρ τῶν ὄντων, διάκειται πως εἴθ᾽ ὑγιεινὸν, ἄν τε νοσῶδες, ἄν τε μηδέτερον ὑπάρχῃ. παρὰ δὲ τὸ διακεῖσθαι πως, τὸ τῆς διαθέσεως ὄνομα γέγονεν, εἰς ταύτην ἡγμένον τὴν χρῆσιν οὐχ ὑπὸ τῶν φιλοσόφων μόνων τῶν παλαιῶν, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων. ἡ μὲν οὖν διάθεσις, κοινὸν ἁπάντων, ὑγιαινόντων, νοσούντων, καὶ οὐδετέρως ἐχόντων. καὶ γὰρ καὶ μέλους, καὶ ἁρμονίας, καὶ λόγου, καὶ λέξεως, διάθεσις εἴρηται παρὰ τοῖς Ἕλλησιν. ἡ νόσος δὲ, τὸ ἐναντίον τῇ ὑγείᾳ. διαφέρει δ᾽ ἀμφοῖν τὸ πάθος τε καὶ πάθημα προσαγορευόμενον, ὥσπερ δὴ καὶ Πλάτων αὐτὸ διοριζόμενος ἔλεγε. πᾶν γὰρ ὅτι περ ἂν πάσχῃ τις πάθος προσρητέον. ὅθεν οἶμαι καὶ τὰς τῶν αἰσθήσεων ἀλλοιώσεις, παθήματα προσαγορεύει, κατὰ μὲν τὴν ὄψιν, τὰς ἀπὸ λευκοῦ, καὶ μέλανος, καὶ ξανθοῦ, καὶ τῶν ἄλλων χρωμάτων. κατὰ δὲ τὴν ἁφὴν, τὰς ἀπὸ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, καὶ σκληροῦ, καὶ μαλακοῦ, καὶ τῶν τοιούτων ἁπάντων. οὕτω δὲ καὶ καθ᾽ ἑκάστην τῶν ἄλλων αἰσθήσεων. ὀνομάζει δὲ καὶ τὴν ἡδονὴν πάθημα. καὶ ὅλως ἅπασαν κίνησιν ἥν τινα οὖν, τὴν ὑφ᾽ ἑτέρου γινομένην, ἐν ἑτέρῳ. ἡ μὲν γὰρ τοῦ ποιοῦντος κίνησις ἐνέργεια, πάθημα δὲ καὶ πάθος, ἡ τοῦ διατιθεμένου πως ὑπ᾽ αὐτοῦ. καὶ γὰρ καθόλου τὸ διατίθεσθαί πως ταυτὸν τῷ πάσχειν ἐστί. καὶ διήνεγκε τῆς διαθέσεως τὸ πάθημα, κινήσει. παυσαμένου γὰρ τοῦ ἀλλοιοῦντος, ἡ περὶ τὸ παθὸν ἀλλοίωσις ὑπομένουσα, διάθεσις ἐστι τοῦ παθόντος. ὥστε ἐν αὐτῷ μὲν τῷ τρέπεσθαι, καὶ μεταβάλλεσθαι, καὶ ἀλλοιοῦσθαι, καὶ κινεῖσθαι, τὸ πάθος ἔχειν τὴν γένεσιν. ἐν δὲ τῷ μένοντι, καὶ σωζομένῳ περὶ τὸ ὑποκείμενον σῶμα, τὴν διάθεσιν. ἤδη δὲ μένουσαν διάθεσιν, οἱ Ἕλληνες ὀνομάζουσι πάθος. ὥσπερ καὶ τὸ πεποιηκὸς, οὐκ ἔτι δὲ (τὸ) ποιοῦν, αἴτιον. καί τοι γε οὐδὲ τοῦτο ἁπλῶς αἴτιον, οὐθ᾽ ἡ μένουσα διάθεσις, ἁπλῶς ἐστὶ πάθος, ἀλλὰ καὶ αὐτὴ κατά γε τὸν ἀκριβῆ λόγον, γεγονὸς μὲν πάθος ἐστὶν, ὂν δὲ οὐκέτι. ὅτι δ᾽ οὕτως σύνηθες ὀνομάζειν τοῖς Ἕλλησιν ἐν τῇ τῶν ἰατρικῶν ὀνομάτων πραγματείᾳ δέδεικται. καὶ χρὴ μεμνημένους, ὅπερ ἀεὶ λέγεται πρὸς ἡμῶν, ὑπὲρ μὲν τῶν ὀνομάτων, ὅτι τάχιστα συντίθεσθαι πρὸς ἀλλήλους, ἰδεῖν δὲ τὰ πράγματα αὐτὰ, καὶ διατρίβειν τε, καὶ χρονίζειν ἐν ἐκείνοις. ἀλλ᾽ οἱ πλεῖστοι τῶν πεπαιδεῦσθαι φασκόντων ἔμπαλιν δρῶσιν, ἅπαντα κατατρίβοντες τὸν ἑαυτῶν βίον, εἰς τὴν περὶ τῶν ὀνομάτων ἔριν, ὡς μηδέ ποτε δυνηθῆναι, τοῦ τέλους τῆς τέχνης ἐφικέσθαι. τί δὴ οὖν χρὴ ποιεῖν τὸν ἀληθείας ἐραστήν; ἐπιδεικνύναι τὰ παραπλήσια ταῖς ἀλλήλων φύσεσι πράγματα, καὶ διὰ τοῦτο παρορώμενα. κἄπειτα τίθεσθαι κατὰ τούτων τὰ ὀνόματα, μάλιστα μὲν εἰ οἷός τε εἴη τὰ συνηθέστατα τοῖς Ἕλλησιν. εἰ δ᾽ ἀγνοίη ταῦτα, ποιεῖν ἴδια. πρὸ πάντων δὲ καθ᾽ ἑκάστου πράγματος ἓν ὄνομα, ἵνα μήτε παρὰ τὴν ὁμωνυμίαν ἀσάφειά τις γίνηται, καὶ σοφίσματα συνίστηται κατὰ τὸν λόγον, μήτε παραλείπηταί τι πρᾶγμα. τὸ δ᾽ εἴτ᾽ ὀρθῶς, εἴτε οὐκ ὀρθῶς, εἴτε κυρίως, εἴτ᾽ ἀκύρως κεῖται τοὔνομα κατὰ πολλὴν ἐπισκέπτεσθαι σχολὴν, ὅταν ἤδη τὰ πράγματα μεμαθηκότες ὑπάρχωμεν. ἐν γὰρ τῇ τούτων γνώσει τὸ † κατορθοῦν ἐστὶν, οὐκ ἐν τοῖς ὀνόμασιν. ἡμεῖς μὲν οὖν, ὡς ἔφην, τὰ συνήθη τε τοῖς Ἕλλησιν ὀνόματα τιθέμεθα, καὶ τὰ παρακείμενα ἀλλήλοις πράγματα διορίζομεθα. τοῖς δ᾽ ἄλλοις, ὀνομάζειν μὲν, ὡς ἂν ἐθέλωσι συγχωροῦμεν. ἀδιόριστον δέ τι πρᾶγμα παραλιπεῖν, οὐ συγχωροῦμεν. ἐν αὐτοῖς γοῦν τούτοις τοῖς νῦν προκειμένοις ἡμῖν, ἐπειδὴ τὸ μὲν ἐν τῷ τρέπεσθαι, καὶ μεταβάλλεσθαι τὸ σῶμα, καὶ ὁπωσοῦν ἀλλοιοῦσθαι γινόμενον, ἕτερόν ἐστι τοῦ γεγονότος ἤδη καὶ μένοντος, αὐτοῦ δὲ τοῦ γεγονότος, τὸ μὲν ἐνεργείας τῆς κατὰ φύσιν ἐστὶ ποιητικὸν, τὸ δὲ βλαπτικόν. τὸ μὲν ἐν τῷ γίνεσθαι τὸ εἶναι κεκτημένον, ἐνέργειαν, ἢ πάθος ὀνομάσομεν. τὸ δ᾽ ἐν τῷ διαμένειν ἐπί τινα χρόνον. ὑγείαν, ἢ νόσον. ἐνεργείας δὲ διωρίσθαι πάθος, ὡς ποιοῦν ποιουμένου, καὶ νόσος ὑγείας, ὡς τὸ μὲν παρὰ φύσιν ὂν, τὸ δὲ κατὰ φύσιν. αὖθις οὖν αὐτῶν εἰπόντες ὅλους τοὺς λόγους, ἐχώμεθα τῶν ἐφεξῆς. ὑγεία μὲν οὖν ἐστι διάθεσις κατὰ φύσιν ἐνεργείας ποιητική. διαφέρει δ᾽ οὐδὲν, ὡς ἔφαμεν, εἴτε κατασκευὴν, ἢ διάθεσιν εἴποιμεν, εἴτε ποιητικὴν ἐνεργείας, εἴτ᾽ αἰτίαν ἐνεργείας. ὡσαύτως δὲ καὶ εἰ τὸ κατὰ φύσιν ἀφέλοιμεν, οὐδὲν διοίσει. συνσημαίνεται γὰρ ἐν τῷ λοιπῷ λόγῳ. οὕτω δὲ καὶ νόσος, ἡ παρὰ φύσιν κατασκευὴ τοῦ σώματος, καὶ αἰτία τοῦ βεβλάφθαι τὴν ἐνέργειαν. ἢ συντομώτερον οὕτως. νόσος ἐστὶ διάθεσις παρὰ φύσιν, ἐνεργείας ἐμποδιστική. πάθος δ᾽ ἐστὶν, ἡ περὶ τὴν ὕλην ἀπὸ τοῦ δρῶντος κίνησις. αὕτη δὲ ἡ τοῦ δρῶντος κίνησις, ἐνέργεια. τὸ δ᾽ ἐκ τῆς ἑαυτοῦ φύσεως εἰσφερόμενόν τινα τῷ γινομένῳ μοῖραν τῆς γενέσεως, αἴτιον αὐτοῦ λέγεται. πλείω δ᾽ ἐστὶ ταῦτα κατὰ γένος. ἥτε γὰρ ὕλη καὶ ἡ χρεία. καὶ ὁ σκοπὸς, καὶ τὸ ὄργανον. καὶ τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. ἕκαστον γὰρ τούτων, εἰσφέρεταί τινα τῷ γινομένῳ συντέλειαν. τὰ δ᾽ οὐδὲν μὲν εἰσφερόμενα, μὴ χωριζόμενα δὲ τῶν εἰσφερομένων, τὸν, ὧν οὐκ ἄνευ, λόγον ἐπέχει. τούτων οὕτως ἐχόντων, ἐνδέχεταί τινα στίχον, αἰτίων γίνεσθαι πολλάκις, ἀλλήλας διαδεχομένων, ὡς εἰ καὶ ψηφίδων ἐφεξῆς ἀλλήλαις κειμένων πλειόν

† αl. κατορθούμενων.

μένων πλειόνων, κινήσειέ τις τὴν πρώτην, αὐτὴ δὲ τὴν δευτέραν, κἀκείνη τὴν τρίτην, καὶ οὕτω κατὰ τὸ ἑξῆς
ἑκάστη τὴν μεθ' ἑαυτήν. ἐν γὰρ τοῖς τοιούτοις ἅπασιν, εἰ μή τις διορίζοιτο τὸ κατὰ συμβεβηκὸς ποιεῖν λεγόμε-
νον, τὸ καθ' ἑαυτό, πάμπολλά τε καὶ ἀτοπώτατα συμπεσεῖται τοῖς λόγοις ἁμαρτήματα. σημαίνει δὲ ταυ-
τὸν τὸ μὲν καθ' ἑαυτό, τῷ πρώτως, κἂν εἴ τινες τῶν ἀττικιζόντων φυλάττοιντο τοὔνομα, τὸ δὲ κατὰ συμ-
βεβηκός, τῷ δευτέρως. ὁ μὲν οὖν τὸν δάκτυλον προσενεγκὼν τῇ πρώτῃ ψηφίδι, πρώτως μὲν ταύτην ἐκί-
νησε, κατὰ συμβεβηκὸς δὲ καὶ δευτέρως, τὴν ἐφεξῆς αὐτῇ, καὶ οὕτως ἤδη καὶ τὰς ἄλλας ἁπάσας. οὕτως δὲ
καὶ ἡ πρώτη καθ' ἑαυτὴν μὲν τὴν δευτέραν, κατὰ συμβεβηκὸς δὲ τὴν τρίτην, καὶ τὰς ἄλλας τὰς ἐφεξῆς.
καὶ ἡ δευτέρα δέ, κατὰ τὸν αὐτὸν λόγον, πρώτως μὲν τὴν τρίτην, δευτέρως δέ, τὴν τετάρτην, καὶ τὴν πέμ-
πτην καὶ τὰς ἐφεξῆς. εἰ δὲ ἀκριβέστερον ἔτι διαιρεῖσθαι βούλοιο, πρὸς γὰρ τὴν τῶν πραγμάτων ἀκρίβειαν, οὕτω
χρησιμώτερον, ἑκάστη τῶν ψηφίδων, πρώτως μὲν κινεῖ τὴν ἐφεξῆς. δευτέρως δὲ τὴν μετ' ἐκείνην. καὶ τρίτως
τὴν ἔτι μετ' ἐκείνην, καὶ τετάρτως τὴν ἐφεξῆς αὐτῇ. τούτων οὕτως ἐχόντων καὶ διωρισμένων, ἐπειδὴ τὸ νόση-
μα διάθεσίς τίς ἐστι παρὰ φύσιν, τὴν ἐνέργειαν βλάπτουσα, τὴν νόσον δ' αὐτῆς ἐνδέχεταί τινα προηγεῖσθαι
διάθεσιν ἑτέραν, παρὰ φύσιν μὲν καὶ ταύτην, οὐ μὴν κατά γε τὸν ἑαυτῆς λόγον βλάπτουσαν τὴν ἐνέργειαν,
ἀλλὰ διὰ μέσου τοῦ νοσήματος, τὴν τοιαύτην διάθεσιν οὐ νόσημα καλοῦμεν, ἀλλ' αἰτίαν προηγουμένην νοσήμα-
τος. ἀκριβῶς τε τὸν νοῦν ἐνταῦθα προσέχομεν τοῖς κἀκείνην τὴν διάθεσιν αἰτίαν εἶναι φάσκουσι, τοῦ βλά-
πτεσθαι τὴν ἐνέργειαν. οὐδὲ γὰρ καθ' ἑαυτήν, οὐδὲ πρώτως, ἀλλὰ κατὰ συμβεβηκός τε καὶ δευτέρως, ἐμποδί-
ζεσθαί τε καὶ βλάπτεσθαι δι' αὐτὴν ἐροῦμεν τὴν ἐνέργειαν. ὑπὸ δὲ τοῦ νοσήματος αὐτοῦ πρώτως τε καὶ κα-
τὰ τὸν ἑαυτοῦ λόγον. ὅθεν κἂν τῷ λέγειν διάθεσιν σώματος, ἐμποδιστικὴν ἐνεργείας εἶναι τὸ νόσημα, τοῖς μὲν
εὐθὺς ὑπακούουσιν, ὅτι πρώτως τε καὶ καθ' ἑαυτήν, αὐτάρκης ὁ λόγος. ὅσοι δ' αὖ ἤτοι σκαιότερον, ἢ ἐριστικώ-
τερον ἀκούουσι, προσθετέον αὐτοῖς καὶ τὸ πρώτως, ἵν' ᾖ τοιοῦτος ὁ λόγος. νόσημά ἐστι διάθεσις σώματος ἐνεργεί-
ας τινὸς ἐμποδιστικὴ πρώτως. ὅσαι τοίνυν αὐτῆς προηγοῦνται διαθέσεις, οὔπω νοσήματα. κἂν εἰ συμπίπτοιεν
δέ τινες αὐταῖς ἕτεραι διαθέσεις οἷον σκιαί τινες παρακολουθοῦσαι, καὶ ταύτας οὐ νοσήματα καλοῦμεν, ἀλλὰ
συμπτώματα. καὶ ἡμῖν οὕτως οὐ πᾶν ὅτι περ ἂν ᾖ παρὰ φύσιν ἐν τῷ σώματι, νόσημα εὐθὺς ἔσται κλητέον, ἀλλὰ
τὸ πρώτως μὲν βλάπτον τὴν ἐνέργειαν νόσημα, τὸ δὲ τούτου προηγούμενον, αἴτιον μὲν νοσήματος, οὔπω δὲ νό-
σημα. εἰ δ' ἕποιτό τις ἄλλη τῷ νοσήματι περὶ τὸ σῶμα διάθεσις, αὕτη σύμπτωμα ὀνομασθήσεται. καὶ μὴν καὶ
ἡ τῆς ἐνεργείας αὐτῆς βλάβη, σύμπτωμά ἐστι τοῦ ζώου. πᾶν γὰρ ὅτι περ ἂν παρὰ φύσιν συμβαίνει τῷ ζώῳ, σύμ-
πτωμά ἐστι. παρὰ μὲν δὴ τοῖς Ἕλλησιν ἡ τῶν ὀνομάτων χρῆσις, οὕτως ἔχει. μετατιθέναι δ' ἔξεστι τῷ βουλομένῳ, με-
νόντων ὥσπερ εἴρηται τῶν πραγμάτων. οἷον εὐθὺς εἰ μὴ βούλοιτο σύμπτωμα καλεῖν, ἀλλ' ἐπιγέννημα. σύμπτω-
μα μὲν γὰρ εἶναι πᾶν ὅ, περ ἂν συμβέβηκε τῷ ζώῳ παρὰ φύσιν. ἐπιγέννημα δέ, οὐ πᾶν, ἀλλὰ τὸ μόνοις τοῖς
νοσήμασιν ἐξ ἀνάγκης ἑπόμενον. ἀλλ' ἡμεῖς γ' ὡς ἔφην, ἅπασαν μὲν ἀλλοίωσιν γινομένην ἔτι, πάθος εἶναι. ἅπαν-
τα δὲ τὰ παρὰ φύσιν ὑπάρχοντα τοῖς σώμασιν, ὀνομάζομεν συμπτώματα. καὶ συμβήσεται ταὐτὸν ἐνίοτε πρᾶ-
γμα, καὶ πάθος ὀνομάζεσθαι, καὶ σύμπτωμα, τῶν σημαινομένων ἑκατέρων ὑπαρχόντων αὐτῷ, κατ' ἄλλον
καὶ ἄλλον λόγον. οἷον αὐτίκα τὸ τρέμειν, πάσχειν ἐστίν, ὅτι καὶ ἀλλοιοῦσθαι, καὶ κινεῖσθαι μὴ κατὰ τὴν οἰκείαν ἐνέργειαν
συμβαίνει. καὶ πάθημά τε καὶ πάθος ὁ τρόμος, ὅτι καὶ ἀλλοίωσις ἡ τοιαύτη κίνησις. ἀλλὰ καὶ σύμπτωμα. παρὰ
φύσιν γὰρ ἡ κίνησις. εἰ δέ γε ἀλλοίωσις ἡ μόνον ὥσπερ ἐν τῷ βλέπειν τε καὶ ἀκούειν, καὶ ὀσφραίνεσθαι, καὶ γεύε-
σθαι, καὶ ἅπτεσθαι γίνοιτο, πάθος ἂν ὀνομάζεσθαι μόνον, οὐκέτι δὲ σύμπτωμα. τὸ γάρ τοι τοῦ συμπτώματος ἴδιον,
αὐτὸ τοῦτ' ἐστι, τὸ παρὰ φύσιν. ὅθεν κἂν ταῖς διαφοραῖς ἁπάσαις, τοῦ κατὰ φύσιν ἐξαλλαττομέναις συνίσταται.
καὶ γὰρ σχημάτων τῶν κατὰ φύσιν, καὶ χρωμάτων, καὶ μεγεθῶν, ἐνεργημάτων τε καὶ παθημάτων διαφθειρομένων
γίνεται. καὶ οὗτός ἐστιν ἰδιαίτατος αὐτοῦ λόγος, ἐξάλλαξις τοῦ κατὰ φύσιν. τί δέ, οὐχὶ καὶ ἡ νόσος ἐξάλλαξις τοῦ κατὰ φύσιν, ἢ
οὐχ ἁπλῶς ἐξάλλαξις, ἀλλ' ἐξάλλαξίς τις. ἁπλῶς δὲ ἐξάλλαξις, τὸ σύμπτωμα. τοῦ γὰρ ἐν ταῖς διαθέσεσι κατὰ φύ-
σιν, ἐξαλλαττομένου καὶ βλάπτοντος τὴν ἐνέργειαν, ἡ νόσος γίνεται. καὶ δυοῖν τούτοιν ἐξ ἀνάγκης ἐδεῖτο, πρὸς τό,
νόσος ὑπάρχειν. ἐν γένει μὲν εἶναι τῆς διαθέσεως, βλάπτειν δὲ ἐνέργειαν, ὧν οὐδέτερον ἀνάγκη παρεῖναι τῷ
συμπτώματι. καὶ γὰρ εἰ μὴ διάθεσις εἴη. καὶ εἰ μὴ βλάπτει γε τινὰ ἐνέργειαν, ἀλλὰ αὐτῷ γε μόνῳ τῷ παρὰ φύσιν,
ἱκανῶς ὁρισθήσεται. νοσήματος μὲν δὴ ταύτῃ διήνεγκε. παθήματος δέ, τῷ τὸ μὲν ἐν κινήσει πάντως εἶναι τὸ
πάθημα καὶ κατὰ φύσιν ἐνίοτε. τὸ σύμπτωμα δὲ οὐκ ἐν κινήσει μόνον, ἀλλὰ καὶ καθ' ἕξιν τινά, καὶ πάντως παρὰ
φύσιν. ἔσται δὴ πάθος μέν, ἡ περὶ τὴν ὕλην ἀλλοίωσις ἢ κίνησις ἔτι γινομένη. ἡ δ' ὑπομένουσα, διάθεσις. σύμ-
πτωμα δέ, πᾶν ὅτι περ ἂν συμπίπτῃ τῷ ζώῳ παρὰ φύσιν. ὥστε καὶ ἡ νόσος, ὑπὸ τὴν τοῦ γενικοῦ συμπτώματος
ἀναχθήσεται προσηγορίαν. ἔστι γάρ πως καὶ αὕτη σύμπτωμα. καὶ μὲν δὴ καὶ τὰ προηγούμενα τῶν νόσων αἴτια
τὰ κατ' αὐτὸ τὸ σῶμα τοῦ ζώου συνιστάμενα τῇ τοῦ γενικοῦ συμπτώματος ὑποπέπτωκεν ἐννοίᾳ. περὶ μὲν οὖν
τούτων ἤδη λέλεκται. περὶ δὲ τῶν ἰδικῶν συμπτωμάτων ἐν τῷ δὲ γράμματι πρόκειται διελθεῖν. ἔστι δὲ καὶ
τούτων τριττὴ διαφορά. τὰ μὲν γὰρ διαθέσεις εἰσὶν αὐτοῦ τοῦ σώματος ἡμῶν. τὰ δὲ ἐνεργειῶν βλάβαι. τὰ δὲ ἀμ-
φοτέραις ἑπόμενα, κατά τε τὴν ἀμετρίαν τῶν ἐκκρινομένων καὶ ἐπεχομένων. καὶ τοὺς ἐν αὐτῷ τῷ ζώῳ συνιστα-
μένους ψόφους, καὶ προσέτι τὰς ἄλλας ἁπάσας αἰσθητὰς διαφοράς. βλάβη δ' ἀκουέσθω νῦν, καὶ ἡ στέρησις. οὐ γὰρ ἡ
δυσκινησία μόνον, οὐδὲ ἡ δυσαισθησία, βλάβαι τινές τῶν ἐνεργειῶν εἰσίν, ἀλλὰ καὶ ἡ ἀκινησία τε καὶ ἡ ἀναισθη-
σία. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐχ ἡ δυσπεψία μόνον, ἀλλὰ καὶ ἡ ἀπεψία. ταυτὶ μὲν οὖν τὰ γένη τῶν συμπτωμάτων,
ἐν οἷς χρὴ σκοπεῖσθαι τὰς κατὰ μέρος διαφοράς. ἐξῆς δ' ἂν εἰς πρόσηκον ἕκαστον διελθεῖν τῷ λόγῳ, πρότερόν γε
ἀναμνήσαντας, ὃ κἀν τῷ περὶ τῶν νοσημάτων διαφορᾶς εἴπομεν, ὡς ὅσοι τὴν ὑγείαν, οὐ διάθεσιν σώματος, ἀφ'
ἧς ἐνεργοῦμεν, ἀλλὰ αὐτὰς ἐνόμισαν εἶναι τὰς ἐνεργείας, τὴν ἡμεῖς νῦν ὑπὲρ τῆς τῶν ἐνεργειῶν βλάβης διδα-
σκαλίαν ἐν τοῖς συμπτώμασι διέξιμεν, ταύτην αὐτοὶ τῶν νοσημάτων ποιοῦνται, καὶ διενεχθήσονται δηλονό-

τι περὶ τῶν ὀνομάτων ἡμῖν μόνον, εἰ μηδὲν ἐν αὐτοῖς σφάλλοιντο τοῖς πράγμασιν. ἔστι δὲ ὡς πολλάκις εἴρηται, τῶν τοιούτων ἁπασῶν διδασκαλιῶν τὰ σφάλματα, παραλειπομένης τινὸς διαφορᾶς. ἐὰν οὖν ἁπάσας αὐτὰς διεξιόντες, μὴ συμπτωμάτων, ἀλλὰ νοσημάτων εἶναι φάσκωσιν, ἐν ὀνόματι μόνῳ, καὶ οὐκ ἐν πράγματι διαφωνήσουσιν ἡμῖν. λεκτέον οὖν ἤδη τὰς διαφορὰς ἐπ' ἀρχὴν ἀναγαγόντας τὸν λόγον. ἐπειδὴ τὸ σύμπτωμα προσαγορεύεται γενικῶς μὲν, ἅπαν ὅτι περ ἂν συμβέβηκε τῷ ζώῳ παρὰ φύσιν, ὡς καὶ τὰ νοσήματα, καὶ τὰς αἰτίας αὐτῶν, τὰς ἐν τῷ σώματι συνισταμένας, οὐ γὰρ δὴ τάς γε προκαταρκτικὰς εἶναι συμπτώματα, καθ' ἑτέραν δέ τινα καὶ οἷον ἰδιωτέραν ἔννοιαν, ἀφαιρεθέντων τῶν τε νοσημάτων, καὶ τῶν αἰτίων, τὰ λοιπὰ πάντα τὰ παρὰ φύσιν ὀνομάζεται συμπτώματα. καὶ νῦν ἡμῖν ὑπὲρ τούτων πρόκειται λέγειν. ἀναμνησθέντας οὖν πρῶτον χρὴ, τὸ τριττὸν τῆς φύσεως αὐτῶν, οὕτω τέμνειν ἐφεξῆς ἅπαντα, τὴν ἀρχὴν ἀπὸ τῆς βλάβης τῶν ἐνεργειῶν ποιησαμένους. τμητέον δὴ ταύτην εἰς δύο τὰ πρῶτα γένη, διότι καὶ τῶν ἐνεργειῶν αὐτῶν δύο εἰσὶν αἱ πρῶται διαφοραί. αἱ μὲν γὰρ ψυχῆς. αἱ δὲ φύσεώς εἰσι. καὶ καλοῦνται διὰ τοῦτο, ψυχικαὶ μὲν αἱ πρότεραι. φυσικαὶ δὲ αἱ δεύτεραι. αὖθις οὖν τὰς τὰς ψυχικὰς προτέρας τέμνοντες. εἴς τε τὰς αἰσθητικὰς, καὶ τὰς κινητικὰς, καὶ τρίτας τὰς ἡγεμονικάς. οὐδὲν γὰρ χεῖρον, οὕτως αὐτὰς ὀνομάσαι διδασκαλίας σαφοῦς ἕνεκα. καὶ πάλιν ἑκάστην τῶν εἰρημένων διαιροῦμεν εἰς τὰς ἐν αὐτῇ διαφοράς. ἡ μὲν οὖν αἰσθητικὴ τῆς ψυχῆς ἐνέργεια, πρῶτόν τε τὰς πάσας ἔχει διαφορὰς ὁρατὰς, καὶ ὀσφρητὰς, καὶ γευστὰς, καὶ ἀκουστὰς καὶ ἁπτάς. ἡ δὲ κινητικὴ, τὸ μὲν προσεχὲς ὄργανον, ἐν ἔχει, καὶ τὸν τρόπον αὐτὸν τῆς κινήσεως ἕνα. δέδεικται γὰρ οὕτως ἐν τοῖς περὶ μυῶν κινήσεως. ποικίλλεται δὲ ἐν τοῖς κατὰ μέρος ὀργάνοις, ὡς φαίνεσθαι πολυειδής. ἡ λοιπὴ δὲ ἐνέργεια τῆς ψυχῆς ἡ κατ' αὐτὸ τὸ ἡγεμονικὸν, εἴς τε τὸ φανταστικὸν, καὶ διανοητικὸν, καὶ μνημονευτικὸν διαιρεῖται. καὶ τοίνυν αἱ βλάβαι τῶν αἰσθητικῶν ἐνεργειῶν, κοιναὶ μὲν ἁπασῶν, ἀναισθησίαι τινές εἰσιν, ἢ δυσαισθησίαι. καλῶ δὲ δυσαισθησίας μὲν ἁπάσας τὰς μοχθηρὰς αἰσθήσεις. κατὰ μέρος δὲ ἑκάστης. ἐν ὀφθαλμοῖς μὲν τυφλότητές τε καὶ ἀμβλυωπίαι, καὶ παροράσεις τινές. ἐν ὠσὶ δὲ, κωφότητές τε καὶ βαρυηκοΐαι, καὶ παρακούσεις τινές. οὕτω δὲ καὶ κατὰ τὴν γλῶτταν, καὶ τὰς ῥῖνας, καὶ τὴν ἁφήν. εἰ καὶ μηδὲν ἴδιον ὄνομα κέκτηνται, ταῖς εἰρημέναις ἀνάλογον ἔχουσιν. ἢ γὰρ οὐδ' ὅλως αἰσθάνονται τῶν οἰκείων αἰσθητῶν, ἢ κακῶς. καὶ τὸ κακῶς τοῦτο, διττὸν ἔσται, θάτερον μὲν ἀμυδρῶς, θάτερον δὲ παρατυπωτικῶς. ἴδιον δὲ ἐξαίρετον, ἡ κατὰ τὴν ἁφὴν ἐνέργεια, παρὰ τὰς ἄλλας αἰσθήσεις κέκτηται σύμπτωμα, τὴν ὀδύνην, ἐγγινομένην μὲν καὶ ταῖς ἄλλαις αἰσθήσεσιν ἀπὸ τῶν ἔξωθεν οἰκείων αἰσθητῶν. οὐ μὴν δέ γε ταύτης, οὐκ ἀπὸ τῶν ἔξωθεν μόνον, ἀλλὰ καὶ πολὺ δὴ μᾶλλον ἀπὸ τῶν ἐν αὐτῷ τῷ σώματι διαθέσεων. καὶ πολλάκις γε οὕτως ἰσχυρῶς, ὥστ' ἀποκτεῖναι τινὰς σφᾶς αὐτοὺς, ὑπὸ τοῦ πόνου βιασθέντας. ἐγγίνεται μὲν οὖν καὶ τοῖς ὀφθαλμοῖς ὀδυνηρόν τι πάθος ὑπὸ φωτὸς λαμπροῦ, καὶ τοῖς ὠσὶν ὑπὸ μεγάλου τινὸς, ἢ τραχέος ψόφου καὶ δὴ καὶ κατὰ τὰς γεύσεις, καὶ τὰς ὀσμὰς ἕτερα τοιαῦτα παθήματα συνίσταται λυπηρὰ, πρὸς τῶν ἰδίων αἰσθητῶν ἑκάστης τῶν αἰσθήσεων ὀδυνηρῶς διατιθεμένης. μέγισται δὲ ὀδύναι συμπίπτουσι τῇ τῆς ἁφῆς αἰσθήσει. καὶ γὰρ ὅσα διὰ φλεγμονὴν ὤτων, ἢ τινα ἄλλην ἐν αὐτοῖς διάθεσιν ἀλγοῦμεν ἰσχυρῶς, οὐ τῆς ἀκουστικῆς ἐστὶν, ἀλλὰ τῆς ἁπτικῆς αἰσθήσεως ἴδια. κοινὴ γὰρ αὕτη πάντων αἰσθανομένων ὀργάνων. αἱ δ' ἄλλαι τέτταρες ἑκάστου κατὰ μόνας. οὕτω δὲ κἂν τοῖς ὀφθαλμοῖς πολλάκις ὀδύναι γίγνονται σφοδραὶ, τῆς ἐν αὐτοῖς ἁπτικῆς αἰσθήσεως ἀνιωμένης. ὥσπερ δὲ καὶ κατὰ τοὺς ὀδόντας ἐστὶ καὶ τὸ κῶλον ἀλγήματα. καὶ μὲν δὴ, καὶ τὸ κνησιᾶν ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν συμπτωμάτων. μὴ τοίνυν ἔτι ζήτει καθ' ἕκαστον μόριον ἴδιον ὄνομα τοῦ πόνου, οἷον κεφαλαλγίας τε, καὶ καρδιαλγίας. καὶ ὠταλγίας. οὐ γὰρ εὑρήσεις κείμενον. ἀλλ' ἀρκεῖ λόγῳ πάνθ' ἑρμηνεύειν τὰ τοιαῦτα, κύστεως ἀλγήματα λέγοντα, ἧπάρ τε καὶ νεφρῶν, καὶ σπληνὸς, καὶ γονάτων, καὶ ποδὸς, καὶ τῶν ἄλλων ὡσαύτως. τοιαῦτα μὲν δὴ καὶ τοσαῦτα τῶν αἰσθητικῶν ἐνεργειῶν τὰ συμπτώματα, καὶ πρὸς τούτοις ἔτι δύο ἐξαίρετα, τὸ μὲν, ἀγρυπνία, τὸ δὲ, κῶμα, κατ' αὐτὸ τὸ πρῶτον αἰσθητικὸν, ὃ δὴ καὶ κοινὸν ἁπασῶν ἐστὶ τῶν αἰσθήσεων συνιστάμενα. Τῶν δ' αὖ κινητικῶν ἐνεργειῶν, ἀκινησία μὲν, καὶ δυσκινησία τὰ πρῶτα συμπτώματα. δυσκινησίας δὲ, τὸ μὲν, ἀμυδρὰ καὶ ἄρρωστος κίνησις. τὸ δὲ, μοχθηρά, καὶ τῆς μοχθηρᾶς. ἡ μὲν, τρομώδης. ἡ δὲ, σπασμώδης. ἡ δὲ, παλμώδης. ἡ δὲ κλονώδης. ἔνια δὲ τῶν εἰρημένων συμπτωμάτων, ἐπειδὰν ἐν ὅλῳ τῷ σώματι γένηται, διαφόρου τυγχάνει προσηγορίας. ὡς ἐμπροσθότονός τε, καὶ ὀπισθότονος, καὶ τέτανος. εἰ δὲ μὴ μόνον σπασμὸς εἴη τοῦ παντὸς σώματος, ἀλλὰ καὶ τῶν ἡγεμονικῶν ἐνεργειῶν ἐπίσχεσις, ἐπιληψία τὸ τοιοῦτον προσαγορεύεται. καθάπερ γε καὶ ἀποπληξία, ἡ παντὸς τοῦ σώματος παράλυσις, ἅμα ταῖς ἡγεμονικαῖς ἐνεργείαις. αὗται μὲν αἱ τῶν κινητικῶν ἐνεργειῶν βλάβαι. εἰ δέ τις ἴδιον ἐξαίρετον ὄνομα κέκτηται, οὐ χρὴ τούτου χάριν ἐξαπατηθέντας οἰηθῆναι παραλεῖφθαί τι σύμπτωμα, καθάπερ οὐδὲ τὴν ἄπνοιάν τε καὶ δύσπνοιαν, ἢ τὴν ἰσχνοφωνίαν τε καὶ δυσουρίαν, ἢ τὴν ἀφωνίαν τε καὶ δυσφωνίαν. ἀλλὰ χρὴ τὰ τοιαῦτα πάντα αὐτὸν τὸν ἰατρὸν ἐξευρίσκειν, καθ' ἑκάστην ἐνέργειαν ψυχικήν. ὥσπερ γε καὶ τὰς καθ' ἕκαστον αὐτῶν διαφοράς. οἷον εἰ τύχοι τῆς δυσπνοίας ἑνὸς ὄντος συμπτώματος ἔργου ψυχικοῦ, τῆς ἀναπνοῆς, αἱ πᾶσαι πόσαι γίνονται διαφοραί, καθάπερ ἐν τῷ περὶ δυσπνοίας ἐδείξαμεν. ἢ τῆς κακοφωνίας, αἱ κατὰ μέρος, πόσαι διαφοραί, καθάπερ ἐν τοῖς περὶ φωνῆς διῄρηται. πολλαχόθι δὲ καὶ ἀπορήσειεν ἄν τις, ἐκ ποίου γένους ἐστὶ τὸ σύμπτωμα, καθάπερ ἀμέλει τοῦ σκορδινᾶσθαι, καὶ χασμᾶσθαι καὶ πτάρνυσθαι, καὶ βήττειν. ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἁπάντων, ἐπὶ πλέον ἐν τῷ μετὰ ταῦτα λόγῳ τῷ περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων εἰρήσεται. Ἐφεξῆς δ' ἂν εἴη τὰς τῶν ἡγεμονικῶν ἐνεργειῶν βλάβας διελθεῖν. καὶ πρώτης γε τῆς φανταστικῆς. ἔστι δὲ καὶ ταύτης τὸ μὲν, οἷον παράλυσίς τις, ὃ δὴ κάρος, καὶ κατάληψις ὀνομάζεται. τὸ δὲ, οἷον μοχθηρά τις ἢ πλημμελὴς κίνησις, ὅπερ δὴ παραφροσύνη καλεῖται. τὸ δὲ, οἷον ἐλλιπὴς καὶ ἄτονος, ὡς ἐν κώμασί τε, καὶ ληθάργοις. καὶ μὲν γε καὶ αὐτῆς τῆς διανοητικῆς ἐνεργείας, ἡ μὲν οἷον παράλυσις, ἄνοια. ἡ δ' οἷον ἐλλιπὴς κίνησις, μωρία τε καὶ μώρωσις. ἡ δ' οἷον πλημμελὴς, παραφροσύνη καλεῖται. τὰ πολλὰ μὲν γὰρ ἐπ' ἀμφοῖν ἅμα συνίσταται τὸ παραφρονεῖν, ἔν τε τὸ μὴ καλῶς φαντασιοῦσθαι, κἂν τῷ μὴ δεόντως λογίζεσθαι.

ἐστὶ δ' ὅτε

ἔστι δ' ὅτε καὶ ἐπὶ τὸ ἕτερον αὐτῶν μόνον. ὥσπερ γε καὶ Θεοφίλῳ τῷ ἰατρῷ νοσοῦντι, τὰ μὲν ἄλλα σωφρόνως ὑπῆρχε, διαλέγεσθαί τε καὶ γνωρίζειν ἀκριβῶς τοὺς παρόντας. αὐλητὰς δέ τινας κατειληφέναι τὴν γωνίαν τοῦ οἰκήματος, ἐν ᾧ κατέκειτο, καὶ διαπαντὸς αὐλεῖν τε ἅμα καὶ κτυπεῖν ἐνόμιζε. καὶ τούτους βλέπειν ᾤετο, τοὺς μὲν ἑστῶτας αὐτόθι, τοὺς δὲ καθημένους, οὕτω διηνεκῶς αὐλοῦντας ὡς μήτε νύκτωρ ἀνιέναι τι, μήτε δι' ὅλης ἡμέρας ἡσυχάζειν μηδὲ τὸ σμικρότατον. ἐκεκράγει δὲ διὰ παντὸς, ἐκβληθῆναι κελεύων αὐτοὺς τῆς οἰκίας. καὶ τοῦτ' ἦν αὐτῷ τὸ τῆς παραφροσύνης εἶδος. καὶ ὡς ἐῤῥώσθη γε τελέως, καὶ ἀπέφυγε τὸ νόσημα, τά τε ἄλλα πάντα τὰ ὑπὸ τῶν εἰσιόντων ἑκάστου ῥηθέντα, καὶ πραχθέντα διηγεῖτο, καὶ τοῦ περὶ τοὺς αὐλητὰς ἐμέμνητο φαντάσματος, ἐνίοις δὲ, φάντασμα μὲν οὐδὲν φαίνεται. λογίζονται δ' οὐκ ὀρθῶς, τοῦ διανοητικοῦ τῆς ψυχῆς αὐτοῖς πεπονθότος. ὥσπερ καὶ τῷ φρενιτικῷ τῷ κλείσαντι μὲν τὰς θύρας ἔνδοθεν, ἕκαστον δὲ τῶν σκευῶν προτείνοντι διὰ τῶν θυρίδων, εἶτα ἐρωτῶντι τοὺς παριόντας, εἰ κελεύοιεν ῥίπτειν. οὗτος γὰρ ἑκάστου μὲν τῶν σκευῶν ἀκριβῶς ἔλεγε τοὔνομα καὶ τῷ δὲ δῆλος ἦν, οὔτ' ἐν τῇ φαντασίᾳ τῇ περὶ αὐτὰ βεβλαμμένος, οὔτ' ἐν τῇ τῶν ὀνομάτων μνήμῃ. τί δὴ βούλεται αὐτῷ, τὸ πάντα ῥίπτειν ἀφ' ὑψηλοῦ, καὶ καταγνύναι, τοῦτ' οὐκέθ' οἷόν τ' ἦν συμβαλεῖν, ἀλλ' ἐν αὐτῷ δὴ τῷ ἔργῳ τῷ δὲ κατάδηλος ἐγίνετο παραπαίων. ὅτι δὲ καὶ περὶ τὸ μνημονευτικὸν τῆς ψυχῆς γίνεται συμπτώματα, καὶ νοσοῦσιν ἔτι, καὶ ἤδη πεπαυμένοις τῶν νοσημάτων, ἔστι μὲν καὶ παρὰ Θουκυδίδου μαθεῖν ἐνίους τῶν διασωθέντων ἐκ τοῦ λοιμοῦ, μέχρι τοσούτου τῶν ἔμπροσθεν ἁπάντων ἐπιλαθέσθαι λέγοντος, ὡς μὴ μόνον τοὺς ἰδίους, ἀλλὰ καὶ σφᾶς αὐτοὺς ἀγνοῆσαι.

Ἀλλὰ γὰρ ἐπειδὴ καὶ τὰ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ εἴρηται συμπτώματα, μεταβαίνειν καιρὸς ἤδη ἐπὶ θάτερον γένος τῶν ἐνεργειῶν, ἃς ὀνομάζουσι φυσικάς. ἔσται δὴ κἀνταῦθα καθ' ἑκάστην αὐτῶν ἢ μὴ γινομένην, ἢ κακῶς γινομένην, συμπτώματα, τούτου, τὰ γένους εἰσὶ τῶν συμπτωμάτων, ἐπὶ τὰ δὴ τὴν ὄρεξιν, ἀνορεξίαι τε καὶ ἄμετροι σιτίων ἐπιθυμίαι. ἐπὶ δ' αὐτὴν πέψιν, ἀπεψίαι τε καὶ βραδυπεψίαι καὶ δυσπεψίαι. καὶ μὲν δὴ καὶ περὶ τὴν ἀνάδοσιν, ὡσαύτως, καὶ περὶ τὴν τοῦ αἵματος γένεσιν. ἢ μὴ γιγνομένην, ἢ κακῶς γιγνομένην, συμπτώματα ἔσται. τούτου τοῦ γένους εἰσὶ τῶν συμπτωμάτων, καὶ οἱ ὕδεροι. καὶ μὲν γε ἐπὶ τὴν τῆς θρέψεως ἐνέργειαν, ἀτροφίαι μέν τινες, καὶ φθίσεις εἰσὶν ἀτυχίαι, λευκαὶ δὲ καὶ ὀφιάσεις καὶ ἀλωπεκίαι, καὶ πᾶν ὅσον τι τοιοῦτον εἶδος συμπτώματος, αἱ μοχθηραὶ θρέψεις ἀποτελοῦσιν. ἀσφυξίαι δὲ καὶ κακοσφυξίαι, περὶ τὴν τῶν σφυγμῶν ἐνέργειαν, συμπτώματά εἰσι. καὶ μὲν δὴ καὶ ἐπὶ τὴν διάκρισιν τῶν περιττωμάτων, ἢ μὴ δ' ὅλως ἢ μὴ καλῶς ἐπιτελουμένην συμπτώματα συνίσταται, τὰ μὲν ἀκροῦντα προσηγορίας οἰκείας, καθάπερ τὰ περὶ τὴν μέλαιναν χολὴν, τὰ δὲ ὀνομασμένα συνήθως, ὥσπερ ὁ ἴκτερος. μέθοδος δὲ κἀνταῦθα τῆς ἁπάντων εὑρέσεως, ἡ γνῶσις τῶν φυσικῶν δυνάμεων, ἃς ἐν τῷ περὶ αὐτῶν λόγῳ τέτταρας ἐν ἑκάστῳ τῶν τοῦ σώματος μορίων, ἐδείξαμεν ὑπάρχειν, ἑλκτικήν τε καὶ καθεκτικὴν, καὶ ἀλλοιωτικὴν, καὶ ἀποκριτικήν. ἔσται δὴ καθ' ἑκάστην αὐτῶν, διττὸν σύμπτωμα. θάτερον μὲν, κακῶς γινομένης τῆς ἐνεργείας. θάτερον δὲ, οὐδ' ὅλως γινομένης. ὥστε καθ' ἕκαστον ὄργανον φυσικὸν ὀκτὼ τὰ πάντα ἔσται συμπτώματα. εἴπερ οὖν ἐκ τῆς ἀνατομῆς ἔγνωσται τὸ πλῆθος τῶν τοῦ ζώου μορίων εὑρεθήσεται ταχέως ἐξ αὐτοῦ τὸ πλῆθος τῶν ἁπάντων συμπτωμάτων. ὅσα μὲν γὰρ τῆς φύσεως μόνης ἐστὶν ὄργανα, τοῖς ὀκτὼ συμπτώμασιν ἁλώσεται μόνοις. ὅσα δὲ τῆς ψυχῆς, καὶ τούτοις μὲν, ἐξ ἐπιμέτρου δὲ ἑτέροις δυσί. δέδεικται γὰρ ὀλίγον ἔμπροσθεν, ὡς καθ' ἑκάστην τῶν ψυχικῶν ἐνεργειῶν, διττὸν εἶδος ἔσται συμπτώματος, ἤτοι μηδ' ὅλως αὐτῆς, ἢ κακῶς γινομένης. εἴρηται δὲ καὶ ὡς τὸ κακῶς ἐστὶ διττόν ἐστι. τὸ μὲν, οἷον ἀμυδρῶς. τὸ δὲ ὡς ἄν τις εἴποι πλημμελῶς. ὥστε πάλιν εἰ καὶ μὴ δύο τὰ συμπτώματα καθ' ἑκάστην ἐνέργειαν τε καὶ δύναμιν εἶναι λέγεις, ἀλλὰ τρία πάντα, θάτερον τῶν πρώτων δυοῖν τέμνων δίχα, δώδεκα μὲν ἔσται τὰ πάντα καθ' ἕκαστον ὄργανον φυσικὸν, πεντεκαίδεκα δὲ, ἐν τοῖς ψυχικοῖς. ἡ δ' εἰς τὰς πρώτας δύο διαφορὰς τομὴ, ὀκτὼ μὲν τὰ τῶν φυσικῶν, δέκα δὲ ἀπεργάζεται τὰ τῶν ψυχικῶν. εἰ δὲ καὶ ἐπὶ διττὸν εἴη λόγον ὄργανον τι ψυχικὸν, αἰσθητικόν τε ἅμα καὶ κινητικὸν, ὀκτωκαίδεκα μὲν ἔσται τὰ συμπτώματα ἐπὶ τὴν δευτέραν τομὴν, δώδεκα δὲ ἐπὶ τὴν προτέραν. ἐφ' ἑνὸς οὖν ἡ δευτέρου μορίου δείξαντες τὸ λεγόμενον, ὥσπερ ἐπὶ τούτων ἡμεῖς, τοῦτ' ἐπὶ πάντων ἀξιοῦμεν ποιῆσαι, τὸν βουλόμενον ἐξαριθμήσασθαι τὰ συμπτώματα, μὴ τοῖς ὀνόμασι προσέχοντα τὸν νοῦν, οὐ γὰρ εὑρήσει πανταχόθι συνήθεις προσηγορίας, ἀλλ' εἰς αὐτὴν ἀποβλέποντα τῶν πραγμάτων τὴν φύσιν. ἔστω δ' ἡ γαστὴρ ὄργανον τῆς πέψεως, ἕλκον μὲν ὡς ἐδείκνυμεν εἰς ἑαυτὸ τὴν οἰκείαν τροφὴν, ἀπ' ἐκείνου δὲ πᾶν ὅσον ἀλλότριον. ἀλλὰ καὶ κατέχον τουτὶ τὸ ἑλχθὲν, καὶ ἀλλοιοῦν τὸ καταχεθέν. ὅταν οὖν ἤτοι μηδ' ὅλως ἕλκειν, ἢ κακῶς ἕλκειν αὐτῇ συμβῇ, δύο μὲν ταυτὶ δή μοι νόει περὶ τὴν ἑλκτικὴν δύναμιν τὰ συμπτώματα. τέμνεται δὲ αὖθις δίχῃ θάτερον αὐτῶν τὸ μοχθηρῶς, εἰ καὶ μὴ τοῖς ὀνόμασιν ἔχεις ἐνδείξασθαι σαφῶς. οὐ γὰρ κεῖταί τι κατ' αὐτῶν οὐδὲν ὄνομα. λόγῳ γοῦν ὡς οἷόν τε πειρώμενος ἑρμηνεύειν, ὅτι καὶ κατ' αὐτὸ ἔστι τὸ μοχθηρῶς, τὸ μὲν οἷον ἀῤῥώστως ἔσται, τὸ δὲ, οἷον πλημμελῶς. ἀῤῥώστως μὲν τὸ μόγις καὶ δυσχερῶς, καὶ σὺν χρόνῳ πολλῷ, πλημμελῶς δὲ τὸ οἷον παλμωδῶς, ἢ τρομωδῶς, ἢ σπασμωδῶς, ἢ κλονωδῶς.

Ἐπὶ δέ γε τῆς ἀλλοιωτικῆς δυνάμεως ἐν τῇ γαστρὶ, τὸ μὲν μηδ' ὅλως ἐστὶν, ὅταν οἷάπερ ἐλήφθη τὰ σιτία, τοιαῦτα διαμένῃ ἐπὶ πᾶσαν ποιότητα. τὸ δ' ἀῤῥώστως ἴδιον ὄνομα κέκτηται τὴν βραδυπεψίαν, ὥσπερ καὶ τὸ πλημμελῶς, εἰς ἀλλόκοτον ποιότητα τῶν σιτίων μεταβολὴν, ὥστε γίνεσθαι τὰ σύμπαντα συμπτώματα τρία περὶ τὴν μίαν ἐνέργειαν ἀποτυγχανομένην. καλεῖται δὲ ἡ μὲν ἐνέργεια, πέψις, ἀλλοίωσις οὖσα τῶν σιτίων εἰς τὴν οἰκείαν τῷ ζώῳ ποιότητα. βραδυπεψία δὲ ἡ ἐν χρόνῳ πλείονι, καὶ μόγις εἰς τὴν αὐτὴν ποιότητα μεταβολή. τὸ δ' ἀλλοιοῦσθαι μὲν εἰς ἑτέραν ποιότητα, μὴ μέντοι ἐπὶ φύσιν, ἀπεψίαν ὀνομάζουσιν. ὁμωνύμως δὲ αὐτῇ προσαγορεύεται καὶ ἡ στέρησις τῆς ἐνεργείας, καίτοι σαφέστερον ἦν ταύτην μὲν μόνην ἀπεψίαν ὀνομάζεσθαι, δυσπεψίαν δὲ, τὴν πλημμελῆ μεταβολήν. βραδυπεψίαν δὲ, τὴν ἄῤῥωστον ἀλλοίωσιν. ἀλλὰ γὰρ ὅπερ ὁ Πλάτων ἔλεγεν ἀγνοοῦντες οἱ παλαιοὶ τὰ πλεῖστα τῶν πραγμάτων, τὰ μὲν οὐδ' ὅλως, τὰ δὲ, οὐκ ὀρθῶς ὠνόμασαν. οὔκουν ἐξαπατᾶσθαι χρὴ τοῖς ὀνόμασιν, ἀλλ' εἰς αὐτὴν ἀποβλέπειν τῶν πραγμάτων τὴν οὐσίαν.

Εἴπερ οὖν ταῦτα ποιοῖμεν, εὑρήσο-

μὴν ὡσαύτως, καὶ τῆς καθεκτικῆς δυνάμεως, ἐνέργειαν μὲν τὴν κατὰ φύσιν, ὅταν ἐξισῶται ὁ χρόνος τῆς περιστολῆς τῷ χρόνῳ τῆς πέψεως, καὶ σφίγγηται πανταχόθεν ἀκριβῶς τὰ σιτία. στέρησιν δὲ παντελῆ τῆς ἐνεργείας, ὅταν μὴ δι' ὅλως περιλαμβάνη. γίνεται δὲ τοῦτο ἐν ταῖς λειεντερίαις. ἀρρωστίαν δὲ, ὁπόταν ἢ μὴ περιστέλληται καλῶς, ἢ μὴ μέχρι τῆς παντελοῦς πέψεως, ἢ ἅμα ἄμφω συμπίπτῃ. ἐπειδὴ γὰρ ἐν δυοῖν τούτοιν ὑπῆρχε, τὸ καλῶς ἐνεργεῖν τῇ περισταλτικῇ δυνάμει, τῷ τε μηδεμίαν ἀπολιπεῖν χώραν κενὴν μεταξὺ τῆς τε γαστρὸς, καὶ τῶν σιτίων, τῷ τ' ἐξισοῦσθαι τὸν χρόνον τῆς περιστολῆς τῷ χρόνῳ τῆς πέψεως, ἤτοι κατὰ θάτερον αὐτῶν μόνον ἐνεργήσει καλῶς, ἢ κατ' ἄμφω, καὶ συμπτώματα ἀκολουθήσει, κλύδωνες μὲν καὶ πνευματώσεις ἀρρώστοις περιστολαῖς, ἐκκρίσεις δὲ ταχεῖαι, καὶ διαφθορὰ τῶν σιτίων ἐν τῇ κάτω γαστρὶ ταῖς ὀλιγοχρονίοις. ἔνθα σε καὶ τούτῳ κελεύω προσέχειν τὸν νοῦν ὡς ἕπεται πολλάκις, ἕτερον ἑτέρῳ συμπτώματι. τῇ μὲν γὰρ ἀρρώστῳ περιστολῇ, ποτὲ μὲν οἱ κλύδωνες ἕπονται, ποτὲ δὲ αἱ πνευματώσεις. τῇ δ' ὀλιγοχρονίῳ, πάντως μὲν αἱ ἐλλιπεῖς πέψεις. ἐφεξῆς δὲ ἤτοι ταχεῖα διέξοδος τῶν σιτίων, ἢ διαφθορὰ κατὰ τὴν κάτω γαστέρα. ταχείας μὲν οὖν διεξόδου συμπτώματα ἀχώριστα, διαχωρήσεως ὑγρότης, καὶ ἀνάδοσις ἐλλιπής. διαφθορᾶς δὲ, δυσωδία μὲν ἐν τοῖς διαχωρουμένοις ἐξ ἀνάγκης, οὐκ ἐξ ἀνάγκης δὲ, δήξεις, ἢ πνευματώσεις, ἀλλ' ἔστιν ὅτε μὲν οὐδέτερον αὐτῶν, ἔστιν ὅτε δὲ θάτερον, ὅτε δ' ἀμφότερα. διατί δὲ κἀν τούτοις, κἀν τοῖς ἔμπροσθεν εἰρημένοις, τινὰ μὲν ἐξ ἀνάγκης ἕπεται, τινὰ δ' οὐκ ἐξ ἀνάγκης, ἐν τῷ μετὰ τοῦτον δέξιμεν λόγῳ, τῷ περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων. ἐν δὲ τῷ παρόντι, μετιέναι καιρὸς, ἐπὶ τὴν λοιπὴν διαφορὰν τῶν συμπτωμάτων, τῆς καθεκτικῆς δυνάμεως. ὅταν οὖν περιστέλληται ἡ γαστὴρ τοῖς σιτίοις, ἀλλὰ μετὰ παλμοῦ τινὸς, ἢ οἷον σπασμοῦ τε καὶ τρόμου, καὶ κλόνου, πλημμελὲς ἂν εἴη τὸ τοιοῦτον τῆς περιστολῆς ἔργον. τοῦ μὲν οὖν παλμοῦ τῆς γαστρὸς, σαφῶς αἰσθανόμεθα, καὶ μήν γε καὶ τοῦ σπασμοῦ, λυγμὸς γὰρ ὀνομάζεται τὸ σύμπτωμα. τοῦ δὲ οἷον τρόμου παθήματος αὐτῆς, οὐκέτ' ἐναργῶς, ἀλλ' εἰ προσέχοις τῷ λόγῳ τὸν νοῦν, οὐκ ἂν οὐδὲ τοῦτο φωράσαις χαλεπῶς. ὅταν οὖν ἐληλυθότι σοι, μήτε κλύδων τις ἐνοχλῇ, μήτε πνευμάτωσις, ἀλλὰ μήτε παλμός τις εἴη, μήτε λύγξ, ἀήθους δ' ἀχρείας αἴσθησις ὑπάρχῃ κατὰ τὴν γαστέρα, καὶ οἷον βαρύνηταί τε καὶ κάμνῃ, καὶ ποθεῖ θᾶττον ὑπελθεῖν κάτω τὸ βάρος ἢ ἄνω, ἅμα τῷ τινὰ ἐρυγὴν προσγενέσθαι, καί που καὶ δυσχέρεια περὶ τὴν ἀναπνοὴν ἄπορος δή τις καὶ δύσφραστος ἕπηται, τὸ δ' ἡγοῦ τὴν γαστέρα περιεστάλθαι μὲν τοῖς σιτίοις, ἀλλ' οἷον τρομωδῶς. ἡ δὲ οἷον κλονώδης κίνησις ἐν τοῖς ῥίγεσι μάλιστα καταφανής ἐστιν, ἅπαντα τοῦ ζώου καταλαμβάνουσα τὰ μόρια. περὶ μὲν δὴ τούτων ἐπὶ πλέον ἐν τοῖς μετὰ ταῦτα λεχθήσεται γράμμασι. Νυνὶ δὲ ἐπὶ τὴν τετάρτην ἤδη τῆς γαστρὸς μετέλθωμεν δύναμιν, τὴν ἀποκριτικήν τε, καὶ προωστικὴν ὀνομαζομένην, ἧς ἡ μὲν οἷον στέρησις, ἔν τισιν ἰλεοῖς εἰλεῶν γίνεται. ἡ δὲ ἀρρωστία, συνεχῶς ἐγγίνεται ἐν βραδείαις τισὶ περιττωμάτων διεξόδοις. ἡ δ' οἷον πλημμελὴς κίνησις, ὅταν ἤτοι πρὶν τελειωθῆναι τὴν πέψιν ἐξορμήσῃ πρὸς τὴν ἐνέργειαν, ἢ βραδύνῃ καὶ μέλλῃ τελειωθείσης, ἢ μετά τινος ἤδη τῶν εἰρημένων γίνεται συμπτωμάτων, ἢ ἄλλως, πως ἀνωμάλως, ἢ οἷον ἀκρατῶς αὐτοῖς ἐμπίπτει τοῖς σιτίοις ἡ γαστὴρ, ἀταμίευτον ἔχουσα τὴν κίνησιν, ὁμοίως τοῖς εἰς τὸ κάταντες θέουσιν, εἶτα στῆναι μὴ δυναμένοις. ἐπὶ μὲν δὴ τῆς γαστρὸς, ὡς ὀργάνου πέψεως, εἴρηται τὰ συμπτώματα. καθό τι δὲ καὶ τρέφεσθαι δεῖται, καὶ τὸ θρέψον ἕλκειν, εἰς ἑαυτὴν, καὶ κατέχειν γε, μέχρι περ ἂν ἀλλοιώσῃ, καὶ ἀποκρίνῃ τὸ περιττὸν, ἕτερον ἴσον ἀριθμὸν κτήσεται συμπτωμάτων, ὡς ὁμοιομερὲς σῶμα. Τάχα οὖν ἂν εἴη κάλλιον ἅπαντα τὰ περὶ τὴν θρεπτικὴν ἐνέργειαν διελθεῖν συμπτώματα, τῷ τε γαστρὸς σώματι, καὶ τοῖς ἄλλοις ἅπασι μορίοις ὑπάρχοντα κοινά. σαφέστερος γὰρ ὁ λόγος οὕτως ἂν γένοιτο τοῖς ἐντυγχάνουσιν, ἐναργέστερον τ' ἄν τις διδάξειε τὸ μικρῷ πρόσθεν εἰρημένον, ὡς ἔστι καὶ σύμπτωμα συμπτώματος αἴτιον. ἑνὸς γοῦν συμπτώματος τῆς ἀτροφίας, εἴ τε καθ' ὅλον αὐτὴ γίνοιτο τὸ ζῶον, εἴ τε καθ' ἕν τι μόριον αὐτοῦ, πλείω προηγεῖται συμπτώματα. δεομένου γὰρ τοῦ μέλλοντος θρέψεσθαι καλῶς, ἕλκειν τε πρὸς ἑαυτὸ τὴν οἰκείαν τροφὴν, καὶ κατέχειν αὐτὴν, ἄχρις ἂν ἀλλοιώσαν ἐξομοιώσῃ, καὶ μέν τοι, καὶ ἀποκρίνειν τὸ περιττὸν, ὄντος δὲ καὶ αὐτοῦ τοῦ περιττοῦ διττοῦ κατὰ γένος. ἢ γὰρ τῷ ποσῷ περιττόν ἐστιν, ἢ τῷ ποιῷ, ἀνάγκη πᾶσα τὸ ἀτροφοῦν μόριον, ἢ δι' ἕν τι τῶν εἰρημένων τοῦτο πάσχειν, ἢ διὰ πλείω. εἴ τε γὰρ ἐλλιπῶς ἕλκει τὸ θρέψον, ἢ μηδ' ὅλως, ἢ μοχθηρῶς, ἀτροφήσει τὸ μόριον, εἴ τε τοῦτο μὲν ὅσον τε χρὴ εἴη, καὶ οἷον ἐπάρδοιτο, σύμπτωμα δέ τι περὶ τὴν καθεκτικὴν δύναμιν εἴη, τοῖς ἐπὶ τῆς γαστρὸς εἰρημένοις ἀνάλογον, ἀτροφήσει καὶ οὕτως. εἰ δὲ καὶ τούτων τῶν δυνάμεων ἀμέμπτως ἐνεργουσῶν· ἡ ἀποκριτικὴ σφάλλοιτο, πλέον ἢ προσῆκε κενοῦσα, καὶ οὕτως ἂν ἰσχνὸν, καὶ ἄτροφον ἀποδειχθείη τὸ μόριον. ἀλλὰ μὴν καὶ τῆς ἀλλοιωτικῆς δυνάμεως τὰ συμπτώματα, τὸ μὲν οἷον στέρησις, ὅπερ ἀπεψίαν ἔφαμεν ὀνομάζεσθαι, ἄντικρυς δῆλον, ὡς ἰσχνὸν ἐργάζεται τὸ μόριον. τὸ δ' οἷον ἀρρωστία τις, ὅπερ καλοῦμεν βραδυπεψίαν, ἐν χρόνῳ μὲν πλείονι, σαφῆ δ' οὖν καὶ αὐτὴ ποιήσει ποτὲ τὴν ἰσχνότητα. τῷ δὲ τρίτῳ συμπτώματι τῆς δυσπεψίας ἀνάλογον, οὐκ ἰσχνὸν καὶ ἄτροφον, ἀλλ' ἐξηλλαγμένον τὴν ἰδέαν ἀποδείξει τὸ μόριον, ὥσπερ ἔν τε ταῖς λεύκαις, καὶ ταῖς ἐλεφαντιάσεσι φαίνεται. προσέχειν δὲ ἐν ταῦθα χρὴ τὸν νοῦν, καὶ διορίζειν. πότερα χυμοῦ τινὸς ἐπιρρυέντος, ἢ τῶν στερεῶν αὐτῶν οὕτω διακειμένων ἐξήλλακται τὰ τῆς χροιᾶς. εἰ μὲν γὰρ διὰ χυμὸν, ἐξ ἑτέρου γένους τὸ σύμπτωμά ἐστι, καὶ οὐ τῆς ἀλλοιωτικῆς δυνάμεως τὸ σφάλμα. εἰ δ' ὅλον δι' ὅλου τὸ μόριον, οἷον, οὐκ ἐχρῆν εἶναι, τῆς ἀλλοιωτικῆς δυνάμεως. γίνεται μὲν γὰρ κἀν τοῖς ἰκτερικοῖς ἐξάλλαξις τοῦ κατὰ φύσιν χρώματος, ἀλλὰ τοῦτο μὲν, σύμπτωμά ἐστι τῆς διακριτικῆς ἐνεργείας, πλὴν εἰ μὴ τῶν φλεβῶν αὐτῶν πάθος που ὑπάρχει. τηνικαῦτα γὰρ τῆς ἀλλοιωτικῆς ἐστιν. ἡ δὲ καθ' ἕκαστον μόριον ἴδιος ἄχροια, *εἰ μὴ διά τινα χυμὸν ἔξωθεν ἐπίρρυτον γίνεται, οἷον δυσπεψία τις ἐστὶ τῆς ἐν αὐτῷ δυνάμεως, ἀλλοιωτικῆς τε καὶ πεπτικῆς. ἐξέλωμεν δὴ ταύτην ἐν τῷ παρόντι λόγῳ τῆς ἀτροφίας, κακοτροφίαν τινὰ οὖσαν. ἐπὶ δὲ τὴν στερητικὴν τῆς θρέψεως ὀνομαζομένην ἀτροφίαν, ἐπανελθόντες, ἀναμνήσωμεν, ὡς αὐτή τε σύμπτωμά ἐστι καὶ ἕπεται συμπτώμασιν, ἄλλοτ' ἄλλοις, ἤτοι περὶ τὴν ἑλκτικὴν, ἢ τὴν καθεκτικὴν, ἢ τὴν ἀποκριτικὴν δύναμιν, ἢ καὶ περὶ τὴν ἀλλοιωτικὴν αὐτὴν γιγνομένοις. ἁπάντων τῶν δὲ τούτων συμπτωμάτων αἴτια τὰ νοσήματα. φέρε γοῦν ἐλλιπῶς ἐπί τι μόριον ἕλκεσθαι τὴν τροφὴν, καὶ διὰ τὸ ἀτροφεῖν αὐτὸ, νόσημα ἐξ ἀνάγ-

μα ἐξ ἀνάγκης. προσγίνεταί τι ταύτης τῆς ἐλλιποῦς ἕλξεως. εἴρηται γὰρ ὅταν αὐτὸ τὸ μόριον ἀῤῥωστότερον ἐφ' ἑαυτὸ τὴν τροφὴν ἐπισπᾶται, πάντως δή που δύσκρατον ὑπάρχει. νόσος δὲ ἡ δυσκρασία. εἰ δ' εὔκρατον μὲν εἴη τὸ μόριον, ἔμφραξις δέ τις ἐν τοῖς τῆς ἀναδόσεως ὀργάνοις ὑπάρχουσα παρεμποδίζει τὴν ἀνάδοσιν, ἡ μὲν ἔμφραξις νόσημα. σύμπτωμα δ' αὖ, ἡ βλάβη τῆς ἀναδόσεως. οὐ μόνον δὲ ἐπερχόμενος ἕκαστον τῶν συμπτωμάτων ὅσα διά τινα βλάβην ἐνεργείας γίνεται, μάθοις ἂν ὡς προηγεῖται τι νόσημα πάντως αὐτῶν, ἀλλὰ κἀκ τῆς οὐσίας τῶν πραγμάτων, ἔνεστι καὶ χωρὶς ἐπαγωγῆς συλλογίζεσθαι. τὴν μὲν γὰρ ὑγείαν αἰτίαν ἐνεργείας ἐθέμεθα. τὴν δὲ νόσον αἰτίαν ἐνεργείας βλάβης. ἀλλὰ καὶ τὰ συμπτώματα, περὶ ὧν δὴ νῦν τὸν λόγον ποιούμεθα, βλάβας ἐνεργειῶν ὑπάρχειν ἔφαμεν. ἐκ δὲ τούτων ὑποκειμένων συμβαίνει τοῦ τοιούτου γένους τῶν συμπτωμάτων, αἰτίας εἶναι τὰς νόσους. ὅτι δὲ καὶ τὰ τῶν λοιπῶν δύο γενῶν αἱ νόσοι προηγοῦνται, λόγον αἰτίας ἔχουσαι πρὸς αὐτά, καὶ τοῦτο λέξομεν ὀλίγον ὕστερον, ἐπειδὰν πρότερον ἅπαντα τὸν περὶ αὐτῶν ἐπέλθωμεν λόγον, ἀρξάμενοι πάλιν, ἀπὸ τῶν ἐν
10 ταῖς διαθέσεσι τοῦ σώματος συνισταμένων συμπτωμάτων. εἰσὶ δ' αὐτῶν αἱ πρῶται διαφοραί, τέτταρες. τὰ μὲν γὰρ ὁρατά. † τὰ δ' ὀσφραντά. τὰ δὲ γευστά, τὰ δ' ἁπτὰ τετύχηκεν ὄντα. τὰ μὲν οὖν ὁρατά, τὴν γένεσιν ἐν ταῖς παρὰ φύσιν ἔχει χροιαῖς, ἤτοι παντὸς ἅμα τοῦ σώματος, ἢ τινῶν μορίων ἢ τινός. ἅπαντος μὲν οὖν, ὡς ἐπὶ τοῦ ἰκτεριῶντος ἔχει, καὶ τῆς ἡπατίτιδός τε καὶ σπληνίτιδος ὀνομαζομένης νόσου, καί τισιν ὑδέρων εἴδεσιν. ἔν τινι δέ, καθάπερ ἔν τε τῇ γλώττῃ μόνῃ πολλάκις ὁρᾶται τις ἐξαίρετος ἄχροια, καὶ τοῖς ἐξ ἀποστημάτων μορίοις μελανθεῖσιν, ἢ πελιδνοῖς γενομένοις. οὕτω δὲ κἀν τοῖς ἄνθραξι. κἀν τοῖς ἐρυσιπέλασιν, ἕρπησί τε καὶ γαγγραίναις ὑπαλλάττεται τὰ κατὰ φύσιν χρώματα. τούτου τοῦ γένους ἐστὶ καὶ ἀλφός. καὶ λεύκη καὶ ἐλέφας. καὶ τἄλλα ὅσα τοιαῦτα. καὶ γὰρ καὶ ταῦτα, τὰς κατὰ φύσιν ὑπαλλάττει χροιάς. καὶ μὲν δὴ καὶ πολλοῖς ἅμα μορίοις ἔστιν εὑρεῖν ποτε συμβαίνουσαν ἄχροιαν ἐν πολλοῖς τῶν νοσημάτων. ἤτοι περὶ τὰ σκέλη μᾶλλον, ἢ περὶ τὸ πρόσωπον, ἢ σύμπαν γε τὸ ἄνω τοῦ σώματος, ἢ σύμπαν τὸ κάτω. τὰς μὲν οὖν ὁρατὰς διαφορὰς ἐν τούτοις ἐπισκεπτέον. τὰς δ' ὀσφρη-
20 τὰς ἐπί τε τῆς ἀναπνοῆς, καὶ τῆς διαπνοῆς πρῶτον. ὀνομάζω δὲ τὴν μὲν διὰ φάρυγγος ὁλκήν τε καὶ αὖθις ἔκπεμψιν τοῦ περιέχοντος ἀέρος, ἀναπνοήν. τὴν δὲ καθ' ὅλον τὸ σῶμα, διαπνοήν. αἱ τοίνυν περὶ ταύτας γινόμεναι δυσωδίαι παρὰ φύσιν, ἐν τῷ τῶν συμπτωμάτων τετάξονται γένει. μετὰ δὲ ταύτας αἱ κατὰ τὰ ὦτα, καὶ ῥῖνας, καὶ μασχάλας, καὶ ὅσα μόρια περὶ πάθος σήπεται. καὶ μὲν δὴ κἀν ταῖς ἐρυγαῖς ἔστιν εὑρεῖν ταυτὸ τοῦτο γένος τῶν συμπτωμάτων, ἤτοι καπνωδῶν, ἢ ὀξωδῶν, ἢ βρομωδῶν, ἢ ἰχθυωδῶν, ἢ τινὸς ἑτέρας τοιαύτης ποιότητος ἐξοζούσης τῆς ἐρυγῆς. περὶ δὲ τὰς γευστὰς διαφοράς, αὐτῷ τῷ κάμνοντι τεκμαίρεται τὰ συμπτώματα. καὶ γὰρ ἱδρῶτος ἐγεύσαντό ποτε παραῤῥυέντος εἰς τὸ στόμα, καὶ τοῦ κατ' αὐτὴν τὴν γλῶτταν σιάλου τῆς ποιότητος ἐξηλλαγμένης. ὥσπερ οὖν καὶ τοῦ αἵματος, οἷς καὶ τοῦτο διὰ στόματος ἐκκενοῦται. καθ' ὅν τινα οὖν τρόπον, οἱ μέν, ἐπισήμως γλυκέος, ἢ ἁλμυροῦ γέ τινος, ἢ πικροῦ τὴν αἴσθησιν ἴσχουσιν. οὕτω δὲ καὶ τῶν ἐκ πνεύμονος ἀναγομένων, καὶ τῶν ἐκ γαστρὸς ἐμουμένων, οἱ μέν, ὀξέων, οἱ δ' ἁλικῶν, οἱ δὲ πικρῶν, οἱ δὲ γλυκέων, οἱ δ' αὐστηρῶν αἰσθάνονται.
30 πολλοὶ δὲ τῶν ἰατρῶν, καὶ ἱδρῶτος γεύεσθαι δικαιοῦσιν αὐτοί, καὶ προσέτι τοῦ περὶ τὰ ὦτα ῥύπου. τεκμαίρεσθαι γάρ τι κἀκ τούτου. καὶ μὴν καὶ τὰς ἁπτὰς διαφορὰς ἐν τούτοις τοῖς συμπτώμασιν ἀριθμητέον, ἐπειδὰν ἐξιστῶνται τοῦ κατὰ φύσιν, οἷον δέρμα σκληρόν, καὶ περιτεταμένον, καὶ καρφαλέον. οὕτω δὲ καὶ πλαδαρόν, ἢ ῥυσσόν, ἢ τινὰ τοιαύτην ἑτέραν ἔχον διαφοράν. ἐξ οὖν τῶν εἰρημένων δῆλον, ὡς καὶ τοῦτο τὸ γένος ἅπαν ὑπὸ νοσημάτων γίνεται. τὰς μὲν γὰρ κατά τε τὴν χροιὰν καὶ ἀτμόν, καὶ χυμὸν ἁπάσας διαφορὰς αὐτῶν τῶν στερεῶν σωμάτων, ἐν τοῖς φυσικοῖς λόγοις ἐμάθομεν ἑπομένας ταῖς κράσεσιν. οὕτω δὲ καὶ τὰς ἁπτάς, καὶ πολύ γ' ἔτι μᾶλλον ἁπασῶν τῶν εἰρημένων, ὅτι ταῖς δραστικαῖς ποιότησιν, † ὁμογενεῖς ὑπάρχουσιν. ὥσθ' ὅσον ἐν αὐταῖς παρὰ φύσιν, ἔκγονον ἅπαν τοῦτο δυσκρασίας ἐστίν, ὥσπερ γε καὶ τὸ κατὰ φύσιν εὐκρασίας. ἀλλ' ἔστιν ἅπασα δυσκρασία, νόσος. ὥστε καὶ τὰ τοιαῦτα συμπτώματα νοσημάτων ἔκγονα. τὰ δ' ἐξ ἐπιῤῥύτου τινὸς ὑγρότητος ἐγγινόμενα τοῖς μορίοις, ὁμογενῆ τοῖς εἰρημένοις ὑπάρχοντα συμπτώμασι, τὰ μὲν γὰρ ἐμφράξεσιν, ἢ θλί-
40 ψεσιν ἑπόμενα. τὰ δέ, τοῖς τῶν ἑλκτικῶν τε καὶ ἀποκριτικῶν δυνάμεων ἔργοις κακῶς γινομένοις, ἀνάγκη καὶ ταῦτα τὴν οἷον πηγὴν τῆς γενέσεως ἔχειν τὰ νοσήματα. ἡ μὲν οὖν κατὰ τὸ ἧπαρ ἔμφραξις. νόσημα οὖσα συνθέτου τε, καὶ ὀργανικοῦ σώματος, αἰτία τις κατὰ τὸν ἴκτερον ἀχροίας ἐστίν. ἡ δὲ καθ' ἕκαστον τῶν μορίων δυσκρασία, νόσημα οὖσα καὶ αὐτὴ τῶν τοιούτων σωμάτων, ἄλλοτ' ἄλλην αὐτῶν ἐμποδίζει δύναμιν, ἤτοι τὴν ἕλκουσαν, ἢ τὴν ἀποκρίνουσαν, ἢ τινὰ ἑτέραν, ἐφ' αἷς ἀνωμάλως τε καὶ ἀτάκτως τῶν ἐν τῷ σώματι διαῤῥεόντων ὑγρῶν, ἄλλοτ' ἄλλο μόριον ἀλλοιοῦται, κατὰ χροιάν, καὶ ἀτμόν, καὶ χυμόν, καὶ τὰς ἁπτὰς ἁπάσας διαφοράς. ἀλλὰ μὴν καὶ ὅσον ὑπόλοιπον ἐστὶ συμπτωμάτων γένος, ἤτοι περὶ φωνάς, καὶ ψόφους τοὺς κατὰ τὸ ζῷον, ἤτοι κἀν τοῖς ἐκκρινομένοις τοῦ σώματος, ἢ ἐπεχομένοις, ἔκγονον ἅπαν καὶ τοῦτο νοσημάτων ἐστίν, ἢ αὐτῶν ἄντικρυς, ἢ διὰ μέσων τινῶν συμπτωμάτων. ἐν μὲν γὰρ ταῖς φωναῖς, αἵ τε κατὰ τὸ στόμα καὶ τὴν φάρυγγα, καὶ τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν πνεύμονα καὶ τὸν θώρακα νόσοι τὰ συμπτώματ' αὐτῶν ἐργάζονται, κλαγγώ-
50 δεις τέ τινας, καὶ τρομώδεις, καὶ βραγχώδεις καὶ κλαγγώδεις ἀποτελοῦσαι φωνάς. ἐν ἄλλοις δέ τισι τοῦ ζῴου μορίοις, ἦχοί τε καὶ βορβορυγμοί, καὶ τρυσμοί, καὶ ὅσα τοιαῦτα, τὰ μὲν ὑπὸ στενοχωρίας ὀργάνων, ἢ κινήσεως πλημμελοῦς, τὰ δέ, ὑπὸ πλεονεξίας φυσώδους πνεύματος, ἢ καί τινων, ἢ καὶ πάντων ἅμα τούτων συνιόντων ἀποτελεῖται, περὶ ὧν ἐπιπλέον ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις εἰρήσεται. Τὰ δ' ἐκκρινόμενα τοῦ σώματος, ἢ κατεχόμενα παρὰ φύσιν, εἰς τρεῖς μὲν τέμνεται καὶ αὐτὰ τὰς πρώτας διαφοράς, ἢ ταῖς οὐσίαις ὅλαις, ἢ ταῖς ποιότησιν, ἢ ταῖς ποσότησιν, ἐξιστάμενα τοῦ κατὰ φύσιν. ἕπεται δὲ πάντως νοσήμασιν, ἢ αὐτοῖς ἄντικρυς, ἢ διὰ μέσων ἑτέρων συμπτωμάτων. αἱμοῤῥαγία μὲν γὰρ ὅλῳ τῷ γένει τῆς ἐκκρινομένης οὐσίας παρὰ φύσιν ἐστίν. ἀλλ' ἤτοι τρωθέντος, ἢ ῥαγέντος, ἢ ἀναστομωθέντος, ἢ διαβρωθέντος ἀγγείου γίνεται. τούτων δὲ ἡ μὲν τρῶσις καὶ ἡ ῥῆξις καὶ ἡ διάβρωσις, νόσημά ἐστιν ὁμοιομεροῦς ἴδιον. ἡ δ' ἀναστόμωσις, ἴδιον ὀργανικοῦ, ποτὲ μὲν τῆς περισταλτικῆς ἐνεργείας ἀῤῥωστούσης, ποτὲ δὲ τῆς ἀποκριτικῆς ἀμέτρως

† alij addũt τὰ δὲ ἀκουστά.

† al. ὁμογενεῖς αὐτὰς εἶπεν, ὡς ὑπὸ τῆς αὐτῆς αἰσθήσεως κρινομένας. καὶ γὰρ μαλακότης καὶ σκληρότης ὑπὸ τῆς ἁφῆς δοκιμάζονται, καθάπερ αἱ δραστικαὶ ποιότητες.

† al. ὑπάρχουσαι

κινουμένης, ποτὲ δὲ ἀμφοτέρων ἅμα βεβλαμμένων ἀποτελουμένη. οὕτω δὲ καὶ ῥοῦς γυναικεῖος, ἤτοι διὰ τὰ τῶν εἰρημένων ἐνεργειῶν συμπτώματα γένοιτ' ἄν, ἢ λεπτοῦ καὶ ὀῤῥώδους τοῦ παντὸς αἵματος ἀποτελεσθέντος. ἔστι δὲ καὶ ἴδιον σύμπτωμα. γένεσις δ' αὐτοῦ πολυειδής. ἤτοι γὰρ τῆς ἐξαιματούσης δυνάμεως, ἢ τῆς διακρινούσης τό, τε λεπτὸν καὶ ὀῤῥῶδες, ἢ τῆς ἐκκρινούσης τὸ σφάλμα. γένοιτο δ' ἄν ποτε καὶ τῆς καθεκτικῆς ἀμέτρως ἐνεργούσης, καὶ τοῦ δέρματος πυκνωθέντος, καὶ τῶν νεφρῶν στεγνωθέντων. οὕτω δὲ καὶ ἱδρῶτας ἀμέτρως ἐκκρίνεσθαι, ἴσχεσθαι μὴ δεόντως, ἤτοι διὰ τὴν τοῦ δέρματος διάθεσιν, ἢ διά τινα τῶν εἰρημένων δυνάμεων, ἢ δι' αὖ τὴν τῶν ὑγρῶν φύσιν ἀναγκαῖον γίνεσθαι. καὶ δῆλον ὡς ἐν ἅπασι τοῖς τοιούτοις λόγοις, παραδιαζευκτικοῖς τοῖς συνδέσμοις χρώμεθα. πάντως μὲν γὰρ ἐφ' ἑκάστῳ τῶν εἰρημένων συμπτωμάτων, εἷς τις ὑπάρχει τρόπος τῆς αἰτίας, οὐ μὴν κεκώλυταί γε δύο, καὶ τρεῖς, καὶ πάντας ἅμα συνιέναι. δῆλον δὲ ὡς ἐκ τούτου τοῦ γένους ἐστὶ τὸ σύμπτωμα, δυσουρία τε καὶ ἰσχουρία καὶ στραγγουρία, καὶ ὁ καλούμενος ὕδρωψ εἰς ἀμίδα, τινὲς δὲ διαβήτην αὐτὸν ὀνομάζουσι. ἄλλοι δὲ διάῤῥοιαν εἰς οὖρα. καὶ μὲν δὴ καὶ τὰ χρώματα τῶν ἐκκρινομένων παρὰ φύσιν, ἢ τὰς ὀσμὰς, οὐδὲν ἔτι δεόμεθα δεικνύειν ἐξ ἀνάγκης ἑπόμενα ταῖς νόσοις, εἴ γε μηδὲν τῶν τοιούτων ἄνευ δυσκρασίας γίνεται. δῆλον δὲ καὶ ὡς τὸ προκείμενον ἀποδέδεικται σαφῶς. ἁπάσης γὰρ τῶν συμπτωμάτων τῆς φύσεως, ἡγεῖσθαι χρὴ νοσήματα, ὡς γίνεσθαι πολλάκις οἷον στίχον τινὰ συμπτωμάτων ἐφεξῆς ἀλλήλοις, ὑπὸ μὲν τοῦ νοσήματος αὐτοῦ τὸ πρῶτον, ὑπὸ δὲ τούτου τὸ δεύτερον, εἶτ' αὖθις ὑπ' ἐκείνου τὸ τρίτον, εἶθ' ἑξῆς ὑπὸ τούτου τὸ τέταρτον. ἀλλ' ἐνταῦθα μὲν προσέχειν ἀκριβῶς χρὴ τὸν νοῦν, καὶ διορίζειν ἐπιμελῶς, τῶν ἔργων τοῦ ζώου τὰ συμπτώματα. πολλαχῆ γὰρ ἀλλήλοις οὕτως ἔοικεν, ὡς καὶ τὸ σύμπτωμα, ἔργον νομίζεσθαι, καὶ τοὔργον σύμπτωμα. καὶ εἰ μή τις ἔχει τι κἀν τούτῳ κριτήριον ὑγιὲς, ἐξ ὧν ἂν αὐτὸς σφάλλεται συκοφαντήσει τὸν λόγον. εἰ γὰρ διὰ τῶν κατὰ φύσιν ἐκκρίσεων, (οὕτω δὲ καλοῦσι τὰς ἐπὶ τῶν ὑγιαινόντων γιγνομένας,) ἤτοι τὸ ποσὸν, ἢ καὶ τὸ ποιὸν, ἢ καὶ τὸ γένος αὐτὸ τῆς οὐσίας ὑποθέμενος τις σκοπὸν, ἔπειτα πρὸς τοῦτ' ἀποβλέπων, κρίνει τὰ συμπτώματα, σφαλήσεται πολλαχόθι. πολλαπλάσιος γὰρ ἱδρὼς ἐνίοτε τοῦ κατὰ φύσιν, ἢ γαστρὸς διαχώρησις, ἢ οὖρα τοῖς ἀῤῥωστοῦσι γίνεται, μὴ ὅτι βεβλαμμένης ἐνεργείας τινὸς, ἀλλὰ καὶ μετὰ ῥώμης καὶ προνοίας τοῦ ζώου γιγνομένης. ἔνια μὲν γε καὶ ὅλῳ τῷ γένει παρὰ φύσιν ὑπάρχοντα, καθάπερ αἱμοῤῥαγίαι διὰ τῶν ῥινῶν, ἢ ἔμετος, ἢ αἵματος ὑποχώρησις, ἢ αἱμοῤῥοῒς, ἤ τι τοιοῦτον ἕτερον, ὅμως οὐδέπω παρὰ φύσιν ἐστὶν, ἂν καιρῷ γίνηται. τὸ δ' ἐν καιρῷ, δῆλον ὅτι τοῦτ' ἐστὶν, ἂν τὸ λυποῦν ἐκκαθαίρηται. μενούσης οὖν τῆς ὁμολογίας, ἣν ἐξ ἀρχῆς ὡμολογήσαμεν, ὡς αἱ τῶν ἐνεργειῶν βλάβαι, συμπτώμαθ' ὑπάρχουσιν. οὐδὲν τῶν ἐπ' ὠφελείᾳ γινομένων, ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν συμπτωμάτων. ἔργον γὰρ φύσεως ἕκαστον αὐτῶν μᾶλλον ἢ βλάβη τις ὑπάρχει. ἀλλ' ἴσως τις ὑπάρξει θατέρῳ γένει τῶν συμπτωμάτων, τῷ τῆς παρὰ φύσιν διαθέσεως ἅπαντα τὰ τοιαῦτα. τὸ γοῦν ὅλως διῃρῆσθαι τινὰ φλέβα καθ' ὁποιοῦν μόριον τοῦ σώματος, ἢ ἀνεστομῶσθαι μέχρι τοῦ προχεῖν ἃ πρότερον ἔστεγεν, οὐ κατὰ φύσιν ἐστὶν διάθεσιν. καί τοι κἀνταῦθα τὴν διάῤῥοιαν τῆς γαστρὸς, ἢ τὸ τῶν οὔρων πλῆθος, οὐκ ἂν ἔχοι δεικνύναι πάντως ἑπόμενα ταῖς παρὰ φύσιν διαθέσεσιν. αἱμοῤῥαγίας μὲν γὰρ καὶ ἐμέτους ὅλῳ τῷ γένει φύσει τις παρὰ φύσιν ὑπάρχειν. οὔτε δὲ ἡ διὰ γαστρὸς, οὔτε ἡ διὰ κύστεως, οὔτε ἡ διὰ μήτρας ἔκκρισις ὅλῳ τῷ γένει παρὰ φύσιν. ἴσως δ' ἀμφισβητήσει τις καὶ περὶ τῶν ἱδρώτων, ὡς οὐδ' αὐτῶν ὄντων κατὰ φύσιν. καὶ γὰρ οὖν καὶ ὁ Διοκλῆς ἱκανῶς ἐπεχείρησεν εἰς τοῦτο. πάνυ δ' εἶναι τραχὺ δοκεῖ τό δὲ τὸ δόγμα, καὶ παρὰ τὴν ἐνέργειαν, εἰ καὶ ὅτι μάλιστα πιθανῶς κατασκευάζηται. περὶ μὲν δὴ τῶν τοιούτων ἴσως ἄν ποτε καὶ αὖθις εἰπεῖν αὖ γένοιτο ἡμῖν. παντάπασι γὰρ ὀλίγα διαμφισβητεῖται. περὶ δὲ τοῦ παντὸς πλήθους τῶν ἄλλων συμπτωμάτων ἱκανῶς ἐπιδέδεικται. καὶ χρὴ καταπαύειν ἤδη καὶ τό δὲ τὸ γράμμα. καὶ γὰρ δὴ καὶ γεγυμνασμένος τις ἐν τοῖς ὁμολογουμένοις, ῥᾷον ἂν ἀκολουθήσειε τῇ τῶν ἀμφισβητουμένων κρίσει.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΙΤΙΩΝ ΣΥΜ=ΠΤΩΜΑΤΩΝ. ΒΙΒΛΙΟΝ. δ'.

ΤΑΣ αἰτίας τῶν συμπτωμάτων, ἐν τοῖς δὲ τοῖς γράμμασι σκεψώμεθα, τὴν αὐτὴν τοῦ λόγου τάξιν φυλάττοντες, ἣν καὶ τῷ περὶ διαφορᾶς αὐτῶν ἐποιησάμεθα. ἔστι μὲν οὖν τὰ σύμπαντα γένη τρία τῶν συμπτωμάτων, ἀλλὰ περὶ μὲν τούτου τοῦ πρώτου ὁ λόγος ἡμῖν ἐγένετο, καθὸ καὶ βεβλάφθαι τὴν ἐνέργειαν ἔφαμεν, οὕτως ἀκούειν ἀξιώσαντες, ὡς εἰ καὶ τέλεος τις ἀπόλοιτο. διττῶν δ' οὐσῶν κατὰ γένος ἐνεργειῶν, τῶν μὲν φυσικῶν, τῶν δὲ ψυχικῶν. ἀπὸ τῶν ψυχικῶν ἠρξάμεθα, καὶ ταύτας τριχῆ διελόμενοι, τὰς μὲν αἰσθητικὰς, τὰς δὲ κινητικὰς τὰς δὲ ἡγεμονικὰς ἐκαλέσαμεν. ἐν τοίνυν ταῖς αἰσθητικαῖς ἐνεργείαις, τριττὴ τῶν συμπτωμάτων ἐστὶν ἡ διαφορά. μία μὲν αὐτοῦ τοῦ πρώτου τῆς αἰσθήσεως ὀργάνου πεπονθότος. ἑτέρα δὲ τῆς αἰσθητικῆς δυνάμεως. ἡ τρίτη δὲ, τῶν εἰς ὑπηρεσίαν τινὰ τοῦ πρώτου τῆς αἰσθήσεως ὀργάνου γεγονότων. οἷον ἐν ὀφθαλμῷ, τὸ μὲν πρῶτον ὄργανον αἰσθητικὸν ἐστιν, τὸ κρυσταλλοειδές. ἐδείχθη γὰρ τοῦτο μόνον ὑπὸ χρωμάτων ἀλλοιούμενον. ἡ δὲ αἰσθητικὴ δύναμις, ἡ ἐξ ἐγκεφάλου παραγινομένη διὰ τοῦ καθήκοντος εἰς αὐτὸν νεύρου. τὰ δ' εἰς ὑπηρεσίαν αὐτοῦ γεγονότα, σύμπαντά ἐστι τὰ ἄλλα τὰ περὶ τὸν ὀφθαλμὸν μόρια. καὶ τοίνυν ἤτοι κακῶς, ἢ οὐδ' ὅλως ὄψεται τὸ ζῶον, ἑνός γέ τινος ἐκ τῶν εἰρημένων βεβλαμμένου. τὰ μὲν οὖν τοῦ κρυσταλλοειδοῦς νοσήματα κατὰ τὰς ὀκτὼ δυσκρασίας ἐστί. τὰ δὲ τῆς δυνάμεως, ἢ τῷ τὸ νεῦρον, ἢ τῷ τὸν ἐγκέφαλον πεπονθέναι. ὀκτὼ δὲ καὶ τούτων ἑκατέρου τὰ γένη, τά γε ὡς ὁμοιομερέσιν αὐτοῖς γινόμενα νοσήματα. τὰ δὲ ὡς ὀργανι-

τοῖς, ἐμφράξεις τε καὶ θλίψεις, ὅσα τε δι' ἐπιῤῥοὴν ὑγρῶν, ὄγκον ἐργάζεται παρὰ φύσιν. ἡ δὲ τῆς συνεχεί-
ας λύσις ἐπὶ πᾶσι τοῖς εἰρημένοις, κοινῶν ὁμοιομερῶν τε καὶ ὀργανικῶν μορίων ἐστὶν, οὐκ ἐγκεφάλῳ μόνον,
ἢ νεύρῳ συμβῆναι δυνάμενον. ἀλλὰ καὶ τῷ κρυσταλλοειδεῖ. τούτῳ μήν γε καὶ τὸ μετακινηθῆναί τε, καὶ με-
τασῆναι τῆς οἰκείας ἕδρας, ὀργανικὸν συμπίπτει νόσημα. τῆς μεταστάσεως, εἰ μὲν ἤτοι πρὸς τὸν μέγαν, ἢ τὸν
μικρὸν γίγνοιτο κανθὸν, οὐδὲν ἀξιόλογον βλαπτούσης, εἰ δ' ἄνω καὶ κάτω, διπλᾶ ποιούσης ἅπαντα φαίνε-
σθαι τὰ ὁρώμενα. ταυτὶ μὲν οὖν ἐστι. τά τε τοῦ πρώτου τῆς ὄψεως ὀργάνου νοσήματα, καὶ τῶν τὴν δύναμιν
αὐτῷ χορηγούντων. τὰ δὲ τῶν χρείαν τινὰ παρεχομένων, εἰ κατὰ τὸ τρῆμα τοῦ ῥαγοειδοῦς, ἢ καὶ τὸ μεταξὺ
τούτου τε καὶ τοῦ κρυσταλλοειδοῦς, ὑγρόν τε καὶ πνεῦμα συσταίη τηλικοῦτον, ὡς ἐμποδίσαι τὸ πρῶτον τῆς
ὄψεως ὄργανον πρὸς τὴν τῶν αἰσθητῶν διάγνωσιν. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ ἡ πρὸ τῆς κόρης μοῖρα
τοῦ κερατοειδοῦς, ἐμποδίζει τὴν ὄψιν, ἄν τε κατὰ τὸν ἑαυτῆς λόγον, ἄν τε κατ' ἄλλον τινὰ τρόπον ἐξίσηται
τοῦ κατὰ φύσιν. τὸ μὲν οὖν τρῆμα κατὰ τέσσαρας τρόπους ὑπαλλάττεται τῆς αὐτοῦ φύσεως, αὐξανόμενον,
ἢ μειούμενον, ἢ παρασπώμενον, ἢ ῥηγνύμενον. ἀλλ' ἡ μὲν αὔξησις ἀεὶ βλάπτει τὴν ὄψιν, ἄν τ' ἐκ γενετῆς ᾖ,
ἄν τε ὕστερον συμβαίη. ἡ δὲ μείωσις, ἐκ γενετῆς μὲν, ὁράσεως ὀξυτάτης ἐστίν. αὖθις δὲ, εἰ γίγνετο, μοχθηρᾶς.
τῶν δὲ ἄλλων, οὐδέτερον, οὔτ' ἐκ γενετῆς, οὔθ' ὕστερον οὐδὲν ὅτι καὶ ἄξιον λόγου παραβλάπτει τὴν ὄψιν. ἑω-
ράκαμεν γὰρ ἤδη πολλάκις ἐπὶ περιπτώσεσι βραχείαις τοῦ ῥαγοειδοῦς συνουλωθείσαις, παρασπωμένην τὴν κό-
ρην, οὐδὲν δὲ εἰς τὸ βλέπειν τὸν ἄνθρωπον ἐμποδιζόμενον, ὅταν γε δὴ τὴν πρὸ αὐτῆς μοῖραν τοῦ κερατοει-
δοῦς διαυγουμένην ἀμέμπτως ἔχῃ. ταυτὶ μὲν οὖν ἡ πεῖρά γε δείκνυσιν. ἡ δ' αἰτία δι' ἣν μὲν εὐρύτης τοῦ τρή-
ματος, ἀεὶ βλαβερὸν εἰς δυσαισθησίαν ὄψεως, ἡ δὲ στενότης οὐκ ἀεὶ, σκέψεως ἀξία. δοκεῖ δέ μοι τὸ ἐξ ἐγκεφά-
λου καταφερόμενον ἐπὶ τὸν ὀφθαλμὸν νεῦρον, ὃ δὴ καὶ πόρον ὀνομάζουσιν οἱ περὶ τὸν Ἡρόφιλον, ὅτι τοῦτο μό-
νον φανερὸν ἐστι τὸ τρῆμα, πνεύματος ὑπάρχειν ὁδὸς αἰσθητικοῦ. καὶ διὰ τοῦτο ἐπειδὰν ἐπιμύσαιμεν τὸν ἕτε-
ρον τῶν ὀφθαλμῶν, εὐρύνεσθαι συμβαίνει θατέρου τὴν κόρην, ὡς ἂν εἰς τὸν ἕνα μόνον ἰόντος τοῦ πνεύματος,
ὃ πρότερον εἰς ἀμφοτέρους ἐμερίζετο. ταῦτά τοι καὶ ἡ τῶν ὑποκεχυμένων διάγνωσις, εἴτ' ὄψονται παρα-
κεντηθέντος καὶ κατενεχθέντος τοῦ ὑποχύματος, εἴτε μὴ, διὰ τοῦτο μάλιστα γίγνεται τοῦ σημείου. οἷς μὲν
γὰρ εὐρύνεσθαι συμβαίνει τὴν κόρην, μύσαντος θατέρου τῶν ὀφθαλμῶν, τούτους μὲν ἐλπὶς ὄψεσθαι, παρακεν-
τηθέντας. οἷς δὲ οὐκ εὐρύνεσθαι, τούτων οὐδεὶς οὐδέ πώποτε εἶδεν, οὐδ' ἂν ἀνωδυνώτατά τε καὶ μάλιστα
χειρουργηθῶσιν. ἐξ ὧν ἁπάντων, δῆλον ὡς ἐπιῤῥεῖ πνεῦμα τοῖς ὀφθαλμοῖς ἐξ ἐγκεφάλου ψυχικὸν, εἴς τε
τὸ κρυσταλλοειδὲς ὑγρὸν αὐτὸ, καὶ τὴν προκειμένην ἅπασαν χώραν, ἣν διορίζει τὸ τρῆμα τοῦ ῥαγοειδοῦς. ὅταν
οὖν ἡ κόρη γίγνεται μείζων, εἴτε κατὰ τὴν πρώτην διάπλασιν, εἴθ' ὕστερον οὐκ ἐκπληροῦται καλῶς ὑπὸ τοῦ
πνεύματος ἅπασα. χεῖσθαι τοίνυν ἀναγκάζεται καὶ διαλύεσθαι καὶ σκεδάννυσθαι. κατὰ δὲ τοὐναντίον ἐν
τῇ μικροτέρᾳ κόρῃ συνάγεται καὶ σφίγγεται, καὶ πυκνοῦται τὸ πνεῦμα. δέδεικται δ' ἐν τοῖς περὶ χρείας
μορίων, ὡς τὸ μὲν συνάγεσθαί τε καὶ σφίγγεσθαι πρὸς εὐαισθησίαν αὐτῷ συντελεῖ, τὸ δὲ διαλύεσθαί τε καὶ
σκεδάννυσθαι, πρὸς δυσαισθησίαν ἀπάγει. τί δή ποτ' οὖν ἡ σμικρυνθεῖσα κόρη, λόγῳ νοσήματος, οὐ φύσει,
πολὺ χεῖρον ἀποτελεῖται τῆς συμμέτρου, ἢ διότι μοχθηραῖς διαθέσεσιν ἕπεται, δι' ἃς ἐξ ἀνάγκης χεῖρον ὁρᾷ
ὁ παθὼν οὕτως ὀφθαλμὸς οὐ διὰ τὴν σμικρότητα τῆς κόρης. τίνες οὖν αἱ διαθέσεις, ἔτι γὰρ τοῦτο λείπει τῷ λόγῳ.
μία μὲν αὐτοῦ τοῦ ῥαγοειδοῦς χιτῶνος μόνου. δευτέρα δὲ, ἡ ἐκ τῆς ὑγρότητος ἐκχεομένης τῆς λεπτῆς ἡ μετα-
ξὺ τέτακται τοῦ τε κρυσταλλοειδοῦς ὑγροῦ, καὶ αὐτοῦ τοῦ ῥαγοειδοῦς. ἡ μὲν οὖν τοῦ χιτῶνος αὐτοῦ μόνου διά-
θεσις, ἔκτασις τίς ἐστι, καὶ χάλασις, οἷα κἀπὶ τῶν ἐκτὸς ὁρᾶται πολλάκις ἐν ἄρθροις, ὑγρότητι περιττῇ, δια-
βραχέντων τῶν συνδέσμων. ἡ δὲ τῶν ὑγρῶν διάθεσις, ἔλλειψίς τίς ἐστι, δι' ἣν κενουμένης τῆς ἔνδον χώρας, ὁ ῥα-
γοειδὴς ἐπ' αὐτὴν καταπίπτων, συστέλλεταί τε καὶ ῥυσσοῦται. καὶ διὰ τοῦτο, καὶ τὴν κόρην σμικρύνει. χεῖρον
οὖν ὁρᾶν ἢ καὶ μηδόλως ὁρᾶν ἐπὶ ταῖς τοιαύταις διαθέσεσιν, οὐ διὰ τὴν σμικρότητα τῆς κόρης, ἀλλὰ διὰ τὴν
τῆς ὑγρότητος ἔνδειαν συμβαίνει, δέδεικται γὰρ ἐν τοῖς ὀπτικοῖς λόγοις, οὓς ἔν τε τῇ περὶ χρείας μορίων, καὶ πρὸ
ἔτι ἐν τῇ περὶ τῶν Ἱπποκράτους, καὶ Πλάτωνος δογμάτων ἐποιησάμεθα, πραγματείᾳ, τὸ κρυσταλλοειδὲς
ὑγρὸν ἀεὶ προβλήματός τινος δεόμενον, ἵνα ἀλύπως ὑπομένῃ τὴν ἔξωθεν αὐγήν. ἐν δὲ δή τι τῶν προβλημά-
των αὐτοῦ καὶ τόδε τὸ ὑγρόν ἐστι, μετὰ τοῦ καὶ συνωφελεῖν τι τὴν οὐσίαν τοῦ κρυσταλλοειδοῦς. ὅταν οὖν ἐνδεέ-
στερον γένηται τὸ ὑγρὸν τοῦτο, ξηρότερον μὲν δήπου καὶ αὐτὸ γίγνεται τὸ κρυσταλλοειδὲς, ὡς μηκέτι τεγγόμενον
ὑγρότητι δαψιλεῖ. καταπίπτων δὲ καὶ ὁ ῥαγοειδὴς χιτὼν ἐπ' αὐτὸ τὴν μεταξὺ χώραν ἑαυτοῦ τε κἀκείνου,
βραχυτέραν ἐργάζεται. καὶ οὕτως ἀναγκαζόμενον τὸ κρυσταλλοειδὲς ὁμιλεῖν δι' ὀλίγου, τῇ κατὰ τὸν ἔξωθεν
ἀέρα λαμπρότητι, παραπλήσιόν τι πάσχει τὸ πάθος, οἷόν περ τοῖς τὸν ἥλιον ἀσκαρδαμυκτὶ θεωμένοις συμβαίνει.
ἐκείνων δ' οὖν ἔνιοι μὲν ἐτυφλώθησαν, ἐβλάβησαν δὲ ἅπαντες ὡς μόγις ἀνακτήσασθαι τὴν ὄψιν. ἐδείχθη γοῦν
ἡμῖν, ὡς οὐχ οἷόν τε ἐστὶν λαμπροῦ φωτὸς ἀλύπως ἀνέχεσθαι τὸ τῆς ὄψεως ὄργανον. καὶ ὡς διὰ τοῦτο καὶ ὁ ῥαγο-
ειδὴς αὐτοῦ χιτὼν προβέβληται, μέλας τε ἅμα καὶ κυανοῦς ὑπάρχων, ἐπειδὴ ταῦτα μάλιστα τὰ χρώματα
παραμυθεῖται τὴν ὄψιν, ὑπὸ λαμπροῦ κάμνουσαν φωτός. αὕτη μὲν ἓν ἡ αἰτία, δι' ἣν ἔλαττον γενόμενον τὸ
κατὰ τὴν κόρην γινόμενον ὑγρὸν, αἴτιόν τε ἅμα, τοῦ χεῖρον θεᾶσθαι γίγνεται, καὶ σμικρότερον ἀποφαίνει τὸ
τοῦ ῥαγοειδοῦς τρῆμα. καὶ διὰ τοῦτο δυσιατώτατόν ἐστι τὸ τοιοῦτον νόσημα τῶν ὀφθαλμῶν. ἡ δ' ἑτέρα διά-
θεσις ἡ δι' ὑγρότητα τοῦ ῥαγοειδοῦς μικροτέραν ἐργαζομένη τὴν κόρην, ἧττον ταύτης ἐστὶ μοχθηρά. χαλεπώ-
τερον γάρ ἐστι, τῶν ὁμοιομερῶν τι τοῦ σώματος μορίων ἐξηρασμένον ὑγραίνειν, ἤπερ ὑγρασμένον ξηραίνειν. ταῦ-
τα μὲν οὖν ἤδη πῶς ἅπτεται θεραπευτικῶν λογισμῶν. λέγομεν δὲ, ὅπερ ἐξ ἀρχῆς προὔκειτο. χαλεπὴ μὲν ἡ
παρὰ φύσιν τῆς κόρης σμικρότης, ἀγαθὴ δὲ ἡ σύμφυτος. ἡ δὲ εὐρύτης οὐκ ἀγαθὴ μὲν ἡ σύμφυτος. ἡ δὲ παρὰ
φύσιν, οὐδ' αὐτὴ μὲν ἀγαθή. μικρότερον δ' ἐστὶ τῆς στενότητος κακόν. ἡ μὲν γὰρ, ὡς ἂν εἴπῃ τις, αἰτία συνεκ-

τικὴ τῆς γενέσεως αὐτῆς, τάσις ἐστὶ τοῦ ῥαγοειδοῦς χιτῶνος, ὥσπερ αὖ τῆς σμικρότητος ἡ χάλασις. ἐπεὶ δὲ καὶ περὶ διττὸν τρόπον τείνεται, ὅτε περὶ τὸν ἑαυτοῦ λόγον πάσχει, ἢ ξηραινόμενος ὡς ὁμοιομερὲς, ἢ ὑγραινόμενος ὡς ὀργανικὸν, ἡ μὲν ξηρότης αὐτοῦ δι' οὐσίας, ἡ δὲ ὑγρότης, οὐ δι' οὐσίας ἐστί. φλεγμοναὶ γὰρ καὶ σκίῤῥοι καὶ ἀποστήματα, καὶ ὅσα τοιαῦτα νοσήματα τῶν ὀργανικῶν ἐστι μορίων, ἐπὶ περιτταῖς ὑγρότησιν, ὧν ἁπάντων ἀγαθὸς ἰατρὸς ἐν τῷ ῥαγοειδεῖ συνισταμένων, οὐ χαλεπῶς ἂν περιγίγνοιτο. προσγίνεται δέ ποτε τάσις τῷ ῥαγοειδεῖ, καὶ κατά τι συμβεβηκὸς ἐκ τοῦ πλήθους τῶν ὑποκειμένων ὑγρῶν ὁρμηθεῖσα, πληρωθεὶς γὰρ ὥσπερ ἀσκὸς ἢ κύστις, ἐκτείνεται, καὶ περιτείνεται πανταχόθεν τοῖς ἀθροισθεῖσιν αὐτοῦ τε μεταξὺ, καὶ τοῦ κρυσταλλοειδοῦς ὑγροῦ. ἐπεὶ δὲ οὐ μόνον, ὅσα τοῦ ῥήματος ἐστὶ τοῦ περὶ τὸν ῥαγοειδῆ νοσήματα διῆλθεν ὁ λόγος, ἀλλὰ καί τινων αὐτοῦ τοῦ ῥαγοειδοῦς ἐμνημόνευσε, καὶ προσέτι τῶν τῆς λεπτῆς ὑγρότητος, ἑξῆς ἂν εἴη τὰ λείποντα τῶν ἐν αὐτοῖς εἰπεῖν, ὑφ' ὧν ἤτοι παραποδίζεται τὸ βλέπειν, ἢ καὶ παντάπασιν ἀπόλοιτο. τῶν μὲν δὴ περὶ τὸν ῥαγοειδῆ χιτῶνα συνισταμένων, ὅσα γε δὴ λυμαίνεται ταῖς ὄψεσιν, ἓν ἔτι παραλέλειπται νόσημα, τὸ κοινὸν ὁμοιομερῶν τε καὶ ὀργανικῶν, ἡ τῆς ἑνώσεως λύσις, ὅπερ ἐν τούτῳ τῷ μορίῳ, ῥῆμά τε καὶ ἕλκος ἐστίν. ὅταν οὖν γένηται μέγα τὸ τοιοῦτον ὡς διαῤῥαγῆναι μὲν ἱκανῶς τὸν ῥαγοειδῆ, προχυθῆναι δὲ τὴν λεπτὴν ὑγρότητα πρὸς τὸ ἐκτὸς τοῦ χιτῶνος, ὡς ψαύειν ἤδη κερατοειδοῦς, ἀνάγκη συμπίπτειν ἅπαντα ἐν τῷ δὲ δύο, καταπίπτειν μὲν ἐπὶ τὸ κρυσταλλοειδὲς ὑγρὸν τὸν ῥαγοειδῆ χιτῶνα, τὸ δ' ἀπ' ἐγκεφάλου πνεῦμα, μηκέτι ὅλον ἐπὶ τὴν κόρην ἀφικνεῖσθαι δυνάμενον, διὰ τὸ τοῦ ῥήματος ἐκρεῖν. ὅτι δὲ οὐ μόνον ἄμφω ταῦτα συνελθόντα βλάβη τῆς ὄψεώς ἐστιν, ἀλλὰ καὶ τὸ ἕτερον αὐτῶν, εὔδηλον ὑπάρχειν ἡγοῦμαι, τοῖς γε μὴ παρέργως ἀκηκοόσι τῶν προειρημένων. ἐμοὶ δ' ἂν εἴη καιρὸς, μεταβαίνειν ἤδη ἐπὶ τὴν λεπτὴν ὑγρότητα, περὶ ἧς εἴρηται μέν του καὶ πρόσθεν τό γε τοσοῦτον, ὡς εἴτε πλείων, εἴτ' ἐλάττων γένοιτο, βλάπτει τὴν ὄψιν. ὅτι δὲ καὶ εἰ παχυτέρα ποτὲ κατὰ τὴν σύστασιν, ἢ ἀλλοιοτέρα κατὰ τὴν χροιὰν ἀποτελεσθείη, καὶ οὕτως ἐργάσεταί τι σύμπτωμα περὶ τὴν τοῦ βλέπειν ἐνέργειαν ὅπερ οὐκ εἴρηται μὲν ἔμπροσθεν, ἤδη δὲ αὐτὸ λέγεσθαι καιρός. εἰ μὲν δὴ παχύτερον ἑαυτοῦ γίγνοιτο τὸ ὑγρὸν ὀλίγῳ, τήν τε ἀκρίβειαν τῆς ὄψεως ἀφαιρήσεται, καὶ τὸ μῆκος κωλύσει. ὡς μήτε τὰ πόῤῥω βλέπειν, μήτε ἀκριβῶς τὰ πλησίον. εἰ δὲ ἱκανῶς ἀποτελεσθείη παχὺ, καθάπερ ἐν τοῖς ὑποχύμασι γίγνεται, διακωλύσει τὸ βλέπειν. εἰ δὲ μὴ πᾶν ἐπισκοτισθείη τὸ τρῆμα πρὸς τοῦ συστάντος αὐτόθι παχυμεροῦς σώματος, ἀλλά τι μέρος ἀπολείποιτο καθαρὸν, ὁρῶσιν δι' ἐκείνου τὰ ἐκτὸς, ἕκαστον μὲν αὐτὸ μόνον, οὐδὲν χεῖρον ἢ πρόσθεν, οὐ μὴν οὐδ' ὑφ' ἕνα χρόνον ὁμοίως τὰ πολλὰ, διὰ τὸ στενώτερον ἑαυτοῦ γεγονέναι τὸν τῆς ὄψεως κῶνον. κατὰ δὲ τὸ κέντρον τῆς κόρης εἰ γένοιτο σύστασις ὑποχύματος μικροῦ, τῶν ἐν κύκλῳ μενόντων καθαρῶν, ἅπαντα φαίνεται τοῖς οὕτω πάσχουσιν οἷον θυρίδας ἔχοντα. τὸ γὰρ ἐν μέσῳ τὸ μὴ βλεπόμενον, ἐγκεκολάφθαι δοκεῖ. εἰ δὲ διεσπασμένα τε καὶ μὴ συνεστῶτα πρὸς ἄλληλα, τὰ παχυμερῆ σώματα κατὰ τὸ προειρημένον ὑγρὸν ἐμφαίροιτο, φαντασίαν ἐργάσεται τοῖς οὕτως ἔχουσιν, ὡς ἐκτὸς ὁρώμενα τινὰ περιφερόμενα κωνώπια. πολλάκις δὲ καὶ οἷον εἴδωλόν τι προφαίνεσθαι φαντάζονται διὰ τὰς τῶν παχυμερῶν ὑγρῶν συστάσεις. ἡ τοιαύτη δὲ τῶν εἰδώλων γένεσις μετὰ ἐξανάστασιν ὕπνου φαίνεται τὰ πολλὰ, μάλιστα δὲ παισὶ, καὶ τοῖς πεπωκόσι πλέον, ἢ πῶς ἄλλως πεπληρωμένοις τὴν κεφαλήν. εἰ δὲ κατὰ τὴν χροιὰν ἐξαλλαχθείη τὸ μεταξὺ τοῦ τε κρυσταλλοειδοῦς, καὶ τοῦ ῥαγοειδοῦς ὑγρὸν, ἐπὶ μὲν τὸ φαιότερον ἀποκλῖναν, ὡς δι' ὁμίχλης, ἢ καπνοῦ ποιήσει τὸν ἄνθρωπον ὁρᾶν. ἐπ' ἄλλην δέ τινα χροιὰν ἐκτρεπόμενον, ἐκείνης τὸ φάντασμα περιτρίψεται τοῖς ὁρατοῖς. εἰ δὲ ἀνωμάλως ἤτοι τῆς συστάσεως, ἢ τῆς χροιᾶς ἐξίσταιτο τῆς κατὰ φύσιν, ὅτι περ ἂν αὐτοῦ μέρος οὕτω διακείμενον ἐπὶ τὸ τῆς κόρης ἀφίκηται χωρίον, ὅμοιον ἑαυτῷ καὶ τὸ φάντασμα παρέξει τοῖς ὁρατοῖς. καὶ γὰρ τὴν χροιὰν ἐκείνου, καὶ τὴν σύστασιν, καὶ τὸ σχῆμα, δόξουσιν ὁρᾶν ἐκτός. ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν συμπτωμάτων, τά τε τῶν ὑποχεομένων φαντάσματα, καὶ τῶν ἐκ ῥινὸς αἱμοῤῥαγεῖν, ἢ ἐμεῖν μελλόντων, ὑφ' Ἱπποκράτους γεγραμμένα. καὶ μὴν, καὶ ὅσοις ἀκριβὴς μὲν ἡ ὄψις ἐστὶν, ὡς μηδὲ τὸ σμικρότατον αὐτὴν λανθάνειν τῶν αἰσθητῶν, ἀναθυμιάσεις δέ τινες ἀπὸ τῆς γαστρὸς ἀναφέρονται, καὶ μάλιστα, ὅταν μηδὲ πέψωσι καλῶς, ὅμοια τοῖς ὑποχεομένοις, γίγνεται τὰ συμπτώματα. καθαρώτατον μὲν γὰρ τούτοις ἐστὶ φύσει, τό τε κρυσταλλοειδὲς ὑγρὸν, καὶ τουτὶ δ' αὐτὸ τὸ ὑδατοειδὲς, ὑπὲρ οὗ νῦν διερχόμεθα. τὸ δὲ μέγεθος τῶν συμπτωμάτων ἐν αὐτοῖς ἀεὶ κατὰ τὸ μέγεθος τοῦ πάθους ἐστί. οὐ μόνον ἐφ' ὧν ἄρτι πέπαυμαι λέγων, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν προειρημένων. οἷον αὐτίκα τῶν ὁμοιομερῶν αἱ δυσκρασίαι βραχεῖαι μὲν οὖσαι, σμικρὰν τὴν βλάβην τῆς ἐνεργείας ἐργάζονται. μείζονες δὲ γενόμεναι, καὶ τὴν βλάβην ἀνάλογον αὐταῖς ἐπαύξουσιν, ἐπὶ πλεῖστον δ' ἐξιστάμεναι τοῦ κατὰ φύσιν, ἄρδην ἀπολλύουσι τὴν ἐνέργειαν. οὕτω δὲ καὶ ὅσα περὶ ποιότητος εἴρηται καὶ συστάσεως, καὶ χροιᾶς τῆς ὑδατώδους ὑγρότητος, ἐπ' ὀλίγον μὲν ἐξιστάμενα τοῦ κατὰ φύσιν ὀλίγον τι καὶ τὴν ἐνέργειαν ἀδικεῖ. ἐπὶ πλέον δὲ ἀποχωροῦντα, πρὸς λόγον τῆς σφετέρας βλάβης, καὶ τὴν τῆς ἐνεργείας βλάβην αὐξάνει. ἐπὶ πλεῖστον δὲ ἐκτρεπόμενα, τελέως ἀναιρεῖ τὴν ἐνέργειαν. ὡσαύτως δὲ καὶ ὅσα περὶ τὰς ῥήξεις εἴρηται τοῦ ῥαγοειδοῦς, καὶ τὸ τῆς κόρης ποσὸν, ἤτοι βραχύ τι παραβλάπτει τὴν ἐνέργειαν, ἢ πλέον, ἢ καὶ παντάπασιν ἀπόλλυσιν. οὕτω δὲ καὶ τὸ πνεῦμα τὸ ψυχικὸν, ἢ ἀκριβῶς ἐστὶ καθαρὸν, οἷόσπερ ὁ αἰθὴρ, ἢ ὑγρὸν καὶ θολερὸν ὁμίχλης δίκην. καὶ κατὰ τὸ ποσὸν τῆς οὐσίας, ἤτοι πλέον, ἢ ἔλαττον. ἐὰν μὲν οὖν, ἅμα πολύ τε καὶ αἰθερῶδες ὑπάρξῃ, καὶ τὰ πλεῖστον ἀπέχοντα θεᾶται, καὶ ἀκριβῆ τὴν διάγνωσιν αὐτῶν ποιεῖται. ἐὰν δὲ ὀλίγον μὲν ᾖ, καθαρὸν δὲ τὰ μὲν ἐγγὺς ἀκριβῶς διαγινώσκει, τὰ πόῤῥωθεν δὲ οὐχ ὁρᾷ. ἐὰν δὲ ὑγρότερόν τε ἅμα καὶ πολὺ τύχῃ μέχρι μὲν πλείστου οὐκ ἀκριβῶς ὁρᾷ. ὥσπερ γε καὶ εἰ ὑγρόν τε ἅμα καὶ ὀλίγον εἴη, οὔτ' ἀκριβῶς, οὔτ' ἄχρι πλείστου ὁρᾷ. καὶ περὶ μὲν τούτου ἱκανὰ καὶ ταῦτα πρός γε τὰ παρόντα.

Τοῦ δὲ κερατοειδοῦς ἡ περὶ τῆς κόρης μοῖρα παχυτέρα καὶ πυκνοτέρα, καὶ ὑγροτέρα γενηθεῖσα, βλάπτει τὴν ὄψιν. οὕτω δὲ καὶ εἰ κατὰ τὴν χροιὰν ὑπαλλαχθείη, καὶ εἰ ἕλκος ἀξιόλογον σχοίη, καὶ ἔτι τῶν ἔξωθεν αὐτοῦ προκειμένων αὐξηθῇ ἐπισκοτήσειεν. ὁ μὲν οὖν παχύτερος, καὶ πυκνότερος κερατοειδὴς, ἀμβλυωπίας ἐργάζεται. ὁ δὲ

ται. ὁ δὲ ὑγρότερος, καὶ πυκνότερος, εἴτε ὁμοιομερῶς, εἴτε ὀργανικῶς οὐ μόνον ταύτας, ἀλλὰ καὶ δι' ἀχλύος, ἢ ὁμίχλης, ἢ ἀτμοῦ τινός, ἢ καπνοῦ θεᾶσθαι δοκεῖ. εἰ δὲ μὴ πολλὰ μὲν εἴη τὰ ὑγρά. τῇ χροιᾷ δ' ἐξηλλαγμένα, κατὰ τὴν ἐκείνων φύσιν παρόρασις γίγνεται. διὰ τοῦτο γοῦν οἱ μὲν ἰκτεριῶντες, ὠχρὰ πάντα θεᾶσθαι δοκοῦσιν. οἱ δὲ ὑπόσφαγμα πεπονθότες, ἐρυθρά. ἕλκος δὲ ἀξιόλογον, οὐ μόνον τῷ περιττὴν ἀθροίζειν ὑγρότητα βλάπτει τὴν ὄψιν, ἀλλὰ καὶ τῷ δι' ὀλίγου τὸ κρυσταλλοειδὲς ἀναγκάζειν ὁμιλεῖν τῷ περιέχοντι φωτί. διασχὸν δὲ εἴσω τὸ κατὰ τὴν κόρην ἕλκος ἐκχεῖ τι καὶ τῆς ὑδατώδους ὑγρότητος ἐκτός. ὥστε καὶ κατὰ τοῦτο, κίνδυνος εἰς ἐσχάτην ἀφικέσθαι τυφλότητα τὸν οὕτως παθόντα. διὰ τοῦτο δὲ καὶ οἱ τρωθέντες εἰς τὸ πρὸ τῆς κόρης μέρος τοῦ κερατοειδοῦς. ὅταν εἴσω διασχῇ τὸ τραῦμα, τυφλοῦνται τὰ πολλά. παράδοξον μέντοι τι, καὶ οὐκ εἰθισμένως γιγνόμενον, ἐπὶ παιδίου ἐθεασάμεθα, νυγέντος γραφείῳ κατὰ τὴν κόρην. ἐκκρυέντος γὰρ εὐθέως τοῦ ὑδατώδους ὑγροῦ, καὶ ἡ κόρη μὲν ἐγένετο μικροτέρα, καὶ ὅλος δὲ ὁ κερατοειδὴς ἐφάνη ῥυσότερος. ἀλλ' ὕστερον θεραπευόμενος, ὀρθῶς ἔβλεψεν, ἀθροισθείσης δηλονότι κατὰ βραχὺ τῆς πρότερον ἐκρυείσης ὑγρότητος. ἀλλὰ ταῦτα μὲν σπάνια. τυφλότητες δὲ ὡς τὰ πολλὰ ταῖς τοιαύταις ἕπονται τρώσεσιν, ὥσπερ καὶ τοῖς προειρημένοις αἰτίοις ἅπασιν ἐπὶ πλεῖστον αὐξηθεῖσιν. εἴτε γὰρ ἱκανῶς πυκνός, εἴτε παχὺς ἐσχάτως, εἴτε ὑγρὸς ἀμέτρως ὁ κερατοειδὴς ἀπεργασθείη, παντάπασιν ἐπισκοτεῖ ταῖς ὄψεσιν, ὡς μὴ δ' ὅλως ὁρᾶν τὸν οὕτω διακείμενον. καί τι θαυμαστόν, εἰ τῶν εἰρημένων ἕκαστον αὐξανόμενον ἀφαιρεῖται τοῦ ζώου τὴν ὄψιν. ὅπου γε καὶ αὐτὸς ὁ κερατοειδὴς ἐνίοτε μόνος ῥυσσούμενος, ὁμοίως ἐνοχλεῖ. γίγνεται δὲ τὸ πάθημα τοῦτο τοῖς εἰς ἔσχατον γῆρας ἀφικνουμένοις. ἐπισκεπτέον δὲ ἀκριβῶς ἐν τῷδε, τὸ μέγεθος τῆς κόρης. εἰ μὲν γὰρ ἔλαττον γένοιτο. καὶ τὸ ὑδατῶδες ὑγρὸν ἐπὶ μὲν τοιούτων ἐμειώθη, μένοντος δὲ ἴσου. μόνου τοῦ κερατοειδοῦς τὸ πάθημα ἐστίν. ἀλλὰ τῶν μὲν τούτων διορισμῶν οὐδὲν ἡ νῦν ἐνεστῶσα δεῖται πραγματεία. τὰ δὲ τοῦ κερατοειδοῦς χιτῶνος γινόμενα νοσήματα μεγάλα, παντελῶς ἐμποδίζει τὰς ὄψεις, καὶ μάλιστα ὅταν ἤτοι φλεγμαίνων, ἢ ἐκπυισκόμενος, ἢ σκιρρούμενος, ἤτι τοιοῦτον ἕτερον πάσχων, ὡς ὀργανικὸν μόριον, ὑγρὰ νοσήματα πάσχῃ. τοιαῦτα μὲν δή τινα καὶ τοσαῦτα, τὰ τοῦ κερατοειδοῦς ἐστι νοσήματα, βλάπτοντα τὴν ὄψιν.

Ὁ δὲ ἐπιπεφυκὼς ὑμὴν φλεγμαίνων μέν, κατὰ συμβεβηκὸς ἐμποδίζει τὴν ὀπτικὴν ἐνέργειαν. ἐν δὲ ταῖς καλουμέναις χημώσεσι, καὶ προσέτι τοῖς πτερυγίοις, οὐ κατὰ συμβεβηκός, ἀλλ' ἤδη καὶ πρώτως ἐπισκοτεῖ τῇ κόρῃ. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱ τῶν βλεφάρων μεγάλαι φλεγμοναί, καὶ εἴ τισιν ἐπ' αὐτῶν ἔφυσαν ὄγκοι παρὰ φύσιν, εἰς τοσοῦτον μεγέθους ἥκοντες ὡς ἐπισκοτεῖν τῇ κόρῃ. ταυτὶ μὲν οὖν ἅπαντα τοῦ μὴ βλέπειν, ἢ τοῦ φαύλως βλέπειν ἐστὶν αἰτία. καὶ περὶ μὲν ὀφθαλμῶν, ἱκανὰ καὶ ταῦτα. παραδείγματος γὰρ ἕνεκα μᾶλλον, ἢ ὥστε τὰ κατὰ μέρος ἐπελθεῖν ἅπαντα τὸν ὑπὲρ αὐτῶν ἐποιησάμεθα λόγον, ἐπεὶ τό γε σπούδασμά ἐστί μοι νῦν, διὰ τῶν γενικωτέρων λόγων ἐπιδεικνύναι τὴν μέθοδον, ᾗ χρώμενος ἄν τις ἐξευρίσκει τὰς τῶν συμπτωμάτων αἰτίας. ἐπεὶ δὲ οὐ μόνον ἐπίστασθαι χρὴ τὰς μεθόδους, ἀλλὰ καὶ γυμνάζεσθαι πολυειδῶς ἐν τοῖς κατὰ μέρος, ὅπερ οὐ πράττειν πάντες εἰσὶν ἕτοιμοι, διὰ τοῦτο νῦν ἐπὶ ὀφθαλμῶν ὑπέδειξα τὸν τρόπον τῆς ἀσκήσεως, ὁποίαν τινὰ προσήκει ποιεῖσθαι. κατὰ γὰρ δὴ τὸν αὐτὸν τρόπον, ἡκέτω τις ἐπὶ τὰς ἄλλας αἰσθητικὰς δυνάμεις, ἐπισκοπούμενος ἐν ἑκάστῃ, τό τε πρῶτον αὐτῆς ὄργανον, καὶ τὰ ἄλλα, τὰ χρείαν τινὰ τούτῳ παρέχοντα. καὶ διαιρείσθω καθάπερ ἀρτίως εἴρηται, τινὰ μὲν ἐστὶ νοσήματα τῆς δυνάμεως αὐτῆς πεπονθυίας, τινὰ δὲ τῶν ὀργάνων ἑκάστου δι' ἃ βλάπτεσθαι τὴν ἐνέργειαν συμβήσεται. Βαρυηκοΐαι γοῦν καὶ κωφότητες, ἤτοι διά τι τῶν κατὰ τὰ ὦτα μορίων, ἢ διὰ τὸ καθῆκον ἐξ ἐγκεφάλου νεῦρον, ἢ διὰ τὸ τὸν ἐγκέφαλον ἐν ἐκείνῳ τῷ μέρει βεβλαμμένον, ὅθεν αὐτοῦ τὸ νεῦρον ἐκφύεται, συμπεσοῦνται τῷ ζώῳ. τὰ μὲν γοῦν κατὰ τὸ νεῦρόν τε καὶ τὸν ἐγκέφαλον, ὡσαύτως τοῖς κατὰ τοὺς ὀφθαλμούς. τὰ δ' ἐν τοῖς ἄλλοις μορίοις, ἀνάλογον μέν, οὐ μὴν πάντῃ γε ὡσαύτως βέβλαπται. ὃν γὰρ ἐν ὀφθαλμῷ λόγον ἔχει τὸ κρυσταλλοειδὲς ὑγρόν. τοῦτον ἐν ὠσὶ τὸ κατὰ τὸν ἀκουστικὸν πόρον τὸ ἔνδον πέρας, ἔνθα συνάπτει τῷ νεύρῳ πλατυνομένῳ. τὰ δ' ἐκτὸς τοῦδε πάντα τὰ περὶ τὴν ἕλικα τοῦ πόρου, τοῖς προειρημένοις ἐν ὀφθαλμῷ τοῦ κρυσταλλοειδοῦς, ἀνάλογον ἔχει. καὶ τοίνυν καὶ τὰ νοσήματα αὐτῶν, ἐξ ἐκείνων ἐνταῦθα μεταφέρειν, ὅσα μὲν τῶν ὁμοιομερῶν ἐστι κατὰ τὰς δυσκρασίας τε καὶ τὴν τῆς ἑνώσεως λύσιν. ὅσα δὲ τοῦ πόρου, κατὰ τὰς ἐμφράξεις, εἴτε δι' ὄγκον τινὰ παρὰ φύσιν αὐτῶν τῶν μορίων ἐμφράττοντα τὸν πόρον, ἀπόστημα λέγω καὶ φλεγμονήν, ἢ σκίρρον, ἢ οἴδημα, εἴτε δι' ἐπίκτητόν τινα, καὶ ὅλως ἅπαντα ὄγκον παρὰ φύσιν, οἷος ἐν τῷ αὐτῷ πόρῳ γίνεται πολλάκις, ἢ πωρώδους τινός, ἢ σαρκώδους βλαστήματος ἐπιτραφέντος, ἐκ τῶν παρὰ φύσιν ἐμφραττόντων τὸν πόρον, ὧν ἐστι καὶ ὁ ῥύπος ὁ συνήθως ἐν ὠσὶ γιγνόμενος. ὥσπερ οὖν ἐν τούτοις ἡ κατασκευὴ τῶν μορίων, ἐνεδείξατο τὰς τῶν συμπτωμάτων αἰτίας. οὕτως καὶ κατὰ τὴν γλῶτταν τε καὶ τὴν ῥῖνα ἐνδείξεται. γιγνωσκόντων γε ἡμῶν ἐκεῖ, τό τε πρῶτον αἰσθητικὸν μόριον, καὶ τὰ ἄλλα τὰ συμπληροῦντα τὸ σύμπαν ὄργανον. ἐδείχθη γὰρ ἡ μὲν γλῶττα, διὰ τὸ δυοῖν ὑπηρετεῖν δυνάμεσιν, αἰσθητικῇ τε καὶ προαιρετικῇ, δύο καὶ τὰς ἐνεργείας ἔχουσα. καὶ νῦν αὐτὴν ὡς αἰσθητικὴν ἐπισκοπούμεθα, τὸ δὲ τῶν ὀσμῶν αἰσθητήριον, αὐτὰς ἐπιδείκνυμεν εἶναι τὰς κοιλίας τοῦ ἐγκεφάλου. τὰ μὲν οὖν τῆς γευστικῆς αἰσθήσεως συμπτώματα, τό τε μὴ δὲ ὅλως αἰσθάνεσθαι χυμῶν ἐστι, καὶ τὸ κακῶς αἰσθάνεσθαι. διττοῦ δὲ τοῦ κακῶς ὑπάρχοντος ὡς ἐδείκνυτο, τοῦ μὲν ἀμυδρῶς τοῦ δὲ ὡς ἄν τις εἴποι παρατυπωτικῶς. ὁ μὲν ἀμυδρῶς ἀνάλογόν ἐστι τῇ κατὰ μὲν τὴν ὄψιν ἀμβλυωπίᾳ, κατὰ δὲ τὴν ἀκοὴν βαρυηκοΐᾳ. τὸ δὲ παρατυπωτικῶς, ὅταν ὑπηλλαγμένα ταῖς χρόαις, ἢ τοῖς σχήμασιν, ἢ τοῖς μεγέθεσιν, ἢ ταῖς θέσεσιν, ὁρῶντες τύχωσιν, ὅπερ ἐν ἀκοῇ παράκουσις ὠνόμασται. τὰ τῶν εἰρημένων συμπτωμάτων αἴτια, νοσήματα κατὰ τὴν γευστικὴν ἐνέργειάν τε καὶ δύναμιν, ἔν τε τῷ τῆς γλώττης ἐστὶν ὁμοιομερεῖ σώματι, καὶ τῷ περὶ αὐτὴν χιτῶνι, καὶ τοῖς νεύροις τοῖς μαλακοῖς, καὶ τῇ χώρᾳ μάλιστα ἐκείνῃ τοῦ ἐγκεφάλου, καθ' ἣν ἐκφύεται ταῦτα. τὰ μὲν οὖν ἄλλα νοσήματα τῶν εἰρημένων ἁπάντων δῆλα. τὸ δὲ οἷον παρατυπωτικῶς αἰσθάνεσθαι τῶν χυμῶν, ὅταν

ἁλμυρώδους τινὸς ὑγρότητος ἡ γλῶττα πληρωθῇ συμβαίνειν εἴωθεν, ἤτοι πάντων ὧν ἂν γεύσηταί τις ἁλμυρῶν φαινομένων, ἢ πάντων πικρῶν, ἤ τινα ἄλλην ἀτοπίαν ἔχειν δοκούντων, ἄρρητον, ἢ ῥητήν. ὡς γὰρ ἐπὶ τῶν ὑποχεομένων ἡ ὀπτικὴ δύναμις ἐκτὸς ἐδόκει θεᾶσθαι τὰ κατὰ τὸν ὀφθαλμὸν ἐμφαινόμενα, τὸν αὐτὸν τρόπον ἡ γευστικὴ τὰ κατὰ τὴν γλῶτταν τοῖς αἰσθητοῖς ἀναφέρει τὰ τῶν ὀργάνων συμπτώματα, ἐπὶ μὲν τῶν ἰκτεριώντων, τὴν πικρότητα τῆς χολῆς, οὐ τῆς γλώττης πάθος, ἀλλ' ὧν γεύεται, ὑπολαμβάνουσα, καὶ κατὰ τὰς ἄλλας δέ τινας διαθέσεις ἁλυκότητας, ἢ ὀξύτητας ἐν τοῖς ἐδέσμασι περιέχεσθαι φανταζομένη, τοῦ μὲν προσελθόντος ἔξωθεν αἰσθητοῦ τὴν τέως ἡσυχάζουσαν ἐν τῇ γλώττῃ κακοχυμίαν ἀνακινοῦντος, αἰσθανομένης δὲ τῆς γευστικῆς δυνάμεως οὐ τοῦ προσελθόντος, ἀλλὰ τοῦ πλεονάζοντος ἐν αὐτῇ. σπανιάκις δέ ποτε καὶ πρὸ τοῦ γεύσασθαί τινος, αἴσθησις γίνεται τῶν ἐν τῇ γλώττῃ χυμῶν, ἀκριβείᾳ τῆς γευστικῆς αἰσθήσεως ὅμοιόν τι τούτῳ σύμπτωμα, τὸ κατ' ὀφθαλμοὺς ἐπὶ στομαχικαῖς διαθέσεσιν, ἢ φαντασίαν ὑποχύσεως συμπίπτειν, ἢ ἐν ὠσὶν ἤχους, οὐδενὸς ἔξωθεν ψοφοῦντος, ἀλλ' αὐτῆς τῆς κατὰ τὰς μήνιγγας κινήσεως, τὸ φάντασμα πεμπούσης, ἢ κατὰ τὰς ῥῖνας ὀσμῆς τινὸς ἀπὸ τῶν αὐτόθι περιεχομένων χυμῶν. ἀλλὰ γὰρ ἐπειδὴ καὶ τῆς ῥινὸς ἐμνημονεύσαμεν διτταῖς ὑπηρετούσης δυνάμεσιν, ὥσπερ καὶ ἡ γλῶττα. καὶ γὰρ καὶ τῶν ὀσφρητικῶν ὀργάνων, οἱονεὶ πύλας τι, καὶ τῶν ἀναπνευστικῶν ἐστιν, ἄμεινον ἂν εἴη καὶ περὶ ταύτης, ὡσαύτως τοῖς εἰρημένοις διελθεῖν. εἰ γάρ τι συμβαίη κατ' αὐτὴν νόσημα τῷ πόρῳ λυμαινόμενον, ἤτοι χεῖρον, ἢ οὐδ' ὅλως, αἰσθήσεται τῶν ὀσμῶν, ἡ ὀσφρητικὴ δύναμις. ἰσχυρῶς τε οὖν συντριβεῖσα, καὶ πολύπουν, ἤ τινα ὄγκον παρὰ φύσιν ἔχουσα, τὴν ὁδὸν τοῦ πνεύματος ἐμφράξει. τούτου τοῦ γένους ἐστὶ καὶ ἡ περὶ τὸ ἔνδοθεν αὐτῆς ὑμένα γιγνομένη φλεγμονή. καὶ μὲν δὴ καὶ ὅσα κατά τινα τῶν ἠθμοειδῶν ὀστῶν, ἤτοι τὰς ταύτης μήνιγγας, ἢ αὖ τὰς τῶν ὀστῶν τὰς διατρήσεις ἐμφράττει, καὶ ταῦτι βλάπτει τὴν ὀσφρητικὴν αἴσθησιν. ἔτι δὲ ἂν μᾶλλον εἰ περὶ τὰς ἀποφύσεις γένοιτο τοῦ ἐγκεφάλου, τὰς εἰς ταῦτα τὰ μόρια καθηκούσας. ἐν μέν τοι καταῤῥόις τε καὶ κορύζαις, καὶ ὅλως ἐν ὅσοις ὑπὸ ἐγκαύσεως, ἢ ψύξεως, ἢ ὑγρότητος, ἐπληρώθησαν αἱ ἐμπρόσθιαι κοιλίαι τοῦ ἐγκεφάλου, οὐ μόνον ἔμφραξις γίγνεται τῶν ἐνταῦθα χωρίων, ἀλλὰ καὶ τοῦ πνεύματος αὐτοῦ τοῦ κατὰ τὰς κοιλίας, ἔτι τε τοῦ περιέχοντος ἐγκεφάλου, δυσκρασία τις ἕπεται. καὶ μὲν δὴ καὶ θλίψεις, καὶ διαιρέσεις ἀξιόλογοι τῶν εἰρημένων μορίων αὐτοῦ, δυσαισθησίας τε καὶ ἀναισθησίας ἐργάζονται τῶν ὀσμῶν. ἡ δὲ οἷον παρατυπωτική τε καὶ πλημμελὴς αἴσθησις ἐνταῦθα γίγνεται, διὰ κακοχυμίαν τινὰ ἐγχώριον, ἥτις ἀτμίζουσα δυσῶδες, ἐπιβολοῖ τοὺς ἀναφερομένους ἐπὶ τὴν ὀσφρητικὴν δύναμιν ἀτμοὺς ἀπὸ τῶν πλησιαζόντων σωμάτων. ὅμοιόν τε σύμπτωμα τοῦτο, κατὰ τὴν δὲ συμπίπτει τὴν δύναμιν, οἷόν τι καὶ περὶ τὴν γευστικὴν ἐν ἰκτέροις ἐῤῥέθη συμβαίνειν. ἐπεὶ δὲ περὶ τῶν ἐν τοῖς ἰδίοις μορίοις τοῦ ζώου γιγνομένων αἰσθήσεων αὐτάρκως εἴρηται, περὶ τῆς ἐν ἅπασι τοῖς ὁπωσοῦν αἰσθανομένοις, κοινῆς ἤδη λέγωμεν, ἣν ὀνομάζουσιν ἁφήν. ἔστι δὲ δήπου καὶ ταύτης ἀνάλογον μὲν ταῖς ἄλλαις τὰ συμπτώματα. λέγεται δὲ οὐκ ἰδίαις, ἀλλὰ κοιναῖς ταῖς προσηγορίαις, ὥσπερ καὶ τῶν εἰρημένων ἔνιαι τινές, οὔτε γὰρ ἐπὶ τῆς γευστικῆς, οὔτ' ἐπὶ τῆς ὀσφρητικῆς δυνάμεως ἔχομεν ὄνομα τοιοῦτον, οἷον ἐπὶ μὲν τῆς ὀπτικῆς, ἀμβλυωπίας τε καὶ τυφλότητας, καὶ παροράσεις τινάς. ἐπὶ δὲ τῆς ἀκουστικῆς, βαρυηκοΐας τε καὶ κωφότητας ἔτι τε παρακούσεις, ἢ παρακοάς, ἢ παρακούσματα. διαφέρει γὰρ οὐδὲν εἴς γε τὰ παρόντα χρῆσθαι τοῖς ὀνόμασιν ὅπως ἂν θέλῃ τις. τὸ μέν τοι τῆς αἱμωδίας ὄνομά τε καὶ σύμπτωμα τῆς ἁπτικῆς δυνάμεως, ἐξαίρετον ὑπάρχει. ἀλλὰ τοῦτο μὲν ἐν τῷ στόματί τε καὶ κατὰ τοὺς ὀδόντας, μάλιστα συμπίπτειν εἴωθεν, ἐπ' ὀξέσι τε καὶ στρυφνοῖς ἐδέσμασιν. ἡ νάρκη δὲ καὶ καθ' ὅλον τὸ σῶμα, καὶ μάλιστα κατὰ τὰ κῶλα, σύνθετος ἐκ δυσαισθησίας τε καὶ δυσκινησίας ὑπάρχουσα φαίνεται. προφανῶς μὲν ἐπὶ ψύξεσι καὶ θλίψεσι νευρωδῶν σωμάτων γιγνομένη, καὶ πρὸς τούτοις ἐπὶ τῆς νάρκης τοῦ θαλαττίου ζώου ψαυσάντων. αὐτομάτως δ' εἰ συμβαίη μηδενὸς αἰτίου τοιούτου προσγινομένου, βίος ἀργός, καὶ πλῆθος ἐδεσμάτων, ἤτοι παχέων ἢ γλίσχρων, ἤ τις ἐποχὴ συνήθων ἐκκρίσεων, προηγεῖται ἐξ ἀνάγκης. τὸ μὲν οὖν συνέχον αἴτιον, ἢ συνεκτικόν, ἢ προσεχές, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, τοιαύτη τίς ἐστιν ἐν τῷ νεύρῳ ἡ διάθεσις, ὡς ἐμποδίζεσθαι τὴν ἀπὸ τῆς ἀρχῆς ἐπιπεμπομένην αὐτῷ δύναμιν. ἐμποδίζεται δὲ εἰ μὲν ἔχοι τινὰ πόρον τὸ νεῦρον, ὥσπερ ἐναργῶς ὁρᾶται τὰ ἐπὶ τοὺς ὀφθαλμοὺς ἔχοντα, δι' ἔμφραξιν, ἢ θλίψιν. εἰ δ' οὐκ ἔχει, διὰ πίλησιν, ἢ ψύξιν, ἢ θλίψιν. ὅτι μὲν οὖν εἴπερ ἔχει τινὰ πόρον, οἷον ὁδὸν ἀπὸ τῆς ἀρχῆς διὰ τοῦ νεύρου τεταμένην, ἡ ψυχικὴ δύναμις, ἐμφραχθείσης ταύτης ἐμποδισθήσεται, πρόδηλον παντί. καὶ μὲν δή, καὶ ὡς θλιβέντος ἔξωθεν τοῦ νεύρου, στενοχωρία τις ἕπεται περὶ τὸν πόρον, οὐδὲ τοῦτο ἄδηλον. ὅτι δὲ καὶ εἰ μηδεὶς εἴη πόρος, ἀλλ' ὥσπερ δι' ὕδατος, ἢ ἀέρος, αἱ ἀκτῖνες τοῦ ἡλίου διεξέρχονται, τὸν αὐτὸν τρόπον ἡ ἀπὸ τῆς ἀρχῆς δύναμις, αὐτὸ τὸ σῶμα τοῦ νεύρου εἰ διέρχοιτο, παρεμποδισθήσεται περὶ τὴν δίοδον, ἐπὶ τὸ παχυμερέστερον ἀλλοιωθέντων αὐτῶν, οὐδὲ τοῦτο δοκεῖ μοι δεῖσθαι μακρῶν πίστεων, ἀναμνησθέντι τῶν περί τε τὸ ὕδωρ καὶ τὸν ἀέρα συμβαινόντων. ὁμίχλη μὲν γὰρ καὶ καπνός, καὶ νέφος ἐν ἀέρι συνιστάμενα, βόρβορος δὲ καὶ ἰλὺς ἐν ὕδατι, παραποδίζουσί τε καὶ κωλύουσιν εἰλικρινῆ φέρεσθαι πρόσω τὴν ἡλιακὴν αὐγήν. οὕτως οὖν καὶ τὸ νεῦρον εἰ παχυμερέστερόν τε καὶ σκληρότερον ἑαυτοῦ γίγνοιτο, παραβλάψει τι τῆς φορᾶς αὐτῆς τῆς δυνάμεως. ἔσται δὲ δή που παχυμερές, ἤτοι γλίσχροις τε καὶ παχέσι τρεφόμενον χυμοῖς, ἢ ψύξει βιαίᾳ πιληθέν. εἰ δὲ δὴ καὶ θλίβοιτο πρός τινος ἔξωθεν ὁμιλοῦντος αὐτῷ σκληροῦ σώματος, οὐδ' οὕτως ἀκώλυτον παρέξει τὴν φορὰν τῇ δυνάμει. ταῦτ' ἄρα καὶ ὅσα βρόχοις, ἢ χερσὶ διαλαμβάνεται νεῦρα, καὶ ὅσα πρός τινος ἔξωθεν, ἤτοι φλεγμαίνοντος, ἢ σκιῤῥουμένου θλίβεται, καὶ ὅσα διακινηθέντων ὀστῶν ἐν ἐξαρθρήμασιν, ἢ κατάγμασι στενοχωρεῖται, ναρκώδη μὲν τὸ πρῶτον, ὕστερον δὲ παντάπασιν ἀναίσθητά τε καὶ ἀκίνητα γίγνεται. καὶ καλεῖται μὲν ἡ τοιαύτη κάκωσις αὐτῶν παράλυσις. ἐν ταυτῷ δὲ γένει ὄντα τῇ νάρκῃ, τῷ μεγέθει διαλλάττει. καὶ εἰ περὶ πάντα συμβαίη τὰ νεῦρα, παραχρῆμα μὲν ἀναίσθητόν τε καὶ ἀκίνητον ἐργάζεται τὸ σύμπαν σῶμα. θάνατον δὲ ὀξὺν ἐπιφέρει, στερήσει τῆς ἀναπνοῆς. εἰ μὲν οὖν ἡ ἀρχὴ τοῦ νωτιαίου βλαβείη, τοῖς περὶ τὴν κεφαλὴν μορίοις αἰσθάνονταί τε

νονταί τε καὶ κινοῦνται μόνοις ἄχρι περ ἂν ζῶσιν. εἰ δὲ καὶ περὶ τὸν ἐγκέφαλον ἡ βλάβη συμπέσοι, πάντων παραχρῆμα τῶν μορίων, ἀκρατεῖς καὶ ἀναίσθητοι γίγνονται. ζῶσι δὲ ἑκάτεροι τοσοῦτον χρόνον, ὅσον ἂν ἔζησαν οἱ ἀγχόνῃ συσχεθέντες. ὅσοις δὲ κατωτέρω τῆς ἐκφύσεως τῶν διαστελλόντων τὸν θώρακα νεύρων ἔπαθεν ὁ νωτιαῖος ἢ τοι σπονδύλου τινὸς ἐκστάντος, ἢ καὶ ἄλλως, ἐπὶ μὲν ταῖς μεγάλαις διαθέσεσιν, ἀναίσθητοί τε καὶ ἀκίνητοι τὰ κάτω πάντα παραχρῆμα γίγνονται, ναρκώδεις δὲ, ἐπὶ ταῖς σμικροτέραις, οὐ μὴν ἀποθνήσκουσιν οὗτοι διὰ τὸ φυλάττεσθαι τὴν ἀναπνοὴν αὐτοῖς. ἡ μέντοι τῶν χειρῶν αἴσθησις, οἷς μὲν ὁ νωτιαῖος ἔπαθε περὶ τὸν πέμπτον σπόνδυλον, ἀπόλλυται πᾶσα μετὰ τῆς κινήσεως. οἷς δὲ περὶ τὸν ἕκτον, οὐ πᾶσα. τὰ γὰρ πρῶτα μέρη τοῦ βραχίονος, ἀπαθῆ διαφυλάττεται. πολὺ δὲ δὴ μᾶλλον, εἰ περὶ τὸν ἕβδομον σπόνδυλον ὁ νωτιαῖος πάθοι. εἰ δὲ περὶ ὄγδοον, ὀλίγιστον. εἰ δὲ ὁ μετ' αὐτὸν, οὐδὲ ὅλως ἔτι πάσχουσιν αἱ χεῖρες οὐδέν, ἀπόλλυται μέντοι ἡ φωνὴ πᾶσιν, οἷς ἂν ὁ ἐν τραχήλῳ πάθοι νωτιαῖος οὐ μὴν ἐπί γε τοῖς τοῦ νώτου σπονδύλοις ἅπασιν, ἀλλ' ὁπόσον τι καθ' ἕκαστον, ἐν τοῖς περὶ φωνῆς δηλοῦται. νυνὶ γάρ μοι δοκῶ, καὶ πλείω τοῦ δέοντος εἰρηκέναι. οὐ γὰρ ἐπελθεῖν ἅπαντα τὰ κατὰ μέρος ἐν τῷδε τῷ γράμματι συμπτώματα προὐθέμην, ἀλλ' εἰς τὰς γενικωτέρας αἰτίας ἀναγαγεῖν, κοινῇ τοίνυν εἰρήσθω μοι, περὶ πάσης βλάβης αἰσθήσεως, ὑφ' ὧν ἕκαστα χορηγεῖται νεύρων ἐρρωμένων, ὑπὸ τούτων βλάπτονται παθόντων. εἰ δέ τις ἑκάστου νεύρου τὴν δύναμιν ἐπίστασθαι ποθεῖ, τῶν μὲν εἰς ἀναπνοὴν συντελούντων, ἐν τοῖς περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων δηλοῦται, τῶν δὲ εἰς τὰς φωνὰς ἐν τῇ περὶ φωνῆς πραγματείᾳ λέλεκται. ταῦτα μὲν οὖν ἠκρίβωται πρὸς ἡμῶν ἑτέρωθι. τὰ δὲ τῆς περὶ τράχηλόν τε, καὶ κεφαλὴν, ὑπογάστριον τε καὶ χεῖρας, καὶ σκέλη χορηγοῦντα νεῦρα, καὶ ἄλλοι τινὲς ἔμπροσθεν οὐ φαύλως ἔγραψαν, ἡμεῖς τε ἐγράψαμεν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν, ὁ μὲν οὖν φυσικὸς λόγος περὶ τῶν κατὰ τὰς αἰσθήσεις συμπτωμάτων οὗτος. Ἐπεὶ δὲ ὅσα μόρια καθ' ὁρμὴν κινεῖται διά νεύρου τινὸς, εὐθὺς ταῦτα καὶ τὴν αἴσθησιν ἔχει δι' αὐτοῦ, δῆλον ἀναγκαῖον αὐτοῖς γίγνεσθαι βλάβην ἐπὶ τῷ τοῦ νεύρου σώματι, τὴν μὲν ἑτέραν τῆς αἰσθήσεως, τὴν δὲ ἑτέραν τῆς κινήσεως. πῶς οὖν ἔνια μὲν μόρια, παραλελύσθαι δοκεῖ τῆς κινήσεως τῶν καθ' ὁρμὴν ἐνεργειῶν, αἰσθάνεσθαι δέ. καὶ πῶς πάλιν ἕτερα κινεῖσθαι μὲν, οὐκ αἰσθάνεσθαι δέ. κατὰ μὲν δὴ τὴν γλῶτταν καὶ τοὺς ὀφθαλμοὺς οὐδὲν ἄπορον, ἐπειδὴ διττὰ νεύρων γένη τούτοις ἐστί. ἐν οἷς δὲ μέλεσι τὰ σκληρὰ μόνον ἐστὶ, διοριστέον ὧδε τὸν λόγον. εἰ μὲν ἀφῃρημένου τοῦ δέρματος ὁ ὑποκείμενος μῦς γυμνὸς ὤν, ἀκίνητος μὲν φαίνεται, ψαυόντων δὲ αἰσθάνοιτο, μικρὰν ἡγητέον αὐτῷ συμπεπτωκέναι τὴν βλάβην, ὡς μέρος τοσοῦτον δυνάμεως δέχεσθαι ψυχικῆς, ὅσον αἰσθάνεσθαι μὲν ἱκανόν ἐστιν, κινῆσαι δὲ τὸν μῦν, οὐχ ἱκανόν. ἐν γὰρ τῷ πάσχειν μᾶλλον ἤπερ ἐν τῷ ποιεῖν ἐστὶν ἡ τῆς ἁφῆς αἴσθησις. ὥστ' ἐγχωρεῖ καὶ δι' ὀλίγης αὐτὴν ἐπιτελεῖσθαι δυνάμεως, ἡ δὲ τῶν μυῶν κίνησις, ἐν τῷ ποιεῖν, οὐκ ἐν τῷ πάσχειν ἔχουσα τὴν ἐνέργειαν, (ὅλον γὰρ ὑπὸ ταύτης μεταφέρεται τὸ σῶμα) πολλῆς δεῖται δυνάμεως ψυχικῆς. ἔμπαλιν δὲ οὐκ ἂν εὕροις ποτὲ γεγενημένον, ὡς κινεῖσθαι μὲν, ἀναίσθητον δὲ εἶναι τὸν γυμνὸν μῦν. εἰ δὲ τὸ μὲν περικείμενον αὐτῷ δέρμα τὴν αἴσθησιν ἀπολέσειεν, ὁ δὲ μῦς κινοῖτο, θαυμαστὸν οὐδέν. ὥσπερ οὐδὲ εἰ δυοῖν μυοῖν, ὁ μὲν εἴη κινούμενος, ὁ δὲ ἀκίνητος. ἢ ὁ μὲν, αἰσθανόμενος, ὁ δὲ ἀναίσθητος. ὥσπερ γὰρ ἐπ' ἐκείνων ἐγχωρεῖ τοῦ μὲν ἑτέρου βεβλάφθαι τὸ νεῦρον, ἀβλαβὲς δὲ εἶναι θατέρου, κατὰ τὸν αὐτὸν τρόπον ἐνδέχεται, τὸ μὲν εἰς τὸ δέρμα διασπειρόμενον βεβλάφθαι, τὸ δὲ εἰς τὸν μῦν μὴ βεβλάφθαι. οὕτω δὲ καὶ τοὐναντίον ἀβλαβὲς μὲν εἶναι τὸ τοῦ δέρματος νεῦρον, οὐκ ἀβλαβὲς δὲ τὸ τοῦ μυός. περὶ μὲν οὖν τῶν προτεθέντων συμπτωμάτων ἱκανὰ, καὶ ταῦτα.

Ηδεσθαι δὲ καὶ ἀλγεῖν, ἁπάσαις μὲν ἐγγίγνεται ταῖς αἰσθήσεσιν, οὐχ ὁμοίως δὲ ἐναργῶς. ἀλλ' ἐν μὲν τῇ τῆς ὄψεως, ἥκιστα. μάλιστα δὲ ἐν τῇ τῆς ἁφῆς τε καὶ τῆς γεύσεως. ἐφεξῆς δὲ τούτων, ἐν ὀσφρήσει, καὶ μετὰ ταύτας, ἐν ἀκοῇ. τίς οὖν ἥτε κοινὴ πάντων αἰτία, καὶ τίς ἡ καθ' ἕκαστον ἰδία; κοινὴ μὲν, ἥνπερ καὶ Πλάτων ἐν Τιμαίῳ φησὶ γράφων οὕτως. τὸ μὲν παρὰ φύσιν, καὶ βιαίως γιγνόμενον ἀθρόως ἐν ἡμῖν πάθος, ἀλγεινόν. τὸ δὲ εἰς φύσιν ἀπιὸν αὖ πάλιν ἀθρόον, ἡδύ. τὸ δὲ ἠρέμα καὶ κατὰ μικρὸν, ἀναίσθητον. οὕτω μὲν ὁ Πλάτων. ὁ δὲ Ἱπποκράτης ἔτι παλαιότερος ὢν, τοῖς τὴν φύσιν ἔφη διαλλαττομένοισι, καὶ διαφθειρομένοισιν. αἱ ὀδύναι γίγνονται. τὸ μὲν γὰρ διαφθειρομένοισι, τάχος τε ἅμα καὶ μέγεθος ἐνδείκνυται τῆς μεταβολῆς. εἰσὶ δὲ καὶ κατὰ τὴν ἁφὴν αἱ μεγάλαι μεταλλαγαὶ τῆς φύσεως, ὑπὸ ψυχροῦ, καὶ θερμοῦ βιαίας προσβολῆς, ὅσα τε θλᾶν, ἢ τέμνειν, ἢ διατείνειν, ἢ διαβιβρώσκειν πέφυκε. τὸ γὰρ ὑγρὸν, ἢ ξηρὸν, ἄνευ τοῦ θερμαίνειν, ἢ ψύχειν, ἀβίαστον ἔχει τὴν ὁμιλίαν, ὡς ἐνεστι μαθεῖν ἀναλεξαμένῳ τὴν περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείαν. ἔνθα καὶ τὸ ψυχρὸν ἐδείχθη, καθ' ἕτερον μὲν τρόπον ἡδὺ, ἢ τὸ θερμὸν, ἀλλὰ καὶ αὐτὸ τῷ διασπᾶν τὴν οὐσίαν, ὀδυνηρὸν γίγνεται. φαίνεται δὲ καὶ τὰ θλῶντα καὶ τὰ τείνοντα, κίνδυνον τοῦ ῥαγῆναι φέροντα τοῖς σώμασιν, ἀλγημάτων αἴτια γίγνεσθαι. καθάπερ γε καὶ τὰ νύττοντα, καὶ τὰ τέμνοντα. οὐ γὰρ δὴ μετὰ τὸ τμηθῆναί τε καὶ ῥαγῆναι, τὴν ὀδύνην ἐπιφέρει, ἀλλ' ἐν τῷ γίγνεσθαι τὰ τοιαῦτα πάντα, πόνων αἴτια καθίσταται, πλὴν εἰ μὴ κατά τι συμβεβηκὸς ἀκολουθήσειε τοῖς οὕτω παθοῦσιν ὀδύνη, ποτὲ μὲν ὑγρῶν δριμέων δακνόντων τὸ ἡλκωμένον σῶμα, ποτὲ δὲ φλεγμονῆς ἐπιγιγνομένης, ἥ τις καὶ αὐτὴ διαπαντὸς μὲν τῷ διατείνειν, ὀδυνᾷ. πολλάκις δὲ καὶ διὰ τὴν θερμασίαν, ἢ διὰ τὴν τῶν ὑγρῶν δριμύτητα. διασπᾶται δὲ καὶ τὸ τῆς γεύσεως ὄργανον, ᾗ μὲν τῆς ἁφῆς μετέχηκεν ὑπὸ τῶν εἰρημένων, ᾗ δὲ καὶ τῆς γεύσεως ἐστὶν ἴδιον, ὑπό τε τῶν ὀξέων, καὶ πικρῶν, καὶ στρυφνῶν, καὶ δριμέων, ὅτι καὶ τούτων ἕκαστον, ὡς ἀποδέδεικται, διαιρεῖ τὸ συνεχές. ἀνιαροὶ δέ εἰσι καὶ κατὰ τὴν ὄσφρησιν οἱ τῶν εἰρημένων χυμῶν ἀπορρέοντες ἀτμοὶ, διό τι καὶ οὗτοι διασπῶσι τὸ συνεχές. ἐν ἀκοῇ δὲ ἥτε τραχεῖα, καὶ ἡ μεγίστη, καὶ ἡ ταχίστη φωνὴ ὧν καὶ συνελθουσῶν εἰς ταυτὸν ἐν ταῖς φοβερωτάταις βρονταῖς, ἀνάπηροι παντάπασιν ἔνιοι τὴν ἀκουστικὴν αἴσθησιν ἐγένοντο, τῷ διασπασθῆναι τῇ βίᾳ τοῦ ψόφου τὸ ὄργανον αὐτῆς. καὶ μέντοι γε καὶ τὴν ὄψιν αἱ λαμπρόταται τῶν αὐγῶν ἀνιῶσι τε ἅμα καὶ διαφθείρουσι τῷ διακρίνειν ἐπὶ πλεῖστον. ἔστι δὲ δήπου, καὶ τὸ διακρίνειν ἐκ τοῦ τῶν διαιρούντων γένους, καὶ φαίνεται κοινὸν ἐν ἁπάσαις ταῖς αἰσθήσεσι, τὸ ἀνιαρὸν πάθος, ἐκ διακρίσεώς τε καὶ διαιρέσεως τοῦ συνεχοῦς, καὶ ἡνωμένου σώματος ἀποτελούμενον ἐπειδὰν

ἀθρόως συμπίπτει. καλῶ δὲ ἀθρόως, τὸ κατὰ τὰ μεγάλα ἅμα καὶ ταχέως. τοῦτο δὲ δή που καὶ ὁ Πλάτων ἐβούλετο, συνιστάμενον ἐκ βιαίου τε ἅμα, καὶ ἀθρόου παθήματος ἐγγινομένου τοῖς αἰσθητικοῖς σώμασι τὴν ἀνιαρὰν αἴσθησιν ἀποτελεῖσθαι φάσκων. οὐδὲν γὰρ διοίσει λέγειν ἢ λυπηρὰν, ἢ ἀλγεινὴν, ἢ ὀδυνηρὰν, ἢ ἐπίπονον αἴσθησιν. ὥσπερ οὐδὲ αὐτὸ τὸ πάθος ἀνίαν, ἢ λύπην, ἢ ὀδύνην, ἢ πόνον, ἢ ἀλγηδόνα. δηλοῖ δὲ καὶ αὐτὸς ὁ Πλάτων ὁμοτίμως χρώμενος ἐπὶ ταὐτοῦ πράγματος ἅπασι τοῖς εἰρημένοις ὀνόμασιν, ἔν τε Τιμαίῳ καὶ Φιλήβῳ, καὶ καθ' ὅτι ἂν ἕτερον αὐτοῦ σύγγραμμα περὶ τῶν αὐτῶν ὁ λόγος ἦν. ὅτι δὲ καὶ ἡ Ἱπποκράτους δόξα τῆς αὐτῆς ἔχεται διανοίας, ἔν τε τοῖς ὀνόμασι, καὶ τοῖς πράγμασιν, δῆλον ἔκ τε τῶν ἔμπροσθεν ὀλίγον εἰρημένων, καὶ τῶν ἐν ἅπασι τοῖς βιβλίοις αὐτοῦ γεγραμμένων. οὕτω μὲν δὴ πᾶν πάθος λυπηρὸν ἐν ἁπάσαις γίγνεται ταῖς αἰσθήσεσι. τὸ δ' ἐναντίον αὐτοῦ τὸ ἡδὺ, διὰ τὴν ἐναντίαν αἰτίαν. τοῦ γὰρ κινδυνεύοντος διαπαθῆναι, ἡ εἰς τὸ κατὰ φύσιν ἐπάνοδος ἀθρόα, τὴν ἡδονὴν ἀπεργάζεται. διὰ τοῦτο τοῖς ὀφθαλμοῖς ἥδιστον θέαμα τὸ κυανοῦν, ὥσπερ ὀδυνηρότατον, τό τε λαμπρὸν, καὶ λευκόν. οἷον ὁ ἥλιος. ἐφεξῆς δὲ τούτων. ἐν μὲν τοῖς λυποῦσι τὸ λευκὸν, ἐν δὲ τοῖς ἥδουσι τὸ φαιόν. τὸ μὲν γὰρ, τοῦ διακρίνειν τε ἅμα καὶ διαλύειν τὴν οὐσίαν αὐτῆς, τὸ δὲ, τοῦ ἀβιάστως συνάγειν. οὐ γὰρ δή που τὸ συνάγειν γε μόνον ἱκανὸν, ἢ αὔταρκες. οὕτω γὰρ ἂν ἦν που καὶ τὸ μέλαν ἡδύ. νῦν δ' οὐκ ἔστιν. ἐναντίον γὰρ ὑπάρχον τῇ τῆς ὄψεως οὐσίᾳ. συνάγει βιαιότερον αὐτὴν, ἢ ὡς εἰς τὴν φύσιν ἐπανάγειν. ἧττον δέ ἐστι τὸ μελάντατον τοῦ λαμπροτάτου ἀνιαρὸν, οὐχ ὅτι τὸ ἐναντίον ἧττον λυπεῖ, τῆς κατὰ τὸ συγγενὲς ἀμετρίας (κατὰ τοῦτο μὲν γὰρ μᾶλλον ἀνιαρὸν ἦν τοῦ λαμπροτάτου τὸ μέλαν) ἀλλ' ὅτι τὸ μὲν τῆς ὄψεως ὄργανον αὐγοειδὲς, αὐγὴ δὲ πᾶσα λεπτομερὴς οὐσία. τὸ δὲ μέλαν ἀεὶ παχυμερές. ἀεὶ δ' ἐν τῇ φύσει δραστικώτερόν ἐστι τὸ λεπτομερὲς τοῦ παχυμεροῦς. ὅταν μὲν οὖν εἰς ταὐτὸν ἀλλήλοις ἥκῃ τὸ λεπτομερὲς καὶ παχυμερὲς, ἧττον εἰς τὸ λεπτομερὲς ἐνεργεῖ τὸ παχυμερὲς, ἤπερ μᾶλλον πάσχειν ὑπ' ἐκείνου πέφυκεν. οὕτως οὖν καὶ ὁ ἥλιος ἀνιᾷ τὴν ὄψιν, ὅτι λεπτομερέστερος ὢν, ἑτοίμως αὐτὴν διακρίνει. τῇ μὲν οὖν οἰκειότητι τῆς οὐσίας, ἧττον ἐστὶ τῶν ἐναντίων ἀνιαρὸς, διὰ δὲ ἰσχυρὰν τῆς ἐνεργείας βιαιότερος ὑπάρχων, ταύτῃ καὶ τὸ τάχος ἴσχει τῆς εἰς τὴν ὄψιν βλάβης. ὃ γὰρ ἐν ἐλαχίστῳ χρόνῳ πρὸς τῆς ἡλιακῆς αὐγῆς ἡ ὄψις ἡμῶν πάσχει, τοῦτο ἐν παμπόλλῳ, μὴ δ' ὅλως αὐγὴν θεασαμένη μηδεμίαν, ἀλλ' ἐν βαθεῖ σκότῳ διατρίβουσα. καὶ γὰρ καὶ αὕτη πρὸς τὸ φῶς ἀναχθεῖσα βλέπειν οὐ δύναται, κατὰ τὸν αὐτὸν τρόπον τινὰ καὶ πεπαχῦνθαι, καὶ σκοτώδης γεγονέναι. ἥδιστον γε οὖν εἰκότως ἐστὶ καὶ ὠφελιμώτατον ὄψει τὸ κυανοῦν χρῶμα, πλὴν τῆς ὑφ' ἡλίου διαπεφορημένης. ἐκείνῃ μὲν γὰρ ὡς ἂν ἤδη νοσούσῃ τὸ ἐναντίον ἴαμα. τῇ δὲ ὑγιαινούσῃ μὲν, κεκμηκυίᾳ δὲ, τὸ κυανοῦν ἢ τὸ φαιὸν ὑγιεινότατον θέαμα, μήτε διακρῖνον αὐτὴν, ὡς τὸ λευκόν τε καὶ λαμπρὸν, ἀλλὰ μήτε συνάγον, καὶ σβεννῦον, ὡς τὸ μέλαν. τὸ μὲν οὖν φαιὸν ἐκ λευκοῦ τε ἅμα καὶ μέλανος κραθέντων γίγνεται. τὸ κυανοῦν δὲ, λευκοῦ λαμπροῦ συνελθόντος, καὶ εἰς μέλαν κατακορὲς ἐμπεσόντος. οὕτω γὰρ ἡμᾶς καὶ ὁ Πλάτων ὑπὲρ ἀμφοῖν ἐδίδαξεν. ὥστ' ἐκ τῶν ἐναντίων τε καὶ ἄκρων κραθέντων, ἔμμεσά τε καὶ σύμμετρα γίγνεται ταυτὶ τὰ χρώματα, τὴν καθ' ὑπερβολὴν ἑκατέραν ἐκφυγόντα, καθ' ἣν ἡ ὄψις ἐβλάπτετο, καὶ τοὺς μετρίους αὐτῆς ἐπανορθούμενα καμάτους, ὥσπερ τὰς ἤδη τῇ διακρίσει νόσους, τὸ μέλαν. τὸ δ' ἐναργὲς τῆς ἡδονῆς τῆς ἀπ' αὐτῶν, οὐχ ὅμοιόν ἐστι τῇ κατὰ τὰς ἄλλας αἰσθήσεις. ὅτι μὴ δὲ τὸ τῆς ὀδύνης ἴσον ὑπῆρχεν. ἡ γὰρ λεπτομέρεια τῆς ὄψεως, οὔτ' ἐν τῷ διακρίνεσθαι βίαιον τι πάσχει διὰ τὴν οἰκειότητα τῆς οὐσίας (ἐφ' ὃ γὰρ ἄγεται φθάνουσα, σπεύδει καὶ καθ' ἑαυτὴν) οὔτ' ἐν τῷ συγκρίνεσθαι διὰ τὴν ἀσθένειαν τῆς μεταβολῆς. ἐδείχθη γὰρ ἀσθενῶς συναγόμενον ὑπὸ τοῦ παχυμεροῦς τὸ λεπτομερές. οὕτω μὲν ἔχει τὰ κατὰ τὴν ὄψιν ἡδονῆς τε καὶ λύπης.

Ἐπὶ δὲ τῆς ἀκοῆς, ἡδίστη μὲν ἡ λειοτάτη καὶ ἡ βραδυτάτη φωνή. διότι καὶ ἡ τραχυτάτη καὶ ταχίστη, λυπηροτάτη. ἀλλὰ ταῦτα μὲν ὑγιαινούσης ἀκριβῶς τῆς αἰσθήσεως ἡδέα τε καὶ λυπηρά. κεκμηκυίας δὲ πρὸς τῇ λείᾳ τε καὶ βραδείᾳ, καὶ ἡ σμικρὰ προσφιλής. νοσούσης δὲ ἡ λειοτάτη τε ἅμα καὶ βραδυτάτη καὶ σμικροτάτη. καὶ ταύτης ἔτι μᾶλλον ἡ εὔρυθμος, ἡ γὰρ παντελὴς ἡσυχία, ἀνάλογον ἔχει τι τοῦτο τῷ σκότει, τῷ κατὰ τὴν ὄψιν. ὅθεν καὶ ζήτησιν ἔχει εἴτ' ἐναντίον τῷ φωτὶ τὸ σκότος ἐστὶν, εἴτε στέρησις, ὥσπερ φωνῆς μὲν, ἡσυχία. κινήσεως δὲ ἠρεμία. τὸ δὲ τῆς ἡδονῆς, ἐναργέστερον ἐνταῦθα, διότι καὶ τὸ τῆς οὐσίας παχυμερέστερον. ἔτι δὲ ἐναργέστερον ἐν τῇ τῆς ὀσφρήσεως αἰσθήσει, τὸ τερπνὸν, ὅτι καὶ ἡ οὐσία παχυμερεστέρα. εἰς ὅσον γὰρ ἀὴρ αὐγῆς παχύτερος, εἰς τοσοῦτον ἀέρος ἀτμός. ἔστι δὲ αὐγῆς μὲν τῆς ὄψεως αἴσθησις. ἀέρος δὲ ἡ τῆς ἀκοῆς. ἀτμοῦ δὲ ἡ τῆς ὀσφρήσεως. ὥσπερ γε καὶ ἡ μὲν τῆς γεύσεως, ὑγρᾶς φύσεως. ἡ δὲ ἁφῆς, στερεοῦ σώματος. ἐπεὶ δὲ ὁμογενής ἐστιν ἡ τῆς ὀσφρήσεως αἴσθησις τῇ τῆς γεύσεως ἑνὶ μόνῳ διαφέρουσα τῷ λεπτομερεστέρῳ τῆς οὐσίας. (ὁ γὰρ ἀτμὸς ὑγρόν ἐστι λελεπτυσμένον) ὑπὲρ ἀμφοῖν ἅμα ῥηθήσεται τὴν ἀρχὴν ἀπὸ τῆς γεύσεως ποιησαμένων, ἕνεκα σαφηνείας.

Ἥδιστοι τοίνυν εἰσὶ ταύτῃ χυμοὶ, κατὰ φύσιν μὲν ἐχούσῃ, πάντες οἱ γλυκεῖς καὶ λιπαροί, οὗτοι γὰρ πάντες ἐδείχθησαν, οἰκειότατοι τῇ τοῦ σώματος οὐσίᾳ. κεκακωμένῃ δ' ἔναγχος ὑπό τινος τῶν ἀνιώντων αὐτὴν, οἱ λιπαροί. μάλιστα γὰρ οὗτοι τὸ τετραχυσμένον ἐκλεαίνουσι. νοσούσῃ δὲ, οἱ ἐναντίοι τοῖς νοσήζουσι, τοῖς μὲν παχέσιν, οἱ λεπτύνοντες. τοῖς δὲ λεπτοῖς, οἱ παχύνοντες. τοῖς δὲ γλίσχροις, οἱ τέμνοντες. τοῖς δὲ τραχύνουσι, οἱ ἐκλεαίνοντες. οὕτω δὲ καὶ τοῖς μὲν θερμοῖς, οἱ ψυχροί. τοῖς δὲ ψυχροῖς. οἱ θερμοί. καὶ τοῖς μὲν ξηροῖς, οἱ ὑγροί. τοῖς δὲ ὑγροῖς, οἱ ξηροί. εἴρηται δὲ περὶ τῆς φύσεως αὐτῶν, ἐν τῷ τετάρτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. καὶ χρὴ μὲν μὴ πρότερον ἀναλέγεσθαι τὸν λόγον ἐκεῖθεν, ἔς τε διάγνωσιν, καὶ εἰς θεραπείαν ὄντα ὠφέλιμον. ἡ μὲν γὰρ κοιλία, τοῖς τε σπλάγχνοις ὑπηρετεῖ, καὶ ταῖς φλεψίν. ὥς τε οἵων ἂν ἐκεῖνα δέηται χυμῶν, τοιούτων ὀρέγεσθαι. ταύτης δ' αὖ γνώμων ἡ γλῶττα προβέβληται, τούτοις μάλιστα χαίρουσα τῶν χυμῶν ὧν ἂν ἡ κοιλία δέηται. τῆς κοινωνίας δὲ ὁ περιαλείφων αὐτὴν χιτὼν μάλιστα αἴτιος. ἥδεται μὲν οὖν ἡ γλῶττα κατὰ διαφέροντας καιροὺς ἄλλοις ἄλλο τι τῶν ἔξωθεν αὐτῇ προσπιπτόντων χυμῶν. ἥδεται οὖν ἐνίοτε καὶ τοῦ ἐν αὐτῇ γλυκέων αἰσθανομένη. φλέγματος δέ ἐστιν εἶδος ὁ γλυκὺς οὗτος χυμός. ὥσθ' ὁσάκις γε ἀπὸ τῶν φλεβῶν ἐγχυθέντος αἵματος, αἴσθησιν ὡς γλυκέος, ἔλαβεν ἡ γλῶττα, τοῖς ἔξωθεν αὐτῇ προσπίπτουσιν ἀνάλογον ἔπαθεν.

Ἐπὶ μέν τι τῆς ὀσφρητικῆς δυνάμεως, ἡ μὲν τῶν ἔξωθεν ἡδέων τε καὶ ἀνιαρῶν αἴσθησις ἀνάλογον ἔχει τῇ γευστικῇ. τῶν δὲ κατ' αὐτὴν ἀτμῶν, ἀηδῶν μὲν ὄντων, ὡς εἴρηται πρόσθεν αἰσθάνεται ποτὲ, γλυκέων δὲ, ἢ ὅλως ἡδέων, οὐκ αἰσθάνεται. καθάπερ οὐδὲ ἡ ὄψις, οὐδὲ ἡ ἀκοή. τῷ γὰρ εἶναι λεπτομεροῦς οὐσίας

ροῦ οὐσίας αἰσθήσεις αὐτὰς, οὐ πάσχουσι πάθος οὐδὲν ἰσχυρὸν ἐν αὐταῖς. ἡ δ' ἁφὴ καὶ ἡ γεῦσις, σφοδρὸν μὲν οὐδὲν οὐδ' αὗται, πάσχουσι δ' ἐνίοτε καὶ τοιοῦτόν τι πάθος ἀμυδρὸν, ἡ μέν τοι γλῶττα πρὸς τοῦ γλυκέος, ὡς εἴρηται, φλέγματος, ὅνπερ ὅ Πραξαγόρας τε καὶ Φιλότιμος ἰδιώτερον ὀνομάζουσι γλυκὺν χυμόν. ἡ δ' ἁφὴ, τοῦ ἐν αὐτῇ κινήσεις αἰσθάνεται πολλάκις, ἐπειδὰν εἰς τὸ κατὰ φύσιν ἐπανέρχηται, τῶν τραχυνόντων γε αὐτὴν ἔνδον, ἤτοι πεττομένων, ἢ διαπνεομένων, ἢ ἀναισθήτως ἐκκρινομένων. καὶ μὴν καὶ οἱ κοπωθέντες, ἐπειδὰν τρίψεσί τε μαλακαῖς, ἢ λουτροῖς ἀπαλυνθέντες τὸ σῶμα μετὰ ταῦθ' ἡσυχάζουσιν, ἐναργῶς αἰσθάνονται τῆς ἡδονῆς. ἔτι δὲ δὴ μᾶλλον, ἐν αὐταῖς εἰρημέναις κινήσεσιν ἥδονται, τοῖς κεκμηκόσι μορίοις εἰς τὴν φύσιν ἐπανερχομένοις. οὐ μόνον δ' ἐν τῷ λοῦσθαι, καὶ ἀνατρίβεσθαι μαλακῶς ἐλαίῳ δαψιλεῖ, συμβαίνουσιν ἡδοναὶ τοῖς κεκοπωμένοις μέρεσιν, ἀλλὰ κἂν ταῖς μείζοσιν ὀδύναις, ἐπαφὴ μαλακὴ καὶ πραεῖα καὶ λεία, φέρει τινὰ παραμυθίαν οὐ σμικράν. ἔξωθεν δὲ ἤδη τὰ τοιαῦτα. καὶ λεκτέον ἑξῆς ὑπὲρ ἁπάντων αὐτῶν. οὐδὲν γὰρ ἔτι δεόμεθα περὶ τῶν ὀσφρητῶν διεξέρχεσθαι τοῖς γευστικοῖς ἀνάλογον ἐχόντων. ἥδομεθα τοίνυν ἐν τούτῳ τῷ γένει τῆς αἰσθήσεως, ἁπλῶς μὲν εἰπεῖν, εἰς τὸ κατὰ φύσιν ἐπανερχόμενοι. καὶ γίγνεται τοῦθ' ἡμῖν ἀεὶ διὰ τῶν ἐναντίων, ἐάν γέ τις ὡς προσήκει λαμβάνῃ τὸ ἐναντίον. προσήκει δ' ἀπὸ τὸ πρώτως τε καὶ καθ' ἑαυτὸ, καὶ μὴ δι' ἕτερον μέσου τοῦ τέλους αἴτιον, οὐ τὸ προκατάρχοντι καὶ προκαταρκτικὸν ὀνομαζομένῳ, ἐν τοῖς τοιούτοις ἅπασι σκοπεῖν, ὅπερ Ἱπποκράτης ἡμᾶς, ἔν ἄλλοις τε πολλάκις ἀναμιμνήσκειν ἔοικε, κἀν τῷ φάναι· ἔστι δ' ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται. θέρμη δὲ ῥύεται ταῦτα. δόξειε μὲν γὰρ ὅ γέ τις ὑπὲρ τῶν τοιούτων ἀσκεπτότερον ἀποφαινόμενος, ὑπὸ τῶν ὁμοίων ἐνίοτε θεραπεύεσθαί τι τῶν παρὰ φύσιν, ὥσπερ καὶ τὸν τέτανον ὑπὸ τῆς ψυχρολουσίας. ἔχει δ' οὐχ οὕτως τἀληθές. ἀλλ' ἀεὶ πάντα πρὸς τὸ κατὰ φύσιν ἔρχεται διὰ τῶν ἐναντίων. ὥσπερ καὶ ὁ τέτανος διὰ τῆς κατὰ τὴν θερμασίαν ἐπανακλήσεως. εἰ μὲν οὖν ἀθρόως τοῦτο γίγνοιτο, μεθ' ἡδονῆς ἡ θεραπεία συντελεῖται. κατὰ μικρὸν δὲ συμβάντος, ἀναίσθητος ἡ εἰς τὸ κατὰ φύσιν ἐπάνοδος ἔσται. οὕτω δὲ καὶ ἡ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ὁδός, ἡ μὲν ἀθρόως γιγνομένη, βίαιός τε καὶ ὀδυνηρὰ πάντως ἐστὶν, ἡ δὲ κατὰ μικρὸν, ἀναίσθητος. καὶ διὰ τοῦτο τῆς κατ' ὀλίγον ἀθροιζομένης ἐν τῷ σώματι διαθέσεως οὐ κατὰ φύσιν ἀναισθήτου παντάπασιν οὔσης, ἡ εἰς τὰ κατὰ φύσιν ἐπάνοδος ἐπειδὰν ἀθρόως ἐπιτελεῖται, μετ' αἰσθήσεώς τε ἅμα καὶ ἡδείᾳ γίγνεται. καὶ μάλιστα ἐπὶ τῶν οἰκειοτάτων ἡμῖν. οἷάπερ ἐστὶν, ἐν μὲν τῇ γεύσει τὰ γλυκέα. κατὰ δὲ τὴν ὄσφρησιν, ὅσα τούτοις μὲν ἀνάλογον ἔχει. καλεῖται δὲ εὐώδη. ἴδιον δ' ἔτι πέπονθεν ἐξαίρετον, ἡ τῶν γεννητικῶν μορίων αἴσθησις, ὅτι καὶ δύναμιν ἰσχυροτάτην, ἔχει, κατὰ μὲν τὸ ἄρρεν γένος, ἀποκριτικὴν τοῦ σπέρματος, κατὰ δὲ τὸ θῆλυ, καὶ ταύτην μὲν ἔν τε τοῖς ὄρχεσι καὶ τοῖς σπερματικοῖς ἀγγείοις. ἀλλὰ καὶ τὴν ἑλκτικὴν ἐν ὅλῃ τῇ μήτρᾳ. συνῆψε γοῦν ἡ φύσις ὑπάρχουσαν ἐπιθυμίαν τε ἅμα καὶ ἡδονὴν τῇ τε προέσει, καὶ τῇ συλλήψει τοῦ σπέρματος. ἀλλ' ἡ μὲν ἀνία τοῦ περιττοῦ σπέρματος μένοντος ἔσω, ἀθροίζεται κατ' ὀλίγον ἐν χρόνῳ πλείονι. καὶ διὰ τοῦτο, καί τοι μεγάλα λυποῦσα, περὶ ὧν ἑτέρωθι λέξομεν, ἀπολείπεται τῷ μεγέθει τῆς ἡδονῆς, ἣν ἐν τοῖς ἀφροδισίοις ἴσχει. ἡ δ' ἀπόκρισις ἡ τοῦ λυποῦντος ἀθρόως γιγνομένη, τῷ ταχεῖ εἰς τὸ κατὰ φύσιν ἐπανόδου, καὶ τὸ τῆς ἡδονῆς μέγεθος ἀνάλογον ἔχει. Ὑπόλοιπον δ' ἂν εἴη περὶ τῶν κατὰ τὸ στόμα τῆς κοιλίας, ὃ δὴ καὶ καρδίαν ὀνομάζουσι συμπτωμάτων διελθεῖν. ἔστι μὲν γὰρ ἐκ τοῦ γένους καὶ αὐτὰ τῶν ἁπτικῶν. ἀλλ' οὐδὲν οὕτω μόριον, οὔτ' ἀκριβῆ τὴν αἴσθησιν, οὔτε τὰς ἀρχὰς ἑκατέρας ἑαυτῷ συνδιατίθησιν, ὡς τὸ στόμα τῆς γαστρός. ὀνομάζεται δὲ συνήθως οὐ τοῖς πολλοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἰατροῖς στόμαχος. αἱ γοῦν καλούμεναι στομαχικαὶ συγκοπαὶ, τούτου τοῦ μορίου εἰσὶ συμπτώματα. καθάπερ καὶ αἱ καρδιαλγίαι, κατὰ τὴν ἑτέραν αὐτοῦ προσηγορίαν ὠνομασμέναι. καὶ δὴ καὶ δυσπνοίας τε καὶ ἀπνοίας, καὶ δήξεις, τε ἐπιληψίας καὶ παρακοπὰς, καὶ μελαγχολίας ἐπιφέρει. ταῦτα μὲν οὖν ἅπαντα κατὰ συμπάθειαν. ἀνορεξίας δὲ καὶ δυσορεξίας καὶ μοχθηρὰς ὀρέξεις, αὐτὸ καθ' ἑαυτό. καλοῦσι δ' ἀνορεξίας μὲν ὅταν μηδὲ ὅλως ὀρέγωνται. δυσορεξίας δ' ἐπειδὰν ἀμυδρῶς. αἱ μοχθηραὶ δ' ὀρέξεις, αἳ μὲν εἰς ἄμετρον ἐκτρέπονται σιτίων, ἢ ποτῶν προσφοράν. αἳ δ' εἰς ἀλλοκότων ποιοτήτων ἐπιθυμίαν. ῥητέον οὖν ὑπὲρ ἁπάντων ἑξῆς ἀπὸ τῶν οἰκείων αὐτοῦ συμπτωμάτων ἀρξαμένους. ἐπεὶ δὲ ταῦτα ταῖς κατὰ φύσιν ἐνεργείαις τοῦ μορίου, δι' ἃς καὶ τῶν ἀπ' ἐγκεφάλου νεύρων, ἐδεήθη μεγίστων, ἐφ' οἷς δὴ καὶ τὸ περιττὸν τοῦτο εἶδος τῆς αἰσθήσεως, ὑπὲρ ἅπαντα κέκτηται. διαφορουμένου γὰρ εἰς τὸ περιέχον ἑκάστου ζώου κατὰ τὸ δέρμα, πρώτως κενοῦσθαι συμβαίνει τοῖς ὑπ' αὐτῷ μέλεσιν, ὧν ἡ σύμφυτος δύναμις, ὡς ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἐδείκνυμεν, ἐκ τῶν ὁμιλούντων ἑαυτοῖς ἐπισπᾶται τροφὴν, ἀναπληροῦσαν τὸ κενούμενον. εἶτ' αὖθις ἐκ τῶν ἑαυτοῖς ὁμιλούντων ἐκεῖνα. κἄπειτα ἐκ τῶν ἑαυτοῖς τὰ τρίτα. καὶ οὕτως ἀεὶ κατὰ τὸ συνεχὲς, ὡς ἐν χορῷ τινὶ ταχείας τῆς μεταλήψεως γιγνομένης, ἐπὶ τὰς καθηκούσας εἰς τὴν γαστέρα φλέβας, ἡ κένωσις ἀφικνεῖται. αὗται δέ γε εἰθίκεσάν τε ἅμα καὶ πεφύκεσαν ἐκ τῆς γαστρὸς ἐπισπᾶσθαι τὴν τροφὴν, ἀνάλογον ταῖς ἐπὶ τῶν φυτῶν εἰς τὴν γῆν καθηκούσαις ῥίζαις. ἅπαν γὰρ τοῦτο τὸ ἔργον οὐ ψυχικὸν ἀλλὰ φυσικὸν ὑπάρχον, ὁμοίως ἐπιτελεῖται, κατά τε τὰ φυτὰ καὶ τὰ ζῶα. τοῖς μὲν οὖν φυτοῖς, ἡ γῆ τοῦ γαστρὸς ὑπηρετεῖ διὰ παντὸς, ἑτοίμην τε καὶ ἄφθονον ἐπάρδουσα τὴν τροφὴν, ἄχρι περ ἂν αἱ ἐκ Διὸς ὧραι κατὰ φύσιν ἔχωσιν. ὡς εἴγε ποτὲ δι' ὑπερβολὴν αὐχμῶν ἀναξηρανθείη τὸ ὑγρὸν ἐξ αὐτῆς, ἐνδείᾳ τροφῆς αὐαίνεται τὰ φυτά. τοῖς δὲ ζώοις ἅτε μὴ προσπεφυκόσι τῇ γῇ, πλὴν ὀλίγων δή τινων, ἡ φύσις ἐδημιούργησε μὲν καὶ τὴν γαστέρα ταμεῖον τροφῆς, οἷόν περ τὴν γῆν τοῖς φυτοῖς. ἔδωκε δὲ καὶ τῆς ἐνδείας αἴσθησιν, ἵν' ἐξορμῶντα τὰ ζῶα πρός τε τὴν ἐδωδήν τε καὶ πόσιν ἐν χρόνῳ πληρῶνται. καὶ καλεῖται μὲν ἡ τῆς τοιαύτης πληρώσεως ἔφεσις, ὄρεξις. γίνεται δ' ἐπ' αἰσθήσει τῆς ἐνδείας, ὅταν αἱ μὲν φλέβες ἐξ αὐτῆς τι τῆς γαστρὸς ἕλκωσιν, οἷον βδάλλουσαί τε καὶ μυζῶσαι, μὴ φέρουσα δὲ τὴν μύζησιν ἡ γαστὴρ, ἀλλ' οἷον διασπωμένη, τῆς ἀνίας ταύτης ἴαμα τὴν ἐδωδὴν ποριζεται. τρέπονται γὰρ αἱ φλέβες οὕτως ἐπὶ τὰ παρακείμενα σιτία, κἀξ αὐτῶν ἕλκουσι τὴν τροφὴν, οὐκ ἐκ τῆς γαστρός. καὶ συμβαίνει μετὰ τὴν προσφορὰν, ἅμα τὰς φλέβας ἐπὶ τὰ σιτία τρέπεσθαι, καὶ τὴν κοιλίαν ἑαυτὴν ἕλκειν ἐξ αὐτῶν, ὅσον κεκένωται πρότερον ὑπὸ τῶν φλεβῶν, ἡ μὲν οὖν τῆς μυζήσεως αἴσθησις, ἐστὶν ἡ πεῖνα. δύο δὲ ἄλλα, τὸ μὲν τοῦ βδάλλειν τὰς φλέβας,

ἡγεῖται. καὶ καλεῖται καὶ αὕτη ὄρεξις ὁμωνύμως θατέρῳ, φυσικὸν ἔργον ὑπάρχον, οὐ ψυχικόν. αὐτῆς δὲ τῆς αὐτῆς ὀρέξεως, ἡ κένωσις προηγεῖται, καὶ γίγνεται πέντε συμπτώματα, τὰ σύμπαντα κατὰ στίχον ἐφεξῆς ἀλλήλων τεταγμένα. κένωσις μὲν πρώτη. δευτέρα δὲ ὄρεξις ἡ φυσικὴ τῶν κενωθέντων μορίων. εἶτα ἡ μύζησις τῆς κοιλίας. εἶτα ἡ ταύτης αἴσθησις. εἶτα ἡ ὄρεξις αὐτῆς ἡ ψυχικὴ, ἁπασῶν ὑστάτη. καὶ τοίνυν καὶ ἡ ἀπώλεια τῆς ἐνεργείας ταύτης, ἢ διὰ τὴν αἴσθησιν ἀπολωλέναι τῆς βλάσεως, ἢ διὰ μὴ γίνεσθαι τὴν βλάσιν, ἢ διὰ μὴ κενοῦσθαι τὸ σῶμα, συμβαίνει. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱ ἀμυδραὶ τῶν ὀρέξεων, οὐκ εἰς ἀπολωλότων ὧν ἕπονται, ἀλλ' ἐγγὺς ἀπωλείας ἡκόντων ἕπονται. μοχθηραὶ δὲ ὀρέξεις γίγνονται, κατὰ μὲν τὸ ποσὸν, ὑπερβάλλουσαι, καὶ καλοῦνται πρός τινων αἱ τοιαῦται, κυνώδεις, ὅταν ἤτοι κακοχυμία τις ὀξώδης δάκνῃ τὴν κοιλίαν. ἢ καὶ τὸ σύμπαν σῶμα διαφορούμενον ἀμέτρως, ἐν χρείᾳ συνεχεῖ καθίσταται τῆς θρέψεως. ἡ μὲν γὰρ ψυχρὰ κακοχυμία, τὴν δῆξιν μὲν ἀνάλογον τῇ μυζήσει παρέχει. τὴν ὄρεξιν δ' ἐπεγείρει, τῇ τοῦ φυσικοῦ παθήματος ὁμοιότητι. τροφῆς δὲ, οὐ ποτοῦ τὴν ἐπιθυμίαν ἐργάζεται, διὰ τὴν ψύξιν. ἁλυκῆς δ' ἔτι καὶ χολώδους κακοχυμίας δακνούσης τὴν γαστέρα ποτοῦ μᾶλλον, ἢ σιτίων ὀρέγονται. πρὸς γὰρ τῷ θερμαίνεσθαι τε καὶ ξηραίνεσθαι τὴν κοιλίαν, ἅπερ αἴτια δίψους ἐστὶν, ἔτι καὶ τὸ χεῖσθαι τοὺς χυμοὺς, ἔν αὐτῇ τε καὶ ταῖς φλεψὶ συμβαίνει. τὸ δὲ τῆς χύσεως τῶν χυμῶν σύμπτωμα, πληροῖ τὰ περιέχοντα, καθάπερ οἶμαι τὰ τῆς ψύξεως ἐκκενοῖ. καὶ τοίνυν, εἰς μὲν τὸ πεινῆν οὐ σμικρὸν ἡ ψύξις τῶν κατὰ τὴν γαστέρα συντελεῖ. κενά τε γὰρ ἐργάζεται τὰ σώματα, καὶ τοὺς χιτῶνας αὐτῶν, συνάγουσά τε καὶ σφίγγουσα, πρὸς τὴν ὄρεξιν ἐπεγείρει, τοῦ δὲ μὴ πεινῆν ἐν τοῖς μάλιστα συνεκτικὸν αἴτιον ἡ θερμότης ἐστὶ, τὰ μὲν στερεὰ σώματα ἐκλύουσα, καὶ πρὸς τὴν ὅλην ἀτονώτερα κατασκευάζουσα. τὰ δὲ ὑγρὰ, διὰ χεῖν ἐπὶ πλέον ἐκτείνουσα. μία μὲν οὖν αἰτία τῆς κυνώδους ὀρέξεως ἐστὶν, ἡ ὀξώδης κακοχυμία. δευτέρα δὲ ὡς ἐλέγετο κένωσις πλείων, δι' ὅλου τοῦ σώματος, ἤτοι διὰ ῥώμην θερμότητος, ἢ δι' ἀῤῥωστίαν τῆς καθεκτικῆς δυνάμεως ἐπιτελουμένη. καὶ δὴ καὶ συμβαίνει, κατὰ μὲν τὴν προτέραν διάθεσιν, ὑποχωρήσεις τῶν ληφθέντων γίγνεσθαι πολλάς. κατὰ δὲ τὴν δευτέραν, ὡς ἂν ἐπὶ κενώσει τῆς ἕξεως ἐπιτελουμένην, ἀναδίδοσθαι τὴν τροφήν. ἄμετροι μὲν οὖν ὀρέξεις τε ἅμα καὶ πεῖναι, διὰ ταῦτα γίγνονται. μοχθηρῶν δὲ ποιοτήτων ἐπιθυμοῦσιν, οἷς ἂν εἰς τοὺς τῆς κοιλίας χιτῶνας ἀναποθῇ τι περίττωμα μοχθηρόν. εἴωθε δὲ τοῦτο γίγνεσθαι μάλιστα ταῖς κακοχύμοις γυναιξὶν, ἐπειδὰν κυήσωσι. καὶ καλεῖται κίττα τὸ πάθος. ὀρέγονται δὲ ἐν αὐτῷ μάλιστα μὲν ὀξέων τε καὶ στρυφνῶν, ἔστι δ' ὅτε καὶ δριμέων, ἐνίοτε δὲ ἤτοι κιμωλίας γῆς, ἢ ὀστράκων, ἢ ἐσβεσμένων ἀνθράκων, ἢ τινῶν οὕτως ἀτόπων βρωμάτων. καὶ τοῦτο πάσχουσιν αἱ πλείους αὐτῶν, ἄχρι τοῦ δευτέρου καὶ τρίτου μηνὸς. ἐν δὲ τῷ τετάρτῳ, παύονται, τὸ μέν τι τοῖς ἐμέτοις ἐκκενωθείσης τῆς κακοχυμίας, τὸ δ' ἔτι καὶ πεφθείσης ἐν τῷ χρόνῳ, βραχέα σιτουμένης τῆς ἀνθρώπου διὰ τὴν ἀσιτίαν. τὸ δέ τοι καὶ τοῦ πλήθους ἐκκενουμένου. κατὰ μὲν τοὺς πρώτους δύο μῆνας, ὀλίγον ἐπισπᾶται τοῦ αἵματος εἰς ἑαυτὸ τὸ ἔμβρυον, ὡς ἂν ἔτι μικρότατον ὑπάρχον, ὅταν μηδ' ἔμβρυον ἤδη πω καλεῖται κατ' ἐκεῖνον τὸν καιρὸν, ἀλλ' ἔτι κύημα. μεῖζον δὲ γιγνόμενον, αὐτό τε πλείονι χρῆται τροφῇ, καὶ οὐ μόνον ὅτι περ ἂν ἡ χρηστότατον ἐν ταῖς φλεψὶ τοῦτ' ἐπισπᾶται, καθάπερ ἔμπροσθεν, ἀλλὰ διὰ δεῖσθαι πλείονος, συνεπισύρεταί τι καὶ τοῦ μοχθηροῦ. καὶ οὕτως τὸ σύμπαν σῶμα τοῦ τε πληθωρικοῦ ἔτ' οὖν παύεται, καὶ ἧττον γίγνεται κακόχυμον. αὐτὸ δὲ δὴ τὸ ἔμβρυον ἧς ἐπισπᾶται τροφῆς, τὰ περιττώματα, δι' ἐπὶ τοῖς ὑμέσιν ἐναποτίθεται. καὶ γίγνεται μὲν ὡς τὰ πολλὰ, καὶ αὐτὸ, κακοχυμότερόν τε καὶ δυσκρατώτερον, ὡς ἂν ὑπὸ μοχθηροῦ τρεφόμενον αἵματος, ἢν μὴ πάνυ χρησταῖς ἡ κύουσα χρῆται τροφαῖς ἐν τῷ λοιπῷ χρόνῳ τῆς κυήσεως. ἀλλ' οὐδὲν τοῦτό γε πρὸς τὰ παρόντα. τὸ δὲ μοχθηρῶν ὀρέγεσθαι ποιοτήτων, ὑπὲρ οὗ διηγούμενος, ἐμνημόνευσα τῆς κίττης, γίγνεταί ποτε καὶ ἀνδράσιν, ὅταν γε καὶ τούτοις εἰς τὸ τῆς γαστρὸς στόμα κατασκήψῃ ὁμοία τις κακοχυμία. ταυτὶ μὲν οὖν τὰ συμπτώματα περὶ τὴν τῆς τροφῆς ὄρεξιν γίγνεται. περὶ δὲ, τὴν τοῦ ποτοῦ παραπλήσια τούτοις ἕτερα τοσαῦτα. ἡ μὲν οἷον στέρησις, ἐπειδὰν ἤτοι μηδ' ὅλως δέηται τὸ σῶμα δι' ὑπερβάλλουσαν τε ὑγρότητα καὶ ψύξιν, ἢ ἀναίσθητος ἤτοι καθ' ἑαυτὴν πάθοι ἡ γαστήρ. ἡ δὲ ἐνδεὴς ὄρεξις, ἐπειδὰν ἐνδεῶς γίγνηται τὰ αὐτά. ἡ μοχθηρὰ δὲ τῶν ποτῶν ὄρεξις, ἀνάλογον γίγνεται, τῇ περὶ τὴν τροφὴν ὀρέξει μοχθηρᾷ, ποτὲ μὲν ἀμέτρου πόματος, ὅταν ἐν αὐτοῖς τοῖς χιτῶσι τῆς γαστρὸς ἁλμώδης τις, ἢ χολώδης κακοχυμία περιέχηται, ποτὲ δὲ οἷον ζέσαντος τοῦ καθ' ἑαυτὴν ὑγροῦ συμφύτου. μοχθηρῶν δ' ἐπιθυμοῦσι πομάτων, ὥσπερ καὶ σιτίων, ἀνάλογον τῇ κρατούσῃ κακοχυμίᾳ. ταυτὶ μὲν οὖν ἐν χρόνῳ πλείονι κακῶς διαιτηθεῖσιν ἐπιγίγνεται. ἀπαύστοις δὲ δίψεσι † καταληφθεῖσιν. οὐκ ὀλίγους δ' οἶδα, ὧν περ καὶ ἀποθανόντας οἶδα, τόν τε καταφαγόντα τὴν ἔχιδναν (ἦν δὲ ἄρα διψὰς) καὶ τοὺς ἐκ τοῦ οἴνου πιόντας ἐκ περιστάσεως θεισὰς, ἐν ᾧ τοιοῦτόν τι θηρίον ἐναπετεθνήκει, καὶ τὸν ἐξ οἴνου παλαιοῦ μεθυσθέντα, καὶ τὸν ἀποκαρτερεῖν ἀποθελήσαντα, καὶ τοὺς ἐν τῷ πλοίῳ ἐπιλιπόντος τοῦ ὕδατος, ὧν ἔνιοι τῆς θαλάσσης ἐτόλμησαν πιεῖν, ἀμετρότερόν τε διψήσαντες τῶν ἄλλων, καί τινες μὲν αὐτῶν ὑπαχθέντες τὴν γαστέρα, καὶ δηχθέντες σφοδρῶς, ὀξύτερον ἢ κατὰ τοὺς λοιποὺς, ἀπέθανον. οἶδα δέ τινα καὶ τῶν πυρεττόντων καυσωδῶς, ἐπιδιδόντος ἔτι τοῦ νοσήματος, ἀνέδην τε πίνοντα ψυχρὸν, καὶ μηδαμῶς ἐμπιπλάμενον, ἄχρι περ ἂν ἀπέθανεν. αὗται μὲν δὴ τοιαῦται καὶ τοσαῦται περὶ τὰς ὀρέξεις τῆς γαστρὸς αἱ πλημμέλειαι. καὶ πρὸς αὐταῖς ἡ καρδιαλγία, σύμπτωμά τι τοῦ στόματος τῆς γαστρὸς αἰσθητικὸν, ἀνιαρὸν ἐπὶ χυμοῖς δακνώδεσιν. ἔξωθεν δὲ τούτων ἐστὶν, ὁ καλούμενος βούλιμος ἐνδείας τε ἅμα καὶ ἀτονίας καὶ καταψύξεως τῆς ἐνταῦθα, σύμπτωμα. θαυμαστὸν δὲ οὐδὲν, εἰ ταῖς ὀδύναις αὐτοῦ, λειποψυχίαι τε καὶ καταπτώσεις ἕπονται τῆς δυνάμεως. ὅπου γὰρ ὁρῶνται τινὲς ἐπὶ προσπταίσματι δακτύλου † λειποθυμήσαντες, οὐδὲν δήπου θαυμαστὸν, ἐπὶ στομάχῳ παθεῖν αὐτὸ, καὶ τῇ τῆς αἰσθήσεως ἀκριβείᾳ, καὶ τῇ τῆς θέσεως ἐγγύτητι, τὰς δύο ἀρχὰς ἑτοιμότερον εἰς συμπάθειαν ἄγειν αὐτοῦ δυναμένου. καὶ τὰ μέγιστα συμπτώματα, τοὺς εὐαισθητοτάτους στομάχους ἐστὶν εὑρεῖν ἐπιφέροντας, ὡς ἂν καὶ μᾶλλον τῶν ἄλλων ἀνιωμένους ἐπὶ πᾶσι τοῖς λυποῦσι. καὶ ταῖς ἀρχαῖς ἀμφοτέραις, ἀναπέμποντας ἐστὶν ἰδεῖν τὴν βλάβην αὐτοῦ. ὅταν δὲ δὴ καὶ ὅλον τὸ νευρῶδες γένος ἐπί τινος εὐαισθητότερον, ἢ εὐπαθέστερον ὑπάρχῃ, τότε δὴ καὶ μάλιστα καὶ αὐτάς γε τὰς ἀρχὰς εἰς συμπάθειαν

† αλ. καταληφθέντες.

† αλ. λειποψυχήσαντες.

συμπάθειαν ἑτοιμότερον ἄγεσθαι συμβέβηκεν, ὅταν ἤτοι κατά τι πάθος, ἢ καὶ φύσει πως ὑπάρχωσιν ἀσθενεῖς. καὶ ὅταν γε συνέλθῃ τὰ τέτταρα, μέγιστον ἀνάγκη γενέσθαι τὸ πάθημα. τέσσαρα δὲ λέγω, τήν τε λυποῦσαν τὸν στόμαχον διάθεσιν ἰσχυρὰν γενομένην, καὶ τὴν αἴσθησιν αὐτῆς μάλιστα ἀκριβουμένην, καὶ τὸ τῶν νεύρων γένος, ἢ τὸ τῶν ἀρτηριῶν ἀσθενὲς ὑπάρχον, ἔτι δὲ πρὸς τούτοις, ἤτοι τὸν ἐγκέφαλον, ἢ τὴν καρδίαν. οὕτω γοῦν ἐπιληψίαι τε διὰ τὸν ἄτονον στόμαχον ἐν ἐνίοις ἐπιγίνονται, καὶ κάροι, καὶ κώματα, καὶ καταλήψεις, παραφροσύναι τε καὶ μελαγχολίαι, τῆς περὶ τὸν ἐγκέφαλόν τε καὶ τὰ νεῦρα συμπαθούσης ἀρχῆς. αἱ δὲ ὀνομαζόμεναι καρδίαι καὶ συγκοπαί, τῆς περὶ τὴν καρδίαν τε καὶ τὰς ἀρτηρίας ἀρχῆς συμπαθούσης ἐπιγίνονται. οὕτω δὲ καὶ ἀσφυξίαι τε καὶ μικροσφυξίαι. καὶ κακοσφυξίαι αἱ δ' ἄπνοιαι τῶν ἀρχῶν ἀμφοτέρων εἰς μεγάλην ἀγομένων συμπάθειαν. αἱ δύσπνοιαι δὲ κατὰ διττὸν τρόπον, αἱ μὲν τῇ στενοχωρίᾳ τῶν φρενῶν, αἱ δὲ τῶν ἀρχῶν, ἀμφοτέρων συμπασχουσῶν. αἱ δ' εἰς τὰ τοιαῦτα παθήματα προφάσεις ἄγουσαι τὸ ζῶον, οὐκ ὀλίγαι. ψύξις τε γὰρ ἰσχυρὰ, ποτὲ μὲν αὐτὴ καθ' αὑτήν, ἔστι δ' ὅτε ἐπὶ φλέγματι πάνυ ψυχρῷ, τοιοῦτον δὲ ἐστι παραπλήσιον ὑάλῳ κεχυμένῃ, κατά τε τὴν χρόαν καὶ τὴν σύστασιν, ὃν περ δὴ καὶ ὑαλώδη χυμόν, οἱ περὶ τὸν Πραξαγόραν τε καὶ Φιλότιμον ὀνομάζουσιν. οὐχ ἥκιστα δὲ καὶ διὰ φυσώδους πνεῦμα ψυχρόν, ἢ ποτόν, ἢ ἐδεσμόν, ἢ τι φάρμακον ἱκανῶς ψυχρόν, αὐτό τε τῆς κοιλίας τὸ στόμα καταψύχεται, καὶ σὺν αὐτῷ, διὰ μὲν τὸ νεῦρον τὸν ἐγκέφαλον, διὰ δὲ τῆς μεγάλης ἀρτηρίας, τὴν καρδίαν συγκαταψύχει. τῇ μὲν τῶν νεύρων τῆς γενέσεως κοινωνίᾳ, τὸν ἐγκέφαλον. τῇ δὲ τῆς θέσεως ἐγγύτητι, τὴν καρδίαν. ἐπειδὰν μὲν γὰρ ἡ ἐκφυεῖσα τῆς καρδίας ἐπὶ βαθείας ἀρτηρίας ἡ μεγίστη τῶν ἀρτηριῶν, πρῶτον μὲν ζεύγνυταί τε καὶ συνάπτεται δι' ὑμένων τῷ στομάχῳ. μετ' αὐτὸν δὲ τῷ στόματι, καὶ αὐτῇ τῇ γαστρὶ κατὰ μῆκος ὑποτείνεται κάτω πρὸς ἰσχία. διὰ ταύτης μὲν οὖν τῆς ἀρτηρίας μεγίστης τε οὔσης, καὶ ἐξ αὐτῆς τῆς καρδίας ἐκφυομένης, ἡ ἑτέρα τῶν ἀρχῶν συμπαθεῖ τῷ στόματι τῆς κοιλίας. διὰ δὲ τῶν νεύρων, ὁ ἐγκέφαλος, ὥστ' οὐδὲν θαυμαστὸν ἐπὶ ταῖς νόσοις αὐτοῦ μέγιστά τε καὶ ἰσχυρότατα συμπτώματα καταλαμβάνειν τὸ ζῶον. ὅστις μὲν οὖν ὁ τρόπος ἐστὶν ἑκάστου τῆς γενέσεως, ἐν τοῖς μετὰ ταῦτα λεχθήσεται. νυνὶ δὲ τὰς προφάσεις αὐτὰς ἀρκεῖ μοι διελθεῖν. εἰσὶ δὲ μύκητές τινες καὶ βουπρήστεις, καὶ ψιμύθιον καὶ γύψος καὶ γάλα πεπηγός, αἵ τε ἀπὸ τῶν ὑστερῶν ψύξεις ἐπὶ τῶν χηρευουσῶν τε καὶ μὴ καθαιρομένων, ὅσα τε ἀνάλογον αὐτῶν ἐπὶ τῶν ἀρρένων γίνεται. λεχθήσεται δὲ χωρίς, ὑπὲρ ἀπνοίας ἑτέρωθι.

Καὶ περὶ μὲν τῶν αἰσθητικῶν ὀργάνων ἁπάντων ἔτι τε τῶν περὶ ταῦτα δυνάμεων, ἤδη μοι δοκῶ πέρας ἔχειν τὸν λόγον. τὸ αὐτὸ δὲ τὸ κατάρχον αὐτῶν, ἐπιπέμπον τε τοῖς κατὰ μέρος οἷον ἐκ πηγῆς τινὸς ἑαυτοῦ τὰς δυνάμεις, ἐπιγνῶναι τῷ λόγῳ καιρός. ἔστι δὲ λοιπὸν τὸ πρῶτον αἰσθητικόν. ἐν αὐτοῖς μὲν γὰρ τοῖς κατὰ μέρος ὀργάνοις ἑκάστη τῶν αἰσθήσεων ἡ ἀπὸ τῶν αἰσθητῶν ἀλλοίωσις ἐπιτελεῖται, ταύτης δὲ αἰσθητικὸν γίγνεται τὸ ἀλλοιούμενον μόριον, ἐκ τοῦ δέχεσθαι τὴν ἀπ' ἐγκεφάλου κατιοῦσαν εἰς αὐτὸ διὰ τοῦ νεύρου δύναμιν. αὐτὸς γὰρ ὁ ἐγκέφαλος, οὐκ αἰσθητικὸν ὄργανον ὑπὸ τῆς φύσεως, ἀλλ' αἰσθητικῶν αἰσθητικὸς ἐγένετο. καὶ ὅτι μὲν ἀεὶ διὰ τῶν νεύρων ἐπιπέμπει τὴν αἰσθητικὴν δύναμιν ἅπασι τοῖς τοῦ ζώου μορίοις, ἐναργέστατόν ἐστιν, ἐκ τοῦ μετὰ τὸ τμηθῆναι νεῦρον ὁτιοῦν, εὐθέως ἀναίσθητον ἀποτελεῖσθαι τὸ μόριον, εἰς ὃ τὸ νεῦρον κατασχίζεται. ἐναργὲς δὲ οὐδὲν ἧττον ἐστὶ καὶ ὡς κατὰ τοὺς ὕπνους ἤτοι παντάπασιν ἀργοῦσιν αἱ αἰσθήσεις ἢ ἀμυδρῶς ἐνεργοῦσιν. εὔλογον οὖν ὀλίγην τινὰ ἐπιρρεῖν τηνικαῦτα δύναμιν ἀπὸ τῆς ἀρχῆς, τοῖς κατὰ μέρος. καὶ τό γε βαθέως τε καὶ μὴ βαθέως κοιμᾶσθαι, τοῦτο δὴ τὸ συνήθως ἑκάστοτε λεγόμενον, ἐν τῷ ποσῷ τῆς ἐπιρροῆς ἐστι. τοσούτῳ γὰρ μεῖον ἐπιρρεῖν εἰκός ἐστιν, ὅσῳ περ ἂν ὁ ὕπνος ᾖ βαθύτερος. ἔοικεν οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ παντὶ τῷ κατὰ τὸν ὕπνον ἀναπαύεσθαι μὲν ἡ ψυχικὴ δύναμις, ἐνεργεῖν δὲ ἰσχυρότερον ἡ φυσική, τεκμαίροιτο δ' ἄν τις, τῷ κεκμηκυῖαν αὐτήν, ὑπνωσάντων ἀναρρώννυσθαι, καὶ μάλιστα ὅταν ἐπὶ τροφῇ συμμέτρῳ κοιμηθῶμεν, ἔτι τε ἐπὶ τὸ πέττεσθαι τὴν τροφὴν ὑπνούντων κάλλιστα καθ' ὅλον τοῦ ζώου τὸν ὄγκον, οὐκ ἐν τῇ γαστρὶ μόνον. ἔστι δὲ καὶ ἄλλως εὔλογον ἀναπαύεσθαί ποτε κἀκεῖνο τοῦ ζώου τὸ μέρος, ἐν ᾧ τῆς λογικῆς ψυχῆς ἐστιν ἡ ἀρχή. ἡ μὲν γὰρ καρδία φαίνεται κατὰ σμικρὰ τοῦτο ποιοῦσα, ὡς μὴ δεῖσθαι χρόνου πολλοῦ πρὸς ἀνάπαυσιν. ὁ δὲ ἐγκέφαλος, οὐχ οὕτως, ἀλλ' ἐν μὲν ταῖς ἐγρηγόρσεσιν, ἐνεργεῖ διὰ παντὸς, ὑπνούντων δέ, ἡσυχάζει, καὶ διὰ τοῦτο βαθύτερος ὕπνος συμπίπτει τοῖς πλείονα γυμνασαμένοις. ὡς ἂν ἀποῤῥυείσης αὐτοῖς πολλῆς δυνάμεως ἀπὸ τῆς ἀρχῆς ὁπότε ἐνήργουν. διά τε οὖν τὴν κένωσιν ἧς ἔπεμψε δυνάμεως ὁ ἐγκέφαλος, ἔτι δὲ διὰ τὸν κάματον ὃν ἔκαμε διὰ τὰς πολλὰς ἐνεργείας, ἀναπαύσεώς τε ἅμα καὶ ἀναρρώσεως χρῄζει. ὥσπερ δὲ ἐπὶ τοῖς γυμνασίοις ἑτοιμότερόν τε καὶ βαθύτερον ὑπνοῦσιν, οὕτω καὶ τροφὴν προσενεγκάμενοι. καὶ ὅσῳ περ ἂν ὑγροτέρα τὴν φύσιν ὑπάρχῃ, τοσούτῳ μᾶλλον ὑπνοῦσιν, οὕτω δὲ καὶ οἶνον πλείονα προσαράμενοι, καὶ λουσάμενοι λουτροῖς δαψιλέσι θερμοῖς κατὰ τῆς κεφαλῆς. ἅπαντα γὰρ τὰ τοιαῦτα φαίνεται πληροῦντα τὸν ἐγκέφαλον ὑγρότητος, ἧς ἄρα δεῖται κεκμηκώς τε καὶ κατεξηρασμένος ὡσαύτως ἐν ταῖς πολλαῖς ἐνεργείαις. ἀλλὰ γὰρ ὅτι ἡ μὲν κεφαλὴ πληρουμένη, τὸν ὕπνον ἐπιφέρει, δέδεικται πρὸς Ἀριστοτέλους αὐτάρκως, καὶ οὐδὲν δεῖ νῦν ἡμᾶς ἐπεξιέναι τῷ λόγῳ. τὸ γάρ τοι περὶ ὕπνου καὶ ἐγρηγόρσεως ἀναγνούς τις αὐτοῦ βιβλίον, αὐτό τε τοῦτο σαφῶς ἐκμαθήσεται, τὸ, πληρουμένης τῆς κεφαλῆς ἐπιγίγνεσθαι τοῖς ζώοις τοὺς ὕπνους. ἔτι τε πρὸς τούτοις κατανοήσει τὸ χωλεῦον παρ' αὐτῷ τοῦ λόγου. καὶ τοι γὰρ ἱκανώτατος ὢν ἐπιχειρῆσαι, καὶ πιθανώτατος εἰς ὅπερ ἂν ἐθελήσει τὸν λόγον ἀγαγεῖν. ὅμως οὐδὲν ἔσχε πιθανώτερον ἐξευρεῖν, διότι τῆς κεφαλῆς πληρουμένης, ἀναπαύεται τὸ πρῶτον αἰσθητικὸν ἐν τῇ καρδίᾳ καθιδρυμένον, ὡς αὐτὸς ὑπολαμβάνει, πολὺ γὰρ δή που πιθανώτερον ἦν ἐπὶ ταῖς τοῦ πνεύμονος ὑγρότησι γίγνεσθαι τοὺς ὕπνους, ὃν ἡ φύσις οὐδὲν ἄλλο, ἢ ὑπηρετήσοντα τῇ καρδίᾳ περιέβαλε κύκλῳ. τίς δ' οὐχὶ καὶ τῶν τἀναντία δοξαζόντων ἰατρῶν, ἢ ἀπὸ ψιλῆς ἀναγομένων τῆς ἐμπειρίας ἐν κάροις, καὶ ληθάργοις, καὶ κώμασι, καὶ πᾶσι τοῖς παρὰ φύσιν ὑπνώδεσι νοσήμασιν ἐπὶ τὴν κεφαλὴν ἀφικνεῖται, καταντλῶν καὶ καταπλάττων αὐτήν, καὶ ξηρῶν καὶ σικύας προσφέρων, καὶ πᾶν ὁτιοῦν ἄλλο μηχανώμενος, ὡς ἐνταῦθα τῆς ῥίζης τοῦ νοσήματος ὑπαρχούσης. οὕτω δὲ καὶ τὰς παραφροσύνας καὶ φρενίτιδας, ἁπάσας τε τὰς παρὰ φύσιν ἀγρυπνίας ἰώμενοι, τῇ κεφαλῇ τὰ βοηθήματα προσφέρουσιν. ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι διὰ πλειόνων ἀν-

πολέδεικται. τὸ δὲ εἰς τὰ παρόντα τοῦ λόγου χρήσιμον, ὡς ὁ ἐγκέφαλος ἡνίκα μὲν ἐπὶ πλεῖον αὐτὸς ἐν ἐνεργείαις ἀναπαύεσθαι βουληθῇ, τὸν κατὰ φύσιν ὕπνον ἐπάγει τῷ ζώῳ, καὶ μάλιστα ἐπειδὰν ὑγρότητος δαψιλοῦς ἀπολαύειν ἡ ἐν αὐτῷ θρεπτικὴ δύναμις ἔχῃ. ἡνίκα δὲ αὖ ὑπὸ πολλῆς ψυχρᾶς ὑγρότητος βαρύνηται, τὸν ἐν κώμασί τε καὶ ληθάργοις ὕπνον ἐπιφέρει. ὅσα τε ἄλλα νοσήματα παραπλήσια. κεφάλαιον δ᾽ αὐτῶν ἐστὶν ἡ ὑγρότης τε καὶ ψῦξις, ἤτοι κατὰ μόνας ἑκατέρα συνισταμένη, ἢ καὶ κατ᾽ αὐτὸν ἀμφότεραι συνελθοῦσαι. τοιαῦτα γοῦν ἐστὶ καὶ τὰ φάρμακα πάντα τὰ τῷ ὄντως ὑπνωτικά, καὶ ὅσα καλεῖται μὲν οὕτως, ἐργάζεται δ᾽ οὐχ ὕπνον, ἀλλὰ κῶμά τε καὶ κάρον καὶ νάρκην παντὸς τοῦ σώματος. ὅσα μὲν οὖν ὑγραίνει μόνον, ὑπνωτικὰ δεόντως ὀνομάζεται. τὰ ψύχοντα δὲ οὐκ ὀρθῶς, οὐθ᾽ ὕπνον, οὔτ᾽ ἀνωδυνίαν ἐπιφέρειν ἂν λέγοιντο, ἀλλ᾽ ἀντὶ μὲν ὕπνου, κῶμα καὶ κάρον. ἀντὶ δὲ τῆς ἀνωδυνίας, ἀναισθησίαν, ἢ δυσαισθησίαν, διὰ τὴν ὑπερβολὴν τῆς ψύξεως. εἴρηται δὲ δήπου καὶ πρόσθεν, ὡς ἡ νάρκη τὸ πάθημα, δυσαισθησία τε ἅμα καὶ δυσκινησία τῶν νευρωδῶν μορίων ἐστί. καὶ γίγνεται μὲν ὡς ἐλέχθη καὶ κατ᾽ ἄλλας αἰτίας. γίγνεται δὲ καὶ κατὰ δυσκρασίαν, ὡς ἐπὶ τοῖς ψύχουσι φαρμάκοις. οὕτω μὲν οὖν ὕπνοι τε καὶ κώματα καὶ κάροι, καὶ νάρκαι γίγνονται. Ξηρότης δ᾽ αὖ πάλιν ἀμετροτέρα καὶ θερμότης καθάπερ ἐν φρενίτισιν ἢ διὰ χυμόν τινα δακνώδη τε καὶ θερμόν, ἢ ἐρεθισμοὺς, ἢ ἀγρυπνίας ἐπιφέρουσιν. ὅσαι γε μὴ διὰ λύπην, ἢ τινὰ φροντίδα συνίστανται. ὥσπερ δὲ τὰ τοιαῦτα συμπτώματα κοινὰ τοῦ σώματος ὅλου γίγνεται διὰ τὸ πεπονθέναι τὴν ἀρχὴν, οὕτω καὶ ἄλλα περὶ τὰς καθ᾽ ὁρμὴν ἐνεργείας ἁπάσας συμπίπτει, τῆς ἀρχῆς παθούσης. αἵτε γὰρ ἀποπληξίαι καὶ ἐπιληψίαι, διὰ τὸν ἐγκέφαλον γίγνονται. τοιοῦτον μέντοι πάθος ἡ ἀποπληξία περὶ τὰς κατὰ προαίρεσιν ἐνεργείας, οἷον ὁ βαθὺς ὕπνος ἐν ταῖς αἰσθητικαῖς ἐνεργείαις. ἕτερον δὲ τοιοῦτον, οἷον ἐν ταῖς αἰσθητικαῖς, ἡ ἀγρυπνία, ὁ ἐν ταῖς ἐπιληψίαις σπασμός. ἄμφω μὲν γὰρ ταῦτα πλημμελεῖς κινήσεις εἰσὶ τοῦ ἐγκεφάλου. καὶ διὰ τοῦτο καὶ τῶν κατὰ μέρος ἁπάντων μελῶν. ἄμφω δ᾽ αὖ πάλιν θάτεραι καταλήψεις τε καὶ ἡσυχίαι τῶν ἐνεργειῶν αὐτοῦ. κατὰ μέντοι τοῦ ὅλου τοῦ σώματος σπασμοὺς ἄνευ παραφροσύνης, ἢ κάρου, τὸ νόσημά ἐστι τοῦ κατὰ τὸν τράχηλον νωτιαίου. καθάπερ γε κἀπειδὰν ἤτοι χεὶρ, ἢ σκέλος, ἤτοι τὶς μῦς τείνηταί τε καὶ σπᾶται βιαίως, ἑνὸς ἑκάστου νεύρου τοῦ κινοῦντος τὸ μέρος ἡ βλάβη. ἥτις δ᾽ ἀκριβῶς ἐστὶν ἡ αἰτία τοῦ νοσήματος ἐφ᾽ ᾧ σπᾶται τὰ μόρια, χαλεπὸν εἰπεῖν. ὥσπερ γε καὶ τρόμου, καὶ παλμοῦ, καὶ ῥίγους. ὀνομάζω δὲ νῦν ῥῖγος, οὐ τὴν τῆς σφοδρᾶς ψυχρότητος αἴσθησιν ἀλλὰ τὸν ἀνώμαλον ἅπαντος τοῦ σώματος σεισμόν τε καὶ κλόνον. ἅπαντα γὰρ δὴ ταῦτα φαίνεται καταλαμβάνοντα τὸ μυῶδες γένος, ἢ μόνον, ἢ μάλιστα τῶν ἄλλων μορίων. ἀκριβέστερον δὲ εἰσόμεθα, διασειλάμενοι πρότερον αὐτῶν τὰς ἐννοίας. ἐν μὲν γὰρ τῷ παρόντι, τέτταρας ἐφθεγξάμεθα προσηγορίας σπασμὸν, καὶ τρόμον, καὶ παλμὸν, καὶ ῥῖγος, ὁποῖον δὲ ἕκαστον ἐστὶ τῶν συμπτωμάτων, ἃ δηλοῦσι παρ᾽ οὐδενὶ τῶν ἐμοῦ πρεσβυτέρων εὗρον ἀκριβῶς διωρισμένον, ἀλλ᾽ οἱ μὲν εὐθέως ἐπὶ τὰς οὐσίας ἔρχονται τῶν νοσημάτων, οἷς ἕπεται τὰ συμπτώματα. τινὲς δὲ ἐπεχείρησαν μὲν αὐτὰ διασείλασθαι, σφάλλονται δὲ, ἐν οἷς ἑρμηνεύουσιν, ὡς ἔξεστι μαθεῖν τῷ βουληθέντι μετὰ τὴν ἡμετέραν διδασκαλίαν ἀναλέξασθαι τὰς βίβλους αὐτῶν. οὐδὲ γὰρ οὐδὲν χαλεπὸν ἐστι φωράσαι τὰ κακῶς εἰρημένα, προεγνωσμένων ἤδη τῶν ἀληθῶν. ὑπὲρ ἁπάντων οὖν τούτων εἰρήσεται κατὰ τὸν ἑξῆς λόγον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΥΜΠΤΩΜΑΣΙ ΑΙΤΙΩΝ ΒΙΒΛΙΟΝ ε.

Σπασμὸς δὲ καὶ τρόμος. καὶ παλμὸς καὶ ῥῖγος καὶ φρίκη καὶ λυγμός. καὶ βῆχες. ἐρυγαί τε πταρμοί. καὶ σκορδινισμοί. καὶ χάσμαι. καὶ τρυσμοί, κοινὸν μὲν ἅπαντα γένος ἔχει, κίνησιν πλημμελῆ. διενήνοχε δ᾽ ἀλλήλων, ἑνὶ μὲν καὶ πρώτῳ μάλιστα, τῷ τὰ μὲν αὐτῶν, ἔργα φύσεως εἶναι βιαίως ἀναγκαζομένης κινεῖσθαι πρός τινος αἰτίου νοσεροῦ. τὰ δὲ, νοσώδεσιν ἕπεσθαι διαθέσεσιν, οὐδὲν εἰς τὴν γένεσιν αὐτῶν συμπραττούσης φύσεως. ἔνια δὲ ὑπ᾽ ἀμφοῖν ἐνεργούντων γίγνεσθαι, τοῦ τε νοσήματος ἅμα καὶ φύσεως. ἀκούειν δὲ ἀξιῶ σε τοῦ τῆς φύσεως ὀνόματος ἐν τῷ λόγῳ τῷ δὲ κατὰ πάσης δυνάμεως τῆς διοικούσης τὸ ζῶον, εἴτε κατὰ τὴν ἡμετέραν προαίρεσιν, εἴτε καὶ χωρὶς ταύτης. ἀντιδιαιροῦμεν γὰρ νῦν ἁπάσῃ τῇ παρὰ φύσιν αἰτίᾳ, δι᾽ ἣν βλάπτεται καὶ διαφθείρεται τὸ ζῶον, ὅλον ἐκεῖνο τὸ γένος τῶν δυνάμεων, ὑφ᾽ οὗ διασώζεται. τοιαύτης μὲν οὖν δυνάμεως ἔργα, πταρμοὶ καὶ βῆχες καὶ χάσμαι, καὶ σκορδινισμοί, καὶ λύγγες. μόνου δὲ τοῦ νοσήματος ἐνεργοῦντος, παλμὸς καὶ σπασμός. ἀμφοῖν δὲ συνιόντων τοῦ τε νοσήματος καὶ τῆς δυνάμεως, αἵτε ναρκώδεις ἅπασαι κινήσεις, ὅσαι τ᾽ ἄλλαι παραλυομένων μὲν, οὐδέπω δὲ παραλελυμένων γίγνονται. καὶ πρὸς ταύταις ὁ τρόμος. αὗται μὲν αἱ πρῶται διαφοραὶ τοῦ νῦν ἡμῖν προκειμένου γένους τῶν συμπτωμάτων. ἐφεξῆς δὲ καθ᾽ ἑκάστην, ἰδίαι τινὲς, ὑπὲρ ὧν ἤδη λέγωμεν, ἀπὸ τῆς ὑπό τινος ἐμφύτου δυνάμεως γιγνομένων κινήσεων ἀρξάμενοι. κοινωνία δὲ καὶ ταύταις ἐστὶ πρὸς τὰς ἀκριβῶς κατὰ φύσιν, ἣν ἀναγκαῖον εἰπεῖν πρότερον, ὑπὲρ τοῦ διδάξαι σαφῶς, ὁποία τίς αὐτῶν ἐστιν ἡ γένεσις. οὐσῶν δὴ τεσσάρων δυνάμεων ὑφ᾽ ὧν διοικεῖται τὰ τρεφόμενα σώματα πάντα, πρώτης μὲν τῆς ἑλκούσης πρὸς ἑαυτὴν τὸ χρηστόν, ἑτέρας δὲ τῆς κατεχούσης τοῦτο, καὶ τρίτης τῆς ἀλλοιούσης, καὶ τετάρτης τῆς ἀποκρινούσης τὸ περιττόν, ἐπειδὰν μὲν νόμῳ φύσεως διοικῆται τὸ ζῶον, οὐδὲ μία κίνησις, οὐδὲ μιᾶς αὐτῶν ἐστὶ σύμπτωμα. συστάντος δέ τινος παρὰ φύσιν ἐν τῷ σώματι, ὅταν ἀποτρίβεσθαι τοῦτο, τῆς ἀποκριτικῶν τις ἐξορμήσῃ δυνάμεων, ἐνίοτε μὲν ἀναίσθητοι τὸ παράπαν αἱ κινήσεις αὐτῶν, ἐνίοτε δὲ αἰσθηταὶ γίγνονται. περὶ μὲν δὴ τῶν ἀναισθήτων αὖθις εἰρήσεται. περὶ δὲ τῶν αἰσθητῶν ἐπειδὴ κοινωνοῦσι ταῖς προαιρετικαῖς ὀνομαζομέναις, ἡ διδασκαλία γιγνέσθω κοινή. προαιρετικῆς μὲν οὖν ἐνεργείας βλάβη, παράλυσίς τε καὶ σπασμὸς καὶ τρόμος καὶ νάρκη. ποικίλλεται δὲ

ἐν τοῖς κατὰ

ἐν τοῖς κατὰ μέρος ὀργάνοις ἕκαστον τῶν εἰρημένων, οὐ τῇ τῶν συμπτωμάτων ἰδέᾳ μόνον, ἀλλὰ καὶ ταῖς προσηγορίαις. ἡ μὲν γὰρ τῶν τὴν ἀναπνοὴν ἐργαζομένων ὀργάνων παράλυσις, ἄπνοια, καθάπερ δὴ καὶ ἡ τῶν τὴν φωνὴν, ἀφωνία προσαγορεύεται, ἡ δὲ τῆς γλώττης παράλυσις, οὐδὲν ὄνομα ἴδιον κέκτηται, τελέως ἀναιροῦσα καὶ αὕτη τὴν διάλεκτον, ἔργον οὐ σμικρὸν προαιρέσεως. ἔμπαλιν δὲ, οὐδὲν ἧττον ἡ ἰσχουρία. παραπλήσιόν τι δόξει δηλοῦν, ἀπνοίᾳ τε καὶ ἀφωνίᾳ, καίτοι γε οὐ προαιρετικῆς ἐνεργείας, ἀλλὰ φυσικῆς ἐστιν ἀπώλεια. τὸ γὰρ ἐκκρίνειν ἀκουσίως τὰ οὖρα, προαιρετικῆς ἐνεργείας βλάβη. παραπλησίως δὲ τοῖς οὔροις καὶ ἐπὶ τῶν διαχωρημάτων, ἡ μὲν ἐπίσχεσις φυσικῆς. ἡ δὲ ἀκούσιος ἔκκρισις, προαιρετικῆς ἐνεργείας βλάβη. δέδεικται δ' ἐπὶ πλέον ὑπὲρ τῶν τοιούτων ἁπάντων, ἐν τοῖς περὶ μυῶν κινήσεως. οὕτως μὲν αἱ παραλύσεις ποικίλαι ταῖς ἰδέαις ὑπάρχουσιν, οἱ σπασμοὶ δὲ κατὰ τὰ δὲ τὸ μὲν τρίζειν ἀκουσίως, τῶν μασητήρων μυῶν σπασμός ἐστιν. ἡ δὲ ἴλλωσις, οἵ τε καλούμενοι στραβισμοὶ τῶν περὶ τοὺς ὀφθαλμοὺς ὥσπερ γε καὶ τῆς γονοῤῥοίας ἡ ἑτέρα διαφορά. εἰ μὲν γὰρ μετὰ ἐντάσεως τοῦ αἰδοίου γένοιτο, οἷον σπασμός ἐστιν. εἰ δὲ χωρὶς ταύτης, ἀῤῥωστία τε καθεκτικῆς δυνάμεως. δηλοῦσι δὲ ἐνίοις καὶ αἱ λύγγες. καὶ ἡ διπλῆ δὲ τῶν εἰσπνεόντων ἐπανάκλησις, ἐστὶν ὅτε διὰ σπασμὸν γίγνεται τῶν τὴν εἰσπνοὴν ἐργαζομένων μυῶν. ἔστι δέ τι καὶ τῆς ἐκπνοῆς εἶδος οἷον σπασμῶδες, ἐπιγιγνόμενον αὖ καὶ τοῦτο, τοῖς σπασμοῖς, τῶν τὴν ἐκπνοὴν ἐργαζομένων μυῶν. ὅπερ ὀνομάζεται παρ' Ἱπποκράτους, πνεῦμα πάλιον ἐν τῇ ἔξω φορᾷ. ὅτι δὲ καὶ ὅλου τοῦ σώματος ἡ μὲν ἀποπληξία, παράλυσις. ἡ δὲ ἐπιληψία σπασμός ἐστι, ἔμπροσθεν εἴρηται. καὶ μέντοι καὶ περὶ τῆς νάρκης εἴρηται πρόσθεν, ὡς ἀμυδρά τίς ἐστι παράλυσις. οὐ σμικρὰ δὲ ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἡ διαφορὰ τῶν ναρκωδῶν ἐστι μορίων. ἐπειδὴ μικτόν πως ἐστὶ τὸ σύμπτωμα, νοσήματός τε καὶ δυνάμεως. εἰ μὲν γὰρ τὸ νόσημα τελέως ἐπικρατήσει τῆς δυνάμεως, οὐδ' ὅλως δύναται μεταφέρειν τὸ μέλος. εἰ δ' ἡ δύναμις, οὐδ' ὅλως ἐμποδίζεται, εἰ δ' οἷον μάχη τις αὐτῶν εἴη κινοῦσι μὲν, ἀλλὰ μόγις. καὶ εἰ κελεύσειας ἀνατείναντας τὸ βεβλαμμένον κῶλον, ἐκτεταμένον φυλάττειν, οὐ δύνανται. καταπίπτει γὰρ ὑπὸ τοῦ συμφύτου βάρους, φερόμενον κάτω, ἀῤῥωστίᾳ τῆς ὀχούσης αὐτὸ δυνάμεως. τὸ μὲν γὰρ ἐξαῖρόν τε, καὶ βαστάζον, ἡ δύναμίς ἐστι. τὸ δὲ κάτω φερόμενον, αὐτὸ τὸ σῶμα τῆς χειρὸς, ἢ τοῦ σκέλους. ἡ δ' αἰτία πρόσθεν εἴρηται, κατὰ τὸν περὶ τῶν αἰσθητικῶν ἐνεργειῶν λόγον, ἐπιδεικνύντων ἡμῶν ἤτοι πιλούμενον ὑπὸ τῆς ψύξεως τὸν νεῦρον, ἢ ἐμφραττόμενον ὑπὸ παχέων τε καὶ γλίσχρων χυμῶν, ἢ βαρυνόμενόν τε καὶ θλιβόμενον ὑπό τινος ἔξωθεν αἰτίου εἰς νάρκην τε καὶ παράλυσιν ἔρχεσθαι. ὁ δέ γε σπασμὸς εἰς τὴν αὐτὴν ἄγει τά τε νεῦρα καὶ τοὺς μῦς διάθεσιν, εἰς ἣν καὶ κατὰ φύσιν ἐχόντων ὑπὸ τῆς ψυχικῆς δυνάμεως ἤγετο. εἴτε οὖν τεινομένων ἐπὶ τὴν ἀρχὴν, εἴτε καὶ διὰ πνεύματος ἔμπτωσιν πληρουμένων τῶν μυῶν, αἱ προαιρετικαὶ κινήσεις ἐγίνοντο. καὶ ἐπὶ τοὺς σπασμοὺς, ταῦτα συμβήσεται, πνεύματός τε φυσώδους ἐν αὐτοῖς γεννᾶσθαι δυναμένου, καὶ πολλῶν διαθέσεων τάσιν ἐργαζομένων, ὥσπερ καὶ ἡ φλεγμονή. κεφάλαιον δ' αὐτῶν ἐστι δῆλον ὡς Ἱπποκράτης ἐδήλωσε, πλήρωσίς τε καὶ κένωσις. ἐν μὲν οὖν τοῖς φλεγμονώδεσι πάθεσιν ἡ πλήρωσις. ἐν δὲ τοῖς καυσωδεστάτοις τε καὶ ξηροτάτοις πυρετοῖς, ἡ κένωσις. ὅτι δὲ πληρουμένοις τε καὶ κενουμένοις ἐπὶ πλέον ἅπασι τοῖς νευρώδεσι σώμασι τείνεσθαι συμβαίνει, δηλοῦσιν οὐχ ἥκιστα καὶ αἱ ἐν τοῖς ὀργάνοις ἐντεταμέναι χορδαί. ῥήγνυνται γοῦν ἄν τε εἰς ὑγρὸν καὶ νοτιῶδες, ἄν τε εἰς ξηρὸν καὶ αὐχμῶδες οἴκημα τεταμέναι κατατεθῶσι. καὶ διὰ τοῦτ' ἐπανιᾶσιν αὐτὰς οἱ τεχνῖται, πρὶν κατατίθεσθαι. διὰ τοῦτο γοῦν εἴρηται καὶ πρόσθεν ὡς ἡ σπασμώδης κίνησις, ὑπὸ μόνου γίγνεται τοῦ νοσήματος, ὁμοίως τῇ κατὰ τὰς παραλύσεις ἀκινησίᾳ. καὶ γὰρ αὕτη τῷ λόγῳ τοῦ νοσήματος ἀποτελεῖται. ἡ δέ γε κατὰ φύσιν ἐν τοῖς ζώοις ἀκινησία τε καὶ κίνησις, ὅταν ἀνατείναντες τὴν χεῖρα δυνάμεθα φυλάττειν ἀκίνητον ἀνατεταμένην, ὑπὸ τῆς ψυχικῆς ἀμφότερα γίγνεται δυνάμεως. εἰ δὲ καταθέντες ἐπί τινος στεροῦ τὴν ὑγιαίνουσαν χεῖρα, πάσας ἐκλύσαιμεν τῶν μυῶν τὰς ἐνεργείας, οὔθ' ὑπὸ τοῦ νοσήματος, οὔθ' ὑπὸ τῆς δυνάμεως ἡσυχάζειν κατ' ἐκεῖνον τὸν καιρὸν, ἀλλ' ὑπὸ τοῦ συμφύτου βάρους τοῖς ζώοις ἡ χείρ. ὥστε τῶν τριῶν ἡσυχιῶν, τὴν μὲν ἐν τοῖς παραλύσεσιν, ὑπὸ τοῦ νοσήματος γίνεσθαι, δεδεμένης ὡς ἂν εἴποι τις ἐν τούτῳ τῷ χρόνῳ τῆς δυνάμεως. τὴν δ' ὅταν ἀνατεταμένον ἔχωμεν τὸ κῶλον, ὑπὸ τῆς δυνάμεως. ἣν δ' ἀρτίως ἐλέγομεν, ὑπ' οὐδετέρου, γινωσκόντων ἡμῶν ἅπερ ἐν τοῖς περὶ μυῶν κινήσεως ἐλέχθη, περὶ τῆς ἀνατεταμένης χειρὸς, ὡς ἐκ τοῦ τῶν ἐνεργειῶν τε καὶ κινήσεων ἐστι γένους, κατά γε τὴν ἀλήθειαν αὐτήν. ἐλέχθη δὲ, καὶ ὅτι τονικὴν ὀνομάζομεν ἡμεῖς τὴν κίνησιν ταύτην, ἡ μὲν δὴ τοιαύτη κατάστασις, ἑτέρῳ μὲν τρόπῳ κίνησις, ἑτέρῳ δ' ἀκινησία λέγοιτ' ἄν. αἱ λοιπαὶ δὲ δύο, κατ' οὐδένα τρόπον ἐφάπτονται κινήσεως. ὥσπερ γε καὶ αἱ λοιπαὶ δύο κινήσεις, ἡ σπασμώδης τε καὶ ἡ προαιρετικὴ, κατ' οὐδένα τρόπον ἐφάπτονται ἀκινησίας. καὶ μὲν δὴ καὶ ὡς ἡ ἀνατεταμένη χεὶρ ἐκ δυοῖν ἰσοσθενῶν ἐλέγετο συγκεῖσθαι κινήσεων, ἄνω μὲν ἀναφερούσης αὐτὴν τῆς δυνάμεως, κάτω δ' ἀνθέλκοντος τοῦ συμφύτου βάρους, οὕτω καὶ ὁ τρόμος ἐκ δυοῖν ἀποτελεῖται κινήσεων καὶ αὐτὸς, τῆς τε διὰ βάρος ἀπαγούσης κάτω τὸ κῶλον, ἥν θ' ἡ δύναμις εἰς τοὐναντίον ἀναφέρουσα ποιεῖται. ἐπὶ μὲν οὖν τῆς ἐῤῥωμένης χειρὸς, οὐδ' ἐπὶ βραχὺ νικᾶται πρὸς τοῦ βάρους ἡ δύναμις, ἀλλ' ἰσχυροτέρα καθεστηκυῖα τῆς κάτω τοῦ κώλου ῥοπῆς, ὀχοῦσα τοσοῦτον ἀναφέρει πρὸς τὸ μετέωρον, ὅσον ὑπεσύρετο κάτω. ἐπὶ δὲ τοὺς τρόμους ἀκούσης αὐτῆς ὑποῤῥεῖ τὸ κῶλον κάτω. φανερῶς γέ ἐστι θεάσασθαι τὴν μάχην αὐτῶν οὔτε τῆς δυνάμεως ἐπιτρεπούσης κατενεχθῆναι τὸ κῶλον ὡς ἐν ταῖς παραλύσεσιν, οὔτε τοῦ βάρους συγχωροῦντος τῇ δυνάμει, φυλάττειν αὐτὸ μετέωρον, ὡς ὅτε ἔῤῥωται. ἐναλλὰξ οὖν τῆς δυνάμεως νικώσης τε καὶ νικωμένης, καὶ διαδεχομένων ἀλλήλας ἀεὶ τῶν ἐναντίων κινήσεων ὁ τρόμος γίνεται, σύνθετός τις ὑπάρχουσα κίνησις, ὥσπερ καὶ τῶν ἀρτηριῶν σφυγμός. ἀλλ' ἐκείναις μὲν αἰσθηταὶ διαιροῦσιν ἡσυχίαι κινήσεων τὴν διαστολὴν, ἀπὸ τῆς συστολῆς εἰ μήπω ἄρα οὕτω γένοιτο πυκνότατος ὁ σφυγμὸς, ὡς ἐν τοῖς μυρμηκίζουσιν. ἐνταυθοῖ γὰρ οὐδεμίαν εὑρεῖν ἐστι μεταξὺ τῶν ἐναντίων κινήσεων αἰσθητὴν ἡσυχίαν. οὐ γὰρ ἀμοιβὴ κινήσεως ἐστὶν, ὑπὸ μιᾶς ἐπιτελουμένη φύσεως, ἀλλὰ μάχη δυνάμεώς τε καὶ βάρους σώματος. ὡς δ' ἄν τις εἰκάσειε μάλιστα τὴν κίνησιν, ἑτέρᾳ τινὶ τῶν κατὰ τὸ σῶμα τῶν

τῶν μυρμηκιζόντων σφυγμῶν ἐστὶ παραπλήσιος. ὡς γὰρ ἐν ἐκείνοις ἡ κίνησις τῆς ἀρτηρίας ἐπὶ βραχυτάτης φέρεται διαστάσεως, οὕτως ἐν τοῖς τρόμοις, τὸ τοῦ ζώου μόριον ὅτι περ ἂν ὑπὸ τῆς ἀσθενοῦς κινῆται δυνάμεως. εὔδηλος οὖν ἤδη καὶ ἡ γένεσις ἐστὶ τοῦδε τοῦ συμπτώματος ὅτι τε σὺν ὁρμῇ τοῦ κινεῖσθαι πάντως, ὅτι τε σὺν ἀσθενείᾳ δυνάμεως ἀποτελεῖται. ἔνιοι δ' οὐκ οἴονται τὴν ὁρμὴν ἀχώριστον εἶναι τοῦ τρόμου, θεωροῦντες ἐνίοτε τὴν κεφαλὴν ὅλην τρομωδῶς σειομένην, ἄνευ τοῦ προελέσθαι κινεῖν. ἀγνοοῦσι γὰρ ὡς κἂν τῷ φυλάττειν τι μόριον ὀρθὸν, ἥτε προαίρεσις ἐνεργεῖ, καὶ τείνονται παραπλήσιον ὑπ' αὐτῆς τρόπον οἱ μύες, οἷόν περ ἐτείνοντο, κἂν ταῖς ἄλλαις ἐνεργείαις. ἡμῖν δὲ ταῦτα μὲν ἐν τοῖς περὶ μυῶν κινήσεως ἀποδέδεικται. καὶ νῦν δ' ἂν οὐ μικρὰ παράσχοιμεν τεκμήρια, τοῦ τε τὴν προαίρεσιν ἐνεργεῖν ἐν τοῖς τρόμοις, καὶ τοῦ διὰ τὴν ἀσθένειαν ἀδυνατεῖν, ἀκλινὲς αὐτὸ φυλάττειν τὸ μόριον. ἐκεῖνον γοῦν τὸν τρομώδη τὴν κεφαλὴν, εἰ κατακλίναις ὕπτιον ἐπὶ μαλακοῦ τινὸς, οὐκέτι τρομώδης ἔσται. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδ' ὅς τις ἤτοι γράφων, ἢ τέμνων, ἢ ὁτιοῦν ἄλλο διαπραττόμενος ἐν τρόμῳ καθέστηκεν, οὐδ' οὗτος ἡσυχάσας ταῖν χεροῖν, ἔτι φανεῖται τρέμων. ὥσπερ οὐδ' ὁ τὴν σκελοῖν, ἡνίκα βαδίζῃ τρομώδης γιγνόμενος, οὐδὲ γὰρ οὐδ' ἐκεῖνος ἂν ἔτι τρέμοι παυσάμενος τῆς βαδίσεως. ἔνεστιν οὖν σοι πολλάκις θεάσασθαι εὐρωστοὺς νεανίσκους, ἀναθεμένους τι τοῖς ὤμοις μέγιστον βάρος, εἶτ' ἐν τῷ περιϊέναι τρέμοντας τοῖς κώλοις. εἰ δὲ παύσαιντο βαδίζοντες, ἢ τὸ φορτίον ἀπορρίψαντες, εὐθὺς ἀτρόμους γιγνομένους. ἐπειδὴ γὰρ ἐν τῷ πρός τι τὸ βαρὺ καὶ κοῦφον ἐστὶν, εἴη ἂν καὶ τὸ φορτίον οὕτω μέγιστον, ὡς καὶ τοῖς ἰσχυροτάτοις εἶναι βαρύ. τὴν μὲν οὖν εὔρρωστον δύναμιν, τὸ μέγιστον φορτίον νικᾷ. τὴν δὲ μὴ τοιαύτην οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ σμικρόν. εἰ δ' ἐπὶ πλέον ἀρρωστήσειεν αὐτὸ τὸ σύμφυτον αὐτῆς σῶμα βαρύνει, δίκην φορτίου, καὶ διὰ τοῦθ' οἱ γέροντες ἅπαντες ὅταν ἐπιχειρήσωσιν ἐνεργείαις σφοδροτέραις, αὐτίκα τρομώδεις γίγνονται τοῖς ἐνεργοῦσι μορίοις. οὕτω δὲ καὶ παρὰ κρημνόν τις παριὼν, τρέμει τὰ σκέλη, καταβάλλει γὰρ τὴν δύναμιν τὸ δέος. οὕτω καὶ θηρίον ὑποφαινόμενον τις ὑποφεύγων, τρομώδης καθίσταται. καὶ δὴ καὶ προσιών τις δυνάστῃ φοβερῷ, τρέμει παντὶ τῷ σώματι, καὶ εἰ φθέγξασθαι κελεύσειεν αὐτὸν, οὐδὲ τὴν φωνὴν ἀτρομός ἐστιν. ὡς οὖν τὸ ψυχικὸν πάθος ἀρρωστίαν ἐργασάμενον τῇ κινούσῃ δυνάμει, τρομώδεις ἀποτελεῖ τὰς ἐνεργείας, οὕτω καὶ τὰ τοῦ σώματος νοσήματα βλάπτοντα τὴν δύναμιν, ἐπιφέρει τὰ τρομώδη συμπτώματα. πρῶτα μὲν οὖν καὶ μάλιστα βλάπτει τὴν δύναμιν, ὅσα κατὰ δυσκρασίαν συνίστανται. καὶ γὰρ καὶ τὸ γῆρας, ὅτι δυσκρασία τίς ἐστιν ἐπὶ τὸ ψυχρότερόν τε καὶ ξηρότερον, διὰ τοῦτο ἑτοίμως ἁλίσκεται τρομώδεσι πάθεσιν. ἁλίσκονται δὲ τῶν νεωτέρων, οἵ τε ψυχθέντες ἰσχυρῶς, καὶ ὅσοι πολὺν ἐνεφόρησαν ἔτι τὸν ἄκρατον οἶνον, ἢ πολλὰς ἀπεψίας ἠπέπτησαν, ἢ χρόνῳ πολλῷ σιτίων ἐμπιπλάμενοι, διετέλεσαν ἀγύμναστοί τε καὶ ἀργοὶ παντελῶς. εἰσὶ δὲ οἱ καὶ ψυχρὸν ὕδωρ οὐκ ἐν καιρῷ προσενεγκάμενοι, τρομώδεις ἐγένοντο. τὰ γὰρ τοιαῦτα πάντα ψυχρὰν δυσκρασίαν ἐργάζεται, πολλάκις μὲν ἐν ὅλῳ τῷ σώματι, καὶ κατ' αὐτὴν τῶν νεύρων τὴν ἀρχὴν, ἐνίοτε δ' ἔν τισι μορίοις, ἅπερ ἀσθενέστερά τε τῇ φύσει καὶ βλαβῆναι τῶν ἄλλων ἐπιτηδειότερα τύχῃ. καὶ μὲν δὴ καὶ οἱ παχεῖς καὶ γλίσχροι χυμοὶ, τὰς ὁδοὺς τῆς δυνάμεως ἐμφράττοντες, ὡς ἐπιρρεῖν ἐλάττονα, τρόμου αἴτια καθίστανται, καὶ μάλιστα ὅταν ἀκριβῶς ἐμφράξωσι καὶ παραλύσωσι μόρια ἄττα νεύρων τινῶν. αἱ γὰρ ὑπόλοιποι τῶν ἰνῶν, ἀδυνατοῦσιν ἰσχυρῶς ἐντείνειν τὸν μῦν. ἐπειδὰν μέντοι τὰ φράττοντα τὰς διὰ τῶν νεύρων ὁδοὺς τῆς δυνάμεως ὑγρὰ μηδέπω τελέως ἐμπεπλασμένα τύχῃ, διασείεσθαί τ' ἔτι καὶ διακινεῖσθαι δύνηται κατὰ τὰς βιαιοτέρας ἐμπτώσεις τῆς δυνάμεως, αἱ τοιαῦται γίγνονται κινήσεις, οἵας ἔμπροσθεν ἔφαμεν ἐν παραλύσεσιν ἀρχομέναις ἐνίοτε συμβαίνειν, ἐπαιρομένου μὲν ἐνίοτε τοῦ κώλου, καταπίπτοντος δ' αὐτίκα. κατὰ μὲν γὰρ τὴν ἔμπτωσιν τῆς δυνάμεως, ὅταν ἐπεγείρασά τε καὶ συναθροίσασα σφοδρότερον ἑαυτὴν, ἀπώσηται τὰ τῶν νεύρων ἐμφράγματα, κινεῖται τὸ κῶλον. αὖθις δὲ τῶν διωσθέντων εἰς τὸν ἐξ ἀρχῆς τόπον συρρεόντων, καταπίπτει τε καὶ ἀκίνητον κεῖται, μέχρι περ ἂν πάλιν ἐκ δευτέρου ἡ δύναμις ἀθροωτέρα ἐμπεσοῦσα, διασκεδάσῃ τοὺς χυμοὺς, οἳ κατειλήφεισαν αὐτῆς τὰς ὁδούς. ἀλλὰ περὶ μὲν τούτων, ἱκανὰ καὶ ταῦτα. ὁ δὲ παλμὸς, ἔστι μὲν διαστολὴ παρὰ φύσιν, ἐν ἅπασι δὲ γίγνεται τοῖς μορίοις ὅσα γε διαστέλλεσθαι πέφυκεν, οὐ γὰρ δὴ τά γε ὀστᾶ, καὶ οἱ χόνδροι πάλλονταί ποτε, διότι μὴ διαστέλλεσθαι δύνανται. ταῦτ' ἄρα καὶ κατὰ τὸ δέρμα συμπίπτει πολλάκις. ἔστι δ' ὅτε καὶ κατὰ τοὺς ὑποκειμένους αὐτῷ μύας, ἀτὰρ οὐχ ἥκιστα καὶ κατὰ γαστέρα καὶ κύστιν, καὶ τὴν μήτραν, ἔντερά τε καὶ ἧπαρ καὶ σπλῆνα, καὶ διάφραγμα, καὶ συλλήβδην εἰπεῖν, ἅπανθ' ὅσα διαστέλλεσθαι πέφυκεν. ὥς τε καὶ ταῖς ἀρτηρίαις, καὶ αὐτῇ τῇ καρδίᾳ φαίνεται συμπίπτων, ἑτέρας ταύτης κινήσεως ἐν ταύταις γιγνομένης παρὰ τὸν σφυγμόν. οὔτ' οὖν τῆς προαιρετικῆς δυνάμεως, οὔτε τῶν προαιρετικῶν ὀργάνων ἴδιον ἐστὶ τὸ πάθος, ὥσπερ ὁ τρόμος τε καὶ ὁ σπασμός. ἀλλ' ὡς ἀρτίως εἴρηται, πᾶσι τοῖς διαστέλλεσθαι δυναμένοις, ἐγγίγνεται σώμασιν. ἔστι δὲ δή που ταῦτα πάντα μαλακὰ τὴν φύσιν, ὡς διάστασίν τε καὶ σύνιζησιν ὑπομένειν δύνασθαι. τὴν δ' αἰτίαν τοῦ συμπτώματος, ἀπὸ τῶν ἐναργέστατα φαινομένων θηρεύειν προσήκει, τούτων δὴ τῶν κατὰ τὰ βλέφαρά τε καὶ ὀφρῦς καὶ μέτωπον, καὶ μῆλα συμπιπτόντων παλμῶν. ὁρᾶται γὰρ ἐν αὐτοῖς ἐξαιρόμενόν τε καὶ διαφυσώμενον τὸ δέρμα, καθ' ὃν αἱ ἀρτηρίαι διαστέλλονται τρόπον. ὅπερ οὖν ἐπ' ἐκείνων ἐζήτηται, πότερον ἐξ αὑτῶν διαστελλόμεναι συνεπισπῶνται τῇ διαστολῇ τὸ πληρῶσον, ὥσπερ αἱ φῦσαι τῶν χαλκέων, ἢ πληρούμεναι δίκην ἀσκῶν διαστέλλονται. τοῦτο χρὴ κἀπὶ τῶν παλλομένων μορίων διορίσασθαι πρῶτον. ἔοικε δὲ τῷ μὲν γένει τῆς ζητήσεως, ὁμοιοῦσθαι τῷ κατὰ τὰς ἀρτηρίας, τῷ δ' ἑτοίμῳ τῆς εὑρέσεως ἀποκεχωρίσθαι. οὐ γὰρ δὴ ὥσπερ ταῖς ἀρτηρίαις ἀεί τε καὶ κατὰ φύσιν σφυζούσαις, εἰκὸς εἶναί τινα δύναμιν ἔμφυτον, οὕτω καὶ τοῖς παλλομένοις μέρεσι. διὰ παντὸς γὰρ ἂν ὑπῆρχεν αὐτοῖς καὶ ὑγιαίνουσι μᾶλλον. ὁπότε οὖν οὔτε διὰ παντὸς, οὔτε ὑγιαίνουσι, δῆλον, ὡς οὐδ' ἐξ ἑαυτῶν διαστέλλονται. καὶ μὴν εἴπερ οὐκ ἐξ ἑαυτῶν, πάντως δή που πρός τινος οὐσίας ἔνδοθεν ἐπιρρεούσης αὐτοῖς. διττὴν δ' εἶναι ταύτην εἰκὸς ἤτοι χυμὸν ἢ ἀερώδη τινὰ φύσιν. χυμὸν μὲν ἓν, οὐχ ὁμολογεῖ τὸ τάχος,

οὔτε τῆς γενέσεως, οὔτε τῆς λύσεως τοῦ παλμοῦ. καὶ γὰρ ἐξαίφνης γίγνεται καὶ παύεται παραχρῆμα. χυμὸς δ' οὐδεὶς οὕτως, οὔτε ἐπιῤῥεῖ ταχέως, οὔτ' ἀποῤῥεῖ, καὶ μάλισθ' ἐν οἷς ἄρτι λέλεκται μορίοις τοῖς κατὰ τὸ πρόσωπον, ἐπὶ ψιλοῖς σχεδόν τι τοῖς ὀστοῖς ἐπιτεταμένου τοῦ δέρματος. ὥστε ἀνάγκη τὴν ἐργαζομένην τοὺς παλμοὺς αἰτίαν, ἀερώδη τινὰ οὐσίαν ὑπάρχειν. ἀλλ' εἴπερ ὀλίγη τε εἴη αὕτη, καὶ λεπτομερὴς, ἑτοίμως ἂν διεξέρχοιτο τοῦ σώματος. ἔοικε δ' ἄρα παχυμερής τις εἶναι καὶ ἀτμώδης. καὶ τὸ πλῆθος ἀξιόλογον, ὡς πρὸς τὸ χωρίον ἐν ᾧπερ ἂν ἑκάστοτε συνίσταται. διαστέλλεται οὖν ὡς εἰκὸς, καὶ ἐξαίρει καὶ διαφυσᾷ τὸ μόριον, ἄχρι περ ἂν ὠθουμένη τε καὶ βιαζομένη, πρὸς τὰ συγγενῆ ἀναπνεύσῃ, ὁμοίου συμβαίνοντος τοῦ κατὰ τὰς ἐν τοῖς ἑψομένοις χυλοῖς πομφόλυγας, πλήν γε ὅτι ῥήγνυνται μὲν αἱ πομφόλυγες, τὸ παλλόμενον δ' οὐ ῥήγνυται σῶμα διὰ τὴν ἰσχὺν, ἀλλ' ἐξαίρεται μὲν, ἄχρι περ ἂν ὠθῆταί τε καὶ διεξέρχηται δι' αὐτοῦ τὸ πνεῦμα. καταπίπτει δ' αὖθις εἰς τὴν ἐξ ἀρχῆς ἕδραν, ἐπειδὰν ἐκκενωθῆται, καὶ διεξέλθῃ τὸ πᾶν. εὐλόγως δὲ καὶ τοῖς ψυχθεῖσιν ὁπωσοῦν μάλιστα οἱ παλμοὶ συμβαίνουσιν. ὃ γὰρ ἐν τῷ κατὰ φύσιν ἔχειν ἀπέῤῥει, λεπτυνόμενόν τε καὶ κατεργαζόμενον ἀκριβῶς ὑπὸ τοῦ συμφύτου τοῖς ζώοις θερμοῦ, τοῦτο νῦν ἀῤῥωστήσαντος αὐτοῦ διὰ τὴν ψύξιν, ἀτμωδέστερον καὶ παχυμερέστερον γίγνεται. ὥστ' οὐχ ἑτοίμως διαπνεῖται, καθάπερ ἔμπροσθεν, ἀλλ' ἴσχεταί τε κατὰ τὸ δέρμα, καὶ στενοχωρούμενον ἐν τῇ διεξόδῳ βραδύνει κατὰ τὴν ὁδόν. εἰ δὲ καὶ αὐτὸ τὸ δέρμα πυκνωθείη, διπλασιασθήσεται τὸ σύμπτωμα, τοῦ πάχους τῆς διαῤῥεούσης οὐσίας προσλαβόντος τὴν στενότητα τῶν ὁδῶν. οὕτω μὲν οὖν ἐν τοῖς παλμοῖς, ἐξαίρεταί τε καὶ διαστέλλεται τὸ δέρμα. οὕτω δὲ καὶ οἱ μύες, ὅταν ἐν αὐτοῖς ἀθροίζηται τὸ τοιοῦτον περίττωμα, συνεξαίρουσιν ἐνίοτε διαστελλόμενοι τὸ κῶλον ἅπαν. ἀλλ' ἡ τοιαύτη κίνησις, ἐναργέστατα διαφέρει τῶν σπασμωδῶν, τῷ μήτ' ἐκτείνειν ἀκριβῶς, μήτε κάμπτειν τὸ κῶλον. ἐπὶ γάρ τοι τῶν παλμῶν, ἐκτείνεται μὲν, ἢ κάμπτεται τὸ κῶλον οὐδὲν ὅτι καὶ ἄξιον λόγου, διασείεται δὲ πως ἐφ' ἑκάτερα, μέχρις ἂν ὁ μῦς παύσηται παλλόμενος, ἐν μὲν ταυτῷ τρόπῳ τῆς κινήσεως ἐπιτελουμένης, ἐν ᾧπερ καὶ ὁ τρόμος, διαλλαττούσης δ' ἐν τῷ κατὰ μεγάλα γίγνεσθαι διαστήματα, κατὰ σμικρὰ τοῦ τρόμου συμπίπτοντος. ὁ γάρ τοι παλλόμενος μῦς ὅταν ἀξιόλογος ᾖ τὸ μέγεθος, ἐν μὲν τῷ διαστέλλεσθαι, συνεξαίρει τὸ κῶλον ὅλον ἑαυτῷ πολλάκις, ἐν δὲ τῷ συστέλλεσθαι, συγχωρεῖ φέρεσθαι κάτω, καθάπερ ἄψυχον. ὥστ' εἶναι τὴν κίνησιν ἅπασαν παρὰ φύσιν οὐχ ὥσπερ ἐπὶ τοῦ τρόμου, μικτήν πως καὶ σύνθετον. ὁποία δὲ ἡ τῶν παλλομένων κώλων γίγνεται κίνησις ὀλίγη τε ἅμα καὶ βραδεῖα καὶ ἀραιὰ, τοιαύτη τοῖς ῥιγοῦσι συμπίπτειν, πολλή τε ἅμα καὶ πυκνὴ καὶ ταχεῖα. λέγω δὴ πολλὴν μὲν αὐτὴν τῷ τῶν κινήσεων ἀριθμῷ. ταχεῖαν δὲ τῷ ῥοίζῳ τῆς φορᾶς. πυκνὴν δὲ, τῷ βραχυχρονίῳ τῶν ἡσυχιῶν. ἔστι δ' οὐχ ὡσαύτως ἡ κίνησις ἥδε παλμῷ καὶ σπασμῷ ὅλη παρὰ φύσιν, ἀλλ' ἕτερον τινὰ τρόπον, ἤπερ ὁ τρόμος. ἐπίμικτος δ' οὖν καὶ αὕτη πώς ἐστιν, ἔκ τε τῆς παρὰ φύσιν αἰτίας, καὶ τῆς τοῦ ζώου δυνάμεως, καὶ πλέον γ' ἐπὶ ταύτης ἐστὶν, ἤπερ ἐν τοῖς τρόμοις τὸ τῆς δυνάμεως. μᾶλλον τ' εἰ χρὴ τ' ἀληθὲς εἰπεῖν, ἡ μὲν κίνησις ἅπασα συμφύτου δυνάμεώς ἐστιν, ἣν ὀνομάζειν ἔθος ἡμῖν, ἐκκριτικήν τε καὶ ἀποκριτικήν. ἡ δὲ τὴν δύναμιν ἀναγκάζουσά τε καὶ βιαζομένη κινεῖσθαι βιαίως αἰτία παρὰ φύσιν ἐστίν. ὅστις μὲν οὖν ἱκανῶς κατενόησε τὰς ἐνεργείας τῆς δυνάμεως ταύτης, ὑγιαίνοντος ἀμέμπτως τοῦ ζώου, καὶ ἄλλως ἐστὶ συνετὸς, οὐδὲν δεῖ τούτῳ μακροτέρου λόγου. ὅστις δ' οὔτ' ἐκείνας ἔγνω, καὶ τὴν διάνοιαν ἀμβλύτερος ἔφυ, τούτῳ συμβουλεύσαιμ' ἂν, εἰ μὲν μηδ' ὅλως ἀληθείας ὀρέγοιτο, χωρίζεσθαι τοῦ δὲ τοῦ γράμματος, εἰ δ' ἐσπούδακέ τε καὶ τιμᾷ τὸ ἀληθὲς, ἐπὶ τὰ τῶν φυσικῶν δυνάμεων ὑπομνήματα πρότερον ἀπελθόντι, καὶ γυμνασαμένῳ ἱκανῶς ἐν αὐτοῖς, οὕτως ἐπὶ τόνδε τὸν λόγον ἐπανελθεῖν. εἰ μὴ γὰρ οὕτω ποιήσειεν, οὔτε τῶν ὑφ' ἡμῶν λεχθησομένων παρακολουθήσει ταῖς ἀποδείξεσιν, οὔτε τῶν ἔμπροσθεν εἰρημένων κατανοήσει τὸ ἀναπόδεικτον. ἐγὼ γὰρ οὖν προὔθέμην ἐν τῇδε τῇ πραγματείᾳ, μηδεμίαν ἐξελέγξαι δόξαν. ἔνεστι δὲ τῷ βουλομένῳ τὴν εἰκοστὴν καὶ τετάρτην Ἀθηναίου βίβλον, ἀναγνόντι, τὰς ὑπὸ τῶν ἐκείνου πρεσβυτέρων ἰατρῶν τε καὶ φιλοσόφων εἰρημένας αἰτίας περὶ ῥίγους, εἰς ὅσον ἥκουσιν ἀτοπίας καταμαθεῖν, ἐξελέγχει γὰρ ἁπάσας αὐτὰς ὁ Ἀθηναῖος. ἔνεστι δὲ καὶ αὐτὴν τὴν Ἀθηναίου δόξαν βασανίσαι, πιθανωτέραν μὲν τι τῶν ἔμπροσθεν ἔχουσαν, οὐ μὴν οὐδ' αὐτὴν ἀληθεύουσαν. ἀλλὰ ταῦτα μὲν ὅτῳ φροντὶς ἀληθείας, οἱ δ' ὅτι καθ' ὃν ὑφήγημαι τρόπον, οὕτως πειράσεται ποιεῖν. ἐγὼ δ' ὡς ἀνεγνωκόσι τὰ περὶ φυσικῶν δυνάμεων ὑφ' ἡμῶν γεγραμμένα διαλέξομαι, βραχέα πρότερον ἀναμνήσας, ὧν ἐν αὐτοῖς ἀπέδειξα περί τε μήτρας, καὶ γαστρὸς, ἐντέρων τε καὶ κύστεως. αἵ τε γὰρ μῆτραι κατ' οὐδένα τρόπον ἕτερον ἐδείχθησαν εἰς ἀποκύησιν ὁρμῶσαι τῶν ἐμβρύων ἢ διὰ τῆς τῆς ἀποκριτικῆς δυνάμεως ἐνέργειαν. αἱ γοῦν ἐννέα μησὶν ἀνεχόμεναι τοῦ τε βάρους τοῦ κατὰ τὸ ἔμβρυον, καὶ τῆς σφῶν αὐτῶν διατάσεως, καὶ οὕτως ἀκριβῶς ἐν ἅπαντι τούτῳ χρόνῳ μεμυκυῖαι τὸ στόμιον, ὡς μηδὲ πυρῆνα μήλης παραδέχεσθαι, τελειωμένων ἐν αὐταῖς τῶν κυουμένων, ἐπὶ τὴν ἀπόκρισιν αὐτῶν παραγίνονται τὴν ἐναντίαν ἑαυταῖς περιτιθεῖσαι κατάστασιν. ὁ μὲν γὰρ στόμαχος αὐτῶν ὁ πρότερον μεμυκὼς, ἀνοίγνυται τηλικοῦτον, ὡς γίγνεσθαι δίοδον εὐπετῆ τοῖς τικτομένοις. οἱ δὲ χιτῶνες οἱ πρότερον ἐπὶ πλεῖστον ἐκτεταμένοι, συστέλλονται πανταχόθεν ἀπωθοῦσί τε γε τὸ ἔμβρυον, ὡς διεκπεσεῖν ὅτι τάχιστα τοῦ τῶν ὑστερῶν αὐχένος. ἡ δ' οὕτω κηδεμονικὴ τῶν ἐμβρύων δύναμις, ὡς ἀνέχεσθαι μὲν ἐννέα μηνῶν χρόνῳ βαρυνομένη, τελειωθέντων δ' ὅπως ἀσφαλῶς ἐκκριθῇ προνοουμένη, περὶ τὸν τρίτον, ἢ τέταρτον ἢ ὁντιναοῦν ἄλλον μῆνα διαφθαρέν, εὐθέως ἐκβάλλει τὸ ἔμβρυον, ἀνοιγοῦσα καὶ νῦν ὁμοίως τὸ στόμαχον, ὡς ὁπότ' ἤνοιγεν, ἐπὶ στάντος τοῦ τόκου. προθεσμία γὰρ αὐτῇ τοῦ κλείειν τε καὶ ἀνοίγειν, οὐχ ὡρισμένη χρόνου περίοδός ἐστιν, ἀλλ' ὁ τῆς χρείας καιρός. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐδείκνυτο καὶ ἡ κοιλία, κλείουσα τὸ κάτω στόμιον ἑαυτῆς ἐπὶ ταῖς ἐδωδαῖς, καὶ μηδ' ἐν μεθιεῖσα διεξέρχεσθαι, πρὶν πεφθῆναι τελέως. ὅταν γε μηδ' ἐν ἕτερόν τι αὐτὴν ἀναγκάζῃ διακόψαι τὴν ἐνέργειαν, ὥσπερ τὰς μήτρας, ἡ τῶν ἐμβρύων διαφθορά. ἀνάλογον γὰρ δή τι καὶ τῇ γαστρὶ πάθος ἐγγίγνεται διαφθαρέντων ἐν αὐτῇ τῶν σιτίων, ἢ καὶ νὴ Δία πολλάκις ἅμα τὸ διαφθαρῆναι, μοχθηρῶν ὄντων ὑπαρχόντων, ἢ καὶ πολλῶν, ὡς μὴ δύνασθαι φέρειν αὐτά. καὶ διὰ τοῦτο τὰ

μὲν ἐπιπολάζοντα διὰ ἐμέτων ἐκβάλλει, τὰ δ' ἤδη ῥέποντα κάτω, πρὸς ἐκείνην ἀπωθεῖται τὴν διέξοδον. ἀλλὰ μὴν καὶ χωρὶς σιτίων εἰς ἔμετον πολλάκις ἡ τῆς γαστρὸς δύναμις ἐξορμᾷ, ἤτοι διὰ χολήν, ἢ φλέγμα μοχθηρόν, ἤ τινα τοιοῦτον ἕτερον χυμὸν ἢ ἰχῶρα. σύμφυτος γὰρ ἑκάστῳ τῶν τοῦ ζώου μορίων δύναμίς ἐστιν ἐκκρίνουσα τὸ παρὰ φύσιν ἐν αὐτῷ συνιστάμενον, ὡς ἐν τοῖς ἰδίοις ὑπὲρ αὐτῶν ἀποδέδεικται λόγοις. ἀρκεῖ γὰρ εἴς τε τὰ παρόντα σαφηνείας ἕνεκα τῶν ἔργων ἐπιμνησθῆναι τῆς τοιαύτης δυνάμεως, ὅσα τ' ἄλλα λέλεκται, περί τε μητρῶν καὶ γαστρός. οἵα γάρ τίς ἐστι περὶ τοὺς ἐμέτους ἐνέργεια τῆς ἐκκριτικῆς ἐν τῇ γαστρὶ δυνάμεως, τοιαύτη περὶ τὰς βῆχας ἐν θώρακι καὶ πνεύμονι. διδάσκεται δ' οὐδὲν ζῷον οὔτε ναυτιᾶν, οὔτ' ἐμεῖν, οὔτε βήττειν. ἀλλὰ καὶ παμπόλλῳ χρόνῳ πολλάκις ἀπὸ γενετῆς ἀμέμπτως ὑγιαίνοντα, καὶ ἄλλα πολλὰ ζῷα καὶ ἄνθρωποι, οὔτ' ἐμέτων ἐπειράθησαν, οὔτε βηχός. ἀλλ' ἐὰν καταλάβῃ τὸ λυποῦν αἴτιον, ἤτοι τὸ στόμα τῆς κοιλίας, ἢ τὰς ὁδοὺς τῆς ἀναπνοῆς, εὐθὺς ἐμεῖ τε καὶ βήττει τὸ ζῷον, ἐν μὲν τοῖς ἐμέτοις ὁμοίως κινουμένης τῆς γαστρός, ὡς ἐν τοῖς τόκοις αἱ μῆτραι. περὶ δὲ τὰς βῆχας ἑτέρως. οὐ γὰρ ἐγχωρεῖ τῷ πνεύμονι τοιαύτην κινηθέντι κίνησιν, ἀπώσασθαι τὸ λυποῦν, ἐξευρούσης τῆς φύσεως ἰθυκρείαν τινὰ περιττῶς σοφήν. ἅτε γὰρ εἰς τὰς τραχείας ἀρτηρίας εἰσπνεομένου τοῦ ἔξωθεν ἀέρος, αἳ δὴ χονδρώδεις τέ εἰσι καὶ σκληραί, καὶ συστέλλεσθαι περὶ τὸ ἐνυπάρχον αὐταῖς ἀδυνατοῦσι, σφοδρὰν ἵνα τοιαύτην ἐπετεχνήσατο τοῦ πνεύματος ἔξω φοράν, ἣν ὀνομάζουσι βῆχα. τούτου τοῦ γένους ἐστὶ καὶ ὁ πταρμός, ὑπὲρ τοῦ διώσασθαί τι περὶ τὰς ῥῖνας, αἳ δὴ καὶ αὐταὶ τῆς ἀναπνοῆς εἰσιν ὁδοὶ ὑπὸ τῆς φύσεως εὑρημέναι. ἐκκαθαίρει γὰρ αὐτὸ τὸ πνεῦμα τὰς ὁδοὺς ἑαυτοῦ, βιαίως τε καὶ σφοδρῶς φερόμενον, ὥσπερ τοὺς αὐλούς τε καὶ τὰς σύριγγας, οἱ δημιουργοί. ὅστις μὲν οὖν ἐστιν ὁ τρόπος τῆς κινήσεως ἵνα γένηται τούτων περὶ ὧν ὁ λόγος ἐπιδείξει, τὸ δ' εἰς τὰ προκείμενα χρήσιμον ἤδη λαμβάνωμεν. ὡς αἱ τοιαῦται κινήσεις, ἔργα μὲν φύσεως ὑπάρχουσιν. ἐν δὲ τοῖς παρὰ φύσιν ἀριθμοῦνται συμπτώμασι, διὰ τὰς ἀναγκαζούσας οὕτω κινεῖσθαι τὴν φύσιν αἰτίας. ἐπεὶ μὲν οὖν ἐντέρων τε καὶ μητρῶν, καὶ κύστεων αἱ κινήσεις, ὅμοιαι τῆς ἐκκριτικῆς δυνάμεώς εἰσιν, ἄν τε τῶν κατὰ φύσιν, ἄν τε τῶν παρὰ φύσιν ἐκκρίνεταί τι. καὶ διὰ τοῦτο σαφῶς οὐκ ἀφώρισται τὰ συμπτώματα. καίτοι τά γε περὶ τοὺς τεινεσμούς τε καὶ δυσεντερίας, καὶ λειεντερίας ἐκκρινόμενα, συμπτώματά ἐστιν. ὥσπερ οἶμαι, καὶ τὰ περὶ τὰς στραγγουρίας τε καὶ τὴν εἰς οὖρα διάρροιαν. ἂν δ' ἀκριβολογῆταί τις καὶ ἡ ψοφώδης φῦσα καθάπερ γε καὶ ὁ λυγμός, καὶ ἡ ἐρυγή, καὶ ὁ βορβορυγμὸς ὅσα τε ἄλλα τοιαῦτα. καὶ λεχθήσεταί γε καὶ περὶ τούτων ἐν τοῖς ἐφεξῆς. ἐπεὶ δέ γε τῆς γαστρὸς ἐναργέστερον ἤδη τὸ περὶ τοὺς ἐμέτους ἐστί. καὶ πολλοὶ καὶ τούτους οὐκ ἔργον φύσεως, ἀλλὰ συμπτώματα εἶναι φασίν. ἐν δὲ ταῖς βηξί, καὶ τοῖς πταρμοῖς, ἐναργέστερον μὲν κἀνταῦθα τὸ κατὰ τὰς βῆχας, οὐχ ὁμοίως δ' οἱ πταρμοὶ δοκοῦσιν εἶναι παρὰ φύσιν. ἀλλ' εἰσί γε καὶ οὗτοι, καὶ αἱ βῆχες, καὶ οἱ ἔμετοι, καὶ διάρροιαι, καὶ πάνθ' ὅσα τοιαῦτα τοῦ γένους ἐκείνου τῶν συμπτωμάτων, ἐν οἷς αἴτιόν τι παρὰ φύσιν ἐπὶ τὰς τοιαύτας ἐνεργείας ἐξορμᾷ τὴν φύσιν. ὁ δὲ τρόπος τῆς κινήσεως, οὔτ' ἐν ἅπασιν ὁ αὐτός, οὔθ' ὑπὸ τῆς αὐτῆς γίγνεται δυνάμεως, ἀλλ' ὅσα μὲν ὑπὸ τῶν μητρῶν, ἢ τῶν ἐντέρων, ἢ τῆς γαστρός, ἢ τῆς κύστεως ἐκκρίνεται. τούτοις μὲν αὐτὰ περιστέλλεται τὰ μόρια κατὰ τὸν αὐτὸν τρόπον ὠθοῦντα τὸ περιεχόμενον ἐν αὑτοῖς ὃν αἱ χεῖρες ἐκθλίβουσιν. ἡ δ' ἐργαζομένη τὴν κίνησιν αὐτῶν δύναμις ἐκ τῶν τεττάρων ἐστὶ μία τῶν φυσικῶν. ἐπειδὰν τι περὶ τὰς τραχείας ἀρτηρίας περιέχηται σῶμα, χονδρώδεις καὶ σκληρὰς οὔσας, καὶ διὰ τοῦτ' ἀδυνατούσας περιστέλλεσθαι τοῖς περιεχομένοις, σφοδρὰν τὴν τοῦ πνεύματος ἔξω φορὰν ἡ φύσις ἐργάζεται, βῆχα κινοῦσα. γίγνεται δ' αὕτη διὰ τῶν αὐτῶν ὀργάνων, δι' ὧν ἐπιτελεῖ τὰς μεγάλας τε ἅμα καὶ σφοδρὰς ἐκπνοάς, ἃς ἐκφυσήσεις ὀνομάζομεν, ὡς εἶναι τὴν βῆχα μηδὲν ἄλλο ἢ σφοδροτάτην τινὰ ἐκφύσησιν, ἵνα πλεῖστόν τε ἅμα καὶ τάχιστα φερόμενον ἔξω τὸ πνεῦμα, παρασύρῃ τε καὶ προωθῇ τῇ ῥύμῃ, τὰ ἐμφράττοντα τὰς ὁδοὺς αὐτοῦ. καὶ ὅταν γε περὶ τὴν ἐκβολὴν τὴν πρώτην, ἀδυνατήσῃ διώσασθαι τὰ λυποῦντα, καὶ δὶς καὶ τρὶς ἐμπίπτειν αὐτοῖς οὐκ ὀκνεῖ, καὶ τυγχάνει γε τοῦ τέλους ὡς τὰ πολλά, ὅταν αὐτό τε τὸ πνεῦμα φέρηται σφοδρῶς, ἐπιτήδειά τε εὑρίσκῃ προωθεῖσθαι τὰ ἐμφράττοντα, τοιαῦτα δ' ἐστίν, ὅσα μήθ' ὑδατώδη μήτε γλίσχρα τὴν οὐσίαν ἐστί. τὰ μὲν γὰρ ὑδατώδη διὰ τὴν λεπτότητα, περισχίζεται τῷ πνεύματι μᾶλλον, ἢ πρόσω φέρεται, τὰ δὲ γλίσχρα τῆς ἀρτηρίας ἀντέχεται δυσαπολύτως. ὅταν οὖν ποτε τοιούτοις ὑγροῖς τὸ πνεῦμα διαγωνίζηται, πάνυ πολλάκις ἐμπίπτει βιαίως, καὶ αἱ σφοδρόταταί τε καὶ μετὰ συντονίας πλείστης γιγνόμεναι βῆχες ἐπὶ τοιούτοις αἰτίοις συνίστανται. μᾶλλον δ' ἐκφράττουσι τὰ δυσαπόλυτά τε καὶ δυσανάγωγα τῶν περὶ τὰς ἀρτηρίας ὑγρῶν, οἱ πταρμοί, σφοδροτέραν μὲν ἔτι καὶ τῶν βηχῶν ἔχοντες τὴν ὁρμὴν τοῦ πνεύματος, αἰτίαν δὲ τῆς γενέσεως ἑτέραν. τῶν γὰρ ἐν τῇ ῥινὶ λυπηρῶν ἕνεκεν, οὐ τῶν περὶ τὴν τραχεῖαν ἀρτηρίαν ἐκπέμπεται βιαίως τὸ πνεῦμα. συνεκπέμπεται δ' αὐτῷ τι κἀκ τῶν ἐμπροσθίων κοιλιῶν τοῦ ἐγκεφάλου, καὶ διὰ τοῦτο βῆχες μέν, οὐδὲν ὀνίνησι τὴν κεφαλήν, οἱ πταρμοὶ δὲ ὅταν μὴ διὰ κατάρρουν τινὰ γίγνωνται μέγιστον ἴαμα κεφαλῆς, ἀτμῶν πεπληρωμένης εἰσίν. οὐδὲν δὲ δήπου θαυμαστόν, τὸ ὑπὸ μιᾶς ὁρμῆς ἔκ τε τοῦ πνεύμονος ἐκπέμπεσθαι τὸ πνεῦμα, καὶ ἐκ τῆς κεφαλῆς. ἐδείχθη γὰρ ἐν τοῖς περὶ μυῶν λογισμοῖς, ὁ μὲν ἐγκέφαλος, τῷ θώρακι τὴν ἀρχὴν τῆς κινήσεως ἐνδιδούς, ὁ δὲ θώραξ τὸν πνεύμονα διαστέλλων τε καὶ συστέλλων. ὅταν οὖν ὁρμήσῃ διώσασθαι τὰ λυποῦντα περὶ τὰς ῥῖνας, ἀμφοτέραις ἅμα χρῆται ταῖς ὁδοῖς τῆς ἐκπνοῆς, τὴν μὲν ἑτέραν, αὐτὸς δι' ἑαυτοῦ ποιούμενος, τὴν δὲ ἑτέραν, οἱονεὶ διὰ χειρῶν τινῶν μακρῶν τῶν καθηκόντων εἰς τὸν θώρακα νεύρων. διὰ τούτων μὲν γάρ, ἐκεῖνον συστέλλει, διὰ δὲ τῶν ἠθμοειδῶν ὀστῶν, αὐτὸς ἐκπέμπει τὸ ἀτμῶδες πνεῦμα. ταυτὶ μὲν οὖν τὰ συμπτώματα προαιρετικῆς ἐστι δυνάμεως. ὁ δὲ ἔμετος ἀνάλογόν τι τούτοις ὑπάρχων, φυσικῆς. ὥσπερ δὲ τῶν ἐμέτων αἱ ναυτίαι προηγοῦνται, τὸν αὐτὸν τρόπον τοῦ βήττειν, τὸ κέρχνειν. καὶ μήν γε καὶ ὥσπερ ἐναυτίασαν μέν τινες, οὐκ ἤμεσαν δέ, κατὰ τὸν αὐτὸν τρόπον, ὁ μὲν κέρχνος αὐτοῖς ἐγένετο, βὴξ δὲ οὐκ ἠκολούθησε διὰ σμικρότητα τῆς αἰτίας. ἐνίοτε μὲν γὰρ ἐπὶ βραχείᾳ τραχύτητι φάρυγγος, ἐνίοτε δέ, διὰ λεπτήν τινα καὶ παντάπασιν ὀλίγην ὑγρότητα, συμβαίνει τὸ κέρχνειν. ἀεὶ γὰρ ὥσπερ ἂν προσκόπτῃ τὸ πνεῦμα, τοῦτ' ἐκβάλλειν ἐπιχειρεῖ διὰ βηχός. ἤτοι δὲ ὑγροῦ ὄντος τούτου καταφερομένου ἀπὸ τῆς κεφαλῆς, ὡς ἐν κατάρροις, ἤτοι κατὰ τὰς τραχείας ἀρτηρίας ἀθροιζομένου, ὡς ἐν περιπνευ-

ἐν περιπνευμονίαις τε καὶ πλευρίτισι καὶ ταῖς τῶν κυρτῶν τοῦ ἥπατος φλεγμοναῖς, ἢ ταῖς τῆς φάρυγγος τραχύτησιν. ἔξωθεν δὲ τούτων ἐστὶν ἀνάλογον τοῖς ἀπὸ κεφαλῆς κατάρροις, ὅσα πινόντων τε καὶ ἐσθιόντων παρεμπίπτει. γένος δὲ ἐστὶ καὶ ἄλλο τι βηχός, ἐπὶ δυσκρασίᾳ τῶν ὀργάνων τῆς ἀναπνοῆς, ὃ κατεγνώκασι μὲν οὐχ ἥκιστα, καὶ τῆς ἀπὸ τῆς πνευματικῆς αἱρέσεως ἀνδρῶν οἱ δοκιμώτατοι, ὧν ἐστι καὶ Ἀθήναιος. τὴν μέντοι ἀνάγκην δι' ἣν ἐπιγίνεται βὴξ διὰ δυσκρασίαν, τινὲς μὲν αὐτῶν οὐδ' ἐπεχείρησαν ὅλως εἰπεῖν, ἔνιοι δὲ προσπταίειν ἑαυτῷ φασὶ τὸ πνεῦμα, τινὲς δ' ἀσαφέστερον ἔτι τούτου ῥῆμα φθεγξάμενοι, νομίζουσιν εἰρηκέναι τι. χρὴ δ' οὐχ ὅτι τὴν αἰτίαν ἀγνοοῦσι μέμφεσθαι τοῖς ἀνδράσιν, ἀλλ' ὅτι καλὸν ἐξεῦρον θεώρημα, καὶ ἄξιον τῆς ἑαυτῶν φιλοπονίας ἐπαινεῖν. γίγνεται μὲν οὖν ἡ βὴξ αὕτη ψυχθέντων τῶν ἀναπνευστικῶν μορίων, καὶ οὐδὲν ἀναπτύουσι μὲν οὗτοι κατ' αὐτήν, οὐδὲ ὅλως γίγνεται βίαιος, ἀλλ' οὕτω σμικρά τε καὶ ἀβίαστος, ὥστε καὶ κατασχεῖν οἷόν τε, καὶ κωλῦσαι τὴν γένεσιν αὐτῆς ἢ ἐπιπλεῖστον ἢ παντάπασιν. αἱ δέ γε βίαιοι βῆχες, οὐ νικῶνται καταλήψει πνεύματος. ὁποῖον δέ τι πρᾶγμά ἐστιν ἡ κατάληψις τοῦ πνεύματος, ἤδη μοι πολλάκις ἐν ἄλλοις εἴρηται. καὶ οὐ μόνον γε τοῦ παραυτίκα γενέσθαι κωλύονται τῇ καταλήψει τοῦ πνεύματος, αἱ διὰ δυσκρασίαν βῆχες, ἀλλὰ καὶ θεραπεύονται πρὸς αὐτῆς, ἐὰν μὴ πάνυ μεγάλαι τινὲς ὑπάρχωσιν. αὐξάνεται γὰρ ἡ ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις θερμασία διὰ τὴν ἐπίσχεσιν τῆς ἀναπνοῆς, διεξέρχεταί τε τοὺς στενοὺς πόρους ἅπαντας, τὸ πνεῦμα θλιβόμενον ὑπὸ τοῦ θώρακος βιαίως, ἀμφοτέρων δὲ τούτων γιγνομένων, ὁμαλύνεται πάντα, καὶ εἰς ὁμοιότητα κράσεως ἀφικνεῖται. διὰ τί δ' ἐπὶ ταῖς ἀνωμάλοις δυσκρασίαις τῶν ἀναπνευστικῶν βήττουσι (τοῦτο γὰρ ἔφην μὴ πάνυ τι καλῶς ἐξεργάσασθαι τοὺς πνευματικοὺς ἰατρούς) ἐγὼ πειράσομαι διελθεῖν, ἀπὸ τῆς οὐσίας τοῦ πράγματος ἀρξάμενος, ὥσπερ καὶ προσήκει τοὺς μέλλοντάς τι μετ' ἀποδείξεως ἐρεῖν. ἡ τοίνυν δυσκρασία ποτὲ μὲν περὶ ψιλὰς γίνεται τὰς ποιότητας, ἤτοι θερμοτέρων, ἢ ψυχροτέρων, ἢ ξηροτέρων ἢ ὑγροτέρων ἀποτελουμένων αὐτῶν τῶν σωμάτων, ἢ καὶ κατά τινα συζυγίαν τοῦτο πασχόντων, ἐνίοτε δὲ μετὰ τοῦ παρεσπάρθαι δροσοειδῶς ἐν αὐτοῖς τὸ δύσκρατον. ἡ μὲν οὖν ὁμαλὴ δυσκρασία παντάπασιν ἀνώδυνος, ὡς οἵ τε πυρετοὶ δηλοῦσιν οἱ ἑκτικοί, καὶ πολλαὶ τῶν περὶ ψύξιν διαθέσεων, ὁμαλῶς καταλαβοῦσαι τὰ μόρια. γίγνεται γὰρ οἷον φύσις τις ἐπίκτητος, ἡ τοιαύτη κρᾶσις ἑκάστῳ τῶν οὕτω διατεθέντων. οὐδὲν δὲ τῶν σωμάτων ὑπὸ τῆς ἑαυτοῦ φύσεως ἀνιᾶται, ὥσπερ ἔλεγεν Ἱπποκράτης. τοῖσι τὴν φύσιν διαλλαττομένοισι, καὶ διαφθειρομένοισιν αἱ ὀδύναι γίγνονται, οὐ διεφθαρμένοις ἢ διηλλαγμένοις. ἐν γὰρ τῷ μεταβάλλειν τε καὶ τῆς ἑαυτῶν φύσεως ἐξίστασθαι, λυπεῖται τὰ σώματα καθάπερ ἐδείκνυτο καὶ κατὰ τὸν ἔμπροσθεν λόγον. ὅταν οὖν ἐγγένηταί τινι τῶν αἰσθητικῶν σωμάτων ἀνώμαλος δυσκρασία, τηλικοῦτον τῆς λύπης ἐστὶ τὸ μέγεθος, ἡλίκον καὶ τὸ τῆς δυσκρασίας. ἐν μὲν οὖν τοῖς ὀξυτάτοις τε καὶ ἰσχυροτάτοις τῶν πυρετῶν, ἀνιᾶται τὰ στερεὰ τοῦ ζώου μόρια μεταβαλλόμενά τε καὶ ἀλλοιούμενα πρὸς τῆς παρὰ φύσιν θερμότητος. ἔτι δ' ἀρχομένων τῶν νοσημάτων πρὶν πυρέττειν αἰσθάνονται μὲν ἐνίοτε καθ' ὅλον ἑαυτῶν τὸν ὄγκον ἀνωμαλίας τινὸς οἱ πολλοὶ τῶν ἀνθρώπων. ἐξειπεῖν δ' αὐτὴν ὁποία τίς ἐστιν οὐ δύνανται. ἀλλὰ θαυμάζοιμ' ἂν εἴ τις τῶν ὁμιλησάντων τοῖσδε τοῖς γράμμασιν, οὕτως εὐτυχής ἐστιν, ὡς μὴ καὶ αὐτὸς ἑαλωκέναι ποτὲ τῷ συμπτώματι. βύθιος γάρ τις αἴσθησις γίγνεται καθ' ὅλον τὸν ὄγκον, ὡς διεσπαρμένου τινὸς ἐν αὐτῷ τῆς φύσεως ἡμῶν ἀλλοτρίου καὶ τοῦτο τὸ διεσπαρμένον, ἐνίοτε μὲν οἷον ὑπόθερμόν τι δόξειεν ἄν τις ὑπάρχειν, ἐνίοτε δὲ δακνῶδες, ἄνευ τοῦ θερμαίνειν. ἔστιν δ' ὅτε ἄμφω πεπονθὸς ἢ χωρὶς τούτων ἀτρέμα διατεῖνον ἁπάσας τὰς σάρκας. ἐπὶ μὲν δὴ τοῖς τοιούτοις ἅπασι συμπτώμασιν ἀνωμαλίας τέ τινος αἰσθάνεσθαι φασί, καὶ σκορδινῶνται πάντα καὶ διατείνονται τὰ μόρια, κατά τινα φυσικὴν ὁρμήν, ὁποίαν ἐλέγομεν ἀρτίως ἅπασι δεδόσθαι τοῖς τοῦ ζώου μέρεσιν ὑπὸ τῆς φύσεως, ἐπὶ σωτηρίᾳ τε καὶ διαμονῇ. μάλιστα δὲ διατείνονται μετὰ τοὺς ὕπνους, ἀτμώδους περιττώματος ἐν ταῖς σαρξὶν αἰσθανόμενοι, διά τε τὴν κατεργασίαν τῆς τροφῆς ἠθροισμένου, καὶ διὰ τὴν ἡσυχίαν τῶν τοιούτων κινήσεων. καὶ τοῦτ' ἀδίδακτον ἔχει καὶ τὰ σμικρότατα τῶν παιδίων. ἀλλ' εἰς τὴν τοιαύτην κίνησιν ἡ φύσις ἐξορμᾷ τὰ ζῷα διαπνοὴν τοῖς ἀτμώδεσι περιττώμασι μηχανωμένη. ταύτης δ' ἕτερον εἶδος αἰσθήσεώς ἐστιν ἀνιαρᾶς, τὸ περὶ τὰς κοπώδεις διαθέσεις, εἴτ' οὖν ἐπὶ πόνοις πλείοσιν, εἴτε καὶ αὐτομάτως συνίσταιντο. τρίτη μὲν οὖν ἐστιν ἡ ἐν τοῖς κόποις αἴσθησις, ἤτοι τεθλᾶσθαί τε καὶ συγκεκόφθαι δοκούντων, ἢ τείνεσθαι πάντη τὸν ὄγκον τοῦ σώματος. ἢ οἷον ἕλκη πολλὰ διεσκεδασμένα δοκούντων ἔχειν, ἐπειδὰν κινῶνται. τὸ μὲν οὖν τείνεσθαι τὸν ὄγκον, ὅταν γε γυμνασίων χωρὶς οὕτω πάσχωσιν, ὄνομα μὲν ἔχει κόπον αὐτόματον τονώδη. γίγνεται δ' ἐπὶ πλήθει μάλιστα διατείνοντί τε τὰ περιέχοντα, καὶ μὴ στεγομένῳ πρὸς αὐτῶν. ὅταν δὲ ἑλκώδης αὐτοῖς αἴσθησις διατρέχῃ, γίνεται μὲν καὶ τοῖς κινουμένοις μᾶλλον, ἤπερ ἡσυχάζουσι, πλὴν εἰ μὴ πάνυ μέγας ὁ κόπος ὑπάρχοι. νύττεσθαι δὲ ὥσπερ ὑπὸ ἀκανθῶν πολλῶν ἐμπεπηγυιῶν αὐτοῖς δοκοῦσι, δακνώδους γὰρ ὑγρότητος ἐργαζομένης τὸ σύμπτωμα. ὁ δὲ τρίτος κόπος, ἐν ᾧ φασιν ὀστοκόπῳ συνέχεσθαι. κινήσεως μὲν οὖν οὐδὲ βραχυτάτης ἀνέχεται, θερμότητος δ' ἐπιφανοῦς ἐστιν αἴσθησις αὐτοῖς ἅμα καὶ τάσεως, καὶ δήξεως ἀναπεμπομένης εἰς ὅλον τοῦ ζώου τὸν ὄγκον κακοχυμίας δαψιλοῦς. οὐδεὶς δ' ἐπιχειρεῖ τῶν οὕτως ἐχόντων σκορδινᾶσθαι, δεδιὼς ἅπασαν κίνησιν. ἐν δὲ τοῖς ἑτέροις δυσὶ κόποις, ὧν τὸν μὲν ἑλκώδη καλεῖν εἰώθασι, τὸν δέ, τονώδη, γίνεται ποτὲ καὶ ἡ τοιαύτη κίνησις, ὅταν ἤτοι σμικροὶ παντάπασιν ὑπάρχωσιν, ἢ φυσώδεσί τε καὶ ἀτμώδεσιν ἐπιγίνονται περιττώμασιν. ὁ γοῦν ἑλκώδης κόπος ὅταν μείζων συστῇ, φέρουσι μὲν οὐδ' ἔτι κίνησιν οὐδεμίαν, ἀλλ' ὀδυνῶνται καθάπερ ἕλκος τὸ σῶμα καὶ φρίττουσιν. ἐγγὺς δ' ἥκουσιν, ἢν αὐξάνηται τὸ σύμπτωμα, τῆς φρικώδους διαθέσεως. ἐν ἐκείνῃ γὰρ φρίττουσι καὶ πρὶν κινεῖσθαι. ὥσπερ δ' ὅταν ἑλκώδης αἴσθησις γίγνηται, κινούμενοι φρίττουσι, καὶ μᾶλλον εἰ σφοδρότερον. οὕτως ἡ φρικώδης διάθεσις, ὅταν εἰς κίνησιν ἄγηται, ῥῖγος ἐργάζεται. γίνεται μὲν γὰρ ταῦτα πάντα, διὰ δακνώδη περιττώματα, διαφέρει δ' ἀλλήλων, τῷ τε πλήθει τῶν περιττωμάτων αὐτῶν, καὶ τῇ κινήσει, καὶ τῷ τὰ μέν, μᾶλλον εἶναι δακνώδη, τὰ δέ, ἧττον, καὶ τῷ τὸ σῶμα τὸ κάμνον ἢ δυσπαθές, ἢ εὐπαθές, ἢ ἀσθενές, ἢ εὐαίσθητον ἢ δυσαίσθητον εἶναι φύσει. τὸ μὲν γὰρ εὐαίσθητόν τε καὶ ἀσθενὲς ὑπάρχον ὑπὸ βραχυτάτης αἰτίας ἀνιᾶται. τὸ δ' ἰσχυρόν, καὶ δυσαίσθητον, μεγάλης δεῖται τῆς αἰτίας εἰς γένεσιν τοῦ τοιούτου συμπτώματος. ἀφ' ὧν ἐν τούτοις

μόνοις, ἢ καὶ τῷ κινεῖσθαι τὸ αἴτιον, ἢ μὴ κινεῖσθαι, καὶ κινούμενον ἤτοι θᾶττον ἢ βραδύτερον κινεῖσθαι, παμπόλλη τίς ἐστιν
ἡ ἐν τοῖς συμπτώμασι διαφορά. ἐμοὶ μὲν οὖν δοκεῖ, τόν γε τοι αὐτὸν ἄνθρωπον ἡσυχάζοντα μὲν ἀνωμαλίας ἐνίοτε
μόνης ἀντιλαμβάνεσθαι, κινηθέντα δὲ φρίττειν, γυμνασάμενον δὲ ῥιγοῦν. ταῦτά τοι καὶ συμβουλεύουσιν οἱ ἰατροὶ
τοῖς ὧδε κάμνουσιν, ὑπὸ τῆς πείρας δεδιδαγμένοι, πάσης ἀπέχεσθαι κινήσεως. ἀλλὰ καὶ τῶν ἀπεπτησάντων
ἐνίους ἴσμεν, ἂν μὲν ἡσυχάζωσι μηδὲν πάσχοντας, ἂν δ᾽ εἰς βαλανεῖον εἰσέλθωσιν, ἢ ἐν ἡλίῳ στῶσι φρίττοντας,
ἔτι δὲ δὴ μᾶλλον ἐὰν γυμνάσωνται. καὶ γὰρ ὁ ἥλιος καὶ βαλανεῖον καὶ γυμνάσιον, εἰς κίνησιν ἐξορμᾷ τὰ τέως ἡ-
συχάζοντα περιττώματα, καθάπερ γε καὶ τῶν ψυχικῶν παθῶν ὁ θυμός, ἐξ ἑαυτοῦ δὲ εἰς κίνησιν ἐξορμᾷ τὰ τέως ἡ-
συχάζοντα περιττώματα, περὶ θερμαίνεσθαι, καὶ λεπτύνεσθαι, καὶ πνευματοῦσθαι, καὶ οὐδὲν θαυμαστὸν ἡσυχαζόντων
μὲν αὐτῶν, ἥττον ἀνιᾶσθαι τὸ σῶμα, κινηθέντων δὲ λυπεῖσθαί τε μεγάλως καὶ κλονεῖσθαι, φρίττοντα καὶ ῥιγοῦντα καὶ πυ-
ρέττοντα. καὶ γὰρ ὅσα τοῖς ὀφθαλμοῖς ἔξωθεν ἐμπίπτει σκληρὰ σώματα, μυσάντων μὲν τὰ βλέφαρα, καὶ καθησυ-
χασάντων τὸ μόριον, ἢ σμικρὸν πάμπαν, ἢ οὐδὲν ἀνιᾷ. κινησάντων δέ, δυσανέκτου ἐπιφέρει τὴν ὀδύνην. ἀλλὰ
καὶ χωρὶς παραδείγματος ἐξ αὐτοῦ τοῦ πράγματος τῆς φύσεως ἔνεστιν ἐξευρεῖν, ὡς τὸ κινούμενον αἴτιον, ἀνιαρώτερον
τοῦ μένοντος, ὅταν γε διὰ τῶν αἰσθητικῶν σωμάτων ἡ φορὰ γίγνηται, καθάπερ ἐν ὀφθαλμοῖς ὑπόκειται νῦν. οὐ
γὰρ περὶ τῶν ἐν ταῖς φλεψὶ καὶ ταῖς ἀρτηρίαις διαῤῥεόντων χυμῶν ὁ λόγος ἦν, ἀλλὰ περὶ τῶν κατὰ τὰς σάρκας
τε καὶ ὅλην τοῦ ζώου τὴν ἕξιν. ὅταν οὖν διεξέρχηταί τι διὰ τούτων βιαίως ἐπὶ τὸ δέρμα φερόμενον, ἐν τῇ δι-
όδῳ τῇ διὰ τῆς σαρκός τε καὶ τοῦ δέρματος, ἀναγκαῖον αὐτὸ κεντεῖν τε καὶ νύττειν, καὶ διαιρεῖν, καὶ τιτρώσκειν,
οἷς ἂν ἐντυγχάνοι πᾶσιν. ὅτι δὲ τὸ δακνῶδες καὶ κινούμενον αἴτιον ἅπαν εἰς φρίκας τε καὶ ῥίγη ἄγει τὸ ζῶον, ἄν τε
θερμὸν, ἄν τε ψυχρὸν ᾖ, πρῶτον μὲν ἐκ τῶν τοιούτων κατανοῆσαι δυνατόν, εἰ προσραίνοις ἐξαίφνης ὑγιαίνοντι
ζέον ὕδωρ, ἢ σπινθῆρας ἐν σείσαις πυρός, εὐθέως φρικώδης γενήσεται. ἀλλὰ καὶ ἐπὶ τῶν ἡλκωμένων μορίων
ἐνίοτε φαρμάκων ἐπιτεθέντων καυστικῶν, φρίττουσι μὲν πρῶτον, ἐφεξῆς δὲ καὶ ῥιγοῦσιν, εἶτα καὶ πυρέττουσιν
ἔνιοι. ἀλλὰ καὶ οἱ τριταῖοι πυρετοί, ἁπάντων δὴ μάλιστα πυρετῶν χολώδεις ὄντες καὶ θερμοί, πάντων δὴ μά-
λιστα φρικώδεις εἰσί, καὶ ὅσῳ δ᾽ ἂν ἀκριβέστεροι τύχωσιν ὄντες τοσούτῳ καὶ τὸ ῥῖγος αὐτοῖς γίνεται σφοδρότε-
ρον. ἀλλὰ καὶ ὑπὸ καύσου ἐχομένῳ ῥίγεος ἐπιγενομένου λύσις Ἱπποκράτης φησί. περὶ τὴν τέως ἐν ταῖς φλε-
ψὶν ἀλωμένην χολήν, ὑπὸ τῆς φύσεως ἀπωθεῖσθαι κριτικῶς ἐπὶ τὸ δέρμα διὰ τῶν σαρκῶν. τῆς οὖν κινήσεως
καὶ φορᾶς αὐτῆς, ἣν διὰ τῶν αἰσθητικῶν ποιεῖται σωμάτων, ἅμα τε σύμπτωμα, καὶ σημεῖόν ἐστι τὸ ῥῖγος. καὶ
δὴ καὶ ἱδροῦσι τοὐντεῦθεν οἱ οὕτω ῥιγώσαντες, ἀπαλλάττονταί γε τοῦ πυρετοῦ κενωθείσης αὐτοῖς τῆς χολῆς.
ἐνίοτε δ᾽ οὐκ εἰς τὸ δέρμα τὴν ὁρμήν, ἀλλ᾽ εἰς τοὺς ἔσω τόπους ποιησαμένη δι᾽ ἐμέτων τε ἅμα καὶ διὰ τῆς κάτω γα-
στρὸς ἐκκρίνονται. πολλάκις δὲ ἔσω τε καὶ ἔξω κατὰ τὴν αὐτὴν ἡμέραν ἠνέχθη, ὡς ἱδρῶσαί τε ἅμα καὶ ἐμέσαι καὶ
ὑπελθεῖν κάτω τὴν χολήν. ὅσοι δ᾽ αἴτιον ὑγιεινὸν οἴονται τὸ ῥῖγος γίγνεσθαι τοῦ καύσου διὰ τὴν ψύξιν. (τὰ γὰρ
ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα) τοῦ παντὸς ἁμαρτάνουσι. πρῶτον μὲν γὰρ εἰ τοῦτ᾽ ἀληθὲς ὑπῆρχεν.
ἐχρῆν αὐτοῖς δήπου ῥῖγος ἐργάζεσθαι, τοτὲ μὲν ὕδωρ ψυχρὸν προσραίνοντας ἢ καταχέοντας, τοτὲ δ᾽ εἰς ψυχρὸν
ἀέρα τὸν κάμνοντα γυμνὸν ἀπάγοντας, ἢ εἰς ὕδατος ψυχροῦ δεξαμενὴν ἐμβάλλοντας. ἔπειτα δ᾽ εἴπερ ἄρα διὰ τὴν
πρὸς τοὐναντίον μετάπτωσιν τοῖς καυσουμένοις ἡ λύσις ἐγίγνετο ῥιγώσασιν, ἐχρῆν αὐτοὺς ἐπὶ τῷ ῥίγει πεπαῦσθαι
πυρέσσοντας. ἔχει δ᾽ οὐχ οὕτως τἀληθές, οὐ γὰρ ἅμα τῷ ῥιγῶσαι παύονται πυρέσσοντες, οἵ γε καὶ πολὺ μείζονι
πυρετῷ μετὰ τὸ ῥῖγος, ἢ πρόσθεν ἁλίσκονται, ἀλλ᾽ ἐπειδὰν ἱδρώσωσι δαψιλῶς, ἢ ἐμέσωσι τὴν ὠχρὰν χολήν, ἢ
κατ᾽ ἔντερον αὐτοῖς ὑπέλθῃ. ἐπὶ γὰρ τῇ σφοδροτέρᾳ κινήσει τῆς χολῆς, σφοδρότερον εἰκὸς ἀνάπτεσθαι τὸν πυ-
ρετόν. ὅτι μὲν οὖν οὐ μόνον ἐπὶ τοῖς ψυχροῖς αἰτίοις ῥιγῶσιν, ἀλλὰ κἀπὶ τοῖς θερμοῖς ἤδη πέφανται. διὰ τινὰ
δὲ τὴν αἰτίαν ἐναντιωτάταις προφάσεσι ταὐτὸν ἕπεται σύμπτωμα, λεκτέον ἐφεξῆς, ἀναμνησθέντας αὖθις,
ὧν ἀπεδείξαμεν ὑπὲρ τῆς ἐκκρινούσης τὰ λυποῦντα δυνάμεως. οὐ γὰρ δή που τὰ μὲν ἐν ταῖς εὐρυχωρίαις τῶν
ὀργάνων ἐκκρίνει, καθάπερ ἐδείκνυτο τὰ κατὰ γαστέρα τε καὶ μήτραν, καὶ τὰς κύστεις ἀμφοτέρας, ἔντερά τε καὶ πνεύ-
μονα, καὶ ῥῖνας, ἀμελεῖ δὲ τῶν ἐν αὐτοῖς τοῖς σώμασιν ὑποστρεφομένων περιττωμάτων, ἀλλὰ κἀκ τούτων ὁση-
μέραι πᾶν ἐκκρίνει τὸ περιττόν, ἀλύπως τε καὶ κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν, ὅταν γε νόμῳ φύσεως δι-
οικῆται τὸ ζῶον. ἐπειδὰν δέ τι δακνῶδες ἐν αὐτῷ συστῇ, καὶ μάλιστα ὅταν ἔχῃ κίνησιν ἰσχυράν, ἀνιᾶταί γε καὶ ἐκ-
κρίνειν αὐτὸ σπεύδει. καθ᾽ ὃν ἂν ἐγχωρεῖ μάλιστα τρόπον, ἐκ τοῦ σώματος αὐτοῦ τῶν μελῶν ἐκκριβουμένων, συναγο-
μένων δηλονότι, καὶ σφιγγόντων εἰς ἑαυτὰ τῶν μορίων, εἶθ᾽ ἑκάστου τὸ κατ᾽ αὐτὸ μέρος τοῦ περιττώματος ὠθοῦντος. ἀλλ᾽
εἰ πάντα νοήσαις ἅμα τὴν κίνησιν ταύτην κινούμενα, σεισμός τις ὅλον τὸ σῶμα καταλήψεται καὶ κλόνος ὁποῖος ἐν
τοῖς ῥίγεσι φαίνεται καταλαμβάνων. ἀνάγκη γὰρ οἶμαι τῶν μυῶν πάντων κλονουμένων, συγκλονεῖσθαι τὰς
διαρθρώσεις αὐτοῖς, ὧν κλονουμένων ἐκτάσεις τέ τινας καὶ κάμψεις ἀκουσίους συμπίπτειν, ἑτέρας οὔσης τῆς
τοιαύτης κινήσεως παρὰ τὴν ἐν τοῖς σπασμοῖς τε καὶ παλμοῖς. ἐν μὲν γὰρ τοῖς σπασμοῖς, ὡσαύτως μὲν οὖν μὴν
ὑπό γε τῆς αὐτῆς δυνάμεως αἱ κινήσεις ἐπιτελοῦνται. κατὰ δὲ τοὺς παλμούς, οὐχ ὡσαύτως, ἀλλ᾽ ὡς εἴρηται πρό-
σθεν, ὅτι συνεξαίρεται περὶ μυῒ τὸ κῶλον ὑπὸ τοῦ φυσώδους πνεύματος διαστελλομένῳ ῥιγνύντων δὲ ὡς ἀρτίως
εἴρηται πᾶν μόριον κινεῖται τοῦ μυὸς ἐκκαθαίροντος ἑαυτό. κατὰ δὲ τὴν ἐκείνων κίνησιν, ὅλος ὁ μῦς σειόμενός τε
καὶ κλονούμενος, ἅμα ἑαυτῷ τὴν διάρθρωσιν εἰς ἣν καταφύεται συγκλονεῖ. τοιαύτη καὶ τοῖς κατὰ θώρακα μυ-
σὶν ἡ κίνησις ἐν ταῖς ἀνωμάλοις γίνεται δυσκρασίαις. καὶ διὰ τοῦτο βραχύτερά τε καὶ πυκνότερα βὴξ αὖθις ἔ-
πεται. διασείονται γὰρ οἱ μύες ἐκκρίνειν ἐφιέμενοι τὰ λυποῦντα τῆς ἑαυτῶν σαρκὸς διὰ τῶν τοῦ πνεύμονος ἀρτηριῶν. ἐν
δὲ ταῖς ἄλλαις βηξὶν ἐδείκνυτο σφοδρῶς ἐμπίπτοντες περὶ πνεύμονι, χάριν τοῦ πολλὴν καὶ ἀθρόαν ἐκφύσησιν ἐρ-
γάζεσθαι. ἔτι τε βιαιότερον ἐμπίπτουσιν ἐν τοῖς πταρμοῖς ἐξωθοῦντες ἀθρόον, τὸ πνεῦμα τὸ κατὰ τὰς ῥῖνας ἐκκα-
θᾶραι βουλόμενοι. καὶ τοῦτο κατανοήσαντές τινες ἀσθενεῖς μὲν τὴν δύναμιν ἀναπτύειν δὲ τὰ κατὰ θώρακά τε καὶ
πνεύμονα δεόμενοι πταρμὸν ἐᾶν τοῖς κινοῦσιν, ἐρεθίζοντες τοὺς μυκτῆρας, ἵνα περὶ βιαίῳ τῆς κινήσεως ἀναπτύ-
σωσιν.

σωσιν, ὃ περὶ τὰς βῆχας ἐκβαλεῖν οὐκ ἠδυνήθησαν. ἀλλὰ περὶ μὲν τῶν τοιούτων βηχῶν, εἴρηται καὶ πρόσθεν αὐτάρκως. αἱ δὲ περὶ δυσκρασίαν τῶν ἀναπνευστικῶν, ἐκ ταὐτοῦ μέν εἰσι τοῖς ῥίγεσί τε καὶ ταῖς φρίκαις γένους, διαφέρουσι δὲ τῷ θᾶττον γίνεσθαι τὴν αἴσθησιν αὐτῶν, οὐδέποτε ἡσυχαζόντων τῶν ἀναπνευστικῶν ὀργάνων. ἐδείκνυτο γὰρ ἔμπροσθεν, ὡς καὶ τὰς καθ' ὅλον τὸ σῶμα τοιαύτας διαθέσεις ἡ κίνησις ἐξελέγχει μάλιστα. ἐπειδὰν μὲν οὖν ὑγρὰ τὰ λυποῦντα τὴν φύσιν ὑπάρχῃ, τῷ βιαίῳ τούτῳ σεισμῷ καὶ κλόνῳ τῷ περὶ τὴν βῆχα καὶ τὸ ῥῖγος, ὑπὸ τῆς ἐκκριτικῆς δυνάμεως ὠθούμενα φέρεται πάντῃ πρὸς τοὺς εἴκοντας τόπους, τὰ μὲν εἰς τὴν ἄνω, τὰ δὲ εἰς τὴν κάτω γαστέρα, τὰ δέ, ἐπὶ τὸ δέρμα πρὸς τοὐκτός, ὡς αἰσθητὴν αὐτῶν γίνεσθαι τὴν κένωσιν. ἐπειδὰν δὲ πνευματώδης τις οὐσία μόνη χωρὶς ὑγρότητος, ἤτοι θερμοτέρα τοῦ δέοντος, ἢ ψυχροτέρα διεξέρχηται τὸ σῶμα, φρίττουσι μὲν δήπου καὶ τότε, ῥιγοῦσι, ἐνίοτε δὲ διὰ τὴν αὐτὴν αἰτίαν, οὔτε δ' ἐμοῦσιν, οὔθ' ἱδροῦσιν, οὔθ' ὑποχωρεῖ τι κάτω τοῖς τοιούτοις οὐδὲν αἰσθητόν, ὡς ἂν αὐτῶν ἐρεθιζόντων τὴν ἐκκριτικὴν δύναμιν ἀτμωδῶν ὑπαρχόντων. οὕτως ἐν βαλανείοις πολλάκις, καὶ μάλιστα ἢν ἐξαίφνης τε καὶ ἀθρόως ἄνευ τοῦ προδιαθερμανθῆναι πλησιάσωμεν αὐτοῖς, αὐτίκα φρικώδεις γιγνόμεθα. οὕτως ὅταν εἰς τὸν ψυχρὸν ἀέρα μετέλθωμεν ἀθρόως, ἢ εἰ καὶ μὴ ἀθρόως, ἀλλὰ πολυχρονίως γε ὁμιλεῖν ἀναγκασθῶμεν, ὡς ἐν ὁδοιπορίαις ἐνίοτε συμπίπτειν εἴωθε. τοῦ τοιούτου ῥίγους ἴαμα, θέρμανσίς ἐστιν, οὐχ ἱδρώς, ἢ ἔμετος, ἢ διαχώρημα γαστρός. ἐπεὶ δ' ὡς εἴρηται καὶ ψυχρὸν αἴτιον καὶ θερμὸν ἐργάζεται ῥῖγος, ἐπὶ μὲν τοῦ θερμοῦ τοῦ ἀτμώδει ψύξις ἱκανὴ πρὸς τὴν ἴασιν. τοῦ δὲ ὑγροῦ, πυρετὸς μὲν ἐξ ἀνάγκης ἐπιγίνεται, κένωσις δὲ ἡ ἴασίς ἐστιν. ἐπὶ δὲ τοῦ ψυχροῦ τοῦ μὲν ἀτμώδει, θέρμανσις ἴαμα. τοῦ δὲ ὑγροῦ, ποτὲ μὲν ἡ πέψις ἀρκεῖ μόνη, ποτὲ δὲ ἡ κένωσις. ἔστι δ' ὅτ' ἄμφω συμπίπτει. παλαιὸς μὲν οὖν ὁ λόγος οὗτός ἐστιν ὡς διὰ παντὸς ἕπεται ῥίγει πυρετός, οὐ μὴν γε ἀληθὴς ὑπάρχει τὸ πάμπαν, οὐδ' ἂν δόξειεν ἔχεσθαί τις αὐτὸν προσηκόντως, ὡς πρόσω καὶ χρὴ διορίζεσθαι φιλικῶς μᾶλλον ἐξηγουμένους τὰ τῶν παλαιῶν οὐ δυσμενῶς ἐξελέγχοντας, ἀλλ' ὅμως οὐδ' οὕτως ἀληθής ἐστιν ὁ λόγος, οὐδ' ἂν διορισάμενοι φῶμεν, ὅσα χωρὶς τῆς ἔξωθεν προφάσεως ἐκ τοῦ σώματος ἡμῶν ὁρμᾶται ῥίγη, πυρετὸν ἐξ ἀνάγκης αὐτοῖς ἀκολουθήσειν. ὦπται γὰρ οὐχ ἡμῖν μόνοις, ἀλλὰ καὶ πολλοῖς τῶν πρὸ ἡμῶν ἰατροῖς ἤδη ῥίγη συστάντα χωρὶς πυρετῶν. οὐ μὴν ἰσχυρά γε οὕτως ἐστίν, ὡς τὰ τῶν ἀκριβῶν προηγούμενα τριταίων, ἢ τεταρταίων, ἢ τὰ κρίνοντα πυρετοὺς καυσώδεις τε καὶ θερμούς. εἴωθε δὲ τὰ τοιαῦτα ῥίγη, διαίταις ἕπεσθαι μοχθηραῖς, ἐμπιπλαμένων ἀργῶς ἀνθρώπων καὶ λουομένων ἐπὶ τροφαῖς πολλάκις. ὅταν δὲ καὶ αὐτῶν τῶν ἐδεσμάτων αἱ ποιότητες πολλάκις ἐκ τῆς ψυχροτέρας τε καὶ φλεγματικωτέρας ὦσι κράσεως, ἑτοιμότατον ἁλῶναι ῥίγεσιν ἀνεκθερμάντοις τοὺς οὕτω διακειμένους. οὐδὲν οὖν θαυμαστὸν οὐδὲ τὸ μηδέποτε θεάσασθαι ῥίγη τοιαῦτα τοὺς παλαιοὺς ἰατρούς, ὡς ἂν μήτε πλημμελούντων εἰς τὴν ὑγιεινὴν δίαιταν ἴσα τοῖς νῦν τῶν τότε, μήτε τῆς τῶν βαλανείων χρήσεως εἰς τοσοῦτον ἐπιπολαζούσης. ἀλλ' ὡς εἴρηται ἀρτίως τὰ τοιαῦτα ῥίγη, φρικώδη μᾶλλόν ἐστιν, ἢ κλονώδη. πρώτη μὲν γὰρ αἴσθησις ἡμῖν ἐπὶ τοῖς μοχθηροῖς περιττώμασιν, ἀνωμαλίας γίγνεται. καὶ ὅταν γε δριμέα τὰ τοιαῦτα ὑπάρχῃ, δακνώδης ἐστὶν ἡ αἴσθησις. δευτέρα δὲ φρίκης μικρᾶς, εἶτα μείζονος, εἶθ' οὕτω μεγάλης, ὡς ἤδη καὶ ῥίγους τι μετέχειν. εἶτα τοῦ ῥίγους αὐτοῦ μόνου κλονουμένου τε καὶ διασειομένου τὰ μόρια. τοῦτο τὸ ῥῖγος ἐπὶ τοῖς ψυχροῖς χυμοῖς, οὐκ ἄν ποτε γένοιτο. τὴν ἀρχὴν γὰρ οὐδὲ σφοδρῶς κινοῦνται οἱ τοιοῦτοι διὰ τὸ πάχος. εἰ δὲ λεπτυνθεῖεν ποτὲ καὶ οὗτοι, ῥῖγος μὲν οἴσουσιν οὐ μὴν ἰσχυρότερον. οὐ γὰρ ἐγχωρεῖ τὴν αὐτὴν ἐπιδέξασθαι λεπτότητα φλέγμα λεπτυνθέν, ἣν ἡ λεπτυνθεῖσα δέχεται ξανθὴ χολή. τὸ μὲν δὴ τοιοῦτον ῥῖγος, οὐ πάνυ τοι γιγνώσκουσιν οἱ παλαιοὶ ἰατροί. τὸ δ' ἐν νοσήμασι θανατώδεσι γιγνώσκουσιν. λέγει οὖν ὁ Ἱπποκράτης ἐν ἀφορισμοῖς, ἢν ῥῖγος ἐμπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον. ἐν γὰρ τοῖς τοιούτοις ῥίγεσιν, ὥρμησε μὲν ἡ φύσις, ἐπὶ τὸ διώσασθαι τὰ λυποῦντα, νικηθεῖσα δέ, καταπίπτει καὶ κατασβέννυται. καὶ διὰ τοῦτο ἐστὶν ὀλέθριον τὸ σύμπτωμα. περὶ δὲ τοὺς τεταρταίους, ἐπίμικτον τὸ ῥῖγός ἐστιν, ἐκ ψυχροῦ τε καὶ θερμοῦ. φύσει μὲν γὰρ ἐστὶ ψυχρὸς χυμός, ἡ μέλαινα χολή. σηπεδόνα δέ τινα προσλαβοῦσα, δι' ἣν καὶ πυρετοὺς ἐξάπτει, τοσοῦτον ἐπικτᾶται θερμότητος, ὅσον καὶ σηπεδόνος. ὅτι μὲν οὖν ἕπεται ῥίγη κἀν τοῖς θερμοῖς αἰτίοις ἀπεδείξαμεν. ὅτι δὲ κἀν τοῖς τοιούτοις ἅπασι καταψύχονταί τε καὶ λειποθυμοῦσι, μάλιστα μὲν ὅσα τοῦ σώματος ἄκρα μόρια, σὺν αὐτοῖς δὲ καὶ τὸ δέρμα σύμπαν, ὅσα τ' ἐπιπολῆς ἐστὶν ὑπ' αὐτῷ, καὶ διὰ τίνα τὴν αἰτίαν γίγνεται, τοῦτο σκεπτέον ἐφεξῆς. ἔστι δὴ μία ἐκ τῶν πρώτων, καὶ ὡς ἂν εἴποι τις ἡγεμονικωτάτων κινήσεων, ἡ ἔσω τε καὶ ἔξω φορὰ τῆς ἐμφύτου θερμασίας, ἐπὶ πολλοῖς πάθεσι γιγνομένη ψυχικοῖς ἅμα δ' αὐτῇ δηλονότι, καὶ τὸ πνεῦμα, καὶ τὸ αἷμα, ποτὲ μὲν ἔσω τε καὶ πρὸς τὴν ἀρχὴν φέρεται καὶ συστέλλεται, ποτὲ δ' ἐκτὸς ἀποτείνεται καὶ χεῖται. αὐτῆς μὲν γὰρ τῆς ψυχῆς τὴν οὐσίαν, ἴσως μὲν καὶ κατ' ἄλλην τινὰ πραγματείαν ἀποφήνασθαι τολμηρόν, ἐν δὲ τῇ νῦν ἐνεστώσῃ, πρὸς τῷ τολμηρῷ καὶ περιττόν. ἔοικε δ' οὖν ἥτις ποτ' ἂν ᾖ, δυοῖν θατέρου, ἤτοι πρώτοις ὀργάνοις εἰς ἁπάσας τὰς ἐνεργείας χρῆσθαι πνεύματι τε καὶ αἵματι καὶ τῇ θερμασίᾳ τῇ περὶ θάτερόν τε καὶ συναμφότερον, ἢ ἐν αὐτοῖς τούτοις ὑπάρχειν. ἔνεστι δὲ ἐναργῶς θεάσασθαι τὰς κινήσεις αὐτῆς ἐν ἄλλοις τε πολλοῖς, καὶ μάλιστα τοῖς ψυχικοῖς πάθεσιν. αὐτίκα φόβος τε καὶ θυμός, ὁ μέν, ἔσω τε καὶ πρὸς τὴν ἀρχὴν ὑπάγει καὶ συστέλλει τό, τε πνεῦμα καὶ τὸ αἷμα σὺν τῷ καταψύχειν τὰ ἐπιπολῆς. ὁ δὲ ἀποτείνει τε καὶ χεῖ καὶ θερμαίνει. τὸ δ' ἀγωνιᾶν ὀνομαζόμενον ἐξ ἀμφοῖν ὑπάρχον σύνθετον, ἀνώμαλόν ἐστι ταῖς κινήσεσι. καὶ τοίνυν καὶ οἱ σφυγμοὶ τῶν ἀρτηριῶν τε καὶ τῆς καρδίας, μικρότατοι μὲν καὶ ἀτονώτατοι τοῖς φοβηθεῖσι. μέγιστοι δὲ καὶ σφοδρότατοι τοῖς θυμωθεῖσιν, ἀνώμαλοι δ' εἰσὶ τοῖς ἀγωνιῶσιν. ἐπὶ δὲ τῆς αἰδοῦς, ἔσω μὲν πρῶτον ἡ κίνησις γίγνεται τῆς ψυχικῆς δυνάμεως, ἐπάνοδος δ' αὖθις ἀθρόα πρὸς τοὐκτὸς λαμβάνει. ὡς εἴγε μὴ ἐπανέρχοιτο, φόβος ἐστίν, οὐκ αἰδώς. ἡ μὲν γὰρ αἰδώς, ἐξαίφνης γίγνεται μηδὲν τῆς ψυχικῆς δυνάμεως προσδοκώσης κακόν, ἀλλ' ὡς ἂν εἴποι τις ὑπὸ μαλακείας τε καὶ δειλίας συμφύτου, μὴ φερούσης ἀνθρώπου πολὺ κρείττονος ὁμιλίαν, ἀλλ' ἀποδρᾶναί τε καὶ εἰ οἷόν τ' ἦν ἐκ ποδῶν γενέσθαι σπευδούσης. καὶ διὰ τοῦτο μόνον ἀποχωρεῖ πρὸς τὸ βάθος, οἷον ἀποδιδράσκουσα χωρὶς τοῦ καταψύχεσθαι. τοῦ λογισμοῦ δ' ἐπιφέροντος καὶ παρορμῶντος τὸ παθητικὸν τῆς ψυχῆς, ὅπερ ἐστὶ τὸ φο

βεβλημένον τε καὶ αἰδούμενον, ἐπανέρχεταί τε καὶ κινεῖται πρὸς τὰ ἐκτός, ἐν ὁμοίῳ μάλιστα τρόπῳ κινήσεως, ἐν οἵῳπερ ἂν ὅταν ἐπὶ ψυχρολουσίᾳ θερμασίας ἐπανάκλησις γίγνηται. ἐν δέ γε τοῖς φόβοις ἅτε μὴ δ' ὅλως ἐπεγείροντός τε καὶ παρορμῶντος τοῦ λογισμοῦ τὸ παθητικὸν τῆς ψυχῆς, ἀεὶ καὶ μᾶλλον κατασβέννυται τὸ θερμόν. ὥστε καὶ ῥιγοῦσιν ἔνιοι αὐτῶν. ὅπερ δ' ἐν φόβοις ἀθρόως, τοῦτ' ἐν λύπαις κατὰ βραχὺ πάσχουσι, μεγέθει καὶ σφοδρότητι τῶν παθῶν, οὐχ ὅλῳ τῷ γένει διαφερόντων. καὶ τοίνυν καὶ ἀπέθανον ἤδη τινὲς ἐπὶ φόβοις ἐξαιφνιδίοις, ὅταν ἀσθενὲς φύσει ψυχάριον, ἰσχυρῷ πάθει καταχυθέν, ἀθρόως κατασβεσθῇ τε καὶ καταπνιγῇ. τὸ μὲν γὰρ σβέννυσθαι δι' αὐτὴν τοῦ πάθους γίγνεται φύσιν, ἐν τῷ καταψύχεσθαι τὴν γένεσιν ἔχοντος. τὸ δὲ καταπνίγεσθαι διὰ τὸ συνδεῖν τε καὶ φέρεσθαι πᾶν ἐπὶ τὴν ἀρχὴν τὸ αἷμα. θυμωθεὶς δ' οὐδεὶς ἀπέθανεν. ὡς ἂν μήτε τῆς θερμότητος καταψυχομένης, μήτε τοῦ τόνου λυομένου. χαρέντες μέντοι μεγάλως ἔνιοι τῶν μικροψύχων ἀνθρώπων, ἀπέθανον, ὥσπερ καὶ φοβηθέντες. οὐ γὰρ ἅμα τόνῳ καὶ ζέσει, κινεῖται πρὸς τὰ ἐκτὸς ἡ ψυχικὴ δύναμις, ἀλλὰ αὐτὸ τοὐναντίον, εἴ τι καὶ πρότερον εἶχε τόνου, τοῦτον νῦν ἐκλύει τε καὶ χαλᾷ. διαφορεῖται τοιγαροῦν ὅταν ἐπὶ πλεῖστον χαλασθεῖσα, φέρηται πρὸς τὸ ἐκτός. ὁ δὲ πόνος ἐναντίως κινεῖσθαι τὴν ψυχὴν ἀναγκάζων, ὅμοια τῷ μεγίστῳ φόβῳ φέρει τὰ συμπτώματα, καὶ γὰρ ὠχροῦσι καὶ καταψύχονται καὶ ῥιγοῦσι, καὶ τρέμουσι, καὶ μικροσφυκτοῦσι, καὶ ἀσφυκτοῦσι, καὶ τέλος ἀποθνήσκουσιν ὡσαύτως τοῖς ἐκπλαγεῖσιν. ὑποφεύγει γὰρ κἀν τούτοις ἐπὶ τὴν ἀρχὴν ἡ ἔμφυτος θερμασία λυομένη θ' ἅμα καὶ κατασβεννυμένη. ὅπου δὲ θάνατον ἐπιφέρει τὰ βίαια τῶν παθῶν, οὐδὲν δήπου θαυμαστὸν εἰ καὶ λειποψυχίαν. οὔκουν οὐδ' ὅτι τὰ λειποψυχίας ἀκόλουθα συμπτώματα, τά τε ἄλλα, καὶ ἡ ἀκούσιος ἔκκρισις τῶν περιττωμάτων ἕπεται, οὐδὲν ἔτι χρὴ θαυμάζειν. ἀλλὰ γὰρ οὐ τοῦ παρόντος καιροῦ μηκύνειν ἔτι ὑπὲρ τῶν τοιούτων, ἀλλ' ἐπὶ τὸ προκείμενον ἰτέον. ὅταν οὖν ἐπὶ θερμοῖς τε ἅμα καὶ δακνώδεσι χυμοῖς γίνηται ῥῖγος, οὐδὲν θαυμαστὸν ἐστὶ καταψύχεσθαι τὰ ἐκτὸς ἅπαν τῆς ψυχικῆς δυνάμεως εἰς τὸ βάθος συνδυούσης ἅμα τῷ αἵματι. γίγνεται γὰρ αἴσθησις τηνικαῦτα τῆς τῶν ἐκτὸς ψύξεως, οὐ τῆς τῶν ἐν τῷ βάθει. καὶ γὰρ διψῶσιν ἰσχυρῶς ἔνιοι κατ' ἐκεῖνον τὸν καιρόν, ὡς ἂν τῆς ἔνδον θερμασίας διαφυλαττομένης αὐτοῖς. ὅτι δὲ εὐλόγως τὰ τοιαῦτα τοῖς ῥιγοῦσι συμβαίνειν εἴωθεν, ἔνεστι κἀντεῦθεν συλλογίσασθαι. εἰ γὰρ καθ' ἕν τι μόριον ἐρείσασαι σφοδρότερον ὀδύναι, λειποψυχίας τε ἅμα καὶ καταψύξεις ἐπιφέρουσιν, οὐδὲν ἂν εἴη θαυμαστὸν τὰς καθ' ὅλον ἅμα τὸ σῶμα συνισταμένας, εἰ καὶ μὴ τὰς λειποψυχίας τε καὶ τοὺς θανάτους, ἀλλὰ τάς γε καταψύξεις ἐργάζεσθαι. εἰσὶ γὰρ ὁμογενεῖς καὶ ταῖς ἄλλαις ἁπάσαις ὀδύναις αἱ κατὰ τὸ ῥῖγος, ἀπολείπονται δὲ τῶν ἀναιρουσῶν μεγέθει καὶ χρόνῳ. καὶ γὰρ ἐλάττους εἰσὶ πολλῷ, καὶ βραχυχρόνιοι. κωλικὴ μέντοι γε πολλάκις ὀδύνη δυοῖν ἐφεξῆς ἡμερῶν κατέσχε. ῥῖγος δ' ὅσωπερ ἂν ᾖ σφοδρότερον, τοσούτῳ ὀλιγοχρονιώτερον γίγνεται. προσέοικε γὰρ ἡ κατ' αὐτὸ κίνησις τῆς ψυχῆς, οὐ τῇ κατὰ τοὺς φόβους, ἀλλὰ μᾶλλόν πως τῇ κατὰ τὴν αἰδῶ τε καὶ ψυχρολουσίαν. ἀναμάχεται γοῦν ἡ δύναμις, καὶ διαγωνίζεται πρὸς τὰ λυποῦντα, μέχριπερ ἂν ἐκμοχλεύσῃ τε καὶ διώσηται πάντα. διά τε οὖν τὰς σφοδρὰς ἐμπτώσεις, καὶ ὅτι κατὰ τὸ βάθος ἀθροισθεῖσα, μετὰ πολλῆς ἐπανέρχεται θερμασίας, τὸν ἐπὶ τοῖς ῥίγεσι πυρετὸν ἐξάπτει, τὴν ὕλην ἔχουσα σύμμαχον εἰς τὸ μέγεθος αὐτοῦ. εἰ δέ ποτε διαγωνιζομένη φθάσει καμεῖν αὐτή, πρὶν διώσασθαι τὰ λυποῦντα, γίγνεται μὲν γὰρ καὶ τοῦτο δι' ἀρρωστίαν δυνάμεως, ἢ μέγεθος αἰτίας, θάνατος δὲ ἐξ ἀνάγκης ἀκολουθεῖ καθάπερ ἔμπροσθεν εἴρηται. ὁπότ' οὖν ἐνταῦθα τοῦ λόγου γεγόναμεν, ἐπιθῶμεν ἤδη τὴν κεφαλὴν αὐτῷ, βραχέσι κεφαλαίοις ἅπαντά τε τὰ προειρημένα περιλαβόντες, ὅσα τε λείπεται προσθέντες. αἱ μὲν βῆχες καὶ οἱ πταρμοί, καὶ αἱ λύγγες, καὶ τὰ ῥίγη, τῆς ἐκκριτικῆς δυνάμεως ἰσχυραὶ καὶ βίαιοι κινήσεις εἰσίν. οἱ δὲ σκορδινισμοί, καὶ αἱ χάσμαι, τῆς αὐτῆς μέν, ἀλλὰ μέτριαι, μετριώτεραι δὲ κἀν ταῖς φρίκαις αἱ κινήσεις εἰσί. καὶ πολὺ δὴ τούτων μετριώτεραι αἱ κατὰ τὰς ἀνωμαλίας κινήσεις, ὥστε σχεδόν, οὐδὲ κινήσεις εἴποι τις τὰς τοιαύτας, ἀλλ' αἰσθήσεις μόνον ὑπάρχειν, οἷαίπερ καὶ αἱ κατὰ τοὺς ἑλκώδεις κόπους αἰσθήσεις εἰσί. καὶ τούτων μᾶλλον ἔτι, ἐν τῷ κνησιᾶν. αἴσθησις γὰρ ἐν τούτῳ τῷ συμπτώματι μόνον ἐστὶ περιττωμάτων κνησμωδῶν. οὐ δὲ γὰρ ὀνομάσαι δυνατὸν ἄλλως αὐτά, πλὴν εἰ νιτρώδη, καὶ ἁλμυρά τις, ἢ πικρὰ προσαγορεύειν ἐθέλοι. τοιαύτη γὰρ ἡ φύσις αὐτῶν. ἔνεστι δὲ μαθεῖν περὶ αὐτῶν, ἀπό τε τῶν ἔξωθεν, οἷον ἀκαλύφης τε καὶ σκίλλης, καὶ ἅλμης καὶ θαλάττης, ὅσα τ' ἄλλα τοιαῦτα. καὶ τούτων οὐδὲν ἧττον ἀπ' αὐτῶν τῶν κατὰ τὸ σῶμα. τοῖς γὰρ ἀλουτοῦσι, καὶ ῥυπῶσι, καὶ ἀπεπτοῦσι, καὶ τροφὰς κακοχύμους ἐσθίουσι, κνησιᾶν συμβαίνει, καὶ πολὺ δὴ μᾶλλον ἐν ψώραις τε καὶ λέπραις. ὅτι πλείων τε, καὶ παχύτερος ὁ χυμὸς ἐν ταῖς τοιαύταις διαθέσεσι. καὶ διὰ τοῦτο κνῶνται μὲν ἐπὶ πλεῖόν τε, καὶ μᾶλλον ἁπάντων, τῶν ἄνευ τῆς τοιαύτης διαθέσεως κνησιώντων. ὀνίνανται δ' οὐδὲν οὐδ' ἂν ἐκδείρωσιν ἑαυτούς, κνώμενοι σφοδρότατα, διὰ τὸ μένειν ἐν αὐτοῖς ἐμπεπλασμένον τε καὶ ὡς ἂν εἴποι τις ἐσφηνωμένον ἐν τῷ δέρματι τὸν λυποῦντα χυμόν. οὔτε γὰρ ὀλίγος οὗτος, οὔτε λεπτός ἐστιν, ὡς ἐπὶ τῶν ἀλουτησάντων μόνον, ἢ ῥυπώντων, ἀλλὰ καὶ πλεῖστος, καὶ παχύς, ἐνίοτε δὲ καὶ γλίσχρος. ἅπαντα γοῦν τὰ τοιαῦτα συμπτώματα, κακοχυμίας ἐστὶν ἔγγονα. διαφέροντα δὲ ποιότητι καὶ ποσότητι τῆς αἰτίας, ἔτι τε πρὸς τούτοις, ἡσυχίᾳ τε καὶ κινήσει. ὀλίγη μὲν γὰρ καὶ λεπτή, καὶ ἁλμυρά, καὶ ἀκίνητος, ἐν τοῖς κνησιῶσιν. ὀλίγη δὲ καὶ λεπτή, καὶ δακνώδης καὶ ἀκίνητος ἐπὶ τοῖς ἑλκώδεσι, κόποις πάθεσι, πολλὴ δὲ καὶ παχεῖα, καὶ ἁλμυρὰ καὶ ἀκίνητος ἐν λέπραις τε καὶ ψώραις. ὀλίγη δὲ καὶ λεπτὴ καὶ δακνώδης, καὶ βραχεῖαν ἔχουσα τὴν κίνησιν, ἐν ταῖς φρίκαις. εἰ δ' ἤτοι κινηθείη σφοδρῶς, ἢ πλείων, ἢ δακνωδεστέρα γένοιτο, ῥῖγος, οὐ φρίκην ἐπιφέρει. μέγιστον μέν, ἡ πλείστη τε καὶ σφοδροτάτη, καὶ δακνωδεστάτη καὶ σφοδρότατα κινουμένη, ἐλάχιστον δέ, εἰ καθ' ἕν τι τούτων μετρίως αὐξηθεῖσα ἐκ φρίκης εἰς ῥῖγος μεταπέσοι. πάμπολλαι δὲ ἄλλαι μεταξὺ τοῦ τ' ἐλαχίστου ῥίγους ἐστί, καὶ τοῦ μεγίστου, τῷ μᾶλλόν τε, καὶ ἧττον ἀλλήλων διαφέρουσαι, παρά τε τὸ μᾶλλον καὶ ἧττον κινεῖσθαι τὴν αἰτίαν, καὶ παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον εἶναι δακνώδη, καὶ προσέτι τὴν ἐν τῇ ποσότητι διαφοράν. ἔτι τε πρὸς τούτοις, ἤτοι παρὰ τὸ πάσαις ταῖς εἰρημέναις διαφοραῖς, ἢ παρὰ τὸ τισίν, ἢ τινί, τὴν ποιοῦσαν τὸ ῥῖγος αἰτίαν ηὐξῆσθαι, ταυτὶ μὲν οὖν ἅπαντα τὰ συμπτώματα περὶ τὸ δέρμα, καὶ τὰς ὑπ' αὐτὸ σάρκας, ἀθροιζομένης τῆς αἰτίας εἴωθε συνίστασθαι. βῆχες δὲ καὶ πταρμοὶ καὶ λύγγες. αἱ μὲν βῆχες, ἐν τοῖς κατὰ πνεύμονά τε καὶ

να τε καὶ φάρυγγα καὶ θώρακα τῶν αἰτίων συνισταμένων. οἱ πταρμοὶ δέ, ἐν τοῖς κατὰ τὰς ῥῖνας. λύγγες δὲ ἐν τοῖς κατὰ γαστέρα καὶ στόμαχον. ἐν ἅπασι δὲ τοῖς εἰρημένοις κοινόν, ἡ τῶν λυπούντων ἐκκριτικὴ δύναμις ἑαυτὴν ἐπεγείρουσα πρὸς τὰς σφοδροτάτας κινήσεις ὑπὲρ τοῦ διώσασθαι τὰ λυποῦντα, καθάπερ ἔμπροσθεν εἴρηται τά τε ἄλλα περὶ τῆς γενέσεως αὐτῶν, καὶ ὅτι κατὰ συμβεβηκός ποτε καὶ ὁ πταρμὸς τῶν κατὰ πνεύμονα συνεστώτων ὑγρῶν, ἴαμα καθίσταται, μὴ γινόμενος ἐκείνων ἕνεκεν. οὕτω δὲ καὶ κατὰ τὴν γαστέρα, καὶ τὸν στόμαχον, ἐφ' οἷς αἱ λύγγες συνίστανται κατὰ συμβεβηκὸς ἐκκαθαίρουσιν οἱ πταρμοί. καὶ ταύτῃ γίγνονται λυγγῶν ἰάματα. συνεπωθοῦσι γὰρ τὴν κοιλίαν οἱ κατεπιγάστριοι μύες ἐκτεινόμενοί τε, καὶ προστέλλοντες ὡς βιαιοτέραν γίνεσθαι τὴν ἔμπτωσιν αὐτοῖς τοῖς λυποῦσιν αἰτίοις, ἃ διώσασθαι σπεύδει. εἴρηταί μοι σχεδὸν ἅπαντα τὰ τῶν ψυχικῶν ἐνεργειῶν τε καὶ δυνάμεων συμπτώματα, σὺν ταῖς ἀπεργαζομέναις αἰτίαις, αὐτὰ μέν τοι τὸ πρῶτον ὑπόμνημα τῶν ἐν ταῖς φυσικαῖς ἐνεργείαις τε καὶ δυνάμεσι γιγνομένων, συμπτωμάτων οὐδενὸς ἐπεμνήσθην. ἐν τῷ δευτέρῳ τῷ δὲ κατὰ τὴν κοινωνίαν τοῦ λόγου λέλεκταί τι καὶ περὶ ἐκείνων ἐπ' ὀλίγον. ἀλλά γε τὸν τελέοντε καὶ ἴδιον αὐτοῖς λόγον ἀποδώσομεν ἐν τῷ τρίτῳ τῷ μετὰ τοῦτον. Νυνὶ δὲ πρὸς τῷ πάνθ' ἡμῖν ἐν τοῖς δύο συμπεπληρῶσθαι, τὰ ταῖς ψυχικαῖς δυνάμεσι γιγνόμενα συμπτώματα, καὶ περὶ τὰ κατὰ τὰς ἡγεμονικὰς ἐνεργείας ἐροῦμεν. ἔστι δὴ οὖν κἀν ταύταις τρία τὰ πρῶτα γένη τῶν συμπτωμάτων. ἓν μὲν ἀπώλεια τῆς ἐνεργείας. ἕτερον δὲ βλάβη, τὸ δὲ τρίτον, εἰς ἑτέραν ἰδέαν ἐκτροπή. ἀπώλεια μέν, ἐν ταῖς καλουμέναις μωρώσεσί τε καὶ λήθαις. ὤφθαι γὰρ οὐκ ὀλιγάκις ὡς εἰς ἀπόστασιν τινὰ κατασκήψαντα νοσήματα, μώρωσιν ἢ λήθην ἐπήγαγεν. ἐνίους γοῦν καὶ γράμματα, καὶ τέχνας τελέως ἐπιλαθομένους ἐθεασάμεθα, καὶ μηδὲ τῶν σφετέρων ὀνομάτων μεμνημένους, ὁποῖόν τι καὶ ὁ Θουκυδίδης φησὶν ἐν τῷ λοιμῷ συμβῆναι, τινὰς γὰρ τῶν διασωθέντων ἀγνοῆσαι σφᾶς τε αὐτοὺς, καὶ τοὺς ἐπιτηδείους, ὤφθησαν δὲ καὶ διὰ γῆρας ἔσχατον ἔνιοι, παραπλησίοις ἁλόντες συμπτώμασιν, ὧν καὶ δῆλον, ὡς ἐπὶ καταψύξει γίνεται καὶ μώρωσις, καὶ λήθη. καὶ γὰρ οὖν καὶ τὰ φάρμακα τὰ τῶν τοιούτων συμπτωμάτων ποιητικά, ψυχρὰ ταῖς δυνάμεσιν ἐστί. τὰ μὲν δὴ τοιαῦτα συμπτώματα, τὸ σῶμα αὐτὸ καταψύχθαι δηλοῖ τοῦ ἐγκεφάλου, ὥσπερ οὖν καὶ τὰ ἀπoπληκτικά. τὰ δὲ ἐπιληπτικά, διὰ φλεγματώδους χυλοῦ πλῆθος, ἐν ταῖς κοιλίαις αὐτοῦ τοῦ ἐγκεφάλου συναθροισθέντος, ἔοικε γίγνεσθαι. καὶ διὰ τοῦτο ἐξαιφνίδιος ἥ τε γένεσις αὐτῶν ἐστι, καὶ ἡ λύσις, οὐδαμῶς τοῦτο συμβῆναι δυναμένου κατὰ τὰς τῶν σωμάτων δυσκρασίας. αἱ δὲ μέτριαι βλάβαι καὶ οἷον νάρκαι, τοῦ λογισμοῦ τε καὶ τῆς μνήμης, ἐπὶ βραχυτέρᾳ καταψύξει συμβαίνουσιν, ἤτοι διά τι τῶν ἔσω τοῦ σώματος ληφθέντων φαρμάκων ψυχρῶν, ἢ κατὰ τῆς κεφαλῆς ἐπιτεθέντων, ἢ καὶ χυμοῦ ψυχροῦ κατὰ τὸν ἐγκέφαλον ἠθροισμένου. καὶ παραφροσύναι δὲ πᾶσαι πλημμελεῖς ὑπάρχουσαι κινήσεις τῆς ἡγεμονικῆς δυνάμεως ἐπὶ μοχθηροῖς συνίστανται χυμοῖς, ἢ δυσκρασίαις τῶν κατὰ τὸν ἐγκέφαλον. ὀνομάζονται δὲ φρενίτιδες μέν, αἱ μετὰ πυρετῶν. μανίαι δὲ αἱ χωρὶς τούτων. ποτὲ μὲν τοῖς δακνώδεσι καὶ θερμοῖς ἑπόμεναι χυμοῖς, ὁποῖος ὁ τῆς ξανθῆς χολῆς ἐστὶ μάλιστα. πολλάκις δὲ κατὰ τὴν δυσκρασίαν τὴν ἐπὶ τὸ θερμότερον αὐτοῦ τοῦ ἐγκεφάλου συνιστάμεναι. μόναι δ' αἱ μελαγχολικαὶ καλούμεναι παράνοιαι ψυχρότερον ἔχουσι τὸν αἴτιον χυμόν. ἡ μὲν γὰρ φρενῖτις, οὐδὲ ἁπλῶς ἐπὶ θερμοῖς συνίσταται χυμοῖς, ἀλλὰ μετὰ τοῦ φλεγμονὴν ἐργάζεσθαι κατά τε τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας. ἐν δὲ τοῖς ἄλλοις πυρετοῖς, αἱ παραφροσύναι πληθυνόντος ἐν ἐγκεφάλῳ γίγνονται τοῦ τοιούτου χυμοῦ, καὶ ὅσαι γε κατὰ τὰς ἀκμὰς συνίστανται τῶν ὀξυτάτων πυρετῶν, ἀτμὸν δακνώδη καὶ θερμὸν ἀναθυμιάμενον ἴσχουσιν ἐπὶ τὸν ἐγκέφαλον. αἱ δὲ μελαγχολικαὶ παράνοιαι, πολυειδεῖς μέν εἰσι ταῖς κατὰ μέρος ὑπ' ἄλλοις φαντασίαις. ἐν δ' αὐταῖς ἔοικεν ἁπάσαις ὑπάρχειν κοινόν, ὃ πρὸς Ἱπποκράτους εἴρηται. ἢν φόβος καὶ δυσθυμίη πολὺν χρόνον ἔχουσα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον. δυσθυμοῦσι γοῦν ἅπαντες ἀλόγως, οὐδ' ἂν ἐρωτήσῃς ἔχοντες εἰπεῖν, ἐφ' ὅτῳ λυποῦνται. δεδίασί τε ἔξ αὐτῶν οὐκ ὀλίγοι θάνατόν τε καὶ ἕτερα τινὰ μηδενὸς ἄξια δέματος. εἰσὶ δὲ οἳ καὶ σφοδρῶς ἐπιθυμοῦσι θανάτου. τό γε μὴν ἐπὶ τῇ μελαίνῃ χολῇ καταλαμβανούσῃ τὴν ἀρχὴν τῆς λογικῆς ψυχῆς, φόβους τε γίγνεσθαι καὶ δυσθυμίας, καὶ θανάτου προσδοκίας, οὐδὲν θαυμαστόν. ὁρῶμεν γὰρ καὶ τῶν ἔξωθεν τοῦ σώματος οὐδὲν οὕτως ἡμῖν φοβερόν, ὡς τὸ σκότος. ὅταν οὖν οἷον σκότος τι περιχυθῇ τῷ λογιστικῷ μορίῳ τῆς ψυχῆς, ἀναγκαῖον ἀεὶ φοβεῖσθαι τὸν ἄνθρωπον, ὡς ἂν ἀεὶ τὴν αἰτίαν τοῦ φόβου συμπεριφέροντα τῷ σώματι. ὅπερ γὰρ ἡμῖν ἔξωθεν γίνεται κατὰ χρόνον τινά, βαθυτάτου σκότους καταλαβόντος τὸν πέριξ ἀέρα, τοῦτο τοῖς μελαγχολῶσιν ἔνδοθέν τε κἀξ αὐτοῦ τοῦ σώματος ὁρμᾶται, καταλαβούσης τὸν ἐγκέφαλον, ἤτοι τῆς μελαίνης χολῆς αὐτῆς, ἢ τινὸς ἀναθυμιάσεως ἀτμοῦ μελαγχολικοῦ. καθάπερ ἐν τῷ νοσήματι τῷ φυσώδει τε καὶ ὑποχονδριακῷ προσαγορευομένῳ.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΥΜΠΤΩΜΑΣΙΝ ΑΙΤΙΩΝ

ΒΙΒΛΙΟΝ ς'

ΟΤΙ δ' ὅσα περὶ τὰς φυσικὰς ἐνεργείας τε καὶ δυνάμεις ἀποτελεῖται συμπτώματα τὴν αὐτὴν μὲν ἔχει μέθοδον τῆς εὑρέσεως, ἥνπερ καὶ τὰ ταῖς ψυχικαῖς ἐνεργείαις ἐπιγινόμενα, κάλλιον δὲ ἴσως ἐστί, κἀν τοῖς τούτων εἴδεσι γυμνάσασθαι κατὰ μέρος ὥσπερ κἀν τοῖς τῶν ψυχικῶν ἐγυμνασάμεθα. τὸ δὲ δὴ κεφάλαιον ἐστὶ τῆς εὑρέσεως ἁπάντων τῶν αἰτίων ὅσα λυμαίνεται ταῖς δυνάμεσιν, ἡ γνῶσις τοῦ τρόπου καθ' ὃν ἐνεργοῦσιν ὑγιαίνουσαι. εἰ δὲ γὰρ τῷ ῥίπτειν ἡ γαστὴρ ἔπεψε τὰ σιτία, περὶ τὸ ῥίπτειν ἐμποδισθεῖσα, τὰ τῆς πέψεως ἀποτελέσει συμπτώματα. μηδ' ὅλως δὲ ῥίψασα τὸ μηδ' ὅλως πέψαι. μοχθηρῶς δὲ ῥίψασα, τὸ μοχθηρῶς πέψαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον. ἀλλὰ τῷ σήπειν ἔπεττεν, οὐ πέψει τῷ μὴ σῆψαι. ἀλλ' ὡς ἡμεῖς ἀπεδείξαμεν. αὐτὴ μὲν ἡ πέψις, ἀλλοίωσίς ἐστι κατὰ

ποιότητα, γίγνεται δὲ ὑπὸ τῆς γαστρὸς ὁμοιούσης ἑαυτῇ τὰ σιτία, παντί που δῆλον, ὡς ἡ περὶ τὴν ἀλλοίωσιν ἀτυχία, σύμπτωμα γενήσεται πέψεως. εἰ μὲν δὴ μηδ᾽ ὅλως ἀλλοιωθείη, καλεῖται μὲν ἀπεψία τὸ σύμπτωμα, καθάπερ ἀκινησία τε καὶ ἀναισθησία, περὶ τὰ τῆς ψυχῆς ἔργα, σημαινούσης ἀπώλειάν τε καὶ στέρησιν τῆς ἐνεργείας τοῦ πρώτου μορίου τῆς ψυχῆς. εἰ δ᾽ ἀλλοιωθείη, οὐχ ὡς προσῆκε δέ, ἀπεψία μὲν καὶ τοῦτο καλεῖται. σημαίνει δ᾽ οὐ στέρησιν, ὡς πρότερον ἀλλὰ κάκωσιν μόνην. οὔσης δὲ καὶ αὐτῆς τῆς δυνάμεως διττῆς, ἢ περὶ βραδεῖαν τε καὶ μηδέπω δέχεσθαι τὴν οἰκείαν μεταβολήν, ἢ περὶ διεφθάρθαι παντάπασιν ὡς μηδ᾽ ὅλως δύνασθαι τὸν ἐκ τῆς φύσεως κόσμον δέξασθαι, βραδυπεψίαν μὲν ὀνομάζουσι τὴν προτέραν. ἡ δ᾽ ἑτέρα δὲ οὐδὲν ἴδιον ὄνομα κέκτηται. τοσαῦται μὲν οὖν αἱ βλάβαι τῆς πέψεως. αἰτίαι δὲ αὐτῶν, κοινὴ μὲν ἡ τῆς ἀλλοιούσης δυνάμεως ἀτυχία τοῦ σκοποῦ. διῄρηται δ᾽ αὕτη κατ᾽ εἴδη τε καὶ γένη. τὰ μὲν δὴ πρῶτα δύο γένη τῆς ἀτυχίας εἰσί, τὸ μὲν ἕτερον ἡ δύναμις αὐτὴ πεπονθυῖα. τὸ δ᾽ ἕτερον, ἔξωθέν τις πλημμέλεια. διαιρεῖται δ᾽ ἑκάτερον, ἡ μὲν τῆς δυνάμεως βλάβη κατὰ τρόπον διττόν, ἤτοι διὰ τὴν ἑαυτῆς οὐσίαν, ἢ διά τι νόσημα τῶν ὀργανικῶν. ἡ δ᾽ ἔξωθεν πλημμέλεια, τριττὴ μὲν καὶ αὐτή. τῶν τρόπων δ᾽ αὐτῆς, ὁ μὲν ἐν τοῖς κατὰ τὴν γαστέρα περιττώμασιν. ὁ δὲ ἐν τοῖς σιτίοις. ὁ δὲ ἐν τῷ περὶ χρόνῳ τῶν ὕπνων.

Ἀλλ᾽ αἱ μὲν κατὰ τὴν οἰκείαν οὐσίαν τῆς δυνάμεως βλάβαι, δυσκρασίαι τινές εἰσι τῶν δραστικῶν ποιοτήτων. αἱ δ᾽ ἀπὸ τῶν ὀργανικῶν νοσημάτων, ἐρυσιπέλασι καὶ οἰδήμασι καὶ φλεγμοναῖς, καὶ σκίῤῥοις, καὶ ἀποστήμασι, καὶ ἄνθραξι, καὶ ὅσα τ᾽ ἄλλα τοιαῦτα. τὰ μὲν, ἁπλᾶ. τὰ δὲ σύνθετα νοσήματα περὶ τὴν γαστέρα συνίσταται. διὰ ταῦτα μὲν δὴ πάντα, κακῶς ἡ γαστὴρ πέττει, τῆς δυνάμεως αὐτῆς ἢ πέττει βλαπτομένης, ἐν μὲν ταῖς δυσκρασίαις, κατὰ τὴν οἰκείαν ἑαυτοῖς οὐσίαν, ἐν δὲ τοῖς ἄλλοις νοσήμασιν, ὅσα μὲν ἁπλῶς ἐστὶν ὀργανικά, παραποδιζομένης μόνον, ὅσα δὲ ἐκ δυσκρασιῶν τε καὶ ὀργανικῶν σύνθετα, κατ᾽ ἀμφοτέρους τοὺς τρόπους. ἐπὶ ταύταις ταῖς προφάσεσιν ἡ γαστὴρ κακῶς πέττει, κἂν μηδὲν τῶν ἄλλων πλημμελῆται τῶν ἔξωθεν.

Τὸ ἔμπαλιν δὲ τῆς γαστρὸς αὐτῆς μηδὲν πεπονθυίας, οὐ πέττει τὸ ζῶον, ἤτοι διὰ πλῆθος ἄμετρον ἐδεσμάτων τε καὶ πομάτων, ἢ διὰ ποιότητα μοχθηράν, ἢ δι᾽ ἀκαιρίαν, ἢ δι᾽ ἀταξίαν, ἢ περίττωμα φαῦλον, ἢ ὕπνον ὀλίγον. ἀλλ᾽ ἐπὶ μὲν ταῖς μοχθηραῖς τῶν σιτίων ποιότησι, καὶ τοῖς περιττώμασιν, ὅσα κατὰ τὴν γαστέρα συνίσταται, μετὰ διαφορᾶς ἀπεπτοῦσιν. ἔστι δ᾽ ὅτε καὶ δι᾽ ἀταξίαν τε καὶ ἀκαιρίαν. λέγω δὲ ἀταξίαν μέν, εἰ μῆλα καὶ ῥοιάς, εἰ οὕτως ἔτυχε, πρῶτα, τελευταῖα δὲ προσφέροιντο λάχανα δι᾽ ἐλαίου καὶ γάρου. ἀκαιρίαν δ᾽ εἰ ἔωθε, πρὶν ὑπελθεῖν καλῶς τὴν προτέραν τροφήν, ἢ πρὸ ὀλίγου τῶν γυμνασίων ἀριστήσειεν. αἱ διαφθοραὶ δέ, κνισσώδεις μὲν ἐπὶ τοῖς θερμοτέροις τε καὶ χολωδεστέροις ἐδέσμασι συμπίπτουσιν. ὀξώδεις δὲ ἐπὶ τοῖς ψυχροτέροις φύσει καὶ φλεγματωδεστέροις. οὕτω δὲ κἀπὶ τοῖς περιττώμασιν, ὀξώδεις μὲν ὅσα φλεγματικὰ καὶ ψυχρά. κνισσώδεις δέ, ὅσα θερμά τε καὶ πικρόχολα. καὶ αὐτὴ δὲ ἡ γαστήρ, ἐπὶ μὲν τοῖς ψυχροτέροις νοσήμασι τὰς ὀξώδεις, ἐπὶ δὲ τοῖς θερμοτέροις, τὰς κνισσώδεις ἐργάζεται μεταβολάς. βραδυπεψίας δὲ ἐργάζεται. τὰ δυσδιάφθαρτα μέν, ὑπὲρ τὴν δύναμιν δέ, ἢ ὑπὲρ τὸν ὕπνον. ὅταν δὲ χωρὶς τοῦ διαφθαρῆναι στέρησις παντελὴς γένηται πέψεως, ἰστέον ἐν τῷ περὶ δὲ νενικῆσθαι τὴν γαστέρα τελέως ἤτοι διὰ πλῆθος ἄμετρον, ὡς πρὸς τὴν ἀσθένειαν τῆς δυνάμεως, ἢ διὰ ψύξιν ἰσχυράν. ἀπεπτεῖ γὰρ ἐν ταῖς τοιαύταις καταστάσεσιν ἡ γαστήρ, ὡς μηδ᾽ ἐπιχειρεῖν ὅλως πέψαι. ταῦτ᾽ οὖν ἔστω σοι παραδείγματα καὶ τῆς ἐν τοῖς ἀγγείοις ἀπεψίας. εἰς γὰρ τοὺς αὐτοὺς αὖ τρόπους ἀνάξεις κἀκείνας. καὶ πρὸς ἐκείναις γε τὰς κατὰ τὴν τρίτην πέψιν, αἷς ἡ θρέψις ἕπεται τοῦ σύμπαντος ὄγκου. τὴν αὐτὴν ἀναλογίαν ἐχούσης· πρὸς μὲν τὰς φλέβας, τῆς ἐκ κοιλίας εἰς αὐτὰς ἀναδιδομένης τροφῆς. πρὸς δὲ τὰς σάρκας, τῆς ἐκ τῶν φλεβῶν εἰς ἐκείνας, ἥνπερ εἶχε τὰ ἐσθιόμενα τε καὶ πινόμενα πρὸς τὴν γαστέρα. ταῦτ᾽ οὖν ἅπαντα ἡμῖν ἐνεδείξατο προγιγνωσκόμενος ὁ τῆς πέψεως τρόπος. ὅτι γὰρ ἡ ἐκ τῶν τεσσάρων στοιχείων τοιάδε τις κρᾶσις, ἡ καὶ τὴν ἰδιότητα τοῦ τῆς γαστρὸς ἐργαζομένη σώματος, αἰτία τῆς ἀλλοιώσεως ἐστὶ τῶν σιτίων ἐπιστάμενοι, καὶ ὅτι πλείστην εἰς τὴν δύναμιν εἰσφέρεται τὸ θερμὸν στοιχεῖον, ἐποδηγήθημεν εἰς τὴν εὕρεσιν τῶν ἐν ταῖς ἀπεψίαις αἰτίων. ἔστι δὲ οὐ μόνον ἐν ταῖς ἀπεψίαις, ἀλλὰ καὶ κατὰ τὰ σύμπαντα τῶν συμπτωμάτων γένη, τὸ μέν, οἷον ἀπώλεια τῆς ἐνεργείας ἡ στέρησις, ἢ ὥς ἄν τις ἑτέρως ὀνομάζειν ἐθέλοι, τὸ δέ, οἷον ἀτελὴς καὶ ἐλλιπὴς ἐνέργεια. τὸ δέ, μοχθηρά τε καὶ πλημμελής. ἐν μὲν οὖν τῇ γαστρί, καθάπερ ἀρτίως εἴρηται, στέρησις μὲν τῆς ἐνεργείας ἐστίν, ὅταν μηδ᾽ ἐπὶ βραχύτατον ἀλλοιωθῇ τὰ σιτία. πέψις δὲ ἐλλιπής, ἐν ταῖς βραδυπεψίαις, ὥσπερ γε καὶ ἡ μοχθηρὰ καὶ ἡ πλημμελής, ἐν ταῖς διαφθοραῖς. κατὰ δὲ τὰς φλέβας, ἡ μὲν τῆς ἐνεργείας στέρησις, ἐν τοῖς παντάπασιν ὠμοῖς χυμοῖς. ἡ δὲ ἐλλιπὴς ἐνέργεια, κατὰ τοὺς ἡμιπέπτους. ἡ δ᾽ αὖ πλημμελής. ἐν ταῖς κακοχυμίαις. οὕτω δὲ καὶ καθ᾽ ὅλην τοῦ ζώου τὴν ἕξιν, ἡ μὲν οἷον στέρησις, ἐν τοῖς ὠμοῖς κατ᾽ ἐκεῖνα χυμοῖς. ἡ δ᾽ οἷον ἐλλιπής, ἐν τοῖς ἡμιπέπτοις. ἡ δὲ μοχθηρά, κατὰ τὰς ἐν αὐτοῖς κακοχυμίας. ἐκ τούτων τῶν κακοχυμιῶν, ἐρυσιπέλατά τε καὶ καρκίνοι, καὶ γάγγραιναι γίγνονται, φαγέδαιναί, τε καὶ ἄνθρακες, καὶ ἕρπητες, ὅσα τ᾽ ἄλλα τοιαῦτα. κατὰ δὲ τὴν τῆς θρέψεως ἐνέργειαν, ἀτροφία μέν. ἡ στέρησις τῆς ἐνεργείας. ἐλλιπὴς δὲ θρέψις, ἡ ἰσχνότης. μοχθηρὰ δέ, ἡ ἐν ταῖς λεύκαις τε καὶ κατὰ τὸν ἐλέφαντα προσαγορευόμενον. αἱ δὲ αἰτίαι τῶν λελεγμένων ἁπάντων συμπτωμάτων, αἱ αὐταὶ κατὰ τὸ γένος εἰσὶ ταῖς ἔμπροσθεν ἐπὶ τῆς γαστρὸς εἰρημέναις. ἔνιαι μὲν αὐτῶν εἰς ἀῤῥωστίαν δυνάμεως, ἔνιαι δὲ εἰς τὴν τῆς τροφῆς πλημμέλειαν. αἱ τρίται δ᾽ εἰς ἐπιτηδεύματά τε καὶ τὰ προσπίπτοντα τοῖς ζώοις ἔξωθεν ἀναγόμεναι. καὶ κατά γε τὸν αὐτὸν ἐκείναις τρόπον, αἱ μὲν ἀῤῥωστίαι τῆς δυνάμεως, αἱ μὲν οἰκεῖαι ταῖς τῶν ὁμοιομερῶν δυσκρασίαις. αἱ δ᾽ οὐκ οἰκεῖαι τοῖς ὀργανικοῖς ἕπονται νοσήμασιν. αἱ δὲ πλημμέλειαι τῆς τροφῆς, εἰς πλῆθός τε καὶ ποιότητα χυμῶν διαιροῦνται καθάπερ οἶμαι. καὶ αἱ τῶν ἐπιτηδευμάτων τε καὶ τῶν ἔξωθεν ὁμιλούντων, εἰς ἀταξίαν τε καὶ ἀκαιρίαν τινά. ἐπιτηδεύματα δὲ καλῶ νῦν ἱππασίας, ἁλιείας, ἀφροδίσια, λουτρά, περιπάτους, πλοῦς, κυνηγεσία, καὶ ἅπανθ᾽ ἁπλῶς, ἐν οἷς ἐνεργοῦμεν τι περὶ σώματι. χρὴ δ᾽ οὐκ αὐτῶν δήπου μόνον τῶν συμπτωμάτων διαγνωστικόν τε ἅμα καὶ τῆς γενέσεως εὑρετικὸν εἶναι τὸν ἰατρόν, ἀλλὰ καὶ τοῦ τρόπου τῆς γενέσεως αὐτῶν ὡς ἐν τῇ

διαφορᾷ

διαφορᾶ τέτακται τῶν ποιητικῶν αἰτίων. οὐ γὰρ εἰ μηδ' ὅλως ἔπεψε μόνον ἡ γαστὴρ ἐπίστασθαι προσήκειν, ἀλλὰ καὶ διότι. πότερον δι' ὑπερβάλλουσαν ἀσθένειαν τῆς πεπτικῆς δυνάμεως, ἢ διά τι πλῆθος ἄμετρον, ἢ μοχθηροτάτην τινὰ σιτίων ποιότητα. τὸ μὲν γὰρ ἐπὶ τοῖς σιτίοις σύμπτωμα, ῥᾳδίως ἐπανορθοῦται. τὸ δ' ἐπὶ ταῖς ἐσχάταις καταπτώσεσι τῆς δυνάμεως, εἰς λειεντερίαν, ἢ τὸν καλούμενον τυμπανίαν ὕδερον ἀφικνεῖται. καὶ κατὰ φλέβας δὲ ὡσαύτως, οὐ μόνον ἀποτυχίαν αἱματώσεως ἐπισκοπεῖν χρή, ἀλλὰ καὶ διότι γίγνεται. πότερον δι' ἀρρωστίαν τῆς αἱματοποιητικῆς δυνάμεως, οὐδὲν γὰρ χεῖρον οὕτως αὐτὴν ὀνομάζειν, ἢ διὰ πλῆθός τι χυμῶν ἀπέπτων τε καὶ ψυχρῶν, ἐκ τῆς γαστρὸς ἀναδιδομένων. θάτερον μὲν γὰρ ἰᾶσθαι. θάτερον δ' εἰς ὕδρωπα τελευτᾷ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐν τῇ σαρκί. διὰ μὲν γὰρ τοὺς ὠμοὺς χυμούς, οἱ ἐκ νοσημάτων ἀνέδην ἐμφορούμενοι, φυσώδεις τε καὶ ὑδαλέοι τὴν ὅλην ἕξιν ἀποτελοῦνται. διὰ δὲ τὴν ἀρρωστίαν τῆς δυνάμεως, οἱ ἀνὰ σάρκα προσαγορευόμενοι τῶν ὑδέρων. ἅπασαι μὲν οὖν αἱ μεγάλαι δυσκρασίαι, καταβάλλουσι τὴν δύναμιν. ἀλλ' αἱ μὲν ἐπὶ τοῦ ψυχροῦ κρατοῦντι, τὰ ψυχρὰ τῶν παθῶν ἐργάζεσθαι πεφύκασιν. αἱ δὲ ἐπὶ τοῦ θερμοῦ τἀναντία. κατὰ ταυτὰ δὲ καὶ περὶ τῆς ὑπολοίπου γιγνώσκειν ἀντιθέσεως καὶ συζυγίας. ἐν ἁπάσαις δ' ὡς εἴρηται κοινὴ, ἡ μεγίστη τῆς κατὰ φύσιν ἐκτροπή. τὸ γὰρ μηδ' ὅλως ἐνεργῆσαι περὶ τὰ σύμμετρά τε καὶ συνήθη σιτία, μεγίστην ἐνδείκνυται τῆς γαστρὸς τὴν δυσκρασίαν. ἀλλ' εἰ μὲν δι' ὑπερβάλλουσαν θερμότητα συμβαίνει τὸ τοιοῦτον, εὐθὺς καὶ διαφθείρεται τὰ σιτία. κοινὴν μέν τινα διαφθορὰν, ἐπὶ τὸ κνισσῶδες. ἰδίαν δὲ ἕκαστον, ὡς ἂν φύσεως ἔχει. τὰ μὲν γὰρ οἷον βρώμου τινὸς ἢ βορβόρου διαφθειρόμενα. τὰ δὲ, ἰχθύων τινῶν ὠμῶν, ἢ ἀρρήτου τε καὶ ἀλλοκότου σηπεδόνος ὄζει. διαμένει γὰρ ἄσηπτον θερμαινομένων σφοδρῶς οὐδὲν τῶν ἐδεσμάτων δυνατόν, εὐθὺς δὲ δάκνει καὶ δίψαν ἀμέτρως, οἱ οὕτω διακείμενοι, καὶ πυρέττουσιν ἐνίοτε λεπτοὺς καὶ μικροὺς ἑκτικοὺς πυρετούς. εἰ δὲ διὰ ψύξιν ἄμετρον ἀπόλοιτο παντάπασιν ἡ πέψις τῶν σιτίων, ἄδιψοί τε εἰσὶ καὶ ἀπύρετοι, καὶ αὐτῶν τῶν σιτίων ἀκριβεῖς ἀποσώζουσι τὰς ποιότητας, εἴτ' ἐρυγγάνειν ἐθελήσειεν, εἴτε καὶ ἐμεῖν. εἰ δὲ καὶ βραχεῖά τις ἐνέργεια παρὰ τὴν πέψιν αὐτῶν γένοιτο. καὶ ἡ τῶν σιτίων φύσις, ἤτοι τῆς μέσης εἴη κράσεως, ἢ τῆς ψυχροτέρας ὀξυρεγμώδεις ἀποτελοῦνται. θερμοτέρων δὲ κατὰ κρᾶσιν ὄντων, ἢ καὶ φύσει φυσωδεστέρων, ἐμπίπλαται πνεύματος ἀτμώδους ἡ γαστήρ. εἰς μὲν δὴ τὰς τοιαύτας δυσκρασίας ἐγχωρεῖ διὰ ταχέων αὐτὴν ἀφικνεῖσθαι. καθ' ὑγρότητα δὲ καὶ ξηρότητα δύσκρατος εἰς τοσοῦτον, ὡς ἀπολέσαι τὴν ἐνέργειαν, οὐκ ἄν ποτε γένοιτο γαστὴρ ἄνευ χρόνου παμπόλλου καὶ χρὴ προσηγορεύεσθαι τῆς μὲν ὑγρότητος, ὕδερον. τῆς δὲ ξηρότητος, ἤτοι γῆρας, ἢ μαρασμόν. ἀλλὰ τὰς μὲν τοιαύτας διελέσθαι διαφορὰς, πραγματείας ἑτέρας ἐστίν. Ἐπὶ δὲ τὴν καθεκτικὴν δύναμιν ἰτέον ἤδη. γίγνεται γὰρ κατὰ ταύτην ἡ μὲν πρώτη διαφορὰ τῶν συμπτωμάτων τριττή, ἤτοι μηδ' ὅλως περιστελλομένη, ἢ ἐλλιπῶς, ἢ πλημμελῶς. τῷ μὲν οὖν μηδ' ὅλως, ἢ ἀρρώστως περιστέλλεσθαι, πνευματώσεις τε καὶ κλύδωνες ἀκολουθοῦσι. πνευματώσεις μὲν ἐπειδὰν τὰ σιτία φυσώδη, καὶ ἡ γαστὴρ ὑπάρχῃ μὴ πάνυ τι ψυχρά. κλύδωνες δὲ, ὅταν ἤτοι μηδὲν ἐν αὐτῇ περιέχηται πνευματοῦσθαι δυνάμενον, ἢ καταψυχθῇ σφοδρῶς, οὐδ' ἐνία γὰρ ἀτμὸν ἡ τοιαύτη γεννᾷ διάθεσις. πρόδηλον δὲ ὡς οὐκ ἄνευ πόματος ὁ κλύδων γίγνεται τῇ γαστρί. τοῦ δ' ἄτονον εἶναι ἐσχάτως αὐτὴν, αἰτία νόσος ἐστίν, αἱ μὲν ὡς ὁμοιομεροῦς μορίου τῆς γαστρὸς, ἡ δὲ, ὡς ὀργανικοῦ. περὶ δὲ τῆς πλημμελῶν κατ' αὐτὴν κινήσεων, ὅτι μὲν ἤτοι τρομώδεις τινές εἰσιν, ἢ παλμώδεις, ἢ οἷον κλονώδεις, ἢ σπασμώδεις εἴρηται πρότερον ἐν τῷ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς. ὁποία δέ τις ἑκάστη τῶν εἰρημένων ἐστὶ κινήσεων, ἥτις τε ἡ καθ' ἑκάστην αὐτῶν αἰτία, διὰ τοῦ πρότερου δεδήλωται λόγου. νυνὶ δὲ τοσοῦτον ἔτι προσθετέον, ὡς ἐπιμίγνυται τά τε νοσήματα, καὶ τὰ συμπτώματα τῆς καθεκτικῆς, καὶ ἐκκριτικῆς δυνάμεως. αὐτίκα ἡ οἷον σπασμώδης κίνησις τῆς γαστρὸς, ἥπερ ἐν τῷ λύζειν συμπίπτει, σπασμὸς μὲν ἀκριβῶς οὐκ ἔστιν, ὅς γε μόνοις γίγνεται τοῖς μυσίν. ἡ δέ γε γαστὴρ, οὔτ' αὐτὴ μῦς ἐστιν, οὔτε ὁ στόμαχος αὐτῆς. οἷον σπασμὸς δέ τις, ἀμφοτέρων κοινόν τι σύμπτωμα τῶν δυνάμεων, τῆς μὲν καθεκτικῆς, ὅτι μοχθηρῶς τε καὶ ἡ κατὰ φύσιν ἡ γαστὴρ λύζουσα περιστέλλεται τοῖς σιτίοις, τῆς δὲ ἐκκριτικῆς, διότι πρώτως ἐκείνης αὐτῆς ἐστιν ἡ κίνησις, ἡ πλημμελὴς, ἀποβρίψασθαί τι τῶν λυπούντων ἐφιεμένης. ἔστι δὲ οὐχ ἡ αὐτὴ κίνησις, ὅτι μὴ δὲ ἡ αὐτὴ διάθεσις ἐμοῦσί τε καὶ λύζουσιν. ἐν μὲν γὰρ τοῖς ἐμέτοις τὰ κατὰ τὴν εὐρυχωρίαν ἐκκρίνουσιν. ἐν δὲ τῷ λύζειν, κατ' αὐτὸ τῆς γαστρὸς τὸ σῶμα, παραπλησίας τῆς τε διαθέσεως καὶ τῆς κινήσεως γιγνομένης, οἵαν καὶ τοῖς βήττουσι κατὰ δυσκρασίαν ἐνδείκνυμεν γίγνεσθαι. πάντων τῶν μορίων τῆς κοιλίας ἐκθλιβόντων τὸ λυποῦν αὐτά. διὰ τοῦτο τοῖς τε ῥιγώσασι τὴν γαστέρα, τὸ λυγμὸν σύμπτωμα γίγνεται, καὶ τοῖς πέπερι ἀθροώτερον λαβοῦσιν, ἤτι θερμὸν οὕτω φάρμακον, εἴτ' ἐπιπίνουσι θερμὸν ποτὸν, καὶ μᾶλλόν γε γίγνεται λύζειν αὐτοῖς, ὅταν ἀκριβῶς ἡ λεπτὸν τὸ πέπερι, μᾶλλον γὰρ ἐγκαταδύεται τὸ τοιοῦτον, αὐτῷ τῷ σώματι τῆς κοιλίας. οὕτω δὲ καὶ τοῖς ἄλλοις ἅπασιν, ὅσα ψύχοντά τε καὶ θερμαίνοντα, τῷ σώματι τῆς γαστρὸς ἐγκαταβαίνει, τὸ λύζειν ἕπεται, πρώτως μὲν τῆς ἐκκριτικῆς δυνάμεως κίνησις τις οὖσα πλημμελὴς, δευτέρως δὲ καὶ τῆς καθεκτικῆς τε καὶ περισταλτικῆς ὀνομαζομένης. οὕτως δὲ καὶ αἱ ναυτίαι, καὶ οἱ ἔμετοι τῆς ἐκκριτικῆς δυνάμεως, κινήσεις εἰσὶ πλημμελεῖς, ἐπὶ τῷ τὰ λυποῦντα τὸ στόμα τῆς γαστρὸς, ὅτι τάχιστα κενῶσαι διὰ τοῦ στομάχου. παραπλήσιον δὲ τούτῳ σύμπτωμά ἐστι καὶ τὸ κατὰ τὰς λειεντερίας, ὅταν ὑπό τινος ἡ γαστὴρ, ἤτοι δάκνοντος ἢ βαρύνοντος λυπῆται, τότ' ἀποκρίνειν εὐθέως ἐφιεμένη. ὄντων δὲ αὐτῇ δυοῖν στομάτων. ἄνω μὲν, τοῦ κατὰ τὸν στόμαχον. ἐν δὲ τοῖς κάτω, τοῦ κατὰ τὸν πυλωρόν, ἐφ' ὁπότερον ἂν αὐτῶν ῥέπει τὸ λυποῦν ἐκείνῳ συγχρῆται πρὸς τὴν ἔκκρισιν. εἰ δ' ὅλη ποτὲ αὐτῇ συμβαίη τοιαύτη διάθεσις, ἀμφοτέροις ἅμα χρῆται τοῖς στόμασιν, ὡς ἐν ταῖς χολέραις.

Ἡ δὲ λοιπή τε καὶ τετάρτη δύναμις αὐτῆς ἡ ἑλκτικὴ, συμπτώμασιν ἁλίσκεται τριττοῖς μὲν καὶ αὐτὴ κατὰ γένος, ἤτοι μηδ' ὅλως ἕλκειν δυναμένη τὰ σιτία, καὶ καλεῖται τὸ τοιοῦτον σύμπτωμα, στομάχου παράλυσις, ἢ μόγις ἕλκουσα, καθ' ὃν χρόνον ἄρχεται μὲν παραλύεσθαι, παρεῖται δ' οὐδέπω. καὶ τρίτον ἐπὶ τούτοις ἐπειδάν τι πλημμελῶς. αἱ πλημμελεῖς δὲ κινήσεις εἴρηνται πολλάκις, ὥσπερ οὖν καὶ αἱ διαθέσεις ἐφ' αἷς γίγνονται. συμβαίη δ' ἐνίοτε καὶ βλάστημά τι σαρκῶδες, οἷα κἀκτὸς ὁρᾶται πολλάκις κατὰ τὸν στόμαχον γιγνόμενα, ὡς ἤτοι παντάπασιν ἀποφράξαι τὴν ὁδὸν τῶν σιτίων, ἢ παραβλάψαι κατά τι. καλεῖται δ' ὀργανικὰ τὰ τοιαῦτα νοσήματα. καὶ διήρηται περὶ αὐτῶν ἐν τῇ

περὶ τῶν νοσημάτων διαφορᾶς. ἐν μὲν δὴ τῷ κατὰ φύσιν ἔχει, ἡ γαστὴρ ἕλκει μὲν ἄνωθεν εἰς ἑαυτὴν διὰ τοῦ στομάχου, κάτω δὲ ἐκκρίνει. παρὰ φύσιν δὲ διατεθεῖσα, κἀκ τῶν κάτωθεν τι μεταλαμβάνει. καὶ γὰρ καὶ κλυστῆρος ἐπανῆλθε τισὶν ὡς ἐμεθῆναι, καὶ κόπρος ἐν τοῖς ὀλεθρίοις εἰλεοῖς. ἄμεινον γὰρ οὐκ ἕλκειν αὐτὴν ἐν ταῖς τοιαύταις διαθέσεσιν ὑπολαμβάνειν, ἀλλὰ δέχεσθαι μόνον, ὅθεν ἂν ὑπὸ τῶν ἐντέρων ἀναθλιβόντων βιαίως ἄνω φέρηται. κατὰ φύσιν μὲν γὰρ ἐστὶν ἐν τοῖς ἐντέροις (ἤδη γὰρ καὶ περὶ τούτων λέγειν καιρὸς) ἡ περισταλή, καθάπερ ἐν ἑτέροις ἐπιδέδεικται, καὶ ταύτῃ χρώμενα προωθεῖ τὴν τροφὴν, ἄχρι τοῦ κάτω πέρατος. ἐν διαθέσεσι δέ τισιν, ὅταν ἡ περισταλτικὴ κίνησις ἄρξηται κάτωθεν, ἡ φορὰ τῶν περιεχομένων ἐν αὐτοῖς ἄνω γίγνεται. οὕτω καὶ χυμός τις δριμὺς ἐνίοτε κατενεχθεὶς ἐπὶ τὴν ἕδραν, ἤτοι κατ' ἀγορὰν διατριβόντων, ἢ κατ' ἄλλο τι χωρίον, ἢ πρᾶξιν, ἧς οὐχ οἷόν τε ἦν ἀπαλλαγῆναι, βιαίως ἐπισχεθεὶς, ἀνηνέχθη πάλιν ἄνω, καὶ τήν τε γαστέρα δάκνει, καὶ τὴν κεφαλὴν ἀναθυμιώμενος πληροῖ, τὴν μὲν ἀρχὴν τῆς κινήσεως, ἀπὸ τοῦ σφιγκτῆρος λαβὼν ὀργάνου ψυχικοῦ, τοὐντεῦθεν δ' ἑκάστου τῶν ἐντέρων ὠθοῦντος τε αὐτὸ πάλιν ἀφ' ἑαυτοῦ πρὸς τὸ ὑπερκείμενον, ἐν οἵῳ τρόπῳ πρότερον εἰς τὸ κάταντες ὠθοῖτο. κατὰ δὲ τὸν αὐτὸν ἐνίοτε τρόπον, καὶ ἡ φῦσα κατασχεθεῖσα, παλινδρομεῖ. θαυμαστὸν οὖν οὐδὲν, εἰ καὶ κλύσματός τι, καὶ κόπρου ταῖς οὕτω βιαίοις περισταλαῖς τῶν ἐντέρων, ἐπαναφέρεταί ποτε εἰς γαστέρα παρὰ φύσιν, εἴθ' οὕτως ὁρμᾶται πρὸς ἔκκρισιν. αἱ δὲ ἕτεραι κινήσεις αὐτῶν ἐκ μὲν τοῦ γένους εἰσὶ τῶν κατὰ φύσιν ἤτοι δ' ἐλλιπεῖς εἰσιν, ἢ πλημμελεῖς. καὶ διαφθορὰ καὶ συμπτώματα. λεπτέον δὲ αὐτὰς, ἀνάλογον ταῖς ἐπὶ τῆς γαστρὸς εἰρημέναις. οὕτω δὲ καὶ ἡ τῆς κινήσεως αὐτῶν στέρησις, οὐ σμικρότατον οὖσα σύμπτωμα. καὶ γένοιτ' ἂν ποτε καὶ διὰ τοιαύτην αἰτίαν εἰλεός, ὥσπερ γε καὶ οἱ παρὰ φύσιν ὄγκοι, ποτὲ μὲν οὐδ' ὅλως ἐπιτρέψουσι φέρεσθαι κάτω τοῖς περιττώμασιν, ἔστι δ' ὅτε ἐλλιπῶς. ἀλλὰ καὶ σκληρὰ κόπρος ἔν τινι τῶν ἐντέρων ἕλικι σφηνωθεῖσα, κωλύσειεν ἄν ποτε διεξέρχεσθαι κάτω τὴν ὑπερκειμένην κόπρον. καὶ φυλάττεται κἀνταῦθα τοῖς ἐπὶ τῆς γαστρὸς εἰρημένοις ἡ ἀναλογία πάντων τῶν συμπτωμάτων τῶν τοῖς ἐντέροις, ἤτοι διὰ δυσκρασίαν τινὰ συμβαινόντων, ἢ δι' ὄγκους οὐ κατὰ φύσιν δι' αὐτὰ τὰ περιεχόμενα περιττώματα. οὐκ οὖν οὐδὲ χρονίζειν ἔτι κατὰ τὸν ὑπὲρ αὐτῶν λόγον ἄμεινον. ἀλλ' ἐφ' ἑτέραν αὐτῶν γένος ἰέναι συμπτωμάτων καιρός. Ἔστιν οὖν τι φυσικὸν ἔργον ἀνάδοσις τροφῆς, ἐκ κοιλίας μὲν εἰς ἧπαρ, ἐξ ἥπατος δὲ εἰς ὅλον τὸ σῶμα. καὶ δέδεικται καὶ περὶ ταύτης. ὡς ἕλκοντος ἑκάστου μορίου τὴν οἰκείαν ἑαυτῷ τροφὴν, ἐπιτελεῖται. συμπτώματα δὴ τριττὰ καὶ περὶ τὴν τοιαύτην ἐνέργειαν ἔσται, ποτὲ μὲν ἐλλιπῶς, ἢ μοχθηρῶς, ποτὲ δὲ οὐδ' ὅλως ἐπιτελουμένην. αἱ δὲ αἰτίαι τριτταὶ, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν. ἢ γὰρ δυσκρασίαι τῶν ἑλκόντων ἢ νοσήματα ὀργανικὰ τῶν αὐτῶν τούτων, ἢ τῆς ἀναδιδομένης τροφῆς μοχθηρία. αἱ μὲν οὖν δυσκρασίαι τὴν δύναμιν ἄρρωστον ἀποτελοῦσιν. τὰ δ' ὀργανικὰ νοσήματα, τὰς ὁδοὺς στενοχωρεῖ. τῆς τροφῆς δ' ἡ μοχθηρία πάχος τε ἐστὶ καὶ γλισχρότης. περὶ δὲ τῆς διαγνώσεως αὐτῶν οὐ νῦν λέγειν καιρός, ἀλλ' ἐπὶ τὰς διακρίσεις τῶν περιττωμάτων ἰτέον. εἰσὶ δὲ κἀν ταύταις αἰτίαι τριτταί. μία μὲν, ἡ τῶν ἐκκαθαιρόντων αὐτὰ μορίων ἀτονία. δευτέρα δὲ, ἡ στενοχωρία τῶν ὁδῶν. ἡ δ' ὑπόλοιπος, τοῦ περιττώματος ἐστὶν αὐτοῦ μοχθηρία. τῆς μὲν οὖν ἀτονίας αἰτία, δυσκρασία τετύχηκεν οὖσα. τῆς δὲ στενοχωρίας, ἔμφραξις, ἢ ὄγκος τις τῶν ὀργάνων. ἀλλὰ τῶν μὲν ὄγκων, αἴτιον ὑπάρχει ῥεῦμα χυμῶν εἰς αὐτὸ κατασκῆπτον τὸ σῶμα τῶν ὀργάνων. τῆς δὲ ἐμφράξεως, ἤτοι πάχος, ἢ γλισχρότης τῶν χυμῶν, ἢ βλαστήματα. τῶν περιττωμάτων δ' αὐτῶν ἡ μοχθηρία, πλῆθος ἐστὶ καὶ πάχος καὶ γλισχρότης. ὄντων δὲ τριῶν περιττωμάτων τῆς ἐν ταῖς φλεψὶ πέψεως. ἑνὸς μὲν τοῦ πικροχόλου, δευτέρου δὲ τοῦ μελαγχολικοῦ καὶ τρίτου τοῦ ὀρρώδους. τὸ μὲν πικρόχολον, ἡ ἐπὶ τῷ ἥπατι κύστις ἐκκαθαίρει. τὸ δὲ μελαγχολικὸν, ὁ σπλήν. τὸ δὲ ὀρρῶδες, οἱ νεφροί. καὶ τοίνυν καὶ καθαρθήσεται φαύλως ἕκαστον. ἢ διότι τῶν οἰκείων ὀργάνων ἀρρωστησάντων. ἢ τῶν ὁδῶν στενωθεισῶν ἁπασῶν. ἅτε δὴ διττῶν ὑπαρχουσῶν τῶν ὁδῶν. ἑτέρων μὲν, δι' ὧν ἕλκεται τὸ περιττόν. ἑτέρων δὲ δι' ὧν ἐκκρίνεται, κατ' ἀμφοτέρας ἡ στενοχωρία βλάψει τὴν διάκρισιν. ἔστι δ' ὅτε τούτων μὲν, οὐδὲν ἐβλάβη. τὸ δὲ πλῆθος τοῦ περιττώματος, ὅταν ἄμετρον ᾖ, πᾶν ἐκκαθαρθῆναι μὴ δυνάμενον, ἅμα τῷ αἵματι φέρεται πανταχόσε τοῦ σώματος. τῆς δὲ ἀμετρίας αὐτοῦ διττὸν αἴτιον, ἥ τε ἀλλοιωτικὴ δύναμις οὐ καλῶς διακειμένη, καὶ τῶν ἐδεσμάτων ἡ μοχθηρία. τοῦ μὲν δὴ βεβλάφθαι τὴν δύναμιν, ἡ δυσκρασία τῶν μορίων αἰτία, καθάπερ εἴρηται πολλάκις. ἡ δὲ τῶν ἐδεσμάτων μοχθηρία καθ' ἕκαστον τῶν περιττωμάτων ἐστὶν ἰδία. τὰ μὲν γὰρ μελαγχολικώτερα φύσει. τὰ δὲ ὑδατωδέστερα. τὰ δὲ πικρόχολα ταῖς οὐσίαις ἐστὶν, ὡς ἐν τοῖς ὑπὲρ αὐτῶν λόγοις διῄρηται. καὶ μὲν γε καὶ τῆς ἀλλοιωτικῆς δυνάμεως ἡ δυσκρασία, πρὸς μὲν τὸ θερμότερον ἐκτρεπομένη ποτὲ μὲν τὸ πικρόχολον, ἔστιν ὅτε δὲ τὸ μελαγχολικὸν ἀποτελεῖ περίττωμα. δέδεικται δ' ἐν ἑτέροις ὁποῖον ἐστὶν ἑκάτερον. ἐπὶ δὲ τὸ ψυχρότερον. ἤτοι φλεγματικώτερον, ἢ ὑδατωδέστερον. ἀκολουθήσει δ' ἑκάστῳ τῶν περιττωμάτων οἰκεία τοῦ συμπτώματος ἰδέα, τῇ μὲν ὠχρᾷ πλεοναζούσῃ, καθ' ὅλον μὲν τὸν ὄγκον, ἴκτεροι. καθ' ἓν δέ τι μέρος, ἐρυσίπελατά τε καὶ ἕρπητες. τῇ μελαίνῃ δὲ, κατ' ὅλον μὲν τὸν ὄγκον, ἐλέφας. καθ' ἓν δέ τι μέρος, ὁ καρκίνος. τῷ φλεγματώδει δὲ, καθ' ὅλον μὲν τὸν ὄγκον ὁ λευκοφλεγματίας ὀνομαζόμενος ὕδερος. ἐν ἑνὶ δὲ τῷ μορίῳ, τὸ καλούμενον οἴδημα. λέγουσι δὲ οὕτω τὸν ἀνώδυνόν τε καὶ χαῦνον ὄγκον. ὀρρώδεσι δὲ περιττώμασι πλεονάζουσιν, ὅ τ' ἀσκίτης ὀνομαζόμενος ὕδερος ἕπεται. ἔτι τε φλυκταινῶν γενέσεις, ἐν ἐκείνοις τοῖς τοῦ ζώου μέρεσιν, εἰς ἅπερ ἀνηνέχθη τὰ περιττά. οὕτω μὲν ἐπειδὰν εἰλικρινὲς ἕκαστον αὐτῶν πλεονάζῃ, μιγνυμένων δ' ἀλλήλοις τε καὶ τῷ αἵματι πάμπολλαι συμπτωμάτων τε καὶ νοσημάτων ἰδέαι συνίστανται, περὶ ὧν οὐκ ἀναγκαῖον ἐν τῷ δὲ μηκύνειν. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέρχεσθαι. τῶν φυσικῶν ἐνεργειῶν ἡ πρώτη τε καὶ ἀναγκαιοτάτη σχεδὸν ἁπασῶν ἡ θρέψις ἐστὶν, εἶδός τι τῆς ἀλλοιωτικῆς ἐνεργείας ὑπάρχουσα. ἔστι μὲν γὰρ καὶ ἡ κατὰ τὴν γαστέρα πέψις ἀλλοίωσις. ἔστι δὲ καὶ ἡ ἐν ταῖς φλεψίν. ἔστι δὲ καὶ ἡ καθ' ἕκαστον μόριον. ἐφ' ᾗ τετάρτη τις ἀλλοίωσις, ἣν ἐξομοίωσιν ὀνομάζουσιν οὐ ταὐτὸν μὲν ὄνομα τῇ θρέψει, τὸ δὲ ἔργον οὐχ ἕτερον. ἀποτυγχάνεται δὲ καὶ ἡ θρέψις, ἤτοι μηδ' ὅλως, ἢ ἐλλιπῶς, ἢ πλημμελῶς γιγνομένη. διά τε τὴν θρεπτικὴν δύναμιν, ἧς τὸ γένος ἐστὶν ἡ ἀλλοιωτικὴ, καὶ διὰ τὴν τῆς ὕλης ἔνδειαν, ἢ μοχθηρίαν. ἔνδειαν μὲν ἐν ταῖς ἀτροφίαις, ὅσαι τε ἐλλιπῶς, καὶ ὅσαι στερητικῶς ὀνομάζονται. μοχθηρίαν δὲ, ὡς ἐν ἐλέφασί τε καὶ λεύκαις

ὅσα τ᾽ ἄλλα τοιαῦτα. συμβαίνει γὰρ ἐν τῷ προσφύεσθαι τὴν τροφὴν ταῖς σαρξὶν, ἐπειδὰν φλεγματικώτερον
ὑπάρχῃ τὸ αἷμα, καὶ τὴν σάρκα γίνεσθαι φλεγματικωτέραν. οὐ γὰρ ταυτόν ἐστιν αὐτῇ σαρκί τε εἶν(αι), καὶ φλεγ-
ματικῇ σαρκί. ὥσπερ οὐδὲ ταυτόν ἐστι σαρκί τε εἶναι καὶ μελαγχολικῇ σαρκί. καὶ νὴ Δία γε πικροχόλῳ τε.
καὶ εὐκράτῳ κατὰ τὰς πρώτας ὀνομαζομένας ποιότητας. ὑγροτέρᾳ τε καὶ ξηροτέρᾳ καὶ θερμοτέρᾳ καὶ ψυχρο-
τέρᾳ. πιστεύσεις δὲ τῷ λόγῳ βεβαιότερον, ἐννοήσας τῶν ζώων τὰς σάρκας ἐναίμων τε καὶ ἀναίμων, καὶ πρὸς
τούτοις τῶν ἑρπετῶν, ὅσα κατὰ τὸ ἔαρ ὁρᾶται γιγνόμενα, καὶ μάλιστ᾽ αὐτῶν ὅσα βοτάναις χλωραῖς ἔοικεν. ἀλλὰ
τούτων μὲν ἡ σὰρξ, ὁμοιοτάτη ταῖς πόαις ἐστίν. ἑτέρον τε λευκὴ καὶ ἄναιμος ὥσπερ τῶν καράβων τε καὶ
πολυπόδων, ἄλλων τε ἄλλη τις. οὔτε γὰρ ὀνομάσαι τὰς διαφορὰς αὐτῶν ἔνεστιν. οὕτως ἄπειροι τὸ πλῆθος
ὑπάρχουσιν. ὅταν οὖν ὡς ἐλέγομεν ὑπὸ φλεγματικοῦ τε ἅμα καὶ γλίσχρου τοῦ αἵματος ἡ σὰρξ τρέφηται,
χρόνῳ πολλῷ, σὰρξ μὲν ἔτι μένει, μεταλλάττεται δ᾽ αὐτῆς ἡ διαφορὰ καὶ πρὸς ἑτέραν ἰδέαν ἐκτρέπεται, καὶ γίνεται
μεταξὺ τῶν ἐναίμων σαρκῶν καὶ ἀναίμων. ἐπειδὰν δὲ τοιαύτη κατασταῇ, συμβαίνει λοιπὸν αὐτῇ, μὴ δ᾽ ἐπιχειρεῖν
ἔτι τὴν ἐπιφερομένην ἑαυτῇ τροφὴν, εἰς ἐρυθρὰν σαρκὸς ἰδέαν μεταβάλλειν. ὃ μᾶλλον, ἢ πολύποσί τε καὶ καρά-
βοις ἐν τούτῳ δὴ καὶ τάχιστα λευκή τε γίγνεται πᾶσα καὶ φλεγματώδης, ὅταν αὐτή τε μηκέτι δύνηται τὴν τρο-
φὴν, εἰς ἐρυθρότητα μεταβάλλειν, ἐπιρρέει τε τὸ φλεγματῶδες ἐκεῖνο. οἷον οὖν ἐξ ἀρχῆς ὁ κάραβος ἔχει τὴν
σάρκα, καὶ σχεδὸν ἅπαντα τὰ ὄστρεα, τοιαύτην ἐκ μεταπτώσεως ἴσχουσιν, οἱ ταῖς λεύκαις ἁλισκόμενοι. καὶ
γὰρ ὀνομάζουσιν οὕτω τὸ πάθημα τῆς σαρκὸς ἀπὸ τῆς χροίας τὴν ὀνομασίαν θέμενοι. τῆς δέ γε μελαίνης σαρκὸς
ἅμα καὶ ὀχθώδους, ἀπὸ τοῦ ζώου τοῦ ἐλέφαντος ἐποίησαν τοὔνομα. γίγνεται δὲ κἀκείνη κατὰ τὸν αὐτὸν τρό-
πον τῇ λεύκῃ χρόνῳ παμπόλλῳ μελαγχολικῆς ἐπιρρεούσης τροφῆς τῇ σαρκί. τῶν δὲ ἀλφῶν ἡ γένεσις, ὁμοει-
δὴς μέν ἐστι τοῖς εἰρημένοις πάθεσιν, οὐ μὴν αὐτῆς γε δι᾽ ὅλου πεπονθυίας τῆς σαρκός. ἀλλ᾽ ἐπιπολῆς τοῦ δέρ-
ματος, οἷον λεπίδες τινὲς ἐπιπεπήγασιν οἱ ἀλφοί. λευκοὶ μὲν ἐκ φλεγματικοῦ. μέλανες δὲ ἐκ μελαγχολι-
κοῦ γινόμενοι χυμοῦ. πηλίκα δὲ δύναται τροφὴ, καὶ ὡς μέγιστα πρὸς ἀλλοίωσιν σαρκός, εἴρηται καὶ Ἀριστο-
τέλει μεμνημένῳ χωρίων, ἐν οἷς ἀλλοιοῦται τὰ βοσκήματα μεθιστάμενα κατὰ χρόαν τε καὶ ἄλλας αἰσθητὰς
διαφοράς. ὅσοι δ᾽ οὐ συγχωροῦσιν ὑπὸ τροφῆς ἀλλοιοῦσθαι τὰ τρεφόμενα. κρατουμένου γὰρ οὐ κρατοῦντος
ὄνομα ὑπάρχειν τὴν τροφὴν, οὔτε περὶ τῆς κατὰ τὰ ζῷα μεταβολῆς, οὔτε πολὺ μᾶλλον ἔτι περὶ τῆς κατὰ
τὰ φυτὰ δύνανται λέγειν ὑγιὲς μηδέν. ἀλλ᾽ ἁλίσκονται παντάπασιν ὑπὸ τῶν πραγμάτων, ἐναργῶς ἅ-
πασι φαινομένων. τὰ μὲν γὰρ τοῦ περσικοῦ φυτοῦ τοῦ μετακομισθέντος ἐκ Περσῶν εἰς Αἴγυπτον, οὐδεὶς ἀγ-
νοεῖ. θανάσιμον μὲν ἦν κατὰ τὴν Περσίδα, μετακομισθὲν δὲ εἰς Αἴγυπτον μετέβαλε τὸ κινδυνῶδες. καθάπερ
οἶμαι καὶ τὸ τῶν παρ᾽ ἡμῖν ἀμπέλων, ὡς ὑπαλλάττουσαι τὰ χωρία, διάφορον ἐκφέρουσι τὸν οἶνον. τὰ δὲ τῶν
ἄλλων φυτῶν, οἱ τὰ γεωργικὰ ἀναγράψαντες, ἐδήλωσαν. ὥσπερ γε καὶ οἱ τὰ τῶν βοτανῶν, οἱ τὰ βοτανι-
κά. μετακομιζόμεναι γὰρ ἐξ ἑτέρων χωρίων εἰς ἕτερα πολλάκις, οὐδὲ δυοῖν σταδίοιν διάστημα, κατὰ πολλὰς
ἀλλοιοῦνται διαφοράς. ἐχρῆν οὖν ὅσοι φάσκουσι κρατουμένου, καὶ ἀλλοιουμένου, καὶ μεταβαλλομένου τὴν τρο-
φὴν ὑπάρχειν ὄνομα, μὴ τοῦτο μόνον ἐπίστασθαί τε καὶ λέγειν, ἀλλὰ καὶ περὶ λεύκης γενέσεως ἐπιχειρῆσαι δι-
ελθεῖν. ἤτοι γὰρ ἡ τρεφομένη σὰρξ αἰτία τοῦ παθήματος, ἢ τὸ τῆς τροφῆς μοχθηρόν. ἀλλ᾽ εἴπερ οὐχ ἡ τροφὴ,
βούλονται γὰρ οὕτως, ἀνάγκη φάναι τὴν σάρκα. τί ποτ᾽ οὖν αὐτὴ παθοῦσα, τὴν τροφὴν οὐκ ἔτι ἑαυτῇ κατὰ
πᾶν ὁμοιοῖ. γενήσεται γὰρ οὕτω γε τοῦ πάθους ἡ φύσις αἰτία. πολὺ δ᾽ ἦν ἄμεινον οἶμαι τὴν τροφὴν αἰτιᾶ-
σθαι. οὐ μὴν οὐδ᾽ ὅτι τὸ μὲν ὁμοιοῦν ἑαυτῷ τὴν τροφὴν, ἔργον ἐστὶ τοῦ τρεφομένου, τὸ δ᾽ ὁμοιοῦσθαί τε καὶ
μεταβάλλεσθαι πάθος τῆς τροφῆς, διὰ τοῦτο ἀδύνατόν ἐστι τῷ πάσχοντι περὶ τὸ ποιοῦν ἀντιδρᾶσαί τι, κἂν ᾖ
σμικρότατον. αὐτὸ γὰρ δή που ἐναντιώτατον, ἐν τοῖς περὶ τούτων λογισμοῖς ἐπεδείξαμεν, οὐχ ἡμεῖς μόνον,
ἀλλὰ καὶ τῶν φιλοσόφων ὅσοι δεινότατοι τῶν ὅλων τῆς φύσεως ἐνεργειῶν τε, καὶ παθῶν ἐξηγηταὶ γεγόνασι.
φαίνεται γοῦν ἅπαντα κἂν ἰσχυρότερα πολὺ τῶν ὁμιλούντων τυγχάνῃ, πάσχοντά τι πρὸς αὐτῶν αἰσθητὸν
καὶ σαφές, εἰ καὶ μὴ κατὰ τὴν πρώτην τούτων ὁμιλίαν, ἀλλ᾽ ἐν τῷ χρόνῳ γε πλεῖόν τι. καί που καὶ σίδη-
ρος ὁ τμητικώτατος ἠμβλύνθη τέμνων σάρκα μαλακωτάτην, ὅτε σκληρότατος λίθος, ἔχει τι κοῖλον ἐν ἑαυ-
τῷ χρόνῳ πολλῷ πληττόμενος ὑπὸ τοῦ σταλαγμοῦ. τί δεῖ λέγειν ἔτι περὶ τῶν κεραννυμένων ἅπαντες γιγνώσκου-
σιν. κἄν τε γὰρ εἰς ἀμφορέα ζέοντος ὕδατος ἐμβάλῃς κοτύλην ψυχροῦ, τὸ μικτὸν ἐξ ἀμφοῖν, οὐ μόνον ἐν-
δείκνυται τὴν ἧτταν τῆς κοτύλης, ἀλλὰ καὶ τοῦ νικήσαντος τὸ πάθος. ἐάν τις ἔμπαλιν εἰς ἀμφορέα ψυχροῦ
κοτύλην θερμοῦ ἐμβάλῃ, νικηθήσεται μὲν ἡ κοτύλη, πείσεται δέ τι βραχὺ καὶ ὁ ἀμφορεύς. ἀλλὰ γὰρ ὅπερ
εἴρηταί μοι καὶ πρόσθεν, οὐκ ἀντιλέγειν ἐν τῇδε τῇ πραγματείᾳ προὐθέμην, οὔτε μηκύνειν, ἀλλ᾽ ὅσον οἷόν
τε τάχιστα ποιήσασθαι τὴν διδασκαλίαν. ἡ μὲν οὖν λεύκη, μέγιστόν τι σφάλμα τῆς ἀλλοιωτικῆς ἐστι δυνάμεως.
ἕτερα δὲ πάμπολλα σμικρὰ καθ᾽ ὑγρότητα, καὶ ξηρότητα, καὶ ψυχρότητα, καὶ θερμότητα τῆς σαρκὸς ὑ-
παλλαττομένης. ἀτροφήσει δὲ τὸ μέρος οὐ μόνον δι᾽ ἀρρωστίαν τῆς ἀλλοιωτικῆς δυνάμεως, ἀλλὰ καὶ διὰ τὴν
ἑλκτικὴν ἀτονήσασαν, ἢ διὰ τὴν ἐκκριτικὴν ἀμετρότερον κινηθεῖσαν. εἰς ἀμετρίαν δὲ κινήσεως, ἡ ἐκκριτι-
κὴ δύναμις ἔρχεται, καθάπερ εἴρηται καὶ πρόσθεν, ὅταν ἤτοι διὰ πλῆθος, ἢ δριμύτητα περιττωμάτων, ἢ οἰκεί-
αν ἀσθένειαν, ἡ καθεκτικὴ δύναμις βαρύνηται. ἐν τούτῳ γὰρ ἀνάγκη συνεκκρίνεσθαι τῷ περιττῷ, τὸ χρηστὸν, ὡς
ἐν λειεντερίαις τε καὶ δυσεντερίαις καὶ χολέραις. ἀτονίᾳ δὲ τῆς ἐκκριτικῆς δυνάμεως ὑγροτέραν τε καὶ περιττω-
ματικωτέραν ἀνάγκη γίγνεσθαι τὴν σάρκα. τῶν περιττωμάτων δ᾽ αὐτῶν ἡ πλείων γένεσις, ἀρρωστίᾳ τῆς ἀλλοιωτι-
κῆς ἀποτελεῖται. ὅταν οὖν ἅμα συνέλθοι τὴν μὲν ἑλκτικὴν πολὺν ἐπισπᾶσθαι χυμὸν, ἀδυνατεῖν δὲ τὴν ἀλλοιω-
τικὴν δύναμιν ἅπαντα τὸν ἑλχθέντα κατεργάζεσθαι, καὶ διὰ τοῦτο πολλὰ γίγνεσθαι τὰ περιττώματα, τὴν
ἐκκριτικὴν δὲ ἐν τούτῳ τῷ καιρῷ, χεῖρόν τε καὶ ἀτονώτερον ἑαυτῆς κινεῖσθαι, πλῆθος οὕτως ἀνάγκη περιτ-
τωμάτων ἐν ταῖς σαρξὶ συνίστασθαι. κἂν τούτῳ κατά τε τὴν ἰδέαν καὶ τὸ ποσὸν τοῦ περιττώματος, ἄλλο τε

ἀλλοίαν γίνεσθαι τὴν σάρκα. ποτὲ μὲν οἰδηματώδη, ποτὲ δὲ φυσώδη, ποτὲ δὲ ὑδερώδη. καὶ γὰρ δὴ καὶ ὁ ἀνὰ σάρκα καλούμενος ὕδερος, ἐκ τούτου τοῦ γένους ἐστίν. ἀλλ' οὐδὲν οἶμαι δεῖν ἔτι μηκύνειν ὑπὲρ τῶν τοιούτων. οὐ γὰρ ἅπαντα διελθεῖν ἐν τῷδε τῷ λόγῳ τὰ κατὰ μέρος συμπτώματα προὐθέμην. ἀλλ' ἐν τοῖς πλείστοις γυμνάσαι τοὺς φιλομαθεῖς. ὥστε μοι καιρὸς ἤδη μεταβαίνειν ἐφ' ἕτερόν τι γένος συμπτωμάτων ἐγγὺς τῶν κατὰ τὰς βεβλαμμένας ἐνεργείας. αὐτὸ μὲν οὖν γένος ἐν τῷ ποσῷ καὶ ποιῷ τῶν ἐκκρινομένων ἐστίν, ἤτοι δὲ διὰ βλάβην τινὰ γίγνεται δυνάμεως, ἢ ἐρεθισμὸν ἄκαιρον, ἢ πλημμελῆ κίνησιν ἐπεγείροντα τὴν δύναμιν, ἢ δι' ἀναστόμωσιν, ἢ ῥῆξιν, ἢ διάβρωσιν ὀργάνου τινός, ὥσπερ ἀμέλει καὶ ἡ τοῦ αἵματος ἔκκρισις. οὐδὲν γὰρ χεῖρον ἀπὸ ταύτης ἄρξασθαι, διότι τῷ γένει δοκεῖ παρὰ φύσιν ὑπάρχειν, ὡς τὰ πολλά. πλὴν γὰρ ὅσα διὰ μήτρας αἱμορραγοῦσι γυναιξίν, αἱ μὲν ἄλλαι πᾶσαι κενώσεις τοῦ αἵματος ὅλῳ τῷ γένει παρὰ φύσιν εἰσίν. ἐκεῖναι δὲ τῷ ποσῷ μόνον. αἱ μὲν δὴ ῥήξεις αἱ τῶν ἀγγείων ἤτοι διά τινα τῶν ἔξωθεν γίγνονται πληγῶν, ἢ λακτίσαντός τινος, ἢ πατάξαντος, ἢ ὁπωσοῦν ἄλλως ἰσχυρῶς πληγέντος τοῦ ἀνθρώπου, γίγνεται μὲν καὶ ᾄδουσι μέγα, καὶ κατενεχθεῖσιν ἐπὶ τὴν γῆν ἀφ' ὑψηλοῦ, καὶ διὰ κραυγὴν ὀξεῖάν τε καὶ μεγάλην. ἐπειδὴ καὶ κατὰ ταύτην ἐπὶ πλεῖστον τείνεται τὰ φωνητικὰ τῶν ὀργάνων μόρια. τῷ λόγῳ δὲ τῆς τάσεως ἀναρρήγνυται καὶ ὅσα ᾀδόντων ἐβλάβη. τὰ δὲ ἐξ ὑψηλοῦ κατενεχθέντων, ἐν τῷ τῶν πληγῶν ἐστι γένει. διαφέρει γὰρ οὐδὲν ἢ ὑπὸ λίθου τινὸς ἐμπεσόντος ἔξωθεν θλασθῆναί τι μέρος, ἢ αὐτοῦ τοῦ κατενεχθέντος ἰσχυρῶς ἐμπεσόντος τῷ δαπέδῳ. ταυτὶ μὲν οὖν ἀγγείου ῥήξεως αἴτια πρόδηλα, καὶ οὐδεὶς ἀγνοεῖ. τὰ δ' ἐκ τῶν τοῦ σώματος ὁρμώμενα διαθέσεων, ἐπειδ' ἂν ἀπὸ ταὐτομάτου τις αἱμορραγήσῃ διὰ ῥινῶν, ἢ ἐμέσας, ἢ ἀναβήξας, ἢ χρεμψάμενος, ἢ κάτω διαχωρήσας, ἢ οὐρήσας αἷμα τύχῃ. ταυτὶ μὲν οὖν ὅλῳ τῷ γένει παρὰ φύσιν ἐστί. ταῖς γυναιξὶ δὲ ὡς εἴρηται διὰ τῆς μήτρας αἱμορραγούσαις, οὐχ ὅλῳ τῷ γένει παρὰ φύσιν ἡ κένωσις, ἀλλ' ἐν τῷ ποσῷ μόνον. ἅπαντα δὲ τὰ τοιαῦτα ἐμπίπτει διὰ τρεῖς αἰτίας, ἤτοι τῆς δυνάμεως ἀναστομωσάσης ἀγγεῖον, ὡς ἐν ταῖς ἐκ ῥινῶν αἱμορραγίαις, ἢ δι' αὐτὸ τὸ αἷμα μοχθηρῶς διακείμενον, ἢ τῶν ἀγγείων τι. τὸ μὲν οὖν αἷμα μοχθηρῶς διακεῖσθαι λέγω, τό, τε κακόχυμον εἰς τοσοῦτον γιγνόμενον, ὡς διαβιβρώσκειν τὰ περιέχοντα, τό, θ' οὕτω πλέον, ὡς μὴ στέγεσθαι. καὶ γὰρ καὶ τοῦτο ῥῆξιν ἢ ἀναστόμωσιν ἀγγείου, ἱκανόν ἐστιν. αὐτῶν δὲ τῶν ἀγγείων ἡ κάκωσις, ἐν ἀμέτροις ἐστὶ μαλακότησι καὶ σκληρότησι, καὶ λεπτότησι. γίγνεται δὲ ταῦτα καὶ φύσει μέν τισιν εὐθέως ἐν τῇ μήτρᾳ διαπλασθεῖσι μοχθηρῶς, οὐδὲν δὲ ἧττον αἱ μὲν μαλακότητες ἐπὶ περιτταῖς ὑγρότησιν. αἱ δὲ σκληρότητες, ἐπὶ ξηρότησιν. αἱ δὲ λεπτότητες, ἐπὶ ἀτροφίαις. τὸ μὲν οὖν μαλακὸν ἀμέτρως ἑτοιμότερον ῥαγῆναι δι' ἀσθένειαν. τὸ δὲ σκληρὸν πάνυ, τῷ μὴ ῥᾳδίως ἐπὶ πλέον ἐκτείνεσθαι. τὸ δὲ ἰσχνὸν δι' ἀμφοτέρας τὰς τοιαύτας τῶν φλεβῶν διαθέσεις οὐ μόνον ὑπὸ τῶν ἔνδον αἰτίων, ἀλλὰ καὶ ὑπὸ τῶν ἐκτός, ἑτοίμως ῥήσσεσθαι συμβέβηκε, διαβιβρώσκεται δὲ οὐχ ὁμοίως ἅπαντα, τὸ μὲν γὰρ σκληρόν, καὶ παχύ, δυσπαθὲς ὑπὸ διαβρώσεως. οὕτω δὲ καὶ ἀναστομοῦσθαι τῷ μὲν ἀτόνῳ τε καὶ μαλακῷ, καὶ ἰσχνῷ πρόχειρον. πρόχειρον δέ, τῷ εὐτόνῳ τε καὶ παχεῖ, καὶ σκληρῷ. γίγνεται δ' ἡ ἀναστόμωσις ὑπό τε τῶν ἐρεθιζόντων τὰ στόματα τῶν ἀγγείων. καὶ διὰ πλῆθος βιαζόμενον. ἐνίοτε δὲ καὶ δι' αὐτὴν τὴν φύσιν ἐκκρίνουσαν τὰ λυποῦντα. καλοῦσι δέ, τινὰ καὶ διαπήδησιν αἵματος, ὡς τέταρτον γένος ἐπὶ τοῖς εἰρημένοις, ἔστι δὲ τέταρτον μὲν οὐδαμῶς. ἤτοι δὲ ἀναστόμωσις ἀγγείων μικρῶν, ἢ οὐχ αἵματος † ἔκκρισις, ἀλλ' ὀρροῦ εἶδος καθ' οἷον μάλιστα τρόπον ἐπ' ἀτονίας ἥπατος καὶ νεφρῶν οὐρεῖται. καὶ κάτω δὲ διαχωρεῖται πολλάκις αἱματώδης ὀρρός. εἰρήσεται δὲ ὑπὲρ αὐτῶν ὀλίγον ὕστερον ἐπειδ' ἂν ἐπέλθωμεν πρότερον ὑπὲρ τῶν ἐμουμένων. ἐκκρίνεται γὰρ οὖν καὶ ταῦτα, ποτὲ μέν, ὡς πλείω τε καὶ βαρύνοντα τὴν κοιλίαν, ὥσπερ ἐνίοτε τὸ πλῆθος τῆς τροφῆς, ἔστιν ὅτε δὲ ὡς ἀνιῶντα τε καὶ δάκνοντα, καθάπερ ὅταν ὀξώδης ἢ κνισώδης, ἢ πικρὰ καὶ δριμεῖα κατὰ τὴν ἀπεψίαν ἡ προσενεχθεῖσα γένηται τροφή. τούτου τοῦ γένους ἐστὶ καὶ τὰ χολώδη τε, καὶ φλεγματώδη, καὶ ὀρρώδη περιττώματα, τά τ' αὐτόθι γεννώμενα, καὶ ὅσα συρρεῖν πέφυκεν εἰς αὐτήν, ἐξ ὅλου τοῦ ζώου τῆς ἕξεως. ἔστι δὲ καὶ τρίτον τι γένος ἐπὶ τούτοις αἰτίων, εἰς ἔμετον ἐξορμώντων τὴν γαστέρα. κἂν μήτε βαρύνῃ, μήτε δάκνῃ, μόνον δὲ αὐτοῖς ὑπάρξῃ τὸ παρὰ φύσιν. ὅρος δ' ἐστὶ κοινὸς ἁπάντων τοῦ παρὰ φύσιν. εἰ μὴ δύναιτο τρέφειν πεφθέντα. κατὰ τοῦτον οἶμαι τὸν λόγον, οὐ μόνον ὀξὺ φλέγμα, καὶ ἁλυκόν, ἀλλὰ καὶ γλυκὺ πολλάκις ἐν τῇ γαστρὶ συστάν, εἰς ἔμετον αὐτὴν ἐξορμᾶν εἴωθε. καὶ αὐτό γε τὸ αἷμα τὸ εἰς τὴν κοιλίαν ἐκχυθέν, οὕτως ἐμεῖν αὐτὴν ἀναγκάζει. καὶ μὴν καὶ κάτω διαπέμπει ποτὲ μὲν θᾶττον, ἔστιν ὅτε δὲ βραδύτερον, ἢ ἔλαττον, ἢ πλέον, ἢ ὀλιγάκις, ἢ πλεονάκις, ἤτοι χρηστὴν τροφήν, ἢ διεφθαρμένην, ἢ τὸ συρρέον εἰς αὐτὴν ἄνωθεν, ἢ τὸ κατ' αὐτὴν ἀπογεννώμενον. ἀλλ' ἡ μὲν φθάνουσα τὸν συνήθη καιρὸν ἔκκρισις, ἤτοι καὶ βαρυνομένης τῆς κοιλίας, ὡς ὑπὸ πολλοῦ τοῦ ληφθέντος, ἢ δακνομένης τε καὶ κεντουμένης, ὡς ὑπὸ δάκνοντος, ἢ ὡς ἀλλότριον, καὶ οὐκ οἰκεῖον ἀχθομένης γίγνεται, μεμνημένων ἡμῶν, ἐπειδ' ἂν πολύ τι λέγωμεν, ὡς τριττὴν ἔχει τὴν γένεσιν, ἤτοι τῷ τὴν δύναμιν ἀτονωτέραν ὑπάρχειν ἑαυτῆς, ἢ τῷ τὸ ληφθὲν ὑπερβάλλειν τὸ σύμμετρον, ἢ διὰ τὸ συναμφότερον. ἔξωθεν δὲ τῶν εἰρημένων ἡ τῶν ὑγροτέρων τε καὶ γλισχροτέρων ἐδεσμάτων προσφορὰ ταχεῖαν ἐργάζεται διαχώρησιν, ὀλισθαινόντων αὐτῶν ἑτοιμότερον, εἰ καὶ περιπατήσαντες μάλιστα τύχοιεν ἐπ' αὐτοῖς ἀτρέμα. ὥστε κατασεῖσαι μὲν αὐτά, μὴ μέντοι γε ἀνάδοσιν ἐργάσασθαι πρὸ τοῦ καιροῦ. συμβαίνει γάρ τι τοιοῦτον ἐν ταῖς κατασείσεσιν, ἐπειδὴ πάμπολλαι τῶν ἐντέρων ἕλικές εἰσιν. ἀνάγκη δήπου καθ' ἑκάστην αὐτῶν ἐκ τῶν ὑψηλοτέρων εἰς τὰ ταπεινότερα φέρεσθαι τὰ σιτία. τοὐντεῦθεν δὲ τῷ βάρει μέν, οὐκ ἔθ' οἷόν τε μένειν. τῇ δὲ τῶν ἐντέρων αὐτῶν ἐνεργείᾳ, προωθεῖται τὰ σφηνούμενα κατὰ τὰς ἕλικας αὐτῶν ἐχόντων δύναμιν ἔμφυτον ἀποκριτικὴν τῶν ἀνιόντων αὐτά. τὰ δ' ὑγρὰ καὶ γλίσχρα σιτία, διεξέρχεται ῥᾷον, εἴτε τῷ βάρει καὶ τῷ σεισμῷ τοῦ σώματος, εἴτε τῇ τῶν ἐντέρων ἐνεργείᾳ προωθοῖτο. ταχείας μὲν οὖν διεξόδου, λέλεκται τὰ αἴτια. ὀψιαίτερον δὲ τοῦ συνήθους ἀποκρίνει ἡ κάτω γαστήρ, ἤτοι δι' ἀτονίαν, ἢ διὰ δυσαισθησίαν τῶν ἐντέρων, ἢ δι' ὀλιγότητα τῶν ἐδεσμάτων, ἢ διὰ ποιότητα.

† al. ἐκκρίσεως

τητα. τά τε γὰρ ἄτονα περιστέλλειν οὐ δύναται. τὰ δὲ δυσαίσθητα τῶν λυπούντων, ἀμυδρῶς αἰσθάνεται τῆς λύπης δ' ἣν αὐτοῖς ἴασις, ἡ ἔκκρισις. καὶ μὲν δὴ καὶ αὐτῶν τῶν σιτίων, τὰ μὲν ἐλάττω τοῦ δέοντος, ὀλίγον ἴσχει τὸ περιττὸν, ὥστε οὐχ ὁμοίως βαρύνει. τὰ δὲ παχέα καὶ στρυφνὰ, βραδύπορα πάντ' ἐστὶν ἐναντίως τοῖς γλίσχροις τε καὶ ὑγροῖς. οὐ μόνον δὲ ἀτονίᾳ τῶν ἐντέρων, ἀλλὰ καὶ τῶν κατ' ἐπιγάστριον μυῶν ἡ διαχώρησις βραδύνει. καὶ μάλιστα ἐπειδὰν σκληρότερα τύχῃ γενόμενα τὰ περιττώματα, τηνικαῦτα γὰρ οὐ μόνον τῶν κατ' ἐπιγάστριον, ἀλλὰ καὶ τῶν κατὰ τὸν θώρακα μυῶν, ἰσχυρῶς ἐνεργούντων δεῖται. ἔλαττον δὲ γίγνεται περίττωμα τῆς πρὸς τὸ πλῆθος ἀναλογίας τῶν ἐδηδεσμένων, ἐπειδὰν εἰς ἀνάδοσιν ἐξ αὐτῶν πλέον ἀφίκηται. ἔμπαλιν δὲ πλέον τῆς ἀναλογίας τῶν ληφθέντων διαχωρεῖται, ποτὲ μὲν ἐνδείᾳ τῆς ἀναδόσεως, ἔστιν ὅτε δὲ συῤῥεόντων τινῶν ἄνωθεν, εἰς τὰ κατὰ τὴν γαστέρα χωρία. συνεχεῖς δὲ ἐκκρίσεις γίγνονται δι' ἀτονίαν, ἢ δῆξιν. ἡ μὲν οὖν ἀτονία τῶν κατὰ τὴν κοιλίαν ὀργάνων, ὡς ἤδη πολλάκις εἴρηται, διὰ δυσκρασίαν. ἡ δὲ δῆξις, ὑπὸ τῶν περιεχομένων ἐν αὐτοῖς γίγνεται. τέτταρες δὲ αἰτίαι τῆς γενέσεως εἰσὶ τῶν οὕτω δακνόντων, ἤτοι φαρμακώδης τις δύναμις ἅμα τοῖς σιτίοις, ἢ καθ' ἑαυτὴν ληφθεῖσα, ἢ καὶ τῶν ἐδεσμάτων αὐτῶν αἱ διαφοραί. καὶ πρὸς τούτοις, ὅσα ἐκ τοῦ σώματος εἰς τὰ κατὰ γαστέρα συῤῥεῖ δακνώδη περιττώματα. καὶ ὅσα κατ' αὐτὴν γεννᾶται τοιαῦτα. καθάπερ ἐν δυσεντερίαις ταῖς ἐφ' ἑλκώσει κακοήθει. δύναται δ' ἄν τις ἅμα ταύταις, καὶ πέμπτην αἰτίαν προστιθέναι τῶν τοιούτων συμπτωμάτων, αἴσθησιν περιττὴν τῶν σωμάτων, εἴτ' ἐκ φύσεως ὑπάρχουσαν, εἴτε δι' ἕλκωσιν. ἕτερος δὲ τρόπος ἐκκρίσεως συνεχοὺς ἐστι παρὰ γένος τῆς αἰτίας ἀποκεχωρισμένος ἁπάντων τῶν προειρημένων αἰτίων, ὁ ἐπὶ τῇ παραλύσει τῶν ἐπικειμένων μυῶν, τῷ πέρατι τῆς ἐκροῆς τῶν περιττωμάτων. ἀπροαίρετος γὰρ περὶ τούτων ἡ ἔκκρισις, καὶ διὰ τοῦτο ἄκαιρός τε καὶ ἄτακτος, καὶ συνεχής. ἀλλὰ περὶ μὲν διαχωρημάτων, ἱκανὰ καὶ ταῦτα. περὶ δὲ τῶν ἀτμωδῶν πνευμάτων, ἃ δὴ καὶ φύσας ὀνομάζουσιν ἐφεξῆς ῥητέον. ἔστι δὲ καὶ τούτων ἡ μὲν γένεσις, ἐν αὐτοῖς τοῖς περὶ τὴν γαστέρα χωρίοις, χυμῶν τινῶν αὐτόθι φλεγματωδῶν, ἢ σιτίων εἰς ἀτμοὺς λυομένων ὑπὸ θερμότητος ἐνδεοῦς. ἡ μὲν γὰρ τελεία ψύξις οὐδ' ὅλως ἀτμὸν ἐργάζεται, διότι μὴ δὲ ὅλως λεπτύνει, μὴ δὲ κατεργάζεται, μὴ δὲ διαλύει τὴν τροφήν. ἡ δ' ἰσχυρὰ θερμασία πολλῷ περιεχόντων κρατοῦσα, πλέον ἤδη ἢ κατὰ γένεσιν ἀτμοῦ λεπτύνει τὴν τροφήν, ἣν μὴ φυσώδης ὑπάρχῃ φύσει. τηνικαῦτα δὲ γεννᾶται μέν τι πνεῦμα θολερόν τε, καὶ ὡς ἂν εἴποι τις ὁμιχλῶδες, ὀλίγον δὲ τοῦτο καὶ κατὰ χρόνον ἐλάχιστον, ὡς ἀπὸ μιᾶς ἢ δευτέρας ἐρυγῆς ἐκκενοῦσθαι. ἡ δὲ ἐνεργοῦσα μὲν ἀμφὶ τὰ σιτία θερμότης, ἐνδεεστέρα μὲν πως διαλύει αὐτὰ, κατεργάζεται δὲ οὐκ ἀκριβῶς κἀντεῦθεν ἡ τοῦ φυσώδους πνεύματος γένεσις. ἑνὶ δὲ λόγῳ, καθάπερ ἐκτὸς αἵτε ψυχρόταται καταστάσεις αἱ αἴθριοι, μάλιστα δ' ἐν τοῖς βορείοις γίγνεσθαι πεφύκασιν. αἵτε θερμόταται θέρους ὥρᾳ συνιστάμεναι, καθαρὸν ἀπεργάζονται τὸ περιέχον, αἱ μεταξὺ δ' αὐτῶν εἰσὶν αἱ τὴν ὁμίχλην γεννῶσαι. κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς ζώοις, οὔτε ταῖς ἐσχάταις ἀτονίαις τῆς θερμασίας, οὔθ' ὅταν ἰσχυρῶς ἐῤῥωσθῇ. κατὰ δὲ τὰς μεταξὺ τούτων, ἀπογεννᾶται τὸ φυσῶδες περίττωμα. καὶ τοῦτο διὰ μὲν τοῦ στόματος ἐκκρινόμενον, ἐρυγὴν ἐργάζεται, διὰ δὲ τοῦ κάτω πέρατος, ἤτοι ψοφοῦσαν, ἢ ἄψοφον φῦσαν, ἐπειδὰν δὲ μὴ δι' ἑτέροις. ἐκφέρεται, τὴν ἐμπνευμάτωσιν ὀνομαζομένην ἀποτελεῖ σύμπτωμα, γαστρὸς ἀπὸ νόσης, ἐκκρίνειν τὸ περιττωματικόν τε καὶ ὁμιχλῶδες πνεῦμα. κατὰ τὰ μόρια δὲ, ἄλλο τε ἄλλα τῶν ἐντέρων, ἐπειδὰν συνίσταταί τε καὶ κινεῖται τὸ τοιοῦτον πνεῦμα, πολυειδεῖς ἀποτελεῖ τοὺς ψόφους, ὀνόματα μὲν οὐκ ἔχοντας ἅπαντας, ἐνδείξασθαι δὲ περὶ συνετῶν δυναμένους, ὁποῖόν τε καὶ ὁπόσον ἐστὶ τὸ περίττωμα, καὶ καθ' ὅν τινα μάλιστα τρόπον ἑλισσόμενον. εἰ μὲν γὰρ ὀξὺ καὶ λεπτὸν ἠχοίη, τὸ μὲν τοιοῦτον πνεῦμα διὰ κενοῦ τε φέρεται τοῦ ἐντέρου, καὶ πάντως στενοῦ, καθαρώτερόν τε καὶ ἀερωδέστερον, ὑπάρχον αὐτό. φυσωδέστερον δὲ γενόμενον, ὁμοίως μὲν ἐργάζεται τὸν ψόφον μικρὸν, ἐν τοῖς λεπτοῖς ἐντέροις ἐνελιττόμενον, ἀλλ' οὔτ' ἀκριβῶς ὀξὺν, οὔτε λεπτόν. οἱ μὲν δὴ τοιοῦτοι ψόφοι πάντες, ἐν τοῖς κατὰ τὴν νῆστιν μάλιστα συνίστανται χωρίοις. εἰς ὅσον δ' αὖ ὑποκαταβαίνουσιν, ἄχρι τῶν ἄλλων ἐντέρων τῶν λεπτῶν ἧττον ἠχώδεις ἀποτελοῦνται. βομβώδεις δ' εἰσὶν ἕτεροι, τοῖς ἐξ εὐρυτάτων αὐλῶν ἐοικότες, ὁποίους ἔχουσιν οἱ τυμβαῦλαι καλούμενοι, διὰ μὲν τὴν ὕλην ἐξ ἧς γεγόνασιν οὐ δυναμένους ἠχεῖν καθαρὸν, διὰ δὲ τὴν εὐρύτητα τῆς τοῦ πνεύματος ὁδοῦ βαρύτατα φθεγγομένους. οἱ τοιοῦτοι πάντες ἐν τοῖς παχέσιν ἐντέροις συνίστανται κενοῖς γενομένοις περιττωμάτων. εἰ δ' ὑγρότης τις ἐν αὐτοῖς περιέχοιτο, προσέρχεταί τις ἰδέα παρὰ βόμβου καὶ παρὰ τὸ δὲ, καὶ καλοῦσι τὸν τοιοῦτον ψόφον οἱ ἄνθρωποι, βορβορυγμὸν, ἔκκρισιν ἐπαγγελλόμενον ὑγροῦ περιττώματος. ἡ γὰρ ἰδέα ψόφου, ταῦτ' ἄμφω προμηνύει. διότι μὲν ἐπικινουμένη γίγνεται τῇ φύσει, τὴν ἔκκρισιν ἐπαγγελλόμενον. ὅτι δὲ καὶ μετὰ βορβορυγμοῦ, τὴν ὑγράν. καὶ αὐτῶν δὲ τῶν ἔξω φερομένων φυσῶν ὁ ψόφος, ὁ μὲν οἷον βορβορυγμῷ τινὶ προσέοικεν, ἔκκρισιν ὅσον οὔπω γενήσεσθαι προδηλῶν. ὁ δὲ καθαρός τε, καὶ ὡς ἂν εἴποι τις εὐηχός ἐστι καὶ ἀερώδης, ἤτοι κενὸν ἐνδεικνύμενος εἶναι τὸ ἔντερον, ἢ καὶ πάνυ τι σκληρὸν ἔχειν ἀνωτέρω ποῦ περίττωμα. καὶ μὲν δὴ καὶ μέσος τις τούτων ἐστὶν ἄλλος, οἷον βομβώδης ἐπὶ μέσῃ τινὶ καὶ μεταξὺ τῶν εἰρημένων διαθέσει γενόμενος. ὁ δ' οἷον τρυσμὸς, ἢ τρισμὸς, (ἑκατέρως γὰρ αὐτὸν ὀνομάζουσιν, οἱ μὲν ἀπὸ τοῦ υ τὴν ἀρχὴν, οἱ δ' ἀπὸ τοῦ ι ποιούμενοι τῆς πρώτης συλλαβῆς) ἐπὶ στενοχωρίᾳ τε ἅμα τῶν ὀργάνων καὶ φυσώδει πνεύματι μετ' ὀλίγης ὑγρότητος γίγνεται. ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, πρός γε τὰ παρόντα, περὶ τῶν ἄνωθεν εἰς τὴν γαστέρα συῤῥεόντων ἐπανέλθωμεν. ἐῤῥήθη γὰρ δὴ καὶ ταῦτα, διαχωρημάτων ὑγρότητός τε καὶ πλήθους αἴτια καθίστασθαι. φέρεται τοίνυν ἄνωθεν εἰς τὴν γαστέρα πολλάκις μὲν ἐῤῥωστίᾳ τῆς φύσεως ἐκκρινούσης τὸ περιττὸν, ἔστι δ' ὅτε ὑπὸ ἀῤῥωστίας οὐδὲ τὸ βαστάζειν δυναμένης. ἐκκρίνεται μὲν οὖν τὸ περιττὸν ἔν τε ταῖς κρίσεσι, καὶ κατὰ τὸν τῆς ὑγείας ἐνίοτε χρόνον, ὥσπερ ἀμέλει καὶ ταῖς γυναιξὶν ἐφ' ἑκάστῳ μηνί. τοιαύτας δὲ καὶ τὰς αἱματηρὰς δυσεντερίας ὁ Ἱπποκράτης ἔφασκε συμπίπτειν, ἐφ' ὧν ἀπεκόπη τι κῶλον. εἴδομεν δὲ καὶ ἡμεῖς οὐ τούτοις μόνοις, ἀλλὰ καὶ ἄλλοις τισὶ συμπιπτούσας ἐκ περιόδου τινὸς ὡρισμένης. ἅπαντας δ' οὓς ἐθεασάμεθα κενουμένους οὕτως ἐκ γυμνα-

σικῶ τοῦ πρόσθεν βίου μεθεστήκεσαν εἰς ἀργίαν παντελῆ. τὸ μὲν δὴ τοιοῦτον περίττωμα, κατὰ ποσὸν μόνον ἀλλότριον ἐστὶν, ἕτερον δὲ τῷ ποιῷ, τὰ πολλὰ μὲν ἐν τοῖς ὀξέσι νοσήμασι κριτικῶς ἐκκρινόμενον, ἔστιν ὅτε δὲ, λόγῳ συντήξεως. ἐν δὲ μεταξὺ δὲ τούτου τε τοῦ παντάπασιν ἀχρήστου καὶ μοχθηροῦ περιττώματος, κἀκείνου τε τοῦ προειρημένου χρηστοῦ, τρίτον ἄλλο γένος ἐστὶ περιττώματος, οἷον περ ἐν γαστρὶ τὸ ἡμίπεπτον σιτίον, ἐκκρίνεται δὲ τοῦτο ἐπὶ τὰς ἡπατικὰς μάλιστα διαθέσεις. ὀνομάζουσι δὲ οὕτως, ἐφ᾽ ὧν ἀτονία τοῦ ἥπατος ἡ νόσος ὑπάρχει, κἂν μηδεμία συνῇ φλεγμονή. τηνικαῦτα γὰρ ὅμοιόν τι τὸ πάθημα συμβαίνει περὶ σπλάγχνῳ, τοῖς ἐπὶ τὴν ἄτονον γαστέρα συμπίπτουσιν, ἐπειδὰν ὀρέγηται μὲν ἡ γαστὴρ, ἃ δ᾽ ἂν προσάρηται σιτία μὴ πέψασα, βαρύνεταί τε καὶ ἡμίπεπτα τοῖς ἐντέροις ἐκπέμπει. αὕτη μὲν γὰρ καὶ εἰς ἔμετον ὁρμᾷ. τὸ δ᾽ ἧπαρ ἀνάλογόν τι τῷ ἐμέτῳ πάσχον, ἣν ἐπεσπάσατο τροφὴν ὡς διὰ στομάχου τῶν ἐπὶ τὸ μεσάραιον ἀγγείων, αὖθις ἀποπέμπει δι᾽ αὐτῶν ἡμίπεπτον. ἔστι δὲ τῆς τοιαύτης ἐκκρίσεως ἡ ἰδέα, καθάπερ οὖν καὶ εἰκάζουσιν αὐτὴν οἱ πρὸ ἡμῶν ἐοικυῖα μάλιστα πλύματι κρεῶν. ἄμεινον δ᾽ ἴσως οὐχ ἁπλῶς οὕτω λέγειν, ἀλλ᾽ εἰς ἀκρίβειαν τῆς εἰκόνος, ἐναιμῶν τε καὶ νεοσφαγῶν κατὰ λόγον προστιθέναι, καὶ μὲν δὴ καὶ εἴτις ὑδατῶδες αἷμα τὸ οὕτως ἐκκρινόμενον εἴποι, καὶ οὕτως ἐμοὶ δοκεῖ σαφῶς ἑρμηνεύειν αὐτό. τουτὶ μὲν δὴ τὸ σύμπτωμα τοῖς τῶν ἡμιπέπτων σιτίων ἐμέτοις ἀνάλογον ἔχει, τὸ δὲ ἕτερον ὃ μέλλω λέγειν ἔοικεν ὑγροῖς διαχωρήμασι γαστρὸς εἰς ἀκριβεστάτην μὲν ἀφιγμένοις πέψιν, ἀτυχήσασι δὲ τῆς ἀναδόσεως. ὡς γὰρ καὶ ταῦτα πάντως δή που βαρυνομένη πρὸς αὐτῶν ἡ γαστὴρ ἐκκρίνειν ἐφίεται, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὸ ἧπαρ, ἐπειδὰν ἱκανῶς ἀθροίσῃ τῆς ἀναδοθείσης τροφῆς εἰς ἑαυτὸ, οὐκ ἔτι ἀνέχεται παρακειμένης ἐπὶ πλέον. ὅταν οὖν αὕτη μὴ δύνηται φέρεσθαι πρόσω δι᾽ ἥντιναοῦν αἰτίαν ἀναγκαῖον αὐτῇ παλινδρομεῖν εἰς τὴν γαστέρα, καὶ φαίνεται τηνικαῦτα τὸ ἐκκρινόμενον αἷμα μελάντερόν τε τοῦ κατὰ φύσιν καὶ στίλβον ὡς ἐξ αἵματός τε καὶ μελαίνης χολῆς κεκραμένον. αἰτία μὲν γὰρ αὐτὸ καθ᾽ ἑαυτὸ μελανόμενον ἐν τῷ ψύχεσθαι, πρὸς τὸ μηδεμίαν ἐπικτᾶσθαι στιλπνότητα, καὶ ἣν ἐξ ἀρχῆς εἶχεν ἀπολλύειν. ἡ μέλαινα δὲ χολὴ στιλπνοτέρα καὶ αὐτοῦ τοῦ αἵματός ἐστιν. ὥσπερ καὶ ἡ ἐκ τῆς νεκρᾶς θαλάττης ἄσφαλτος ἣν ἰουδαϊκὴν ὀνομάζουσιν. οὐ γὰρ ἀποψυχόμενον τὸ αἷμα γεννᾷ τὴν μέλαιναν χολὴν, ὥσπερ ἐπὶ τοῦ θρόμβου ἀλλ᾽ ὑπεροπτώμενον. διὸ καὶ τὴν στιλπνότητα διασωζομένην ἔχει. οὐ γὰρ ὡς ὁ θρόμβος ἀποψυχθέντος τοῦ αἵματος, οὕτω καὶ ἡ μέλαινα χολὴ τὴν γένεσιν ἔχει. τοὐναντίον γὰρ ἅπαν ἐξ ὑπεροπτήσεώς τε καὶ ζέσεως, οἷον τέφρα τις ἡ μέλαινα χολὴ συνίσταται, ψυχρὰ μὲν ὅτι γεώδης, θερμότητος δὲ μετέχουσα καθάπερ ἡ τέφρα τε καὶ τὸ ὄξος. ἔρχεται δὲ εἰς τὴν εἰρημένην διάθεσιν ὁ ἐκ τῆς κοιλίας ἀναδοθεὶς χυμὸς ἐπὶ πλέον ἐν ἥπατι μένων, παρὰ μὴ τυγχάνειν τῆς ἐντεῦθεν ἀναδόσεως. ὀνομάζεται δὲ ἡ τοιαύτη τῶν ἐκκρίσεων ἰδέα πρός τινων δυσεντερία. καὶ γὰρ οὖν καὶ δάκνονται πολλάκις ὁμοίως τοῖς δυσεντερικοῖς. αἰτία οἶμαι τῆς ξανθῆς χολῆς, δριμείας αὐτοῖς γινομένης ἐν τῷ κατοπτᾶσθαι τὸ αἷμα. καλείτω μὲν οὖν ἕκαστος ὡς ἂν ἐθέλῃ. διαφοραὶ δὲ τῶν ἐκκρινομένων αἱματωδῶν αἱ πᾶσαι τέσσαρες ὑπάρχουσιν ἐπὶ τέτταρσι διαθέσεσι, μία μὲν αὐτοῦ τοῦ αἵματος ἐπὶ τῶν ἀποκοπέντων κώλων, ἢ γυμνασία καταλυσάντων ἐκ περιόδου τινὸς ἀποτελουμένη. δευτέρα δὲ δι᾽ ἀτονίαν ἥπατος ὑδατώδους αἵματος ὑπιόντος, ὃ κρεῶν εἰκάζουσι πλύματι. τρίτη δὲ ἡ νῦν εἰρημένη τοῦ μελαγχολικοῦ, καὶ στίλβοντος. αὗται μὲν οὖν αἱ τρεῖς ἀθρόαν τε ἅμα καὶ πολλὴν ἐργάζονται τὴν ἔκκρισιν. ἡ τετάρτη δὲ κατὰ βραχύ τε καὶ δι᾽ ὀλίγου τοῦ χρόνου τὴν ἀπόκρισιν ἔχει γινομένην, ἐνίοτε μὲν, ἀκριβοῦς αἵματος, ἔστι δ᾽ ὅτε θρομβώδους. ἐν ταύτῃ καὶ πύον τι συνεκκρίνεται πολλάκις ὀλίγον. καὶ τῶν καλουμένων ἐφελκίδων ὑμενώδη τέ τινα σώματα μόρια τῶν ἐντέρων αὐτῶν. ἀλλὰ καὶ συνεστηκυῖα πολλάκις ἐπὶ τούτων ἡ κόπρος ἐκκρίνεται σταγόνας αἵματος ἐφ᾽ ἑαυτῇ ἔχουσα. αἱ διαθέσεις δὲ τῶν μὲν πρώτων τριῶν, ὀλίγον ἔμπροσθεν εἴρηνται. τῆς τετάρτης δὲ τῆς νῦν εἰρημένης ἕλκωσις ἐντέρων ἐστὶν ἡ διάθεσις, ταύτην καὶ μόνην ἀξιοῦσι τινὲς ὀνομάζεσθαι δυσεντερίαν. ἀλλ᾽ ὅπερ εἴρηταί μοι πολλάκις ὑπὲρ τοῦ μηδὲν παραληφθῆναι πρᾶγμα μεγάλην δεῖ πεποιῆσθαι τὴν φροντίδα, τῶν δὲ ὀνομάτων καταφρονητέον. ἔστι δὲ ἐκ ταὐτοῦ τοῦ γένους τῇ προειρημένῃ δυσεντερίᾳ, καὶ ὁ καλούμενος τεινεσμὸς, ἕλκος ἐν ἀπευθυσμένῳ γινόμενον, τὰ μὲν ἄλλα συμπτώματα παραπλήσια φέρων, ἐντάσεις δὲ πολὺ σφοδροτέρας τῶν δυσεντερικῶν. αἱ δὲ τῶν οὔρων ἐπισχέσεις τε, καὶ μοχθηραὶ κενώσεις ἀνάλογον ἔχουσι ταῖς κατὰ τὴν γαστέρα τῶν περιττωμάτων ἐπισχέσεσίν τε καὶ παρὰ φύσιν ἐκκρίσεσιν. ἴσχονται μὲν γὰρ, ἢ ἀδυνατούσης ἐκκρίνειν τῆς κύστεως. ἢ στενωθέντος αὐτῆς τοῦ στομάχου. ταυτὶ μὲν οὖν ἄμφω τὰ νοσήματα τῆς κύστεως ἐν κοινὸν ἔχει σύμπτωμα, τὴν ἰσχουρίαν, ἴσχεται γὰρ ἐν αὐτῇ τὰ οὖρα. καλοῦσι δὲ οὐδὲν ἧττον οἱ πολλοὶ τῶν ἰατρῶν ἰσχουρίαν κἀκεῖνο τὸ σύμπτωμα. καί τοι γε οὐκ ἦν ἰσχουρία, ἐπειδὰν μηδόλως εἰς τὴν κύστιν ἀφικνεῖται τὸ οὖρον, ἀπολλυμένης τῶν νεφρῶν τῆς ἐνεργείας. καὶ συγχωρητέον γε αὐτοῖς ὀνομάζειν οὕτως, ἀποροῦσι προσηγορίας οἰκείας. οὐ μὴν ἀγνοεῖσθαι προσήκει γε τὴν διαφορὰν τῶν διαθέσεων. ἑτέρα μὲν γάρ ἐστι διάθεσις, ὅταν μηδὲν ἐκκρίνεται, πεπληρωμένης τῆς κύστεως. ἑτέρα δὲ ὅταν ὑπάρχῃ κενὴ, μηδόλως ἐν αὐτῇ περιέχουσα. κατὰ γοῦν τὴν τοιαύτην διάθεσιν ἐν ᾗ πλήρης ἡ κύστις ἐστὶν, ἤτοι γε ἐστένωται τὸ στόμα αὐτῆς, ἢ τούτου κατὰ φύσιν ἔχοντος ἀρρωστεῖ περιστέλλεσθαί τε καὶ ἐξωθεῖν ἔξω τὸ οὖρον. αἱ μὲν οὖν στενώσεις τοῦ στομάχου δι᾽ ἔμφραξίν τε καὶ μύσιν ἀποτελοῦνται. καὶ γίνεται ἡ μὲν ἔμφραξις ὑπὸ θρόμβου τε καὶ πύου πάχος, καὶ λίθου, καὶ πώρου, καὶ διὰ βλάστημά τι κατ᾽ αὐτὸν ἐπιτραφὲν τὸν πόρον, ὁποῖα κἀν τοῖς ἄλλοις ἅπασιν ἐκτὸς ὁρᾶται γινόμενα κατά τε τὰ ὦτα, καὶ ῥῖνας, αἰδοῖά τε καὶ ἕδρας. ἡ δὲ μύσις ἤτοι δι᾽ ὄγκον τινὰ παρὰ φύσιν, ἢ διὰ ξηρότητα γίνεται πολλήν. ὁ μὲν δὴ ὄγκος ἐπὶ φλεγμοναῖς ἀποτελεῖται καὶ σκίρροις, καὶ τοῖς ἄλλοις οἰδήμασιν ὅσα τε τὸν τράχηλον ἐξαίροντα τῆς κύστεως εἰς τὸν ἐντὸς πόρον ἀπάγει τὸν ὄγκον. ἡ δὲ ξηρότης ἐν τοῖς καυσωδεστάτοις τε καὶ αὐχμωδεστάτοις πυρετοῖς, ἐν οἷς πολλάκις ὁρῶμεν, οὐδὲ φθέγξασθαι δυναμένους τοὺς κάμνοντας, ἄνευ τοῦ διαβρέξαι τὸ στόμα. τῆς δὲ κατὰ τὴν κύστιν ἀτονίας οὐδὲν ἔτι δέομαι λέγειν τὰς αἰτίας. εἴρηνται γὰρ ἤδη μοι πολλάκις ἐπὶ

κις ἐπὶ πολλῶν μορίων, εἴθ᾽ ὡς ὁμοιομερέσιν αὐτοῖς, εἴθ᾽ ὡς ὀργανικοῖς συμπίπτουσιν. περιττότερον δέ τι κατὰ τὴν κύστιν ἔοικε συμπίπτειν, ὑπερπληρωθεῖσαν, ὅπερ οὐχ ἡμεῖς μόνοι τε θεώμεθα γινόμενον, ἀλλὰ καὶ παρ᾽ ἄλλων ἐπυθόμεθα. πληρωθείσης γὰρ αὐτῆς αἰδεσθέντων τινῶν ἐξαναστῆναι τοῦ δείπνου καὶ οὐρῆσαι, τῆς ἐνεργείας ἀπολέσθαι συνέβη, καὶ οὐκ ἔτι ἠδυνήθησαν ἐκκρῖναι τὸ οὖρον, κἂν ἱκανῶς βιαζόμενοι τύχωσιν. ἔοικε δέ τι καὶ περὶ τὴν γαστέρα συμπίπτειν τοιοῦτον καὶ τὰ ἔντερα, ἀλλὰ τοὺς πολλοὺς λανθάνειν. ἐπὶ μὲν τῆς κατ᾽ αὐτὴν τὴν κοιλίαν τῶν παθόντων ἀποπνίγεσθαι φθανόντων, ἐπὶ δὲ τῶν ἐν τοῖς ἐντέροις ἅπασιν, ἀθροικότων τὸ περίττωμα, διὰ τὰ παρεπόμενα συμπτώματα, περιελκομένων ἐπ᾽ ἄλλα τῶν ἰατρῶν. ἐν μόναις γὰρ καθάρσεσι συνδοθείσαις μὲν εἰς ἔντερα, μεινάσαις δὲ εἰς αὐτά, εἴωθε τὸ τοιοῦτον συμπίπτειν. αὗται μὲν οὖν αἱ διαθέσεις, τὴν οἷον στέρησιν ἢ ἀποκλείσεως τῶν οὔρων ἐπιφέρουσιν. αἱ δ᾽ ὁμογενεῖς μὲν αὐταῖς, ἀπολειπόμεναι δὲ μεγέθει, τὰς οἷον ἀμυδράς τε καὶ ναρκώδεις ἐνεργείας ἀποτελοῦσιν. ἐπ᾽ ἄλλαις δὲ διαθέσεσι τὸ τρίτον γένος τῶν συμπτωμάτων ἐπιγίνεσθαι πέφυκεν ἐν ταῖς πλημμελέσι κενώσεσι συνιστάμενον. ἰδέαι δὲ πλείους αὐτῶν. πρώτη μὲν ἡ στραγγουρία καλουμένη, δι᾽ ἀτονίαν τῆς κύστεως, ἢ δριμύτητα τῶν οὔρων ἀποτελουμένη. δευτέραν δὲ τοῖς κατὰ τὴν γαστέρα ῥεύμασιν ἔοικεν, περὶ ἧς ἄμεινον ἐπὶ πλέον εἰσάπαξ εἰπεῖν ἐν τῷδε. γίγνεται δή τις, οἷον ἀναστοιχείωσις, ἢ σύντηξις, ἢ ἀνάλυσις, ἢ ὡς ἄν τις ὀνομάζειν ἐθέλοι, ποτὲ μὲν ἅπαντος τοῦ σώματος ὅλου, ἔστι ὅτε δὲ, τῶν ἐν ταῖς φλεψὶ μόνων χυμῶν, καὶ ταύτης τὸ σύντηγμα, ποτὲ μὲν εἰς τὴν γαστέρα συρρεῖ, ποτὲ δὲ εἰς τὰ οὖρα, ποτὲ δὲ εἰς ἱδρῶτας ἀποτρίβεται. τῶν μὲν οὖν ἐν ταῖς φλεψὶ χυμῶν εἰς ἰχῶρας ὀρρώδεις ἀναλυομένων, οἱ νεφροὶ τὸ τοιοῦτον πεφυκότες ἕλκειν περίττωμα, καὶ μάλιστα ὅταν ὑγιαίνοντες τύχωσιν ἐκκαθαίρουσι μὲν τῶν φλεβῶν τὸν ὀρρόν, ἐπιφέρουσι δὲ τῇ κύστει τὸ ῥεῦμα συνεχῶς. ὅταν δὲ καὶ οἱ νεφροὶ τύχωσιν ἕλκειν ἀδύνατοι, ἢ εἰς τὴν γαστέρα καταπέμπουσιν αἱ φλέβες τὸν τοιοῦτον ὀρρόν, ἢ παντὶ τῷ σώματι μεταδιδοῦσαι, τὰς ἐξαιφνιδίους ὑδερώδεις καταστάσεις ἐπιφέρουσιν. ἐὰν δὲ τὸ σύντηγμα παχύτερον ᾖ, καὶ οἷον οὐ πεφύκασιν ἕλκειν οἱ νεφροί, συρρεῖ πᾶν ἐξ ἀνάγκης εἰς τὴν γαστέρα. τοῦ δὲ σαρκώδους γένους οὕτως συντηκομένου, καὶ ἡ γαστὴρ μὲν ἐνδέχεται τὸ ῥεῦμα, καὶ ἱδρῶτες ἐπιγίνονται πολλοί, γαστὴρ μὲν, ἐπειδὰν παχύτερον ᾖ, ἀναλυθέντος δὲ εἰς ἀτμούς, ἱδρῶτες. ταῦτα μὲν περὶ τῆς ἐπὶ τὰς σάρκας τε καὶ τὸ αἷμα συντήξεως, εἴς γε τὸ παρὸν ἱκανά. τὰ δ᾽ ἄλλα τῶν οὔρων συμπτώματα, τὰ μὲν ἤτοι κύστεως ἢ νεφρῶν, ἐνδείκνυταί τινα διάθεσιν. ὑπὲρ ὧν ἐν ἀφορισμοῖς ἔγραψεν Ἱπποκράτης. τὰ δὲ εἰς ὅσον ἀπεψίας ἢ πέψεως ἥκει τὸ αἷμα διδάσκει, γέγραπται δὲ περὶ αὐτῶν ἐν τῷ προγνωστικῷ. μεταβαίνειν οὖν ἤδη καιρὸς ἐπὶ τοὺς ἱδρῶτας, ὑπὲρ ὧν εἴρηται μὲν που τό γε τοσοῦτον. ὡς ἀναλυομένης ἐνίοτε γίγνονται τῆς ἕξεως, καὶ καλεῖται τὸ πάθημα συγκοπή. τούτῳ δὲ ἐναντία κατάστασίς ἐστιν, ἡ ἐν τοῖς κρισίμοις ἱδρῶσιν, ἐρρωμένην ἐνδεικνυμένων οὐ διαλυομένην τὴν φύσιν. οἱ μὲν δὴ τοιοῦτοι τῶν ἱδρώτων ἐκκαθαίρουσι τὸ σῶμα. παραπλήσιοι δ᾽ αὐτοῖς εἰσιν, οἱ κατὰ τὰ μέτρια γυμνάσια καὶ τὰ βαλανεῖα, καὶ τὸ θάλπος τὸ θερινόν. ἐν δὲ τοῖς ἀμέτροις γυμνασίοις, ἤδη τι καὶ τοῦ χρηστοῦ συναπέρχεται. τὴν δ᾽ ὀσμὴν ἴσχουσι καὶ τὴν χρόαν τῷ κενουμένῳ ὁμοίαν τῷ περιττώματι. τὸ δὲ πλῆθος, ἤτοι διὰ τὴν ἀραιότητα τοῦ σώματος, ἢ διὰ τὸ πλῆθος τοῦ περιττώματος, ἢ διὰ τὴν λεπτότητα τοῦ κενουμένου, διὰ δὲ τἀναντία τούτων, ἴσχεσθαι πεφύκασιν, ὅταν ὀλίγον, ἢ γλίσχρον, ἢ παχὺ τύχῃ τὸ περιττόν, ἢ οἱ πόροι στεγνωθῶσι. πάσχουσι δὲ τοῦτο δι᾽ ἔμφραξιν ἢ μύσιν. ἐμφράττονται μὲν ὑπὸ παχέων τε καὶ γλίσχρων ὑγρῶν. μύουσι δὲ δι᾽ εὐτροφίαν, ἢ ψύξιν, ἢ μαλακότητα. γίγνεται δὲ καὶ δι᾽ ἀτονίαν τῆς κατὰ τὰς σάρκας δυνάμεως, ἐπίσχεσίς τε καὶ ἔκκρισις ἱδρώτων, ὥσπερ καὶ τῶν ἄλλων περιττωμάτων. καὶ γὰρ καὶ κύστις καὶ γαστὴρ, ἐνίοτε μὲν ἀνέχονται μᾶλλον ἐν ἑαυτοῖς περιεχομένων τῶν περιττωμάτων, ἀποκρίνειν ὀκνοῦντα, πολλάκις δ᾽ ἔμπαλιν, οὐδὲ γὰρ βραχὺ ταῦτα φέρουσιν, ἀλλὰ βαρύνονταί τε καὶ ἀπορρίπτουσι παραχρῆμα. κοινὸν δὲ τοῦτον ὑπάρχοντα λόγον ἁπάντων τῶν μορίων, ἐφύλαξα τελευταῖον ἐπὶ πᾶσι διελθεῖν ἅμα. καὶ γὰρ ἄπορον δοκεῖ εἶναι, βλαβέντος τινὸς σώματος, οὐκ ἐξ ἴσου συμβλάπτεσθαι τὰς δυνάμεις αὐτοῦ πάσας, ἀλλὰ τὰς μὲν, μᾶλλον, τὰς δὲ, ἧττον, ἐνίας δ᾽ οὐδ᾽ ὅλως. ὅτι μὲν οὖν ἄνευ τοῦ βλαβῆναί τι τὴν οὐσίαν ἑκάστου τῶν ὄντων, οὐχ οἷόν τε τὴν ἐνέργειαν αὐτοῦ παραποδισθῆναι, πρόδηλον παντί. πολλάκις δὲ ἐνεργοῦντος ἑκάστου τῶν μορίων, ἄλλο τε ἄλλην βλάπτεται τῶν ἐνεργειῶν, οὐ γὰρ ὁμοίας δεῖται κατασκευῆς, εἰς τὰς ἀλλοιωτικάς τε καὶ πρακτικὰς ἐνεργείας. ἡ μὲν γὰρ ἀλλοίωσις γίγνεται τῶν πλησιαζόντων ἁπάντων ἀλλήλοις, οὐδὲν δεομένων, οὔτε τόπον ἐκ τόπου μεταχωρεῖν, οὔτ᾽ ἀντιλαμβάνεσθαί τινος, οὔτε κατέχειν, οὔτε ἀντιστηρίζεσθαι. τῶν δ᾽ ἤτοι τι μελλόντων ἕλξειν, ἢ καθέξειν, ἢ ἀπώσασθαι, σὺν τῇ κατὰ τόπον κινήσει, τὴν ἐνέργειαν ἀνάγκη γίγνεσθαι. κἂν τούτῳ, τὸ μὲν οὕτω μαλακὸν ὡς ὑγρόν τε εἶναι, καὶ ῥυτὸν καὶ ἀστήρικτον, οὔτε ἕλκειν ὁμοίως, οὔτε κατέχειν, οὔτε ἀποκρίνειν ἐστὶ δυνατόν. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις ἔργοις, ἀποστήριξιν καὶ τάσιν ὑπάρχειν χρὴ τοῖς ἐνεργοῦσιν. ἀλλοιοῦν δὲ κἂν ὑγρότατον ᾖ τὰ πλησιάζοντα δύναται, καὶ μάλιστα ὅταν ἅμα καὶ θερμότατον ὑπάρχῃ. φαίνεται γὰρ οὐδεμία τῶν δραστικῶν ποιοτήτων, οὕτω ταχέως ἀλλοιοῦσα τὸ πλησιάζον, ὡς ἡ θερμότης. ἐξ ὧν δῆλον, ὡς τὸ μὲν θερμότατον, καὶ ὑγρότατον σῶμα τάχιστα ἀλλοιώσει, τουτέστι πέψει τε ἅμα τὴν οἰκείαν τροφὴν ἑαυτῷ καὶ ἐξομοιώσει. τὸ δὲ σκληρὸν εἰς τοσοῦτον, εἰς ὅσον μὴ δυσκαμπὲς μὲν ὑπάρχειν, στηρίζεσθαι δ᾽ ἀσφαλῶς, ἕλκειν τε δυνήσεται σφοδρῶς, ὅτι ἂν ἐθελήσῃ, καὶ ὠθεῖν βιαίως, καὶ κατέχειν εὐρώστως. οὔτε γὰρ ὀκλάζει κατὰ τὴν τάσιν ὡς τὰ λίαν μαλακά, καὶ κίνδυνος οὐδεὶς αὐτῷ ῥαγῆναι σφοδρότερον ἐνταθέντι, καὶ ὧν ἂν ἅπαξ ἀντιλάβηται κατέχει ταῦτα περιπτυσσόμενον, οὔτε τῶν διὰ σκληρότητα δυσκάμπτων, οὕτως ἐνεργεῖν δυναμένων, οὔτε τῶν δι᾽ ὑγρότητα μαλακῶν. τὰ μὲν γὰρ οὐκ ἀσφαλῶς, περιστέλλεται. τὰ δὲ ἀρρώστως χρώμενα ταῖς λαβαῖς, ἀπορρεῖ ῥαδίως, ὧν ἀντιλαμβάνεται. κάλλιστα μὲν οὖν τρέφεται τὰ ὑγρὰ καὶ θερμὰ σώματα, καὶ γὰρ ἀλλοιοῖ τάχιστα καὶ παραδέχεται τὴν τροφὴν εἰς ἑαυτά, καὶ προσφύει καὶ ἐξομοιοῖ. ἥκιστα δὲ τὰ ψυχρὰ καὶ ξηρὰ μήτε ἀλλοιοῦν δυνάμενα, μήτε εἰς ἑαυτὰ καταδέχεσθαι μήτε προσφύειν, μήθ᾽ ὁμοιοῦν. ὅτι μὲν οὖν ἀλλοιοῖ τάχιστα τὸ θερμότατον, εἴρηται καὶ πρόσθεν. ἐν τούτῳ γὰρ ἦν τὸ πέττειν. ὅτι δὲ τὸ ὑγρότατόν τε καὶ μαλακώτατον ἑτοι

Sudor.

Syncope ex sudore.

Critici sudores.

μως εἰς ἑαυτὸ παραδέχεται τὸ ἀλλοιωθὲν, ἀναμνήσεως δεῖ μᾶλλον, ἢ πίστεως, ὥσπερ γε τὸ ξηρόν τε καὶ σκληρὸν, οὐδὲν εἰς ἑαυτὸ πρόσθεσιν εἰσιέναι, πρὶν διαλῦσαι τε κατὰ τι, καὶ οἷον ἑλκωθῆναι. καὶ γὰρ δὴ ὅτι προσφύεταί τε, καὶ συμφύεται τὰ μὲν ὑγρότερα ῥᾶόν τε καὶ θᾶττον, ὅσα δὲ σκληρότερα τὰ μὲν οὐδ᾽ ὅλως, τὰ δὲ, μόγις, οὐδεὶς ἀγνοεῖ. ἵνα γοῦν παρῇ τις χαλκὸν καὶ σίδηρον καὶ χρυσὸν, καὶ λίθον, ἐπὶ μόλιβδον τε τὸν λόγον ἀγάγῃ, φαίνεται μηδ᾽ ὅλως ἑτέρῳ μολίβδῳ συμφυόμενος ἄνευ τοῦ θερμανθεὶς χυθῆναι. τοῖς μὲν οὖν παιδίοις, ὥσπερ τε ἄλλα σώματα θερμότερα τε καὶ ὑγρότερα ταῖς κράσεσιν ὑπάρχει, τά τε τῶν πέψεων ἄριστά ἐστι καὶ τὰ τῶν προσθέσεων, καὶ προσφύσεων, καὶ θρέψεων. ἡ μὲν γὰρ πέψις τε καὶ θρέψις ἀλλοιώσεις εἰσίν. ἡ δὲ πρόσθεσις εἰς ἑαυτὸ περιδεχομένου τὴν τροφὴν ἀτμοειδῶς, τοῦ τρεφομένου γίγνεται. ἡ πρόσφυσις δὲ κόλλησίς τίς ἐστι καὶ ἕνωσις, ἐφ᾽ οἷς ἅπασιν οὐ σμικρὸν ἀγαθὸν εἰς ἐξομοίωσιν ἡ ὑγρότης τοῦ τρεφομένου σώματος, ὁμοία τῷ τρέφοντι τὴν σύστασιν ὑπάρχουσα. τὰ δὲ τῆς ἀναδόσεως ὄργανα τοῖς παισὶν, εἰ καὶ μὴ σφόδρα ἰσχυρὰ, ταῖς ἐνεργείαις ἐστὶν, ἀλλ᾽ ἱκανά γε καὶ οὐδαμῶς ἐνδεᾶ σύμμετρον γὰρ ἤδη σκληρότητα καὶ τόνον αἱ φλέβες ἔχουσιν. αἱ καθεκτικαὶ δὲ δυνάμεις ἀσθενέστεραι τούτοις εἰσὶ, καὶ διὰ τοῦτο ταχέως ἀποκρίνουσι, ἤν τε βαρύνωνταί ποτε πρός τινος, ἤν τε ἄλλως ἀνιῶνται, ταύταις δ᾽ ὁμοίως αἱ ἀποκριτικαὶ μετρίαι κατὰ τὴν ἀρρωστίαν εἰσί. καί τοι φαίνονται οὐ παισὶ μόνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν αἱ καθεκτικαὶ δυνάμεις τῶν ἀποκριτικῶν ἀσθενέστεραι, κἂν ὁμοίως ἔχωσι διὰ τὸ πολυχρόνιον τῆς ἐνεργείας. ἐπὶ πλεῖστον μὲν γὰρ αἱ καθεκτικαὶ δυνάμεις ἐνεργοῦσιν, ὡς ἂν κατέχειν ἔργον πεποιημέναι. βραχυχρόνιον δὲ ἔχουσι τὴν ἐνέργειαν αἱ ἐκκριτικαὶ, διώσασθαί τε καὶ ἀπορρίψαι τὸ λυποῦν ἐν πτώσει μιᾷ δυνάμεναι. ὡς γοῦν ἐπὶ τῶν ἐκτὸς ὁ αὐτὸς ἄνθρωπος ἀπορρίψαι τὸ φορτίον ἱκανώτατος ὑπάρχων, ἀδυνατεῖ βαστάζειν αὐτὸ δι᾽ ὅλης ἡμέρας, οὕτω κἂν τοῖς ἔνδον ὀργάνοις ἀπώσασθαι τὸ λυποῦν, ἑτοιμότερόν ἐστι, τοῦ κατέχειν ἐπὶ πλέον. οἱ γοῦν παῖδες ὑπὲρ ὧν ὁ λόγος ἀλλοιωτικὴν μὲν ἔχουσι δύναμιν ἰσχυροτέραν τῶν ἀκμαζόντων, ἑλκτικὴν δὲ τῆς μὲν τῶν ἀκμαζόντων ἀσθενεστέραν, οὐ μὴν ἐλλιπῆ γε πρὸς τὴν ἑαυτῆς χρείαν. τὰς λοιπὰς δὲ δύο τῶν ἀκμαζόντων ἀσθενεστέρας. ἀλλ᾽ οὐκ ἐξελέγχεται τῆς ἀποκριτικῆς ἡ ἀσθένεια διὰ τὸ βραχυχρόνιον τῆς ὑπηρεσίας. ἐμοῦσι γὰρ καὶ διαχωροῦσι συνεχέστερον τῶν ἀκμαζόντων, οὐ ῥώμῃ τῆς ἀποκριτικῆς, ἀλλ᾽ ἀρρωστίᾳ τῆς καθεκτικῆς. ἐν δὲ ταῖς κατὰ τὴν γαστέρα πέψεσιν, ὅσα μὲν ὑγρὰ καὶ μαλακὰ παραπλησίως τοῖς ἀκμάζουσιν, ὅσα δὲ σκληρὰ, χεῖρον πέττουσι. παισὶ μὲν γὰρ ἀτμοειδέστερον τὸ θερμὸν, ἀκμάζουσι δὲ ξηρότερον. καὶ μὲν δὴ, καὶ ὅσοις μὲν ὑγρότερόν ἐστι τὸ σῶμα τῶν θρεψόντων ὑγροτέρων δέονται, οἷς δὲ ξηρότερον, ξηροτέρων. ἐπεὶ οὖν ἡ πέψις ἀλλοίωσίς ἐστιν, εἰς τὴν οἰκείαν τοῖς τρεφομένοις ποιότητα, τοῖς μὲν παισὶν, οἰκειότερα τὰ μαλακώτερα καὶ ὑγρότερα τῶν ἐδεσμάτων ἐστὶ, τοῖς δ᾽ ἀκμάζουσιν οἰκειότερα τὰ σκληρότερα, γέρουσι δὲ πρὸς ἁπάσας σχεδὸν τὰς ἐνεργείας, κακῶς διάκειται τὸ σῶμα. ξηρότερόν τε γάρ ἐστι πολὺ πλέον, ἢ τοῖς ἀκμάζουσι, καὶ μόνοις ψυχρόν. οὔτ᾽ οὖν πέττουσι καλῶς ἐνδείᾳ θερμότητος, οὔτε τρέφονται διὰ ξηρότητά τε ἅμα καὶ τῆς ἀλλοιωτικῆς δυνάμεως ἀρρωστίαν. ἥ τ᾽ ἀνάδοσις αὐτοῖς, οἷον ὑπὸ ναρκώντων ἤδη διὰ ψυχρότητα τῶν ὀργάνων, ἀποτελεῖται, βραδεῖά τε ἅμα καὶ ἀσθενής, αἵ τ᾽ ἀποκρίσεις ὅσαι μὲν ὀλιγοχρόνιοι, τὴν ἀρρωστίαν, οὐκ ἐξελέγχουσι τῆς δυνάμεως, ὅσαι δὲ πολυχρονιώτεραι, κακῶς ἐπιτελοῦνται. πρὸς δὲ τὰς πρακτικὰς ἐνεργείας, τὸ μὲν ξηρὸν καὶ θερμὸν ὄργανον, ἐπιτηδειότερόν ἐστι, τὸ δὲ ὑγρὸν καὶ ψυχρὸν, ἀσθενέστερον, ἐν δὲ μέσῳ δ᾽ ἀμφοῖν, αἱ λοιπαὶ δύο συζυγίαι καθεστήκασι. κατὰ μὲν οὖν τὰς ἡλικίας, οὐκ ἂν εὕροις ὑγρὸν καὶ ψυχρὸν σῶμα. τὸ γὰρ τῶν γερόντων ἐδείχθη ψυχρὸν καὶ ξηρόν. ἐν δὲ ταῖς μοχθηραῖς κράσεσιν, ὅσαι τε κατὰ φύσιν ἑκάστῳ τὴν ἰδίαν εἰσὶ, καὶ ὅσαι κατ᾽ ἐπικτήτους γίγνονται διαθέσεις, οἷον αὐτίκα φρενῖτις μὲν ξηρὸν καὶ θερμόν ἐστι νόσημα, καὶ διὰ τοῦτο ταῖς πρακτικαῖς ἐνεργείαις εὐρωστότατον. ὁ δὲ λήθαργος ἄρρωστον, ὑγρότητι διαψιλεῖ τε καὶ ψυχρᾷ διαβρέχων τὰ μόρια. τοιοῦτον δέ τι καὶ τὸ τῶν ὑδέρων ἐστὶ γένος, καὶ μάλιστα τῶν λευκοφλεγματικῶν τε καὶ ἀνὰ σάρκα. καὶ πανταχοῦ δὲ τὸ ψυχρὸν ἀσθενέστερόν τε καὶ ναρκῶδές ἐστιν, ἄν τε μετὰ ξηρότητος, ἄν τε μεθ᾽ ὑγρότητος ᾖ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, αἱ καθεκτικαὶ τῶν φυσικῶν δυνάμεων, εὐρωστότεραι μὲν ἐπὶ ξηροτέροις τε καὶ θερμοτέροις ὀργάνοις, ἀρρωστότεραι δὲ ἐφ᾽ ὑγροτέροις καὶ ψυχροτέροις, εἴτ᾽ ἐκ γενετῆς εἰσὶν, εἴτ᾽ ἄλλως ἐπιγένοιντο. προσέχειν δὲ τὸν νοῦν χρὴ ἐφ᾽ ἑκάστου μορίου περὶ ποσῷ τῆς ἀμετρίας, οἷον αὐτίκα νεῦρα μὲν, καὶ τένοντας, καὶ μῦς, καὶ συνδέσμους, εἰς ὅσον ξηροτέρους, εἰς τοσοῦτον καὶ ῥωμαλεωτέρους ὑπάρχειν ἀναγκαῖον, ἄχρι τῆς ἀμετρίας ἐκείνης, ἐν ᾗ δυσκαμπεῖς τε γίγνονται διὰ σκληρότητα, καὶ οἷον κραῦροι διὰ ξηρότητα. σπάσμασι γὰρ οὕτως ἁλίσκονται. τὰ δ᾽ αὖ φυσικὰ τῶν ὀργάνων, εἰς ὅσον μὲν ὑγρότερα, τρέφεσθαι βελτίω, κἂν ἐσχάτως ὑγρὰ ταῖς κράσεσιν ὑπάρχῃ. πρὸς δὲ τὰς πέψεις, οὔτε βελτίω σφῶν αὐτῶν, οὔτε τῶν ξηροτέρων, εἰ καὶ ὁμοίως εἶεν θερμὰ, πλὴν εἴ γε τροφὴν ξηρὰν δοίης, ὀργάνῳ ξηρῷ καὶ αὐχμώδει, μὴ μίξας ὑγρότητος αὐτῇ δαψιλοῦς. εἰς δὲ τὰς ἀναδόσεις τε καὶ τὰς ἀποκρίσεις, τὰ λίαν σκληρὰ σώματα, μοχθηρά. καὶ γὰρ καὶ διαστέλλεται, καὶ συστέλλεται χαλεπώτερον, ὧν τὸ μὲν, ὁλκὴν ἐργάζεται. τὸ δὲ ἔκκρισιν. ἵνα δὲ καὶ εἰς ὀλίγους ἀποβλέπῃ τις σκοποὺς, ἐν κεφαλαίοις διαιρήσω τὸ πᾶν. αἱ μὲν τῆς θερμασίας αὐξήσεις ἀλλοιοῦσιν ἱκανώτερον ἄχρι περ ἂν εἰς τοσοῦτον ἥκουσιν ἰσχύος, ὡς μηδέπω συντήκειν, τότε γὰρ πρῶτον εἰς ἅπαν ἄχρηστοι. αἱ δὲ ψυχρότητος, εἰς οὐδεμίαν ἐνέργειαν χρησταί. ξηρότητος δὲ εἰς ῥώμην καὶ τόνον, ἄχρι τοῦ μηδέπω δυσκίνητα, μηδὲ εὔθραυστα ποιεῖν. ὑγρότητος δὲ εἰς μὲν τὰς θρέψεις, ἐπιτηδειόταται, πρὸς δὲ τὰς ἄλλας ἐνεργείας ἐναντιώταται, πλὴν αὐξήσεως, εἰς ταύτην δὲ πλέον ἢ κατὰ τὴν θρέψιν ὑπάρχουσαι χρησταί. διατείνεσθαί τε καὶ διαφυσᾶσθαι πάντῃ δεομένων ἑτοιμότατα τῶν μελλόντων αὐξηθήσεσθαι καλῶς. ἤρκει μὲν ἴσως ἐνταῦθά που καταπαύειν ἤδη τὴν πραγματείαν. ὡς γὰρ κἀν τοῖς ἔμπροσθεν εἶπον, οὐχ ὑπὲρ τοῦ πάντα τὰ κατὰ μέρος ἐπελθεῖν, ἀλλ᾽ ἕνεκα τοῦ γυμνάσαι τοὺς φιλομαθεῖς, ἐπὶ πλειόνων παραδειγμάτων εἰς πολλὰ συμπτωμάτων εἴδη τε καὶ γένη τὸν λόγον ἤγαγον. χωροῦντος δ᾽ ἔτι τοῦ κατὰ τὸ γράμμα μεγέθους, εἰρήσεταί τι, καὶ περὶ τῶν παραλελειμμένων.

Εἴτε γὰρ ἐκ ῥινῶν, εἴτ᾽ ἐξ ὤτων, εἴτ᾽ ἐξ ὑστέρας, εἴτ᾽ ἐξ ὀφθαλμῶν, εἴτ᾽ ἐκ φάρυγγος, εἴτ᾽ ἐκ μήτρας, εἴτ᾽ ἐξ ὅτου

ἐξ ὅτου δὴ τῶν ἄλλων ἁπάντων, ἐκκρίνοιτό τι, τό τε ποσὸν ἐν αὐτοῖς σκοπεῖσθαι προσήκει, καὶ τὸ ποιόν, ἔτι τε τὸν τρόπον τῆς ἐκκρίσεως, εἰς τὰς εἰρημένας αἰτίας ἀναγαγόντα. πάντα γὰρ εὑρεθήσεται τὰ συμπτώματα διά τε τὰς δυσκρασίας γιγνόμενα τῶν ὁμοιομερῶν, καὶ τὰ νοσήματα τῶν ὀργανικῶν. ἔτι τε τῆς ὕλης αὐτῆς τὸ ποιόν τε καὶ ποσόν. οἷον αὐτίκα καὶ κατάῤῥου καὶ κορύζης αἴτιος ὁ ἐγκέφαλος, ἐν μὲν ταῖς ψύξεσιν ὡς ὁμοιομερὴς εἰς δυσκρασίαν ἀγόμενος, ὁμοίως δὲ κἂν ταῖς ἐκκαύσεσιν, ὡς ὀργανικὸς δὲ, πληρούμενος. ὁποῖον οὖν ἡ διάῤῥοια πάθος ἐν τῇ γαστρὶ κατὰ δυσπεψίαν γίγνεται, τοιοῦτον ἑκάτερον τῶν εἰρημένων ἐν ἐγκεφάλῳ, κατάῤῥουν μὲν ὀνομαζόντων ἡμῶν, ἐπειδὰν εἰς τὸ στόμα καταῤῥέῃ τὸ περίττωμα, κόρυζαν δὲ, ἐπειδὰν εἰς τὰς ῥῖνας ὁ δὲ βράγχος, ἐπὶ κατάῤῥοις γίγνεται, διαβραχείσης τῆς φάρυγγος. εἰ δὲ εἰς τὸν γαργαρεῶνα κατασκήψοι τὸ ῥεῦμα, ἤτοι τὴν καλουμένην ἐν αὐτῷ σταφυλὴν ἐγέννησεν, ἢ ἄλλως εἰς ὄγκον ἤγειρεν αὐτόν. εἰ δὲ εἰς τοὺς ἑκατέρωθεν ἀντικειμένους ἀλλήλοις ἀδένας, ἐν τῷ πέρατι τοῦ στόματος ἀντιάδας. εἰ δὲ εἰς τὰ τούτων ἐχόμενα, παρίσθμια. καταφέρεται δὲ, καὶ εἰς τὴν γαστέρα τὸ ἀπὸ τῆς κεφαλῆς ῥεῦμα, καὶ εἰς τὴν τραχεῖαν ἀρτηρίαν, ἑκατέροις μεγάλως λυμαινόμενον. ἀλλὰ τὰς μὲν ἐκ τῶν τοιούτων ῥευμάτων βλάβας, ἄλλοι τε πρὸ ἡμῶν ἐπιμελέστερον ἐξήγηνται, καὶ ἡμεῖς ἐροῦμεν ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἐν τοῖς θεραπευτικοῖς. ὑπὲρ δὲ τῶν ἐκ πνεύμονός τε καὶ θώρακος ἀναπτυομένων ἤδη φθάνομεν ἐν τοῖς περὶ κρίσεων εἰρηκότες. οὐ μὴν οὐδὲ τὰ περὶ τὴν τῶν καταμηνίων ἐπίσχεσιν, ἢ μοχθηρὰν ἀπόκρισιν, ἁπάντων τῶν ἐκ τῆς μήτρας, ἔτι χαλεπὸν ἐξευρεῖν, εἰς τοὺς ὁμοίους ἀναφέροντα σκοπούς. καί τοι γὰρ αὐτῆς τῆς μήτρας, τὸ σῶμα πυκνὸν καὶ σκληρὸν ὑπάρχον, αἴτιον ἐπισχέσεως ἔσται. φύσει μὲν τοιοῦτον γεγονὸς, ὡς μηδ᾽ ὅλως μηδέποτε καθαρθῆναι, πλὴν εἰ φαρμάκοις τε καὶ χρόνῳ πολλῷ τις αὐτὸ μετακοσμήσειεν ἐπὶ τὸ βέλτιον. ἐν χρόνῳ δέ τινι κατ᾽ ἐκείνην τὴν διάθεσιν, ἥτις ἂν ἑκάστοτε τύχῃ τὰς ὑστέρας καταλαβοῦσα. καὶ ἡ τῶν φλεβῶν δὲ στενότης εὐθέως ἐξ ἀρχῆς συγγεννᾶται μοχθηρῶς διαπλασθέντος ταύτῃ τοῦ θήλεος. ἀνάλογον δ᾽ αὐτῇ καὶ ἡ ἐκ τῶν περικειμένων ἐν τοῖς ἀγγείοις θλίψις ἐστὶν, ὅταν ἀμέτρως παχυνθῇ τὸ σῶμα, ἡ δὲ δυσκρασία τῆς ὑστέρας, καὶ φύσει, καὶ κατὰ διαθέσεις τινὰς γίγνεται, καθάπερ ἡ πυκνότης. ἔσται δέ ποτε καὶ διὰ τὴν ὕλην αὐτὴν ἐπίσχεσις τῶν καταμηνίων, ὅταν ἤτοι παχὺ τὸ κενούμενον, ἢ γλίσχρον γένηται. καὶ μὲν γε καὶ εἰ αὐτὸ μὲν εἴη χρηστὸν, ἔμφραξις δέ τις ἐν τοῖς καθήκουσιν εἰς τὰς μήτρας ἀγγείοις, ἐκ τῶν τοιούτων χυμῶν φθάνει γεγενημένη, καὶ οὕτως ἐπισχεθήσεται τὸ καταμήνιον. ἀλλὰ διὰ τὸ σύμπαν σῶμα, ποτὲ μὲν οὐδ᾽ ὅλως καθαρθήσεται τὸ θῆλυ, ποτὲ δ᾽ ἔλαττον, ἢ πλέον, ἢ μοχθηρὸν, οὐδ᾽ ὅλως μὲν, ἐπί τε γυμνασίοις πλείοσι καὶ διαίτῃ λεπτῇ, καὶ τῇ πρὸς ἄλλα μόρια ῥοπῇ τῶν χυμῶν. διὰ τὰ αὐτὰ δὲ ταῦτα μετριώτερα γιγνόμενα τοῦ κατὰ φύσιν, ἔλαττον, ἐπὶ πλέον δὲ, διά τε μακρὰν ἡσυχίαν, καὶ δίαιταν ἁδράν. ἀλλὰ καὶ τὰ μοχθηρὰ διὰ τῶν ὑστέρων ῥεύματα, καλεῖται δὲ τὸ σύμπτωμα ῥοῦς γυναικεῖος, ἐκκαθαιρομένου κατὰ τοῦτο τὸ μόριον, ἅπαντος τοῦ σώματος γίγνεται. τοιοῦτον δ᾽ ἐστὶ τὴν ἰδέαν ἑκάστοτε τὸ κενούμενον, οἷον καὶ τὸ πλεονάζον ἐν τῷ ζώῳ, τὸ μὲν ἐρυθρὸν, ἰχὼρ αἵματος. ἕτερον δὲ λευκὸν, ἀπὸ φλέγματος. ὠχρὸν δὲ τ᾽ ἄλλο, πικρόχολον δὲ ἄλλο. ἔξωθεν δὲ τούτων ἐστὶ, κένωσις τῶν ἐκ μήτρας μοχθηρὰ, διά τι πάθος ἐν αὐτῇ γεγονός. ἔξωθεν δὲ καὶ ἡ τοιαύτη τῶν καταμηνίων ἐπίσχεσις ὅταν μήτε δι᾽ ἔνδειαν αἵματος ὡς ἐπί τε γυμνασίοις πλείοσιν εἴρηται, καὶ λεπτῇ διαίτῃ, μήτε διὰ πάθος ἐν τῇ μήτρᾳ γεγονός. ἀλλ᾽ ἐνίοτε διὰ γὰρ ῥώμην εἰς ἕτερα μόρια κατασκήψαντος τοῦ αἵματος, αἳ κατὰ τὰς μήτρας ἴσχονται καθάρσεις. ἀλλ᾽ ὡς ἀρτίως εἶπον, οὐδὲν οἶμαι χαλεπὸν, ἐπὶ πολλῶν ἤδη γεγυμνασμένον ἕκαστον τῶν ὁμιλούντων, τοῖς δὲ τοῖς ὑπομνήμασι, καὶ αὐτὸν ἐξευρίσκειν τὰ τοιαῦτα. καὶ γὰρ ὅτι διὰ τὰ τῆς μήτρας ἴδια νοσήματα, τά τε κατὰ τὰ κέρατα συνιστάμενα, καὶ τὰ κατὰ τὸν τράχηλον, ἔτι τε καὶ καθ᾽ ὅλον τὸ κύτος, ἐνίοτε μὲν ἤτοι πλείονα τῶν πρόσθεν, ἢ ἐλάττονα φέρεται τὰ καταμήνια, ποτὲ δὲ οὐδ᾽ ὅλως, ἢ μοχθηρὰ, παντί που δῆλον, κατὰ τοῦ τόπου τὸ γένος ἐν τῇ τοῦ λόγου διαιρέσει καὶ τῶν ἀτρήτων εὑρισκομένων. οὕτω δὲ καὶ ὁ καλούμενος πριαπισμὸς, οἴδησίς τε καὶ διαφύσησις ἀκούσιός ἐστι τοῦ τῶν ἀῤῥένων αἰδοίου, φυσώδους πνεύματος ἔκγονον σύμπτωμα. καὶ μὴν καὶ αἱ γονόῤῥοιαι, χωρὶς μὲν τοῦ συνεντείνεσθαι τὸ αἰδοῖον, ἀῤῥωστίᾳ τῆς καθεκτικῆς δυνάμεως, τῆς ἐν τοῖς σπερματικοῖς ἀγγείοις. ἐντεινομένου δέ πως οἷον σπασμῷ τινι παραπλήσιον πασχόντων ἐπιτελοῦνται. οὐκ οὖν ἔτι χρὴ περὶ τῶν τοιούτων διέρχεσθαι. μεταβάντας δ᾽ ἐπὶ τὸ λοιπὸν γένος τῶν συμπτωμάτων, οὐ πολλοῦ δεόμενον οὐδ᾽ αὐτὸ λόγου. διὰ τὰ προειρημένα περὶ τῶν ἑπομένων, ἀλλήλοις συμπτωμάτων. καταπαύειν ἤδη τὴν πραγματείαν ἐνταῦθα. χρώματα μὲν οὖν ὑπαλλαχθήσεται, συνελόντι μὲν εἰπεῖν, διὰ τοὺς χυμοὺς ἐξισταμένους τῆς κατὰ φύσιν ἰδέας, ἢ ὑπονοστοῦντας εἰς τὸ βάθος, ἢ οἷον ἐπικλύζοντας τὸ δέρμα. κατὰ μέρος δὲ διὰ τὰς τοὺς χυμοὺς ἀναγκαζούσας αἰτίας, εἰς τὰς τοιαύτας ἀφικνεῖσθαι κινήσεις τε καὶ διαθέσεις. ἔστι δὲ δήπου τὰ πάθη τὰ ψυχικὰ, καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, αἱ εἰς θερμότητά τε καὶ ψυχρότητα μεταβολαί. καὶ αὐτοῦ τοῦ σώματος γὰρ αἱ διαθέσεις, ἢ θερμότερον ἔχοντος, ἢ ψυχρότερον, ἢ ἔλαττον, ἢ πλέον, ἢ ὠθούμενον ἐκτὸς, ἢ ἀντισπώμενον ἔσω τὸ αἷμα. τούτου δ᾽ ἐστὶ τοῦ γένους, καὶ ἡ κακοχυμία πᾶσα, κατὰ τὴν ἑαυτῆς ἰδέαν ἀλλοιοῦσα καὶ τὴν ἅπαντος τοῦ σώματος χροιὰν, ἐν ἰκτέροις τε καὶ ὑδέροις καὶ ἐλέφασι καὶ σπληνὸς καὶ ἥπατος ἀτονίαις. ἀνάλογον δὲ καὶ αἱ καθ᾽ ὁτιοῦν μόριον ἄχροιαι συνίστανται. τὰ δὲ κατὰ φύσιν ὑπαλλαχθήσεται σχήματα, πληρουμένων ἀμετρότερον, ἢ κενουμένων τῶν μορίων, ἢ τῆς οἰκείας χώρας μεθισταμένων, ἢ παρασπωμένων. αἰτίαι δὲ δήπου καθ᾽ ἕκαστον αὐτῶν πλείους εἰσὶν, ἃς οὐδὲν ἔτι χαλεπὸν ἐξευρίσκειν, ὅτῳ μὴ παρέργως ἀνεγνώσθη τὰ πρόσθεν. οὕτω δὲ καὶ τὰς τῶν δυσωδιῶν αἰτίας, ἢ μαλακοτήτων, ἢ σκληροτήτων, ἢ τῶν ἄλλων ὅσα τούτοις ἀνάλογόν ἐστιν, οὐ χαλεπὸν ἐξευρίσκειν ἀπὸ τῶν προειρημένων ὁρμώμενον. οὐ μὴν ἀλλὰ, καὶ κατὰ τὸ τελευταῖον ἤδη μοι μέρος εἴρηται τοῦ συγγράμματος, ὃ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς ἐπιγέγραπται, οὔκουν ἔτι χρὴ μηκύνειν ὑπὲρ τῶν αὐτῶν. ἀλλ᾽ ἐν τῷ δὲ, τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων ἡ πραγματεία τέλος ἐχέτω, τοῦτο ἔτι μόνον προσθέντων ἡμῶν, ὅπερ ἀνεβαλλόμην ἐν τῷ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς, ἐπιδείξειν ἐνταῦθα, τὸ τινὰ μὲν ἐξ ἀνάγκης ἀλλήλοις ἕπεσθαι συμπτώματα, τινὰ δὲ οὐκ ἐξ ἀ-

νάγκης ὅπερ οὐδ᾽ αὐτό μοι δοκεῖ δεῖσθαι λόγου μακροῦ. ἀρκέσει δ᾽ ὡς ὑφ᾽ ἑνὸς παραδείγματος ἐπιδείξαντα τὴν μέθοδον αὐτοῦ, παραιτήσασθαι τὸ πλῆθος τῶν κατὰ μέρος. κελεύω δή σε σκοπεῖσθαι, πότερον ὑπὸ μιᾶς αἰτίας ἀποτελεῖται τὸ γιγνόμενον, ἢ πλειόνων. εἰ μὲν γὰρ ὑπὸ μιᾶς, ἐξ ἀνάγκης ἀκολουθήσει τῷ ποιοῦντι, πλειόνων δ᾽ εἰς γένεσιν δεόμενον, οὐκ ἐξ ἀνάγκης. αὕτη μὲν οὖν ἐπὶ πάντων πραγμάτων ἡ μέθοδος κοινή. κατὰ δὲ τὸν αὐτὸν τρόπον χρή σε κἀπὶ τῶν συμπτωμάτων σκοπεῖσθαι. εἰ μὲν γὰρ ἐφ᾽ ἑνὶ γίγνοιτο, τὴν ἀκολουθίαν ἀναγκαίαν ἕξει. προσιόντων δὲ καὶ ἄλλων τινῶν αἰτίων εἰς τὴν γένεσιν τοῦ δευτέρου συμπτώματος, οὐκ ἔτι ἐξ ἀνάγκης ἀκολουθήσει τῷ προτέρῳ. οὐ γὰρ εἰ ἠπεπτήκασιν, ἐμπνευματώσεσιν ἀναγκαῖον ἀκολουθεῖν, ὥσπερ οὐδ᾽ ἤδη δῆξιν, οὐδὲ ὑγρὰν διαχώρησιν, ἢ πολλήν, οὐδὲ ναυτίαν, ἢ ἀνορεξίαν, ἢ ὄρεξιν ἐπιτεταμένην, ἢ ὄκνον εἰς τὰς πράξεις, ἢ νωθρότητα διανοίας ἢ καρηβαρείαν, ἢ ἀγρυπνίαν, ἢ καρδιαλγίαν. ἔτι δὲ μᾶλλον οὐδ᾽ ἐπιληψίαν, ἢ παράνοιαν, ἢ ἔκστασιν, ἢ κῶμα. καθάπερ οὐδὲ δυσθυμίαν, οὔτ᾽ οὖν ἄλλην, οὔτε πολὺ μᾶλλον τὴν μελαγχολικήν, οὐδὲ δὴ κώλου πάντως, ἢ νεφρῶν, ἢ σπληνός, ἢ ἥπατος, ἢ θώρακος, ἢ ἄρθρων ἄλγημα. καθάπερ οὐδὲ ἀνωμαλίαν, ἢ φρίκην, ἢ ῥῖγος, ἢ πυρετόν. καί τοι καὶ τούτων ἕκαστον, καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων συμπτωμάτων, οὐκ ἔστιν εὑρεῖν, ὃ μὴ κατά τινα καιρὸν ἐπιφαίνεται τοῖς ἀπεπτήκασιν, ἄλλα τε παρά τε τὸ μέγεθος τῆς ἀπεψίας καὶ τὴν διαφορὰν, καὶ τὴν τῆς τοῦ ἀνθρώπου φύσεως εὐαισθησίαν τε καὶ δυσαισθησίαν, ἑκάστου τε τῶν κατὰ τὸ σῶμα μορίων, ἰσχὺν, ἢ ἀσθένειαν, ἄλλο τε ἄλλο γενήσεται σύμπτωμα. μεγάλη μὲν γὰρ ἀπεψία, μείζονά τε καὶ πλείονα φέρει τὰ συμπτώματα. μικρὰ δὲ, ἔμπαλιν ἐλάττονά τε καὶ μικρότερα. καὶ τοίνυν καὶ αὐτῶν τῶν ἀπεπτηθέντων αἱ διαφοραὶ, πρὸς μὲν τὸ ψυχρόν τε καὶ φλεγματῶδες ἐκτρεπόμεναι, συμπτωμάτων ἑτέρων εἰσὶ γεννητικαί. πρὸς δὲ τὸ κνισῶδές τε καὶ θερμόν, ἑτέρων. οὕτω δὲ καὶ δάκνουσαί τε καὶ μὴ δάκνουσαι, καὶ εἰς ἀτμῶδες πνεῦμα λυόμεναί τε καὶ μὴ λυόμεναι. καὶ ἡ φύσις δὲ, ὡς εἴρηται, τοῦ ἀνθρώπου συντελεῖ καὶ ἀντιπράττει τῇ γενέσει τῶν συμπτωμάτων. οἷον αὐτίκα οἷς δυσαίσθητος ἡ γαστήρ, οὔτε δάκνονται σφοδρῶς, οὔτ᾽ ἀλγοῦσιν, οὔτ᾽ ἐκκρίνουσι πολλά. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὔτε καρδιαλγοῦσιν, οὔτε κεφαλὴν ἀδικοῦνται ῥᾳδίως. ὅσοις δὲ εὐαίσθητος, ἑτοίμως ἅπαντα τούτοις ἕπεται, τῆς ἄνωθεν ἀρχῆς τὰ συμπτώματα ἐπιπεμπούσης. τί δεῖ λέγειν ὡς ἑκάστῳ τῶν ἀπεπτηκότων, ἐκεῖνο μάλιστα τὸ μέρος αἰσθάνεται τῆς βλάβης, ὅπερ ἂν ἀσθενέστατον ᾖ. καὶ διὰ τοῦτο οὐκ ἔνεστιν εἰπεῖν ἐξ ἀνάγκης ἑπόμενον ἀπεψίᾳ σύμπτωμα οὐδέν. ἡ μέντοι τῆς ἀναδιδομένης εἰς τὸ σῶμα τροφῆς, εἴτ᾽ οὖν στέρησις, εἴτ᾽ ἀρρωστία τῆς ἐνεργείας, ἀτροφίαν ἐξ ἀνάγκης ἐπιφέρει, ὥσπερ γε καὶ ἡ τῆς καθ᾽ ἕκαστον μέρος ἀλλοιωτικῆς δυνάμεως βλάβη, καὶ ἡ περὶ τὴν διάκρισιν δὲ τῶν περιττωμάτων τοῦ αἵματος ἀτυχία, σύμπτωμα οὖσα καὶ αὐτὴ διακριτικῆς ἐνεργείας, ἐξ ἀνάγκης ἐπιφέρει τὰ τῆς ἀχροίας συμπτώματα. καὶ καλεῖται τὸ μὲν ἕτερον αὐτῶν ἴκτερος. ἀνώνυμον δέ ἐστι τὸ ἐπὶ τῷ μελαγχολικῷ περιττώματι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ παντὸς γένους συμπτώματος, ἐξευρήσεις ὅσα τε διὰ παντὸς ἀλλήλοις ἕπεται, καὶ ὅσα μὴ διὰ παντός. ἐγὼ δὲ μήκους φειδόμενος, ἐνταυθοῖ καταπαύσω τὸν λόγον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ

ΒΙΒΛΙΟΝ α´



ΟΠΟΥΣ ὀνομάζουσι τὰ μόρια τοῦ σώματος, οὐχ οἱ νεώτεροι μόνον, ἀλλὰ καὶ τῶν παλαιῶν ἰατρῶν οὐκ ὀλίγοι, σπουδάζουσί τε διαγινώσκειν τὰ κατ᾽ αὐτοὺς πάθη, διότι καὶ τὴν θεραπείαν ὑπαλλάττεσθαι. συμβαίνει κατὰ τὰς διαφορὰς αὐτῶν. ὁπόσον μὲν οὖν τι τὸ πρὸς τὰς ἰάσεις ἐστὶ χρήσιμον, ἐκ τῆς τοιαύτης γνώσεως, ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ δηλοῦται. νυνὶ δὲ μόνον, ὅπως ἄν τις διαγινώσκοι τὰ πάσχοντα μόρια πρόκειται σκοπεῖσθαι. τὰ μὲν οὖν ἐπιπολῆς, ἑτοίμως ὑποπίπτει ταῖς αἰσθήσεσιν, ἅμα ταῖς ἰδέαις τῶν παθῶν. ὅσα δ᾽ ἐν τῷ βάθει κατακέκρυπται, γεγυμνασμένου δεῖται τὸν λογισμὸν ἀνδρὸς, ἔν τε ταῖς ἐνεργείαις τῶν μορίων καὶ χρείαις οὐχ ἥκιστα δὲ καὶ κατὰ τὴν προηγουμένην τούτων ἀνατομὴν, ἥ τις ἐδίδαξεν ἡμᾶς, ἄλλα τε πολλὰ, καὶ τῆς οὐσίας ἑκάστου τὴν ἰδιότητα. σῶμα γοῦν τι χονδρῶδές ἐστι, κατὰ τὰς τοῦ πνεύμονος τραχείας ἀρτηρίας, ὃ καλοῦσι βρογχίον. οὗ τὴν ἰδιότητα, μόνοις τοῖς τεθεαμένοις ὑπάρχει γινώσκειν ὅταν μὲν οὖν ποτε τοῦτο μετὰ βηχὸς ἀναπτυσθῇ, μέγιστον ἕλκος ἐξ ἀναβρώσεως ἢ σηπεδόνος, ἐν πνεύμονι λογιζόμεθ᾽ ὑπάρχειν. ἔστι μὲν γὰρ καὶ καθ᾽ ὅλον τὸν τράχηλον, ἐν τῷ μεταξὺ φάρυγγός τε καὶ πνεύμονος, ἡ τοιαύτη φύσις τοῦ σώματος. ἀλλ᾽ οὐχ οἷόν τε τηλικαύτην ἕλκωσιν, ἐνταυθοῖ γενέσθαι, φθάσει γὰρ ἀποθανεῖν τὸ ζῶον. ἐν δὲ τῷ πνεύμονι δυνατὸν, ὡς ἂν σηπομένου τε τοῦ σπλάγχνου δι᾽ ὑγρότητα ῥᾳδίως, ὑπό τε μοχθηρῶν χυμῶν ἑτοίμως ἀναβιβρωσκομένου. τῶν τε βρογχίων ἐν αὐτῷ σμικρῶν ὑπαρχόντων. οὐ γὰρ οὐδὲ μόριον αὐτῶν ἀποσπασθῆναι δυνατὸν, ἀλλ᾽ ὅλον ἀνενεχθῆναι τὸ βρογχίον ἀναγκαῖον ἐστὶ τῶν συναπτόντων αὐτὸ τοῖς συνεχέσιν ὑμενωδῶν δεσμῶν ἀπολυθέντων, οἳ τινες πάσχουσι πολὺ πρότερον τῶν βρογχίων αὐτῶν. τὰ μὲν γὰρ, χονδρώδη τέ ἐστι καὶ σκληρὰ καὶ παχέα. λεπτοὶ δὲ καὶ ἀσθενεῖς, οἱ συνδοῦντες ὑμένες αὐτά. καὶ μὲν δὴ καὶ ἀγγείου τι μόριον οὐ σμικρὸν ἀναβηχθὲν ἐθεασάμεθα, σαφῶς ἐνδεικνύμενον καὶ τοῦτο τοῖς ἐμπείροις ἀνατομῆς, ὡς ἐκ τοῦ πνεύμονός ἐστι. τὰ μὲν γὰρ κατὰ τὴν ἐν τῷ τραχήλῳ τραχεῖαν ἀρτηρίαν ἀγγεῖα, τριχοειδῆ πάντ᾽ ἐστίν. ὡς τ᾽ οὐ μόνον ἡ τῆς οὐσίας ἰδιότης, ἀλλὰ καὶ τὸ μέγεθος, ἐνδείκνυται πολλάκις.

ται πολλάκις οὐκ ἀσαφῶς, ὁποῖός τίς ἐστιν ὁ πεπονθὼς τόπος. οὕτω γοῦν ἐν δυσεντερίᾳ, θεασάμενός τις ἐντέρου χιτῶνα διαχωρηθέντα, καὶ πλάτει καὶ πάχει μείζονα τῶν ἐν τοῖς λεπτοῖς ἐντέροις, οὐκ ἂν ἀλόγως τεκμαίροιτο τὴν ἕλκωσιν ἐν τοῖς παχέσιν ἐντέροις εἶναι. καὶ μὴν διὰ κἀπὶ τοῦ μειρακίου τοῦ μετὰ βηχὸς ἀναπτύσαντός ποτε χιτῶνα παχὺν καὶ γλίσχρον, ἐτεκμηράμεθα περὶ τὸν λάρυγγα σῶμα, τὸ ἔνδον, ὃ καὶ τὴν ἀρτηρίαν ἐπιγλωττίδα συνίστησιν, εἶναι. ἐθεραπεύθη γοῦν τὸ μειράκιον, οὐ πάνυ τι προσδοκώντων ἡμῶν, ἐκακώθη μέν τοι τὴν φωνήν. ἡ δὲ τῆς οὐσίας ἰδιότης καὶ τὰ περὶ τοὺς νεφροὺς ἕλκη, τῶν ἐν τῇ κύστει διορίζει, καθότι καὶ Ἱπποκράτης ἔγραψεν ἐν ἀφορισμοῖς, τὰ μὲν πεταλώδη τοῖσιν οὔροισιν ἐμφερόμενα, τῆς κύστεως ἕλκωσιν σημαίνει, τὰ δὲ σαρκώδη, τῶν νεφρῶν.

Ἀλλὰ κἀκ τῶν περιεχομένων ἐν τισὶ μορίοις οὐσιῶν, οὐκ ὀλιγάκις ἡμῖν ἡ δεῖξις γίνεται τοῦ πεπονθότος τόπου. ἐν Μιτυλήνῃ γοῦν τις ἐτρώθη νεανίσκος ὑπὸ ξίφους, ἄχρι βάθους ἱκανοῦ περὶ τὴν ἕδραν. ἡμερῶν τε τριῶν τῶν πρώτων ἄσιτός τε καὶ ἄποτος μείνας, τὴν τετάρτην, μετὰ τὴν θεραπείαν τραφεὶς καὶ πιὼν, εἶτ' αὖθις ἡλίου δύντος θεραπευόμενος, ἐξέκρινε διὰ τοῦ τραύματος, οὔρου κοτύλας ὡς τέτταρας, οὐδ' ὅλως πρότερον οὐρηκὼς, ἐξ ὅτουπερ ἔτυχε τρωθεὶς, καὶ δὴ καὶ τοῦ βάρους ἀπηλλάχθαι τελέως ἔφη τηνικαῦτα, τοῦ πρότερον ἀνιῶντος αὐτὸν ἐν τῷ περὶ τὸ καλούμενον ἐφήβαιον χωρίῳ. δῆλον οὖν ἦν ἐπὶ τοῦδε, τὴν κύστιν τετρῶσθαι. δῆλον δὲ κἀπὶ τοῦ κόπρον ἀποκρίναντος περὶ τὸ τραῦμα, τετρῶσθαί τι τῶν ἐντέρων. ὥσπερ γε καὶ εἰ τροφὴ ποσὶν ἐπανέλθοι, τὴν γαστέρα τετρῶσθαι δηλώσει. καὶ μὴν καὶ φύματός τινος γεννηθέντος ὑποκάτω τοῦ βουβῶνος ὡς ἐκπυῆσαι, τεμόντος τοῦ ἰατροῦ, κόπρος ἐπηκολούθησεν, ἐφάνη τε σαφῶς, ἀπόστημα γεγονὸς ἐν κώλῳ. τοῦ δὲ αὐτοῦ γένους τούτοις ἐστὶν, καὶ τὸ τοῦ θώρακος τρωθέντος, ἐκφυσώμενον πνεῦμα, καὶ τὸ τῆς ἀρτηρίας ἐκχεόμενον αἷμα. πολλάκις γοῦν ἀδήλου πρὸς τὴν αἴσθησιν ὄντος τοῦ τετρωμένου σώματος ἀκριβὴς διάγνωσις ἐκ τούτων γίνεται. τὸ μὲν γὰρ ἐν ταῖς ἀναπνοαῖς τοῦ θώρακος ἐκφυσώμενον πνεῦμα, τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα, τετρῶσθαι σημαίνει. τὸ δ' ἐξακοντιζόμενον αἷμα σφυγμωδῶς, ἀρτηρίαν. εὐθὺς δὲ ἔστι, καὶ θερμότερον ἐστι καὶ λεπτομερέστερον καὶ ξανθότερον, τοῦ περὶ τὰς φλέβας. ὥσπερ δὲ ταῦτα σαφῆ τὴν διάγνωσιν ἔχει, κατὰ τὸν αὐτὸν τρόπον, ἐὰν ἐπίπλους ποτὲ ὀφθῇ προπεσὼν διὰ τραύματος, ἢ τι τῶν ἐντέρων, ἀναγκαῖόν ἐστι διῃρῆσθαι τὸ περιτόναιον. εἰ δὲ πνεύμονος ὀφθείη τι πέρας λοβοῦ προπεσὸν ἔξω τοῦ τραύματος, ἐνδείκνυται συντετρῆσθαι τὸν θώρακα. διαφορὰ δ' οὐδὲν, ἢ τὸν ὑπεζωκότα τετρῶσθαι λέγειν, ἢ συντετρῆσθαι τὸν θώρακα.

Καὶ μὴν κἀκ τῶν ἀποπτυομένων, ἐστὶν ὅτε, γνωρίζεται ὁ πεπονθὼς τόπος. ἰδιότης μὲν γὰρ τῆς οὐσίας ἐστὶ τῶν ἀποπτυομένων, ὥσπερ τῶν μυκήτων, τοῖς ἐν τῇ κεφαλῇ κατάγμασιν, ὅταν ἡ μῆνιγξ ᾖ πεπονθυῖα. ἰδιότης δ' ἑτέρα πάλιν, ὅταν ὁπωσοῦν πεπόνθῃ κατά τι μόριον. ἐκ τούτου δὲ τοῦ γένους ἐστὶ, καὶ ἡ ἐφελκὶς ὀνομαζομένη. δηλοῖ γὰρ ἡλκῶσθαι τὸ μόριον ἐκεῖνο, καθ' ὅπερ ἂν ἐκκριθεῖσα φαίνηται. μετὰ μὲν τῶν οὔρων ὑπελθοῦσα, τῶν οὐρητικῶν τι. μετὰ δὲ βηχὸς ἀναχθεῖσα, τῶν ἀναπνευστικῶν. εἰ δ' ἐμεθείη, τῶν περὶ τὸν στόμαχόν τε καὶ γαστέρα. καθάπερ γε καὶ εἰ μετὰ τῶν διαχωρημάτων ὑπέλθοι, τῶν ἐντέρων τινὸς ἕλκωσιν ἐνδείκνυται.

Ἕτερος δὲ τρόπος ἐστὶ διαγνώσεως ἐκ σημείων τινῶν, ὅταν ἐν ἀλλοτρίᾳ χώρᾳ περιέχηταί τι παρὰ φύσιν. οἷον ἐν νεφροῖς, ἢ κύστει λίθος, ἢ πῦον ἐν θώρακι. ἐκ τούτου δὲ τοῦ γένους ἐστὶν καὶ θρόμβος αἵματος, ἐν ᾧπερ ἂν ᾖ περιεχόμενος, ἤ τις ἕτερος χυμὸς ἀνιαρὸς ἐν τῷ σώματι τοῦ ζώου γεννηθεὶς, ἢ ἔξωθεν ἐπεισκριθεὶς, ὅθεν καὶ ζήτησις, οὐδὲν μὲν εἰς τὰ τῆς ἰατρικῆς τέχνης ἔργα συντελοῦσα, λογικωτέραν δέ τινα θεωρίαν ἔχουσα, πολλοῖς τῶν νεωτέρων ἰατρῶν ἐγένετο, πότερον ἐκ τῶν πεπονθότων τόπων ἐστὶ καὶ τὰ τοιαῦτα τῶν παρὰ φύσιν ἐν ἡμῖν γινομένων ἢ τόπος μὲν οὐδεὶς πέπονθεν, ἐνοχλεῖται δὲ τὸ ζῶον, ὑπὸ τῆς παρὰ φύσιν αἰτίας. ὅτι δ' ὡς ἔφην, ἄχρηστός ἐστιν ἡ τοιαύτη ζήτησις, ἔνεστί σοι γνῶναι ῥᾳδίως, ἐννοήσαντι τὸ χρήσιμον εἰς τὴν τέχνην ἐκ τῶν διαγνώσεων.

Ὑποκείσθω γοῦν τις ἡμερῶν τριῶν μὴ δ' ὅλως οὐρηκώς. ἆρ' οὖν οὐκ εὐθέως ζητήσομεν, ἐν τίνι μορίῳ τοῦ σώματός, ἐστὶν ἡ τοῦ συμπτώματος αἰτία; πότερον ἐν τοῖς νεφροῖς, ἢ τοῖς οὐρητῆρσιν, ἢ περὶ τὴν κύστιν, ἢ περὶ τὴν οὐρήθραν; οὐ μὴν ἐν ἥπατί γε, καὶ πνεύμονι, καὶ σπληνὶ, καὶ γαστρὶ, καὶ καρδίᾳ, ζητήσομεν αὐτήν. οὐδ' ὅλως ἐν ἄλλῳ μορίῳ, διότι οὐδὲν ἐκείνων ἐστὶν οὐρήσεως ὄργανον. εἰ δέ γ' ἠγνοοῦμεν, ὡς ἐν μὲν τοῖς νεφροῖς πρῶτον ἡ τῶν οὔρων γίνεται διάκρισις, ἐφεξῆς δὲ διὰ τῶν οὐρητήρων ἐπὶ τὴν κύστιν ἀφικνεῖται, κἄπειτ' ἐντεῦθεν ἐκκρίνεται, καθ' ὃν ἐμάθομεν τρόπον ἔμπροσθεν, ἐν τοῖς τῶν φυσικῶν ἐνεργειῶν λογισμοῖς, οὐδὲν ἂν τούτων εὑρεῖν ἠδυνήθημεν. οὐ μὴν, οὐδ' ἄχρι τοσούτου προελθεῖν ἀρκέσει. σκέψασθαι γὰρ ἄμεινον. ἥτις ποτὲ τῶν εἰρημένων αἰτία, δι' ἣν ἴσχεται τὸ οὖρον. ἡ δὲ ὁδὸς τῆς σκέψεως, ἥδε. πάντ' ἐπισκέψασθαι χρὴ, τά τε παρόντα καὶ τὰ προγεγονότα συμπτώματα, τὰ μὲν παρόντα, θεασάμενον αὐτὸν, ὅσα δ' ἔμπροσθεν ἐγένετο, διαπυνθανόμενον, οὐ τοῦ κάμνοντος μόνον, ἀλλὰ καὶ τῶν οἰκείων. ἔστω τοίνυν ἕνεκα παραδείγματος, ὄγκος μέν τις, περὶ τὸ καλούμενον ἐφήβαιον ἐν περιγραφῇ σαφῶς ἐνδεικνύμενος πεπληρῶσθαι τὴν κύστιν. ἐκκρινέσθω δὲ μηδέν. ἆρ' οὐ πρόδηλον, ὡς ἤτοι παραλελύσθαι τὴν ἀποκριτικὴν τῶν οὔρων ἐνέργειαν ἀναγκαῖόν ἐστιν, ἢ τὸν τῆς οὐρήθρας πόρον ἐστεγνῶσθαι. πρῶτον μὲν οὖν ἐπισκεπτέον, εἰ παραλελύσθαι δυνατὸν. ἀναμνησθέντας, ὅπως ἡ τῶν οὔρων ἔκκρισις γίνεται τοῖς ὑγιαίνουσιν, ὅταν αὐτοὶ προέλωνται. τοῦ μὲν ἐν κύκλῳ περιβεβλημένου τῷ τραχήλῳ τῆς κύστεως μυὸς, παυσαμένου τῆς ἐνεργείας. αὐτῆς δὲ τῆς κύστεως, ἐνεργούσης. ἔστι δὲ ἡ μὲν τοῦ μυὸς ἐνέργεια, κατὰ τὴν ἡμετέραν γινομένη προαίρεσιν. ἡ δὲ τῆς κύστεως, ἀπροαίρετός τε καὶ φυσική. δέδεικται γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἐν ἅπασι σχεδὸν τοῖς τοῦ σώματος μορίοις, ἀποκριτικὴν τῶν περιττωμάτων ὑπάρχειν δύναμιν, ἣν ἔχει μὲν ἀεὶ πάντα, χρῆται δ' αὐτῇ ὅταν ὑπὸ τῶν περιττωμάτων ἀνιαθῇ. ταύτης οὖν παθούσης τῆς ἀποκριτικῆς δυνάμεως, ἐγχωρεῖ ποτε γενέσθαι τὴν ὀνομαζομένην ἰσχουρίαν. ἀλλ' ἐὰν οὕτω σχηματίσῃς τὸν ἄνθρωπον, ὡς κατάρροπον εἶναι τὸν αὐχένα τῆς κύστεως, ἐπιθλίψεις τε ταῖς χερσὶν τὸν παρὰ φύσιν ὄγκον, ἐκκριθήσεται τὸ οὖρον. εἰ δὲ ταῦτα πράξαντί σοι μηδὲν γίγνοιτο πλέον, ἀφίστασθαι μὲν χρὴ, τῆς περὶ τὴν παράλυσιν αἰτίας. ἐστεγνῶσθαι δὲ τὴν οὐρήθραν ὑπολαμβάνειν. ὁ γάρ τοι μῦς ὁ περικείμενος αὐτῇ παραλυθεὶς, οὐκ ἰσχουρίας, ἀλλ' ἀκουσίου κενώ-

σεως τῶν οὔρων, αἴτιος γίνεται. Κατὰ πόσους δὴ τρόπους ἐγχωρεῖ στεγνωθῆναι τὸν πόρον τοῦ τραχήλου τῆς κύστεως, ὃν ὀνομάζουσιν οὐρήθραν, ἐφεξῆς ἂν εἴη σκέψασθαι. ἐμοὶ μὲν δοκοῦσι τρεῖς οἱ πάντες εἶναι, ἤτοι τοῦ σώματος αὐτῆς εἰς ὄγκον τινὰ παρὰ φύσιν ἀρθέντος, οὕτω μέγαν, ὡς ὑπ' αὐτοῦ καταληφθῆναι τὸν πόρον, ἢ τινὸς ἐπιτραφέντος αὐτῷ παρὰ φύσιν, ἤτοι σαρκοειδοῦς ἢ πωροειδοῦς σώματος, ἢ καὶ φράξαντός τινος τὸν πόρον. αὐτὸ μὲν δὴ τὸ σῶμα πρὸς ἀξιόλογον ὄγκον ἐπιδίδωσι, φλεγμαῖνον, ἢ σκιρρούμενον, ἢ ἀφιστάμενον ἢ ὁπωσοῦν οἰδισκόμενον. ἐπιτραφήσεται δὲ τῷ πόρῳ, σὰρξ μὲν, ἑλκώσεώς τινος προηγησαμένης. ἑτέρα δέ τις οὐσία, χρόνῳ πολλῷ κατὰ βραχὺ χυμοῦ παχέος, ἢ γλίσχρου γεννήσαντος αὐτήν. ἐμφραχθήσεται δ' ὑπό τε λίθου, καὶ θρόμβου, καὶ πύου, καὶ χυμοῦ παχέος τε καὶ γλίσχρου. ταῦτ' οὖν χρὴ διορίζεσθαι πάντα, μὴ μόνον τὰ παρόντα συμπτώματα θεώμενον, ἀλλὰ καὶ τὰ προηγησάμενα. φέρε γὰρ ὑποκείσθω παιδίον μὲν τὸ κάμνον. ἔμπροσθεν δ' αὐτῷ γεγονέναι τὰ τοῦ λίθου σημεῖα. τὸ μὲν οὖρον ὑδατῶδες, ὑποστάσεις δέ τινας ψαμμώδεις ἐν αὐτῷ, καὶ κνώμενον τὸ αἰδοῖον συνεχῶς, καὶ χαλώμενον ἢ ἐντεινόμενον ἀλόγως. ἔπειτ' ἐξαίφνης ἰσχουρῆσαι. ἐπὶ τούτῳ τίς οὐκ ἂν εὐλόγως ὑπονοήσειεν, ἐμπεπτωκέναι τῷ τραχήλῳ τῆς κύστεως τὸν λίθον; ὕπτιον τε οὖν σχηματίσας τὸ παιδίον, ὑψηλότερα τε πολλῷ τοῦ λοιποῦ σώματος ἐργασάμενος τὰ σκέλη, διασείσεις πολυειδῶς, ἐπιτεχνώμενος ἐκπεσεῖν τοῦ πόρου τὸν λίθον. ἐπειδὰν δὲ ταῦτα πράξῃς, κέλευε προθυμηθῆναι τὸ παιδίον οὐρῆσαι. κἂν μὲν ὑπακούσῃ τὸ ἔργον, εἰκάσθη τε τὸ οὖρον ἅμα τῇ τῆς αἰτίας ἀκριβεῖ διάγνωσιν ἐσχηκέναι, καὶ τῆς θεραπείας εὐπορηκέναι, πεισθήσῃ. μενούσης δὲ ἔτι τῆς ἰσχουρίας, ἐκ δευτέρου διασείσῃς σφοδρότερον εἰ δὲ διασείσαντος καὶ νῦν ἔτι μένοι, διὰ τοῦ καλουμένου καθετῆρος, ἅμα μὲν ἀπώσῃ τὸν λίθον ἐκ τοῦ τραχήλου τῆς κύστεως, ἅμα δὲ προδηγήσεις τοῖς οὔροις. εἰ δὲ τὰ μὲν λίθου σημεῖα μὴ φαίνοιτο προηγεῖσθαι τῆς ἰσχουρίας, αἵματος δέ τις ἔκκρισις, εἰκὸς εἶναι θρόμβον, ἐμφράττοντα τὴν οὐρήθραν. ἐγχωρεῖ δὲ καὶ τῆς κύστεως ἡλκωμένης, ἔκκρισιν μὲν αἵματος μὴ προηγήσασθαι, κατὰ βραχὺ δὲ συστῆναι θρόμβον. ἐγχωρεῖ δὲ κἀκ τῶν νεφρῶν αἷμα διὰ τῶν οὐρητήρων εἰς τὴν κύστιν ῥυὲν, ἐργάσασθαι τὸν θρόμβον ἀλλὰ κἀπὶ τῶν τοιούτων στοχασμῶν, ὁ καθετὴρ χρήσιμος. ὥσπερ κἀπειδὰν πῦον, ἢ χυμός τις παχὺς καὶ γλίσχρος ὑπονοῆται κατειληφέναι τὸν πόρον. εἰς δὲ τὴν τοιαύτην ὑπόνοιαν ἀφιξόμεθα, διὰ τῆς τῶν προγεγενημένων γνώσεως οὕτως. εἰ μὲν γὰρ ἤτοι κατὰ κύστιν, ἢ νεφροὺς εἴη τι προγεγενημένον πάθος, ὡς ἐξ αὐτοῦ δύνασθαι προσδοκῆσαι, πῦον ἠθροῖσθαι τοσοῦτόν τε καὶ τοιοῦτον, ὑφ' ὅσου τε καὶ οἵου φραχθῆναι τὸν πόρον εἰκός ἐστι δυνατὸν εἶναι. στοχάσεσθαι, διὰ τὴν αἰτίαν ταύτην ἐπισχεθῆναι τὸ οὖρον, ἢ εἰ καὶ ἀνωτέρω τῶν νεφρῶν ἀπόστημα καθ' ἕτερον μόριον προγεγενημένον εἴη, οὗ ῥαγέντος εἰκός ἐστι τὸ πῦον εἰς νεφροὺς μεταληφθῆναι. μηδενὸς δὲ τοιούτου προηγησαμένου, τὴν δίαιταν ἐξετάσωμεν, εἰ ἀργὸς, ἢ διὰ πολλῶν ἐδεσμάτων παχεῖς ἢ γλίσχρους ἐργαζομένων χυμούς. οὕτω δὲ εἰ καὶ σάρκα τινὰ δι' ἕλκωσιν ἐπιτραφεῖσαν ἡγούμεθα τὸν τράχηλον τῆς κύστεως ἐμφράττειν, ἔκ τε τῶν προηγησαμένων τοῦ ἕλκους σημείων, ἔκ τε τοῦ κωλυθῆναι τὸ οὖρον ἐπὶ τῷ καθετῆρι συλλογισόμεθα. καὶ ποτὲ καὶ γενόμενον οἶδα τοιοῦτόν τι πάθημα. διεμβαλλομένου γοῦν τοῦ καθετῆρος, ἤλγησεν κατ' ἐκεῖνο τοῦ πόρου τὸ μέρος ἔνθα καὶ πρότερον ἐτεκμηράμεθα, τὴν ἕλκωσιν εἶναι. θλασθείσης δὲ τῆς σαρκὸς ὑπὸ τοῦ καθετῆρος ἠκολούθησε μὲν μετὰ τῆς τῶν οὔρων ἔκκρισιν αἵματός γέ τι καὶ θρύμματα τῆς σαρκός. ταῦτα μὲν οὖν εἴρηταί μοι, τῆς προκειμένης ἴδια πραγματείας ὄντα. καὶ γέγονεν ἤδη δῆλον ὡς λογικὴ μόνον ἐστὶν, ἡ μικρὸν ἔμπροσθεν εἰρημένη ζήτησις, οὐδὲν ἡμᾶς ὠφελοῦσα πρὸς τὰ τῆς τέχνης ἔργα. τὸ γάρ τοι χρήσιμον εἰς ταῦτ' ἐστὶ, γνῶναι τὸν πόρον ἐμπεφραγμένον ὑπὸ θρόμβου τινὸς, εἰ οὕτως ἔτυχεν, ἢ λίθου. τὸ δ' εἴτε πάθος εἶναι λεκτέον τοῦ πόρου τὸ γεγονὸς, εἴτε αἴτιον ἰσχουρίας, ἐν τῷ πόρῳ περιέχεσθαι, τῶν ἀχρήστων εἰς τὴν τέχνην ἐστίν. ἀρχιγένης δ' οὐκ οἶδ' ὅπως ἐν τοῖς τοιούτοις σκέμμασι χρονίζει, μετὰ καὶ τοῦ γράφειν ἀσαφῶς οὕτως ὑπὲρ αὐτῶν ὡς μηδένα νοῆσαι. Πάλιν οὖν ἀναλαβόντες τὸν λόγον, ἐπὶ τὰ συνεχῆ προέλθωμεν, ὡς ἐκ τῶν προγεγενημένων τε καὶ τῶν νῦν ὄντων συμπτωμάτων, ἡ τῆς ἰσχουρίας αἰτία γνωρίζεται. πληγεὶς γάρ τις ἰσχυρῶς, κατὰ τὸ καλούμενον περίναιον, ἐπιγενομένης τῇ πληγῇ φλεγμονῆς, οὔτε οὐρεῖν ἠδύνατο, καὶ προφανῶς ἡ κύστις αὐτῷ πεπληρωμένη κατὰ περιγραφὴν τέτατο. ἔπειτα τούτῳ καθετῆρα προσφέρειν, οὐκ ἐδόκει, παροξυνθησομένης ὑπ' αὐτοῦ τῆς φλεγμονῆς, ἀλλὰ καταντλεῖν ὕδωρ θερμὸν, ἔλαιον παραχέοντας, ἄμεινον ἐφαίνετο. καὶ σχεδὸν ὥραις τρισὶ τοῦτο ποιήσαντες, ἐπειδὴ τήν τε τάσιν ἑωρῶμεν ἱκανῶς κεχαλασμένην, τήν τ' ὀδύνην ὡς αὐτὸς ὡμολόγει πρᾳοτέραν γεγενημένην, παρεκελευσάμεθα προθυμηθῆναι περὶ τὴν οὔρησιν, οὕτω δὲ πράξαντες, ἐπιθλίψαμεν ἠρέμα, τὸν ὄγκον τῆς κύστεως εἰς τὸ κάτω βιαζόμενοι. καὶ ταῦτα ποιησάντων, οὔρησεν ὁ νεανίσκος. ἐπὶ μὲν δὴ τῶν τοιούτων, ἐναργῶς ἡμῖν ἡ τῆς ἰσχουρίας αἰτία διαγινώσκεται. κατ' ἔνια δὲ τῶν ἄλλων, οὐκ ἐναργῶς, ἀλλ' ὁ συνήθως ὀνομαζόμενος ὑπὸ πάντων ἤδη χρήσιμος ἡμῖν τεχνικὸς στοχασμὸς, ὃς ἐν τῷ μεταξύ πως ἐστὶν, ἀκριβοῦς τε γνώσεως καὶ παντελοῦς ἀγνοίας. ὅθεν οὐδὲ δυνατόν ἐστιν, ἐπὶ πάντων τῶν νοσημάτων ποιήσασθαι τὰς ὑπὸ τῶν ἐμπειρικῶν ὀνομαζομένας παθογνωμονικὰς συνδρομὰς, ἀλλ' ὅπερ ὁ ἐρασίστρατος εἴωθεν λέγειν, ἀληθέστατόν ἐστιν. γεγυμνάσθαι χρὴ τὸν λογισμὸν, ὅστις μέλλει διαγνώσεσθαι καλῶς, οὐ μόνον τὸ πάθος ὁποῖόν ἐστιν, ἀλλὰ καὶ τὸν πάσχοντα τόπον. ἡ γυμνασία δὲ γενήσεται προσηκόντως, οὐκ ἐὰν ζητῶμεν, εἴτε χρὴ φάναι πεπονθέναι τὸν τράχηλον τῆς κύστεως διὰ τὸν ἐμφράξαντα λίθον, ἢ θρόμβον, εἴτε τοῦτον μὲν ὑπάρχειν ἀπαθῆ, τὴν δὲ ἐνέργειαν βεβλάφθαι. ταῦτα μὲν οὖν ὁ ἀρχιγένης ζητεῖ, περιττὰ πρὸς τὴν τέχνην. ἕτεροι δὲ τούτων ἐπέκεινα προϊόντες, οὐδὲ τὴν ἐνέργειαν βεβλάφθαι φασί. γίνεσθαι γὰρ αὐτὴν, ἀνιεμένου μὲν τοῦ σφίγγοντος μυὸς τὸν τράχηλον τῆς κύστεως, περιστελλομένης δὲ τῆς κύστεως, τῷ περιεχομένῳ κατ' αὐτὴν οὔρῳ. συνεπιθλιβόντων δὲ, τῶν κατ' ἐπιγάστριον μυῶν. ὅταν οὖν ἥ τε κύστις ἀβλαβῆ τὴν ἑαυτῆς ἐνέργειαν ἔχῃ, τούς τε μῦς ἡ προαίρεσις ὡς ἂν ἐθέλῃ παρασκευάζῃ, τοῦτο μὲν ἄνωθεν ἐντείνουσα, τὸν δὲ ἐπὶ τῷ τραχήλῳ χαλῶσα, πῶς ἂν ἔτι φασὶ, δέοντί τις ὑπολάβοι βεβλάφθαι τὴν ἐνέργειαν. ἀναγκάζονται γὰρ οὖν οὗτοι, τὸ τῆς ἰσχουρίας πάθος, οὐ βεβλαμμένης τῆς οὐρήσεως, ἀλλ' ἐμποδιζομένης, γίνεσθαι λέγειν, ὥσπερ ἀφελόντες τι τῆς ἰατρικῆς, εἰ τὸ βεβλάφθαι ῥῆμα μεταθέντες, ἐμποδίζεσθαι λέγοιεν. αἱ μὲν δὴ τοιαῦται ζητήσεις, ὡς ἔφην

ὡς ἔφην

ὡς ἔφην λογικοὶ τινὲς εἰσὶ, καὶ γυμνάζουσι τὸν λογισμόν. οὔτ' εἰς τὴν τῶν παθῶν διάγνωσιν, οὔτ' εἰς τὴν τῶν πεπονθότων τόπων εὕρεσιν, συντελοῦσι. ἡ δ' ὑφ' ἡμῶν ἀρτίως λεγομένη, τῆς προκειμένης πραγματείας ἐστὶν οἰκεία. καὶ φαίνεται τό γε τοσοῦτον ἤδη κατ' αὐτὴν, ὡς χρὴ γιγνώσκειν. πρῶτον μὲν ἐξ ἀνατομῆς ἑκάστου τῶν μορίων ἀκριβῶς τὴν οὐσίαν, ὁποία τίς ἐστιν, ἔπειτα δὲ τὴν ἐνέργειάν τε καὶ τὴν πρὸς τὰ πλησιάζοντα μόρια, κοινωνίαν. ὅπερ ἐν τῷ τῆς θέσεως ὀνόματι περιλαμβάνεται. καὶ μὴν καὶ ἡ χρεία τῶν μορίων ἑκάστου μεγάλα συντελεῖ, πρὸς τὴν τῶν πεπονθότων τόπων εὕρεσιν. αἱ μὲν γὰρ ἐνέργειαι, κινήσεις εἰσὶ δραστικαὶ τῶν μορίων. αἱ χρεῖαι δ' ἅπασιν ὑπάρχουσι κἂν μηδὲν ἐνεργοῦσιν. αὐτίκα γέ τοι τῶν ἐπὶ τὴν οὔρησιν, ἡ μὲν ἐνέργεια τῆς ἐκκρίσεως τῇ περιστολῇ τῆς κύστεως γίνεται, συνεπιβοηθούντων ἐνίοτε καὶ τῶν καθ' ὑπογάστριον μυῶν, ὅταν ἤτοι παντάπασιν ὀλίγον ᾖ τὸ περιεχόμενον οὖρον, ἢ ἄτονος ἡ κύστις. ἅπαντα δὲ τ' ἄλλα χρήσιμ' ἐστὶν πρὸς τὴν ἐνέργειαν. εἰ μὴ γὰρ ἥ τε κύστις αὐτὴ τὸ κύτος ὅλον οὕτως ἐσχημάτιστο, καὶ ὁ τράχηλος αὐτῆς ἐτέτρητο δι' ὅλου, καὶ ἡ τῶν οὐρητήρων ἔμφυσις εἰς αὐτὴν ἐγεγόνει λοξὴ, μάτην ἂν εἶχε τὴν περισταλτικὴν κίνησιν. ἐξ οὖν τῆς τούτων γνώσεως, ἡ τῶν πεπονθότων μορίων διάγνωσις, ἅμα τοῖς καθ' αὐτὰ γίνεται πάθεσιν. οὐκ ἐκ τοῦ ζητεῖν, εἴτε χρὴ πεπονθέναι φάναι τὸ ἐμπεφραγμένον ὄργανον, εἴτ' ἀπαθὲς εἶναι, παραπλήσιον δὲ τούτῳ ζήτημά ἐστι, καὶ τὸ περὶ πασχόντων μὲν ἔτι μορίων, οὐδέπω δ' ἐχόντων ἐν ἑαυτοῖς διάθεσιν οἰκείαν. οἰκείαν δ' ὀνομάζουσι διάθεσιν, ὅταν τοῦ ποιοῦντος αὐτὴν αἰτίου χωρισθέντος ἔθ' ὑπομένῃ. ἐπὶ τοῦτο γοῦν τὸ σκέμμα, πάλιν λέγουσιν ἔνιοι, μηδὲν πεπονθέναι τὴν κεφαλὴν, ἐν ἐκείναις ταῖς κεφαλαλγίαις, ὅσαι γίγνονται διὰ χολώδη χυμὸν, ἐν τῇ γαστρὶ περιεχόμενον. ἐμεθέντος γὰρ αὐτοῦ, παύεσθαι παραχρῆμα τὴν κεφαλαλγίαν. ὡς εἴ γε καὶ μετὰ τὸν ἔμετον ἔτι διαμένοι, τηνικαῦτα πεπονθέναι λέγουσι τὴν κεφαλήν. πολὺ δὲ δὴ μᾶλλον ὅταν ὅμοια τοῖς τῶν ὑποχεομένων, συμπτώματα γένηται περὶ τοὺς ὀφθαλμοὺς, ἐφ' ὧν ἀθροίζεταί τι περίττωμα περὶ τὸ τῆς γαστρὸς στόμα. ταυτὶ γὰρ, οἷον σκιάς τινὰς εἶναι παθῶν. ἐν τοῖς τοιούτοις ἅπασι ζητήμασι πλεονάσαντες οἱ πρὸ ἡμῶν, ὀλίγιστα περὶ τῆς τῶν πεπονθότων τόπων ἔγραψαν διαγνώσεως. ἀλλ' ἡμεῖς γε τὴν ἐναντίαν ὁδὸν ἐκείνοις βαδιοῦμεν. γυμνάζοντές τε καὶ ὡς ἂν εἴποι τις τεχνοῦντες, τοὺς ἐπηγγελκότας διαγνωστικοὺς γενέσθαι τῶν πεπονθότων μορίων. ὥσπερ οὖν ὀλίγον ἔμπροσθεν ὑπέκειτο, διατεταμένης τῆς κύστεως, τὸ ἀδυνατεῖν ὁ ἄνθρωπος οὐρεῖν, οὕτω νῦν ὑποκείσθω χωρὶς τοῦ κατὰ τὴν κύστιν ὄγκου, γεγενημένη ἡ τῶν οὔρων ἐπίσχεσις. ἀνάγκη δή που κατὰ τὴν τοιαύτην ἰσχουρίαν ἤτοι τοὺς οὐρητῆρας, ἢ τοὺς νεφροὺς ἐμπεφράχθαι. πάλιν οὖν ἐνταῦθα σκεπτέον ἐστὶ τὰ πρὸ τῆς ἰσχουρίας συμπτώματα, πότερα λιθιώντων, ἢ φλεγμαινόντων, ἢ τι ἄλλο κακὸν πασχόντων. ἐπισκεπτέον δὲ καὶ περὶ τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως. ἵνα διορισώμεθα καθ' ὅσον οἷόν τε στοχασμῷ τεχνικῷ. πότερον ἐν τοῖς νεφροῖς αὐτοῖς ἡ ἔμφραξις ἐγένετο διὰ λίθους τινὰς, ἢ παχεῖς χυμοὺς, ἢ κατὰ τοὺς οὐρητῆρας καλουμένους, οἵπερ εἰσὶν οἱ ἀπὸ τῶν νεφρῶν ἐπὶ τὴν κύστιν ἐκτεταμένοι πόροι. τινὰ μὲν γὰρ εἰς ἀκριβῆ διάγνωσιν ἥκει, καθάπερ ὀλίγον ἔμπροσθεν ἐλέγομεν, περὶ τῶν ἐμφανιζόντων τῆς πεπονθυίας οὐσίας τὴν ἰδιότητα. τινὰ δ' ὑποπέπτωκε τεχνικῷ στοχασμῷ. καὶ διὰ ταῦτά γε μακρὸς ὁ λόγος γίγνεται, κἂν ἀποσκευάσηταί τις τοὺς σοφιστάς. ὥσπερ ἀμέλει καὶ νῦν Ἀσκληπιάδου κατεφρονήσαμεν ἀλλόκοτα γράψαντος, ὡς δι' ἑτέρων ἐξελήλεγκται περὶ τῆς τῶν οὔρων ἀθροίσεως ἐν κύστει. κατέγνωσται δ' ἤδη πρὸς ἁπάντων τῶν ἀνατομικῶν, καὶ τὸν τὰ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ γεγραμμένα τοῖς ἐν τῇ καρδίᾳ νομίζουσιν ὑπάρχειν αὐτό. καὶ οἵ γε περὶ τὸν Ἀρχιγένην μήτ' ἀποστῆναι φανερῶς τοῦ δόγματος ὑπομένοντες, ἐξελεγχόμενον τὸ αὐτὸ διά τε πολλῶν ἄλλων ὁρῶντες, οὐχ ἥκιστα δὲ καὶ κατὰ τὰς θεραπείας τῶν φρενιτικῶν τε καὶ ληθαργικῶν, ἄνω τε καὶ κάτω τοὺς λόγους στρέφουσιν, ἄλλοτ' ἄλλα λέγοντες, εἰ καὶ μηδὲν ὅλως ἀποσαφοῦντες. οἷον ἀμέλει καὶ τὸ τρίτον ἐστὶ περὶ τῶν πεπονθότων τόπων Ἀρχιγένους. ἡμῖν δὲ περὶ μὲν ἡγεμονικοῦ ψυχῆς, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπὶ πλεῖστον εἴρηται. νυνὶ δ' ὡς ἀποδεδειγμένου, τὴν ἐπίσκεψιν ποιησόμεθα τῶν πεπονθότων μορίων. ὅπερ δέ ἐστι κοινὸν ἐπὶ πάντων τῶν πεπονθότων μορίων καὶ τόπων οὐκ εἰς λογικὴν ζήτησιν, ἀλλ' ἀναγκαῖον ἐκτεινόμενον ἤδη σοι δίειμι. τῶν κατὰ τὸ σῶμα τοῦ ζώου πασῶν ἐνεργειῶν ἑκάστης, τί μόριον ἴδιόν ἐστιν, δι' οὗ γίνεται, καὶ τοίνυν καὶ βλάπτεσθαι τὴν ἐνέργειαν, ἀναγκαῖόν ἐστι παθόντος κατά τι τοῦ δημιουργοῦντος αὐτήν. πάσχει δὲ ποτὲ μὲν οὕτως εὔλυτον πάθος, ὡς εὐθὺς ἅμα τῷ δράσαντι χωρισθέντι πεπαῦσθαι. ποτὲ δ' οὕτως δύσλυτον, ὡς παραμένειν ἐπὶ πλεῖστον. ἔστιν δ' ὅτε, καὶ τὸ δρῶν αὐτὸ διοδεῦον, οὐκ ἐστηριγμένον ἐν τῷ μορίῳ τὸ πάθος ἐργάζεται. καὶ τοῦτ' εἰκάζει σκιᾷ πάθους ὁ Ἀρχιγένης, ὡς ἐπὶ τῶν ὅμοια τοῖς ὑποχεομένοις φανταζομένων ὀφθαλμῶν, ἐφ' ὧν ἐν τῷ στόματι τῆς γαστρὸς ἤθροισται περίττωμα λεπτομερές. ἀτμῶν γάρ τινων ἐντεῦθεν εἰς τοὺς ὀφθαλμοὺς ἀναφερομένων, περιπίπτουσα τούτοις ἡ ὀπτικὴ δύναμις, ὁμοίως φαντάζεται τοῖς κατὰ τοὺς ὑποχεομένους. καὶ μάλιστά γε συμβαίνει τὸ τοιοῦτο, ἐφ' ὧν αὐτό τε τὸ κατὰ τοὺς ὀφθαλμοὺς ὑγρὸν ἀκριβῶς ἐστι καθαρόν, ἥ τ' ὀπτικὴ δύναμις, αἰσθητικωτάτη. κατὰ δὲ τὴν αὐτὴν αἰτίαν, ἐπί τε τῶν αἱμορραγησάντων ἐν νόσοις, ἢ ἐμεσάντων, ἐνίοτε προφαίνεται τὰ τοιαῦτα συμπτώματα. καὶ γράφει γε περὶ αὐτῶν ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ ταυτί, ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει, φησὶ, τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ ὀφθαλμῶν φαίνεσθαι, ἢν καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. καὶ μεθ' ὀλίγα πάλιν, οἷσι δ' ἂν ἐν τοιούτῳ τρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνηται, ἢ μαρμαρυγαὶ προφαίνωνται, ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιά, ἢ ἐπ' ἀριστερὰ ξυντείνηταί τι, μήτε ξὺν ὀδύνῃ μήτε ξὺν φλεγμονῇ, αἷμα διὰ ῥινῶν τουτέῳ ῥυῆναι, προσδόκιμον ἀντὶ τοῦ ἐμέτου. αὗται μὲν αἱ τοῦ Ἱπποκράτους ῥήσεις. ἐδίδαξε δὲ δι' αὐτῶν, ὡς ἐπὶ χυμοῖς πολλάκις ἠθροισμένοις ἐν τῇ γαστρὶ συμβαίνει τινὰ φαντάσματα γίγνεσθαι κατὰ τὴν ὄψιν, ἀλλ' εἴπερ ὅλως ἀπὸ τῶν χυμῶν ἐπὶ τοὺς ὀφθαλμοὺς ἀνεφέρετο μηδὲν, οὐδὲ τῶν τοιούτων συμπτωμάτων ἐγίνετό τι, καθάπερ οὐδ' εἰ πρὸς τοὺς τῶν ὤτων ἠνέχθη πόρους, ἢ τοὺς τῆς ῥινός. ἢ τὸ τῆς γλώττης σῶμα. καὶ τῷ δὲ δῆλον, ὡς ἀπολαῦσαί τι χρὴ τῆς κατὰ τὴν γαστέρα διαθέσεως, τοὺς ὀφθαλμοὺς, εἰ μέλλει παρόψεσθαι τὸ ζῶον, οὕτως δὲ κἀπειδὰν εἴπῃ πάλιν ὁ Ἱπποκράτης, οἷσι χολώδεα διαχωρήματα κωφώσιος ἐπιγιγνομένης παύεται. καὶ οἷσι

κώφωσις, χολωδῶν ἐμέτων γενομένων παύεται, τίς οὕτω ληρώδης ἐξηγητὴς, ὡς ἐάσας ἐν τῷ λόγῳ. τὰ ὦτα πάσχειν, ἐπειδὰν ἐπὶ τοὺς ὀφθαλμοὺς ἀνενεχθῆναι συμβῇ, τὴν ἔμπροσθεν ἐκκενουμένην διὰ τῆς κοιλίας χολὴν, τηνικαῦτα φάσκειν γενέσθαι τὴν κώφωσιν; ἀεὶ τοίνυν ἀναγκαῖόν ἐστιν ἄρχεσθαι μὲν ἀπὸ τῆς βεβλαμμένης ἐνεργείας ὀργάνου. ζητεῖν δ' ἐφεξῆς, ὅστις ὁ τρόπος αὐτῷ τῆς βλάβης ἐστίν. ἆρά γε διάθεσις, ἤδη μόνιμος. ἢ γινομένη μὲν ἔτι, τὸ μόνιμον δὲ, οὔπω προσειληφυῖα. καὶ εἰ γινομένη, πότερον ἐν αὐτῷ τῷ μορίῳ περιεχομένης τῆς ποιούσης τὸ πάθος αἰτίας, ἢ διαδιδούσης αὐτό. ξηρανθέντος μὲν γὰρ ἀμέτρως τοῦ κρυσταλλοειδοῦς ὑγροῦ. μόνιμος ἡ βλάβη τοῦ μορίου, καὶ τὸ πάθος ἴδιον τῆς οὐσίας αὐτοῦ. παχυμεροῦς δὲ ὑγροῦ συνισταμένου κατὰ τὴν κόρην, οὐδέπω μὲν ἡ οὐσία βέβλαπται, τὸ δὲ τοῦ συμπτώματος αἴτιον ἐν αὐτῷ περιέχεται τῷ ὀφθαλμῷ. διέρχεται δ' αὐτὸν, ὅταν ὁ ἀτμίζων χυμὸς, ἐν τῇ γαστρὶ περιέχηται. τὸ δὲ τηνικαῦτα μόνον ἡγεῖσθαι πεπονθέναι τὸ μόριον ὅταν τῆς οὐσίας αὐτοῦ μόνιμος διάθεσις γένηται, νομοθετούντων ἐστὶν ἴδια σημαινόμενα τῶν ἑλληνικῶν ὀνομάτων. ἐπεὶ μέντοι τῶν ἀλγούντων σφοδρῶς κατ' ἔντερον, ἐστηριγμένου δὲ καθ' ἕν τι μέρος τοῦ πόνου, καὶ οἷον διατιτρῶντι, πῶς ἄν τις ἢ μὴ δι' ὅλως πεπονθέναι τὸ ἔντερον, ἢ μὴ τὸ πάθος εἶναι κατ' αὐτὸ λέγοι; καίτοι γ' ἐνίοτε μιᾷ καιροῦ ῥοπῇ τὰ τοιαῦτα τῶν ἀλγημάτων ἐπαύσατο, χυμοῦ τινὸς ὑαλώδους ἐκκενωθέντος. οὐ μὴν, οὐδ' ἄλλο τι, τὸ τῆς ὀδύνης αἴτιον ὑπολαβεῖν ἐνδέχεται, παρὰ τὸν ἐκκενωθέντα χυμόν. ᾧ γὰρ ἐκκενωθέντι, παραχρῆμα παύσασθαι τὴν ὀδύνην ἠκολούθησεν, ἅπαντες ἄνθρωποι τοῦτο τῆς ὀδύνης αἴτιον εἶναι πεπιστεύκασι. φυσικοῦ τινὸς ἀξιώματος ὑπάρχοντος αὐτοῖς ἐξ ἑαυτοῦ πιστοῦ πρὸς τὴν τῶν τοιούτων αἰτίων γνῶσιν. οὗ γάρ τοι ψαύοντος μὲν ἡμῶν γίνεται τό δέ τι τὸ πάθος, ἀποχωρήσαντος δὲ, παραχρῆμα παύεται, τοῦτ' αἴτιον εἶναι πεπιστεύκασι πάντες ἄνθρωποι. οὕτως οὖν καὶ τὸ πῦρ τοῦ καίειν ἡμᾶς αἴτιον εἶναι, πεπίστευται. καὶ τὸ ξίφος τοῦ τέμνειν. ἕκαστόν τε τῶν ἄλλων ὡσαύτως. αἴτιον οὖν ἡγητέον εἶναι, καὶ τὸν κενωθέντα χυμὸν τοῦ γινομένου πάθους, ἡνίκα ἐν τῷ μορίῳ περιείχετο, πότερον διὰ τὸ ψύχειν σφοδρῶς, ἢ διὰ τὸ θερμαίνειν, ἢ ὅλως κατὰ δυσκρασίαν, ἠνώχλει τὸν τόπον. ἢ τῷ διεξέρχεσθαι συνεχῆ σώματα, βιαζόμενος ἐπὶ τὴν ἔκκρισιν. ἢ διὰ πνεῦμα φυσῶδες ὑπ' αὐτοῦ γινόμενον, ὡς διατείνεσθαι τὸ περιέχον. ἢ διὰ βιαίαν σφήνωσιν. ἢ τῷ διαβιβρώσκειν καὶ δάκνειν, οὐδέπω δῆλον ἦν γε τῆς μετὰ τὴν κένωσιν ὠφελείας, ἀλλ' ὅτι μόνον ἐλύπει περιεχόμενος. οὐ μόνον οὖν αἴτιον ἡγητέον εἶναι τὸν τοιοῦτον χυμὸν τῆς ὀδύνης, ἀλλὰ καὶ τὸ μόριον ἐν ᾧ περιείχετο πάσχειν ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ' ὃν ὠδυνᾶτο διὰ τὸν χυμόν. οὕτω γέ τοι πάσχειν λεγόμεθα, καὶ διά τι τῶν ἔξωθεν προσπιπτόντων ἤτοι θερμαινόντων ὡς τὸ πῦρ, ἢ ψυχόντων ὡς ἡ χιὼν, ἢ θλώντων ὡς ὁ λίθος, οὗ χωρισθέντος εὐθὺς πέπαυται τὸ πάθος, οὐδενὸς διὰ τοῦτ' ἐροῦντος ὡς οὐκ ἔπασχεν, ὅτι μηδεμία κατὰ τὸ μόριον ὑπελείπετο διάθεσις. ὡς οὖν οὕτως ἡμῶν ἀεὶ χρησομένων τῷ τοῦ πάθους ὀνόματι καὶ τῷ τοῦ πάσχειν ῥήματι, πρόσεχε τὸν νοῦν τοῖς λεχθησομένοις, ἐπισκοπούμενος ἐν αὐτοῖς τὸ χρήσιμον, εἴς τε τὰς προγνώσεις, καὶ τὰς θεραπείας. ἐνίοτε μὲν γὰρ ὑπὸ μὲν αἰτίου τινὸς γίνεται τὸ πάθος, οὐ μὴν ἤδη πως μόνιμον ἔχει τὴν διάθεσιν, εἰ χωρισθείη τὸ αἴτιον. ἐνίοτε δ' ἤδη γέγονεν, ἔστι τε γίνεται. πολλάκις δὲ πέπαυται μὲν γινόμενον, οἰχομένης τῆς αἰτίας, ἤδη δ' ἐστὶν μόνιμος ἡ διάθεσις. οἷον ἐπὶ δυσεντερίας ὁ δακνώδης χυμὸς, αἴτιός ἐστι τοῦ πάθους. ἐν ἀρχῇ μὲν ἀποῤῥύπτων τε καὶ ξύων, ἐν χρόνῳ δ' ἑλκῶν τὸ ἔντερον. εἰ μὲν οὖν πρὶν ἑλκῶσαι παύσεται διεξιὼν, οὐδέπω δυσεντερία τὸ πάθος ἐστίν. εἰ δ' ἑλκωθῆναι φθάσειεν τὸ ἔντερον, οὐκ ἂν ἔτι συμπαύσαιτο τῷ χυμῷ τὸ γινόμενον πάθος. ὅθεν ἡμᾶς εἰς τὰ παρόντα τοῦ παρὰ μικρὸν λόγου λυποῦντος, ὃν καὶ σωρείτην ὀνομάζουσιν. κοινὴ γὰρ ἡ ἐξ αὐτοῦ πρὸς πολλὰ τῶν κατὰ τὸν βίον χρεία, περὶ ὧν εἴρηται, τοῖς πρὸ ἐμοῦ φιλοσόφοις τε καὶ ἰατροῖς. διὸ κἀμοὶ μνημονεύειν αὐτοῦ, περιττὸν, ἔχοντί γε κατ' αὐτὸ τοῦτο τῆς τέχνης τὸ μέρος, ἐπιδεῖξαι τὴν χρείαν. ὅτι μὲν γὰρ ἔν τινι χρόνῳ γίνεται τὰ πάθη, τῶν ὁμολογουμένων ἐστίν. εἰ δ' ὥσπερ ἡ οἰκία καθ' ὃν γίνεται χρόνον, οὐδέπω μὲν ἐστὶν οἰκία, τὸ δ' ὅλον τοῦτο γινομένη οἰκία, τὸν αὐτὸν τρόπον, ἕκαστον τῶν νοσημάτων ἐν ᾧ γίνεται χρόνῳ γινόμενον μὲν ἐστιν, ὂν δ' οὐδέπω, ζητήσεως ἄξιον, οὐδὲ γὰρ ἡ αὐτὴ φύσις ἐστὶν ἁπάντων τῶν γινομένων, ἀλλ' ὅσα μὲν ὁμοιομερῆ τε ὑπάρχει, καὶ σχῆμα σύμφυτον ἔχει μηδὲν, ἡ οὐσία τούτων εὐθὺς ἐξ ἀρχῆς ἐστὶν ἡ αὐτή. τῶν δ' ἤτοι πολυειδῶν τὴν μορφὴν, ἢ ἀνομοιομερῶν, ἐγχωρεῖ τὴν οὐσίαν ὑστέραν εἶναι τῆς γενέσεως. οὐ γὰρ ἅμα γίνεται τῆς οἰκίας τὰ θεμέλια, καὶ οἱ τοῖχοι, καὶ ἡ ὀροφὴ, καὶ ὁ κέραμος, αἱ θύραι τε καὶ αἱ θυρίδες. ἐξ ὧν ἁπάντων ὧδέ πως συγκειμένων, καὶ εἰς μίαν μορφὴν ἀναγομένων σύνθετός ἐστιν ἡ τῆς οἰκίας οὐσία. τὸ δέ γε θερμὸν νόσημα, καὶ τὸ ψυχρόν. ὑγρόν τε καὶ ξηρὸν, εὐθὺς ἐξ ἀρχῆς, ἐπειδὰν πρῶτον ὑπερβάλῃ τοὺς ὑγιεινοὺς ὅρους τῆς κράσεως τὸ σῶμα, τὴν αὐτὴν ἑαυτοῦ φύσιν ἔχει. καὶ γὰρ εἰ διὰ σμικρότητα πολλάκις ἐκφεύγει τήν θ' ἡμετέραν διάγνωσιν, καὶ τὴν τῶν καμνόντων αἴσθησιν, ἀλλά τό γε εἶδος ἔχει τὸ οἰκεῖον. οὕτω δὲ καὶ ἡ φλεγμονὴ, καθότιπερ ἂν εἴη μέρος τοῦ ζώου μέγιστον, ἢ σμικρότατον, ἓν καὶ ταυτόν ἐστι πάθος ὑπηλλαγμένον, οὐκ ἰδέαις, ἀλλὰ μεγέθους διαφορᾷ. ὅτι δ' ἐγχωρεῖ τινὰ παθήματα περὶ τοῖς σώμασιν εἶναι, διὰ σμικρότητα μηδέπω φαινόμενα, τεκμήριον καὶ ἡ κοιλαίνουσα τὴν πέτραν ἐν χρόνῳ πλείονι, ῥανὶς, ἐφ' ἧ καὶ τοῦτο τὸ ἔπος ὀρθῶς εἰρῆσθαι πιστεύεται. πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείη. καὶ μὴν οὐχ ὑπὸ μιᾶς, ἢ δυοῖν, ἢ τριῶν, ἢ τεττάρων πληγῶν τοῦ ὕδατος, εἰς τὴν πέτραν ἐμπεσουσῶν, ὅπου δὲ οὐδ' ὑφ' ἑκατὸν αἰσθητή ποτ' ὤφθη κοιλότης, οὔτε δυνατόν ἐστι τῆς μιᾶς τῆς πρώτης μηδὲν ἐργασαμένης, τὴν δευτέραν ἐργάσασθαί τι. τὸν αὐτὸν γοῦν ἕξει πρὸς τὴν πέτραν λόγον, ὃν ἔχεν ἡ πρώτη. δεῖ τοίνυν εἰ δράσει τι περὶ τὴν πέτραν ἡ δευτέρα ῥανὶς, ὑπηλλάχθαι τι κατὰ τὴν προτέραν, ὡς μὴ πάντη διαμένειν ἔτι τοιαύτην, οἵαπερ ἐξ ἀρχῆς ὑπῆρχεν. εἰ γὰρ αὐτή τε κατὰ πᾶν ἡ αὐτὴ διαμένοι, καὶ τὸ δρῶν εἰς αὐτὴν αἴτιον, ἡ ῥανὶς τοῦ ὕδατος, ἀναγκαῖον αὐτὴν ὥσπερ ἐπὶ τῆς πρώτης πληγῆς, οὕτω κἀπὶ τῆς δευτέρας ἀπαθῆ διαφυλαχθῆναι. εἰ δὲ τοῦτο κἀπὶ τῆς τρίτης, ὁ γὰρ αὐτὸς λόγος. οὕτω δὲ κἀπὶ τῆς τετάρτης καὶ πέμπτης καὶ πασῶν τῶν ἐφεξῆς. ἄχρι γὰρ ἂν ὡσαύτως ἐχούσῃ τῇ πέτρᾳ προσπίπτῃ ταυτὸν αἴτιον, οὐδὲν ἐργάζεται πλέον. εἰ δὲ μετὰ χιλίας πληγὰς, αἰσθητὴ ἡ τῆς πέτρας φανείη κοιλότης, ἀναγκαῖόν ἐστιν ἑκάστην πληγὴν φάναι, τὸ χιλιαστὸν αὐτῆς μέρος, εἰργάσθαι τοῦ φανέντος πρῶτον αἰσθητοῦ πάθους τῇ πέτρᾳ. καὶ τοίνυν καὶ τῶν αἰτίων τῶν δρώντων εἰς τὸ σῶμα, τὸ μὲν τοῦ πάθους εἶδος, ἐξ ἀρχῆς ταυτὸν, ἀφανὲς δ' ἐστὶ διὰ σμικρότητα. τὰ δ' οὕτως μικρὰ πάθη,

ῥᾳ πάθη, χωρὶς ἐνδείξεως τῶν ποιούντων αἰτίων αὐτίκα παύεται, τῆς φύσεως ἰωμένης αὐτά. μόνα γὰρ ἐκεῖνα δεῖται τῆς ἔξωθεν βοηθείας, ὧν διὰ τὸ μέγεθος ἀδυνατεῖν κρατεῖν ἡ φύσις. ὥς τε κατὰ τὸν λόγον τοῦτον, ὅταν πρῶτον ὁ δακνώδης χυμὸς ἀποξύσῃ τῶν ἐντέρων, εἰ καὶ μὴ δέπω φαίνεται τὸ γεγενημένον, ἀλλ' ἤγε διάθεσις, ἐν τῷ τῆς δυσεντερίας ἐστὶν εἴδει. καθάπερ οὖν ἕλκη πολλάκις γινόμενα σμικρὰ, χωρὶς φαρμάκου παντὸς, ἡ φύσις ἐθεράπευσεν, οὕτω καὶ τὰ τῶν ἐντέρων ξύσματα. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον οὐδ' ἀληθές ἐστιν ὅλως, ὃ λέγουσί τινες, ὡς οὐδὲν ὑπολείπεται κατὰ τὰ τοιαῦτα συμπτώματα πάθος τῶν σωμάτων, εἴπερ ἦν ἀληθὲς, ἀλλ' ὁπότε γε πόνος ἀξιόλογος ὑπὸ τῆς τῶν διαχωρουμένων δριμύτητος, ἀναβιβρωσκομένων τῶν ἐντέρων ἐγίνετο, τηνικαῦτα ἔπασχε τὰ ἔντερα. φυλαττέσθω δὲ τοῦθ' ἡμῖν ὥσπερ τι στοιχεῖον, ἐν ἅπαντι τῷ μετὰ ταῦτα λόγῳ καὶ γινέσθω τῆς μεθόδου τῶν εὑρεθησομένων πεπονθέναι τόπων, ἀρχὴ, τὸ μηδέποτε βλάπτεσθαι μηδεμίαν ἐνέργειαν, ἄνευ τοῦ πεπονθέναι τὸ ποιοῦν αὐτὴν μόριον. καὶ γὰρ ἐὰν ὀδύνη τις ᾖ κατ' αὐτὸ, πέπονθε πάντως τι, κἂν ὄγκος τις παρὰ φύσιν, ἔτι δὲ μᾶλλον ὅταν ἐνέργεια βλάπτηται. προείρηται δ' ὅτι καὶ τῇ τῶν ἐκκρινομένων φύσει τεκμαρτέον ἐστὶ περὶ τοῦ πεπονθότος τόπου. ὅτι δὲ διττῶς τοῦτο ποιητέον, ἔστι δῆλον. ἢ κατὰ τὴν ἰδιότητα τῆς ἐκκρινομένης οὐσίας, ἢ ἀπὸ τῶν περιεχομένων ἐν αὐτῷ. λέλεκται δ' ὅτι κἀκ τῶν ἐπιφυομένων, ἐνίοτε τεκμήρασθαι δυνατόν ἐστι περὶ τῶν πεπονθότων μορίων. ἔστι δὲ ἐκ τοῦ γένους τῶν συμπτωμάτων, καὶ ταῦτα παμπόλλην ἔχοντα πρὸς ἄλληλα διαφορὰν ὑπὲρ ἧς αὖθις εἰρήσεται. νυνὶ δὲ πάλιν ἐπ' ἀρχὴν ἀνάγωμεν τὸν λόγον, ἐφ' ἑκάστου μορίου ζητοῦντες εὑρεῖν σημεῖα, τὰ μὲν ὡς τῆς ἰδίας οὐσίας αὐτοῦ δηλοῦντα τὰ πάθη, τὰ δ' ὡς ὀργάνου. καθ' ἑκάτερον τε πάλιν ἀφορίζοντές τε καὶ διακρίνοντες, ἀπὸ μὲν τῶν γεγενημένων ἤδη παθῶν, τὰ γινόμενα μὲν ἔτι, μόνιμον δ' οὐκ ἔχοντα τὴν κατασκευήν. ἀπὸ δὲ τῶν ἐν αὐτῷ τῷ πεπονθότι περιεχομένων αἰτίων, τὰ διόδῳ μόνον αὐτῷ χρώμενα. πρόδηλον δ' ὅτι καὶ σύνθετοι τινὲς ἐκ τῶν εἰρημένων ἔσονται τρόποι. διορίσωμεν δὲ καὶ τὰ κατὰ συμπάθειαν ἑτέρου μορίου γινόμενα πάθη, τῶν κατ' ἰδιοπάθειαν. οἰκειότερον γὰρ ἰδιοπάθειαν ὀνομάζειν, οὐχ ὡς ἔθισται τοῖς ἰατροῖς πρωτοπάθειαν, ἀντιδιαιρουμένης τῆς συμπαθείας τῇ ἰδιοπαθείᾳ. κυρίως οὖν ὀνομάζειν βουλόμενοι, τῇ μὲν πρωτοπαθείᾳ δευτεροπάθειαν ἢ ὑστεροπάθειαν ἀντικεῖσθαι φήσομεν. ἰδιοπάθειαν δὲ, τῇ συμπαθείᾳ. καὶ συνελθεῖν γε δύναται πολλάκις, εἰς ταυτὸ, κατὰ συμπάθειάν τε καὶ κατ' ἰδιοπάθειαν ἤδη νοσεῖν, ὅταν τῷ πάσχοντι μορίῳ μόνιμος ἐγγένηται διάθεσις. οὐ γὰρ δὴ πρωτοπαθεῖν αὐτὸ τηνικαῦτα φήσομεν, ἀλλὰ δευτεροπαθεῖν τε καὶ ἰδιοπαθεῖν. ἐναργῶς δὲ τοῦτο φαίνεται κἀπὶ τῶν ἐκτὸς. ὥσπερ ὅταν ἐφ' ἕλκει γινομένου μεγάλου βουβῶνος ἐν πληθωρικῷ σώματι, τὸ μὲν ἕλκος εἰς οὐλὴν ἀχθῇ, μένῃ δ' ὁ βουβὼν. ἤτοι γ' εἰς φλεγμονὴν ἐκπυϊσκομένην μεταβάλλων, ἢ εἰς σκιῤῥώδη διάθεσιν, ἣν προσαγορεύουσι χοιράδα. κατὰ πρωτοπάθειαν μὲν οὖν οὐκ ἄν τις φαίη γεγονέναι τὰ τοιαῦτα νοσήματα προηγησαμένου γ' ἑτέρου πάθους, ἐφ' ᾧ συνέστη. κατὰ συμπάθειαν μέν τοι γινόμενα, μεταπεσεῖν εἰς τοιαύτην ἰδιοπάθειαν, ὡς εἰ καὶ πρωτοπάθεια τις αὐτοῖς ἐξ ἀρχῆς συνέπεσεν. ἀναμνησθῶμεν δ' εἰς τὰ παρόντα χρησίμως καὶ τῶν ἐν τῇ περὶ ἰατρικῶν ὀνομάτων πραγματείᾳ λελεγμένων, ἔνθα περὶ τῶν σημαινομένων ὁ λόγος ἦν, ἃ κακῶς συγχέουσιν οὐκ ὀλίγοι τῶν νεωτέρων ἰατρῶν τε καὶ φιλοσόφων. ἡ μὲν γὰρ κυριωτάτη χρῆσις ἐστὶ τῆς πάθος φωνῆς, ἀντικειμένη τῇ τῆς ἐνεργείας. ἐνεργεῖν μὲν λεγομένου τοῦ τὴν κίνησιν ἔχοντος ἐξ ἑαυτοῦ. πάσχειν δὲ, τοῦ τὴν κίνησιν ἔχοντος ἐξ ἑτέρου. κινήσεως δ' οὔσης κατὰ γένος διττῆς, ἀλλοιώσεώς τε καὶ φορᾶς, ὅταν εἰς μόνιμον ἀφίκηται διάθεσιν ἡ ἀλλοίωσις, ὀνομάζεται νόσημα, παρὰ φύσιν οὖσα δηλονότι διάθεσις. καταχρώμενοι δ' ἐνίοτε, καὶ τὴν τοιαύτην διάθεσιν, ὀνομάζουσι πάθος. ὥς τε ἄν τις ἕπηται τῇ λέξει τῶν ἑλλήνων, πάσχειν μᾶλλον ἐρεῖ τὰ μόρια, καθ' ἅπερ ἂν ὦσι κινήσεις παρὰ φύσιν. ὡς τά γε διαθέσεις ἔχοντα παρὰ φύσιν, ἐὰν μὲν κυρίως ὀνομάζῃ, νοσεῖν μᾶλλον, ἢ πάσχειν ἐρεῖ. καταχρώμενος δ' οὐ νοσεῖν μόνον, ἀλλὰ καὶ πάσχειν. ὅπερ δ' ἀεὶ λέγων διατελῶ τοῦτο καὶ νῦν ἐρῶ. κατὰ τὰς ἐπιστημονικὰς διδασκαλίας, ἀρκεῖ τοὔνομα μόνον εἰπόντα, καὶ τὸ σημαινόμενον ἐξ αὐτοῦ, καθ' ὅτιπερ ἂν ὁ διδάσκων ἐθέλῃ, προέρχεσθαι λοιπὸν, ἐπὶ τὴν τῶν πραγμάτων ὑφήγησιν. ἐγὼ δὲ διὰ τούτων νῦν ἐμνημόνευσα τῶν σημαινομένων ὅτι πρὸς τὸ διαστρέφειν ἔνιοι τὰ πρὸς τῶν ἑλληνικῶν φωνῶν δηλούμενα, καὶ τοῖς καλῶς χρωμένοις ἐγκαλοῦσι. τοιοῦτοι δ' εἰσὶ καὶ οἱ φάσκοντες ἐν ταῖς βεβλαμμέναις ἐνεργείαις, μηδὲν πάσχειν ἐνίοτε τὰ μόρια, διὸ ὅτι μηδέπω διάθεσιν ἔχει μόνιμον. ὥσπερ ἐπὶ κεφαλαλγίας, τῆς διὰ τοὺς ἐν τῇ γαστρὶ περιεχομένους χυμοὺς, γινομένης. ὑπαλλάξας γὰρ ἄν τις εἰ βούλοιτο περὶ τῶν ὀνομάτων ἐρίζειν, οἰκειότερον ἑρμηνεύοι, πάσχειν μὲν λέγων τὴν κεφαλὴν, ὅταν συμπαθῇ τῇ γαστρὶ, νοσεῖν δ' ὅταν ἰδιοπαθῇ. καὶ αὐτήν γε τὴν γαστέρα πάσχειν μὲν ὅταν ὑπὸ μοχθηρῶν ἐνοχλῆται χυμῶν. νοσεῖν δ' ὅταν ἤτοι κατὰ δυσκρασίαν ἰδίαν, ἢ διὰ φλεγμονὴν, ἢ ἕλκος, ἢ ἀπόστημα παρὰ φύσιν ἔχῃ. εἰ δ' ὅλως τις ἐθέλοι τὰ τοιαῦτα διαλεκτικώτερα ἀκριβολογεῖσθαι ζητήσει. πότε μὲν, ἅμα τῷ διεφθάρθαι τὰ σιτία καὶ τῆς πέψεως τὴν ἐνέργειαν ἐρεῖ βεβλάφθαι. πότε δ' ἀβλαβῆ μὲν εἶναι ταύτην, διεφθάρθαι δὲ ἐκεῖνα. τρεῖς γὰρ αἱ πρῶται καὶ οἷον γενικώταται τῆς διαφθορᾶς τῶν σιτίων ὑπάρχουσιν αἱ διαφοραί. μία μὲν ἐπὶ νοσήμασιν ἰδίοις τῆς γαστρὸς. ἑτέρα δὲ, ἐπὶ χυμοῖς μοχθηροῖς ἀθροιζομένοις ἐν αὐτῇ. καὶ τρίτη διὰ τὴν τῶν ἐδεσμάτων ποιότητα. τὰ γοῦν ἤτοι φύσει τι κνισῶδες, ἢ ὀξῶδες, ἢ οἷον βρωμῶδες, ἢ σηπεδονῶδες, ἢ ὅλως εὔφθαρτον ἔχοντα, καὶ τὰ τῷ τρόπῳ τῆς σκευασίας εἰς τινὰ τοιαύτην ἠγμένα διάθεσιν, εὔδηλον μὲν ὅτι διαφθείρεται κατὰ τὴν γαστέρα, καὶ κατὰ τοῦτ' ἂν ἡττῆσθαι λέγοιτο. διαφωνεῖται δὲ περὶ τοῦ πεπονθέναι τηνικαῦτα, τὴν πεπτικὴν ἐνέργειαν ὑπ' αὐτῶν. ἐνίων μὲν ἀπαθῆ παντάπασιν ἐν ταῖς τοιαύταις ἀπεψίαις εἶναι φασκόντων αὐτήν. ἐνίων δὲ πεπονθέναι. καὶ μία καὶ τρίτη τίς ἐστι δόξα, τῶν μὴ δ' ἡττῆσθαι τὰ τοιαῦτα λεγόντων, ἀλλὰ μὴ πεπέφθαι μόνον. ὡς οὐ ταυτὸν ὂν ἢ δι' ἀποφάσεως τι δηλοῦν, ἢ διὰ τῆς καλουμένης ὑπὸ τῶν διαλεκτικῶν στερητικῆς φωνῆς. κατ' αὐτὴν τὴν ἔννοιαν οἶμαι καὶ ὁ Ἐρασίστρατος ἔλεγε. τὰ γίγαρτα, καὶ τὰ σήσαμα, καὶ πάντα τὰ διαχωρούμενα παντάπασιν ἀσηπτά τε καὶ ἀμετάβλητα, μηδεμίαν ἐνδείκνυσθαι τῷ ζώῳ γεγενημένην ἀπεψίαν. ἀλλ' αὐτὸ δὴ τοῦτο μὴ πεπέφθαι μόνον. ὅπως ἀμελεῖν οὐδ' ἐν τούτοις προσήκει, ἀλλὰ πρό-

σέχοντας τὸν νοῦν ἀκριβῶς, ὅσα μὲν εἰς λογικὴν ἀνάγεται ζήτησιν, ἰδίᾳ καταλιπεῖν. ὅσα δ' εἰς διάγνωσιν τοῦ πεπονθότος, ἀκριβῶς ἐπισκοπεῖσθαι. τὸ γάρ τοι προγινώσκειν μὲν τὸ μέλλον ἔσεσθαι, θεραπεύειν δὲ προσηκόντως τὸ γεγονὸς ἤδη πάθος, ἐντεῦθεν ἡμῖν περιγίνεται. διὸ καὶ χωρὶς τῶν ἀμφισβητουμένων ὀνομάτων ἔνεστι τὸ χρήσιμον ἐκ τῶν πραγμάτων λαμβάνειν ὧδέ πως. ἔστω τινὰ λέγειν ἕωθεν ἀναστάντα, κνισῶδες ἐρυγγάνειν, ἤ τι ἕτερον οἷον ὠῶν ταγηνιστῶν, ἢ δυσωδέστερον, καὶ σαπρόν. ὁμολογεῖν δὲ, τὸν μὲν τὸ κνισῶδες ἐρυγγάνοντα, μετὰ τὸ δεῖπνον ἐδηδοκέναι πλακοῦντος κνισώδους, ὁποῖός ἐστιν ὁ διὰ τοῦ ἐλαίου καὶ ἰτρίου σκευαζόμενος. ἕτερον δὲ, ταγηνιστῶν ὠῶν, ὁμολογοῦντα καὶ τοῦτον αὐτῶν ἐκείνων ἐρυγγάνειν. ἄλλον δὲ ῥαφανίδων πολλῶν, ὡς ἄν τι δυσῶδες καὶ σαπρὸν ἐρυγγάνειν. ὅτι μὲν οὖν οὐ καλῶς ἐπέφθη τὰ σιτία τούτοις, ὁμολογήσουσιν πάντες. αὐτή γε μὴν ἡ γαστὴρ, οὐδὲν ἐπ' αὐτῷ πέπονθεν. οὐδὲ κατὰ τὸν ἑαυτῆς λόγον ἐσφάλη περὶ τὴν ἐνέργειαν, ὥσπερ οὐδ' ὅταν ὁλόκληρα τὰ γίγαρτα διαχωρήσῃ τις. εἰ μὲν γὰρ ἐπεφύκει κατὰ τὴν τῶν ἀνθρώπων γαστέρα μεταβάλλειν τὰ γίγαρτα, τότ' ἂν ᾐτιώμεθα τὸ σῶμα τῆς κοιλίας αὐτὸ, καὶ μοχθηρῶς ἔχειν ἐνομίζομεν. ἐπεὶ δ' οὐ πέφυκεν, ἀλλ' ἔστι τῆς τῶν γιγάρτων οὐσίας σύμπτωμα τὸ μὴ πέττεσθαι, ταῦτα μὲν εἰκότως λεχθήσεται μὴ πεπέφθαι. τὸ δὲ τῆς γαστρὸς σῶμα κατὰ φύσιν ἔχειν, ὅπερ ἐστὶν χρήσιμον ἐγνῶσθαί τε, καὶ διορίσασθαι τοῖς ἰατροῖς. εἴτε δὲ βεβλάφθαι χρὴ φάναι τὴν ἐνέργειαν αὐτῆς ἐν ταῖς τοιαύταις διαχωρήσεσιν, εἴτε μὴ, περιττῶς ζητεῖται πρός γε τὰ τῆς ἰατρικῆς τέχνης ἔργα. Φέρε δὴ πάλιν νῦν ἐρυγγάνειν μέν τινα κνισῶδες, ἐδηδοκέναι δὲ μηδὲν κνισῶδες. ἐπὶ τούτου, θερμασίαν τινὰ πυρώδη, κατὰ τὴν γαστέρα φήσομεν ὑπάρχειν. εἶθ' ἑξῆς διοριούμεθα πότερον ὑπὸ δυσκρασίας τοῦ σώματος τῆς κοιλίας αὐτοῦ τοῦτο γέγονεν, ἢ ξανθῆς χολῆς ἐν αὐτῇ περιεχομένης, ἤτοι κατὰ τὴν ἐντὸς εὐρυχωρίαν, ἢ οἷον ἀναπεπομένης δυσεκνίπτως εἰς τοὺς χιτῶνας αὐτῆς. οὐ μὴν οὐδ' ἐνταῦθα, ζητήσομεν δ' ἐφεξῆς εἴθ' ἥπατος κακοπραγοῦντος, ὁ τοιοῦτος ἀθροίζεται χυμὸς, εἴτ' ἐξ ὅλου καταρρεῖ τοῦ σώματος, εἴτε καὶ καθ' αὐτὴν γεννᾶται τὴν γαστέρα. ταῦτα μὲν γὰρ ἀναγκαιότατα μέν ἐστιν ἐγνῶσθαι, δεῖται δ' ἀνδρὸς, γεγυμνασμένου τὸν λογισμὸν ἐν ἐπιστήμῃ τῶν πραγμάτων αὐτῶν, οὐ τῶν δηλούντων ὀνομάτων αὐτά. οὐ γὰρ ὥσπερ ἡ τῆς διαφθορᾶς ἰδέα τὴν ποιήσασαν αἰτίαν ἐνδείκνυται σαφῶς, οὕτω καὶ περὶ τῆς καθ' αὐτὴν γενέσεως ἐστὶν εὑρεῖν ὡρισμένην ἔνδειξιν. εἰ μὲν οὖν κνισοῦται τὰ σιτία κατὰ τὴν γαστέρα, μὴ διὰ τὴν ἑαυτῶν φύσιν, ἀναγκαῖον ἐστὶ τὴν ταῦτ' ἐργαζομένην αἰτίαν, εἶναι θερμήν. εἰ δ' ὀξύνεται, ψυχράν. οὐ μὴν ἤδη γέ πω δῆλον, εἴτε δυσκρασία τίς ἐστιν κατὰ τὸ σῶμα τῆς κοιλίας. εἴτε χυμός τις μοχθηρός. ἀλλὰ διορίζεσθαι χρὴ δόντα σιτία τῆς ἐναντιωτάτης φύσεως τῷ τρόπῳ τῆς διαφθορᾶς. ἄρτον μὲν εἰ τύχοι καὶ χόνδρον ἐφ' ὧν κνισοῦται, μέλι δ' ἐφ' ὧν ὀξύνεται. κἄπειθ' ἐπισκοπεῖσθαι, τά τ' ἐμούμενα, καὶ τὰ διαχωρούμενα, πότερον ἅμα χυμῷ τινὶ, τὰ μὲν χολώδει καὶ θερμῷ, τὰ δὲ, φλεγματώδει καὶ ψυχρῷ λαμβάνει τὴν κένωσιν, ἢ χωρὶς χυμοῦ τινος βραχεῖαν τινὰ μεταβολὴν ἐσχηκότα. τῆς κοιλίας μὲν γὰρ αὐτῆς δυσκράτου γεγενημένης κατὰ θερμότητα πυρώδη, χωρὶς χυμοῦ τὸν ἄρτον καὶ τὸν χόνδρον ὄψει διαχωρούμενα βραχυτάτης εἰς αὐτὰ μεταβολῆς γεγενημένης. εἰ δὲ χυμός τις εἴη μοχθηρὸς ὁ φθείρων τὴν τροφὴν, αὐτά τε τὰ σιτία δεδευμένα φαίνεται τῷ τοιούτῳ χυμῷ. καὶ σαφέστερον ἠλλοιωμένα κατὰ τὴν ἐνέργειαν αὐτοῦ. πολὺ δὲ δὴ μᾶλλον, ἐμέτοις διορίζεται ταῦτα, ῥᾳδίως πεφυκότος ἐμεῖν τοῦ κάμνοντος. ὡς τόν γε μὴ δυνάμενον, ἀναγκάζειν ἐμεῖν, οὐκ ἐπιτήδειον. ἀλλὰ ταῦτα μὲν, ὅταν ἐμπλέῃ τῷ κύτει τῆς κοιλίας ὁ λυπῶν χυμὸς, ἀναπεπομένου δ' εἰς τοὺς χιτῶνας αὐτῆς, ναυτίαι μὲν πάντως ἕπονται, δίψος δὲ πλέον ἐπὶ τοῖς θερμοτέροις, ὥσπερ ὄρεξις ἡ πρὸς τὰ σιτία, τοῖς ψυχροτέροις ἀκολουθεῖν πέφυκεν. ἐπισκοπεῖσθαι δὲ χρὴ καὶ εἰ ἀπαθές ἐστι τὸ ἧπαρ, ἢ πέπονθέ τι. καὶ τὸ πάθος ὁποῖον αὐτοῦ, πότερα θερμόν ἐστιν, ἢ ψυχρόν. ὡσαύτως δὲ καὶ περὶ τοῦ σπληνός. ἐκ γὰρ τῆς τῶν τοιούτων ἁπάντων ἐπισκέψεως, ἅμα τῇ τῶν ἐσθιομένων ἢ πινομένων ὁσημέραι πείρᾳ, δυνήσεταί τις ἀκριβῶς εὑρεῖν, οὐ μόνον τὸν πεπονθότα τόπον, ἀλλὰ καὶ τὴν διάθεσιν αὐτοῦ. χρησιμωτέρα γὰρ ἡ ταύτης γνῶσίς ἐστιν, παρ' ὅσον ἡ τῆς θεραπείας ἰδέα κατ' αὐτὴν τυποῦται. τὴν γοῦν θερμὴν διάθεσιν ἀεὶ μὲν ψυκτέον ἐστὶν, ἐν ὁποίῳ ποτ' ἂν εἴη χωρίῳ. τὸ δὲ ἄχρι πόσου ψυκτέον, ἢ δι' ὅντινα τρόπον, ἢ διὰ τίνος ὕλης, ὁ πεπονθὼς συνενδείκνυται τόπος. εἰ μὲν οὖν αὐτὸ δὴ τοῦτο μόνον εἴη δυσκρασία τις ἐν τῷ σώματι τῆς γαστρὸς αὐτῷ, ψύχων μὲν τὴν θερμὴν, θερμαίνων δὲ τὴν ψυχρὰν, ὠφελήσεις αὐτίκα τὸν ἄνθρωπον. ἔσται δέ σοι καὶ τῆς ὑπολήψεως, ἣν ἔχεις οὐ ψιλὴ δόξα μόνον, ἀλλ' ἐπιστήμη σαφὴς, καὶ μᾶλλον, ἐὰν ἑκατέρωθεν αὐτὴν βασανίσῃς, ἐπὶ μὲν τοῖς ψύχουσι φαρμάκοις τε καὶ διαιτήμασιν, ὠφελούμενον ὁρῶν τὸν ἄνθρωπον. ἐπὶ δὲ τοῖς θερμαίνουσι, βλαπτόμενον. Ἐὰν δὲ χυμός τις ᾖ περιεχόμενος, ἐν αὐτοῖς τοῖς χιτῶσι τῆς κοιλίας, αἱ μὲν ναυτίαι χωρὶς ἐμέτου γενήσονται κεναί. παράττουσαι μόνον, οὐ μὴν ἐκκενοῦσαί γέ τινα χυμόν. ὡς ἐφ' ὧν ἐν αὐτῷ περιείχετο κύτει τῆς γαστρὸς, κατὰ τὴν ἔνδον αὐτῆς εὐρυχωρίαν. αἱ δ' ἐρυγαὶ, τοῖς μὲν ὀξώδεις ἔσονται, τοῖς δὲ κνισώδεις. ὠφελήσει δὲ, τοὺς μὲν τὸ διὰ τριῶν πεπέρεων φάρμακον, ἤ τι τοιοῦτον, δι' ὕδατος, ἢ οἴνου πινόμενον. τοὺς δ' ἑτέρους, ἀψίνθιόν τε καὶ ἡ διὰ τῆς ἀλόης ἱερὰ, καλοῦσι δ' αὐτὴν ἔνιοι καὶ πικράν. ἐὰν οὖν εὐθέως ἅμα τῇ πρώτῃ πείρᾳ φαίνηται πρὸς τῶν οἰκείων φαρμάκων ἡ ὠφέλεια σαφὴς ἑκατέρων τῶν χυμῶν γεγενημένη, τήν τε διάγνωσιν ἐπιστημονικὴν ἕξεις ἤδη, τήν τε θεραπείας ὑφήγησιν, ὡς ἐπιμένοντα τοῖς αὐτοῖς ἐκθεραπεῦσαι τὸν ἄνθρωπον. ἐὰν δὲ ἐπὶ τοῖς ὠφελεῖν εἰθισμένοις φαρμάκοις ἑκατέραν τὴν διάθεσιν, ἀκολουθήσει ποτὲ βλάβη, περὶ τὴν διάγνωσιν εὑρήσεις ἐσφαλμένον σαυτόν. ἡ γάρ τοι βεβαιοτάτη γνῶσις ἁπασῶν τῶν τοιούτων διαθέσεων γίνεται τοῖς ἀκριβῶς ἐπισταμένοις, ὑφ' οἵων ἰαμάτων ἑκάστη καθίσταται. ἐγὼ γοῦν ἐνίους τῶν ὀνομαζομένων κωλικῶν ἰασάμην, τῇ πόσει τοῦ διὰ τῆς ἀλόης φαρμάκου, τεκμηράμενος μὲν ἀναπεπόσθαι δακνώδη χυμὸν, εἰς τοὺς χιτῶνας τοῦ πεπονθότος ἐντέρου. δούς τε τοῦ φαρμάκου, διό τι πάντως ἠπιστάμην, ὑπ' αὐτοῦ τὴν τοιαύτην διάθεσιν ὠφεληθησομένην, ὡς δ' ὠφελήθη, γνοὺς ὅτι καλῶς ἐστοχασάμην, πλέον ἐδίδουν αὐτῆς. ἀλλ' ἐκ τίνος γε τὴν ἐλπίδα ταύτην ἔχον

ἄμεινον

ἄμεινον εἰπεῖν. ἑώρων τὸν ἄνθρωπον, ὑπὸ μὲν τοῖς θερμοῖς ἐδέσμασί τε καὶ φαρμάκοις, καὶ ὅλως διαιτήμασι παροξυνόμενον. ὑπὸ δὲ τοῖς εὐχύμοις τε καὶ κατακεράστικοῖς ὀνομαζομένοις, ὠφελούμενον. ἑώρων δὲ καὶ πρὸς τῆς ἀσιτίας αὐτὸν βλαπτόμενον. ὡς δὲ καὶ πυνθανομένῳ μοι καὶ περὶ τῆς κατὰ τὴν ὀδύνην ἰδέας ἔφη δακνώδη τινὰ ὑπάρχειν αὐτήν, ἔτι δὲ καὶ μᾶλλον εἰς ἐλπίδα τῆς ἀληθοῦς διαγνώσεως ἀφικόμενος, ἐτόλμησα δοῦναι τοῦ πικροῦ φαρμάκου. θεασάμενός τε προφανῶς ὠφεληθέντα τὸν ἄνθρωπον, ἐπείσθην ἐγνωκέναι βεβαίως, ἥτις ἐστὶν ἡ διάθεσις. ἕτερον δ' ὑπὸ τῶν δυσπέπτων σιτίων παροξυνόμενον, ἀνηρώτησα τὰ προηγησάμενα. πυθόμενός τε, ὅτι μετὰ καθαρτικοῦ φαρμάκου δόσιν, εἰς ταύτην ἦχθη τὴν διάθεσιν, αὖθίς τε ἐρωτήσας, ὑπὸ τίνος αἰτίας, ὑπὲρ τὴν τοῦ φαρμάκου χρῆσιν ἧκεν, ἀκούσας τε δι' ἀλγήματα δακνώδη τε καὶ διαβρωτικὰ πολυχρονίως ἐν τοῖς κατὰ τὴν γαστέρα τόποις διαμένοντα, κεκακῶσθαι τὸ ἔντερον ὑπὸ τοῦ καθαρτικοῦ φαρμάκου στοχασάμενος, ἐν διαθέσει τε γεγονέναι ῥευματικῇ, καὶ δέχεσθαι ῥᾳδίως εἰς ἑαυτὸ τὰ περιττὰ τοῦ ἥπατος, ὑπὸ διαφθείρειν τε ταῦτα, τροφὴν ἔδωκα δύσφθαρτόν τε καὶ στύφουσαν. ἐφ' ᾗ τῶν τε δήξεων ἐπαύσατο, καὶ διεχώρησεν οὐκ ἔτι οὐδέν, ἔμπροσθεν ἀεὶ μετὰ τὰς δήξεις ἐκείνων, διεφθαρμένα τε ἅμα καὶ ὑγρὰ καὶ δυσώδη. προπεπυσμένος δ' ὅτι χρόνῳ πλείονι μετὰ τὴν δῆξιν ἡ διέξοδος αὐτῶν ἐγίνετο, τῶν μετεώρων ἐντέρων ἐστοχασάμην εἶναι τὴν διάθεσιν. ὡς ἐφ' ἑτέρου τε ταχείας ἐπὶ τῇ δήξει τῆς ἐκκρίσεως γινομένης, ἐτεκμηράμην εἶναι τῶν κάτω τὴν διάθεσιν. ἐκεῖνον μὲν οὖν ἐνέσει φαρμάκου, τοῦτον δὲ τοῖς εἰρημένοις ἐδέσμασιν ἰασάμην. πιστεύσαμενός τε τοῦτο βεβαίως, ὅτι τὰ μὲν ἐγγὺς τῇ γαστρὶ, τοῖς ἄνωθεν ἐσθιομένοις τε καὶ πινομένοις ἑτοιμότερον ὠφελεῖται. τὰ δ' οὐ πόρρω τῆς ἕδρας, τοῖς κάτωθεν. οὐχ ἁπλῶς οὖν προσήκει σκοπεῖσθαι τοῦτο μόνον εἰ ἡ γαστὴρ πέπονθεν, ἤτι τῶν ἐντέρων, ἀλλὰ καί τι τὸ πάθος ἐστὶ, καὶ διορίζεσθαί γε, τίνα μὲν ἴδια τῶν παθῶν ἐστι σημεῖα. τίνα δὲ τῶν πασχόντων μορίων. οἷον ὅτι τὸ μὲν ἀπεπτεῖν γαστρός ἐστι σύμπτωμα, τὸ δ' ὑπὸ τὸ κνισσῶδες, ἢ ὀξῶδες ἐκτρέπεσθαι τὰ ἐδηδεσμένα, τῶν κατ' αὐτὴν αἰτίων τε καὶ παθημάτων. Οὕτω δὲ κἀπὶ τῶν κατὰ τὸ ἔντερον, ὅτε χρόνος τῆς διεξόδου, καὶ τῶν ἐκκρινομένων ἡ ἰδέα, καὶ τῶν συμπτωμάτων ἡ διαφορὰ μετὰ τῶν προηγησαμένων, καὶ νῦν εἰς πεῖραν ἀγομένων, ἐνδείξεται συναμφότερον, ἅμα τότε πάθος αὐτὸ, καὶ τὸ μόριον, ἐν ᾧ συνέστη. φέρε γὰρ ἐκκρίνειν τινὰ κατὰ γαστέρα, ποτὲ μὲν, ἐφελκίδας, ἢ οἷον ὑμενώδη ξύσματα, ἢ οἷον αἱματῶδές τι. ποτὲ δ' ἅμα ταῦτα πάντα. τὸ μὲν ἡλκῶσθαι τὸ ἔντερον, οὐκ ἂν ἀμφισβητήσειέ τις. εἴτε δὲ ἐν τοῖς λεπτοῖς ἐντέροις ἐστὶν, ἢ ἐν τοῖς παχέσιν ἡ ἕλκωσις, οὐδέ πω δῆλον. ἀλλ' ἔκ τε τῆς τῶν ξυσμάτων ἰδέας, ὡς ἔμπροσθεν εἴρηται, κἀκ τοῦ χρόνου τῆς διεξόδου. καὶ τρίτου τοῦ μεμίχθαι τῇ κόπρῳ, τὸ μὲν μᾶλλον αὐτῶν τὸ δὲ ἧττον ἢ καὶ μηδόλως μεμίχθαι διορισθήσεται. Αἱ μὲν γὰρ ἐν τοῖς κατωτάτω μέρεσιν ἑλκώσεις, οὐδ' ὅλως ἔχουσιν ἀναμεμιγμένα τοῖς διαχωρήμασι, τὰ τῶν ἑλκῶν γνωρίσματα. ταῖς δ' ὀλίγον ἀνωτέρω, μέμικται μὲν, ἀλλ' ἐπὶ βραχύ. καθάπερ γε τῶν ἐπὶ πλέον ἀνωτέρω, καὶ ἡ μίξις ἐπὶ πλέον. ἔτι δὲ δὴ μᾶλλον ἐπὶ τῶν ὑψηλοτάτων ἐντέρων, ἀναμέμικται τῇ κόπρῳ, τὰ τῆς ἑλκώσεως ἴδια. πολλάκις θ' ἅμα τόπου τε καὶ διαθέσεως, ἐξ ἑνὸς γνωρίσματός ἐστιν ἡ ἔνδειξις. ἢ τόπου τε ἅμα καὶ αἰτίου. οἷον ἐπὶ μὲν τῶν τόπων, ἀπό τε τῆς βεβλαμμένης ἐνεργείας, καὶ τῶν ἐκκρινομένων, καὶ τῆς θέσεως, καὶ τῆς κατὰ τὴν ὀδύνην, ἰδιότητος, καὶ τῶν οἰκείων συμπτωμάτων, ἡ ἔνδειξις. ἐπὶ δὲ τῶν παθῶν, ἀπό τε τῆς τῶν ἐκκρινομένων ἰδέας, καὶ τῆς τοῦ τόπου φύσεως, καὶ τῆς κατὰ τὴν ὀδύνην ἰδιότητος, καὶ τῆς τῶν οἰκείων συμπτωμάτων. Ἀπὸ μὲν οὖν τῆς βεβλαμμένης ἐνεργείας ἔνδειξις τοῦ πεπονθότος μορίου γίνεται, κατὰ τόνδε τὸν τρόπον. εἴ τινι σύμπτωμά τι τῆς κατὰ τὸ βλέπειν ἐνεργείας ἐστὶν, ὀφθαλμὸς ἐξ ἀνάγκης ἐκείνῳ πάσχει. πότερον δὲ κατ' ἰδιοπάθειαν, ἢ κατὰ συμπάθειαν, ἢ κατὰ ἄμφω, δεύτερον ἂν εἴη σκέμμα. τῇ δὲ τῶν ἐκκρινομένων ἰδέᾳ διαγινώσκεται τὸ πεπονθὸς μόριον, ὡς ἔμπροσθεν εἴρηται διά τε τῶν τῆς οὐσίας αὐτοῦ μερῶν, καὶ τῶν περιεχομένων ἐν αὐτῷ. καὶ μὴν καὶ ἡ θέσις ἱκανὴ συνενδείξασθαι τὸ πεπονθὸς μέρος. ὄγκος γοῦν σκληρὸς ἐν περιγραφῇ κατὰ τὸ δεξιὸν ὑποχόνδριον, οὐ σπληνὸς, ἀλλ' ἥπατος γνώρισμά ἐστι πάσχοντος. ὥσπερ γὰρ κατὰ τὸ ἀριστερὸν, οὐχ ἥπατος, ἀλλὰ σπληνός. ὁμοίων τε τῶν ἐκκρινομένων ὄντων, ἡ θέσις ἐνίοτε συνενδείκνυται τὸ πάσχον. εἰ γοῦν ὑμενώδους χιτῶνος ἐκκριθείη μόριον, ὅτι μὲν ἕλκωσίς ἐστι που, δηλώσει. τὸ δ' ὁποίου τοῦ μορίου, παρὰ τῆς θέσεως διδαχθείση. τὸ μὲν γὰρ ἐμούμενον, ἤτοι γαστρὸς, ἢ τοῦ στομάχου τὸ πάθος εἶναι σημαίνει. τὸ δ' ἀναβηχόμενον ἤτοι τοῦ λάρυγγος, ἢ τῆς τραχείας ἀρτηρίας. τὸ δὲ πτυόμενον μετὰ τὸ χρέμψασθαι, τῆς φάρυγγος. εἰ δ' οὐρηθείη, τῆς οὐρήθρας αὐτῆς, εἰ δὲ διὰ ἕδρας ἐκκριθείη, τῶν ἐντέρων τινός. εἰ δὲ δι' αἰδοίου γυναικείου, τῶν κατὰ τὴν μήτραν. ὅτι δὲ καὶ τῶν ὀδυνῶν ἑκάστη κατὰ τὴν θέσιν ἐνδείκνυται τὸ πεπονθὸς μόριον, εὔδηλον, οὕτως γέ τοι καὶ τὰ προειρημένα διορίζεται. σημείων γοῦν φανέντων ἕλκους ἐν ἐμέτῳ, σκεπτέον ἐστὶ πότερον ἐν τοῖς πρόσω μέρεσιν κατὰ τὸ ὑποχόνδριον, ἢ κατὰ τὸ μετάφρενον ὄπισθεν ὀδυνηθείς ἐστιν. διορισθήσεται δὲ, τῆς μὲν ἔμπροσθεν ὀδύνης, κατὰ τὴν γαστέρα. τῆς δ' ὀπίσω, κατὰ τὸν στόμαχον γινομένης. ἀλλὰ καὶ αὐτὸ τῆς γαστρὸς τὸ στόμα, τοῦ κύτους ὡσαύτως διορισθήσεται. εἰ τῶν καταπινομένων δρομένων, τὸ μὲν ἐν τῷ στόματι τῆς γαστρὸς, ἐργάζοιτο τὴν δῆξιν, ἢ κατωτέρω, τὸ δ' ἐν τῇ κατὰ τὸν θώρακα διόδῳ. τὰ γὰρ τοιαῦτα πάντα τῇ θέσει διορίζεται. καθάπερ ἄλλα τῇ τῆς ὀδύνης ἰδέᾳ. λεχθήσεται δ' ἐπὶ πλέον ὑπὲρ ἀλγημάτων, ἐν τῷ δευτέρῳ γράμματι. νυνὶ δὲ ἤδη καιρὸς εἰπεῖν τι παράδειγμα τῆς ἀπὸ τῶν οἰκείων συμπτωμάτων ἐνδείξεως τόπου πεπονθότος, ἔμπροσθεν μὲν οὖν ἑκάστου τῶν ἐπιφυομένων τοῖς ἕλκεσιν, ἰδίαν ἔνδειξιν ἐλέγομεν εἶναι. νυνὶ δὲ καὶ τὰ τοιαῦτα προσκείσθω. ἀσώδεις μὲν ἐπὶ στόματι γαστρὸς πάσχοντι γίνονται. πλύματι δὲ κρεῶν ὅμοια κενοῦνται κάτω, δι' ἀτονίαν ἥπατος. ἐρυθρὰ δὲ τὰ μῆλα γίνονται τοῖς περιπνευμονικοῖς. Ἀλλὰ καὶ τῶν παθῶν αὐτῶν, ἐν μὲν τοῖς ἐκκρινομένοις ἴδια σημεῖα. τοῦ μὲν ἕλκους, ἐφελκίς. αἱ δὲ ψαμμώδεις ὑποστάσεις, λιθιάσεως. αἱ δὲ τοῖς τῆς κολοκύνθης σπέρμασιν ἐκκρίσεις ὅμοιαι, πλατείας ἑλμίνθος. ἀπὸ δὲ τῶν τόπων αὐτῶν ἔνδειξις τοῦ νοσήματος γίνεται, διὰ τὸ τινὰς μὲν μόνους πάσχειν ἐκεῖνο τὸ νόσημα.

τινὰς δὲ μόνους μὴ πάσχειν. ὑποχέονται μὲν γὰρ οἱ ὀφθαλμοὶ μόνοι. λιθιῶσι δὲ νεφροὶ καὶ κύστις, ὥσπερ δ᾽ ἔνιοι φασὶ καὶ κῶλον, ἕλμινθες δ᾽ ἐν ἐντέροις γεννῶνται. τὴν καρδίαν δ᾽ αὖ πάλιν ἀδύνατον ἀπόστημα παθεῖν. ὥσπερ ὀδυνηθῆναι πνεύμονί τε καὶ συνδέσμοις. ἀπὸ δὲ τῆς τῶν συμπτωμάτων ἰδιότητος ἔνδειξις γίνεται τοῦ πάθους ἐνίοις δέ. γρυποῦνται μὲν οἱ ὄνυχες ἐπὶ ταῖς φθινώδεσι νόσοις. ἄλογον δὲ ῥῖγος ἅμα πυρετῷ, σημεῖον ἐστὶ φλεγμονῆς μεταβαλλούσης εἰς ἐμπύημα. μελαινομένη δὲ γλῶσσα καυσώδους πυρετοῦ σημεῖον, ὥσπερ γε καὶ ἡ τοῦ χρώματος ἰδιότης ἐν ὅλῳ τῷ σώματι, δι᾽ ἧπαρ μὲν ἑτέρα, διὰ σπλῆνα δ᾽ ἄλλη, μὴ δυναμένη λαβεῖν τὸν ἐπιστήμονα. καθάπερ ἰκτέρους ἢ δι᾽ αἱμοῤῥοΐδας. ἔστι δ᾽ ὀλίγα πάνυ τῶν παθῶν αὐτῶν, ἴδια σημεῖα, χωρὶς τοῦ συνενδείκνυσθαι τὸν πεπονθότα τόπον. αἱ μὲν γὰρ τῆς ἐνεργείας βλάβαι, μόνον δηλοῦσι τὸ πεπονθὸς μόριον. αἱ δ᾽ ἐν αὐταῖς διαφοραὶ, τὸ πάθος αὐτοῦ. μόνα τοίνυν ἐκεῖνα τῶν παθῶν ἐστὶν ἴδια σημεῖα, τὰ κατὰ τι συμβεβηκὸς αὐτοῖς ἑπόμενα. φανεῖται δέ σοι τοῦτο σαφέστερον ἐν ὅλῃ τοῦ λόγου τῇ διεξόδῳ. φανεῖται δὲ καὶ τὰ κοινὰ πάθους τε ἅμα καὶ τόπου πάσχοντος ἢ δυοῖν παθοῖν, ἢ μορίοιν δυοῖν, ἐν ᾧ τῷ παρόντι τὸν περὶ τῶν ἰδιοπαθούντων τε καὶ συμπαθούντων λόγον, ἐγνωκὼς προσθεὶς, ἐπ᾽ αὐτοῦ καταπαῦσαι τὸ βιβλίον. ἀναμνήσας πρότερον, ὡς τὴν ὑπὸ τῶν ἄλλων ἰατρῶν ὀνομαζομένην πρωτοπάθειαν, οἰκειότερον ἔφην ἰδιοπάθειαν ὀνομάζεσθαι. διαφέρει γε μὴν οὐδὲν, οὐδ᾽ εἰ πρωτοπάθειάν τις αὐτὴν καλεῖ. βέλτιον γὰρ οὐ περὶ τῶν ὀνομάτων ἐρίζειν, ἀλλὰ τῶν πραγμάτων ἐπίστασθαι τὰς διαφοράς. ὅταν μὲν γὰρ ἐκ τῆς κοιλίας, ἤτοι γε ἀτμῶν μοχθηρῶν, ἢ καὶ τῶν χυμῶν αὐτῶν ἀναφερομένων, ἐπὶ τὸν ἐγκέφαλον ἡ διάνοια βλάπτηται, πρώτως μὲν οὐκ ἄν τις φαίη πάσχειν τὸν ἐγκέφαλον οὐ μὴν οὐδ᾽ ἀπαθῆ γε παντάπασιν ὑπάρχειν. ἀλλ᾽ ὅπερ ὑπ᾽ αὐτῶν ἐκείνων ὁμολογεῖται, διὰ τοῦ συμπάσχειν ῥήματος ἀληθέστατον ἐστίν. δηλοῦται γὰρ οὐ τὸ μηδόλως πάσχειν ἐκ τῆς συμπάσχειν φωνῆς, ἀλλὰ τὸ σὺν ἑτέρῳ πάσχειν. ἄμεινον δὲ καὶ σαφέστερον ἐφ᾽ ἑτέρῳ πάσχειν ἂν εἴποι τις τὸ συμπάσχον. ὅπερ οὖν ἔνιοι τῶν ἰατρῶν, νενοήκασι μὲν ἀμυδρῶς ὥσπερ ὀνειρώττοντες. οὐκ εἰρήκασι δὲ σαφῶς, ὅτι μὴ δὲ ἐγνώκασι, τοῦτ᾽ ἐγώ μοι δοκῶ διδάξειν, ἀναγκαιότατον ὂν εἰς τὴν προκειμένην πραγματείαν. ἀρξάμενος ἐντεῦθεν. ἔνιαι τῶν ἐνεργειῶν ἐξ ὕλης ἐπιτηδείου γινόμεναι, προπαρασκευαζομένην αὐτὴν ὑφ᾽ ἑτέρων μορίων λαμβάνουσιν. εἰκότως οὖν ἐστὶν θ᾽ ὅτε, πάθος ἴδιον οὐδὲν ἐχόντων τῶν οἰκείων τῆς ἐνεργείας ὀργάνων, ἀπόλλυσθαι συμβέβηκεν αὐτὴν ἀπορίᾳ τῆς ὕλης, ἐξ ἧς ἐγένετο, καθάπερ ἐπὶ τῆς φωνῆς ἔχει. δέδεικται γὰρ ἐν τοῖς περὶ αὐτῆς λόγοις, ἡ ἐκφύσησις, ὕλη μὲν οὖσα τῆς φωνῆς, γινομένη δ᾽ ὑπὸ τῶν μεσοπλευρίων μυῶν, συστελλομένου τοῦ θώρακος. ὅταν οὖν οὗτοι μηκέτ᾽ ἐνεργῶσιν, ἄφωνον γίνεται τὸ ζῶον. οὐδενὸς πάθους ἐνίοτε παρὰ τὰ τῆς φωνῆς αὐτῆς ἴδια μόρια γεγενημένου. ταῦτα δ᾽ ἐστὶ συνελόντι μὲν εἰπεῖν, ὁ σύμπας λάρυγξ, κατὰ μέρος δ᾽ ἑρμηνευόντων, οἵ τε τρεῖς αὐτοῦ χόνδροι, καὶ οἱ κινοῦντες αὐτοὺς μύες τρεῖς, ἅμα τοῖς ἀπ᾽ ἐγκεφάλου νεύροις. ἔτι τε πρὸς τούτοις ἡ ἔνδον τοῦ λάρυγγος ἐπιγλωττὶς, ἥπερ ἐστὶ τὸ κυριώτατον ὄργανον τῆς φωνῆς. αὕτη γὰρ ὑπὸ τῶν μυῶν ἀνοιγομένη τε καὶ συναγομένη μετρίως, ἐργάζεται τὰς φωνάς. ἀλλ᾽ οὐχ οἷόν τε γενέσθαι ταύτας, ἄνευ τοῦ σφοδρῶς ἔξω φέρεσθαι τὸ πνεῦμα. τοῦτο δ᾽ ὑπὸ τῶν μεσοπλευρίων ἐπιτελεῖται μυῶν. καί τις ἀφ᾽ ὑψηλοῦ πεσὼν, ὡς ἐρεῖσαι κατὰ τῆς γῆς, τὴν ἀρχὴν τοῦ μεταφρένου, περὶ μὲν τὴν τρίτην ἡμέραν, πάνυ μικρὸν ἐφθέγγετο, τῇ δὲ τετάρτῃ τελέως ἦν ἄφωνος, ἅμα τῷ παραλελύσθαι τὰ σκέλη, μηδενὸς τῶν χειρῶν βεβλαμμένων. οὐ μὴν οὔτ᾽ ἄπνους, οὔτε δύσπνους ἐγένετο. παραλυθέντος γὰρ ὅλου τοῦ μετὰ τὸν τράχηλον νωτιαίου, συνέβη τῷ θώρακι, πρός τε τοῦ διαφράγματος, ἔτι τε καὶ τῶν ὑψηλῶν μυῶν κινεῖσθαι τῶν ἔξω, ἐπειδὴ τὰ νεῦρα τούτοις ἐκ τοῦ κατὰ τὸν τράχηλον ἐστὶ νωτιαίου. τὰ δὲ τῶν μεσοπλευρίων μυῶν νεῦρα, πάντ᾽ ἔπαθεν, ὑφ᾽ ὧν, ἡ ἐκφύσησις, ἐδείχθη γινομένη. βουλομένων οὖν τῶν ἰατρῶν ἐνοχλήσειν εἰκῆ, τοῖς μὲν σκέλεσι διότι παρεῖτο, τῷ δὲ λάρυγγι διὰ τὸ τῆς φωνῆς πάθημα, κωλύσας ἐγὼ, μόνου προνοησάμενος τοῦ πεπονθότος τόπου, καὶ γενομένου τε ἀφλεγμάντου τοῦ νωτιαίου, μετὰ τὴν ἑβδόμην ἡμέραν, ἐπανῆλθεν ἥτε φωνὴ, καὶ ἡ τῶν σκελῶν κίνησις τῷ νεανίσκῳ. τὸ μὲν δὴ τοιοῦτον εἶδος τῆς βλάβης, κυριώτερον ἄν τις ὀνομάσειε συμπάθειαν, ἤπερ ὅταν ἐπὶ χυμοῖς τισὶ κατὰ τὴν γαστέρα περιεχομένοις, ἄλγημα γίνεται τῇ κεφαλῇ. ἀναφέρεται γάρ τι πρὸς αὐτὴν ἐν ταῖς τοιαύταις διαθέσεσιν. οὐ μὴν ἐπὶ τὰ σκέλη γε φέρεταί τι τῶν βλαπτόντων, ἐν ταῖς εἰρημέναις διαθέσεσιν, ἀλλὰ τοὐναντίον, ἀποστερεῖται δυνάμεως ἧς πρότερον αὐτοῖς ἐχορήγει ὁ νωτιαῖος. ὁ δὲ λάρυγξ, οὐκ ἀποστερεῖται μὲν εἰς τὸ παντελὲς τοῦ πνεύματος, ἐν ταῖς ἀφωνίαις. ἔτι γὰρ ἐκπνεῖ τὸ ζῶον δι᾽ αὐτοῦ, στερεῖται δὲ τῆς ἐκφυσήσεως. ἥτις ἦν ἀθρόα φορὰ τοῦ πνεύματος πολλοῦ διὰ λάρυγγος ἔξω τοῦ ζώου. περὶ μὲν δὴ τῶν ὀνομάτων, ἑτέροις φιλονεικεῖν ἐπιτρεπτέον. ἡμῖν δ᾽ ἀρκέσει περὶ τῶν πραγμάτων ὧν ἐκεῖνοι παντάπασιν ἀγνοοῦσι, διελθεῖν. ἄλλως μὲν ἐπὶ τοῖς ἐν γαστρὶ χυμοῖς, κεφαλαλγοῦσι, τῶν ἀναφερομένων δηλονότι χυμῶν, θερμαινόντων τε ἅμα καὶ διατεινόντων τὰ κατὰ τὴν κεφαλήν. ἄλλως δὲ, τὰ τῶν ὑποχεομένων, πάσχουσι φαντάσματα, μήτε θερμαινομένων τῶν ὀφθαλμῶν, μήτε διατεινομένων, ἀλλὰ μόνον ἀτμοῦ διοδεύοντος αὐτούς. ἔτι τε πρὸς τούτοις ἑτέρως μὲν, ὁ φραχθεὶς τὸν ἀπ᾽ ἐγκεφάλου καθήκοντα πόρον, οὐχ ὁρᾷ, καὶ τούτῳ παραπλησίως μέν πως, ἑτέρως δὲ, ὁ διὰ τὴν τοῦ νωτιαίου φλεγμονὴν, παρεθεὶς τὰ σκέλη. καθ᾽ ἕτερον δὲ τρόπον, ὁ τὴν φωνὴν ἀπολέσας, ἢ βλαβείς. εἰς μὲν γὰρ τὰ σκέλη, δύναμίς τις ἀφικνεῖσθαι κεκώλυται χωρὶς οὐσίας, εἰς δὲ τοὺς ὀφθαλμοὺς μετ᾽ οὐσίας, εἰς δὲ τὸν λάρυγγα τῆς ἀφικνουμένης ὕλης, κεκώλυται τὸ πλῆθος. ἐπὶ δὲ τοῦ διὰ τὴν μεσοπλευρίων μυῶν συντρησιν, ἀφώνου γεγονότος, ἀπώλωλε τελέως ἡ τῆς φωνῆς ὕλη. ὅστις δὲ ὁ τρόπος, τοῖς σκέλεσι τῆς παραλύσεως γίνεται, κατὰ τὰς εἰρημένας τοῦ νωτιαίου διαθέσεις, ὁ αὐτὸς καὶ τῷ λάρυγγι τῶν νεύρων τῶν φωνητικῶν τμηθέντων, ἢ βρόχῳ διαληφθέντων. ὀνομάζειν δὲ εἴωθα φωνητικὰ νεῦρα τὰ πρὸς ἡμῶν εὑρεθέντα, τῶν διδασκάλων μόνα τὰ παρὰ ταῖς ἀρτηρίαις εἰδότων. ἀκολουθεῖ μὲν οὖν κἀκείνοις ὁμοίως κακωθεῖσιν, ἀπώλεια φωνῆς. ὅτι καὶ τὰ τοῦ λάρυγγος ἴδια νεῦρα τὰ παλινδρομοῦντα πρὸς ἐμοῦ κληθέντα, μόρια τῆς οὐσίας αὐτῶν ἐστίν. εἰς πολλὰ δὲ καὶ ἄλλα μόρια νενεμημένων αὐτῶν,

αὐτῶν, οὐκ ἔχει προσηγορίαν οἰκειοτέραν τῶν φωνητικῶν, ἅπερ ἴδια τῶν τὴν φωνὴν ῥυθμιζόντων ὀργάνων ἐστίν. ὅδε μὲν τρόπος τῆς βλάβης τοῖς μυσὶ τοῦ λάρυγγος, ὁ αὐτός ἐστιν, εἴτε τὰ παλινδρομοῦντα νεῦρα κακώσαις, εἴτε τὰ παρὰ ταῖς ἀρτηρίαις. ἑκατέρως γὰρ ἀποροῦσι δυνάμεως ψυχικῆς, ἧς χωρὶς, οὐχ οἷόν τε κατὰ προαίρεσιν αὐτοῖς κινεῖσθαι. καὶ μὴν καὶ ἡ τῶν κινούντων τὴν ἐπιγλωττίδα μυῶν τομὴ τελέως μὲν ἄφωνον ἐργάζεται τὸ ζῶον. ἀλλ' οὐ κατὰ τὸν αὐτὸν ἅπαντη τρόπον, οὐ μὴν οὐδὲ πάντη διαφερόντως ἢ εἰ τὰ νεῦρα βλαβείη. τὸ κοινὸν γὰρ τῆς βλάβης ἀμφοῖν ἐστιν, ἐν τῷ στερίσκεσθαι τὴν ἐπιγλωττίδα, τῆς πρὸς τὴν κινοῦσαν ἀρχὴν συνεχείας. γίνεται τε τοῦτο ἐάν τε τοὺς μῦς, ἐάν τε τὰ νεῦρα τέμῃς, ἢ βρόχῳ διαλάβῃς, ἢ θλάσῃς, ἢ ὁπωσοῦν ἄλλως κακώσῃς. ἐγὼ γοῦν οἶδα καὶ ψυχθέντων ἐπὶ πλεῖον τῶν παλινδρομούντων νεύρων ἐν χειρουργίᾳ τινὶ κατὰ τράχηλον, ἐν χειμῶνι γενομένῃ, κακωθεῖσαν τὴν φωνήν. ὡς ὀλίγου δεῖν ἀπόλλυσθαι. ἀλλὰ συνεχῶς γε τοῦτ' αὐτὸ, θερμαίνουσι φαρμάκοις, αὐτὴν ἀνεκαλεσάμεθα, τὴν κατὰ φύσιν κρᾶσιν ἀνακτησάμενοι τοῖς νεύροις. ὥσπερ δ' ἐπὶ ταῖς τοῦ θώρακος συντρήσεσιν, ἀπόλλυται ἡ φωνὴ στερήσει τῆς ὕλης, οὕτω κἂν τὴν τραχεῖαν ἀρτηρίαν ὅλην διατέμῃς. οὐ γὰρ ἔτι παραγίνεται τὸ πνεῦμα, πρὸς τὸ τῆς φωνῆς ἴδιον ὄργανον. ἑτέρῳ δὲ τρόπῳ, ταυτὸν ἐργάζεται βρόχος ὅλῳ τῷ τραχήλῳ περιτεθεὶς, ἀλλ' οὗτος μὲν οὐκ ἄφωνον μόνον ἀποτελεῖ τὸ ζῶον, ἀλλὰ πνίγει. στερίσκων τῆς ἀναπνοῆς. ἡ δ' ἀρτηρία διαιρεθεῖσα, φωνὴν μὲν βλάπτει, τῆς δ' ἀναπνοῆς, οὐκ ἀφαιρεῖται τὸ ζῶον. αἱ δὲ κυνάγχαι καλούμεναι, φλεγμοναὶ τῶν ἔνδον τοῦ λάρυγγος οὖσαι σωμάτων, ἀνάλογον ἀγχόνῃ, στερίσκουσι τῆς ἀναπνοῆς, ἐμφράττουσαι τὸν πόρον αὐτῆς. διὸ δὴ καὶ μάλιστα τοῦ τῆς φωνῆς ὀργάνου, πάθος ἴδιον εἰσίν. ἐφεξῆς δὲ τῶν ἔξωθεν αὐτοῦ μυῶν ἡ βλάβη, τῶν δ' ἄλλων ἁπάντων ὧν διῆλθον, οὐκ ἴδιον, ἀλλὰ κατὰ συμπάθειαν μᾶλλον. ἐκκόπτων γοῦν τις ἐκ τραχήλου χοιράδας, ἐν τῷ βάθει κειμένας, εἶτα † δὲ εἰς τὸ τεμεῖν τι ἀγγεῖον, οὐ τῇ μήλῃ τέμνων τοὺς ὑμένας, ἀλλὰ τοῖς ὄνυξι διασπῶν, ἔλαθεν ὑπ' ἀγνοίας συνδιασπάσας τὰ παλινδρομοῦντα νεῦρα. καὶ οὕτω τῶν μὲν χοιράδων ὑγιὲς ἀπέφηνε τὸ παιδάριον. ἄφωνον δὲ εἰργάσατο. καί τις ἄλλος ἕτερον παῖδα χειρουργῶν ὁμοίως ἡμίφωνον ἐποίησεν, ἐπὶ θατέρῳ μόνῳ νεύρῳ βλαβέντι. καὶ μέν τοι καὶ θαυμαστὸν ἐδόκει πᾶσιν, ὅτι μήτε τῆς τραχείας ἀρτηρίας, μήτε τοῦ λάρυγγος παθόντων, τι, τὴν φωνὴν βλαβῆναι συνέβη. δειχθέντων δ' αὐτοῖς ὑπ' ἐμοῦ τῶν φωνητικῶν νεύρων, ἐπαύσαντο θαυμάζοντες. ἐφ' ὧν οὖν, ἤτοι γ' ὕλης, ἢ δυνάμεως ἡ χορηγία διαφθείρεται, πιθανῶς ἄν τις λέγοι βεβλάφθαι τὴν ἐνέργειαν, ἀβλαβοῦς φυλαττομένου τοῦ ποιοῦντος αὐτὴν μορίου. τὸ δ' ὑπὸ χυμῶν, ἢ ἀτμῶν ἔξωθεν ἡκόντων εἰς αὐτὸ, βλαπτόμενον, οὐκ ἂν εἰκότως ἀπαθὲς εἶναι λέγοιτο. πιθανῶς δ' οὐδὲν ἧττον ἄν τις λέγοι κἀπὶ τῶν γε στερισκομένων ὕλης τινὸς, ἢ δυνάμεως, βεβλάφθαι τὸ μόριον, εἴ γε ἐν τῷ παραλαμβάνειν ταῦτα, τὴν κατὰ φύσιν εἶχε διοίκησιν. ὥστε κἀκ τῆς τοιαύτης εἰς ἑκάτερον ἐπιχειρήσεως, ἄχρηστος φαίνεται τῶν λογικῶν προβλημάτων ἡ σκέψις, οὐδὲν οὔτ' εἰς τὴν διάγνωσιν τῶν παθῶν, οὔτ' εἰς τὴν ἴασιν, οὔτ' εἰς τὴν τῶν ἀποβησομένων πρόγνωσιν, ὠφελοῦσα. θέασαι γοῦν ὅπως ἐγὼ μὴ δ' ἁψάμενος αὐτῆς διηγήσομαι θεραπείαν, ἐκ τῆς τοῦ πεπονθότος τόπου γνώσεως εὑρεθεῖσαν. Ἔχων τις ἐπικείμενον φάρμακον τοῖς τρισὶ δακτύλοις τῆς χειρὸς, ἔφασκε τριάκοντα ἡμερῶν ἤδη τὴν αἴσθησιν αὐτῶν ἀπολωλέναι. τῆς κινήσεως ἀβλαβοῦς φυλαττομένης. ὀνίνασθαί τε μηδὲν ὑπὸ τῶν ἐπιτιθεμένων φαρμάκων. ὅπερ οὖν εἴωθα ποιεῖν ἐπὶ τῶν τοιούτων, οὐδὲ τότε παρέλιπον. ἀλλ' ἠρώτησα καλέσας τὸν προνοούμενον αὐτοῦ τῶν δακτύλων ἰατρὸν, ὁποίοις τισὶ χρησάμενος εἴη φαρμάκοις. ὡς δὲ τοῖς προσήκουσιν εὗρον, ἐζήτουν τὴν αἰτίαν τοῦ μηδὲν ὠφελεῖσθαι τὸν ἄνθρωπον. ἠρώτων τε τὰ προηγησάμενα συμπτώματα. τοῦ δὲ, μήτε φλεγμονήν τινα, μήτε, ψῦξιν μήτε πληγὴν αὐτῷ προηγήσασθαι φάντος. ἀλλ' ἐκ τοῦ κατὰ βραχὺ, τὴν αἴσθησιν ἀπόλλυσθαι, θαυμάζων πάλιν ἠρόμην, εἰ μὴ τῶν ἀνωτέρω τι μορίων ἐπλήγη. τοῦ δὲ κατὰ μὲν τὴν χεῖρα μηδὲν εἰπόντος, ἐν ἀρχῇ δὲ τοῦ μεταφρένου πληγῆναι φάσκοντος, αὖθις ἠρόμην ὅπως τε καὶ ὁπότ' ἐπλήγη. καὶ μέν τοι καὶ ἀποκριναμένου κατὰ τὴν εἰς ῥώμην ὁδὸν ἡνίκ' ἐξέπεσε τοῦ ὀχήματος εἶναι τὸν χρόνον οὐ πολὺ πρότερον, ἢ τοὺς δακτύλους ἄρξασθαι πάσχειν, ἐτεκμηράμην ἐν τῇ πρώτῃ, τοῦ μετὰ τὸν ἕβδομον σπόνδυλον νεύρου διεκπτώσει, μόριόν τι ἐπὶ τῇ πληγῇ φλεγμῆναν, σκιῤῥώδη διάθεσιν ἐσχηκέναι. τοῦτο δ' ἐνόησα μεμαθηκὼς διὰ τῆς ἀνατομῆς, ὅτι τὰ νεῦρα κατὰ περιγραφὴν μὲν ἰδίαν ὡς αἱ φλέβες ἐκφυόμενα φαίνονται, καὶ δόξαις ἂν ἐν ἀκριβῶς ἕκαστον αὐτῶν ὑπάρχειν, ὥσπερ καὶ τὴν φλέβα. τὰ δ' ἐστὶν εὐθέως ἀπὸ τῆς ἀρχῆς πολλὰ σφιγγόμενα ἅπαντα καὶ συνεχόμενα κοινοῖς περιβλήμασιν ἀπὸ τῶν μηνίγγων ἐκπεφυκόσιν. καὶ τοίνυν τοῦ τελευταίου τῶν ἐκ τοῦ τραχήλου νεύρων, ἡ ταπεινὴ μοῖρα πρὸς τοὺς μικροὺς ἀφικνεῖται δακτύλους, εἰς τὸ περιέχον αὐτοὺς, διασπειρομένη δέρμα, καὶ προσέτι τοῦ μέσου δακτύλου τὸ ἥμισυ μέρος, ὅπερ δὴ καὶ θαυμασιώτατον ἐδόκει τοῖς ἰατροῖς, ὅτι τὸ ἥμισυ μόνον ἐφαίνετο πεπονθός. ἐμὲ δ' αὐτὸ τοῦτο προσήγαγε μᾶλλον, ὡς ἐκεῖνο μόνον εἴη τοῦ νεύρου τὸ μέρος πεπονθὸς, ὃ κατὰ τὸν πῆχυν ἀποφυόμενον αὐτοῦ, τελευτᾷ πρὸς τοὺς εἰρημένους δακτύλους. ἀποῤῥίψαι τε κελεύσας τὸ φάρμακον, ὃ κατ' αὐτὸν ἐπέκειτο, κατ' ἐκεῖνο μάλιστα τῆς ῥάχεως ἐπέθηκα τὸ μέρος, ὃ τὴν ἀρχὴν εἶχε τοῦ πάσχοντος μορίου. καὶ οὕτως συνέβη καθάπερ ἐδόκει, τοῖς ὁρῶσι θαυμαστόν τε καὶ παράδοξον, οἱ τῆς χειρὸς δάκτυλοι διὰ τῶν ἐπιτιθεμένων τῇ ῥάχει φαρμάκων, θεραπευόμενοι. κἀπειδὴ τελέως ἀπηλλάγη τοῦ πάθους. ζήτησις ἐγένετο τοῖς ἰατροῖς ἥτις ποτ' ἦν ἡ διάθεσις τῶν νεύρων ἐν ᾗ τὴν μὲν κίνησιν αὐτῶν σώζεσθαι συμβαίνει, τὴν δ' αἴσθησιν, ἀπόλλυσθαι. κἀγὼ τὸ λελεγμένον ἤδη τισὶ τῶν ἔμπροσθεν ἰατρῶν εἶπον. ὡς ἡ μὲν αἴσθησις ἐν τῷ πάσχειν. ἡ δὲ κίνησις ἐν τῷ ποιεῖν τι γίνοιτο. καὶ διὰ τοῦτο ῥώμης μὲν δεῖ τῷ κινήσοντι, τῷ δ' αἰσθησομένῳ, καὶ ἡ βραχυτάτη δύναμις ἀρκεῖ. δόξαντος δ' αὐτοῖς ὀρθῶς εἰρῆσθαι τοῦ λόγου, τί οὖν εἶπον, οὐ καὶ τοὐναντίον ἐθεάσασθέ ποτε, τῆς αἰσθήσεως σωζομένης ἐκλελοιπέναι τὴν κίνησιν, οἱ μὲν οὖν ἄλλοι σχεδὸν πάντες οὐδέποτ' ἑωρακέναι τοῦτ' ἔφασαν. εἷς δέ τις ὡμολόγει. καὶ τοὔνομά γε τοῦ παθόντος ἔλεγε καὶ μάρτυρας ἐπηγγέλλετο παρέξεσθαι. δόξαντος γε τούτου, μάχεσθαι τοῖς εἰρημένοις ἐπὶ

τῶν κινουμένων μὲν μορίων οὐ μὴν αἰσθανομένων, ὅσον μὲν γὰρ ἐπὶ ἐκείνῳ τῷ λόγῳ, παντάπασιν ἀδύνατόν ἐστιν ἀπωλείας αἰσθήσεως, ἔτι κινεῖσθαι κατὰ προαίρεσιν, αὖθις ἐδέοντό μου τὴν αἰτίαν ἀκοῦσαι τῶν φαινομένων ἀμφοτέρων. ἔστι δὲ σαφὴς τοῖς ἐπισταμένοις ἀνατομῆς νεύρων, οὖσα τοιάδε. ἅπασα μὲν ἡ καθ' ὁρμὴν κίνησις, ὑπὸ μυῶν γίνεται. νεῦρον γὰρ οὐδὲν ἐστὶν αὐτὸ καθ' ἑαυτὸ χωρὶς μυὸς, οὐδὲ μίαν ἐργαζόμενον ἐν τοῖς τοῦ ζώου μορίοις οὐδαμόθεν τοιαύτην ἐνέργειαν. ἀλλὰ διὰ μέσων τῶν μυῶν, πάσας τὰς προαιρετικὰς ὀνομαζομένας κινήσεις, ἐπιτελεῖ. καθήκουσιν δ' εἰς τὰ κινηθησόμενα μόρια, ποτὲ μὲν ἄντικρυς οἱ μύες αὐτοὶ, ποτὲ δὲ διὰ μέσων τενόντων, οὓς ἀπονευρώσεις ἔνιοι προσαγορεύουσιν. ἐκ τούτου τοῦ γένους εἰσὶ, καὶ οἱ τοὺς δακτύλους κινοῦντες τένοντες, ὁμοίως τοῖς τόνοις ὀνομαζομένοις ὑφ' Ἱπποκράτους περιφορεῖς. ἐὰν μὲν οὖν τὰ τῶν μυῶν νεῦρα πάθῃ, τὴν κίνησιν ἀπολλύουσιν οἱ δάκτυλοι. τῶν δ' εἰς τὸ δέρμα παραγινομένων παθόντων, ἡ κατὰ τὴν ἁφὴν αἴσθησις διαφθείρεται, κατὰ δὲ τὰς ὅλων τῶν κώλων παραλύσεις, ὡς ἂν τῆς κοινῆς ἀρχῆς πεπονθυίας, ἀμφότεραι συναπόλλυνται κινήσεις τε καὶ αἰσθήσεις. καὶ τόν γε πρωτοπαθοῦντα τόπον ἐκ τοῦ πλήθους τῶν βεβλαμμένων νεύρων, μόνον ἐστὶν ἐξευρεῖν, ἐάν γέ τις ἀκριβῶς ἰδῇ, τὰς κοινὰς αὐτῶν ἀρχὰς, ἃς ἐν τῇ τῶν νεύρων ἀνατομῇ δίηλθον, οὐδενὸς τῶν πρὸ ἐμοῦ, τὴν ἀνατομὴν ταύτην ἀκριβωσάντος. ἀλλὰ τῶν μὲν μεῖζον, τῶν δ' ἔλαττον σφαλέντων. ὁ δ' οὖν γεγυμνασμένος ἐν αὐτοῖς μόνος ἀκριβῶς λογίζεσθαι δύναται, κατά τινα σπόνδυλον ὁ νωτιαῖος ἔπαθεν, ἤτοι γε ὅλος, ἢ τὸ ἕτερον αὐτοῦ μέρος ἐστίν. ὅτε γὰρ ἐν τοῖς δεξιοῖς μόνου αὐτοῦ μορίοις, τὸ πάθος ἐστὶ, μηδενὸς θατέρου παθόντος. ἢ πάλιν τοὐναντίον, ἀπαθὲς μὲν ἔμεινε τοῦτο, μόνον δ' ἔπαθε τὸ εὐώνυμον. καὶ κατὰ τοῦτο, ποτὲ μὲν ἅπαντα τὰ ἐν τοῖς εὐωνύμοις παραλύεται, τῶν δεξιῶν ἀπαθῶν φυλαττομένων· ἐνίοτε δ' ἔμπαλιν, ἔπαθέ τε καὶ παρελύθη τὰ δεξιὰ μέρη μόνον, μηδενὸς μέν τοι παθόντος αὐτοῦ τοῦ νωτιαίου, μόνης δὲ μιᾶς ἐκφύσεως νεύρου, τῶν μορίων ἐκείνων παρακολουθεῖ παράλυσις εἰς ἃ τὸ νεῦρον διασπείρεται. καὶ μὴν καὶ δύο, καὶ τρεῖς ἐνίοτε μόναι τῶν ἐκφύσεων ἔπαθον, ἀπαθοῦς τοῦ νωτιαίου φυλαχθέντος. οὕτως γοῦν ἐπεπόνθει καὶ ὅ τ' ἄλλα τῆς χειρὸς ἅπαντα παραλυθεὶς ὡς μήτε αἰσθάνεσθαι, μήτε κινεῖσθαι. κατὰ δὲ τοὺς τρεῖς δακτύλους μόνους ἔχων διασωζομένην τὴν αἴσθησιν, ἄλλῳ δ' οὐκ αὐτὴ μόνον ἀλλὰ καὶ αἱ κινήσεις ἐσώζοντο τῶν μυῶν ἐκείνων, εἰς οὓς ἡ μετὰ τὸν ἕβδομον σπόνδυλον ἔκφυσις διενέμετο. καί τις ἄλλος ἐκ καταπτώσεως σφοδρᾶς, ἐκείνους μόνους τοὺς μῦς παρελύθη τοὺς ἐκ τούτου τοῦ νεύρου λαμβάνοντας μόρια, τῷ δ' αὐτῷ τούτῳ καὶ τοῦ δέρματος ἐκεῖνα μόνα τὴν αἴσθησιν ἀπώλεσεν, ὅσα παρὰ τῶν λελεγμένων νεύρων τὰς ἀπονευρώσεις ἐλάμβανεν. ὅστις οὖν βούλεται γνωρίζειν ἐν ποίῳ σπονδύλῳ τὸ πάθος ἐστὶν, ἤτοι μόνης τῆς ἐκφύσεως νεύρου τινὸς, ἢ καὶ τοῦ νωτιαίου μυελοῦ, κατὰ τὴν τῶν νεύρων ἀνατομὴν γυμνασάσθω. μέθοδον ἔχων ἐν ἅπασι κοινὴν, τοὺς παραλυθέντας μῦς ἐπισκοπεῖν, ἅμα τῷ τὴν αἴσθησιν ἀπολωλεκότι δέρματι. τοῦ μὲν γὰρ νωτιαίου παθόντος ὅλου κατά τινα σπόνδυλον, ἅπαντα τὰ κάτω μέρη παραλύεται. κατὰ δὲ τὸ ἕτερον μέρος εἰ βλαβείη, θατέρου μένοντος ἀπαθοῦς, ἐν τοῖς κατ' εὐθὺ μορίοις, ἡ παράλυσις ἔσται μόνον. εἰ δὲ ῥίζαι νεύρου πάθοι, τὰ μὲν ἄλλα τὰ κάτω τοῦ πεπονθότος, οὐδὲν πείσεται. μόνα δ' ἐκεῖνα παραλυθήσεται τῶν μορίων, εἰς ἃ ἕκαστον τῶν νεύρων διασπείρεται. ταῦτ' οὖν ἐὰν ἀκριβῶς μάθῃς, οὐκέτ' ἐνοχλήσεις τοῖς παραλελυμένοις κώλοις, ἀφεὶς τὴν ῥάχιν, ἀλλ' ἐπ' ἐκείνην ἀφικόμενος ἐκθεραπεύσεις τὸ πεπονθός. οὕτω δὲ κἂν μὴ κατὰ τὴν ῥάχιν, ἀλλὰ κατά τι τῶν μετὰ ταύτην χωρίων τῶν νεύρων πάθῃ, γνωρίσεις ἐκ τῶν μυῶν τε καὶ τοῦ δέρματος. τὸ μὲν οὖν δέρμα, ῥᾳδίως γνωρίσεις, ὑποπίπτον γε τοῖς ὀφθαλμοῖς, οἱ δὲ μύες, ἐκ τῶν ἀπολωλυιῶν ἐνεργειῶν διαγινώσκονται. χρὴ τοίνυν σε, καὶ περὶ τὴν τῶν μυῶν ἀνατομὴν γεγυμνάσθαι, καὶ γινώσκειν ἧς τινὸς ἕκαστος ἐνεργείας ἐστὶν ὄργανον. οὕτω γάρ ὑπάρξει σοι μόνως διακρίνειν δύνασθαι, τίνων μὲν ἀπόλλυται μορίων ἡ ἐνέργεια, μηδὲν νόσημα τῆς σωματικῆς οὐσίας αὐτῶν πασχούσης, τίνων δὲ νόσημα προηγεῖται γινόμενον, ἢ γεγονός. οἶσθα δὲ τά τε γένη τῶν νοσημάτων καὶ τὰς διαφορὰς ἁπάσας ἐν ἑτέρῳ βιβλίῳ γεγραμμένας, ὃ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ἐπιγέγραπται. καθάπερ ἐν ἑτέρῳ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς. ἀλλὰ καὶ περὶ τῆς τῶν αἰτίων ἑκατέρων, ἴδια γέγραπται. καθ' ἓν μέν τι, περὶ τῆς τῶν νοσημάτων. ἐν τρισὶ δὲ, περὶ τῆς τῶν συμπτωμάτων ἐν οἷς ἅπασι γεγυμνάσθαι προσήκει τὸν μέλλοντα ῥᾳδίως εὑρήσειν τε καὶ διακρίνειν αἰτίαν καὶ πάθος καὶ τόπον πεπονθότα. τὰς μὲν συνδρομὰς μὲν γὰρ οὐχ οἷόν τε πάντα διδάξαι. καί τοι γ' ἀξιούντων οὕτω τῶν ἐμπειρικῶν, ἀλλὰ τά τε προηγησάμενα. καὶ τὰ παρόντα συμπτώματα γνοὺς ἀκριβῶς τις ἐπί τε τὴν διὰ τῆς θεραπευτικῆς μεθόδου πεῖραν ἀφικόμενος εὑρήσει τὸ πεπονθὸς ἅμα τῇ διαθέσει. καὶ πλεῖστον τοῦτ' ἐστὶν ἐπὶ τῶν ἐν τῷ βάθει τοῦ σώματος τεταγμένων μορίων. ὡς ὀλίγον ἔμπροσθεν ἐπὶ τὴν αἴσθησιν, ἢ κίνησιν ἀπολλύντων ἐδείξαμεν. ἴσως μὲν οὐδὲν χεῖρον ἔτι παραγράψαι τινὰ τῶν γεγονότων, ὁποῖα καὶ ταῦτ' ἐστίν. παιδίον ὡς ἐτῶν ἓξ ἀκουσίως ἀποπατεῖν ἤρξατο παραλυθέντος ἐξαίφνης αὐτῷ τοῦ κατὰ τὴν ἕδραν μυός. ἐγένετο δὲ καὶ γέροντί ποτε τοιοῦτον σύμπτωμα. καί τινι πάλιν ἑτέρῳ παιδίῳ, περὶ τεσσαρεσκαιδεκάτην ἡλικίαν, ἀκούσιος ἔκκρισις ἐγένετο διαχωρημάτων, ἅμα τοῖς κατὰ τὴν κύστιν ἀλγήμασι. καὶ ἄλλῳ μετὰ τῆς τοῦ οὔρου ἐπισχέσεως. ἄλλῳ δὲ πάλιν ἀκουσίως ἐξεκρίνετο τὰ οὖρα. καὶ ἄλλῳ καὶ ταῦτα, καὶ τὰ διαχωρήματα. ἐχρῆν τοίνυν, ἐπὶ τῶν τοιούτων ἁπάντων πυνθάνεσθαι τὰ προγεγονότα. τοὐπίπαν γὰρ, ἤτοι ψύξις τις, ἢ πληγὴ κατὰ ῥάχιν αὐτῶν ἡγεῖται. ἡ μὲν ψύξις, ἕνα μόνον τὸν πεπονθότα βλάπτουσα μῦν. ἡ πληγὴ δὲ, πλείους ὡς τὰ πολλά. πάνυ γάρ ἐστι σπάνιον, ἐπὶ πληγῇ ῥάχεως ἕνα μὴν παθεῖν, ὡς ἂν τῶν ἐκφυομένων τοῦ νωτιαίου νεύρων, εἰς πλείονας μῦς καταχιζομένων. ἀλλὰ καὶ διὰ πληγὴν αὐτοῦ τοῦ πεπονθότος μυὸς ἀμελληθείσης, ἐνίοτε καὶ σκιῤῥωθείσης τῆς ἐπιγενομένης φλεγμονῆς ἠκολούθησε παράλυσις αὐτοῦ. ἔστι δὲ καὶ τοῦτο σπάνιον. ἀλλ' ἥ γε ψύξις ἔβλαψε πολλάκις ἕνα μῦν καὶ μάλιστα τὸν ἐπὶ πολλῆς κατὰ τὴν ἕδραν. ἤτοι καθίσαντος ἐπὶ ψυχροῦ λίθου τινὸς, ἢ ἐν ὕδατι ψυχρῷ διατρίψαντος ἐπὶ πλέον. ὁ γοῦν παῖς ὁ βλαβεὶς τὴν κύστιν τε καὶ κατὰ τὴν ἕδραν, ἐν ποταμῷ θηρεύων ἰχθῦς, ἔπαθεν οὕτως. ἐνίοις δὲ νηξαμένοις ἐν ὕδατι ψυχρῷ, τὸ τοιοῦτο συνέβη. τοὺς μὲν οὖν οὕτω παθόντας, ἰάσασθαι

προσήκει

προσίκει θερμαίνοντα βοηθήματα τοῖς πεπονθόσιν τόποις προσφέροντας. οἷς δὲ τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων ἔπαθε τι τῇ ῥάχει προσακτέον τὰ βοηθήματα. πολλάκις γε μὴν ἐπὶ καταπτώσεσιν ἀφ᾽ ὑψηλοῦ τόπου γινομέναις, ἢ πληγαῖς σφοδραῖς ἰσχυρῶς παθούσης τῆς ῥάχεως, ἢ φλεγμονὴ μέχρι πλειόνων ἐκταθεῖσα μορίων, οὐ μόνους τοὺς μῦς ἔβλαψεν, ἀλλὰ καὶ τὴν κύστιν. ἐφ᾽ ὧν ἴσχεται τὰ οὖρα, διὰ τὸ τὴν κύστιν αὐτὴν παθεῖν. ἐνίοις δ᾽ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ διαχωρήματα, τελέως ἐπεσχέθη, παθόντων δηλονότι τῶν ἐντέρων. ὥσπερ γὰρ οἱ μύες εἰς τὰς προαιρετικὰς ἐνεργείας βλάπτονται παθόντες, οὕτω τὰ ἔντερα, καὶ ἡ κύστις, εἰς τὰς φυσικάς. ἐπειδὴ περιστελλομένων αὐτῶν ἐκκρίνεται τὰ περιεχόμενα. καὶ διαφέρει πάμπολυ κατὰ τοῦτο τὰ φυσικὰ τῶν ψυχικῶν ὀργάνων. εἴγε τοῖς μὲν φυσικοῖς ἐδείχθη σύμφυτος ἡ τῆς ἐνεργείας δύναμις οὖσα. τοῖς ψυχικοῖς δὲ ἀπὸ τῆς ἀρχῆς ἐπιρρέειν, ὁμοίως ἡλιακῷ φωτί. καθάπερ οὖν ἡ μαγνῆτις λίθος, ἐν ἑαυτῇ δύναμιν ἔχει καθ᾽ ἣν ἕλκει τὸν σίδηρον, οὕτω καὶ τῶν φυσικῶν ὀργάνων ἕκαστον. ὥστε εἴπερ ἦν μόνιμος αὐτῶν ἡ οὐσία μηδὲν δεῖσθαι μήτ᾽ ἀρτηριῶν, μήτε φλεβῶν. ἐπεὶ δὲ καὶ τρέφεσθαι δεῖται, καὶ τὴν συμμετρίαν φυλάττειν τῆς ἐμφύτου θερμασίας, διὰ τοῦτ᾽ αὐτοῖς ἐδέησε φλεβῶν καὶ ἀρτηριῶν. οἱ δὲ μύες ἕνεκα μὲν τοῦ φυλάττεσθαι τὴν οὐσίαν αὐτῶν, ὡσαύτως δέονται φυσικοῖς τοῖς ὀργάνοις, ἀρτηριῶν καὶ φλεβῶν. ὅτι δ᾽ οὐκ ἔχουσι σύμφυτον αἰσθήσεώς τε καὶ κινήσεως ἀρχὴν, διὰ τοῦτο τῶν νεύρων ἀεὶ χρῄζουσι, χορηγούντων αὐτοῖς ταῦτα. καθάπερ ὁ ἥλιος τὴν αὐγὴν ἅπασιν, οἷς φωτίζει. καὶ διὰ τοῦτό γε μόνον τοῖς αἰσθανομένοις τε καὶ κινουμένοις μορίων συμβαίνει, μηδὲν ἐνίοτε βεβλαμμένοις αὐτοῖς, ὅμως ἀπολλύναι τὴν ἐνέργειαν. οὐ μὴν τοῖς φυσικοῖς ὀργάνοις τοῦτό γε συμπίπτειν εἴωθεν, ἀλλ᾽ ἀεὶ τῆς κατὰ τὴν ἐνέργειαν βλάβης, αὐτὰ πάσχειν πρότερα. καὶ μέν τοι καὶ τοῖς ψυχικοῖς ὀργάνοις ἅπασιν, ἡ φυσικὴ διοίκησις ὑπάρχει, καὶ χρῄζουσί γε καὶ αὐτὰ τῆς τῶν ἀρτηριῶν καὶ φλεβῶν ὑπηρεσίας φυλάττειν τὴν οὐσίαν αὐτῶν. καὶ χρὴ σκοπεῖσθαί σε μάλιστα καὶ διορίζεσθαι, τίνα μὲν, ὡς ψυχικοῖς, τίνα δὲ, ὡς φυσικοῖς, συμβαίνει τοῖς ὀργάνοις. οἷον ὅτι τὸ μὲν ἀλλοιοῦσθαι φέρε εἰπεῖν, ὑπὸ τῶν ὁμιλούντων αὐτοῖς ὡς φυσικοῖς. τὸ δ᾽ αἰσθάνεσθαι τῆς ἀλλοιώσεως ὡς ψυχικοῖς. οὕτω γοῦν καὶ κατὰ τοὺς ὀφθαλμοὺς γίνεται πολλάκις. οἱ γὰρ ἀπὸ τῆς γαστρὸς ἀτμοὶ πάντως ἀλλοιοῦσιν αὐτοὺς, οὐ μὴν αἰσθάνονταί γε τῆς οὕτω μικρᾶς ἀλλοιώσεως ἅπαντες. εἰ μὴ καὶ τὴν αἰσθητικὴν δύναμιν ἔχοιεν ἀκριβῆ. λέγω δὲ ἀκριβῆ, τὴν καὶ τὰ σμικρότατα βλέπουσαν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ Β'.

Προκειται μὲν ὡς Ἐρασίστρατος ἀεὶ παρακελεύεται γυμνάζειν τὸν λογισμὸν, εἴς τε τἄλλα τῆς τέχνης ἔργα, καὶ τὰ νῦν ἡμῖν προκείμενα περὶ τὰς διαγνώσεις τῶν πεπονθότων τόπων. εἰσὶ δὲ τρεῖς τρόποι γυμνασίου κατ᾽ αὐτά. πρῶτος μὲν ὁ καθ᾽ ἕκαστον τῶν μορίων τοῦ σώματος, ἃ τόπους ὀνομάζουσι. δεύτερος δὲ ὁ κατὰ τὰς αἰτίας τε καὶ διαθέσεις, καὶ τρίτος ὁ κατὰ τὰς τῶν συμπτωμάτων διαφοράς. ὁ μὲν οὖν κατὰ τοὺς τόπους ἐστὶ τοιόσδε τις. ἐγκεφάλου πάσχοντος ἴδια συμπτώματα ταυτί, γαστρὸς πασχούσης, ἴδια ταυτί. κώλου πάσχοντος ἴδια ταυτί. καθ᾽ ἕκαστον τε τῶν ἄλλων ὁμοίως. ὁ δ᾽ ἀπὸ τῶν διαθέσεών τε καὶ τῶν αἰτίων, φλεγμονῆς μὲν, ἴδια ταυτὶ ἐστὶ συμπτώματα, σκίρρου δὲ ταῦτα, καὶ ψύξεως μὲν ταῦτα. πλήθους δὲ ταῦτα. καὶ διαφθορᾶς ταυτί. κατὰ δὲ τὰ συμπτώματα, τὸ μὲν ἄλγημα τόδε τῶνδε τῶν διαθέσεων, ἐστὶ δηλωτικὸν, ἢ τῶνδε τῶν τόπων. ἡ δὲ βὴξ, τῶνδε. καὶ κατὰ τὸν αὐτὸν τρόπον ἔμετος, αἱμορραγία, διάρροια, σπασμὸς, ῥῖγος, φρίκη, παραφροσύνη. διοριζομένων γὰρ οὕτως ἀπ᾽ ἀλλήλων ἁπάντων αὐτῶν, εὐφωρότατον ἔσται τὸ καλῶς καὶ τὸ κακῶς λεγομένων. ὅτι δ᾽ οὕτως ἔχει ταῦτα, μαθήσῃ σαφῶς ἐφ᾽ ἑκάστου σκοπούμενος. οἷον εὐθέως. ἐπειδὴ πλεονάζει κατὰ τοῦτο τὸ γένος ὁ Ἀρχιγένης, ἐκ τῶν τῶν ἀλγημάτων διαφορῶν ἡγούμενος δηλοῦσθαι τὰ πεπονθότα μόρια, σκεπτέον ὑπὲρ αὐτῶν ἀκριβῶς. τὸν γοῦν ναρκώδη πόνον, ἐπὶ νεύροις γίνεσθαι φησὶ ἁμαρτάνων προφανῶς. ἡ γάρ τοι νάρκη διὰ ψυχρὰν γίνεται διάθεσιν, οὐκ ἐν νεύροις μόνον, ἀλλὰ καὶ φλεψὶ καὶ ἀρτηρίαις, καὶ σαρξὶ, ὑμέσι τε, καὶ χιτῶσι, καὶ δέρματι. εἰ δ᾽ ὅτι πάντα ταῦτα, διὰ νεύρων ἔχει τὴν αἴσθησιν καὶ εἰς νεῦρα τὴν διάθεσιν ἀναφέρει. τί οὐχὶ καὶ τὰς ἄλλας ἁπάσας διαφορὰς τῶν ἀλγημάτων ἰδίας τῶν νεύρων εἶναι φησιν, ὁ γάρ τοι πόνος αἴσθησις ἐστὶν ἀνιαρὰ, καθάπερ ἡ ἡδονὴ προσηνὴς αἴσθησις. οὐκ ἂν ὁ ναρκώδης μόνος ἐν νεύροις ἔχει τὴν γένεσιν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἕκαστος, οὓς αὐτὸς ἔγραψεν ὁ Ἀρχιγένης. ἐὰν δ᾽ ἀκριβέστερον ἐπισκοπῇς οὐδὲ διαφορά τις ἐν πόνοις, ὁ ναρκώδης ἐστίν. ὥσπερ οὐδ᾽ ἐν ἕλκεσι τὸ φλεγμαῖνον. ἀλλὰ μᾶλλον δυοῖν σύνοδος πραγμάτοιν, ὡς ἐπὶ τούτων ἕλκους τε καὶ φλεγμονῆς ἐστὶν, οὕτως ἐπ᾽ ἐκείνων, πόνου τε καὶ νάρκης. ἡ γάρ τοι νάρκη, ψύξις τίς ἐστιν οὐκ ἀγεννής. καὶ διὰ τοῦτο δυσαισθησίαν τε καὶ δυσκινησίαν ἐπιφέρει τοῖς οὕτω διατεθεῖσι σώμασιν. ὥσπερ γε καὶ τὴν τελείαν ἀναισθησίαν τε καὶ ἀκινησίαν, ἡ τελεία κατάψυξις. ὅτι δὲ διαθέσεως ὄνομα ἐστὶν ἡ νάρκη, καὶ οὐκ αἰσθήσεως, ἢ πόνου, δεδήλωται καὶ πρὸς Ἱπποκράτους εἰπόντος ὧδε. νάρκη δὲ μετρίη, ὀδύνης λυτική. γίνεται γὰρ ἡ νάρκη, καὶ διὰ ψύξιν, ὡς ὁρᾶται φανερῶς, ἐπί τε τῶν ἐν χειμῶνι διὰ κρύους ὁδοιπορησάντων, ἐπί τε τῶν ψυχόντων φαρμάκων, οἷον ἄν τις ἐπὶ πλέον ἔξωθεν χρήσηται ναρκῶδες ἀποτελεῖται τὸ μόριον. ὥσπερ γε καὶ παντελῶς ἀναίσθητον ἐν ταῖς ἰσχυροτάταις καταψύξεσιν. οὐκ ἐκ φαρμάκων μόνον, ἀλλὰ κἀκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος γινομέναις. οἶδα γοῦν τινῶν ὅλους τοὺς πόδας οὕτως ψυγέντας, ὡς εἰς ἀναισθησίαν μὲν πρῶτον ἀφικέσθαι, νεκρωθέντας δὲ, ἐν ταῖς ἑξῆς ἡμέραις ἀποπεσεῖν. Καθάπερ οὖν καὶ ἡ παντελὴς ψύξις ἀναισθησίαν τε καὶ ἀκινησίαν ἐπιφέρει τελείαν οὕτως καὶ ἡ μετριωτέρα δυσαισθησίαν

τε, καὶ δυσκινησίαν. ὀνομάζεται δ' ὡς ἔφην ἡ τοιαύτη ψύξις, νάρκη. καὶ τοίνυν τὸ ναρκῶδες ἄλγημα, διάθεσιν ἐργάζεται ψυχράν τε ἅμα καὶ ὀδυνηράν. δηλούσης τῆς λέξεως, οὐκ ὀδύνης διαφοράν, ὡς ἔφην, ἀλλ' ὀδύνην ἅμα, καὶ ἤτοι διάθεσιν ψυχράν, ἢ τὴν ὑπ' αὐτῆς γινομένην ἐν τῷ μορίῳ δυσαισθησίαν τε καὶ δυσκινησίαν. ἴσμεν δ' ὅτι καὶ τοῖς θλιφθεῖσι μορίοις ἰσχυρῶς, ἐγγίνεται νάρκη, καὶ τοῖς ἁψαμένοις τοῦ ζώου τῆς νάρκης ἔτι ζώσης. καὶ ὅσοις γε κατά τι τῶν κώλων ἐγγένηται νάρκη. τῶν τε ψαυόντων τὴν ἀμυδρὰν ἔχουσι τὴν αἴσθησιν, ἀδυνατοῦσί τε κινεῖσθαι, καὶ εἰ βιάζοιντο τότε, ὀδυνῶνται. χωρὶς δὲ τοῦ πρὸς τὰς κινήσεις ἄρχεσθαι, τοῦ μὲν πάθους τῆς νάρκης αἰσθάνονται σαφῶς, οὐ μὴν ὀδυνῶνταί γε. κακῶς οὖν ὁ Ἀρχιγένης νεύρων ἴδιον εἶναί φησι τὸ ναρκῶδες ἄλγημα, διαθέσεως γάρ ἐστιν οὐ τόπου πεπονθότος ἡ νάρκη γνώρισμα. καὶ τοίνυν μετ' ὀλίγον πάλιν αὐτὸς ὁ Ἀρχιγένης ἰδίαν εἶναι μυῶν αὐτὴν φησίν. ἔχει δ' ἑκατέρα τῶν λέξεων οὕτως. ἡ μὲν προτέρα. τὰ δὲ νεῦρα διατείνεταί τε καὶ σκληρύνεται συστρεφόμενα. καὶ ταῦτα μὲν ναρκώδεις ἐπιφέρει τοὺς πόνους καὶ σκληρῶς διατείνοντας. ἡ δ' ὀλίγον ὕστερον αὐτῆς εἰρημένη ῥῆσις ἐστὶν ἥδε. μύες δὲ σαρκός τε καὶ νεύρου μῖγμα τῶν ἰδιωμάτων, ἀμελεῖ δὲ καὶ ἀρτηρίας, ἐν τοῖς πόνοις ἀναφέρουσι, συριγγῶντες ὡς ἂν εἴποι τις καὶ μετ' εὐρυχωρίας διατεινόμενοι καὶ ναρκῶδες σφύζοντες. τούτων τῶν ῥήσεων ἐν μὲν τῇ προτέρᾳ, τὰ νεῦρα ναρκώδεις ἐπιφέρειν τοὺς πόνους φησίν, ἐν δὲ τῇ δευτέρᾳ, τοὺς μῦς ναρκῶδες σφύζειν, οὐ τοῖς πάθεσιν ἀναφέρων τὸ ναρκῶδες, ἀλλὰ τοῖς μορίοις. ἔστι δ' ὡς εἶπον οὐ μορίου τινὸς ἴδιον ἡ νάρκη πάθος, ἀλλὰ διαθέσεως, ἅπασι μὲν ἐγγινομένης τοῖς σώμασιν, οὐκ ἐν ἅπασι δ' αἰσθητῶς φαινομένης, ἀλλ' ἐκείνοις μόνοις ὅσα πέφυκεν αἰσθάνεσθαι τῶν ἐν αὐτοῖς παθῶν, καὶ κινεῖσθαι κατὰ προαίρεσιν. ἀλλὰ καὶ πρὸς τὸ φαινόμενον ἐναργῶς ἐπὶ τῶν μυῶν, ὁ λόγος αὐτοῦ μάχεται μετὰ τοῦ καὶ ἀδιορίστως εἰρῆσθαι, τάχα δὲ καὶ ἀγνοεῖ ὡς οὐδαμόθι τοῦ σώματος αὐτὴ καθ' ἑαυτὴν ἐστὶ σάρξ. ἀλλὰ τῶν μυῶν τὸ μὲν νευρῶδες, ἔν τε ταῖς πλείσταις τῶν κεφαλῶν, ἢ τελευτῶν ἐστιν, ἐνθάδε καὶ οἱ τένοντες. ὅσον δὲ ἐν τῷ μεταξὺ πᾶν, ἡ πρὸς ἁπάντων ἀνθρώπων ὀνομαζομένη σὰρξ ἐστίν. οὐδενὸς εἰδότος ὅτι μὴ ἀκριβῶς ἀνατεμόντων ὡς οὐκ ἐστὶ μόνη σάρξ, ἀλλὰ μετὰ τινῶν ἰνῶν λεπτοτάτων, εἰς ἃς τὸ νευρῶδες ἐλύθη γένος. ὀνομάζω δὲ γένος νευρῶδες, εἰς μίαν ἄγων προσηγορίαν τούς τε συνδέσμους καὶ τοὺς τένοντας. τούτων γὰρ διασπειρομένων τῇ σαρκί, τὴν τῶν μυῶν οὐσίαν ἐδείξαμεν συνισταμένην. ἕνεκα δὲ τοῦ διαμένειν αὐτὴν ἐδεήθη ἀρτηριῶν τε καὶ φλεβῶν. καὶ τοίνυν καὶ τὸ σφύζειν ἀνωδύνως, ὑπάρχει μόναις ταῖς ἀρτηρίαις, ὑγιαίνοντος τοῦ ζώου. φλεγμονῆς δὲ μεγάλης γενομένης, ἢ ἐρυσιπέλατος, ἢ ἀποστήματος αἰσθανόμεθα σὺν ὀδύνῃ τοῦ σφυγμοῦ τῶν ἀρτηριῶν, ἔμπροσθεν οὐδ' ὑγιαίνοντος τὸ σῶμα μὴ ὅτι μετ' ὀδύνης, ἀλλὰ μηδὲ χωρὶς ταύτης, αἰσθανόμενοι. ἔστι γοῦν δὴ τὸ συμβαῖνον τοιόνδε. τὰ φλεγμαίνοντα μόρια κατὰ δύο τούτους καιροὺς ὀδυνᾶται μεγάλως, ὅταν τε πρὸς τὰς κινήσεις ἄγηται, καὶ ὅταν θλίβηται πρός τινων. ἐπειδὰν οὖν ὅλως ὁ μῦς φλεγμαίνῃ, κατὰ διττὸν τρόπον, ὀδύνης αἰσθανόμεθα, διαστελλομένων τῶν ἀρτηριῶν, ὅτι τε κινοῦνται, καὶ ὅτι θλίβουσί τε ἅμα τὴν περικειμένην σάρκα, καὶ θλίβονται πρὸς αὐτῆς, οὗτος μὲν ὁ τρόπος ἐστί, τοῦ κατὰ φλεγμαίνοντα μόρια σφυγμοῦ, καὶ τοῦτον μόνον ἐκάλουν οἱ παλαιότατοι σφυγμόν. ὕστερον δὲ καὶ πᾶσαν αἰσθητὴν κίνησιν ἀρτηριῶν ὡσαύτως ὠνόμασαν. οὐ μὴν ἀχώριστόν γε μυῶν παθόντων, ἢ ὅλως ἴδιον ἐστὶ τὸ ναρκῶδες σφύζειν, ὅτι μηδὲ τὸ σφύζειν ὅλως. τοῦ σφυγμοῦ δηλοῦντος ὡς εἴρηται τὸ μετ' ὀδύνης. ἔν τε γὰρ τοῖς σκίρροις καὶ τοῖς ἰδίως οἰδήμασι προσαγορευομένοις, ἔν τε ταῖς χωρὶς ὄγκου δυσκρασίαις, ἀνώδυνος ἐστὶν ἡ τῶν ἀρτηριῶν κίνησις, ἔν τε τοῖς φλεγμονώδεσι πάθεσιν, οὐκ ἀεὶ μετ' ὀδύνης, ἀλλ' ὅταν μείζω γένηται. καὶ μὴν καὶ χωρὶς μυὸς αὐτὴ καθ' ἑαυτὴν ἡ ἀρτηρία φλεγμονῶδες πάθος παθοῦσα, μετ' ὀδύνης σφύζει. λέγω δὲ δηλονότι φλεγμονῶδες πάθος, ἵνα συνεπινοῆται τῇ φλεγμονῇ, τά τ' ἐρυσιπέλατα, καὶ τὰ ἀποστήματα. τῶν οὖν τοιούτων παθῶν μειζόνων γενομένων σύμπτωμα ἐστὶ τὸ σφύζειν. εἰ δέ γε ναρκώδης ποτ' ἐπ' αὐτῶν ὁ σφυγμὸς φαίνοιτο γινόμενος, αὐτῷ δηλονότι τῷ κάμνοντι, τούτῳ γὰρ δὴ καὶ τὸ τῆς νάρκης πάθος ἐστὶν αἰσθητόν, ἴσμεν εἶναι τηνικαῦτα, διάθεσιν ἐν τοῖς κατὰ τὸν μῦν νεύροις, ἐπὶ παράλυσιν αὐτῶν ἀφικνουμένων. ἡ μὲν γὰρ ναρκώδης διάθεσις ἐν τῷ μεταξὺ παραλύσεώς τ' ἐστὶ καὶ τῆς ὑγιεινῆς καταστάσεως. ὁ δὲ σὺν ἀλγήματι σφυγμός, ἐν φλεγμονώδεσι πάθεσιν ἀξιολόγοις ἐπ' αὐτῶν μὲν ἀεὶ τῶν ἀρτηριῶν, ἤδη δὲ καὶ τῶν περιεχόντων αὐτὰς σωμάτων, ὅταν ὑπὸ στενοχωρίας θλίβωσιν αὐτά, καὶ οἷον πλήττωσι διαστελλόμεναι, τοῦ πάσχοντος μορίου, αἰσθάνεσθαι πεφυκότος. οὔτ' οὖν ἐν περιπνευμονίᾳ γενήσεται πόνος σφυγματώδης, οὔτ' ἐν πλευρίτιδι, διὰ τὴν τῶν μορίων φύσιν. ὁ μὲν γὰρ πνεύμων ἀναίσθητος, ἡ πλευρῖτις δὲ νόσημα ἐστὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ὃς ἐν οἷς μὲν ὁμιλεῖ τοῖς ὀστοῖς ἐξ ἀνάγκης θλίβεται. τὸ μεταξὺ δὲ πᾶν ἄθλιπτόν τ' ἐστὶν αὐτοῦ, καὶ μόνον τῷ λόγῳ τῆς φλεγμονῆς ὀδυνώμενον. ἐν τούτῳ τῷ χωρίῳ καὶ ἀρτηρίαι εἰσὶν αἱ κατὰ τὰ μεσοπλεύρια καλούμενα τεταγμέναι, κατά τε τὰ παχέα καὶ χαλαρὰ μέρη τῶν πλευρῶν. ἐν βάθει τε κείμεναι μᾶλλον, ὡς μὴ ψαύειν τοῦ τὰς πλευρὰς ὑπεζωκότος χιτῶνος. οὔτ' οὖν μετ' ὀδύνης, οὔθ' ὅλως αἰσθητή, τῷ κάμνοντι τῶν ἀρτηριῶν τούτων ἐν ταῖς πλευρίτισιν ἡ κίνησις ἔσται. φλεγμαινόντων μέντοι ποτὲ τῶν ἐν τοῖς μεσοπλευρίοις μυῶν, ὀδυνηρὰν ἀνάγκη γενέσθαι τὴν διαστολὴν τῶν ἀρτηριῶν, καὶ διὰ τοῦτο κατάφωρον αὐτῷ τῷ κάμνοντι. καὶ κατὰ τὸ μέγεθος τὸ τῆς φλεγμονῆς, αἰσθήσεται τοῦ κατ' αὐτὴν σφυγμοῦ. καὶ διὰ τοῦτό γε ἐπὶ τοῖς σφοδροτάτοις σφυγμοῖς, ἐκπυΐσκεται τὰ φλεγμαίνοντα μόρια, μεγάλαις φλεγμοναῖς ἑπομένης τῆς ἐκπυήσεως. ἐξ οὖν τῶν εἰρημένων δῆλον ἤδη. ὡς ὁ σφυγμώδης τε καὶ σφυγματώδης ὀνομαζόμενος ὑπὸ τῶν ἰατρῶν πόνος, ἐν πάθεσί τε γίγνεται φλεγμονώδεσι, καὶ σώμασιν αἰσθητικοῖς. κατὰ μὲν αὐτοπάθειαν, ἢ ἰδιοπάθειαν, ἢ πρωτοπάθειαν ἐν ἀρτηρίαις, ὀνομαζέτω γὰρ ἕκαστος ὡς ἂν ἐθέλῃ. κατὰ δὲ τὴν ἐκ τῆς θλίψεως τῶν ψαυόντων κοινωνίαν, ἐν τοῖς ἄλλοις ἅπασιν αἰσθητικοῖς. οὔκουν οὐδ' ἐν ἥπατι γένοιτ' ἄν ποτε τοιοῦτος σφυγμός. οὐδ' ἐν νεφροῖς. ὅτι μηδ' ἐν ἐκείνοις, εἰς ὅλα διασπείρεται τὰ σπλάγχνα τὰ νεῦρα, καθ' ὅτι μὴ δ' ἐν πνεύμονι. καὶ διὰ τοῦτο βάρους αἴσθησις, ἐπ' αὐτῶν γίνεται περιπεσόντων νοσήμασι τοῦ γένους τῶν παρὰ φύσιν ὄγκων. ἐφ' ἑκάστου γάρ τοι τῶν εἰρημένων σπλάγχνων, ὁ περικείμενος ὑμὴν εἰς ὃν διασπείρεται

περιέρεται τὸ νεῦρον αἰσθητικὸς ὑπάρχει. διατεινόμενος οὖν τοῦ περὶ τὸ σπλάγχνον ὄγκου, διὰ τῆς ὀδύνης ἔδειξε, τὴν προσηγορίαν προσεπεσπάσατο. καὶ διὰ τοῦθ' ἱπποκράτης μὲν πρῶτος, ἔγραψεν καὶ εἰς νεφρὸν ὀδύνη βαρεῖα. μετ' αὐτὸν τ' οὐκ ὀλίγοι τῶν ἀρίστων ἰατρῶν, οὐκ ὀδύνης ὀξείας, ἀλλὰ βάρους αἴσθησιν ἐν ταῖς τῶν εἰρημένων σπλάγχνων φλεγμοναῖς ἔφασαν γίνεσθαι. καὶ μὴν καὶ τοὺς ὑμένας ὡς ἂν οὐκ ἔχοντας ἐν ἑαυτοῖς ἀρτηρίας, εἰκὸς δήπου μὴ σφύζειν, ὥσπερ οὐδὲ τὸ δέρμα, κἂν ἰσχυρῶς φλεγμαίνῃ. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὐδὲ τοὺς ἀδένας, ὅσοι οὐ μετέχουσιν ἀρτηριῶν, ἀλλὰ καθ' ἕνα τρόπον ἀλγήσει τὰ τοιαῦτα μόρια φλεγμαίνοντα, τὸν τῆς τάσεως. ἀχώριστος γὰρ οὗτος ἐστὶ τῶν αἰσθητικῶν σωμάτων ἁπάντων ἐν ταῖς τοιαύταις διαθέσεσιν. οἱ δ' ἄλλοι πόνοι τισὶ μὲν ὑπάρχουσι μορίοις, τισὶ δ' οὔ. μεμνῆσθαι γοῦν αὐτῶν ἀεὶ χρὴ καὶ γιγνώσκοντα τὴν φύσιν ἑκάστου τῶν τόπων, ἐπισκοπεῖσθαι τε τίνας μὲν ἐγχωρεῖ δέξασθαι τρόπους ὀδύνης, τίνας δ' οὔ. λέγομεν οὖν αὖθις αὐτοὺς ἀναλαβόντες.

εἷς μὲν τρόπος ὀδύνης ἐστὶν, ὁ κατὰ τὴν ἀνώμαλον δυσκρασίαν ἐν αὐτῷ τῷ πάσχοντι μορίῳ συνιστάμενος. εἰ καὶ μηδενὸς ψαύοι τῶν ἔξωθεν, ἕτερος δ', ὁ κατὰ τὴν τάσιν οὐκ ἔτ' ἴδιος μόνου τοῦ πάσχοντος, ἀλλ' ἔστιν ὅτε καὶ διὰ τὰ πλησιάζοντα γινόμενος. ἄλλος δ' ἐκ τῶν ψαυόντων μόνον ὁρμώμενος εἰς τὸ πάσχον. ὅταν ἤτοι θλιβόμενον, ἢ θλώμενον, ἢ τιτρωσκόμενον ὑπό τινος τῶν προσπιπτόντων ὀδυνᾶται. ὅγε μὴν ἐκ τοῦ κινεῖσθαι τρόπος τῆς ὀδύνης, διὰ μέσου τινὸς ἑτέρου, τὴν ὀδύνην ἐργάζεται. καθάπερ ἐπὶ τῆς ἀρτηρίας ὀλίγῳ πρόσθεν ἐλέγετο. καὶ γὰρ τείνεται τὸ κινούμενον ὑπ' αὐτοῦ. καὶ θλίβεταί ποτε καὶ θλᾶταί τε καὶ τιτρώσκεται προσπίπτον τοῖς πλησιάζουσιν. εἰ δὲ μηδενὶ προσπίπτοι τῷ τείνεσθαι μόνον τὴν ὀδύνην ἐξ ἀνάγκης ἔχει. ὡς τάγ' ὑφ' ἑτέρων ὅλα κινούμενα, μηδενὸς ἔξωθεν αὐτῶν ἐπιψαύοντος, οὐδεμίαν ὀδύνην ἐπικτᾶται παρὰ τὴν ἀναγκαίαν. πολλάκις δ' ἐν ἑτέροις εἰρηκὼς, οἶδα δύο τοὺς πρώτους τρόπους ὀδύνης, ἀθρόαν ἀλλοίωσιν κράσεως, καὶ συνεχείας λύσιν, οἷς οὐ μάχεται τὰ νῦν εἰρημένα. καὶ γὰρ τὸ τεινόμενον, καὶ τὸ θλιβόμενον, καὶ τὸ θλώμενον, καὶ τὸ τιτρωσκόμενον ὀδυνᾶται λυομένης τῆς συνεχείας αὐτοῦ. οὐδὲ γὰρ ὅταν ὑπὸ βελόνης τιτρώσκηταί τις, ἕτερον πάθος πάσχει, τοῦ γινομένου κατὰ τὴν ὑπὸ δριμέος χυμοῦ διάβρωσιν. ἐν ἑκατέρῳ γέ τοι τῷ πάθει, διαφθείρεται τὸ συνεχές. οὐχ ὡσαύτως οὖν ὅτε δακνώδης χυμὸς ὀδύνην ἐργάζεται καὶ ὁ πολύς. ἀλλ' ὁ μὲν, τῷ διαβιβρώσκειν. ὁ δὲ, τῷ διατείνειν, ὥσπερ καὶ τὸ φυσῶδες πνεῦμα, κἂν ταῖς ἰσχουρίαις τὸ οὖρον, ἐν ἐρυσιπέλασι τε καὶ φλεγμοναῖς καὶ ὅλως τοῖς φλεγμονώδεσι πάθεσιν, οὐ τῷ τείνεσθαι μόνον ὑπὸ τῆς πληρώσεως πονοῦσιν, ἀλλὰ καὶ τῇ δυσκρασίᾳ, οὐ σμικρὰν οὐδ' αὐτῆς δύναμιν ἐχούσης πρὸς ὀδύνης γένεσιν. ὡς δηλῶσιν οἱ ἐξ ὁδοιπορίας ἐν χειμῶνι σφοδρῷ θάλπειν ἀθρόως παρὰ πυρὶ τὰς χεῖρας ἐπιχειρήσαντες. ἀφορήτου γάρ τινος ὀδύνης αἰσθάνονται, καὶ μάλιστα κατὰ τὰς ῥίζας τῶν ὀνύχων. οἶδα δὲ καὶ ἐμαυτῷ ποτὲ συμβᾶσαν ὀδύνην σφοδροτάτην ὡς τρυπάνῳ δοκεῖν διατιτρᾶσθαι κατὰ τὸ βάθος τῆς κοιλίας, ἐν ἐκείνῳ μάλιστα τῷ χωρίῳ, καθ' ὃ τοὺς ἀπὸ τῶν νεφρῶν, ἐπὶ τὴν κύστιν οὐρητῆρας ἐκτεταμένους ἴσμεν. ἀπ' ἐνεθέντος πηγανίου. ἐλαίου μικρὸν ὕστερον ἀποκρῖναι προθυμηθεὶς αὐτὸ, συνεξέκρινα μετὰ σφοδροτάτης ὀδύνης τὸν ὑαλώδη προσαγορευόμενον ὑπὸ πραξαγόρου χυμὸν, ὃς ὑάλῳ κεχυμένῃ προσέοικεν τήν τε χροιὰν καὶ τὴν σύστασιν. ἐθεασάμην δ' αὐτὸ τοῦτο καὶ ἄλλοις συμβάν. ὅτι δὲ ψυχρότατος ὁ χυμὸς οὗτός ἐστιν, εἴρηται μὲν δήπου καὶ πραξαγόρᾳ τῷ καὶ τοὔνομα κατ' αὐτοῦ θεμένῳ τὸ, ὑαλῶδες. φαίνεται δὲ σαφῶς καὶ κατὰ τὴν τῆς ἀφῆς αἴσθησιν αὐτῶν τε τῶν ἀποκρινάντων αὐτὸν, καὶ εἴ τις ἅψασθαι βουληθείη παραχρῆμα. καὶ θαυμάσαι γ' ἐστὶν πῶς ψυχρὸς ὑποπίπτει, μηδὲν ὑπὸ τῆς κατὰ τὴν ἔκπτωσιν βίας θερμαινόμενος. ἐγὼ μὲν οὖν ᾠήθην, λίθον ἐκφλεῖσθαι κατὰ τὸν ἕτερον τῶν οὐρητήρων. οὕτω μοι τὸ τῆς ὀδύνης εἶδος αὐτοῦ, τῷ τιτρᾶσθαι παραπλήσιον ἐφαίνετο. δῆλον δ' ἐγένετο μετὰ τὴν ἔκκρισιν τοῦ χυμοῦ, παυσαμένης τῆς ὀδύνης, ὡς οὔτε λίθος ἦν αἴτιος, οὔθ' ὁ πάσχων τόπος οὐρητὴρ, ἢ νεφρός. ἀλλά τι τῶν ἐντέρων, καὶ μᾶλλον ἴσως τῶν παχέων. οὐ γὰρ ὡς διὰ λεπτοῦ σώματος, ἡ διέξοδος αὐτοῦ βραχυχρόνιος ἦν, ἀλλ' ὡς ἐκ βάθους τινὸς φερομένου διὰ παχυτέρου τινὸς, ἢ κατὰ τὸν χιτῶνα τῶν λεπτῶν ἐντέρων. ταυτή μοι δοκοῦσιν καὶ οἱ ἰατροὶ σχεδὸν ἅπαντες ὀνομάσαι τὰ τοιαῦτα τῶν ἀλγημάτων κωλικά. καίτοι γ' ὅσον ἐπὶ τῷ χωρίῳ καθ' ὃ τῆς ὀδύνης αἰσθάνονται μηδὲν μᾶλλον ἐνδεικνυμένου τὸ κῶλον, ἤ τι τῶν λεπτῶν ἐντέρων ὀδυνᾶσθαι. τὰ μὲν δὴ τοιαῦτα τῶν ἀλγημάτων, ὡς ὑπὸ τρυπάνου φαίνεται γινόμενα, τῶν καμνόντων αὐτῶν οὕτως ἑρμηνευόντων. ἕτερα δ' ὡς σκόλοπος ἐμπεπαρμένου φαίνεται, παχὺ μὲν ἐνδεικνύμενα καὶ ταῦτα τὸ πάσχον εἶναι σῶμα. διαφέροντα δ' ἀλλήλων, ἤτοι κατὰ τὸ πλῆθος, ἢ τὸ πάχος, ἢ τὴν κίνησιν, ἢ τὴν δύναμιν, τῆς ἐργαζομένης τὴν ὀδύνην οὐσίας, εἴτε χυμὸς, εἴτε πνεῦμα φυσῶδες εἴη. τὸ γὰρ ἔλαττον, ἧττον ὀδυνήσει τοῦ πλέονος, ὥσπερ γε καὶ τὸ λεπτότερον, τοῦ παχυτέρου, καὶ τὸ μένον, τοῦ κινουμένου, καὶ τὸ τοῦ βιαίου τῆς ψύξεως ἀπολειπόμενον. ἀλλά τό γε τῆς ὀδύνης εἶδος ἐντέρου παχέος ἐστὶν, ἄνθ' ὡς ὑπὸ σκόλοπος ἐμπεπαρμένου τις, ἄνθ' ὡς ὑπὸ τρυπάνου διατιτρᾶσθαι νομίζει. καὶ διακρῖναί γε ταῦτα τῆς ἀπὸ λίθου σφηνώσεως, οὐκ ἔστι, πρὶν περιμεῖναί τι τῶν ἐφεξῆς. οὐ μὴν οὐδὲ βλαπτόμεθα πρὸς τὸ πραῧναι τὴν ὀδύνην ἐκ τῆς τοιαύτης ἀγνοίας. κοινὰ γὰρ ἅπαντα τὰ τῆς ὀδύνης ἑκατέρας ἐστὶ βοηθήματα. θάλψεις μὲν ἔξωθέν τε καὶ διὰ τῶν ἐνιεμένων τὸ πρῶτον. ἐπὶ ταύτους δὲ, εἰ μὴ πραΰνοιτο καὶ τῶν ἀνωδύνων τι καλουμένων φαρμάκων, ὁποῖόν ἐστιν, τὸ τοῦ φίλωνος. ἀλλ' εἰ μὲν λίθος ὁ τὴν ὀδύνην ἐργαζόμενος εἴη, ποτὲ μὲν αὐτὸς μόνος ἐκκριθεὶς ὀφθήσεται. ποτὲ δὲ καὶ μεθ' αἵματος ἅμ' αὐτῷ συνεξερχθέντος, ξυσθέντων δηλονότι τῶν σωμάτων ἃ διεξῆλθεν, καὶ μᾶλλον εἰ τραχὺς ἢ ὀξὺς ὁ λίθος εἴη. καὶ μετὰ ταῦθ' ὕστερον ἐπισκεπτομένῳ σοι τὰ οὖρα, ψαμμώδεις ὑποστάσεις εὑρεθήσονται. τοῦ κώλου δ' εἴπερ εἴη τὸ πάθος, οὔτε ψάμμος, οὔτε λίθος, οὔθ' αἷμα χυμός δέ τις οἷον εἶπον, ἤ τ' ἄλλα γε τὰ κατ' ἔντερον πάσχον ἐπιφαινόμενα συμπτώματα. παραχρῆμα μὲν ἐμφύσησίς τις, καὶ διάτασις, ἢ πάνυ πολλαὶ φῦσαι καὶ μᾶλλον ἐξ ὑστέρου, καὶ στρόφοι τινὲς, καὶ διαχωρήματα φυσώδη. γνωρίσεις δ' αὐτὰ τῷ καθ' ὕδατος ἐποχεῖσθαι προσεοικότα βολβίτοις. ἀλλὰ καὶ τὰ τῆς ὀρέξεώς τε καὶ πέψεως, χείρω προγεγονότα τε καὶ γινόμενα καὶ συνεπόμενα, κατὰ τὴν τῆς συνεχείας κοινωνίαν τῷ

πρωτοπαθοῦντι συμπαθούσης τῆς γαστρός. οὐχ ἥκιστα δὲ καὶ προηγεῖται τῶν κωλικῶν ὀνομαζομένων παθῶν, ἀπεψία καὶ πνευμάτωσις, ἔμετός τε καὶ ναυτίαι μέχρι πολλοῦ παραμένουσαι κεναί, καὶ δήξεις τῶν καθ' ὑποχόνδριον, ἀσιτία τε καὶ ἀχρεία πολλή. τὰ μὲν οὖν σφοδρότατα τῶν τοιούτων ἀλγημάτων, εἰκὸς εἶναι κατὰ τὰ παχύτερα τῶν ἐντέρων. ὅσα δ' ἐπιεικέστερα δυοῖν θάτερον ἢ ἐν τοῖς αὐτοῖς μένειν, ἀλλὰ διὰ μετριωτέραν αἰτίαν, ἢ ἐν τοῖς λεπτοῖς ἐντέροις συνίστασθαι. τὰ δὲ μετὰ δήξεως ἐπὶ χυμῷ δακνώδει γίνεται διαβιβρώσκοντι τὸ ἔντερον. ἀεὶ γοῦν δυσεντερίας προηγεῖται τὰ τοιαῦτα, τῆς γε μεθ' ἑλκώσεως ἐντέρων γινομένης, ἣν καὶ μόνην ὀνομάζουσι δυσεντερίαν, οἵ τε νεώτεροι πάντες ἰατροὶ καὶ τῶν παλαιῶν οὐκ ὀλίγοι. καλοῦσι γὰρ οἱ μὲν τινὲς αὐτῶν οὐ μόνον ταύτην δυσεντερίαν, ἀλλὰ καὶ τὴν ἄλλην τὴν αἱματώδη προσαγορευομένην διὰ τὸ τῶν ἐκκρίσεων εἶδος, ἐνίοτε μὲν αἵματος ἀκριβοῦς καὶ πολλοῦ διαχωρουμένου. ποτὲ δ' ὥσπερ τινὸς ἰλύος αὐτοῦ, καὶ τρυγὸς οὐκ ὀλίγου τὸ πλῆθος οὐδὲ τούτου. αὕτη μὲν οὖν σύμπτωμα ἐστὶν ἥπατος πάσχοντος. ἡ δ' αἵματος ἀκριβοῦς καὶ πολλοῦ τὸ σύμπαν σῶμα κενοῖ πολλάκις, οὕτως ὡς αἱμοῤῥοΐς, ἢ κάθαρσις γυναικεία. περὶ μὲν δὴ τούτων, καὶ αὖθις ἐγχωρεῖ διελθεῖν. ἐπὶ δὲ τὰ τῶν ἀλγημάτων εἴδη πάλιν ἐπάνειμι, ἅπερ γὰρ μάλιστα προὐθέμην ἐν τῷδε τῷ γράμματι διασκέψασθαι ἀρξόμεθ' οὖν αὖθις ἀπὸ τοῦ νυγματώδους ὀνομαζομένου, συνισταμένου τε περὶ τοὺς ὑμένας μάλιστα. τῆς μὲν οἷον ῥίζης τοῦ πάθους κατὰ τὸ νύττεσθαι δοκοῦν ἐρηρεισμένης, ἐκτεινομένης δ' ἐπὶ πλέον ἐν κύκλῳ περὶ τὸν τῆς ὀδύνης. οὕτω τοι καὶ τὸ τῆς πλευρίτιδος ἄλγημα νυγματῶδες εἶναι σχεδὸν ἅπασι τοῖς ἰατροῖς ὡμολόγηται, καθάπερ τὸ τῆς φλεγμονῆς σφυγματῶδες. οὐ μὴν αἱμωδίᾳ τι προσεοικὸς ὁ πόνος ἔχει τῶν ὑμενωδῶν σωμάτων ὡς Ἀρχιγένης ἔγραψεν. ἴσμεν γὰρ ὅτι κατὰ τὸ στόμα μόνον, οὐδὲ τὸ σύμπαν, ἀλλὰ τοὺς ὀδόντας τε καὶ τὰ οὖλα γίνεταί τι πάθος, ὃ καλοῦμεν αἱμωδίαν. ὃ μηδὲ ἑρμηνεῦσαι λόγῳ δυνατόν ἐστι, ἀλλ' ἐκ τοῦ προηγήσασθαι μὲν ἐδωδὴν ἐδεσμάτων αὐστηρῶν τε καὶ ὀξέων, ἀκολουθῆσαι δὲ τι πάθος ἐν τοῖς ὀδοῦσι καὶ τοῖς οὔλοις, ἐπιστεύσαμεν ἅπασι γίνεσθαι † ταυτό. ὁρῶντες ἐν τοῖς πλείστοις ὁμοιοπαθεῖς ἡμᾶς ὑπάρχοντας, ὡς ἀπὸ τῶν αὐτῶν αἰτίων πάσχειν τὰ αὐτά. τὸν μὲν οὖν τοιοῦτον πόνον, ἐν τῷ στόματι μόνον ἴσμεν γινόμενον. ἄλλους δὲ τινὰς ὧν Ἀρχιγένης ἔγραψεν μὴ ὅτι γνωρίσαι γινομένους δυνατὸν, ἀλλὰ μὴ δὲ νοῆσαι λεγομένους. οἷον τὸν ἅλιμον, ἢ τὸν αὐστηρὸν, ἢ τὸν γλυκὺν, ἢ τὸν ἰσχνῶς ὀξὺν, ἢ τὸν ἀγκύλον, ἢ τὸν γλίσχρον, ἢ ἀτειρόν, ἢ τὸν στύφοντα. τοιαῦτα γὰρ ὀνόματα, καὶ κατὰ τὴν περὶ τῶν σφυγμῶν πραγματείαν ἔγραψεν, οὐδὲν διδάξαι δυνάμενα τὸν ἀκούοντα, διὰ τὸ πᾶσαν διδασκαλίαν ὀνομάτων δεῖσθαι κυρίων. εἰ μὲν περὶ χυμῶν διαλεγοίμεθα, καὶ ὅλως περὶ τῶν τῆς γλώττης ἰδίων αἰσθητῶν, αὐστηρὸν ἡμῶν λεγόντων, καὶ στρυφνὸν, καὶ στύφοντα, καὶ δακνώδη, καὶ ἁλμυρὸν, καὶ γλυκὺν, καὶ πικρόν. εἰ δὲ περὶ τῶν ἁπτῶν, ἀθρόον σῶμα, καὶ ξηρὸν καὶ θερμὸν, καὶ ψυχρὸν, καὶ τραχὺ, καὶ λεῖον, καὶ μαλακὸν, καὶ σκληρὸν, ὀξύ τε καὶ ἀμβλύ. καθάπερ γε καὶ εἰ περὶ τῶν ὁρατῶν ἐρυθρὸν, καὶ ξανθὸν, καὶ μέλαν, καὶ λευκὸν, καὶ φαιὸν, ἢ τι τοιοῦτον ἕτερον. εἰ δ' ὑπαλλάττοι τις αὐτῶν τὰς προσηγορίας, ἀσύνετα τοῖς ἀκούουσιν ἐρεῖ. καθάπερ ἐπὶ τοῦ στύφοντος, ἢ αὐστηροῦ πόνου. τὸν μὲν γὰρ γλυκὺν οὐδ' ἐπινοῆσαι δυνατὸν, ἀνιῶντος μὲν ἀεὶ τοῦ πόνου τὸν πάσχοντα, πάντων δὲ τῶν γλυκέων ἡδέων ὄντων. ὅτι μὲν οὖν φιλόπονος εἰς τὰ τῆς ἰατρικῆς ἔργα γέγονεν ὁ Ἀρχιγένης, ἀληθέστατόν ἐστιν. ὅπως δὲ εἰς τὰ τοιαῦτα τῶν ὀνομάτων ἐκφέρεται, πολλάκις μὲν ἐσκεψάμην, εὑρεῖν δ' οὐκ ἠδυνήθην. ὅσον οὖν ἐν αὐτοῖς ἐστιν σαφὲς ἐπισκεψώμεθα, καθάπερ ὀλίγον ἔμπροσθεν, ἐπὶ τοῦ ναρκώδους πόνου. δίκαιον γάρ ἐστι τὰ μὲν ἀσαφῆ τῶν ὀνομάτων, ἐν ἀδήλῳ καταλιπεῖν ἄχρηστα νομίζοντας, καθάπερ εἰ μηδ' ὅλως ἐγέγραπτο. τὰ δὲ σαφῆ κρίνειν, οὐ τῷ λόγῳ μόνον. ἀλλὰ πολὺ πρότερον ἔτι τῇ πείρᾳ. χαλεπὸν δὲ τὸ τοιοῦτον κριτήριον, ὡς ἂν ἑτέροις πολλάκις ἀναγκαζομένων ἡμῶν πιστεύειν, ὅτε παρακολουθοῦσιν σαφῶς, οἷς πάσχουσιν, διὰ μαλακίαν ψυχῆς. οὔτ' εἰ καὶ παρακολουθοῖεν ἑρμηνεῦσαι δυναμένοις, ἢ τῷ μὴ δ' ὅλως οἵους τ' εἶναι λόγῳ δηλῶσαι περὶ ὧν πάσχουσιν. οὐ γὰρ μικρᾶς δυνάμεως τὸ τοιοῦτον. ἢ τῷ μηδ' εἶναι ῥητὸν αὐτό. καταλείπεται τοίνυν αὐτὸν πεπονθέναι τὸν μέλλοντα γράφειν ἑκάστου τῶν ἀλγημάτων τὴν ἰδέαν, ἰατρόν τε ὄντα, καὶ ἄλλοις ἑρμηνεῦσαι δυνατόν. ἑαυτῷ τε παρηκολουθηκότα μετὰ φρονήσεως, ἡνίκ' ἔπασχεν, ἄνευ μαλακίας. οὐ μὴν ἅπαντά γε τὰ πάθη, καθ' ὅλον ἑαυτοῦ τὸν βίον ἔπαθέν τις, εἰ καὶ νοσωδέστατος εἴη. διὸ καὶ θαυμάζω τὰς ἰδιότητας αὐτῶν ἀναγιγνώσκων, ὅσας ἔγραψεν ὁ Ἀρχιγένης. ὡς γὰρ αὐτὸς ἅπαντα πεπονθὼς διηγεῖται, καίτοι γ' οὐ πάνυ τι νοσώδης γενόμενος. εἰ δὲ καὶ καθ' ἕν τι μόριον τοῦ σώματος ἀσθενὴς καὶ νοσώδης ἦν, ἀλλ' οὔπω γε πάντα, καθάπερ οὐδ' ἄλλος τις οὐδεὶς ἀνθρώπων. οὐδὲ γὰρ ἂν εὕροις τὸν αὐτὸν ἄνθρωπον ἅμα τε κεφαλὴν ἀσθενῆ καὶ θώρακα καὶ πνεύμονα καὶ ἧπαρ καὶ σπλῆνα, καὶ γαστέρα καὶ νῆστιν καὶ κῶλον καὶ κύστιν ἕκαστόν τε τῶν ἄλλων. ἔοικεν οὖν ἐπινοίαις τισὶν ἰδίαις μᾶλλον λογικαῖς, ἢ τῇ πείρᾳ τῶν πεπονθότων, ὁ Ἀρχιγένης ἀπιστεῦσαι, διηγουμένων ὡς ἠδύναντο τὰς διαφορὰς τῶν ἀλγημάτων. ἵν' οὖν τι πλέον ἔχωσι καὶ παρ' ἡμῶν οἱ φιλομαθεῖς, αὐτὰς ῥήσεις αὐτοῦ παραθέμενος, ὅσα μὲν ἀληθῆ τ' ἐστὶν ἅμα καὶ σαφῆ ταῦτ' ἐκλέξας μόνα, πιστεύειν αὐτοῖς ἀξιώσω τοὺς ἀσκουμένους κατὰ τὴν τέχνην. ὅσα δ' οὐ τοιαῦτα, παρέρχεσθαι συμβουλεύσω. μεμψάμενος οὖν ὁ Ἀρχιγένης τῷ Ἀσκληπιάδῃ, τὸ μὲν πεπονθὸς νεῦρον, ἐν ταῖς ἀρθρίτισιν ἀνώδυνον εἶναι λέγοντι, διότι μὴ δ' ὅλως αἰσθάνεται, τὴν δ' ἀπαθῆ σάρκα τῇ γειτνιάσει θλιβομένην ὀδυνᾶσθαι, μετὰ ταῦτα γράφει κατὰ λέξιν οὕτως. τὰ δ' ἀγγεῖα στερεῶς ἐπιθλιβόμενα, τὰς ἄνευ φλεγμονῆς κεφαλαλγίας ἐπέχει, ὥσπερ ἐμπλάσσει τινὸς εἰς αὐτὰ κωλυομένης. καὶ ὁ βαρβαρικὸς διάδεσμος, τό τε μάλιστα ἀνύει. τὰς δὲ σφακελώδεις ἑτεροκρανίας, ἡ διακοπὴ αὐτῶν, καὶ μᾶλλον ἡ τῆς ἀρτηρίας, περιγράφει. ἥτις καὶ σφυγμώδη καθηγουμένη καὶ διαΐσσοντα τὸν πόνον ἐμβάλλει, καὶ στρογγύλεται ὑποφαίνουσα ἐπισήμως, ὥσπερ αἱ μὲν φλέβες οἷον ἀκριβοῦνται. τὰ δὲ νεῦρα διατείνεταί τε καὶ σκληρύνεται συστρεφόμενα. καὶ ταῦτα μὲν ναρκώδεις ἐπιφέρει τοὺς πόνους, καὶ σκληρῶς διατείνοντας καὶ βυθίους καὶ ἐμπεπαρμένους, καὶ στενοχωρίας πλήρεις καὶ ἥκιστα κεχυμένους. οἱ δ' ὑμένες, καὶ ἐπὶ πλάτος διήκοντας αὐτοὺς παρέχουσιν καὶ ἀνωμάλους, ὥστε καὶ αἱμωδίᾳ τι προσεοικὸς ἔχειν τὴν τῆς ἀναδόσεως τραχύτητα. πονεῖ δὲ πολλάκις οὕτω καὶ ἡ ἐπιφάνεια, καὶ οἱ μεταξὺ τῆς σαρκὸς ὑμένες, οἳ καὶ τοὺς διασπῶντας πόνους ἐπιφέρουσι. τοὺς δ' ἀπὸ τῶν

† ἄλ. ταύτῃ

δι' ἀπὸ τῶν περὶ τὰ ὀστέα προσυπεῖς εὑρήσεις, ὡς αὐτῶν δοκεῖν τῶν ὀστέων ὄντας. αἱ φλέβες δὲ, βαρεῖς καὶ καθέλκοντας καὶ ὁμαλῶς ἐμπεπλασμένους ἐπιφέρουσιν αὐτούς. αἱ δὲ σάρκες, κεχυμένους τε καὶ χαλαρωτέρους. διὸ φαίνονται, μηδ' ἐπὶ πολὺ ἐκτεινόμενοι, ὡς ἐμπλεούσης τραχύμασί τισι δοκεῖν τῆς αἰσθήσεως. μυῶν δὲ σαρκός τι καὶ νεύρου μίγμα τῶν ἰδιωμάτων, ἀμέλει καὶ τῆς ἀρτηρίας ἐν τοῖς πόνοις ἀναφέρουσι, συγγῶντες ὡς ἂν εἴποι τις καὶ μετ' εὐρυχωρίας διατεινόμενοι. καὶ ναρκώδεις σφύζοντες. τῶν δ' ἄλλων ὁ μὲν ἑλκώδης πόνος καὶ ἐν ἕλκεσιν ὁ ἰχνώδης ὀξὺς, καὶ οὐχ ἥκιστα ὁ γλυκύτερος, καὶ κνησμοῦ παραγωγὸς ἐπιφανείας ἔοικεν ὤν. ὁ δὲ νυγματώδης, τοῦ βάθους. ἡ δὲ ἐνορέδων, κόλπῳ πλησιάζοντες. ὁ δὲ διακεντῶν, τὰ μὲν, πεπονθέναι τι τῶν ἐν τῷ τόπῳ διασαφεῖ. τὰ δὲ, μὴ οὐκ ἐν βάθει τὴν ὑπόστασιν ἔχων. σπαράσσων δέ ἐστιν, ὁ ἐν κόλποις συνιστάμενος. αὕτη μὲν ἡ πρώτη ῥῆσις ἐστὶν Ἀρχιγένους. ἐκ τοῦ πρώτου τῶν πεπονθότων, ἐπιχειροῦντος διδάσκειν, ὅπως ἄν τις εὑρίσκοι τὰ πεπονθότα μέρη, τῇ τῶν πόνων διαφορᾷ προσέχων τὸν νοῦν. ἐπισκεψώμεθα δ' ἀπ' ἀρχῆς αὐτὴν, μὴ παρέργως. τὰς σφακελώδεις φησὶν ἑτεροκρανίας, ἡ διακοπὴ τῶν ἀγγείων περιγράφει. τινὰς μὲν οὖν λέγει τὰς σφακελώδεις, χαλεπὸν εὑρεῖν, οὐ γὰρ ὡμολόγηται τῆς σφάκελος φωνῆς τὸ σημαινόμενον. ἐνίων μὲν ὀδύνην λεγόντων μεγάλην δηλοῦσθαι. τινῶν δὲ, φλεγμονῆς ὑπερβολὴν τηλικαύτην, ὡς ἐπιφέρειν κίνδυνον φθορᾶς τοῦ μέρους, ὅπερ ἔνιοι, γάγγραιναν ὀνομάζουσιν. ἐνίων δὲ, τὴν φθορὰν αὐτὴν τοῦ πάσχοντος μορίου, σφάκελον ὀνομάζεσθαι φασκόντων. ἄλλων δὲ σπασμόν. ἄλλων τ' οὐχ ἁπλῶς σπασμὸν, ἀλλὰ τὸν ἐπὶ φλεγμονῇ νευρωδῶν σωμάτων, ἐνίων τ' οὐ τὸν ἤδη γινόμενον σπασμὸν, ἀλλὰ τὸν προσδοκώμενον ἐπὶ μεγέθει φλεγμονῆς. ἐνίων δ' ἁπλῶς τάσιν ἰσχυράν. ἄλλων δὲ σηπεδόνα. τὸ μὲν δὴ σφακελῶδες ὄνομα, τὸ κατὰ τὴν προγεγραμμένην ῥῆσιν ὑπὸ Ἀρχιγένους εἰρημένον, εἰς τοσοῦτον ἀσαφείας ἥκει, ὡς μηδὲν δηλοῦν μὴ δι' ἐξήγησιν ὀνομάτων ἰατρικῶν, ἐν ἑτέρᾳ πραγματείᾳ γράψαντος αὐτοῦ. τὸ δὲ περιγράφει, τάχ' ἄν τις ὑπονοήσειεν εἰρῆσθαι, τὸ οἷον ταχέως ἢ παντελῶς ἰᾶται, καὶ κείσθω γ' οὕτως εἰρῆσθαι. τί γὰρ ἄν τις πάθοι, νοεῖν ἀρχόμενος ἃ μὴ δ' ὁ γράψας αὐτὸς ἐσαφήνισε νοῆσαι; σφυγματώδη οὖν καὶ διαΐσσοντα τὸν πόνον, ἐμβάλλειν φησὶν τὰς ἀρτηρίας, ὅταν αὗται δηλονότι πρωτοπαθῶσι κατὰ τὰς σφακελώδεις ἑτεροκρανίας. τὸν μὲν οὖν σφυγματώδη πόνον ἐξήγημαι πρόσθεν ὁποῖός τίς ἐστιν, ὄντα καὶ πρὸ τῆς ἐμῆς ἐξηγήσεως ἅπασι τοῖς ἰατροῖς γνώριμον οἵ γε καὶ σύμπτωμα αὐτὸν εἶναι φασὶ φλεγμονῶν μεγάλων. ὁ δὲ διαΐσσων πόνος ἐστὶν, ὅταν ὥσπερ ἀπὸ ῥίζης ἀρχόμενος τοῦ πρωτοπαθοῦντος μορίου, φέρηται ταχέως εἰς τὰ παρακείμενα, καὶ συμβαίνει τοῦτο ταῖς σφοδροτάταις οὐκ ἑτεροκρανίαις μόνον, ὡς Ἀρχιγένης ἐμνημόνευσεν, ἀλλὰ καὶ ταῖς κεφαλαίαις ὀνομαζομέναις. καὶ γὰρ ἐπ' ἐκείνων ἐνίοτε φανερῶς αἱ ἀρτηρίαι πρωτοπαθοῦσαι, τοιοῦτον ἔχουσι τὸν πόνον, οἷον εἶπεν ὁ Ἀρχιγένης. ὡς δ' ὁμολογεῖν ἐνίους, αἰσθάνεσθαι τῶν ἀγγείων αὐτῶν ἀλγούντων. ὅπερ ἑρμηνεῦσαι βουλόμενος, στρογγύλεσθαι τὴν ἀρτηρίαν ὑποφαίνουσαν ἔφη. πότερον οὖν ὥσπερ τὰς ἀρτηρίας, ἐν ταῖς σφακελώδεσιν ἑτεροκρανίαις οὕτω πάσχειν ἔφη, κατὰ τὸν αὐτὸν τρόπον ἀκούσῃ τις αὐτοῦ καὶ περὶ τῶν φλεβῶν, ὡς κατὰ τοῦτο τὸ νόσημα μόνον, οἷον ἀφωρισμένων, ἢ κοινὸν σύμπτωμα ἐστὶ φλεβῶν ὁπωσοῦν πασχουσῶν ἢ φλεγμαινουσῶν μόνον; καθ' ὅσον μὲν γὰρ, συνάπτει τῷ περὶ τῶν ἀρτηριῶν λόγῳ τὸν περὶ τῶν φλεβῶν ἐπὶ ταὐτοῦ πάθους εἰκὸς ὑπολαμβάνειν ἐστὶν γίγνεσθαι τοὺς λόγους αὐτῷ. καθ' ὅσον δ' ἐφεξῆς ὑπέρ τε τῶν νεύρων γράφει καθόλου, καί τινων ἄλλων μορίων τοιούτων, μὴ συνάπτων ἑνὶ νοσήματι τὸν ὑπὲρ αὐτῶν λόγον, κατὰ τοσοῦτον αὖ πάλιν ὡσαύτως καὶ αὐτῷ ὑπονοήσει λελέχθαι περὶ τῶν φλεβῶν. ἄμεινον δ' ὡς ἐν ἀδήλοις, ἐπὶ μὲν τῆς ἡμικρανίας ἡγεῖσθαι τῶν φλεβῶν αὐτὸν ἅμα ταῖς ἀρτηρίαις μνημονεύειν. ἁπλῶς δὲ τῶν ἄλλων ὀργάνων, ἄνευ πάθους τινὸς ἀφωρισμένου, κατά τε τὰ νεῦρα καὶ τὰ τούτων ἐφεξῆς, ἐν οἷς πάλιν ἔφη, τὰς φλέβας δὲ βαρεῖς, καὶ καθέλκοντας καὶ ὁμαλῶς ἐμπεπλασμένους ἐπιφέρειν τοὺς πόνους. ταυτὶ μὲν οὖν ἀμφιβολίαν ἔχει τινά. τὸ δ' ἐφεξῆς εἰρημένον, ἔνθα φησὶν, τὰ δὲ νεῦρα διατείνεταί τε καὶ σκληρύνεται συστρεφόμενα, φανερῶς ἀποχωροῦντος μέν ἐστι τῆς τῶν ἑτεροκρανιῶν διαθέσεως, ἀποφαινομένου δὲ καθόλου περὶ νεύρων ὁπωσοῦν πασχόντων. ἔστι δὲ τοῦτο φανερῶς ψεῦδος. οὐ γὰρ ἅπαν πάθος νεύρων, σκληρύνει καὶ συστρέφει τὴν οὐσίαν αὐτῶν, ἀλλ' ἔστιν ἃ καὶ χαλαρὰ ποιεῖ τὰ νεῦρα, καθάπερ ἀτροφία σαφῶς. ἀλλὰ καὶ πολλάκις οὐδεμίαν αἰσθητὴν ἔχοντα διαφορὰν, ἀλλ' ἀκριβῶς ἐοικότα τοῖς ὑγιαίνουσιν, οὔτ' αἰσθήσεως οὔτε κινήσεως τι χορηγεῖ τοῖς ὑποτεταγμένοις σώμασιν. ἴσως οὖν ἐν μόναις ταῖς φλεγμοναῖς, ἢ τοῖς φλεγμονώδεσι νοσήμασιν, ἢ τοῖς παρὰ φύσιν ὄγκοις πᾶσιν ἔφη, σκληρύνεσθαί τε καὶ συστρέφεσθαι τὰ νεῦρα. καίτοι ἐν τούτοις ἐναργῶς φαινόμενόν ἐστι, τὸ τείνεσθαι τὰ νεῦρα. καὶ γὰρ καὶ αὐτοῖς τοῖς κάμνουσι καὶ ἡμῖν τοῖς ὁρῶσιν, αὐτὰ φαίνεται τεινόμενα. διὸ καὶ σπασμοὶ καὶ τέτανοι, μὴ θεραπευθεῖσιν αὐτοῖς, ἕπονται, καὶ κοινὸν ἔοικε τοῦτ' εἶναι σύμπτωμα τῶν εἰς ὄγκον αἰρομένων ἁπάντων, τὸ τείνεσθαι. τεθεάμεθα γὰρ ἤδη, καὶ ἀρτηρίας καὶ φλέβας φλεγμαινούσας ἐναργῶς τεταμένας. τὰς μὲν φλέβας ὅταν ἐν ἄκρῳ τῷ κώλῳ φλεγμονῆς γινομένης, ἐπαρθῇ βουβών. οὐκ ὀλιγάκις γὰρ ἐναργῶς ὤφθη τεταμένον ὅλον τὸ ἀγγεῖον ἐρυθρότερόν τε καὶ θερμότερον, ὀδυνηρότερόν τε ψαυόντων γεγονὸς, ὡς εἶναι πρόδηλον, ὅτι φλεγμαίνει σύμπαν ἀρξάμενον ἀπὸ τοῦ πρωτοπαθήσαντος μορίου, μέχρι τῆς μασχάλης καὶ βουβῶνος. καὶ καλῶς ὑπὸ τῶν ἰατρῶν εἴρηται σχεδὸν ἁπάντων, ἔρευθος, καὶ τάσις καὶ ἀντιτυπία, καὶ ὄγκος, καὶ ὀδύνη τοῖς φλεγμαίνουσι μέρεσι συμβαίνειν. ὁ σφυγμὸς δ' οὐχ ἅπασιν ὡς ἑπόμενος. ἀλλ' ἐν οἷς ἀρτηρίαι τε εἰσὶν αἰσθηταὶ, καὶ τὸ μόριον εἰ αἰσθητικὸν ᾖ, ἀξιόλογός τε κατὰ τὸ μέγεθος ἡ φλεγμονὴ, τηνικαῦτα γὰρ οἱ κάμνοντες αἰσθάνονται σφυγμώδους ὀδύνης, κἂν μηδὲν αἰσθητὸν ἀγγεῖον ἢ κατ' αὐτὸ πάσχον σῶμα, τάχ' οὖν ἐρήσεταί τις μετὰ καθέκαστον ὄργανον ἴδια συμπτώματα. λέλεκται δ' ἤδη καὶ πρόσθεν καὶ οὐχ ἅπαξ, ὡς ἡ βλάβη τῆς οἰκείας ἐνεργείας, ἴδιον ἑκάστου μορίου σύμπτωμά ἐστιν, ὁποία ποτ' ἂν ᾖ κατ' εἶδος. οὔτε δ' ἄλλο τι σύμπτωμα ἐξ ἀνάγκης αὐτοῖς οὔθ' αἱ διαφοραὶ τῆς βλάβης ὑπάρχουσιν. ἀλλὰ κατὰ τὴν ἰδέαν τε καὶ τὸ μέγεθος τοῦ πάθους, αἱ διαφοραὶ μὲν ἐξαλλάττονται. τὸ δὲ εἶδος ἢ τὸ γένος, ἢ ὅπως ἂν ἐθέλῃ τις ὀνομάζειν, ἀεὶ διαμένει τοῦ συμπτώματος, ὃ κατὰ τὴν βεβλαμμένην ἐνέργειάν ἐστι. καὶ πλεονάσαι γε κάλλιον ἦν Ἀρχιγένη κατὰ τοῦτο περιλαβόντι μεθόδῳ τὸ σύμπαν,

ἐπειδὴ καὶ τοῖς ἄλλοις ἠμέληται. γέγραπται δ' ὑφ' ἡμῶν, ἐν πολλαῖς ἄλλαις πραγματείαις οὐκ ὀλίγα τῶν τοιούτων. ὥσπερ ἀμέλει καὶ νῦν εἰρήσεται διὰ τῶν ἐφεξῆς. ὅσα μὲν ἑτέρωθι τελέως ἐξειργασάμεθα, συντομώτερον. ὅσα δὲ διὰ βραχυτέρων ἐν ἄλλοις ἐρρέθη, μακρότερον ἐνταῦθα διερχομένων ἡμῶν αὐτά. νυνὶ δὲ τὰς ὑπολοίπους τῶν πόνων διαφορὰς ἐπέλθωμεν, ὅσων ἐμνημόνευσεν ὁ Ἀρχιγένης ἐν τῇ προγεγραμμένῃ ῥήσει. τὸ μὲν δὴ ναρκώδεις γίνεσθαι τοὺς πόνους τοῖς νεύροις, ὅπως ἡμάρτηται, καὶ ὡς οὐκ ἔστι μορίου τινὸς ἴδιον ἡ νάρκη πάθος, ἀλλ' αἰτίας τε καὶ διαθέσεως, ἔμπροσθεν εἴρηται. τὸ δὲ σκληρῶς διατείνοντας ἐπ' αὐτοῖς γίνεσθαι τοὺς πόνους, ὀρθῶς εἴρηται. καὶ κάλλιον ἦν τὸ ἁπλῶς εἰρημένον, ἄνευ τοῦ σκληρῶς. διατεινόντων γάρ εἰσιν ἱκανῶς ἑκατέρωσε τῶν νεύρων οἱ πόνοι, διότι καὶ τείνεται πρὸς ἄμφω τὰ πέρατα, τό, τε τῆς πρώτης ἀρχῆς καὶ τὸ τῆς ἐσχάτης τελευτῆς. ὥσπερ ἐν ταῖς κιθάραις αἱ χορδαί, καὶ ῥήγνυνταί γε πολλάκις ἐν αὐταῖς αἱ σφοδρῶς τεταμέναι. καὶ διὰ τοῦτ' ἀποτιθέμενοι μετὰ τὸ χρήσασθαι τοῖς ὀργάνοις οἱ κιθαρισταί, τὰς χορδὰς ἀνιᾶσι. καὶ μὲν δὴ καὶ ὅτι τείνονται σαφῶς ὑπὸ τῶν ἐναντίων αἰτίων τε καὶ διαθέσεων, οὐδεὶς ἀγνοεῖ, κἂν ὑγρὸν ᾖ τὸ περιέχον, ὥς τε καὶ διαβρέχειν αὐτὰς καὶ πληροῦν, κἂν ξηρὸν ἱκανῶς. εἰς ἐσχάτην γὰρ ἀφικνούμεναι τάσιν, ἐν ἑκατέρᾳ κράσει τοῦ περιέχοντος, εἰκότως ῥήγνυνται. καλῶς οὖν ὁ Ἱπποκράτης τοὺς σπασμοὺς τῶν νεύρων ὑπὸ πληρώσεώς τε καὶ κενώσεως γίνεσθαι φησί, τάσεις ἀμέτρους οὔσας δηλονότι τῶν νεύρων. τὸ δὲ βυθίους εἶναι τοὺς πόνους αὐτῶν, ἐκ τῶν συμβεβηκότων εἴληπται τοῖς πλείστοις τῶν νεύρων. ἐπειδὴ γὰρ ἀεὶ πρῶται μὲν ἐπιπολῆς εἰσιν αἱ φλέβες, ἐφεξῆς δ' αὐτῶν αἱ ἀρτηρίαι, καὶ μετὰ ταύτας, τὰ νεῦρα, διὰ τοῦτ' ἐν βάθει τῆς τάσεως αὐτῶν οἱ κάμνοντες αἰσθάνονται. τένοντές γε μὴν πολλοί, νευρώδη σώματ' ὄντες ὑπ' ἐνίων ἄντικρυς ὀνομαζόμενοι νεῦρα, τοὺς πόνους οὐ βυθίους, ἀλλ' ἐπιπολῆς ἔχουσιν. ὅταν καὶ αὐτοὶ τύχωσιν οὕτως τεταμένοι, καθάπερ οἱ τοὺς δακτύλους ἐκτείνοντες. εἰσὶ δ' ἀμέλει καὶ οἱ κάμπτοντες αὐτοὺς ἐπιπολῆς μέν, ἀλλ' οὐχ ὁμοίως τοῖς ἐκτείνουσιν. ὁ δ' Ἀρχιγένης τοὺς πόνους τῶν νεύρων, ἐμπεπαρμένους εἶναι φησί, ὑπάρχοντος τοῦ τοιούτου τῆς ὀδύνης εἴδους τῷ κώλῳ μᾶλλον, ὡς ἔμπροσθεν εἶπον. ἐγγίνεται δὲ καὶ ὠτί, μετά τινος σφυγμοῦ, καὶ τῶν ὀδόντων ταῖς μύλαις, ἔστιν δ' ὅτε καὶ τοῖς ὀφθαλμοῖς, ἥκιστα δὲ τοῖς νεύροις, ἐμπεπαρμένος ὑπάρχει πόνος. ἐκτείνεται γὰρ ἐπὶ πλεῖστον ἑκατέρωσε μέχρι τῶν ἄνω τε καὶ κάτω τοῦ ζώου μορίων. τὸ δ' ἐφεξῆς εἰρημένον ὑπὸ τοῦ Ἀρχιγένους, ὅτι καὶ στενοχωρίας πλήρεις ἔχει τὰ νεῦρα τοὺς πόνους, κακοζήλως μὲν εἴρηται τῇ λέξει. δηλοῖ δ' οὐδὲν πλέον τοῦ μετ' αὐτό. καθ' ὅ φησι, καὶ ἥκιστα κεχυμένους. τῷ γὰρ ὄντι, κεχυμένους ἥκιστα, τουτ' ἔστιν εἰς πλάτος ἐκτεταμένους οὐκ ἔχει τοὺς πόνους τὰ νεῦρα, ἀλλὰ κατὰ περιγραφήν τινα μᾶλλον, ἄνω τε καὶ κάτω τῆς τάσεως αὐτῶν διηκούσης, καὶ μᾶλλόν γ' ἄνω μέχρι τῆς κεφαλῆς. καὶ τό τε πρῶτον αὐτοῖς, καὶ σπασμοὶ καὶ τέτανοι, τοῦ παντὸς ἕπονται σώματος. οὐδενὸς τοιούτου συμβαίνοντος, οὐ δὲ μιᾷ τάσει νεύρου, πρὶν ἅψασθαι τῆς κεφαλῆς αὐτῆς. ἐφεξῆς δὲ τοῖς εἰρημένοις, ὁ Ἀρχιγένης ἔγραψεν περὶ τῶν ὑμένων. ὅ τι μὲν ἐπὶ πλάτος αὐτοῖς διήκουσιν οἱ πόνοι, πασχόντων αὐτῶν, ἀληθεύων. ὅτι δ' αἱμωδίᾳ τι προσεοικὸς ἔχουσιν, οὐκ ἔτι ἀληθεύων. ὡς ἔμπροσθεν εἴρηται. τό γε μὴν ἀνωμάλους εἶναι τοὺς πόνους τῶν ὑμένων, οὐ διὰ παντὸς ἀληθές, ὅπου γε τοὐναντίον, ἀληθὲς μᾶλλόν ἐστιν. ἐοίκασι γὰρ κατὰ μὲν τὸν αὐτῶν λόγον, ὁμαλοὺς ἐπιφέρειν τοὺς πόνους. ἐπειδὴ καὶ τὸ σῶμα πᾶν αὐτῶν, ὁμαλόν. ἐκ δὲ τῆς πρὸς τὰ πλησιάζοντα κοινωνίας, ἀνωμαλίαν τινὰ ἐπιφέρειν ἔστιν ὅτε, κατά τι συμβεβηκός. ὅταν γὰρ ἐπὶ τὸ πεπονθὸς αὐτῶν μέρος ἄγηται καὶ τείνηται τὰ πέριξ, ἀνομοίαν ἀναγκαῖον ἐστὶν γίγνεσθαι τὴν ὀδύνην. ἔνθα μὲν αἰσθητικώτερόν ἐστι τὸ τεινόμενον μόριον, ἐνταῦθα ὀδυνωμένων μᾶλλον. ἔνθα δὲ ἧττον αἰσθητικόν, ἔλαττον ἀλγούντων. καὶ μὴν κἀκ τοῦ ψαύειν ἢ μὴ ψαύειν ὀστοῦ τὸ τεινόμενον, ἡ διαφορὰ τῶν πόνων εἰκότως γίνεται. κατὰ τοῦτον γοῦν τὸν λόγον, ἀλγοῦσιν κατὰ τὴν κλεῖν ἔνιοι τῶν πλευριτικῶν, ἀνατεινομένου πρὸς τοῦτο τὸ χωρίον, τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. ἐνίοτε δ' οὐκ εἰς τὴν κλεῖν, ἀλλ' εἰς τὸ ὑποχόνδριον, ὁ πόνος αὐτῶν διήκει, τῆς αἰσθήσεως γινομένης κατὰ τὸ διάφραγμα κινούμενον ἐξ ἀνάγκης, ὅταν ἀναπνέωσιν οἱ πλευριτικοί, μᾶλλον τῶν ἄλλων τοῦ θώρακος μορίων, ἡ γὰρ οἷον ῥίζα τῆς ὀδύνης ὅτ' ἂν ἐν τῇ πλευρᾷ γένηται τοῖς ἐνταῦθα μυσὶν ἀναπνεῖν ὀκνοῦσιν οἱ κάμνοντες, ὥς τε μόνῳ τῷ διαφράγματι, τὸ τῆς ἀναπνοῆς ἔργον, ἡ φύσις ἐπιτρέπει τηνικαῦτα καθάπερ ἐν ταῖς ἀβιάστοις ἀναπνοαῖς, ἐπὶ τῶν ὑγιαινόντων. ὅτ' ἂν μὲν οὖν ἐν τοῖς κάτω μέρεσιν τῶν πλευρῶν, ἡ φλεγμονὴ γένηται, τὸ διάφραγμα τεινόμενον ὀδυνᾶται μᾶλλον. ὅτ' ἂν δ' ἐν τοῖς ἄνω, κατὰ τὴν κλεῖν ἡ ὀδύνη διασημαίνει. τῷ μὲν τῆς κινήσεως λόγῳ, τὸ διάφραγμα. τῷ δὲ τῆς σκληρότητος, ἡ κλεὶς ἐργαζομένη τὴν ἀνίαν. ἥπατος δὲ μεγάλως φλεγμαίνοντος, ἢ σκιρρωθέντος, ἡ κατὰ τὴν δεξιὰν κλεῖν ὀδύνη γενομένη, τῇ τάσει τῆς κοίλης φλεβὸς ἕπεται μᾶλλον ἢ τῇ τῶν ὑμένων. ὅτ' ἂν δ' εἴπῃ πονεῖν πολλάκις οὕτω καὶ τὴν ἐπιφάνειαν, ὅπερ ἐστίν, τὰ τῶν πασχόντων ὑμένων ἔχειν ἴδια, δηλοῖ σαφῶς ὁπόθεν ὁρμηθεὶς αἱμωδίᾳ τι παραπλήσιον ἔφησεν τὰς ὀδύνας ἔχειν αὐτόν. ἐπειδὴ γὰρ ἅμα τῇ τῆς αἱμωδίας ἰδιότητι, καὶ ἡ ναρκώδης ἐστὶν αἴσθησις, ὡς ἂν ὑπὸ μιᾶς αἰτίας ἀμφοτέρων γινομένων, ὁ δ' ἐπιπολῆς ὑμὴν ὁ ὑποτεταμένος τῷ δέρματι πάσχει πολλάκις ὀδύνας ναρκώδεις ὑπὸ τῶν ἔξωθεν αἰτίων τῶν ψυχρῶν, ἑτοιμότερον βλαπτόμενος, διὰ τοῦτο τῇ κοινωνίᾳ τῆς διαθέσεως ἀπατηθεὶς ὁ Ἀρχιγένης, αἱμωδίᾳ τι παραπλήσιον ἔφησεν, τοὺς ἄλλους ὑμένας, καὶ τὴν ἐπιφάνειαν πολλάκις, οὐ κατὰ τὴν οὐσίαν αὐτοῦ τοῦ πάσχοντος μορίου γινομένης τῆς ὀδύνης, ἀλλὰ διὰ μὲν τὴν οὐσίαν αὐτῶν ἄναιμόν τε καὶ ψυχρὰν οὖσαν, εὐκόλως ἁλισκομένων πάθεσιν ψυχροῖς. ἑπομένης δὲ τῆς τοιαύτης ὀδύνης τοῖς πάθεσι, διὸ καὶ πολλάκις ἔφη γίγνεσθαι τοὺς τοιούτους πόνους. ὡς ἄν, οὐ κατὰ τὴν οὐσίαν αὐτοῦ τοῦ πάσχοντος μέρους, ἀχώριστοι γὰρ ἂν οὕτως γε ἦσαν, ἀλλὰ κατά τι συμβεβηκὸς ἐπιγινομένους. ὁ μὲν οὖν ὑπὸ τῷ δέρματι τεταμένος ὑμὴν ὁ καὶ συναποδερόμενος αὐτῷ, τονώδεις τε καὶ ναρκώδεις ἐπιφέρει τοὺς πόνους. οἱ δὲ μεταξὺ τῆς σαρκός, οἷον διασπῶντας. εἰσὶν γὰρ πολλοὶ καὶ ἀνωμάλως ἐμφυόμενοί τε καὶ περιλαμβάνοντες αὐτήν. ὅτ' ἂν οὖν ποτὲ ἐξ ἐναντίων κατὰ φύσιν τείνεσθαι συμβῇ τὴν σάρκα, τοιαύτας ἀναγκαῖον ἐστὶν γίνεσθαι τὰς ὀδύνας. ἐπί γε μὴν τοῖς πολλοῖς γυμνασίοις, ἤτοι τονώδεις,

ἢ ἑλκώ

ἢ ἑλκώδεις οἱ πόνοι γίνονται, συνιστάμενοι καθ᾽ ὅλους τοὺς μῦς, ὧν μόριόν εἰσι καὶ αἱ σάρκες. εἴρηται δὲ περὶ τῶν τοιούτων ἀλγημάτων ἱκανῶς ἐν τοῖς ὑγιεινοῖς. ὅτι δ᾽ οἱ τῶν περικειμένων τοῖς ὀστοῖς ὑμένων πόνοι, βύθιοί τ᾽ εἰσίν, πού τ᾽ ἐστὶν διὰ βάθους τοῦ σώματος ἐπιφερόντων αἴσθησιν, αὐτῶν τε τῶν ὀστῶν ἐπάγουσι φαντασίαν ὡς ὀδυνωμένων, οὐδὲν θαυμαστόν. ὀνομάζουσι γοῦν αὐτοὺς ὀστοκόπους οἱ πλεῖστοι. καὶ γίνονται τὰ πολλὰ μὲν ἐπὶ γυμνασίοις, ἔστιν ὅτε δὲ καὶ διὰ ψύξιν, ἢ πλῆθος. τὰς δὲ φλέβας φησὶ βαρεῖς καὶ καθέλκοντας καὶ ὁμαλῶς ἐμπεπλασμένους ἐπιφέρειν τοὺς πόνους. ἐν ἀρχῇ δὲ ὁπότε τῆς ἡμικρανίας ἐμνημόνευσεν ἀφηκιρσοῦσθαι τὰς φλέβας ἔφη. τάχ᾽ οὖν ἐν ἐκείνῳ μόνῳ χρὴ δέξασθαι λέγειν αὐτὸν τοῦτο, γιγνώσκειν γε μήν τοι δεῖ, τὸν ἴδιον πόνον ἀρτηρίας καὶ φλεβὸς κατὰ μῆκος ἐκτεινομένου σώματος, οἷον χορδῆς τινὸς, ἔμφασιν ἔχειν. οὐ μὴν συνεμφαίνει γέ τοι βάρος. τὸ δ᾽ ὁμαλῶς ἐμπεπλάσθαι τῶν πόνων τῶν φλεβῶν, οὐδὲ σαφὲς ὅλως ἐστίν. ἐπ᾽ οὐδενὶ τῶν συμβεβηκότων αὐταῖς, ἀνεγνεχθῆναι δυναμένου τοῦ ἐμπεπλάσθαι. περὶ δὲ τῶν σαρκῶν ἐφεξῆς φησὶν ὡς κεχυμένους τε καὶ χαλαρωτέρους ἐπιφέρουσι τοὺς πόνους. ὅλως μὲν οὖν πόνος οὐδεὶς ἐστὶ χαλαρὸς, ἀλλὰ τὸν ἧττον τεταμένους, ἴσως εἴρηκε χαλαρωτέρους, ἐπειδὴ τεταμένοι μᾶλλον εἰσὶν, οἵ τε τῶν ἀγγείων καὶ οἱ τῶν ὑμένων. τοῦτο γὰρ ὁμολογεῖ, καὶ τὸ μὴ δ᾽ ἐπὶ πλέον ἐκτεταμένους αὐτοὺς φαίνεσθαι. διὰ τὸ κατὰ περιγραφὰς βραχείας συγκεῖσθαι τὰ σαρκώδη μόρια τῶν μυῶν. εἰ δὲ καὶ τὸ τούτῳ γεγραμμένον ἐφεξῆς, ὡς ἐπιπλεούσης τραχύμασί τισι δοκεῖν τῆς ἁφῆς, ἴδιον ἐστὶ τῶν ἐν σαρξὶ πόνων ἐπισκεπτέον. ὅτι μὲν γὰρ ἐνίοτε τοιοῦτόν τι συμβαίνει κατὰ τοὺς πόνους αὐτῶν, ἀληθές ἐστιν. ἐκ δὲ τοῦ μὴ διαπαντὸς φαίνεσθαι, διαθέσεως μᾶλλον ἐν αὐταῖς γινομένης ὡς τὸ πολὺ μιᾶς τινὸς, οὐ τῆς οὐσίας αὐτῶν ἴδιον εἶναι δόξει. τὴν διάθεσιν δὲ οὐχ ἁπλῶς ὑποληπτέον εἶναι πάθος φλεγμονῶδες. ἀλλὰ καὶ μετὰ χυμοῦ τραχύνειν πεφυκότος. ἐφεξῆς δὲ περὶ τῶν μυῶν Ἀρχιγένης γράφων, σαρκὸς καὶ νεύρων μίγμα τῶν ἰδιωμάτων ἀναφέρειν αὐτοὺς φησὶν, ὡς ἂν ἐκ τούτων συγκειμένης τῆς οἰκείας οὐσίας αὐτῶν. τὸ δὲ καὶ ἀρτηρίας, ὅτι διαπεφύκασιν αὐτῶν. ἀλλ᾽ οὕτως, καὶ τὰς φλέβας ἐχρῆν εἰρῆσθαι, καὶ τοὺς ὑμένας. τὸ δὲ σφριγγῶντος ὄνομα, παρὰ μὲν τοῖς Ἕλλησιν ἐπὶ τῶν εὐεκτικῶς πεπληρωμένων λέγεται, διὸ καὶ κατὰ τῶν νέων αὐτὸ μόνον εἰρήκασι, γέροντος δ᾽ οὐδενός, ὡς ἂν μὴ δὲ δυναμένου τοῦ σώματος αὐτῶν, εὐεκτικὴν δέξασθαι πλήρωσιν. ὅ γε μὴν οὖν Ἀρχιγένης ἐπί τινος φέρει τὴν φωνὴν ταύτην, οὐ πάνυ τι ῥᾴδιον εὑρεῖν. μάλισθ᾽ ὅτι συγχεῖ καὶ διαφθείρει πολλαχόθι τὰ σημαινόμενα, τῶν ἑλληνικῶν ὀνομάτων. εἰ δ᾽ ὡς ἄν τις ὑπονοήσειεν ἐπὶ τῶν διὰ πλήρωσιν τεταμένων λέγοι τὸ σφριγγῶντος, κοινὸν ἂν εἴη πάντων τοῦτο τῶν πεπληρωμένων σωμάτων, οὐκ ἴδιον τῶν μυῶν. τό γε μὴν μετ᾽ εὐρυχωρίας αὐτοὺς διατείνεσθαι λελέχθαι νομίζω πρὸς αὐτοῦ, τῆς ἐν τοῖς νεύροις πληρώσεως, ἀφορίζοντος. ὅτι δὲ τὸ σφύζειν ναρκῶδες, οὐκ ὀρθῶς εἴρηται, δεδήλωται πρόσθεν. τῶν δ᾽ ἄλλων φησὶ πόνων, ὁ μὲν ἑλκώδης ἰσχνῶς ὀξύς ἐστιν, ἀσαφὴς δ᾽ ἡ λέξις ἥδε, καὶ καθ᾽ ἑαυτὴν ἀδύνατος διδάξαι τι, ταῖς ἄλλαις ὁμοίως ταῖς ἀσαφέσιν, ἅς γε οὐδ᾽ ἐξηγήσασθαι δυνατόν ἐστιν, εἰ μή τις αὐτὸς ἐπιστάμενος τὸ πρᾶγμα, προσαρμόσαι πειραθείη τῇ λέξει. καὶ νῦν γοῦν ἐπιστάμενός τις, ἑλκώδεις κόπους ὀνομάζεσθαι, πρός τε τῶν ἰατρῶν καὶ τῶν γυμναστῶν, ὅτ᾽ ἂν ἐν τῷ κινεῖσθαι τις ἢ ψαύειν τῶν κεκοπωμένων μορίων, αἴσθησιν ἴσχῃ τοῖς ἡλκωμένοις μέρεσιν ὁμοίαν, ἐπινοῆσαι δυνήσεται τὸν ἰσχνῶς ὀξὺν πόνον εἰρῆσθαι τοιοῦτόν τινα τὸ εἶδος, οἷον κεντούσης βελόνης ὀξείας γίνεσθαι. δῆλον οὖν ὅτι μὴ δὲ συνεχὴς ἐστὶν οὗτος, ὥσπερ γε μὴ δὲ ὁμαλῶς ἐκτεταμένος ἅπαντη. τοῦτον οὖν αὐτὸν φησὶ γλυκύτερον εἶναι, δέον ἀσθενέστερον εἰπεῖν, ἢ ἀμβλύτερον, ἢ οὐ σφοδρὸν, ἢ ἀνιαρὸν ἧττον, ἤ τι τοιοῦτον. τὸ γὰρ γλυκύτερον οὐδ᾽ ἐφ᾽ ἑνὸς τῶν ἀνιαρῶν λέγεται κυρίως. τὸ δὲ κνησμοῦ προσαγωγὸς, ἀδιαρθρώτως εἴρηται. διαφέρει γὰρ ἐναργῶς ἡ κνησμώδης αἴσθησίς τε καὶ διάθεσις, τῆς ἑλκώδους. ἀλλ᾽ ἐπεὶ καὶ προηγεῖται πολλάκις ἡ κνησμώδης τῆς ἑλκώδους, ἐκλυομένης τε καὶ παυομένης τῆς ἑλκώδους, εἰς τὴν κνησμώδη, μετάπτωσις γίνεται, διὰ τοῦτο συγκεχυμένως τε καὶ ἀδιορίστως ὑπὲρ αὐτῶν ὁ Ἀρχιγένης ἔγραψεν. ὡς ἂν μὴ δὲ τὰς αἰτίας τῶν διαθέσεων ἀμφοτέρων ἀκριβῶς που διωρικώς. ἀλλ᾽ ἡμεῖς γε τελέως ἐξειργασάμεθα τὸν περὶ τούτων λόγον ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. ὁ μὲν οὖν ἑλκώδης πόνος, οὐκ ἐν μόνῳ τῷ δέρματι φαίνεται συνιστάμενος, ἀλλὰ καὶ διὰ τοῦ βάθους ἐκτεταμένος ἄχρι τῶν ὀστῶν. ὁ δὲ κνησμώδης, ὄντως τῆς ἐπιφανείας μόνης ἐστίν. οὐ πρώτως κατὰ τὸν αὐτῆς λόγον, ἀλλὰ κατὰ συμβεβηκός. ὅτι πυκνότερον τῶν ὑποκειμένων αὐτῷ, τὸ δέρμα ἐστίν. διαθέσεως οὖν ἰδίας ἑκάτερος τῶν πόνων ἐστὶ σύμπτωμα, διὰ δριμύτητας μὲν τινὰς γινόμενοι χυμῶν. ἀλλήλων δὲ διαφερόντων, εἰς ὅσον κἀκεῖναι. διώρισται δ᾽ ὡς ἔφην ὑπὲρ αὐτῶν ἐν τοῖς ὑγιεινοῖς, ὁ δὲ νυγματώδης φησὶ πόνος, τοῦ βάθους ἐστὶν, οὐκ ὀρθῶς. ὑμένος γὰρ ἐστιν, οὐ βάθους ἴδιος. ὁ δ᾽ ἐνεφρείδων ὥς φησι κόλπῳ πλησιάζοντος, ἀλόγως πάνυ τοῦτο γράψας. κοιλότης γάρ τίς ἐστιν ὁ κόλπος, ἐκ τοῦ διαστῆναι τὰ πλησιάζοντα πρότερον ἀλλήλοις, γεγενημένη. καὶ τοίνυν ὅταν μὲν πληρωθῇ ῥεύματος, ὡς ἂν διατεινομένων τῶν περικειμένων σωμάτων, ὀδύνης αἰσθάνονται τονώδους, κάμνοντες. οὐ κατὰ μῆκος ἐκτεταμένης ἐπὶ πλέον, ἀλλ᾽ ἰδίαν ἐχούσης περιγραφήν. ὅτ᾽ ἂν γὰρ ἐκκενωθῇ πᾶν ἐκ τοῦ κόλπου τὸ ὑγρὸν, ἀνώδυνοι παραχρῆμα γίνονται. πλὴν εἴ τινι τὰ περιέχοντα σώματα τὸν κόλπον, ἐπὶ πλέον ἐκταθέντα τε καὶ διαταθέντα φλεγμονώδη διάθεσιν ἔσχεν. ταῦτα μὲν οὖν τὰ τῶν κόλπων ἴδια. τὸ δὲ ὑπ᾽ Ἀρχιγένους εἰρημένον, ἕτερον μέν τι τούτων ἐστίν. ὁποῖον δέ τι νοήσας ἔγραψεν αὐτὸ, χαλεπὸν εὑρεῖν. καὶ μήν γε καὶ τό γε γεγραμμένον ἐφεξῆς, ἴσην ἔχει τῷδε τὴν ἀπορίαν. ὁ διακρινῶν γάρ φησι πόνος οὐ ἐν βάθει τὴν ὑπόστασιν ἔχει, τοῦτο δὲ μάχεται, καὶ αὐτῷ, τῷ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένῳ τόνδε τὸν τρόπον. ὁ δὲ διακρινῶν, τὰ μὲν πεπονθέναι τῶν ἐν τῷ τόπῳ διασαφεῖ, τὰ δὲ μή. τοῦτο γὰρ ἐγχωρεῖ καὶ διὰ βάθους ἐγγυτάτω γίνεσθαι τῶν ὀστῶν. καὶ κατὰ τὸ δέρμα καὶ τὸ μεταξὺ, πάντως τοῦ τοιούτου πόνου διὰ δακνώδη χυμὸν γινομένου, διαβιβρώσκοντα τῶν αἰσθητικῶν τι σωμάτων. τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως γεγραμμένον ὧδι, ἀπαράστατον δ᾽ ἐστὶν, ὁ ἐν κόλποις συνιστάμενος

νος. εἰ μὲν τὸ ἀπαράλλακτον, τὸ οἷον διαπαντὸς σημαίνει, ψεῦδός ἐστιν. ἥκιστα γὰρ ὑπάρχει τοῦτο τοῖς κατὰ τοὺς κόλπους. εἰ δ' ἄλλ' ὅτι καὶ μὴ τοῦτο, πόθεν ἄν τις εὑρεῖν αὐτὸ δυνηθείη. τὰ μὲν δὴ τῆς προγεγραμμένης ῥήσεως, Ἀρχιγένους τοιαῦτα. μεταβῶμεν δ' ἐφ' ἑτέραν διδάσκουσαν καὶ αὐτὴν ἐκ τῆς τῶν πόνων διαφορᾶς, διάγνωσιν τῶν πεπονθότων μορίων. ἔστι δ' ἡ ῥῆσις ἥδε. ὁ δὲ τοῦ ἥπατος ὁλκιμος ἐμπεφυκὼς καὶ ναρκώδης ἐστὶ καὶ ἀντηρότερον ἐγκείμενος, ὁ δὲ τοῦ σπληνὸς οὐκ ὀξύς, βάρος δ' ἅμα καὶ διάτασιν ἔχει, ἀντιτεινομένῳ πρὸς θλῖψιν καὶ ἀποπίεσίν τινα ἔξωθεν ὑποκειμένην ἐοικώς. νεφροὶ δὲ αὐστηροὺς τε τοὺς πόνους ὑποφέρουσι, καὶ μετ' ἐμμόνου σφίγξεως ὑπονύσσοντας. κύστις δέ, στύφουσιν σφόδρα χρῆται τοῖς ἀλγήμασι, καὶ σὺν διατάσεσιν νυγματώδεσιν. ὑστέρα δέ, ὀξέσι, διαΐσσουσι, νυγματώδεσι, διατείνουσιν, ἐμπίπτουσι στροφώδεσι, τοιούτῳ μίγματι πέφυκε πονεῖν καθὸ καὶ ἀκρίβειαν τοῦ ἰδιώματος ἐμποιεῖ. ἐν ταύτῃ τῇ ῥήσει, πάλιν ὁ Ἀρχιγένης εὐθέως κατὰ τὴν ἀρχήν, ὁλκιμον εἶναί φησιν, τὸν πόνον τοῦ ἥπατος. ἔστι μὲν οὖν ἀηθὲς τοὔνομα τοῖς Ἕλλησιν τὸ ὁλκιμον, ὥστ' οὐδέ τι σημαίνει ῥᾴδιον εὑρεῖν. ἐκ γὰρ πολλῆς χρήσεως, ἡ τῶν σημαινομένων εὕρεσις γίνεται. τοὺς δ' οὖν χρησαμένους αὐτῷ, τὸ γλίσχρον οἶδα δηλοῦντας, ὃ ὥσπερ ὁ ἰξός ἐστιν. ὥστε μορίους λαβόμενον, ἕλκειν δι' αὐτοῦ δύνασθαι τὸ συνεχές. οὕτω δὲ καὶ σταὶς ὁλκιμον εἴρηται τὸ τῶν πυρῶν, καὶ μάλιστα τὸ κάλλιστα πεφυραμένον. οὐχ ὁλκιμον δὲ τὸ τῶν κριθῶν, καὶ τὸ τῆς κέγχρου. τό γε μὴν τοῦ ἥπατος ἄλγημα, κατὰ τοῦτο τὸ σημαινόμενον, οὐκ ἄν ποτε γένοιθ' ὁλκιμον. ὥστ' ἄλλο τι ζητητέον ἡμῖν ἐστιν. εἷς μὲν δή τις τῶν πρεσβευόντων τὴν Ἀρχιγένους αἵρεσιν, ὁλκιμον ἔφησεν πόνον εἰρῆσθαι τὸν τοῦ ἥπατος, ἐπειδὴ καθέλκει, φλεγμαῖνόν τε καὶ σκληρούμενον τὴν κλεῖν. ἕτερος δὲ τὸ χρόνιζον. ἄλλος δέ, τὸ μέτριον. εἰσὶ δ' οἱ τὸ βραδύ. τοῦτο δ' εἶναι, τὸ ἀντικείμενον τῷ ὀξεῖ. καὶ φασὶ τὸ μὲν κατεπεῖγον καὶ σφοδρόν. ὡς μὴ δὲ μίαν ἀνάπαυλαν ποιεῖσθαι καλεῖν αὐτὸν ὀξύ. τὸ δ' ἐναντίον, ὅπερ ἐστὶ τὸ βραδύ, ὁλκιμον εἰρηκέναι. τινὲς δὲ τὸν βάρους ἔμφασιν ἔχοντα, φασὶν εἰρῆσθαι ὁλκιμον ἤτοι βαρὺ πόνον, ὀνομάζεσθαι γὰρ ἐν τῇ συνηθείᾳ κατὰ τοῦ βάρους, τὴν ὁλκήν. πολλὰ δὲ καὶ ἄλλα διαφόρως ἐξηγούμενοι, λέγουσιν οἱ θαυμάζοντες, ἃ μηδεὶς νοεῖ. τὸ μὲν οὖν ὁλκιμον ὄνομα τὸ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως εἰρημένον, ὅτι μηδὲν ἡμᾶς διδάσκει, πρόδηλον ἤδη γέγονεν. ἐπισκεψόμεθα δ' ἐφεξῆς, τί ποτ' ἐστὶν ὁ ἐμπεφυκὼς πόνος, ὃν ἥπατος ἴδιος εἶναι καὶ αὐτὸς εἰρημένος. ἐμοὶ μὲν δὴ πιθανώτερον εἶναι δοκεῖ, τῷ διαΐσσοντί τι, τὸν ἐμπεφυκότα † κατ' ἐναντίωσιν εἰρῆσθαι πρὸς αὐτοῦ. τί γὰρ ἂν ἄλλο τις ὑπολάβοι. καὶ μὴν εἴ τις καὶ ἄλλος πόνος, εἰς συμπάθειαν ἄγει πολλὰ τῶν πέριξ σωμάτων, οὕτω καὶ ὁ τοῦ ἥπατος, ὅς γε καὶ μέχρι τῆς κλειδὸς ἐκτείνεται, καὶ δύσπνοιαν ὑποφέρει πολλάκις, ἐνίοτε δὲ καὶ βῆχα, καὶ δυσεντερίαν. εἰς γε μὴν τὰς νόθας πλευρὰς οὐκ ὀλιγάκις ἐναργῶς διικνεῖται. πῶς ἂν οὖν ἀληθῶς λέγοιτο κατὰ χώραν μένειν. ἆρ' οὖν ἄμεινόν ἐστι τὸν ἐμπεφυκότα πόνον εἰρῆσθαι δοκεῖν, τὸν οἷον ἐμπεπαρμένον. καὶ μὴν ἥκιστα τοιοῦτός ἐστιν ὁ τοῦ ἥπατος ὡς ἀρτίως ὑποδέδεικται. ἐδείχθη δ' ἔμπροσθεν, ὅτι μὴ δ' ὁ ναρκώδης πόνος ἴδιος ἐστὶ μορίου τινός, ἀλλὰ διαθέσεως μᾶλλον. ἥδε δὴ καὶ † οὐδαμῶς ἥπατος, ἀλλ' εἴπερ ἄρα τῶν νευρωδῶν σωμάτων. ὁ δ' ἀτειρῶς ἐγκείμενος μάχεται τῷ ναρκώδει, βίαιός τις ὢν καὶ συνεχής. ἔστι δ' οὐ τοιοῦτος ὁ τοῦ ἥπατος, ἀλλὰ μᾶλλον βαρύς. οὐ μὴν οὐδὲ ὁ βαρὺς ἴδιος ἥπατος ἐξαιρέτως. ἀλλὰ κοινὸς σπληνὶ καὶ νεφροῖς φλεγμαίνουσιν. ὁ δ' Ἀρχιγένης, οὐκ οἶδα πῶς ἐπὶ μόνου τοῦ σπληνὸς ἐμνημόνευσεν, τῆς τοιαύτης ἰδέας τοῦ πόνου. μὴ δ' Ἱπποκράτους ἀκούσας εἰπόντος, καὶ ἐν νεφρῷ ὀδύνη βαρεῖα. τοῦτο μὲν οὖν ἔλαττον ἁμάρτημα. μέγιστον δέ, ὅπερ εἴωθε ποιεῖν, ὀνόματα γράφων ἑτέρων αἰσθήσεων οἰκεῖα, καθάπερ καὶ νῦν ἐπὶ νεφρῶν μέν, τοὺς αὐστηροὺς πόνους. ἐπὶ κύστεως δέ, τοὺς στύφοντας. ἔστι γὰρ ταῦτα χυμῶν ὀνόματα, δι' ὀργάνου μὲν τῆς γλώττης, αἰσθήσεως δὲ τῆς γευστικῆς, διαγινωσκόμενα. γενικώτερον μὲν οὖν τὸ πρᾶγμα δηλοῦται πρὸς τῆς στύφον φωνῆς. εἰδικώτερα, δὲ πρός τε τῆς αὐστηρὸν καὶ στρυφνόν. ἄμφω μὲν γὰρ στύφει. μᾶλλον δὲ τὸ στρυφνόν. οἷον περ ἐστὶν ἡ ὀμφακίτης ὀνομαζομένη κηκίς. αὐστηραὶ δ' εἰσὶ καὶ ῥοαὶ πολλαὶ καὶ τὰ κυδώνια μῆλα καὶ ἄλλα πάμπολλα τῶν ἐδωδίμων. ἀτὰρ δή γε μὴν τὰ στρυφνά, μὴ ὅτι τὰ φάρμακα μόνον, καθάπερ ὑποκιστίς, καὶ βαλαύστιον, καὶ κηκίς, καὶ ῥοῦς. ἀλλά, καὶ τῶν ἐδωδίμων ὅσα τοιαῦτα. διόπερ οὐδὲ νοῆσαι δυνατόν ἐστιν ὁποῖόν τινα βούλεται τὸν αὐστηρόν, ἢ τὸν στρυφνὸν εἶναι πόνον, ὁ Ἀρχιγένης, οὐ μᾶλλον ἢ τὸν κυανοῦν, ἢ τὸν ἐρυθρόν, ἢ φαιόν, ἢ τινὰ ἄλλον ἀπὸ τῶν χρωμάτων ὀνομαζόμενον. ὅπερ δὲ τις ἔλεγεν, τῶν ἀρχιγενείων διδασκάλων, ἐπισκέψασθαι καιρός. ἐδόκει γὰρ αὐτῷ, τὰς ἰδιότητας τῶν πόνων ἑρμηνεύειν ὁ Ἀρχιγένης φιλοτιμούμενος, ἀρρήτους κατά γε τ' ἀληθὲς οὔσας, εἰς τὴν τοιαύτην ἀτοπίαν, ἀφικνεῖσθαι τῶν ὀνομάτων. οὐκ εἰδὼς ὅτι μία μὲν ἑκάστη τῶν ποιοτήτων, ἐστὶ ῥητή, κατά τε τὴν ἁφὴν καὶ τὴν γεῦσιν. ἔνθα δ' ἅμα πολλαὶ ποιότητες ἐμφαίνονται κατὰ μίαν οὐσίαν ἐνταῦθα καὶ γίνεσθαι συμβαίνει τὴν ἰδιότητα, καὶ μάλιστ' ἐπὶ τῆς γεύσεως. ὁπόταν εἰ τύχοι καὶ πικρότητός τε καὶ γλυκύτητος, αὐστηρότητός τε καὶ δριμύτητος, ἐμφαίνεταί τι κατὰ μίαν οὐσίαν. ἰδιότης γάρ τις οὕτως γίνεται περὶ τὴν γεῦσιν, ἄρρητος μέν, εἴ τις ἐθέλοι δι' ἑνὸς ὀνόματος, αὐτὴν δηλῶσαι. ῥητὴ δ' εἰ καθ' ἑκάστην τῶν ποιοτήτων διέρχοιτο. μετὰ τοῦ καὶ τὸ μᾶλλόν τε καὶ ἧττον, οὐκ ἀδύνατον εἶναι, προσδηλοῦν. οὕτω δὲ καὶ τὰς βοτάνας ἁπάσας τε καὶ τὴν ἄλλην ὕλην, ἐδήλωσαν οὐκ ὀλίγοι τῶν ἰατρῶν, ἐξηγούμενοι τῶν ποιοτήτων ἑκάστην, ὅσαι ταῖς ἑρμηνευομέναις οὐσίαις ὑπάρχουσιν. ὥστε καὶ ὁ Ἀρχιγένης, εἰ μὲν ἑνὶ περιλαβεῖν ὀνόματι τὴν ὅλην ἰδιότητα τῆς οὐσίας ἐπεχείρει, παντάπασιν ἀμαθὴς ὑπῆρχεν, ὅπερ οὐ προσήκει λέγειν ἐπ' Ἀρχιγένους. εἰ δὲ τὰς ἁπλᾶς ποιότητας, αὗται μὲν οὐκ εἰσὶν ἄρρητοι. τὸ δὲ ποσὸν ἐν αὐταῖς ἄρρητον μὲν ἀκριβεῖ μέτρῳ. ῥητὸν δ' ὡς ἐν πλάτει. οὔπω δ' ἔτι χρὴ μηκύνειν πεφηνυίας σαφῶς τῆς ἰδέας τοῦ λόγου, ᾗ χρῆσθαι δεῖ τὸν ἑρμηνεύειν ἐπιχειροῦντα τῶν αἰσθητῶν πραγμάτων ὁτιοῦν. ἴδια μὲν γὰρ ἔχομεν ἁπασῶν τῶν ἁπλῶν ποιοτήτων ὀνόματα, καθάπερ γε καὶ τῶν γευστῶν. ἴδια δὲ τῶν ὁρατῶν, ὥσπερ καὶ τῶν ἀκουστῶν, καὶ χρῆσθαι προσήκει πᾶσιν αὐτοῖς, ὡς ἔθος ἐστὶ τοῖς Ἕλλησι, μήτε στύφοντα, μήτ' αὐστηρὸν ὀνομάζοντα πόνον, ἴδιαι γὰρ αὗται χυμῶν προσηγορίαι.

† al. ἐμπεφυκότα τόνον.

† al. μορίου τινός

προσηγορίαι. καὶ πάμπολλοι πρὸ Ἀρχιγένους ἰατροί, τὰς διαφορὰς τῶν πόνων γράψαντες, οὐκ ἐτόλμησαν ἑτέροις ὀνόμασι χρήσασθαι τῶν συνήθων, ἃ καὶ παρ' αὐτῶν τῶν καμνόντων ἔστιν ἀκοῦσαι, καὶ γὰρ οὕτως ἀλγεῖν ποτὲ λέγουσιν, ὡς ὑπὸ βελόνης νύττεσθαι δοκεῖν. καὶ οὕτως αὖ πάλιν, ὡς ὑπὸ τρυπάνου τιτρᾶσθαι. καὶ θλᾶσθαι δοκεῖν. καὶ διασπᾶσθαι καὶ τείνεσθαι. καὶ ἀνασπᾶσθαι καὶ κατασπᾶσθαι. καὶ βάρους τινὸς αἴσθησιν ἔχειν. ἐνίοτε μὲν ἐκκρεμαμένου τῶν ὑπερκειμένων. ἐνίοτε δ' ἐγκειμένου τοῖς περιέχουσιν. τὰ μὲν οὖν τοιαῦτα πάντα † συνετά. στύφοντες δὲ καὶ στρυφνοὶ καὶ αὐστηροὶ πόνοι, τῶν † ἀσυνέτων τε ἅμα καὶ ἀχρήστων εἰσίν. ὅπερ ἐχρῆν ἐγνωκέναι τὸν ἀρχιγένην, διδάσκειν γε βουλόμενον ἡμᾶς διαγνωστικοὺς γίνεσθαι τῶν πεπονθότων τόπων. εἰ μὴ γὰρ ἐξ ὧν οἱ κάμνοντες αὐτοὶ λέγουσι, διαγνωσόμεθα, λῆρος ἂν εἴη μακρός, ὁ περὶ τῶν ἀλγημάτων λόγος. εἰ δὲ παρ' ἐκείνων χρὴ πυνθάνεσθαι, τίνα τρόπον ἀλγοῦσι, λέγουσι δ' οὐδέποτε στρυφνόν, ἢ αὐστηρόν, ἢ ἀτειρόν, ἢ ὅλκιμον πόνον, πάλιν ἄχρηστος τοιαύτη διδασκαλία. καὶ μὲν δὴ καὶ κατ' ἐκεῖνον τὸν λόγον, ἐν ᾧ φασι τὰς ἰδιότητας τῶν πόνων, ἐπιχειρεῖν, ἑρμηνεύειν τὸν ἀρχιγένην, τὸ τῆς τοιαύτης διδασκαλίας ἀδύνατόν τε ἅμα καὶ ἄχρηστον ἐμφαίνεται. πρῶτον μὲν, ἄρρητος ἐστὶν ἡ ἰδιότης πᾶσα κατ' αὐτούς, εἰ δὲ τοῦτο πάντως δή που καὶ ἀδύνατον εἰς διδασκαλίαν ἐλθεῖν, ὡς ἂν μόνοις γινωσκομένης τοῖς αἰσθητῶς αὐτὴν ἐγνωκόσιν. ἔπειτα δὲ καὶ ἄγνωστος ἡμῖν τοῖς μὴ πεπονθόσιν ἐστίν. εἰ μὴ ἄρα πάντ' ἔπαθεν ὁ ἀρχιγένης τὰ τοῦ σώματος μόρια. κἂν συγχωρηθῇ δὲ τοῦτο τίς ἂν πιστεύσειεν, ὅτι καὶ πάντα τὰ πάθη καθ' ἕκαστον μόριον ἔπαθεν εἷς ἄνθρωπος. ὑποκείσθω δ' εἰ βούλει καὶ τοῦτο, καίτοι γ' ἀδύνατον ἐστίν. ἀλλ' ὅτι κατὰ τὴν μήτραν οὐκ ἔπαθεν ὁ ἀρχιγένης, ἄντικρυς δῆλον. καὶ μὴν καὶ τὰς κατ' αὐτὴν ἰδιότητας, γράφει, μόναις ταῖς πεπονθυίαις γυναιξὶν γιγνωσκομένας. ὥστέ με νὴ τοὺς ἀπορεῖν πολλάκις, ἐκ τίνος ποτὲ λογισμοῦ, τὴν ἀλλόκοτον ταύτην ἐπετήδευσεν διδασκαλίαν, ἣν εἰ καὶ ἀληθεύειν τις ὑπόθοιτο, τό γε χρήσιμον, οὐχ οἷόν τε συνυποθέσθαι μηδενὸς τῶν νοσούντων ἑρμηνεύοντος, ἃ πάσχει, διὰ τῶν ἀρχιγενείων ὀνομάτων, ἀσᾶσθαι μὲν γὰρ λέγουσι τὸν στόμαχον, ἔνιοι τῶν νοσούντων, ὅπερ ἐστὶν ἡμῖν, διὰ τὸ πεπονθέναι σαφῶς δῆλον. ὥσπερ γε καὶ τὸ ἀλύειν, καὶ γὰρ καὶ τοῦτο διὰ τὸ πεπονθέναι δῆλον. αὐστηρὸν δὲ πόνον, οὐδ' εἰ πεπονθώς τις εἴη, νοῆσαι δύναται λεγόμενον ὑπ' ἀρχιγένους, ὡς ἂν οὐκ εἰδὼς καθ' ὅτου ποτὲ πράγματος φέρει τοὔνομα. τὸν μὲν γὰρ νυγματώδη καὶ διατείνοντα, καὶ τοὺς ὁμοειδῶς αὐτοῖς λεγομένους. ἔτι δὲ μᾶλλον τὸν σφοδρόν, καὶ τὸν ἰσχυρόν, καὶ τὸν βίαιον, καὶ τὸν συνεχῆ, καὶ τὸν διαλείποντα νοοῦμεν ἅπαντες. ὡς ἂν ὑπὸ συνήθων τε τῶν ὀνομάτων ἑρμηνευομένους, αὐτούς τε γινομένους ὁσημέραι παμπόλλοις. αὐστηρὸν δὲ καὶ στύφοντα καὶ ἀτειρὸν καὶ ὅλκιμον, οὔτε λέγει τις, οὔτ' ἀκούων ἑτέρου λέγοντος, νοεῖ. χρὴ δὲ καὶ τὸ πάθος εἶναι κοινόν, καὶ τὴν δηλωτικὴν αὐτοῦ προσηγορίαν, συνήθη τοῖς ἀκούουσιν. ὥσπερ ἐπὶ τοῦ θλίβεσθαι τὸν στόμαχον. ὃ δὴ λέγουσιν πάμπολλοι τῶν ἀνθρώπων. οὕτως γὰρ οἷον ἔξωθεν τινὸς ἐπικειμένου βάρους, ἡ αἴσθησις ἡμῖν γίνεται πολλάκις, ἔν τισι διαθέσεσιν τοῦ στόματος τῆς κοιλίας, ὃ δὴ καταχρώμενοι προσαγορεύουσι στόμαχον οὐχ οἱ πολλοὶ τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ δοκιμώτατοι. καὶ μὴν καὶ κατὰ τὸ δεξιὸν ὑποχόνδριον ἐν τῷ σφοδρότερον ἀναπνεῖν, αἴσθησις ποθ' ἡμῖν βάρους γίνεται. κἀπειδὰν χωρὶς πυρετοῦ συμβῇ τοῦτο, δυοῖν θάτερον, ἢ ἔμφραξίν τινα κατὰ τὸ ἧπαρ, ἢ σκιρρώδη διάθεσιν εἶναι λογιζόμεθα. καθάπερ ὅτ' ἂν φλεγμονὴ ᾖ, πυρετὸν ἐξ ἀνάγκης ἕπεσθαι. πάντα μὲν οὖν τὰ τοιαῦτα, καὶ ῥητά, καὶ σαφῆ. καὶ γνώριμα πᾶσι τοῖς πρὸ ἀρχιγένους ἰατροῖς ἐστὶν ἄνευ τῶν ἀλλοκότων ὀνομάτων διδασκόμενα. τῆς δ' ἀρχιγένους διδασκαλίας ἴδιον ἐξαίρετον ἐστίν, οὐ πραγμάτων ὑφήγησις καινῶν, ἀλλ' ὀνομάτων, οὐδὲν πρᾶγμα δηλούντων. τοιούτων ὀνομάτων καὶ τὴν περὶ τῶν σφυγμῶν ἐπλήρωσε πραγματείαν, οὐδ' αὖ τὴν δεομένην μεταφορᾶς ὀνομάτων ἀκύρων, ὡς ἐπεδείξαμεν ἐν τοῖς περὶ σφυγμῶν ὑπομνήμασιν.

ἐγὼ δ' ἠξίουν ἀρχιγένη μετὰ τοσούτους ἰατροὺς γεγονότα, προσθεῖναι τι τῇ σαφηνείᾳ τῆς διδασκαλίας, οὐκ ἀφελεῖν τοσοῦτον, ὡς μηδ' ἡμᾶς αὐτοὺς νοεῖν ἃ λέγει, γεγηρακότας ἐν τοῖς ἔργοις τῆς τέχνης. ὅπερ οὖν ἐκεῖνον ἐχρῆν πεποιηκέναι, τοῦτ' ἐγὼ πειράσομαι πρᾶξαι. καὶ δεῖξαι μὲν πρῶτον, ἐν τῷ καθόλου τὴν μέθοδον ᾗ προσήκει χρώμενον αὐτόν τε εὑρίσκειν τοὺς πεπονθότας τόπους. ἑτέροις δὲ τὴν ὁδὸν ὑφηγεῖσθαι. Μέθοδος μὲν οὖν ἐστιν ὡς κἂν τῷ πρὸ τούτου λέλεκται βιβλίῳ τοιάδε, ζητῆσαι χρὴ πότερον ἴδια σημεῖα καθ' ἕκαστον τόπον, ὅπως ἂν πάσχῃ δυνατόν, εὑρεῖν ἐστιν, ἢ καθ' ἕκαστον τῶν παθῶν ἀλλοιοῦται. δεύτερον ἐπὶ τῷδε, πότερον ἑκάστου τῶν παθῶν ἴδια σημεῖα ἐστίν, ἢ καθ' ἕκαστον μόριον ὑπαλλάττεται, καὶ χρὴ τόπον τε ἅμα καὶ πάθους μνημονεύσαντας, λέγειν ἐφεξῆς τὰ σημεῖα. Καθάπερ εἰ τύχῃ φλεγμονῆς τοῦ πνεύμονος, ὅτι δύσπνοια μετὰ στενοχωρήσεως, ὡς πνίγεσθαι δοκεῖν, ἀνακαθίζειν τε διὰ τοῦτ' ἐπιχειρεῖν, ὅπερ ὀρθόπνοιαν ὀνομάζουσιν. ἀλλὰ καὶ ὅτι θερμῆς αἰσθάνονται τῆς ἐκπνοῆς, καὶ μᾶλλον ὅτ' ἂν ἐρυσιπελατώδης ἡ φλεγμονὴ συστῇ. διόπερ ἐπὶ πλέον ἐκφυσῶντες, παρηγοροῦνται, καὶ πλεῖστον ἀέρα ψυχρόν, εἰσπνεῖν ἐπιθυμοῦσιν. ἀναπτύουσί τε μετὰ βηχὸς κεχρωσμένον τὸ πτύελον ἄλλοτ' ἄλλῳ χρώματι. καὶ γὰρ ἐρυθρὸν ἐνίοτε, καὶ ξανθόν, καὶ πυρρόν, ἀφρῶδές τε καὶ μέλαν, καὶ πελιδνὸν φαίνεται. καὶ μήν τοι καὶ βάρους τινὸς ἐγκειμένου τῷ θώρακι πολλάκις αἰσθάνονται, καὶ διήκειν εἰς αὐτὸν ἐκ τοῦ βάθους ἄλγημα κατά τε τὸ στέρνον καὶ τὴν ῥάχιν. ἔτι τε πρὸς τούτοις, ὀξέως μὲν πυρέττουσι. σφυγμὸν δὲ ἔχουσιν, ὁποῖον ἐν τοῖς περὶ σφυγμῶν εἴπομεν. Οὕτω δὲ κἀπὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος ἐπεὶ δ' ἂν φλεγμαίνῃ πυρετὸς μὲν ὀξύς, ἅμα τῷ ἰδιώματι τῶν λελεγμένων σφυγμῶν κατὰ τὴν περὶ τῶν σφυγμῶν πραγματείαν. ἄλγημα δὲ νυγματῶδες ἅμα δυσπνοίᾳ καὶ πτυέλῳ κεχρωσμένῳ παραπλησίως τοῖς περιπνευμονικοῖς ἐπιφαίνεται τὰ πολλά. τὸ μὲν οὖν δυσπνοεῖν ἀμφοτέροις τοῖς πάθεσιν, διὰ τὸ πεπονθὸς μόριον ἀναπνευστικὸν ὑπάρχειν, ἐξ ἀνάγκης ἕπεται. τὸ δὲ πυρέττειν, διά τε τὸ πάθος γίνεται καὶ τὴν θέσιν. ἐγγὺς μὲν γὰρ καρδίας, ὅ τε ὑπεζωκὼς καὶ ὁ πνεύμων. θερμὸν δὲ πάθος ἡ φλεγμονή. οὕτω δὲ καὶ τὸ βήττειν μὲν ὡς ἀναπνευστικοῖς ὑπάρχει. τὸ δ' ἀνα-

† al. συνήθη

† al. ἀσυνήθων

πτύειν τι διὰ τὸ πάθος γίνεται. δέδεικται γὰρ ἐξ ὑπερρέοντος αἵματος φλεγμονὴ πᾶσα γινομένη. διόπερ ἐὰν μὲν χολωδέστερον ᾖ τὸ αἷμα, ξανθὸν, ἢ ὠχρὸν ἐστὶ τὸ πτυόμενον. ἐὰν δὲ φλεγματικώτερον, ἀφρῶδές τε καὶ λευκόν. ἐὰν δὲ μελαγχολικώτερον, ἤτοι μέλαν, ἢ πελιδνόν. ἐὰν δὲ μηδὲν τούτων, ἐρυθρόν. ἔτι δὲ τῇ μὲν πλευρίτιδι, πλεονάκις τὸ χολωδέστερον. τῇ δὲ περιπνευμονίᾳ, τὸ φλεγματικώτερον πτύσμα συνέπεται, δέδεικται γὰρ ἡμῖν καὶ περὶ τούτου. τὸ δὲ διὰ τῆς τραχείας ἀρτηρίας ἀναφέρεσθαι τὰ περιττώματα τῶν φλεγμαινόντων μορίων, διά τε τὴν θέσιν αὐτῶν γίνεται καὶ διάπλασιν, ἔκροην γὰρ ἔχουσι ταύτην μόνην. γαστρὶ δὲ διττοὶ μὲν πόροι, μᾶλλον δ᾽ ὑποπλάζει τε καὶ ἀνεμεῖται, τὰ κατ᾽ αὐτὴν μοχθηρὰ, τὰ δ᾽ ἐκ τῶν ἐντέρων διαχωρεῖται. καθάπερ γε τὰ μὲν ἐκ νεφρῶν καὶ κύστεως οὐρεῖται. τὰ δ᾽ ἐξ ἐγκεφάλου διὰ ῥινῶν μὲν μάλιστα, ποτὲ δὲ καὶ διὰ οὐρανίσκου, καὶ ὑπερώας, καὶ ὤτων ἐκκρίνεται. τὰ γνωρίσματα οὖν τῶν πεπονθότων τόπων, ἀπὸ συμπτωμάτων εἰσὶν, ἀπό τε τῆς βεβλαμμένης ἐνεργείας, καὶ τῆς τῶν ἐκκρινομένων ποιότητος, ἔτι δὲ τῶν παρὰ φύσιν ὄγκων, ἢ ἀλγημάτων, ἢ ἀχροίας τινὸς ἑπομένης, ἤτοι δι᾽ ὅλου τοῦ σώματος, ἢ καθ᾽ ἕν τι μόριον, ἢ δύο, μάλιστα ὀφθαλμούς τε καὶ γλῶτταν. ἔξωθεν δὲ τούτων ἐστὶ τὰ κατὰ τὴν ἰδίως ἂν ὀνομασθεῖσαν εἴ τις βούλοιτο συμπάθειαν, ὡς ἐν τῷ πρώτῳ λέλεκται, γράμματι. νυνὶ δέ μοι καιρὸς εἶναι δοκεῖ γυμνάσαι τοὺς ἑταίρους, ὧν ἀξιωσάντων γράφεται ταῦτα. γυμνάσια δ᾽ ἅπασι γίνεται διὰ τῶν κατὰ μέρος ὑπὸ τὴν αὐτὴν μέθοδον ἀγομένων. ἔστι δὲ χρησιμώτατον ὡς πολλάκις ἐπιδέδεικταί μοι, τὸ τοιοῦτο τῆς διδασκαλίας εἶδος. ὡς αἵ γε μέθοδοι μόναι γνωσθεῖσαι χωρὶς τοῦ πολυειδῶς γυμνάσασθαι κατ᾽ αὐτὰς, ἀδυνατοῦσι τελείους ἐργάζεσθαι τοὺς μανθάνοντας. ἄνωθεν μὲν οὖν εἰπόντες τὴν μέθοδον, ἐπὶ τὸ γυμνάσιον ἴωμεν. ἐπισκέπτεσθαι χρὴ πρῶτον μὲν, εἴ τις ἐνέργεια βέβλαπται, σὺν αὐτῇ γὰρ ἀνάγκη πεπονθέναι τὸ τῆς ἐνεργείας ἴδιον ὄργανον. εἶθ᾽ ἑξῆς εἴπερ εὕροις βεβλαμμένην τὴν ἐνέργειαν, ἐπὶ τὸν τρόπον τῆς βλάβης ἀφικόμενος, ἐπισκέπτου τίνος ἐστὶ πάθους ἴδιον. ἐπὶ τοῖς δὲ σκόπει τὸ πεπονθὸς μόριον, εἴ τιν᾽ ὄγκον, ἢ ἄλγημα διασημαίνει, μὴ παρέργως, ἀλλὰ μετὰ τοῦ συνεπισκοπεῖσθαι, τὸ καθ᾽ ἕκαστον αὐτῶν εἶδος. ἔμαθες γὰρ οὐ μόνον ὄγκων ἰδέας πλέονας, ἀλλὰ καὶ τῶν ἀλγημάτων. εἶτ᾽ ἐπισκόπει τὰ περιττώματα τοῦ πεπονθότος μορίου, διὰ τίνος ἐκκρίνεται πόρου. θεώρει τε μή τι τῆς οὐσίας τοῦ πεπονθότος ἐκκρίνεται μορίου. καὶ μετὰ ταῦτα, πότερον ἀπεπτά ἐστι παντελῶς, ἢ μετρίως πέττεται τὰ περιττώματα αὐτοῦ. κᾄπειτα τίνων μὲν, ἐξ αὐτοῦ συναπολαύει τὸ πᾶν σῶμα. τίνων δ᾽ ἐξαιρέτως μόρια ἄττα. τὰ μέν τοι, κατὰ τὴν ἐνέργειαν αὐτῶν, τὰ δὲ κατὰ τὴν χρόαν, ἢ σχῆμα. φέρε γάρ τινα καθ᾽ ὃν ἀναπνεῖ καιρὸν ἀλγεῖν ἐν τῷ κατὰ τὰς νόθας πλευρὰς τόπῳ, μὴ προπετῶς ὑπολάβῃς τοῦτον εἶναι πλευριτικόν. ἀλλὰ πρῶτον μὲν, εἰ ἀναπτύει τι βήττων ἄθρει, κεχρωσμένον γὰρ, ὡς εἴρηται, θεασάμενος, ὀρθῶς εἶναι πλευριτικόν. εἰ δὲ μηδ᾽ ὅλως ἀναπτύει βήττων, δύναται μὲν εἶναι καὶ οὕτως πλευριτικὸς ἄπεπτόν τε, καὶ στεγνὴν ἱκανῶς ἔχων τὴν φλεγμονὴν, ὡς μηδὲν ἔξω χαλᾶν, ἐγχωρεῖ δὲ καὶ δι᾽ ἥπατος φλεγμονὴν, ἀλγεῖν αὐτὸν ἐν τῷ λεγομένῳ χωρίῳ. τεινομένων γὰρ εἴσω τῶν ἀρτημάτων, οἷς ἤρτηται πρὸς τὰς πλευρὰς, ἐπ᾽ ἐνίων τὸ ἧπαρ, εἰς τὸν ὑπεζωκότα συμβαίνει τὴν ὀδύνην ἐξήκειν. ἀλλά γε σφυγμὸς, οὐδὲν ὅμοιον ἔχων ἐστὶν ἐπὶ φλεγμοναῖς ἥπατός τε καὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. οὐ μὴν οὐδὲ τὰ διὰ τῆς γαστρὸς ἐκκρινόμενα παραπλήσια, πλὴν οὐκ ἀεὶ ταῦτα συνυπάρχει φλεγμοναῖς ἥπατος, ἀλλ᾽ ἐν τοῖς καλουμένοις ἰδίως ἡπατικοῖς πάθεσιν. οὐδὲν οὖν χεῖρον ἐφ᾽ ὧν μηδὲν ἐκκρίνεται γνώρισμα, διὰ τῆς ἁφῆς ἐπισκοπεῖσθαι τὸ δεξιὸν ὑποχόνδριον, κἂν μηδεὶς ὄγκος εὑρίσκοιτο, μὴ δ᾽ οὕτως ἀφίστασθαι. δύναται γὰρ ἐν τοῖς σιμοῖς ἡ φλεγμονὴ μόνοις εἶναι, δύναται δὲ καὶ κατὰ τὰ κυρτὰ μὲν, ἀλλ᾽ οὐ πάντα, μόνα δ᾽ ὅσα κατακρύπτουσι αἱ νόθαι πλευραί. μέγιστον δ᾽ ἂν ἀναπνεῖν ἐν τῷ δε κελεύειν τὸν κάμνοντα, καὶ πυνθάνεσθαι μή τινος αἰσθάνεται βάρους, ἤτοι γ᾽ ἐκκρεμαμένου τῶν ὑπερκειμένων, ἢ ἐγκειμένου τοῖς περιέχουσιν. ἔστιν ὅτε γε μὴν, οἷς ἐνταῦθά ἐστιν ὁ παρὰ φύσιν ὄγκος, οὗτοι δυσπνοοῦσι τῇ στενοχωρίᾳ τῶν φρενῶν, ὀρθίζονταί γε καὶ πρὸς βραχείας βηχός. βέβαιον δ᾽ ἂν ἐπὶ τῶν τοιούτων ἐστὶ σημεῖον εἰς διάγνωσιν ὁ σφυγμὸς μὲν ἐν ἅπαντι τῷ χρόνῳ τοῦ νοσήματος. ἐπὶ προήκοντι δ᾽ αὐτῷ καὶ τ᾽ ἄλλα συμπτώματα. καὶ γὰρ ἡ τῆς γλώττης ἀλλοιοῦται χρόα, καὶ ἡ παντὸς τοῦ σώματος, ἐπὶ ταῖς τοῦ ἥπατος κακοπραγίαις. ὥσπερ αὖ πάλιν αἱ βῆχες αὐξάνονται τῶν κατὰ θώρακα πασχόντων. ἐπιφαίνεταί τε πάντως ἐν τῷ χρόνῳ, τὰ μετὰ τῆς βηχὸς ἀναπτυόμενα. καθάπερ δ᾽ ἂν ἡ δύσπνοια χωρὶς μὲν τοῦ πάσχειν τι τῶν ἀναπνευστικῶν μορίων, ἢ ὀργάνων ὁπωσοῦν, οὐ δύναται γενέσθαι, συμβαίνει δ᾽ ἐνίοτε νόσημα μηδὲν ἴδιον ἐν αὐτοῖς ὑπάρχειν, ἀλλ᾽ ἤτοι κατασπωμένου τοῦ διαφράγματος, ἢ θλιβομένου δυσπνοεῖν τὸν ἄνθρωπον. οὕτως ἔχει κἀπὶ τοῦ τὸ τῆς ψυχῆς ἡγεμονικὸν ἐν ἑαυτῷ περιέχοντος τόπου. κατὰ τοῦτον γὰρ ἐπιστήμης τε καὶ δόξης ἁπάσης τε διανοήσεως συνισταμένης, ὅταν φαίνηταί τι τούτων βεβλαμμένον, εὐθέως ὑπολαμβάνομεν ἔν τινι πάθει κἀκεῖνο ὑπάρχειν. ὅπου γε, κἂν ἐν πλευρίτιδι, κἂν ἐν περιπνευμονίᾳ, παραφρονήσῃ τις, οὐδεὶς φησὶν διὰ τὴν πλευρὰν, ἢ τὸν πνεύμονα γεγονέναι τὸ σύμπτωμα. πάντες δ᾽ ἡγοῦνται συμπεπονθέναι τὸ μόριον ἐκεῖνο καθ᾽ ὃ τῆς ψυχῆς ἐστὶ τὸ ἡγεμονικὸν, καὶ ζητοῦσί γε τὸν τρόπον τῆς συμπαθείας, ὁμολογοῦντα δεῖξαι, τοῖς ἰδίοις δόγμασιν. ἐπ᾽ ἄλλων δὲ παθῶν οὐ συμπαθεῖν, ἀλλὰ πρωτοπαθεῖν φασὶν αὐτόν. ὥσπερ ἐν ληθάργῳ καὶ φρενίτιδι. πανταχόθεν μέν τοι πάσχειν, ἔνθα τῶν ἰδίων τις ἐνεργειῶν αὐτοῦ βέβλαπται. λέγω δ᾽ ἰδίας ἐνεργείας, ἃς δι᾽ οὐδενὸς ἄλλου μορίου ποιεῖται, καθάπερ δι᾽ ὀργάνου. κατὰ μὲν γὰρ τὸν ἀληθῆ λόγον, καὶ βλέπειν αὐτὸ τοῦτο καὶ ἀκούειν ὑποληπτέον. ἀλλὰ δι᾽ ὀφθαλμῶν μὲν βλέπειν, δι᾽ ὤτων δ᾽ ἀκούειν. ἐννοεῖν μέν τοι καὶ μεμνῆσθαι καὶ λογίζεσθαι καὶ προαιρεῖσθαι, μήτ᾽ ὀφθαλμοῖς ἔτι, μήτ᾽ ὠσὶ, μήτε γλώττῃ, μήτ᾽ ἄλλῳ τινὶ προσχρώμενον. ἀλλ᾽ εἰ μὲν οὕτως ἐστὶ τὸ μόριον τοῦτο τῆς ψυχῆς, ἐν τῷ περιέχοντι σώματι, καθάπερ ἡμεῖς ἐν οἴκῳ τινὶ, τὴν μὲν ἀρχὴν ἂν ἴσως οὐδ᾽ ὑπονοήσαιμεν αὐτὸ βλάπτεσθαί τι πρὸς τοῦ χωρίου. θεασάμενοι δὲ βλαπτόμενον, ἐζητήσαμεν ἂν ὅπως βλάπτεται. εἰ δ᾽ ὡς εἶδός τι τοῦ σώματος ἐστὶν ἀχώριστον αὐτοῦ συνεχωρήσαμεν ὑπὸ τῆς τοῦ δεδεγμένου σώματος ἀλλοιώσεως βλάπτεσθαι. διασάντων δὲ τῶν φιλοσόφων περὶ αὐτοῦ, καὶ τῶν μὲν

τῶν μὲν ὡς ἐν οἰκήματι περιεχέτου φασκόντων αὐτό. τῶν δ' ὡς εἶδος, ὅπως μὲν βλάπτεσθαι χαλεπὸν εὑρεῖν, ὅτι δὲ βλάπτεται, τῇ πείρᾳ μαθεῖν ἔστι. ἐπί τε γὰρ τῶν ἀνατιτρωμένων, τὸ κατεαγὸς ὀστοῦν τῆς κεφαλῆς, εἴ τις βιαιότερον ἐπιθλίψειεν, ἀναίσθητοί τε παραχρῆμα γίνονται, καὶ εἰ φλεγμονή τις ἐπιγένοιτο. καὶ ταῦτα μὲν ἀεὶ ὅτι συμβαίνει. ἡ τῆς διανοίας οὖν βλάβη γίνεται διὰ παντός. ἐγκαυθέντων δὲ σφοδρῶς τὴν κεφαλὴν, οὐκ ὀλίγοι παρεφρόνησαν. ἰσχυραῖς τε πληγαῖς εἰς αὐτὴν γενομέναις, ἐν τῷ παραχρῆμα πολλάκις ἠκολούθησε κάρος. ἕτερα τε πολλὰ τοιαῦτα παθήματα περὶ τὴν κεφαλὴν συνιστάμενα, σαφῶς φαίνεται βλάπτοντα τὴν διάνοιαν. ὥστε καὶ τοὺς ἰδιώτας ὅτ' ἂν παραφρονῇ τις, ἢ ὅλως ὁτιοῦν πάσχει κατὰ τὴν διάνοιαν, ἀξιοῦν προνοεῖσθαι τῆς κεφαλῆς. ὅτι μὲν οὖν ἀληθέστατον ἐστὶ τὸ κατάρχον αἰσθήσεώς τε καὶ κινήσεως, τῆς καθ' ὁρμὴν, ἐν ἐγκεφάλῳ καθιδρῦσθαι, καὶ ὅτι τούτου σκεπάσματ' εἰσὶν αἱ μήνιγγες, ἐν ἑτέροις ἀποδέδεικται. νυνὶ δ' ὅπως ἄν τις χωρίσειε τὰ κατὰ πρωτοπάθειαν αὐτῷ συμβεβηκότα, τῶν κατὰ συμπάθειαν ἐπισκεπτέον. ἴδιόν τε γὰρ τοῦτο τῆς προκειμένης πραγματείας. ἥ τε χρεία, πρόδηλος, εἴ γε πρῶτον ἁπάντων ἐστὶν ὡς πρὸς τὰς ἰάσεις, ἐπίστασθαι τίνι χρὴ μορίῳ προσφέρειν τὰ βοηθήματα. πρὶν μὲν γὰρ ἰδίαν τινὰ διάθεσιν ἐν ἐγκεφάλῳ γενέσθαι, κατὰ τὸ συμπάσχειν μόνον αὐτοῦ βλαπτομένου, θεραπευθέντος τοῦ πρωτοπαθοῦντος, οὐδὲν ἂν ἔτι καταλείποιτο τούτῳ σύμπτωμα. γενομένης δέ τινος ἐν αὐτῷ μονίμου διαθέσεως ἐκ τῆς συμπαθείας, οὐ τῷ πρωτοπαθήσαντι μόνῳ τὰ βοηθήματα χρὴ προσφέρειν, ἀλλὰ καὶ τῇ κεφαλῇ. δι' αὐτὸ δὲ τοῦτο, καὶ τὸ διορίζειν ἀκριβῶς, εἴτ' ἐγκέφαλός ἐστιν ὁ πρωτοπαθῶν, εἴτε μήνιγγες, οὐ μεγάλην ἔχει τὴν χρείαν, ἑκατέρως τῇ κεφαλῇ προσφερομένων τῶν βοηθημάτων. οὔκουν τοῦτο χρὴ μάλιστα σπουδάζειν, ἀλλὰ τὴν οὐσίαν τοῦ νοσήματος εὑρίσκειν, ὁποία τίς ἐστιν. εἰ μὲν γὰρ ὑγρὸν εἴη, ξηραίνειν αὐτὸ προσήκει. εἰ δὲ ξηρὸν, ὑγραίνειν. οὕτω δὲ καὶ τὸ μὲν ψυχρὸν, θερμαίνειν. τὸ δὲ θερμὸν, ψύχειν. ἔτι δὲ καὶ εἰ κατά τινα συζυγίαν πεπόνθοι, διὰ τῆς ἐναντίας συζυγίας αὐτὸ θεραπεύειν προσήκει. τὸ μὲν ξηρὸν καὶ θερμὸν, ὑγραίνοντα καὶ ψύχοντα. τὸ δ' ὑγρὸν καὶ ψυχρὸν, ξηραίνοντα καὶ θερμαίνοντα. κἀπὶ τῶν λοιπῶν δυοῖν συζυγιῶν ἀνάλογον. οὕτω δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων νοσημάτων πράττειν, ὧν ἑκάστου τὴν ἰδέαν, ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ἐδήλωσα γράμματι. παραπλησίας οὖν τῆς θεραπείας γενομένης, ἐπὶ τοῖς αὐτοῖς νοσήμασιν ἐγκεφάλῳ τε καὶ μήνιγξι, λογικὴ μᾶλλον ἡ ζήτησις ἐστὶν, ἤπερ εἰς τὰς ἰάσεις χρήσιμος, ἐν ὁποτέρῳ τὸ ἡγεμονικόν. οὐ μὴν εἴ γε κατὰ τὴν καρδίαν ἐστὶν, ἀλλ' ὅλῳ τῷ πράγματι διαφέρουσα. φέρε γὰρ ὑπὸ χολῆς ξανθῆς γίνεσθαι τὴν φρενῖτιν, ἐν τῷ σώματι τῆς καρδίας ἀθροισθείσης τε καὶ διασαπείσης, ἆρ' οὐ ληρεῖν ἂν δόξειεν ὁ καταντλεῖν κελεύων ὀξυροδίνῳ τὴν κεφαλήν. ἐνὸν εἴπερ ἴαμα τὸ φάρμακον τοῦτο, τῆς τὴν φρενῖτιν ἐργαζομένης αἰτίας ἐστὶ, μὴ κεφαλῆς ἀλλὰ θώρακος αὐτὸ καταχεῖν. μηδὲ τούτου παντὸς, ἀλλὰ κατ' ἐκείνου μόνου τοῦ μέρους, ἔνθαπερ ἡ καρδία τέτακται. ταῦτα μὲν οὖν καλῶς ἡμῖν προδιώρισται, καὶ τὸ μὴ μόνον ἐπισκοπεῖσθαι τὸν πεπονθότα τόπον, ἀλλὰ καὶ τὴν βλάπτουσαν αἰτίαν αὐτόν. οἷον εὐθέως, ἔστι μὲν δή που καὶ ἡ παραφροσύνη σύμπτωμα τῆς κατὰ τὸν παραφρονοῦντα τόπον ἐνεργείας. ἔστι δὲ καὶ τὸ κῶμα καὶ ὁ κάρος, ἀλλ' ὑπὸ τῆς ἐναντίας αἰτίας γίνεται. Τὰς μὲν γὰρ ἀγρυπνίας τε καὶ παραφροσύνας, θερμὸν τὴν δύναμιν αἴτιον ἐργάζεται. τὰ δ' ὑπνώδη τε καὶ κωματώδη πάθη πάντα, ψυχρᾶς αἰτίας ἐστὶν ἔγγονα. καὶ τοῦτ' ἔνεστί σοι καταμαθεῖν ἐναργῶς ἀπὸ τῶν φαρμάκων πρῶτον. ὅσα μὲν γὰρ αὐτῶν ἐστὶ ψυχρὰ ναρκοῖ καὶ καροῖ. τὰ θερμὰ δ' ἔμπαλιν ἀγρύπνους τε καὶ πολυκινήτους ἐργάζεται. καὶ τί δεῖ μνημονεύειν ἰσχυρῶν φαρμάκων, ὁρῶντας ὁσημέραι, τὰς μὲν θριδακίνας, καὶ τὰ τῶν ποτίμων τε καὶ θερμῶν ὑδάτων λουτρὰ, καὶ οἴνου πόσιν ὕδατι μετρίως κραθέντος, ὕπνον ἐργαζόμενα, καθάπερ γε καὶ τ' ἄλλ' ὅσα πέφυκεν ὑγραίνειν τε καὶ ψύχειν. τὰ δ' ἐναντία πάντα, τὰς ἀγρυπνίας κατὰ τοῦτό γε τοι καὶ ἡ λεπτὴ δίαιτα, καὶ ὁ ἄκρατος οἶνος, ἀγρυπνητικά. πολὺ δὲ δὴ μᾶλλον, ὅταν ὁ ἄκρατος οἶνος ᾖ φύσει θερμὸς, ἢ παλαιὸς ἱκανῶς. οἷόν τι συνέβη καὶ παρ' ἡμῖν ποτὲ ἐν Περγάμῳ. καὶ κάλλιον γ' αὐτὸ διηγήσασθαι. γραμματικοῦ μὲν ἦν τὸ παιδάριον ἐκεῖνο. καθ' ἑκάστην δ' ἡμέραν εἰς τὸ βαλανεῖον ἀπιὼν ὁ γραμματικὸς, ἅμ' ἑτέρῳ παιδὶ, κατέλειπεν ἔνδον ἐγκλείων αὐτὸ, χάριν τοῦ φυλάττεσθαί τε τὰ κατὰ τὴν οἰκίαν, εὐτρεπίζεσθαί τε τὰ πρὸς τὴν ἐδωδήν. ἀλλὰ διψῆσάν γε ποτὲ σφοδρῶς, εἶτ' ἔνδον οὐκ ἔχον ὕδωρ, ἐξέπιεν οἴνου παλαιοῦ δαψιλὲς, ἐντεῦθέν τε τοῦ λοιποῦ χρόνου παντὸς, ἄγρυπνον ἦν. ὕστερον δὲ καὶ πυρέξαν, ὑπό τε τῶν ἀγρυπνιῶν καὶ τῆς ἐπιγενομένης ἐν αὐτῷ παραφροσύνης διεφθάρη. καὶ τὰ ψυχρότερα δὲ τῶν ζώων, ἐν τῷ χειμῶνι φωλεύει διὰ τὴν ψύξιν, ὅμοια νεκροῖς κείμενα. καὶ τὰς ἐχίδνας ἐστὶν ἰδεῖν τηνικαῦτα, μὴ δ' εἰ ταῖς χερσὶν ἀνελόμενος βαστάζοις, δακνούσας. ὡς ἔν γε τῷ θέρει, καὶ τοῦτο τὸ ζῶον καὶ οἱ ἄλλοι πάντες ὄφεις, μάλιστ' ἐν τοῖς ὑπὸ κύνα καύμασιν ὅταν ἐγκαυθῶσι σφοδρῶς, ἐοίκασι μαινομένοις, ἡσυχάζειν οὐδ' ἐπὶ βραχὺ δυνάμενοι. τοῦτο γοῦν αὐτὸ θεασάμενος αὐτῶν, καὶ ὁ Νίκανδρος, ἔγραψε περὶ τοῦ κεγχρίνου. Μὴ σύ γε θερσαλέος περ ἐὼν θέλε βήμεναι αὐτὴν Μαινομένου κεγχρίνου. περὶ μὲν δὴ τούτων, ἐν ἄλλοις ἐπὶ πλέον εἴρηταί τε καὶ δέδεικται. τὸ μὲν θερμὸν αἴτιον εἰς τὰς κινήσεις ἐπεγεῖρον, ἀγρυπνίας τε διὰ τοῦτο παρέχον. τὸ δὲ ψυχρὸν, ἀργὸν μὲν εἰς τὰς κινήσεις, ὕπνου δὲ καὶ κώματος ἐργαστικόν. ἀλλ' ὅ γε ταῦτα γινώσκων, ὅταν ἄνθρωπον ἴδῃ, κατὰ μὲν τὰς ἀκμὰς τῶν διακαῶν πυρετῶν, ἀγρυπνοῦντά τε καὶ παραφρονοῦντα, κατὰ δὲ τὰς παρακμὰς κοιμώμενόν τε καὶ κατανοοῦντα, λογιεῖται τῆς κεφαλῆς μὲν αὐτῆς, οὐ δὲ μίαν εἶναι διάθεσιν ἰδίαν. ὑπό τε τῆς κατὰ τὸν πυρετὸν θέρμης ἐκπυρούσης αὐτὴν, παραφροσύνην ἐργάζεσθαι. οὕτω δὲ, καὶ τὰ κατὰ περιπνευμονίαν καὶ πλευρῖτιν, ὅταν ἐν τοῖς πυρετοῖς αὐτῶν εἰς ἀκμὴν ἥκουσιν, ἕπηται παραφροσύνη, τῆς κεφαλῆς αὐτῆς ἴδιον οὐκ ἔστι πάθημα. τῷ μονίμῳ γὰρ, ἐχρῆν τεκμαίρεσθαι, τὸ τοῦ μέρους ἴδιον πάθος. ὅθεν εἰ καὶ πλευριτικῷ τινὶ, μόνιμος ἐπιγένηται παραφροσύνη, νοσεῖν ἤδη λογίζου τὴν κεφαλὴν αὐτῶν νόσον ἰδίαν, ὥς τε κἂν κατασβῇ τὸ τῆς πλευρᾶς πάθος, ἐνδέχεσθαι μένειν τὸ τῆς κεφαλῆς. καὶ γὰρ τὸν ἐφ' ἕλκει βα-

ϐῶναι πολλάκις εἴδομεν ὑπομένοντα ἔτι, θεραπευθέντος τοῦ ἕλκους. ὅταν οὖν ἑτέρου ἑτέρῳ διὰ πρώτου πάσχοντι παροξυνομένῳ μὲν σφοδρῶς ἐπιγίνηται, παύηται δὲ μειουμένῳ, κατὰ συμπάθειαν αὐτὸ τεκμαίρου πεπονθέναι. κοινὸν μὲν γὰρ τεκμήριον ἐν. ἴδιον δ' ἐπὶ τῶν κατὰ τὸν ἐγκέφαλον ὡς εἴρηται, τὸ μὴ παραμένειν ἀεὶ τὴν παραφροσύνην, ἀλλὰ διὰ μεγέθει τῶν πυρετῶν ἕπεσθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον, ἐν εἰσβολαῖς παροξυσμῶν πυρετοῦ καρώδεις τινὲς, ἢ κωματώδεις γίνονται, ψυχομένου σφοδρῶς ἐν ἐκείνῳ διὰ καιρῷ τοῦ ἐγκεφάλου. διὰ τὸ προπαρασκευάσθαι πως αὐτὸν εἰς ἑτοιμότητα βλάβης τοιαύτης, ἤτοι δυσκρασίαν μὲν ἔχοντα ψυχράν, οὐ μὴν τοσαύτην γε, ὡς ἡ τῶν εἰρημένων συμπτωμάτων αἰτία δύνασθαι γενέσθαι μόνη, προσελθούσης δὲ κατὰ τὴν ἀρχὴν τοῦ παροξυσμοῦ, μέγεθος ἕξει τηλικοῦτον, ὡς καταφορὰν, ἢ κάρον ἐργάζεσθαι. γίνεται μὲν οὖν ὡς ἔφην τοῦτο, κατὰ δυσκρασίαν ψυχράν. γίνεται δὲ καὶ διὰ φλεγματικὸν χυμὸν ἀθροισθέντα κατὰ τὸν ἐγκέφαλον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ. γ'.

ΠΕΡΙ τῶν πεπονθότων τόπων, οὕτω γὰρ ὀνομάζουσι τὰ μόρια τοῦ σώματος, ὀλίγοι τε τῶν ἰατρῶν ἐπραγματεύσαντο, πλέον τε παρέλιπον ἀνεξέργαστον, ἢ μετεχειρίσαντο. καταλιπὼν οὖν ἐγὼ τοὺς ἄλλους, ἀρχιγένους ἐμνημόνευσα μόνου δικαίως ὑπὲρ ἐκείνους ἅπαντας ἐπῃνημένου, λέγοντός δ' αὐτοῦ βλάπτεσθαι τινὰς ἐνεργείας, ἄνευ τοῦ βλάπτεσθαι τὸ μόριον τοῦ σώματος ἐν ᾧ γίνονται, διορισμοῦ τὸν λόγον ἔφην δεῖσθαι. δύνασθαι γάρ τινα λέγειν ὀρθῶς, εἰ καὶ μὴ μόνιμον ἤδη διάθεσιν ἔχοι, τὸ κατὰ συμπάθειαν ἑτέρου βλαπτόμενον, ἀλλ' ὡς αὐτὸς ἔφη, καθάπερ τινὰ σκιὰν, αὐτὸ γὰρ τὸ πάθος ὑπάρχειν αὐτοῦ. πυρὶ γοῦν οὕτω πλησιάζαντες, ὡς ἐγγὺς μὲν ἥκειν τοῦ καίεσθαι, μὴ μέντοι δὲ καίεσθαι, σφοδρῶς ἀλγοῦμεν, οὐδέπου μηδὲν πάσχοντος τοῦ θερμαινομένου μέρους. οὕτω δὲ καὶ κρύος ἰσχυρὸν ἐν διὰ περιέχοντι γενόμενον, ἢ ψυχρὸν ὕδωρ ἀκραιφνὲς, ἢ χιὼν προσπεσοῦσα, σφοδρὰν, ὀδύνην ἐργάζεται, κἂν ἀποστήσεις τὸ λυποῦν εὐθέως σὺν αὐτῷ, παύεται τὸ πάθημα. βέλτιον οὖν ἐδόκει λέγειν ὥσπερ καὶ αὐτὸ τοὔνομα ἐνδείκνυται, τὸ πάσχειν ἀμηγέπη τὸ συμπάσχον. οὐ γὰρ τὸ μηδόλως πάσχον, ἀλλὰ τὸ σὺν ἑτέρῳ πάσχον, ὑπὸ τῆς συμπάσχον ἑρμηνεύεται φωνῆς. ὡς θ' ὅταν ἐπὶ στομαχικαῖς διαθέσεσιν, ὅμοια τοῖς τῶν ὑποχεομένων κατὰ τοὺς ὀφθαλμοὺς γίνεται συμπτώματα, πάσχειν μὲν αὐτοὺς λεκτέον, ἀναφερομένης ἐπὶ τὴν κεφαλὴν ἀναθυμιάσεως τινὸς καπνώδους, τῶν ἐν τῇ γαστρὶ περιεχομένων χυμῶν. οὐ μὴν ἤδη γέ πω διάθεσιν ἔχειν τοιαύτην, ὡς ἀπελθόντος τοῦ λυποῦντος, ἰδίας ἐπιμελείας δεῖσθαι. τὰ μὲν οὖν τοιαῦτα λογικώτερά πως ἔφην εἶναι. λογικὰ γὰρ ὄντως ἐστὶν, ὅσα τῆς χρείας ἐπέκεινα προερχόμενα, τὴν φύσιν ἀθρεῖ τῶν πραγμάτων ὁποία τις ὑπάρχει κατὰ τὴν οἰκείαν οὐσίαν. οὕτως γοῦν καὶ Χρύσιππος ὁ φιλόσοφος ἔγραψεν περὶ τῶν τῆς ψυχῆς παθῶν ἓν μὲν τὸ θεραπευτικὸν βιβλίον, οὗ μάλιστα χρήζομεν εἰς τὴν ἴασιν αὐτῶν. ἕτερα δὲ τρία λογικὰς ἔχοντα ζητήσεις. ὅπερ δ' ἦν ἄμεινόν τε καὶ πολὺ χρησιμώτερον εἰς τὴν προκειμένην πραγματείαν, οὐκ ἀκριβῶς διήρθρωσεν ὁ ἀρχιγένης, ὁπόσοι τρόποι τῶν βλαπτομένων ἐνεργειῶν εἰσίν. οὕτω γὰρ οἵ τε πρωτοπαθοῦντες, ἢ ἰδιοπαθοῦντες, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, τόποι τοῦ σώματος εὑρεθήσονται, καὶ τῆς ἰάσεως αὐτῶν, εὐπορήσομεν. ἐγὼ δ' ἐπί τε τῶν φωνητικῶν ὀργάνων ἐδείκνυον γὰρ, καὶ τοῦ βλαβέντος εἰς αἴσθησιν τοὺς δακτύλους τῆς χειρὸς, οὐδ' ἐν αὐτοὺς πεπονθότας, ἐφ' οὗ τὸ πρῶτον πάσχον εὑρεθὲν ἐν ἀρχῇ τοῦ μεταφρένου, τὴν προσήκουσαν ἐνεδείξατο θεραπείαν. ἄλλῳ μὲν γὰρ τρόπῳ τῆς γαστρὸς πασχούσης, ὑποχύσεως φαίνεται συμπτώματα. καθ' ἕτερον δὲ τρόπον οὐδὲν τῶν φωνητικῶν ὀργάνων πεπονθότων, ὁ καταπεσὼν ἐξ ὑψηλοῦ τὴν φωνὴν ἐβλάβη. καὶ τούτων γ' ἀμφοτέρων κατ' ἄλλο συμπαθείας εἶδος, ὁ τοὺς δακτύλους ἀναισθήτους ἔχων. ἐπὶ μὲν γὰρ τῶν ὀφθαλμῶν, ἀναφερομένου τινὸς ἐπ' αὐτούς. ἐπὶ δὲ τῆς ἀφωνίας, διὰ τὴν ὕλην τῆς φωνῆς, βεβλάφθαι. τὸ δὲ κατὰ τοὺς δακτύλους σύμπτωμα, μηκέτ' εἰς αὐτοὺς ἀφικνουμένης τῆς αἰσθητικῆς δυνάμεως ἐγένετο. καὶ βέλτιον ἦν εἴπερ ἄρα μηδὲν ὅλως ἡγεῖσθαι πεπονθέναι τὰ φωνητικὰ μόρια καὶ τοὺς δακτύλους, ἤπερ τοὺς ὀφθαλμούς. ἐπ' ἐκείνων μὲν γὰρ αὐτὸ δὴ γὰρ πάθος ἐστὶν, τὸ πληροῦσθαί τινος ἀναθυμιάσεως καπνώδους. ἐπὶ δὲ τῶν φωνητικῶν τε καὶ τῶν δακτύλων, οὐ διὰ παραγίνεσθαί τι παρὰ φύσιν εἰς αὐτοὺς, ἀλλὰ διὰ μὴ παραγίνεσθαι τὸ κατὰ φύσιν ἀφικνούμενον, ἐνέργεια τις βλάπτεται. δύναμις μὲν οὖν αἰσθητικὴ τοῖς δακτύλοις οὐκ ἔτ' ἐπιρρεῖ βλαβείσης τῆς κατὰ τὸν νωτιαῖον ἐκφύσεως τοῦ νεύρου. πνεῦμα δ' ἐκφυσώμενον, ὁ λάρυγξ οὐκέτι δέχεται, τῶν μεσοπλευρίων μυῶν παραλυθέντων. ἀλλ' ὅμως κἀπὶ τούτων ἐγχωρεῖ λέγειν αὐτὸ γὰρ πάθος εἶναι, τὸ μὴ παραγίνεσθαι πρὸς τὰ μόρια, τὸ πρότερον ἡνίκ' εἶχε κατὰ φύσιν ἥκοντα. καὶ γὰρ τῶν κρηνῶν οὐκ ἄν τις ἀλόγως πάθος εἶναι νομίζοι τὸ μηκέτ' ἥκειν ἐπ' αὐτὰς τὸ ὕδωρ. καὶ τῶν ἐκ τῆς γῆς φυομένων δημητρίων φυτῶν τὸν ἄμετρον αὐχμόν. καὶ τῶν ζώων ἀπορίαν τροφῆς ἢ ποτοῦ. τὸ γὰρ ἐλλεῖπον ὁπωσοῦν ἑκάστῳ πρὸς τὴν κατὰ φύσιν αὐτοῦ διοίκησιν, εἰκότως ἄν τις πάθος ἐκείνου νομίζοι. ἀλλὰ ταῦτα μὲν ὡς ἔφην, λογικωτέραν ἔχει τὴν ζήτησιν. ἐπὶ δὲ τῶν βεβλαμμένων τε καὶ ἀπολωλυιῶν ἐνεργειῶν ἡ ἀναγκαία σκέψις ἠμελήται. δυοῖν γὰρ ἢ καὶ τριῶν ἐνεργειῶν ἔσθ' ὅτε τούτων οὐσῶν. ἐνίοτε μὲν ἑνὸς μορίου πεπονθότος τ' ἄλλα συμπάσχοντα, συμβλάπτεται τὰς ἐνεργείας. ἐνίοτε δὲ πάνθ' ὡσαύτως πέπονθεν, ἔστιν δ' ὅτε τὰ μὲν αὐτῶν ἔχει διάθεσιν ἑκτικὴν ὡς ἂν εἴποι τις. τὰ δὲ λοιπὰ, τὴν ὡς ἂν φαίη τις κατὰ σχέσιν. ὑπὲρ ὧν εἴρηται μὲν ἤδη κἀν διὰ δευτέρῳ περὶ τῆς τῶν ζώντων ἀνατομῆς. εἴρηται δ' ἔτι καὶ κατὰ τὸν πρὸ τούτου λόγον.

τοῦ λόγου. εἰρήσεται δὲ καὶ αὖθις ὡς ἂν καὶ τοῦ μέλλοντος ἡμῖν περαίνεσθαι λόγου χρῄζοντος ἐξ ἀνάγκης τοιούτων διορισμῶν. ὃ δὲ ἐστὶ χρήσιμον οὐδὲν ἧττον ἐν τῷδε περὶ τόπων προειρῆσθαι, διὰ τοὺς λόγῳ μὲν ἐπιχειροῦντας ἀποδεικνύειν ἀναγκαίαν τοῖς ἰατροῖς τὴν τῶν πεπονθότων ζήτησιν, ἔργῳ δ' ἀνατρέποντας, ἤδη σοι δίειμι, προχειρισάμενος ἔν τι πάθος ἕνεκα παραδείγματος. ἔστω δὴ τὸν πλευρίτην ἐφ' ἧς ὅτι μὲν ἡ πλευρὰ πέπονθεν, ἔνδειξις ἐκ τοῦ κατ' αὐτὴν ἀλγήματος γίνεται. πότερον δ' ὁ ὑπεζωκὼς ὀνομαζόμενος εἴθ' ὑμὴν, εἴτε χιτὼν, οὐδὲν γὰρ διαφέρει, φλεγμαίνει τοῖς πλευριτικοῖς, ἢ καί τι μόριον ἄλλο περὶ τὰς πλευράς. καὶ πότερον ὁ πνεύμων ἐξ ἀνάγκης καὶ αὐτὸς πέπονθε περὶ τοὺς λοβοὺς, ἢ παντάπασιν ἀπαθής ἐστιν, οὐκ ἀναγκαῖον ἐπίστασθαι φασὶν οἱ τὴν ἐμπειρίαν πρεσβεύοντες. ἑωρακέναι γὰρ ἤδη παμπόλλους πλευριτικοὺς, τοὺς μὲν ἅμα τοῖς διδασκάλοις, τοὺς δ' ὑφ' ἑαυτῶν μόνων θεραπευθέντας, ὡς Ἱπποκράτης ἔγραψεν ἐν τῷ περὶ διαίτης ὀξέων νοσημάτων. ἀκριβῶς τε γιγνώσκειν ἤδη τίνα μὲν αὐτοὺς ὠφελεῖ, τίνα δὲ βλάπτει. καὶ διορισμοὺς ἔχειν ἀναμιμνήσκοντας ἐπὶ σημείων ἐναργῶς φαινομένων, ὧν δεῖ φλέβα τέμνειν, ὧν δὲ μή. καὶ περὶ πυριάσεως δ' αὐτῶν, ἔτι τε καταπλασμάτων, καὶ διαιτημάτων, ὑπαγωγῆς τε γαστρὸς, αὐτάρκη γνῶσιν ἔχειν, ἐκ μακρᾶς πείρας. ὅθεν μὲν οὖν Ἱπποκράτης κινηθεὶς ἤ τις ἄλλος πρὸ αὐτοῦ τὴν εὕρεσιν ἐποιήσατο τῶν βοηθημάτων, ἀγνοεῖν ὁμολογοῦσιν. ἑαυτοῖς δ' ἀρκεῖν φασὶν, τοῖς εὑρημένοις χρῆσθαι προσηκόντως. ὡς καὶ τοὺς ἄλλους τεχνίτας ὁρῶμεν. οὔτε γὰρ ὁ χαλκεὺς, οὔθ' ὁ τέκτων, οὔθ' ὁ σκυτοτόμος, ὅπως εὑρέθησαν αὐτῶν αἱ τέχναι ζητοῦσιν. ἀλλ' ἅγε παρὰ τῶν διδασκάλων ἔμαθον, αὐτοί τε χρώμενοι τῇ πείρᾳ δοκιμάσαντες ἐβεβαιώσαντο, ταῦτα πράττοντες εὐδοκιμοῦσιν. ἐγὼ μὲν οὖν, εἰ χρὴ τ' ἀληθὲς εἰπεῖν, ὅταν ἀκούσω λεγόντων ταῦτα τῶν ἐμπειρικῶν ἰατρῶν, ἡγοῦμαι πάνυ πιθανοὺς εἶναι τοὺς λόγους αὐτῶν. εὐπορῶ τε τὰς πρὸς αὐτοὺς ὑπὸ τῶν δογματικῶν εἰρημένας ἀντιλογίας, οὐ πάνυ τι γενναίας. ὥσπερ δ' ἐν ἅπασι τῶν ἄλλων καθ' ὅλον τὸν βίον ἐμαυτὸν ἀεὶ προπετοῦς συγκαταθέσεως ἐπέσχον, οὕτω καὶ περὶ τούτου ἐζήτησα πολλῷ χρόνῳ, κατ' αὐτὴν τὴν ἐπὶ τῶν νοσούντων εὕρεσιν τῶν βοηθημάτων, εἴτε προσδέομαι τινὸς ἐνδείξεως λογικῆς, εἴτ' ἀρκεῖ μοι τὰ διὰ τῆς πείρας ἐγνωσμένα, παρά τε τοῖς διδασκάλοις, καὶ κατ' ἐμαυτόν. ἅπερ οὖν ἐκεῖνα βέλτιστα, πολλῷ χρόνῳ ζητήσας, ἐπικαλεσάμενος θεοὺς μάρτυρας ἀγορεύσω τοῖς ἀληθείας ἐρῶσιν. οὐδὲ γὰρ αἰτίαν ἔχω τοῦ ψεύδεσθαι, καθάπερ οἱ μανθάνοντες αἵρεσιν μίαν, εἶτα πάντη τε καὶ πάντως ἔνδοξοι κατ' αὐτὴν γενέσθαι προῃρημένοι. τούτοις γὰρ ἀναγκαῖον ἐστὶν φιλονείκως ἀγωνίζεσθαι περὶ τῆς κατὰ τὴν αἵρεσιν ἀληθείας, ἣν μόνην γινώσκουσιν, ὡς ἂν ἐξ ἄλλης ἀγωγῆς λόγων, ἀδυνατοῦσιν πορίζεσθαι δόξαν. ἐγὼ δ' ἔργῳ διελεξάμην ἐν ἐπιδείξεσί τε δημοσίαις, καὶ τῶν βουληθέντων ἥντινοῦν αἵρεσιν ἐκδιδαχθῆναι παρ' ἐμοῦ, μηδενὸς ἧττον, ἵνα μή τι μεῖζον εἴπω, γινώσκων ἁπάσας αὐτάς. οὐ μὴν οὐδὲ λόγων αὐτοσχεδίων ἀπειρία, συναγορεύειν ἑλόμενος αἱρέσει μιᾷ, ῥαδίως ἂν ὑπό τινος ἐξηλέγχθην. ἔμαθον γὰρ οὐκ ἐξ ὑπομνημάτων αὐτὰς, ὥς τινες, ἀλλὰ παρὰ τοῖς πρωτεύουσι διδασκάλοις καθ' ἑκάστην αἵρεσιν. οὔτ' οὖν πρὸς ἐμπειρικούς ἐστί μοι τι μῖσος, ὧν γε τοῖς λόγοις ἐντετράφην οὔτε πρὸς δογματικῶν τινάς. ὁμοτίμως τε γὰρ ἐσπούδασα τὰ πάντων ἐκμαθεῖν, ἐφοίτησά τε τοῖς ἐνδοξοτάτοις διδασκάλοις καθ' ἑκάστην αἵρεσιν. ἀπό τε τῶν ἔργων τῆς τέχνης ἐγνώσθην, οὐκ ἀπὸ λόγων σοφιστικῶν, τοῖς τ' ἄλλοις τῶν ἐν Ῥώμῃ πρώτων ἀνδρῶν καὶ πᾶσιν ἐφεξῆς τοῖς αὐτοκράτορσιν. ὥστ' οὐδὲν ἄν μοι λείποι πρὸς τὸ μὴ οὐ λέγειν ἀληθῶς, ἃ φρονῶ καθ' ἑκάστην αἵρεσιν. εὗρον οὖν ἐπὶ τῶν ἔργων, τὴν διὰ τῆς ἀληθοῦς ἐνδείξεως εὕρεσιν τῶν βοηθημάτων, ἐν τοῖς σπανίως συμβαίνουσιν, πλεονεκτοῦσαν τῆς ἐμπειρικῆς γνώσεως. καὶ διὰ τοῦτο τοῖς ἐναντιωτάτοις βοηθήμασιν, ἐνίοτε τῶν ἐκ τῆς ἐμπειρίας ἐγνωσμένων ἐθεράπευσα πολλὰ τῶν παθῶν, ἅπερ ἐπὶ πλέον ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ διέρχομαι. νυνὶ δ' εἰρήσεται μόνα τὰ πρὸς τὴν ἐνεστῶσαν ὑπόθεσιν χρήσιμα. τὰς γάρ τοι τῶν ἐνεργειῶν βλάβας εὗρον, οὐ μόνον ἐπὶ τοῖς ὁμοιομερέσιν, ὑφ' ὧν γίνονται, νοσοῦσιν βλαπτομένας, ἀλλὰ κἀπὶ τοῖς ἄλλοις μορίοις ὧν χρεία μέν τις ἐστὶν, ἐνέργεια δ' οὐκ ἔστιν. εὗρον δὲ καὶ τὰ τῶν ὀργανικῶν μορίων νοσήματα βλάπτοντα τὰς ἐνεργείας. ἐπὶ τούτοις προεγνωσμένοις, ἑξῆς εὗρον ἔνια μὲν νοσήματα, συνεχῶς γινόμενα τοῖς πολλοῖς τῶν ἀνθρώπων. ἔνια δὲ, σπανίως· τὴν δ' ἐμπειρικὴν ἰατρείαν ἑώρων, οὐ τὸ σπάνιον, ἀλλὰ τὸ πολλάκις συμβαῖνον, ἐν μνήμῃ τε καὶ μιμήσει τιθεμένην, καὶ διὰ τοῦτ' ἠμελημένας τῶν σπανίων διαθέσεων, οὐ μόνον τὰς θεραπείας, ἀλλὰ καὶ τὰς προηγουμένας αὐτῶν διαγνώσεις. ὅπως οὖν χρὴ διαγιγνώσκειν αὐτὰς πρῶτον ἐζήτησα, καὶ τούτων τινὰς μὲν ἐπιστημονικὴν διάγνωσιν ἐχούσας εὗρον. ἐνίας δ' ὑποπεπτωκυίας τῷ καλουμένῳ τεχνικῷ στοχασμῷ. καὶ διὰ τοῦτο καὶ αὐτὰς ὡς τὸ πολὺ κατορθουμένας. ἡ γὰρ τοῦ τεχνικοῦ στοχασμοῦ δύναμις τοιαύτη τίς ἐστιν. ἀλλὰ καὶ ταύτας, καὶ πρὸ τούτων ὅσαι τῶν σπανίων διαθέσεων ἐπιστημονικὴν διάγνωσιν ἔχουσιν, εὗρον ἀεὶ δεομένας τῆς τῶν πεπονθότων μορίων διαγνώσεως. ἐγὼ μὲν οὕτως ἰατρεύων, ἄχρι γήρως οὐδέ πω μέχρι σήμερον ἠσχημόνησα περὶ θεραπείαν, ἢ πρόγνωσιν, ὡς ἄλλους πολλοὺς εἶδον ἐνδοξοτάτους ἰατρούς. εἰ δέ τις ἐθέλει καὶ αὐτὸς ἀπὸ τῶν ἔργων τῆς τέχνης, οὐκ ἀπὸ λόγων σοφιστικῶν ἔνδοξος γενέσθαι, πάρεστι τούτῳ χωρὶς ταλαιπωρίας, ἀναλέγεσθαι τὰ πρὸς ἡμῶν εὑρημένα μετὰ πολλῆς ζητήσεως ἐν ὅλῳ τῷ βίῳ. γινωσκέτω τοιγαροῦν οὗτος ἐν τοῖς σπανίοις πάθεσιν, ἐν οἷς οὔτε διδάσκαλον εἶδον ἰασάμενον τινὰ τῶν πασχόντων, οὔτ' αὐτός ποτε ἐπειράθη βοηθήματος, ὁδῷ τοιαύτῃ με χρησάμενον εἰς τὴν τῶν ἰαμάτων εὕρεσιν. ἔστωσαν οὖν μοι, καὶ νῦν θεοὶ, τοῦ λόγου μάρτυρες. ἐζήτησα γὰρ ἀεὶ τίνος τόπου πεπονθότος, ἢ τίνος αὐτῷ συμπάσχοντος ἡ τῆς ἐνεργείας ἐγένετο βλάβη, καὶ πείσας ἐμαυτὸν εὑρηκέναι τὸ μόριον, ἐφεξῆς ἐζήτησα τὴν διάθεσιν αὐτοῦ, κἀκ τούτων εὐθὺς ἀμφοτέρων ἔλαβον ἔνδειξιν, ὅλου τοῦ τῆς θεραπείας γένους, εἴς τε τὸ ποσὸν, καὶ τὸ ποιὸν τῶν βοηθημάτων, καὶ τὴν τῶν ἐπιτηδείων ὑλῶν εὕρεσιν. ἐπισκοπούμενος ἅμα τοῖσδε, τὴν ἡλικίαν τε καὶ φύσιν τοῦ κάμνοντος, ὥραν τε καὶ χώραν, καὶ τ' ἄλλα ὅσα πολλάκις ἤδη λέλεκται, κατὰ τὴν Ἱπποκρατείων βιβλίων ἐξήγησιν. ἀλλ' ὁ πεπονθὼς τόπος, εἴ τι μεμνήμεθα τῶν ἐν τοῖς πρὸ τοῦδε δύο βιβλίοις, ἔκ τε τῶν ἐκκρινομένων ἐγνωρίζετο, καὶ τῶν ἐπιφερομένων τοῖς πάσχουσι μέρεσι, καὶ τῶν ἐνεργειῶν τῆς βλάβης. ἐν οἷς περιέχεται καὶ τὰ παρὰ φύσιν χρώματά τε καὶ σχήματα. ὄντων τε τῶν ἐκκρινομένων καὶ αὐτῶν τῷ γένει τριττῶν, ἤτοι γὰρ τῶν πεπονθότων τόπων ἐκκρίνεται μόρια, διαλυομένης αὐτῶν, ἢ ἀποθρυπτομένης τῆς οὐσίας, ἤ τι τῶν

περιεχομένων ἐν αὐτοῖς, ἢ τι τῶν ταῖς νοσώδεσι διαθέσεσιν ἑπομένων, ἢ μόναις, ἢ διὰ παντὸς, ἢ ὡς ἐπὶ τὸ πολὺ. τῶν μὲν ἄλλων οὐδὲν ηὕρισκον ἐπὶ τίνων παθῶν, μόνη δέ μοι τηνικαῦτα τῆς εὑρέσεως τῶν πεπονθότων μορίων ὁδὸς ὑπελείπετο, ἡ διὰ τῆς βεβλαμμένης ἐνεργείας.

De Memoria perdita.

εἰς ἀνάγκην οὖν ποτε καταστὰς ἀνακτήσασθαι τινὸς ἀπολωλυῖαν μνήμην, ἔτι νεώτερος ὢν, οὔτε τῶν διδασκάλων ἑωρακώς τινα θεραπεύοντα τοῦτο τὸ πάθος, οὔτ' ἀνεγνωκὼς παρά τινι τῶν ἀρχαίων, τὴν ἴασιν ἐζήτουν κατ' ἐμαυτόν. πρῶτον μὲν εὑρεῖν τίς ἂν εἴη ὁ πεπονθὼς τόπος, ᾧ προσάξω τὰ καλούμενα τοπικὰ βοηθήματα, μετὰ τὴν τοῦ παντὸς σώματος ἐπιμέλειαν δηλονότι. κοινὴ γὰρ αὕτη πάντων ἐστὶ τῶν παθῶν. εἶθ' ἑξῆς ἦν τίνος ὁδοῦ τῶν ἰαμάτων ἕκαστον εὑρήσω. τὸν μὲν δὴ πεπονθότα τόπον ἡγούμην εἶναι τὸν αὐτὸν τῷ τὸ καλούμενον ἡγεμονικὸν ἐν ἑαυτῷ περιέχοντι, τὰ δ' ἰάματα τῇ κατ' αὐτὸν ἐναντίᾳ διαθέσει. παυσαμένους τοίνυν ἀξιῶ πάντας, ὅσοι τοῖσδε τοῖς γράμμασιν ὁμιλοῦσι, τῆς ψώρας, ἢ λύττης, ἢ μανίας, ἣν ἔχουσι περὶ τὰς αἱρέσεις, ὡς ἀνθρώπους σώφρονας ἐπισκέψασθαι τὴν ἀκολουθίαν τῶν ἐφεξῆς εἰρησομένων. ἐν ᾧ γὰρ ἐσκοπούμην ἃ εἴρηκα, πυθόμενος ὑπ' ἀρχιγένει τι γεγράφθαι βιβλίον, ἔνθα διδάσκει μνήμης βεβλαμμένης ἀνάκτησιν, εὐθέως περιῆλθον ἁπάσας μὲν τὰς βιβλιοθήκας, ἅπαντας δὲ τοὺς βιβλιοπώλας, ἅπαντας δ' οὓς ᾔδειν ἰατροὺς ἐσπουδακότας περὶ τὰ συγγράμματα τοῦ ἀνδρὸς, εὐπορῆσαι τοῦ βιβλίου προῃρημένος, ὅπως μοι τι συντελέσειεν, πρὸς τὴν τῶν βοηθημάτων εὕρεσιν ἢ τοῦ τόπου τοῦ πεπονθότος. ἄντικρυς γὰρ ἠγούμην ὑπ' αὐτοῦ λελέχθαι τὸν τόπον τοῦτον, οὐκ ἄλλον τινὰ παρὰ τὴν καρδίαν. ἐπειδὴ κατὰ ταύτην, ἡ αἵρεσις αὐτοῦ τὸ τῆς ψυχῆς ἡγεμονικὸν εἶναι πεπίστευκεν. ἐζήτουν δ' ἐγνωκέναι τίνα δυσκρασίαν αὐτὴν αἰτίαν ὑπείληφεν εἶναι τοῦ πάθους. οὐδὲ γὰρ ὅτι δυσκρασίαν τινὰ εἶναι νενόμικεν, ἠμφίβαλλον, εἰδὼς τὴν αἵρεσιν τοῦ ἀνδρός. ἀλλ' ἐπειδὴ δυσκρασίας ᾔδειν ὀκτὼ καθ' ἕκαστον μόριον συνισταμένας, τέτταρας μὲν ἁπλᾶς, τέτταρας δὲ συνθέτους, ἐπεθύμουν γνῶναι τίνα τούτων ὁ ἀρχιγένης ἀπεφήνατο τῆς βεβλαμμένης ἐνεργείας αἰτίαν εἶναι. πότερα ψύξιν, ἢ ὑγρότητα τοῦ κατὰ τὴν καρδίαν πνεύματος, ἢ σύνθετον ἐκ ψύξεώς τε καὶ ὑγρότητος, ἢ ξηρότητα μετὰ ψύξεως ὑπολαμβάνει δύνασθαι τὸ πάθος ἐργάζεσθαι τοῦτο. πρόδηλον γὰρ ἦν, ὅτι τῆς θερμότητος ἀρκέσει. τί ποτ' οὖν μοι συνέβη, τοῖς ὡς ἔφην ἀντιθεμένοις τὴν τῆς αἱρέσεως μανίαν, ἐφεξῆς φράσω. παραγράψας αὐτὰς τὰς πρώτας ῥήσεις τοῦ βιβλίου, καθ' ὃ θεραπείαν ὁ ἀρχιγένης ἔγραψεν, τῆς ἐπιλησμοσύνης, ἢ λήθης, ἢ μνήμης ἀπωλείας, ἢ βλάβης, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλει τὸ προκείμενον ἐν τῷ λόγῳ πάθος. ἢ εἰ μὴ πάθος, ἀλλὰ νόσον, ἢ σύμπτωμα, ἢ ἀρρώστημα. ταῦτα γὰρ οἱ σοφισταὶ ζητοῦσιν, μὴ ὅτι μικρὸν, ἀλλὰ μηδὲ τοὐλάχιστον εἰς τὴν θεραπείαν συντελοῦντα. σαφηνείας δὲ ἕνεκα τῶν μελλόντων εἰρήσεσθαι τοσοῦτον προειπεῖν ἀναγκαῖόν ἐστιν, ὅτι βιβλίων ἀρχιγένους γεγραμμένων ἐπιστολικῶν ἐν δέκα τὸν ἀριθμὸν, ἐν τῷ πρώτῳ γέγραπται πρὸς μάρσον ἐπιστολὴ, δι' ἧς αὐτῷ συμβουλεύει περὶ τοῦ πατρὸς ὅπως ἀνακτήσηται τὴν μνήμην αὐτῷ. ἐν ἀρχῇ μὲν οὖν αὐτῆς μετὰ τὸ προοίμιον ὁπότε τῆς θεραπείας ἄρχεσθαι μέλλει, γέγραπται ταῦτα κατὰ λέξιν. ἀφαίρεσιν μὲν οὖν αἵματος σύμμετρον καὶ ἐπαφαίρεσιν πεποιῆσθαι ἡμᾶς ἀρχομένης τῆς ἀπολήψεως πέπεισμαι, εἰ μή τις ἀσθένεια γέγονεν ἐμποδών. εἶτ' ἐφεξῆς πάλιν. οἶμαι δὲ ὅτι καὶ ἐμβρέγμασί τε κατὰ καιρὸν χρήσασθε, καὶ θάλψεσι μὲν, ὅλου τοῦ σώματος, ψιλώσει τε τῆς κεφαλῆς, καὶ σικυῶν προσβολῇ. ταῦτ' ἀναγνοὺς ἐσκοτοδινίασα. χρὴ γὰρ ἴσως εἰπεῖν μετ' ἀληθείας. πῶς δ' οὐκ ἔμελλον, ἁμαρτὼν τῆς ἐλπίδος ἣν ἤλπιζον παρ' ἀνδρὸς ἔσεσθαί μοι, μυριάκις ἐν πολλοῖς συγγράμμασιν τήν τε τῶν πεπονθότων τόπων ἐπιστήμην, καὶ τὴν τῆς διαθέσεως αὐτῶν ἀναγκαίαν εἶναι φάσκοντος, εἰς τὸ καλῶς ἰᾶσθαι τὰς νόσους. πῶς γὰρ ἂν ἔτι χρήσιμοι πρὸς τοῦτ' εἶεν, εἰ μὴ τὴν ἀπ' αὐτῶν τις ἔνδειξιν ἐπιδείξειεν ἡγεῖσθαι τῆς τῶν βοηθημάτων εὑρέσεως. ἐκ τίνος ἀρχιγένους λόγου πιθανοῦ πεισθέντος ἐπὶ τὴν κεφαλὴν ἀφιξόμεθα, τὴν καρδίαν ἀφέντες; ἧς ἓν μέν τι τῶν συμφύτων ἔργων ἐστὶ, τὸ μεμνῆσθαι. τὸ πάθος δὲ τῆς ἐνεργείας ἐστὶν ἡ ταύτης ἀπώλεια. τίνα δὲ διάθεσιν, ἡ τῇ κεφαλῇ προσφερομένη σικύα, θεραπεύουσα τὴν μνήμην ἀνακαλέσεται; τίνι λόγῳ τὰ βοηθήματα ταῦτα συνεβούλευσας; ὡς ἔγωγε καὶ νῦν ἔτι θεῶμαι κατὰ τὰς τῶν νοσούντων ἐπισκέψεις τοὺς ἰατροὺς ἐν τῇ κοινολογίᾳ πυνθανομένους ἀλλήλων, κατὰ τίνα λόγον, τόδε βοήθημα πρὸς τόδε συνεβούλευσεν, ἄχρι καὶ τῶν σμικροτάτων τοῦτο δρῶντας, οὐ τῶν οὕτω μεγάλων ὁποῖόν ἐστι σικύα προσφερομένη τῇ κεφαλῇ. ἐγὼ μὲν οὖν οὐδ' εἰ τῷ θώρακι προσήγετο, καθ' ὃ μόριος ἡ καρδία τέτακται, λόγον εἰπεῖν εὑρίσκω δι' ὃν ὀνήσειεν ἄν τι τὸν τοῦ μάρσου πατέρα. μετὰ τοῦ μηδὲ εἰ τῷ θώρακι προσῆγε, πότερον μετ' ἀμυχῶν τὰς σικύας, ἢ χωρὶς τούτων ἐβούλετο προσβεβλῆσθαι, δεδηλῶσθαι διὰ τῆς ἀρτίως εἰρημένης ῥήσεως. δυναμένης γὰρ εἰ οὕτως ἔτυχεν τῆς διαθέσεως ψυχρᾶς καὶ ξηρᾶς εἶναι, τὸ μὲν αἵματος ἀφελεῖν ἔσχατον κακόν ἐστιν. τὸ δὲ σικύαις μόναις χρῆσθαι χωρὶς μὲν τοῦ θερμῆναι, χρήσιμον, ἄλλως δ' οὐδαμῶς. ἐπισπῶνται γὰρ ἐκ τοῦ βάθους εἰς αὐτὰ αἱ σικύαι τὴν ὑγρότητα, τοῦτο δ' ἐναντιώτατόν ἐστι διαθέσει ξηρᾷ. μὴ γινωσκόντων οὖν ἡμῶν μηδέπω, τίς ἦν ἡ διάθεσις, ἐν τοῖς κατὰ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας χωρίοις, οὐκ ἀσφαλὲς ἦν ἔξω τοῦ κρανίου ποιεῖσθαι τὴν ἀντίσπασιν. προῃρηκέναι τοιγαροῦν ἐχρῆν αὐτὸν ὡδί πως. ἐπειδὴ ψυχρὸν ἐστὶ καὶ ὑγρὸν τὸ πάθος ἐν τῇ κεφαλῇ, τοιαύτης γινομένης διαθέσεως εἴη μὲν ἂν ἐν τῷ θερμαίνειν καὶ ξηραίνειν, τὸ τῆς θεραπείας κεφάλαιον. ὕλαις δ' ἄν τις εἰς τοῦτο βοηθημάτων χρήσαιτο τοιαῖσδε. μόγις γοῦν ἐπεγείρας ἐμαυτὸν ἐκ τῆς σκοτοδινίας ἐπὶ τὴν τῶν ἐφεξῆς γεγραμμένων ἀνάγνωσιν ἧκον, ἐνδέχεσθαι νομίζων εἰ καὶ μὴ κατὰ τάξιν, ἀλλ' οὖν γε παρὰ τάξιν εἰρῆσθαι τινὰ τοιοῦτον λόγον, οἷον ἄρτι διῆλθον ἐπὶ τοῦ παραδείγματος. καὶ τοίνυν εὗρον ἅπαντα τῶν βοηθημάτων τὸν κατάλογον ἱκανῶς θερμαίνοντά τε καὶ ξηραίνοντα, μέχρι τοῦ καὶ τῷ καλουμένῳ πρὸς αὐτοῦ σιναπισμῷ, καὶ ὅλην κεφαλὴν ἐκέλευε θερμαίνειν, καὶ τούτῳ γ' αὖ τῷ σφοδροτάτῳ. κελεύει γὰρ ἀρθέντος τοῦ νάπυος, νίτρῳ καταπάσαντας τὴν κεφαλὴν, ἔπειθ' ὕδατι καταντλεῖν θερμῷ, οὗ βοήθημα βιαιότερον οὐδὲν ἂν εὕροις ἄλλο τῶν κατ' ἰατρικήν. ὁμοίαν μὲν γὰρ ἔχει τὴν ὀδύνην καυτηρίῳ, πολυχρονιωτέραν δὲ τὴν ἐνέργειαν. ἀμέλει καὶ αὐτὸς ὁ ἀρχιγένης ἐπιφορῶν ἔφη, δυσυπομόνητον μὲν οὖν ἔχει τὴν ὀδύνην. ἀλλ' οὐδενὸς χεῖρόν ἐστι τοῦτο τῶν μεγίστων βοηθημάτων. καὶ μὴν καὶ διὰ νάπυος καὶ καρδάμου καὶ κόκκου κνιδίου καὶ σταφίδος ἀγρίας, ἀποφλεγματισμοὺς ποιεῖσθαι συμβουλεύει, καὶ πταρμικοῖς χρῆσθαι κελεύει καὶ προποτισμοῖς, διὰ τῶν ἱκανῶς θερμαινόντων τε καὶ ξηραι-

νόντων

νόντων φαρμάκων ἀμφότερα τὰ βοηθήματα ποιούμενος. ὡς εἶναι δῆλον αὐτὸν, ὑγρότητα καὶ ψῦξιν ἡγούμενον εἶναι τὴν διάθεσιν, ἤτοι περὶ τὸν ἐγκέφαλον, ἢ τὰς μήνιγγας. οὐ γὰρ δὴ κατά γε τὸ κρανίον ἡ τοιαύτη διάθεσις γινομένη τῆς μνήμης ἀφαιρήσεται τὸν ἄνθρωπον. ἀλλὰ ταῦτα μὲν εἰρήσθω κατὰ τὸ πάρεργον, ὡς οὐδαμόθι δείξας ὑγρότητι καὶ ψύξει γίνεσθαι τὴν ἐπιλησμοσύνην, ἔπειτα ξηραίνοντα καὶ θερμαίνοντα βοηθήματα πάρεισι. τὸ δὲ τῇ κεφαλῇ τοσαῦτα πράγματα παρέχειν ἑτέρου πεπονθότος μορίου, πῶς οὐκ ἄν τις ἀγανακτήσειεν; περὶ γοῦν τῶν σικύων τῇ κεφαλῇ προσβολῆς ὧν ἀδιορίστως ἐμνημόνευσεν ἐν ἀρχῇ τοῦ λόγου μετὰ ταῦτα προελθὼν, ἔγραψε σαφέστατα τήνδε τὴν λέξιν. ἐρεθισμός τε διὰ νάπυος καὶ σικυῶν κούφων τὰ πολλὰ μὲν ἠπίων, ὅτε δὲ καὶ πάνυ εὐτόνων. ἀνυτικώτεραι δ' εἰσὶν αἱ μετ' ἀμύξεως. ἀλλὰ πάντα τε ταῦτα κατ' οὐδένα λόγον, ἀρχιγένους γενναιότατε τῇ κεφαλῇ προσφέρεις, ἐν καρδίᾳ τοῦ πάθους ὄντος. οὐδὲ γὰρ ἐκ πείρας ἵνα τι καὶ πρὸς σοῦ ἐμπειρικὸς εἴπω, τὸ τούτων εὑρῆσθαί τι δύναται. καυσούμενος μὲν γὰρ ἄνθρωπος ἐν πυρετῷ διακαεῖ, ψυχρὸν ὕδωρ ὑπ' ἀκρασίας προσενεγκάμενος, ὤνητο μὲν αὐτὸς ποτὲ, μιμήσεως δ' ἀρχὴν ἰατροῖς παρέσχεν ἄνευ λογικῆς ἐνδείξεως. ἡ δὲ τῆς σικύας πρόσθεσις, οὐδεμίαν ἔχει περίπτωσιν ἡγουμένην. ἀλλ' ἐκ λογικῆς ἐνδείξεως ἅπασα γέγονεν, μή τι αὐτό ποτε δυναμένης τῆς σικύας αὐτομάτως γεννηθῆναι. μὴ τί εἰ καὶ τοῦτό τις συγχωρήσειε, κολληθῆναί ποτε τῇ κεφαλῇ κατὰ περίπτωσιν, καὶ μάλιστα ἐπὶ πάθους σπανίου. τῶν γοῦν καθ' ἡμᾶς ἰατρῶν ὅσοι γέροντές εἰσι καὶ τριβακοί πως φαινόμενοι, εἴ τινος ἐθεράπευσαν ποτὲ τοιοῦτο πάθος, ὀλίγου δεῖν ἁπάντων ἠκούσαμεν μὴ δ' ἐπικεχειρηκέναι λεγόντων, μόνος δ' εἷς ἔφη τολμῆσαι μὲν ἐπὶ τὴν θεραπείαν ἐλθεῖν, ἀνύσαι δὲ μηδὲν ἐπ' αὐτῇ. πῶς οὖν ἐκ πείρας μιμητικῆς τῶν κατὰ περίπτωσιν ὀφθέντων ἡ τοῦ βοηθήματος ἐγένετο γνῶσις; αὐτοῦ γε τοῦ πάθους σπανίως τινὶ συμβαίνοντος, αὐτομάτως τε τῆς σικύας τῇ κεφαλῇ κολληθῆναι κατὰ περίπτωσιν οὐδέ ποτε δυναμένης. ψυχροῦ μὲν γὰρ πόσις, ἕκαστόν τε τῶν τοιούτων βοηθημάτων, ὧν ὁ συμβ' α πείρας ἔχομεν, ἐπὶ πολλῶν πολλάκις ἐκ πείρας εὑρῆσθαι δύναται μιμητικῶς. ἡ δὲ τῆς σικύας προσβολὴ μετ' ἀμυχῶν ἢ ἄνευ τούτων, οὐδεμίαν ἐκ πείρας ἀφορμὴν ἐσχηκέναι δύναται. οὐ δὴ γὰρ ὥσπερ ἐπ' ἄλλων παθῶν πολλῶν ὁ πεπονθὼς τόπος, εἰ καὶ μὴ πρὸς ἀκρίβειαν, ἀλλὰ πρός γε τὴν τῶν βοηθημάτων αὐτῷ προσφορὰν, αὐτάρκως φαίνεται δι' αἰσθήσεως, οὕτω κἀπὶ τῆς μνήμης. ἄλλων δὲ λέγω παθῶν τῶν τοιῶνδε, πλευρίτιδος, περιπνευμονίας, νεφρίτιδος, κωλικῆς διαθέσεως, ἡπατικῆς, σπληνικῆς, ἢ περὶ κύστιν, ἢ μήτραν, ἤ τι τοιοῦτον μόριον ἕτερον, ἐφ' ὧν ἁπάντων αἵ τ' ὀδύναι, καὶ τὰ διὰ τῶν πόρων ἐκκρινόμενα τὸν πεπονθότα τόπον, εἰ καὶ μὴ κατὰ τὸ ἀκριβέστατον, ἀλλ' ἐν πλάτει γε διασημαίνουσι. κατά τε γὰρ τῆς πλευρᾶς ὅλης, ἐν πλευριτικοῖς ἐπιθεῖναι ῥᾷστόν ἐστιν ὅτι περ ἂν βουληθῇς. ἐπί τε τῆς κοιλίας, ἐν κωλικοῖς, ὥσπερ καὶ κατὰ τῶν ὑποχονδρίων ἐφ' ἥπατός τε καὶ σπληνὸς φλεγμοναῖς. ὡσαύτως δὲ καὶ τῶν ἄλλων μορίων. ἔνθα δὲ ἀπόλλυσιν ἡ μνήμη, σημεῖον οὐδέν ἐστι τοῦ τόπου πεπονθότος, οὐκ ὄγκος, παρὰ φύσιν, οὐκ ὀδύνη τις, οὐκ ἔκκρισις, οὐκ ἄλλο οὐδὲν, ὥσπερ γε καὶ ἐπὶ μελαγχολίας, καὶ φρενίτιδος, καὶ μανίας, ἐπιληψίας τε, καὶ ληθάργου, καὶ κάρου καὶ τῆς ὀνομαζομένης ὑπὸ τῶν νεωτέρων ἰατρῶν κατοχῆς τε καὶ καταλήψεως ἀλλ' οὐδὲ τῶν ὅλου τοῦ σώματος σπασμῶν, ἢ παλμῶν, ἢ τῆς ἐξ ἡμίσεως αὐτοῦ μορίου παραλύσεως, ἢ οἷον ῥίζα, προβάλλει τι σημεῖον. οὔτε δι' ὄγκου παρὰ φύσιν οὔτε δι' ὀδύνης, οὔτε διὰ χρώματος ἐξηλλαγμένου παρὰ τὸ πρόσθεν, ἢ διά τινος τῶν ἐκκρινομένων ὥστ' οὐδ' ἐπὶ τούτων ἡ ἀρχιγενικὴ τῶν βοηθημάτων εὕρεσις, δύναται γενέσθαι. ληρώδους μὲν οὔσης, τῆς τῶν ἐμπειρικῶν περιπτώσεως. τοῦ δ' ἀρχιγενείου λόγου, πρὸς τὴν καρδίαν ἡμᾶς ὁδηγοῦντος. ἀλλὰ δῆτα συγκεχωρείσθω τὴν πεῖραν εὑρηκέναι τὰ βοηθήματα τῶν εἰρημένων παθῶν, ἆρ' οὐ φανερῶς ἔλεγχος ἐστὶ τῆς ψευδοῦς ἀλαζονείας τῶν δογματικῶν ἀνδρῶν, οὐδ' οὗτος αὐτὸς ἁπλοῦς, ἀλλὰ διττὸς καὶ ἰσχυρὸς ἑκάτερος. ἐκ γὰρ τοῦ τὴν πεῖραν οὕτως εἶναι χρήσιμον, ὡς μὴ μόνον εὑρίσκειν ἄνευ λόγου τὰς ἰάσεις, ἀλλὰ καὶ διελέγχειν αὐτὸν, ὡς ἐστι προφανῶς ψευδὴς, οὐ μόνον ἄχρηστος ὁ λόγος, ἀλλὰ καὶ πρὸς κακοῦ φαίνεται τοῖς δογματικοῖς ἰατροῖς ἐπιτηδευόμενος. ἤρκει μὲν οὖν, ὥς φασι, καὶ ὁ περὶ τῆς ἀχρηστίας ἔλεγχος. ὁπότε δὲ καὶ βλάπτων ὁ λόγος φαίνεται, τί ἂν ἔτι μεῖζον ἔχοι τις εἰπεῖν εἰς τὴν μοχθηρίαν αὐτοῦ; οἱ πολλοὶ γοῦν λόγοι περὶ ψυχῆς ἡγεμονικοῦ διαλεκτικῶς ἐρωτηθέντες, ἅμα τοῖς περὶ τῆς τῶν πεπονθότων τόπων εὐχρηστίας, ἐνδεικνύμενοι τῇ καρδίᾳ προσφέρειν ἐπὶ τῶν ψυχικῶν παθῶν τὰ βοηθήματα, κατεφρονήθησαν ἐξαίφνης ὑπὸ τοῦ τριβακωτάτου περὶ τὰς θεραπείας ἀρχιγένους. ὡς ἐᾶσαι μὲν, ὅλως τὰ κατὰ τὸν θώρακα μόρια, τὴν κεφαλὴν δὲ σικυάζειν καὶ κατατέμνειν καὶ κατακαίειν οὐδὲν πεπονθυῖαν. ἆρ' οὖν ὦ πρὸς Διὸς, ἐψευσάμην ὀλίγον ἔμπροσθεν εἰπὼν, ἐσχάτην προδοσίαν γίνεσθαι τῆς λογικῆς ὁδοῦ πρὸς τὴν τῶν βοηθημάτων εὕρεσιν, ὑπὸ τῶν τὴν πατρίδα μᾶλλον ἢ δόγμα προδοῦναι πεπεισμένων; προδοσία γὰρ αὐτοῖς εἶναι δοκεῖ τἀληθῆ λέγειν, ὅταν μέλλωσι διαφωνεῖν τοῖς ἀπὸ τῆς τοιαύτης αἱρέσεως. ὥσπερ δ' ἐνταῦθα φιλονεικίαν αἰσχρὰν ἐπιδείκνυται προφανῶς, οὕτως ἄνοιαν, ὅταν οἴονται πάνθ' ἑαυτῶν φυλάττεσθαι τὰ δόγματα, κἂν ἐν ὁτιοῦν ἐλεγχθῇ. ἔνια μὲν γὰρ ἀλλήλοις ἀκολουθεῖ, καθάπερ γε πάλιν ἕτερα μάχεται. τινὰ δ' οὔτ' ἀκολουθίαν, οὔτε μάχην ἀναγκαίαν ἔχει. καθάπερ αὖ τὸ τοῦτο τὸ περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ. ἐάν τε γὰρ ἐν καρδίᾳ τις, ἐάν τ' ἐν ἐγκεφάλῳ περιέχεσθαι τοῦτό φησι, δυνατόν ἐστιν αὐτῷ καὶ περὶ τῶν φυσικῶν στοιχείων ἣν ἂν ἐθελήσῃ δόξαν ἑλομένῳ, μήτε μάχεσθαι τούτῳ, μήτ' ἀκολουθεῖν. καὶ περὶ γενέσεως καὶ φθορᾶς ὁμοίως. ὥσπερ γε καὶ περὶ ψυχῆς οὐσίας, καὶ περὶ θεῶν, καὶ προνοίας, καὶ εἱμαρμένης, καὶ τοῦ γεννητὸν εἶναι τὸν κόσμον, ἢ ἀγέννητον, ἄπειρόν τε τὸ πᾶν ἢ πεπερασμένον, ἢ πολλοὺς εἶναι κόσμους, ἢ ἀπεριλήπτους κατὰ τὸν ἀριθμὸν, ἢ ἕνα μόνον τοῦτον. οὐδενὶ γὰρ ὧν εἴρηκα δογμάτων, οὔτ' ἀκολουθία τίς ἐστιν, οὔτε μάχη πρὸς τὸ τῆς ψυχῆς ἡγεμονικόν. ἐάν τε ἐν καρδίᾳ τις, ἐάν τε ἐν ἐγκεφάλῳ φησὶ περιέχεσθαι. προδίδωσιν οὖν ὅλην τὴν δογματικὴν αἵρεσιν, οἱ τοιαύτας γράφοντες θεραπείας, περὶ γὰρ ἡγεμονικοῦ ψυχῆς ἀποδείξεων οὐσῶν ἐναργῶν, ὡς ἅπασιν ἀνθρώποις πεπιστεῦσθαι τὸ μόριον ἐν ᾧ καθίδρυται, μόνοις ἰατρῶν τε καὶ φιλοσόφων τοῖς ἀρίστοις οὐ φαίνεται τοῖς ἐν καρδίᾳ τιθεμένοις αὐτό. τὰς μὲν οὖν ἀποδείξεις ἐν τοῖς ὑπομνήμασιν εἶπον ἐν οἷς ἔγραψα περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. ὅτι δὲ καὶ πᾶσιν ἀνθρώποις πεπίστευται, τὸ μὲν λογιζόμενον ἐν ἐγκεφάλῳ καθιδρῦσθαι. τὸ δ' ἀνδρεῖόν τε καὶ θυμοειδὲς ἐν καρδίᾳ. τὸ δ' ἐπιθυμητικὸν, ἐν ἥπατι

μαθεῖν ἐστιν ὁσημέραι λεγόντων αὐτῶν, ἀκούοντα, πρὸς μὲν τὸν ἀνόητον, ὡς ἐγκέφαλον οὐκ ἔχει. πρὸς δὲ τὸν ἄτολμον καὶ δειλὸν, ὡς ἀκάρδιος εἴη. τοῦ Τιτυοῦ δ' ὑπ' ἀετοῦ τὸ ἧπαρ ἐσθιόμενον, οὐ μόνον ἐν ποιήμασι λεγόντων, ἀλλὰ καὶ πλαττόντων τε καὶ γραφόντων. ὥρα τοίνυν ἐπανελθεῖν ἤδη μοι πρὸς τὸ προκείμενον. ὁμολογουμένου μὲν ἅπασι τοῖς ἰατροῖς αὐτοῖς, τοῖς ἔργοις οἷς δρῶσι κατὰ πάντα τὰ τοῦ λογιστικοῦ πάθη, τὴν κεφαλὴν ὑπάρχειν οἰκεῖον αὐτοῦ, προσῆκον ἦν ἐπισκέψασθαι περὶ τῆς ἑκάστου πάθους διαθέσεως ὁποία τίς ἐστιν. οἷον ἡ τῆς μνήμης βλάβη, ἐπειδὴ πρότερον ὑπὲρ αὐτῆς διελθεῖν. ἅμα μὲν γὰρ αὐτὴ φαίνεται πολλάκις γινομένη μετὰ βλάβης τινὸς τοῦ λογισμοῦ. καθάπερ γε καὶ ἡ τοῦ λογισμοῦ βλάβη, μετὰ τοῦ καὶ τὴν μνήμην βεβλάφθαι τῆς μὲν διαθέσεως, ἀμφοτέροις τῆς αὐτῆς οὔσης. ἐπιτεταμένης δὲ, ὁπότε τῇ μνήμῃ συναπόλωλεν ὁ λογισμὸς, ὅπερ ὀνομάζεται μώρωσις. ἀπόλλυται δὲ ἄμφω ταῦτα, καὶ κατὰ τοὺς ληθάργους τε καὶ τὰ καρώδη πάθη πάντα, καὶ τὴν διάθεσιν αὐτῶν ἀναγκαῖον ὑπάρχειν ὁμογενῆ. κατὰ μὲν τὸ πρῶτον γένος, ὅτι δυσκρασία, δέδεικται γὰρ αὕτη τῶν ὁμοιομερῶν μορίων, ἃ πρώτως ἐνεργεῖ, διάθεσις εἶναι κοινή. κατὰ δεύτερον δὲ, ὅτι ψυχρά τίς ἐστιν ἡ δυσκρασία πάντως, αὕτη γὰρ ὁρᾶται ναρκοῦσα τὰς ψυχικὰς ἐνεργείας. ὡς τά γε διὰ κρύος ἀναγκαζόμενα φωλεύειν τὰ ζῶα σαφῶς ἐνδείκνυται, καὶ πάντα τὰ ψύχοντα φάρμακα, καὶ τῶν ἐδεσμάτων δὲ τὰ ψυχρά. καθάπερ ἡ θριδακίνη, καταφορικοὺς ἐργάζεται τοὺς ὕπνους, εἰ πολλὴν αὐτὴν προσενέγκαιτό τις. ἀλλὰ καὶ τὰ βάρη τῆς κεφαλῆς ὅσα χωρὶς ὀδύνης δακνώδους συνίσταται πάνθ' ὑπνώδη τε καὶ καταφορικὰ γίνεται, καὶ φαίνεται, δι' ἀφλεγματισμῶν μεγάλως ὀγκούμενα. πρὸς δὲ τούτοις ἐγκαύσεις τε καὶ ψύξεις τῆς κεφαλῆς, ἐνδείκνυται ταὐτόν. ἀγρυπνητικαὶ μὲν αἱ ἐγκαύσεις, καταφορικαὶ δ' αἱ ψύξεις γινόμεναι. καὶ μὴν καὶ τὰ χολώδη τῶν νοσημάτων καὶ θερμὰ, τὰς ἀγρυπνίας καὶ παραφροσύνας καὶ φρενίτιδας ἐργαζόμενα φαίνεται. τούτοις δ' ἔμπαλιν, τὰ φλεγματικὰ καὶ ψυχρὰ, νωθρότητάς τε καὶ καταφοράς. ἡ μὲν δὴ πρώτη δύναμις ἐν τῇ κατὰ τὸ θερμόν τε καὶ ψυχρόν ἐστι δυσκρασίᾳ, τῶν ἀγρυπνικῶν τε καὶ καταφορικῶν νοσημάτων. ἐφεξῆς δ' αὐτῆς ἡ καθ' ὑγρότητα καὶ ξηρότητα. τά τε γὰρ λουτρὰ πάντας ὑπνώδεις ἐργάζεται τὴν κεφαλὴν ὑγραίνοντα, καὶ οἴνου πόσις † εὔκρατος, καὶ ὑγραίνουσαι τροφαὶ πᾶσαι. καὶ τῶν ἡλικιῶν ὑπνώδης μὲν ἡ τῶν παιδίων, δι' ὑγρότητα, τῶν γερόντων δ' ἀγρυπνητικὴ, διὰ ξηρότητα. ταῦτ' οὖν ἅπαντα τεκμήρια γινέσθω, τοῦ δευτέραν μὲν ἔχειν χώραν εἰς ἀργίαν ψυχῆς, τὴν παρὰ φύσιν ὑγρότητα. προτέραν δ' αὐτῆς, εἶναι τὴν ψυχρότητα. διὸ καὶ μόνη μὲν ὑγρότης πλεονάζουσα μακροὺς καὶ βαθεῖς ὕπνους ἐργάζεται, καθάπερ γε καὶ μόνη ξηρότης, ἀγρυπνίας. ἐφ' ὧν διαθέσεων εἴρηται πρὸς Ἱπποκράτους, ὕπνος καὶ ἀγρυπνίη ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, μοχθηρόν. εἰ δὲ ψυχρότης μεθ' ὑγρότητος ἱκανῆς προσέλθοι, καταφορικὰ καὶ καρώδη πάθη συνίσταται. χωρὶς δὲ ταύτης, αἵ τε τῆς μνήμης βλάβαι καὶ αἵ γε μωρώσεις. οὔσης δὲ πολλῆς διαφορᾶς ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, οὐ καθ' ὑγρότητα καὶ ψυχρότητα μόνον, ἀλλὰ καὶ κατὰ ξηρότητα καὶ θερμότητα, ποικιλία πολυειδὴς γίνεται τῶν βλαπτόντων τὰς ψυχικὰς ἐνεργείας αἰτίων. ἕνεκα δὲ σαφοῦς διδασκαλίας. αἱ μὲν τοῦ λογιστικοῦ τῆς ψυχῆς ἐνέργειαι καλείσθωσαν ἡγεμονικαί. αἱ δὲ τῶν ἀλόγων, ἠθικαί. περὶ ὧν οὐ πρόκειται λέγειν, ὅτι μὴ δὲ περὶ τῶν τῆς καρδίας ἢ τοῦ ἥπατος παθῶν. ὥσπερ οὖν ὕπνος καὶ ἀγρυπνία μᾶλλον τοῦ μετρίου γίνεται, τὸ μὲν δι' ὑγρότητα, τὸ δὲ διὰ ξηρότητα, κράσεως, οὕτως ἐν αὐτοῖς τούτοις τὸ μᾶλλόν τε καὶ ἧττον, ἐν ἀγρυπνίαις τε καὶ ὕπνοις ἕπεται τῷ μᾶλλον καὶ ἧττον ἐν ὑγρότητι καὶ ξηρότητι. καὶ διττῶς γε τῶν τοιούτων δυσκρασιῶν γινομένων, ὡς ἐπιδέδεικται, διττὸς ἔσται τρόπος ἑκάστης διαθέσεως. ὁ μὲν ἕτερος, ἐπὶ τοῖς ὑγροῖς καὶ ξηροῖς χυμοῖς. ὁ δὲ ἕτερος ἐπ' αὐτοῖς τοῖς στερεοῖς σώμασιν, ὅταν γε εἰς τὰς αὐτὰς ἀφίκηται δυσκρασίας τὰ στερεὰ τοῖς ὑγροῖς. καὶ πρός γε ταῖς εἰρημέναις δυσκρασίαις, ἐναντίαις, ἄλλη τις ἐξ ἀμφοῖν γίνεται μικτὴ, καθάπερ ἐν τοῖς ἀγρύπνοις κώμασιν, ἐφ' ὧν φλεγματώδης καὶ χολώδης πλεονάζει χυμός. οἱ δ' αὐτοὶ τρόποι τῶν θ' ἁπλῶν δυσκρασιῶν καὶ τῆς ἐξ ἀμφοῖν μικτῆς, ἐν τῇ κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἐναντιώσει συνίστανται. χολῆς γοῦν, δῆλον δ' ὅτι τῆς ξανθῆς λέγω, φλέγματι μεμιγμένης, ἡ κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν, ἐπίμικτος γίνεται διάθεσις. εἰ δὲ κἀν τοῖς στερεοῖς μορίοις αὐτοῖς τοῦ σώματος, ἡ ἐκ τῶν ἐναντίων μικτὴ διάθεσις ὁμολογηθείη γίνεσθαι. κατ' ἐκείνην τρεῖς αἱ πᾶσαι γενήσονται δυσκρασίαι, καθ' ἑκατέραν ἀντίθεσιν. ἅπαντα μὲν οὖν τὰ τοιαῦτα πάθη, κατὰ τὸν ἐγκέφαλον γίνεται. διαφέρει δ' ἀλλήλων, οὐ μόνον ταῖς ποικιλίαις τῶν μίξεων, οὐδὲ τῷ μᾶλλόν τε καὶ ἧττον, ἔν τε ταῖς ἁπλαῖς διαθέσεσιν καὶ ταῖς μικταῖς, ἀλλὰ καὶ τῷ ποτὲ μὲν ἐν ταῖς κοιλίαις τοῦ ἐγκεφάλου συνίστασθαι τὰς δυσκρασίας. ποτὲ δ' ἐν τοῖς καθ' ὅλον αὐτὸν ἀγγείοις, ἢ τὴν παρεσπαρμένην ὑγρότητα τῷ σώματι τοῦ ἐγκεφάλου. καὶ τέταρτον ἐπὶ τούτοις, ὅταν αὐτὸ τὸ σῶμα τοῦ ἐγκεφάλου δύσκρατον γένηται.

ἄλ. ἄκρατος

παραφυλάττειν οὖν χρὴ τοὺς ὕπνους τῶν ἀπολωλεκότων τὴν μνήμην, ἢ τὴν σύνεσιν. ἀπώλεια γὰρ τῆς συνέσεως ἡ μώρωσίς ἐστι. πότερον ὑπνώδεις ἱκανῶς οἱ κάμνοντες εἰσὶν, ἢ μετρίως ὑπνώδεις, ἢ τὴν ἀρχὴν οὐδ' ὑπνώδεις, ἀλλ' ὅσον ἐπὶ τούτῳ κατὰ φύσιν ἔχουσιν. οὕτω γὰρ ἂν ἐξεύροις τὴν ἐπικρατοῦσαν δυσκρασίαν. ἐπιθεωρητέον δὲ καὶ πότερον ἐκκρίνεταί τι, διά τε ῥινῶν καὶ στόματος ἐκ τῆς κεφαλῆς καταφερόμενον, ἢ ξηρὰ φαίνεται τὰ χωρία. δύνασαι γὰρ κἀκ τούτου στοχάσασθαι τὴν διάθεσιν. ὥσπερ ἐπὶ κατάρρου καὶ κορύζης, καὶ γὰρ ἐπὶ τούτων, ἥ τε ποιότης καὶ ἡ ποσότης τῶν ἐκκρινομένων, μετὰ τοῦ συνεπισκέψασθαι τὰς προηγησαμένας αἰτίας ἐνδείκνυται τὴν διάθεσιν τῆς κεφαλῆς. ἤτοι θερμὴν οὖσαν, ὡς ἐπ' ἐγκαύσεως. ἢ ψυχρὰν, ὡς ἐπὶ ψύξεως. ἄνευ γὰρ τοῦ διορίσασθαι ταῦτα πάντα, τὴν προσήκουσαν ἑκάστῃ διαθέσει θεραπείαν ἀδύνατον εὑρεῖν. ἐπὶ γοῦν τῆς ἀπολωλυίας, ἢ μεγάλως βεβλαμμένης μνήμης, ψυχρὰ μὲν δυσκρασία πάντως ἐστὶ, καὶ θερμαίνειν αὐτὴν προσήκει, οὐ μὴν ἐξ ἀνάγκης γε καὶ ξηραίνειν, ὥσπερ οὐδὲ ὑγραίνειν. ἀλλ' εἰ μὲν μεθ' ὑγρότητος εἴη, ξηραίνειν, εἰ δὲ μετὰ ξηρότητος, ὑγραίνειν, εἰ δ' ἐν τῷ μέσῳ τούτων, ἐν ταύτῃ τῇ καταστάσει φυλάττειν. ἐγὼ γοῦν οἶδά τινα καὶ τὴν μνήμην μὲν, ὀλίγου δεῖν ἀπολέσαντα, καὶ τὸν λογισμὸν δὲ βλαβέντα, διὰ φιλοπονίαν τε καὶ ἀγρυπνίαν ἐπὶ μαθήμασιν. ἕτερον δ' ἀμπελουργὸν, ἐπὶ τοῖς κατὰ τὴν ἀμπελουργίαν πόνοις, καὶ διαίτῃ λεπτῇ, αὐτὰ ταῦτα παθόντα. καὶ προφανῶς ἑκάτερος αὐτῶν, ὑπὸ μὲν τῶν ξηραινόντων τε καὶ θερμαινόντων ἐβλάπτετο πάντων, ὑπὸ δὲ τῶν ὑγραινόντων ἅμα τῷ θερμαίνειν, ὠφελεῖτο. γίνονται μὲν οὖν καὶ μετὰ πυρετοῦ βλάβαι τῶν ἡγεμονικῶν ἐνεργειῶν, ὡς ἐπὶ φρενίτιδός τε καὶ ληθάργου. γίνονται δὲ καὶ χωρὶς

πυρετοῦ

πυρετοῦ, καθάπερ ἐπὶ μανίας τε καὶ μελαγχολίας. ὥσπερ γε καὶ κατὰ συμπάθειάν τε καὶ πρωτοπάθειαν ἐγκε-
φάλου. τὰ μὲν ἠκριβωμένα τοῖς ἰδίοις συμπτώμασι καὶ διηνεκῆ, καὶ μὴ προηγησαμένων ἑτέρων γινόμενα κατὰ πρω-
τοπάθειαν. τὰ δὲ μήτ' ἠκριβωμένα τοῖς ἰδίοις συμπτώμασι, μήτε παραμένοντα διαπαντὸς ἐφ' ἑτέροις τε συ-
νιόντα κατὰ συμπάθειαν. μεμνημένων ἡμῶν ὅτι καὶ τῆς συμπαθείας, ἡ μὲν ἐν τῷ γίνεσθαι τὸ εἶναι λαμβάνουσα, συγκα-
τακαθίσταται τοῖς ποιοῦσιν αἰτίοις. ἡ δὲ μόνιμον ἤδη τὴν τῶν συμπαθόντων διάθεσιν ἐσχηκυῖα, κἂν τὰ ποιήσαν-
τα παύσηται, παραμένει. τὸ μὲν οὖν ἐγκεφάλῳ πάντα γίνεσθαι τὰ τῶν ἡγεμονικῶν ἐνεργειῶν πάθη, πᾶσι τοῖς ἰα-
τροῖς, ὅσαι γε μὴ διὰ φιλονεικίαν αἱρέσεσι, ἀλλὰ καὶ ἐν τῇ ψυχῇ φρονοῦσιν, ἀλλὰ δὴ λέγουσιν, ὡμολόγηται. τὸ δὲ τῆς δυ-
σκρασίαν ὁποία τίς ἐστιν εὑρεῖν, οὐ σμικρὸν ἔργον, ἐν ᾧ χρὴ φιλόπονόν τε καὶ ζητητικὸν εἶναι τὸν ἰατρόν, οὐκ ἐν τῷ σκο-
πεῖν ὅπως ἀντείπῃ τοῖς καλῶς εἰρημένοις ὑπὸ τῶν παλαιῶν, περὶ ψυχῆς ἡγεμονικοῦ, πράγματος οὕτως ἐναργοῦς, ὡς
καὶ τοῖς ἰδιώταις πεπιστεῦσθαι, κατὰ τὸν ἐγκέφαλον εἶναι. φιλοσόφοις μὲν οὖν ἐν † γωνίᾳ καθημένοις, ἁμαρτάνειν ἐν τῷδε
τάχ' ἄν τις συγγνοίη. γεγηρακόσι δ' ἐν τοῖς ἔργοις ἰατρικοῖς ἀσύγγνωστος ἡ φιλονεικία, τάχα δ' ἀληθέστερόν ἐστιν
εἰπεῖν ἀναισχυντία. τῶν τε γὰρ ἀγρυπνούντων τὴν κεφαλὴν καταντλοῦσι, τῶν τε παραπαιόντων, καὶ φρενιτιζόν-
των, καὶ ληθαργικῶν. ἀρχιγένης δὲ καὶ τῶν τὴν μνήμην βλαβέντων τῇ κεφαλῇ προσφέρει τὰ βοηθήματα. κἂν μα-
ρανθέντα δέ τινα θεραπεύειν ἐπιχειρήσῃ, καὶ τοῦτο τῇ κεφαλῇ προσοίσει πάντα. τίς δὲ τριβακὸς ἰατρός, ἀποπλή-
κτους, ἢ ἐπιλήπτους, ἢ ὀπισθοτονικούς, ἢ ἐμπροσθοτονικούς, ἢ τετανικοὺς ἑτέρως ἰᾶται; τίς δὲ παραλυθέντας, τὸ τοῦ
σώματος ἥμισυ μέρος; ἆρ' οὐχὶ τῶν μὲν σπασμωδῶν παθῶν, ἅπαντες ἤδη κἀξ αὐτῆς τῆς πείρας, τὸ κῦρος τῆς θερα-
πείας κατὰ τοὺς πρώτους ποιοῦνται σπονδύλους; ὥσπερ γε καὶ τῶν παραλελυμένων τὸ ἥμισυ μέρος ὅλου τοῦ σώ-
ματος. συνεκθεραπεύουσιν δὲ καὶ τὸν ἐγκέφαλον, ὥσπερ καὶ τῶν ἀποπλήκτων ἰῶνται, καθάπερ γε καὶ τῶν ἐπι-
λήπτων. ὅταν μὲν ἐπὶ στομάχῳ γίνεται τὸ πάθος, ἤ τινι τῶν ἄλλων μορίων, ἐκεῖνο μὲν μάλιστα καὶ πρῶτον ἐκθερα-
πεύουσι. παρασκευάζουσι δὲ καὶ τὸν ἐγκέφαλον εἰς δυσπάθειαν, καὶ χρὴ ταῦτα μᾶλλον ζητεῖν, οὐ περὶ τοῦ σαφέστα-
τα φαινομένου πᾶσι τοῖς ἀδιαστρόφοις τὴν γνώμην, ἡγεμονικοῦ. καθάπερ οὐδὲ περὶ τῆς τῶν νεύρων ἀρχῆς, ἣν οὐ χρὴ
πορευθέντας εἰς θεούς, διὰ μαντείας ἐξευρεῖν, ἀλλὰ παρά τινι τῶν ἀνατομικῶν ἀνδρῶν παιδευθέντας. ἔνιοι γὰρ
ἀναπείθουσιν ἑαυτούς, ἀρχὴν εἶναι τῶν νεύρων, τὴν καρδίαν, ἐκ τοῦ μὴ δύνασθαι διακρῖναι σύνδεσμον νεύρου, συν-
τελούσης εἰς τοῦτο καὶ τῆς ὁμωνυμίας. ἐπειδὴ πολλοὶ τῶν ἰατρῶν καὶ τοὺς συνδέσμους ὀνομάζουσι νεῦρα συνδετι-
κά. τῆς μὲν οὖν προσηγορίας, οὐδεὶς αὐτοῖς φθόνος, ἄν γε μνημονεύωσι, τῶν προαιρετικῶν νεύρων, ὡς αὐτοὶ καλοῦ-
σιν, ὧν τὴν ἀρχήν, ἐγκέφαλον εἶναί φαμεν, οὐ τῶν συνδέσμων. οὐδὲ γὰρ οὐδ' αὐτοὶ τῶν συνδετικῶν νεύρων πάθος
εἶναί φασι τὸν σπασμόν, ἢ τὴν παράλυσιν, ἀλλὰ τῶν προαιρετικῶν. ὅταν οὖν ὅλον τὸ σῶμα φαίνηται σπώμενον, ἅπας
μὲν εὐθὺς πεπεισται, πεπονθέναι τὸ τοιοῦτον μέρος, ὃ καθάπερ ἐν δένδρῳ τὸ στέλεχος τῶν κλάδων, οὕτως αὐ-
τὸ κοινὸν τῶν νεύρων ἁπάντων οἷον πρέμνον ἐστίν, οὐχ οἷον κλάδος ὀλίγων τινῶν ἐν ἑνὶ μορίῳ. καθάπερ ὅταν ἤτοι
σκέλος ἢ μία χείρ, ἂν τύχῃ, σπωμένη. κῶλον μὲν γὰρ ὅλου σπασμός, τὴν ἀρχὴν τῶν εἰς αὐτὸ καθηκόντων νεύρων
ἐνδείκνυται πεπονθέναι. καθάπερ εἰ κλάδου τινὸς ἐν δένδροις, ὅταν δ' ὅλον ἅμα τὸ σῶμα τῷ πάθει, τὴν κοινὴν
ἁπάντων ἀρχήν, τῶν κάτω τοῦ προσώπου νεύρων, ἀνάλογον τῷ κατὰ τὸ δένδρον πρέμνῳ, πεπονθέναι χρὴ νομί-
ζειν. ἥτις ἐστὶ τοῦ νωτιαίου μυελοῦ, τὰ πρῶτα μέρη. διὸ καὶ τούτῳ τὰ βοηθήματα προσφέρουσιν οἱ τριβακοὶ πάν-
τες ἰατροί. τῆς καρδίας οὐδὲ τὴν ἀρχὴν ὅλως ἐν τῷ τοιούτῳ παθήματι μεμνημένοι. εἰ δὲ καὶ τὰ κατὰ πρόσωπον
ἅμα τῷ παντὶ σώματι φαίνοιτο σπώμενα, τὸν ἐγκέφαλον αὐτὸν ἤδη θεραπεύομεν, οὐ μόνον τὴν ἔκφυσιν τοῦ νω-
τιαίου. καὶ γὰρ καὶ χείλη σπώμενα θεώμεθα πολλάκις, καὶ ὀφθαλμούς, καὶ τὸ κατὰ μέτωπον δέρμα, καὶ ὅλας
τὰς γένυας, ὥσπερ γε καὶ τὴν ῥίζαν τῆς γλώττης. ἀλλ' ἐπειδὴ ταῦτα πάντα διὰ τῆς ἀνατομῆς ἐμάθομεν, ὑπὸ
μυῶν κινεῖσθαι παρ' ἐγκεφάλου λαμβανόντων νεῦρα, τὸν ἐγκέφαλον ἐπ' αὐτῶν πεπονθέναι πεπείσμεθα. κα-
θάπερ ὅταν ὁρῶμεν ἀπαθῆ μὲν ἐκεῖνα, σπώμενα δὲ τ' ἄλλα σύμπαντα μόρια, τὴν ἀρχὴν τοῦ νωτιαίου πειθόμε-
θα πεπονθέναι. ταῦτα μὲν οὖν ὅπερ ἔφην ἑτοίμως. ἐχρῆν ἡμᾶς μαθόντας ἐπισκοπεῖσθαι τὰς διαθέσεις αὐ-
τῶν. ἔνιοι δὲ τῶν ἰατρῶν τὰς μὲν διαθέσεις, οὐδ' ἐπιχειροῦσι ζητεῖν, ἐρίζουσι δὲ περὶ τῶν ἐναργῶς φαινομένων.
ἀπολλῦντες ἡμῶν τὸν χρόνον, ὃν ἐχρῆν οὐκ εἰς ἀντιλογίαν τῶν ἀναιρούντων τὰ καλῶς ὑπὸ τῶν παλαιῶν ἰατρῶν
εἰρημένα καταναλίσκειν, ἀλλ' εἰς εὕρεσιν ὧν ἐκεῖνοι παρέλιπον, ἤτοι παντάπασιν οὐδὲν ἀποφηνάμενοι περί τινων
πραγμάτων, ἢ χωρὶς ἀποδείξεως, ἢ διορισμοῦ προσήκοντος, ἢ ἐλλιπῶς ἀποφηνάμενοι. καθάπερ ὁ ἱπποκράτης, ὑπὸ
πληρώσεως ἢ κενώσεως γίνεσθαι τὸν σπασμὸν εἰπών. ἀληθὴς μὲν γὰρ ὁ λόγος, ἀλλ' ὑπὸ τίνων πεισθεὶς οὕτως ἀπεφήνα-
το, μόνοις τοῖς συνετοῖς ἀνδράσιν καὶ νομίμως μεμαθηκόσι τὰ πρῶτα τῆς ἰατρικῆς δῆλόν ἐστιν, οὐ τοῖς ἐπιτυχοῦ-
σιν. ταῦτα γοῦν αὐτὰ κἀγὼ προμεμαθηκώς, ἐπειδὴ ὑφ' ὧν εἶπεν ἱπποκράτης αἰτίων γίγνεσθαι τὸν σπασ-
μόν. εἰ γὰρ ἅπασα μὲν ἡ κατὰ προαίρεσιν κίνησις ὁρᾶται τῶν μυῶν ἐπισπωμένων εἰς ἃ καταφύονται μέρη γιγνο-
μένη. τὸ δὲ ἐπισπᾶσθαι, χωρὶς τοῦ πρὸς τὴν ἰδίαν ἀρχὴν ἀνασπᾶσθαι τὸν μῦν οὐχ οἷόν τε ἐστὶν γενέσθαι, μόνῳ τῷ χωρὶς τῆς
ἡμετέρας προαιρέσεως γίγνεσθαι τὸν σπασμόν, ἐν τοῖς σπωμένοις μέρεσιν ἡ κίνησις διοίσει τῆς κατὰ φύσιν. ὥσπερ
οὖν ἐν τῷ κατὰ φύσιν ἔχει ἡ κατὰ τὴν ἀρχὴν τῶν νεύρων ἐν ἐγκεφάλῳ τεταγμένη προαίρεσις ἀρχὴν κινήσεως, πρώ-
τοις μὲν τοῖς νεύροις, δι' αὐτῶν δὲ καὶ τοῖς μυσὶν δίδωσιν. οὕτως ἄνευ τῆς ἀρχῆς ταύτης, ἐὰν εὕρωμεν ὑπό τινος αἰ-
τίας σπᾶσθαι δύνασθαι τὰ νεῦρα, τῆς τῶν σπασμῶν γενέσεως ἐπιστήμην ἕξομεν. ἀνθρώπῳ τοίνυν ἑωρακότι νεύ-
ρώδη σώματα τὰς ἐν ταῖς λύραις χορδάς, οὕτω σφοδρῶς τεινομένας πολλάκις ὑπὸ τῆς τοῦ περιέχοντος ἀμέτρου
κράσεως ὡς ῥήγνυσθαι, χαλεπὸν οὐδὲν ἐννοῆσαι τὴν αὐτὴν διάθεσιν ἐν τοῖς τῶν ζώων νεύροις γίνεσθαι. πῶς οὖν
ἔχοντος τοῦ ἀέρος αἱ χορδαὶ τείνονταί τε καὶ ῥήγνυνται; ξηροῦ τε πάνυ καὶ λίαν δεύγρου γινομένου. τὸ μὲν οὖν
ὑγρὸν διαβρέχον αὐτάς, εἰς ὄγκον αἴρει παρὰ φύσιν, ἐφ' ᾧ τείνονται. τὸ δὲ ξηρόν, ὥσπερ ὁ ἥλιος, ξηραίνων τὰς συ-
σπᾶ, καὶ αὐτὸ τὰς χορδὰς οὕτως ἕλκει τε καὶ τείνει. φαίνονται γοῦν καὶ οἱ ἱμάντες, ὅταν ὑπὸ πυρὸς ξηραίνονται,
συσπώμενοί τε καὶ τεινόμενοι. τούτων προεγνωσμένων, οὐδέν ἐστι χαλεπὸν ἐπὶ τῶν σπωμένων ἐξευρεῖν, εἴτε διὰ

† ἀλ. ἀργία

ξηρότητα τὸ πάθος αὐτοῖς γέγονεν, ὅπερ ἐστὶν ἔνδεια τῆς ὑγρᾶς οὐσίας καὶ κένωσις. ἔτι δὲ διὰ πλῆθος ὑγρότητος, ὅπερ ἐστὶν ἐναντίον ἐνδείᾳ πάθος, ὑφ' Ἱπποκράτους ὠνομασμένον πλήρωσις. ἐκ πόνων μὲν γὰρ καὶ ἀγρυπνιῶν, ἐνδείας τε καὶ φροντίδων καὶ πυρετοῦ ξηροῦ καὶ διακαοῦς, οἷός ἐστι καὶ ὁ τῶν φρενιτικῶν ἐστιν, ὅταν ὁ σπασμὸς γένηται, ξηρότητά τε καὶ κένωσιν αἰτιᾶσθαι χρή. μεθυσκομένῳ δ' ἀνθρώπῳ καὶ διὰ παντὸς ἐμπιπλαμένῳ καὶ ἀργῶς βιοτεύοντι, τὴν ἐναντίαν διάθεσιν εὔλογόν ἐστι τὸν σπασμὸν ἐργάσασθαι. κενώσει δ' ἐναντίον ἐστὶ, πλήρωσις. ἀλλὰ καὶ ἡ ἐπιληψία σπασμός ἐστιν ἁπάντων τῶν τοῦ σώματος μορίων, οὐ συνεχὴς ὡς ἐμπροσθότονός τε καὶ ὀπισθότονος καὶ τέτανος, ἀλλ' ἐκ διαστημάτων χρόνου γιγνόμενος. οὐ μόνον δὲ τούτῳ διενήνοχε τῶν εἰρημένων σπασμῶν, ἀλλὰ καὶ τῇ βλάβῃ τῆς διανοίας καὶ τῶν αἰσθήσεων, ᾧ καὶ δῆλον ὡς ἄνω που κατ' αὐτὸν ἐγκέφαλον, ἡ τούτου τοῦ πάθους ἐστὶ γένεσις. ἐπειδὴ δὲ καὶ ταχὺ παύεται, κατὰ τὰς κοιλίας αὐτοῦ μᾶλλον εὔλογόν ἐστιν παχὺν χυμὸν ἐμφράττοντα τὰς διεξόδους τοῦ πνεύματος ἐργάζεσθαι τὸ πάθος, ἑαυτὴν κλονούσης τῆς ἀρχῆς τῶν νεύρων, ὑπὲρ τοῦ διώσασθαι τὰ λυποῦντα. τάχα δὲ καὶ διαβρεχομένης τῆς ἐκφύσεως ἑκάστου νεύρου, παραπλησίως τοῖς ἀπὸ τοῦ νωτιαίου τὴν ἀρχὴν ἔχουσι σπασμοῖς, καὶ ὁ τῶν ἐπιλήπτων γίνεται. τὸ δ' ἐξαιφνίδιον αὐτοῦ τῆς γενέσεως, καὶ τῆς λύσεως ἐνδείκνυται μηδέποτε διὰ ξηρότητά τε καὶ κένωσιν, ἀεὶ δὲ διὰ πάχος χυμοῦ γίγνεσθαι τὸ πάθος. ἔμφραξις μὲν γὰρ τῶν πόρων ἐξαίφνης ὑπὸ παχέος ἢ γλίσχρου χυμοῦ γένοιτ' ἄν. εἰς ξηρότητα δὲ τοσαύτην ἐλθεῖν, ὡς βύρσῃ παραπλήσιόν τι παθεῖν τὸν ἐγκέφαλον, ἢ τὴν κατ' αὐτὸν μήνιγγα τὴν λεπτὴν, οὐχ οἷόν τε χωρὶς χρόνου πολλοῦ. πρόσεστι δὲ τούτῳ καὶ τὸ μήθ' ὁρᾶν, μήτ' ἀκούειν, μήθ' ὅλως ἐνεργεῖν αἰσθήσει τινί. σὺν τῷ μηδὲ παρακολουθεῖν τὸν κάμνοντα τοῖς γινομένοις. ἀλλὰ τὸν λογισμὸν βεβλάφθαι, μετὰ τῆς κατὰ τὴν μνήμην δυνάμεως. ἐκ τούτων οὖν ἁπάντων, εὔλογόν ἐστι κατὰ τὸν ἐγκέφαλον γεγονέναι τὸ πάθος, ἐμποδίζοντος τοῦ χυμοῦ ταῖς διεξόδοις τοῦ ψυχικοῦ πνεύματος. ὃ κατὰ τὰς κοιλίας ἐστὶν αὐτοῦ. διατί δ' ὀνομάζεται τοῦτο τὸ πνεῦμα, ψυχικὸν, ἥτις τε δύναμίς ἐστιν αὐτοῦ, κατὰ τὰ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ὑπομνήματα δέδεικται. τοῖς γὰρ ἐκ τῆς ἀνατομῆς φαινομένοις ἀκολουθοῦσιν ἡμῖν, εὔλογον ἐφαίνετο, τὴν μὲν ψυχὴν αὐτὴν, ἐν τῷ σώματι τοῦ ἐγκεφάλου κατῳκεῖσθαι. καθ' ὃ καὶ τὸ λογίζεσθαι γίγνεται. καὶ ἡ τῶν αἰσθητικῶν φαντασιῶν ἀπόκειται μνήμη. τὸ πρῶτον δ' αὐτῆς ὄργανον εἰς ἁπάσας τὰς αἰσθητικάς τε καὶ προαιρετικὰς ἐνεργείας εἶναι, τὸ κατὰ τὰς κοιλίας αὐτοῦ πνεῦμα. καὶ μᾶλλόν γε κατὰ τὴν ὄπισθεν, οὐ μὴν οὐδὲ περὶ τῆς μέσης κοιλίας ἀπογιγνώσκειν προσήκεν ὡς οὐ κυριωτάτης. πολλὰ γὰρ εὔλογα καὶ πρὸς ταύτην ἡμᾶς ἄγει. καθάπερ γε τῶν ἐμπροσθίων δυοῖν ἀπάγει. εἰς γε μὴν τὴν τῆς θεραπείας εὕρεσιν οὐδὲν ὀνίνησιν ἡ περὶ τούτων ἀκριβὴς γνῶσις. ἱκανὸν γὰρ εἰς τὸ καλῶς θεραπεύειν ἐπίστασθαι τὸν μὲν πεπονθότα τόπον, ἐγκέφαλον εἶναι. χυμὸν δὲ τὸν γλίσχρον ἢ παχὺν ἐν ταῖς κοιλίαις ἀθροιζόμενον αὐτοῦ. καθάπερ δὲ χρήσιμα ταῦτα πρὸς τὰς ἰάσεις ἐστὶν, ὧν ἕνεκα καὶ τοὺς πεπονθότας τόπους καὶ τὰς ἐν αὐτοῖς διαθέσεις ζητοῦμεν. οὕτω καὶ τῶν παχέων χυμῶν αἱ διαφοραὶ, πότερα φλεγματώδεις εἰσὶν, ἢ μελαγχολικαί. μεμνημένων αὖ πάλιν ἡμῶν ἐνταῦθα φλεγματικοὺς μὲν ὀνομάζεσθαι πάντας, ὅτ' ἂν ἁπλῶς οὕτως λέγωμεν ἐφ' ὧν ἐπικρατεῖ κατὰ τὴν κρᾶσιν, ὑγρότης καὶ ψύξις. μελαγχολικοὺς δὲ, ἐφ' ὧν ξηρότης τε καὶ ψύξις. ἐπεί τοι διαφοραὶ μεγάλαι κατά τε τοὺς φλεγματικούς εἰσι, καὶ τοὺς μελαγχολικοὺς ἑκατέρων ἴδιαι. τοῦ γοῦν φλέγματος τὸ μὲν ἐφ' ἡμέρᾳ πολλοῖς ἀναχρεμπτομένοις καὶ ἀνεμοῦσι καὶ ἀπομυττομένοις ἐκκρινόμενον, ἀτμώδους πνεύματος ὑπάρχει μεστὸν, ὡς μή τε πρὸς αἴσθησιν ὁμοιομερὲς εἶναι. ἕτερον δ' ἔτι φλέγμα, φαίνεται μὲν ὁμοιομερὲς, ἴσως δ' οὐκ ἔστιν, ἐκ τοῦ γένους ἐστὶν, ὅ, τ' ἐν τοῖς οὔροις ὑφιστάμενος ὠμὸς χυμὸς, ὅ, θ' ὑπὸ Πραξαγόρου κληθεὶς ὑαλώδης. ἀλλὰ καὶ τὸ μὴ λίαν ὑγρὸν μὴ δ' ὑδατῶδες σίαλον, ἐκ τούτου τοῦ γένους εἶναι φαίνεται. καὶ μέντοι καὶ κατὰ τὴν γευστικὴν αἴσθησιν, οὐ μίαν ἔχον οὐδ' αὐτὸ τὸ σίαλον ποιότητα φαίνεται, μήτι γε δὴ τὸ σύμπαν φλέγμα. καὶ γὰρ ἁλυκοῦ καὶ ὀξέως καὶ ἁλμυροῦ πολλάκις αἰσθανόμεθα σαφῶς τοῦ κατὰ τὸ στόμα σιάλου, καθάπερ καὶ ἄποιόν τε καὶ οἷον ὑδατώδους τὴν γεῦσιν, ὅτ' ἂν ἀμεμπτότατα διάγωμεν. ὡσαύτως δὲ καὶ ὁ μελαγχολικὸς χυμὸς ἐν τῇ συστάσει σαφεῖς ἔχει τὰς διαφοράς. ὁ μὲν οἷον τρὺξ αἵματος, ἐναργῶς φαινόμενος ἱκανῶς παχὺς, ὥσπερ ἡ τοῦ οἴνου τρύξ, ὁ δὲ πολλῷ μὲν τούτου λεπτότερος κατὰ τὴν σύστασιν, ὀξὺς δὲ καὶ τοῖς ἐμέσασιν αὐτὸν φαινόμενος, καὶ τοῖς ὀσμωμένοις. οὗτος καὶ ξύει τὴν γῆν ἐξαίρων τε καὶ ζυμῶν. καὶ πομφόλυγας ἐγείρων, οἷαι τοῖς ζέουσιν ζωμοῖς ἐφίστανται. ὃν δ' ἔφην ἐοικέναι παχείᾳ τρυγὶ, τήν τε ζύμωσιν οὐκ ἐργάζεται κατὰ τῆς γῆς ἐκχυθεὶς, πλὴν εἰ πάνυ σφόδρα τύχοιτο τε κατοπτηθεὶς ἐν διακαεῖ πυρετῷ. καὶ ἥκιστα μετέχει ποιότητος ὀξείας, ἥνικα καὶ καλεῖν αὐτὸν εἴωθα μελαγχολικὸν χυμὸν ἢ μελαγχολικὸν αἷμα. μέλαιναν γὰρ χολὴν οὐδέπω δικαιῶ τὸν τοιοῦτον ὀνομάζειν. γεννᾶται δ' ὁ χυμὸς οὗτος ἐνίοις πολὺς, ἢ διὰ τὴν ἐξ ἀρχῆς κρᾶσιν, ἢ δι' ἔθος ἐδεσμάτων εἰς τοιοῦτον χυμὸν, ἐν τῇ κατὰ τὰς φλέβας πέψει, μεταβαλόντων. ὥσπερ δ' ὁ παχὺς χυμὸς τοῦ φλέγματος. οὕτως καὶ οὗτος, ἐπιληψίας ποτ' ἐργάζεται κατὰ τὰς ἐκροὰς τῶν ἐν ἐγκεφάλῳ κοιλιῶν ἰσχόμενος ἤτοι τῆς μέσης, ἢ τῆς ὄπισθεν. ὅτ' ἂν δ' ἐν αὐτῷ πλεονάσῃ τῷ τοῦ ἐγκεφάλου σώματι, μελαγχολίαν ἐργάζεται. καθάπερ ὁ ἕτερος χυμὸς τῆς μελαίνης χολῆς ὁ κατωπτημένης τῆς ξανθῆς χολῆς γενόμενος, τὰς θηριώδεις παραφροσύνας ἀποτελεῖ, χωρὶς πυρετοῦ τε καὶ σὺν πυρετῷ πλεονάσων ἐν τῷ σώματι τοῦ ἐγκεφάλου. καὶ διὰ τοῦτο τῆς φρενίτιδος, ἡ μέν τις, ἐστὶ μετριωτέρα, τὴν γένεσιν ἐκ τῆς ὠχρᾶς ἔχουσα χολῆς. ἡ δέ τις, σφοδροτέρα, τῆς ξανθῆς ἔγγονος ὑπάρχουσα. καί τις ἄλλη θηριώδης τε καὶ μελαγχολικὴ παραφροσύνη γίνεται, κατοπτηθείσης τῆς ξανθῆς χολῆς. ὅσαι δ' ἐν ταῖς ἀκμαῖς τῶν πυρετῶν γίγνονται παραφροσύναι, κατὰ συμπάθειαν αὗται πάσχοντα τὸν ἐγκέφαλον, οὐ κατ' ἰδιοπάθειαν ἔχουσιν. καὶ διὰ τοῦτο παραπαῖσαι μὲν καὶ παραφρονῆσαι καὶ παρακόψαι τούτους, οὐ μόνον οἱ ἰατροὶ λέγουσιν, ἀλλὰ καὶ ἰδιῶται, φρενιτικοὺς δ' οὐκ ὀνομάζουσιν. οὐ γὰρ συναποκαθίστανται ταῖς ἀκμαῖς τῶν πυρετῶν, αἱ φρενιτικαὶ παραφροσύναι, καθάπερ οὖν ὁ τῶν φρενιτικῶν πυρετὸς, ἕν τι τῶν συμπτωμάτων τῆς ἐγκεφάλου διαθέσεώς ἐστιν, οὕτω τοῦ διακαοῦς πυρετοῦ ἡ παραφροσύνη, πολλῶν ἀτμῶν θερμῶν ἀναφερομένων εἰς αὐτόν. παραπλησία δ' ἐστὶν τῇδε καὶ τῶν ὁμοίων τοῖς ὑποχεομένοις συμπτωμάτων γένεσις ἐκ τῆς τοῦ γαστρὸς ὁρμωμένη διαθέσεως. ἥ τε γὰρ κοιλία τῇ κεφαλῇ καὶ ἡ κεφαλὴ τῇ κοιλίᾳ μεταδίδωσι τῶν παθημάτων, διὰ τὸ μέγεθος τῶν ἐξ ἐγκεφάλου καθηκόντων νεύρων, εἰς τὸ στόμα τῆς γαστρὸς, ὑφ' ὧν καὶ τὸ περιττὸν τῆς αἰσθήσεως ὑπὲρ τὰ ἄλλα μόρια τοῦ σώματος, ὑπάρ-

χει τῷ μο

χει περὶ μορίων τῶνδε. Καὶ διὰ τοῦτο τοῖς ἐπὶ τῇ κεφαλῇ κατάγμασιν, ὅσα πρὸς τὰς μήνιγγας ἐξικνεῖται, χολεμέσιαι παρακολουθοῦσι. καὶ τοῖς ὅπῃ δὴ γινομένοις ἀλγήμασι τῆς κεφαλῆς, ἀναβοπή τε τοῦ στομάχου καὶ δῆξις ἐνίοτε. Τοῖς δὲ ὑποχονδριακοῖς καὶ φυσώδεσιν ὀνομαζομένοις πάθεσιν δυσθυμίαι μελαγχολικαί. καὶ γὰρ καὶ τοῦτο τοιοῦτόν ἐστιν, ὁποῖον ἡ τοῖς ὀξέσι πυρετοῖς ἐπιγινομένη παραφροσύνη. καί τισι διαθέσεσιν τοῦ στόματος τῆς κοιλίας, ἢ τοῖς ὑποχεομένοις ὁμοίων συμπτωμάτων. οὕτω δὲ καὶ τοῖς ἐνδυρώδεσι μορίοις φλεγμαίνουσιν, ἑτοιμότερον ἢ τοῖς ἄλλοις ἐπιγίνονται παραφροσύναι. ποτὲ μὲν αὐτῆς μόνης τῆς θερμασίας ἐπὶ τὸ συνεχὲς, ἐπὶ τὴν κεφαλὴν ἀνερχομένης, ποτὲ δὲ πνεύματος ἀτμώδους, ἢ καπνώδους, ἢ αἰθαλώδους. Ὥσπερ δ᾽ ἐν τοῖς κατὰ συμπάθειαν οὐ σμικρὰ διαφορὰ γίνεται τοῖς πάθεσι τῆς κεφαλῆς, οὕτω καὶ ἐν αὐτοῖς τοῖς κατὰ πρωτοπάθειαν. οἱ γοῦν κατ᾽ αὐτὴν τὴν οὐσίαν τοῦ ἐγκεφάλου πλεονάσαντες παχεῖς χυμοὶ ποτὲ μὲν ὡς ὀργανικῷ μορίῳ λυμαίνονται, ποτὲ δὲ, ὡς ὁμοιομερεῖ. κατὰ μὲν τὰς ἐμφράξεις τῶν πόρων, ὡς ὀργανικῷ μορίῳ. κατὰ δὲ τὰς ἀλλοιώσεις τῆς κράσεως, ὡς ὁμοιομερεῖ. καὶ διὰ τοῦτο καὶ ἡ δὲ ἡ λέξις ἐπὶ τῇ τελευτῇ γέγραπται τοῦ ἕκτου τῶν ἐπιδημιῶν. Οἱ μελαγχολικοὶ καὶ ἐπιληπτικοὶ εἰώθασι γίγνεσθαι ὡς ἐπὶ πολὺ, καὶ οἱ ἐπιληπτικοὶ μελαγχολικοί. τούτων δ᾽ ἑκάτερον μᾶλλον γίνεται, ἐφ᾽ ὁπότερον ἂν ῥέψῃ τὸ ἀῤῥώστημα, ἢν μὲν εἰς τὸ σῶμα, ἐπίληπτοι. ἢν δὲ εἰς τὴν διάνοιαν, μελαγχολικοί. κατὰ ταύτην τὴν ῥῆσιν, πρῶτον μὲν ὅτι μὴ διὰ παντὸς, ἀλλ᾽ ὡς τὸ πολὺ, μετάπτωσις εἰς ἄλληλα γίνεται τοῖς πάθεσιν ἐδήλωσεν. οὐ γὰρ ὑπὸ μελαγχολικοῦ χυμοῦ μόνου, ἀλλὰ καὶ φλεγματικοῦ τῆς ἐπιληψίας ἀποτελουμένης. ἡ μὲν ὑπὸ τοῦ μελαγχολικοῦ χυμοῦ γινομένη μεταπίπτει ποτὲ εἰς μελαγχολίαν. ἡ δ᾽ ὑπὸ τοῦ φλεγματικοῦ, πρὸς ἄλλο μέν τι μεθίσταται πάθος, ὑπὲρ οὗ μικρὸν ὕστερον ἐρῶ, μελαγχολίαν δὲ οὐκ ἐργάζεται. δεύτερον δ᾽ ἐπὶ τῷ δὲ θεωρήματι περιέχεται κατὰ τὸν εἰρημένον ὑφ᾽ ἱπποκράτους λόγον, οὐ σμικρόν. Ἐπεὶ γὰρ ἤτοι κρᾶσίς ἐστιν ἡ ψυχὴ τῶν δραστικῶν ποιοτήτων, ἢ ὑπὸ τῆς κράσεως αὐτῶν ἀλλοιοῦται, τὴν μὲν ὡς ὀργανικῷ μορίῳ, τῷ ἐγκεφάλῳ λυμαινομένην χολὴν, ἐπὶ τὸ σῶμα τετράφθαι φησὶν τοῦ ἐγκεφάλου, γίγνεται δὲ τοῦτο κατὰ τὰς ἐμφράξεις. τὴν δ᾽ ὡς ὁμοιομερεῖ, τὴν κρᾶσιν ἀδικοῦσαν, ἐπὶ τὴν διάνοιαν. ἀλλ᾽ ἐκεῖνό γε διορίσασθαι πρότερον ἀναγκαῖον εἶναί μοι δοκεῖ τὸ παραλελειμμένον τοῖς ἰατροῖς, ὥσπερ γὰρ ἐν τοῖς φαινομένοις μέρεσι τοῦ σώματος, ἐνίοτε μὲν ἅπασιν ἡ αὐτὴ φαίνεται κρᾶσις ὡς ἐν ἰκτέροις τε καὶ κατὰ τὸν καλούμενον ἐλέφαντα, καὶ τοὺς ὑδέρους, ἔτι τε καχεξίας, καὶ πρὸς ταύταις ἐν ἡπατικαῖς τε καὶ σπληνικαῖς ἀχροίαις. ἐνίοτε δ᾽ ἔν τι μόριον ἤτοι πικρόχολον ἢ φλεγματικὸν ἢ μελαγχολικὸν ὑποδεξάμενον χυμὸν, αὐτὸ μόνον ἐξαλλάττεται τὴν κρᾶσιν. οὕτως ἐγχωρεῖ καὶ τὸν ἐγκέφαλον, ἐνίοτε μὲν, ἅπαντος τοῦ κατὰ τὰς φλέβας αἵματος μελαγχολικοῦ γινομένου, τῷ κοινῷ λόγῳ τῆς βλάβης, καὶ αὐτὸν βλαβῆναι. καθ᾽ ἕτερον δὲ τρόπον ἀπαθοῦς διαμένοντος τοῦ καθ᾽ ὅλον τὸν ἄνθρωπον αἵματος, ἀλλοιωθῆναι τὸ κατὰ μόνον τὸν ἐγκέφαλον. καὶ συμβῆναι τοῦτο διττῶς, ἢ ῥυέντος εἰς αὐτὸν ἑτέρωθεν, ἢ γεννηθέντος ἐν τῷ τόπῳ τοῦ μελαγχολικοῦ χυμοῦ, γεννᾶται δ᾽ ὑπὸ θερμασίας πολλῆς ἐγχωρίου καταοπτώσης, ἤτοι τὴν ξανθὴν χολὴν, ἢ τὸ παχύτερόν τε καὶ μελάντερον αἷμα. διαφέρει δ᾽ εἰς τὴν θεραπείαν, οὐ σμικρὸν ὁ διορισμὸς οὗτος. ὁπότ᾽ ἂν μὲν γὰρ ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχῃ τὸ αἷμα, τὴν ἀρχὴν τῆς θεραπείας, ἀπὸ φλεβοτομίας προσήκει ποιεῖσθαι. ὅτ᾽ ἂν δὲ τὸ κατὰ μόνον τὸν ἐγκέφαλον, οὐ χρῄζει φλεβοτομίας ὁ κάμνων. ὅσον γε ἐπὶ τῇ διαθέσει ταύτῃ, κατ᾽ ἄλλο γάρ τι δυνατόν ἐστιν χρῄζειν αὐτόν. ἡ δ᾽ ἐν διαγνώσις, ἀπὸ τῶν δε σοι γινέσθω, πότερον ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχει χυμὸν, ἢ κατὰ μόνον τὸν ἐγκέφαλον ἠθροίσθαι τις τοιοῦτος. καὶ ἀξιῶ σε πρῶτον μὲν ἐπισκέψασθαι τὴν τοῦ σώματος ἕξιν ὁποία τίς ἐστιν, μεμνημένον, ὡς οἱ μὲν ἁπαλοὶ καὶ λευκοὶ καὶ πίονες, ἥκιστα μελαγχολικὸν ἴσχουσι χυμόν. οἱ δ᾽ ἰσχνοὶ καὶ μελάντεροι καὶ δασεῖς καὶ φλέβας εὐρείας ἔχοντες ἐπιτηδειότατοι πρὸς τὴν τοῦ τοιούτου χυμοῦ γένεσιν ὑπάρχουσιν. ἔσθ᾽ ὅτε δὲ καὶ οἱ ἐξέρυθροι τὴν χρόαν ἄνθρωποι μεταπίπτουσιν ἀθρόως, ἐπὶ τὴν μελαγχολικὴν κρᾶσιν. ἐφεξῆς δ᾽ αὐτῶν οἱ ξανθοί. καὶ μάλισθ᾽ ὅταν ἐν ἀγρυπνίαις καὶ πόνοις πλείοσι καὶ φροντίσι καὶ λεπτῇ διαίτῃ προδιητημένοι τύχωσιν. ὁμογενῆ δὲ τούτοις ἐστὶ καὶ τὰ τοιαῦτα γνωρίσματα. πότερον ἐπέχηταί τις αἱμοῤῥοΐς, ἢ καί τις ἄλλη συνήθης αἵματος κένωσις, ἢ καταμήνια ταῖς γυναιξί. καὶ τούτων ἐφεξῆς ὁποίαις ἐχρήσατο τροφαῖς, ἆρά γε ταῖς μελαγχολικὸν αἷμα γεννώσαις, ἢ ταῖς ἐναντίαις. λέγω δὲ μελαγχολικὸν μὲν αἷμα γεννᾶν, αἰγείων καὶ βοείων ἐδωδὴν κρεῶν. καὶ μᾶλλον ἔτι τῶν τραγείων τε καὶ ταυρείων. ἔτι δὲ μᾶλλον ὀνείων τε καὶ καμηλείων. ἐσθίουσι γὰρ ἔνιοι καὶ τούτων, ὥσπερ γε καὶ ἀλωπέκων τε καὶ κυνῶν. οὐχ ἥκιστα δὲ καὶ ἡ τῶν λαγωῶν ἐδωδὴ τοιοῦτον αἷμα γεννᾷ. καὶ πολὺ μᾶλλον ἡ τῶν ἀγρίων συῶν. καὶ αἱ κοχλίαι δὲ μελαγχολικὸν αἷμα γεννῶσιν, εἴ τις ἐν αὐτοῖς πλεονάσειεν. καὶ πάντα τὰ ταριχευθέντα κρέα τῶν ἐπιγείων ζώων. ἐνύδρων δὲ τά τε τῶν θύννων καὶ φαλαίνης, καὶ φώκης καὶ δελφῖνος. καὶ κυνὸς. καὶ τῶν κητωδῶν ἁπάντων. τῶν δὲ λαχάνων σχεδὸν ἡ κράμβη μόνη τοιοῦτον αἷμα γεννᾶν πέφυκεν. ὥσπερ γε καὶ τῶν δένδρων οἱ βλαστοὶ, δι᾽ ἅλμης καὶ ὀξάλμης συντιθέμενοι. σχίνου λέγω καὶ τερμίνθου καὶ βάτου καὶ κυνοσβάτου. καὶ μέν τοι καὶ τῶν ὀσπρείων, ἥ τε φακὴ μελαγχολικώτατόν ἐστιν ἔδεσμα καὶ μετὰ ταύτην οἱ πιτυρίται καλούμενοι τῶν ἄρτων. οἵ τε ἐκ τῆς τίφης καὶ τῶν μοχθηρῶν σπερμάτων. οἷς ἀντὶ πυρῶν, ἔνια τῶν ἐθνῶν χρῆται. διώρισται δὲ περὶ αὐτῶν ἐν τῷ πρώτῳ τῶν περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων. ἀλλὰ καὶ τῶν οἴνων οἵ τε παχεῖς καὶ μέλανες, ἐπιτηδειότατοι γεννῆσαι τὸν μελαγχολικὸν χυμὸν, ἄν τις ἐν αὐτοῖς πλεονάζων ὑπὸ περιστάσεώς τινος ἐν θερμασίᾳ πλείονι τὸ σῶμα σχῇ. καὶ οἱ παλαιοὶ δὲ τυροὶ ῥᾷστοι γεννῆσαι τὸν τοιοῦτον χυμὸν, ὅτ᾽ ἂν ἐν τῷ σώματι τύχωσιν ὑπερθερμανθέντες. εἰ μὲν οὖν ἐν τοιαύτῃ διαίτῃ πρὸ τοῦ νοσεῖν ὁ ἄνθρωπος εἴη γεγενημένος, ἔξεστι κἀκ ταύτης στοχάσασθαί τι πλέον. εἰ δ᾽ ἐν εὐχύμοις ἐδέσμασιν ἐπισκέπτεσθαι περί τε τῶν γυμνασίων αὐτοῦ λύπης καὶ ἀγρυπνίας καὶ φροντίδος. ἔνιοι δὲ καὶ κατ᾽ αὐτὰ τὰ πυρετώδη νοσήματα, καθότι προείρηται τὸν μελαγχολικὸν ἴσχουσι γενόμενον χυμόν. εἰς δὲ τὴν βεβαιοτέραν διάγνωσιν, οὐ σμικρὰ συντελεῖ, καὶ ἡ ὥρα τοῦ ἔτους. καὶ ἡ γεγενημένη τε καὶ οὖσα κατάστασις, ἔτι τε τὸ χωρίον. ἥ τε τοῦ κάμνοντος ἡλικία. ταῦτα πάντα προδιασκεψάμενος, ὅτ᾽ ἂν ἐλπίσῃς ἐν ταῖς καθ᾽ ὅλον τὸ σῶμα φλεψὶ μελαγχολικὸν

aaaa

αἷμα περιέχεσθαι, τὴν βεβαιοτάτην ἐπάγαγε διάγνωσιν, ἐκ τοῦ τέμνειν τὴν κατ' ἀγκῶνα φλέβα. βέλτιον δὲ τὴν μέσην τέμνειν ἐπειδὴ κοινὴ πρὸς ἀμφοτέρας ἐστί, τήν τε ὠμιαίαν ὀνομαζομένην καὶ τὴν διὰ τῆς μασχάλης ἐπὶ τὴν χεῖρα φερομένην. εἶτα εἰ μὲν μὴ φαίνοιτο μελαγχολικὸν εἶναι τὸ ῥέον, ἐπίσχες εὐθέως. εἰ δὲ τοιοῦτον φαίνεται, κένωσον ὅσον ἂν ὑπολάβῃς αὐταρκὲς ἔσεσθαι, τῇ τοῦ πάσχοντος ἕξει σώματος. Ἔστι δὲ καὶ τρίτη τις διαφορὰ μελαγχολίας ὥσπερ ὅταν ἡ ἐπίληψία τὴν ἀρχὴν ἀπὸ τῆς κοιλίας ἔχει. καλοῦσι δὲ ἔνιοι τῶν ἰατρῶν ὑποχονδριακόν τε καὶ φυσῶδες νόσημα τὴν αὐτὴν διάθεσιν. ἀρκέσει δέ μοι τὰ ὑπὸ Διοκλέους γεγραμμένα συνεδρεύειν αὐτῷ συμπτώματα. κατὰ τὸ βιβλίον ὃ ἐπιγράφεται, πάθος, αἰτία, θεραπεία. κατὰ λέξιν γὰρ ὁ Διοκλῆς ἔγραψεν αὐτοῖς ὀνόμασιν οὕτως. ἄλλο δὲ γίγνεται μὲν περὶ τὴν κοιλίαν, ἀνόμοιον δ' ἐστὶ τοῖς προειρημένοις. καλοῦσι δ' αὐτὸ, οἱ μὲν μελαγχολικὸν, οἱ δὲ φυσῶδες. ἕπεται δὲ τούτῳ μετὰ τὰς ἐδωδὰς, καὶ μάλιστα τῶν δυσπέπτων τε καὶ καυσικῶν, πτύσεις ὑγραὶ καὶ πολλαί. ὀξυρεγμίαι. πνεύματα. καῦμα πρὸς ὑποχονδρίοις. ἐγκλύδαξις οὐκ εὐθὺς, ἀλλ' ἐπισχοῦσιν. ἐνίοτε δὲ καὶ πόνοι κοιλίας ἰσχυροὶ, διήκοντες ἐνίοις εἰς τὸ μετάφρενον. πραΰνονται δὲ πεφθέντων τῶν σιτίων, πάλιν τε μετὰ τὸ φαγεῖν τὰ αὐτὰ συμβαίνει. πολλάκις δὲ καὶ νήστεσιν καὶ μετὰ τὸ δεῖπνον ἐνοχλεῖ. καὶ ἐμοῦντες, ὠμὰ τὰ σιτία ἐμοῦσι καὶ φλέγματα ὑπόπικρα καὶ θερμὰ καὶ ὀξέα. ὥστε καὶ τοὺς ὀδόντας αἱμωδιᾶν. καὶ τὰ πολλὰ γίνεται τούτων, εὐθὺς ἐκ νέων. μηκύνει δὲ ὅπως ἂν γένηται πᾶσι. ταῦτα προειπὼν ὁ Διοκλῆς, ἐφεξῆς αὐτοῖς προσέθηκε τὴν αἰτίαν ὧδέ πως γράψας. τοὺς δὲ φυσώδεις καλουμένους, ὑπολαμβάνειν δεῖ πλείον ἔχειν τὸ θερμὸν τοῦ προσήκοντος ἐν ταῖς φλεψὶ ταῖς ἐκ τῆς γαστρὸς τὴν τροφὴν δεχομέναις. καὶ τὸ αἷμα πεπαχύνθαι τούτων. δηλοῖ γὰρ ὅτι ἐστὶ ἔμφραξις περὶ ταύτας τὰς φλέβας τὸ μὴ καταδέχεσθαι τὸ σῶμα τὴν τροφὴν. ἀλλ' ἐν τῇ γαστρὶ διαμένειν ἀκατέργαστον. πρότερον τῶν πόρων τούτων ἀναλαμβανόντων, τὰ δὲ πολλὰ ἀποκλεινάντων εἰς τὴν κάτω κοιλίαν. καὶ τὸ τῇ δευτεραίᾳ ἐμεῖν αὐτοὺς οὐχ ὑπαγόντων εἰς τὸ σῶμα τῶν σιτίων. ὅτι δὲ τὸ θερμὸν πλεῖον ἐστὶ τοῦ κατὰ φύσιν. μάλιστ' ἄν τις κατανοήσειεν, ἔκ τε τῶν καυμάτων τῶν γινομένων αὐτοῖς καὶ τῆς προσφορᾶς. φαίνονται γὰρ ὑπὸ τῶν ψυχρῶν ὠφελούμενοι σιτίων. τὰ δὲ τοιαῦτα τὸ θερμὸν καταψύχειν καὶ μαραίνειν εἴωθεν. ἐφεξῆς δὲ τούτων, καὶ τ' ἄλλα προσέγραψεν ὁ Διοκλῆς ἐν τῇ δε τῇ λέξει. λέγουσι δὲ τινὲς ἐπὶ τῶν τοιούτων παθῶν τὸ στόμα τῆς γαστρὸς τὸ συνεχὲς τῷ ἐντέρῳ φλεγμαίνειν, διὰ δὲ τὴν φλεγμονὴν ἐμπεφράχθαι, καὶ κωλύειν καταβαίνειν τὰ σιτία εἰς τὸ ἔντερον τοῖς τεταγμένοις χρόνοις. τούτου δὲ γιγνομένου, πλείονι χρόνῳ τοῦ δέοντος ἐν τῇ γαστρὶ μένοντα, τούς τε ὄγκους παρασκευάζει, καὶ τὰ καύματα, καὶ τ' ἄλλα τὰ προειρημένα. ταῦτα μὲν οὖν ὁ Διοκλῆς ἔγραψε, παραλιπὼν ἐν τῷ καταλόγῳ τῶν συμπτωμάτων τὰ κυριώτατα τῆς ὅλης συνδρομῆς. ὅσα τήν τε μελαγχολίαν χαρακτηρίζει, καὶ τὸ φυσῶδες καὶ ὑποχονδριακὸν πάθος. καί μοι δοκεῖ διότι ταῦτα ἐκ τῆς προσηγορίας τοῦ νοσήματος ἐνδεικτικῶς ἐδηλοῦτο, παραλελοιπέναι, μεμαθηκότων γ' ἡμῶν ὑφ' Ἱπποκράτους. ἢν φόβος καὶ δυσθυμίη πολὺν χρόνον ἔχοντα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτο. διατί δὲ ἐν τῇ τῆς αἰτίας ἀποδόσει τῶν μὲν ἄλλων συμπτωμάτων ἔγραψε τὰς αἰτίας, αὐτῆς δὲ τῆς βλάπτεσθαι τὴν διάνοιαν οὐκ ἔγραψεν ζητῆσαι ἄξιον. εἴτε γὰρ τὸ θερμὸν ἐν ταῖς κατὰ τὴν γαστέρα φλεψὶ πλέον ἐστὶν αὐτῶν ὂν, εἴτε φλεγμονὴ τῶν κατὰ τὸν πυλωρὸν μερῶν, διατί τούτοις ἀκολουθεῖ τὰ μελαγχολικὰ συμπτώματα, παραλέλειπται. τὸ μὲν γὰρ ἐμπίπλασθαι τὴν γαστέρα φυσώδους πνεύματος, εἶτα ταῖς ἐρυγαῖς αὐτοῦ κουφίζεσθαι, καὶ πρὸς ἔτι τοῖς εἰρημένοις ὑπὸ τοῦ Διοκλέους ἐμέτοις, εὔδηλον ἐστὶ κἂν ἐκεῖνος μὴ λέγει. τὰ δὲ τῆς μελαγχολίας ἴδια, χαλεπὸν ἦν αὐτῷ συγγράψαι τῇ κατὰ τὴν γαστέρα λελεγμένῃ διαθέσει. προσθῶμεν οὖν ἡμεῖς αὐτὰ, τὴν διάθεσιν ἑρμηνεύσαντες σαφῶς, ἔοικε μὲν γὰρ εἶναι τὶς ἐν αὐτῇ φλεγμονή. τὸ δ' ἐν τῷ φλεγμαίνοντι μορίῳ περιεχόμενον αἷμα, παχύτερόν τε καὶ μελαγχολικώτερον ὑπάρχειν. ὥσπερ οὖν ἐπὶ τοὺς ὀφθαλμοὺς ἀναφερομένης ἐκ τῆς γαστρὸς αἰθαλώδους τινὸς, ἢ καπνώδους ἀναθυμιάσεως, ἢ ὅλως ἀτμῶν τινῶν παχέων, ὅμοια τοῖς ὑποχεομένοις γίγνεται συμπτώματα, κατὰ τὸν αὐτὸν λόγον, καὶ νῦν ἐπὶ τὸν ἐγκέφαλον ἀναφερομένης τῆς μελαγχολικῆς ἀναθυμιάσεως, οἷον αἰθαλώδους τινὸς, ἢ καπνώδους ἀναθυμιάσεως, τὰ μελαγχολικὰ γενήσεται περὶ τὴν διάνοιαν συμπτώματα. καὶ μὴν καὶ συνεχέστατα θεώμεθα τὴν κεφαλὴν ὀδυνωμένην ἐπὶ τῇ ξανθῇ χολῇ κατὰ τὴν γαστέρα περιεχομένῃ. καθάπερ γε καὶ παραχρῆμα γινομένην ἀνώδυνον, ἐμεθείσης τῆς χολῆς. καὶ τά γε τοιαῦτα τῶν ἀλγημάτων, δακνώδη τέ ἐστιν καὶ διαβρωτικὰ, καθάπερ ἄλλα μέν τινα μετὰ βάρους, ἄλλα δὲ μετὰ τάσεως ἢ καταφορᾶς ὁρᾶται γινόμενα. συμπεφώνηται δὲ τοῖς ἀρίστοις ἰατροῖς, οὐ ταῦτα μόνον ἀπὸ τῆς γαστρὸς τῇ κεφαλῇ συμπίπτειν, ἀλλὰ καὶ τὴν ἐπιληψίαν. ἀεὶ μὲν οὖν οἱ φόβοι συνεδρεύουσι τοῖς μελαγχολικοῖς, οὐκ ἀεὶ δὲ ταυτὸν εἶδος τῶν παρὰ φύσιν αὐτοῖς γίνεται φαντασιῶν. εἴγε ὁ μὲν τις ὀστρακοῦς ᾤετο γεγονέναι, καὶ διὰ τοῦτ' ἐξίστατο τοῖς ἀπαντῶσιν, ὅπως μὴ συντριβείη. θεώμενος δ' ἕτερος ἄλλος ἀλεκτρυόνας ᾄδοντας ὥσπερ ἐκεῖνοι τὰς πτέρυγας προσέκρουον πρὸ ᾠδῆς, οὕτω καὶ αὐτὸς τοὺς βραχίονας προσκρούων ταῖς πλευραῖς, ἐμιμεῖτο τὴν φωνὴν τῶν ζώων. φόβος δ' ἦν ἄλλῳ μήπως ὁ βαστάζων τὸν κόσμον Ἄτλας, ἀποσείσηται κεκμηκὼς αὐτὸν, οὕτως τε καὶ αὐτὸς συντριβείη, καὶ ἡμᾶς αὐτῷ συναπολέσειεν. ἄλλα τε μυρία τοιαῦτα φαντασιοῦνται. διαφέρονται δὲ ἀλλήλων οἱ μελαγχολικοὶ, τὸ μὲν φοβεῖσθαι, καὶ δυσθυμεῖν, καὶ μέμφεσθαι τῇ ζωῇ, καὶ μισεῖν τοὺς ἀνθρώπους, ἅπαντες ἔχοντες. ἀποθανεῖν δ' ἐπιθυμοῦντες, οὐ πάντες. ἀλλ' ἔστιν ἐνίοις αὐτὸ τοῦτο κεφάλαιον τῆς μελαγχολίας, τὸ περὶ τοῦ θανάτου δέος. ἔνιοι δὲ ἀλλόκοτοί σοι δόξουσιν, ἅμα τε καὶ δεδιέναι τὸν θάνατον, καὶ † θανατᾶν. ὥς τε ὀρθῶς ἔοικεν ὁ Ἱπποκράτης, εἰς δύο ταῦτα ἀναγαγεῖν τὰ συμπτώματα αὐτῶν πάντα, φόβον καὶ δυσθυμίαν. ἐπί γέ τοι τῇ τοιαύτῃ δυσθυμίᾳ μισοῦσιν πάντας, οὓς ἂν βλέπωσιν, καὶ σκυθρωποὶ διὰ παντός εἰσιν δειμαίνοντες, ὥσπερ ἐν σκότῳ βαθεῖ, τά τε παιδία φοβεῖται, καὶ τῶν τελείων οἱ ἀπαίδευτοι. καθάπερ γε καὶ τὸ ἔξωθεν σκότος εἰς φόβον ἄγει σχεδὸν ἅπαντας ἀνθρώπους, πλὴν τῶν ἤτοι πάνυ φύσει τολμηρῶν, ἢ πεπαιδευμένων, οὕτως καὶ τῆς μελαίνης χολῆς τὸ χρῶμα παραπλησίως σκότῳ τὸν φρονοῦντα τόπον ἐπισκιάζον ἐργάζεται τοὺς φόβους. ὅτι γὰρ οἵ τε χυμοὶ καὶ ὅλως ἡ τοῦ σώματος

† al. κακοθανατᾶν

σώματος κρᾶσις, ἀλλοιοῖ τὰς ἐνεργείας τῆς ψυχῆς, ὡμολόγηται τοῖς ἀρίστοις ἰατροῖς τε καὶ φιλοσόφοις. ἐμοί τε δι' ἑνὸς ὑπομνήματος ἀποδέδεικται, καθ' ὃ ταῖς τοῦ σώματος κράσεσιν ἀκολουθούσας ἀπέδειξα τὰς τῆς ψυχῆς δυνάμεις. ὅθεν οὐδὲ γράψαι τι περὶ μελαγχολίας ἐτόλμησαν οἱ τὴν τῶν χυμῶν δύναμιν ἀγνοήσαντες, ἐξ ὧν εἰσὶ καὶ οἱ περὶ τὸν Ἐρασίστρατον. ἄξιον δὲ ἐστὶ κἂν τούτῳ θαυμάσαι τὰς κοινὰς ἐννοίας τῶν ἀνθρώπων. ὥσπερ καὶ τ' ἄλλα πολλὰ δόγματα περὶ ὧν ἠγνόησαν οὐκ ὀλίγοι φιλοσόφων τε καὶ ἰατρῶν. ἅπαντες γοῦν ὀνομάζουσιν τὸ πάθος τοῦτο μελαγχολίαν, ἐνδεικνύμενοι διὰ τῆς προσηγορίας τὸν αἴτιον αὐτοῦ χυμόν. ἐὰν μὲν οὖν ἄρξηται γε πρῶτα τὰ κατὰ τὴν γαστέρα συμπτώματα καὶ μείζοσιν αὐτοῖς γινομένοις ἀκολουθήσῃ τὰ μελαγχολικὰ πάθη, κουφίζεταί τε ταῖς διαχωρήσεσιν, καὶ τοῖς ἐμέτοις, καὶ ταῖς ἀπεψίαις, καὶ ταῖς ἐρυγαῖς ὁ ἄνθρωπος, ὑποχονδριακὸν μὲν ὀνομάζομεν, οὕτως γε καὶ φυσῶδες τὸ νόσημα. συμπτώματα δὲ εἶναι φήσομεν αὐτοῦ, τήν τε δυσθυμίαν καὶ τὸν φόβον. ὅταν δὲ τὰ μὲν τῆς μελαγχολίας ἴδια συμπτώματα φαίνηται μεγάλα, κατὰ δὲ τὴν κοιλίαν ἤτοι μηδὲν, ἢ σμικρὰ, τὸν ἐγκέφαλον ἡγητέον ἐπὶ τούτων πρωτοπαθεῖν, ἠθροισμένης ἐν αὐτῷ μελαίνης χολῆς. ἐξ ὧν δὲ χρὴ διορίζεσθαι πότερον ἐν αὐτῷ μόνῳ τῷ ἐγκεφάλῳ περιέχεται τοιοῦτος τις χυμὸς, ἢ καθ' ὅλον ἐστὶ τὸ σῶμα, λέλεκται μικρὸν ἔμπροσθεν. ἀναμιμνήσκω δὲ τοὺς ἰδόντας ἑταίρους, διά τε λουτρῶν πολλῶν καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς τὴν τοιαύτην μελαγχολίαν ἐκθεραπεύοντά με χωρὶς ἑτέρου βοηθήματος. ὅταν γε μήπω διά τε χρόνου μῆκος, δυσεκκένωτος ᾖ ὁ λυπῶν χυμός. ὡς ὅταν γε ἤδη κεχρονικὸς ὑπάρχῃ τὸ νόσημα μειζόνων ἑτέρων ἐπὶ τοῖς εἰρημένοις, δεῖται βοηθημάτων. ἐπιγίνεται δὲ ἡ τοιαύτη μελαγχολία, προηγησαμέναις θερμαῖς διαθέσεσι τῆς κεφαλῆς. ἤτοι γε ἐξ ἐγκαύσεως, ἢ φλεγμονώδους ἐν αὐτῇ γενομένου πάθους, ἢ καὶ φρενίτιδος. ἐπιγίγνεται δὲ καὶ φροντίσι, καὶ λύπαις μετ' ἀγρυπνιῶν. περὶ μὲν οὖν μελαγχολίας ἱκανὰ καὶ ταῦτα.

Περὶ δὲ τῶν ἐπιληπτικῶν παθῶν ἐπειδὴ καὶ ταῦτα γίνεται, ποτὲ μὲν αὐτῆς τῆς κεφαλῆς πασχούσης, ποτὲ δὲ ἄλλοις συμπασχούσης, διοριστέον ἐπιμελῶς, ἠμέληται γὰρ ἅπασι σχεδὸν τοῖς ἰατροῖς, ὥσπερ ὁ τῶν τριῶν μελαγχολιῶν διορισμὸς, οὕτως καὶ ὁ τῶν ἐπιληψιῶν τρεῖς ἐχουσῶν διαφοράς. ἁπασῶν μὲν οὖν αὐτῶν κοινὸν ἐστι παθεῖν τὸν ἐγκέφαλον. ἤτοι ἐν αὐτῷ τοῦ πάθους συστάντος, ὡς τοῖς πλείστοις γίγνεται τῶν ἐπιλήπτων. ἢ ἀπὸ τοῦ τῆς γαστρὸς στόματος, ὃ δὴ καὶ στόμαχον εἰώθασι καλεῖν οἱ ἰατροί, κατὰ συμπάθειαν ἀνιόντος ἐπὶ τὸν ἐγκέφαλον, ἀνάλογον τοῖς γινομένοις συμπτώμασιν περὶ τοὺς ὀφθαλμοὺς ἀπὸ τοῦ στομάχου παραπλησίως τοῖς ὑποχεομένοις. ἐν δὲ τῷ σπανίῳ, γίγνεταί τι, καὶ ἕτερον ἐπιληψίας εἶδος, εἴτε γένος, εἴτε διαφορὰν ἐθέλεις ὀνομάζειν, ἀπὸ μορίου τινὸς οὗ ἔτυχεν, ἀρχομένου τοῦ πάθους, εἶτ' αἰσθητῶς αὐτῷ τῷ κάμνοντι τὴν ἄνοδον ἐπὶ τὴν κεφαλὴν ποιουμένου. καὶ τοῦτ' ἐθεασάμην ἐπὶ πρώτου μὲν παιδὸς ὡς ἐτῶν τρισκαίδεκα. μειράκιον ὢν αὐτὸς ἅμα τοῖς ἀρίστοις ἰατροῖς τοῖς παρ' ἡμῖν συνελθοῦσιν ἐπὶ τὴν τῆς θεραπείας αὐτοῦ σκέψιν. ἤκουον οὖν τοῦ παιδὸς διηγουμένου τὴν ἀρχὴν τῆς διαθέσεως αὐτῷ κατὰ τὴν κνήμην γίνεσθαι, κἄπειτ' ἐντεῦθεν ἀνιέναι κατ' εὐθὺ, διά τε τοῦ μηροῦ καὶ τῆς ὑποκειμένης λαγόνος τε καὶ πλευρᾶς ἐπὶ τὸν τράχηλον ἄχρι τῆς κεφαλῆς, ἐπειδὰν δὲ πρῶτον ἐκείνης ψαύσῃ, μηκέτι παρακολουθεῖν ἑαυτῷ. τὴν μέντοι ποιότητα τοῦ φερομένου πρὸς τὴν κεφαλὴν, ἐρωτώμενος ὑπὸ τῶν ἰατρῶν ὁποία τις εἴη λέγειν οὐκ εἶχεν ὁ παῖς. ἀλλ' ἕτερός γε τις ἐκείνου νεανίσκος οὐκ ἄφρων, ἀλλ' ἱκανῶς αἰσθάνεσθαι τοῦ γιγνομένου δυνάμενος, ἑρμηνεῦσαί θ' ἑτέρῳ δυνατώτερος, οἷον αὔραν τινὰ ψυχρὰν ἔφασκεν εἶναι τὴν ἀνερχομένην. ἐδόκει δὴ τῷ διδασκάλῳ Πέλοπι δυοῖν θάτερον, ἤτοι ποιότης ἀναδίδοσθαι ἀλλοιουμένων τῶν μορίων κατὰ τὸ συνεχὲς, ἢ πνευματική τις οὐσία. θαυμαστὸν δὲ οὐδὲν ἔφασκεν, δύναμιν ἰσχυρὰν ἔχειν τὸν ἐν τῷ πάσχοντι μορίῳ γεννηθέντα παρὰ φύσιν χυμόν, ὁποῖοι τοῖς πονηροῖς θηρίοις εἰσὶν οἱ ἰοί. τίς γὰρ οὐκ ἂν ἠπίστησεν, εἰ μὴ πολλάκις ἑωρῶμεν αὐτὸ γιγνόμενον ἐπί τε τῶν σκορπίων ἐγχριψάντων τῷ κέντρῳ, καὶ φαλαγγίων δακνόντων, μεγάλην καὶ ἐξαίσιόν τινα μεταβολὴν ἴσχειν ὅλον τὸ σῶμα. καίτοι βραχυτάτης οὐσίας εἰς αὐτὸ καταβαλλομένης ὑπὸ τῶν θηρίων. ἐπὶ μὲν οὖν τοῦ δάκνοντος φαλαγγίου κἂν εἰ μικρὸν ᾖ τὸ ζῶον, ὅμως δ' οὖν ἐπινοεῖν ἡμᾶς ἰόν τινα διὰ τοῦ στόματος αὐτοῦ καθιέναι τῷ δηχθέντι σώματι. τὸ δὲ τῆς θαλαττίας τρυγόνος κέντρον ὥσπερ καὶ τὸ τοῦ χερσαίου σκορπίου, φαίνεται σαφῶς εἰς ὀξύτατον πέρας τελευτῶν, ὃ μηδὲν ἔχει κατὰ τὸ πέρας τρῆμα δι' οὗ προΐησι τὸν ἰόν. ἀλλ' ὅμως ἀναγκαῖον ἐννοεῖν ἡμᾶς εἶναί τινα οὐσίαν ἤτοι πνευματικὴν, ἢ ὑγρὰν, ἢ κατ' ὄγκον μὲν οὖσαν ἐλαχίστην, μεγίστην δὲ, τῇ δυνάμει. πεπληγὼς γοῦν τις ἔναγχος ὑπὸ σκορπίου, χαλάζαις ἔφη δοκεῖν βάλλεσθαι καὶ ἦν ὅλος ψυχρὸς, ἱδρῶτί τε ψυχρῷ, ἐσώθη τε μόγις βοηθούμενος. οὔκουν ἀδύνατον ἔφασκεν ὁ Πέλοψ εἶναι καὶ κατὰ τὸ σῶμα τοιαύτην τινὰ οὐσίαν γεννηθῆναι χωρὶς τῆς ἔξωθεν αἰτίας. καὶ ταύτην ὅταν ἐν νευρώδει μορίῳ τὴν σύστασιν ἔχῃ, κατὰ τὸ συνεχὲς εἰς τὴν ἀρχὴν τῶν νεύρων ἀναπέμπειν τὴν δύναμιν. ἤτοι κατ' ἀλλοίωσιν ὡς ἔφην, ἢ καί τινος οὐσίας πνευματικῆς ἀναφερομένης ὥσπερ αὔρας. καὶ γάρ τοι καὶ φαίνονται πολλάκις ἐναργῶς ὅταν ὁ σκορπίος ἀπερείσηται τὸ κέντρον εἰς νεῦρον, ἢ ἀρτηρίαν, ἢ φλέβα, σφοδροτάτοις συμπτώμασιν οἱ πληγέντες οὕτως ἁλισκόμενοι. τὸ μὲν οὖν τοῦ σκορπίου κέντρον ἐγχωρεῖ καὶ μέχρι βάθους τοῦ σώματος, ἐξικνεῖσθαι, διεξελθὸν ὅλον τὸ δέρμα. τὸ δὲ τῶν μικρῶν φαλαγγίων δῆγμα περὶ τὴν ἐπιφάνειαν μόνην γίνεται τοῦ δέρματος. ὥστε δῆλον ἐκ τοῦδε, καὶ διὰ τοῦ δέρματος ἐνίοτε μόνον τὴν δύναμιν τοῦ ἰοῦ φέρεσθαι πρὸς ὅλον τὸ σῶμα. συνεχὲς τε γὰρ αὐτῷ τὸ δέρμα πᾶν ὑπάρχει καὶ νευρῶδες. οὔκουν οὐδαμῶς ἀδύνατον εἰς ὅλον αὐτὸ διαδιδομένην ἐν τάχει τὴν ἐκ τοῦ καταβληθέντος ἰοῦ δύναμιν, ἐξ αὐτοῦ πάλιν τοῦδε κατὰ τὴν αὐτοῦ ψαῦσιν, εἰς ἕκαστον τῶν ὑποκειμένων αὐτῷ μεταλαμβάνεσθαι. πάλιν τε ἐξ ἐκείνων εἰς ἄλλα κατὰ συνέχειαν. εἶτ' αὖθις ἐκ τῶν παθόντων εἰς ἄλλα. κἀπειδὰν ἐπί τι τῶν κυρίων μορίων ἀφίκηται, κινδυνεύειν ἀπόλλυσθαι τὸν ἄνθρωπον. ἐνάγουσι δ' εἰς τοῦτο μάλιστα μὲν καὶ οἱ τοῖς ὑποκειμένοις μέρεσι δεσμοὶ προσφερόμενοι φανερωτάτην ὠφέλειαν ἐνδεικνύμενοι. καὶ γὰρ ἐπὶ τῶν ἐχιδνῶν ἐπειράθημεν τούτου καὶ τῶν σκορπίων, ἤδη δὲ καὶ ἀσπίδων. ὧν καὶ μάλιστα ἄν τις ἠπίστησεν διὰ τὸ ἐπιφέρειν αὐτίκα θάνατον, ἀλλ' ὅμως ἐπὶ τῆς Ἀλεξανδρείας ὄντος μου, δηχθείς τις ἄγροικος, οὐ πόῤῥω τῆς πόλεως, ἕνα τῶν κατὰ τὴν χεῖρα δακ-

Unde fit Melancholia.

De Epilepsia.

τύλων ἔδησέ τε δεσμῷ σφοδροτάτῳ τὴν πρὸς τῷ μετακαρπίῳ ῥίζαν αὐτοῦ, καὶ δραμὼν ἐπὶ τὴν πόλιν πρὸς ἰατρὸν συνήθη, παρέσχεν ἀποτεμεῖν ὅλον τὸν δάκτυλον, ἀπὸ τῆς εἰς τὸ μετακάρπιον διαρθρώσεως, ἐλπίζων ἐκ τούτου μηδὲν πείσεσθαι. καὶ μέντοι γε καὶ προὐχώρησεν αὐτῷ κατὰ τὴν ἐλπίδα, διεσώθη γὰρ οὐδὲν ἄλλο πραγματευόμενος ἔτι. καθάπερ ἕτερον αὐτίκα πιόντα τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου, μετὰ τοῦ τὸν δάκτυλον ἀποτεμεῖν ὑγιασθέντα. καὶ μέντοι γε καὶ ἄλλον ἐθεασάμην ἄγροικον ὅλον τὸν δάκτυλον ὑπὸ ἐχίδνης δηχθέντα δρεπάνῳ μὲν, ὃ τότ' εἶχεν, ἦν γὰρ ἀμπελουργὸς, ἀπὸ τῆς ὑστάτης διαρθρώσεως ἀποτεμὼν τὸ δεδηγμένον μέρος, αὖθις δὲ πόσεως φαρμάκου διασωθέντα, τοῦ δακτύλου κατουλωθέντος ὑπὸ τῶν συνήθων φαρμάκων. ἀλλὰ καὶ τὸν ἀπὸ τῆς κνήμης ἐπίληπτον παῖδα θεραπεύειν ἐπιχειρήσαντες οἱ τότε συναθροισθέντες εἰς τὴν σκέψιν ἰατροὶ, δόξαν αὐτοῖς προκαθήραντας ὅλον τὸ σῶμα, προσενέγκειν τῷ μορίῳ τὸ διὰ τῆς θαψίας, ἢ νάπυος φάρμακον, ἐν τῷ μεταξὺ δήσαντες τὸ κῶλον ἀνωτέρω τοῦ πρωτοπαθοῦντος μορίου, διεκώλυσαν γενέσθαι τὸν παροξυσμὸν, καίτοι καὶ καθ' ἑκάστην ἡμέραν γινόμενον. ἀλλὰ ταῦτα μὲν ἐκ περιουσίας εἰρήσθω μοι τοῦ μὴ θαυμάζειν ἕνεκα, ὅπως ἀπὸ μορίου τινὸς ἀκύρου γένεσιν ἴσχει τηλικοῦτον πάθος. ὑπολείπεται δ' ἔτι ζητῆσαι τὴν αἰτίαν τῶν ἐπὶ ταῖς τοιαύταις συμπαθείαις γιγνομένων ἐπιληπτικῶν σπασμῶν. οὐδὲ γὰρ ὁ πέλοψ εἰς τοῦτο πιθανὸν οὐδὲν εἶπεν, ὥσπερ οὐδ' ἄλλος οὐδεὶς ὧν ἐκοινωνησάμην. ἐμοὶ γοῦν θεασαμένῳ ποτὲ, τὴν ἐπὶ τῇ τοιαύτῃ συμπαθείᾳ κατάπτωσιν τοῦ κάμνοντος ἀνθρώπου χωρὶς σπασμῶν σφοδρῶν γιγνομένην ἐν βραχείαις κατὰ διαλείμματα παλμώδεσι κινήσεσι, πιθανὸν ἐφαίνετο γίνεσθαί τι τοιοῦτον οἷον ὁρᾶται συνεχέστατα, καὶ ἐπὶ τοῦ στομάχου συμβαῖνον ἐν τοῖς λυγμοῖς. ἐγὼ γοῦν αὐτὸς ὅταν ποτὲ πεπέρεως προσενέγκωμαι πλέον, εὐθέως λύζω. καὶ ἄλλοις δὲ τισὶν οὐκ ὀλίγοις εἶδον τοῦτο συμβαῖνον, οἷς αἰσθητικὸν ἱκανῶς ἦν τὸ τῆς γαστρὸς στόμα. προείρηται δ' ὅτι καὶ τοῦτο συνήθως ὀνομάζουσιν οὐχ οἱ ἰατροὶ μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι στόμαχον. εἶδον γοῦν ἐν τῇ καταπτώσει τῶν κατὰ συμπάθειαν οὐκ ἰδιοπάθειαν ἐγκεφάλου πασχόντων ἐπιλήπτων, οἷον παλμώδη τινὰ κλόνον ἐκ διαστημάτων γιγνόμενον, οὐ συνεχῆ σπασμόν. ὥστε με τεκμαίρεσθαι παραπλησίαν τινὰ κίνησιν γίγνεσθαι κατὰ τὸν ἐγκέφαλον, τῇ κατὰ τὸν στόμαχον ἐπὶ τοῖς ἀνιῶσιν αὐτὸν ἐνίοτε συμπιπτούσῃ. καὶ γὰρ ἐπὶ τροφῆς πλήθει βαρυνόμενος, ὥσπερ οὖν καὶ δακνόμενος ἐπὶ ταῖς διαφθοραῖς αὐτῆς, φαίνεται λύζων. καὶ διὰ δριμύν τε χυμὸν οὐ μόνον λυγμὸν, ἀλλὰ καὶ σπασμὸν εἶδον οὐκ ὀλιγάκις ὅλῳ τῷ σώματι γιγνόμενον. ἐμεθέντος δὲ τοῦ δάκνοντος, εὐθέως ἐπαύσατο. θαυμαστὸν οὖν οὐδέν ἐστι, καὶ τὴν ἀρχὴν τῶν νεύρων, εἰς τοιαύτην κίνησιν ἀχθῆναι, διώσασθαι σπεύδουσαν ὅτι περ ἂν ᾖ τὸ ἔσω αὐτῆς ἀπὸ τοῦ πρωτοπαθοῦντος μέρους ἀναφερόμενον. οὕτω δέ μοι δοκεῖ καὶ τὰ ἄλλα πάντα τὰ κλονοῦντα τὸ νευρῶδες γένος, ἐπιγίνεσθαι συμπτώματα. τὰ δὲ εἰς κατάπτωσιν ἀναίσθητον ἄγοντα χωρὶς κινήσεως σπασμώδους, ἢ παλμώδους, ἐπὶ καταψύξει γίνεσθαι σφοδρᾷ. τούτου δὲ γένους ἐστὶ καὶ ὁ λήθαργος. ἡ δὲ ἀποπληξία διὰ τὴν ἐξαίφνης γένεσιν, ἐνδείκνυται ψυχρὸν χυμὸν, ἢ παχὺν, ἢ γλίσχρον ἀθρόως πληροῦντα τὰς κυριωτέρας τῶν κατὰ τὸν ἐγκέφαλον κοιλιῶν, οὐ κατὰ δυσκρασίαν ὅλης τῆς οὐσίας αὐτοῦ γίνεσθαι, καθάπερ ὅ τε λήθαργος, καὶ ἡ φρενῖτις, αἵ τε μανίαι, καὶ αἱ μελαγχολίαι. καὶ αἱ μωρώσεις, ἀπώλειαί τε τῆς μνήμης, ἀμυδρότης τε τῶν αἰσθήσεων καὶ τῶν κινήσεων ἐκλύσεις. ἐπὶ δ' οὖν ἁπάντων τῶν τοιούτων παθῶν, ὁποῖόν ἐστι καὶ τὸ τῆς ἀποπληξίας, τὸ μέγεθος τοῦ κινδύνου, τεκμαίρου τῷ μεγέθει τῆς κατὰ τὴν ἀναπνοὴν βλάβης. ὥσπερ γὰρ ἐπὶ τῶν κοιμωμένων ἡ ἀναπνοὴ γίνεται, καίτοι μηδεμίαν ἄλλην ἐνέργειαν ἐνεργούντων τῶν προαιρετικῶν, ἀλλ' ὑπτίων ἐπὶ τῆς κλίνης ἀνακειμένων, οὕτως κἂν τοῖς καρώδεσι πάθεσιν ἅπασι μήτ' αἰσθανομένου, μήτε κινουμένου τοῦ σώματος, ὅμως ἡ ἀναπνοὴ μόνη διασώζεται, τῶν κινούντων τὸν θώρακα μυῶν ἔργον οὖσα. τούτου γοῦν ἐπιστήμην ἔχομεν βεβαίαν ἀποδεικτικῷ νόμῳ γεγονυῖαν. ὥσπερ γε καὶ ὅτι τοῖς μυσὶν ἅπασιν ἡ ἀρχὴ τῆς κινήσεως, ἀπὸ τῶν ἐμφυομένων αὐτοῖς γίνεται νεύρων. ἡ δὲ ἀνατομὴ σαφῶς ἡμᾶς ἐδίδαξεν, ἁπάντων τῶν νεύρων εἶναι πρώτην ἀρχὴν, τὸν ἐγκέφαλον. οὐχ ἁπλῶς δ' εἶπον ἀρχὴν, ἀλλὰ πρώτην τῷ λόγῳ προσέθηκα, διὰ τὸν νωτιαῖον. ὁρᾶται μὲν γὰρ ἐκφυόμενα τούτου νεῦρα πάμπολλα, τὴν χορηγίαν δ' ὧν ἔχει δυνάμεων αὐτὸς ὁ ἐγκέφαλος ἐπιπέμπει καὶ τῷ νωτιαίῳ. τὴν τοίνυν ἀναπνοὴν ὅταν ἱκανῶς ἐμποδιζομένην ἴδῃς καὶ μόγις γινομένην, οὐ μικρὰν τεκμαίρου τὴν νοσώδη διάθεσιν ἐν ἐγκεφάλῳ γεγονέναι, κατὰ πάσας τὰς καρώδεις νόσους. ταῦτα τε οὖν ἅπαντα σαφῶς τὰ πάθη περὶ τὴν κεφαλὴν γίνεται, καὶ προσέτι καλούμενον σκοτωματικὸν εὔδηλον, ὃν κἀξ αὐτῆς τῆς προσηγορίας, ὁποῖόν ἐστι. σκοτοῦνται γοῦν ἐπὶ σμικραῖς προφάσεσιν οἱ πάσχοντες, ὡς καὶ καταπίπτειν ἐνίοτε, μάλιστα μὲν ὅταν αὐτοί ποτε ἐν κύκλῳ περιστραφῶσιν. ὃ παρὰ γὰρ τοῖς ἄλλοις ἐπὶ πολλαῖς περιστροφαῖς συμβαίνει, τοῦτ' ἐκείνοις ἐπὶ μιᾶς. κἂν ἕτερον δέ τινα περιστρεφόμενον ἴδωσι, σκοτοῦνται, κἂν τροχὸν, ἢ τι τοιοῦτον περιδινούμενον, αὐτάς τε τὰς καλουμένας δίνας ἐν τοῖς ποταμοῖς. συμβαίνει δ' αὐτοῖς ταῦτα μᾶλλον, ὅταν ἡλιωθῶσιν, ἢ πως ἄλλως θερμανθῶσι τὴν κεφαλήν. ἔοικεν οὖν ὅπερ ἐν τοῖς ἄλλοις, ἐκ τῆς περιστροφῆς πολλάκις ἐν κύκλῳ συμβαίνει, τοῦτ' ἐκείνοις ἄνευ τῆς περιστροφῆς γίνεσθαι. τοῖς δὲ περιστρεφομένοις πολλάκις ἐν κύκλῳ, ἀνώμαλός τε καὶ ταραχώδης, καὶ ἄτακτος κίνησις τῶν τε χυμῶν καὶ τοῦ πνεύματος ὁμολογεῖται γίγνεσθαι. εὔλογον οὖν τοῖς ἐν τῷ σκοτωματικῷ πάθει καθεστῶσι, τοιοῦτόν τι συμβαίνειν. διὸ καί τινες αὐτῶν ἀρτηριοτμηθέντες ὤναντο, διαιρουμένων δηλονότι τῶν ὀπίσω τῶν ὤτων ἀρτηριῶν ὅλων ἄχρι βάθους, ὡς οὐλὴν μεταξὺ γενέσθαι τῶν δύο μερῶν. ὅτι δὲ οὐ πάντες ὑπὸ τοῦ βοηθήματος τοῦδε θεραπεύονται, δῆλόν ἐστιν. ἕτεραι γὰρ ἀρτηρίαι τούτων πολὺ μείζους ἐπὶ τὸν ἐγκέφαλον ἀνέρχονται κατὰ τὴν βάσιν αὐτοῦ διὰ τοῦ καλουμένου δικτυοειδοῦς πλέγματος, ὑφ' ὧν γίνεσθαι τὸ πάθος εὔλογόν ἐστιν, ἀτμώδους καὶ θερμοῦ πνεύματος δι' αὐτῶν ἀναφερομένου καὶ πληροῦντος τὸν ἐγκέφαλον. ἐγχωρεῖ δὲ καὶ κατ' αὐτὸν τὸν ἐγκέφαλον ἀνώμαλόν τινα δυσκρασίαν γενέσθαι τοιούτου πνεύματος γεννητικήν. ἀλλ' ὅτι γε καὶ τοῦτο τῆς κεφαλῆς ἐστι τὸ πάθος, ἐξ αὐτῆς τῶν ἐσκοτωμένων τῆς αἰσθήσεως ἐστὶ δῆλον. γίγνεται δὲ καὶ αὐτὸ ποτὲ μὲν πρωτοπαθούσης τῆς κεφαλῆς, ποτὲ δὲ συμπαθούσης κατὰ τὸ στόμα τῆς κοιλίας. ὁμολογεῖ δὲ τοῦτο καὶ ὁ ἀρχιγένης ἐν τῷ πρώτῳ τῶν χρονίων παθογνωμονικῶν, γράψας ὧδε περὶ τοῦ σκοτωματικοῦ τούτου πάθους.

λαμβάνει

λαμβάνει δὲ τὴν κατασκευὴν διχόθεν καὶ αὐτό, ἤτοι ἀπὸ κεφαλῆς ἢ καὶ τῶν περὶ τὰ ὑποχόνδρια χωρίων. καὶ μέντοι καὶ διορίζειν αὐτὰ πειρᾶται. τοῖς μὲν ἀπὸ τῆς κεφαλῆς πρωτοπαθέσι σκοτωματικοῖς, ὤτων ἤχους, καὶ κεφαλῆς ὀδύνας, καὶ βάρη προηγεῖσθαι λέγων, ἢ καὶ τῆς ὀσφρήσεως ἢ τινος ἄλλης βλάβην αἰσθήσεως τῶν ἐντεῦθεν. αὐτὸς γὰρ προσέθηκεν τούτῳ τῷ λόγῳ, τῶν ἐντεῦθεν. τὰς ἀπὸ τῆς κεφαλῆς ὁρμωμένας ἐμοὶ δοκεῖν, ἐνδείξασθαι βουλόμενος. τοῖς δ' ἀπὸ τοῦ στόματος τῆς κοιλίας σκοτωματικοῖς, καρδιωγμοὺς καὶ ναυτίας προηγεῖσθαί φησιν. ἀλλ' ὡς εἴρηταί μοι καὶ πρόσθεν ἤδη πολλάκις, εἰ καὶ κατὰ συμπάθειαν ἑτέρου μορίου πάσχοι ποθ' ἡ κεφαλή, τὰ γινόμενα γοῦν πάθη ταύτης εἶναι νομιστέον ἐστίν. οὐ μὴν οὐδὲ περὶ τῆς ὀνομαζομένης ὑπὸ τῶν ἰατρῶν κεφαλαίας ἀμφισβητήσειεν ἄν τις, ὡς οὐκ ἂν εἴη τῆς κεφαλῆς τὸ νόσημα. ἔστι γὰρ ὡς ἄν τις συλλαβὼν λόγῳ βραχεῖ εἴποι, τὸ πάθος τοῦτο κεφαλαλγία χρόνιός τε καὶ δύσλυτος, ἐπὶ μικραῖς προφάσεσιν, μεγάλους ἴσχουσα παροξυσμούς, ὡς μήτε ψόφον ἀνέχεσθαι, μήτε φωνῆς σφοδροτέρας, μήτε λαμπροῦ φωτός, μήτε κινήσεως. ἀλλ' ἐν ἡσυχίᾳ καὶ σκότῳ κατακεῖσθαι βούλεσθαι, διὰ τὸ μέγεθος τῶν ἀλγημάτων. ἔνιοι μὲν γὰρ αὐτῶν, ὡς ὑπὸ σφύρας πλήττεσθαι δοκοῦσιν. ἔνιοι δὲ ὡς θλωμένων, ἢ διατεινομένων αἰσθάνονται τῶν περὶ τὴν κεφαλήν. οὐκ ὀλίγοις δ' εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν διήκει τὸ ἄλγημα. καὶ μέντοι καὶ διαλείπουσιν οἱ τοσοῦτοι παροξυσμοί, καθάπερ καὶ τοῖς ἐπιλήπτοις. καί τις χρόνος γίνεται μεταξὺ τελέως ἄμεμπτος. εὔδηλον οὖν ὅτι τὸ νόσημα τοῦτο, τὴν μὲν ὑπόθεσιν ἔχει τῆς κεφαλῆς ὁμογενῆ τοῖς κεφαλαλγικοῖς. ἐπὶ μᾶλλον δ' ἐκείνων ἀσθενείας ἥκει, τὰ περὶ τὴν κεφαλαίαν πάσχοντα μόρια. διαφορὰ δέ τις ἐστὶν καὶ αὐτῶν τῶν κεφαλαλγικῶν, ἐνίων μὲν τὴν κεφαλὴν εὐπληκτοτέραν ἐχόντων, ἐπιτήδειον δὲ τὴν ὅλην τοῦ σώματος ἕξιν εἰς τὸ πληροῦν αὐτήν. ἐνίων δὲ καὶ αὐτὰ τὰ πεφυκότα πάσχειν ἐπιτήδεια. τοῦτο συμβαίνει γε ταῖς τοιαύταις φύσεσιν κακῶς διακειμέναις εἰς τὸ τῆς κεφαλαίας ἐμπίπτειν πάθος. οὐκ ἀπεικὸς δὲ τοῖς μὲν τισιν αὐτῶν, τὰς περὶ τὸν ἐγκέφαλον ὀδυνᾶσθαι μήνιγγας. ἐνίοις δὲ τὸ περικράνιον· ἡ διάκρισις δὲ αὐτῶν ἐν τῷ διήκειν, ἢ μὴ διήκειν, τὰς ὀδύνας εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν. εὔλογον γὰρ οἷς ἡ διάθεσις ἐστὶν ἔνδον τοῦ κρανίου, τούτοις εἰς τὰς τῶν ὀφθαλμῶν βάσεις ἀφικνεῖσθαι τὸν πόνον. ἐπειδὴ καθήκουσιν εἰς αὐτὰς ἀποφύσεις τοῦ ἐγκεφάλου τε καὶ ἀμφοτέρων τῶν μηνίγγων, ἔτι τε καὶ τῶν ἐν αὐταῖς ἀγγείων. ἀλλὰ καὶ τῶν ὀδυνωμένων τὸ τῆς κεφαλῆς ἥμισυ μέρος, καλουμένων δὲ συνήθως ἡμικρανικῶν, ἐνίοις μὲν ἔξωθεν τοῦ κρανίου τὴν αἴσθησιν τῆς ὀδύνης γίνεσθαι συμβαίνει. τισὶν δὲ εἰς τὸ βάθος τῆς κεφαλῆς διήκουσιν. διορίζει δ' ἑκάτερον μέρος τῆς κεφαλῆς, ἀριστερόν τε καὶ δεξιὸν ἡ κατὰ τὸ μῆκος ἐκτεταμένη ῥαφή, καθ' ἣν ἔνδον τῶν ὀστῶν τῆς κεφαλῆς ἡ μέσον τὸν ἐγκέφαλον διαιροῦσα γραμμὴ τέτακται, πρὸς ἣν ἀνήκει τὸ διάφραγμα τῶν ἐμπροσθίων δυοῖν κοιλιῶν. ἐπιτήδειοι δὲ φύσεις σωμάτων εἰσὶν πληροῦν τὴν κεφαλήν, ἐν αἷς ἀτμῶδες πνεῦμα γεννᾶται θερμόν, ἢ χολώδη περιττώματα κατὰ τὸ στόμα τῆς κοιλίας ἀθροίζεται. γίγνεται δὲ τὰ μὲν ἀπὸ τῶν πνευμάτων, ἀλγήματα τονώδη. καλεῖται δὲ οὕτως οἷς αἴσθησις συνέζευκται τάσεως. τὰ δ' ἀπὸ τῶν χολωδῶν περιττωμάτων, δακνώδη. τὰ δ' ὑπὸ πλήθους γινόμενα, βάρους αἴσθησιν ἔχει. μετὰ μὲν ἐρεύθους καὶ θερμασίας συμβάντα, θερμῶν χυμῶν, ἄνευ δὲ τούτων, οὐ θερμῶν. ἐνίοις δὲ συμβαίνει συνεχῶς ἀλγεῖν τὴν κεφαλήν, ἔκ τε πόσεως οἴνου βραχεῖ πλείονος, ἢ ἀκρατεστέρου ποθέντος, ἔτι τε μᾶλλον εἰ θερμὸς εἴη φύσει, πασῶν τε τῶν θερμῶν ὀσμῶν, ὅσαι στύρακος, ἢ κύφεως, ἢ ὅλως ἀρωμάτων θερμῶν θυμιωμένων γίνονται. τινὲς δὲ οὐδὲ τὴν ἀπὸ τοῦ λιβανωτοῦ φέρουσιν ὀσμήν. εὔλογον δὲ καὶ διὰ τὴν αἴσθησιν ἐνίοις γίνεσθαι τὰς ὀδύνας, ὥσπερ ἐπὶ τοῦ στόματος τῆς κοιλίας οὐκ ὀλίγοις. τισὶ μὲν γὰρ οὕτως ἐστὶν αἰσθητικόν, ὡς μήτ' ὄξους φέρειν δριμύ, μήτε νᾶπυ, μήτ' ἄλλο τι τοιοῦτον. ἐνίοις δ' ἐγγὺς ἀναισθησίας ἥκει. φαίνονται γοῦν ἐρυγγάνοντες, ἐμοῦντες, ἔνιοι μὲν δεινῶς ἄτοπα ταῖς ποιότησιν, ὡς ὑμῶν τῶν ὀσμωμένων αὐτὰ μηδένα δύνασθαι φέρειν, αὐτοὶ δὲ μηδεμιᾶς ἀξιολόγου δήξεως αἰσθανόμενοι. δυνατὸν οὖν ἐστὶ καὶ κατὰ τὸν ἐγκέφαλον εἶναι τοιαύτας διαφορὰς τοῖς ἀνθρώποις, ὡς τῶν αὐτῶν ὀσμῶν ἐνίους μὲν ἀλύπως ἀνέχεσθαι, καθάπερ εἰ καὶ μὴ δ' ὅλως αὐτοῖς ἐπλησίασαν. ἐνίους δὲ ἀνιαρῶς. ἀλλ' ὅτι γε τὰ τοιαῦτα πάθη πάντα τῆς κεφαλῆς ἐστίν, ἐναργῶς φαίνεται. τό γε μὴν τῆς παραλύσεως νόσημα. καὶ τὸ τῶν δι' ὅλου τοῦ σώματος σπασμῶν, ἐξ οὗ γένους ἐστὶν καὶ ὁ τέτανος, οὐκ ἔθ' ὁμοίως τοῖς δι' αἰσθήσεως γνωστόν, ἀλλὰ λόγου δεῖται τοῦ διδάξαντος. ὅταν οὖν ὅλον τὸ σῶμα βλάπτηταί ποτ' εἰς τὰ τῶν νεύρων ἔργα, τὴν αὐτῶν ἀρχὴν πεπονθέναι δηλοῖ. ταύτην δ' ἐξ ἀνατομῆς μόνης ἔνεστι γνῶναι. πάντων μὲν οὖν ἅμα τῶν νεύρων ἔργα, ἀπολεσάντων αἴσθησίν τε καὶ κίνησιν, ἀποπληξία τὸ πάθος ὀνομάζεται. κατὰ θάτερον τε μέρος ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν εἰ συμβαίνει τοῦτο, παράλυσις καλεῖται τοῦ μέρους ἐκείνου δηλονότι καθ' ὃ συνέστη, ποτὲ μὲν τοῦ δεξιοῦ, ποτὲ δὲ θατέρου. καθάπερ εἰ καὶ κατά τι τῶν κώλων ἐγγένοιτο, τοῦ μέρους ἐκείνου παράλυσις ἐστί. καὶ γὰρ καὶ χεὶρ ὅλη, καὶ σκέλος ὅλον παραλύεταί ποτε, καὶ πούς μόνος ἐν σκέλει, καὶ τὰ μετὰ τὸ γόνυ, καὶ τὰ κατὰ τὸ τῆς ὅλης χειρὸς κῶλον ἀνάλογον. ἐμάθομεν δὲ ἐν ταῖς ἀνατομαῖς, ἁπάντων τῶν καθ' ὁρμὴν τοῦ ζώου κινουμένων μορίων, ὅσα κάτω τοῦ τραχήλου ἐστί, τὰ κινητικὰ νεῦρα τὴν ἔκφυσιν ἔχειν ἐκ τοῦ καλουμένου νωτιαίου μυελοῦ. ὃ μέντοι ὅτι ποτὲ μὴ ἅμα τῇ τοῦ μυελοῦ προσηγορίᾳ καλοῦσι, τὸ μόριον ἐκεῖνο νωτιαῖον μυελὸν ὀνομάζοντες. ἔστι δ' ὅτε χωρὶς προσθήκης ἁπλῶς νωτιαῖον, ἀκηκόατε πολλάκις. ἐθεάσασθε δὲ κἀν ταῖς ἀνατομαῖς, τὰ τὸν θώρακα κινοῦντα νεῦρα, ἐκ τοῦ κατὰ τὸν τράχηλον ἐκφυόμενα νωτιαίου. καὶ πρὸς τούτοις τὰς ἐγκαρσίας τομὰς αὐτοῦ καθ' ἃς †ὅλως διακοπῇ) τὰ κατωτέρω μέρη πάντα τοῦ σώματος ἀναίσθητά τε καὶ ἀκίνητα ποιούσας. ὡς ἂν αὐτοῦ τοῦ νωτιαίου τήν τε τῆς αἰσθήσεως καὶ τὴν τῆς καθ' ὁρμὴν κινήσεως δύναμιν ἐξ ἐγκεφάλου λαμβάνοντος. ἀλλὰ καὶ τοῦτο ἔτι κατὰ τὰς ἀνατομὰς ἐθεάσασθε τὰς ἐγκαρσίας τομὰς τοῦ νωτιαίου μέχρι τῆς μέσης ἐν αὐτῷ κατὰ τὸ μῆκος χώρας, οὐ πάντα τὰ κάτω παραλυούσας, ἀλλὰ μόνα τὰ κατ' εὐθὺ τῆς τομῆς. δεξιὰ μὲν ἐπὶ τῷ δεξιῷ μέρει τοῦ νωτιαίου τμηθέντος. θάτερα δὲ ἐπὶ τῷ λοιπῷ. εὔδηλον οὖν ὅτι κατὰ τὴν πρώτην ἔκφυσιν τοῦ νωτιαίου γενομένης τινὸς διαθέσεως, ὑφ' ἧς εἰς αὐτὸν αἱ παρ' ἐγκεφάλου δυνάμεις ἀφικνεῖσθαι κωλυθήσονται, πάντα τὰ κάτω κῶλα, πλὴν τῶν κατὰ τὸ πρόσωπον, ἀκίνητα ἔσται

† al. ὅλας

καὶ ἀναίσθητα. καθάπερ εἰ καὶ τὸ ἥμισυ μόριος πάθοι τῆς ἐκφύσεως, οὐ πάντων ἔσται τῶν κάτω παράλυσις, ἀλλ᾽ ἤτοι τῶν ἀριστερῶν μόνων, ἢ τῶν δεξιῶν. ὁρῶνται δὲ τῶν τοιούτων παραλύσεων ἔνιαι καὶ τὰ κατὰ τὸ πρόσωπον βλάπτουσαι. καὶ παρασπᾶταί γε τὸ παραλυθὲν ἐπὶ θάτερον μέρος τοῦ προσώπου. μεμαθηκότες οὖν ἐν ταῖς ἀνατομαῖς ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου τὰ νεῦρα τοῖς κατὰ τὸ πρόσωπον ἐπιπέμπεσθαι μορίοις, ἔνθα μὲν καὶ τούτων τι συμπαρελύθη τῷ παντὶ σώματι κατὰ τὸν ἐγκέφαλον αὐτὸν ἔσεσθαι τὴν διάθεσιν ἐστὶ τῆς παραλύσεως. ἡνίκα δ᾽ ἀπαθῆ διαφυλάττεται ταῦτα, κατὰ τὴν ἀρχὴν τῆς νωτιαίου. συμβαίνει δ᾽ ἐνίοις μόνα τὰ κατὰ τὸ πρόσωπον πάσχειν ὥσπερ γε καὶ μόριον ἕν τι, γλῶτταν, ἢ ὀφθαλμὸν, ἢ γνάθον, ἢ χεῖλος. ὡς ἂν οὐκ ἐχόντων αὐτῶν ἁπάντων ἕνα τόπον ἀρχὴν, ἀλλ᾽ ἐκ διαφερόντων μορίων ἐγκεφάλου λαμβανόντων τὰ νεῦρα. φαίνεται γοῦν τοῦτο σαφῶς ἐν ταῖς ἀνατομαῖς. ἡ τοίνυν ἀποπληξία πάσας ὁμοῦ τὰς ψυχικὰς ἐνεργείας βλάπτουσα, σαφῶς ἡμῖν ἐνδείκνυται τὸν ἐγκέφαλον αὐτὸν πάσχειν. ἡ διάγνωσις δὲ τοῦ κατὰ τὸ μέγεθος πάθους, ἐκ τοῦ ποσοῦ τῆς κατὰ τὴν ἀναπνοὴν γιγνομένης βλάβης. ἐφ᾽ ὧν μὲν γὰρ ἐπὶ πλεῖστον ἐκβέβηκε τῆς κατὰ φύσιν ῥυθμοῦ, μεγάλην ἡγητέον εἶναι τὴν κατὰ τὸν ἐγκέφαλον βλάβην. ἐφ᾽ ὧν δὲ ὀλίγον ἐμποδίζεται, βραχεῖαν. ἁπασῶν δὲ χειρίστην ἀναπνοὴν ἡγητέον εἶναι, τὴν διαλείπουσάν τε καὶ μετὰ βίας μεγάλης γινομένην. καὶ τό γ᾽ ἀποθνήσκειν τοὺς ἀποπλήκτους συμβαίνει, διὰ τὴν ἀπώλειαν τῆς ἀναπνοῆς. ὡς τό γε μὴ κινεῖν τὰ μόρια τοῦ σώματος, εἰς μὲν τὰς κατὰ τὸν βίον πράξεις, ἄχρηστον ἀποδείκνυσι τὸν ἄνθρωπον, οὐ μὴν ὀξεῖαν ἐπιφέρει τὸν θάνατον. ἴδομεν γοῦν ἤδη τινὰ τὰ μὲν ἄλλα πάντα παραλελυμένον, ἐνεργοῦντα δὲ κατὰ φύσιν ἅπασι τοῖς κατὰ τὸ πρόσωπον μορίοις. ἐσώζετο δὲ αὐτῷ δηλονότι καὶ ἡ ἀναπνοή. πῶς γὰρ ἂν ἠδύνατο ζῆν ἐπὶ πλεῖστον, ἀπολωλυίας αὐτῆς; τοῦτον πρωτοπαθεῖν ἐλογιζόμεθα τοῦ νωτιαίου τὸ κατωτέρω βραχεῖ τῆς ἐπὶ τὸ διάφραγμα τῶν νεύρων ἐκφύσεως. δῆλον δὲ ὅτι καὶ ἦρα καὶ διαχωρήματα χωρὶς προαιρέσεως ἀπεκρίνετο. καὶ μὲν τοι καὶ ἄλλον ἐκ κατακτώσεως ἐθεασάμεθα πλὴν τῶν χειρῶν τὰ κάτω πάντα παραλυθέντα. καθάπερ δὲ παράλυσις ὅταν ἐν ὅλῳ γένηται τῷ σώματι τῶν κατὰ τὸ πρόσωπον ἀβλαβῶν διαμενόντων, ἐν ἀρχῇ τοῦ νωτιαίου τὸ πάθος εἶναι δηλοῖ, κατὰ τὸν αὐτὸν λόγον εἰ καὶ σπασμὸς ἐν ὅλῳ τῷ σώματι γένοιτο, τὸν αὐτὸν τόπον τοῦ νωτιαίου πεπονθέναι δηλώσει, τῶν κατὰ τὸ πρόσωπον ἀπαθῶν διαμενόντων. εἰ δὲ καὶ ταῦτα πάσχει, κατὰ τὸν ἐγκέφαλον εἶναι τὸ πάθος ἐνδείκνυται. μορίου δέ τινος σπωμένου, τὸ κινητικὸν ἐκείνου νεῦρον, ἢ τοὺς μῦς, ἀναγκαῖον ἐστὶ πάσχειν. ἐπιστάμενος οὖν τις ἐξ ἀνατομῆς ἀρχὰς τῶν εἰς ἕκαστον μόριον ἀφικνουμένων νεύρων, ἄμεινον ἰάσεται τὰς ἀναισθησίας καὶ ἀκινησίας ἑκάστου μορίου. ἀδιόριστον δὲ τοῦτο καταλυφθὲν ὑφ᾽ Ἡροφίλου τε καὶ Εὐδήμου τῶν πρώτων μεθ᾽ Ἱπποκράτην νεύρων ἀνατομὴν ἐπιμελῶς γραψάντων, οὐ σμικρὰν ζήτησιν παρέσχε τοῖς ἰατροῖς, ὅπως ἔνιαι μὲν τῶν παραλύσεων αἴσθησιν μόνην, ἔνιαι δὲ τὴν προαιρετικὴν κίνησιν, ἔνιαι δὲ ἀμφοτέρας διαφθείρουσι. μάλιστα μὲν οὖν ἡ παράλυσις ἐπὶ τῇ τῆς κινήσεως ἀπωλείᾳ λέγεται τῶν τὴν αἴσθησιν ἀπολωλεκότων μορίων, ἀναισθήτων μὲν εἶναι, παραλελύσθαι δ᾽ οὐ πάνυ τι συνήθως λεγομένων. ἤδη μέν τοι τινὲς καὶ τοῦτο τὸ πάθημα, παράλυσιν αἰσθήσεως ὀνομάζουσιν. ὑμεῖς δὲ ὡς ἀεὶ παρακελευόμεθα, συγχωρεῖτε μὲν ὀνομάζειν ἑκάστοις ὡς ἂν ἐθέλωσιν. σκοπὸς δ᾽ ὑμῖν ἔστω, τὸν πεπονθότα τόπον εὑρεῖν ἅμα δηλονότι τῇ κατ᾽ αὐτὸν διαθέσει. χωρὶς γὰρ τοῦ ταῦτα γνῶναι βεβαίως, ἀδύνατον ἔσται θεραπεύειν ὀρθῶς, τὰ βεβλαμμένα κίνησιν, ἢ αἴσθησιν μόρια. Παυσανίας οὖν ἀπὸ τῆς Συρίας σοφιστὴς εἰς Ῥώμην ἀφικόμενος ποτὲ, τοὺς μικροὺς δύο δακτύλους τῆς ἀριστερᾶς χειρὸς, καὶ τοῦ μέσου τὸ ἥμισυ δυσαισθήτους μὲν ἔχων τὸ πρότερον, ὕστερον δὲ καὶ ἀναισθήτους κακῶς θεραπευσάμενος ὑπὸ τῶν ἰατρῶν ἐπεὶ δὲ ἐγὼ θεασάμενος αὐτὸν ἠρώτων τε τὰ προγεγονότα πάντα, σὺν αὐτοῖς τε ἤκουσα κατὰ τὴν ὁδὸν τοῦ ὀχήματος ἐκπεσόντα τὸν ἄνδρα πληγῆναι τὴν ἀρχὴν τοῦ μεταφρένου, καὶ τὸ μὲν πληγὲν μόριον, ἐν τάχει θεραπευθῆναι. κατὰ βραχὺ δὲ αὐξηθῆναι τὴν τῶν δακτύλων βλάβην τῆς αἰσθήσεως. ἃ τοῖς δακτύλοις ἐκεῖνοι προσέφερον φάρμακα, ταῦτα ἐκέλευσα κατὰ τοῦ πληγέντος τίθεσθαι μορίου, καὶ οὕτως ὁ ἀνὴρ διὰ ταχέων ὑγιάσθη. τὴν ἀρχὴν δὲ οὐδ᾽ ὅτι τῶν μὲν εἰς τὸ δέρμα τῆς ὅλης χειρὸς διασπειρομένων νεύρων, ἐξ ὧν ἔχει τὴν αἴσθησιν, ἴδιαι τινὲς εἰσὶν αἱ ῥίζαι. τῶν δὲ τοὺς μῦς κινούντων, ἕτεραι γιγνώσκουσι τοῖς ἰατροῖς. ἴσως δ᾽ ἐπὶ πλέον ἢ προὔκειτο τὸν λόγον ἰόντα, καταπαύειν ἤδη προσήκει. προὔκειτο μὲν γὰρ ἐν δὲ τῷ γράμματι τὰ κατὰ τὴν κεφαλὴν καὶ μάλιστα τὸν ἐγκέφαλον εὑρεῖν πάθη πάντα. διότι δ᾽ ἐστὶν οὗτος ἀρχὴ νεύρων, ἐξ ἀκολουθίας ὁ λόγος ἧκεν ἐπὶ τὰ πάθη τῶν νεύρων, ὥς τε ἤδη περιγράψαντες καὶ τοῦτον τὸν λόγον ἐνταῦθα, περὶ τῶν ἐν τοῖς κατὰ τὴν κεφαλὴν μορίοις γιγνομένων παθῶν, ἐφεξῆς σκεψόμεθα. τοσοῦτον ἔτι προσθέντες. ὡς καὶ τῆς ὀσφρήσεως ἡ βλάβη, πάθος ἐστὶν οὐ τῶν κατὰ τὴν ῥῖνα πόρων, ἀλλ᾽ ἤτοι τῶν ἐμπροσθίων τοῦ ἐγκεφάλου κοιλιῶν εἰς δυσκρασίαν ἀγομένων, ἢ τῶν ἐν τοῖς ἠθμοειδέσιν ὀστοῖς πόρων ἐμφραττομένων. εἴπερ γε καὶ ἡ τῶν ὀσφρητῶν αἴσθησις ἐν ταῖς ἐμπροσθίαις τοῦ ἐγκεφάλου κοιλίαις γίγνεται τῶν ἀτμῶν εἰς αὐτὰς ἀναφερομένων διὰ τῶν ἐν τοῖς ἠθμοειδέσι τρημάτων, ὡς ἐν τῷ περὶ τοῦ τῆς ὀσφρήσεως ὀργάνου δέδεικται γράμματι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ. δ΄.

Ἐν μὲν τοῖς πρώτοις ὑπομνήμασι δύο, τὴν καθόλου μέθοδον ᾗ χρώμεθα πρὸς τὰς τῶν πεπονθότων τόπων διαγνώσεις, αὐτάρκως ἐπεσκεψάμεθα σὺν πολλοῖς παραδείγμασιν ὡρισμένων μορίων. ἐπεὶ δὲ, ὡς εἴρηταί μοι, καὶ δέδεικται πολλάκις ἤδη δι᾽ ἄλλων ὑπομνημάτων ἀσκεῖσθαι χρὴ γυμναζόμενον ἐν τοῖς κατὰ μέρος, εἰ μέλλοι τις ἀσφαλῶς τε ἅμα καὶ ταχέως ἐπὶ τῶν ἔργων τῆς τέχνης ἕκαστα πράττειν, ἃ διὰ τῶν καθόλου μεθόδων ἐμάθετο διὰ τοῦτο καὶ νῦν ἔδοξεν ἄμεινον εἶναι πάντων τῶν ἐν τῷ σώματι μορίων (ὅσα μὴ φαίνεται ταῖς αἰσθήσεσι) λογικὰς διαγνώσεις εἰπεῖν, ὅτ᾽ ἂν ὅπως οὖν πάσχωσιν, τὴν ἀρχὴν ἀπὸ τῆς κεφαλῆς ποιησάμενος. περὶ μὲν οὖν τῆς γινομένης βλάβης, τῇ τε μνήμῃ καὶ τῇ νοήσει, καὶ ταῖς ἄλλαις ἐνεργείαις ἃς ἡ γ

ας ἃ ἡγεμονικὰς εἰώθαμεν ὀνομάζειν ἐν τῷ τρίτῳ τῷδε τῶν ὑπομνημάτων, διῆλθον, ἅμα τῷ γεγυμνάσθαι κατὰ τὴν μέθοδον ἐν εἴδεσι παθῶν οὐκ ὀλίγοις. εἴρηται γὰρ ἐν αὐτῷ καὶ περὶ παραφροσύνης τῆς τε ἐν τοῖς φρενιτικοῖς πάθεσιν καὶ τῆς ἀνευ πυρετοῦ, ἣν μανίαν ὀνομάζουσιν. ὡσαύτως δὲ καὶ περὶ ληθάργου καὶ κάρου καὶ τῶν ἐπιληπτικῶν καὶ μελαγχολικῶν καὶ σκοτωματικῶν παθῶν. ὥσπερ γε καὶ περὶ κεφαλαίας καὶ ἡμικρανίας. ἀποπληξίας τε καὶ τῶν ὁμοίων αὐτοῖς. ἐν δὲ τῷ νῦν ἐνεστῶτι, τετάρτῳ τῆς ὅλης οὔσῃ πραγματείας, ὁ λόγος ἔστω μοι περὶ τῶν κατὰ τὸ πρόσωπον μορίων τῶν ἐν βάθει πεπονθότων, τὴν ἀρχὴν ἀπὸ τῶν ὀφθαλμῶν ποιησαμένῳ. τούτων γὰρ ἐνίοτε μὲν, ὁ ἕτερος, ἐνίοτε δὲ ἀμφότεροι παραλύονται τῆς κινήσεως ἢ αἰσθήσεως ἢ ἀμφοτέρων. ἐνίοτε δὲ καὶ κατ' αὐτὸν τὸν ἕνα ποτὲ μὲν τὸ βλέφαρον ἔπαθεν μόνον. ἔστι δ' ὅτε καὶ κατ' αὐτὸν τὸν κυρίως ὀνομαζόμενον ὀφθαλμὸν γέγονεν ἢ εἰς αἴσθησιν ἢ εἰς κίνησιν ἡ βλάβη, ὅτ' ἂν μὲν οὖν μηδενὸς φαινομένου κακοῦ περὶ τὸν ὀφθαλμὸν, ἀπόλεσθαι τὴν ὀπτικὴν αἴσθησιν συμβῇ, τὸ καθῆκον ἐξ ἐγκεφάλου νεῦρον εἰς αὐτὸν ἔχει τὴν αἰτίαν, ἤτοι φλεγμαῖνον, ἢ σκιρρούμενον, ἢ ὁπωσοῦν ἄλλως ἐξ ἐπιρροῆς ὑγρῶν βλαπτόμενον, ἢ ὅπως οὖν ἄλλως ἐμφραττομένου πόρου τοῦ καθ' αὐτό, καὶ ταῦτα μὲν ὡς ὀργανικῷ μορίῳ συμβαίνειν ἀναγκαῖον αὐτῷ. τὰ δ' ὡς ὁμοιομερεῖ κατὰ τὰς ὀκτὼ δυσκρασίας. ἔξωθεν δὲ τούτων, ὅτ' ἂν ἤτοι μὴ δ' ὅλως ἢ παντάπασιν ὀλίγον ἐπιπέμπηται τὸ αὐγοειδὲς πνεῦμα παρὰ τῆς κατὰ τὸν ἐγκέφαλον ἀρχῆς. τῆς κινήσεως δὲ ἀπολωλυίας μόνης ὁποτέρου τῶν ὀφθαλμῶν, τὸ κατὰ τὴν δευτέραν συζυγίαν νεῦρον ἀποφυόμενον τοῦ ἐγκεφάλου, πεπονθέναι τι πάθος ἀναγκαῖόν ἐστιν, ὧν διῆλθον ἀρτίως ἐπὶ θατέρου νεύρου τοῦ κατὰ τὴν πρώτην συζυγίαν ἐκφυομένου. ἐπεὶ δὲ ὡς ἐμάθομεν ἐν ταῖς ἀνατομαῖς, ἓξ μέν εἰσιν οἱ τὸν ὀφθαλμὸν αὐτὸν κινοῦντες μύες, ἄλλοι δὲ περιλαμβάνουσι τὴν ῥίζαν τοῦ καθήκοντος εἰς αὐτὸν πόρου. καλοῦσι γὰρ οὕτως οἱ ἀνατομικοὶ τὸ κατὰ τὴν πρώτην συζυγίαν νεῦρον, ὅτι μόνῳ σαφὲς ἐστὶν ἐν αὐτῷ τὸ τρῆμα, συμβαίνει δὲ πολλάκις αὐτὸ μὲν τοῦτο μηδὲν πεπονθέναι. τῶν δὲ μυῶν τινὰ πάσχειν ἤτοι κατὰ τὴν οἰκείαν οὐσίαν ὅτι οὖν πάθος ὧν ἀρτίως εἶπον, ἢ τοῦ νεύρου τοῦ καθήκοντος εἰς αὐτὸν βλαβέντος. εἰς ἕκαστον γάρ τοι τῶν μυῶν τούτων, ἀφικνεῖται τις μοῖρα τοῦ κατὰ τὴν δευτέραν συζυγίαν ἀποφυομένου νεύρου, καθάπερ γε καὶ εἰς τοὺς περιλαμβάνοντας τὸν πόρον μύας, εἴτε δύο χρὴ τούτους εἴτε τρεῖς εἴθ' ἕνα λέγειν, οὐδὲν γὰρ διαφέρει πρός γε τὰ παρόντα, γιγνωσκόντων ἡμῶν ὅτι τοῖς μυσὶ τούτοις ἔργον ἐστὶν ἀνασπᾶν τε ἅμα καὶ συνέλκειν τὸν ὀφθαλμὸν, ὡς ἂν μὴ περιτρέποιτο κατὰ μηδένα τρόπον τῆς ὁδοιπορίας τὸ μαλακὸν νεῦρον. ὃ δὴ καὶ ὀπτικὸν ὀνομάζεται καὶ πόρος. ἐξ οὖν ὄντων τῶν κινούντων τὸν ὀφθαλμὸν μυῶν, εἰ μὲν ὁ ἀνασπῶν αὐτὸν πάθοι, κατεσπασμένος φαίνεται τηνικαῦτα σύμπας ὁ ὀφθαλμός. εἰ δὲ ὁ κατασπῶν, ἀνεσπασμένος. εἰ δὲ ὁ πρὸς τὸν μικρὸν κανθὸν ἀπάγων, ὡς πρὸς τὸν μείζονα παρεσπασμένος. εἰ δ' ὁ πρὸς τοῦτον, ὡς τὸν ἕτερον. εἰ δὲ τῶν περιστρεφόντων μυῶν ὁπότερος οὖν παραλυθείη, λοξὴν ἕξει τὴν διαστροφὴν ὁ σύμπας ὀφθαλμός. ὄντων δὲ ὡς ἔφην καὶ ἄλλων μυῶν τῶν περιεχόντων τὸ μαλακὸν νεῦρον, εἰδέναι χρὴ τὴν παράλυσιν αὐτῶν, ὅλον τὸν ὀφθαλμὸν ἐργαζομένην προπετῆ. καὶ βλέπουσί γε τούτων οἱ πλεῖστοι ἀβλαβῶς, ἐπεκτεινομένου μὲν ἠρέμα τοῦ νεύρου τοῦ μαλακοῦ, πάσχοντος δὲ οὐδέν. ὡς ἄν γε πάθη τι, χεῖρον ὁρῶσιν οἱ οὕτως παθόντες. εἰ δὲ καὶ μεῖζον αὐτῷ συμβαίη τὸ πάθημα, πρόδηλον ὡς οὐδ' ὅλως ὄψονται. καὶ κατὰ διαστροφὰς δὲ τῶν ὀφθαλμῶν, ἡ μὲν ἐφ' ὁπότερον οὖν κανθὸν ἐκτροπὴ, φυλάττει τὴν κατὰ φύσιν ἐνέργειαν τὴν ὀπτικήν. ἡ δ' ἄνω καὶ κάτω καθάπερ γε καὶ αἱ λοξαὶ, διπλᾶ φαίνεσθαι ποιοῦσιν πάντα τὰ ὁρώμενα. τῶν δὲ τὸ ἄνω βλέφαρον κινούντων μυῶν, ἀκίνητον γάρ ἐστιν τὸ κάτω, σμικροτάτων ὄντων ὡς μόγις ἐπὶ μεγάλων ζώων φαίνεσθαι σαφῶς, εἰκότως ἡ τῶν νεύρων ἔμφυσις εἰς αὐτοὺς ἐστὶ δυσθεώρητος. ἀλλὰ κἀνταῦθα καθάπερ ἐπὶ τῶν προειρημένων μυῶν, οὕτω κἀπὶ τούτων ἀναγκαῖόν ἐστι, πολλάκις μὲν αὐτοὺς τοὺς μῦς ἴδιόν τι πάθημα πάσχειν ὁποῖα τὰ τῶν μυῶν ἴσμεν, ἐνίοτε δὲ τῶν ἐμφυομένων εἰς αὐτοὺς νεύρων πεπονθέναι. ὁ μὲν οὖν ἀνατείνων αὐτὸν παραλυθεὶς, χαλαρὸν ἀπολείψει τὸ βλέφαρον ὡς μὴ δύνασθαι διανοίγειν τὸν ὀφθαλμόν. οἱ κατασπῶντες δὲ, δύο γάρ εἰσιν αὐτοί, κλείειν ἀδυνατήσουσιν. εἰ δ' ὁ ἕτερος αὐτῶν πάθοι μόνος, ἐπὶ τὸν ἀντικείμενον αὐτῷ μῦν παρασπασθήσεται τὸ βλέφαρον ὡς δοκεῖν κεκλάσθαι κατὰ μέσην τὴν ἐπὶ τῷ πέρατι περιγραφὴν αὐτῶν. καὶ τὸ μὲν ἕτερον μέρος ὁ κατὰ τὸν πεπονθότα μῦν ἐστι, ἀνεσπάσθαι. τὸ δ' ἕτερον ὁ κατὰ τὸν ἀπαθῆ, κατεσπάσθαι. ταῦτα μὲν οὖν ἴδια πάθη τῶν κατὰ τὸν ὀφθαλμὸν ἐστὶ μορίων ἀφανεῖς ἔχοντα τοὺς πάσχοντας τόπους. ἕτερα δ' ἐξ ἄλλων ἐπ' αὐτὸν ὁρμᾶται κατὰ συμπάθειαν. τοῖς γοῦν τῶν ὑποχεομένων φαντάσμασιν ὅμοια φαίνεται, μὴ δὲ μιᾶς οὔσης ἰδιοπαθείας κατὰ τὸν ὀφθαλμόν. ἀλλ' ἐπὶ συμπαθείᾳ τῇ κατὰ τὸ στόμα τῆς κοιλίας ἢ κατὰ τὸν ἐγκέφαλον. ἀλλὰ καὶ ταῦτα διορίζεσθαι χρὴ τῶν ἀπὸ τῆς γαστρὸς ἀρχομένων, πρῶτον μὲν τῷ τὸν ἕτερον ὀφθαλμὸν μόνον ἢ ἀμφοτέρους ὁμοίως φαντάζεσθαι. τοὐπίπαν γὰρ αἱ μὲν ἐπὶ τῇ κατὰ τὴν γαστέρα κακοχυμίᾳ γινόμεναι φαντασίαι τοῖς ὀφθαλμοῖς ἀμφοτέροις ὡσαύτως συμβαίνουσιν. αἱ δ' ἐπὶ ταῖς ὑποχύσεσιν, οὔτ' ἄρχονται κατ' ἀμφοτέρους, οὔθ' ὁμοίως φαίνονται. δευτέρῳ δ' ἐφεξῆς τῷ κατὰ τὸν χρόνον. εἰ γὰρ ἤτοι τριῶν ἢ τεττάρων μηνῶν ἢ καὶ πλειόνων ἤδη φαίνοιτο τὰ τῶν ὑποχεομένων συμπτώματα, σοὶ δὲ κατασκεψαμένῳ τὰς κόρας μηδὲν ἀχλυῶδες ἐμφαινόμενον εὑρίσκοιτο, διὰ τὸ στόμα τῆς κοιλίας αὐτοὺς πάσχοντας εὑρήσεις. ὄντος δ' ὄντος ἀξιολόγου τοῦ χρόνου πρῶτον μὲν ἐρωτήσεις εἰ διηνεκῶς ἐν ἁπάσαις ταῖς ἡμέραις ἀφ' ἧς ἤρξατο πάσχειν οὕτω διατελεῖ φαινόμενα, μηδεμιᾶς ἡμέρας μεταξὺ γενομένης ἀμέμπτου τελέως, ἢ παρεγένοντό τινες ἀμέμπτως ὑγιεῖς ὡς δοκεῖν ἀκριβῶς ὑγιεῖς εἶναι. τὸ μὲν γὰρ διηνεκὲς ὡς ἔνδειξιν ὑποχύσεως ἔχει τὸ δὲ διαλεῖπον, ὑποψίαν τῶν κατὰ τὴν γαστέρα καὶ μᾶλλον ὅτ' ἂν ἐπὶ ταῖς ἀκριβέσιν εὐπεψίαις μηδὲν ἑαυτῷ λέγῃ φαίνεσθαι φάντασμα. πολὺ δὲ μᾶλλον ὅταν ἅμα τῇ γενέσει τῶν φαντασμάτων αἰσθάνηται τινὸς ἐν τῷ στόματι τῆς κοιλίας δήξεως. ἔτι δὲ μᾶλλον ὅταν ἐπὶ τοῖς δὲ τῶν δακνόντων ἐμεθέντων παύηται τὰ συμπτώματα. ταῦτα μὲν οὖν εὐθέως κατὰ τὴν πρώτην ἡμέραν ἐν ᾗ πέρ ἂν ἴδῃς τὸν ἄνθρωπον, ἐξ ἀνακρίσεως ὑπάρξει σοι μαθεῖν, ὅτ' ἂν ὡς ἔφην ἀκριβῶς κατὰ φύσιν ἔχωσιν οἱ ὀφθαλμοί. τῆς δὲ θατέρου κόρης ἀχλυωδεστέρας ἢ θολωδεστέρας, ἢ συνελόντι φάναι μὴ καθαρᾶς ἀκριβῶς φαινομένης, ὑποχύσεως ἐστὶν ἀρχή. ἐὰν δ' ἔνιοι φύσει τὰς κόρας μὴ πάνυ τι καθαρὰς ἔχωσιν, ἐπισκεπτέον ἐστὶν εἰ ἀμφότεραι παραπλησίως φαίνονται διακείμεναι. καὶ εἰ πρὸς τούτῳ μηδέπω χρόνος ἱκανὸς ἐπὶ τοῖς τῆς ὑποχύσεως συμπτώμασιν προγεγονὼς ὑπάρχῃ. κἂν ταῦθ' οὕτως ἔχῃ, κέλευε ἀριστῆσαι τροφῇ τῇ συνήθει

ἐλάττονι μηδὲν ἔχουσι κακόχυμον. εἶτα κατὰ τὴν ὑστεραίαν ὑπεπτηκότος ἀκριβῶς αὐτοῦ, πύθου περὶ τῶν κατὰ τὴν ὄψιν φαντασμάτων. εἰ μὲν γὰρ ἤτοι μὴ δι᾽ ὅλως ἢ ἀμυδρῶς φαίνοιτο, στομαχικὸν ἦν τὸ σύμπτωμα. μενόντων δ᾽ ὁμοίων αὐτῶν, οὐ κατὰ συμπάθειαν, ἀλλὰ κατὰ διάθεσιν οἰκείαν εἰδέναι χρὴ ταῦτα συμπίπτοντα τοῖς ὀφθαλμοῖς, ἔτι δὲ μᾶλλον, ἐὰν τοῦ διὰ ἀλόης φαρμάκου λαβὼν, ὁμοίως ἔχει. λέγω δὲ διὰ τῆς ἀλόης ὃ προσαγορεύουσιν ἔνιοι μὲν ἱερὰν πικρὰν, ἔνιοι δὲ ἁπλῶς πικράν. εἰ γὰρ στομαχικὸν εἴη τὸ σύμπτωμα, θεραπευθήσεται ῥᾷστα διὰ τῆς τοῦ φαρμάκου τούτου πόσεως, ἅμα ταῖς εὐπεψίαις. ὡς συνελθεῖν εἰς ταυτὸν ἀμφότερα, τήν τε διάγνωσιν τοῦ πεπονθότος τόπου, καὶ τὴν θεραπείαν αὐτοῦ. ἐγὼ δὲ ὡς ἴσθε καὶ χωρὶς τοῦ θεάσασθαι τοὺς οὕτω πάσχοντας ἐθεράπευσα διὰ γραμμάτων ἐνίους ἐν ἄλλοις ὄντας ἔθνεσιν. καὶ γὰρ ἐκ τῆς ἰβηρίας καὶ τῆς κελτικῆς καὶ ἀσίας καὶ θρᾴκης καὶ ἄλλων χωρίων ἐπιστειλάντων μοι τινῶν, εἰ τι πρὸς ἀρχὰς ὑποχύσεως, μήπω μηδὲ μιᾶς ἐναργῶς φαινομένης βλάβης ἐν τῇ κόρῃ, φάρμακον ἔχοιμι δόκιμον, ἀποστέλλειν αὐτοῖς, ἠξίωσα δηλωθῆναί μοι πρότερον εἰ ἐκ τοῦ πολλοῦ χρόνου πάσχουσιν, καὶ τἄλλα περὶ ὧν ὀλίγον ἔμπροσθεν εἶπον. εἶτα τοῖς ἐπιστείλασιν ἐξ μηνῶν ἢ ἐνιαυτὸν εἶναι τῆς ἀρχῆς γεγονέναι φασκόντων, ἀμφοτέρων ὁμοίως τῶν ὀφθαλμῶν ἐπὶ μὲν ταῖς εὐπεψίαις ἄμεινον ἐχόντων, παροξυνομένων δὲ ἐπὶ ταῖς ἀπεψίαις, καὶ ταῖς τοῦ στομάχου δήξεσιν, ἐμεσάντων τε χολῆς καὶ καθισταμένων, οὐδὲν ἔτι περὶ τῆς κόρης ἀξιώσας πυθέσθαι. βεβαίως ἔγνων ὡς οὐκ ἰδιοπάθειαν ἀλλὰ συμπάθειαν εἶναι τῶν ὀφθαλμῶν ἐπὶ τῇ γαστρὶ, καὶ πέμψας αὐτοῖς τὴν πικρὰν ἐκείνους μὲν πρῶτον καὶ μάλιστα, διὰ ἐκείνων δὲ καὶ ἄλλους πολλοὺς τῶν ὁμοεθνῶν αὐτοῖς, ἰασάμην. ὄντες γὰρ αὐτοὶ πάντες οἷς ἔπεμψα πεπαιδευμένοι, μαθόντες δ᾽ ἐξ ὧν αὐτοῖς ἐπέστειλα τὰς διαγνώσεις τῶν πεπονθότων τόπων, αὐτοί τε τοῦ λοιποῦ ῥᾳδίως ἐγνώριζον αὐτοὺς ἐθεράπευόν τε διὰ τῆς πικρᾶς φαρμάκου. παραπλήσια δὲ τοῖς τῶν ὑποχεομένων συμπτώματα γίνεται πολλάκις ἐγκεφάλου πάσχοντος ἔν τισι φρενιτίδων, εἴτε εἴδεσιν, εἴτε διαφοραῖς ἐθέλοις ὀνομάζειν. εἰσὶ μὲν γὰρ αὐτῶν ἁπλαῖ μὲν δύο. σύνθετος δὲ ἐξ ἀμφοῖν ἡ τρίτη. τινὲς μὲν γὰρ τῶν φρενιτικῶν οὐδὲν ὅλως σφαλλόμενοι περὶ τὰς αἰσθητικὰς διαγνώσεις τῶν ὁρατῶν, οὐ κατὰ φύσιν ἔχουσι ταῖς διανοητικαῖς κρίσεσιν. ἔνιοι δ᾽ ἔμπαλιν ἐν μὲν ταῖς διανοήσεσιν, οὐδὲν σφάλλονται, παρατυπικῶς δὲ κινοῦνται, κατὰ τὰς αἰσθήσεις, ἄλλοις δὲ τισὶν κατ᾽ ἄμφω βεβλάφθαι συμβέβηκεν. ὁ δὲ τρόπος ἑκατέρας τῆς βλάβης τοιόσδε ἐστίν. καταληφθείς τις ἐπὶ τῆς οἰκίας ἐν ῥώμῃ μεθ᾽ ἑνὸς ἐριουργοῦ παιδὸς, ἀναστὰς ἀπὸ τῆς κλίνης ἧκεν ἐπὶ τῆς θυρίδος, δι᾽ ἧς οἷόν τ᾽ ἦν ὁρᾶσθαί τε αὐτὸν καὶ ὁρᾶν τοὺς παριόντας. εἶτα τῶν ὑαλίνων σκευῶν ἕκαστον ἐπιδεικνὺς αὐτοῖς ἐκέλευσεν αὐτῷ βάλλειν ἐπυνθάνετο. τῶν δὲ μετὰ γέλωτος ἀξιούντων τε βαλεῖν καὶ κροτούντων ταῖς χερσὶν, ὁ μὲν, ἔβαλλεν ἐφεξῆς ἅπαντα προχειριζόμενος, οἱ δὲ γελῶντες ἐκεκράγεσαν. ὕστερον δέ ποτε πυθόμενος αὐτῶν, εἰ καὶ τὸν ἐριουργὸν κελεύοιεν βληθῆναι, κελευσάντων αὐτῶν ὁ μὲν ἔβαλεν. οἱ δὲ ἐπεὶ καταφερόμενον ἐξ ὕψους ἐθεάσαντο, γελῶντες μὲν ἐπαύσαντο, πεσόντα δὲ προσδραμόντες ἀνείλοντο συντριβέντα. τὸ δ᾽ ἐναντίον οὐ μόνον ἐπ᾽ ἄλλων, ἀλλὰ καὶ ἐμαυτῷ συμβὰν οἶδα μειρακίῳ τὴν ἡλικίαν ὄντι. πυρέττων γὰρ ἐν θέρει πυρετῷ διακαεῖ, τῆς τε κλίνης ἐξέχειν τινὰ κάρφη κατὰ τὴν χρόαν ὀρφνώδη, καὶ τῶν ἱματίων ὁμοίας κροκύδας ἐνόμιζον. εἶτ᾽ ἀφαιρεῖν μὲν αὐτὰς ἐπεχείρουν. οὐδενὸς δὲ ὑπὸ τῶν δακτύλων ἀναφερομένου. συνεχέστερόν τε καὶ σφοδρότερον ἐπεχείρουν οὕτω πράττειν. ἑταίρων, δὲ δυοῖν παρόντων ἀκούσας ἀλλήλοιν λεγόντων, ὡς οὗτος ἤδη κροκυδίζει τε καὶ καρφολογεῖ, συνῆκα μὲν ὡς αὐτὸ τοῦτο πεπόνθοιμι τὸ λεγόμενον ὑπ᾽ αὐτῶν, ἀκριβῶς δὲ παρακολουθῶν ἐμαυτῷ μὴ παραπαίοντι κατὰ τὴν λογιστικὴν δύναμιν ὀρθῶς ἔφην λέγετε, καὶ βοηθεῖτέ μοι μὴ φρενιτίσω. τραπομένων δ᾽ αὐτῶν ἐπὶ τὰς προσηκούσας ἐπιβροχὰς τῆς κεφαλῆς, δι᾽ ὅλης τῆς ἡμέρας καὶ νυκτὸς ἐνύπνια μὲν μοι ταραχώδη τινὰ συνέπεσεν ἄχρι τοῦ βοῆσαί τε καὶ ἀναπηδῆσαι, πρὸς τ᾽ αὐτὰ κατέστη δὲ τὰ συμπτώματα πάντα κατὰ τὴν ἑξῆς ἡμέραν. δῆλον οὖν ὅτι τῶν συμπτωμάτων ἡ γένεσις, ἐπὶ μὲν αἰτίᾳ μιᾷ καὶ τῇ αὐτῇ κατ᾽ εἶδος, οὐκ ἐκ τοῦ αὐτοῦ δὲ πρωτοπαθοῦντος ὁρμᾶται τόπου, τοῖς ἐπ᾽ ἐγκεφάλου τε, καὶ γαστρὶ κατὰ συμπάθειαν ὡς εἴρηται, πάσχουσιν. ὅτ᾽ ἂν γὰρ ἀθροισθῇ τις ἐν ἐγκεφάλῳ χολώδης χυμὸς, ἅμα πυρετῷ διακαεῖ. παραπλήσιόν τι πάσχει τοῖς ὑπὸ πυρὸς ὀπτωμένοις. καὶ κατὰ τοῦτο λιγνύν τινα γεννᾶν πέφυκεν, ὥσπερ καὶ τοῖς λύχνοις τοὔλαιον. ἥτις λιγνὺς συνδιεκπίπτουσα τοῖς ἐπὶ τὸν ὀφθαλμὸν ἀφικνουμένοις ἀγγείοις, αἰτία γίνεται τῶν φαντασμάτων αὐτοῖς. ἐθεάσασθε γὰρ ἐν ταῖς ἀνατομαῖς ἅμα τοῖς νεύροις ἐπὶ τὸν ὀφθαλμὸν ἀρτηρίας τε καὶ φλέβας συνδιεκπιπτούσας ἀπὸ τῶν τὴν χοροειδῆ μήνιγγα διαπλεκουσῶν. ἀλλὰ, καὶ οὗτος ὁ λόγος ἐνταυθοῖ τελευτάτω, διωρισμένος ἱκανῶς. ἐφεξῆς δὲ περὶ τῶν ἄλλων ἐν ὀφθαλμοῖς μορίων εἴπωμεν ἕνα μὲν κοινὸν λόγον. ὡς τὰ φαινόμενα σαφῶς ἡμῖν μόρια μὴ φυλάττοντα τὴν φυσικὴν κατάστασιν οὐ πρόκειται νῦν διαγιγνώσκειν. ἀλλ᾽ ἐφ᾽ ὧν ἀφανὲς αἰσθήσει τὸ πεπονθός ἐστιν μόριον, ὡς ἐφ᾽ ὧν γε φαίνεται σαφῶς ἤτοι διερρωγός τι τῆς κόρης, ἢ περιεσπασμένον ἢ παρὰ φύσιν ηὐξημένον ἢ μεμειωμένον, αὐτὸ μὲν τὸ πεπονθὸς οὐδὲ μιᾶς δεῖται σοφίας εἰς διάγνωσιν. ἥτις δ᾽ ἐστὶν ἡ ποιοῦσα διάθεσις αὐτὸ, τῆς ἰατρικῆς τέχνης ἔργον ἐπίστασθαι. καὶ γέγραπται περὶ αὐτῶν ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις. ὥστ᾽ οὐδὲν ἔτι δέομαι λέγειν ἐν τῷδε περὶ τῶν ἐν ὀφθαλμοῖς πεπονθότων μορίων τῶν αἰσθητικῶν ὥσπερ οὐδὲ περὶ τῶν ἐν αὐτοῖς παθῶν. τὰ μὲν γὰρ ὀνόματα τῶν παθῶν, ἐν ἑνὶ μικρῷ βιβλίῳ γέγραπται, τὴν ἐπιγραφὴν ἔχοντι τῶν ἐν ὀφθαλμοῖς παθῶν διάγνωσις. αἱ δ᾽ αἰτίαι καθάπερ ἔφην ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις εἴρηνται.

Καιρὸς οὖν ἤδη μεταβαίνειν ἐπὶ τὴν γλῶτταν. ἑώραται δ᾽ ἡμῖν ἐπ᾽ αὐτῆς, ἐνίοτε μὲν ἡ κίνησις, ἐνίοτε δὲ ἡ τῆς γεύσεως αἴσθησις βεβλαμμένη. καὶ ποτὲ μὲν σὺν αὐτῇ καὶ ἡ τῆς ἀφῆς. οὐκ ἔστι δ᾽ ἄλλα μὲν ἀφῆς, ἄλλα δὲ γεύσεως νεῦρα, καθάπερ τὰ τῆς κινήσεως. τὰ γὰρ ἀπὸ τῆς τρίτης συζυγίας, οὐ μόνον τῶν ἁπτῶν, ἀλλὰ καὶ τῶν γευστῶν ἐστὶ διαγνωστικά. πλεονάκις δὲ βλάπτεται τῶν γευστῶν ἡ αἴσθησις, ἤπερ ἡ τῶν ἁπτῶν, καίτοι τῶν αὐτῶν ὄντα νεύρων, ὡς ἂν ἀκριβεστέρας δεομένη διαγνώσεως. παχυμερέστατον μὲν γὰρ, τὸ τῆς ἀφῆς αἰσθητήριον, ὥσπερ τὸ ὄψεως λεπτομερέστατον. δεύτερον δὲ μετὰ τὴν ὄψιν ἐν λεπτομερείᾳ μὲν, τὸ τῆς ἀκοῆς, ἐν παχυμερείᾳ δὲ μετὰ τὴν ἀφὴν, τὸ τῆς γεύσεως, ὥσπερ ἐν μέσῳ τῶν τεττάρων, τὸ τῆς ὀσφρήσεως. ἡ δὲ κίνησις τῆς γλώττης, περὶ τῆς ἑβδόμης ἐστὶ συζυγίας τῶν ἐξ ἐγκεφάλου πεφυκότων νεύρων ἐγγὺς τῆς κατὰ τὸν νωτιαῖον ἀρχῆς οὔσας. ὅτ᾽ ἂν μὲν οὖν

ἀμφότερα τὰ

ἀμφότερα τὰ μέρη τοῦ ἐγκεφάλου τό, τε δεξιόν, καὶ τὸ ἀριστερὸν κατὰ τοῦτο τὸ χωρίον ᾖ πεπονθότα, τοὺς ἀποπληκτικοὺς ἐπιφέρει κινδύνους. ὅτ' ἂν δὲ θατέρου μόνον, εἰς παραπληγίαν τελευτᾷ, ποτὲ μὲν τῇ τῆς γλώττης κινήσει μόνῃ λυμαινομένην κατὰ τὸ ἥμισυ μέρος. ἔστι δ' ὅτε καὶ τοῖς κάτω τῆς κεφαλῆς μορίοις ἄλλοτ' ἄλλοις ἐγκατασκήψασαν. ποτὲ δὲ καὶ παντὶ θατέρῳ μέρει τοῦ σώματος ἄχρι ποδῶν ἄκρων. ἡ δ' οὖν γλῶττα πολλάκις ἑωρᾶται βλαπτομένη τὴν εἰρημένην βλάβην μόνη τῶν κατὰ τὸ πρόσωπον μορίων, μήτε τῆς ἁπτικῆς αἰσθήσεως ἐν αὐτῇ, μήτε τῆς γευστικῆς βεβλαμμένων. καὶ ἡ αἰτία πρόδηλος ὑμῖν ἐστιν ἑωρακόσιν τὰς ἐξ ἐγκεφάλου τῶν νεύρων ἀποφύσεις. εἰς μὲν τὸ πρόσωπον, ἀπὸ τῶν προσθίων μερῶν αὐτοῦ γινομένας. εἰς δὲ τὰ κάτω μέρη τοῦ προσώπου πάντα τὰ καθ' ὅλον τὸ ζῷον, ἀπὸ θατέρου μέρους τοῦ ὄπισθεν. ἐξ οὗ μέρους ἐστὶ καὶ ἡ συζυγία τῶν ἐπὶ τοὺς τῆς γλώττης μῦς ἀφικνουμένων νεύρων, ὑφ' ὧν αἱ κατὰ προαίρεσιν αὐτῆς γίνονται κινήσεις. ὥστε πάλιν εἰκότως ὅτ' ἂν τὸ πρόσθιον ἐγκεφάλου πάθῃ μέρος μόνον, ἡ μὲν τῆς γλώττης κίνησις, ἀβλαβὴς διασώζεται μόνη. τὰ δ' ἄλλα πάντα τὰ κατὰ τὸ πρόσωπον μόρια, τὰς αἰσθητικὰς καὶ προαιρετικὰς κινήσεις ἀπόλλυσι κατὰ θάτερον δηλονότι μέρος ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερόν. ἐὰν γοῦν ὅλον ποτὲ πάθῃ τὸ πρόσθιον ἐγκεφάλου, συμπάσχειν μὲν ἀναγκαῖόν ἐστι, καὶ τὰ περὶ τὴν ὑψηλοτάτην αὐτοῦ κοιλίαν. βλάπτεσθαι δὲ καὶ τὰς διανοητικὰς αὐτῶν ἐνεργείας. καὶ κεῖται ἀναίσθητος μὲν καὶ ἀκίνητος ὁ οὕτως παθών, οὐδὲν δ' εἰς τὴν ἀναπνοὴν βλάπτεται. καὶ καλεῖται τὸ πάθος τοῦτο κάρος. ὥς τό γε καὶ τὴν ἀναπνοὴν βλάπτον οὕτως ἰσχυρῶς, ὡς μετὰ πολλῆς βίας ἀναπνεῖν μόγις, ὁμοίως τοῖς ῥέγχουσιν ἐν ὕπνοις βαθέσιν, ἀποπληξία προσαγορεύεται. καὶ τινὰς ἤδη διαδέχεται τὴν μὲν τῆς ἀποπληξίας λύσιν ἡ καλουμένη † παραπληγία πάνυ πολλάκις. ἐπὶ δὲ τοῖς κάροις παυομένοις, ὑγεία τοὐπίπαν πολλάκις ἀκολουθεῖν εἴωθεν. γίνεται δὲ κάρος ἐπί τε τοῖς τῶν κροταφιτῶν μυῶν πάθεσιν ὡς Ἱπποκράτης ἐδήλωσεν, κἂν τοῖς ὀξέσι νοσήμασιν, ὡς καὶ τοῦτ' ἔγραψεν ὁ αὐτὸς Ἱπποκράτης. ἐν τῷ μέσῳ δ' ἔπως ἀμφοῖν ἐστι τοῦ τε κάρου καὶ τῆς ἀποπληξίας, ἡ ἐπιληψία, σπασμοὺς μὲν ἐπιφέρουσα παντὸς τοῦ σώματος, οὐ μὴν εἰς παραπληγίαν τελευτῶσα. ψυχρὸς μὲν οὖν καὶ παχὺς ἢ πάντως γε γλίσχρος χυμός ἐστιν αἴτιος τῶν εἰρημένων τούτων νοσημάτων. ἀλλ' ἐν μὲν τοῖς κάροις τε καὶ ταῖς ἐπιληψίαις, αἱ κοιλίαι μὲν μᾶλλον, ἧττον δὲ αὐτὸ τὸ σῶμα τοῦ ἐγκεφάλου πάσχειν εἴωθεν. ἐν δὲ ταῖς ἀποπληξίαις μᾶλλον τὸ σῶμα, καὶ κατὰ μὲν τοὺς κάρους τὰ πρόσω μᾶλλον. ἐν δὲ ταῖς ἀποπληξίαις τε καὶ ἐπιληψίαις, ἀμφότερα. κατὰ δὲ τὰς καταλήψεις τε καὶ κατοχὰς ὀνομαζομένας, τὰ ὀπίσω πάσχει μᾶλλον. ὅτ' ἂν δὲ ἀνατετραμμένου τινὸς ὀστοῦ ἡ μέση κοιλία θλιφθῇ, κάρος καταλαμβάνει τὸν ἄνθρωπον ἄνευ τοῦ σπᾶσθαί τε καὶ δυσχερῶς ἀναπνεῖν, ὧν τὸ μὲν ἐπιληψίας, τὸ δὲ τῆς ἀποπληξίας ἐστὶν ἴδιον. ὥσπερ γε καὶ κάρου καὶ καταλήψεως, ἡ κατὰ φύσιν ἀναπνοὴ σωζομένη, ἀλλ' ὁ μὲν κάρος, κεκλεισμένων γίγνεται τῶν βλεφάρων. ἡ κατάληψις δὲ ἀνεῳγότων. ὥσπερ δὲ ἐν ταῖς ἀνατρήσεσιν ὅτ' ἂν ἀμελῶς τις πιέζων τῷ μηνιγγοφύλακι, τὴν μήνιγγα θλίψῃ περαιτέρω τοῦ προσήκοντος, ὁ κάρος γίγνεται. κατὰ τὸν αὐτὸν τρόπον ὅτ' ἂν ὀστοῦν συντριβὲν σφοδρῶς τοῦ κρανίου θλίβῃ τὰς κοιλίας αὐτοῦ, καὶ μάλιστα τὴν μέσην, ὁ κάρος συμπίπτει. ἕπεται δὲ καὶ σφοδραῖς ὀδύναις τὸ πάθος τοῦτο, καταπίπτοντος ἐν αὐταῖς τοῦ κατὰ τὸ ψυχικὸν πνεῦμα τόνου. καλῶ δὲ οὕτως ὡς ἴστε τὸ κατὰ τὰς κοιλίας τοῦ ἐγκεφάλου πρῶτον ὄργανον ὑπάρχον τῇ ψυχῇ πρὸς τὸ διαπέμπειν εἰς ἅπαντα τὰ μέρη τοῦ σώματος, αἴσθησίν τε καὶ κίνησιν. τὰ μὲν οὖν κατὰ τὸν ἐγκέφαλον, οἰκειότητί τε τοῦ προκειμένου λόγου, καὶ διότι κατὰ τὸν ἔμπροσθεν λόγον ἀδιοριστότερον εἴρηται, διορίσασθαί μοι νῦν ἄμεινον ἔδοξεν. αὖθις δ' ἐπὶ τὰ τῆς γλώττης ἐπάνειμι πάθη, τὰ μὲν κοινὰ διὰ τὴν πρὸς τὸν ἐγκέφαλον καὶ τὰ νεῦρα κοινωνίαν, τὰ δὲ ἴδια μόνης αὐτῆς. τῇ μὲν οὖν πρὸς τὸν ἐγκέφαλον αὐτῆς κοινωνίᾳ, καθάπερ εἰς τὴν κίνησιν ἐβλάπτετο διὰ τὴν ζ. συζυγίαν, οὕτως εἰς τὴν αἴσθησιν ἐμποδίζεται, διὰ τὴν τρίτην ἣν ὀνομάζουσι μαλακὸν νεῦρον οἱ ἀνατομικοί, καταφυομένην ὡς ἴστε καὶ κατασχιζομένην εἰς τὸν περιλαμβάνοντα τὴν γλῶτταν χιτῶνα. καθάπερ τι τῶν ἀπὸ τῆς ζ. συζυγίας εἰς τοὺς κινοῦντας αὐτὴν μύας. τὰ δ' ἴδια μόνης τῆς γλώττης πάθη τοῖς μεμνημένοις ὅσα περὶ τῶν κατὰ τοὺς ὀφθαλμοὺς ἰδίων ἀρτίως εἶπον, οὐ χαλεπῶς εὑρεθήσεται. καὶ γὰρ ταύτης αἱ μὲν δυσκρασίαι τῶν μυῶν, ὡς ὁμοιομερῶν ἐμποδίζουσι ταῖς κινήσεσιν. ὥσπερ γε τοῦ καὶ περιέχοντος ἔξωθεν αὐτὴν ὑμένος, ἀμφοτέραις ταῖς αἰσθήσεσιν ἁπτικῇ τε καὶ γευστικῇ. αἱ δ' ὡς ὀργανικῶν παθῶν φλεγμοναὶ καὶ σκίρροι καὶ οἰδήματα καὶ ἐρυσιπέλατα καὶ διαπυήσεις, ἅπερ ἅπαντα τῆς ἐνεστώσης ἀφώρισται πραγματείας, ὁρῶσί τε ἡμῖν καὶ ἁπτομένοις, διαγιγνωσκόμενα. πρόκειται γάρ, ὅσα μήθ' ὄψει μήθ' ἁφῇ διαγνῶναι δυνάμεθα πάσχοντα μόρια, ταῦτ' ἐπισκέψασθαι διά τινων σημείων ἐνδεικτικῶς τε καὶ τὸ σύμπαν φάναι, λογικῶς νῦν εὑρεθησόμενα.

Κατὰ τὸν αὐτὸν οὖν λόγον ἐπὶ τῆς ἀκουστικῆς αἰσθήσεως ὅσα μὲν ἐν αὐταῖς ταῖς ὁρωμέναις κοιλότησι τῶν ὤτων γίνεται παθήματα, λογικῆς οὐ δεῖται γνώσεως. ὅσα δὲ ἀπαθοῦς φαινομένου τοῦ κατὰ τὰ ὦτα πόρου, βλαπτομένου κατὰ τὴν ἀκουστικὴν ἐνέργειαν, ὁμοίᾳ μεθόδῳ γνωριοῦμεν. εἰ μὲν μόνη πάσχει, τὸ ἴδιον νεῦρον πεπονθέναι λογιζόμεθα.

Σὺν δὲ τοῖς ἄλλοις τοῦ προσώπου μορίοις, ἐν ἐγκεφάλῳ τὴν παρὰ φύσιν εἶναι διάθεσιν, ἢ ὡς ὁμοιομεροῦς, ἢ ὡς ὀργανικοῦ μορίου πεπονθότος αὐτοῦ. καὶ τῶν ἄλλων δὲ τόπων ἁπάντων τῶν κατὰ τὸ πρόσωπον, οὐ μόνον ἡ κίνησις, ἀλλὰ καὶ ἡ αἴσθησις, ἤτοι γε ἀπόλλυται παντάπασιν ἢ βλάπτεται ποτὲ μὲν αὐτῶν ἰδιοπαθούντων τῶν βεβλαμμένων τὰς ἐνεργείας μορίων. ποτὲ δὲ τῶν ἐξ ἐγκεφάλου φερομένων ἐπ' αὐτὰ νεύρων, ἢ καὶ δι' αὐτὸν τὸν ἐγκέφαλον πάσχοντα. διορισθήσεται δ' ἀλλήλων ἅπαντα διὰ τῶν ἐζευγμένων αὐτοῖς συμπτωμάτων, ὅτ' ἂν μὲν γὰρ ἕν τι μόριον ἤτοι γε εἰς αἴσθησιν ἢ εἰς κίνησιν ἢ εἰς ἄμφω τύχῃ βλαβέν, αὐτὸ μόνον ἐκεῖνο τὴν αἰτίαν ἔχει τῆς διαθέσεως. ἤτοι γε ἐν τοῖς ἰδίοις μορίοις ὀργανικῶς ἢ κατὰ δυσκρασίαν πάσχουσιν. ἢ ἐν τοῖς εἰς αὐτὰ φερομένοις νεύροις ἀπὸ τῆς τρίτης συζυγίας. ὅταν δὲ ἅμα πλείω πεπόνθῃ μόρια, σκεπτέον εἴτε ἐκ μιᾶς ἀρχῆς νεύρου, εἴτε ἐκ πλειόνων, ἔχει τὴν αἴσθησιν ἢ τὴν κίνησιν ἐν τῷ κατὰ φύσιν διακεῖσθαι. τεθεάμεθα γοῦν ταῦτα διὰ τῶν ἀνατομῶν. τῆς μὲν τρίτης συζυγίας, τοῖς γε κροταφίταις μυσὶ καὶ τοῖς μασητῆρσι καὶ τοῖς χείλεσι καὶ τοῖς τῆς ῥινὸς πτερυγίοις, αἴσθησίν τε καὶ κίνησιν παρεχούσης. τῇ δὲ γλώττῃ, τὴν αἴσθησιν μόνην, ὥσπερ γε καὶ τοῖς ἐν τῷ στόματι πᾶσιν. τῆς δὲ δευτέρας, τοὺς μῦς τῶν ὀφθαλμῶν μόνους κινούσης, ὥσπερ γε καὶ τῆς πρώτης τὴν ὀπτικὴν αἴσθησιν αὐτοῖς παρεχούσης. ἐὰν οὖν ποτε τὰ παρὰ τῆς τρίτης συζυγίας νευρούμενα μόρια, πάντα φαίνηται βεβλαμμένα κατὰ θάτερον

† ἄλ. παράλυσις

δηλονότι μορίου. ἀεὶ γὰρ χρὴ τούτου μεμνῆσθαι κἂν μὴ ῥηθῇ πρὸς ἐμοῦ, τὴν πρωτοπάθειαν ἡγεῖσθαι χρὴ τοῦ νεύρου γεγονέναι. κατ' ἄμφω δὲ τὰ μέρη τῆς βλάβης συμβάσης, οὐ τοῦ νεύρου τὸ πάθος ἴδιον, ἀλλὰ τοῦ κατὰ τὸν ἐγκέφαλον τόπου, πρώτως ὅθεν ἐκφύεται τὰ νεῦρα, πάσχοντι δ' ἐγκεφάλῳ κατ' ἄμφω τὰ μέρη τό τ' ἀριστερὸν καὶ τὸ δεξιὸν ἐν τῷ κατὰ τρίτην συζυγίαν χωρίῳ συμπάσχει καὶ τὰ πλησιάζοντα. καὶ διὰ τοῦτο τά τε κατὰ τὴν δευτέραν, καὶ τὴν πρώτην συζυγίαν, βλάπτεται νεῦρα. καὶ τῇ τούτων ἀκολουθεῖ βλάβῃ καὶ τὰ κατὰ τοὺς ὀφθαλμοὺς μόρια βλάπτεσθαι πάντα, μόνου δ' ἑνὸς μυὸς ἢ νεύρου παθόντος ὁπωσοῦν, εἴτε κατ' ἰδιοπάθειαν εἴτε κατὰ συμπάθειαν, ἐπὶ τὸν ἀντικείμενον μῦν ἐπισπᾶται τὸ μόριον. ἐὰν μὲν ὁ τὸ δεξιὸν χεῖλος κινῶν μῦς παραλυθῇ, πρὸς τὴν ἀριστερὰν χώραν ἀπαγομένου τοῦ κατὰ τοῦτο τὸ μέρος χείλους, ὅτ' ἂν δὲ ὁ τὸ ἀριστερόν, ἐπὶ τὴν δεξιάν. ὡσαύτως δὲ κἀπὶ τῆς γένυος ὅλης καὶ τῶν τῆς ῥινὸς πτερυγίων, καὶ τῶν γνάθων ἑκατέρας, ἃς ἐμάθετε κινουμένας ὑπὸ τοῦ μυώδους πλατύσματος, ἐπὶ τὰ ἐναντία συμβαίνει περισπᾶσθαι τὸ μόριον. οὐκ ἔτ' ἐπὶ τούτου παρὰ τῆς τρίτης συζυγίας τῶν νεύρων ἡκόντων, ἀλλ' ἐκ τῶν κατὰ τὸν τράχηλον σπονδύλων εἰς ἅπαν ὀλίγου δεῖν, ὅτι μὴ κατὰ μέρος τι μικρὸν αὐτοῦ, τῶν παρὰ τῆς πέμπτης συζυγίας ἐμφυομένων νεύρων, ἔνθα τὸ πλάτυσμα τὴν ὑψηλοτάτην ἔχει χώραν. μετιέναι δ' ἤδη καιρὸς ἐπὶ τὰ τοῦ νωτιαίου πάθη.

Τὰ τοῦ νωτιαίου μυελοῦ πάθη, σύντομον μὲν ἔχει τὴν ἐν τῇ παρούσῃ διδασκαλίαν, οὐ σύντομον δὲ τὴν ἐπὶ τῶν ἔργων γνῶσιν αὐτῶν, εἰ μὴ γὰρ μνημονεύοι τις ἑκάστην συζυγίαν τῶν ἀπ' αὐτοῦ πεφυκότων νεύρων εἰς ὅτι παραγίνεται μόριον τοῦ σώματος, ἀδύνατον αὐτῷ γνῶναι κατὰ πόστον ἔπαθεν σπόνδυλον ὁ νωτιαῖος, ὡς τῷ γε μεμνημένῳ, ῥᾴστη ἡ τοῦ πεπονθότος τόπου γνῶσις. ἀλλὰ καὶ κατὰ τὴν τῶν ἄλλων ἁπάντων μορίων διάγνωσιν, ἀνάμνησις ἔσται τῶν ἀπὸ τοῦ νωτιαίου μυελοῦ πεφυκότων νεύρων. οἷον εὐθέως ἀπὸ τῶν πρώτων σπονδύλων παθόντων, σπανίως μέν, ἀλλὰ γίνεται συνάγχη ποτὲ παιδίοις μᾶλλον ἢ τελείοις. ὑπὲρ ἧς Ἱπποκράτης οὕτως συνέγραψεν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν. » ἦν δὲ τῶν κυναγχικῶν παθήματα τοιάδε. τοῦ τραχήλου οἱ σπόνδυλοι εἴσω ἔρρεπον τοῖσι μὲν ἐπὶ πλέον. τοῖσι δὲ ἐπ' ἔλασσον. καὶ ἔξωθεν ἔνδηλος ἦν κοῖλον ἔχων ὁ τράχηλος. καὶ ἤλγει ἐν ταύτῃ ψαυόμενος. ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου οὐχ ὁμοίως ὀξὺ ἐστίν. ἔστι δὲ οἷσι καὶ πάνυ περιφανής, μείζονι περιφερείῃ. ἦν μὴ σὺν τῷ ὀδόντι καλεομένῳ, φάρυγξ οὐ φλεγμαίνουσα, ἐγκειμένη δέ. τὰ ὑπὸ γνάθων, ὀγκηρά. οὐ φλεγμαίνουσιν εἴκελα. οὐδὲ βουβῶνες οὐδενὶ ᾤδησαν, ἀλλὰ τῇ φύσει μᾶλλον. καὶ γλῶτταν οὐ ῥηιδίως στρέφοντες, ἀλλὰ μείζων τε αὐτέοισιν ἐδόκεεν εἶναι καὶ προπετεστέρη. καὶ αἱ ὑπὸ τῆς γλώττης φλέβες ἐκφανέες, καταπίνειν δ' οὐκ ἠδύναντο, ἢ πάνυ χαλεπῶς. ἀλλ' ἐς τὰς ῥῖνας ἐξέφυγεν εἰ πάνυ ἐβιῶντο. καὶ διὰ τῶν ῥινῶν διελέγοντο. πνεῦμα δὲ τούτοισιν οὐ πάνυ μετέωρον. ἔστι δὲ οἷσιν καὶ φλέβες αἱ ἐν κροτάφοισιν καὶ ἐν κεφαλῇσιν καὶ αὐχένι, ἐπηρμέναι. βραχὺ δέ τι τουτέων τοῖσιν παλιγκοτωτέροισιν, κρόταφοι θερμοί, εἰ καὶ τὰ ἄλλα μὴ πυρεταίνοιεν. οὐ μὴν πνιγόμενοι οἱ πλεῖστοι, εἰ μὴ καταπίνειν προθυμοῖντο, ἢ τὸ πτύελον, ἢ ἄλλο τι. οὐ δὲ οἱ ὀφθαλμοὶ ἐγκαθήμενοι. οἷσι μὲν οὖν ἦν ἐς ὀρθὸν ἐξόγκωμα μὴ ἑτερόρροπον, οἱ τοιοῦτοι παραπληκτικοὶ οὐκ ἐγίνοντο. ἀπολλύμενόν τε εἴ τινα εἶδον ἀναμνήσομαι. οὓς δὲ νῦν οἶδα περιεγένοντο. ἦν δὲ τὰ μέν, τάχιστα ῥηίζοντα, τὰ δὲ πλεῖστα, καὶ ἐς τεσσαράκοντα ἡμέρας περιῄει. τούτων δ' οἱ πλεῖστοι καὶ ἀπύρετοι. πολλοὶ δὲ καὶ πάνυ ἐπὶ πολὺν χρόνον εἶχον τι μέρος τοῦ ἐξογκώματος. καὶ κατάποσις καὶ φωνὴ ἐνσημαίνουσα. κίονές τε τηκόμενοι μινύθησιν ἵνα παρεῖχον πονηρήν, οὐδὲν δοκέοντες κακὸν ἔχειν. οἱ δὲ ἑτερόρροπα ἔχοντες οὗτοι ὁκόθεν ἂν ἐγκλιθέωσιν οἱ σπόνδυλοι ταύτῃ παρελύοντο, τὰ δ' ἐπὶ θάτερα εἵλκετο. ἦν δὲ ταῦτα ἐν προσώπῳ καταφανέα μάλιστα καὶ τῷ στόματι καὶ τῷ κατὰ γαργαρεῶνα διαφράγματι. ἀτὰρ καὶ γνάθοι αἱ κάτω παρηλλάσσοντο κατὰ λόγον. αἱ δὲ παραπληγίαι, οὐ διὰ παντὸς τοῦ σώματος ἐγίνοντο οἷον ἐξ ἄλλων ἀλλὰ μέχρι χειρὸς τὰ ἀπὸ τοῦ κυναγχικοῦ. οὗτοι καὶ πέπονα ἀναπτύοντες βραχὺ μόγις ἦσαν. οἷσι δὲ ἐς ὀρθόν, ἀπεπτύοντο. οἷσι δὲ καὶ σὺν πυρετῷ, οὗτοι πολὺ μᾶλλον καὶ δύσπνοοι καὶ διαλεγόμενοι. σιαλοχόοι, καὶ φλέβες τούτοισι μᾶλλον ἐπηρμέναι, καὶ πόδες πάντων μὲν ψυχρότατοι. τούτων δὲ μάλιστα καὶ ὀρθοστατεῖν οὗτοι ἀδυνατώτεροι. καὶ εἴ τινες μὴ αὐτίκα ἔθνησκον, οὓς δὲ ἐγὼ οἶδα, πάντες ἔθνησκον. ταύτην ὅλην τὴν ῥῆσιν ἐξηγησάμην. καθ' ἑκάστην ἤδη λέξιν ἐν τῷ δευτέρῳ τῶν εἰς τὸ δεύτερον τῶν ἐπιδημιῶν ὑπομνημάτων, διὰ τοῦτο δὲ νῦν ὅλην αὐτὴν ἔγραψα, διότι τοῖς πολλοῖς ὁ Ἱπποκράτης ἐμφαίνει γεγονέναι τὴν σπανίως ἡμῖν ἑωραμένην κυνάγχην ἄνευ τοῦ πάθος ἴδιον ἔχειν τὸν λάρυγγα. καὶ μέντοι καὶ ὅτι κατὰ τοὺς πρώτους γίνεται σπονδύλους ὧν ὁ δεύτερος ἔχει τὴν ὀδοντοειδῆ καλουμένην ἀπόφυσιν, ἀφ' ἧς ὅλος ὑπό τινων ὀδοὺς προσηγορεύθη. ἀλλὰ νῦν γε κατωτέρω φησὶν τούτου τοῦ σπονδύλου γεγονέναι τὴν κυνάγχην. οὐχ ὁμοίως ὀξεῖαν οὖσαν τῇ κατὰ τὸν δεύτερον γινομένῃ. πρόδηλον γὰρ ὅτι τὰ ὑψηλότερα τοῦ νωτιαίου μέρη, κυριώτερα τῶν ταπεινοτέρων ἐστίν. ἐὰν μὲν οὖν πολὺ κατωτέρω γένηται τῶν πρώτων δύο σπονδύλων ἡ αὐτὴ διάθεσις, ἔτι καὶ μᾶλλον ἥττων ἀκολουθήσει ἡ βλάβη. μεμαθήκαμεν γὰρ ἡμεῖς ἐκ τῆς ἀνατομῆς, τὰ τοῦ διαφράγματος νεῦρα μετὰ τὸν τέταρτον καὶ πέμπτον σπόνδυλον ἐκφύεσθαι. ἐμάθομεν δὲ κἀν τῇ περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων πραγματείᾳ, τὴν ἀβίαστον ἀναπνοὴν ὑπὸ τοῦ διαφράγματος μόνου γίνεσθαι, προσέρχεσθαι δὲ αὐτῇ, τὴν τῶν μεσοπλευρίων μυῶν ἐνέργειαν ὅταν μείζονος εἰσπνοῆς δεηθῶμεν, ὥσπερ γε καὶ τὴν τῶν ὑψηλῶν, ὅταν μεγίστης. οὐ μὴν διὰ μεγάλην ἢ μεγίστην ἀναπνοὴν μόνον, ἐνεργεῖν ἡμᾶς τούτοις τοῖς μυσίν, ἀλλὰ καὶ δι' ἄλλας αἰτίας ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τοῖς περὶ δυσπνοίας εἴρηται. Νυνὶ δ' οὖν εἰς τὴν τῶν πεπονθότων τόπων γνῶσιν ἀναγκαῖον ἐπίστασθαι, παρὰ τῆς προγεγραμμένης ῥήσεως ἀρκέσει λαβεῖν. ἐκείνου πρότερον ἀναμνησθέντας, ὃ διήλθομεν ἐν τῷ περὶ ἄρθρων ἐξηγούμενοι τὴν λέξιν ἔνθα φησίν. σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν ὁκόσοισι μὲν ὑπὸ νοσημάτων ἐς τὸ κυφὸν ἕλκονται. βούλεται δὲ οὐ μόνον τὴν ἔσω μετάστασιν τῶν σπονδύλων ἥ τις ὀνομάζεται λόρδωσις, ἀλλὰ καὶ τὴν εἰς τοὐπίσω ταῖς εἰς τὴν ἔσω χώραν τάσεσιν ἕπεσθαι ἑλκομένων τῶν νευρωδῶν σωμάτων ὑπὸ τῶν ἐνταῦθα συνισταμένων παρὰ φύσιν ὄγκων. ὅτ' ἂν μὲν οὖν καθ' ἕνα μόνον σπόνδυλον ἡ ὁλκὴ γένηται, λορδοῦσθαι συμβαίνει κατ' ἐκεῖνο τὸ μέρος τὴν ῥάχιν. ὡσαύτως δὲ κἂν ἐφεξῆς ἀλλήλων ἐπὶ δυοῖν ἢ τριῶν σπονδύλων. ὅτ' ἂν οὖν μεταξὺ τῶν ἑλκομένων σπονδύλων, εἷς ἢ καὶ πλείους ἀπαθεῖς διαμένωσι, κυρτοῦσθαι συμβαίνει τούτους. ἐπειδὰν μέν τι κατὰ θάτερον

μέρος ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν ἡ ὁλκὴ γένηται πρὸς ἐκεῖνον συμβαίνειν σκολιωθῆναι τὴν ῥάχιν. ἀμφοτέρων οὖν ἐ-
μνημόνευσεν ἐπὶ τῇ προγεγραμμένῃ ῥήσει, ὁ Ἱπποκράτης ἐν μὲν τῷ φάναι, οἷς μὲν οὖν ἣν ὀρθὸν τὸ ὄγκωμα τῆς
λορδώσεως. ἐν δὲ τῷ, οἱ δὲ ἑτερόρροπα ἔχοντες, τῆς σκολιώσεως. ἀκριβῶς δὲ πάνυ καὶ ὠφελίμως ἡμῖν τοῖς ἀναγνω-
σομένοις, αὐτὰ προσέγραψεν. ἐπὶ μὲν τῆς λορδώσεως, οὐδέν τι γενέσθαι παραπληκτικὸν, ὅπερ ἐστὶ, μορίῳ τινὶ πάρεσιν.
ἐπὶ δὲ τῆς σκολιώσεως, γενέσθαι φάσκων, ἄχρι χειρὸς, ὃ περ ἐστὶ τὸ κατωτέρω ἐπὶ τὰς πλευρὰς ἢ ὀσφὺν ἢ τὰ σκέλη.
πρῶτον οὖν ἡμᾶς χρὴ τοῦτο γινώσκειν, ὡς ἕτερα μὲν συμπτώματα ἕπεται τοῦ νωτιαίου μυελοῦ παθόντος ἴδιόν τι πά-
θος, ἤτοι ἐπὶ δυσκρασίαν μόνην ἢ μετὰ χυμοῦ τινὸς ἐπιρρυέντος, ὡς ἐν ἐρυσιπέλασι καὶ φλεγμοναῖς καὶ σκιῤῥ-
ώσεσι. ἕτερα δὲ θλιβέντος, ἀπὸ μεταστάσεως ἑνὸς ἢ πλειόνων σπονδύλων. ἔνθα μὲν γὰρ αὐτὸς ὁ νωτιαῖος ἔπαθεν
ἴδιόν τι πάθος, ἤτοι ἐπὶ τὸ ἀριστερὸν ἢ δεξιὸν μέρος, ἄνευ μεταστάσεως σπονδύλων, ἐπὶ μὲν τὸ ἕτερον αὐτοῦ μέρος
μόνον γινομένου τοῦ πάθους, ἅπαντα τὰ κάτω μέρη τοῦ σώματος ὅσα κατ' εὐθὺ τῆς βλάβης, εἰς αἴσθησίν τε καὶ κίνη-
σιν βλάπτεται. ἔνθα δ' ὅλος ἔπαθεν, ἅπανθ' ὁμοίως τά τε δεξιὰ καὶ τὰ ἀριστερὰ τὰ κάτω τοῦ βλαβέντος μέρους,
παραλύεται. κινηθέντος δὲ σπονδύλου, πρὸς μὲν τὸ κυφὸν ἢ λορδὸν. ἐγχωρεῖ μὲν καὶ μὴ δ' ὅλως βλαβῆναι τῶν
ὑπὸ κάτω μερῶν μηδὲν, εἰς αἴσθησιν ἢ κίνησιν. ἐγχωρεῖ δὲ καὶ βλαβῆναι, ἐπὶ τὸν ἐν τῷ περὶ ἄρθρων εἰρημένον
ὑπ' αὐτοῦ διορισμὸν, ὅταν μὲν γὰρ ὡς αὐτὸς ὠνόμασεν γωνιώδης ἡ διαστροφὴ γένηται τοῦ νωτιαίου, τουτέστι μὴ
ἐπὶ βραχὺ καμφθέντος ἀλλ' ἀθρόως καθ' ἓν μόριον οἷον κλάσιν τινὰ λαβόντος, ἀνάγκη βλαβῆναι τὰ κάτω μόρια
πάντα. ἐπὶ βραχὺ δὲ τῆς διαστροφῆς γεγενημένης κυκλοτερῶς, οὐδὲν ἀξιόλογον πάσχει τὰ κάτω τοῦ κινηθέντος σπον-
δύλου. ἡ δ' εἰς τὸ πλάγιον ἐκτροπὴ, βλάπτει πάντως ἐκεῖνα τῶν μορίων, εἰς ἃ παραγίνεται τὰ διὰ τῶν μεταστάν-
των σπονδύλων ἐκφυόμενα νεῦρα. καὶ μᾶλλον μὲν γίνεται τοῦτο ἐπὶ τὸν τράχηλον. ἧττον δὲ ἐπὶ τὸν θώρακα, πολὺ
δ' ἧττον ἔτι ἐπὶ τῆς ὀσφύος. ἐπὶ μὲν γὰρ τοῦ τραχήλου τῶν συνταττομένων ἀλλήλοις σπονδύλων ἑκάτερος ἴσον συντε-
λεῖ τῷ πόρῳ δι' οὗ τὸ νεῦρον ἐκφύεται. ἐπὶ δὲ τοῦ θώρακος πλέον μὲν ὁ ὑψηλότερος, ἧττον δὲ ὁ ταπεινότερος.
ἐπὶ δὲ τῆς ὀσφύος ὅλον τὸ νεῦρον ἐκπίπτει ἐπὶ τὸν ὑψηλότερον σπόνδυλον. ὥστε ἐνταῦθα μὲν ἡ εἰς τὰ πλά-
για ῥοπὴ τῶν σπονδύλων, ἑαυτῇ συναπάγουσα τόν τε νωτιαῖον αὐτὸν καὶ τὸ νεῦρον, ἄθλιπτον ἐργάζεται τὴν
ἐπὶ φύσιν ἔκπτωσιν αὐτοῦ. ἐπὶ δὲ τὸν τράχηλον, ἐκ τῆς μεταξὺ χώρας τῶν δύο σπονδύλων ἐκφυόμενα τὰ νεῦρα
ἐπὶ τὰς σκολιώσεις θλίβεται μὲν, ἐν ἐκείνοις τοῖς μέρεσι τῆς ἐκφύσεως εἰς ἃ τὴν διαστροφὴν ἔσχεν ἡ ῥάχις. τείνε-
ται δὲ ἐπὶ θάτερα. ταῖς μὲν οὖν τάσεσιν, ὅταν ἐπιγένηται φλεγμονὴ μεγάλη, σπασμὸς ἐπακολουθεῖ. ταῖς δὲ θλί-
ψεσι, παράλυσις τῶν μορίων εἰς ἃ τὸ θλιβόμενον ἀφικνεῖται νεῦρον. εἰκότως οὖν ἐπὶ ταῖς ἱστορηθείσαις ἐπὶ τῇ προγε-
γραμμένῃ ῥήσει κυνάγχαις, ἄχρι χειρῶν αἱ παραπληγίαι συνέπεσαν. ὡς ἂν ἐκ τῶν πρώτων τοῦ τραχήλου, λαμβανου-
σῶν τὰ νεῦρα τῶν χειρῶν. μετὰ γὰρ τὸν τράχηλον, ὁ θώραξ ἐστὶν οὐκ εἰς τὰς χεῖρας, ἀλλὰ τὰ μεσοπλεύρια τῶν κατ' αὐτὸν
σπονδύλων ἀποφυομένων, νεύρων πλὴν βραχέων τινῶν, ἐκ τῶν πρώτων. τὰ μὲν οὖν ἄλλα τὰ ἐπὶ τὸ πρόσωπον μό-
ρια παντάπασιν ἀβλαβῆ διαμένει, μήτ' εἰς αἴσθησιν ἐμποδιζόμενα, μήτε εἰς κίνησιν ἐπὶ ταῖς εἰρημέναις ἀρτί-
ως τῶν σπονδύλων μεταστάσεσιν αἱ γνάθοι δὲ μόναι χωρὶς τῆς γένυος ὡς ἂν ὑπὸ τοῦ μυώδους πλατύσματος κινού-
μεναι βλάπτονται. δῆλον ὅτι καὶ τῶν μυῶν ὅσοι τὴν ἀρχὴν τῶν εἰς αὐτοὺς διανεμομένων νεύρων ἔχουσιν ἐκ τοῦ ἐπὶ
τὸν τράχηλον νωτιαίου. βλάπτονται καὶ αὐτοὶ κατά τε τοῦ νωτιαίου πάθη καὶ τῶν ἀπ' αὐτοῦ πεφυκότων νεύρων.
ὁπόσοι δ' εἰσὶ καὶ τίνες οἱ μύες οὗτοι, μεμαθήκατε ἐπὶ τὴν τῶν ἀπὸ νωτιαίου νεύρων ἀνατομήν. ὥσπερ γε καὶ τὰ
ἄλλα ὅσα χρὴ γινώσκειν ἡμᾶς ἑπόμενα συμπτώματα τοῖς ἐπὶ ῥάχιν σπονδύλων ἐν κυφώσεσί τε καὶ λορδώσε-
σι καὶ σκολιώσεσιν. ἐν τῷ δευτέρῳ τῶν εἰς τὸ περὶ ἄρθρων ὑπομνήματι γεγραμμένα παντὶ ἀκριβῶς ἔχεται
σὺν ταῖς οἰκείαις ἀποδείξεσιν. ὧν ἐγὼ τὰ κεφάλαια νῦν ὑμᾶς ὑπομιμνήσκω, ὧν ἔνια μὲν ἤδη δῆλον. ὅσα δ'
οὔπω λέλεκται νῦν ἐρῶ πρὸς τὸ μὴ δ' ἐνταῦθα τι λείπειν τῷ λόγῳ. χρὴ γὰρ ὑμᾶς ἐπίστασθαι τοὺς σπονδύλους ἐξί-
στασθαί ποτε τῆς οἰκείας θέσεως ἤτοι γ' ἐκπτώσεως ἢ πληγῆς ἢ τινὸς ὄγκου παρὰ φύσιν ἐπισπωμένου τὰ συμφυῆ
τοῖς σπονδύλοις αὐτοῖς καὶ τῷ νωτιαίῳ νευρώδη σώματα. διττὰ δὲ ἐστὶν τῷ γένει ταῦτα. τὰ μὲν ἕτερα τῶν ἐπὶ
φύσιν μορίων. τὰ δὲ ἕτερα, τῶν παρὰ φύσιν. ὄγκοι τινὲς, οὓς Ἱπποκράτης ἑνὶ περιλαβὼν ὀνόματι, κέκληκεν ἄπε-
πτα φύματα. δῆλον οὖν ὅτι ἐπὶ τῆς προγεγραμμένης καταστάσεως, ἣν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἔγραψεν,
οἵ τε ἐπικείμενοι τοῖς τοῦ τραχήλου σπονδύλοις ἔπαθον μύες. ἴσως δὲ καὶ φυματώδης τις ὄγκος ἐγένετό που, δι'
ὃν καὶ λῦσαι φησὶν αὐτοὺς πέπονα, πεφθέντων δηλονότι τῶν φυμάτων. διὰ τοίνυν αὐτοὺς ὠνόμασεν καὶ κυναγ-
χικούς; ἢ ὅτι δύσπνοια τις αὐτοῖς ἦν, ἄνευ τοῦ πεπονθέναι τι τῶν ἐπὶ τὸν θώρακα καὶ πνεύμονα. ταύτῃ γὰρ διή-
νεγκεν ἡ κυναγχικὴ συνδρομὴ τῆς περιπνευμονικῆς καὶ πλευριτικῆς. καὶ πρὸς τούτῳ γ' ἔτι, τῷ τῆς στενοχωρί-
ας αἰσθάνεσθαι ἐπὶ τὸν λάρυγγα. φαίνεται γοῦν κἀν τῷ προγνωστικῷ καὶ κυνάγχας ὀνομάζων, ἅπαντα τὰ ἐπὶ
τοῦτο τὸ χωρίον γιγνόμενα πάθη δυσκολίαν τῆς ἀναπνοῆς ἐργαζόμενα. φησὶν γὰρ οὕτως. αἱ δὲ κυνάγχαι δεινό-
ταται μέν εἰσιν καὶ τάχιστα ἀναιροῦσιν, ὅσαι μήτ' ἐν τῇ φάρυγγι ἔκδηλόν τι ποιοῦσιν, μήτ' ἐν τῷ αὐχένι, πλεῖ-
στον τε πόνον παρέχουσιν καὶ ὀρθόπνοιαν. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσιν καὶ δευτεραῖαι καὶ τρι-
ταῖαι. καὶ τεταρταῖαι. ὁκόσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον τε παρέχουσιν καὶ ἐπαίρονταί τε καὶ
ἐρυθήματα ἐν τῇ φάρυγγι ποιοῦσιν, αὗται ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δὲ ὀλίγον τῶν πρόσθεν. οἷσι δὲ
συνεξερευθέει φάρυγξ καὶ ὁ αὐχὴν, αὗται χρονιώτεραι. καὶ μάλιστα ἐξ αὐτέων περιγίνονται, ἤν ὅ, τε αὐχὴν
καὶ τὸ στῆθος ἐρυθήματα ἔχῃ καὶ μὴ παλινδρομήσῃ τὸ ἐρυσίπελας ἔσω. ἐκ τούτων μὲν ἄν τις ἐτεκμήρατο
μιᾷ προσηγορίᾳ πάντα ἐπὶ τοῦτο τὸ χωρίον πάθη τὴν ἀναπνοὴν ὁπωσοῦν βλάπτοντα, κυνάγχας ὀνομά-
ζειν αὐτὸν οὔπω τῶν ἰατρῶν εἰθισμένων. τὸ μέν τι, κυνάγχην ὀνομάζειν διὰ τοῦ κ. τὸ δὲ συνάγχην διὰ τοῦ σ.
πολὺ δὴ μᾶλλον, οὐ δὲ παρασυνάγχην τι καλούντων, οὐ δὲ παρακυνάγχην. ἡ γὰρ τῶν ὀνομάτων περιεργεία,
μετὰ τῆς τῶν πραγμάτων ἀμελείας ἤρξατο. καὶ διὰ τοῦτο, τέτταρα μὲν ὀνόματα πεποιήκασιν. δηλοῦσθαι δ'
ὑπ' αὐτῶν εἰπόντες πάθη τέτταρα καὶ γράψαντες, αὐτῶν τὰ γνωρίσματα παραλελοίπασιν. τοῦτο τοίνυν

ἐμοὶ προκεχειρίσθω ἅμα τῇ κατὰ τὸ δεύτερον ἐπιδημιῶν ῥήσει. τίνα οὖν ἐστι τὰ τέτταρα πάθη; τὸ μὲν ἓν καὶ πρῶτον αὐτῶν, ὅτ᾽ ἂν ἡ φάρυγξ φλεγμαίνῃ, φάρυγγα δ᾽ ὀνομάζω τὴν ἔνδον τοῦ στόματος χώραν εἰς ἣν ἀνήκει τό τε τοῦ στομάχου καὶ τὸ τοῦ λάρυγγος πέρας. ἕτερον δὲ δεύτερον ὅτ᾽ ἂν μήτ᾽ ἄλλο τι τῶν κατὰ στόμα, μήθ᾽ ἡ φάρυγξ, ἀλλὰ μηδὲ τῶν ἔξωθεν τι φαίνεται φλεγμαῖνον. αἴσθησις δὲ πνίξεως εἴη τῷ κάμνοντι κατὰ τὸν λάρυγγα. τρίτον δ᾽ ἐπὶ τούτοις, ὅτ᾽ ἂν ἡ ἐκτὸς χώρα τῆς φάρυγγος φλεγμαίνῃ. καὶ τέταρτον ὅτ᾽ ἂν ἡ τοῦ λάρυγγος ἐκτὸς ὁμοίως διατεθῇ τῇ ἐντός. ἀλλ᾽ ἐπὶ τούτοις γε κατὰ τὸν αὐχένα γίνεται τι πάθος ὃ παραλελοίπασιν, εἰς τὴν πρόσω χώραν μεθισταμένων τῶν σπονδύλων. ποτὲ μὲν αὐτῶν μόνων τῶν κοινωνούντων αὐτοῖς μυῶν εἰς ὄγκον τινὰ παρὰ φύσιν ἀρθέντων, ἢ τινὸς φύματος συστάντος. ἐνίοτε δὲ καὶ τοῦ στομάχου συγκακωθέντος αὐτοῖς. ἔστι δ᾽ ὅ τε καὶ τῶν συναπτόντων αὐτῶν μυῶν τῷ λάρυγγι. καὶ πρὸς τούτοις γ᾽ ἔτι τῶν ἰδίων αὐτοῦ τοῦ λάρυγγος μυῶν, ὑφ᾽ ὧν ἀνοίγνυται. ταῦτ᾽ οὖν ἅπαντα τὰ πάθη δυσχέρειαν μὲν ἱκανὴν ἐργάζεται κατὰ τὴν ἀναπνοήν, οὐ μὴν τοῦ πνιγῆναι κίνδυνον ἐπιφέρει. δυσκόλως δὲ καταπίνουσιν, καὶ μέν τοι καὶ ἀλγοῦσιν, ὁπότε μᾶλλον ἀνακόπτεται τὸ ποτὸν αὐτοῖς εἰς τὰς ῥῖνας. ἐνίοτε δὲ τῆς φλεγμονῆς αὐτῆς ἐπιβαινούσης, καὶ τὰ περὶ φάρυγγά τε καὶ γλῶτταν αὐτοῖς συνεξαίρεται, καθάπερ αὐτὸς ἔγραψεν. ἀλλ᾽ οὐ δεῖται νῦν ὁ προκείμενος λόγος τῶν τοιούτων συμπαθειῶν τῆς διηγήσεως, ἑτέρων γὰρ ἐνεργειῶν ἀπώλεια γίνεται τῆς γλώττης παθούσης. ἔνθα δ᾽ ἡ βλάβη μιᾶς ἐνεργείας ἐστίν, οἱ πεπονθότες δὲ τόποι πλείους, τῇ ποικιλίᾳ τῶν ἄλλων συμπτωμάτων διοριζομένοις τούτους ἡμῖν εὑρίσκειν πρόκειται νῦν. ἄνευ μὲν γὰρ τοῦ παθεῖν τι τῶν ἀναπνευστικῶν ὀργάνων ὁτιοῦν εἴτε κατὰ πρωτοπάθειαν εἴτε κατὰ συμπάθειαν, ἀδύνατόν ἐστιν βλαβῆναι τὴν ἀναπνοήν, ἐπεὶ δ᾽ αὐτά τε τὰ ἀναπνευστικὰ πλείω τετύχηκεν ὄντα, πρὸς δ᾽ αὐτοῖς, ἕτερος ἀριθμὸς οὐκ ὀλίγος ἐστὶ μορίων οἷς συμπάσχειν πέφυκεν, εἰκότως οἱ διορισμοὶ πολλοὶ γεγόνασιν, οἷς χρώμενος ἄν τις, εὑρίσκοι τούς τ᾽ ἰδιοπαθοῦντας ἑκάστῳ τε καὶ τοὺς συμπάσχοντας αὐτοῖς τόπους. εὐθὺς οὖν ἐξ αὐτοῦ μόνου τοῦ τῆς ἀναπνοῆς εἴδους, ἔνεστι τεκμήρασθαί τι, περί τε τοῦ πάσχοντος τόπου καὶ τῆς διαθέσεως αὐτοῦ. φαινέσθω γὰρ ὁ κάμνων ὅλον τὸν θώρακα κινῶν κατὰ τὴν ἀναπνοήν, ὡς ἔμπροσθεν μὲν ἄχρι τῶν κλειδῶν, ἀνήκειν αὐτοῦ τὴν κίνησιν. ἑκατέρωθεν δὲ ἄχρι τῶν ἐπωμίδων. ὀπίσω δὲ ἄχρι τῶν ὠμοπλατῶν. ἐκ ταύτης τῆς ἀναπνοῆς ἔνδειξις γίνεται τριῶν διαθέσεων, μιᾶς μὲν, θερμασίας φλογώδους κατά τε τὸν πνεύμονα καὶ τὴν καρδίαν. ἑτέρας δὲ, στενοχωρίας κατά τι τῶν ἀναπνευστικῶν ὀργάνων. ἐφ᾽ αἷς τρίτης, ἀρρωστίας τῆς κινούσης δυνάμεως τοὺς μῦς τοῦ θώρακος. ἐπισκέψασθαι τοιγαροῦν χρὴ τοιαύτην ἀναπνοὴν θεασάμενον τινὰ, πρῶτον μὲν τοὺς σφυγμούς. ἐνδείξονται γὰρ οὗτοι, τὸ πλῆθος τῆς θερμασίας, ὡς ἐν τῇ δι᾽ αὐτῶν προγνώσει γέγραπται. δεύτερον δὲ τὴν ἐκπνοήν, εἰ πολλὴ καὶ ἀθρόα καὶ μετὰ ἐκφυσήσεως γίγνεται. καὶ τρίτον ἐπὶ τούτοις, ἅψασθαι τοῦ θώρακος, κατὰ τὸ στέρνον. διακαιόμενον γὰρ εὑρὼν τις αὐτὸ, οὕτως ἂν ἔχοι πάντα τὰ γνωρίσματα τοῦ πλήθους τῆς θερμασίας. ἐξ ἐπιμέτρου προσερχομένων αὐτοῖς ἐρυθροῦς προσώπου τε καὶ ὀφθαλμῶν. καὶ κεφαλῆς διακαοῦς, καὶ δίψους ἰσχυροῦ, καὶ γλώσσης ξηρᾶς τε καὶ τραχείας, αὐτοῦ τε τοῦ κάμνοντος καίεσθαι λέγοντος, εἰ δὲ τῶν τῆς φλογώσεως σημείων μετρίων ὑπαρχόντων, ὁ θώραξ ἐπὶ πλέον διαστέλλοιτο, στενοχωρία τις ἐστὶν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις. ὥς τε ἤτοι τὸ περὶ τὸν λάρυγγα τι πεπονθέναι, ἢ πλήθους ὑγρῶν ὁ πνεύμων, ἢ ὁ θώραξ ἐμπέπλησται, ἢ φῦμά τι φύεται κατ᾽ αὐτούς, ἐξ οὗ γένους ἐστί, καὶ τὸ καλούμενον ἀπόστημα. τὰ μὲν οὖν κατὰ τὸν λάρυγγα, διήλθομεν ὅσα κατὰ συμπάθειάν τε καὶ πρωτοπάθειαν πάσχει. τὰ δὲ κατὰ πνεύμονα καὶ θώρακα, μικρὸν ὕστερον ἀκριβέστερον διορισθήσεται. πρόκειται γὰρ ἐν τῷ παρόντι, τὰ τοῦ νωτιαίου διελθεῖν πάθη, τά τ᾽ ἄλλα, καὶ ὅσα κατὰ τὴν καλουμένην ἀτονίαν πάσχει. γίνεται δὲ ἀτονία, ποτὲ μὲν διὰ τὸν ἐγκέφαλον, ὡς ἂν παρ᾽ ἐκείνου τὰς δυνάμεις ἀμφοτέρας ἔχοντος αὐτοῦ, τήν τε αἰσθητικὴν καὶ τὴν κινητικήν. ἐνίοτε δὲ καὶ κατ᾽ αὐτὸν μόνον τὸν νωτιαῖον πρωτοπαθοῦντα διά τινα δυσκρασίαν οἰκείαν, ἤτοι καθ᾽ ὅλον αὐτόν, ἢ κατὰ διαφέροντα μόρια γεγονυῖαν. ἧς οὐδ᾽ εἰς ἔννοιαν οἱ πολλοὶ τῶν ἰατρῶν ἀφικνοῦνται, καί τοι θεώμενοι πολλάκις ἐν νόσοις ἐκλύτους τινὰς αὐτῶν οὕτως ὄντας, ὡς μόγις κινεῖν τοὺς τῆς χειρὸς δακτύλους. ὅμως δ᾽ ἀναπνέοντας ἅπασιν τοῖς τοῦ θώρακος μέρεσιν. μὴ δ᾽ οὖν μὴ δὲ διακαοῦς θερμασίας ἀναγκαζούσης αὐτοὺς ἐπὶ μεγάλην ἀναπνοὴν ἀφικνεῖσθαι. συμβαίνει δὲ αὐτοῖς τοῦτο διὰ τοιαύτην αἰτίαν. τὴν ἀβίαστον ἐκπνοήν, αἱ φρένες ἐργάζονται μόναι, κατ᾽ ἐκείνους τοὺς καιρούς, ἐν οἷς ἡσυχάζει τὸ ζῷον ἐρρωμέναι. ὁπότ᾽ ἂν δ᾽ ἀρρωστῶσιν αὗται μόναι μὲν, πληροῦν τὴν χρείαν τῆς ἀναπνοῆς οὐ δύνανται. βοηθοῦσιν δ᾽ οἱ μεσοπλεύριοι μύες, αὐταῖς τηνικαῦτα, κἄπειτ᾽ ἂν ἔτι πλείονος εἰσπνοῆς δέηται τὸ ζῷον, οὕτως ἤδη καὶ οἱ ὑψηλοὶ πάντων, ὧν οἱ μέγιστοι, τὰς ὠμοπλάτας ἑαυτοῖς συγκινοῦσιν ἐναργῶς. ὅτ᾽ ἂν οὖν ἴδῃς ἄνθρωπον ἅπασιν τοῖς τοῦ θώρακος μέρεσιν ἐνεργοῦντα, μὴ μέν τοι πυκνὸν εἰσπνέοντα, προσεπισκέψαι τηνικαῦτα τήν τε πηλικότητα τῆς διαστολῆς τοῦ θώρακος καὶ τὰ τῆς ῥινὸς πτερύγια. ταῦτά τε γάρ, αὐτὸν εὑρήσεις προστέλλοντα, καὶ μικρὰν τὴν διαστολὴν τοῦ θώρακος ἐργαζόμενον, οὐχ ὥσπερ οἱ διὰ πλῆθος θερμασίας ἐν πυρετοῖς καυσώδεσιν ἐρρωμένοι τὴν δύναμιν. ἐπὶ πλεῖστον γὰρ αὐτοὶ τὸν θώρακα διαστέλλουσιν ὅλον. ἀλλ᾽ οὐδ᾽ ὅσοι διὰ στενοχωρίαν τινὰ τῶν ἀναπνευστικῶν ὀργάνων, ὡς ἐν κυνάγχαις τε καὶ ταῖς ἐκ πολλοῦ καὶ ἀθρόου κατάρρου δυσπνοίαις. ἢ καὶ δι᾽ ἀμφότερα, καθάπερ ἐν περιπνευμονίαις, οὗτοι γάρ εἰσιν οἱ μέγιστόν τε καὶ πυκνότατον ἀναπνέοντες. ὥσπερ δὲ δι᾽ ἀρρωστίαν δυνάμεως, ἅπαντα τὰ μέρη τοῦ θώρακος ἀναγκάζονται διαστέλλειν, οὕτω καὶ διὰ μερικὴν ἀτονίαν ἑνὸς ἐξ αὐτῶν μέρους. ὁ γοῦν γυμναστὴς Σεκοῦνδος, ὡς ἂν οἷς ἔπασχεν παρακολουθεῖν δυνάμενος, αἰσθάνεσθαι σαφῶς ἔφη, τῆς κατὰ τὰς φρένας ἀτονίας, δι᾽ ἣν ἠναγκάζετο καὶ τοὺς μεσοπλευρίους μῦς ἀεὶ κινεῖν, καί ποτε καὶ τοὺς ὑψηλούς. καὶ ποτὲ καὶ περιβαλὼν ζώνην τοῖς καθ᾽ ὑποχόνδρια χωρίοις, ἠρκεῖτο μόνῃ τῇ διὰ τῶν φρενῶν ἀναπνοῇ, καθ᾽ ὃν ἡσύχαζε δηλονότι χρόνον. εἴτε δὲ αὐτοῦ τοῦ κατὰ τὸ διάφραγμα μυός, εἴτε τῶν ἡκόντων εἰς αὐτὸ νεύρων, εἴτ᾽ ἀμφοτέρων ἦν ἀτονία, δύσκολον ἐφαίνετό μοι διορίσασθαι. τὴν δ᾽ αὐτὴν ἀναπνοὴν ἐθεασάμην τινὰ καὶ ἄλλον ἔχοντα, λακτισθέντα μὲν ὑφ᾽ ἵππου ποτὲ κατὰ τῶν ὑποχονδρίων ἰσχυρῶς ὡς ἀποθανεῖν κινδυνεῦσαι, φλεγμήναντος αὐτῷ τοῦ διαφράγματος. ὡς δ᾽ ἐκ τοῦ κινδύνου τούτου διεσώθη, παραμενούσης ἀεὶ τῆς

ἀτονίας

ἀτονίας αὐτῶν. ἑτέρῳ δὲ ἐκ περιπνευμονίας ἰσχυρᾶς ἀνακομιζομένῳ, δυσαίσθητος ἐκ τῶν ὀπίσω τε καὶ ἔνδον μερῶν ὁ βραχίων ἐγένετο, καὶ τοῦ πήχεως ὁμοίως τὰ πλεῖστα μέχρι δακτύλων ἄκρων. ὀλίγον δέ τι καὶ πρὸς τὴν κίνησιν ἐβλαβήσαν ἔνιοι τούτων, τὰ κατὰ τὸ πρῶτον καὶ δεύτερον μεσοπλεύριον νεῦρα βλαβῆναι συνέβη. φέρεται δ' αὐτῶν τὸ μὲν πρῶτον ἀξιόλογον ὑπάρχον τῷ μεγέθει, διὰ βάθους, ἀναμιγνύμενον δὲ τῷ πρὸ αὐτοῦ, καταχιζόμενον δὲ εἰς μοίρας πολλὰς, ἃς ἐν ταῖς ἀνατομαῖς ἐθεασάμεθα. καί τινας αὐτῶν ἄχρι δακτύλων ἄκρων διὰ ἔνδον χώρας τοῦ πήχεως ἀφικνουμένας. τὸ δὲ δεύτερον νεῦρον λεπτὸν ὂν, οὐδενὶ μιγνύμενον ἑτέρῳ, διὰ τῆς μασχάλης ὑπὸ τῷ δέρματι πρὸς τὸν βραχίονα φέρεται, καταχιζόμενον εἰς τὸ δέρμα τῆς ἔνδον τε καὶ ὀπίσω χώρας αὐτοῦ. ταχέως ὁ ἄνθρωπος οὗτος ἐθεραπεύθη φαρμάκου τεθέντος ἐπὶ τῆς ἐκφύσεως τῶν νεύρων, κατὰ τὸ πρῶτόν τε καὶ δεύτερον μεσοπλεύριον. ὥσπερ ἄλλοι τινὲς, ἅμα ἄμφω τὰ σκέλη κατὰ βραχὺ παραλυόμενοι, διὰ τῶν κατ' ὀσφὺν ἐπιτεθέντων φαρμάκων, ἐκείνῳ τῷ χωρίῳ καθ' ὃ τὰ τῶν σκελῶν ἀποφύεται νεῦρα τοῦ νωτιαίου μυελοῦ, μηδὲν ἡμῶν ἐπιτεθέντων αὐτοῖς τοῖς παραλελυμένοις σκέλεσι φάρμακον. οὐδὲ γὰρ αὐτῶν ἴδιον ἦν τὸ πάθος, ἀλλὰ τοῦ μυελοῦ. ἑτέρῳ δὲ μεγάλης ἐκπυήσεως γενομένης ἔν τε τῷ περὶ τὴν ἑτέραν τῶν πυγῶν χωρίῳ, καὶ τοῖς πρώτοις μέρεσιν τοῦ κατ' αὐτὸν σκέλους, ἐγυμνώθη μὲν ἐν τῇ χειρουργίᾳ τὰ τοῦ σκέλους ἐκείνου νεῦρα. θεραπευθέντος δὲ τοῦ χωρίου, δυσκίνητον ἦν ὅλον τὸ κῶλον, ἐφ' ᾧ στοχασάμενος ἐκ τῆς γενομένης φλεγμονῆς ὑπολελεῖφθαι τι σκιρρῶδες ἔν τινι τῶν νεύρων ὡς πρὸς τοιαύτην διάθεσιν ἁρμοσάμενος, ἐπὶ τοῦ πεπονθότος μόνου χωρίου ἐπιτιθεὶς ἐπιτήδεια φάρμακα, τελέως τὸν ἄνθρωπον ἐξιασάμην. ὥσπερ δὲ ἐπὶ τῶν κατὰ τὸ πρόσωπον εἴρηται μερῶν, οὕτω κἀπὶ τῶν ἄλλων ἁπάντων, ὅτ' ἂν ἀπόλλυται μία τις ἐνέργεια, τὸν ποιητικὸν αὐτῆς μῦν μόνον, ἢ τὸ νεῦρον αὐτοῦ πεπονθέναι νομιστέον. εἰ δὲ πλείους ἐνέργειαι βλαβεῖεν, εἰ μὴ καθ' ἓν χωρίον, ἐγχωρεῖ καὶ τοὺς μῦς αὐτοὺς πάντας ἐκ τινος αἰτίας βεβλάφθαι κοινῆς. ἐνδέχεται δὲ καὶ κοινόν τι τῶν μυῶν ἐκείνων νεῦρον εἶναι τὸ πεπονθός. ἰχθῦς γοῦν τις ἐν ποταμῷ θηρεύων, καὶ καταψυχθεὶς τὰ περὶ τὴν ἕδραν τε καὶ κύστιν, ὡς χωρὶς προαιρέσεως ἐκρεῖν αὐτοῦ, τό τ' ἀπόπατημα καὶ τὸ οὖρον, ἐθεραπεύθη ταχέως ὑπὸ τῶν θερμαινόντων φαρμάκων ἐπιτεθέντων τοῖς πεπονθόσι μυσίν. ἕτερος δὲ ἄνευ φανερᾶς αἰτίας τοῖς αὐτοῖς περιπεσὼν συμπτώμασιν, ἐν πολλῷ χρόνῳ διὰ πολλῶν βοηθημάτων μόγις ὑγιάσθη τῶν καθ' ἱερὸν ὀστοῦν αὐτῷ παθόντων νεύρων. ὅπερ οὖν ἔφην εὐθέως ἐν ἀρχῇ, τοῦτο καὶ νῦν εἰπὼν ἐφ' ἕτερόν τι μεταβήσομαι. γινώσκων τις ἐξ ἀνατομῆς ἕκαστον τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων, εἰς ὅτι παραγίνεται μόριον, ἀκριβῶς διαγνώσεται τοὺς πεπονθότας τόπους. ἔργῳ δ' ὑμεῖς τὴν βάσανον τούτων ἐπὶ τῶν ἔργων τῆς τέχνης εἰλήφατε, πολλάκις ἑωρακότες ὠφέλειαν ἐναργῆ γιγνομένην τοῖς κάμνουσιν, ἐκ τῆς τοιαύτης διαγνώσεως. οὐ μόνον γὰρ σκέλη καὶ χεῖρας εἰκῇ καὶ μάτην οἱ πολλοὶ τῶν ἰατρῶν ἀνατρίβουσι φαρμάκοις θερμαίνουσι δι' ὅλης ἡμέρας τε καὶ νυκτὸς, ἀμελήσαντες τοῦ τόπου καθ' ὃν ὁ νωτιαῖος ἤ τι τῶν ἀπ' αὐτοῦ βλάπτεται νεύρων. ἀλλὰ καὶ τὴν κεφαλὴν οὐ πρὸ πολλοῦ τινος ἥλκωσαν, ἐπιτιθέντες φάρμακα τῶν πάνυ θερμαινόντων, ἡγούμενοι διὰ τῶν ἀνακαλέσασθαι τὴν αἴσθησιν αὐτῆς ἰσχυρῶς βεβλαμμένην. ὅν τινα καὶ αὐτὸν ἡμεῖς ἰασάμεθα, τὸν πεπονθότα τόπον εὑρόντες ἔκ τε τῶν ἄλλων συμπτωμάτων καὶ τῶν προκαταρκτικῶν αἰτίων, ἕκαστον ἀνερωτήσαντες, ὧν ἓν ἦν καὶ τόδε πάμπολυν ὑετὸν ἔφη σὺν ἀνέμῳ σφοδροτάτῳ γενόμενον ὁδοιποροῦντός ποτ' αὐτοῦ, διαβρέξαι τὴν ἐφεστρίδα κατὰ τὸν τράχηλον, ὡς αἰσθέσθαι σαφῶς ψύξεως ἐν αὐτῷ γενομένης ἰσχυρᾶς. ἐπιστάμενος οὖν τις ἐκ τῶν πρώτων τοῦ νωτιαίου σπονδύλων ἐπὶ τὴν κεφαλὴν ἀναφερόμενα νεῦρα τέτταρα, δι' ὧν τὴν αἴσθησιν ἔχει τὸ περὶ αὐτὴν δέρμα ῥᾳδίως ἀνέγνω τὸν πεπονθότα τόπον, οὗ θεραπευθέντος, τὸ τῆς κεφαλῆς συνεθεραπεύθη δέρμα. μηδὲν αὐτὸ κατὰ πρωτοπάθειαν πεπονθός. ἀλλ' οὔτε ταῦτα τὰ νεῦρα γιγνώσκοντες, οὔτε τὰ καθ' ἕκαστον μέρος ὅλου τοῦ δέρματος, οἱ ἰατροὶ, παρὸν αὐτοῖς ἐλαχίστῳ μορίῳ, τῷ κατὰ τὴν ἀρχὴν τοῦ νεύρου προσφέρειν τὰ βοηθήματα, τοῖς οὐδὲν πεπονθόσιν ἐνοχλοῦσιν. ἐγὼ δὲ ὑμῖν ἔδειξα πολλάκις ἔνια μὲν, ἐν αὐτῷ τῷ νωτιαίῳ τὰς οἷον ῥίζας ἔχοντα. ἔνια δ' οἷον ἐκ κλάδων μεγάλων ἀποσχιζόμενα πεφυκότων ἐκ τοῦ νωτιαίου. καὶ πάλιν αὐτὰ ταῦτα σχιζόμενά τε καὶ διανεμόμενα. τὰ μὲν εἰς πολὺ πάνυ μέρος τοῦ δέρματος. ἔνια δὲ εἰς ἔλαττον. ὥστε με θαυμάσαι τῶν ἀνατομικῶν ἀνδρῶν ἀγνοησάντων αὐτὰ, καὶ ζητούντων ἐν ταῖς παραλύσεσιν τὴν αἰτίαν, δι' ἣν οὐκ ἀεὶ κίνησίς τε καὶ αἴσθησις ἀπόλλυται τῶν παραλελυμένων μορίων. ἀλλ' ἐνίοτε μὲν ἡ κίνησις. ἐνίοτε δὲ ἡ αἴσθησις. ἐνίοτε δὲ ἥ τε κίνησις καὶ ἡ αἴσθησις. οἷον δὲ γὰρ τῶν εἰς τοὺς μῦς διανεμομένων νεύρων τὰ λείψανα, διεκπίπτει ἐπὶ τὸ δέρμα. καὶ διὰ τοῦτο ἐπειδὰν πάθῃ τὸ καταχιζόμενον εἰς τὸν μῦν νεῦρον, ἐπὶ μὲν ταῖς μεγάλαις αὐτοῦ διαθέσεσιν, ἀμφότερα δὲ βλάπτεσθαι τήν τε αἴσθησιν ἅμα καὶ τὴν κίνησιν. ἐπὶ δὲ ταῖς ἐλάττοσιν διασώζεσθαι μὲν ἔτι τὴν αἴσθησιν, ὡς ἂν οὐκ ἰσχυρᾶς δεομένην δυνάμεως. ἀπόλλυσθαι δὲ τὴν κίνησιν οὐ δυναμένην γίνεσθαι χωρὶς ῥώμης δυνάμεως. οἷς γάρ τις μῦς ἐνίοτε κινῶν ὅλον τὸ σκέλος, ἢ καὶ τὴν χεῖρα καὶ διὰ τοῦτο ῥώμης δεόμενος, ἐπειδὰν πάθῃ μηκέτ' ἐνεργεῖν δυνάμενος, ἀκίνητον μὲν ἐργάζεται τὸ κῶλον, ἡ δὲ αἰσθητικὴ δύναμις, διαγνωστικὴ τῶν κατὰ τὸ μόριον οὖσα παθῶν, ἀβλαβὴς αὐτῷ διαμένει, μὴ δεομένη μεγάλης ἰσχύος. τό τε γὰρ πάσχειν οὐδὲν ἧττον ἀλλὰ καὶ μᾶλλον ὑπάρχει τοῖς ἀσθενέσιν. ἥ τε διάγνωσις τοῦ πάθους αὐτάρκως γίνεται, καὶ διαρρώστου δυνάμεως. ἐπὶ μὲν οὖν τῆς τοιαύτης παραλύσεως, ὁ λόγος αὐτῶν πιθανός ἐστιν. ἐφ' ἧς δ' ἡ μὲν αἴσθησις ἀπόλωλεν, ἡ δὲ κίνησις σώζεται, τινὲς μὲν οὕτω ματαίους εἰρήκασι λόγους, ὡς ἄμεινον ἦν σιωπᾶν αὐτούς. ἔνιοι δ' αἰσθανόμενοι τῆς τοῦ ζητήματος ἀπορίας, οὐκ ὤκνησαν εἰπεῖν οὐδέ ποτε ὦφθαι τοιοῦτο παραλύσεως εἶδος, ἐν ᾧ τῆς αἰσθήσεως ἀπολωλυίας, ἡ κίνησις σώζεται. τοῖς γὰρ ἀήθεσι μὲν τῶν ἔργων τῆς τέχνης ἀναγορεύσασι δὲ ἑαυτοὺς προστάτας αἱρέσεως, οὐδὲν ἀτόλμητόν ἐστιν, ἀλλ' ἅπαν ἑτοίμως ψεύδονται, καὶ γράφουσιν ἔνια μὲν ὡς πολλάκις ἑωρακότες. ὧν οὐδ' ὄναρ, οὐδὲν εἶδον ποτέ. πολλὰ δ' οὐδέποτ' ὦφθαι φασίν, τῶν συνεχῶς αὐτοῖς ὁρωμένων. ἤδη μὲν πῶς ὡμολόγηται τοῖς ἰατροῖς, ἐκ μὲν τοῦ στομάχου καὶ τῆς γαστρὸς, ἐμεῖσθαι τὸ αἷμα. μετὰ δὲ βηχὸς, ἐκ τῶν ἀναπνευστικῶν ἀνάγεσθαι μορίων. ἐκ δὲ τῶν κατὰ φάρυγγα

καὶ γαργαρεῶνα χρεμπτομένοις, ὥσπερ ἐκ τοῦ στόματος ἁπλῶς ἀποπτύεσθαι. τεθεάμεθα δὲ πολλάκις ὅτ' ἂν ἀθροώτερον ἐκ τῆς κεφαλῆς καταφέρηται καὶ μάλιστα τοῦ γαργαρεῶνος ἔνδον, ὡς πρὸς τὴν φάρυγγα μετὰ βηχὸς αὐτὸ ἀναπτυόμενον, ἐμπίπτον γὰρ αὐτίκα τῷ λάρυγγι βῆχα κινεῖ, προσέχειν οὖν δεῖ τότε μάλιστα μή ποτε δόξωμεν ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων ἀναφέρεσθαι τὸ αἷμα. καθάπερ ἤδη τινὰς ἔγνων ἰατροὺς ὑπολαβόντας ψευδῶς, ἐξ ὧν ἐσφάλησαν αὐτοί. νομίσαντες οὐκ ὀρθῶς ἀπαλλάσσεσθαι πολλοὺς τῶν ἀρίστων ἰατρῶν, χαλεπωτάτην εἶναι τὴν τοιαύτην αἱμοῤῥαγίαν, ὡς ἂν τοῦ πνεύμονος ἰσχυρῶς πεπονθότος. οὐδὲ γὰρ μικροῦ τινὸς ἀγγείου ῥῆξιν, εἰκὸς γενέσθαι κατ' αὐτόν. ἐγχωρεῖ δὲ καὶ κατὰ διάβρωσιν, ἢ ἀνάβρωσιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, γίνεσθαι πολλάκις αἵματος ἀναφορὰς ἀθρόας μετὰ βηχός. ὅτ' ἂν γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις, ἐκ διαλειμμάτων ὀλίγον ἑκάστοτε μετὰ βηχὸς ἀναπτυόμενόν τις αἷμα φαίνηται. μετὰ ταῦτα δὲ ὕστερον αὐτῷ μήτε καταπτώσεως ἐξ ὑψηλοῦ συμπεσούσης, μήτ' ἐν ῥιγώσεσιν, ἢ παλαίστραις σφοδρᾶς πτώσεως, ἀλλὰ μηδ' ἐπιπεσόντος τινὸς τῷ θώρακι βάρους, ἅμα βηχὶ πολλὴν αἱμοῤῥαγίαν γενέσθαι συμβῇ, κατάλοιπον ἂν εἴη διὰ τὴν ἀνάβρωσιν ἀξιόλογον γενομένην, ἀναβηχθῆναι πλεῖον αἷμα. πολλοὶ δὲ τῶν οὕτως παθόντων μόρια ἄττα τοῦ πνεύμονος ἅμα τῷ αἵματι συνανήνεγκαν καὶ διὰ τοῦτο προσήκει παρακολουθεῖν ἐπιμελῶς εἰ ἀφρῶδές τι συναναπτύεται. καὶ γὰρ καὶ τοῦτο βεβαιότατόν ἐστι γνώρισμα τῆς ἐκ τοῦ πνεύμονος ἀναγωγῆς, ὥσπερ ὅταν ἤτοι βρογχίου τι μόριον, ἢ ἀρτηρίας χιτῶνος, ἢ φλεβὸς, ἢ καὶ τῆς σαρκὸς αὐτῆς τοῦ πνεύμονος ἀναφέρηται. τούτων δ' οὐδὲν, ἐπιφαίνεται τοῖς ἐκ τοῦ θώρακος ἀναβήττουσιν αἷμα. καθάπερ οὐδὲ ὀδύνη τις τοῖς ἐκ τοῦ πνεύμονος. ὡς ἂν ἐλάχιστα δύο νεῦρα παρὰ τῆς ἕκτης συζυγίας τῶν ἀπ' ἐγκεφάλου λαμβάνοντος. τῷ μὲν ἔξωθεν αὐτὸν ὑμένι περιέχοντι, διανεμόμενα. τῷ βάθει δὲ, οὐκ ἐπεκτεινόμενα τοῦ σπλάγχνου. τῷ θώρακι δ' ὡς ἴστε πολλὰ μὲν ἐκ τῶν ἔνδον μερῶν ἐστι νεῦρα. πολλὰ δὲ ἔξωθεν, ἐξ ὧν αἰσθάνεται τάχιστα τῶν ὀδυνηρῶν διαθέσεων. ἀλλὰ καὶ διότι μυώδης μὲν ὁ θώραξ ἐστὶ, καὶ ὀστώδης. ὁ πνεύμων δ' ἄθλιπτός τε καὶ χαῦνος. ἐπιτείνεται μὲν ἡ τοῦ θώρακος. ἀνίεται δ' ἡ τοῦ πνεύμονος ὀδύνη. ὅτ' ἂν οὖν ἀλγήσειέ τις ἐν ὁτῳοῦν μορίῳ, ἐκ τοῦ θώρακος ἀναβήττῃ τε μὴ πολὺ μηδ' ἐρυθρὸν, ἀλλ' ἤδη μελαινόμενόν τε καὶ θρομβούμενον αἷμα, τούτῳ πρωτοπαθεῖ μὲν ὁ θώραξ, ἀνάγεται δὲ διὰ τοῦ πνεύμονος οὕτως τὸ αἷμα, καθάπερ καὶ τὸ πύον ἐν τοῖς ἐμπυητικοῖς πάθεσιν, ἐφ' ὧν μεταξὺ θώρακός τε καὶ πνεύμονος αἰσθητῶς περιέχεται. ὅτι δὲ καὶ τῷ κεχρωσμένον ὁπωσοῦν πτύελον ἐν πλευρίτισιν ἐπιφαίνεται, καὶ περὶ τὸ μετὰ τοῦτο ὑπόμνημα τὸ πέμπτον εἰρήσεται. νυνὶ δὲ περὶ τῶν ἐπιγιγνομένων ἑλκώσεων, ταῖς τοῦ αἵματος ἀναφοραῖς ἀκόλουθον εἰπεῖν. ἐν μὲν γὰρ τῷ πνεύμονι καὶ μᾶλλον γίγνεται, καί τισι μὲν ἀθεράπευτα παντάπασιν ἔδοξεν. ἐνίοις δὲ δυσθεράπευτα. περὶ δὲ τὸν θώρακα καὶ κολλᾶται τὰ πλεῖστα τῶν ῥαγέντων ἀγγείων, ἐφ' οἷς ἔπτυσεν αἷμα. καὶ εἰ παραμείνειεν μέχρι πλείονος ἡ ἕλκωσις, ἀλλ' οὔτι γε τελέως ἀνίατος γίνεται. τὰ δὲ ἐν τῷ πνεύμονι χρονίσαντα, κἂν θεραπευθῇ ποτὲ, καταλείπει τι λείψανον ἐν αὐτῷ τυλῶδές τε καὶ συριγγῶδες, ὃ τοῦ χρόνου προϊόντος ἀναδέρεται ῥᾳδίως ὑπὸ βραχείαις προφάσεσιν. συναναφέρεται δὲ τοῖς πτυομένοις ἐντεῦθεν ἐνίοτε καὶ ἡ καλουμένη πρὸς τῶν ἰατρῶν ἐφελκὶς, καί τις αἵματος βραχὺς σταλαγμός. ἔστι δὲ ταῦτα κοινὰ καὶ τῶν ἐν ἑτέρῳ τόπῳ γινομένων ἑλκῶν. ἀλλὰ τὰ μὲν ἐκ στομάχου καὶ γαστρὸς ἐμεῖται. τὰ δ' ἐκ νεφρῶν καὶ κύστεως οὐρεῖται. τὰ δ' ἐκ τῶν ἐντέρων, διαχωρεῖται. τοῖς δ' ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων, ἀδύνατόν ἐστι χωρὶς βηχὸς ἀναπτυσθῆναι. ἐὰν δέ τις ἀναχρεμπτηταί τε καὶ ἀποπτύηται ποτ' αἷμα πλείοσιν ἐφεξῆς ἡμέραις. μήτε κεφαλῆς, ὀδύνης ἢ βάρους ἤδη συμπροὔντος ἢ προηγησαμένου. μήτε πληγῆς αὐτόθι γεγενημένης, ἐπισκέψασθαι χρὴ τοῦτο τόν τε τῆς ῥινὸς πόρον ἀκριβῶς ὅλον, ἐκεῖνόν τε τοῦ στόματος τὸν τόπον, ἔνθα συντέτρηται πρὸς τὴν ῥῖνα. γίνεται γάρ ποτε τοιοῦτο σύμπτωμα, βδέλλης ἐν τῷ χωρίῳ τούτῳ προσπεφυκυίας, ἣ τις αὐξάνεται καθ' ἑκάστην ἡμέραν, ὥστ' εἰ καὶ ταῖς πρώταις ἡμέραις ἐλάνθανεν διὰ σμικρότητα, μετὰ τρεῖς γε ἢ τέτταρας ἑτοίμως ὁρᾶσθαι. περὶ δὲ τὸν αὐτὸν λόγον ἐκ τῆς γαστρὸς ἐμεῖται ποτ' αἷμα βδέλλης καταποθείσης. ἔστι γε μὴν τὸ τοιοῦτον αἷμα λεπτὸν καὶ ἰχωρῶδες ἐάν τ' ἐκ γαστρὸς, ἐάν τ' ἐκ ῥινὸς, ἐάν τ' ἐκ τοῦ στόματος φαίνηται φερόμενον. ὥστε τινὰ θεασάμενον αὐτὸ, καὶ προσέτι τὴν ἕξιν τοῦ ἀνθρώπου κατασκεψάμενον. ἐρωτήσαντά τε περὶ τῶν προηγησαμένων, ἐξ ἁπάντων αὐτῶν στοχάζεσθαι τῆς τοῦ πράγματος ἀληθείας. ὑγιαίνοντος γοῦν ποτε ἀμέμπτως ἀνθρώπου τοιοῦτον αἷμα θεασάμενος ἐμούμενον, ἠξίωσα διηγήσασθαί μοι τὴν δίαιταν ἣν διῃτήθη ταῖς ἔμπροσθεν ἡμέραις. σὺν τοῖς ἄλλοις οὖν οἷς διηγεῖτο, καὶ τοῦτο κατέλεξεν, ὡς ἐκ τινος κρήνης οὐ πάνυ τι καθαρὸν ὕδωρ ἐχούσης, ἔπιεν ὕδωρ διψήσας νύκτωρ, οἰκέτου τινὸς αὐτῷ κομίσαντος. ὡς δ' ἤκουσα τοῦτο, προσανηρώτησα αὐτὸν εἰ καὶ βδέλλαι ποτ' ὤφθησαν ἐν τῷ κατὰ τὴν κρήνην ἐκείνην ὕδατι. καὶ φάντος ἑωρακέναι, δοὺς ἐπιτήδειον φάρμακον, ἐμεθῆναι τὴν βδέλλαν ἐποίησα. ἑτέρου δ' ἀποχρεμπτομένου καὶ πτύοντος αἷμα τοιοῦτο, πυθόμενος ἐν τῇ διηγήσει διατρῖψαι τὸν ἄνθρωπον ἐν λίμνῃ τινὶ κατ' ἀγρὸν ὥρᾳ θέρους μετά τινων ἑτέρων παίζοντα γυμναστικὰς παιδιὰς ὁποίας εἰώθασιν οἱ νέοι παίζειν ἐν ὕδατι, καὶ γινώσκων ἐν ἐκείνῳ τῷ ὕδατι βδέλλας γενομένας, ἐξαγαγὼν εἰς αὐγὴν τὸν πάσχοντα, καὶ στρέψας τὸν πόρον τῆς ῥινὸς εὐθὺ τῶν ἡλιακῶν ἀκτίνων, ἐθεασάμην κατ' ἐκεῖνον τὸν τόπον ἐν ᾧ συντέτρηται πρὸς τὴν ἐν τῷ στόματι χώραν ἡ ῥὶς, οὐρὰν βδέλλης ἐγκατακεκρυμμένην τῷ πόρῳ. βέλτιον οὖν, ἔδοξέ μοι, καὶ ταῦθ' ὑμῖν ἱστορῆσαι. ὅτι μὲν γὰρ ἐν τοῖς τοιούτοις λόγοις ἀκουστέον ἐστὶ τὴν βλάβην, εἰ καὶ μὴ παντελῶς ἀπολωλὸς εἴη τὸ κατὰ φύσιν ἔργον ἅπαν τοῦ μορίου, πολλάκις εἴρηταί μοι, χεῖρον δ' οὐδὲν, ἀναμνησθῆναι καὶ νῦν. ὅτι δ' οὐ ταυτόν ἐστι φωνὴ καὶ διάλεκτος, ἀλλ' ἡ μὲν φωνὴ, τῶν φωνητικῶν ὀργάνων ἔργον, ἡ διάλεκτος δὲ, τῶν διαλεκτικῶν, ὧν τὸ μὲν κυριώτατόν ἐστιν ἡ γλῶττα, συντελεῖ δ' οὐ σμικρὸν, ἥ τε ῥὶς καὶ τὰ χείλη καὶ οἱ ὀδόντες, ἐπισταμένους ὑμᾶς, ἀναμιμνήσκω. καθάπερ τε καὶ περὶ τῶν φωνητικῶν ὀργάνων, ὅτι λάρυγξ ἐστὶ, καὶ οἱ κινοῦντες αὐτὸν μύες, ὅσα τε τούτοις νεῦρα τὴν ἐξ ἐγκεφάλου παρακομίζει δύναμιν. ἐὰν μὲν οὖν οἱ κλείοντες ἢ οἱ ἀνοιγοντες τὸν λάρυγγα μύες, ἀκίνητοι γενηθῶσιν, ἀφωνία παντελὴς καταλήψεται, τὸν οὕτω παθόντα. καθάπερ γε καὶ δυσκίνητοί πως ἢ τινα παλμώδη κίνησιν ἢ τρομώδη, λάβωσιν ὑπὸ τοῦ πάθους εἴδους, ἡ φωνὴ βλάβεται. παραπλησίως δὲ καὶ σπασμωδῶς ἢ κλονωδῶς κινοῦνται. καὶ μήν τοι κἂν

ἄῤῥωστον

ἀῤῥωστήσῃ ποθ' ἡ δύναμις αὐτῶν, ἤτοι δι' οἰκεῖόν τι πάθος, ἢ διά τι τῶν κινούντων αὐτοὺς νεύρων, ἀμυδρὰν καὶ μικρὰν ἐργάσεται τὴν φωνήν. ἐὰν δ' ἄλλος τις τῶν κινούντων τὸν λάρυγγα μυῶν, ὁτιοῦν πάθῃ, βλαβήσεται μὲν πᾶσα ἡ φωνὴ βλάβην μικράν, οὔτε δὲ ἄφωνος ὁ οὕτως παθὼν ἔσται παντάπασιν, οὔτε σμικρόφωνος ἱκανῶς. ὥσπερ δ' οἱ κυριώτατοι μύες τῶν τὸν λάρυγγα κινούντων εἰσίν, οἱ τ' ἀνοιγνύντες αὐτὸν καὶ οἱ κλείοντες· οὕτω καὶ τῶν φωνητικῶν νεύρων τὰ παλινδρομοῦντα, μόρια μὲν ὄντα καὶ αὐτὰ τῆς ἕκτης συζυγίας τῶν ἐξ ἐγκεφάλου πεφυκότων νεύρων, ὥσπερ καὶ τἄλλα τὰ εἰς αὐτὸν ἐμφυόμενα, διαφέροντα δ' αὐτῶν τοσοῦτον, ὡς μὴ κατὰ τὸν τράχηλον, ἀποσχίζεσθαι τῶν ἐκ τῆς ἕκτης συζυγίας, ἀλλ' ὅταν εἰς τὴν τοῦ θώρακος ἀφικνῆται χώραν. αὐτὴν μὲν οὖν τὴν ἕκτην συζυγίαν ὅλην, οὐδεὶς οὕτως ἀφυής ἐστι χειρουργός, ὡς ἄκων τέμνειν. τὰ παλινδρομοῦντα δ' ἔνιοί τε διασπῶσιν ὑπ' ἀγνοίας. ἔστι δ' ὅτε καὶ τέμνεται μετὰ τῆς τραχείας ἀρτηρίας, ἢ τὸ ἕτερον αὐτῶν, ἢ ἀμφότερον, κατὰ τὰς μεγάλας τρώσεις αὐτῆς. καὶ ψυχθέντα δ' ἐν χειρουργίαις ἐμποδίζει τῷ φωνήματι, μέχρις ἂν ἐκθερμανθέντα τὴν φυσικὴν εὐκρασίαν ἀνακτήσηται. βλάπτεσθαι δ' ἔτι συμβαίνει τὴν φωνήν, εἰς ὀξύτητά τε καὶ μέγεθος, οὐκ ἀφανῶς, ἐπειδὰν οἱ τῆς φάρυγγος μύες ἀδυνατῶσι συντείνειν αὐτήν. καὶ μὲν δὴ καὶ διάβροχος ὑγρότητι πολλῇ γινόμενος ὁ κοινὸς χιτὼν τῆς φάρυγγος καὶ τοῦ λάρυγγος ἰσχυρῶς βλάπτει τὴν φωνήν. ὅτι δὲ καὶ οἱ κατάῤῥοι κατὰ τὸν αὐτὸν λόγον βραγχώδη τὴν φωνὴν ἐργάζονται τῶν πᾶσι γινωσκομένων ἐστί. καθάπερ γε καὶ τῷ πολλὰ βοῆσαι, καὶ γὰρ καὶ τοῦτο φλεγμονῇ τι παραπλήσιον ἐργάζεται πάθημα. κατά τε τὸν εἰρημένον χιτῶνα, καὶ τοὺς μῦς τοῦ λάρυγγος. εὔδηλον δ' ὅτι καὶ τῶν ἔνδον τοῦ λάρυγγος μυῶν φλεγμαινόντων, ἡ κυνάγχη τὸ πάθημα γίνεται, τήν τε φωνὴν ἅμα καὶ τὴν ἀναπνοὴν βλάπτουσα. καὶ ὅλως ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι κατά τε τὰς ὁδοὺς τοῦ πνεύματος γινόμενοι καὶ θλίβοντες, ἔξωθεν αὐτάς. οὕτω γοῦν καὶ ὁ στόμαχος φλεγμήνας, εἶτα θλίβων τὸν χιτῶνα τῆς τραχείας ἀρτηρίας, ᾧ συνάπτεται τὰ σιγμοειδῆ πέρατα τῶν κατ' αὐτὴν χόνδρων, εἰς ἀναπνοήν τε καὶ φωνὴν βλάπτει. καὶ ἐκ τῆς κατ' αὐχένα σπονδύλων εἰς τὸ πρόσω μετακίνησις, ὑπὲρ ὧν ἔμπροσθεν εἴρηται. ταῦτα μὲν ἅπαντα τὰ πάθη γίνεται τῇ φωνῇ τῶν ἰδίων αὐτῆς ὀργάνων, οἰκείαν τινὰ βλάβην ἐχόντων, εἴτε κατὰ πρωτοπάθειαν, εἴτε κατὰ συμπάθειαν. οὐδὲν γὰρ διαφέρει πρὸς τὸν ἐνεστῶτα λόγον. ἕτερα δὲ πάσχει διὰ τῆς οἰκείας ὕλης στερίσκεσθαι. δέδεικται δ' ἐν τοῖς περὶ φωνῆς οἰκεία τῆς ἐνεργείας ταύτης ὕλη, γενικῶς μὲν εἰπεῖν, ἡ ἐκπνοή. κατ' εἶδος δὲ καὶ τὴν οἰκείαν διαφορὰν ἡ ἐκφύσησις. ἥτις ἐστὶν ἀθρόα τοῦ πνεύματος ἔξω φορά. κατὰ τὴν τῶν μεσοπλευρίων μυῶν ἐνέργειαν γιγνομένη. οὕτω δὲ καὶ αἱ μεγάλαι τοῦ θώρακος τρώσεις ἢ ὅλως αἱ παραλύσεις θατέρου μέρους αὐτοῦ, πρώτως μὲν ἡμίπνουν. κατὰ συμβεβηκὸς δὲ καὶ ἡμίφωνον ἐργάζεται τὸ ζῶον. ὅσα δ' ἐν ἀποπληξίαις καὶ κάροις ἐπιληψίαις τε καὶ κατοχαῖς ἡ φωνὴ βλάπτεται, ταῦτα διὰ κοινῷ λόγῳ γίνεται τῶν καθ' ὁρμὴν ἐνεργειῶν, ἤτοι τῶν πρώτων μερῶν τοῦ νωτιαίου παθόντων, ἢ καὶ σὺν αὐτοῖς τοῦ ἐγκεφάλου. συνημμένων δ' ἀλλήλαις τῶν πέντε τούτων ἐνεργειῶν. ἐκπνοῆς. ἐκφυσήσεως ἀψόφου. ψοφώδους ἐκφυσήσεως. φωνῆς. διαλέκτου. τῇ πρώτῃ μὲν εἰρημένῃ συμβλάπτονται πᾶσαι. τῇ δ' ὑστάτῃ, τῶν ἄλλων οὐδεμία. τῇ δευτέρᾳ δὲ, αἱ μετ' αὐτὴν τρεῖς. τῇ τρίτῃ, δ' ἔσχατα δύο. τῇ τετάρτῃ δὲ, ἡ τελευταία μία μόνη. εἰ μὲν γὰρ οὐδ' ὅλως ἐκπνεῖ τὸ ζῶον, ἢ δὴ κατ' ἄμφω τὰ μέρη τοῦ θώρακος. ἢ κατὰ θάτερον μόνον. εἰ μὲν κατ' ἄμφω πνιγήσεται διαταχέως. εἰ δὲ κατὰ θάτερον, ἡμίπνουν καὶ ἡμίφωνον ἔσται. μετὰ τοῦ καὶ τῶν ἐφεξῆς ἐνεργειῶν αὐτῆς δυοῖν ἀπολωλέναι τὸ ἥμισυ μέρος. ὧν τὴν μὲν ἑτέραν, ἄψοφον ἐκφύσησιν ὀνομάζειν εἴωθα. τὴν δ' ἑτέραν ψοφώδη. εἰ δ' ἡ μὲν ἐκπνοὴ σώζοιτο, διαφθαρείη δὲ ἡ ἐκφύσησις, αἱ λοιπαὶ τρεῖς ἐνέργειαι διαφθείρονται. ψοφώδης ἐκφύσησις. καὶ φωνή. καὶ διάλεκτος. ἀπολωλυίας δὲ τῆς ψοφώδους ἐκφυσήσεως. καὶ φωνὴ καὶ διάλεκτος συναπόλλυται. καθάπερ γε καὶ φωνῆς ἀπολωλυίας ἡ διάλεκτος. ἐπισταμένοις οὖν ὑμῖν τοὺς τῶν εἰρημένων ἐνεργειῶν δημιουργοὺς μῦς ὑπάρξει συλλογίζεσθαι τίνες μὲν ἔπαθον ἐξ αὐτῶν ἴδιόν τι πάθημα, τίνων δὲ τοὔργον ἐβλάβη κατὰ συμβεβηκός. εἰ δέ τι τῶν ἐν ταῖς ἀνατομαῖς ὀφθέντων ἐπελάθεσθε, τά τε περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων ὑπομνήματα καὶ τὰ περὶ φωνῆς ὑμᾶς ἀναμνήσει. λέλεκται δὲ περὶ αὐτῶν, κἂν τῷ δευτέρῳ περὶ τῆς ἐπὶ τῶν ζώντων ἀνατομῆς. ἐκπνοὴν μὲν γὰρ ἅπαντες οἱ συστέλλοντες τὸν θώρακα μύες. ἐκφύσησιν δ' οὖσαν ἐκπνοὴν σφοδράν, οἱ μεσοπλεύριοι μάλιστα. τὴν ψοφώδη δὲ, οἱ τῆς φάρυγγος. αὐτὴν δὲ τὴν φωνήν, οἱ τοῦ λάρυγγος ἐργάζονται μύες. ἡ δὲ γλῶττα διαρθροῦσα τὴν φωνήν, εἰς τὸ διαλέγεσθαι χρήσιμος ὑπάρχει, συντελούντων δ' εἰς τοῦτο καὶ τῶν ὀδόντων καὶ τῶν χειλῶν, ἔτι τε, τῶν κατὰ τὴν ῥῖνα συντρήσεων οὐρανίσκου τε καὶ γαργαρεῶνος, ἐπὶ τούτοις τε τοῦ συμμέτρου δεσμοῦ τῆς γλώττης αὐτῆς. οἱ μὲν οὖν τραυλοὶ καὶ ψελλοί. καί τι τοιοῦτον κατὰ τὸ διαλέγεσθαι σφαλλόμενοι, τῶν διαλεκτικῶν ὀργάνων ἔχουσί τι βεβλαμμένον. ἢ κατὰ τὴν φυσικὴν διάπλασιν, ἢ μετὰ ταῦθ' ὕστερον. ὥσπερ οἱ τῶν τῆς ῥινὸς πόρων ὑπὸ πολύποδος, ἢ καὶ ἄλλως φραχθέντες. ἢ τινὰ τῶν προσθίων ὀδόντων ἀπολέσαντες. ἢ χεῖλος κολοβωθέντες. οἱ δ' ἰσχνόφωνοι καλούμενοι ὅπως γίνονται. καί τ' ἄλλα ὅσα φωνῆς ἐστιν, εἴδη τε καὶ πάθη, βραγχώδους τε καὶ κλαγγώδους. καὶ λεπτῆς καὶ τραχείας. καὶ μελαίνης, ἐν τοῖς περὶ φωνῆς ὑπομνήμασιν αὐτάρκως εἴρηται. εἴρηται μὲν ἤδη καὶ πρόσθεν ἱκανῶς περὶ δυσπνοίας, ἡνίκα τὰ τοῦ νωτιαίου πάθη διεξῄειν. ἀναμνήσας δὲ καὶ νῦν αὐτῶν, ὅσον ὑπόλοιπον. ἔτι τῆς θεωρίας ταύτης ἐστὶ προσθήσω. καθόλου μὲν οὖν ὑμᾶς ἀξιῶ πάντων ὧν ἐθεάσασθε κατὰ τὰς ἀνατομὰς μυῶν τῶν κινούντων τὸν θώρακα, πρόχειρον ἔχειν τὴν μνήμην ἅμα τοῖς εἰς αὐτοὺς ἀφικνουμένοις νεύροις. εἰσελθόντας δὲ πρὸς τὸν δυσπνοοῦντα, πρῶτον μὲν θεάσασθαι πότερον ἅπαντας κινεῖ τοὺς τοῦ θώρακος μῦς, ἢ τοὺς κατὰ τὰ μεσοπλεύρια μόνους, χωρὶς τῶν ὑψηλῶν, ἢ καὶ τὰς φρένας ἅμα τοῖς μεσοπλευρίοις. ἐὰν γὰρ εἰδῆτε πάντας κινουμένους, ἔν τι τῶν τριῶν ἐννοήσαντες ὧν ὀρθῶς τῆς τοιαύτης κινήσεως αἰτίων, ἐφεξῆς διορίζεσθαι πειρᾶσθε τί ποτ' αὐτῶν ἐστι τὸ νῦν ὑπάρχον αἴτιον. ἐὰν δὲ μὴ πάντας, ἐφ' ἕτερον ἀφικνεῖσθαι διορισμόν. ὑποκείσθω τις ἅπαντας κινῶν τοὺς μῦς, ὡς καὶ τὸ στέρνον ἐξαίρεσθαι σαφῶς, ἅμα ταῖς ὠμοπλάταις. ἐπὶ τούτου, τῶν τριῶν τούτων ἀναγκαῖον ἕν γέ τι πάντως ὑπάρχειν. ἤτοι τὴν δύναμιν ἄῤῥωστον. ἢ στενοχωρίαν τῶν τοῦ πνεύματος

ὀδῶν. ἢ θερμασίαν παμπόλλην ἐν καρδίᾳ καὶ πνεύμονι. δυναμένου δηλονότι καὶ δύο αἰτίας ἐξ αὐτῶν ἅμα
γενέσθαι. καὶ τάχα ποτὲ σπανίως καὶ τὰς τρεῖς. ἀλλὰ τῶν μὲν τριῶν ἅμα γινομένων, ὁ κάμνων αὐτίκα τεθ-
νήξεται. τῶν δὲ δύο δυσκόλως σωθήσεται. μιᾶς δὲ μετὰ τῶν οἰκείων διορισμῶν, εἰς ὄλεθρον ἢ σωτηρίαν τε-
λευτήσει τὸ πάθος. ἡ τοίνυν τῆς δυνάμεως ἀῤῥωστία μόνη γενομένη, διὰ τοῦτ᾽ ἤδη τὰ βίᾳ γὰρ τῶν κινούντων
μυῶν ἄρχεται, καὶ πάντας αὐτοὺς ἐπεγείρει πρὸς τὴν κίνησιν, ὅτι σφοδρῶς κινεῖν ἓν ἐξ αὐτῶν γένος, ἀδυ-
νατεῖ. ὡς εἴγε τὸ διάφραγμα μόνον ἱκανῶς ἐκίνει, καθάπερ ὅτ᾽ εἶχε κατὰ φύσιν· οὐκ ἂν οὔτε τῶν μεσοπλευ-
ρίων οὔτε τῶν ὑψηλῶν ἐδεήθη μυῶν. ἐπεὶ δ᾽ ἄῤῥωστος ἐστίν, ἅπαντάς τε βραχέως κινεῖ, καὶ πυκνὴν οὐκ ἐρ-
γάζεται τὴν ἐνέργειαν αὐτῶν. ὥσπερ οὐδ᾽ ἀραιὰν πάνυ, καὶ τούτοις μάλιστα προσέχετε τὸν νοῦν τοῖς γνωρί-
σμασι. διορίζεται γὰρ ὑπ᾽ αὐτῶν ῥᾳδίως τ᾽ ἄλλα. θερμασίας γοῦν πολλῆς ἠθροισμένης ἐν τοῖς ἀναπνευστικοῖς
ὀργάνοις, ἅπασιν μὲν ἐνεργεῖ τοῖς μυσὶ τοῦ θώρακος τὸ ζῶον. ἀλλὰ καὶ ταχεῖαν αὐτῶν ποιεῖται καὶ πυκνὴν
τὴν ἐνέργειαν καὶ σφοδρὰν, ὅτ᾽ ἂν ἄνευ δυνάμεως ἀῤῥωστίας, συμπέσῃ τὰ τῆς θερμασίας. ἡ δ᾽ ἄῤῥωστος δύ-
ναμις, οὔτε ταχεῖαν οὔτε πάνυ πυκνὴν ἔχει τὴν κίνησιν, ὅτ᾽ ἂν ἄνευ θερμασίας ἢ φλογώδους. ὅθεν οὐδ᾽ ἤδη
πλεῖστον ἅπαντα διαστέλλει τὰ μέρη τοῦ θώρακος. ὥστε κοινὸν ἓν ἔχει μόνον τῇ περὶ φλόγωσιν πολλὴν γινομένῃ
δυσπνοίᾳ τὸ τοὺς μῦς ἅπαντας τοῦ θώρακος ἐνεργεῖν. ἔτι δὲ καὶ τοῦτο πρόσεστι τῇ διὰ θερμασίαν πολλὴν δυ-
σπνοίᾳ περὶ μέγεθος καὶ πυκνότητα καὶ τάχος γινομένῃ, τὸ μετ᾽ ἐκφυσήσεως γίνεσθαι τὴν ἐκπνοὴν θερμοῦ καὶ
ζέοντος πνεύματος. ἤδη δὲ τῇ τῆς δυνάμεως ἀῤῥωστίᾳ, χωρὶς ἐμφυσήσεως ἢ διὰ στόματος, ἢ διὰ ῥινὸς μόνης
ἔξοδος γίνεται τοῦ πνεύματος. ἥ τις ῥίς, καὶ κατὰ τὰς εἰσπνοὰς, ἐναργῶς ἔχει προδιαστελλόμενα τὰ πτερύγια.
σημεῖον καὶ τοῦτο μέγα, δυνάμεως ἀῤῥωστούσης. ἤδη δὲ ταῖς στενοχωρίαις τῶν ἀναπνευστικῶν ὀργάνων, ὅλως μὲν
ὁ θώραξ ἤδη πλεῖστον διαστέλλεται ταχέως καὶ πυκνῶς. τὴν δὲ ἐκπνοὴν, χωρὶς ἐκφυσήσεως οἱ κάμνοντες οὕτως
ἴσχουσιν. ὅταν δ᾽ εἰς ταυτὸν ἀφίκηται θερμασία τε καὶ στενοχωρία τῶν ἀναπνευστικῶν ὀργάνων, ὥσπερ ἐν
περιπνευμονίαις. οὐδ᾽ ἡ μεγίστη καὶ πυκνοτάτη καὶ ταχίστη, τούτοις αὐτάρκης ἀναπνοὴ, καὶ διὰ τοῦτο καὶ ἀνακα-
θίζουσιν, αἰσθανόμενοι τοῦ θώρακος ὅλου διϊσταμένου ῥᾷον οὕτως. κατακειμένων μὲν γὰρ αὐτῶν, εἰς ἑαυτὸν
συμπίπτει, καταφερομένων τῶν κατὰ τὰ στήθη μερῶν ἤδη τὴν ῥάχιν. ἀνασταθείσης δὲ ταύτης ὀρθῆς, συνα-
ναφέρεται καὶ ὁ θώραξ ταύτῃ μηκέτι βαρύνων ἑαυτόν. ὁμοίως τούτοις ἀναπνέουσιν, καὶ οἱ τὰς τραχείας ἀρ-
τηρίας τοῦ πνεύμονος, ὑπὸ πολλοῦ κατάῤῥου πληρωθέντες, ἤ τινος ἐκ τῶν πλησίων χωρίων εἰς αὐτὰς γι-
νομένου ῥεύματος, ἑνὶ μόνῳ διαλλάττοντες, τῷ μήτ᾽ ἐκφυσᾶν μήτ᾽ ἐκπνεῖν θερμόν. ὡσαύτως δὲ καὶ ὅσοις ἐν τῷ
μεταξὺ θώρακός τε καὶ πνεύμονος ἤθροισται πύον δαψιλὲς, οὓς ὀνομάζουσιν ἐμπύους, ὅλον ἐξαίρουσι τὸν θώ-
ρακα, θερμὸν δ᾽ οὐκ ἐκπνέουσιν, οὐδ᾽ ἐκφυσῶσι. πλὴν εἰ μὴ πυρετὸς αὐτοῖς προσέλθῃ διακαής. ἀλλ᾽ οὗτοί γε
τάχιστα πνίγονται, διά τε τὸ πάθος αὐτὸ, καὶ ὅτι προκέκμηκεν ἡ δύναμις, ἐξ ἀνάγκης ἅπασι τοῖς ἐμπύοις.
οὐκ ἐξ ἀνάγκης προκεκμηκυῖα τοῖς εἰς τὸν πνεύμονα ῥεύμασι, ἢ περιπνευμονίαις, ἢ ἄσθμασιν, ἀλλὰ τοὐναντίον
ἰσχυρὰ καὶ ἀκμαία καθεστηκυῖα, κἂν τοῖς ἀσθματικοῖς παθήμασιν, γλίσχρων καὶ παχέων ὑγρῶν ἐμπεπλασ-
μένων τῷ πνεύμονι. κἂν εἰ φῦμα δύσπεπτον ἐν αὐτῷ συστῇ ποτὲ, συμβαίνει μεγίστην μὲν ἴσχειν διαστολὴν τὸν
θώρακα, πολλὴν δ᾽ εἰσπνεῖσθαι τὸν ἀέρα. καὶ διὰ τοῦτο συνεχῶς ἀναπνεῖν ἀναγκάζεσθαι χωρὶς ἐκφυσήσεως,
ἴδιον γὰρ τοῦτο θερμασίας πολλῆς. καθ᾽ ἕτερον δὲ τρόπον εἰς ταυτὸν εἶδος ἀφικνοῦνται δυσπνοίας οἱ κυναγ-
χικοὶ στενοχωρίας οὔσης, οὐκ ἐν ταῖς ὑποδεχομέναις κοιλότησι τὴν εἰσπνοὴν, ἀλλ᾽ ἐν ταῖς παραπεμπούσαις.
ἐφ᾽ ὧν δ᾽ ἀπόστημα καὶ φλεγμονὴ, καὶ πλῆθος ὑγρῶν ἐστὶν ἢ ἐν τοῖς κενοῖς τοῦ θώρακος, ἢ κατὰ τὸν πνεύμο-
να, μενόντων ἀφράκτων τοῦ λάρυγγός τε καὶ τῆς τραχείας ἀρτηρίας, ἐν ταῖς ὑποδεχομέναις δηλονότι κοι-
λότησιν τὸν εἰσπνεόμενον ἀέρα στενοχωρίας γενομένης, ἐξ ἀνάγκης ἀκολουθεῖ, μεγάλην μὲν διαστολὴν γίνε-
σθαι τοῦ θώρακος, ὀλίγον δ᾽ ἕλκεσθαι τὸ πνεῦμα. καὶ διὰ τοῦτ᾽ ἀναγκάζεσθαι τὸν κάμνοντα, ταχέως τε καὶ πυ-
κνῶς ἀναπνεῖν. πρὸ πάντων γὰρ ὑμᾶς μεμνῆσθαι βούλομαι τῆς κατὰ τὴν μεγάλην ἀναπνοὴν διαφορᾶς διτ-
τῶς γινομένης. ποτὲ μὲν τῷ μεγέθει τῆς διαστολῆς τοῦ θώρακος. ποτὲ δὲ τῷ πλήθει τῆς εἰσπνεομένης οὐσίας
τοῦ πνεύματος. ἴστον δ᾽ ὅτι τῶν τοιούτων ὑμᾶς ἀναμιμνήσκω πολλάκις, ὅσα παραλέλειπται τοῖς πρὸ ἐμοῦ.
τὰ γὰρ ὑπὸ τῶν ἔμπροσθεν εἰρημένα διὰ τὸ πολλοὺς εἶναι τοὺς εἰπόντας αὐτὰ, πρόχειρον ἔχει τὴν μνήμην.
ὅσα δὲ μήθ᾽ ὑφ᾽ Ἱπποκράτους διωρίσθη τοῦ κάλλιστα περὶ δυσπνοίας γράψαντος, ἄλλος τ᾽ οὐδεὶς τῶν μετ᾽
αὐτὸν ἐξειργάσατο καὶ διωρίσατο τὰ λείποντα, διὰ τοῦτ᾽ ἀναγκαῖόν μοι γίνεται πολλάκις ἀναμιμνήσκειν αὐ-
τῶν. ὅσοι μὲν οὖν ἄνευ φλεγμονῆς ἤ τινος ὅλως ὄγκου παρὰ φύσιν ἢ στενοχωρίας ἐν τοῖς ἀναπνευστικοῖς ὀργά-
νοις, δυσπνοοῦσιν ἐν πυρετοῖς καυσώδεσι τούτοις ἀνάλογον τῷ μεγέθει τῆς διαστολῆς τοῦ θώρακος αὐξάνεται τὸ
πλῆθος τῆς εἰσπνεομένης οὐσίας τοῦ πνεύματος. ἐφ᾽ ὧν δ᾽ ὄγκος ἢ στενοχωρία τίς ἐστιν ἐν τοῖς ἀναπνευστικοῖς ἄνευ
θερμασίας φλογώδους. ἡ μὲν διαστολὴ τοῦ θώρακος μεγίστη γίνεται, τὸ δ᾽ εἰσπνεόμενον, οὐ μόνον ἀπολείπεται
τῆς κατὰ τὴν διαστολὴν ἀναλογίας, ἀλλὰ καὶ τοῦ κατὰ φύσιν ἔλαττον εἰσπνεῖται. χωρὶς δὲ διορισμοῦ μίαν ἐν-
δείκνυται διάθεσιν. ἡ μεγάλη διαστολὴ τοῦ θώρακος, ἀραιότητα προσλαβοῦσα. προσέχειν δ᾽ ὑμᾶς χρὴ κἀνταῦ-
θα, μή ποτ᾽ ἐξαπατηθῆτε, τὴν ἁπάντων τῶν μυῶν ἐνεργούντων γινομένην ἀναπνοὴν, ὅτ᾽ ἂν ἐπ᾽ ἀῤῥωστίᾳ δυ-
νάμεως γίνηται, τὴν αὐτὴν ἡγεῖσθαι τῇ μεγάλῃ. βουληθεὶς γὰρ αὐτὴν ἐγὼ σαφῶς ἑρμηνεῦσαί ποτε, μετέω-
ρον ἐκάλεσα. πάρεστι δέ μοι τηνικαῦτα ἐννοῆσαι τὸν Ἱπποκράτην, μετέωρον ὀνομάζειν πνεῦμα, τὸ τοῖς μετεώ-
ροις μέρεσι τοῦ θώρακος εἰσπνεόμενον. ὥσπερ ὅτ᾽ ἂν εἴπῃ, μέγα τὸ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παρα-
φροσύνην σημαίνει, εὔδηλός ἐστι μέγα λέγων, τὸ πολὺ, διττῶς γίνεσθαι δυνάμενον, ἄνευ τε τῆς τοῦ μετεώρου
μυῶν ἐνεργείας, καὶ σὺν αὐτῇ. πολλάκις γὰρ ἥ τε τῶν μεσοπλευρίων μυῶν ἐνέργεια, καὶ ἡ τῶν φρενῶν, ἐπὶ
πλεῖστον διαστέλλουσαι τὸν θώρακα, τῶν ὑψηλῶν μυῶν οὐ χρῄζουσιν, εἰς τὴν τοῦ πολλοῦ πνεύματος εἰσπνο-
ήν. ὅτι δὲ τὸ τοιοῦτον εἶδος τῆς διαστολῆς, ἐνδείκνυται παραφροσύνην, ἐν τοῖς περὶ δυσπνοίας ὑπομνήμασι

δέδεικται

δέδεικται, καθὰ καὶ τῶν ἄλλων ἁπασῶν δυσπνοιῶν αἱ διαθέσεις ἐῤῥήθησαν. ἀλλὰ νῦν γε καθάπερ τῶν ἄλλων παθῶν ὅσα προείρηται δι᾽ ἑτέρων πραγματειῶν, οἷον ἐπιτομή τις ἐνταυθοῖ λέγεται κατὰ τὸν αὐτὸν τρόπον καὶ περὶ τῆς ἐν ταῖς δυσπνοίαις διαφορᾶς, τὰ μὲν εἴρηται μέχρι δεῦρο. τὰ δ᾽ εἰρήσεται κατὰ τὸν ἐφεξῆς λόγον. ὡς γὰρ ἐπὶ τῆς μεγάλης ἀναπνοῆς, ἡ μέν τις ἐστὶ πυκνὴ, διαφορὰς ἔχουσα πλείους, ἄλλην ἄλλης διαθέσεως ἐνδεικτικὴν, ἡ δέ τις ἀραιὰ μίαν ἐνδεικνυμένη διάθεσιν. οὕτως ἐπὶ τῆς μικρᾶς. ἡ μὲν ἀραιὰ ψύξιν ἐνδείκνυται τῶν ἀναπνευστικῶν ὀργάνων. ἡ πυκνὴ δὲ πόνον, οὐ μόνον τῶν ἀναπνευστικῶν, ἀλλὰ καὶ τῶν συγκινουμένων αὐτοῖς, ἥπατος δηλονότι, καὶ γαστρὸς, καὶ σπληνὸς, καὶ στομάχου. πλειόνων δ᾽ οὐσῶν διαθέσεων, αἷς ἕπεται πόνος ἐν τῷ κινεῖσθαι σφοδρότερον, ἐπισκεπτέον τε καὶ διοριστέον ἐκ τῶν ἄλλων σημείων. εἴτε φλεγμονή τίς ἐστιν, εἴτ᾽ ἐρυσίπελας, εἴθ᾽ ἕλκος, εἴτ᾽ ἀπόστημα, τὸ τὴν ὀδύνην ἐργαζόμενον. ἐμάθετε δ᾽ ὅτι καὶ δυσκρασίαις ἀνωμάλοις, ἀλγήματα πολλάκις ἐπιγίγνεται, καὶ πνεύματος ἀπέπτου τε καὶ φυσώδους πλήθει. ποτὲ μὲν αὐτῷ τῷ στέγεσθαι κατά τι διατείνοντος τὰ περιέχοντα. ποτὲ δὲ βιαίως διεξιόντος ὁμοίως δὲ καὶ χυμοῦ πλήθει θερμοῦ καὶ δριμέος, ἢ ψυχροῦ καὶ γλίσχρου, στεγομένου τε κατά τι, καὶ μὴ διεξιόντος ὀδύναι γίνονται. μειζόνως μὲν πεπονθότων τῶν ὀργάνων ἐν οἷς περιέχεται ταῦτα, κἂν μὴ κινῆται. βραχέως δ᾽ ὅταν κινῆται. εἴρηται δ᾽ ἐν τοῖς περὶ δυσπνοίας, ἡ αἰτία, δι᾽ ἣν τοῦ μικροῦ πνεύματος, τὸ μὲν πυκνὸν πνεῦμα, πόνον σημαίνει τῶν κινουμένων ὀργάνων ἐν ταῖς ἀναπνοαῖς. τὸ δ᾽ ἀραιὸν, ἰσχυρὰν ψύξιν, αὐτῶν μόνων τῶν ἀναπνευστικῶν, καὶ τούτων, μάλιστα πνεύμονος καὶ καρδίας. ἔστι δὲ καὶ ἄλλο τι δυσπνοίας εἶδος οἷον ἐγκοπτομένης τῆς ἐνεργείας τοῦ θώρακος ἡσυχίᾳ βραχείᾳ. ποτὲ μὲν ἐν ταῖς εἰσπνοαῖς, ποτὲ δὲ ἐν ταῖς ἐκπνοαῖς, ἤτοι γ᾽ ἐν σπασμώδει διαθέσει τῶν τοῦ θώρακος μυῶν γινομένου τοῦ τοιούτου συμπτώματος. ἢ διὰ πλῆθος θερμασίας, εἰσπνεῖν ἢ ἐκπνεῖν ἀναγκαζομένου συνεχέστερον τοῦ κάμνοντος. καὶ μέν τοι καὶ ἄλλο τι πάθος ἀναπνοῆς ἐστι, ἣν ἄπνοιαν ὀνομάζουσιν, ὡς μὲν πρὸς τὴν ὄψιν μὴ δ᾽ ὅλως γιγνομένης, ὡς δὲ πρὸς τὴν φύσιν ἀπιστουμένης μὴ γίνεσθαι. δοκεῖ γὰρ ἀδύνατον μὲν εἶναι, στερηθὲν ἀκριβῶς ὅλης τῆς ἀναπνοῆς τὸ ζῶον, ἔτι διασώζεσθαι. φαίνεται δὲ καὶ τὰ φωλεύοντα μὴ δ᾽ ὅλως κινοῦντα τὸν θώρακα. δυοῖν οὖν θάτερον, ἢ βραχεῖαν οὕτω γίνεσθαι τὴν ἀναπνοὴν ὑποληπτέον, ὡς λανθάνειν τὴν αἴσθησιν, ἢ μὴ δ᾽ ὅλως δεῖσθαι τηνικαῦτα τὸ ζῶον ἀναπνοῆς, ἀλλ᾽ ἀρκεῖσθαι τῇ καθ᾽ ὅλον τὸ σῶμα διαπνοῇ. γίνεται γὰρ αὕτη μὲν ὑπὸ τῆς καρδίας διὰ τῶν ἀρτηριῶν. ἡ δ᾽ ἀναπνοὴ διὰ τοῦ θώρακος ὑπὸ τοῦ ἐγκεφάλου. ἥτις δ᾽ ἂν ἡ διάθεσις εἴη ἡ τὴν ἄπνοιαν ἐργαζομένη, κοινὴ φαίνεται εἶναι πάντων τῶν τοῦ ζώου μορίων. ὡς ἐν ἀποπληξίαις καὶ κάροις. ἐπιληψίαις τε καὶ καταλήψεσιν ἐν τούτοις γὰρ ἅπασιν οὐδὲν ἴδιον ἐξαίρετον πάθημα ἐστὶν τῶν ἀναπνευστικῶν ὀργάνων, οὐ μᾶλλον ἢ τῶν φωνητικῶν, ἢ διαλεκτικῶν, ἢ βαδιστικῶν. ἀλλὰ τῆς ἀρχῆς πασχούσης, ἅπαντα συμπάσχειν ἀναγκαῖον, ὅσοις παρ᾽ ἐκείνης ἐχορηγεῖτο τὰ τῶν διοικουσῶν αὐτὰ δυνάμεων. εἴρηται δὲ ἡμῖν ἰδίᾳ περὶ ἀπνοίας καθ᾽ αὑτὴν, ὥστε νῦν ἤδη μεταβαίνειν ἐφ᾽ ἕτερόν τι καιρός. διττῆς δὲ οὔσης ὁδοῦ τοῖς γυμναζομένοις περὶ τὰς διαγνώσεις τῶν πεπονθότων τόπων, ἑτέρας μὲν ἀπὸ τῶν φαινομένων συμπτωμάτων. ἑτέρας δ᾽ ἀπὸ τῶν τοῦ σώματος μορίων, ἐὰν κατ᾽ ἀμφοτέρας τις γυμνάζηται, δὶς μὲν ἐρεῖ αὐτὰ, καθ᾽ ἕτερον δὲ καὶ ἕτερον τρόπον, οἷον εὐθέως ἐπὶ τῶν τοῦ πνεύμονος παθῶν, εἴρηται μέν τι κἂν τῷ περὶ τῶν ἀλγημάτων λόγῳ. λέλεκται δὲ κἂν τῷ περὶ αἵματος ἀναγωγῆς ὥσπερ κἂν τῷ περὶ δυσπνοίας, εἰρήσεται δὲ καὶ νῦν. ἄλγημα μὲν γὰρ αὐτῷ βίαιον, οὐδέποτε συμπίπτει, βάρους δ᾽ αἴσθησις γίνεται, καί τινος ἐνίοτε τάσεως εἰς τὸ στέρνον ἢ τὴν ῥάχιν διηκούσης. ἐνταῦθα γὰρ οἱ περιέχοντες αὐτὸν ὑμένες ἀνήρτηνται. καὶ μέν γε καὶ στενοχωρίας αἰσθάνονται πολλάκις οἱ κάμνοντες, καὶ διὰ τοῦτ᾽ ἀναπνέουσι πυκνὸν καὶ ταχύ. διαστέλλοντες μὲν ἐπὶ πολὺ, τὸν θώρακα. πολὺν δ᾽ οὐκ εἰσπνέοντες ἀέρα. χωρὶς μὲν οὖν πυρετοῦ ταῦτα γινόμενα φύματα ἢ γλίσχρων ἢ παχέων χυμῶν, ἢ τινῶν ἄλλων πολλῶν ἐν αὐτῷ πλῆθος ὑπάρχειν, ἢ περικέχυσθαι τι πῦον, ἢ τινὰ χυμὸν ἄλλον ἢ γλίσχρον, ἢ παχὺν, ἢ πολὺν, ἐνδείκνυται. διορισθήσεται δ᾽ ἀλλήλων ταῦτα, τοῖς προηγησαμένοις συμπτώμασιν. ἐὰν μὲν γὰρ ὑγιαίνων τε καὶ τὰ συνήθη πράττων, οὕτως ἄρξηται δυσπνοεῖν, αὐξάνηταί τε τὸ σύμπτωμα αὐτῷ χωρὶς τοῦ κερχνῶδές τι κατὰ τὴν ἀναπνοὴν ἐμφαίνεσθαι, φύματος ἀπέπτου γένεσιν ἐπισκοπεῖσθαι χρή. κερχνώδες δέ τι τῆς ἀναπνοῆς ψοφούσης, ὑγρῶν γλίσχρων ἢ παχέων πλῆθος ἐμπεπλασμένων δυσαπολύτως τοῖς βρογχίοις τοῦ πνεύμονος, ἐνοχλεῖν δηλοῦται. ἐὰν δὲ ἐξαίφνης ἐπὶ στενοχωρίας αἰσθήσει δυσπνῶσι, ῥεύματος εἰς τὸν πνεύμονα κατασκήψαντος, ἤτοι γ᾽ ἐκ κεφαλῆς, ἢ ἐκ τῶν γειτνιώντων χωρίων, ἔνδειξίς σοι γινέσθω. ὅταν δ᾽ ἤτοι γλίσχρων ὑγρῶν ἢ παχέων ἢ πολλῶν ἐπιῤῥυέντων τῷ πνεύμονι, δυσπνοεῖν εἴπω τὸν ἄνθρωπον, ἐν τοῖς βρογχίοις τὰ τοιαῦτα περιέχεσθαι νόει. καταςχιζομένης γὰρ εἰς ὅλον τὸ σπλάγχνον, ὥσπερ τῆς λείας ἀρτηρίας, οὕτω καὶ τῆς τραχείας, ἡ τῶν βρογχίων οὐσία καθ᾽ ὅλον ἐστὶ τὸν πνεύμονα. βρογχία δὲ καλοῦσιν οἱ ἀνατομικοὶ τοὺς χόνδρους τῆς τραχείας ἀρτηρίας, σιγμοειδεῖς ὑπάρχοντας τῷ σχήματι. προηγησαμένης δὲ πλευρίτιδος, εἶτα τοῦ μὲν σφοδροῦ τῶν πυρετῶν παυσαμένου, βάρους δ᾽ αἰσθήσεως ὑπολειπομένης ἔνδον τῶν πλευρῶν ἐν τῷ βάθει τοῦ θώρακος ἅμα τῷ καὶ μεταῤῥεῖν τι φαίνεσθαι κατὰ τὰς ἀθρόας μεταλλαγὰς τῆς κατακλίσεως, καὶ μάλισθ᾽ ὅταν ἀπὸ τῆς ἑτέρας πλευρᾶς ἐπὶ τὴν ἑτέραν μετασχηματίζονται, πύου τηνικαῦτα πλῆθος ἐκφαίνεται, καὶ κλύδωνός γε πολλάκις αἰσθητῶς ἀκούειν ἐστὶ ἔσω αὐτῶν. ἐνδείκνυται δὲ τοῦτο σὺν τοῖς εἰρημένοις, καὶ τὸ μηδὲν ἀξιόλογον ἀναπτύεσθαι σφοδρᾶς προηγησαμένης πλευρίτιδος. ἐὰν δὲ ἄλλος τις χυμὸς ὀῤῥώδης ἢ φλεγματώδης ἐξαίφνης ἄνευ πυρετοῦ ῥυεὶς εἰς τὰ κενὰ τοῦ θώρακος ἐργάζεται τὴν δύσπνοιαν, ἀναπτύουσιν οὐ παχέα. κατ᾽ ἀρχὰς μὲν, ὀλίγα σὺν πολλῇ βηχὶ, πεττομένων δὲ αὐτῶν, πλέω καὶ παχύτερα σὺν ἐλάττονι, κατὰ δ᾽ ἴσον γάρ τοι τρόπον, ὑπὸ πολλῇ βηχὶ πτύουσιν ὀλίγα, διὰ πάχος μὲν ἢ γλισχρότητα χυμῶν, ἕτεροι, διὰ λεπτότητα δ᾽ ἄλλοι. τὸ μὲν γὰρ λεπτὸν ἀναφερόμενον ὑπὸ τοῦ κατὰ τὴν βῆχα πνεύματος, αὐτίκα καταῤῥεῖ περισχιζόμενον αὐτῷ. τὸ δὲ γλίσχρον ἢ πάνυ παχὺ δυσχε-

ρῶς ἀναφέρεται. μήτ᾽ ἀπεῤῥυπτόμενον ἑτοίμως τῶν σωμάτων, οἷς ἐμπέπλασται, μήθ᾽ ὑπὸ τῆς τυχούσης βίας τοῦ πνεύματος ὠθεῖσθαι δυνάμενον. εἰ μὴ γὰρ πολύ τε καὶ σφοδρὸν ἀναβηττομένῳ εἴη τὸ πνεῦμα, συναναφέρειν οὐδὲν ἑαυτῷ δύναται. ὅσον οὖν δὴ μήθ᾽ ὑγρὸν ἄγαν ἐστὶ καὶ ὑδατῶδες, ἀλλὰ μὴ δὲ παχὺ λίαν ἢ γλίσχρον, εὐπετῶς ἀναφέρεται. καὶ μάλισθ᾽ ὅταν ἡ δύναμις ἐῤῥωμένη τυγχάνῃ. χωρὶς γὰρ τοῦ σφοδρὰν γενέσθαι συστολὴν τοῦ θώρακος, οὐχ οἷόν τε βῆξαι σφοδρῶς. ἄνευ δ᾽ ἰσχυρᾶς βηχὸς, ἀδύνατον ἐστὶν ἀνενεχθῆναι τοῖς παχέσι καὶ γλίσχροις χυμοῖς. ὅτ᾽ ἂν δὲ τῇ μετὰ στενοχωρίας τε καὶ βάρους δυσπνοίᾳ, πυρετὸς ὀξὺς συνεισβάλλει, φλεγμονὴ τὸ πάθημα ἐστὶ τοῦ πνεύμονος. εἰ δ᾽ ἀφόρητος μὲν ἡ φλόγωσις εἴη, τοῦ βάρους δὲ καὶ τῆς στενοχωρίας ἐλάττων αἴσθησις, ἐρυσιπέλατι κάμνει τὸ σπλάγχνον. ἀφωρισμένων δὲ τῶν ἄκρων, οὐδὲν ἔτι χαλεπὸν, ἤτοι γ᾽ ἐρυσιπέλας φλεγμονῶδες, ἢ φλεγμονὴν ἐρυσιπελατώδη διαγνῶναι. γίνεται δὲ καὶ ἄλλα πάθη τῷ πνεύμονι χωρὶς ἐπιῤῥοῆς χυμῶν κατὰ δυσκρασίαν, ἤτοι γ᾽ ἀνώμαλον, ἢ ὁμαλήν. ἡ μὲν οὖν ἀνώμαλος, βῆχα ἐργάζεται, ἡ δ᾽ ὁμαλὴ μετρία μὲν οὖσα τὸν ῥυθμὸν τῆς ἀναπνοῆς ὑπαλλάττει. γενομένη δ᾽ ἰσχυρὰ, θερμότητος μὲν ἐπικρατούσης ἐπιθυμίαν ἀέρος, καὶ πόματος ἐργάζεται ψυχροῦ, τῷ χρόνῳ δ᾽ εἰς πυρετὸν τελευτᾷ. τῇ ψυχρᾷ δὲ δυσκρασίᾳ, τ᾽ ἀναντία συμβαίνει. θερμοῦ μὲν ἀέρος, θερμοῦ δὲ πόματος, ἐπιθυμία μέχρις ἂν εἴη μετρία. μείζονος δὲ γινομένης, ῥευμάτων ἐμπίπλαται τὸ σπλάγχνον. περὶ δὲ τῆς κατὰ ῥῆξιν ἢ διάβρωσιν, ἢ ἀναστόμωσιν ἐξ αὐτοῦ γινομένης αἵματος ἀναβήξεως, εἴρηται μέν τοι καὶ πρόσθεν ἐν τῷ περὶ τῆς τοῦ αἵματος πτύσεως λόγῳ. λεχθήσεται δὲ καὶ νῦν ἔτι διὰ βραχέων. αἱ μὲν ῥήξεις αἱ κατ᾽ αὐτὸν, ἔκ τε τοῦ πολὺ φέρεσθαι τὸ αἷμα γνωρίζονται, κἀκ τοῦ μέγα προηγούμενον αἴτιον αἰσθητὸν εὐθέως ἐπιγνῶναι. λέγω δ᾽ αἴτια προηγησάμενα τὴν ἐξ ὑψηλοῦ πτῶσιν ἢ κατὰ παλαίστραν ἢ ἐν ἄθλοις ἢ ἑτέρου τινὸς ἐμπεσόντος ἑτέρῳ, καθάπερ γ᾽ ἂν ἐπιπέσῃ τῷ θώρακι, βαρὺ σῶμα τῶν ἀψύχων ὁτιοῦν οἷον ἤτοι λίθος ἢ ξύλον, ἐνίοις δὲ, ὀξυθυμία μετὰ κραυγῆς προηγήσατο. καὶ τισὶν ἑτέροις ἀγωνιζομένοις κιθαρῳδίαν, ἢ τραγῳδίαν, ἡ ὀξεῖα καὶ μεγάλη φωνὴ διέῤῥηξεν ἀγγεῖα. καὶ μάλισθ᾽ ὅτ᾽ ἂν, ἄνευ τοῦ προμαλάξαι ταῖς ἀναφωνήσεσι, τὰ κατὰ τὸν πνεύμονα, βιαίως κραυγάσωσιν. ὡς γὰρ καὶ τοῖς παλαίουσιν ὅταν ἄνευ τοῦ προθερμανθῆναι καὶ ὁμαλυνθῆναι τρίψεσί τε καὶ μετρίαις κινήσεσιν τοὺς μῦς ἐπ᾽ ἐνεργείας ἀφικνοῦνται σφοδρὰς, ῥήγματά τε καὶ σπάσματα γίνεται. κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τοῦ πνεύμονος εἴωθε συμπίπτειν. ὃν διὰ τρίψεων μὲν οὐχ οἷόν τε παρασκευάσαι πρὸς τὰς σφοδρὰς κινήσεις, ἀνάλογον δέ τι ταῖς τρίψεσιν αἱ ἀναφωνήσεις ἐργάζονται. ἄνευ δὲ φανερᾶς ἔξωθεν αἰτίας, πλῆθος αἵματος ἀναῤῥήγνυσιν ἀγγεῖον ἐν πνεύμονι, καθάπερ καὶ κατ᾽ ἄλλο τι μόριον τοῦ σώματος, ὅτ᾽ ἂν δυσεπέκτατον τύχῃ διὰ ψύξιν ὑπάρχον ἢ δυσκρασίαν σύμφυτον. οὕτως καὶ Ἱπποκράτης τὸ ψυχρὸν εἴρηκε φλεβῶν ῥηκτικόν. οὐκ αὐτὸ δή που καθ᾽ αὑτὸ τὰς ῥήξεις ἐργαζόμενον, ἀλλ᾽ ὅτι τῇ ψύξει σκληροὺς καὶ δυσεπεκτάτους τοὺς χιτῶνας τῶν ἀγγείων ἐργαζόμενον, ἐπιτήδεια πρὸς ῥῆξιν αὐτὰ παρασκευάζει. τῆς ῥήξεως δ᾽ αὐτῆς τὸ αἴτιον, ἥ τε σφοδρὰ κίνησις ἐστὶ καὶ τὸ πλῆθος τῶν χυμῶν, αὐτῶν τε καθ᾽ ἑαυτοὺς καὶ σὺν ἀπέπτῳ καὶ ψυχρῷ καὶ φυσώδει πνεύματι συνδιατείνοντι τοῖς χυμοῖς τὰς φλέβας. ἀλλὰ καὶ τῆς ἐπὶ τούτων ῥήξεως οὐ σμικρὸν γνώρισμά ἐστι, κένωσις αἵματος ἐξαίφνης ἀθρόου. τῆς δ᾽ ἀναστομώσεως, ἔμπαλιν τῶν ψυχρῶν αἱ θερμαὶ διαθέσεις προηγοῦνται. λουτροῖς τε θερμοῖς πολλοῖς κεχρημένου τ᾽ ἀνθρώπου. καὶ κατὰ χώραν ὄντος θερμήν. ὥραν τε τοῦ ἔτους ὁμοίαν. ἐδέσμασί τε καὶ πόμασι θερμοῖς χρωμένου. αἱ δ᾽ ἐξ ἀναβρώσεως ἀθρόαι κενώσεις αἵματος, ἐπί τε προηγουμέναις γίνονται βραχείαις πτύσεσιν, καὶ τοῖς εἰς τὸν πνεύμονα δριμέσιν ῥεύμασιν ἐκ τῆς κεφαλῆς ἐπιῤῥέουσιν. ἐνίοτε δὲ καὶ συναναφέρεταί τι μόριον τοῦ πνεύμονος, ἢ ἐφελκίς. ὥς τε λαβεῖν ἀδύνατον εἶναι τὸ τοιοῦτον πάθημα τοῦ σπλάγχνου. κατὰ δὲ τὴν τραχεῖαν ἀρτηρίαν ἕλκους γενομένου, πρὸς τοῖς ἀναβηττομένοις πτυώδεσιν οὖσιν, ἔτι καὶ τοῦ πεπονθότος μέρους ἀλγοῦντος αἴσθησις γίνεται τῷ κάμνοντι καὶ ἡ βραχύτης δὲ τοῦ κενουμένου. διορίζει τὴν τοιαύτην ἕλκωσιν τοῖς ἐν τῷ πνεύμονι. πλεῖον γὰρ ἐπὶ τοῖς ἐν πνεύμονι γεγενημένοις ἕλκεσιν, ἀναπτύεται τὸ πύον. ὥσπερ δὲ τοῦ πνεύμονος τι μόριον συνανενεχθὲν, ἐνδείκνυται τὸ σπλάγχνον ἡλκῶσθαι. κατὰ τὸν αὐτὸν τρόπον ἐκ τοῦ λάρυγγος εἴδομεν ἐνίοτε τὸ κατὰ τὴν ἐπιγλωττίδα σῶμα δι᾽ ἕλκωσιν ἀναπτυσθέν. οἷς οὐ μόνον τοῦτο σημεῖον ὑπῆρξεν τοῦ τόπου τοῦ πεπονθότος, ἀλλὰ καὶ ἡ κατὰ τὸ χωρίον αἴσθησις τὸ ἡλκωμένον, ὡς κἀπὶ τῆς τραχείας ἀρτηρίας, ἐῤῥέθη. τὰ μὲν γὰρ ἐν τῷ πνεύμονι, χωρὶς ὀδύνης συνίσταται, τὰ δ᾽ ἐν τούτοις τοῖς χωρίοις ὀδύνην μέν τινα φέρει. βραχεῖαν δὲ ταύτην, ὡς τοῖς φύσει δυσαισθήτοις, μὴ δὲ σαφῶς αἰσθητὴν γίνεσθαι. ταῦτα μὲν οὖν ἅπαντα τὰ μέχρι δεῦρο λεγόμενα πάθη, κατά τε τὸν πνεύμονα καὶ τὰ κοινὰ τοῦ θώρακος, ἔτι τε τὴν τραχεῖαν ἀρτηρίαν καὶ λάρυγγα. καὶ γὰρ καὶ τούτων ἐμνημόνευσα τῇ κοινωνίᾳ τοῦ λόγου προαχθεὶς ἐπ᾽ αὐτὰ, πολλάκις ἑώραταί μοι. ταυτὶ δὲ τὰ νῦν εἰρησόμενα σπανίως. ἐξαίφνης τις ἀνέβηξεν χυμὸν ὁμοιότατον ὑγρᾷ χολῇ τῇ μὲν χροιᾷ, μεταξὺ ξανθῆς τε καὶ ὠχρᾶς, δριμύτητα δ᾽ οὐ δὲ μίαν ἔχοντα, κἀκ τούτου καθ᾽ ἑκάστην ἡμέραν ἀνέπτυεν ἀεὶ πλεῖον. ὕστερον δὲ καὶ πυρετῶν ἐπιγενομένων αὐτῷ λεπτῶν, ἔφθινεν, ὡς καὶ πυώδη ἀναβήττειν. καὶ μετὰ χρόνον ὡς τεττάρων μηνῶν, αἷμα συνανήνεγκεν ὀλίγον σὺν τῷ πύῳ, μετὰ τοῦ συντήκεσθαί γε καὶ πυρέττειν μᾶλλον. εἶτα πλέον αὖθις ἔπτυσεν, εἶθ᾽ ἱκανῶς δαψιλές. ἐφ᾽ ᾧ τῶν τε πυρετῶν αὐξηθέντων, καὶ τῆς δυνάμεως ἐκλυθείσης, ἀπέθανεν ὡσαύτως τοῖς φθόῃ νοσήσασι. μετὰ τοῦτον ἄλλον ἐθεασάμην ὁμοίῳ τρόπῳ νοσηλευθέντα μησὶν ἕξ. εἶτ᾽ ἄλλον πλείοσιν. ὁ μὲν οὖν πρῶτος ἡμῖν ὀφθεὶς, οὐδὲν ἔχειν ἐδόκει τό γε κατ᾽ ἀρχὰς, κακόν. ὕστερον δὲ δηλονότι, μοχθηρῶς ἐφαίνετο διακεῖσθαι. τοῦ δευτέρου δ᾽ ὀφθέντος, εὐθὺς ἐξ ἀρχῆς ἔγνωμεν ἐπιμελῶς προνοήσασθαι. καὶ μετ᾽ αὐτὸν ἔτι καὶ μᾶλλον τοῦ τρίτου. ἀλλ᾽ ὅμως οὐκ ὀλίγα πραγματευσαμένων ἀμφ᾽ αὐτοὺς ἡμῶν, οὔτε τούτων τις, οὔτ᾽ ἄλλος ἐσώθη μετ᾽ αὐτούς. ἀνέπτυσαν δὲ πάντες οὗτοι τελευτῶντες, αὐτοῦ τοῦ πνεύμονος μέρη σεσηπότα. δι᾽ ἃ καὶ σαφῶς ἔγνων ὅμοιόν τι πάθος συμβαίνειν αὐτοῖς, τῷ κἀπὶ τῶν ἐκτὸς ὁρωμένων μορίων, ὑγρότητι σηπεδονώδει διαβρόχων γινομένων.

ἀλλὰ τοῦ π

ἀλλὰ ταῦτα μὲν, ἐκκόπτειν ἐγχωρεῖ καὶ πρός γε τούτῳ καὶ καίειν. πνεύμονι δ᾽ οὐδὲν τοιούτων ποιεῖν, οἷόν τε. διὸ καὶ πάντα ἀπόλλυνται. τοῦ τελευταίου δ᾽ αὐτῶν ὀφθέντος μοι κηδόμενος, ἐπὶ τὸ ξηραίνειν ἰσχυρῶς τὸ σπλάγχνον ἐτραπόμην, ὀσμαῖς τε καὶ πόμασιν ἐπιτηδείοις εἰς τοῦτο. τὸ μὲν γὰρ καλούμενον ἡδύχρουν ὀσμᾶσθαι δι᾽ ὅλης ἡμέρας ἐκέλευον αὐτῷ, προσφέρεσθαί τε τῇ ῥινὶ συνεχῶς. εἰς ὕπνον δ᾽ ἰόντι καὶ τῶν ἐν Ῥώμῃ σκευαζομένων μύρων πολυτελῶν, ἃ δὴ καλοῦσι φουλίατά τε καὶ σπικάτα, ὑπαλείφειν τινὶ σὺν ἐπὶ τὰς ῥῖνας πόρους. ἐδίδουν δὲ καὶ πίνειν αὐτῷ φάρμακα, τήν τε μιθριδάτειον ὀνομαζομένην ἀντίδοτον ἀμβροσίαν τε καὶ ἀθανασίαν καὶ θηριακήν. ἀλλὰ καὶ οὗτος ἐνιαυτῷ ταῦτα πίνων ὁμοίως τοῖς φθισικοῖς ὕστερον ἀπέθανεν, ἴσως εἰς χρόνον πλείονα παραταθεὶς διὰ τὴν εἰρημένην ἀγωγήν. ἕτερον δὲ πάθος εἶδον ἐν πνεύμονι τοιόνδε. βήττων τις ἐκ χρόνου πολλοῦ, καὶ πτύων ὀλίγα καὶ γλίσχρα, χαλαζίων μικρῶν παραπλήσιον ἀνέβηξέ τι. καί μοι κομίσας ἔδειξεν αὐτό. καὶ πάλιν ἕτερον ὅμοιον οὐ μετὰ πολλὰς ἡμέρας. ἐδόκει δή μοι ξηραινόμενος ὁ γλίσχρος ἐκεῖνος χυμὸς, ὃν ἀνέπτυσεν ἐμπλασθεὶς, εἰς τοιαύτην σύστασιν ἔρχεσθαι. καὶ διὰ τοῦτ᾽ αὐτῷ φάρμακα ἐδίδουν πίνειν ὁποῖα καὶ τοῖς ἀσθματικοῖς ἁρμόζει. καὶ πίνων γε αὐτὰ, ἐλάττονα μὲν ἔπτυεν τὰ χαλάζια, καὶ διὰ πλειόνων ἡμερῶν ἢ πρόσθεν, οὐ μὴν ἐπαύσατό γε πολλοῖς ἔτεσιν πάσχων οὕτως ἄχρι τῆς τελευτῆς. μεγέθει δ᾽ ἦν τὰ χαλάζια τοῖς καλουμένοις ὀρόβοις ἴσα, ἐπὶ τὸ πλεῖστον, ἔστι δ᾽ ὅτε, καὶ μείζω τούτων, ὥσπερ γε καὶ μικρότερα. καὶ ἄλλους δέ τινας, ὁμοίως ἐκείνῳ πτύοντας ἐθεασάμην, ἔτη συχνὰ ζήσαντας, ἐνίους μὲν ἄλλως ἀποθανόντας, ἐνίους δ᾽ ἐκ τῶν ἀναπνευστικῶν ὀργάνων παθόντων. οὐ μὴν αἷμά γέ τις ἐκ τούτων ἔπτυσεν. τὸ δ᾽ Ἀντιπάτρῳ τῷ ἰατρῷ συμβὰν ἅπαντες ἔγνωσαν, ὡς οὐκ ἀφανῶς ἰατρεύοντι κατὰ τὴν Ῥωμαίων πόλιν, ἦν μὲν ὁ ἀνὴρ οὗτος ἡλικίαν ἄγων ἐτῶν ἐλαττόνων μὲν ἢ ἑξήκοντα, πλειόνων δὲ ἢ πεντήκοντα. συνέβη δ᾽ αὐτῷ ποτε πυρέξαντι τῶν ἐφημέρων τινὰ πυρετῶν, ἐκ φανερᾶς προφάσεως, ἅψασθαι τῶν ἑαυτοῦ σφυγμῶν ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ, χάριν τοῦ γνῶναι τί ποιητέον ἐστὶν αὐτῷ. πᾶσαν δ᾽ εὑρὼν ἀνωμαλίαν ἐν τῇ τῶν ἀρτηριῶν κινήσει, κατεπλάγη μὲν τὸ πρῶτον, ὡς δὲ σαφῶς ὕστερον ᾐσθάνετο, μηκέτι πυρέττειν ἑαυτὸν, ἐλούσατο μὲν εὐθέως, ὑπό τε κόποις τε γὰρ αὐτῷ καὶ ἀγρυπνίαις ἐκεκμήκει τὸ σῶμα. διῃτήθη δὲ πάνυ λεπτῶς ἄχρι τοῦ τὴν τρίτην ἀπὸ τῆς ἀρχῆς ἡμέραν διελθεῖν, ἐν ᾗ μηδενὸς ἔτι γενομένου πυρετοῦ προῄει μὲν ἑκάστης ἡμέρας ὥσπερ καὶ πρόσθεν. ἁπτόμενος δὲ ἑαυτοῦ τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας, ἐθαύμαζεν διαμενούσης ἐν τοῖς σφυγμοῖς τῆς ἀνωμαλίας. ἀπαντήσας οὖν μου ποτὲ, προὔτεινεν τὴν χεῖρα γελῶν, ἐκέλευσέ τε τῶν σφυγμῶν ἅψασθαι, κἀγὼ μειδιάσας τί τὸ αἴνιγμα ἐστὶν ὃ κελεύεις, ἠρόμην. ὁ δ᾽ αὖθις ὁμοίως γελῶν, ἐδεῖτο πάντως ἅψασθαι, καὶ τοίνυν εὗρον ἁψάμενος, ἀνωμαλίαν κατὰ τὸν σφυγμὸν ἅπασαν, οὐ μόνον ἐν ἀθροίσματι γινομένην ἣν συστηματικὴν ὀνομάζουσιν, ἀλλὰ καὶ κατὰ μίαν διαστολὴν τῆς ἀρτηρίας. ἐθαύμαζον οὖν ὅπως ἔτι ζῇ, τοιοῦτον ἔχων σφυγμόν. ἐπυνθανόμην τε μή τις αὐτῷ δυσχέρεια κατὰ τὴν ἀναπνοὴν γίνεται. τοῦ δὲ, οὐδὲ μίαν αἰσθητὴν ὁμολογοῦντος, ἐπετήρουν μὲν εἴ τινα μεταβολὴν ἕξοι ποτὲ, συνεχῶς ἁπτόμενος τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας ἐξ μηνῶν που χρόνῳ. πυνθανομένου δ᾽ οὖν αὐτοῦ κατ᾽ ἀρχὰς, ἥ τις εἶναί μοι δοκεῖ διάθεσις ἐν τῷ σώματι, καὶ κατὰ τίνα, τρόπον αὐτοῦ τοιοῦτον ἐργάσασθαι δυναμένη τὸν σφυγμὸν ἄνευ πυρετοῦ, πρὸς τὴν ἐρώτησιν ἀπεκρινάμην, ἐν τῇ περὶ τῶν σφυγμῶν πραγματείᾳ δεδηλῶσθαί μοι περὶ τῆς τοιαύτης ἀνωμαλίας. ἡγοῦμαι γὰρ αὐτὴν ἐπὶ στενοχωρίᾳ τῶν ἐν τῷ πνεύμονι μεγάλων ἀρτηριῶν, γίγνεσθαι. τὴν στενοχωρίαν δ᾽ ἔφην ὑπὸ μὲν φλεγμονῇ τοῦ σπλάγχνου, τό γε νῦν εἶναι, νῦν ἀδύνατον ὑπάρχειν. ἐπύρεττε γὰρ ἄν. ἀπολείπεται δ᾽ ἤτοι δι᾽ ἔμφραξιν ὑγρῶν καὶ γλίσχρων καὶ παχέων χυμῶν ἢ διὰ φύματος ἀπέπτου γένεσιν, εἰς τὴν τοιαύτην ἀφῖχθαί σε διάθεσιν. ὁ δ᾽ ὑπολαβὼν, ἐχρῆν οὖν ἔφη ἀσθματικὴν ὀρθόπνοιαν εἶναί μοι. κἀγὼ πιθανῶς μὲν, εἶπον λέγειν αὐτὸν, οὐ μὴν ἀληθῶς. γίγνεσθαι μὲν γὰρ καὶ τὴν τοιαύτην ὀρθόπνοιαν διὰ τοιαύτην αἰτίαν, οὐ μὴν ἐν ταῖς λείαις ἀρτηρίαις, ἀλλ᾽ ἐν ταῖς τραχείαις, ἀθροιζομένου τοῦ γλίσχρου καὶ παχέος χυμοῦ. καὶ τοίνυν ἔδοξεν ἡμῖν, τήν τε δίαιταν αὐτῷ πᾶσαν ὁμοίαν ποιεῖσθαι τοῖς τῶν ἀσθματικῶν. τά τε φάρμακα προσφέρεσθαι τὴν αὐτὴν ἐκείνοις ἔχοντα δύναμιν. ἐξ δὲ ἐν τῷ μεταξὺ γενομένων ὡς ἔφην μηνῶν, ᾔσθετο τινὸς, οὐ μεγάλης δυσπνοίας ἅμα παλμῷ βραχεῖ τῆς καρδίας, τὸ μὲν πρῶτον, ἅπαξ. εἶτα δὶς που καὶ τρίς. εἶτα καὶ τετράκις τε καὶ πλεονάκις γενομένου. μετὰ τὸ συναυξάνεσθαι τὴν δύσπνοιαν, ἐφ᾽ ἡμέρας ὡς πέντε καὶ δέκα. μεθ᾽ ἃς ἐξαίφνης δυσπνοήσας σφοδρῶς, εἶτ᾽ ἐκλυθεὶς, εὐθέως ἀπέθανεν. ὥσπερ ἄλλοι τινὲς ἐπὶ πάθεσιν καρδίας. ὑπὲρ ὧν εἰρήσεται κατὰ τὸν ἐφεξῆς λόγον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΤΟΠΩΝ ΒΙΒΛΙΟΝ ε.

ΕΝ τῷ πρὸ τούτου γράμματι περὶ τῶν κατὰ τὸν πνεύμονα παθῶν διερχόμενος, ἐμνημόνευσα τῇ κοινωνίᾳ τοῦ λόγου, καὶ θώρακος καὶ καρδίας, ἐπ᾽ ὀλίγον ἀναβαλλόμενος εἰς τουτὶ τὸ πέμπτον ὑπόμνημα, τελέως ἀποδώσειν ἅπαντα τὸν περὶ αὐτῶν λόγον. ἐπεὶ τοίνυν ἐτελεύτησεν ἡ κατὰ τὸ τέταρτον ὑπόμνημα διδασκαλία, εἰς τὰ συμβάντα τῷ Ἀντιπάτρῳ τῷ ἰατρῷ, τὴν μὲν διάθεσιν αὐτοῦ ἐν αὐτῷ τῷ πνεύμονι ἔχοντος τὴν πρώτην, ἐπιδιαβάντος δὲ τοῦ πάθους ἄχρι τῆς καρδίας, ἄμεινον εἶναί μοι δοκεῖ περὶ πάντων αὐτῆς τῶν παθῶν διελθεῖν. Ὥσπερ οὖν ἐπὶ τῶν ἄλλων τοῦ ζῴου μορίων, οὕτως καὶ ἐπὶ τῆς καρδίας, διορίσασθαι χρὴ, τίνα μὲν ἰδιοπαθούσης, ἢ πρωτοπασχούσης ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, γίνεται συμπτώματα. τίνα δ᾽ ἑτέροις μέρεσιν συμπασχούσης. ἔστι δ᾽ ὁ λόγος ἐπὶ τοῖς προαποδεδειγμένοις ἐν ἑτέραις πραγματείαις, ἐν αἷς ἐδείχθη, τῆς μὲν ἐμφύτου θερμασίας, οἷον πηγή τις ὑπάρχειν ἡ καρδία, καὶ πάντως χρῆναι παθεῖν αὐτὴν εἰ μέλλοι τεθνήξεσθαι τὸ ζῷον. ἀρχῶν οὖν οὐσῶν τριῶν αἷς διοικεῖται τὸ ζῷον.

πρὸς γὰρ τῇ τῆς καρδίας ἀρχῇ, ὁ μὲν ἐγκέφαλος αἰσθήσεώς τε καὶ κινήσεως, ἐδείχθη χορηγὸς εἶναι πᾶσι τοῖς τοῦ ζώου μορίοις. τὸ δ' ἧπαρ ἀρχὴ τῆς θρεπτικῆς εἶναι δυνάμεως, ὁ μὲν θάνατος ἀεὶ ταῖς ἀμέτροις τῆς καρδίας ἕπεται δυσκρασίαις, ἅπαντα γὰρ αὐτῇ συγκακοῦται τὰ μόρια. δεδειγμένου δ' ἡμῖν, ἐνεργεῖν αὐτὰ διὰ τὴν οἰκείαν καρδίας εὐκρασίαν, ἀναγκαῖον ἐστὶ διαφθειρομένης ταύτης συναπόλλυσθαι τὰς ἐνεργείας αὐτῶν, καὶ διὰ τοῦτο καὶ τὰς ἐγκεφάλου τε καὶ ἥπατος, οὐ μὴν ταῖς ἐκείνων γε, τὴν τῆς καρδίας. εἰ γὰρ μή τε τὰς αἰσθητικάς τε καὶ προαιρετικὰς ἐνεργείας ἔτι διασώζοι τὸ ζῶον, ἀλλὰ μηδὲ τρέφοιτο, καθάπερ οὐδὲ τὰ φωλεύοντα, δυνατὸν ἄν τις εἶναι νομίσειεν, ζῆν αὐτό, μέχρι περ ἂν ἡ καρδία μηδὲν ᾖ πεπονθυῖα. καὶ μέν τοι καὶ φαίνεται πολλάκις ἡμερῶν ἐφεξῆς πολλῶν, οὔτε φρονῶν τις οὔτ' αἰσθανόμενος οὔτε κινούμενος, ὅμως ἔτι ζῶν, ὥσπερ γε καὶ διὰ ἀῤῥωστίαν τῆς ἐν ἥπατι δυνάμεως ἀτροφῶν ἐξαρκεῖν εἰς μακρόν. εἰ δὲ τῆς ἀναπνοῆς στερήσειέ τις τὴν καρδίαν, αὐτίκα διαφθείρεται. ὅτοις οὖν ὁ θώραξ οὐδὲν ὅλως ἐδόκει συντελεῖν εἰς τὴν τῆς ἀναπνοῆς ἐνέργειαν, ἀποροῦσι τὴν αἰτίαν εὑρεῖν, δι' ἣν ἐν ταῖς ἰσχυραῖς ἀποπληξίαις ἀποθνήσκουσιν εὐθέως οἱ κάμνοντες, ἐπὶ μόνῃ τῇ βλάβῃ τῆς ἄνωθεν ἀρχῆς. ὑμεῖς δ' οὐκ ἀπορήσετε πεπεισμένοι βεβαίως, ὑπὸ μυῶν διαστέλλεσθαι τὸν θώρακα τὴν ἀρχὴν τῆς κινήσεως ἐχόντων, ἐκ τῶν εἰς αὐτοὺς φερομένων νεύρων ἀπὸ τοῦ κατὰ τὸν αὐχένα νωτιαίου. στερουμένων τηνικαῦτα τῆς ἐπιῤῥεούσης ἐξ ἐγκεφάλου δυνάμεως αὐτῶν κινητικῆς τῶν μυῶν. ὡς εἴ γε μὴ συνῆπτον διὰ τῆς ἀναπνοῆς αἱ δύο ἀρχαί, δυνατὸν ἂν ἦν ἐστερημένους ἡμᾶς ἐνίοτε τῆς ἄνωθεν ἀρχῆς, ἔτι ζῆν. ἴσως οὖν τις ἐξ ὧν ἡμεῖς εὐπορήκαμεν αἰτίαν, δι' ἣν ἡ καρδία βλάπτεται παθόντος τοῦ ἐγκεφάλου κατὰ τὰς μεγάλας ἀποπληξίας, ἐκ τούτων αὐτῶν, εὐπορήσει καθ' ἕτερον τρόπον εὑρεῖν τὴν αἰτίαν δι' ἣν ἐν ταῖς μικροτέραις ἀποπληξίαις καταλήψεσί τε καὶ κάροις ἐπιληψίαις τε καὶ ληθάργοις, οὐκ ἀπόλλυται τὸ πάσχον οὕτως ζῶον. εὑρήσει δὲ καὶ τοῦτο θεασάμενος, ὅπως ἀναπνέουσιν ἐν τοῖς εἰρημένοις πάθεσιν, οἱ πάσχοντες. ὄψεται γὰρ ὅτι βιαίως τε καὶ μόγις, ὡς ὑπὸ δεσμοῦ τινος εἰργομένου διαστέλλεσθαι τοῦ θώρακος. λέλεκται δ' ἱκανῶς περὶ τούτου κατὰ τὰ περὶ μυῶν κινήσεως ὑπομνήματα. κοινὸν γάρ ἐστι τὸ ζήτημα, τοῦ γιγνομένου κατὰ τοὺς ὕπνους, ἐν οἷς ἁπασῶν τῶν κατὰ τοὺς μῦς ἐνεργειῶν ἐκλελυμένων, ἡ τῶν τὸν θώρακα κινούντων, μόνη σώζεται. νυνὶ δ' ἀρκεῖ μέχρι τοσούτου προῆχθαι τὸν λόγον, ὅσον αὐτοῦ χρήσιμον ἦν εἰς τὰ παρόντα. ᾧ γὰρ λόγῳ κατὰ τοὺς ὕπνους ἀναπνέουσιν οἱ ἄνθρωποι, καίτοι τῶν ἄλλων ἁπάντων μυῶν ἡσυχαζόντων, τούτῳ καὶ κατὰ τὰς ἀποπληξίας, ὅσαι μὴ μέγισται, καὶ κατ' ἄλλα πάθη τὰ ταύτῃ παρακείμενα. μεγάλης δ' οὕτως γεγενημένης τῆς ἀποπληξίας, ἢ καί τινος ἑτέρου πάθους ὡς τελέως ἀπολέσθαι τὴν ἐνέργειαν τῶν κατὰ τὸν θώρακα μυῶν, ἀναγκαῖον ἐστὶ συνδιαφθαρῆναι τὴν ἀναπνοήν, ἐφ' ᾗ καὶ τὴν τῆς καρδίας εὐκρασίαν, ᾗ καὶ πάλιν ἐξ ἀνάγκης ἕπεται, τὸ ζῶον ὅλον ἀπόλλυσθαι. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον ἐν ταῖς τῆς ἄνωθεν ἀρχῆς βλάβαις μεγάλαις, ἀπόλλυται τὸ ζῶον. καθ' ἕτερον δὲ τρόπον ἐφ' ἥπατι πάσχοντι, διὰ γὰρ ἀτροφίαν νεκροῦται τηνικαῦτα. διὸ καὶ χρόνῳ πλείονι διαρκεῖ τὰ ζῶα κατὰ τὰ τοιαῦτα παθήματα. καὶ μὴν καὶ καθ' ἕτερόν τινα τρόπον ἐπί τε στομαχικαῖς συγκοπαῖς, ἀλγήμασίν τε σφοδροῖς καὶ φόβοις ἰσχυροῖς, ἡδοναῖς τε μεγίσταις, ἀποθνήσκουσί τινες. ὅσοις γὰρ ἀσθενὴς ἐστὶν ὁ ζωτικὸς τόνος, ἰσχυρά τε πάθη ψυχικὰ πάσχουσιν, ἐξ ἀπαιδευσίας, εὐδιάλυτος τούτοις ἐστίν, ἡ τῆς ψυχῆς οὐσία τῶν τοιούτων. ἔνιοι καὶ διὰ λύπην ἀπέθανον, οὐ μὴν εὐθέως ὥσπερ ἐν τοῖς προειρημένοις. ἀνὴρ δ' οὐδεὶς μεγαλόψυχος οὔτ' ἐπὶ λύπαις οὔτ' ἐπὶ τοῖς ἄλλοις ὅσα λύπης ἰσχυρότερα, θανάτῳ περιέπεσεν. ὅτε γὰρ τόνος τῆς ψυχῆς, αὐτοῖς ἰσχυρός ἐστι, τά τε παθήματα σμικρά. ἴδιον δὲ πάθος ἐν καρδίᾳ γίνεται, κατὰ μὲν ἁπλῆν δυσκρασίαν πολλάκις εἴτ' ἀνώμαλος, εἴθ' ὁμαλὴς εἴη κατά τε φλεγμονὴν ἢ ἐρυσίπελας ἀρχόμενον γίγνεσθαι, διαφθείρεται γὰρ παραυτίκα, πρὶν αὐξηθῆναι τὰ πάθη τά δε τὸ ζῶον. ἕπονται δὲ πάλιν ταῖς τοιαύταις διαθέσεσιν, αἱ καρδιακαὶ συγκοπαί. καθάπερ αἱ στομαχικαί, ταῖς κατὰ τὸ τῆς κοιλίας στόμα, καλοῦσι δ' ἔνιοι καὶ τοῦτο στόμαχον. ἀλλὰ καὶ αὗται γίγνονται δηλονότι συμπασχούσης τῆς καρδίας. αἱ διαθέσεις δ' ἀμφοτέρων τῶν μορίων τοῦ τε στόματος τῆς κοιλίας καὶ τῆς καρδίας, ἤτοι διὰ δυσκρασίαν μόνην ἰσχυράν, ἢ δι' ὑγρότητα φαρμακώδη, καί ποτε καὶ δι' ἐρυσίπελας εἰώθασι γίγνεσθαι, καὶ διὰ φλεγμονήν, ἤ τινα παρὰ φύσιν ὄγκον ἕτερον τοιοῦτον. αἱ μὲν οὖν μικραὶ τῆς καρδίας δυσκρασίαι, τοὺς σφυγμοὺς ἀλλοιοῦσιν κατὰ τὴν αὐτῶν ἑκάστη φύσιν, εἴρηνται δ' αὐτῶν αἱ διαγνώσεις ἐν τῇ περὶ σφυγμῶν πραγματείᾳ. ταῖς μεγάλαις δὲ κατὰ μὲν τὰς ἰδίας τῶν ὁμοιομερῶν δυσκρασίας, οὐκ ὀξὺς ὁ θάνατος ἕπεται, κατὰ δὲ τὰς ὀργανικὰς ἐξαιφνίδιος, ἀλλ' ἐπὶ προηγουμένοις σημείοις, ὧν ἓν μὲν καὶ τὸ πρὸς Ἱπποκράτους εἰρημένον. οἷον οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς ἄνευ φανερᾶς προφάσεως ἐξαπίνης τελευτῶσιν. ἕτερον δὲ παλμὸς τῆς καρδίας, ἤτοι μόνος γιγνόμενος, ἢ μετά τινος ἐμφάσεως ἐν ὑγρῷ κινουμένης αὐτῆς. καὶ θαυμαστὸν οὐδὲν ἀθροίζεσθαί ποτε πλῆθος ὑγροῦ τοσοῦτον ἐν τῷ περιέχοντι χιτῶνι τὴν καρδίαν, ὡς ἐμποδίζειν αὐτῇ διαστελλομένῃ. καὶ γὰρ ἐπὶ τῶν ἀνατεμνομένων ζώων ἐθεασάμεθα πολλάκις ὑγρὸν οὔρῳ παραπλήσιον, ἐν τῷ περικαρδίῳ δαψιλές. εἷς δέ ποτέ τις πίθηκος ἰσχνότερος ἑαυτοῦ γιγνόμενος, οὐκ ἔφθασεν ἀνατμηθῆναι δι' ἀσχολίας ἡμῶν ἀναγκαίας. ἀποθανόντος δ' αὐτοῦ, τὰ μὲν ἄλλα πάντα μόρια τοῦ σώματος ἦν ἀπαθῆ. ἐπέκειτο δὲ τῷ περικαρδίῳ χιτῶνι παρὰ φύσιν ὄγκος ὑγρὸν ἐν ἑαυτῷ περιέχων ὅμοιον τῷ κατὰ τὰς ὑδατίδας. ἐπ' ἀλεκτρυόνος δέ ποτε χωρὶς ὑγροῦ, τοιοῦτος σκιῤῥώδης ὄγκος ἐπέκειτο τῷ περικαρδίῳ, παραπλήσιος ὑμέσι παχέσι πολλοῖς κατ' ἀλλήλων ἐπιβεβλημένοις. εἰκὸς οὖν ἐστι καὶ τοῖς ἀνθρώποις γίγνεσθαι τινὰ τοιαῦτα. φλεγμηνάσης δὲ φανερῶς καρδίας, ἐπὶ μονομάχων ἐθεασάμεθα θάνατον ὁμοιότατον ἀκολουθήσαντα τοῖς συγκοπτομένοις καρδιακῶς. ἐὰν μὲν οὖν ἄχρι κοιλίας τινὸς τῶν ἐν αὐτῇ, τὸ τρῶσαν ἀφίκηται, παραχρῆμα τελευτῶσιν αἱμοῤῥαγικῶς. καὶ μᾶλλον ὅταν ἡ ἀριστερὰ κοιλία τύχῃ τρωθεῖσα μὴ διήκοντος δὲ τοῦ τρώσαντος εἰς κοιλίαν, ἀλλ' ἐν τῷ σώματι τῆς καρδίας στηριχθέντος, οὐ μόνον αὐτὴν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τρωθέντες ἔτυχον ἔνιοι διέζησαν, ἀλλὰ καὶ τὴν ἐπιοῦσαν νύκτα φλεγμονῆς δηλονότι λόγῳ τοῦ θανάτου γιγνομένου, φρονοῦσι γε μὴν ἅπαντες οὗτοι, μέχρι περ ἂν ζῶσιν, μαρτυροῦντος καὶ τούτου τοῦ φαινομένου, τῷ παλαιῷ δόγματι περὶ τοῦ τὸ λογιζόμενον τῆς ψυχῆς, οὐκ εἶναι κατὰ τὴν καρδίαν. ὁ δὲ παλμὸς τοῦ σπλάγχνου τούτου, πολλοῖς ὑγιαίνουσιν ἀμέμπτως νεανίσκοις τε καὶ παρακμάζουσιν ὤφθη γιγνόμενος ἐξαίφνης, ἄνευ

φρυς, ἄνευ φανεροῦ συμπτώματος ἑτέρου. καὶ πάντες οὗτοι φλεβοτομηθέντες ὤνηντο. καὶ τελέως αὐτῶν ἔνιοι τοῦ συμπτώματος ἀπηλλάγησαν ἐπὶ τῇ φλεβοτομίᾳ λεπτυνούσῃ διαίτῃ μετὰ φαρμάκων ὁμοίων θεραπευθέντες. ἔνιοι δ' αὐτῶν αὖθις ποτὲ τοῦ συμπτώματος ἐπιφανέντος, ὁμοίως ἐθεραπεύθησαν. οἶδα δέ τινα καὶ κατ' ἐνιαυτόν, ἦρος ὥρᾳ πάσχοντα τὸ τοῦ παλμοῦ σύμπτωμα. καὶ ἐπειδὴ τρισὶν ἔτεσιν ἐπειράθη τῆς φλεβοτομίας ὠφελούσης, ἔφθασεν ἐπὶ τοῦ τετάρτου φλεβοτομηθεὶς πρὶν ἁλῶναι τῷ συμπτώματι καὶ οὕτως ἔπραξε κατὰ τὸ ἑξῆς ἐτῶν πλειόνων. μετὰ τοῦ καὶ τἆλλα ποιεῖν ἐπὶ τῇ φλεβοτομίᾳ προσηκόντως. ἀλλ' ὅμως καὶ οὗτος ἀπέθανε πρὶν γηρᾶσαι. καθάπερ καὶ οἱ ἄλλοι πάντες. ἔνιοι μὲν ἐν πυρετοῖς ὀξέσιν ἀθρόως συγκοπέντες. ἔνιοι δὲ καὶ κατὰ τὸν τῆς ὑγείας χρόνον. εἷς δέ πού τις ἢ δύο καθ' ἕτερον τρόπον ἀπέθανον χωρὶς συγκοπῆς. οἱ πλεῖστοι δὲ τῶν οὕτω παθόντων ἡλικίαν εἶχον ἐτῶν ἐλαττόνων μὲν ἢ πεντήκοντα, πλειόνων δὲ ἢ τεσσαράκοντα. τὸ μέν τοι περικάρδιον σκέπασμα, τῶν ἀκύρων ἐστὶ μορίων, ὅπερ ἂν πάθῃ. πλὴν εἰ φλεγμήναντος αὐτοῦ διαδοθείη κατὰ συμπάθειαν ἡ διάθεσις ἐπὶ τὴν καρδίαν. ἀλλ' ὅταν γε πάσχῃ μόνον, ὁμοίως τοῖς ἄλλοις ἅπασι μορίοις ὅσα φρουρᾶς ἕνεκα καὶ σκέπης ἑτέρων κυριωτέρων ἐγένετο, κίνδυνον οὐδένα φέρει. δύσπνοιαν δ' οὐδεμίαν ἐργάζεται ἄλλην καρδία, παρὰ τὰς εἰρημένας ἐν τῷ πρὸ τούτου γράμματι κατὰ τὸν περὶ τῆς δυσπνοίας λόγον. ἐπὶ μὲν τὸ μέγα καὶ πυκνόν, ὑπερθερμανθεῖσα μετὰ τοῦ καὶ θᾶττον γίνεσθαι τὴν ἀναπνοὴν ἐκφυσᾶσθαί τε θερμὸν πνεῦμα. τὴν δ' ἐναντίαν αὐτῇ διὰ ψύξιν, ἐφ' ἧς μικρὸν καὶ ἀραιὸν γίνεται τὸ πνεῦμα.

καὶ κατὰ τοῦτο τὸ μόριον ὥσπερ καὶ κατὰ τἆλλα πάντα τινὰ μὲν ἰδιοπαθοῦντος αὐτοῦ γίνεται, τινὰ δὲ ἑτέροις συμπάσχοντος. ἅπαντα γοῦν ἐξ ἀνάγκης εἰς τὴν τῆς ἀναπνοῆς βλάβην τελευτᾷ. τοῦτο γὰρ ἴδιον ὄργανον ἐδείχθη τῆς ἀναπνοῆς. ὅσα μὲν οὖν ἐν αὐτῷ γίνεται πάθη τῶν ὀδυνηρῶν, μικρὰν καὶ πυκνὴν ἐργάζεται τὴν ἀναπνοήν, ὡς ἐν τοῖς περὶ δυσπνοίας ὑπομνήμασιν ἐδείχθη. καθάπερ γε καὶ τῶν γειτνιόντων τε καὶ συγκινουμένων. λέλεκται δ' ἔμπροσθεν ἐν τοῖς τοῦ νωτιαίου πάθεσιν, ὅπως ἀναπνοὴ βλάπτεται, μηδὲν αὐτοῦ πεπονθότος ἴδιον πάθημα τοῦ θώρακος, ἀλλ' ἤτοι τινὸς τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων, ἢ αὐτοῦ τοῦ νωτιαίου. τῶν δ' ἰδίων τοῦ θώρακος παθῶν, ἔνια μὲν ἐν τοῖς μυσὶν αὐτοῦ, τινὰ δὲ κατὰ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα συνίσταται, περὶ δὲ τῶν κατὰ τὸ δέρμα, καὶ τὰ τῶν πλευρῶν ὀστᾶ νῦν οὐ πρόκειται λέγειν αἰσθητὸν ἐχόντων τὸν πεπονθότα τόπον. διττῶν οὖν ὄντων τῶν κατ' αὐτὸν μυῶν, τῶν μὲν ἀναπληρούντων τὰ μεσοπλεύρια καλούμενα. τῶν δ' ἔξωθεν αὐτοῖς ἐπιβεβλημένων, αἱ μὲν τῶν ἔξωθεν ὀδυνηραὶ διαθέσεις ἑλκωθέντων. ἢ θλασθέντων. ἢ ἀπόστημα σχόντων. ἢ ἐρυσίπελας ἢ φλεγμονήν, οὐκ ἀσαφῶς διαγινώσκονται τοῖς ἰατροῖς ἐπιβάλλουσι τὰς χεῖρας. αἱ δὲ τῶν μεσοπλευρίων μυῶν φλεγμοναί, καὶ μάλιστα τῶν ἐν βάθει, διφυεῖς γάρ εἰσιν ὡς ἴστε, τὴν μὲν ἁφὴν ὑμῶν λανθάνουσιν. ὀδυνῶσι δὲ τῶν ἐπιπολῆς μειζόνως. καί τι καὶ τοῦ τὴν φλεγμονὴν ἐργασαμένου ῥεύματος εἴσω διαπέμπουσι διὰ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ὃς ἐξ ἀνάγκης αὐτοῖς συμφλεγμαίνει. καθάπερ ἐκείνῳ πάλιν ὅταν αὐτὸς πρωτοπαθῇ κατά τινα καιρὸν ἕτερον, ἡ ἐντὸς μοῖρα τῶν μεσοπλευρίων συμπάσχει. ἀλλ' ἥ γ' ἀκριβὴς πλευρῖτις ἐν τῇ πρωτοπαθείᾳ τοῦ ὑπεζωκότος γίνεται. διὸ καὶ μέχρι κλειδὸς ἢ ὑποχονδρίων ὁ πόνος ἐξικνεῖται. τῶν μὲν ἄνω μερῶν αὐτοῦ πασχόντων, εἰς τὰς κλεῖς. τῶν κάτω δέ, εἰς τὰ ὑποχόνδρια, πυρετὸς δὲ πάντως ἕπεται ταῖς τοιαύταις φλεγμοναῖς σφοδρός, ὡς ἂν ἐγγὺς τῇ καρδίᾳ κειμένου πάσχοντος τόπου. καὶ συμφυοῦς ὑπάρχοντος αὐτῆς τῷ χιτῶνι, καθάπερ γε καὶ ταῖς φρεσίν. ὁ σφυγμὸς δέ σοι μάλιστα ἐνδείξεται πότερον ὁ ὑπεζωκὼς ὑμὴν μᾶλλον ἢ οἱ ψαύοντες αὐτοῦ πεπόνθασι μύες. ἧττον μὲν γὰρ οἱ μύες. ὁ δ' ὑπεζωκὼς μᾶλλον ἐντείνει καὶ σκληρὰν ἀποφαίνει τὴν ἀρτηρίαν. ὡς ἐπί γε τῶν περιπνευμόνων παθῶν, οὐδόλως ἡ τοιαύτη φαίνεται σκληρότης, ὁ δ' ἀποχεόμενος εἰς τὰ κενὰ τοῦ θώρακος ἰχὼρ μεταλαμβανόμενος εἰς τὰς τραχείας τοῦ πνεύμονος ἀρτηρίας, ἀναπτύεται μετὰ βηχός, ἐνδεικνύμενος ὁποῖός τίς ἐστιν, ὁ τὴν φλεγμονὴν ἐργαζόμενος χυμός. ἆρά γε πικρόχολος ἢ μελαγχολικὸς ἢ φλεγματικὸς ἢ αἱματικός. ὠχρὰ μὲν γὰρ καὶ ξανθὰ πτύουσιν, ἐπὶ τῷ πικροχόλῳ· μέλανα δὲ ἐπὶ τῷ μελαγχολικῷ. τὰ δ' ἀφρωδέστερα καὶ λευκανθίζοντα πτύσματα, τοῦ φλεγματικοῦ πλεονεκτοῦντος γίνεται χυμοῦ. καθάπερ γε καὶ τὰ ἐρυθρά, τοῦ αἱματώδους. ὅτι μὲν οὖν ἐκ τῶν κενῶν τοῦ θώρακος ἀναπτύεταί τι μετὰ βηχός, ἐναργῶς ἔστι γνῶναι κατὰ τὰς διαθέσεις, ἐν αἷς ἔξωθεν, ἔσω τὸ ἕλκος διήκει, ἤτοι συντρήσεως μὴ κολληθείσης, ἢ κατὰ ἀπόστημα μέγα κατ' ἄμφω τὰ μέρη ῥαγέν, ἢ τμηθὲν μὲν ὡς ἔξω μόνον ἀνίσχον, εὑρεθέντος δ' ἐπὶ τῇ τομῇ διαβεβρωμένου τοῦ ὑπεζωκότος, ἢ καὶ διὰ σφάκελον ἐκκοπείσης πλευρᾶς, ἤτοι μὴ δυνηθέντων ἀπαθῆ φυλάξαι τὸν ὑπεζωκότα τῶν ἰατρῶν, ἢ διαβεβρωμένον, ἢ διασεσηπότα πως εὑρόντων. ἐν ἁπάσαις γὰρ ταῖς τοιαύταις διαθέσεσιν, ὅταν ἐγχέωμεν, εἰς τὰ κενὰ τοῦ θώρακος μελίκρατον, εὐθέως ἀναπτύεται μετὰ βηχός, αὐτῷ τῷ κάμνοντι διὰ τῆς γεύσεως ὅτι μελίκρατόν ἐστι, γνωριζόμενον. ὅπως δὲ γίνεται τοῦτο καὶ δι' ὧν τινων ὁδῶν εἰς τὴν τραχεῖαν ἀρτηρίαν ἀφικνεῖται, πάρεστι σκοπεῖσθαι, τῷ βουληθέντι. φυλαττομένῳ παθεῖν, ὅπερ ἔπαθον ἔνιοι τῶν ἀπορηθέντων ἐν τῇ τῆς αἰτίας εὑρέσει. τάχα μὲν ἑαυτοὺς πείσαντες, ἀδύνατον εἶναι τὴν ἐκ τῶν κενῶν τοῦ θώρακος εἰς τὸν πνεύμονα μετάληψιν, ἴσως δὲ καὶ προσποιησάμενοι διὰ τὸ μὴ βούλεσθαι δοκεῖν ἀπορεῖσθαι. χρὴ δ' ὅτι μὲν ἡ μετάληψις γίνεται, πεπεῖσθαι. φαίνεται γὰρ ἐναργῶς ἐπὶ τῶν συντρήσεων. ὅπως δὲ γίνεται ζητεῖν, ἀγαπῶντας μὲν εἰ εὕροιμεν, ἄχρι δ' ἂν οὐδέπω πεπεικότες ἑαυτοὺς ὦμεν, εὑρηκέναι, τὴν ἄγνοιαν ὁμολογοῦντας μᾶλλον, ἢ καταψευδομένους τοῦ γιγνομένου. φαίνεται δὲ κἀπὶ τῶν ἐναίμως κολλωμένων συντρήσεων, ἀναπτυόμενά τινα γνωρίσματα τοῦ ῥυέντος αἵματος ἐν ταῖς τρώσεσιν, εἰς τὴν μεταξὺ θώρακός τε καὶ πνεύμονος χώραν. ἐναργὴς δ' ἐστὶ κἀπὶ τῶν ἐμπύων, ἥτ' ἐν τῇ χώρᾳ ταύτῃ τοῦ πύου σύστασις, ἥτ' ἐξ αὐτοῦ πτύσις ἅμα βηχί· κατὰ δὲ τὸν αὐτὸν τρόπον, εὔλογον γίγνεσθαι, καὶ τὰς ἐκ τοῦ θώρακος αἵματός τε καὶ πύου πτύσεις, ἐφ' ὧν Ἐρασίστρατος ζητῶν τὰς ὁδούς, ἀπίθανα γράφει κατὰ τὸ περὶ τῆς ἀναγωγῆς τοῦ αἵματος βιβλίον ἐν τῇ ῥήσει. ἡ δὲ ὁδὸς ἐπὶ τὴν ἀναγωγὴν τοῖς ἀπὸ τούτων τῶν τόπων ἀναφερομένοις τοιαύτη τίς γίνεται. ἀπὸ τῆς παρὰ τὴν ῥάχιν κειμένης ἀρτηρίας ἀποφύσεις εἰσὶν ἀγγείων παρ' ἑκάστην πλευρὰν ὁμοίως « ἔκ τε τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν. αὗται δ' εἰς τοὺς πλησίον τόπους ἐπὶ πλεῖον σχιζόμεναι, εἰς ἄδηλα τῇ «

» αἰσθήσεως ἀποτελευτῶσιν. ὅταν οὖν γίγνεταί τις εἰς ταύτας τὰς ἀρτηρίας παρέμπτωσις αἵματος ἐπὶ τὴν κοίλην ἀρτηρίαν, ἐνίοτε λαμβάνει τὴν ἀναφορὰν ἐπὶ τοὺς περὶ τὸν πνεύμονα τόπους. καὶ ἐπὶ τὰς προσφύσεις ἃς ὁ πνεύμων προσπέφυκεν τῇ ἀρτηρίᾳ ἐπὶ τὴν ῥάχιν. γίνεται γάρ τις καὶ ταύτῃ, τῶν παρεμπεπτωκότων ἐπάνοδος εἰς τὸν πνεύμονα. ἐκ δὲ τοῦ πνεύμονος, ὅπως εἰς τὴν ἀναγωγὴν ἐπανέρχεται, πρότερον εἴρηται. ἐν ταύτῃ τῇ ῥήσει σαφῶς ὁ Ἐρασίστρατος ἐδήλωσεν, τὰς ἀπὸ τῆς μεγάλης ἀρτηρίας ἀποπεφυκυίας εἰς ἕκαστον τῶν τοῦ θώρακος μεσοπλευρίων, ὑποδεξαμένας αἷμα διὰ τῶν καθηκόντων στομάτων εἰς τὸ φλεγμαῖνον μόριον, ἐπὶ τὴν μεγάλην ἀρτηρίαν ἀναφέρειν αὐτό, τὴν ἀπὸ καρδίας μὲν ἐκπεφυκυῖαν, ἐπιτεταμένην δὲ τῇ ῥάχει. πάλιν δ᾽ ἀπ᾽ αὐτῆς εἰς τοὺς περὶ τὸν πνεύμονα τόπους, φησὶ γίγνεσθαι τὴν ἀναφορὰν οὐκέτι προσθεὶς ὅπως γίγνεται, καὶ διὰ τίνων ὁδῶν, ἀλλ᾽ ἐφεξῆς γράψας καὶ ἐπὶ τὰς προσφύσεις ἃς ὁ πνεύμων προσπέφυκεν τῇ ἀρτηρίᾳ ἐπὶ τὴν ῥάχιν. γίγνεται γάρ τις φησὶ καὶ ταύτῃ τῶν παρεμπεπτωκότων ἐπάνοδος εἰς τὸν πνεύμονα. ὅπως δὲ γίγνεται καὶ ἐπὶ τίνας συμφύσεις, οὐκέτι οὐδ᾽ ἐνταῦθα προσέθηκεν. μένει τοίνυν ἔτι τὸ ζητούμενον οὐδὲν εἰπόντος εἰς αὐτό, σαφὲς τοῦ Ἐρασιστράτου. καίτοι σαφῶς ἑρμηνεύειν προῃρημένου κατά τε τἄλλα πάντα συγγράμματα, καὶ ἐπὶ τοῦτ᾽ αὐτὸ τὸ περὶ τῆς τοῦ αἵματος ἀναγωγῆς. διὸ καὶ μᾶλλον ἄν τις ἠγκάσατο, μοχθηρὸν εἶναι τὸν λόγον, ὑποπτευθέντα καὶ αὐτῷ τῷ Ἐρασιστράτῳ, τοιοῦτον ὑπάρχειν. ἑκὼν γ᾽ οὖν φαίνεται λέξεσιν ἀσαφέσιν κεχρῆσθαι χάριν τοῦ δόξαι τι λέγειν. καίτοι λέγων μηδέν. ἐν αὐτῷ γὰρ τῷ τόπῳ τῷ ζητουμένῳ κατέλειπε τὴν διήγησιν, ὅπως μὲν εἰς τὴν μεγάλην ἀρτηρίαν ἐκ τῶν πλευρῶν ἀφικνεῖται τὸ αἷμα, σαφῶς εἰπών. ὅπως δὲ πάλιν ἀπὸ ταύτης, εἰς τοὺς περὶ τὸν πνεύμονα τόπους ὡς αὐτὸς εἶπεν, οὐκέτι προσθείς. ἀλλὰ καὶ κατ᾽ αὐτὸ τοῦτο τὸ φάναι τοὺς περὶ τὸν πνεύμονα τόπους, ἐνὸν εἰπεῖν τὸν πνεύμονα δῆλός ἐστιν, ἑκὼν ἐπιταράττων τὸν λόγον. ἣ τοῦτο μὲν ἐφεξῆς ἐδήλωσεν εἰπών. ἐκ δὲ τοῦ πνεύμονος, ὅπως εἰς τὴν ἀναγωγὴν ἐπανέρχεται, πρότερον εἴρηται. ὡς γὰρ εἰς τὸν πνεύμονα φερομένου παρὰ τῆς μεγάλης ἀρτηρίας αἵματος οὕτω φαίνεται περὶ τῆς ἐντεῦθεν ἀναγωγῆς ἀναμιμνήσκων ἡμᾶς ὅπως γίνεται. ὅτι μὲν οὖν πρότερον εἴρηται περὶ τῆς ἐκ τοῦ πνεύμονος ἀναπτύσεως, ἐπιστάμεθα. καὶ μέντοι καὶ ὅτι σαφῶς εἴρηται, μαρτυροῦμεν. δεξάμεθα δ᾽ ἂν ὁμοίως εἰρῆσθαι καὶ περὶ τῆς εἰς τὸν πνεύμονα μεταλήψεως ἐκ τῆς μεγάλης ἀρτηρίας. ὥσπερ κἀπειδὰν εἴπῃ καὶ ἐπὶ τὰς προσφύσεις ἃς ὁ πνεύμων προσπέφυκε τῇ ἀρτηρίᾳ ἐπὶ τὴν ῥάχιν, γίνεσθαι τὴν ἐπὶ τὸν πνεύμονα φορὰν τοῦ αἵματος. οὐδὲ γὰρ ἐνταῦθα τίνας λέγει προσφύσεις ἐδήλωσεν. καὶ γὰρ ἐὰν διὰ ὑμένων, ἢ τινῶν ἰνωδῶν σωμάτων γίγνονται, πλέον οὐδὲν ὡς πρὸς τὴν τοῦ περιεχομένου ἐπὶ τὴν μεγάλην ἀρτηρίαν αἵματος, εἰς τὸν πνεύμονα φοράν. ἐκφύεσθαι γάρ τινα δεῖ τῆς ἀρτηρίας ἀγγεῖα, δι᾽ ὧν εἰς τὸν πνεύμονα παραγενήσεται τὸ αἷμα, καθάπερ οἱ Ἐρασιστράτειοι λέγουσι, διὰ τῆς ἀρτηρίας γίγνεσθαι τοῦτο τῆς ὑποβεβλημένης τῷ πνεύμονι. φαίνεται γὰρ αὐτῆς ἀμυδρὰ πέρατα πρὸς τὴν τραχεῖαν ἀρτηρίαν περαίνοντα. τὴν δ᾽ ἔκφυσιν ἀπὸ τῆς μεγάλης ἀρτηρίας αὐτὴ λαμβάνει, πρὶν ἐπιβῆναι τῇ ῥάχει. καί τινα λόγον διττὸν ἀπ᾽ αὐτῆς τῆς ἀρτηρίας οἱ Ἐρασιστράτειοι πορίζονται βοηθοῦντες αὐτῷ. νῦν μὲν εἰς τὴν ἀπὸ τοῦ θώρακος ἀναγωγὴν τοῦ αἵματος. ἑτέρωθι δ᾽ εἰς γένεσιν φλεγμονῆς ἐν τῷ πνεύμονι. καὶ γὰρ καὶ περὶ ταύτης αὐτοῖς οἱ ἑτερόδοξοι προὔβαλον ὡς ἀδυνάτου γίγνεσθαι ἐπὶ τὰς Ἐρασιστράτου ὑποθέσεις. αὐτὸς γὰρ ἐν τῷ διδάσκειν ὅπως γίνεται φλεγμονή, τὸ παρεμπίπτειν εἰς τὰς ἀρτηρίας αἷμα βούλεται, τῷ παρὰ τῆς καρδίας φερομένῳ πνεύματι συντυγχάνον, ἀναστέλλεσθαί τε πρὸς τὰ πέρατα τῶν ἀρτηριῶν. πλὴν εἴποτέ τινων ἀρτηρίαι τρωθεῖσαι, κενωθέντος ἐξ αὐτῶν ἐπὶ τὸ τραῦμα τοῦ πνεύματος, ἐκ τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας διαδέξονται τὸ αἷμα. ἐπὶ τοῦτον οὖν τὸν λόγον, οὐκ ἂν γενέσθαι φασὶν φλεγμονὴν ἐν ταῖς τοῦ πνεύμονος ἀρτηρίαις. εἰ γὰρ καὶ παρεμπέσοι ποτ᾽ αὐταῖς αἷμα, μὴ δὲ μίαν ἀπάντησιν αὐτῷ πρὸς τὸ πνεῦμα γίγνεσθαι. ἐπεί γάρ τοι μόνας τὰς τοῦ πνεύμονος ἀρτηρίας, οὐ βούλεται παρὰ τῆς καρδίας φέρεσθαι τὸ πνεῦμα, καθάπερ εἰς τὰς ἄλλας ἁπάσας. ἀλλ᾽ ἔμπαλιν αὐτὰς χορηγεῖν τῇ καρδίᾳ τοῦ πνεύματος, ὃ διὰ τῆς εἰσπνοῆς τῶν τραχειῶν ἀρτηριῶν, αἱ λεῖαι μεταλαμβάνουσιν. τὴν οὖν ἀρτηρίαν ταύτην τὴν ἀπὸ τῆς ἐπὶ τὴν ῥάχιν ἀρτηρίας μεγάλης, εἰς τὸν πνεύμονα φερομένην φασὶ τήν τε φλεγμονὴν ὑπομένειν ἐπὶ τὰ πέρατα καὶ τὴν ἐκ τοῦ θώρακος ἀναγωγὴν ἐργάζεσθαι τοῦ αἵματος. ἀλλὰ τὸν μὲν περὶ τῆς φλεγμονῆς λόγον, οὐ νῦν πρόκειται σκοπεῖν. ἡ δὲ μετάληψις τοῦ αἵματος ἣν ἐκ τῆς μεγάλης ἀρτηρίας εἰς τὸν πνεύμονα γίγνεσθαί φασιν οὐκ ὀρθῶς φαίνεται λεγομένη. πρῶτον μὲν γὰρ εἰς τὴν μεγάλην ἀρτηρίαν ἐκ τῶν μεσοπλευρίων ἀδύνατον ἐνεχθῆναι τὸ αἷμα. παλινδρομήσει γὰρ αὐτίκα συνελαυνόμενον ὑπὸ τοῦ πνεύματος, ὃ παρὰ τῆς καρδίας διὰ τῆς μεγάλης ἀρτηρίας εἰς ταύτας ἐπιπέμπεται. ἔπειτα δ᾽ εἰ καὶ συγχωρηθείη τοῦτο γίγνεσθαι, καὶ θείημεν εἰς τὴν μεγάλην ἀρτηρίαν αὐτὸ φέρεσθαι, μείζονος ἀτόπου καταλαμβάνοντος τὸν λόγον, ἐξ αὐτῶν τῶν Ἐρασιστρατείων ὑποθέσεων. βούλεται γὰρ εἰς τὴν ἀρτηρίαν ταύτην, ἐνθλιβόμενον ὑπὸ τῆς καρδίας τὸ πνεῦμα, διασῷζον τῆς βολῆς τὴν ῥύμην, εἰς ὅλον φέρεσθαι τὸ σῶμα διὰ τῶν ἀπ᾽ ἐκείνης πεφυκυιῶν ἀρτηριῶν. ὡς ἐπὶ μίαν ἔνθλιψιν τῆς ἀρτηρίας, ἐξικνεῖσθαι μέχρι τῶν ἐπὶ τοὺς πόδας ἄκρων, τὴν φορὰν τοῦ πνεύματος, ὑπὲρ τοὺς σφοδροτάτους ἀνέμους, τὸ τῆς φορᾶς τάχος, εἶναι βουλόμενος. ὅπου ἐγχωρεῖ τὴν τοσαύτην σφοδρότητα μή, οὐκ εὐθέως ὠθεῖν τὸ ἐπὶ τὴν μεγάλην ἀρτηρίαν αἷμα, πανταχόσε τοῦ σώματος. οἱ δ᾽ εἰς μίαν ἀρτηρίαν αὐτὸ συνελαύνουσι τῷ λόγῳ τὴν εἰς τὸν πνεύμονα φερομένην, ὥσπερ νοῦν ἔχον, ἐπιστάμενόν τε. δι᾽ ἧς ὁδοῦ κενωθήσεται ῥᾷστα. μάχεται δ᾽ αὖ πάλιν αὐτὸ τοῦτο, τῷ νῦν ἐνεστῶτι λόγῳ κενοῦσθαι τάχιστα συγχωροῦντι τὸ αἷμα, διὰ τῆς τραχείας ἀρτηρίας. εἰ γὰρ οὕτως ἐστὶν εὐρέα τὰ πέρατα τῶν ἀρτηριῶν τούτων, ὡς τὸ παρεμπεσὸν εἰς αὐτὰ αἷμα, ταχίστην ἴσχειν τὴν κένωσιν. οὐκ ἐνδέχεται σφηνωθὲν αὐτό, φλεγμονὴν ἐργάσασθαι. τὸ γὰρ σφηνοῦσθαι, τῷ διεκπίπτειν ἐναντίον ἐστί. θαυμάσαι δ᾽ ἐστὶν ἔτι μᾶλλον ὅπως ἐφεξῆς γράφων αὐτὸς Ἐρασίστρατος ἐπιμελέστατα περὶ τῆς τοῦ πύου κενώσεως, ἥν τ᾽ ἐν τοῖς πλευριτικοῖς πάθεσιν, ἥν τ᾽ ἐν τοῖς ἐμπυήμασιν ἴσχει, τὴν μάχην οὐ συνεῖδεν. ἣν ἡμῖν καὶ ἅπασι τοῖς ἄλλοις ἀνθρώποις, οἱ δύο λόγοι πρὸς ἀλλήλους ἔχειν φαίνονται. γνωσθήσονται δ᾽ ἐναργῶς, παραγραφείσης αὐτοῦ τῆς ῥήσεως, ἐχούσης ἐπὶ λέξιν οὕτως. ἐν δὲ τοῖς

αὐτοῖς

ἐν τοῖς τούτοις πάθεσι πύου ἀνακάθαρσις ἐνίοτε πολλοῦ γίνεται. ἡ δ' αἰτία τούτου παρὰ τὴν φύσιν τῶν ἀγγείων γίνεται. ὁ ἐπιλογισμὸς δ' αὐτῶν ὅδε. ἐκ τῆς καρδίας ἀπόφυσις φλεβὸς εὐμεγέθης κεῖται παρὰ τὴν ῥάχιν, ἀποτελευτῶσα καθ' ὃν τόπον αἱ φρένες ἐκ τῶν σπονδύλων ἐκπεφύκασιν. ἀπὸ δὲ ταύτης, αἱ παρὰ τὰς πλευρὰς τείνουσαι καὶ ταῖς ἀρτηρίαις παρακείμεναι φλέβες, τὴν ἀπόφυσιν ἔχουσιν, ὅταν οὖν ἕλκωσις ἐν τοῖς τόποις τούτοις, ἢ ἀπόστημα γένηται, πλείονος πύου συναγωγὴν ποιούμενον, εἰς μὲν τὸ μεταξὺ τοῦ πνεύμονος καὶ τῶν πλευρῶν, οὐ ῥᾳδίως τὴν ἔκχυσιν λαμβάνει, διὰ τὸ τὸν ὑμένα ὑπεζωκότα τὰς πλευράς, νευρώδη τε καὶ ἰσχυρόν, καὶ δυσδιαίρετον εἶναι. συρρήγνυται δ' εἰς τὰ ἐντὸς ἀγγεῖα τοῦ ὑμένος κείμενα, λεπτότερα γὰρ καὶ ἀσθενέστερα οὔσης τῆς φλεβὸς ἢ τῆς ἀρτηρίας, πρότερα ταῦτα τὰ ἀγγεῖα τῶν περὶ τὰς ἀρτηρίας διαιρεῖται. κατὰ δὲ τὰς διαιρέσεις, ἡ ἀνάχυσις τοῦ πύου εἰς τὰς φλέβας γίνεται, ἐπὶ μὲν οὖν τοὺς κάτω τόπους οὐ γίνεται τοῦ πύου διέξοδος. διὰ τὸ μὴ διϊκνεῖσθαι τὴν φύσιν τῶν φλεβῶν. ἀλλὰ τὴν ἀποτελεύτησιν ἔχειν, καθάπερ εἴρηται, κατὰ τὴν ἔκφυσιν τοῦ διαφράγματος, πληρουμένων δὲ ἀεὶ τῶν συνεχῶν τόπων, τὴν ἐπάνοδον λαμβάνειν ἀναγκαῖον εἰς τοὺς ἐπάνω τόπους. ἐπινοεῖν οὖν δεῖ τὴν γινομένην, κατὰ τὴν ἀναπνοὴν τοῦ πνεύμονος ἐνέργειαν, καὶ τὴν ὁλκήν τε, καὶ δίωσιν τοῦ πνεύματός τε καὶ τῶν ὑγρῶν. καὶ ὅτι κατὰ τοῦτον τὸν τρόπον ἡ τοῦ πύου ἐπάνοδος ἀπὸ τῶν πλευρῶν εἰς τὸν πνεύμονα γίνεται. ἡ δ' ἐκ τοῦ πνεύμονος ἀναγωγή, ὃν τρόπον γίνεται, πρότερον εἴρηται. ἐν ταύτῃ τῇ ῥήσει τὸ μὲν μὴ δύνασθαι κατωτέρω τοῦ διαφράγματος ἀφικνεῖσθαι τὸ μεταληφθὲν εἰς τὰς φλέβας πύον, ἀληθῶς εἴρηται τῷ Ἐρασιστράτῳ. τῆς γε τὰς κάτω τοῦ θώρακος ὀκτὼ πλευράς, οὐ γὰρ δὴ πάσας γε, τρεφούσης φλεβός, ἄχρι τοῦ διαφράγματος ἐρχομένης. οὐ γὰρ χρὴ μικρολογεῖσθαι νῦν, εἰ διεκπίπτει τι μέρος αὐτῆς μικρόν. ὅπως δ' ἀναπτύεται τὸ πύον τοῦτο, τὴν ἀρχὴν οὐδ' ἐπεχείρησεν εἰπεῖν. ὥσπερ οὐδὲ τῶν ἀπ' αὐτοῦ τις. οὐ γὰρ δὴ ὥσπερ ἀρτηρίαν τινά φασιν, ἀπὸ τῆς μεγάλης ἀποσχιζομένην, ἐπὶ τὸν πνεύμονα φέρεσθαι, κατὰ τὸν αὐτὸν ἔχουσι λόγον ἀποφαίνεσθαί τι περὶ τῆς φλεβός. ἡ μὲν γὰρ ἀρτηρία, φαίνεται κἂν εἰ μὴ κατασχιζομένη σαφῶς εἰς τὸ σπλάγχνον, ἀλλ' ὑποβεβλημένη γ' αὐτῷ. καὶ μέχρι τῆς τραχείας ἀρτηρίας ἀποφύσεις πέμπουσα. φλέβα δ' οὐδὲ μίαν, οὔθ' ὑμεῖς εἴδομεν, οὔτ' ἄλλος τῶν ἀνατομικῶν ἔγραψεν. οὔτ' αὐτὸς ὁ Ἐρασίστρατος ἐτόλμησεν εἰπεῖν ἐπὶ τὸν πνεύμονα φέρεσθαι, ἀπὸ τῆς ἐπὶ τῇ ῥάχει μεγάλης φλεβός. ὡμολόγηται γὰρ ὑπὸ πάντων ἐκ τῆς δεξιᾶς κοιλίας τῆς καρδίας ὁ πνεύμων, αἷμα λαμβάνειν δι' ἑνὸς ἀγγείου μόνου. δεήσει τοίνυν δὲ τὸ παραγιγνόμενον ἐκ τῶν πλευρῶν πύον εἰς τὴν κατὰ ῥάχιν φλέβα, πρότερον μὲν ἐπὶ τὴν καρδίαν ἀφικέσθαι. δεύτερον δὲ εἰς τὴν φλέβα τὴν ἀπ' αὐτῆς εἰς τὸν πνεύμονα φερομένην. εἶτα τὸ τρίτον, ἐκ ταύτης εἰς τὰς ἐν ἐκείνῳ τραχείας ἀρτηρίας μεταληφθῆναι, καὶ μετὰ ταῦτα, βηχὸς δεηθῆναι δηλονότι, τῆς εἰς τὸ στόμα δυνησομένης ἀνάξειν αὐτό. κατὰ τίνα μὲν τρόπον ἡ τοῦ μιχθέντος πύου τῷ αἵματι διάκρισις ἀπ' αὐτοῦ γίνεται, παρέλιπεν εἰπεῖν, ὥσπερ τι μικρὸν ὂν τοῦτο καὶ τὸ τυχὸν ὑπερβάς, ἀλλ' οὐκ αὐτὸ μάλιστα τὸ συνέχον ὅλον αὐτοῦ τὸν λόγον. οὐδὲ γὰρ οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν, ὡς τὸ περιεχόμενον αἷμα κατὰ τὴν ἐν τῇ ῥάχει φλέβα, πρὸς τὴν καρδίαν ἀναφέρεσθαι πέφυκεν. αὐτὸ γάρ τοι τοὐναντίον ἐστίν, ἐπειδὴ τὸ ἀπὸ τοῦ κατὰ τὴν καρδίαν ὠτὸς τοῦ δεξιοῦ, τὴν φλέβα ταύτην ἀρχομένην, ἅμα ἑαυτῆς κομίζειν αἷμα, τὰ κατὰ τὰς ὀκτὼ πλευρὰς μόρια πάντα τοῦ θώρακος θρέψον, οὐ γὰρ δὴ τά γε κατὰ τὰς ὑψηλὰς αὐτοῦ τέτταρας. αἱ γὰρ ἐκεῖνα τρέφουσαι φλέβες, ἀπὸ τῆς εἰς τὰς σφαγὰς ἀναφερομένης, πεφύκασιν ἐν τῷ μεταξὺ τόπῳ καρδίας τε καὶ κλειδῶν. ὥστε καὶ τοῦτ' ἄτοπον ἱκανῶς ἕπεται τοῖς Ἐρασιστράτου λόγοις. τὸ γὰρ ἀπὸ τῶν ὑψηλῶν τοῦ θώρακος τεττάρων πλευρῶν πύον ἀναφερόμενον εἰς τὴν κοίλην φλέβα, μάλιστα μέν, ἐπὶ τὰς κατὰ τὸν τράχηλον ὠμοπλάτας τε καὶ κεφαλὴν καὶ χεῖρας ἀφικνουμένας φλέβας, ἤδη δὲ καὶ τὰς καθ' ὅλον τὸ ζῷον ἐνεχθήσεται. ταῦτα τε οὖν ἄτοπα τοῖς ὑπ' Ἐρασιστράτου γεγραμμένοις ἕπεται. καὶ πρὸς τούτοις ἔτι, τὸ παραλελειμμένον ὑπ' αὐτοῦ, κατὰ τὸν λογισμὸν τῆς αἰτίας. εἰπὼν γάρ, εἰς τὸ μεταξὺ πνεύμονός τε, καὶ τῶν πλευρῶν, οὐ ῥᾳδίως ἔκχυσιν λαμβάνειν τὸ πύον, διὰ τὸ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα νευρώδη τε καὶ ἰσχυρὸν καὶ δυσδιαίρετον εἶναι τὸ μὲν ἐκχεῖσθαι ποτὲ πύον εἰς τὴν χώραν ταύτην, οὐκ ἠρνήσατο. προσέθηκε δὲ τῷ λόγῳ. τὸ μὴ ῥᾳδίως. ἐχρῆν οὖν καὶ τούτου τοῦ μὴ ῥᾳδίως μέν, ὅμως δ' οὖν γινομένου ποτέ, τὸν λογισμὸν ἀποδοῦναι διδάξαντα τὰς ὁδοὺς αἷς χρώμενον τὸ πύον, ἐπὶ τῶν ἐμπυικῶν, ἀναπτύεται. καθάπερ γὰρ ἀπολλυμένους εἴδομεν οὐκ ὀλίγους τῶν οὕτως ἐχόντων, οὕτω καὶ σωθέντας ἑτέρους πολλούς, ἐφ' ὧν εἴ τι ἤθροιζες καθ' ἑκάστην ἡμέραν ἀναβηττόμενον πύον, ἐνίοτε μέν, ἓξ ἢ ὀκτὼ κοτυλῶν. ἐνίοτε δὲ καὶ δέκα. ἐνίοτε δὲ καὶ πλειόνων ἂν εὑρέθη τὸ σύμπαν κεφάλαιον. ἀλλ' ὅπερ ἀεὶ λέγειν εἴωθα, καὶ νῦν ἐρῶ. πολλοὶ τῶν ἰατρῶν ἐναργῶς ὁρωμένων πραγμάτων ἀδυνατοῦντες εἰπεῖν τὰς αἰτίας οὐδ' εἶναι φασὶν αὐτά. καίτοι γ' ὡς ἔφην ἁπάντων τῶν συντετρημένων τὸν θώρακα. τὸ διὰ τοῦ τραύματος ἐνιέμενον μελίκρατον εὐθέως ἀναβηττόντων. ἀλλὰ καὶ διὰ τῆς ἐναίμου τε καὶ κολλητικῆς ὀνομαζομένης ἀγωγῆς, οὐκ ὀλίγων συντρήσεων θεραπευομένων, ἀναπτύουσιν ἔνιοι τού-δὸν ἐν ταῖς πρώταις ἡμέραις, ὅτ' ἂν μὴ καλῶς, μὴ δ' ἀκριβῶς ἅπαν ἐκχυθῇ τὸ αἷμα διὰ τοῦ τραύματος, ἐν τῷ κατασείεσθαι τὸν οὕτω τετρωμένον ἄνθρωπον. ἀλλ' ὁ τὰς πλευρὰς ὑπεζωκὼς ὑμήν, ἰσχυρὸς καὶ νευρώδης ἐστὶν καὶ δυσδιαίρετος. εἰ βούλει δέ, πρόσθες τῷ λόγῳ, καὶ τὸν ἀμφιεννῦντα τὸν πνεύμονα, τὴν αὐτὴν ἔχοντα φύσιν αὐτῷ. καὶ διὰ τοῦτο τὴν εἰς τὰ κενὰ τοῦ θώρακος ἔκχυσιν τῶν ὑγρῶν, ὁ μὲν οὐ μεθίησιν, ὁ δ' οὐ μεταλαμβάνει. λέγε τοίνυν καὶ τὸ δέρμα πολὺ τῶν ὑμένων τούτων ἰσχυρότερόν τε καὶ παχύτερον ὑπάρχον, ἐν ταῖς τῶν καταγμάτων πωρώσεσι μή ποτ' ἐπιτρέπειν ἔξω φέρεσθαι δι' ἑαυτοῦ τὸν αἱματώδη χυμόν, ὃν ὁρῶμεν οὕτως πολὺν ἐπί τινων ἐκχεόμενον ὡς διαβρέχειν ὅλους τοὺς ἐπιδέσμους. εἰ δὲ τοῦτο φαίνεται γιγνόμενον οὐδὲν ἔτι θαυμαστόν, οὐδὲ διὰ λεπτῶν ὑμένων γίνεσθαι ταυτὸν τοῦτο. κάλλιον δ' ἦν οὐ τοῦτ' ἠπορηκέναι τὸν Ἐρασίστρατον, ἀλλ' ἐκεῖνο μᾶλλον ἠπορηκέναι, τὸ μεταλαμβάνεσθαι τὸ μεταξὺ θώρακός τε καὶ πνεύμονος ὑγρόν, εἰς τὰς τραχείας ἀρτηρίας τοῦ πνεύμονος, οὔτε δ' εἰς τὰς λείας, οὔτ' εἰς τὰς φλέβας ἀφικνεῖσθαι. κατὰ γὰρ αὐτὸν τὸν Ἐρασίστρατον, ἀλλήλοις συμπαρεκτέταται ταῦτα τὰ τρία, καὶ συγκατασχιζόμενα ἀποτελευτᾷ τοῖς ἐσχάτοις ἑαυτῶν στόμασιν, εἰς τὸν

περικειμένων ὑμένα τῷ πνεύμονι. τί δέ ποτ' οὖν ἀλλήλαις παρακειμένων τῶν βιαίων στομάτων, εἰς ἓν αὐτῶν μόνον ἡ μετάληψις γίνεται. τοῦτ' ἐχρῆν ἐζητηκέναι τὸν Ἐρασίστρατον. ἄμεινον γάρ ἐστιν, ὅπως γίνεται τὰ γινόμενα ζητεῖν, ἢ κατασκευάζειν ὅτι μὴ γίγνεται. καίτοι οὐκ ἄπορος οὐδ' ἂν εὕρεσις ἐμοὶ φαίνεται τῶν ἐκ τοῦ θώρακος ἡ μετάληψις, εἰς τὸν πνεύμονα. δυναμένη γε κατὰ τὰ τῆς τραχείας ἀρτηρίας πέρατα γίγνεσθαι. ταῦτα γάρ, οὐ τὴν αὐτὴν ἔχει στενότητα τοῖς τῶν λείων τε καὶ φλεβῶν. ὅτι τε τὸ πλεῖστον τῆς οὐσίας τῶν τραχειῶν ἀρτηριῶν, χόνδρος ἐστὶν, οὐ δυνάμενος εἰς ἐσχάτην ἀφικνεῖσθαι σύμπτωσιν, ὅτι τε πολὺ μεῖζόν ἐστι τῶν ἑτέρων δυοῖν ἀγγείων, τὸ τῆς τραχείας ἀρτηρίας. σχιζομένων οὖν αὐτῶν κατὰ τὸν πνεύμονα σχίσεις ἰσαρίθμους, εὔλογόν ἐστιν ἀνάλογον ἀεὶ τοὺς οἷον κλάδους τῆς τραχείας ἀρτηρίας, ὑπερέχειν τῶν κατὰ τὰ λοιπὰ δύο γένη μορίων, ἀλλὰ καὶ φαίνεται σαφῶς τοῦτο καὶ κατὰ τὴν ἀνατομὴν τοῦ σπλάγχνου, τὴν αὐτὴν ἀναλογίαν τῆς κατὰ τὸ μέγεθος ὑπεροχῆς φυλαττόντων ἀεὶ τῶν παρακειμένων ἀλλήλοις ἀγγείων, ἣν ἔδειξε τὰ μέγιστα. ταῦτ' ἐχρῆν εἰπόντα τὸν Ἐρασίστρατον, ἐφεξῆς προσθεῖναι τὸν καιρόν, ἐν ᾧ μεταλαμβάνεται τὸ πύον, ἐκ τῶν κενῶν τοῦ θώρακος εἰς τὸν πνεύμονα. πότερον ὁ τῆς εἰσπνοῆς, ἢ ὁ τῆς ἐκπνοῆς, ἢ ὁ τῆς ἡσυχίας ἐστί. εἶτα διδάξαντα μήτε τὸν τῆς εἰσπνοῆς ὄντα, μήτε τὸν τῆς ἡσυχίας. ἑξῆς εἰπεῖν ὅτι κατὰ τὴν ἐκπνοὴν ἡ μετάληψις γίνεται. ῥᾷστον γὰρ ἦν καὶ τοῦτο δεῖξαι, προαποδεδειγμένην ἔχοντα τὴν τῆς ἀναπνοῆς ἐνέργειαν, ὑπὸ τοῦ θώρακος γιγνομένην, οὐδὲ μίαν ἔχοντος ἰδίαν κίνησιν τοῦ πνεύμονος. ἀλλ' ὁπότε μὲν ὁ θώραξ διαστέλλοιτο, τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ συνδιαστελλομένου κατὰ δὲ τὰς συστολὰς αὐτοῦ συνιζάνοντος εἰς αὑτὸν ὁμοίως τοῖς σπόγγοις, οὓς ταῖς χερσὶν περιλαμβάνοντες θλίβομεν. οὕτως γοῦν φαίνεται προπίπτων λοβὸς αὐτοῦ διὰ τοῦ τραύματος ἐν ταῖς μεγάλαις συντρήσεσιν. ἀλλὰ πρό γε τοῦ τρωθῆναι συστελλόμενος ὁ θώραξ, σφοδρῶς ἐνθλίβει τὸ μεταξὺ περιεχόμενον αὐτοῦ τε καὶ τοῦ πνεύμονος ὑγρόν, εἰς τὰς τραχείας ἀρτηρίας αὐτοῦ. μὴ παρέργως δ' ἀκοῦσαι τοῦ σφοδρῶς προσκειμένου κατὰ τὸν λόγον. ἐὰν γὰρ μὴ πάνυ σφοδρῶς θλίψῃ τὸν πνεύμονα πανταχόθεν ὁ θώραξ, οὐ μεταληφθήσεται τὸ ὑγρὸν εἰς τὰ τῶν τραχειῶν ἀρτηριῶν στόματα. καὶ τούτου χάριν ὑπὸ τῆς φύσεως ἐδόθη τοῖς ζώοις εἰς τὴν τῆς θλίψεως ῥώμην, ἡ καλουμένη βήξ. σύμπτωμα φυσικὸν ὅμοιον πταρμῷ καὶ λυγγὶ καὶ ναυτίᾳ. περὶ ὧν αὐτάρκως ἐν τοῖς περὶ τῶν συμπτωμάτων αἰτίας εἴρηται. πρὸς δὲ τὴν γένεσιν τοῦ φυσικοῦ τούτου συμπτώματος, ἰσχύος χρῄζοντες οἱ κάμνοντες, ἀποθνῄσκουσιν εἰκότως, οὐκ ὀλιγάκις ἐν τοῖς ἐμπυϊκοῖς πάθεσιν, ὡς ἂν προκεκμηκυίας τῆς δυνάμεως. ἡ γὰρ εὐτονωτάτη τε καὶ ταχίστη συστολὴ τοῦ θώρακος ἐργάζεται βῆχα. οὐ δύναται δ' εὐτόνως, οὔτε ταχέως ἐνεργεῖν ἡ ἀσθενὴς δύναμις. περὶ μὲν οὖν τῆς ἐκ τῶν κενῶν τοῦ θώρακος ἀναπτύσεως, ἀρκεῖ καὶ ταῦτα. πάλιν δ' ἐπὶ τὸν ἐξ ἀρχῆς προκείμενον λόγον, ἐπανέλθωμεν. αἱ κατὰ τὸν ὑπεζωκότα τὰς πλευρὰς ὑμένα καὶ τοὺς τούτῳ συνεχεῖς μῦς, φλεγμοναί, νόσον ἐργάζονται τὴν καλουμένην πλευρῖτιν. ἥτις ἀχώριστα μὲν ἔχει συμπτώματα, πυρετὸν ὀξύν. ὀδύνην ὡς διατεινομένων, τῶν τόπων ἢ νυττομένων, πνεῦμα πυκνὸν καὶ μικρόν, σφυγμὸν μικρόν, σκληρὰν τὴν ἀρτηρίαν ἐμφαίνοντα. σύν τινι τάσει βῆχα κατὰ τὸ πλεῖστον μὲν ἅμα τοῖς κεχρωσμένοις πτύσμασιν. ὀλιγάκις δὲ καὶ χωρὶς τούτων ἃς ἀπέπτους ὀνομάζουσι πλευρίτιδας ἤτοι διὰ ταχέων ἀναιρούσας, ἢ χρόνῳ πλείονι λυομένας ἀλλὰ καὶ τὴν ὀδύνην ὡς τὸ πολὺ μέχρι κλειδὸς ἢ ὑποχονδρίου διήκουσαν ἔχουσιν. ἕτεραι δ' εἰσὶ ὀδύναι πλευρῶν, ἅμα πυρετοῖς, ἐφ' ὧν ἐξ ἀνάγκης μὲν γίνεται πυκνὸν καὶ μικρὸν τὸ πνεῦμα, πτύεται δ' οὐδέν, ὡς ἐοικέναι κατὰ τοῦτο ταῖς ἀπτύστοις πλευρίτισιν, ἀλλὰ καὶ διορίζονται ῥᾳδίως αὐτῶν, τῷ τε μὴ δ' ὅλως βήττειν ὡς ἐπὶ τῶν ἀπτύστων ξηρᾶς τῆς βηχὸς γινομένης, καὶ τῷ μήτε τάσιν ἔχειν τὸν σφυγμόν, μήθ' ὅλως σκληρότητα. καὶ πρὸς τούτοις ἔτι τὸν πυρετὸν οὐχ ὁμοίως ὀξὺν εἶναι. καὶ ἡ δύσπνοια δ' αὐτοῖς ἧττον ἐνοχλεῖ. τινὲς δὲ καὶ θλιβόντων ἡμῶν τὸν φλεγμαίνοντα τόπον ἔξωθεν, ἀλγοῦσι. ἐπὶ τούτων ἡ μὲν ἀνακάθαρσις, οὐ γίνεται διὰ τῶν πτυσμάτων, ὅτι μηδὲ τὴν ἀρχὴν εἰς τὰ κενὰ τοῦ θώρακος ἀφικνεῖταί τι τοῦ τὴν φλεγμονὴν ἐργασαμένου χυμοῦ. πεττομένης δ' αὐτῆς ἐὰν μὴ φθάσῃ διαφορηθῆναι τὸ γενόμενον πύον, ἀποκορυφοῦται πρὸς τὸ δέρμα καὶ τέμνεται.

τὸν δὲ κάτω τοῦ θώρακος ὅρον, οἱ μὲν παλαιοὶ πάντες, ὠνόμαζον φρένας, εἴθ' ἁπλῶς ἐπελθὸν αὐτοῖς, εἴθ' ὥς τινες οἴονται, διότι φλεγμαίνοντος αὐτοῦ βλάπτονται τὴν φρόνησιν οἱ κάμνοντες. ἀπὸ Πλάτωνος δ' ἤρξατο καλεῖσθαι διάφραγμα, προσαγορεύσαντος μὲν αὐτοῦ φρένας ὁμοίως τοῖς ἄλλοις παλαιοῖς, ἡγουμένου δὲ τὴν τοῦ διαφράγματος ἐν τοῖς ζώοις χρείαν ἔχειν, ἐπειδὴ τὸ θυμοειδὲς τῆς ψυχῆς ἐν καρδίᾳ περιεχόμενον, ἀπὸ τοῦ καθ' ἧπαρ ἐπιθυμητικοῦ διαφράττοι. τοὐντεῦθεν δὲ ἔθος ἔσχον οἱ ἰατροὶ προσαγορεύειν αὐτὸ διάφραγμα τῆς ἀρχαίας ἀμελήσαντες προσηγορίας. ὅπερ ἐποίησαν ἀμέλει κἀπὶ τοῦ νωτιαίου. καὶ γὰρ καὶ τούτῳ τῆς οἰκείας οὐσίας ὄνομα. μυελός ἐστιν, ὥσπερ τοῦ νῦν προκειμένου κατὰ τὸν λόγον ὀργάνου, φρένες. ἐκείνῳ τε οὖν προσετίθει διορισμοῦ χάριν, ὁ νωτιαῖος. ὥσπερ καὶ διαυχένιος, καὶ ῥαχίτης καὶ ψοΐτης. εἶτα μετὰ ταῦτα σχεδὸν ἅπαντες εἴθισαν ὀνομάζειν ἁπλῶς νωτιαῖον. ἐνταῦθα τε πάλιν, ἐάσαντες τὸ τῶν φρενῶν ὄνομα διάφραγμα καλοῦσιν. Ἀριστοτέλης δὲ ὀνομάζει ὑπόζωμα τὸ μόριον τοῦτο τοῦ ζώου, μὴ γινώσκων μηδ' αὐτός, ἐνέργειαν εἶναι μεγάλην αὐτοῦ χρησιμωτάτην τοῖς ζώοις, ἔστι γὰρ ἀναπνοῆς ὄργανον. εἰκότως οὖν ἐμποδίζει ταύτην παθόν, ὡς καὶ τῷ περὶ δυσπνοίας λόγῳ πρόσθεν εἴρηται. τοῖς κατὰ συμπάθειαν, ἐπὶ τῷ νωτιαίῳ καὶ τοῖς ἀπ' αὐτοῦ νεύροις γινομένοις, ἐν αὐτῷ παθήμασι συναποδειχθέντων καὶ τῶν ἰδίων αὐτοῦ. νυνὶ δὲ καὶ τῶν ἄλλων αὐτοῦ παθημάτων ὅσα κατὰ συμπάθειαν τῆς ἄνωθεν ἀρχῆς ἐπιφέρει μνημονεύσωμεν. πρὶν μὲν οὖν παραφρονεῖν, πυκνὸν καὶ μικρὸν ἐργάζεται τὸ πνεῦμα, παραφρονούντων δ' ἤδη, ποικίλως ἀνώμαλον. ὡς ἐν τοῖς περὶ δυσπνοίας ἐδείχθη. παραφροσύναι μὲν οὖν γίγνονται κἀπὶ τῷ τῆς γαστρὸς στόματι κακοπραγοῦντι, καὶ διακαέσι πυρετοῖς καὶ πλευρίτισιν καὶ περιπνευμονίαις. ἀλλ' αἱ διὰ τὰς φρένας, ἐγγὺς τῶν φρενιτικῶν εἰσίν. ἐπὶ μὲν γὰρ τοῖς ἄλλοις μορίοις πάσχουσι, καὶ τοῖς διακαέσι πυρετοῖς, ἐν ταῖς παρακμαῖς αὐτῶν ἡ παραφροσύνη καθίσταται, ταῖς φρενίτισιν δ' ἴδιον ἐξαίρετον ὑπάρχει, τὸ μηδ' ἐν ταῖς παρακμαῖς τῶν πυρετῶν παύεσθαι τὴν παραφροσύνην. οὐ γὰρ ἐπὶ συμπαθείᾳ κατ' ἐκείνην τὴν νόσον ὁ ἐγκέφαλος πάσχει, ἀλλὰ κατ' ἰδιοπάθειάν τε καὶ πρωτοπάθειαν κάμνει. καὶ διὰ τοῦτο κατὰ βραχύ τε συνίσταται τοῦτο τὸ πάθος, καὶ οὐκ ἐξαίφνης παρακόπτουσιν ἢ ἀθρόως, ὡς ἐπὶ τοῖς ἄλλοις μορίοις, ὥστε

δίοις, ὅσα προεῖπον ἀρτίως. οὐκ ὀλίγα τε συμπτώματα προηγεῖται τῆς κατασκευῆς αὐτοῦ καὶ καλεῖταί γε πάντα ταῦτα, φρενιτικὰ σημεῖα, καὶ γεγράφασιν αὐτὰ, πάντες οἱ πρὸ ἐμοῦ. τοῦτο μὲν γὰρ ἀγρυπνίας ἢ καί τινας ὕπνους θορυβώδεις ἐπὶ φαντάσμασιν ἐναργέσιν, ὡς καὶ κράξαί ποτε καὶ ἀναπηδῆσαι, προηγουμένως ἐστὶν ἰδεῖν. ἔτι δ' ἀλόγους ἐπιλησμοσύνας ὡς αἰτήσαντας ἀμίδα τοὺς κάμνοντας, οὐκέτ' οὐρεῖν, ἢ οὐρήσαντας ἐπιλαθέσθαι προσδοῦναι τὸ σκεῦος, ἢ θορυβωδέστερον, ἢ ὅλως θρασύτερον ἀποκρίνασθαι, καὶ μάλιστα ὅταν ἔμπροσθεν ᾖ κόσμιος. ἀλλὰ καὶ βραχυπόται πάντες εἰσὶν οὗτοι. καὶ μέγα καὶ ἀραιὸν ἀναπνέουσι. καὶ τοὺς σφυγμοὺς μικροτέρους τε καὶ νευρωδεστέρους ἔχουσι. καί ποτε καὶ τὰ κατ' ἰνίον ὀδυνῶνται. πλησίον δὲ ἤδη τοῦ φρενιτίζειν ὄντων, αὐχμηροὺς ἱκανῶς ἔχουσι τοὺς ὀφθαλμοὺς, ἢ τὸ ἕτερον αὐτῶν δάκρυον ἐκχεόμενον δριμύ. καὶ μετὰ ταῦτα καὶ λήμας. καὶ φλέβας τὰς ἐν αὐτοῖς μεστὰς αἵματος. ἐκ ῥινῶν τε στάξεις αἵματος ἡνίκ' ἤδη μὴ δὲ τὰς ἀποκρίσεις ἔμφρονας ἀκριβῶς ποιοῦνται, κροκυδίζουσί τε καὶ καρφολογοῦσι καὶ πυρετὸν ἴσχουσιν αὐχμωδέστερον. οὐ μεγάλας ἐφ' ἑκάτερα μεταβολὰς ποιούμενον. ὥσπερ ἄλλοι τινὲς, ἀκμὰς μὲν σφοδροτάτας ἴσχοντες, ἐπιεικεῖς δὲ τὰς παρακμάς. τί δεῖ λέγειν περὶ γλώττης ἐνίοτε τραχείας, ἢ τοῦ παρακούειν ἐνίοτε, καί ποτε καὶ κατακεῖσθαι σκυθρωποὺς ἀποκρινομένους μόγις, ἢ μέρους τινὸς ὀδυνηρὰν ἔχοντος διάθεσιν, οὐδ' ὅλως αἰσθάνεσθαι κἂν σφοδρότερόν τις αὐτοῦ θίγῃ. κατὰ βραχὺ γὰρ οὕτως ἐπ' ἐγκεφάλῳ πάσχοντι φρενιτίζουσιν. ἐπ' ἄλλῳ δ' οὐδενὶ μορίῳ τὸ διηνεκές ἐστι τῆς παραφροσύνης, ὅτι μὴ διαφράγματι μόνῳ. πλησίον γάρ πως ἥκει τοῦ διηνεκοῦς, ὡς δι' αὐτὸ τοῦτο δοξάσθαι τοῖς παλαιοῖς, ἐπὶ τῷ μορίῳ τούτῳ φλεγμαίνοντι, γίγνεσθαι φρενιτικοὺς, ὀνομάσαι τε φρένας αὐτὸ διὰ τὴν αὐτὴν ὑπόνοιαν. ὡς καὶ τῷ φρονοῦντι μορίῳ συμβαλλόμενόν τι. διορίζεται δ' ἡ ἀπὸ τούτου παραφροσύνη τῆς φρενιτικῆς, τοῖς τε περὶ τοὺς ὀφθαλμοὺς συμπτώμασιν, καὶ ταῖς ἐκ τῶν ῥινῶν αἵματος στάξεσιν, καὶ τὸ τῆς ἀναπνοῆς εἴδει. μέγα μὲν γὰρ καὶ διὰ πολλοῦ χρόνου τὸ πνεῦμα τοῖς ἐπ' ἐγκεφάλῳ φρενιτικοῖς ἐφεξῆς ἐστιν ἀεί. τοῖς δ' ἐπὶ ταῖς φρεσὶν, ἀνώμαλον. ὡς καὶ μικρόν ποτε γίγνεσθαι, καὶ πυκνὸν αὖθίς τέ ποτε μέγα καὶ στεναγματῶδες. ἀρχομένης μέντοι τῆς κατὰ τὸ διάφραγμα φλεγμονῆς πρὶν παραφρονῆσαι, μικρὸν καὶ πυκνὸν ἀναπνέουσιν, ἔμπαλιν τοῖς ἐπ' ἐγκεφάλῳ. προηγεῖται γὰρ ἐκείνοις μέγα καὶ ἀραιὸν πνεῦμα, καὶ συνελόντι φάναι, τῶν εἰρημένων ἀρτίως προηγεῖσθαι φρενίτιδος, ἤτοι γ' οὐδὲν ἢ μικρὰ συμβαίνει τοῖς ἀρχομένοις φλεγμαίνειν τὸ διάφραγμα. καθάπερ γε πάλιν ἀνασπᾶσθαι μὲν ὑποχόνδριον ἴδιον αὐτῶν τῶν φρενῶν πασχουσῶν, εὐθὺς ἐξ ἀρχῆς, ἐπ' ἐγκεφάλῳ δὲ ἐν τῷ ὕστερον ἐπιγιγνομένων, ἤδη κατασκευαζομένου τοῦ πάθους καὶ οὐκ ἀρχομένου. καὶ ἡ θερμασία δὲ πλείων ἐστὶ κατά τε τὴν κεφαλὴν καὶ τὸ πρόσωπον ἐπὶ τῶν ἐν αὐτῇ τῇ κεφαλῇ τὴν κατασκευὴν ἐχόντων τῆς παραφροσύνης. τὰ δ' ἄλλα τοῦ διαφράγματος πάθη, τά τε κατὰ πρωτοπάθειαν αὐτοῦ γιγνόμενα καὶ τὰ κατὰ συμπάθειαν, τὰ μὲν, οὐκ ἔστι τῆς προκειμένης πραγματείας ὅσα προδήλως ἔχει κατά τε τἆλλα συμπτώματα, καὶ τὰς ἐν αὐτῷ γιγνομένας ἀποστάσεις. τὰ δὲ ἐν τῷ πρόσθεν εἴρηται λόγῳ.

Τὸ μεταξὺ τῆς τε φάρυγγος καὶ τοῦ στόματος τῆς κοιλίας, ὅπερ οἰσοφάγον ὠνόμαζον οἱ παλαιοὶ, στόμαχον εἰώθασιν οἱ μετ' Ἀριστοτέλη προσαγορεύειν. αὐτοῦ τοῦ Ἀριστοτέλους ἀεὶ τῷ παλαιῷ καλοῦντος ὀνόματι τὸ μόριον τοῦτο τοῦ ζώου. χρεία δ' αὐτοῦ διττή. μία μὲν ὡς ὁδοῦ τῶν καταπινομένων. ἑτέρα δὲ, καθ' ἣν ἐνεργεῖ τι πρὸς ἀμφοτέρας τὰς ὁδοὺς, τῶν τ' ἐκ τοῦ στόματος εἰς τὴν γαστέρα καταφερομένων, καὶ τῶν ἐξ ἐκείνης ἀναφερομένων εἰς τὸ στόμα. δύο γὰρ ἔχων ἑαυτοῦ μόρια τοὺς ὀνομαζομένους ὑπὸ τῶν ἀνατομικῶν χιτῶνας, ἕλκει μὲν θατέρῳ τά τε ποτὰ καὶ τὴν τροφὴν εἰς τὴν κοιλίαν. ἐκπέμπει δὲ θατέρῳ κατὰ τοὺς ἐμέτους. εἰκότως οὖν ἐστι δύο γένη τῶν παθῶν αὐτοῦ. τὸ μὲν ἕτερον, ὡς ὁδοῦ τῶν καταπινομένων. τὸ δ' ἕτερον ὡς ὀργάνου τῶν ἐμουμένων τε καὶ καταπινομένων. ὅτι δ' αὐτῶν τούτων τῶν δύο χρειῶν, ἡ ἑτέρα μὲν, ἀναγκαία διαπαντός ἐστι. ἡ δὲ ἑτέρα κατά τινας καιροὺς, εὔδηλον παντί. τὸ μὲν οὖν ὡς ὁδοῦ σιτίων γένος ἐν αὐτῷ τῶν συμπτωμάτων ἐστὶ, ὅταν ὑπό τινας τῶν παρὰ φύσιν ὄγκων, στενοχωρία τοῦ κατ' αὐτὸν γένηται πόρου. τὸ δ' ἕτερον, ὅτ' ἂν αὐτὸς ἀδυνατεῖ, τὰς ἰδίας ἐνεργείας ἐπιτελεῖν. εἴρηται μὲν οὖν καὶ πρόσθεν ἡνίκα περὶ κυνάγχης ὁ λόγος ἐγίνετο τῆς ἑπομένης τῇ μεταστάσει τῶν ἐν τῷ τραχήλῳ σπονδύλων, ὡς ἐπίκτητος αὐτῷ στενοχωρία συμπίπτει ὑπ' αὐτῶν θλιβομένῳ. καὶ νῦν δ' ἀναμνησθῶμεν καὶ αὐτὸ τοῦτο, συναναμεμνήσθωσαν δὲ καὶ οἱ τῶν ὑποβεβλημένων αὐτῷ μυῶν ὄγκοι, καθ' ὅντιναοῦν τρόπον γιγνόμενοι, δεδήλωνται γὰρ ἅπαντες ἐν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων. ἐφ' ἁπάντων δὲ τούτων κοινὸν ἡ ἐν τῷ καταπίνειν στενοχωρία τοσαύτη γιγνομένη πολλάκις ὡς ἀναπέμπεσθαι τὸ ποτὸν εἰς τὰς ῥῖνας. ὅταν μέντοι φλεγμήνας αὐτὸς, οἴκοθεν ἔχῃ τὴν στενοχωρίαν οὐκ ἐκ τῶν γειτνιώντων ἐπίκτητον, ὀδύνη σφοδρὰ γίγνεται καταπινόντων, ἅμα τῇ δυσχερείᾳ τῆς διεξόδου. καὶ μάλιστα ὅταν ὁ κάμνων ὕπτιος κατακείμενος, ἐπιχειρεῖ καταπίνειν. διὸ καὶ μετασχηματίζεσθαι προθυμοῦνται, καὶ ἀνακαθίζειν, αὐτῷ τῷ συμβαίνοντι διδασκόμενοι, ῥᾷον ἐν τούτῳ τῷ σχήματι καταπίνοντες. ὡς ἂν οὐ μικρὰ συντελούσης τῆς εἰς τὸ κάταντες φορᾶς τῶν σιτίων. καὶ δυναμένης γε πολλάκις καὶ μόνης γίγνεσθαι μετὰ τὴν ἐκ τοῦ στόματος ἔκθλιψιν εἰς τὴν ἀρχὴν τοῦ στομάχου, κατὰ δὲ τὴν ὑπτίαν κατάκλισιν, οὐδὲ μία βοήθεια πρὸς τῆς κατάντους γίνεται φορᾶς ἀλλ' ὑπὸ μόνης τῆς κατὰ τὸν στόμαχον ἐνεργείας ἐπιτελεῖται, τὸ τῆς καταπόσεως ἔργον. ἅπαντα δ' ἴστε τὰ φλεγμαίνοντα μόρια, κατὰ μὲν τὰς ἐνεργείας ὀδυνώμενα, παρηγορούμενα δ' ἐν ταῖς ἡσυχίαις. αἰσθητικοῦ δ' ὄντος τοῦ στομάχου, συγχρῆσθαι πάρεστι, καὶ τούτῳ τῷ πλεονεκτήματι τοῦ μορίου. πρὸς τὴν διάγνωσιν τῶν ἐν αὐτῷ παθῶν, ἐκ τῆς τοῦ κάμνοντος ἀποκρίσεως, ὅταν γε μὴ παντάπασιν ἠλίθιος ὑπάρχων, ἀδυνατεῖ σαφῶς ἑρμηνεύειν ἃ πάσχει. ὡς ἐάν γε δυνατὸς ἑρμηνεύειν ᾖ, μέγιστον πλεονέκτημα πρὸς τὴν διάγνωσιν αὐτοῦ τῶν παθῶν ἐστιν, ἡ γιγνομένη κατὰ τὸν στόμαχον αἴσθησις. ἔνιοι μὲν γὰρ ἀτονίας αἰσθάνεσθαι φασὶν, ἐν πολλῷ χρόνῳ μόγις διεξερχομένων τοῦ στομάχου τῶν δι' αὐτοῦ φερομένων. ἔνιοι δὲ κατὰ μὲν τὴν πρώτην ὁρμὴν ἑτοίμως κατιόντων, ἰσχομένων δ' αὖθις ὡς ἐμφράττεσθαι δοκεῖν. εἶτα τὸ ὑπόλοιπον τῆς φορᾶς ἀλύπως τε καὶ ῥᾷστα διεξερχομένων. ὁ μὲν οὖν πρότερος τρόπος, ἀτονίαν ἐνδείκνυται τῆς ἐνερ-

γείας. ὁ δὲ δεύτερος, στενοχωρίαν καθ' ἕν τι μόριον. ἑκατέρου δ' αὐτῶν τὰς διαφορὰς, ἐκ τῶν ἄλλων συμπτωμάτων ἔνεστι γνωρίζειν. ἐπὶ μὲν γὰρ τῆς ἀπεψίας, ὅταν κατὰ δυσκρασίαν μόνην γίγνηται, χωρὶς ὄγκου παρὰ φύσιν, ἡ κατὰ τὴν διέξοδον ὧν καταπίνουσι βραδύτης, ὁμαλὴ καὶ χωρὶς ὀδύνης. ἐπιτεινομένη μὲν, ἐν ταῖς ὑπτίαις κατακλίσεσιν. πραϋνομένη δ' ἐν τοῖς ὀρθίοις τοῦ τραχήλου σχήμασιν, ἄνευ τῆς κατὰ τὴν στενοχωρίαν αἰσθήσεως, εἴωθε συμβαίνειν. ἡ δὲ σὺν ὄγκῳ τινὶ στενοχωρίαν τε φέρει καθ' ἕν τι μόριον ὑπὲρ τἆλλα, καθ' ὃ καὶ χρόνιος ἡ διέξοδος γίνεται. καὶ ἐπειδὰν ἤτοι φλεγμονώδης, ἢ ἐρυσιπελατώδης ὄγκος ᾖ, καὶ σὺν ὀδύνῃ καὶ δίψει καὶ θερμασίας πολλῆς αἰσθήσει μετὰ πυρετῶν οὐ πάνυ τι θερμῶν, οὐδὲ κατὰ τὴν ἀναλογίαν τοῦ δίψους. ἐὰν δέ τις τῶν μὴ πάνυ θερμῶν ὄγκων ᾖ, χωρίς γε πυρετοῦ καὶ θερμασίας καὶ δίψης, τὸ τῆς καταπόσεως ἀνώμαλον γίνεται. καθ' ἕν τι μέρος ἰσχομένων τῶν σιτίων. καὶ μᾶλλον, ὅταν ἀδρομερέστερά τε καὶ σκληρότερα καταπίνεται, καὶ σὺν ὀδύνῃ τινὶ βραχείᾳ. τοιούτων συμπτωμάτων ἐν χρόνῳ πολλῷ γιγνομένων, καί ποτε καὶ πυρετῶν ἐφημέρων συμπιπτόντων, καὶ φρίκης, ὅτι ἔτι, στοχαζομένοις ἡμῖν ἀπόστημα δύσπεπτον ἐν τῷ στομάχῳ γίγνεσθαι, συνέβη τοῦ χρόνου προϊόντος αἴσθησιν αὐτῷ τῷ κάμνοντι γενέσθαι ῥήξεως, ἐφ' ἣ πύον ἤμεσεν, ἔν τε τῷ παραχρῆμα καὶ κατὰ τὴν ὑστεραίαν καὶ τρίτην ἡμέραν. εἶτ' ἠκολούθησεν αὐτῷ τἆλλα πάντα ἐφεξῆς ἡλκωμένου στομάχου σημεῖα. καὶ γὰρ ἐπὶ τοῖς δριμέσι καὶ ὀξέσι καὶ ἀλυκοῖς καὶ στρυφνοῖς καταπινομένοις ᾐσθάνετο δήξεως ἢ σύψεως. ἠλγει τε κατ' ἐκεῖνο τὸ μέρος, εἰ καὶ μηδὲν κατέπινεν ἀλλὰ μετρίως. ἰσχυρότερον γὰρ τὰ δάκνοντα καὶ στύφοντα, τὴν τῆς ὀδύνης αἴσθησιν εἰργάσατο. οὗτος μὲν οὖν ἐν πολλῷ χρόνῳ μόγις ἐσώθη συμβαλλούσης αὐτῷ καὶ τῆς ἡλικίας. ὅσοι δὲ πρεσβύτεροι αὐτοῦ, διεφθάρησαν. ἥ γε μὴν ὀδύνη πᾶσι τοῖς ἐν στομάχῳ τι πάθος ἀλγεινὸν ἔχουσι, κατὰ τὸ μετάφρενον διασημαίνει. καὶ ἡ αἰτία πρόδηλος, ἑωρακόσιν ὑμῖν ἐπικείμενον τῇ ῥάχει τὸν στόμαχον. ὅτι δὲ κατὰ τοὺς αὐτοὺς τρόπους κἀκ τῶν κατὰ τὸν στόμαχον ἀγγείων ἐμοῦσιν αἷμα καθ' ὃν κἀκ τῶν ἄλλων ἁπάντων, δύδηλόν ἐστιν. ἀλλ' αἱ μὲν κατὰ ῥῆξιν αἵματος ἀναφοραὶ, σὺν ἀλγήμασι. γίνονται διασημαίνουσαι τὸν τόπον, ἐν ᾧ γέγονεν ἡ ῥῆξις. ὁμοίως δ' αὐταῖς καὶ αἱ κατὰ διάβρωσιν, ἢ ἀνάβρωσιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. αἱ δὲ κατ' ἀναστόμωσιν, ἀνώδυνοι τελέως εἰσίν, αὐτῷ τε οὖν τούτῳ διορίζονται τῶν ἑτέρων. καὶ τῷ μήτ' ἐπὶ πληγῇ σφοδρᾷ μήτ' ἐπὶ καταπτώσεσι γεγονέναι, καθάπερ αἱ ῥήξεις εἰώθασι γίγνεσθαι. συμβαίνουσι δὲ καὶ χωρὶς προφάσεως τῆς ἔξωθεν, ἐνίοτε ῥήξεις ἀγγείων ὑπὸ πλήθους αἵματος. αἱ δὲ κατὰ διάβρωσιν, ἑλκώσεως προηγησαμένης γίγνονται. τὴν δ' ἕλκωσιν, αἵ τε ῥήξεις τῶν ἀγγείων ποιοῦσιν. καὶ αἱ τῶν κακοήθων χυμῶν ἐπιῤῥοαί, καθάπερ ὁρῶνται κἀπὶ τοῦ δέρματος συμβαίνουσαι πολλάκις. τὸ στόμα τῆς κοιλίας οἱ παλαιοὶ καρδίαν ὠνόμαζον, ἀφ' ὧν ἐπιφέρει συμπτωμάτων, ὡς φασὶν οὕτω προσαγορεύσαντες. οὐ γὰρ μόνον ὡς καρδιακαῖς συγκοπαῖς, οὕτω καὶ στομαχικαῖς ἁλίσκονταί τινες. ἀλλὰ καὶ σπασμοῖς, καὶ κάροις, ἐπιληψίαις τε καὶ μελαγχολίαις, ἤδη δὲ καὶ τοῖς τῶν ὑποχεομένων συμπτώμασιν ὡς ἐν τῷ περὶ τῶν ὀφθαλμῶν λόγῳ πρόσθεν εἴρηται. καὶ ταῦτα πάντα συμπασχόντων αὐτῷ γίγνεται μορίων ἑτέρων. ἐπεί τοι κατὰ τὸν ἴδιον λόγον ἀνορεξίας τε καὶ διαφθορὰς τῶν ἐπιπολαζόντων ἐργάζεται σιτίων, ὡς τά γ' ἐν τῷ πυθμένι τῆς κοιλίας στηρίζεσθαι πεφυκότα, καὶ μάλιστα ὅτ' ἂν ᾖ δυσδιάφθαρτα, τοιούτων οὐδὲν πάσχει. προσέχειν οὖν ἀκριβῶς χρὴ, τοῖς κατὰ συμπάθειαν ἐπ' αὐτῷ γινομένοις παθήμασιν, καὶ χωρίζειν αὐτὰ τῶν κατὰ πρωτοπάθειαν ἐκείνοις τοῖς γιγνομένοις, ὧν ταῖς ἐνεργείαις λυμαίνεται τὸ τῆς γαστρὸς στόμα πάσχον. ὅπερ ὡς οἱ παλαιοὶ πάντες ὀνόμαζον καρδίαν, οὕτως οἱ νῦν ὀνομάζουσι στόμαχον. ὁ διορισμὸς δὲ, ἐκ τῶν προηγησαμένων μάλιστα γίγνεται κατάδηλος, ἀνδρὶ τετριμμένῳ περὶ τὰς διαγνώσεις. ἰδιότητες γάρ τινες ἄῤῥητοι προσέρχονται τοῖς ῥητοῖς συμπτώμασιν, αἳ βεβαιοῦσαι τὰς διαγνώσεις τῶν πεπονθότων μορίων. ἐκείνας μὲν οὖν, ἕκαστος ἑαυτῷ προσεξευρήσει, τὰ δ' οἷόν τε μέλια τῆς ὅλης διαγνώσεως, ἐξ ὧν οἱ φιλόπονοι, καὶ τὰς ἀδυνάτους ῥηθῆναι τῶν συμπτωμάτων ἰδιότητας αὐτοὶ διδάξουσιν, ἐγὼ διηγήσομαι. νεανίσκος τις ἡλίσκετο τῷ τῆς ἐπιληψίας πάθει γραμματικὸς, ἡνίκα μάλιστα σφοδρότερον ἐδίδασκεν, ἢ ἐφρόντισεν, ἢ ἐπὶ πλέον ἠσίτησεν, ἢ ἐθυμώθη. τούτῳ τὸ στόμα τῆς κοιλίας, ὑπονοοῦμεν πάσχειν δυσαίσθητον ὑπάρχον, ἐφ' ᾧ κατὰ συμπάθειαν τὸν ἐγκέφαλον. ὅλον τὸ σῶμα κραδαίνειν σπασμώδως. ἐκέλευσα τοιγαροῦν δυσπεψίας μόνης αὐτὸν ἀκριβῶς προνοεῖσθαι. τρίτης δ' ὥρας ἢ τετάρτης, ἄρτον ἐπιμελῶς ἐσκευασμένον προσφέρεσθαι, μόνον μὲν εἰ ἄδιψος εἴη, δίψης δ' αἰσθανόμενον, ἐξ οἴνου κεκραμένου τῶν ἠρέμα στυφόντων καὶ λευκῶν, οὗτοι γὰρ καὶ τονοῦσι τὴν γαστέρα, καὶ τὴν κεφαλὴν οὐ πλήττουσιν ὥσπερ οἱ σφοδροί. ὡς δὲ τοῦτ' αὐτῷ πράττοντι συνέβαινε μηδὲν πάσχειν, ἀκριβῆ τε γνῶσιν εἶχον ὧν ἐστοχαζόμην ἔμπροσθεν ἐδίδουν τ' αὐτῷ τὸ διὰ τῆς ἀλόης πικροῦ φαρμάκου δίς που καὶ τρὶς ἑκάστου ἔτους, ἐπειδὴ καθαίρει τε τῶν περιττωμάτων ὅλην τὴν γαστέρα καὶ ῥώννυσι πρὸς τὰς οἰκείας ἐνεργείας. ἔτεσιν οὗτος ὁ ἀνὴρ οἷς ἐπεβίω πλέοσι τῶν εἴκοσι, ὑγιαίνων ἀμέμπτως διετέλεσεν. εἰ δέ που σπανίως ὑπὸ περιστάσεως πραγμάτων, ἄσιτος ἠναγκάσθη διατελέσαι συνέβαινεν ἁλίσκεσθαι βραχυτάτοις αὐτὸν σπασμοῖς. ἐθεασάμην δὲ καὶ ἄλλους ἀπὸ τοῦ στόματος κοιλίας ἐπιληπτικῶς σπασμένους ὁπότε σφοδρῶς ἠπέπτησαν ἢ οἴνου πλέονος ἀκρατεστέρου πίνοιεν ἢ ἀφροδισίοις ἀκαιρότερον χρῷντο. τινὰς δ' ἐν πυρετοῖς ἐθεασάμην σπασθέντας ἐξαίφνης οὐδενὶ προηγησαμένῳ σημείῳ τῶν προδηλούντων σπασμόν. οἷς ἐπιγενομένου χολώδους ἐμέτου, παραχρῆμα συνέβη πάντων ἀπαλλαγῆναι τῶν ὀχληρῶν. ἔνιοι δὲ τῶν οὕτω παθόντων ἤμεσαν φαιὰ καί τινες ὅμοια πράσου χυλῷ. τινὲς δ' ὑπὸ πλήθους ἐδεσμάτων μοχθηρῶν βαρυνόμενοι, καρώδεις ἐγίνοντο, μέχρι τοῦ τὰ θλίβοντα τὸ στόμα τῆς κοιλίας ἐξεμέσαι πάντα. τούτων οὐδὲν ἤλπισεν ἄν τις ἐπὶ στόματι κοιλίας γενέσθαι, καθάπερ οὐδὲ τὰς συγκοπὰς, εἰ μὴ πολλάκις ἑωρᾶτο γιγνόμενα. νεύρων γὰρ ἔχει πλῆθος ἐξ ἐγκεφάλου καθηκόντων, ὥστ' ἔμοιγε προσδοκῆσαι διὰ τῶν εἰς τοσοῦτον συμπαθείας ἀφικέσθαι τὴν ἀρχὴν ὡς σπασμὸς ἐπιφέρειν. ἔτι δὲ μᾶλλον οὐδὲ τὴν καρδίαν εἰς τηλικαύτην ἔρχεσθαι συμπάθειαν πάσχοντι τῷ στόματι τῆς κοιλίας, ὡς ὀξεῖαν ἀκολουθῆσαι συγκοπήν. ἐγίγνοντο δὲ πολλοῖς οὐ μόνως ὀνείρατα, καὶ ὕπνοι θορυβώδεις, ἀλλὰ καὶ παράνοιαι, διὰ χυμὸν μοχθηρὸν ἐν τῷ στόματι τῆς

κοιλίας

De affectib. Oris Ventr.

κοιλίας ἀθροισθέντα. περὶ δὲ τοῦ φυσώδους τε καὶ ὑποχονδριακοῦ καλουμένου νοσήματος, οὐδείς ἐστιν ὃς οὐκ εἴρηκεν ὅπως δυσθύμους, καὶ δυσέλπιδας καὶ σκυθρωποὺς ἐργάζεται. καὶ τὸ σύμπαν φάναι, μηδὲν ἀπολείπομένους τῶν μελαγχολικῶν. φαίνονται δὲ καὶ οὗτοι μετὰ τὰς ἀπεψίας σφοδρότερον ἁλισκόμενοι τοῖς εἰρημένοις συμπτώμασιν. οἱ πλείους δ᾽ αὐτῶν, καὶ σπληνώδεις εἰσίν, ὡς λογίζεσθαι τινὰ κἀκ τούτου τοῦ σπλάγχνου, συῤῥεῖν εἰς τὴν γαστέρα μοχθηρὰν ἰχῶρα. ὅσα μὲν οὖν κατὰ τὸν ἐγκέφαλον ἢ τοὺς ὀφθαλμοὺς γίγνεται συμπτώματα, μοχθηραῖς ἀναθυμιάσεσιν ἕπεται χυμῶν. αἱ στομαχικαὶ δὲ συγκοπαὶ διὰ τὴν ἰδιότητα τῶν κατ᾽ αὐτὸν ἀλγημάτων ἔκλυσιν ἐπιφέρουσιν. ἴσως δὲ καὶ τῆς δυσκρασίας αὐτοῦ διικνουμένης εἰς τὴν καρδίαν, ὡς κἀκείνης ἐν δυσκρασίᾳ μεγάλῃ γινομένης ἀθρόαν κατάπτωσιν ἀκολουθῆσαι τῆς δυνάμεως. εὔδηλον δ᾽ ὅτι καὶ ταῖς γυναιξὶν αἱ καλούμεναι κίτται γίγνονται τοῦ μορίου τούτου πάσχοντος. ὅσαις γὰρ ὀρεγομέναις κακωδῶς ἢ μηδ᾽ ὅλως ὀρεγομέναις ἢ μοχθηρῶν ἐδεσμάτων ὀρεγομέναις γίνεται, ταῦτα πάντα τοῦ τῆς ὀρέξεως ὀργάνου παθήματά ἐστι, ὃ ἐδείχθη τὸ στόμα τῆς γαστρός. ὡσαύτως δὲ καὶ αἱ καλούμεναι ναυτίαι, τούτου τοῦ μορίου εἰσὶ παθήματα. καθάπερ γε καὶ καρδιαλγίαι. καὶ λύγγες τὰς δ᾽ αἰτίας ἁπάντων τῶν τοιούτων παθημάτων, ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις εἴπομεν, ὥστ᾽ οὐδὲν ἔτι δεῖ διατρίβειν ἐν τῷδε. καὶ γὰρ ὅσαι κατὰ δυσκρασίαν αὐτῷ γίγνονται διαφοραὶ νοσημάτων, ὡς ὁμοιομερεῖ σώματι συμβαίνουσαι διήλθομεν ἐν ἐκείνοις. ὅσα δ᾽ αὐτῷ συμπίπτειν εἴωθεν ὀργανικὰ νοσήματα, σαφῆ τὴν διάγνωσιν ἔχει. καὶ λαθεῖν ὑμᾶς οὐκ ἂν οὐδὲν αὐτῶν δύναται μεμνημένους τῶν κοινῶν ἐπ᾽ αὐτοῖς σημείων ἔμπροσθέν τε λελεγμένων ἐν τοῖσδε τοῖς ὑπομνήμασιν, ἐν ἑτέροις τέ τισιν εἰρημένων. οὔτε γὰρ ἀποστήματα γιγνόμενα κατὰ τὸν τόπον τοῦτον, οὔτε φλεγμονώδεις ἢ ἐρυσιπελατώδεις ὄγκοι λάθοιεν ἂν ἡμᾶς, ὥσπερ οὐδ᾽ ἕλκη. διάγνωσις μὲν γὰρ αὐτῶν κοινὴ τοῖς ἐπὶ τοῦ στομάχου προειρημένοις. ἐναργεστέρα δὲ τοσοῦτον, ὅσον αἰσθητικώτερον ἐστὶ τὸ μόριον τοῦτο καὶ πρόχειρον καὶ σαφῆ τὴν διάγνωσιν ἔχον. ὡσαύτως δὲ καὶ περὶ τῆς τοῦ αἵματος ἐξ αὐτοῦ πτύσεως. ἡ μὲν τῶν σημείων ἰδέα κοινὴ τοῖς ἐπὶ στομάχου προειρημένοις. ἡ διάγνωσις δὲ ἐναργεστέρα. εἰκὸς μὲν δή που καὶ τὸ κύτος ὅλον τῆς κοιλίας ἐν ὁμοίᾳ διαθέσει ταῖς ἐπὶ τοῦ στόματος αὐτῆς εἰρημέναις γίγνεσθαι, καὶ τὰ συμπτώματα φέρειν ὅμοια. τῷ δ᾽ εἶναι πολὺ βιαιότερα τὰ κατὰ στόμα, παρορᾶσθαί τε καὶ καταφρονεῖσθαι πρὸς τῶν ἰατρῶν, ὡς οὐδ᾽ ὅλως γιγνόμενα, τὰ κατὰ τὸ κάτω μέρος τῆς γαστρὸς ἀλλὰ τό γε τῆς πέψεως ἔργον, ἐν τοῖς μετὰ τὸ στόμα μέρεσι γίγνεσθαι, πάντες ὡμολογήκασιν. ὥστε καὶ τῶν ἀπεψιῶν αἴτιον γίγνεται τοῦτο, μὴ καλῶς διακείμενον. ὅτ᾽ ἂν δηλονότι μὴ διὰ τῶν ἐδεσμάτων ἀταξίαν ἢ τὸ πλῆθος ἢ τὴν ποιότητα, συμβῇ τὸν ἄνθρωπον ἀπεπτῆσαι. ὅσα δ᾽ ἄλλα νοσήματα κοινὰ πάντων ἐστὶ τῶν μορίων, ὀργανικά τε καὶ κατὰ μόνην δυσκρασίαν, εὔδηλον ἔχοντα τὸν πεπονθότα τόπον, οὐκ ἔστιν ἴδια τῆς ἐνεστώσης πραγματείας. ἐν αὐτῇ γὰρ ὅσα διαφεύγει μόρια τὴν αἰσθητικὴν γνῶσιν, ὑπέκειντο σκοπεῖσθαι. περὶ δὲ τῶν ἐμούντων ἐξ αὐτῆς αἷμα, διαπεφώνηται πως, οἰομένων τινῶν ἀδύνατον εἶναι, δι᾽ αὐτῆς γενέσθαι κένωσιν αἵματος ἐξ ἥπατος ἢ σπληνὸς ὁρμηθέντος. ὥσπερ οὐδὲ πύου συῤῥαγέντος ἐξ αὐτῶν. ἐμοὶ δ᾽ ἐπὶ τῶν ἔργων ἐξετάσαντι τὴν ἑκατέρων δόξαν, ἐφαίνετο γίγνεσθαί ποτε δι᾽ αὐτῆς κένωσις ἐκ τῶν εἰρημένων σπλάγχνων. ἀλλ᾽ εἰς τὸν περὶ ἐκείνων λόγον, ἡ τῶν τοιούτων ἀναβεβλήσθω διδασκαλία. καὶ γὰρ ἐφεξῆς τοῖς εἰρημένοις, ἔγνωκα περὶ τῶν καθ᾽ ἧπαρ τε καὶ σπλῆνα διελθεῖν παθῶν. καὶ κατὰ τοῦτο τὸ μόριον ὥσπερ καὶ κατὰ τ᾽ ἄλλα πάντα τὸ διττὸν γένος τῶν νοσημάτων ἐστί. τὸ μὲν ἕτερον, ἐπὶ δυσκρασίᾳ μόνῃ, καὶ χωρὶς ὄγκου παρὰ φύσιν. ἅμα δὲ τοῖς ὄγκοις, ἐρυσιπελατά τε καὶ φλεγμοναὶ καὶ σκίῤῥοι, καὶ πνευματικαὶ διατάσεις, καὶ χυμῶν παχέων ἢ γλίσχρων ἐμφράξεις ἐν τοῖς πέρασι τῶν ἀγγείων γιγνόμεναι, ὅσα τῆς ἐπὶ ταῖς πύλαις αὐτοῦ φλεβὸς ἀφώρμηται. ταύταις μὲν οὖν ἕπεται βάρους αἴσθησις, ἐγκειμένου κατὰ τὸ δεξιὸν ὑποχόνδριον. ὅταν δὲ καὶ πνεύματος ἀτμώδους ἀθροισθῇ πλῆθος, οὐκ ἔχοντος διέξοδον, οὐ βάρους μόνον, ἀλλὰ καὶ τάσεως αἴσθησις γίγνεται. καὶ τὰς φλεγμονὰς δὲ ὅσαι χωρὶς ἀτονίας τοῦ σπλάγχνου γίγνονται. τὰς μὲν ἐν τοῖς κυρτοῖς αὐτοῦ μέρεσιν γινομένας, καὶ μάλισθ᾽ ὅταν ὦσιν μεγάλαι, ῥᾷστον ἂν ἡμῖν γνωρίζειν ἐστὶ καὶ διὰ μόνης τῆς ἁφῆς. τὰς δ᾽ ἐν τοῖς σιμοῖς διὰ τῶν ἑπομένων συμπτωμάτων μᾶλλον, ἢ διὰ τῆς ἁφῆς. ἄρξομαι δ᾽ ἀπὸ τῶν κατὰ τὰ κυρτὰ γιγνομένων. ἀναμνήσας ἡμᾶς πρότερον ὧν ἐν ταῖς ἀνατομαῖς ἐθεάσασθε. τῶν μετὰ τὸ δέρμα τεταγμένων μυῶν ὀκτὼ τὸν ἀριθμὸν ὄντων ἐν συζυγίαις τέτταρσιν. ἔστι γὰρ αὐτῶν ἡ μέν τις ὀρθίων μυῶν ὅλων σαρκωδῶν, ἀπὸ τῶν κατὰ τὰ στέρνα τόπων, ἐπὶ τὰ καλούμενα πρὸς τῶν ἀνατομικῶν ἥβης ὀστᾶ καθηκόντων. ἑτέρων δὲ τριῶν ἄχρι τοῦ ψαῦσαι τῶν ὀρθίων, τὸ σαρκῶδες αὐτῶν μέρος ἐχόντων. ὅταν δ᾽ ἅψωνται πρῶτον αὐτῶν, εἰς ἀπονεύρωσιν ὑμενώδη τελευτώντων. ἡ μὲν οὖν μία συζυγία τῶν μυῶν τούτων, ἥπερ καὶ πάντων ἔξωθεν ἐστὶν ἀπὸ τοῦ θώρακος καταφέρεται λοξὴ πρόσω τε καὶ κάτω φερομένη. δευτέρα δ᾽ ἑτέρα κατὰ τοὐναντίον τῇδε, κάτωθεν ἐρχομένη πρόσω τε καὶ ἄνω φέρεται λοξή. ταύτῃ δ᾽ ὑποβέβληται τρίτη συζυγία μυῶν, ἐγκάρσιον ἐχόντων θέσιν ἐπιβεβλημένων τῷ περιτοναίῳ. τῶν μὲν οὖν ὀρθίων μυῶν οἱ παρὰ φύσιν ὄγκοι, προμήκεις τε εἰσὶ καὶ κατὰ τὸ μέσον ὅλης τῆς γαστρὸς, ἐκτείνονται περιλαμβάνοντες τὸν ὀμφαλὸν, ὥσπερ αὐτὸ τὸ ζεῦγος τῶν μυῶν. ὥστ᾽ εἰκότως εὔδηλον ἔχει τοῦτο τὴν διάγνωσιν, ἐλεγχομένην ἔκ τε τῆς θέσεως καὶ τοῦ σχήματος. καὶ προσέτι τοῦ μηδένα μῦν ἔξωθεν αὐτῶν προκεῖσθαι. κοινὰ δὲ ταῦτ᾽ ἐστὶν καὶ τοῖς ἐκ τοῦ θώρακος καταφερομένοις λοξοῖς. οἱ δ᾽ ὑποβεβλημένοι τούτοις, χαλεπωτέραν ἔχουσι τὴν διάγνωσιν. ἁπάντων τε δυσκολωτάτην οἱ ἐγκάρσιοι. τὸ δ᾽ ἧπαρ εὔδηλον ὅτι καὶ τούτων ἔνδον ἐστὶν ὑπὸ τῷ περιτοναίῳ. τριῶν οὖν ἐπιβεβλημένων αὐτῷ μυῶν, ἡ διὰ τῆς ἁφῆς γνῶσις ἀδύνατός ἐστιν ἄνευ τοῦ μεγάλην αὐτοῦ γενέσθαι τὴν φλεγμονὴν, ἢ λεπτυνθῆναι, τοὺς ἐπικειμένους μῦς. ἀλλὰ τό γε κατὰ τὸ δεξιὸν ὑποχόνδριον βάρος, ἤτ᾽ ἀνασπῶσα ἐξ ἐπιτηδὲς ὅλον τὸ ὑποχόνδριον ὀδύνη, τότ᾽ εἰς τὴν κλεῖν ἄλγημα διατεῖνον, καὶ γὰρ καὶ τοῦτο ποτὲ γίγνεται, βηχία τε σμικρά. καὶ τὸ τῆς γλώττης χρῶμα, κατ᾽ ἀρχὰς μὲν, ἐρυθρότερον γιγνόμενον, ὕστερον δὲ καὶ μελαινόμενον, ἀνορεξία σφοδρά τε καὶ δίψος ἄπαυστον, καί τινες ἔμετοι χολῆς ἀκράτου τε καὶ λεκιθώδους, ὕστερον δέ ποτε καὶ ἰώδους, ἐνδείκνυνται πεπονθέναι τὸ ἧπαρ. ἐπέχεται δ᾽ αὐτοῖς

καὶ ἡ γαστὴρ, ἐάν γε μὴ σὺν ἀτονίᾳ τοῦ σπλάγχνου συμβῇ γίγνεσθαι τὴν φλεγμονήν. ὅμοια δὲ τούτοις ἐστὶ καὶ τὰ τοῦ ἐρυσιπέλατος συμπτώματα καὶ πυρετὸς ἅμα δίψει σφοδροτάτῳ γίνεται τούτοις. τοὺς γοῦν ὑπὸ τῶν παλαιῶν ὀνομαζομένους καύσους ὡς τὸ πολὺ γινομένους ὁρῶμεν, ἐπὶ ταῖς τοῦ ἥπατος ἢ κοιλίας φλογώδεσι διαθέσεσι. γίνονται μὲν γὰρ καυσώδεις πυρετοὶ καὶ δι' ἐρυσιπελατώδη φλεγμονὴν πνεύμονος. ὥσπερ γε καὶ καθ' ὅλον τὸ σῶμα διὰ σηπεδόνα χυμῶν χολωδῶν εἰς ἄμετρον ζέσιν ἀφικνουμένων. ἀλλ' οἱ σφοδρότατοι, διὰ γαστέρα καὶ ἧπαρ εἰώθασι γίνεσθαι. ἐφ' οἷς μορίοις τοὐπίπαν, ἡ μετάπτωσις ἐκ τῶν τοιούτων πυρετῶν εἰς μαρασμὸν τελευτᾷ. περὶ μὲν οὖν μαρασμοῦ γέγραπται κατὰ μόνας. αἱ δὲ κατὰ τὰ σιμὰ μέρη τοῦ ἥπατος γινόμεναι φλεγμοναὶ, πλεονεκτοῦσι τῶν ἐν τοῖς κυρτοῖς, ἀνορεξίαις τε καὶ ναυτίαις, ἐμέτοις τε χολώδεσι καὶ δίψει σφοδρᾷ. καθάπερ αἱ ἐν τοῖς κυρτοῖς τῶν ἐν τοῖς σιμοῖς, τῷ μᾶλλον ὀδυνᾶσθαι κατὰ τὰς εἰρημένας ἀρτίως ἀναπνοὰς καὶ τὸ βηχία κινεῖν, ἀνατείνεσθαί τε μέχρι τῆς δεξιᾶς κλειδὸς τὴν ὀδύνην, ὡς κατασπᾶσθαι δοκεῖν αὐτήν. αἱ νόθαι δὲ πλευραὶ συναλγοῦσι ἀμφοτέραις ἐνίοτε, καὶ τοῦτ' αὐταῖς κοινὸν εἰκότως ἐστὶ συμβαῖνον οὐ πᾶσι, ὅτι μὴ συνῆπται πᾶσι δι' ὑμένων τὸ ἧπαρ ταῖς πλευραῖς, ὡς ἔστιν οὐ μόνον ἐπὶ πιθήκων, ἀλλὰ καὶ τῶν ἄλλων ζώων θεάσασθαι. τοῖς μὲν γὰρ, φαίνεται συνημμένον. τοῖς δ' οὐ γίνεται μὲν οὖν ποτε καὶ τῶν κυρτῶν τοῦ σπλάγχνου μόνον φλεγμονὴ, καθάπερ γε καὶ τῶν σιμῶν. οὐ μὴν, συστῆναί γε δύναται κατὰ θάτερον τῶν μερῶν ἀκριβῶς περιορισθεῖσα. συνεχὴς γάρ ἐστιν ἡ σὰρξ τοῦ σπλάγχνου κατὰ πάντα αὐτοῦ τὰ μόρια. τοῖς μὲν τῇ φύσει λεπτὸν ἔχουσι τὸ ἐπιγάστριον, ὅταν τε διὰ τὸ νόσημα γένηται λεπτότερον, ὑποπίπτουσιν σαφέστερον αἱ μεγάλαι φλεγμοναὶ τοῦ ἥπατος, ἴδιον ἔχουσαι παρὰ τοὺς ἐπικειμένους μῦς τὸ κατὰ περιγραφὴν ἀθρόαν παύεσθαι τὸν ὑποπίπτοντα ταῖς χερσὶν ὄγκον. ἕκαστος γὰρ τῶν μυῶν ἅτε συνεχὴς ὅλως ὑπάρχων ἑαυτῷ, κατὰ βραχὺ μειούμενον ἔχει τὸν ὄγκον τῆς φλεγμονῆς. τῷ δ' ἥπατι μόνῳ συμβέβηκεν ἀθρόως περιγραφόμενον ἴσχειν αὐτόν. δῆλον δ' ὅτι σκιῤῥουμένου ἐναργεστέραν ἔχει τὴν διάγνωσιν, αὐτοῦ τε τοῦ κατὰ τὸν σκίῤῥον ὄγκου σκληροτέρου τοῦ φλεγμονώδους ὑπάρχοντος, καὶ λεπτυνομένων τῶν ἐπικειμένων σωμάτων ἐν ταῖς τοιαύταις διαθέσεσι. προϊόντος δὲ τοῦ χρόνου, καί τοι μείζονος γινομένου τοῦ κατὰ τὸν σκίῤῥον ὄγκου, συμβαίνει τὴν διάγνωσιν αὐτοῦ πρός τε τὴν ἁφὴν δυσκολωτέραν γίνεσθαι, τῷ φθάνειν ἤδη παρέγχυσιν ὑδερικὴν ἕπεσθαι. χωρὶς μὲν γὰρ τοῦ παθεῖν τὸ ἧπαρ οὐκ ἂν γένοιτο τοιοῦτον πάθος. οὐκ ἀεὶ δὲ κατὰ πρωτοπάθειαν αὐτοῦ συνίσταται, κἂν ὅτι μάλιστα διὰ τοῦτο γίγνεται. διότι μὲν γὰρ αὐτὸ τῆς αἱματώσεως ἐστὶν ὄργανον, ἀκόλουθόν ἐστιν ἀποτυγχάνεσθαι τὴν ἐνέργειαν, ἐπὶ τῇ τοῦδε τοῦ σπλάγχνου κακώσει. συμβαίνει δ' ὡς ἔφην ἄλλοτ' ἄλλου μέρους ἐν δυσκρασίᾳ πάνυ ψυχρᾷ γινομένου, διαδίδοσθαι τὴν ψύξιν εἰς ἧπαρ. ἐπὶ μὲν οὖν σπληνὶ καὶ κοιλίᾳ καὶ πᾶσι τοῖς ἐντέροις, καὶ μάλιστα τοῖς κατὰ τὴν νῆστιν, αἱ κατὰ τὸ μεσεντέριον ἅπασαι φλέβες ἐκτικὴν δυσκρασίαν παθοῦσι, συγκαταψύχουσιν ἑαυταῖς ῥᾳδίως, τὰς ἐν τοῖς σιμοῖς μέρεσιν τοῦ ἥπατος, ἁπάσας φλέβας. ἐξ ὧν καὶ εἰς αὐτὸ τὸ σῶμα τοῦ ἥπατος ὅλον, ἡ διάδοσις γίνεται τῆς δυσκρασίας. ἐπὶ δὲ πνεύμονι, καὶ διαφράγματι καὶ νεφροῖς, αἱ κατὰ τὰ κυρτὰ τοῦ σπλάγχνου φλέβες, εἰς συμπάθειαν ἔρχονται πρότεραι, συνδιατίθεται δὲ τῷ χρόνῳ δηλονότι καὶ ταύταις, ὅλον τὸ σπλάγχνον. ταῦτα μὲν οὕτως ἔχειν ὡς εἴρηται νῦν, οὐδεὶς ἂν ἀμφισβητήσειεν, πλὴν εἴ τις ἐριστικὸς ἢ παντάπασιν ἀμαθὴς εἴη. περὶ δὲ τῶν ἐμφράξεων οὐχ ὁμοίως εὔδηλον. ὅτι μὲν γοῦν αἱ κατὰ τὰ σιμὰ τοῦ σπλάγχνου φλεβῶν, ἀπὸ τῆς ἐπὶ πύλας πεφυκυῖαι τελευτῶσι εἰς λεπτότατα πέρατα, σαφῶς φαίνεται, καθάπερ γε καὶ ὅτι πρὸς τὸν αὐτὸν ἀφικνεῖται τόπον, ἕτερα πέρατα τῶν ἀπὸ τῆς κοίλης εἰς τὰ κυρτὰ τοῦ σπλάγχνου κατασχιζομένων. οὐ μὴν ἄντικρυς συναναστομώσεις αὐτῶν ὁρῶνται, οὐ μὴν οὐδ' ἠμφισβήτησέ τις, ἀλλὰ πάντες ὡς ἐξ ἑνὸς στόματος ἀπεφήναντο, τὴν ἀναδιδομένην τροφὴν εἰς ὅλον τὸ σῶμα, διεξελθοῦσαν πάσας τὰς κατὰ σιμὰ φλέβας, εἰς τὰς κατὰ τὰ κυρτὰ, μεταλαμβάνεσθαι διὰ τῶν εἰρημένων περάτων. ὁμολογουμένου δὴ τούτου, καὶ τοῦ τῶν φλεβῶν φλεγμαινόντων τε καὶ σκιῤῥουμένων, ὄγκου στενοῦντες τὴν διέξοδον τοῦ αἵματος, εὔλογον εἶναι φαίνεται καθάπερ ἔδοξε τισὶν, ὅσον λεπτόν ἐστι καὶ ὑδατῶδες, ἐν αἵματι μεταληφθήσεσθαι, καὶ παντὶ τοῦ σώματος ἐνεχθήσεσθαι. τὸ δ' ἀκριβὲς αἷμα, τὸ διὰ πάχος αὐτοῦ κατὰ τὰ σιμὰ τοῦ σπλάγχνου μένον, αἴτιον αὐτῷ γενήσεσθαι πληθωρικῶν νοσημάτων. ἀνασκεπτομένοις ἡμῖν τὴν δόξαν τήνδε, τὸ μὲν τοῖς εἰρημένοις ὁμολογεῖν ἔδοξα, τὸ δέ τι καὶ διαφέρεσθαι τοῖς φαινομένοις. τὸ μὲν γὰρ ὑδατῶδες ἐν αἵματι, μεταληφθὲν εἰς τὴν κοίλην φλέβα, πανταχόσε τοῦ σώματος ἀναδίδοσθαι, τοῖς προωμολογουμένοις ἀκόλουθον φαίνεται. καθάπερ γε καὶ τὸ παχύτερον αἷμα, στεγόμενον ἐν ταῖς κατὰ τὸ σπλάγχνον φλεψὶν, εἴς τε τὴν νῆστιν καὶ τὸ λεπτὸν ἔντερον καὶ τὸ κῶλον, καὶ τὸ τυφλὸν καὶ τὸ ἀπευθυσμένον ἀντικαταφέρεσθαι. τάχα δ' ἄν τινα φάναι καὶ εἰς αὐτὴν τὴν γαστέρα. οὐ μὴν φαίνεται τοῦτο γινόμενον οὔτ' ἐπὶ τοῖς παρὰ φύσιν ὄγκοις τοῦ ἥπατος, οὔτ' ἐπὶ ταῖς ἐμφράξεσιν. ἀλλὰ τὸ μὲν ὅλον ἄνω καὶ κάτω σῶμα, φλεγματικὸν αἷμα περιέχειν φαίνεται, κατά τε τοὺς ἀνὰ σάρκα τε καὶ λευκοφλεγματίας καὶ ὑδέρους ὀνομαζομένους. διὰ δὲ τῆς γαστρὸς οὐδὲν αἱματῶδες, οὔτ' ἐν τούτοις, οὔτ' ἐν τοῖς ἀσκίταις τε καὶ τυμπανίαις ἐκκρίνεται. τῆς δ' ὑδατώδους ὑγρότητος, ἐμπίπλαται μεταξὺ τοῦ περιτοναίου καὶ τῶν ὑποκειμένων αὐτῷ σωμάτων. εὐλογώτερον οὖν ἐστιν ἐπὶ τῇ ψύξει τοῦ σπλάγχνου, μὴ μεταβάλλειν εἰς αἷμα τὴν ἀναδιδομένην τροφὴν, ἀλλὰ καὶ συγκαταψύχεσθαι τὰς ἐν ὅλῳ τῷ σώματι φλέβας. καὶ μάλισθ' ὅτι πολλάκις, ὄγκος μὲν οὐδεὶς ἐν ἥπατι φαίνεται. παρεγχύσεσι δ' ὑδρωπικαῖς ἁλίσκονται, σπληνὸς κακοπραγοῦντος, ἢ τῶν κατὰ τὴν νῆστίν τε καὶ τὸ λεπτὸν ἔντερον καὶ μεσάραιον. ἢ πνεύμονα καὶ νεφροὺς, ἢ καὶ δι' ἄμετρον αἱμοῤῥοΐδος κένωσιν, ἢ ῥοῦν γυναικεῖον, ἢ καταμηνίων ἐπίσχεσιν, ἢ τινὰ ἄλλην ἐν ὑστέρᾳ μεγάλην διάθεσιν. ὁρᾶται γοῦν ἐν ἅπασι τοῖς τοιούτοις, οὐδένα παρὰ φύσιν ὄγκον ἔχοντος τοῦ σπλάγχνου, τοῖς ὑδερικοῖς ἁλίσκεσθαι νοσήμασι τὸ σῶμα. μάλιστα δ' ἐναργές ἐστιν, εἰδέναι τοῦτο τοῖς ἱστορήσασιν ἐπ' ἀκαίρῳ πόσει ψυχροῦ, καταψυχθὲν ἀθρόως τὸ ἧπαρ ὡς εὐθέως ἐργάσασθαι παρέγχυσιν ὑδερικὴν, πρὶν εἰς ὄγκον ἀρθῆναι σκιῤῥώδη. τοῖς δ' οὕτως παθοῦσιν, ὄρεξις σιτίων ἰσχυρὰ γίνεται, καὶ οὐδὲν

θαυμαστὸν

θαυμαστόν. ἐμάθομεν γὰρ ὑπὸ τοῦ περὶ τὸ τῆς γαστρὸς στόματι ψυχομένου, τὰς τοιαύτας ὀρέξεις συμβαινούσας. ἀλλὰ περὶ μὲν ὑδέρων ἢ ὑδρώπων ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλει, πρός γε τὴν ἐνεστῶσαν ὑπόθεσιν ἀρκεῖ καὶ ταῦτα. πότερον δὲ διαπαντὸς ἐν τοῖς ἰκτέροις ὁ πεπονθὼς τόπος ἧπάρ ἐστιν, ἢ καί τις ἄλλη διάθεσις ἐργάζεται τὸ πάθος ἐφεξῆς, μεταβάντες ἤδη σκοπῶμεν. ὁρᾶται γάρ ποτε μηδὲν ὅλως πεπονθότος τοῦ σπλάγχνου, τότε χολῆς ὠχρᾶς ἀνάχυσις εἰς τὸ δέρμα γιγνομένη κριτικῶς, ὥσπερ ἄλλα τινὰ τῶν ἀποσκημμάτων. ὁρᾶται δὲ καὶ χωρὶς κρίσεως, ἐκχολουμένου ἐνίοτε τοῦ αἵματος κατά τινα διαφθορὰν ἀλλόκοτον, ὁποία καὶ θηρίων δακνόντων γίνεται. δηχθεὶς γοῦν τις τῶν αὐτοκρατορικῶν οἰκετῶν, οἷς ἔργον ἐστὶν ἐχίδνας θηρεύειν, ἄχρι μέν τινος χρόνου, τῶν συνήθων ἑαυτῷ φαρμάκων ἔπινέ τι. μεταβαλλούσης δ' αὐτῷ τῆς χροιᾶς ὅλης, ὡς γενέσθαι πρασοειδῆ, προσελθὼν ἡμῖν, ἕκαστά τε διηγήσατο, καὶ πίνων τῆς θηριακῆς ἀντιδότου, τάχιστα τὴν κατὰ φύσιν ἀνεκτήσατο χρόαν. ἐζητημένου δὲ τοῖς ἰατροῖς εἰ φαρμακείας ἐστὶν ἴδια σημεῖα, διὰ τὸ πολλάκις ἑωρᾶσθαι, χωρὶς τῶν θανασίμων φαρμάκων, εἰς διαφθορὰν χυμῶν ἀφικνούμενον τὸ σῶμα, παραπλησίαν τῇ διὰ τῶν φαρμάκων γιγνομένῃ θαυμαστὸν οὐδέν ἐστι, καὶ τοιαύτην ποτὲ συμβῆναι ῥοπὴν τῶν χυμῶν, ὡς ἰκτεριωθῆναι τὸ πᾶν σῶμα. δύναται δὲ καὶ διὰ τὴν αὐτοῦ τοῦ ἥπατος ἀλλοίωσιν τῆς κατὰ φύσιν κράσεως, ἡ τοιαύτη γενέσθαι κακοχυμία, χωρὶς ἐμφράξεως ἢ φλεγμονῆς ἢ σκίρρου. καὶ γὰρ οὖν καὶ φαίνεταί γε σαφῶς, ἐνίοτε μὲν ὅμοιον ὠχρολευκοῖς ποαῖς ὅλον τὸ σῶμα γιγνόμενον. ἐνίοτε δὲ μολίβδῳ παραπλήσιον ἔχον τὴν χρόαν, ἢ καὶ φαιοτέραν τῆσδε, καί τινας ἄλλας ἀρρήτους ἰδιότητας χρωμάτων, ἐπὶ κακοπραγίαις ἥπατος, ἄνευ τῶν παρὰ φύσιν ὄγκων. ὥσπερ γε καὶ διὰ σπλῆνα τοιαῦται γίγνονται, πολλῷ μελάντεραι τῶν ἐφ' ἥπατι, χαλεπαὶ μὲν, ἑρμηνευθῆναι. γνωρισθῆναι δὲ ῥᾶσται τοῖς πολλάκις ἑωρακόσιν. Στησιανὸν γοῦν ὁπότ' ἐπὶ τῆς διαγνώσεως ἦν, οὐκ οἶδ' ὅπως ἔδοξαν οἱ πλείους τῶν ἐπισκεπτομένων ἰατρῶν, ἀπόστασιν ἔχειν ἐν ἥπατι. κἀπειδὴ πλείονι χρόνῳ, μηδὲν ἐπεδίδου πρὸς τὸ βέλτιον, ἐκάλεσαν κἀμέ, θεασάμενος οὖν αὐτόν, ἅμα τῷ πρῶτον εἰσελθεῖν εἰς τὸν οἶκον ἔνθα κατέκειτο, τοῦτο μὲν ἔφην ἤδη γίνωσκε, μηδὲν ἐν τῷ σπλάγχνῳ σοι κακὸν εἶναι. τὰ δ' ἄλλα γυμνώσας τὸ ὑποχόνδριον εἴσομαι. καὶ ἦν τοῦτο τῶν ἐν τῷ βάθει μυῶν ἀπόστημα καὶ συνείλεκτο πύον ἤδη μεταξὺ τῶν τε ἐγκαρσίων καὶ τῶν κάτωθεν ἄνω φερομένων λοξῶν, οὓς μέσους ἴστε κειμένους, τῶν τε τοῦ περιτοναίου ψαυόντων ἐγκαρσίων, καὶ τῶν ἐπὶ πολλῆς ἐπὶ τῷ δέρματι λοξῶν ἄνωθεν κάτω φερομένων. οὕτω δὲ καὶ ἄλλους πολλούς, ἴστε με σημειωσάμενον, ὡς ἐκ τῆς χροιᾶς ἀποφήνασθαι, ποτὲ μὲν, ἧπαρ εἶναι τὸ πεπονθὸς αὐτοῖς. ποτὲ δὲ σπλῆνα, μήτε τῶν προγεγονότων ἀκηκοότα τι, μήτε διὰ τῆς ἁφῆς γνωρίσαντα τὸ πάθημα τῶν σπλάγχνων. διὸ καὶ πολλάκις ἀκούετέ μου καταρωμένου τοῖς πρώτως τολμήσασιν ἑαυτοὺς προστάτας μὲν ἰατρικῆς θεωρίας ἀποφῆναι, θεραπεύειν δὲ τοὺς νοσοῦντας οὐ βουληθέντας. οἱ πλεῖστοι δὲ τούτων, ἐμπειρικοί τε καὶ μεθοδικοὶ γεγόνασιν. οἷς ἄν τις λέγῃ δυνατὸν εἶναι, διὰ μόνης τῆς χροιᾶς ἐνίοτε διαγνῶναι τὸν πεπονθότα τόπον, ἀνοίξαντες τὸ στόμα, τὴν ἀναίσχυντον αὐτῶν γλῶτταν, ὥσπερ τινὰ κύνα λυττῶντα, τοῖς διαλεγομένοις ἀφιᾶσιν. ἀλλ' οὐ πρὸς ἐκείνους ὁ νῦν ἐνεστηκὼς λόγος. ὥστ' ἤδη καιρὸς ἐφ' ἕτερον ἰέναι γένος συμπτωμάτων, ἐνδεικνυμένων ἥπατος ἀτονίαν αὐτὴν καθ' ἑαυτὴν μόνην, ἄνευ φλεγμονῆς ὥσπερ γε καὶ μικρὸν ἔμπροσθεν, ὁ περὶ τῆς φλεγμονῆς αὐτοῦ λόγος, ἐλέχθη μόνος, ἄνευ τῆς ἐπὶ τὴν οἰκείαν δύναμιν ἀρρωστίας. Ἐπεὶ τοίνυν ἔργον ἥπατος ἴσμεν, αἵματος γένεσιν, εἴτις ἂν αἰτία τοῦτο ποιεῖν πέφυκεν, δύναμιν ἥπατος αὐτὴν ἐροῦμεν ὑπάρχειν ἰδίαν. πρόσκειται δὲ τῷ λόγῳ τὸ ἰδίαν, διὰ τὰς κοινὰς ἁπάντων τῶν ἐν ἡμῖν μορίων. ἃς ἐν τῇ περὶ τῶν φυσικῶν δυνάμεων πραγματείᾳ, διήλθομεν, ἑλκτικήν τε λέγω καὶ καθεκτικὴν καὶ ἀποκριτικήν. ἡ γὰρ τετάρτη κατὰ τὸ γένος ἡ ἀλλοιωτικὴ κατ' εἶδος ἐστὶν ἡ αἱματοποιητική. πασῶν δὲ τῶν δυνάμεων τὰς οὐσίας, ἐν ταῖς τῶν μορίων οἰκείαις κράσεσιν ἐμάθετε ὑπάρχειν. συμβήσεται τοιγαροῦν καὶ κατὰ τὸ ἧπαρ, ὅταν εἴς τινα τῶν ὀκτὼ δυσκρασιῶν ἀφίκηται, βλάπτεσθαι τὰς δυνάμεις αὐτοῦ βλάβας οἰκείας τῇ δυσκρασίᾳ, περὶ ὧν εἴρηται μὲν ὁ κοινὸς λόγος, ἐν τῷ τρίτῳ τῶν ἐν τοῖς συμπτώμασιν αἰτιῶν. ὁ δὲ ἴδιος ἑκάστου κατ' εἶδος, ἀνάλογον τῷ κοινῷ. κατὰ γοῦν τὸ ἧπαρ. αἱ μὲν θερμαὶ δυσκρασίαι κατοπτῶσιν καὶ συγκαίουσιν τούς τε προϋπάρχοντας ἐν αὐτῷ χυμούς, καὶ τοὺς διὰ τῶν ἐν μεσεντερίῳ φλεβῶν ἀναφερομένους. αἱ δὲ ψυχραί, παχὺν μὲν καὶ δύσρουν καὶ δυσκίνητον ἐργάζονται τὸν ἤδη περιεχόμενον ἐν αὐτῷ· φλεγματικὸν δὲ καὶ ὠμὸν ἡμίπεπτον τὸ ἀναφερόμενον. οὕτως δὲ καὶ τῶν ἄλλων δυοῖν, ἡ μὲν ξηρὰ δυσκρασία, ξηροτέρους καὶ παχυτέρους ἐργάζεται τοὺς χυμούς. ἡ δ' ὑγρὰ, λεπτομερεστέρους καὶ ὑδαρεστέρους. ὅταν οὖν ποτ' ἴδῃς τε διαχωρήματα, οἷον νεοσφαγῶν κρεῶν πλύμασιν ἐοικότα, βεβαιότατον γνώρισμα τοῦθ' ἡμῖν ἔστω πάθους ἡπατικοῦ. καλεῖται δ' ἐξαιρέτως ἡπατικά, τὰ διὰ τὴν ἀρρωστίαν αὐτοῦ τῆς δυνάμεως. τῆς γάρ τοι τοῦ ἥπατος οὐσίας ἐστὶ ταῦτ' ἴδια παθήματα. μεμαθήκατε δ' ὡς ἑκάστου τῶν πρώτων σωμάτων ἡ οὐσία, κατὰ τὴν κρᾶσιν ἐστὶ τῶν τεττάρων ποιοτήτων. ὁμοίως δὲ κἂν οἷον αἷμα τρύγα θεάσασθε δι' ἕδρας ἐκκριθεῖσαν, ἡπατικὸν ἴστε καὶ τοῦτ' εἶναι γνώρισμα. τὸ μὲν οὖν λεπτὸν καὶ ἰχωροειδές, ἀρρωστοῦντος ἐξαιματοῦν ἐστὶ τοῦ σπλάγχνου γνώρισμα. τὸ δ' οἷον τρύξ, ὑπεροπτῶντος τὸ αἷμα. καὶ μέντοι καὶ τοῦτο πολλάκις ἑωρακότες, μέμνησθε κατ' ἀρχὰς μὲν ἰχῶρας αἱματώδεις ἐκκρινομένους ἐπὶ προήκοντι δὲ τῷ χρόνῳ τὸ παχὺ καὶ μελαγχολικὸν αἷμα. τὰ τελευταῖα δὲ καὶ μέλαιναν ἀκριβῶς χολήν. ἄρχεται μὲν γὰρ ἐνίοτε καὶ χωρὶς πυρετοῦ, τὸ κατὰ τὴν ψυχρὰν δυσκρασίαν πάθος, ἡνίκα λεπτὸς ἰχὼρ αἱματώδης ἐκκρίνεται. προϊόντος δὲ τοῦ χρόνου καὶ διαφθειρομένου τοῦ κατὰ τὸ σπλάγχνον αἵματος, ἐπιγίγνονται πυρετοί. καὶ λίαν γε καταφρονοῦσιν αὐτῶν οἱ ἄπειροι καί ποτε καὶ τελέως ἀπύρετος αὐτοῖς ἔδοξεν ὁ κάμνων εἶναι. καὶ γεγονέναι τοῦτο λογίζονται διὰ τὰς ἀσιτίας, ἃς, διὰ τὴν ἀνορεξίαν μᾶλλον ἢ τὴν τῶν ἰατρῶν πρόσταξιν οἱ πάσχοντες οὕτω ποιοῦνται. κατὰ γαστέρα τε οὖν οὐδενὸς ἐκκριθέντος ἐν τῷ μεταξύ, καὶ τοῦ πυρετοῦ δόξαντος οὐδ' ὅλως εἶναι, λούουσίν τε καὶ συγχωροῦσιν ἀμελέστερον διαιτηθῆναι. καὶ οὕτως αὖ πάλιν ἥ τε γαστὴρ ἐκκρίνει διεφθαρμένα τὰ σιτία. καί τι καὶ τῶν ἡπατικῶν ἀκολουθεῖ διαχωρημάτων. ἐνίοις δὲ τὴν κατὰ ψυχρὰν δυσκρασίαν ἀρξαμένων νοσεῖν, οὐ μόνον οὐδὲν ἐκλύεται τὰ τῶν

ὀρέξεων, ἀλλὰ καὶ τείνουσιν ἐνίοτε φασὶν νῦν μᾶλλον ἢ πρόσθεν. οὐ μὴν ταῖς γε θερμαῖς δυσκρασίαις ἕπεται ποτ' ὀρέξεις σιτίων ἀλλ' ἀνορεξία τε δεινὴ καὶ δίψος καρτερόν. καὶ πυρετὸς οὐκ ἀγεννής. καὶ μοχθηρῶν χυμῶν ἔμετος. ταῦτα μὲν οὖν ἴδια συμπτώματα τῶν ἡπατικῶν ἐστίν. ὀνομάζεσθαι δ' οὕτως ἔφην ἐκείνους οἷς ἄρρωστος ἡ τοῦ σπλάγχνου δύναμίς ἐστι. ἐφ' ὧν οἱ πλείους τῶν ἰατρῶν ἐξαπατώμενοι, δυσεντερίαν εἶναι νομίζουσιν τὸ πάθος. ἕτερα δ' ἐστὶν ὡς εἴρηται τὰ τῆς φλεγμονῆς συμπτώματα. καί ποτε συνελθόντων ἀμφοτέρων τῶν παθῶν, ἑκάτερα φαίνεται, καὶ χρὴ πρόχειρον αὐτῶν ἔχειν τὴν μνήμην. οὕτως γὰρ οὐ μόνον ἐπαινεῖσθαι πρὸς τῶν χρωμένων ἡμῖν. ἀλλὰ καὶ θαυμάζεσθαι γίγνεται, προσεπιθεωροῦσιν καὶ τὰ κοινὰ πρὸς ἕτερα πάθη. καθάπερ τὸ διήκειν εἰς τὰς νόθας πλευρὰς τὸ ἄλγημα. καὶ συγκατασπᾶσθαι δοκεῖν, τὴν κλεῖν, ἀναπνεῖν τε μικρὸν καὶ πυκνόν. ἐγὼ γοῦν ὁπότε πρῶτον εἰς ῥώμην ἀνῆλθον, ὑπὸ γλαύκωνος τοῦ φιλοσόφου μεγάλως ἐθαυμάσθην, ἐπὶ τοιᾷδέ τινι διαγνώσει. συντυχὼν γάρ μοι καθ' ὁδὸν ἔφασκεν ἐν καιρῷ φανῆναι. καὶ οὕτως ἐμβαλὼν τῇ χειρὶ τὴν χεῖρα, πλησίον ἔφη τοῦ κάμνοντος ἐσμέν, ὃν ἤκουσε θεασάμενος ἄρτι. καὶ παρακαλῶ μετ' ἐμοῦ παραγενέσθαι σε πρὸς αὐτόν. ἔστι δὲ ὁ ἀπὸ τῆς σικελίας ἰατρὸς ὃν πρὸ ἡμερῶν ὀλίγων ἐθεάσω περιπατοῦντα σὺν ἐμοί. τί δὲ καὶ τὸ λυποῦν ἔφην αὐτόν ἐστιν. ὁ δὲ καὶ μάλα † παρατεταγμένως ὡμολόγησεν, ἐκ φανερωτάτου. καὶ γὰρ ἦν οἷος μὴ δὲ κρυψίνους εἶναι, μὴ δὲ πανοῦργος. ἐπεί μοι φησὶν ἀπήγγειλαν χθές τινες περὶ γοργίαν καὶ ἀπελᾶν, διαγνώσεις τε καὶ προγνώσεις πεποιῆσθαί σε μαντικῆς μᾶλλον ἢ ἰατρικῆς ἐχομένας. ἐπιθυμῶ πεῖραν αὐτὸς λαβεῖν, οὐ σοῦ τοσοῦτον, ὅσον τῆς κατ' ἰατρικὴν τέχνης. εἰ καὶ τοιαῦτα διαγιγνώσκειν τε καὶ προγιγνώσκειν δύναται. ταῦτά τε οὖν ἔλεγεν. καὶ ἡμεῖς ἦμεν ἐπὶ τῇ θύρᾳ τοῦ κάμνοντος. ὡς μὴ δ' ἀμείψασθαί με τῷ λόγῳ δυνηθῆναι, τὴν πρόκλησιν αὐτοῦ. μὴ δ' εἰπεῖν ἅπερ ἴστε, λέγοντά με πολλάκις, ὡς ἐνίοτε μὲν ἡμῖν εὐτυχῶς φαίνεται τινὰ τῶν βεβαίων σημείων ἐνίοτε δ' ἀμφίβολα πάντ' ἐστί. καὶ διὰ τοῦτο, δευτέραν καὶ τρίτην ἐπίσκεψιν ἀναμένομεν. ἀλλὰ τοι μετὰ τὴν πρώτην εἴσοδον, ἀπήντησέ τις ἡμῖν λεκάνην ἐκ τοῦ κοιτῶνος ἐκκομίζων, εἰς τὸν κοπρῶνα ἔχουσαν οἷον κρεῶν νεοσφαγῶν πλῦμα, λεπτὸν αἱματώδη ἰχῶρα, βεβαιότατον σημεῖον ἥπατος πάσχοντος. ὡς οὖν μὴ δ' ὅλως ἑωρακὼς αὐτό, εἰσῆλθον ἅμα τῷ γλαύκωνι πρὸς τὸν ἰατρόν, ἐπέβαλόν τε τὴν χεῖρα τῷ καρπῷ, βουλόμενος γνῶναι, πότερον καὶ φλεγμονή τις εἴη κατὰ τὸ σπλάγχνον, ἢ μόνον ἀτονία. ἰατρὸς δ' ὢν ὡς ἔφην ὁ κατακείμενος. ἀρτίως ἔφη κατακεκλίσθαι μετὰ τὸ διαχωρῆσαι, ὥστε προσλογίζου τι τῇ πυκνότητι τῶν σφυγμῶν, καὶ διὰ τὴν ἐξανάστασιν προσγεγονέναι. ὁ μὲν οὖν ταῦτ' ἔλεγεν. ἐγὼ δ' εὗρον φλεγμονῆς ἔμφασιν. εἶτα καὶ θεασάμενος ἐπικείμενον τῇ θυρίδι χυτρίδιον μικρόν, ὕσσωπον ἔχον ἐν μελικράτῳ παρεσκευασμένον, ἐλογισάμην οἴεσθαι τὸν ἰατρὸν, ἑαυτὸν εἶναι πλευριτικόν. ἀλγήματος αὐτῷ κατὰ τὰς νόθας πλευρὰς ὑπάρχοντος. ὃ καὶ ταῖς περὶ τὸ ἧπαρ φλεγμοναῖς ἐπιγίγνεταί ποτε. τούτου τοίνυν αἰσθανόμενον αὐτόν, ἀναπνέοντά τε πυκνὸν καὶ μικρόν, ὀρεθιζόμενόν τε βηχίοις μικροῖς, ἐνενόησα νομίζειν ἑαυτὸν εἶναι πλευριτικόν. καὶ διὰ τοῦτο παρεσκευακέναι τὸ ὕσσωπον ἐν τῷ μελικράτῳ, παρεχούσαν οὖν μοι καὶ τὴν τύχην ὁδόν, ὡς εὐδοκιμῆσαι παρὰ τῷ γλαύκωνι συνιδών, ἐπήνεγκα τὴν ἐμαυτοῦ χεῖρα ἐπὶ τῶν τοῦ κάμνοντος ἐν τῷ δεξιῷ μέρει νόθων πλευρῶν. καὶ δεικνὺς ἅμα τὸν τόπον, ἔφην ἀλγεῖν αὐτὸν ἐνταῦθα, τοῦ δ' ὁμολογήσαντος, ὁ γλαύκων ἐκ τοῦ σφυγμοῦ μόνου τὴν διάγνωσιν τοῦ πεπονθότος τόπου νομίσας γεγονέναι, καταφανὴς ἦν μοι θαυμάζων. ὅπως οὖν αὐτὸν μᾶλλον ἐκπλήξαιμι, προσετίθην καὶ ταῦτα καθάπερ ἔφην ὡμολόγηκας ἐνταυθοῖ ἀλγεῖν, προσομολόγησον ὅτι καὶ τοῦ βῆξαι γίγνεταί σοι προθυμία, καὶ βήττεις ἐκ διαστημάτων μειζόνων, βηχία σμικρὰ ξηρά, μηδενὸς ἀναπτυομένου. ταῦτα λέγοντος ἐμοῦ, κατὰ τύχην ἔβηξεν τοιοῦτον εἶδος βηχός, ὁποῖον ἔλεγον. ὥστε τὸν γλαύκωνα μεγάλως θαυμάσαντα, μὴ κατέχειν ἑαυτὸν ἀλλ' ἐπαινεῖν κεκραγότα μεγάλῃ τῇ φωνῇ. μὴ τοίνυν ἔφην ἐγὼ ταῦτα μόνα δοκεῖν τὴν τέχνην ἱκανὴν εἶναι μαντεύεσθαι περὶ τοὺς κάμνοντας, ἀλλὰ καὶ πρὸς αὐτοῖς ἔτι, ταυτὶ τὰ νῦν ἐμοὶ λεχθησόμενα, μαρτυρήσει δ' αὐτοῖς ὁ κάμνων αὐτός. ἐντεῦθεν δὲ πάλιν ἀρξάμενος, ἔφην πρὸς αὐτόν. ὅτ' ἂν ἀναπνεύσῃς μεῖζον, αἰσθάνῃ μὲν δή που καὶ τῆς κατὰ τὸ χωρίον ὀδύνης, ὃ ἔδειξά σοι σφοδροτέρας γιγνομένης, αἰσθάνῃ δὲ καὶ βάρους ἐγκειμένου κατὰ τὸ δεξιὸν ὑποχόνδριον. ἐπὶ τούτοις τοῦ δ' αὐτοῦ ὁ νοσῶν ἔτι ἡσύχαζεν, ἀλλὰ θαυμάζων ἐκεκράγει μετὰ τοῦ γλαύκωνος. αἰσθανόμενος οὖν ἐγὼ τῆς κατὰ τὸν καιρὸν ἐκεῖνον εὐτυχίας, ἐτόλμων μὲν εἰπεῖν τι, καὶ περὶ τῆς κλειδὸς ὡς κατασπωμένης. εἰδὼς δὲ ταῖς μεγάλαις αὐτοῦ φλεγμοναῖς ἑπόμενον, ὥσπερ οὖν καὶ τοῖς σκίρροις, οὐκ ἐθάρρουν εἰπεῖν, εὐλαβούμενος ἀποθραῦσαι τι τῶν ἔμπροσθεν ἐπαίνων, ἐπῆλθεν οὖν μοι μετ' ἀσφαλείας ἀποφήνασθαι. καὶ προσβλέψας τῷ κάμνοντι τῆς κλειδὸς ἔφην ὑποκατασπωμένης αἰσθήσῃ διὰ ταχέος εἰ μὴ τυγχάνει σοι γεγονὸς ἤ δή που τοῦτο, συνομολογήσαντος δ' αὐτοῦ, θεασάμενος ἐγὼ τὸν κάμνοντα θαυμαστῶς ἐκπεπληγότα, μίαν εἶπον τι προσθήσω τοῖς εἰρημένοις μαντείαν. ὁρῶ γὰρ καὶ τὴν τοῦ κάμνοντος ὑπόληψιν, ἣν ἔχει περὶ ὧν πάσχει παθημάτων. ὁ μὲν οὖν γλαύκων οὐκ ἀπελπίζειν οὐδὲ ταύτης ἔφη τῆς μαντείας. αὐτὸς δ' ὁ νοσῶν ἐπὶ τῷ παραδόξῳ τῆς ὑποσχέσεως ἐκπεπληγώς, ἐνέβλεπέ μοι δριμύ, προσέχων τὸν νοῦν τῷ ῥηθησομένῳ. καὶ δὴ καὶ φάντος μου, πλευρῖτιν αὐτὸν οἴεσθαι τὴν ἐνοχλοῦσαν εἶναι νόσον, ὁ μὲν ἐμαρτύρησεν θαυμάζων οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ὁ παρεστὼς αὐτῷ καὶ ὁ καταντλήκως ὡς πλευριτικὸν ἐλαίῳ πρὸ βραχέος. ὁ δὲ γλαύκων ἐξ ἐκείνου, περί τε ἡμῶν καὶ ὅλης τῆς ἰατρικῆς ἔσχεν ἀξιόλογον ὑπόληψιν. ἔμπροσθεν οὐδὲν μέγα τὴν τέχνην ἔχειν οἰόμενος, ἐκ τοῦ μηδέποτε συντετυχηκέναι παρεσκευασμένοις κατ' αὐτὴν ἀξιολόγοις ἀνδράσιν. εἴρηταί μοι ταῦτα πρὸς ὑμᾶς ὅπως εἰδότες, τά τ' ἴδια πάθους ἑκάστου συμπτώματα, καὶ τὰ κοινὰ πρὸς ἕτερα πάθη. καὶ σὺν αὐτοῖς ἔτι τὰ μὲν ἑκατέρου γένους ἀχώριστα. τὰ δ' ὡς ἐπὶ τὸ πολύ. τὰ δ' ἀμφιδόξως ἢ σπανίως γιγνόμενα. παρεχούσης τε τῆς τύχης ὑμῖν ἀφορμὴν τοιαύτην, οἵαν ἔφην ἐμαυτῷ γεγενῆσθαί ποτε, δεξιῶς αὐτῇ χρῆσθαι δύνασθε. πολλάκις γὰρ ἡ μὲν τύχη μεγάλας εὐδοκιμήσεως ἀφορμὰς ὑποβάλλει, χρῆσθαι δ' αὐταῖς οἱ πολλοὶ δι' ἀμαθίαν οὐκ ἴσασιν, ἀλλ' ὁ τεχνίτης ὅτ' ἂν ἕν τι θεάσηται σύμπτωμα, τοῦ ἐνδεικνυμένου τότε πάθος ἅμα καὶ τὸν πεπονθότα τόπον, ἑτέρων εὑρεῖν εἰς πρόρρησιν οὐκ ὀλίγων ἱκανὸς ἔσται. τῶν μὲν ἐξ ἀνάγκης ἑπομένων, τῶν δὲ ὡς τὸ πολὺ, τῷ πεπονθότι τόπῳ. καὶ τῷ κατ'

Γρ. παρατεταγμένα

τοῦ κατ' αὐτὸν πάθει. μεμνῆσθαι δ' ὑμᾶς μάλιστα χρὴ τῶν φυσικῶν θεωρημάτων ἃ δὴ καὶ καθόλου προσαγορεύεται, κοινὰ πολλῶν ὄντα τῶν κατὰ μέρος. ἵν' ἐπὶ πάσης ὕλης, τῶν κατὰ μέρος πραγμάτων γυμνάζεσθε διαγινώσκειν αὐτὰ ταχέως. ἔστιν δὲ ὁ κοινὸς λόγος, ὃν ἐρεῖν μέλλω περὶ τῶν φυσικῶν δυνάμεων, ἃς ἐν ἑκάστῳ μορίῳ πρόσθεν μεμαθήκατε τέτταρας εἶναι κατὰ γένος. ὧν πρώτην μὲν τὴν ἑλκτικὴν ὀνομάζω τῶν οἰκείων τῷ μορίῳ χυμῶν εἰς θρέψιν, ὀρεκτικήν τε ἅμα καὶ ἐπισπαστικὴν οὖσαν. ἐφεξῆς δ' αὐτῇ δευτέραν τῶν ἑλχθέντων ἀλλοιωτικήν, καθ' ἣν ὁ ἑλχθεὶς χυμὸς, ὁμοιοῦται τῷ τρεφομένῳ μορίῳ. καὶ ταύτης ὑπηρέτιδες ἕτεραι δύο. καθεκτικὴ μὲν, ἡνίκα πέττει, τὸν ἑλχθέντα χυμὸν εἰς τὴν ἑαυτοῦ φύσιν ἀλλοιοῦν τὸ μόριον. ἀποκριτικὴ δ' ἡνίκα μετὰ τὴν πέψιν, ἐκκρίνει τὸ ἄχρηστον ὃ καλεῖται περίττωμα. ταύτας τὰς δυνάμεις, ἐφ' ἑκάστου μορίου πάσχοντος, ἀεὶ σκοπεῖσθαι προσήκει, πῶς ἔχουσιν εὐρωστίας τε καὶ ἀρρωστίας. οἷον ἐπὶ τοῦ ἥπατος. ἐπειδὴ περὶ τούτου πρόκειται λέγειν. ἡ μὲν ἑλκτικὴ δύναμις πάσχουσά πως, τὴν τροφὴν ἐν τῇ γαστρὶ καταλείψει κεχυλωμένην, ὥστ' ἐκκρίνεσθαι διὰ τῆς ἕδρας αὐτὴν ἀκριβῶς μὲν πεπεμμένην, ὑγρὰν δὲ καὶ ἀνεξίκμαστον. ἔσται δ' ὑμῖν τοῦτο σημεῖον αὐτῆς πεπονθυίας. ἅπερ γὰρ ὑπό τινων ὡς αἰτίων γίγνεται, ταῦτ' ἔστιν αὐτῶν σημεῖα. τοῦτο τὸ πάθος ἔνιοι, μεσαραίου φασὶν εἶναι, καὶ καλοῦσι τοὺς οὕτω νοσοῦντας, μεσαραϊκοὺς, ἐπειδὴ διὰ τῶν ἐν τῷ μεσαραίῳ τε καὶ μεσεντερίῳ καλουμένων φλεβῶν τῆς ἀναδόσεως γινομένης, ὁρῶσιν ἀποτυγχανομένην αὐτήν. ὅμοια περιπίπτοντες ἀγνοίᾳ τοῖς τὰς χεῖρας ἡγουμένοις πεπονθέναι τῶν συγκοπτομένων ἤτοι στομαχικῶς ἢ καρδιακῶς. ἐπειδὴ δι' αὐτῶν ἐνεργεῖν ὡς ἔμπροσθεν ἀδυνατοῦσιν. αἱ γάρ τοι κατὰ τὸ μεσάραιον φλέβες, οἷόν περ χεῖρές εἰσι τοῦ ἥπατος, τὴν ἐκ τῆς κοιλίας τροφὴν ἀναφέρουσι πρὸς αὐτό. παραπλήσιον δέ τι τούτοις ποιοῦσι, καὶ οἱ τῶν παραλελυμένων, τὰ σκέλη διά τι πάθος τοῦ κατ' ὀσφὺν νωτιαίου, τοῖς μὲν σκέλεσι, προσφέροντες τὰ φάρμακα. τοῦ νωτιαίου δ' ἀμελοῦντες. εἰ μὲν οὖν φλεγμαίνοι τὸ μεσεντέριον ἤ τι τοιοῦτον πάθος ἕτερον εἴη κατ' αὐτὸ, προσηκόντως ἄν τις ὑπολάβοι τὸ πάθος τοῦτο ἴδιον ὑπάρχειν αὐτοῦ. εἰ δ' ἀρρωστοῦν τὸ ἧπαρ ἀδυνατοίη διὰ τῶν ἐν αὐτῷ φλεβῶν ἕλκειν τὴν τροφὴν, οὐ μεσάραιον αὐτοῖς ἐστι τῆς θεραπείας δεόμενον, ἀλλ' ἧπαρ, ὥσπερ οὐδὲ χεῖρες ἢ τὰ σκέλη τοῖς διά τι πάθος τοῦ νωτιαίου παραλελυμένοις. ἀλλ' ἥ γε διάγνωσις ὑμῖν ἔσται, τῶν ἤδη φλεγμονῶδες ἢ ἐρυσιπελατῶδες ἐχόντων πάθος ἐν μεσεντερίῳ τὰ κάτω διαχωρούμενα κατασκεπτομένοις ἐπιμελῶς. οὐ γὰρ μόνον οἷα τοῖς ἀτονοῦντος ἥπατος ἕλκειν ἐφ' ἑαυτὸ τὴν τροφὴν, εἴρηται διαχωρεῖσθαι, τοιαῦτα καὶ τούτοις ἀκριβῶς ἐκκρίνεται, ἀλλὰ φανεῖταί γ' ἡμῖν ἐπιμεμίχθαί τις ὡς ἐκ φλεγμονῆς ἰχώρ. ἁπάντων γὰρ τῶν φλεγμαινόντων μορίων, οἷς μηδὲν στέγασμα περίκειται πυκνὸν καὶ παχὺ, λεπτοὶ μὲν κατ' ἀρχὰς ἰχῶρες ἀπορρέουσι, πεττομένων δὲ τῶν φλεγμονῶν, παχύτεροι καὶ πυωδέστεροι. ὅτ' ἂν οὖν τι τοιοῦτον τοῖς ἐγκεχυλωμένοις διαχωρήμασιν ἐμφέρηται, μηδεμιᾶς ἐν ἥπατι φλεγμονῆς οὔσης, ἡγεῖσθαι χρὴ τὸ μεσάραιον αὐτοῖς πεπονθέναι. ὥσπερ δὲ τοῦ μὴ δυναμένου δι' ἀτονίαν ἐπισπᾶσθαι τὸν ἐκ τῆς κοιλίας χυλὸν ἡ ἑλκτικὴ πέπονθε δύναμις, οὕτως τοῦ κατέχειν μὴ δυναμένου, τῆς περισταλτικῆς καὶ καθεκτικῆς δυνάμεως ἐστὶν ἀτονία, καὶ διὰ ταύτην ἔκκρισις ἐν ἀρχῇ μὲν, αἵματος ἰχωροειδοῦς γίγνεται, μετὰ ταῦτα δ' ἤδη καὶ παχυτέρου καὶ οἷον τρυγώδους. οὕτως ἕτεραί τινες ἐκκρίσεις οὐ δι' ἀρρωστίαν, ἀλλὰ διὰ ῥώμην τῆς ἐκκριτικῆς δυνάμεως γίγνονται. πολλάκις μὲν ὑγιαινόντων κατὰ τὰ πάντα, πλήθους λόγῳ. πολλάκις δὲ καὶ τοῦ πεπονθότος δὴ ἥπατος ἐκκαθαιρομένου τῆς φύσεως ἐναρρωννυμένης. περιεχομένων γὰρ ἐν αὐτῷ τῶν μοχθηρῶν χυμῶν, ἕπεται διάκρισις, ὡς τοὺς μὲν χρηστοὺς κατέχεσθαι, τοὺς δὲ φαύλους ἐκκρίνεσθαι. καί τινες ὀνομάζουσι καὶ τὰς τοιαύτας ἐκκρίσεις, αἱματηρὰς δυσεντερίας γιγνομένας. ἐνίοις καὶ τῶν ἀποκοπέντων τι κῶλον, ἢ μετὰ τὸν ἐν γυμνασίοις πολλοῖς βίον εἰς ἀργὸν μεταστάντων. ὤφθη δέ ποτε καὶ γυναιξὶν ἐκ καταμηνίων ἐπισχέσεως, ἡ τοιαύτη κένωσις αἵματος δι' ἕδρας γιγνομένη. καθάπερ δὲ καὶ δι' ἐμέτων ἐνίαις ἐπὶ ταῖς τοιαύταις. ἀλλὰ καὶ τούτοις μὲν, εἰλικρινὲς αἷμα τοῖς τῶν σφαττομένων ἱερείων ὅμοιον γίγνεται, κατά τε τὴν κάτω γαστέρα. καὶ ποτὲ καὶ διὰ τῆς ἄνω μοχθηρὸν δὲ καὶ ἰλυῶδες ἢ σηπεδονῶδες, ἐπὶ ταῖς ἐρυσιπελατώδεσί τε καὶ φλεγμονώδεσι διαθέσεσι πεττομέναις. σπανίως δέ ποτε, καὶ τοῖς ἡπατικοῖς πάθεσιν, ὅταν ὑπὸ τοῦ βοηθήματος ῥωσθῇ τὸ ἧπαρ, ἐκκρίσεις ἐπιγίγνονται μοχθηρόταται κατά τε τὸ χρῶμα καὶ τὴν ὀσμὴν, ἐκκαθαιρομένου τοῦ σπλάγχνου. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐρεῖται τούτοις οὖρα μοχθηρότερα δυνάμενα σφάλλειν τοὺς ἀπείρους ἰατρούς. ὡς ὀλεθρίως ἔχοντος τοῦ κάμνοντος. οἱ γὰρ ἄνευ λογισμοῦ διὰ πείρας μόνης ἄλογον τριβὴν κτώμενοι, τῶν σπανίως γιγνομένων ἀπείρως ἔχουσιν, ὡς ἂν τῶν πλειστάκις καὶ ὡσαύτως ἑωραμένων μνημονευτικοί, ὅτι τινὲς δ' ἐπὶ προήκοντι τῷ χρόνῳ τοῦ νοσήματος ἅμα τοῖς τῆς πέψεως σημείοις, αἱ τοιαῦται γίγνονται κενώσεις, οὐχ ἅπαξ ἀλλὰ πολλάκις, ἐν ταῖς ἐξηγήσεσι τῶν Ἱπποκράτους συγγραμμάτων ἐμάθετε. καθάπερ οὖν τῆς καθεκτικῆς δυνάμεως ἀτονούσης ποτὲ, καὶ μὴ δυναμένης κατέχειν τὸ βαρῦνον αὐτὴν, ἡ ἀποκριτικὴ δύναμις τὸ λυποῦν ἐκκρίνει, κατὰ τὸν αὐτὸν τρόπον ἀρρωστούσης, ἀποκριτικῆς κατέχεταί τινα μὴ πάνυ βαρυνομένης τῆς καθεκτικῆς. ἄλλοτε γὰρ ἄλλη δύναμις ἐν ἑκάστῳ τῶν ὀργάνων ἰσχυροτέρα τε καὶ ἀσθενεστέρα γίγνεται κατὰ τὴν ἐπὶ τὰς ἐνεργείας ἀναφορὰν, εἰς ἔννοιαν ἡμῶν ἀφικνουμένων ἑκάστης δυνάμεως. ἐπεί τοι κατά γε τὸ ἀληθὲς, ὅλον ἀεὶ τὸ μόριον ἐνεργεῖ κατὰ τὴν ἰδιότητα τῆς ὑπαρχούσης ἑκάστοτε κράσεως αὐτῷ, ἀλλ' ἐνίοτε μὲν, ὑπομένει βαρυνόμενον ἐν χρόνῳ τε πλείονι, τοῦ λυποῦντος ἐκράτησεν κατεργασάμενόν τε καὶ ἀλλοιῶσαν καὶ πέψαν αὐτό. κατ' ἕτερον δ' αὖ χρόνον ἤτοι τὴν ποιότητα τοῦ λυποῦντος ἢ τὸ πλῆθος οὐ φέρον, ἐξορμᾷ πρὸς τὴν ἔκκρισιν αὐτοῦ. καθάπερ γε πάλιν ἐνίοτε μεγάλως ἀνιώμενον, ἀπορρίψαι τε τὸ λυποῦν ἐφιέμενον ὑπ' ἀσθενείας ἀδυνατεῖ, καταπεπτωκὸς εἰς ἐσχάτην ἀτονίαν. ἃ σύμπαντα καθ' ἕκαστον ὄργανον φυσικὸν ἐννοοῦντας ὑμᾶς, γυμνάζειν χρὴ τὸν λογισμὸν εἰς τὴν διάγνωσιν αὐτῶν, εὑρήσετε γὰρ οὕτως σκοποῦντες, ἐνίων μορίων οὐδ' ὅλως ἐξητασμένα τὰ πάθη. καθάπερ οὐδὲ τῆς χοληδόχου κύστεως. εἰ γὰρ ὡς ἐδείξαμεν. ἕλκει τὸ χολῶδες ὑγρὸν εἰς ἑαυτὴν, ὥσπερ οἱ νεφροὶ μὲν, τὸν οἷον ὀρρὸν τοῦ αἵματος, ὁ δὲ σπλὴν τὸ παραπλήσιον, ὅπερ ἐν μὲν τοῖς οἴνοις τρὺξ, κατὰ δὲ τοὔλαιον, ἀμόργη, γενήσεταί ποτε καὶ δι' ἀτονίαν τῆς κύστεως ταύτης, ἀκάθαρτον αἷμα. καί τις οὗτος ἕτερος τρόπος ἰκτέρου γενέσεως, ἐπὶ τοῖς εἰρημένοις ἔμπροσθεν ὑπάρχει τρισί. ἐγχωρεῖ δέ ποτε καὶ

πληρωθεῖσαν αὐτὴν ὥσπερ ἡ οὐροδόχος κύστις, οὔρου μὴ δύνασθαι κενωθῆναι δι' ἔμφραξιν ἢ ἀτονίαν τῆς ἐκκριτικῆς δυνάμεως. ὥσπερ γε καὶ δι' ἔμφραξιν ἢ ἀτονίαν τῶν εἰς ἧπαρ ἀπ' αὐτῆς ἀνεστομωμένων ἀγγείων, οὐκ ἕλξει ποτὲ τὸ χολῶδες ὑγρόν. ἐπισκοπεῖσθαι τοιγαροῦν ἀναγκαιότατόν ἐστιν ἐν τοῖς ἰκτερικοῖς παθήμασι τὴν τῶν διαχωρημάτων ἰδέαν. ἔστι γάρ τις ἡμῖν κἀκ τοῦδε πρὸς τὴν διάγνωσιν ὠφέλεια. ἐγὼ γοῦν ἐνίοτε τῶν ἰκτεριώντων εὗρον ἐνίοις ἱκανῶς κεχρωσμένα τῇ ξανθῇ χολῇ τὰ διαχωρήματα, καθάπερ ἐνίοις τὰ οὖρα. καὶ ἐπὶ τὸ δέρμα τινῶν μὲν ἐκκρινόμενον ἐν τοῖς λουτροῖς τὸ πλεῖστον, τινῶν δ' ἀπεχόμενον τὸ πλεῖστον τῆς ξανθῆς χολῆς. ὀλίγιστον δὲ ἐκκρινόμενον. ἀκριβῶς δὲ αὐτὸ κατανοῆσαι πειρώμενοι, χωρὶς τοῦ περιαλείψασθαι τὸν ἄνθρωπον ἀποστλεγγίζεσθαι τὸν ἱδρῶτα κελεύετε. θεάσεσθε γὰρ οὐ τὸν αὐτὸν ἐπὶ πάντων, ἐπὶ τὸ κοῖλον τῆς στλεγγίδος ἀθροιζόμενον. ἀλλ' ἐπ' ἐνίων μὲν ὑδατωδέστερον, ἐπ' ἐνίων δὲ χολωδέστερον. ὥστε μετὰ τῶν προγεγονότων ὑμῖν ἡ διάγνωσις ἔσται σαφεστέρα τοῦ πεπονθότος τόπου, προσλαβοῦσι καὶ τοῦτο τὸ γνώρισμα. πυρέξας γοῦν τις ὀξὺν καὶ χολώδη πυρετόν, ἑβδομαῖος ἀπηλλάγη τοῦ νοσήματος, χολῆς ξανθῆς παμπόλλης εἰς τὸ δέρμα κατασκηψάσης. ἐπὶ δὲ τῶν ἑξῆς ἡμερῶν, ὁ ἴκτερος αὐτῷ παρέμενεν. ἐπεσκεψάμεθα τά τε διαχωρήματα καὶ τὰ οὖρα. φαινομένων δ' ἀμφοτέρων ἐπὶ τὰ τὴν φύσιν ἔχειν, καὶ διὰ τοῦτ' ἀπαθὲς εἶναι τὸ σπλάγχνον ἐνδεικνυμένων, εἰς ἔννοιαν ἦλθέ μοι δυνατὸν εἶναι, παχυτέραν τὴν κατασκήψασαν εἰς τὸ δέρμα χολὴν ὑπάρχειν. ἐκ τούτου τοῦ λογισμοῦ προτραπεὶς, καὶ καταμαθὼν ὁποῖός τις ὁ ἱδρὼς ἐστί, φανέντος ὑδατώδους, ἔγνων εἶναι διάφορον εἶναι τῆς χολῆς, ἐκέλευσά τε τῷ κάμνοντι χρῆσθαι θερμοῖς ὕδασιν αὐτοφυέσι διαφορητικοῖς, ἅμα τῷ καὶ τὴν δίαιταν ὑγροτέραν ποιεῖσθαι καὶ μετρίως λεπτύνειν πάχος χυμῶν δυναμένην. οὗτος μὲν οὕτως ἀπηλλάγη τοῦ πάθους, ἑνὶ βοηθήματι τῆς τε διαγνώσεως αὐτοῦ βεβαιωθείσης, καὶ τῆς ἰάσεως συντελεσθείσης. ἑτέρου δέ, πλῆθος ἐν τῇ στλεγγίδι χολῆς εὑρών, ὑπενόησα γεννᾶσθαι πολλὴν ἐν ὅλῳ τῷ σώματι, καὶ τῇ θεραπείᾳ πρὸς τοῦτ' ἁρμοττούσῃ χρησάμενος, ἰασάμην. ὅσοις δ' ἀπυρέτοις, ἅμα τῷ βάρους τινὸς αἴσθησιν εἶναι ἐπὶ τὸ δεξιὸν ὑποχόνδριον, ἴκτερος ἐγένετο, τούτοις ἅπασι προεκφράττων, ὡς ἴστε τὰς ἐμφράξεις, λεπτυνούσαις ἐδέσμασί τε καὶ πόμασι, καὶ φαρμάκοις. εἶτα πιεῖν διδοὺς χολαγωγὸν φάρμακον ἰασάμην ἡμέρᾳ μιᾷ τοὺς πλείστους αὐτῶν. ἐφ' ὧν δ' οὐδὲν ἤνυε τὸ καθαρτικόν, αὖθις ἰσχυρότερον ἐκφρακτικὸν ποτίσας, ἐκ δευτέρου πάλιν ἐκάθηρα βιαιότερον, ὡς ἐπὶ τῷ τέλει τῆς καθάρσεως, ἅμα δήξει σφοδροτάτῃ, χολὴν ἐκκρῖναι κυανίζουσαν μᾶλλον, ἢ ξανθήν. ἐπὶ τούτων οὖν ἡγοῦμαι τὴν χολοδόχον κύστιν, ὅμοιόν τι πάθημα παθεῖν τῇ τὸ οὖρον ἀθροιζούσῃ γιγνόμενον, ἐνίοτε. καὶ γὰρ καὶ κατ' αὐτὴν ἀθροίζεται ποτὲ τοσοῦτον, ὡς ὑπερδιαταθεῖσαν αὐτὴν, ἀδυνατεῖν ἐκκρῖναι τὸ περιεχόμενον. ἀλλ' ἐπὶ μὲν τῆς οὐροδόχου κύστεως, οὐ χεῖρον γὰρ αὐτὴν οὕτως ὀνομάσαι, δήλως γίγνεται τοῦτο. ποτὲ μὲν δι' ἀρρωστίαν τῆς ἀποκριτικῆς δυνάμεως. ἐνίοτε δ' ἤτοι διὰ βαθὺν ὕπνον, ἢ τινὰ ἀσχολίαν ἐπισχεθέντος ἐπὶ πλεῖον τοῦ οὔρου. κἀκ τούτου τῆς κύστεως ὑπερδιαταθείσης, καὶ ταύτην αὐτὴν τὴν αἰτίαν ἐχούσης, τὴν δύναμιν αὐτῆς ἀρρωστῆσαι. ἐπὶ δὲ τῆς χολοδόχου κύστεως, ὡς ἂν οὐδὲν εἰς τὴν ἀπόκρισιν βοηθουμένης ὑπὸ δυνάμεως ψυχικῆς, ἀρχὴ μία τῆς ἀτονίας ἐστίν, ὥσπερ κἀπὶ τῶν ἄλλων ὀργάνων φυσικῶν ἐκ δυσκρασίας τοῦ μορίου γιγνομένη.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΕΠΟΝΘΟΤΩΝ ΒΙΒΛΙΟΝ. ς'.

De affectib. Lienis

Ἐκ τῶν προειρημένων περὶ τοῦ ἥπατος, οὐδὲν ἔτι χαλεπὸν εὑρίσκειν ὑμᾶς, ἐκ τίνων σημείων ὁ σπλὴν πεπονθὼς, διαγιγνώσκεται. πρὸς γὰρ καὶ τὰς φλεγμονὰς αὐτοῦ διὰ σκληρότητα ῥᾳδίως ὑποπίπτειν ἁπτομένοις. ἔχων δὲ τὰ πλεῖστα αὐτῶν, κοινὰ πρὸς ἧπαρ, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἔχειν αὐτὰ διαλλάττει. τὰ μὲν γὰρ τῆς χρόας ὅλου τοῦ σώματος, ἐπὶ τὸ μελάντερον ῥέπει. ἐπὶ τὸ τῆς ἀτονίας αὐτοῦ πάθος, ἐπειδὴ τὴν ἐνέργειαν ἔχει φύσει, τὸ μελαγχολικὸν ἐκ τοῦ ἥπατος ἕλκειν αἷμα, εἰς ἑαυτὸν, τούτῳ γὰρ ἐδείχθη τρεφόμενος. τῆς ἑλκτικῆς αὐτοῦ δυνάμεως ἀτόνου γενομένης, ἀκάθαρτον εἰς ὅλον τὸ σῶμα φέρεται, τὸ δὲ ἥπατος αἷμα, καὶ ἐπὶ τοῦτο μελάντερον αὐτοῖς γίνεται τὸ χρῶμα. καὶ μέντοι καὶ ἀποκρίνει πολλάκις δὲ ἑαυτοῦ περιττώματα, καθάπερ τὸ ἧπαρ. ὥστε καὶ δι' ἐμέτων ἅμα ναυτίαις ἐκκριθῆναί ποτ' αἷμα μελαγχολικόν, ὑπελθεῖν τε κάτω τοιοῦτον, ἄλλο. καὶ χωρὶς δὲ τῆς τοιαύτης κενώσεως. ἀθυμίας τε καὶ δυσθυμίας μελαγχολικὰς ἐργάζεται. καὶ σιτίων ἐνίοτε μὲν ὀρέξεις σφοδροτάτας. καὶ μάλιστα ὅταν ἀκριβῶς ὀξῶδες ᾖ, τὸ φερόμενον εἰς τὴν γαστέρα περίττωμα. πολλάκις δ' ἀναρροπήν τε καὶ ὑποσπασμόν, ὅταν ἑτέραν τινὰ ἔχει διαφθοράν. σκιρρούμενος δ' ὅπως ὕδερον ἐπιφέρει, συμπαθόντος αὐτῷ τοῦ ἥπατος, καὶ ἔμπροσθεν εἴρηται. καὶ μέντοι καὶ παθόντων ποτ' ἀμφοτέρων τῶν σπλάγχνων ἰκτέρους γιγνομένους ἐθεασάμεθα πρὸς τὸ μελάντερον τῶν συνήθων ῥέποντας, ὡς νομίζειν τῇ ξανθῇ χολῇ ἀσβόλην μεμίχθαι. καί τινες τῶν ἰατρῶν ἀπαθὲς εἶναι τοῖς τοιούτοις τὸ ἧπαρ, ὑπολαμβάνοντες, ἀκούουσιν ὅπως ἐπὶ σπληνὶ γίγνονται τινὲς ἴκτεροι. καθάπερ καὶ οἱ χωρὶς ἥπατος ἡγοῦνται περιεγχύσεσιν ὑδερικαῖς χύσεσι περιπίπτειν τοὺς κάμνοντας ἐπὶ μόνῳ τῷ σπληνὶ σκιρρωθέντι. τὴν δ' αὐτὴν ἀγνοίαν ἔχουσι καὶ περὶ τῶν ἐπ' ὀξέσι νοσήμασιν ὑδέρων. ἐφ' ὧν ἐπὶ δυσκρασίᾳ τῇ κατὰ θερμότητα, πολλάκις δὲ καὶ ξηρότητα, τὸ ἧπαρ οὕτως ἔπαθεν ἰσχυρῶς, ὡς μηκέθ' αἱματοῦν τὴν τροφήν, οὐδὲ γὰρ ἐπὶ τούτων ἡγοῦνται πεπονθέναι τὸ σπλάγχνον, ἐθισθέντες ὑπὸ τῶν περὶ τὸν Ἐρασίστρατον, ἀπαθὲς εἶναι νομίζειν ἕκαστον τῶν μορίων, ὅτ' ἂν μήτ' ὄγκος τις ᾖ κατ' αὐτό, μήθ' ἕλκος. ἀλλ' ἐκείνοις μὲν συγχωρητέον ἔσται, οὕτως ὑπολαμβάνειν, οὐδὲν γιγνωσκομένοις νόσημα γίγνεσθαι κατὰ δυσκρασίαν. ὅσοι δὲ τῶν ἰατρῶν ἑπόμενοι τοῖς ἐναργῶς φαινομένοις, ἐπὶ τῷ ψυχθῆναί τι μόριον, ὑπολαμβάνουσι γίγνεσθαί τινα συμπτώματα, οὐ θαυμάσαι τούτων ἐστὶ τῶν

Hydrops. Lienis.

ὑδέρων

ὕδερος, οὐδ' ἐφ' ἑνὶ τόπῳ πεπονθότι συνίστασθαι νομιζόντων. εἰ γὰρ ὅτι μηδεὶς ὄγκος ἐστὶ παρὰ φύσιν ἐν ἥπατι διὰ τοῦτ' ἀπαθὲς ὑπάρχειν ἡγοῦνται τὸ σπλάγχνον, οὐδ' ἄλλο οὐδὲν ἔσται πεπονθὸς, ἐπὶ τῶν ἀθρόως ἀκαίρως ψυχρὸν ὕδωρ μοχθηρὸν πιόντων, εἶθ' ὕδρωπι καταληφθέντων ἐπ' αὐτῷ. βλάπτει μὲν οὖν, τὸ οὕτως ποθὲν ψυχρὸν, ἄλλοτ' ἄλλο μόριον τῶν ἔνδον, ἢ μᾶλλον τῶν ἄλλων, ἢ πρῶτον. ὡς δ' ἂν καὶ τύχῃ τι κατ' ἐκεῖνον τὸν χρόνον ἀσθενέστερον ὑπάρχον. ἀπ' αὐτοῦ δ' εἰς τὸ ἧπαρ ἀνάγκη διαδοθῆναι τὴν ψύξιν, εἰ μέλλοι τις ὑδερικὴ διάθεσις ἀκολουθῆσαι. οὕτως οὖν καὶ διὰ τὸν σπλῆνα γίγνεταί ποθ' ὕδερος, ἢ μετ' ὄγκου ψυχθέντα καθάπερ ἐν τοῖς σκίρροις, ἢ καὶ χωρὶς ὄγκου, καθάπερ ἐν τοῖς ἀθρόοις τε καὶ ἀκαίροις μοχθηροῦ ψυχροῦ πόσεσιν, ὅτι δὲ καὶ μελαγχολικαὶ γίγνονται δυσθυμίαι διαπέμποντος αὐτοῦ τοιοῦτον περίττωμα τῷ στόματι τῆς γαστρὸς, ἐν τῷ κατ' ἐκεῖνο λόγῳ πρόσθεν εἴρηται, ὡς οὐδὲν ἔτι δεῖ πλείω λέγειν ὑπὲρ αὐτοῦ. τῶν μὲν ὀργανικῶν ἐν αὐτῷ παθῶν, οὐ δεομένων λογικῆς διαγνώσεως, τῶν δὲ κατὰ τὴν δυσκρασίαν, ἔκ τε τῶν νῦν εἰρημένων καὶ τῶν ἔμπροσθεν ἐν τῇ περὶ τῶν κατὰ τὸ ἧπαρ παθῶν διδασκαλίᾳ. τινὰ μὲν γὰρ αὐτῶν ὀνόμασι λέλεκται. τινὰ δ' ὁμοίως συνιστάμενα ἐκείνοις, καὶ τὴν διάγνωσιν ὁμοίαν αὖθις ἕξει.

ἤδη καὶ πρόσθεν εἶπόν τι, περὶ τῶν κατὰ τὴν γαστέρα παθῶν, εἰς μέγιστα μόρια δύο, διελὼν αὐτὴν τῷ λόγῳ, τό τε πρόσθεν ἄνωθεν, ὃ συνεχές ἐστι τῷ στομάχῳ πολλοῖς νεύροις αἰσθητικοῖς διαπεπλεγμένον. ἕτερον δὲ τούτου συνεχὲς ἄχρι τῆς κατὰ τὸ ἔντερον ἐκφύσεως. ἔστι δ' ὥσπερ ἑκατέρου χρεία τοῖς ζώοις ἴδιος, ἀνάλογόν τε τῇ χρείᾳ τὰ συμπτώματα διαφέροντα. κατὰ τὸν αὐτὸν τρόπον ὅσα κοινὰ πάθη τῶν ὁμοιομερῶν ἐστι καὶ τῶν ὀργανικῶν, ὑπάρχει δήπου καὶ τούτοις κοινὰ πρὸς ἄλληλά τε καὶ σύμπαν τὸ ἔντερον. ἡ δὲ τῶν συμπτωμάτων ὁμοιότης, οὐ μόνον τούτοις πρὸς ἄλληλα ἐστὶ, ἀλλὰ καὶ τοῖς ψαύουσιν αὐτῶν, ὥσπερ τοῖς νεφροῖς πρὸς τὸ κῶλον, ἔνια μὲν οὖν δύσγνωστον ἔχει τὸν πεπονθότα τόπον, ὥσπερ αἱ δυσεντερίαι, καὶ οἱ τεινεσμοί. χρὴ δ' ὑμᾶς ἐν τῷ παρόντι λόγῳ, τὰς κυρίως ὀνομαζομένας δυσεντερίας ἀκούειν, ὡς σημαινούσης τῆς προσηγορίας ἐντέρων ἕλκωσιν. ὅτε γὰρ ἀθρόως γίγνεται τὸ πάθος τοῦτο, καθάπερ θάτερον, ἐν ᾧ, τὸ ἧπαρ ἔφαμεν πάσχειν, ἴδιά τε γνωρίσματα αὐτῷ σύνεστιν. ἐν ἀρχῇ μὲν οὖν, ἔκκρισις χολῆς δακνώδους ἐπ' αὐτοῦ γίγνεται, μετὰ δὲ ταύτην, ἀκολουθεῖ ξύσματα τῶν ἐντέρων. εἶτα τοῖς ξύσμασιν συνεκκρίνεταί τι μικρὸν αἵματος, ἡνίκα ἤδη δυσεντερία τὸ πάθος ἐστί. ὁπότε μὲν οὖν μόνα ταῦτα τὰ ξύσματα διαχωρεῖται, προσέχειν χρὴ μή τι πιμελῶδες αὐτοῖς συνεκκρίνεται. τῶν παχέων γὰρ ἂν οὕτω ἐντέρων ἡ ἕλκωσις εἴη. τοῦ δ' αἵματος ἤδη συνεκκρινομένου σκοπεῖσθαι χρὴ πότερον ἀναμέμικται, τοῖς ἄλλοις ὅλον ὅλοις, ἢ καθ' ἕν τι μέρος αὐτῶν ἐποχεῖται. τὸ μὲν γὰρ ἀναμεμιγμένον, ἐν τοῖς ὑψηλοτέροις ἐντέροις, ἐνδείκνυται τὴν ἕλκωσιν εἶναι, τὸ δ' ἐποχούμενον ἐν τοῖς ταπεινοτέροις. ὁρᾶται δὲ τοῦτο κἀπὶ τῶν ξυσματωδῶν ἐκκρίσεων γιγνόμενον, ἀλλ' ἧττον σαφῶς ἢ ἐπὶ τοῦ αἵματος. ὡσαύτως δὲ κἂν ἐφελκὶς ἐκκρίνηται, δηλώσει ποίων ἐστὶν ἐντέρων, ἔκ τε αὐτῆς τῆς οἰκείας οὐσίας, καὶ τοῦ μεμῖχθαι τοῖς ἐκκρινομένοις, ἢ καθ' ἕν τι μέρος αὐτῶν ἐποχεῖσθαι. διαφέρει δ' οὐ σμικρὸν εἰς τὴν θεραπείαν ἐγνῶσθαι τὴν ἕλκωσιν, ἐν τίνι μέρει τῶν ἐντέρων ἐστίν. αἱ μὲν γὰρ ἐν τοῖς ὑψηλοτέροις, ὑπὸ τῶν καταπινομένων φαρμάκων ὠφελοῦνται. αἱ δ' ἐν τοῖς ταπεινοτέροις ὑπὸ τῶν ἐνιεμένων ὠφελοῦνται. διορίζονται δὲ τῶν ἀφ' ἥπατος ἐκκρίσεων, αἱ τοιαῦται δυσεντερίαι, τῷ τε λεπτοῦ αἵματος ἰχῶρα κατ' ἀρχὰς ἐκκρίνεσθαι ταῖς ἀφ' ἥπατος. εἶτα τοῦ πάθους αὐξανομένου παχὺν χυμὸν οἴνου τρυγὶ παραπλήσιον. ἔτι τε τῷ μηδὲν ἐπ' αὐτῶν συνεκκρίνεσθαι ξυσματῶδες, ἀλλὰ καὶ διάλειμμα δυοῖν ἡμερῶν ἢ καὶ τριῶν ἐνίοτε γίγνεσθαι ταῖς ἡπατικαῖς ἐκκρίσεσιν. εἶτ' αὖθις ἐπανέρχεσθαι τὸ κακὸν, ἐκκρινόντων αὐτῶν πολὺ χείρω τῶν ἔμπροσθεν. οὐ μὴν ἐπί γε τῶν κατ' ἔντερα ἑλκώσεων οὕτω φαίνεται γιγνόμενον, οὔτε γὰρ ἀθρόον, οὔτ' ἐκ διαστημάτων χρόνου μακρῶν ἐκκρίνουσιν. αἱ μέντοι κατὰ τὸ ἀπευθυσμένον ἑλκώσεις, ἃς τεινεσμοὺς ὀνομάζουσιν, σφοδρὰς μὲν ἐντάσεις καὶ προθυμίας ἰσχυρὰς ἐπιφέρουσι, ἐκκρίνουσι δ' ὀλίγα, κατ' ἀρχὰς μὲν φλεγματώδη τε καὶ πιμελώδη. προϊόντος δὲ τοῦ χρόνου, καὶ ξυσματώδη. πάντα γε μὴν ταῦτα κατὰ πάντα τὸν χρόνον, ἄμικτα τοῖς ἄνωθεν ἀφικνουμένοις φαίνεται. γεγράφασι δέ τινες ἐπὶ σφοδροτάταις ἐκκρίσεων προθυμίαις, ἀλγημάτων ἰσχυρῶν προηγησαμένων, ἐκκρῖναί τινας λίθους πωροειδεῖς ὁμοίους τοῖς ἐν τῇ κύστει συνισταμένοις. ὅπερ οὔτε εἶδον αὐτὸς, οὔτ' ἄλλου τινὸς ἑωρακότος ἤκουσα. κώλου δ' ἄλγημα σφοδρὸν εἶδον πολλάκις, ὑπὸ τῶν ἰατρῶν οὐ κώλου νομιζόμενον, ἀλλὰ νεφρῶν εἶναι. καθάπερ γε καὶ τὸ τῶν νεφρῶν εἰς κῶλον ἀναφερόντων. ἔνιοι δ' αὐτῶν ᾤοντο, μηδὲ γίγνεσθαι ποτὲ κωλικὴν διάθεσιν ἐν τοῖς ἀριστεροῖς μέρεσιν. ἔχει μὲν οὖν τι δυσδιόριστον ἐν ἀρχῇ τὰ πάθη, καθ' ὃν χρόνον, οὐδὲ μεγάλας διαφορὰς βοηθημάτων. χρήζει σκοπεῖσθαι μέντοι χρὴ καὶ τότε τὰ πλεονάζοντα συμπτώματα. ναυτίαι γὰρ ἅμα ἐμέτοις γίνονται, πολὺ μείζους τε καὶ συνεχέστεροι τοῖς τὸ κῶλον ἀλγοῦσιν, ἐμεῖταί τε φλεγματώδη καὶ διεφθαρμένα πλείω τούτοις, ἴσχεταί τε τὰ διαχωρήματα, μᾶλλον ἅμα τῷ μηδὲ φῦσαν ἐκκρίνεσθαι, μηδ' ἐρυγὴν γίγνεσθαι. πολλάκις δὲ καὶ ὥσπερ συμπεριστρεφόμενόν ἐστιν αὐτοῖς τὸ ἄλγημα, καὶ πλείονα τόπον ἐπιλαμβανόμενον. ἐνίοτε δὲ καὶ κατὰ διαφέροντα μόρια σφοδρότερον γινόμενον. ἐρηρεισμένων καθ' ἕνα τόπον ἀεὶ τῶν νεφριτικῶν ἀλγημάτων. ὅταν γε μὴν ὑψηλότερον ὑπάρχῃ τὸ ἄλγημα, τῶν νεφρῶν ἐναργὴς ἡ διάγνωσις ἐστὶ ἐπὶ τῆς τοῦ κώλου πείσεως. εἰ δὲ κατὰ τὴν τῶν νεφρῶν εἴη θέσιν ἐρηρεισμένον τε καθ' ἕνα τόπον, οὐδὲν εἰς διάγνωσιν ἐκ τούτου λαμβάνειν ἐστί. ἀλλὰ πρὸς οἷς ἄρτι διῆλθον, ἐπισκεπτέον ἐστὶ καὶ τὰ οὖρα. πάνυ γὰρ ὑδατώδη καὶ καθαρὰ τό γε κατ' ἀρχὰς οὐρεῖται τοῖς νεφριτικοῖς, ὥσπερ ἐν ταῖς ἑξῆς ἡμέραις, ὑπόστασιν ἴσχοντα τραχεῖαν. εἶτ' ἀκριβῶς ψαμμώδη. κἂν διαχώρησις δέ ποθ' ἡ γαστὴρ ἐπὶ τῶν κωλικῶν, πνευματωδέστερά πως ἐκκρίνεται καὶ πολλάκις γ' ἐποχεῖται τῷ ὕδατι, τῇ συστάσει παραπλήσια βολβίτοις. ἀλλὰ καὶ παρηγοροῦνται τοῖς χαλαστικοῖς ἐνέμασιν οἱ κωλικοὶ παροξυσμοὶ, μᾶλλον τῶν νεφριτικῶν. ἔστι δ' ὅτε καὶ χυμοῦ τινὸς ψυχροῦ συνεκχυθέντος αὐτοῖς παραχρῆμα παύονται, τοῦ παρηγορικοῦ βοηθήματος, οὐ παρηγορικοῦ μόνου, ἀλλὰ καὶ θεραπευτικοῦ καὶ διαγνωστικοῦ γιγνομένου. καθάπερ δὲ χυμὸς ψυχρὸς ἐπὶ τούτων ἐκκριθεὶς, οὕτως ὁ λίθος ἐπὶ τῶν νεφριτικῶν οὐρηθεὶς, ἀπήλλαξέ θ' ἅμα τῆς ὀδύνης, ἐνεδείξατό τε τὸν πεπονθότα τόπον, ὥς τε τοῦ λοιποῦ τῆς δυσπαθείας αὐτῶν προνοεῖσθαι. ὥσπερ γὰρ ἐν ταῖς ὀδύναις ἀμφότερα τὰ μόρια τῶν αὐτῶν δεῖται βοηθημάτων, οὕτως ἐν τῷ μετὰ ταῦτα χρόνῳ διαφερόντων. διὸ καὶ νομίζειν χρὴ βλάβην οὐ τὴν μίαν ἔχειν ἡμᾶς, εἰς τὴν θεραπείαν ἐκ τοῦ δυσδιάκριτον εἶναι τὴν πρώ

τὴν εἰσβολὴν αὐτῶν. οὔτε γὰρ δέονται τηνικαῦτα διαφόρων βοηθημάτων, οὔτ' ἔξωθεν, οὔτ' ἔσωθεν, ἀλλ' ἀρκεῖ τὰ παρηγορικὰ μόνον. τεταγμένων δὲ τῶν ἐντέρων ἁπάντων μετὰ τὴν γαστέρα, τῆς μὲν νήστεως ὑψηλοτάτης, ἐφεξῆς δὲ αὐτῆς τοῦ λεπτοῦ καλουμένου, μεθ' ὃ τοῦ μὲν τυφλοῦ πρὸς τὰ κάτω μέρη, τὴν ἔκτασιν ἔχοντος, τοῦ δὲ κώλου πρὸς τὴν ἄνω χώραν ἀναφερομένου, μέχρι τοῦ συνηρτῆσθαι πολλάκις ἥπατί τε καὶ σπληνί, θαυμάζειν ἐπῆλθέ μοι, πόθεν ἐπείσθησαν οὐ μόνον οἱ ἰατροὶ σχεδὸν ἅπαντες, ἀλλὰ καὶ οἱ ἰδιῶται, τὰ σφοδρότατα τῶν ἀλγημάτων, ἐν οἷς ἂν τύχῃ μέρεσι γιγνόμενα, τοῦ κώλου νομίζειν εἶναι. φαίνεται μὲν οὖν τοῦτο κἀμοὶ πιθανώτατον ὑπάρχειν, ἀλλὰ καὶ ζητήσαντι τὴν αἰτίαν τοῦ σφοδροῦ τε ἅμα καὶ μονίμου τῆς ὀδύνης, οὐχ ἁπλῶς πεισθέντι τοῖς ἀποφηναμένοις. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν ἐν νεφροῖς καὶ οὐρητῆρσι λίθων ἐσφηνωμένων, ἀλγήματα γίγνεται σφοδρὰ κατὰ τὴν δίοδον, οὕτω κἀπὶ τῶν λεπτῶν ἐντέρων, εὐλόγως ἄν τις ὑπολάβοι, τὰ περιεχόμενα πνεύματα ψυχρὰ καὶ χυμοὺς ὁμοίους αὐτοῖς, ἐργάζεσθαι τὴν ὀδύνην. ἡ γὰρ τοῦ σώματος οὐσία τῶν ἐν τοῖς λεπτοῖς ἐντέροις χιτώνων ἀραιά τε τίς ἐστι καὶ λεπτή, κατέχειν ἐπὶ πλέον οὐ δύναται τὰ τοιαῦτα τῶν αἰτίων. εὔλογον οὖν ἐστὶν ἔν τινι πυκνῷ καὶ παχεῖ σώματι, γεννηθέντα ψυχρὸν καὶ παχὺν ἢ γλίσχρον χυμὸν, ἢ πνεῦμα φυσῶδες οὐκ ἔχον διέξοδον, ὀδύνην ἐργάζεσθαι, σφοδρὰν μὲν, κατ' ἄμφω διά τε δυσκρασίαν καὶ τάσιν τῶν σωμάτων ἐν οἷς ἐστέγεται. μακροτέραν δὲ διὰ τὸ μὴ δύνασθαι κενωθῆναι ῥᾳδίως, εἰργόμενον, ὑπό τε τοῦ πάχους καὶ τῆς πυκνότητος τῶν περιεχόντων αὐτὸ σωμάτων. γίγνονται δὲ ποτὲ καὶ ἄλλοι πόνοι σφοδρότατοι, κατὰ τὰ μετέωρα μέρη τῶν ἐντέρων, ἱκανῶς σπαράσσοντες ἐνίοτε, ὡς ἐπὶ τέλει κόπρον ἐμέσαι τινάς. ἐξ οὗ πάθους σπανιώτατα τις ἐσώθη καὶ καλοῦσί τινες αὐτὸ εἰλεόν, καθάπερ ἕτεροι χορδαψόν. ὅτ' ἂν δ' ἐξέχῃ τις ὄγκος ἐν τῇ χώρᾳ τῶν λεπτῶν ἐντέρων, ὡς δοκεῖν οἷον χορδήν τινα περιεστράφθαι τὸ ἔντερον. εὔλογον οὖν ἔδοξε τοῖς πρὸ ἡμῶν ἰατροῖς, ἤτοι διὰ φλεγμονὴν, ἢ ἔμφραξιν κόπρου ξηρᾶς τὰ τοιαῦτα γίγνεσθαι πάθη τῶν λεπτῶν ἐντέρων. ἕτερα μέν τοι συμπτώματα πάντων ἅμα πεπονθότων εὐλόγως ἐπισυνθεῖ γίγνεσθαι τῶν ἐντέρων τε καὶ τῆς γαστρός. ὥσπερ αἵ τε λειεντερίαι, καὶ αἱ κοιλιακαὶ καλούμεναι διαθέσεις ὅσαι μὴ δακνώδεις εἰσίν. αἱ μὲν γὰρ δακνώδεις αὐτῷ τῷ δάκνειν ἐξορμῶσιν ἐπὶ τὴν ἀπόκρισιν ἅπαν τὸ ἔντερον. ὅσαι δ' οὐ δάκνουσιν, ἀτονίαις ἐντέρων ἕπονται διὰ τὸ μὴ δύνασθαι κατέχειν τὰ περιεχόμενα, μηδ' ἐπ' ὀλίγον χρόνον, ἐκκρινόντων αὐτὰ παραχρῆμα, καθάπερ ἄχθος τι βαρύνον ἀποτιθέμενα ταῖς στραγγουρίαις ἀνάλογον, ὁρῶνται γὰρ κἀκεῖναι γιγνόμεναι ποτὲ μὲν διὰ δριμύτητα καὶ δῆξιν ἀποκρινούσης τῆς κύστεως συνεχῶς τὸ παραγιγνόμενον εἰς αὐτήν. ἔστι δὲ ὅτε μὴ φερούσης τὸ βάρος αὐτοῦ κἂν ὀλίγον εἴη. τὰς δ' ἐργαζομένας αἰτίας τὸ λειεντερικὸν πάθος ἑτέρωθι γεγραμμένας ἔχετε κατὰ μόνας, πρὸς τῷ κἀν τοῖς τῆς θεραπευτικῆς μεθόδου, καὶ τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἔτι τε τοῖς τῶν συμπτωμάτων αἰτίοις εἰρῆσθαι. νῦν γὰρ οὐ περὶ τῶν τὰς νόσους ἐργαζομένων αἰτίων ὁ λόγος ἐστὶν, ἀλλὰ περὶ τῶν πεπονθότων τόπων, ὅσοι τὴν διὰ τῆς ἁφῆς τε καὶ τῆς ὄψεως ἐκφεύγουσι γνῶσιν. ἐπεὶ δ' εἰς τὴν τούτων ἀκριβῆ διάγνωσιν, ἐνίοτε καὶ περὶ τῶν διαθέσεων αὐτῶν ἠναγκάσθην εἰπεῖν τι, διὰ τοῦτο καὶ περὶ τῶν ἐργαζομένων αὐτὰς αἰτίων ἐπεμνήσθην, ὥστε καταπαύειν ἐνταῦθα προσήκει τὸν περὶ τῶν ἐντέρων λόγον. ὅσα γὰρ ἐναργῶς ἐστι πάθη γνῶναι συνιστάμενα, κατ' αὐτὰ καὶ ταῦτα κοινὰς ἔχει τὰς διαγνώσεις τοῖς προειρημένοις. τὰ γὰρ τῶν ἀποστημάτων, ἢ φλεγμονῶν, ἢ σκίρρων ἢ ἐμπνευματώσεων, ἢ ἐρυσιπελάτων γνωρίσματα γιγνωσκόμενα πᾶσιν, ὅταν ἐν τοῖς κατὰ τὴν κοιλίαν τόποις ὀφθῇ, καὶ τοῦ πάθους ἅμα καὶ τοῦ πεπονθότος τόπου τὴν διάγνωσιν ἐνδείκνυται. καὶ λέλεκται, καὶ περὶ τούτων, ἐν τοῖς ἔμπροσθεν λόγοις αὐτάρκως.

De affectibus Renum.

Colicorum signa.

ἐὰν μὲν εἰσβάλλῃ ἐξαίφνης νεφρῖτις, ἀξιολόγου λίθου σφηνωθέντος, ἤτοι κατά τινα τῶν νεφρῶν, ἢ καὶ τῶν οὐρητήρων, παραπλήσιον ἄλγημα γίγνεται τοῖς κωλικοῖς. διορίζεται δὲ τῷ τε πλήθει καὶ μεγέθει τῶν ναυτιῶν, ἅμα τοῖς ἐμουμένοις χολώδεσί τε καὶ φλεγματώδεσιν οὖσιν. καί τι καὶ τῆς ἐδηδεσμένης τροφῆς μεμιγμένον ἔχουσι πολλάκις καὶ τῶν τόπων τῶν ὑψηλῶν μερῶν τοῦ κώλου πασχόντων. ἔστι δ' ὅτε καὶ τῷ μὴ καθ' ἕνα τόπον ἐρηρεῖσθαι τὴν ὀδύνην, ἀλλ' ἐνειλεῖσθαί τε καὶ μέχρι πλείονος ἐκτείνεσθαι, καὶ μηδὲ φῦσαν προΐεσθαι. ταῦτα γὰρ ἅπαντα μόνοις γίγνεται τοῖς κωλικοῖς. τὰ μὲν μᾶλλον. τὰ δὲ ἧττον.

Nephriticorum signa.

ὅταν δ' ἐκ τῶν ὑφισταμένων τοῖς οὔροις, ἢ καί τινος οὐρηθέντος λίθου, σαφῶς διορισθείη, ζήτημα οὐκέτ' οὐδὲν ὑπολείπεται. πολλοὶ δὲ τῶν πασχόντων, ὀδύνης μετρίας αἰσθάνονται διὰ βάθος, κατὰ τὰς λαγόνας ὑπαρχούσης ἀπ' ἀρχῆς, οὐδέ πω ψαμμώδους οὐδενὸς ἐκκρινομένου σαφῶς. ἐφ' ὧν ὡς ἴστε διδοὺς τῶν φαρμάκων, ὅσα θρύπτει τοὺς ἐν τοῖς νεφροῖς λίθους, ἅμα τε διάγνωσιν ἀκριβῆ ποιούμενος τοῦ τε πάθους, καὶ τοῦ πάσχοντος τόπου, καὶ θεραπείας ἀρχὴν ἴσχω τὴν αὐτήν. ἐὰν γὰρ εὑρεθῇ τι ψαμμῶδες ἐν τοῖς οὔροις, ἐπὶ τῇ πόσει τοῦ φαρμάκου, νεφριτικόν τό τε πάθος ἔγνων ὑπάρχειν. ἐφεξῆς τε δίδωμι τῶν αὐτῶν φαρμάκων, ἅμα τῇ λοιπῇ θεραπείᾳ.

Renum absessus nota.

διαγνωσμένου δὲ, ὅτι πάσχει τις οὕτω νεφρός, ἐὰν ἀλγήματα μετὰ φρίκης ἐκ διαλειμμάτων ἀνωμάλως φαίνεται γιγνόμενα, καὶ πυρετοί τινες ἐπ' αὐτοῖς ἄτακτοι, τηνικαῦτα κατακλίνοντες ἐπὶ τὴν γαστέρα τὸν κάμνοντα, καί ποτε καὶ κατὰ θάτερον πλευρόν, ὡς ὑψηλὸν εἶναι τὸ πεπονθὸς μέρος, ἐρωτᾶτε μή τινος βάρους ὥσπερ ἐκκρεμαμένου κατὰ τὸν ἀλγοῦντα νεφρὸν αἰσθάνονται. τούτων γὰρ αὐτοῖς συμβαινόντων, ἀπόστημα χρὴ προσδέχεσθαι συνιστάμενον, ἐφ' ᾧ πεφθέντι, πύον οὐρηθὲν, ἅμα τε τῆς ὀδύνης ἀπαλλάττει, τὸν κάμνοντα, καὶ κίνδυνον ἑλκώσεως ἐπιφέρει τῷ νεφρῷ. καὶ διὰ τοῦτο πειρᾶσθαι χρὴ παντὶ τρόπῳ τῆς ἐπουλώσεως αὐτοῦ φροντίζειν. ἐὰν μὴ διὰ ταχέως εἰς οὐλὴν ἀχθῇ, δυσθεραπευτότερον γίγνεται. σημεῖα δὲ τοῦ διαμένειν τὴν ἕλκωσιν ἔν τε τοῖς οὐρουμένοις οὐκ ἀσαφῆ, καὶ τῷ κάμνοντι πολλάκις ὀδύνης αἴσθησις, ἐν τῷ κατὰ τὸν πεπονθότα νεφρὸν χωρίῳ. συνεκκρίνεται δ' αὐτοῖς ἐνίοτε καὶ πύον ὡς ἀφ' ἕλκους ὀλίγον. ἐφελκὶς δ' ὁμοίως ἐκκρίνεται. ἔστι δ' ὅτε καὶ αἷμα, σημαῖνον ἀναβιβρώσκεσθαι τὸ ἕλκος. ἀλλὰ καὶ ῥηγνυμένου ποτ' ἀγγείου διὰ πλῆθος ἢ ἐκ καταπτώσεως, ἢ πληγῆς σφοδρᾶς οὔρησαν αἷμα δαψιλὲς ἔνιοι. καί ποτε καὶ φλεβὸς ἀναστομωθείσης αὐτοῖς γίγνεται τοῦτο. τῶν δ' ἑλκῶν αὐτῶν τῶν ἐν τοῖς νεφροῖς, τεκμήρια βεβαιότατα, τὰ συνεξερχόμενα τοῖς οὔροις, σαρκία σμικρὰ τῆς τῶν νεφρῶν οὐσίας ὄντα μόρια, καθὰ τὴν ἐπὶ πλέον ἀνάβρωσιν ἐκ τῆς ἑλκώσεως ἀπορρυπτόμενα, τὰ γε μὴν τοῖς θριξὶν ὅμοια, καὶ ὁ Ἱπποκράτης μὲν εἶδεν τοῖς οὔροις συνεξερχόμενα. καθάπερ αὐτὸς ἐν ἀφορισμοῖς ἔγραψεν. καὶ ἡμεῖς δὲ ἐθεασάμεθα. ποτὲ μὲν σπιθαμιαῖα τὸ μῆκος. ἔστι δ' ὅτε καὶ μείζω, καί ποτε καὶ πάνυ σμικρά, ὥς τε

κρὰ, ὥστε με θαυμάζειν, εἰ ἐν τῇ κοιλίᾳ τῶν νεφρῶν συνέστη τηλικαῦτα. καὶ διὰ τοῦτο πιθανώτερον ἐφαίνετό μοι τὴν γένεσιν αὐτῶν ἐν ταῖς φλεψὶν εἶναι καθ' ὃν τρόπον ἐν ταῖς κνήμαις ἔν τινι τόπῳ τῆς ἀραβίας ὥς φασι τὰ καλούμενα δρακόντια γίνεται. νευρώδη μὲν τὴν φύσιν, ἕλμινσι δὲ καὶ τῇ χροιᾷ, καὶ τῷ πάχει παραπλήσια. λεγόντων μὲν οὖν ἑωρακέναι ταῦτα πολλῶν ἤκουσα, μὴ θεασάμενος δ' αὐτὰ, οὐκ ἔχω συμβαλεῖν οὔτε περὶ τῆς γενέσεως αὐτῶν, οὔτε περὶ τῆς οὐσίας ἀκριβῶς οὐδέν. ὅπου γε καὶ τὰς οὐρουμένας τρίχας ἰδὼν ἐκ μὲν τῆς χροιᾶς τε καὶ συστάσεως ἐπειθόμην τοῖς εἰρηκόσιν αὐτὰς ἐκ παχέος τε καὶ γλίσχρου χυμοῦ θερμανθέντος τε καὶ ξηρανθέντος ἐν ταῖς φλεψὶ συνίστασθαι. τοῦ μήκους δ' αὐτῶν οὐκ ἐνενόουν τὴν αἰτίαν. ἀλλὰ τήν γε θεραπείαν ὁπότε πρῶτον εἶδον, ἤλπιζον διὰ τῶν οὐρητικῶν φαρμάκων ἔσεσθαι, καὶ οὕτως ἀπέβη, καὶ σχεδὸν ἅπασιν οἷς συνέβη τὸ πάθημα τοῦτο, νεφριτικὸν οὐδὲν οὔτ' ἔμπροσθεν ἦν οὔτ' αὖθις ἐπεγένετο σύμπτωμα, θεραπευθεῖσιν ὑπὸ τῶν οὐρητικῶν φαρμάκων. ἀλλὰ κἂν ἄλλη τις ἐκκαθαίρηται τῶν φλεβῶν δι' οὐρήσεως μοχθηρία χυμῶν, οὐδὲν ὑπ' αὐτῆς εἶδον, οὔτε νεφροὺς οὔτε κύστιν, οὔτε τοὺς οὐρητικοὺς πόρους παθόντας. ὥσπερ οὐδ' εἰ πύον ἐκκρίνει τις πάμπολυ δι' οὔρων. ἀλλὰ κατά γε τοῦτο, παραπλησίως ἔχει ταῦτα, τοῖς περὶ τὰ ἔντερα. πάσχει γὰρ οὐδ' ἐκεῖνα τι περὶ τὰς ἡπατικὰς διαθέσεις, καίτοι ὑπὸ χολῆς ἀκράτου βλαπτόμενα. καθάπερ αὖ πάλιν ἡ κύστις ὑπὸ δριμέων οὔρων διόδου, χρόνῳ πολλῷ γινομένης, ἑλκοῦται. νεφρῶν γε μὴν ἐστὶ καὶ ἄλλό τι πάθος, ἐφ' οὗ λεπτὸς ἰχὼρ αἵματος οὐρεῖται, τοῖς ἐπὶ τῶν ἡπατικῶν παθῶν ἐν ἀρχῇ γιγνομένοις διαχωρήμασιν, ὁμοίως, πλὴν ὅσον αἱματωδέστερα ὀλίγῳ φαίνεται. συμβαίνει δὲ τοῦτο καὶ διὰ παραπλησίαν μέν τινα διάθεσιν ἐν νεφροῖς γινομένην, οἵαν ἐν ἥπατι τῆς ἀτονίας ἔφαμεν εἶναι, καὶ δι' εὐρύτητα δὲ τῶν ἐκ τῆς κοίλης φλεβὸς εἰς τοὺς νεφροὺς τὸ οὖρον διηθούντων στομάτων ἢ πόρων, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλῃς. ἐμοὶ δὲ δοκοῦσιν οἱ νεφροὶ πεπονθέναι καὶ περὶ τοῦτο τὸ πάθος, ὃ τινὲς μὲν ὕδερον εἰς ἀμίδα. τινὲς δὲ διάρροιαν εἰς οὖρα. τινὲς δὲ διαβήτην. ἔνιοι δὲ διψακὸν ὀνομάζουσιν, σπανιώτατα γιγνόμενον. ἐμοὶ γοῦν ὤφθη δὶς ἄχρι δεῦρο. διψώντων μὲν ἀμέτρως τῶν πασχόντων καὶ πινόντων γε, δι' αὐτὸ τοῦτο δαψιλῶς, οὐρούντων τε τὸ ποθὲν ἐν τάχει τοιοῦτον, οἷον ἐπόθη. παραπλήσιον δ' αὖ καὶ τοῦτο περὶ νεφροὺς καὶ κύστιν πάθος, οἷον ἐν κοιλίᾳ καὶ ἐντέροις, ἡ λειεντερία. περὶ μὲν οὖν λειεντερίας ἰδίᾳ γέγραπται, δεικνύντων ἡμῶν, οὐ μόνον τὴν κοιλίαν, ἀλλὰ καὶ πᾶν τὸ ἔντερον ἐπὶ μὲν τὴν ἀπόκρισιν, ἐν τάχει παραγίγνεσθαι τῶν καταποθέντων σιτίων τε καὶ πομάτων οὐ δυνάμενα φέρειν, οὐδ' ἐπ' ὀλίγον ἀλύπως, ἢ τὸ βάρος αὐτῶν, ἢ τὴν ποιότητα. περὶ δὲ τῆς εἰς τὴν κύστιν ἀθρόας τε καὶ ταχείας φορᾶς, ἀδύνατον ἀτονίαν αἰτιᾶσθαι τῆς γαστρὸς, ἢ τῆς νήστεως, ἢ τῶν λεπτῶν ἐντέρων. εἴπερ γὰρ ἀδυνατοῦντα βαστάζειν τὸ ποτὸν, ἐπὶ τὴν ἔκκρισιν αὐτοῦ παραγίνεται, τί ἐκώλυεν ἐκκρίνεσθαι διὰ τῆς ἕδρας αὐτό. καθάπερ ὁρᾶται γιγνόμενον ἐπὶ τῶν λειεντερικῶν. οὐ μόνον γὰρ ἐκκρίνεται τὰ σιτία, ταχέως διεξερχόμενα τὴν τοσαύτην ἕλικα τῶν ἐντέρων, ἀλλὰ καὶ τὰ ποτά. τὴν δ' εἰς ἧπαρ ἀνάδοσιν, ἀπὸ τῶν καθ' ὅλην τὴν γαστέρα χωρίων, ἐμάθομεν, οὐχ ἥπατος ἀτονίᾳ γιγνομένην, οὔτε τῶν περὶ τὸ μεσεντέριον φλεβῶν. οὔτε τῶν περὶ τὴν κοιλίαν, ὥσπερ οὐδὲ τῶν ἐξ ἥπατος ἐπὶ τοὺς νεφρούς. ἐδείχθη γὰρ ἡμῖν κἀν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἕλκειν μὲν εἰς ἑαυτὸ τὸ ἧπαρ ἐκ τῆς κοιλίας τὴν τροφὴν διὰ τῶν ἐν μεσαραίῳ φλεβῶν, ὥσπερ τὰ δένδρα τὴν ἐκ τῆς γῆς ἕλκει διὰ τῶν ῥιζῶν. ἐδείχθησαν δὲ καὶ οἱ νεφροὶ τὸ ὑδατῶδες ἐν αἵματι ἕλκειν. μὴ μέν τοι τὴν κύστιν ἕλκειν ἐκ τῶν νεφρῶν, ὥσπερ μὴ δ' ἐκ τῆς κοιλίας τὰ ἔντερα, πέμπειν δ' ἐκκρίνοντας εἰς μὲν τὴν κύστιν, τοὺς νεφροὺς διὰ τῶν οὐρητήρων, εἰς δὲ τὴν νῆστιν, τὴν κοιλίαν, διὰ τῆς ἐκφύσεως. ἣν Ἡρόφιλος ὠνόμασε δωδεκαδάκτυλον ἀπὸ τοῦ μήκους αὐτῇ τὴν ἐπωνυμίαν θέμενος. ὥστε τῶν μὲν νεφρῶν ἀτονίαν ἄν τις αἰτιάσαιτο κατέχειν ἐπὶ πλέον ἐν ἑαυτοῖς μὴ δυναμένων τὸ οὖρον. οὐ μὴν τῶν γ' ἄλλων μορίων ὅσα διεξέρχεται τὸ ποθέν. ἀλλὰ πάλιν εἰ μέμφοιτό τις ὡς ἀτόνους τοὺς νεφροὺς, πῶς ἕλκουσιν εἰς αὐτοὺς ταχέως τὸ οὖρον. ἢ δυνατὸν λέγειν, ὥσπερ ἐπὶ τῆς κοιλίας ἐνίοις τῶν λειεντερικῶν ὀρέξεις γίνονται σφοδρόταται, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ νεφρῶν, ὄρεξίν τε ἅμα γίγνεσθαι σφοδρὰν, καὶ διὰ τοῦθ' ἕλκειν εἰς ἑαυτοὺς διὰ τῆς κοίλης φλεβὸς τὸ οὖρον. αὐτίκα μέν τοι βαρύνεσθαι διὰ τὸ τῆς ὁλκῆς λάβρον. ὥσπερ γε καὶ ἐπὶ τῶν ὀνομαζομένων ὀρέξεων κυνωδῶν ἐνίους ὁρῶμεν ἐμπιπλαμένους μὲν ἀθρόως, ἐμοῦντας δ' ὀλίγον ὕστερον, ἢ διαρροιζομένους, οὐ μόνον γὰρ ὁρᾶται τοῦτο παρὰ φύσιν ἐχόντων γιγνόμενον, ἀλλὰ καὶ ζώοις τισὶν ὑγιαίνουσιν ἀμέμπτως, ὡς τοῖς ὀρνιθίοις, ἃ καλοῦσιν ἐν Ἀσίᾳ παρ' ἡμῖν σελευκίδας. ἀπολαύουσι γὰρ ταῦτα δι' ὅλης ἡμέρας ἀπλήστως ἐσθίοντα, διὰ ταχέος αὐτοὺς ἐκκρίνειν. καὶ ἄλλοις δὲ ζώοις ὑπάρχειν φαίνεται, τὸ τοιοῦτον σύμπτωμα φυσικόν. ὥσπερ οὖν ἐν τῷ στόματι τῆς γαστρὸς ἡ κυνώδης ὄρεξις γιγνομένη, μετὰ τοῦ μὴ φέρειν αὐτὴν τῶν καταποθέντων τὸ βάρος ἀναγκάζει, πολλὰ μὲν καὶ λάβρως προσφέρεσθαι, ταχέως δὲ ἀποκρίνειν αὐτά. κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς νεφροῖς, ἡ τῆς ὀῤῥώδους ὑγρότητος ὄρεξις, ἅμα τῇ τῆς δυνάμεως αὐτῶν ἀτονίᾳ, τοῦθ' ὑγρὸν ἕλκειν ἀθρόως ἀναγκάζει, τήν τε εἰς κύστιν αὐτῶν ἔκκρισιν αὐτίκα ποιεῖσθαι. τί δή ποτ' οὖν φήσειέ τις ἴσως, ἐξαιφνίδιον μὲν ἡ εἰς οὖρα διάρροια γίνεται, λειεντερία δ' οὐχ οὕτως, ὥσπερ οὐδ' ὄρεξις κυνώδης, ἀλλ' ἀεὶ θμῷ πλεόνων ἡμερῶν. ἡ γὰρ ἀρχὴ τοῦ πάθους, διώρισται, τῆς αὐξήσεως. ἥ τ' αὔξησις τῆς ἀκμῆς. ὅτι ψυχικὸν μὲν ἔργον ἐστὶν, ἡ τῆς γαστρὸς ὄρεξις, σιτίων τε καὶ ποτῶν, οὐκ ἄνευ τῆς ἡμετέρας αἰσθήσεως γιγνομένη. φυσικὸν δὲ καὶ χωρὶς αἰσθήσεως ἡμετέρας, τὸ τῶν νεφρῶν. ὥστε μὴ δ' ὅταν εἰς τὴν ἀκμὴν ἀφίκηται, γίγνεσθαί τινα αἴσθησιν αὐτῆς, καθάπερ τῆς κυνώδους ὀρέξεως. εὔλογον οὖν ἐστιν ἄρχεσθαι μὲν αὐτὸ κατὰ βραχὺ, μεῖζόν τε γιγνόμενον, ἕλκειν μὲν τὸ πρῶτον ἐκ τῶν φλεβῶν τὸν ὀῤῥὸν τοῦ αἵματος οὐκ αἰσθανομένων ἡμῶν. ὁπόταν δὲ τοῦτον ἑλκύσῃ πάντα, καὶ ξηρὸν ἰκμάδος τοιαύτης ἀποφαίνοι, τὸ κατὰ τὰς φλέβας αἷμα, τὰ ξηρανθέντα τῶν ἀγγείων ἕλκειν ἐκ τοῦ ἥπατος τὴν ἰκμάδα, κἄπειτ' ἐκεῖνο τὴν ἐκ τῶν ἐντέρων τε καὶ κοιλίας. ἐπειδὰν δὲ ξηρανθῶσιν αἱ κατὰ τὸ στόμα τῆς γαστρὸς φλέβες, ὀρέγεσθαι τηνικαῦτα ποτοῦ τὸν ἄνθρωπον αἰσθανόμενον τῆς διαθέσεως. εἶτα προσενεγκαμένου τὸ ποτὸν αὐτοῦ, τὰς καθηκούσας εἰς τὴν γαστέρα φλέβας ἐξ ἥπατος, αὐχμώσας, ἀναρπάζειν εὐθέως αὐτὸ πᾶν, ἐξ ἐκείνων τε τὰς ἐφεξῆς, ἄχρις ἂν ἡ μετάληψις, ἐπὶ τοὺς νεφροὺς ἀφίκηται. δέδεικται γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, οὐ μόνον τὸ πόμα πανταχόσε τοῦ σώματος, ἀλλὰ καὶ ἡ τροφὴ κατὰ τὴν τῆς ὁλκῆς μετάληψιν, φέρεσθαι. κατὰ μὲν οὖν τὸ τάχος τῆς διεξόδου παραπλήσιόν ἐστι τὸ πάθος τοῦτο τῇ λειεντερίᾳ. καὶ μέν τοι καὶ καθ' ὅσον ἡ περὶ τοὺς νεφροὺς διάθεσις, ἡ αὐτὴ τῇ περὶ

τὴν κοιλίαν ἐστί. καθ' ὅσον δὲ τῇ περὶ τῶν νεφρῶν, ἔργον ἅπαν τῆς φορᾶς, ἐνεργειῶν ἐστὶ φυσικῶν, διαδέχεται τῆς ἑλκτικῆς δυνάμεως ἐνεργούσης, κατὰ τοσοῦτον διαφέρουσιν ἀλλήλων. καίτοι κἀν τούτοις ἐστί τι παραπλήσιον, ἡ ἐκ τῆς κοίλης φλεβὸς εἰς τοὺς νεφροὺς ὁλκὴ, τῇ πρώτῃ καταπόσει τῶν εἰς τὴν γαστέρα φερομένων ἐκ τοῦ στόματος. ἀλλ' αἱ περὶ ταύτης ἐνέργειαι, ταῖς εἰς οὖρα διαῤῥοίαις, εἰσὶν ἴδιαι. ὅτι δ' οὐκ ὀρθῶς ἔνιοι τῆς γαστρὸς εἶναι νομίζουσι, τὸ τοῦ διαβήτου πάθος, ὁμοίως ταῖς κυνώδεσι ὀρέξεσιν, ἔνεστι μαθεῖν, ἐκ τοῦ ἐπὶ δίψει σφοδρῷ, πιμπλαμένων μὲν τὴν γαστέρα, διαμένον δ' ἐχόντων ἐπὶ πλεῖστον αὐτῇ, τὸ ποθούμενον. τέτταρα γοῦν ταῦτα συμπτώματα διαδέχεται τὴν ἐν τῷ σφοδρῷ δίψει πόσιν. ἓν μὲν καὶ πρῶτον, ἔμετος. δεύτερον δ' ἡ διὰ τῆς κάτω γαστρὸς ἔκκρισις ταχεῖα, κατὰ τὰς διαῤῥοίας τε καὶ λειεντερίας. ἄλλο δὲ τρίτον ἡ ἐπὶ πλεῖστον ἐν τῇ γαστρὶ μονή. καὶ τέταρτον αὐτοῦ αὐτὸ δὴ τοῦτο, περὶ οὗ νῦν ὁ λόγος ἐστί. εἴτε διαβήτην αὐτό τις, εἴτε διψακὸν, εἴτε διάῤῥοιαν εἰς οὖρα, βούλοιτο καλεῖν. οὐ γὰρ ὅπως ὄνομα πρέπον αὐτῷ θείμεθα, ζητοῦμεν. ἀλλ' ἵν' εἰς τὴν θεραπείαν εὕρωμεν ἀφορμὰς, ἔκ τε τοῦ πεπονθότος τόπου καὶ τῆς ἐν αὐτῷ διαθέσεως. ἕτερον δ' ἀκριβῶς ὅμοιον τῷ διαβήτῃ τούτῳ γίνεται πάθος, ἐπὶ σιτίων πλήθει, μήτ' ἀπεπτουμένων, μήθ' ὑποχωρούντων, μήτε πλῆθος ἐργαζομένων, μήτ' εὐτροφίαν ἀλλὰ δῆλον ὅτι διαφορουμένων ταχέως. ἔστι δ' οὕτως σπάνιον ἐστὶν, ὡς ὁ διψακός. οὔτ' οὖν ἀνίατον. ἐπειδὴ περὶ τὸ μέγιστον γενέσθαι γνωριζόμενον, οὐ χαλεπῶς θεραπεύεται. ὅταν μὲν γὰρ ἄχρι τοῦ διπλασίου τῶν εἰθισμένων ἐσθίοντός τινος, ἀτροφῇ τὸ σῶμα χωρὶς διαῤῥοίας, παρορᾶται τὸ πάθος, οὐ μόνον τοῖς ἰδιώταις, ἀλλὰ καὶ τοῖς ἰατροῖς. ὅταν δ' ἐπὶ τριπλασίοις τοῦτο συμβαίνῃ, βοηθεῖται πρὶν ἐπὶ τὸ τετραπλάσιον ἢ πενταπλάσιον ἀφικέσθαι. τοῦτο δ' αὖ πάλιν τὸ πάθος, εὔλογον ἀπὸ ταχείας διαφορήσεως ἄρχεσθαι, σωζόντων ἁπάντων τῶν μορίων τὴν ἑλκτικὴν δύναμιν, ἅμα τῇ συνεζευγμένῃ μετ' αὐτῇ, καλουμένῃ δ' ἰδίως ὀρεκτικῇ. τοῦ μὲν οὖν σφοδροῦ δίψους ἄνευ τοῦ διαβήτου, ἡ γαστήρ ἐστιν αἰτία πάσχουσα δυσκρασίαν θερμὴν ἢ ξηρὰν. ἢ ἀμφοτέρας ἅμα. καὶ μάλιστ' αὐτῆς τὸ στόμα. δεύτερον δ' ἐπὶ τῇ γαστρὶ, τὸ ἧπαρ καὶ μάλιστ' αὐτοῦ τὰ σιμὰ, συνεκπυρουμένων αὐτοῖς δηλονότι τῶν κατὰ μεσεντέριόν τε καὶ νῆστιν, αὐτήν τε τὴν γαστέρα. καὶ κατὰ τὸν στόμαχον δὲ καὶ πνεύμονα. τοῦ τοιούτου συμπτώματος ἡ οἷον ῥίζα, γίνεταί ποτε δι' ἐρυσιπελατώδη διάθεσιν ἐκπυρωθέντων. οἷς εἰς τὸ τέλεον ἕπεται μαρασμὸς, ἄλλοτ' ἄλλος ὡς ἐν τῷ περὶ αὐτοῦ λόγῳ δεδήλωται. ταῦτα μὲν οὖν τῇ κοινωνίᾳ τῶν συμπτωμάτων, ἅμα τοῖς κατὰ νεφροὺς εἴρηται πάθεσιν. αὐτῶν δὲ τῶν νεφρῶν ἴδιον πάθος ἐστὶν ὁ διαβήτης, ἀνάλογον τῇ κατὰ τὸ στόμα τῆς κοιλίας ὀρέξει κυνώδει, σὺν ἀτονίᾳ τῆς καθεκτικῆς δυνάμεως. ἐάν τε γὰρ ἄνευ σφοδρᾶς ὀρέξεως γίνεσθαι, φῶμεν αὐτὸ, τὴν ἀρχὴν οὐδ' ἀφίξεταί ποτ' εἰς τοὺς νεφροὺς ἀξιόλογον οὖρον. ἐὰν δὲ χωρὶς ἀτονίας τῆς καθεκτικῆς δυνάμεως, οὐκ ἀκολουθήσει τὸ τάχος τῆς οὐρήσεως.

De affectibus Vesicæ.

Συμπτώματα κατὰ τὴν κύστιν γίνεται, κοινὰ μὲν τοῖς ἄλλοις, οἵ τε παρὰ φύσιν αὐτῆς ὄγκοι πάντες, ὀδύναι τε καὶ τὰ ταύτης ἐργαζόμενα πάθη. τὰ δ' ἴδια μόνης αὐτῆς, ἰσχουρίαι τε καὶ στραγγουρίαι. καὶ κατ' ἄλλον τρόπον αἱ ἄμετροι τῶν οὔρων ἐκκρίσεις, ἀλλ' αὗται μὲν ὡς ἐν τῷ περὶ τῶν νεφρῶν λόγῳ προείρηται, διόδῳ χρῶνται τῇ κύστει, μηδὲν αὐτῆς πεπονθυίας. τῆς στραγγουρίας δ' ἡ μὲν ἐπὶ δριμέσιν οὔροις γινομένης, σύμπτωμα μέν ἐστι κύστεως, πάθος δ' οὐκ ἔστιν. ἡ δὲ, δι' ἕλκωσιν ἢ ἀτονίαν ἐπὶ πάθει κύστεως γίνεται. καθάπερ ἡ διὰ τὴν δριμύτητα, ποτὲ μὲν ἐπὶ νεφρῶν πάθει. ποτὲ δ' ἐπ' ἄλλῳ τινὶ τῶν εἰς οὖρα τὴν ἑαυτῶν κακοχυμίαν ἢ τὸ πῦον, ὅτ' ἂν ἀποστήματι κάμνῃ, διαπέμψαι δυναμένων. γίνεται δὲ ποτὲ καὶ διὰ τοὺς ἐν ταῖς φλεψὶ χυμοὺς ἐκκαθαιρομένους διὰ νεφρῶν τε καὶ κύστεως. ἀῤῥωστοῦσα δὲ κύστις ἐπὶ δυσκρασίᾳ βλάπτεται τὴν οἰκείαν ἐνέργειαν, ἥ τις ἐστὶν ἐκκριτικὴ τῶν οὔρων, ἐφ' ἣν ὁρμᾷ τὸ ζῷον, ὅτ' ἂν ἤτοι βαρύνηται τῷ πλήθει τῆς περιεχομένης οὐσίας ἡ κύστις, ἢ δακνούσης ἀνιᾶται. ταῦτα δ' ἀμφότερα τοὺς ἀσθενεῖς μᾶλλον ὀδυνᾷ τῶν ἰσχυρῶν. ἡ δ' ἀσθένεια γίνεται καὶ δι' ὀργανικὰ μὲν ἐνίοτε πάθη. καὶ διὰ δυσκρασίας τάς τ' ἄλλας, καὶ τὰς συνεχέστατα πολλοῖς συμβαινούσας ὁπότ' ἂν ψυγῶσιν. ἐναργῶς γοῦν φαίνεται, βαρυνομένη τηνικαῦτα, κἂν ὀλίγον ἐν αὐτῇ περιέχηται τὸ ὑγρόν. ὡς οὐρήσεως δὲ ὀργάνῳ τῇ κύστει, καὶ τὸ τῆς ἰσχουρίας ἕπεται σύμπτωμα. ποτὲ μὲν ὡς εἴργεται μὴ δυναμένης περιστέλλεσθαι σφοδρῶς, τοῖς ἐν αὐτῇ περιεχομένοις, ὡς ἐκθλίβειν αὐτά. ποτὲ δὲ τοῦ κάτω πόρου φραχθέντος, ὑπὸ παχέων ὑγρῶν, ἢ λίθου σφηνωθέντος. ἔστι δ' ὅτε καὶ διὰ φλεγμονὴν, ἤ τινα τοιοῦτον ἕτερον ὄγκον, εἰς στενοχωρίαν ἀγαγόντα τὸν πόρον, ἢ καὶ τελέως ἐμφράξαντα τὸν πόρον. ὁμοίως ἐπί γε τοῖς ἀπὸ τοῦ νωτιαίου μυελοῦ νεύροις παθοῦσιν, ἢ αὐτοῦ τοῦ νωτιαίου, γίνεταί τις ἀτονία τῆς κύστεως, δι' ἣν οὔρων ἐπίσχεσις ἀκολουθεῖ καθάπερ ἔνιοι νομίζουσιν, οἰόμενοι προαιρετικὸν ἔργον εἶναι τὸ τῆς κύστεως. ἐπειδὴ κατέχομέν τε τὸ οὖρον, ἄχρι περ ἂν βουληθῶμεν. ἐκκρίνομέν τε προελόμενοι. βέλτιον γὰρ ἦν αὐτοὺς ἐγνωκέναι, μὴ τὸ τῆς κύστεως, ἀλλὰ τὸ τῆς οὐρήσεως ἔργον εἶναι προαιρετικόν. ὥσπερ γε καὶ τὸ τῆς ἀποπατήσεως οὐ τὸ τῶν ἐντέρων. ἡ μὲν γὰρ κύστις ἐνέργειαν ἔχει μίαν, τὴν περισταλτικήν. ὁ δὲ τὸν οὐρητικὸν πόρον, ἐν κύκλῳ περιέχων μῦς, ἐν ἀρχῇ τοῦ τραχήλου τῆς κύστεως τεταγμένος, ὄργανόν ἐστι προαιρετικὸν ἔργον ἔχον, σφίγγειν ἐν κύκλῳ τὸν αὐχένα τῆς κύστεως, οὕτως ἀκριβῶς, ὡς μηδὲν εἰς τὸν πόρον αὐτοῦ, τῶν ἐκ τῆς κύστεως ὑγρῶν ἐξιέναι. τὴν δ' αὐτὴν ἐνέργειάν τε καὶ χρείαν ἔχει, καὶ ὁ ἐπὶ τῷ πέρατι τοῦ ἀπευθυσμένου μῦς. καὶ διὰ τοῦτο, παραλυθέντων αὐτῶν, οὔτ' οὖρον ἴσχεται κατὰ τὴν κύστιν οὔτε κόπρος ἐντὸς τῆς ἕδρας. ἀλλ' ἐκρεῖ κατ' ὀλίγον ἀμφότερα, χωρὶς τῆς ἡμετέρας προαιρέσεως. ὥσπερ δὲ ἐπὶ τῶν ἄλλων μυῶν, ὅπερ ἡ παράλυσις ἀκουσίως, τοῦθ' ἡ προαίρεσις ἡμῶν ἑκουσίως ἐργάζεται, κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τούτων ἐνεργοῦντες παυόμεθα, βουληθέντες ἐκκρῖναι κόπρον ἢ οὖρον. ὥσπερ δ' ἔνιοι προαιρετικὸν ἔργον ὅλον ᾠήθησαν εἶναι, τὸ περὶ τὴν τῶν οὔρων τε καὶ τῆς τροφῆς περιττωμάτων ἀπόκρισιν, οὐκ ὀρθῶς γινώσκοντες, οὕτως ἔνιοι πάλιν ἐξ ὑπεναντίου τοῖς δὲ, σύμπαν αὐτὸ φυσικὸν ἔργον εἶναι νομίζοντες, οὐκ ἀληθεύουσιν. ὅλον μὲν γὰρ φυσικόν ἐστιν ἔργον, ἡ ἐκ τῆς γαστρὸς εἰς τὴν νῆστιν ἔκθλιψις τῆς τροφῆς. ὅλον δ' αὖ προαιρετικὸν, ἔκτασις, καὶ κάμψις ἑκατέρων τε τῶν κώλων, ἑκάστου τε τῶν δακτύλων. γίνεται γὰρ ἡ μὲν ἐκ τῆς κοιλίας εἰς τὴν νῆστιν φορὰ, καθάπερ γε καὶ ἡ δι' ἐκείνης εἰς τὸ λεπτὸν ἔντερον, ὑπὸ φυσικῆς δυνάμεως μόνης. ἡ δ' ἀποπάτησις τε καὶ οὔρησις ἀμφοτέρων τῶν ὀργάνων ἅμα ταῖς οἰκείαις δυνάμεσιν ἐνεργούντων ἐπιτελεῖται. κατὰ μὲν τὸ ἀπευθυσμένον καὶ τὴν κύστιν, ὑπὸ τῶν φυσικῶν. κατὰ δὲ τοὺς μῦς, ὑπὸ τῶν ψυχικῶν τε καὶ προαιρετικῶν ὀνομαζομένων. οἱ μὲν γὰρ σφίγγου-

τὰς τὰς ἐκροὰς μύες, οὐκέτ' ἐνεργοῦσιν. οἱ δὲ καθ' ὑπογάστριον ἐνεργοῦσιν. καὶ μάλιστ' αὐτῶν οἱ μέσοι. συνεπιλαμβάνουσι δ', ἐστὶν ὅτε, τοῖς μυσὶ τούτοις ἔνιοι τῶν δυσκόλως ἀποπατούντων, καὶ τὴν διὰ τῶν χειρῶν θλίψιν, καθάπερ γε κἀπὶ τῆς δυσχεροῦς οὐρήσεως, καὶ τελέας ἐπισχέσεως εἰώθασι ποιεῖν. ὅταν μὲν οὖν τὰ νεῦρα πάθη δι' ὧν ἡ ψυχικὴ δύναμις ἐπὶ τοὺς εἰρημένους ἀφικνεῖται μῦς, ἢ καὶ τὸν νωτιαῖον αὐτὸν βλαβῆναι συμβῇ παραλυθέντων τῆς ἐνεργείας τῶν μυῶν, ἀκούσιος ἔκκρισις οὔρου τε καὶ κόπρου γίγνεται. ὅταν δ' αὐτὸ τῆς κύστεως τὸ σῶμα τοιοῦτο πάθοι πάθος, ὡς ἀδυνατεῖν ἐκθλίβειν τὸ περιεχόμενον ἐν αὐτῇ, κατέχεται τούτοις τὸ οὖρον, καὶ καλεῖται τὸ σύμπτωμα αὐτῆς ἰσχουρία. συμβαίνει δὲ καὶ διὰ δυσαισθησίαν αὐτῆς, γίγνεσθαί ποτ' ἐπίσχεσιν οὔρων, ἄνευ τοῦ πεπονθέναι τὴν ἐκκριτικὴν δύναμιν. ἐὰν τὰ μὲν τῆς κύστεως ἴδια νεῦρα πάθῃ, τὰ δὲ τοῦ σφίγγοντος αὐτῆς τὸν αὐχένα μυὸς, ἐναργῆ διασώζοντα τὴν ἑαυτῶν δύναμιν. ὡς ἐάν γε παραλυθῇ, σημεῖον ἴδιον τῆς παραλύσεως τούτου τοῦ μυός ἐστιν, ἡ τῶν οὔρων ἀκούσιος ἔκκρισις. ὅταν δὲ ἅμα γένηται τὸ πάθος, ὅτε πόρος αὐτῆς φραχθῇ, χαλεπὸν οὐδὲν διαγνῶναι τὰς διαθέσεις ἀμφοτέρας. οὐ μόνον δὲ εἰς τὴν τούτων, ἀλλὰ καὶ τὴν τῶν ἄλλων ἁπάντων τῶν περὶ τὴν κύστιν ἀκριβῆ διάγνωσιν, ἀναγκαιότατόν ἐστι προεπίστασθαι τὰ προκατάρχοντα τῶν ἔξωθεν αἰτίων ἃ καλοῦσιν ἰδίως οἱ ἰατροὶ προκαταρκτικά. πολὺ δὲ μᾶλλον αὐτῶν, τὰ προηγούμενα τὰ κατ' αὐτὸ τὸ σῶμα τοῦ ζώου παθήματα. λορδωθείσης γοῦν ποτε τῆς ῥάχεως ἐπὶ τῇ καταπτώσει, συνέβη τῶν οὔρων ἐπίσχεσις. εἰώθει οὕτω γίγνεσθαι καθάπερ εἴρηται καὶ ὑφ' Ἱπποκράτους. ἐπεσχέθη δ' οὐκ εὐθέως, ἀλλὰ περὶ τὴν τρίτην ἡμέραν, ὑπὸ τῆς τῶν ἔσω μεταστάντων σπονδύλων θλίψεως, φλεγμηνάσης τῆς κύστεως. ἤλγει γοῦν περὶ τὸ χωρίον αὐτῆς, καὶ χωρὶς μὲν ψαύειν. ἀλλὰ πολὺ μᾶλλον ἐπερειδόντων τὰς χεῖρας. ἐθεραπεύσαμεν δ' αὐτὸν ὡς πρὸς φλεγμονὴν ἱστάμενοι μεταστάντων δ' ὀπίσω τῶν σπονδύλων ἐφ' ἑτέρου, τὸ οὖρον ἀκουσίως ἐξεκρίνετο, χωρὶς ὀδύνης τῆς κύστεως. ἐφ' οὗ τὸ νεῦρον τοῦ κλείοντος τὴν κύστιν μυὸς, ἐτεκμηράμεθα πεπονθέναι. καὶ διὰ τοῦτο τὴν θεραπείαν περὶ νωτιαίῳ προσήγομεν ἐπ' ἄλλου δ' ὁμοίως πεπονθότος ἐπίσχεσις οὔρων ἐγένετο. δυσαισθησίας μὲν ἐπὶ τῇ τῶν νεύρων πείσει καταλαβούσης τὴν κύστιν. ἐν δὲ τοῖς ὕπνοις οὐκ αἰσθανομένου τοῦ ἀνθρώπου πεπληρωμένης τῆς κύστεως. εἶθ' ὑπερδιαταθείσης αὐτῆς μηκέτ' ἀρκεῖν δυναμένης. συμβαίνει γάρ ποτε καὶ τοῦτο τῆς ἰσχουρίας αἴτιον γενέσθαι, καθάπερ γε καὶ ἄλλοις ὑγιαίνουσιν ἤ τι διὰ περίστασίν τινα πραγμάτων, ἢ ἐν ἐκκλησίαις, ἢ βουλαῖς, ἢ ἐν δικαστηρίοις, ἢ καὶ δειπνοῦσι παρά τινι, κατασχοῦσι ἐπὶ πλέον τὸ οὖρον ὑπερδιαταθείσης τῆς κύστεως, ἰσχουρίαν ἀκολουθῆσαι, παθούσης τῆς περισταλτικῆς αὐτῆς δυνάμεως ὑπὸ τῆς ἀμέτρου τάσεως. ἑτέρου δὲ ἐπὶ καταπτώσει τῆς ῥάχεως ἀπαθοῦς διαμενούσης, ἐν μὲν τῷ παραχρῆμα συνέβη συχνὴν οὔρησιν αἵματος γενέσθαι. μετὰ δὲ ταῦτα, τελείαν ἰσχουρίαν. ἐφ' οὗ τεθρομβοῦσθαί τι τοῦ αἵματος ἐτεκμηράμεθα, καὶ διὰ τοῦτο καθετῆρι χρησαμένων ἡμῶν, ὀλίγον μὲν οὔρησεν. ἐξαιρεθέντος δὲ τοῦ καθετῆρος, ἐφάνη περὶ τὸ στόμιον αὐτοῦ, γνώρισμα τῆς θρομβώσεως. ἐπ' ἄλλου δὲ χρονίων ἀλγημάτων, ἅμα σημείοις ἀποστημάτων γενομένων, ἐπεὶ περὶ λῆξαι ταῦτα, συνεξεκρίθη τι πυῶδες λεπτὸν, ἐπηκολούθησεν δ' ἐπίσχεσις οὔρων ὡς τεκμήρασθαι παχὺ πύον ἐμφράξαι τὸν πόρον. ἐπὶ δὲ τῶν παιδίων λιθιώντων περὶ κύστιν, ἐθεασάμεθα πολλάκις ἰσχουρίαν γενομένην ἐφ' ἧς σχηματίσαντες ἀνάῤῥοπον τὸ σῶμα μετὰ κατασείσεως ἀποκυλισθῆναι τὸν λίθον τοῦ πόρου ἐποιήσαμεν. ἑωρακότας δὲ καὶ τοῦθ' ὑμᾶς ὃ μέλλω λέγειν, ἀξιῶ μεμνῆσθαι διαπαντός. ἐπὶ ταῖς καλουμέναις θρομβώσεσιν, οὐ μόνον ταῖς περὶ κύστιν, ἀλλὰ καὶ τούτων ἔτι μᾶλλον, εἰ κατ' ἔντερα τε καὶ γαστέρα καὶ θώρακα γένοιντο συμβαίνει λειποψυχεῖν τε καὶ ὠχριᾶν. καὶ μικροὺς καὶ ἀμυδροὺς, καὶ πυκνοὺς ἴσχειν τοὺς σφυγμούς. ἀλύειν τε καὶ διαλύεσθαι. ταυτὸ δὲ τοῦτο κἀπὶ τοῖς περὶ τοὺς μῦς μεγάλοις τραύμασιν ἐπιγίγνεται πολλάκις. ὡς θαυμάσαι τὴν αἰτίαν τινὰ τοῦ συμβαίνοντος, εἰ τὸ πάντων οἰκειότατον ἡμῖν αἷμα, τηλικούτων κακῶν ἐστὶ γεννητικὸν, ἐκχυθὲν τῶν οἰκείων ἀγγείων, ἀκολουθοῦσι γὰρ αὐτῷ καὶ σηπεδόνες τῶν μορίων καὶ νεκρώσεις. εἶδον δὲ καὶ περὶ κύστιν ἐνθρομβωθεῖσαν, ἀκολουθήσαντα τὰ αὐτὰ συμπτώματα. προηγεῖτο γὰρ αἵματος οὔρησις αὐτῷ δαψιλοῦς. καὶ ἐκ τούτου συνετεκμηράμην τὴν θρόμβωσιν. ἐδωκά τε φάρμακον πιεῖν, λίθου θρυπτικὸν δι' ὀξυμέλιτος. αὐτό τε τὸ ποτὸν, ὀξύμελι προσεφερόμεν. ἀλλὰ καὶ ταυτά μοι ποιοῦντος, οἱ μὲν ἄλλοι διεφθάρησαν, εἷς δέ τις ἐσώθη, διαλυθέντων αὐτῷ τῶν θρόμβων, εἶτα κατ' ὀλίγον οὐρηθέντων. ὅτι δ' οὐκ ἔστιν αὐτάρκη τὰ περὶ τὸν ἐνεστῶτα χρόνον συμπτώματα διδάξαι τὸν πεπονθότα τόπον, ἀλλὰ καὶ πολλάκις ἐκ τῶν προγεγονότων ὁ διορισμὸς γίνεται, τῶν προεωραμένων ὑμῖν ἀναμνησθέντες γνώσεσθε. πύον γοῦν οὐρησάντων πολλῶν πολλάκις, ἡ τῶν προγεγονότων συμπτωμάτων μνήμη τὸν πεπονθότα τόπον ἐνεδείξατο, τὴν τ' ἐν αὐτῷ διάγνωσιν ἐδήλωσεν. ὁ μὲν γάρ τις ἠλγήκει πρότερον, τὰ περὶ τὸ χωρίον τῶν νεφρῶν πολλάκις, ἄτακτοί τε φρῖκαί ποτε καὶ ῥίγη τὰ σμικρὰ σὺν πυρετοῖς, ἐγεγόνει. τῷ δὲ περὶ τὴν τῆς κύστεως θέσιν, ἅμα ταῖς τε φρίκαις καὶ τοῖς πυρετοῖς, ἀλγήματα προγεγόνει. τισὶ δὲ περὶ διάφραγμα καὶ θώρακα. καθάπερ ἑτέροις περὶ τὸ δεξιὸν ὑποχόνδριον. ἐφ' ὧν ἁπάντων ἐτεκμηράμεθα περὶ τὸν ἀλγήσαντα τόπον, ἀποστήματος προγινομένου, διὰ νεφρῶν ἐκκαθαρθῆναι τὸ πύον. συνενδείκνυται δὲ τοῖς εἰρημένοις καὶ τὸ ποσὸν τοῦ πύου, καὶ τὸ μεμῖχθαι τοῖς οὔροις αὐτὸ πᾶν. ὥσπερ ἀνατεταραγμένον, ἢ μήπω τοῦτο γεγονέναι. καθάπερ ἐπὶ τῶν ἐντέρων εἴρηται πρόσθεν. ὡς γὰρ ἐν ἐκείνοις, ἐὰν μὲν ἐκ τῶν ὑψηλοτέρων ἐντέρων ᾖ τὰ φερόμενα, μεμίκται τοῖς τῆς τροφῆς περιττώμασι, ὁμοίως τοῖς ἀνα{π}εφυραμένοις, ἐὰν δ' ἐκ τῶν κατωτέρω, καθ' ἕν τι μέρος αὐτῶν, συνεκρίνεται. περὶ τὸν αὐτὸν τρόπον ἤτοι τεθόλωται τὸ οὖρον ἅπαν ὑπὸ τῶν συνεκκρινομένων αὐτῷ πυωδῶν, ἢ κατά τινα μόρια διεσπασμένον ἀνωμάλως ἐμφέρεται. πολλάκις δὲ καὶ μόνον αὐτὸ τὸ πύον ἐκκρίνεται χωρὶς οὔρου. τοῦτο μὲν οὖν ἐναργῶς ἐνδείκνυται περὶ τὴν κύστιν αὐτὴν γεγονέναι τὴν ἐκπύησιν. τὸ δ' ἀναμεμιγμένον ἀκριβῶς, ἄνωθεν παθεῖν ἥκειν. τὸ δὲ μέσην τούτων κατάστασιν ἔχον, ἀπὸ τῶν νεφρῶν. ὁμοίως δὲ κἂν μετὰ τὸ συῤῥαγῆναι τὸ ἀπόστημα, φαίνεταί τι γνώρισμα τῆς ἑλκώσεως ἅμα τῇ τοῦ πεπονθότος τόπου διαγνώσει, καὶ τοῦτο ποτὲ μὲν, ἀναμεμιγμένον ἀκριβῶς φαίνεται. ποτὲ δὲ μετρίως. ἢ μὴ δὲ μίαν ἐσχηκὸς μῖξιν, ἢ ἐποχούμενόν πως, ἢ μόνον διεξερχόμενον. τοῦ μὲν ἕλκους γνώρισμά ἐστιν ἴδιον, ἡ ἐφελκὶς ὀνομαζομένη. τοῦ πεπονθότος δὲ μορίου, ἡ περὶ τὴν οὐσίαν ἰδιότης. πεταλώδη μὲν γάρ ἐστι, τὰ τῆς κύστεως ἀποθρυπτόμενα μόρια. σαρκοειδῆ δὲ, τὰ τῶν νεφρῶν. ὅταν δὲ κἂν τῶν ἀνωτέρω τι πεπόνθῃ, τὰ συνεκκρινό-

μένα τοῖς οὔροις, ἐπισκέπτεσθαι χρή, παραβάλλοντας αὐτά, τῇ τῶν ὑπονοουμένων οὐσίᾳ. διὰ οὔρων μὲν οὖν ἐκκαθαίρεται τά τε κυρτὰ μέρη τοῦ ἥπατος, ὅσα τε ἀνωτέρω τοῦδε τέτακται μόρια σύμπαντα. διὰ ἕδρας τε τὰ σιμὰ τοῦ ἥπατος ἔντερά τε καὶ γαστὴρ καὶ σπλήν. ἔξωθεν δὲ τούτων, ἐστὶν ὅσα σπανίως γίγνεται. οἷον διὰ γαστρὸς ἐκκαθαρθέντων τῶν κατὰ θώρακα καὶ πνεύμονα, καὶ διὰ οὔρων ἐνίοτε τῶν κάτω τοῦ διαφράγματος, ὧν ἀγνοοῦντες ἔνιοι τὰς αἰτίας, εἶτ' οὐχ ἑωρακότες ἐπ' ἀρρώστων αὐτὰ γινόμενα, τοῖς ἑωρακόσιν ἀπιστοῦσιν. ὅτι ἀποστήματος ποτὲ ἐν πνεύμονι γενομένου, δυνατὸν τὸ πῦον διὰ νεφρῶν ἐκκαθαρθῆναι. ἀλλ' ἡμεῖς γε καὶ πνεύμονος ἀπόστημα διὰ οὔρων ἐκκαθαρθὲν ἐθεασάμεθα. καὶ θώρακος, διά τε τῶν ἐντέρων καὶ τῆς ἕδρας. ἡ μὲν οὖν ἐκ τοῦ πνεύμονος εἰς τοὺς νεφροὺς φορά, τὴν ἀρχὴν οὐδ' ἀπορίαν ἔχει κατά γε τὴν ἀλήθειαν. ὥσπερ γὰρ αἱ τῆς κοίλης φλεβὸς ἀποφύσεις, εἰς τοὺς νεφροὺς ἐμβάλλουσιν, οὕτω καὶ τῆς μεγάλης ἀρτηρίας. ἐπεὶ δὲ Ἐρασίστρατος ἡγεῖται πνεύματος μόνου τὰς ἀρτηρίας ὑπάρχειν ἀγγεῖα, τοῖς πεπιστευκόσιν αὐτῷ, τὸ ζήτημα, οὐχ ἡμῖν, γίγνεται τῆς λείας ἀρτηρίας τοῦ πνεύμονος, ὅθεν εἰς ἑαυτὴν δέξεται πῦον ἐκ τοῦ ῥαγέντος ἀποστήματος, εἰς ἀριστερὰν κοιλίαν τῆς καρδίας κομίσαι δυναμένης, εἶτ' ἐντεῦθεν εἰς τὴν μεγάλην ἀρτηρίαν ἐμπεσόντος αὐτοῦ, διὰ τῶν νεφρῶν εἰς τὴν κύστιν ἐνεχθῆναι τὸ συνδοθέν. οὐ μὴν εἴωθεν οὕτω συμβαίνειν ὡς τὸ πολύ, φθανούσης τῆς μεταλήψεως εἰς τὰς τραχείας ἀρτηρίας γίγνεσθαι. τοῦ μὲν οὖν σπανίως μέν, ἀλλ' ἐπειδή ποτε διὰ οὔρων κάθαρσιν, ἐν πνεύμονι πύου γενηθέντος, ἡ αἰτία λέλεκται. τοῦ δὲ καὶ διὰ γαστρός, ἕτερόν τι τῶν ἐξ ἀνατομῆς φαινομένων σπάνιον αἴτιον. ἡ γάρ τοι κοίλη φλέψ, εὑρίσκεταί ποτε διά τινος ἀγγείου μέσου, συναπτομένη τῇ στελεχιαίᾳ καλουμένῃ. διὸ οὐδὲ θαυμαστὸν οὐδέν, οὐδ' ἀδύνατον, οὔτ' ἐκ τῶν ἄνω τοῦ διαφράγματος μορίων εἰς τὴν γαστέρα ῥυῆναί ποτε πῦον, οὔτ' ἐκ τῶν κάτω διὰ τῶν νεφρῶν εἰς τὴν κύστιν ἀφικέσθαι. ταῖς γὰρ σπανίαις κατασκευαῖς τῶν σωμάτων, εἰκός ἐστιν ἕπεσθαι σπάνια συμπτώματα.

De affectib. uteri

Οὐδ' ἐνταῦθα χρὴ διαφέρεσθαι πότερον ὑστέραν ἢ μήτραν κλητέον ἐστί, τὸ πρὸς τὴν κύησιν ὑπὸ τῆς φύσεως δοθὲν ταῖς γυναιξὶν μόριον. ὥσπερ οὐδ' εἰ κατὰ τὸν πληθυντικὸν ὀνομαζόμενον ἀριθμὸν ὑστέρας ἢ μήτρας, ἢ κατὰ τὸν ἑνικὸν ἐθέλοι τις ὀνομάζειν ὑστέραν ἢ μήτραν. ἄμεινον γὰρ εἰς τὰ χρήσιμα τὸν χρόνον ἀναλίσκειν. ἐξ ὧν εἰς διάγνωσιν, ἢ πρόγνωσιν, ἢ θεραπείαν, ὄφελός τι καρπωσόμεθα. καθάπερ ἀμέλει κἀπὶ τῆς καλουμένης ὑπὸ μὲν τινῶν ὑστερικῆς πνίξεως. ὑπὸ ἐνίων δ' ἀπνοίας ὑστερικῆς. ὡς ἓν γάρ τι τὸ πάθος, ἑκατέρᾳ τῇ προσηγορίᾳ δηλούντων ἐστὶν ἀκοῦσαι τῶν ἰατρῶν. ἐγὼ δὲ θεασάμενος πολλὰς γυναῖκας ὑστερικάς, ὡς αὐταί τε σφᾶς αὐτὰς ὀνομάζουσιν. αἵ τ' ἰατρίναι πρότεραι, παρ' ὧν εἰκός ἐστι κἀκείνας ἀκηκοέναι τοὔνομα, τινὰς μὲν ἀναισθήτους τε ἅμα καὶ ἀκινήτους κειμένας, ἀμυδρότατόν τε καὶ μικρότατον ἐχούσας σφυγμόν, ἢ καὶ παντελῶς ἀσφύκτους φαινομένας, ἐνίας δ' αἰσθανομένας τε καὶ κινουμένας, καὶ μηδὲν βεβλαμμένας τοῦ λογισμοῦ, λειποθυμούσας τε καὶ μόγις ἀναπνεούσας. ἑτέρας δὲ συνελκομένας τὰ κῶλα. διαφορὰς ὑπολαμβάνω τῶν ὑστερικῶν παθημάτων εἶναι πλείους, ἤτοι κατὰ τὸ μέγεθος τῆς ποιούσης αἰτίας, ἢ κατ' εἴδη τινὰ διαφερούσας ἀλλήλων. ἡ μὲν οὖν πρώτη λελεγμένη διαφορά, ἡ κατὰ τὸ τοῦ Ποντικοῦ Ἡρακλείδου γεγραμμένον βιβλίον, ἀπορίαν ἔχει πολλὴν ὅπως γίγνεται. λέγεται γὰρ ἄπνους τε καὶ ἄσφυκτος. ἐκείνη ἡ ἄνθρωπος γεγονέναι, τῶν νεκρῶν ἑνὶ μόνῳ διαλλάττουσα, τῷ βραχεῖαν ἔχειν θερμότητα, κατὰ τὰ μέσα μέρη τοῦ σώματος. ἐπιγέγραπται γοῦν τὸ βιβλίον, ἄπνους Ἡρακλείδου. καὶ ζήτησιν ἔφη γεγονέναι τοῖς παροῦσιν ἰατροῖς, εἰ μήπω τέθνηκεν. Ἡρακλείδου δ' αὖθις ὕστερον γεγονότες ἔνιοι, βουλόμενοι διασώζεσθαί τι τῆς ἀναπνοῆς, εἰ καὶ μὴ φαίνοιτο, κτηδόνας ἐρίου, δεξαμένου καταρτᾶν φασὶ χρῆναι πρὸ τῆς ῥινός, εἰς διάγνωσιν ἀκριβῆ τοῦ φέρεσθαί τι πνεῦμα διὰ τῆς ἀναπνοῆς εἴσω τε καὶ αὖθις ἔξω. τινὲς δὲ κατὰ τὸ στόμα τῆς γαστρὸς ἐπιτιθέναι κελεύουσιν λεκάνιον ὕδατος μεστόν, ἀκίνητον γὰρ ἀκριβῶς φυλαχθήσεσθαι τὸ ὑγρόν, εἰ μηδὲν ὅλως σώζοιτο τῆς ἀναπνοῆς. εἰ μὲν οὖν ἀπέθνησκον αἱ οὕτως ἔχουσαι πᾶσαι γυναῖκες, ἁπλοῦν ἂν εἴη τὸ ζήτημα. σωζομένων δὲ ἐνίων, διπλοῦν γίγνεται τό τε τὴν διάθεσιν ἡμῶν ζητούντων, ὑφ' ἧς ἀπόλλυται τὸ τῆς ἀναπνοῆς ἔργον, ἔτι τε μᾶλλον ὅπως ἔτι ζῶσιν αἱ μηδ' ὅλως ἀναπνέουσαι. πεπίστευται γὰρ ἀχώριστον εἶναι τοῦ ἀναπνεῖν τὸ ζῆν, τοῦ τε ζῆν τὸ ἀναπνεῖν. ὥς τε καὶ τὸν ζῶντα πάντως ἀναπνεῖν, καὶ τὸν ἀναπνέοντα πάντως ζῆν. ἡ τοῦτο χαλεπώτερον, οὐκ ἔστι δ' ὄντως χαλεπώτερον, ἀλλὰ θατέρου φανῆναι ῥᾷον. εἴ γε καὶ τὰ φωλεύοντα ζῷα νεκροῖς ὅμοια κατὰ τοὺς φωλεοὺς εἰργμένα, τῆς ἀναπνοῆς οὐδὲν ἀποσώζοντα φαίνεται. τούτου γὰρ ἐγνωσμένου καὶ σαφῶς ἐκείνων ὁρωμένων τῶν ζῴων ψυχρῶν, ἀποδεδειγμένου δὲ καὶ τοῦ τὴν μεγίστην χρείαν τῆς ἀναπνοῆς εἶναι σωτηρίαν τῆς ἐμφύτου θερμασίας, διὰ ἐμψύξεώς τε καὶ ῥιπίσεως γιγνομένην, οὐδὲν ἔτι δύσκολόν ἐστιν ἐπιλογίσασθαι τὴν ὑπολειπομένην αὐτοῖς ὀλίγην θερμασίαν, φυλάττεσθαι διὰ τοῦ τῶν ἀρτηριῶν τε καὶ τῆς καρδίας ἔργου, καλουμένου δ' ὑπό τινων ἰατρῶν διαπνοῆς, ὥσπερ τοῦ διὰ θώρακός τε καὶ πνεύμονος ἀναπνοῆς. ἐγχωρεῖ τοίνυν ἐπὶ τῆς ὑστερικῆς ἀπνοίας, ἐπειδὴ κατέψυκται τὸ πᾶν σῶμα, φαίνεται γὰρ ἐναργῶς τοῦτο, τὴν μὲν διὰ τοῦ στόματος ἀναπνοὴν μηδόλως γίγνεσθαι, τὴν δὲ διὰ τῶν ἀρτηριῶν γίγνεσθαι. δυνατὸν δὲ καὶ γιγνομένην αὐτὴν ἐλαχίστην, λανθάνειν τὴν αἴσθησιν. ἐφεξῆς γοῦν ἡμᾶς διαδέξεται ζήτημα πρὸς τῷ μηδὲν ἔτι τῶν κατὰ τοῦτο τὸ πάθος ἀπορεῖν, ὑπὸ τίνος αἰτίας ψύχεται τὸ σῶμα. τάχα δ' ἂν εὑρεθείη καὶ τοῦτο τὰς προηγουμένας αἰτίας ἐπισκεψαμένων ἡμῶν οὔσας τοιαύτας, ὁμολογεῖται τοῦτο τὸ πάθος γίγνεσθαι ταῖς χηρευούσαις ἐπὶ πολύ. καὶ μάλισθ' ὅταν ἐν τῷ πρόσθεν χρόνῳ καθαιρόμεναί τε καλῶς, καὶ κυισκόμεναι, καὶ ταῖς πρὸς τοὺς ἄνδρας συνουσίαις χρώμεναι στερηθῶσιν ἁπάντων αὐτῶν. τί ἂν οὖν τις ἐκ τούτων ἔχοι συλλογίσασθαι πιθανώτερον, τοῦ διὰ τὴν ἐπίσχεσιν τῶν καταμηνίων ἢ τοῦ σπέρματος ἐπιγίγνεσθαι ταῖς γυναιξὶν ταύτας τὰς ὑστερικὰς ὀνομαζομένας διαθέσεις. εἴτ' ἄπνοιαί τινες, εἴτε πνίγες, εἴτε καὶ συνολκαί τινες τύχοιεν οὖσαι. καὶ μᾶλλον ἴσως διὰ τὴν τοῦ σπέρματος ἐπίσχεσιν. ἐπειδὴ τοῦτο μεγάλην τε δύναμιν ἔχει, καὶ ταῖς γυναιξὶν ὑγρότερόν τε καὶ ψυχρότερον ἐστίν, ἀποκρίνεσθαί τε δεῖται ταῖς φύσει πολυσπέρμοις, ὥσπερ καὶ τοῖς ἄρρεσι. καὶ γὰρ καὶ τούτων ἔγνωμεν οὐκ ὀλίγην διαφοράν. ἐνίων μὲν εὐθέως ἀπὸ νεότητος ἐπὶ ταῖς συνουσίαις ἀσθενῶν γιγνομένων. τινῶν δ' εἰ μὴ συνεχῶς χρῷντο, βαρυνομένων τε τὴν κεφαλήν, ἀσώδων τε καὶ

πυρετωδῶν

πυρετωδῶν γιγνομένων, καὶ χεῖρον ὀρεγομένων, καὶ ἧττον πεττόντων. ὧν τὸ σῶμα δένδροις ὁ πλάτων εἴκαζε πολυκαρποτέροις τῶν συμμέτρων. τοιαύτης γοῦν ἐνίους ὄντας φύσεως, εἶτ' ἐγκρατεῖς ἀφροδισίων χρήσεως ὑπ' ἀσκήσεως γενομένους, ναρκώδεις τε καὶ δυσκινήτους ἔγνωμεν ἀποτελεσθέντας. ἐνίους δὲ καὶ σκυθρωποὺς ἀλόγως καὶ δυσέλπιδας, ὁμοίως τοῖς μελαγχολικοῖς, ὀρεχθῆναί τε καὶ πέψαι χείρους. οἶδα δέ τινα διὰ πένθος τῆς γυναικὸς ἀπεχόμενον ἀφροδισίων, οἷς ἔμπροσθεν ἐχρῆτο συνεχῶς, ἀνόρεκτόν τε ἅμα, καὶ εἰ προσενέγκοιτο βραχὺ τι, μὴ δὲ τοῦτο πέττειν δυνάμενον. εἰ δὲ καὶ βραχὺ πλείω ποτὲ λάβοι βιασάμενος ἑαυτὸν, εὐθέως ἐμοῦντα δηλονότι καὶ δυσθυμούμενον, οὐκ ἐπὶ τούτοις μόνον, ἀλλὰ καὶ χωρὶς αἰτίας φανερᾶς ὁμοίως τοῖς μελαγχολικοῖς· ὃ πάντ' ἐπαύσατο τάχιστα, τὸ ἐξ ἀρχῆς ἔθος ἀναλαβόντι. τὰ τοιαῦτα γοῦν ἀναλογιζομένῳ μοι κατ' ἐμαυτὸν, ἐφαίνετο μείζονα δύναμιν ἔχειν εἰς βλάβην σώματος, ἡ τοῦ σπέρματος ἐπίσχεσις τῆς τῶν καταμηνίων, ἐπ' ἐκείνων τῶν σωμάτων, ἐφ' ὧν αὐτό τε φύσει κακοχυμότερον ἐστὶ καὶ πλέον, ὅτε βίος ἀργότερος, ἥ τε τῶν ἀφροδισίων χρῆσις ἔμπροσθεν μὲν, ἱκανῶς πολλὴ, μετὰ ταῦτα δ' ἀθρόα τις ἀποχὴ τῆς πρόσθεν, γενομένη δὲ τούτοις ἔτι τὴν φυσικὴν ἐπιθυμίαν τῆς ἀποκρίσεως αὐτοῦ αἰτίαν εἶναι. βιάζεται γὰρ ἅπαντας ἀνθρώπους, ὅτ' ἂν ᾖ τοιοῦτό τε καὶ πολὺ πρὸς τὴν ἔκκρισιν αὐτοῦ. Διογένης οὖν ὁ κυνικὸς ὁμολογεῖται μὲν ἁπάντων ἀνθρώπων καρτερικώτατος γεγονέναι, πρὸς ἅπαν ἔργον ἐγκρατείας δεόμενον. ἀλλ' ὅμως καὶ οὗτος ἀφροδισίοις ἐχρῆτο, τὴν ὄχλησιν τὴν ἐκ τοῦ κατεχομένου σπέρματος, ἀποθέσθαι βουλόμενος. οὐχ ὡς ἐπ' ἀγαθόν τι τὴν ἐζευγμένην αὐτῷ τῇ κενώσει παραγιγνόμενος ἡδονήν. ἑταίρᾳ γοῦν ποτε συνθέμενος, ὥς φασιν, ὅπως αὐτὸν ἀφίκηται, βραδυνούσης αὐτῆς ἀπετρίψατο τὸ σπέρμα προσαπτόμενος τῇ χειρὶ τοῦ αἰδοίου· καὶ μετὰ ταῦτα παραγενομένην ἀπέπεμψεν εἰπὼν τὴν χεῖρα φθάσαι τὸν ὑμέναιον ᾆσαι. καὶ δῆλον ἐναργῶς ἐστὶ, οὐ διὰ τὴν ἡδονὴν ἔρχεσθαι τοὺς σώφρονας ἐπὶ συνουσίαν, ἀλλὰ τὴν ὄχλησιν ἰάσασθαι βουλομένους, ὡς εἰ καὶ χωρὶς ἡδονῆς ἐγίνετο. κατὰ τοῦτο δ' ἡγοῦμαι, καὶ τ' ἄλλα ζῶα πρὸς ἀφροδισίων ὁμιλίαν ὁρμᾶν, οὐ δόγμα πεποιημένα τὴν ἡδονὴν ἀγαθὸν ὑπάρχειν, ἀλλ' ἐπὶ τὴν ἀπόκρισιν, ὡς ἀνιόντος ἐν τῷ κατέχεσθαι τοῦ σπέρματος, ἀφικνούμενα. καθάπερ οἶμαι καὶ τὸ ἀποπατεῖν, καὶ τὸ οὐρεῖν αὐτοῖς ὑπάρχει φύσει. ἐν ταύταις μου ποτὲ ταῖς ἐννοίαις ὄντος, ἐφάνη τοιόνδε συμβὰν, ἐκ πολλοῦ χρόνου χηρευούσῃ γυναικί. κατεχόντων γὰρ αὐτὴν, καὶ ἄλλων μὲν τινῶν ὀχληρῶν καὶ νευρικῶν † διαθέσεων, εἰπούσης δὲ τῆς μαίας ἀνεσπάσθαι τὴν μήτραν, ἔδοξε χρήσασθαι βοηθήμασιν οἷς εἰώθασιν εἰς τὰ τοιαῦτα χρῆσθαι. χρωμένης δ' αὐτῆς, ὑπό τε τῆς ἐξ αὐτῶν θερμασίας, καὶ τῆς κατὰ τὴν θεραπείαν ψαύσεως τῶν γυναικείων τόπων, ἐγένοντο συνολκαὶ μετὰ πόνου τε ἅμα καὶ ἡδονῆς, ὅμοιαι ταῖς κατὰ τὰς συνουσίας, ἐφ' αἷς ἐκκριθέντος παχέος τε καὶ πολλοῦ σπέρματος, ἀπηλλάγη τῶν κατεχόντων αὐτὴν ὀχληρῶν ἡ γυνή. διὰ ταῦτα μὲν οὖν, ἐφάνη μοι μείζονα δύναμιν ἔχειν εἰς βλάβην τοῦ σώματος ὅλου τὸ κακοχυμότερον σπέρμα, τῶν καταμηνίων. ὥς τε κἂν ἐκεῖνα ποτὲ γίνηται ταῖς χηρευούσαις, ἀλλὰ τήν γε τοῦ σπέρματος ἐποχὴν, ἀνιαρὰν τε ἅμα καὶ βλαβερὰν ὑπάρχειν αὐταῖς. ὅσοι δ' οἴονται μεγάλων συμπτωμάτων ἐν ὅλῳ τῷ σώματι γιγνομένων, ἀπίθανον εἶναι, χυμὸν ὀλίγον ἐν ἑνὶ μορίῳ περιεχόμενον αἰτιᾶσθαι, δοκοῦσί μοι λίαν ἀμνήμονες εἶναι, τῶν ὁσημέραι γινομένων. ἐπὶ γοῦν τοῖς τῶν φαλαγγίων δήγμασιν, ὅλον ὁρᾶται πάσχον τὸ σῶμα, μικροῦ τινος ἰοῦ διὰ βραχυτάτην ὀπὴν ἐνιεμένου. τὸ δὲ τοῦ σκορπίου ἐστὶ, θαυμασιώτερον, ὅτι καὶ τὰ συμπτώματα, διὰ συντόμων ἐπιφέρουσι σφοδρότατα. καὶ τὸ καταβαλλόμενον ἐγχριψάντων αὐτῶν, ἤτοι παντάπασιν ὀλίγιστον ἢ ὅλως οὐδέν ἐστιν, ἀτρήτου γε τοῦ κέντρου φαινομένου, καὶ μὴν ἀναγκαῖον, οὐχ ἁπλῶς ὅτι νένυκταί τις ὥσπερ ὑπὸ βελόνης, εὐθέως ὅλον τὸ σῶμα χαλάζαις βάλλεσθαι δοκεῖν, ἅμα λειποθυμίαις, ἀλλ' ἤτοι γε πνεύματός τινος, ἢ λεπτῆς ὑγρότητος ἐνιεμένης, εὔλογον γίνεσθαι ταῦτα. τινὲς δ' ἡγοῦνται καὶ τῷ ψαῦσαι μόνον ἐνίας τῶν οὐσιῶν, ἀλλοιοῦν δύνασθαι τὰ πλησιάζοντα, μόνῃ τῇ κατὰ τὴν ποιότητα δυνάμει. ταύτην γὰρ φύσιν κἀπὶ τῶν θαλαττίων ναρκῶν ὁρᾶσθαι δύναμιν ἰσχυρὰν οὕτως ἔχουσαν, ὡς καὶ διὰ τοῦ τῶν ἁλιέων τριόδοντος ἀναδιδομένης τῆς ἀλλοιώσεως εἰς τὴν χεῖρα, ναρκώδη παραχρῆμα πᾶσαν αὐτὴν γίγνεσθαι. ταῦτα τε οὖν ἱκανὰ τεκμήρια, τοῦ σμικρὰν οὐσίαν, ἀλλοιώσεις μεγίστας ἐργάζεσθαι μόνῳ τῷ ψαῦσαι. καὶ τὸ κατὰ τὴν ἡρακλείαν λίθον, ἣν καὶ μαγνῆτιν ὀνομάζουσιν, οὐχ ἥκιστα. τῶν μὲν γὰρ ψαυσάντων αὐτῆς σιδηρείων, κρεμαννυμένων χωρὶς δεσμοῦ, δεύτερον ἄλλο τοῦ ψαύσαντος ψαῦον, ὁμοίως τῷ πρώτῳ πάλιν, ἐξ αὐτοῦ κρεμάννυται. κἄπειτ' ἄλλο τρίτον ἐκ τοῦ δευτέρου. φαινομένης δὴ σαφῶς, ἰσχυροτάτην ἔχειν τὴν δύναμιν, ἐνίας τῶν οὐσιῶν, ὑπόλοιπον ἂν εἴη ζητεῖν, εἰ διαφθορά τις ἐν τοῖς ζώοις δύναται γενέσθαι τηλικαύτη τὸ μέγεθος, ὡς ἰῷ θηρίου παραπλησίαν ἔχειν ποιότητά τε καὶ δύναμιν, ἢ καὶ τοῦτο κεῖται πρὸς αὐτῶν τῶν ἰατρῶν, οἵ γε τῶν προβλημάτων ἐν τι πεποίηνται, πότερον ἴδια φαρμακείας ἐστὶ σημεῖα, ἢ οὐκ ἔστιν. καὶ οἵ γε μάλιστα δοκοῦντες εἰρηκέναι περὶ αὐτοῦ, τὰ μὲν αὐτὰ γίνεσθαι πάθη συγχωροῦσι, κατά τε τὰς τῶν θανασίμων φαρμάκων δόσεις, καὶ τὰς ἐκ τοῦ σώματος ἡμῶν ὁρμωμένας διαφθοράς. οὐ μὴν ἀδιακρίτους γε τοὺς εἰληφότας φάρμακα, ἀπὸ τῶν μὴ λαβόντων ὑπάρχειν. ὅταν γὰρ εὐχύμῳ τινὶ φύσει, διῃτημένῳ τε κατὰ πάντα τρόπον ὑγιεινῶς, ἐξαιφνίδιος γένηται θάνατος, οἷος ἐπὶ τινι τῶν δηλητηρίων φαρμάκων, εἶτα πελιδνὸν, ἢ μέλαν, ἢ ποικίλον ἢ διάρρεον, ἢ σηπεδόνος ἀνιαρᾶς ἀπόζει τὸ σῶμα, φάρμακον εἰληφέναι τοῦτον φασίν. εἴπερ οὖν συγχωρεῖται τοιαῦτα πάθη καταλαμβάνειν ἡμᾶς. ἐξ ἡμῶν αὐτῶν ἔχοντα τὴν ὁρμὴν τῆς γενέσεως, οἷα γίνεται δηλητηρίου φαρμάκου ληφθέντος, οὐδὲν θαυμαστὸν εἰ σπέρμα κακόχυμον, ἢ καταμήνιον ὁμοίως ἔχον, ἐπισχεθέντα καὶ διασαπέντα, συμπτώματα φέρει χαλεπὰ, τοῖς παθεῖν ἐπιτηδείως ἔχουσι σώμασιν. μαθεῖν γάρ ἐστι κἀπὶ τῶν κυνῶν, ὅσην ἔχει δύναμιν ἡ πρὸς τὸ παθεῖν ὁποιοῦν ἐπιτηδειότης. οὐδενὸς γοῦν τῶν ἄλλων ζώων ἁλισκομένου λύττῃ, μόνον ἁλίσκεται τοῦτο, καὶ τοσαύτη γε κατ' αὐτὸ γίνεται διαφθορὰ τῶν χυμῶν, ὥστε τὸ σίαλον αὐτοῦ μόνον, ἀνθρωπίνῳ σώματι προσπεσὸν, ἐργάζεται λύτταν. ὡς οὖν ἀπὸ σμικρᾶς ἀρχῆς τῆς κατὰ τὸ σίαλον ποιότητος, αὐξανομένη τις ἐν τῷ σώματι διάθεσις, ἡνίκα εἰς ἀξιόλογον ἀφίκηται μέγεθος, ἔγνωσται μῆνας μετὰ ἕξ, ἐνίοτε τῷ πρόσθεν χρόνῳ μηδὲν ἔχουσα γνώρισμα, κατὰ τὸν αὐτὸν τρόπον ἀπὸ χυμοῦ τινὸς, ἐν τῷ τοῦ ζώου σώματι γεννηθέντος μοχθηροῦ κατὰ βραχὺ, συμπάσχει τῷ χρόνῳ τῶν κυρίων τι μορίων

† al. διατάσεων

ἀφ' ὧν τὸ σύμπαν σῶμα ταχέως ἀλλοιοῦται. ὅτι δὲ τῶν ὑστερικῶν λεγομένων συμπτωμάτων, εἰκότως ἐκ παλαιοῦ πεπίστευται περὶ τὰς μήτρας ἡ οἷον ῥίζωσις εἶναι, τεκμήριον οὐ σμικρὸν ἐστὶ τὸ μόναις ταῖς χηρευούσαις τε καὶ ταῖς τὰς ἐμμήνους καθάρσεις ἐπεχομέναις, τὰ τοιαῦτα γίνεσθαι παθήματα. ὅτι δὲ τούτων αὐτῶν, μείζονα δύναμιν εἰς τὴν τῶν ὑστερικῶν συμπτωμάτων γένεσιν ἔχει τὸ σπέρμα κατεχόμενον, ἐλάττονα δὲ τὸ καταμήνιον, ἐκ τῶν ἄνευ χρείας ἐπεχομένων τὴν κάθαρσιν, ἔνεστι μαθεῖν, ἀλλὰ μὴν ἵνα παχυσμὸν, ἃ μικρὸν ὕστερον εἰρήσεται. μήτε δ' ἀπνοίαις ἐχομένων μήτε σφοδραῖς λειποψυχίαις. μήτε τοῖς ἄλλοις ἃ λέλεκται μικρὸν ἔμπροσθεν. ἔτι δὲ κἂν τινὰς τῶν χηρευουσῶν ἀμέμπτως καθαιρομένας, ἢ μὴ πολλῷ ἧττον, τῶν πρόσθεν, ὁμοίως ἁλίσκεσθαι συμπτώμασιν. ὁμολογεῖ δὲ τούτοις, καὶ τὰ κατὰ τὴν μήτραν φαινόμενα σημεῖα, ταῖς ἀπτομέναις ἀκριβῶς ἰατρίναις. ἐνίοτε μὲν γὰρ ὡς ἀνεσπασμένης ὅλης αὐτῆς. ἐνίοτε δ' ὡς περιεσπασμένης, ὁ τράχηλος τοῖς ψαύουσιν ἐγκεκλιμένος φαίνεται. διὸ καὶ τινὲς οἷον ζῶον τι παιδοποιΐας ἐπιθυμητικὸν, εἶναι τὴν μήτραν ὑποθέμενοι, στερισκόμενον ὧν ὀρέγεται, παντὶ τῷ σώματι λυμαίνεσθαι φασί. γράφει γοῦν ὁ πλάτων οὕτως. αἱ δὲ ἐν ταῖς γυναιξὶν μῆτραί τε καὶ ὑστέραι λεγόμεναι διὰ ταὐτὰ ταῦτα, ζῶον ἐπιθυμητικὸν ἐὸν, τῆς παιδοποιΐας, ὅταν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν γίνηται χαλεπῶς ἀγανακτοῦν φέρει. καὶ πλανώμενον πάντῃ κατὰ τὸ σῶμα, τὰς τοῦ πνεύματος διεξόδους ἀποφράττον, ἀναπνεῖν οὐκ ἐῶν, εἰς ἀπορίας τὰς ἐσχάτας ἐμβάλλει, καὶ νόσους παντοδαπὰς ἄλλας παρέχει. ταῦτα τοῦ πλάτωνος εἰπόντος, ἔνιοι προσέθεσαν. ὡς ἐπειδὰν αἱ μῆτραι πλανώμεναι, κατὰ τὸ σῶμα τῷ διαφράγματι προσπέσωσιν, ἐμποδίζουσι τὴν ἀναπνοήν. ἔνιοι δὲ πλανᾶσθαι μὲν αὐτὴν ὥσπερ ζῶον, οὔ φασιν. ἐπιξηρανθέντων δὲ τῶν καταμηνίων ξηραινομένην, ἀνατρέχειν εἰς τὰ σπλάγχνα, ποθοῦσαν ὑγρανθῆναι. κἀπειδὰν ποτὲ κατὰ τὴν ἄνοδον ὁμιλήσῃ τῷ διαφράγματι, στερίσκεσθαι τῆς ἀναπνοῆς τὸ ζῶον. οὗτοι μὲν οὖν ἀγνοοῦσι τε τὰ κατὰ τὰς ἀνατομὰς φαινόμενα, περί τε τῶν φυσικῶν καὶ προαιρετικῶν ἐνεργειῶν, οὐδὲν ἐπεσκέψαντο. καὶ διὰ μηδὲν ἀποδεικτικὸν ἀκούοντες ὧν εἶπον, ἐνδέχεσθαι νομίζουσιν εἶναι τι τῶν εἰρημένων ἀληθές. ὅσοι δὲ ἐν ἀμφοτέροις ἐγυμνάσαντο, καθορῶσιν καὶ χωρὶς ἐμοῦ τὸ σαθρὸν τοῦ λόγου. εἰ γὰρ καὶ ἀνασπᾶσθαί τι φαίνοιτο μέρος τῆς μήτρας, βραχὺ τοῦτ' ἐστι, καὶ οὐχ ἱκανὸν ἐνδείξασθαι τὸ κύτος ὅλον αὐτῆς, οὐδ' ἄχρι τῆς γαστρὸς ἀνασπᾶσθαι. μήτι γε καὶ ταύτην ὑπερβᾶσαν, ἅψασθαι τῶν φρενῶν που. εἰ δέ περ καὶ ἥπτοντο, τί ἂν εἴη τοῦτο πρὸς ἄπνοιαν, ἢ λειποψυχίαν, ἢ τὰς τῶν κώλων συντάσεις, ἢ κάρον παντελῆ. τοῖς γοῦν ὑπερεμπλησθεῖσιν, ὁ τῆς γαστρὸς ὄγκος, ἐναργῶς φαίνεται θλίβων τὸ διάφραγμα. καὶ διὰ τοῦτο μὲν ἡ ἀναπνοὴ πυκνοῦται, σύμπτωμα δ' οὐδὲν ἄλλο καταλαμβάνει τὸ ζῶον. ἀλλὰ καὶ κατὰ τὰς κυήσεις, ἐπεκτεινόμεναι τοῖς κυομένοις αἱ μῆτραι, πυκνοτέραν ἐργάζονται τὴν ἀναπνοήν. οὐδὲν δ' οὐδ' αὗται βλάπτουσιν ἄλλο. τὸ δὲ καὶ ξηραινομένας αὐτὰς, ἀνατρέχειν ἐπὶ τὰ σπλάγχνα ποθούσας ὑγρανθῆναι, παντάπασιν ἄτοπον. εἰ μὲν γὰρ ἁπλῶς ὑγρότητος αἱ μῆτραι δέονται ποτὲ, τὴν κύστιν ὁμιλοῦσαν ἔχουσι, καὶ τὸ κάτω μέρος ἅπαν τοῦ παχέος ἐντέρου. εἰ δ' οὐχ ἁπλῶς ὑγρότητος, ἀλλ' αἱματικῆς ὑγρότητος, ἐπὶ τὸ ἧπαρ ἐχρῆν αὐτὰς οὐκ ἐπὶ τὰς φρένας φέρεσθαι. τί δὲ καὶ δέονται προσπίπτειν ἔξωθεν ἄλλοις μορίοις, ἔχουσαι περικείμενον ἑαυταῖς στέγασμα πυκνὸν ὑμενῶδες ἀμφίεσμα, τὰ γὰρ ἕλκοντα πάντα τὰς ἐκ τῶν ἐντέρων ὑγρότητας εἰς ἑαυτὰ διὰ στομάτων παμπόλλων, τοῦτο πράττει. πάμπολλα δ' εἰς τὰς μήτρας καθήκει στόματα φλεβῶν, δι' ὧν ἕλκειν ἐκ τῆς κοίλης φλεβὸς αἷμα δυνατὸν ἦν αὐταῖς. ἐκ τοῦ ἥπατος ἐχούσης ἐπιρρέον αὐτῇ τὸ αἷμα. τίνα δ' ἂν ὀχετὸν ἕτερον, εὕροι τις αἵματος, ἐξ ἥπατος εἰς μήτρας φερόμε- ἀξιολογώτερον τοῦδε, διὰ τίνος δ' ὅλως ἄλλου δυνατὸν αὐταῖς, ἐξ ἥπατος ἑλκύσαι τι; καὶ εἰ μὴ μέγιστος δ' ἦ- ὁ τῆς κοίλης φλεβὸς ὀχετὸς, ἀλλά τοι γ' ἄλλος οὐκ ἔστιν. αὕτη γὰρ μία μόνη φλὲψ τοῖς κάτω τοῦ διαφράγματος ἅπασιν ἐξ ἥπατος ὀχετεύει τὸ αἷμα. παντελῶς οὖν ἄτοπος ὁ λόγος αὐτῶν ἐστι. πρὸς τῷ καὶ ζῶον ἐργάζεσθαι τῷ λόγῳ τὴν μήτραν. ἀλλ' εἰ καὶ τοῦτο συγχωρηθείη, λυπηθήσεται μὲν ἀποστερουμένη τῶν ἰδίων ὀρεκτῶν, ἴσως δ- καὶ ἀτροφήσει. καθάπερ ἔνιοι φασὶν τοὺς ἐρῶντας, φοίνικας πάσχειν. οὐ μὴν ὅτι ἐπὶ τὰς φρένας. οὔτ' ἐπ' ἄλλο τι χωρίων ἀφίξεται. πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ ξηρότατον ἐστὶ τῇ κράσει, τὸ διάφραγμα. δεῖται δὲ ἡ μήτρα κατὰ τοὺς ξηραίνεσθαι φάσκοντας αὐτὴν, ὑγρῶν μορίων κοινωνίας. ἴσως οὖν τις ἡμᾶς ἐρωτήσεται τὴν αἰτίαν, δι' ἣ- ἀνεσπασμένη τε καὶ περιεσπασμένη πολλάκις ἡ μήτρα φαίνεται. τοῦτο γοῦν αἱ μαιεύτριαι λέγουσιν. ὥσπερ γ- καὶ ὅτι πολλάκις ἐπὶ τῆς οἰκείας ἕδρας μενούσης αὐτῆς, οὐδὲν ἧττον ἐπιλαμβάνει τὰς γυναῖκας ὑστερικὰ συμπτώματα. πειράσομαι δὴ τούτοις εἰπεῖν τὴν αἰτίαν, ἑπόμενος τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις. τὰς γάρ τοι τῶν ὑστέρων ἐντάσεις, αἰτίας γίγνεσθαι φημὶ, τοῦ καὶ τὸν αὐχένα ταῖς ἀπτομέναις μαίαις, ἀνεσπᾶσθαί τε καὶ περιεσπᾶσθαι φαίνεσθαι. συνεσπᾶσθαι γὰρ ἀναγκαῖον ἐστι ταῖς μήτραις τὸν αὐχένα. τίς οὖν αἰτία τοῦ τὰς μήτρας ἀνεσπᾶσθαι, τὲ καὶ περιεσπᾶσθαι. τοῦτο γὰρ ἔτι λείπει τῷ λόγῳ. τῶν πρὸς αὐτὰς καθηκόντων ἀγγείων ἡ πλήρωσις ἅμα τοῖς ἀρτήμασιν αὐτῶν. ἀπεδείχθη γὰρ ἡμῖν ἡνίκα τὸν ἀφορισμὸν ἐξηγούμεθα, καθ' ὅν φησι, τὸν σπασμὸ- ὑπὸ κενώσεώς τε καὶ πληρώσεως γίνεσθαι. εἰς μὲν τὸ πλάτος τε, καὶ τὸ βάθος ἐκτείνειν τὰ τῶν πληρουμένων σώματα, βραχύτερον δ' ἐργάζεσθαι τὸ μῆκος. ὅσον οὖν βραχύτερον γίγνεται, τοσοῦτον ἐπὶ τὴν ἀρχὴν ἀνασπᾶται. καὶ γοῦν καὶ τοὺς μῦς ὁ Ἐρασίστρατος, ἐκ τοῦ πληροῦσθαι πνεύματος εἰς εὖρος ἐπιδιδόντας, ἀφαιρεῖν φησὶν τοῦ μήκους, καὶ διὰ τοῦτ' ἀνεσπᾶσθαι. πόθεν οὖν ἡ πλήρωσις γίγνεται τῶν τε φλεβῶν, καὶ τῶν ἀρτημάτων, ἐκ τῆς ἐπισχέσεως δηλονότι τῶν καταμηνίων. ἀφικνεῖται γὰρ ἄχρι τῆς μήτρας. εἴσω δ' οὐχ εἰσέρχεται τὸ αἷμα. ποτὲ μὲν αὐτὸ παχύτερον, ἢ κατὰ τὸ στόμα τῶν ἀγγείων γεγονός. ἔστι δὲ ὅτε μυσάντων ἐκείνω- ὥστε ἐν ταῖς φλεψὶ πληθῦνον ἐκείνας τε διατείνειν, διαβρέχειν τε τὰ πλησίον αὐτῶν ἀρτήματα, τῇ δὲ τούτων τάσει κατὰ τὸ συνεχὲς αἱ μῆτραι συνανασπῶνται. ἐὰν μὲν οὖν ἰσορρόπως ἕλκονται πανταχόθεν, ἀπαρέγκλιτος αὐτῶν ἡ μετάστασις γίγνεται. ἐὰν δὲ ἑτερορρόπως πρὸς τὸ μᾶλλον ἕλκον, ἐκτείνονται. οὔκουν οὐχ ὡς ζῶον πλανώμενον, ἄλλοτ' εἰς ἄλλον ἀφικνεῖται τόπον ἡ μήτρα ταῖς γυναιξὶν, ἀλλ' ὑπὸ συντάσεως ἀνελκομένη. καὶ λέγων ἄν τις αὐτὸ μὲν τὸ σῶμα τῶν ὑστερῶν ἀπαθὲς εἶναι τηνικαῦτα, τὴν διαστροφὴν δὲ πάσχειν αὐτὰς ἕλκ-

μένας

μένας ἄλλοτ' ἀλλαχόσε, προσηκόντως ὁρᾷ. συμβαίνει γὰρ καὶ κατ' ἄλλα μόρια τοῦ σώματος, ἡ τοιαύτη φαντασία τῶν παθῶν, ὡς πολλάκις ἐξαπατᾶσθαι τοὺς ἰατρούς, οἰομένους πεπονθέναι τὸ διεστραμμένον. ἢ καμφθῆναι μὴ δυναμένων ἢ ἐκτανθῆναι. καὶ τοῦτο διδάσκων ὁ Ἱπποκράτης, ἐν τῷ περὶ ἄρθρων βιβλίῳ καὶ τῆς περὶ τὰς μήτρας λεγομένης πλάνης ἐμνημόνευσεν ὧδέ πως γράψας. οἷς δ' ἂν εἰς τοὐπίσω κεφαλὴ μηροῦ ἐκπέσῃ, ὀλίγοισι δ' ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος. οὔτε περὶ τὸ ἄρθρον τὸ ἐκπεσόν, οὔτε τι κάρτα περὶ τὴν ἰγνύην. ἀλλ' ἥκιστα τῶν ἐκπαλαισίων, οὗτοι ἐκτανύουσι καὶ τὸ περὶ τὸν βουβῶνα. καὶ τὸ περὶ τὴν ἰγνύην ἄρθρον. ἐν τούτῳ τῷ λόγῳ, καίτοι μηδὲν τι πεπονθός, τὸ περὶ τὴν ἰγνύην ἄρθρον, ἐκ τῆς πρὸς τὸ περὶ τὸν βουβῶνα κοινωνίας ἀδυνατεῖν ἐκτείνεσθαι φησίν, εἶθ' ἑξῆς ὑπερφόρων ὁρᾷ. προσξυνιέναι μὴν καὶ τόδε χρή. εὔχρηστον γὰρ καὶ πολλοῦ λόγου ἄξιον. καὶ τοὺς πλείστους λήθει. ὅτι οὐδ' ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ συνεκτανύσωσιν καὶ τὸ περὶ τὸν βουβῶνα ἄρθρον. πλὴν εἰ μὴ πάνυ ἄνω αἴρωσι τὸν πόδα. οὕτως δ' ἂν δύναιντο. οὐ τοίνυν οὐδὲ συγκάμπτειν δύνανται τὸ περὶ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, εἰ μὴ συγκάμψωσιν, καὶ τὸ περὶ τὸν βουβῶνα ἄρθρον. ταῦτα προειπὼν ἐφεξῆς φησίν. πολλὰ δὲ καὶ ἄλλα περὶ τὸ σῶμα, τοιαύτας ἀδελφιξίας ἔχει καὶ κατὰ τὰς τῶν νεύρων ξυντασίας. καὶ περὶ μυῶν σχήματα. καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γιγνώσκεσθαι, ἢ ὥς τις οἴεται, καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν, καὶ τὴν τῆς ξυμπάσης κοιλίης καὶ τὰς τῶν ὑστερέων πλάνας τε καὶ ξυντασίας. ἐν ταύταις ταῖς λέξεσι, προὔθετο μὲν εἰπεῖν ὁ Ἱπποκράτης περὶ τοῦ περὶ τὴν ἰγνύην ἄρθρου μὴ δυναμένου κινεῖσθαι κατὰ φύσιν. οὐ τῷ πεπονθέναι τι πάθος ἴδιον, ἀλλὰ τῇ κοινωνίᾳ τῇ πρὸς τὸ κατ' ἰσχίον. ἐμνημόνευσεν δὲ καὶ τῶν κατὰ τὴν μήτραν συντάσεων. ὅταν αὕτη μὲν ὅλον ἐφ' αὑτῇ μὴ μεθίστηται. τεινομένη δ' ὑπό τινων ἑτέρων, ἕπηται τοῖς ἀποσπωμένοις. αἱ μὲν οὖν διαστροφαὶ τῆς μήτρας κατὰ τὸν εἰρημένον τρόπον ἀκολουθοῦσι ταῖς τῶν ἐμμήνων ἐπισχέσεσιν. οὐκ αὐταὶ τῶν περὶ τὸ σῶμα τοῦ ζῴου συμπτωμάτων αἰτίαι γιγνόμεναι. κοινὴν δὲ αἰτίαν αὐτῶν κτώμεναι τὸ πλῆθος τῆς ἐπεχομένης ἐμμήνου καθάρσεως. αἱ δ' ἄνευ τῶν διαστροφῶν ἢ καὶ τῆς ἐπισχέσεως τῶν καταμηνίων ταῖς χηρευούσαις γιγνόμεναι βλάβαι, διὰ τὴν ἐπίσχεσιν τοῦ σπέρματος συμβαίνουσιν. παρὰ δὲ τὴν ποσότητά τε καὶ ποιότητα τοῦ τε καταμηνίου καὶ τοῦ σπέρματος, ἄλλοτ' ἄλλο συμπτώματος εἶδος αὐταῖς γίγνεται. ψύχειν μὲν γὰρ ὅλον τὸ σῶμα δυναμένου τοῦ λυποῦντος αἰτίου, καταψύχονται σφοδρῶς, ὡς μήτ' ἀναπνεῖν αἰσθητῶς, μήτε σφύζειν. παχέος δ' ὄντος ἢ δριμέος, οἱ σπασμοὶ γίγνονται. δυσθυμίαι δὲ ὅταν ᾖ μελαγχολικώτερον. ὥσπερ γε πάλιν λειποψυχίαι τε τῇ σφοδρότητι τῶν τάσεων ἕπονται, καὶ ταῖς καταψύξεσιν. καὶ ταῖς τοῦ στομάχου κακώσεσιν. εὔδηλον δ' ὅτι τὸ στόμα τῆς γαστρός, ἐν τοῖς τοιούτοις λόγοις, εἰώθαμεν ὀνομάζειν στόμαχον, ὥσπερ κἀν ταῖς στομαχικαῖς συγκοπαῖς, ἅπασι τοῖς ἰατροῖς ἔθος ἐστίν, οὕτω χρῆσθαι τῇ προσηγορίᾳ. ὅσα δὲ ταῖς ἐμμήνοις καθάρσεσιν ἐπεχομέναις ἀκολουθεῖ συμπτώματα, καὶ γὰρ καὶ περὶ τούτων ὑπεσχόμην εἰπεῖν τι, νῦν ἤδη, δίειμι τὴν ἀρχήν, ἀφ' ὧν Ἱπποκράτης, ἐν ἀφορισμοῖς ἔγραψεν ποιησάμενος. ὧν ἓν καὶ τόδε ἐστίν. ἢν γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα γάλα ἔχῃ, τὰ καταμήνια αὐτῆς ἐκλέλοιπεν. ἄνευ δὲ τοῦ γάλα κατὰ τοὺς τιτθοὺς φαίνεσθαι, τῶν καταμηνίων ἐπεχομένων καὶ τάδε σημεῖα, βάρους μὲν αἴσθησις, ἐν ὅλῳ τῷ σώματι καὶ ἄση, καὶ ἀνορεξία. καὶ ἀνωμαλία φρικώδης. ἐὰν δὲ χωρὶς φρίκης ἀνωμαλία τις ᾖ καὶ ἄση, καί τινων ἀλλοκότων ἐπιθυμία, σκέψασθαι κέλευσον τὴν μαῖαν ἁψαμένην τοῦ τῆς μήτρας αὐχένος. εἰ γὰρ ἄνευ σκληρότητος μεμυκὼς ᾖ, κυήσεως ταῦτ' ἐστὶ σημεῖα. τινὲς δὲ αὐτῶν καὶ τὴν τροφὴν ἐμοῦσιν. ἐσθίουσί τε γῆν ἢ ἄνθρακας ἐσβεσμένους. ἤ τινα τοιαῦτα. τὸ μέντοι μετὰ σκληρότητος μεμυκὸς στόμα τοῦ τῆς μήτρας αὐχένος, πάθος εἶναί τι κατὰ τὴν μήτραν σημαίνει. καὶ χρὴ σκοπεῖσθαι τὴν μαιεύτριαν ὃν ὅτι μόριον παρέσπασθαί τε καὶ ἀνέσπασθαι κατ' ἐκεῖνο γὰρ ἐστὶν ὁ πεπονθὼς τόπος τῆς ὑστέρας. ἐνίαις δὲ καὶ διασημαίνει τι κατ' ἐκεῖνο τὸ μέρος ἄλγημα μετὰ βάρους. ἔρχεται δὲ καὶ εἰς ἰσχίον τὸ ἄλγημα. καὶ τὸ κατ' εὐθὺ σκέλος αὐτὸ χωλεύει κατὰ τὴν ὁδοιπορίαν. κἂν πολλῷ χρόνῳ τὰ καταμήνια κρυφθῇ, καὶ μηδὲ μίαν κένωσιν ὁ ἰατρὸς τῇ γυναικὶ προσαγάγῃ, φαίνεταί τις ἐνίοτε κατὰ τὸν βουβῶνα παρὰ φύσιν ὄγκος, ἐνδεικνύμενος διὰ βάθους εἶναι τι φλεγμαῖνον. ἐνίαις δὲ καὶ φυματώδης ὄγκος ἐγείρεται, κατὰ τὸ πέρας τοῦ βουβῶνος, οἷοι καὶ τοῖς ἀνδράσι γίγνονται κατὰ τὸ χωρίον τοῦτο. καί τινι διεπύησεν, καὶ τομῆς ἐδεήθη. κατὰ τοῦτο γοῦν τὸ μέρος καὶ κῶλον οἴδαμεν ἐκπυήσαντά τε καὶ τμηθέντα. ἐνίοτε μὲν ἀγνοούντων ὃ τέμνουσιν τῶν ἀπειροτέρων ἰατρῶν. ἔστι δ' ὅτε καὶ γιγνωσκόντων. καὶ πάντ' ἰάθη τὰ οὕτως ἐκπυήσαντα κῶλα ῥᾳδίως. αἱ δὲ κατὰ τὴν μήτραν τομαί, δυσχερέστερον εἰς σύμφυσιν ἔρχονται. τοιαῦτα μὲν οὖν ἕπεται συμπτώματα ταῖς τῶν καταμηνίων ἐπισχέσεσιν. καὶ χωρὶς τούτων, ἀλγήματα κατ' ὀσφὺν καὶ τράχηλον καὶ βρέγμα. καὶ τὰς τῶν ὀφθαλμῶν βάσεις. πυρετοί τε καυσώδεις. καὶ οὖρα μελαινόμενα μετ' ἐρυθροῦ τινὸς ἰχῶρος, ὥσπερ εἰ κρεῶν νεοσφαγῶν πλύμμασι μίξαις ἀσβόλην. ἔνιαι δὲ καὶ δυσουροῦσι, καὶ ἰσχουροῦσι. ὅτ' ἂν οὖν τι τοιοῦτον ἴδῃς ἐπὶ γυναικῶν, ὑπόπτευε περὶ τὰς μήτρας εἶναι τὴν οἷον ῥίζαν αὐτῶν. ἐὰν δὲ καὶ κατ' ἄλλον τινὰ τόπον τοῦ σώματος, ἔκκρισις αἵματος ἢ φλεγμονή τις ᾖ, ἢ ἐρυσίπελας γένηται, πυνθάνεσθαι χρὴ περὶ τῆς ἐμμήνου καθάρσεως. οὐδὲν γὰρ τούτων γίγνεται ταῖς ἀμέμπτως καθαιρομέναις. ταῖς μὲν οὖν ἐπισχέσεσι τῆς ἐμμήνου καθάρσεως, τοιαῦτα τοὐπίπαν ἐπιγίγνεται συμπτώματα. ταῖς δ' ἀμέτροις κενώσεσιν, ἄχροιαι, καὶ ποδῶν οἴδημα καὶ ὅλον ὑπόιδον τὸ σῶμα. καὶ μοχθηρῶς πέττειν τὰ σιτία καὶ φαύλως ὀρέγεσθαι. καὶ πάνθ' ὅσα δι' αἵματος ἄμετρον κένωσιν εἴωθεν ἕπεσθαι συμπτώματα. κἂν ἐξ αἱμορροΐδος, ἤ τινος ἄλλης αἱμορραγίας ἡ κένωσις ἕπεται. καὶ χωρὶς δὲ τοῦ πεπονθέναι τὰς μήτρας, ὁ καλούμενος ῥοῦς γυναικεῖος ἐστὶν ὅτε συμβαίνει ταῖς γυναιξίν, ὅλου τοῦ σώματος ἐκκαθαιρομένου τε καὶ κενουμένου δι' αὐτῆς. ὥσπερ ἐνίοτε καὶ διὰ νεφρῶν ἐκκενοῦται. καὶ γίγνεται τοῦτο μάλιστα ταῖς ἁπαλοσάρκοις τε καὶ φλεγματώδεσι, ἃς καὶ χωρὶς τοῦ ψαῦσαι τῆς μήτρας, ἰασόμεθα διὰ τῶν τοῦ παντὸς σώματος βοηθημάτων. ἔστιν δὲ τὸ κενούμενον, ἐνίοτε μὲν ἐρυθρὸς ἰχώρ, ἔστιν ὅτε δ' ὑδατώδης ἢ ὕπωχρος. εἰ δ' αἷμα καθαρὸν ὡς ἐν φλεβοτομίᾳ φαίνοιτο, προσέχειν ἀκριβῶς μή τις ἀνάβρωσις γέγονεν ἐν τῇ μήτρᾳ. συμ-

βαίνει δ᾽ ὡς τὸ πολὺ κατὰ τὸν αὐχένα μᾶλλον, ἢ ἀλλαχόθι τὰς ἀναβρώσεις αὐταῖς γίγνεσθαι. διαγινώσκονται δὲ τοῖς φερομένοις ἰχῶρσιν, αἱ βυθιώτεραι, κατὰ δὲ τὸ στόμιον τοῦ αὐχένος, οὐ τούτοις μόνον, ἀλλὰ καὶ διὰ τῆς ἁφῆς. ἐκκρίνεται δ᾽ αἷμα καὶ τῶν κυησῶν ἐνίαις, ἀναστομουμένων τῶν κατὰ τὸν αὐχένα φλεβῶν. εἰ δὲ κυούσης γυναικὸς ἐξαίφνης ἰσχνοὶ γένωνται οἱ τιτθοί, προσδόκα ταύτην ἐκτρώσειν. δίδυμα δὲ κυούσης ὁ ἕτερος τιτθὸς ἰσχνὸς γενόμενος, ἐκτρωθήσεσθαι σημαίνει τὸ ἕτερον τῶν ἐμβρύων. καὶ τοὔμπαν τὸ μὲν ἄρρεν, ὁ δεξιός. τὸ δὲ θῆλυ, ὁ ἕτερος. ἐπειδὴ τὰ μὲν ἄρρενα τοὔμπαν ἐν τοῖς δεξιοῖς μέρεσι τῶν μητρῶν κυΐσκεται. τὰ δὲ θήλεα, ἐν τοῖς ἀριστεροῖς, καὶ σπάνιον ἐστὶ τὸ ἐναντίον, ὡς κἀπὶ τῶν ἄλλων φαίνεται ζώων, οἷς ἡ φύσις ἐστὶ διδυμοτόκος. αἶγές τε γὰρ πολλαί, καὶ πρόβατα, τοιαῦτα καὶ τῶν ἄλλων τετραπόδων ζώων οὐκ ὀλίγα. εἰ δὲ κυΐσκοιτο μὲν ἑτοίμως ἡ γυνή, δίμηνον δὲ καὶ τρίμηνον, ἢ τετράμηνον ἐκβάλλει τὸ κύημα, περὶ τὰς κοτυληδόνας αὐτῇ τῶν μητρῶν, ὑγρότης φλεγματώδης ἀθροίζεται, δι᾽ ἣν ἡ τῶν γενομένων ἐν τῷ χωρίῳ, φλεβῶν τε καὶ ἀρτηριῶν σύμφυσις τοῖς στόμασι τῶν καθηκόντων εἰς τὴν μήτραν ἀγγείων, ἄτονον ἐστίν, ὡς μὴ φέρειν τὸ τοῦ κυουμένου βάρος ἀλλ᾽ ἀπορρήγνυσθαι ῥᾳδίως. ὥσπερ ὀλίγα τῶν διὰ τῆς ἕδρας ἐκκρινομένων, σημεῖα τῶν πλησίον αὐτῆς ἐστὶ τόπων πεπονθότων. τὰ πλεῖστα δ᾽ αὐτῶν, ἐντέρων, καὶ τῆς γαστρὸς καὶ τοῦ σπληνός, καὶ τοῦ ἥπατος, οὐκ ὀλιγάκις δὲ καὶ τῶν ἐν ὅλῳ τῷ σώματι ἐστι χυμῶν γνωρίσματα. κατὰ τὸν αὐτὸν τρόπον ὀλίγα τῶν κατὰ τὸ αἰδοῖον ἐκκρινομένων, ἴδιον αὐτοῦ πάθος ἐνδείκνυται. τὰ πολλὰ δὲ κύστεως νεφρῶν, ἥπατός τε καὶ σπληνὸς καὶ πνεύμονος καὶ θώρακος. καὶ τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως τῶν χυμῶν, ἐστὶ σημεῖα. διορίζεται δὲ τοῖς ἄλλοις ἃ συνεδρεύειν εἴπομεν ἑκάστῳ μορίῳ πάσχοντι, τό γε μὴν αἰδοῖον αὐτὸ πεπονθέναι γνωρίσεις, ἐκ τῶν δὲ τῆς μὲν ἑλκώσεως αὐτοῦ, γνώρισμα σαφές, ἡ ὀδύνη κατ᾽ αὐτὸ γενομένη, μετὰ τοῦ κατὰ τὰς οὐρήσεις ἐκκρίνεσθαί τι τῶν συνεδρευόντων τῷ ἕλκει. καὶ διακρίνεταί γε ταῦτα τῶν ἐκ κύστεως φερομένων τῷ φθάνειν αὐτὰ κατὰ τὴν πρώτην ἔξοδον ἐπιφαίνεσθαι. τὰ δ᾽ ἐκ τῆς κύστεως, ἀναμεμίχθαι τοῖς οὔροις. ἀλλὰ καὶ δάκνεται κατὰ τὰς οὐρήσεις συνεχῶς, τὰ ἐν τοῖς αἰδοίοις ἕλκη. καὶ μᾶλλον ὅτ᾽ ἂν ἀπολυθείσης ἐφελκίδος, ἢ ῥύπου, καθαρὰ γένηται. πολὺ δὲ μᾶλλον αἵ τε φλεγμοναὶ καὶ τὰ ἄλλα τὰ τοιαῦτα χωρὶς σημείου διαγιγνώσκεται. περὶ δὲ γονορροίας τε καὶ πριαπισμοῦ διελθεῖν ἐπὶ πλέον ἄμεινον. ἡ μὲν οὖν γονόρροια, σπέρματος ἀπόκρισις ἐστίν, ἀκούσιος, ἔξεστι δὲ καὶ ἀπροαίρετον ὀνομάζειν. ὥσπερ καὶ σαφέστερον ἀπόκρισιν σπέρματος συνεχῶς γιγνομένην, χωρὶς τῆς κατὰ τὸ αἰδοῖον ἐντάσεως. ὁ δὲ πριαπισμὸς αὔξησις εἰς μῆκός τε καὶ κύκλον ἐστὶν ὅλου τοῦ αἰδοίου, χωρὶς ἀφροδισίου προθυμίας ἢ τινος θερμασίας ἐπικτήτου. καθάπερ ἐνίοις γίγνεται, καὶ κοιμωμένοις ὑπτίως. οὕτω γὰρ αὐτὸν ὑπετυπώσαντό τινες. ἔνεστι καὶ συντομώτερον, αὔξησιν μόνιμον τοῦ αἰδοίου, ἢ ἐξοίδησιν μόνιμον, ὠνόμασται δὲ παρωνύμως ἀπὸ τοῦ πριάπου δηλονότι. καὶ γὰρ ἐκεῖνον ὡς φύσει τοιοῦτον ἔχοντα τὸ αἰδοῖον, οἱ ἄνθρωποι, πλάττουσί τε καὶ γράφουσιν. τὸ δὲ τῆς γονορροίας ὄνομα, προφανῶς ἐστὶ σύνθετον, ἔκ τε τῆς γονῆς, καὶ τοῦ ῥεῖν. ὀνομάζεται γὰρ τὸ σπέρμα καὶ γονὴ καὶ γόνος. ὥσπερ δὲ κἀντ᾽ ἄλλα πάντα τὰ ἐκ τοῦ σώματος ἡμῶν ἐκκρινούμενα, κατὰ διττὸν τρόπον τοῦτο πάσχει ποτὲ μὲν ἐκ τῶν περιεχόντων αὐτὰ σωμάτων ἐκκρινόμενα. ποτὲ δὲ αὐτομάτως ἐκρέοντα δι᾽ ἀρρωστίαν τῶν αὐτῶν σωμάτων οὐ κατεχόμενα, οὕτως καὶ τὸ σπέρμα. τῆς μὲν γὰρ φύσεως ἔργον ἐστὶ ἐπὶ τῶν τοιούτων ἁπάντων, ὥσπερ τὸ ἐκκρίνειν ἐπὶ τοῖς προσήκουσι καιροῖς οὕτω καὶ τὸ κατέχειν. ἀλλὰ τὸ μὲν ἐκκρίνειν γίγνεται, τοῦ μὲν πόρου τῆς ἐκροῆς ἀνοιγνυμένου, τοῦ δ᾽ ἄλλου κύτους περιστελλομένου τε καὶ ὠθοῦντος ἐπὶ τὸν ἀνεῳγότα πόρον, ἅπαν τὸ περιεχόμενον ἐν τῇ κοιλότητι. τὸ δ᾽ ἴσχεσθαι διαμένοντος μέν, ἐν τῷ κεκλεῖσθαι τοῦ πόρου, μὴ δὲ μιᾶς δὲ εἰς τὸ περιεχόμενον ἐκ τοῦ περιέχοντος ὤσεως γιγνομένης, ἀλλὰ τοὐναντίον ἅπαν, περιστολῆς τε καὶ κρατήσεως. οὕτως μὲν ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων, αἵ τε ἐκκρίσεις καὶ αἱ κατοχαὶ γίγνονται τῶν περιεχομένων ὑγρῶν ἐν τοῖς κοίλοις ὀργάνοις. ἐπὶ δὲ τῶν παρὰ φύσιν, αἱ μὲν ἐποχαί, δι᾽ ἀρρωστίαν τῆς ἐκκριτικῆς δυνάμεως. αἱ δὲ ἐκκρίσεις διὰ τὴν τῆς καθεκτικῆς ἀσθένειαν, ἢ τινὰ διάθεσιν ὁμοίως τῇ κατὰ φύσιν ἐκκριτικῇ, κινοῦσαν τὰ μόρια. καθάπερ ἐπ᾽ αὐτῶν τῶν σπερματικῶν ἐν ἐπιληψίαις τε συμβαίνει καὶ τοῖς ἄλλοις σπασμοῖς ὁπόταν βιαίως γεννηθῶσιν. ὁρῶμεν δὲ καὶ καθ᾽ ἕτερα μόρια, τοὺς σπασμούς, οἷον χεῖρας, ἢ πόδας, ἢ δακτύλους. ἐνίοτε μὲν ἅμα τῷ παντὶ σώματι σπωμένῳ γιγνομένους. ἐνίοτε δὲ μόνον πασχόντων. οὐδὲν οὖν ἐστὶν ἄλογον, ἐν τοῖς σπερματικοῖς ἀγγείοις ποτὲ μόνοις γίγνεσθαι τοιαύτην διάθεσιν, ὥσπερ γε καὶ τὴν τῆς γονορροίας ἀνάλογον οὖσαν ἐκκρίσεσιν ἀκουσίοις. ὅταν ἡ κατέχουσα δύναμις αὐτὴ παραλυθεῖσα τύχῃ. γονόρροια μὲν οὖν, τῶν σπερματικῶν ὀργάνων ἐστὶ πάθος, οὐ τῶν αἰδοίων, οἷς ὁμοίως χρῆται πρὸς ἔκροιαν ἡ γυνή. ὁ πριαπισμὸς δέ, σαφῶς τοῦ αἰδοίου φαίνεται σύμπτωμα. δυνατὸν δ᾽ ἐστὶ καὶ μηδὲν αὐτοῦ πεπονθότος ἴδιον ἐξαίρετον πάθημα, τῶν ἀρτηριῶν εἶναι μόνον, τοιαύτην ἰσχουσῶν διάθεσιν ἐνίοτε παρὰ φύσιν, ὁποία αὐταῖς συμβαίνει ὅτε ἡ κατὰ φύσιν ἔντασις ἐγίγνετο τοῦ παντὸς αἰδοίου. ὅτι μὲν γὰρ ὑπὸ πνεύματος ἐξοιδίσκεται, πρόδηλον ἐστὶ τεκμαιρομένοις τῷ τάχει τῆς ὀγκώσεώς τε καὶ συστολῆς. ὑγρὸν γὰρ οὐδέν, οὕτω ταχεῖαν ἐφ᾽ ἑκάτερα τὴν μεταβολὴν οἷόν τέ ἐστι ποιεῖσθαι. τούτου δ᾽ οὕτως ἔχοντος, καὶ φαινομένων, ἐν ταῖς ἀνατομαῖς ἀρτηριῶν μεγάλων, εἰς μικρὸν μόριον, τὸ αἰδοῖον ἐμβαλουσῶν, φαινομένης δὲ καὶ τῆς οὐσίας τοῦ αἰδοίου τοιαύτης ὁποίαν οὐδὲν ἄλλο μόριον ἔχει. σῶμα γάρ ἐστι νευρῶδες, τὴν ἰδέαν σηραγγῶδες ὅλον, χωρὶς τῆς καλουμένης βαλάνου, τί ἂν ἄλλο τις ἐννοῆσαι δύναιτο, παρὰ τὸ πληρούμενον ἀτμώδους πνεύματος ἐκ τῶν ἀρτηριῶν ἐπιρρέοντος, τὸν ἐν ταῖς ἐντάσεσιν ὄγκον ἴσχειν, καὶ διὰ τοῦτο τῆς βαλάνου ἴσον ἀεὶ τὸ μέγεθος ἔχειν. ὅτι τὸ σηραγγῶδες αὐτῇ νεῦρον, οὐκ ἐνυπάρχει. τίς οὖν αἰτία τοῦ κατὰ τὰς ἀφροδισίας ὁρμὰς ἐντείνεσθαι τὸ αἰδοῖον, ἤ τισι καὶ κοιμωμένοις, ὅταν ὕπτιοι κατακείμενοι θερμανθῶσι τὴν ὀσφύν. εὑρεθείσης γοῦν αὐτῆς, ἐλπὶς ἐστὶ καὶ τὴν τοῦ πριαπισμοῦ διάθεσιν εὑρήσειν ἡμᾶς. ὅτι μὲν γὰρ ἤτοι ἐκ τῶν ἀρτηριῶν, ἢ ἐκ τοῦ σηραγγώδους νεύρου, τὴν ἀρχὴν αἰτίαν, ἢ καὶ συναμφοτέρων μεταβολὴν τινὰ σχόντος ἐκ τῆς ἔμπροσθεν καταστάσεως, ἀναγκαῖον ἐστὶ γίγνεσθαι τὴν πλήρωσιν ἄντικρυς δῆλον. ἐξ ὁποτέρου δ᾽ αὐτῶν μᾶλλον, ἢ εἰ καὶ ἐξ ἀμφο-

ἐξ ἀμφοτέρων, ἐφεξῆς σκοπῶμεν, ἀρχὴν τοῦ λόγου τήνδε θέμενοι. τὰ μόρια τοῦ σώματος, ἡ διαπλάσασά τε καὶ τελειώσασα φύσις, εἰργάσατο χωρὶς διδασκαλίας, ἐπὶ τὴν οἰκείαν ἐνέργειαν ἔρχεσθαι, καὶ βάσανόν γε τούτου μεγίστην ἐποιησάμην ποτὲ θρέψας ἔριφον, ἄνευ τοῦ θεάσασθαί ποτε τὴν κυήσασαν. αἶγας γὰρ ἐγκύμονας ἀνατέμνων ἕνεκα τῶν ἐζητημένων θεωρημάτων τοῖς ἀνατομικοῖς ἀνδράσιν περὶ τῆς ἐπὶ τὸ κυούμενον οἰκονομίας, εὑρών ποτε γενναῖον τὸ ἔμβρυον, ἀπέλυσα μὲν τῆς μήτρας ὥσπερ εἰώθαμεν. ἁρπάσας δὲ πρὶν θεάσασθαι τὴν κυήσασαν, εἰς οἶκόν μέν τινα κομίσας κατέθηκα. πολλὰ μὲν ἔχοντα λεκάνια. τὸ μὲν οἴνου. τὸ δὲ ἐλαίου. τὸ δὲ μέλιτος. τὸ δὲ γάλακτος. ἢ ἄλλου τινὸς ὑγροῦ, πλῆρες. οὐκ ὀλίγα δ' ἄλλα τῶν δημητρίων καρπῶν, ὥσπερ γε καὶ τῶν ἀκροδρύων, ἐθεασάμεθα δὲ τὸ ἔμβρυον ἐκεῖνο, πρῶτον μὲν βαδίζον τοῖς ποσὶν, ὥσπερ ἀκηκοὸς, ἕνεκα βαδίσεως ἔχειν τὰ σκέλη. δεύτερον δ' ἀποσειόμενον τὴν ἐκ τῆς μήτρας ὑγρότητα. καὶ τρίτον ἐπὶ τούτῳ, κνησάμενον ἑνὶ τῶν ποδῶν, τὴν πλευρὰν, εἶτ' ὀσμώμενον εἴδομεν αὐτὸ, τῶν κειμένων ἐπὶ τὸν οἶκον ἑκάστου, ὡς δὲ πάντων ὠσμᾶτο, τοῦ γάλακτος ἀπερρόφησεν, ἐφ' ᾧ καὶ ἀνεκεκράγαμεν ἅπαντες, ἐναργῶς ὁρῶντες, ὅπερ Ἱπποκράτης ἔφη. φύσιες ζώων ἀδίδακτοι. καὶ τοίνυν καὶ ἀνεθρέψαμεν ἐκεῖνο τὸ ἐρίφιον. εἴδομέν τε προσφερόμενον ὕστερον, οὐ τὸ γάλα μόνον, ἀλλὰ καὶ ἄλλα τινὰ τῶν κειμένων. ὄντος δὲ τοῦ καιροῦ καθ' ὃν ἐξῃρέθη τῆς μητρὸς ὁ βρέφος, ἐγγὺς τῆς ἐαρινῆς ἰσημερίας, μετὰ δύο που μῆνας εἰσεκομισάμην αὐτῷ μαλακοὺς ἀκρέμονας θάμνων τε καὶ φυτῶν, ὧν πάλιν καὶ αὐτῶν ὀσμησάμενον ἁπάντων, ἐνίων μὲν εὐθέως ἀπέστη. τινῶν δὲ ἠξίωσε γεύσασθαι, καὶ γευσάμενον ἐπὶ τὴν ἐδωδὴν ἐτράπετο τῶν καὶ ταῖς μεγάλαις αἰξὶ συνήθων ἐδεσμάτων. ἀλλὰ τοῦτο μὲν ἴσως, μικρόν. ἐκεῖνο δὲ μέγα. τὰ γὰρ φύλλα καὶ τοὺς μαλακοὺς ἀκρέμονας ἀποφαγὼν, κατέπιεν. εἶτ' ὀλίγον ὕστερον, ἐπὶ τὸ μηρυκάζειν ἧκεν, ὃ πάλιν οἱ θεασάμενοι πάντες, ἀνεβόησαν ἐκπλαγέντες ἐπὶ ταῖς τῶν ζώων δυνάμεσιν. μέγα μὲν γὰρ ἦν καὶ τὸ πεινῆσαν, διά τε τοῦ στόματος καὶ τῶν ὀδόντων προσφέρεσθαι τὴν ἐδωδήν. ἀλλ' ὅτι τὸ καταποθὲν εἰς τὴν γαστέρα, πρῶτον μὲν ἀναφέρειν εἰς τὸ στόμα προσῆκεν, ἔπειτα λεαίνειν ἐν αὐτῷ μασσώμενον ἐν χρόνῳ πολλῷ, καὶ μετὰ ταῦτα, καταπίνειν μηκέτι εἰς τὴν αὐτὴν κοιλίαν, ἀλλ' εἰς ἑτέραν, ἱκανῶς ἡμῖν ἐφαίνετο θαυμάσιον εἶναι. παρορῶσι δ' οἱ πολλοὶ τὰ τοιαῦτα τῆς φύσεως ἔργα, μόνα τὰ ξένα θεάματα θαυμάζοντες. ἐπεί τοι πῶς οὐ θαυμαστὸν, τὸ τοὺς μὲν ἀνατομικωτάτους τῶν ἰατρῶν ζητεῖν, ὑπὸ τίνος μὲν ἐκτείνεται τόδε τὸ ἄρθρον. οἷον φέρε τὸ κατ' ἰσχίον, ὑπὸ τίνος δὲ κάμπτεται. τίνες δ' εἰσὶν οἱ ἐφ' ἑκάτερα πρὸς τὸ πλάγιον ἀπάγοντες αὐτό. καὶ τίνες οἱ περιστρέφοντες ἑκατέρωσε, τὸ δ' ἐρίφιον ἣν ἂν ἐθελήσοι κίνησιν ἑκάστης διαρθρώσεως, εὐθέως ἐργάζεσθαι καθάπερ γε καὶ τοὺς ἀνθρώπους αὐτούς. καίτοι γ' ἀγνοοῦντας ὑπὸ τίνος μυὸς ἑκάστη γίνεται κίνησις. ἐπὶ γοῦν τῆς κατὰ τὴν γλῶτταν κινήσεως, ἵν' ὡς ἐν παραδείγματι ταύτης μνημονεύσω, πῶς οὐκ ἄν τις θαυμάσειεν, τοὺς μὲν ἀνατομικοὺς διαφωνοῦντας ἀλλήλοις εὑρὼν, οὐ μόνον περὶ τὸν ἀριθμὸν τῶν μυῶν, ἀλλὰ καὶ περὶ τὰς ἐνεργείας αὐτῶν. τὴν δὲ φύσιν εὑρὼν, τὰ παιδία δεδιδαχυῖαν, ὅπως μὲν μιμήσηται τὴν φωνὴν, ἥ τινα τῶν ἄλλων. ὅπως δὲ τὴν γλῶτταν κινήσεται, καὶ διὰ τίνων μυῶν ἐργάσηταί τὴν αὐτὴν φωνὴν, οὕτω δὲ καὶ περὶ πάσης τῆς ἄλλης φωνῆς τε καὶ ἀναπνοῆς, καὶ συνελόντι φάναι τῶν προαιρετικῶν ἐνεργειῶν, θαυμάσειεν ἄν τις τὸ τῶν ὀργάνων αὐτοδίδακτον. οὐ μικρᾶς οὖν οὐδὲ περὶ τούτων τῶν ἐνεργειῶν διαφωνίας γεγονυίας τοῖς ἀνατομικοῖς ἀνδράσιν, ὅπως τε γίγνονται, καὶ δι' ὧν τινων ὀργάνων, ὅμως ἀναπνεῖ, καὶ φωνεῖ πάντα τὰ ζῷα μετὰ τὴν πρώτην γένεσιν εὐθέως. οὐδὲν οὖν θαυμαστόν ἐστι καὶ τὰ γεννητικὰ μόρια, τὰς ἐνεργείας, ὧν χάριν ὑπὸ τῆς φύσεως ἐγίγνετο, γιγνώσκειν εὐθέως ἐξ ἀρχῆς. ἐπεὶ τί συλλαβοῦσα μὲν ἡ μήτρα τὸ σπέρμα, μέμυκεν ἀκριβῶς ἄχρι τοῦ τελειωθῆναι τὸ ἔμβρυον. ἀνοίγνυσιν δὲ ἐπὶ πλεῖστον, αὐτοῦ τελειωθέντος, ἀνοίξασά τε δι' αὐτὸ τοῦτο, τὸ ἔμβρυον ἐκκρίνει, καταφρονεῖται δὲ καὶ ταῦτα, διὰ τὸ συνεχὲς τῆς θέας, καὶ παρορᾶται τοῖς πολλοῖς, ὡς τὸ μηδὲν εἰθικῶσι θαυμάζειν οὐ τὰ θαυμαστὰ κατ' ἀλήθειαν, ἀλλὰ τὰ σπανίως αὐτοῖς ὁρώμενα. τί γὰρ ἂν εἴη τῇ φύσει θαυμασιώτερον, τοῦ μησὶν μὲν ὅλοις ἐννέα μεμυκέναι τὸ τῆς μήτρας στόμιον οὕτως ἀκριβῶς, ὡς μηδὲ πυρῆνα μήλης παραδέχεσθαι. τελειωθέντος δὲ τοῦ κυϊσκομένου διάστασιν ἴσχει τηλικαύτην, ὡς ὅλον τὸ ζῷον ἐξέρχεσθαι δι' αὐτοῦ. οὐκοῦν ἀπιστεῖ τις αὐτοδίδακτον εἶναι καὶ τὴν τῶν αἰδοίων δύναμιν. ὥς τε τὸ σηραγγῶδες ἐκεῖνο σῶμα τὸ νευρῶδες τὴν ἰδέαν, ὅτ' ἂν ἐπὶ συνουσίαν ὁρμήσῃ τὸ ζῷον, εὐθέως ἵστασθαι, φυσικὴν ἔχον τὴν διαστέλλουσαν αὐτὸ δύναμιν, ὥσπερ ἡ καρδία τε καὶ ἀρτηρία, πλὴν ὅτι διαπαντὸς ἐκεῖνα μὲν κινεῖται, διότι καὶ τῆς ἐνεργείας αὐτῶν ἀεὶ χρῄζομεν. οὐ διαπαντὸς δὲ τὸ σηραγγῶδες νεῦρον κινεῖται, ἀλλ' ὅταν ἡ χρεία καλεῖ. διαστελλομένου δὲ αὐτοῦ, τὸ ἐκ τῶν ἀρτηριῶν ἕπεται πνεῦμα καθάπερ ὁ πνεύμων, τῷ θώρακι τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ. δύναιτο δ' ἄν τις ἴσως καὶ ταῖς ἀρτηρίαις ἀνατιθέναι τὴν δύναμιν τοῦ πληροῦντος πνεύματος τὸ σηραγγῶδες νεῦρον, ὅτ' ἂν ὁρμήσῃ τὸ ζῷον, ἐπὶ συνουσίαν. ἄμεινον δὲ πολὺ τοῦ νεύρου φάναι τὴν ἐνέργειαν εἶναι ταύτην, οὐ τῶν ἀρτηριῶν. εἴ γε τὰς ἐνεργείας, ἐκ τῆς τῶν μορίων οἰκείας οὐσίας, οὐκ ἐκ τῆς θέσεως εὔλογόν ἐστι γίγνεσθαι, καὶ τήν τε καρδίαν, εἰ καὶ κατ' ἄλλο τι μέρος ἔκειτο τὴν αὐτὴν ἐνέργειαν ἔχειν, ἥπερ τε καὶ σπλῆνα, καὶ τὰ ἄλλα πάντα. καὶ τὰς ἀρτηρίας οὖν ἐν ἅπαντι μορίῳ τοῦ σώματος, εὔλογόν ἐστι τὴν αὐτὴν ἐνέργειαν ἔχειν, ὥσπερ καὶ φαίνονται. καθ' ἕνα γέ τοι καιρὸν, αἱ καθ' ὅλον τὸ ζῷον ἀρτηρίαι διαστέλλονται παραπλησίως ἀλλήλαις. ὥστ' οὐκ εἰκὸς ἐπὶ τὰς εἰς τὸ αἰδοῖον ἐμφυομένας ἀρτηρίας, ἄλλην τινὰ δύναμιν ἐπικτᾶσθαι παρὰ τὴν ἐν ὅλῳ τῷ σώματι προϋπάρχουσαν αὐταῖς. ἀλλ' εὐρύτερα ἔχειν τὰ στόματα τῶν ἄλλων ἀρτηριῶν, εὔλογον εἰς τάχος τῆς πρὸς τὸ κενούμενον ἀκολουθίας παρεσκευασμένας. ἀεὶ γὰρ ἡ φύσις φαίνεται τὸ χρήσιμον ἑκάστῃ τῶν ἐνεργειῶν, πανταχόθεν ἐκπληροῦσα. δύναμιν δὲ ἐνεργείας, ἐξαίρετον οὐδὲ μίαν ἴσχειν ἑτέραν, ὅταν εἰς τὸ αἰδοῖον ἀφίκονται. θερμανθείσης μέν τοι τῆς ὀσφύος, εὔλογόν ἐστι θερμοτέρας τε γίγνεσθαι τὰς ἀρτηρίας, ἀνασπᾶσθαί τε μᾶλλον, ὥς τε καὶ ἐπὶ τοῦ προχεῖν πνεύματος οὐκ ὀλίγην οὐσίαν, εἰς τὸ σηραγγῶδες νεῦρον, ὑφ' οὗ κατ' ὀλίγον πληρούμενον ἐντείνεται τὸ αἰδοῖον, ὡς ἂν ὅλης τῆς οὐσίας αὐτοῦ, ἐπὶ τὸ σηραγγῶδες ὑπαρχούσης νεύρου. τούτων ἡμῖν ἐγνωσμένων, ἐπὶ τὴν τοῦ πριαπισμοῦ διάθεσιν ἔλθωμεν. ὅτι μὲν γὰρ ἤτοι κατὰ τὰ στόματα τῶν ἀρτηριῶν εὐρυνόμενα γίγνεται τὸ πάθος, ἢ κατὰ τὸ σηραγγῶδες νεῦρον, ἀτμῶδες πνεῦμα γεννῆσαν, ἐκ τῶν προεγνωσμένων φαίνεται. πότερον δ' αὐτῶν μᾶλλον ἄν τις

αἰτιάσαιτο, ζητητέον. ἐμοὶ δὴ δοκεῖ, κατ᾽ ἀμφότερα μὲν γίγνεσθαι. πλεονάκις δὲ, τοῖς τῶν ἀρτηριῶν στόμασιν εὐρυνομένοις ἕπεσθαι. ῥᾷον γὰρ εὐρυνθῆναι ταῦτα, τὸ πνεῦμα φυσῶδες ἐν τῷ συνεγγὺς νεύρῳ γεννηθῆναι. καί μοι δοκῶ, τὴν μὲν ἐπὶ τὸ νεῦρον διάθεσιν ἅπαξ ἑωρακέναι, τὴν δὲ τῶν ἀρτηριῶν, πολλάκις. ἐτεκμηράμην δὲ τοῦτο τοῖς τε προηγησαμένοις συμπτώμασιν, καὶ τῷ τρόπῳ τῆς θεραπείας. ᾧ μὲν γὰρ οἱ παλμοὶ τοῦ αἰδοίου συνεχεῖς προηγοῦντο, πνεῦμα φυσῶδες ἦν αἴτιον. καὶ πρὸς τοῦτο τὴν θεραπείαν ἅπασαν ἁρμοσάμενος, ἰασάμην τὸν ἄνθρωπον. οἷς δὲ τὰ στόματα τῶν ἀρτηριῶν ηὐρύνθη, τοιοῦτον μὲν οὐδὲν προηγεῖτο σύμπτωμα. συμβεβήκει δὲ τῷ μὲν, τινὶ πολλῷ χρόνῳ παρὰ τὸ ἔθος, ἀφροδισίων ἀπέχεσθαι. τῷ δὲ κακοχύμων ἐδεσμάτων καὶ δριμέων ἐδωδῇ κεχρῆσθαι. τῷ δέ τινι ζώνῃ κατ᾽ ὁδοιπορίαν δυοῖν μηνῶν, ἀήθει ζώνης ὄντι. τὴν οὖν ἀναστόμωσιν τῶν ἀρτηριῶν, ἐτεκμηράμεθα, τοῖς μὲν διὰ τὴν ἐκ τῆς κακοχυμίας δριμύτητα γεγονέναι. τοῖς δὲ διὰ πνεύματος φυσώδους γένεσιν, ἀτάκτως τε καὶ βιαίως κινουμένου. καὶ γάρ τοι καὶ τὰ φάρμακα τὰ τῶν αἰδοίων ἐντατικὰ τά τε πινόμενα, καὶ τὰ ἐπὶ τοῦ περινέου καὶ τῆς ὀσφύος ἐπιβαλλόμενα θερμὰ καὶ πνευματώδη πάντ᾽ ἐστί. ὥσπερ αὖ τὰ ἐναντία πάντα, ἄφυσα καὶ ψύχοντα, μᾶλλον ἢ θερμαίνοντα. προσέχειν δὲ χρὴ τῷ λόγῳ μὴ παρατρέχοντα, φάρμακα γὰρ εἶπον, οὐκ ἐδέσματα, διότι τῶν ἐδεσμάτων ἔνια μὲν, γεννητικὰ πολλοῦ σπέρματος ὄντα, ἐπὶ τοῦτο, καὶ τὰς εἰς τὴν λαγνείαν ὁρμὰς, παροξύνει. ταῦτα μὲν οὖν μαρτυρεῖ τῷ λόγῳ καθ᾽ ὃν ἀρτίως ἐλέγετο, καὶ τοὺς τῶν ἀφροδισίων ἀπεχομένους, ἐνίοτε τοῖς πριαπισμοῖς ἁλίσκεσθαι. συμβαίνει γὰρ τοῦτο τοῖς πολυσπέρμοις τε ἅμα, καὶ παρὰ τὸ ἔθος ἀπεχομένοις. ὅτ᾽ ἂν μὴ διαπονῶσι πλήθει γυμνασίων τὴν περιουσίαν τοῦ αἵματος καὶ μάλιστα ἐξ αὐτῶν ὅσοι τῆς μετὰ τῆς ἀφροδισίων ἐννοίας οὐκ ἀπηλλάγησαν. ὥσπερ οἱ σωφρονικοί τε φύσει, καὶ χρόνῳ πλέονι τὴν τοιαύτην ἐγκράτειαν ἀσκήσαντες εἰς φαντασίαν δι᾽ αὐτῶν ἀφικνούμενοι, διά τε θεαμάτων ἐξορμᾶν αὐτοὺς δυναμένων, καὶ δι᾽ ἀναμνήσεως αὐτῶν. ἐναντιωτάτη γὰρ ἡ τούτων τῶν ἀνθρώπων διάθεσις, ἐν τοῖς αἰδοίοις γίγνεται, τῇ τῶν οὐδ᾽ ὅλως εἰς ἔννοιαν ἀφροδισίων ἐρχομένων. καί τινι φίλῳ προελομένῳ παρὰ τὸ πρόσθεν ἔθος, ἀπέχεσθαι τελέως ἀφροδισίων, εἰς ὄγκον ἐπεδίδου τὸ αἰδοῖον, ἐμφυσωμένων ὡς ἀναγκασθῆναι ἀνακοινώσασθαί μοι περὶ τοῦ συμπτώματος. ἔφη γὰρ θαυμάζειν ὅπως τῷ δὲ μὲν τῷ ἀθλητῇ ῥυσσὸν καὶ προεσταλμένον ἐστὶ τὸ αἰδοῖον ἐκ τῆς εὐταξίας. ἑαυτῷ δ᾽ ἀφ᾽ οὗ τοῦτ᾽ ἐνεστήσατο, τοὐναντίον συμβαίνει. τό τε μὲν οὖν αὐτῷ συνεβούλευσα τὸ ἠθροισμένον ἐκκρῖναι σπέρμα. τοῦ λοιποῦ δὲ καὶ θεαμάτων, καὶ διηγήσεως, καὶ μνήμης ἐπεγείρειν δυναμένης εἰς ἀφροδίσια, παντάπασιν εἴργειν ἑαυτόν. ὅσοι δ᾽ εὐθὺς ἐξ ἀρχῆς ἢ ἀθλοῦντες ἢ φωνασκοῦντες ἄπειροι τῶν ἀφροδισίων διετέλεσαν, εἴρξαντες παντάπασιν ἑαυτοὺς ἁπάσης ἐννοίας τε καὶ φαντασίας τοιαύτης, ἰσχνὰ καὶ ῥυσσὰ τοῖς τῶν γερόντων ὁμοίως αὐτοῖς γίνεται τὰ αἰδοῖα. πρὸς γὰρ τοῖς ἄλλοις κἀκεῖνο συμβαίνει τοῖς ἐν νεότητι ἐπὶ τὸν πρῶτον χρόνον ἀφροδισίοις πολλοῖς χρησαμένοις, εὐρυνομένων τῶν ἐν τούτοις τοῖς τόποις ἀγγείων, ῥέουσι τε γίγνεσθαι πρὸς αὐτὰ τὸ αἷμα. καὶ τὴν ὀρεκτικὴν δύναμιν τῶν ἀφροδισίων αὐξάνεσθαι, ἐπὶ τὸν κοινὸν λόγον ἁπασῶν τῶν δυνάμεων, ὃν καὶ Πλάτων ἔγραψεν, τὴν μὲν ἡσυχίαν, ἐκλύειν λέγων. τὴν δ᾽ ἐν τοῖς οἰκείοις ἔργοις διατριβὴν, αὐξάνειν τὴν ῥώμην. οὕτως μὲν οὖν καὶ οἱ τιτθοὶ, ταῖς μὲν μηδέποτε κυησάσαις προσεσταλμένοι διαμένουσι. ταῖς δὲ μετὰ τὸ κυῆσαι θηλαζούσαις παιδία, μέγιστοι γίγνονται, καὶ διαμένουσί γε γάλα παρέχοντες ἄχρις ἂν θηλάζωσιν. παυομέναις δὲ τοῦ θηλάζειν τὰ παιδία, καὶ ἡ τοῦ γάλακτος ἐν τοῖς τιτθοῖς γένεσις, οὐ μετὰ πολὺ παύεται. ταῦτ᾽ οὖν ἡμῖν ἅπαντα προδιεσκεμμένοις, καὶ πρὸς τὴν θεραπείαν ἀφορμὰς παρέξει, διορίζομένοις τὰς αἰτίας, ὑφ᾽ ὧν ἑκάστῳ τῶν παθόντων, τὸ πάθος ἐγένετο. νῦν δ᾽ οὔπω καιρὸς αὐτῶν, ἀλλ᾽ ἤδη τέλος ἐχούσης τῆς προκειμένης πραγματείας, καταπαύσω τὸν λόγον ἐνταῦθα.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΔΙΑΦΟΡΑΣ ΠΥΡΕΤΩΝ

ΒΙΒΛΙΟΝ α.

Αἱ διαφοραὶ τῶν πυρετῶν, αἱ μὲν οἰκειόταται, καὶ κυριώταται, ἐπὶ τὴν οὐσίαν αὐτῶν εἰσιν. αἱ δ᾽ ἄλλαι κατά τι τῶν συμβεβηκότων. ἐπεὶ δὲ καὶ αὐτῶν τῶν συμβεβηκότων οὐ μία φύσις, ἀλλὰ τὰ μὲν ἐγγυτέρω τε καὶ οἰκειότερα τῆς διαιρουμένης οὐσίας ἐστὶ, τὰ δὲ πορρωτέρω τε καὶ ἀλλοτριώτερα, διὰ τοῦτο καὶ τῶν ἐνθένδε λαμβανομένων διαφορῶν, οὐχ ἓν τὸ γένος ἐστί. μάλιστα μὲν οὖν ἁμαρτάνουσιν οἱ τῶν οἰκείων τε καὶ κυριωτάτων ἀποχωροῦντες. ἐφεξῆς δὲ ὅσοι τούτων ἐπιμνησθέντες, ἀνέμιξαν αὐταῖς ὁμοτίμως ἁπάσας τὰς ἐπί τι συμβεβηκὸς, οὐ διακρίναντες ἀπὸ τῶν χρησίμων τὰς ἀχρήστους. οὐ μόνον δὲ ἐν τοῖς γένεσι τῶν διαφορῶν ἥμαρτον οἱ πλεῖστοι τῶν ἰατρῶν, ἤτοι πλεονάσαντες, ὡς καὶ τῶν ἀχρήστων μνημονεύειν, ἢ ἐλλιπόντες, ὡς καὶ τῶν χρησίμων ἐνίας παρελθεῖν, ἀλλὰ ἐπὶ τὴν ἐν αὐτοῖς τοῖς γένεσι τομὴν εἰς τὰς οἰκείας διαφορὰς ὡσαύτως ἐσφάλησαν. αὐτίκα γέ τοι, τοῦ πρώτου τε καὶ κυριωτάτου γένους τῶν διαφορῶν, ἀπὸ τῆς τοῦ τεμνομένου πράγματος οὐσίας λαμβανομένου, ὀλίγους μὲν τῶν ἰατρῶν ἐστὶν ἰδεῖν ὅλον παρελθόντας τὸ γένος τοῦτο· ἐνίους δὲ ἤτοι πλεονάσαντας, ἢ ἐλλιπόντας ἐν τῇ διαιρέσει, καίτοι γε Ἱπποκράτους ἄριστα πεποιημένου τὴν διαίρεσιν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν. ἔχει δὲ ἡ ῥῆσις ὧδε. Πυρετοὶ, οἱ μὲν δακνώδεες τῇ χειρί, οἱ δὲ πρηέες, οἱ δὲ οὐ δακνώδεες, ἐπαναδιδόντες δέ. οἱ δὲ ὀξέες μὲν, ἡσσώμενοι δὲ τῆς χειρός. οἱ δὲ περικαέες εὐθέως, οἱ δὲ διὰ παντὸς βληχροὶ ξηροί. οἱ δὲ πεμφιγώδεες, ἰδεῖν δεινοί. οἱ δὲ πρὸς τὴν χεῖρα νοτιώδεες. οἱ δὲ ἐξέρυθροι. οἱ δὲ ἔξωχροι. οἱ δὲ πελιοί. καὶ τὰ ἄλλα

τὰ ἄλλα τὰ τοιαῦτα. ἐναργέστατα γὰρ ἐν τούτοις ἀπό τε τῆς οὐσίας τοῦ πράγματος ἅμα, καὶ ἀπὸ τῆς διαγνώσεως, εἰς τὰς οἰκείας διαφορὰς ἐποιήσατο τὴν διαίρεσιν. ἡ μὲν γὰρ οὐσία τῶν πυρετῶν ἐν τῷ γένει τῆς παρὰ φύσιν θερμότητος, αἱ διαφοραὶ δὲ τῆς θερμασίας, αἵ τε παρὰ τὸ μᾶλλον καὶ ἧττον εἰσί, καὶ παρὰ τὴν ὕλην ἐν ᾗ τὸ παρὰ φύσιν ἐστὶ θερμόν. καὶ αἱ παρὰ τὸν τρόπον αὐτοῦ τῆς κινήσεως, ἃς ἁπάσας συμπλέξας τῷ τρόπῳ τῆς διαγνώσεως ἐξῆψεν ὡς ἐπὶ προήκοντι τῷ λόγῳ δείξομεν. Αἱ μέν τοι δὴ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον δῆλοί τε, καὶ συνήθεις ἤδη τοῖς ἰατροῖς ὀνομάζειν ἐν τούτῳ τῷ γένει τῆς διαφορᾶς, τοῦ μεγάλου τε καὶ μικροῦ πυρετοῦ, οὐ κυρίως μὲν ἐπὶ ποιοῦ πράγματος ὄνομα ποσότητος ἐπιφέρουσιν, ὅμως δ' οὖν εἰθισμένοι οὕτω ποιεῖν οὐκ ἐπὶ τοῦ πυρετοῦ μόνον ἀλλὰ καὶ ἐπὶ ἄλλων μυρίων, ἐν ποιότητι μὲν ἐχόντων τὴν ὕπαρξιν, ὀνομαζομένων δὲ μεγάλων τε καὶ μικρῶν.

Αἱ δὲ παρὰ τὴν ὕλην, ἐν ᾗ τὸ παρὰ φύσιν ἐστὶ θερμὸν, οἰκειόταται διαφοραὶ τῆς παρὰ φύσιν θερμασίας εἰσίν. ἤτοι τὸ σῶμα τῆς καρδίας αὐτὸ κατειληφυίας αὐτῆς, ἢ τοὺς περιεχομένους ἐν ταῖς κοιλίαις αὐτῆς χυμούς. Λοιπὴ δὲ καὶ τρίτη τις ἀπ' αὐτῆς διαφορὰ τῆς ἀερώδους οὐσίας μόνης ἐκτεθερμασμένης ἱκανῶς, τῶν δ' ὑγρῶν καὶ στερεῶν σωμάτων θερμαινομένων μὲν ἔτι, ἐκτεθερμασμένων δὲ οὐδέπω. διαφέρει γὰρ οὐ σμικρῷ τὸ θερμαίνεσθαί τι τοῦ τεθερμάνθαι. μάθοις δ' ἂν ἐναργέστατα τὸ λεγόμενον ἐπὶ παραδειγμάτων τοιῶνδε. νόησόν μοι θερμὸν ὕδωρ ἐμβεβλημένον λέβητι ψυχρῷ κἄπειτα θερμαινόμενον ὑπ' αὐτοῦ τῇ γειτνιάσει τὸ τοῦ λέβητος σῶμα, θερμὸν δ' ἀκριβῶς ὅλον μηδέπω γεγενημένον. αὖθις οὖν μοι νόησον εἰς θερμὸν καὶ διάπυρον λέβητα, ψυχρὸν ὕδωρ ἐγκεχυμένον, εἶτα θερμαινόμενον ἔτι, θερμὸν δὲ μηδέπω μηδὲ αὐτὸ γεγενημένον. ἐπὶ ταύταις ταῖς εἰκόσι, κατὰ μὲν τὴν δευτέραν ἡ πρώτη διαφορὰ τῶν πυρετῶν ἐστιν, οὓς ἔφαμεν αὐτὸ τῆς καρδίας τὸ σῶμα κατειληφέναι, κατὰ δὲ τὴν προτέραν ἡ τῶν ἐν τοῖς χυμοῖς οὖσα κατ' αὐτό. ἡ δὲ λοιπὴ καὶ τρίτη πάντῃ μὲν οὐκ ἔχει ὅμοιον παράδειγμα, σαφηνείας δ' ἕνεκα, φῦσαν ἐννόησόν μοι χαλκευτικὴν ἕλκουσαν εἰς ἑαυτὴν ἀέρα πάνυ θερμὸν, εἶτα θερμαινομένην ἔτι πρὸς αὐτοῦ, ἐκτεθερμασμένην δ' οὐδέπω. μᾶλλον δ' ἂν ἔτι τὸ παράδειγμα τὴν τοῦ δηλουμένου πράγματος ἐνδείξεται φύσιν, εἰ περιεχόμενον ὑγρὸν ἐν τῇ φύσῃ νοήσῃς, καὶ μᾶλλον ἔτι, εἰ τὰς ὀπὰς τῆς φύσης, δι' ὧν ἕλκει τε καὶ ἐκπέμπει τὸν ἀέρα, στεγνὰς οὕτως ἐργασάμενος, ὡς ὑγρῷ μὲν ἀβάτους ὑπάρχειν, ἀέρι δὲ βασίμους, ἐν ᾧ δὴ καὶ μάλιστα διαφέρει τὰ τῆς φύσεως ἔργα τῶν ὑπ' ἀνθρώπου γινομένων. ἀναμέμικται γὰρ ἔν τε ταῖς ἀρτηρίαις ἁπάσαις διὰ πολλῶν ὀπῶν ἅμα πνεούσαις ἡ ἀερώδης οὐσία τῷ αἵματι, καὶ κατὰ τὴν καρδίαν οὐδὲν ἧττον, ὡς ἂν σύνεγγυς ὑπαρχούσῃ πάσαις αὐταῖς. Ἄρχεται μὲν οὖν ἡ παρὰ φύσιν αὐτὴ θερμότης ἣν περ καὶ πυρετὸν ὀνομάζομεν, ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων, ἐπινέμεται δὲ καὶ συνδιατίθησι τῷ πεπονθότι τὰ λοιπὰ δύο γένη. ῥάστη μὲν οὖν ἡ ἐκ τῶν ὑγρῶν εἰς τὸ πνεῦμα μετάληψις τῆς θερμότητος, ἧττον δ' ἑτοίμως τῷ πνεύματι συνεκπυροῦται τὰ ὑγρά. καὶ μέν γε καὶ τὸ στερεὸν σῶμα τοῖς ὑγροῖς τε καὶ ἀερώδεσιν, ἑτοιμότερον μεταδίδωσι τῆς θερμασίας, ἢ αὐτὸ παρ' ἐκείνων λαμβάνει. πᾶσα μὲν γὰρ ἡ λεπτομερὴς οὐσία ῥᾷον ἀλλοιοῦται τῆς παχυμεροῦς. ἔστι δὲ λεπτομερεστάτη μὲν ἡ τοῦ ἀέρος, παχυμερεστάτη δὲ ἡ τῶν στερεῶν σωμάτων, ἐν τῷ μεταξὺ δ' ἀμφοῖν, ἡ τῶν ὑγρῶν. οὐδὲν δὲ διαφέρει ἔν γε τῇ παρούσῃ διδασκαλίᾳ, πνεῦμα λέγειν ἢ ἀέρα. διώρισται γὰρ ὑπὲρ αὐτῶν ἀκριβέστερον ἑτέρωθι, νῦν δὲ ἀρκεῖ τό γε τοσοῦτον γινώσκειν ὅπερ οἶμαι καὶ ὁ Ἱπποκράτης ἐνδεικνύμενος ἔλεγε. τὰ ἴσχοντα, καὶ τὰ ἐνισχόμενα, καὶ τὰ ἐνορμῶντα. ἴσχοντα μὲν αὐτὰ τὰ στερεὰ μόρια τοῦ σώματος, ἐνισχόμενα δὲ τὰ ὑγρὰ, ἐνορμῶντα δὲ τὰ πνεύματα προσαγορεύων. ἄρχεται μὲν γὰρ ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων ἡ πυρετώδης διάθεσις. οὐ καταμένει δὲ ἐν τῷ πρώτῳ γένει τοῦ βλαβέντος, ἀλλ' ἐπινέμεται τὰ λοιπὰ δύο, καὶ εἰ μὴ φθάσειε λυθῆναι, συνδιατίθησιν ὡσαύτως κἀκεῖνα τῷ χρόνῳ. τὰ μὲν κεφάλαια τοῦ λόγου ταῦτα, χρὴ ἀποδεῖξαί τε ἅμα τὰ εἰρημένα, καὶ τὰς διαγνώσεις ἑκάστου γένους τῶν πυρετῶν ἐπελθεῖν. εὐθὺς δ' ἀναγκαῖον εἰπεῖν τι καὶ περὶ τῆς γενέσεως αὐτῶν. Ὅτι μὲν οὖν ἐπὶ κόποις καὶ θυμοῖς καὶ λύπαις, ἐγκαύσεσί τε καὶ ἐμψύξεσι καὶ ἀγρυπνίαις καὶ ἀπεψίαις καὶ μέθαις καὶ πλησμοναῖς ὁρῶνται πυρέττοντες ἔνιοι, πᾶσιν ἀνθρώποις ἐστὶν ἤδη τοῦτό γε πρόδηλον, ὑπ' αὐτῆς τοῦ πράγματος τῆς ἐναργείας δεδιδαγμένοις. καὶ μὲν δὴ, καὶ ὅτι λοιμώδους ἀέρος κατάστασις ἤνεγκε πυρετὸν, οὐδὲ τοῦτ' ἀγνοοῦσιν, οἷς μέτεστι συνέσεως, ὥσπερ γε καὶ ὅτι συνδιατρίβειν τοῖς λοιμώττουσιν ἐπισφαλὲς, ἀπολαῦσαι γὰρ κίνδυνος, ὥσπερ ψώρας τινὸς ἢ ὀφθαλμίας. ἐπισφαλὲς δὲ καὶ τοῖς ὑπὸ φθόης συνεχομένοις συνδιημερεύειν, καὶ ὅλως ὅσα σηπεδονῶδες ἐκπνέουσι, ὡς καὶ τοὺς οἴκους ἐν οἷς κατάκεινται δυσώδεις ὑπάρχειν. ἔγνωσται δὲ πρὸς τῆς μακρᾶς πείρας, καὶ ὡς οἱ καταλύσαντες ἔθος γυμνασίων, ἄλλοις τέ τισιν ἁλίσκονται νοσήμασι, καὶ οὐχ ἥκιστα τοῖς πυρετώδεσι. καὶ μέν γε καὶ ὡς ἡ καλουμένη πληθώρα φέρει πυρετοὺς, ἐδέσματά τέ τινα μοχθηρὰ, καὶ φάρμακα, καὶ τὰ περὶ κυνὸς ἐπιτολὴν καύματα, καὶ ἄλλα τινὰ τοιαῦτα, γινώσκεται μὲν ἅπασιν ἀνθρώποις, ὡς ἔπος εἰπεῖν. ἥτις δὲ ἀπ' αὐτῶν ἐν τοῖς σώμασιν ἡμῶν γίνεται διάθεσις, ἀφ' ἧς πυρέττομεν, οὐκ ἔτι γε τοῦτό γε ἴσασιν οὔθ' οἱ πολλοὶ τῶν ἀνθρώπων, οὔτ' ἔνιοι τῶν ἰατρῶν. διττὸν δὲ τὸ γένος τῶν ἀγνοούντων τὰ τοιαῦτα. τὸ μὲν ἕτερον ἀπὸ τῆς ἐμπειρίας μόνης ὁρμώμενον, ὡς οὐδενὸς τῶν ὄντων τῆς φύσεως εὑρεθῆναι λόγῳ δυναμένης. ὁ ἕτερον χορὸς ἀνθρώπων ἐστὶ δοξοσόφων, ἀγνοούντων μὲν ὁμοίως τοῖς προτέροις, οἴησιν δ' ἐπιστήμης ἐχόντων. ἀγνοεῖσθαι μὲν αὐτοῖς συνέβη διὰ τὸ μὴ γεγυμνάσθαι πρότερον ἐν ταῖς λογικαῖς μεθόδοις, ἐξ ὧν γνωρίζεταί τε καὶ διακρίνεται τῶν ἀποδεικτικῶν λημμάτων, τὰ πιθανὰ μὲν οὐδὲν δ' ἀληθὲς οὔθ' εὑρεῖν οὔτ' ἀποδεῖξαι δυνάμενα. τῇ δὲ ἀγνοίᾳ ταύτῃ προσγινομένης ἀλαζονείας, ἔνιοί τινες ἐξ αὐτῶν εἰς τοσοῦτον ἀναισθησίας, ἢ τόλμης ἥκουσιν, ὡς μηδὲ ἅπαντες ἄνθρωποι γινώσκουσι τῇ πείρᾳ δεδιδαγμένοι, μηδὲ ταῦθ' ὁμολογεῖν αἴτια πυρετῶν, ὑπὲρ ὧν ἐν τῷ περὶ τῶν προκαταρκτικῶν ὀνομαζομένων αἰτίων αὐτάρκως διειλεγμένος, οὐδὲν δέομαι τό γε νῦν μεμνῆσθαι τῆς ματαίας φλυαρίας αὐτῶν. οὔτε γὰρ ἀντιλογητικὸν, οὔτε σοφισμάτων ἐπιλυτικὸν ἐνεστησάμην τόνδε τὸν λόγον, ἀλλ' ἐπιστημονικὸν καὶ διδασκαλικὸν, ὑποθέσεις μὲν ἔχοντα τὰς δι' ἑτέρων ἀποδεδειγμένας, διδάσκοντα δὲ τὰς διαφορὰς τῶν πυρετῶν. Αἱ μὲν οὖν ὑποθέσεις αὐτῶν, τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν εἶναι τὰ στοιχεῖα τῶν σωμάτων, καὶ γι-

νεσθαι τὰς πρώτας νόσους ἐπὶ τῇ δυσκρασίᾳ τούτων, ὧν μίαν εἶναι καὶ πυρετὸν, ἐπειδὰν ἐν τῇ καρδίᾳ θερμότης τις γίνεται παρὰ φύσιν. αἱ διαφοραὶ δὲ κατὰ γένος τῆς θερμότητος, ὑπὲρ ὧν ὁ προκείμενος περαίνεται λόγος, ἀπὸ τῆς τῶν ὑλῶν διαφορᾶς ἐλαμβάνοντο τῶν δεχομένων τὴν πυρετώδη θερμασίαν, τριῶν οὐσῶν κατὰ γένος. ἤτοι γὰρ ἐν αὐτῷ τῷ σώματι τῆς καρδίας ἀνάπτεσθαι πρώτην αὐτὴν ἐλέγομεν, ἢ ἐν τοῖς χυμοῖς, ἢ ἐν τῷ πνεύματι. προκατάρχειν δὲ τῆς συστάσεως ἁπάντων τῶν πυρετῶν αἰτίας ἐναργῶς ἅπασι γινωσκομένας, ἃς ὀλίγον ἔμπροσθεν εἴπομεν, ἐφ' αἷς ὁ μὲν ἐμπειρικὸς ἰατρὸς ἐκ τῆς τηρήσεως τι καὶ πρὸς θεραπείαν εὐπορεῖ, ὁ δὲ λογικὸς ἐπὶ τὴν φύσιν αὐτὴν τοῦ πράγματος ἐρχόμενος ἐνδεικτικῶς, ἀπ' ἐκείνης εἴς τε τὴν τῶν ἐσομένων πρόγνωσιν, καὶ εἰς τὴν τῆς θεραπείας εὕρεσιν ὀνίναται, χρώμενος μὲν ἅπασι καὶ τοῖς διὰ πείρας εὑρισκομένοις, προστιθεὶς δὲ αὐτοῖς ἐκ τῆς λογικῆς μεθόδου πολλά. τινὰ μὲν οὖν ἐστὶ τὰ καθ' ἑκάτερον μέρος εὑρισκόμενα, τήν τε ἐμπειρίαν λέγω, καὶ τὸν λόγον, ἑτέρωθι δηλοῦμεν. ἥτις δὲ ὑπὸ τῶν προκαταρκτικῶν αἰτίων ἑκάστου διάθεσις ἐν τῷ σώματι συνίσταται πυρετὸν ἀνάψουσα, νῦν πρόκειται λέγειν. Ἐπεί τοι νῦν ὁρῶμεν, οὐχ ἕνα τρόπον οὔτε γενέσεως οὔτε αὐξήσεως τῆς θερμασίας, ὅτι μὴ δὲ αὐτοῦ τοῦ πυρὸς, ἀλλ' ἤτοι διὰ κίνησιν, ἢ διὰ σῆψιν, ἢ διὰ ὁμιλίαν ἑτέρας θερμότητος, ἢ δι' ἐπίσχεσιν ἀπορροῆς θερμῆς, ἢ δι' ἐπιμιξίαν οὐσίας θερμῆς, ὥσπερ γε ἐκ πηγῆς τινος ἀναζεούσης, ἤτοι γεννωμένης, ὥς γε πρὸς τὴν ἡμετέραν αἴσθησιν, ἢ αὐξανομένης τὴν θερμασίαν, ἀνάγκη πᾶσα καὶ τὰς τῶν πυρετῶν αἰτίας εἰς τοὺς εἰρημένους ἀνάγεσθαι τρόπους. οἷον αὐτίκα ἡ ἔγκαυσις εἴθ' ἡ ἀπὸ τοῦ ἡλίου ἐνέργεια, ταύτην ἔχει τὴν προσηγορίαν, εἴτε τὸ γιγνόμενον ἐν τῷ σώματι πάθος, εἴτε τὸ ἤδη γεγενημένον, ἔστι μὲν δήπου καὶ αὐτὸ τοῦτο παρὰ φύσιν θερμότης, οὐ μὴν ἤδη γέ πω πυρετὸς, εἰ μὴ συνεκθερμαίνῃ τὴν καρδίαν. ἅπαν γέ τοι τοῦτο τὸ γένος τῆς αἰτίας, ἐξ ὁμιλίας γίνεται τοῦ θερμαίνοντος, εἴτε ἥλιος, εἴτε πῦρ, εἴτε φάρμακον εἴη τὸ θερμαῖνον, ἐξωθεν ἁπτόμενον, ἢ πλησιάζον, ἢ ὁμιλοῦν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, ὁ δέ γε θυμὸς οἷον ζέσις τίς καὶ κίνησις σφοδρὰ τῆς θυμοειδοῦς δυνάμεως, ἐν τῷ σώματι τῆς καρδίας αὐτῷ καθιδρυμένης. συνεκθερμαίνεται δὲ αὐτῇ ποτὲ μὲν ἡ τοῦ πνεύματος, ἔστιν ὅτε δὲ ἡ τοῦ αἵματος οὐσία, καὶ ἢν ἐπιτηδείως ἔχοντα τύχῃ πρὸς τὸ τὰ δεξάμενα καταχεῖν ἐπὶ πολὺ τὴν θερμότητα. κἂν τῆς καρδίας ἡ κίνησις καταστῇ, διαμένει ταῦτα παρὰ φύσιν θερμὰ, κἂν τῷ δε πυρέττειν ἀνάγκη τὸν ἄνθρωπον. ὁ μὲν οὖν τοιοῦτος πυρετὸς ἀρχὴν ἔχει τὴν κίνησίν τε καὶ ζέσιν τῆς ἐμφύτου θερμασίας, ὁ δὲ ἐπὶ λύπαις οὐκέτι ζέσιν, ἀλλὰ κίνησιν μόνον, ὁ δ' ἐπὶ κόποις, ἀρχὴν μὲν καὶ αὐτὸς ἔχει κίνησιν πλείονα μυῶν καὶ νεύρων καὶ συνδέσμων καὶ ἄρθρων, ἃ δὴ καὶ πρῶτα θερμαίνεται, διαδίδοται δὲ κατὰ τὸ συνεχὲς ἐντεῦθεν εἰς τὴν καρδίαν ἡ θερμασία, κἂν τούτῳ πυρέττουσιν. ὁ δ' ἐπὶ πυκνώσει τοῦ δέρματος ἀναπτόμενος πυρετὸς, ὁποῖος μάλιστα τοῖς γε στυφθεῖσι καὶ ψυχθεῖσιν εἴωθε συμπίπτειν, ἀθροιζομένης ἐν τῷ σώματι τῆς διαπνοῆς διὰ τὰς ἀπορροὰς, γίνεται. διαπνεῖται μὲν γὰρ ἀεὶ τὰ τῶν ζώων σώματα κατὰ διττὸν τρόπον, ἀπερχομένων μὲν εἰς τοὐκτὸς ὁσημέραι τῶν ἀτμωδῶν καὶ λιγνυωδῶν περιττωμάτων, ἑλκομένης δὲ εἴσω τῆς ἐμψυχούσης τε καὶ ῥιπιζούσης τὸ κατὰ φύσιν θερμὸν ἀερώδους οὐσίας. ἐπειδὰν οὖν αἰτία τις ἰσχυρὰ πυκνώσασα τὸ δέρμα, τὰς εἰρημένας διόδους στεγνώσῃ, πολλάκις μὲν εἰς πληθωρικὴν ἐνέβαλε διάθεσιν, ὅταν ἀτμῶδές τε καὶ χρηστὸν ᾖ τὸ ἀπορρέον, ἔστι δ' ὅτε εἰς πυρετὸν, ὅταν δριμὺ καὶ καπνῶδες εἴη, ἡνίκα μάλιστα κἂν τῷ μηδὲν εἴσω τοῦ σώματος ἕλκεσθαι τὸ ἀναψύχον, ἡ θερμασία συνεπαύξεται. δριμὺ δ' ἀπορρεῖ καὶ καπνῶδες περίττωμα τοῖς ἤτοι φύσει κακοχυμοτέροις, ἢ ἐδέσματα μοχθηρὰ προσφερομένοις, ἢ πολλάκις ἀπεπτοῦσι, καὶ μάλιστα, εἰ ἐπὶ τοῖς τοιούτοις ἐδέσμασιν, ἢ ἰλυῶδες καὶ πηλῶδες, καὶ βορβορῶδες, καὶ τελματῶδες ἢ λιμναῖον ἢ ὁπωσοῦν διεφθαρμένον τε καὶ σεσηπὸς ὕδωρ πίνουσιν. ὡσαύτως δὲ καὶ τοῖς ὑπερπονοῦσιν, ἢ ἀγρυπνοῦσιν, ἢ φροντίζουσιν, ἢ φάρμακα δριμέα συνεχῶς προσφερομένοις. ἐδέσματα μὲν οὖν λέγω μοχθηρὰ, τά τε φύσει τοιαῦτα, καθάπερ κρόμυά τε καὶ σκόροδα, καὶ κάρδαμα καὶ πράσα καὶ κράμβας, ὤκιμά τε καὶ ἀκαλήφας, ὅσα τ' ἄλλα καλοῦσιν ἄγρια, καθάπερ καὶ τὰς λαψάνας παρ' ἡμῖν, τά τε φύσει μὲν χρηστὰ, διὰ σηπεδόνα δέ τινα, τὴν ἰδίαν τοῖς εἰργμένοις, ἢ καὶ μείζονα πολλάκις ἐπικτησάμενα κακίαν, ὥσπερ καὶ πυροὶ καὶ κριθαὶ καὶ τἆλλα γεννήματα σύμπαντα σιτηρὰ, τὰ μὲν ὑπὸ χρόνου μήκους εἰς σηπεδονώδη διάθεσιν ἀχθέντα, τὰ δὲ ὑγρότητος ἐμπλησθέντα διὰ μοχθηρὰν ἀπόθεσιν, ἔνια δὲ καὶ κατὰ τὴν πρώτην γένεσιν ὑπὸ τοῦ ἀέρος εὐθὺς κακωθέντα. τοιαῦτα γοῦν ἐδέσματα καὶ νῦν ἀναγκασθέντες ἐσθίειν πολλοὶ διὰ λιμὸν, οἱ μὲν ἀπέθανον ὑπὸ σηπεδονωδῶν τε καὶ λοιμωδῶν πυρετῶν, οἱ δὲ ἐξανθήμασιν ἑάλωσαν ψωρώδεσί τε καὶ λεπρώδεσιν. ὅταν μὲν οὖν ἀνάμεστον ᾖ τὸ σῶμα τοιούτων χυμῶν, ἔμφραξις δὲ, μὴ δὲ μία κατὰ μηδὲν τῶν σπλάγχνων ᾖ, ἀκωλύτως δὲ διαπνέηται καὶ ἀναψύχηται κατὰ τὸ δέρμα σύμπαν τὸ ζῶον, ὑγιαίνει μὲν, ἀλλ' ἐπίκαιρόν τε, καὶ σφαλερὰν ἔχει τὴν ὑγείαν. ἐπεὶ δ' αὖ δὲ ἤτοι τὸ ἐκτὸς πέρας στεγνωθῇ ἢ ἐμφραχθῇ τὰς ἐν τῷ βάθει διόδους, ἐπὶ μὲν ταῖς στεγνώσεσι, τὸ νῦν εἰρημένον, ἐπὶ δὲ ταῖς ἐμφράξεσι τὸ μετ' ὀλίγον εἰρησόμενον ἔπεται γένος τῶν πυρετῶν. οὐδὲν οὖν θαυμαστὸν οὐδὲ διὰ τί τῶν ἀπεπτησάντων οἱ μὲν ἐπύρεξαν, οἱ δὲ οὔ. τοῖς μὲν ἤδη κακοχύμοις οὖσι καὶ κακῶς διαπνεομένοις, ἢ πονήσασιν ἀκαίρως ἢ λουσαμένοις προπετέστερον, ἕτοιμον πυρέξαι. τοῖς δὲ εὐχύμοις καὶ καλῶς διαπνεομένοις, καὶ ἡσυχάσασι καὶ θάλψασι τὰ κατὰ τὴν γαστέρα καὶ τὸ ἧπαρ, ἀδύνατον πυρέξαι. μένει γὰρ αὐτόθι παρ' αὐτοῖς τὸ διεφθαρμένον κατὰ τὴν γαστέρα καὶ τὸ ἧπαρ, καὶ ἐν τῷ χρόνῳ δὲ πέττεται κατὰ βραχὺ, καὶ γίνεται χρηστὸν, ὥσπερ καὶ τοῖς ἐπὶ κινήσεσι σφοδροτέραις ἀφικνουμένοις ἢ εἰς ἥλιον θερινὸν, ἢ λουτρὸν θερμὸν γλυκέων ὑδάτων, ἀναλαμβάνεται πάντῃ εἰς τὴν τοῦ σώματος ἕξιν τὰ διεφθαρμένα σιτία. οὕτω δὲ καὶ οἷς ἐπῆλθε κάτω τὰ διεφθαρμένα σιτία πυρετὸς οὐκ ἠκολούθησεν, εἰ μὴ κατ' ἄλλην τινὰ αἰτίαν, οἷον εἰ κοπωθεῖσιν ἐπὶ ταῖς πολλαῖς ἐξαναστάσεσιν ἢ φλεγμήνασι τὰ κατὰ τὴν γαστέρα. Κατὰ μέν τοι τὰς ἐμφράξεις τῶν πόρων καὶ σφηνώσεις τῶν χυμῶν, ἀνεβαλόμην γὰρ ἐρεῖν καὶ περὶ τοῦδε, πυρέττει τὰ ζῶα τὸν ἐπὶ σηπεδόνι πυρετόν. ἑτοιμότατα γὰρ σήπεται πάνθ' ὅσα θερμὰ καὶ ὑγρὰ καὶ πολλὰ κατὰ θερμὸν χωρίον, εἰ μὴ τύχῃ διαπνοῆς τε ἅμα καὶ ἀναψύξεως. οὐδὲν οὖν θαυμαστὸν οὐδὲ διά τι πληθώραις ἕπονται πυρετοί. καὶ γὰρ ἐμφράξεις πολλαὶ, καὶ δυσδιάπνευστον ὅλον γίνεται τὸ σῶμα κατὰ τὰς τοιαύτας διαθέσεις. ὥσπερ οὖν

Febris putrida

πέρ ἐστιν ἐπὶ θάτερον πλῆθος τὸ πρὸς δύναμιν, ἐπὶ διαφθορὰν ἀφικνοῦνται ταχέως οἱ χυμοί, μηκέτι κρατούμενοι μηδὲ πεττόμενοι χρηστῶς, ὡς ἂν τῆς κατεργαζομένης αὐτοὺς δυνάμεως ἀσθενεστέρας ὑπαρχούσης. διὰ τοῦτο, καὶ ὅσα γλίσχρα καὶ παχύχυμα τῶν ἐδεσμάτων, νοσωδέστερα. ἐμφραχθῆναί τε γὰρ καὶ σφηνωθῆναι τὸν ἐξ αὐτῶν χυμὸν ἑτοιμότερόν ἐστιν, καὶ τί δή ποτ᾽ οὖν; οὐχὶ ἐπὶ τἀναντία, νοσώδη τὰ λεπτύνοντα καὶ δριμέα; φαίνονται γὰρ ὁμοίως ἁλισκόμενοι πυρετοῖς οἱ πλεονάζοντες ἐν ἑκατέρῳ τῷ γένει διαίτης, ὅτι καὶ πρόσθεν εἴρηται κακόχυμα πάντ᾽ εἶναι τὰ τοιαῦτα. τῷ μὲν οὖν τῆς κακοχυμίας λόγῳ ταῦτα, τῷ δὲ τῆς σήψεως, ὅσα γλίσχρα καὶ παχέα πυρετῶν ἐστὶν αἴτια. καὶ τὰ φλεγμαίνοντα δὲ μόρια, τῆς σήψεως λόγῳ ἀνάπτει πυρετούς. σφηνωθὲν γὰρ ἐν αὐτοῖς τὸ ἐπιῤῥυὲν, ὅταν ἡ φύσει θερμὸν, ὑπὸ τοῦ μὴ διαπνεῖσθαι καλῶς, σήπεται. ὅταν μὲν οὖν ἀκριβῶς ᾖ πικρόχολον τὸ ῥεῦμα, θερμότης ἐρυσιπελατώδης καταλαμβάνει τὸ μόριον. ὅταν δὲ αἱματικὸν, φλεγμονώδης. τὸ δὲ ἐξ ἀμφοῖν μικτὸν, ἢ ἐρυσίπελας γίνεται φλεγμονῶδες, ἢ φλεγμονὴ ἐρυσιπελατώδης. τὸ μὲν ὄνομα παρὰ τοῦ ἐπικρατοῦντος χυμοῦ λαμβάνον, τὴν δὲ ἐπωνυμίαν ἐπικτώμενον ἀπὸ θατέρου. πυρετὸς δὲ ἐπὶ πᾶσι τούτοις ἀνάπτεται τῷ λόγῳ τῆς κοινωνίας. συνεκθερμαίνεται γὰρ ἀεὶ τῷ θερμανθέντι τὸ συνεχὲς, ἄχρις ἂν ἐπὶ τὴν καρδίαν ἡ διάθεσις ἀφίκηται. συνεκθερμαίνεται γὰρ καὶ τοῖς ἄνθραξι τὸ συνεχὲς, ἐπὶ θερμῷ μὲν ἱκανῶς αἵματι, μελαγχολικωτέρῳ δὲ διὰ τὸ καταπεπλῆσθαι, τὴν γένεσιν ἔχουσιν.

Αἱ δὲ θερμότεραι τοῦ περιέχοντος ἡμᾶς ἀέρος καταστάσεις οἷαι περὶ κυνὸς ἐπιτολὴν γίνονται, μάλιστα διὰ μὲν τῆς εἰσπνοῆς, ἄντικρυς αὐτὴν θερμαίνουσι τὴν καρδίαν, ἔξωθεν δὲ περικεχυμέναι τῷ σώματι. σύμπαν αὐτὸ θερμὸν ἀποφαίνουσι, καὶ μάλιστα τὰς ἀρτηρίας, ὡς ἂν ἑλκούσας τι καὶ τῆς οὐσίας αὐτῆς τοῦ περιέχοντος ἀέρος, οἷς ἅπασι συνδιατίθεσθαι τὴν καρδίαν ἀναγκαῖόν ἐστι, καὶ θερμὴν ἀμέτρως γινομένην αὐτὴν πρώτην τε καὶ μάλιστα, τὴν πυρετώδη διάθεσιν ἴσχειν, ἐπιπέμπειν τε παντὶ τῷ σώματι. ἐπὶ δὲ τὰς λοιμώδεις καταστάσεις, ἡ εἰσπνοὴ μάλιστα αἰτία. γίνεται μὲν γάρ ποτε καὶ διὰ τοὺς ἐν τῷ σώματι χυμοὺς ἐπιτηδείους πρὸς σῆψιν ὑπάρχοντας ὅταν ἀφορμὴν τινὰ βραχεῖαν ἐκ τοῦ περιέχοντος εἰς ἀρχὴν πυρετοῦ λάβῃ τὸ ζῶον, ὡς τὰ πολλὰ δὲ ἐκ τῆς ἀναπνοῆς ἄρχεται τοῦ πέριξ ἀέρος ὑπὸ σηπεδονώδους ἀναθυμιάσεως μιανθέντος. ἡ δὲ ἀρχὴ τῆς σηπεδόνος ἤτοι πλῆθός τι νεκρῶν ἐστὶ, μὴ καυθέντων, ὡς ἐν πολέμοις εἴωθε συμπίπτειν, ἢ ἐκ τελμάτων τινῶν, ἢ λιμνῶν ἀναθυμιάσεις ὥρᾳ θέρους. ἔστι δ᾽ ὅτε κατάρχει μὲν ἄμετρος θερμασία τοῦ περιέχοντος ὡς ἐπὶ τοῦ καταλαβόντος Ἀθηναίους λοιμοῦ καθά φησιν ὁ Θουκυδίδης. ἀλλ᾽ ἐν καλύβαις πνιγηραῖς, ὥρᾳ θέρους διαιτωμένων ὁ φθόρος ἐπὶ τὸ σῶμα ἐγίνετο. τῶν δὲ εἶναι τοὺς ἐν τῷ σώματι χυμοὺς ἐκ μοχθηρᾶς διαίτης ἐπιτηδείους εἰς σῆψιν, ἀρχὴ τοῦ λοιμώδους γίνεται πυρετοῦ. τάχα δὲ καὶ ἐπὶ τὸ συνεχὲς ἐξ αἰθιοπίας ἐῤῥύη τινὰ σηπεδονώδη μιάσματα τοῖς ἐπιτηδείως ἔχουσι σώματα βλαβῆναι πρὸς αὐτῶν, αἰτία πυρετοῦ γενησόμενα. χρὴ γὰρ μεμνῆσθαι τούτου ἀεὶ παρ᾽ ὅλον αὐτὸν τὸν λόγον, ὡς οὐδὲν τῶν αἰτίων ἄνευ τῆς τοῦ πάσχοντος ἐπιτηδειότητος ἐνεργεῖν πέφυκεν. ἢ οὕτως ἂν οἵ τ᾽ ἐν ἡλίῳ θερινῷ διατρίψαντες, ἅπαντες ἐπύρεττον, οἵ τ᾽ ἐπὶ πλέον κινηθέντες, ἢ οἰνωθέντες, ἢ θυμωθέντες, ἢ λυπηθέντες. οὕτω δ᾽ ἂν οἶμαι καὶ περὶ κυνὸς ἐπιτολὴν ἅπαντες ἐνόσουν, ἐν τε τοῖς λοιμοῖς ἀπέθνησκον, ἀλλ᾽ ὡς εἴρηται μεγίστη μοῖρα γενέσεως νοσημάτων ἐστὶν ἡ τοῦ μέλλοντος πάσχειν σώματος ἐπιτηδειότης. ὑποκείσθω γοῦν ὡς ἐν παραδείγματι, ἐπὶ μὲν τὸ περιέχον ἐμφέρεσθαί τινα λοιμοῦ σπέρματα, τῶν δ᾽ ὁμιλούντων αὐτῷ σωμάτων τὰ μὲν εἶναι περιττωμάτων παντοίων μεστὰ, ἑτοίμων ἤδη καὶ καθ᾽ ἑαυτὰ σήπεσθαι, τὰ δὲ ἀπέριττα καὶ καθαρὰ, καὶ προσκείσθω τοῖς μὲν προτέροις, ἐμφράξεις τῶν πόρων πολλαχόθεν, καὶ ἡ καλουμένη πληθώρα καὶ βίος ἀργὸς ἐν ἀδηφαγίαις καὶ μέθαις καὶ ἀφροδισίων ἀμέτροις χρήσεσι καὶ ταῖς ἐξ ἀνάγκης ἅπασι τοῖς εἰρημένοις ἀκολουθούσαις ἀπεψίαις. τοῖς δ᾽ ἄλλοις ἅπασι σώμασι τοῖς καθαροῖς καὶ ἀπερίττοις, ὑπαρχέτω πρὸς τοῖς οὖσιν ἀγαθοῖς εὔπνοια μὲν ἅπασι τοῖς πόροις, ἀφράκτοις τε καὶ ἀθλίπτοις ὑπάρχουσι, γυμνάσια δὲ σύμμετρα, καὶ σώφρων δίαιτα, κἄπειτα ἐπὶ ταύταις ταῖς ὑποθέσεσιν, ἐννόησον ὅπως ἑκάτερα τῶν σωμάτων εἰκὸς ἐστὶ διατίθεσθαι, πρὸς τῶν ἀναπνεομένων εἰς αὐτὰ σηπεδονωδῶν ἀέρων. ἆρ᾽ οὐκ εἰκὸς τὰ μὲν εὐθὺς ὑπὸ τῆς πρώτης εἰσπνοῆς ἀρχήν τε τοῦ σήπεσθαι λαμβάνειν, ἐπὶ πλεῖστόν τε προέρχεσθαι κακώσεως, ὅσα δὲ ἀπέριττα καὶ καθαρὰ τὰ μὲν μηδόλως, τὰ δὲ ἐπ᾽ ὀλίγον πάσχειν, ὡς ῥᾳδίαν αὐτοῖς γίγνεσθαι τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον. οὕτω δὲ κἀπειδὰν ἡ ἐπὶ τοῦ ἀέρος κρᾶσις, ἀμέτρως ἐκτραπῇ τοῦ κατὰ φύσιν εἰς ὑγρότητά τε καὶ θερμότητα, λοιμώδη μὲν ἀνάγκη γενέσθαι νοσήματα, πάσχειν δ᾽ ἐν αὐτοῖς μάλιστα, τοὺς ἤδη προπεπληρωμένους ὑγρότητος περιττῆς, ὡς ὅσοις γε συμμέτροις τε πόνοις καὶ βίῳ κεκοσμημένῳ χρῆσθαι, τὸ πάμπαν ἀπαθὴς διαμένει, ἐπὶ πάσας τὰς τοιαύτας διαθέσεις. οὗτος ὁ λόγος ἐφ᾽ ἑνὸς μὲν εἴρηται παραδείγματος, ἀληθεύεται δὲ ὅμως ἐπὶ παντὸς γένους αἰτίας. καὶ ὅστις γε προῄρηται τελέως ἐν αὐτῷ γυμνάσασθαι, τὸ περὶ τῶν προκαταρκτικῶν αἰτίων ἀναγινωσκέτω βιβλίον, ἐγὼ δὲ ἐν τῷ παρόντι μήκους φειδόμενος ἑνὶ κεφαλαίῳ σύμπαντα περιλαβὼν, αὐτοῦ ἀπαλλάξομαι. χρὴ γὰρ ἐφ᾽ ἑκάστου τῶν αἰτίων, ἣ τινι μάλιστα ἐπισκεψαμένους δυνάμει νοσάζειν πέφυκεν, ἑξῆς ἐπισκοπεῖσθαι τὰς ὁμολογούσας τε καὶ ἀντιβαινούσας αὐτῷ διαθέσεις τῶν σωμάτων, εὖ εἰδότα ὡς ταῖς μὲν ὁμολογούσαις, ἑτοίμη βλάβη, ταῖς δὲ ἐναντιουμέναις τε καὶ ἀπομαχομέναις, εἰς ὅσον ἂν ἥκει δυνάμεως καὶ μεγέθους ἡ ἐναντίωσις, εἰς τοσοῦτον ἀπαθείας ὑπάρξει διαμένειν. οἶδα γοῦν ἐγώ γέ ποτε τοιαύτης καταστάσεως γενομένης, οἵαν Ἱπποκράτης ἐν κρανῶνι γενέσθαι φησίν, ἄνθρακας ἐπιδημήσαντας οὐκ ὀλίγους, ὧν ἥ τε γένεσις καὶ ἄλλα συμπάντα καθ᾽ ὃν ἐκεῖνος ἔγραψε τρόπον ἠκριβοῦτο. καὶ μὲν δὴ καὶ ὅσα ἐπὶ τὸ τρίτον τῶν ἐπιδημίων ἐπὶ τῆς λοιμώδους ἔγραψε καταστάσεως, καὶ ταῦτα σύμπαντα καθ᾽ ἑτέραν ὁμοίαν ἐκείνῃ κατάστασιν ὡσαύτως ἐγίνετο. κεφάλαιον δὲ αὐτῆς ἦν, ὡς αὐτὸς ὁ Ἱπποκράτης ἐδήλωσεν, ἡ σηπεδὼν καὶ ἡμεῖς τοῦτο προορῶντες εὐθὺς ἀρχομένης τῆς καταστάσεως, ὅσα μὲν ὑγρὰ τῶν σωμάτων ἑωρῶμεν εὐθὺς ἐκ παντὸς τρόπου ξηραίνειν ἐπιχειροῦμεν, ὅσα δὲ ξηρότερα, τὴν ἀρχαίαν φύσιν ἐπὶ τούτων φυλάττομεν, ὅσα δὲ περιττωματικὰ, καθάρσεσιν ἠξιώμεθα, τὰς δὲ ἐμφράξεις τῶν πόρων ἐξεφράττομεν τε καὶ διεῤῥύπτομεν. ἀλλὰ ταῦτα μὲν ἤδη πως ἔχεται τῆς θεραπευτικῆς μεθόδου, καὶ δῆλον ὅτι δι᾽ ἐκείνης τῆς πραγματείας ἐπὶ πλεῖστον εἰρήσεται, νῦν δὲ ἐπεμνήσθην αὐτῶν ἀκολουθοῦντας τῷ λόγῳ διδάσκοντι καθ᾽ ὅν τινα τρόπον, ὑπὸ μιᾶς αἰτίας δυναστευούσης, ἔνιοι μὲν ἁλίσκονται πυρετοῖς,

ἔνιοι δὲ ἀπαθεῖς διαμένουσιν, αἱ γὰρ τῶν σωμάτων διαθέσεις ἀνόμοιοί τε καὶ πολυειδεῖς ὑπάρχουσαι, τινὲς μὲν εὐνίκητοί τε καὶ παθεῖν ἑτοιμότατοι πρὸς τῆς ἐνεργούσης αἰτίας εἰσί, τινὲς δὲ ἀήττητοι καὶ τὸ πάμπαν ἀπαθεῖς ὑπάρχουσιν, ἢ δυσκόλως πάσχουσιν, εἰς ἀπόδειξιν δὲ τοῦ πράγματος ἐπεγκάθημεν ὑπομνησθῆναι καὶ τῆς θεραπείας, ὅμοιον τι παθόντες Ἱπποκράτει προγράψαντί που κατά τινα τρόπον, ἐκεῖνο τὸ πολυθρύλλητον ῥῆμα, τὸ διαλοῖ δὲ ἡ ἴησις. ἔστιν μὲν οὖν καὶ ἡ προφυλακτικὴ λεγομένη κατά τινα τοιοῦτον τρόπον ἴασις. ἀμέλει καὶ συγκέχυται πολλαχόθι τὰ ὀνόματα παρὰ τοῖς ἰατροῖς. ὥσπερ γοῦν ἐν ἑτέρῳ δέδεικται γράμματι, πᾶν ἔργον ἰατροῦ τῶν περὶ τὸ σῶμα σφαλμάτων ἐπανορθωτικόν ἐστιν. ἀλλ᾽ οὐδὲν εἰς τὰ προκείμενα τῆς τοιαύτης δεῖ λεπτολογίας, εἴτε γοῦν εἰς δύο τέμνεις ὀνόματα, τὸ σύμπαν, ἴασιν καὶ προφυλακήν, εἴτε εἰς ἓν ἄμφω συνάγεις ἴασιν ὀνομάζων, οὐ μικρὸν τεκμήριον ἐστὶ τοῦ μὴ πάσχειν ὁμοίως ὑπὸ τῆς τοιαύτης αἰτίας ἅπαντας ἡ τῶν κωλυθέντων ἁλῶναι τοῖς ἐπιδημίοις τε καὶ λοιμώδεσι νοσήμασι διάθεσις. εἷς μὲν γὰρ καὶ πρῶτος σκοπός ἐστιν ἐπὶ πάντων κοινός, ἀπεριττότατον ὅτι μάλιστα καὶ εὔπνουν εἶναι τὸ σῶμα. δεύτερος δὲ ἐφεξῆς τῷδε ὡς πρὸς τὴν δυνασθεῖσαν αἰτίαν ἀντιμάχεσθαι ὡς δυνατόν. ὅσοις δὲ τἀναντία τούτων ὑπάρχει, τάχιστά τε πάσχουσι καὶ μάλιστα κάμνουσιν. Ἐπεὶ δὲ τῶν λοιμωδῶν ἐμνημόνευσα πυρετῶν ὑπὸ σηπεδόνος ἁπάντων γινομένων, ἄξιον ἐπιστῆσαι τὸν λόγον ἐν τῷδε, διασκέψασθαι περὶ παλαιοῦ δόγματος, ἅπαντα πυρετὸν ἐπὶ τῇ τῶν χυμῶν σήψει φάσκοντος γίνεσθαι. κινδυνεύει γὰρ οὕτω δοξάζειν ὧδε, καὶ ὁ τῶν ἀπ᾽ Ἀθηναίου χορός, ἄνδρες οὐχὶ φαυλότατοι τά τ᾽ ἄλλα τῆς τέχνης, καὶ οὐχ ἥκιστα πυρετῶν ἐπιστήμης, περὶ ὧν κἀγὼ τό γε πλεῖστον αὐτοῖς σύμφημι, πλὴν ἔν τι παρίημι, τοὺς ἐφημέρους ὀνομαζομένους πυρετούς. οὐ γάρ μοι δοκοῦσιν οὗτοι, σήψεσιν ἕπεσθαι χυμῶν, ἀλλ᾽ ὁ μὲν ἐπ᾽ ἐγκαύσει πυρέξας ὑπὸ τῆς τοῦ θάλποντος αἰτίου θερμασίας ἀλλοιοῦσθαι πέφυκε, τῷ δ᾽ ἐπὶ θυμῷ πυρέξαντι καὶ τούτῳ ζέσιν μέν τινα γίνεσθαι τοῦ κατὰ τὴν καρδίαν αἵματος ἀναγκαῖον, οὐ μὴν ἤδη γε καὶ σῆψιν. οὕτω δὲ καὶ τῷ γυμνασαμένῳ πλείονα θερμασίαν ἀνῆφθαι παρὰ φύσιν ἄνευ σήψεως χυμῶν. καὶ ὅστις ἐπυκνώθη τὸ δέρμα, δριμύτερα περιττώματα δι᾽ αὐτοῦ κενούμενος ἀθροισθέντων ἐκείνων, ἐπύρεξεν ἄνευ σηπεδόνος χυμῶν. καὶ μὲν δὴ καὶ οἱ ἐπὶ βουβῶσι πυρετοὶ πάντες κακοί, πλὴν τῶν ἐφημέρων Ἱπποκράτης που φησί, καίτοι καὶ ὁ βουβὼν ἐκ τοῦ γένους ἐστὶ τῶν φλεγμονῶν, καὶ σύμφημι κατά γε τοῦτο τῷ τῆς σήψεως λόγῳ. διὰ τοῦτο γὰρ ἐπὶ ταῖς φλεγμοναῖς πυρέττουσιν, οὐχ ὡς Ἐρασίστρατος ὑπελάμβανεν. ἀλλ᾽ ὅμως εἰσί τινες ἐπὶ βουβῶσι πυρετοὶ τοῦ γένους τῶν ἐφημέρων, ὥσπερ ἕτεροι τινὲς ἀγγέλλουσιν οὐκ εὐμεταχείριστα νοσήματα, φλεγμονῆς ἢ ἕλκους ἢ ἀποστάσεως ἢ τινὸς ἑτέρας τοιαύτης ἐν σπλάγχνῳ διαθέσεως ἔγγονα. διαφέρουσι δ᾽ οἱ ἐπὶ βουβῶσι ἐφήμεροι πυρετοὶ τῶν ἐπὶ ταῖς σήψεσι συνισταμένων, ἤτοι κατά τι σπλάγχνον, ἢ κατὰ κοῖλα, καὶ μέγιστα τῶν ἀγγείων, ὅτι τοῖς μὲν ἐπὶ βουβῶσι συνεκθερμαίνουσιν ἀεὶ τὸ συνεχές, ἡ μὲν θερμασία διαδίδοται μέχρι τῆς καρδίας, οὐκ ἀφικνεῖται δὲ εἰς αὐτὴν ἡ σηπεδονώδης λιγνύς, ἀλλ᾽ αὐτόθι μένει περιγεγραμμένη κατὰ τοῦ βουβῶνος χωρίον, ἀλλοιώσει μόνῃ τῇ κατὰ τὸ συνεχὲς ἐπὶ τὴν καρδίαν ἀφικνουμένης τῆς θερμότητος, ᾧ μάλιστα τρόπῳ κἀπὶ τῶν ἐγκαιομένων τε καὶ κοπουμένων, ἐκ τῶν πρώτων θερμανθέντων, ἐπὶ τὴν ζωτικὴν ἀρχὴν ἡ διάδοσις γίνεται. ἐπὶ δὲ τῆς κατὰ τὰ σπλάγχνα καὶ τὰ μεγάλα τῶν ἀγγείων σηπεδόνος, οἷον καπνὸς ἐκ τῶν σηπομένων χυμῶν εἰς τὰς κοιλίας ἀφικνεῖται τῆς καρδίας. καὶ τοίνυν καὶ σήπεσθαι συμβαίνει τοὺς μὲν ἐν τῷ βουβῶνι χυμοὺς ἀθρόως ἅπαντας, εἴτε κατὰ μίαν ἡμέραν, εἴτε κατὰ δύο συνεχῶς, ἅτε ὁμιλοῦντας τε ἀλλήλοις καὶ κατακεκλεισμένους ἐν ἑνὶ χωρίῳ. τοὺς δὲ κατὰ τὰ σπλάγχνα καὶ τὰ μεγάλα τῶν ἀγγείων ἅτε διαρρέοντας, ἀεὶ καὶ συνδιασηπόντας, ὅσων ἂν ἐφάψωνται χρόνῳ πλείονι τὸ σηπεδονῶδες ἀνάπτειν θερμόν. ἑνὶ δὲ λόγῳ καθάπερ ἐπὶ τῶν ἐκτὸς ἁπάντων, ὅσα θερμαίνεται παρὰ φύσιν ὑφ᾽ ἡστινοσοῦν αἰτίας, εἰ μὴ ἄσηπτον εἴη τὸ θερμανθέν, οἷον ἤτοι λίθος ἢ ξύλον ἤ τι τοιοῦτον ἕτερον, ἄχρι τοσούτου μένει θερμόν, ἄχρι περ ἂν ἀποψυχθῇ κατὰ βραχύ, τὸ δὲ σήπεσθαι πεφυκός, ἐπινεμομένην ἀεὶ κατὰ τὸ συνεχὲς ἴσχει τὴν θερμασίαν. ὥσπερ ποτὲ κατ᾽ ἀγρὸν ἐθεασάμην κόπρον κτηνῶν τε ἅμα καὶ περιστερῶν ἔκ τινος μέρους ὑφ᾽ ἡλίου θερμανθεῖσαν οὕτως ἰσχυρῶς, ὥσπερ παμπόλλην ἀναθυμίασιν ἀφιέναι καπνοῦ δίκην ἀναφερομένην, ἰσχυρῶς δάκνουσαν, καὶ ἀνιῶσαν εἴ τις πλησιάζοι, ὥς τούς τε ὀφθαλμοὺς καὶ τοὺς μυκτῆρας βλάπτεσθαι. ἦν δ᾽ ἄρα καὶ τοῖς ἁπτομένοις ἡ κόπρος οὕτω δή πως θερμὴ ὥστε κατακαίειν τοὺς ἐπὶ πλέον ἐνθέντας αὐτῇ τὰς χεῖρας, ἢ τοὺς πόδας, οὐ μὴν εἰς ἀεί γε τὸ σύμπτωμα τοῦτο παρέμενεν, ἀλλὰ κατὰ τὴν ἑξῆς ἡμέραν ἀπεψυγμένον ἦν, ὅθεν ἀκμαίως ἔζεσε τῆς κόπρου κατὰ τὴν προτεραίαν, τὸ συνεχὲς δ᾽ αὖ τῷδε τὸ τέως ὑποτυφόμενον ἡνίκ᾽ ἀκμὴν εἶχεν ἡ πρώτη ζέουσα, τοῦτ᾽ ἐν τῷδε παρακμάζειν ἐκείνην, αὐτὸ πάλιν ἀνεθερμαίνετό τε καὶ ἀνέζει καὶ ὀλίγον ὕστερον ἤκμαζε, τῆς πρώτης ἀπεψυγμένης, καὶ τοῦτ᾽ αὖθις παρήκμαζεν ὑποτυφομένου τοῦ συνεχοῦς αὐτῷ μέρους, καὶ μικρὸν ὕστερον ἀνῆπτο μὲν ἐκεῖνο καὶ ἤκμαζεν, ἀπέψυκτο δὲ τὸ πρότερον. ἦν δὲ περίοδος αὐτῶν ὁ χρόνος ἡμέρας καὶ νυκτός, ὡς ἀμφημερινοῦ μάλιστα πυρετοῦ παράδειγμα τὸ γινόμενον οἰκειότατον ὑπάρχειν. εἰ δέ γε καὶ δυσὶν ἡμέραις καὶ νυξὶν ἡ εἰρημένη περίοδος ἐγίνετο, παράδειγμα ἦν οὕτω τριταίου πυρετοῦ καὶ μὴν γε καὶ εἰ τρισί, τεταρταίου, καὶ εἰ τέτταρσι πεμπταίου, εἴπερ γε πεμπταῖος τίς ἐστι πυρετός. ἐγὼ μὲν γὰρ οὕτω σαφῶς εἶδον οὔτε ταύτην τὴν περίοδον, οὔτ᾽ ἄλλην τινὰ ἐξωτέρω τῆς τεταρταίας, ἀλλὰ περὶ μὲν τῶν κατὰ τὴν περίοδον παροξυνομένων αὖθις εἰρήσεται. Η δὲ σῆψις τῶν χυμῶν, ἡ ἐν τοῖς ἀγγείοις γινομένη, παραπλησία τῇ κατὰ τὰς φλεγμονὰς καὶ τὰς ἀποστάσεις ἐστί, καὶ τὰ ἄλλα τὰ φύματα, διττὴ μὴ κατὰ γένος. ἐξ ἐπιμιξίας δὲ τῶν δύο γενῶν ἄλλη τις τρίτη ποικίλη κατ᾽ εἶδος, ὅτι καὶ τὸ τῆς μίξεως ἐν τῷδε μᾶλλόν τε καὶ ἧττον ὑπερέχειν τε καὶ ὑπερέχεσθαι θάτερον τῶν γενῶν, οὐκ εὐαρίθμητον ἐστίν, ἀλλὰ τά γε δύο γένη, τὸ μὲν ἕτερον ἐπικρατούσης τῆς φύσεως γίνεται, τὸ δὲ ἕτερον νενικημένης, ἐπικρατούσης μὲν, ὡς ἐπὶ ταῖς φλεγμοναῖς τε καὶ τοῖς φυματώδεσιν ὄγκοις ἅπασι τὸ πύον. ἐν δὲ τοῖς κατὰ τὰς ἀρτηρίας τε καὶ τὰς φλέβας χυμοῖς ἀνάλογον τῷ πύῳ, τὸ τοῖς οὔροις ὑφιστάμενον. ἡ μὲν δὴ τοιαύτη σῆψις, οὐχ ἁπλῶς σῆψις ἐστίν, ἀλλά τι καὶ πέψεως ἔχει. μενούσης γὰρ ἔτι τῆς πεπτικῆς δυνάμεως τῶν ἀγγείων, ὁ διασηπόμενος τέως χυμὸς εἰς τοιαύτην ἀλλοίωσιν ἀφικνεῖται. ἑτέρα δ᾽ ἐστί τις σηπεδὼν ἀρρωστούσης εἰς τοσοῦτον τῆς πεπτικῆς δυνάμεως, ὡς μηδὲ μίαν ἐπὶ τὸ χρηστὸν ἐργάζεσθαι μεταβολὴν τοῦ σηπομένου περιττώματος, ὃ καὶ γί-

ὃ καὶ γίνεται ποτὲ μὲν ἐσχάτως ἀδηφάγους ἐκείνους, κἂν τὸ σηπόμενον μετρίως ᾖ μοχθηρόν. ἔστι δὲ ὅτε τὰ μὲν τῆς δυνάμεως οὐκ εἰς ἔσχατον ἀρρωστίας ἥκει, τὸ δὲ ὑγρὸν ἄκρως μοχθηρὸν ὑπάρχει. τοῦ τοιούτου περιττώματος ἡ σηπεδὼν οὔτε σύστασιν οὔτε χρόαν οὔτε ὀσμὴν ἔχει μίαν, ἀλλὰ κατὰ τὴν οὐσίαν ἀεὶ τὸ σηπόμενον ἐξαλλάττεται καὶ ποικίλλεται. ἡ δὲ ἑτέρα σῆψις ἣν καὶ πέψιν ἔφαμεν ὑπάρχειν εἰς ἓν εἶδος ἀεὶ μεταβάλλει πύου καὶ χρόαν καὶ σύστασιν καὶ ὀδμήν. κρατησάσης μὲν οὖν ἀκριβῶς τῆς φύσεως τὸ κάλλιστον γίνεται πύον, ἰδεῖν μὲν λευκὸν καὶ παχὺ καὶ ὅμοιον ἑαυτῷ πανταχόθεν, λεῖον δὲ ἁπτομένῳ καὶ ἥκιστα δυσῶδες. εἰ δὲ οἷον ἡμίπεπτες εἴη, τὸ τρίτον γένος ἐν τῇ τοιαύτῃ μεταβολῇ ὃ μικρὸν ἔμπροσθεν ἔφαμεν συνίστασθαι. εἴρηται δὲ καὶ ὡς πολυειδέστατόν ἐστι τὸ τοιοῦτον γένος, ἐν γὰρ τῷ μᾶλλόν τε καὶ ἧττον δεδέχθαι τὴν πέψιν ἀναρίθμητος ἡ διαφορά. πολλάκις μὲν γὰρ λευκὸν ἀποτελεσθὲν, ἤτοι δυσῶδές ἐστιν, ἢ λεπτὸν κατὰ τὴν σύστασιν, ἐνίοτε δὲ οὐ λευκὸν ἀλλὰ πελιδνὸν φαίνεται, κἂν τούτοις ἅπασι τὸ μᾶλλόν τε καὶ τὸ ἧττον ἄπειρον. ὅσαι δὲ ἐν τοῖς ἀποστήμασι τῆς σηπεδόνος διαφοραὶ, τοσαῦται κἀν τοῖς ὑπὸ σηπεδόνος ἀναπτομένοις πυρετοῖς, αἱ τῶν ἐμφερομένων τοῖς οὔροις ἰδέαι. τὸ μὲν γὰρ ἄριστον ὅπερ ἐκ τοῦ σηπομένου χυμοῦ, τὴν ἐκ τοῦ περιέχοντος ἀγγείου καταδεξαμένου πέψιν ἀποτελεῖται λευκὴν καὶ λείαν καὶ ὁμαλὴν, καὶ ἥκιστα δυσώδη τὴν ὑπόστασιν ἔχει. τὸ δὲ χείριστον, ἐναντιώτατόν ἐστιν περὶ δὲ κατὰ πάντα. τὸ δ' ἐν τῷ μεταξὺ καθ' ὅσον ἂν ὁποτέρου πλησιαίτερον ὑπάρχει, κατὰ τοσοῦτον χεῖρον ἢ βέλτιον γίνεται. ἀλλὰ περὶ μὲν τῶν τῶν οὔρων διαφορᾶς ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι λέγεται.

Τοὺς δὲ ἐπὶ σήψει χυμῶν ἀναπτομένους πυρετοὺς, ἑτέρους χρὴ νομίζειν τῶν ἐφημέρων. καὶ ἥγε διάγνωσις αὐτῶν, οὐ χαλεπὴ, κἂν τισὶν ἀδύνατος εἶναι δοκεῖ, καὶ τοῖς ἔργοις μυριάκις ἐδείξαμεν ἐπὶ τοῦ πρώτου παροξυσμοῦ, παυσαμένου, λουσάμενόν τε καὶ μετρίως διαιτηθέντα, τῶν συνήθων ἔχεσθαι κελεύσαντες, ὡς οὐκέτι πυρέξοντα, καὶ οὕτως ἀπέβη. ἓν μὲν δὴ καὶ πρῶτον γνώρισμα τῶν ἐφημέρων πυρετῶν, τὸ ἀπό τινος ἄρξασθαι προκαταρχούσης αἰτίας προσφάτου τε καὶ φανερᾶς ἥνπερ ἤδη συνήθως ὀνομάζουσιν οἱ νεώτεροι πάντες ἰατροὶ προκαταρκτικὴν αἰτίαν, ἀλλὰ τοῦτο μὲν εἰ καὶ ἀχώριστόν ἐστι τῶν τοιούτων πυρετῶν, ἴδιον αὐτῶν οὐκ ἔστιν. ἄρχονται γὰρ καὶ τῶν ἄλλων ἔνιοι, φανερᾶς προηγησαμένης αἰτίας. ἀχώριστον δὲ καὶ ἴδιόν τε τῶν οὔρων πέψις ἐστὶν, εὐθέως ἐν τῇ πρώτῃ τῶν ἡμερῶν καὶ πρὸς τούτοις εἰς μέγεθος καὶ τάχος ἐπιδιδόντων τῶν σφυγμῶν ἀξιόλογον, ὡς ἀπολείπεσθαι τῆς ἀναλογίας τὴν πυκνότητα κατὰ τὴν ἐκτὸς ἡσυχίαν. ἔτι τε μᾶλλον ἴδιον, καὶ ἀχώριστον αὐτῶν ἐστι τὸ, μὴ δ' ὅλως εἰς τάχος ἐπιδιδόναι τὴν συστολὴν, ἢ εἰ καὶ ἐπιδιδοίη ποτὲ, μικρότατον εἶναι τοῦτο καὶ δυσγνώριστον καὶ ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν ἐξιστάμενον. ἀλλὰ μὴν καὶ τὸ τῆς θερμασίας ἡδὺ τῶν τοιούτων πυρετῶν ἴδιόν τε ἐστὶ καὶ ἀχώριστον. ἀχώριστον δὲ καὶ ἡ ὁμαλότης καὶ ἄθλιπτος ἀνάβασις ἔν τε τῇ θερμασίᾳ καὶ τοῖς σφυγμοῖς, οὐ μὴν ἴδιόν γε, καὶ γὰρ καὶ τῶν ἄλλων ὑπάρχει τισὶν ὥσπερ γε καὶ τὸ τῆς ἀκμῆς ἐπιεικές. οὐδὲ γὰρ τοῦτο ἴδιον, εἰ καὶ μάλιστα τούτοις ὑπάρχει. καὶ κάλλιόν γε τὰ κοινὰ ταῦτα κατὰ τὰς ἀναβάσεις τε καὶ τὰς ἀκμὰς ἐν περὶ μάλιστα ὑπάρχειν τοῖς ἐφημέροις, ἴδια τίθεσθαι. γένοιτο γὰρ ἂν οὕτως εἰ καὶ μὴ τὸ τοῦ πράγματος εἶδος, ἀλλὰ τὸ κάλλιστόν γε καὶ ἀπηκριβωμένον τῶν τοιούτων πυρετῶν, ἴδιον δὲ ἅμα καὶ ἀχώριστον σημεῖον, ὥσπερ γε καὶ ἡ παρακμὴ μεθ' ἱδρῶτος ἢ νοτίδος ἢ πάντως γε σὺν ἀτμῷ τινὶ χρηστῷ γινομένη, τελείας ἀπυρεξίας ἐκδεχομένης αὐτήν. αὕτη μὲν ἡ κοινὴ διάγνωσις τῶν ἐφημέρων πυρετῶν, ἕκαστον γὰρ αὐτῶν ἴδια κατ' εἶδος ἐν τοῖς ἑξῆς διοριοῦμαι. Τοῦ δὲ ἄλλου γένους τῶν πυρετῶν ὅπερ ἀντιδιαιρεῖται τοῖς ἐφημέροις, οὐδὲν μὲν ὄνομα κοινὸν ἁπάντων ἐστίν. αἱ διαφοραὶ δὲ αἱ πρῶται δύο εἰσὶν οὐκ ἀσαφέσιν ἰδέαις ἀφωρισμέναι. τινὲς μὲν γὰρ αὐτῶν ἐπὶ σήψει χυμῶν ἀνάπτονται, τινὲς δὲ αὐτὰ κατειλήφασι τὰ στερεὰ τοῦ ζώου μόρια, καὶ καλοῦσιν αὐτοὺς ἑκτικοὺς πυρετοὺς, εἴθ' ὅτι μόνιμοί τέ εἰσι καὶ δύσλυτοι καθάπερ αἱ ἕξεις, εἴθ' ὅτι τὴν ἕξιν τοῦ σώματος αὐτὴν κατειλήφασιν. οὕτω γὰρ εἰώθασιν ὀνομάζειν τὰ στερεὰ τοῖς ὑγροῖς ἀντιδιαιρούμενοι. Αἱ διαγνώσεις δὲ τῶν ἐπὶ χυμοῖς αἱ τοιαίδε. πρώτη μὲν ἁπασῶν οὐκ ἀχώριστος μὲν, ἴδιος δὲ τὸ μηδὲν τῶν προκαταρκτικῶν αἰτίων ἡγήσασθαι τῶν τοιούτων πυρετῶν, οὐδετέρῳ γὰρ τῶν ἄλλων γενῶν τοῦθ' ὑπάρχει, διὰ τὸ, τοὺς ἐφημέρους ἅπαντας ἐπὶ ταῖς προκαταρκτικαῖς αἰτίαις συνίστασθαι, τοὺς δ' ἑκτικοὺς, ὅταν ἄνευ τούτων γένωνται, μηδέποτε ἐξ ἀρχῆς εἰσβάλλειν, ὥσθ' ὅταν ἄνευ προκαταρχούσης αἰτίας ὑπάρξηταί τις πυρέττειν, εἰδέναι τούτου τὴν αἰτίαν τοῦ πάθους, ἐν τοῖς χυμοῖς ὑπάρχειν. ἔστι μὴν ὅτε προκαταρξαμένη τις αἰτία φανερὰ, τὸν ἐφήμερον, ὅσον ἀφ' ἑαυτῆς συνεστήσατο πυρετὸν, διεδέξατο δ' αὐτὸν ὁ ἐπὶ σήψει χυμῶν ὅταν οὕτως ἔχει τὸ πάσχον σῶμα, τουτέστιν, ὅταν ἀκάθαρτόν τε καὶ περιττωματικὸν ὑπάρχῃ. θερμανθέντα γὰρ ἐπὶ πλέον ἐν τοῖς ἐφημέροις πυρετοῖς τὰ περιττώματα, κἄπειτ' ἀρχὴν σηπεδόνος ἐντεῦθεν λαβόντα θάτερον εἶδος ἀνῆψε τῶν πυρετῶν, ἐπὶ περὶ προτέρῳ παυσαμένῳ. διάγνωσις δὲ τῆς διαδοχῆς μία μὲν ἴδιός τε ἅμα καὶ ἀχώριστος ἁπάντων, τὸ μὴ τελευτῆσαι τὸν ἐφήμερον πυρετὸν εἰς ἀπυρεξίαν ἀκριβῆ. συμβαίνει μὴν, ἔστιν ὅτε, καὶ κατ' αὐτὴν τὴν ἀκμὴν ἐφημέρων πυρετῶν, ἐμφαίνεσθαί τι τῆς μεταπτώσεως, καὶ πολὺ δὴ μᾶλλον ἐν ταῖς παρακμαῖς, ὅταν ὅπερ ὀλίγον ἔμπροσθεν ἐλέγομεν, ἐν περὶ μάλιστ' εὐφόρως τετάχθαι, τοῦτ' ἀπῇ. ταῦτά τοι μὲν μεταπτώσεως σημεῖα. τὸ δ' ἀπὸ ῥίγους ἄρξασθαι τὸν πυρετὸν, οὔτ' ἐγκαύσεως, οὔτε κατὰ ψύξεως ἰσχυρᾶς προηγησαμένης, ὁποῖαι μάλιστα τοῖς διὰ χιόνος ὁδοιπορήσασι συμπίπτουσι, ἢ ἄλλως ἐν ἰσχυρῷ κρύει διατρίψασιν ἐπὶ πλέον, ἴδιον ἐστὶ καὶ αὐτὸ, τῶν ἐπὶ σηπεδόνι χυμῶν ἀναπτομένων πυρετῶν, οὐ μὴν ἀχώριστόν γε. οὐ γὰρ ἅπασιν αὐτοῖς ὑπάρχει, καθάπερ οὐδὲ αἱ φρῖκαι. αὗται μέν γε οὐ μόνον οὐκ εἰσὶν ἀχώριστοι τῶν τοιούτων πυρετῶν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἴδιαι. τὸ δὲ τῆς ἀνωμαλίας τῶν σφυγμῶν, καὶ τῆς θερμασίας, εἴτ' ἐν ταῖς εἰσβολαῖς, εἴτ' ἐν ταῖς ἀναβάσεσι γίγνοιντο, τοῦ γένους μὲν ἐστὶ τῶν τοιούτων πυρετῶν ἴδιον, οὐ μὴν ἀχώριστόν γε οὐδ' αὐτό. πολλοὶ γὰρ καὶ χωρὶς ἀνωμαλίας αἰσθητῆς εἰσβάλλουσί τε καὶ ἀναβαίνουσιν ἐπὶ τὴν ἀκμήν. ἔτι δὲ δὴ μᾶλλον οὐδὲ τὸ, πολλὰς οἷον εἰσβολὰς ἴσχειν τοὺς παροξυσμοὺς, ὅπερ ἐπιπαροξύνεσθαι καλοῦμεν, ὥσπερ γε καὶ τὸ τῆς θλίψεως τῶν σφυγμῶν, οὕτω δὲ ὀνομάζουσιν, ὅταν ἀρχομένου τοῦ παροξυσμοῦ μικροὺς ἱκανῶς ἔχωσι καὶ ἀνωμάλους αὐτοὺς, οὐ δ' αὐτὸ τῶν τοιούτων πυρετῶν ἀχώριστον, οὐ μὴν οὐδὲ κοινόν ἐστιν ἑτέρῳ τινὶ γένει πυρετῶν, ἀλλ' ἴδιον ἐξαίρετον τούτων, ὥσπερ καὶ τὸ τῆς ἀνωμαλίας, ὅταν γε μὴ κατά τι σύμπτωμα γίνεται. πολλάκις γὰρ αὐτῷ στόματι τῆς κοιλίας

ἠθροισμένου τινὸς χυμοῦ μοχθηροῦ, καὶ δάκνοντος ἢ ψύχοντος αὐτὰ, μικροί τε ἅμα καὶ ἀνώμαλοι γίνονται. πλεονάζει μὲν ἐπὶ μὲν τῶν ψυχόντων ἡ μικρότης, ἐπὶ δὲ τῶν δακνόντων ἡ ἀνωμαλία, ἀλλὰ ἐμεσάντων γε, ταῦτ᾽ ἄμφω παραχρῆμα καθίσταται. ὅτε δὲ οὐδὲν ἡ γαστὴρ πέπονθε τοῦ γένους τῶν προκειμένων εἰσὶ πυρετῶν οἱ τοιοῦτοι σφυγμοί. μέγιστον δὲ γνώρισμα τῶν ἐπὶ σήψει πυρετῶν ἐστι, καὶ ἡ τῆς θερμασίας ποιότης, οὐδὲν γὰρ ἔχει χρηστὸν, οὐδὲ μέτριον, οὐδ᾽ ὅμοιόν τι τῶν ἐφημέρων, ἀλλὰ ὥσπερ εἴρηται καὶ τοῖς ἀρίστοις τῶν πρὸ ἡμῶν ἰατρῶν δακνώδης πώς ἐστι μᾶλλον, ὡς ἀνιᾷν καὶ διαβιβρώσκειν τὴν ἁφὴν, ὥσπερ ὁ καπνὸς τοὺς ὀφθαλμοὺς καὶ τοὺς μυκτῆρας, ἀλλ᾽ ἐν μὲν ταῖς ἐπιβολαῖς τῶν παροξυσμῶν, ὡς ἂν ἔτι καταπνιγομένου τε τοῦ θερμοῦ, καὶ συνειργομένου ἔνδον τῶν περιττωμάτων, οὐκ εὐθέως ἐπιβαλλόντων τὴν χεῖρα διαγινώσκεται, χρονισάντων δὲ τὸ εἰρημένον εἶδος τῆς θερμότητος, ἐκ βάθους ἀναφέρεται. καί μοι δοκεῖ τοιοῦτόν τι κατιδὼν Θεμίσων, ἴδιόν τε καὶ ἀχώριστον, ὑπάρχειν ἅπασι τοῖς πυρέττουσιν ὑπειλήφειν. ἀλλὰ περὶ μὲν τούτου, ἐν οἰκείῳ τοῦ λόγου χωρίῳ καὶ αὖθις σκεψώμεθα. τὸ δ᾽ εἰρημένον εἶδος τῆς θερμασίας, τὸ λιγνῶδες, ὡς ἂν εἴποι τις, ἢ διαβιβρώσκον, ὥσπερ τι φάρμακον δριμὺ τὴν ἐπιβαλλομένην χεῖρα, σηπεδόνος ἐστὶ χυμῶν ἔγγονον, ἐναργῶς μὲν ταῖς ἀναβάσεσί τε καὶ ταῖς ἀκμαῖς τῶν πυρετῶν φαινόμενον, οὐκ ἐναργῶς, οὐδ᾽ εὐθέως, ἐν ταῖς εἰσβολαῖς. ἴδιον δὲ ἀχώριστον ἐστὶ τοῦ γένους τῶν ἐπὶ χυμοῖς ἀναπτομένων πυρετῶν, καὶ τὸ τάχος τῆς τῶν σφυγμῶν συστολῆς, ἐναργέστερον μὲν ἐν ταῖς ἐπιδόσεσι φαινόμενον, οὐκ ἀσαφὲς δὲ οὐδὲν ταῖς εἰσβολαῖς τε καὶ ταῖς ἀκμαῖς. σύνεστι δ᾽ αὐτοῖς, κατὰ μὲν τὰς ἀρχὰς, ὁ μικρός τε ἅμα καὶ ὁ ταχὺς σφυγμὸς, ἔν τε ταῖς ἀκμαῖς ὁ μέγας τε ἅμα καὶ ταχύς. οὕτω δὲ καὶ ἡ κατὰ τὴν ἐκτὸς ἠρεμίαν πυκνότης, ἐναργὴς ἐστιν ἐν τοῖς τοιούτοις πυρετοῖς, οὔτε τοῖς ἐφημέροις, οὔτε τοῖς ἑκτικοῖς ὅμοιος ὑπάρχουσα. ἴδιον δὲ ἐν τοῖς μάλιστα τῶν τοιούτων πυρετῶν ἐστι, καὶ ἡ τῶν οὔρων ἀπεψία, καὶ ἡ ἀμυδρὰ δὲ πέψις ἴδιόν ἐστι γνώρισμα τῶν ἐπὶ χυμοῖς πυρετῶν. οὔτε γὰρ ἄπεπτον, οὔτε ἀμυδρῶς πεπεμμένον ἐν τοῖς ἐφημέροις φαίνεται. ἑκάτερον μὲν αὐτῶν ἴδια λεγόμενον, ἴδιον ἐστὶ γνώρισμα τῶν ἐπὶ χυμοῖς πυρετῶν. ἅμα δ᾽ ἄμφω λεγόμενα κατὰ τὸ συνδεδυασμένον, ἀξίωμα, παντάπασιν ἀχώριστα. περὶ γοῦν τούτων γένος τῶν πυρετῶν, τὰ πρῶτα τῶν οὔρων, ἤτοι παντάπασιν ἄπεπτα, ἢ ἀμυδρῶς πεπεμμένα συνεισβάλλει. μέγα δὲ καὶ ἀξιόλογον γνώρισμα πέψεως ἐν τοῖς πρώτοις οὔροις, οὐδέ ποτε φαίνεται κατὰ τοὺς τοιούτους πυρετοὺς, ἀφωρισμένης τῆς ἐκ τῶν εἰρημένων μεταπτώσεως ὑπὲρ ἧς ἔμπροσθεν ἔφαμεν. ἐπὶ δὲ τοῖς εἰρημένοις γνωρίσμασι τῶν προκειμένων πυρετῶν, ἐστὶ καὶ τὸ, κατὰ τὴν ἀκμὴν τοῦ παροξυσμοῦ προσδεῖξαί τι σύμπτωμα καυσώδους πυρετοῦ, καὶ μέντοι γε καὶ τὰ τῶν ἠπιάλων καὶ λειπυριῶν εἰ φανείη συμπτώματα, καθάπερ οὖν καὶ τὰ τῶν ἡμιτριταίων, ἢ τυφωδῶν, ἤ τινος ἄλλου τοιούτου πυρετοῦ, ἅπερ ἴδια μέν ἐστι τοῦ γένους τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν, οὐ μὴν ἀχώριστά γε, καὶ διὰ τοῦτο μὴ παρόντων μὲν αὐτῶν, ἐξ ἑτέρων ἡ διάγνωσις, εἰ παρείη δὲ, οὐ μόνον τοῦ γένους τῶν τοιούτων πυρετῶν, ἀλλὰ καὶ τινὸς εἴδους ἑνὸς ἐξ αὐτῶν ἐστι δηλωτικά. καὶ μὲν δὴ καὶ τὸ μὴ παύσασθαι τὴν παρακμὴν εἰς ἀπυρεξίαν, εἴτ᾽ οὖν μεθ᾽ ἱδρῶτος, εἴτε καὶ ἄλλου γένους διαφορητικοῦ, ἤτοι μεταπτώσεώς ἐστιν ἴδιον, εἰ τὰ πρόσθεν ἅπαντα τῶν ἐφημέρων εἴη γνωρίσματα. † εἰ δὲ μηδὲν τούτων εἴη τῶν ἐπὶ χυμοῖς ἕνα πυρετῶν εὐθέως ἐξ ἀρχῆς εἰσβάλλειν ἐνδείκνυται. εἰ δέ ποτε φανείη σκληρὸς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ὁ σφυγμὸς, ἐπισκέπτεσθαι πότερα πῆξίς τις ἐκ ψύξεως, ἢ ξηρότης, ἢ τάσις σπασμώδης, ἐν τῷ σώματι τοῦ κάμνοντος, ἢ φλεγμονή τις, ἢ σκίρρος ἐστὶν, εὖ εἰδότας ὡς ἐπὶ τούτοις μόνοις ὁ σφυγμὸς γίνεται σκληρός. Ἀρχηγένης γοῦν ὅσα πλημμελεῖ περί τε τὴν ἔννοιαν καὶ τὴν διάγνωσιν τοῦ σκληροῦ σφυγμοῦ, διὰ τῆς περὶ τῶν σφυγμῶν πραγματείας αὐτάρκως ἐπιδέδεικται, ἧς δηλονότι τὸν ὁμιλήσαντα τοῖς δὲ τοῖς γράμμασιν ἐμπειρίαν ἔχειν ἀναγκαῖόν ἐστι, καὶ μάλιστα τῆς διαγνωστικῆς. τὰ μὲν γοῦν ὀνόματα τῶν σφυγμῶν καὶ τὰ σημαινόμενα πρὸς αὐτῶν ἅπαντα, καὶ τὸν ἀριθμὸν σύμπαντα, διὰ μιᾶς ἐξηγησάμεθα πραγματείας, ἣν περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν ἐπιγράφομεν. ὅπως δ᾽ ἕκαστον χρὴ διαγινώσκειν ἐν ἑτέρᾳ πραγματείᾳ λέγεται διὰ βιβλίων τεττάρων, ἣν περὶ διαγνώσεως σφυγμῶν ἐπιγράφομεν, ὥσπερ γε καὶ τὴν ἐξῆς αὐτῇ τετράβιβλον ἑτέραν, τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐποιησάμεθα, καὶ τετάρτην ἐπὶ ταῖς εἰρημέναις, περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, οὐ λόγῳ μόνῳ, ἀλλὰ καὶ τοῖς ἔργοις αὐτοῖς ἐπιδειξάμενοι τῆς τοιαύτης θεωρίας τὸ χρήσιμον. καὶ εἴ τις ἡμῖν ἐπ᾽ ἀρρώστων παρεγένετο, τὴν τῶν βιβλίων θεωρίαν ἔργῳ διαδεικνυμένοις, οὗτος ἐπείσθη τά τε ἄλλα, καὶ ὡς οὐκ ἔστιν οὔτ᾽ ἴδιος, οὔτ᾽ ἀχώριστος τῶν πυρετῶν τούτων ὁ σκληρὸς σφυγμός. ἀλλ᾽ οὐ νῦν περὶ τούτου καιρός. ἔν τε γὰρ ταῖς εἰρημέναις πραγματείαις, καὶ δι᾽ ἑτέρας ὀκτὼ βιβλίων, καθ᾽ ἣν ἐπισκοπούμεθα τὸ περὶ τῶν σφυγμῶν Ἀρχιγένους βιβλίον, αὐτάρκως ἐπιδέδεικται τὰ τοιαῦτα συμπτώματα, νυνὶ δὲ ὅσον εἰς τὰ παρόντα χρήσιμον εἰρήσεται. ὁ σκληρὸς σφυγμὸς οὐκ ἔστιν οὔτ᾽ ἴδιος, οὔτ᾽ ἀχώριστος, οὐδενὸς γένους πυρετῶν, οὔτε τῶν ἐφημέρων, οὔτε τῶν ἐπὶ χυμοῖς, οὔτε τῶν ἑκτικῶν. σύνεστι δὲ ὡς τὰ πολλὰ μὲν τοῖς ἑκτικοῖς, ἔστι δὲ ὅτε καὶ τοῖς ἄλλοις δύο γένεσι κατά τι σύμπτωμα. τοῖς μὲν ἐφημέροις ἐπειδὰν ἐπ᾽ ἐμψύξει σφοδρᾷ πυρέττωσιν, εἴ τις αὐτοῖς συνυπάρχει τάσις νευρώδης. ἔστι δ᾽ ὅτε καὶ δι᾽ ἔγκαυσιν ἰσχυρὰν, ἢ κόπον ἅμα, ἢ ἔνδειαν τροφῆς, ἢ ἀγρυπνίαν ἀμετρον, ἢ κένωσιν, ὅταν ἐπ᾽ ἐνδείᾳ τροφῆς καὶ ταῦτα συστῇ. τοῖς δὲ ἐπὶ σήψει χυμῶν σκληρὸς ὑπάρχει σφυγμὸς, ἐπειδ᾽ ἂν ἤτοι φλεγμαίνῃ τι σπλάγχνον, ἢ σκιρρωθῇ. καὶ κατὰ σύμπτωμα δέ τι συνόν, ἤτοι νευρώδη τινὰ τάσιν, ἢ ξηρότητα, γένοιτ᾽ ἂν καὶ οὕτως σκληρὸς ὁ σφυγμὸς, ὥσπερ καὶ τοῖς ἀκαίρως πιοῦσι ψυχρὸν, ἢ λουσαμένοις ἐν ψυχρῷ, καί τινας ὀπώρας προσενηνεγμένοις δαψιλῶς. κατ᾽ αὐτὸν δὲ τὸν τοῦ πυρετοῦ λόγον ὁ πυρετός ἐστιν, οὐδέ ποτε γίνεται σκληρὸς ὁ σφυγμὸς, οὔτε τοῖς ἐφημέροις πυρετοῖς, οὔτε τοῖς ἐπὶ σήψεσι χυμῶν, οὐδὲ γὰρ ὅταν ἐπὶ φλεγμονῇ πυρέττωσι, κατὰ τὸν αὐτὸν λόγον ὅ τε πυρετὸς ἕπεται, καὶ ἡ τοῦ σφυγμοῦ σκληρότης, ἀλλὰ ὁ μὲν πυρετὸς, ἐπὶ σήψει τῶν χυμῶν. ἡ δὲ σκληρότης, ἐπὶ τῇ διὰ τὴν συμπλήρωσιν τῶν ἀγγείων τάσει, συλλήβδην γὰρ εἰπεῖν, ἡ σκληρότης τοῖς χιτῶσι τῶν ἀρτηριῶν ἐγγίγνεται, ἢ διὰ πῆξιν, ἢ τάσιν, ἢ † ξηρότητα. πῆξιν μὲν οὖν αἱ ἰσχυραὶ καταψύξεις ἐργάσονται. τάσιν δὲ αἵ τε φλεγμοναὶ, καὶ οἱ σκίρροι, καὶ ἡ τῶν νεύρων ἀνάλογος φλεγμοναῖς διάθεσις. ξηρότητα δὲ αἵ τε ἀγρυπνίαι (?) αἱ πολυχρόνιοι, ἢ διὰ ῥεῦμα γαστρὸς, ἢ λειεντερίαν, ἢ δυσεντερίαν, ἢ ἐμέτους μακροὺς, ἤ τι τοιοῦτον ἕτερον. ὅτε πολυχρόνιος λιμὸς, εἴτε καυσώδεις τῶν

πυρετῶν

† al. περὶ μηδὲν

† al. σκληρότητα

πυρετῶν οἱ μακροί, καὶ τὸ σύμπαν εἰπεῖν, ὅσοι ξηραίνουσιν ἰσχυρῶς αὐτοῦ τοῦ ζώου τὰ μόρια τὰ στερεά, καθάπερ οὖν καὶ οἱ ἑκτικοὶ πυρετοί. περὶ ὧν ἤδη λέγειν καιρός, ἀπὸ τῆς γενέσεως αὐτῶν ἀρξαμένους. Γίνονται τοίνυν οἱ ἑκτικοὶ καλούμενοι πυρετοὶ κατὰ διττὸν τρόπον, ὡς τὰ πολλὰ μὲν ἐπὶ τοῖς καυσώδεσιν, ἤτοι μηκυνθεῖσιν εἰς τοσοῦτον, ὡς ἐκδαπανῆσαι τῷ χρόνῳ τὴν ἰκμάδα τοῦ τῆς καρδίας σώματος, ἢ καὶ μὴ ὄντος ἔτι συχνῆς. ἐκεῖνοι μὲν οὖν οὐχ ἑκτικοὶ μόνον εἰσίν, ἀλλὰ ἤδη καὶ μαρασμώδεις. οἱ δ' ἔτι μενούσης τῆς ὑγρότητος γιγνόμενοι, τὸ σῶμα τῆς καρδίας αὐτὸ καταλαβόντες, ἐντεῦθεν ἀνάπτονται μάλιστα, καθάπερ ἡ τῶν λύχνων φλόξ, ἐκ τῆς θρυαλλίδος. ἡ μὲν δὴ μία γένεσις αὐτῶν εἴρηταί μοι. ἡ κατάλοιπος δ' ἐστίν, ὅταν ἐξ ἀρχῆς εὐθέως εἰσβάλλωσι τὴν πρώτην γένεσιν ὁμοίαν ποιησάμενοι τοῖς ἐφημέροις ἐπὶ λύπῃ καὶ θυμῷ καὶ κόπῳ πλείονι μετ' ἐγκαύσεως ἅμα γινομένῳ. τούτους μὲν οὖν τοὺς πυρετοὺς οὐ χαλεπόν ἐστιν ἰᾶσθαι, τοὺς δ' ἐξ αὐτῶν εἰς μαρασμὸν ἀφικομένους ἀμαθίᾳ τῶν ἐπιστατούντων ἰατρῶν, οὐ μόνον οὐ ῥᾴδιον, ἀλλὰ οὐδὲ δυνατόν ἐστιν ἰᾶσθαι συστάντας γε ἀκριβῶς ἤδη, καὶ μηκέτ' ἀρχομένους. ἡ γάρ τοι φύσις αὐτῶν ἐστι ξηρὰ καὶ θερμή, παραπλήσιόν τι πασχούσης τῆς καρδίας, οἷόν περ ἡ θρυαλλὶς ἐν τοῖς λύχνοις ἐπειδὰν ἐπὶ πλεῖστον ἐκκαυθῇ. θρύπτεται γὰρ ἡ οὕτω φρυγεῖσα καὶ διαλύεται, καὶ τὸ συνεχὲς ἀπόλλυσιν ὑπὸ κραυρότητος, ὡς μηδ' εἰ παραχέοις ἄφθονον ἔλαιον ἀναφθῆναι δύνασθαι φλόγα δαψιλῆ. περιασπαίρεται τοιγαροῦν ἐν αὐτῇ ἡ μικρὰ καὶ ἄτονος φλόξ, ἀεὶ καὶ μᾶλλον ἐλάττων γιγνομένη, μέχρι περ ἂν ἀποσβεσθῇ. ὁ μὲν ἀκριβῶς μαρασμώδης πυρετὸς τοιοῦτός ἐστιν, οὐ ταυτὸν ὑπάρχων νόσημα τῷ πάθει τῷ μαρασμῷ. τοῦτο μὲν γάρ, ἐπί τε τῶν γηρασάντων γίνεται χωρὶς πυρετοῦ, σβεσθείσης αὐτοῖς τῆς ἐμφύτου θερμότητος, ὅπερ δὴ καὶ μάλιστα θάνατος ἄλυπος ἐστὶ καὶ κατὰ φύσιν ὑπὸ ξηρότητι συνιστάμενος, ὥσπερ γε καὶ τῶν παρὰ φύσιν μαραινομένων ἐκεῖνο τὸ εἶδος, ὃ προσαγορεύει Φίλιππος ἐκ νόσου γῆρας, εἰς ὃ πολλοὺς εἴδομεν οὐ πρεσβύτας μόνον, ἀλλὰ καὶ παῖδας ἐμπεσόντας, ὁ δὲ μαρασμώδης πυρετὸς οὐ ξηρὸν μόνον, ἀλλὰ καὶ θερμόν ἐστι πάθος. ἀποσβέννυται δὲ κατὰ τοῦτο, πολὺ θᾶττον ἢ ἐν τῷ ζώῳ θερμότης, καὶ μαραίνεται σύμπαν τὸ σῶμα, δίκην δένδρου καταξηρανθέντος ἐσχάτως, ἤτοι διὰ χρόνου μῆκος, ἢ διὰ φλογὸς γειτνίασιν, ἢ σφοδρὸν καὶ ἄμετρον αὐχμόν, ἀλλὰ περὶ μὲν ὅλης τῆς μαρασμοῦ διαθέσεως, ὁποία τίς ἐστιν ἰδίᾳ γέγραπται. Τῶν δ' ἑκτικῶν πυρετῶν, ἐπειδὴ διττόν ἐστι τὸ εἶδος, ὡς ἄρτι διώρισται, τὰς διαγνώσεις ἐφεξῆς λέγωμεν. ὁ μὲν δὴ συνεμπίπτων τῷ μαρασμῷ πυρετὸς ἑκτικὸς ἑτοιμότατός ἐστι, καὶ προχειρότατος γνωσθῆναι. πρὶν μὲν γὰρ ἅψασθαι τῶν τε σφυγμῶν καὶ τῆς θερμασίας, ὀφθαλμοὺς κοίλους ἀμέτρως θεάσῃ, καθάπερ ἐν βόθροις τισὶν ἐγκειμένους, ἐξ ἀπωλείας ἁπάσης αὐτῶν τῆς ὑγρᾶς οὐσίας, ὡς καὶ τῶν ὀστῶν οἷς ἐπιπέφυκε τὰ βλέφαρα φαίνεσθαι τὰς ἐξοχάς. καὶ μὴν καὶ λῆμαι κατ' αὐτοὺς ἐμφαίνονται ξηραί, καί τις αὐχμώδης διάθεσις, οἵα μάλιστα τοῖς πολλὴν διελθοῦσι κόνιν δι' ὅλης ἡμέρας ἐν ἡλίῳ θερμῷ. ἀπόλωλε δὲ καὶ τῆς χρόας αὐτὸ τὸ ζωτικὸν ἄνθος, τοῦτο μέν γε καὶ τῷ προσώπῳ παντὶ συμβέβηκε, καὶ τῆς ἄμετρος αὐχμὸς ἐμφαίνεται, τοῦ τε δέρματος ἅπαντος τοῦ περὶ τὸ πρόσωπον, καὶ μάλιστα τοῦ κατὰ τὸ μέτωπον, ὡς διὰ † ξηρότητα, σκληρόν τε εἶναι καὶ περιτεταμένον, οὐ μὴν οὐδ' ἀνατείνειν ἐπὶ πλέον οἷοί τε εἰσὶ τὰ βλέφαρα, παραπλησίως τοῖς νυστάζουσιν ἀεὶ διακείμενοι. καὶ μέντοι καὶ μύουσιν ὡς τὰ πολλά, καθάπερ ὑπνώττοντες, ἔστι δ' οὐχ ὁ ὕπνος αὐτῶν τὸ πάθος, ἀλλ' ἐγρηγόρσεως ἀδυναμία. ἐκτετήκεσαν δὲ καὶ αἱ σάρκες αἱ κατὰ τοὺς κροτάφους, ὡς φαίνεσθαι συμπεπτωκότα καὶ κοῖλα τὰ χωρία. καὶ τί γὰρ ἄλλο, ἢ ὀστᾶ καὶ δέρμα τὸ σύμπαν εἰσίν. ὥστ' εἰ καὶ γυμνώσας αὐτούς, ἐπισκέπτῃ τὰ κατὰ τὴν γαστέρα, δόξει σοι μηδὲ τῶν ἐντέρων τι, μήτε τῶν σπλάγχνων μηδὲν ἀποσώζεσθαι, καὶ τὸ ὑποχόνδριον ἀνεσπᾶσθαι σφοδρῶς εἰς τὸν θώρακα. εἰ δὲ καὶ ἅψασθαι βουληθείης αὐτῶν, τὸ μὲν δέρμα καρφαλέον ἐσχάτως ἐστί, καὶ εἰ ἀνατείναις ἐπιλαβόμενος τοῖς δακτύλοις, ὥσπερ βύρσα τις ἵσταται. ὁ δὲ σφυγμός, ἰσχνὸς καὶ σκληρὸς καὶ ἀμυδρὸς καὶ πυκνός, ἡ θερμασία τε κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν ἀμυδρά, μετ' ὀλίγον δέ, τότε δριμὺ καὶ τὸ διαβρωτικὸν ἐνδείκνυται, καὶ μᾶλλον ἣν ἐπὶ πλέον ἐγχρονίσῃς ἁπτόμενος. οὐδὲν ἔτι χρὴ τῶν λοιπῶν μνημονεύειν γνωρισμάτων, ἐν οὕτω σαφεῖ πράγματι. βέλτιον γὰρ ἐπὶ τὸν ἀρχόμενον ἔτι μαρασμὸν ἀπάγειν τὸν λόγον. ἄρχεσθαι δὲ λέγω τὸν μαρασμόν ὅταν ἡ σύμφυτος ὑγρότης, ἡ ἐν ἑκάστῳ σώματι περιεσπαρμένη κατὰ τὰς μεταξὺ χώρας τῶν ὁμοιομερῶν, ἐξ ἧς πρότερον ἐτρέφετο τὰ μόρια, κινδυνεύῃ, μηκέτ' εἶναι κατὰ τὸ τῆς καρδίας σῶμα. μέχρι μὲν γὰρ τοῦ σώζεσθαί τι ταύτης, ἑκτικὸς μόνον ὁ πυρετός ἐστιν, οὐ μὴν ἤδη γέ πω καὶ μαρασμώδης. ὅταν δὲ εἰς κίνδυνον ἥκῃ τοῦ μηκέτ' εἶναι τῆς τοιαύτης ὑγρότητος μηδέν, ὁ ἀκριβὴς ἤδη μαρασμὸς συνίσταται. χαλεπὴ μὲν οὖν καὶ ἡ τῶν ἑκτικῶν ἁπάντων πυρετῶν ἐστι διάθεσις, ὅταν γε τὸν τῆς ἀρχῆς χρόνον ὑπερβῶσιν. ὁρίζω δὲ τὴν ἀρχὴν οὐχ ἡμερῶν ἢ ὡρῶν ἀριθμῷ, καθότι μηδ' ἐν τοῖς ἄλλοις νοσήμασιν, ἀλλὰ τῷ ποιῷ τῆς διαθέσεως. ἐν γὰρ τῷ πρῶτον ἐκτρέπεσθαι τῆς κατὰ φύσιν εὐκρασίας τὸ σῶμα τῆς καρδίας, οὔθ' ἡ σύμφυτος ὑγρότης ἀπόλωλεν εὐθέως, οὔθ' ἡ δύναμις ἀῤῥωστεῖ, ἀλλὰ πρῶτον μὲν οἷον ζέσις τις γίνεται τῆς ὑγρότητος, ἐν ᾧ δὴ καιρῷ ῥᾷστον ἰᾶσθαι τὸν τοιοῦτον πυρετόν, ὡς ἂν μηδὲν τῆς δυνάμεως ἤδη πεπονθυίας. ἐφεξῆς δὲ καὶ δαπάνη τις ἐπὶ τῇ ζέσει, καὶ ταύτης ἐπὶ πλέον ἤδη προερχομένης, καὶ αὐτὰ τὰ ὁμοιομερῆ σώματα, τὰ οἷόν περ στοιχεῖα τῆς καρδίας, ξηρότερα τε καὶ ἀτροφώτερα γίγνεται, καὶ ἡ δύναμις ἄῤῥωστος εἰς τοσοῦτον, εἰς ὅσον περ ἂν ἥ τε ξηρότης ἐν αὐτῇ κρατῇ καὶ ἡ θερμότης, ὧν ἤρκει καὶ θάτερον ἐπικρατῆσαν, ἄτονον ἐργάσασθαι δύναμιν. ὁ τοιοῦτος πυρετός, ἤδη πως ἐπαμφοτερίζει, καὶ μέσος ἐστί, τοῦ τ' ἀνιάτου παντάπασιν ἐκείνου τοῦ μαρασμώδους, καὶ τοῦ μικρὸν ἔμπροσθεν εἰρημένου τοῦ κατ' ἀρχάς, ἔτι ῥᾷστου θεραπεύεσθαι. πλάτη δ' ἐστί. κἂν τούτῳ πάμπολλα. διότι καὶ τῆς διαθέσεως αὐτῆς οὐκ ὀλίγη τις ἡ παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον ὑπάλλαξις. ὁ μὲν οὖν ἴσον ἀπέχων ἑκατέρων τῶν πυρετῶν, τοῦ τ' ἀκριβῶς ἤδη μαρασμώδους, καὶ τοῦ μηδέπω μηδὲν ἔχοντος τοιοῦτον, μέσος πως ἐστὶ καὶ πρὸς τὴν ἴασιν, ἀμφίδοξον ἔχων τὴν ἐφ' ἑκάτερα ῥοπήν. ὁ δ' ἐγγυτέρω τοῦ μαρασμώδους, ἤδη κινδύνῳ πελάζει, καθάπερ καὶ ὁ θατέρου τοῦ πρώτου πλησίον, οὐκ ὀλίγας ἔχει σωτηρίας ἐλπίδας. ἐξῆς οὖν ἐπὶ τὰς διαγνώσεις αὐτῶν ἰτέον καὶ πρώτου γε τοῦ λύεσθαι δυναμένου ῥᾳδίως, ἢν μὴ περιπέσῃ τινὶ τῶν πολλῶν τοιούτων ἰατρῶν. ἔστι δὲ μόνος μὲν ὑφιστάμενος, οὐ χαλεπὸς ἐπιγιγνωσκέσθαι, συνεπισπώμενος δὲ τινὰ τῶν ἐπὶ σήψει χυμῶν, δυσφώρατος ἤδη γίγνεται διὰ τὴν ἐπιμιξίαν. ὑπο-

†al. σκληρότητα

καίεσθαι δὲ πρῶτος αὐτὸς μόνος, ἐπί τινι τῶν προειρημένων αἰτίων συνιστάμενος, καὶ φαίνεσθαί γε κατὰ τὴν πρώτην ἡμέραν, ἅπαντα ἐπ᾽ αὐτοῦ τὰ γνωρίσματα τῶν ἐφημέρων πυρετῶν τοῦ γένους. συνεμφαίνεται μὲν οὖν αὐτοῖς εὐθέως, καὶ ἡ ἰδέα τοῦ προκατάρξαντος αἰτίου. καὶ λεχθήσεται καὶ περὶ τοῦ λόγου προϊόντος. ἀλλὰ καὶ πυνθανομένους αὐτοῦ τοῦ κάμνοντος, ἔνεστι μαθεῖν, εἰ τὰ ἄλλα διακείμενος ἀμέμπτως, ἐπὶ μόνῳ τῷ θυμωθῆναι σφοδρῶς, ἢ λυπηθῆναι, πυρέττειν ἤρξατο. καὶ εἰ φαίνοιτο ταῦθ᾽ οὕτως ἔχοντα, καὶ παρατείνοιτο κατὰ τὴν δευτέραν ἡμέραν ὁ πυρετός, μήτ᾽ εἰς ἀπυρεξίαν ἀναπαυόμενος, ἀλλὰ μηδὲ σφοδρότερος γινόμενος, αὐχμηρότερος γε φαινόμενος ὑποπτεύειν ἑκτικὸν ἔσεσθαι τὸν τοιοῦτον. εἰ δὲ κἂν τῇ τρίτῃ τῶν ἡμερῶν ἄσιτος ὑπερβαλεῖν ἐθελήσειε τὰς ὑποπτευομένας ὥρας τοῦ διὰ τρίτης παροξυσμοῦ, καὶ μήτε προσθήκη τις γένοιτο, μήτε ἀφαίρεσις ἀξιόλογος, ἀλλὰ τὸ τοῦ πρώτου πυρετοῦ λείψανον τὸ σμικρὸν ἐκτείνοιτό τε καὶ παραμένει σὺν αὐχμηρῷ τῷ σώματι, καὶ τῇ θερμασίᾳ κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς ἐπιεικεῖ φαινομένῃ, χρονιζόντων δὲ δριμείᾳ καὶ δακνώδει καὶ αὐχμηρᾷ περιαπτούσῃ, τὸν τοιοῦτον πυρετὸν ἑκτικὸν ὑπολαμβάνειν εἶναι. μέγιστον δέ σοι καὶ ἀναμφισβήτητον ἔσται γνώρισμα τῆς φύσεως αὐτοῦ, θρέψαντι τὸν ἄνθρωπον ἡνίκα μάλιστα δοκεῖ βεβαίως ὑπερβεβηκέναι τὰς ὑπόπτους ὥρας ἁπάσας. εὐθέως γὰρ ἐπὶ τῇ τροφῇ μετὰ μίαν ὥραν ἢ δευτέραν ἅπασι τοῖς ἁπτομένοις τοῦ κάμνοντος ἑτέραν ἐπίδοσιν ὁ πυρετὸς ἐσχηκέναι δόξει. καὶ τις καὶ τοῖς δοῦσι τὴν τροφὴν ὡς ἀκαίρως θρέψασιν ἐγκαλέσει, καὶ ὡς κατ᾽ αὐτὰς μάλιστα τὰς ὥρας τοῦ παροξυσμοῦ, καὶ ὡς χρῆν ἐπὶ πλείω χρόνον ἐπιμετρῆσαι, καὶ ὡς ὑστερήσειεν ἡ ἐπισημασία. τὸ δ᾽ οὐχ οὕτως ἔχει. πᾶσι γὰρ τοῖς ἑκτικοῖς πυρετοῖς ἴδιον ἀχώριστον ὑπάρχει, τὸ τροφῆς προσενεχθείσης, ἀνάπτεσθαι μὲν τὴν θερμασίαν, ἐπιδιδόναι δὲ τὸν σφυγμὸν εἰς μέγεθος καὶ τάχος, ὡς ἄλυπτον δοκεῖν ἐπισημασίαν γεγονέναι. προσαγορεύω δὲ ἄθλιπτον, ἐν ᾗ μήτε φρίκη τις ἐγένετο, μήτε περίψυξις τῶν ἄκρων, μήθ᾽ οἷον εἰς ὕπνον τις καταφορά, μήτε νωθρότης τις ἐπίσημος, ἢ ἀνωμαλία τις ὅλως, ἤτοι κατὰ τὴν θερμασίαν, ἢ κατὰ τοὺς σφυγμούς. ἔτι δὲ μᾶλλον οὐδὲ σμικρότης, οὐδ᾽ ἀμυδρότης, οὐδ᾽ ἄλλο τι τῶν τοιούτων οὐδέν, ἀλλ᾽ ὡς ἂν καὶ ἄλλῳ τινὶ τραφέντι, μείζων αὐτίκα καὶ θάττων σφυγμὸς ἀποτελεσθείη. γίνεται μὲν οὖν ποτε καὶ κατ᾽ ἄλλους τινὰς πυρετούς, ἄθλιπτος ἀνάβασις, καὶ ὅσον γε ἐπὶ τούτου, δόξειεν ἂν οὐκ εἶναι αὐτῶν ἑκτικῶν ἴδιον ἀχώριστον σύμπτωμα. διαφέρει μὲν οὐκ ὀλίγον, εἰ τὸ σύμπαν ἄθροισμα τῶν εἰρημένων γνωρισμάτων ἐπιβλέπεις, ἐν μὲν γὰρ τοῖς ἄλλοις ἅπασι πυρετοῖς αἱ τοιαῦται εἰσβολαὶ ἄθλιπτοι γίνονται χωρὶς τοῦ τραφῆναι, κατὰ δὲ τοὺς ἑκτικοὺς πᾶν τὸ ἐναντιώτατον, οὐδ᾽ ὅλως ἐπισημασία γίνεται κατ᾽ οὐδένα χρόνον. ἀλλ᾽ εἷς ἐστι συνεχὴς πυρετὸς ὥσπερ ὁ καλούμενος ἰδίως σύνοχος. ἀλλ᾽ ἐκεῖνος μὲν ὥσπερ τινὰ φλόγα παμπόλλην ἀπαντῶσαν ἔχει τοῖς ἐπιβάλλουσι τὴν χεῖρα, πρὸς τῷ καὶ τοὺς σφυγμοὺς ταχίστους καὶ πυκνοτάτους καὶ μεγίστους ὑπάρχειν αὐτῷ. κατὰ δὲ τοὺς ἑκτικοὺς πυρετοὺς οὔτε πλῆθος ἀπαντᾷ θερμασίας, οἵ τε σφυγμοὶ τοσοῦτον μικρότεροι καὶ ἀραιότεροι καὶ βραδύτεροι τῶν ἐν τοῖς συνόχοις εἰσίν, ὅσονπερ καὶ τὰ τῆς θερμότητος ἐλάττω, κοινὸν μὲν οὖν ἁπάντων τῶν ἑκτικῶν πυρετῶν βληχροῖς τε εἶναι καὶ ἴσοις διὰ παντός, ἀπὸ τῆς πρώτης ἀρχῆς ἕως τῆς ἐσχάτης τελευτῆς. ἴδιον δὲ τοῖς τῶν μαρασμῶν συγγένεσιν ἡ ξηρότης, ἐπεί τοι πολλάκις ἄνευ ξηρότητος ἑκτικοὶ συνίσταντται πυρετοί, μὴ μεταπίπτοντες εἰς μαρασμόν, οἷοι καὶ νῦν ἐγένοντο παμπόλλοις ἐν τῷ λοιμῷ τῷ μεγάλῳ. τῶν μὲν οὖν συνόχων διαφέρουσιν, ὡς εἴρηται, οἱ ἑκτικοὶ πυρετοί. τῶν δὲ ἄλλων τῶν ἀθλίπτους ἐχόντων τὰς ἐπισημασίας, αὐτῷ μάλιστα τούτῳ διαφέρουσι, τῷ θλῖψιν μέν τινα πάντως ἐκείνοις προγίγνεσθαι τραφεῖσιν ὑπὸ τὴν εἰσβολὴν τοῦ παροξυσμοῦ. τοῖς δ᾽ ἑκτικοῖς τὴν οἷον ἄθλιπτον ἐπισημασίαν, ἐπὶ ταῖς τροφαῖς συμπίπτειν, οὐκ οὖσαν μὲν ὡς ὀλίγον ἔμπροσθεν εἶπον ἐπισημασίαν, ἐξαπατῶσαν δὲ τοὺς ἀγυμνάστους περὶ τὰ τοιαῦτα, τῷ τε πλήθει τῆς θερμασίας, καὶ τῷ μεγέθει καὶ τῷ τάχει τῶν σφυγμῶν. ἐναργέστερον δὲ κατὰ τὴν ἑξῆς ἡμέραν ὁ τοιοῦτος ἐπιγνωσθήσεται πυρετός, ἐπιμελέστερον ἔτι παραφυλαξάντων ἡμῶν, ἄχρι πόσου παραμένει τὰ μετὰ τὸ τραφῆναι τὸν ἄνθρωπον ἔν τε τοῖς σφυγμοῖς ἀλλοιωθέντα, καὶ περὶ τὴν θερμασίαν, εὑρεθήσεται γὰρ ἄχρι τοσούτου ἀλλοιοῦσθαι τὰ φαινόμενα σύμπαντα σαφῶς, ἄχριπερ ἂν ἡ ἀπὸ τῆς τροφῆς ἀνάδοσίς τε καὶ πρόσθεσις ὑγραίνηται τὸν αὐχμὸν τῆς καρδίας, εἶτ᾽ αὖθις εἰς τὴν ἐξ ἀρχῆς κατάστασιν ἐπανερχόμενα, τὴν πρὸ τοῦ τραφῆναι τὸν ἄνθρωπον. εἰ τοίνυν ἐν ἑτέρῳ καιρῷ θρέψειας αὐτὸν ἐν τῇ μετὰ ταύτην ἡμέρᾳ, καὶ πάλιν ἐν ἑτέρῳ κατὰ τὴν ἑξῆς, εὑρήσεις ὃ λέγω γινόμενον, αὐξανομένην μὲν ἐπὶ τῇ τροφῇ τὴν θερμασίαν, ἀλλοιουμένους δέ, ὡς εἴρηται τοὺς σφυγμούς. ἔοικε γὰρ αὐτοῖς συμβαίνειν, οἷον τι κἀπὶ τῆς τιτάνου καὶ τῶν λίθων τῶν διατεθερμασμένων. εἰ γὰρ καὶ ψυχρότατον ὕδωρ αὐτῶν καταχέεις πολὺ θερμότεροι φαίνονται, τρεφομένης ὡς ἔοικε τῆς αὐχμώδους ἐν αὐτοῖς θερμασίας ὑπὸ τῆς ὑγρᾶς οὐσίας. ἥτις μὲν οὖν ἐστιν ἡ αἰτία δι᾽ ἣν τοῦτο γίγνεται, τῶν φυσικῶν προβλημάτων ἐστίν, ὅτι δὲ οὕτως γίγνεται μαθεῖν ἔνεστιν ἅπαντι τῷ πειραθῆναι βουληθέντι. λαβὼν γοῦν ἐπὶ τὴν χεῖρα βῶλον τιτάνου, καταφρονεῖ τῆς αὐτῆς θερμασίας, καὶ οὐκ αἰσθάνεται. εἰ δὲ ἀποτιθέμενος χαμαὶ καταχέεις αὐτῆς ὕδωρ, ὄψει μὲν αὐτίκα μάλα θερμαινομένην τε καὶ οὕτω ζέουσαν, ὥσπερ οἱ λέβητες, ὅταν ὁμιλήσωσι παμπόλλῃ φλογὶ θεάσῃ. δὲ καὶ ἀτμὸν οὐκ ὀλίγον ἀναφερόμενον ἀπ᾽ αὐτῆς, εἰ δὲ καὶ ἅψασθαι τολμήσειας ἐν τῷ δὲ καυθήσῃ ῥᾳδίως, οὕτως ἄρα πρός γε τὴν αἴσθησιν ἡ ὑγρὰ θερμότης οὐκ ὀλίγῳ τινὶ τῆς ξηρᾶς ἐναργεστέραν ἔχει τὴν δύναμιν, ὅτι δὲ ξηρὰ θερμότης ἐστὶν ἡ κατὰ τοὺς ἑκτικοὺς πυρετοὺς οἷς ἕπεται μαρασμός, ἔνεστί σοι κἀντεῦθεν μαθεῖν, οὐδεὶς ἐξ ἀρχῆς εὐθέως ἑάλω τοιούτῳ πυρετῷ τῶν ὑγρὰν ἐχόντων τὴν ἕξιν τοῦ σώματος, ἀλλ᾽ ὅσοι καὶ φύσει ξηρότεροι, καὶ μάλιστα εἰ σὺν τούτῳ, θερμοὶ τὴν κρᾶσιν εἶεν, εἵλοντό τε βίον ἐν πόνοις καὶ ἀγρυπνίαις καὶ φροντίσι καὶ διαίτῃ λεπτῇ τούτοις εἴωθεν εὐθὺς ἐξ ἀρχῆς εἰσβάλλειν ἑκτικὸς πυρετὸς ἐπὶ θυμοῖς ἢ λύπαις. ἔτι δὲ καὶ μᾶλλον εἰ θέρους ὥρα συμπίπτοι, καὶ κατάστασις θερμὴ καὶ ξηρά, καὶ χωρίον τοιοῦτον. ὅρος δὲ τῆς ἀρχῆς αὐτοῦ, τὸ ὑπὲρ τὸν χρόνον ἐν ᾧπερ οἱ ἐφήμεροι διὰ παρακμῆς ἐπιεικοῦς εἰς ἀπυρεξίαν ἔρχονται, πρὸς τὸ μηδὲν αὐτοῖς γίγνεσθαι τοιοῦτον,

θαι τοιοῦτον, ἐναργῶς ἐπιτείνεσθαι τὴν ξηρότητα. τότε γὰρ πρῶτον ὑποχωρήσας τῶν ἐφημέρων, ἑκτικὸς ἤ-
δη γίνεται. τῆς δ' οἷον αὐξήσεως τε καὶ τελείας συμπληρώσεως αὐτοῦ, ὅρος ἕτερος ἐστὶν, ὁ κατὰ τὴν τρίτην
ἡμέραν παροξυσμός. εἰ γὰρ ὡς ὀλίγον ἔμπροσθεν εἴρηται κατὰ τήνδε μήτ' εἰσβάλλει τις ἕτερος παροξυσμὸς
μήτ' ἀπύρεκτος ὁ κάμνων γένοιτο, τῆς ξηρότητος ἐπιτεινομένης αὐτῷ βεβαίως, ὁ τοιοῦτος ἤδη τῶν ἑκτικῶν ἐστί·
καὶ προϊόντος δὲ τοῦ χρόνου μαρασμώδης ἔσται ταχέως, σφυγμός τε, ἀμυδρός τε ἅμα καὶ σκληρὸς γένηται. εὐ-
θὺς δὲ δή που καὶ μικρὸς ἐξ ἀνάγκης τοιοῦτος ἐστὶν καὶ πυκνός, οὐ μὴν διὰ ταῦτά ἐστι μαρασμώδης, ἀλλὰ
διὰ τὴν ἀμυδρότητα καὶ σκληρότητα. γίνεται γὰρ ἡ μὲν ἀμυδρότης ἐπὶ ἰσχυραῖς τῆς καρδίας δυσκρασίαις. ἡ
δὲ σκληρότης ἐπὶ ταῖς ξηρότησιν, ἢν δὲ δὴ ταῦτα τὴν καρδίαν καταλάβῃ τὰ παθήματα, πυρέττειν ἀνάγκη
τὸ ζῶον ἐν τῷδε μαρασμώδη πυρετόν. εἰς δὲ τὸν αὐτὸν τοῦτον ἐμπίπτουσι πυρετόν, ἐκ τῶν ὀξέων τε καὶ καυσω-
δῶν οἱ πλεῖστοι τῶν κακῶς ἰατρευθέντων, καὶ μάλισθ' ὅσοι δέονται, ὕδατος πιεῖν ψυχροῦ, πρὸς τὸ μὴ πιεῖν, ἐστὶ δ'
ἄλλο τι ψυκτήριον ἴαμα τοῦ θώρακος καὶ τῶν ὑποχονδρίων ἔχον. εἰ δὲ δὴ πρὸς τῷ μὴ δὲ τούτων τι χρῆν, ἔτι καὶ τοῖς
διὰ μέλιτος ἐπιπλεῖστον ἐχρήσαντο καταπλάσμασιν, ἃ νῦν ἐπιπολάζει, ἐπιπλέον μαρανθῆναι τούτοις ἑτοίμως,
καθ' ἁπλῶς πυρέττειν, εἴτ' ἐφ' ἥπατος ἢ γαστρὸς φλεγμονῇ. μάλιστα γὰρ ἐν δὴ ταύταις ταῖς φλεγμοναῖς οὐκ
ὀρθῶς θεραπευομέναις, ἕπονται μαρασμοί. ὥστε τινὲς ᾠήθησαν οὐδ' ἄλλως δύνασθαι γενέσθαι τὸ τοιοῦτον πά-
θος, οὐκ εἰδότες ὡς οὔτε τούτων οὐδέτερον, οὐδ' ἄλλο τι σπλάγχνον ἢ μόριον, οὔτε μαρασμὸν, οὔθ' ὅλως ἑκτικὸν
οὐδένα πυρετὸν ἀπεργάζεται, πρὶν ὡς εἴρηται παθεῖν τὴν καρδίαν. ἄρχεται δὲ τὸ πάθος αὐτῇ, ποτὲ μὲν ἐξ
αὐτοῦ, ὡς ἐπὶ θυμοῖς καὶ λύπαις ἰσχυραῖς καὶ μακραῖς. ἐνίοτε δ' ἐπὶ τοῖς καυσώδεσι πυρετοῖς. ἐστὶν ὅτε δὲ ἐπὶ τοῖς
κατὰ πνεύμονα καὶ θώρακα πάθεσι καὶ μάλιστα ἐμπυήμασι τε καὶ φθόαις. ὥσπερ δὲ ἐπὶ τούτοις, οὕτως ἐπὶ
γαστρὶ καὶ ἥπατι καὶ ἁπλῶς εἰπεῖν ἁπάσαις ταῖς χρονιζούσαις φλεγμοναῖς ἐπὶ κυρίοις μέρεσιν ἅμα ξηρό-
τητι, τοῦ γε σύμπαντος ζώου καὶ μάλιστα τῆς καρδίας. ἐγὼ γοῦν οἶδα καὶ κώλου φλεγμονῇ χρονισάσῃ μα-
ρασμὸν ἀκολουθήσαντα καὶ στομάχου καὶ κύστεως καὶ νεφρῶν. ἐγίνοντο δὲ τινὲς οὐχ ἥκιστα καὶ τῶν δυσεντερι-
κῶν ἐν τοιούτῳ πυρετῷ, φλεγμηνάντων αὐτοῖς δηλονότι τῶν ἐντέρων. καὶ λειεντερίαις δὲ καὶ διαρροίαις μακραῖς,
ὅταν ἤτοι γε εὐθέως ἀπ' ἀρχῆς, ἢ ἐν τῷ χρόνῳ προϊόντι πυρετὸς συμπέσῃ βληχρὸς, ἕπονται μαρασμοί, καὶ ἁ-
πλῶς εἰπεῖν, ὅταν ἤδη προεξηρασμένον τὸ τῆς καρδίας σῶμα, τὴν πυρετώδη θερμότητα καταδέξηται δυσ-
λύτως, διὸ καὶ μέγιστόν ἐστι γνώρισμα πυρετῶν ἑκτικῶν αἱ ἀρτηρίαι θερμότεραι φαινόμεναι τῶν πέριξ σω-
μάτων, ὅπερ αὐταῖς οὐ συμβαίνει κατὰ τοὺς ἄλλους πυρετούς. ἔτι δὲ ἐναργέστερον γίνεται τὸ σύμπτωμα λουσα-
μένων, ἢ ἄλλως ὁπωσοῦν ἀραιωθέντων, ὡς ἰκμάδα τε τινὰ προχυθῆναι καὶ διαπνεῦσαι τὴν θερμότητα. σύμ-
μετρος μὲν γὰρ ἡ ἐν τοῖς ἄλλοις ἅπασι μέρεσι θερμασία φαίνεται μετὰ τὰς τοιαύτας διαπνοάς· ἐστὶν δὲ τῆς ἐμ-
προσθεν ἐλάττων, ἢ ἐν ταῖς ἀρτηρίαις. μάλιστα δ' αὐτῆς ἐστὶν ἀκριβῶς αἰσθάνεσθαι, κατὰ τὰς διαστολὰς τῶν σφυγμῶν,
οἵ τινες οὐδ' αὐτοὶ μεταβάλλουσιν ἐπὶ ταῖς εἰρημέναις διαπνοαῖς, ἀλλὰ διαμένουσιν ὅμοιοι τὰ πάντα. μόνος μὲν
οὖν συνιστάμενος ὁ ἑκτικὸς πυρετὸς εὔδηλος ἐστὶν, ἀνθ' ἁπλῶς ἑκτικὸς ἄν τε καὶ ἅμα μαρασμώδης ὑπάρχῃ. σὺν
ἑτέρῳ δέ τινι, χαλεπώτερον ἤδη γινώσκεται καθάπερ ὁ ἔναγχος, ἐπί τινος γυναικὸς γινόμενος, ὃ δι' ἡμέρας μόνον
ἀλλὰ καὶ διὰ νυκτὸς, οὐκ ἀσαφῶς παροξυνόμενος. ἐλάνθανε γὰρ ὁ μαρασμώδης πυρετὸς ἅπαντας τοὺς ἐπι-
σκοπουμένους ἰατροὺς οἰομένους χρῆναι μήτ' ἀρχὴν εἰσβολῆς αἰσθητὴν εἶναι τοῖς ἑκτικοῖς πυρετοῖς, μήτε ἀνάβα-
σιν, μήτε ἀκμήν, ὡς οὐκ ἐνδεχόμενον ἑκτικῷ πυρετῷ συμπλακῆναι τινὰ τῶν ἐπὶ χυμοῖς. ἀλλ' ἡμῖν γε κἀπὶ
ταύτης γυναικὸς, εὐθέως ἐν ταῖς πρώταις ἡμέραις ἐγνωρίσθη. ἑκατέρα γὰρ τῶν ἐπισημασιῶν ἥτε δι' ἡμέρας
καὶ νύκτωρ γινομένη, βραχυχρόνια μὲν ἐποιεῖτο τὰ μέρη τοῦ παροξυσμοῦ, καὶ πολλάκις γε καὶ μετὰ νοτίδος τι-
νος ἢ ἀτμώδους διαπνοῆς, ἐλύετο σαφῶς οὕτως, ὡς εὔκρατον ἁπτομένοις φαίνεσθαι τὸ σῶμα. τὰ δὲ κατὰ τὰς
ἀρτηρίας σημεῖα τὰ μικρὸν ἔμπροσθεν εἰρημένα διὰ παντὸς ἔμενεν, οὔτε ἀναψυχομένων αὐτῶν ὁμοίως τοῖς
ἄλλοις μορίοις, οὔτε τὸ τάχος ἢ τὴν πυκνότητα τῆς κινήσεως ἐκλυουσῶν. ἅπερ οὖν εἴρηταί μοι καὶ δι' ἑτέρων
ἤδη πολλάκις, εἰρήσεται καὶ νῦν, ὡς οὐ χρὴ τὰς περιόδους τε καὶ ἀναλογίας τῶν παροξυσμῶν ἐπισκοπεῖσθαι
μόνον, ἀλλὰ πολὺ πρότερον αὐτὴν τὴν ἰδέαν τοῦ πυρετοῦ, κἀκ ταύτης γνωρίζειν αὐτοὺς τοὺς πυρετούς, ὥσ-
περ τοὺς ἀνθρώπους ἐκ τῆς ἰδίας μορφῆς. οὕτω τοι καὶ ἡμεῖς ἐν τῇ πρώτῃ πολλάκις ἡμέρᾳ τὸ εἶδος ἐγνωρίζο-
μεν τοῦ πυρετοῦ, μὴ περιμένοντες ἢ διὰ τρίτης, ἢ διὰ τετάρτης, ἢ ἀμφημερινῆς ἀνταποδόσεως. ἀλλὰ πε-
ρὶ μὲν τούτων ἐπὶ πλέον ἐν τῷ δευτέρῳ περὶ κρίσεων εἴρηται. Λέλεκται δὲ οὐδὲν ἧττον ἐν ἐκείνῳ βι-
βλίῳ καὶ ὡς χρὴ τῶν ἐφημέρων πυρετῶν γνωρίζειν τὰς διαφοράς. ἐπηγγειλάμην μὲν οὖν κἀνταῦθα, οἶδ' ὅτι,
περὶ αὐτῶν ἐρεῖν. ἀναμνησθεὶς δὲ ὡς μικροῦ τινος ἐνδεῖ τὰ κατὰ ἐκεῖνου τοῦ βιβλίου εἰς τὸ τελέως εἰρῆσθαι πάν-
τα, τὰ μὲν ἄλλα περιττὸν ᾠήθην μεταγράφειν ἐνταῦθα, μόνα δὲ ἅπερ ἐλλιπῶς διώρισται ἐν αὐτῷ, προσθή-
σω. Τοῖς μὲν ἐπ' ἐγκαύσει πυρέττουσι τὸ δέρμα μᾶλλον ἐπὶ τὸ θερμότερον τε καὶ αὐχμωδέστερον, ἤπερ
σφυγμοὶ πρὸς τὸ πυρετῶδες ἐξανίσταντο. καὶ γὰρ ἂν καὶ διψώδεις ἧττον οἱ τοιοῦτοι, τῶν ἴσην ἐχόντων τὴν θερμό-
τητα. καὶ κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς, ἀκμαῖον ἐπ' αὐτῶν φαίνεται τὸ θερμόν, ἔμπαλιν ἢ ὡς ἐπὶ τῶν
διὰ στέγνωσίν τινα νοσούντων, ἐπαναδίδωσι γὰρ ἐπ' ἐκείνοις. διακαίεσθαι δὲ καὶ ἡ κεφαλὴ μάλιστα δοκεῖ τοῖς ἐπ'
ἐγκαύσει πυρέξασι, καὶ χαίρουσί τε μᾶλλον καὶ ὀνίνανται ψυχροῖς καταντλούμενοι. καὶ οἱ ὀφθαλμοὶ δὲ αὐτοῖς
θερμότεροί τε καὶ ἐρυθρότεροι φαίνονται μετὰ ξηρότητος, ὅσοι γε δὴ χωρὶς κορύζης, καὶ καταῤῥου κάμνου-
σιν. ἐνίοις γὰρ τῶν ἐγκαυθέντων, καὶ ταῦτα συμπίπτει, καὶ γίγνεται τούτοις οὐ θερμὴ μόνον, ἀλλὰ καὶ πλή-
ρης ἡ κεφαλὴ τοῦ αἵματος, ὡς καὶ τὰς φλέβας ἐπὶ πλέον συντείνεσθαι σύμπασας, ὅσαι γε καὶ κατὰ τοὺς ὀφθαλ-
μοὺς εἰσὶ καὶ τοὺς κροτάφους, καὶ τὸ μέτωπον, ὅλον τε τὸ πρόσωπον. ἐστὶ δ' οὐχ ἥκιστα διακείμενοι καὶ τὸν πλή-
ρεις εἶναι αὐτοὺς ἱκανῶς τῶν ἐπὶ ψυξεῖ χυμῶν πυρεττόντων. καὶ γὰρ, καὶ τούτων, ὅσοι τὴν κεφαλὴν ἐκακώθησαν
ἑτοίμως ἁλίσκονται κορύζαις τε καὶ καταῤῥοις καὶ ὅ γε πυρετὸς αὐτοῖς ἐνίοτε σύμπτωμα ἐστὶ μόνης τῆς ἐν τῇ κε-

φαλῆς διαθέσεως. ὡς τὰ πολλὰ δὲ, τότε μάλιστα πυρέττουσιν, ὅτε τὸ σῶμα σύμπαν ψυχθῶσιν ἢ ἐγκαυθῶσιν. ἧττον δ' ἐστὶ θερμὸν τὸ δέρμα τοῖς ψυχθεῖσιν, ἐν ὄγκῳ τε μείζονι τὸ σῶμα, καὶ οὐδεὶς αὐχμὸς ἀμφὶ τὸ πρόσωπον, οἷος τοῖς ἐπ' ἐγκαύσει πυρέττουσιν ἄνευ τοῦ πεπληρῶσθαι τὴν κεφαλήν. ὡς τὰ πολλὰ μὲν οὖν εἴωθεν ἅπασι τοῖς τοιούτοις ἡ κεφαλὴ πληροῦσθαι, πλὴν εἴ τις ἀκριβῶς εἴη καθαρὸς καὶ ἀπέριττος τὸ σῶμα. τούτοις γὰρ μόνοις ἐνδέχεται θερμαινομένην τὴν κεφαλὴν ἀπλήρωτον διαμένειν, ὅμως μήν ἐστιν ὅτε καὶ χωρὶς τοῦ πεπληρῶσθαι θερμασίαν παμπόλλην καταλαμβάνειν σύμπασαν αὐτὴν ἐγκαυθεῖσαν. αὕτη μὲν οὖν ἡ διάθεσις ἐναργέστατα διαφέρει τῆς ἐπὶ ψύξει. ἡ δὲ μετὰ τοῦ πεπληρῶσθαι δυσδιάκριτός ἐστιν, ὡς ἂν καὶ κατάῤῥουν ἐπικαλουμένη καὶ κόρυζαν, ἅπερ καὶ τοῖς ψυχθεῖσι συμβαίνει, ἀλλ' ὡς εἴρηται, τὸ αὐχμῶδες καὶ ἄγαν θερμὸν τοῦ δέρματος ὅσα τ' ἄλλα μικρὸν ἔμπροσθεν εἶπον, ἴδια τῶν ἐγκαυθέντων εἰσί, περὶ ὧν ἐπὶ πλέον ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου λεχθήσεται, σὺν ταῖς ἄλλαις ἁπάσαις τῶν ἐφημέρων πυρετῶν διαφοραῖς. ὡς τὰς διαγνώσεις ἐν τῷ δευτέρῳ περὶ κρίσεων εἰρηκότες, οὐδὲν ἔτι δεόμεθα νῦν ἐκδιηγεῖσθαι. ἀλλὰ τοῦτον μὲν ἤδη τὸν λόγον ἐνταυθοῖ καταπαύσομεν, ἑξῆς δὲ τῶν ἐπὶ χυμοῖς ἀναπτομένων πυρετῶν ἁπάσας ἐροῦμεν τὰς διαφοράς.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ

ΠΥΡΕΤΩΝ. ΒΙΒΛΙΟΝ Β'.

ΥΠΟΛΟΙΠΟΝ ἂν εἴη τὰς διαφορὰς τῶν ἐπὶ χυμοῖς ἀναπτομένων πυρετῶν διελθεῖν, αὐτὸ τοῦτο πρότερον ὑπὲρ αὐτῶν εἰπόντας, ὡς οὐχ ἱκανόν ἐστιν ὃ τινὲς ὑπέλαβον, εἰς γένεσιν πυρετοῦ, αὐξηθῆναί τε καὶ πλεονάσαι τὸν πικρόχολον χυμόν, ὃν ἔνιοι μὲν ὠχράν, ἔνιοι δὲ ξανθὴν ὀνομάζουσι χολήν. ἅπαντες γὰρ ἂν οὕτω μεγίστους ἐπύρεττον πυρετοὺς οἱ ἰκτεριῶντες, οἷς πλῆθός γε τῆς τοιαύτης χολῆς ἐν ἅπαντι σώματι περιέχεται, ἀλλ' οὐ πυρέττουσι, πλὴν εἰ κατ' ἄλλην τινὰ αἰτίαν συνελθοῦσαν. ὑπὲρ ἧς ὀλίγον ὕστερον εἰρήσεται. ἄτοπον δὲ τὸ κἂν τοῖς τεταρταίοις καὶ τοῖς ἀμφημερινοῖς πυρετοῖς τοῖς ἀκριβέσιν, ἡγεῖσθαι τὴν πικρὰν χολὴν ὑπολαμβάνειν, ὥσπερ ἐν τοῖς τριταίοις καὶ καύσοις. ἔμπαλιν γοῦν ἐπί τε τῶν ἀμφημερινῶν καὶ τεταρταίων πυρετῶν, οὔτε ἔμετοι χολώδεις, οὔθ' ἱδρῶτες, οὔτ' οὖρα, καὶ διαχωρήματα φαίνεται πικρόχολα, πρὸς τῷ μηδ' ἄλλο τι τῶν προσγεγονότων τε καὶ συνυπαρχόντων αὐτοῖς μαρτυρεῖν. οἱ μὲν γὰρ τριταῖοι πυρετοὶ τὸ ἐπίπαν ἔν τε σώμασι συνίστανται χολωδεστέροις φύσει, καὶ ἐν ἡλικίᾳ τῇ τῶν ἀκμαζόντων, ἥτις ἐστὶν ἁπασῶν τῶν ἡλικιῶν χολωδεστάτη, καὶ ἐν ὥρᾳ θερινῇ μάλιστα, καθ' ἣν ὁ τοιοῦτος ἐπικρατεῖ χυμός. οὕτω δὲ κἂν τοῖς θερμοῖς καὶ ξηροῖς τῇ κράσει χωρίοις, καὶ καταστάσει τοῦ περιέχοντος ἀέρος τοιαύτῃ, καὶ βίος οὐκ ἐν ῥᾳστώνῃ καὶ ῥᾳθυμίᾳ τὸ πλέον, ἀλλ' ἐν πόνοις καὶ φροντίσι καὶ ἀγρυπνίαις, ἐγκαύσεσί τε καὶ τροφαῖς ὀλίγαις, καὶ ταύταις θερμαῖς καὶ ξηραῖς. ἀλλὰ καὶ ἡ θερμαινόντων τε καὶ ξηραινόντων φαρμάκων ἀμετροτέρα χρῆσις, εὔφορός ἐστι τριταίων πυρετῶν. οἱ δ' ἀμφημερινοὶ ἐπὶ τοὐναντίον ἅπαν, ἔν τε ταῖς φλεγματικωτέραις φύσεσι, καὶ τῶν ὡρῶν, ἐν χειμῶνι, καὶ τῶν καταστάσεων, ἔν τε ταῖς ὑγροτέραις, καὶ ψυχροτέραις, γέρουσί τε καὶ παισὶ μᾶλλον, ἐν ὑγροῖς καὶ ψυχροῖς χωρίοις, καὶ βίοις ἀργοῖς ἅμα καὶ σὺν πλησμονῇ, καὶ μάλιστα ὅταν ἐπὶ σιτίοις λούωνται, καὶ πολὺ δὴ μᾶλλον, ὅταν καὶ αὐτὰ τὰ σιτία φλεγματικώτερα τὴν φύσιν ὑπάρχῃ, οὐ μὴν οὐδ' ἐμοῦσιν οὗτοι τὸν πικρόχολον χυμόν, οὐδὲ διαχωροῦσιν, οὐδ' ἱδροῦσιν, ὥσπερ ἐν τοῖς τριταίοις πυρετοῖς. οὗτοι μὲν γὰρ ἐπὶ τῇ ξανθῇ χολῇ σηπομένῃ, γίγνεσθαι πεφύκασιν. οἱ δ' ἀμφημερινοὶ τοῖς φλεγματώδεσιν ἕπονται χυμοῖς, ὥσπερ οἱ τεταρταῖοι, τοῖς μελαγχολικοῖς. οὕτω γοῦν καὶ φύσεις σωμάτων αἱ μελαγχολικώτεραι, καὶ τῶν ἡλικιῶν ἡ παρακμαστική, καὶ τῶν ὡρῶν τὸ φθινόπωρον, ἅπαντά τε τὰ τούτοις ἀνάλογα ἐν ἐδέσμασί τε καὶ πόμασι καὶ τῷ σύμπαντι βίῳ ξηρὰ καὶ ψυχρὰ τὴν κρᾶσιν ὑπάρχοντα τεταρταίων ἐστὶ γόνιμα πυρετῶν. διὰ τοῦτο καὶ τὸ προηγούμενον αὐτῶν ῥῖγος οὐχ ὅμοιον. ἀλλὰ τὸ μὲν ἐν τοῖς τριταίοις οἷον νύττοντός τε καὶ τιτρώσκοντος τὴν αἴσθησιν, ἐνδείκνυται τοῦ ποιοῦντος αἰτίου, τὸ δ' ἐν τοῖς τεταρταίοις οἷον ψύχοντος. εἴρηται δ' ἱκανῶς ὑπὲρ τῆς ἐν τοῖς ῥίγεσιν ἰδέας. ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις, ἔνθα καὶ περὶ τῆς τῶν ὁμογενῶν πυρετῶν ἀποδέδεικται διαφορᾶς, ὡς οἱ μὲν διαλείποντες αὐτῶν, οὕτω δὲ ὀνομάζω, τοὺς εἰς αἰσθητὴν ἀπυρεξίαν ἀφικνουμένους, ἐπικινουμένῳ τε καὶ πάντῃ τοῦ σώματος ἰόντι τὸν πυρετὸν ἐργαζομένῳ συνίστανται χυμῷ. οἱ δὲ συνεχεῖς, ἀφικνοῦνται στεγνουμένῳ καὶ περιεχομένῳ ἐν ταῖς φλεψίν, ὑπὲρ ὧν τῆς διαγνώσεως ἐν τῷ δευτέρῳ περὶ κρίσεων εἴρηται. τῶν μὲν οὖν διαλειπόντων τρεῖς εἰσὶν αἱ πᾶσαι διαφοραί, ἀμφημερινός, τριταῖος, καὶ τεταρταῖος, ἐπὶ φλέγματι μέν, ὁ ἀμφημερινὸς σαπέντι, ἐπὶ δὲ ταῖς χολαῖς ἑκατέραις τῇ ξανθῇ μέν, ὁ τριταῖος, τῇ μελαίνῃ δέ, ὁ τεταρταῖος. τῶν δὲ συνεχῶν ἐπὶ μὲν τῇ ξανθῇ χολῇ διττὸν εἶδος, ἓν μὲν τὸ τῶν συνόχων ὀνομαζομένων, ὧν ὁ σύμπας χρόνος εἷς παροξυσμός ἐστιν ἀπ' ἀρχῆς ἄχρι λύσεως, ἕτερον δὲ τὸ τῶν ὁμωνύμως τῷ γένει λεγομένων συνεχῶν ἐν πολλαῖς ταῖς κατὰ μέρος περιόδοις παροξυνομένων. τῶν μὲν οὖν συνόχων αἱ πᾶσαι τρεῖς εἰσὶν αἱ διαφοραί. τινὲς μὲν γὰρ αὐτῶν ἀπὸ τῆς ἀρχῆς ἕως τῆς τελευτῆς ἴσοι διαμένουσι, τινὲς δὲ παραυξάνονται κατὰ βραχύ. τρίτοι δ' ἄλλοι μειοῦνται κατὰ βραχύ. καὶ τινὲς ὀνόματα τοῖς μὲν πρώτοις ὁμοτόνους τε καὶ ἀκμαστικοὺς ἔθεντο. τοῖς δὲ δευτέροις ἀναβατικούς τε καὶ ἐπακμαστικούς. τοῖς δὲ τρίτοις παρακμαστικούς. τῶν δὲ συνεχῶν, δύο μὲν εἰσὶν αἱ πρῶται διαφοραί, τῶν μὲν διὰ τρίτης μόνον παροξυνομένων, ἑτέρων δὲ κἂν τῇ μέσῃ φερόντων ἕτερον παροξυσμόν. οὗτοι μὲν οὖν οὐδὲν ἴδιον ἐξαίρετον ὄνομα κέκτηνται. τοὺς δὲ διὰ τρίτης παροξυνομένους, ἐγὼ μὲν ὀνομάζω τριταιοφυεῖς, οὐ μὴν κωλύω γε τὸν βουλόμενον ἕτερον αὐτοῖς ἐπιφέρειν ὄνομα φυλαττομένης τῆς ἐν τοῖς πράγμασι διαφορᾶς. ἄλλη μὲν γὰρ ἐστὶ φύσις ὅταν εἰς ἀ-

πυρεξίαν

πυρεξίαν παύωνται, ἄλλη δ' ὅταν εἰς παρακμὴν πυρετώδη τελευτῶσιν, διὰ τρίτης συνεχεῖς παροξυνόμενοι πυρετοί. (καὶ πρὸς τούτοις ἔτι φύσιν ἑτέρα τίς ἐστιν τῶν ἐν τῇ μέσῃ παροξυνομένων,) ἡμιτριταίου δὲ τούτων οὐδένα καλῶ. οὐ μὴν οὐδὲ κωλύω τοὺς βουλομένους ὀνομάζειν οὕτως, εἴ μοι τοῦθ' ἓν μόνον φυλάττοιτο πρὸς αὐτῶν, τὸ μὴ δὲ μίαν ἰδέαν παραλείπεσθαι πυρετοῦ, λέγεσθαι δὲ ἐφεξῆς ἁπάσας, ὡς ἐγὼ νῦν ἐνεστησάμην τόνδε τὸν λόγον. τῶν γὰρ κἂν τῇ μέσῃ παροξυνομένων συνεχῶν, ἔνιοι μὲν ἐν ἀμφημερινοῦ σχήματι προέρχονται, τοὺς δύο παροξυσμοὺς ὁμοιοτάτους ἀλλήλοις ποιούμενοι, τινὲς δ' ἀνομοίους ἔχοντες τοὺς δύο, τῷ μὲν προτέρῳ τὸν τρίτον ὁμοιότατον ἴσχουσι, τῷ δὲ δευτέρῳ τὸν τέταρτον, ἐν σχήματι δυοῖν τριταίων προϊόντες, οὗτοι μὲν ἐπὶ χολώδει μᾶλλον, οἱ δὲ καθ' ἑκάστην ἡμέραν ὁμοίως παροξύνοντες, ἐπὶ φλεγματικωτέρῳ συνίστανται χυμῷ, τρίτον δ' ἄλλο γένος ἐστὶ τῶν συνεχῶν πυρετῶν σπανίως γιγνόμενον, ἐπειδὰν ὁ παροξυσμὸς ἐν σχήματι τεταρταίου περιόδου προέρχηται μὴ παυόμενος εἰς ἀπυρεξίαν. γίγνεται δὲ ὥσπερ ὁ διὰ τρίτης, ἔστιν ὅτε διπλοῦς καὶ τριπλοῦς, οὕτω καὶ οὗτος οὐ μόνον διπλοῦς ἀλλὰ καὶ τριπλοῦς. αἱ μέν τοι τοιαῦται τῶν πυρετῶν ἐπιπλοκαὶ τῆς περὶ τύπων εἰσὶ θεωρίας ἴδιαι. τῶν δ' ἐπὶ χυμοῖς ἀναπτομένων ἁπλῶν πυρετῶν, αἱ σύμπασαι διαφοραὶ τοσαῦται τὸν ἀριθμόν εἰσιν, ὅσαι περ εἴρηται νῦν. ἐξ ἐπιμιξίας δ' αὐτῶν, ἕτεραι τινὲς γίνονται περὶ ὧν ἐφεξῆς ἐρῶ, πρότερόν γε περὶ τῶν ἁπλῶν ἔτι τὸ λεῖπον προσθεὶς, ὡς ὅστις ἂν ἀκριβῶς ἁπλοῦς ᾖ πυρετὸς, ἐν εἴδους οἷον κανόνα τινὰ κεκλήρωται τῶν νῦν ὑφ' ἡμῶν λεχθησομένων, ὅστις δ' ἂν τούτων νοθεύσῃ κατά τι, κατὰ τοσοῦτον ἀποχωρεῖ τῶν ἁπλῶν πυρετῶν. Ὁ μὲν γὰρ ἐπὶ τῇ ξανθῇ χολῇ διὰ τῶν αἰσθητικῶν σωμάτων φερομένῃ γιγνόμενος, εἰσβάλλει τε μετὰ ῥίγους, καὶ καυσώδης ἐστὶ καὶ χολῆς ἐμέτοις ἢ διαχωρήσεσιν, ἢ ἱδρῶσιν, ἢ λύσιν αὐτῶν ἢ πᾶσιν ἅμα ἐκλέλυται. τοῦ τοιούτου πυρετοῦ τὸ μῆκος τοῦ παροξυσμοῦ τὸ μέγιστον ὡρῶν ἐστὶν ἰσημερινῶν δώδεκα, καὶ καλοῦμεν αὐτὸν ἀκριβῆ τριταῖον, ἐπὶ κράσει τοῦ κάμνοντος χολώδει, καὶ ὥρᾳ καὶ χώρᾳ καὶ καταστάσει καὶ διαίτῃ θερμῇ καὶ ξηρᾷ συνιστάμενον. εἴρηται δὲ καὶ τἆλλα τὰ συντελοῦντα πρὸς τὴν γένεσιν αὐτοῦ πάντα μικρὸν ἔμπροσθεν. ὀλιγοχρονιώτερος δὲ ὡς τὰ πολλὰ τοῦ προειρημένου μήκους, ὁ παροξυσμὸς γίγνεται, παμπόλλην ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἔχων τὴν διαφορὰν, ἥτις διὰ τὸ ποσόν τε καὶ τὸ ποιὸν αὐτῆς τῆς χολῆς, ἢ διὰ τὴν τοῦ κάμνοντος δύναμιν, ἢ διὰ τὴν ὑπάρχουσαν ἡνίκα ταῦτα τῷ πάσχοντι τὴν διάθεσιν. ἡ μὲν γὰρ πλείων χολὴ τῆς ἐλάττονος μακρότερον φέρει τὸν παροξυσμὸν, ἡ δὲ λεπτὴ τῆς παχείας βραχύτερον. οὕτω δὲ καὶ τῆς δυνάμεως ἡ μὲν ἰσχυροτέρα βραχύτερον. ἡ δ' ἀσθενεστέρα, μακρότερον. καὶ τῆς τοῦ σώματος διαθέσεως, ἡ μὲν ἀραιὰ βραχύτερον, ἡ δὲ πυκνὴ μακρότερον, ὁ δὲ τοῦ διαλείμματος χρόνος ἐν τῷ τοιούτῳ πυρετῷ, τὸ κατὰ τοὺς σφυγμοὺς σημεῖον τῆς σηπεδόνος τοῦ χυμοῦ παντάπασιν ἀδιάγνωστον ἔχει κατὰ τὴν ἐξῆς ἡμέραν ἢ νύκτα τοῦ παροξυσμοῦ. βραχέως δὲ ὑποτυφόμενον γνωστὸν ἀμυδρῶς ἐν τοῖς πρώτοις μέρεσι τῆς μετ' αὐτήν. σαφέστερον δὲ ἤδη περὶ τὰ πέρατα τῆς αὐτῆς ἡμέρας, ἢ νυκτὸς. ἔτι δὲ σαφέστερον ἐπὶ τῆς ἐχομένης, ἥτις προηγεῖται δηλαδὴ τῆς παροξυντικῆς ἡμέρας ἢ νυκτὸς, ἐν ἐκείνῃ δὲ αὐτῇ σαφὲς ἤδη τὸ σημεῖόν ἐστι, καὶ πολὺ μᾶλλον, εἰσβάλλοντος τοῦ παροξυσμοῦ, καὶ πολὺ μᾶλλον ἀναβαίνοντος ἐπὶ τὴν ἀκμήν. ἐν ταύτῃ δ' ἧττον ἢ κατὰ τὴν ἀνάβασιν καὶ μακρῷ πάλιν ἧττον ἐν τῇ παρακμῇ. τοῦτον τὸν πυρετὸν εἰ βούλοιο καλεῖν ἀκριβῆ τριταῖον, ὀνόματι χρήσῃ παλαιῷ, εἰ δὲ μὴ, ἀλλ' ἡμῖν γε συγχώρησον οὕτως ὀνομάζειν ἕνεκα σαφοῦς διδασκαλίας. Ἔστι δ' ἕτερος ἀκριβὴς ἁπλοῦς πυρετὸς, ἐπὶ φλέγματι σηπεδονώδει διὰ τῶν αἰσθητικῶν σωμάτων ὑπὸ τῆς φύσεως ὠθουμένῳ γιγνόμενος. ἄρχεται μὲν ὑπὸ καταψύξεως τῶν ἄκρων καὶ φρίκης μᾶλλον ἢ ῥίγους. δυσεκθέρμαντος δ' ἐστὶν, καὶ πολυχρόνιον ἔχει τὴν ἀνάβασιν ὡς ἐπὶ τὴν ἀκμὴν, ἐπειδὴ καὶ ὁ χυμὸς ἐφ' ᾧ συνίσταται, ψυχρὸς μέν ἐστι καὶ ὑγρὸς τὴν κρᾶσιν γλίσχρος δὲ τὴν σύστασιν. δυσέξαπτός τε οὖν ἐστι διὰ ταῦτα, καὶ βραδύπορος, καὶ πολλαχόθι κατὰ τοὺς πόρους ἰσχόμενος. θλίβει μὲν ἐνίοτε καὶ βαρύνει τὴν δύναμιν, ἀνωμάλους δὲ καὶ πλέον ἀμυδροὺς ἐργάζεται καὶ μικροὺς τοὺς σφυγμοὺς ἔν τε ταῖς εἰσβολαῖς, καὶ τῶν ἀναβάσεων ἐν τοῖς πρώτοις. γίγνεται μὲν οὖν καὶ τῷ χολώδει πυρετῷ κατὰ τὰς εἰσβολὰς τῶν παροξυσμῶν, ἕκαστον τῶν εἰρημένων περὶ τὸν σφυγμὸν παθημάτων, ἀλλ' ἐφ' ἐκείνου μὲν ἐν τάχει καθίσταται τά τε ἄλλα, καὶ ἡ ἀνωμαλία, τὰ πολλὰ μηδὲ συνεισβάλλουσα τοῖς τοιούτοις πυρετοῖς. ἡ θερμασία δὲ, οὐ μετὰ πολὺ τοῦ παύσασθαι τὸ ῥῖγος ἐξάπτεται λαμπρὰ, καθάπερ τι πῦρ ἀκριβῶς καθαρὸν οὐδὲ μιᾶς ἐμφερομένης αὐτῷ καπνώδους ἀχλύος. τὴν δὲ τοῦ φλεγματώδους χυμοῦ θερμασίαν εἰκάσαις ἂν πυρὶ καπνώδει ξύλων χλωρῶν ἐξαπτομένων. ταῦτ' ἄρα καὶ κνώσεις ἐφ' αὐτοῦ βραχεῖαι καὶ τὸ μῆκος τοῦ παροξυσμοῦ μακρότερον γινόμενον, ὅ τε χρόνος ὁ τοῦ διαλείμματος οὐχ ὁμοίως τῷ προτέρῳ καθαρὸς, ἀλλ' ἀεὶ τὸ τῆς σήψεως τοῦ χυμοῦ διαφυλάττων γνώρισμα κατά τε τὴν θερμότητα καὶ τοὺς σφυγμούς. ἐναργέστατον δὲ κἀν τούτῳ τῷ πυρετῷ περὶ τὰς εἰσβολάς τε καὶ τὰς ἐπιδόσεις τῶν παροξυσμῶν ἐστὶ, τὸ τῆς σήψεως σημεῖον. ὅμως δ' οὖν καὶ οὗτος ὅταν ἀκριβὴς ᾖ, τοῖς πολλοῖς δοκεῖ καθαρὸν ἔχειν τὸ διάλειμμα, καὶ ἡμεῖς οὕτως καὶ αὐτοὶ λέγομεν οὐκ ὀλιγάκις ὅταν ἄκαιρος ἡ ἀκριβολογία φαίνηται. συμβαίνει δὲ φύσεσί τε σωμάτων, καὶ ὥραις, καὶ χώραις καὶ καταστάσεσιν, ἐπιτηδεύμασί τε, καὶ διαίτῃ, καὶ τοῖς ἄλλοις ἅπασι τοῖς φλεγματώδεσι. παροξύνεται δὲ καθ' ἑκάστην ἡμέραν, καί τοι γ' ἧττον ὑπάρχων θερμὸς τοῦ διὰ τρίτης τοῦ χολώδους. ἀλλ' ἔοικεν ἐκεῖνος μὲν, ἐπειδὴ τὸν χυμὸν εὐέξαπτον ἔχει, καὶ ῥᾳδίως ἑκάστοτε διὰ λεπτότητα, τὸ ζέσαν αὐτοῦ κατὰ τὸν παροξυσμὸν ἐκκαθαίρεται σύμπαν, εἰς ἀπυρεξίαν τε τινὰ καθαρωτέραν ἰέναι, καὶ βραχὺ μετὰ τὸν παροξυσμὸν ἐγκαταλείπειν σπέρμα σηπεδονώδους θερμότητος. ὁ δ' ἐπὶ τῷ φλέγματι, μὴ δὲ καθαίρεσθαι τελέως ἐν ταῖς παρακμαῖς τῶν παροξυσμῶν, μετ' ὀλίγον ὑπολείπειν τὸ οἷον ἀποτυφόμενον. ἐντεῦθεν ἄρα τό τε διάλειμμα πολὺ φαυλότερον αὐτῷ, καὶ τοῦ δευτέρου παροξυσμοῦ πρωϊαίτερον ἡ εἰσβολή. Τὸ δὲ τρίτον γένος τῶν διαλειπόντων πυρετῶν ὁ ἀκριβὴς τεταρταῖος, ὅταν ἐπὶ μόνῳ γίνηται τῷ μελαγχολικῷ χυμῷ ψυχρῷ καὶ ξηρῷ τὴν κρᾶσιν ὑπάρχοντι. κατὰ βραχὺ μὲν ὑποτύφεται καθάπερ τις λίθος, ἢ ὄστρακον, ἢ ὀστοῦν, ἢ τι τῶν οὕτω ψυχρῶν καὶ ξηρῶν σωμάτων. ἐπειδὰν δ' ἐξαφθῇ τις ἐξ αὐτοῦ φλὸξ, οὐδὲν ὑπολείπει καπνῶδες, οὐ δὲ ἡμίκαυστον ἐπὶ τῷ παροξυσμῷ, καὶ διὰ τοῦτο κνώσεις τε πλείονας ἐπὶ τούτῳ τῷ χυμῷ μᾶλλον ἢ τῷ φλεγματικῷ. καὶ τὸ διάλειμμα καθαρὸν ἀκριβῶς εἶναι δοκεῖ, τῷ κἀνταῦθα ἅπαν κενοῦσθαί τε καὶ δια-

φορεῖσθαι τὸ διαφθαρὲν τοῦ μελαγχολικοῦ χυμοῦ. διὰ τοῦτο δὲ καὶ τὸ ῥῖγος αὐτοῖς ἐστιν, οἷον μάλιστα τοῖς ἐν κρύει καρτερῶς καταψυχθεῖσιν, οὐχ οἷόν περ ἐνίοτε γίνονται τοῖς ἐγκαυθεῖσιν, ἢ κοπωθεῖσιν, ἢ ἐπὶ φαρμάκοις θερμοῖς καὶ δάκνουσιν, ἕλκει προσενεχθεῖσιν. ἀνάγκη δὲ τοῦ τοιούτου πυρετοῦ προηγήσασθαι μὲν, ὅσα χολὴν ἀθροίζει μέλαιναν, ἔν τε ἐπιτηδεύμασι, καὶ διαίτῃ, καὶ καταστάσει, καὶ ὥρᾳ καὶ χώρᾳ, τὴν φύσιν τε καὶ ἡλικίαν εἶναι τοῦ κάμνοντος μελαγχολικωτέραν. ὁ παροξυσμὸς δὲ καὶ τούτου τοῦ πυρετοῦ, τῷ μήκει τοῦ χρόνου τῷ τριταίῳ παραπλήσιος, ἐστὶ δ' ὅτε καὶ μακρότερος, ἔτι μένοντος ἀκριβῶς ὡς ἂν ἐπὶ ψυχροτέρῳ χυμῷ συνισταμένου. ἡ δ' αἰτία παραπλήσιος ἐπί τε τούτων ἐστὶ τῶν πυρετῶν καὶ τῶν ἄλλων ἁπάντων, ἡ τὴν διαφορὰν ἐργαζομένη τοῦ μήκους τῶν παροξυσμῶν, ὥσπερ ὀλίγον ἔμπροσθεν ἐπὶ τῶν ἀκριβῶν εἴρηται τριταίων, ἐν πλήθει καὶ ποιότητι τοῦ χυμοῦ καὶ ῥώμῃ καὶ ἀρρωστίᾳ δυνάμεως. ἔτι πρὸς τούτοις αὐτῇ τοῦ κάμνοντος τῇ διαθέσει τὴν διαφορὰν ἔχουσα. καὶ γὰρ καὶ τὰ ἄλλα πάντα αὐτοῖς ἀνάλογον ὑπάρχει τοῖς ἐπὶ τῷ πικροχόλῳ χυμῷ συνισταμένοις. εἰ γοῦν μήτε σήποιτο, μήτε φέροιτο σφοδρῶς διὰ τῶν αἰσθητικῶν σωμάτων ὁ μελαγχολικὸς χυμὸς, οὐκ ἂν ἀπεργάσαιτο τεταρταίαν περίοδον ἀκριβῆ. καὶ μὴν καὶ τοῖς ἰκτεριώδεσι παθήμασιν, ἀνάλογον αἱ ἐπὶ σπληνὸς ἀρρωστίαι, χρόνιαι, μελαγχολικαὶ, καὶ δύσχροιαι περὶ τὸ σύμπαν γίνονται σῶμα. καὶ τοῖς ἐρυσιπέλασιν ἐπὶ τῇ ξανθῇ χολῇ συνισταμένοις, ἀνάλογον οἵ τε καρκίνοι, καὶ αἱ φαγέδαιναι. πυρέττουσι δ' οὔτε ἐν τούτοις ἐξ ἀνάγκης, οὔτ' ἐν τοῖς μελαγχολικοῖς, εἰ μὴ σαπείη πρότερον ὁ μελαγχολικὸς χυμός. πειρᾶται μὲν γὰρ ἡ φύσις ἀεὶ ταῖς ἑαυτῆς χρωμένη δυνάμεσι, ὁμοιοῦν μὲν τοῖς τρεφομένοις ὅσον ἂν ἐγχωρῇ γενέσθαι χρηστὸν, ἐκκρίνειν δὲ τὸ μὴ τοιοῦτον. ἢν δέ ποτε διὰ πάχος, ἢ πλῆθος, ἢ γλισχρότητα τοῦ περιττώματος, ἤ τινα στέγνωσιν τῶν ὁδῶν, ἢ καὶ διὰ τὴν ἑαυτῆς ἀσθένειαν, ἀδυνατήσῃ πᾶν ἐκκρῖναι τὸ μοχθηρὸν, ἀναγκαῖον αὐτῷ χρονίζοντι κατὰ τὸ τοῦ ζώου σῶμα διαφθείρεσθαι. μένειν μὲν γὰρ οἷον ἦν ἐξ ἀρχῆς, οὐδὲ τῶν ἄλλων ὑγρῶν οὐδὲν δύναται, μήτοι γε δὴ τὸ οὕτως φαῦλον, ὡς μηκέτ' ἐπιδέχεσθαι τὸν παρὰ τῆς φύσεως κόσμον, ἀλλ' ἤτοι πεττόμενον ὁμοιοῦταί τε καὶ προστίθεται τοῖς στερεοῖς τοῦ ζώου μορίοις, ἢ διαφθείρεταί τε καὶ σήπεται. οὕτω γοῦν καὶ τοῖς ἰκτεριώδεσι καὶ μελαγχολικοῖς ὅταν ἐπὶ πλείονα χρόνον ἐν τῷ σώματι μένωσιν οἱ χολώδεις χυμοὶ πλεονάζοντες, ἐπιγίνονται πυρετοί. πολλάκις δὲ καὶ ἡ κατὰ τὸ ἧπαρ ἢ τὸν σπλῆνα διάθεσις ἤνεγκε πυρετὸν, ὅταν ἤτοι φλεγμονή τις ἢ ἔμφραξις ἐργάζηται τὰ προειρημένα παθήματα. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὐδ' ὅταν ὁ φλεγματώδης πλεονάζῃ χυμὸς, ἕπεται πυρετὸς εἰ μὴ σαπείη πρότερον. ἐπὶ τούτῳ μέν γε καὶ τοῖς παλαιοῖς ἀδύνατον εἶναι δοκοῦν, ὦπται πολλάκις. ἔστι δὲ τοῦτο, τὸ χωρὶς πυρετοῦ ῥῖγος, ἔστι δ' οἷς μὲν ἅπαξ γινόμενον, ἔστι δὲ οἷς καὶ κατὰ περίοδον ἐπὶ πλείους ἡμέρας ἢ συνεχὲς ἀπ' ἀρχῆς ἄχρι τέλους, ἤτοι παντάπασιν οὕτω μέτριον, ὡς μηδ' εἶναι δοκεῖν, ὅταν ἡσυχάζωσιν, ἀλλὰ μόνον εἰ κινηθεῖεν, εἰς αἴσθησιν ἥκειν, ἢ καὶ μειζόνως, ὡς καὶ χωρὶς τοῦ κινεῖσθαι διοχλεῖν, ἀλλ' ὅταν γε καὶ ὁ τοιοῦτος ἐν τῷ χρόνῳ διασαπῇ χυμὸς, οὐ ῥιγοῦσι μόνον ἀλλὰ καὶ πυρέττουσι καὶ χρόνιός τε πάνυ καὶ δύσλυτος ἐπιγίνεται ταῖς τοιαύταις αἰτίαις ὁ πυρετὸς ἐν ἀμφημερινῷ σχήματι. Τούτου τοῦ γένους ἐστὶ καὶ ὁ ἠπίαλος πυρετὸς ἰδίως ὀνομαζόμενος, ὅταν ἅμα πυρέττωσί τε καὶ ῥιγῶσι, καὶ ἀμφοτέρων αἰσθάνονται κατὰ τὸν αὐτὸν χρόνον, ἐν ἅπαντι μορίῳ τοῦ σώματος. Ἀρχιγένης μὲν οὖν οἴεται κατ' ἄλλου μηδενὸς ἐπιφέρεσθαι μηδέ ποτε τοὔνομα τὸν ἠπίαλον, ἀλλ' ἢ κατὰ μόνου τοῦ τοιούτου πυρετοῦ. φαίνονται δὲ τῶν Ἀττικῶν ἀνδρῶν ἔνιοι καὶ τὸ πρὸ τοῦ πυρετοῦ ῥῖγος, οὕτως ὀνομάζοντες. ὑαλώδη δ' ἐμοὶ δοκεῖ προσαγορεύειν ὁ Πραξαγόρας τὸν χυμὸν τοιοῦτον, οἱ νεώτεροι δὲ ὧν ἐστι καὶ Φίλιππος ὠμὸν ἁπλῶς, οὐδὲν προστιθέντες εἰς ἀκριβῆ διορισμὸν ὄνομα. τῆς φλεγματώδους δ' ἐστὶ δήπου καὶ αὐτὸς ἰδέας ἱκανῶς ὑπάρχων ψυχρός τε καὶ γλίσχρος. ὃς γὰρ ἂν ὑγρὸς ἅμα καὶ ψυχρὸς ᾖ χυμὸς, ὑπὸ τὴν τοῦ φλέγματος ἀνάγεται προσηγορίαν, εἴ τις Ἱπποκρατείως τε καὶ συνήθως ἅπασιν, οὐ μόνον τοῖς παλαιοῖς ἀλλὰ ἤδη καὶ τοῖς ἄλλοις Ἕλλησιν ὀνομάζειν ἐθέλει. Πρόδικος γὰρ ἐν τῷ περὶ φύσεως ἀνθρώπου παρανομεῖ καὶ περὶ τοῦτο τοὔνομα πρὸς τῆς θαυμαστῆς ἐτυμολογίας ἀναπειθόμενος. ἀλλ' οὐ νῦν καιρὸς ἐπὶ τὰ τοιαῦτα τὸν λόγον ἐκτρέπειν, ἄλλην αὐτῆς πραγματείαν ἀνατεθεικότα. αὖθις οὖν ἐπὶ τὸ προκείμενον ἴωμεν, ὅστις ἂν ἐν τῷ σώματι χυμὸς ὑγρὸς ᾖ καὶ ψυχρὸς ἡμεῖς μὲν τοῦτον ὀνομάζομεν φλέγμα, σὺ δ' εἰ βούλει κάλει σκινδαψόν. οὕτως ἄρα μοι μέλει τῶν ὀνομάτων οὐδέν. ἀλλ' ἴσθι γε τοῦ χυμοῦ τούτου πλείους οὔσας διαφοράς, ἓν μὲν γὰρ εἶδος αὐτοῦ πάνυ δή τι ψυχρόν ἐστιν, ὥστε καὶ μεγίστας ὀδύνας ὅταν ἐμφραχθῇ χωρίῳ θερμῷ παρέχεσθαι, καὶ πολλάκις γε πολλὰς ἀλγηδόνας τῶν προσαγορευομένων κωλικῶν, ἐπὶ δριμεῖ κλύσματι τοιοῦτον χυμὸν ἐκκενώσαντι παραχρῆμα παυομένας ἐστὶν ἰδεῖν. ἔοικε δὲ καὶ τὴν ὄψιν ὁ χυμὸς οὗτος ὑάλῳ κεχυμένῃ. ἕτερον δ' ἐστὶ φλέγματος εἶδος, ὃ ἀναχρεμπτόμενοι πολλάκις ἀποπτύουσί τινες, αἰσθητὴν ἔχον τὴν γλυκύτητα, καὶ δῆλον ὡς οὐκ ἐνδέχεται τὸ τοιοῦτον ἀκριβῶς εἶναι ψυχρὸν, εἴ τι μεμνήμεθα τῶν ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἀποδεδειγμένων. ἔστι γε δή τι καὶ τρίτον ἄλλο φλέγματος εἶδος αὐτοῖς τοῖς πτύουσιν ὀξὺ φαινόμενον, ἧττον μὲν τοῦ ὑαλώδους, μᾶλλον δὲ τοῦ γλυκέος ψυχρὸν, ὥσπερ ἕτερον ἁλμυρὸν, ἤτοι διὰ σῆψιν, ἢ δι' ἐπιμιξίαν ἁλυκῆς ὀρρώδους ὑγρότητος, ἐπ' ᾧ δὴ καὶ οἱ πυρέττοντες οὐ ῥιγοῦσιν, ἀλλὰ φρίττουσι μόνον, εἰσβάλλοντος τοῦ παροξυσμοῦ. τὸ δὲ γ' ὀξὺ καὶ τὸ ὑαλῶδες, εἰ κινοῖτο διὰ τῶν αἰσθητικῶν σωμάτων ἰὸν, τὸ χωρὶς πυρετοῦ φέρει ῥῖγος, κἂν εἰ σηπεδών τις αὐτοῖς ἐπιγένοιτο μετρία, τὸν ἠπίαλον ἐργάζεται πυρετόν. εἰ δ' ἐπὶ πλέον σαπείη προηγεῖται μὲν τὸ ῥῖγος, ἕπεται δ' ὁ πυρετὸς, ἐκνικωμένης τῆς ψύξεως ὑπὸ τοῦ πλήθους τῆς θερμασίας, ὡς μηδ' ὅλως φαίνεσθαι κατὰ τὰς ἀναβάσεις καὶ τὰς ἀκμὰς τῶν παροξυσμῶν. ἴσως δὲ καὶ τὸ ὑαλῶδες φλέγμα τῆς ὀξείας μετέχει ποιότητος, ὡς εἶναι τὰς πάσας διαφορὰς αὐτοῦ τρεῖς, ὀξὺ καὶ γλυκὺ καὶ ἁλυκόν. ἥκιστα δ' ἐπὶ τῷ γλυκεῖ φλέγματι σηπομένῳ προηγεῖται τοῦ πυρετοῦ ῥῖγος. ἴσως δ' ἄν τις οὐκ ἔθ' ἁπλῶς, οὐδ' ὑφ' ἁπλῆς αἰτίας γίνεσθαι τοὺς τοιούτους ὑπολάβοι πυρετούς. εἴ γε δὴ τοῦ φλέγματος ὅσον μὲν δὴ σήπεται, τὸν πυρετὸν ἐξάπτει, τὸ δ' ἄλλο, τὸ μηδέπω σηπόμενον, ἐφ' οὗ ῥιγοῦσιν, οὐκ αὐτῆς ἐστι τῆς σηπομένης ποιότητος. εἴπερ οὖν ὑπὸ τούτου μὲν, τὸ ῥῖγος, ὑπὸ δὲ τοῦ διασαπέντος, ὁ πυρετὸς γίνεται, διττὸν ἀεὶ ἔσται τὸ αἴτιον. ἐγχωρεῖ μὴν κἀνταῦθα τὸν μὲν πυρετὸν ὑφ' ἑτέρου γένους αἰτίας γίνεσθαι φάναι, τὸ ῥῖγος δ' ὑπ' ἄλλου, μὴ ὄν, ὅπερ ὁ πυρετός. ἐν γε μὴν τοῖς τριταίοις πυρετοῖς ἡ ξανθὴ χολὴ καὶ τὸ ῥῖγος ἐργάζεται, καὶ τὸν πυρετόν. ἀλλὰ τὰ μὲν τοιαῦτα λογικωτέραν ἔχει τὴν ἀμφισβήτησιν, ἐπὶ δὲ τὰ νῦν

ἡμῖν προ-

ἡμῖν προκείμενα μεμνῆσθαι καιρός. Μιχθέντος τοῦ σηπομένου φλέγματος ἐφ᾽ ᾧ τὸν καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενον ἐλέγομεν συνίστασθαι πυρετόν, ὑπὸ πικροχόλῳ χυμῷ, ὑπὸ τὸν διὰ τρίτης ἐργαζομένῳ, σύνθετός τε καὶ διπλῆ γίγνεται αὖ ἥ τε αἰτία καὶ ἡ διάθεσις, ὁ μὲν γὰρ ἕτερος τῶν χυμῶν καθ᾽ ἑκάστην ἡμέραν ἐπιφέρει τὸν παροξυσμόν, ὁ δ᾽ ἕτερος διὰ τρίτης. ὥς τε τὴν μὲν ἑτέραν τῶν ἡμερῶν δύο ἔχειν παροξυσμούς, ἕνα δὲ τὴν ἑτέραν ὅταν γε μὴ συμπίπτωσιν ἐγγὺς ταῖς ὥραις οἱ παροξυντικοὶ καιροί, συμπιπτόντων γάρ, εἷς ἔσται συγκεχυμένος, οὔτε τὴν τοῦ διὰ τρίτης, οὔτε τὴν τοῦ καθ᾽ ἑκάστην ἡμέραν ἀκριβῆ διαφυλάττων ἰδέαν. ἐπεὶ δ᾽ ἐστὶν ἑκατέρου τῶν πυρετῶν διττὸν εἶδος, αἱ ἐπιπλοκαὶ γενήσονται τέσσαρες, μία μὲν ἐν ᾗ μίγνυται τριταῖος ἀμφημερινῷ, δευτέρα δ᾽ ἐν ᾗ τριταῖος ὑπὸ καθ᾽ ἑκάστην ἡμέραν παροξυνομένῳ συνεχεῖ, καὶ τρίτη μιχθέντος ἀμφημερινοῦ ὑπὸ διὰ τρίτης συνεχεῖ, καὶ τετάρτη καθ᾽ ἣν ὁ καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος συνεχής, μίγνυται ὑπὸ διὰ τρίτης συνεχεῖ. ἑκάστων δὲ τῶν εἰρημένων συμπλοκῶν ἡ διαφορὰ διττή, ποτὲ μὲν εἰς τὴν αὐτὴν ὥραν ἁπάντων ὁμοῦ τῶν παροξυσμῶν, ἔστι δ᾽ ὅτε, κατὰ διαφέροντας εἰσβαλλόντων καιρούς. ἀλλ᾽ οὗτοι μὲν εὐδιάγνωστοι, πλὴν ὅτι πολλάκις ὁ διαλείπων ἀγνοεῖται τοῖς ἀγυμνάστοις, ὡς ἂν μὴ ᾖ ποτ᾽ εἰς ἀπυρεξίαν ἐρχομένου τοῦ νοσοῦντος. ἀλλὰ χρὴ τὴν ἰδέαν ἐπισκοπεῖσθαι τοῦ παροξυσμοῦ καθάπερ ἐν τῷ δευτέρῳ περὶ κρίσεων ἐπὶ πλέον εἴρηται, κἀντεῦθεν γνωρίζειν οὐκ ἐκ τῆς τῶν περιόδων ἀναλογίας. ὑποκείσθω γὰρ εἰσβεβληκέναι τινὰ περὶ πρώτην ὥραν παροξυσμὸν ἅμα ῥίγει, τιτρώσκειν δοκοῦντι τὰς σάρκας τοῦ κάμνοντος, εἶτα καὶ τἄλλα πάντα μέχρι τῆς ἀκμῆς τοῦ τριταίου πυρετοῦ γνωρίσματα, προβάλλοντα, μετὰ χολῆς ἐμέτου, ἅμα χρηστοῖς ἱδρῶσι παρακμάζειν, καὶ εἰ μὲν ἤδη τῆς ἡμέρας ὥραν ἐννάτην, τεκμαίρεσθαι δ᾽ ἡμᾶς ἐκ τῆς συμπάσης κινήσεως τοῦ παροξυσμοῦ περὶ τὴν ἐνδεκάτην ὥραν, ἀπύρεκτον ἔσεσθαι τὸν κάμνοντα, ταύτην δηλονότι τὴν ἀπυρεξίαν, ἣν ἐν ταῖς περιόδοις ὀνομάζειν εἰώθαμεν. οὕτω δ᾽ ἐλπιζόντων, ἐξαίφνης ἐπισχεθῆναι μὲν τοὺς ἱδρῶτας, ἤτοι πυκνωθέντος μόνον ἢ καὶ φρίξαντος τοῦ δέρματος, ἐντεῦθεν δὲ τά τε τῆς ἀρχῆς καὶ τῆς ἀναβάσεως, ἔτι τε τῆς ἀκμῆς ἐν εἴδει φλεγματώδους γίνεσθαι πυρετοῦ συνεχοῦς. δῆλον γὰρ οὕτω γε γνωσόμεθα, τὴν αἰτίαν εἶναι καὶ τὴν ἰδέαν τῶν πυρετῶν μεμιγμένου τοῦ διαλείποντος ὑπὸ συνεχεῖ, κἂν μηδὲν εὑρίσκεται διάλειμμα. καὶ κατά γε τὴν δευτέραν ἡμέραν ἐλπίζομεν εἰσβάλλειν τὸν παροξυσμὸν ὥρας ἐννάτης, καὶ εἰ κατὰ τὴν προσδοκίαν ἀποβαίη τὸ πρᾶγμα, πάντως δήπου καὶ κατὰ τὴν τρίτην ἡμέραν, ὁμοίως ἐλπίζομεν ἔτι πυρέττοντος τοῦ κάμνοντος ἐπεισβάλλειν αὐτῷ τὸν τριταίου πυρετοῦ παροξυσμὸν ὥρας που πρώτης. εἰ δὲ προλάβοιεν ἢ ὑστερήσειεν, ὅτε κατὰ τὴν δευτέραν ἡμέραν ἐλπιζόμενος ὥρας ἐννάτης γενέσθαι παροξυσμός, ὅτε κατὰ τὴν τρίτην πρώτης, οὐκέτι κατὰ τὰς ἑξῆς ἡμέρας, οὔτ᾽ ἐννάτην ὥραν οὔτε πρώτην ἐλπίσομεν, ἀλλὰ τοσούτῳ πρότερον ἢ ὕστερον, ὅσωπερ ἡ ἀναλογία τῆς πρώτης περιόδου τῶν παροξυσμῶν, ἢ προλαμβάνοντα τῆς ἀρχῆθεν ὥρας, ἢ ὑστερίζοντα παρέδειξεν. ὅστις δὲ αὐτῶν παύσαιτο πρότερον, ἔκ τε τῆς ἰδέας τοῦ πυρετοῦ τεκμαίρεσθαι, κἀκ τοῦ κατὰ τὸν παροξυσμὸν μήκους τε καὶ μεγέθους, ἤθους τε καὶ κινήσεως, ἔτι τε τῆς τῶν περιόδων ἀνταποδόσεως, ἐν ὑπὸ προλαμβάνειν ἢ ὑστερίζειν, καὶ πρὸς τούτοις ἔτι τοῖς ἐπιφαινομένοις σημείοις ἀπεψίας τε καὶ πέψεως, ὅλου τοῦ νοσήματος, ὧν ἐν τοῖς ὅροις ἐστὶ τὰ μέγιστα. καὶ γέγραπται περὶ τούτων ἁπάντων αὐτάρκως ἐν τοῖς περὶ κρίσεων. εἰ δὲ μὴ περὶ τὴν ἐννάτην ὥραν, ἀλλὰ πέμπτην ἢ ἕκτην ὁ φλεγματώδης συνεχὴς ἐπιλάβοι τὸν διαλείποντα χολώδη, τὸν κατὰ τὴν πρώτην ὥραν ἠργμένον, ἔτι χαλεπώτερον ἐστὶ γνῶναι τοῖς πολλοῖς τούτοις ἰατροῖς, οἷς οὐδὲν μέλει τῆς τοιαύτης θεωρίας, εἴθ᾽ ἓν ἐστὶν εἶδος πυρετοῦ τὸ γιγνόμενον, εἴτε δύο, καὶ ὁποῖον ἑκάτερον. ἅτε δὲ μηδὲν τούτων γινώσκοντες, οὐ μόνον οὐκ ἴσασιν ὡς χρὴ θεραπεύειν τουτουσί, μηδὲν γνωρίζομένους ὁποῖοί ποτ᾽ εἰσίν, ἀλλ᾽ οὐδ᾽ εἰ καὶ κατὰ τὴν δευτέραν ἡμέραν ὑποπτεύειν χρὴ τὰς ὥρας ἀμφοτέρας αἵπερ ἐν τῇ πρώτῃ τοὺς παροξυσμοὺς ἤνεγκαν, ἐγὼ γοῦν οἶδα πολλάκις, ἐκ μαντικῆς αὐτοῖς μᾶλλον ἢ προγνώσεως ἰατρικῆς στοχάζεσθαι δόξας τῆς εἰσβολῆς τοῦ παροξυσμοῦ. κατὰ γοῦν αὐτὴν ταύτην ἣν γοῦν προχειριζόμεθα μίξιν τοῦ τριταίου πρὸς τὸν καθ᾽ ἡμέραν παροξυνόμενον, οἶδά ποτε περὶ μὲν τὴν πρώτην ὥραν εἰσβάλλοντα παροξυσμὸν ἀκριβῶς τριταίου, κατὰ δὲ τὴν ἕκτην, τοῦ καλουμένου πρὸς τῶν νεωτέρων ἰατρῶν ἰδίως καθημερινοῦ. καλεῖν γὰρ ἔθος αὐτοῖς οὕτως τὸν καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενον, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενον. ἐγὼ δ᾽ εἴωθα τὸν τοιοῦτον ὀνομάζειν ἀμφημερινὸν συνεχῆ. τὸ γὰρ καθημερινὸν ὄνομα, τὴν ἀρχὴν οὐδ᾽ ἔστιν εὑρεῖν παρά τινι τῶν ἑλλήνων γεγραμμένον, ἀμφημερινὸν δὲ πᾶν πρᾶγμα τὸ καθ᾽ ἑκάστην ἡμέραν, ὡσαύτως γινόμενον ὀνομάζουσιν. ἀλλὰ γὰρ ὥσπερ ὁ Πλάτων φησί, καταφρονεῖν χρὴ τῶν ὀνομάτων, οἷς τοσούτων τε καὶ τηλικούτων πραγμάτων πρόκειται σκέψις. ὀνομαζέσθω τοι γὰρ οὖν ἕνεκα σαφοῦς διδασκαλίας ὁ μὲν ἑκάστης ἡμέρας παροξυνόμενος, εἰς δ᾽ ἀπυρεξίαν παυόμενος, ἀμφημερινὸς ἁπλῶς οὕτως, μηδὲν ἔτι προστιθέντων αὐτῷ κατὰ τὸν λόγον, ὁ δὲ μὴ παυόμενος, ἀμφημερινὸς συνεχής, ἐξέστω δ᾽ εἴ τις βούλοιτο, καὶ θατέρῳ προστιθέναι, τὸ διαλεῖπον, οὕτω δὲ κἀπὶ τοῦ διὰ τρίτης, ἡ μὲν ἑτέρα διαφορὰ τριταῖος ἁπλῶς, ἢ καὶ διαλείπων τριταῖος, ἡ δ᾽ ἑτέρα τριταῖος συνεχής, ἐγχωρεῖ δὲ καὶ τὸν συνεχῆ τριταῖον, ὀνομάζειν διὰ τρίτης ἁπλῶς οὕτως, χωρὶς προσθήκης τινὸς ὥσπερ γε καὶ ὀνομάζουσι τινές. ἀλλὰ γὰρ γὰρ οὐ χρὴ μηκύνειν ἔτι περὶ τῶν ὀνομάτων. ἐπανέρχεσθαι δ᾽ ἤδη τὸ προκείμενον. ὁ γάρ τοι νεανίσκος, ἐφ᾽ οὗ τὴν ἐπιπλοκὴν ἔφην γεγονέναι τοῦ τριταίου πρὸς τὸ ἀμφημερινὸν τὸν συνεχῆ, κατὰ μὲν τὴν πρώτην ἡμέραν ἕωθεν ὑπήρξατο μετὰ ῥίγους οἰκείου τριταίου πυρετῷ, καὶ τἄλλα σύμπαντα φυλάττων ἀκριβοῦς τριταίου γνωρίσματα μέχρι τῆς ἕκτης ὥρας ἐξαιφνίδιον τ᾽ ἐμετόν τε χολώδη καὶ μικροὺς ἱδρῶτας, ἐφ᾽ οἷς αὐτίκα συνεστάλη καὶ ἔφριξεν ὁ ἄνθρωπος, κἀντεῦθεν αὖθις ἀρχομένης ἐπισημασίας, ἣν ὁ σφυγμὸς μικρὸς καὶ ἀνώμαλος, εἶτα μέχρι μὲν ὥρας ἐνδεκάτης ὑποτυφόμενος ἔτι κατὰ βραχύ, τὰ πλείω μέν, τῆς ἐπισημασίας εἶχεν ἴδια, βραχέα δέ τινα καὶ τῆς ἀναβάσεως. ἐντεῦθεν δὲ μέχρι νυκτὸς ὥρας που τετάρτης, ἐπίδοσις ἦν ἀκριβής, εἶτα ἐπὶ τοῦ αὐτοῦ μεγέθους ἔμενεν, ὥς γε πρὸς αἴσθησιν ἄχρι νυκτὸς ὥρας ἕκτης, ὅταν ἤδη σαφῶς ἐφαίνετο παρακμάζειν ἄχρι τετάρτης ὥρας ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν. ἐν ταύτῃ γὰρ ἤδη συνεστέλλετό τε καὶ τὰ τῆς ἐπισημασίας ἐνεδείκνυτο σημεῖα, τῶν μὲν ἀκραίων αὐτοῦ μερῶν ψυχροτέρων γινομένων, τοῦ δὲ σφυγμοῦ, μικροῦ. καὶ δὴ καὶ μέχρι τῆς ἐν

ὥρας ἐπεδίδου ἐπὶ βραχὺ, μήτε φρίκην τινὰ, μήτ' ἀνωμαλίαν ἑτέραν ποιησάμενος. εἶτα πάλιν ἤκμασε περὶ τὴν ὥραν τετάρτην νυκτὸς, αἰσθητῶς τε παρακμάζειν ἀπήρξατο περὶ τὴν ἕκτην. ὅτι μὲν οὖν ἐπὶ τὴν τρίτην ἡμέραν ὥρας που δευτέρας ἐχρῆν αὐτοῦ προσδοκᾶν ἔσεσθαι τὴν ἀμφημερινὴν ἐπισημασίαν δῆλον ἦν. οὐ μὴν ὅ γε τριταῖος, εἴτε φυλάξει τὴν αὐτὴν ὥραν, εἴτε καὶ μὴ, δῆλον ἦν. εἰσέβαλλεν οὖν ὥρα δευτέρα παροξυσμὸς φρικώδης ὅστις θᾶττον ἢ ἐπὶ τὸν ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ τῶν ἡμερῶν τοῦ συνεχοῦς ἀμφημερινοῦ παροξυσμὸν ἐπιδοὺς ἄχρι πέμπτης ὥρας, ἀρχὴν αὖθις ἑτέραν ἐποιήσατο ἐπὶ τὴν μετὰ πέμπτην ὥραν. καὶ πάντ' ἦν αὐτῷ τὰ συμπτώματα παραπλήσια τοῖς ἐπὶ τῆς δευτέρας ὥρας γενομένοις, ἐντεῦθεν δ' αὖ πάλιν ἐπιδιδοὺς ἑτοιμότερον ἄχρι τῆς ὀγδόης ὥρας, ἔφριξεν αὖθις ἐν ἐκείνῃ, καὶ μετ' ὀλίγον ἑτοίμως ἀνέβαινεν παραυξανόμενος ὁ παροξυσμὸς, ὡς νυκτὸς ὥρας που τετάρτης εἰς ἀκμὴν ἀφικέσθαι, καὶ τί γὰρ ἄλλο ἢ ἀκριβοῦς ἡμιτριταίου παροξυσμὸς οὗτος ἐγένετο, τῶν δύο πυρετῶν ἐπὶ τὴν αὐτὴν ὥραν εἰσβαλλόντων διὰ τὸ προλαβεῖν μὲν ὥραις δύο τὸν καθ' ἑκάστην ἡμέραν παροξυνόμενον, ὑστερῆσαι δὲ δυοῖν ὥραιν, τὸν τριταῖον ὥς τε τῷ δυναμένῳ γνωρίζειν ἰδέας πυρετῶν, ἐναργῶς φαίνεσθαι κεκραμμένα τά τε τοῦ τριταίου καὶ τὰ τοῦ συνεχοῦς ἀμφημερινοῦ συμπτώματα, τοῦ μὲν γὰρ τριταίου μετὰ ῥίγους εἰσβάλλοντος, τοῦ δ' ἀμφημερινοῦ χωρὶς ῥίγους ὁ μικτὸς ἐξ ἀμφοῖν, φρίκην ἐξαίφνης ἔφερεν, ἔλαττον μὲν τι πρᾶγμα ῥίγους, μεῖζον δὲ περιψύξεως. καὶ τοσούτῳ γε μεῖζον περιψύξεως, ὅσῳ ῥίγους ἔλαττον, ὥστε ἀνάλογον ἀπέχουσαν ἑκατέρου τῶν ἄκρων τὴν φρίκην, ἀμφοτέρων ἐν μέσῳ τετάχθαι, τοῦ τε ῥίγους. καὶ τῆς περιψύξεως, ὅπερ εἴωθε μάλιστα κεραννυμένων γίνεσθαι τῶν ἄκρων, οὐκ οὖν οὐδ' ἀπὸ τρόπου τοὔνομα τῷ τοιούτῳ πυρετῷ τὸν ἡμιτριταῖον ἔθεντο. κεκραμένος γὰρ ἐξ ἀμφημερινοῦ τε συνεχοῦς καὶ τριταίου διαλείποντος, τῆς ὅλης αὐτοῦ φύσεως τὸ ἥμισυ μέρος ἑκατέρου ἔχει τῶν εἰρημένων πυρετῶν. ὡς οὖν ὁ ἡμίονός τε καὶ ὁ ἡμίθεος ὠνόμασται, τὸν αὐτὸν τρόπον καὶ ὁ ἡμιτριταῖος. ὅ τε γὰρ ἡμίονος, ἥμισυ μὲν ἵππου συντελοῦντος αὐτῷ πρὸς τὴν γένεσιν, ἥμισυ δ' ὄνου, ἐπὶ θατέρου αὐτῶν ὠνόμασται ἡμίονος; ὅ θ' ἡμίθεος ἐνδείκνυται μὲν, ἡμίσου μετέχων, ὅτι δ' ἄνθρωπος, ἐστι, ἐπὶ θατέρου ἥμισυ παραλείπει. καὶ τοίνυν καὶ ὁ ἡμιτριταῖος, ἥμισυ μὲν ἑαυτοῦ μέρος ἔχει τὸν τριταῖον, ἥμισυ δ' ἄλλο, τὸν ἀμφημερινὸν τὸν συνεχῆ. διττὸς δὲ ὁ τρόπος αὐτῷ τῆς γενέσεως, ἤτοι συνελθόντων εἰς ἕνα καιρὸν τοῖν δύο παροξυσμῶν, ὡς ἀρτίως ἐλέγετο, διὰ τὸ προληπτικὸν μὲν εἶναι τὸ ἕτερον, ἢ ὑστερητικὸν δὲ τὸ ἕτερον, ἢ εὐθέως ἐξ ἀρχῆς ἀνακεκραμένων ἀλλήλοις ἀμφοτέρων. ὁ μὲν οὖν εἰς ἕνα καιρὸν ἀμφοτέρων συνελθόντων γιγνόμενος, ἕνα μόνον ἔχει παροξυσμὸν ἡμιτριταίου φύσεως, ὁ δ' ἕτερος ἅπαντας ἐξ ἀρχῆς τοῦ νοσήματος ἄχρι τελευτῆς, ὥσπερ δὴ καὶ κυριώτατος παρὰ πάντων ἡμιτριταῖος ὀνομάζεται. περὶ μὲν δὴ τοῦδε, καὶ μετ' ὀλίγον εἰρήσεται μάλιστα διὰ τοὺς περὶ τὸν Ἀγαθῖνον τε καὶ τὸν Ἀρχιγένην. τῷ δ' οὖν νεανίσκῳ, τῷ ἐπὶ τὴν διήγησιν ὑποκειμένῳ, ἐπὶ τὴν τρίτην ἡμέραν τοῦ παροξυσμοῦ τοιούτου γενομένου, διὰ τὸ συμπεσεῖν εἰς ἕνα χρόνον, ἀμφοτέρων τῶν πυρετῶν τὰς εἰσβολὰς, τοῦ μὲν καθ' ἑκάστην ἡμέραν παροξυνόντος, ὥραις δύο προλαμβάνοντος ἀεὶ, τοῦ δὲ διὰ τρίτης ὑστερίζοντος ἀεὶ δύο, ὁ ἐπὶ τὴν τετάρτην ἡμέραν παροξυσμὸς εἰσέβαλλεν ἀνατέλλοντος τοῦ ἡλίου, τὴν ἰδέαν ἀποσώζων ἀκριβῆ τοῦ φλεγματικοῦ πυρετοῦ, ἔμελλε δὲ δήπου ἐπὶ τὴν ἀναλογίαν, ὁ πέμπτος ἀπ' αὐτοῦ παροξυσμὸς ἄρχεσθαι περὶ δεκάτην ὥραν νυκτὸς ἐπειδὴ προελάμβανεν ἀεὶ δυοῖν ὥραιν. ὁ δὲ τοῦ χολώδους πυρετοῦ τριταῖος ἀπὸ τῆς ἀρχῆς παροξυσμὸς, ἔμελλεν εἰσβάλλειν δήπου ἐπὶ τὴν πέμπτην ἡμέραν ὥρας τετάρτης. ὥς τε εἶναι τὸ μεταξὺ διάστημα τῆς ἀρχῆς τῶν δύο πυρετῶν ἓξ ὡρῶν. ὅπερ οὖν καὶ ἐγένετο, περὶ μὲν τὴν δεκάτην ὥραν τῆς τετάρτης νυκτὸς εἰσβάλλοντος παροξυσμοῦ, ἐπὶ τὴν ἰδέαν τοῦ φλεγματικοῦ πυρετοῦ, καὶ προελθόντος οὕτως ἄχρι τετάρτης ὥρας ἡμερινῆς, ἐπισυνάψαντος δὲ αὐτοῦ τοῦ χολώδους ἅμα ῥίγει μετρίως, τοὐντεῦθεν τε πάλιν ἐπίμικτον εἶδος ἔχοντος τοῦ παροξυσμοῦ ἐπὶ τὴν τοῦ χολώδους τε ἅμα καὶ φλεγματώδους ἰδέαν. τῇ δὲ ἐπιούσῃ νυκτὶ περὶ τὴν ὀγδόην ὥραν ὁ φλεγματώδης πυρετὸς ἀρξάμενος ἀκριβής τε καὶ μόνος ἅπασαν κατεῖχε τὴν ἑξῆς ἡμέραν οὖσαν ἕκτην. εἶτα ἄχρι μέσης νυκτὸς παρακμάσας, ἐντεῦθεν πάλιν ἀπήρξε ἐπὶ τὸν αὐτὸν τρόπον, εἶτα τὸ ὑπόλοιπον ἥμισυ τῆς νυκτὸς καὶ τὸ μέχρι μεσημβρίας τῆς ἑβδόμης ἡμέρας κατασχὼν, ἤδη πως παρηκμάζειν. ἀλλ' ὅ γε τριταῖος αὐτὸν διεδέξατο μετὰ ῥίγους εἰσβαλὼν, ὥσπερ εἴωθεν, εἰσβάλλειν ἀκριβὴς τριταῖος, καὶ τὰ ἄλλα πάντα ἐπὶ τὸν αὐτὸν τρόπον ἀκριβῆ κομίσας γνωρίσματα, χολῆς ἔμετον εἰργάσατο, καὶ διαχώρησιν χολώδη, καὶ οὖρα χρηστὰ, καὶ τινὰ βραχεῖαν νοτίδα δείλης ὀψίας, δηλῶν ἐναργέστατα τοῖς μεμαθηκόσι διαγινώσκειν εἴδη πυρετοῦ ὡς ὑφίησί τε τι, καὶ παρακμάζει, καὶ παύσαιτο ἂν που μετὰ μίαν που περίοδον, ἢ τὸ πλεῖστον δευτέραν. καὶ γὰρ οὖν καὶ ἡ παρακμὴ ῥαστώνην εἶχε θαυμαστήν τινὰ, καὶ οἵαν οὐχ ἑτέρα τοῦ ἔμπροσθεν, ἄχρι νυκτὸς ὥρας τετάρτης, ἐν ἐκείνῃ γὰρ ὁ φλεγματικὸς πυρετὸς ὁ καθ' ἑκάστην μὲν ἡμέραν παροξυνόμενος, ὥραις δὲ δύο προλαμβάνων, εἰσέβαλλε καὶ κατασχὼν ὅλην τε τὴν νύκτα καὶ τὴν ἐξῆς ἡμέραν ὅλην, αὖθις ἀπήρξατο κατὰ τὴν ὀγδόην νύκτα δευτέρας ὥρας, ἥν τινα νύκτα κατασχὼν ὅλην, παρήκμασε ἐπὶ τὴν ἑξῆς ἡμέραν τὴν ἐννάτην. ἔμελλε δὲ δήπου καὶ ὁ τοῦ τριταίου παροξυσμὸς, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γενήσεσθαι περὶ τὴν ὀγδόην ὥραν, ἐπειδὴ δυοῖν ὥραιν ὑστέριζεν, ἀλλὰ τό τε γε περὶ ἐννάτην ὥραν εἰσέβαλλε, δηλῶν ἔτι ἐπὶ τοῦτο τὴν ἑαυτοῦ παρακμήν. ἡλίου δὲ δυομένου συνῆψεν αὐτῷ προληπτικῶς εἰσβάλλων, ὁ φλεγματώδης ὡς εἰώθει, καὶ τήν τε νύκτα κατασχὼν ἐκείνην, καὶ τὴν ἑξῆς ἡμέραν, αὖθις εἰσέβαλλε ἐπὶ τὴν δεκάτην ἡμέραν ὥρας δεκάτης, εἶτ' αὖθις ἐπὶ τὴν ἑνδεκάτην ἡμέραν ὥρας ὀγδόης ἀκριβῶς διαμένων φλεγματικός. εἶτα περὶ νυκτὸς ὥραν πρώτην, φρικώδης εἰσβολὴ τοῦ τριταίου πυρετοῦ τέτταρας ὥρας ὑστερήσαντος ἐγένετο, κἄπειθ' ἕκτης ὥρας νυκτὸς, ἥ τε γαστὴρ διεχώρησε χολώδη, καὶ τινὲς ἐν ὅλῳ τῷ σώματι νοτίδες ἐγένοντο, καὶ μετὰ ταύτας ἡ παρακμὴ πάσα πλησίον ἀπυρεξίας ἀφίκετο, καὶ ἦν ἤδη δῆλον, ὡς ὁ μὲν τριταῖος ἐπαύσατο τελέως, ὁ δὲ φλεγματώδης ὑπελείπετο μόνος, ἤδη δέ τι καὶ αὐτὸς ἐνδιδούς. ταῦτ' ἄρα ἐπὶ τὴν δωδεκάτην ἡμέραν οὐκέτι προὔλαβεν ὁ παροξυσμὸς ὥραις δυοῖν, ὥσπερ εἰώθει πρότερον, ἀλλὰ ἑβδόμης ὥρας εἰσέβαλεν. εἶτα ἐπὶ τὴν τρισκαιδεκάτην οὐ δὲ τῇ ἕκτῃ, ἀλλὰ ὑστέρισε καὶ ταύτης, ἑβδόμης ὥρας εἰσβαλὼν ἐπ' ἀξιολόγῳ ῥαστώνῃ τε καὶ παρακμῇ. κατὰ δὲ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν, ἥ τε παρακμὴ πολὺ βελτίων ἐγένετο, καὶ

ὁ παροξυσμὸς εἰσέβαλεν ὥρας ἐννάτης, κἀν τοῖς οὔροις ἀξιόλογα σημεῖα πέψεως ἐφάνη, προδηλοῦντα τὴν ἐσομένην λύσιν ἐν τῇ μελλούσῃ κρισίμῳ, ἀλλ' οὐ περὶ τούτου νῦν ὁ λόγος, ὅτι μὴ πάρεργον, ὅτι δ' ἐπιμίγνυνται πολλάκις ἑτερογενεῖς πυρετοὶ χολώδεις φλεγματώδεσι καὶ διαλείποντες συνεχέσι, οὓς πολλοὺς τῶν ἰατρῶν λανθάνοντες ὁ προγεγραμμένος ἄρρωστος ἱκανῶς ἐνδείκνυται. ἀλλ' ἐπεὶ δὴ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα ἐπὶ τὸ ἀναβληθὲν ὀλίγον ἔμπροσθεν ἐπάνειμι αὖθις. ὁ γάρ τοι σύνθετος ἐκ τριταίου καὶ ἀμφημερινοῦ συνεχοῦς, ὃν ἡμιτριταῖον ὀνομάζομεν, ἤτοι πλεονεκτοῦσαν ἔχει τὴν ξανθὴν χολὴν, καὶ διὰ τοῦτο καὶ τὰ τοῦ τριταίου συμπτώματα σφοδρότερα, ἢ ταύτην μὲν ἐλάττονα, πλέον δὲ τὸ φλέγμα, καὶ διὰ τοῦτο τὰ τοῦ συνεχοῦς ἀμφημερινοῦ παθήματα βεβαιότερα, ἢ οὐδέτερον θατέρου τῶν χυμῶν ἐπικρατέστερον, ἀλλ' ἰσοσθενεῖς ἀμφοτέρους, ὥσπερ δὴ καὶ ἀκριβὴς ἡμιτριταῖος ἐστὶ, τοιοῦτος ὢν τὴν ἰδέαν, οἷόν περ Ἱπποκράτης αὐτὸν ἐδήλωσε γράφων ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ὧδε. ἦν δὲ τοῖς πλείστοισιν αὐτέων τὰ παθήματα, φρικώδεες πυρετοὶ συνεχέες ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες, ὁ δὲ τρόπος, ἡμιτριταῖος, τὴν μὲν μίαν κουφότερην, τῇ δ' ἑτέρῃ, ἐπιπαροξυνόμενοι, καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντες. φρικώδεις γὰρ εἶπεν οὐχ ἁπλῶς τοὺς μετὰ φρίκης εἰσβάλλοντας, ὡς μυρίοις γε πυρετοῖς ὑπάρχει τοῦτο, περὶ ὧν ἑξῆς ἐρῶ, ἀλλ' οἷς τὸ πλεῖστον μέρος τοῦ παροξυσμοῦ κατειλήφασιν αἱ φρῖκαι, κατά γε τὴν ἑτέραν τῶν ἡμερῶν ἣ συμπροσβάλλουσιν ὁ τριταῖός τε καὶ ὁ συνεχὴς ἀμφημερινός. ἡ γὰρ ὑπόλοιπος ἡμέρα τὸν ἀμφημερινὸν ἔχει μόνον. ὡς τὰ πολλὰ μὲν οὖν ἡ πρώτη τῶν ἡμερῶν τὸν μικτὸν ἐξ ἀμφοῖν ἐπιφέρει πυρετὸν, ἡ δὲ δευτέρα τὸν συνεχῆ φλεγματώδη. συμβαίνει μὲν ἐνίοτε κατὰ μὲν τὴν πρώτην εἰσβάλλειν τὸν φλεγματώδη, κατὰ δὲ τὴν δευτέραν ἀμφοτέρους. ὁ γοῦν παροξυσμὸς ὁ κοινὸς ἐξ ἀμφοῖν ὅταν ἰσοσθενεῖς ὦσιν οἱ χυμοὶ, τοιοῦτος ἐστὶν οἷον ὀλίγον ἔμπροσθεν ὑπέγραψα τὸν ἡμιτριταῖον. ὅταν δ' ὁ τριταῖος ἐπικρατῇ, φρικωδέστερος ὁ πυρετὸς γίνεται, καὶ τι καὶ ῥίγους προσλαμβάνει κατὰ τὴν ἐπισημασίαν. δῆλος δὲ δήπου καὶ θερμότερος ὁ τοιοῦτος ἐστὶ καὶ καυσωδέστερος. καὶ θᾶττον ἐπὶ τὴν ἀκμὴν ἀφικνεῖται, καί τινα χολῆς ἔμετον, διαχώρησιν, ἢ ἱκμάδα φέρει. θατέρου δὲ τοῦ φλεγματώδους πλεονεκτοῦντος, ἐπικρατοῦσι μὲν αἱ ψύξεις τῶν ἀκραίων, ὀλίγαι δ' εἰσὶν αἱ φρῖκαι, καὶ τῶν σφυγμῶν ἡ θλίψις ἰσχυροτέρα τε καὶ πολυχρονιωτέρα, καὶ βραδέως ἐπιδίδωσιν ὁ παροξυσμός. καὶ μετὰ πολὺν ἀκμάζει χρόνον οὐ μὴν οὔτε διψώδης, οὔτε καυσώδης ἐστὶν, οὐδ' ἔμετος, ἢ διαχώρησις χολώδης, ἢ νοτὶς ἔξω αὐτοῦ γίγνεται. καὶ ταύτης τῆς μίξεως τῶν δύο πυρετῶν, εἰς ἔννοιάν τινα καὶ Ἀρχιγένης ἀφίκετο, συγκεχυμένως μέν τοι καὶ ἀδιαρθρώτως. ὡς ἐπιδείκνυμεν ἐν τῷ ἑβδόμῳ τῶν γεγραμμένων ἡμῖν ὑπομνημάτων, εἰς τὴν περὶ τῶν σφυγμῶν αὐτοῦ πραγματείαν. οἴεται οὖν ἐν τοῖς ἡμιτριταίοις ἐνίοτε μὲν ἐπικρατεῖν τὸν τριταῖον πυρετὸν, ἐνίοτε δὲ τὸν ἀμφημερινὸν, οὐ μὴν περί γε τῆς ἰσοκρατοῦς μίξεως αὐτῶν, ἥπερ δὴ καὶ μόνη τὸν ἀκριβῆ συνίστησιν ἡμιτριταῖον, οὔτε ἐνενόησεν, οὔτε ἐδήλωσεν, ἀλλ' ὅλως παρέλιπεν. ἐπειδὰν γὰρ ἴσοι κατὰ τὸ μέγεθος ὑπάρχωσιν, ὅ τε χολώδης διαλείπων, καὶ ὁ φλεγματώδης συνεχὴς, ἡ μὲν εἰσβολὴ τοῦ παροξυσμοῦ μετὰ φρίκης γίνεται μέσον γάρ τουτ' ἐστι ῥίγους τε καὶ περιψύξεως, ὧν τὸ μὲν τῷ τριταίῳ, τὸ δὲ τῷ συνεχεῖ φλεγματώδει σύνηθες. ἡ δ' ἀπὸ τῆς εἰσβολῆς αὔξησις, διὰ μὲν τὸν τριταῖον, εὐθερμαντός τε ἐστὶ, καὶ πρὸς τὴν ἀκμὴν ἐπειγομένη, διὰ δὲ τὸν φλεγματώδη, βραδεῖαν ὅσον ἐφ' ἑαυτῷ ποιούμενον τὴν ἀνάβασιν ἐπέχεταί τε καὶ διακόπτεται, καὶ ἐστὶν ὥσπερ τις μάχη τῶν συμπτωμάτων, ἐνίοτε μὲν ἐκθερμαινομένου τοῦ κάμνοντος, ὅταν ἡ τοῦ τριταίου θερμότης ἰσχυροτέραν ἐνέργειαν, πρὸς τὸ δέρμα τοὺς χυμοὺς ἀναφέρει, κατέχοντος δ' ἐστὶν ὅτε καὶ ἀντισπῶντος ἔσω τὴν τούτου κίνησιν τοῦ φλεγματώδους, ἀργοῦ καὶ δυσκινήτου, καὶ ψυχροῦ, καὶ βραδυπόρου τὴν φύσιν ὑπάρχοντος, ἔν τε τῇ διαμάχῃ ταύτῃ, κρατοῦντος μὲν τοῦ ψυχροῦ χυμοῦ συστολαὶ γίνονται, καὶ φρῖκαι καὶ καταψύξεις τῶν ἀκραίων τε καὶ τοῦ δέρματος, ὡς δοκεῖν αὖθις ἕτερον εἰσβάλλειν παροξυσμὸν, εἰ δ' ὁ θερμότερος ἐπικρατήσειεν, ἀθρόως τε ἐπιθερμαίνονται, καὶ πλησίον τῆς ἀκμῆς ἀφῖχθαι δοκοῦσιν. εἶτ' ὀλίγον ὕστερον ἐπικρατήσαντος τοῦ φλεγματώδους, συστέλλονταί τε πάλιν οἱ κάμνοντες καὶ καταψύχονται, καὶ φρίττουσι καὶ τοῦτ' οὐ παύεται γινόμενον ἄχρι τῆς ἀκμῆς, ἥτις καὶ αὐτὴ, πρωϊαίτερον μὲν ἢ κατὰ τὸν φλεγματώδη χυμὸν, ὀψιαίτερον δὲ ἢ κατὰ τὸν χολώδη γιγνομένη φαίνεται. τοῦ μὲν γὰρ χολώδους τὸ τάχος ὁ φλεγματώδης ἐπέχει, τοῦ δ' αὖ φλεγματώδους τὸ βραδὺ καὶ νωθρὸν ὁ χολώδης ἐπεγείρει. τοιοῦτος μέν τις, ὁ ἀκριβὴς ἡμιτριταῖος, ἐξ ἰσοσθενοῦς κράσεως δυοῖν πυρετοῖν γιγνόμενος, ὅτι καὶ δυοῖν χυμῶν. ὁ δ' οὐκ ἀκριβὴς, ἤτοι τὸν χολώδη χυμὸν, ἢ τὸν φλεγματώδη πλείονα κέκτηται. δευτέρα δ' ἐστὶν ἐπιπλοκὴ καὶ μίξις δυοῖν πυρετῶν τριταίου τε καὶ ἀμφημερινοῦ, παραπλήσιον μέν τινα τὸν παροξυσμὸν ποιουμένη τῷ πρόσθεν εἰρημένῳ, διαφέροντα δὲ τῷ τε προάγεσθαι τοῦτον εἰς ἀπυρεξίαν. καὶ τῷ κατὰ τὴν δευτέραν ἡμέραν ἤτοι μετὰ φρίκης ἢ ῥῖγος εἰσβάλλειν μονωθέντα τὸν ἀμφημερινόν. οὔκουν ἔθ' ἡμιτριταῖος ὁ τοιοῦτος ἔσται πυρετὸς, εἴπερ γε τῶν συνεχῶν ἦν ὁ ἡμιτριταῖος, εἰ δὲ θατέρῳ τῷ γένει τῶν πυρετῶν αὐτὸν ἐναριθμήσαιμεν, οὐχ ὁ τοιοῦτος μόνον, ἀλλὰ καὶ ἄλλοι τινὲς τῶν πυρετῶν ὀνομασθήσονται ἡμιτριταῖοι. κατὰ τοῦτο μοι δοκεῖ καὶ ὁ Ἀγαθῖνος ἅπαντας τοὺς παρεκτείνοντας τριταίους ἡμιτριταίους ὀνομάζειν. ἀλλὰ γὰρ ἐπειδὴ περὶ ὀνομάτων μᾶλλον ἢ πραγμάτων αἱ τοιαῦται ζητήσεις εἰσὶν, διατρίβειν ἐν αὐταῖς οὐκ ἀξιῶ. γέγραπται γάρ μοι ὑπὲρ τῶν ἰατρικῶν ὀνομάτων ἰδίᾳ καθ' ἑτέραν πραγματείαν, ἐν ᾗ καὶ τοῦτ' αὐτὸ δείκνυταί τε, καὶ διορίζεται τελέως, ὁποῖαι μέν τινές εἰσιν αἱ περὶ τῶν πραγμάτων, ὁποῖαι δὲ αἱ περὶ τῶν ὀνομάτων ἀμφισβητήσεις. ἴωμεν οὖν αὖθις ἐπ' αὐτὰ τὰ πράγματα, τὸν ἐφ' Ἱπποκράτους ὀνομαζόμενον ἡμιτριταῖον τὸν φρικώδη καὶ συνεχῆ, ὃν τριταῖος ἀμφημερινῷ μὲν τῷ συνεχεῖ κεραννύμενος ἀπεργάζεται, τῷ διαλείποντι δ' οὐκέτι, διὰ τὸ καὶ τὸν ἐξ ἀμφοῖν συντιθέμενον ἐξ ἀνάγκης καὶ αὐτὸν διαλείποντα γίγνεσθαι. οὐ μὴν οὐδ' ἐκ δυοῖν συνεχῶν, τοῦ τε χολώδους καὶ τοῦ φλεγματώδους, οἷόν τε γενέσθαι τὸν ἡμιτριταῖον. οὔτε γὰρ φρικώδη ποιήσει τὸν τοιοῦτον πυρετὸν ἡ μίξις, οὔτε πολλὰς ἐπαναδιπλώσεις ἔχοντα. παντὸς γὰρ συνεχοῦς πυρετοῦ κατὰ τὸν ἑαυτοῦ λόγον ὅταν ἀκριβὴς ᾖ, μήτε φρίκην ἔχοντος, μήτε ῥῖγος, οὐδ' ὁ συγκείμενος ἐξ αὐτῶν ἔσται φρικώδης. ἀναγκαῖον οὖν εἰ μέλλοι φρικώδης τε ἅμα καὶ συνεχὴς ὁ αὐτὸς ἔσεσθαι, τὴν γένεσιν ἔχειν αὐτὸν ἐκ δυοῖν πυρετῶν, τοῦ μὲν ἑτέ-

ρου διαλείποντος, τοῦ δὲ λοιποῦ συνεχοῦς. καὶ διὰ τοῦτο τριταῖος μὲν ἀμφημερινῷ συνεχεῖ κεραννύμενος, ἐργάζε[ται]
τὸν ἡμιτριταῖον, ὅτε δ᾽ ἀμφότεροι διαλείποντες, ὅτε δ᾽ ἀμφότεροι συνεχεῖς γινόμενοι δύνανται γεννῆσαι τοι[οῦ-]
τον πυρετόν. ἀπολείπεται οὖν μία μίξις ἡ ἐκ διαλείποντος ἀμφημερινοῦ καὶ συνεχοῦς χολώδους γιγνομένη, δυνατ[ὴ]
τε καὶ αὕτη συνεχῆ τε ἅμα καὶ φρικώδη γεννῆσαι πυρετόν. ἕξει δ᾽ ἔμπαλιν ἥδε τῇ πρώτῃ, τὸ μὲν συνεχὲς ἐ[κ]
τοῦ χολώδους, τὸ δὲ φρικῶδες ἐκ τοῦ φλεγματώδους, τὸ δὲ τῶν ἀναδιπλώσεων, ἐκ τῆς πρὸς ἀλλήλους μάχης, καὶ μά-
λιστα ὅταν ἰσοκρατεῖς ὦσιν οἱ χυμοί. κρατοῦντος δ᾽ αὐτῶν ὁποτέρου, καὶ τὰ συμπτώματα καὶ ἡ διάγνωσις ἐν τῇ προ[ει-]
ρημένῃ μίξει δεδήλωται. ταῦτα σύμπαντα περὶ τῶν τεττάρων μίξεων τοῦ τε χολώδους πυρετοῦ καὶ τοῦ φλεγματώδους
οἰκειότερα μὲν οὖν ἦν ὡς ἂν τῷ δόξειεν τῇ περὶ τύπων πραγματείᾳ. λέλεκται δὲ ἀναγκαίως ἐνθάδε, διὰ τὴν ἡμιτριταίου
τοῦ τε γένεσιν. Ἀρχιγένης μὲν, εἰς τριταῖον καὶ ἀμφημερινὸν ἀνῆγεν, οὐ παρακολουθῶν, ὅτι διαλείποντα πυρετ. Ἀγα-
θῖνος δ᾽ ἄντικρυς ὡμολόγησε τοῦ αὐτοῦ γένους εἶναι τῷ τριταίῳ τὸν ἡμιτριταῖον, ἐν τῷ μεγέθει μόνῳ τοῦ παροξυσμοῦ δια-
φορὰν ἴσχοντα. εἰ μὲν οὖν ἁπάσας τῶν πυρετῶν τὰς διαφορὰς ἀκριβῶς γράψαντες ἐν τοῖς ὀνόμασιν ἐσφάλλοντο, χα-
λεπὸν ἂν ἦν οὐδέν. ἐπεὶ δ᾽ οὔτε τῶν ἁπλῶν οὔτε τῶν συνθέτων πάσας ἔγραψαν τὰς διαφοράς, ἔτι τε καὶ περιττὰς τι-
νὰς ἄλλας προσέθεσαν, οὐδὲν οὔτ᾽ εἰς πρόγνωσιν, οὔτ᾽ εἰς θεραπείαν ὠφελούσας, ἡμεῖς ἐπειράθημεν εἰς ὅσον οἷοί τ᾽ ἦμ[εν]
ἀκριβῶς ἐξεργάσασθαι τὸν τόπον ἅπαντα, χρόνῳ παμπόλλῳ διὰ ἐμπειρίας ἅμα καὶ λόγου, τὰς χρησίμους ἐξευρόντ[ες]
ἐν αὐτῷ διαφοράς. αἱ μὲν οὖν ἁπλαῖ τῆς νῦν ἐνεστώσης εἰσὶ πραγματείας, αἱ δ᾽ ἐκ τούτων ἐμπλεκόμεναι, τῆς περὶ
τύπων, ἧς οὐδ᾽ αὐτὸς ἂν εἴη ἀμαθὴς παντάπασιν, ὁ ταύτην ἐπιμελῶς ἀναγνούς. ἐκ γοῦν ὧν εἴπομεν ἐπὶ τοῦ φλεγμα-
τώδους καὶ χολώδους πυρετοῦ μιγνυμένων ἀλλήλοις, ἔνεστι ταῦτα κἀπὶ τὸν μελαγχολικὸν μεταφέροντα τεκμαί-
ρεσθαι περί τε τῆς πρὸς ἑκάτερον ἐκείνων ἐπιπλοκῆς τε καὶ κράσεως, ἐπιπλοκὴν μὲν ὀνομάζοντας, ἐπειδὰν κατὰ διαφό-
ρους ὥρας εἰσβάλλωσι, κρᾶσιν δὲ τὴν καθ᾽ ἕνα χρόνον ἀρχήν. οὕτω δὲ τοὺς τρεῖς πυρετοὺς ἐπιπλέκειν τε καὶ κεραννύνα[ι]
δυνήσεται τις, αὐτὸς καθ᾽ ἑαυτὸν ἐννοεῖν ἐκ τῶν εἰρημένων ὁρμώμενος. ἁπάντων γὰρ τούτων ἀρχὴ καὶ πηγὴ καὶ στοι-
χεῖον ἐστὶν, τὸ διαγινώσκειν ἀκριβῶς ἑκάστου τῶν ἁπλῶν πυρετῶν τὴν ἰδέαν. οὐ γὰρ πολύ γε τὸ πλῆθος αὐτῶν ἐστὶν, ἀλλ᾽
οἱ πάντες τρεῖς, ὅ τε πικρόχολος, καὶ ὁ μελαγχολικὸς καὶ ὁ φλεγματικὸς, ὧν ἑκάστου δύο διαφοραί. διαλείποντο[ς]
τε καὶ συνεχοῦς γιγνομένου. ὡς εἶναι τὰς πάσας διαφορὰς ἁπλῶς τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν,
ἓξ τὸν ἀριθμόν. εἰ δέ τις ἄλλη προσέρχοιτο ταῖς δὲ κατὰ μέρος ἐν αὐτοῖς διαφορά παρά τε τὸ πλῆθος τοῦ χυμοῦ καὶ τὸ ποσὸ[ν]
καὶ τὸ ποιὸν τῆς σήψεως, ἔτι τε τὸν τρόπον τῆς κινήσεως, καὶ τὸ μόριον ἐν ᾧ σήπονται τὴν γένεσιν ἕξει. οἷον αὐτίκα
τῶν διὰ τρίτης παροξυνομένων διαλειπόντων πυρετῶν, ὅσοις μὲν ὅ τε χρόνος ὁ τοῦ παροξυσμοῦ βραχὺς, ἥ τε εἰσβολ[ὴ]
μετὰ ῥίγους ἐστὶ, καὶ ἡ λύσις ἐφ᾽ ἱδρῶσι καὶ χολεμεσίαις. ἢ τῆς κάτω γαστρὸς ὑπαγούσης χολώδη, τούτοις μὲν ὄνομα
κεῖται τριταῖος ἀκριβὴς, οἷς δ᾽ ἐλλείπει τι τούτων οὐκέτ᾽ ἀκριβὴς, ἀλλ᾽ ἁπλῶς, τριταῖος ὀνομάζεται. ἐὰν δὲ καὶ
τὸ διάλειμμα μικρότερον ἔχωσι, μηκυνθέντος δηλονότι τοῦ παροξυσμοῦ, τριταῖον τοῦτον ὀνομάζουσι παρεκτείνοντα,
καί τοι καὶ αὐτοῦ τούτου πολλὴν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἔχοντος τὴν διαφοράν. ἔστι μὲν δήπου τὸν μέν τινα κα-
λεῖν ἁπλῶς οὕτως μεμηκυσμένον, ὅστις ἂν οἶμαι τέτταρας καὶ εἴκοσιν ὥρας τοὺς παροξυσμοὺς ποιησάμενος, ἀπυ-
ρέτους ἴσχει τὰς λοιπάς. τὸν δέ τινα μεμηκυσμένον ἱκανῶς ὅσον ἂν ἀμφὶ τὰς τριάκοντα ὥρας τὸν πυρετὸν ἐκτείνῃ.
καί τινα πρὸς τούτοις ἐπὶ πλέον μεμηκυσμένον, ὃς ἂν εἰς ἓξ καὶ τριάκοντα προέρχηται. καί τινα ἕτερον ἐπὶ πλεῖ-
στον ὃς ἂν εἰς τεσσαράκοντα καὶ πλείους ἔτι παρεκτείνηται. περιορίζειν δὲ ἀκριβέσιν ὅροις ἑκάστου τῶν εἰρημένων οὐκ ἐγ-
χωρεῖ διὰ σωρειτικὴν ἀπορίαν. οὐ μὴν οὐδ᾽ ἀναγκαῖον ἐστὶ τοιαύτην ὀνομάτων ἀκρίβειαν ζητεῖν, ἐνόν γε ἡμῖν καὶ
χωρὶς αὐτῆς δηλοῦν τοῖς πέλας ἀκριβῶς ὑπὲρ ἑκάστου τῶν νοσούντων, καὶ θεραπεύειν ὀρθῶς καὶ προγιγνώσκει[ν]
τὸ ἀποβησόμενον. ὑποκείσθω γάρ τόν τε τινὰ πέντε καὶ δέκα μὲν ὥρας πυρέττειν, ἀπύρετον δὲ γίνεσθαι τρίσ[ι]
καὶ τριάκοντα, καὶ τοῦ θ᾽ ἑξῆς αὐτῷ κατ᾽ ἀναλογίαν ἀπαντᾶν, δῆλον δ᾽ ὅτι καὶ τὸν καιρὸν τῆς τροφῆς εἴσε-
ται τις, ἔκ τε τοῦ κατὰ τὸν παροξυσμὸν καὶ τὸ διάλειμμα χρόνου, καὶ καθ᾽ ὅσον ἐκ χρόνου δυνατόν ἐστι λαβεῖν εἰς
πρόγνωσιν καὶ θεραπείαν χρηστὸν, ἕξει καὶ τοῦθ᾽ ἱκανῶς ἄνευ τοῦ ζητεῖν εἴτε τριταῖον ἁπλῶς χρὴ καλεῖν τὸν τοιοῦτον
πυρετὸν, εἴτε καὶ μετά τινος ἑτέρας προσθήκης ἀφοριζούσης τὴν διαφοράν. ἀλλὰ καὶ δηλῶσαι βουλόμενος ἑτέ-
ρῳ τὸν τοῦ κάμνοντος πυρετὸν ὁποῖός τις ἐστὶν, ἀκριβέστερον δηλώσει τότε τοῦ παροξυσμοῦ καὶ τὸ τοῦ διαλείμ-
ματος εἰπὼν μῆκος, ἢ ζητῶν ὄνομα σαφῶς καὶ ἀφωρισμένως ἐνδείξασθαι, ταὐτὸν δυνάμενον. αὕτη μὲν οὖν ἡ
ἀρίστη διήγησις καὶ διδασκαλία. δευτέρα δὲ ἣν ὀλίγον ἔμπροσθεν εἶπον, ἀκριβῆ τινὰ τριταῖον, ὀνομάζων, καὶ
ἄλλον, ἁπλῶς τριταῖον. εἶτ᾽ ἄλλον ἠρέμα μεμηκυσμένον. εἶτ᾽ ἄλλον ἱκανῶς. ἕτερον δὲ ἐπὶ πλέον, εἶτ᾽ ἄλλον ἐπὶ
πλεῖστον. ἀσαφεστάτη δὲ καὶ χειρίστη πασῶν ἡ πρώτη λελεγμένη, καθ᾽ ἣν ἐρίζουσι καὶ φιλονεικοῦσι καθ᾽ ἡμέ-
ραν πρὸς ἀλλήλους οἱ νεώτεροι τῶν ἰατρῶν, οὐδ᾽ αὐτὸ τοῦτο γινώσκοντες, ὅτι περὶ ὀνόματος ἐρίζουσιν, ἀλλὰ περὶ
μὲν τῶν ἄλλων ἴσως ἧττον ἄν τις θαυμάσειε. Ἀγαθίνου δὲ πάνυ θαυμάζειν ἄξιον, εἴπερ ἐκτείνοντα τινὰ καλῶ[ν]
ἀμφημερινὸν καὶ τεταρταῖον, ἐπὶ τοῦ τριταίου τὴν ἀναλογίαν οὐκ ἐφύλαξεν, ἀλλ᾽ ὃς ἂν ἐπὶ πλέον ἐκταθ[ῇ]
ἐν τῷ παροξυσμῷ, τοῦτον ἡμιτριταῖον ὀνομάζει. ἅλις ἤδη μοι τοῦ περὶ τῶν ὀνομάτων λόγου, κινδυνεύω γὰρ οὖ[ν]
κἀγὼ πλείονα χρόνον ἢ προσήκει διατρίβειν ἐν αὐτοῖς, ἐπανελθεῖν οὖν μοι καιρὸς εἰς τὴν τῶν ὑπολειπομ[ένων ζη-]
τημάτων ἐπίσκεψιν. Εἴη δ᾽ ἂν ἐν τοῖς ὑπολοίποις οὐδενὸς φαυλότερον σκέμμα τὸ δὲ, πότερον ὥσπερ ἐπὶ
ταῖς χολαῖς ἀμφοτέραις, καὶ τῷ φλέγματι γίνονται τινὲς ἰδέαι πυρετῶν, οὕτω κἀπὶ τῷ αἵματι σηπομένῳ, τοὺς
μὲν γὰρ ἐφημέρους πυρετοὺς, ἐκθερμανθέντος αὐτοῦ μόνον, οὐ μήν τοι σαπέντος, ἐλέγομεν γίνεσθαι. κατὰ δὲ τὰς σή-
ψεις, ἀνάγκη γάρ ποτε καὶ τὸ αἷμα σήπεσθαι, ζητητέον ἐστὶν τὴν ἰδέαν τῶν πυρετῶν. εὑρεθήσεσθαι δὲ εἰκὸς αὐτὴν, ἂν
πρότερον ἐξεύρωμεν πῶς σήπεται αἷμα. δοκεῖ γὰρ μὲν ὀρθῶς Ἀριστοτέλης εἰρηκέναι τὴν σῆψιν ὑπὸ θερμότη-
τος ἀλλοτρίας γίγνεσθαι. λέγει δ᾽ ἀλλοτρίαν, τὴν ἔξωθεν, οὐκ ἔμφυτον, οὐδ᾽ οἰκείαν ἑκάστου τῶν ὄντων. αὐτὴ μὲν
γὰρ πέφυκεν πέττειν, ἡ δ᾽ ἀλλοτρία διαφθείρειν, ὅπερ ἐστὶ σήπειν. ἔξωθεν δὲ θερμότης ἐπιγίγνεται τῷ αἵματι
κατά τε τὰς ἐγκαύσεις, καὶ τὰς λοιμώδεις καταστάσεις, καὶ ἁπλῶς εἰπεῖν, ἅπαντας τοὺς πυρετοὺς ὑφ᾽ ἧς ἂν

τινος αἰτίας εἰς γένεσιν ἥκουσιν. ἀλλὰ κἀπειδὰν ἔν τινι μορίῳ τοῦ ζώου, τὸ αἷμα πλέον ἀθροισθὲν, ὑπὲρ τὴν δύναμιν αὐτοῦ γένηται, διαφθείρεται, καὶ μάλιστα ὅταν ἐμφραχθῇ διὰ πάχος ἐν μικροῖς ἀγγείοις, ἢ σφηνωθῇ διὰ πλῆθος, ὁποῖόν τι συμβαίνει κατά τε τοὺς βουβῶνας, καὶ τὰ φύματα, καὶ ἁπλῶς εἰπεῖν, ἁπάσας τὰς φλεγμονάς. ἐν γὰρ ταῖς τοιαύταις διαθέσεσι κατὰ διττὴν αἰτίαν φθείρεται τὸ αἷμα, τῷ τε μὴ διαπνεῖσθαι, καὶ τῷ μὴ κρατεῖσθαι πρὸς τῆς φύσεως. ὅτι δὲ καὶ τὰ μὴ διαπνεόμενα σήπεσθαι πέφυκεν ἐπὶ τῶν ἐκτὸς ἁπάντων ἐστὶ θεάσασθαι, καρπῶν τε καὶ σπερμάτων, ἤδη δὲ καὶ ἱματίων. ἐπαγαγεῖν δ' ἡμᾶς ἱκανῶς δύναται τοῖς λεγομένοις, καὶ τὸ κατὰ τὰς φλυκτίδας. ἀναβλύζουσι γὰρ ἐν αὐταῖς οἱ μὲν ἀφρώδη, οἱ δ' ὠχρὸν, οἱ δ' ἐρυθρὸν ἰχῶρα, τοῦ κατὰ τὴν φλεγμονὴν ἐπικρατοῦντος χυμοῦ, τὸ μὴ στεγόμενον ἀλλ' ὑπὸ λεπτότητος, ἔξω ἱδρούμενον. ἔστι δ' ὅτε καὶ μέλας ὁ ἰχὼρ φαίνεται οὗτος, καὶ οὐδὲ κατ' ἀρχὰς εὐθέως, ἀλλ' ἐν τῷ χρόνῳ πλεῖόν τι, προηγησαμένων ὡς τὰ πολλὰ τῶν ὠχρῶν πτυσμάτων. ὥσπερ οὖν τοῦ πικροχόλου κρατοῦντος χυμοῦ γνωρίσματα, καθάπερ ἀφρώδη μὲν τοῦ φλέγματος, ἐρυθρὰ δὲ τοῦ αἵματος. εἰκὸς οὖν ποτε καὶ αὐτὸ τὸ αἷμα σήπεσθαι περὶ τὰ φλεγμαίνοντα χωρία καὶ τὸν ἐπ' αὐτῷ πυρετὸν ἁπλούστερον μὲν εἶναι τῶν ἐπὶ τοῖς ἄλλοις χυμοῖς, ἀναλογίαν δὲ τῶν παροξυσμῶν, ἐν τριταίᾳ μάλιστα περιόδῳ λαμβάνειν, οὕτω γὰρ φαίνεται κἀπὶ τῶν πλευριτικῶν γινόμενον ὅταν ἐρυθρὰ πτύωσιν, εἰ δ' ὑποπυρρωθείη, μεταβάλλει μὲν δήπου πάντως. ὅσον μὲν δὴ λεπτότατόν τε ἅμα καὶ πῖον ἐστιν, εἰς τὴν ὠχράν. ὅσον δὲ παχύτερον εἰς τὴν μέλαιναν χολὴν, ὥσπερ κἀπὶ τῶν καλουμένων ἀνθράκων, καὶ γὰρ ἐπὶ τούτων ἐξ αἵματος ἰσχυρῶς ζέσαντος, ἡ μετάπτωσις εἰς τὸν μελαγχολικὸν χυμὸν γίνεται. οὕτω δ' ἀκούειν χρὴ τό γε νῦν εἶναι, μελαγχολικὸν χυμὸν ὡς οὐκ ἀκριβῶς ἤδη γεγονότα μέλαιναν χολὴν, ἀλλ' ἐν μεθορίῳ τινὶ τεταγμένον. καὶ τοίνυν καὶ οἱ πυρετοὶ κατὰ τὰς τῶν χυμῶν ἰδέας, εἰς οὓς μεταβάλλει τὸ αἷμα συνίστανται, μόνῳ τῷ κακοήθει καὶ οὐ κακοήθει διαλλάττοντες, ἁπλούστεροι γὰρ οἱ ἐπὶ τῇ τοῦ αἵματος μεταβολῇ, τά τ' ἄλλα, καὶ τῷ πρᾴῳ τῆς θερμασίας· εἰ γὰρ ὅτι μάλιστα παμπόλλη φαίνοιτο κατὰ τὴν ἐπιβολὴν τῆς χειρὸς, ἀλλὰ πραεῖά γε πάντως ἐστὶν, ὥσπερ ἡ μετὰ τὰ βαλανεῖα. τὸ μὲν γὰρ πλῆθος ἀεὶ τῆς πυρετώδους θερμασίας ἐν τῷ πλήθει κεῖται τῆς ἀπορροῆς. τὸ δὲ ἀνιαρὸν, ὡς πρὸς τὴν ἐπιβαλλομένην ἔξωθεν χεῖρα, περὶ τὴν τοῦ χυμοῦ δριμύτητα. καί μοι τοῦτ' ἔστω μέγιστον γνώρισμα, τοῦ τὸν πυρετὸν ἐργαζομένου χυμοῦ. λέγω δὴ τὸ περὶ τὴν ποιότητα τῆς θερμασίας. ἡ μὲν γὰρ ἀτμωδεστέρα τε καὶ ἀλυποτέρα τοῦ αἵματός ἐστιν. αἱ δ' ἀνιαραὶ, καὶ διαβρωτικαὶ, καὶ δακνώδεις, ἐπὶ ταῖς χολαῖς συνίστανται. ὅταν δὲ περὶ μὲν τὴν πρώτην ἐπιβολὴν, ἀτμῶδές τι μᾶλλον ἢ δριμὺ φαίνηται, χρονιζόντων δὲ ἐπὶ βραχὺ, προσγίνηται τὸ δακνῶδες αὐτῷ, καὶ μάλιστα ἀνώμαλον, ὡς διὰ ἠθμοῦ τινος ἢ κοσκίνου διηθεῖσθαι δοκοῦντος, ἐπὶ φλέγματι σηπομένῳ τὸν τοιοῦτον πυρετὸν ἴσθι γινόμενον. ἐπισκεπτομένῳ δέ μοι καὶ ζητοῦντι τὴν αἰτίαν δι' ἣν οἱ μὲν ἐπὶ τοῖς ἄλλοις χυμοῖς πυρετοὶ, τὴν θερμασίαν ὁμαλῶς προσπίπτουσαν ἔχουσιν, οἱ δ' ἐπὶ φλέγματι μετὰ τῆς εἰρημένης ἀνωμαλίας, ἐδόκει μάλιστα αἴτιον εἶναι τὸ γλίσχρον καὶ παχὺ καὶ δυσδιάλυτον τοῦ χυμοῦ. διαπνεῖται μὲν γὰρ δήπου καὶ τοῦτο, ὡς καὶ τῶν ἄλλων ἁπάντων, ὁπόσον ἂν ἑκάστου τι λεπτυνθῇ. λεπτύνεται δὲ μόλις, ὅτι περ ἂν ᾖ παχύτατον, ἂν δὲ καὶ ψυχρὸν ὑπάρχῃ φύσει, πολὺ δὴ καὶ μᾶλλον, οὔτ' οὖν ὅλον, οὔθ' ὁμαλῶς, ἀλλ' ὅπῃπερ ἂν ἡ σηπεδὼν ἐνισχύσῃ, κατ' ἐκεῖνο μόνον ἐκφυσᾶται καὶ ἀναφέρεται λελεπτυσμένον, ὁμοίου τοῦ συμβαίνοντος ὄντος, οἷόν τι κἀπὶ τῶν ἐκτὸς ἑψομένων γλίσχρων, καὶ παχέων χυμῶν τὸ γινόμενον. ἐπανίστανται γὰρ αὐτοῖς πομφόλυγες. ὧν ἐκρηγνυμένων, ἀθρόον ἀναφέρεται πνεῦμα συναναφέρον ἑαυτῷ λελεπτυσμένην ὑγρότητα. τοῖς δὲ λεπτοῖς χυμοῖς ἑψομένοις οὔτε πομφόλυγες ἐγγίνονται, καὶ ὁ ἀναφερόμενος ἀπ' αὐτῶν ἀτμὸς, ὅμοιός τε ἐστὶ πάντῃ καὶ συνεχὴς ἑαυτῷ.

Ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα τὴν αἰτίαν ἐπισκεψώμεθα τῶν ὀνομαζομένων συνόχων πυρετῶν. θαυμαστὸν γὰρ εἶναί μοι δοκεῖ, πολλάκις μὲν ἄχρι τῆς τετάρτης ἢ πέμπτης, ἐνίοτε δὲ καὶ μέχρι τῆς ἑβδόμης ἡμέρας, ἕνα παροξυσμὸν ἀπ' ἀρχῆς ἐπ' αὐτῶν ἄχρι τελευτῆς γίνεσθαι. καί τοι γ' εἴ τις ἀκριβῶς ἐπισκέπτοιτο θαυμασιώτερόν ἐστι τὸ κατὰ περίοδον παροξύνεσθαι τινὰ πυρέττοντας. ὃ γὰρ ἐν τοῖς ἔμπροσθεν εἴπομεν παράδειγμα τῆς κόπρου, τῆς περὶ μέρος σηπομένης, οὐ πάνυ τι συμβαίνειν δύναται, ἐν τῷ τοῦ ζώου σώματι μιγνυμένων τῶν σηπομένων χυμῶν τοῖς ἀσήπτοις ἑτοίμως, ἅτε συμπνοίας οὔσης καὶ συρροίας ἐκ παντὸς εἰς πάντα. οὐκοῦν οἷόν τε γίνεσθαι τὴν σηπεδόνα καθ' ἕν τι μέρος ἄλλοτε ἄλλο, πλὴν εἰ φλεγμονὴ δήσασα κατέχοι τὸν ἀρξάμενον σήπεσθαι χυμόν. ἐπεὶ τοίνυν εἰς τοὐναντίον ὁ λόγος περιέστηκε, χαλεπώτερον δέ ἐστιν ἐξευρεῖν τὴν αἰτίαν τῶν κατὰ περίοδον παροξυνομένων πυρετῶν ἤπερ τῶν συνόχων, πειρατέον ὑπὲρ ἀμφοῖν διελθεῖν, οὐδ' ἐνταῦθα μηκύνοντες, οὐδ' ἀντιλέγοντες τοῖς ἐσφαλμένοις· ἀλλ' ὥσπερ ἐν ἅπασι τοῖς ἔμπροσθεν ἐποιησάμεθα, αὐτὰ τὰ ἀληθῆ μόνα διερχόμενοι, ἐξ ὧν ὁρμώμενος ἄν τις εὑρίσκειν δύναιτο, καὶ τὰ τοῖς ἄλλοις διημαρτημένα, ἀρκτέον δὲ ἀπὸ τῶν ἐναργέστατα φαινομένων, ἅπερ εἰσὶν ὀφθαλμίαι τέ τινες, αἱ μὲν καθ' ἑκάστην ἡμέραν, αἱ δὲ διὰ τρίτης ἡμέρας παροξυνόμεναι, φαίνονται δὲ καὶ ὤτων ἀλγήματα, καὶ κεφαλῆς, ἤτοι συμπάσης, ἢ καὶ τοῦ ἡμίσεως, ὃ δὴ προσαγορεύουσιν ἡμικρανίαν, ἐνίοις δὲ καὶ ποδάγρα καὶ ἀρθρῖτις, ὁρᾶται κατὰ περίοδον παροξυνομένη, ὥσπερ οὖν ἐπὶ τῶν τοιούτων ἁπάντων, ἰδεῖν ἐστι καὶ τὰς φλέβας ἐν τοῖς παροξυνομένοις μέρεσιν εἰς ὄγκον αἰρομένας, καὶ τὴν φλεγμονὴν αὐξανομένην, καὶ τὰς ὀδύνας ἐπιτεινομένας, καὶ ῥεῦμα περιττόν που προχεόμενον ἔξω, οὕτω χρὴ νοῆσαι κἀπὶ τῶν ἐντὸς ὅσα μὴ φαίνεται τὴν αὐτὴν ἀναλογίαν σωζομένην ἔχοντα. ὡς γάρ τε καὶ τὴν ἐν τῇ πλευρίτιδι, καὶ τὴν ἐν τῇ περιπνευμονίᾳ φλεγμονὴν, ἐξαίρεσθαι μὲν ἐν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν, διαφορεῖσθαι δὲ καὶ προστέλλεσθαι κατὰ τὰς παρακμάς. ὅπως δὲ γίνεται τοῦτο, τάχ' ἂν εὕροιμεν εἰ περὶ γενέσεως φλεγμονῆς καὶ τῶν καλουμένων ῥευματικῶν διαθέσεων ἀναμνησθείημεν, † ὅσα δι' ἑτέρων ἡμῖν ἀποδέδεικται. σὺν ἐκείνοις γοῦν, ὅσον ἴδιον ἐστὶ τοῦ νῦν λόγου προστιθὲν, ἀποχρήσει τοῖς παροῦσι ζητήμασι. τὸ τοίνυν ἐπιφερόμενον τοῖς ὀφθαλμοῖς ῥεύμασι, συγχωροῦσι μὲν ἅπαντες ἀπὸ τῆς κεφαλῆς ἐπιρρεῖν, ἥτις δὲ ἐστὶν αἰτία, δι' ἣν ἐν ὡρισμένῃ περιόδῳ πολλάκις ἐπιρρεῖ, λέγειν οὐκ ἔχουσιν, ὡς ἂν μὴ φιλοσοφήσαντες ὑπὲρ τῶν φυσικῶν δυνάμεων, ὑπὲρ ὧν ἐν

† αλ. ἐν τῷ περὶ ἀνωμάλου δυσκρασίας

τρισὶ βιβλίοις ἡμεῖς ἐγράψαμεν, ἀποδεικνῦντες ὡς αἱ πᾶσαι τέσσαρές εἰσιν, ὑφ᾽ ὧν τά τε φυτὰ, καὶ τὰ ζῶα διοικεῖται. μία μὲν οὖν ἐστὶν ἡ τῶν οἰκείων ἑλκτική, δευτέρα δὲ ἡ καθεκτικὴ τούτων. ἡ τρίτη πρὸς ταύταις ἡ ἀλλοιωτική. καὶ τετάρτη γε πρὸς αὐταῖς ἡ τῶν ἀλλοτρίων ἀποκριτική. δῆλον δὲ δή που τὸ ἀλλότριον ἐστὶν ἐν ἅπασι τοῖς οὖσι, τὸ μὲν περὶ ποιῷ, τὸ δὲ τῷ ποσῷ. ἀθροίζεται μὲν οὖν τοῦτο διὰ τὴν ἐν τοῖς μορίοις τῶν δυνάμεων ἰσχὺν καὶ ἀῤῥωστίαν. ἂν μὲν γὰρ ἰσοσθενεῖς ὑπάρχωσιν, οἵ τ᾽ ἐξοχετεύοντες πόροι τὰ περιττώματα, κατὰ φύσιν ἔχωσιν, ὑγιαίνει τὰ μόρια πλείονος δὲ ἀχθέντος, ἢ ὅσον ἀλλοιοῦται, τὸ περιττὸν ἅπαν ἀναγκαῖον ἀποκρίνεσθαι, πρὸς τῆς ἀποκριτικῆς δυνάμεως ὠθούμενον. εἰ δ᾽ ἀῤῥωστήσειεν αὕτη, μένειν ἐν τῷ χωρίῳ. καὶ τὸ μὲν πολὺ, βαρύνον τε καὶ διατεῖνον αὐτὰ, τὸ δὲ δριμὺ, διαβιβρῶσκον τε καὶ δάκνον, ὥσπερ γε καὶ τὸ μὲν θερμὸν, θερμαῖνον, τὸ δὲ ψυχρὸν ψῦχον. ἐναργῶς δὲ φαίνεται ταῦτα, κἀπὶ τῶν κατὰ τὴν γαστέρα. προσενεγκάμενοι γάρ τινες ἔσθ᾽ ὅτε σιτία πλείονα, ποτὲ μὲν ἐμεῖν ἀναγκάζονται ναυτιάσαντες. ἐνίοτε δὲ διαῤῥοίαις ἁλίσκονται. ὅπερ οὖν ἐνταῦθα διὰ μεγίστων εὐρυχωριῶν ἐκκρίνεται πρός γε τὸ ἐκτὸς ἐξωθουμένων τὸ περιττὸν, τοῦτ᾽ ἐν ἄλλοις μέλεσι τοῦ ζώου, διὰ λεπτῶν πόρων, οὐκ ἐκτὸς, ἀλλ᾽ ἐξ ἑτέρων εἰς ἕτερα μεταῤῥεῖν μέρη, ὠθούντων μὲν αὐτὸ τῶν ἰσχυροτέρων, ὑποδεχομένων δὲ τῶν ἀσθενεστέρων. ὠθεῖται δ᾽ αὖθις κἀκ τούτων εἰς ἕτερα, καὶ ἐξ ἐκείνων εἰς ἄλλα καταῤῥεῖ, μέχρι περ ἂν εἰς τὰ πάντων ἀσθενέστερα κατασκήψῃ. παλινδρομῆσαι δ᾽ αὖθις εἰς ἕτερα ἐντεῦθεν τῶν ἰσχυροτέρων, ἀδύνατον αὐτό. καὶ διὰ τοῦτο κατά γε τὰς πληθώρας καὶ κακοχυμίας, τὰ πάντων ἀσθενέστερα μόρια, τὰ μὲν φλεγμοναῖς ἁλίσκεται, τὰ δ᾽ ἐρυσιπέλασι, τὰ δὲ ἕρπησι, τὰ δ᾽ ἄλλῳ τινὶ παθήματι, τὰ δὲ καὶ τὴν καλουμένην ἴσχει ῥευματικὴν διάθεσιν, ὑπὲρ ἧς ἰδίᾳ μοι γέγραπται. θαυμαστὸν οὖν οὐδὲν, ἤτοι τὸν ἐγκέφαλον, ἢ καὶ σύμπασαν ἐνίοτε τὴν κεφαλὴν, ἀθροίσασάν τι περιττὸν, ἐπί τι τῶν ἀσθενεστέρων ἀπώσασθαι μορίων, ἢ οὖς, ἢ ὀφθαλμοὺς, ἢ κρόταφον, ἢ χεῖλος, ἢ ὀδόντας, ἢ γνάθον, ἢ οὐρανίσκον, ἢ οὖλα, καὶ γαργαρεῶνα, καὶ παρίσθμια, καὶ τοὺς ἀδένας τοὺς ἐνταῦθα. κἄπειτα τούτων μηδὲν ἀσθενὲς ᾖ, καὶ θώρακι καὶ πνεύμονι, καὶ φάρυγγι, καὶ στομάχῳ, καὶ γαστρὶ καταπέμπει τὸ ῥεῦμα. καθάπερ οὖν ἡ κεφαλὴ πολλάκις ἑκάστῳ τῶν εἰρημένων αἰτία γίνεται νοσήματος, οὕτω καὶ τῆς κατὰ τὸ ἧπαρ καὶ τὸν σπλῆνα φλεγμονῆς, τῶν ὁμιλούντων τι μορίων, ἢ καὶ νὴ Δία τῶν ποῤῥωτέρω κειμένων ἓν, ἢ καὶ πλείω γεννᾷ τε καὶ αὐξάνει, καὶ ἀποῤῥεῖ, καὶ κατὰ περίοδον παροξύνει. καὶ οὐδὲν θαυμαστὸν ὅμοιόν τι συμβαίνειν αὐτοῖς πάθημα, τῇ κατὰ τὴν γαστέρα τῶν περιττωμάτων ἐκκρίσει. ὥσπερ οὖν εἴ τις ἑώρα μὲν ὅσον ἐκκρίνεται καθ᾽ ἑκάστην ἡμέραν, ἠγνόει δὲ τὴν αἰτίαν τῆς ἐκκρίσεως, ἐθαύμαζεν ἂν τὴν τάξιν. οὕτως ὅστις οὐκ οἶδεν, οὔτε τῆς γενέσεως τῶν ἐν τῇ κεφαλῇ περιττωμάτων, οὔτε τῆς ἐκκρίσεως τὴν αἰτίαν, ἀγνοεῖ δὲ καὶ διότι τὰ μὲν εἰς τὸ ἐκτὸς ἀποῤῥεῖ, τὰ δ᾽ εἰς ἕτερόν τι μεταῤῥεῖ μόριον, ἀπορεῖ τε καὶ θαυμάζει τὴν ἀναλογίαν τῆς ἐπιῤῥοῆς. ὡσαύτως δὲ καὶ ὅστις οὐκ οἶδεν οὔτε τὰ πέμποντα τῷ ἥπατι τὸ περιττὸν, οὔτε τὴν αἰτίαν καθ᾽ ἣν ἐπιπέμπεται, θαυμάζει τὴν ἀναλογίαν τῶν ἐφ᾽ ἥπατι πυρετῶν, ὁ δέ γε γνοὺς ὅτι τὸ κατασκῆπτον εἰς τὸ σπλάγχνον ῥεῦμα, τήν τε πρώτην εἰργάσατο τῆς φλεγμονῆς ἀρχὴν, καὶ τοῦ μετὰ ταῦτα παροξύνεσθαι, τὸ πεπονθὸς αὐτὸ τὴν αἰτίαν ἔχει, πέπαυται θαυμάζων. διττὴ δὲ ἡ πρόφασις ἐστὶ τῆς τοιαύτης ἐπιῤῥοῆς, μία μὲν ἣν νῦν δὴ πέπαυμαι λέγων, ὅταν ἐξ ἑτέρων μορίων ἐπιπέμπηται τοῖς ἀσθενεστέροις τὰ περιττώματα, δευτέρα δ᾽ ὅταν ἕλκηται, περὶ ἧς ἤδη λεκτέον ἀρχὴν τῷ λόγῳ κἀνταῦθα τὰ πᾶσιν ἐναργῶς φαινόμενα ποιησαμένους. εἰ γὰρ ἐπαλείψαις τινὶ θαψίαν, ὄψει τοῦτον ἐν ὀλίγῳ χρόνῳ θερμότερόν τε τὸ μόριον ἴσχοντα, καὶ εἰς ὄγκον οὐ σμικρὸν ἐξαιρόμενον. οὕτω δὲ καὶ εἰ παρὰ πυρὶ θάλψαις τὸ μέρος, ἢ ἀνατρίψαις ἰσχυρῶς, ἤτοι ῥητίνῃ καταχρίσας ἢ πίττῃ μετρίως θερμῇ. κἄπειτ᾽ ὀλίγον ὕστερον ἀποσπάσας ἀθρόως, ἢ εἰ καί τι προσαπολείψαις ὅτῳ δή ποτε μέρει θερμαῖνον φάρμακον. ὄψει γοῦν ἐν ἅπασι τοῖς τοιούτοις εἰς ὄγκον ἐξαιρόμενον αὐτὸ, τῆς θερμασίας ἤτοι γ᾽ ἕλκειν ἐφ᾽ ἑαυτὴν, ἢ δέχεσθαι ῥεύματα πεφυκυίας, ὃ γοῦν ἀναγκαῖον ἐν τῷ παρόντι τὰ τοιαῦτα διορίζεσθαι, τὸ χρήσιμον εἰς τὸ προκείμενον ἔχοντας ἤδη, χωρὶς τοῦ τὰ τοιαῦτα φιλοσοφεῖν. ἐπιῤῥεῖν γοῦν ἀεὶ φαίνεται τοῖς ἰσχυρότερον θερμαινομένοις μορίοις, ἐν μὲν τοῖς πληθωρικοῖς καὶ περιττωματικοῖς σώμασιν, ἱκανῶς δαψιλὲς, ἐν δὲ τοῖς ἀπερίττοις ὀλίγον. ἐπιῤῥεῖ δ᾽ οὐχ ἥκιστα καὶ τοῖς ὀδυνωμένοις. οὕτως γοῦν πολλάκις ἄκρον τὸν δάκτυλον τῆς χειρὸς ἐλαχίστῃ βελόνῃ νυχθείς τις, ὀδυνᾶται μὲν αὐτίκα, μικρῷ δ᾽ ὕστερον φλεγμαίνει τε καὶ εἰς ὄγκον αἴρεται μέγιστον, ἅπαντα τὰ πέριξ, ἐνίοις δὲ καὶ βουβῶνες ἐπανίστανται κατὰ τὰς μασχάλας, ἀπολαυσάντων τι τοῦ ῥεύματος. τῶν ἀραιῶν τε καὶ σπογγοειδῶν ἐνταῦθα σωμάτων, ἃ δὴ καλοῦσιν ἀδένας. ἔστι δ᾽ οἷς καὶ κατὰ μέσον τὸν βραχίονα, τοῦτο φαίνεται γιγνόμενον, οἷς ἂν ἀξιόλογος ἀδὴν, ἐνταῦθ᾽ ᾖ τεταγμένος. ἐναργέστατα δ᾽ ὄψει τὸ λεγόμενον, ἐφ᾽ ὧν ἂν ἑλκύδριόν τι μικρὸν ἀφλέγμαντόν τε καὶ ἀνώδυνον. ὄνυχος ᾖ πλησίον. εἰ γὰρ ἀμεληθείη τοῦτο, καὶ μὴ συνέχοιτο, καὶ εἰς οὐλὴν ἄγοιτο, τῆς ἐπιτρεφομένης αὐτῷ σαρκὸς ὑπὸ τοῦ ὄνυχος θλιβομένης, ὀδυνᾶται μὲν πρῶτον, εἶθ᾽ ἑξῆς ὅλος ὁ δάκτυλος, ἐνίοτε δὲ καὶ καρπὸς αὐτῶν, ἢ ποὺς εἰς μεγίστην ἐξαίρεται φλεγμονὴν, οὕτως ἄρα καὶ ἡ ὀδύνη ῥεῦμα τοῖς ὀδυνωμένοις ἐπάγει μορίοις, οὐ μὴν οὐδὲ τούτου τὴν αἰτίαν ἐνταῦθα λέγειν ἀναγκαῖον, ἑτέρωθι γὰρ εὐκαιρότερον λέλεκται, καὶ οὐδὲν αὐτῆς εἰς τὰ παρόντα δεόμεθα. φαίνονται γοῦν ἤδη σαφῶς αἰτίαι ῥευμάτων ἐξ αὐτῶν ὁρμώμεναι τῶν ῥευματιζομένων μορίων διτταὶ, μία μὲν ἡ ἐκ τῆς ἀναπεμπομένης ἐν αὐτοῖς θερμασίας, ἑτέρα δὲ ἡ ἐκ τῆς γινομένης ὀδύνης. τοῦ δ᾽ ἤτοι πλέον, ἢ ἔλαττον, ἢ χρηστότερον, ἢ μοχθηρότερον ἐπιῤῥεῖν τὴν αἰτίαν οὐκ ἔτ᾽ ἐξ αὐτῶν ἔχει μόνον τῶν ῥευματιζομένων σωμάτων, ἀλλὰ τοῦ μὲν χρηστοτέρου ἢ μοχθηροτέρου, ἐν τοῖς πέμπουσι μορίοις ἡ αἰτία, τοῦ δ᾽ ἧττόν τε καὶ πλέον ἐν τοῖς συναμφοτέροις. αἱ μὲν γοῦν ἰσχυραὶ θερμασίαι τε καὶ ὀδύναι πλέον ἕλκουσιν, αἱ δ᾽ ἀσθενέστεραι μεῖον, οὕτως δὲ καὶ τὰ μὲν ἀπέριττα σώματα, βραχύτερα τοῖς ἕλκουσι πέμπουσι, τὰ δὲ περιττωματικά τε καὶ πληθωρικὰ τοσούτῳ πλέον, ὅσῳ περ ἂν ἐξεστήκῃ τοῦ κατὰ φύσιν. αὗται μὲν οὖν αἱ διαφοραὶ τῶν ῥευμάτων χωρὶς τῆς τῶν ῥευματιζομένων ἀσθενείας γίνονται. ἕτεραι δὲ διὰ τὴν τούτων ἀσθένειαν, καὶ τὴν ἰσχὺν τῶν πεμπόντων τὰ περιττώματα, πᾶσαι γὰρ αἱ χωρὶς τοῦ βιασθῆναι, καὶ

θλασθῆναι

θλασθῆναι καταλαμβανούσαι τὰ μόρια φλεγμοναί, περιττωμάτων τινῶν κατασκηπτόντων ἐξ ἰσχυροτέρων εἰς ἀσθενέστερα γίνονται, συνεξάπτουσι δ' εὐθὺς αἱ τοιαῦται φλεγμοναὶ καὶ πυρετὸς, ὅταν ἤτοι διὰ μέγεθος ἢ γειτνίασιν ἡ ἐξ αὐτῶν θερμότης ἐπὶ τὴν καρδίαν ἐξικνεῖται. σήπεται μὲν οὖν ἐν πάσαις ταῖς φλεγμοναῖς τὰ κατασκήψαντα περιττώματα διὰ τὰς εἰρημένας ἔμπροσθεν αἰτίας. οὐχ ὁμοίως δὲ σήπεται τὰ πάντα, τῷ τὰ μὲν εἶναι φλεγματικὰ, τὰ δὲ μελαγχολικὰ, τὰ δὲ πικρόχολα. σηπομένων δὲ αὐτῶν ἀνάπτεται θερμασία παρὰ φύσιν ἐν τῷ φλεγμαίνοντι μορίῳ, συνεκθερμαίνεται μὲν, ὅσα πρῶτα ψαύει τῶν φλεγμαινόντων μορίων, εἶθ' ἑξῆς τὰ συνεχῆ τούτοις ὑφ' ὧν αὖθις ἕτερα κατὰ τὸν γειτνιάσεως λόγον θερμανθέντα, καὶ πάλιν ὑπ' ἐκείνων ἕτερα διακομίζει τὴν θερμασίαν ἐνίοτε μέχρι τῆς καρδίας. ἥτις μὲν οὖν ἐστιν ἡ ἐν τοῖς φλεγμαίνουσι διάθεσις, ἔν τε τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας εἴρηται λόγῳ, κἀν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων. ὅτι δ' ἀναγκαῖόν ἐστι τὸ περιεχόμενον ἐν αὐτοῖς αἷμα σήπεσθαι πολλάκις, ἅμα τοῖς ἐπιρρυεῖσιν, ἐν τῷδε λεχθήσεται. τὸ κατασκῆψαν δ' ἐξ ἑτέρου μορίου εἰς ἕτερον περίττωμα, ποτὲ μὲν οὕτως ἐστὶ πολὺ καὶ μοχθηρὸν, ὡς βλάψαι τοῦ ῥευματισθέντος μορίου τὴν δύναμιν. ἐνίοτε οὕτως ἐπιεικές τε καὶ ὀλίγον, ὡς μηδὲν ἀδικῆσαι τὸ ὑποδεξάμενον σῶμα. εἰ μὲν δὴ βλάψει τὴν δύναμιν εἰς τοσοῦτον, ὡς ἔκλυτόν τε γίνεσθαι, καὶ μηκέτι κρατεῖν, ὧν ἔμπροσθεν ἐκράτει, σήπεσθαι τηνικαῦτα ἀναγκαῖον ἤδη καὶ τὸ αἷμα κατὰ διττὸν λόγον, ὅτι τε τὸ μὴ κρατούμενον ὑγρὸν ὑπὸ τῆς οἰκείας θερμότητος ὑπόλοιπον ἔχει τὴν εἰς σηπεδόνα μετάστασιν, ὅτι τε τοῖς περιττώμασι σηπομένοις συνδιασήπεται. εἰ δὲ μὴ βλάψειεν εἰς τοσοῦτο τὴν δύναμιν ὡς ἐκλυθεῖσαν ἡσυχάσαι παντάπασιν, ἡμιμοχθηρόν τι καὶ οἷον ἡμισαπὲς ἐν τῇ τοιαύτῃ καταστάσει γίνεται τὸ αἷμα, τῇ μὲν τῶν σηπομένων περιττωμάτων γειτνιάσει συνδιασηπόμενον. ἐν δὲ τῷ κατὰ φύσιν ἑαυτοῦ διαμένον τοσοῦτον, ὅσον ἐπὶ τῷ λόγῳ τῆς διακοσμούσης αὐτὸ δυνάμεως. ὁποτέρως δ' ἂν ἔχει, τότε κατὰ τὴν πρώτην σηπεδόνα θερμὸν ἀναπτόμενον, ἔστι μὲν πάντη δριμύτερόν τε καὶ δακνωδέστερον τοῦ κατὰ φύσιν, αὐξάνεται δ' εἰς τοσοῦτον, εἰς ὅσον ἂν καὶ ἡ τῶν περιττωμάτων φύσις ἐξαρκεῖ. παραπλήσιον γάρ τινα λόγον ἔχει ταῦτα πρὸς τὴν ἐξ αὐτῶν ἀναπτομένην θερμασίαν, οἷόν περ τὰ ξύλα πρὸς τὸ πῦρ, οὐ μὴν εἰς ἄπειρόν γε χρόνον ἐξαρκεῖ ταῦτα πρὸς τὴν ἀλλοίωσιν, ἀλλ' ἔστιν ὅρος αὐτοῖς τῆς μεταβολῆς ἡ τῆς ἐνυπαρχούσης ἰκμάδος ἀπώλεια μέχρι τοσούτου καίεσθαι δυναμένης, ἄχρι περ ἂν ἔχει τι τῆς συμφύτου νοτίδος. ἐκδαπανηθείσης δὲ ταύτης, πέπαυταί τε καιόμενα, καὶ τὸ λείψανον αὐτῶν, καλεῖται τέφρα. καὶ δὴ καὶ τῶν διασηπομένων χυμῶν, ὡσαύτως ἡ θερμασία διαμένει μέχρι περ ἂν ὀπτηθῶσι τελέως. ὀλίγον δ' εἰκὸς τὸ τῶν χυμῶν γίνεσθαι γεῶδες λείψανον, οὐχ ὥσπερ τὸ τῶν ξύλων πολὺ, διότι κατὰ τὴν οὐσίαν αὐτῶν ἐπικρατεῖ τὸ ὑγρὸν στοιχεῖον, οὐ τὸ ξηρόν. οὕτως δ' εἰ καὶ τῶν ἐκτὸς τινὰ χυμῶν ἑψεῖν ἐθέλοις, οἷον ἔλαιον ἢ οἶνον ὀλίγιστον μὲν αὐτῶν καταλείψεις γεῶδες, τὸ ἄλλο πᾶν εἰς ἀτμόν τε καὶ ἀέρα λεπτυνθὲν οἰχήσεται. καὶ τοίνυν τῶν ζεσάντων ἐπὶ τῇ σηπεδόνι χυμῶν λεπτυνθέντων ὑπὸ τῆς θερμότητος εἰς τὸ περιέχον ἡ οὐσία σκίδναται πᾶσα κατὰ τὰς ἀκμάς τε καὶ παρακμὰς τῶν πυρετῶν, ὑπολείπεται δ' ἤδη παντάπασιν ὀλίγον περιττὸν, ἢ οὐδέν. ἐν μὲν τοῖς παχυτέροις χυμοῖς, ὀλίγον, ἐν δὲ τοῖς ὀρρωδεστέροις οὐδέν. εἰ μὲν δὴ μήτις ἀσθένεια ἐγγίνοιτο τῇ τοῦ φλεγμήναντος μορίου δυνάμει, μήτ' αὖθις ἐπιπέμποιτο περιττώματα, πέπαυταί τε τὸ νόσημα, καὶ δεύτερον οὐκ ἂν ἔτι πυρέξειεν ὁ ἄνθρωπος, οὔτε κατὰ τὴν ἑξῆς ἡμέραν, οὔτε διὰ τρίτης, οὔτε διὰ τετάρτης, εἰ δ' ἤ τι κατὰ τὴν αὐτὴν αἰτίαν ἐπιπέμποιτο, καθ' ἣν ἐξ ἀρχῆς ἐπέμφθη κατὰ μόριον τὰ περιττώματα, ἢ εἰ ταῦτα μὲν οὐκέτι πέμποιτο, παραμένοι δὲ ἡ τῆς δυνάμεως ἀρρωστία, δεύτερον ἀνάγκη πυρέξαι τὸν ἄνθρωπον. ὑποκείσθω γὰρ πρότερον ἐρρωμένη μὲν ἡ τοῦ μορίου δύναμις, ἀθροιζόμενα δ' ἐν τῷ μεταξὺ χρόνῳ τὰ περιττώματα κατὰ τὰ πρῶτα ἀποπέμψαντα μόρια τοιαῦτα τε τὴν ποιότητα, καὶ τοσαῦτα τὸ πλῆθος, οἷα καὶ ὅσα τὴν ἀρχὴν ἔπεμψεν. ἔστι δὲ τὸ τοιοῦτον, οἷς ἂν ἥτε διάθεσις τῶν πεμπόντων ἡ αὐτὴ διαμένει, καὶ τῆς ἑλκομένης εἰς αὐτὰ τροφῆς ἡ ποσότης τε καὶ ἡ ποιότης. ἀνάγκη γὰρ οἶμαι τὸ ἴσον καὶ ὅμοιον ὑπὸ τῆς αὐτῆς δυνάμεως ἀλλοιούμενον, ἴσα καὶ ὅμοια ποιῆσαι περιττώματα, καὶ μὲν δὴ καὶ ὁ τῆς ἀθροίσεως αὐτῶν χρόνος ἐξ ἀνάγκης ἴσος ἔσται. τὰ γοῦν τρεφόμενα μόρια μέχρι περ ἂν ὁμοίαν ἔχῃ τὴν κατάστασιν, ὑπὸ τῆς αὐτῆς τρεφόμενα τροφῆς, ἴσα τε τῇ ποσότητι καὶ ὅμοια τῇ ποιότητι, καὶ κατὰ τὴν αὐτὴν τοῦ χρόνου προθεσμίαν, ἀθροίσει τὰ περιττώματα. καὶ μὲν δὴ κατὰ τὴν αὐτὴν περίοδον ὁρμήσει πρὸς τὸ ταῦτα ἀπωθεῖν τε καὶ πέμπειν τοῖς ἀσθενεστέροις, εἴγε δὴ τότε πρῶτον, ἡ ἀποκριτικὴ δύναμις ὁρμᾷ πρὸς τὴν ἑαυτῆς ἐνέργειαν, ὅταν ἤτοι βαρύνηται τῷ πλήθει τῶν περιττωμάτων, ἢ δυσχεραίνῃ τῇ ποιότητι. δέδεικται δὲ ὑπὲρ τῶν τοιούτων ἁπάντων ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἐν οἷς χρὴ γεγυμνάσθαι τοὺς μέλλοντας σὺν ἀποδείξει μαθήσεσθαι τὰ νῦν λεγόμενα, μεγάλων γε τῶν ἄθλων αὐτῷ προκειμένων ἐκ τῆς τοιαύτης θεωρίας εἰς τὴν θεραπευτικὴν μέθοδον. ἵνα γὰρ ἅπαντα παραλίπω τἆλλα, τὰ μέλλοντά γε λεχθήσεσθαι κατ' ἐκείνην τὴν πραγματείαν, ἑνός γε μόνου μνημονεύσω προχειροτάτου τε καὶ πολλάκις ὑφ' ἡμῶν γεγονότος, ὀφθαλμίας παροξυνομένης κατὰ περίοδον, οὐ μικρῶς οἶμαι προτραπήσεσθαι τὸν ἀκούσαντα, τὴν νῦν ἡμῖν διαπεραινομένην ἐκμαθεῖν θεωρίαν, ἔμπαλιν γὰρ, ἢ ὡς οἱ καλοῦντες ἑαυτοὺς ὀφθαλμικοὺς, θεραπεύσαμεν ἀεὶ τὰς τοιαύτας ὀφθαλμίας ἐκείνων μὲν ἀεὶ τοῖς ὀφθαλμοῖς παρεχόντων πράγματα, ἡμῶν δέ ποτε, καθάρσει χρησαμένων, ποτὲ μὲν λουτρῷ, ποτὲ δὲ ἀκρατοποσίᾳ, ὡς Ἱπποκράτης λέγει, ποτὲ δὲ φλεβοτομίᾳ, ποτὲ δὲ ἀμφοτέροις, ἢ κλυστῆρι μετὰ φλεβοτομίας, ἔστι δ' ὅτε μὲν εὐθὺς ἐπὶ τοῖσδε παυσαμένων, ἔσθ' ὅτε δὲ, μετὰ τοῦ προνοήσασθαι τῆς κεφαλῆς. ἅπαντες γὰρ οἱ οὕτω θεραπευθέντες, ἢ οὐδ' ὅλως ἔτι παρωξύνθησαν, ἢ ἅπαξ μόνον, ἔλαττον πολὺ τοῦ πρόσθεν. ἀλλὰ περὶ μὲν τῶν θεραπευτικῶν διορισμῶν τε καὶ γνωρισμάτων οὐ νῦν λέγειν καιρὸς, ὅτι δ' ἐγχωρεῖ, ποτὲ μὲν τὴν ὅλην κεφαλὴν, ἤτοι μηδὲν πεπονθυῖαν, ἀλλ' αἵματι μοχθηρῷ καὶ περιττωματικῷ τρεφομένην, ἀθροίζειν περιττώματα πλείω τε καὶ μοχθηρότερα τῶν ἔμπροσθεν, ὡς μηκέτ' αὐτοῖς ἀρκεῖν τὰς φυσικὰς ἐκροάς τε καὶ διαπνοὰς, ἀλλ' ἀναγκάζεσθαι τὴν φύσιν ὠθεῖν τὸ περιττὸν εἴς τι τῶν ἀσθενεστέρων μορίων, ἢ τῶν μὲν χυμῶν ἐχόντων κατὰ φύσιν, αὐτῆς δέ τι πεπονθυίας, ἢ καὶ συνελθόντων ἀμφοῖν ἀθροίζεσθαί τε τὰ περιττώματα, καὶ κατασκήπτειν εἴς τι μόριον, ὁ ἐνεστὼς λόγος ἐπιδεῖξαι σπουδάζει. μέχρι γὰρ ἂν ὅ τε ἐπιρρέων χυμὸς ὅμοιος ᾖ, καὶ τῆς κεφαλῆς ἡ διάθεσις ἡ αὐτὴ, μέχρι τοσούτου τά τε περιττώ-

ματα κατὰ τὸν ἴσον ἀθροισθήσεται χρόνον ὅμοιά τε καὶ ἴσα. καὶ οἱ παροξυσμοὶ τῶν ὀφθαλμῶν ὅμοιοι γενήσονται. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καὶ μὴ συμπάσης τῆς κεφαλῆς, ἀλλ' ἑνός γέ τινος τῶν αὐτῇ μορίων, ἤτοι μηνίγγων, ἢ ἐγκεφάλου γένηταί τις διάθεσις, ὡς ἐκ τῆς τοιαύτης τροφῆς ἀθροίζειν τι τοσόνδε καὶ τοιόνδε περίττωμα, ἐπὶ τοσόνδε χρόνον, εἶτ' ὠθεῖν, τὸ περίττωμα τηνικαῦτα τό τε πρῶτον, ὅταν ὑπ' αὐτοῦ ἀξιολόγως ἀνιαθείη, συμβήσεται, καὶ τό τε παροξύνεσθαι κατὰ περίοδον, ἢ ὀφθαλμοὺς, ἢ οὖς, ἤ τι τοιοῦτον ἕτερον, εἰς ὅπερ ἂν ἀσθενέστερον ὠθῇ τὸ περιττόν. ὥσπερ οὖν ἐπ' ὀφθαλμῶν, καὶ ὤτων, καὶ ποδῶν, καὶ ἄλλων τε πολλῶν τοιούτων μορίων, ἐναργῶς ὁρᾶται κατὰ περίοδον ὁ παροξυσμὸς γιγνόμενος, ὡς ἐπιδέδεικται, τί θαυμαστὸν ἐν πλευρίτιδι, καὶ περιπνευμονίᾳ καὶ φρενίτιδι, καὶ τοῖς ἄλλοις ἅπασιν, ὧν οὐκ ἔστι θεάσασθαι τὰς φλεγμονὰς, ὁμοίως μὲν ἐπιρρεῖν τὸ περιττὸν, οὐδὲν αὐτοῦ τοῦ φλεγμαίνοντος μέρους πεπονθότος ἐξαίρετον ἴδιον εἰς τὴν τῶν εἰρημένων γένεσιν ἄλλο γε, πλὴν ὅτι τῶν πεμπόντων τὰ περιττώματα κατ' ἐκεῖνον τὸν χρόνον ἀσθενέστερόν ἐστιν. οὐ μὴν οὐδ' ἐκεῖνο θαυμαστόν ἐστι, τὸ μὴ δὲ κατὰ μίαν ἀθροίζεσθαι προθεσμίαν, ἅπαντα τὰ περιττώματα. τοῦ γὰρ μή τε τὸ φερόμενον ἐν λόγῳ τροφῆς αἷμα ὅμοιον διὰ παντὸς ὑπάρχειν, μή τε τὴν τῶν τρεφομένων διάθεσιν εἶναι τὴν αὐτὴν, ἄλλος ἄλλῳ χρόνος ἱκανός ἐστιν εἰς τὴν τοσούτου περιττώματος ἄθροισιν, ὑφ' οὗ πρώτου λυπεῖται μὲν ἡ φύσις ἡ τοῦ μορίου, ἀναγκάζεται δ' ὡς ἀλλότριον ἑαυτῆς ἀποτρίβεσθαι τὸ λυποῦν. οὐ μὴν οὐδ' ὅτι τῶν παροξυσμῶν αὐτῶν, ἄνισόν ἐστι τὸ μῆκος, ἔτι χρὴ θαυμάζειν. εἴπερ γὰρ οὐχ ἓν, οὔτ' εἶδος, οὔτε πλῆθός ἐστι τῶν περιττωμάτων, οὐδ' ὡσαύτως ἀνάπτεσθαι πᾶσιν, ἢ διαφορεῖσθαι προσήκει. τὰ μὲν γὰρ πλείω, καὶ ψυχρότερα, καὶ γλίσχρα, καὶ παχέα, μακροτέρους ἐργάζεται τοὺς παροξυσμούς. τὰ δ' ἐλάττω, καὶ θερμότερα, καὶ λεπτότερα, βραχυτέρους, συνεπιλαμβανούσης οὐ σμικρὸν εἰς ταῦτα, τῆς τε τοῦ σώματος ὅλου κατασκευῆς ἐν ἐκείνῳ τῷ χρόνῳ, καὶ τοῦ τῆς δυνάμεως τόνου. τὸ μὲν γὰρ ἀραιότερον σῶμα βραχυτέρους ὅσον ἐφ' ἑαυτῷ τοὺς παροξυσμοὺς ἐργάζεται, τὸ δὲ πυκνότερον μακροτέρους, καὶ ῥώμη μὲν δυνάμεως ὀλιγοχρονιωτέρους, ἀρρωστία δὲ πολὺ χρονιωτέρους. ἡ μὲν γὰρ ἰσχυρὰ δύναμις, ἑτοιμότερον ἀφ' ἑαυτῆς ὠθεῖ τὸ ἀλλότριον, ἡ δὲ τοῦ σώματος ἀραιότης, οὐκ ἴσχει τὸ φερόμενον, ὥστ' ἀνάγκη τοῖς οὕτω διακειμένοις, ταχέως ἐκκρίνεσθαι τὸ περιττὸν, εἰ καὶ τἄλλα παραπλήσια ὑπάρχει. κατὰ δὲ τὸν αὐτὸν λόγον, ὅσοις ἐναντίως διάκειται τὸ σῶμα, τοιούτοις ἀνάγκη πολυχρονιωτέραν γίνεσθαι τὴν ἔκκρισιν τῶν περιττωμάτων, ἀρρώστως μὲν ὠθούσης τὰ περιττώματα τῆς δυνάμεως, στεγούσης δὲ τὰ φερόμενα, τῇ τῶν διεξόδων στενότητι. ἁπάντων δ' ἅμα συνελθόντων, ἤτοι μακρότατος, ἢ βραχύτατος παροξυσμὸς γίγνεται, μακρότατος μὲν διά τε πάχος, καὶ τὸ πλῆθος τοῦ περιττώματος, καὶ τὴν ἀσθένειαν τῆς δυνάμεως, καὶ τὴν τῶν διεξόδων στενότητα. βραχύτατος δὲ, καὶ διά τε λεπτότητα, καὶ ὀλιγότητα τοῦ περιττώματος, καὶ τὴν ῥώμην τῆς δυνάμεως, καὶ τῶν ὁδῶν τὴν εὐρύτητα. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὐδὲ διά τι τῶν παροξυσμῶν, οἱ μὲν εἰς ἀπυρεξίαν λήγουσιν, οἱ δ' οὔ, χαλεπὸν ἐξευρεῖν. ἐπειδὰν μὲν γὰρ ὁ τοῦ προτέρου παροξυσμοῦ χρόνος οὕτως ᾖ βραχὺς, ὡς πρὶν ἄρχεσθαι τὸν δεύτερον, ἤδη λελύσθαι, τὸ μεταξὺ τῆς ἀρχῆς τοῦ δευτέρου, καὶ τοῦ προτέρου τῆς τελευτῆς διάστημα σύμπαν, ἀπύρεκτον γίγνεται. φθάσαντος δ' εἰσβαλεῖν τοῦ δευτέρου πρὶν ἀκριβῶς λυθῆναι τὸν πρότερον, οὐδὲν αὐτῶν ἀπολείπεται μεταξύ. τοῦτο μὲν δὴ, ὡς εἴρηταί μοι, ἐστὶ τῆς ἐν τῷ δεχομένῳ μορίῳ τὰ περιττώματα δυνάμεως, ὁμοίας ἑαυτῇ διαμενούσης, τουτέστι κρατούσης ἔτι τοῦ περιεχομένου κατ' αὐτὴν αἵματος ὡς καὶ πρόσθεν. εἰ δ' ἀσθενὴς ποτὲ γένοιτο καὶ τοῦτ' αἴτιον αὐτῇ καταστάιη τοῦ μὴ τὰ περιττώματα μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ αἷμα διαφθείρεσθαί τε καὶ σήπεσθαι καὶ πυρετὸν ἐξάπτειν, ἑτέρα τις κἀντεῦθεν ἀρχὴ γενήσεται περιοδικῶν παροξυσμῶν. εἰ μὲν οὖν ἔτι ἡ προειρημένη φυλάττοιτο θερμασία, διττὸν εἶδος ἔσται πυρετῶν ἀλλήλοις ἐπιπεπλεγμένων, εἰ δ' ἐκείνη μὲν παύσαιτο, μένει δὲ ἡ τοῦ δεξαμένου τὸ ῥεῦμα διάθεσις ἥπερ ἐπὶ τοῦ πέμποντος λέλεκται πρόσθεν, κἀπὶ τούτῳ μοι νόει. ποιήσει γάρ τινα καὶ αὐτὸ τὸ μόριον ἐν αὐτῷ περιττώματα, κατὰ διττὸν τρόπον, ὥσπερ δὴ κἀκεῖνο, διά τε μοχθηρὸν εἶναι τὸ αἷμα περιεχόμενον ἐν αὐτῷ, καὶ διὰ τὴν δύναμιν ἀρρωστεῖν. ὡσαύτως δὲ κἂν εἰ κατά τινα αἰτίαν ἡντιναοῦν ἀπεργασθείη ἀσθενὴς ποτὲ μορίου διάθεσις, εἰς τοσοῦτον ὡς ἄχθος αὐτῷ μᾶλλον, ἢ τροφὴν εἶναι τὸ παρακείμενον αἷμα, διαφθαρήσεταί τε καὶ, εἰ θερμὸν εἴη, σαπήσεται ῥᾳδίως, εἰ δ' ὑπόψυχρόν τε καὶ φλεγματικὸν, οὐκ αὐτίκα μὲν, ἀλλ' ἔν γε τῷ χρόνῳ καὶ τοῦτο τὴν αὐτὴν ἐπικτήσεται διάθεσιν. καὶ μὴν καὶ ὅταν ἀδυνατήσῃ ποτὲ πέψαι τὰ κατ' αὐτὸ γινόμενα περιττώματα μόριον ὁτιοῦν, ἢ ἀπώσασθαι πρὸς ἕτερον, τοιαύτην ἑαυτῷ τὴν ἀρχὴν τοῦ πυρέττειν οἵανπερ ἑτέρῳ τὸ πέμπον ἐξεργάζεται. τοῦ δὲ μὴ δύνασθαι πέμπειν ἑτέρῳ τὰ περιττώματα, πρώτη μὲν αἰτία κατὰ τὴν τοῦ πέμποντός τε καὶ δεχομένου δύναμιν, ἑτέρα δὲ κατὰ τὴν τῶν ὁδῶν ἔμφραξιν, ὅπερ ἐπὶ γλίσχροις καὶ παχέσι καὶ πολλοῖς εἴωθεν γίγνεσθαι χυμοῖς. οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ χωρὶς τοῦ πέμπειν ἕτερον ἑτέρῳ περίττωμα, καθάπερ ἡ κεφαλὴ τοῖς ὀφθαλμοῖς ἔπεμπεν, ἐκ τῶν ἐν αὐτῇ ἐπιμενόντων περιττωμάτων, εἰς τὴν αὐτὴν τῷ δεχομένῳ τὰ ἀλλότρια διάθεσιν, ἀφίκνυτο. τὰ γὰρ ἐμφράξαντα τὰς φυσικὰς ἐκροὰς, ἀναγκαῖον ἐν τῷ χρόνῳ καὶ ταῦτα σήπεσθαί τε καὶ πλῆθος περιττωμάτων αἴτια καθίστασθαι τῷ μορίῳ, κωλύοντα κενοῦσθαι καὶ διαπνεῖσθαι συνήθως αὐτό. σήπεται οὖν ὁμοίως ἐκείνοις, κἀκεῖνα τὰ ὕστερον ἀθροιζόμενα, καὶ συνεξάπτει πάντα ἀλλήλοις αὐτίκα, τὴν ἐν τῷ μορίῳ πυρετώδη θερμότητα. δέδεικται δ' ἔμπροσθεν ὡς ἔνθα ἀνάπτεταί τις, ἢ καὶ αὐξάνεται θερμότης, ἐπιρρεῖ τούτῳ τῷ μορίῳ τὸ παρὰ τῶν ἄλλων αἷμα. καὶ τοίνυν ἀναγκαῖον ἐν τῷ χρόνῳ τῆς ἐπιρροῆς, ψύχεσθαι μὲν ἐκεῖνα λειφαιμοῦντα, βαρύνεσθαί τε καὶ διατείνεσθαι τὸ πεπονθὸς, ἀλλοιοῦσθαι δὲ τὸ ἐπιρρυὲν αἷμα, διὰ διττὴν αἰτίαν, ὅτι τε μίγνυται τοῖς ἤδη σηπομένοις περιττώμασιν, ὅτι τε σφηνούμενον ἀδιάπνευστον ἀπομένει. τύφεται τοιγαροῦν δίκην ξύλων ὑγροτέρων ἀθρόως ἐπιβληθέντων ὀλίγῃ φλογὶ, καὶ οὕτως ὁ χρόνος ἅπας ἀρχὴ τοῦ παροξυσμοῦ προσαγορεύεται. ἐπειδὰν δὲ τῆς ὕλης ἐγκρατὴς ἡ θερμότης γένηται, καλεῖται μὲν ἐπίδοσίς τε καὶ ἀνάβασις, ὁ τοιοῦτος καιρὸς, αὐξάνεται, δ' ἐν τούτῳ θερμότης το-

σαύτη

σαύτῃ τὸ πλῆθος, ὡς μὴ μόνον αὐτὸ καίειν τὸ χωρίον ὃ οἷον πῦρ αἰτία τις σηπεδόνος ἐστίν, ἀλλ' ἤδη καὶ τὸ συνεχὲς, ἐπινέμεσθαι τὸ σύμπαν σῶμα. κἀπειδὰν εἰς ἄκρον ἀφίκωνται τῆς ζέσεως, οἱ διασηπόμενοι χυμοὶ, καλεῖται μὲν ἀκμὴ τὸ τοιοῦτο τοῦ παροξυσμοῦ μέρος, ἅπαν δὲ διάπυρον εἶναι δοκεῖ τηνικαῦτα τὸ τοῦ κάμνοντος σῶμα, τῆς θέρμης, εἰς ὅλον τὸ ζῶον ὁμαλῶς ἐπιτεταμένης. ἐντεῦθεν δὲ, εἰ μὲν οἵ τε χυμοὶ λεπτοὶ τύχοιεν ὄντες, ἥ τε δύναμις εὔρωστος, ἀραιόν τε τὸ σῶμα, κενοῦται τὸ πλεῖστον τῶν ζεσάντων χυμῶν εἰς ἱδρῶτα χυθέν. εἰ δὲ οὗτοι τε παχεῖς εἶεν, ἄρρωστός τε ἡ ἐκκριτικὴ δύναμις, ἀλλ' οὐδὲ στενωθεῖεν, αἰσθητὸν μὲν οὐδὲν ἀπορρεῖ, μόνον δὲ τὸ οὕτως λεπτυνθὲν, ὡς εἰς ἀτμοῦ λεπτοῦ μεταστῆναι φύσιν. ὀνομάζεται δὲ ὁ καιρὸς οὗτος παρακμὴ, διαπνοή τις οὖσα τῶν ζεσάντων χυμῶν. ἀλλὰ μενούσης γε τῆς ἐν τῷ μορίῳ διαθέσεως, ἀναγκαῖον ἕτερον ἐν αὐτῷ γεννηθῆναι περίττωμα, τῆς ἑλκομένης αὖθις εἰς αὐτὸ τροφῆς, οὐκ ἀκριβῶς ἁπάσης κρατουμένης, ὃ πάλιν, ὡς εἴρηται πρόσθεν, ὑπό τε τοῦ ἐγκαταλελειμμένου τῷ μορίῳ σηπεδονώδους περιττώματος, καὶ αὐτῆς τῆς οἰκείας μοχθηρίας ἀρχὴν σηπεδόνος λαμβάνει. κἀπειδὰν ἱκανῶς θερμανθῇ, πάλιν ἐπιρρεῖ πρὸς αὐτὸ, καθάπερ τὸ εἰρημένον πρότερον ἐκ τῶν ἄλλων τοῦ ζώου μορίων αἷμα, καὶ κατὰ τὸν αὐτὸν αὖθις τρόπον, ἀρχή τε καὶ ἀνάβασις, ἀκμή τε καὶ παρακμὴ γίγνεται τοῦ παροξυσμοῦ. καὶ τοῦτο οὐ παύεται περιοδίζον, ἄχρις ἂν ἡ διάθεσις ἡ ἐν τῷ πρώτῳ γεννῶντι μορίῳ τὰ περιττώματα φυλάττηται. διττὴ δ' ἐστὶν ἡ τοιαύτη διάθεσις, ἡ μέν τις ἀσθένεια τοῦ μορίου, καθ' ἣν γεννᾶται τὰ περιττώματα· δευτέρα δὲ ἡ ἐξ αὐτῶν τῶν ἑκάστοτε γεννωμένων ἀθροιζομένη. μὴ γάρ τοι δοκεῖ, τοῖς μὲν ἐκτὸς ἀγγείοις τούτοις, ἐν οἷς ἑψόμενον ἔδεσμα κνισῶδες ἐγένετο, διάθεσιν ὑπολείπεσθαί τινα, τοῖς μορίοις δ' ἐν οἷς οἱ χυμοὶ σήπονται μηδὲ μίαν. ἔτι δὴ μᾶλλον ἀδύνατον λυθῆναι τὴν διάθεσιν ὅταν καὶ τὸ σύμπαν σῶμα κακόχυμον, ἢ καὶ πληθωρικὸν ὑπάρχῃ, καὶ πολὺ δὴ μᾶλλον εἰ ἐν τούτοις προσγένοιτο στέγνωσις ἁπάντων τῶν διοχετευόντων πόρων περιττώματα τοῦ μορίου. ὥσπερ οὖν καὶ ἡ ἴασις ἀκολουθήσειεν, ἐὰν οἵ τε πόροι διακαθαρθεῖεν ὥστε εὔρουν εἶναι τὸ μόριον, ἥ τε δύναμις ῥωσθείη καὶ ἡ διάθεσις ἐπανορθωθείη, καὶ τὸ σύμπαν σῶμα μή τε πληθωρικὸν μή τε κακόχυμον. ἕως δ' ἂν ταῦτα διαμένῃ, καὶ τὴν περίοδον τῶν παροξυσμῶν ἀναγκαῖον ἐστὶ διαμένειν. οὕτω γοῦν συμβαίνει κἀπὶ τῶν γυναικῶν, καὶ γὰρ καὶ ταύταις ἄχρι περ ἂν ἴσα τε καὶ ὅμοια μένῃ τὰ τῶν καταμηνίων αἴτια, καὶ ἡ περίοδος ἡ αὐτῶν αὐτὴ φυλάττεται. λέγεται δ' ἐπὶ πλεῖστον ὑπὲρ τῶν τοιούτων ἁπάντων ἐν τῷ περὶ τῶν ῥευματικῶν διαθέσεων λόγῳ. καὶ νῦν οὔτε χρονίζειν ἐν ταῖς πίστεσι τῶν προαποδεδειγμένων εὔλογον, οὔθ' ὑπερβαίνειν τὰ κεφάλαια τῶν χρησίμων εἰς τὰ παρόντα. χρήσιμα δ' ἐστὶν ἐν τοῖς δὲ μάλιστα, τό γε γινώσκειν, ὡς ἔνια μὲν τῶν μορίων, ἑτέροις ἐπιπέμπει ῥεύματα, καθάπερ ἡ κεφαλὴ τοῖς ὀφθαλμοῖς. ἔνια δὲ ὑπὸ τῶν ἐν αὐτοῖς γεννωμένων περιττωμάτων ἀρχὴν τοῦ πυρέττειν λαμβάνει. καὶ ὅτι τοῖς τοιούτοις ἅπασι κοινὸν μὲν ἡ σηπεδών ἐστι, τῶν περιττωμάτων, ἴδιον δ' ἑκάστῳ τῷ μὲν ἔμφραξίς τε, καὶ σφήνωσις τῶν ἀγγείων, ἤτοι διὰ γλίσχρους χυμοὺς ἢ παχεῖς ἢ πολλοὺς, ἑτέρῳ δὲ στέγνωσις τῶν πόρων. ἤτοι τῶν αἰσθητῶν, ἢ τῶν οὐκ αἰσθητῶν, ἄλλῳ δέ τινι τὸ πληρωθῆναι τὰς καθ' ὅλον αὐτοῦ τὸ σῶμα χώρας κενάς, καὶ πρὸς τούτοις ἔτι, τὸ πρὸς τὴν δύναμιν πλῆθος, ὡς ἐν τῷ περὶ πλήθους ἐπιδέδεικται λόγῳ. τῶν μὲν δὴ κατὰ περίοδόν τινα παροξυνομένων πυρετῶν, οὐκ οἶδ' εἴ τις ἐπιλείπει γενέσεως αἰτία, τῶν δ' ἀτάκτων, ἔνιοι μὲν ἐπὶ τῇ μεταπτώσει τοῦ χυμοῦ, τινὲς δὲ καὶ διὰ τὸ τῆς διαίτης πλημμελὲς εἰς τὴν τοιαύτην ἔρχονται κατάστασιν. μεταπίπτει μὲν οὖν μάλιστα τὸ αἷμα σηπόμενον. ὡς γὰρ καὶ πρόσθεν εἴρηται, τὸ μέντοι αἵματος ξανθὴ χολὴ γίνεται, τὸ δὲ μέλαινα, εἰς ὅσον δ' ἂν οἱ ἐν τῷ σώματι τῶν ἀρρωστούντων χυμοὶ μεταβάλλουσιν, εἰς τοσοῦτον καὶ αἱ περίοδοι τῶν παροξυσμῶν. ὥστ' οὐδὲν ἔτι θαυμαστὸν ἐν ταῖς τοιαύταις μεταβολαῖς ὑπαλλάττεσθαι τὴν τάξιν. ὑπαλλάττονται δ' οὐχ ἥκιστα, κἂν τῷ τὸ μὲν ἀρξάμενον σήπεσθαι κατά τι μόριον ἕτερον ὑπάρχειν, ἕτερον δ' ἐξ ἄλλων ἐπιρρεῖν ἤτοι γε ἐν ἐκείνοις μόνοις ὄντα τοιοῦτον, ἢ καθ' ὅλον τοῦ ζώου τὸ σῶμα πλεονάζοντα. οὕτως δὲ καὶ ὅσα κατὰ τὴν δίαιταν ἁμαρτάνεται τοῖς κάμνουσιν οὐδὲν ἧττον καὶ ταῦτα διαφθείρει τῶν περιόδων τὴν τάξιν. ὥσπερ γὰρ καὶ αὐτοῖς τοῖς ὑγιαίνουσιν αἱ μοχθηραὶ δίαιται νοσημάτων αἰτίαι καθίστανται, τὸν αὐτὸν οἶμαι τρόπον, ἢ καὶ μᾶλλον ἔτι τοῖς νοσοῦσιν, ἐξ ὧν ἂν πλημμελήσωσιν, οἱ παροξυσμοὶ συμπίπτουσιν. οὐ μόνον γοῦν ἔτι νοσοῦντες, ἀλλὰ καὶ περὶ τὸν τῆς ἀναλήψεως καιρὸν, ἑτοίμως ὑπὸ παντὸς ἁμαρτήματος βλάπτονται. καθ' ἑκάστην οὖν ἤδη βλάβην ἀξιόλογον, ἤτοι προλαμβάνειν πολὺ τὰς περιόδους ἀναγκάζουσιν, ἢ καὶ τινὰς ἑτερογενεῖς τῶν ἔμπροσθεν αὐτοῖς γεννῶσιν, ὑφ' ὧν ἡ τάξις τῶν παροξυσμῶν διαφθείρεται. πολλάκις δὲ διὰ τὴν ἐπιπλοκὴν τῶν περιόδων ἀγνοουμένην τοῖς ἰατροῖς, ἀτάκτως ἔδοξαν οἱ νοσοῦντες παροξύνεσθαι, ἀλλ' αἱ μὲν τοιαῦται τῶν ἀταξιῶν οὐκ εἰσὶν ὄντως, ἀλλὰ φαίνονται μόνον. ὅσαι δὲ ὄντως εἰσὶν ἤτοι μετάπτωσιν τῶν τοὺς πυρετοὺς ἐργαζομένων χυμῶν ἢ διὰ τὸ πλημμελὲς τῆς διαίτης ἀποτελεῖται. λοιπὸν δὲ τὸ τῶν συνόχων γένος, ὧν ὁ σύμπας χρόνος εἷς παροξυσμός ἐστιν, ἤτοι διὰ παντὸς ὁμότονος, ἢ μειούμενος, ἢ αὐξανόμενος ἄχρι κρίσεως, ὑπὸ τοιαύτης αἰτίας γενέσθαι πέφυκεν, οἵαν ἁπάντων πυρετῶν ὁ Πραξαγόρας ὑπέθετο, σῆψιν οἰόμενος τῶν χυμῶν ἐν τῇ κοίλῃ φλεβὶ συνίστασθαι. τελεώτερος δ' ἂν ὁ λόγος καὶ ἀληθέστερος γίνοιτο κατὰ τὸν δέ τὸν τρόπον. ὅσα μὲν ἐν περιόδοις τισὶ παροξύνεται νοσήματα, μορίων ἐπιγίγνεται διαθέσεσιν, ἤτοι πεμπόντων ἢ δεχομένων ἢ γεννώντων ἢ ἑλκόντων περιττώματα καθ' ὃν ὀλίγον ἔμπροσθεν εἴρηται τρόπον. ὅσα δ' ἄνευ περιόδων, οὐδεὶς ἐπὶ τούτων ὁ πεπονθὼς ἐστὶ τόπος ἐξαίρετος, ἀλλ' οἱ κατὰ τὰς ἀρτηρίας καὶ τὰς φλέβας ἁπάσας χυμοὶ, καὶ μάλιστα ὅσοι κατὰ τὰς μεγίστας τε καὶ θερμοτάτας εἰσὶν ἤτοι δι' ἄλλην τινὰ αἰτίαν ὡς ἐν τοῖς ἐφημέροις, ἢ καὶ διὰ σηπεδόνα ζέσαντες ἀνάπτουσι πυρετὸν ἕνα σύνοχον, ἀπ' ἀρχῆς ἕως τοῦ τέλους ἀδιάλειπτον, ἄχρι τοσούτου παραμένοντά τε καὶ διακαίοντα τὸν ἄνθρωπον ἄχρισπερ ἂν οἱ γεννῶντες αὐτὸν χυμοὶ δαπανηθῶσιν, ἢ πεφθῶσιν, ἢ τὸ συναμφότερον πάθωσιν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΛΗΘΟΥΣ.

ΟΥΤΕ πολλάκις ὀνομάζοντας ἕτερον ὄνομα τοῦ πλήθους μᾶλλον ἔστιν εὑρεῖν ἅπαντας τοὺς νῦν σχεδὸν ἰατρούς, οὔτ' ἀγνοοῦντας ἕτερόν τι τούτου μᾶλλον. ὅσοι γοῦν αὐτῶν οἷοί τέ εἰσι καὶ δοῦναι καὶ λαβεῖν λόγον, οἱ πλεῖστοι μὲν ἀποκρίνονται τοῖς ἐρωτωμένοις ὅτι ποτ' οὖν ὀνομάζουσι πλῆθος, ὡς ἓν τῶν πρός τι λέγεται τοὔνομα, καθάπερ τὸ πολύ τε καὶ τὸ ὀλίγον, ὥστε οὐκ εἶναι δυνατὸν ἐν μέτρῳ περιλαβεῖν αὐτό. τὸ γὰρ ἑτέρῳ πολὺ, τοῦτ' ἐνίοτε ὑπάρχει ὀλιγώτερον ἑτέρῳ. καὶ ἐπειδὰν ἐρωτήσῃς αὐτοὺς, ἀξιῶν ἀποκρίνεσθαι τὸ πρᾶγμα πρὸς ὃ τὸ πλῆθος εἶναι λέγουσι, τινὲς μὲν ἰχθύων ἀφωνότεροι γίγνονται, τινὲς δὲ οὕτω μακρά τε καὶ ἀλλόκοτα ληροῦσιν, ὡς μὴ παρακολουθῆσαι δύνασθαι τοῖς ὑπ' αὐτῶν λεγομένοις. ὀλίγιστοι δὲ ἀποκρίνονται, τὸ πολὺ καὶ ὀλίγον, ὡς πρὸς τὴν δύναμιν νοεῖσθαι. καὶ εἰ αὖθις αὐτοὺς ἐπανέροιο, τί λέγουσι δύναμιν, ἔνιοι μὲν, οὐδ' ὅλως ἀποκρίνονται. τῶν δὲ τολμησάντων ἀποφήνασθαί τι, λέγει μὲν οὐδεὶς οὐδενὶ ταυτόν. οἱ πλεῖστοι δὲ πάντα μᾶλλον, ἢ δύναμιν ἑρμηνεύουσιν. εἰ δέ τις ἐν αὐτοῖς εὑρεθείη μέχρι τοσούτου φρόνιμος, ὡς ἤτοι δραστικὴν οὐσίαν, ἢ αἰτίαν δραστικὴν εἰπεῖν εἶναι τὴν δύναμιν. εἶτ' ἐρωτηθείη πρῶτον μὲν εἰ ἔστι τις οὐσία τοιάδε διοικοῦσα τὸ ζῶον, ἔπειτα εἴπερ ἐστὶ, καὶ τί ποτε ἔστιν αὐτὴ διελθεῖν, οὐκέτι οὐδ' οὕτως ἀποκρίνεται ἐρωτώμενος τὸ ἀπορούμενον, ἀλλ' ἤτοι σιωπᾷ τελέως, ἢ ἐκτοπίζει τὸν λόγον εἰς τοιοῦτον, ὡς βέλτιον ἂν εἴη σιωπᾶν. εἰ δὲ κἂν τούτοις, τις εὑρεθείη μέχρι τοσούτου σωφρονῶν, ὡς ἥτις μὲν ἐστὶν ἡ οὐσία τῆς δυνάμεως οὐκ ἔχειν εἰπεῖν, ὅτι δὲ ἔστι, ἐκ τῶν ἔργων τεκμαίρεσθαι, πάλιν αὖ καὶ αὐτὸς οὗτος ἐρωτηθεὶς, εἰ τὰ γεγραμμένα τε πρὸς Ἀσκληπιάδου, καὶ πολλῶν ἀσκληπιαδείων τε καὶ μεθοδικῶν, ὑπὲρ τοῦ μηδεμίαν εἶναι δύναμιν ἐν τοῖς ζώοις ἀνεσκέψατό τε καὶ διελύσατο, φαίνεται μὴ δ' εἰ λέλεκται πρὸς αὐτῶν ἐπιστάμενος. ἐκείνων δὲ αὖ πάλιν αὐτῶν, ὅσοι τὴν δύναμιν οὐκ εἶναί φασιν, ὅτι μὲν ὡς πρὸς ταύτην ἀρνοῦνται νοεῖσθαί τε καὶ συνίστασθαι τὸ πλῆθος, μᾶλλον δῆλον, ἀδύνατον γάρ ἐστι πρὸς τὴν μὴ δ' ὅλως ὑπάρχουσαν σχέσιν, συστῆναί τε καὶ νοηθῆναι τὸ πλῆθος, ὡς πρὸς τὰς χώρας δὲ τῶν ἀγγείων μόνας ὑπολαμβάνουσι τὸ πολύ τε καὶ ὀλίγον ὑπάρχειν. ἐνίοτε δὲ οὐδὲ τὴν ἀρχὴν ὅλως ὀνομάζουσι πλῆθος, οὐδὲ ἀπ' αὐτοῦ τινὰ κενώσεως ἔνδειξιν λαμβάνουσι, ἀλλὰ ἀπὸ μόνης στεγνώσεως, καὶ ὅτι μηδεὶς αὐτῶν ὡσαύτως ἐξηγεῖται, δέδεικται δι' ἑτέρων. καὶ μὴν καὶ τρίτος τις ἄλλος ἐστὶ χορός, οὔτε γινώσκων, εἴτε ἔστιν, εἴτε οὐκ ἔστι τις δύναμις, οὔτε ζητεῖν ὁμολογῶν, ἀλλ' ἐπί τισιν ἐναργῶς φαινομένοις σημείοις περὶ τὸν κάμνοντα συνισταμένοις, ἐκ πείρας μακρᾶς εὑρῆσθαι φάσκων ἑαυτῷ τὴν κένωσιν. εἶτ' ἐρωτώμενος, ἅττα τί ποτέ ἐστι τὰ σημεῖα ταῦτα, διάτασιν ἀγγείων φησὶ, καὶ ἔρευθος καὶ βάρος ὅλου τοῦ σώματος, ὄκνος τε πρὸς τὰς κινήσεις, καὶ τάσεις τῶν μελῶν. ἔνιοι δὲ αὐτῶν καὶ τὴν ἑλκώδη καὶ κοπώδη προστιθέασιν αἴσθησιν, ἀργόν τε τὸν ἔμπροσθεν βίον ἐν προσφοραῖς ἐδεσμάτων τε καὶ πομάτων πλείοσι, καὶ συνήθων ἐκκρίσεων ἐποχήν. ἐπὶ ταύτῃ γοῦν τῇ συνδρομῇ. καλοῦσι γὰρ οὕτω τὸ ἄθροισμα τῶν συμπτωμάτων, τετηρῆσθαι φλεβοτομίαν ὠφελοῦσαν. οὗτοι μὲν οὖν οὐ μόνον ἑαυτοὺς, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας ἀνθρώπους ἀφαιροῦνται τοῦ λόγου, ἐκ πείρας εὑρῆσθαι πάντα φάσκοντες. οἱ δ' ἄλλοι καθάπερ εἴρηται νῦν δὴ, λόγῳ τε χρῆσθαι φασὶ καὶ τὴν δύναμιν. οἱ μὲν ὡς οὐδ' ὅλως ἐστίν, οἱ δὲ, ὡς ἔστι μὲν, ἥτις δ' αὐτῆς ἡ οὐσία, μὴ γινώσκεσθαι φασὶν, ὡς ὀλιγίστους εἶναι, τοὺς ἀποφήνασθαι τολμῶντας, ὕπαρξίν τε καὶ οὐσίαν δυνάμεως, ἀλλὰ καὶ τούτων, οὔτε τὸν ἀριθμὸν, οὔτε τὴν οὐσίαν ἅπαντες ἀποφαίνονται τὴν αὐτήν. ἀλλὰ καὶ τῶν ἀπολιπόντων ἡμῖν συγγράμματα, τινὲς μὲν ἀταλαιπωρότερον ὡς περὶ μιᾶς ἀεὶ διαλέγονται τῆς τὸ ζῶον διοικούσης δυνάμεως οὐδένα λογισμὸν προστιθέντες, ἔνιοι δὲ ἀποδεικνύειν ἐπιχειροῦσι, καὶ πλείους μιᾶς οὐκ εἶναι φασίν. ὥστ' ἀναγκαῖον ὅστις ἀποφαίνεται πλῆθος εἶναι περὶ τὸ σῶμα τοῦ κάμνοντος, ἀποκεχωρηκέναι μὲν ἤδη τοῦτον ἀπό τε τῶν ἐμπειρικῶν ὀνομαζομένων ἰατρῶν, ἀπό τε τῶν μεθοδικῶν, ἤτοι δὲ ὡς πρὸς τὴν δύναμιν, ἢ ὡς τὰ ἀγγεῖα λέγειν τὸ πολύ. καὶ τοίνυν καὶ ἡμῖν ὁ μὲν πρὸς τοὺς ἐμπειρικούς τε καὶ μεθοδικοὺς, ἀναβεβλήσθω λόγος. ἐπὶ δὲ τοὺς ἑτέρους ἴωμεν, ὅσοι σὺν λογισμῷ φασὶ τὴν τέχνην μεταχειρίζεσθαι. καίτοι γε ἔνιοι τῶν νῦν εἰς τοσοῦτον ἥκουσι τόλμης, ὡς ἐπιγράφεσθαι μὲν ἑαυτοῖς αἱρέσεως ὀνόματα, γινώσκειν δὲ οὐδὲν οὐδὲ ἐκείνων ἔστιν αὐτῶν. ἀκοῦσαι γοῦν ἔστι πολλάκις πολλῶν ἐπὶ μὲν τῶν ἀρρώστων λεγόντων, ὡς μεστὸς ὁ ἄνθρωπός ἐστι, καὶ φλεβοτομητέον αὐτόν. αὖθις ἐμπεσόντος λόγου, μεθοδικοὺς, ἢ ἐμπειρικοὺς ὀνομαζόντων ἑαυτούς. ἀλλ' ὅπερ ἔλεγον, ἐπὶ τοὺς ἀναλογισμῷ χρωμένους ἐλθόντες, τοῖς ἐξ αὐτῶν πρώτοις διαλεχθῶμεν, ὅσοι πρὸς τὴν δύναμιν ἀεὶ ἐννοοῦσι τὸ πολύ. κινδυνεύουσι γὰρ οὗτοι, μήτ' ἀσκοὺς ἑωρακέναι, μήτε θυλακοὺς ἀμέτρως πεπληρωμένους, ἀλλὰ μὴ δὲ σιτίου ποτὲ προσενηνέχθαι πλείω τοῦ δέοντος, ὡς διατείνειν τὴν γαστέρα, μὴ δ' οὖρον ἠθροικέναι ποτὲ ἐν τῇ κύστει περαιτέρω τοῦ προσήκοντος, ἢ κόπρον ἐν ἀπευθυσμένῳ. διατείνεται γὰρ ἐναργῶς ἐν πάσαις ταῖς τοιαύταις περιστάσεσιν ἕκαστον τῶν εἰρημένων ὀργάνων, ὡς ἀνιᾶσθαι τὸν ἄνθρωπον, ἣν μὴ θᾶττον ἐκκρίνῃ τὸ πλεονάζον. οὐ μὴν οὐδ' ἡ αὐτή γε αἴσθησις γίνεται τοῦ βαρύνοντος ἢ δάκνοντος, ἢ ἀρρήτῳ τινὶ ποιότητι λυποῦντος. ἀκοῦσαι γοῦν ἔστι καὶ τῶν ἰδιωτῶν αὐτὸ τὸ συμβαῖνον αὐτοῖς ἐναργῶς ἑρμηνευόντων, ἄνευ τῆς περὶ τὸ δόγμα φιλονεικίας, ἐνίοτε μὲν, ὡς ὑπὸ τροφῆς βαρυνομένων καὶ θλιβομένων, καίτοι γε ἐλάχιστα προσενηνεγμένων, ἐνίοτε δ' ὡς δάκνοιντό τε καὶ διαβιβρώσκοιντο. πολλάκις δ' οὐκ ἔχοντες ἀκριβῶς ἑρμηνεῦσαι τὸ συμβαῖνον, ἀσᾶσθαι φασί. οὐδεμία γὰρ τῶν αἰσθήσεων τούτων, ἡ αὐτὴ πρὸς τοῖς ἀνθρώποις γίνεται, διὰ πλῆθος ἄμετρον ἐδεσμάτων ἐπὶ πλεῖστον ἐκτεταμένης τε καὶ διατεταμένης τῆς γαστρός. ἐπὶ μὲν οὖν τῶν τοιούτων καταστάσεων, κινδυνεύειν ῥαγῆναι φασὶν αὐτῶν τὴν κοιλίαν, σὺν τῷ καὶ ἡμᾶς ὁρᾶν ἐπὶ πλεῖστον αὐτὴν τεταμένην. ἐνθάδε βαρύνεσθαι

δὲ βαρύνεσθαι λέγουσι, περιεσταλμένην ὁρῶμεν ἐνίοτε τὴν γαστέρα, οὕτω δὲ κἀπὶ τῆς κύστεως, ἄλλη μὲν διάθεσις
ἐστὶ πλεῖστον ὑγρὸν περιεχούσης, ἄλλη δὲ ὀλίγον, ἢ βαρυνομένης. καὶ τοίνυν καὶ τὴν ἔκκρισιν ἐπὶ μὲν τῆς διὰ τὸ
πεπληρῶσθαι τεινομένης, παμπόλλην ἐστὶν ἰδεῖν, ἐπὶ δὲ τῆς βαρυνομένης, ὀλιγίστην μὲν, ἀλλὰ πυκνοτάτην, οὐ
γὰρ ἀναμένει τὸν τῆς πληρώσεως χρόνον, ἀλλ' εὐθὺς ἀποῤῥίψαι ποθεῖ τὸ λυποῦν, ὥσπερ κἀπειδὰν ὑπὸ τῆς ποιό-
τητος αὐτοῦ δάκνηται, καὶ γὰρ καὶ τότε συνεχῆ ποιεῖται τὴν ἔκκρισιν. καὶ γὰρ οὖν καὶ ὁπότε βαρύνεται
καθάπερ ὑπὸ φορτίου τοῦ περιεχομένου, τότε οὐκ ἄν τις ὀρθῶς φαίη φαύλως μὲν διακεῖσθαι, εἶναι δὲ αὐτῇ τὸ
βαρῦνον πολὺ, κἂν μηδ' ὅλως διατείνῃ τὸν χιτῶνα. ταῦτα πάντως δ' ἔτι φασὶν οἱ ταύτης τῆς δόξης ἡγεμόνες,
ἀρνουμένων τῶν τἀναντία γινωσκόντων, αὖθις ἐρωτητέον ἀμφοτέρους, εἰ τὴν αὐτὴν ἀνίαν ἡ κύστις ἀνιᾶται
διατεινομένη πανταχόσε καὶ κινδυνεύουσα ῥαγῆναι, τῷ μηκέτι στέγειν τὸ περιεχόμενον, καὶ βαρυνομένη
τε καὶ δακνομένη. ἐνταῦθα γὰρ πάλιν οἱ μὲν πρὸς τὰς εὐρυχωρίας τῶν ἀγγείων ἀεὶ τὸ πλῆθος νοοῦντες,
ἑτοίμως συγχωροῦσιν, οἱ δ' ὡς πρὸς τὴν δύναμιν, ἄχθονταί τε πρὸς τοῖς τοιούτοις ἐρωτήμασιν, ὀργίζονταί τε
πολυειδῶς ἀντιτείνοντες ἄνω καὶ κάτω διὰ τὸ μὴ βούλεσθαι συγχωρῆσαι καὶ τοῦτ' εἶναι πλῆθος. ἡμεῖς οὖν
ἀμφοτέρους τε εὐξάμενοι παύσασθαι τῆς φιλονεικίας, εἰς ὁμόνοιαν παρεκαλέσαμεν, τοὺς, ὅσοι μὲν οὐχ ἡγοῦν-
ται λέγεσθαι τὸ πλῆθος, οὐδέ ποτε πρὸς τὴν χώραν τοῦ περιέχοντος οἷς δὴ καὶ πρώτοις ὑπηρξάμεθα διαλέ-
γεσθαι, συγχωρῆσαι τοῖς ἀληθέσι παρακαλοῦντες, ἀναμνησθέντας τοῦ ἐν τῷ διατείνεσθαι τὰ πεπληρωμένα
μόρια λυπεῖσθαι. ὅσοι δὲ οὕτως μόνον συνίστασθαι πλῆθος νομίζουσι, συγχωρῆσαι τὸ βαρῦνον εἶναι τῷ βα-
ρυνομένῳ πολὺ. πάλιν δὲ ἑκατέρους τοῖς ἐναργῶς φαινομένοις δυσωποῦντες, ἀναμνήσωμεν ἰδίᾳ μὲν τοὺς ὡς
πρὸς τὴν δύναμιν μόνον νοεῖσθαι φάσκοντας, τὸ πολὺ τοῦ περιτοναίου ῥαγέντος, ἢ ἀνευρυνθέντος ὑπὸ πλή-
θους ἐδεσμάτων, ὑποδείξαμέν τε κἀπὶ τῶν ἐκτὸς, ἀσκοὺς καὶ κύστεις τοῦτο πάσχοντας, ἐνίοτε δὲ καὶ τοὺς πί-
θους αὐτοὺς, ὅταν πνευματικὸν βίαιον ᾖ τὸ πλῆθος. ἐρωτήσωμεν δὲ περὶ τῶν ἀναβηξάντων ἐκ πνεύμονος
αἷμα, καὶ διὰ ῥῆξιν ἀγγείου χωρὶς πληγῆς, ἢ καταπτώσεως, ἢ τινος ἑτέρας ἔξωθεν βίας τοιαύτης, εἰ μὴ δὲ
οὗτοι δοκοῦσιν αὐτοὺς ὑπὸ πλήθους παμπόλλου διατείνοντος τὸ ἀγγεῖον, οὕτω παθεῖν. ἰδίᾳ δ' αὖ πάλιν ἀνα-
μνήσωμεν τοὺς ἑτέρους, ὡς οὐ ταὐτὸ δύναται βάρος βαστάζειν εὐεκτὴς νεανίσκος, καὶ παιδίον κομιδῇ μικρὸν
ὃ γὰρ ἂν οἶμαι βαρύτατον ᾖ τῷ παιδίῳ κουφότατόν ἐστι τῷ νεανίσκῳ. πότερον οὖν ὅτι φορτίον ὅλως ἐροῦ-
μεν, ὃ μὴ δύναταί τις βαστάζειν, οὐδὲ πολὺ, τὸ οὕτως βαρῦνον, ἢ φορτίον μὲν καὶ βαρὺ, πλῆθος δ' ὀνομάζειν
οὐ συγχωρήσωμεν. ἀλλ' οὕτως μὲν οὐχ ὑπὲρ πράγματος, ἀλλ' ὑπὲρ ὀνόματος ἡ ἀμφισβήτησις ἔσται. κατὰ δὲ
τὸν ἕτερον τρόπον, οὐδ' ἄνθρωπος εἶναι δόξειεν, ὁ μὴ δ' ὅλως φάσκων βαρύνεσθαι μηδέποτε, μηδ' ἂν εἴκοσι
τάλαντα κατὰ τὸν ὦμον ἐπιθῇς αὐτοῦ. πρὸς δὲ τοὺς ἑαυτοὺς ὑποθέντας δουλείῳ δόγματι, οὐδὲν ἱκανόν. ἐά-
σαντες οὖν ἤδη τούτους, μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἀπαλλάττεσθαι παρακελεύσαντες, ὅς τις ἂν ἐλεύθε-
ρος ᾖ καὶ ἀληθείας ἑταῖρος, ἐκείνῳ διαλεξώμεθα. Δύο γοῦν ἐννοίας τε καὶ χρήσεις ὑπεθέμεθα τοῦ πλήθους,
τὴν μὲν ὡς πρὸς τὴν ἰσχὺν καὶ δύναμιν τοῦ βαστάζοντος αὐτὸ, τὸ δὲ ὡς πρὸς τὴν ὑποδεχομένην χώραν. καὶ
ὑποθέμενοι δὲ ταῦτα, ὁπόσαι τέ εἰσιν ἅπασαι τοῦ ζώου δυνάμεις, ὅπως τε τὸ καθ' ἑκάστην αὐτῶν πλῆθος ἢ γνω-
ρίσομεν, ἢ θεραπεύσομεν, ἐπισκεψώμεθα. πρὸς τούτοις δ' ἔτι πόσα τὰ σύμπαντα ἐστὶν εἴδη τῶν ὑγρῶν αὐ-
τῶν, ἤτοι τῶν βαρυνόντων τὴν δύναμιν, ἢ μὴ στεγόντων ἐν τοῖς ἀγγείοις. ἐν τούτοις γὰρ εἶναι χρὴ φιλόπονόν τε καὶ
μέγαν τὸν ἰατρὸν, οὐκ ἐν τῷ καταφρονεῖν τῶν ἐναργῶν, ἁπάσης ἀποδείξεως εἰσὶν ἀρχαὶ, ἀλλ' οὐδὲν ἴσως θαυμα-
στὸν ἀγνοεῖσθαι καὶ αὐτὸ τούτοις τοῖς μηδὲν ὑπὲρ ἀποδείξεως ἐζητηκόσι, μή τε εὑροῦσι, μή τε μαθοῦσι, μή τε ἀσκή-
σασιν. οὕτω γοῦν εὐήθεις εἰσὶν, ὥστε καὶ νῦν ὁμιλῶν τοῖς δὲ τοῖς γράμμασιν, ἐλπίζει πρῶτον μὲν ἀποδεῖξαι με
κατὰ τόν δε τὸν λόγον ἃ χρὴ πάντως ἐπίστασθαι τὸν μέλλοντά τι περὶ πλήθους ἀκριβῶς ἐπισκέψασθαι, δεύτερον
δὲ διάγνωσίν τε καὶ θεραπείαν ἑκάστου πλήθους εὑρεῖν, μὴ γινώσκων ὡς εἴπερ οὕτως μεγάλα πράγματα δι' ἑ-
νὸς γράμματος ἀποδείκνυσθαι φύσεως εἶχεν, οὐκ ἂν ἦν ἡ τέχνη μακρά. ἐγὼ δὲ, ὅτι μὲν ἑτέρα τίς ἐστιν ἡ κατὰ τὰς
ἀρτηρίας δύναμις, τῆς κατὰ τὰ νεῦρά τε καὶ φλέβας, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμά-
των ἀπέδειξα. διὰ δὲ τῆς αὐτῆς πραγματείας ἐδίδαξα, καὶ ὅτι τῆς μὲν τῶν ἀρτηριῶν δυνάμεως οἷον πηγή τίς
ἐστιν ἡ καρδία, τῆς δὲ τῶν νεύρων ὁ ἐγκέφαλος, τῆς δὲ τῶν φλεβῶν τὸ ἧπαρ. ἐν δὲ τῷ περὶ τῶν καθ' Ἱπποκράτους
στοιχείων ἀπέδειξα τὴν ὑποβεβλημένην οὐσίαν γενέσει καὶ φθορᾷ, δι' ὅλης αὐτῆς ἀλλοιοῦσθαι κατὰ τὰς τέτ-
ταρας ποιότητας, ὑγρότητα καὶ ξηρότητα, θερμότητά τε καὶ ψυχρότητα, καὶ εἶναι τὴν ἑκάστου τῶν σωμά-
των ἰδίαν οὐσίαν ἐν τῇ ποιᾷ τούτων κράσει, καὶ διὰ τοῦτο καὶ τῶν διοικουσῶν αὐτὰ δυνάμεων, ἡ τῆς κράσεως
ἰδιότης ἐστὶν οὐσία. δέδεικται δέ μοι καὶ ἐν τῷ περὶ φυσικῶν δυνάμεων, ἰδίᾳ δὲ διὰ * ἑτέρας πραγματείας.
εἴρηται δὲ καὶ διαγνωστικὰ σημεῖα πολλάκις ἐν πολλαῖς ἤδη πραγματείαις, ἑκατέρου τε τοῦ κατὰ τὸ πλῆ-
θος γένους, ἑκάστου τε τῶν καθ' ἑκάτερον ἰδία. ἑκάτερον μὲν οὖν λέγω, τοῦ τε πρὸς τὴν δύναμιν καὶ τοῦ κατὰ
τὸ ἔγχυμα. καλοῦσι γὰρ οὕτω τὸ ἕτερον γένος τοῦ πλήθους, ὃ τῇ περιεχούσῃ χώρᾳ μετρεῖται, συνιστάμενον
οὐκ τοῖς ζώοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀψύχοις, οὐδὲν ἧττον, ὑφάσμασί τε καὶ πλοκάμοις, καὶ δέρμασι καὶ ἀγ-
γείοις κεραμέοις τε καὶ χαλκέοις, καὶ σιδηροῖς, ὅσα τ' ἐκ χαλκοῦ καὶ ἀργύρου καὶ κασσιτέρου γίγνεται. καὶ γὰρ
καὶ ταῦτα ῥήγνυται. κατακλεισθείσης ἐν αὐτοῖς πνευματώδους οὐσίας πολλῆς, εἰ μὴ ἄρα τις ἐθέλει καὶ τὸ
τοιοῦτον πλῆθος, ὡς πρὸς τὴν συνεκτικὴν συνίστασθαι δύναμιν, ἐπιλαθόμενος ἧς κατ' ἀρχὰς ἐννοίας ἐμνη-
μονεύσαμεν, ἐπὶ τῷ τῆς δυνάμεως ὀνόματι, φάσκοντες αὐτὴν αἰτίαν εἶναι δραστικὴν, ὡς οὐδὲν διαφέρον
εἰπεῖν ἤτοι δραστικὴν, ἢ ποιητικὴν, οὐ δ' εἴ τις οὐσίαν ἐθέλει λέγειν, οὐκ αἰτίαν εἶναι ποιητικὴν τὴν δύνα-
μιν ἀντιλέγομεν, ἀλλ' ἐκεῖνο μόνον ἐν τῷ λόγῳ φυλάττεσθαι βουλόμεθα τὸ δραστικήν τε καὶ ποιητι-
κὴν λέγεσθαι, μὴ παθητικήν τε καὶ ὑλικὴν ἤτοι γε αἰτίαν ἢ οὐσίαν εἶναι τὴν δύναμιν. εἰ γὰρ δὴ τοῦτο γε φυ-
λάττοιτο. πρόδηλον ὡς ἐνεργείας τινὸς ἡ δύναμις αἰτία γενήσεται, τὴν δ' ἐνέργειαν ἀνάγκη δήπου καὶ αὐτὴν

εἶναι κίνησιν ἐκ τοῦ ποιοῦντος εἰς τὸ πάσχον. ὥσπερ γε καὶ τὸ πάθος τὴν ἐν τῷ πάσχοντι κίνησιν ἐκ τοῦ ποιοῦντος εἰς τὸ πάσχον. ὥσθ᾽ ἥ γε νόησις, ἐν τῷ πρός τι τῆς δυνάμεως, οὐχ ὕπαρξις ἐν τῇ πρὸς ἕτερον σχέσει. ποιεῖν δὲ εἰς ἑαυτὸ λέγειν ὁτιοῦν, ἢ ἐνεργεῖν εἰς ἑαυτὸ παρὰ τὴν ἔννοιαν ἐστίν. οὕτως οὖν καὶ συνέχειν ἑαυτό. καὶ γὰρ οἱ μάλιστα εἰσηγησάμενοι τὴν συνεκτικὴν δύναμιν ὡς οἱ στωϊκοί, τὸ μὲν συνέχον, ἕτερον ποιοῦσι, τὸ συνεχόμενον δὲ ἄλλο. τὴν μὲν γὰρ πνευματικὴν οὐσίαν τὸ συνέχον, τὴν δὲ ὑλικὴν τὸ συνεχόμενον, ὅθεν ἀέρα μὲν καὶ πῦρ συνέχειν φασί, γῆν δὲ καὶ ὕδωρ συνέχεσθαι. καίτοι γε ἔνιοι τῶν νῦν Ἡροφιλείους ἑαυτοὺς ὀνομαζόντων, οὐδ᾽ ὄναρ ἀκηκοότες ταῦτα τολμηρῶς ἀποφαίνονταί τε περὶ τῆς συνεκτικῆς δυνάμεως, εἰ μὲν ἀήρ, ἢ πῦρ, ἢ τὸ συναμφότερόν ἐστι τὸ συνέχον τοὺς λίθους τε καὶ τὰ ξύλα, καὶ τἆλλα ὅσα τοιαῦτα, μὴ γινώσκειν ὁμολογοῦντες, ἀποφαινόμενοι δὲ ἁπλῶς ὅτι δύναμίς τις ἐστὶν ἡ συνέχουσα τὰ τοιαῦτα πάντα, διαλυθῆναι γὰρ ἂν καὶ διαῤῥυῆναι μηδενὸς αὐτὰ συνάγοντός τε καὶ σφίγγοντος. εἶτ᾽ ἐρωτηθέντες καὶ τοιούτῳ τινὶ τολμῶσιν ἀξιώματι χρήσασθαι κατὰ τὸν λόγον, ὡς ἅπαντα τὰ ὄντα δεῖται τοῦ συνέχοντος, ἢ μή, παραχρῆμα μὲν ἑτοίμως ἀποφαίνονταί τε καὶ καταφάσκουσι καὶ ἐρώτησιν, ἀπαχθέντων δ᾽ ἐντεῦθεν ἐπ᾽ ἄτοπον, ἀνατίθενται εἰς τὰ εἰρημένα, καὶ ἀγανακτοῦσι τοῖς ἐρωτῶσιν ὡς περιέργοις τε καὶ σοφισταῖς. ἤσκηται γὰρ εἴπερ τι ἄλλο, καὶ τοῦτο τοῖς νῦν ἰατροῖς, ἀποφαίνεσθαι μὲν ὑπὲρ τῶν μεγίστων δογμάτων ἑτοίμως, ἐξελεγχομένοις δὲ, ἄχθεσθαί τε καὶ τοὺς ἐλέγχοντας ἀποκαλεῖν σοφιστάς. ὅπως τοίνυν ἀναγκαῖον ἐστὶν, εἰς ἄτοπόν τι λόγον ἀχθῆναι, θεμένων ἡμῶν ἅπαν τὸ ὂν δεῖσθαι συνεκτικῆς αἰτίας, ἤδη σοι δίειμι. τὴν συνεκτικὴν αἰτίαν ἥτις ποτ᾽ ἐστίν, οὐ γὰρ ὁμολογοῦσιν αὐτὴν οἱ Ἡροφίλειοι γινώσκειν ἆρά γε ἐκ τῶν ὄντων τι καὶ αὐτοὶ ὑπολαμβάνουσιν ἢ τῶν οὐκ ὄντων. εἰ μὲν γὰρ τῶν οὐκ ὄντων τινός, θαυμάζω τὴν σοφίαν τῶν ἀνδρῶν, εἰ καὶ τῶν ὄντων ἕκαστον δεῖσθαί φασι τῶν οὐκ ὄντων τινός. εἰ δὲ τῶν ὄντων τίθενται τὴν συνεκτικὴν αἰτίαν, ἀναμνησθήτωσαν ὡς ἅπαν τὸ ὄν, ἔφασαν αἰτίας δεῖσθαι συνεκτικῆς εἰς τὸ εἶναι. συμβήσεται γὰρ οὕτως καὶ αὐτὴν τὴν αἰτίαν αἰτίας ἑτέρας ἵνα ὑπάρχῃ δεηθῆναι, κἀκείνην αὖθις ἄλλης, καὶ τοῦτο εἰς ἄπειρον. εἰ δὲ τῶν ὄντων τὰ μὲν ἑτέρου τινὸς αἰτίου δεῖσθαι πρὸς τὸ εἶναι, τὰ δὲ ἐξ αὑτῶν ἔχειν τὸ εἶναι φήσουσι, πρῶτον μὲν ἴστωσαν οὐκέτι διαφυλάττοντες τὸ ἐξ ἀρχῆς ἀξίωμα, ὃ παντὸς μᾶλλον ἀληθὲς ἔλεγον, ὡς ἅπαν τὸ ὄν, αἰτίας δεῖται συνεκτικῆς εἰς τὸ εἶναι, δεύτερον δὲ, μακροτάτου χρῄζοντες λόγου, διατί τὰ μὲν, δεῖται. τὰ δὲ οὐ δεῖται, ἢ καὶ ὁποῖον ἐκ τούτων ἐστὶν αὐτῶν ἑκάτερα. οὐδὲ γὰρ οὐδ᾽ οἱ πολλοὶ τῶν Ἡροφιλείων, οὐδ᾽ οἱ νεώτεροι στωϊκοὶ λέγουσι τινὰ ἀπόδειξιν, τοῦ τὸ μὲν πνεῦμα καὶ τὸ πῦρ συνέχειν ἑαυτό τε καὶ τὰ ἄλλα, τὸ δὲ ὕδωρ καὶ τὴν γῆν ἑτέρου δεῖσθαι τοῦ συνέξοντος. ὅσον μὲν γὰρ ἐπὶ τῇ προχείρῳ φαντασίᾳ, τὸ μὲν σκληρὸν καὶ ἀντίτυπον καὶ πυκνὸν ἑαυτὸ συνέχειν λέγοιτο, τὸ δ᾽ ἀραιόν τε καὶ μαλακὸν καὶ ὑπεῖκον. ἑτέρου δεῖσθαι τοῦ συνέξοντος. οὐ μόνον δὲ οὐδεμίαν ἀπόδειξιν εἰπόντες οἱ ἄνδρες, ἀξιοῦσι πιστεύεσθαι τὴν ὑπόθεσιν αὐτῶν, ἀλλὰ καὶ πρὸς ἑαυτὴν ὑποτιθέμενοι μαχομένην οὐκ ἔτι αἰσθάνονται. τὰ γὰρ ἁπάντων λεπτομερέστερα καὶ μαλακώτερα καὶ ἐκτικώτερα, τὸ πῦρ καὶ τὸν ἀέρα, ταῦτ᾽ αἴτια τῇ γῇ τῆς σκληρότητός τε καὶ ἀντιτυπίας εἶναι φασίν, ὡς ἐνδεχόμενον ἕτερον ἑτέρῳ τινὶ μεταδοῦναι δυνάμεως, ἢ φύσεως, ἢ ἐνεργείας, ἢ ποιότητος, ἧς οὐ μετείληφεν αὐτό. καὶ γὰρ αὖ καὶ φαίνεται σαφῶς, οὐ μόνον οὐδὲν ὑπὸ τοῦ πυρὸς συνεχόμενον, ἀλλὰ καὶ διαλυόμενα πάντα. πρὸς μὲν δὴ τὴν τῶν στωϊκῶν ὑπόθεσιν ἑτέρωθεν λέλεκται διὰ πλειόνων. ἐπὶ δὲ τοὺς Ἡροφιλείους ἐπάνειμι. καὶ πρὸς τούτους ἀρκέσει μοι κατά γε τὸ παρὸν εἰπεῖν, ὡς προστάτης αὐτῶν, ἐναντιώτατα πέπονθεν, ἀπορῶν μὲν ἐν παμπόλλοις ἀποδείξεις προχείρους ἔχουσιν, ἀποφαινόμενος δὲ ἐν ἄλλοις, ὧν αὖτ᾽ ἀποδείξεις ἀδύνατοι, ἥ θ᾽ ὑπόθεσις ψευδής. ἀπολιπόντες οὖν καὶ τούτους αὖθις λέγομεν, ὡς τὸ μὲν διατείνεσθαι καὶ ῥήγνυσθαι διὰ πλῆθος, αὐτῶν τῶν περιεχόντων ἀγγείων ἐστὶ πάθος, οὐ δυνάμεώς τινος, τὸ δὲ βαρύνεσθαι, δυνάμεως αἰσθητικῆς, οὐ γὰρ δὴ ἁπλῶς γε ταύτης πάσης οὐδὲ τοῦτο. τῆς γέ τοι φυσικῆς δυνάμεως, οὐκ ἔστι πάθος τὸ βαρύνεσθαι. εἴπερ οὖν ὀρθῶς ἀπεδείξαμεν ἐν τῇ τῶν φυσικῶν δυνάμεων πραγματείᾳ, τὴν μέν τινα τῶν οἰκείων ἑλκτικὴν εἶναι δύναμιν, ἑτέραν δὲ αὐτῶν τούτων ἀλλοιωτικήν, ἄλλην δὲ καθεκτικὴν εἶναι δύναμιν καὶ τετάρτην ἀποκριτικὴν τῶν ἀλλοτρίων, ἕτερ᾽ ἄττα χρὴ ζητεῖν γνωρίσματα τοῦ πρὸς ἑκάστην τῶν εἰρημένων δυνάμεων πλήθους, ὡς οὐκ ἱκανοῦ τοῦ βάρους ὑπάρχοντος. οὐ γὰρ ὥσπερ ἡ ἄῤῥωστος γαστὴρ αἰσθάνεται τῶν βαρυνόντων αὐτήν, διὰ τὸ περιττὸν τῆς αἰσθήσεως, οὕτω καὶ ἡ φλὲψ καὶ ἡ ἀρτηρία τὴν αὐτὴν αἴσθησιν ἔχουσιν, ἀλλ᾽ ἑτέραν. εἴπερ* ἄρα γγύος οὐ ταυτὸν κατὰ τὰ νεῦρα μακροτέρου λόγου δεόμενον εἰς δήλωσίν τε καὶ πίστιν, τοῦ μὲν οὖν κατὰ τὰς ἀρτηρίας πλήθους, ὡς πρὸς τὴν δύναμιν αὐτῶν, ἐπιστημονικὰ γνωρίσματα, διὰ τῆς περὶ τῶν σφυγμῶν εἴρηται πραγματείας. ἴσασι δὲ οὐδὲ τούτων οὐδέν, οἱ ῥᾳδίως ὀνομάζοντες ὁσημέραι πλῆθος. οὐ μὴν τοῦ γε πρὸς τὰς φλέβας αὐτὸς ἐξευρεῖν ἐπιστημονικόν τι σημεῖον, ἢ παρ᾽ ἑτέρῳ γεγραμμένον εὑρεῖν ἠδυνήθην, ὅπου γε τὴν ἀρχὴν οὐδὲ διωρίσατό τις ἡμῶν πρότερος οὐδ᾽ αὐτὰ τὰς δυνάμεις ἐπιστημονικῶς· ἐπ᾽ ὀλίγον μὲν γὰρ ἥψαντο τῆς θεωρίας αὐτῶν, οἱ περὶ Φίλιππόν τε καὶ Ἀρχιγένην. τελέως δὲ οὐδὲ τούτων οὐδεὶς ἐξειργάσατο. ζητεῖ δὲ ὁ λόγος ὁ νῦν ἐνεστηκὼς οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὸ καθ᾽ ἕκαστον μόριον πλῆθος, οἷον τὸ καθ᾽ ἧπαρ, ἢ καρδίαν, ἢ νεφρούς, ἢ κῶλον, ἢ ἐγκέφαλον, ἢ ὀστοῦν. ὅσα μὲν οὖν αὐτῶν, ἤτοι δυσαίσθητά ἐστιν ἢ ἀναίσθητα, ταῦτα μὲν οὐχ ὡσαύτως αἰσθητὰ γαστρὶ καὶ κύστει τῶν ἐν αὐτοῖς περιττῶν. ἀλλὰ τὰ μέν, οὐδ᾽ ὅλως, τὰ δέ, ἤτοι παντάπασιν ἀμυδρῶς, ἢ οὐδ᾽ ὅλως. παντάπασι μὲν ἀμυδρῶς, ὡς ἐπὶ παμπόλλῳ πλήθει, οὐδ᾽ ὅλως δὲ ὡς ἐπ᾽ ὀλίγῳ. καὶ γὰρ καὶ πνεύμονι καὶ ἥπατι, καὶ νεφροῖς ἐγγίνεται βάρους αἴσθησις ἐνίοτε, καί τις ὀστοῦν ἤδη βαρυνόμενος, ἀμυδρᾶς καὶ αὐτὸς αἰσθήσει. κατὰ τὸν ἐγκέφαλον δὲ βάρη διασημαίνει πολλάκις οὐκ ἀμυδρὰν μόνον, ἀλλ᾽ ἔστιν ἐνίοτε καὶ πάνυ σαφῆ. τοῖς δὲ ἀναισθήτοις μορίοις, οὐκ ἐνδέχεται γίγνεσθαι τινὰ αἴσθησιν, οὔτε βάρους, οὔτ᾽ ἄλλου συμπτώματος οὐδενός. ἀναίσθητα δ᾽ ἔοικεν ὑπάρχειν ἔνια τῶν ὀστῶν, καὶ ἡ πιμελή, καί τινες τῶν ἀδένων, εἰ μὴ ἄρα καὶ οἱ μυελοὶ πάντες ἐκ τῶν ἀναισθήτων εἰσίν. ἐγκέφαλος γοῦν καὶ νωτιαῖος, ὡς ἔνιοι φασίν ἐκ τῶν αἰσθητικῶν εἰσί. βεβαίως δέ τις ἀποφαίνοιτο κατὰ τῆς περὶ τὰ κυρτὰ τοῦ ἥπατος σαρκός, ἣν οἱ πολλοὶ τῶν ἰατρῶν πα-

ρέγχυμα

ἔγχυμα προσαγορεύουσιν. οὐδὲ γὰρ ὅλως εἰς αὐτὴν οὐδαμόθεν ἐμφύεται νεῦρον. ἀκριβήσειε δ' ἄν τις καὶ περὶ τῶν ἐν
τοῖς σημείοις. οὕτω γάρ ἐστι βραχέα τὰ κατὰ τὰς πύλας ἐμφυόμενα τῷ ἥπατι, ὥς τε φαίνεσθαι τὸν ὑμένα
μόνον αὐτοῦ διαπλέκοντα. καὶ μὴν καὶ ἐπὶ σπλῆνα, καὶ νεφρούς, ὡσαύτως ἀκριβήσειεν ἄν τις, ἔτι τε μᾶλ-
λον ἐν πνεύμονι. καὶ τάχα ἄν τις ἐν τούτοις τοῖς σπλάγχνοις ἡ τοῦ βάρους αἴσθησις, οὐκ αὐτῶν τῶν σπλάγχνων,
ἀλλὰ τῶν περιεχόντων αὐτὰ χιτώνων καὶ ὑμένων εἶναι λεχθείη, καὶ μάλιστα ἐπὶ πνεύμονός τε καὶ ἥπατος
ἐξηρτημένων τε καὶ κρεμαμένων, καὶ οὐχ ἑδραίως ἐστηριγμένων. ἐναργῶς γὰρ οἱ κάμνοντες αἰσθάνονται πολ-
λάκις, ἄνω πρὸς τῇ κλειδὶ τάσεώς τινος, ὡς ἐπὶ τοῖς περὶ τὸ ἧπαρ ὄγκοις αὐτοῦ τε τοῦ σπλάγχνου βάρος. ὡς
ἐντυχὴς δέ τις ὃς οὐκ ἔπαθε καθ' ὅλον ἑαυτοῦ τὸν βίον, οὕτω συνεχῶς ἅπασι γιγνομένου. λέγει δέ που καὶ Ἱππο-
κράτης, ἐν νεφρῷ ὀδύνη βαρεῖα. ὥσπερ γε καὶ ἐπὶ πνεύμονα γίγνεται βάρος. εἴρηται δὲ σχεδὸν ἅπασι τοῖς
ἰατροῖς, ὅταν ἁλῷ φλεγμονῇ τὸ σπλάγχνον, ἀλλ' οὐδὲν τούτων ἐζητηκότες οἱ πλεῖστοι τῶν ἰατρῶν, ἔνιοι δὲ οὐδ'
ὅτι δύναται μὲν ποτὲ καθ' ὅλον τὸ ζῷον εἶναι τὸ πλῆθος, ἐγχωρεῖ δὲ καὶ περὶ ἓν ὁτιοῦν μόριον ἢ καὶ πλείω,
προπετῶς ἀποφαίνονται περὶ πλήθους. ἀλλ' εἰ βούλει κατὰ τὸ παρὸν ἐάσαντες ἁπάσας ταύτας τὰς ἀπο-
ρίας, ἐν τοῖς εὐπορωτέροις γυμνασθῶμεν. εὐπορώτερον δ' εἶναι μοι δοκεῖ, πάλιν ἀπὸ βάρους ἄρξασθαι. φαί-
νεται γὰρ τοῦτο, τοῦ πρὸς τὴν αἰσθητικὴν δύναμιν πλήθους, ἐναργέστατον εἶναι γνώρισμα. πότερον οὖν ἀληθές
ἐστιν ἀποφαίνεσθαι τῷ πλήθει βάρος ἀκολουθεῖν ἐξ ἀνάγκης, ἢ τὸ βάρος ἀνάγκη προηγεῖσθαι πλῆθος. οὐ γὰρ
δή γε ταὐτόν ἐστιν, ἢ ἀκολουθεῖν ἐν τῷ λόγῳ τὸ βάρος, ἢ προηγεῖσθαι. ἀληθὲς μὲν γάρ, ὅτῳ πλῆθος ὑγρῶν
τινῶν ἐστιν ἐν τῷ σώματι, τούτῳ βάρους αἴσθησιν ὑπάρχειν ἐν ἐκείνοις τοῖς μέρεσιν δηλονότι, ἐν οἷς περ ἂν ἡ τὸ
πλῆθος αἰσθητικοῖς ὑπάρχουσιν. οὐκ ἀληθὲς δὲ τό, βάρους ὄντος ἔν τινι μέρει, πλῆθος ὑπάρχειν ἐν ἐκείνῳ χυ-
μῶν. ἐγχωρεῖ γὰρ ὑπὸ τῶν στερεῶν μορίων βαρύνεσθαι τὴν δύναμιν ἀρρωστοῦσαν, ὡς ἐν ταῖς παραλύσεσιν.
ὑπὸ γὰρ τοῦ * τῶν μυῶν ἐν ὅλου κώλου κινουμένου τῶν * μυῶν ἀρρώστων γινομένων κινεῖν, καὶ μεταφέρειν αὐ-
τό, βάρους αἴσθησις γίγνεται τοῖς παραλυομένοις. οὐ γὰρ ἑαυτῷ βαρὺ φαίνεται τὸ ἀρρωστοῦν, οἷον ὁ μῦς, ἢ τὸ νεῦ-
ρον, ἢ ὅλως ὅτι περ ἂν ᾖ σῶμα τὸ πρώτως κινοῦν τὰ μόρια, ἀλλὰ τοῦτο τὸ πάθημα τὸ λεγόμενον βάρος, ἐξ ἑτέ-
ρου τε πέφυκεν ἑτέροις ἐγγίνεσθαι, αὐτό τε καθ' ἑαυτὸ τὸ νεῦρον, ἢ ὁ τένων, ἢ ὁ μῦς, ἢ ὅτι περ ἂν ᾖ τὸ κινοῦν ἡμᾶς,
ἀτονώτερον μὲν αὐτοῦ γίγνεσθαι καὶ ἀσθενέστερον ἐγχωρεῖ, βαρύνειν δὲ ἑαυτό, τῶν ἀδυνάτων ἐστίν. εὐτονώτε-
ρον μὲν οὖν γιγνόμενον, ἰσχυροτέρας τὰς ἐνεργείας ποιήσεται τῶν ἐμπροσθεν. ἀτονώτερον δὲ ἀσθενεστέρας. οἷον
ὁ μῦς, εἴπερ γε οὗτός ἐστιν ὁ κινῶν τὸ σκέλος, ὑγιαίνων μὲν ἐπισπάσεται σφοδρῶς ἐκεῖνο τοῦ κώλου τὸ μέρος
εἰς ὃ καταπέφυκεν, εὐεκτῶν δέ, σφοδρότατα, καὶ νοσῶν μέν, ἀσθενῶς. ἔκλυτος δὲ τὴν δύναμιν ὑπάρχων, ἀ-
μυδρῶς. εἰ δὲ οὐχ ὁ μῦς ἐστιν, ἀλλὰ τὸ νεῦρον γε τὸν μῦν αὐτὸν κινοῦν ἐκείνου πάλιν ὑγεία καὶ νόσος εὐεξία τε
καὶ ἀρρωστία, ταῦτα ἐργάσεται περὶ τὸ κῶλον, ὥσπερ ὁ μῦς ἐλέχθη ποιεῖν. οὕτω δὲ εἰ καὶ τὸ πνεῦμα τὸ πρῶτόν
ἐστι τῶν κινούντων τὸ σκέλος, ἐπ' ἐκείνου ταῦτα λεχθήσεται. φέρε τοίνυν ἕνεκα σαφηνείας κείσθω ταυθ' ἡμῖν,
ὑπὸ μὲν τοῦ πνεύματος τοῦ διὰ τῶν νεύρων φερομένου κινεῖσθαι τὸν μῦν, ὑπὸ δὲ τοῦ μυὸς πρώτην μὲν τὴν κνήμην
εἰς ἣν ὁ μῦς ἐμπέφυκεν. εἶτα δι' ἐκείνης τὴν ἐπὶ γόνυ διάρθρωσιν, ἐφ' ἣν τὸ σκέλος ὅλον ἐμπέφυκεν. ἀληθῶς γοῦν
ἄν τις ἐπὶ ταύταις ταῖς ὑποθέσεσι λέγει καὶ τὸ μῦν αὐτὸν βάρος γίγνεσθαι τῷ ἀρρώστῳ πνεύματι. καὶ σὺν
αὐτῷ τὸ κῶλον ὅλον, οἷον εἰ τύχοι τὴν κνήμην. εἰ δέ γε τὸ νεῦρον ὑποθώμεθα κινεῖσθαι πρὸς τοῦ πνεύματος, ὑπὸ
νεύρου δὲ τὸν μῦν, εἶτ' αὖθις ὑπὸ τοῦ μυὸς τὴν κνήμην, ὑπὸ πάντων τῶν εἰρημένων βαρυνθήσεται τὸ πνεῦμα
τὸ ἄρρωστον. ὥστ' ἤδη μὲν κἀνταῦθα δῆλον ὡς οὐχ οἷόν τε διαγνῶναι τὸ πρῶτον βαρῦνον τε καὶ βαρυνόμενον,
ἄνευ τοῦ προεγνωκέναι τὸ πρῶτον κινοῦν ἕκαστον τῶν ἐν ἡμῖν μορίων. ἀλλὰ καὶ τοῦτο μὲν αὖθις ἀκριβέστερον ἐπι-
σκεψόμεθα. ὑπὲρ οὗ δὲ ὁ λόγος ἡ παραινέσθω. γενήσεται δὲ καὶ νῦν ἕνεκα σαφηνείας ἡ διέξοδος ἅπασα μεθ' ὑπο-
θέσεως. ὑποκείσθω τοίνυν ὁ μῦς εἶναι τὸ πρῶτον κινοῦν ἑαυτόν τε καὶ τὸ τῆς κνήμης ὀστοῦν. ἑαυτῷ μὲν οὖν, οὐδέ-
πώποτ' ἐστὶ βαρύς, οὐδ' ὅταν ἀτονώτατος ὑπάρχῃ, βαρύνει δὲ αὐτὸν ἡ κνήμη. πότερον δὲ κινεῖσθαι μόνον ἐφιεμένου, ἢ
κἂν ἡσυχάζει, σκέψεως ἑτέρας οὐ μικρᾶς ἦν, διωρισμένης ἡμῖν ἐν τοῖς περὶ μυῶν κινήσεως, ἧς ἄνευ σκέψεως, οὔτε
διάθεσιν, οὔτε πεπονθότα τόπον, ἀκριβῶς ἔνεστι διαγνῶναι, ἐπὶ τὰς τοῦ βάρους αἰσθήσεις. αὐτίκα γέ τοι, οἷσι μέν,
ἤτοι κῶλον ἓν ἢ καὶ σύμπαν τὸ σῶμα βαρύνεται, κινεῖσθαι προῃρημένοις, ἡσυχάζουσι δὲ οὐδεμία βάρους αἴσθησις γί-
γνεται. τινὲς δὲ καὶ πρὸ τοῦ κινεῖσθαι βαρύνεσθαι φασί. τίς οὖν ἑκατέρων τούτων ἡ διάθεσις, ἀμήχανον γνῶναι, πρὶν
ἐξευρεῖν τὰ κινοῦντά τε καὶ κινούμενα σώματα καθ' ὅλον τὸ σκέλος. εἰ μὲν γὰρ αἱ τῶν νεύρων ἶνες αἱ ἐπὶ τοῦ μυὸς
εἰσὶν αἱ πρῶται κινούμεναι, συγκινεῖται δὲ ταύταις ἐν αὐτῷ τό, τε ὑμενῶδες γένος, καὶ τὸ φλεβῶδες, καὶ τὸ ἀρ-
τηριῶδες, ἔτι δ' οἱ σύνδεσμοι, βάρους μὲν αἴσθησις αὐτῶν γενήσεται καὶ διὰ ταῦτα, καὶ δι' ἄλλα πάντα τὰ
καθ' ὅλον τὸ κῶλον. ἐπισκεψόμεθα δὲ καὶ διορισόμεθα πότε μὲν ἐνεργοῦντος καὶ κινουμένου τοῦ κώλου τὸ βάρος ἔσται
πότε δ' ἡσυχάζοντος. εἰ δὲ καὶ τὸ τῶν συνδέσμων ἐν αὐτῷ γένος ἅμα τῷ σαρκώδει κινεῖται, ταῦτα γάρ ἐστιν ἡ
οἰκεία τοῦ μυὸς οὐσία, δι' οὐδὲν μὲν τούτων οὐδέποτε γένοιτ' ἂν ἡ τοῦ βάρους αἴσθησις. ἤτοι δὴ ἐκ τῶν φλεβῶν, ἢ ἐκ
τῶν ἀρτηριῶν, ἢ ἐκ τῆς πιμελῆς, ἢ ἐκ τῶν ὀστῶν, ἢ ἔκ τινων, ἢ ἐκ πάντων γενήσεται. δῆλον δὲ ὡς εἰ καὶ παραλίποι-
μεν ποτὲ ἐπὶ τὰς τοιαύτας διαιρέσεις, τὸ ἔκ τινων, ἢ ἐκ πάντων, αὐτὸ χρὴ προσυπακούειν τοὺς ἀναγινώσκοντας
τὸ βιβλίον, εἰδότας ὅτι ἐπὶ τοὺς τοιούτους ἅπαντας λόγους, οἱ σύνδεσμοι, οὐ διαζευκτικῶς, ἀλλὰ παραδιαζευ-
κτικῶς εἰσίν. ἐκ δὴ μὲν τῶν εἰρημένων εὔδηλον, ὡς ὅστις βούλεται διαγνωστικὸς εἶναι πληθωρικοῦ μορίου, τού-
τον, τῶν τε διοικουσῶν ἡμᾶς δυνάμεων ἐπιστήμην ἔχειν, ἀναγκαῖόν ἐστιν, ἀνατομῆς τε καὶ φύσεως ἁπάντων ἀ-
κριβῶς τῶν τοῦ ζῴου μορίων. ἐκ τούτου γὰρ ὁρμώμενος, ἴσως ἄν ποτε ἐξεύροιτο σημεῖα μορίου πληθωρικοῦ.
εἰ δέ τις ἀληθείας μὲν οὐ πεφρόντηκεν, ἐξαπατᾶν δὲ βούλεται τοὺς πέλας, ὅτι εἴη γνοὺς τι σοφόν, ἕτοιμον τούτῳ, κἂν
εἰ μηδὲν ἄλλο, τὰ γοῦν Ἐρασιστράτου ἐπὶ τὸ πρῶτον ὑγιεινῶν * αὐτὸν μαθεῖν. ἐν ἄλλῳ μὲν γὰρ οὐ δὲ ἐπιχείρησε
πλήθους εἰπεῖν σημεῖα. προσχῶμεν οὖν αὐτοῦ τοῖς ῥήμασι, πρῶτον μὲν ἐν οἷς ἥ τις ποτέ ἐστιν ἡ γένεσις τῆς πλη-

θώρας, φησίν. οὕτως γὰρ αὐτὸς ὀνομάζει τὸ κατὰ τὰς φλέβας πλῆθος. ἔπειτ' ἐφεξῆς ἐν οἷς τὰ σημεῖα τῆς διαγνώ-
» σεως ἐξηγεῖται, ἡ μὲν τοι γένεσις αὐτῷ τοιάδε. τῆς γὰρ ἀναδιδομένης τροφῆς, μή τε * καταπτομένης, μή τε ἐκ-
» πονουμένης, κατὰ τὸ εἰθισμένον ἑκάστῳ, μή τε ἄλλως πως ἐκκρινομένης, ἀναγκαῖον ἢ πληροῦσθαι τὰ ἀγγεῖα
» τῆς πέψεως, καὶ τῆς ἀναδόσεως, καὶ τὰς κατ' αὐτὰς ἐνεργείας ἀποδιδοῦσαν. καὶ τῆς μὲν προϋπαρχούσης
» τροφῆς ἐν τοῖς ἀγγείοις οὐδαμῶς καταναλισκομένης, τῆς δ' ἀπὸ τῶν προσφερομένων ἐπιγιγνομένης, τὰ ἐν
» τῷ σώματι ἀγγεῖα, καὶ ἐπὶ πλέον διατείνεται. ὅταν δὲ μηκέτι ἐπίσαξιν ἐπιδέχηται τὰ ἀγγεῖα, ἐπιφέρηται
» δὲ ἐκ τῆς κοιλίας ἑτέρα τροφή, ὁρμὴν λαμβάνει τὰ ὑπάρχοντα εἰς τὰ παρακείμενα τοῦ πνεύματος ἀγγεῖα. ἔκ
τε οὖν τούτου δῆλον ὅτι περὶ τοῦ κατὰ τὸ ἔγχυμα διαλέγεται πλήθους, ἔκ τε τοῦ καλεῖν αὐτὸν πληθώραν ἰ-
δίως. ἴδιον γὰρ τὸ πάθος ὀνομάζεται πληθώρα μόνον, οὐ τὸ ἕτερον, ὃ πρὸς τὴν δύναμιν κρίνεται. μικρὸν δὲ
» διελθὼν ὑπὲρ τῆς διαγνώσεως αὐτοῦ, τάδε γράφει. δεῖ οὖν καθάπερ εἴρηται πειρᾶσθαι διαγινώσκειν τὴν κα-
» τὰ πληθώραν διάθεσιν. κατ' ἀρχὰς μὲν οὖν αὐτῆς μετρίως πληρουμένων τῶν ἀγγείων, εὐτονώτεροί τε καὶ
» ἰσχυρότεροι ἑαυτῶν φαίνονται παρὰ τὸ εἰθισμένον, ἐπὶ πλέον δὲ πληρώσεως ἐρχομένων, παρεμπίπλανται
» βραχίονές τε καὶ κνῆμαι καὶ χεῖρες, ὥσπερ τοῖς ἀπὸ τῶν γυμνασίων εἰς διάτασιν ἐρχομένοις. ἐπὶ πολὺ δὲ
τῆς πληθώρας προαγούσης, ἑλκώδεις τε καὶ βραδύτεροι καὶ δυσκινητότεροι εἰσί, καὶ ὅλη τοῦ σώματος ἡ ἁ-
φὴ τείνεται, ὡς κόπου φαινομένου, πλησίον δὲ ἤδη νόσου, ἡ τοιαύτη διάθεσις, ἐὰν μὴ πάνυ ἐπιδεξίως τε καὶ συ-
νετῶς αὐτὴν τις λύῃ. συνέχεται ἐν τούτοις ὁ Ἐρασίστρατος ἑτερογενῶν πληθῶν γνωρίσματα, μετὰ τοῦ καὶ προσ-
γράφειν αὐτοῖς ἔνια τῶν οὐκ ἀναγκαίων. ἐπισκέψασθαι δὲ ἔστιν ἀπ' ἀρχῆς αὐτοῦ τὸν λόγον. ἐν μὲν γὰρ τῷ, κατ' ἀρ-
χὰς μὲν οὖν αὐτῆς μετρίως πληρουμένων τῶν ἀγγείων, εὐτονώτεροί τε καὶ ἰσχυρότεροι ἑαυτῶν φαίνονται
παρὰ τὸ εἰθισμένον, οὐδ' ἑτέρωθεν ὁ λόγος ἀναγκαίαν ἔχει τὴν ἀκολούθησιν, οὔτε ἀπὸ τῆς διαθέσεως ἐπὶ τὰ
γνωρίσματα αὐτῆς, οὔτε ἀπὸ τῶν γνωρισμάτων ἐπὶ τὴν διάθεσιν. οὔτε γὰρ ἀναγκαῖον ἐπὶ τῶν ἀγγείων μετρίως
πληρουμένων εὐτονωτέρους τε καὶ ἰσχυροτέρους ἑαυτῶν φαίνεσθαι, οὔθ' ὅταν τοιοῦτοι φαίνονται μετρίως πε-
πληρῶνται τὰ ἀγγεῖα. ταῖς τε γὰρ τούτων μετρίαις πληρώσεσιν, ἐνδέχεται ποτὲ καὶ ἀτονωτέρους γίνεσθαί τι-
νάς, ἢ εἰς μηδὲν ἐπιφανὲς ἐπὶ μηδ' ἕτερα ὑπαλλάξαι, μήτε ἐπὶ ἰσχύν, μήτε εἰς ἀσθένειαν. εἰ δὲ ἰσχυρότεροι γίνον-
ται ἢ πρόσθεν, ἐγχωρεῖ τούτοις οὐ μόνον συνηυξῆσθαι τῇ δυνάμει τὸ πλῆθος τῶν χυμῶν, ἀλλὰ καὶ μεμειῶ-
σθαι ποτέ, καὶ τὴν ἐξ ἀρχῆς ἐνίοτε φυλάττειν ποσότητα. καθ' ἑκατέραν γὰρ ὑπόθεσιν ἐγχωρεῖ τῷ πρότερον
λεχθέντι τριῶν ἀκολούθησιν εἶναι, τὸ μὲν ηὐξῆσθαι τοὺς χυμούς, εὐτονίαν τε καὶ ἀτονίαν παρὰ τὴν ἔμπρο-
σθεν κατάστασιν, ἔτι τε τὴν ἐπὶ τῶν αὐτῶν ὅρων μονὴν τῆς δυνάμεως. τῷ δ' εὐτονώτερον γεγονέναι, τό, τε ηὐξῆ-
σθαι καὶ τὸ μεμειῶσθαι, καὶ τὸ συμμέτρους εἶναι τοὺς χυμοὺς ἀκουέσθω δ' ὡσαύτως κατὰ τὸν παρόντα λόγον, ἄν-
τε χυμοὺς εἴπω, ἄν τε αἷμα. διορισθήσεται γὰρ ὑπὲρ αὐτῶν ἐν προσήκοντι τοῦ λόγου. Ἐρασίστρατος μὲν οὖν ἁ-
πλῶς ἀπεφήνατο, μηδεμίαν ἀπόδειξιν, οἷς εἶπε προσγράψας. ἡμεῖς δὲ οὐχ ἁπλῶς, ἀλλὰ σὺν ἀποδείξεσιν ἀναγ-
καίαις, ἕκαστον ὧν εἴπομεν ἄρτι πιστούμενοι, τὴν ἀρχὴν κἀνθαῦτα πάλιν ἀπ' αὐτῶν ποιησόμεθα τῶν Ἐρασιστρά-
του ῥημάτων. εὐτονώτεροι φησὶ καὶ ἰσχυρότεροι φαίνονται. πότερον ἄλλό τι σημαίνει τό, εὐτονώτεροι τοῦ ἰσχυ-
ρότεροι, καὶ δύο ἡμᾶς ἐδίδαξε σημεῖα τοῦ μετρίου πλήθους, ἢ δύο μὲν εἰπὼν ὀνόματα, σημεῖον δὲ ἕν. ἐγὼ δὲ οὐδὲ
μίαν εὑρίσκω τοῦ σημαινομένου διαφοράν, οὔτε κατὰ τὸ γένος, οὔτε κατὰ τὸ εἶδος, οὔτε ἐν τῷ μᾶλλον ἢ ἧττον,
ἀλλ' ὑπὲρ θατέρου σημαίνεσθαι νομίζω ταὐτόν. εἰ δὲ βούλει τίθει τὸ ἕτερον ἐπίτασίν τε καὶ αὔξησιν ἐμφαί-
νειν παρὰ θάτερον. εἴτ' οὖν τὸ ἰσχυρότεροι παρὰ τὸ εὐτονώτεροι, εἴτε τὸ εὐτονώτεροι παρὰ τὸ ἰσχυρότεροι, ἀλλ'
ὁμοειδές γε πάντως ἐστὶ τὸ σημαινόμενον ἐξ ἀμφοτέρων. ἔνθα δ' αὔξησίς ἐστι, τοῦ εἴδους μένοντος, ἐνταῦθ' οὐκ
ἔστι διδασκαλία δυοῖν σημαινομένων. εὔδηλον δ' ὅτι θατέρου γένους τοῦ πλήθους ὃ πρὸς τὴν δύναμίν ἐστιν, οὐ-
δὲ μέμνηται τὴν ἀρχὴν ὁ Ἐρασίστρατος, οὔτε οὖν κατὰ τοῦτο τὸ βιβλίον, οὔτε ἐν τοῖς περὶ πυρετῶν. ἡ γὰρ πλη-
θώρα παρεμπτώσεως ἐστὶν αἰτία κατ' αὐτόν, ἐφ' ᾗ φλεγμοναί τε συνίστανται, καὶ πυρετὸς ἕπεται. πληθώρας
τε γένεσιν ἐναργῶς ἐδήλωσεν ἐν τῇ προγεγραμμένῃ ῥήσει, καθ' ἣν ἐπισάττεσθαι τὰ ἐν τῷ σώματι ἀγγεῖα, καὶ
ἐπὶ πλεῖστον διατείνεσθαι φησί. τούτοις γὰρ αὐτὸς ἐχρήσατο τοῖς ῥήμασιν, ὥσπερ καὶ ὅτι διὰ τὸ μηκέτι δύνα-
σθαι τὴν ἐπίσαξιν ἐπιδέχεσθαι, παρέμπτωσιν εἰς τὰς ἀρτηρίας γίνεσθαι τοῦ περιττοῦ, τὴν ὁρμὴν ἐκεῖσε λα-
βόντων τῶν πληθυνόντων κατὰ τὰς φλέβας. παραλέλειπται μὲν οὖν τι κἀνταῦθα κατὰ τὴν διαίρεσιν. οὐ γὰρ οὕ-
τως ἁπλῶς ἐχρῆν εἰπεῖν, ὅταν μηκέτι ἐπείσαξιν αἱ φλέβες δέχωνται, τὴν ὁρμὴν γίγνεσθαι τῶν ἐν αὐταῖς εἰς τὰ
τοῦ πνεύματος ἀγγεῖα. πολλῷ δ' ἦν βέλτιον φάναι, δυοῖν θάτερον ἐπειδὰν τῇ προειρημένῃ πληρώσει τῶν φλεβῶν
ἤτοι ῥῆξιν αὐτοῦ χιτῶνος ἢ μετάχυσιν τοῦ αἵματος εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα. τὸ δ' ἐξ ἀνάγκης οἴεσθαι μὲν με-
ταχεῖσθαι τὸ αἷμα διὰ τὸ μὴ χωρεῖσθαι πρὸς τῶν φλεβῶν, ἐπιλελησμένου παντάπασίν ἐστιν, ὡς γίγνεται ποτὲ
ῥῆξις ἀγγείου διὰ πλῆθος, ἵνα παραλίπω τὴν ἄνευ μεταχύσεως ἀναστόμωσιν ἐναργῶς πολλάκις εἰς αἰσθητὰς
εὐρυχωρίας γιγνομένην ἐντέρων καὶ γαστρός, καὶ στομάχου, καὶ φάρυγγος καὶ στόματος. ἀλλὰ τὸ μὲν ἐν τῇ διαιρέσει
τῶν λόγων ἐλλιπές, οὐκ ἐν τούτῳ μόνον Ἐρασιστράτῳ σύνηθες, ἀλλὰ καὶ κατ' ἄλλα συντάγματα σχεδὸν ἅπαντα.
τὸ δ' οὖν εἰρημένον ὁποῖον ποτ' ἂν ᾖ πάλιν ἐπισκεψόμεθα. πληρουμένων τῶν ἀγγείων μετρίως, ἑαυτῶν εὐτονώτεροι
φαίνονται. πότερον ὦ Ἐρασίστρατε κἂν μὴ δὲ συναύξηται τῷ πλήθει τοῦ αἵματος ἡ ῥώμη τοῦ σώματος, ἢ καὶ αὐ-
τῆς συναυξανομένης. ἐγὼ μὲν γὰρ ἀναγκαιότατον εἶναι φημί, πρὸς τὴν εὐτονίαν τῆς ἐνεργείας, καὶ τὴν ῥώμην τῆς
δυνάμεως αὐξάνεσθαι καὶ οὕτως σὺ δὲ εἰ τῇ τοῦ αἵματος αὐξήσει μόνον, τῆς δυνάμεως τὰς ἐνεργείας ἰσχυροτέρας
γίνεσθαι ἡγῇ, τὰς τοῦ Ἀσκληπιάδου μᾶλλον ἀνατρέπειν δόξειας † ὕπαρξιν * δύναμιν. οὐδὲ γὰρ οὐδὲ ἐκεῖνος ἁπλῶς
οὑτωσί φησιν, ᾧ πλέον αἷμα πάντως, τοῦτον εὐτονώτερον ὑπάρχειν, ᾧ δὲ ἔλαττον, ἐξ ἀνάγκης ἀτονώτερον, ἀλ-
λ' εὑρήσεις τινὰς εἰπεῖν διορισμοὺς ὁμολογοῦντας τοῖς φαινομένοις, καί τοι οὐδεμίαν ἡγούμενος ἐν ἡμῖν εἶναι
δύναμιν, οὔτε ψυχικήν, οὔτε ζωτικήν. ὁρῶνται γάρ τινες, οἱ μέν, ἐξ ἑαυτῶν ἐνίοτε πολυαιμότεροι τε ἅ-
μα καὶ ἰσχυ

† al. ἀνασκευάζειν τὴν

μα καὶ ἰσχυρότεροι γεγονότες, οἱ δὲ ἰσχυρότεροί τε ἅμα καὶ ὀλιγαιμότεροι. ὥστε ἐξ ἀνάγκης οὔτε τῷ πλήθει τοῦ αἵματος αὐξανομένης τῆς ἰσχύος, οὔτε μειώσει καθαιρουμένης, ὀλιγωρότερον εἰρῆσθαι καὶ ταῦτα τῷ Ἐρασιστράτῳ νομιστέον. ὡς εἴ γέ τις ἀνέμνησεν αὐτὸν ὧν ἐγὼ νῦν διῆλθον, οὐκ ἂν ἠρνήσατο, τὴν τῶν ἐνεργειῶν εὐτονίαν, οὐκ αὐξήσει τοῦ σώματος, ἀλλὰ ῥώμῃ τῆς δυνάμεως ἕπεσθαι. ποιήσωμεν οὖν ἡμεῖς ἤδη τὸν λόγον αὐτοῦ τελεώτερον, οἷς ἐνδεῶς εἶπε προσθέντες τὸ λεῖπον. ἔσται δὲ τοιοῦτος. αὐξανομένου τοῦ αἵματος, ἅμα τῇ δυνάμει, καὶ τὴν εὐτονίαν ἀναγκαῖον αὐξάνεσθαι. καὶ μὴν, εἰ καὶ τοῦτο εἴποιμεν, ἀληθὲς μέν τοι λέξομεν, οὐδὲν δὲ ἡμῖν εἰς τὰ προκείμενα πλέον οὐδὲ ἐκ τοῦδε. τὸ μὲν γὰρ οἷς ἄμφω συνηύξηται τό θ' αἷμα καὶ ἡ δύναμις, ηὐξῆσθαι καὶ τὴν εὐτονίαν, ἀληθῶς εἰρήσεται, τὸ δ' οἷς ηὔξηται τὰ τῆς ἰσχύος, ηὐξῆσθαι τούτοις ἐξ ἀνάγκης ἀμφότερα ψεῦδος. οὐ γὰρ ἐξ ἀνάγκης ἡ δύναμις τῷ αἵματι αὐξηθέντι συναύξεται. ἐγχωρεῖ δέ ποτε καὶ τὴν δύναμιν μόνον. ὁ γοῦν ὄντως ἀγαθὸς γυμναστὴς εἰ παραλάβοι τινὰ, πολὺ μὲν αἷμα φλεγματικὸν ὑπ' ἀγυμνασίας ἠθροικότα, τῇ δυνάμει δὲ ἀσθενέστερον, ὀλίγου δεῖν * ἀποδείξει τοῦτον ἰσχυρὸν καὶ πολυαιμότερον, ἢ παρέλαβεν. ὥσπερ οὖν οὐκ ἦν ἀναγκαῖον, ὅσοι ταῖς ἐνεργείαις εὐτονώτεροι σφῶν αὐτῶν γεγόνασιν, ηὐξῆσθαι τούτοις τοὺς χυμοὺς, οὕτως ἀναγκαῖόν ἐστιν, ὅσοι ταῖς ἐνεργείαις σφῶν αὐτῶν εὐτονώτεροι γεγόνασιν, ἰσχυροτέραν αὐτοῖς γεγονέναι τὴν δύναμιν. οὐ μόνον δὲ ἀπὸ τῆς εὐτονίας ἀρξάμενος, ἐπὶ τὴν ῥώμην τῆς δυνάμεως ἀκολουθήσεις ἐξ ἀνάγκης, ἀλλὰ καὶ ἀπὸ τῆς δυνάμεως ἐπὶ τὴν εὐτονίαν. ὁ γὰρ ἰσχυρὸς τὴν δύναμιν, εὐτονώτερος ἐν ταῖς ἐνεργείαις ἐστὶν, ὥστε ἀλλήλοις ἀντακολουθεῖν, εὐτονίαν μὲν ἐν ταῖς ἐνεργείαις ῥώμῃ δυνάμεως, ῥώμην δὲ ἐν τῇ δυνάμει καὶ τῶν ἐνεργειῶν εὐτονίᾳ. ὁπότερον γὰρ ἂν αὐτῶν ὑπάρχειν ὑπόθοιο, πάντως τούτῳ συνυπάρχει καὶ τὸ ἕτερον, οὐ μὴν ἀπό γε τοῦ πλείονος αἵματος ἡ ἀκολούθησις ἀναγκαία. οὔτε γ' εἰ πλέον τοῦτο τοῦ πρόσθεν, ἐξ ἀνάγκης εὐτονώτερος ὁ ἄνθρωπος, οὔτε εἰ ἔλαττον, ἀτονώτερος, ὥσπερ οὐδὲ ὅταν ἴσον, ὁμοίως ἔχει δυνάμεως. ὥστ' ἐκ τῶν εἰρημένων δῆλον, ὡς ἡ τῶν ἐνεργειῶν εὐτονία, τοῦ μὲν ἐρρῶσθαι τὴν δύναμιν, ἴδιόν τε ἅμα καὶ ἀχώριστόν ἐστι γνώρισμα, τῆς δὲ αὐξήσεως τοῦ αἵματος, οὔτε ἴδιον οὔτε ἀχώριστον. ὃ δὲ ἐφεξῆς εἶπεν Ἐρασίστρατος ἴδιον μὲν οὐκ ἔστιν, ἀχώριστον δὲ ἐστι πληθώρας. ὀνομάζει δὲ αὐτὸ παραπίμπλασθαι, σαφέστερον δ' ὀνομασθείη τείνεσθαι. καὶ γάρ τοι καὶ τῶν γυμναστῶν οἱ ἀκριβέστεροι τὸν μέν τινα τῶν κόπων, ἑλκώδη, τὸν δὲ, τονώδη. τὸν δὲ φλεγμονώδη καλοῦντες, οὐδὲν ἄλλ' ἐνδείκνυνται, τοῦ παραπέμψασθαι τὰ μέλη κατὰ τὸν τονώδη κόπον. τηνικαῦτα γὰρ ἑαυτῶν παραπεπλῆσθαι λέγουσιν ὁτιοῦν μόριον, ἐπειδὰν αἰσθάνονται τινὸς ἑαυτῶν τάσεως, αἰσθάνονται μὲν οὖν κἂν τῇ φλεγμονῇ τάσεως, ἀλλ' ἐκείνῃ μὲν, ἤτοι διὰ παντὸς, ἢ ὡς τὸ πολὺ σύνεστιν, ὁ παρὰ φύσιν σφυγμὸς, ὅν τις ἐναργέστερον ἑρμηνεύων, ἐρεῖ πόνον σφυγμώδη. οἷς δ' οὐδὲν ἄλλο, πλὴν τοῦ τείνεσθαι συμβέβηκε, τούτοις οὔτε φλεγμαίνει τὸ τεινόμενον μόριον, οὔτε ἐξ ἀνάγκης πληθωρικὸν ὑπάρχει, ἀλλὰ δυοῖν θάτερον, ἤτοι κοπῶδες ἢ πληθωρικόν. ἀλλ' εἴπερ κοπῶδές ἐστιν, ἐπὶ πόνοις πλείοσιν οὕτως ἔπαθον. εἰ δ' ὅλως οὐκ ἐπόνησεν ὁ ἄνθρωπος, οὐ διὰ κόπον, κοπῶδες αὐτὸ γίγνεται τὸ μόριον, ἀλλ' ἑτέρως. ὥστ' ἀληθὲς εἰπεῖν, ἐπεὶ τάσεως αἴσθησις ἐστὶν ἄνευ τοῦ γυμνάσασθαι, πάντως εἶναι πληθώραν. γίγνεται δὲ οὕτως εἰπόντων, ἀχώριστόν τε ἅμα καὶ ἴδιον τὸ σημεῖον, ἀκολουθούντων ἐξ ἀνάγκης ἀλλήλοις ἑκατέρων. ἥ τε γὰρ ἄνευ τῶν γυμνασίων τάσις, ἕπεται πληθώρᾳ. γίγνεται γὰρ αὐτῆς ἀχώριστον σημεῖον, ὡς ὑπὸ αὐτῆς τῆς πληθώρας ἀποτελούμενον. ἡ δὲ ἐπὶ τοσοῦτον αὔξησις τοῦ αἵματος ὡς μηδέπω διατείνειν τὰς φλέβας, οὐδέπω πληθώρα. τί ποτ' οὖν ἐμνημόνευσεν ὁ Ἐρασίστρατος ἐν τῷ λόγῳ βραχιόνων καὶ κνημῶν καὶ χειρῶν, καὶ γὰρ καὶ ἐν τραχήλῳ, καὶ μεταφρένῳ, καὶ ὀσφύϊ, καὶ κατὰ θώρακα, καὶ καθ' ὑπογάστριον, ἡ τοιαύτη συνίσταται τάσις. ὥσπερ δὲ τῶν κώλων ὁ Ἐρασίστρατος ἐμνημόνευσεν ἐκ περιττοῦ, κατὰ τὸν αὐτὸν τρόπον καὶ * μειζόνως καὶ τῆς ἑλκώδους αἰσθήσεως. οὐ γὰρ πληθώρας αὕτη γνώρισμά ἐστιν, ἀλλ' ἐπὶ δακνώδεσι γίνεται χυμοῖς, οἷάπερ τοῖς ἡλκωμένοις μορίοις, ἤτοι ψαύοντος αὐτῶν τινὸς αὐτῶν, ἢ ἰχῶρος ἐρεθίζοντος, ἢ φαρμάκου δάκνοντος, ἢ κἂν ταῖς κινήσεσι μόναις γίγνεται. ὥσπερ γὰρ ἡ τάσις οἰκεία ἐν τῷ πλήθει τῶν χυμῶν ἐστι διατεινόντων τὰ περιέχοντα, οὕτως ἡ ἑλκώδης αἴσθησις ἕπεται δακνώδει ποιότητι. καὶ διὰ τοῦτο συνίσταται πολλοῖς ἐνίοτε καὶ καθ' ὅλον τὸ σῶμα, μὴ ὅτι πληθώραν ἔχουσιν, ἀλλὰ μὴ δὲ τὸ σύμμετρον αἷμα. καὶ εἴπερ τοῦτ' οὕτως ἔχει, καθάπερ οὖν ἔχει, καιρὸς ἤδη διορίσασθαι περί τινος, ὧν ἔμπροσθεν ἀνεβαλλόμεθα, ἐπειδὴ ἐσκοποῦμεθα μέχρι τοῦ δεῦρο τὰ ὑπὸ Ἐρασιστράτου γεγραμμένα σημεῖα. τὸ γάρ τοι πλῆθος, εἴτουν πρὸς τὴν δύναμιν, εἴτε πρὸς τὴν τῶν περιεχόντων χώραν νοεῖτο, βέλτιον μὲν ἦν δήπου διορίσασθαι, πότερον ἐν αἵματι μόνῳ, ἢ καὶ τοῖς ἄλλοις ἅπασι χυμοῖς συνίστασθαι πέφυκε. παραλέλειπται δὲ καὶ τοῦτ' αὐτοῖς ἀδιόριστον. ἐπεὶ τοίνυν οὐ μόνον ταῦτα τὰ παθήματα καταλαμβάνει τοὺς χυμοὺς, ἔνδειά τε καὶ πλῆθος, ἀλλὰ καὶ ποιότης ἄτοπος, πάντας ἠρώτησα τοὺς ἰατροὺς, ὅσοι τε πρὸς τὴν δύναμιν νοοῦσι τὸ πλῆθος, ὅσοι τε πρὸς τὴν αὔξησιν τῶν ὑγρῶν, πότερον αὐξηθέντος μόνου τοῦ αἵματος τοσοῦτον, ὡς μὴ στέγεσθαι, τείνεσθαι συμβήσεται ταῖς φλεψὶ, εἰ δ' ἤτοι φλέγμα εἰς ὁποιοῦν ἄλλο μόριον, ἢ καὶ αὐτὰς τὰς φλέβας, ἢ καὶ σὺν τούτῳ τε καὶ χωρὶς τούτου χολή τις, ἢ ἰχὼρ, ἢ πνεῦμα φυσῶδες, τὸ πλῆθος ἀθροισθείη τοσοῦτον, ὡς μὴ χωρεῖσθαι μηκέτι πρὸς τοῦ περιέχοντος, οὐχὶ καὶ νῦν ἀναγκαῖον ἔσται, τάσεως αἰσθέσθαι τὸ ζῶον. ἂν ὑπάρχει τὸ τεινόμενον μόριον αἰσθητικὸν ἀναγκαῖόν ἐστιν ἐπὶ παντὶ τῷ διατείνοντι καὶ μὴ στεγομένῳ, τὴν αἴσθησιν τῆς τάσεως τῷ ζώῳ γενέσθαι, καὶ τὸ πάθημα αὐτὸ καταλαμβάνειν τὰ μόρια τὴν ὀνομαζομένην τάσιν, ἧς ἐπὶ πλέον αὐξανομένης, ἀνάγκη τε καὶ ῥαγῆναι τὸ τεινόμενον. ἐμοὶ μὲν τοιοῦτον δοκεῖ τοῖς ἐναργῶς φαινομένοις ὁμολογεῖν. ὁρῶνται γὰρ οὐ νεῦρα μόνον, ἢ χοινία ῥηγνύμενα τῷ βιαίῳ τῆς τάσεως, ἀλλὰ καὶ πίθοι πολλάκις ὑπὸ γλεύκους πνευματωθέντος. ἔναγχος γοῦν ἀγγεῖον κασσιτέρινον εἰς τοσοῦτον διεφυσήθη πρὸς τοῦ περιεχομένου κατ' αὐτὸ φαρμάκου τοῦ διὰ τῶν ἐχιδνῶν, ὥστε καὶ τὸ περικείμενον αὐτῷ δέρμα καὶ τὸ χοινίον ᾧ κατεδέδετο ῥαγῆναι, καὶ τὸ πῶμα κυρτωθῆναι. καὶ μὲν δὴ καὶ ὅτι μεγίσταις ὀδύναις ἐνίοτε καταλαμβάνονται τινὲς, ὑπὸ φυσώδους πνεύματος καταληφθέντος ἔν τισι τοῦ ζώου μέρεσι, καὶ ὡς ἐν τῷ κώλῳ μάλιστα συμβαίνειν εἴωθε τοῦτο, γινώσκειν ἡγοῦμαι πάντας, οἷς ἐπιμελές ἐστιν ἀκολουθεῖν τε καὶ διασκέπτεσθαι τὰ καθ' ἑκάστην ἡμέραν ὑπὸ τῶν καμνόντων ὁρώ-

μένα. βέλτιον οὖν ὑπὸ πάσης οὐσίας ὑγρᾶς καὶ πνευματώδους εἰς τονώδη διάθεσιν ἄγεσθαι νομίζειν τὰ μόρια, ἢ μόνῳ τῶν χυμῶν αἵματι πληθύνοντι τοιοῦτον ἕπεσθαι πάθημα. μεταβῶμεν οὖν αὖθις πρὸς τοὺς ὡς πρὸς τὴν δύναμιν ἡγουμένους ἀεὶ συνίστασθαι τὸ πλῆθος, ἐρωτήσωμέν τε καὶ τούτους, ἔν τινι μὲν προχειροτάτῳ, ὑποθέμενοι τοίαν δέ τινα ὑπόθεσιν, ὡς ἐπὶ παραδείγματι. μόρια βασταζέτωσαν ἄνθρωποι δύο κατὰ τῶν ὤμων ἀναθέμενοι ὁ μὲν ξύλον, ἢ λίθον, ἤ τι φορτίον βαρύτατον ὁ δὲ ἕτερος, ἀκάνθας ὀλιγίστας, ὀξυτάτας. εἶτ' ἐρωτήσωμεν ἐπὶ τῷ τοιούτῳ θεάματι τοὺς πρὸς τὴν δύναμιν ἀεὶ νοοῦντας τὸ πλῆθος, ἢ καὶ τὰς ὀλίγας ἀκάνθας ὀνομάζουσι φορτίον, ἢ τὸ μὲν ἀνιᾶσθαι πρὸς ἑκατέρου τῶν βασταζομένων, κοινόν τι σύμπτωμα τοῖς ἀνθρώποις ἐστὶν, ἡ δὲ τῆς ἀνίας ἰδέα πάμπολυ διαλλάττουσα. τὸ μὲν γὰρ, βαρύνεσθαι χωρὶς τοῦ νύττεσθαι. τὸ δὲ νύττεσθαι χωρὶς βαρύνεσθαι συμβέβηκεν. ὅλως δ' ἄν τις, τὸ νύττεσθαι, ἢ δάκνεσθαι, ἢ ἁπλῶς ἀνιῶν φορτίον, καλεῖ καὶ πλῆθος, ἀναγκασθήσεται ποτὲ καὶ μίαν ἄκανθαν, ἢ βελόνην λεπτοτάτην καλεῖν φορτίον, ὅ τι ἂν ἦ γελοιότατον, ἔστι οὖν ἄτοπα ταῦτα, καὶ παρὰ τὰς κοινὰς ἁπάντων ἀνθρώπων ἐννοίας. ἡμῖν δὲ οὐκ ἀνατρέπειν, ἀλλὰ φυλάττειν τὰς κοινὰς ἐννοίας πρόκειται. πολὺ μὲν οὖν ἡγούμεθα τὸ βαρῦνον, ἀνιαρὸν δὲ τὸ δακνὸν, ἢ νύττον, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. καὶ μὴν ὅτι δακνώδεις πολλοὶ τῶν χυμῶν εἰσὶν, οἱ μὲν ἐν ἡμῖν αὐτοῖς τὴν γένεσιν ἔχοντες, οἱ δὲ ἔξωθεν ἡμῖν ἐπιφερόμενοι, παντὶ τοῦτο πρόδηλον, εἰσὶ δ' αὐτοῦ τέτταρες ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφοραί. μετρίως μὲν γοῦν δάκνοντες κνησμώδεις εἰσὶν, ὥσπερ ἡ σκύλλα. σφοδρότερον δὲ δακνώδη, ὥσπερ τὸ κρόμμυον. εἰ γοῦν ἐπὶ πλέον ὁμιλήσειεν ἡμῶν τὸ σῶμα τοιαύτῃ φύσει σώματος ἑλκωθήσεται. τὰ δὲ, ἔτι μᾶλλον ὄντα τούτου δριμέα, καὶ μάλιστα ὅταν ἡλκωμένοις προσφέρηται, φρίκην ἐργάζεται. φρίκης δὲ ἐκταθείσης, τε καὶ αὐξηθείσης τὸ, σύμπτωμα ῥῖγος ὀνομάζεται. κατὰ δὲ τὴν αὐτὴν ἀναλογίαν, ἐν ἡμῖν συνίστανται δακνώδεις χυμοὶ κατὰ τέτταρας ἰδέας. κνησμώδεις μὲν γὰρ ἐξ αὐτῶν εἰσιν οἱ μετρίως ἀμύττοντες, ἑλκώδη δὲ αἴσθησιν ἐμποιοῦσιν οἱ τούτων δακνωδέστεροι, φρίκην δὲ οἱ τούτων μᾶλλον δάκνοντες, οἱ δ' ἱκανῶς δακνώδεις, τὸ ῥῖγος. λέλεκται δὲ περὶ τούτων ἐν πολλαῖς πραγματείαις, ἀλλ' ἱκανὰ τῷ βουληθέντι σύνοψίν τινα λαβεῖν αὐτῶν, τὰ ἐν τῷ δευτέρῳ τῶν ἐν τοῖς συμπτώμασιν αἰτιῶν εἰρημένα, καὶ τῷ τετάρτῳ τῶν ὑγιεινῶν. εἰ δὲ καὶ τὸ περὶ τῆς τῶν φαρμάκων δυνάμεως ἀνέλεξά τις γράμμα, καὶ τὴν προηγουμένην αὐτῶν πραγματείαν τὴν περὶ κράσεων, ἐπιστημονικώτερον ἂν οὕτως πεισθείη περὶ τῆς τῶν δακνωδῶν φύσεως. ἀλλ' οἱ πολλοὶ τῶν ἰατρῶν ὅμοιόν τι πεπόνθασι τῷ πρὸς Ἱπποκράτους εἰρημένῳ, περὶ τῶν ἐπὶ κατάγμασιν ἢ τοιούτοις τισὶ παθήμασι τὰ προσταττόμενα μὴ ποιούντων. καὶ γὰρ κἀκεῖνοι, καίτοι ὑγιεῖς ἐθέλοντες γενέσθαι, τὸν ἐν τῇ θεραπείᾳ κάματον οὐχ ὑπομένουσιν, ὥσπερ οὗτοι τὸν ἐν τῷ μανθάνειν. ἀλλ' ὅτε ἐξαίφνης ὑγιεῖς οἴονται γενέσθαι, μόνῳ τῷ βούλεσθαι τυχόντας τοῦ τέλους, οὔτε τούτους ἐπιστημονικοὺς, ἄνευ τοῦ διελθεῖν ἅπασαν τὴν ὁδὸν, ἣν ἀρτίως ἐδήλωσα. γνώσονται γοῦν εἰ βουληθεῖεν, ὡς ἡ ἑλκώδης ὅλου τοῦ σώματος αἴσθησις, εἴτε ἐπὶ πλείοσι γυμνασίοις ἀήθως παραληφθεῖσι γιγνομένη, καὶ ἡ χωρὶς γυμνασίων ἄφνω συστᾶσα, δακνώδους ἔγγονος ὑπάρχει χυμοῦ. καὶ διὰ τοῦτο τοὺς πλέον γυμνασαμένους, ἐλαίῳ τε πλείονι, καὶ τρίψει μαλακῇ, καὶ λουτροῖς γλυκέων ὑδάτων θερμοῖς ἀκριβῶς εὐκράτοις, οἱ γυμνασταὶ θεραπεύουσιν, ὡς διαφορηθῆναι τοὺς δακνώδεις χυμοὺς, ὅσοι γυμναζομένων ἀμετρότερον, ἐγεννήθησαν ἐπὶ συντήξει πιμελῆς καὶ σαρκὸς μαλακῆς, ἢ δι' αὐτοὺς τοὺς ἐν τῷ σώματι χυμοὺς ἰσχυρῶς θερμανθέντας. εἴ τις οὖν ὑπομείνειε τὰς τούτων ἀποδείξεις ἐκμανθάνειν, ἐκεῖνος ἂν μόνος πεισθείη βεβαίως, τὴν μὲν ἑλκώδη διάθεσιν, ἐπὶ δακνώδεσι γίγνεσθαι χυμοῖς, τὴν δὲ τοῦ βάρους, ἐπὶ πολλοῖς πρὸς τὴν δύναμιν, τὴν δὲ τῆς τάσεως, ἐπὶ πολλοῖς μὲν καὶ ταύτην ἀλλ' ὡς πρὸς τὴν περιέχουσαν ἑαυτοὺς χώραν, οὐ τὴν δύναμιν τῶν περιεχομένων σωμάτων. Ἐρασίστρατος δὲ ἐν τῷ προτέρῳ τῶν ὑγιεινῶν, αὐτὴν μὲν τὴν γένεσιν τῆς πληθώρας διερχόμενος, ἐναργέστατα διδάσκει τὴν τρίτην τῶν εἰρημένων διάθεσιν, ἑξῆς δὲ ἐπὶ τὰ γνωρίσματα τρεπόμενος, οὐ μᾶλλόν τι ταύτης, ἢ τὰ τῶν ἄλλων ἔγραψεν. ἡ μὲν γὰρ τάσις, ταύτης μόνης, ὅπερ ἐκεῖνος ὠνόμασε παρεμπίμπλασθαι. τὸ δὲ ἑλκώδη γενέσθαι τὴν αἴσθησιν, οὔτε τε τοῦ προειρημένου πλήθους, οὔτε τοῦ πρὸς τὴν δύναμιν ἴδιον γνώρισμα. πολὺ δὲ μᾶλλον οὐδὲ τὸ βαρυτέρους τε καὶ δυσκινητοτέρους ἀποτελεῖσθαι. καὶ γὰρ καὶ τοῦτο ἴδιον ἐστὶ τοῦ πρὸς τὴν δύναμιν πλήθους. ὀλίγου τοίνυν ἐδέησεν αὐτῷ πᾶσαν ἡμῖν γράψαι τὴν τῶν ἐμπειρικῶν συνδρομήν. ἀμέλει καὶ μέρος τι τῆς τριχρόνου λεγομένης σημειώσεως. ἣν οἱ περὶ τὸν Ἡρόφιλον εἰσήγαγον, ὁμοίως τοῖς ἐμπειρικοῖς ἔγραψεν, ἐν τῷ οὕτω φάναι. τῆς γοῦν ἀναδιδομένης τροφῆς μή τε καταπεττομένης, μήτε ἐκπονουμένης κατὰ τὸ εἰθισμένον ἑκάστῳ, μήτε ἄλλως πως ἐκκρινομένης, οὐδὲν γὰρ διήνεγκεν, ἢ ταῦτα εἰπεῖν, ἢ ὡς ἐκεῖνοι λέγουσιν, ἀργὸν βίον, ἐπίσχεσίν τε συνήθων ἐκκρίσεων. ἀργὸν μὲν γὰρ τὸν ἔμπροσθεν βίον ἐνεδείξατο, μήτε ἐκπονουμένης φήσας, κατὰ τὸ εἰθισμένον ἑκάστῳ. τὴν δὲ τῶν ἐκκρίσεων ἐπίσχεσιν ἐν τῷ προγράψαι, μήτε ἄλλως, ἐκκρινομένης, ἡ διὰ χρόνον σημείωσις τοῦ πλήθους, τοῦ ἐκ μὲν τοῦ προγεγονότος χρόνου λαμβάνων τὸν ἀργὸν βίον ἅμα τῇ τῶν ἐκκρίσεων ἐπισχέσει, ἐκ δὲ τοῦ νῦν ἐνεστῶτος, τό, τε παρεμπίμπλασθαι, καὶ τὴν ἑλκώδη διάθεσιν, ὄκνον τε πρὸς τὰς κινήσεις, καὶ βάρος ὅλου τοῦ σώματος, ὅσα τε ἄλλα τοιαῦτα προστιθέασιν. ἐκ δὲ τοῦ μέλλοντος, ὅτι περ κενωθέντες οἱ οὕτως ἔχοντες καλῶς ὀνίνανται, ὅπερ Ἐρασιστράτῳ παραλέλειπται. μαρτύριον μὲν γὰρ τοῦτο τῆς ὀρθῆς διαγνώσεώς τε ἅμα καὶ θεραπείας ἐστί. διαγνώσεως δὲ, ἢ ὡς ἐκεῖνοι καλοῦσι σημειώσεως, οὐδὲν ἂν εἴη μέρος, εἴγε διὰ τῆς * σημειώσεως σημειοῦσθαι βουλόμεθα τὰς διαθέσεις, ἵνα ἐξεύρωμεν τὴν προσήκουσαν θεραπείαν. ὥστε εἴ γε ἐξ ἄλλου τινὸς οἷόν τ' ἦν ὁρμηθέντας θεραπεῦσαι προσηκόντως, ἡ σημείωσις ἂν ἦν περιττή. τοῦ δ' ἐνεστῶτος χρόνου μεμνημένος, ἔρευθός τε καὶ διάτασιν ἀγγείων παραλέλοιπεν, ἃ καὶ αὐτὰ προστιθέασιν οἱ ἐμπειρικοὶ σχεδὸν ἅπαντες, οὐκ ὀλίγοι δὲ τῶν δογματικῶν, ὥσπερ καὶ ἄλλα τινὰ καθάπερ εἴρηται. καίτοι γε ὢν ὡς ἐν αἵματι μόνῳ τὴν τῆς πληθώρας ὑποτίθεται γένεσιν, οὐ κακῶς ἐπ' ἐκείνων πρόσκειται τῇ διαγνώσει, τὸ ἔρευθος, ἥτε διάτασις τῶν ἀγγείων, ἔτι γε μὴν μᾶλλον, ὡς τὸ παρεμπίμπλασθαι φάναι βραχίονάς τε καὶ χεῖρας καὶ κνήμας, οὐ μᾶλλον τοῦ κατὰ τὰς σάρκας τε καὶ ὅλους τοὺς μύας πλήθους, ἢ τοῦ τῶν φλεβῶν θήσεται, ἰδίαις ὑποθέσεσιν ἑπόμενος. ἀλλά τοι καὶ οὕτως ἀναγκαῖον ἦν διττὴν ποιήσασθαι διάγνωσιν, ἑτέραν μὲν τοῦ τῶν αἰσθητῶν τούτων φλεβῶν ἃς ἅπαντες ἄνθρωποι βλέπομεν, ἑτέραν δὲ τῶν

† al. καίτοι γε ὢν ἐν αἵματι μόνῳ τὴν τῆς πληθώρας ὑποτίθεται γένεσιν.

τέραν δὲ ἣν ἐκεῖνος ἐθεάσατο μόνος. οἶμαι τοίνυν ἤδη πρόδηλον γεγονέναι τοῖς γε προσέχουσι τὸν νοῦν, ὡς οὐ μικρὸν
ἂν πρᾶγμα διαγνῶναι πλῆθος. ὅπου δ' ἂν οὐδ' ἄχρι λόγου διαγνῶναι ῥᾴδιον, ἀλλ' ἄπορον παντοίως ἐστὶ, σχολῇ γ'
ἂν ἐπὶ τῶν ἔργων ἀπὸ ταὐτομάτου κατορθωθῇ, μήτε προδιασκεψαμένοις τι περὶ αὐτοῦ, μήτ' ἐξευροῦσιν. ἀπὸ γοῦν τῶν
ἐμπειρικῶν αὖθις ἀρξώμεθα τοῦ περὶ πλήθους λόγου, ἐπειδὴ δοκοῦσιν ἀσφαλῶς πάνυ τὰς εἰρημένας ἀπορίας ἀποδι-
δράσκειν, ὁμολογήσαντες. αὐτοὶ μὲν μὴ δι' ὅλου ἐπίστασθαι περὶ τῆς τοῦ πλήθους οὐσίας, ἐπὶ δὲ τοιᾷδέ τινι συνδρομῇ
τετηρῆσθαι φάσκοντες ὠφελοῦσαν ἀφαίρεσιν αἵματος, ἣν συνδρομὴν ὀνομάζουσι πληθωρικήν. ἅπαντα γὰρ ἀ-
θροίσαντες εἰς ταὐτὸν, ὅσα τῶν δογματικῶν ἑκάστῳ λέλεκται, νομίζουσι μὲν, ἐκφεύγειν ἐκ τούτων τὰς ἐκείνων ἀπορί-
ας, ἐλέγχονται δὲ αὐτῶν πολὺ μείζονι, εἴ τις προσέχειν τὸν νοῦν οἷς λέγουσιν, ἃ πάλιν ἐξ ἀρχῆς ἅπαντα καλῶς ἐπελ-
θεῖν. ἔστω τοίνυν ἐν μὲν τῷ προγεγονότι χρόνῳ συνήθης μὲν ἐπὶ τῶν ἐξ ἀρχῆς ἐδεσμάτων ἡ δίαιτα, καί τισιν αὐτῶν
ἐν πλησμονῇ μᾶλλον, ἢ πρόσθεν. ἐπίσχεσις δὲ τῆς ἐκκρίσεως, ὅτε σύμπας βίος ἀργὸς, ἐν δὲ τῷ παρόντι, τάσις ὅλου
τοῦ σώματος, ἢ τινῶν μορίων, ὄκνος τε πρὸς τὰς κινήσεις, ἀτονία τε περὶ τὰς ἐνεργείας, καὶ βάρους αἴσθησις, ἑλκώ-
δους τε διαθέσεις ἅμα τῷ τῶν φλεβῶν ὄγκῳ. προσκείσθω δὲ, εἰ βούλει, καὶ τὸ ἔρευθος, ἐπειδὴ καὶ τοῦτο λέγουσιν ἔνιοι,
καὶ μὴν καὶ ὁ τοῦ σύμπαντος σώματος ὄγκος ἀνώμαλός τε τις καὶ κοπώδης διάθεσις. εἰσὶ γὰρ οἳ καὶ ταῦτα προστιθέα-
σιν. ἐρωτήσωμεν οὖν αὐτοὺς ἅπερ, ἐγὼ μειράκιον ὢν ἠρώτησα τὸν ἐμπειρικὸν διδάσκαλον, ὅτε με πρῶτον ταῦτα
ἐδίδασκεν, ἆρά γε πάνθ' ἅμα τὰ εἰρημένα συνελθεῖν δεῖ πρὸς τὴν, ὡς αὐτοὶ λέγουσιν, ἀνάμνησιν τῆς γνώσεως,
ἢ κἂν ἓν ἐξ αὐτῶν θεάσωνται, φλεβοτομήσουσιν αὐτίκα. πρὸς μὲν οὖν τὴν πρώτην ἐρώτησιν, ἑτοίμως ἀπεκρίνατό μοι,
πάντα φάσκων συνελθεῖν χρῆναι. τοιοῦτον γὰρ πρᾶγμα τὴν συνδρομὴν ὑπάρχειν, ἄθροισμα τῶν συμπληρούντων
αὐτὴν ἁπάντων. ἐπειδὴ δὲ πρῶτον μὲν ἀνέμνησα δυοῖν ἀνθρώπων, οὓς ἔναγχος αὐτὸς ἐκεῖνος ἐκέλευσε φλεβοτο-
μηθῆναι, τὸν μὲν ὀφθαλμιῶντα σφοδρῶς, τὸν δὲ ἐκπεσόντα τοῦ ὀχήματος, εἶτ' ἐμπλακέντα γε τοῖς ἱμᾶσι καὶ συ-
ρέντα ἐπὶ πλέον, ὡς θλασθῆναι τινὰ μέρη, μετὰ δὲ ταῦτα διασιωπήσαντος αὐτοῦ, καὶ ἄλλου τινὸς ἀνεμνήσθην, ὃν καὶ
αὐτὸν πυρέττοντα μὲν μετρίως, οὐ φέροντα δὲ τὸ ἄλγημα τῆς κεφαλῆς ἐφλεβοτόμησεν, ἄλλον δὲ πλευριτικὸν, οὐ δὲ
τοῦτον ἔχοντα τὴν εἰρημένην ἅπασαν συνδρομὴν, ἐν ἀπορίᾳ κατέστη μεγίστῃ, καὶ τοίνυν καὶ διῄειν ἐπὶ πλέον αὐτῷ,
καὶ ἄλλους μέν τινας ὁμοίους. ἀλλὰ καὶ περὶ τῶν εἰρημένων ἀνεμίμνησκον, ὅτι τοσούτῳ δέοντας αὐτοὺς ἅπαν-
τα ἔχειν τὴν συνδρομὴν, ἐφλεβοτόμησεν, ὥστ' ἐγὼ μὲν ἔφην οὐδὲ δύο τινὰ τούτων ἀναμιμνήσκεσθαι τοῖς ἀν-
θρώποις ὑπάρχοντα. τὸν μὲν γὰρ τοῦ ὀχήματος ἐκπεσόντα γυμναζόμενον ὁσημέραι, καὶ πάσαις ταῖς συνήθεσιν
αὐτάρκως ἐκκρίσεσιν ἐκκενούμενον, ἐσθίοντά τε σύμμετρα, καὶ σχεδὸν ὅλας ἡμέρας ἡμῖν συνδιατρίβοντα, καὶ
μήτ' ἐκείνῳ μήτ' ἄλλῳ τινὶ δηλοῦντα δεῖσθαι κενώσεως, ἐπειδὴ κατενεχθεὶς ἐθλάσθη τινὰ μόρια, φλεβοτομίας
ἠξίωσε, οὔτε ἔρευθός τι προσκτησάμενον, οὔτ' ἀγγείων ὄγκον, οὔτ' ἄλλο οὐδὲν ἐκ τῶν τῆς συνδρομῆς, ἀλλὰ μό-
νον ἀλγοῦντα τὰ τεθλασμένα μόρια. ἐπὶ ταῦτα δὲ καὶ τὸν ὀφθαλμιῶντα, καὶ τὸν τὴν κεφαλὴν ὀδυνώμε-
νον, οὐδὲν ὅλως ἔχοντας τῶν εἰρημένων ἐν τῇ πληθωρικῇ συνδρομῇ. καὶ ἄλλους δὲ πολλοὺς ὑφ' ἡμῶν οἶδα φλε-
βοτομηθέντας, ἤτοι μὴ δι' ὅλως ἔχοντας μηδὲν ἐκ τῆς πληθωρικῆς συνδρομῆς, ἢ οὐ πάντα γε ἅμα τὰ πρὸς ἡμῶν
λεγόμενα. νυνὶ γὰρ ἔφην ἀναμιμνήσκων ἐμαυτὸν, οὓς εἶδον ὑφ' ὑμῶν φλεβοτομηθέντας, οὐδενὸς ἐξ αὐτῶν εὐ-
πορῶ, τοῦ, τὴν ἐν τοιούτοις συμπτώμασιν ἅπασαν ἔχοντος συνδρομήν. ἀλλ' ὁ μέν τις, ὅτι κοπώδης ἦν φλεβοτο-
μηθῆ, μηδὲν ἄλλο ἔχων, ὁ δὲ, ὅτι πυρέττων σφοδρῶς, ἢ ἀλγῶν ὀφθαλμοὺς, ἢ κεφαλὴν, ἢ αἱμορροΐδας ἐπεσχημέ-
νος, ἢ καταμήνια γυνὴ, οὐ πάντα δὲ, ὅσα περ ἡ πληθωρικὴ συνδρομὴ βούλεται συνελθεῖν. εἰ μὲν οὖν ἁπάσας
τὰς διαθέσεις, ἐφ' αἷς τετήρηται φλεβοτομία συμφέρουσα, πληθωρικὰς ὀνομάζεις, ὥρα λέγειν ἡμᾶς ὀφθαλ-
μίαν, πλευρῖτιν, ἄλγημα σφοδρὸν, ἐξ ὀχήματος κατάπτωσιν, ἕτερά τε μυρία, πληθωρικὰς συνδρομάς. εἰ δὲ
τούτων οὐδὲν ἐν τῇ πληθωρικῇ συνδρομῇ περιέχεται, τὸ δὲ τῶν συμπτωμάτων ἄθροισμα τῶν ἔμπροσθεν εἰ-
ρημένων ὀνομάζεται πληθωρικὴ συνδρομὴ, οὐδὲν ἕνα χρὴ φλεβοτομεῖν πρὶν ἅπαντα ἔχειν αὐτά. πῶς μὲν οὖν
ἐκεῖνος ἀπήντησέ μοι πρὸς ταῦτα, καὶ οὐδὲν πρέπον ἀπεκρίνατο μακρᾶς ἔργον σχολῆς, οὐ τῶν νῦν ἡμῖν προκει-
μένων ἔργον οἰκεῖον. ἐγὼ δὲ ἐπειδήπερ οὐ σχολὴν ἀδολεσχεῖν ἄγω νῦν, ἔγνων μὴ νῦν, ἐν δὲ τῷ περὶ φλεβοτομίας
λόγῳ τοὺς σκοποὺς ἅπαντας ἐπιδεῖξαι προῄρημαι τοῦ βοηθήματος, οὓς οὐδ' αὐτοὺς τις ἀκριβῶς τε καὶ διω-
ρισμένως ἔγραψεν. ἐάσας οὖν ἐν τῷ παρόντι, τὸ πρὸς τοὺς ἐμπειρικοὺς, αὖθις ἐπάνειμι πρὸς τοὺς λογικοὺς, ἕκα-
στον τῶν συμπτωμάτων ὧν ἔγραψεν ἐπισκοπούμενος. ἔνια μὲν γὰρ αὐτῶν τοῦ πρὸς τὴν δύναμιν εἰσὶ πλήθους,
ἔνια δὲ τοῦ κατὰ τὸ ἔγχυμα, τινὰ δὲ οὐκ ἁπλῶς ἐστι σημεῖα πλήθους, ἀλλὰ τοιοῦδε πλήθους τινὰ δὲ ὅλως οὐδενὸς
πλήθους, ἀλλ' ἤτοι κακοχυμίας τε καὶ διαφθορᾶς, ἢ ἀρρώστου δυνάμεως, ἢ ὄγκου τῶν στερεῶν σωμάτων. ὅτι δὲ
οὕτω τοῦτ' ἔχει, μάθοις ἂν εἰ προσέχοις τοῖς λεχθησομένοις τὸν νοῦν. ἡ μὲν δὴ τονώδης διάθεσις ὅταν ἄνευ γυμ-
νασίων συμπίπτῃ, ἐνδείκνυται μὲν πάντως πολλὴν οὐσίαν ἐν αἰσθητικῷ σώματι περιέχεσθαι, οὐ μὴν ἥτις γε
ἐστὶν ἡ οὐσία. ἢ τὸ εἶδος αὐτῆς, ἔτ' ἐνδείκνυται, κατά γε τοῦτο μόνον αὐτὸ τὸ τείνεσθαι, κοινὸν ὑπάρχον ἁπάσης
οὐσίας, καὶ λεπτῆς καὶ παχείας, καὶ μέσης τῇ συστάσει καὶ πνευματώδους, ἔτι τε θερμῆς τε καὶ ψυχρᾶς, ἢ μέ-
σης, ἀλλ' ἑτέρων τινῶν δεῖται διαγνωρισμάτων, εἰς τὸν τούτου διορισμόν. ἡ δὲ ἐν ταῖς ἐνεργείαις ἀτονία τὴν δύ-
ναμιν ἀρρωστοτέραν δείκνυσι τοῦ ἐποχεῖν τὸ κινοῦν, ὡς ἐπὶ χειρῶν κινήσεως ἀσθενοῦς. πολλαῖς γὰρ ἀκολουθεῖ κα-
ταστάσεσιν. εἴτε γὰρ αὐξηθείη τινὶ τό, τε σαρκῶδες καὶ τὸ πιμελῶδες γένος, ἐν τοῖς αὐτοῖς ὅροις διαμενούσης τῆς
δυνάμεως, ἀνάγκη τὰς κινήσεις ἀτονωτέρας γίγνεσθαι, μένοντος μὲν ἴσου τοῦ κινοῦντος, αὐξηθέντος δὲ τοῦ κι-
νουμένου, εἴτε τῶν χυμῶν τις εἷς, ἢ καὶ πάντες ἅμα πλεονάσειεν, μὴ συναυξηθείσης αὐτοῖς τῆς δυνάμεως ἀ-
νάγκη καὶ νῦν ἀτονωτέρας γίνεσθαι τὰς ἐνεργείας, εἴτ' ἄμφω μὲν συναυξηθείη, τά τε παρεγχύματα καλού-
μενα. καὶ τὰ ὑγρὰ, μὴ συναυξηθείη δὲ ἡ δύναμις. εἴτε τούτων ὡσαύτως ἐχόντων, ἡ δύναμις ἀσθενεστέρα γένοι-
το. δύναιτο δ' ἄν ποτε καὶ ἄμφω συνελθεῖν, ὥστε τὴν δύναμιν ἀρρωστοτέραν γενέσθαι, καὶ τοὺς χυμοὺς ἅμα τοῖς
παρεγχύμασιν, ἢ πλείονας ἢ ἐλάττους εἶναι θατέρου αὐτῶν ὁποτέρου οὖν ἀτονώτεραι αἱ ἐνέργειαι καὶ διὰ ταῦτα

γίγνονται. καθ' ἕν τε συμβαῖνον ἕκαστον αὐτῶν, καὶ κατὰ δύο καὶ πλείω καὶ πάνθ' ἅμα. τὸ γοῦν ἐπὶ τῇ τῶν στερεῶν σωμάτων εὐτροφίᾳ νομίζειν, ποτὲ δύνασθαι κίνησιν ἀτονωτέραν ἀπεργάσασθαι, μὴ γινωσκόντων ἐστὶν ἀνθρώπων, ὡς διὰ ὅλων τῶν στερεῶν σωμάτων αἱ δυνάμεις διήκουσιν, ἀλλ' ὥσπερ αὐλοὺς ἢ σωλῆνας, πνεύματι τὰς ἀρτηρίας καὶ τὰ νεῦρα παρασκευαζόντων. ἔστι δὲ τὸ τῆς δὲ περὶ δόξης μοχθηρόν, ἐξ ἄλλων τε πολλῶν, ἀτὰρ οὐχ ἥκιστα καὶ δυοῖν ἡμετέρων πραγματειῶν περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων, καὶ περὶ τῶν φυσικῶν δυνάμεων. εὐεξίας μὲν οὖν ἴδιον, ἡ τῶν στερεῶν σωμάτων εὐτροφία. εὐσαρκίας δὲ καὶ πολυσαρκίας, ἡ τῶν σαρκῶν αὔξησις, ὡς τὰ πολλὰ μὲν οὖν ἀνάλογον ἡ πιμελὴ μᾶλλον αὔξεται. ποτὲ δὲ ἐν πιμελῇ μᾶλλον ἡ σὰρξ ἢ μόνη πιμελή. εἴρηται δὲ περὶ τούτων ἐν τοῖς περὶ κράσεων ὑπομνήμασι. καθάπερ δὲ ἐν σαρκὶ τὸ μέν ἐστιν εὐσαρκία, τὸ δὲ πολυσαρκία, κατὰ τὸν αὐτὸν τρόπον ἐν αἵματι, τὸ μέν, οἷον εὐαιμία τίς ἐστι. τὸ δέ, πολυαιμία. τὸ μὲν δὴ τῆς εὐαιμίας, οὐκ ἄδηλον, ὅτι καὶ ποιότητι καὶ ποσότητι κατὰ φύσιν ἐστὶν ἀκριβῶς. τὸ δὲ περὶ πολυαιμίας, ἄμεμπτον μὲν τῷ ποιῷ, τῷ ποσῷ δὲ οὐκ ἄμεμπτον, ἀλλὰ πάντως μέν, πλέον ἤτοι γε τοῦ κατὰ φύσιν ἐκ γενετῆς ὑπάρχοντος, ἢ τοῦ πρὸς τὴν δύναμιν. ἐγχωρεῖ γάρ ποτε ἀλλήλοις συναύξεσθαι παρὰ τὴν ἐκ γενετῆς φύσιν ἀμφότερα, καὶ τὴν περὶ δυνάμεως ῥώμην, καὶ τὸ πλῆθος τοῦ αἵματος, ὥσπερ ἐν ταῖς ἀθλητικαῖς εὐεξίαις. καὶ γοῦν τὰ ὑγρὰ καὶ σαρκώδη, καὶ ἡ δύναμις, ἀνάλογον ἀλλήλοις ἐπ' αὐτῶν συναύξονται. καὶ τοίνυν ἤδη πρόδηλον ὡς οὐδ' οἱ τὸν ὄγκον εἰπόντες τοῦ σώματος ἐν τῶν πληθωρικῶν σημείων ἀληθεύουσιν. ὄγκος μὲν γὰρ φλεβῶν, πληθωρικὸν ἂν εἴη σημεῖον. ὄγκος δὲ σαρκῶν καὶ πιμελῆς, ἐκείνων ἂν εἴη πλῆθος αὐτῶν, οὐ μὴν ὅ γε νῦν ἡμεῖς ζητοῦμεν, ὃ δὴ καὶ πληθώρα καλεῖται. περὶ γὰρ τούτου τοῦ πλήθους, ὃ δηλονότι κένωσιν ἐνδείκνυται, προθέμενοι λέγειν ἐν τοσούτον, ὃ ποτε ὁμωνυμίαις ἐνδείκνυται, ἐσφάλησαν ἔνιοί τινες ἐξ αὐτῶν, ὥς τε εἰς τὸ τῶν σαρκῶν τε καὶ τῆς πιμελῆς ἀπενεχθῆναι πλῆθος. οὕτω μὲν δὴ μοχθηρὸν πλήθους γνώρισμα, σώματος ὄγκος. αὐτῶν μὲν γὰρ ἂν ἐκείνων εἴη τῶν φλεβῶν ὧν ὁρῶμεν ἐνδεικτικὸς τῆς πληρώσεως, οὐ μὴν ἐξ ἀνάγκης γε τῶν ἐν τῷ βάθει. ἀλλ' ἐνδέχεταί ποτε καὶ τῶν ἔξω φλεβῶν διατεταμένων, οὐχ ὡσαύτως διατετάσθαι καὶ τῶν ἔνδον, οἷον αὐτίκα ῥιγοῦντος ἢ κατεψυγμένου, εἰς τὸ βάθος ἀπελαύνεται τὸ αἷμα, καὶ λειφαιμοῦσι μὲν οὕτω δὴ αἱ ἐκτός, ὡς μηδὲ φαίνεσθαι. πάλιν δὲ ἀλέας γενομένης, ἢ λουσαμένων, ἐπὶ τὸ δέρμα καὶ τὰ ἐκτὸς τοῦ σώματος φέρεται τὸ αἷμα καταλιπὸν τὸ βάθος. εἰ δὲ καὶ περικαὴς εἴη πυρετός, ἀναγκαῖον καὶ τότε καίεσθαι τῷ σώματι, καθάπερ ζέοντι, πνευματοῦσθαί τε καὶ χεῖσθαι. ὥς τε ὁ τῶν φλεβῶν ὄγκος, οὐκ ἔστιν ἀχώριστον γνώρισμα πλήθους χυμῶν, ἀλλὰ πρῶτον μὲν χρὴ τοιαύτην ὑπάρχειν τῷ σώματι κατάστασιν, ὡς μήτε τὰ ἔνδον τῶν ἔξω, μήτε ἐκείνων ταῦτα πλεονεκτεῖν θερμότητι. δεύτερον δέ, μηδ' ἄμετρον εἶναι καθ' ὅλον τὸ ζῷον θερμότητα. ἐπὶ τούτοις προδιορισθεῖσιν εἴη ἄν ποτε σημεῖον ὁ τῶν φλεβῶν ὄγκος, αἱματικοῦ πλήθους, νῦν λεγομένου τοῦ κατ' ἐπικράτησιν. ἀδύνατον γὰρ οὕτως ἀκριβὲς αἷμα ποτε περιέχεσθαι κατὰ τὰς φλέβας, ὡς μηδ' ἐν αὐτῷ μήτε χολῆς ἐμφέρεσθαι, μήτε φλέγματος, μήτε ὀῤῥώδους ἰχῶρος. ὅθεν ἐγὼ κἂν τοῖς ἔμπροσθεν ἠξίουν ὡσαύτως ἀκούειν, εἴτε τοὺς χυμοὺς πλεονάζειν, εἴθ' αἷμα φήσαιμι. τοῦ γὰρ ἀμίκτου καὶ καθαροῦ τῶν ἄλλων ὑγρῶν αἵματος οὐδέποτε ἐν ταῖς φλεψὶ περιεχομένου. δέδεικται γοῦν τοῦθ' ἡμῖν ἑτέρωθεν ὡς τοῦ μέντοι μικτοῦ μὴ μέντοι γε ὡς ἔτυχεν, ἀλλ' ὡς ἐν συμμετρίᾳ τινί, τοῖς κατὰ φύσιν ἔχουσι ζῴοις, ἐπιμεμιγμένων αὐτῷ τῶν ἄλλων, οὐδὲν διοίσει χυμοὺς ἢ αἷμα προσαγορεύειν. συναυξανομένων γὰρ ἁπάντων ἐν τῇ κατὰ φύσιν συμμετρίᾳ τῷ κατ' ἐπικράτειαν αἵματι, ταὐτὸν σημαίνει τὸ τῶν χυμῶν ὄνομα, καὶ οὐδὲν διαφέρει τοὺς χυμοὺς ηὐξῆσθαι λέγειν, ἢ τὸ αἷμα τοῦ λόγου τοῦ φάσκοντος τοὺς χυμοὺς αὐτὸ τοῦτ' ἐπιδεικνυμένου, τὸ περὶ τὴν ἀρχαίαν ἀναλογίαν πάντως πλεονάσαι. τουτὶ μὲν οὖν ἡμῖν οὕτως διωρίσθω. πάλιν δ' ἐπὶ τὸ προκείμενον ἴωμεν. ὁ γὰρ τῶν φλεβῶν ὄγκος, ἂν μήτε διὰ ἐπικράτησιν τῆς ἔξωθεν καταστάσεως μήτε διάχυσιν τε καὶ ζέσιν ἦ γενόμενος, αἱματικὸν εἶναι τὸ πλῆθος ἐνδείκνυται. χρὴ δὲ μηδὲ καταῤῥοπον ἐσχηματίσθαι τὸ τοιοῦτον μόριον, ἢ κεκινῆσθαι προσφάτως ὑπὲρ τὰ ἄλλα. διό καί τινι λόγῳ περιλαβὼν ἄν τις ἅπαντας τοὺς κατὰ μέρος διορισμούς, τότ' ἐνδείκνυσθαι φήσει τὸν ὄγκον τῶν φλεβῶν αἵματος πλῆθος, ὅταν ἅπαντα τὰ μόρια τὴν αὐτὴν κατάστασιν ἔχῃ μετὰ συμμέτρου θερμασίας. ὡς εἴ γε ὡσαύτως μὲν ἅπαντα διακέοιτο, θερμότης δὲ ἄμετρος ὑπάρχοι, χύσις ἐν τῷ δὲ γίγνεται τῶν χυμῶν εἰς ὄγκον αἴρουσα τὰς φλέβας, οὐ μὴν αἱματικόν γε τὸ πλῆθος, ἀλλὰ πνευματικὸν ἐνδείκνυται. πνευματοῦνται γὰρ οἱ χυμοὶ θερμαινόμενοι, διὸ καὶ ὅσοι τὸν ὄγκον τῶν φλεβῶν ἀπεφήναντο πλῆθος, σημαίνειν, ἐὰν δή προσυπακούσει τις ἐν τῷ λόγῳ τὸ κατ' ἐκείναις τὰς φλέβας ἐν αἷς περ ἂν ἦ τοῦτο γινόμενον, ὀρθῶς εἰρηκέναι δόξουσι. πλείων γὰρ ἡ οὐσία τῆς πρόσθεν ἐξ ἀνάγκης ἐστίν, ἡ τὸν ὄγκον ἐργασαμένη ταῖς φλεψίν, οὐ μὴν ἤδη γε πω δῆλον, ὁποῖόν τι τὸ πλῆθος ἐστίν. ἁπάσης γὰρ οὐσίας πολλῆς, ὁ παρὰ φύσιν ὄγκος κοινός, εἴτ' οὖν αἷμα καθαρόν, εἴτε χολῶδες, εἴτε ὀῤῥῶδες, εἴτε φλεγματικόν, εἴτε πνευματικὸν ὑπάρχοι. ὥσπερ δὲ τοῦτο κοινὸν ἁπάσης πλήθους διαφορᾶς, οὕτω καὶ τὸ τείνεσθαι τὰς φλέβας. ἕπεται γὰρ καὶ τοῦτο τῷ ποσῷ τοῦ πλήθους, οὐ τῇ κατ' εἶδος διαφορᾷ. ὥς τε ὁ ὄγκος καὶ ἡ τονώδης αἴσθησις οὐ μᾶλλόν τι χυμῶν, ἢ πνεύματος ἐνδείξεται πλῆθος. εἰ μὲν οὖν τις ὧδέ πω ἀποφαίνοιτο, κατὰ τὰς τονώδεις αἰσθήσεις, ἐξ ἀνάγκης πλῆθος ἐστίν, ἀληθὲς ἐρεῖ. καὶ μέντοι κἂν οὕτως φήσει, τὸ ἐν αἰσθητικοῖς μορίοις πλῆθος, ἐπιφέρει τινὰ διάθεσιν, ἀληθὲς ἐρεῖ καὶ αὐτός. εἰ δέ τις ἐάσας τὸ γενικὸν ὄνομα τὸ πλῆθος, ἢ τοὺς χυμούς, αἷμα παραλάβοι κατὰ τὸν λόγον, οὐκ ἐξ ἀνάγκης ἀληθεύσει, δι' ἃς εἴπομεν αἰτίας. ὅτι δ' οὐδὲ πλήθους ἁπλῶς, ἀλλὰ τοῦ τε μᾶλλόν τε καὶ ἧττον ἐν αὐτῷ διαφορά. κατά τε τοὺς ὄγκους ἐστὶ τῶν φλεβῶν, καὶ τὴν τονώδη διάθεσιν, ἐνθένδε δῆλον. οὐδὲν μόριον ἀδυνατεῖ πληρούμενον, ἄνευ τοῦ προσγενέσθαι τάσιν αὐτῷ βιαίαν εἰ δὲ εἰς ὄγκον μὲν αἴροιτο, μηδέπω δέ γε βιαίως, οὐδέπω τείνεται. διὸ τῶν ὄγκων, ὁ μὲν σὺν τῇ τάσει, πλέον ἐνδείξεται πλῆθος. ὁ δ' ἄνευ ταύτης, ἧττον. πῶς οὖν ἐνίοτε τὴν ἀρχὴν μὲν οὐδεὶς ὄγκος φαίνεται κατὰ τὰς φλέβας, ἡ τονώδεις δέ ἐστιν ἰσχυρὰ αἴσθησις, χρὴ γὰρ δήπου τοῖς μεγίστοις ὄγκοις ἐζεῦχθαι τὴν τοῦ τείνεσθαι διάθεσιν, ἢ διότι ἐστὶν ἐνίοτε ὁ ὄγκος ἐν ταῖς διὰ βάθους φλεψὶ* διατείνει ἢ εἴπερ ἐν τῷ πρός τι τὸ πλῆθος, ὑπὲρ οὗ νῦν διαλεγόμεθα,

λεγόμεθα, τό τε πρὸς τὴν εὐρύτητα τῶν ἀγγείων, ὃ δὴ πλῆθος λέγομεν, οὐδέπω τεινομένων αὐτῶν, τό τε πρὸς τὴν τοῦ χιτῶνος τάσιν· δηλονότι, τοῦ μὲν ὄγκου τῶν φλεβῶν ἡ γένεσις ἐπιδίδοται, εἰς πλῆθος αὐξομένου τοῦ αἵματος ὑπὲρ τὴν φυσικὴν ἑκάστου συμμετρίαν, ὥς τε πρὸς ἐκείνην λέγεσθαι τὸ πολύ, τὸ δὲ τείνεσθαι τὸν χιτῶνα τὴν ὡς πρὸς αὐτὸν συμμετρίας ἐνδείκνυται διὰ ὑπερβολήν. οὐ γάρ ἐστι κατὰ φύσιν οὐδὲ τέως τείνεσθαι. ἑκάτερον οὖν ἐστι πολὺ τό, τε ὡς πρὸς τὴν κατὰ φύσιν συμμετρίαν αἷμα, καὶ πρὸς τὴν τοῦ χιτῶνος τάσιν. ἐμνημόνευσε δὲ Ἐρασίστρατος ἀμφοτέρων, οὐ διηρθρωμένως μέν, οὐδ᾽ οὕτως σαφῶς ὡς ἐγὼ νῦν, ὅμως ὥς τε ἐμφῆναι, δηλῶν εἶναι φύσιν τοῦ πράγματος. ἐν μὲν γὰρ τῷ φάναι, κατ᾽ ἀρχὰς μὲν οὖν καὶ μετρίως πληρουμένων τῶν ἀγγείων, εὐτονώτεροί τε καὶ ἰσχυρότεροι ἑαυτῶν φαίνονται παρὰ τὸ εἰθισμένον, ἐνεδείξατο τὴν ὑπὲρ τὸ κατὰ φύσιν ἑκάστῳ τοῦ αἵματος ἀμετρίαν, ἐν οἷς δὲ ἑξῆς ἐπιφέρων φησίν, ἐπὶ πλέον δὲ πληρώσεως, ἐρχομένων παρεμπίμπλανται βραχίονές τε καὶ χεῖρες καὶ κνῆμαι, τὴν ὡς πρὸς τοὺς περιέχοντας τὸ αἷμα χιτῶνας· ὥς τε ὅρους εἶναι δύο τῆς τοῦ αἵματος ὑπὲρ τὸ κατὰ φύσιν αὐξήσεως, ἕνα μὲν ἐν τῷ πληροῦσθαι τῶν φλεβῶν τοὺς χιτῶνας εἰς ὄγκον αἰρομένους ὑπὲρ τὸ κατὰ φύσιν ἑκάστῳ, τὸν δὲ ἕτερον, ἐν ᾧ πρὸς τούτῳ, καὶ τὸ τείνεσθαι συμβαίνει, μὴ δ᾽ ἑτέρου τούτων ὁρωμένου ἐν τῷ πρὸς τὴν δύναμιν πλήθει. περὶ μὲν δὴ τούτων ἱκανὰ κἀνταῦθα. τὸ δὲ ἔρευθος, οὗ καὶ αὐτοῦ μνημονεύουσιν οὐ πλήθους μὲν ἁπλῶς, ἀλλ᾽ αἱματικοῦ πλήθους γνώρισμα. δεήσεται δὲ καὶ αὐτὸ τῶν αὐτῶν διορισμῶν, ὧνπερ ὁ ὄγκος. εἰ γὰρ διά τι τῶν ἔξωθεν, οἷον ἥλιον, ἢ λουτρόν, ἢ γυμνάσιον, ἢ πορείαν, ἢ ἁπλῶς εἰπεῖν θερμασίαν, οὕτω δὲ καὶ θυμόν, αἰδῶ τε, καὶ ὅσα τοιαῦτα, καὶ ὀξεῖς δὲ πυρετοί, τούτου τοῦ γένους εἰσίν. ὅταν οὖν ὁμαλὴ μὲν ὅλου τοῦ σώματος ἡ διάθεσις ᾖ, μηδὲν δὲ ὧν εἴρηκα προηγῆ, τότ᾽ ἂν εἴη τὸ ἔρευθος αἱματικοῦ πλήθους γνώρισμα τοῦ καθ᾽ ὅλον τὸ ζῶον. εἰ δὲ μή, ἀλλά γε κατ᾽ ἐκεῖνο τὸ μόριον, ἐν ᾧ φαίνεται. καὶ γὰρ καὶ ταῖς φλεγμοναῖς, εἴτ᾽ ἐν τοῖς μυσίν, εἴτ᾽ ἐν τοῖς δέρμασι συνίστανται, τὸ τοιοῦτον ἕπεται χρῶμα, πληθωρικοῖς ὑπάρχουσι νοσήμασιν. ἀλλὰ περὶ φλεγμονῶν αὐτάρκως ἐν ἑτέρῳ λέλεκται γράμματι καθ᾽ ὃ περὶ τῶν παρὰ φύσιν ὄγκων ἐπισκεπτόμεθα, δεικνῦντες ἅπαντας αὐτοὺς ὑπὸ πλήθους ὑγρῶν, ἄλλο τε εἰς ἄλλο μόριον κατασκηπτόντων συνίστασθαι. νυνὶ δὲ οὐ περὶ τούτων, ἀλλ᾽ ὡς εἴρηται πρόσθεν ὑπὲρ ἐκείνου τοῦ πλήθους ὁ λόγος ἐστίν, ὃ καλεῖται πληθώρα, πλεονεξίας χυμῶν ἐν ὅλῳ τῷ σώματι συνισταμένης. οὐχ οὕτω δὲ φαμὲν ἐν ὅλῳ τῷ σώματι συνίστασθαι πλῆθος, ὡς ἀμφότερα τὰ γένη τῶν σωμάτων βεβλάφθαι· τό, τε τῶν ἀγγείων, καὶ τῶν σαρκῶν. ἐγχωρεῖ γὰρ ἐνίοτε καὶ μόνον θάτερον, ὡς εἰ καὶ ὁπότερον ἂν καταλειφθείη μέρος, οὐ καθ᾽ ἕν τι μόριον ἢ δύο τούτου συμβεβηκότος, ἀλλ᾽ ἤτοι καθ᾽ ὅλον τὸ ζῶον, ἢ κατὰ τά τε πλεῖστα τε καὶ κυριώτατα μόρια. καὶ τοίνυν καὶ τὸν ὄγκον ὁποῖός τίς ἐστιν ἐξευρεῖν, ἱκανῶς γεγυμνασμένου περὶ τὰς διαγνώσεις ἀνδρὸς δεῖται. κατὰ γοῦν τὸ σαρκῶδες γένος, ἕτερος μὲν ὄγκος ὁ τῶν σαρκῶν αὐτῶν ἐστιν· ἕτερος δὲ ὁ τῶν ὑγρῶν, ὥσπερ ἐρίου τινὸς ἢ σπογγιᾶς, τῆς σαρκὸς ἐμπεπλησμένης ὑγρότητος περιττῆς. ἀλλὰ τὸ μὲν τοιοῦτον πλῆθος ἐν ταῖς σαρξίν, ἀνάλογόν ἐστι τῷ κατὰ τὸ ἔγχυμα καλουμένῳ ἐπὶ τῶν ἀγγείων, τὸ δὲ ἕτερον πλῆθος, τῷ πρὸς τὴν δύναμιν, ἢ μετὰ βάρους, μεμνημένων ἡμῶν, ὅτι μηδὲν διενήνοχεν, ἢ περὶ συνθέτου σαρκός, ἢ περὶ μυῶν διαλέγεσθαι, καὶ ὡς εἴ ποτε περὶ πλήθους ὁ λόγος γίγνοιτο τοῦ κατὰ τὰς σάρκας, τοὺς μῦς ἀκουστέον ἐστίν, οὐ τὴν ἁπλῆν ἐκείνην σάρκα, τὴν ὑπό τινων ὀνομαζομένην παρέγχυμα. κατὰ μέντοι τὰς ἀρτηρίας καὶ τὰς φλέβας, οὐχ ὁμοίως αἰσθητόν ἐστι τὸ πρὸς τὴν δύναμιν πλῆθος αὐτοῖς τοῖς κάμνουσιν, ἀλλ᾽ ὅσοιπερ ἂν ὦσιν αἰσθητικώτατοι φύσει, μόνοις τοῖς τοιούτοις ἀμυδρόν τι καὶ βύθιον βάρος ἐμφαίνεται κατὰ τὸ σῶμα. διὸ χρὴ ζητεῖν ἕτερά τινα σαφέστερα τοῦ τοιούτου πλήθους γνωρίσματα. ῥᾳθύμως δὲ τῶν πλείστων ἰατρῶν ἐσχηκότων ἀμφ᾽ αὐτόν, καὶ τῶν μέν, οὐδ᾽ ὅλως ἐπισκεψαμένων· ἐνίων δὲ ἐλλιπῶς, οὐδὲν εὕρηται βεβαιότερον γνώρισμα τῆς τῶν ἀρτηριῶν κινήσεως, ἣν ἐν ταῖς περὶ τῶν σφυγμῶν πραγματείαις αὐτάρκως ἐξηγησάμεθα. τὰ πολλὰ μὲν γὰρ ὁμοῦ ταῖς ἀρτηρίαις αἱ φλέβες ἐν πληθώρᾳ καθίστανται, διὰ τὴν σύρροιαν τῶν ἀγγείων, ἣν πολλάκις ἐν ἑτέροις ἀπεδείξαμεν, ἔστιν ὅτε δὲ χυμῶν γλίσχρων, ἢ παχέων ἠθροισμένων ἐν ταῖς φλεψίν, οὐκ εὐπετὴς ἡ μετάληψις αὐτῶν εἰς τὰς ἀρτηρίας γίγνεται, σπάνιον δέ ἐστι τὸ τοιοῦτον. εἰ μὴ γὰρ ἐσχάτως εἶεν παχεῖς, ἢ γλίσχροι χυμοί, μεταρρυήσονται πάντως. ἐν μὲν δὴ ταῖς τοιαύταις διαθέσεσιν, οὐδὲν ἐναργὲς γνώρισμα τοῦ κατὰ τὰς φλέβας ἠθροισμένου πλήθους, ἐκ δὲ τῆς τῶν ἀρτηριῶν κινήσεως ἔνεστι λαβεῖν, εἰ καὶ ὅτι μάλιστα τῷ Νικάρχῳ καὶ Πραξαγόρᾳ δοκεῖ. καίτοι μὴ μεταδιδοῦσι ταῖς ἀρτηρίαις αἵματος. ἐπὶ μέντοι τὰς ἄλλας διαθέσεις τῆς πληθώρας, πιστεύειν χρὴ τοῖς ἐκ τῶν σφυγμῶν σημείοις, ἃ διὰ τῆς οἰκείας εἴρηται πραγματείας· τὰς δὲ ἰδέας τοῦ πλήθους, ὅταν γε ὁμαλῶς ἐκτεταμένου εἰς ὅλον τὸ σῶμα ᾖ, κατὰ τὰ δὲ διαιρεῖσθαι. ἐξέρυθρον μὲν γὰρ τὸ τοῦ αἵματος πλῆθος ἐστίν, ὕπωχρον δέ, τὸ τῆς ξανθῆς χολῆς. ἐπὶ δὲ τὸ λευκότερον ἐκτρέπεται τοῦ κατὰ φύσιν, ὅταν τὸ φλέγμα κρατεῖ, καθάπερ ἐπὶ τὸ μελάντερον, ἣν ἡ μέλαινα χολή. καθ᾽ ἕκαστον δὲ τῶν εἰρημένων συναυξῆσθαι χρὴ καὶ τὸ αἷμα. μόνη γὰρ εἴ ποτε πλεονάσειεν ἡ ὠχρὰ καὶ ξανθὴ προσαγορευομένη χολή, καθάπερ ἐν ἰκτερικοῖς, οὐκ ἔτι πλῆθος, οὐδὲ πληθωρικὴ διάθεσις, ἀλλὰ κακοχυμία τὸ τοιοῦτον ἐστὶ πάθημα. κατὰ ταῦτα δὲ καὶ ἐπὶ τῆς μελαίνης χολῆς καὶ τοῦ φλέγματος. ὅταν δὲ ὡς εἴρηται πρόσθεν, ἢ βάρος, ἢ ὄγκος ὑπὲρ τὸ κατὰ φύσιν ᾖ, πληθωρικὴ μὲν ἡ τοιαύτη διάθεσις εἴρηται, ἐκ δὲ τῆς χρόας γινώσκειν χρὴ τὴν ἰδέαν τοῦ κρατοῦντος χυμοῦ. μόνη δὲ χολὴ τῶν ἀχωρίστων τοῦ πλήθους συμπτωμάτων, οὐδέτερον ἐργάσασθαι δύναται, οὔτ᾽ οὖν τὸν ὄγκον, οὔτε τὸ βάρος. ἕτερον γάρ τι πρὸς ταύτης ἔσται πάθημα πρὶν ἐπὶ τοσοῦτον αὐξηθῆναι. μόνον δ᾽ ἄρα, τὸ φλέγμα, καὶ τοῦτο οὐχ ἅπαν ἁπλῶς, ἀλλὰ τὸ κατὰ τοὺς λευκοφλεγματίας ὀνομαζομένους ὑδέρους ἐν ὅλῳ τῷ σώματι δυνήσεται πλεονάσαι. δῆλον δὲ ὡς καὶ τὸν ὠμὸν ὀνομαζόμενον χυμὸν ἕν τι τῶν φλέγματος εἰδῶν, ἔν γε τῷ νῦν λόγῳ τίθεσθαι χρή. ὡς εἴ γε ἕτερον ἐκείνου θείημεν, πρὸς αἷς εἴπομεν ἄρτι πλήθους διαφοραῖς, ἀναγκαῖον ἐστι προσθεῖναι καὶ τὴν ἐκ τοῦ τοιούτου χυμοῦ· παχύτερος δέ ἐστι τοῦ ἄλλου φλέγματος ὁ χυμὸς οὗτος, ἧττόν τε πνευματικός, οἷος ἐν τοῖς οὔροις ὑφίσταται, μεθ

λιστα τοῖς ἐξ ἀδδηφαγίας πολλὴν ὑπόστασιν, ἔτνει τε κυάμων ὁμοίαν ἔχουσι. καὶ μὴν καὶ διεχώρησε πάνυ πολλάκις ὁ τοιοῦτος ἀθρόως χυμὸς ἐκείνοις τῶν σωμάτων, ὅσα γυμνασίων μὲν ἀπείχετο, παμπόλλοις δὲ ἐδέσμασιν ἐχρῆτο, καὶ λουτροῖς ἐπὶ τροφαῖς. ἀλλὰ καὶ τούτῳ τῷ χυμῷ, καθάπερ καὶ τῷ φλέγματι, λευκή τις ἄχροια καθ' ὅλον τὸ σῶμα συνυπάρχει. τὰ δ' ἄλλα τοῦ φλέγματος εἴδη, τὸ μὲν ἐστὶ γλυκὺ, τὸ δὲ, ὀξὺ, τὸ δὲ, ἁλυκόν. καὶ ὑπνώδεις μὲν γίνονται ἐπὶ τοῦ γλυκέος, πεινώδεις δὲ ἐπὶ τοῦ ὀξέος πλεονάζοντος. ὥσπερ δὴ διψώδεις ὅταν ἐπικρατῇ τὸ ἁλυκόν, ἀνόρεκτοι δὲ ἐπὶ τῷ προειρημένῳ τῷ ὠμῷ. τὰ δὲ τῶν ὕπνων, ἐπὶ μὲν τοῖς ἄλλοις φλέγμασι τοῖς προειρημένοις, βραχὺ πλείω τοῦ κατὰ φύσιν. ὁ δ' ὠμὸς χυμὸς, ὥσπερ τὸ γλυκὺ φλέγμα, σαφῶς ὑπνώδεις ἀποτελεῖ. δέδεικται γὰρ ἑτέρωθεν, τῆς αἰσθητικῆς ἀρχῆς ὑγραινομένης τε καὶ ψυχομένης τὴν κωματώδη ἕπεσθαι διάθεσιν, ὥσπερ γε καὶ τὴν ἀγρυπνίαν ξηραινομένης, καὶ θερμαινομένης. ταῦτ' ἄρα καὶ οἱ χολῶντες ἄγρυπνοι πάντες ἐφ' ἑκατέρᾳ τῇ χολῇ. σύνεστι δὲ ἐξαίρετον ἐπὶ τῆς μελαίνης, τὸ σκυθρωπόν τε καὶ δύσθυμον ἄνευ λόγου. εἰ δὲ μὴ καθ' ὅλον σῶμα πλεονάζοιεν οἱ προειρημένοι χυμοὶ, καθ' ἕν τι δὲ μόριον ἀθροισθεῖεν, ὄγκους ἐργάζονται παρὰ φύσιν αὐτοῖς τοῖς σώμασιν, ὑπὲρ ὧν ἑτέρωθι δείκνυται. καὶ αὐτὰ δὲ τὰ νῦν αὐτῶν εἰρημένα συμπτώματα, πλὴν τῆς ἀχροίας, ἐγκέφαλόν τε καὶ στόμαχον κατειληφότων ἐστίν. ἀγρυπνίαι μὲν γὰρ καὶ ὕπνοι διὰ τὸν ἐγκέφαλον, ὀρέξεις δὲ καὶ ἀνορεξίαι διὰ τὸν στόμαχον ἄλλοτε ἀλλοίως διατεθέντα γίγνονται. δῆλον δ' ὅτι τὸ στόμα τῆς γαστρὸς εἴρηται νῦν στόμαχος, ἐν ᾧ τὸ μὲν φλέγμα τὸ ἀθροισθὲν ὡς ὀλίγον ἔμπροσθεν εἴρηται. τὰς ὀρέξεις ἐποίησε. τῶν δὲ χολωδῶν, ἐπὶ μὲν τῆς ξανθῆς διψώδεις τε καὶ ἀσώδεις εἰσίν. καὶ τὸ στόμα πικρὸν αὐτοῖς ἐστίν, ἐπὶ δὲ τῇ μελαίνῃ, δύσθυμοι καὶ σκυθρωποὶ καὶ φοβεροὶ καὶ ἄδιψοι, καὶ σίελου μεστοί, ἀπόσιτοι δὲ οὐ πάντες, ἀλλά τινες αὐτῶν. ἱκανῶς δὲ πεινώδεις εἰσίν, οἷς ἂν ἡ μέλαινα τὴν ὀξεῖαν ποιότητα κρατοῦσαν ἔχῃ. γίγνεται δὲ τοῦτο, κακοηθεστέρας αὐτῆς ἀποτελουμένης. ἐστ' ἂν δὲ μόνον οἷον ἰλὺς αἵματος ᾖ, μή πω δ' ἀκριβῶς ὀξεῖα, κάλλιον ἴσως μελαγχολικὸς χυμὸς ἕως τοῦ λέγεται. μὴ δὲ καλεῖν μή δέπω τὸν τοιοῦτον χυμὸν μέλαιναν χολὴν, ἀλλ' ὥσπερ εἴωθα μελαγχολικὸν, ὅτι τοῦ γενέσθαι μέλαιναν χολὴν πλησίον ἥκει. ἀλλ' οὐ νῦν καιρὸς ὑπὲρ τῶν ἐν ταῖς κακοχυμίαις διεξέρχεσθαι διαφορᾶς, ὅτι μηδὲ πλῆθος εἶπον ὀνομάζεσθαι αὐτὰς, ἡμῖν δὲ οὐχ ἁπλῶς τὸ πλεονάζον ὁπωσοῦν ἐξευρεῖν, ἀλλὰ περὶ πλήθους σκέψασθαι προὔκειτο. πλεονεξία δέ ἐστι τοῦτο τῶν καθ' ὅλον τὸ σῶμα τοῦ ζώου χυμῶν. οὔτε οὖν τῶν κατὰ μέρος ὄγκων, οὔτε κακοχυμίας ἀκούειν χρὴ ποθεῖν ἐν τῷ λόγῳ τῷ δε τὰς ἰδέας, ἀλλ' ὅταν ἤτοι κατὰ τὴν ἀρχαίαν ἀναλογίαν αὐξηθῶσιν ἅπαντες, ἤ τινα βραχεῖαν ὑπεροχὴν ἐξ αὐτῶν εἰς λάβοι. τὸ μὲν οὖν αἷμα παμπόλλην ὑπεροχὴν δύναται λαβεῖν, ἐν ταῖς πληθωρικαῖς διαθέσεσι. τῶν δὲ ἄλλων χυμῶν οὐδείς. κακοχυμία γὰρ ἤδη τό γε τοιοῦτον, οὐκ ἔτι πλῆθος, οὐ δὲ πληθώρα καλεῖται. διὸ καὶ σφυγμοὶ, κατὰ μὲν τὰς κακοχυμίας. οἰκεῖοι τῇ φύσει τῶν χυμῶν ἀκριβῶς εἰσίν. ἐπὶ δὲ τοῖς εἰρημένοις πλήθεσιν, οὐχ ὁμοίως ἐναργεῖς ἀποσώζουσι τὰς διαφοράς. ὅτι σὺν αἵματι διαψιλεῖ πάντως ἐστὶν ὁ πλεονάζων χυμός. ὅταν δὲ κρατήσει σφοδρῶς, ἐπὶ μὲν τῇ ξανθῇ χολῇ, τοιούτους ἀνάγκη γενέσθαι σφυγμοὺς οἵους εἴπομεν ἕπεσθαι, ξηραινομένης τε καὶ θερμαινομένης τῆς καρδίας. ἐπὶ δὲ τῇ μελαίνῃ, τοιούτους αὖ πάλιν, οἵους ἔφαμεν, εἰ ψύχοιτό τε καὶ ξηραίνοιτο γίγνεσθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον, εἰ νικήσειεν ποτὲ τὸ φλέγμα τοὺς ἄλλους, ψυχρᾶς καὶ ὑγρᾶς διαθέσεως ἐκγόνους ἀποτελέσει σφυγμούς. αἵματι δὲ τῷ μὲν ἀκριβῶς κατὰ φύσιν, οὐδεμία τῆς ἀρχαίας καταστάσεως ἀλλοίωσις ἕπεται. τῷ δὲ ὑγροτέρῳ πλεονάζοντι, καὶ οἱ σφυγμοὶ συναλλοιοῦνται, καθάπερ εἰ θερμότερόν τε καὶ ψυχρότερον ἑαυτοῦ γένοιτο. δίῄρηται δὲ ἐν τῇ περὶ τῶν σφυγμῶν πραγματείᾳ τὰ τοιαῦτα σύμπαντα. νῦν δὲ ἀρκέσει τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐξ ἀργείας μὲν καὶ διαίτης ὑγρᾶς, ὑγρότερον ἑαυτοῦ γένοιτ' ἂν τὸ αἷμα πλεονεξίᾳ τῶν ὑδατωδῶν περιττωμάτων. ἐπὶ θυμῷ δὲ καὶ γυμνασίοις ἐγκαύσεσί τε καὶ τρίψεσι, καὶ φαρμάκῳ θερμαίνοντι, καὶ τροφῇ τοιαύτῃ, καὶ οἴνοις ἀκρατεστέροις, καὶ παλαιοτέροις, θερμότερον, ὥσπερ γε καὶ διά τινα ψύξιν ὑπόγυιον ψυχρότερον. εἰ δὲ ἐπὶ πλέον ἐδέσμασι χρήσαιτό τις ξηροτέροις τὴν κρᾶσιν, οὐ μὴν ἄλλην τινὰ ἔχουσι δυσκρασίαν, ξηρότερον ἐκεῖνο γένοιτ' ἂν τὸ αἷμα. καὶ δὴ καὶ κατὰ συζυγίαν ὑγρότερόν τε καὶ ψυχρότερον, ἢ ψυχρότερόν τε καὶ ξηρότερον, θερμότερόν τε καὶ ὑγρότερον, ἢ θερμότερόν τε καὶ ξηρότερον ἐπὶ τοῖς εἰρημένοις αἰτίοις ἀποτελεσθήσεται, χωρὶς τοῦ τῶν ἄλλων τινὰ πλεονεκτῆσαι χυμῶν. εἰ δὲ καὶ διὰ τὴν ἐκείνων μῖξιν, εἰς δυσκρασίαν ἀφίκοιτο, μετὰ κακοχυμίας ἂν ἡ τοιαύτη δυσκρασία συσταίη. λεγομένη μὲν ἔτι καὶ νῦν, ἤτοι θερμοτέρου γεγονέναι τοῦ αἵματος ἢ ψυχροτέρου, τῇ καὶ ὑγροτέρου. καὶ κατὰ τὰς ἑτέρας δυσκρασίας ἕξ, ὀκτὼ γὰρ ἦσαν αἱ σύμπασαι. καθ' ἕτερον δέ τοι τρόπον οὐχ ὡς ὁπότε μόνον αὐτὸ καθ' ἑαυτὸ τὸ τοιοῦτον ὑπῆρχεν. οἱ σφυγμοὶ δὲ κατὰ τὰς δυσκρασίας τὰς ὀκτὼ τὴν ἰδέαν ἐκείνην ἕξουσιν, οἵαν ἐν τῇ τῶν σφυγμῶν πραγματείᾳ διήλθομεν. εἴτε δ' ὡς εἴρηται μόνου τοῦ αἵματος ἐστὶν, εἴτε διά τινα ἐπιμιξίαν χυμοῦ, διορίζεσθαι χρὴ, τῇ τε συνούσῃ χροᾷ παντὸς τοῦ σώματος, καὶ τοῖς ἄλλοις συμπτώμασιν, ὅσα περὶ ὕπνου καὶ ἐγρηγόρσεως, ἢ ὀρέξεως καὶ ἀνορεξίας, ἢ ἔτι τοιοῦτον, μικρὸν ἔμπροσθεν εἴρηται, καὶ τῇ προηγησαμένῃ διαίτῃ, καὶ τοῖς γυμνασίοις, καὶ τοῖς αὐτῷ τῷ κάμνοντι συμπίπτειν εἰθισμένοις, ἔτι τε τῇ ὥρᾳ καὶ τῇ χώρᾳ καὶ τῇ φυσικῇ πυκνότητι καὶ ἀραιότητι τοῦ σώματος. ἄμεινον γὰρ ἐκ πάντων τὸ πιστὸν τῇ διαγνώσει λαμβάνειν, οὐκ ἐξ ἑνὸς ἢ δυοῖν, εὖ εἰδότας ὡς αὐτὸ μόνον ἐν τῇ τέχνῃ πλεῖστα κεκοινώνηκε τοῦ στοχάζεσθαι, λέγω δὴ τὸ μέρος τῆς τέχνης τοῦτο. τὸ διαγνωστικὸν ἅπαν, οὐ μόνον τὸ κατὰ τὴν κακοχυμίαν, ἢ τὸ πλῆθος, ἃ νῦν ἡμῖν διορίζεσθαι πρόκειται. τὰ γὰρ περὶ τὰς ἐνεργείας ἢ τὰς τῶν νοσημάτων αἰτίας, ἢ τὰς ἰάσεις, ἐπιστημονικώτερον ἔχει τὴν γνῶσιν. εἴρηται δ' ἐπὶ πλέον ὑπὲρ αὐτῶν τούτων ἑτέρωθεν. καὶ νῦν ἀρκέσει τὸ προσθεῖν αὐτάρκως διορισαμένους, αὐτόθι που καταπαῦσαι τὸ γράμμα. γίγνοιτο δ' ἂν αὐτάρκης ὁ λόγος ἐπὶ παραδείγματι ἐξετασθείς. ἔστω δὴ τὸν μὲν ἄνθρωπον ἀπύρετον ὑπάρχειν, ἐν ὄγκῳ δὲ μείζονι τὰς φλέβας αὐτοῦ καὶ τὸ σύμπαν σῶμα ἐρυθρότερον. σκεπτέον οὖν εἰ μηδὲν τούτῳ τῶν θερμαινόντων αἰτίων ἐπλησίασεν. εἰ γάρ τοι φαίνοιτο, βέλτιον ἀναβάλλεσθαι τὴν διάγνωσιν, ἄχρι περ ἂν ἡ ἐξ ἐκείνου κίνησις ἐν ὅλῳ τῷ σώματι καταστῇ. διότι μή τε θυμούμενον, ἢ λελουμένον, ἢ λουόμενον, ἢ γεγυμνασμένον, ἢ οἴνου προσενηνεγμένον ἀρτίως, ἢ ἄλλως

ἐπασσῶν

ὁπωσοῦν τεθερμασμένον, εἰς τὴν διάγνωσιν ἄγειν προσήκει, ἀλλ' ἐν ἡσυχίᾳ πασῶν τῶν ἔξωθεν ὑπάρχοντα κινήσεων. εἰ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ φαίνοιτο τοιοῦτος, αἷμα πλεονάζει τῷ ἀνθρώπῳ. τοὐντεῦθεν ἐπισκεπτέον τἆλλα, πρῶτα μὲν ὅσα μεγίστην ἔχει δύναμιν, εἶτα ἐφεξῆς τὰ λοιπά. ἐλέχθη δὲ βάρος καὶ τάσις, ὅ, τε πρὸς τὰς κινήσεις ὄκνος, εἶθ' ἑξῆς τὰ κατὰ τοὺς σφυγμούς, ἀγρυπνίας τε καὶ ὕπνους, ὀρέξεις τε καὶ ἀνορεξίας, καὶ τἆλλα τοιαῦτα. μετὰ δὲ ταῦτα τῶν προηγησαμένων ἕκαστον, ὅσα πλῆθος ἐργάζεται, μή τις συνήθης ἔκκρισις ἐπέχηται, μὴ γυμνάσιον ἠμέληται, μὴ πλείω καὶ πολύτροφα σιτία συνεχῶς προσενήνεκται, μὴ μετὰ τροφὴν ἀήθεσι χρῆται λουτροῖς. καὶ πρὸς τούτοις ἔτι μὴ πολλάκις ὁ τοιοῦτος ἄνθρωπος ἁλίσκεται νοσήμασι πληθωρικοῖς. ἐπὶ τούτοις ἅπασι, καὶ τὰ παρὰ τῆς χώρας καὶ ὥρας, ἢ εἴ τι τοιοῦτον ἄλλο προσθεὶς, οὐκ ἴσην ἅπασι νέμων τὴν αἰτίαν. ὥσπερ οὐδ' ἐν τοῖς ἄλλοις μέρεσι τῆς τέχνης. ἔνια μὲν γὰρ τῶν γνωρισμάτων ἐστὶν ἐπισημονικά, καθάπερ ἡ τάσις καὶ τὸ βάρος, ὅ, τε ὄγκος τῶν φλεβῶν, ὅ τε ὄκνος, καὶ τὸ χρῶμα, καὶ ἡ τῶν σφυγμῶν κίνησις, ἁπασῶν δηλονότι τῶν προσφάτων κινήσεων ἀφωρισμένων. ἔνια δὲ ἀπολείπεται τούτων, οἷον ἡ τῶν ἐκκρίσεων ἐπίσχεσις, ὅ, τε ἀργὸς βίος, ἐδέσματά τε πλείω καὶ τρόφιμα, καὶ μετὰ τροφὴν λουτρά. συνιόντα μέν τοι τὰ σύμπαντα, τοῖς ἐπισημονικοῖς ἐγγὺς ἥκει. τρίτην ἐπὶ τούτοις ἔχει τάξιν, εἰ συνήθως ἁλίσκεται πληθωρικοῖς νοσήμασιν ὁ ἄνθρωπος. ἐφεξῆς δὲ τὰ κατὰ χώρας καὶ ὥρας συστατικὰ πάντων αὐτῶν. ἐν μὲν γὰρ χειμῶνι καὶ ἦρι, ψυχραῖς τε καὶ εὐκράτοις χώραις μᾶλλον ἀθροίζουσι τὸ πλῆθος. ἐν δὲ ταῖς θερμαῖς καὶ ξηραῖς ὥραις καὶ χώραις, ἧττον. οὕτως δὲ καὶ οἱ μὲν πυκνοὶ τὴν ἐπιφάνειαν, μᾶλλον, οἱ δ' ἀραιοὶ σπανιώτερον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΤΩΝ ΠΑΡΑ ΦΥΣΙΝ ΟΓΚΩΝ.

ΕΝ ΤΙ τῶν συμβεβηκότων τοῖς σώμασιν ὑπάρχει, τὸ δηλούμενον πρᾶγμα πρὸς τῆς ὄγκου φωνῆς. τὴν γὰρ εἰς μῆκος καὶ πλάτος καὶ βάθος διάστασιν, οὕτως ὀνομάζουσιν Ἕλληνες. ἔστι δ' ὅτε καὶ τὴν ὑπὲρ τὸ κατὰ φύσιν αὔξησιν, ὄγκον καλοῦσιν, ὅπερ οὐ νοσοῦσι μόνον καθ' ὁτιοῦν μόριον, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν ὑπάρχει. καὶ γὰρ καὶ παχεῖς ηὔξηνται μὲν ὑπὲρ τὸ κατὰ φύσιν εἰς βάθος καὶ πλάτος, οὐ μὴν ἤδη γέ πω παρὰ φύσιν ἔχουσιν. ὡς γοῦν πολλάκις εἴρηται, ῥέπη τίς ἐστι κατάστασις ἡ τῶν οὐ φύσει διακειμένων σωμάτων ἐν μέσῳ πως ὑπάρχουσα τῶν κατὰ φύσιν τε καὶ παρὰ φύσιν ἐχόντων. ὁ μὲν οὖν παχὺς ἢ ἰσχνός, οὐ παρὰ φύσιν, ἀλλ' ἁπλῶς μόνον ὁ μὲν ὑπὲρ τὸ κατὰ φύσιν, ὁ δὲ ἐνδεέστερον ἔχει τοῦ κατὰ φύσιν· οὐ φύσει δὲ ἑκάτερος. ὁ δὲ ἐξ ὑδέρου τὸν ὄγκον ἐπικτησάμενος, ἢ ἐκ φθόης τὴν λεπτότητα, παρὰ φύσιν ἄμφω διάκειται. πρόκειται δὲ νῦν ἐν τῷ νῦν ἐνεστῶτι λόγῳ σκέψασθαι περὶ τῶν παρὰ φύσιν ὄγκων. ὅλον τε καταλαμβανόντων τὸ σῶμα, καὶ μόριον ὁτιοῦν αὐτοῦ, τοῦτον ἐπιδιορισαμένους, ὡς τῶν οὐ φύσει διαθέσεων αἱ ὑπερβολαὶ παρὰ φύσιν εἰσίν. ὅρος δὲ τῆς ὑπερβολῆς ἐστιν αὐτῶν, ἡ βλάβη τῆς ἐνεργείας. ἀλλὰ περὶ μὲν τούτων τῶν ὄγκων οὐ δεῖ μακροτέρου λόγου. γινώσκεται γὰρ ὑπὸ πάντων ἀνθρώπων οὐ μόνον τῶν ἰατρῶν σαρκὸς καὶ πιμελῆς ἀμετρία, τὴν γένεσιν αὐτῶν ἐργαζομένη. τοὺς δ' ἄλλους ὄγκους, ὅσοι κατὰ τὴν διάθεσιν αὐτῶν τῶν σωμάτων, οὐ μόνον τὴν ποσότητα πρώτην, τοῦ κατὰ φύσιν ἐξεστήκασιν, ἤδη σκοπῶμεν, ἀπὸ φλεγμονῆς ἀρξάμενοι· λέγεσθαι δὲ εἴθισται τοῖς Ἕλλησι τοὔνομα τοῦτο, κατὰ τῶν ἐν ὄγκῳ μείζονι μορίων σαρκωδῶν, ἅμα τάσει καὶ ἀντιτυπίᾳ, καὶ ὀδύνῃ σφυγματώδει καὶ θερμῇ, καὶ μετ' ἐρυθήματος· ἥτις δ' ἐστὶν ἡ αἰτία, δι' ἣν ταῦτα ἐγένετο τὰ συμπτώματα, μὴ ὅτι τοῖς πολλοῖς, ἀλλ' οὐδ' αὐτοῖς τοῖς ἰατροῖς ἔγνωσται πᾶσιν. οὐδὲ γοῦν ὁδῷ τινὶ ποιοῦνται τὴν ζήτησιν οἱ πλείους αὐτῶν, ἀλλὰ τὸ δόξαν αὐτοῖς ἁπλῶς ἀποφαίνονται. γίγνοιτο δ' ἂν ἡ σκέψις, εἴπερ τις ὁδῷ προέρχοιτο, τοιάδε. μείζων ὄγκος οὐκ ἄν ποτε γένοιτο περὶ σῶμα οὐδὲν, ἄνευ τοῦ τὴν οὐσίαν αὐτοῦ δυοῖν τούτων παθεῖν θάτερον, ἢ ὑπὸ θερμότητος πολλῆς οἷον περιζέσασαν χυθῆναι, ἢ ἔξωθέν τινα νεωτέραν οὐσίαν ἐπικτήσασθαι. χεομένη μὲν γὰρ πνευματοῦται, καὶ ψυχθεῖσά γε αὖθις τὸν ἀρχαῖον ὄγκον ἀνακτᾶται ῥᾳδίως. ὅτι δὲ πνεῦμα περιεχόμενον ἐν τοῖς φλεγμαίνουσιν ὁρᾶται, καθάπερ ἐν ἄλλοις ὄγκοις πολλοῖς. καὶ ψυχόμενα, πρὸς τὴν ἐξ ἀρχῆς κατάστασιν, οὔτ' εὐθὺς οὔτ' ἐξ ἅπαντος ἐπανέρχεται. ὅτι δὲ οὐ περιέχεται πνεῦμα, δῆλον ἐκ τῆς τομῆς. φαίνεται γοῦν εἰ τμηθείη τὸ φλεγμαῖνον, αἷμα μὲν ἐκχεόμενον πάμπολυ, καὶ τὸ χωρίον ὅλον ἐναργῶς αἵματος μεστόν, ὥσπερ οἱ διάβροχοι σπόγγοι, πνεῦμα δὲ, οὔτ' εὐθὺς ἐκπῖπτον, οὔτ' αὖθις. ἀλλὰ καὶ ἡ χροιὰ μόνη τοῦ αἵματος, οἰκεία τε ἅμα καὶ ἀχώριστος. οὐδὲ γοῦν ἄλλο τῶν ἐν τῷ σώματι μορίων, ἢ χυμῶν ἐρυθρόν, πλὴν σαρκός τε καὶ αἵματος. ἀλλ' ὅτι πολυσαρκία ἐστὶ τὸ πάθημα τῆς φλεγμονῆς· καὶ εἴπερ συσταίη ποτὲ πολυσαρκία κατὰ τὸ σῶμα μόνη χωρὶς αἵματος πλήθους, ὁ μὲν ὄγκος μείζων γίνεται τοῦ κατὰ φύσιν, ἡ χροιὰ δὲ ἐν ὅροις ὑγιεινοῖς διαμένει, μηδὲ τῆς ἀρχαίας ἐξαλλάττουσα φύσεως. οὐδενὶ γὰρ αὐξανομένῳ κατὰ τὴν οὐσίαν, ἐπιτείνεται τὸ πρόσθεν χρῶμα. οὕτω γοῦν ἄν, ἤτε χιὼν ἐγίνετο λευκοτέρα, καὶ ἡ πίττα μελανωτέρα, καὶ ὁ χρυσὸς ξανθότερος, ἕτερον οὖν ἐστὶ προφανῶς αὔξησις οὐσίας, ἀλλοιώσεως. αὐξάνεται μὲν γοῦν κατὰ τὸ ποσόν, ἀλλοιοῦται δὲ κατὰ τὸ ποιόν. ἔστι δέ πως καὶ τὸ χρῶμα, ποιᾶς οὐσίας, οὐ ποσῆς γνώρισμα· διὰ ταῦτα μὲν οὖν πολυσαρκία ἕτερον φλεγμονῆς. δι' αὐτὰ δὲ ταῦτα πλεονάζειν ἄν τις ἐν αὐτῇ, τὸν τοῦ αἵματος ὑπολάβοι χυμόν. ἀλλὰ καὶ μεθ' ἑλκῶν ἐνίοτε μέγισται γίνονται φλεγμοναί, καὶ φαίνεταί τις ἐκρέων ἰχὼρ ὑδατώδης λεπτός, αἱματώδους φαινομένου τοῦ πέριξ χωρίου. ἀναγκαῖον οὖν ἐν τῷ δὲ τὴν πύκνωσιν τῆς σαρκός, ἣν ἐν τοῖς κατὰ τὸ ῥεῦμα πέρασιν ἑαυτῇ ἐπεκτήσατο, συμμετρίας εἰς τοσοῦτον ἥκειν, ὡς διεκπίπτειν ἐπιτρέπουσαν τοῖς

Tumor dimensio in longum latum & profundum.

phlegmone quid.

ἰχῶρσιν, ἐναποστέγειν δ' ἔνδον ἑαυτῆς τὸ αἷμα. καὶ μὴν ὅσον αἵματος ἰχὼρ λεπτομερέστερός ἐστι, τοσούτῳ, ἢ καὶ πλέον ἔτι παχυμερέστερος ὑπάρχει πνεύματος. ὥστε εἴπερ ἡ κατὰ τὸ τραῦμα σὰρξ ἐπέτρεπεν ἐκπίπτειν τοῖς ἰχῶρσιν, ἐπέτρεπεν ἂν δήπου τῷ πνεύματι. κενωθέντος δὲ ἅπαξ αὐτοῦ, καθίσταται ἂν εὐθέως καὶ ὁ τῆς φλεγμονῆς ὄγκος. ἀμέλει καὶ φαίνεται γιγνόμενον, οὕτως ἐν οἷς ἂν μορίοις ὄντως ἀθροισθῇ τὸ πνεῦμα. τμηθέντων γοῦν αὐτῶν, αὐτίκα συστέλλεται πᾶς ὄγκος. ἀλλὰ καὶ ἡ γένεσις αὐτῆς τῆς ἐπὶ τραύμασι γιγνομένης φλεγμονῆς μαρτυρεῖ. ἐν ἀρχῇ μὲν γὰρ ἔτι νεοτρώτων ὄντων ἐκπίπτει πλῆθος αἵματος. ἴσχεται δ' αὖθις ἤτοι ψυξάντων ἡμῶν, ἢ αὐτομάτως ὑπὸ τοῦ περιέχοντος ψυχθέν. ἀλλὰ καὶ πιλησάντων ἡμῶν ταῖς χερσίν, ἢ ἐπιδησάντων ἴσχεται κωλυόμενον ἐκρεῖν. ἔτι ἐν τοῖς στόμασι τῶν διῃρημένων ἀγγείων ἰσχόμενόν τε καὶ φραττόμενον, πιλεῖταί τε καὶ πήγνυται, παραπλήσιόν τι πάσχον θρόμβῳ, πλὴν ὅτι θρόμβος μὲν ἀθρόα τοῦ αἵματός ἐστι πῆξις αἰσθητή, τὸ δ' ἐπὶ τῶν ἑλκῶν γιγνόμενον, οὐκέτ' ἀθρόως, ἀλλὰ κατὰ σμικρὰ καὶ πολλὰ πέρατα τῶν διῃρημένων ἀγγείων, ἵστησι καὶ παχύνει τὸ αἷμα. ὅταν οὖν ἅμα μὲν τοῦτο παχύτερον, ἅμα δὲ τῶν ἀγγείων τὸ πέρας γένηται στενότερον, ἴσχεται μὲν ἤδη τὸ αἷμα, διεκπίπτουσι δὲ ἰχῶρες. ταῦτα πάντα τεκμήρια μέγιστα, τοῦ πληθύνειν ἐν τοῖς φλεγμαίνουσι μορίοις τὸ αἷμα. θερμότερον μὲν οὖν ἐστι τοῦ κατὰ φύσιν ἐν τοῖς οὕτω διακειμένοις, οὐ μὴν τοσοῦτον θερμότερον, ὡς μόνῃ τῇ χύσει τηλικοῦτον ἐργάζεσθαι τὸν ὄγκον. πολλὰ δ' ἂν εἴη σοι καὶ τὰ τοῦδε τεκμήρια, πρῶτον μὲν οἱ διακαέστατοι τῶν πυρετῶν, ὅσον γὰρ ἐπὶ τούτων ἡ θερμασία σφοδροτέρα τῆς κατὰ τὰ φλεγμαίνοντα μόριά ἐστι, τοσοῦτον τὸν ὄγκον ἐχρῆν εἶναι μείζονα. δεύτερον δὲ τεκμήριον, ἐκ τῆς τοῦ αἵματος οὐσίας, οὐ γὰρ ὥσπερ πίττα καὶ ῥητίνη καὶ κηρός, ὑπὸ ψύξεως πέπηγεν, ἀλλ' ἔστιν ἀεί τε καὶ φύσει θερμότερον. ἐκείνοις μὲν οὖν θερμαινομένοις, εἰς τοὐναντίον ἡ μετάστασις. αἵματι δὲ κατὰ φύσιν ὑπάρχοντι θερμῷ, γίνοιτο μὲν ὀλίγῳ τινὶ ὁ μείζων ὄγκος, οὐ μὴν ἐπὶ τοσοῦτον, ὅσον ἐξαίρουσιν αἱ φλεγμοναὶ τὰ πάσχοντα μόρια. καίτοι γε πίττα καὶ ῥητίνη καὶ κηρός, εἰς τοσαύτην ἀφικνούμενα θερμασίαν, εἰς ὅσην ἥκει τὰ φλεγμαίνοντα, βραχὺ τοῦ ἐξ ἀρχῆς ἐπαύξεται. καί σοι καὶ τοῦτ' ἐστὶ τεκμήριον ἕτερον ἐπὶ τοῖς εἰρημένοις οὐ σμικρόν, τοῦ, τὸν ὄγκον τῶν φλεγμαινόντων μορίων, μὴ διὰ μόνην γίνεσθαι τὴν χύσιν. ὀλίγη μὲν γάρ ἐστιν ἡ κατὰ θερμασίαν ἀλλοίωσις τοῦ αἵματος, οὐκ ὀλίγῳ δὲ μείζων ὁ ὄγκος. ἱκανὸν δὲ τεκμήριον ἔστω σοι καὶ αὐτὸ τὸ φαινόμενον. οὐ γὰρ ὥσπερ ἡ ῥητίνη, καὶ ἡ πίττα, καὶ ὁ κηρὸς θερμαινόμενα σφοδρότερον, ἐπὶ πλεῖστον ἥκουσι χύσεως, οὕτω καὶ τὸ αἷμα. φυλάττει δὲ κἂν ἐπὶ πυρὸς ἕψηται τὸν ἔμπροσθεν ὄγκον, ἢ οὐδ' ὅλως, ἢ παντάπασιν ἐλάχιστον εἰς μέγεθος ἐξαιρόμενον. εἴρηται δέ μοι καὶ πρόσθεν ὅτι ψυχομέναις ταῖς φλεγμοναῖς οὐκ ἀεὶ καθίστασθαι συμβαίνει. τὴν γὰρ ἀκμάζουσάν τε καὶ μεγάλην, ἐφ' ἧς ἐσφήνωται τὸ ῥεῦμα, κἂν ἐπὶ πλέον ψύξῃς οὐ καθαιρήσεις τὸν ὄγκον ἀλλὰ πελιδνὸν ἐργάσῃ τὸ μόριον καὶ ψυχρόν, εἰς σκίρρον τε μεταστήσεις τὸ πάθος. δυσκολώτατα δὲ πρὶν μὲν σφηνωθῆναι τὸ ῥεῦμα τοῖς ψύχουσί τε καὶ στύφουσιν, ἀναστέλλεται, καὶ μάλισθ' ὅταν ὀλίγον ᾖ. δυσλύτως δὲ ἔμπροσθεν ἐμπλασθέν, ὑπὸ μὲν τῶν στυφόντων καὶ ψυχόντων, οὐδὲν ὀνίναται, κενωθῆναι δὲ δεῖται. ἐξεύρηνται τοιγαροῦν τηνικαῦτα τοῖς ἰατροῖς οὐ μόνον τοῖς θερμαίνουσι διαφορεῖν, ἀλλὰ καὶ αὐτοῦ τι τοῦ αἵματος αἰσθητῶς ἐκκενοῦν, ἀμυχὰς εἰς τὸ δέρμα ποιούντων. πάντα ταῦτα οὖν μεγάλα γνωρίσματα, τοῦ πεπληρῶσθαι τὸ φλεγμαῖνον αἱματώδους χυμοῦ. θερμὸν δὲ ἀμέτρως οὐκ εὐθὺς ἐξ ἀρχῆς, ἀλλ' ἐν τῷ χρόνῳ γίνεται διὰ τὴν ἔμφραξιν ἁπάντων τῶν πόρων, ἰσχομένης τῆς ἀρχαίας ἀναπνοῆς. ἀναγκαῖον οὖν δήπου καὶ σήπεσθαι χρονίζοντι τῷ αἵματι. πάντα γὰρ ὅσα θερμὰ καὶ ὑγρὰ σώματα κατὰ θερμὸν ἀθροιζόμενα τόπον, ἑτοίμως σήπεται, μήτε κενούμενα, μήτε ἐμψυχόμενα. ὥστε καὶ ἡ ἐκ τῆς σηπεδόνος αὐτοῦ προσέρχεται θερμότης, ἐφ' ᾗ πρόσθεν εἶχεν. ὅτι μὲν οὖν ἐν τοῖς ἀγγείοις αἷμα πλεῖον ἤθροισται κατὰ τὰ φλεγμαίνοντα μόρια, τοῖς ὄγκοις αὐτῶν τεκμαρτέον, οὐχ ἥκιστα δὲ καὶ τῷ φαίνεσθαι φλέβας ἐν αὐτοῖς ἀοράτους ἔμπροσθεν οὔσας ὑπὸ σμικρότητος, οὐ γεννηθείσας δήπου κατὰ τὴν φλεγμονήν, ἀλλ' ἐκ τοῦ πληρωθῆναι τοῦ αἵματος εἰς μέγεθος ἀρθείσας τοσοῦτον, ὡς αἰσθητὰς γενέσθαι. μάλιστα δὲ ἐν ὀφθαλμοῖς φαίνεται τοῦτο συμπίπτον, καὶ πόσθῃ, καὶ τιτθοῖς. ὅτι δὲ καὶ ἡ σύμπασα φαίνεται σάρξ, ἧς ἤδη καὶ μάλιστα πάθος ἐστὶν ἡ φλεγμονή, πληροῦσθαι ῥεύματος αἱματώδους, ἥ τε χροία καὶ ὁ ὄγκος αὐτὸ ἐνδείκνυται. διὰ τοῦτο δὲ καὶ ὑγρὰ πᾶσα καὶ διάβροχος, ὥσπερ ἔριον καὶ σπόγγος φαίνεται. καὶ τούτῳ μαρτυροῦσι καὶ οἱ ἐκρέοντες ἰχῶρες, ἐπειδὰν ἔχῃ στόμιον ἡ φλεγμονή. εἰκότως δὲ οἶμαι καὶ τὸ δέρμα σὺν τοῖς ὄγκοις τῶν ὑποκειμένων ἐξαίρεται καὶ περιτείνεται. καὶ τῷ χρόνῳ δὲ δέχεται καὶ αὐτὸ τοῦ ῥεύματος, ὥσπερ καὶ οἱ τῶν ἀγγείων χιτῶνες, οὕτω δὲ καὶ οἱ ὑμένες οἱ κατὰ τὸ φλεγμαῖνον μέρος. ἔτι δὲ καὶ τὰ νεῦρα καὶ οἱ τένοντες, ἀπολαύουσιν ἐν τῷ χρόνῳ τῆς φλεγμονῆς, ἐνίοτε μέντοι τρωθέντων αὐτῶν, ἢ καὶ ἄλλως παθόντων, ἐξ αὐτῶν ἐκείνων πρῶτον ἄρχεται τὸ κακόν. ὅλως δὲ οὐδὲν τῷ φλεγμαίνοντι μορίῳ κατὰ φύσιν ἔχον ἀκριβῶς διαμένει χρονιζούσης τῆς φλεγμονῆς, ἀλλὰ συναπολαύει τῇ σαρκὶ πάντα τοῦ ῥεύματος. ὡς ἐνίοτε καὶ τῶν ὀστῶν ἅπτεται, καθάπερ καὶ ἐξ αὐτῶν ὁρμᾶται ποτὲ πρώτων παθόντων. ἐν γοῦν τῷ κατὰ φύσιν ἔχειν, χαλαρόν τε ἐστὶ τὸ δέρμα τοῖς γε μὴ παχέσιν, ἥ τ' ἐν τῷ μεταξὺ χώρα κενή, καθ' ἧς ἐπιπέπλωκεν. ὡσαύτως δὲ καὶ αἱ κατὰ τὴν σάρκα χῶραι, περὶ ὧν ἐπὶ πλέον ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι λέλεκται, κεναὶ πᾶσαι τυγχάνουσιν οὖσαι, καὶ μάλιστά γε αἱ περὶ τὰς ἀρτηρίας, ἐν κύκλῳ ταῖς διαστολαῖς αὐτῶν ἀνακείμεναι. κατὰ δὲ τὰς φλεγμονὰς ἅπασαι πληροῦνται τοῦ αἵματος, ἐκ μὲν τῶν ἀγγείων, διιδρουμένου κατὰ τοὺς χιτῶνας αὐτῶν, ἐν παντὶ δὲ μορίῳ τῆς σαρκὸς ἀναμιγνυμένου δροσοειδῶς. ὅταν δὲ ἐν τῷ χρόνῳ κρατήσῃ μὲν ἡ φύσις, πεφθῇ δὲ σύμπαν τὸ ῥεῦμα, καὶ γένηται πῦον, ἐκτὸς ὠθεῖται τῆς σαρκός, ὑπὸ τῆς ἐν αὐτῇ δυνάμεως ἀποκριτικῆς τῶν ἀλλοτρίων. ἔνθα μὲν οὖν ἤτοι πόρος ἐστὶ φυσικὸς ἀξιόλογος, οἷον ὀχετός τις ἐκροῆς περιττωμάτων παρεσκευασμένος, ἢ αὐτὸ τὸ χωρίον ἐνταῦθα ἀραιόν, τοῦ πύου τὸ μέν τι διαπνεῖται, τὸ δὲ αἰσθητῶς ἐκρεῖ. ἔνθα δὲ περίκειται τὸ δέρμα πυκνὸν καὶ σκληρόν, οἷον τὸ ἔξωθεν ἡμῶν ἐστιν, ἴσχεται ἐνταῦθα τὸ πῦον, ἀφίστησί τε τῆς ὑποκειμένης αὐτῷ σαρκός. εἶτα καὶ διαβιβρώσκει τῇ δριμύτητι, καὶ διεξέρχεται πρὸς τὸ ἐκτός, εἰ μή τις φθάσῃ σχάσας αὐτό. κρατηθείσης δὲ τῆς φύσεως ὑπὸ τοῦ ῥεύματος, οὐκέτ' εἰς πῦον ἀλλ' εἰς

ἀλλόκοτον

ἀλλόκοτόν τινα μεταβολὴν ἄλλοτε ἀλλοίαν ἀφικνεῖται τὸ αἷμα. καλεῖται δὲ κοινῇ μὲν σύμπαντα τὰ τοιαῦτα, πρὸς τῶν πλείστων ἰατρῶν ἀποστήματα, καὶ μάλισθ᾽ ὅσα διὰ βάθους ἐστίν. ἔνιοι δὲ οὐχ ἅπαντα προσαγορεύειν οὕτω δικαιοῦσιν, ἀλλ᾽ ἐκεῖνα μόνον, ὅσα τὴν ἀλλοίωσιν εἰς διαφθορὰν ἑτέραν τινά, οὐκ εἰς τὸ συνηθές τε καὶ χρηστὸν ἴσχει πῦον. ὡς τά γε ἐκπυΐσκοντα ἅπαντα, τινὲς μὲν ἐμπυήματα προσαγορεύουσιν. ἔνιοι δὲ διαπυήματα, καθάπερ καὶ αὐτὸ ἐκπυΐσκειν, καὶ διαπυΐσκειν. ἔνιοι δὲ οὐχ οὕτως. ἀλλ᾽ ὅταν ἐν σπλάγχνῳ γένηταί τι τοιοῦτον, ἐκεῖνο μόνον ἐμπύημα προσαγορεύουσι, καὶ τοὺς οὕτω πάσχοντας ἐμπύους. ἄλλοι δ᾽ αὖ τινὲς ἰατροὶ μόνους ἐκείνους ὀνομάζειν ἐμπύους δικαιοῦσιν, οἷς ἤθροισται πῦον ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος χώρᾳ. τῶν μὲν οὖν ὀνομάτων, ὥσπερ ἀεί μοι λέλεκται, φροντίζειν χρὴ τοσοῦτον, ὡς ἑρμηνεύεσθαι σαφῶς τὸ δηλούμενον. αὐτὰ δὲ τὰ πράγματα περὶ ὧν ὁ λόγος, εὑρίσκειν οὕτως σπουδαστέον, ὡς μηδὲν ἐξ αὐτῶν διαλάθοι. σύμπαντα γὰρ ταῦτα παρασκευαστικὰ πρὸς τὴν θεραπευτικήν εἰσι μέθοδον, ἐν ᾗ τὰς διαθέσεις, οὐ τὰς προσηγορίας αὐτῶν ἰώμεθα. τούτων τοίνυν ἀεὶ μεμνημένους ἤδη τὰ λείποντα αὖθις τῶν πραγμάτων ἰτέον. Ὅταν ἀποδιέρξῃ τὰ σώματα τὸ πῦον, ἀποστήσῃ τε καὶ διαστήσῃ τῶν ὑποκειμένων τὰ περιέχοντα, κἄπειτα κενωθέντος αὐτοῦ καθ᾽ ὅντινοῦν τρόπον, ἀδυνατήσει τὰ διαστάντα τὴν ἀρχαίαν ἀπολαβεῖν κατάστασιν, ὀνομάζεται τὸ πάθος κόλπος. εἰ δὲ μὴ ταχέως τις αὐτὸν θεραπεύσῃ, τυλοῦται καὶ σκληρὸς γίνεται τῷ χρόνῳ, καὶ οὐχ οἷός τε ἐστὶ κολλῆσαι τοῖς ὑποκειμένοις αὐτῷ. προστέλλεται μέν τοι ξηρανθεὶς ὑπό τε φαρμάκων καὶ διαίτης, ὡς δοκεῖν ὑγιὲς ἀμέμπτως ὑπάρχειν τὸ μόριον. εἰ μὲν δὴ διὰ παντὸς ἀκριβῶς τις διαιτώμενος, ὑγιεινὸν ἀληθῶς ἔχει καὶ ἀπέριττον τὸ σῶμα, προσεσταλμένος ὁ κόλπος μένει, περιττώματος δέ τινος ὑποτραφέντος, αὖθις πληροῦται, καὶ γίνεται πάλιν ὅπερ ἐξ ἀρχῆς ἦν ἀπόστημα. καὶ αὖθις γε δεόντως ἰωμένων, ἐκκενοῦται, καὶ ξηραίνεται, καὶ προστέλλεται, καὶ ἀεὶ πολὺ ῥᾷονα ἅπαντ᾽ αὐτῷ γίνεται ταῦτα τῶν ἐξ ἀρχῆς ἀποστάντων. οὔτε γὰρ ὀδυνᾶται διασπώμενα τὰ μόρια, διέστηκε γὰρ ἤδη, καὶ πληροῦται τάχιστα, ῥᾳδίως ὑποδεχομένου τοῦ κόλπου τὸ ῥεῦμα. καὶ δὴ καὶ κενοῦται ταχέως, ὡδοποιημένων αὐτῷ τῶν ἐκροῶν, ὡς ὅταν γε κολληθῶσιν αὐτά, πάλιν ὀδυνῶνται ῥηγνυμένου τοῦ ἀποστήματος. οὐ μόνον δὲ ἐκ φλεγμονῆς ἡ γένεσις τοῖς ἀποστήμασιν, ἀλλὰ καὶ εὐθὺς ἐξ ἀρχῆς ἐνίοτε δι᾽ ἄλλον χυμόν τινα νοσώδη ἀθροισθέντα τῷ χρόνῳ, καὶ ἀφιστάντα τῶν ὑποκειμένων τὰ περιέχοντα. καὶ τοίνυν καὶ τμηθέντων, παντοίαν ἰδέαν ὑγρῶν τε καὶ στερεῶν σωμάτων, ἐντὸς ἔχοντα φαίνεται. καὶ γὰρ βορβόρῳ καὶ οὔρῳ καὶ θρόμβῳ καὶ χυλῷ μελιτώδει, καὶ μυξώδει, καὶ ὀστοῖς, καὶ λίθοις, καὶ πόροις, ὄνυξί τε καὶ θριξίν, ἐν ἀποστήμασιν εὑρίσκεται παραπλήσια σώματα, καὶ μὴν καὶ ζῷα πολλάκις εὕρηνται, σχεδὸν ἅπασι τοῖς ἐκ σηπεδόνος ἔχουσι τὴν γένεσιν ὁμοιότατα. ἔστι δὲ καὶ ἡ σύριγξ ὀνομαζομένη, στενὸς καὶ προμήκης κόλπος ὁμοίως τοῖς ἄλλοις κόλποις προστελλομένη τε καὶ αὖθις ἀφισταμένη διὰ τὴν ἐπιρροὴν περιττωμάτων, ὥσπερ ἐκεῖνοι. ἀθερώματα δὲ καὶ στεατώματα καὶ μελικηρίδας, ὅσα τε ἄλλα τοιαῦτα, τινὲς μὲν ἐν τοῖς ἀποστήμασι τίθενται, τινὲς δὲ εἰς ἕτερον γένος. εὔδηλος δὲ καὶ ἡ τούτων φύσις ἐκ τῶν ὀνομάτων. ἀθήρᾳ μὲν γάρ τι παραπλήσιον ἐν τοῖς ἀθερώμασιν εὑρίσκεται. μέλιτι δὲ ἐν ταῖς μελικηρίσι. στέατι δὲ ἐν τοῖς στεατώμασιν. ὡς τὸ πολὺ δὲ χιτών τις ὑμενώδης ἅπαντα τὰ τοιαῦτα περιέχει. ταῦτά τε οὖν ἅπαντα, παρὰ φύσιν ὄγκοι, καὶ πρὸς τούτοις, ἄνθρακες, καὶ γάγγραιναι, καὶ ἕρπητες, ἐρυσιπέλατά τε καὶ σκίρροι, καὶ οἰδήματα, καὶ καρκῖνοι, καὶ πνευματώσεις, ὑπὲρ ὧν, οὐδ᾽ αὐτῶν ἀγνοεῖν χρὴ τὸν ἰατρόν, ἀλλ᾽ ἀκριβῶς ἐπισκέπτεσθαι τήν τε γένεσιν ἑκάστου καὶ τὴν οὐσίαν. Αἱ μὲν δὴ γάγγραιναι καὶ οἱ ἄνθρακες, ἐπειδὰν οἷον ζέσαν τὸ αἷμα, ἐγγύς τε τῆς φλεγμονῆς διακαύσῃ τὸ δέρμα, ταῦτ᾽ ἄρα καὶ σὺν ἐσχάρᾳ γίγνονται, καὶ φλύκταιναι προηγοῦνται τοῦ ἕλκους, ὥσπερ ἐν τοῖς πυρικαύστοις ὀξύτατόν τε πυρετὸν ἐπιφέρουσι, καὶ κίνδυνον ὑπόγυον ἀμφὶ τῇ ζωῇ. μέλαινα δὲ τοὐπίπαν καὶ τεφρώδης ἡ ἐσχάρα φαίνεται τοῦ τῶν ἀνθράκων ἕλκους, οὐ μὴν οὐδ᾽ ἡ χροιὰ τῆς πέριξ φλεγμονῆς, ὁμοίως ταῖς ἄλλαις ἐρυθρά ἐστιν, ἀλλ᾽ ἐπὶ τὸ μελανώτερον ῥέπει, τρόπον ἕτερον τῶν ἐκχυμωθέντων, ἢ ὑπὸ κρύους καταψυχθέντων. οὐ σφοδρῶς γὰρ πελιδνός, ὥσπερ ἐπ᾽ ἐκείνοις ὁ ὄγκος, ἀλλ᾽ ἔχει τι καὶ στίλβον, οἷον ἡ ἄσφαλτός τε καὶ ἡ πίττα. τοιαύτη δέ ἐστι καὶ ἀκριβὴς μέλαινα χολή. καὶ τοίνυν καὶ ἡ κακοήθεια τῶν ἐν τοῖς ἄνθραξιν ἑλκῶν, ἐντεῦθεν ἐστίν. ἔοικε γὰρ ἤτοι γε ἐξ ἀρχῆς εὐθὺς, ἢ ὑπεροπτώμενον ἐν τῇ ζέσει τὸ αἷμα, μελαγχολικὸν γίνεσθαι. Χωρὶς δὲ τοῦ ζεῖν, ἡ μέλαινα χολὴ τοὺς καρκίνους ἐργάζεται, καὶ ἢν δριμυτέρα τύχῃ, μεθ᾽ ἕλκους. ταῦτ᾽ ἄρα καὶ μελάντεροι τῇ χροιᾷ τῶν φλεγμαινόντων εἰσί, καὶ ἥκιστα θερμοί. πληροῦνται δὲ αἱ φλέβες ἐπ᾽ αὐτῶν καὶ τείνονται μᾶλλον, ἢ ἐν ταῖς φλεγμοναῖς. ἧττον γὰρ ἐκπίπτει τῶν ἀγγείων εἰς τὴν πέριξ σάρκα διὰ πάχος ὁ γεννῶν τοὺς καρκίνους χυμός. οὐ μὴν οὐδὲ ἐρυθραὶ καθάπερ ἐν ταῖς φλεγμοναῖς αἱ φλέβες εἰσίν, ἀλλὰ καὶ αὗται κατὰ τὸν λυποῦντα χυμόν. Ἐπεὶ δὲ ταῖς μεγάλαις φλεγμοναῖς ἡ καλουμένη γάγγραινα, νεκρώσις τε οὖσα τοῦ πάσχοντος μορίου, καὶ μὴ διὰ ταχέων τις αὐτὴν ἰάσηται, νεκροῦται ῥᾳδίως τὸ παθὸν οὕτω μόριον, ἐπιλαμβάνει τε τὰ συνεχῆ καὶ ἀποκτείνει τὸν ἄνθρωπον. ἐπειδὰν γὰρ ἰσχυρῶς φραχθῇ κατὰ τὰς μεγίστας φλέβας, τά τε στόματα τῶν ἀγγείων, οἵ τε πόροι πάντες οἱ κατὰ τὸ δέρμα, τῆς κατὰ φύσιν ἀποστερούμενοι διαπνοῆς, τὰ οὕτω κάμνοντα σώματα νεκροῦται ῥᾳδίως. καὶ πρῶτον μὲν αὐτῶν ἀποσβέννυται τὸ τῆς χροιᾶς διανθές, ὃ σὺν ταῖς φλεγμοναῖς. ἔπειθ᾽ ἡ ὀδύνη καὶ ὁ σφυγμὸς οἴχονται, οὐ πεπαυμένης δήπου τῆς διαθέσεως, ἀλλὰ τῆς αἰσθήσεως νενεκρωμένης. ἀχώριστος δὲ φλεγμονῆς μεγάλης ὁ σφυγμός. οὕτω δὲ ἐοίκασιν ὀνομάζειν οἱ παλαιοὶ τὴν αἰσθητικὴν κίνησιν αὐτῷ τῷ κάμνοντι τῶν ἀρτηριῶν, εἴτε χωρὶς ὀδύνης, εἴτε καὶ σὺν ταύτῃ γίγνοιτο. διὸ καὶ προστιθέασι τινὲς ἐν τοῖς συμπτώμασι τῆς φλεγμονῆς τῷ σφυγμῷ τὸ σὺν ὀδύνῃ. ταυτὶ μὲν οὖν ἐν ὀνόματι τὴν ἀμφισβήτησιν ἔχει. κάλλιον δὲ ἐπίστασθαι τὴν γένεσιν αὐτῶν καταφρονοῦντα τῆς προσηγορίας, ἐν μὲν δὴ τῷ κατὰ φύσιν ἀναίσθητός ἐστιν ἡμῖν ἡ κίνησις τῶν ἀρτηριῶν, ἐν δὲ ταῖς φλεγμοναῖς αἰσθητὴ σὺν ὀδύνῃ. πλήττει γὰρ ἡ ἀρτηρία, διαστελλομένη τὰ πέριξ σώματα, καὶ πρὸς τὰς πληγὰς ὀδυνώμεθα διὰ τὴν φλεγμονήν. ὅταν δὲ καὶ αὐτὸς ὁ χιτὼν ἤδη φλεγμαίνῃ πλήττουσά τε ἅμα καὶ πληττομένη διπλασιάζει τὴν ὀδύνην. Περὶ μὲν δὴ τούτων αὐτάρκως εἴρηται. λεκτέον δὲ ἐφεξῆς τὰ χολώδη ῥεύματα. νενίκηκε γὰρ οὐκ οἶδ᾽ ὅπως τὸ τῶν ἰατρῶν ἔθος ἄν τε χολὴν ὀνομάσωμεν ἁπλῶς, ἄν τε χολώδη χυμόν, ἀκούειν ἡμᾶς

τὴν ὠχρὰν καὶ πικρὰν, οὐ τὴν ὀξεῖαν καὶ μέλαιναν. ἐκείνην γὰρ ἀεὶ μετὰ προσθήκης ὀνομάζουσι, συνάπτοντες τῇ προσηγορίᾳ τοῦ χυμοῦ τὴν χρόαν. ὅταν οὖν κατασκήψῃ χολῶδες ῥεῦμα, τὸ μὲν ἀκριβὲς ἑλκοῖ τὸ δέρμα, τὸ δὲ ὑδατώδεσιν ἰχῶρσιν, ἢ αἵματι συμμιγὲς, ἧττον μέν ἐστι δριμὺ, καὶ μᾶλλον εἰς ὄγκον αἴρει τὸ μόριον, ἢ ἑλκοῖ. τοῦτο μὲν οὖν ἐρυσίπελας ὀνομάζεται. θάτερον δὲ ἕρπης. ἐνδείκνυται δὲ τὸν ἐργασάμενον χυμὸν, ἥτε χρόα, καὶ ἡ θερμότης τῶν παθῶν. ἐπεὶ δὲ καὶ αὖ τοῦ δριμέος, ὁ μὲν ἧττον, ὁ δὲ, μᾶλλον ὑπάρχει τοιοῦτος, ἴσμεν ἤδη μὲν τοῦ δριμυτέρου τὸν ἐσθιόμενον ἕρπητα συνίστασθαι. οὕτω γὰρ αὐτὸν ὠνόμασεν Ἱπποκράτης. ὑπὸ δὲ θατέρου τὸν ἕτερον, ὃν καὶ κεγχρίαν ἔνιοι τῶν μεθ' Ἱπποκράτην τοὔνομα ἔθεντο, διότι κέγχροις ὁμοίας ἐξοχὰς ἀποτελεῖ κατὰ τὸ δέρμα. φλέγματι μὲν οὖν μοι δοκεῖ μεμίχθαι τὸ τοιοῦτον ῥεῦμα. τὸ δὲ ἕτερον ἀκριβοῦς εἶναι χολῆς, διὰ τοῦτο καὶ μετὰ ἀναβρώσεως γίγνεται, τὸ συνεχὲς ἀεὶ τοῦ δέρματος, ἐπιλαμβάνοντος τοῦ πάθους, ὅθεν αὐτῷ καὶ τοὔνομα. μιχθέντος δὲ αἵματος ἴσου τῇ χολῇ, τὸ πάθος ἀμφοῖν ἐν μέσῳ τὴν ἰδέαν ἐστὶ, καὶ τὴν φύσιν ἐρυσιπέλατός τε καὶ φλεγμονῆς. εἰ δὲ πολὺ ἐπικρατοίη τὸ ἕτερον, ἀπὸ τοῦ κρατοῦντος, ἡ προσηγορία τῷ πάθει. κατηγορεῖται δὲ αὐτῷ τὸ μιχθέν. ἐρυσίπελας μὲν οὖν φλεγμονῶδες ἤδη τῇ ξανθῇ κρατούσῃ, φλεγμονὴ δὲ ἐρυσιπελατώδης ἐπὶ τῷ κρατοῦντι αἵματι λέγεται. παραπλήσιος δὲ καὶ ἡ τῶν ἄλλων μίξεων ἑρμηνεία, φλεγμονὴ σκιρρώδης, καὶ σκίρρος φλεγμονώδης, οἴδημά τε φλεγμονῶδες, καὶ οἰδηματώδης φλεγμονή. τέτταρα γὰρ ταῦτ' ἐστὶ συνεχῶς γινόμενα πάθη διὰ περιουσίαν ὑγρῶν, ἐρυσίπελας, καὶ οἴδημα, καὶ φλεγμονὴ, καὶ σκίρρος. ἐρυσίπελας μὲν οὖν ὡς εἴρηται χολώδους ῥεύματος κρατήσαντος. φλεγμονὴ δὲ, αἱματώδους. οἴδημα δὲ λεπτοῦ τὴν σύστασιν φλέγματος, ὥσπερ γε πάχους καὶ γλίσχρου τὸ ἕτερον εἶδος τῶν σκίρρων. τὸν γὰρ ἕτερον, ἡ ἰλὺς τοῦ αἵματος ἀπεργάζεται. ἔστι δὲ δήπου καὶ αὕτη διττὴ, τὸ μὲν ἕτερον εἶδος, ὅπερ Ἱπποκράτης ὀνομάζει μέλαιναν. τὸ δ' ἕτερον ἔστι μὲν καὶ τοῦτο μέλαν, ἰδίαν δὲ ἔχει τὴν προσηγορίαν, ὀνομάζεται γὰρ μέλαινα χολή. ταύτης μὲν οἱ καρκίνοι. θατέρου δὲ τοῦ μέλανος. ἔνιοι τῶν σκίρρων εἶδος ἔγγονον ὑπάρχει. διορίζεται δὲ ἀπὸ θατέρου τοῦ φλεγματικοῦ τῇ χρόᾳ. κοινὰ δ' ἀμφοῖν ὁ μείζων τοῦ κατὰ φύσιν ὄγκος ἀνώδυνός τε καὶ σκληρός. ἥτε γένεσις ἀμφοτέρων, ἐνίοτε μὲν ἐξ ἀρχῆς, ἔστιν ὅτε δὲ ἐκ μεταπτώσεως ἤτοι φλεγμονῆς, ἢ ἐρυσιπελάτων, ἢ οἰδήματος, ἐμψυχθέντων ἀμετρότερον. ἐγγὺς δ' ἐστὶ σκίρρου τάτε ἐκχυμώματα καλούμενα καὶ τὰ μελάσματα πρεσβύταις μάλιστα συμβαίνοντα θλασθεισῶν τῶν φλεβῶν. ἔστι δὲ καὶ τούτων, ἔνια μὲν ὡς εἴρηται μέλανα, καὶ μάλιστα γέρουσι γίγνεται ταῦτα διὰ σμικρὰς προφάσεις. ἔνιοι δὲ καὶ ἐρυθροὶ καὶ μέλανες, ἐν τῷ μεταξὺ τὰ καλούμενα πελιδνά, γίγνεται δ' ἅπαντα τὰ τοιαῦτα ἐκ τῶν φλεβῶν αἵματος ἐκχεομένου, ποτὲ μὲν διὰ τῶν χιτώνων θλασθέντων, ἔστι δ' ὅτε ἀναστομωθέντων, κατὰ τὸ πέρας. ἀρτηρίας δ' ἀναστομωθείσης, τὸ πάθος ἀνεύρυσμα καλεῖται, γίγνεται δὲ τρωθείσης αὐτῆς, ἐπειδὰν εἰς οὐλὴν μὲν ἀφίκηται τὸ προσκείμενον αὐτῆς δέρμα, μένῃ δὲ τῆς ἀρτηρίας ἕλκος μήτε συμφυθείσης, μήτε συνουλωθείσης, μήτε σαρκὶ φραχθείσης. διαγινώσκεται δὲ τὰ τοιαῦτα παθήματα τῶν σφυγμῶν τῶν ἐργαζομένων ἀρτηριῶν, ἀλλὰ καὶ θλιβομένων ἀφανίζεται πᾶς ὁ ὄγκος, παλινδρομούσης εἰς τὰς ἀρτηρίας τῆς ἐργαζομένης αὐτὸν οὐσίας. ἣν ἐδείξαμεν ἐν ἄλλοις, αἷμα λεπτὸν καὶ ξανθὸν εἶναι αἷμά τι πνεύματι λεπτῷ καὶ πολλῷ συμμιγές. εὐθὺς δὲ καὶ θερμότερόν ἐστι τὸ αἷμα τοῦτο τοῦ κατὰ τὰς φλέβας, καὶ τρωθέντος τοῦ ἀνευρύσματος, ἐξακοντίζεται δυσεπισχέτως. ὑποχωρεῖ μὲν οὖν κἂν τοῖς οἰδήμασιν ἡ ὕλη θλιψάντων τῶν δακτύλων, καὶ βοθροῦται τὸ μόριον, ἀλλ' οὔτε σφυγμός ἐστιν ἐν τούτῳ τῷ πάθει, καὶ ἡ χροιὰ λευκοτέρα, καὶ τὸ οἴδημα πολλῷ πλατύτερόν τε καὶ μεῖζον ἀνευρύσματος, πλὴν εἴ ποτε θρόμβος τις ἐγγινόμενος, ἐξ ἀνευρύσματος σφάκελον ἐργάζοιτο. καλῶ δ' οὕτω τὴν φθορὰν τῶν στερεῶν σωμάτων, ἁπασῶν, ὡς καὶ τοῖς ὀστοῖς ἐγγίγνεσθαι, μή τοι γε δὴ σαρξὶν, ἢ ἀγγείοις. ἡ δὲ γάγγραινα νέκρωσις καὶ αὐτὴ τῶν στερεῶν σωμάτων, ἀλλ' οὐκ ὀστοῖς ἤδη γίγνεται, καὶ ταῖς μεγίσταις ἕπεται φλεγμοναῖς, εἶδος μέν τι τῶν σφακέλων ὑπάρχουσα, προσηγορίαν δὲ ἰδίαν ἐξαίρετον ἐπὶ τῇ κοινῇ κεκτημένη.

Ταῦτ' οὖν αὐτάρκως διώρισται, καὶ λέγειν ἤδη καιρὸς περὶ τῶν μελαγχολικῶν ῥευμάτων. ὅταν δὲ εἰς σάρκα μέλαινα κατασκήψῃ χολὴ, δακνώδης μὲν οὖσα διαβιβρώσκει τὸ περικείμενον δέρμα, καὶ ἕλκος ἐργάζεται. μετριωτέρα δὲ ὑπάρχουσα, τὸν χωρὶς ἑλκώσεως ἀποτελεῖ καρκίνον, εἴρηται δὲ ἔμπροσθεν ὅτι καὶ τὰς φλέβας ἐξαίρει μειζόνως τῶν φλεγμονῶν, ὁποῖόν τε τὸ εἶδος αὐτῶν τῆς χρόας ἐστίν. οὐ μόνον δὲ τὸ καρκινῶδες ἕλκος, ἀλλὰ καὶ ἄλλα πολλὰ σὺν ὄγκοις τῶν περιεχόντων αὐτὰ συνίσταται σωμάτων, ἔγγονα σύμπαντα κακοχυμίας, ἤτοι πικροχολίας τινὸς, ἢ μελαγχολικῆς, ἢ καὶ πως ἄλλως ἰώδους τε καὶ μοχθηρᾶς εἰς διαφθορᾶς μείζονος ὑποστραφείσης. ὅσα δὲ ἐν αὐτοῖς ἐπινέμεται, καὶ τῶν πέριξ ἅπτεται, διαβιβρώσκοντα τὸ περιέχον ὑγιὲς σῶμα, ταῦτα σύμπαντα φαγεδαινικὰ προσαγορεύεται. τὰ δ' ἐν ἀμφοῖν σύνθετα τοῦ τε ἕλκους αὐτοῦ καὶ τοῦ πέριξ ὄγκου, φαγέδαιναν ὀνομάζουσιν. ἐπινέμεται μὲν οὖν καὶ ὁ ἕρπης ἀναβιβρώσκων τὰ πέριξ, ἀλλ' ἔστι μόνου τοῦ δέρματος ἕλκωσις. ἡ φαγέδαινα δὲ σὺν τῷ δέρματι καὶ τῶν ὑποκειμένων ἅπτεται. χειρώνεια δὲ καὶ τηλέφεια καλεῖν ἕλκη, περιττόν. ἀρκεῖ γὰρ ἅπαντα κοινῇ κακοήθη προσαγορεύειν. ἔστι δὲ καὶ ἡ ψώρα καὶ ἡ λέπρα μελαγχολικὰ πάθη μόνου τοῦ δέρματος, ὡς εἴγε κἂν ταῖς φλεψὶ καὶ τῇ σαρκὶ γίγνοιτο, καρκῖνος ὀνομάζεται. μελαγχολικὸν δὲ πάθος καὶ ὁ ἐλέφας ἐστὶ, τὴν μὲν πρώτην γένεσιν ἐξ αἵματος ἰχῶρος μελαγχολικοῦ, τῷ χρόνῳ δὲ πλείων ἡ μέλαινα γίνεται τοῦ αἵματος, ἡνίκα δυσώδεις εἰσὶ καὶ ἀπεχθεῖς ἰδεῖν. ἐνίοις δὲ αὐτῶν καὶ ἕλκη συμπίπτει. τοῦτο τὸ πάθος ἀρχόμενον ὀνομάζουσι σατυριασμὸν, ἐπειδὴ τοῖς σατύροις ὅμοιοι γίγνονται τὸ πρόσωπον. ἔνιοι δὲ τὰς κατὰ τοὺς κροτάφους ἐξοχὰς ὀστώδεις, οὕτω καλοῦσι. γίγνονται δὲ καὶ κατ' ἄλλα μόρια τοιαῦται τῶν ὀστῶν ἐξοχαὶ, καὶ καλοῦσιν αὐτὰς ἐξοστώσεις ἔνιοι, καθάπερ καὶ τὰς παρὰ φύσιν ἐντάσεις τῶν αἰδοίων μὴ καθισταμένας, τινὲς ὀνομάζουσι σατυριασμόν. τινὲς δὲ πριαπισμόν. ἔστι δὲ καὶ ὁ ἀχὼρ ἕλκος μικρὸν ἐν τῷ δέρματι τῆς κεφαλῆς. εἰκάσαις δὲ αὐτὸ φλέγματος ἁλμυροῦ καὶ νιτρώδους ἔκγονον ὑπάρχειν, ἐκρεῖ γοῦν αὐτοῦ, τις ἰχὼρ, οὔθ' ὑδατώδης ἁπλῶς, οὔτ' ἤδη παχὺς ὥσπερ τὸ μέλι, καθάπερ ἐν τοῖς κηρίοις ὀνομαζομένοις. καὶ γὰρ καὶ ταῦτα σὺν ὄγκῳ τινὶ καὶ κατατρήσεσι πλείοσι γίγνεται

γίνεται μελιτώδους ἐκρέοντος ὑγροῦ. μικρὸς δὲ καὶ τούτων ὁ ὄγκος, ἀλλ' οὐκ εἰς τοσοῦτον εἰς ὅσον ἀχῶρος. ἔτι δὲ καὶ τούτων ὄγκοι μικρότεροι παρὰ φύσιν ἐπὶ τοῦ δέρματος γίνονται, μυρμηκίαι τε καὶ ἀκροχορδόνες τε καὶ ψύδρακες, ἐπινυκτίδες τε, ἅπασι γνώριμα πάθη. γνώριμος δ' οὐχ ἥκιστα καὶ ὁ δοθιὴν ὤν, ἐπιεικὴς μὲν ὑπάρχων, ὅτι ἐν αὐτῷ μόνῳ συνίσταται τῷ δέρματι, κακοήθης δέ, ὅταν ἐκ πλείονος ἀνίσχηται βάθους. ἔοικε γὰρ οὕτως φύματι, καὶ τῇ σκληρότητι μόνον διήνεγκε φύματος ὁ τοιοῦτος δοθιήν. ἔστι δ' ἄμφω τὰ πάθη φλεγμονώδη. καὶ τρίτον ἐπ' αὐτοῖς ὁ βουβών, καὶ τέταρτον, ὅπερ ὀνομάζουσιν ἔνιοι φύγεθλον θερμότητι ἅμα καὶ τάχει γενέσεως ἀφορίζοντες τῶν ἄλλων φυμάτων. εἰσὶ δὲ καὶ οἱ περὶ βουβῶνας καὶ μασχάλας μόνας γίνεσθαι φύγεθλα λεγόντων, φλεγμονὰς ὑπάρχοντα τῶν ἀδένων. τῶν τῇδε σκιρρωθέντων, τὸ δὲ πάθος ὀνομάζεται χοιράς, ὥσπερ γε καὶ τῶν ὄρχεων σκιρρωθέντων, ὄνομα τῷ νοσήματι σαρκοκήλην ἔθεντο, καθάπερ ὅταν ὑγρὸν ὑδατῶδες ἐν τοῖς περὶ τὸν ὄρχιν ἀθροίζεται χιτῶσιν, ὑδροκήλην καλοῦσιν ἐπιπλοκήλην τε καὶ ἐντεροκήλην καὶ πρὸς τούτων ἔτι τὸ συνθετὸν ἐξ ἀμφοῖν, μᾶλλον τοῦ δέοντος πεπλεγμένον ἐντεροεπιπλοκήλην, νεωτέρων ἰατρῶν ὄνομα, τῶν καὶ σύμπαντας τοὺς περὶ τῶν ὄρχεων ὄγκους ὀνομαζόντων, κήλας διὰ τοῦ η στοιχείου τῆς πρώτης λεγομένης συλλαβῆς. οὐ διὰ τοῦ α. καθάπερ ὑπὸ τῶν ἀθηναίων. ὥσπερ δὲ τῶν εἰρημένων ὀνομάτων ἕκαστον ἐνδείκνυται τοῦ μορίου τὸ νόσημα καθ' ὃ λέγεται, οὕτω καὶ ἡ κιρσοκήλη νεώτερον ὄνομα, δηλοῖ τὸ πάθος ἐφ' οὗ λέλεκται. κιρσοὺς δὲ καὶ τὰς ἄλλας ἁπάσας φλέβας εὐρυνομένας ὀνομάζουσιν οἱ παλαιοί. κιρσοὺς δὲ καὶ ταύτας οἱ νεώτεροι καλοῦσιν ἰατροί, τοῦ ι στοιχείου μετὰ τοῦ κ στοιχείου τιθέντων, οὐ καθάπερ οἱ ἀθηναῖοι. γίνονται δὲ καὶ περὶ τὰ σκέλη κιρσοὶ διὰ ἀρρωστίαν τῶν τῇδε φλεβῶν, καὶ μᾶλλον ὅταν αἷμα παχὺ πλεονάζῃ περὶ τὸ σῶμα. περιτοναίου δὲ τρωθέντος, ἢ ῥαγέντος, εἶτα μὴ συμφύντος, ὄγκος μαλακὸς γίνεται περὶ τὸ χωρίον. εἰ δὲ καὶ κατὰ τὸν βουβῶνα γένοιτο, καλοῦσι βουβωνοκήλην. εἰ δὲ περὶ τὸν ὀμφαλὸν συμβαίη τοῦτο, καλοῦσιν ἐξομφάλους ἔνιοι τῶν ἰατρῶν τοὺς ὧδε πάσχοντας. ἔστι δ' οὐ τοῦ περιτοναίου μόνου οὐδὲν τῶν παθῶν τούτων, ἀλλὰ χρὴ πάντως, καὶ τὴν τοῦ μυὸς ἀπονεύρωσιν παθεῖν. ἣν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν ὁποία τίς ἐστιν ἐδήλωσα. ταυτὶ μὲν οὖν τὰ πάθη τῶν ἐγκαρσίων μυῶν ἐστίν. αἱ δ' ἐν τῷ βουβῶνι κῆλαι τῶν λοξῶν, ἤτοι ῥηγνυμένης, ἢ ἀνευρυσμένης αὐτῶν τῆς περὶ τοῦτο τὸ χωρίον ἀπονευρώσεως ἅμα τῷ περιτοναίῳ χιτῶνι. γίγνονται δὲ καὶ ἄλλοι τῶν ταύτῃ χωρίων ὄγκοι, διά τι τῶν ὑποκειμένων σπλάγχνων ἐξαιρόμενον. εἴρηται δὲ καὶ τὰ πάθη τὰ τοὺς ὄγκους αὐτῶν ἐργαζόμενα. φλεγμοναὶ γάρ εἰσι, καὶ σκίρροι, καὶ ἀποστήματα, καὶ ὅσα τοιαῦτα. περὶ δὲ τοὺς ὑδερικοὺς ἀθροίζεται ταύτῃ πλῆθος. ὑδατῶδες μὲν ἐν τοῖς ἀσκίταις, πνευματῶδες δὲ ἐν τοῖς τυμπανίταις. φλεγματῶδες δέ, ἐν τοῖς ἀνὰ σάρκα καὶ λευκοφλεγματίαις ὀνομαζομέναις. ἤδη δὲ καὶ ἄλλοι τινὲς ὄγκοι τετυχήκασιν ἰδίων ὀνομάτων, οὐδὲν ἐξαίρετον ἔχοντες. οἷον ἐπινυκτίδες τε καὶ πτερύγια. καὶ θύμοι καὶ τἆλλα, ὅσα τοιαῦτα σαρκώδη βλαστήματα. καθάπερ γε πάλιν αἱ σταφυλαὶ καὶ τὰ παρίσθμια, καὶ αἱ ἀντιάδες, οὐκ ἄλλο τι ἢ φλεγμοναί εἰσιν, αἱ μὲν σταφυλαὶ τοῦ γαργαρεῶνος. αἱ δὲ ἀντιάδες τῶν ἐν ἀρχῇ τῆς φάρυγγος ἀντικειμένων ἀλλήλοις ἀδένων. ὥσπερ τὰ παρίσθμια τῶν κατ' αὐτὴν τὴν φάρυγγα σωμάτων. Ἱπποκράτης δ' ἔοικεν οὐχ ἅπασαν φλεγμονὴν τοῦ κίονος ὀνομάζειν σταφυλήν, ἀλλ' ἓν μόνον εἶδος, ἐν ᾧ τὸ πέρας τοῦ γαργαρεῶνος ὁμοιοῦται σταφυλῆς ῥαγί. ἀλλὰ καὶ οἱ πολύποδες, ἤτοι φλεγμονῆς, ἢ φύματος, ἢ τινὸς βλαστήματος, ἢ ὅπως ἂν ἐθελήσῃ τις ὀνομάζειν ἐν μυκτῆρσι συνισταμένου ἀποτελοῦνται. φλεγμονώδεις δ' εἰσί, καὶ ὑγροὶ διὰ τὸ χωρίον. ἐγκανθὶς δὲ καὶ αὕτη παρὰ φύσιν μεῖζον ὄγκος ἐν τοῖς μεγάλοις γίνεται κανθοῖς, ἔστι δ' οὐ τῷ παντὶ γένει παρὰ φύσιν. τὰ δὲ πτερύγια βλαστήματά ἐστι τοῦ ἐπιπεφυκότος ἔξωθεν ὑμένος τοῖς ὀφθαλμοῖς, ὃς ἀπὸ τοῦ περιοστίου καταφερόμενος, ἐπὶ τὴν στεφάνην ἀφικνεῖται. τὰ δὲ σταφυλώματα καλούμενα, τὰ μέν, τῇ θέσει μόνῃ, τὰ δὲ τῇ διαθέσει παρὰ φύσιν ἐστίν. εἴρηται δὲ περὶ τῶν τοιούτων ἁπάντων ὅσα περὶ τοὺς ὀφθαλμοὺς συνίσταται πάθη δι' ἑτέρου. καιρὸς οὖν ἤδη παύειν ἐν τῷδε τὸν λόγον οὐδὲ μιᾶς ἔτι τῶν παρὰ φύσιν ὄγκων ἰδέας ἀρρήτου καταλελειμμένης.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΜΕΛΑΙΝΗΣ ΧΟΛΗΣ.

ΠΕΡΙ μελαίνης χολῆς, ἔνιοι μὲν ἐπὶ πλέον, ἢ ὡς τοῖς ἔργοις τῆς ἰατρικῆς τέχνης ἐστὶ χρήσιμον, ἐξέτειναν τὸν λόγον. ἔνιοι δὲ καὶ τοῦ δικαίου μέτρου καθεῖλον αὐτόν, καθάπερ ἔνιοι παντάπασιν οὐδὲν εἶπον, οἷς ἄν τι μᾶλλον μέμψοιτο, τῶν περιττευόντων ἄχρηστον αὐτόν. ῥᾷον γὰρ ἀφελεῖν τὸ περιττόν, τοῦ, τὸ μηδόλως εἰρημένον αὐτοῦ, ἅπαν ἐξευρεῖν. Ἱπποκράτης μὲν οὖν μοι δοκεῖ, τὸ χρήσιμον εἰς τὰ τῆς τέχνης ἔργα, πρῶτος εἰπεῖν. ὥσπερ αὖ πάλιν Ἐρασίστρατος ὅλον παραλιπεῖν. οἱ γοῦν περὶ Πλειστόνικόν τε καὶ Πραξαγόραν καὶ Φιλότιμον, ἐπὶ πλεῖστον ἐργασάμενοι τὸν περὶ τῶν χυμῶν λόγον, ἔνια μὲν μοι δοκοῦσι χρησίμως διορίσασθαι τῶν ἀδιορίστως Ἱπποκράτει γεγραμμένων. ἔνια δὲ καὶ ψευδῶς ἀποφήνασθαι. τῶν δὲ νεωτέρων ἄριστα γέγραπται περὶ μελαγχολίας, τῷ Ἐφεσίῳ Ῥούφῳ. καί τις εὐλόγως ἂν φαίη μηδὲν ἐνδεῖν, τοῖς περὶ φύσιν ἀκούουσιν οὐκ ἐριστικῶς ἀντιλέγειν προαιρουμένοις. ὅπερ ἐπὶ πλεῖστον οὐκ ὀλίγοι τῶν νεωτέρων ἰατρῶν ἐζήλωσαν. καὶ μάλιστα οἱ καλοῦντες ἑαυτοὺς Ἐρασιστρατείους, καὶ Ἀσκληπιαδείους, καὶ μεθοδικούς. ὧν ἔνιοι καὶ σοφίσματα συνέθεσαν, ἐπιδεικνῦσαι πειρώμενοι τὸν περὶ τῶν χυμῶν λόγον ἄχρηστον εἶναι πρὸς τὰ τῆς ἰατρικῆς τέχνης ἔργα. πρῶτον μὲν οὖν ἡμεῖς ὡς εἰθίσμεθα τὸ χρήσιμον εἰπόντες. εἶτ' ἔπειτα εἰς τὰ κατ' ἀκολουθίαν τοῦ δὲ ζητούμενα μεταβάντες, οὐκ ἀποκνήσομεν ὕστερον, οὐ δὲ τὸ διαλύσασθαι τοὺς ἠρωτημένους λόγους τοῖς ἄχρηστον ἡγουμένοις

εἶναι τὴν περὶ τοὺς χυμοὺς τέχνην. ὅπως δὲ μή τις ἀσάφεια περὶ τὸν λόγον γίγνοιτο, καθ' ἑκάστου χυμοῦ φύσιν τὸ ὄνομα θέμενοι, οὕτω πειρασώμεθα διὰ παντὸς ἑρμηνεύειν αὐτόν. οὐκ ἐνδέχεται δὲ πρᾶξαι καλῶς τοῦτο χωρὶς τοῦ διελθεῖν αὐτῶν τὰς ἰδέας. τοῦτ' οὖν ἤδη πράξωμεν ἀπὸ τοῦ γνωριμωτάτου πᾶσιν ἀνθρώποις ἀρξάμενοι χυμοῦ. φαίνεται δ' οὗτος ἐάν τε ἀρτηρία τις, ἐάν τε φλὲψ τρωθῇ, παραχρῆμα τῶν περιεχόντων αὐτὸν ἀγγείων, ἐκχεόμενος. ἐρυθρότερος μὲν ἐκ τῶν φλεβῶν. ξανθότερος δὲ τοὐπίπαν ἐκ τῶν ἀρτηριῶν. ἀλλὰ πήγνυταί γε ἑκάτερος, εὐθέως οὐ μόνον ἐκπίπτων τοῦ σώματος, ἀλλὰ καὶ κατ' αὐτὸ περιεχόμενος ἔτι καθ' ὃν τινὰ οὖν τόπον. καὶ τήν γε πῆξιν αὐτοῦ τελευτῶσαν εἰς θρόμβον ὁρῶμεν. οὕτω γὰρ ἔθος ὀνομάζειν τοῖς Ἕλλησι τὸ πεπηγὸς αἷμα. φαίνεται δὲ πηγνύμενον, οὐ μόνον ἐν τοῖς κατὰ τὴν κοιλίαν τε καὶ τὰ ἔντερα χωρίοις. ἀλλὰ καὶ κατὰ τὴν κύστιν, ἐν ᾗ τὸ οὖρον ἀθροίζεται, καὶ κατὰ πνεύμονά τε καὶ τὴν τραχεῖαν ἀρτηρίαν. ὥσπερ γε κἀν τῷ μεταξὺ θώρακός τε καὶ πνεύμονος, ἔν τε ταῖς μήτραις τῶν γυναικῶν. ἐπικρατεῖ μὲν οὖν ὡς τὸ πολὺ κατὰ τὸν χυμὸν τοῦτον ἡ ἐρυθρὰ χρόα καὶ τό γε κάλλιστον αἷμα, τοιοῦτον ἀκριβῶς ἐστί. φαίνεται δ' ἐνίοτε καὶ ξανθότερον τοῦ δέοντος, καὶ μελάντερον. ὥσπερ γε τῇ συστάσει, παχύτερον καὶ λεπτότερον. εὑρίσκεται δ' ἐνίοτε καὶ τὸ τῶν φλεβοτομουμένων αἷμα λεπτὴν ὑγρότητα περιέχον, ἥτις ἐν τῷ πήγνυσθαι διακρινομένη, τὴν ἐπὶ πολλῆς αὐτοῦ καταλαμβάνει χώραν. εὔλογον γὰρ δήπου κἀκ τοῦ ποτοῦ συναναφέρεσθαί τι τῷ γεννηθέντι κατὰ τὸ ἧπαρ αἵματι τὴν ἔκκρισιν λαμβάνον ὕστερον οὐ μόνον διὰ τῶν οὔρων. ἀλλὰ καὶ διὰ τῶν ἱδρώτων. καὶ κατὰ τὴν καλουμένην ἄδηλον αἰσθήσει διαπνοήν, φαίνεται δ' ἐνίοτε καὶ φλεγματώδης χυμὸς ἐποχούμενος τῷ αἵματι, καθάπερ γε καὶ σύμπαν ἱκανῶς παχύτερον καὶ μελάντερον, ὡς ἐοικέναι πολλάκις ὑγρᾷ πίττῃ. καλεῖται μὲν οὖν τὸ ἐκ τῶν φλεβῶν, καὶ τῶν ἀρτηριῶν ἐκχεόμενον ὁποῖον ἂν ᾖ, μιᾷ προσηγορίᾳ τῇ τοῦ αἵματος, οὐδεμιᾶς τῶν εἰρημένων αὐτοῦ διαφορῶν ἴδιον ἐχούσης ὄνομα. καὶ πήγνυται πᾶν αὐτίκα κἂν εἰς σαρκῶδες μόριον ἄχρι βάθους διαιρεθὲν ἐκχυθῇ. παραπλήσιος δὲ τῷ αἵματι παχεῖ καὶ μέλανι χυμὸς ἕτερος ὁρᾶται πολλάκις ἐκκρινόμενος ἐμούντων τε καὶ διαχωρούντων, οὐ μὴν πηγνύμενός γε κἂν ἐπὶ πλεῖον ὁμιλεῖ τῷ περιέξ ἀέρι. καὶ τούτου γ' αὐτοῦ, ποτὲ μὲν αἴσθησις γίνεται, τοῖς ἐμοῦσιν, ὀξέος τε ἅμα καὶ στρυφνοῦ. ποτὲ δὲ οὐδεμίαν ἔχοντος ἐμφανῆ ποιότητα, μήθ' οὖν γλυκύτητα, καθάπερ τὸ αἷμα μήθ' ἁλυκότητα, καθάπερ ἐνίοτε τὸ αἷμα καὶ τὸ φλέγμα, μήτε πικρότητα, καθάπερ ἡ ξανθὴ χολή. πρόδηλον οὖν ἐστι, νοσῶδες μὲν εἶναι τὸ ἁλυκὸν αἷμα καὶ τὸ φλέγμα. τοὐπίπαν δὲ μὲν αἷμα γλυκὺ φαίνεται. τὸ δὲ φλέγμα ἄποιον καθάπερ ὕδωρ. ἀλλ' ἐκτρεπόμενόν γε τῆς κατὰ φύσιν ποιότητος, οὐχ ἁλυκὸν μόνον, ἀλλὰ καὶ ὀξὺ γίνεται. μεταλαμβάνει δὲ ποτὲ καὶ γλυκείας ποιότητος. ἀλλὰ καὶ τοῦτον τὸν χυμὸν ὁποῖος ἂν ᾖ, φλέγμα καλοῦσιν. εἰ μόνον εἴη λευκόν, κοινὸν ἁπάντων χυμῶν γνώρισμα, τὸ μὴ πήγνυσθαι. πρόδηλον δ' ὅτι διαφέρει μηδὲν ἁλμυρὸν ἢ ἁλυκὸν ὀνομάζειν ὁντινοῦν χυμόν. ἄμφω γὰρ τὰ ὀνόματα ταὐτὸ σημαίνει πρᾶγμα. ἔστι δὲ καὶ ἕτερός τις χυμὸς ἀεὶ μὲν πικρὸς τοῖς ἐμοῦσιν αὐτὸν φαινόμενος, οὐκ ἀεὶ δὲ ξανθός, ἀλλ' ὠχρός ἐστιν ὅτε. καὶ παχύτερος διαπαντὸς ὁ ξανθὸς τοῦ ὠχροῦ φαίνεται. ὡς ἐκ τούτων τεκμαίρονται προσηκόντως οἱ περὶ χυμῶν ἄριστα γνόντες ὑγρότητος ἐπιμιξίᾳ λεπτῆς, καὶ ὑδατώδους τῇ συστάσει, τὴν ξανθὴν χολὴν ὠχρὰν φαίνεσθαι. καλοῦσι δ' ἔνιοι μὲν ὑδατώδη τὴν ὑγρότητα ταύτην, ἔνιοι δ' ὀῤῥώδη τοῦ γένους οὖσαν ἐξ οὗ τό τε οὖρόν ἐστι καὶ ὁ ἱδρώς. ὥσπερ δὲ μιγνυμένης τῆς λεπτῆς ὑγρότητος ἡ ξανθὴ χολή, κατά τε τὴν χρόαν ὠχροτέρα, καὶ τὴν σύστασιν ὑδαρεστέρα γίνεται, οὕτως ὅταν ἐπὶ πλέον αὐτὴ διαφορηθῇ, τῇ τῶν ὠμῶν ᾠῶν λεκύθῳ παραπλήσια φαίνεται, καὶ διὰ τοῦτο καλεῖται λεκυθώδης. αὐτὴ μὲν οὖν ἡ χολή, κἂν ὠχρά, κἂν ξανθή, κἂν λεκυθώδης φαίνηται, τὴν γένεσιν ἐν τοῖς ἀγγείοις ἴσχει. κατὰ δὲ τὴν γαστέρα, πρασοειδής τις ἑτέρα γεννᾶται. καλοῦσι γὰρ οὕτως αὐτὴν ἀπὸ τῆς χρόας τῶν πράσων παρονομάσαντες. ὥσπερ γε καὶ τὴν ἰώδη παρὰ τὸ τῷ ἰῷ ὁμοιοῦσθαι. ὠνόμασται δὲ καὶ ἰσατώδης τις χολὴ παρὰ τὴν τῆς ἰσάτιδος χρόαν τῆς γλαυκῆς, αὗται πᾶσαι κοινὸν ἔχουσαι τὸ διαμένειν. οὕτως οὖν καὶ τὴν ἐρυθρὰν ἔνιοι χολὴν ὠνόμασαν, ἐγγὺς οὖσαν αἵματι λεπτῷ κατὰ τὴν σύστασιν, ἀλλ' ὅτι μὴ πήγνυται, διὰ τοῦτο χολὴν αὐτὴν προσαγορεύουσι. ταῦτα μὲν οὖν ἴσως, ἐπὶ πλέον, ἢ κατὰ τὴν προκειμένην εἴρηται πραγματείαν, τῇ τε κοινωνίᾳ τοῦ λόγου, καὶ τῷ χρησίμῳ τῆς γνώσεως, ἔτι τε τῷ συντόμῳ τῆς διδασκαλίας προτρεψαμένης με διελθεῖν ὑπὲρ αὐτῶν. ἐπὶ δὲ τὸν περὶ τῆς μελαίνης χολῆς λόγον ἐπανέλθωμεν. ὅτι μὲν οὖν οὐ πήγνυται, διώρισται μὲν ἀπὸ τοῦ μέλανος αἵματος, οὐ μὴν ἤδη γε καὶ ἀπὸ τῶν μελάνων, ἰδίως ὀνομαζομένων. ἐμεῖταί τε γὰρ καὶ διαχωρεῖται πολλάκις τοιαῦτα πάμπολυ διαφέροντα τῆς μελαίνης, οὐ τῇ δυνάμει μόνον, ἀλλὰ καὶ ταῖς αἰσθηταῖς ποιότησι. οὔτε γὰρ στρυφνότητος, οὔτε ὀξύτητος μετέχει σαφῶς ταῦτα, τῆς μελαίνης χολῆς κατά τε τὴν γεῦσιν ἐμφαινούσης τοῖς ἐμοῦσιν αὐτὴν καὶ κατὰ τὴν ὄσφρησιν, οὐκ ἐκείνοις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις. οὐ μὴν οὐδὲ ζυμοῖ τὴν γῆν ὡς ἐκείνη. ἀλλ' εἰ καὶ κατὰ τοῦτ' ἔοικεν ὄξει δριμυτάτῳ τῷ παχυμερεῖ τῆς οὐσίας ἐναντιώτατα διάκειται, καὶ διὰ τοῦθ' οἷς ὁμιλήσειεν αὐτοῦ σώματος μορίοις ἄκρατος, ἑλκοῖ πάντως αὐτὰ διαβιβρώσκουσα. τὸ μὲν γὰρ ὄξος ἅτε λεπτομερὲς ὄν, διεξέρχεται. τὸ δὲ τῆς μελαίνης χολῆς πάχος ἕδραν μόνιμον αὐτῇ παρέχον, αἴτιον τῆς ἀναβρώσεως γίνεται. ὥσπερ δὲ τοῖς εἰρημένοις γνωρίσμασι σαφῶς διορίζεται τῶν μελάνων, εἴτε χυμῶν ἐθέλεις λέγειν, εἴτε διαχωρημάτων εἴτ' ἐδεσμάτων ἡ μέλαινα χολή, οὕτω κἀν τῷ μήτε μυῖαν, μήτ' ἄλλο τι ζῷον ἐθέλειν αὐτῆς γεύσασθαι, καθάπερ οὐδὲ τῆς κατακοροῦς ἅλμης. οὐδὲ γὰρ ἐν ἐκείνῃ διαζῇ ζῷον, ὡς ἡ καλουμένη νεκρὰ θάλασσα, τεκμήριον. καὶ διὰ τοῦτ' ἔοικεν ἡ γένεσις αὐτῆς, ὀλέθριος ὑπάρχειν, ὑπεροπτηθέντος τοῦ μέλανος χυμοῦ συμβαίνουσα. πολὺ δὲ δήπου τῆς δέ, τὴν ἐκ τῆς ξανθῆς χολῆς ὑπεροπτηθείσης γινομένην μέλαιναν, ὀλεθριωτέραν εἶναι νομιστέον ὅσῳ περ καὶ ὁ χυμὸς τοῦ χυμοῦ δραστικώτερος, ἡ ξανθὴ χολὴ τῆς οἷον ὑποστάθμης τοῦ αἵματος, ἣν ἀμόργῃ καὶ τρυγὶ παραπλησίαν ἔφασαν ἔχειν τὴν γένεσιν, οἱ περὶ τὰ τῆς τέχνης ἔργα σπουδάσαντες. ἀλλ' ὥσπερ ἐπ' ἄλλων πολλῶν πραγμάτων ὁμωνύμων μὲν ἀλλήλοις, ἐναντίας δὲ φύσεως ὄντων, ἡ τῆς προσηγορίας κοινότης ἔσφηλέ τινας, οὕτω κἀπὶ τῶν εἰρημένων δυοῖν χυμῶν ἔνιοι σφαλέντες, ᾠήθησαν ἐπ' ἀγαθῷ πολλάκις ἐμεῖσθαί τι, καὶ διαχωρεῖσθαι μελαίνης χολῆς. ἐγὼ δ' ἐκ μειρακίου παρὰ Πέλοπι τῷ διδασκάλῳ μαθὼν ἑκατέρου τῶν χυμῶν τὰ γνωρίσματα, κἄπειτα παραφυλάττων αὐτά, δι' ὅλου

τοῦ ἐμοῦ βίου

τοῦ ἐμοῦ βίου μέχρι δεῦρο, τὸν μὲν τῆς ἀκριβοῦς μελαίνης χολῆς χυμὸν ὀλεθρίως ἐκκρινόμενον ἐθεασάμην ἀεί. τὴν δὲ τῶν μελάνων κένωσιν, οὐκ ὀλιγάκις ἐπ᾽ ἀγαθῷ γενομένην. ἀρκεῖ μὲν οὖν καὶ ταῦτα γινώσκεσθαι μόνον εἰς τὰ τῆς τέχνης ἔργα. καὶ μάλιστα ἐάν γε μετὰ διορισμοῦ τῶν καιρῶν, ἐν οἷς ἐκκρίνεται, μάθοι τις τὸν λόγον, ὃν ἐν τοῖς ἑξῆς ἐγὼ διηγοῦμαι. τῷ δὲ μήπω διὰ μακρᾶς πείρας ἐγνωκότι τὸ γινόμενον, ἐφ᾽ ἑκατέρᾳ τῇ κενώσει, θαυμάζειν ἴσως ἢ ἀπιστεῖν, εἰκός ἐστιν, εἰ τοῦ μοχθηροτάτου χυμοῦ κενουμένου βλάπτεται τὸ σῶμα. τοὐναντίον γὰρ εὔλογον εἶναι δόξει τῶν βλαπτόντων ἐκκενουμένων, ὑγιεινότατον αὐτὸ γίνεσθαι. ἐπὶ ταῦτ᾽ οὖν τὸν λόγον καὶ ἡ τῶν μελάνων κένωσις. ἀλλ᾽ ὁ διὰ μακρᾶς πείρας πεισθείς, ὡς ἄρτι μοι λέλεκται γίνεσθαι, ῥᾳδίως εὑρήσει τὴν αἰτίαν τοῦ συμβαίνοντος. καὶ μάλιστα ὅταν ἐθελήσῃ τὰ γεννῶντα τὴν μέλαιναν χολὴν εὑρεῖν, ὧν ἤδη μὲν ἡ ἀρχὴ τῆς εὑρέσεως εἴρηται. βέλτιον δὲ καὶ τὸ σύμπαν τοῦ λόγου προσθεῖναι. τοῦ γὰρ ἐκ τῆς κοιλίας τε καὶ τῶν ἐντέρων, εἰς ἧπαρ ἀναδιδομένου χυλοῦ, τὸ μέν τοι λεπτομερέστερον ἐστὶ τῇ συστάσει. τὸ δὲ παχυμερέστερον ὥσπερ καὶ τῶν ἐδεσμάτων αὐτῶν αἱ οὐσίαι διαφέρουσι. γινωσκόντων δ᾽ ἡμῶν ἅπαντα τὴν διοικοῦσαν τὸ σῶμα φύσιν ἐπὶ σωτηρίᾳ τοῦ ζῴου πράττειν, ὁρώντων τε, καὶ τοὺς ἐκκριτικοὺς πόρους τῶν ἀχρηστοτέρων μορίων τῆς τροφῆς τε καὶ τοῦ ποτοῦ, θαυμαστὸν οὐδὲν εἶναι δοκεῖ, καὶ τῆς ὑποστάθμης τοῦ αἵματος ἐπιτεχνήσασθαί τινα κένωσιν αὐτήν. ἥτις ὁποία μέν ἐστι καὶ διά τινων γίνεται μορίων αὖθις ἐπισκεψώμεθα, νυνὶ δὲ πρότερον ἃ διὰ τῆς πείρας ἔγνωμεν, ἀρχὴν ποιησάμενοι τῆς διὰ τοῦ λόγου γενησομένης σκέψεως ὅσα πεπείσμεθα χρόνῳ πολλῷ βασανίσαντες, εὑρηκέναι ταῦτα ἐροῦμεν. ὁρᾶται δὴ τὸ ἐπὶ τὰς φλεβοτομίας αἷμα παχύτερον καὶ μελάντερον ἐν ταῖς τῶν ξηρῶν καὶ θερμῶν σωμάτων φύσεσι, ὥσπερ γε καὶ ἐπὶ τὰς τοιαύτας ὥρας, καὶ χώρας καὶ καταστάσεις, ἐπιτηδεύματά τε, καὶ δίαιταν ἐν ἐδέσμασι παχυχύμοις τε καὶ αὐχμώδεσιν, ὁποῖόν ἐστι φακῆ, καὶ κοχλίαι καὶ κρέα ταύρεια, καὶ τράγεια, καὶ μᾶλλον εἰ ταριχευθείη. τῆς τοιαύτης ὕλης ἐστί, καὶ μέλας οἶνος παχύς τε καὶ αὐστηρός, οὕτω δὲ καὶ τῶν νοσημάτων, ὅσα ἐπὶ θερμὴν καὶ ξηρὰν δυσκρασίαν γίνεται καθάπερ οἱ καῦσοι, παχὺ καὶ μέλαν ἀποφαίνουσι τὸ αἷμα, τοιοῦτον δ᾽ αὐτοῖς καὶ ὁ μακρὸς οὗτος λοιμὸς ὁ ἐπὶ τοῦ μακροῦ θέρους γενόμενος εἰργάζετο, καὶ τῶν γε διασωθέντων οὐκ ὀλίγοις ἔκκρισις διὰ τῆς κάτω γαστρὸς ἐγίγνετο τῶν καλουμένων μελάνων, ἐπὶ τῆς ἐννάτης ἡμέρας τοὐπίπαν, ἢ ἑβδόμης ἢ ἑνδεκάτης, ὧν καὶ αὐτῶν ἐφαίνοντο διαφοραὶ πλείους. ἐνίων μὲν ἐγγυτάτω τῆς μελαίνης ἡκόντων, ἐνίων δ᾽ οὔτε δῆξιν ἐν ταῖς διαχωρήσεσιν ἐχόντων, οὔτε ὀσμὴν δυσώδη. πολλῶν δ᾽ ἐν τῷ μεταξὺ τούτων καθεστηκότων. ὅσοις δὲ τῶν νοσούντων ἡ διὰ τῆς κάτω γαστρὸς ἔκκρισις οὐκ ἐγένετο τοιαύτη, τὸ σῶμα πᾶν περιεξηνθήσε μέλασιν, ἐξανθήμασιν, ὁμοίοις, ἐνίοις τε δὲ καὶ οἷον λεπὶς ἀπέπιπτε ξηραινομένων τε καὶ διαφορουμένων αὐτῶν, ἐπὶ βραχὺ δὲ ἐπὶ πλείοσιν ἡμέραις μετὰ τὴν κρίσιν. ὅσοι δὲ διεχώρησαν ἀκριβῆ τὴν μέλαιναν, ἀπέθανον ἅπαντες. ἐνδείκνυται γὰρ ἡ τοιαύτη κατωπτῆσθαι τὸ αἷμα. φαίνεται δὲ καὶ ἄλλα χωρὶς τοῦ πυρέξαι πολλοῖς ἐξανθήματα γινόμενα ἐπὶ τὸ δέρμα, παχυνόμενόν τε καὶ ξηραινόμενον τὸ πλεονάζον τοῦ μελαγχολικοῦ χυμοῦ τῆς φύσεως ὠθούσης αὐτὸ ἐκτός. ἐξ οὗ γένους ἐστὶ καὶ ὁ καλούμενος ἐλέφας. ὅταν δ᾽ ἅμα πυρετῷ γένηταί τι τοιοῦτον, τὸν ὀνομαζόμενον ἄνθρακα γεννᾷ, τὸ κατασκῆψαν εἰς τὸ δέρμα τοῦ μελαγχολικοῦ χυμοῦ. χωρὶς δὲ πυρετοῦ κατασκῆπτον, ὅταν μὲν αἵματι μεμιγμένον ᾖ, τὸν ἐλέφαντα γεννᾶν πέφυκεν, ὅταν δὲ μόνον, ἐν ἀρχῇ μὲν ὄγκον ἐργάζεται μέλανα, τῷ χρόνῳ δ᾽ εἰς τὸν καλούμενον καρκίνον τελευτᾷ, ἐπειδὰν μὲν δριμύτερον ἢ κακοηθέστερον ᾖ, διαβιβρωσκομένου τοῦ δέρματος. ὅταν δ᾽ ἐπιεικέστερον, ἕλκους χωρὶς ἐργάζεται τὸν ὀνομαζόμενον κρυπτὸν καρκίνον. ἐναργῶς γὰρ ἅπαντα τὰ τοιαῦτα πάθη, καὶ μάλιστα ὁ καρκίνος ὑπὸ μελαγχολικοῦ γίνεται χυμοῦ. σαφῶς φαινομένων τῶν εἰς τὸ πεπονθὸς μόριον ἡκουσῶν φλεβῶν, παχὺν καὶ μέλανα περιεχουσῶν χυμόν. ἐκκαθαίρειν μὲν γὰρ τὸ αἷμα διὰ παντὸς ἡ φύσις πειρᾶται. διακρίνουσά τε τὸ μοχθηρὸν ἐξ αὐτοῦ, κἀκ τῶν κυρίων μορίων ὠθοῦσα, ποτὲ μὲν εἰς τὴν γαστέρα τε καὶ τὰ ἔντερα, ποτὲ δὲ εἰς τὴν ἐκτὸς ἐπιφάνειαν. ἀλλ᾽ ὅσα μὲν τῶν τοιούτων λεπτομερεστέρας οὐσίας ἐστί, διεξέρχεται τὸ δέρμα, τινὰ μὲν ἐπὶ τὴν ἄδηλον τῇ αἰσθήσει διαπνοήν. ἔνια δ᾽ αἰσθητικῶς, καθάπερ οἱ ἱδρῶτες. ὅσα δὲ παχύτερα, διεξελθεῖν μὲν οὐ δύναται τὴν πυκνότητα τοῦ δέρματος, ἐγκαταλαμβανόμενα δέ, τὰ μὲν θερμά, τοὺς ἄνθρακας ἐργάζεται. τὰ δὲ μὴ τοιαῦτα τοὺς καρκίνους. ὅταν δ᾽ ἐπιεικὴς ἐπὶ τὰς ποιότητας ὁ μέλας εἴη χυμός, αἵματί τε συμμιγείς, τοὺς ὑπερύθρους ἐλέφαντας ἐργάζεται. χρονίζοντες δὲ καὶ οὗτοι, γίνονται μελάντεροι. πολλάκις δ᾽ ἡ φύσις ἀναστομώσασα φλέβα τῶν ἐπὶ τὴν ἕδραν ἀγγείων ἐξέκρινε τὸν τοιοῦτον χυμόν, αἵματι μεμιγμένον, ἀφ᾽ οὗ δὴ καὶ τοὔνομα τῷ συμπτώματι τίθενται τὴν αἱμορροΐδα. καὶ χρὴ καταμανθάνειν ἀπ᾽ αὐτῆς, ὁποῖόν ἐστι τὸ ἐκκρινόμενον αἷμα, πότερον οἷον ἔχουσιν, οἵ τε γυμναστικοί, οἱ ἀθληταί, καὶ τῶν ἰδιωτῶν οἱ τελέως ὑγιεινοί, καὶ εὔχυμοι. καὶ ἢ μελάντερόν τε καὶ παχύτερον τούτου. καὶ μέν τοι καὶ ὡς ἡ φύσις ἀποτίθεται τὸ τοιοῦτον αἷμα πολλάκις εἰς τὰς ἐπὶ τὰ σκέλη φλέβας, ὑφ᾽ οὗ διατεινόμεναί τε καὶ διευρυνόμεναι κιρσώδεις ἀποτελοῦνται, καὶ μελαίνεταί γε τῷ χρόνῳ τὸ δέρμα, τὸ ἐπὶ τὰς τοιαύτας φλέβας. ἐφ᾽ ὧν δ᾽ αἵματος πλῆθος μόνον εἰσρέον ἄνευ τοῦ μελαγχολικοῦ ὑπάρχειν, ἀσθενεστέρας οὔσας φύσει τὰς τῇδε φλέβας, ἀνευρυνόμενον κατασκῆπτον, οὐδενὸς τοιούτου συμβαίνοντος, ὡς ἐφ᾽ ὧν γε ἂν τὸ μελαγχολικὸν αἷμα τοὺς κιρσοὺς ἐργάσηται, κίνδυνος γάρ ἐπὶ τούτων ἐστίν, ἐὰν ἐκτέμνῃ τις τὰς πεπονθυίας φλέβας, ἁλῶναι μελαγχολίᾳ. καὶ τοῦτο πολλάκις ἑωρᾶτο γινόμενον, οὐ μόνον ἐπὶ τοὺς κιρσούς, ἀλλὰ καὶ ἐπὶ τὰς ὑπὸ τοῦ τοιούτου χυμοῦ γινομένας αἱμορροΐδας. ἕλκος δέ τις ἔχων ἐν κνήμῃ χρόνου πολλοῦ τὴν ὑποκειμένην φλέβα κιρσωδεστέραν οὖσαν ἐκτμηθείς, αὐτίκα μὲν ἐθεραπεύθη τὸ ἀρχαῖον ἕλκος, ὃ δ᾽ ἐκ τῆς τομῆς ἔσχεν ἐξαιρουμένης τῆς φλεβός, ἀνίατον ἔμεινεν. ὕστερον δὲ ποτὲ μετ᾽ ἐνιαυτὸν εἷς τῶν ἐν Περγάμῳ διδασκάλων ἡμῶν Στρατόνικος τοὔνομα μαθητὴς Σαβίνου τοῦ Ἱπποκρατείου, φλέβα τεμὼν ἐν ἀγκῶνι ἀνθρώπου, καὶ θεασάμενος αἷμα παχὺ καὶ μέλαν ἐκκρινόμενον, ἐπαφεῖλε ἐπὶ τὴν ὑστεραίαν ὀλίγον. εἶτα ἐπὶ τὴν τρίτην τε καὶ τετάρτην ὁμοίως ὀλίγον, καθήρας τε μετὰ ταύτας, τὰς τρεῖς φαρμάκῳ μέλανα χυμὸν ἐκκενοῦντι καὶ τὴν δίαιταν αὐτῷ εὔχυμον παρασκευάσας, ἐπὶ τὴν θεραπείαν τοῦ ἕλκους ἐτράπε

το. ὅτι μὲν οὖν ἐν ταῖς φλεψὶ καὶ ταῖς ἀρτηρίαις οἱ χυμοὶ περιέχονται πάντες, ἐνδείκνυται, καὶ ἡ τῆς ποικιλίας τῆς χρόας τε καὶ συστάσεως αὐτοῦ. δηλοῖ δὲ καὶ τὰ νῦν εἰρημένα. καὶ πρὸς τούτοις ὅσα ἤδη τὸ περὶ φύσιος ἀνθρώπου γέγραπται τῷ Ἱπποκράτει, περὶ ὧν ἐπὶ πλέον μὲν, ἐν τῷ περὶ τῶν κατ᾽ αὐτὸν στοιχείων διῆλθον, ἀναγκαῖον δ᾽ ἐστὶν καὶ νῦν εἰπεῖν ἀρξάμενον ἀπὸ τῆς ῥήσεως αὐτοῦ, τῆς δέ. Τὸ δὲ σῶμα τοῦ ἀνθρώπου ἔχει ἐν ἑωυτῷ
» αἷμα καὶ τὸ φλέγμα, καὶ χολὴν διττὴν ξανθήν τε καὶ μέλαιναν. καὶ ταῦτα ἐστὶν αὐτέῳ ἡ φύσις τοῦ σώματος,
» καὶ διὰ ταῦτ᾽ ἀλγέει καὶ ὑγιαίνει. ὑγιαίνει μὲν οὖν μάλιστα, ὁκόταν μετρίως ἔχῃ ταῦτα τῆς πρὸς ἄλληλα κρήσι-
» ος καὶ δυνάμιος καὶ τοῦ πλήθεος, καὶ μάλιστα ἢν μεμιγμένα ᾖ. ἀλγέει δ᾽ ὁκόταν τι τουτέων ἔλασσον ἢ πλέον ἤδη χω-
» ρισθῇ ἐν τῷ σώματι καὶ μεμιγμένον ᾖ τοῖσι πᾶσι. ἀνάγκη γὰρ ὅταν τι τουτέων χωρισθῇ, καὶ ἐφ᾽ ἑωυτοῦ στῇ,
» οὐ μόνον τοῦτο τὸ χωρίον, ἔνθεν ἐξέστη, ἐπίνοσον γίνεσθαι. ἀλλὰ καὶ ἔνθα ἂν στῇ καὶ ἐπιχυθῇ ὑπερπιμπλάμενον, ὀ-
» δύνην τε καὶ πόνον παρέχει. καὶ γὰρ ὅταν τι τουτέων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος ὀδύνην
» παρέχει ἡ κένωσις. ἤν τ᾽ αὖ πάλιν εἴσω ποιήσηται τὴν κένωσιν, καὶ τὴν μετάστασιν, καὶ τὴν ἀπόκρισιν ἀπὸ τῶν ἀλ-
λων. πολλὴ αὐτῷ ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθεν τε ἐξέστη, καὶ ἔνθεν ὑπερέβαλεν. δηλῶν ὅτι μὲν ὑγιαίνει τὸ ζῶον, ὅταν ἔχῃ ταῦτα συμμέτρου τῆς πρὸς ἄλληλα κράσεως, νοσεῖ δὲ ὅταν, ἤτοι καθ᾽ ὅλον τὸ σῶμα, τουτ᾽ ἔστιν ἐν ἅπασι τοῖς ἀγγείοις πλεονεξία τῆς ἐξ αὐτῶν ἐστίν. ἢ καθ᾽ ἕν τι γένηται μόριον, ὁ τοῖς ἔργοις τῆς τέχνης ὡμιληκὼς, ἀληθεύειν φήσει τὸν Ἱπποκράτην. τὰ μὲν γοῦν ἐν ἑνὶ μορίῳ νοσήματα διὰ τὸν μελαγχολικὸν χυμὸν γινόμενα ὀλίγον ἔμπροσθεν διελθὼν, ἐδήλωσα, ὅτι καὶ διὰ κιρσῶν ἄρσιν ἢ αἱμορροΐδας, ἐμελαγχόλησαν ἕτεροι, καὶ κατὰ τὰ μὴ φαινόμενα δὲ μόρια κατὰ τὸ βάθος τοῦ σώματος, εὔλογον ὅμοια πάθη γίνεσθαι, τοῖς κατὰ τὸ δέρμα συνισταμένοις. οὐ γάρ δήπου χολῆς μὲν ξανθῆς, εἰς ἕν τι μόριον κατασκηψάσης, ἐρυσίπελας γενήσεται. μελαίνης δὲ, ἄνθραξ τε καὶ καρκῖνος, οὐδήπου δὲ τὰ κατὰ βάθος τοῦ σώματος ἀδάμαντος ἔχει κατασκευήν, ἀλλὰ κἀκεῖνα γε τοῖς αὐτοῖς ὑπόκειται πάθεσιν. ἐφ᾽ ὧν γοῦν οἷόν τέ ἐστι βεβαίως διαγνῶναι τὴν ἐργασαμένην αἰτίαν ἐναργῶς, ἐπὶ τούτων φαίνεται καὶ ξανθὴ καὶ μέλαινα χολὴ διαβιβρώσκουσαι τῶν ἐντέρων, ἄλλοτ᾽ ἄλλο, καθ᾽ ὅτι περ ἂν μάλιστα στηριχθῶσι καὶ ποτὲ τελέως ἀνίατον ἐργαζόμεναι τὴν δυσεντερίαν. καὶ διὰ τοῦθ᾽
» Ἱπποκράτης ἐν ἀφορισμοῖς ἔγραψε. δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον. ἐγὼ δὲ πρόσθεν εἶ-
» πον, ἀνίατα πάντ᾽ εἶναι, τὰ διὰ μέλαιναν χολὴν ἑλκωθέντα, πλὴν εἴ τις ἴασιν ἐθέλει καλεῖν, ὅταν ἐκκόψῃ τὸ πεπονθὸς μόριον ὅλον ἐν κύκλῳ περιταμὼν ἄχρι τῶν ἀπαθῶν, ὥσπερ οὖν ἔντερον ἀβοηθήτως μὲν ὑπὸ μελαίνης χολῆς ἑλκοῦται. δυσβοηθήτως δὲ ὑπὸ τῆς ξανθῆς χολῆς, δῆλον ὅτι, καὶ τῶν ἄλλων μορίων ἕκαστον ὅσα κατακέκρυπται μὲν ἐν τῷ βάθει, κυριώτερα δὲ μακρῷ τῶν ἐντέρων ἐστί. πρὸς γὰρ καὶ τὴν θεραπείαν ἐπὶ μὲν τῶν ἐντέρων εὐκολωτέραν εἶναι, τῶν ἐνιεμένων διὰ τῆς ἕδρας φαρμάκων αὐτοῖς τοῖς πεπονθόσι προσπιπτόντων εὐθέως, ἐπὶ δὲ τῶν ἄλλων μορίων οὐδὲ τοῦτο γενέσθαι ῥᾳδίως δυναμένου. οὔκουν τὸ τυχὸν, οὐδὲ μικρὸν τῆς τέχνης μέρος ἀθεώρητον εἴασαν, οἱ μηδὲν ἐπισκεψάμενοι περὶ μελαίνης χολῆς, ἔτι δὲ μᾶλλον, οἱ μηδὲ περὶ τῆς ξανθῆς. ὅσοι δὲ μὴ περὶ τούτων ἐπεσκέψαντο, μὴ δὲ περὶ φλέγματος, οὐδ᾽ ἀριθμῆσαι δυνατὸν ὁπόσα παρέλιπον τῆς τέχνης ἀναγκαιότατα θεωρήματα. περὶ μὲν οὖν τῆς μελαίνης χολῆς, οὐδὲν ὅλως ὁ Ἐρασίστρατος ἔγραψε, περὶ δὲ τῆς ξαν-
» θῆς, ὀλίγα τε ἅμα, καὶ οὐδ᾽ αὐθ᾽ ἅπαντ᾽ ἀληθῆ. λέγει μὲν γὰρ, οὕτω περὶ αὐτῆς. ἡ δὲ χολώδης ὑγρασία, ὅτι μὲν
» ἀναγκαία ἐστὶν ἀποκρίνεσθαι, πολλὰ τῶν ἐπιγινομένων παθῶν, μαρτυρεῖ. οἱ ἴκτεροι γάρ. καὶ αἱ περὶ τὸ ἧπαρ
» γενόμεναι φλεγμοναὶ καὶ ἄλλα πλείω. πότερον δὲ ἐν τῇ περὶ τὴν κοιλίαν κατεργασίᾳ τῆς τροφῆς γεννᾶται, ἢ
» τοιαύτη, ἢ μεμιγμένη, ἐν τοῖς προσφερομένοις ἔξωθεν παραγίνεται, οὐδὲν χρήσιμον πρὸς ἰατρικὴν ἐπισκέψασθαι.
» ταῦτα μὲν ὁ Ἐρασίστρατος ἔγραψεν ἐν τῷ πρώτῳ τῶν καθόλου λόγων, περὶ τῆς ξανθῆς χολῆς. ἀντιλέγοντες δ᾽ αὐτῷ φασὶν, ὡς εἴπερ αὐτὸς ὁμολογεῖ βλάβην ἐργάζεσθαι τὴν ξανθὴν χολὴν πλεονάζουσαν, ἄμεινον μὲν ἦν αὐτὴν μηδόλως γεννᾶσθαι. τοῦτο δ᾽ εἴπερ ἀδύνατον, ἀλλ᾽ ὡς ὀλιγίστην. καὶ μὴν οὔτε γεννᾶσθαι δυνατὸν ἐστὶ κωλύειν ὁντινοῦν. οὔτε εἴπερ τοῦτο γε δυνατὸν, ἀλλὰ προνοεῖσθαι γε τοῦ βραχυτάτην αὐτὴν γεννᾶσθαι χωρὶς τοῦ τὴν αἰτίαν τῆς γενέσεως ἐπίστασθαι τοῦ πράγματος δυνατόν. ἡ μὲν οὖν οὐσία τοῦ χυμοῦ τούτου κατά τε τὰ σιτία καὶ τὰ ποτὰ περιέχεται. πάντως δὲ δήπου διαφορᾶς οὔσης ἐν αὐτοῖς, τὰ μὲν πλέον αὐτῆς, τὰ δ᾽ ἔλαττον ἔχει τὰ δὲ, ἴσως οὐδέν. εἰ δ᾽ ἐν τῷ σώματι γεννᾶται, κατά τέ τινα μάλιστα μόρια γίνεται, τοῦτο καὶ τινὸς αἰτίας ἐργαζομένης αὐτὴν, ἀναγκαῖον ἐπίστασθαι τοὺς ἰατρούς. ἐζεύκται δ᾽ ὁ λόγος οὗτος τῷ κοινῷ λόγῳ περὶ γενέσεως χυμῶν, ὑπὲρ ὧν οὐδ᾽ ὅλως Ἐρασίστρατος ἔγραψεν, ὥσθ᾽ ὅσον ἐστὶν ἐπ᾽ αὐτῷ, μήτε τῶν ἐδεσμάτων ἡμᾶς ἐπίστασθαι, τινὰ μὲν εὔχυμα ἐστὶ, τινὰ δὲ κακόχυμα, μήτε τῶν ἐπιτηδευμάτων, ἔτι δὲ μᾶλλον μὴ δ᾽ αὐτῆς τῆς φύσεως τῶν ἀνθρώπων. καί τοι γ᾽ ἐνίους ὁρῶμεν ὅπως ἂν διαιτῶνται πολὺν ἀθροίζοντας, ἤτοι τὸν πικρόχολον, ἢ τὸν μελαγχολικὸν, ἢ τὸν τοῦ φλέγματος χυμὸν, ὅτι γὰρ καὶ αὐτὸς αἴτιος γίνεται νοσημάτων, οὐ σμικρῶν, ἐν ἑτέρῳ δέδεικται λόγῳ. ὡμολόγησε δὲ καὶ ὁ Ἐρασίστρατος αὐτὸς ὑπὸ τοῦ χυμοῦ τοιούτου γίνεσθαι τινὰ πάθη. καί τοι παντὶ τρόπῳ φυλαττόμενος, αἰτιᾶσθαι τοὺς μοχθηροὺς χυμοὺς, ἀλλὰ τούς γε γλίσχρους καὶ παχεῖς αὐτὸς ἀπεφήνατο, παρα-
» λύσεως αἰτίους γενέσθαι, γράψας οὕτως. τὸ μὲν οὖν πάθος συμβαίνει παρεμπτώσεως ὑγρῶν γινομένης
» εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα, τὰ ἐν τοῖς νεύροις, δι᾽ ὧν αἱ κατὰ προαίρεσιν κινήσεις συντελοῦνται. καὶ μετ᾽ ὀλί-
» γα, ἡ δὲ παρέμπτωσις, φησὶ, γίνεται, τῆς τροφῆς, ἀφ᾽ ἧς τὰ νεῦρα τρέφεται, αὕτη δὲ γλίσχρος καὶ ὁλκιμος καὶ
« δυσέκκριτος. ὅτι δὲ καὶ ἀποπληξίας, καὶ ληθάργου, καὶ ἐπιληψίας ἑτέρων τε πολλῶν ὁ τοιοῦτος χυμὸς ἀθροιζόμενος αἴτιός ἐστιν, οὐκ ἔτ᾽ εἶπεν. ἀλλ᾽ ὃ πρόκειται μοι νῦν, τὴν τῶν ἄλλων χυμῶν δύναμιν ἐξηγήσασθαι, περὶ μελαίνης χολῆς προθεμένῳ γράφειν, ἣν Ἱπποκράτης φησὶν, ἀναγκαίαν μὲν ἔχειν τὴν γένεσιν, ὅπως δὲ μὴ γένηται πλείων, ἐδίδαξεν ἐξ αὐτῶν τῶν ἐναργῶς φαινομένων ἀρξάμενος. ἔν τε γὰρ τοῖς ζώοις, ὅσα θερμότερα καὶ ξηρότερα ταῖς κράσεσιν ἐστὶν, ἐν τούτοις φαίνεται γεννᾶσθαι πλέον, ἔν τε ταῖς θερμοτέραις ἅμα καὶ ξηροτέραις ὥραις τε καὶ χώραις, καὶ καταστάσεσιν, ἐπιτηδεύμασί τε, τοῖς μετὰ κόπων, καὶ φροντίδων καὶ

ἀγρυπνιῶν

ἀγρυπνιῶν, ἐδεσμάτων τε τῶν παχυχυμοτέρων καὶ ξηροτάτων. ἀλλὰ καὶ τὸ χρῶμα τοῦ σώματος παντὸς μελάντερόν ἐστι τοῖς τὴν τοιαύτην πεφυκόσιν ἀθροίζειν χολὴν, ἔν τε τοῖς καυσώδεσιν νοσήμασιν, ὅσα χωρὶς ὑγρότητος ἔχει τὴν γένεσιν, ἐφ᾽ ὧν καὶ εἰ αἱμοῤῥαγήσει ποτὲ ἡ ῥῖνες, μέλαν ῥεῖ. τὰ μὲν οὖν τοιαῦτα φαινόμενα, τὰς αἰτίας ὑφ᾽ ὧν ὁ μελαγχολικὸς γεννᾶται χυμὸς, ἐνδείκνυται. περὶ δὲ τῆς καθαιρέσεως αὐτῶν, ταυτὶ τὰ φαινόμενα τὴν ὁδὸν τῆς εὑρέσεως ὑπαγορεύει. κακοπραγῶν ἐν χρόνῳ πλείονι σπλὴν, εἴτε διὰ φλεγμονὴν, εἴτε διὰ σκίῤῥον, εἴτε δι᾽ ἀτονίαν, ἀχροίας ἐργάζεται, τοῦ παντὸς σώματος πρὸς τὸ μελάντερον ἐκτρεπομένου. ἀλλὰ καὶ αὐτὸς ἀεὶ μελάντερός ἐστι τοῦ ἥπατος, καὶ μάλιστα ἐπὶ τῶν τῆς θερμῆς καὶ ξηρᾶς κράσεως ζώων, ὁποῖα τὰ καρχαρόδοντα πάντα ἐστὶν, ὥσπερ γε πάλιν, ὁπόσα κράσεως ψυχροτέρας καὶ ὑγροτέρας, ἢ κατ᾽ ἐκεῖνα τετύχηκεν ὄντα, καθάπερ οἱ ὕες, οὐ πάνυ μέλας ὁ σπλὴν αὐτοῖς ἐστι. τοῖς δὲ βουσὶ καὶ κατὰ φύσιν μὲν ἔχουσι, μελάντερος ὁ σπλήν ἐστιν. γηράσασι δὲ πολλαπλασίῳ δή τινι μελάντερος γίνεται. ἀλλὰ καὶ ἡ γεῦσις τοῦ σπλάγχνου τούτου, καίτοι γε ἑψομένου, φαίνεται στρυφνὸν ἔχουσά τι, καὶ οὐδαμῶς ὅμοιον ἥπατι. διὰ τούτων μὲν οὖν ὑπαχθέντες οἱ ἄριστοι τῶν παλαιῶν ἰατρῶν τε καὶ φιλοσόφων ἀπεφήναντο καθαίρεσθαι τὸ ἧπαρ ὑπὸ τοῦ σπληνὸς, ἕλκοντος εἰς ἑαυτὸν, ὅσον ἰλυῶδές ἐστιν ἐν αἵματι, τοιοῦτον δέ τι ἐστὶν, ὡς ἔφην, ὁποῖον ἐν οἴνῳ μὲν, ἡ τρὺξ, ἐν ἐλαίῳ δὲ ἀμόργη. τοῖς δὲ νεωτέροις αἱρέσεις περιστήσασθαι προελομένοις, ὥσπερ ἄλλα λέλεκται πολλὰ ψευδῶς, οὕτω καὶ τὸ μηδὲν δεῖσθαι τὸν ἰατρὸν εἰς τὰ τῆς τέχνης ἔργα τῆς περὶ τοὺς χυμοὺς θεωρίας, καὶ πρό γε πάντων ἔτι, τὰ καθαίροντα φάρμακα μάτην ὀνομάζεσθαι καθαίροντα. κενωτικὰ γάρ ἐστιν ὁμοτίμως ἁπάντων τῶν ἐν τῷ σώματι χυμῶν, οὐ μόνον τῶν δοκούντων βλάπτειν. Ἱπποκράτης δὲ ὡς ὁμολογουμένῳ τῷ καθαίρειν αὐτὰ χρησάμενος, ἐπιδείκνυσιν ἐν ἅπαντι τῷ τῆς ζωῆς χρόνῳ περιέχεσθαι, κατὰ τὸ σῶμα τοῦ ἀνθρώπου τοὺς τέσσαρας χυμούς. μήθ᾽ ἡλικίαν εἶναί τινα, μήθ᾽ ὥραν τοῦ ἔτους, μήτε σώματος φύσιν, ἐν ᾗ μὴ πάντες εἰσίν. ἐπεὶ γοῦν τὰ μὲν τῆς ξανθῆς χολῆς ἑλκτικὰ φάρμακα, τοὺς ἰκτερικοὺς ὀνινάναι, τὰ δ᾽ ὑδραγωγὰ καλούμενα τοὺς ἀσκίτας ὑδέρους ἐκκενοῦν, κωλύειν δ᾽ αὐξάνεσθαι τούς ἐλεφαντιάς τε καὶ καρκίνους τὰ τῶν μελάνων ἑλκτικὰ, δῆλον εἶναι τοῖς παλαιοῖς ἐφαίνετο, τὸν οἰκεῖον ἑαυτῷ χυμὸν ἕκαστον τῶν καθαρτικῶν φαρμάκων ἕλκειν. εἰ δ᾽ ἀληθὲς ἦν ἅπαντας ἕλκεσθαι τοὺς ἐν τοῖς ἀγγείοις περιεχομένους χυμοὺς ἀλλοιουμένους ὑπὸ τοῦ φαρμάκου κατὰ τὴν ἐκείνου δύναμιν, ὅμοιον ἂν ἦν τὸ καθαρθῆναι διά τινος τῶν τοιούτων φαρμάκων, τῷ φλεβοτομηθῆναι. τί ποτ᾽ οὖν τὸ ὑδραγωγὸν φάρμακον ἐπὶ τῶν ὑδέρων δίδομεν. ἐνὸν τοῦ αἵματος ἐκκενῶσαι τέμνοντας φλέβα. διὰ τί δὲ πλεῖστον ἐπὶ τούτων ἐκκενοῦται τὸ ὑδατῶδες, ἐλάχιστον δὲ ὁ πικρόχολος χυμός. ἔμπαλιν δ᾽ ἐπὶ τῶν ἰκτεριώντων ὁ πικρόχολος χυμὸς πλεῖστος, ἐλάχιστος δ᾽ ὁ ὑδατώδης. διὰ τί δὲ ὠφελοῦνται μὲν ὑπὸ τῶν ὑδραγωγῶν φαρμάκων, ὅταν συμμέτρως κενωθῶσιν, οὐδεὶς δὲ τῶν ὁμοτίμως εἶναι πεπεισμένων, τὰς διὰ τῶν καθαρτικῶν κενώσεις ταῖς φλεβοτομίαις ἐτόλμησεν ἀφελεῖν, αὐτὸν τοῦ αἵματος. ἀλλ᾽ ἔνιοι μὲν, καὶ διὰ τῶν ὑδραγωγῶν φαρμάκων τὰς κενώσεις ποιοῦνται, πάντες δὲ τοῖς οὐρητικοῖς χρῶνται, καίτοι κἀπὶ τούτων ἐχρῆν τοὺς φάσκοντας, ὑπὸ τῶν νεφρῶν ἀλλοιούμενον τὸ αἷμα τὴν τῶν οὔρων γένεσιν ἐργάζεσθαι, φλεβοτομεῖν τοὺς ὑδερικοὺς μᾶλλον, ἢ διὰ τῶν οὐρητικῶν φαρμάκων θεραπεύειν. ἄμεινον γὰρ ἅπαξ τὸ περιττὸν ἐκχεῖν τοῦ πολλάκις ἐν πολλαῖς ἡμέραις κατὰ βραχὺ πράττειν αὐτό. γέγραπται δ᾽ οὖν μοι καὶ πρὸς ταύτην τὴν δόξαν ἰδίᾳ καθ᾽ ἓν ὑπόμνημα τὴν ἐπιγραφὴν ἔχον πρὸς τὴν καινὴν δόξαν, περὶ τῆς τῶν οὔρων διακρίσεως. ἔστ᾽ οὐχὶ καλῶς οἱ πολλοὶ τῶν ἀνθρώπων ἑαυτοὺς ἐπιτρέπουσι τοῖς ἀλόγῳ τριβῇ μᾶλλον, ἢ λογικῇ διατροφῇ τὴν τέχνην μεταχειριζομένοις. ὅπερ γὰρ εἰώθασι λέγειν ἔνιοι αὐτῶν, ἀληθέστατόν ἐστιν, ὡς πολλῷ βέλτιον αὐτοὶ γινώσκουσι τά τε τῶν ὑγιαινόντων, καὶ τὰ τῶν νοσούντων διαιτήματα, τῶν σοφιστικῶς λεγόντων. οἵ γε πρὸς τοῖς ἄλλοις, ἔτι καὶ κατατρίβουσιν ἡμῶν τὸν βίον, ἀναγινωσκόντων μὲν πρῶτον, ἃ γεγράφασιν οἱ τῆς αἱρέσεως αὐτῶν ἡγεμόνες. εἶτ᾽ ἀκουόντων ἃ συναγορεύοντες αὐτοῖς λέγουσιν, εἶτα ἀναγκαζομένων λύειν αὐτῶν τὰ σοφίσματα. Ἱπποκράτης μὲν οὖν φαίνεται καλός τε καὶ ἀγαθός τις ἀνὴρ γεγονέναι, μὴ φιλοτιμίας, ἢ φιλοδοξίας, ἀλλ᾽ ἀληθείας ἐραστής, εἰ δὲ καὶ δόξης ἢ τιμῆς αὐτὸν ἐπιθυμῆσαι φαίη τις, ἀλλὰ καὶ κτήσασθαί γε αὐτῆς ῥᾷστον ἦν ἐκείνῳ τῷ ἀνδρὶ οὐ βουληθέντι τούτῳ φιλονικεῖν ἐν λόγοις, αἱρέσεσιν ἐν δόξαις ἑαυτοῦ πρεσβυτέραις. οὐδεμία γοῦν ἦν ἱκανῶς ἔνδοξος. οἱ δὲ μετ᾽ αὐτὸν ἀπλήστως ὀρεχθέντες ἀδίκου δόξης, αἱρέσεις ἰδίας συνεστήσαντο μοχθηράς, ἀντιλογίας πρὸς τοὺς ἑαυτῶν πρεσβυτέρους ποιησάμενοι. καίτοι τινὲς ἐξ αὐτῶν ἦθος ἐπιεικὲς οὐκ ἀμελῶς ἔχοντες, ἐν οἷς καὶ τὸν Ἐρασίστρατον ἄν τις οἰηθείη. ἀλλὰ καὶ τούτων ἡ πρὸς Ἱπποκράτην φιλονικεία μαχόμενα γράφειν ἑαυτῷ κατηνάγκασε. πῶς γοῦν οὐκ ἄν τις † μαχόμενος φαίη, προνοητικῶς τῶν ζώων τὴν φύσιν ἅπαντα διαπλάσασαν τὰ μόρια, μάτην ἐν αὐτοῖς ὅλον τὸ τοῦ σπληνὸς σπλάγχνον πεποιηκέναι, πῶς δ᾽ οὐκ ἄν τις γνοίη τινὰς τῶν ὁμοδοξούντων αὐτῷ κατεγνωκότας φαίνεσθαι τῶν εἰρημένων τῷ ἀνδρὶ περὶ σπληνὸς, καὶ διὰ τοῦτο τὸ σπλάγχνον τοῦτο φάσκοντας προπαρασκευάζειν τῷ ἥπατι τὸν ἐκ τῶν σιτίων χυμὸν εἰς αἵματος χρηστοῦ γένεσιν, ἔθ᾽ οἷον ἄλλοτι μεσεντέριον ποιούντων τῷ λόγῳ τὸ ἐπίπλοον, οὐ μὴν ἐννοούντων γε, ὡς ἐχρῆν τὰς φλέβας ἐξ ἁπάντων τῶν ἐντέρων, εἰς τοῦτο ἀναφέρειν τὸν τρόφιμον χυμὸν, οὐκ ἐκ μόνης τῆς γαστρός. ὅτι δὲ φιλονικῶν ὁ Ἐρασίστρατος, οὐ πεπεισμένος ἄχρηστον ἰατροῖς εἶναι τὴν περὶ τῶν χυμῶν θεωρίαν, οὔτ᾽ ἐν ᾧ μορίῳ τοῦ ζώου γεννᾶται τὸ αἷμα δηλοῖ. οὔθ᾽ ὑπό τινος αἰτίας, οὔτε κατά τινα τρόπον, ἐναργὲς τεκμήριον ἐστι, τὸ μηδένος τῶν διὰ μέλαιναν χολὴν, ἢ ὅλως τὸν μελαγχολικὸν χυμὸν γινομένων παθῶν μνημονεῦσαι. καίτοι μὴ μόνον τῶν πρὸ αὐτοῦ φιλοσόφων τε καὶ ἰατρῶν, ἀλλὰ καὶ πάντων ἀνθρώπων ὀνομαζόντων τι πάθος μελαγχολικόν. ἐπιχειρούντων τε τῇ θεραπείᾳ διὰ ἐλλεβόρου τοῦ λευκοῦ καθάρσεως. οὐδεὶς γὰρ οὕτως ἀπαίδευτός ἐστι τῶν ἐν Ἕλλησι τεθραμμένων, ὡς μήτ᾽ ἀνεγνωκέναι μήτ᾽ ἀκηκοέναι τὰς Προίτου θυγατέρας μανείσας ὑπὸ Μελάμποδος ἰαθῆναι καθαρθείσας οὕτως, ὥς τε οὐ πρὸ ὀκτῶν ἢ τ᾽ ἐτῶν, ἀλλὰ πολὺ πλειόνων, ἐνδόξου τῆς καθάρσεως ταύτης οὔσης, καὶ πάντων τῶν ἐν τῷ μεταξὺ χρόνῳ κεχρημένων τῷ φαρμάκῳ. βέλτιον οὖν ἦν ὁμόσε

† al. μαχόμενα

χωρήσαντα τὸν Ἐρασίστρατον ἐπιδεῖξαι σφαλερῶς φιλονεικοῦντα μήτε μελαγχολίαν, μήτ' ἄλλως μηδὲ μίαν μανίαν ἐπὶ μελαίνῃ χολῇ γίνεσθαι. καθάπερ γε μηδὲ καρκίνον, μηδὲ ἐλέφαντα, μηδὲ τὰς θηριώδεις ἐν φρενίτισι παρακοπάς, μηδὲ κιρσούς, μηδ' αἱμοῤῥοΐδας. μηδ' ὅτι πολλοὶ κατὰ τὰς ἀναιρέσεις αὐτῶν ἐμελαγχόλησαν. ἀλλ' οὐκ ἐτόλμησεν οὐδὲν τοιοῦτον εἰπεῖν, αἰδούμενος οἶμαι καταγνωσθῆναι πρὸς τῶν ὁμιλούντων ἐπιμελῶς τοῖς ἔργοις τῆς τέχνης, ἐν οἷς τὰς ἐπιδείξεις, οἱ παλαιοὶ τῶν ἰατρῶν, οὐκ ἐν λόγοις σοφιστικοῖς ἐποιοῦντο. φρασάτω τις οὖν μοι τῶν ἀπ' αὐτοῦ τὴν αἰτίαν τοῦ τὸν σπλῆνα μέλανα φαίνεσθαι τοῖς θερμοῖς καὶ ξηροῖς τῇ κράσει ζώοις, ὡς μηδὲ βρωθῆναι δύνασθαι. ἐπὶ μὲν γὰρ τῶν ὑῶν εἰ καὶ παραπλήσιος ἥπατι κατὰ τὴν ἐδωδήν, ἀλλ' οὐκ ἄβρωτός ἐστιν, ἐπὶ δέ γε λεόντων καὶ λεαίνων, καὶ παρδάλεων τε καὶ λεοπαρδάλων, ἄρκτων τε καὶ λύκων οἱ τὰς σάρκας αὐτῶν ἡδέως ἐσθίοντες, ἀφίστανται τοῦ σπληνός, ὡς ἀβρώτου. καίτοι γ' εἰ πρῶτος ἀπολαύει τῶν ἐσθιομένων τε καὶ πινομένων, ἐχρῆν αὐτόν, μάλιστα μέν, εἰ οἷόν τε, καὶ αὐτοῦ τοῦ ἥπατος ἐπιτηδειότερον εἰς ἐδωδὴν ὑπάρχειν. εἰ δὲ μή, ἀλλὰ μὴ χείρω γε πάντως, εἰρηκότος οὖν αὐτοῦ τοῦ Ἐρασιστράτου, τὸν περὶ τῶν τοιούτων λογισμούς, ἀλλήλοις δεῖν ὁμολογεῖν πάντως, οὐκ οἶδ' ὅπως ὑπομένουσί τινες διαλέγεσθαι λόγους ὑπὸ τῶν φαινομένων ἐλεγχομένους, οὓς οὐδὲ οἱ πατέρες αὐτῶν αὐτοὶ διαπαντὸς ἠδυνήθησαν φυλάξαι. σιωπῶν γοῦν Ἐρασίστρατος περὶ τὰς οὐσίας τοῦ τρέφοντος χυμοῦ τὰ νεῦρα γράφειν αὐτὴν ἠναγκάσθη διὰ τὸ χρήσιμον εἰς τὴν τῶν παραλελυμένων ἴασιν, γλίσχρον εἶναι λέγων, καὶ ὁλκιμον, καὶ δυσέκκριτον τὴν τροφήν, ὑφ' ἧς τὰ νεῦρα τρέπεται. ἀλλὰ μὴν ταῦτα γε οὐκ ἄλλοθεν ποθέν, ἢ ἐκ τῶν φαινομένων περὶ τὰ νεῦρα συνελογίσατο. καὶ γὰρ ἑψόμενα καὶ σηπόμενα τὴν διάλυσιν εἰς τὸν τοιοῦτον ἔχει χυμόν. ἐν τε τῷ κατὰ φύσιν ἔχειν, ἄναιμα τελέως εἰσίν. ἀλλ' εἰ μὴ συγχωρηθείη τῶν μορίων ἕκαστον οἰκείῳ τῆς ἰδίας οὐσίας τρέφεσθαι χυμῷ τὸ πιθανὸν οἰχήσεται τοῦ λόγου. καὶ μὴν εἴπερ οἰκεῖος ἕκαστον τῶν μορίων τρέφει χυμός, οὐκ ἐνδέχεται τὸν τῶν καρχαροδόντων ζώων σπλῆνα, γλυκεῖαν ἔχειν τὴν τροφήν. εἴπερ δ' ἐπὶ τούτων μάλιστα φαίνεται σαφὴς ἡ ἰδέα τοῦ σπληνός, ὡς ἂν τὴν στρυφνὴν καὶ ὀξεῖαν ἐναργῶς ἔχοντες ποιότητα, πρόδηλον ὅτι καὶ ὁ τρέφων αὐτὴν χυμὸς τοιοῦτός ἐστιν, οὔκουν ἂν ἠμέλησεν ὁ δημιουργὸς τῶν τοιούτων ζώων ἐκκαθαίρειν τοῦ αἵματος ὅσον ἰλὺς τίς αὐτοῦ καὶ τρὺξ ἐστι. καθάπερ οὐδὲ τὸ πικρόχολον καὶ ὀῤῥῶδες περίττωμα. εἴπερ οὖν φαίνονται κατὰ τὸ σῶμα πάντῃ οἱ χυμοὶ περιεχόμενοι, ὥσπερ γὰρ Ἱπποκράτης ἀπέδειξεν ἐκ τοῦ πάντας ἐκκρίνεσθαι τοῖς ὑγιαίνουσιν ἑλκομένους ὑπὸ τῶν οἰκείων ἑκάστου φαρμάκων, οὐκ ἂν ἠμέλησεν ἡ διαπλάττουσα τὰ ζῶα τέχνη, ποιῆσαι τι τοῦ μελαγχολικοῦ περιττώματος ἑλκτικὸν ὄργανον. οὐ μὴν οὐδ' ἄλλο τι δυνατὸν ἐπινοῆσαι τοιαύτης ὑγρότητος οἰκεῖον μόριον, ὑπερβάντα τὸν σπλῆνα. ἆρ' οὖν ἔτι ζητήσεις διὰ τίνος ἀγγείου τὸ παχὺ τοῦ αἵματος φέρεται πρὸς αὐτόν. ἀπιστήσεις τε διὰ μιᾶς φλεβός, οὐ τὸν σπλῆνα μόνον ἕλκειν, ἀλλὰ καὶ τὴν γαστέρα τὸν οἰκεῖον χυμὸν ἐν ταῖς μακροτέραις ἀσιτίαις, εἰ μεμνημένος ὢν ἀπεδείξαμεν ἐν τοῖς περὶ φυσικῶν δυνάμεων ὑπομνήμασιν εἴης. οὔτε τούτων ζητήσεις οὐδέν, οὔτε πῶς διὰ τῶν αὐτῶν φλεβῶν ἐκ κοιλίας εἰς ὅλον τὸ ζῶον ἡ τροφὴ φέρεται. καταφέρεται δὲ πάλιν ἐπ' αὐτὴν διὰ τῶν αὐτῶν. ἔν τε γὰρ ταῖς ὑπὸ τῶν φαρμάκων καθάρσεσι κἄπειδὰν ἡ φύσις ἐκκαθάρῃ τὸ σῶμα κατὰ τὰς ἐν ταῖς νόσοις κρίσεις, ὥσπερ γε κἀπὶ τῶν ὑγιαινόντων πολλάκις αὐτό τε τὸ χρηστότατον αἷμα φέρεται πρὸς τὴν γαστέρα θρέψον αὐτὴν ἐν ταῖς μακροτέραις ἀσιτίαις, ἐκκρίνεται τε διὰ τῶν αὐτῶν φλεβῶν ἐξ ὅλου τοῦ σώματος ἀθρόως ἐνίοτε πολλὰ τῶν περιττωμάτων. ἀποδέδεικται δὲ περὶ τούτων ἁπάντων, ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι. καὶ χρὴ τὸν ἀντιλέγοντα μὴ πρὸς τὰ συμπεράσματα τῶν ἀποδείξεων ἐρωτᾶν λόγους, οὓς ἐν ἐκείνοις τοῖς γράμμασιν ἐξηλέγξαμεν, ἀλλὰ τὰς ἡμετέρας ἀποδείξεις ἀποδεικνύναι ψευδεῖς. ἢ εἰ μηδὲν τούτων πράξαιεν, σιωπᾶν αἰδουμένους, ὥσπερ Ἐρασίστρατος ἐποίησεν, οὐδὲν μὲν οὐδαμόθεν περὶ τῆς τῶν χυμῶν γενέσεως καὶ δυνάμεως εἰπών, ἔνθα δὲ ἐπεχείρησε θεραπείαν γράψαι παραλύσεως, ἀναγκασθείς, ἐμνημόνευσε τοῦ τρέφοντος τὰ νεῦρα χυμοῦ. καθάπερ γε κἀν τῷ δευτέρῳ περὶ πυρετῶν μαρτυρῆσαι τοῖς παλαιοῖς οὐ κένωσιν ἁπλῶς ὀνομάσας τὴν διὰ τῶν καταμηνίων ἔκκρισιν, ἀλλὰ κάθαρσιν, ὥσπερ γε καὶ τὴν διὰ τῶν καθαιρόντων γινομένην φαρμάκων. οὕτω γάρ τοι καὶ τὴν λοχείαν, κάθαρσιν ὀνόμασαν οἱ παλαιοὶ τῶν ἰατρῶν, οὐχ ἁπλῶς κένωσιν. ἐν γὰρ τῇ κυήσει τὸ χρηστότατον ἑλκούσης αἷμα τῆς διαπλαττούσης τε καὶ αὐξανούσης τὸ κύημα φύσεως, ὑπολείπεται τὸ μοχθηρότατον ἐν ταῖς φλεψίν, ὃ μετὰ τὴν ἀποκύησιν ἀποκρίνεται, καθάπερ ἐν ἑκάστῳ μηνὶ τὸ περιττόν τε καὶ ἄχρηστον οὐ κατὰ τὸ ποσὸν μόνον, ἀλλὰ καὶ κατὰ τὸ ποιόν. ὅπερ ὡς τὸ πολὺ μελάντερόν ἐστι τοῦ κατὰ φύσιν ἔχοντος αἵματος.
» οὕτω γοῦν ὁ Ἐρασίστρατος ἔγραψεν ἐν τῷ δευτέρῳ περὶ πυρετῶν κατὰ τήνδε τὴν λέξιν. καλῶς οὖν ἔχειν τὸν
» βουλόμενον ὀρθῶς ἰατρεύειν, ἐν τοῖς κατ' ἰατρικὴν γυμνάζεσθαι, καὶ μηδενὶ τῶν γινομένων συμπτωμάτων
» περὶ τὸ πάθος ἀζήτητον ἀφεῖναι. ἀλλ' ἐπισκοπεῖσθαι τε καὶ πραγματεύεσθαι, κατά τινα διάθεσιν ἕκαστον
» αὐτῶν γίνεται. συμβέβηκε γάρ ποτε γυναίου ἐν πυρετοῖς ὄντος, καὶ δοκοῦντος ἐλαφρῶς τε καὶ ἀκινδύνως
» ἔχειν, μελάνων οὔρων ἔκκρισιν γίνεσθαι, οἷα τὰ φαυλότατα ἐν τοῖς σημείοις ἀναγράφεται. ζητουμένης τε τῆς
» ἐκκρίσεως κατά τινα διάθεσιν γεγένηται, ἐφαίνοντο τότε τῇ ἀνθρώπῳ καθήκειν αἱ ἡμέραι τῆς καθάρσεως.
» οὐ γινομένης δὲ ταύτης τῆς ἐκκρίσεως, ἐπὶ τὴν κύστιν ὁρμὴν λαβεῖν τὰ συνειλημμένα, καὶ διὰ τὴν τούτου ἔκ-
» κρισιν, κουφισμὸν μᾶλλον ἄντις ὑπέλαβε τῇ ἀνθρώπῳ, ἢ δυσκολίαν γίνεσθαι, ὃ δὴ καὶ ἐπὶ τοῦ φαινομένου συ-
» νέβαινεν. οὐκ οὖν ὅτι τὰ μέλανα πολλάκις οὐρεῖται τῆς ἐμμήνου καθάρσεως μὴ γινομένης ὅτι τε κουφίζεσθαι μᾶλλον ὑπ' αὐτῶν ἢ παροξύνεσθαι συμβαίνει τὰς οὕτω νοσούσας γυναῖκας, ὅτι τε κάθαρσίς ἐστι ἡ διὰ τῆς μήτρας κένωσις, ἐδήλωσεν ὁ Ἐρασίστρατος, εἰς διάγνωσίν τε τῆς παρούσης διαθέσεως, εἰς πρόγνωσίν τε τῶν ἐσομένων, χρήσιμον εἶναι τὸν λόγον, ὃν διῆλθεν ὀρθῶς διηγούμενος. ἐπὶ πάντων οὖν τῶν εἰρημένων μαρτυρεῖται τὸν μελαγχολικὸν χυμὸν ἐν ἀνθρωπίνῳ σώματι γεννᾶσθαι. καθάπερ γε, καὶ τὸν πικρόχολον, καὶ τὸ φλέγμα. δέδεικται δὲ ἡμῖν ὁ τοῦ φλέγματος χυμός, ἐκ τῶν φλεγματικῶν ἐδεσμάτων κατὰ τὴν πρώτην ἐν τῇ γαστρὶ

πέψιν

πέψιν γινόμενος. ὥσπερ ὁ πικρόχολός τε καὶ ὁ μελαγχολικὸς ἐν ἥπατι. μεταβάλλεται καὶ κατὰ τὴν ἐν τούτῳ πέψιν ὁ φλεγματικὸς εἰς αἷμα, καὶ διὰ τοῦτο μηδ' ἐν αὐτῷ γεγονὸς ἴδιον ὄργανον εἰς κάθαρσιν τοῦ αἵματος, ὥσπερ αἵ τε κύστεις ἀμφότεραι, καὶ ὁ σπλήν, αἱ μὲν τοῦ τε πικροχόλου χυμοῦ, καὶ τῶν ὀῤῥωδῶν περιττωμάτων, ὁ δὲ σπλὴν τοῦ μελαγχολικοῦ χυμοῦ. τὸ μὲν γὰρ ἐν τῇ γαστρὶ γεννώμενον ὃ συναναφέρεται τοῖς εἰς ἧπαρ ἀναδιδομένοις ἐκ τῶν ἐσθιομένων τε καὶ πινομένων χυμῶν ἅμα τούτοις πεττόμενον, αἷμα γίνεται. τὸ δ' ὑπολειπόμενον ἐν τοῖς κατὰ τὴν γαστέρα χωρίοις ὑπὸ τῆς καταῤῥεούσης ἐξ ἥπατος εἰς αὐτὰ χολῆς ἀποῤῥυπτόμενον ἐκκρίνεται διὰ τῆς κάτω γαστρός. Ἐρασίστρατος δ' ὅτι μὲν ἐγίνωσκε ταῦτα, δῆλός ἐστιν ἐξ ὧν ἐν τοῖς τῶν θεραπευτικῶν λογισμοῖς ἠναγκάσθη διὰ τὴν χρείαν αὐτῆς μνημονεῦσαι. σιωπῶν δ' ἐν τοῖς πλείστοις, καταφωρος γίνεται, συσκιάζειν τε καὶ κρύπτειν ἑκὼν προαιρούμενος, ὅσα περὶ τῶν χυμῶν ὀρθῶς εἴρηται τοῖς παλαιοῖς ἰατροῖς, περὶ αὐτοῦ γοῦν ἵνα τἄλλα παραλίπωμεν, εἰ μὴ τὴν ἄρτι παραγεγραμμένην λέξιν ἐν τῷ ἔργῳ πως ἐμνημόνευσεν, ἐξ ἧς ὑπεμνήσθημεν, οὐκ ἂν ἔχοις εὔλογον αἰτίαν εἰπεῖν τῆς σιωπῆς γράφοντος αὐτοῦ, συμβῆναί γέ ποτε γυναικὶ ἐν πυρετῷ ὄντος, καὶ δοκοῦντος ἐλαφρῶς τε καὶ ἀκινδύνως ἔχειν, μελάνων οὔρων ἔκκρισιν γίνεσθαι. οἷα τὰ φαυλότατα ἐν τοῖς σημείοις ἀναγράφεται. οὐκ οὖν ὅτι μὲν τοῖς ἔμπροσθεν ἰατροῖς ἐν τοῖς φαυλοτάτοις σημείοις ἐγέγραπτο μέλαν οὖρον, ἐπίστασθαι φησὶν ὡς ἀνεγνωκὼς δηλονότι τὰ περὶ οὔρων αὐτοῖς γεγραμμένα μεγίστην ἔχοντα δύναμιν ἐπὶ τοῖς ὀξέσι πυρετοῖς νοσούντων. ἐχρῆν γοῦν αὐτὸν ἐν τῇ περὶ πυρετῶν πραγματείᾳ, καὶ μάλιστά γε κατ' αὐτὸ τοῦτο τὸ δεύτερον, ἐν ᾧ ταῦτ' ἔγραψεν ἐπὶ πλέον ἐξεργάσασθαι τὸν περὶ αὐτῶν λόγον. Ἱπποκράτης μὲν οὕτω κατὰ τὸ προγνωστικὸν ἔγραψεν, οὖρον δὲ ἄριστόν ἐστιν, ὁκόταν ᾖ λευκή τε ἡ ὑπόστασις, καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον ἔστ' ἂν κριθῇ ἡ νοῦσος. σημαίνει τε γὰρ ἀσφάλειαν, καὶ τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. εἰ δὲ παραλείποι, καὶ ποτὲ μὲν καθαρὸν οὐρέοι, ποτὲ δὲ ὑφίσταταί τε, λευκὸν καὶ λεῖον, χρονιωτέρα γίνεται ἡ νοῦσος, καὶ ἧσσον ἀσφαλής. εἰ δ' εἴη τό τε οὖρον ὑπέρυθρον καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε, καὶ λείη, πολυχρονιώτερον μὲν τούτου τοῦ προτέρου γίνεται, σωτήριον δὲ κάρτα. κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν ὑποστάσιες, πονηραί. τουτέων δ' ἔτι κακίους αἱ πεταλώδεες. λευκαὶ δὲ καὶ λεπταί, κάρτα φλαῦραι. τουτέων δ' ἔτι κακίους αἱ πιτυρώδεες. νεφέλαι δ' ἐμφερόμεναι τοῖσιν οὔροισι λευκαὶ μὲν ἀγαθαί, μέλαιναι δὲ φλαῦραι. ἔστ' ἂν δὲ πυῤῥόν τε ᾖ τὸ οὖρον καὶ λεπτὸν ἄπεπτον σημαίνει τὸ νόσημα. καὶ εἰ πολὺν χρόνον εἴη τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ ἡ νοῦσος. θανατωδέστατα δὲ τῶν οὔρων ἐστὶ τά θ' ὑδατώδεα καὶ δυσώδεα καὶ μέλανα, καὶ παχέα. ἔστι δὲ τοῖσι γυναιξὶ καὶ τοῖσιν ἀνδράσι τὰ μέλανα τῶν οὔρων κάκιστα. τοῖσι δὲ παιδίοισι τὰ ὑδατώδεα. ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πολὺν χρόνον, ἢν τὰ ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν, ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία. καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας, ἀραχνοειδέας μέμφεσθαι, συντήξιος γὰρ σημεῖον. σκοπέειν δὲ χρὴ τῶν οὔρων ἐν οἷσιν αἱ νεφέλαι, ἤν τε κάτω ἔωσιν, ἤν τε ἄνω, καὶ τὰ χρώματα ὁκοῖα ἔχουσι. καὶ τὰς μὲν κάτω φερομένας σὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται ἀγαθὰς εἶναι καὶ ἐπαινέειν. τὰς δ' ἄνω σὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται, πονηρὰς εἶναι καὶ μέμφεσθαι. μὴ ἐξαπατάτω δέ σε, ἤν τι αὐτέη ἡ κύστις νόσημα ἔχουσα τῶν οὔρων τι ἀποδιδῷ τοιοῦτον. οὐ γὰρ τοῦ ὅλου σημεῖον, ἀλλ' αὐτῆς καθ' ἑαυτήν. ταῦτα γράψαντος Ἱπποκράτους, καὶ μετ' αὐτὸν Διοκλέους τε καὶ Πραξαγόρου παραπλήσια τούτοις, εὔλογον ἦν εἴτ' ἀληθεύουσιν, εἴτε ψεύδονται, τὸν Ἐρασίστρατον εἰρηκέναι, τὸν λογισμὸν προσθέντα τῆς ἰδίας ἀποφάσεως. ὥσπερ γε καὶ περὶ τῶν ἐμουμένων τε καὶ διαχωρουμένων, ἐν οἷς ἐστι καὶ τὰ μέλανα καλούμενα, καὶ πρὸς αὐτοῖς, ἡ ἀκριβὴς μέλαινα χολή. καὶ γὰρ καὶ διορίζεσθαι συγκεχυμένον ἐν τῇ τῆς φωνῆς κοινωνίᾳ τῶν μελαγχολικῶν χυμῶν ἦν ἀναγκαῖον. ὅπερ ἐγὼ διειλόμην ἔμπροσθεν. Ἐρασίστρατος μὲν οὖν ὅλην τὴν περὶ τοὺς χυμοὺς τέχνην παρέλιπεν. ἐγὼ δὲ οὐ περὶ πάντων ἐνταῦθα προειλόμην εἰπεῖν, ἀλλὰ περὶ τῆς μελαίνης χολῆς μόνης. ὅσα μὲν τῇ κοινωνίᾳ τοῦ λόγου, καὶ περὶ τῶν ἄλλων ἔγραψα, δι' ἑτέρων ἐξείργασμαι. περὶ δὲ μελαίνης χολῆς τὰ διὰ μακρᾶς πείρας βεβαίως ἐγνωσμένα μοι, προσθήσω νῦν, χρήσιμα ἐσόμενα ἐκείνοις, ὅσοι τῆς ἰατρικῆς τέχνης οὐ τοὺς σοφιστικοὺς λόγους, ἀλλὰ τὰ ἔργα σπουδάζουσι. πάντα γὰρ ὅσα διὰ μελαγχολικὸν χυμὸν γίνεται πάθη, κατ' ἀρχὰς εὐθέως γενναίως καθαιρόντων τοῖς τὸν τοιοῦτον χυμὸν ἐκκενοῦσιν, αὐξηθῆναι κωλύσεις μέχρι καὶ τῶν καρκίνων. ἄξιον δὲ θαυμάσαι τῶν ἤτοι γ' ἀκόντων ἢ ἑκόντων σοφίσματα γραψάντων εἰς ἀναίρεσιν τοῦ μελαγχολικοῦ χυμοῦ, φασὶ γοῦν ἐπὶ τῶν παρὰ φύσιν ἐχόντων, μόνον αὐτὸν γεννᾶσθαι μηδενὸς τῶν ἀκριβῶς εὐχύμων ἔχοντος ἐν τῷ σώματι μέλαιναν χολήν. εἰ γοῦν φασιν ἀθλητῇ τινὶ ἄριστα διακειμένῳ δοίη φαρμάκου τοῦ ὀνομαζομένου μέλαιναν χολὴν ἐκκενοῦν, ὄψεται κενουμένην αὐτήν. ὥσπερ εἰ καὶ τῶν τὴν ξανθὴν χολὴν ἐκκαθαίρειν πεπιστευμένων προσενέγκῃ τις, ἐκείνην ὄψεται κενουμένην ᾧ καὶ δῆλον εἶναι φασίν, ὡς ἀλλοιουμένου τοῦ αἵματος ὑπὸ τῆς τοῦ φαρμάκου δυνάμεως, εἰς τὰς χολὰς γίνεται μεταβολή. καθάπερ γε κἂν εἰ φλέγματος ἀγωγὸν δοίης, ὄψει φασὶ καὶ τότε κενούμενον φλέγμα, παραπλησίως δέ, κἂν εἰ τὰ πεπιστευμένα τὸν λεπτὸν ἰχῶρα κενοῦν ἀναγκάσῃς προσενέγκασθαι τὸν εὐχυμότατον ἄνθρωπον, ὄψει καὶ τότε κενούμενον ὑδατώδη λεπτόν τινα ἰχῶρα. πρὶν μὲν οὖν ἀποδειχθῆναι τῶν καθαρτικῶν φαρμάκων ἕκαστον ἕλκειν ἕνα τινὰ χυμόν, οὗ πέφυκεν ὑπάρχειν ἑλκτικόν, ἔχει τι πιθανὸν ὁ λόγος αὐτῶν. ἀποδειχθέντος δὲ τούτου, τὸ ψεῦδος αὐτῶν καταφωρον γίνεται. ἐδείχθη γὰρ ὅτι τὸ οἰκεῖον ἕκαστον ἕλκει χυμόν, ἐκ τοῦ τὰ μὲν τοῖς ὑδερικοῖς διδόμενα φάρμακα τοσαύτην ἐνίοτε ποιεῖσθαι κένωσιν, ὡς ὅλας λεκάνας πληροῦν, ἀνάλογον δὲ τῷ κενουμένῳ, προστέλλεσθαί τε τὴν γαστέρα, καὶ κουφίζεσθαι σαφῶς τοὺς κάμνοντας, εὐπνουστέρους τε γίνεσθαι. τὰ δὲ τοῖς ἰκτεριῶσι, τὴν μὲν ξανθὴν χολὴν ἐκκενοῦν πλείστην, ὀνινάναι δὲ τοὺς πάσχοντας. εἰ δ' ἔμπαλιν, τὰ μὲν ὑδραγωγὰ φάρμακα, δοίης τοῖς ἰκτεριώδεσι, τὰ δὲ χολαγωγὰ τοῖς ὑδεριώδεσιν, ἐλάχιστόν τε τὸν οἰκεῖον κενώσεις χυμόν. οὐ μόνον δ' οὐδὲν ὠφελήσεις τοὺς κάμνοντας, ἀλλὰ καὶ βλάψεις μεγάλως. ὥσπερ εἰ καὶ φλεβοτομήσεις αὐτούς. καί τοι εἰ μὴ τοὺς ἡγουμένους ὑπὸ τῶν καθαιρόντων φαρμάκων ἀλλοιοῦσθαι τοὺς ἐν σώματι χυμοὺς,

ὡς ἂν ἕκαστον τῶν ἑλκόντων τὴν φύσιν ἔχῃ, περὶ καθῆραι τὸ φλεβοτομῆσαι τὴν ἴσην ἕξει δύναμιν. ὥσπερ οὖν ἡμεῖς ὑδραγωγὸν δόντες φάρμακον οἷς ἐστιν ὕδερος ἀσκίτης, ἐκκενούμενοί τε τὸ πλεονάζον ὑγρόν, ὠφελοῦμέν τε τοὺς κάμνοντας, οὕτω καὶ αὐτοὶ φλεβοτομίαν παραλαμβάνοντες, ὁρῶσιν εἰς ὅ, τι τελευτᾷ τὸ βοήθημα. γελοῖοι δ' εἰσὶ κἀκ τοῦ μηδὲν εἶναι κατὰ τὸ σῶμα περιεκτικὸν μελαίνης χολῆς ὄργανον, οἷον ἡ ἐπὶ τῷ ἥπατι κύστις ἐστὶ τῆς ξανθῆς χολῆς, ἡγούμενοι τεκμήριον ὑπάρχειν τοῦτο, τοῦ μηδόλως ἐν τοῖς ἀκριβῶς ὑγιαίνουσι σώμασι τὸν μελαγχολικὸν εἶναι χυμόν, ὅτι γὰρ οὐδὲ τὸ φλέγμα συγχωρήσαιεν ἐν ἡμῖν εἶναι, καθάπερ οὐδ' ἐν ταῖς περιστεραῖς, τὴν ξανθὴν χολήν, οὐ γὰρ ἔχουσι τὴν ἐπὶ τῷ ἥπατι κύστιν, ὥσπερ οὐδ' ἄλλα τινὰ ζῶα. καὶ μέντοι καὶ παρὰ τὴν ὁμωνυμίαν ἑαυτούς, οὐ γὰρ ἡμᾶς γε, σοφίζονται, τὸν μελαγχολικὸν χυμόν, ὃν ἐν τοῖς ὑγιαίνουσι γεννᾶσθαι φαμὲν ἀκούοντες ἀεὶ περὶ τῆς μελαίνης λέγεσθαι χολῆς, ἣν ἐν τῷ παρὰ φύσιν ἔχειν, γεννᾶσθαι φαμέν. οὐ γὰρ ἡ αὐτή κατά γε, τοὺς ἀκριβῶς ὑγιαίνοντας ἐστὶ μέλαινα χολή, καί τινας τῶν παρὰ φύσιν ἐχόντων, ἀμφοτέρας δὲ μελαγχολικὸν χυμὸν ὀνομάζειν οὐδὲν κωλύει. εἴρηται δὲ περὶ τούτων ἤδη καὶ πρόσθεν. ἀλλὰ καὶ νῦν οὐδὲν χεῖρον ἀναμνῆσαι περὶ αὐτῶν ἐν βραχέσι κεφαλαίοις, ἕνεκα τῶν λόγοις ψευδέσιν ἑαυτούς τε καὶ τοὺς μεμαθηκότας ἀκριβῶς τὴν Ἱπποκράτους γνώμην, σοφιζομένων.

ΓΑΛΗΟΥ ΠΕΡΙ ΤΡΟΜΟΥ, ΚΑΙ ΠΑΛΜΟΥ, ΚΑΙ ΣΠΑΣΜΟΥ, ΚΑΙ ΡΙΓΟΥΣ.

ΕΠΕΙΔΗ Πραξαγόρας ὁ Νικάρχου, τά τε ἄλλα τῆς ἰατρικῆς ἐν τοῖς ἀρίστοις γενόμενος, ἔν τε τοῖς περὶ φύσιν λογισμοῖς δεινότατος, οὐκ ὀρθῶς μοι δοκεῖ περί τε σφυγμοῦ, καὶ παλμοῦ, καὶ σπασμοῦ καὶ τρόμου γινώσκειν, ἀρτηριῶν μὲν ἅπαντα νομίζων εἶναι πάθη, διαφέρειν δὲ ἀλλήλων μεγέθει. διὰ τοῦτο ἔδοξέ μοι κοινῇ περὶ πάντων αὐτῶν ἐν τῷδε τῷ γράμματι διελθεῖν. οὐχ ἵνα ἐλέγξαιμι Πραξαγόραν, ἐν οἷς σφάλλεται, τοῦτο μὲν γὰρ αὐτάρκως Ἡρόφιλος ἔπραξε μαθητὴς αὐτοῦ γενόμενος, ἀλλ' ἵν' οἷς ὀρθῶς ἐκεῖνος ἔγραψε, τὰ λείποντα προσθῶ. περὶ μὲν δὴ τοῦ σφυγμοῦ τί ποτ' ἐστὶ καὶ καθ' ὅντινα τρόπον γίνεσθαι πέφυκεν, ἔν τε τῇ περὶ σφυγμῶν πραγματείᾳ δέδεικται, καὶ νῦν εἰρήσεται τοσοῦτον, ὅσον ἂν εἰς τὰ προκείμενα χρήσιμον εἶναι φαίνηται. περὶ δὲ τῶν ἄλλων, ἐν τῷδε τῷ πράγματι δίειμι, τὴν ἀρχὴν ἐνθένδε ποιησάμενος. αἰσθηταὶ κινήσεις ἐν τοῖς τῶν ζώων σώμασιν, ὁπόταν ὑγιαίνωσι, διτταὶ τῷ γένει φαίνονται, καθ' ὁρμὴν μέν, ἢ κατὰ προαίρεσιν, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλωσιν, οἱ τὰ μὲν τοιαῦτα δεινοί, τῆς δὲ τῶν πραγμάτων ἐπιστήμης ἀμελοῦντες, αἱ διὰ νεύρων τε καὶ μυῶν γινόμεναι, καὶ ταύτας ἔθος ἐστὶ τοῖς ἰατροῖς ὀνομάζειν προαιρετικὰς ἐνεργείας. ἕτεραι δὲ κινήσεις εἰσὶν ἐν τοῖς τῶν ζώων σώμασιν αἱ κατὰ τὰς ἀρτηρίας τε καὶ τὴν καρδίαν, ἃς προσαγορεύουσι ζωτικάς, ὄντος καὶ ἄλλου τρίτου γένους κινήσεων ἐν ταῖς φλεψὶν οὐκ αἰσθητοῦ, ὑπὲρ ὧν οὐδὲν ἐν τῷ παρόντι δέομαι λέγειν. ἀλλ' ἥ γε διὰ τῶν μυῶν τε καὶ τῶν νεύρων γινομένη καθ' ἣν καὶ τὰς χεῖρας, καὶ τὰ σκέλη κινοῦμεν, ἐν τρόμοις καὶ σπασμοῖς, καὶ ῥίγεσιν νοσώδεσιν, ἐνίοτε δὲ καὶ τοῖς παλμοῖς φαίνεται. πάντα γὰρ τὰ τοιαῦτα παθήματα πλημμελεῖς κινήσεις εἰσίν, τῶν αὐτῶν ὀργάνων, ἀφ' ὧν ὑγιαινόντων αἱ καθ' ὁρμὴν ἐπιτελοῦνται κινήσεις. ὁ τρόμος μὲν οὖν γίνεται τῆς ὀχούσης καὶ κινούσης τὸ σῶμα δυνάμεως ἀρρωστίᾳ, οὐ γὰρ ἐξ ἑαυτῶν δήπου τὰ μόρια τῶν ζώων, οὕτως ὄντα βαρέα, καὶ κάτω φέρεσθαι πεφυκότα, τὰς εἰς ἅπαντα τόπον ἔχει κινήσεις. ἀλλ' ἡ διὰ τῶν νεύρων τοῖς μυσὶν ἀπὸ τῆς ἀρχῆς ἐπιπεμπομένη δύναμις οἷον ὄχημα, καὶ παρόρμημα τῆς κινήσεως αὐτοῖς ἐστιν, ἣν ὅταν μὲν ἀπολέσῃ τελέως, ἀπόλλυσι δὲ τὰ παραλελυμένα, καταφέρεται καὶ πίπτει κάτω δίκην ὄρνιθος πτερορρυήσαντος. ὅθεν οὐδεμία κίνησις ἀπολείπεται τοῖς οὕτω παθοῦσιν. εἰ δὲ περιγίνοιτο μὲν ἡ δύναμις, ὀλίγη δὲ καὶ ἀσθενής, ὡς μήθ' ἱκανῶς ὀχεῖν τε καὶ βαστάζειν τὰ μόρια τοῦ σώματος, ἀλλ' ὥσπερ τι φορτίον φέρειν μὴ δύνασθαι, ἀνάγκη τὸ διακείμενον οὕτω μόριον, ἐν τρόμῳ καθορᾶσθαι. αἱ γὰρ ὑπὲρ τὴν δύναμιν τοῖς ἀσθενέσι κινήσεις βίαιοί τε καὶ πρὸς ἀνάγκην γιγνόμεναι τρομώδεις εἰσίν. οἶμαί σε πολλάκις ἑωρακέναι βαρὺ φορτίον ᾐρημένον τινά. κἄπειτα βαδίζειν ἐπιχειροῦντα πρὸς βίαν, ὡς τρομώδης γίνεται τοῖν σκελοῖν. καὶ γὰρ εἰ καὶ ταῖν χεροῖν ὑπὲρ βάρυτι βαστάζειν ἐπιχειροίη, τρομώδης ἔσται ταῖν χεροῖν. οὕτω δὲ καὶ ἄνθρωπος ὅταν φοβῆται ἤν τε τι ταῖς χερσὶ δρᾷν, ἤν τε βαδίζειν ἐθέλῃ, τρομώδεις μὲν αἱ χεῖρες αὐτῷ τολμῶντι δι' αὐτῶν ἐνεργεῖν, τρομώδη δὲ τὰ σκέλη βαδίζειν ἐπιχειροῦντι. καθαιρεῖ γὰρ ἰσχὺν δυνάμεως, οὐδὲν ἧττον τῶν ἄλλων φόβος. ἢν δὲ ἅπαξ αὕτη καταπέσῃ, καὶ ἀρρωστήσῃ, πᾶν ἄχθος γίνεται, κἂν παντελῶς ᾖ κουφότατον. ὥς τε καὶ τὸ σῶμα τοῦ ζώου κοῦφον ὂν πρότερον, οἷα φορτίον αὐτὴν βαρύνει. γέροντες δ' ὡσαύτως ἀπ' ἀσθενείας τὰ πολλὰ τρομώδεις εἰσίν, ὅσοις τε διὰ νόσον ἡ τοῦ σώματος ἰσχὺς ἐπόνησεν, οὐδὲ τούτοις ἄνευ τρόμων αἱ κινήσεις. ἐν πᾶσι γὰρ τοῖς οὕτως ἔχουσιν ἡ κινοῦσα τὰ μέρη καὶ βαστάζουσα δύναμις, ἀρρωστήσασα νυνί, ὅσον ἐπεφύκει πρότερον αἴρειν, οὐκέτι δύναται. καθάπερ ὀκλάζουσα περὶ τὴν κίνησιν. ἔνθα δὲ ἂν ὅλος ὁ τόνος ἐνδῷ τῆς φύσεως, ἐνταῦθα τοῦ κουφίζοντος ἀποροῦντα τὰ σώματα, τῷ σφετέρῳ βάρει φέρεται κάτω. καὶ ἔμεινεν ἐνταῦθα καθάπερ ἐν παραλύσεσιν, εἰ πᾶσαν τὴν δύναμιν ἡ ἰσχὺς ἐπιλελοίπει τελέως. ὅσον δὲ αὐτοῖς λείπεται, τοῦτο πάλιν ὀχεῖν ἐπιχειρεῖ. δύναται δὲ οὐδὲν νῦν ὅσον βούλεται δ'

τὴν δι᾽ ἀσθένειαν. ἀλλ᾽ ὀλίγον μέν τι κουφίζει, τὸ πλέον δ᾽ ἀπολείπει, ἀτελῆ καὶ κολοβὴν ἐγκαταλείπουσα καὶ ταύτην τὴν κίνησιν, αὖθις οὖν ἐπιτρέπει τοῖς σώμασι φέρεσθαι κάτω. τούτου συνεχῶς ἀποτελουμένου, καὶ τὴν ἄνω φορὰν ἐκδεχομένης ἀεὶ τῆς κάτω, συναπτούσης δὲ αὖ πάλιν τῆς ἄνω, διπλῆ μὲν καὶ σύνθετος ἡ πᾶσα γίνεται κίνησις. ἀμειβόντων ἀεὶ τῶν μορίων τοὺς τόπους, ὄνομα δὲ τῷ πάθει τρόμος εἰς μὲν τὰ κάτω τῆς φορᾶς τοῖς σώμασι τῷ σφετέρῳ βάρει γινομένης, ἄνω δὲ αὖ πάλιν ὑπὸ τῆς δυνάμεως αἰρομένης. ἀλλὰ καὶ παλμὸς ἴσως φήσει τις ὡσαύτως τῷ τρόμῳ κίνησις ἐστὶν ἀβούλητός τε καὶ ἀκούσιος ἐπαιρομένων τε καὶ καταφερομένων τῶν παλλομένων μερῶν, πῇ ποτ᾽ οὖν διοίσει τρόμος παλμοῦ, μέχρι μὲν τοῦ δὲ φαίνονται, μηδὲν ἀλλήλων διαφέροντες. διεγνώκασι δέ, οὔτε γὰρ τόπον πάσχοντα τὸν αὐτὸν φημὶ εἶναι τοῖς παλλομένοις, οὔτ᾽ αἰτίαν, οὔτε σύμπτωμα. τρέμει μὲν γὰρ μὴ προελόμενος κινεῖν τὸ κῶλον οὐδείς. πάλλεται δὲ τὰ παλλόμενα κἂν ἀποκείμενα τύχῃ, κἂν μηδεμίαν κίνησιν αὐτοῖς ἐπάγῃς. ἀπατῶνται δὲ κἀνταῦθα πολλοί, κεφαλάς τε τρομώδεις ὁρῶντες, ἀκίνητόν τε χεῖρα καὶ σκέλος, ὡς ἂν δόξειεν, ἀποτεταμένων ἐχόντων τινῶν, ἔπειτ᾽ οὐδὲν ἧττον τρεμόντων, οὓς χρὴ διδάξαι τὸν λόγον τοῦτον, οὐχ ὑπ᾽ ἐμοῦ νῦν πρῶτον λεγόμενον, ἀλλὰ καὶ πολλοῖς τῶν παλαιῶν, οὐχ ὅσα φαίνεται κινεῖσθαι ταῦτα κινεῖσθαι φασὶ μόνα. πολλὰ γοῦν ἀκίνητα μὲν εἶναι δοκεῖ, ἵνα καὶ τὸν αὐτὸν ἐπέχοντα τόπον, οὐδὲν δὲ ἧττον κινεῖται. τοὺς γοῦν ὄρνιθας οὐ μόνον ἄνω καὶ κάτω φερομένους, ἀλλὰ κἂν ἕνα τόπον ἐν τῷ ἀέρι κατειληφότες ὦσιν, ἐν κινήσει καὶ τότ᾽ ὑπάρχειν. ἐὰν γοῦν ἐν ἐκείνῳ τῷ τόπῳ νεκρῶν ὄρνιθος σῶμα τεθῇ, ῥαδίως ἐπὶ τὴν γῆν κατενεχθήσεται τῷ βάρει ῥέψαν, ᾧ δῆλον ὅτι καὶ τὸ μένον ἐπὶ τοῦ αὐτοῦ τόπου σῶμα, κινήσει τινὶ προχρώμενον ἐμετεωρίζετο, κατὰ τοσοῦτον μέρος γε κινήσεως, ὅσον ἔχειν ἄν, εἰ μόνῳ τῷ βάρει, καταφερόμενον τετύχηκεν. ὥστε ἣν δοκεῖς ἀκινησίαν εἶναι, σύνθετος ἐστὶν κίνησις ἐκ δύο τινῶν. εἰς ὑπεναντίους τόπους ἀπάγειν τὸ σῶμα δυναμένων κινήσεων, συγκειμένη. ὧν εἰ ἑτέραν ἀφέλοις τὴν ἄνω, τὴν λοιπὴν ὄψει ῥαδίως εἰς τὸν κάτω τόπον ἀπάγουσαν τὸ σῶμα. τοῦτ᾽ ἂν καὶ Ἱπποκράτης διδάσκει εἰπών. ἑστάναι, ἕλκεσιν ἥκιστα συμφέρει. καὶ ἄλλως, ἢν ἐν σκέλει ἔχῃ τὸ ἕλκος, οὐδὲ καθῆσθαι οὐδὲ πορεύεσθαι ἀλλὰ ἡσυχίην ἔχειν, ἀτρεμίζειν, καὶ συμφέρει. τὸ γὰρ ἀτρεμίζειν, καὶ ἡσυχάζειν, ὡς ὠφελοῦν, ἐπαινεῖ. τὸ δὲ ἑστάναι καὶ καθῆσθαι φησὶν ἥκιστα συμφέρειν. ἕτερόν τι τοῦ ἀτρεμίζειν καὶ ἡσυχάζειν ὑπάρχον, ἐντέταται γὰρ καὶ τότε οἱ μύες βαστάζοντές τε καὶ ἀπὸ τῆς γῆς ἐξαίροντες, καὶ ὀρθοῦντες τὸ σῶμα. διὰ τοῦτο, τοῦ περιπατεῖν οὐδὲν ἧττον τὸ ἑστάναι κοπῶδες, ὡς ἂν καὶ αὐτὸ κίνησις ὄν. ἀρθείσης γοῦν τῆς ψυχῆς τῆς κινούσης τε καὶ ὀρθούσης τὸ σῶμα, ῥαδίως ὄψει κείμενον ἐπὶ τῆς γῆς τὸ πρότερον ὂν ὀρθῶς, ᾧ δῆλον ὅτι καὶ ὁπόταν ὀρθὸν ᾖ, οὐκ ἦν ἀκίνητον. ἀλλ᾽ εἶχέ τι κουφίζον τε καὶ βαστάζον καὶ ἐξαῖρον αὐτό. ἐγὼ μὲν οὖν οὐδὲ τὸν κατακείμενον ἄνθρωπον, εἰ τὴν μὲν κεφαλὴν ὑψηλοτέραν ἔχοι, τοὺς δὲ πόδας ταπεινοτέρους, οὐδὲ τοῦτον ἀκίνητον εἶναι φημὶ παντάπασιν, ὑπέρρει γὰρ ἂν ῥαδίως ἐπὶ πόδας ἀπὸ τῶν ὑψηλοτέρων εἰς τὸ κάταντες ῥέπον, εἰ μή που κίνησιν τὴν ῥοπὴν ταύτην ἀντισηκοῦσαν. ταῦτ᾽ ἄρα καὶ ὁ Ἱπποκράτης ἔλεγεν, εἰ δὲ καὶ προπετὴς γένοιτο, καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστι. τὸ γὰρ ἐπὶ τοὺς πόδας ὑπορρεῖν κατακείμενον, ἀρρωστούσης ἐσχάτως δυνάμεως βεβαιότατον ἐστὶ γνώρισμα. ἑστάναι μὲν γὰρ ἢ καθέζεσθαι, ἢ ἀνίστασθαι μὴ δύνασθαι, δεινὸν μέν, ἀλλ᾽ ἧττον δεινόν, ἀπολήγουσι γὰρ πρὸς ταῦτα πολλοὶ τῶν νοσούντων εἰς ἔσχατον ἀσθενείας οὔπω προϊόντες. τὸ δὲ μὴ κατακεῖσθαι δύνασθαι ζῶντος τρόπον, ἀλλὰ κἀνταῦθα καθάπερ νεκρὸν καὶ ἄψυχον σῶμα καταφέρεσθαι, κακῶν ἔσχατον, τοῦτο ἐν τῷ περὶ χυμῶν ἔρριψιν ἐκάλεσεν. ὅπερ οἱ ἐξηγησάμενοι τὸ σύγγραμμα, μὴ νοήσαντες ἐλάλησαν πολλά. τὸ γὰρ καταβεβλῆσθαι δίκην ἀψύχου σώματος, παντὸς τοῦ τόνου τελέως ἐκλελυμένου τε καὶ ἀπολωλότος, ἔρριψιν εἶπεν. ὥστε μὴ ταυτὸν εἶναι τὸ ἐρρῖφθαι τῷ κατακεῖσθαι. ἀλλ᾽ ὃν ἔχει λόγον τὸ καταπίπτειν πρὸς τὸ κατακεῖσθαι, οὕτω κἀπὶ τῶν ὀρνίθων ἕτερον μὲν ἐστὶν ἐπὶ τὴν γῆν καταπτῆναι ἕτερον δέ, πεσεῖν ἐπὶ τὴν γῆν. τὸ μὲν γάρ, ἐνέργεια, τὸ δέ, πάθος ὡσαύτως οὖν τούτοις ἐνέργεια μὲν ἡ κατάλυσις ἐστι, πάθημα δέ, ἡ ἔρριψις. πρὸς τί δή μοι ταῦτα λέγεται, ἵνα τοὺς ἐπηρκότας ἢ σκέλος, ἢ χεῖρα, κἄπειτα φυλάττοντας ὡς ἔχουσι, μὴ δόξῃς ἀκινήτους εἶναι. μὴ δ᾽ ἂν ὅτι μάλιστα τυγχάνωσιν ἕνα καὶ τὸν αὐτὸν ἀεὶ κατέχοντες τόπον. εἰ δ᾽ οὐ βούλει συγχωρῆσαι κίνησιν ὑπάρχειν τοῖς οὕτω διακειμένοις, ἀλλ᾽ ἐνέργειάν τε πάντως αὐτοῖς συγχωρήσεις ὑπάρχειν. καὶ διπλασίαν γε τὴν ῥώμην ταύτην τῆς ἁπλῆς ἐνεργείας. ἐν μὲν γὰρ ταῖς ἁπλαῖς ἓν γένος ἐνεργεῖ μυῶν, ἤτοι τῶν καμπτόντων, ἢ τῶν ἐκτεινόντων τὸ κῶλον. ὅταν δὲ ἀποτείνας αὐτὸ διαφυλάττῃς, ἄμφω τὰ γένη τῶν μυῶν ἰσοσθενῶς ἐνεργεῖ. εἰ δὲ τούτου μνημονεύεις, ἀληθῆ παραφυλάττων εὑρήσεις ἀεὶ τὸν λόγον, ὅτι τῷ μηδεμίαν ἐπιχειροῦντι κινεῖσθαι κίνησιν, οὐκ ἐγγίνεται τρόμος. ἀδυνάτου γάρ ἐστι, καὶ ἀσθενοῦς κινήσεως σύμπτωμα. ὅθεν ὅτῳ κινεῖσθαι σώματι μηδόλως ὑπάρχει, παντί που δῆλον, ὡς οὐδὲ περὶ τὴν κίνησιν ἀσθενὲς καὶ ἀδύνατον ὑπάρξει. παλμὸς δέ γε καὶ τοῖς ἀκινήτοις συμβέβηκε. καὶ γὰρ ὀφρῦς, καὶ βλέφαρον, καὶ ὀφθαλμός, ἐπαίρονται πολλάκις ἄνευ βουλήσεως ἁπάσης. ἔνθα καὶ τοῦτό γε σαφῶς οἶμαι θεάσασθαι μεγάλην ἔχον μοῖραν εἰς ἐπίγνωσίν τε τοῦ πάθους τῆς φύσεως, ἀκριβῆ τε διάκρισιν ἀπὸ τῶν τρεμόντων. αἱ μὲν γὰρ ἐν τοῖς παλλομένοις μέρεσιν ἐπάρσεις τε καὶ θέσεις φαινόμεναι, διατάσεις εἰσί τινες τῶν σωμάτων, οἷα πληρουμένων. αὖθίς τε πάλιν κενουμένων συνιζήσεις. αἱ δὲ ἐπὶ τῶν τρεμόντων, ὅλου τοῦ κώλου κινήσεις εἰσί. ποτὲ μὲν εἰς τὸ κάτω ῥέποντος, αὖθις δ᾽ ἄνω φερομένου. διαστέλλεται δὲ οὐδέν, οὐδὲ συστέλλεται. διὰ τοῦτο τρέμει μὲν ὅλον τὸ μέρος ὁπόταν τι δρᾶν ἐπιχειρῶμεν. οὐδενὸς ἀκινήτου τῶν ἐν αὐτῷ μένοντος ἀλλ᾽ ὁμοίως μέν, οἱ μύες. ὁμοίως δὲ τούτοις, ἀρτηρίαι καὶ νεῦρα, καὶ φλέβες καὶ αὐτὰ τὰ ὀστᾶ. καὶ τὸ δέρμα, ποτὲ μὲν ἄνω φέρεται, ποτὲ δέ, κάτω, πάλλεται δὲ οὐ πάντα. νεῦρον γοῦν ἢ ὀστοῦν ἢ χόνδρον, ἤ τι τοιοῦτον ἕτερον, οὐκ ἂν ἴδῃς ποτὲ παλλόμενον. οὐ γὰρ ἔχει κοιλίαν ἧς ἐν μέρει διαστελλομένης τε καὶ συστελλομένης, ἐπαίρεσθαι μέν, ὅταν διαστέλληται. συμπίπτειν δὲ ὅταν συστέλληται τοῖς μέρεσιν ὑπάρξει. ἀλλ᾽ εἴτε μυῶν ἐστὶ πάθος μόνον ὁ παλμός, ὡς Ἡρόφιλος ἐνόμιζεν. ἢ καὶ τοῦ δέρματος, ἢ ἀρ-

τηειῶν, ὡς ὑπελάμβανε Πραξαγόρας, αὖθις τοῦτο σκεψόμεθα. τῇ γὰρ παρὰ τῇ τοῦ πεπονθότος τόπου ζητή-
σει, οἰκειοτέρα ἡ σκέψις. τὸ δέ γε νῦν εἶναι τοσοῦτον λαβόντες εἰς τὸ πρόσθεν ἴωμεν. ὅτι διάστασις μέν τις ἐστὶ
καὶ συνίζησις παρὰ φύσιν ὁ παλμός. ἀκούσιος δὲ κίνησις ἄνω τε καὶ κάτω τῶν μορίων ἐναλλὰξ φερομένων, ὁ
τρόμος. ἔστι δὲ οὐ ταυτὸν οὔτε τὸ ἄνω φέρεσθαι, τὸ διαστέλλεσθαι, οὔτε τῷ κάτω, τὸ συστέλλεσθαι, τὰ μὲν γὰρ
ἄνω καὶ κάτω φερόμενα τὸν πρότερον ἀπολείποντα τόπον, εἰς ἕτερον μεθίσταται. τὰ διαστελλόμενα δὲ, καὶ συ-
στελλόμενα τὴν ἀρχαίαν ἕδραν φυλάττοντα, τὸ μὲν, προσλαμβάνει τοῦ πέριξ χωρίου, τὸ δὲ, ἀπολείπει. ὥς τε τὸ
κινεῖσθαι μὲν, ἀμφοτέροις κοινὸν, ὅσα τε διαστέλλεται καὶ συστέλλεται. καὶ μέν τοι καὶ ὅσα κάτω τε καὶ ἄνω
φέρεται. ἴδιον δὲ τοῖς μὲν, ἐλάττονα τόπον ἢ πλείονα κατειληφέναι, τὸν δὲ ἐξ ἀρχῆς οὐκ ἀπολείπουσι. τοῖς δὲ, ἀεὶ
τοὺς τόπους ἀμείβειν, μή ποτε ἐν ταυτῷ μένουσι. δεήσει δὲ οἶμαι κἀνταῦθα μοι διορισμοῦ πρὸς τὸ πάντη τὸν λό-
γον ἀληθεύειν. πολλάκις γὰρ ἤδη πλειόνων ἅμα μυῶν, ἢ τινὸς ἑνὸς μεγάλου σφοδρῶς παλλομένου, συνεπαί-
ρεται μὲν διαστελλομένοις αὐτοῖς τὸ κῶλον, αὖθις δὲ καταπίπτει συστελλομένοις. ἐνθάδε τὴν ἀκούσιον ἔπαρ-
σίν τε καὶ θέσιν τοῦ κώλου, τρόμον οὐ χρὴ καλεῖν, ὄψει τε γὰρ σαφῶς τοὺς παλλομένους μύας, οἷς κινεῖται τὸ
κῶλον. αὐτή τε ἡ κίνησις, οὐχ οἵα τοῖς τρέμουσιν. ἐπὶ μὲν γὰρ τῶν διὰ τοὺς παλλομένους μῦς ἐν κινήσει τὸ κῶ-
λον ὅλον ἰσχόντων, ἰδίοις καὶ αἰσθητοῖς πέρασιν ἑκατέρα τῶν κινήσεων περιγράφεται. τῶν δὲ τρεμόντων τὸ πά-
θος, οὐ τοιοῦτον. ἀλλὰ τῆς ἑτέρας κινήσεως ἔτι ἀρχομένης, ὡς ἄν τις φαίη τὴν ἐναντίαν αὐτῇ συνάπτουσαν,
εὑρήσεις. ὥς τε ἀεὶ μὲν τῇ ἄνω φορᾷ ἐκδέχεσθαι τὴν κάτω. ταύτην δ' ὑπὸ ἐκείνης πάλιν κωλύεσθαι συνεχῶς.
ἀτελευτήτου μὲν ἀεὶ τῆς ἄνω φορᾶς. ἀτελευτήτου δὲ τῆς κάτω ῥοπῆς ὑπαρχούσης. τάδε μέν σοι τῶν παθῶν
τὰ γνωρίσματα, καὶ τοῖς δὲ τοῖς συμπτώμασιν ἀλλήλων διαφορά. τόπον δὲ πάσχοντα, καὶ τὸ ποιοῦν αἴτιον,
ἐφεξῆς ἂν εἴη σκοπεῖσθαι. πνεῦμα παχὺ καὶ ἀτμῶδες οὐκ ἔχον διέξοδον, αἴτιον εἶναι φημὶ παλμῶν, ἀθροίζε-
σθαι δὲ τοῦτο φημὶ χρῆναι κατά τινα κοιλότητα, μὴ κομιδῆ μικρὰν, εἰ μέλλει τὴν διάπτωσιν αἰσθητὴν ἕξειν
τὸ μόριον, εἴρηται μὲν δὴ τὸ πᾶν ἐν κεφαλαίῳ. δεῖ δέ σε τῶν ἀποδείξεων ἔτι πνευματικὴν μὲν εἶναι τὴν οὐ-
σίαν τοῦ αἰτίου τιθέναι, διὰ τὸ τάχος τῆς κινήσεως. τί γὰρ οὕτως ῥαδίως ἀθροίζεσθαί τε καὶ κενοῦσθαι δυνατὸν
ἄλλο πλὴν πνεύματος. ἔστι μὲν γοῦν τὰ συντιθέντα τὸν ἄνθρωπον, ὡς Ἱπποκράτης ἐδίδασκεν ἡμᾶς, στερεὰ, ὑγρὰ,
» καὶ πνεύματα. μέμνηται δέ πως αὐτῶν ὧς τε. τὰ ἴσχοντα λέγων, καὶ τὰ ἐνισχόμενα, καὶ τὰ ἐνορμῶντα. ἴσχον-
» τα μὲν τὰ στερεὰ καλῶν, περιέχει γὰρ καὶ ἀποστέγει τὰ ὑγρά. ἐνισχόμενα δὲ, τὰ ὑγρὰ, περιέχεται γὰρ ὑπὸ
τῶν στερεῶν. ἐνορμῶντα δὲ τὰ πνεύματα, πάντη γὰρ διικνεῖται τοῦ σώματος ἐν ἀκαρεῖ χρόνῳ ῥαδίως τε καὶ
ἀκωλύτως. ταχεῖαν οὖν κένωσιν, ἢ πλήρωσιν, ἢ διάστασιν, ἢ συνίζησιν, ἢ θέσιν, ἢ ἔπαρσιν, ἤ τινα ἄλλην κίνησιν,
οὐδὲν ἂν τῶν ἁπάντων ἐργάσαιτο, πλὴν πνεύματος. ὥστε καὶ παλμῶν αἰτία, οὐσία μὲν τὸ πνεῦμα, ποιό-
της δὲ τῆς οὐσίας ὑγρότης ἐστὶ, καὶ παχύτης, ὡς ὀλίγῳ πρόσθεν ἐλέγομεν. ἡνίκα παχὺ καὶ ἀτμῶδες ὠνο-
μάσαμεν αὐτό. εἰ γὰρ ἀερῶδες εἴη καὶ λεπτὸν, καὶ καθαρὸν, ἀκωλύτως διεξερχόμενον, οὔτε πληρώσει πο-
τὲ, οὔτε κενώσει τὰ μόρια. τὸ δὲ παχύτερον, ἢ κατὰ τοὺς πόρους τῶν σωμάτων ἐν οἷς ἀθροίζεται στεγόμενον ἐντὸς,
εἰ μὲν ἔχοι κοιλότητα τὸ σῶμα, ταύτην πληρῶσαν, ἤγειρέ τε καὶ διέστειλε τὸ περιέχον. εἰ δ' οὐκ ἔχοι μεταξὺ
δυοῖν ἀθροιζόμενον σωμάτων, ἀπὸ θατέρου θάτερον ἀφίστησιν, ἐπίκτητον ἑαυτῷ κοιλίαν ἐργαζόμενον οὗτος μὲν
ὁ τρόπος ὁ δεύτερος εἰρημένος καὶ περὶ τὸ δέρμα παλμοὺς ἐργάζεται πολλάκις, οὐκ αὐτοῦ τοῦ δέρματος ἐν ἑαυ-
τῷ κοιλότητά τινα κεκτημένου, ἀλλ' ἐν τῷ μεταξὺ τοῦ δέρματος καὶ τῶν ὑποκειμένων σωμάτων ἀθροίζεται τηνικαῦτα
τὸ πνεῦμα. ὁ δὲ τρόπος ὁ πρότερος εἰρημένος, ἐν μυσὶ μάλιστα γίνεται. κοιλότητες γοῦν ἐν τούτοις εἰσὶ πολλαί τε καὶ σμι-
κραί. Πραξαγόρας δὲ, καὶ ταῖς ἀρτηρίαις ἀνατίθησι σφυγμὸν, ὥσπερ ἀμέλει καὶ παλμὸν, καὶ τρόμον, καὶ σπασμὸν ἀρ-
τηριῶν πάθη. καὶ σφυγμὸν μὲν ἐν τῷ κατὰ φύσιν ἔχειν. παλμὸν δὲ καὶ τρόμον, καὶ σπασμὸν, ἀλλήλων μὲν διαφέρειν με-
γέθει, κινήσεις δὲ εἶναι παρὰ φύσιν. ὅτι δὲ οὐκ ὀρθῶς ἐγίνωσκε μόναις ἀρτηρίαις ἀναφέρων τὸν παλμὸν, οὐ χαλεπὸν ἐξε-
λέγξαι. σαφῶς γοῦν ἐστὶν ἰδεῖν πολλάκις καὶ τὸ δέρμα παλλόμενον, καὶ τοὺς μῦς, οὐδεμιᾶς κατὰ τὸν τόπον ἀρτηρίας οὔσης. ἢ εἰ
καὶ τυγχάνει τις, οὔσα κομιδῆ μικρᾶς ὑπαρχούσης. ὡς ἄν τινα φανερῶς γνῶναι δύνασθαι τὴν τοσαύτην διάστασιν οὐκ
εἶναι κατὰ τὸ τῆς ἀρτηρίας μέγεθος. εἰ δ' ὀρθῶς ἔνιοι τοῖς μυώδεσι σώμασι μόνοις ἀνατιθέασι τὸν παλμὸν, τοῦτο μοι δοκεῖ
μᾶλλον ἄξιον ἐπισκέψεως εἶναι. ἐγὼ μὲν γὰρ καὶ πάνυ νομίζω σαφῶς τὴν ἀρτηρίαν οὐ μόνον παλμῶδες ἀλ-
λὰ καὶ σπασμῶδές τι πολλάκις ἐμφαίνουσαν εὑρίσκειν. ὥσπερ καὶ ἄλλοι τῶν περὶ τοὺς σφυγμοὺς δεινῶν ὁμολογοῦ-
σιν, ἀλλὰ περὶ μὲν τούτου μακρότερός τε ὁ λόγος ἐστὶ, κἂν τοῖς περὶ σφυγμῶν εἴρηται. κατὰ δὲ τὸ δέρμα
μόνον ἐναργῶς φαίνονται παλμοὶ γινόμενοι πολλοῖς τῶν ἀνθρώπων οὐκ ὀλιγάκις, ὅταν ἀτμῶδες πνεῦμα
κατά τι μόριον αὐτοῦ γεννηθὲν, ἴσχηταί τε καὶ βραδύνῃ κατὰ τὴν διέξοδον. οὕτως δὲ κἂν ἐν μυσὶν ἢ ἄλλῳ
τινὶ σώματι φυσῶδες πνεῦμα πλεονάσῃ, κατ' ἐκεῖνο παλμὸν ἐργάζεται. ὅτι δὲ πνεῦμα παχὺ, καὶ ὁμιχλῶ-
δες, ἢ ἀχλυῶδες, ἢ φυσῶδες, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλοις, αἴτιον γίνεται παλμοῦ. καὶ διὰ τοῦτο τῶν ἡλικιῶν αἱ
ψυχρότεραι παλμοῖς εὐάλωτοι, καὶ φύσις σώματος ἡ ψυχροτέρα, καὶ χωρία ψυχρὰ, καὶ ὥρα τοῦ ἔτους ἡ χει-
μερινὴ, καὶ βίος ἀργὸς ἐν πλησμοναῖς τε καὶ μέθαις. ἐδέσματά τε ψυχρὰ καὶ φυσώδη. καὶ πάνθ' ἁπλῶς
ὅσα τὸ σῶμα καταψύχει. τὰ δ' ἐναντία τῶν δὲ καθαιρετικά ἐστιν αὐτίκα τῶν παλμῶν. τὰ μὲν γὰρ θερμαί-
νοντα, λεπτύνει τε τὸ πνεῦμα καὶ τὰ σώματα τίθησιν ἀραιὰ καὶ μαλακά. τὰ δὲ ψύχοντα πυκνοῖ μὲν, τὸ συ-
νάγει, καὶ μύειν ἀναγκάζει τῶν σωμάτων τοὺς πόρους. παχύνει δὲ καὶ πήγνυσι καὶ θολερὸν ἀποδείκνυσι καὶ πνεῦ-
μα. ῥαδίως οὖν ἴσχεται, διαπνεῖσθαι μὴ δυνάμενον, τῷ θ' ἑαυτοῦ πάχει, καὶ τῇ τῶν περιεχόντων αὐτὸ σω-
μάτων πυκνότητι. τὰ δὲ θερμαίνοντα πάλιν ἐξ ὑπεναντίου τοῖς ψύχουσι χέοντα καὶ χαλῶντα καὶ δια-
νοίγοντα τῶν σωμάτων τοὺς πόρους, αὐτό τε τὸ πνεῦμα λεπτύνοντα, καὶ πρὸς τὴν κίνησιν ἐπεγείροντα ῥαδίως,
οὕτως καὶ εὐπετεῖς αὐτῷ τὰς διεξόδους ἐργάζεται. διὰ τοῦτο καὶ τὰ ἰάματα τῶν παλμῶν οἱ παλαιοὶ τῶν
ἰατρῶν ἐξεῦρον, ὅσα λεπτύνειν τε καὶ θερμαίνειν δύναται. οἷα ἐστὶ τά τε δι' εὐφορβίου, καὶ πυρέθρου, καὶ λη-
μνησίας,

μυρσίας, καὶ θείου, καὶ πεπέρεως. ὅσα τε ἄλλα τοιαῦτα συγκείμενα φάρμακα. καὶ τῶν ὑδάτων δὲ, τὰ γῆθεν ἀνιόντα θερμὰ, καὶ τούτων μάλιστα τὰ νιτρώδη τε καὶ θειώδη καὶ ἀσφαλτώδη τε ταῦτα ἐπαινοῦσι. χρῶνται δὲ καὶ θαλάττῃ θερμαίνοντες αὐτὴν, καὶ ἅλμῃ εἰ θάλαττα μὴ παρείη. καὶ πίνειν διδόασι τὰ θερμαίνοντα φάρμακα, καὶ μάλιστ' αὐτῶν τὰ διὰ καστορίου συγκείμενα. τοῦτο μὲν γε καὶ ἔξωθεν ἐπιτιθέμενον, οὐ μόνον πινόμενον ἀγαθὸν φάρμακον, ὡς ἂν ἐκθερμαίνειν τε ἅμα καὶ λεπτύνειν καὶ ξηραίνειν ἀκριβῶς δυνάμενον. παλμοῦ μὲν δὴ παντὸς ἡ γένεσις ἐν τῷ ψυχρῷ, τρόμου δ' οὐδεμία πρόφασις, οὐδὲ τὸ ψυχρὸν αἴτιον. ἀλλ' ἡ μὲν διάθεσις, ἀῤῥωστία τῆς κινούσης τὸ σῶμα δυνάμεως. τῆς δ' εἰς τοῦτο ἄγειν αἰτίας δυναμένης, οὐχ ἓν εἶδος. ἀλλ' ἤτοι τροφῆς ἀπορία, καθάπερ ἐν χολέραις καὶ ῥεύμασι κοιλίας ἰσχυροῖς, καὶ σφοδραῖς αἱμοῤῥαγίαις, καὶ τοῖς ἀποκαρτεροῦσιν ἢ λυθέντος τοῦ ζωτικοῦ τόνου, καθάπερ ἐν στομαχικαῖς καὶ καρδιακαῖς ἐκλύσεσιν, ἢ βιαίας καὶ σφοδρᾶς ψύξεως καταλαμβανούσης, ἢ πλῆθος αὐτὴν οἷον φορτίου βαρύνοντος, ἄῤῥωστος εἰς τὰς κινήσεις γίνεται. ὅθεν οὐδὲ τῶν ἰαμάτων ἓν εἶδος τοῖς τρέμουσιν, ὥσπερ γε τοῖς παλλομένοις. ἀλλ' εἰ μὲν ὑπὸ καταψύξεως τρέμοιεν, τὸ θερμὸν ἴαμα αὐτοῖς ἐστιν. ὡς οἵ γε χειμῶνος ὁδοιποροῦντες εἶτα ἐν κρύει καρτερῷ καταληφθέντες ἡμιθνῆτές τε καὶ τρομώδεις οἴκαδε παρεγένοντο, ῥᾷστα τοῦ πάθους ἀπηλλάγησαν ἐκθερμανθέντες. ὁμοίως τούτοις ἰώμεθα, καὶ τοὺς ὑπὸ πυρετῶν καταβολαῖς ψυχθέντας ῥιγοῦντάς τε καὶ τρέμοντας. εἰ δὲ διαφθειρόμενοι γίνοιντο τρομώδεις ὡς ἐν ἐκλύσεσι καρδιακαῖς τε καὶ στομαχικαῖς, τὸ θερμαίνειν τούτους κακῶν ἔσχατον, αὐτὸ γὰρ τοὐναντίον ἐν τοῖς δὲ, πυκνῶσαι χρὴ τὴν ἐπιφάνειαν, ὅσα ψύχει καὶ στύφει καὶ συνάγει τοὺς πόρους προσφέροντας, οὐχ ὅσα θερμαίνει, καὶ χαλᾷ, καὶ ἀναπεπταμένους ἐργάζεται. εἰ δ' ἀπορίᾳ τροφῆς ὡς ἐν τοῖς ἀποκαρτεροῦσιν, ἢ ὑπερκενωθεῖσιν, οἱ τρόμοι γίνοιντο, τούτῳ μὲν οὐδὲ λόγου δεῖ. παντὶ γὰρ δῆλον τοῦτο, ὡς τροφῆς οὗτοί γε χρῄζουσιν. ὅσοι δὲ διὰ πλῆθος ὑγρῶν βεβαρημένης τῆς δυνάμεως τρέμουσιν, αἱ κενώσεις ἰάματα τούτοις. καθάπερ που καὶ Ἱπποκράτης διδάσκει λέγων. ἐσυμαργήω οἰκέτης ἧ, οὐδὲ αἷμα ἐγένετο ὡς ἔτεκε θυγατέρα, ἀπέστραπτο δὲ στόμα τῆς μήτρας. καὶ ἐς ἰσχίον. καὶ ἐς σκέλος ὀδύνη. παρὰ σφυρὸν φλεβοτομηθεῖσα, ἐρήισε. καὶ οἱ τρόμοι τὸ σῶμα πᾶν κατεῖχον. ἀλλ' ἐπὶ τὴν πρόφασιν δεῖ ἐλθεῖν, καὶ τῆς προφάσεως τὴν ἀφορμὴν. γυναικὸς μέμνηται μετὰ τόκον, οὐ καθαρθέντος τὴν λεγομένην τὰ δεύτερα λοχείαν κάθαρσιν, εἶτα τρομώδους γενομένης, τοῦτο φησὶν ἰασάμενον φλεβοτομήσας ἀπὸ σφυροῦ. καίτοι τρόμοι τὸ σῶμα πᾶν εἶχον. τί δὴ ἕτερον αἰνίττεται ἐν τούτῳ, ἢ ὅτι ἕτερος οὐκ ἂν ἐφλεβοτόμησε. ψυχρὸν γὰρ εἶναι πεπίστευται τὸ πάθος ὁ τρόμος. τὸ δ' αἷμα θερμόν. οὔκουν ἐτόλμησεν ἄν τις αἵματος κενοῦν, ἐν πάθει θερμαίνεσθαι δεομένῳ. ἀλλ' ἐγὼ φησὶν ἐτόλμησα, καὶ διδάσκει. καὶ διατί. ἀλλ' ἐπὶ τὴν πρόφασιν δεῖ ἐλθεῖν. καὶ τῆς προφάσιος τὴν ἀφορμὴν. τὸ ἐνοχλοῦν φησὶν ἐπιστάμενον, καὶ τοῦ ἐνοχλοῦντος τὴν αἰτίαν. τὸ μὲν οὖν ἐνοχλοῦν, ἦν αἵματος πλῆθος. αἰτία δὲ αὐτοῦ, τῆς μήτρας ἡ πρὸς τὸ ἰσχίον τις ἔγκλισις, δι' ἣν οὐκ ἐκαθάρθη τὸ γύναιον. ὅπερ οὖν ἔχρην αἷμα κενωθῆναι μὴ κενούμενον, ἀλλ' ἐν τῷ σώματι πλανώμενον ἄχθος ἦν τῇ φύσει, ὅθεν ἐπιγνοὺς τοῦ τρόμου τὴν μὲν πρόφασιν αἵματος πλῆθος, ἀφορμὴν δὲ τῆς προφάσεως, τῆς μήτρας τὸ πάθος, εἶτα τοῦ μὲν πλήθους ἐνδειξαμένου τὴν κένωσιν, τοῦ πεπονθότος δὲ μέρους τὸν τόπον δι' οὗ χρὴ κενῶσαι, συνθεὶς ἄμφω ταῦτα, τὴν ἀπὸ τοῦ σφυροῦ φλεβοτομίαν μὲν ἐποιήσατο, φλεβοτομίαν μὲν ὅτι κενοῦν αἷμα ἐβούλετο, ἀπὸ σφυροῦ δὲ, μήτρα γὰρ ἐπεπόνθει. ὅτι μὲν οὖν αἵματος πλεονάζοντος φλεβοτομεῖν χρὴ, δῆλον οἶμαι παντί. τὸ γὰρ αἷμα ἐν φλεψὶ περιέχεται. ὅτι δὲ μήτρας παθούσης περὶ σφυρὸν, ἢ κατ' ἰγνύην χρὴ τέμνειν, εἰ μὴ πρότερον ἐξ ἀνατομῆς διδάξαιμι τὰς κοινωνίας τῶν φλεβῶν, οὐκ ἂν ἕπεσθαι δύναιο τῷ λόγῳ. ἄλλῃ γοῦν ἄλλῳ μέρει τοῦ σώματος κοινωνεῖ φλέψ, καὶ χρὴ διὰ τῶν κοινῶν ἀεὶ τὰς κενώσεις ποιεῖσθαι, ὡς εἴ γε τὰς μηδὲν κοινωνησάσας τῷ πεπονθότι μέρει φλέβας ἐντέμοις, οὔτε τὸ πεπονθὸς ἰάσῃ, καὶ βλάψεις ἀεὶ τὸ ὑγιές, ἀναγκαῖον οὖν ἀεὶ φαίνεται τῷ μέλλοντι καλῶς ἰᾶσθαι τὴν αἰτίαν ἐπίστασθαι, δι' ἣν γίνεται τὸ πάθος. ἀλλὰ περὶ μὲν αἰτίας τρόμου ἱκανὰ ταῦτα. πεπονθὼς δὲ τόπος εἷς οὐδείς ἐστιν ἐξ ἀνάγκης ἐν τρόμοις. καὶ μέμφομαί γε ἐν τούτῳ Πραξαγόρᾳ, καὶ Ἡροφίλῳ. τῷ μὲν ἀρτηριῶν πάθος εἰπόντι τὸν τρόμον, Ἡροφίλῳ δὲ φιλοτιμουμένῳ δεῖξαι περὶ τὸ νευρῶδες αὐτὸ γένος ἀεὶ συνιστάμενον. ὁ μὲν οὖν Πραξαγόρας πόῤῥω τοῦ ἀληθοῦς ἥκει. ὁ δὲ Ἡρόφιλος ἠπατήθη τὸ τῆς δυνάμεως πάθος ἀναφέρων τοῖς ὀργάνοις. ὅτι μὲν γὰρ τὸ νευρῶδες γένος οὐ τὸ ἀρτηριῶδες ὑπηρετεῖ ταῖς κατὰ προαίρεσιν κινήσεσιν, ὀρθῶς ἐγίνωσκεν. ὅτι δὲ οὐκ αὐτὸ τὸ σῶμα τῶν νεύρων αἴτιον κινήσεως, ἀλλὰ τοῦτο μὲν, ὄργανον, ἡ κινοῦσα δ' αἰτία, ἡ διήκουσα δύναμις διὰ τῶν νεύρων ἐστὶν, ἐνταῦθα μέμφομαι αὐτῷ μὴ διορίσαντι δύναμίν τε καὶ ὄργανον. εἰ γὰρ διώρισεν, εὐθὺς ἂν ἔγνω διότι βλαβήσεται τοὔργον οὐκ ὀργάνων μόνον, ἀλλὰ καὶ δυνάμεων πάθη. ἐπὶ μὲν οὖν τῶν τεθνεώτων, οὐδὲν οὔτε τὰ νεῦρα πέπονθεν, οὔθ' οἱ μύες ὅσα πάθη πάσχειν αὐτὰ νομίζουσιν Ἡρόφιλός τε καὶ Πραξαγόρας. ἀπολέλοιπε δ' αὐτῶν πᾶσα κίνησις εὐθὺς ἅμα τῇ ψυχῇ. μύες δὲ καὶ νεῦρα ταύτης ὄργανα. οὔκουν μυὸς οὐδὲ νεύρου τὸ κινεῖν, ἀλλὰ ψυχῆς. οὐδὲ γὰρ αὐλῶν ἔργον, αὔλησις οὐδὲ κιθάρας, ἡ κιθάρισις. ἀλλ' αὔλησις μὲν ἔργον αὐλητοῦ διὰ ὀργάνων αὐλῶν. κιθάρισις δὲ, τοῦ μουσικοῦ. τὸ δ' ὄργανον, ἡ κιθάρα. διαφθαρήσεται δὲ καὶ αὔλημα καὶ κιθάρισις, πολλάκις μὲν, διὰ τὸν τῶν ἔργων δημιουργὸν, ἔσθ' ὅτε δὲ διὰ τὴν τῶν ὀργάνων, οἷς χρῶνται, βλάβην. οὕτως δὲ καὶ κινήσεσι ἐν τῷ ζώῳ ταῖς κατὰ προαίρεσιν, ὁ μὲν οὖν δημιουργὸς καὶ τεχνίτης ἡ διοικοῦσα τὸ ζῶόν ἐστι δύναμις. τὰ δὲ ὄργανα νεῦρα καὶ μύες. καὶ τὸ μὴ κινεῖσθαι τοιγαροῦν, καὶ τὸ ἱκανῶς κινεῖσθαι γένοιτ' ἂν, ἢ διὰ τῶν ὀργάνων τὸ πάθος, ἢ διὰ τὴν χρωμένην τοῖς ὀργάνοις δύναμιν. παλμοὶ μὲν οὖν καὶ σπασμοὶ καὶ παραλύσεις, ὀργάνων βλάβαι. τρόμοι δὲ δυνάμεως ἀῤῥωστούσης πάθη. τρόμος μὲν δὴ σαφῶς διώρισται παλμοῦ. ῥῖγος δὲ τρόμου διορίσαις ἂν ὧδε. χρὴ δὲ πρότερον οἷόν τι τὸ ῥιγοῦν ἐστὶν ἐπισκέψασθαι. καὶ γὰρ οὖν καὶ τοῦτο δοκεῖ μὲν εἶναι τῶν πάνυ γνωρίμων. ἔστι δ' οὐδενὸς ἧττον δυσδιάγνωστον, οὐ ταύτῃ μόνον, ὅτι τὴν αἰτίαν εὑρεῖν, ἢ τὴν ἐπ' αὐτῆς περὶ τὸ σῶμα γινομένην διάθεσιν, οὐκ εὐπετές. ἀλλ' ἔτι τούτων πρότερον ἐν αὐτῷ δοκοῦσί μοι τῇ τῆς ἐννοίας ὑπογραφῇ σφάλλεσθαι. ῥῖγος γὰρ, εἰ μὲν οὕτως ἁπλῶς κατάψυξιν εἴποις, ὡς τινὲς ἀπεφήναντο, κατάφορον τὸ σφάλμα. πολλῶν μὲν ἰσχυρῶς καταψυχομένων, οὐ μὴν καὶ ῥιγούντων. ἀλλ' οὐδ' εἰ κατάψυξιν ἰσχυρὰν, οὐδὲ τοῦτ' ἀληθές. οἱ γοῦν

στομαχικῶς ῥιγοῦντες ἢ καρδιακῶς, ἰσχυρῶς μὲν εἰσὶ κατεψυγμένοι. ῥιγοῦσι δὲ οὔ. τὸ δὲ σὺν τρόμῳ λέγειν κατά-
ψυξιν τὸ ῥῖγος, εἰς ὅπερ οἱ πολλοὶ τῶν ἰατρῶν ἀπηνέχθησαν, ἀφορμὴν ἔσχηκε τῆς ἀπάτης, τὸν βρασμὸν καὶ τὸν
κλόνον τὸν τοῖς σφοδροῖς ῥίγεσιν ἐζευγμένον. ἐξελέγχεται δ' ἐναργῶς ἐκ τοῦ μήθ' ἅπασι τοῖς ῥιγοῦσιν συμβε-
βηκέναι, μόνοις δὲ τοῖς σφοδρῶς. μήθ', οἷς συμβέβηκε, τρόμου τοῦ γινομένου πάθους ὄντος, ἀλλά τινος οἷον σεισμοῦ τε
καὶ κλόνου. τρόμος μὲν γὰρ ὡς ἀπεδείξαμεν ἄνευ τοῦ προελέσθαι κινεῖν τὸ μόριον, οὐ γίνεται, ὃς τοῖς σφοδρῶς ῥι-
γοῦσι συνεδρεύων κλόνος οὕτω βίαιός τε καὶ μετ' ἀνάγκης ἐμπίπτει τοῖς σώμασιν, ὥστε ἀμήχανον ἡσυχάζειν,
κἂν πάνυ τις ἀνδρείως ἀντιτάξηται. καὶ τρόμου μὲν ἑνὸς πάθος μορίου, ὅλου δὲ τοῦ σώματος τὸ ῥῖγος. ὅθεν ἐμοί
γε καὶ Πλάτωνος ἐπέρχεται θαυμάζειν, εἰ ταυτὸν ἡγεῖται τρόμον τε καὶ ῥῖγος. εἰ γὰρ οἱ σὺν τρόμῳ κατάψυ-
ξιν εἰπόντες τὸ ῥῖγος, ἥμαρτον. πῶς γ' ἂν αὐτὸς ταυτὸν εἶναι νομίζων τὸ τρέμειν τῷ ῥιγοῦν ἀληθεύει; πρὸς μὲν
γὰρ οἷς εἴπομεν ἀτόποις ἔτι καὶ τοῦτο αὐτῷ μάχεται. τὸ τρέμειν μέν τινας οὐδεμίαν αἴσθησιν ἔχοντας ψύξεως.
ἀμήχανον γὰρ εἶναι ῥιγοῦν ἄνευ τοῦ δοκεῖν καταψύχεσθαι. διὰ τοῦτ' οὖν οὐδ' ἐκεῖνοι μοι δοκοῦσι πόρρω τῆς ἐννοίας
ἔρχεσθαι τοῦ πάθους, ὅσοι καταψύξεως αἴσθησιν ἔφασαν εἶναι τὸ ῥῖγος. οὐ γὰρ ταυτὸν δή που φαίης ἂν ἐ-
ψῦχθαί τε καὶ ψύξεως αἰσθάνεσθαι. τὰ μέν τοι παρειμένα τε καὶ τὰ ναρκώδη καὶ δυσαίσθητα. καὶ τὰ παν-
τελῶς ἀναίσθητα κατέψυκται πάντα, καὶ τὸ τρομῶδες, καὶ τὸ παράπληκτον, καὶ τὸ ἐπίληπτον. ὡσαύτως δὲ
καὶ τὸ φυσῶδες, καὶ τὸ ὑδερῶδες. καὶ τὸ ἐμφυσηματῶδες, καὶ τὸ οἰδηματῶδες ἅπαν ψυχρόν. ἀλλ' οὐδὲν τούτων
αἰσθάνεται τῆς ἐν αὐτῷ ψύξεως. ὅθεν οὐδὲ ῥιγοῖ. εἰ δ' αἴσθοιτο, πάντως εὐθὺς καὶ ῥιγώσει. διὰ ταῦτα τοίνυν φημὶ
μὴ καλῶς ὑπολαμβάνειν τὸν Πλάτωνα, ταυτὸν εἶναι ῥῖγος τε καὶ τρόμον. οὔτε ἑνὸς ἐστὶ μορίου τὸ πάθος τὸ ῥιγοῦν,
ὡς τὸ τρέμειν, οὔτ' αἴσθησις ψύξεως τοῖς τρέμουσιν, ὡς τοῖς ῥιγοῦσιν. ἥ τε κίνησις ἐπὶ μὲν τῶν ἄνευ τοῦ κινεῖν ἐθέ-
λειν τὰ μόρια, παντάπασιν ἀκούσιος. ἐπὶ δὲ τῶν τρεμόντων, οὐκ ἄνευ τῆς περὶ τὸ κινεῖν ὁρμῆς. ἀλλὰ Πλάτωνι μὲν
ἴσως καὶ συγχωρήσειεν ἄν τις, ἐν οὕτω λεπτοῖς καὶ ἰατρικοῖς πράγμασιν ἁμαρτάνειν. καί τοι τῶν γε ἄλλων πα-
θῶν τῶν κατὰ τὸ σῶμα σχεδὸν ἁπάντων τὴν γένεσιν ἀκριβῶς διεξῆλθεν. Ἀθηναίου δὲ ἄξιον θαυμάζειν τοῦ Ἀτταλέως·
πολὺ γὰρ ἔτι καὶ Πλάτωνος ὕστερος γενόμενος, οὐκ ἐν τοῖς περὶ τὰς αἰτίας λογισμοῖς μόνον ἕπεται τῷ Πλάτωνι.
τοῦτο μὲν γὰρ ἀνεκτόν, ἀλλὰ καὶ περὶ τὴν ἔννοιαν ὁμοίως ἐκείνῳ φαίνεται συγκεχυμένος. οὔτε γὰρ διωρίσατο ῥί-
» γους καὶ τρόμου τὴν ἔννοιαν, ὑπογράφων τε τὸ ῥῖγος, ὧδέ πως φησί. τῇ δὴ μάχῃ, καὶ τῷ σεισμῷ τούτῳ, τρόμος
καὶ ῥῖγος ἐπετέθη ψυχρὸν δὲ τὸ πάθος ἅπαν τοῦτο. καὶ τὸ δρῶν, αὐτὸ ἔχον ὄνομα, ὥς που, φησί, καὶ ὁ Πλάτων λέ-
» γει. οὗτος γὰρ αὐτὴν τὴν λέξιν εἴρηκε τοῦ Πλάτωνος. ἔχει δὲ ἡ σύμπασα τόνδε τὸν τρόπον. τὰ γὰρ δὴ τῶν περὶ τὸ
» σῶμα ὑγρῶν μεγαλομερέστερα εἰς τὰς ἐκείνων οὐ δυνάμενα ἕδρας ἐνδῦναι, συνωθοῦντα ἡμῶν τὰ νοτερά, εἰσὶ δὲ
» τὰ σμικρότατα ἔξωθεν τὸν ἕτερον ἐξ ἀνωμάλου κεκινημένον. ὅτ' ἀκίνητον δι' ὁμαλότητα καὶ τὴν ξύνωσιν ἀπερ-
» γαζόμενα πήγνυσι. τὸ δὲ παρὰ φύσιν συναγόμενον μάχεται κατὰ φύσιν αὐτὸ ἑαυτῷ εἰς τὸ ἐναντίον ἀπωθοῦν. τῇ
δὲ μάχῃ καὶ τούτῳ τῷ σεισμῷ τρόμος καὶ ῥῖγος ἐτέθη, ψυχρὸν δὲ τὸ πάθος ἅπαν, τοῦτο καὶ τὸ δρῶν αὐτὸ ἔχον ὄνομα. ὅ-
τι μὲν οὔτε τῷ τρόμῳ ταυτόν ἐστι τὸ ῥιγοῦν, ἀλλ' οὐδὲ κατάψυξις ἁπλῶς, οὐ μὴν οὐδὲ κατάψυξις ἰσχυρά, σαφῶς ἤδη
δέδεικται. τὸ δ' ὀλίγῳ πρόσθεν ῥηθὲν ὡς ἄρα κατάψυξις ἐστὶν ἀλλ' αἰσθητή, βασανίσωμεν, εἰ μὴ ψευδῶς εἴρηται. τι-
νὲς γάρ, οὐκ αἰσθητὴν ψύξιν τὸ ῥῖγος, ὀδυνηρὰν εἶναι νομίζουσι. καταψύχεσθαι μὲν γάρ φασιν ἰσχυρῶς πολλοὺς καὶ τῶν
ὑγιαινόντων, οἱ μὲν ἑκόντες, ἐκ ψύξεως ἐπιθυμίᾳ, διατρίψαντες ἐπὶ πλεῖον ἐν ὕδατι ψυχρῷ. τινὲς δὲ καὶ χρείας
τοῦτο, χρονίζουσιν ἐν τῷ ψυχρῷ. ῥιγοῦσι δ' οὐκ εὐθύς, ὥσπερ οὐδ' ὁ λελουμένος, εἶθ' ἑαυτὸν ἐμβαλὼν εἰς ὕδωρ ψυ-
χρόν. οὐδὲ γὰρ οὗτος καὶ εἰ μὴ χρονίσειεν ἐπὶ πολύ, ῥιγοῖ. καί τοι τῆς γε τοῦ ψυχροῦ ποιότητος αἰσθάνεται σαφῶς. ὡς
θ' ὅσον ἤδη τῷ τῆς ψύξεως αἰσθάνεσθαι, πάντες ἂν εὐθέως ἐρρίγουν οὗτοι, εἴπερ ἡ αἰσθητὴ ψύξις τὸ ῥῖγος. ἀλλ' οὐ ῥι-
γοῦσιν εἰκότως. οὐ γάρ ἐστιν ἅπασι μετ' ὀδύνης ἡ ψύξις. ἀλλά τινες αὐτῶν ὅσοι θέρους ὥρᾳ μάλιστα μὴ φέροντες τὸ
πνῖγος, εἰς ψυχρὸν ὕδωρ ἑαυτοὺς ἐμβάλλουσιν, οὕτω φιληδοῦσι πρὸς τὴν ψύξιν, ὥστε διατρίβουσιν εἰς τοσοῦτον ἐν
αὐτῷ μέχρις ἂν ἁπτομένοις δόξωσιν ἀπεψῦχθαι δίκην κρυστάλλου. ἆρ' οὖν ἔχοιμεν ἂν ἤδη τὸ πᾶν, ὀδυνηρὰν ψύ-
ξιν ὁρισάμενοι τὸ ῥῖγος, ἤ τινος ἔτι προσδεῖ. τάχα γὰρ οὐ πᾶν ῥῖγος οὕτως ὁριστέον. ἐπί γέ τοι τῶν νοσούντων, οὐ ταυ-
τὸν ἐνίοις δοκεῖ τὸ ῥιγοῦν τῷ φρίττειν, ἢ καταψύχεσθαι. λέγομεν οὖν πολλάκις εἰσβολὴν παροξυσμοῦ τῷ δὲ μὲν τι-
νι μετὰ ῥίγους, ἑτέρῳ δέ τινι μετὰ φρίκης. ἄλλῳ δὲ μετὰ καταψύξεως μόνης γεγονέναι, κἂν τοῖς τῶν ἰατρῶν ἁ-
πάντων συγγράμμασιν ἡ αὐτὴ χρῆσις ἐστὶ τῶν ὀνομάτων. ὡς ὅταν μὴ μετὰ βρασμοῦ καὶ κλόνου καταψύχηταί
τις, οὐ ῥιγοῖ οὗτος. ἀλλὰ δεῖ εἴπερ μέλλει τὸ πάθος ῥῖγος καλεῖσθαι, τὴν ἀνώμαλόν τε καὶ ἀπροαίρετον αὐτῷ κίνη-
σιν προσεῖναι. τὸ δ' ἄνευ ταύτης. εἴ γε μὴ δὲ τὴν ἐπιφάνειαν ἀνωμάλως κινεῖ, κατάψυξιν καλοῦσιν. εἰ δὲ ταύτην
μὲν ταράττοι τε καὶ σείει κατά τινας ἐμβολάς, τὸ δ' ὅλον σῶμα μὴ συγκινεῖ, φρίκην ὀνομάζουσιν, ὡς εἶναι τὴν φρί-
κην, τοῦ δέρματος μόνου πάθος τοιοῦτον, οἷον τοῦ παντὸς σώματος τὸ ῥῖγος. ἐπὶ δέ γε τῶν ὑγιαινόντων, ἑτέρως
τὸ ῥιγοῦν λέγομεν (ἐκτείνοντες) ἐπὶ * πᾶσαν ὀδυνηρὰν κατάψυξιν. εἰ δὲ νοσήματος λόγῳ γίγνοιτο, ῥῖγος οὐκ
ἀρκεῖ μόνον τοῦτο φάναι. προσθεῖναι δὲ χρὴ τὴν παντὸς τοῦ σώματος ταραχήν, ὃ ἐπαγόμενοι τινές, μετὰ τρόμου κα-
τάψυξιν εἶπον αὐτό. σαφῶς δέ, οὐχ ἡρμήνευσαν. οὐ γὰρ χρὴ τρόμον καλεῖν, ἀλλὰ βρασμόν τινα ἀπροαίρετον ἢ
κλόνον. ἢ σεισμόν, ἢ τοιοῦτον ἕτερον ἐξευρίσκειν ὄνομα. τὸ γὰρ τοῦ τρόμου κατὰ πάθους ἰδίου κεῖται. ἐοίκασιν οὖν οἱ
τὸ νοσερὸν ῥῖγος ὁριζόμενοι, κατάψυξιν, ἄλλο μηδὲν εἰπόντες, ἀλλὰ τὸ τοῖς ὑγιαίνουσι γινόμενον. καί τοι
τὸ νοσερὸν ῥῖγος ὑπὲρ οὗ τοῖς ἰατροῖς ὁ πᾶς λόγος, ὁρίζεσθαι προὔκειτο καὶ τοῖς εἰρημένοις ἀνδράσι. νοσερὸν δὲ καλοῦ-
μεν, ὅταν ἄτερ μηδενὸς ἔξωθεν αἰτίας βιαίας, ἀλλ' ἐξ ἑαυτοῦ τὸ σῶμα τοιαύτην ἴσχει διάθεσιν. οὕτω γὰρ δὴ οἶμαι καὶ
» Ἱπποκράτης ἔλεγεν. ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγενομένου, λύσις. οὐκοῦν ψυχρὸν ὕδωρ καταχέας τῷ πυρέτ-
» τοντι, ποιήσεις ῥῖγος, ἀλλ' ὅταν ἐξ αὐτοῦ ἐγείρηται τῆς ἐν τῷ σώματι διαθέσεως. κατὰ δὲ τὸν αὐτὸν τρόπον εἴρηται
καὶ ταῦτα. μετὰ ῥίγους ἄγνοια, κακόν. κακὸν δὲ καὶ λήθη. τὰ ἑκταῖα ῥίγεα δύσκριτα. ῥίγεα δ' ἄρχεται γυναιξὶν
ἐξ ὀσφύος διὰ νώτου μᾶλλον. ἀτὰρ καὶ ἀνδράσι μᾶλλον ὄπισθεν ἢ ἔμπροσθεν. ἐν ἅπασι γοῦν τούτοις οὐ τὸ τοῖς ὑγιαί-

νοσεῖ γινόμενον, ἀλλὰ τὸ νοσῶδες εἴρηται ῥῖγος. ὅπερ ἐστὶ κατάψυξις ἀλγεινὴ μετά τινος ἀνωμάλου σεισμοῦ καὶ κλόνου, παντὸς τοῦ σώματος. ὁπότ' οὖν τί ποτέ ἐστι ῥῖγος, ἐγνώκαμεν, ἑξῆς ἴδωμεν καὶ τίς μὲν ἡ ποιοῦσα τὸ πάθος αἰτία. τίσι δὲ μάλιστα προηγουμέναις αἰτίαις ἕπεται, καὶ τίσιν ἐπιγίνεται διαθέσεσιν, ὑπὲρ ἁπάσης τε τῆς γενέσεως αὐτοῦ. ὅτι μὲν γὰρ τὸ ῥῖγος οὖν πάθος ἐστὶ τοῦ κατὰ φύσιν θερμοῦ, σχεδὸν ἅπασιν ὡμολόγηται. δεῖται δὲ πᾶς ὁ λόγος οὗτος, ἀκριβοῦς ἀκροατοῦ καὶ πολὺ μάλιστα νοῦν ἔχοντος. ἐγὼ μὲν γὰρ εἶπον τοῦ κατὰ φύσιν θερμοῦ πάθος εἶναι τὸ ῥῖγος, ἵνα μή τις τοῦ ἔξωθεν νομίσας εἰρῆσθαι, καταψεύδεσθαί με δόξειεν Ἐρασιστράτου, καὶ Πραξαγόρου, καὶ Φιλοτίμου, καὶ Ἀσκληπιάδου, καὶ μυρίων ἄλλων, ὅσοι τὸ θερμὸν οὐκ ἔμφυτον, ἀλλ' ἐπίκτητον εἶναι νομίζουσι. πῶς γὰρ ἂν οὗτοι πάθος ἐμφύτου θερμοῦ λέγοιεν, οἱ μὴ δὲ τὴν ἀρχὴν ἔμφυτον εἰδότες θερμόν; ἀλλ' ἔμφυτον μὲν, ὥσπερ εἴπομεν, οὐ πάντες ὁμολογοῦσι τὸ θερμὸν ὑπάρχειν, γένεσιν δ' ἐπίκτητον αὐτῷ τεχνώμενοι, διαφερόντως ἄλλος ἄλλην, ἐν τούτῳ πάντες ὁμολογοῦσιν, ὡς ἔστι τι κατὰ φύσιν ἐν ἑκάστῳ ζώῳ θερμὸν, ἐν τῷ προσήκοντι μέτρῳ θεωρούμενον. καὶ δὴ περὶ τούτου, ῥῖγός τε καὶ φρίκην, φασὶν, ἅπασαν τε γίνεσθαι κατάψυξιν. Ἀσκληπιάδης γοῦν οὐ μόνον τὸ θερμὸν, ἀλλ' οὐδ' ἄλλην τινὰ τιθεὶς ἔμφυτον δύναμιν, ἅπαντα πυρετὸν ἐπί τισιν ἐμφράξεσιν ὄγκων ἐν πόροις ἀεὶ συνίστασθαι λέγων, ἐν μεγέθεσι πόρων τὴν διαφορὰν τιθέμενος αὐτοῦ, οὕτω φιλοτεχνεῖ, δείκνυσί τε τισὶ μὲν ἀνάγκῃ ῥῖγος ἐζεῦχθαι, τισὶ δ' οὔ. καὶ ἔγωγ' ἂν εἰ μὴ μακρότερόν τε τοῦ καιροῦ τὸν λόγον ἤλπιζον ἔσεσθαι, καὶ ἄλλως οὐ δίκαιον ἡγοῦμαι ὑπὲρ Ἀσκληπιάδου μὲν ἐπεσκέψασθαι μόνου, παρελθεῖν δὲ τὰ τῶν ἄλλων, ἢ πάλιν ἁπάντων ἐπιχειρῶν μνημονεύειν, εἰς μακρὸν, καὶ ἀπέραντον ἐμπεσεῖν λόγου μῆκος, ἑξῆς ἂν ὑπὲρ ἁπασῶν τῶν δοξῶν ἐπεσκεψάμενος, ἀφ' ὅτου γε πιθανὸν τὴν ἀφορμὴν ἔσχηκεν ἑκάστη, καί τι μάλιστα τὸ ἀπατῆσαν, ὅπῃ τε σφάλλονται δείξας, οὕτως ἂν ἐπὶ τὴν ἡμετέραν ἧκον δόξαν. ἀλλὰ ταῦτα μὲν εἰς ἕτερον ἀναβεβλήσθω καιρόν. οὐδὲ γὰρ Ἀθήναιον ἐπαινῶ, περὶ μὲν Ἀσκληπιάδου καὶ Ἡρακλείδου τοῦ Ποντικοῦ, καὶ Στράτωνος τοῦ φυσικοῦ λέγοντά τι, τῶν δ' ἄλλων οὐδενὸς μνημονεύοντα. καίτοι γε οὐ τὰς τούτων δόξας μόνον περὶ ῥίγους ἀλλ' ἑτέρας πολὺ πλείους οὐδὲν ἧττον ἐνδόξους τε καὶ πιθανὰς εἶχεν εἰπεῖν. ἡμεῖς οὖν ἀρχὴν ὁμολογουμένην λαβόντες, ὡς ἔστι τοῦ κατὰ φύσιν ἐν ἑκάστῳ ζώῳ θερμοῦ πάθος τὸ ῥῖγος, ἴδωμεν ὅπως γίνεται. προκόψει δ' ὁ λόγος ἐπὶ ταῖς Ἱπποκράτους ἀρχαῖς οὐκ ὄγκους καὶ πόρους ἡμῶν στοιχεῖα τιθεμένων ἡμῶν τοῦ σώματος. οὐδὲ κινήσεως ἢ παρατρίψεως, ἤ τινος ἄλλης αἰτίας, ἔκγονον τὸ θερμὸν ἀποφαινόντων, ἀλλὰ τὸ μὲν, ὅλον σῶμα σύμπνουν τε καὶ σύρρουν ἡγουμένων, τὸ θερμὸν δ' οὐκ ἐπίκτητον, οὐδ' ὕστερον τῆς τοῦ ζώου γενέσεως. ἀλλ' αὐτὸ πρῶτόν τε καὶ ἀρχέγονον, καὶ ἔμφυτον. καὶ ἥ γε φύσις καὶ ἡ ψυχὴ οὐδὲν ἄλλο, ἢ τοῦτ' ἐστιν, ὥστ' οὐσίαν αὐτοκίνητόν τε καὶ ἀεικίνητον αὐτὸ νοῶν, οὐκ ἂν ἁμάρτοις. ἕκαστον δὲ τούτων, ἰδίᾳ βεβασάνισται. καίτοι μαθεῖν ἔνεστιν ὑπὲρ αὐτῶν ἑτέρωθι. τὸ νῦν δὲ εἶναι, τοῦ λόγου τὸ συνεχὲς ἐρευνητέον. ἅτε γὰρ ἀεικίνητον ὂν τὸ ἔμφυτον θερμὸν, οὔτ' εἴσω μόνον, οὔτ' ἔξω κινεῖται. διαδέχεται δ' ἀεὶ τὴν ἑτέραν αὐτοῦ κίνησιν, ἡ ἑτέρα· ταχὺ γὰρ ἂν ἡ μὲν ἔσω μόνη κατέπαυσεν εἰς ἀκινησίαν, ἡ δὲ ἐκτὸς ἐσκέδασέ τε καὶ ταύτῃ διέφθειρεν αὐτό. μέτρια δὲ σβεννύμενον, καὶ μέτρια ἀναπτόμενον, ὡς Ἡράκλειτος ἔλεγεν, ἀεικίνητον οὕτω μένει. ἀνάπτεται μὲν οὖν τῇ κάτω συννεύσει, τῆς τροφῆς ὀρεγόμενον. αἰρόμενον δὲ καὶ πάντῃ σκιδνάμενον, σβέννυται. ἀλλὰ τὴν μὲν ἄνω τε καὶ ἔξω φορὰν, καὶ ὡς ἄν τις εἴποι ἐξάπλωσιν ἀπὸ τῆς ἰδίας ἀρχῆς, διότι φύσει θερμόν ἐστιν, κέκτηται, τὴν δ' εἴσω τε καὶ κάτω, τουτέστιν ἐπὶ τὴν ἰδίαν ἀρχὴν ὁδὸν, ὅτι ψυχροῦ τι μετέχει, μικτὸν γὰρ ἐκ θερμοῦ καὶ ψυχροῦ γέγονε. κατὰ μὲν τὸν πρῶτον λόγον τοῦ θερμοῦ, τοῦ τ' ἐστὶν αὐτοκίνητον αὐτοῦ, καὶ τούτου μάλιστα δεῖται πρὸς τὰς ἐνεργείας. μεγάλην δ' ὅμως αὐτῷ χρείαν καὶ τὸ ψυχρὸν παρέχει. πέφυκε γὰρ τὸ μὲν θερμὸν εἰς ὕψος αἴρεσθαι καὶ συμπροσάγειν αὐτῷ τὴν τροφήν. εἰ δὲ μὴ τὸ ψυχρὸν ἐμποδὼν ἐγένετο, καὶ ἐπὶ μήκιστον προῆκε. γίνεται δ' ἐμποδὼν τὸ ψυχρὸν τῇ τοιαύτῃ τοῦ θερμοῦ κινήσει, ὡς μὴ ἀπόλλοιτο ἐκτεινόμενον. κίνδυνος γὰρ ὑπὸ κουφότητος καὶ τῆς πρὸς τὸ ἄνω ὁρμῆς ἀποστῆναι τῶν σωμάτων αὐτό. ἀλλὰ τὸ ψυχρὸν ἐπέχει τε καὶ κωλύει, καὶ τῆς ἄγαν ταύτης κινήσεως ἀφαιρεῖ τὸ σφοδρόν. ἐπανέλθωμεν οὖν ἐφ' ἅπερ ἐξ ἀρχῆς ὑπεθέμεθα, δεικνύντες οἷόν τι πάθος ἐστὶ τῆς ἐμφύτου θερμασίας τὸ ῥῖγος. ὅτι μὲν γὰρ ἐπειδὰν ἐν τοῖς κατὰ φύσιν ὅροις μένῃ τῆς κράσεως, ὑγιαίνει τὸ ζῶον, οὐ δεῖται λόγου. τουτέστιν, ὅταν ὡς Ἱπποκράτης ἔλεγε μετρίως ἔχῃ τὸ θερμὸν καὶ τὸ ψυχρὸν τῆς πρὸς ἄλληλα κράσεως. ἢν δὲ τὸ ἕτερον τοῦ ἑτέρου κρατήσῃ, νοσεῖν ἀνάγκη τὸ ζῶον, εἶδος νοσήματος ἐοικὸς τῇ φύσει τοῦ κρατήσαντος αἰτίου. φλεγμοναὶ μὲν οὖν καὶ ἐρυσιπέλατα, καὶ ἕρπητες, καὶ ἄνθρακες, καὶ τὰ καυσώδη, καὶ φλογώδη, καὶ πάντα τὰ πυρετώδη πάθη, ὅταν ἡ τοῦ θερμοῦ δύναμις ἐπικρατῇ· σπασμοὶ δ' αὖ πάλιν, καὶ τέτανοι, καὶ παλμοὶ, καὶ νάρκαι. καὶ παραλύσεις, ἐπιληψίαι τε καὶ παραπληγίαι, τοῦ ψυχροῦ κρατοῦντος πάθη. ἕν τι τῶν τοιούτων παθῶν ἐστὶ καὶ τὸ ῥῖγος τουτὶ, οὐχ ἁπλῶς ὂν κατάψυξις, ἀλλὰ συναίσθησις, ὅθεν αὐτῷ δεῖ προσθεῖναι καὶ τὸ, ἀθρόον, ἔτι δὲ σφοδρὰν εἶναι χρὴ τὴν κατάψυξιν, καὶ βιαίαν, ὡς εἶναι σαφῶς διοριζάμενον ἀληθεύειν, κατάψυξιν ἀθρόαν, καὶ βίαιον εἶναι τὸ ῥῖγος τοῦ ἐμφύτου θερμοῦ πάλιν γὰρ ὡς ὁ Πλάτων ἔλεγε. τὸ μὲν ἠρέμα καὶ κατὰ μικρὸν, ἀναίσθητον. εἰ δὲ *ἀναίσθητον, ἀνάγκη τοῦτο μεγάλως κινεῖν, καὶ τρέμειν ἀθρόως. ὥστ' ἔμψυξις ἡ μὲν ἀναίσθητος, ἐν χρόνῳ πλείονι καὶ κατὰ βραχὺ γένοιτ' ἄν. ἡ δὲ ταχεῖά τε καὶ μεγάλως ἐξαίρουσα, πάντως σὺν αἰσθήσει. οὐδὲ γὰρ ἂν τὸ τοιοῦτον πάθος διαλάθοι. τὸ δὲ τοιοῦτον πάθος σὺν αἰσθήσει τῆς ψύξεως οὐχ ἅπαν ὀδυνηρὸν, ἀλλ' ἔστιν ὅτε καὶ ἥδιστον. ἔλεγε γὰρ αὖ πάλιν ὁ Πλάτων. ὅτι τὸ μὲν παρὰ φύσιν, καὶ βίαιον γινόμενον ἀθρόον ἐν ἡμῖν πάθος ἀλγεινόν. τὸ δὲ εἰς φύσιν ἀπιὸν αὖ πάλιν ἀθρόον, ἡδύ. ὥστε τὸ μὲν ἀθρόον κοινὸν ἀμφοῖν ἡδέος τε καὶ ἀλγεινοῦ, τοῦ μὴ λαθεῖν τὸ πάθος ἕνεκεν ἀναγκαίως ἐζευγμένον. ἐπὶ τούτου δὲ τὸ μὲν πρὸς τῷ μὴ λανθάνειν εἰς τὴν φύσιν ἐπανάγον, ἡδύ. τὸ δ' ἐξιστὰν τοῦ κατὰ φύσιν, ἀλγεινόν. ὅθεν ἓν καὶ ταυτὸ τῷ πλήθει ψυχρόν. τὸ μὲν, ἧσε. τὸ δ' ἠνίασεν. εἰ μὲν ὑπὲρ τεθερμασμένῳ σώματι προσάγοιτο, πάντως ἧσε. τὸ γὰρ ἄμετρον τῇ θερμασίᾳ πονούμενον ἐπὶ τῇ τοῦ λείποντος εἰσόδῳ ψυχροῦ παρηγορηθὲν, ἥσθη μὲν, ὅτι παρηγορήθη. τὴν ἑαυτοῦ τε φύσιν ἔχον, ἢν ἀθρόως ἐμψύχοις, ἀνιάσεις, πονήσει καὶ ἐπὶ τῷ τῆς κράσεως ἀμέτρῳ.

† al. αἰσθητον

» τοῖς γὰρ κατὰ τὴν φύσιν ὡς Ἱπποκράτης ἔλεγε, διαλλασσομένοισι καὶ διαφθειρομένοισιν αἱ ὀδύναι γίνονται. οὐ μόνον, ἣν ἀθρόαν χρὴ καὶ σφοδρὰν εἶναι τὴν ψύξιν, ἵνα ῥῖγος γένηται, ἀλλ᾽ ἔτι τούτῳ προσεῖναι δεῖ τὸ βίαιον τοῦ πλήθους. τουτέστι τὸ παρὰ φύσιν, ὥστε ἀθρόαν ψύξιν εἰς τὸ παρὰ φύσιν ἄγουσαν, εἶναι τὸ ῥῖγος. καί μοι δοκεῖ τοῦτο χρῆναι διαφυλάττειν ἐν τούτῳ τῷ λόγῳ μάλιστα περὶ τὴν τοῦ πάθους γένεσιν, εἰ μέλλοι τις ἀληθεύειν, εἰπὼν, ψύξιν ἀθρόαν καὶ βίαιον ἐν τῷ ῥίγει γίνεσθαι τοῦ ἐμφύτου θερμοῦ. ψύχεται μὲν οὖν, καὶ διαφορούμενον, ὑπολείποντος αὐτὸ τοῦ συνέχοντος τόνου, καὶ τροφῆς ἀπορῶν, ὅθεν ἀνήπτετο, ἀλλ᾽ οὐδέτερον τούτων αὐτῷ τῶν παθημάτων ῥῖγος ἐργάζεται, ἢ πάντες ἂν οἱ ἀποθνήσκοντες ἐρρίγουν. ὥς τε τὸ διαφθείρεσθαι τὸ θερμὸν ἑνί γε τρόπῳ κοινὸν ἅπασι τοῖς ἀποθνήσκουσιν, ἀλλ᾽ οὐ ῥιγοῦσιν. οὐ γὰρ ἁπλῶς φημὶ χρῆναι ψύχεσθαι τὸ θερμὸν, ἀλλ᾽ ἀθρόως τε καὶ βιαίως. τουτέστιν ἐρρωμένον αὐτὸ μένον, οὔτε τὴν οὐσίαν, οὔτε τὸν τόνον βεβλαμμένον ὑπό τινος τῶν ἔξω αἰτίων ἀνιᾶσθαι. φλόγα δή μοι νόησον ἐκτὸς, ποτὲ μὲν ἀπορίᾳ τῆς ὕλης ὅθεν ἀνήπτετο, διαφθειρομένην, ποτὲ δὲ ἐν ἡλίῳ λαμπρῷ μαραινομένην, αὖθις δ᾽ ὑφ᾽ ὕδατος πολλοῦ κατασβεννυμένην, ἢ πλήθει ξύλων ἐπ᾽ αὐτῆς σωρευθέντων καταπνιγομένην. τέτταρσιν αὗται ἐπ᾽ αἰτίοις τέτταρσιν οὐ τὸν αὐτὸν ἅπασαι τρόπον ἀδικοῦσαι τὴν φλόγα. τῆς μὲν γὰρ ἐν ἡλίῳ μαραινομένης ὁ τόνος σκίδναται, βίᾳ τοῦ περιέχοντος διαφορούμενος, ἰσχυροτέρα γὰρ ἡ τῶν ἡλιακῶν ἀκτίνων ῥώμη, καὶ διαρκεστέρα τοῦ πυρός. ὅταν δὲ ὕλης ἀπορούσα μηκέτι ἀνάπτηται, τῆς οὐσίας ἀπολλυμένης, διαφθείρεται. τὸ μὲν γὰρ ἀναφθὲν, ἀεὶ διαφορεῖται κατὰ τὴν ἔξω κίνησιν. ἔσω δὲ νεύουσα τοῦ τραφῆναι χάριν, εἶτ᾽ ἀπορούσα τοῦ θρέψαντος, ἀσθενῶς οὕτω τὸ δεύτερον ἀποτείνεται. ὕλης δὲ πλήθει βαρυνθεῖσα καὶ τῆς ἀναπνοῆς στερηθεῖσα, πνίγεται. ἡ δὲ τῆς ἀφ᾽ ὕδατος βλάβης, οὐδὲ λόγου δεῖ. μάχη γὰρ ἰσχυρὰ φλογὶ πρὸς ἅπασαν εἰλικρινῆ τε καὶ πολλὴν ὑγρότητα, ὡς εἰ καὶ τοὔλαιον αὐτῇ προσάγοις ἀθρόον ἀνάγκη ψόφον καὶ σεισμόν τινα γενέσθαι, μονονουχὶ φωνῇ τοῦ πυρὸς ἐνδεικνυμένου τὸ βίαιον. τοιοῦτον δή τι πάθος περὶ τὴν ἔμφυτον θερμασίαν νόει τὸ ῥῖγος. οὔτε γὰρ ὅταν δι᾽ ὕλης ἔνδειαν ἀτροφοῦν τὸ θερμὸν μαραίνηται, οὐδ᾽ ὅταν ὑπὸ τοῦ πλήθους αὐτῆς βαρυνόμενον, οὐδ᾽ ὅταν ἀρρωστήσαν ὀκλάζῃ, ῥῖγος εὑρήσεις γινόμενον, ἀλλ᾽ ὅταν ἰσχυρὸν ὂν ἀποτείνεσθαι δυνάμενον, εἶτα κωλύηται. δι᾽ αὐτὸ δὲ τοῦτο καὶ τὸ κλονεῖσθαι τῷ σώματι συμβέβηκε, διπλῆς κἀνταῦθα καὶ συνθέτου κινήσεως γινομένης, ὡς ἐπὶ τῶν τρεμόντων, ἕτερον δὲ τρόπον. ἐκεῖ μὲν γὰρ, ἀσθενείᾳ τῆς κινούσης τὸ σῶμα δυνάμεως, ἡ μικτὴ κίνησις ἐγίνετο, καθ᾽ ὅσον ἂν ἐνδέῃ τοῦ τόνου, διαιρούσα τὸ κῶλον, ὑπορρέοντος ἀεὶ τοῦ μέρους εἰς τὸ κάτω, νυνὶ δὲ τῆς φυσικῆς τοῦ θερμοῦ κινήσεως ἰσχομένης βίᾳ, τὸ ῥῖγος ἀπαντᾷ. βούλεται μὲν γὰρ ἅτε μήτε τὴν οὐσίαν, μήτε τὸν τόνον βεβλαμμένον, ἀποτείνεσθαί τε καὶ πάντῃ τοῦ σώματος φέρεσθαι. κωλυόμενον δὲ καὶ βίᾳ συνωθούμενον εἰς τὸ βάθος, ἐπὶ τὴν ἰδίαν ἀρχὴν καταφεύγει. μένειν δὲ ἐνταῦθα μὴ δυνάμενον ἀεικινήτῳ γὰρ οὐσίᾳ τὸ στῆναι, θάνατος, ἀθροῖσαν ἑαυτὸ, καὶ οἷον συνεσπειραμένον γεγονὸς, ὁμαλῶς μὲν, οὐκ ἔτ᾽ ἔσω τῆς ἀβιάστου ἀποτείνεται. σφοδρᾷ δὲ τῇ φορᾷ χρώμενον, καὶ οἷον ἀπὸ ὕσπληγγος ἐξαλλόμενον, ἐνίοτε ἐνίσταται τοῖς ἐνισταμένοις αὐτοῦ τῇ προσόδῳ κινήσει, διώσασθαι μὲν ταῦτα, καθαρὰς δὲ τὰς ὁδοὺς ἀπεργάσασθαι σπεῦδον. προσκροῦον δ᾽ αὐτοῖς, ἐπεχόμενον ἐξ ἀνάγκης τῆς ῥοιζώδους φορᾶς, ἐκλόνισε δὲ κατὰ τὴν ἔμπτωσιν ὅλον τὸ σῶμα. τά τε γὰρ ἄλλα καὶ ἀτμῶδες νῦν γεγονὸς ἐν τῷ προσκρούειν τοῖς ἐνισταμένοις, ἔσω πάλιν ἀποπάλλεται, πληγῇ τι πάσχον ἐοικὸς, ἐπὶ δὲ τὴν ἀρχὴν ἀνέρχεται τὸ δεύτερον, ἐντεῦθεν δὲ πάλιν ὁρμηθὲν, ἐμπίπτει βιαιότερον, αὖθις δ᾽ ἀποπάλλεται καὶ κατὰ τὴν δὲ τὴν ἔμπτωσιν, καὶ τοῦτο πολλάκις ἐκ διαδοχῆς γίνεται ἐφ᾽ ὅσον μένει τὰ λυποῦντα. ὀδυνηρόν τε οὖν ταύτῃ τὸ πάθος, ἅτε τοῦ σώματος ταῖς πληγαῖς πονοῦντος, ἥ τε κίνησις ἀνωμάλως ἐπάγουσα κατ᾽ ἀμφοτέρας τὰς κινήσεις τὸ ζῶον. ἐν μὲν γὰρ τῷ κατὰ φύσιν ἔχειν, τὸ συγγενὲς ἡμῶν θερμὸν ὁμαλέσι τε καὶ ἀκωλύτοις ταῖς διεξόδοις ἐκέχυτο, καιρῷ καὶ μέτρῳ κινήσεως εἰς αὑτὸ συνδῦον, εἶτ᾽ ἐξαπλούμενον. ἐν δὲ τῷ ῥιγοῦν, οὔτε συνδύσεις, οὔτ᾽ ἐξαπλώσεις αἱ κινήσεις εἰσί. δικαιότερον δ᾽ ἂν φαίης ἔσω μὲν ἰὸν αὐτὸ, χρῶμαι δ᾽ ὀνόμασιν οὐκ ἐμοῖς, ἀλλ᾽ ἀνδρῶν παλαιῶν, καθάλλεσθαί τε, καὶ συνωθεῖσθαι, καὶ ἀναστέλλεσθαι, καὶ συντρέχειν, ἔξω δὲ φερόμενον ἐκρήγνυσθαί τε, καὶ ἐνσείεσθαι, καὶ ἐμπίπτειν, καὶ ἐξάλλεσθαι. καὶ γὰρ αὖ καὶ ταῦτα παλαιῶν ἀνδρῶν ὀνόματα, καλῶς ἅπαντα κείμενα, καὶ τὸ συμβαῖνον πάθος, ὡς ἔνιοι μάλιστα, σαφῶς ἑρμηνεύοντα. τὸ κλονεῖσθαι δὲ φημὶ πάντα τὰ ἐν τῷ σώματι, καὶ τὸ σείεσθαι καὶ τὸ βράττεσθαι, καὶ πᾶσα ἡ κατὰ τὸ ῥιγοῦν ἀνώμαλός τε καὶ ἄτακτος καὶ ἀβούλητος κίνησις ἐπὶ ταῖς ἀνωμάλοις τε καὶ σφοδραῖς καὶ βιαίοις ἐμπτώσεσί τε, καὶ ἀποπάλσεσι τῆς ἐμφύτου θερμασίας ἀτμώδους γεγενημένης, ἀποτελεῖται. διὰ τοῦτο ἐπὶ τοῖς ῥίγεσιν ἀναθερμαίνεται πλέον τὸ σῶμα, ἢ ὅτε κατὰ φύσιν ἔχον, θερμὸν ἦν. ἐκχέονται δὲ καὶ ἱδρῶτες. ὅταν γὰρ κατὰ πολλὰς ἐμπτώσεις διώσηται ἀκωλύτως τὰ λυποῦντα, καὶ τελέως ἀναπνεύσῃ, διὰ τρεῖς αἰτίας ἀνάγκη τὸ σῶμα θερμανθῆναι. ὅτι τε πολλάκις ἀποκλεισθὲν τὸ θερμὸν τῆς ἔξω διαπνοῆς, ἠθροίσθη κατὰ τὸ βάθος. ὅτι τε νῦν ἔξω πάντῃ ἐτάθη σφοδρῶς. καὶ τρίτον ὅτι ταῖς ἐμπτώσεσι καὶ πληγαῖς καὶ βιαίοις κινήσεσιν ἀνάπτεσθαι πέφυκεν ἡ θερμασία. καὶ ξύλον μὲν ἢ λίθον παρατρίβων, ἐξάψεις ποτὲ πῦρ. τὸ δ᾽ ἔμφυτον πνεῦμα, φύσει θερμὸν ὑπάρχον, ἢν σφοδρῶς τύχῃ κινηθὲν, οὐ πολὺ μᾶλλον ἐξαφθήσεται, ἀλλὰ τοῦτο κἀπὶ τῶν κατὰ φύσιν κινήσεων ἐναργῶς ἔστιν ἰδεῖν, ὡς δραμόντες ἄνθρωποι, καὶ διαπαλαίσαντες, καὶ τριψάμενοι, καί πως ἄλλως κινηθέντες ἐθερμάνθησαν οὐδὲν ἧττον, ἢ εἴ τις ἐν ἡλίῳ θερινῷ, καὶ παρὰ πυρὶ θαλφθείη. πολλάκις δὴ καὶ κατὰ τὴν τοιαύτην ἐκ τοῦ βάθους ἐπάνοδον, οἷον ζέον τὸ θερμὸν, ἀποχεῖ τι τῶν ὑγρῶν ἀθρόον. ὃ δὴ καλοῦμεν ἱ-
» δρῶτα. διὰ τοῦτο, ὑπὸ ῥίγει ψυγέντα μηκέτι ἀναθερμανθῆναι, πονηρόν. ἡττηθὲν γὰρ ἐν τῇ διαμάχῃ τὸ θερμὸν. ἡττᾶται δὲ, ποτὲ μὲν, τῇ ῥώμῃ τοῦ λυποῦντος αἰτίου κρατηθὲν, ποτὲ δ᾽ αὐτὸ τυγχάνον ἀσθενέστερον.
» οὕτως γοῦν εἴρηται κἀκεῖνο. αἱ ἐκ ῥίγεος ἀφωνίαι μὴ ἀναθερμαινόμεναι, κακόν. αὖθις δὲ τὰς δια-
» θέσεις ἑκατέρας ἐφ᾽ αἷς ὀλέθρια γίνεται ῥίγη διδάσκων, ἐρεῖ. ἐπ᾽ ὀμμάτων διαστροφῇ πυρετῷ κοπιώ-
» δει ῥῖγος, ὀλέθριον. τοῦτο μὲν δὴ τὸ ῥῖγος ἰσχυρᾶς αἰτίας ἔκγονον. ἕτερον δὲ δι᾽ ἀρρωστίαν δυνάμεως ὀλέθρι-
» ον. ἢν ῥῖγος ἐμπέσῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον. ἀλλὰ περὶ μὲν τούτων ἐπὶ πλέον

ἐστρῶσθαι λέγεται. τὸ δὲ νῦν ἐπὶ, σκεπτέον εἰ δικαίως ἀναφέρουσιν ἅπαντες σχεδὸν αἰτίᾳ ψυχρῷ τὸ ῥῖγος. ὅτι μὲν γὰρ ψυχρὸν τὸ πάθος, ἐναργές. εἰ δὲ καὶ τὸ δρῶν αὐτὸ τοιοῦτον, ἄξιόν μοι δοκεῖ σκέψεως εἶναι. τριταίου γοῦν ἀκριβοῦς, εἴπερ τι καὶ ἄλλο, ῥῖγος γνώρισμα. συνεισβάλλουσι γὰρ οἱ παροξυσμοὶ ῥίγεσι σφοδροῖς. καίτοι τόν γε πυρετὸν τοῦτον, οὐκ ἄν τις οὐδὲ μαινόμενος ἐπὶ ψυχρῷ φαίη συνίστασθαι χυμῷ. καῦσος γάρ ἐστι τῷ γένει. τοσοῦτον ἀποδέων θατέρου καύσου τοῦ συνεχοῦς, ὅτι διαλείπει τὸ θερμὸν τοῦ πυρετοῦ, καὶ φλογῶδες, καὶ περικαές. τὸ δ' ἄπαυστον δίψος, ἢ τε τῆς ἐμψύξεως ἐπιθυμία. τό τ' ἐμεῖν ἀκράτου χολῆς, καὶ ῥᾳστωνεῖν τοῖς γ' ἐμέτοις, πῶς οὐκ εἰσὶν ἅπαντα φανερῶς ἐπὶ τῷ θερμῷ πλεονάζοντι; πῶς οὖν ῥιγοῦσιν ἐν τριταίοις; πῶς δ' ἐν καύσοις πυρετοῖς τοῖς συνεχέσιν, εἰ μὴ διαλείποντες ἀλλ' ἀεὶ καίοντες ἔγκεινται, ῥῖγος ἐπιγίνεται, καὶ κρίνει γε τὸν πυρετόν; ὑπὸ καύσου γάρ φησιν ἐχομένῳ, ῥίγεος ἐπιγενομένου, λύσις. ἀλλὰ δριμὺ καὶ θερμὸν φάρμακον ἕλκει προσαχθὲν, ὠδίνησε μὲν τὰ πρῶτα, φρίκην δ' αὖθις, εἶτ' ἐπ' αὐτῇ ῥῖγος ἐργάζεται. καὶ πολλοὺς ἴσμεν ῥιγώσαντάς τε καὶ πυρέξαντας ἐφ' ἕλκεσιν ἐρεθισθεῖσιν ὑπὸ δριμέων φαρμάκων. ἀλλὰ καὶ φλεγμοναὶ εἰς ἀπόστημα τρεπομένης ἀνάγκη ῥῖγός τε καὶ φρίκην συνεδρεύουσαι. πολλῶν δ' αὖ, σε καὶ ἄλλων ἀνέμνησα διαθέσεων, ἐφ' ὧν ἐναργῶς ἐπὶ δριμεῖ μᾶλλον ἢ ψυχρῷ χυμῷ συνίσταται ῥῖγος, εἰ μὴ τοῦ λόγου τὸ μῆκος ἐφοβούμην. μὴ τοίνυν τῷ ψυχρῷ μόνῳ βιαζόμενοι τὸ ῥῖγος ἀναφέρωμεν. ἐπεὶ καὶ φοβερὸν ἄκουσμα καὶ θέαμα, φρίκην τε καὶ ῥῖγος ἐργάζεται ποτέ. τοῦτο μέν γε καὶ Πλάτων ἐγίνωσκεν, οὐ μόνον Ἱπποκράτης. διαλεγόμενος οὖν ὑπὲρ τῶν ἐπὶ χολῇ ξανθῇ γινομένων νοσημάτων, ἐμνημόνευσε καὶ ῥίγους. ὅθεν ἄλλων τε πολλῶν χάριν ἐπέρχεταί μοι θαυμάζειν τῶν μετὰ ταῦτα γενομένων ἰατρῶν, κἀν τοῖς περὶ τοῦ ῥίγους λόγοις οὐχ ἥκιστα. πῶς γὰρ οὐ δεινόν; εἰ Πλάτων μὲν οὐκ ὢν ἰατρὸς, οὐκ ἠγνόησεν, ὅτι καὶ διὰ χολὴν γίνεταί ποτε ῥῖγος, ἐξευρεῖν τε τὴν αἰτίαν ἐσπούδασεν. οἱ δὲ τοσοῦτον ἀπολείπουσι τοῦ πάντη γινώσκειν, ὥστ' οὐδ' ὅτι καὶ διὰ χολὴν καὶ διὰ δριμὺν ὁντινοῦν χυμὸν ῥῖγος γίνεται, ἐπίστανται. ἀλλ' ἄπορον ἐξευρεῖν τὴν αἰτίαν, ὅπως ἐπὶ δριμεῖ τε καὶ θερμῷ χυμῷ, συνίσταται πάθος ψυχρόν. ἴσως μὲν οὐκ ἄπορον, εἴ γε μὴ δὲ Πλάτων ἠπόρει. πολὺ δὲ οὖν ἦν ἄμεινον, εἴπερ ὄντως ἐστὶν ἄπορον, οὐκ ἀνατρέπειν ἐπιχειρεῖν τὸ πρᾶγμα φαινόμενον ἐναργῶς, ἀλλὰ τῆς αἰτίας ὁμολογῆσαι τὴν ἄγνοιαν. τὸ δ' ἀναιρεῖν τὸ φαινόμενον, ὅμοιον ἐστὶ τῷ μὴ δ' ὁρᾶν ἡμᾶς ὁμολογεῖν, ὅτι μὴ γινώσκομεν ὅπως ὁρῶμεν. οὐκ οὖν ὅτι μὲν οὐδὲν ἧττον ἐπὶ δριμεῖ τε καὶ θερμῷ χυμῷ γένοιτ' ἂν ῥῖγος ὡς ἐπὶ ψυχρῷ τε καὶ πηγνύντι, παντὸς μᾶλλον ἀληθές. εἶτα σκοπεῖν εἰ ἁπλῶς τὸ ψυχρὸν ἢ τὸ δριμὺ πλεονάζειν χρὴ εἰς τὸ δύνασθαι ῥῖγος ἐργάσασθαι. ἐφεξῆς δ' ἐκεῖνο διορισάμεθα πολλοῖς ἀγνοούμενον, ὅτε γὰρ ἁπλῶς ψυχροῦ χυμοῦ πλεονάζοντος, οὔθ' ἁπλῶς δριμέος γίνεται ῥῖγος. ἐπὶ μὲν δὴ τοῦ ψυχροῦ, σαφῶς ἔμπροσθεν ἔδειξα, τὸ οἰδηματῶδες ἅπαν, καὶ τὸ ναρκῶδες, καὶ τὸ παράλυτον, καὶ τὸ ὑδαρῶδες ὑπομνήσας. ἐπὶ τοῦ δὲ τοῦ θερμοῦ τε καὶ δριμέος νῦν ἐπιδείξωσι, κακόχυμοι γοῦν αὖ, ἰκτερικοί τε καὶ πυρέττοντες ὀξέως, καὶ καυσούμενοι πάντες ἐρρίγουν. οὔτ' οὖν ἁπλῶς χρὴ πλεονάζειν, ἢ ψυχρὸν χυμὸν, ἢ δριμὺν πρὸς ῥίγους γένεσιν. ὑπάρχειν δ' αὐτῶν ἀναγκαῖον ἑκατέρῳ τρόπον ἴδιον. εἴη δ' ἂν ὁ τρόπος, οὐ γὰρ ἀποκνητέον ἐπὶ πᾶν ἰέναι τῷ λόγῳ τῆς ἀληθείας ἔρωτι, ἢ τὸ τοῦ πλήθους μέτρον, ἢ ἡ τοῦ χυμοῦ ποιότης, ἢ ὁ τόπος τοῦ σώματος ἐν ᾧ χρὴ τοῦτον ἀθροίζεσθαι. γένοιτο δ' ἂν καὶ περὶ τὸ μένειν, ἢ κινεῖσθαι, καὶ περὶ τὸν τρόπον τῆς κινήσεως οὐ μικρὰ διαφορά. εἰς ταύτας οὖν αὐτὰς καὶ Πλάτων ἀφορῶν, ἔλεγε ταύτην διὰ τὴν δύναμιν ἔχουσαν ἰνῶν ἐν αἵματι, χολὴ φύσει παλαιὸν αἷμα γεγονυῖα. καὶ πάλιν ἐκ τῶν σαρκῶν εἰς τοῦτο τηκομένη θερμὴ καὶ ὑγρὰ κατ' ὀλίγον τὸ πρῶτον ἐμπίπτουσα πήγνυται διὰ τὴν τῶν ἰνῶν δύναμιν. πηγνυμένη δὲ καὶ βίᾳ κατασβεννυμένη χειμῶνα καὶ τρόμον ἐντὸς παρέχει. πλείων δ' ἐπιρρέουσα, τῇ παρ' αὐτῆς θερμότητι, κρατήσασα τὰς ἶνας εἰς ἀταξίαν ζέσασα, διέσωσεν. ἐν τούτοις ὁ Πλάτων ἅπαντ' ἐπειράθη διελθεῖν, ὅσα χρὴ γινώσκειν ἐν ἅπασι γενέσει πάθους. τὸ μὲν γὰρ εἶδος τοῦ χυμοῦ εἶπε χολὴν ὀνομάσας αὐτόν. ἐδήλωσε δὲ καὶ τὴν ποιότητα θερμὴν καὶ ὑγρὰν εἰπών. ὅθεν τε ἡ γένεσις ἐστὶ τῇ τοιαύτῃ χολῇ, τηκομένης γοῦν ἔφη γίνεσθαι σαρκὸς αὐτήν. ἀλλὰ καὶ τὸν τόπον εἰς ὃν ῥεῖ, προσέθηκεν. ἐκ τοῦ δηλοῦσθαι πήγνυσθαι τὴν ἐπιρρέουσαν χολὴν ὑπὸ τῶν περιεχομένων ἰνῶν, κατὰ τὸ αἷμα, τούτῳ δὲ τῷ λόγῳ συνῆπται καὶ ἡ τοῦ πάθους γένεσις, ἐν ᾧ χειμῶνα καὶ τρόμον ἔφη γίνεσθαι. χειμῶνα μὲν ὀνομάσας, τὴν ἐν τοῖς ῥίγεσιν αἴσθησιν τῆς ψύξεως, τρόμον δὲ, τὸν ἀνώμαλον σεισμόν τε, καὶ κλόνον, ἐν ᾧ φαμὲν οὐ τοῦτον μόνον, ἀλλὰ καὶ τῶν ἰατρῶν πολλοὺς ἐσφάλθαι. δέδεικται γὰρ ἡμῖν ἔμπροσθεν ἡ κατὰ τὸν τρόμον γενομένη κίνησις, τῆς κατὰ τὸ ῥῖγος, ὅταν οὖν φησὶ νικήσῃ τὰς ἶνας ἐπιρρέουσα πλείων, ἐξεθέρμανε τὸ σῶμα πρὸς τὴν ἑαυτῆς δύναμιν ἀντιμεταβάλλουσα τὰς ἶνας. ὡς αὐτὴ πρότερον ὑπ' ἐκείνων μεταβαλλομένη. περὶ μὲν οὖν τῆς ἀληθείας ὧν εἶπεν ὁ Πλάτων, οὐ πρόκειται νῦν ἐπισκοπεῖσθαι, μελλόντων γε ἡμῶν ἐν ἑτέροις ὑπομνήμασιν ἐξηγεῖσθαί τε ἅμα, καὶ κρίνειν ἃ κατὰ τὸν Τίμαιον εἶπεν. ὅτι δ' οὐδὲν παρέλειπεν, ὧν ἐχρῆν λέγεσθαι τοῖς ἀποφαινομένοις περὶ ῥίγους, τοῦτο ἤδη πέφηνεν ἐκ τῆς ῥήσεως αὐτοῦ. καὶ γὰρ τὸν χυμὸν εἶπεν, ὑφ' οὗ γίνεται τὸ ῥῖγος, καὶ τὸν τόπον εἰς ὃν ῥεῖ, καὶ τὸ τῆς κινήσεως εἶδος, ἔτι τε τὸν τρόπον καθ' ὃν ψύχεταί τε καὶ αὖθις ἐκθερμαίνεται τὸ σῶμα. περὶ μὲν οὖν τῆς Πλάτωνος δόξης καὶ τῆς κατὰ τὴν ἐξήγησιν τῶν ἐν τῷ Τιμαίῳ γεγραμμένων, ἰατρικῶς ἐπισκεψώμεθα. νυνὶ δὲ τὴν ἡμετέραν ἀποφαινόμεθα γνώμην. ἐπιδιαρθρώσαντες ὅσα κατὰ τὴν Ἱπποκράτους δόξαν ὀλίγον ἔμπροσθεν εἴρηται. ταῖς γὰρ τῶν θερμῶν φαρμάκων ὁμιλίαις ἐνίοτε μὲν φρίκη μόνη, πολλάκις δὲ, καὶ ῥῖγος ἐπιγίνεται. καθάπερ ἐν καύσοις τε καὶ τριταίοις πυρετοῖς κινουμένης τῆς ξανθῆς χολῆς, οὐκ ἐν ταῖς κοιλότησι τῶν ἀγγείων, ἀλλὰ διὰ τῶν σαρκῶν, ἢ διὰ τῷ γεννηθῆναι πλείονα τοῦτον τὸν χυμὸν ἐν αὐταῖς, ἢ τῷ δι' αὐτῶν ὑπὸ τῆς φύσεως ἐκκαθαίρεσθαι. κατὰ τοῦτο γὰρ αὐτὸ μόνον καὶ οἱ καῦσοι πυρετοὶ τῶν τριταίων διαφέρουσι. τῶν μὲν γὰρ καύσων ἐν τοῖς ἀγγείοις ἐχόντων τὴν χολήν. τῶν δὲ τριταίων ἔξω τῶν ἀγγείων διὰ τῶν αἰσθητικῶν σωμάτων φερομένην. ἐν γὰρ τῇ δι' αὐτῶν φορᾷ, λυποῦσα τῇ δριμύτητι, τὴν ὀδύνην ἐργάζεται. συμβαίνει τοιγαροῦν ἐν τῷ δε δύο τινὰ γίνεσθαι, συννεύειν μὲν εἰς τὸ βάθος τοῦ σώματος τὸ αἷμα, καὶ διὰ τοῦτο καταψύχεσθαι τἀκτὸς αὐτοῦ, τὰ μόρια δὲ αὐτὰ τοῦ σώματος ἐν οἷς ἡ χολὴ, διὰ τῆς ἀποκριτικῆς τῶν ἀλλοτρίων δυνάμεως ὠθεῖν αὐτὴν ἕκαστον ἐξ ἑαυτοῦ πρὸς τὸ πλησιάζον, ἄχρις ἂν ἐξ ἁπάντων ἐλαυνομένη, δι' ἱδρώτων, ἢ δι' ἐμέτων, ἢ καὶ διὰ τῆς κάτω γαστρὸς ἐκκριθείη. τοῦτο δὲ καὶ

τοῖς ἠπεπτηκόσιν, ἢ κακοχυμίας μεστοῖς, ἢ εἰς ἥλιον θερινόν, ἢ βαλανεῖον ἀφικνουμένοις, ἢ γυμναζομένοις συμπίπτει. φρικώδεις οὖν αὐτίκα γίνονται καί τινες αὐτῶν, καὶ ῥιγοῦσι. χρὴ γὰρ οὐ μόνον αἴτιον εἶναί τι δακνῶδες ἐν ἡμῖν, ἀλλὰ καὶ σφοδρῶς κινούμενον, εἰ μέλλει ῥῖγος ἐργάσασθαι καὶ κοινὸν γὰρ συμβέβηκεν ἀμφοτέροις τοῖς γένεσι τῶν αἰτιῶν, ὅσα τε ψυχρὰ καὶ ὅσα θερμὰ ταῖς δυνάμεσίν ἐστι, τὸ κινεῖν ὀδυνηρῶς τὸ σῶμα. καὶ διὰ τοῦτο τεταρταίοις τοῖς πυρετοῖς καὶ τοῖς τριταίοις συνεισβάλλει ῥῖγος, καί τοι ὑπὸ χυμῶν ἐναντίων τῇ δυνάμει συνισταμένοις, ψυχρὸς μὲν γὰρ ὁ μελαγχολικὸς χυμός. θερμὸς δὲ ὁ τῆς ξανθῆς χολῆς. οὐχ ἁπλῶς δὲ πλεονάζειν αὐτοὺς ἔφην χρῆναι μέλλοντας ἐργάσασθαι ἢ φρίκην, ἢ ῥῖγος, ἀλλὰ καὶ διὰ τῶν αἰσθητικῶν σωμάτων φέρεσθαι κινουμένους σφοδρότερον, ἐν ᾧ δὲ συνδύει μὲν εἰς τὸ βάθος τοῦ σώματος, καὶ τὰ σπλάγχνα, τὸ αἷμα, καὶ σὺν αὐτῷ δηλονότι καὶ ἡ θερμασία, ψυχρά τε καὶ ἄναιμα γίνεται τά τε κατὰ τὸ δέρμα μόρια, καὶ σκελῶν καὶ χειρῶν τὰ τελευταῖα. διότι πλεῖστον ἀφέστηκε τῶν σπλάγχνων. ἐὰν μὲν οὖν ἐν τῷ βάθει συμβῇ σβεσθῆναι τὴν ἔμφυτον θερμασίαν, ἢ πνιγεῖσαν ὑπὸ τοῦ μὴ διαπνεῖσθαι πρὸς τοὐκτός, ἢ ἐκνικηθεῖσαν ὑπὸ τῶν ψυχρῶν αἰτίων, ἀποθνήσκει τὸ ζῷον. ἐὰν δὲ συνδύσῃ μὲν εἰς τὸ βάθος, ἀντίσχῃ δὲ τοῖς βιαζομένοις αἰτίοις ἀθροισθεῖσα, γίνεται γὰρ καθάπερ ὄργανον τῆς τῶν ἀλλοτρίων ἀποκριτικῆς δυνάμεως, τῆς ἐν ἅπαντι μορίῳ τοῦ σώματος ὑπαρχούσης. πεφυκυῖα γὰρ ἤδη καὶ αὐτὴ καθ' ἑαυτὴν ἐκκρίνειν τὰ λυποῦντα, πολλῷ μᾶλλον ἐργάζεται γὰρ μετὰ τῆς ἐκ βάθους ἀναφερομένης θερμασίας. συνεκβαλλούσης αὐτὰ τῇ ῥύμῃ τῆς φορᾶς εἰς ὅ, τι περ ἂν εὐπετέστερον αὐτῇ γένηται. πολλάκις μὲν οὖν διὰ τοῦ δέρματος ἐκβάλλει τὰ λυποῦντα, πολλάκις δὲ δι' ἐμέτων. καὶ τῆς κάτω γαστρός. οὐ μόνον δ' ἐπὶ τῆς ξανθῆς ἢ μελαίνης χολῆς ῥῖγος, ἀλλὰ καὶ ἐπὶ τῷ ψυχρῷ πάνυ φλέγματι φιλεῖ γίνεσθαι καλεῖ δὲ ὑαλώδη τὸν χυμὸν τοῦτον ὁ Πραξαγόρας. ἀλλὰ τό γε τοιοῦτον ῥῖγος οὔτε σφοδρόν ἐστι καί τοι διαμένον ἡμέραις ἐνίοτε πλείοσιν ἐφεξῆς. ἡσυχαζόντων δὲ καὶ μηδόλως κινουμένων, ἡσυχάζει καὶ αὐτό. κινηθεῖσι δὲ εὐθέως ἕπεται κατὰ τὰ μέτρα τῆς κινήσεως. ἐπὶ μὲν ταῖς ἰσχυροτέραις καὶ συντόνοις κινήσεσι, σφοδρότερον, ἐπὶ δὲ ταῖς ἀσθενέσι, *βραχύτερον. εἶδον γὰρ τὸ σύμπτωμα γυναιξὶ μᾶλλον ἢ ἀνδράσι γινόμενον. καὶ γυναιξὶ ταῖς ἀργότατα διαιτωμέναις, καὶ λουτροῖς χρωμέναις. εἶδον δὲ καὶ νεανίσκῳ τινὶ τῶν ἡμετέρων συμφοιτητῶν ἐν Ἀλεξανδρείᾳ γινόμενον, ἡνίκα πρῶτον εἰς αὐτὴν κατεπλεύσαμεν ἐν ἀρχῇ φθινοπώρου. προσενήνεκτο δὲ οὗτος ἐφεξῆς ἡμέραις πλείοσι φοινίκων βαλάνους πολλὰς ἁπαλὰς καὶ νέας ἐπὶ λουτροῖς τε καὶ πρὸ τούτων. ἦσαν δὲ οὐκ ἀκριβῶς αἵ γε πλείους αὐτῶν πέπειροι, συνέβη δὲ αὐτὸ τό γε πρῶτον ἀπὸ σφοδρᾶς ἄρξασθαι φρίκης, ἐπὶ γυμνασίῳ τε καὶ λουτρῷ δηλονότι καὶ προσδοκήσας πυρέξειν κατεκλίθη τε, καὶ σκεπάσας ἑαυτὸν ἱματίοις, ἔμενεν ἥσυχος, ὡς δὲ διελθούσης ὅλης τῆς νυκτὸς ἀπύρετος ἦν, ἐξανίστατο μὲν ἕωθεν ἐπὶ τὰ συνήθη, φρικώδης δ' ἐν τούτῳ γινόμενος αὖθις κατακλιθεὶς ἡσύχαζεν, ἄχρι τῆς κατὰ τὸ βαλανεῖον ὥρας. ἐξαναστάντι δὲ αὐτῷ πάλιν ὡς ἐπὶ τὸ λουτρόν, ἡ φρίκη μείζων ἐγένετο καὶ ἦν τὸ σύμπτωμα, ῥῖγος καὶ ἤδη μικρόν. τότ' οὖν ἡγησάμενος ἐκ παντὸς τρόπου πυρέξειν, ἔτι καὶ μᾶλλον ἐφ' ἡσυχίας αὑτὸν συνεῖχεν. ἐπεὶ δὲ καὶ διὰ τῆς ἡμέρας ὅλης, καὶ διὰ τῆς ἐπιούσης νυκτὸς ἀποπειρώμενος ἐξεύρισκεν ἑαυτόν, ἐπὶ μὲν ταῖς μετρίαις κινήσεσι φρίττοντα δὲ ῥιγοῦντα εἴ ποτε μείζονι κινηθείη συμβούλοις, ἡμῖν ἐχρῆτο περὶ τοῦ ποιητέου. ἀναμνησθεὶς οὖν ἐγὼ κατὰ τὴν ἡμετέραν Ἀσίαν γυναικὶ τοιοῦτόν τι συμβεβηκός, ἀδεέστερόν τε τὸν ἑταῖρον ἐποίησα, καὶ προὔτρεψάμην χρῆσθαι τοῖς θερμαίνουσί τε καὶ τέμνουσι πάχος χυμῶν ἐδέσμασί τε, καὶ πόμασι, καὶ φαρμάκοις. ἐκεῖνός τε οὖν οὕτω κατέστη. καὶ μετὰ ταῦτα τοῖς ὁμοίοις πάσχουσιν, ἐν ἀρχῇ μὲν ἔδωκα τὸ διὰ τῶν τριῶν πεπέρεων φάρμακον, ἐφεξῆς δὲ τὸ διὰ τῆς καλαμίνθης ἡμέτερον. εἶτα τὸ διὰ ὀποῦ κυρηναϊκοῦ, καὶ καστορίου συντιθέμενον, ὃ καὶ ταῖς τεταρταϊκαῖς περιόδοις ἐστὶν ὠφελιμώτατον. καὶ μάλισθ', ὅταν ὑπὸ ῥίγους σφοδροῦ χειμάζωνται. μὴ θαυμάσῃς δὲ παρὰ τοῖς παλαιοῖς ἰατροῖς εὑρὼν γεγραμμένον ἐπὶ τοῖς ἄνευ κρύους ῥίγεσιν ἐξ αὐτῆς τῆς ἐν τῷ σώματι διαθέσεως ὁρμωμένοις ἐξ ἀνάγκης ἕπεσθαι πυρετόν. οὔτε γὰρ λουτροῖς τοσούτοις ἐπὶ τροφαῖς, οὔτ' ἀργῷ βίῳ χρωμένοις τοῖς παλαιοῖς, οὐδὲν τοιοῦτον συνέπιπτε. νυνὶ δ' ἄμφω ταῦτα πλεονάσαντα, καὶ τοῦτο τὸ καλούμενον ἀνεκθέρμαντον ῥῖγος ἐργάζεται. νέον τι καὶ ξένον σύμπτωμα διὰ τὸ νέον τῆς διαίτης, ἅπασί τε τοῖς οὕτω παθοῦσιν, ἤτοι τάσεως, ἢ βάρους αἴσθησις γίνεται κατὰ τὸ δεξιὸν ὑποχόνδριον, ἔνθα κεῖται τὸ ἧπαρ, ἐμφραττομένων δηλονότι τῶν κατ' αὐτὸ φλεβῶν ὑπὸ τοῦ πάχους τῶν χυμῶν, ὥσπερ δὲ βάρους καὶ τάσεως τῆς κατὰ τὸ σπλάγχνον οἱ πάσχοντες ἴσχουσιν αἴσθησιν, οὕτω καὶ τοῦ ῥίγους αἰσθάνονται διαφέροντος τοῦ ἐν τεταρταίοις τε καὶ τριταίοις πυρετοῖς. ἐν μὲν γὰρ τεταρταίοις τοιοῦτον γίνεσθαί φασιν αὐτοῖς τὸ ῥῖγος, οἷόν περ ὅταν ὁδοιπορήσωσι διὰ κρύους ἰσχυροῦ. κατὰ δὲ τοὺς τριταίους, ὡσαύτως δὲ καὶ τοὺς καύσους πυρετούς, ὡς ὑπὸ βελονῶν ὀξέων τε καὶ λεπτῶν κεντούμενοι τὰς σάρκας αἰσθάνονται πολλάκις. ἐγὼ μὲν οὖν καὶ αὐτὸς ἄπειρός εἰμι τοῦ τῶν τεταρταίων ῥίγους, ἔμπειρος δὲ θατέρου. τετράκις μὲν ἐν νεότητι πυρέξας τριταῖον πυρετόν, καῦσον δὲ ἅπαξ. ὥστε ἔχω μαρτυρεῖν τῇ λελεγμένῃ τοῦ ῥίγους ποιότητι κατὰ τοιαῦτα παθήματα. τὸ δὲ τῶν τεταρταίων οἱ πειραθέντες ἄχρι καὶ τῶν ὀστῶν φασὶ διήκειν, ὅταν ᾖ σφοδρόν, ὅμοιον ὑπάρχον τοῖς ἐκ τοῦ περιέχοντος ἰσχυρῶς ψυχροῖς γινομένοις ῥίγεσιν. ἀλλὰ καὶ τοῦτ' ἔχομεν προσθεῖναι τριταίοις τε καὶ καύσοις πυρετοῖς, οὐχ ὑπάρχον τοῖς τεταρταίοις. καὶ γὰρ διψῶσιν οἱ πλεῖστοι, καὶ θερμασίας αἰσθάνονται κατὰ τὸ βάθος ἐν αὐτῷ τοῦ ῥίγους τῷ χρόνῳ ὧν οὐδέτερον ὑπάρχει τοῖς ἐν τεταρταίῳ πυρετῷ ῥιγοῦσιν.

ἐπεὶ δὲ καὶ περὶ ῥίγους αὐτάρκως εἴρηται λείποιτ' ἂν ἔτι καὶ περὶ σπασμοῦ διελθεῖν. ἔσται δὲ οὔτε μακρός, οὔτε ἀσαφὴς ὁ λόγος, εἴ τις, ὧν ἄχρι δεῦρο διῆλθον, εἴη μεμνημένος. ἄρξομαι δὲ καὶ νῦν ἀπὸ τῆς ἀναμνήσεως. ὧν ἐν τοῖς περὶ μυῶν κινήσεως ἔδειξα. πασῶν γὰρ τῶν καθ' ὁρμὴν κινήσεων ἐπιτελουμένων διὰ τῶν μυῶν, ὅταν ἐπὶ τὰς ἑαυτῶν κεφαλὰς ἀνελκόμενοι, συνεπισπάσωνται τῶν μορίων ἕκαστον εἰς ὃ καταπεφύκασιν, ἐπειδὰν γένηταί τι πάθος εἰς τάσιν αὐτοὺς ἄγον, ἀκολουθεῖ τούτῳ κίνησις, ὁμοία μὲν τῇ κατὰ φύσιν, ἀβούλητος δέ, καὶ καλεῖται τὸ πάθος σπασμός. τὸ μὲν γὰρ τείνεσθαί τε καὶ σπᾶσθαι πρὸς τὴν ἰδίαν ἀρχὴν τὸν μῦν. ὥσπερ γε καὶ τὸ συνεπισπᾶσθαι πρὸς αὐτόν, ἐκεῖνο τοῦ σώματος τὸ μόριον εἰς ὃ τὴν ἔμφυσιν ἔχει, κοινὸν τοῖς θ' ὑγιαίνουσίν ἐστι καὶ τοῖς σπωμένοις, τὸ δὲ ἀκούσιον ὑπάρχειν, τοῖς παρὰ φύσιν ἔχουσι. οὐχ ὑπάρ-

χου τοῖς ὑγιαίνουσιν. ἐὰν οὖν εὕρωμεν ὑπὸ πόσων αἰτίων τείνεται τὰ νευρώδη σώματα, πέρας ἂν ἤδη καὶ οὗτος ὁ λόγος ἡμῖν λάβοι. καὶ μὴν οὐ χαλεπόν ἐστι, τῶν ἔξω τοῦ σώματος εὑρεῖν χορδῶν νευρωδεστέρων ἃς ὁρῶμεν ὁσημέραι κατά τε τὰς λύρας καὶ κιθάρας ὑπὸ τῶν τεχνιτῶν ἐντεινομένας μὲν, ἐπειδὰν χρῆσθαι μέλλωσι τοῖς ὀργάνοις, ἀνιεμένας δὲ, ὅταν παυσάμενοι κατατίθωνται. ῥήγνυνται δὲ, ἐν ταῖς τοῦ περιέχοντος ἀμετροτέραις κράσεσι. περὶ μὲν τὰς ὑγρὰς καὶ νοτίους, διαβρεχόμεναι. περὶ δὲ τὰς ξηράς τε καὶ βορείους, ἰσχυρῶς ξηραινόμεναι. διὰ τοῦτο οὖν ἀνίασιν αὐτὰς κατατιθέμενοι. καὶ μάλιστα ὅταν ἤ τι περιέχον ὁποῖον εἴρηται. ῥήγνυνται γὰρ ἑκατέρως τεινόμεναι. νόει δή μοι καὶ τὰ νεῦρα, καὶ τοὺς τένοντας ἐν τοῖς τῶν ζώων σώμασιν. ἤτοι διατεινομένους ὑπὸ περιττῆς ὑγρότητος. ἢ ξηραινομένους ὑπὸ τῶν ξηραινόντων αἰτίων, εἰς τοσαύτην ἄγεσθαι τάσιν ἐν ᾗ τοῖς ὑγιαίνουσιν ἡ καθ᾽ ὁρμὴν ἐγίνετο κίνησις. ἐννόει δὲ καὶ ὡς ἐνδέχεταί τι τῶν ἐν τῷ σώματι μορίων ἢ διὰ φλεγμονὴν, ἢ δι᾽ ἄλλην τινὰ αἰτίαν ἰσχυρῶς παθὸν ἑαυτῷ συνεπισπᾶσθαι τὰ συνεχῆ νεῦρα. νοήσας γὰρ ταύτας πάσας τὰς διαθέσεις εὑρήσεις ἐφ᾽ αἷς γίνεται σπασμός. αἱ γὰρ φλεγμοναὶ τῶν νευρωδῶν μορίων, καὶ μάλιστα ὅταν ἐπὶ τῆς ἀρχῆς τῶν νεύρων, ἢ καὶ πλησίον αὐτῆς γένωνται, τείνουσιν ἐπισπώμεναι τὰ συνεχῆ νεῦρα. καθάπερ ἐκτὸς οἱ τεχνῖται τὰς χορδάς. εἰ δὲ ὑπὸ πλήθους χυμῶν διαφραχθέντα τὰ νευρώδη σώματα τείνοιτο, παραπλήσιον ἐν τῷδε τὸ πάθημα γίνεται, ταῖς διὰ τὴν ὑγρότητα τοῦ περιέχοντος ἐντεινομέναις σφοδρότερον χορδαῖς. ἔμπαλιν δὲ ἐπὶ τοῖς κακοήθεσι καύσοις καὶ ταῖς ἰσχυραῖς φρενίτισι φαίνεται γινόμενον. ὡς γὰρ οἱ πλησιάζοντες ἱμάντες πυρὶ ξηραινόμενοι συσπῶνται καὶ τείνονται, τὸν αὐτὸν τρόπον οἱ σπασμοὶ γίνονται. δι᾽ ὑπερβάλλουσαν ξηρότητα νοσημάτων ἰσχυρῶς ξηραινουσῶν τὸ νευρῶδες γένος. ἐπὶ μὲν οὖν τοῖς καύσοις διὰ μόνην τὴν ξηρότητα τοῦτο συμβαίνει. ταῖς δὲ φρενίτισι, καὶ διὰ τὴν φλεγμονὴν τῆς ἀρχῆς τῶν νεύρων ἕπεται τὸ σύμπτωμα, γινώσκεις δὲ ἤδη ὡς πᾶσι ὡμολόγηται τοῦ πάθους τούτου, τὸ μὲν, ἐμπροσθότονος εἶναί τε καὶ καλεῖσθαι. τὸ δὲ, ὀπισθότονος. τὸ δὲ, τέτανος. ὅταν μὲν εἰς τὸ πρόσω τείνηται τὰ μόρια τοῦ σώματος, ἐμπροσθότονος. ὅταν δὲ εἰς τοὐπίσω, ὀπισθότονος. τέτανος δὲ, ἰσοσθενὴς ἐφ᾽ ἑκάτερα. τοὺς μὲν ἐπὶ ξηρότητι σπασμοὺς, οὐκ ἂν ἰάσαιο. φθάνουσι γὰρ οἱ οὕτω παθόντες, ἀπόλλυσθαι. μὴ δὲ ἐπινοῆσαι πρὸς αὐτοὺς ἴαμα συγχωροῦντες ὅσοι δὲ διὰ πλῆθος ἢ φλεγμονὴν γίνονται σπασμοὶ, τούτους ἰάσῃ. τὸ μὲν πλῆθος κενῶν, τὴν φλεγμονὴν δὲ, τοῖς ἰδίοις αὐτοῖς βοηθήμασιν ἐκθεραπεύων, ἃ μεμάθηκας ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΜΑΡΑΣΜΟΥ.

ΜΑΡΑΣΜΟΣ ἐστὶ, φθορὰ ζῶντος σώματος ἐπὶ ξηρότητι. διττῶς δὲ τῆς φθορᾶς λεγομένης τῆς μὲν, ἐν τῷ γίνεσθαι. τῆς δὲ, ἐν τῷ γεγονέναι, περὶ τὸ πρότερον σημαινόμενον ἀκούειν χρὴ τῆς προσηγορίας. οὕτω δὲ καὶ αὐτὸς ὁ μαρασμὸς, ὁ μὲν, παρὰ τὸ μεμαράνθαι λέγοιτ᾽ ἄν. ὁ δὲ, παρὰ τὸ μαραίνεσθαι, περὶ οὗ νῦν ὁ λόγος ἐστίν. ἐπὶ δὲ ζῶντος σώματος ἔφαμεν εἶναι φθορὰν, τὸν μαρασμόν. ἔστι δὲ τρία γένη τῶν ζώντων. ζῶα, φυτὰ, καὶ σπέρματα, καὶ διὰ ταῦτα καὶ οἱ καρποὶ, τούτων ἂν εἶναι πάθος τὸν μαρασμὸν ἑρμηνεύοντες κυρίως, ἐκ μεταφορᾶς δὲ ἤδη καὶ τὰς ἄλλας φθορὰς, ὅσαι γίνονται διὰ ξηρότητος, μαρασμὸν ὀνομάζουσιν. ὥς τε καὶ περὶ τοῦ πυρὸς ἐπιφέρουσι τοὔνομα, καὶ μᾶλλον ἔτι πορρωτέρω ἐπιφέροντες ἐπὶ πάντα τὰ κατὰ βραχὺ φθειρόμενα. ἀλλ᾽ οὐδὲ περί τινος τῶν ἄλλων, ὅσα μὴ κυρίως μαραίνεσθαι λέγεται, περὶ μόνου δὲ τοῦ κατὰ τὸν ὁρισμὸν μαρασμοῦ, νῦν ἡμῖν πρόκειται λέγειν. καὶ μάλιστα ὅταν ἐν ζώου γένηται σώματι. κοινωνίαν γὰρ ὁ λόγος ἀναγκαίαν ἕξει καὶ πρὸς τὰ φυτά. κατὰ τέτταρας οὖν τρόπους ἁπλοῦς καὶ πρώτους ἁπάντων τῶν ζώντων φθειρομένων, ὅτι καὶ τὰ στοιχεῖα τῆς οὐσίας αὐτῶν ἐστὶ τέσσαρα, τὰ μὲν διὰ ξηρότητος φθειρόμενα, μαραίνεσθαι λέγομεν. εἰ μὲν δὴ τοῦτο μόνον αὐτοῖς ὑπάρχει τὸ ξηραίνεσθαι, τῆς ἑτέρας τῶν στοιχείων ἀντιθέσεως τῆς κατὰ τὸ θερμόν τε καὶ ψυχρὸν ἐν τοῖς οἰκείοις ὅροις διαμενούσης, ἁπλοῦς ἐστὶν ὁ τοιοῦτος μαρασμός. εἰ δ᾽ ἤτοι θερμότης ἄμετρος ἢ ψύξις αὐτῷ προσγένοιτο, σύνθετος οὕτω τε καὶ διττὸς ὁ τρόπος εἴη τῆς φθορᾶς. ὁ μὲν οὖν ἁπλοῦς μαρασμὸς, ἐπὶ ταῖς ἀσιτίαις δοκεῖ γίνεσθαι, τῶν τε κατὰ πρόσθεσιν ἀκρατεστέρων, καὶ ὅσοι λιμώττουσιν ἀπορίᾳ σιτίων. ὁ δὲ μετὰ ψύξεως ἐπί τε τῶν γηρασκόντων. καὶ ὅσοι διά τι πάθος εἰς ὁμοίαν γηρᾳ διάθεσιν ἐμπίπτουσι. ὁ δὲ μετὰ θερμότητος, ἐνίοις τῶν ἑκτικῶν πυρετῶν. ἐπὶ μὲν δὴ τῶν φυτῶν ὅλον τὸ σῶμα, καὶ μόριον ὁτιοῦν αὐτῶν μαραίνεσθαι λέγομεν, ἐπὶ ταῖς διὰ ξηρότητος φθοραῖς, οὐ μὴν ἐπί γε τῶν ζώων ἀλλὰ τὸ μὲν ὅλον σῶμα μαραίνεσθαι φαμέν. οὐκέτι δὲ σύνηθές ἐστι καθ᾽ ἑκάστου μορίου φέρειν τοὔνομα. καὶ νῦν ἡμῖν ὁ λόγος ἐστὶν οὐ περὶ τῶν ξηραινομένων διά τι σύμπτωμα μορίων, ἀλλ᾽ ὅταν ὅλον οὕτω καταστῇ τὸ σῶμα. δῆλον τοίνυν ἐστὶν ἤδη τό γε τοσοῦτον ὡς εἴπερ ὅλου τοῦ σώματός ἐστι πάθος. ὁ μαρασμὸς, οὐκ ἄνευ τῆς ἀρχῆς τοῦ ζώου παθόντος γίνεται. οὐ μὴν οὐδ᾽ ἄλλο μέν τι πάθος ἐν ὅλῳ τῷ ζώῳ γίνεσθαι δυνατόν ἐστιν. ἄλλο δέ τι κατειληφέναι τὴν ἀρχὴν, ὥστ᾽ ἀνάγκη τὸ σῶμα τῆς καρδίας ξηραίνεσθαι τοῖς μαραινομένοις. εἰ τοίνυν εὕρομεν ἁπάσας τὰς αἰτίας ὑφ᾽ ὧν ξηραίνεσθαι συμβαίνει τὴν καρδίαν, εἰσόμεθα πότερον ἀνιάτως ἔχουσιν οἱ μαραινόμενοι πάντες, ἢ τινὲς ἐξ αὐτῶν ἰαθῆναι δύνανται.
κάλλιον οὖν ἴσως ἐστὶ κἀνταῦθα τὸν λόγον ἐπ᾽ ἀρχὴν ἀγαγεῖν. ἀρχὴ δὲ ἀρίστη τὸ γνῶναι γήρως αἰτίαν, ἐπειδὴ φαίνεται τῶν μαρασμῶν οὗτος ἀφυκτότατος, ὡς καὶ κατὰ φύσιν εἶναι δοκεῖν. ἄφυκτα δὲ τὰ τῆς φύσεως ἔργα σύμπαντά ἐστι, καὶ τάξιν τῆς γενέσεως ἀναγκαίαν ἔχοντα. προηγεῖται δέ τι καὶ αὐτοῦ τούτου δὲ, τὸ γνῶναι τὰ σημαινόμενα τῆς κατὰ φύσιν λέξεως. οὐ γὰρ δὴ οὕτω λέγεται κατὰ φύσιν εἶναι τὸ γῆρας, ὡς τὸ βρέφεσθαί τε καὶ αὐξάνεσθαι. ταυτὶ μὲν γὰρ ἔργα τῆς

φύσεως ἐστί. τὸ γῆρας δὲ οὐκ ἔργον, ἀλλὰ πάθος ἐξ ἀνάγκης ἑπόμενον. οὐδὲν γὰρ τῶν γεννητῶν ζώων ἄγηρον ἔσεσθαι
ἔρατο. καὶ διὰ τοῦτο κατὰ φύσιν εἶναι λέγουσιν αὐτὸ τινὲς ἐξ ἀνάγκης ἑπόμενον ἅπασι τοῖς ὑπὸ φύσεως διοικου-
μένοις. εἴπερ οὖν κατὰ τοῦτο τὸ σημαινόμενον εἴρηται, κατὰ φύσιν εἶναι τὸ γῆρας, οὔτ᾽ ἀναγκαῖον ἔτι πρὸς αὐτοὺς
σκέπτεσθαι τ᾽ ἄλλα σημαινόμενα τῆς λέξεως. ἃ καλῶς ἔδοξε πιστὴν, ὡς ἐν ἑτέροις ἐπιδείκνυμεν, οὔτ᾽ ἀπορία τις
ὑπολείπεται κατὰ τὸν λόγον. οὕτω γὰρ λεγόντων, ὡς εἴρηται νῦν, ἀληθές ἐστι τὸ κατὰ φύσιν εἶναι τὸ γῆρας
ἄφυκτόν τε ὑπάρχειν, εἴπερ ἐξ ἀνάγκης ἕπεται τοῖς ἔργοις τῆς φύσεως. καί τοι τὶς τῶν καθ᾽ ἡμᾶς φιλοσόφων
ἔγραψε βιβλίον, ἐπιδεικνὺς ὅπως ἐστὶν ἀγηρόν τινα διαμεῖναι τὸ πάμπαν, ἐξέδωκε μὲν οὖν τὸ βιβλίον ἔτι
» τεσσαρακοντούτης ὤν. παρέτεινε δὲ μέχρι καὶ τῶν ὀγδοήκοντα ἐτῶν καὶ ἦν οὕτως ἰσχνός τε καὶ ξηρός, ὡς ἁρμό-
» ζειν ἐπ᾽ αὐτοῦ τὴν ἐκ τοῦ προγνωστικοῦ Ἱπποκράτειον ῥῆσιν. ῥὶς ὀξεῖα ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτω-
» κότες, ὦτα ψυχρὰ, καὶ συνεσταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι. καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον

† ἀλ. ὅτι ξηρόν τε καὶ περιτεταμένον, καὶ καρφαλέον ἐόν. ἐπεὶ τοίνυν ἐγελᾶτο τοιοῦτος φαινόμενος. † ὅτ᾽ ἄλλους ἀνθρώ-
πους ἐπεχείρησε διδάσκειν, ὅπως ἄν τις ἀγήρως διαμένῃ. δευτέραν ἔκδοσιν ἐποιήσατο. περὶ τῆς θαυμαστῆς ἀγη-
ρασίας. οὕτω γὰρ αὐτὴν καὶ ὠνόμασε διὰ τοῦ συγγράμματος, ἐπιδεικνὺς ὡς οὐ πᾶς ἄνθρωπος ἀγήρως δύναται
διαμένειν, ἀλλὰ δέοι μὲν εἰς τοῦτο καὶ φύσιν ἐπιτηδείαν. μάλιστα δ᾽ ἂν εἰ ἡ πρώτη τροφὴ τοιαῦτα βάλλοιτο θε-
μέλια. καὶ ἐπηγγέλλετο τῶν ἐπιτηδείων εἰς τοῦτο βρεφῶν εὐθὺς ἐξ ἀρχῆς αὐτὸς ἐπιστατῶν, ἀθάνατα αὐτῶν
ποιήσειν τὰ σώματα. καὶ ἦν ἀνεξέλεγκτον αὐτῷ τὸ ἐπάγγελμα, πρὸ τοῦ γὰρ ἀνδρωθῆναι τοὺς παῖδας, οὓς παρελάμ-
βανεν, ἔμελλεν αὐτὸς τεθνήξεσθαι. οἱ μὲν οὖν ἄλλοι πάντες ἐσχάτην μωρίαν αὐτοῦ κατεγίνωσκον. ἐγὼ δὲ οὐ μόνον
εἰδὼς, ὅτι πολλὰ καὶ ἄλλα δόγματα τοῖς διὰ τῆς ἐμπειρίας ἐγνωσμένοις μαχόμενα πολλοὶ τῶν λογικῶν ἀν-
δρῶν ἀπεφήναντο, τῇ πιθανότητι τῶν λόγων ἐξαπατηθέντες, οὐκ οὖν οὐδὲ τοῦτο θαυμαστόν ἐστιν ἔσον ἐπὶ
τῷ λόγῳ, τὸ γὰρ, ὅτι τὸ γεννητὸν πᾶν φθαρήσεται πάντως, οὔτ᾽ ἐπιστημονικὴν, οὔτ᾽ ἀναγκαίαν ἔχει τὴν ἀκο-
λουθίαν, ἀλλ᾽ ἄχρι τοῦ πιθανοῦ προϊοῦσαν, ὡς ἐν τῷ περὶ ἀποδείξεως ἀποδέδεικται. καί τοι γε τούτῳ χρῶνται
τῷ λόγῳ σχεδὸν ἅπαντες, ὅσοι τὸ γηράσκειν ἀναγκαῖον ἐπιδεικνύουσι τοῖς ζώοις, ὁδὸν εἶναι φάσκοντες αὐτὸ πρὸς
τὴν ἐξ ἀνάγκης ἑπομένην φθορὰν τοῖς γεννητοῖς ἅπασιν. ἐξ ἐμπειρίας οὖν ἔτι μόνης, τὸ γῆρας ἀναγκαῖόν τε
καὶ κατὰ φύσιν, ὥσπερ γε καὶ ὁ θάνατος. σὺ δ᾽ αὐτὸς ἀποδεδειγμένος ὑπὸ τῶν ἑτοίμως ἀποφαινομένων, καὶ
λεγόντων ὡς ἀναγκαῖόν ἐστι τὸ γεννηθὲν ἅπαν, εὐθὺς εἶναι φθαρησόμενον, ἑπόμενον δὲ δή που τοῖς σοφισταῖς ἐστι
τὸ πρὸς τὴν ἐμπειρίαν ἀντιλέγειν. ὅπερ οἶμαι κἀκεῖνος ἐποίει φάσκων. ἀποθνήσκειν τε καὶ γηράσκειν ἅπαν ζῷον
ἀγνοίᾳ τῶν ἐπιστατούντων. ἴσως οὖν ἄμεινον ἡμᾶς ἐπισκέψασθαι τὴν αἰτίαν ἥ τις ποτέ ἐστι. δι᾽ ἣν γηράσκει τά τε
ζῷα, καὶ τὰ φυτὰ σύμπαντα. φαίνεται γὰρ δὴ ξηραινόμενα, καὶ τοιοῦτόν τι πάθος εἶναι τὸ γῆρας. εἰ καί τινες ἑτέ-
ρως ὑπέλαβον, ψυχρούς τε καὶ ὑγροὺς ἀποφηνάμενοι τοὺς γέροντας. ἐπιδέδεικται δὲ αὐτῶν ἡ αἰτία τῆς ἀπά-
της, ἐν τοῖς περὶ κράσεων γράμμασιν. ἆρ᾽ οὖν διὰ τοῦτο ξηραίνεται, δι᾽ ὃ λέγουσί τινες, ὡς ἡ σύμφυτος τοῖς ζώοις
θερμασία καθάπερ τι πῦρ ὑπάρχουσα τὴν αὔξησιν ἐκ τῆς ὕλης, ὅθεν ἀνάπτεται, λαμβάνει. ταύτῃ γὰρ ἐνδέ-
δεται, καὶ ταύτης ἀχώριστός ἐστι, καὶ πάντα ἐκ ταύτης ἐστὶν αὐτῇ. τὰ μὲν οὖν νεογενῆ ζῷα, καθάπερ καὶ τὰ
φυτὰ, σύμπαντά ἐστιν ὑγρά. καὶ διὰ τοῦθ᾽ ὥσπερ ἐγκαταπνιγομένη τῷ πλήθει τῆς ὑγρότητος, ἑαυτὴν ἀναφέ-
ρει μόλις, ὁμιχλώδης τέ τις οὖσα καὶ βραδεῖα καὶ δυσκίνητος. ἐν δὲ τῷ χρόνῳ πλεῖόν τι, καὶ ταύτης περιγίνεται
καὶ τῆς ὕλης ἐγκρατὴς ἁπάσης καθίσταται. καὶ οὕτως οὐχ ὁμιχλώδης ἐστὶ καὶ θολερὰ, καὶ καπνώδης, ἀλλὰ
καθαρά τε, καὶ αἰθερώδης γενομένης, τὰς ἑαυτῆς κινήσεις ἁπάσας ἀκωλύτως ἐπιδείκνυται, καὶ τὸ σύμπαν
εἰπεῖν, ὥσπερ αἱ φλόγες, ὅταν ἐπιστῶσιν ὑγροῖς ξύλοις, ἐν ἀρχῇ μὲν ὑποτύφονταί τε καὶ οἷον καταπνίγονται,
μικραὶ παντάπασιν οὖσαι, καὶ ἀσθενεῖς, ἐν δὲ τῷ χρόνῳ προήκοντι κατὰ βραχὺ μὲν, ἐκλάμπουσί τε καὶ αὔξονται κατὰ
βραχὺ δὲ τῆς ὕλης ἐγκρατεῖς γίνονται, καὶ τέλος ἐπὶ μήκιστον αἴρονται μέγεθος, ὅταν ἁπάσης κρατήσωσιν. ὅπερ ἐστὶν αὐ-
ταῖς ἀκμή τε καὶ ῥώμη. κἄπειτα ἐντεῦθεν ἤδη τῆς τροφῆς ἐπιλειπούσης ταύτης, μαραίνονταί τε καὶ σβέννυνται κατὰ
τὸν αὐτὸν τρόπον ἡ ἐν ἡμῖν φασὶ θερμότης ἐνδεδεμένη τῷ τοῦ ζώου σώματι καθάπερ ὕλῃ τινί. τὸ μὲν πρῶτον ὑγρὰ μέν
ἐστι καὶ ἀσθενὴς, αὐξανομένη δὲ μέχρι τῆς τῶν ἀκμαζόντων ἡλικίας, ἐκλάμπει τε καὶ αὐξάνεται, καὶ ἐπὶ πλεῖστον
αἴρεται μεγέθους, καὶ μιμεῖται τοῦ πυρὸς τὴν φλόγα. τοὐντεῦθεν δὲ τροφῆς ἀπορίᾳ, μαραίνεται κατὰ βρα-
χὺ καὶ τοῦτο ἐστὶ τὸ γῆρας, ὕστερον δὲ ἤδη καὶ ἀποσβέννυται παντελῶς. ὅπερ ἐστὶν ὁ θάνατος. οὗτος ὁ λόγος εὐδο-
κιμεῖ παρὰ πᾶσιν, ὀλίγου δεῖν, τοῖς νεωτέροις ἰατροῖς τε καὶ φιλοσόφοις, οὐκ ὢν ἀληθής. ἐμοὶ γοῦν κεῖται παρα-
βάλλων γέ τοι τὴν φλόγα τοῦ πυρὸς τῇ τῶν ζώων θερμασίᾳ, μὴ δὲ τοῦτ᾽ αἰσθανόμενος, ὡς ταῖς μὲν φλοξὶν ἡ
γένεσις ἐκ τῆς κατὰ τὴν ὕλην ἐστὶ φθορᾶς, ὅθεν περιεξάπτονται, τὰ ζῷα δὲ οὐχ οὕτως ὑπὸ τοῦ διαπλάττοντος
αὐτὰ, τῆς ἐμφύτου ὑπὸ θερμότητος ἔτυχεν, ἀλλ᾽ ὡς αὐξηθησόμενα, καὶ διοικηθησόμενα πρὸς αὐτῆς. οὐ δὲ ἔστι τις
χρόνος ἐν ᾧ διὰ πάσης αὐτῆς οὐκ ἐκτέταται τὸ σύμφυτον ἡμῖν θερμὸν δυνάμεις ἔχον, οὐχ ὡς διαπλάττει μόνον,
ἀλλὰ καὶ πολλὰς ἑτέρας. καὶ γὰρ ἕλκει τὴν τροφὴν ἐφ᾽ ἑαυτὸ, καὶ τὴν ὕλην διοικεῖ, καὶ προστίθησι καὶ προσ-
φύει, καὶ ὁμοιοῖ, καὶ συλλήβδην εἰπεῖν, ἅπαντα τἀναντία ταῖς φλοξὶν ἀπεργάζεται περὶ τὴν σύμφυτον
ὕλην ἑαυτῇ. τίς γὰρ φλὸξ αὐξάνει τὴν ὕλην ἧπερ ἐνδέδεται, τίς δ᾽ ἐκείνῃ τὴν τροφὴν ἐξομοιοῖ. μᾶλλον περ ἢ τὴν
ὕλην ἑαυτῇ. τίς δὲ τοσαύτας μηχανὰς ἕνεκα τοῦ διασώζεσθαι ὕλην ἐξευρίσκει, τὰ μὲν, ἀμφιεννῦσα καὶ
ἀποστέγουσα τῶν μορίων, ὡς μηδὲν αὐτοῖς ἔξωθεν πλεονάζειν. τὰ δὲ, διατετρῶσα καὶ ἀνευρύνουσα καὶ ὀχετοὺς
ἐντιθεῖσα. τοὺς μὲν, ὥσθ᾽ ἕλκειν δι᾽ αὐτῶν τὴν τροφήν. τοὺς δ᾽ εἰς ἀνάψυξίν τε καὶ ἀναπνοὴν, ἐξοχετεύουσα τε τὰ
περιττώματα. δι᾽ ἄλλων μὲν, τὰ παχέα. δι᾽ ἄλλων δὲ τὰ λεπτά. λάθοιμ᾽ ἂν ἐνταῦθα μεταφέρων ἅπασαν τὴν
περὶ χρείας μορίων πραγματείαν. εἶτα τῆς φύσεως ἔργα πάνθ᾽ ἑξῆς κατὰ λέγοιμι. καὶ μὴν ταὐτὸν εἶναι φα-
σὶν, ἔμφυτον θερμὸν καὶ φύσιν οἱ τῆς εἰρημένης δόξης ἡγεμόνες. οὔκουν ὀρθῶς ὁμοίως εἰ καὶ παραβάλλουσιν αὐτὸ

† ἀλ. οἴονται ταῖς φλοξὶ καὶ φθείρειν† οἷόν τε τὰ σώματα τοῦτο. Ἱπποκράτης εἶπε. καὶ ἀποκτείνει τοίνυν ἡμᾶς τὸ θερμόν. ὅπερ

ἔφυσε τὰ

ἔφυσε τὰ σώματα. πρῶτον μὲν δὴ φήσομεν, ὦ βέλτιστοι, τῶν γνησίων οὐκ ἔστιν Ἱπποκράτους βιβλίων, ἐν ᾧ τοῦτο λέγεται. δεύτερον δέ, εἰ καὶ δόγμα ἐστὶν Ἱπποκράτους, ἐχρῆν ἐξηγεῖσθαι αὐτὸ ὅπως εἴρηται, καὶ τινὰ φέρειν ἀπόδειξιν. εἰ δὲ ἐξ ὧν ἀποροῦσιν ἀποδείξεων, ἐκ τούτων πιστεύεσθαι δικαιοῦσιν, οὐκ ὀρθῶς γινώσκουσιν. ἀληθὲς μὲν ὅτι τὸ διὰ τὴν ἔμφυτον θερμότητα γηράσκειν τε τὰ σώματα καὶ τελευτῶντα διαφθείρεσθαι. ψεῦδος δὲ ὁ τρόπος ὃν οὗτοι φασίν. οὐ γὰρ ὡς ἡ φλὸξ τὰ ξύλα, ταύτῃ καὶ τὸ σύμφυτον θερμὸν τῶν ζώων ἀναλίσκει τὰ σώματα. τοῦτο μὲν γὰρ ἴσως οἰκεῖον ἐστὶ τοῖς ὑπὸ τῶν πυρετῶν διαφθειρομένοις παράδειγμα. καὶ τό γε παρ' Ἱπποκράτους λεγόμενον ἐν τῇ προγεγραμμένῃ ῥήσει τοιοῦτόν τι δηλοῦν ἔοικε. τὸ μέντοι ξηραίνεσθαι τὰ σώματα κατά τινα φυσικὴν ἀκολουθίαν, καὶ γίνεσθαι τοῦτο διὰ τὴν ἔμφυτον θερμότητα, πάντη μᾶλλον ἀληθές ἐστιν, ὡς κἀν τῷ πρώτῳ τῶν ὑγιεινῶν ἐπιδέδεικται, ἐνθένδε δὲ ἀναγκαῖον ἐστὶ διὰ λόγου καὶ νῦν οὐδὲν ἧττον. ἡ φύσις ἡ δημιουργοῦσα, τά τε φυτὰ καὶ τὰ ζῷα πάντως μὲν δή ποθεν τῆς γενέσεως αὐτῶν ἀρχήν τινα λαμβάνει σωματοειδῆ, οὐδενός γε τῶν ὄντων δυναμένη τὴν ἀρχὴν τῆς γενέσεως ἐκ τοῦ παντάπασιν οὐκ ὄντος λαβεῖν. ἀρξαμένη δ' ἐντεῦθεν, ἐπὶ σκοπὸν ἀεὶ τέτακται τὸν ἐξ ἀρχῆς αὐτῇ προκείμενον ἐν τῇ δημιουργίᾳ. τοῦτο δέ ἐστι τὸ τέλειον ἀπεργάσασθαι τὸ γινόμενον, εἴτ' οὖν φυτόν, εἴτε καὶ ζῷον, ἔστι δὲ δή που τὸ τέλειον, ᾧ μηδεμία τῶν οἰκείων ἐνεργειῶν ἀπολείπεται. πλείονες δ' εἰσὶ τῶν ἐνεργειῶν αἳ σκληρῶν χρῄζουσι τῶν ὀργάνων, καὶ τοῦτ' ἐστὶν αἴτιον, τοῦ πολλὰ γίνεσθαι τοῖς ζῴοις μόρια σκληρά. τὴν δὲ ἀρχὴν αὐτῶν τῆς γενέσεως, ἔμπαλιν τῷ τελείῳ ζῴῳ μαλακὴν ἀναγκαῖον ὑπάρχειν, ἵν' εὔρυθμός τε καὶ εὔπλαστος εὐπειθής τε πρὸς ἅπαν ᾖ τῷ δημιουργοῦντι. καὶ διὰ τοῦτο κἂν σκληρὸν ᾖ τι σπέρμα, φυτοῦ μαλακὸν γίνεται πρότερον ὑγρότητι συμμέτρῳ τεγγόμενον, ἵν' ἀντὶ σπέρματος φύσις γένηται. ἐπεὶ οὖν ἄρχεσθαι μὲν χρὴ τὴν τοῦ ζῴου γένεσιν ἐκ μαλακῆς οὐσίας, τελειουμένην δὲ γίνεσθαι σκληράν. ἐπικρατεῖν ἀναγκαῖον ἐστίν, ἐν τῇ πρώτῃ κράσει τῶν συνιστάντων αὐτὸ στοιχείων τότε ὑγρὸν καὶ τὸ ξηρόν. τὸ μὲν οὖν ὑγρόν, τὸ ὑδατῶδές ἐστιν. τὸ δὲ ξηρόν, δῆλον μὲν ὑπάρχει τῇ φύσει, τὸ μὲν γεῶδες, τὸ δέ, πυρῶδες. ἀλλ' οὐχ οἷόν τε ἦν ἐξ ἀρχῆς μιχθῆναι πλέον τὸ γεῶδες, ὑγρᾶς δεομένης εἶναι τῆς τῶν ζῴων ἀρχῆς. ἀπολείπεται οὖν ἔτι μόνον τὸ πυρῶδες, ἀναγκαίαν ἔχον ἐπικράτησιν ἐν τῇ πρώτῃ τοῦ ζῴου γενέσει τε καὶ συμπήξει. εἰ μὲν οὖν οἷόν τε ἦν τῇ φύσει μέχρι τῆς ἀκμῆς προαγαγούσῃ τὸ ζῷον ἢ φυτόν, αὖθις ἑτέραν ἐνθεῖναι στοιχείωσιν ἀναλόγως, ἴσην ἔχει δύναμιν, οὕτως ἂν μόνως ἀγήρων τε καὶ ἄφθαρτον ἔμεινεν αὐτῇ τὸ δημιούργημα, σοφοῦ τινος ἐπιστάτου τυγχάνον. οὐ γὰρ δὴ ἁπλῶς τε ὂν οὕτως ἄφθαρτον ἂν ἐγεγόνει κακῶς διαιτώμενον. καὶ τότε ἂν ἡμῖν ὁ αἰγύπτιος ἐπεδείξατο τὴν ἑαυτοῦ τέχνην ἐπὶ δυνατῷ γενέσθαι πράγματι. νυνὶ δὲ ἐπεὶ οὐδὲ οἷόν τέ ἐστι μεταθεῖναί τε καὶ ὑπαλλάξαι τὰ πρῶτα στοιχεῖα τῆς τῶν ζῴων, καὶ φυτῶν γενέσεως, ἀναγκαῖον ἐστὶ καὶ μετὰ τὴν ἀκμὴν ξηραίνεσθαι τὸ σῶμα. καίτοι γε οὐ δεόμενον ἔτι πάχειν τοῦτο, τῆς ξηραίνεσθαι χρείας οἰχομένης. ἀλλ' ἡ μὲν παρακμὴ βραχεῖαν ἔχουσα τὴν ξηρότητα, λανθάνει τοὺς πολλούς, ὡς οὐδέπω μαρασμός τις οὖσα. τὸ δὲ γῆρας οὐ τῷ γένει διάφορον αὐτῆς, ἀλλὰ μόνῃ τῇ ποσότητι καταφανὲς γίνεται. αὕτη μὲν ἡ αἰτία τῆς ἀναγκαίας ἅπασιν τοῖς ζῴοις ἐπὶ προήκοντι τῷ χρόνῳ ξηρότητα ἐναργῶς ἐνδεικνυμένη. περί γε μὴ παντάπασιν ἀσυνέτῳ τό τε τῆς γενέσεως ἄφυκτον, καὶ τὸ τῆς παύσεως ἀδύνατον. ὃ γὰρ ἐξ ἀνάγκης ἀκολουθεῖ τῇ πρώτῃ τῶν ζῴων γενέσει, τοῦτο πῶς ἄν τις γενέσθαι κωλύσειεν ἢ παύσειε γινόμενον. ἥτις δέ ἐστιν ἡ τοῦ γήρως ἀρχή, καὶ πότε πρῶτον ἄρχεται γηράσκειν τὰ σώματα, καιρὸς ἂν εἴη σκοπεῖσθαι. ὅσοι μὲν οὖν ἡγοῦνται τὴν μὲν τῶν παρακμαζόντων κρᾶσιν εἶναι ξηρὰν καὶ ψυχράν, τὴν δὲ τῶν γερόντων ὑγρὰν καὶ ψυχράν, ἐν τῇ ταύτης μεταβολῇ τὴν ἀρχὴν τοῦ γήρως τίθενται. ἡμεῖς δὲ ἀποδείξαντες ἐν τῷ περὶ κράσεων, ἅπαντα τὰ σώματα μετὰ τὴν ἀκμὴν ἄχρι τῆς τελευτῆς ξηραινόμενα, δεόντως ἀπορήσομεν ὑπὲρ ἀρχῆς γήρως ἁπάσης τῆς μετὰ τὴν ἀκμὴν ἡλικίας ξηρᾶς καὶ ψυχρᾶς ὑπαρχούσης. οὐ δὲ γὰρ ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, ἕτερον ἑτέρου τῶν παρακμαζόντων εἶναι ξηρόν, καὶ ψυχρόν, ἀρχὴν τοῦ γήρως ὑποθέσθαι δυνατόν ἐστιν, ὅταν ἐπὶ πλεῖστον ἥκῃ τὸ σῶμα ξηρότητος. τουτὶ γὰρ τὸ ἐπὶ πλεῖστον εἰς σωρητικὴν ἀπειρίαν ἐμπίπτει, καὶ δύναται μέν τις καὶ καταφρονῆσαι τῆς τοιαύτης ἀπορίας, καὶ πολλαχόθι γε ἀναγκαῖον οὕτω ποιεῖν. ὁ μὴν ἄμεινόν γε σαφέσιν ὅροις ἀφορίσασθαι δυνάμενον, ὑποβάλλειν ἑαυτὸν οὐκ ἀναγκαίαις ἀπορίαις. ὅσοι δὲ σαφεῖς ἐπὶ ταῖς τοῦ παρακμάζοντος ἡλικίαις, καὶ ταῖς τοῦ γέροντος, ἡ τῶν ὑγρῶν ἐπικράτησις περιττωμάτων, ὑφ' ὧν ἐξαπατωμένους ἐλέγομεν ἀποφήνασθαι τινὰς ὑγρὸν εἶναι τὸ γῆρας. εὐθέως δὲ καὶ τὰς ἐνεργείας ἐν τῷδε σαφῶς ἐστὶν ἰδεῖν ἀρρωστούσας. ἁπάσας καὶ ἡ τέως λανθάνουσα τῶν παρακμαζόντων ἐπὶ θάνατον ὁδός, ἐναργῶς καταφαίνεται τηνικαῦτα. καὶ προβλήματα ὑποθέσεως γίνεται τοῖς σοφισταῖς, τοῖς μέν, ὡς νόσος ἐστὶ τὸ γῆρας. τοῖς δέ, ὡς ἡ κατὰ φύσιν ὑγεία. τοῖς δέ, ὡς οὐδέτερόν τι. καὶ τοῖς μέν, ὡς κατὰ φύσιν ἐστί. τοῖς δέ, ὡς παρὰ φύσιν. ἐνίοις δὲ κἀνταῦθα μέσον τι καὶ οὐδέτερον ἀμφοῖν ἔδοξεν εἶναι τὸ γῆρας. ὡς μήτε κατὰ φύσιν αὐτό, μήτε παρὰ φύσιν ὀνομάζειν, ἀλλὰ καὶ λέξιν ἐξευρίσκειν ἐπ' αὐτῇ τρίτην, οὐ φύσει φάσκοντες ὑπάρχειν αὐτό. περὶ μὲν δὴ τῶν τοιούτων ἀμφισβητημάτων, ἑτέρου διελέσθαι καιροῦ. τὸν δὲ τοῦ γήρως μαρασμόν, ἀδύνατον δήπου καταλῦσαι. βοηθεῖσθαι δὲ ὡς ἐπὶ πλεῖστον ἐνταυθοῖ δυνατὸν καὶ τό γε γηροκομικὸν ὀνομαζόμενον μέρος τῆς ἰατρικῆς αὐτὸ τοῦτ' ἐστί. σκοπὸν ἔχον ὡς ἡ τοῦ πράγματος ἐνδείκνυται φύσις, ἐνίστασθαι καὶ διακωλύειν ὡς οἷόν τε, μὴ ξηρανθῆναι τὸ σῶμα τῆς καρδίας εἰς τοσοῦτον, ὡς ἐνεργοῦν ποτε παύσασθαι. τοῦτο γὰρ δὴ τὸ πέρας ἐστὶ τῆς ζωῆς, παῦλα τοῦ τῆς καρδίας ἔργου, ὡς μέχρι γ' ἂν ἥδε κινῆται κατὰ τὴν ἑαυτῆς ἐνέργειαν, ἀδύνατον ἀποθανεῖν τὸ ζῷον. εἰ μὲν οὖν οἷόν τέ ἐστιν ὑγρότερον ἐργάσασθαι τὴν οὐσίαν αὐτοῦ τοῦ τῆς καρδίας σώματος, ἢ καὶ νὴ Δία τοῦ ἥπατος, ἐγχωρεῖ τὸ γῆρας ἐπισχεῖν. εἰ δὲ μηδεὶς ἱκανός ἐστι, μήθ' ἧπαρ ὑγρότερον ἑαυτοῦ ποιῆσαι, μήτε καρδίαν, ἀλλ' ἀναγκαῖον ἐπὶ προήκοντι τῷ χρόνῳ ξηρότερον γίνεσθαι σφῶν αὐτῶν, οὐ τὰ σπλάγχνα μόνον, ἀλλὰ καὶ τὰς ἀρτηρίας, καὶ τὰς φλέβας, κωλῦσαι μέν, τὸ γῆρας ἀδύνατον. ἐπισχεῖν δέ, τὸ τάχος αὐτοῦ δυνατόν. ἔοικε τοίνυν Ὅμηρος εἴπερ τι καὶ ἄλλο, καὶ τοῦτο μαντικῶς ἐκφωνῆσαι περὶ τῶν γερόντων, ἐπὴν λούσαιτο, φάγοιτο. εὑδέμεναι μαλακῶς οἷα δίκη ἐστὶ γερόντων. καὶ γὰρ τὸ λουτρόν, τῶν ὑγραινόντων ἐστί. καὶ ἡ μαλακὴ κοίτη. καὶ ὁ ὕπνος. ἡ δὲ τροφὴ πρώτη καὶ μάλιστα. μόνη γὰρ αὕτη μέρος γίνεται τῶν τρεφομένων σω-

μάτων ὁμοιουμένη ταῖς οὐσίαις αὐτῶν. ἕκαστον δὲ τῶν ἄλλων, ἢ περὶ κωλῦσαι ξηρανθῆναι σφοδρότερον τὰ ὁμοιομερῆ, ἢ περὶ τὴν ἐν ταῖς μεταξὺ χώραις αὐτῶν ἐπιτέγγειν τε καὶ αὐξάνειν ὑγρότητα, τῶν ὑγραινόντων μετείληφε προσηγορίας τε καὶ δυνάμεως. οὕτω δὲ ἐγχωρεῖ ποτὲ ἧπαρ, καὶ τὴν καρδίαν ὑγρανθῆναι, ὡς εἴρηται νῦν, τῆς τε παρεσπαρμένης αὐτοῖς ὑγρότητος αὐξανομένης ἣν καὶ τοῖς λεπτυνθεῖσι νέοις σώμασιν ἐκδαπανᾶσθαι συμβαίνει, καθ᾽ ὅλον μὲν τὸ σῶμα φανερῶς πολλάκις, ἐγχωρεῖ δέ ποτε καὶ κατὰ τὴν καρδίαν καὶ τὸ ἧπαρ. ὅτι δὲ τούτων τῶν σπλάγχνων, τὸ μὲν ἀρτηριῶν τε καὶ σφυγμῶν ἐστιν ἀρχή, τὸ δὲ φλεβῶν τε καὶ τοῦ τρέφεσθαι, δι᾽ ἄλλης ἀποδέδεικται πραγματείας, ἐν ᾗ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος ἐπισκοπούμεθα δογμάτων. ταῦτα οὖν τὰ σπλάγχνα, πρὶν ἰσχυρὰν ἔνδειαν αἵματος γενέσθαι καθ᾽ ὅλον τὸ ζῷον, οὐκ ἀπορεῖ συμμέτρου τροφῆς. τὸ μὲν ἧπαρ, ὅτι παρ᾽ αὐτὸ τὸ αἷμα τὴν ἀρχὴν ἐντεῦθεν ἔχει, ἡ καρδία δὲ διὰ τὸ τῆς ὁλκῆς ἰσχυρόν. ἕλκει μὲν ἅπαντα τὰ μόρια τοῦ ζώου τὴν οἰκείαν τροφὴν ἐφ᾽ ἑαυτά, τῇ δὲ ἴσῃ ῥώμῃ τῆς ὁλκῆς οὐ κέχρηται πάντα. διὰ τοῦτ᾽ οὖν οὐδ᾽ ὁμοίως ἀτροφεῖ κατὰ τὰς ἐνδείας τοῦ αἵματος. ἀλλ᾽ ἥ τε καρδία σφοδροτάτην ἔχουσα τὴν κατὰ τὸ ἕλκειν ἐνέργειαν, οὐκ ἄν ποτε ἀπορήσειεν τροφῆς, πρὶν εἰς ἐσχάτην ἔνδειαν ἀφικέσθαι πάντα τοῦ ζώου τὰ μόρια. μὴ τοίνυν ὑπολαμβάνωμεν ἐπειδὰν ἰσχνὸν γένηται τὸ σῶμα χρονίως ἀρρωστῆσαν, ἀναλόγως τοῖς ἄλλοις ἅπασι μορίοις, τὴν καρδίαν καὶ τὸ ἧπαρ ὑπάρχειν ἰσχνά. θεάσασθαι δ᾽ ἔστι σοι τοῦτο βουληθέντι, κἀπὶ τῶν ἄλλων ζώων. ὅτι γὰρ ἂν ἐθελήσαις ἐπὶ πλεῖστον λιμαγχονήσας ἀνατέμνειν, ἰσχνὰ μὲν αὐτοῦ καὶ ξηρὰ τἆλλα σύμπανθ᾽ εὑρήσεις μόρια. τὸ δ᾽ ἧπαρ ἅμα τῇ καρδίᾳ, πλησίον τοῦ κατὰ φύσιν. ἀποθνήσκουσι γὰρ ἐπὶ ταῖς ἀσιτίαις, οὐ τοσοῦτον ἐνδείᾳ τῆς τῶν στερεῶν σωμάτων τροφῆς, ὅσον τοῦ πνεύματος οἱ σφαττόμενοι. καὶ διὰ τοῦτο γοῦν ἅπαντα τὰ μόρια μαλακά τε ἐστὶ καὶ ὑγρὰ τοῖς τῶν ζώων ὁμοίως, ἐπειδὴ τὸ περιεχόμενον ἐν αὐτοῖς ὑγρόν. ὑφ᾽ οὗ πρώτως τρέφεται, σώζεται σύμπαν. οἱ δ᾽ ὑπὸ λιμοῦ διαφθαρέντες, ἥκουσι μὲν ἐγγὺς τοῦ ὄντως μαρασμοῦ, καὶ διὰ τοῦτο μεμαράνθαι φήσομεν αὐτούς, ὅταν γε τῆς ἀκριβολογίας μηδέ πω καιρὸς ᾖ. κατ᾽ ἀλήθειαν δ᾽ οὐκ ἐμαράνθησαν, ἢ οὐ πάντα γε τὰ μόρια τοῦ σώματος. ὁ δὲ ὄντως μαρασμός, ὁμοίως μαραίνει πάντα. διότι καὶ τὰς ἀρχάς. ἔστι δ᾽ οὗτος ἐν μὲν ταῖς ἡλικίαις τὸ γῆρας, ἐν δὲ τοῖς παρὰ φύσιν ὁ μαρασμώδης πυρετός. ἑτέρα δέ τις ἀνάλογος γήρᾳ διάθεσις, ἣν οὐδὲν χεῖρον ὀνομάζειν ἐκ νόσου γῆρας, οὐ μὰ Δί᾽ οὐχ᾽ ὡς Φίλιππος τὸν ἕνα μαρασμώδη πυρετὸν καλεῖ. οὐ γάρ ἐστιν ἡ τοιαύτη διάθεσις πυρετός, ἐν ᾗ ψυχροτέρα τοῦ κατὰ φύσιν ἡ καρδία γέγονεν. ὅτι δ᾽ οὕτως ἔχει κράσεως, οὐκ ἐλάχιστον γνώρισμα, μικρὸς καὶ ἀραιὸς σφυγμὸς ἀποτελούμενος, ὡς καὶ αὐτὸς ὁ Φίλιππος γράφει. δέδεικται δὲ ἐν τοῖς περὶ σφυγμῶν, ὁ τοιοῦτος σφυγμὸς ἐν ψύξει γινόμενος, ἀλλὰ καὶ ἡ ἀναπνοὴ τοῖς οὕτω διακειμένοις ὁμοίως φαίνεται τοῖς σφυγμοῖς, μικρά τε ἅμα καὶ ἀραιὰ καὶ διὰ πολλοῦ τὴν ψύξιν ἐνδεικνυμένη καὶ αὐτὴ τῶν κατὰ τὴν καρδίαν, ὡς καὶ τοῦτ᾽ ἐν τοῖς περὶ δυσπνοίας δέδεικται. οὐ μὴν οὐδ᾽ ἐκπνέουσι θερμόν, ὅπερ ἀχώριστόν ἐστι καὶ αὐτὸ τοῦ κατεψύχθαι τὴν ἀρχήν. ὥσπερ γε τὸ ἐναντίον, τοῦ θερμανθῆναι. πόθεν οὖν, ὅτι πυρέττουσιν; οὐ δὲ γὰρ ὁ θώραξ αὐτῶν ἐστὶ θερμός, οὔτ᾽ οὖν κατὰ τὸ στέρνον. οὐθ᾽ ἑτέρωθεν, οὔτ᾽ ἐν τοῖς κατὰ μασχάλην τε καὶ τὰ κυρτὰ τῶν πλευρῶν. οὔτ᾽ ἄχρι ῥάχεως, ἀλλὰ ταῦτα μὲν ὁμολογεῖ καὶ ὁ Φίλιππος. ἔχειν δ᾽ αὐτῶν φασὶ τοὺς σφυγμοὺς τὸ σημεῖον τοῦ πυρετοῦ, τὴν σκληρότητα δηλονότι λέγων, ἣν ἀχώριστον ἔθετο σημεῖον ἁπάντων πυρετῶν Ἀρχιγένης. ἀλλ᾽ εἰ μὲν τὸν ὄντως λέγει σκληρόν, ὑπάρχει μὲν τοῖς μαραινομένοις ἅπασι, διὰ τὴν ξηρότητα τῶν ἀρτηριῶν, οὐ μὴν σημεῖον ἐστὶ πυρετῶν. εἰ δ᾽ ὃν Ἀρχιγένης ἐκάλει σκληρὸν ὄνομα μόνον φθεγγόμενος, οὐ μὴν ἔχων γε δεῖξαι πρᾶγμα καθ᾽ ὃ τοὔνομα φέρει, γέγραπται καὶ ἡμῖν περὶ αὐτοῦ πολλὰ κατὰ τὰς περὶ τῶν σφυγμῶν πραγματείας. τὸ μέντοι γῆρας τὸ ἐκ νόσου ψύξις ὂν ἅμα ξηρότητι, πυρετὸς οὐκ ἔστι. τὸ δὲ ἕτερον εἶδος ὁ περιφρυγὴς ὀνομαζόμενος ὑπὸ τοῦ Φιλίππου μαρασμός, ὄντως ἐστὶ μαρασμός. ὥσπερ γε καὶ ὁ συγκοπώδης. καὶ ἔστιν αὐτοῖς ὁ σφυγμός, πυκνός τε καὶ μικρός. ἐπὶ μέρος δὲ τοῖς ἐν τῷ περιφρυγεῖ συμβαίνει θερμὰ ἐκφυσᾶν πνεύματα χαίνουσιν, ὡς ἄν τις εἰκάσειεν αὐτὸ τῇ καύσει. ἡ γένεσις δὲ ὡς εἴρηται τῷ περιφρυγεῖ μὲν ἐκ θερμότητος καὶ καυσωδεστάτων ἐστὶ πυρετῶν, καὶ μάλιστα ἐπὶ ξηρότητι τῆς ἕξεως. τῷ συγκοπώδει δὲ ἐπειδὰν ἐν συγκοπῇ γενηθέντες ἐκφύγουσι ἐν τῷ παραυτίκα τὸ τοῦ κινδύνου σφοδρόν, ὑπολείπεται δ᾽ αὐτοῖς τι τῆς συγκοπώδους διαθέσεως. ὁ δὲ ψυχρὸς μαρασμὸς ὁ τὴν τοῦ γήρως ἔχων διάθεσιν, ἐκ μεταπτώσεως γίνεται πυρετῶν ψυχθέντων, ὡς οὐ χρὴ διά τε πόσεως ὕδατος ψυχροῦ, καὶ ὅσα καθ᾽ ὑποχόνδριά τε καὶ θώρακος ἐπιφερόμενα, ἰάματα ψυκτήρια, τὸ δ᾽ ὡς οὐ χρὴ διττόν ἐστι, ἤτοι τε ἀμφότερον τοῖς ψύχουσι χρησάμενον, ἢ μὴ ἐπὶ πλεονεκτοῦντι τῷ χρόνῳ. συμβαίη δ᾽ ἄν ποτε καὶ κατ᾽ ἀμφότερα ἅμα τὰς αἰτίας συστῆναι τὸ πάθος. ὅτι δ᾽ ἀδύνατον ἰάσασθαι μαρασμόν, ὅταν ὄντως μαρασμὸς ᾖ, λέλεκται μέν που καὶ πρόσθεν, ἡνίκα περὶ τοῦ γήρως ἐγράφομεν. εἰρήσεται δὲ καὶ νῦν, συμβαίνει τε τοιοῦτον τοῖς οἰομένοις ἰᾶσθαι μαρασμόν, οἷόν τι καὶ τοῖς ὑπειληφόσι τὴν εἰς τὰ πρόσω μετάστασιν τῶν καταμαρανθέντων περὶ ῥάχιν σπονδύλων. ἐξ ὧν γὰρ ἑκάτεροι περὶ τὰς διαγνώσεις τῶν παθῶν ἐσφάλησαν, ἐκ τούτων ᾠήθησαν ἑαυτοὺς μέγιστα κατωρθωκέναι. κατὰ λεπτυνθέντας μὲν γάρ τινας ἰάσαντο. διττῆς δὲ οὔσης τῶν οὕτω λεπτυνθέντων τῆς διαθέσεως, ὑπὲρ ἑκατέρας ἰδίᾳ λεκτέον. γίνεται τοίνυν ἡ μὲν ἑτέρα τῶν κατισχνωθέντων διάθεσις, ἐπειδὰν ἥ τε ὑγρότης ἀπόλλυται τῶν στερεῶν σωμάτων, ἣν οἰκείαν αὐτῶν ἔφαμεν εἶναι τροφήν, αἵ θ᾽ ἁπαλαὶ σάρκες συντακῶσιν. ἡ δ᾽ ἑτέρα τῶν σωμάτων, αὐτῶν ἅπτεται τῶν στερεῶν. ἃ δὴ καὶ πρῶτά τε καὶ ὁμοιομερῆ προσαγορεύομεν. αὕτη μὲν οὖν ἐστιν ἡ ἀνίατος, ὥσπερ γε καὶ τὸ γῆρας. ἡ δὲ ἑτέρα κινδυνώδης, οὐ μὴν τὸ πάμπαν γε ἀνίατος. ἐν μὲν τῷ κοινῷ γένει ταῖς ἄλλαις ἁπάσαις ἐστὶ τῶν ἐναντίων τῷ πάθει δεομένη βοηθημάτων. οὐ μὴν ὡσαύτως γε ταῖς πλείσταις αὐτῶν, ἀσφαλής. ὑγρανθῆναι μὲν γὰρ χρὴ τὰς τρεῖς διαθέσεις, καὶ τοῦτ᾽ αὐταῖς κοινόν, ἐπὶ κοινῇ τῇ ξηρότητι, θερμανθῆναι δεομένης τῆς μιᾶς, ἣν τῷ γήρᾳ προσεικάζομεν. ὥσπερ γε καὶ ψύξαι μίαν, ἣν περιφρυγῆ μαρασμὸν ὀνομάζομεν. ἐπιμίκτου δέ πως ἰάσεως ὁ συγκοπώδης δεῖται μαρασμός, ὅτι γεγονὼς ἤδη. μεμνῆσθαι γὰρ χρὴ τούτου διαπαντός, ἀλλ᾽ ἔτι γινόμενος, ἐκ δαπανωμένης τῆς συμφύτου τοῖς στερεοῖς μορίοις ὑγρότητος.

οὗτοι μὲν

οὗτοι μὲν οἱ σκοποὶ τῆς ἰάσεως. ὅπως δ᾽ ἄν τις εὕροι τὰς ὕλας τῶν βοηθημάτων, ἔτι τε σὺν αὐτοῖς τὸν τρόπον τῆς χρήσεως, ἐφεξῆς ἂν εἴη σκεπτέον. ἄμεινον μὲν οὖν γεγράφθαι τῷ Φιλίππῳ, μὴ μόνον ὅσα γέγραπται κατὰ τὸ πρῶτον περὶ μαρασμοῦ βιβλίον, ὑπέρ τε γενέσεως τοῦ πάθους, καὶ τῆς κατ᾽ αὐτὸ διαφορᾶς διαγνώσεώς τε καὶ μεταπτώσεως, ἀλλὰ καὶ περὶ τῆς θεραπείας τι. νυνὶ δὲ ταύτην μὲν ὡς ἔοικεν οὐκ ἔφθασεν γράφειν. ζητήσας γοῦν ἐγὼ πάνυ πολλοῖς ἔτεσι τὸ περὶ μαρασμοῦ δεύτερον, οὔτ᾽ αὐτὸς εὗρον, οὔτ᾽ ἄλλῳ συνέτυχον ἀνεγνωκέναι ποτὲ φάσκοντι. κατὰ δὲ τὸ πρῶτον βιβλίον, ὅ τινες οὐδὲ πρῶτον ἐπιγράφουσιν, ἀλλ᾽ ἁπλῶς περὶ μαρασμοῦ, διὰ τὸ μὴ φαίνεσθαι τὸ δεύτερον, ἐπεμνήσθη βαλανείου χρήσεως. οὐ μὴν ἀποδέχεσθαι τοὺς χρωμένους, ὡς βοηθήματι. βλάπτεσθαι νομίζων ὑπ᾽ αὐτοῦ τοὺς μαραινομένους. ἅτε δ᾽ ἐν παρέργῳ μνημονεύσας, οὔτ᾽ ἐπεξῆλθεν, οὔθ᾽ ὡς εἴωθεν ἀκριβῶς ἐσκέψατο περὶ τοῦ βοηθήματος. καί τοι γε φαίνεται ἐναργῶς ὑγραῖνον τοὺς κατεξηραμμένους, ὡς ἔνεστιν ἐπί τε τῶν ὁδοιπορησάντων ἐν ἡλίῳ θερινῷ, ἢ καὶ ἄλλως ὁπωσοῦν γυμνασαμένων, ἢ ἐγκαυθέντων θεάσασθαι. τούτους τε γὰρ ἅπαντας ἔτι τε πρὸς αὐτοῖς ὅσοι διψώδεις εἰσὶν, ὑγροὺς καὶ ἀδίψους καθίστησί τε καὶ ἐργάζεται. φαίνεται δὲ καὶ τοὺς ἄλλους ὁπωσοῦν ἐξηραμμένους, ἢ ὑπὸ ἀγρυπνίας, ἢ φροντίδος, ἢ ἀφροδισίων, ἢ βρωμάτων, ἢ φαρμάκου ξηραίνοντος, ἢ θυμοῦ, πάντας † ἐπιτέγγον τε καὶ ἀνακτώμενον. ἀλλά μοι δοκεῖ Φίλιππος ἐπὶ τῶν ἤδη ὄντως μεμαρασμένων κατεγνωκέναι βαλανείου, οὓς οὐδ᾽ ἄλλο οὐδὲν ἰᾶται. ὥστε με διχόθεν ἀποστῆναι τῆς γνώμης αὐτοῦ, ἐξ ὧν τε νομίζει τῶν ὄντως μαρανθέντων ἰάσασθαί τινας. ἐξ ὧν τε βαλανείου κατέγνωκεν. ἔνεστι γὰρ ἐναργῆ τῆς δυνάμεως αὐτοῦ λαβεῖν τὴν πεῖραν, ἐπὶ τῶν μὴ δέπω τὸν ἀθεράπευτον νοσούντων μαρασμόν. ὃν οὐδὲ μαρασμὸν ἄν τις ἴσως ἀκριβολογεῖσθαι βουλόμενος ὀνομάζει. ἀλλ᾽ ἡμῖν γε ὀνομάτων οὐ μέλει, δυναμένοις ἑρμηνεῦσαι λόγου τὰ πράγματα σαφέστερον. οὐσῶν γὰρ τῶν πρώτων τε καὶ γενικωτάτων ἐν τοῖς πυρετοῖς διαφορῶν τριῶν, ἐξαίρομεν ἔν γε τῷ παρόντι τοὺς ἐφημέρους. ὁ δέ μοι λόγος, ὑπέρ τε τῶν ἐπὶ χυμῶν γενήσεται, καὶ τῶν ἑκτικῶν. τῶν μὲν οὖν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν μετὰ τὴν πέψιν τῶν χυμῶν, ἴαμα βαλανεῖόν ἐστι. τοῖς δὲ ἑκτικοῖς μόνοις μὲν συνισταμένοις χωρὶς ἐπιπλοκῆς τινὸς ἑτέρου πυρετοῦ, πᾶς χρόνος ἐπιτήδειός ἐστι πρὸς λουτρόν. εἰ δὲ ἐπιπλέκοιτο τινὶ τῶν ἐπὶ χυμῶν, ὅταν ἐκεῖνοι πεφθῶσι, τοὺς δ᾽ αὐτοὺς χρὴ νομίζειν εἶναι καιροὺς, ὡς ἔγχυσιν καὶ δόσεως ψυχροῦ, ἀλλὰ τούτου μὲν ἡ ἀποτυχία, μετὰ μεγάλης βλάβης γίνεται. βαλανείου δ᾽ ἀκίνδυνος ἡ χρῆσις ἐπὶ τῶν εἰρημένων πυρετῶν ἐστὶ, πλὴν εἴπου μὲν ὑποπτεύοις ἀσθένειαν δυνάμεως. καὶ ἡμεῖς γε πολλοὺς ἐθεραπεύσαμεν ἐπὶ δὲ ξηρὸς μαρανθήσεσθαι, διὰ τούτων βοηθημάτων. εἴρηται δ᾽ ἐν τῷ πρώτῳ περὶ διαφορᾶς πυρετῶν, ὅτι καὶ τῶν ἐφημέρων τινὲς κοινωνοῦσι τῷ γένει τῶν ἑκτικῶν, καὶ ὡς οὐκ ἔστιν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκριβῶς γνωρίζειν αὐτοὺς, ἀλλ᾽ ἤτοι περὶ τὴν δευτέραν, ἢ πάντως γε τὴν τρίτην. καὶ ὡς ἐπειδὰν πρῶτόν τις γνῷ, διδόναι τὸ ψυχρὸν ὕδωρ, ἀκινδυνότατον γὰρ ἐν τούτῳ τῷ καιρῷ τῆς τε δυνάμεως ἐρρωμένης, ἔτι καὶ δαψιλοῦς τοῦ αἵματος ἐν τῷ σώματι περιεχομένου. χρονίζοντες μὲν γὰρ ἀσθενεῖς γίνονται δυνάμει ὀλίγον δ᾽ ἴσχουσι τὸ αἷμα. βλάπτονται τοιγαροῦν, ὡς τὰ πολλὰ βλάβην διττήν. μίαν μὲν τῷ πλήττεσθαί τε καὶ καταψύχεσθαί τινα τῶν μορίων ἐν τῇ πόσει τοῦ ψυχροῦ. ἑτέραν δὲ ἐπειδὰν οἱ διδόντες αὐτοῖς τὸ ὕδωρ μὴ κρατήσαντες τοῦ συμμέτρου καταψύξωσιν οὐ μόνον ἄλλο τι μόριον, ἀλλὰ καὶ αὐτὸ τὸ τὴν ἀρχὴν ἔχον τῆς γενέσεως τοῦ πυρετοῦ. εἰ δὲ καὶ τὴν καρδίαν ἐπιπλέον ἐμψύξαιεν. εἰ μὲν ἔτι διαφυλάττει τὴν ἔμφυτον ἰκμάδα, κατάπτωσις γίνεται δυνάμει. εἰ δὲ ἤδη ξηροτέρα ὑπάρχουσα ἡ τῷ γήρᾳ διάθεσις ἐοικυῖα διαδέξεται. κατὰ δὲ τὸν αὐτὸν καιρὸν ἐν ᾧ πρῶτα τὰ γνωρίσματα σαφῆ τῶν ἑκτικῶν πυρετῶν ἐστὶ, καὶ ἡ τῶν ἔξωθεν ἐπιτιθεμένων ψυχόντων φαρμάκων προσφορὰ χρήσιμος ὑπάρχει κατ᾽ αὐτῆς ἐπιτιθεμένων, ὡς ἂν εἴποι τις, τῆς ἑστίας τοῦ πυρετοῦ, περὶ ἧς ὀλίγον ὕστερον ἀκριβῶς διοριοῦμεν. νυνὶ δὲ ἐπὶ τὸ βαλανεῖον ἐπάνειμι χρήσιμον ὑπάρχον ἐν ἅπασι τοῖς αὐχμώδεσι πυρετοῖς ὅταν γε ἄλλο μηδὲν κωλύοι τῶν ἐπιπλεκομένων αὐτοῖς. χρησιμώτερον δ᾽ ἐστὶν ὅτε καὶ τῶν ἐμψύχων φαρμάκων, ὅταν δ᾽ ἐπικρατῇ τὸ αὐχμῶδες, ἤτοι καθ᾽ ὅλον τὸ ζῷον, ἢ κατὰ τὴν ἑστίαν. λέγω δὲ ἑστίαν τοῦ πυρετοῦ τὸ μόριον ἐκεῖνο τοῦ ζώου τὸ πρῶτον ἀμέτρως θερμανθὲν, τοῖς λοιποῖς μέρεσιν ἑαυτοῦ. πρώτη μὲν οὖν ἡ καρδία θερμοτέρα τοῦ προσήκοντος γενομένη τὸν ἑκτικὸν πυρετὸν ἐπιφέρει. ἐφεξῆς δὲ τὸ ἧπαρ, οὐ καθ᾽ ἑαυτὸ μὲν, ὥσπερ ἡ καρδία, τῷ δὲ ἐκείνην ἄγειν εἰς συμπάθειαν. ἡνίκα τὸ τῆς καρδίας πάθος μὴ αὐτὸ διὰ τῆς αἰτίας ἐφέξει λόγου, ἀλλὰ τὰ τῶν γειτνιώντων αὐτῇ σωμάτων. ἑξῆς δὲ τούτοις ἐστὶν ἡ γαστήρ. καὶ μετὰ ταύτην ὅσα δύναται συνεκθερμαίνειν ἑαυτοῖς τὴν καρδίαν. ὅσον μὲν οὖν ἐπὶ τῇ γειτνιώσει μάλιστα πάντων ἐχρῆν τῷ πνεύμονι συνεκθερμαινομένην τὴν καρδίαν ἑκτικὸν καὶ ξηρὸν ἐπιφέρειν πυρετὸν, ᾧ μαρασμὸς ἕπεται, οὐ μὴν φαίνεται γιγνόμενον, ἅμα μὲν ὅτι τὸ σπλάγχνον ὑγρὸν, ἅμα δ᾽ ὅτι διὰ τῆς ἀναπνοῆς ψυχόμενον, οὐ ῥᾳδίως ἄν ποτε διάθεσις ὁμοίαν αἰτίαν κτήσεται ὡς τὰ πολλὰ μὲν οὖν κατὰ τὰ λοιπὰ σπλάγχνα μετὰ χολώδους χυμοῦ συνίστασθαι πέφυκεν ὁ ἑκτικὸς πυρετὸς, ἀναποθέντος εἰς τὴν γαστέρα † τοῦ πάσχοντος. καὶ διὰ τοῦτο καὶ ὁ Φίλιππος ἐρυσιπελατώδη διάθεσιν ἐν τῇ γαστρὶ γενέσθαι νομίζει κατὰ τοὺς πλείους τῶν μαραινόντων πυρετῶν. εἰ δὲ ἐν γαστρὶ, ἀναγκαῖον καὶ καθ᾽ ἧπαρ ὑπονοῆσαι τὴν αὐτὴν συνίστασθαι διάθεσιν, ἐφ᾽ οἷς σπλάγχνοις πάσχουσι μόνοις, ἔοικεν ὁ Φίλιππος ἡγεῖσθαι γίνεσθαι μαρασμόν. ἐθεασάμην δ᾽ οὐκ ὀλιγάκις τινὰς ἀπαθῶν ὑπαρχόντων τούτων, ἐν τῇ καρδίᾳ μαρανθέντας, οὓς οὐκ οἶδ᾽ ὅπως ἐπιλέλησται ὁ μὴ ἐφ᾽ ἥπατι καὶ γαστρὶ μόνοις πάσχουσιν ἐπιδεῖξαι δυνάμενος ὅπως γίνεται μαραίνων πυρετὸς ἄνευ τοῦ τῇ καρδίᾳ διαδοθῆναι τὸ πάθος. οὐ μόνον δὲ κατὰ τοῦτό μοι σφάλλεσθαι δοκεῖ, ἀλλὰ καὶ καθ᾽ ὅσον ἐπὶ τοῖς ἄλλοις μέρεσιν οὐχ ἡγεῖται συνίστασθαι μαρασμώδη πυρετόν. εἴτε γὰρ ἐρυσιπελατώδης διάθεσις μόνη κατὰ γαστρὸς γενηθῇ, τὸν τοιοῦτον ἐπάγει πυρετὸν, εἴτε καὶ χωρὶς ταύτης ἐστὶν, ὅτε τὸ σῶμα αὐτὸ μόνον ἐκπυρωθὲν ἄνευ χολώδους ὑγρότητος, ἐγχωρεῖ καὶ κατ᾽ ἄλλο τι μέρος ὁμοίαν γίνεσθαι διάθεσιν. ἀλλ᾽ εἴπερ εἴη τὸ μόριον ἐκεῖνο τοιοῦτον, οἷον ἑαυτῷ συνεκθερμῆναι, τὴν καρδίαν ἀνάγκη πᾶσα πυρετὸν γεννῆσαι τῇ διαθέσει αὐτοῦ. καὶ τοῦτον πάντως ἐν τῷ χρόνῳ γιγνόμενον ἑκτικὸν, εἰ μὴ λύοιτο, μαρασμὸν ἐπενεγκεῖν. ἄλλως τε ὅπερ εἶπον

† ἄλ. ἐπιτέγγοντες καὶ ἀνακτώμενος

† ἄλ. τοῦ πάσχοντος τοῦ

ἔμπροσθεν οὐ περὶ τῶν ὀνομάτων σπουδάζειν προσήκει, ἀλλὰ τὰς ξηραινούσας ἁπάσας διαθέσεις τὸ σῶμα διαγινώσκειν τε ἅμα καὶ θεραπεύειν ὀρθῶς, ὧν ἐστι μία καὶ ἡ μετὰ πυρώδους θερμότητος, ἣν βαλανεῖον ὀνίνησιν διαπαντός, ὅταν αὕτη καθ' ἑαυτὴν ὑπάρχῃ μόνη. γίνεται γὰρ ὡς εἴρηταί ποτε σὺν ἐρυσιπελατώδει διαθέσει πυρετὸς ἑκτικός τε καὶ μαρασμώδης, καὶ δεῖται ψυχθῆναι πρότερον ἐδέσμασί τε καὶ πόμασι καὶ τοῖς ἔξωθεν ἐπιτιθεμένοις. ἀλλ' αὐτὸς καθ' ἑαυτὸν ὁ τοιοῦτος πυρετὸς ἄμικτος ἑτέρῳ νοσήματι βαλανείου χρήζει. καθάπερ καὶ αἱ ἄλλαι πᾶσαι ξηρότητες. εἴτε θερμαὶ τύχοιεν. εἴτε ψυχραί τινες οὖσαι. θαυμαστὸν γὰρ διὰ τοῦτο τοῖς βαλανείοις ὑπάρχει τὸ καὶ τὰς θερμὰς ξηρότητας ὀνινάναι καὶ τὰς ψυχράς. ὥσπερ γε καὶ τὸ, διψώδεις μὲν ποιεῖν, τοὺς μὴ διψῶντας. ἀδίψους δὲ, τοὺς διψώδεις. ὅτι μὲν ἐργάζεται ταῦτα καὶ χωρὶς λόγου παντὸς ἐναργῶς ὁρᾶται. φαίνονται γὰρ, ὡς εἴρηται πρόσθεν, ἐξ ἡλίου τε καὶ ὁδοιπορίας θερμαινόμενοί τε καὶ ξηραινόμενοι, λουσάμενοι θαυμαστῶς ὅπως ὑγραινόμενοί τε καὶ ψυχόμενοι. καὶ τούτων οὐδὲν ἧττον οἱ ἐκ κρύους ἰσχυροῦ θερμανθῆναι δεόμενοι, τάχιστα καὶ οὗτοι θερμαινόμενοι. καὶ μέν γε καὶ οἱ ἐξ ὁδοιπορίας τε, καὶ ἡλίου διψώδεις, ἀδιψότεροι γίνονται, καὶ οἱ μὴ διψώδεις δὲ, λουσάμενοι διψῶσι. χρὴ δὲ τούτους μὲν πλεονάκις, ἐκείνους δὲ ἅπαξ λούσασθαι. ταῦτα μὲν οὕτω φαίνεται γινόμενα, καὶ τὰς αἰτίας αὐτῶν ἐν ἑτέροις εἴπομεν.

ἐπὶ δὲ τὸ προκείμενον αὖθις ἰτέον. ὡς ἅπαντας τοὺς ἑκτικοὺς πυρετοὺς ὀνίνησι βαλανεῖον, ὅταν γε αὐτὸ τοῦτο μόνον ἑκτικοὶ τυγχάνωσιν ὄντες. ἂν δὲ ἐρυσίπελας, ἢ φλεγμονή τις, ἢ σηπόμενοι χυμοί, καὶ ἔτι ἄπεπτοι περιέχονται κατὰ τὸ σῶμα, διὰ ταῦτα βλαβῆναι συμβήσεται τοὺς νοσοῦντας, οὐ διὰ τὸν ἑκτικὸν πυρετόν. αὐτὸς μὲν γὰρ ὁ πυρετὸς οὗτος διαπαντὸς ὑπό τε ψυχροῦ σβέννυται πόματος, ὑπό τε βαλανείων ὀνίναται, διὰ δὲ τὰς ἐπιμιγνυμένας αὐτῷ διαθέσεις οἱ κάμνοντες βλάπτονται. τὰ μὲν δραστικώτατα τῶν βοηθημάτων ὡς κωλῦσαι γενέσθαι μαρασμόν, ταῦτα ἐστί. καὶ χρὴ παραλαμβάνειν αὐτὰ πάνυ θαρρούντως κατὰ τοὺς ἑκτικοὺς πυρετούς. εἰ δὲ ἐρυσιπελατώδης εἴη διάθεσις, ἀπέχεσθαι μὲν χρὴ βαλανείου πάντη, ὕδατι δὲ ψυχρῷ κατὰ μὲν τὴν ἀκμὴν τοῦ νοσήματος χρηστέον ἀγωνιστικῶς, οὕτω δ' ὀνομάζειν εἰώθαμεν ὅταν ἀθρόον τε καὶ ψυχρότατον δῶμεν. ἐν ἀρχῇ δ' οὐ χρηστέον, εἰ μὴ καταναγκασθείημεν ὑπὸ τοῦ κάμνοντος ἐν ἔθει τε ψυχροποσίας ὄντος, οὐ φέροντός τε τὸ δίψος. ἀλλ' ἔξωθεν ἐπιτιθέναι χρὴ τὰ ψύχοντα. καὶ εἰ μηδὲν ἀνύῃ, καὶ εἴσω τοῦ σώματος ἀναγκάζειν λαμβάνειν. μάλιστα δ' αὐτοῖς ἁρμόττουσιν αἱ ὑγραὶ καὶ νέαι θριδακῖναι, πεπύθωσαν δὲ ἀκραιφνεῖ ψυχρῷ, μάλιστα μὲν οὕτω ληφθεῖσαι. δεηθέντος δέ ποτε τὴν ἀηδίαν τῆς προσφορᾶς παραμυθήσασθαι τοῦ κάμνοντος, ὄξος ὕδατι ψυχρῷ μίξαντες συγχωρεῖν ἐν τούτῳ βάπτειν. ἔστω δὲ ἀκριβῶς ἀποκεχωρηκὸς ἁπάσης οἰνώδους ποιότητος τὸ ὄξος. ἔξωθεν δὲ καὶ αὐτὸς μὲν, ὁ τῆς θριδακίνης χυλὸς ἐπιτήδειος. ἀλλὰ καὶ ἀειζώου καὶ σέρεως ὅσα τἄλλα ψύχοντα. κάλλιστον δ' ᾧ μάλιστα χρώμεθα κατὰ καιρόν, τῶν ὀμφάκων. ἐνθλίψαντες γὰρ αὐτῶν τὸ ὑγρὸν ἐμβάλλομεν ὅλμῳ μετὰ τῶν ἀνδράχνων. εἶτα κόψαντες ἐκπιέζομεν ἐνστήσαντες τότε ἀγγεῖον ὕδατι ψυχρῷ. κάλλιον δὲ εἰ καὶ χιόνος ἔχει. μίγνυμεν δὲ ἐπὶ τῇ χρήσει, ὀλίγον ἀλφίτου λευκοῦ. κἄπειτα δεύσαντες εἰς ὀθόνιον δίπτυχον, ἐπιτείνομεν ἔξωθεν αὐτὸ κατὰ τῶν ὑποχονδρίων, οὐκ ἐῶντες χρονίζειν, ἀλλ' ἐπειδὰν γένηται χλιαρόν, αἴροντες μὲν τοῦτο, χρώμενοι δὲ ἑτέρῳ παραπλησίως, καὶ τοῦτο διαπαντὸς ἐκ διαδοχῆς ποιοῦντες ἄχρις ἂν ὁ κάμνων αἰσθάνηται τοῦ βάθους ψυχόμενος, καὶ ἀδιψότερος γένηται. μίγνυμεν δὲ ἐνίοτε καὶ ἔλαιον ὀμφάκινον, ἢ ῥόδινον, ἐπειδὰν μάλιστα καὶ φλεγμονῶδές τι καθ' ὑποχόνδριον ᾖ. τὰς μὲν οὖν ἐρυσιπελατώδεις διαθέσεις, οὕτως ἐμψύχειν χρή. γινώσκειν δὲ ὡς εἴπερ εἴη τις τοιαύτη διάθεσις, τὸν πυρετὸν ἀκριβῶς ἑκτικὸν ἀδύνατον ὑπάρχειν. ἀκριβὴς δὲ ἑκτικός ἐστιν ὁ μηδεμίαν ἀρχὴν, ἢ ἐπίδοσιν, ἢ ἀκμήν, ἢ παρακμὴν μορικοῦ παροξυσμοῦ ποιούμενος. εἴρηται δ' ἐν τοῖς περὶ τῆς διαφορᾶς τῶν πυρετῶν, καὶ τά τ' ἄλλα, καὶ ὡς ἐπὶ ταῖς τροφαῖς μόναις ἀναζέουσιν οἱ ἑκτικοὶ πυρετοί, καθάπερ ἡ τίτανος ἐπιχυθέντος ὕδατος, ἀλλ' ἀφαιρεθείσης γε τῆς τοιαύτης αὐξήσεως, ἴσοι διαμένουσιν ἀεί. εἰ δὲ καὶ παρεμπίπτῃ ποτὲ κἂν βραχυτάτη τις αὔξησις, ἢ ἐπισημασία, διασκέπτεσθαι, μή τις ἤτοι χυμῶν σηπεδών, ἢ τόπος ὁ πρῶτος πεπονθὼς ἕτερός ἐστι παρὰ τὴν καρδίαν, οὐδ' αὐτὸς ἁπλῆν, οὐδ' ἑκτικὴν ἔχων διάθεσιν ἀλλ' ἤτοι φλεγμονώδη τινά, ἢ ἐρυσιπελατώδη. καὶ οὕτω τὴν θεραπείαν οἰκείαν ἐφαρμόττειν ταῖς διαθέσεσι.

τοῦ μὲν οὖν περιφευγοῦς μαρασμοῦ τὴν γένεσιν ἐκ τῶν καυσωδῶν πυρετῶν λαμβάνοντος, ἡ κώλυσις ἐν τοῖς ψυκτηρίοις ἐστὶν ἰάμασιν. ἔξωθέν τε κατὰ τοῦ πεπονθότος ἐπιτιθεμένοις, εἴσω τε τοῦ σώματος λαμβανομένοις. εἰ δ' ἀποτελεσθείη γῆρας ἐκ νόσου τὸ μὲν ἀκριβῶς ἤδη γεγονός, ἀδύνατον ἰάσασθαι. τὸ δ' οὕτω μὲν ἀπηκριβωμένον, ἐγγὺς δὲ ἧκον αὐτοῦ τῆς γενέσεως, ἕνα μὲν ἔχει τὸν τῆς ἰάσεως σκοπόν. ὃν ἀνάληψίν τε καὶ ἀνάθρεψιν ὀνομάζομεν, ἐκ πολλῶν τε τῶν κατὰ μέρος ἐνεργειῶν, ἃ πολλά τε καὶ παμπόλλης ἀσφαλείας δεόμενα, ὑπὲρ ὧν, εἰ λέγοιμι νῦν, ὁ λόγος ἄν μοι γένοιτο μήκιστος. εἴρηται δὲ ἱκανῶς ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ. νυνὶ δ' ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν, ὡς τὰ ξηραινόμενα τῶν σωμάτων στερεῶν ἰᾶται τροφή. δέδεικται δὲ ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων, ὡς οὐχ ἑαυτὴν ἡ τροφὴ ποδηγεῖ πρὸς ἅπαντα τὰ μέρη τοῦ σώματος, ἀλλ' ὑπ' αὐτῶν ἕλκεται τῶν τρέφεσθαι δυναμένων. ἄτονα δὲ ἐστὶν ἐν τοῖς μαρασμοῖς ταῦτα, καὶ ἕλκειν ἄρρωστα διὰ τὴν ξηρότητα. προσελθούσης δὲ καὶ ψύξεως ἐγγὺς ἤδη νεκρῶν τυγχάνει. χρὴ τοίνυν εὐελκτὸν εἶναι τὴν τροφήν, ἵν' ὅπερ ἐνδεῖ τῇ ῥώμῃ τῶν ἑλκόντων, ἐκ τῆς κατὰ τὴν ὕλην ἐπιτηδειότητος ἀναπληροῦται. εὔελκτος δὲ ἐστίν, ἡ λεπτομερής τε καὶ φύσει θερμή. ἀλλ' αὕτη γε τοὐπίπαν ἄτροφος ἐστίν. ἐπιδέδεικται γὰρ ὡς τε τροφὴν μόνην ἀναγκαῖον παχεῖάν τε εἶναι καὶ γλίσχραν, ὡς ἂν μόνιμός τε καὶ δυσδιάπνευστος ᾖ, καὶ τοῖς τρεφομένοις σώμασιν ἑτοίμως ὁμοιοῦται. μαχομένων γ' οὖν τῶν σκοπῶν τούτων ἀδύνατον μὲν, εὐπορῆσαι τροφῆς ἀκριβῶς διασωζούσης ἀμφότερα. πειρατέον δὲ ὅμως κἂν μετρίως ἑκάτερον ἐργάζεσθαι δυναμένην ἐξευρεῖν. ἐμοὶ μὲν δὴ βέλτιον οὐδὲν εἰς τὰ τοιαῦτα γάλακτος εἶναι δοκεῖ. μάλιστα μὲν εἴ τις αὐτὸ ὑπομένοι βδάλλειν, ἐντιθέμενος τῷ στόματι γυναικεῖον τιτθόν, ὥσπερ Εὐρύφων τε καὶ Ἡρόδικος, ἐπὶ τῶν φθινόντων ἀξιοῦσιν. εἰ δὲ μή, ἀλλὰ τό γε τῆς ὄνου λαμβάνειν ἔτι θερμὸν ἐλαχίστῳ χρόνῳ ὁμιλῆσαν τῷ περιέχοντι. συμφέρει μὲν οὖν ὁ τοιοῦτος σκοπὸς τῶν τροφῶν

οὐ μόνον

οὐ μόνον τοῖς γήρᾳ παραπλησίαν ἔχουσι διάθεσιν, ἢ συγκοπώδεσι μαρασμοῖς, ἀλλὰ καὶ τοῖς περιφρυγέσιν ὑπὸ τοῦ Φιλίππου προσαγορευομένοις. χρηστέον δὲ ταῖς ὕλαις τῶν τροφῶν ἐπί γε τούτων μὴ θερμαῖς, ὥσπερ ἐπὶ τοῦ γήρως, ἀλλὰ ψυχραῖς. ἐν δὲ μέσῳ δ᾽ ἀμφοῖν ἔστωσαν, αἱ ταῖς συγκοπώδεσι διδόμεναι. γάλα μὲν οὖν καὶ πτισσάνη καὶ χόνδρος ἐπὶ τῶν τριῶν διαθέσεων ἁρμόττουσιν. ἀλλὰ τοῦ χόνδρου μὲν, δι᾽ ὄξους ὁμοίως πτισσάνῃ σκευαζομένου πρὸς τὸ ῥᾴδιον ἀναδίδοσθαι. μέλι δὲ ἐν μὲν ταῖς ψυχραῖς διαθέσεσι, ὠφελιμώτατον. ἐν δὲ ταῖς θερμαῖς, βλαβερώτερον. οὕτως οὖν ἔχει κἀπὶ τῶν ἀποδέξων μαραινθήσεσθαι τοὺς εἰρημένους μαρασμούς. ἐναντιώτατον μὲν γὰρ, τοῖς περιφρυγέσιν. ὠφελιμώτατον δὲ, τοῖς τῶν γερόντων ἰκανῶς ὁμοίαν ἔχειν διάθεσιν. ἐν δὲ τοῖς συγκοπώδεσιν, εἰ μὴ κωλύοι τὰ τῆς γαστρὸς, ἑψῶντα διδόναι καθ᾽ ἑαυτό τε καὶ σὺν τοῖς ἄλλοις ἐδέσμασι. βαλανείου δὲ χρῆσις εὔκαιρος, ἔς τε τἆλλα τὰ προειρημένα, καὶ εἰς τὰς ἀναδόσεις τῆς τροφῆς, ἄριστον βοήθημα. παραλαμβάνειν δὲ αὐτὸ, πεπεμμένης ἤδη τῆς τροφῆς, οὐκ ἐπ᾽ ἐνδείᾳ μακροτέρᾳ. τὸ μὲν γὰρ ἀρτίως ἐδηδοκότι προσεισφερόμενον λουτρὸν, ὠμῶν καὶ ἀπέπτων χυμῶν ἐμπίπλησι τὸ σῶμα. τὸ δ᾽ ἐπ᾽ ἐνδείᾳ μακροτέρᾳ, τὴν δύναμιν καθαιρεῖ. ἐν δὲ ταῖς ἄλλαις ἁπάσαις καταστάσεσι τοῦ σώματος, καὶ μάλιστα ἐν τῇ νῦν προειρημένῃ πειρατέον, ὡς εἴρηται, λούειν. ἐπὶ συμπεπληρωμένῃ τῇ πέψει, καὶ ἡ τοῦ οἴνου δὲ χρῆσις, ἐπὶ μὲν τοῦ ψυχροῦ μαρασμοῦ, μεγάλως ὠφέλιμος. ἐπὶ δὲ τοῦ περιφρυγοῦς, φευκτέον. μέση δέ πως ἐστὶν ἐν τῇ συγκοπώδει. διότι καὶ ἡ διάθεσις αὕτη μέση τέ ἐστι καὶ μικτή. τὸ μέν τι ψύξεως ἔχουσα. τὸ δέ τι καὶ τοῦ πυρετοῦ διασώζουσα. μεταβαλλούσης δὲ τῆς τοιαύτης διαθέσεως πρὸς τἀναντία ἐν μέρει ποτὲ μὲν κατάψυξιν τε καὶ ἀσφυξίαν φερούσης. καὶ ἁπλῶς εἰπεῖν τὰ τῆς συγκοπῆς ἴδια. ποτὲ δὲ θερμότητα καὶ σφυγμοὺς ὁμοίους τῷ περιφρυγεῖ, καὶ τὰ τῆς θεραπείας χρὴ συμμεταβάλλεσθαι κατὰ τὴν τῶν ἐπικρατούντων φύσιν. ἐν μὲν τοῖς συγκοπώδεσιν, οἶνόν τε καὶ ῥοφὰς εὐκράτους διδόντων ἡμῶν, καὶ πλυνόντων, καὶ πυκνούντων τὸ σύμπαν σῶμα. ἐν δὲ τῷ περιφρυγεῖ, τἀναντία. τὴν δὲ κατὰ μέρος ἁπάντων ἐπιδέξιον χρῆσιν ὁ γεγυμνασμένος ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν ἐξευρήσει. τουτὶ γὰρ τὸ βιβλίον οὐ τοῖς ἐπιτυχοῦσιν, ἀλλὰ τοῖς ἕξιν ἔχουσί τινα, κατὰ τὴν τέχνην γέγραπται.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΤΩΝ ΕΝ ΤΟΙΣ ΝΟΣΟΙΣ ΚΑΙΡΩΝ.

ΟΙΟΝ ΤΙ τοῖς ζώοις ἐστὶν ἡ κατὰ τὰς ἡλικίας διαφορὰ, τοιοῦτον τοῖς νοσήμασιν, οὓς ὀνομάζουσι καιρούς. οὔτε γὰρ ὁ χρόνος ἁπλῶς δηλοῦται διὰ τῆς δὲ τῆς προσηγορίας, οὔθ᾽ ὁ προσήκων χρόνος, ὑπὲρ οὗ καὶ τὰ βοηθήματα σκοπούμεθα. μόνον δὲ ἡ τῶν νοσημάτων, ὡς εἴρηται, ἡλικία χρόνων ἀμοιβαῖς ὑπαλλαττομένη, καθάπερ καὶ τὸ ζῶον ταῖς ἡλικίαις. ἔοικε δὲ καὶ τοῦτο τοῖς φθαρτοῖς σώμασιν ὑπάρχειν πᾶσι. τοῖς μὲν, μᾶλλον. τοῖς δὲ, ἧττον. ὡς εἴ γε διαπαντὸς ἔμενεν αὐτῶν ἀπαράλλακτος καὶ ἄτρεπτος ἡ φύσις, τὴν οὐσίαν τὴν ἑαυτῆς φυλάττουσα, οὐκ ἂν ἐφθείρετο. καθάπερ οὖν καὶ ἡμεῖς αὐτοὶ γεννηθέντες αὐξανόμεθα μέχρι τῆς ἀκμῆς. εἶτ᾽ ἐντεῦθεν ἀρξάμενοι φθίνειν, ἕως ἐσχάτου τέλους ἀφικνούμεθα φθορᾶς, ὅσοι πάσας διεξέρχεσθαι μέλλομεν τὰς ἡλικίας. τὸν αὐτὸν τρόπον καὶ τῶν ἀρρωστημάτων ἕκαστον κατὰ τὴν πρώτην σύστασιν τῆς γενέσεως αὐτῶν ὁδῷ. τῇ ἐπὶ τὸ μεῖζον προαυξήσει χρώμενον μέχρι τῆς ἀκμῆς ἵεται, ἕως ἀνάλογον τῇ προόδῳ αὐξήσεως μειούμενον εἰς παντελῆ διάλυσιν ἐλθεῖν. τάχα δ᾽ ἂν ἴσως δόξειε ταύτῃ μόνον διαφέρειν ἡ τῶν νοσημάτων κατὰ χρόνον ἐξαλλαγὴ, τῆς κατὰ τὰ ζῶα ἡλικίας. ὅτι τοῖς μὲν ζώοις, ἴδιός ἐστιν ὁ χρόνος τῆς γενέσεως, ἐν ᾧ διαπλάττεται πάντα τὰ μόρια, τὰ πρὸς τὴν ζωὴν ἀναγκαῖα. τῶν νοσημάτων δὲ, οὐδείς ἐστι χρόνος τοιοῦτος ἴδιος, ἀλλ᾽ εὐθὺς ἀπὸ τῆς πρώτης εἰσβολῆς αὐξάνεται. καὶ τοῦτ᾽ εἰκότως γίνεται. τὰ μὲν γὰρ ζῶα σώματά ἐστι, τὰ δὲ νοσήματα, τοῖς σώμασι συμβεβηκότα. διάπλασιν μὲν οὖν καὶ γένεσιν, ἐπιζητεῖ ἡ τῶν σωμάτων ἰδιότης. τὰ συμβαίνοντα δ᾽ αὐτοῖς ἅτε μὴ δὲ μιᾶς διαπλάσεως δεόμενα, κατὰ τὴν πρώτην εἰσβολὴν, εὐθέως ἅμα τὴν γένεσιν ἔχει καὶ πρὸς τὴν αὔξησιν ἐπείγεται. τίς γὰρ ἂν εἴη φλεγμονῆς γένεσις, ὁποία ζώου ποιουμένου διάπλασις; ἢ τίς ἐρυσιπέλατος; ἢ τίς εἰ οὕτως ἔτυχε πυρετοῦ; φαίνεται γὰρ ἕκαστον τούτων εὐθὺς ἅμα τῷ πρῶτον ἄρξασθαι τοιοῦτον ὑπάρχον τὴν ἰδέαν, ὁποῖόν ἐστι τὸ μέγιστον ἐν ταυτῷ γένει. λειπόμενον δ᾽ ἐκείνου μόνον τῷ μεγέθει. θερμότερον γοῦν ἑαυτοῦ σὺν ὄγκῳ μείζονι, μετ᾽ ὀδύνης τε ἅμα καὶ τάσεως γίνεται τὸ φλεγμαῖνον. ἀλλὰ ταῦτα κατὰ μὲν τὴν εἰσβολὴν μικρὰ, τοὐντεῦθεν αὐξάνεται, μέχρι τινὸς μεγέθους, οὐκ ἴσου πᾶσιν. ὅθεν ἐφεξῆς ἤτοι διεφορήθη τοῖς βοηθήμασιν ὁ παρὰ φύσιν ὄγκος, ἅμα τῷ καὶ τὴν ὀδύνην αὐτῷ καὶ τὴν θερμότητα συναποπαύεσθαι, ἢ μετέβαλεν εἰς πῦον. αὗται γὰρ αἱ τῆς φλεγμονῆς λύσεις, ἄν γε μέλλῃ λύεσθαι. περὶ τούτων γὰρ ἡμῖν ὁ λόγος ἔστω πρότερον, ἀναβεβλημένης κατὰ τὸ παρὸν εἰς ὕστερον, τῆς περὶ τῶν μὴ λυομένων νοσημάτων ἐπισκέψεως. χρόνος οὖν οὐδείς ἐστιν ἴδιος ἐξαίρετος ἀποτεταγμένος τῇ γενέσει τῆς φλεγμονῆς, ἕτερος τοῦ τῆς αὐξήσεως. ἀλλ᾽ εἷς ὁ σύμπας ἀπὸ τῆς πρώτης εἰσβολῆς ἄχρι τῆς ἀκμῆς, αὐξανομένου τοῦ πάθους. οὕτω δ᾽ ἔχει καὶ περὶ τῶν ἐρυσιπελάτων, ἁπάντων τε τῶν ἄλλων. καὶ γὰρ καὶ ὁ πυρετὸς, ἐν γένει μὲν, οἶμαι, τῆς παρὰ φύσιν ἐστὶ θερμασίας. ταύτης δὲ οὐκ ἀποτέτμηται ὁ χρόνος ἴδιος τῆς γενέσεως. ἀλλ᾽ ἐπειδὰν πρῶτον ἄρξηται τὸ σῶμα θερμότερον ἑαυτοῦ γίνεσθαι πυρετώδει θερμασίᾳ, τοὐντεῦθεν ἕτερος ἐφ᾽ ἑτέρῳ καιρὸς ἐκδέχεται τὴν αὔξησιν τοῦ πάθους, ἄχρι τῆς παντελοῦς ἀκμῆς, ἣν ἐν ἑκάστῳ τῶν ὄντων ἔσχατον τὸ μέγεθος εἶναι νοοῦμεν. οὗτος ὁ λόγος ἐπιεικής ἐστι, καὶ δεῖται τινὸς ἀγωνιστοῦ γενναίου πρὸς τὴν ἀπάντησιν, ὃς ἐπιδείξει ταῖς ἀρχαῖς τῶν νοσημάτων εἶδος ἴδιον ὑπάρχειν. ὥσπερ τοῖς ζώοις διαπλαττομένοις, ἀνακείμενόν τε τοῦτον τὸν πρῶτον χρόνον, ὅροις οἰκείοις περιγραφόμενον. ἐφ᾽ ὧν ἐστὶ

λόμενον ἂν ἤδη διδάσκειν, ἃ γινώσκω, εἰ μή με κατά τινα δὴ τύχην ἐν τῷ μέσῳ δὲ τοῦ λόγου γενόμενον ὑπῆλθεν ἡ Ἀρ-
χιγένους διαίρεσις. ὃς εἰς τοὺς πρώτους τε καὶ μεγίστους καιροὺς διαιρῶν τὰ νοσήματα, μετὰ τὴν ἀρχὴν εὐθέως ἀκμὴν
τάττει, τὸν μεταξὺ καιρὸν καταλιπὼν τὴν ἀνάβασιν, ὅπου γὰρ οὐκ ἔστιν δοκεῖ καιρὸς ἴδιος τῆς ἀρχῆς ὅλης, ἀλλ' ἀπὸ
τῆς πρώτης εἰσβολῆς ἄχρι τῆς ἀκμῆς τὸ μεταξὺ πᾶν, ἐπίδοσις ἦ, πῶς γε συγχωρήσειεν ἄν τις Ἀρχιγένει; τὸ μὲν
ὁμολογούμενον ὑπερβαίνοντι, τὸ δ' ἀμφισβητούμενον, ὡς ὁμολογούμενον ἑτοίμως τιθεμένῳ. οὕτως μὲν οὖν φαίνε-
ται προδιδοὺς ἐσχάτως τὸν λόγον ἀγῶνος μεγάλου δεόμενον εἰς τὸ δεῖξαι τὴν ἀρχὴν τοῦ νοσήματος ἴδιον ἔχουσαν
τύπον, οὐ σμικρότητι μόνον τῶν ἐφεξῆς αὐτῇ διαφέρουσαν. ἡμεῖς δὲ ἐπιχειρήσομεν ἤδη δεικνύειν διαλλάττουσαν
ἰδέᾳ τινὶ τὴν ἀρχὴν τοῦ νοσήματος, τῆς μετ' αὐτὴν ἀναβάσεως; ἡ δ' ἀρχὴ τοῦ λόγου, τὴν ἀνάμνησιν ἕξει ἐκ τῶν φαι-
νομένων ἐναργῶς ἅπασιν ἡμῖν ἐπὶ πολλῶν νοσημάτων. ὅθεν περ οἶμαι καὶ κινηθέντες ἰατροὶ σχεδὸν ἅπαντες, οἱ
πρὸ Ἀρχιγένους, ἀρχὴν ἵνα λέγουσιν ἑκάστου νοσήματος, οὐ τὴν πρώτην εἰσβολὴν ἐκείνην μόνην τὴν ἀπλατῆ, μήκους
δὲ ἢ χρόνου καὶ πλάτος αὐτῇ προσγράφουσιν ἀξιόλογον), ἔστι ὅτε καὶ μετὰ ταύτην, τὴν ἀνάβασιν. εἶτ' ἀκμὴν ἐφ' ἧ δὴ
λοιπὸν τὴν καλουμένην παρακμήν. ἐθεασάμεθα γοῦν ἐνίους ἐν τῷ πράττειν ὁτιοῦν τῶν κατὰ τὸν βίον ἀτρέμα φρι-
ξαντας τὸ πρῶτον. εἶτ' αὖθις τε καὶ αὖθις ἀνωμαλίας τε τινὸς ἰσχυροτέρας καὶ φρίκης ἀξιολογωτέρας αἰσθανο-
μένους, ὡς μήτε πράττειν, μήθ' ὑπομένειν, ἃ πρότερον ἀμέμπτως ἔπραττον ἀλλὰ καὶ κατακλιθῆναί τε καὶ δεῖ-
σθαι σκεπασμάτων. καὶ τοῦτο παθόντας ἐνίους μὲν ὥραις τρισίν. ἐνίους δὲ, ἐλάττοσιν, ἢ πλείοσιν ἐντεῦθεν δ' ἄρ-
ξασθαι θερμασίας ἀήθους τε καὶ παρὰ φύσιν αἰσθάνεσθαι ταύτης καθ' ὀλίγον αὐξανομένης. ἐν αὐτοῖς γὰρ τούτοις
ἐναργῶς ὁρᾶται διαφέρουσα κατ' ἰδέαν ἐξαίρετον ἡ ἀρχὴ τοῦ παροξυσμοῦ τῆς ἐπιδόσεως. εὔδηλον δὲ ὅτι τὴν
αὔξησιν ἐπίδοσιν ὀνομάζουσιν ἔνιοι. καθάπερ ἄλλοι τινὲς ἀνάβασιν. ἡμεῖς δ' ἅπασι τοῖς ὀνόμασιν, ὡς ἂν ἐπέλ-
θῃ, χρησόμεθα. δηλοῖ γὰρ ἓν πρᾶγμα πάντα. τοῦτο οὖν τὸ πρᾶγμα τρισὶν ὀνόμασι προσαγορεύεται. ἵσταταί πο-
τε καὶ παύεται τῆς αὐξήσεως, καὶ φαίνεται διαμένον ἴσον ἑαυτῷ κατά τινα χρόνον, ἤτοι μακρότερον, ἢ βραχύ-
τερον. εἶτ' ἐντεῦθεν ἔλαττον ἑαυτοῦ γινόμενον, ἤτοι διὰ ταχέων, ἢ χρόνῳ πλείονι. καὶ ποτὲ μὲν εἰς ἀπυρεξίαν ἡ
τοῦ πυρέξαντος οὕτως φαίνεται ἐπανερχομένη διάθεσις. ἔστι δ' ὅτε ὑπὸ τῆς εἰσβολῆς δευτέρου παροξυσμοῦ κατα-
λαμβανομένη τὴν αὐτὴν ἰδέαν ἔχοντος τῷ προειρημένῳ. καὶ πάντως γ' ἔστιν ὅτε τὰ προειρημένα, δεύτερον αὖθις
ἐπιγίνεται τῷ νοσοῦντι. πολλάκις δ' ἔστιν ὅτε καὶ τρίτον, καὶ τέταρτον, καὶ πέμπτον δὲ, περιερχομένης τῆς νόσου
κατά τινα κύκλον, ἐκ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ διὰ τῆς αὐτῆς τάξεως. ὀνομάζουσι δὲ τὸν τοιοῦτον κύκλον ἕκαστοι οἱ ἰα-
τροὶ, περίοδον. ἔνιαι μὲν οὖν αὐτῶν ἐν τέτταρσιν καὶ εἴκοσι ὥραις περιγράφονται καὶ καλοῦσιν αὐτὰς ἀμφημε-
ρινάς. ἔνιαι δὲ ἐν ὀκτὼ καὶ τετταράκοντα, τουτέστιν ἐν δυσὶν ἡμέραις καὶ νυξὶν, ἃς ὀνομάζουσι τριταίων πυρε-
τῶν περιόδους. ἑτέρας δὲ τινας ἑβδομήκοντα καὶ δυοῖν ὡρῶν περιγράφει χρόνος, ὧν τοὺς μὲν πυρετοὺς αὐτοὺς,
ὀνομάζουσι τεταρταίους. τὸν κύκλον δ' ὅλον δι' οὗ ἐπανέρχεται, εἰς τὴν μίαν ἀρχὴν, τεταρταίαν περίοδον. οὕ-
τω δὲ καὶ τριταίαν περίοδον ἅμα τριταίῳ πυρετῷ, καὶ τὴν ἀμφημερινὴν ἑκάστης ἡμέρας ἐπανακυκλοῦσαν ἅμα
τοῖς ἀμφημερινοῖς πυρετοῖς, ἀλλ' αἵγε περίοδοι πᾶσαι, ποτὲ μὲν εἰς ἀπυρεξίαν ἀφικνοῦνται, καθάπερ ἐν τοῖς
προειρημένοις πυρετοῖς, ἀμφημερινῷ καὶ τριταίῳ καὶ τεταρταίῳ. ποτὲ δὲ εἰς παρακμὴν μόνον, ἤτοι πλησίον
ἀπυρεξίας ἥκουσαν, ἢ καὶ πορρωτέρω. παραδείγματος οὖν ἕνεκεν, ἐπὶ τριταίου πυρετοῦ, πρῶτον ἡ μὲν ὁ λό-
γος γινέσθω. φρίκη μετρία τῶν τοιούτων πυρετῶν. εἶτ' ἄκρων ψῦξις ἅμα φρίκαις μείζοσιν. εἶτ' ἤδη καὶ ῥιγοῦ-
σι; καὶ ψύχονται τὰ πλεῖστα τοῦ σώματος. ὁ δὲ σφυγμὸς αὐτῶν ἐν τῷ δὲ τῷ καιρῷ σκληρότερός τε καὶ μικρό-
τερος γίνεται τοῦ πρόσθεν, ὠκύτερός τε σαφῶς κατὰ τὴν συστολὴν, τοῖς εἰδόσιν αἰσθάνεσθαι συστολῆς. ὡς ἥγε
διαστολὴ τὰ πολλὰ μὲν ἑαυτῆς βραδυτέρα, καὶ μάλιστα κατὰ τὴν εἰσβολήν. ἐνίοτε δ' ἂν σοι δόξειεν ὁμοία δια-
μένειν τῇ προυπαρχούσῃ καταστάσει. καὶ μὲν δὴ καὶ ἡ τῶν ἠρεμιῶν ἡ μὲν ἐπὶ τῇ συστολῇ, μακροτέρα πως
ἐστι. ἡ δ' ἐπὶ τῇ διαστολῇ κατὰ τὸν αὐτὸν ἐκείνῃ τρόπον, ὡς τὰ πολλὰ μὲν, ἴση τῇ πρόσθεν, ἔστι δὲ ὅτε οὐκ ἴση.
ταῦτα ἐνίαις μὲν ὥραις γίνεσθαι πέφυκεν ἰσημεριναῖς δυσί. τισὶ δὲ ἤτοι πλείοσιν αὐτῶν, ἢ ἐλάττοσιν, εἶθ' ὁ σφυ-
γμὸς ἀρξάμενος μείζων θ' ἅμα καὶ ἐλάττων καὶ πυκνότερος γίγνεσθαι, κατὰ βραχὺ προστίθησιν ἑκάστῳ τῶν
εἰρημένων. εὐθὺς δὲ καὶ θερμότεροι σφῶν αὐτῶν ἀποτελοῦνται σὺν ταῖς εἰρημέναις τοῦ σφυγμοῦ μεταβολαῖς.
ὥστ' ἔνιοι πολλῆς αἰσθάνονται θερμασίας ἔνδον ἔτι κατεψυγμένοι τὰ κῶλα, καὶ, τὸ σύμπαν εἰπεῖν, ἀνωμαλία
τις ἐπικρατεῖ κατὰ τοῦτον τὸν χρόνον, οὐ σμικρὰ περὶ τὸ σῶμα. δεύτερος οὗτος ὁ χρόνος ἐκείνου τοῦ πρώτου, καθ'
ὃν ἐκ τῆς πρόσθεν καταστάσεως, ἐψύχθη μὲν ὅλον τὸ σῶμα. τοῦ σφυγμοῦ δ' ἡ μετάπτωσις εἰς τἀναντία τοῖς πρό-
σθεν ἐγένετο. κατὰ μέν γε τὴν ἀπυρεξίαν ἥτις ἡμῖν καλείσθω διάλειμμα, διότι καὶ ὁ Ἱπποκράτης οὕτως ὠνό-
μασεν, ὁ σφυγμὸς ἐν τῇ κατὰ φύσιν ἐστὶν, ὡς πρὸς τὴν ἡμετέραν αἴσθησιν, καταστάσει, τοιοῦτον δὲ τὸ κάλλιστον
διάλειμμα. μεταβάλλει γοῦν ἐξαίφνης εἰς τὰς εἰρημένας ὀλίγον ἔμπροσθεν διαφορὰς, ἅμα τῷ καταψύχεσθαι τὸ
ζῶον. εἶτ' αὖθις εἰς τὰς τἀναντίας τρέπεται μετὰ τοῦ θερμαίνεσθαι. πρῶτος οὖν χρόνος ἐναργῶς ἐστι τῆς ὅ-
λης περιόδου, καθ' ὃν ἐψύχθη τὸ σῶμα σὺν ταῖς εἰρημέναις τοῦ σφυγμοῦ μεταβολαῖς, ἤτοι ἐξ ὑγείας, ἢ ἐκ δια-
λείμματος, εἰς τοῦτο ἀφικόμενος. ἕτερος δ' ἐπὶ τούτῳ δεύτερος, ὁ τῆς εἰς τὰ ἐναντία μεταβολῆς τῶν τε σφυ-
γμῶν καὶ τῆς θερμασίας, ἄχρι περ ἂν ὁμαλῶς γένηται θερμὸς ὁ σύμπας ὄγκος τοῦ σώματος. εἶτ' ἐπ' αὐτῷ
τρίτος αὐξανομένης μὲν ἔτι τῆς θερμασίας, ἀνάλογον δ' αὐτῇ καὶ τῶν σφυγμῶν ἐπιδιδόντων εἰς μέγεθος καὶ
τάχος καὶ πυκνότητα. τετάρτη δὲ κατάστασις ἐπὶ ταῖς εἰρημέναις τρισὶν ὁρᾶται τῶν εἰρημένων ἁπάντων
ἴσον ἑαυτοῖς φυλαττόντων τὸ μέγεθος ὡς πρὸς τὴν ἡμετέραν αἴσθησιν, εἶτ' ἐντεῦθεν ἄλλος πέμπτος, ὅταν ἤδη ἡ
μὲν, ἐλάττων ἡ θερμασία γένηται σαφῶς. ἀτμὸς δὲ ἐκκρίνεται διὰ τοῦ δέρματος. ὁ σφυγμὸς δὲ ἐπὶ τὴν κατὰ φύ-
σιν ἐπανέρχεται κατάστασιν, ἀποτιθέμενος ἃ παρὰ φύσιν ἐπεκτήσατο πάντα μεγέθους τε πέρι, καὶ ταχύτητος
καὶ πυκνότητος, ἐν τούτῳ τῷ χρόνῳ καὶ ἱδρῶς τοῖς πλείστοις αὐτῶν γίνεται. καὶ μετὰ τοῦτον ὁ τοῦ διαλείμμα-
τος ἀφικνεῖται χρόνος ἕκτος ἐπὶ τοῖς εἰρημένοις, οὐδὲν δὲ τούτων ὑπόθεσις ἐστὶν ἀδήλου πράγματος, ἀλλ' ἐναρ-

γῶς ὅση

γῶς ὁσημέραι σχεδὸν ἅπασι τοῖς πυρέττουσι τριταῖον πυρετὸν, οὕτω φαίνεται γιγνόμενον. σμικρὸν χρὴ προσθεῖναι τῷ λόγῳ τῷ πρὸς Ἱπποκράτους εἰρημένῳ ὡς μέχρι μὲν τούτου. καὶ μὴ ἰατρὸς ἂν δύναιτο γινώσκειν ὀρθῶς, εἰ τὰς τοῦ σφυγμοῦ τροπὰς ἐξέλοιμεν τοῦ λόγου. περιεργότεραι γὰρ ἤδη κατὰ τὸν ἰδιώτην αὗται εἰσίν. ἡ δὲ τῆς θερμασίας μεταβολὴ, κἂν εἰ μὴ βούλοιντο παρακολουθεῖν οἱ πάσχοντες, αὕτη κεντρίζειν τε καὶ νύττειν αὐτοὺς πέφυκεν, ὡς μὴ λαθεῖν. ἐξηγοῦνται πάντες οἱ κάμνοντες οὕτως ἐξαίφνης μὲν αὐτοῖς ἤτοι γ' ἀνωμαλίαν, ἢ φρίκην διαδραμεῖν, εἶτ' ἐντεῦθεν ἅμα κατάψυξιν τῶν ἀκραίων, ἐπιτείνεσθαι τὰς φρίκας, ἀκολουθῆσαι δὲ αὐταῖς τὸ ῥῖγος. εἶτ' αὖθις τοῦ μὲν ῥίγους γενέσθαι ποτὲ καὶ παῦλαν, ἐκλύεσθαι δὲ τὴν περίψυξιν τῶν ἄκρων, αἴσθησιν δὲ φλογώσεως ἔνδον εἶναι καὶ δίψος. ἐπὶ δὲ τούτοις, αὖθις οἴχεσθαι μὲν ἅπασαν ἀνωμαλίαν. ὁμαλῶς δὲ καίεσθαι τὸ σύμπαν σῶμα. καὶ τοῦτο ἀεὶ καὶ μᾶλλον αὐτοῖς γίνεσθαι, καὶ στῆναι γέ ποτε καὶ μεῖναι τὴν θερμασίαν ὁμοίαν ἑαυτῇ. εἶθ' ὕστερον αἴσθησιν αὐτοῖς ἐκλυομένης γενέσθαι. καὶ τοῦτο μέχρι τῆς καταστάσεως ἐκείνης μὴ παύεσθαι γινόμενον, ἐν ᾗ πρώτην ᾔσθοντο μηκέτι πυρεσσομένων αὐτῶν. ἐπὶ μὲν οὖν τῶν τριταίων πυρετῶν αἱ κατὰ μέρος διαφοραὶ τῆς περιόδου, τοιαῦταί τινες ὑπάρχουσιν. ἐπ' ἄλλων δ' ἄλλαι διαφοραὶ πυρετῶν εἰσιν. ὑπὲρ ὧν ἐφεξῆς ἐρῶ. νυνὶ δ' ἐπὶ τούτου πρῶτον, οὗ πρῶτον παρεθέμην, ὁ λόγος ἐξεταζέσθω. πρῶτος οὖν ἦν καιρὸς ὁ συνάπτων τῇ ἀπυρεξίᾳ, ψύξεως αἴσθησιν παρέχων, ὃν ἀρχὴν ὠνομάσαμεν. δεύτερος ὁ ἀποτιθέμενος τὴν ψύξιν. ὡς εἴρηται, κατὰ βραχύ. καὶ καλείσθω συντόμου διδασκαλίας ἕνεκεν, ἀνωμαλίας καιρός. ἐπ' αὐτῷ τρίτος ὁ τῆς ὁμαλοῦς αὐξήσεως. ἐφ' ᾧ τέταρτος ὁ τῆς στάσεως. καὶ πέμπτος ὁ τῆς μειώσεως. εἶθ' ἕκτος ὁ τῆς ἀπυρεξίας. ὅτι μὲν οὖν ἓξ εἰσὶν αἱ εἰρημέναι κανονικαὶ διαφοραὶ κατὰ τὰς τῶν τριταίων πυρετῶν περιόδους. αἰσθήσεως δεῖ καὶ μνήμης, οὐκ ἀποδείξεως λογικῆς. ἓξ δ' οὐσῶν αὐτῶν, ὀνόματα συνθέσθαι κάλλιον ἕνεκα συντόμου θ' ἅμα καὶ σαφοῦς δηλώσεως, καθάπερ τις νόμος ἐστὶ κοινὸς ἅπασι τοῖς ἕλλησιν, ὧν μὲν ἂν ἔχωμεν ὀνόματα πραγμάτων παρὰ τοῖς πρεσβυτέροις εἰρημένα, χρῆσθαι τούτοις. ὧν δ' οὐκ ἔχομεν ἤτοι μεταφέρειν ἀπό τινος, ὧν ἔχομεν, ἢ ποιεῖν αὐτοὺς κατὰ ἀναλογίαν τινὰ τὴν πρὸς τὰ κατωνομασμένα τῶν πραγμάτων, ἢ καὶ καταχρῆσθαι τοῖς ἐφ' ἑτέρων κειμένοις. ἔξεστι μὲν τῷ βουλομένῳ μή τε φυλάττειν τὰ συνήθη τοῖς ἕλλησι, εἴπου δεήσειε ποιεῖν αὐτὸν εἰς, τοὺς εἰρημένους ἀποβλέπειν σκοπούς. καὶ πολὺ τοῦτ' ἐστὶ παρὰ τοῖς νεωτέροις ἰατροῖς, ὡς ἂν μὴ παιδευθεῖσι τὴν ἐν παισὶ παιδείαν, ὥσπερ οἱ παλαιοί. συγχωρητέον οὖν αὐτοῖς ὡς ἂν ἐθέλωσιν ὀνομάζειν. ἐπειδὴ μάχιμοί τ' εἰσὶ καὶ ἀναιδεῖς, καὶ πολλάκις γε χρηστέον τοῖς ὀνόμασιν, ὡς ἂν ἐκεῖνοι κελεύωσιν, ὑπὲρ τοῦ φυγεῖν αὐτῶν τὴν γλωσσαλγίαν, οὐδὲ γὰρ οὐδὲ βλαβήσονταί τι διὰ τὴν ἐν τοῖς ὀνόμασι παρανομίαν οἱ κάμνοντες. ὅταν δὲ ἤτοι βλέπωσι τινὰ καιρὸν ὅλον ὑπερβαίνοντες, ἢ τοῖς εἰρημένοις ἐπεισάγωσι τὸ μὴ φαινόμενον. οὐκ ἐπιτρεπτέον αὐτοῖς, ὡς ἂν εἰς βλάβην ἤδη τῶν νοσούντων τῆς τοιαύτης ἁμαρτίας διαφερούσης. ἄμεινον οὖν ἐστὶν ἐν τῷ δὲ προδιεσκέφθαι τὰς τῶν σφαλμάτων αἰτίας, παρ' ἃς οἱ πλεῖστοι τῶν ἰατρῶν σφάλλονται, πρὸς τῷ μήτ' αὐτούς τι σφαλῆναι, κἀκείνοις ἐπιδεῖξαι τὴν ἀληθῆ τοῦ πράγματος ὁδὸν, εἰ βουληθεῖεν. ἔνιοι γὰρ αὐτῶν οὕτω πεφύκασιν, ὡς μὴ δ' ἂν τὸν Ἀπόλλωνα αὐτὸν ἢ τὸν Ἀσκληπιὸν χρῶσιν, ἐπιθυμοῦντας τε διδάσκειν αὐτοὺς καὶ παρακαλοῦντας ὑπακοῦσαι ποτὲ καὶ παρασχεῖν δύνασθαι τὰ ὦτα. μή τοι γε δὴ καταδέξασθαι τῇ ψυχῇ τὰ λεχθέντα. ἀλλ' οὐκ ἐκείνοις γε ταῦτα γεγράψεται. τοῦ τοίνυν σφάλματος αὐτῶν αἰτία πρώτη καὶ μάλιστ' ἐστὶν, ἡ τῆς τῶν νοσημάτων διαφορᾶς ἄγνοια. Τριταῖος μὲν γὰρ, ὡς εἴρηται νῦν, εἴωθε κινεῖσθαι τε καὶ τὰς ὥσπερ ἡλικίας αὐτοῦ διανύειν. οὐ μὴν ὁμοίαν γε κίνησιν ἔχει πᾶν νόσημα, διόπερ οὐδ' ἡμεῖς ὀρθῶς, ἃ περὶ τριταίων εἰρήκαμεν, ἐπὶ πάντα μετοίσομεν, οὔτ' ἄλλος τις ἐπ' ἄλλου πάθους ἑρμηνεὺς, ἵνα κοινὸν ἀξιώσει λόγον ἁπάντων ὑπάρχειν. αὕτη μὲν οὖν ἡ πρώτη καὶ μεγίστη τῆς ἁμαρτίας αὐτῶν αἰτία. τὰς δ' ἄλλας ἐφεξῆς ἐρῶ, κατὰ τὴν τῆς χρείας τάξιν. ἐπειδὰν πρότερον ὀνόματα θῶ τοῖς εἰρημένοις τῆς τριταίας περιόδου καιροῖς. Ἱπποκράτους γοῦν εἰρηκότος, « οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυροὶ γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ' ἂν τρόπῳ διαλείπῃ σημαίνει, ὅτι ἀκίνδυνοι. » τὸ διαλιπεῖν οὐκ ἔστιν ἐπ' ἄλλου δέξασθαι μέρους τῆς περιόδου, τὴν ἀπυρεξίαν ὑπερβάντα. οὐ γὰρ δὴ τοῦτό γε φησὶν, ὅτῳ δ' ἂν τρόπῳ παρασκευάζουσιν, οὐ γὰρ ἀληθὲς τοῦτο. χείριστος γὰρ πυρετῶν ὑπάρχων ὁ ἡμιτριταῖος, ὅμως εἰς παρακμὴν ἀφικνεῖται σαφῆ τοῖς πολλοῖς, καὶ ἐν ἄλλοις ἅπασι, κατά γε τοῦτο παραπλησίως, ὅτι μὴ τοῖς συνόχοις ὀνομασμένοις. οὗτοι γὰρ μόνοι πυρετοὶ, οὐκ ἔχουσι παρακμὴν αἰσθητὴν, ὥσπερ οὐδὲ τὴν ὅλην περίοδον. οὔτε τινα ἄλλην διαφορὰν τῶν προειρημένων. ἀλλ' οἵαν ἔφαμεν εἶναι τῶν τριταίων τὴν ἐπὶ τοῦ μεγέθους ἔν τινι χρόνῳ στάσιν, ἐκεῖνοι τοιαύτην ἔχουσιν, ὀλίγου δεῖν, ἅπασαν αὐτῶν τὴν διέξοδον. εἴπερ οὖν, ὡς ἔφην, ἀκίνδυνοι κατά γε τὴν ἑαυτῶν φύσιν εἰσὶν οἱ εἰς ἀπυρεξίαν λήγοντες, ὡς ἐν τοῖς περὶ αὐτῶν λόγοις ἐπεδείξαμεν, οὐκ ἄλλο τι τὸ διαλιπεῖν Ἱπποκράτης ὠνόμασεν, ἢ τὸ λήγειν εἰς ἀπυρεξίαν. ὥστ' εὐλόγως ἄν τις ἑπόμενος τῇ παλαιᾷ συνηθείᾳ διάλειμμα καλέσειεν ἐν ταῖς τῶν τριταίων περιόδοις, τὸν καιρὸν τῆς ἀπυρεξίας. ὥσπερ γε καὶ τὴν ἐπὶ τοῦ μεγίστου μεγέθους στάσιν, ὡς πρὸς τὴν αἴσθησιν ἡμῶν τῶν ἁπτομένων αὐτῶν τε τῶν καμνόντων ἀκμήν. οὕτω γοῦν καὶ τῶν ἡλικιῶν ἀκμὴ, τὸ τελεώτατόν ἐστι, καὶ φαίνεται καὶ τούτῳ τῷ ὀνόματι, καθάπερ καὶ τῷ διαλιπεῖν ὁ Ἱπποκράτης χρώμενος. ἄλλο δὲ τρίτον μέρος τῆς περιόδου κατά γε τὴν πρώτην ἡμέραν γινόμενον, ἐπὶ τῇ μεταπτώσει τοῦ κατὰ φύσιν, ἔν τε τῇ τρίτῃ, καὶ τῇ πέμπτῃ, καὶ ταῖς ἀνάλογον ὡσαύτως περιοδίζον ἐπὶ τῷ διαλείμματι, καλοῦσιν ἀρχὴν οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες ἰατροί. μετὰ δὲ τὴν ἀρχὴν ἐναργῶς γνωριζομένην τῇ ψύξει. δεύτερος ἦν καιρὸς ὁ τῆς ἀνωμαλίας. καὶ τρίτος ὁ τῆς αὐξήσεως, ἄχρι τῆς ἀκμῆς. ἐπικοινωνοῦντας δ' αὐτοὺς ἀλλήλοις, οὐκ ἀκριβῶς ἐθεάσαντο πάντες, ἰδέᾳ διαφέροντας, ὀνομάζουσι τε τὸ συγκείμενον ἐξ ἀμφοῖν, ὡς ἓν ὅλον. οἱ μὲν, ἐπίδοσιν. οἱ δ' αὔξησιν. οἱ δ' ἀνάβασιν παροξυσμοῦ, καὶ μέν τοι καὶ λέγουσι ἀληθές τι. μετὰ γὰρ τὸν πρῶτον καιρὸν ἐν ᾧ καταψύχεται μὲν τὰ ἐκτὸς. εἰς δὲ τὸ βάθος ἐναργῶς φαίνεται τὸ αἷμα, συρρέον, ἕτερος ἐστὶ καιρὸς ὅλος ὅλῳ τῷ δὲ κατ' ἀντίθεσιν ὑφιστάμενος

διαμαχομένου μὲν τοῦ θερμοῦ τῇ ψύξει, ἀποτεινομένου δὲ πρὸς τὰ ἐκτὸς τοῦ αἵματος. καὶ εἰ γ᾽ οὕτως αὐτὸν ἔνιοι λέγοιεν, ὡς εἴρηται νῦν, οὐ διοίσει καλεῖν τοῦτον ὅλον τὸν καιρὸν ἀνάβασιν, εἰ δ᾽ οὕτω καλέσαντες, ἄτμητον ἐάσειεν, οὐ σμικρὰ βλάψουσι τὴν τέχνην. ὁ γὰρ τῆς ἀνωμαλίας ἐν αὐτῷ καιρὸς ὁ πρῶτος ἑτέρων ἔνδειξιν ἔχει βοηθημάτων, καὶ οὐ πάντη τῶν αὐτῶν τῷ μετ᾽ αὐτὸν καιρῷ, καθ᾽ ὃν ὁμαλὴς μὲν ἡ τοῦ παντὸς σώματος μετάστασίς ἐστιν. αὔξησις δὲ τῶν ὄντων ἐπὶ τῆς αὐτῆς ἰδέας μενόντων, ἄχρι τῆς ἀκμῆς. λοιπὴ δὲ ἡ παρακμή, καιρὸς εἷς ἐστὶν ὁμοίως ἑαυτῷ κατὰ τὴν ἰδέαν, ὅτι μὴ τῷ μᾶλλόν τε καὶ ἧττον αὐτὰ τὰ μόρια διαφέρει. ἀλλὰ τοῦτό γε καὶ τῷ πρώτῳ καιρῷ τῆς ἀρχῆς, καὶ τῷ δευτέρῳ τῷ τῆς ἀνωμαλίας, καὶ ἔτι τῷ τρίτῳ τῆς ἀναβάσεως ὑπάρχει. καὶ γὰρ τούτων ἑκάστῳ διαφορά τις ἐστὶ κατὰ μέρος ἀναισθήτως ὑπαλλαττομένῳ. καὶ γὰρ ὅμοια κατὰ πάντα ἐστὶν ἑκάστου τῶν εἰρημένων καιρῶν ἡ ἀρχὴ τῇ τελευτῇ. διαφέρουσι δ᾽ ἀλλήλων τε καὶ τοῦ μέσου καιροῦ σαφῶς. ἡ γοῦν ἀρχὴ τοῦ παροξυσμοῦ βραχύ τι τῆς κατὰ φύσιν ἀποκεχώρηκε καταστάσεως, ὥσπερ ἡ τελευτὴ πλεῖστον. ὅπου δὲ ταῦτα μεγίσταις διαφοραῖς ἀλλήλων ἀποκεχώρηκε, πάντως δήπου καὶ μέσος τίς ἐστιν αὐτῶν καιρός, πλεῖον μὲν τῆς ἀρχῆς ἀπέχων τοῦ κατὰ φύσιν, ἔλαττον δὲ τῆς τελευτῆς. οὕτω δὲ καὶ ἡ τῆς ἀνωμαλίας ἀρχὴ μικρόν τι διαλλάττει τῆς συναπτούσης αὐτῇ τοῦ πρώτου καιροῦ τελευτῆς, ἐπὶ πλέον δ᾽ ἀφισταμένη, καὶ μέσον οὖσα, μεταξύ πως ἥνωται τῇ εἰρημένῃ τοῦ πρώτου καιροῦ τελευτῇ, καὶ τῇ ἀρχῇ τοῦ τρίτου. κατὰ δὲ τὸν αὐτόν, οἶμαι, λόγον, καὶ ὅσα συνάπτει τοῦ δευτέρου καιροῦ, τοῦ δὲ τῆς ἀνωμαλίας ταῖς ἀρχαῖς τοῦ τρίτου καιροῦ παραπλησίαν ἐκείνοις ἔχει τὴν κατάστασιν. οὕτω δὲ καὶ τοῦ τρίτου πάλιν αὐτοῦ καιροῦ. τὰ μὲν πρῶτα, τῶν ὑστάτων τοῦ δευτέρου, βραχὺ παραλλάττει. τὰ δ᾽ ὕστατα, παραπλήσια πώς ἐστι τῇ τῆς ἀκμῆς ἰδέᾳ. τὸ μέσον δ᾽ ἀμφοῖν, ἴσον ἑκατέρων τῶν ἄκρων ἀφέστηκεν. ὥστ᾽ οὐδὲν θαυμαστὸν ὥσπερ τούτων ἑκάστου τῶν καιρῶν, οὕτω καὶ τῆς παρακμῆς τὸ μὲν, ἀρχὴν εἶναι. τὸ δὲ, τελευτήν. τὸ δὲ, μεσότητα. καλεῖν δέ γε εἰ βούλοιτό τις ἕκαστον αὐτῶν, ἰδίᾳ προσηγορίᾳ δύναται. ἀκούω γοῦν ἑκάστοτε τῶν ἰατρῶν λεγόντων, ἀπέκλινεν ἀρτίως ἡ ἀκμή. νῦν ὑφίησι. νῦν ἐνδίδωσι. νῦν ἀνίεται. εἴπερ οὖν ταῦτα λέγουσιν οὐκ ἀδύνατον αὐτοῖς τὰ πρῶτα τῆς παρακμῆς ὀνομάζειν ἀπόκλισιν, ἢ ὕφεσιν, ἢ ἔνδοσιν, ἢ ἄνεσιν, ἢ καί τινα τούτων, ἢ καὶ πάντα. καὶ μέντοι καὶ τὰ μέσα καλεῖν ἔξεστιν ὀνόματι τῶν εἰρημένων ἑνί, καὶ τελευταῖα. κατὰ τὸν αὐτὸν τρόπον ὥσπερ καὶ ὁ Ἀρχιγένης ἄνεσιν ὀνομάζει τὸ τελευταῖον τῆς παρακμῆς. ἀλλ᾽ ἐκεῖνος φαύλως γε πράττει, νομίζων αὐτὴν ἕτερον εἶναι καιρὸν ἰδέᾳ τινὶ διαφέροντα τῆς παρακμῆς, ἀμέλει πάντων τῶν μερῶν τῆς ὅλης περιόδου, τὸ μὲν, ἀρχὴν ποιούμενος. τὸ δὲ, τελευτήν. τὸ δὲ, μέσον. οὕτω καὶ αὐτῆς τῆς ἀνέσεως ποιεῖται τὴν τομήν, ὡς ἰδίου τινὸς ὄντος καιροῦ, τῶν κατὰ τὴν πρώτην διαίρεσιν, ὅσαι διαφέρουσιν ἀλλήλων ἰδέαις τισίν, οὐ μόνον τῷ μᾶλλόν τε καὶ ἧττον. ἐν ἀμφοτέροις οὖν ἁμαρτάνει προφανῶς ἐξαίρων τε τὴν ἀνάβασιν τῆς πρώτης τομῆς, ἣν ἐναργέστερον ἅπαντες οἱ ἄνθρωποι νοοῦσι τῆς ἀρχῆς, προστιθεὶς τὴν ἄνεσιν ἐν τῷ τέλει τῆς περιόδου. εἰ μὲν γὰρ εἰς ἀπυρεξίαν ἀφικνοῖτο, σαφὴς ἂν εἴη ἡ διαφορὰ τοῦ τοιούτου καιροῦ πρὸς τοὺς ἄλλους ἅπαντας. εἰ δὲ ἐπιλαμβάνει τὴν παρακμὴν ἡ εἰσβολὴ τοῦ δευτέρου παροξυσμοῦ τριχῇ τμηθεῖσα, ἐν τῷ δὲ τὸ τῆς ὅλης παρακμῆς μέρος, ἔξεστι καλεῖν ἄνεσιν, οὐ μὴν ἄλλον γέ τινα νομίζειν εἶναι καιρὸν ἰδίᾳ τινὶ φύσει χαρακτηριζόμενον, ὥσπερ τοὺς ἔμπροσθεν εἰρημένους. ὅτι μὲν οὖν ἔξεστι τὰ πάντα μέρη τῆς τριταίας περιόδου σαφέσι διαφοραῖς ἀλλήλων ὁρᾶν χωριζόμενα, πρόδηλον παντὶ τῷ θεασαμένῳ κἂν ἕνα τινὰ τῶν οὕτω καμνόντων ἀρρώστων. εἰ δέ τινος αὐτῶν ἀνονόμαστοι, πρὸς μὲν τοὺς ἐρεισικοὺς ἐροῦμεν, καιρὸς πρῶτος, καὶ δεύτερος, καὶ τρίτος, καὶ τέταρτος, καὶ πέμπτος. εἶθ᾽ ἕκτος, ὁ τῆς ἀπυρεξίας. πρὸς δὲ τοὺς ἰδιώτας ὀνομάτων χρῆσιν, αὐτοὶ συντιθέμενοι τὰ ἐπιτήδεια, καὶ τῷ μὲν πρώτῳ καιρῷ, τὸ τῆς ἀρχῆς ἴδιον ὄνομα κείσθω. τῷ δὲ δευτέρῳ, τὸ τῆς ἀνωμαλίας. τῷ δὲ τρίτῳ, τὸ τῆς ἀναβάσεως. καὶ τῷ τετάρτῳ, τὸ τῆς ἀκμῆς. καὶ τῷ πέμπτῳ, τὸ τῆς παρακμῆς. ὁ δὲ ἕκτος, ὁ τῆς ἀπυρεξίας, διάλειμμα προσαγορευέσθω. ἔξεστι δὲ καὶ κατ᾽ ἄλλον τινὰ τρόπον, εἰς μείζω μέρη διελεῖν ὅλην τὴν περίοδον. ἔγε γὰρ εἰς δύο δυνατὸν αὐτὸν ὅλην διελεῖν. ἓν μὲν τὸ τοῦ πρώτου παροξυσμοῦ ποιοῦντας ἀπὸ τῆς πρώτης εἰσβολῆς, ἄχρι τῆς ἐσχάτης ἀνέσεως, τὸ δὲ μετὰ μεταξύ ἐστι τῆς παρακμῆς, καὶ τῆς εἰσβολῆς τοῦ δευτέρου παροξυσμοῦ. καλῶ δὲ εἰσβολὴν παροξυσμοῦ, τὸν ἀκριβῶς ἤδη πρῶτον χρόνον ἀπλατῆ. τὸν δ᾽ αὐτὸν τοῦτον ἐπισημασίαν εἰώθασιν ὀνομάζειν, καὶ τό γε πρὸς Ἱπποκράτους εἰρημένον, ἐν τοῖς παροξυσμοῖς, ὑποστέλλεσθαι, κατὰ ταύτην ἡγοῦμαι λελέχθαι τὴν τομήν. προειπὼν γάρ, ὡς προσήκει. οἷς μὲν αὐτίκα ἡ ἀκμή, αὐτίκα λεπτῶς διαιτᾶν. οἷς δ᾽ ὕστερον εἰς ἐκεῖνο μὲν καὶ πρὸ ἐκείνου λεπτῶς, ἔμπροσθεν δὲ πιότερον διαιτᾶν, ὡς ἂν ἐξαρκέσοι ὁ νοσέων, ἐπήνεγκεν ἐν δὲ τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή. διδάσκων ἡμᾶς δηλονότι μόνον ἐκεῖνον τὸν καιρὸν φυλάττεσθαι τὸν ὑπ᾽ αὐτοῦ καλούμενον παροξυσμόν. οὐδέποτε γὰρ ἐν αὐτῷ τρέφομεν, ἐν δὲ τῷ λοιπῷ παντὶ τῆς ἀνέσεως, ἄλλοτε κατ᾽ ἄλλο μόριον αὐτοῦ, ποτὲ μὲν γὰρ ἁπλοῦς ἐστὶν ἐκ παρακμῆς μόνον ὑπάρχων. ἐνίοτε δ᾽ ἐκ παρακμῆς καὶ διαλείμματος σύγκειται. αὕτη μὲν ἐστὶν ἡ εἰς δύο μέρη τομὴ τῆς μιᾶς περιόδου. τὸ μὲν ἕτερος μέρος αὐτῆς, τὸ πρότερον, ὀνομαζόντων ἡμῶν παροξυσμόν. τὸ δὲ ἐπ᾽ αὐτῷ δεύτερον, ἤτοι γε ἄνεσιν, ὡς ἀρτίως ἢ ὡς ἔνιοι διάλειμμα. διάλειμμα γὰρ καλοῦσιν οὐκ ὀλίγοι τῶν ἰατρῶν, τὸ μετὰ τὴν ἀκμὴν ἅπαν, ὅπως ἂν ἔχῃ φύσεως, εἴτ᾽ οὖν εἰς ἀπυρεξίαν παυόμενον, εἴτε καὶ μή. ἀλλ᾽ ἡμῖν γε φυλαττέσθωσαν αἱ προειρημέναι κλήσεις, ὑπὲρ τοῦ μηδεμίαν ἀσάφειαν γίνεσθαι κατὰ τὸν λόγον. καὶ προσαγορευέσθω τὸ μετὰ τὸν παροξυσμὸν ἅπαν, ἄνεσις. οὐ κωλυόντων ἡμῶν, ὡς ἔφην, εἰ καὶ διάλειμμά τις αὐτὸν καλεῖν ὅλον, ἢ παρακμήν, ἢ ἔνδοσιν, ἢ ὕφεσιν, ἢ ἀφαίρεσιν ἐθέλοι. πρόκειται γὰρ οὐ περὶ τῶν ὀνομάτων ζυγομαχεῖν, ἀλλὰ τὰ μέρη τῆς περιόδου σκοπεῖν, ὁπόσα τε τὸν ἀριθμόν ἐστι, καὶ ὅπῃ διενήνοχεν ἀλλήλων. αὕτη μὲν οὖν ἡ τομὴ τῶν εἰς ἀπυρεξίαν ληγόντων, ἁπάντων ἐστὶ πυρετῶν, ἀμφημερινῶν, τριταίων, τεταρταίων, ὡς ἓξ ἐχόντων τὰ μέρη διαφέροντα ἀλλήλων ἰδέαις ἐπισήμοις. ἑτέρα δὲ τῶν μὴ διαλειπόντων, εἰς πέντε μέρη διαιρουμένων, εἰσὶ δὲ καὶ οὗτοι πάμπολλοι. τινὲς μὲν, ἑκάστης ἡμέρας παροξυνόμενοι. τινὲς δέ, διὰ τρίτης. οὐ μὴν οἵ γε διὰ τετάρτης πολλάκις, ἀλλ᾽ ἐν τῷ σπανίῳ φαίνονταί γινόμενοι. τὸ πλεῖστον γὰρ αὐτῶν γένος, εἰς ἀπυρεξίαν παύεται. διττὴ δὲ καὶ τούτων ἐστὶν ἡ ἰδέα τῶν εἰς ἀπυρεξίαν

ἀπυρεξίαν μὴ παυομένων ἀμφημερινῶν, τριταίων, τεταρταίων. ἔνιοι μὲν γὰρ αὐτῶν καὶ τὸ μέγεθος ἀποτίθεν-ται τοῦ σφυγμοῦ, καὶ τὸ τάχος, καὶ τὴν πυκνότητα, καὶ τὴν σκληρότητα. τινὲς δέ, τὰ μὲν ἄλλα τρία πρὸς τὸ κατὰ φύσιν ἐπανάγουσι. φυλάττουσι δέ, ταχύτητα. οἱ μέν, πλεῖον, οἱ δέ, ἧττον. ἀλλ᾽ οὐ τοῦ νῦν παρόντος λόγου περὶ ἐκείνων διαιρεῖσθαι. πρόκειται γὰρ ἐξαριθμῆσαι τὰ μόρια τῆς περιόδου, καθ᾽ ἕκαστον γένος νοσήματος. εἰρηκότες οὖν ὀλίγον ἔμ-προσθεν, ὡς ἐξ εἰσὶ τὰ πάντα κατὰ τοὺς διαλείποντας πυρετούς, ἑξῆς διερχόμεθα τὰ μέρη τῶν μὴ διαλειπόντων πέντε εἶναι λέγοντες. ὅταν τὰ μὲν ἄλλα παραπλησίως αὐτοῖς ὑπάρχει. μόνον δὲ λείπει, τὸ τῆς ἀπυρεξίας. ἡ δ᾽ ἐν τοῖς ἄλλοις μέρεσι ὁμοιότης ἐξ ἀνάγκης ἐστὶ τὸ τῆς εἰσβολῆς τῶν παροξυσμῶν μετὰ συστολῆς γίγνεσθαι, ὀνομά-ζω δ᾽ οὕτω τὸ μετὰ τὸ ψύχεσθαι. τούτῳ γὰρ ἕπεται καὶ τὸ τοὺς σφυγμοὺς εἰς ὁμαλὸν κινεῖσθαι μετὰ μικρότητος, ἀποχωροῦντος εἰς τὰ σπλάγχνα τοῦ αἵματος, ᾧ πάλιν ἐξ ἀνάγκης ἕπεται τὸ τῆς ἀνωμαλίας. εἶθ᾽ ἑξῆς τὸ τῆς ἀνα-βάσεως, ἀκμῆς τε καὶ παρακμῆς. ἐφ᾽ ὧν μέντοι χωρὶς αἰσθητῆς συστολῆς εἰσβολὴ γίγνεται παροξυσμοῦ. τοὺς τρεῖς καιροὺς εἰς ἓν ἀναπίπτειν ἀναγκαῖον ἐστί, καὶ γίγνεσθαι τὸ σύμπαν, μέχρι τῆς ἀκμῆς ἀνάβασιν. ὅπου γὰρ οὐκ ἐγένετο συστολή, δῆλον ὡς οὐδ᾽ ἀνωμαλία. τὴν δὲ ἀκμὴν οὐδ᾽ ἂν ποτε εἴδομεν ἀπολείπουσαν, ἀλλ᾽ ἀεὶ διαμένου-σαν αἰσθητὴν ἰσότητα κατὰ πάντας τοὺς πυρετοὺς ἐπί τινα χρόνον. εἰσβολὴν μέντοι μυριάκις ἐθεασάμην ἄνευ τῶν εἰρημένων τῆς ἀρχῆς συμπτωμάτων, ὧν τὸ μὲν κυριώτατον ἦν ἁπάσαις, ὀλίγου δεῖν, ταῖς ἀρχαῖς ἡ ψύξις συνοῦ-σα τῶν παροξυσμῶν. ὥσπερ καὶ ἡ ἐπὶ τὰ ἔσω τῶν ἀρτηριῶν κίνησις, ὑπὲρ ἧς εἴρηται μὲν ἐπὶ πλέον ἐν τῇ περὶ τῶν σφυγμῶν πραγματείᾳ. κατὰ δὲ τὸν ἐνεστῶτα λόγον, ἀρκεῖ τῷ τάχει τῆς συστολῆς, ἀφορίζειν αὐτήν. ὅσα δ᾽ ἄλ-λα συμπτώματά τε καὶ σημεῖα τῆς ἀρχῆς τῶν παροξυσμῶν ἐστὶν ἴδια, προείρηται, τὰ μέν, ἐπιγινόμενα. τῇ περι-ψύξει. τὰ δ᾽ ἄλλα, ἄλλων συμβαίνει. σμικρότης μὲν τῶν σφυγμῶν, καὶ ἀκραιότης καὶ βραδυτὴς διαστολῆς ἐπὶ τῇ καταψύξει. ῥῖγος δ᾽ ἐπ᾽ ἄλλαις προφάσεσιν, ἃς ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις εἴπομεν. ἀλλ᾽ ὅλον τὸ γένος τοῦτο τῶν παροξυσμῶν, παντάπασιν, ὡς ἔφην, ἀπόλλυται. καὶ πολλοὺς πολλάκις ἡμεῖς ἐκωλύσαμεν ὑπὸ τῶν θαυμαστῶν τούτων ἰατρῶν, ἤτοι γ᾽ ἐπὶ τὸ λουτρὸν πεμφθέντας, ἢ τροφὴν προσενέγκασθαι κελευ-σθέντας, ὡς ὑπερβεβηκότας ἤδη τὰς ὑπόπτους ὥρας τοῦ παροξυσμοῦ. συμβαίνει δ᾽ αὐτοὺς ἀγνοοῦντας ἀκριβῶς ἅπτεσθαι τῆς ἀρτηρίας ἐν τοῖς τοιούτοις σφάλμασι καθίστασθαι. ἅπασι γὰρ τοῖς οὕτω παροξυνομένοις, ἡ συστολὴ θάττων γίγνεται, γνωρίζειν δ᾽ αὐτήν, οὐ παντός ἐστιν, ἀλλὰ δεῖται μάλιστα τοῦτο τὸ ἔργον, εἴπερ τι καὶ ἄλλο, τῆς τέχνης ἀσκήσεως ἱκανῆς, ἣν οὐχ οἷόν τε ποιήσασθαι πρὶν τεχνωθῆναι τὸν εἰρημένον ἐφ᾽ ἡμῶν τρόπον ἐν τῷ πρώτῳ τῆς διαγνώσεως τῶν σφυγμῶν. εἰ μὲν οὖν τις εἴη γνωστικὸς τῆς συστολῆς τῶν ἀρτηριῶν, ἐγχω-ρεῖ τούτῳ τίθεσθαι τοῦτ᾽ αὐτὸ τὸ μέρος τοῦ παροξυσμοῦ, καθ᾽ ὃ τὴν συστολὴν ὠκυτέραν ἐγνώρισε γεγενημένην ἄνευ τῆς διαστολῆς, ἀρχὴν τῆς περιόδου. τὸ δ᾽ ἐφεξῆς τῷ δὲ ἐπανάβασιν ἄχρι τῆς ἀκμῆς, εἰ δὲ μὴ γνωρίζοι μηδὲ τοῦτο, φαίνοιτο δ᾽ ἀθλίπτως αὐτῷ παντοίως ἡ εἰσβολὴ γεγενημένη, τὸ μέχρι τῆς ἀκμῆς μέρος τοῦ παροξυσμοῦ πᾶν ἐ-πανάβασιν, ἢ ἐπίδοσιν, ἢ αὔξησιν ὀνομάσει. τέμνων δ᾽ αὐτὴν εἰς πρῶτα, καὶ τελευταῖα, καὶ μέσα κατὰ τὸ μᾶλ-λον τε καὶ ἧττον. οὐκ εἴδεσι διαφόροις, ὡς ἔμπροσθεν ἔλεγον, ἐπὶ τῶν αἰσθητῶν περιψύξεων. ἐν τοῖς τοιούτοις οὖν πυρετοῖς οἱ πάντες ἔσονται καιροὶ τρεῖς, αὔξησις, ἀκμή, μείωσις. οὐδὲν γὰρ χεῖρον οὐ δὲ μείωσιν ὀνομάζειν τὸν καιρὸν ἐκεῖνον, ἐν ᾧ τοῦ μεγέθους ἀφαιρεῖται τι τοῦ πυρετοῦ. ἐν ὅσοις δ᾽ οὐκ ἔστι περίοδος οἷον καὶ τοῖς συνόχοις ὀνο-μαζομένοις, τούτοις τοῖς πυρετοῖς, οὔτε παροξυσμὸς ὅλως τις ἐστίν, οὔτε τὰ προειρημένα μέρη. τὰ μέντοι τῆς ὅλης νόσου μόρια κατὰ διαφέροντας χρόνους καὶ τούτοις ἐστίν, ἑτέροις τρόποις διαγινωσκόμενα, παρὰ τοὺς ἐν τοῖς πα-ροξυσμοῖς καιρούς, οὓς ὀλίγον ὕστερον ἐρῶ, καὶ μάλιστα ὅτι σφάλλονται πάντες ἐν αὐτοῖς ἰατροί. καί τοί γε Ἱπποκρά-τους ὀρθότατα διδάξαντος ὑπὲρ αὐτῶν. ἀλλὰ νῦν ἐπὶ τοὺς κατὰ περίοδόν τινα παροξυνόντας ἐπανέλθωμεν τῷ λόγῳ, πᾶν ὅσον ὑπόλοιπον ἐν αὐτοῖς ἄσκοπον ἀφεῖται διαιροῦντες. ἑνὸς μὲν δὴ καὶ πρώτου μεμνῆσθαι κελεύω, τοῦ γεγονέναι τὸν λόγον ἡμῖν ἅπαντα τὸν ἀπ᾽ ἀρχῆς ἄχρι δεῦρο, περὶ τῶν ἁπλῶν περιόδων. ἐν γὰρ ταῖς ἐπιπε-πλεγμέναις ὁ μετὰ τὴν ἀκμὴν καιρὸς ἐνίοτε στερεῖται, φθανούσης εἰσβάλλειν ἐπισημασίας ἑτέρου παροξυσμοῦ, πρὶν τὴν προτέραν περίοδον ἀκριβῶς πληρωθῆναι. καὶ πολλάκις γε κατὰ μὲν ἑαυτοῦ φύσιν ὁ πυρετός, ἐκ τοῦ τῶν διαλειπόντων ἐστὶ γένους, ὥσπερ ὁ τριταῖος. ἡ δ᾽ ἐπιπλοκὴ χρόνον ἀπυρεξίας οὐδένα καταλείπει τῇ προτέρᾳ περιό-δῳ φθάσαντος εἰσβαλεῖν τοῦ δευτέρου παροξυσμοῦ, πρίν. † ἀπολεπτυνθῆναι τὸν πρότερον. εἴρηται δέ μοι περὶ τῶν τοιούτων ἐπιπλοκῶν, ἐν δύο πραγματείαις, τῇ τε περὶ κρίσεων, καὶ τῇ περὶ διαφορᾶς τῶν πυρετῶν. ἔνθα καὶ διῄρηται μίξις ἐπιπλοκῆς. ὁ γοῦν ἡμιτριταῖος, ἐκ μίξεως τε καὶ κράσεως ἐδείχθη γιγνόμενος, ἀμφημερινοῦ τε καὶ τριταίου πυρετοῦ. πολλάκις δὲ καὶ αὐτῷ τῷ ἡμιτριταίῳ τῶν ἁπλῶν εἷς ἐπιπλέκεται πυρετῶν, ἤτοι τριταῖος, ἢ ἀμφημερινός. ἀλλ᾽ οὐκ ἔστιν ἡ τοιαύτη ποικιλία τῆς ἐνεστώσης οἰκεία πραγματείας. ἀρκεῖ γὰρ ἐν ταῦθα τοὺς ἰδίους ἑκάστου τῶν πυρετῶν καιροὺς ἀκριβῶς διαρθρῶσαι. τὸ γὰρ τὸ συμπλεκόμενον αὐτῶν ἑτοίμως δύνασθαι διακρίνειν, οὕτως ἂν ἡμῖν μάλιστα ὑπάρξειεν. οἱ μὲν οὖν ἀκριβῶς ἁπλοῖ, προείρηνται. περὶ δὲ τῶν ἐπιμίκτων, ἑξῆς ἐρῶ. γίνεται τοίνυν ἐνίοτε φρικώδης εἰσβολή, τὰ τῆς ἀρχῆς ἴδια γνωρίσματα πάντα ἔχουσα, πλὴν ῥίγους. ἔστι δ᾽ ἡνίκα ὅτε καὶ τούτου τὴν ἔμφασιν. ἡ γὰρ τοι σφοδρὰ φρίκη δόξειεν ἂν ἤτοι γε ἀρχή τις εἶναι ῥίγους, ἢ μικρὸν ῥῖγος. ἀλλὰ τό γε ἀκριβὲς ῥῖγος, οἷον ἐν τρι-ταίοις τε καὶ τεταρταίοις πυρετοῖς ἐστίν, ὁ τοιοῦτος μὴ λαμβάνει. καὶ διὰ τοῦτ᾽ οὖν αὐτὴν ὀνομάζω φρικώδη. καὶ πολύ γε μᾶλλον ὅτι προδείξας τινὰ σημεῖα, τοῦ δευτέρου καιροῦ, πάλιν ἀρχὴν ἑτέρας εἰσβολῆς ἐργάζεται φρικώδη. ὃ καλοῦ-σιν ἔνιοι μὲν ἐπανάληψιν. ἔνιοι δ᾽ ἐπαναδίπλωσιν. ἔστιν ὅτε δὲ καὶ δεύτερον ἐργάζεται τοῦτο. καί τισιν ἐνίοτε καὶ τρίτον. εἶτα μόγις ὕστερον ὁμαλῶς ἐξαπλοῦται μέχρι τῆς ἀκμῆς ἀναβαίνων. οὗτος ὁ πυρετὸς εἰς ἀπυρεξίαν οὐδέ ποτε παύεται. ὅτε γὰρ ἄχρι τῆς ἀκμῆς αὐτῷ χρόνος ὑπάρχει πάμπολυς. ἥ τε παρακμή, χωρὶς αἰσθητῆς διαπνοῆς. πολὺ δὲ δὴ μᾶλλον τοῦ μεθ᾽ ὑδρῶτος εἰς ἀπυρεξίαν ἰέναι, ὥσπερ οὖν ὁ ἀπὸ τῆς πρώτης εἰσ-βολῆς παροξυσμὸς ἄχρι τῆς ἀκμῆς ἐν πολλῷ χρόνῳ παραγίνεται, κατὰ τὸν αὐτὸν τρόπον ἀπὸ τῆς ἀκμῆς κατὰ βρα-χὺ μειοῦται. καὶ τοίνυν ἐπὶ τῆς ὑστεραίας, ἕτερος αὐτοῖς ἐπιγίνεται παροξυσμός, φρικώδης μὲν ὁμοίως,

† al. ἀπολυθῆναι

ἀλλ' οὐκ ἔχων τὰς ἐπαναλήψεις ὡσαύτως τῷ πρόσθεν. ἢ εἴ ποτε ἐπὶ τὸ σπάνιον χωρίη, μίαν ποιήσαιτο μόνην, ὀλιγοχρόνιόν τε καὶ σμικράν. ἀναβαίνει δὲ καὶ οὗτος ὁ παροξυσμὸς ἐπὶ τὴν ἀκμὴν ἐν χρόνῳ πολλῷ. καὶ παρακμάζει ὡσαύτως ἐν οὐκ ὀλίγῳ χρόνῳ. καὶ διὰ τοῦτ' αὐτὸ ἐπὶ τῆς τρίτης ἡμέρας ὁ αὐτὸς τῷ ἐπὶ τὴν πρώτην ἐκδέχεται παροξυσμός. εἶτ' αὖθις ὁ ἐπὶ τὴν τετάρτην ὁ αὐτὸς τῷ ἐπὶ τὴν δευτέραν. καὶ τοῦτ' ἐφεξῆς ἀεί. τοῦτον ἐγὼ τὸν πυρετὸν ἕνεκα συντόμου καὶ σαφοῦς διδασκαλίας, ἑνὶ προσαγορεύειν βουλόμενος ὀνόματι, τέθεικα καθ' αὐτοῦ κλῆσιν ἡμιτριταῖον. εἰ μὲν οὖν καὶ Ἱπποκράτης τὸν τοιοῦτον πυρετὸν ἡμιτριταῖον ἐκάλει, καθάπερ ἐγὼ πείθομαι, δύο ἂν ἐκ τοῦ λόγου κερδαίνοις, ὅτι τε πρᾶγμα μανθάνεις ἰατρικόν, ὅτι τε τοὔνομα παλαιὸν ἐπιφέρεις αὐτῷ. εἰ δ' ἡγεῖταί τις ἕτερόν τινα πυρετὸν ὑφ' Ἱπποκράτους ἡμιτριταῖον καλεῖσθαι, σφάλλεσθαί με νομίσας ἐν τῇ προσηγορίᾳ, τὸ πρᾶγμα αὐτὸ μανθανέτω. ὅτι γοῦν καὶ τοιοῦτός τις γίνεται πυρετὸς ὁποῖον εἶπον, οὐκέτ' ἐν τῷ δεῖ μάρτυρα, οὔθ' Ἱπποκράτους, οὔτε ἄλλου τινὸς ὁ λόγος χρῄζει. μόνον οὐ καθ' ἑκάστην ἡμέραν ὁρώντων ἡμῶν αὐτόν, καὶ μάλιστ' ἐν Ῥώμῃ. ὥσπερ γὰρ ἐν ἄλλοις ἄλλα χωρίοις, οὕτως ἐν τῇδε τῇ πόλει πλεονάζει τὸ κακὸν τοῦτο. παράκειται δ' αὐτῷ τις ἄλλος, ὅτε τῇ δευτέρᾳ τῶν ἡμερῶν ἕτερον φέρων παροξυσμόν, ὅτε ἐπὶ τὴν πρώτην καὶ τὴν τρίτην τὰς ἐπαναλήψεις. ἔστι δ' οὐχ εἷς οὐδ' ὁ τοῦδε τρόπος. ἐνίοτε μὲν γὰρ, ἄνευ φρίκης. ἐνίοτε δὲ, σὺν φρίκῃ ποιεῖται τὴν εἰσβολήν. ἔστι δ' ὅτε καὶ μετὰ καταψύξεως τῶν ἄκρων σαφῶς. ὤπται δὲ ἐνίοτε, καὶ χωρὶς αἰσθητῆς περιψύξεως οὗτος ὁ πυρετὸς ἔχειν τὰς πέντε καιροὺς, ἀρχὴν, ἀνωμαλίαν, ἐπίδοσιν, ἀκμὴν, καὶ παρακμήν. τοῖς δὲ χρόνοις ἤδη διηρημένοις, ὀλιγοχρόνιος μὲν ἡ ἀρχή. ὀλιγοχρόνιος δ' ἐστὶν αὐτοῦ καὶ ἡ ἀνωμαλία. τὰ δὲ τῆς ἀναβάσεως, οὐχ ὁμοίως ἅπασιν, ἀλλ' ἐνίοις μὲν, ἡ ὀλιγοχρονία. ἐνίοις δὲ, χρόνῳ πλείονι. καὶ μὲν δὴ καὶ ὁ τῆς ἀκμῆς καιρὸς ἐν χρόνῳ μὲν πάντως αἰσθητῷ καὶ πλατεῖ. διαφέρει δ' οὐκ ὀλίγον ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. οὕτω δὲ καὶ τὰ τῆς παρακμῆς, ἐν χρόνῳ μὲν ἅπασι μακρῷ. διαφέρει δ' ἐν τῷ τισὶ μὲν, αἰσθητῶς ἀφαιρεῖν, καὶ παρέχειν ἐλπίδα τοῦ διὰ ταχέων παύσασθαι. μετὰ ταῦτα δ' ἵστασθαι φυλάσσων ἴσον τὸ ὑπόλοιπον μέγεθος τῆς παρακμῆς, τισὶ δὲ, ὅλην ποιεῖσθαι τὴν παρακμὴν, ἀπ' ἀρχῆς, ἄχρι τῆς τελευτῆς βραδεῖαν. ὥστε καὶ ἐκ διαστημάτων χρόνου μακροτέρων ἀπτομένῳ σοι, δόξει μὲν ἀφῃρηκέναι τι πάντως, ὀλίγιστον μέντοι τουτί. τοιαῦται τινὲς εἰσὶ καὶ ἄλλαι μερικαὶ διαφοραὶ τῶν διὰ τρίτης ἡμέρας παροξυνομένων πυρετῶν, οὓς ἅπαντας ὀνομάζω τριταιοφυεῖς. εἰς μὲν τὴν τῆς διαθέσεως, ὅθεν ἐξάπτονται, γνῶσιν, χρησιμώταται. πρὸς δὲ τὴν νῦν ἐνεστῶσαν πραγματείαν, ἄχρηστοι. πρόκειται γὰρ ἡμῖν ἐνταῦθα τούς τε ἐν ταῖς περιόδοις διορίζεσθαι καιροὺς, καὶ τοὺς ὅλου τοῦ νοσήματος, ἕνεκα τῆς τῶν βοηθημάτων εὐκαίρου χρήσεως. ἣν οὐδὲν ὀνίνησιν ἡ τοιαύτη ποικιλία. καθάπερ οὐδὲ ἡ τῶν ἐν ἀμφημερινῷ σχήματι πεποικιλμένων. καὶ γοῦν καὶ τούτων οὐκ ὀλίγοι καθ' ἑκάστην ἡμέραν παροξυνόμενοι, διάλειμμα οὐδὲν ἴσχουσιν. ἐρῶ δ' αὐτῶν ὅμως ἕνεκα παραδείγματος, ὀλίγας διαφορὰς, οὐχ ὡς χρησίμους εἰς τὴν ἐνεστῶσαν ὑπόθεσιν, ἀλλ' ὅτι τῶν ἰατρῶν ἔνιοι παντάπασι φυσῶνται, ἐξ ὧν ἀλόγως φλυαροῦσι, καὶ δόξαν ἐκφέρονται παρὰ τοῖς ἀσυνέτοις ὡς ἐπιμελεῖς τε καὶ πονητικοὶ καί τι σοφώτερον ἐπιστάμενοι τῶν μόνα τὰ χρήσιμα γραφόντων. εἰσβάλλει τοίνυν ὁ παροξυσμὸς τῶν καθ' ἑκάστην ἡμέραν παροξυνομένων πυρετῶν, ἐνίοτε μὲν, ἄνευ σαφοῦς περιψύξεως. ἐνίοτε δὲ, σὺν ταύτῃ. καὶ διαμένει γε τὰ τῆς ἀρχῆς ἴδια. τοῖς μὲν, ἐπὶ πλείονα. τοῖς δὲ ἐπ' ἐλάττονα χρόνον. καὶ διὰ καὶ τὰ τῆς ἀνωμαλίας ὡσαύτως. τοῖς μὲν, ἐπὶ πλείονα. τοῖς δὲ, ἐπ' ἐλάττονα χρόνον. καὶ μετὰ ταῦτα ἀναβαίνει μέχρι τῆς ἀκμῆς ὁ πυρετὸς οὗτος. ἐν πλείονι χρόνῳ τῶν διὰ τρίτης παροξυνομένων. ὑπάρχει δ' αὐτῷ καί τι τοιοῦτον, ὃ κἀκείνοις μὲν, ἔστιν ὅτε γίγνεται σπανίως. πολὺ μᾶλλον δ' ἐν τούτῳ φαίνεται, σαφῆ ποιούμενος ἀνάβασιν, ἵσταταί τινι χρόνῳ μηδὲν προστιθείς. εἶτ' αὖθις προστίθησιν. οὕτω δὲ κἀπὶ τῆς παρακμῆς ἤτοι γε ὁμαλὴν ποιεῖται τὴν ἀφαίρεσιν, ἢ μεταξὺ ἵστησι ἐπὶ τοῦ αὐτοῦ μεγέθους τοῖς μὲν, ὥραν μίαν. τοῖς δὲ, δύο, μετὰ ταῦτα ἀφαιρεῖ. καὶ δὴ καὶ μέχρι τῆς εἰσβολῆς τοῦ δευτέρου παροξυσμοῦ τοῖς μὲν, ἀφαιρεῖν. τοῖς δὲ, ἐν ᾧ περ ἐστὶ μεγέθει διαμένει. μᾶλλον δὲ τοῦτο τοῖς διὰ τρίτης ὑπάρχει. διότι καὶ ἡ περίοδος αὐτῶν ἐστι μακροτέρα. διπλασία γὰρ πώς ἐστι τῷ χρόνῳ τῶν διὰ τρίτης παροξυνομένων πυρετῶν, ἡ περίοδος. εἰ παραβάλλοιτο τῇ τῶν καθ' ἑκάστην ἡμέραν. ὥστε ἐναργῶς διὰ τοῦτο χρῄζει τὸ λείψανον τῆς παρακμῆς αὐτῆς, ἐν ἴσῳ διαμένειν μεγέθει. πολλοὶ δὲ καὶ ἄλλοι τρόποι περιόδων εἰσὶ, διαφοραῖς μερικαῖς ποικιλλόμενοι, περιττοὶ πρὸς τὰ νῦν ἐνεστῶτα. διὰ τοῦτο δὲ ἐνίων ἐμνημόνευσα, διότι τῶν ἰατρῶν οἱ μὴ γινώσκοντες, ὡς οὐκ ἔστιν οἰκεία τοῦ παρόντος σκέμματος ἡ τοιαύτη διδασκαλία, γεγράφασι ὑπὲρ αὐτῶν, ἁμαρτάνοντες καὶ κατ' αὐτῶν τὴν διήγησιν. ἀλλ' οὐ νῦν καιρὸς ἐλέγχειν αὐτοὺς ἐν οὐκ οἰκείῳ σκέμματι. μαθήσῃ δ' ἐπιστημονικῶς, ὅτι γε φλυαροῦσιν ἄχρηστα, καὶ ὅτι θαυμαστῶς Ἱπποκράτους εὑρόντος, τὴν ἐν αὐτοῖς μέθοδον, οὔτ' ἐξειργάσατό τις αὐτήν. καὶ πρὸς τούτῳ καὶ διέφθειραν οἱ πλεῖστοι, κατ' ἐκεῖνο μάλιστα τοῦ λόγου τὸ χωρίον, ἔνθα συνάπτειν μέλλω τοῖς εἰρημένοις καιροῖς, τὰ βοηθήματα. πραχθήσεται μοι τοῦτο, τοὺς ὅλου τοῦ νοσήματος ἐπιδείξαντι καιρούς. ἄχρι μὲν γὰρ τοῦδε, τοὺς ἐν μέρει διῆλθον μόνους.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΟΛΟΥ ΤΟΥ ΝΟΣΗΜΑΤΟΣ. ΚΑΙΡΩΝ.

ΟΛΟΥ τοίνυν τοῦ νοσήματος ἐπινοοῦμεν καιροὺς, ἀνάλογον ταῖς ἡλικίαις τῶν ζώων. ἕνα μὲν, τὸν πρῶτον τῆς γενέσεως αὐτῶν. δεύτερον δὲ, τὸν τῆς ἀναβάσεως. τρίτον δὲ, τὸν τῆς ἀκμῆς. καὶ τέταρτον, τὸν τῆς παρακμῆς, ὅταν γε μέλλωσιν οἱ κάμνοντες σώζεσθαι. φθασάντων γὰρ ἀποθανεῖν αὐτῶν ἤτοι κατὰ τὴν ἀνάβασιν, ἢ τὴν ἀκμὴν, δῆλον ὡς οὐ διεξῆλθεν ἅπαντας τοὺς καιροὺς, ἡ τοιαύτη νόσος. ἀλλ' ἥ γε διεξερχομένη, σχεδόν τι περὶ πάντων αὐτῆς τῶν μορίων ἀμφισβητήσεις ἔχει. τινῶν μὲν, ἕνα χρόνον εἶναι λεγόντων τὴν ἀκμὴν, ἐπινοίᾳ μόνῃ λαμβανόμενον. ἐνίων δὲ, ὡς ἐν τοῖς συνόχοις, ἀκμὴν μὴ εἶναι τὸ σύμπαν. ἐνίων δ' εἰς ἀρχὴν ὀλιγοχρόνιον εἰσάγειν τὴν ἀκμὴν, ἄλλων δ' οὐκ ἐν τούτοις μόνον, ἀλλὰ καὶ τοῖς λοιποῖς ἅπασιν νοσήμασιν, ἀφαιρούντων τὴν ἀρχήν. ἄλλων δ' ἐνίοτε καὶ τὴν παρακμὴν ἀφαιρούντων, ὅταν ἐξ ἀποκοπῆς, ὡς ἐκεῖνοι καλοῦσιν, ἡ νόσος λυθῇ. πρῶτον μὲν οὖν χρὴ τὰς ἀμφισβητήσεις διαλύεσθαι ταύτας. εἶτα ἀκριβῶς διαρθρῶσαι τὰς ἐννοίας τῶν καιρῶν τῆς ὅλης νόσου. καὶ μετὰ ταῦτα εἰπεῖν αὐτῶν τὰ γνωρίσματα. κἄπειθ' ἑξῆς ἂν δεῖξαι τὸ χρήσιμον, ἀναμίξαντας τοῖς κατὰ τὰς περιόδους. ἡ τοίνυν ἀρχὴ τῆς νόσου καθ' ὅσον εἰσβάλλει ποτὲ καταπιπτούσης τῆς ὑγιεινῆς καταστάσεως ἐν ἁπάσαις αὐταῖς ἐστιν, ἄνευ χρόνου παρατάσεως, ἐπινοουμένη. σὺν τούτῳ μέντοι γε καὶ εἰ συγχωρεῖται παντὸς νοσήματος ὑπάρχειν οἷον γένεσιν, ὥσπερ ἐν τοῖς ζώοις ἐπινοοῦμεν. οὐ γὰρ ἐκ μορίων δή τινων ὥσπερ τὸ ζῶον ἐκ κεφαλῆς, καὶ θώρακος, καὶ κώλων, οὕτω καὶ τὰ νοσήματα σύγκειται. ἐκπίπτοντος γὰρ τοῦ κατὰ φύσιν, ἐν ἀκαρεῖ μέν τινι χρόνῳ τὴν γένεσιν ἔχει. τοὐντεῦθεν δὲ ἀναβαίνει μέχρι τῆς ἀκμῆς. ἔστω γοῦν εἰ τύχῃ κατὰ δυσκρασίαν τὸ νόσημα, καθ' ἣν ἡμῖν ἐπιδέδεικται καὶ ὁ πυρετὸς συνιστάμενος. ἀναγκαῖον οὖν ἐπειδὰν πρῶτον ἡ παρὰ φύσιν αὕτη γένηται θερμασία, πυρέττειν τε τὸν ἄνθρωπον, ἐπιτείνεσθαί τε μέχρι τῆς ἀκμῆς τὴν θερμασίαν. οὐ γὰρ οὐκ ἔστι μέρη, πῶς ἂν εἴη γένεσις ἐν χρόνῳ τοῦδε, ταῦτ' εἴρηταί μοι, καὶ κατ' ἀρχὰς εὐθέως ἀπήντησά τε πρὸς αὐτὰ, τῶν κατὰ περίψυξιν εἰσβαλλόντων πυρετῶν ἀναμνήσας. ἀλλ' ἐν μὲν ταῖς περιόδοις αὐτάρκης ἡ ἀπάντησις. εἷς γὰρ τῶν ἐν μέρει καιρῶν καὶ τῇ τάξει πρῶτος ὁ τῆς περιψύξεως τῆς συμπάσης νόσου. γελοιότατον ἂν εἴη τὸν τοῦ πρώτου παροξυσμοῦ πρῶτον καιρὸν ἀρχὴν ἡγεῖσθαι τοῦ νοσήματος ὅλου. τὸ γάρ τοι χρήσιμον ὁ καιρὸς οὗτος, ὃν ὀνομάζουσιν ἀρχὴν νοσήματος, εἰς τὰ βοηθήματα κέκτηται, καὶ πρὸς τοῦτον ἀποβλέπων εἶπεν. ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει. ἀκμαζουσῶν δὲ, ἡσυχίαν ἔχειν, βέλτιόν ἐστιν. ὡσαύτως δὲ κἀκεῖνο λέλεκται αὐτῷ περὶ τὰς ἀρχὰς καὶ τὰ τέλεα πάντα ἀσθενέστερα. καὶ μέντοι καὶ τὸ, περὶ φαρμακείας εἰρημένον, ὡς πέπονα χρὴ φαρμακεύειν, καὶ κινέειν μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν ἢν μὴ ὀργᾷ. καὶ πρὸς τούτοις γε ἔτι τό. ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι. πολλά τε πρὸς τούτοις ἕτερα. τὰ μὲν, Ἱπποκράτει. τὰ δὲ, τοῖς ἄλλοις ἰατροῖς ἅπασι τοῖς παλαιοῖς εἰρημένα, τὴν ἀρχὴν ἡμᾶς οὐκ ἐπιτρέπει νοεῖν τοῦ πρώτου παροξυσμοῦ τὴν εἰσβολὴν, ἀλλ' ἐπὶ μακρότερον, ὡς καὶ φλεβοτομῆσαι δύνασθαι, καὶ κλυστηρίῳ χρήσασθαι. ποτὲ δ' εἰ κατεπείγει καὶ καθῆραι, πρὸς τὸ γελοῖον εἶναι τῶν ἐντὸς τῆς ἑβδόμης ἡμέρας λυομένων νοσημάτων καὶ τῶν εἰς ἐνιαυτὸν παραμενόντων, ὥσπερ καὶ ὁ τεταρταῖος ἐστὶν ὅτε, τὴν ἴσην ἀρχὴν τίθεσθαι. πολλὰ μὲν εἴρηταί μοι περὶ τῆς δὲ τῆς ἀρχῆς, καὶ κατὰ τὸ περὶ κρίσεων πρῶτον. ἐπιδεικνῦντι τὸν πρῶτον τοῦτον καιρὸν ὡς ἄν τις γνωρίσειεν. ἦν δ' αὐτοῦ κεφάλαιον ἡ ἀπεψία τῆς νόσου. βέλτιον δὲ κἀνταῦθα πρὸς ἐκείνοις εἰπεῖν, ὅσα τῇ παρούσῃ διεξόδῳ χρήσιμα. κείσθω τοίνυν πρῶτον ἀρχὴν φλεγμονῆς ζητεῖσθαι. τίς οὐκ ἂν φαίη τὴν οἱονεὶ γένεσιν αὐτῆς ὑπάρχειν ἐν ἐκείνῳ παντὶ τῷ χρόνῳ, καθ' ὃν πληροῦται τὸ μόριον αἱματώδους οὐσίας, εἴτε γὰρ ἐπὶ πλημπλώσει συμβαίνει τὸ τοιοῦτον, εἴτ' ἐπὶ τῇ σφηνώσει πάντων τῶν ἀγγείων, εἴτε ἐπὶ περιστάσει τινὶ τῶν ὄγκων ἐν τοῖς πόροις, εἴθ' ὡς ἡμεῖς ἐδιδάξαμεν, ἔν τε τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας, καὶ τῷ τῶν παρὰ φύσιν ὄγκων ὑπομνήματι, πλεονεξίᾳ τινὶ αἵματος ἐν τῷ μορίῳ συνίσταται γινομένης τῆς φλεγμονῆς, οὗτος ἔσται πρῶτος καιρὸς, ἐν ᾧ πληροῦται τὸ μέρος ἀνακείμενον τῷ μεγέθει τοῦ πάθους. ὅταν δὲ τὸ μὲν ἐπιρρέον, παύσηται. τὸ δ' ἐν τῷ φλεγμαίνοντι περιεχόμενον, ὑπάρξηται σήπεσθαι, θερμασία τις γίνεται διὰ τὴν σηπεδόνα. καὶ ἡ χύσις ἐπὶ πλέον, διὰ τὴν θερμασίαν, ἐφ' ᾗ καὶ πνεῦμα γεννᾶται, καὶ δι' ἄμφω ταῦτα διατείνεται μᾶλλον, ἢ πρόσθεν τὸ μόριον, εἰ καὶ μηδὲν ἐπιρρέοι. δεύτερος οὗτος ἐστὶ χρόνος ὁ τῆς αὐξήσεως τῆς φλεγμονῆς. ὅταν δὲ εἰς πῦον ἤδη μεταβάλλοι, μέγιστοι μὲν δή που πόνοι τηνικαῦτα καταλαμβάνουσι. περὶ γοῦν τὰς γενέσιας τοῦ πύου οἱ πόνοι, καὶ οἱ πυρετοὶ μᾶλλον, ἢ γενομένου. καλεῖται δ' ἀκμὴ τοῦ πάθους ὁ τοιοῦτος καιρὸς, εἰ δὲ ἐκπυϊσκομένου, ἢ διαφορουμένου τὸ ῥεῦμα, τόν τε ὄγκον ἐλάττω, καὶ τὴν τάσιν ἀφαιρεῖ, παρακμῆς ἀρχὴ τὸ τοιοῦτον ἐστί. οὕτω μὲν ἐπὶ τῆς φλεγμονῆς οἱ καιροὶ διαιροῦνται. ἐπὶ πυρετοῦ δὲ τοῦ μὲν ἐπὶ φλεγμονῇ συνισταμένου τοὺς αὐτοὺς ἐκείνῃ τίθεσθαι καιρούς. τοῦ δ' ἐπὶ χυμοῦ ἄνευ φλεγμονῆς. τὸν μὲν τῆς ἀπεψίας τῶν λυπούντων χυμῶν χρόνον, ἀρχήν. ὅταν δ' ἄρξηται πέττεσθαι, πέπαυσθαι μὲν τὴν ἀρχὴν, τὸν δεύτερον δ' ἥκειν καιρὸν τὸν τῆς ἀναβάσεως ὀνομαζόμενον. ὁπότε δὲ ἡ πέψις αὐτὴ συντελεῖται μάλιστα, τὸν τῆς ἀκμῆς. εἶθ' ἑξῆς τὸν τῆς παρακμῆς, ἐν ᾧ πέπαυται μὲν ἤδη τό, τε μέγεθος τῶν συμπτωμάτων, καὶ τὸ πλῆθος τῶν πεπτομένων. ὀλίγον δ' ἐστὶν ἔτι λείψανον τῶν πεφθῆναι δεομένων χυμῶν. ἐδήλωσα δ' ἐν τῇ περὶ κρίσεων πραγμα

τέα, καὶ τὰ γνωρίσματα πάντα τά τε τῆς πέψεως τῆς ἀμυδρᾶς, καὶ τὰ τῆς παντελοῦς ἀπεψίας, καὶ τὰ τῆς ἐναργοῦς καὶ τὰ τῆς τελείας. ἴδια μὲν ὑπάρχοντα, τῆς περὶ τὴν γαστέρα πέψεως. ἴδια δὲ, τῆς περὶ τὰς φλέβας. ἴδια δὲ ἄλλα, τῶν ἀναπνευστικῶν. ἐλαμβάνετο δὲ, τὰ μὲν, ἐκ τῶν διαχωρημάτων. τὰ δὲ, ἐκ τῶν οὔρων. τὰ δὲ, ἐκ τῶν πτυσμάτων. καὶ ταῦτα ἐπὶ πλεῖστον ἐν ἐκείνῳ τῷ λόγῳ διῆλθον ἅμα ταῖς Ἱπποκρατείοις ῥήσεσι. ἀρκεῖ δὲ ἐν τῷ νῦν ἐνεστῶτι τοσοῦτον μόνον εἰπεῖν, ὡς καὶ τῶν ἑλκῶν οἱ αὐτοὶ καιροί. πρῶτον μὲν γὰρ ἰχῶρες ὑδατώδεις ἄπεπτοι καὶ λεπτοὶ ῥέουσιν ἐξ αὐτῶν. ἔθ᾽ ἑξῆς, ἐλάττους τε καὶ παχύτεροι, κἄπειτα ἤδη πῦον λεπτόν. εἶτα ἔλαττον μὲν τῷ πλήθει τοῦτο γίνεται, παχύτερον δὲ, καὶ λευκότερον, ὥς τε οὐδέν ἐστι τῶν λυομένων παθῶν, ὃ μὴ διεξέρχεται τούτους καιρούς. οὐ μὴν οὐδ᾽ ἐξ ἄλλου τινὸς ἡ γνῶσις αὐτῶν, ὅτι μὴ τῶν τῆς ἀπεψίας τε καὶ πέψεως σημείων, ἃ διὰ τῶν περιττωμάτων γνωρίζεται. τίς γὰρ οὐκ οἶδεν ἀπεπτηκέναι τὰ γαστρὸς διαχωρήματα, θεασάμενος ἀχύλωτα; τίς δὲ οὐκ οἶδεν οὖρον ὑδατῶδες ἰδὼν ἠτυχῆσθαι τὴν ἐν τοῖς ἀγγείοις πέψιν; τίς δὲ λεπτὸν ἀναβηττόμενον πτύσμα ἐπὶ πλευρίτιδι, ἢ περιπνευμονίᾳ ἑωρακὼς ὁμοίως, οὐ συνῆκεν ὡς ἀρχή ἐστι ἔτι τοῦ πάθους; οὕτω δὲ κἀν ταῖς ὀφθαλμίαις. ἐν ἀρχῇ μὲν, ἀπορρεῖ πολὺ καὶ λεπτὸν ἄπεπτον ἱκανῶς. ἐφεξῆς δὲ, ἔλαττόν τε καὶ παχύτερον, ὑπογραφήν τινα πέψεως λαμβάνον. εἶτα ἐν τῷ χρόνῳ προϊόντι, τοῦ μὲν πλήθους μειουμένου, τῆς συστάσεως δὲ, ἐπὶ τὸ παχύτερον ἰούσης, αὐξάνεται τὰ τῆς πέψεως εἰς τοσοῦτον, ὡς καὶ κολλᾶσθαι τὰ βλέφαρα κοιμηθέντων ὑπὸ τῆς γινομένης λήμης. ἥτις καὶ αὐτὴ κατ᾽ ἀρχὰς μὲν, λεπτὴ καὶ πολλή. τῷ χρόνῳ δὲ, ἐλάττων τε καὶ παχυτέρα γινομένη, τήν τε πέψιν τοῦ νοσήματος ἐνδείκνυται, καὶ τὴν παρακμὴν τούτου. καὶ μὴν καὶ τῶν ἐξ ἐγκεφάλου καταρρεόντων δι᾽ ὑπερῴας καὶ ῥινῶν. ἀρχὴ μὲν, ὅταν ὑδατῶδές τε καὶ λεπτὸν ᾖ, καὶ πολὺ, καὶ δριμὺ τὸ φερόμενον. ἐσχάτην γὰρ ἀπεψίαν ἐνδείκνυται ταῦτα. πέψεως δέ ἐστιν ἤδη γνωρίσματα παχύτερόν τε καὶ ἧττον δριμὺ καὶ ὀλίγον κενούμενον. εἰ δὲ καὶ ἡ καλουμένη μύξα καὶ βλέννα συναπέρχοιτο, βεβαιότερον ἤδη τοῦτο ἐστι πέψεως σημεῖον. ὥσπερ δὲ καὶ εἰ παχυτέρα μὲν αὐτῆ καὶ ἐλάττω γινομένη, πολὺ δὴ καὶ μᾶλλον πέψιν ἐνδείκνυται. καὶ οὗτοι μὲν οἱ καιροὶ τῶν νοσημάτων εἰσὶν, ἐξ ὧν οἱ κάμνοντες σώζονται. περὶ δὲ τῶν ἄλλων ἐν οἷς ἀπόλλυνται, μικρὸν ὕστερον ἐρῶ. διαρθρώσας πρότερον ὅσα διορισμοῦ τινος τῶν εἰρημένων δέονται. ἓν μὲν οὖν ἐστιν αὐτῶν, καὶ τὸ περὶ τῆς ἀκμῆς. εἴτε ἄχρονος ὑπάρχει διαπαντὸς, ὅσον ἐφ᾽ ἑαυτῇ, κἂν εἰ πρὸς τὴν αἴσθησιν φαίνοιτο παρεκτεινομένη πολλάκις ἀξιολόγοις χρόνοις, εἴτε διαπαντὸς ἔχει τὸ πλάτος, ὅτε μὲν, μεῖζον, ὅτε δὲ, ἔλαττον. εἴτ᾽ ἐπὶ τινῶν μὲν νοσημάτων, ἔγχρονος. ἐπί τινων δὲ ἄχρονος. μακροτέρου δὲ λόγου δεομένου τοῦ σκέμματος, ἔοικα παραλείψειν αὐτὸν ἅπαντα, μιμησάμενος Ἱπποκράτη περὶ τῆς κατὰ τὸν ὦμον ἐκπτώσεως εἰπόντα. οὐ μὴν τοι ἰσχυρίζω ἔγωγε περὶ αὐτοῦ, καίτοι ἔχων ὅτι λέγω, καθάπερ γὰρ ἐκεῖνος ἠρκέσθη τοῖς διαπαντὸς ἑωραμένοις αὐτῷ, κατὰ τὸν αὐτὸν τρόπον κἀγὼ νῦν ὡς διαπαντὸς ἰδὼν ἐρῶ. πᾶσαν ἀκμὴν τῶν κατὰ μέρος παροξυσμῶν χρόνῳ γινομένην ἐθεασάμην. ὥστε κἂν εἰ πρὸς τὴν φύσιν ἄχρονος εἴη, μὴ δὲ, μιᾶς ἐξ αὐτοῦ χρείας ἀπολαύειν ἡμᾶς. ὅταν γὰρ πρῶτον αἰσθήσει σαφὴς ἡ παρακμὴ γένηται, τότε τοῖς ἁρμόττουσιν αὐτῇ βοηθήμασι χρώμεθα. μέχρι δ᾽ ἂν ἀπὸ τῶν ἴσων ἀριθμῶν ἑστήκει τὸ μέγεθος τοῦ πυρετοῦ. μέχρι τοσούτου τῷ μεγέθει τῆς ἀκμῆς οἰκεῖα πράττειν προσήκει. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπ᾽ ὀφθαλμίας, καὶ πλευρίτιδος, καὶ πάσης φλεγμονῆς, ἑκάστου τε τῶν ἄλλων νοσημάτων, οἱ καθόλου καιροὶ τὴν τῶν διαφόρων βοηθημάτων ὑπαγορεύουσι χρῆσιν, αἰσθήσει μετρούμενοι. λογικὸν οὖν γίνεται σκέμμα, τὸ περὶ τοῦ πλάτους τῆς ἀκμῆς· εἴτε τῶν κατὰ μέρος παροξυσμῶν, εἴτε τῆς ὅλης νόσου τις σκόποιτο. νυνὶ δὲ οὐ πρόκειταί μοι τὰ τοιαῦτα διαιρεῖν ὡς οἱ τὰ πάντα ἐν πᾶσι φέροντες, πράττουσιν, ὧν εἷς ἐστι καὶ Ἀρχιγένης. ἀναμίγνυσι γὰρ οὗτος ὁ ἀνὴρ ἰατρικωτάταις πραγματείαις, ἐνίοτε μὲν ὑπὲρ ὀνομάτων ζήτησιν. ἔστι δὲ ὅτε καὶ περὶ αὐτῶν τῶν πραγμάτων, ἀλλὰ λογικήν. ἡμεῖς δὲ ὥσπερ ἀεὶ τοῦτο ἐφυλαξάμεθα, καὶ νῦν οὕτω πράξομεν, ἐάσαντες ὑπὲρ ἀκμῆς ἑτέροις ζητεῖν, εἴτε ἄχρονός ἐστιν, εἴτε σὺν χρόνῳ τινὶ τὴν χρείαν μετρήσωμεν. αὐτῆς τὴν φύσιν ὁρῶντες ἐναργῶς, ἔν τε ταῖς ἡλικίαις τὴν ἀκμαστικὴν ἐν πλατεῖ χρόνῳ διαλυομένην. ἔν τε τοῖς νοσήμασιν, ἐνίοτε μὲν ἐν μακροτέρῳ. πολλάκις δ᾽ ἐν ἐλάττονι. πάντως δ᾽ οὖν ἐν αἰσθητῷ. τουτὶ δὲ αὐτὸ τὸ τοῦ χρόνου διάφορον ἐναργέστερόν ἐστιν, ἐπὶ τῆς κατὰ τὴν ἀκμὴν ἡλικίας ἐν τοῖς ζώοις θεάσασθαι. καὶ γὰρ δὴ καὶ κύνας θηρευτικοὺς, καὶ ἵππους ἀγωνιστὰς ὁρῶμεν ἤδη τι ποιοῦντας οἰκεῖον ἔργον ἐν τῷ τῆς αὐξήσεως καιρῷ. καὶ μετὰ ταῦτα τελείους τε αὐτοὺς φαμὲν γεγονέναι, καὶ βλέπομεν ἐναργῶς ἰσχυροτέρους μὲν, ἢ πρόσθεν. ὡσαύτως δὲ ἰσχύοντας οὐκ ἐνιαυτῷ μόνῳ, ἀλλὰ καὶ δυοῖν, ἔστιν ὅτε καὶ τρισὶν ἔτεσιν. ὥσπερ καὶ ἀνθρώπους ἀθλητὰς οὐ τρισὶ τούτοις γε μόνον, ἀλλὰ καὶ τέτταρσι καὶ πέντε πολλάκις ἔτεσιν ἰσοσθενεῖς διαμένοντας ὡς πρὸς αἴσθησιν. οὕτω δὲ ὡς ἔφην καὶ κατὰ τὰς νόσους οἵ τε κατὰ μέρος παροξυσμοὶ τὰς ἀκμὰς ἐν χρόνῳ ποιοῦνται σαφεῖ. καὶ πολὺ δὴ μᾶλλον οἱ καθόλου καιροὶ τῆς ὅλης νόσου πλάτος ἔχουσιν. οἵ τε ἄλλοι πάντες, ὅ, τε τῆς ἀκμῆς, οὐδὲν ἧττον (ἐστὶν) ὅ, τε τῶν ἄλλων ἕκαστος. γνωρίζειν δὲ αὐτὰς ἐνίοτε μὲν ἐγχωρεῖ σαφῶς. ἔστι δ᾽ ὅτε, ἀμυδρῶς. ἢ καὶ παντάπασιν ἀγνοεῖν, ἄχρι παμπόλλου. καὶ κατὰ τοῦτο ἔνια δοκεῖν τῶν νοσημάτων εὐθὺς εἰσβάλλειν ἀκμάζοντα. καὶ τοῦτο μὲν αὐτὸ τῶν ἀδυνάτων ἐστίν. οὔτε γὰρ ὁ λεγόμενος συνόχος πυρετὸς εὐθὺς ἀπὸ τῆς ἀκμῆς ποτε εἰσέβαλεν, ἀλλὰ ἀπὸ τῆς πρώτης προσβολῆς, ἄχρι τῆς τελεωτάτης ἀκμῆς, ὥραις ἤτοι τέτταρσι, ἢ τρισὶν ἀφικνεῖται τοὐλάχιστον. ἐντεῦθεν δὲ πάντως ἴσως ἑαυτῷ μένων, συνεχῶς ἄχρι κρίσεως. ἀλλ᾽ οὐδὲ τὸ μάλιστα ἐξαίφνης εἰσβάλλον ἀκμάζον εἴποι τις ἂν τὴν ἀποπληξίαν, οὐδὲ γὰρ ἀκριβῶς ἐστι τὸ τοιοῦτον, ἀλλ᾽ ἐν μὲν βραχεῖ χρόνῳ διεξέρχεται τήν τε ἀρχὴν καὶ τὴν ἀνάβασιν, οὐ μὴν ἄναρχόν τε ἐστι, οὐδ᾽ εὐθὺς εἰσβάλλει τελεώτατα. ὥσπερ οὐδὲ ὁ τῆς ἐπιληψίας παροξυσμός. οὐδεὶς γὰρ οὕτως ἁλίσκεται ἐξαίφνης τῷ συμπτώματι, καθάπερ οἱ τὸν τράχηλον ἀφαιρούμενοι, καίτοι καὶ τούτων, ἡ τομὴ πρῶτον τινὰ χρόνον ἔχει, καὶ δεύτερον, καὶ τρίτον, καὶ τέταρτον, ὥσπερ εἰ καὶ χειρουργός τις ὁτιοῦν τέμνει. ἀλλὰ γὰρ εἰ βούλει συγχωρείσθω χωρὶς χρόνου, τήν τε ἐπιληπτικὴν καὶ τὴν ἀποπληκτικὴν γίνεσθαι κατάπτωσιν. ἵν᾽ ὅγε ἐξ ἀρχῆς προὔθεμεν διέλθω. τουτὶ μὲν γὰρ αὐτῷ σύμπτωμά ἐστιν, ἡ γινομένη κατάπτωσις. ἡ νόσος δὲ, οὐ τοῦτό ἐστιν, ἀλλὰ χρὴ πάντως, αὐτὴν ὡς ἀπεδείξαμεν, εἶναι τινὰ διάθεσιν σώματος. εἰ δὲ οὐκ ἔχομεν εἴτε γιγνομένης αὐτῆς,

εἴτε αὐξανο-

ἔτι αὐξανομένης γνώρισμά τι τὸν μὲν ἀκόλουθον λόγον, οὐκ ἀνατρέπει τοῦτο, καθ' ὃν ἐλέγομεν παντὶ νοσήματι ἀναγκαῖον εἶναι διὰ τῆς ἀναβάσεως ἐπὶ τὴν ἀκμὴν ἀφικνεῖσθαι. δύσγνωστον δὲ ἐνίοτε, καὶ πολλοῖς ἄγνωστον τῶν νοσημάτων ὁμολογεῖν εἶναί τινα αὔξησιν. ὅτι δὲ ἀληθές ἐστιν ὃ λέγω πείσαιμι ἄν σε βραχυτάτῳ λόγῳ τῷδε. σκιρρώδεις ὄγκους ἐθεασάμην πολλάκις ἐν σκέλεσιν, εὐθέως ἐξ ἀρχῆς συνισταμένους ἄνευ τοῦ προηγήσασθαι φλεγμονήν, καί τισί γε ἐνίοτε καὶ τέτταρσιν ἔτεσιν αὐξανομένους κατὰ βραχύ, χωρὶς τοῦ παρεμποδίζειν αἰσθητῶς τὰς ἀναγκαίας τοῦ σκέλους ἐνεργείας. ἐν δὲ τῷ χρόνῳ διὰ μέγεθος ἀξιόλογον, ὕστερόν ποτε καὶ τὴν βάδισιν ἐνοχλοῦντας. ἐπὶ νόσων τοίνυν, ὅ γε ἀδύνατον, ἐν τοῖς σιμοῖς τοῦ ἥπατος ἤδη τινὰ ὄγκον συνίστασθαι σκιρρώδη, καὶ λύεσθαι μέχρι τινὸς τούτου ἡ σύστασις. ὕστερον μέν τοι τὰ τῆς διαθέσεως αὐτοῦ ἔσται φαυλότερα. μὴ δὲ τότε δυναμένων ἡμῶν ἐξευρεῖν ἐφ' ἧς διαθέσεως τοῦτο συμβαίνει. χρόνῳ δὲ ὕστερον ἤδη που καὶ παρέγχυσις ὑδερικὴ συμβήσεται. μὴ δὲ τότε πρὸς τὴν ἁφὴν διασημαίνοντος τοῦ σκιρρώδους ὄγκου, ἀλλ' ὕστερόν γε φανεὶς ἀξιόλογος ἀνέμνησεν ἡμᾶς τῆς ἔμπροσθεν ἀγνοίας. οὐκ ὀλίγους γοῦν ἐγὼ τεθέαμαι κατὰ τὴν τοιαύτην ὁδὸν τῶν συμπτωμάτων ἐν ὀλίγῳ χρόνῳ προφήναντας ὄγκον οὐ σμικρὸν ἐν ἥπατι σκιρρώδη. συνιστάμενον μέν, ἐκ πολλοῦ, λανθάνοντα δέ, διὰ τὴν αὐτοῦ σμικρότητα καὶ εὐτροφίαν τῶν καθ' ὑποχόνδριον μυῶν. ἀλλ' ὅταν αὐξανόμενος ὁ σκίρρος ἅμα μὲν ἐπαναβῇ τοῖς κυρτοῖς τοῦ ἥπατος. ἅμα δὲ ἀτροφίας αἴτιος γίνηται τοῖς τε ἄλλοις τοῦ ζώου μορίοις, καὶ τοῖς καθ' ὑποχόνδριον μυσίν, ἐξ ἀμφοτέρων τούτων ἐναργῶς ἐν ὀλίγῳ χρόνῳ διαγνώσεις, αὐτοῦ ἤδη ὑπάρξαντος ἀξιολόγου μεγέθους. τὰ μὲν δὴ τοιαῦτα πάντα συνῆπται τῇ τῶν πεπονθότων μορίων ἐπισκέψει περὶ ἧς οὐ πρόκειται μὲν ἐν τῷ παρόντι σκοπεῖσθαι. δεδήλωται δέ, ὑπὲρ τῆς κοινωνίας αὐτῶν, οὐκ ἀχρήστως. ἐπὶ δὲ τὸν ἐξ ἀρχῆς λόγον ἰέναι καιρός. ἑκάστου τῶν νοσημάτων, ἴδιός ἐστι χρόνος ὁ τῆς γενέσεως. ἐνίοτε μέν, αἰσθητός. ἐνίοτε δέ, οὐκ αἰσθητός. ἀφ' οὗ πάλιν ὁ τῆς αὐξήσεως, οὐχ ὁμοίως ἐπὶ πάντων αἰσθητός. οὐ δὲ οὗτος, οἷς ὁ τῆς ἀκμῆς ἕπεται πάντως αἰσθητός. ὁμολογούντων ἡμῶν ἐστιν ὅτε μηδὲν ἔχειν ἐναργὲς γνώρισμα τῆς ἀρχῆς τοῦ πάθους καὶ τῆς αὐξήσεως. ἐπὶ τούτων οὖν ὡς πρὸς τὴν χρείαν τῆς τέχνης, ἀληθῶς τις ἐρεῖ τὸν τῆς ἀκμῆς μόνον ὑπάρχειν καιρόν. εἰ δὲ καὶ σώζεσθαι μέλλοιεν, ἕπεσθαι πάντως αὐτῷ τὸν τῆς παρακμῆς, αἰσθητὸν καὶ τοιοῦτον. ὡς ἂν ἐν χρόνῳ συνιστάμενον, οὐκ ἀπλατῆ. καὶ γὰρ εἰ ἢ δι' αἱμορραγίας, δι' ἱδρώτων τις ὀξέως κριθείη. χρόνος γοῦν τις ὑπάρχει καὶ τούτῳ αἰσθητός, ὁ τῆς παρακμῆς. εἰ δὲ ἐλάττονος τούτου καθ' ἕτερα νοσήματα γινομένης κρίσιν ἢ τέτταρσιν, ἢ καὶ πλείοσιν ἡμέραις παρακμάζοντος, τοῦτο οὐδὲν τὸν ἔμπροσθεν λόγον φαίνεται παραβλάπτον, οὐ δὲ διαβάλλει τὸ κεφάλαιον τῆς ἀποφάσεως, ἀλλ' ἔτι μένει, τὸ πάντων τῶν νοσημάτων, ὅσα λύεται καθάπερ ἀκμήν, οὕτω δὴ καὶ παρακμὴν ὑπάρχειν τινά. τούτου ἡμῖν αὐτάρκως ἀποδεικνυμένου, ἐπισκεψόμεθα περὶ τῶν μὴ λυομένων νοσημάτων. διττὴ δέ ἐστιν αὐτῶν ἡ φύσις. ἔνια μὲν γὰρ αὐτῶν ἔχει τὴν κατασκευήν, ὅταν ἀκριβῶς αὐτὴν ἔχῃ συμπεπληρωμένην. ἔνια δέ, ἐκ μὲν τῆς τῶν λυομένων ἐστὶ φύσεως, ἀλλ' ὅταν ἀκρατεῖται φθάσῃ, πρὶν τοῦτο αὐτοῖς γίνεσθαι συμβαίνει. τρίτος δὲ καὶ τούτων ὁ τρόπος ἐστίν, ἢ γὰρ διὰ τὴν τοῦ κάμνοντος ἀδυναμίαν, ἢ διὰ τὴν τῶν νοσημάτων ἰσχύν, ἢ διὰ τὰ συναμφότερα ἀναιρεῖ πρὶν λυθῆναι. καθ' ἕτερον δὲ λόγον, εἷς κοινὸς τύπος ἁπάντων ἐστὶ τῶν τοιούτων, ὅταν ὑπὲρ τὴν δύναμιν ᾖ, τὸ γάρ τοι συνέχον αὐτὸ τῆς ἀπωλείας τοῦ κάμνοντος ἐν τούτῳ τέτακται, μήτε σωθῆναι δυναμένου τινός; εἰ μὴ κρατήσειεν ἡ φύσις τῆς νόσου μήτε ἀπόλλυσθαι χωρὶς τοῦ νικηθῆναι μὲν τὴν φύσιν. ἐπικρατέστερον δὲ αὐτῆς γενέσθαι τὸ νόσημα. καὶ διὰ τοῦτό γέ τινες ἐν σημαίνεσθαι νομίζουσιν ἐκ τοῦ μεγάλου νοσήματος, ἐν τῷ πρός τι συνισταμένου. οὐκ εἰδότες ὅτι λέγεται μέν ποτε καὶ οὕτω τὸ μέγα νόσημα, καθάπερ ἂν εἰ καὶ μεῖζον ἐλέγομεν, ὅταν ὑπὲρ τὴν δύναμιν ᾖ. λέγεται δὲ κατ' ἰδίαν οὐσίαν, ὡς ἄνθρωπος, ἢ ἵππος, ἢ βοῦς μέγας. ἀποδέδεικται δέ μοι καὶ περὶ τούτου τοῦ διττοῦ σημαινομένου, πολλάκις ἤδη δι' ἑτέρων. τὸ δὲ πάντα ἐν πᾶσιν ἐξεργάζεσθαι, φλύαρον. ὅπερ οὖν εἰς τὰ παρόντα χρήσιμον ὑπάρχει, τοῦτο ἐρῶ. τῶν νοσημάτων ἕκαστον, αὐτὸ μὲν καθ' ἑαυτὸ κέκτηταί τινα πηλικότητα, βέλτιον γὰρ οὕτως εἰπεῖν ἕνεκα σαφηνείας. ἤτοι δὲ ὑπὲρ τὴν δύναμίν ἐστιν ἡ πηλικότης αὕτη τοῦ νοσήματος, ὡς βαρύνειν αὐτήν, ἢ τοὐναντίον ἀσθενεστέρα τῆς δυνάμεως, ὡς νικηθῆναι πρὸς ἐκείνης, ἁπάντων τῶν καλῶς γινομένων. ὅταν οὖν ὑπὲρ τὴν δύναμιν ᾖ, τεθνήξεται πάντως ὁ ἄνθρωπος· οἱ καιροὶ δὲ τῆς νόσου τηνικαῦτα, κατά τι μὲν ὡσαύτως τοῖς προειρημένοις λαμβάνονται. κατά τι δέ, οὐχ ὡσαύτως. ἡ μὲν γὰρ ἀρχή, κατὰ τὸν αὐτὸν τρόπον ἐν τῇ γενέσει τοῦ νοσήματος ἔχουσα τὴν σύστασιν. ἡ δὲ ἀνάβασις, οὐκ ἐν τῷ πέττεσθαι, καθάπερ ἐπὶ τῶν σώζεσθαι μελλόντων. ἀλλ' ἐν τοῖς τῆς ἀπεψίας, καὶ τοῖς ὀλεθρίοις σημείοις. ἐλέχθη γὰρ εἴ τι μεμνήμεθα, διαφέροντα ταῦτα ἀλλήλων. λεχθήσεται δέ, ἀναμνήσεως ἕνεκα καὶ νῦν ἐξ αὐτῶν ἔνια. τὸ μὲν οὖν εὔχροον οὖρον, καὶ μετρίως παχύ, πάντων οὔρων ἐστὶ κάλλιστον, ὅσον ἐπὶ τῇ χροιᾷ καὶ συστάσει. συμπαρεῖναι δὲ αὐτῷ χρὴ πάντως ἤτοι γε ἐναιώρημα χρηστόν, ἢ νεφέλην, ἢ ὑπόστασιν, ὡς ἂν ἡ τοῦ νοσήματος ἀπαιτῇ φύσις. ἄλλως μὲν γὰρ ἐδείξαμεν ἐν τοῖς χολώδεσι νοσήμασιν. ἄλλως δέ, ἐν τοῖς ἐξ ὠμῶν χυμῶν πλήθεσι, τὰς ὑποστάσεις γινομένας. ἐκ διαμέτρου δέ, ὡς ἄν τις εἴποι, τὸ ἄπεπτον οὖρον ἐστί, ὃ μήτε ἐναιώρημα, μήτε ὑπόστασιν ἔχει, μήτε νεφέλην, ἀλλὰ μηδὲ πάχος τι προσῆκον, ἢ ὠχρότητα, λευκὸν δὲ ἐστι τῇ χροιᾷ, καὶ λεπτὸν τῇ συστάσει, καθάπερ ὕδωρ. εἰ μέν τοι νεφέλη τις, ἢ ἐναιώρημα μέλαν, ἢ ὑπόστασις, ἐν αὐτῷ γίνεται μέλαινα. καὶ μᾶλλον εἰ καὶ σύμπαν εἴη ζοφῶδες, ὀλέθριον ὑπάρχει. καθάπερ εἰ καὶ κριμνώδη τινά, ἢ πεταλώδη κατ' αὐτὸ φαίνοιτο. καὶ μὴν καὶ τὸ δυσῶδες ἰσχυρῶς, καὶ τὸ λιπαρόν, ὅπερ ἐλαιῶδες ὀνομάζουσιν, ὀλέθριον. ταῦτα οὖν ἐστι τὰ οὖρα, μεγάλου νοσήματος γνωρίσματα. ὃ κατὰ τὴν ἑαυτοῦ φύσιν ἔλεγον ὑπάρχειν μέγα. μετὰ δέ, εἰ καὶ τὸ πτύσμα πλευριτικοῖς, καὶ περιπνευμονικοῖς, ἤτοι μέλαν, ἢ πυρρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες, ἢ δυσῶδες ἱκανῶς, ἢ μηδ' ὅλως πτυόμενον, ἰσχυρᾶς ὀδύνης, ἢ δυσπνοίας κατεχούσης τὸν ἄνθρωπον. ἀνάλογον δὲ τοῖσδε, κἀπὶ τῶν ἄλλων νοσημάτων, ὅσα καθ' ἧπαρ, ἢ γαστέρα συνίσταται, τῶν ὀλεθρίων σημείων ὑπάρχει γένος. ὅθεν δὲ ὁρίζεται παραπλησίως οἷόν τε τῇ τῶν σωθησομένων ἀκμῇ τὴν ἐν τοῖς τοιούτοις νοσήμασιν. ἐκεῖ μὲν γὰρ οἱ μέγιστοι παρο-

ξυσμοί, τὴν ἀκμὴν ἀφώριζον. ἐνταυθοῖ δέ, οὐκ ὁρίσαι τοὺς μεγίστους ὁμοίως, ὡς ἂν μὴ δὲ περιττομένους τὴν ἀρχὴν τοῦ νοσήματος. ἀλλ' ἐπινοίᾳ χρὴ λαμβάνειν τὸ μέγιστον. εἰς ὃ ποτὲ μὲν ἀφικνεῖται τὸ νόσημα. ποτὲ δέ, ἀναιρεῖ φθάνον ἐπὶ μέν γε τῆς λυομένης φλεγμονῆς, ἡ τοῦ πύου γένεσις, ὅρος τῆς ἀκμῆς. ἐπὶ δὲ τῶν μὴ μελλούσης λύεσθαι. δυνατὸν μὲν τὸν ἄνθρωπον ἀποθανεῖν ἐστὶ καὶ κατὰ τὴν ἀνάβασιν αὐτῆς. ἐγχωρεῖ δὲ καὶ διαρκέσαι τὴν δύναμιν, ἰσχυροτάτην ὑπάρχουσαν ἄχρι τοῦ τελευταίου μεγέθους. ταύτης γάρ τοι τῆς φλεγμονῆς, ὅταν γε μὴ μέλλοι λύεσθαι τὸ μέγιστον μέγεθος, ἤτοι γε εἰς γάγγραιναν, ἢ εἰς σηπεδόνα τελευτᾷ. μέχρι δ' ἂν μηκέτι τούτων ᾖ, δυνατὸν αὐτὴν αὐξηθῆναι. ἀνάλογον δὲ τῇ φλεγμονῇ καὶ αἱ καθ' ἕκαστον γένος τῶν ἄλλων νοσημάτων αὐξήσεις νοείσθωσαν. εἴρηται δὲ αὐτῶν οὐ τὰ γένη μόνον, ἀλλὰ καὶ αἱ διαφοραὶ καὶ τὰ εἴδη δι' ἑνὸς ὑπομνήματος, ὃ περὶ διαφορᾶς νοσημάτων ἐπιγράφεται. ἐκείνῳ δὲ μάλιστα σὲ προσέχειν ἀξιῶ τὸν νοῦν, ὃ παροφθὲν, ἱκανῶς ἄν τινα σφάλλῃ. ἐνδέχεται γὰρ ἐνὶ καὶ τῷ αὐτῷ χρόνῳ καὶ δυσὶ καὶ τρισὶ νοσήμασιν ἔχεσθαι τὸν ἄνθρωπον, ὧν τὸ μὲν, ἤδη παρακμάζει. τὸ δὲ, τὸν ἀρχῆς ἔτι μένει καιρὸν, ἢ τὰ πρῶτα τῆς ἀναβάσεως. τὸ δ' ἐπὶ πλεῖστον ηὔξηται. κἄπειτα τὸν ἄνθρωπον ἀποθανεῖν. οὔτε διὰ τὸ παρακμάζον, οὔτε διὰ τὸ νῦν ἀρχόμενον, ἀλλὰ διὰ τὸ μεγάλως ηὐξημένον. μάλιστα μὲν οὖν ἐπισκέπτου τὰς τρεῖς ἀρχὰς τῶν διοικουσῶν ὅλον τὸ σῶμα δυνάμεων, ὅπως διάκεινται. λέγω δὲ ταύτας, ἐγκέφαλον, καρδίαν, καὶ ἧπαρ. ἐφεξῆς δὲ, καὶ τὰ ἄλλα σύμπαντα μόρια. τὰ ἀπὸ τῶν ἀρχῶν ἑκάστης πεφυκότα, νεῦρα, φλέβας, καὶ ἀρτηρίας. καὶ ἄλλα φύσιν μὲν ἰδίαν ἔχοντα, διοικούμενα δὲ ὑπὸ τῶν ἀρχῶν ἁπασῶν. ἔνια μὲν, ὁμοτίμως. ἔνια δὲ, ὑπὸ τῆς μὲν, μᾶλλον. ὑπὸ τῆς δὲ, ἧττον. ἐκ γὰρ τῆς τοιαύτης θεωρίας, πρῶτον μὲν, εἴθ' ἕν ἐστιν, εἴτε καὶ πλείω νοσήματα κατὰ τὸν ἄνθρωπον εὑρήσεις. εἶθ' ἑξῆς, ἑκάστου τοὺς ἰδίους ἐπισκέψαι καιροὺς, ἀναγκαίους ὑπάρχοντας εἰς τὴν τῶν βοηθημάτων εὕρεσιν, ἧς ἕνεκα ἡμῖν ὁ λόγος ὅδε σπουδάζεται. περὶ μὲν γὰρ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα, ἀσθενέστερα. περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα. μεταξὺ δὲ τούτων, ὅσα μεταξύ. τὰ μὲν γὰρ τῆς ἀρχῆς ἐγγυτέρω, τῶν ἐγγυτέρω τῆς ἀκμῆς ἀσθενέστερα καθάπερ γε καὶ τὰ τοῦ τέλους ἐγγυτέρω. τὰ δὲ ἴσον ἀπέχοντα τῆς ἀρχῆς τε, καὶ τῆς ἀκμῆς μέσα τῆς ἰσχύος τῶν ἄκρων ἀμφοτέρων. οὕτω δὲ καὶ τὰ τῆς ἀκμῆς, ἴσον ἀπέχοντα καὶ τῆς τελευτῆς, μέσα καὶ ταῦτα τῶν ἰδίων ἄκρων ἐστίν. ἐπικρατεῖν οὖν ἐν τῇ θεραπείᾳ προσήκει κατὰ μὲν τὴν ἀκμὴν, τὸ παρηγορικόν. ἐπὶ δὲ τῆς ἀρχῆς καὶ τῆς τελευτῆς, τὸ ἀγωνιστικόν. ἀνάλογον δὲ τοῖς ἄκροις, οἱ μεταξὺ καιροὶ λαμβανέτωσαν, καθάπερ ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ λέλεκται ἐπὶ πλέον. νυνὶ δὲ ὅσον ὑπογραφῆς ἕνεκεν, αὐτὰ τὰ κεφάλαια διῆλθον. ἐνδεικνύμενος τὴν χρείαν τῶν ἐν τοῖς νοσήμασι κατὰ καιροὺς διαφορᾶς. οὐδὲ γὰρ ὅπως τις διαιτήσει δυνατὸν εὑρεῖν. οὐδέ ποτε δὲ θρέψει χωρὶς τοῦ διορίσαι βεβαίως αὐτούς. εἴ γε χρὴ συντεκμαίρεσθαι κατ' ἀρχὰς εὐθὺς, ὁπηνίκα μὲν ἡ ἀκμὴ τοῦ νοσήματος ἔσοιτο. πηλίκη δὲ ἐστὶν ἡ τοῦ κάμνοντος δύναμις. εἰ μὲν γὰρ ἐξαρκέσει περὶ τὸν ἀκμῆς καιρὸν, καὶ χωρὶς τοῦ τροφὴν προσενέγκασθαι, κράτιστον ἀσιτεῖν, ἄχρι τοῦ τὴν παρακμὴν ἀπάρξασθαι. εἰ δ' οὐχ οἷόν τε ἀσιτοῦντα διαρκέσαι, θρεπτέον αὐτὸν ἀπ' ἀρχῆς εὐθέως ἐν ἅπαντι καιρῷ, περὶ δυναμένῳ προσδέξασθαι τροφήν. ἔστι δὲ οὗτος ὁ τῆς ἀνέσεως, λέγω δὲ ἄνεσιν ἄρτι, τὸ δεύτερον μόριον τῆς ὅλης περιόδου, διαιρεθείσης εἰς δύο τὰ πάντα, παροξυσμόν τε καὶ ἄνεσιν. Ἱπποκράτης μὲν οὖν πάντων, πρῶτος ὧν ἴσμεν, ὀρθῶς περὶ τούτων διώρισται. βέλτιον ἦν ἂν, ἐξεργάσασθαι τὴν τέχνην αὐτοῦ, σχεδὸν δὲ οὐδεὶς τοῦτο ἐποίησεν. ἔνιοι δὲ καὶ τελέως ἀποχωρήσαντες αὐτῆς, εἰς μακρολογίαν ἐξετράποντο, καθάπερ καὶ Ἀρχιγένης, ἔν τε τοῖς ἄλλοις ἅπασι, κἀν τοῖς δύο βιβλίοις, ἃ περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν ἐγράψατο. μαθήσῃ δὲ ἐναργῶς. ὃ λέγω, δύο ταῦτα ἐξετάσας ἀκριβῶς. ἓν μὲν, εἰς ταυτὶ τὰ νῦν ὑφ' ἡμῶν εἰρημένα δι' ὅλου τούτου τοῦ βιβλίου χρησιμώτατόν ἐστιν εἰς θεραπείαν καὶ πρόγνωσιν. ἕτερον δὲ εἰ λέλεκταί τι πρὸς Ἀρχιγένους. εἰ γὰρ μηδενὸς ἐλλείποντος τοῖς δὲ φαίνεται λέγων, ἕτερα δηλῶς πλημμελεῖ, μή τε τὰ χρήσιμα διδάσκων, βαρύνων τε τῇ τῶν ἀχρήστων πολυλογίᾳ, τοὺς ἀναγινώσκοντας αὐτοῦ τὰ βιβλία.

ΓΑΛΗΝΟΥ ΠΩΣ ΔΕΙ ΕΞΕΛΕΓΧΕΙΝ ΤΟΥΣ ΠΡΟΣΠΟΙΟΥΜΕΝΟΥΣ ΝΟΣΕΙΝ.

ΔΙΑ πολλὰς αἰτίας ἄνθρωποι πλάττονται νοσεῖν. δοκεῖ δὲ ἰατρῷ προσήκειν ἡ τῆς ἀληθείας εὕρεσις, ἐν τοῖς τοιούτοις ἅπασι. καὶ τούτων οἱ ἰδιῶται ἀξιοῦσι διακρίνειν τοὺς ψευδομένους τῶν ἀληθευόντων. καὶ γὰρ φλεγμονὴν καὶ ἐρυσιπέλας καὶ οἰδήματα γεγονότα ἐξεπίτηδες τῶν ἔξωθεν φαρμάκων, ἔνεστι φωράσαι καὶ διακρῖναι τοῖς ἰατροῖς, ἀπὸ τῶν ἐξ αὐτοῦ τοῦ σώματος ὁρμωμένων παθῶν, οὕτω δὲ καὶ πτύσιν αἵματος ἐκ τῶν περὶ τὸ στόμα χωρίων γινομένην, ἀπὸ τῆς ἐκ στομάχου καὶ κοιλίας ἢ τινὸς τῶν ἀναπνευστικῶν ὀργάνων. ἐφωράθησαν γοῦν ἤδη τινὲς ἑκόντες ἀναβήττοντες, ἐπὶ τῇ τελευτῇ τῆς βηχὸς, ἀναπτύοντες αἷμα, φλεβὸς αὐτοῖς ἑτοίμως ἀναστομουμένης κατά τι μέρος τῶν οὔλων, ἣν ὁπότε βουληθεῖεν μυζήσαντες τῇ γλώττῃ, καὶ βήξαντες ἔνδοθεν, ἀπέπτυον, ὡς κάτωθεν ἀνηνεγμένον αἷμα, καὶ περιαλγεῖν προσεποιήσαντο καὶ μωραίνεσθαι, καὶ μωραίνειν ἑτέρους. ταῦτα ἅπαντα προσήκειν τοῖς ἰατροῖς ἐξευρίσκειν τε καὶ διακρίνειν ἀλλήλων, οἱ ἰδιῶται νομίζουσιν. ἐν δὲ δὴ τούτοις, καὶ πόνον ἰσχυρὸν, ὡς δὲ δοκεῖν δυσέκδεκτον εἶναι. καὶ καλούμενόν τε τινὰ πρὸς τὴν τῶν πολιτῶν εἰς ἐκκλησίαν, οἶδα πλασάμενον ὀδύνην κωλικὴν, ὅπως μὴ παραγένοιτο, δόξας αὐτῷ συμφέρειν οὕτως, ἐφ'

οὗ περὶ

οὖ κατὰ μὲν αὐτὸν τὸν καιρὸν ὑπωπτεύσαμεν ψεύδεσθαι τὸν ἄνθρωπον, ὕστερον δὲ καὶ αὐτὸς ὡμολόγησέ μοι. πυριάματα δ᾽ οὖν ἑαυτῷ προσφέρειν ἐκέλευσε, πλὴν οὐκ ἐδεῖτο λιπαρῶς βοηθῆσαι αὐτῷ, καίτοι φοβερώτατος ἐμπροσθεν ὢν ἐπὶ τοῖς μικροτέροις. καὶ ἐπίστατο μὲν πρὸ ἡμερῶν ὀλίγων, ὀδυνώμενόν τε κωλικῶς, εἶτα πίνοντα τοῦ Φιλωνείου φαρμάκου, γενόμενον ἀνώδυνον, ὅπερ ἤτησέ με παντὶ, εἴπερ ὠδυνᾶτο. τούτῳ δὲ μαρτυρήσει καὶ τὰ μετὰ ταῦτα, παυσαμένης τῆς ἐκκλησίας, ἐπαύσατο κεκραγὼς, ὡς οὐκέτι ὀδυνώμενος. καὶ μέντοι καὶ ἡ προηγησαμένη δίαιτα τοιαύτη τις ἦν, ὡς μὴ δύνασθαι κωλικὴν ἐν αὐτῇ συστῆναι διάθεσιν. ἐξ ἀπεψιῶν γὰρ καὶ ψύξεων εἴωθε γίνεσθαι τὰ τοιαῦτα παθήματα, περὶ δὲ οὐδὲν τοιοῦτον προηγήσατο. τὸ μὲν οὖν γνῶναι τὸ πάθημα μὴ κατὰ λόγον εἶναι τῇ ἔμπροσθεν διαίτῃ, ἰατρικῆς ἐμπειρίας ἔργον ἐστί. τὸ δὲ ὑπονοῆσαι διὰ τὴν ἐκκλησίαν αὐτὸν οὕτω πλάσασθαι, οὐκ ἔστι τῆς ἰατρικῆς ἴδιον, ἀλλὰ τοῦ καλουμένου κοινοῦ λόγου, ὃν καὶ περὶ κοινὸν εἶναι πᾶσιν, ὀλίγοι τέλειον ἔχουσιν, ὡς εὐπορεῖν ἐφ᾽ ἑκάστῳ πράγματι, τῶν ποιητέων τε καὶ λεκτέων. ἀναμνηστέον δὲ τῶν εἰρημένων ὡς ἐμπειρία μετὰ τῆς εὐπορίας εὑρίσκει μὲν καὶ τοὺς ἄλλα τινὰ πλαττομένους, εὑρίσκει δὲ καὶ τοὺς ἀλγεῖν προσποιουμένους σφοδρῶς. ἐφ᾽ ἑκατέρου γοῦν ἂν τις φάσκων ὀδυνᾶσθαι σφοδρότατα γόνυ, δοῦλος δ᾽ ἦν οὗτος, τῶν παρεχόντων ἐν ταῖς ὁδοῖς τῷ δεσπότῃ, τὸ προσποιητὸν τῆς ὀδύνης ἐφώρασα, τὴν μὲν ὑπόνοιαν λαβὼν, ἔκ τε τῆς τοῦ δεσπότου αὐτοῦ κατ᾽ ἐκείνην τὴν ἡμέραν ἐξορμᾶν, καὶ τοῦ ἔθους τοῦ νεανίσκου. τοιοῦτος γὰρ ἦν, οἷος καὶ ψεύδεσθαι τὰ τοιαῦτα. καὶ μὲν δὴ καί τινος τῶν φιλούντων αὐτὸν ὁμοδούλων ἐρώμενος, εἴτις ἐρωτικὴ συνήθεια πρός τι γύναιον ἦν τῷ νεανίσκῳ, διὸ ἦν εἰκὸς ἦν αὐτὸν εἰς ἀποδημίαν μακροτέραν κατὰ χώραν τοῦ δεσπότου στελλομένου θελῆσαι μεῖναι, καὶ ἦν οὕτως ἔχον. ἔξωθεν μὲν οὖν εὐπορεῖ τοσαῦτα. περὶ δὲ αὐτὸ τὸ γόνυ, μέγιστος ἦν ὄγκος, ἰδιώτην ἐκπλῆξαι δυνάμενος, ἐμπείρῳ δὲ τοῦ πράγματος, ἐναργῶς φαινόμενος, ὑπὸ θαψίας γεγονυμένος. τοῦτο δὴ τῆς ἰατρικῆς ἐμπειρίας ἔργον ἐστίν, οὐκ ἐκ τῶν ἔξωθεν εὐπορουμένων. ἐκ γὰρ τῆς αὐτῆς ἐμπειρίας, καὶ τὸ μηδὲν αὐτῷ προηγήσασθαι τῶν τοιούτων, ὄγκον ἐξαίφνης ἐργάζεσθαι δυναμένων. οὔτε γὰρ ἐδεδραμήκει πλέον τοῦ δέοντος, οὔτ᾽ ἐπεπλήγει πρός τινος, οὔθ᾽ ἁλλόμενος, ἢ ἀναπηδῶν τάφρον ἐπεπόνθει, πληθώρας τε σημεῖον οὐδὲν ἦν αὐτῷ, πρὸς τῷ μὴ διαιτῆσθαι πρόσθεν ἐναργῶς καὶ πλησμονωδῶς. ἀλλὰ καὶ τὸ τῆς ὀδύνης εἶδος ἐρωτῶσιν ἡμῖν ὁποῖόν ἐστιν, οὐκ εὐθέως, οὐδὲ ἑτοίμως, οὐδὲ ἑαυτῷ συμφώνως ἀπεκρίνατο. καὶ τοίνυν ἐξελθόντος τοῦ δεσπότου φάρμακον ἐπιθεὶς οὐδὲν μὲν ἀνώδυνον ἔχον, ψῦξαι δὲ τὴν ἀπὸ τῆς θαψίας ποιότητα δυνάμενον, μετὰ μίαν ὥραν ἔχον, ὁμολογοῦντα τελέως ἀνώδυνον εἶναι, ὅπερ εἴπερ ἦν ὄντως ἄλγημα διὰ φλεγμονὴν, οὐ μόνον οὐκ ἂν ἐπαύσατο, διὰ φαρμάκου ψύχοντος, ἀλλὰ καὶ σφοδρότερον ἂν ἐγένετο. εὔδηλον οὖν ἤδη πῶς τὰ τῆς ἰατρικῆς ἐμπειρίας μιγνύμενα τοῖς εὐπορουμένοις λογικῶς, ὅπερ ταυτόν ἐστι τοῖς ὑπονοουμένοις, εἰς διάγνωσιν ὀδύνης ἰσχυρᾶς ἐστιν ἐπιτήδεια. δύναται δέ τις καὶ τὴν εὐφορίαν γνώρισμα τίθεσθαι, τοῦ μὴ σφοδρῶς ὀδυνᾶσθαι. τίθεται γὰρ ἀμέλει καὶ τοῦτο πολλάκις, οὐκ ἐννοησάντων τῶν προσποιουμένων ὀδυνᾶσθαι σφοδρῶς, μεταρρίπτειν ἑαυτοὺς ἄλλοτε εἰς ἄλλο σχῆμα, δυσφοροῦντας δῆθεν ἐπὶ τῷ μεγέθει τῆς ὀδύνης. ἔτι δὲ, ἐὰν μὲν σφοδρῶς ὀδυνῶνται, πᾶν ὑπομένειν ἕτοιμοι γίνονται βοήθημα, καὶ πρότεροι γ᾽ αὐτοὶ παρακαλοῦσι τοὺς ἰατρούς, ὅτι περ ἂν βουληθεῖεν πράττειν, ἕνεκα τοῦ θεραπευθῆναι τὸ πάθος. ἐὰν δὲ μετρίως, ἢ μὴ δ᾽ ὅλως ὀδυνῶνται, τὰ τοιαῦτα τῶν βοηθημάτων ἀποδιδράσκουσιν, οὔτ᾽ ἀσιτίας μακρὰς ὑπομένοντες, οὔτε δριμέων φαρμάκων προσαγωγήν. ἃ χρὴ λέγειν ἡμᾶς αὐτοῖς, ὡς ἰασόμενα μόνα τὰς τοιαύτας διαθέσεις, ἡνίκα φασὶν ὀδυνᾶσθαι σφοδρῶς. καὶ πρὸς τούτοις ἔτι τομὰς, καὶ καύσεις, καὶ παντὸς ἀπέχειν πόματός τε καὶ ἐδέσματος, ὅπερ ἂν ἴδωμεν αὐτοὺς ἡττημένους. τοὺς τοίνυν σκηπτομένους ὀδυνᾶσθαι σφοδρῶς, τὸ μέγεθος τοῦ πόνου, καὶ τοῖς ἀπὸ τῆς ἰατρικῆς ἐμπειρίας γνωρίσμασιν, ἐν οἷς ἐστι καὶ τὸ δυσφορεῖν, καὶ καταψύχεσθαι τὰ ἄκρα, καὶ ὠχριᾶν, ἐνίοτε δὲ καὶ ψυχρὸν ἐφιδροῦν, καὶ τοὺς σφυγμοὺς ἔχειν οὐ μόνον ἀνωμάλους, ὅπερ καὶ τοῖς μετρίως ὀδυνωμένοις ὑπάρχει, ἀλλὰ καὶ πλείους τοὺς μικροὺς τῶν μεγάλων, καὶ τοὺς ἀμυδροὺς τῶν σφοδρῶν ἐρωτωμένους τε τὸ τῆς ὀδύνης εἶδος οἰκεῖον ἀποκρίνασθαι περὶ πεπονθότι μορίῳ. τινὰ μὲν γὰρ αὐτῶν εἰς πολὺ διατείνοντας ἔχει τοὺς πόνους, τινὰ δὲ οἷον ἐμπεπαρμένους τε καὶ καθ᾽ ἓν μέρος ἐρηρεισμένους, ἔνια δὲ νυγματωδῶς σφύζει, ἀλλὰ καί τινα, διασπᾶσθαι δοκεῖ, τὰ δὲ οἷον ναρκώδη φαίνεται, τὰ δὲ βαρέα. καὶ τὰ μὲν, ἐμέτους ἐπιφέρει, τὰ δὲ γαστρὸς ταραχήν, τὰ δὲ, σκοτώδινον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΚΡΙΣΕΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΕΙΤΕ τὴν ἀθρόαν ἐν νόσῳ μεταβολὴν, εἴτε τὴν ἐπὶ τὸ βέλτιον ῥοπὴν μόνην εἴτε τὴν προηγουμένην αὐτῆς ταραχὴν, εἴτε καὶ τὴν λύσιν ἅπασαν τοῦ νοσήματος, εἴτε καὶ ταύτης μόνην τὴν ἀγαθὴν θέλοι τις ὀνομάζειν κρίσιν, οὐ πρόκειταί μοι διαιρεῖσθαι τὰ νῦν, ὅτι μὴ πάρεργον. ἀλλ᾽ ὡς ἄν τις κάλλιστα προγινώσκοι τὰ τοιαῦτα σύμπαντα, διελθεῖν ἔγνωκα. ἀρίστη δ᾽ ἀρχὴ τῆς προγνώσεως αὐτῶν, ἥπερ δὴ καὶ τῆς ἐσομένης ἀκμῆς. οὕτω δὲ προσαγορεύεται τὸ σφοδρότατον μέρος ὅλης τῆς νόσου. τέτταρα μὲν γὰρ ἅπαντα τὰ μόρια τῶν νόσων ἐστίν. ἀρχὴ, καὶ αὔξησις, καὶ ἀκμὴ, καὶ παρακμή. φθάνουσι δ᾽ ἔνιαι τῶν νόσων διά τε τὴν σφῶν αὐτῶν κακοήθειαν, καὶ διὰ τὴν τοῦ κάμνοντος ἀδυναμίαν, ἐν τῷ τῆς ἐπιδόσεως χρόνῳ διαφθεῖραι τὸν ἄνθρωπον, ὥσπερ ἕτεραί τινες ἐν τῷ τῆς ἀκμῆς. εἰ δὲ κἂν τῷ τῆς παρακμῆς χρόνῳ δύναιτό τις ἀποκτεῖναι νόσος, οὐ λόγου ἐζήτηται. περὶ μὲν δὴ τούτου προϊόντος τοῦ λόγου διορισθήσεται. τὰ δ᾽ οὖν τέτταρα μόρια ταῦτα καλοῦσι μὲν ἔνιοι καὶ καιροὺς ὅλου τοῦ νοσήματος, δι᾽ αὐτὸ δὲ τοῦτο, καὶ καθόλου καιροὺς ὀνομάζουσιν, ὡς ἂν διαφέροντας δηλονότι τῶν κατὰ μέρος, εἰς οὓς ἕκαστος τῶν παροξυσμῶν διαιρεῖται. ὁρίζονται δὲ, οὐχ ἡμερῶν ἀριθμῷ, καθάπερ ἄν οἰηθείη τις.

οὐ γὰρ ἐνδέχεται τὰς ἐν τέτταρσιν ἡμέραις λυθείσας νόσους, ἰσόχρονα κεκτῆσθαι τὰ μόρια τῇ μέχρι τῆς τεσσαρακοστῆς ἐκταθείσῃ. καὶ μέχρι μὲν τοῦδε, σχεδὸν ἅπαντες ὁμολογοῦσιν ἀλλήλοις. ὅπως δὲ χρὴ κρίνειν τε καὶ διορίζειν τοὺς εἰρημένους καιρούς, οὐκ ἔτι ἐν τῷδε συμφωνοῦσιν ἀλλήλοις. ἀλλ᾽ οἱ μὲν, εἰ προλαμβάνουσιν, ἢ ὑστερίζουσιν οἱ παροξυσμοὶ σκοποῦσιν. οἱ δὲ, εἰς τὸ μῆκος αὐτῶν ἀποβλέπουσιν. οἱ δὲ, εἰς τὸ μέγεθος, ὅπερ δὴ καὶ σφοδρότητα προσαγορεύουσιν. ἔνιοι δὲ, τὰ αὐτὰ ταῦτα καὶ περὶ τὰς ἀνέσεις ἐπισκοποῦνται. κἄπειτα πρὸς ἀλλήλους ἐρίζουσιν. ἐνὸν ἅπαντά τε συνθεῖναι τὰ λελεγμένα, καὶ πρὸς αὐτοῖς, ἕτερα τὰ ῥηθησόμενα, μόγις γὰρ ἂν οὕτως τις ἀκριβῆ στοχασμὸν ποιήσαιτο τοῦ καθεστῶτος καιροῦ. τὸ δὲ παραλιπεῖν ὁτιοῦν ἐξ αὐτῶν ἄσκεπτον εἰς τοσοῦτον ἐστὶ βλάπτον τὴν πρόγνωσιν, εἰς ὅσον ἂν ἢ μεγέθους, ἢ δυνάμεως ἥκει τὸ παραλειπόμενον. εἰ τοίνυν ἐπιδίδωσιν ἡ νόσος, οὐ μόνον ἐν τῷ προλαμβάνειν τοὺς παροξυσμοὺς τεκμαίρεσθαι προσήκει, ἀλλὰ καὶ τὸ μῆκος αὐτῶν ἐπισκοπεῖσθαι χρὴ, καὶ τὸ μέγεθος, καὶ τὸ ἦθος τὸ μετὰ συμπτωμάτων, εἰ τύχῃ, ἢ ἄνευ τούτων. ὥσπερ οὖν κἀπὶ τοῦ διαλείμματός τε καὶ τῆς παρακμῆς, τὰ αὐτὰ ταῦτα θεωρεῖν ἀξιῶ. καλῶ δὲ, διάλειμμα μὲν, ἐπειδὰν εἰς ἀπυρεξίαν ὁ παροξυσμὸς παύηται. παρακμὴν δὲ, τὸ μετ᾽ αὐτὴν ἀκμὴν ἅπαν αὐτοῦ μέρος, ἕως τῆς ἀρχῆς τοῦ δευτέρου παροξυσμοῦ. τὸ γάρ τοι προλαμβάνειν αὐτὸ καθ᾽ ἑαυτὸ μόνον, οὐχ ἱκανὸν αὐξήσεως σημεῖον ὑπάρχει, ἰδιότητι πολλάκις ἑπόμενον νόσου μᾶλλον, ἢ διὰ τὴν ἀνάβασιν αὐτῆς γιγνόμενον. ἀμέλει καὶ τριταῖαί τινες ἤδη, καὶ τεταρταῖαι, καὶ ἀμφημεριναὶ περίοδοι, μέχρι παντελοῦς λύσεως, ὤφθησαν παροξυνόμεναι. καὶ καλεῖν γε τοῖς ἰατροῖς ἔθος ἐστὶ τοὺς τοιούτους τύπους, προληπτικούς, ὥσπερ ἑτέρους, ὑστερητικούς. οἱ δ᾽ ἂν ἀπ᾽ ἀρχῆς εὐθὺς ἐπιλαμβάνουσί τι τοῦ μέλλοντος χρόνου. ἀλλά τοι κἀπὶ τούτων τὸ τῆς ἀναλογίας πλέον ἐπιλαβεῖν, ἢ προλαβεῖν, τὸ μὲν, παρακμῆς. τὸ δ᾽ αὐξήσεως εἶναι δοκεῖ γνώρισμα. τὸ δ᾽ ἁπλῶς προλαμβάνειν, ἢ ὑστερίζειν, οὐδέτερον. σκοπεῖσθαι δὲ προσήκει οὐ τοῦτο μόνον, εἰ προὔλαβεν ὁ δεύτερος παροξυσμὸς τῆς συνήθους ὥρας, ἀλλ᾽ εἰ καὶ τὸ μῆκος αὐτῷ τοῦ χρόνου ταυτὸν, ἢ τὸ μέγεθος ἴσον. ἢ εἰ νῦν κακοηθέστερος, ἢ ἁπλούστερος ἐγένετο. τὰ δ᾽ αὐτὰ ταῦτα, κἀπὶ τοῦ διαλείμματός τε καὶ τῶν παρακμῶν, ἐπισκοπεῖσθαι χρή. τὸ μὲν δὴ μῆκος τοῦ χρόνου ῥᾷστον καταμαθεῖν. τὸ μέγεθος δὲ, ὅπερ καὶ σφοδρότητα καλοῦσι. καὶ μέντοι καὶ τὸ ἦθος, ὅπερ καὶ τρόπον ὀνομάζουσιν, ἔκ τε τῆς οἰκείας τοῦ νοσήματος ἰδέας θεωρεῖν, κἀκ τῶν ἐπιγινομένων αὐτῷ συμπτωμάτων. ἐκ μὲν τῆς οἰκείας ἰδέας, εἰς τὰ συμπληροῦντα τὴν ἰδίαν αὐτοῦ φύσιν ἀποβλέποντα. καθάπερ, εἰ τύχῃ, ἐπὶ πλευρίτιδος, εἴς τε τὸ νυγματῶδες ἄλγημα τῆς πλευρᾶς, καὶ τὸν ὀξὺν πυρετὸν, καὶ τὴν βῆχα, καὶ δύσπνοιαν. ἐκ δὲ αὖ τῶν ἐπιγινομένων αὐτῷ συμπτωμάτων, εἰ πολλὰ καὶ πολυχρόνια, καὶ ἰσχυρὰ, καὶ κακοήθη γίγνοιτο. ἢ τοὐναντίον, ὀλίγα, καὶ ὀλιγοχρόνια, καὶ μικρὰ, καὶ ἁπλᾶ. καὶ μὲν δὴ καὶ ὁ τοῦ διαλείμματός τε καὶ ὁ τῆς παρακμῆς χρόνος, εἰ μακρότερος τοῦ πρόσθεν, ἢ βραχύτερος, ἢ δυσφορώτερος, ἢ εὐφορώτερος, ἢ εἰ παραμένει τι τῶν ἐκ τοῦ παροξυσμοῦ συμπτωμάτων, ἢ πέπαυται πάντα. εἰ μὲν γὰρ τὰ χείρω τῶν εἰρημένων εὑρίσκοιτο, σαφῶς ἐπιδίδωσιν ἡ νόσος. εἰ δὲ τὰ βελτίω, παρακμάζει. προλαβανέτω γὰρ ὁ παροξυσμὸς τῆς συνήθους ὥρας, καὶ μακρότερος γινέσθω, καὶ σφοδρότερος, καὶ κακοηθέστερος, καὶ σὺν πολλοῖς καὶ μοχθηροῖς συμπτώμασιν ἐνοχλείτω. γινέσθω δὲ καὶ ὁ τῆς παρακμῆς χρόνος βραχύς τε ἅμα καὶ οὐκ ἀκριβῶς εὔφορος, οὐδὲ ἐλεύθερος ἁπάντων τῶν ἐκ τοῦ παροξυσμοῦ συμπτωμάτων, οὐδεὶς ἂν οἶμαι περί γε τοῦ οὕτω καμνόντων ζητήσειεν, ὡς οὐκ ἐπιδίδωσιν αὐτοῖς εἰς μέγεθος ἡ νόσος. αὖθις δὲ τἀναντία πάντα τούτοις γινέσθω. τῆς μὲν εἰσβολῆς ὑστεριζούσης, τοῦ μήκους τε καὶ τοῦ μεγέθους τοῦ περὶ τὸν παροξυσμὸν ἐλαττουμένου, καὶ τῆς κακοηθείας πραϋνομένης, καὶ τῶν ἐπιγινομένων συμπτωμάτων ἐλαττόνων τε καὶ ἁπλουστέρων ὄντων, ἢ οὐδ᾽ ὅλως ἐπιφαινομένων, καὶ τοῦ διαλείμματος, ἢ τῆς παρακμῆς εὐφόρου καὶ μακρᾶς γινομένης, καὶ πάντα ἐξαλειφούσης τὰ τοῦ παροξυσμοῦ συμπτώματα, καὶ γὰρ καὶ ταῦτα σαφέστατα παρακμῆς γνωρίσματα. καθάπερ τὰ πρότερα τῆς ἐπιδόσεως. ὅταν δὲ ἰσάζῃ πως μάλιστα τὰ περὶ τοὺς παροξυσμοὺς ἀμφοτέρους, ἀκμάζειν δηλοῖ τὴν νόσον. ἆρ᾽ οὖν ἤτοι πλείω τοῦ δέοντος ἡμεῖς εἴπομεν; ἢ Ἱπποκράτης τι παραλέλοιπεν ἐν οἷς ἐκδιδάσκων, ὅπως ἄν τις ἐκ περιόδων εὑρίσκοι νοσήματος ἐπίδοσιν. ἀλλήλοις φησὶ χρῆναι παραβάλλειν τοὺς παροξυσμούς. εἰ ἐπὶ τὸ πρωϊαίτερον, ἢ οὔ. εἰ καὶ ἐπὶ πλείονα χρόνον, ἢ οὔ. καὶ εἰ μᾶλλον, ἢ οὔ. τὸ μὲν γὰρ πρωϊαίτερον, ἢ οὔ. τοιόνδε τι δηλοῖ, εἰ τῆς συνήθους ὥρας ὁ παροξυσμὸς προὔλαβεν, ἢ ὑστέρισε. τὸ δὲ ἐπὶ πλείονα χρόνον, ἢ οὔ. πότερον πολυχρονιώτερος, ἢ βραχυχρονιώτερος ἐγένετο. τὸ δὲ μᾶλλον, ἢ οὔ, τὰ λοιπὰ τῶν εἰρημένων ἡμῖν ἔμπροσθεν, ἐν αὑτῷ περιλαβὸν ἔχει. καὶ γὰρ καὶ τὸ μέγεθος, καὶ τὸ ἦθος, αὐτοῦ τε τοῦ νοσήματος, καὶ τῶν ἐπιγινομένων αὐτῷ συμπτωμάτων; ἔτι τε πρὸς τούτοις τὸν ἀριθμὸν αὐτῶν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον νοεῖν χρὴ περιεχόμενον. οὕτω δὲ καὶ τῆς παρακμῆς ὡς μέρους καὶ αὐτῆς τοῦ σύμπαντος παροξυσμοῦ τὸ μᾶλλόν τε καὶ ἧττον ἐκ τῶν αὐτῶν γε τούτων σκοπῶν ἐξευρίσκειν χρή. ἐπιδόσεως μὲν δὴ, καὶ ἀναβάσεως, καὶ αὐξήσεως, ἅπαντα γὰρ ταῦτα προσαγορεύουσι τὸν δεύτερον καιρὸν τῆς νόσου, τό τε πρωϊαίτερον παροξύνεσθαι, καὶ τὸ πλείονα χρόνον, καὶ τὸ μᾶλλον, γνωρίσματα. καθάπερ γε τῆς παρακμῆς τἀναντία τό θ᾽ ὑστερίζειν τὸν παροξυσμὸν, καὶ βραχυχρόνιον γίνεσθαι, καὶ παντοίως τοῦ πρόσθεν ἀσθενέστερον. ἀκμῆς δ᾽ ἐστὶ σημεῖον ἡ ἐπὶ τῶν αὐτῶν μονή τε καὶ στάσις. καίτοι πολλάκις ἐν ταῖς νόσοις, οὐδεὶς αἰσθητὸς χρόνος εὑρίσκεται τοιοῦτος. ἀλλ᾽ ὁ τέταρτος, εἰ τύχῃ, παροξυσμός. ἔτι τὰ τῆς ἀναβάσεως ἔχων σημεῖα, τὸν πέμπτον ἤνεγκε παρακμαστικὸν, ὀξυῤῥόπου δηλονότι τῆς ἀκμῆς γενηθείσης, ὡς μηδὲ γνωρίσαι τινὰ παροῦσαν αὐτὴν, ἀλλὰ τοῦ πρώτου χρόνου τῆς παρακμῆς δεηθῆναι, πρὸς ἀκριβῆ διάγνωσιν. παραπλήσιον δέ τι κἀν ταῖς αὐξήσεσιν ὑπάρχει τῶν νοσημάτων. ἐνίοτε γὰρ ὁ πρῶτος παροξυσμὸς ἀρχήν τε ἅμα καὶ ἀνάβασιν ἔχει, καὶ ἀκμὴν ἐν ἑαυτῷ. κατὰ μὲν τὰ πρῶτα μέρη δηλονότι, τὴν ἀρχήν. ἐφεξῆς δ᾽ αὐτῇ τὴν ἀνάβασιν, ὑστάτην δὲ δηλονότι ἀκμήν. εἶθ᾽ ἑξῆς ὁ δεύτερος ἐναργῶς ἐφαίνετο παρακμαστικός. ἀλλ᾽ ἐπισαύτος μὲν τοῦ δευτέρου παροξυσμοῦ, τηνικαῦτα γνωρίζειν ὁποῖός τις ὁ πρῶτος ἐγένετο παροξυσμὸς πρὸς τὸ παντὸς ἔργου ὑπάρχειν ἰατροῦ. καὶ τὴν ἀξιολογωτάτην χρείαν ἀπόλλυσι τῆς προγνώσεως, ὡς ἐπὶ πλέον ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου δείκνυται γράμμασιν. ἰατροῦ δ᾽ ἐστὶ γενναίου, καὶ τῆς Ἱπποκράτους τέχνης ἀξίου προγνῶναι τὴν μέλλουσαν ἀκμὴν. εἴ γε δὴ καὶ τὰ διαιτήματα σύμπαντα πρὸς αὐτὴν ἀποβλέπων ποιεῖται. κατὰ ταῦτα δὲ καὶ τὴν ἐπίδοσιν δηλονότι καὶ τὴν ἀρχὴν τοῦ νοσήματος οὐκ ἐπειδὰν συμπληρωθῇ τότε γνωρίζειν,

ἀλλ᾽ ἐκ

ἀλλ' ἐκ πολλοῦ χρόνου προγινώσκειν ἄμεινον ἦν ἤ. καίτοι γε τὴν ἀρχὴν τοῦ νοσήματος, οὐδὲ ταύτην ὁρῶ διαγινώσκοντας τοὺς πλείστους τῶν ἰατρῶν. ὥσπερ οὐδὲ τὸν θαυμασιώτατον Θεσσαλόν, ὃς ἐν μὲν ταῖς ἀρχαῖς στέλλειν παρακελεύεται, κἂν στεγνὸν ᾖ τὸ νόσημα, καὶ χαλάσεως ὅσον ἐφ' ἑαυτῷ δεόμενον. ὅπως δ' ἄν τις αὐτὴν γνωρίζοι, καθάπερ τι σαφέστατον ὑπάρχον, οὐδ' ἐπεχείρησεν εἰπεῖν. ἔχει δ' ἀπορίαν, οὐ σμικράν. εἰ μὲν γὰρ τὴν πρώτην ἀκριβῶς εἰσβολὴν ἀρχὴν τίθεσθαι προσήκει τοῦ σύμπαντος, νοσήματος ἀμερὴς ἐστὶν αὐτὴ καὶ ἄχρονος. εἰ δὲ τὸν πρῶτον παροξυσμόν, ἴσμεν τοῦτον ἐνίοτε τήν τε ἐπίδοσιν ὅλην καὶ τὴν ἀκμὴν ἐν ἑαυτῷ περιλαμβάνοντα. πρὸς τὸ καὶ ἀλογώτατον εἶναι τήν τε ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις λυθεῖσαν νόσον, καὶ τὴν εἰς μῆνας ἓξ ἐκταθησομένην καὶ συμπάσας τὰς μεταξύ, τὸν πρῶτον μόνον παροξυσμὸν ἔχειν ἀρχήν. ὡς γὰρ οὐδ' ἐπίδοσιν, οὐδ' ἀκμήν, ἢ παρακμὴν ἰσόχρονον ἅπαντα κέκτηται τὰ νοσήματα, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον οὐδ' ἀρχήν. οὐ μὴν οὐδὲ τὸν πρῶτον ὑπερβὰς τις παροξυσμόν, εὐθ' ἕξει τι περιγράψαι τὴν ἀρχήν. εἰ γὰρ ὁ δεύτερος εὐθὺς διαδέχοιτο τὰ τῆς αὐξήσεως ἔχων γνωρίσματα, καὶ μετ' αὐτὸν ὁ τρίτος τε καὶ τέταρτος, οἵ τ' ἄλλοι σύμπαντες οἱ ἐφεξῆς, ὁ τὸν πρῶτον παροξυσμὸν παραλιπών, ὡς οὐκ ἀρχήν, ἢ πάντα τὸν μεταξὺ χρόνον, ἄχρι τῆς ἀκμῆς ἀρχὴν εἶναι φήσειε, καὶ οὕτως ἀπόλλυται παντάπασιν ἡ ἀνάβασις, ἤτοι πρῶτον παύσει τὴν ἀρχήν, οὐκ ἔθ' ἕξει. τίς οὖν ἡ τῆς ἀπορίας ἴασις; εἰ μὲν ἐκμανθάνειν ἐβούλοντο τὰ πρὸς Ἱπποκράτους γεγραμμένα σημεῖα, ταχεῖα ἂν ἐγένετο ἡ διδασκαλία. νυνὶ δὲ πρὸς τὸ μὴ βούλεσθαι μαθεῖν, τὰ πρὸς Ἱπποκράτους γεγραμμένα ὀρθῶς, ἔτι τε καὶ διαβάλλειν ἐπιχειροῦσιν, ἃ μὴ γινώσκουσιν. ἀλλ' ἐκείνοις μὲν ἀδύνατος ἡ τῆς ἀμαθίας ἴασις. ἡμῖν δ' εὔπορος. τοὺς γὰρ παροξυσμοὺς φησί, καὶ τὰς καταστάσιας, δηλώσουσιν αἱ νοῦσοι. καὶ αἱ ὧραι τοῦ ἔτεος. καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες. ὅτι μὲν δὴ καταστάσεις νοσημάτων τὰς οἷον ἰδέας αὐτῶν ὀνομάζει, καθ' ἃς ἐκ τοιῶνδε καὶ τηλικῶνδε σύγκειται τῶν καθόλου καιρῶν, ἐν ἐλαχίστῳ μάλιστ' ἄν τις τῷδε τῷ τεκμηρίῳ καταμάθοι. προειπὼν γὰρ ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. εἰσὶ δὲ ἤδη τρόποι καὶ καταστάσιες, καὶ παροξυσμοὶ τουτέων ἑκάστου τῶν πυρετῶν, ἐφεξῆς φησι. αὐτίκα γὰρ συνεχὴς ἐστὶν οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει, μάλιστα καὶ ἀνάγει ἐπὶ τὸ χαλεπώτερον. περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει ἀπολεπτύνεται. ἔστι δ' οἷσιν ἄρχεται, μαλθακός τε καὶ ὑποβρύχιος. ἐπαναδιδοῖ δὲ καὶ παροξύνεται καθ' ἑκάστην ἡμέραν. περὶ δὲ κρίσιν ἅλις ἐξέλαμψε. σαφῶς ἐνδεικνύμενος ὡς τὴν ἐκ τῶν ὅλων τοῦ νοσήματος καιρῶν ποιὰν σύνθεσιν ὀνομάζει κατάστασιν. ὅπως οὖν αἱ νόσοι καὶ ὧραι τοῦ ἔτους καὶ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσεις ἐπιδείξονται τοὺς καθόλου καιροὺς τοῦ νοσήματος; ἐν τούτῳ γὰρ ἐσμὲν τῷ ζητήματι. τεταρταῖος μὲν γάρ τις πυρετὸς εἰσβάλλων, οὐκ ἂν τὸν πρῶτον μόνον ἔχει παροξυσμὸν τὴν ἀρχήν. ὥσπερ οὐδὲ τριταῖος ἀκριβής, ἕως τῆς ἑβδόμης ἡμέρας ἄρχεσθαι δύναται. κατὰ δὲ τὰ αὐτὰ ταῦτα, καὶ περὶ τῶν ἄλλων νοσημάτων γινώσκειν. καῦσος μὲν γὰρ καὶ πλευρῖτις καὶ περιπνευμονία, βραχυχρόνιον ἔχουσι τὴν ἀρχήν. ἐπιληψίαι δὲ καὶ ἰσχιάδες καὶ ἀρθρίτιδες καὶ νεφρίτιδες, πολυχρόνιον. οὕτως μὲν, ἀπὸ τῶν νοσημάτων αὐτῶν. ἀπὸ δὲ τῶν ὡρῶν τοῦ ἔτους, οὕτως. οἱ θερινοὶ τεταρταῖοι, ὡς τὰ πολλὰ γίνονται βραχέες. οἱ δὲ φθινοπωρινοί, μακροί. καὶ μᾶλλον οἱ ἐν τῷ χειμῶνι συνάπτοντες. οὕτως δὲ καὶ πᾶν ἄλλο νόσημα. θέρους μὲν ὀξύτερον. χειμῶνος δὲ χρονιώτερον κρίνεται. καὶ δῆλον ὅτι καὶ τὴν ἀρχήν, ἐν θέρει μὲν, ὀλιγοχρονιωτέραν. ἐν χειμῶνι δ' ἕξει, μακροτέραν. ἀνάλογον δὲ ταύτῃ καὶ τοὺς ἄλλους καιροὺς τοῦ νοσήματος. ὅτι μὲν καὶ ὧραι τοῦ ἔτους, τὴν κατάστασιν τῶν νοσημάτων προμηνύουσιν. αἱ δὲ τῶν παροξυσμῶν ἐπιδόσεις, οὕτως. ἀλλήλοις φησὶ χρὴ παραβάλλειν τοὺς παροξυσμούς. εἰ ἐπὶ τὸ πρωϊαίτερον, ἢ οὔ. καὶ εἰ ἐπὶ πλείονα χρόνον, ἢ οὔ. καὶ εἰ μᾶλλον, ἢ οὔ. ταῦτα γὰρ ἅπαντα συνθείς, ἐγγυτέρω τῆς ἀκριβοῦς ἀφίξῃ διαγνώσεως. εἰ δὲ μηδὲν αὐτῶν ἐπισκεψάμενος οἴει δυνήσεσθαι γνωρίζειν ἀρχὴν νοσήματος ἢ διορίζειν ἀναβάσεως, οὐκ ἂν οὐδ' ἐγγύς ποτε τῆς ἀληθείας ἀφίκοιο. ἆρ' οὖν ἱκανὰ ταῦτα ἐστὶ πρὸς τὴν ἀκριβῆ τῶν καιρῶν τῆς νόσου διάγνωσιν, οὐδαμῶς. ἀλλ' ἤδη μέν τινα τεχνικὸν ἔχοντα στοχασμόν, ἀκριβείας δ' ἀπολιμπανόμενα τοσοῦτον, ὅσον τοῦ μὴ δι' ὅλου πλεονεκτεῖν. τί δὴ τούτοις προστιθέμενον, ἀκριβῆ ποιήσει τὴν πρόγνωσιν, ὅλον ἀναγνοὺς εἴσῃ τὸν ἀφορισμὸν ὧδέ πως ἔχοντα. τοὺς παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλοῦσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος. καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες. ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίνονται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι πτύελον αὐτίκα ἢν ἐπιφαίνηται. ἀρχομένου μέν, βραχύνει. ἢν δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα καὶ ὑποχωρήματα, καὶ ἱδρῶτες, καὶ δύσκριτα, καὶ εὔκριτα, καὶ βραχέα, καὶ μακρὰ τὰ νοσήματα, ἐπιφαινόμενα δηλοῖ. ταῦτα μὲν ἐν τοῖς ἀφορισμοῖς. ἐν δ' αὖ τῷ πρώτῳ τῶν ἐπιδημιῶν. πεπασμοὺς τῶν ἀπιόντων εἶναι φησὶ πάντας πάντοθεν ἐπικαίρους, καὶ καλάς, καὶ κρισίμους ἀποστάσιας σκοπεῖσθαι. εἶτα ἐπιφέρων, ἐρεῖ. πεπασμοὶ ταχυτῆτα, κρίσιος καὶ ἀσφάλειαν ὑγιείης σημαίνουσι. ἀλλ' οἱ πεπασμοὶ δήπουθεν οὔτοι πάντες, ἐν τοῖς πεπαινομένοις, τουτέστιν ἐν τοῖς πεττομένοις εἰσί. τίνα οὖν ταῦτα ἐστίν; οὐκ ἄλλα τινά, ἢ ἅπερ ὠνόμασεν ἐπιφαινόμενα. τὰ μὲν γὰρ ἴδια τῶν νοσημάτων αὐτῶν συμπτώματα, συνεισβάλλει δήπου καὶ συνάρχεται. τὰ δ' ἄλλα πάντα ἐπιφαίνεται, συνεισβάλλει μὲν οὖν τῇ πλευρίτιδι πάντως, ὅτ' ὀξὺς πυρετός, καὶ τὸ τῆς πλευρᾶς ἄλγημα τὸ νυγματῶδες, ἥ τε δύσπνοια, καὶ ἡ βήξ. ἐπιφαίνεται δὲ τὰ μέν, ὡς ἴδια τοῦ νοσήματος αὐτοῦ. τὰ δ' ὡς κοινὰ τῶν πυρεττόντων ἁπάντων. ὡς ἴδια μὲν οὖν αὐτῆς τῆς νόσου. πρῶτον μὲν, ἤτοι μηδενὸς ὅλως ἀναγομένου μετὰ τῆς βηχός, ὅπερ ἱκανὸν ἐστὶν ἀπέπτου νοσήματος γνώρισμα. δεύτερον δέ, εἰ ἀνάγοιτο μέν, ἀλλ' οὐ χρηστόν. ἔστι δὲ καὶ τοῦτο διττόν. ἓν μέν, τὸ μὴ πεπέφθαι μόνον. ἕτερον δέ, τὸ καὶ μοχθηρὸν εἶναι. τούτων δὲ ἁπάντων ἀφώρισται, τὸ πεπεμμένον, ὃ δὴ καὶ πτύελον ἤδη καλοῦσιν ἰδίως. οὐ γὰρ δὴ τό γ' αἱματῶδες, καὶ τὸ χολῶδες καὶ τὸ ἀφρῶδες, οὕτως ὀνομάζομεν, ἀλλὰ ταυτὶ μὲν μᾶλλον πάντα πτύσματα προσαγορεύομεν. ὅταν δὲ μήθ' αἵματος, μήτ' ὤχρας, ἢ μελαίνης χολῆς ἐπιμιξίαν ἔχῃ, τὸ τοιοῦτον ἤδη πτύελον ὀνομάζομεν. ὅταν οὖν τοῦτο ταχέως ἐπιφαίνηται, βραχύνει τὸ νόσημα. τὸ δ' ἤτοι μηδόλως ἀνάγειν, ἢ ἄπεπτον, εἰς πλείονα χρόνον ἐκταθήσεσθαι δηλοῖ τὸ νόσημα. τὸ δὲ καὶ μοχθηρὸν ἀνάγεσθαι τὸ πτύσμα, κινδύνου δηλωτικόν. εἰ δὲ καὶ κακόηθες εἴη θανάτου, τί μὲν οὖν ἐστὶ τὸ πτύελον, νῦν οὐ δέομαι λέγειν, ὅσα δὲ ἰδίως ὀνομάζεται πτύσματα, καὶ

τούτων ὅσα μὲν ὑπόξανθά τε καὶ ὑπόπυῤῥα καὶ ὕπωχρα καὶ ὑπάφρα καὶ λεπτά, μόνης ἀπεψίας ὑπάρχει
γνωρίσματα. κακὸν δὲ οὐδὲν ἐπίσημον ἐνδείκνυται. τὰ δ' ἀκράτως ξανθά, καὶ πυῤῥά, καὶ παχέα, καὶ ἀφρώ-
δη, καὶ χλωρά, καὶ γλίσχρα, καὶ στρογγύλα, καὶ τούτων ἔτι μᾶλλον τὰ μέλανα, μοχθηρά. προσεπισκέπτεσθαι
δὲ καὶ τὸν τῆς ἀναγωγῆς αὐτῶν τρόπον. εἰ μὲν γὰρ εὐπετῶς ἀναπτύοιτο, πρόδηλον ὡς τὰ τοιαῦτα μὲν ἐστὶν ἀγα-
θά. τὰ δ' ἐναντία, μοχθηρά. καὶ τί δεῖ πλείω λέγειν ἡμᾶς, ἔχοντάς γε τὴν ἐκ τοῦ προγνωστικοῦ παραγράψαι
ῥῆσιν; πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευράς, ταχέως τε ἀνα-
πτύεσθαι, καὶ εὐπετέως. συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ. δῆλος ἐνταῦθα ἐστὶ πτύε-
λον ἰδίως ὀνομάζων, τὸ κατὰ φύσιν. ᾧ δὴ καὶ συμμεμίχθαι φησὶ χρῆναι τὸ ξανθόν. τὸ δ' ἰσχυρῶς, ἔνιοι μὲν οὐ-
δὲ γράφουσιν ὅλως. οἱ δ' οὖν καὶ γράφοντες, οἱ μὲν, ἐπὶ τὸ ξανθόν. οἱ δὲ, ἐπὶ τὸ συμμεμιγμένον ἀναφέρουσιν.
ἐν ἑκατέρῳ ἡ τῶν λόγων, τοιός δε. συμμεμιγμένον τε ἰσχυρῶς τῷ πτυέλῳ φαίνεσθαι τὸ ξανθόν. ἢ πάλιν τὸ
ἰσχυρῶς ξανθὸν, συμμεμιγμένον φαίνεσθαι τῷ πτυέλῳ. τεχνικώτερον δ' ἐστὶ τὸ πρότερον. ἀεὶ γὰρ τὰς ἀνω-
μάλους ἁπάντων κινήσεις καὶ τῶν πολὺ διαφερόντων ἐπιπλοκὰς αὐτός τε ὁ Ἱπποκράτης μέμφεται, καὶ ἡ πεῖ-
ρα διδάσκει, οὕτως ἔχειν. οὐ μὴν οὐδ' ὁ λόγος ἄπορος, ἀλλ' οὐκ ἐν καιρῷ νῦν ἂν εἴη λεγόμενος. ὅτι δὲ τὸ ἰσχυρῶς
ἐπὶ τὸ συμμεμίχθαι τὴν ἀναφορὰν ἔχει, πρόδηλον κἀκ τῶν ἐπιφερομένων. εἰ γὰρ πολλῷ, φησὶν, ὕστερον μετὰ τὴν
ἀρχὴν τῆς ὀδύνης, ἀποπτύοιτο ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, ἢ μὴ ἰσχυρῶς συμμεμιγμέ-
νον, κάκιον γίνεται. δῆλος γάρ ἐστιν ὁ Ἱπποκράτης ἀντιτάττων ἐνταῦθα τὰ ἐκ τοῦ δευτέρου λόγου ξύμ-
παντα, τοῖς ἐκ τοῦ πρώτου. τῷ μὲν ταχέως, τὸ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀποπτύοιτο. τῷ
δ' εὐπετέως, τὸ πολλὴν βῆχα παρέχον. τῷ δὲ συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ,
τό τ' ἄμικτον ἁπλῶς καὶ μόνον ξανθὸν, τότε μεμιγμένον μὲν ἐξ ἀμφοῖν τοῦ τε κατὰ φύσιν πτυέλου, καὶ τοῦ ξαν-
θοῦ χρώματος, ἢ πυῤῥοῦ, μὴ μέντοι ἰσχυρῶς. ἀλλὰ καὶ μετὰ ταῦτα συνάπτων, ἔρει, σαφέστερον ἔτι τὴν αὐτὴν
γνώμην ἐξηγούμενος. τό τε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες. ἄκρητον δ' ἐστὶ δήπου τὸ μὴ μεμιγμένον τῷ πτυέ-
λῳ. τὸ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον, ἀλυσιτελές. εἶθ' ἑξῆς πάλιν ἐπὶ τὰ χαλεπώτερα κατὰ βραχὺ
παραγινόμενος τῷ λόγῳ. κακὸν δὲ καὶ χλωρόν τε ἐὸν κάρτα καὶ ἀφρῶδες φησίν. εἶθ' ἑξῆς εἰ δὲ εἴη οὕτως ἄκρητον
ὥς τε καὶ μέλαν φαίνεσθαι, δεινότερον ἐστὶ τούτων ἐκείνων. ἐκ μὲν δὴ τῶν ἰδίων τῆς πλευρίτιδος, οὕτω χρὴ διο-
ρίζεσθαι. προσεπιβλέπειν δὲ δεῖ καὶ τὰ κοινὰ τῶν ὀξέως νοσούντων ἁπάντων. ἐφεξῆς δ' αὐτὰ καταριθμεῖ-
ται γράφων ὧδε. ἔστι δὲ τὰ μὲν ἀγαθὰ ταῦτα, εὐπετέως φέρειν τὸ νόσημα, εὔπνουν εἶναι, τῆς ὀδύνης ἀπηλλά-
χθαι, τὸ πτύελον ῥηϊδίως ἀναβήσσειν, τὸ σῶμα πᾶν θερμόν τε ὁμαλῶς εἶναι καὶ μαλθακὸν, καὶ δίψαν μὴ ἔχειν.
οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα. ταυτὶ μὲν οὖν
ἀγαθὰ σημεῖα. τά τ' ἴδια τῶν ἀναπνευστικῶν ὀργάνων, καὶ προσέτι τὰ τῶν ἄλλων ἁπάντων ὀξέων νοσημάτων κοινὰ
κατὰ τὸ συνεχὲς ἐφεξῆς ἀλλήλων γεγραμμένα. συνάπτων δ' αὐτοῖς ἐπάγει. κακὰ δὲ τἀναντία τουτέων, δυσπε-
τέως φέρειν τὴν νοῦσον. πνεῦμα μέγα καὶ πυκνὸν εἶναι. τὴν ὀδύνην μὴ πεπαῦσθαι. τὸ πτύελον μόλις ἀναβήσσειν. διψῆν
κάρτα. τὸ σῶμα ὑπὸ τοῦ πυρὸς ἀνωμάλως ἔχεσθαι. καὶ τὴν μὲν κοιλίαν καὶ τὰς πλευρὰς, θερμὰς εἶναι ἰσχυρῶς. τὸ
δὲ μέτωπον καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας ψυχρούς. οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας ὡς δια-
γέγραπται, ἕκαστα εἰδέναι κακὰ ἐόντα. γέγραπται δὲ καὶ περὶ τούτων δηλονότι, κατὰ τὸ προγνωστικὸν, ὁμοί-
αν αὐτοῦ τὴν διδασκαλίαν ἐφ' ἑκάστου τούτων ποιουμένου, οἵαν περ καὶ νῦν ἐπὶ τῶν πτυσμάτων. ὡς γὰρ ἐν
τούτοις μέντοι πέψεως ἐστὶ σημεῖον. τὸ δ' ἀπεψίας. τὸ δ' ὀλέθρου. καὶ τὸ μὲν τῆς πέψεως εὐθὺς ἐν ἀρχῇ
φαινόμενον, ἐν τάχει σωθήσεσθαι τὸν ἄνθρωπον δηλοῖ. τὸ δὲ τῆς ἀπεψίας, ἐν χρόνῳ. τὸ δ' ὀλέθριον, ἀπολεῖσθαι.
καὶ τὸ μὲν μεγάλως ὀλέθριον ἐν τάχει. τὸ δ' ἧττον ἐκείνου, χρονίως. οὕτω κἀπὶ τῶν οὔρων αὐτῶν διώρισται καὶ
τῶν διαχωρημάτων καὶ τῶν ἄλλων ἁπάντων, ὑπὲρ ὧν ἐφεξῆς ἡμῖν ὁ λόγος ἔσται. καὶ γὰρ τούτων ἁπάντων,
τὰ μὲν, πέψεως. τὰ δ' ἀπεψίας. τὰ δ' ὀλέθρου σημεῖα. καὶ γὰρ τὸ μέλαν πτύσμα πρὸς τὸ μὴ πεπέφθαι, καὶ
ὀλέθριον ἐστίν. οὕτω δὲ καὶ οὖρον μέλαν οὐκ ἄπεπτον μόνον, ἀλλὰ καὶ ὀλέθριον. ἐστὶ δὲ ἁπλῶς, ἄπεπτον τὸ λεπτὸν
καὶ λευκὸν, ὅπερ ὑδατῶδες ὀνομάζομεν. ἐπὶ τὸν ἀφορισμὸν οὖν αὖθις ἐπανέλθωμεν τὸν λέγοντα. τοὺς δὲ
παροξυσμοὺς καὶ τὰς καταστάσιας, δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλ-
λήλας ἐπιδόσιες. ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην. ἤν τε καὶ διὰ πλείονος χρόνου γίνονται. ἀτὰρ καὶ
τοῖσιν ἐπιφαινομένοισιν οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται ἀρχομένου μὲν, βραχύνει. ἢν
δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα καὶ ὑποχωρήματα, καὶ ἱδρῶτες. καὶ δύσκριτα, καὶ εὔκριτα,
καὶ βραχέα, καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ. σαφῶς γὰρ ταῦτα τῶν ἐν τῷ προγνωστικῷ γεγραμ-
μένων ἁπάντων ἐστὶν ἐπιτομή, τὰ κεφάλαια μόνον αὐτὰ τῶν ἐν ἐκείνῳ κατὰ μέρος εἰρημένων εἰς τοὺς ἀφορισ-
μοὺς μεταθεῖναι πειραθέντος τοῦ παλαιοῦ. τίνα δ' ἦν τὰ κεφάλαια. πολλάκις γὰρ αὐτὰ ἀναλαμβάνειν κάλ-
λιον οἶμαι, ἵνα κἂν νῦν τις ἀκριβῶς μάθῃ, ἀρχῆς τε νοσήματος εἶναι διαγνωστικὸς καὶ τῆς μελλούσης ἀκμῆς προ-
γνωστικὸς, τουτέστιν ὡς αὐτός φησι. καὶ ἡ τοῦ νοσήματος ἰδέα. καὶ ἡ τῆς ὥρας φύσις. καὶ τῶν παροξυσμῶν αἱ
περίοδοι. καὶ τὰ τοῖς νοσήμασιν ἐπιφαινόμενα. καὶ δὴ πάλιν ἐπὶ τοῦ αὐτοῦ παραδείγματος ὁ λόγος μοι γινέσθω
διαστελλομένῳ βραχύ τι περὶ τῶν ὀνομάτων, οἷς οἱ παλαιοὶ μὲν ὥσπερ ἦν καὶ προσῆκον, ἐχρῶντο τοῦ δηλῶσαι
τὸ νοσούμενον ἕνεκα. τὸ σύμπαν δ' αὐτοῖς ἦν σπούδασμα, ἡ τῶν πραγμάτων αὐτῶν ἀκριβὴς γνῶσις. οἱ νεώτεροι
δὲ, ὀλίγου δεῖν ἅπαντες ἐν τοῖς ὀνόμασι κατατρίβουσι τὸν ἑαυτῶν βίον ἀμελήσαντες τῶν πραγμάτων. ἀρ-
χὴν οὖν τῆς νόσου. καὶ τὴν πρώτην μὲν εἰσβολὴν καὶ τὴν ἡμέραν τοῦ πρώτου παροξυσμοῦ καλοῦσι. καθάπερ
τὸ νῦν τὸ ἀπλατές. ἤδη δὲ καὶ χρόνον τινὰ πλατύτερον. ὥσπερ ἐπ' αὐτοῦ πάλιν τοῦ νῦν, ἐπειδὰν ἤτοι χειμῶ-
να νῦν εἶναι λέγωμεν, ἢ θέρος. ἤ τινα τῶν ἄλλων ὡρῶν, ὅτι μὲν οὖν ἐν οὐδενὶ τῶν τοιούτων λόγων ὁ Ἱπποκράτης, οἷος
ὅτε προγεγραμμένος ἀφορισμός ἐστιν, καὶ ἄλλοι πολλοὶ τῶν ἐφεξῆς εἰρησομένων, ἀρχὴν ὀνομάζει τὴν πρώτην

ἐκείνην

κάνω καὶ ἀμβρῶ τῶν νοσημάτων εἰσβολὴν, δύδηλον παντί. πῶς γὰρ ἤτοι τὸ περὶ τὰς ἀρχὰς τῶν νούσων σκε-
πτέον, εἰ αὐτίκα ἀνθεῖ δύναιτ᾽ ἄν τις οὕτως εἰρῆσθαι νομίζειν, ἢ τὸ, ἀρχομένων τῶν νούσων, ἢν τι δοκέει κινέειν,
κίνει. ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν, βέλτιόν ἐστι. καὶ τὸ. ἢν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον τοιόνδε ᾖ. τὸ
γὰρ νεκρῶδες ἐκεῖνο πρόσωπον, ἐφ᾽ οὗ ταῦτα λέγεται, περὶ τὴν ἀκριβῶς πρώτην εἰσβολὴν τῶν νοσημάτων, οὐκ ἂν
ποτε δύναιτο συστῆναι. περὶ ταῦτα δὲ καὶ τὸ λέγειν. ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρ-
μακίῃσι χρέεσθαι, τὴν εἰς πλάτος χρόνου προήκουσαν ἀρχὴν ἐνδείκνυται. καὶ πολὺ δὴ μᾶλλον, ἐν τῷ φάναι. περὶ
τὰς ἀρχὰς καὶ τὰ τέλη, πάντα ἀσθενέστερα. περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα. καὶ μὲν δὴ καὶ τῶν νοσημάτων ὁκό-
σων ἀρχομένων ἢν χολὴ μέλαινα ἢ ἄνω, ἢ κάτω ὑπέλθοι, θανάσιμον, ὡσαύτως εἴρηται. περὶ δὲ τὸν αὐτὸν
τρόπον ἐν τῷ περὶ διαίτης ὀξέων, ἐπὶ τοῦ καταλόγου τῶν σφοδρῶν ἐκείνων συμπτωμάτων ἐπήνεγκε. ταῦτα
δὲ ἐν ἀρχῇσιν ἐπιφαινόμενα παραφροσύνης ἐστὶ δηλωτικὰ σφοδροτάτης, καὶ ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν.
περὶ ταῦτα δὲ τούτοις δηλονότι, καὶ τὸ περὶ τὸν ἀφορισμὸν ἔχει τὸν νῦν ἡμῖν προκείμενον ἐν ᾧ φησίν. οἷον ἐν πλευ-
ριτικοῖσι πτύελον αὐτίκα, ἢν ἐπιφαίνηται, ἀρχομένης μὲν, βραχύνει. οὐ γὰρ δὴ τὴν γε πρώτην ἀκριβῶς εἰσβο-
λὴν σημαίνει νῦν, τὸ, ἀρχομένης διά τε τὴν φύσιν αὐτὴν τῶν πραγμάτων, καὶ διὰ τὸ μὴ δ᾽ ἂν ἐπιφαινόμενα
τὰ τοιαῦτα δύνασθαι λεχθῆναι. τίνι γὰρ ἔτι δέησει τῶν συνεισβαλόντων. ἐκεῖνα μὲν γὰρ, σαφῶς ἔχει τὴν αὐτὴν
ἀρχὴν ἀλλήλων τε καὶ τῇ συμπάσῃ νόσῳ. ἐπιφαίνεται δὲ τὰ μὲν εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν. τὰ δ᾽ ἐν τῇ
δευτέρᾳ, τὰ δ᾽ ἐν τῇ τρίτῃ τε καὶ τετάρτῃ. τὰ δὲ, καὶ προεληλυθότος ἤδη τοῦ νοσήματος. ἡ δὲ περὶ πλάτος
ἀρχὴ κοινῇ μὲν τινι ταύτῃ καὶ προχείρῳ φαντασίᾳ, καὶ μήπω μηδὲν ἐχούσῃ τεχνικὸν, ἐν τῷ πρὸ τοῦ προξυσμοῦ
περιέχεται. καὶ διὰ τοῦτο τὰ μὲν εὐθὺς ἀρχόμενα, τὴν ἀκμὴν ἀπειληφέναι λέγεται. καθάπερ ἐν τῷ πρώτῳ
τῶν ἐπιδημιῶν. ἐπειδὴ φησίν, αὐτίκα γὰρ συνεχὴς ἐστὶν οἷσιν ἀρχόμενος ἀνθεῖ, καὶ ἀκμάζει. τὸ γὰρ ἀρχόμενον, οὐκ
ἐπὶ τοῦ καιροῦ τοῦ νοσήματος εἴρηται, νῦν, ἢ μάχοιτ᾽ ἂν αὐτῷ, τὸ ἀνθεῖν τε καὶ ἀκμάζειν. ἀλλ᾽ ἐπὶ τοῦ χρόνου δηλο-
νότι, τοῦ μετὰ τὴν ἀκριβῶς ἀρχὴν, τὴν πρώτην ἄχρι τρίτης τῆς ἡμέρας τὸ πλεῖστον ἐκτεταμμένου. πάντως μὲν
γὰρ ὁ πυρετὸς οὗτος ἀρχὴν τινὰ τὴν πρώτην. ἐκείνην καὶ ἀπλατῆ ποιησάμενος, ἐπειθ᾽ οὕτως ἀναβάσει τινὶ χρησά-
μενος, ἀπολαμβάνει τὴν οἰκείαν ἀκμήν. ὁ μὲν, εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν. ὁ δὲ, ἐν τῇ δευτέρᾳ. οὐ μὴν ἀπό γε
τῆς εἰσβολῆς τοῦ πρώτου προξυσμοῦ δύναιτ᾽ ἄν τις γνῶναι πυρετὸν ἀκμάζοντα. ἀλλ᾽ ἄν τι περὶ τὴν πρώτην ἡμέραν
ἄντε περὶ τὴν δευτέραν ἀκμάσας ἐντεῦθεν ἄχρι τῆς παντελοῦς λύσεως ἐκταθῇ, μὴ δὲ μίαν αἴσθητὴν ἑτέραν προ-
ξυσμοῦ λαβὼν εἰσβολὴν, οὕτως ἂν ἀπ᾽ ἀρχῆς εὐθὺς λέγοιτο τὴν ἰδίαν ἀκμὴν ἐσχηκέναι. καὶ τοῦτ᾽ ἐστὶ τὸ πρὸς Ἱππο-
κράτους λεγόμενον. αὐτίκα γὰρ συνεχὴς ἐστὶν οἷσιν ἀρχόμενος ἀνθεῖ, ἀκμάζει. τοιοῦτον οὖν ἐστὶ καὶ τὸ ἐν πλευριτι-
κοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται ἀρχομένης ᾖ, βραχύνει, πρὶν τὸν δεύτερον εἰσβάλλειν δηλονότι προξυσμόν.
ἔτι γοῦν ἀρχὴ ὡς λέγοιτ᾽ ἂν ἡ πλευρῖτις. οὐ μόνον ἐπειδὰν ἀνάβασιν ὁ τοιοῦτος ἔχῃ προξυσμὸς, ἢ ἀκμὴν ἀλλὰ κἂν
τῇ παρακμῇ συμπάσῃ. καὶ ὅλως πρὶν εἰσβάλλειν τὸν δεύτερον προξυσμὸν διὰ τρίτης τοὐπίπαν ἐν πλευρίτισιν
ἀπαντῶντα. πᾶν οὖν ὅτι ἂν ἐπιφαίνηται πέψεως σημεῖον, ὀλιγοχρόνιόν τε ἅμα καὶ σωτήριον ἔσεσθαι δηλοῖ τὸ
νόσημα. τοιοῦτον δὴ καὶ τὸ πτύελον ἐστὶ τὸ ἐν τοῖς πλευριτικοῖς. ἕκαστον γὰρ τῶν μορίων τοῦ σώματος τὸ περίττω-
μα, τὴν ὑπάρχουσαν αὐτῷ διάθεσιν ἐνδείκνυται. πεπεμμένον μὲν, ὑγιεινήν. ἄπεπτον δὲ ὑπάρχον, νοσερὰν. οὕτω
γοῦν εἴρηται κἀκεῖνα, Διαχώρημα δὲ ἄριστον ἐστὶν, τὸ μαλθακόν τε καὶ συνεστηκός. καὶ τὴν ὥραν ἥνπερ καὶ
ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. τοιαύτης γὰρ οὔσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαί-
νοι ἄν. καὶ τοίνυν καὶ τὸ πτύελον. ἐπειδὴ μὲν ἀκριβῶς ὅμοιον ᾖ τοῖς τῶν ὑγιαινόντων, ἀκριβῶς ὑγιαίνειν ἐνδεί-
κνυται τὰ τῆς ἀναπνοῆς ὄργανα. ἀποχωροῦντος δὲ τι καὶ τοῦ κατὰ φύσιν ἐξισταμένου ἐς τοσοῦτον ἐκεῖνα βε-
βλάφθαι δηλοῖ, εἰς ὅσον ἂν καὶ αὐτὸ τῆς κατὰ φύσιν ἰδέας ἀπολείπηται. τὸ δ᾽ ἐναντιώτατον τοῦ κατὰ φύ-
σιν, ἄπεπτον ἐστὶν, καὶ μεγάλην ἐνδείκνυται τὴν τῶν πεπονθότων τόπων ἀσθένειαν. εἰ δὲ καὶ μοχθηρᾶς αἰτί-
ας ἔχει τι γνώρισμα, καθάπερ τὸ μέλαν, ὀλεθριώτατον ἤδη τὸ τοιοῦτον. οὕτω δὲ ἔχει, κἀπὶ τῶν οὔρων. καὶ
γὰρ καὶ τούτων ὅσα μὲν ὁμοιότατα τοῖς τῶν ὑγιαινόντων ἐστὶν, ταυτὶ μὲν ἱκανῶς εὐρωστεῖν ἐνδείκνυται τὸ
φλεβῶδες γένος τῶν ὀργάνων. ὅσα δὲ ἀπεπτότερα, τὴν ἀρρωστίαν αὐτῶν μηνύει. τὰ δὲ ἐναντιώτατα τοῖς τῶν
ὑγιαινόντων, αὐτὰ μὲν, τελέως ἐστὶν ἄπεπτα. μεγάλην δὲ ἀρρωστίαν ἐνδείκνυται, τοῦ φλεβώδους γένους παν-
τός. ὅσα δὲ καὶ τῆς κρατούσης αἰτίας ἐμφαίνει τὸ μοχθηρὸν, ὥσπερ καὶ τὰ μέλανα, ταυτὶ ἔσχατως ὀλέθρια.
ταυτὶ μὲν οὖν τὰ τρία γένη τῶν σημείων ἐνδείκνυται πέψιν ἰδίαν ἑκάστῳ. τῆς μὲν κάτω γαστρὸς, τὰ κατὰ φύ-
σιν διαχωρήματα. τοῦ φλεβώδους δ᾽ αὖ γένους, τὰ οὖρα. τῶν δ᾽ ἀναπνευστικῶν ὀργάνων μόνον, τὰ πτύ-
σματα. καθάπερ δὲ ταῦτα τῶν τόπων αὐτῶν, ὅθεν ἐκκρίνεται τὰ γνωρίσματα φέρει, περὶ τὸν αὐτὸν οἶμαι
τρόπον καὶ τὰ οὖρα, νεφρῶν καὶ οὐρητήρων, καὶ κύστεως, καὶ καυλοῦ. ἀλλὰ τὰ μὲν ἐπὶ τοῖς τούτων ἀρρω-
στήμασιν οὖρα, διὰ τῶν ἀφορισμῶν ἰδίᾳ κατέλεξεν ὁ Ἱπποκράτης. τὰ δὲ τοῖς ὀξέσι νοσήμασι συνεδρεύον-
τα, περὶ τὸ προγνωστικὸν ἔγραψεν. ὅτι δὲ τοῦτο τὸ βιβλίον σύμπαν ὡς ἤδη πολλάκις ἀποδέδεικται περὶ μόνων
ἐστὶ τῶν ὀξέων, ἀμέλει τελέως τὰς ἐν αὐτῷ σύμπαντα τὸν περὶ τῶν οὔρων λόγον, ἐπὶ τῷ τέλει προσέθηκε.
μὴ ἐξαπατάτω δέ σε ἤν τι αὐτὴ ἡ κύστις νόσημα ἔχουσα, τῶν οὔρων τι ἀποδιδοίη τουτέων, οὐ γὰρ τοῦ ὅλου ση-
μεῖον, ἀλλ᾽ αὐτῆς καθ᾽ ἑαυτήν. ὡς οὖν τῆς κύστεως ἐμνημόνευσε παράδειγμα τῷ λόγῳ ποιησάμενος αὐτήν,
οὕτω καὶ νεφρῶν, καὶ οὐρητήρων, καὶ καυλοῦ συνυπακούειν χρή. μεγίστη δ᾽ ἀπόδειξις αὐτὰ τὰ πρὸς αὐτοῦ
γραφέντα διὰ τῶν ἀφορισμῶν. ὥσπερ γὰρ κύστεως, οὕτω καὶ νεφρῶν νοσούντων, γράφει σημεῖον. ὁκόσοισιν ἐν
τῷ οὔρῳ φησὶν παχεῖ ἐόντι σαρκία μικρὰ, ἢ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκ-
κρίνεται. ταυτὶ μὲν οὖν ὡς ἔφην τὰ τρία γένη τῶν σημείων, ἕκαστον ἰδίας πέψεως ἐνδεικτικὸν ὑπάρχον. οὖ-
ρα μὲν, τῆς κατὰ τὰς φλέβας. διαχωρήματα δὲ, τῆς κατὰ γαστέρα. πτύσματα δὲ, τῆς τῶν ἀναπνευστικῶν ὀρ-
γάνων. καὶ οὐκ ἐνδέχεται δήποτε μὴ οὐκ ἀγαθόν τι μέγα δηλοῦν, τὸ τῆς πέψεως σημεῖον. αἱμορραγίαι δὲ, καὶ

ἱδρῶτες, καὶ παρωτίδες, καὶ τ' ἄλλα ἀποσκήμματα σὺν μὲν τῷ καιρῷ πέφυκεν ὠφελεῖν. ἀκαίρως δὲ οὐδὲν ὀνινῆσι. ὅθεν μοι δοκεῖ τὰ τοιαῦτα ἀνιστῆσθαι διὰ τὸ περὶ χυμῶν βιβλίου λέγων. τὰ κρίνοντα ἐπὶ τὸ βέλτιον, μὴ αὐτίκα ἐπιφαίνεσθαι. καὶ γὰρ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ δύσπνοιαι, καὶ παραφροσύναι, καὶ δάκρυα, καὶ ἀγρυπνίαι, καὶ κώματα, καὶ σκοτόδινοι, καὶ μαρμαρυγὲς, καὶ ἄσαι, καὶ καρδιαλγίαι, καὶ κεφαλαλγίαι, καὶ τ' ἄλλα σύμπαντα τὰ καθ' ἕκαστον μόριον ἀλγήματα, διορισμοῦ δεῖται ποτὲ μὲν ἐστὶν, ὠφέλιμα. ποτὲ δὲ, βλαβερὰ, ποτὲ δ' οὐ μόνον οὐδὲν ὀνίνησι, ἀλλὰ καὶ σημεῖα γίνεται μοχθηρότατα. καθάπερ οὖν ἐν τῷ ποσὸν ἀφωρισμένον οὐκ ἐδήλου τὸ τῆς ἀρχῆς ὄνομα, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, οὐδὲ τὸ αὐτίκα. πλάτος δὲ ἔχον χρόνου τοσοῦτον ὅσονπερ καὶ τὸ τῆς ἀρχῆς ἐστίν. δῆλον δὲ ὡς καὶ πολλάκις ἀντ' ἐπιρρήματος αὐτοῦ χρώμεθα τοῦ ἀμελλη, καθάπερ κἀν τῷ τοιῷδε λόγῳ φαίνεται κεχρημένος ὁ Ἱπποκράτης. εἰσὶ δὲ τρόποι καὶ καταστάσιες καὶ παροξυσμοὶ τουτέων ἑκάστου τῶν πυρετῶν, αὐτίκα γὰρ συνεχὴς ἐστὶν οἷσιν ἀρχόμενος ἀνθεῖ, καὶ ἀκμάζει. τουτέστι γοῦν τὸ αὐτίκα πλέον οὐδὲν δηλοῖ τοῦ ἀμελλη. καθάπερ οἶμαι κἀν τῷ περὶ διαίτης ὀξέων. ἐν οἷς οὕτω φησίν. ἢν οὖν ἡ περισιμοείσῃ τις οἷον δέεται αὐτάρκης ἐὼν ὁ τρόπος τῆς τοιαύτης πτισανοροφίης, πολλαχόθεν βεβλάψεται. οἷσι τε γὰρ σῖτος αὐτίκα ἐγκαταλελεῖφθαι, εἰ μή τις ὑποκενώσας τὸ ῥόφημα δοίη. τὸ μὲν οὖν αὐτίκα, τοιόνδε σημαίνει. ἔστι δὲ τοῦ αὐτίκα, πάμπολλα παραδείγματα παρά τε τῶν ἄλλων ἁπάντων ἑλλήνων εὑρεῖν, οὐχ ἥκιστα δὲ καὶ παρὰ Ἱπποκράτους. ἐπὶ δὲ θάτερον ἤδη μεταβῶμεν. ἐπειδὰν γάρ φησι τὰ κρίσιμα μὴ αὐτίκα ἐπιφαίνεσθαι, τὸ πρᾶγμα δηλοῖ. τουτέστι κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος. ἐστὶ δ' οὐ ταῦτα τά γε νῦν εἰρημένα κρίσιμα, καὶ τὰ τῆς πέψεως γνωρίσματα. τοῖς μὲν γὰρ οὐκ ἐγχωρεῖ. τὸ μὴ οὐ κρίσιν τινὰ πάντως ἢ ἀγαθὴν, ἢ κακὴν ποιήσασθαι. τὰ δὲ τῆς πέψεως σημεῖα, σωθήσεσθαι μὲν δηλοῖ τὸν ἄνθρωπον, οὐ μήν τοι γε κριθήσεσθαι πάντως. οὔτε γὰρ εἰ τὴν ἀθρόαν ἀκούοιμεν μὲν ἐν νόσῳ μεταβολὴν, οὔτ' εἰ τὴν προηγουμένην αὐτῆς ταραχὴν ἐξ ἀνάγκης τὰ τῆς πέψεως σημεῖα τῶν εἰρημένων ἔσται. δύναται γὰρ ἐν χρόνῳ πλείονι κατὰ βραχὺ τὸ νόσημα πεττόμενον, ἐπὶ τὴν παντελῆ λύσιν ἀφικέσθαι. δηλωθήσεται δὲ κἀν τοῖς ἐφεξῆς ἔτι σαφέστερον ὅπῃ διήνεγκε τὰ κρίσιμα συμπτώματα, τῶν τῆς πέψεως σημείων. νυνὶ δὲ ἀρκεῖ τό γε τοσοῦτον ὑποδεδεῖχθαι, ὡς τῆς μὲν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις πέψεως, τὰ πτύελα. τῆς δ' ἐν ταῖς φλεψὶ, τὰ οὖρα. τῆς δὲ κατὰ τὴν γαστέρα, τὰ διαχωρήματα, τίθεσθαι χρὴ σημεῖα. καὶ ὡς ἐπὶ μὲν τῶν πυρετῶν ἁπάντων, ἐπειδὴ τοῦ φλεβώδους γένους εἰσὶ παθήματα, καὶ γὰρ καὶ τὰς ἀρτηρίας ἐν τούτῳ νῦν τῷ γένει περιλαμβανέτω, τοῖς οὔροις μάλιστα προσεκτέον ἐστίν. ἐπὶ δὲ τῶν πλευριτικῶν, πρώτοις μὲν τοῖς πτύσμασιν, ἤδη δὲ καὶ τοῖς οὔροις, ὅτι καὶ μετὰ πυρετοῦ πάντως ἡ πλευρῖτις. ἐπὶ δὲ τῶν κατὰ τὴν γαστέρα, χωρὶς μὲν πυρετοῦ τοῖς διαχωρήμασι μόνοις, σὺν πυρετῷ δὲ, καὶ τοῖς οὔροις. ἡ τοίνυν ἑκάστου τῶν νοσημάτων ἴδιος ἀρχὴ τοῖς τῆς πέψεως σημείοις ὁρίζεται διαφέρουσα τῆς ἐν πλάτει λεγομένης ἀρχῆς τῆς ἀτέχνου πάμπολλα. μακροτέρα γὰρ ἐκείνου τῆς τρίτης ἡμέρας, οὐκ ἐπινοεῖται περαιτέρω. καθάπερ κἀν τῷ προγνωστικῷ δεδήλωται σαφέστατα περὶ εἰπὼν γάρ. ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον τοιοῦτον ᾖ. μετὰ ταῦτά φησι. ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου ἢ τεταρταίου, τὴν κατὰ πλάτος ἀρχὴν ἐνδεικνύμενος ἀκριβῶς ἡμῖν, ἄχρι τῆς τρίτης ἡμέρας ἐκτείνεσθαι. τὴν δ' ὄντως ἑκάστου νοσήματος ἰδίαν ἀρχὴν ἣν δὴ καὶ μέρος ὑπάρχειν ἔφαμεν αὐτοῦ, μέχρι παμπόλλων τεττάρων ἐνδέχεται προέρχεσθαι. παύεται γὰρ τότε πρῶτον, ἐπειδὰν τὰ τῆς πέψεως ἐπιφανῆ σημεῖα. τὸ δ' ἀπὸ τοῦδε σύμπαν ἕως τῆς ἀκμῆς, ἕτερον ἤδη μέρος ἐστὶν, αὔξησίς τε καὶ ἀνάβασις ὀνομαζόμενον. εἶτ' ἀκμὴ μετὰ ταῦτα, τὸ σφοδρότατον τῆς ὅλης νόσου μόριον. ὑστάτη δὲ πασῶν ἡ παρακμή. πέψεως μὲν οὖν δὴ σημεῖα, πολλάκις γὰρ δεῖ τὰ χρησιμώτατα λέγειν, οὐκ ἔστιν ὅτε καλῶς ἐπιφαίνεται. τὰ κρίσιμα δ' ἐστὶν ὅτε κακῶς. οὔτε γὰρ ἐν ταῖς ἀναβάσεσιν, οὔτ' ἐν ταῖς ἀρχαῖς, ἀλλ' ἐν ταῖς ἀκμαῖς αὐτὰ ἐπιφαίνεσθαι χρή. περὶ μὲν δὴ τῶν ἐν ταῖς ἀναβάσεσί τε καὶ ταῖς ἀκμαῖς ἐπιφαινομένων, ἐφ' ἑξῆς ἐροῦμεν. περὶ δὲ τῶν ἐν ταῖς ἀρχαῖς ἤδη λέγωμεν. ἀναμνήσαντες πάλιν ὡς ἐν ἅπαντι τῷ μετὰ ταῦτα λόγῳ παρέντες τὰ δύο σημαινόμενα τῆς ἀρχῆς τό τε τῆς πρώτης εἰσβολῆς τῆς ἀπλατοῦς τό τε τοῦ πρώτου παροξυσμοῦ, περὶ μόνου τοῦ τρίτου διαλεξόμεθα χρόνου τοῦ τῆς ἀπεψίας. καὶ γὰρ καὶ τεχνικὴ τῆς δὲ τῆς ἀρχῆς, ἡ διάγνωσις ἐστὶν, καὶ μεγάλα δηλοῦν πέφυκεν. οὔτ' οὖν ἱδρῶτες, οὔτ' ἔμετοι, καὶ διαχωρήματα γαστρὸς, οὔτε παρωτίδες, οὔτε αἱμορραγίαι κατὰ τοῦτον ἐπιφανεῖσαι τὸν χρόνον, ἔλυσαν ποτὲ νόσημα. ταυτὶ μὲν οὖν ἤδη καὶ ὡς αἴτια πεπίστευται τὰς νόσους ἀπαλλάττειν. τὰ δ' ὡς σημεῖα τούτων δηλωτικὰ, παραφροσύναι τ' εἰσὶ καὶ ἀγρυπνίαι. καὶ κώματα. καὶ ἀλγήματα. καὶ δάκρυα. καὶ δύσπνοια. καὶ σκοτόδινοι. καὶ πάνθ' ὅσα τοιαῦτα. καὶ γὰρ οὖν καὶ ταῦτα χωρὶς τῶν τῆς πέψεως σημείων ἐπιφανέντα, κακίστων διαθέσεων ἐστὶ γνωρίσματα. σύμπαντα μὲν οὖν δὴ ταῦτα τά τε ὡς αἴτια, τά τε ὡς σημεῖα κρίσιμα, μὴ αὐτίκα φαινέσθω. τουτέστι μὴ κατὰ τὸν πρῶτον καιρὸν τοῦ νοσήματος ἡνίκα τελέως ἄπεπτον ὑπάρχει. τὰ δ' ἄλλα πρίν γε ἢ τῶν τὴν πέψιν δηλούντων σημείων, εἰ καὶ κατὰ τὴν πρώτην εὐθὺς ὥραν φαίνοιτο τοῦ πρώτου παροξυσμοῦ, καλῶς ἐπιφαίνεται. πάλιν οὖν ἀναλαβόντες εἴπωμεν ταὐτό. τοὺς καθόλου καιροὺς τῶν νοσημάτων ἔκ τε τῶν νόσων αὐτῶν πρῶτον χρὴ στοχάζεσθαι πηλίκοι τινὲς ἔσονται τῷ χρόνῳ. κἀκ τῶν ὡρῶν τοῦ ἔτους, καὶ τῆς τῶν περιόδων ἀναλογίας, καὶ πρὸς τούτοις ἅπασιν ἐκ τῶν ἐπιφαινομένων, ἐν οἷς πρῶτα καὶ κυριώτατα, τὰ τῆς πέψεώς ἐστι σημεῖα. δι' ὧν τὴν μὲν ἤδη περιγεγραμμένην ἀρχὴν, ἀκριβῶς γνωρίσαις. ἐκ ταύτης δὲ τὴν μέλλουσαν ἀκμὴν στοχασμῷ τεχνικῷ προγνώσῃ τῷ μετ' ὀλίγον εἰρησομένῳ. καλῶ δὲ τεχνικὸν στοχασμὸν, ὃς ἂν ἐγγυτάτω τῆς ἀληθείας ἀφίκηται. ὥσπερ οὖν ἀρχῆς ἀκριβὴς διάγνωσις οὐκ ἔστι, πρὶν ἄρξασθαι τὴν ἀνάβασιν, οὕτως οὐδὲ τῆς ἀναβάσεως, πρὶν εἰσβαλεῖν τὴν ἀκμήν. ἀσκητέον δὲ κἀνταῦθα πρότερον εἰσβάλλουσαν ἀκμὴν γνωρίζειν, ἐπεὶ οὕτως προγινώσκειν. ἐπεὶ δὲ καὶ τούτων ἁπάντων ἡγεμὼν Ἱπποκράτης ἐστὶν, δίκαιον. ἂν εἴη κἀνταῦθα τὰς ἐκείνου ῥήσεις ἐξηγουμένους διαπεραίνεσθαι τὸν λόγον. ἄμεινον δ' ἴσως ἐστὶν πρὶν ὑπάρξασθαι τοῦτο ποιεῖν, ἔτι βραχὺ περὶ τῶν εἰρημένων προσθεῖναι. ἣν γὰρ ὡς μέρος τοῦ νοσήματος ἐζητοῦμεν εὑρεῖν ἀρχὴν εἴτε ἰσόχρονος ἐν ἁπάσαις ταῖς νόσοις ἐστὶν, εἴτε καθ' ἑκάστην αὐτῶν ἴδιος. ἐν ᾗ καὶ τὸν Θεσσαλὸν ἔφαμεν ἐξημαρτηκέναι τὸ ληρῶδες ἐκεῖνο ἐπάγγελμα τὸ, δεῖν

μα τὸ δεῖν ἐν ἀρχῇ στέλλειν τὰ νοσήματα, καὶ ἐκ τῆς στεγνῆς ἢ ἰσχνότητος. Ἱπποκράτης μὲν πάντων πρῶτος ἀκριβῶς ἐδήλωσε, οὐ μὴν μανθάνουσιν οὐδ᾽ αὐτὸ διὰ τὸ τάχος τῆς ἑρμηνείας. ἀρκέσει δὲ ἔν γε τῷ παρόντι διὰ μιᾶς ῥήσεως, ἐπιδεῖξαι τὴν γνώμην αὐτοῦ, καὶ γὰρ τὰς ἄλλας ῥήσεις ἄν τις εἰ μὴ παντάπασι ἀταλαίπωρος εἴη κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ἐξευρίσκειν δύναιτο, προχειρισάμενος δὴ τὸν ἑξῆς ἀφορισμόν. Πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμά, μηδὲ ἐν ἀρχῇσιν ἢν μὴ ὀργᾷ. τὸ μὲν δὴ ὀργᾶν, κυρίως μὲν ἐπὶ τῶν ζώων εἴθισται λέγεσθαι τῶν ἐπειγομένων χρῆσθαι συνουσίᾳ. μετενήνεκται δὲ νῦν, ἐπὶ τὰ κατεπείγοντα καὶ κινούμενα ταχέως νοσήματα. καὶ μάλιστα ἐπειδὰν ἐρεθίζηταί πως ἡ τοῦ κάμνοντος αἴσθησις ὑπὸ τῆς τῶν ὑγρῶν τε καὶ πνευμάτων ἀτάκτου κινήσεως. ἐπὶ γοῦν τούτων μόνων εὐλόγως ἄν τις χρήσαιτο κατ᾽ ἀρχὰς φαρμακείαις. σύμμαχον ἔχων εἰς τὸ τῆς ὁλκῆς εὐπετέστερον, τὴν τῶν πλεοναζόντων ὑγρῶν κίνησιν. ὡς τά γε πρὸς τῷ τελέως ὑπάρχειν ἄπεπτα τὸ μόνιμόν τε καὶ ἑδραῖον ἔχοντα, χαλεπῶς ὑπακούειν ταῖς ὁλκαῖς τῶν καθαιρόντων φαρμάκων. οὕτως οὖν εἴρηται κἀκεῖνα. ὁκόσοισι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων εὐθέως ἐπιχειροῦσι λύειν φαρμακείῃ, τοῦ μὲν συντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιροῦσιν. οὐ γὰρ ἐνδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος. τὰ δ᾽ ἀντέχοντα τῷ σώματι καὶ ὑγιεινά, συντήκουσιν. ἀλλὰ περὶ μὲν τούτου σκέψασθαι τῆς θεραπευτικῆς μεθόδου ἔργον ἐστίν. τὸν δ᾽ οὖν Ἱπποκράτην καλεῖν ἀρχὴν ἐκεῖνον ἅπαντα τὸν χρόνον τοῦ νοσήματος ἐν ᾧ παντελῶς ἐστὶν ἄπεπτον, ἤδη φαίνεται. προειπὼν γὰρ ὡς πέπονα χρὴ φαρμακεύειν, ἐπήνεγκεν μὴ ὠμά, μηδὲ ἐν ἀρχῇσιν. ὡς τότ᾽ ἀρχῆς οὔσης, ὅτ᾽ ἐστὶν ὠμὸν τὸ νόσημα καὶ ἄπεπτον ὑπάρχον. πῶς οὖν, ἀναληπτέον γὰρ αὖθις, ὅθεν παραλέγοντες ἀπελίπομεν, ὅρον ἐπιθήσει τις οὕτω σαφῆ, τῷ πέρατι τῆς ἀναβάσεως. ὥσπερ καὶ τὸ τῆς ἀρχῆς. πῶς δὲ ἄλλως, ἢ τὰ τῆς ἀκμῆς θεασάμενος γνωρίσματα. λέγει δὲ καὶ ταῦτα ὁ Ἱπποκράτης, ἑνὶ μὲν λόγῳ τῷδε. περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἤδη ἀσθενέστερα. περὶ δὲ τὰς ἀκμὰς ἰσχυρότερα. ἑτέρῳ δὲ τῷδε. ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει. πῶς οὖν ἐπιγνωσόμεθα αὐτό, διὰ τοῦ ὅτι νῦν ἰσχυρότατόν ἐστι νόσημα καὶ τοὺς μεγίστους ἔχει παροξυσμούς. εἰ μὲν γὰρ ἀθρόως μέλλοι μεταβάλλειν, ὅπερ δὴ κρίνεσθαι καλοῦμεν ἐν τῷ παρόντι, τὴν ἀρχὴν τῆς κρίσεως ἔσχατον ὅρον ἀναβάσεως θετέον. εἰ δὲ κατὰ βραχύ, τοῖς ἐν ταῖς περιόδοις παροξυσμοῖς δοκιμαστέος. εἰ μὲν γὰρ ἐπὶ τὸ πρωϊαίτερόν τε καὶ πλείονα χρόνον, καὶ μᾶλλον ὡς αὐτὸς ἔλεγεν εἴησαν γινόμενοι, δῆλον ὡς ἐπὶ τὴν ἀκμὴν ἀνέρχεται καὶ αὐξάνεται τὸ νόσημα. τῆς δὲ ἐπὶ τοὐναντίον μεταβολῆς αὐτοὺς ἐκδεξαμένης, παύεται καὶ παρακμάζει. συμβαίνει δέ ποτε δύο παροξυσμοὺς γινομένους μεγίστους μὲν τῶν ἄλλων, ἴσους δ᾽ ἀλλήλοις, τὸν τῆς ἀκμῆς περιγράψαι καιρόν. ἐνίοτε δ᾽ ἕνα καὶ τῶν ἔμπροσθεν ἁπάντων καὶ τῶν μετ᾽ αὐτὸν γενέσθαι μέγιστον. εἰς τρεῖς δὲ παροξυσμοὺς ἐν μὲν τοῖς ὀξέσι, οὐ πάνυ τι περιέρχεσθαι συμβαίνει τὸν τῆς ἀκμῆς καιρόν. ἐν δὲ τοῖς χρονίοις, οὐκ εἰς τοσούτους μόνον, ἀλλὰ καὶ πολὺ πλείονας. οὕτω μὲν διαγινώσκειν χρὴ τοὺς καθόλου καιροὺς ἢ γινομένους ἢ γεγονότας ἄρτι, μέλλοντας δ᾽ ἔσεσθαι καθ᾽ ἕτερον τρόπον, ὃς ἵνα σαφὴς ᾖ τοῖς ἀκούουσι, ἀνάγκη πρότερον εἰπεῖν τι περί τε διαχωρημάτων καὶ οὔρων, ὡς πρότερον εἴπομεν περὶ τῶν πτυσμάτων.

Διαχώρημα τοίνυν ἄριστόν ἐστιν, τὸ μαλθακόν τε καὶ συνεστηκός. καὶ τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. ἐνταῦθα μὲν ἀπό τε συστάσεως αὐτοῦ καὶ ποσότητος καὶ τοῦ καιροῦ τῆς ἐκκρίσεως ποιεῖται τὴν διάγνωσιν. ἐπεὶ δὴ τὴν κάτω κοιλίαν ὑγιαίνουσαν ἐνδείκνυται τὸ τοιοῦτον διαχώρημα. διὰ τοῦτο οὖν ὑπερφέρων ἐρεῖ. τοιαύτης γὰρ οὔσης τῆς διεξόδου, ἡ κάτω κοιλίη, ὑγιαίνοι ἄν. κάτω δὲ κοιλίαν εἴρηκε νῦν, ἀντιδιαιρούμενος τῷ θώρακι. διὰ τοῦτο τοίνυν οὐδὲ τῆς χροιᾶς ἐμνημόνευσε τοῦ διαχωρήματος. οὐδὲν γὰρ ὡς πρὸς τὴν τῆς κοιλίας αὐτῆς ἀκριβῆ διάγνωσιν ὅπως ἔχει διαθέσεως, ἡ χροιὰ τῶν διαχωρημάτων ἐνδείκνυται. τοῦ γὰρ πεπέφθαι καλῶς, ἱκανὰ τὰ προειρημένα γνωρίσματα τὸ μαλθακόν τε εἶναι καὶ συνεστηκὸς τὸ διαχώρημα, καὶ μήτε προλαμβάνειν τὸν κατὰ φύσιν καιρόν, μήθ᾽ ὑστερίζειν. καὶ τὸ πλῆθος ἀνάλογον τοῖς ἐδέσμασιν. ὥσπερ δ᾽ εἰ ταῦτα εἴη πάντως πέπτεται, οὕτως οὐκ ἔτι, δὲ μὴ τούτων τι παρείη πάντως οὐ πέπτεται. δύναται μὲν γὰρ αὐτὴ ἡ γαστὴρ ἐρρῶσθαι περὶ τὸ αὐτῆς ἔργον. ἤτοι εἰ διά τινα θερμασίαν ἰσχυρὰν παρακειμένων αὐτῇ μορίων, ἐξικμάζεσθαί τε καὶ ξηραίνεσθαι τὸ καλῶς πεφθέν, ἢ δι᾽ ἀρρωστίαν ἀναδόσεως ὑγρότερον τοῦ δέοντος ὑπιέναι. τὸ μέν τοι μαλθακόν τε καὶ συνεστηκὸς ἄντικρυς μὲν ἐνδείκνυται τὴν πεπτικὴν ἐνέργειαν ἐρρῶσθαι. συνενδείκνυται δὲ καὶ τὸ τὴν ἀνάδοσιν ἀμέμπτως ἀποτελεῖσθαι. καὶ πρὸς τούτοις ἔτι τό, μηδὲν φλεγμαίνειν τῶν κατὰ τὴν γαστέρα μορίων. εἰ δ᾽ οὕτω δοκεῖ παραλελεῖφθαι τὸ λεῖον, εἶναι γὰρ χρὴ τὸ καλῶς πεπεμμένον εὐθὺς καὶ λεῖον, οὐκ ὀρθῶς οὗτος διαγινώσκει. τὸ γὰρ συνεστηκός, οὐκ ἐνδέχεται μὴ οὐχὶ καὶ λεῖον ὑπάρχειν. ἡνῶσθαι γὰρ αὐτὸ δεῖ τοῖς μορίοις ἅπασι, καὶ οἷον ἓν ὑπάρχειν ἀκριβῶς. εἰ δὲ τὰ μέν, ὀλόλυγρά τε καὶ τραχέα καὶ σκληρὰ τῶν μορίων αὐτοῦ φαίνοιτο. τὰ δ᾽ ὑγρὰ καὶ ὑδατώδη, πῶς ἂν εἴη ταῦτα πρὸς ἄλληλα συνεστηκότα; διαλέλυται γὰρ οὕτω γε ἀπ᾽ ἀλλήλων καὶ τὰ μὲν τραχέα τε καὶ σκληρὰ κεχώρισται πάντῃ. τὸ δ᾽ ὑγρὸν ὡς ἂν ὑδατῶδές τε καὶ λεπτὸν ἔτι μένει οὐδ᾽ ἑαυτὸ συνδεῖν δύναται τοῖς στερεοῖς, οὔτε δι᾽ ἑαυτοῦ κἀκείνοις τινὰ κοινωνίαν ἐργάζεσθαι. περιρρέον τε αὐτοῖς ἐν κύκλῳ, καὶ ἀπορρέον, ἀνώμαλόν τε ἅμα καὶ οὐδαμῶς γε συνεστηκὸς ἐργάζεται τὸ διαχώρημα. τὸ μὲν δὴ τοιοῦτον, λέγω δὴ τὸ μαλθακόν τε καὶ συνεστηκός, ὑγιαίνειν μὲν ἐνδείκνυται πάντως τὴν γαστέρα. συνενδείκνυται δέ, ὡς ἔφην, καὶ τὸ μηδὲν τῶν πέριξ πεπονθέναι, καὶ τὸ τὴν ἀνάδοσιν ἀμέμπτως γίνεσθαι. πάντως γοῦν ἂν ὑγρὸν ἦν, ἐλλιπῶς αὐτῆς ἐπιτελουμένης. εἰ δὲ καὶ τὸν καιρὸν φυλάττει τῆς ἐκκρίσεως, καθ᾽ ὃν ὑγιαίνοντος ἐγένετο, δῆλον ὡς οὔτε βραδυπεψίαν, οὔτε τῆς καθεκτικῆς, ἢ ἀποκριτικῆς δυνάμεως ἐνδείκνυταί τι σφάλμα. τὸ μὲν δὲ ὀψιαίτερον, ἢ χρὴ διαχωρεῖν, ἢ τὴν πέψιν αὐτήν, ἢ τὴν διὰ τῶν ἐντέρων φορὰν ἐνδείκνυται βραδυτέραν. τὸ δὲ πρωϊαίτερον τὴν ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως, οὐ γὰρ δὴ ῥώμην γε τῆς ἀλλοιωτικῆς. οὐ γὰρ ἐνδέχεται τὸν νοσοῦντα καὶ μάλιστα ὀξέως, ῥωμαλεωτέραν ἔχειν τοῦ κατὰ φύσιν τὴν κοιλίαν. ἀλλ᾽ ἀγαπητὸν εἰ μὴ πολλῷ τινὶ τοῦ κατὰ φύσιν ἀπολείποιτο. τὸ μὲν γε σὺν δήξει τινὶ ταχέως διεξερχόμενον, ἐρεθισμῷ δηλονότι τὸ τοιοῦτον ἔπαθεν, οὔτε δ᾽ ἰσχύν, οὔτε ἀρρωστίαν ὅλως ἐνδείκνυται δυνάμεως. ἀλλὰ τό γε χωρὶς δήξεως, ἢ τινὸς ἄλλου συμπτώματος ἐν τῷ προσήκοντι καιρῷ κενούμενον, ἐρρῶσθαι τὰς τρεῖς τῆς κοιλίας ἐν

δείκνυται δυνάμεις, τὴν ἀλλοιωτικήν, τὴν καθεκτικήν, καὶ τὴν ἀποκριτικήν, ὅτι δὲ τέσσαρες αἱ πᾶσι φυσικαὶ δυνάμεις ἐν ἑκάστῳ τῶν τοῦ σώματος ἡμῶν μορίων εἰσίν, ἑτέρωθι δέδεικται. καὶ νῦν οὐ χρὴ τῶν οὕτω τι παρεμπιπτόντων, ἀπόδειξιν μαθεῖν. ἰδίᾳ γὰρ ὑπὲρ ἑκάστου γέγραπται. λοιπὸν οὖν ὑπὲρ τοῦ χρῆναι πρὸς λόγον τῶν εἰσιόντων εἶναι τὰ κενούμενα, διελθεῖν, ἀπολείπεται. τὸ τοίνυν μαλθακόν τε καὶ συνεστηκός, καὶ κατὰ τὴν τῶν ὑγιαινόντων ὥραν ἐκκρινόμενον, εἰ μὴ διασώζοι τὴν τῶν ἐδηδεσμένων ἀναλογίαν, ἴσχεταί που τι μέρος αὐτοῦ κατὰ τὸ τυφλὸν ἔντερον, ἢ τὸ κῶλον, ἢ κἂν ταῖς ἄλλαις ἕλιξι ταῖς λεπταῖς. οὐκ ἀγαθὸν δὲ τοῦτο καὶ ὡς σημεῖον, καὶ ὡς αἴτιον. ὡς σημεῖον μέν, ὅτι τὴν ἀποκριτικήν τε καὶ προωστικὴν ὀνομαζομένην δύναμιν ἄρρωστον εἶναι φησίν. ὡς αἴτιον δέ, ὅτι μένει τινὰ τῶν περιττωμάτων ἔνδον, ἃ ἐχρῆν ἐκκρίνεσθαι μᾶλλον. ὥστε τὸ μὲν ἅμα ταῦτ' ἔχον ἅπαντα τὰ προειρημένα γνωρίσματα διαχώρημα βεβαίως ἐνδείκνυται τὴν κάτω κοιλίαν ὑγιαίνειν. εἰ δέ πῃ τινὸς αὐτῶν ἀπολείποιτο, ποτὲ μὲν αὐτῆς τῆς γαστρὸς ἐνδείξεταί τινα διάθεσιν. ἐνίοτε δέ, βεβλάφθαι τὴν ἀνάδοσιν, ἢ καί τι τῶν περὶ ἧπαρ ὀργάνων, οὐχ ὑγιαίνειν, ἢ καί τι σύμπτωμα κρατεῖν, ὡς ἐπὶ τῆς διαίξεως ἐλέγετο. ποῖον οὖν τι τὸ κατὰ φύσιν ἔχον ἀκριβῶς ἐστὶ διαχώρημα, τὸ μηδὲν μήτ' ἐν τῇ γαστρί, μήτ' ἐν τοῖς περὶ ἧπαρ ὀργάνοις ἐνδεικνύμενον σφάλμα, τοιοῦτον δ' ἂν εἴη τό, πρὸς τῷ τὰ προειρημένα διαφυλάττειν ἅπαντα, δύο ταῦτ' ἔτι προσειληφός, ἅπερ αὐτὸς Ἱπποκράτης ἐφεξῆς ἐδίδαξε γράφων ὧδε. ὑπόπυρρον δ' ἔστω καὶ μὴ λίην δυσῶδες. εἰ γὰρ ἤτοι πυρρὸν ἀκράτως, ἢ μηδόλως ὑπόπυρρον, ἀλλὰ καὶ κατὰ τὴν τῶν ἐδηδεσμένων εἴη χροιάν, ἢ τὸ πλέον εἰς τὴν γαστέρα συρρεῖν ὠχρᾶς χολῆς, ἢ μηδόλως ὑπιέναι δηλώσει. τούτων δὲ τὸ μὲν πρότερον, εἰ μὲν κατ' ἀρχὰς γίγνοιτο, χολωδεστέραν ἐνδείκνυται τὴν νόσον. εἰ δ' ἐν τοῖς τῆς παρακμῆς χρόνοις, ἐκκαθαίρεσθαι χρηστῶς τὸ σῶμα. περὶ μὲν δὴ τούτων ἐν τοῖς ἐφεξῆς ἀκριβέστερον διορισθήσεται. τὸ δ' ἄπεπτον διαχώρημα τὸ λεπτόν, καὶ τραχύ, καὶ ἀχύμωτόν ἐστι, καὶ τὴν τῶν ἐδηδεσμένων διαφυλάττον ποιότητα. τρίτον δ' ἐπὶ τούτοις ἐστὶ γένος διαχωρημάτων, τὸ μηκέτι ἐκ τῆς τῶν σιτίων διαθέσεως, ἀλλ' ἐκ τῶν συρρεόντων εἰς τὴν γαστέρα περιττωμάτων ἐκ παντὸς τοῦ σώματος, ἐνδείκνυσθαι δυνάμενον, οἷόν πέρ ἐστι καὶ τὸ πυρρὸν ἀκράτως, ὡς ὀλίγον ἔμπροσθεν ἐλέγομεν. ἀλλὰ τοῦτο μὲν ὅταν ὁ τῆς πικρᾶς χολῆς χυμὸς ἄκρατός τε καὶ πολὺς εἰς τὴν γαστέρα συρρέῃ, γίγνεται. τὸ χλωρὸν δέ, τῆς ἰώδους χολῆς ἐστὶ γνώρισμα. καθάπερ γε τὸ μέλαν, ἤτοι τῆς μελαίνης, ἢ τινὸς αἵματος αὐτόθι κατοπτηθέντος. εἰ δ' οἷον πελιδνόν τε φαίνοιτο κατὰ τὴν διαχώρησιν, οὐδενὸς ἐδηδεσμένου τοιούτου, ψῦξίν τινα καὶ νέκρωσιν οὐκ ἀγεννῆ τῶν ἐντὸς ὑποδείκνυσιν. ὥσπερ εἰ καὶ λιπαρόν, οὐδενὸς ἐδηδεσμένου λιπαροῦ, συντήξεως ἐστὶ γνώρισμα. καὶ μὲν δὴ καὶ τὸ γλίσχρον, εἰ μὴ καὶ τοῦτο κατὰ τὴν τοῦ σιτίου φύσιν εἴη τοιοῦτον, συντήξεως ἐστὶ σημεῖον. ἀλλὰ τὸ μὲν λιπαρόν, πιμελῆς τηκομένης γίνεται. τὸ δ' αὖ γλίσχρον, αὐτῶν τῶν στερεῶν τοῦ ζώου μορίων, ὥστε χεῖρον μακρῷ. καὶ μὲν δὴ καὶ τὸ λίαν δυσῶδες εἰ μὴ καὶ τοῦτ' εἴη κατὰ τὸ σιτίον, οὐ μικρὰν ἐνδείκνυται σῆψιν. ἁπλῶς δ' εἰπεῖν ἐπὶ πάντων εἰ μὴ κατὰ τὸ σιτίον ἡ ποιότης εἴη τῶν διαχωρημάτων, οὕτως ἤδη σκοπεῖσθαι τὴν διάθεσιν, ὡς τε κἂν μὴ λέγηταί ποτε τοῦτο, προσυπακούειν αὐτὸ χρή. καὶ πάντα γε τὰ ὑφ' Ἱπποκράτους εἰρημένα διὰ τοῦ προγνωστικοῦ, ὡς εἴρηται, δῆλον, διοριζομένων ἡμῶν ἀεὶ τὸ δι' ἄλλο τι, καὶ οὐ διὰ τὸ νόσημα γεγονός. λοιπὸν δ' ἂν εἴη περί τε τοῦ τρύζοντος εἰπεῖν, καὶ ἀφρώδους, καὶ ποικίλου. τὸ μὲν δὴ τρύζον ὠνόμασται μέν, ἀπὸ τοῦ γιγνομένου ψόφου κατὰ τὴν διαχώρησιν, ἐνδείκνυται δὲ τὸ μέν, ἐκκρινόμενον αὐτὸ σὺν ὑγρότητι λεπτῇ φυσῶδες εἶναι. τὰ δ' ὄργανα, συνῆχθαί τε καὶ οἷον ἐστενοχωρεῖσθαι καὶ στενοχωρεῖσθαι. τὸ δ' ἀφρῶδες ὥσπερ οὖν κἀπὶ τῶν ἐκτός, ἤτοι ζέοντός τινος, ἢ φυσώδους πνεύματος ὑγρῷ μαχομένου γίγνεται. τὸ μὲν δὴ πρότερον, ἀμέτρου θερμασίας συντηκούσης τὸ σῶμα. τὸ δὲ δεύτερον, ἀνωμάλου τῆς ἀρχῆς ἐστὶν ἔκγονον. τὰ δὲ ποικίλα, ποικίλαις ἔχεσθαι τὸ σῶμα διαθέσεσιν ἐνδείκνυται, διὰ τοῦτο οὖν καὶ χρόνια καὶ κακοήθη. αἱ πολλαὶ γὰρ διαθέσεις, καὶ χρόνου πλείονος εἰς πέψιν δέονται, καὶ τὸν κίνδυνον ἐπιφέρουσιν ὁμότιμον τῷ πλήθει. καὶ γὰρ πέττεται ῥᾷον ἁπλῆ διάθεσις, καὶ ἧττον κινδυνώδης ἐστὶ τῆς πολυειδοῦς. οὕτω μὲν δὴ καὶ περὶ τῶν διαχωρημάτων δεῖ γινώσκειν.

Ἐφεξῆς δὲ περὶ τῶν οὔρων εἴπωμεν. ἄριστον μὲν οὖν κἀνταῦθα τὸ τοῖς τῶν ὑγιαινόντων ὁμοιότατον. ὅσον δὲ οὐ τοιοῦτον, ἢ ἁπλῶς ἄπεπτόν ἐστιν, ἢ πρὸς τούτῳ καὶ ὀλέθριον. ἄπεπτον δὲ καὶ πεπεμμένον, ὀνόματι μὲν ἕν, ὥσπερ οὖν καὶ τῷ γένει. πάμπολυ δὲ ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφέρουσιν. ὅρους οὖν κἀνταῦθα πειρασόμεθα ἐπιθεῖναι σαφεῖς, οἷς ἅπαν τὸ μέσον διακριθήσεται. τὸ μὲν δὴ κάλλιστα πεπεμμένον ἐν τοῖς ἀκριβῶς ὑγιαίνουσι σκοπεῖσθαι προσήκει. τοιοῦτον δ' ἐστίν, ὑπόπυρρόν τε ἅμα καὶ ὑπόξανθον, καὶ πλέον γε ὑπόπυρρον, ἢ ὑπόξανθον. εὐθὺς δὲ τοῦτο καὶ πάχος ἔχει συμμέτρως. τὸ δὴ τοῦ λεπτότερον, ἢ παχύτερον αὐτοῦ, πέψιν ἐνδεᾶ σημαίνει. τὸ μὲν γάρ, οὔπω κεχύμωται. τὸ δ', ἔτι, τετάρακται. μάθοις δ' ἂν ἐκ τῶν ἀποκρινομένων μὲν λεπτῶν τε καὶ καθαρῶν, μετὰ ταῦτα δ' ἤτοι μενόντων ἀεὶ λεπτῶν, ἢ μετ' ὀλίγον ἀναθολουμένων, ὡς ἀμφότερα μὲν εἶναι ἄπεπτα. διαφέρει δέ, τῷ τὸ μέν, οὐκ ἐγχειρεῖσθαί πω πέττεσθαι. τὸ δ' ὅτι φυσώδη αὐτῷ πνεύματα ἀναμέμικται ταραχή τις, οἷα καὶ τοῖς νέοις οἴνοις τοῖς ἔτι ζέουσι γίγνεται. οὔσης γὰρ τριττῆς διαφορᾶς τῶν οὔρων τῶν θολερῶν, ἢ γὰρ οὐρηθέντα τοιαῦτα καθίσταται μετ' ὀλίγον, ἢ μένει παραπλήσια μέχρι παντός, ἢ καθαρὰ μὲν ἐκκρίνεται, μετὰ ταῦτα δ' ἀναθολοῦται. μοχθηρὸν μέν, τὸ τρίτον μέρος τῶν εἰρημένων. ἐπιεικὲς δέ, τὸ πρῶτον. ἐν μέσῳ δ' ἀμφοῖν ἐστί, τὸ δεύτερον. τὸ μὲν γὰρ εὐθὺς καθιστάμενον. ὀλίγον ἔτι τῆς ἀνωμάλου ταραχῆς ἀπολείπεσθαι δηλοῖ. τὸ δ' ἀεὶ διαμένον ὅμοιον, ἀκμάζειν ἔτι, τὸν ἐν τοῖς αἵμασι, σάλον ἐνδείκνυται. τὸ δ' ἔξω ταραττόμενον, ἄρχεσθαι πέττεσθαι μέλλει, ὥστ' εὐλόγως κάκιστον τοῦτο. καὶ γὰρ καὶ χρόνου παμπόλλου δεῖται καὶ δυνάμεως ἰσχυρᾶς εἰς τὴν πέψιν. τὸ δ' οὐρούμενον μὲν θολερόν. εὐθὺς δ' ὑπόστασιν ἔχον χρηστήν, οὐκ εἰς μακρὰν πεφθήσεσθαι δηλοῖ τὸ νόσημα, καὶ διὰ τοῦτο ἐπιεικέστερον. ἐν τῷ μέσῳ δ' ἀμφοῖν ἐστί, τὸ λοιπὸν καὶ τρίτον. ἅτε γὰρ ἀκμαζούσης ταραχῆς ἔκγονον ὑπάρχον ὅσον ἀπολείπεται κακίᾳ τοῦ μελλούσαν ἔτι τὴν ταραχὴν ἐνδεικνυμένου, τοσοῦτον πλεονεκτεῖ τοῦ παυομένην ἤδη κεκτημένου. τὸ τοίνυν ἐσχάτως ἄπεπτον, ὑπὲρ ἅπαντα ταῦτ' ἐστίν. εἴη δ' ἂν ὑδατῶδες ἀκριβῶς τὸ τοιοῦτον, οὔτ' ἤδη πεττόμενον, ὡς τὸ θολερόν, οὔτε μέλλον, ὡς τὸ μετ' ὀλίγον ἀναθολούμενον. ἀλλ' οἷον ἀπεγνωσμένης τῆς πέψεως, σύμπτωμα. τὸ τοιοῦτον τοῦ φλεβώδους γένους ὑπάρχει πάθος, οἷον

θος, οἷον ἀκριβῶς ἀπεψία γαστρός. ὅταν δὲ καὶ ταχέως διεξέρχηται τοῦτο, καλεῖται μὲν ὑπό τινων ὕδερος εἰς ἀμίδα τὸ
πάθημα, διαβήτην δ' ἔνιοι προσαγορεύουσι. ἄλλος δέ τις παλαιὸς ἀνὴρ, εἰς οὖρα διάῤῥοιαν ὠνόμαζε. περὶ μὲν δὴ
τῶν ὀνομάτων, ἑτέρωθι σκοπείσθω. τὸ δ' οὖν πάθημα, τοιοῦτόν ἐστιν, οἷον ἐν τῇ περὶ γαστέρα λειεντερίᾳ νέκρωσις,
ὡς ἂν εἴποι τις ἀμφοτέρων τῶν δυνάμεων ἀλλοιωτικῆς τε καὶ καθεκτικῆς ὑπάρχον. ἀλλὰ τοῦτο μὲν, ἀπέπτων οὔρων τὸ
χείριστον. ἐφεξῆς δ' αὐτῷ, τὸ ὑδατῶδες, ὅσον μὲν ἐπὶ τῷ μὴ πεπέφθαι παραπλήσιον. τῷ δὲ μηδὲν ἄλλο συνεν-
δείκνυσθαι κακὸν, καὶ ὀλέθριον ἧττον. ἐκεῖνο μὲν γὰρ οὐ τῆς ἀλλοιωτικῆς μόνον δυνάμεως, ἀλλὰ καὶ τῆς καθεκτικῆς ἀῤῥω-
στίαν ἐσχάτην δηλοῖ. τοῦτο δὲ, τῆς ἑτέρας μόνης τῆς ἀλλοιωτικῆς. ὅσῳ δ' ἂν πλείους ὁντινωνοῦν γένους ὀργάνων ἐνέρ-
γειαί τε καὶ δυνάμεις ἐμποδίζωνται, ἢ καὶ παντάπασιν ἀπόλωνται, τοσούτῳ χεῖρόν ἐστι τὸ νόσημα. διὰ ταῦτ' ἄρα
χείριστον μὲν, ἡ εἰς οὖρα διάῤῥοια, διπλῆ γὰρ ἡ κακία. μοχθηρὸν δ' ἱκανῶς, καὶ τὸ λεπτὸν οὕτως καὶ λευκὸν, οἷόνπερ καὶ
τὸ ὕδωρ. ἁπλῆ μὲν ἡ διάθεσις, ἀλλ' ἐσχάτης ἀῤῥωστίας γνώρισμα. τούτῳ δ' ἐγγύς ἐστιν, ἕτερον οὖρον ἐν πολλαῖς τῶν
νόσων φαινόμενον, ὡς οἴνου δοκεῖν ἱκανῶς λευκοῦ καὶ λεπτοῦ μεμιγμένην ἔχειν ἰδέαν. ἡ γένεσις δ' αὐτοῦ, ἐκ τοῦ προ-
ειρημένου λεπτοῦ, καὶ ὑδατώδους οὔρου βραχὺν ἰχῶρα λεπτὸν ἐκ τῆς πυῤῥᾶς χολῆς ὑποδεξαμένου. καὶ γὰρ εἰ ἐκτὸς εἰς
ὕδωρ καθαρὸν ἐμβάλλοις ὠχρᾶς ὀλίγον ἢ αὐτῆς τῆς χολῆς, τοιοῦτόν σοι φανεῖται. τοῦτο μὲν οὖν ἐγγυτάτω τοῦ παντελοῦς ἀ-
πέπτου. τὸ δ' ὕπωχρον, ἐφεξῆς τούτῳ. τὸ δ' ὠχρὸν, εἴη μὲν ἂν ἤδη τοῦτο καὶ ὑπόπυῤῥον. εἰ γὰρ εἰς ὕδωρ ἐμβάλλεις ἢ
πυῤῥοῦ χρώματος ὀλίγον, ἢ ὠχροῦ πλέον, ὅμοιόν σοι φανεῖται. πέπτεται δ' ἤδη τοῦτο τῆς χρόας γε ἕνεκα. χρὴ δὲ αὐτὸ, καὶ
τῷ πάχει τοσοῦτον ἀποκεχωρηκέναι τοῦ ὑδατώδους εἰ μέλλοι πεπέφθαι καλῶς, ὅσον καὶ τῷ χρώματι. τὸ δ' ἄριστον
ἁπάντων τῶν οὔρων, ὑπόπυῤῥόν ἐστιν καὶ ὑπόξανθον, ὡς εἴρηται καὶ πρόσθεν. οἷον εἰ ἐκτὸς ἐργάσασθαι θελήσεις, αἵματος
ὀῤῥῷ καὶ χολῆς πυῤῥᾶς, ἐπιβαλὼν ὕδωρ. λόγῳ δ' εἰπεῖν, οὐκ ἐγχωρεῖ τὸ ποσὸν τῆς μίξεως, ἀλλ' ἢ παρ' ἄλλου χρὴ μα-
θεῖν, περὶ ἀρίστου οὔρου, ἢ αὐτὸν ἐκ τῆς πείρας διδαχθῆναι τοῦ κατὰ φύσιν οὔρου τὴν ἰδέαν, ἐπ' αὐτῶν τῶν ὑγιαι-
νόντων ἐξετάζοντα. πεττομένου γὰρ ἔτι τοῦ αἵματος ὅσον ἂν οὐρηθῇ, λείαν καὶ ὁμαλὴν καὶ λευκὴν ὑπόστασιν καὶ
πολλὴν ποιεῖται. τελειωθείσης δὲ τῆς πέψεως, ἐπιτείνεται μὲν αὐτῷ τὰ τοῦ χρώματος. ἔλαττον δ' ὑφίσταται.
κἂν εἰ πλείονα χρόνον ἐπὶ τούτοις ἄσιτον φυλάττοις τὸν ἄνθρωπον, ὄψει πυῤῥότερον ἀεὶ καὶ μᾶλλον αὐτὸ γινό-
μενον. ἐδείκνυτο γὰρ δὴ κἀν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ὅτι ἀμετρότερον ἐθερμάνθη τῆς τροφῆς, καὶ μά-
λιστα εἴπερ εἴη καὶ γλυκὺ, χολὴ πικρὰ γινόμενον. ἐπεὶ δὲ καὶ ξανθὴν ὀνομάζουσι καὶ πυῤῥὰν καὶ ὠχρὰν τὴν τοιαύ-
την χολὴν, καὶ μεστὰ πάντα ἐστὶ τὰ τῶν ἰατρῶν βιβλία. τῶν μὲν, οὕτως, τῶν δ' ἐκείνως καλούντων. κοινῶς τε καὶ ἀδιαφόρως.
ἄμεινον ἐν τῷ δὲ πάλιν ἐπιστῆσαι τὸν λόγον, ἵν' ἕπηται τις ἀκριβέστερον τοῖς λεγομένοις. ἐγγυτάτω τὴν φύσιν ἐστὶν
τὸ πυῤῥὸν χρῶμα τῷ ξανθῷ. διαφέρει δ' ἀλλήλων τῷ τὸ μὲν, λευκότερον εἶναι. τὸ δὲ, στιλπνότερον. καὶ γὰρ οὖν καὶ ἡ
πικρὰ χολὴ ποτὲ μὲν πυῤῥὰ φαίνεται μᾶλλον. ποτὲ δὲ ξανθή. πολλάκις, δ' ἂν σοι καὶ ὠχρὰ δόξειεν εἶναι. λευκοτέρα
μὲν καὶ θολωδεστέρα γινομένη πυῤῥά. στίλβουσα δὲ καὶ καθαρωτέρα, ξανθή. τὸ γὰρ οἷον πυρῶδες ἐλλάμπον
αὐτῇ, ξανθότερον ἀπεργάζεται. ὅσον δ' ἐστὶ τὸ πυῤῥὸν, τοῦ ξανθοῦ λευκότερον, τοσοῦτον ἐκείνου, τὸ ὠχρόν. ὅσον δ' αὖ
πάλιν ἧττον λευκόν ἐστιν τὸ ξανθὸν, τοῦ πυῤῥοῦ, τοσοῦτον τοῦ ξανθοῦ, τὸ ἐρυθρόν. ὅθεν καὶ ἡ τοῦ αἵματος χρόα ποτὲ
μὲν ξανθοτέρα. ποτὲ δ' ἐρυθροτέρα φαίνεται. διὸ καὶ τοῦτο ποτὲ μὲν ἐρυθρὸν ὀνομάζουσι. ποτὲ δὲ, ξανθόν. οὐ-
δέποτε μέντοι τὸ ξανθότατον αἷμα, τὴν αὐτὴν ἔχει χρόαν τῇ ξανθοτάτῃ χολῇ. ἀλλ' ἐστὶν ἐκείνη μὲν, ξανθοτέρα.
τὸ δὲ αἷμα πάντως ἐρυθρότερον. τὸ γὰρ ἀκριβῶς ξανθὸν αἷμα, μέσον ἀκριβοῦς αἵματος καὶ χολῆς ἐστὶν ἐπὶ τῶν
κατὰ φύσιν ἐχόντων. ὥστε ἑκάτερον αὐτοῦ τὸν χυμὸν προσιόντα, μὴ δέ ποτε μὲν ἀκριβῶς γίνεσθαι ξανθὸν, ἑ-
αυτοῦ μέντοι ξανθότερον. αὕτη μὲν οὖν ἡ αἰτία τοῦ συγκεχύσθαι τὰς προσηγορίας. ὅσον δ' εἰς τὴν χρείαν διαφέρει,
ῥᾷστον ἐξευρεῖν. ὅτι τῶν κατὰ φύσιν οὔρων ὅρος, ὁ τῆς ἀκριβοῦς τοῦ αἵματος πέψεως πρῶτος καιρός ἐστιν ἐν
τοῖς ὑγιαίνουσιν ἄριστα σώμασι. ὁ δὴ τοῦτο θεασάμενος, εἶθ' οἷον κανόνα τινὰ τῶν ἄλλων οὔρων ἑαυτῷ ποιησάμε-
νος, ἐξευρήσει ῥᾳδίως τὰς ἀλλοιούσας αὐτὸ διαθέσεις. εἰ μὲν γὰρ τὴν χρόαν ἀκριβῶς ἐπιφυλάττει, ὑπόστασίν τε
καὶ λευκὴν καὶ λείαν καὶ ὁμαλὴν καὶ πολλὴν ποιεῖται, πέψεως μὲν ἂν εἴη γε καὶ οὕτως ἀκριβοῦς γνώρισ-
μα. πλέονα δὲ τὸν ὠμὸν ὀνομαζόμενον χυμὸν, ἐκκαθαίρεσθαι δηλοῖ. διὰ τοῦτο καὶ τοῖς παιδίοις σχεδὸν ἅπα-
σι καὶ τῶν τελείων τοῖς ἀργῶς διαιτωμένοις, ἢ ἄλλως ἐμπιπλαμένοις, ἱκανὴν ὑπόστασιν ἴσχει τὰ οὖρα. πλεῖον
γὰρ ἐν τούτοις ἅπασι, τὸ ἀκατέργαστόν τε καὶ ὠμὸν, τοῖς μὲν, διὰ τὴν ἀργίαν. τοῖς δὲ, διὰ τὴν πλησμονήν. τοῖς
παιδίοις δὲ, καὶ διὰ τὴν πλησμονὴν, ἀδηφάγοι γὰρ μᾶλλον, ἀλλὰ καὶ διότι μία τῆς γαστρὸς ἐνέργεια δυοῖν ἑ-
τέραις ἐνεργείαις ἱκανῶς ἐξαρκεῖν ἀδύνατος αὐξήσει τε ἅμα καὶ θρέψει. πρὶν οὖν ἀκριβῶς ἐν αὐτῇ πεφθῆναι
τὴν τροφὴν, ἕλκει τὸ σῶμα. κἀντεῦθεν πλεῖστον τὸν ὠμὸν ἀθροίζει χυμόν. διὰ τοῦτο καὶ τῆς ἐξ ἀργίας τε καὶ πλησμονῆς
πυρέττουσιν, ἣν σώζεσθαι μέλλουσι, ἐξ ἀνάγκης ὑφίστασθαι πλεῖστον. ἔμπαλιν δὲ τοῖς ἐξ ἐνδείας καὶ πόνου πυῤῥὰ μὲν
καὶ χολώδη τὰ οὖρα, λύεται γὰρ ἡ νόσος, καὶ πρὶν ὑποστῆναι πολλάκις. ἀρκεῖ γὰρ ἐπὶ τούτων καὶ νεφέλη λευκὴ, καὶ ἐναι-
ώρημα χρηστόν. τοιοῦτον δ' ἐστὶ, τὸ λευκὸν καὶ λεῖον καὶ ὁμαλόν. καὶ γὰρ οὖν αὐτῶν τῶν ὑγιαινόντων τοῖς πονοῦσι πλέον
καὶ ἧττον προσφερομένοις σιτία, χολωδέστερα τὰ οὖρα. διόπερ οὐδὲ ἁπλῶς ὁ Ἱπποκράτης ἔψεξε τὸ πυῤῥὸν, ἀλλ' ὅ-
ταν ἅμα τῷ τοιοῦτον εἶναι, καὶ λεπτὸν ὑπάρχῃ. λέγει γοῦν ὧδε. ἐς ἂν δὲ πυῤῥὸν εἴη τὸ οὖρον καὶ λεπτὸν, ἄπεπτον ση-
μαίνει τὸ νόσημα εἶναι. δῆλον δὲ καὶ ὡς οὐδὲ ὑφίσταταί τι τοῖς τοιούτοις οὔροις. οὐ γὰρ ἐγχωρεῖ τὸ λεπτὸν ἱκανῶς, οὐδὲ εἰ
πάμπολυν χρόνον ἀτρεμοῦν ἀρκέσειε, λαβεῖν τινὰ διάκρισιν. ὥστε τὸ μὲν ἐμφερόμενον αὐτῷ παχύτερον ὑποστῆ-
ναι, τὸ λεπτότερον δὲ ἐπιπολάσαι. μόνου γὰρ τοῦ παχύτητά τινα κεκτημένου τὸ τοιοῦτον πάθημα. οὐ μὴν οὐδὲ εἰ
συμμέτρως εἴη παχὺ καὶ τινὰ βραχεῖαν ὑπόστασιν ἔχον, τοῦτο πέπεπται. εἰ γὰρ ἤτοι κριμνώδεις, ἢ πεταλώδεις, ἢ
πιτυρώδεις, ἢ μελαίνας, ἢ χλωρὰς, ἢ πελιδνὰς, ἢ δυσώδεις ὑποστάσεις ἔχοι πρὸς τῷ καὶ πᾶν τὸ τοιοῦτον ἄπε-
πτον εἶναι, καὶ ἄλλως ὀλέθριον ὑπάρχει. αἱ μὲν γὰρ κριμνώδεις δυοῖν εἰσὶ διαθέσεων γνωρίσματα, συντήξεως ἀ-
θρομένης, καὶ θερμασίας καυσώδους ἐκφρυγούσης τὸ αἷμα. αἱ δὲ πεταλώδεις, αὐτῶν τῶν ἀγγείων εἰσὶ τὰ ἐπιπο-
λῆς μόρια πάντῃ δήπου ἀναλυομένων τε καὶ συντηκομένων, ὡσαύτως δὲ, καὶ αἱ πιτυρώδεις, πλὴν ὅτι ἀδρότεραι

μὲν αὗται καὶ σμικρότεραι. πλατύτεραι δὲ καὶ λεπτότεραι τούτων, αἱ πεταλώδεις. μέλαιναι δ' ὑποστάσεις ἢ θερμασίαν ἄκρατον καὶ πυρώδη σημαίνουσιν, ἢ νέκρωσιν ἐκ καταψύξεως ἰσχυρᾶς. οὕτω γοῦν δὴ φαίνεται καὶ τὰ κατὰ τὸ σῶμα ἡμῶν μόρια μελαινόμενα, τὰ μὲν ὑπερθερμανθέντα καθάπερ τοῖς ἐρυθριῶσι. τὰ δ' ἐσχάτως ψυχθέντα καὶ οἷον νεκρωθέντα καθάπερ τοῖς τε πρεσβυτέροις καὶ τοῖς ἄλλοις ὁπωσοῦν ἰσχυρῶς ψυχθεῖσι. καὶ γὰρ οὖν καὶ αὐτῶν τῶν ὅλων τῶν οὔρων ἡ μέλαινα χρόα, καὶ προσέτι τῶν ἐναιωρουμένων αὐτοῖς, ἢ ἐποχουμένων νεφελῶν, εἰς τὰς αὐτὰς αἰτίας ἀνάγεται, θερμασίαν ἄμετρον, ἢ νέκρωσιν ἐκ καταψύξεως ἰσχυρᾶς. κάκιστον μὲν δὴ σύμπαν τὸ οὖρον μελανθέν, ὥστε οὐδένα οἶδα σωθέντα τῶν τοιούτων οὐρησάντων. ἧττον δ' ὀλέθριον ἡ ὑπόστασις αὐτοῦ μόνη μελανθεῖσα. ταύτης δ' ἐστὶν ἧττον, ἐναιώρημα μέλαν. ἔτι δ' ἧττον, ἡ νεφέλη. τὸ δ' αὖ χλωρὸν χρῶμα ἐπὶ τὴν ἐπὶ τὸ μέλαν ὁδὸν γίνεται, καὶ ἔστιν ὥσπερ οἷον προοίμιον τοῦ μέλανος. εἰ γὰρ κακόηθες εἴη τὸ νόσημα καὶ τοῖς ἐμέτοις καὶ τοῖς διαχωρήμασι, καὶ τοῖς οὔροις τοῖς χλωροῖς, ἐφεξῆς ἐπιφαίνεται τὰ μέλανα. πελιδνὸν δὲ χρῶμα, μόνης ψύξεως, ἔκγονον. ἡ δ' αὖ δυσώδης ὀσμὴ σήψεως ἴδιον. εἰ δ' οἷον ἔλαιον οὐρεῖτο, συντήξεως γνώρισμα. τὰ μὲν δὴ τοιαῦτα τῶν οὔρων μοχθηρά. τὰ δ' εὔχροά τε ἅμα καὶ ἤτοι τὰς ὑποστάσεις λευκὰς καὶ λείας καὶ ὁμαλὰς ἢ νεφέλας τινὰς ὁμοίως, ἢ ἐναιωρήματα ποιούμενα πάντων οὔρων ἐστὶ τὰ χρηστότατα. μάλιστα μέν, ὧν ἡ ὑπόστασις εἴη τοιαύτη. δεύτερα δὲ ὧν ἐναιωρήματα. τρίτα δ' ὧν αἱ νεφέλαι. ταῦτα μὲν οὖν τὰ περὶ πέψεως ἐστὶ γνωρίσματα. τὰ δ' ἄλλα σύμπαντα, τὰ μέν, ἀπεψίας, τὰ δ' ὀλέθρου. τὸ μὲν γὰρ λευκὸν καὶ τὸ λεπτὸν καὶ τὸ θολερόν, ἀπεψίας. τὸ δ' αὖ κριμνῶδες, καὶ τὸ πεταλῶδες. καὶ τὸ πιτυρῶδες. καὶ τὸ μέλαν. καὶ τὸ χλωρόν. καὶ τὸ πελιδνόν. καὶ τὸ ἐλαιῶδες. καὶ τὸ δυσῶδες, ὀλέθρου. τὸ δ' ὑπόπυρρον τε καὶ ὑπόξανθον ἔτι καὶ λεπτόν. ἢ μὲν λεπτόν, ἄπεπτον. ἢ δὲ τῇ χρόᾳ τοιοῦτον, ἤδη πέπεπται. μέσον δ' ἐστὶ τῶν ἀκριβῶς ἀπέπτων τε καὶ πεπεμμένων, ὥσπερ δὴ καὶ οἷς λευκὰ μὲν ἐναιωρήματα καὶ λεῖα. διεσπασμένα δὲ καὶ μὴ συνεχῆ, ὥσπερ μὲν δεῖ κἂν ταῖς ὑποστάσεσι θεωρεῖν, εἰ μὴ λευκαὶ καὶ λεῖαι μόνον, ἀλλὰ καὶ εἰ παντοίως ὁμαλαὶ τῷ τε μὴ διεσπάσθαι κατά τι, καὶ τῷ διὰ παντὸς γίνεσθαι τοῦ χρόνου τοιαῦται. εἰ γὰρ ἐναλλὰξ οὐρεῖτο καθαρὰ τοῖς ὑφισταμένοις, ἡμιπέπτου νοσήματος γνωρίσματα. περί τε οὖν τούτων ἁπάντων ὁ θαυμάσιος Ἱπποκράτης πρῶτος, ὧν ἴσμεν, ἀπεφήνατο κάλλιστα. καὶ ὡς τοῖς μὲν ἀνδράσι καὶ ταῖς γυναιξὶ τὰ μέλανα τῶν οὔρων, εἴη κάκιστα. τοῖς δ' αὖ παιδίοις, τὰ ὑδατώδεα. τοῖς μὲν γοῦν παιδίοις, συνηθέστερα τὰ παχύτερα. τοῖς δ' αὖ τελείοις, τὰ πυρρότερα. τὸ δ' ἐναντίον ἀεὶ τοῖς οἰκείοις ὀλέθριον. ἀλλὰ καὶ περὶ τῶν ὑπερύθρων οὔρων, εὐθὺς δὲ καὶ τὴν ὑπόστασιν ὑπέρυθρόν τε καὶ λείαν ἐχόντων, ὀρθῶς εἶπεν ὡς σωτηρία μὲν ἱκανῶς ἐστί. χρονιώτερα δέ, τῶν ἀρτίως ὀνομασθέντων ἡμιπέπτων. αἱματώδης γὰρ ὀρρὸς ἐπιχρώζει τὰ τοιαῦτα. χρὴ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τι πυρρᾶς τι μεμίχθαι χολῆς. εἰ δ' οὕτως ἔστι καὶ τὸ κατὰ φύσιν ἀσθενὲς θερμόν, ὡς μήτε τὴν ξανθὴν χολὴν γεννᾶν ἤδη, μήθ' αἷμα πεπεμμένον ἀκριβῶς, ἀλλ' ἔτι ὀρρῶδές τε καὶ ὑγρόν, ὅτι μὲν εἰς πέψιν αὐτοῦ χρόνου δεῖ, πρόδηλον. ὅτι δ' ἀκίνδυνος ἡ διάθεσις, ἡ τῆς ὕλης ἐνδείκνυται φύσις. οὔτε λεπτὴ καὶ ὑδατώδης, οὔτε μὴν παχεῖα τελέως, ἀλλ' οὔτε δριμεῖά τις, ἢ σεσηπυῖα. χρηστὴ δ' οὖσα καὶ τῆς τοῦ αἵματος ἰδέας ἐγγύς.

ἀλλ' ἐπεὶ καὶ περὶ τῶν οὔρων ὅσον εἰς τὰ παρόντα χρήσιμον εἴρηται πᾶν, ἐφεξῆς ἂν εἴη λέγειν ὅπερ ὑπεσχόμεθα πρόγνωσιν ἀκμῆς καὶ τῶν ἄλλων τῆς νόσου καιρῶν. εἰ μὲν δὴ τοιοῦτόν τι σημεῖον ἦν, ἢ καὶ πλειόνων σημείων ἄθροισμα εἴχομεν τῶν μελλόντων ἔσεσθαι βεβαίως δηλωτικόν, οὔτ' ἂν αὐτὸς ὁ Ἱπποκράτης εἴρηκε μακρὰν τὴν τέχνην, οὔτ' ἂν οἱ νῦν ἐθαύμαζον, εἰ δυνατὸν ἐστὶν εἰς πρόγνωσιν ἰατρικὴν τὰ τοιαῦτα πάνθ' ἥκειν. ἐπεὶ δ' οὔτε σημεῖον οὐδὲν οὕτως πιστὸν ὡς ἀκριβῶς ἐνδείξασθαι τὸν μέλλοντα χρόνον ἑκάστου τῶν καιρῶν, ἀλλ' οὐδὲ ἐπὶ συνδρομάς τινας ἀλλήλοις ἐπιπλεκόμενα τὰ σημεῖα τῇ πείρᾳ μόνῃ κριθῆναι δύνανται, παμπόλλαι γὰρ ἂν οὕτως αἱ συνδρομαὶ γενήσονται τὸ πλῆθος ὡς μήτε ἀριθμῆσαί τινα αὐτάς, μήτε τηρῆσαι, μήτε μνημονεῦσαι δύνασθαι, διὰ τοῦτο ἀναγκαῖον ἑκάστου σημείου τὴν φύσιν ἀκριβῶς ἐπεσκέφθαι; τὸν μέλλοντα προγνώσεσθαι ἀκριβῶς, ἵν' ἐκ τῶν δυνάμεως ἑκάστου, τὴν πρόγνωσιν ἡ ποιούμενος. οὐ γὰρ δὴ τά γε πλείω πάντως, ἰσχυρότερα τῶν ἐλαττόνων. ἓν γάρ ἐνίοτε σημεῖον ἰσχυρὸν πιστότερον γίνεται πολλῶν ἀσθενῶν. ταῦτ' ἄρα καὶ ὁ θαυμάσιος Ἱπποκράτης ἔλεγεν, ἐν τῷ προγνωστικῷ. » τὰ σημεῖα δεῖν ἐκμανθάνοντα πάντα, κρίνειν ἐκ » λογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλας, ὡς εὐλόγως καὶ τὴν διδασκαλίαν αὐτῶν ἐποίησε κατὰ τὰς δυνάμεις. οὐχ ἁπλῶς ἐφεξῆς ἀγαθὰ σημεῖα καταλέξας, εἶτ' αὖθις τὰ κακά. προσεπισημηνάμενος δ' ἐν τοῖς ὀνόμασιν, ἑκάστου τὴν φύσιν ὀλέθριόν τε καὶ δεινὸν ὀνομάζων, καὶ δεινότερον, καὶ δεινότατον, καὶ ἧττον δεινόν, ἢ μᾶλλον δεινόν. οὕτω δὲ καὶ πονηρὸν καὶ πονηρότερον καὶ πονηρότατον καὶ θανατῶδες γε νὴ Δία καὶ κακὸν ἁπλῶς. ἐνίοτε δὲ καὶ τὸ κάρτα προσγράφει καθ' ἑκάτερον τῶν σημείων τὰ γένη. τά τε νῦν εἰρημένα τὰ μοχθηρά, καὶ τὰ χρηστὸν δηλοῦντα. καὶ γὰρ οὖν καὶ κατ' ἐκεῖνα τὸ μέν, ἄριστον λέγει. τὸ δέ, ἀγαθὸν ἁπλῶς. τὸ δέ, μᾶλλόν τε καὶ ἧττον. τοιοῦτον δέ τι καὶ τὸ κάρτα μεγάλην ἔχει δύναμιν εἰς σωτηρίαν φησίν. ἐνίοτε δ' οὐδὲν τούτων προσθείς, ὅτι χρόνου σημεῖον ἔσται καὶ μακρᾶς λύσεως ἐμνημόνευσε, ἡμῖν ὡς οἶμαι καταλιπὼν λογίζεσθαι περὶ τῶν τοιούτων ἁπάντων. ὡς οὔτε πονηρὰ τὸ σύμπαν, οὔτ' ἀκίνδυνα τελέως ἐστίν. ἀλλὰ σὺν μὲν ἰσχυρᾷ τῇ δυνάμει σωτηρία, σὺν ἀσθενεῖ δέ, κινδυνώδη. ταῦτα οὐκ ἀναγνῶναι χρὴ μόνον ἐκ τῶν Ἱπποκράτους συγγραμμάτων, ἀλλὰ καὶ μνημονεῦσαι, καὶ παραφυλάξαι πολλάκις ἐπὶ τῶν ἀσθενούντων ἵν' ἐκ τοῦ συνεχῶς ἑωρακέναι τὴν ἀκριβῆ τῆς δυνάμεως αὐτῶν ἔχωμεν διάγνωσιν. ἀναπεμπάζεσθαι δὲ πρὸς ἑαυτοὺς ἀεὶ καὶ σκοπεῖν τινὰ μέν, ἄριστα σημεῖα. τινὰ δέ, χείριστα. τινὰ δ' ἐν τῷ μεταξὺ τούτων ἐστίν. οἷον βαθμούς τινας ἔχοντα. τὰ μὲν ἐγγὺς τοῖς ἀρίστοις. τὰ δ' ἐγγὺς τοῖς χειρίστοις. καὶ τινὰ μέν, ἧττον. τινὰ δέ, μᾶλλον. ἐπὶ τοῦ ἐναλλὰξ εὑρῆσθαι ἐγγὺς καὶ πόρρω τούτων ἐστί. τίνα δ' ἀκριβῶς μέσα θετέον ἐστίν, ἀγαθῶν τε καὶ κακῶν σημείων. ἐπὶ τοῦ ἐφεξῆς σκοπεῖσθαι. τίνα μέν, ἀεὶ κακά. τίνα δέ, διὰ παντὸς ἀγαθά. τίνα δὲ τοῖς καιροῖς ὑπαλλάττεται ὅλης τῆς νόσου. ποτὲ μέν, ἀγαθά. ποτὲ δέ, κακὰ ταῦτα γινόμενα. καὶ ποτὲ μὲν ἄπιστα. ποτὲ δὲ πιστά. καὶ γοῦν οὖν καὶ τοῦτο πρὸς Ἱπποκράτους εἴρηται θαυμαστῶς, ὅτι τοῖς μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖ-

σθαι λίαν

σθαι λίαν τὰ μοχθηρὰ γινόμενα παραλόγως. ὅπερ εἰ μὴ γινώσκει τις, οὐδ' οἷός τ' ἔσται προγνῶναι σαφῶς. ἀλλ' ἐνίοτε μὲν ἐνεστηκυίας ἤδη τῆς κρίσεως, οὐδ' ἐν ἂν ἰδιώτου φαίνοιτο διαφέρων, ἀλλὰ ταράττοιτό τε ἅμα καὶ φοβοῖτο περὶ τοῦ μέλλοντος. ἐνίοτε δ' αὖ οἰηθεὶς ἀπηλλάχθαι τῆς νόσου τὸν κάμνοντα, κἄπειτα συγχωρήσας ἀδεῶς διαιτᾶσθαι, μέγα τι κακὸν ἐξειργάσατο. διαπαντὸς δ' αὖ κακῶς διαιτῶν, μὴ προγινώσκων τὴν ἐσομένην ἀκμήν. εἰ μὴ γὰρ πρὸς ταύτην ἀποβλέπων τις εὐθὺς ἐξ ἀρχῆς καταστήσει τὸν τῆς διαίτης τρόπον, οὐκ ἔστιν ὅπως οὐ μέγα τι κακὸν ἐξεργάσεται τὸν κάμνοντα. ταῦτ' οὖν ἤδη λέγωμεν ἡμεῖς ὡς προὐθέμεθα διαλεγόμενοι περὶ γένος ἕκαστον. καὶ πρῶτόν γε τῶν σημείων ἁπάντων ὡς ἔστι τριττή τις διαφορὰ, δηλώσωμεν, ἔπειτα δ' ἑκάστου τὰς δυνάμεις. εἶθ' ὡς ἄν τις μάλιστα προγινώσκοι τοὺς καιροὺς τῶν νοσημάτων. ἡ μὲν δὴ τριττὴ φύσις ἁπάντων τῶν σημείων ὁποία τίς ἐστιν, εἴρηται μὲν καὶ πρόσθεν, ἀλλ' οὐδὲν χεῖρον ἀναμνῆσαι καὶ νῦν. ὡς τὰ μὲν, πέψεώς τε καὶ ἀπεψίας ἐστί. τὰ δ' ὀλέθρου καὶ σωτηρίας ἐνδεικτικά. ταυτὶ μὲν οὖν τὰ δύο γένη. τρίτον δ' ἐπὶ τούτοις ἄλλο γένος ἀνακειμένων ταῖς κρίσεσι τῶν σημείων. ἀπεψίας μὲν οὖν καὶ πέψεως γνωρίσματα διαχωρήματά γε καὶ πτύσματα, καὶ οὖρα τίθεσθαι χρή. τὰ δ' ὀλέθρου καὶ σωτηρίας ἐνδεικτικὰ σημεῖα, τά τε σὺν αὐτοῖς ἐστιν ἐκκρινόμενα, καὶ τὰ καθ' ὅλον τὸ σῶμα φαινόμενα. περὶ ὧν ἐπὶ πλεῖστον ἐν τῷ προγνωστικῷ διῆλθεν ὁ Ἱπποκράτης. εἰς γε μὴν τὰς κρίσεις, συνεισφέρει μέν τινα καὶ τούτων. οὐ μὴν ἀλλ' ἴδιόν τι γένος αὐτῶν ἐστιν ἐξαίρετον, ὃ μικρὸν ὕστερον ἅπαν εἰρήσεται. τὰ μὲν δὴ τῆς ἀπεψίας τε καὶ πέψεως σημεῖα, βεβαίαν ἀεὶ τὴν οἰκείαν ἔχει δύναμιν, ἄν τ' εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἄν τε καὶ κατὰ τὰς μετ' αὐτὴν ἐπιφαίνηται. τὰ μέν τοι τοῦ τρόπου τῶν νοσημάτων, τριχῶς διῄρηται. τὰ μὲν, ὡς καὶ πρόσθεν ἐλέγετο τοῖς οὔροις τε καὶ διαχωρήμασι καὶ πτυέλοις ἐμφαινόμενα. τὰ δὲ ἐν ταῖς διαθέσεσιν ὅλου τοῦ σώματος εὑρισκόμενα. τὰ δ' ἐν ταῖς φυσικαῖς τε καὶ ψυχικαῖς ἐνεργείαις, ἐμφαινόμενα. ταῦτα δ' οὐκ ἔτι σύμπαντα πιστὰ κατὰ πάντας τῶν νοσημάτων τοὺς καιρούς. ἀλλ' ἐφεξῆς αὐτὰ διαιρήσομεν. τὰ δὲ δὴ κρίσιμα συμπτώματα, διττὴ μὲν καὶ ἡ τούτων φύσις ἢ ὡς αἰτίων τε ἅμα καὶ ὡς σημείων, ἢ ὡς σημείων μόνον, ἄπιστός τε πᾶσα καὶ τἀναντία σημαίνουσί τε καὶ δρῶσι, κατὰ τοὺς διαφέροντας καιροὺς τῶν νοσημάτων. ἐν τούτοις γὰρ δὴ καὶ τὸ σύμπαν ἐστὶν ἀγώνισμα τῆς προγνώσεως. ἐν ἄλλῳ μὲν γὰρ καιρῷ, καὶ κατ' ἄλλην διάθεσιν, ἐστὶ κρίσιμα. κατ' ἄλλην δέ τινα διάθεσιν ἢ καιρὸν τῆς νόσου, συμπτώματα μὲν ἢ σημεῖα γίνεται μοχθηρὰ, κρίσιμα δὲ, οὐδ' ὅλως ἐστίν. εἴρηται δὲ περὶ τούτων καὶ πρὸς Ἱπποκράτους πολλάκις. ἀλλ' ἀρκεῖ κατά γε τὸ παρὸν ὑπομνῆσαι διὰ μιᾶς ῥήσεως, ἐκ τοῦ δευτέρου τῶν ἐπιδημιῶν τὰ κρίσιμα μὴ κρίνοντα. τὰ μὲν, θανατώδεα. τὰ δὲ, δύσκριτα. τουτὶ δ' οὐκ ἔτι τοῖς τῆς πέψεως τέ χη καὶ λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ὑπόστασιν ἔχον οὖρον, πέψεως σημεῖον. τὸ δὲ λεπτόν τε ἅμα καὶ μηδὲ μίαν ὑπόστασιν ἔχον, ἀεὶ σημεῖον ἀπεψίας. καὶ τὸ μὲν τῆς πέψεως, ἀγαθὸν ἀεί. τὸ δὲ τῆς ἀπεψίας, οὐκ ἀγαθόν ἐστιν. ἔτι μεμνήμεθα τῶν ἔμπροσθεν εἰρημένων. εἰ μέν τοι κεφαλαλγίαν ἢ παραφροσύνην, ἢ σκοτοδινίαν, ἢ δύσπνοιαν, ἢ ἄλλην, ἢ κῶμα θεάσῃ, βέβαιον οὐδὲν ἐπὶ τούτοις, οὔτ' ἀγαθὸν, οὔτε κακὸν ἔχεις προγνῶναι· περὶ δὲ τῶν αὐτῶν λόγος, οὐδ' ἱδρῶτας. ἢ ἐμέτους. ἢ κοιλίας. ἢ οὔρων ἔκκρισιν πολλήν. ἢ αἱμορραγίαν ἐκ ῥινῶν ἢ ὑστερῶν ἢ αἱμορροΐδων. ἢ παρωτίδας. ἢ τ' ἄλλα ἀποστήματα. σύμπαντα γὰρ ταῦτα καὶ κρίσιμα, καὶ οὐ κρίσιμα γίνεται, κατὰ διττὸν τρόπον, ἢ τὸ μὴ δ' ὅλως ποιῆσαι κρίσιν, ἢ τὸ κακῶς ἐργάσασθαι. τραχήλου μὲν γὰρ πόνος καὶ κροτάφων βάρος καὶ μαρμαρυγές. καὶ σκοτόδινοι. καὶ κεφαλαλγίαι. καὶ δάκρυον παράρρεον ἀκούσιον. ἐξέρυθρόν τε τὸ πρόσωπον ἅμα τοῖς ὀφθαλμοῖς. ἢ τὸ κάτω χεῖλος σειόμενον. ἢ ἀγρυπνία τις. ἢ κῶμα, σημεῖα μόνον ἐστὶν ἐνίοτε κρίσιμα. καθάπερ καὶ ἆσθμα. καὶ ἄλυς τις. ἢ δύσπνοια. καὶ ὑποχόνδριον ἀνασπώμενον. ἄση τέ τις ἢ ναυτία ἱκανὴ καὶ καῦμα καὶ δίψος σφοδρόν. καὶ καρδιαλγία. καὶ τὸ φέρειν μὴ δύνασθαι τὴν κατάκλισιν. καὶ τὸ παραπαίειν. καὶ βοᾶν. γίνεται οὖν ἤδη καὶ ταῦτα πολλάκις ὑπογύου κρίσεως σημεῖα. τὸ δ' ἕτερον γένος οὐχ ὡς σημείων ἐστὶ μόνον κρισίμων, ἀλλὰ καὶ ὡς αἰτίων. ἔστι δ' ἔμετοί τε καὶ διαχωρήσεις γαστρὸς, καὶ οὔρων πλῆθος, καὶ ἱδρῶτες, αἱμορραγίαι τε καὶ παρωτίδες, καὶ ἀποστήματα. συμβαίνει δὲ μήτ' ἐπὶ τοῖς πρώτοις συμπτώμασι, ἃ δὴ καὶ σημεῖα μόνον ἐστὶ κρίσεως, μήτ' ἐπὶ τοῖς δευτέροις, ἃ δὴ καὶ τὴν τῶν σημείων ἔχει δύναμιν, καὶ τὴν τῶν αἰτίων γε ἐξ ἀνάγκης γίνεσθαι κρίσιν. ἕτερον δὲ γένος ἐστὶ σημείων τε ἅμα καὶ συμπτωμάτων, ὅτε κρίσιμον ὀνομαζόμενον ὃ μήτε τοῦτο δηλοῖ, μήτε ποιεῖ κρίσιν, οὐθ' ὁμοίως πιστὸν ὅλον ὡς τὸ περὶ τὰς πέψεις, οὔτ' ἄπιστον τελέως ἅπαν, ἀλλ' ἔστιν εὑρεῖν ἐν αὐτοῖς ἔνια μὲν, ἀγαθὰ διὰ παντός. ἔνια δὲ, φαῦλα. τὸ δ' οὖν ὡς τὸ πολὺ τοιοῦτ' εἶναι, πάντ' ἔχει. τὸ μὲν οὖν ἐρρῶσθαί τε τὴν διάνοιαν καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν. ἀγαθὸν δὲ, καὶ ἡ εὔπνοια, καὶ ἡ εὐσφυξία, καὶ ἡ εὐφορία, καὶ τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον πρόσωπον, εὐσχήμων τε κατάκλισις, ὁμαλότης τε τοῦ σώματος σύμπαντος, ὅσα τε ἄλλα κατὰ τὸ προγνωστικὸν ὑφ' Ἱπποκράτους εἴρηται. κακὰ δὲ τἀναντία τούτων, τουτέστι δυσφορία, κακοσφυξία, δύσπνοια, καὶ μάλιστα ἡ ψυχροῦ τοῦ πνεύματος ἐκπνεομένου γινομένη. καὶ τὰ ἄλλα ὅσα κατὰ τὸ προγνωστικὸν ὑφ' Ἱπποκράτους εἴρηται, διορίζοντος σαφῶς ἑκάστου σημείου τὴν δύναμιν. ὅσα μὲν γὰρ ἁπλῶς ἀγαθὰ καὶ δεινὰ καλεῖ, πλειστάκις ἐστὶ τοιαῦτα. τὰ δ' ἄριστά τε καὶ χείριστα πρὸς αὐτοῦ λεγόμενα, καὶ μάλιστα ἐφ' ὧν προστίθησι τὸ κάρτα, τοιαύτην ἔχει δύναμιν ὡς ἤτοι διαπαντὸς ἕν τι δηλοῦν, ἢ σπάνιον εἶναι τὸ μὴ δηλῶσαι, τοιαύτης δή τινος οὔσης διαφορᾶς ἐν τοῖς σημείοις, εἰ μὲν ἀδύνατόν ἐστι διακρῖναι πότε τὰ κρίσιμα σημεῖα σημαίνει κρίσιν, ἢ πότε τὰ κρίνοντα συμπτώματα κρίσιν ἀγαθὴν, ἢ κακὴν ἐπιφέρει, μάτην μὲν ἂν Ἱπποκράτης ἔλεγε. τοῖσι μὴ κατὰ λόγον κουφίζουσι, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως, ἡμεῖς μάτην ἐνεστηκόμεθα πραγματεύεσθαί τι περὶ κρίσεων. εἰ δ' ὅτ' ἄλλο τι τῶν πάντων, οὐδὲ ταῦτ' εἴρηται πρὸς Ἱπποκράτους μάτην, εἴη ἄν τι πάντως γνώρισμα πιστὸν, ᾧ τὸ κατὰ λόγον τε καὶ παρὰ λόγον, διορίζεται. τί δὲ τοῦτ' ἐστὶν, ἡδέως ἂν ἤκουσα παρὰ τῶν ὑπερφρονούντων τῆς παλαιᾶς ἰατρικῆς. ἡμεῖς μὲν γὰρ πεπείσμεθα τὸ πρὸς Ἱπποκράτους λεγόμενον, ἀληθὲς εἶναι πάντως, ὡς πεπασμοὶ ταχυτῆτα κρίσεως ἀσφαλείην ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ, καὶ ἄπεπτα, καὶ εἰς κακὰς ἀποστάσιας τρεπόμενα, ἀκρισίας, ἢ πόνους ἰσχυροὺς, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς. ὥστε καὶ τὸν τῆς ἀρχῆς καιρὸν, οὐκ ἄλλῳ τι-

νὶ κρινομένων, ὡς καὶ πρόσθεν ἔφαμεν. ἐκεῖνοι δὲ, οὐδὲ ἡμῖν ἔδωσαν ἀρχῆς γνώρισμα, διὰ τοῦτο οὐκ ἴσασι διακεῖναι πότε μὲν ὀλεθρίως δυσφορεῖ τις, ἢ παραπαίει. ποτὲ δ' ἐγγὺς οὔσης τῆς κρίσεως, ἀλλ' ὅμοιοι τοῖς ἰδιώταις εἰσὶν, οὔτ' εἰς ὅτι τελευτήσει τὰ γινόμενα προγινώσκοντες, οὔθ' ὅτι χρὴ ποιεῖν ἐξευρίσκοντες, ἀλλὰ περὶ μὲν τούτων εἰρήσεται καὶ πάλιν. πῶς δ' ἄν τις εἰ καὶ μήπω παρεῖεν οἱ καθόλου καιροὶ τῆς νόσου, οἷός τ' εἴη προγινώσκειν αὐτοὺς τῇ χρείᾳ τῆς τέχνης συμφορώτατα, τοῦτ' ἤδη δίειμι. πρόκειται μὲν γὰρ εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας εἰδέναι τό γε τοσοῦτον, ὡς ἤτοι κατὰ τὴν πρώτην, ἢ τὴν δευτέραν τετράδα κριθήσεται τὸ νόσημα. τὸ γὰρ εἴτε τεσσαρεσκαιδεκαταῖον, εἴτε εἰκοσταῖον, οὔτω δῆλον. ἀλλ' οὐδενὸς ἐκ τούτου μέγα τὸ τῆς διαίτης εἶδος ὑπαλλάττεται, καθάπερ εἰ τεταρταῖον, ἢ πεμπταῖον κρίνεσθαι μέλλον, οὕτως αὐτό τις διαιτήσειεν, ὡς εἰ καὶ τεσσαρακοσταῖον, ἔμελλε λυθήσεσθαι. τοῦτο μὲν γὰρ ἔσχατόν ἐστι που. καὶ ὅς τις ἰατρὸς οὐ προγινώσκει κατὰ τὴν πρώτην, ἢ τὸ πλεῖστον γε τὴν δευτέραν ἡμέραν τὸ μὴ δυνάμενον ἐξωτέρω τῆς πρώτης ἐκταθῆναι νόσημα ἑβδομάδος, μέγιστα τοῦτον εἰκὸς ἁμαρτάνειν. εἰ μὲν οὖν ἅπαξ, ἢ δίς ποτε σφαλείη περὶ τὸ τοιοῦτον, συγγνωστός. εἰ δ' ὅλως οὐκ οἴεται πρόγνωσιν οὐδεμίαν εἶναι τῆς ἑβδομαίας ἀκμῆς τοῦ νοσήματος, οὐ δὲ σμικρὸν οὕτως ἐπαΐει τέχνης ἰατρικῆς. ἐγὼ γοῦν τοσοῦτον ἀποδέω τοῦ τὸ μέλλον παντάπασιν ἄγνωστον ὑπολαμβάνειν, ὥστ' εἰς ἐπιστήμην βεβαίαν ἐνίοτε ἥκειν αὐτὸ πείθομαι. τί γὰρ ἄν, εἴ τις εὐθὺς κατὰ τὴν πρώτην ἡμέραν οὐδὲν ἔχων σημεῖον κινδυνῶδες, ἀλλὰ καὶ προσέτι σύμπαντα σωτήρια, πυρέττει μὲν ὀξέως. οὖρον δὲ εὔχρουν τε ἅμα εἴη, καὶ συμμέτρως παχὺ, ἆρ' οὐ πρόδηλον ἰατρῷ τοῖς ἔργοις τῆς τέχνης προσεδρεύοντι περὶ τὴν πρώτην τετράδα, τὸ τοιοῦτον κριθήσεσθαι; καὶ μᾶλλον εἰ νεφέλη τις, ἢ ἐναιώρημα χρηστὸν αὐτῷ γένοιτο. καὶ πολὺ δὲ μᾶλλον, εἰ καὶ ὑπόστασις ἀγαθή, ἀλλὰ διὰ τοῦτο, διὰ συντόμου μὲν εἴρηται, μαθεῖν δ' οὐκ ἐνδέχεται διὰ συντόμου αὐτό. πάντα γὰρ χρὴ ἐπίστασθαι τὰ ἀγαθά τε καὶ κακὰ σημεῖα τὸν ἀκριβῶς αὐτὰ προγνωσόμενον. ὥσπερ οὖν εἰδὼς ταῦτα καὶ ὁ Ἱπποκράτης ἔλεγεν. οἵ τε » γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων γινόμενοι, τεταρταῖοι παύονται, ἢ πρόσθεν. οἵ τε » κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. εὐήθεις μὲν εἰπὼν, τοὺς ἐναντίους τοῖς κακοήθεσιν. ἀποσφηνάμενος δὲ, ὡς οὐδέτεροι τὴν τετάρτην ἡμέραν ὑπερβαίνουσιν. ἀλλ' οἱ μὲν λύονται πάντως. οἱ δὲ, ἀναιροῦσι. ὡς οὖν ὁ πάντ' ἔχων ἀσφαλέστατα σημεῖα πυρετὸς ὀξὺς ἐν τῇ πρώτῃ περιόδῳ τῶν κρισίμων ἡμερῶν ἔχει τὴν λύσιν, οὕτως ὁ παρακείμενος αὐτῷ τῆς ἑβδόμης οὐκ ἂν ἐξωτέρω προβαίη. τίς δ' ἐστὶν οὗτος, ἢ δηλονότι ᾧ πάντα οὐκ ἔστιν ἀσφαλέστατα; λέλεκται γὰρ οὖν ἤδη καὶ πρόσθεν ὡς οὐ ταὐτό ἐστιν ὑπερθετικῶς εἰπεῖν, ἢ ἁπλῶς ὁτιοῦν. οὐκ οὖν οὐδ' ἀσφαλές τε καὶ ἀσφαλέστατον, οὐ δὲ κακόηθες καὶ κακοηθέστατον, οὐ δὲ δεινὸν καὶ δεινότατον ἴσην ἔχει τὴν δύναμιν. ἔστω δή τις εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας πυρετὸς ὀξὺς, οὐκ ἄκρως μὲν ἁπλούστατός τε καὶ ἐπὶ σημείων ἀσφαλεστάτων. ἁπλοῦς μέντοι, καὶ ἐπὶ σημείων ἀσφαλῶν, ὃν γὰρ Ἱπποκράτης εὐήθη καλεῖ, τοῦτον ἐγὼ ἁπλοῦν ὀνομάζω, σαφηνείας ἕνεκεν φεύγων τὴν ὁμωνυμίαν, οὗτος εἰς τὴν δευτέραν τετράδα προβήσεται. τὸ δ' εἴτε κατὰ τὴν πέμπτην ἡμέραν, ἢ τὴν ἕκτην, ἢ τὴν ἑβδόμην κριθήσεται, προϊόντος τοῦ λόγου διορισθήσεται. κατὰ ταῦτα δὲ καὶ ὁ κακοήθης τε καὶ ἐπὶ σημείων δεινῶν γινόμενος, καὶ γὰρ καὶ οὗτος ὅσον ἀπολείπεται τοῦ κακοηθεστάτου, καὶ μετὰ σημείων δεινοτάτων γινομένου, τοσοῦτον καὶ τὸν θάνατον ὀψιαίτερον ποιήσει. εἰ δέ τις ἁπλοῦς τε καὶ ἁπλουστάτους καὶ κακοήθεις τε καὶ κακοηθεστάτους πυρετοὺς ἀγνοεῖ διαγινώσκειν, οὔτ' εἰ καλῶς, οὔτ' εἰ μὴ καλῶς εἶπεν ὑπὲρ αὐτῶν Ἱπποκράτης, οἷός τ' ἔσται ποτὲ τῇ πείρᾳ βασανίσαι. εἰ δὲ μηδὲ τὰς τῶν σημείων εἰδείη δυνάμεις, ἀλλ' ἁπλῶς οἴοιτο τὰ μὲν, ἀγαθά. τὰ δὲ κακὰ μόνον ὑπάρχειν αὐτῶν, ἔτι καὶ μᾶλλον ὡς ἐπῳδὴν γραὸς, ἀναγνώσεται τὰ πρὸς Ἱπποκράτους γεγραμμένα. τοὺς μὲν δὴ τοιούτους, τῶν δὲ τῶν ὑπομνημάτων ἀπαλλάττεσθαι ἀξιῶ. τοῖς δὲ τὸ προγνωστικὸν Ἱπποκράτους ἀκριβῶς ἀνεγνωκόσιν, ἐφεξῆς διαλέξομαι. κατὰ μὲν δὴ τὴν πρώτην ἡμέραν, οὕτως δὲ ἀκούειν διαπαντὸς ὅλον τὸν ἐξ ἡμέρας τε καὶ νυκτὸς χρόνον εἰς τὰς τέτταρας ἐπὶ ταῖς εἴκοσιν ὥρας τεμνόμενον, ὑδατώδες μὲν, ἀκριβῶς οὐρείτω. πυρετὸς δὲ, ἔστω βληχρὸς, οὗτος ὁ ἄνθρωπος εἰς μακρὸν ἐκταθήσεται χρόνον. ὁπόσον δέ τινα τούτων ἐν μὲν ταῖς πρώταις ἡμέραις οὔτε δυνατὸν γνῶναι, οὔτε εἰδέναι χρήσιμον. οὗ γὰρ ἕνεκα δεόμεθα τῆς τοιαύτης προγνώσεως, ἔχομεν ἤδη τοῦτο τὸ τῆς διαίτης τὸ σχῆμα κατασκευάσασθαι πρόσφορον, τῆς ἀκμῆς μετὰ πολλὰς ἡμέρας ἐσομένης. καθ' ἑκάστην μέντοι τετράδα παραφυλάττων ἀκριβῶς τὰ σημεῖα, καὶ αὐ» τὸν τὸν τῆς ἀκμῆς χρόνον ἀκριβῶς δυνήσῃ προγνῶναι. χρὴ γάρ φησιν ἀπὸ τῆς πρώτης ἡμέρας ἐνθυμεῖσθαι, » καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι, καὶ οὐ λήσεις, ὅπῃ τρέψεται τὸ νόσημα. ταυτὶ μὲν οὖν κἂν τοῖς ἐφεξῆς ἐπὶ πλέον ἐξεργασόμεθα. πρὸς δὲ τὴν τοῦ πρώτου καιροῦ πρόγνωσιν, ὃν ἀρχὴν ὀνομάζουσιν εἰς ὅσον ἐκταθήσεται χρόνον, ἤδη μέγα τι κατὰ τὴν πρώτην ἡμέραν ἐδείχθη λαμβανόμενον, ὅπερ ἐπὶ τῆς δευτέρας ἡμέρας, ἔτι σαφέστερον ἔνεστι διορίζεσθαι. μενόντων γὰρ ὁμοίως τοῦ τε πυρετοῦ, καὶ τῶν οὔρων, οὐ μόνον ὡς οὔπω τις τῆς ἀναβάσεως ἡ νόσος ὑπήρξατο λέγειν ἔχομεν, ἀλλ' ὡς οὐδὲ θᾶττον ἄρξεται τῆς ἑβδόμης ἡμέρας. ἔμαθες γὰρ ὡς ἐσχάτως ἄπεπτον ὑπάρχει τὸ ὑδατῶδες οὖρον. ὥστ' οὐ μόνον ἤδη παρόντα διαγινώσκειν οἷόν τε τὸν τῆς ἀρχῆς καιρὸν, ἀλλὰ καὶ προγινώσκειν πολλάκις εἰς ὅτι τελευτήσει. ἐπὶ μὲν δὴ τῶν οὕτως χρονίων, ἱκανός ἐστι ὁ καιρὸς τῆς ἀρχῆς μακρός. ἐπὶ δὲ τῶν κατοξέων, ἐσχάτως στενός. εἰ γὰρ εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἐν τοῖς οὔροις τι φαίνοιτο σημεῖον πέψεως, ἐκπέπτωκεν ἤδη τοῦτο τῆς ἀρχῆς. ἆρ' οὖν οὐδ' ἤρξατο τοῦτο τὸ παράπαν. ἢ τοῦτο μὲν ἀδύνατον. οὐ γὰρ ἐνδέχεται τι νόσημα τὴν ἰδίαν ἀκμὴν ἀπολαβεῖν, ἄνευ τῆς ἀρχῆς τε καὶ τῆς ἀναβάσεως. ἐσχάτως δὲ βραχὺς ἑκάτερος ὁ χρόνος αὐτῶν γίνεται, πολλάκις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκμάσαι τὴν νόσον. οὕτως οὖν ὀξείας ἀρχῆς, οὐ δὲ πρόγνωσιν δεῖ ζητεῖν τοῦ τέλους, ἀλλ' ἀγαπᾶν εἰ παροῦσαν τε διαγινώσκειν τις δύναιτο, καὶ ὁπηνίκα πρῶτον εἰς τὴν ἀνάβασιν μεταπίπτει σαφῶς γνωρίζειν. ἔστι δὲ κοινὴ τῶν τοιούτων ἀρχῶν τε καὶ ἀναβάσεων ἡ διάγνωσις, τοῖς τοῦ πρώτου παροξυσμοῦ μέρεσιν. ἡ γὰρ αὐτὴ κἀκείνου καὶ τοῦ σύμπαντος νοσήματος, ἀρχή τε καὶ ἀνάβασις γίνεται, οὐ γὰρ δὴ κἀκεῖνος εὐθὺς ἀπ' ἀκμῆς ἄρχεται. τοῦτο γὰρ οὐ μόνον οὐδεὶς οἶδεν, ἀλλ' οὐδ' ἐπινοῆσαι δύναται πυρετὸν ὀξὺν εὐθὺς ὑπὸ τὴν πρώτην εἰσβολὴν ἀκμάζοντα συστῆναι.

καθάπερ

καθάπερ ὑπὸ κεραυνοῦ πληγέντος τοῦ ἀνθρώπου. πῶς οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἀκμάζον γνωρισθήσεται τὸ νόσημα; πῶς δ' ἄλλως, ἢ εἰ τὰ τῆς πέψεως εὐθὺς ἔχει σημεῖα. παραπλήσιον γάρ τι συμβαίνει κατὰ τὴν τῶν ὠμῶν χυμῶν πέψιν, οἷόν τι κἀν τοῖς φλεγμαίνουσι μορίοις συμπίπτει. λέγει δέ που καὶ περὶ τούτων ὁ Ἱπποκράτης ὧδε. περὶ δὲ τὰς γενέσιας τοῦ πύου οἱ πόνοι, καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον, ἢ γενομένου. ὥσπερ οὖν οὐκ ἐνδέχεται διαπυησάσης φλεγμονῆς ἔτι ἀκμαῖον πυρετὸν εἶναι, ἢ πόνον ἀπαντῆσαι, κατὰ τὸν αὐτὸν τρόπον, οὐδ' ἂν ὑφίστηταί τι χρηστὸν ἐν τοῖς οὔροις ἀκριβῶς. νεφέλης μὲν τοι γε μόνης, ἢ τινῶν ἐναιωρημάτων ἀγαθῶν γινομένων, ὁ τῆς ἀκμῆς καιρὸς οὔπω πάρεστι. καὶ πολὺ δὴ μᾶλλον, ἐπειδὰν μηδὲν τούτων ᾖ, πλὴν εἰ μὴ πάνυ σφόδρα χολῶδες εἴη τὸ νόσημα, ὅς τις ἂν οὖν ἅπασι τοῖς εἰρημένοις πολλάκις ἐπὶ τῶν ἀρρώστων ἀκριβῶς τὸν νοῦν προσέχοι, τοῦτον οὐκ ἄν ποτε λάθοι καιρὸς οὐδείς. ἀλλ' εἰ μὲν ὀξὺς εἴη, παρόντα τε ἂν αὐτὸν διαγινώσκει ἀκριβῶς καὶ προγινώσκει τ' ἂν, ὅσον οὔπω γενησόμενον. εἰ δὲ χρόνιος, ἐκ πολλοῦ μὲν στοχάσαιτο ἄν. προσιόντος δ' ἐγγυτέρω σαφέστερον ἔτι προγινώσκοι. καθόλου γὰρ χρὴ τοῦτο γινώσκειν ὡς εἰ μή τι σαφὲς ὀφθείη πέψεως γνώρισμα, τὸ ἄχρι τοῦδε σύμπαν ἀρχὴ τοῦ νοσήματος ὑπάρχει. ὁπόσον οὖν ἔτι λείπεται τοῖς ἐνεστῶσιν εἰς τὸ σαφὲς ἐκεῖνο τῆς πέψεως γνώρισμα, παρά τε τοῦ τοῦ νοσήματος κινήσεως καὶ φύσεως, ὥρας τε καὶ χώρας, καὶ ἡλικίας, καὶ κράσεως αὐτοῦ τοῦ κάμνοντος ἐξευρήσεις. εἰ μὲν γὰρ τό τε νόσημα χρόνιον εἴη φύσει καθάπερ ἀμφημερινὸς εἰ τύχοι, καὶ φαίνοιτο βραδέως ἐπὶ τοῦδε τοῦ κάμνοντος κινεῖσθαι, καὶ οἷον τύφεσθαι, καὶ καταπνίγεσθαι, καὶ ἡ ὥρα τοῦ ἔτους εἴη χειμών, καὶ τὸ χωρίον ψυχρόν. ἤδη ἡλικία, καὶ ἡ φύσις τοῦ κάμνοντος ἐπὶ τὸ ψυχρότερον ῥέπει, πολλοῦ τοῦ μεταξὺ δεήσει χρόνου πρὸς τὴν τοῦ σαφοῦς σημείου γένεσιν, ὃν ἅπαντα τῆς ἀρχῆς ἀριθμητέον. ἔστω γοῦν χειμῶνος ἀρξάμενος ἀμφημερινὸς ἐν οὕτως ἔχοντι σώματι, καθάπερ εἴρηται νῦν, ἅμα τοῖς ἀκριβῶς ἀπέπτοις καὶ ὑδατώδεσιν οὔροις, οὐ μόνον οὐκ ἂν τῆς ἑβδόμης ἡμέρας ἐντός, ἀλλ' οὐδὲ τῆς τεσσαρεσκαιδεκάτης δύναιτό τις ἔχειν σαφὲς σημεῖον πέψεως. οὕτω δὲ προσαγορεύω, τά τε τῶν ἀμυδρῶν μεταξύ, καὶ τὰ τῆς τελείας πέψεως. ἡ μὲν οὖν τελεία πέψις ἐστὶν, ὅταν ἐν τοῖς οὔροις ὑφίστηταί τι λευκόν τε καὶ λεῖον καὶ ὁμαλὸν καὶ συνεχές. ἡ δ' ἀμυδρὰ πέψις, ὅταν ἐξ ὑδατώδους οὔρου μετρίως ὑπόχλωρον γένηται. καὶ μὲν δὴ καὶ εἰ θολερὸν γένοιτο καὶ μένει τοιοῦτον, καὶ τοῦτο ἀσαφοῦς τε ἐστὶν καὶ ἀμυδρᾶς πέψεως γνώρισμα. καὶ τὸ πυρρόν τε καὶ λεπτόν, ἐκ ταὐτοῦ γένους ἐστίν. ἀλλ' οὐδ' ἐν τούτων τὴν ἀρχὴν πεπαῦσθαι δηλοῖ. σαφεστέρου γὰρ ἀεὶ τὰ τοιαῦτα δεῖται γνωρίσματος, ἤτοι νεφέλης λευκῆς, ἢ ἐναιωρήματος ὁμαλοῦ τε, καὶ συνεχοῦς, καὶ λευκοῦ. καὶ μὲν δὴ καὶ ἡ ἐρυθρὰ νεφέλη, καὶ ἡ ὑπόστασις ἡ τοιαύτη. καὶ χωρὶς ὑποστάσεως δὲ, τὸ εὔχρουν οὖρον ἅμα τῷ συμμέτρῳ πάχει, πεπαῦσθαι δηλοῖ τὴν ἀρχήν. οὕτω δὲ καὶ τοῖς περιπνευμονικοῖς τε καὶ πλευριτικοῖς πάθεσι, τὰ μὲν ἰδίως ὀνομαζόμενα πτύελα, ταῖς ἐν τοῖς οὔροις ὑποστάσεσιν ἔοικε. τὸ δὲ μὴ δι' ὅλου ἀναπτύειν μηδὲν, ἀλλὰ βήττειν μόνον ξηρῶς, οἷόν περ τὸ ἐν τοῖς οὔροις ἐστὶν ἄπεπτον ἐσχάτως, ὅπερ ὑδατῶδες καλοῦμεν. εἰ δὲ ἐκ τοῦ μὴ δι' ὅλως πτύειν εἰς τὸ πτύειν μὲν, ἀλλ' ὑγρά τε καὶ τελέως ἄπεπτα μεταστῇ, δῆλον ὡς ἀμυδρά τε καὶ ἀσαφὴς αὐτῇ παντάπασιν ἡ τοιαύτη μεταβολή. καὶ οὔπω πέπαυται τοῦ νοσήματος ὁ πρῶτος καιρός, ὃν ἀρχὴν ἔφαμεν ὀνομάζεσθαι. πότ' οὖν αὕτη μὲν, παύσεται. μεταστήσεται δὲ τελέως εἰς τὴν ἐπίδοσιν ἡ νόσος, ὅταν ἄρξηται πτύειν ὀλίγα πέπονα. τὸ δ' ἀπὸ τούτου σύμπαν ἄχρι τῆς ἀκμῆς ἀεὶ καὶ μᾶλλον αὐτοῦ πλείω καὶ βελτίω καὶ εὐπετέστερον ἀποπτύοντος. ὅταν δὲ ἀκριβῶς, ἢ πέπονά τε καὶ πολλὰ μὴ δυσχερῶς ἀναπτυόμενα, τῆς ἀκμῆς ὁ καιρός. ὅταν δὲ ὁμοίως μὲν ἀκριβῶς πέπονά τε καὶ ἀλύπως ἀναγόμενα, μειωθῇ δὲ τὸ πλῆθος ἢ τῆς ὀδύνης μηκέτ' ᾖ, πεπαῦσθαι χρὴ νομίζειν τὴν ἀκμήν, παραλαμβάνει γὰρ ἡ παρακμή. ὑποθώμεθα οὖν τινὰ πάλιν ἄρρωστον ὑπὸ πλευρίτιδός τινος ἐχόμενον, οὔτ' ἀναπτύοντά τι καὶ οὐροῦντα λεπτὰ μὲν, ἀλλ' εὔχροα. περὶ δὲ τὴν ἑνδεκάτην ἡμέραν ἀρχέσθω μὲν πτύειν, ὑγρὰ δὲ καὶ ἄπεπτα. τοῦτον ὅτι μὲν οὐκ ἄν τις φαίη πρὸ τῆς ἑνδεκάτης ἡμέρας, ἐν ἄλλῳ τινὶ τοῦ νοσήματος εἶναι καιρῷ, πλὴν ἐν ἀρχῇ, παντί που δῆλον. ἐπὶ δὲ τῆς ἑνδεκάτης, ἴσως μὲν αὐτῷ δόξει μεταπεπτωκέναι σαφῶς, ἀλλ' οὐχ ὧδε ἔχει. ἡ γὰρ ἑνδεκάτη τῆς τεσσαρεσκαιδεκάτης ἐπίδηλος οὖσα τὴν τοῦ δευτέρου καιροῦ τῆς νόσου σαφῆ καὶ βεβαίαν ἀρχήν, ἐκείνην ἕξειν προδηλοῖ. παραφυλάξεις γοῦν αὐτὴν τὴν τεσσαρεσκαιδεκάτην, εἰ τοῖς ἐν ἑνδεκάτῃ προδεδηλωμένοις, ὁμολογεῖ. καὶ μετὰ ταύτην αὖθις, τὴν ἑπτακαιδεκάτην. ἐπεὶ καὶ ἥδε τῆς εἰκοστῆς ἐστὶν ἐπίδηλος ὡς ἐν τοῖς περὶ κρισίμων εἴρηται. φέρε δὴ κατὰ ταύτην αὐτὸν πτύσαι, μικρὰ μὲν, πέπονα δὲ, κατὰ τὴν εἰκοστὴν τούτῳ δυνατόν ἐστιν τινὰ γενέσθαι κρίσιν. οὐ μὴν τελείαν γε διὰ τὴν τοιαύτην αἰτίαν, ὅτι οὐ τὴν αὐτὴν ἔχουσι δύναμιν. οὔτ' αἱ τῶν ἐπιδήλων αἱ πρῶται ταῖς ὕστεραις, οὔθ' αἱ πρῶται κρίσιμοι ταῖς ἐξ ὑστέρου κρισίμοις. ἀλλ' ἰσχυρότεραι μὲν αἱ πρῶται. χρονίζοντος δ' ἤδη τοῦ νοσήματος, ἀσθενέστεραι γίνονται. χρὴ τοίνυν ἐπὶ προήκοντι τῷ νοσήματι καὶ μάλισθ' ὅταν ἱκανῶς ἄπεπτον ᾖ, μεγάλην γίνεσθαι μεταβολήν, ἵν' ἀσφαλὴς ἐλπισθῇ κρίσις. μεγάλη δέ τίς ἐστι μεταβολή, πέπονα τελέως οὐρῆσαί τε καὶ πτύσαι. τοιαῦτα δὲ οὐχ ὑπέκειτο τὰ κατὰ τὴν ἑπτακαιδεκάτην. ὥστε οὐκ ἐνδέχεται κατὰ τὴν εἰκοστὴν ἡμέραν τὸν τοιοῦτον ἄρρωστον ἀπαλλαγῆναι τοῦ νοσήματος, ἢ καὶ κριθῆναι τελέως. ἀλλ' ἀρκεῖ μεταβολήν τινα ἀξιόλογον γενέσθαι. δυνήσεται γὰρ ἐν τινι τῶν ἐφεξῆς κρισίμων ἡ τελεία λύσις ἀπαντῆσαι. ἆρ' οὖν ὑπόθεσις μόνον ἐστὶν ὁ λόγος, ἢ καὶ τοιοῦτος ὤφθαι ἄρρωστος; ἐμοὶ μὲν δοκεῖ ταῦτ' ἔχειν ἅπαντα τὰ νῦν εἰρημένα ὁ ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ὑφ' Ἱπποκράτους γεγραμμένος ὄγδοος, ἀπὸ τῆς λιμώδους καταστάσεως. ἔχει δ' ἡ σύμπασα ῥῆσις ὧδε, ἐν Ἀβδήροις Ἀναξίων ὃς κατέκειτο παρὰ τὰς Θρηικίας πύλας. πυρετὸς ὀξὺς ἔλαβε. πλευροῦ δεξιοῦ ὀδύνη ξυνεχής. βὴξ ξηρά. οὐδὲ ἔπτυε τὰς πρώτας, διψώδης, ἄγρυπνος. οὖρα δ' εὔχροα, λεπτά, καὶ πολλά, ἕκτῃ παράληρος. πρὸς δὲ τὰ θερμάσματα, οὐδὲν ἐνεδίδου. ἑβδόμῃ ἐπίπονος. ὅτε γὰρ πυρετὸς ἐπέτεινεν. οἵ τε πόνοι οὐ ξυνεδίδοσαν. αἵ τε βῆχες ἠνώχλει, δύσπνοός τε ἦν. ὀγδόῃ ἀγκῶνα ἔτεμον. ἐρρύη πολὺ οἷον ἔδει. ξυνέδωκαν οἱ πόνοι. αἱ μέντοι βῆχες αἱ ξηραὶ, παρεῖπον. ἑνδεκάτῃ ξυνέδωκαν οἱ πυρετοὶ σμικρά· περὶ κεφαλὴν ἵδρωσε. βῆχες καὶ τὰ ἀπὸ πνεύμονος, ὑγρότερα. ἑπτακαιδεκάτῃ ἤρξατο μικρὰ πέπονα πτύειν, ἐκουφίσθη. εἰκοστῇ ἵδρωσεν, ἀπύρετος ἐγένετο. μετὰ δὲ κρίσιν, ἐκουφίσθη. διψώδης δὲ ἦν, καὶ τὰ ἀπὸ πνεύμονος, οὐ χρη-

» σαι αἱ καθάρσιες. ἑβδόμῃ καὶ εἰκοστῇ, ὁ πυρετὸς ὑπέστρεψεν. ἔβησσεν. ἀνήγαγε πέπονα πολλά. οὔρων ὑπόστασις
» πολλὴ καὶ λευκή. ἄδιψος ἐγένετο. ὕπνος. τετάρτῃ καὶ τριακοστῇ ἵδρωσε δι' ὅλου, ἀπύρετος ἐκρίθη πάντῃ. τούτων τ' ἄλ-
» λα καθάπερ ὑπεθέμεθα ἡμεῖς φαίνεται γεγονότα, καὶ τῶν οὔρων εἰ καὶ μὴ πολλάκις ὡς εἰώθει ἐπὶ τῶν ἄλλων ἀῤῥώστων,
ἀλλὰ δίς γ' οὖν μνημονεύσας ἐν ἀρχῇ μὲν, ὡς λεπτῶν. ἐπὶ δὲ τῆς ἑβδόμης καὶ εἰκοστῆς ἡμέρας, προσγράψας οὔροις ὑ-
πόστασις πολλὴ λευκή, δῆλός ἐστιν ἀκριβῶς πέπονα τότε πρῶτον αὐτὸν εὑρῆσθαι λέγων. διὰ τοῦτ' οὖν ὡς καὶ πρό-
σθεν εἶπον, ἐπὶ μὲν τῆς εἰκοστῆς. ἐκρίθη τινὰ ἐλλιπῆ κρίσιν. διότι κατὰ τὴν ἑπτακαιδεκάτην ἤρξατο μικρὰ πέπονα
πτύειν. οὐ μὴν τελεία γε ἡ κρίσις ἐγένετο. διότι μὴ δὲ πέψις ἀκριβὴς οὔρων, ἢ πτυέλων. διὰ τοῦτ' οὖν ὁρᾷ. διψώδης
δὲ ἦν καὶ τῶν ἀπὸ πνεύμονος, οὐ χρησταὶ αἱ καθάρσιες. ἐνταῦθα οὖν μοι πάλιν ἀναμνησθεὶς ὡς ὀρθῶς εἴρηται. τὰ ἐγκα-
ταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, ὑποστροφὰς εἴωθε ποιεῖν, τῆς ἑβδόμης καὶ εἰκοστῆς ἡμέρας τὴν διήγησιν
ἀνάγνωθι. τόνδε τὸν τρόπον ἔχουσαν. ἑβδόμῃ καὶ εἰκοστῇ ὁ πυρετὸς ὑπέστρεψεν, ἔβησσεν. ἀνήγαγε πέπονα πολλά.
οὔροις ὑπόστασις πολλὴ λευκή. ἄδιψος ἐγένετο. προειπὼν γὰρ ὡς ἐν τῷ μεταξὺ ταῖς μετὰ τὴν εἰκοστὴν ἥ τε δίψα
παρέμενεν αὐτῷ. καὶ τῶν ἀπὸ πνεύμονος οὐ χρησταὶ αἱ καθάρσιες ἦσαν, ἐφεξῆς φησι. ὡς ἐπὶ τῆς ἑβδόμης καὶ εἰκοστῆς ἡμέ-
ρας ὑποστρέψας, ἐπύρεξεν. ἄδιψος ἐγένετο. καὶ χρηστὰ πτύειν ἤρξατο. καὶ τοῖς οὔροις ὑπόστασιν ἔσχε πολλὴν, τε καὶ
λευκήν. τί τ' οὖν ἐστιν αὐτῷ (γὰρ) τὸ πρόσθεν ῥηθέν. ὡς ἐν τοῖς πυρετώδεσι νοσήμασι ὅμοιόν τι συμπίπτει, τοῖς κατὰ
τὰς ἐκπυϊσκομένας φλεγμονάς. ὡς γὰρ ἐκεῖ κατὰ τὰς γενέσιας τοῦ πύου οἵ τε πόνοι καὶ οἱ πυρετοὶ μάλιστα συμβαίνου-
σιν. οὕτως κἀνταῦθα πεττομένων τῶν τοὺς πυρετοὺς ἐργαζομένων χυμῶν. οὕτως γ' οὖν κἀπὶ τοῦ ἀναξίωνος ὅσον ἐκ τῆς
προτέρας κρίσεως τῆς ἐλλιποῦς ὑπελέλειπτο ἂν, τοῦτ' αὖθις ζέσαν ἐν τῷ τῆς πέψεως καιρῷ, τὸν πρὸ τῆς κρίσεως ἐγέν-
νησε πυρετὸν, ὅτι δὲ τῆς ἐμφύτου θερμασίας ἐργαζομένης αὐτὸ, καὶ οὐχὶ τῆς πυρετικῆς, οὐχ ἥκιστα καὶ ἡ τῶν ἡμερῶν ἐνε-
δείξατο φύσις. πρώτη μὲν γὰρ ἡ ἑνδεκάτη χρηστὴ μὲν, ἀλλ' ἀμυδρᾶς ὑπήρξατο πέψεως. εἶθ' ἡ ἑπτακαιδεκάτη, σα-
φέστερον ὑπέδειξε σημεῖον πέψεως. εἶθ' ἡ εἰκοστὴ, κρίσιν ἐλλιπῆ. μετὰ δὲ ταύτην, ἡ ἑβδόμη καὶ εἰκοστὴ τελείας πέ-
ψεως ἤνεγκε γνώρισμα. διὰ τοῦτ' οὖν περιφορῶν ὁρᾷ. τετάρτῃ καὶ τριακοστῇ ἵδρωσε δι' ὅλου, ἀπύρετος ἐγένετο, ἐκρί-
θη πάντῃ. δῆλον γὰρ ὡς ἐν ταῖς ἑπτὰ ταῖς μετὰ τὴν ἑβδόμην καὶ εἰκοστὴν ἐπέφθη τε ἅμα καὶ ἐξεκρίθη σύμπαντα
τὰ τοῦ νοσήματος αἴτια, διὰ μὲν τῶν οὔρων, τὰ τοὺς πυρετοὺς ἐργαζόμενα. διὰ δὲ τῶν πτυσμάτων, τὰ κατὰ τὸν θώρακα. μεμ-
νῆσθαι δὲ χρὴ τοῦ δὲ τοῦ λόγου πρός τε τὰ παρόντα, καὶ τὰ μέλλοντα λεχθήσεσθαι, καὶ τὰ τρία ταῦτα ἡ-
γεῖσθαι ἀλλήλων διαφέροντα, τήν τε ἀμυδρὰν πέψιν, καὶ τὴν σαφῆ, καὶ τὴν τελείαν. ἀμυδρὰ μὲν γὰρ, κατὰ
τὴν ιά. σαφὴς δὲ κατὰ τὴν. ιζ. τελεία δὲ, κατὰ τὴν ζ'. καὶ εἰκοστὴν ἐγένετο, μεθ' ἣν ἐν ἑπτὰ ταῖς ἁπάσαις
ἡμέραις, ἡ νόσος ἐλύθη, καὶ οὕτως ξύμπας ὁ καιρὸς, ἀκμὴ ἐγένετο, καθάπερ ἐν τοῖς ἐφεξῆς ἔτι σαφέστερον ἐπι-
δειχθήσεται, τοῦτ' οὖν τὸ πτύελον, ὃ κατὰ τὴν ἑβδόμην καὶ εἰκοστὴν ἐφάνη. εἴπερ ἐφάνη κατὰ τὰς πρώτας ἡ-
μέρας τοῦ νοσήματος μετὰ τῶν τὴν χρηστὴν ὑπόστασιν ἐχόντων οὔρων, οὐκ ἐνεδέχετο μὴ οὐ κατὰ τὴν πρώτην ἑβδο-
μάδα κριθῆναι τὸ νόσημα. πρώτας δ' ἡμέρας δηλονότι τοῦ νοσήματος, εἶπον, ἃς ἡ πρώτη τετρὰς διορίζει. καὶ
γὰρ καὶ τὴν ἀρχὴν τοῦ νοσήματος κατὰ τὸ δεύτερον σημαινόμενον, ἐν τούτῳ περιγράφεσθαι τοῦ καιροῦ πρόσθεν
ἔλεγον. καὶ τοῦτ' ἐστὶ τὸ ἐν τοῖς πλευριτικοῖς, πτύελον αὐτίκα ἢν ἐπιφαίνηται ἀρχομένου μὲν, βραχύνει. τρι-
χῶς γὰρ τῆς ἀρχῆς λεγομένης, καθ' ἕνα μὲν τρόπον τῆς πρώτης εἰσβολῆς, τῆς ἁπλοῦς ἢ τῆς ἀπλατοῦς. καθ'
ἕτερον δὲ, τῆς εἰς τὴν τρίτην ἡμέραν ἐκτεταμένης, ἣν μόνην ὁ Θεσσαλὸς ὀνειρώττειν μοι δοκεῖ. καὶ πρὸς τούτοις
ἔτι, τῆς ὡς μέρος ὅλου τοῦ νοσήματος, ἣν τὰ τῆς σαφοῦς πέψεως ὁρίζει σημεῖα. καὶ περὶ πασῶν ὁ Ἱπποκράτης
ποιεῖται τὸν λόγον ὡς ἐκ τῶν προγεγραμμένων ἐστὶν δῆλον, ἔν τε τοῖς ἐφεξῆς ὑπομνήμασι ἐναργέστερον ἐπι-
δειχθήσεται. νυνὶ δὲ ὅτι τὴν κατὰ τὸ δεύτερον σημαινόμενον ἀρχὴν ἐδήλωσεν, ὁπότε τοῖς πλευριτικοῖς τὸ
κατὰ τὴν ἀρχὴν ἐπιφαινόμενον πτύελον βραχύνειν ἔφησε, πρόδηλον οἶμαι γέγονε. περὶ μὲν δὴ τούτου, κἀν
τοῖς ἐφεξῆς ἤδη διαιρήσομαι. ὅπως δ' ἄν τις ἢ παροῦσαν ἤδη καὶ συμπεπληρωμένην τὴν ὡς μέρος ὅλου τοῦ νο-
σήματος ἀρχὴν διαγινώσκειν, ἢ μέλλουσαν ἔτι συμπληροῦσθαι προγινώσκειν δύναιτο, σαφῶς μοι δοκῶ δεδεῖχθαι,
τῆς μὲν γὰρ συμπεπληρωμένης βέβαιον σημεῖον, ἡ σαφὴς πέψις ἐστί. τῆς μελλούσης δὲ, ἥ τε τοῦ νοσήματος αὐτοῦ
φύσις, ἥ θ' ὥρα τοῦ ἔτους, ἥ θ' ἡλικία τοῦ κάμνοντος, ἐξ ἐπιμέτρου δὲ καὶ τὸ χωρίον, ἐν ᾧ νοσεῖ, καὶ ὁ τρόπος τῆς
προγεγενημένης διαίτης, ὑγιαίνοντος ἔτι τοῦ κάμνοντος. εἰδικώτερα δὲ ἤδη γνωρίσματα τῆς μελλούσης ἔσε-
σθαι τελευτῆς περὶ πρότερον καιρῷ τῆς νόσου, τὰ τῆς πέψεως ἐστὶ σημεῖα. καὶ ὡς χρὴ ταῦτα προγινώσκειν ὁπηνίκα
μάλιστα γενήσεται, ῥηθήσεται μὲν ἐπιμελέστερον ἔτι καὶ διὰ τῶν ἑξῆς. εἰρήσεται δὲ καὶ νῦν, ὡς ἐπισκέπτεσθαι
χρὴ πόσον ἀπολείπεται τὰ παρόντα τῆς ἀπεψίας σημεῖα, τῶν ἐσομένων ἐν τῇ σαφεῖ πέψει, τίς τε τοῦ νοσήματος
ὁ τρόπος ἐστὶ τῆς κινήσεως, τοῦτ' ἔστιν εἴτ' ὀξέως, εἴτε ἀργῶς, καὶ οἷον τυφόμενον κινοῖτο. χρησιμώτατον δ' εἰς
ταῦτα, μᾶλλον δὲ καὶ ἀναγκαιότατον ἐστὶν ἀκριβῶς ἐπίστασθαι διαγινώσκειν, ὁπόσον ἀλλήλων ἀπολείπεταί τε καὶ
πλεονεκτεῖ τά τε τῆς ἀπεψίας, καὶ τὰ τῆς πέψεως σημεῖα. καὶ γὰρ καὶ τὰ τῆς ἀπεψίας, οὐ σμικρὰν ἔχει πρὸς
ἄλληλα τὴν διαφορὰν. καὶ τὰ τῆς πέψεως, ἔτι δὴ μᾶλλον. εἰ μὲν δὴ τὰ τῆς παντελοῦς ἀπεψίας γνωρίσμα-
τα κατὰ τὴν πρώτην τετράδα παραμένει, μακρὸς ὁ τῆς ἀρχῆς ἔσται περὶ τοιούτῳ νοσήματι καιρός. εἰ δέ γε τὰ τῆς
ἀμυδρᾶς μετρίως ἐν αὐτῇ φανείη, μακρὸς μὲν ἐστι καὶ οὗτος, ἀλλ' οὐχ ὁμοίως περὶ πρόσθεν. εἰ δὲ βραχέα τὰ τῆς
ἀπεψίας εἴη σημεῖα, καὶ τὸ μέλλον ἔσται τῆς ἀρχῆς ὀλίγον. ἐπὶ δὲ τούτοις ἔτι, κἀκεῖνα χρὴ προσειδέναι τὰ πρὸς Ἱπ-
ποκράτους εἰρημένα, χρόνου πλείονος ὑπάρχειν ἐνδεικτικά, περὶ ὧν ἐπὶ πλέον ἐν τοῖς ἐφεξῆς ὁ λόγος ἡμῖν
ἔσται. νυνὶ δὲ παραδείγματος ἕνεκα, τόνδε τὸν ἀφορισμὸν μνημονεύσωμεν. οἱ ψυχροὶ ἱδρῶτες, σὺν μὲν ὀξεῖ πυ-
ρετῷ, θάνατον. σὺν πρᾳοτέρῳ δὲ, μῆκος νόσου σημαίνουσι. ἐὰν γὰρ ἐν ταῖς πρώταις ἡμέραις ἔτι τῶν τῆς ἀπε-
ψίας σημείων ἀκρατῶν ὄντων ἐπιφαίνηταί τινα τοιαῦτα, προσθήσει τῷ χρόνῳ τῆς ἀρχῆς. καὶ δηλονότι τὰ
τῆς ἀναβάσεως, ἔσται μακρότερα. καὶ ἡ ἀκμὴ κατὰ ταῦτα, μετὰ χρόνον ἀπαντήσεται πάμπολυν. οὕτω δὲ, καὶ
ἡ λύσις τοῦ νοσήματος. ὡς οὐ μόνον τοῦ πρώτου καιροῦ κατὰ τὰς πρώτας ἡμέρας ἕξεις τινὰ τεχνικὸν στοχασ-
μὸν, ἀλλὰ

ἐὸν, ἀλλὰ καὶ τὴν ἐφεξῆς. ἀκριβέστερον δὲ ἀεὶ καὶ μᾶλλον αὐτὸν προγνώσῃ, ταῖς ἐφεξῆς τετράσι προσέχων τὸν νοῦν. ἡ γὰρ ἐπιδείξασα πρώτη τὸ τῆς πέψεως σημεῖον ἀμυδρὸν, αὐτή σοι σαφέστερον ἐνδείξεται τὸν ὑπόλοιπον χρόνον ἐκ ἀρχῆς, εἰδότι γε τοῦτ' ἤδη βεβαίως, ὅτι σύμπας ὁ χρόνος, ὁ μήπω μηδὲν ἔχων σαφὲς σημεῖον πέψεως, ὁ πρῶτος ἐστὶ τῶν τεσσάρων καιρῶν τοῦ νοσήματος, ὃν ἀρχὴν ὀνομάζομεν. εἰ γὰρ πρὸς τοῦτο ἀποβλέπεις οὐδὲν ἔτι χαλεπὸν ἐξευρεῖν. εἰ ἐν πόσαις δὲ ταῖς πρώταις ἡμέραις, ἀπεχώρησεν ἐπὶ τὴν πρώτην ἡμέραν φανέντων τοσῶνδε, πόσαις ἔτι τὸ ὑπόλοιπον ἄχρι τῆς σαφοῦς πέψεως ἀνύσει, ἐκεῖθεν δ' ἄρχεται μὲν ἡ ἀνάβασις, ἤτοι δὲ ἐλλιπής τις ἐπιφανεῖται κατὰ ταύτην ἡ κρίσις, ὡς ἐπὶ τοῦ πλευριτικοῦ παρεθέμην ὀλίγον ἔμπροσθεν, ἢ εἴπερ ἀναμένει τὸ νόσημα τὴν τελείαν ἀκμὴν, οὕτω καὶ ἡ κρίσις ἐστὶ τελεία. πολλάκις δὲ οὐδὲ γίνεται ἡ κρίσις οὐδεμία μετὰ τὸν ἐκ ἀκμῆς καιρὸν ἀλλὰ κατὰ βραχὺ λύεται τὸ νόσημα, χρόνῳ πλείονι πεττόμενον. ὅπως δὲ χρὴ πρὶν γενέσθαι ταῦτα προγινώσκειν ἐσόμενα, διὰ τῶν ἐφεξῆς ὑπομνημάτων εἰρήσεται. δείξω γὰρ ἐν αὐτοῖς σαφῶς ἡνίκα μὲν, ἐν ταῖς ἀναβάσεσι. ἡνίκα δὲ, ἐν ταῖς ἀκμαῖς, κρίνεται τὰ νοσήματα. πηνίκα δ' οὐ δήλως κριθέντα, ἐπὶ βραχὺ πεττόμενα, λύεται. καὶ δῆλον ὡς τὴν μὲν τοιαύτην λύσιν, οὐκ ὀνομάζω κρίσιν. εἰ δέ τις ἀθρόα γίνηται μεταβολὴ, καὶ πολὺ δὴ μᾶλλον ἔτι τὴν προηγουμένην αὐτῆς ταραχὴν, οὕτως προσαγορεύω καὶ δὴ καὶ τὰς τούτων προγνώσεις ἐν τοῖς ἐφεξῆς ὁρῶ. κάλλιον γὰρ οὐ μόνον, ὅτι κατὰ τόνδε τὸν καιρὸν ἡ νόσος ἀθρόαν ἕξει τὴν λύσιν, ἀλλὰ καὶ πότερον μετὰ μεγάλου τινὸς ἀγῶνος, ἢ χωρὶς σάλου τε κινδύνου παντὸς, ἐπίστασθαι. ταῦτ' οὖν ἅπαντα διὰ τῶν ἐφεξῆς ὑπομνημάτων ἐπιδειχθήσεται. καὶ πρὸς τούτοις ἔτι, προγνώσεις κρίσεων ἀγαθῶν τε καὶ κακῶν, καὶ τελείων, καὶ ἀτελῶν. ἐν ἀρχῇ δ' αὐτῶν πάντων προτάξω, διαγνώσεις αὐτῶν τῶν εἰσβαλλόντων νοσημάτων. ἐπειδὴ γοῦν ἀπό τε τοῦ νοσήματος ἔφαμεν χρῆναι διαγινώσκειν τι περί τε τῶν καθόλου καιρῶν, καὶ προσέτι ἐκ ὥρας τοῦ ἔτους, καὶ τῶν ἄλλων, ὧν εἴπομεν, εἰ μὴ συμπάντων αὐτῶν εἰδείημεν διάγνωσιν τινὰ εὐθὺς ἀπὸ ἐκ πρώτης ἡμέρας, ὅμοιόν τι πεισόμεθα τοῖς πολλοῖς τῶν νεωτέρων ἰατρῶν. ὡς γὰρ κἀκεῖνοι δι' ἀλλήλων ἑκάτερον τῶν ἀγνοουμένων διδάσκειν ἐπιχειροῦσιν. ἢ διὰ τοῦ μᾶλλον ἀγνώστου, τὸ σαφέστερον, οὕτως καὶ ἡμεῖς ποιήσομεν, ἂν μὴ τοῦ νοσήματος ἑκάστου ἐκ ἰδέας εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις ἔχωμεν τινὰ διάγνωσιν. ἄριστον μὲν οὖν ἐστὶν εἰ κατ' αὐτὴν τὴν πρώτην ἡμέραν, καὶ τοῦτο μυριάκις ἐδείξαμεν ἤδη δυνατὸν ὑπάρχειν, καὶ τριταίας τε καὶ τεταρταίας καὶ ἀμφημερινὰς περιόδους, ἐν τῇ πρώτῃ τῶν ἡμερῶν διαγνόντες εἰ δέ ποτε μὴ οἷόν τε εἴη σαφῶς ἐν ταύτῃ διαγνῶναι, στοχασμὸν μὲν ἤδη τινὰ τεχνικὸν ἕξομεν, ἐξ οὗ καλῶς ὑπαρξόμεθα διαίτης. ἀκριβώσομεν δ' αὐτὸν ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἢ τρίτῃ γε πάντως, ἢ τετάρτῃ, καὶ τοίνυν καὶ αὐτὸ τοῦτο κάλλιον ἂν εἴη δηλῶσαι καὶ δοῦναι γνωρίσματα τῶν τ' εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας ἀκριβῶς διαγνωσθῆναι δυναμένων, καὶ τῶν ἄχρις μὲν στοχασμοῦ τινὸς, οὐκ ἀτέχνου κατελπιζομένων. ἀκριβῶς δ' ἐν τῇ τρίτῃ τε καὶ τετάρτῃ διοριζομένων. αὖθις οὖν ἀπὸ τούτων πρῶτον ἀρξάμενοι κατὰ τὸ δεύτερον ὑπόμνημα καὶ τῶν ἄλλων ἑκάστου, ὧν ὑπεσχόμεθα ἐπὶ τὴν οἰκείαν τάξιν ἀποδώσομεν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΕΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Ἴρηται μὲν ἤδη καὶ πρόσθεν εὐθὺς κατ' ἀρχὰς, ἀλλ' ἄμεινον ὑπομνῆσαι καὶ νῦν ὡς εἴτε τὴν σύμπασαν ἐν νόσῳ μεταβολὴν. εἴτε τὴν ἀθρόαν μόνην. εἴτε τὴν ἀγαθὴν εἴτε τὴν προηγουμένην ἁπασῶν τῶν ὀξυῤῥόπων ἀλλοιώσεων ταραχὴν ὀνομάζειν ἐθέλοι τις κρίσιν, οὐ πρόκειταί μοι τὰ νῦν διαιρεῖσθαι. ἀλλ' ὡς ἄν τις ἄριστα ταύτας ἁπάσας ἤδη τε παρούσας διαγινώσκοι, καὶ μελλούσας ἔσεσθαι προγινώσκοι, τοῦτ' ἐστὶν τὸ παράδειγμα τοῦ λόγου τοῦδε. ὃ δὲ μέγιστον ἤδη καὶ ἀναγκαιότατον ἀποδείξαντες εἰς ἅπαντα τὰ τοιαῦτα, τὸ διαγινώσκειν τε παρόντας ἤδη τοὺς καιροὺς τῶν νοσημάτων, καὶ μέλλοντας ἔσεσθαι προγινώσκειν, ἐφεξῆς ἑκάστου νοσήματος διαγνώσεις τε καὶ προγνώσεις ἐγράψαμεν. ἐπεὶ δ' ἐκ πολλῶν αὐτὰς γινομένας ἀπεδείξαμεν, ὧν ἕν τι καὶ ἡ τοῦ νοσήματος ὑπῆρχε φύσις, ὅπως ἄν τις καὶ αὐτὴν ταύτην κάλλιστα ἐπὶ τὴν πρώτην ἡμέραν οἷός τ' εἴη γνωρίζειν. εἰς τόνδε τὸν δεύτερον ἀνεβαλλόμεθα λόγον. εἰ μὲν δή τις αὐτοῖς ἡμῖν παρέτυχεν ἐπὶ τῶν νοσούντων ἐκ τοῦ πρώτου παροξυσμοῦ, καὶ ἀμφημερινὸν πυρετὸν, καὶ τριταῖον, καὶ τεταρταῖον, καὶ ἡμιτριταῖον καὶ καῦσον, καὶ ἄλλα τινὰ νοσήματα προγινώσκουσιν, ἔργῳ ἐκ θεωρίας εἴληφε βάσανον. εἰ δέ τις οὔπω παρεγίνετο προῤῥήσει τοιαύτῃ, δίκαιον δή τοῦτον ἐστὶ μήτε θαυμάζειν ἤδη τὰ λεγόμενα, πρὶν κρῖναι τὴν ἐν αὐτοῖς ἀλήθειαν, ἀλλὰ μηδὲ προκατεγνωκέναι, πρὶν ἀκοῦσαι τε σύμπαντος λόγου, καὶ τῇ πείρᾳ βασανίσαι. τὸ μὲν οὖν ἀκοῦσαι τε καὶ συνιέναι τῶν λεγομένων, ἁπάντων κοινόν. οὕτως γοῦν εἰρήσεταί μοι σαφῶς, ὡς μηδὲ λαθεῖν ἄν τινα. τὸ δὲ καὶ τῇ πείρᾳ κρῖναι τοὺς λόγους, εἰ μὲν ἡμῖν μέλλοι συμπαραγίνεσθαι, ῥᾶστον. εἰ δ' αὐτὸς ἐφ' ἑαυτοῦ βασανίζειν, οὐκ ἔθ' ὁμοίως εὐπετές. ἀλλὰ καὶ τὰς ἐν τοῖς σφυγμοῖς διαφορὰς, ἠσκῆσθαι χρὴ διαγινώσκειν αὐτὸν ἀκριβῶς, ἁπάντων τε τῶν ἔργων τῆς τέχνης, ἐμπειρίαν ἔχειν ἱκανήν. τὴν γοῦν ἀληθῆ θεωρίαν, οὐκ ἐκ τῶν κακῶς ὑποκρινομένων, ἀλλ' ἐκ τῶν ὀρθῶς μεταχειριζομένων, δῆλον ὅτι δοκιμάζεσθαι. τούτους οὖν μόνους ὁ λόγος ὅδε καὶ μαθητὰς προσίεται, καὶ κριτὰς, ὧν ἂν διδάξῃ, τίθεται. τοὺς δ' ἄλλους, ὅσοι τὴν ἰατρικὴν τέχνην εἰς τοσοῦτον ὕβρισαν, ὡς ἐξ μηνῶν εἶναι νομίζειν μάθημα, τούτους οὔτε κριτὰς, οὔτε μαθητὰς προσίεται. τὸ μὲν γοῦν οὐ δύνανται. τὸ δ' οὐ βούλονται. λεκτέον οὖν ἤδη πῶς ἄν τις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκριβῶς διαγινώσκοι τοῦ νοσήματος τὴν φύσιν. ἡμέραν δηλονότι παρ' ὅλον τὸν λόγον εἰρηκόσιν, οὐκ ἐκ τῆς ἡμέρας αὐτῆς μόνης συνεστῶσαν, ἀλλὰ κἀκ τοῦ νυκτὸς χρόνου. καθάπερ οὖν καὶ τὸν μῆνα τριάκοντα ἡμερῶν εἶναι λέγομεν, οὐ μόνον τοῦτον τὸν χρόνον, ὃν ὑπὲρ τῆς γῆς ὁ ἥλιος φαίνεται προσαγορεύοντες ἡμέραν, ἀλλὰ καὶ τὸν τῆς νυκτὸς αὐτῷ προστιθέντες. οὕτως δέ πως καὶ τὸν ἐνιαυτὸν, πέντε καὶ ἑξήκοντα καὶ τριακοσίων ἡμερῶν εἶναι

φαμέν. ὥσπερ δὲ περὶ τῶν τῆς ἡμέρας ὀνομάτων, καὶ τοῦ κατ᾽ αὐτὸ σημαινομένου εἴρηται, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, χρὴ μηνῦσαι καὶ περὶ τῶν νοσημάτων. ὅτι δὲ διάθεσίς τίς ἐστιν, ἐνέργειαν βλάπτουσα, καὶ ὅτι διττὴ πολλάκις συνίσταται ἅμα. δέδεικται δ᾽ ἄμφω ταῦτα ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ὑπομνήματι. τὴν μὲν οὖν ἁπλῆν διάθεσιν, οὐδεὶς τῶν ἀκριβῶς εἰδότων ἀγνοήσει κατὰ τὴν πρώτην ἡμέραν. ἴδια γὰρ ἔχει τὰ γνωρίσματα. τὴν δ᾽ ἐπίμικτον, οὐχ ἅπασιν ἐγχωρεῖ διαγνῶναι κατ᾽ ἀρχάς. καὶ οὐδέν γε τοῦτο ἄτοπον εἰς διττῆς διαθέσεως ἐπίγνωσιν, ἡμερῶν δεηθῆναι δυοῖν. ὥσπερ καὶ εἰ τριττή τις εἴη, τριῶν. ἀλλὰ τό γε μίαν ἁπλῆν ἀγνοῆσαι διάθεσιν, ἄτοπόν τε καὶ δεινῶς αἰσχρόν. ἀσκεῖσθαι τοίνυν ἁπάσας χρὴ τὰς ἁπλῶς διαθέσεις, ἑκάστην ἰδίᾳ τε τελειωμένην τε ἤδη γνωρίζειν ἑτοίμως. εἰ μὴ γὰρ ἐν τούτῳ προγυμνάσαιο φιλοπόνως, οὐδὲ ἀρχομένην ἔτι, καὶ σμικρὰν οὖσαν διαγνοίης. ὥσπερ οὐδ᾽ ἐλαίαν, ἢ συκῆν, ἢ δρῦν ἄρτι τῆς γῆς ἀνίσχοντα δύναιο ἄν ποτε διαγινώσκειν, ἀγνοῶν ἔτι τὰ τέλεια φυτά. τὸ δὲ τούτου μεῖζον, ὡς οὐδ᾽ αὐτὰ τέλεια γινώσκειν ἁπλῶς ἀρκεῖ, ἀλλὰ χωρὶς μὲν τῶν προγινώσκειν, ἐκεῖνα τῶν νεογνῶν οὐδὲν ἂν ἴδια γνωρίσαις. οὐ μὴν οὐδ᾽ εὐθέως τε καὶ πρώτως ἐντυχὼν νῦν, ἀλλ᾽ ὡς καὶ τῶν τελείων ἕκαστον, οὐκ ὀλιγάκις θεασάμενος ἱκανῶς διαγινώσκειν ἑτοίμως ἔγνως, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον χρή σε καὶ τῶν ἄρτι γινομένων ἕκαστον, οὐκ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ πολλάκις θεασάμενον ἱκανῶς αὐτῶν γενέσθαι γνώριμον. μὴ τοίνυν ἐάν τις τῶν νῦν δὲ γεγραμμένων ἐπιχειρῶν ἀσκεῖν, ἐν τῇ πρώτῃ πείρᾳ σφαλῇς, ἀπογινώσκειν εὐθὺς ὡς ἀδυνάτου, μηδὲ ἀποχωρεῖν τῆς μελέτης, πρὶν πάνυ πολλάκις ἐν αὐτῇ γυμνάσασθαι. οὐδὲ γὰρ τοὺς τὴν τοξικὴν μελετῶντας, καίτοι πολλάκις ἁμαρτάνοντας τοῦ σκοποῦ τό γε κατ᾽ ἀρχάς, ὅμως οὐδὲ τούτους ἀφισταμένους ὁρᾷς τῆς ἀσκήσεως, οὐδ᾽ ἀθυμοῦντας ἐπ᾽ ἀτυχίαις. ὁπότ᾽ οὖν τοξικὴν οὕτω σμικρὰν τέχνην, ὡς καὶ τοῖς ἀνδραπόδοις ἀσκεῖσθαι καλῶς, οὐ δυνατόν ἐστιν εὐθὺς ἐξ ἀρχῆς κατορθοῦσθαι, τί χρὴ νομίζειν ἐπὶ τῆς τοῦ Ἀσκληπιοῦ τέχνης, οὕτω μὲν πολλῆς θεωρίας δεομένης, οὕτω δ᾽ ἀκριβοῦς τε καὶ φιλοπόνου τῆς ἐπ᾽ αὐτῶν τῶν ἔργων τριβῆς; εἰ μὲν δή τις εἴης τῶν ἐπὶ τοῖς καλλίστοις ταλαιπορεῖσθαι προῃρημένων, ἅπαντα μὲν πρῶτος ἔκμαθε ἀκριβῶς, τὰ λεγόμενα καθ᾽ ἕκαστον τῶν νοσημάτων. ἐφεξῆς δ᾽ ἐπὶ τῶν ἔργων ἄσκησον. εἶθ᾽ οὕτως ἐπιχείρει κρίνειν αὐτά, πότερον ἀληθῶς, ἢ ψευδῶς εἴρηται. εἰ δ᾽ ἀταλαίπωρός τε καὶ ῥᾴθυμος εἴης, ἢ ταλαίπωρος μέν, ἀλλ᾽ εἰς τὰ χείρω, πλοῦτόν τε καὶ τιμήν, καὶ δύναμιν πολιτικὴν ἀληθείας προαιρούμενος, ἄμεινόν σοι μὴ δ᾽ ἅπτεσθαι τῶν δὲ τῆς θεωρίας, μηδ᾽ εἰς ἀνάπλεων βορβόρου φρέαρ ἐμβάλλειν ὕδωρ καθαρόν. ἀφανίσεις τε γὰρ τὸ ὕδωρ καὶ τὸ φρέαρ οὐδὲν ὠφελήσεις. τὴν οὖν ἁπλῆν διάθεσιν ἑκάστου τῶν νοσημάτων. ἐπὶ γὰρ τὸν τῆς ἀληθείας ἑταῖρον ἤδη τρέψομαι. πρῶτον ἄσκησόν μοι γνωρίζειν αὐτὴν ἐφ᾽ ἑαυτῆς, οὐκ ἐκ τῶν ἔξωθεν αὐτῇ προσκειμένων μόνον, ἅπερ οἱ πολλοὶ θεῶνται, ἀλλὰ πρῶτον μὲν καὶ μάλιστα ἐκ τῶν κατὰ τὴν ἰδίαν οὐσίαν ὑπαρχόντων. ἐπεὶ δ᾽ ἤδη, καὶ τῶν ὡς ἐπὶ τὸ πολὺ συμβεβηκότων. οἷον ἐπὶ τοῦ καλουμένου τριταίου, μὴ γὰρ μόνον ἐπισκέπτου τὸ διὰ τρίτης γίνεσθαι τοὺς παροξυσμούς, εἰς ἀπυρεξίαν τελευτῶντας. εἰ γὰρ ἤτοι δύο τριταῖοι γεννηθεῖεν, ἢ δύο τεταρταῖοι, καθ᾽ ἑκάστην μὲν ἡμέραν, οἱ δύο τριταῖοι. διὰ τρίτης δ᾽ οἱ δύο τεταρταῖοι παροξυνοῦνται, ἢ τοὺς δύο τριταίους ἕνα νομίσεις ἀμφημερινόν. ἢ τοὺς δύο τεταρταίους, ἕνα τριταῖον. ἀλλὰ τὴν ἰδέαν ἐπισκοπεῖσθαί σε κελεύω τῶν πυρετῶν, οὔτε γὰρ ταῖς εἰσβολαῖς τῶν παροξυσμῶν ἐοίκασιν, οὔτε ταῖς ἀναβάσεσιν, οὔτε ταῖς ἀκμαῖς, οὔτε ταῖς παρακμαῖς, οὔτε τῇ ποιότητι τῆς θερμασίας, οὔτε τῇ κινήσει τῶν ἀρτηριῶν, οὔτε τοῖς ἐπιγινομένοις συμπτώμασιν. εἰ μὲν οὖν μηδέποτ᾽ ἦν θεάσασθαι τριταῖόν τε καὶ ἀμφημερινὸν αὐτὸν καθ᾽ ἑαυτὸν ἑκάτερον, ἄδηλος ἂν ἦν αὐτῶν ἡ διάγνωσις, ἐπεὶ δὲ καὶ τριταῖον αὐτὸν ἔστιν ἰδεῖν καθ᾽ ἑαυτὸν ἀρξάμενόν τε καὶ προελθόντα καὶ τελειωθέντα, καὶ λυθέντα. καὶ ἀμφημερινὸν ὡσαύτως, οὐδὲν ἐστὶ χαλεπὸν ἀμφημερινοῦ ἑνός, διακρῖναι δύο τριταίους. ἄρξαι δέ μοι πρῶτον ἀσκεῖν, ἀπὸ τῶν ἀκριβῶν τύπων. οὔτε γὰρ ἄλλο τι μάτην ὁ Ἱπποκράτης εἶπεν, οὔθ᾽ ὡς ὁ ἀκριβὴς τριταῖος, ἐν ἑπτὰ περιόδοις κρίνεται τὸ μακρότατον. Τίς οὖν ὁ ἀκριβὴς τριταῖος οὗτος; οὐδὲν γὰρ παρ᾽ Ἱπποκράτει αὐτοῦ γνώρισμα γέγραπταί τι τοιοῦτον, οἷον καὶ τοῖς ἐπιτυχοῦσιν εἶναι πρόδηλον. ἀλλ᾽ εἰ μέν σε χειραγωγήσαι μι, μαθήσῃ ῥᾳδίως, τίνα λέγει τὸν ἀκριβῆ τριταῖον. εἰ δ᾽ ἐάσαι μί σε κυλινδεῖσθαι κατὰ τὰ βιβλία, πρὶν εἰσαχθῆναι προσηκόντως, οὐκ ἂν οὐ μόνον ἐκμάθοις οὐδὲν οὔτε περὶ τριταίου τι χρηστόν, οὔτ᾽ ἄλλου τινὸς τῶν ἁπάντων, ἀλλὰ καὶ παρακούσῃς μυρίων. ὅταν οὖν ἀναγνοὺς ἐν ἀφορισμοῖς τὰ πλεονάζοντα κατὰ τὸ θέρος νοσήματα πυρετούς τε εἶναι συνεχεῖς, καὶ καύσους, καὶ τριταίους πλείστους, πρῶτον μὲν αὐτὸ δὴ τοῦτο μὴ παρακούσῃς, τὸ ὡς θέρους μέμνηται οὐ τοῦ παρὰ φύσιν ἔχοντος, οἷον ἐν Κρανῶνι ποτὲ γενέσθαι φησί. ὕοντος καύματι λάβρῳ δι᾽ ὅλου. ἀλλ᾽ εἴ ποτε τινὰ τάξιν καὶ κόσμον ἑκάστῃ τῶν ὡρῶν ἐνενόησας, ἀναμνήσθητί μοι καὶ νῦν. ὡς ὁ μὲν χειμὼν ἅπαντος τοῦ ἔτους ὑγρότατός ἐστι καὶ ψυχρότατος. ἐναντίως δ᾽ αὐτῷ, τὸ θέρος ξηρότατόν τε καὶ θερμότατον. εἰ δ᾽ ἔμπαλιν ὁ μὲν χειμὼν, ξηρός. ὑγρὸν δὲ γίγνοιτο τὸ θέρος. οὐ κατὰ φύσιν ἔχει τὰ τῶν ὡρῶν. οὐκ οὖν οὐδὲ τὰ θερινὰ νοσήματα τηνικαῦτα, ἐν θέρει πλεονάσει. μὴ γάρ πω δοκεῖ διὰ τὴν προσηγορίαν τῶν ὡρῶν, ἕκαστον τῶν νοσημάτων γίνεσθαι τοῖον, ἢ τοῖον, ἀλλὰ διὰ τὴν περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν. ὡς γὰρ ἂν οὕτως ἔχῃ φύσεως, οὕτω καὶ ἡμᾶς διατίθησι. κατὰ τοῦτο οὖν ἔλεγεν ὁ Ἱπποκράτης
» ὁπόταν ἔαρ ὅμοιον τῷ φθινοπώρῳ γένηται, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι δεῖ. θερμὴν δέ τινα
» καὶ ξηρὰν κατάστασιν ἔχειν χρὴ τὸ θέρος, ἐπειδὰν ἀκριβῶς διασώζῃ τὴν ἑαυτοῦ φύσιν. ἀλλ᾽ εἴπερ οὕτω τοῦτ᾽ ἔχει, δῆλον ὡς τὸ μάλιστα τοιοῦτον θέρος, πλείστους οἴσει τριταίους πυρετούς. ἆρ᾽ οὖν ὥρα μὲν ἡ θερμὴ καὶ ξηρὰ τριταίων πυρετῶν εὔφορος, ἡ χώρα δ᾽ οὐχ ὁμοίως ἡ θερμὴ καὶ ξηρὰ τῆς ὑγρᾶς καὶ ψυχρᾶς εὐφορωτέρα, τοὐναντίον δῆλον; τί οὐχὶ καὶ τοῦ κάμνοντος ἡ κρᾶσις αὐτοῦ καὶ τοῦτ᾽ ἀναγκαῖον. εἰ δὲ καὶ διαιτηθείη θερμότερόν τε καὶ ξηρότερον, ὅπερ ἐστὶν ἐν πόνοις μὲν πλείοσι, καὶ ἀγρυπνίαις, καὶ φροντίσι, καὶ λύπαις, ἐδέσμασί τ᾽ ἐλάττοσί τε καὶ χολωδεστέροις, ἆρ᾽ οὖν οὐχὶ καὶ κατὰ ταῦτα, χολωδέστερος ἂν αὐτὸς ἑαυτοῦ γένοιτο. καὶ δηλονότι θερμότερός τε, καὶ ξηρότερος; ὅτι μὲν γὰρ ἐπὶ θερμοῖς καὶ ξηροῖς αἰτίοις ἡ ξανθὴ χολὴ πέφυκεν ἀθροίζεσθαι, παρ᾽ Ἱπποκράτει ἐμάθομεν ἄλλοθί τε πολλαχόθεν, κἀξ ὧν ἐν θέρει πλεονάζειν αὐτήν φησι. ταῦτ᾽ εἴρηταί μοι, καὶ τριταίου πυρετοῦ γένεσιν ἤδη μεμάθηκας, ὃς γὰρ ἂν ἐν θέρει μὲν γένηται καὶ τούτῳ μάλιστα θερμῷ τε καὶ ξηρῷ, τοιοῦτο

ρῷ, τοιοῦτον δὲ ἢ καὶ τὸ χωρίον, καὶ ἡ τοῦ κάμνοντος φύσις ὁμοία, καὶ τὰ πρόσθεν διαιτήματα, πρὸς τοῦτ᾽ ἄγοντα, τριταῖος οὗτος δύναται εἶναι. καὶ μὴν ἄχρι γε τούτου χολώδη πυρετὸν ἐγγεννήσαμεν τῷ λόγῳ, τριταῖον δ᾽ οὔπω, δεόντως. εἰ γὰρ συνεχεῖς καὶ καύσους καὶ τριταίους πλείστους αὐτό τε θέρος, ἕκαστόν τε τῶν εἰρημένων αἰτίων ἀπεργάζεται, κοινὴ μέχρι τοῦδε τοῖς καύσοις πυρετοῖς ἡ τοῦ τριταίου γένεσις. ἀτὰρ οὖν καὶ φαίνεται τοῦτό γε, καὶ αὐτὸς ὁ παροξυσμὸς τοῦ τριταίου, τῶν ὀξυτάτων τε καὶ καυσωδεστάτων πυρετῶν οὐδενὸς ἀπολείπεται, τί ποτ᾽ οὖν διήνεγκεν; ὅτι τὴν χολὴν οὗτος μὲν, εἰς ἅπαν τὸ σῶμα φερομένην ἔχει, καὶ διὰ τοῦτο ῥῖγος τε σφοδρὸν αὐτοῖς προσγίνεται, καὶ χολῆς ἔμετος ἐπιφαίνεται, καὶ τὰ οὖρα, καὶ οἱ ἱδρῶτες αὐτοῖς χολώδεις εἰσίν. εἴρηται δὲ καὶ περὶ τούτων ἑτέρωθι, τοῖς δ᾽ ἄλλοις καύσοις πυρετοῖς ὅσοι μὴ διαλείπουσιν, ὁ τῆς ξανθῆς χολῆς χυμὸς ἐδείκνυτο περιεχόμενος ἐν τοῖς ἀγγείοις ἅμα τῷ αἵματι. καὶ ταύτῃ διαφέρουσιν οὗτοι τῶν τριταίων, εἰ καὶ τὸν ἐργαζόμενον αὐτοὺς χυμὸν ἔχουσι τὸν αὐτὸν, ὅτι τοῖς μὲν, ἐντὸς τῶν φλεβῶν ἐστί. τοῖς δὲ, σφοδρῶς, κινούμενος, ἐπὶ παντὸς τοῦ σώματος διασπείρεται τὰ μόρια, καὶ διὰ τοῦτ᾽ αὐτὸς ἑαυτὸν ἐκκαθαίρει τῷ σφοδρῷ τῆς φορᾶς. αὕτη καὶ τοῦ παύεσθαι τὸν πυρετὸν ἐπὶ τοῖς ἱδρῶσί τε καὶ τοῖς ἐμέτοις ἡ αἰτία. τοῖς καύσοις δ᾽ ἕκαστος τῶν κατὰ μέρος παροξυσμῶν, εἰς ἀπυρεξίαν οὐκ ἔρχεται, διὰ τὸ μὴ δ᾽ ἐκκαθαίρεσθαι τὸν αἴτιον χυμόν. ἀλλ᾽ ἐπειδὰν καὶ τούτοις ἡ χολὴ σφοδρότερον κινηθεῖσα, καὶ οἷον ζέσασα τὸ δέ τι καὶ πρὸς αὐτῆς τῆς φύσεως ῥωσθείσης ὠθουμένη πάντῃ τοῦ σώματος ἴῃ, ῥῖγός τε προσγίνεται, καὶ λύσις ἐπιγίνεται. ὑπὸ καύσου γάρ φησιν ἐχομένῳ ῥίγεος ἐπιγενομένου, λύσις. ὅτι δ᾽ οὐ μόνον τὸ ψυχρὸν αἴτιον, ἀλλὰ καὶ τὸ δριμὺ, καὶ τὸ θερμὸν ἐργάζεσθαι ῥῖγος δύναται, ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις ἀποδέδεικται. παραθεμένων ἡμῶν τούς τε διὰ δριμὺ καὶ θερμὸν φάρμακον ἐπιτεθὲν ἕλκει δηχθέντας σφοδρῶς, εἶτα ῥιγώσαντας, τούς τε περιττωμάτων πεπληρωμένους καπνώδων, εἶτ᾽ εἰς βαλανεῖον εἰσελθόντας καὶ φρίξαντας. οὕτως γὰρ δὴ καὶ τοὺς πυρέξοντας καὶ τοὺς ἀπεπτήσαντας σφοδρῶς, καὶ πάντας οἷς ἂν ᾖ τὸ σῶμα μεστὸν ἀκαθαρσίας δριμείας ἐάν τ᾽ εἰς βαλανεῖον εἰσέλθωσιν. ἐάν τ᾽ εἰς χωρίον ἡλιούμενον σφοδρῶς, ἐάν τ᾽ ἄλλην ἡντιναοῦν κίνησιν σφοδροτέραν κινηθῶσι, εὐθὺς μὲν, φρίττοντας ὁρῶμεν. ἢν δὲ καὶ διατρίψωσιν ἐπὶ πλέον ἐν αὐτοῖς, εἰς ῥῖγός τε καὶ κλόνον ἀγομένους, ὡς ἂν εἰς κίνησιν σφοδροτέραν ἔν τε τοῖς βαλανείοις καὶ τοῖς γυμνασίοις ἐρχομένων, τῶν τέως ἡσυχαζόντων περιττωμάτων. ἅπαντα γὰρ ταῦτα κινούμενά τε καὶ διὰ τῶν αἰσθητικῶν σωμάτων ἐπιφερόμενα, νύττει τε καὶ κεντεῖ, καὶ τιτρώσκει. κἀντεῦθεν τήν τε ἀνώμαλον αἴσθησιν καὶ τὸ ῥῖγος καὶ τὸν κλόνον ἐπιφέρει. ταυτὶ μὲν οὖν ἑτέρωθι λέλεκται. τριταῖος δὲ πυρετὸς ἔκγονος ὑπάρχων τῆς ξανθῆς χολῆς κινουμένης, εὐλόγως εὐθὺς κατ᾽ ἀρχὰς ῥῖγος οὐκ ἀγεννὲς ἐπιφέρει. διαφέρων αὐτῷ τούτῳ πρῶτον τοῦ τεταρταϊκοῦ ῥίγους, τῷ κεντεῖσθαι δοκεῖν καὶ τιτρώσκεσθαι τὸν χρῶτα. τοιαύτη γὰρ ἐν τριταίοις πυρετοῖς, ἡ τοῦ ῥίγους αἴσθησις, ὥσπερ ἐν τεταρταίῳ κατάψυξιν ἔχουσα σφοδρὰν ὁμοιοτάτην τῇ διὰ κρύος ἐν χειμῶνι γινομένῃ. ἐδείκνυτο γὰρ δὴ καὶ τῷ τεταρταίῳ πυρετῷ χολὴ μέλαινα πλεονάζουσα μάλιστα, καθάπερ ἐν τοῖς ἀμφημερινοῖς, τὸ φλέγμα. τὸν οὖν ἀκριβῆ τριταῖον οὐκ ἐνδέχεται μὴ οὐ μετὰ ῥίγους σφοδροῦ γενέσθαι, νύττοντος καὶ τιτρώσκοντος τὴν σάρκα. τεταρταῖος δὲ πυρετὸς οὐκ εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας εἰσβάλλει μετὰ ῥίγους σφοδροῦ, προϊόντι γὰρ αὐτῷ καὶ αὐξανομένῳ, συναύξεται καὶ τὸ ῥῖγος, ἥ τ᾽ αἴσθησις, οὐ νυττομένων ἐστὶ τῶν καμνόντων, ἀλλὰ καταψυχομένων τε καὶ οἷον θλωμένων ἄχρι καὶ τῶν ὀστῶν, οὕτως γ᾽ οὖν ἀκοῦσαι λεγόντων αὐτῶν ἐστι, ὡς ὀστοκόπῳ τε συνέχεσθαι καὶ συνθλᾶσθαι τὴν σάρκα φαντάζονται. τῶν δ᾽ ἀμφημερινῶν οὐδὲ προηγεῖται ῥῖγος, οὔτ᾽ εὐθὺς ἐξ ἀρχῆς, οὔτε προϊόντων, ἀλλὰ περιψύχονται μόνον. ἆρ᾽ οὖν ταῦτα μόνα τὰ γνωρίσματα τῶν τριταίων πυρετῶν ἐστιν, ἢ καὶ τὰ τῶν σφυγμῶν οὐδ᾽ ἐν οὐδ᾽ ἐγγὺς ἔχει τοῖς τεταρταίοις; οὗτοι μὲν γὰρ, μικροὺς, καὶ ἀμυδροὺς, καὶ βραδεῖς, καὶ ἀραιοὺς εἰς τοσοῦτον ἐργάζονται τοὺς σφυγμοὺς ἐν ταῖς ἐπισημασίαις, ὡς οὐδεμία διάθεσις ἄλλη. τριταίοις δὲ μικροὶ μὲν, καὶ ἀμυδροὶ, καὶ βραδεῖς, καὶ ἀραιοὶ κατὰ τὰς εἰσβολὰς ἐξ ἀνάγκης γίνονται. ἀλλ᾽ ἡ βραδύτης τε καὶ ἀραιότης, οὐ μικρῷ τινι τῆς ἐν τοῖς τεταρταίοις ἀπολείπεται. δεδέσθαι γάρ σοι δόξει κατὰ τὰς εἰσβολὰς τῶν τεταρταίων ἡ ἀρτηρία. καὶ εἴσω καθέλκεσθαι, καὶ ἀνιέναι κωλύεσθαι. κατὰ δὲ τὰς τριταϊκὰς, οὔτε τοιοῦτον οὐδὲν, ἥ τε βραδύτης, ἐγγὺς τῇ κατὰ φύσιν ἑκάστῃ κινήσει. τεταρταίων δὲ πυρετῶν εἰσβαλλόντων εἰ καὶ νέος ὁ κάμνων εἴη γεροντικῆς ἐσχάτως ἡλικίας ἡ ἀρτηρία τούτου μιμεῖται τὴν κίνησιν. ἐξ οὖν τούτων ἁπάντων ὁ τοῦ γνησίου τριταίου ἐστὶ παροξυσμὸς, διεγνώκοι καὶ πρὸς τούτοις ἔτι, τάξις ἀκριβής ἐστιν καὶ ὁμαλότης ἐν τοῖς σφυγμοῖς. οὔτε γὰρ ἐν μιᾷ κινήσει τις ἀνωμαλία κατ᾽ αὐτοὺς, οὔτ᾽ ἐν ἀθροίσματι. καί τοι σπάνιον τοῦτό γε καὶ παντάπασιν ὀλίγαις ἀρχαῖς παροξυσμῶν ὑπάρχον. ἤδη τε οὖν εἰσβάλλων ὁ τοιοῦτος πυρετὸς, οὐκ ἂν οὐδένα λάθοι τῶν πολλάκις ἑωρακότων αὐτόν. ἔτι δὲ καὶ μᾶλλον, ἐν ταῖς καλουμέναις ἀναβάσεσί τε καὶ αὐξήσεσι, ὁμαλὸν μὲν γὰρ καὶ ἀκώλυτον ἔχει τὸ τάχος. ἐγείρεται δὲ εἰς μέγεθος καὶ σφοδρότητα παραχρῆμα. κἂν τούτοις ἅπασι ἀνάλογον. εἰς πυκνότητα. καὶ τὸ τῆς φλεγμονῆς αὐτῷ σημεῖον, οὐ πάρεστιν. ἤδη τε οὖν δίψος ἐπιφέρει καὶ διακαίει τὸν ἄνθρωπον, καὶ μικρὸν ὕστερον ἀκμάζει, καὶ τὸ θερμὸν ὁμαλῶς ἐκτέταται πάντῃ. καὶ κατ᾽ οὐδὲν ὁ θώραξ τῶν ἄκρων θερμότερός ἐστιν. εἰ δ᾽ ἐπιβάλλοις τὴν χεῖρα. κατὰ μὲν τὴν πρώτην προσβολὴν, ἅπαντα θερμασία πολλὴ, καὶ δριμεῖα, καὶ οἷον μετ᾽ ἀτμοῦ τινὸς ἀναφερομένη. νικᾶται δ᾽ ὀλίγον ὕστερον ὑπὸ τῆς χειρὸς οὐκ, ὥσπερ καὶ τῶν κακοήθων καύσων. ἔμπαλιν γὰρ ἐκεῖναι δεινότεραι, καὶ ἀηδέστεραι χρονίζουσαι φαίνονται. καὶ δὴ καὶ πίνειν δὴ καιρὸς τῷ κάμνοντι. καὶ πίοντι, αὐτίκα δὴ μάλα πλῆθος μὲν ἄνεισιν ἀτμοῦ θερμοῦ διὰ τοῦ δέρματος, ἀγγέλλον ἱδρῶτας. ἔμετος δ᾽ ἐπιφαίνεται χολῆς, ἢ γαστήρ που κατέρρηξε. καὶ οὐροῦσι χολώδη. νυνὶ μὲν γὰρ καὶ ὁ τυχὼν, γνωρίσειε τὸν ἀκριβῆ τριταῖον. ἀνέχεται μὲν γὰρ ἱδρὼς ἀτμώδης τε καὶ θερμὸς, ὥσπερ ἐν βαλανείῳ. ἅπαν δ᾽ αὐτοῖς ὁμαλῶς ἱδροῖ τὸ σῶμα, καὶ ὁ σφυγμὸς, οἷος ὁ τῶν ἀκριβῶς ὑγιαινόντων ἐν γυμνασίοις τε καὶ λουτροῖς, ταχὺς, καὶ μέγας, καὶ σφοδρὸς καὶ πυκνὸς. ἦν γὰρ δήπουθεν εὐθὺς ἐξ ἀρχῆς ἤδη, καὶ ὁμαλός. ἐπὶ τούτοις ἅπασιν εἰς ἀπυρεξίαν παύεται τὸν σύμπαντα χρόνον τοῦ παροξυσμοῦ ποιησάμενος ὡρῶν οὐ πλειόνων δώδεκα. πλεῖστος γὰρ οὗτος ὁ χρόνος ἐν τριταίοις γνησίοις.

ὡς τὰ πολλὰ δὲ ποτὲ μὲν, ἑπτὰ πασῶν ὡρῶν, ὁ παροξυσμὸς αὖθις γίνεται. ποτὲ δ' ἤτοι πρωϊαίτερον, ἢ ὀψιαίτερον οὐ πολλῷ παύεται. ἐνταῦθα μὲν εἰ μή πω γνωρίσαις ἀκριβῆ τριταῖον ὑπάρχειν, ἀλλ' ἔτ' ἀναμένεις, τὴν ληρώδη διατριβὴν, οὐκ ἂν οὐδ' ὄνος ἔτι Θεσσάλειος, ἀλλά τις εἴης λίθος. εἰ δὲ καὶ οὐρήσαντος αὐτοῦ, τὸ οὖρον ὑπόπυῤῥόν τε καὶ ὑπόξανθον εἴη, καὶ συμμέτρως παχύ. καὶ μικρὸν ὕστερον, ἢ νεφέλην λευκὴν, ἢ ἐναιώρημα χρηστὸν ἐργάζοιτο. νῦν μὲν ἂν οὐκέτ' οὐδὲ λίθος ἁπλῶς, ἀλλὰ μυλίας τις ἂν εἴης λίθος, εἰ μήπω γνωρίζεις, ὅτι καὶ τριταῖος οὗτος ὁ πυρετός ἐστι, καὶ ἀκριβὴς τριταῖος, καὶ τὴν τετάρτην οὐχ ὑπερβαίνοι περίοδον. πυῤῥοτέρων δὲ τῶν οὔρων ὄντων καὶ μήτ' ἐναιωρήματος μηδενὸς, μήτε νεφέλης ἐν τῇ πρώτῃ περιόδῳ φανείσης, εἰς τὰς ἑπτὰ περιόδους ἐκταθήσεται. πάντων δ' ἁπλούστατός ἐστι τριταίων πυρετῶν, ὃς ἂν ἅπανθ' ὅσαπερ εἶπον ἔμπροσθεν ἀκριβοῦς εἶναι τριταίου γνωρίσματα προσδέξας, ὑπόστασιν ἐν τοῖς οὔροις λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ποιήσεται κατὰ τὴν πρώτην ἡμέραν. οὐ γὰρ ὑπερβήσεται τὴν τρίτην οὗτος περίοδον. ἄγε οὖν ἐπειδὴ πάντ' εἴρηται τὰ τοῦ γνησίου τριταίου γνωρίσματα καθάπερ τινὰ ἐπιλογίαν αὐτῶν διὰ κεφαλαίων ποιησάμενοι, μεταβῶμεν οὕτως ἐφ' ἕτερον. ὁ μὲν παροξυσμὸς εἰσβάλλει μετὰ ῥίγους σφοδροῦ, τοὺς σφυγμοὺς, οἵους εἴρηκα, ποιούμενος. ἔπειτ' ὀλίγον ὕστερον, αὔξεταί τε καὶ πρὸς τὴν ἀκμὴν ἐπείγεται σὺν οἷς εἴρηται πᾶσιν. εἶτα λύεται καθ' ὃν εἴρηται τρόπον. ἡ γένεσις δὲ αὐτοῦ κατάστασις μὲν αὐχμηρὰ καὶ θερμὴ δεῖται, καὶ τὸ σύμπαν φάναι θερινῆς ὥρας. ἡλικίας δ' ἀκμαστικῆς, καὶ χολώδους φύσεως, ἐν πόνοις, καὶ φροντίσι, καὶ ἀγρυπνίαις, καὶ τροφῶν ἐνδείαις γεγυμνασμένης. καὶ εἰ βούλει πρόσθες τούτοις διὰ τοὺς λιθίνους τούτους μεθοδικοὺς, ὅπερ εἴωθέ πως, καὶ ὁ Ἀρχιγένης προσγράφειν. ἔστω δὲ δή που καὶ ἡ παροῦσα κατάστασις, ἐπιδημίαν ἐνηνοχυῖα τριταίων. ἵνα τοῖς τεχνικοῖς γνωρίσμασι καὶ τὸν ἰδιωτικὸν μὲν, ἀληθῆ δὲ, στοχασμὸν προσθεὶς, αὐξήσεις τὸ πιστὸν τῆς προγνώσεως. ὦ πρὸς τῶν θεῶν ὅπω τοιοῦτον ὁρῶμεν εἶναι τριταῖον, ἀλλὰ τὴν τῶν ὀριοργῶν ἀναμένουμεν διάτριτον, ἣν ἐν τῇ γυναικωνίτιδι τρεφόμενος ὁ ληρώδης Θεσσαλὸς ὑπὸ πατρὶ μοχθηρῷ ἔρια ξαίνοντι κακῶς ἐτόλμα λέγειν, Ἱπποκράτην τε καὶ τοὺς ἄλλους παλαιούς. ὁ τὰ τῆς ἰατρικῆς ἅπαντα θεωρήματα καταλαζονευσάμενος, ὡς τὰ ὑπάρχοντα καὶ βέβαια, τριταῖον εἰσβάλλοντα πυρετὸν, οὐχ οἷός ἐστι γνωρίζειν, ἀλλὰ μένει τὴν διάτριτον. τοῦτο γάρ τοι θαυμαστόν ἐστιν. ὅσα μὲν οὐκ ἦν βέβαια, ταῦτα εἶπεν εἶναι βέβαια. σύμπαντα δὲ ἠγνόησε, τὰ κατὰ τὴν ἀλήθειαν βέβαια. ταύτης μὲν δὴ τῆς γραὸς, οὐδὲ μεμνῆσθαι προσήκει. τοῦ δ' ἀκριβοῦς τριταίου ἤδη γνωρισθέντος, ἐπὶ τὸν ἀκριβῆ τεταρταῖον μετιέναι ἤδη καιρὸς, οὗ τὴν μὲν ἀρχὴν ὁποία τίς ἐστιν, ἤδη προειρήκαμεν, ὡς οὐδὲν ὅμοιον ἔχουσα τῇ τριταϊκῇ περιόδῳ, κατά τε τὸ ῥῖγος, καὶ τοὺς σφυγμούς. τὰ δ' ἐφεξῆς ἤδη λέγωμεν. καίτοι τό γε τῶν ἐν τοῖς παροξυσμοῖς σφυγμῶν ἔμπροσθεν εἰρημένων ὑπομνῆσαι καὶ νῦν, εὔλογον. εἰ γὰρ εἰδείης τοῦ νοσοῦντος τὸν κατὰ φύσιν σφυγμὸν, ἢ εἰ καὶ καθ' ἑτέραν αὐτοῦ νόσον ἐν ἀρχῇ παροξυσμοῦ παραγεγονὼς εἴης, μηκέτ' ἄλλο μηδὲν ἀναμείνῃς εἰς ἀπόφασιν τοῦ τεταρταῖον εἶναι τὸν εἰσβάλλοντα πυρετόν. ἐξαίσιος γάρ τις ἡ εἰς ἀραιότητά τε καὶ βραδυτῆτα τροπὴ γίνεται. καὶ ἔγωγε τῶν ἐμαυτοῦ συνήθων τινὰς ὧν ἀκριβῶς ᾔδειν τοὺς σφυγμοὺς εἰσβάλλοντος τοῦ παροξυσμοῦ θεασάμενος, ἀπεφηνάμην ὡς οὐκ ἐνδέχεται τὴν ἀρχὴν ταύτην ἄλλου τινὸς ὑπάρχειν, ἢ τεταρταίου πυρετοῦ, καὶ οὕτως ἀπέβη. σὺ δ' εἰ τῆς περὶ τοὺς σφυγμοὺς τέχνης ἀπειρότερος ἔχεις, εἶθ' ἡ μὲν ἀραιότης αὐτῶν καὶ βραδυτὴς κινήσειέ σε, ἀσφαλέστερον δ' ἔτι καὶ ἀκριβέστερον διορίζεσθαι βούλοιο, τῶν Ἱπποκράτους ἀναμιμνήσκου κἀνταῦθα παραγγελμάτων. ὡς γὰρ ἐν θέρει τριταίους πυρετοὺς πλεονάζειν, οὕτως ἐν φθινοπώρῳ τεταρταίους ἔφησε. ἐπίσκεψαι δὲ πρῶτον μὲν, αὐτὸ τοῦτο. εἰ ξηρὸν καὶ ψυχρὸν καὶ ἀνώμαλον, ἐν τῇ κράσει τὸ φθινόπωρον ἐγένετο καὶ μᾶλλον ἔλπιζε τεταρταίας περιόδους ἐν αὐτῷ συστήσεσθαι πολλάς. εἶθ' ἑξῆς, εἰ καὶ τὸ χωρίον αὐτὸ τοιούτων πυρετῶν εὔφορον εἴη. καὶ ἡ φύσις τοῦ κάμνοντος μελαγχολικωτέρα. καὶ τὰ τῆς προγεγενημένης διαίτης, οἷα μέλαιναν ἀθροῖσαι χολήν. καὶ εἴ τις ἐπιδημία νῦν ἐστι τεταρταίων πυρετῶν, ἐπισφραγίζου δὲ ταῦτα τοῖς ἐφεξῆς ἐρησομένοις. εἰ καὶ ὑπόσπληνος ὁ ἄνθρωπος εἴη. ἢ εἰ ἐκπεπλανημένων πυρετῶν. ἢ εἰ καὶ τὰ τῆς ἀναβάσεως, καὶ τὰ τῆς ἀκμῆς, ἐναντιώτατα τοῖς τριταίοις εἴη πυρετοῖς, κατά τε τὰς τοῦ θερμοῦ κινήσεις, καὶ κατὰ τὰς τῶν σφυγμῶν, καὶ ἐπὶ τούτοις ἅπασιν εἰ λεπτὰ καὶ λευκὰ καὶ ὑδατώδη τὰ οὖρα, παντάπασι γὰρ ταῦτά γε, τοῖς τῶν τριταίων ἐναντιώτατα. τριταῖον μὲν δὴ τεταρταίου κατὰ τὴν πρώτην εὐθὺς ἡμέραν ὁ μὴ δυνάμενος διακρίνειν, οὐδ' ἰατρὸς ὅλως ἐστί. Ἀμφημερινὸν δὲ τριταίου μὲν, ἐπιπονώτερον διορίζειν, οὔτε γὰρ μετὰ ῥίγους εἰσβάλλει κατὰ τὴν πρώτην ἡμέραν εὐθὺς, ἀλλὰ καὶ προϊόντος τοῦ χρόνου περίψυξις αὐτοῖς μᾶλλον, ἢ ῥῖγος γίνεται καὶ σαφὴς ἀταξία τε καὶ ἀνωμαλία συνεδρεύει τοῖς σφυγμοῖς, κατὰ τὴν ἀρχὴν τῶν παροξυσμῶν. ἴσμεν δὲ ὅτι κἀν ταῖς ἀναβάσεσι τὸ ταχὺ τῆς κινήσεως, καὶ τὸ μέγα, καὶ τὸ σφοδρὸν, ὅπερ τοῖς τριταίοις ὑπῆρχε σαφέστατον, οὐχ ὑπάρχει τοῖς ἀμφημερινοῖς. οὐ μὴν οὐδὲ διακαίουσι τοὺς κάμνοντας, οὐδὲ γυμνοῦσθαι τε καὶ τὴν ἐσθῆτα ῥίπτειν ἀφ' ἑαυτῶν ἀναγκάζουσιν, οὐδὲ πολὺ καὶ πυκνὸν ἀναπνεῖν, οὐδ' ἐκφυσᾶν, οἷον φλόγα τινὰ καὶ πιεῖν αἰτεῖν ψυχρὸν, ἀλλ' ἥκιστα πυρέττοντες οὗτοι, διψώδεις εἰσί. καὶ οὖρον, αὐτοῖς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, οἷον τοῖς τεταρταίοις ἀρχομένοις καὶ ἱδροῦσι ἥκιστα περὶ τὰς πρώτας ἡμέρας. ἐπὶ μέν γε τῷ χρόνῳ προϊόντι, καὶ τοῦτ' αὐτοῖς προσγίνεται. τριταίου μὲν δὴ σαφῶς διενήνοχεν, ὡς ὅμοιον ἔχειν μηδέν. ἐγγυτέρω δ' ἐστὶ, τεταρταίῳ, διαφέρει γε μὴν, καὶ τούτου σαφῶς. πρῶτος μὲν καὶ μάλιστα, τοῖς σφυγμοῖς οὓς ἐπὶ συνήθων ἀῤῥώστων ἀκριβῶς ἄν τις φωράσειεν. ἤδη δὲ καὶ τῷ ῥίγει καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ἔξωθεν ἐφ' οἷς γίνεται. καὶ γὰρ φύσεως ὑγροτέρας δεῖται, καὶ βίων ἀργοτέρων τε καὶ μετὰ πλησμονῶν. οὗτος γ' οὖν καὶ παιδίοις μάλιστα πλεονάζει, καὶ σπάνιον εἰ μὴ καὶ στόμα τῆς γαστρὸς, ἢ καὶ τὸ ἧπαρ αὐτοῖς, ἐπόνησεν. ἀτὰρ οὖν καὶ ἀπεψίαι προηγοῦνται πολλαὶ, καὶ βραδυπεψίαι, καὶ ὀξυρεγμίαι, καὶ πυρέττειν ἀρχομένων, ὑποχόνδριον μὲν ἐν ὄγκῳ μείζονι τοῦ κατὰ φύσιν ἐστὶν ἅπαντος, ὡς τὰ πολλὰ δὲ καὶ διαπεφυσημένον τε, καὶ περιτεταμένον ὠχρόλευκός τε τούτοις ἡ χροιὰ, κἂν ὁ παροξυσμὸς ἀκμάσῃ. καὶ ὁ χειμὼν εὔφορος, τοιούτων νοσημάτων. καὶ κατάστασις ὑγρὰ, καὶ χωρίον τοιοῦτον. καὶ ἡ ἀρχὴ τῶν παροξυσμῶν εἰς ἑσπέραν. οὕτω μὲν ἀμφημερινὸς, καὶ τριταῖος, καὶ τεταρταῖος, ἀλλήλων διορίζονται κατὰ τὴν πρώτην ἡμέ-

ραν.

ραν. Τοὺς δὲ συνεχεῖς μὲν, ὁμογενεῖς δὲ, τοῖς προειρημένοις πυρετοῖς, γεγυμνασμένος μέν τις ἤδη ἂν οὐδ' ἐν τῇ πρώτῃ τῶν ἡμερῶν γνωρίζειν τε καὶ διακρίνειν ἀλλήλων ἀδυνατήσειεν. ὑπὲρ δ' οὖν τὴν δευτέραν εἰ προσέχοι τὸν νοῦν, κἂν ἀγύμναστος εἴη. καλῶ δὲ ὁμογενεῖς πυρετοὺς συνεχεῖς, ἑκάστῳ τῶν διαλειπόντων τριταίῳ μὲν ἀκριβεῖ, τὸν ἀκριβῆ καῦσον. ἀμφημερινῷ δὲ, τὸν καθ' ἑκάστην ἡμέραν παροξυνόμενον, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενον. οὕτω δὲ καὶ τεταρταίῳ, τὸν διὰ τετάρτης. ὅτε γοῦν ἀκριβὴς καῦσος ἅπαντα τἄλλα φυλάττων ἀκριβῶς τριταίου γνωρίσματα, μόνῳ τῷ μὴ μετὰ ῥίγους εἰσβάλλειν, μήτ' εἰς ἀπυρεξίαν παύεσθαι διενήνοχεν. ὁ δὲ καθ' ἑκάστην ἡμέραν παροξυνόμενος ὅταν καὶ ὥραν, καὶ κατάστασιν, καὶ ἡλικίαν, καὶ χώραν, καὶ φύσιν σώματος, καὶ τὴν προγεγενημένην δίαιταν, ἔτι τε τὴν τῶν σφυγμῶν ἰδέαν, καὶ τὴν θερμασίαν τὴν αὐτὴν ἔχῃ τοῖς ἀκριβέσι ἀμφημερινοῖς, μὴ παύηται δὲ εἰς ἀπυρεξίαν, ὁμογενής ἐστιν αὐτοῖς. κατὰ τὰ αὐτὰ δὲ, καὶ ὁ διὰ τετάρτης μὲν παροξυνόμενος, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος, ὁμογενής ἐστι τεταρταίῳ. καὶ δῆλον ὡς οὔτε ῥῖγος αὐτῷ προηγήσεται τῶν παροξυσμῶν, οὔθ' ἱδρὼς ἕψεται, καθάπερ οὐδὲ ἐν τῷ καύσῳ τούτων οὐδέτερον, οὔτ' εὐθὺς κατ' ἀρχὰς, οὔτε ἐφεξῆς ἄχρι κρίσεως, οἷόν τε γενέσθαι. τούτους οὖν πρώτους, ἀσκησάτω τις γνωρίζειν τε καὶ διακρίνειν ἀλλήλων τοὺς ἁπλοῦς τε καὶ ἀμίκτους ἑτερογενέσι πυρετοῖς, οὓς δὴ αὐτοὺς, γνησίους τε καὶ ἀκριβεῖς οἱ παλαιοὶ τῶν ἰατρῶν ὀνομάζουσιν. ὁ γὰρ ὑπὸ μόνῃ τῇ ξανθῇ χολῇ πυρετὸς ἀναπτόμενος ἄνευ σπλάγχνου κακώσεως. εἰ μὲν οὖν ἐν τοῖς ἀγγείοις ἔτι μενούσης τῆς χολῆς ἐξάπτοιτο, καῦσος ἀκριβής ἐστιν. εἰ δὲ πάντη φερομένης, τριταῖος. οὕτω δὲ εἰ καὶ μελαίνης χολῆς ἔγγονος ὁ πυρετὸς ὑπάρχει. κινουμένης μὲν, τεταρταῖός ἐστιν. ἑδρασμένης δὲ, διὰ τετάρτης. ὥσπερ εἰ καὶ φλέγματος, ἤτοι γε ἀμφημερινὸς, ἢ καθ' ἑκάστην ἡμέραν παροξυνόμενος. οἱ γὰρ εἰς ἀπυρεξίαν λήγοντες πυρετοὶ, τριταῖοί τε καὶ τεταρταῖοι καὶ ἀμφημερινοὶ, τὴν αὐτὴν ὑπόθεσιν ἔχοντες τοῖς εἰρημένοις συνεχέσιν, ἑνὶ μόνῳ τῷ περὶ τὰς φλέβας ἢ πάντη φερομένους ἔχειν τοὺς χυμοὺς, διενηνόχασιν. ὅθεν καὶ τἄλλα μὲν αὐτοῖς τὰ αὐτά. τῷ δὲ μετὰ ῥίγους, ἢ μὴ σὺν ῥίγει καὶ σὺν ἐμέτοις τισὶ καὶ ἱδρῶσι, ἢ ἄνευ τούτων γίνεσθαι διαφέρουσι. συνεχῆ μὲν δὴ πυρετὸν ὀνομάζω, τὸν εἰς ἀπυρεξίαν, πρὶν τελέως λυθῆναι, μὴ παυόμενον, κἂν παρακμή τις αἰσθητὴ φαίνηται. ὅταν δὲ μηδὲ παρακμή τις αἰσθητὴ γίνηται, διὰ παντὸς δὲ ἀπὸ τῆς πρώτης ἀρχῆς ἄχρι κρίσεως ὅμοιος διαμένει, τοῦ γένους μέν ἐστι καὶ οὗτος τῶν καυσωδῶν πυρετῶν, ὀξύτητι δ' αὖ τῶν διενήνοχεν. ἀλλ' οὔτε ἐπὶ τὴν πρώτην ἡμέραν, ἢ δευτέραν οἷόν τε προγνῶναι τὸν τοιοῦτον, οὔτ' ἄλλως χρήσιμον, ἀρκεῖ γὰρ τὸ γένος γνωρίζειν, ὅτι χολώδης τε καὶ πυρικαὴς, καὶ κάτοξυς. οὐδὲ γοῦν εἰ σύνοχον ὀνομάζει τις αὐτὸν, ὥσπερ ἔνιοι τῶν ἰατρῶν, ὅλῳ τῷ γένει διοίσει τῶν καυσωδῶν πυρετῶν ἕνεκά γε τῆς προσηγορίας. ὥσπερ οὖν δ' ὅτι τρεῖς αὐτοῦ τύπου συνόχου διαφορὰς εἰδότες, ἴδιον ἐφ' ἑκάστης αὐτῶν ὄνομα φέρουσι. τοὺς μὲν, ἐπακμαστικούς. τοὺς δὲ, ὁμοτόνους. τοὺς δὲ, ἀκμαστικούς. τοὺς δὲ παρακμαστικοὺς ὀνομάζοντες ἤδη διὰ τούτων ἐπὶ γένος αὖθις ἡγητέον εἶναι τινὰ διαφοράν. ὅθεν οὐ δεῖ τὴν παροῦσαν πραγματείαν, ἡ διάγνωσις αὐτῶν, μέγα τι συντελεῖ. πάντες γὰρ οὗτοι, ἐπὶ τὴν πρώτην ἑβδομάδα κρίνονται. τοῦτο δὲ εἰς παρόντα χρεία, τοῦ λαβεῖν τινὰ τῆς ὅλης τοῦ νοσήματος καταστάσεώς τε καὶ κρίσεως ἐν ταῖς πρώταις ἡμέραις ἐπίγνωσιν. εἰ μὲν γὰρ ἀκριβὴς τριταῖος ἐστιν, ἐντὸς τῶν ἑπτὰ περιόδων. εἰ δ' ἀκριβὴς καῦσος, ἐντὸς τῆς πρώτης ἑβδομάδος ἐξ ἀνάγκης κριθήσεται. χρονιοῦσι δὲ πάντως, ὅ τ' ἀμφημερινὸς καὶ ὁ παρακείμενος αὐτῷ συνεχής. ὥσπερ καὶ ὁ τεταρταῖός τε καὶ ὁ διὰ τετάρτης. ὥστε τρία μὲν ἐστὶ τὰ σύμπαντα γένη τῶν ἁπλῶν πυρετῶν. ἕκαστον δ' αὐτῶν εἰς δύο τὰς πρώτας τμηθήσεται διαφοράς. ἢ γοῦν συνεχεῖς ἢ διαλείποντες ἔσονται. καὶ γνωρισθήσονται ἐπὶ τὴν πρώτην ἡμέραν. οἱ μὲν, εὐθὺς εἰσβαλλόντων τῶν παροξυσμῶν, οἱ δ' ἀναβαινόντων. οἱ δ' ἀκμαζόντων. οἱ δὲ, ἐν ταῖς πρώταις παρακμαῖς, ἢ τοῖς ἀπυρέτοις διαλείμμασι. συνθέτου μέντοι τοῦ νοσήματος ὑπάρχοντος, οὐκέθ' ὁμοίως εὐπετὴς ἡ διάγνωσις, ἀλλ' ἐνταῦθα δεῖ μάλιστα, συνέσεώς τε καὶ γυμνασίας. σύνεσιν μὲν οὖν οἴκοθεν ἕκαστος ἐκ τῆς ἑαυτοῦ φύσεως ἢ κεκτημένος, ἢ μὴ κεκτημένος, ἀφίξεται. γυμνασίας δὲ τῆς νῦν εἰρημένης, οὐκ ἂν εὕροι βελτίονα. χρὴ γοῦν δή που γνωρίζειν αὐτὸν ἀσκῆσαι ῥᾳδίως ἁπλοῦς εἶδος πυρετοῦ, κἄπειθ' οὕτω, μεταβαίνειν ἐπὶ τὰ σύνθετα. διχῶς δ' ἂν γίνοιτο σύνθετον εἶδος πυρετοῦ ἐπί γε τὴν πρώτην τομὴν, ἢ τῷ τοὺς εἰρημένους ἀλλήλοις μίγνυσθαι, χωρὶς τόπου πεπονθότος, ἢ τὸ μόριόν τι φλεγμαῖνον ἀνάπτειν αὐτούς. ἑκατέρα δὲ τῶν εἰρημένων διαφορῶν, ἑτέραν αὖθις ἐγχωρεῖ τομὴν ἐπιδέξασθαι. οἵ τε γὰρ ἄνευ μορίου πεπονθότος συνιστάμενοι, διχῶς μίγνυνται. ποτὲ μὲν, ἐπιπλεκόμενοι. ποτὲ δὲ, ὡς ἂν εἴποι τις, δι' ὅλου κεραννύμενοι. οὕτω τοι καὶ τὰ φλεγμαίνοντα μέρη, καὶ γοῦν καὶ τούτων τὰ μὲν οἷον ἐπιπλέκεται μόνον. τὰ δὲ, οἷον κρᾶσιν τινὰ τῶν διαθέσεων ἴσχει. τὴν οὖν ἐπιπλοκὴν, ἀσκῆσαι χρὴ πρῶτον γνωρίζειν. εἶθ' οὕτως τὴν κρᾶσιν ἀρξαμένους ἀπὸ τῶν πυρετῶν. ἐπιπλέκονται δ' οἱ πυρετοὶ πολλάκις μὲν, ὁμογενεῖς ὁμογενέσι. ἢ ὁμοειδεῖς ὁμοειδέσιν. ἔστι δ' ὅτε καὶ διαφέροντες, ἀμφημερινοί τε γὰρ τριταίοις, καὶ τούτοις, τεταρταῖοι. καὶ ἀλλήλων οἱ ὁμοειδεῖς ἐπιπλέκονται πολλάκις. ὥστε καὶ τρεῖς ἐνίοτε τεταρταίους περιόδους ὁ αὐτὸς ἄνθρωπος ἴσχει. τούτους μὲν οὖν γνωρίζειν, οὐ πάνυ χαλεπόν. ἐνίοτε δὲ τῶν διαλειπόντων τις ἐπιπλέκεται τῷ συνεχεῖ, χαλεπωτάτην τε καὶ δυσθήρατον μίξιν, ὑπὲρ ἧς ἐφεξῆς ἐροῦμεν, ἂν πρότερον ἁπάσας ἐπέλθωμεν ἃς ἐξεθέμεθα διαφοράς. ὁμοίως γὰρ τοῖς πυρετοῖς οἱ πεπονθότες τόποι τὴν μίξιν ἴσχουσιν, ἢ διαφερόντων μορίων, ἴδιον ἑκατέρου πυρετοὺς ἐξάπτοντος, οἷον σπληνὸς, εἰ τύχοι, καὶ ἥπατος, ἢ διαθέσεως μικτῆς, οἷον φλεγμονῆς ἐρυσιπελατώδους, ἢ ἐρυσιπέλατος φλεγμονώδους. ἀλλὰ καὶ ταύτας ἁπάσας τὰς μίξεις ἀσκῆσαι χρὴ διαγινώσκειν, ἐπειδὰν ἀκριβῶς τὰς ἁπλῶς αὐτῶν ἰδέας γνωρίζωμεν. ἑτέρα γὰρ ἰδέα περιπνευμονικοῦ καὶ φρενιτικοῦ καὶ πλευριτικοῦ καὶ ἡπατικοῦ πυρετοῦ, κατὰ ταῦτα δὲ, καὶ τῶν ἄλλων ἑκάστου τῶν ὑπὸ μορίοις τισὶ φλεγμαίνουσι, ἀναπτομένων πυρετῶν. ἕτεραι δ' αὖ πάλιν ἰδέαι τῶν ὑπὸ τοῖς ἐρυσιπέλασι. καὶ ὅ γε κακοήθης καῦσος, ἢ τοῖς τοῦ πνεύμονος, ἢ τοῖς τοῦ ἥπατος, ἢ τοῖς τῆς γαστρὸς ἐρυσιπέλασιν ἐπιγίνεται. διαιρεῖσθαι δὲ χρὴ καθ' ἕκαστον ἄρρωστον. πρῶτον μὲν εἰ χωρὶς τόπου πεπονθότος ὁ πυρετὸς ὑπὸ χυμοῖς διασαπεῖσιν, ἢ μόνῳ τῷ πνεύματι ζέσαντι. δεύτερον δὲ εἰ μόριόν τι πεπονθὸς αἴτιον ὑπάρχει, καὶ τίς ἡ διάθεσις αὐτοῦ. ἐπειδὰν δὲ ταῦτα διαγινώσκειν ἀσκήσῃς, τὰς μίξεις ἁπασῶν αὐτῶν εὑρήσεις. ἆρ' οὖν ἀξιώσεις με νῦν, περί τε τῶν πεπονθότων τόπων ἢ περὶ τῆς τῶν πυρετῶν ἁπάσης συμπλοκῆς διεξέρχεσθαι; καὶ

μὴν αὐτὸς αὖ πάλιν ἐγκαλέσαις ἐπὶ μήκει τῆς πραγματείας. θαυμαστὸν γὰρ δὴ καὶ τοῦτο πεπόνθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων, ὀλίγα τε μανθάνειν ἀξιοῦντες ἅμα, καὶ μηδὲν παραλείπεσθαι. τὰ γοῦν Ἀρχιγένους περὶ τῶν πυρετῶν σημειώσεως δέκα βιβλία μακρὰ φάσκοντες εἶναι, μόνην ἀναγινώσκειν ἐπιχειροῦσι τὴν ἐπιτομήν, οὐδὲ ταύτην ἅπαντες, ἀλλ' εἰσὶν οἳ καὶ ταύτης ἔτι βραχύτερόν τι ζητοῦσι. εἰσὶ δὲ οἳ καὶ μέμφονται. διότι βιβλίον ὅλον ἔγραψε περὶ τῆς ἐννοίας τοῦ πυρετοῦ. καὶ τούτῳ μὲν ἐντυχεῖν, οὐχ ὑπομένουσιν· οὐδὲ παιδευθῆναί τε καὶ μαθεῖν, ὅσον Ἐρασίστρατος ἐσφάλη περὶ τὴν ἔννοιαν τοῦ πυρετοῦ, κελεύσαντες δ' ἔτι περὶ τῶν πυρετῶν αὐτοῖς ῥηθῆναι, τὴν πρώτην εὐθὺς οὐ συγχωροῦσι διαφοράν. ὡς οἱ μὲν ἐπὶ τόποις πεπονθόσι. οἱ δὲ, ἄνευ τούτων συνίσασι. ταυτὸ δὴ τοῦτο καὶ περὶ κρίσεων πεπόνθασιν, ἐγκαλοῦντες μὲν τοῖς παραλελειμμένοις μεμφόμενοι δὲ, ἐπὶ μήκει τῶν εἰρημένων. καίτοι τὸ μῆκος ὃ μέμφονται, διττὴν τὴν φύσιν ὑπάρχοντος ὡς ἐγὼ νῦν διαιρήσομαι. † καὶ ταῦτ' ἄμφω ψέγουσι καὶ μᾶλλον αὐτῶν ἔτι, τὴν βραχυλογίαν. ταύτην μὲν, ὡς ἤτοι παραλείπουσαν τινὰ τῶν ἀναγκαίων, ἢ πάντως γε μὴ σαφῶς ἐκδιδάσκουσαν. τὸ δὲ μῆκος τὸ μὲν ἅπαντα ἐκδιδάσκοντος τὰ χρήσιμα μετὰ τοῦ διαβάλλειν τὰ ψευδῶς τισὶν ὑπειλημμένα, λῆρον εἶναι φασὶ μακρόν. καὶ τοὺς αὐτὰ μόνα τὰ χρήσιμα ἐκδιδάσκοντας, ἐπαινοῦσι. τοῖς δ' αὖ πάλιν ἐκεῖνα μόνα λέγουσιν, ἀντιπροτείνουσι τὰ τῶν ἑτεροδόξων, καὶ μέμφονται τῆς προπετείας, εἰ χωρὶς ἀποδείξεως ἀξιοῦσι ἁπλῶς ἀποφηναμένων πιστεύεσθαι. οὐκ ἀνέχονται δὲ, οὐδὲ τῶν αὐτὰ τὰ χρήσιμα πλατύτερον ἐκδιδασκόντων. ὥστ' οὐδὲν θαυμαστὸν εἰ κἀν τοῖς περὶ κρίσεων λόγοις ὁμοίως ἐγκαλέσουσι τὴν μὲν βραχυλογίαν ψέγοντες, ὡς ἀσαφῆ τε ἅμα καὶ πολλὰ παραλείπουσαν, ἀκούειν δὲ πλειόνων, οὐχ ὑπομένοντες, ἔτι τε προσεγκαλοῦντες ἃ μικρὸν πρόσθεν εἴρηται. καὶ γοῦν δὴ καὶ περὶ τόπων πεπονθότων Ἀρχιγένει γέγραπται βιβλία τρία πάντων τῶν ἔμπροσθεν εἰς τὴν αὐτὴν πραγματείαν γεγραμμένων ἄριστα. ταῦτ' οὖν ἅπαντα εἰ μεταφέρειν εἰς τόνδε τὸν λόγον ἐπιχειρήσαιμι καὶ τούτοις ἔτι προσθεῖναι τὰ ὑφ' ἡμῶν εὑρημένα, μέμψονται τῷ μήκει τῆς πραγματείας. καὶ μὴν δὴ καὶ τὰ περὶ τῶν τῶν πυρετῶν διαφορᾶς εἰ πάντα κατὰ τόνδε τὸν λόγον ἐπεξίοιμι. πολὺ δὴ μᾶλλον ἔτι μηκύνειν αὐτοῖς δόξω. τὸ μὲν οὖν δύνασθαι διαφυγεῖν ἐπήρειαν γράμμα μηδὲν οὕτως ἐστὶ παλαιὸν, ὥστε καὶ Πλάτων αὐτοῦ μέμνηται. τὸ δ' οὕτω τούτων ἐχόντων ἐκλέγεσθαι μέσον εἶδος λόγων, ἄριστον εἶναι μοι φαίνεται. τί δὲ τὸ μέσον ἐστὶν, οὗπερ ἐγὼ νῦν ἔχεσθαί μοι δοκῶ. δεικνὺς μὲν, ἃ χρὴ γινώσκειν ἐξ ἀνάγκης τὸν μέλλοντα καλῶς προγνώσεσθαι λύσιν νοσήματος. ὁποία τέ τις ἔσοιτο, καὶ καθ' ὅν τινα χρόνον. οὐχ ἅπαντα δ' αὐτὰ νῦν ἐπεξερχόμενος, ἀλλ' ὅσα ἀσαφῶς εἴρηται τοῖς ἔμπροσθεν, ἐξηγούμενος. ὅσα δὲ παραλέλειπται, προστιθείς. τὸ δ' ἤτοι τὰ καλῶς θ' ἅμα καὶ σαφῶς εἰρημένα μεταγράφειν, ἢ τοῖς ψευδῶς εἰρημένοις ἀντιλέγειν ὡς εἰς μακρολογίαν ἀπάγον, ἐφυλαξάμην. ἐπεὶ τοίνυν ἀποδέδεικται μὲν ἐν τῷ πρώτῳ λόγῳ τῶν Ἱπποκράτους ἀφορισμῶν ἡμῖν ἐξηγουμένων, ὡς καὶ ἐξ αὐτῆς τῆς τοῦ νοσήματος φύσεως οὐ σμικρὰν πρόγνωσιν ἔνεστιν λαβεῖν εἰς τὰ μέλλοντα, θαυμαστὸν δ' εἶναι δοκεῖ τοῖς πολλοῖς εἰ καὶ κατὰ τὴν πρώτην ἡμέραν εἴσεταί τις τοῦ νόσου τὴν ἰδέαν, ἐπειράθημεν ἐπιδεῖξαι, θαυμαστὸν μὲν ἴσως ὑπάρχον, οὐ μὴν καὶ ἀδύνατόν γε. καὶ τὴν ὁδὸν ἣν χρὴ ταύτην ποιεῖν ἐδιδάξαμεν, ἐνταῦθα ἐπισχεῖν ἔδοξέ μοι τὸ μῆκος τοῦ λόγου καὶ γυμνάσασθαι κελεῦσαι τοὺς ἀκριβῶς ἐκμαθεῖν τὰ τοιαῦτα προειρημένα, ἐν τοῖς Ἀρχιγένους ὑπομνήμασι, περί τε τόπων πεπονθότων, καὶ μὴν καὶ περὶ πυρετῶν σημειώσεως. ἔτι τε πρὸς τούτοις, περὶ τύπων. ἴσως μὲν γὰρ καὶ ἡμεῖς εἰς τοὺς αὐτοὺς ποτὲ τύπους, γράψομεν. ἵνα τά τε προσεξευρημένα διέλθωμεν· ἀφέλωμεν τέ τινα τῶν ὑπ' Ἀρχιγένους οὐκ ὀρθῶς εἰρημένων. ἅπαντά τε σαφῶς ἑρμηνεύσωμεν· ἀλλ' ἔν γε τῷ παρόντι, δι' ἐκείνων ἀσκεῖσθαι προσήκει. πάλιν οὖν ἀναλαβόντες ὅσον ἐστὶν οἰκεῖον τῆς δὲ τῆς πραγματείας, ἐπέλθωμεν. οἰκεῖον δ' ἐστὶν, ὁδὸν τῆς ἀσκήσεως δοῦναι περὶ τῶν συνθέτων νοσημάτων τοιαύτην, οἵαν ὀλίγον ἔμπροσθεν ὑπὲρ τῶν ἁπλῶν ἐποιησάμεθα. τοὺς μὲν γὰρ ἀκριβεῖς πυρετοὺς εἴτε διαλείποντες εἶεν, εἴτε συνεχεῖς, εὐθὺς κατ' ἀρχὰς ἔνεστι γνωρίζειν. ὅσοι δ' ἐπιμιξίαις ἑτέραις ποικίλλονται καὶ νοθεύονται χαλεπὸν μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, οὐ μὴν ἀδύνατόν γε διαγινώσκειν ἐστὶ, τοὺς πλείστους μέντοι κατὰ τὴν δευτέραν, ἢ τρίτην, ἢ πάντως γε τὴν τετάρτην, ἀκριβῶς ἐξευρεῖν ἐγχωρεῖ. οὐδὲν γάρ ἐστιν, οὔτε γένος, οὔτ' εἶδος νοσήματος, ὃ μὴ περὶ τὴν τρίτην ἡμέραν ἢ τὴν τετάρτην, ἐναργῶς ἔσται δῆλον, ἧς τινος ἔχεται φύσεως. εἰσβαλλέτω γάρ τις πυρετὸς φρικώδης τε ἅμα καὶ παντοίως ἀνώμαλος ἔν τε τοῖς σφυγμοῖς καὶ τῇ καθ' ὅλον τὸ σῶμα θερμασίᾳ ὡς πολλάκις ἐγγὺς ἀκμῆς εἶναι νομιζόμενος, ἢ καὶ τὰ μέσα τῆς ἀναβάσεως ἐπέχειν. αὖθις δ' ἐπιγίνεσθαι φρικώδης, καὶ τοὺς σφυγμοὺς μικροτέρους τε καὶ ἀμυδροτέρους, καὶ βραδυτέρους, καὶ ἀραιοτέρους ἔχειν. καὶ τὴν θερμασίαν ἀποχωροῦσαν μὲν, τῶν ἄκρων, πλεονάζουσαν δὲ, κατὰ τὴν γαστέρα τε καὶ τὸν θώρακα, τοῦτον οὐκ ἄν τις ἀλόγως ἐλπίσειεν, ἡμιτριταῖον ἔσεσθαι. μᾶλλον δ' ὑπάρχειν μὲν, ἤδη, γνωρισθήσεται δὲ τοῖς πολλοῖς, ἐπὶ τῆς τρίτης ἡμέρας. ἀλλ' οὗτος μὲν μικτός ἐστιν ἔκ τε τοῦ χολώδους, καὶ τοῦ φλεγματώδους πυρετῶν, τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων. οὐκ ἐπιπλεκομένων ἀλλήλοις, ἀλλὰ δι' ὅλου κεραννυμένων. ὁ δ' ἐξ ἐπιπλοκῆς αὐτῶν, τετραχῶς γίνεται. ἢ τριταίου καὶ ἀμφημερινοῦ μιχθέντων. ἢ τοῦ καθ' ἡμέραν παροξυνομένου συνεχοῦς, ἐπὶ διὰ τρίτης. ἢ τριταίου, ἐπὶ καθ' ἑκάστην ἡμέραν παροξυνομένῳ συνεχεῖ. ἢ ἀμφημερινοῦ, ἐπὶ διὰ τρίτης συνεχεῖ. τούτων οὐδεμία τῶν μίξεων ἀκριβῶς ἀπὸ τῆς πρώτης ἡμέρας, διαγινώσκεται. τῆς μέντοι δευτέρας ἐπιστάσης, οὐδὲν ἔτι χαλεπὸν γνωρίσαι. πολὺ δὲ μᾶλλον ἔτι κατὰ τὴν τρίτην, καὶ σπάνιον εἴποτε τῆς τετάρτης δεήσει. γιγνέσθω γοῦν εἰ οὕτως ἔτυχεν ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ὁ παροξυσμὸς σὺν ῥίγει. κἄπειτα θερμός τε καὶ περικαὴς ὁ πυρετὸς ἐξαφθεὶς, ἀσώδης τε καὶ διψώδης ἔστω, καὶ ταχέως ἐπὶ τὴν ἀκμὴν ἀφικέσθω. τοὺς σφυγμοὺς ὁμαλούς τε ἔχων, καὶ μεγάλους, καὶ σφοδροὺς, καὶ πυκνοὺς, καὶ ταχεῖς. ἔστω δ' ὁμοίως τοῖς σφυγμοῖς, καὶ τὰ τῆς θερμασίας ὁμαλὰ παντοίως. εἶτα σὺν ἐμέτῳ, καὶ ἱδρῶτι παυέσθω. καί τις αὐτὸν ἀπυρεξία διαδεχέσθω. πρόδηλον ὡς τριταίας οἰκεῖος ἐστὶν ὁ τοιοῦτος παροξυσμὸς περιόδου. γινέσθω δὲ κατὰ τὴν δευτέραν ἡμέραν ὁ τῆς ἀμφημερινῆς, οὐ γὰρ ἀναγκαῖον ὑπὲρ τῶν αὐτῶν λέγειν μυριάκις, ἐνταῦθα χρὴ προσέχειν τὸν νοῦν, ταῖς ὥραις τῶν παροξυσμῶν, ἵνα προγνῷς τι περὶ τῆς τρίτης ἡμέρας. εἰ μὲν γὰρ ὁ τῆς τριταίας, εἰ τύχοι, πυρετὸς περὶ τὴν πρώτην ὥραν μέλλει γίνεσθαι. περὶ δὲ τὴν ἑνδεκάτην ὁ τῆς ἀμφημερινῆς, οὕτω μὲν ἑκατέρων ἔσονται σαφεῖς αἱ ἀρχαί. καὶ μᾶλλον εἰ ἐπὶ πλεῖον ἔτι διεστήκοιεν ἀλλή-

† αλ. κατὰ

λων, εἰ δ' ἀμφότεροι περὶ τὴν αὐτὴν ὥραν εἰσβάλλοιεν, ἐπίμικτον ἔσται πάντως τὸ εἶδος τοῦ παροξυσμοῦ, ἐκ τῶν
δυναμένων συνορᾶν, οἷον κρᾶσμά τι φαίνεται γινόμενον ἀμφημερινῆς τε καὶ τριταίας περιόδου. διακρίνει δ' αὐ-
τοὺς ἐναργῶς ἡ τετάρτη τῶν ἡμερῶν, ὄντας ἤδη τῷ τεχνίτῃ κἀπὶ τῆς δευτέρας γνωρίμους. ἔτι τε δυσφορω-
τέρα γίνεται ἡ τῶν διαλειπόντων μίξις τοῖς συνεχέσιν, ὥστε καὶ πολλοῖς ὅλως ἀδύνατος ἔδοξεν ὑπάρχειν. ἅμα τε
γὰρ εἰς ἀπυρεξίαν παύεσθαι τὸν αὐτὸν ἄνθρωπον, καὶ μηδ' ὅλως ἀπύρετον γίγνεσθαι συμβαίνει ἐκ τῆς τοιαύτης μί-
ξεως, ὅπερ εἶναι πάντων ἀδυνατώτερον. ἀλλ' εἴ τις κἀνταῦθα δύναιτο διαγινώσκειν ἀκριβῶς ἑκατέρου τῶν πυρε-
τῶν τὴν φύσιν, εἴσεται σαφῶς, ὡς οὐδὲ ἡ τοιαύτη μίξις ἀδύνατος. ἐνάγχος οὖν τι γυναῖον, ἐν μὲν ταῖς ἀρτίαις
φρικώδη παροξυσμὸν εἶχεν ἀκριβῶς ἡμιτριταϊκόν, ἐν δὲ ταῖς περιτταῖς ἕωθεν μέν τινα τοῦ προγεγονότος πολύ τι
μικρότερον ὡς ἐπιπαροξύνεσθαι δοκεῖν τῇ ἑτέρᾳ τῶν ἡμερῶν τὸν ἡμιτριταϊκόν, ὅπερ δὴ καὶ συνήθως γίνεται ἐν
αὐτῷ. περὶ δὲ τὴν ὀγδόην ὥραν τῆς ἡμέρας, ἕτερος εἰσέβαλλε μετὰ ῥίγους σφοδροῦ παροξυσμὸς, ἀκριβῶς ἅπαντα τρι-
ταίου πυρετοῦ φέρων τὰ γνωρίσματα. θεραπευόμενος δ' οὗτος ὥρας που νυκτὸς τρίτης ἱδρῶτί τε καὶ χολῆς ἐμέτῳ,
παρέτεινεν εἰς τὴν τῆς ἀρτίου δευτέραν ὥραν. ἤδη δὲ αὐτὴν ἐγγὺς ἀπυρεξίας ἥκοντα, διεδέχετο πάλιν ὁ φρικώδης τε
καὶ ἀνώμαλος ἐκεῖνος παροξυσμὸς, ὃν ἐν ταῖς ἀρτίαις ἔφαμεν γίνεσθαι. κἄπειτα δι' ὅλην τὴν ἡμέραν κακοήθως
ὑποσημαινόμενός τε καὶ αὖθις ἐπιτιθέμενος, μόλις που τὴν ἀκμὴν ἀπελάμβανεν ἡλίου δύναντος. ἤρχετο δὲ παρακμά-
ζειν ὥρας που τετάρτης τῆς νυκτὸς, εἶθ' ἕωθεν πάλιν ἐπιδιαψιλεῖ λείψανῳ, παραύξησις οὐ λίαν ἀνώμαλος ἕως
τῆς ὀγδόης ὥρας ἐπιτείνετο, κἄπειτα δοκοῦντα σαφῶς ἀκμάζειν ἤδη τὸν πυρετὸν τοῦτον, ἕτερος ἐξεδέχετο παρο-
ξυσμὸς ἀκριβῶς τριταϊκός. τοῦτον ἡμεῖς τὸν πυρετὸν εὐθὺς μὲν κἂν τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἐξ ἐπιπλοκῆς ἡμιτρι-
ταίου τε καὶ τριταίου διέγνωμεν γεγονέναι. πολὺ δ' ἔτι πιστοτέραν ἡ τρίτη τὴν διάγνωσιν παρέσχεν, ἠλπίσα-
μέν τε τὴν μὲν ἑτέραν περίοδον τὴν τοῦ τριταίου παύεσθαι ταχέως, τὴν δὲ ἑτέραν μηκύνειν, καὶ οὕτως ἀπέβη, καὶ
τότε σαφῶς ὤφθη κατὰ τὸ ὑπόλοιπον μέρος τῆς νόσου, μόνος ἡμιτριταῖος ὢν, ἀρχὴν μὲν τῆς ὅλης περιόδου, τὴν
ἀρτίαν ἡμέραν ποιούμενος, ἐπιπαροξυνόμενος δὲ τῇ περιττῇ. τὰς μὲν δὴ τοιαύτας μίξεις, οὐ τοῦ τυχόντος γνωρί-
ζειν. εἰ δέ τις πυρετὸς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκριβῶς ὀφθεὶς τριταῖος, εἶτ' ἐν τῇ δευτέρᾳ πάλιν ἕτερον ὅμοιον
ἀκριβῶς τῷ πρόσθεν ἐποιήσατο παροξυσμὸν, εὐφορώτατος ὁ τοιοῦτος ἐστὶν διπλοῦς ὑπάρχων τριταῖος. οὕτω δὲ
καὶ δύο καὶ τρεῖς ἐπιπλέκονται ἀλλήλοις τεταρταῖοι τὰ πολλὰ, οὓς ἡ τῶν παροξυσμῶν ἰδέα διακρίνει τῶν ἀμφη-
μερινῶν. οὐ γὰρ τὸ καθ' ἑκάστην ἡμέραν παροξύνεσθαι, γνώρισμα βέβαιον ἀμφημερινῶν, ἀλλ' ἡ τοῦ πυρετοῦ τε καὶ
ἡ τῶν συμπτωμάτων ἰδέα διακρίνει τὸν ἀμφημερινόν. χρὴ τοίνυν ἐν ἅπαντι πράγματι τεχνωθῆναι πρῶτον,
ὥσπερ τις ὠνόμαζε τῶν ἡμετέρων διδασκάλων, εἶθ' οὕτως ἐπιχειρεῖν τοῖς ἔργοις. τὸ τεχνωθῆναι δ' ἐστὶ, τὸ γνῶναι
τῆς ὑποβεβλημένης τῇ τέχνῃ συμπάσης ὕλης. πρῶτον μὲν καὶ μάλιστα τὰς ἁπλᾶς δυνάμεις, εἶθ' ἑξῆς τὰς μίξεις
αὐτῶν, ὁπόσαι τέ τινές εἰσι καὶ ὁποῖαι. καὶ γὰρ δὴ καὶ περὶ φαρμάκων συνθέσεώς τε καὶ χρήσεως, ἡ αὐτὴ μέθοδος,
ὡς ἐν τοῖς περὶ αὐτῶν ὑπομνήμασιν ἐπιδέδεικται. διττῆς δὲ ὕλης οὔσης τοῖς ἰατροῖς, ἑτέρας μὲν ἐφ' ἧς, ἢ ἐν ᾗ γίνεται
τὸ τέλος, ὅπερ ἐστὶν αὐτὰ τὰ τῶν ἀνθρώπων σώματα, δευτέρας δὲ τῆς τῶν βοηθημάτων, ὑφ' ὧν, ἢ δι' ὧν γίνεται τὸ
τέλος. ἡ μὲν περὶ τῶν φαρμάκων πραγματεία, τῆς δευτέρας ὕλης ἐστὶν, ἡ δὲ νῦν ἐνεστῶσα, τῆς πρώτης. χρὴ γὰρ νῦν
ἐκμαθεῖν ἐν τοῖς περὶ πυρετῶν λόγοις, ὡς τρία τὰ σύμπαντά ἐστι γένη τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων
πυρετῶν. ἔνιοι μὲν γὰρ ἐπὶ τῇ ξανθῇ χολῇ, καὶ πλεῖστοι γ' εἰσὶν οὗτοι. τινὲς δ' ἐπὶ τῇ μελαίνῃ, τινὲς δ' ἐπὶ τῷ φλέγ-
ματι συνίστανται. λόγος δ' οὗτος οὐ σμικρός ἐστιν, ὅτι ποτὲ πασχόντων τῶν εἰρημένων χυμῶν, ἀνάπτεται πυρετός.
οὐ γὰρ δὴ κατὰ τὴν φύσιν ἐχόντων, ἀλλ' ἐν τούτῳ γε τῷ λόγῳ, καὶ ὡς οὐδέν ἐστι θαυμαστὸν ἐκ ψυχρῶν φύσιν χυμῶν
διασαπέντων ἐξαφθῆναι πυρετὸν ἐπιδέδεικται, καὶ ὡς ἡ πᾶσα ποικιλία τῶν ἄλλων πυρετῶν, ἐκ τῆς τούτων γί-
νεται μίξεως. ἀλλὰ καὶ οἱ ἐφήμεροι πυρετοὶ καλούμενοι, καὶ πρὸς τούτοις οἱ ἑκτικοὶ προσαγορευόμενοι, ἕτερα δύο
γένη εἰσὶ, τῶν ὀξέων ὀνομαζομένων πυρετῶν ἀποκεχωρισμένα, καὶ ὡς ὀξὺς πυρετὸς, ἤτοι σηπομένου τῶν εἰρημένων
τινὸς χυμῶν, ἢ μορίου φλεγμαίνοντος γίνεται, καὶ ὡς τοῦ φλεγμαίνειν ἀκουστέον ἐστὶν, οὐ κατὰ τὴν παλαιὰν συνή-
θειαν. ἅπαντα δὲ τὰ τοιαῦτα, θαυμαστὰ τοῖς πολλοῖς εἶναι δοκεῖ. καθάπερ οὖν καὶ τὸ μικρῷ πρόσθεν ῥηθέν, εἰ δύ-
ναται ποτὲ μιχθῆναι διαλείπων συνεχεῖ, ὅθεν δ' ἦλθον τούτου καὶ τὸ μηδεμιᾶς ἀπυρεξίας γινομένης περὶ τὸν
κάμνοντα, μεμίχθαι μόνους τοὺς διαλείποντας πυρετούς. ἀλλὰ καὶ τοῦτ' ἐπιδείξαμεν ἐναργῶς, οὐ τριταίοις μόνον
ἢ ἀμφημερινοῖς, ἀλλὰ καὶ τεταρταίοις συμπίπτειν. ἐπειδὰν γὰρ ἐπιπλακῶσιν ἀλλήλοις πλείους, εἴτ' οὖν ὁμογε-
νεῖς, εἴτε καὶ μὴ φθάνει πολλάκις ὁ δεύτερος ἄρχεσθαι, πρὶν εἰς ἀπυρεξίαν ἀφικέσθαι. μάλιστα δὲ συμβαίνει τοῦτ' ἐν
τοῖς μακροτέροις παροξυσμοῖς. ἐν γὰρ τοῖς ἐντὸς τοῦ πρώτου διαστήματος παυομένοις, οὕτω δ' ὀνομάζουσι τὸν τῶν
δώδεκα ὡρῶν χρόνον, ἢ παμπόλλας ἐπιπλακῆναι χρὴ περιόδους, ἢ τὸν ἐκ τῶν διαλειπόντων συντιθέμενον, ἀδύ-
νατον εἰς συνέχειαν ἀφικέσθαι. παμπόλλους δὲ τῶν οὕτως ἐπιπλεκομένων πυρετῶν, οἱ μὴ γεγυμνασμένοι περὶ
τὰ τοιαῦτα τῶν ἰατρῶν, εἰ μὲν ὀξύτεροι φαίνοιντο, πάντας ἡμιτριταίους ὀνομάζουσιν, εἰ δὲ βραδύτεροι κινοῖντο,
πλανήτας. ἐπειδὴ γὰρ ἅπαξ ἐξουσίαν ἔλαβον, ἔν τε τοῖς ἡμιτριταίοις ὑποστολὰς πολλὰς γίνεσθαι νομίζειν, ἔν τε
τοῖς πλάνησιν ἀτάκτους ἀρχάς, ἅπαντας οὕτω τοὺς πυρετοὺς, ἐφ' ὧν οὐχ εὑρίσκουσι τὴν σύνθεσιν, ἡμιτριταίους
ἢ πλανήτας ὀνομάζουσι. καίτοι γε πολλάκις σαφεστάτην ἔχουσι τὴν ἀναλογίαν, ὥσπερ ὁ νεανίσκος ὁ περὶ τὰ
τέλη τοῦ φθινοπώρου τῇ πρώτῃ τῶν ἡμερῶν ὥρας που πέμπτης ἀρξάμενος πυρέττειν ἅμα ῥίγει βραχεῖ, κἄπειτα βα-
θείας ἑσπέρας ἱδρώσας ὀλίγον, εἶθ' ὥρας που νυκτὸς ἑβδόμης, πρὶν ἀπύρετον ἀκριβῶς γενέσθαι, πυρέττειν αὖθις
ἀρξάμενος ἐπὶ ῥίγει βραχεῖ, κἄπειτ' ὀλίγον ἱδρώσας ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, εἶτα περὶ δεκάτην ὥραν αὖθις
ὁμοίως παροξυνθεὶς, εἶθ' ἱδρώσας πάλιν ὁμοίως ἐν τῇ νυκτὶ, κἄπειτα τῇ τρίτῃ τῶν ἡμερῶν ὥρας που δευτέρας
ἅμα ῥίγει πυρέττειν ἀρξάμενος, πρὶν τὴν προτέραν παρακμὴν εἰς ἀπυρεξίαν τελευτῆσαι. ἡμῖν μὲν οὖν ἅπα-
σαν τὴν ἰδέαν τοῦ πυρετοῦ ἐπισκεψαμένοις, ἐπιπλοκὴ τριταίων ἐπεφαίνετο τριῶν. ὅτε γὰρ ἐν τῇ πρώτῃ τῶν ἡμε-

ρῶν ἀρξάμενος ὥρας πέμπτης, ὅτ' ἐν τῇ μετὰ ταύτην νυκτὶ πάλιν ἑβδόμης, ὅτ' ἐπὶ τῆς δευτέρας ἡμέρας ὥρας δεκάτης, ἅπαντά τε τὰ τῶν σφυγμῶν ἴδια, καὶ τὰ τῆς θερμασίας ἀπέσωζον τριταίων. ἤδη δὲ καὶ τὸ μετὰ ῥίγους καὶ τὸ σὺν ἱδρῶτι, τριταίων ἴδιον εἶχον, οὐδεὶς δ' αὐτῶν εἰς ἀπυρεξίαν ἐπαύετο τῷ φθάνειν ἄρχεσθαι τὸν μετ' αὐτὸν τριταίου τὸν παροξυσμὸν, ὡς εἴγε μηδεὶς ἕτερος ἐπελάμβανεν, ὡρῶν αὖ που τριῶν ἢ τεττάρων ἄλλων, ἀπύρετος ὁ ἄνθρωπος ἀκριβῶς ἂν ἐγίνετο. τριῶν μὲν δὴ τριταίων, ἐπιπλοκὴ κατὰ τὴν δευτέραν εὐθὺς ἡμέραν ἡμῖν ἐφαίνετο σαφῶς. τὸ δ' ὅτι καὶ προληπτικῶς παροξυνόντων, ἐπὶ τῆς τρίτης πρῶτον ἐγνώσθη. δευτέρας μὲν γὰρ ὥρας ὁ παροξυσμὸς εἰσέβαλλεν, οὐ πέμπτης ὥσπερ ἐν τῇ πρώτῃ. τὰ δὲ τῆς τριταίας περιόδου γνωρίσματα, πάντα ἐναργέστερα τῶν ἐπὶ τῆς πρώτης ἡμέρας ἐκόμιζεν. ἐντεῦθεν δὲ παραφυλαττόντων, ἅπαντας εὕρομεν τοὺς παροξυσμοὺς ἢ δυσὶν, ἢ τρισὶν ὥραις προσλαμβάνοντας, ὥστε καὶ τὸν ἀνάλογον τῷ πρώτῳ κατὰ τὴν περίοδον ἀπαντῶντας, τῇ μὲν πέμπτῃ τῶν ἡμερῶν, ἀνίσχοντος ἡλίου γενέσθαι, τῇ δ' ἑβδόμῃ πολὺ θᾶττον, ὡς περὶ ὥραν που τῆς νυκτὸς ἐννάτην, εἶθ' ὁ μετὰ τοῦτον ἀνάλογον, ὥρᾳ νυκτὸς ἑβδόμῃ. ὁ δ' ἐφεξῆς τετάρτῃ ἐγίγνετο, τοὐντεῦθεν δὲ πάλιν ὁ μὲν ἐφεξῆς τετάρτῃ. ὁ δ' ἐπὶ τούτῳ πέμπτῃ, εἶθ' ἕκτῃ αὖθις, εἶτ' ὀγδόῃ, ὁ δέκατος ἀπὸ τῆς ἀρχῆς ἐγίγνετο παροξυσμός. ἀνάλογον δὲ τούτῳ, καὶ οἱ ἄλλοι δύο μετὰ τὴν ἑβδόμην περίοδον, οὐ μόνον οὐ προελάμβανον, ἀλλὰ καὶ ὑστέριζον. ὅτε δὴ καὶ σαφέστατον πᾶσιν ἐφάνη καὶ τοῖς ἡμιτριταῖον εἶναι νομίζουσιν αὐτὸν, ὡς ἐσφάλλοντο τὰ μέγιστα. τοῦ τε γὰρ μήκους τῶν παροξυσμῶν εἰς ὥρας ὀκτὼ συναιρεθέντος, αὐτῆς τε τῆς εἰσβολῆς οὐκέτι προληπτικῶς γινομένης, ἀλλ' ὡς ὥραιν που δυοῖν ὑστεριζούσης, εἰς ἀπυρεξίαν ἐπαύοντο τελέως οἱ παροξυσμοὶ, καὶ οὕτω δὴ κατὰ βραχὺ τοῦ μήκους ἀφαιρουμένου, ἐπαύσαντο. πρῶτον μὲν ὁ κουφότατος, ἐφεξῆς δὲ ὁ δεύτερος τῷ μεγέθει, καὶ τρίτος ὁ σφοδρότατος ἐξ αὐτῶν. ὅπερ οὐδ' αὐτὸ μετρίως ἐμαρτύρησε, τρεῖς εἶναι τριταίους εὐθὺς ἐξ ἀρχῆς αὐτοὺς, ἀλλ' ὅπερ ἕνεκα ταῦτα σύμπαντα λέγεται, ἐπὶ τοῦτ' αὖθις ἐπάνειμι, τὸ, δεῖν ἠσκῆσθαι διαγινώσκειν ἀκριβῶς ἁπάσας τὰς ἁπλᾶς διαθέσεις, ὥστε καὶ μόνας συνισταμένας εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας, ἐκ τοῦ ῥᾴστου γνωρίζειν. ἐπιπλεκομένας δὲ ἀλλήλαις καὶ αὐτὰς, εἰ καὶ μὴ κατὰ τὴν πρώτην ἡμέραν, ἀλλὰ κατὰ τὴν δευτέραν γοῦν, ἢ τὴν τρίτην, ἢ πάντως γε τὴν τετάρτην ἀκριβῶς ἐπιγινώσκειν. ἡμᾶς οὖν οὐκ ἔλαθον οἱ τρεῖς οὗτοι τριταῖοι κατὰ τὴν δευτέραν ἡμέραν, οὐ μὴν ἐξ ἄλλου τινὸς, ἢ τοῦ τὴν φύσιν ἀκριβῶς αὐτῶν ἐπίστασθαι. παραπλήσιον γάρ τι συμβαίνει κατὰ τὰς τῶν νοσημάτων γνώσεις, τῷ καθ' ὅλον τὸν βίον ἅπασιν ἡμῖν ὑπάρχοντι. τοὺς μὲν γὰρ συνηθεστάτους τῶν φίλων ἐκ μακροῦ διαστήματος, εὐθύς τε καὶ κατὰ τὴν πρώτην προσβολὴν τῆς αἰσθήσεως γνωρίζομεν. εἰ δ' ἅπαξ ἢ δίς τινα τύχοιμεν ἰδόντες, ἢ πλεονάκις μὲν, ἀλλὰ μὴ συνεχῶς, οὐκέθ' ὁμοίως τοῦτον, οὔτε ἐκ μακροῦ διαστήματος, οὔτε ταχέως γνωρίζομεν, ἀλλ' ἐνίοτε μέχρι παμπόλλου χρόνου διαποροῦμεν τε καὶ ἀμφιβάλλομεν. ἆρά γε Κορίσκος, εἰ οὕτως ἔτυχεν, ἢ Σωκράτης ἐστὶν, οὕτως οὖν ἔχει κἀπὶ τῶν νοσημάτων. ἴδιος ἑκάστου χαρακτήρ ἐστιν, ὃν ὁ πολλάκις τεθεαμένος, ἐξ ἑτοίμου διαγινώσκει, καὶ μάλισθ' ὅταν ἁπλοῦς τε καὶ μόνος ὑπάρχῃ. τῶν μὲν οὖν χωρὶς τόπου πεπονθότος ἐπὶ χυμοῖς τισὶ διασηπομένοις ἀναπτομένων πυρετῶν, τρεῖς εἰσιν οἱ πρῶτοι καὶ ἁπλοῖ χαρακτῆρες, ὅ, τε τῶν φλεγματικῶν, καὶ ὁ τῶν μελαγχολικῶν, καὶ ὁ τῶν πικροχόλων, οὓς εἴ τις ἀκριβῶς ἀσκήσειε, διαγινώσκειν ἕκαστον ἴδια καὶ μόνον, οὐκ ἂν ἔτι χαλεπῶς, οὐδὲ τὰς μίξεις οὕτως αὐτῶν ἐξευρίσκοι. τῶν δ' ἐπὶ τόποις φλεγμαίνουσιν, ἤδη σύνθετος ἁπάντων ἰδέα. τινὰ μὲν γὰρ τοῦ τόπου γνωρίσματα φέρουσι, τινὰ δὲ τῆς βλαπτούσης αὐτὸν αἰτίας, οἷον ἐν μὲν τοῖς πλευριτικοῖς, ὡς μὲν τόπος πεπονθὼς ὁ ὑπεζωκὼς τὰς πλευρὰς, ὑμὴν ὀδύνην ἐξ ἀνάγκης οἴσει φλεγμαίνων, ὅτι νευρώδης ἐστίν. ἀλλὰ καὶ νύττουσαν ταύτην καὶ διατεταμένην ἐπὶ πλέον, ὅτι τὸ πεπονθὸς μέρος ὑμήν. τοιαῦται δὲ αἱ τῶν αἰσθητικῶν ὑμένων ὀδύναι. καὶ μὲν δὴ καὶ ὅτι τῶν ἀναπνευστικῶν τινος ὀργάνων ἐστὶ μόριον, ἐξ ἀνάγκης δυσπνοήσει τὸ ζῷον. ὅτι δὲ καὶ τῆς καρδίας ἐγγὺς, μεταδώσει τι καὶ τῇ καρδίᾳ ῥᾳδίως τῆς φλογώσεως. εἰ δὲ τοῦτο, πυρέξει τὸ ζῷον, ὥσπερ γε καὶ ὅτι τοῦ πνεύμονος ἐγγὺς, ἐξ ἑτοίμου μεταδώσει, καὶ τῷ δὲ τῆς διαθέσεως, οὕτως ὄντι μαλακῷ τε καὶ μανῷ, καὶ δέξασθαι πᾶσαν ἑτοίμως ὑγρὰν οὐσίαν δυναμένῳ. βήξει τοίνυν εὐθὺς ὁ ἄνθρωπος, οὐ μὴν καὶ ἀναπτύσει πάντως εὐθύς. ἀλλ' εἰ μὲν πλεῖον τε καὶ παχύτερον ἀποῤῥέοι τῆς φλεγμονῆς, ἀναπτυσθήσεται βηττόντων. εἰ δὲ ὀλίγον τε καὶ λεπτὸν, ἐρεθιεῖ μὲν ἐξ ἀνάγκης ὥστε καὶ κινῆσαι βῆχας, οὐ μὴν καὶ ἀναπτυσθήσεταί γε, πρὶν ἀθροιζόμενόν τε ἅμα καὶ πεττόμενον, εἰς πλῆθός τε ἅμα καὶ πάχος ἐπιδιδόναι. ἀλλὰ τοῦτο μὲν τῆς διαθέσεως ἤδη γνώρισμα αὐτῆς ἐστιν, καὶ οὐ τοῦ μορίου τοῦ πεπονθότος. ἐπειδὰν μὲν γὰρ ἀκριβῶς ᾖ τὸ πάθημα στεγνὸν, καὶ οἷον δῆσαν ἐν ἑαυτῷ κατέχει τὸ σύμπαν ῥεῦμα, τὰς ἀπτύστους προσαγορευομένας ἀποτελεῖ πλευρίτιδας. ἐπειδὰν δὲ ἀξιόλογον χαλάσῃ τε καὶ μεθῇ τῷ πνεύμονι, καὶ βήττουσιν οὗτοι πλείω καὶ ἀναπτύουσιν. ἰδέας οὖν τοῦτο φλεγμονῆς, οὐ τόπου πεπονθότος γίνεται γνώρισμα. πότερον δὲ φλεγματωδέστερος ἐστὶν, ἢ χολωδέστερος ὁ τὴν φλεγμονὴν ἐργασάμενος χυμὸς, ἐκ τῆς τῶν πτυσμάτων ἰδέας εἴσῃ. καὶ γὰρ καὶ ἀφρώδη, καὶ πυῤῥὰ, καὶ ξανθὰ, καὶ ὠχρὰ, καὶ ἐρυθρὰ, καὶ μέλανα πτύουσι. τούτων δὲ τὰ μὲν ἀφρώδη φλεγματικώτερον ἐνδείκνυται τὸ ῥεῦμα, τὰ δὲ ξανθὰ, πικρόχολον ἄκρατον. ὅσα δὲ πυῤῥὰ, πικρόχολα μὲν καὶ ταῦτα. μεμίχθαι δὲ οὐκ ὀλίγον ὀῤῥῶδες περίττωμα τῇ ξανθῇ χολῇ δηλοῖ, καὶ πολὺ δὴ πλέον ἐπειδὰν ὠχρὰ πτύῃ τις. οὕτω δὲ καὶ τὰ μέλανα, μελαγχολικὸν ἐνδείκνυται τὸ ῥεῦμα. καθάπερ οὖν καὶ ὅσα τὴν χροιὰν μᾶλλον πως ἐρυθρά ἐστι, πλεῖστον μὲν αἵματος, ὀλίγον δὲ τῆς πικρᾶς χολῆς ἐνδείκνυται μετέχειν τὸν τὴν φλεγμονὴν ἐργαζόμενον χυμὸν, καὶ διὰ τοῦτο πάντων μὲν ἐστὶν ἐπιεικέστατον πτυσμάτων, ὥσπερ οἶμαι τὰ μέλανα πάντων ὀλεθριώτατα. καὶ μὲν δὴ καὶ τὰ μεγέθη μὲν ἐν οἷς ἑπόμενα ἅπασι συμπτώμασι, μεγέθους ἐστὶ διαθέσεως γνωρίσματα. βραχεῖαν δ' ἐνδείξονται τὴν διάθεσιν αἱ σμικρότητες τῶν συμπτωμάτων. οὐκοῦν ἴδια πάντων ἅπαντ' ἐστὶν, ἀλλ' ἕκαστον ἴδιον τινὸς γνώρισμα ἐξαίρετον. καὶ γὰρ ὅσα δοκεῖ δυοῖν ἢ τριῶν ὑπάρχειν ἅμα δηλωτικὰ, καὶ ταῦτ' ἀκριβῶς ἐξετάζων, εὑρήσεις ἑτέρῳ μὲν τινὶ τῶν ἐν αὐτοῖς συμβεβηκότων, ἐνδεικνύμενα τὸν πεπονθότα τόπον, ἑτέρῳ δὲ τὴν διάθεσιν. ἄλλῳ δὲ τὸ μέγεθος αὐτῆς, ἄλλῳ δὲ τῶν ἑπομένων τι συμπτωμάτων. ὁ γοῦν σφυγμὸς ὁ τῶν πλευριτικῶν, ἁπάν-

τῶν μὲν τούτων ἐστὶν ἐνδεικτικὸς, ἀλλ' οὐχ ὡσαύτως ἁπάντων. ἀλλ' ὁ μὲν ἅμα τάσει σκληρὸς, νευρώδη εἶναι δηλοῖ τὸ πεπονθὸς, ὁ δ' οἷον ἐμπρίων, φλεγμονὴν εἶναι τὴν διάθεσιν, ὁ δὲ ταχύς τε ἅμα καὶ πυκνὸς καὶ μέγας, ἐπειδὴ τῇ φλεγμονῇ πυρετόν. ὁ δ' ἕκαστον τῶν εἰρημένων, ἢ μεῖζον ἢ μεῖον ἂν σημεῖον, ἤτοι μεγάλην εἶναι τὴν διάθεσιν, ἢ σμικρὰν δηλώσει. ἀρκεῖ μοι ταῦτα παραδείγματος ἕνεκα λελέχθαι νῦν. οὐ γὰρ δὴ περὶ πεπονθότων γε τόπων πρόκειται διελθεῖν, ὥσπερ οὐδὲ περὶ πυρετῶν, ἢ τύπων, ἢ αἰτιῶν, ἀλλ' ἐμνήσθην ἑκάστου τούτων, ἅμα μὲν ὁδόν τινα δεῖξαι βουλόμενος τῆς ἐν αὐτοῖς ἀσκήσεως, ἣν ἔχων τις, εἰ καὶ μηδὲν ἡμεῖς γράψαιμεν εἰς ἕκαστον τῶν προειρημένων ἰδίᾳ, δύναιτ' ἂν ἔκ τε τῶν τοῖς ἄλλοις γεγραμμένων, ἤδη δὲ καὶ αὐτὸς καθ' ἑαυτὸν, εἰ συνετός τε εἴη καὶ φιλόπονος ἐξευρίσκειν τὸ λεῖπον, ἅμα δὲ καὶ τὸ χρήσιμον ἐπιδεῖξαι βουλόμενος ἑκάστου τῶν λεγομένων, ἐμνημόνευσα καὶ πυρετῶν διαφορὰς, καὶ τύπων, καὶ διαθέσεων, καὶ αἰτίων, καὶ αὐτῶν τῶν πεπονθότων μορίων. ἐν ἅπασι γὰρ τούτοις γεγυμνάσθαι χρὴ τὸν μέλλοντα κατὰ τὰς πρώτας ἡμέρας ἀκριβῶς διαγνώσεσθαι τῆς νόσου τὴν ἰδέαν. ἢ γὰρ ἁπλοῦς ἐστιν ὁ πυρετὸς, ἢ σύνθετος, ἢ μετὰ τόπου πεπονθότος, ἢ ἐφήμερος, ἢ ἑκτικός. ἀλλ' εἴθ' ἁπλοῦς εἴη πάντως, γνωρίσματα φέρει τοῦ χυμοῦ τοῦ γεννῶντος αὐτὸν, εἴτε σύνθετος, ἐξ ὁπόσων ἂν εἴη σύνθετος ἁπλῶν πυρετῶν, ἰσάριθμον ἐνδείξεται καὶ τὸ πλῆθος τῶν χυμῶν. ἀλλ' εἰ ταῦτ' ἐνδείξεται, καὶ εἰ χρόνιος ἐστὶν ἢ μὴ, συνενδείξεται. εἰ μὲν γὰρ φλεγματικὸς, ἐξ ἀνάγκης χρόνιος, ἔτι τε μᾶλλον εἰ μελαγχολικός. εἰ δ' αὖ πικρόχολος, ὀλιγοχρόνιος. οὕτω δὲ καὶ ὁ τόπος ὁ πεπονθὼς μὲν ἐν κινήσει πολλῇ, καὶ θερμὸς, καὶ μανὸς, καὶ κύριος, ὀξυτέραν ἔσεσθαι προδηλοῖ τὴν νόσον. ὁ δὲ μήτ' ἐν κινήσει συνεχεῖ, καὶ ψυχρὸς, καὶ πυκνὸς, καὶ ἄκυρος, εἰς χρόνον ἐκπέμπεσθαι μακρότερον. ὡσαύτως δὲ καὶ ἡ διάθεσις, ἡ μὲν δυσκινητοτέρα, καὶ ψυχροτέρα, καὶ πυκνοτέρα χρονιεῖν, ἡ δ' εὐκίνητος καὶ θερμοτέρα, καὶ μανωτέρα, ταχέως λυθήσεσθαι. κατὰ ταῦτα δὲ καὶ περὶ τῶν αἰτίων γινώσκειν, ὥσθ' ὅς τις ἀκριβῶς ὅλην γνῷ τοῦ νοσήματος τὴν ὑπόθεσιν, οὐ σμικρὰν μοῖραν εἰς πρόγνωσιν ἕξει. τὰς μὲν οὖν σὺν ἀγῶνί τε μεγάλῳ καὶ ὀξυρρόπῳ λύσεις τῶν νοσημάτων, ἃς δὴ καὶ μάλιστα κρίσεις ἐλέγομεν ὀνομάζεσθαι, τῶν ἐπὶ χυμοῖς θερμοῖς συνισταμένων πυρετῶν, ἰδίας εἶναι χρὴ νομίζειν. ἐφεξῆς δὲ τούτων, ὅσαι μορίων εἰσὶ κυρίων, εὐκίνητοι καὶ θερμαὶ διαθέσεις. οἱ δὲ ἐφήμεροί τε καὶ οἱ ἑκτικοὶ πυρετοὶ, καὶ χωρὶς ταραχῆς μεγάλης, καὶ οὐδ' ὀξυρρόπους ποιοῦνται τὰς μεταβολάς. ἀλλ' ἐπεὶ καὶ ταύτας ἐνίοτε καταχρώμενοι κρίσεις ὀνομάζουσιν, εἰρήσεταί τι καὶ περὶ τούτων ἐν τοῖς ἐφεξῆς. νυνὶ δὲ τέλος ἐπιθεῖναι βούλομαι τῷ παρόντι λόγῳ, συγκεφαλαιώσας εἰς ἓν ἅπαντα τὰ προειρημένα. τὰς ἀθρόας ἐν νόσοις μεταβολὰς εἰ βούλοιο προγινώσκειν, ἀναγκαῖόν ἐστί σοι πρότερον ἀρχῆς καὶ ἀναβάσεως, καὶ ἀκμῆς, καὶ παρακμῆς εἶναι διαγνωστικός τε καὶ προγνωστικός. ταῦτα δ' αὐτὰ διαγνώσῃ, διά τε τῆς τοῦ νοσήματος ἰδέας καὶ τῆς χώρας, καὶ τῆς ὥρας τοῦ ἔτους, ἅμα τοῖς συστοίχοις αὐτοῖς, καὶ τῆς τῶν περιόδων ἀναλογίας, καὶ προσέτι τῶν ἐπιφαινομένων. ἐκ μὲν τῆς τοῦ νοσήματος ἰδέας, εἰς τρεῖς τούτους ἀποβλέπων ἁπλοῦς καὶ πρώτους πυρετοὺς, τὸν φλεγματώδη, καὶ τὸν μελαγχολικὸν, καὶ τὸν πικρόχολον, ἄσκησον δὲ γνωρίζειν αὐτοὺς πρότερον ἀκριβεῖς τε καὶ γνησίους, οὕτω γὰρ καὶ δυνήσῃ ποτὲ καὶ μεμιγμένους ἐξευρίσκειν. ἀκριβεῖς δὲ καὶ γνήσιοι τότ' εἰσὶν, ὅταν ἡλικία καὶ ὥρα, καὶ χώρα, καὶ κατάστασις, καὶ φύσις, καὶ τὰ προγεγονότα διαιτήματα, καὶ τὰ παρόντα συμπτώματα, καὶ πάνθ' ἁπλῶς, ὅσα πρόσθεν εἶπον οἰκεῖα τοῦ χυμοῦ τῆς ἰδέας ὑπάρχῃ. μενόντων μὲν οὖν τῶν χυμῶν κατὰ τὰς φλέβας, οἱ συνεχεῖς ἐπ' αὐτοῖς γίνονται πυρετοί. κυκλουμένων δὲ καὶ πάντῃ τοῦ σώματος ὠθουμένων, οἱ μετὰ ῥίγους, ἢ φρίκης ἰσχυρᾶς ἀρχόμενοι, σὺν ἱδρῶτι δὲ πάντως εἰς ἀπυρεξίαν τελευτῶντες. ἔστι δ' αὐτῶν ὁ μὲν τριταῖος τε καὶ ὁ διὰ τρίτης ὀλιγοχρόνιος, ὁ δὲ τεταρταῖος, καὶ ὁ διὰ τετάρτης πολυχρόνιος. ἧττον δὲ χρόνιος τούτου, ὅ τ' ἀμφημερινός ἐστι, καὶ ὁ καθ' ἑκάστην ἡμέραν παροξυνόμενος, εἰ τούτους εἰδείης ἑτοίμως γνωρίζειν, οὐκ ἂν ἔτι χαλεπὸν ἐξευρίσκειν, οὐδὲ τοὺς ἐπὶ τόποις τισὶ πεπονθόσι συνισταμένους. ἐν γὰρ τοῖς φλεγμαίνουσι μορίοις ἅπασιν ἡ σφήνωσις τῶν χυμῶν εἴργουσα διαπνεῖσθαι καλῶς τὸν τόπον, εὐθὺς μὲν σήπει τοὺς χυμοὺς, εὐθὺς δὲ καὶ θερμασίαν ἀνάπτει τινὰ μοχθηρὰν, οἵα κἂν τοῖς ἄλλοις ἅπασι τοῖς σηπομένοις γεννᾶται. ταύτης οὖν τῆς θερμασίας ὁ χαρακτὴρ ὅταν ἁπλοῦς ᾖ, τῶν εἰρημένων τινὶ πυρετῶν ἐξ ἀνάγκης ἔοικε. μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, εἷς ἐξ ἐκείνων ἐστὶν, ἢ πικρόχολος, ἢ μελαγχολικὸς, ἢ φλεγματικός. ἠκούσας δέ που λέγοντος Ἱπποκράτους, τίνες εἰσὶν ὀξεῖαι νόσοι, ἢ ὡς ταύτας καλοῦσιν ὀξείας νόσους ὧν οἱ πυρετοὶ τοὐπίπαν εἰσὶ συνεχεῖς, ὥστ' εἴπερ ἰδίᾳ τε καὶ καθ' ἑαυτὸν ἕκαστον τῶν πυρετῶν ἀσκήσαις γνωρίζειν, οὐκ ἂν ἔτι χαλεπῶς, οὐδ' ὅταν ἅμα πνεύμονος, ἢ σπληνὸς, ἢ ἥπατος, ἢ γαστρὸς φλεγμονή τις εὑρίσκοιτο, διαγνώσῃ τε τὴν ἰδέαν αὐτοῦ, καὶ τὸ μέχρι λύσεως μῆκος ὅλης τῆς νόσου προγνώσῃ. πάντως γάρ που τὸ ῥεῦμα τὸ τὴν φλεγμονὴν ἐργασάμενον, ἢ τῆς ξανθῆς χολῆς ἐστιν, ἢ τῆς μελαίνης, ἢ τοῦ φλέγματος. εἰ μὲν οὖν ἀκράτου τέ γε καὶ πολλῆς τῆς ξανθῆς χολῆς εἴη, τηνικαῦτα μὲν ἐρυσιπέλατά τε καὶ τοὺς καλουμένους ἕρπητας ἐργάζεται. τῆς μελαίνης δ' αὖ εἴη, ἢ καρκίνους, ἢ φαγεδαίνας, ἢ ἐλέφαντας, ἢ τι τῶν οὕτω δυσιάτων παθῶν. ὅσα δ' ὑπὸ φλέγματος κατασκήψαντος ἐξαίρεται, ταῦτ' οἰδήματα κέκληται. ψιλὸς μὲν οὖν καὶ μόνος ἕκαστος τῶν εἰρημένων χυμῶν, ἀκριβὲς ἕκαστον ἐργάζεται τῶν εἰρημένων παθῶν. ἀναθολωθεὶς δὲ τῷ αἵματι, κἄπειτα κατασκήψας εἴς τι μόριον, σκιρρώδεις ἢ οἰδηματώδεις, ἢ ἐρυσιπελατώδεις ἐργάζεται τὰς φλεγμονάς. σκιρρώδεις μὲν ὁ μελαγχολικὸς, ἐρυσιπελατώδεις δὲ ὁ πικρόχολος, οἰδηματώδεις δὲ ὁ φλεγματικός. ὅταν δὲ αὐτὸ τὸ κατὰ φύσιν ἔχον αἷμα σφηνωθὲν ἐν τῷ ῥευματισθέντι χωρίῳ διασαπῇ, φλεγμονὴ μέν ἐστι τὸ πάθημα. ἁπλοῦς δὲ ἐπ' αὐτῇ πυρετὸς ἐξάπτεται, παραπλήσιος μάλιστα τῶν ἐφημέρων τοῖς ἐπὶ βουβῶσι. καὶ γὰρ οὖν καὶ αὐτὸς ὁ βουβὼν ἐξ αἵματος χρηστοῦ γίνεται. δῆλον δ' ὡς ἐπειδὰν ὑπάρξηται σήπεσθαι τοῦτο, οὐκέτι μένει χρηστὸν, ἀλλ' ἤδη πικρόχολον γίνεται, καὶ φυλάττεται κἂν τῷδε, τὸ, τρία τὰ σύμπαντα εἶναι γένη τῶν ἁπλῶν πυρετῶν. ὁ γὰρ ἐξ αἵματός τις σηπομένου γινόμενος, ἤδη πως χολώδης ἐστὶν, εἴ γε κἂν τοῖς φυσικοῖς λόγοις ὀρθῶς ἀποδέδεικται. τὸ μὲν αἷμα ἡ σύμμετρος ἐργαζομένη θερμασία, τὴν ξανθὴν δὲ χολὴν ἡ πλείων ἤδη, τὴν μέλαιναν δὲ ἡ ἄμετρος ἱκανῶς. ὅσον μὲν οὖν ἐστι λιπαρόν τε καὶ κοῦφον ἐν αἵματι, ξανθὴ χολὴ γίνεται.

τὸ παχὺ δὲ καὶ οἷον τρύξ, ὅταν ἀμέτρως θερμανθὲν ἐξικμασθῇ, μέλαινα γίνεται. γίνεται δὲ ποτὲ μέλαινα καὶ ἡ ξανθὴ κατοπτηθεῖσα. διττὸς γὰρ δὴ καὶ ταύτης ἐλέχθη τῆς γενέσεως ὁ τρόπος. ἅπαντες οὖν οἱ ἐπὶ μορίοις τισὶ πεπονθόσι πυρετοὶ, τῶν εἰρημένων τινὰ χαρακτήρων, ἢ ἁπλοῦν, ἢ σύνθετον ἕξουσιν. ἁπλοῦν μὲν ὅταν ἱκανῶς κρατήσῃ τῶν ἄλλων εἷς χυμὸς, οὐχ ἁπλοῦν δὲ ἐπειδὰν ἐμφαίνηται τοῦ μιχθέντος ἡ δύναμις. ἐνίοτε δὲ οὐκ ἐμφαίνεται μόνον, ἀλλὰ καὶ κατ' ἴσον ἰσχύει θατέρῳ, καί ποτε καὶ οἱ τρεῖς ἅμα μίγνυνται ταῖς δυνάμεσιν ἴσοι. ἀλλ' ὥσπερ τὸν ἀκριβῶς ἐπιστάμενον ἰδίᾳ γνωρίζειν οἶνον καὶ μέλι, καὶ ὕδωρ, οὐδ' ἡ κρᾶσις αὐτῶν διαλανθάνει. κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, οὐδ' ὅστις ἰδίᾳ τῶν εἰρημένων ἕκαστον τῶν πυρετῶν, οἷός τ' ἐστὶ γνωρίζειν ἀκριβῶς, οὐκ ἀγνοήσει τὴν μίξιν αὐτῶν, ὅθεν ἀρχὴ πάντων ἐστὶ, τῶν τοιούτων ἀρίστη, τοὺς τρεῖς ἐκείνους πυρετοὺς δύνασθαι γνωρίζειν ἀκριβῶς, ἀμφημερινὸν, καὶ τριταῖον, καὶ τεταρταῖον. ὅμοιοι γὰρ αὐτοῖς ἀκριβῶς εἰσι, καὶ οἱ παρακείμενοι συνεχεῖς, οὔκουν εἰς πολλοὺς καὶ ἀσαφεῖς σκοποὺς, ἀλλ' εἰς ὀλίγους τε καὶ σαφεῖς ἅπασαν ἀνήγαγόν σοι τὴν ἄσκησιν. ἐν τούτοις γὰρ γυμνασάμενος, οὐ χαλεπῶς ἐν ταῖς πρώταις τῶν ἡμερῶν διαγνώσῃ τῆς νόσου τὸν χαρακτῆρα. Τὰ μὲν δύο γένη τῶν πυρετῶν, ὅπως ἄν τις ἐξ ἀρχῆς γνωρίζοι, λέλεκται. λέγω δὲ δύο γένη τῶν πυρετῶν, τό, τ' ἐπὶ μορίοις τισὶ πεπονθόσι, καὶ τὸ τῶν χυμῶν μόνον ἐξαπτομένων. ἐφεξῆς δ' ἂν εἴη λέγειν ὑπὲρ τοῦ τρίτου γένους, τῶν πυρετῶν, οὓς ἐφημέρους ἔφαμεν ὀνομάζεσθαι, τοῦ πνεύματος δ' αὐτοῦ μόνου παθήμαθ' ὑπάρχουσιν οὗτοι, χωρὶς χυμῶν σηπεδόνος, ἢ μορίου φλεγμονῆς, ἔξω τῶν ἐπὶ βουβῶσιν. αἱ προφάσεις δὲ αὐτῶν τῆς γενέσεως ἀγρυπνία, καὶ ἀπεψία, καὶ λύπη, καὶ φόβος, καὶ θυμὸς, καὶ φροντὶς, ἔκκαυσίς τε καὶ ψύξις, καὶ κόπος, καὶ μέθη, καὶ πάνθ' ὅσα τοιαῦτα. πῶς οὖν καὶ τούτους γνωρίζειν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν χρὴ, ἐφεξῆς δίειμι, κοινὴ μὲν ἁπάντων ὁ σφυγμὸς εἰς τάχος ἐπιδίδωσι καὶ πυκνότητα, πολλάκις δὲ καὶ μέγεθος. ἀκριβῶς δὲ ἀποσώζει τὴν κατὰ φύσιν ὁμαλότητά τε καὶ μαλακότητα, καὶ τάξιν, ὡσαύτως δὲ καὶ τὰ οὖρα, τὰ μὲν ἐναιωρήματα χρηστὰ, τὰ δ' ὑποστάσεις ἔχει, τὰ δὲ νεφέλας, εὔχροα δὲ πάντα, καθάπερ καὶ ἡ θερμασία πάντων μὲν ἀτμώδης ἐστίν. ἀλλὰ τοῖς μὲν εὐθὺς ἐν τῇ πρώτῃ τῆς ἁφῆς ἐπιβολῇ, τοῖς δ' ἐξ ὑστέρου, καὶ πάντ' αὐτῶν ἄπεστι τὰ κακοήθη συμπτώματα, περὶ ὧν Ἱπποκράτης ἐδίδαξεν ἡμᾶς ἐν προγνωστικῷ. ταῦτα μὲν οὖν ἁπάντων ἐστὶ κοινὰ σημεῖα τῶν ἐφημέρων πυρετῶν. ἴδια δ' ἑκάστῳ καθάπερ εἴρηταί μοι κἂν τῷ πρώτῳ τῶν πρὸς Γλαύκωνα θεραπευτικῶν. ἄρξομαι δὲ καὶ νῦν ἀπὸ τῶν ψυχικῶν παθῶν τοῦ λόγου φροντίδος, καὶ φόβου, καὶ θυμοῦ, καὶ λύπης. εἰ μὲν δὴ μενόντων ἔτι τῶν τῆς ψυχῆς παθῶν ἡ ἐπίσκεψις γένοιτο, διὰ τῶν σφυγμῶν μάλιστα πειρᾶσθαι διαγινώσκειν, ὡς ἐν τοῖς περὶ σφυγμῶν γέγραπται. μετὰ δὲ ταῦτα, καὶ τὴν ἀπὸ τῶν ἄλλων εἰσάγειν διάγνωσιν. εἰ δ' αὐτὰ μὲν εἴη πεπαυμένα, μένει δ' ἡ διάθεσις, ἀμυδρὸν μέντοι κἂν τοῖς σφυγμοῖς εὑρήσεις γνώρισμα τῶν ποιησάντων τὸν πυρετὸν παθῶν, ἀποχρήσει δέ σοι καὶ χωρὶς τῶν σφυγμῶν τὰ λοιπὰ πάντα. κοινὴ μὲν γὰρ ἅπασι πυρρότερα τὰ οὖρα, πρόσεστι δὲ τοῖς μὲν διὰ λύπην δριμύτης μᾶλλον, ἢ πλῆθος θερμασίας, ὡς τοῖς γε διὰ θυμὸν ἔμπαλιν, ἀλλὰ καὶ ἡ ἰσχνότης τοῦ σώματος ἐπιδηλοτέρα τοῖς λυπηθεῖσιν ἢ τοῖς φροντίσασι, καὶ ἡ τῶν ὀφθαλμῶν κοιλότης, καί τις ἀήθης ἀχροία. ταῦτα μὲν δὴ καὶ τῶν ἄλλως ὁπωσοῦν φροντισάντων κοινὰ, μάλιστα δὲ τοῖς ὀφθαλμοῖς ἐστι διορίζειν. ἔνεστι γὰρ ἐκ τούτων τεκμήρασθαι, κἂν τοῖς ὑγιαίνουσι μὲν τὸ τῆς ψυχῆς ἦθος, καὶ νοσούντων δὲ σαφέστατα σημεῖα τῷ γε δυναμένῳ συνορᾶν. οὕτως μὲν δὴ τοὺς διὰ μαθήματά τε καὶ θεωρίαν τινὰ φροντίσαντας τῶν λυπηθέντων διακρίνειν προσήκει, τούς γ' ἐπ' ἀγρυπνίας, διορίζει μὲν καὶ τὸ τῆς ἀχροίας εἶδος. ὑποιδὸν γάρ ἐστιν αὐτοῖς τὸ πρόσωπον, καὶ αἱ τῶν ὀφθαλμῶν κινήσεις δῆλαι, μόγις γὰρ ἐπαίρουσι τὰ βλέφαρα. καὶ μὴν ὑγρότης δὲ, ξηροὶ γὰρ γίνονται τοῖς λυπηθεῖσιν, ἢ φροντίσασιν. ἡ κοιλότης δὲ κοινὸν ἁπάντων σύμπτωμα, λύπης, ἀγρυπνίας, φροντίδος, καὶ οὐ μὴν ἤδη καὶ θυμοῦ. τούτῳ γὰρ οὔτε τὰ τῆς κοιλότητος τῶν ὀφθαλμῶν, οὔτε τὰ τῆς ἀχροίας ἐπίδηλα, καὶ μὴν θερμασία πλείων τε καὶ ὠκέως ἐκ τοῦ βάθους ἀναφερομένη. καὶ τὸ μέγεθος τῶν σφυγμῶν οὐκ ἀφαιρεῖται, καθάπερ ἐπ' ἀγρυπνίας τε καὶ λύπης, καὶ φροντίδος, ὥστε θυμὸν μὲν καὶ πάνυ σαφῶς αὐτῶν διορίζεις. ἀλλήλων δὲ ἐκεῖνα καθάπερ προείρηται, τῶν δ' ἐπὶ κόποις πυρεξάντων, τὸ δέρμα ξηρότερον ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν. ἀλλὰ τοῦτο μὲν ἅπασι τοῖς ἐπὶ κόπῳ πυρέξασι κοινὸν, ἔν γε τῷ μέχρι τῆς ἀκμῆς τοῦ παροξυσμοῦ χρόνῳ. τῷ δὲ ἀπὸ τοῦδε τοῖς πλείστοις μὲν ὅσοι μὴ ὑπερεπόνησαν, ἰκμάδες τινὲς, ἢ ἀτμὸς θερμὸς ἐκ τοῦ βάθους ἀναφέρεται, τισὶ δὲ κἂν τοῖς μετὰ τὴν ἀκμὴν χρόνοις ἡ ξηρότης παραμένει. γίνεται δὲ τοῦτο μάλιστα τοῖς ὑπερπονήσασιν, ἢ ἐγκαυθεῖσιν, ἢ ψυχθεῖσιν ἅμα τῷ κόπῳ. καὶ μὲν δὴ καὶ τὰ τῶν σφυγμῶν, οὐχ ὡσαύτως ἐν ἀμφοτέροις ἔχει. μικροὶ μὲν γὰρ τοῖς ὑπερπονήσασι, μεγάλοι δὲ εἰσι τοῖς ἄλλοις, οἱ δὲ ἐπὶ τῇ πυκνώσει τοῦ δέρματος ἀναπτόμενοι πυρετοί. πυκνοῦται δὲ, ἢ ψυχόμενον, ἢ ποιότητος στρυφνῆς ἀθρόως αὐτῷ ἐμπεσούσης, οἷον τι καὶ τῷ λουσαμένῳ ἐν τῷ ὕδατι τῷ στυπτηριώδει ἐγγίνεται, οὗτοι μόνοι πάντων πυρετῶν στεγνόν εἰσι πάθος. ἔνεστι δὲ αὐτοὺς τῇ ἁφῇ διαγινώσκειν, ὥσπερ καὶ τοὺς αὐχμώδεις τῶν πυρετῶν τοὺς ἐπὶ τοῖς κόποις. οὐ γὰρ αὖ οὐδ' ἡ τούτων πύκνωσις ἁφὴν γεγυμνασμένην διαλάθοι. ἀτὰρ οὖν καὶ ἡ τῆς θερμασίας κίνησις ἐπαναδιδοῦσα πῶς ἐστι, πραεῖα μὲν κατὰ τὴν πρώτην ἐπιβολὴν φαινομένη, δριμεῖα δὲ, εἰ χρονίσαις ἐπὶ πλέον, γινομένη. οὐ μὴν οὐδὲ τὰ οὖρα πυρρὰ τοῖς τοιούτοις, οὐδ' ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν. οὔκουν οὐδ' οἱ ὀφθαλμοὶ κοῖλοι καὶ ξηροὶ γίγνοιντο ἄν, ἀλλ' ἔστιν οἷς ὑγρότεροί τε καὶ προπετέστεροι δόξουσιν εἶναι τῶν κατὰ φύσιν, οἱ δὲ σφυγμοὶ μικρότεροι καθάπερ ἐπὶ λύπης καὶ φροντίδος, καὶ ἀγρυπνίας, κἂν τοῖς ἄγαν ἀμέτροις γυμνασίοις. τῶν δ' ἐπὶ βουβῶσι πυρετῶν τῶν ἐφημέρων, οἱ σφυγμοὶ μέγιστοι γίνονται καὶ ὠκεῖς, καὶ πυκνοὶ, καὶ ἡ θερμασία πολλὴ, καὶ μετὰ τὴν ἀκμὴν εὐθὺς ἐκ τοῦ βάθους ἀναφέρεταί τις ἰκμὰς, θερμὴ μὲν ἀλλ' ἡδεῖα. τὸ γὰρ δριμὺ καὶ δάκνον, ἥκιστα πάντων πυρετῶν τοῖς τοιούτοις ὑπάρχει, καὶ τὸ πρόσωπον ἐρυθρὸν αὐτοῖς γίνεται τοὐπίπαν, καὶ ἐν ὄγκῳ μείζονι, καὶ τὰ οὖρα ὑπόλευκα. κοινὸν δὲ τοῖς τοιούτοις ἅπασι πυρετοῖς τοῖς ἐφημέροις, ἡ ὁμαλότης τοῦ σφυγμοῦ. παντελῶς γὰρ ἐξ αὐτῶν ὀλίγην τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν ἐμφαίνουσιν, ἀλλ' οὐδ' οὗτοι πάνυ σαφῶς, οὐδ' ἐναργῶς, εἴρηταί μοι

δὴ

δὴ καὶ τὰ τῶν ἐφημέρων πυρετῶν γνωρίσματα. περὶ δὲ τῶν ἑκτικῶν οὐ νῦν καιρὸς, οὐδεὶς γὰρ ἐν ταῖς πρώταις ἡμέραις, ἀλλ᾽ ἐν τῷ χρόνῳ προϊόντι τοιοῦτος ἀποτελεῖται, ὥστε περὶ μὲν ἐκείνων ἐν τοῖς ἐφεξῆς εἰρήσεται. νυνὶ δὲ καταπαύσω τὸν παρόντα λόγον ἐνθάδε.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΕΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Πρόκειται μὲν, ὡς καὶ πρόσθεν ἔλεγον, πάσης ἐν νόσῳ μεταβολῆς διαγνώσεις μὲν παρούσης, μελλούσης δὲ ἔσεσθαι προγνώσεις εἰπεῖν. ἐπεὶ δ᾽ ἑξαχῶς αὗται γίνονται, πειρατέον ὑπὲρ ἑκάστου ἰδίᾳ διελθεῖν, αὐτὸ τοῦτο πρότερον ἀναμνήσαντας, ὡς ἕξ εἰσιν αἱ πᾶσαι διαφοραὶ τῶν ἐν ταῖς νόσοις μεταβολῶν. ἢ γὰρ ἐξαίφνης εἰς ὑγείαν μεταπίπτουσιν, ἢ ἐξαίφνης ἀποκτείνουσιν, ἢ κατὰ βραχὺ τούτων ἑκάτερον ἢ μικτῶς γίνεται. κατὰ βραχὺ μὲν, ἤτοι τῆς νόσου μαρανθείσης, ἢ τῆς τοῦ κάμνοντος δυνάμεως καταλυθείσης. μικτῶς δ᾽ ἐπειδὰν ἀθρόα μέν τις ἐπὶ τὸ κρεῖττον ἢ χεῖρον γένηται μεταβολὴ, τοὐντεῦθεν δὲ, ἕως παντελοῦς λύσεως ἢ θανάτου, τὸ ὑπόλοιπον ἅπαν ἀπομαρανθῇ. περὶ πρώτης οὖν τῆς ἐξαιφνιδίου μεταβολῆς εἰς ὑγείαν εἴπωμεν, ὅτι τε πασῶν ἐστι τῶν εἰρημένων ἀρίστη, καὶ διὰ τοῦτ᾽ αὐτὴν ἐξαιρέτως ὀνομάζουσι κρίσιν, ὅτι τε τῆς φύσεως ἀκριβῶς κρατούσης ἁπάντων τῶν παρὰ φύσιν ἀποτελεῖται. τῶν δ᾽ ἄλλων μεταβολῶν, ἡ μὲν εἰς ὀξὺν θάνατον τελευτῶσα, κακὴ κρίσις ἐστίν. αἱ δ᾽ ἀξιόλογον μέν τινα ποιησάμεναι τὴν ῥοπὴν, οὐ μὴν τελείαν γε λύσιν, ἐλλιπεῖς κρίσεις ὀνομάζονται. ὥσπερ οὖν καὶ ὅσαι κατὰ βραχὺ μαρανθείσης, ἢ τῆς δυνάμεως, ἢ τῆς νόσου γίνονται, καὶ αἵδε λύσεις ἁπλῶς, οὐ κρίσεις ὀνομάζονται. μόνη τοίνυν ἁπλῶς κρίσις, ἡ εἰς ὑγείαν ὀξύρροπος μεταβολὴ προσαγορεύεται, καὶ γίνεται μὲν πάντως ἐπί φανεραῖς τισιν ἐκκρίσεσιν, ἢ ἀξιολόγοις ἀποστάσεσιν. ὅσα γὰρ ἄλλως ἐρραστώνησεν, ὑποτροπιάζει κακοηθέστερον. ἡγεῖται δὲ τῶν ἐκκρίσεών τε καὶ τῶν ἀποστάσεων τούτων, οὐ σμικρὰ ταραχὴ κατὰ τὸ τοῦ κάμνοντος σῶμα. καὶ γὰρ δυσφορίαι, καὶ ἀγρυπνίαι, καὶ παραφροσύναι, καὶ κώματα, καὶ δύσπνοιαι, καὶ σκοτόδινοι, καὶ δυσαισθησίαι, καὶ ἀλγήματα κεφαλῆς, καὶ τραχήλου, καὶ στομάχου, καὶ πολλῶν ἄλλων μορίων. ἐνίοις δὲ καὶ ὤτων ἦχοι, καὶ μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν φαίνονται, καὶ δάκρυον ἀκούσιον ἐκρεῖ, καὶ οὖρον ἴσχεται, καὶ χεῖλος σείεται, καὶ ἄλλό τι τρομῶδες γίνεται, καὶ λήθη, καὶ ἄγνοια τῶν παρόντων, καὶ ῥῖγος σφοδρὸν ἐμπίπτει, καὶ τὸ σύμπαν ὁ παροξυσμὸς προφθάνει τῆς συνήθους ὥρας, καὶ καῦμα πολὺ, καὶ δίψος ἀφόρητον ἕπεται, καὶ βοῶσι, καὶ ἀναπηδῶσιν ὥσπερ ἔμπληκτοι, καὶ τὸ τῆς κατακλίσεως σχῆμα φυλάττειν οὐ δύνανται, κᾄπειτ᾽ ἐξαίφνης ἱδρὼς ἐξέβρασε πολὺς, ἤ τις ἔμετος οὐκ ὀλίγος ἐπηκολούθησεν, ἢ γαστὴρ ἀθρόως κατέρρηξεν, ἢ καὶ λάβρως αἱμορραγοῦσιν, ἢ καὶ ταῦθ᾽ ἅμα συμπίπτει, καὶ φόβος ἐπήρτηται τοῖς ὁρῶσιν οὐ μικρὸς, κᾂν τούτῳ τις ἰδιωτῶν παρὼν ὑπ᾽ αὐτοῦ τοῦ πράγματος ἀναγκασθεὶς ἐξεφώνησεν, ὡς ὁ κάμνων κρίνοιτο περὶ τῆς ζωῆς. οὐ γὰρ δὴ ἰατρῶν γέ τις ἰδίως ἔθετο τῷ γινομένῳ τοὔνομα, ἀλλ᾽ ἀνάγκη πᾶσα τὸν παραγινόμενον αὐτῷ ταραχθῆναί τε καὶ ῥῆξαι φωνὴν, καὶ κρίσιν ὀνομάσαι τὸ γινόμενον, ἰατροῦ γε μὴν ἐστὶν γνῶναι, μήτε ταράσσεσθαι, μήτ᾽ ἀγνοεῖν τὸ μέλλον ἀποβήσεσθαι. κάλλιον δὲ εἰ καὶ προγινώσκειν ἐσομένην κρίσιν ἀσκήσειεν. οὐδὲ γὰρ πόῤῥω που τὸ διαγινώσκειν τὴν ἤδη παροῦσαν ἐστὶν ὅτι τελευτήσει, τοῦ προγινώσκειν ἐσομένην ἐστὶν, ἀλλ᾽ ἐκ τῆς αὐτῆς θεωρίας ἄμφω κατορθοῦται. καὶ πάντ᾽ ἤδη λέλεκταί μοι ταῦτα, τὰ μὲν ἐν τῷ πρώτῳ τῶν περὶ κρισίμων ἡμερῶν ὑπομνήματι, τὰ δ᾽ ἐν τοῖς προηγουμένοις τοῖσδε δυσί. λέξω δὲ καὶ νῦν αὐτὰ διὰ κεφαλαίων ἅπαντα, τάτε τὴν παροῦσαν ἤδη κρίσιν ὁποία τις ἔσοιτο δηλοῦντα, καὶ τὰ τὴν μέλλουσαν ἔσεσθαι προδηλοῦντα. πρῶτον μὲν δὴ καὶ μέγιστον ἁπάντων, τὸ ἐπισκέπτεσθαι τοὺς πεπασμοὺς οὔρων τε καὶ διαχωρημάτων, καὶ πτυσμάτων, ὡς ἔγωγε μυρίαις ἤδη κρίσεσι παραγινόμενος, οὐδέποτε ἐθεασάμην ἀπολλύμενον οὐδένα τῶν ἐπὶ πεπασμοῖς κριθέντων, οὐ μὴν τὴν ἴσην γε ἀξίαν ἀπονέμειν ἅπασι χρὴ τοῖς σημείοις, ἀλλ᾽ ἐν μὲν τοῖς κατὰ θώρακά τε καὶ πνεύμονος πάθεσι, προσέχειν μὲν μάλιστα τὸν νοῦν τοῖς πτύσμασι. μὴ μέντοι μηδὲ τῶν οὔρων τῆς ἐπισκέψεως ἀμελεῖν, προσεπιβλέπειν δὲ καὶ τὰ διαχωρήματα. πυρεττόντων δὲ μόνον ἄνευ σπλάγχνου τινὸς διαθέσεως, ἤ τινος τῶν καθ᾽ ἧπαρ, ἢ νεφροὺς, ἢ κύστιν, ἢ σπλῆνα φλεγμαινόντων τοῖς οὔροις μάλιστα προσέχειν τὸν νοῦν, ὥσπερ εἰ καὶ τὰ κατὰ τὴν γαστέρα πεπόνθασι, τοῖς διαχωρήμασι μὲν πρῶτον, οὐκ ἀμελητέον δὲ οὐδὲ τῶν οὔρων. ἀεὶ γὰρ ὁπόταν ᾖ ὁ πυρετὸς, εἴτ᾽ ἐπὶ χυμοῖς μόνοις σηπομένοις ἀναπτόμενος, εἴτ᾽ ἐπὶ μορίῳ φλεγμαίνοντι συνεπόμενος, εἰς οὖρα μάλιστά σε βλέπειν ἀξιῶ, κᾀντεῦθεν γνωρίζειν τοὺς πεπασμοὺς, ὡς ἔμπροσθεν εἴρηται. πρῶτον μὲν δὴ καὶ μέγιστον ἀγαθῆς κρίσεως σημεῖον ἐνεστώσης, οἱ πεπασμοί, δεύτερον δὲ, τὸ προδεδηλῶσθαι διά τινος τῶν ἐπιδήλων ἢ συμπίπτειν τῆς κρινούσης ἡμέρας ἡ δύναμις. ἐφεξῆς δὲ τὸ εἶδος τοῦ νοσήματος αὐτοῦ, καὶ τὸ ἦθος. εἶδος μὲν, εἰ τριταῖος, ἢ ἀμφημερινὸς, ἢ καῦσος, ἢ πλευρῖτις, ἢ περιπνευμονία. ἦθος δὲ, εἰ μέτριον καὶ ἐπιεικὲς, ἢ πονηρόν τε καὶ κακόηθες. ἐφεξῆς δὲ τούτοις, εἰ κατὰ τὴν τοῦ νοσήματος ἰδέαν ἡ ἔκκρισις εἴη. εἰ μὲν γὰρ καῦσος εἴη ὁ πυρετὸς, ἢ αἱμορραγείτω διὰ ῥινῶν, ἢ ῥιγώσας σφοδρῶς ἱδρούτω πολλῷ καὶ θερμῷ δι᾽ ὅλου τοῦ σώματος, ἢ ἐμείτω τε καὶ διαχωρείτω χολώδη. παραπλησίως δὲ καὶ ὁ τριταῖος ἐμέτοις τε καὶ διαχωρήμασι χολώδεσι, καὶ ἱδρῶτι πολλῷ δι᾽ ὅλου τοῦ σώματος κρινέσθω. φλέγμα δὲ συχνὸν ἐν ἀμφημερινοῖς ἐκκρινέσθω, καὶ πολλοὶ γινέσθωσαν ἱδρῶτες ἐν ὅλῳ τῷ σώματι. κρίνει δὲ καὶ φρενῖτιν ἱδρὼς χρηστὸς, καὶ μᾶλλον εἰ ἐκ τῆς κεφαλῆς πολὺς καὶ θερμὸς ἐκρέοι, σύμπαντος ἱδροῦντος τοῦ ἄλλου σώματος, ἀλλὰ καὶ δι᾽ αἱμορραγίας τε τὰς ἐκ ῥινῶν ἐστὶν, ὅτε φρενῖτις ἐκρίθη βεβαίως, οὐ μὴν λήθαργος, ἢ περιπνευμονία, χαίρουσιν αἱμορραγίαις, ἐν μέσῳ δ᾽ αὐτῶν ἐστὶν πλευρῖτις. ἧττον μὲν γὰρ ἢ καῦσος καὶ φρενῖτις, μᾶλλον δὲ, ἢ περιπνευμονία καὶ λήθαργος αἱμορραγίαις λυθήσεται. λύουσι δ᾽ ἱκανῶς, καὶ τὰς τοῦ ἥπατος, καὶ τὰς τοῦ σπληνὸς φλεγμονὰς αἱμορραγίαι διὰ ῥινῶν, ἐπειδὰν ἅμα πυρετοῖς ὀξέσι φλεγμαίνῃ τὰ σπλάγχνα. καὶ πάσας δὲ τὰς καθ᾽ ὑποχόνδρια φλεγμονὰς τὰς θερμὰς καὶ ὀξείας,

ἡ διὰ ῥινῶν αἱμοῤῥαγία κρίνει. χρὴ δὲ καὶ κατ᾽ εὐθυωρίαν αἱμοῤῥαγεῖν, ἐκ δεξιοῦ μὲν μυκτῆρος, ἐφ᾽ ἥπατί τε καὶ τοῖς κατὰ τὸ δεξιὸν ὑποχόνδριον, ἐξ ἀριστεροῦ δὲ, ἐπί τε σπληνὶ καὶ τοῖς ταύτῃ μορίοις. ὀνίνησι δὲ καὶ ἱδρὼς χρηστὸς ἁπάσας τὰς καθ᾽ ὑποχόνδρια φλεγμονὰς τὰς θερμὰς καὶ ὀξείας. ἥπατος δὴ τὰ μὲν κυρτὰ φλεγμαίνοντα, τρισὶν ὑπακούει μάλιστα τρόποις ἐκκρίσεως, αἱμοῤῥαγίαις ἐκ μυκτῆρος δεξιοῦ, καὶ ἱδρῶσι χρηστοῖς, καὶ οὔροις πολλοῖς. τὰ δὲ σιμὰ, διαχωρήμασί τε χολώδεσι καὶ ἱδρῶσιν, ἔστιν ὅτε δὲ καὶ ἐμέτοις. ἐκκαθαίρεσθαι δὲ δι᾽ οὔρων ἐθέλει πολὺ δὴ μᾶλλον ἔτι τῶν κυρτῶν τοῦ ἥπατος, ἅπανθ᾽ ὅσα κατὰ νεφροὺς καὶ κύστιν ἐπόνησαν, ὥσπερ γε τὰ κατὰ θώρακα καὶ πνεύμονα πτύσμασιν. οἱ δὲ ἱδρῶτες ἅπασί τε πυρετοῖς οἰκεῖοι, καὶ μᾶλλον τοῖς περικαέσιν. ἐπωφελοῦσι δ᾽ οὐ σμικρὰ καὶ τὰς ζεούσας φλεγμονὰς, ὅτε, ὡς εἴρηται καὶ πρόσθεν, ἅμα πεπασμοῖς γίνωνται. ἤδη δὲ καὶ τοὺς ἀμφημερινοὺς κρίνουσι σὺν ἐμέτοις τε καὶ διαχωρήμασι φλεγματώδεσι, καὶ τοὺς τεταρταίους, εἰ μέλαινα σὺν αὐτοῖς ἐκκρίνοιτο καὶ ποικίλα, καὶ τοὺς ἡμιτριταίους, εἰ χολώδη τε ἅμα καὶ φλεγματώδη. κρίνουσι δὲ παρωτίδας ληθάργους τε καὶ τὰ περὶ τὴν κεφαλὴν ἅπαντα, καὶ τἆλλα ἀποσκήμματα τοὺς χρονίζοντας ἅπαντας πυρετοὺς κρίνειν ἀσφαλῶς εἴωθεν, ἀλλ᾽ οὔπω περὶ τῶν χρονιζόντων πρόκειται λέγειν. αἱ γὰρ ἐξαιφνίδιοι μεταβολαὶ, τῶν ὀξέων εἰσὶν, ὧν τὴν ἀρίστην ἐξηγοῦμαι νῦν ὁποία τίς ἐστιν, ὅτι γε πάντως οὐκ ἄνευ πεπασμοῦ, ὅτι τε κατά τινα τῶν κρισίμων ἡμερῶν γινομένη, καὶ προσέτι διὰ τῆς ἐπιδήλου προδεδηλωμένη, καὶ μέντοι καὶ τὸ τῆς κρίσεως εἶδος, οἰκεῖον τῷ νοσήματι ποιουμένη. προσεπιβλέπειν δ᾽ ἐνταῦθα κελεύσω σε, καὶ τὴν ἡλικίαν τοῦ κάμνοντος, καὶ τὴν φύσιν, καὶ τὴν προγεγενημένην δίαιταν, καὶ τὸ χωρίον ἐν ᾧ νοσεῖ, καὶ τὴν ὥραν τοῦ ἔτους, καὶ τὴν ἐνεστῶσαν κατάστασιν. εἰ μὲν γὰρ ὥσπερ τὸ νόσημα χολῶδες εἰ τύχοι, καὶ τούτων ἕκαστον ὁμοίως εἴη χολῶδες, ἐκκαθαίρεσθαι χρὴ χολὴν ἐν ταῖς κρίσεσι, ὥσπερ εἰ καὶ φλέγμα πλεονεκτεῖ, ἐκκρίνεσθαι προσήκει φλέγμα. ποικίλων δὲ ἐπικρατούντων χυμῶν, ποικίλην εἶναι χρὴ καὶ τὴν κένωσιν. ἐπειδὰν δέ σοι ταῦτα σύμπαντα καλῶς ᾖ διηκριβωμένα, παρακολουθεῖν ἤδη σε χρὴ τοῖς ἀποβαίνουσι. εἰ μὲν γὰρ ὅ τε πυρετὸς λύοιτο κρινομένῳ τῷ κάμνοντι, καὶ τῶν ἄλλων ἀπαλλάττοιτο συμπτωμάτων, εὐχρούστερός τε γίγνοιτο πρὸς λόγον τῆς κενώσεως, εὐσφυκτότερός τε καὶ ἰσχυρότερος ἐν ταῖς ἐξαναστάσεσιν. αὕτη μὲν ἡ ἀρίστη κρίσις ἐστίν. εἰ δέ τι τούτων λείποι, τοσοῦτον ἀποδεῖ τῆς ἀρίστης, ἡλίκον τοῦ λείποντος ἡ δύναμις. οὕτω μὲν χρὴ διαγινώσκειν ἐνεστῶσαν ἀρίστην κρίσιν, ἐσομένην δὲ μέλλουσαν ὧδε. τὴν τοῦ νοσήματος ἐπισκέπτεσθαι φύσιν, εἴ τε πικρόχολος ἐστὶν, εἴτε φλεγματώδης, εἴτε μελαγχολικὴ, εἴτε μικτή τις. γέγραπται δ᾽ ἐν τῷ πρὸ τούτου λόγῳ τὰ γνωρίσματα. δεύτερον δ᾽ ἤδη τούτοις, τήν τε ὥραν τοῦ ἔτους, καὶ τὴν τοῦ κάμνοντος ἡλικίαν, καὶ τὴν κρᾶσιν ὅσα τἆλλα τῆς αὐτῆς ἔχεται συστοιχίας, ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν εἴρηται. καὶ χρὴ καὶ ἐν ἐξ αὐτῶν ποτε ῥηθῇ, καὶ τῶν μὴ ῥηθέντων ἀναμιμνήσκεσθαι. μακρὸν γὰρ ἂν εἴη διέρχεσθαι σύμπαντα. μετὰ δὲ ταῦτα σκοπεῖσθαι τὰς περιόδους τῶν παροξυσμῶν, εἴτε διὰ τρίτης, εἴτε διὰ τετάρτης, εἴτε καθ᾽ ἑκάστην ἡμέραν, εἴτε μηδ᾽ ὅλως γίνονται, καθάπερ ἤδη τῶν συνόχων ἰδίως ὀνομαζομένων ἐστὶν ἰδεῖν. εἰ μὲν γὰρ ἐπείγοιντο καὶ προλαμβάνοιεν ἀεὶ τῆς συνήθους ὥρας, καὶ σφοδρότεροι γίνοιτο πολλῷ, καὶ διὰ τρίτης ἀπαντῷεν, ἐν τάχει κριθήσεσθαι δηλοῦσι. εἰ δ᾽ ἀργῶς κινοῖντο, καὶ τὴν αὐτὴν ὥραν εἰσβάλλοιεν, ἐφ᾽ ἑκάστῃ τε γίγνοιντο ἡμέρᾳ, μετὰ πλείονα χρόνον ἔσεσθαι σημαίνουσι τὴν κρίσιν. ἐπὶ δὲ τούτοις ἑξῆς, ὅπερ δὴ καὶ μέγιστόν ἐστι, τοὺς πεπασμοὺς ὁρᾶν, καὶ τούτων μάλιστα ταῖς ἀξιολόγοις μεταβολαῖς προσέχειν τὸν νοῦν. εἰ γὰρ ἐν ἐπιδήλοις ἡμέραις γίγνοιντο, τὰς ἐφεξῆς αὐτῶν κρισίμους ἀπαλλάξειν τῆς νόσου τὸν ἄνθρωπον ἐπαγγέλλονται. καθόλου γὰρ ὡς κἂν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ἡ σύμπασα κατάστασις τῶν νοσημάτων, διὰ τῶν εἰρημένων τεττάρων γενῶν γνωρίζεται, περὶ ὧν ἔφαμεν ἐν ἀφορισμοῖς διειλέχθαι τὸν Ἱπποκράτην τόνδε τὸν τρόπον. „τοὺς δὲ παροξυσμοὺς, καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ „ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες. ἤν τε καθ᾽ ἡμέρην, ἤν τε παρ᾽ ἡμέρην, ἤν τε καὶ διὰ πλείο„νος χρόνου γίνωνται, εἶτ᾽ ἐφεξῆς φησι. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν οἷον ἐν πλευριτικοῖσι πτύελον, αὐτίκα „ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δὲ ὕστερον ἐπιφαίνεται, μηκύνει. διηγησάμεθα δ᾽ ἤδη πλεῖστον ἐν τῷ πρώτῳ γράμματι περί τε τῶν ἐπιφαινομένων τούτων σημείων, ἃ δὴ τὴν πέψιν ἐνδείκνυται τῆς νόσου, καὶ ὅπῃ διαφέρει τῶν κρισίμων ὀνομαζομένων σημείων τε καὶ συμπτωμάτων. ἅπερ οὖν ἐκείνων μνημονεύεις ἐλπίζω σε ῥᾳδίως ποιήσειν ἐν τῷδε τῷ λόγῳ προγνωστικόν τε καὶ διαγνωστικὸν ἀρίστης κρίσεως. αἱ μὲν γὰρ ἄλλαι, στοχασμῷ τινι τεχνικῷ προγινώσκονται. τὴν δ᾽ ἀρίστην κρίσιν, ἣν δὴ καὶ μόνην ἁπλῶς ὀνομάζεσθαι κρίσιν ἔφαμεν, οὐδὲ στοχαστικῶς ἄν τις, ἀλλὰ βεβαίως προγινώσκοι. πάντα γὰρ ἤδη τῶν τοιούτων νοσημάτων ἐξ ἀρχῆς εὐθὺς ἀκίνδυνα φαίνεται τὰ σημεῖα. τελέως μὲν οὖν ὄντα τοιαῦτα, κατὰ τὴν πρώτην τετράδα τὴν κρίσιν ἐπαγ„γέλλεται, καθότι καὶ Ἱπποκράτης ἐδίδαξεν ἐν τῷ προγνωστικῷ λέγων ὧδε. οἵ τε εὐηθέστατοι τῶν πυρετῶν, καὶ „ἐπὶ σημείων ἀσφαλεστάτων γινόμενοι, τεταρταῖοι παύονται, ἢ πρόσθεν. οὐ γὰρ ἐνδέχεται πυρετὸν, οὔτε τὸν ἀσφαλέστατα πάντα κεκτημένον, οὔτε τὸν ὀλεθριώτατα μὴ, οὐ κατὰ τὴν πρώτην τετράδα τὸν μὲν λυθῆναι, τὸν δὲ ἀποκτεῖναι, καθάπερ εἰ καὶ μικρὸν ἀποχωρήσειεν. ὁ μὲν ἀπὸ τῶν ἐσχάτως ὀλεθρίων, ὁ δ᾽ ἀπὸ τῶν ἄκρως σωτηρίων, οὐκ ἐνδέχεται τοὺς πυρετοὺς τούτους ἐξωτέρω προβῆναι τῆς ἑβδόμης ἡμέρας. τὸ δὲ εἴτε σφόδρα, καὶ ἀγωνιστικὴ γενήσεται κρίσις, εἴτε μετρία, εἴτ᾽ οὐδ᾽ ὅλως κρίσις, ἀλλὰ λύσις ἁπλῶς, οὐκέτ᾽ ἐκ τῶν ὀλεθρίων τε καὶ σωτηρίων σημείων, ἀλλ᾽ ἐξ ἄλλων προγινώσκεται. δύο δ᾽ ἐστὶ καὶ τούτων τὰ γένη, μέγεθός τε καὶ κίνησις νοσήματος. ἐν οἷς πρώτοις εὐθὺς ἀκριβῶς χρὴ γεγυμνάσθαι, καὶ διακρίνειν αὐτὰ δύνασθαι ῥᾳδίως, ἤθους τε καὶ ἰδέας νοσήματος. ἀλλὰ τὴν μὲν ἰδέαν, ὡς χρὴ διαγινώσκειν ἐν τῷ δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων εἴρηται. τριταῖος γὰρ, καὶ ἀμφημερινὸς, καὶ τεταρταῖος, καὶ ἡμιτριταῖος, καὶ πλευρῖτις, καὶ περιπνευμονία, καὶ φρενῖτις εἴδη νοσημάτων εἰσίν. εἰ δ᾽ εὐήθη, ἢ κακοήθη ἐκ τῶν ἑπομένων αὐτοῖς συμπτωμάτων ἡ διάγνωσις, ἃ διεξῆλθεν ἅπαντα σχεδὸν Ἱπποκράτης ἐν τῷ προγνωστικῷ. τούτοις δὲ συγκαταριθμεῖν χρὴ, καὶ τὰ τῆς ἀπεψίας τε καὶ τῆς

πέψεως σημεῖα. μέγεθος δὲ καὶ κίνησιν νοσήματος ἕτερα τούτων ἐστίν. βληχροὶ γοῦν ἐνίοτε καὶ μικροὶ πυρετοὶ, κακοήθεις εἰσὶ σφόδρα, καὶ ἄλλοι θερμοὶ καὶ περικαεῖς, ὡς ἄσην τε ἅμα καὶ καῦμα, καὶ δίψος ἀφόρητον ἐπιφέρειν, ὅμως οὐδὲν ἔχουσιν ἐνίοτε κινδυνῶδες. εἴρηται δὲ καὶ πρόσθεν, ὡς εἴτε σφοδρότητά τις, εἴτε μέγεθος ὀνομάζει νοσήματος, οὐ διοίσει, τούτων δὲ ἁπάντων ἡ κίνησις διαφέρει, καὶ διαγινώσκεται τῷ χρόνῳ τῶν μορίων τοῦ παροξυσμοῦ. τεττάρων γὰρ ἐν ἑκάστῳ παροξυσμῷ μορίων ὑπαρχόντων, ἀρχῆς τε καὶ ἀναβάσεως, καὶ ἀκμῆς, καὶ παρακμῆς, ἤτοι ταχέως τις ἅπαντα ταῦτα διεξέρχεται πυρετὸς, ἢ βραδέως, ἢ τινὰ μὲν αὐτῶν θᾶττον, τινὰ δὲ βραδύτερον. εἰ μὲν οὖν ἅπαντα ταχέως διανύοι, πρόδηλον ὡς ἤδη τὴν κρίσιν ἐπείγεται, καὶ πάντως οὗτος διαλείπων ἐστίν. οὐ γὰρ ἐνδέχεται τὸν πάντα ταχὺ διεξιόντα μένειν ἔτι συνεχῆ, καθάπερ οὐδὲ εἰ μηκύνει, κατὰ πάντα τὰ μόρια διαλείπειν αὖ ἔτι δύναιτο. δῆλον δὲ ὡς τὸν μὲν εἰς ἀπυρεξίαν παυόμενον, ὀνομάζω διαλείποντα, τοῦ δὲ συνεχοῦς πυρετοῦ, πάντως μὲν ἕν γέ τι μεμήκυνται μόριον, ἔστι δ᾽ ὅτε καὶ δύο, καὶ τρία, καὶ σύμπαντα. τοῦ μὲν ἰδίως ὀνομαζομένου πυρετοῦ συνόχου, πολυχρόνιος ἡ ἀκμή, μᾶλλον δ᾽ ἀκμὴ πᾶς ἐστιν ὁ τοιοῦτος πυρετός. τοῦ δὲ μὴ συνόχου μὲν, οὐ μὴν εἰς ἀπυρεξίαν γε παυομένου, πολυχρονιωτέρας μὲν τῶν ἄλλων μερῶν τῆς ἀκμῆς γινομένης, ὀξεῖα ἡ κίνησις, ὀλιγοχρονιωτέρας δὲ βραδεῖα. διωρισμένης οὖν ἰδέας νοσήματος, καὶ μεγέθους, καὶ κινήσεως, καὶ ἤθους, καὶ τῆς μὲν ἰδέας ἐκ τῶν οἰκείων συμπτωμάτων γνωριζομένης, τοῦ δὲ μεγέθους, ἐκ τοῦ κατὰ ταῦτα πηλίκου, τῆς δὲ κινήσεως, ἐκ τοῦ χρόνου τῶν τοῦ παροξυσμοῦ μορίων, τοῦ δὲ ἤθους ἐκ τῶν ἐπιγινομένων συμπτωμάτων, προσλαμβανομένων δὲ τούτοις, ὥρας τε καὶ χώρας, καὶ φύσεως, καὶ τῶν ὁμοίων. ὅτι μὲν σωθήσεταί τις, ἢ τεθνήξεται, πρὸς τρία ταῦτα ἀποβλέπων εὑρήσεις ἰδέαν, ἦθος καὶ μέγεθος. μάλιστα δ᾽ ἐν τούτοις προσέχειν τῷ ἤθει τὸν νοῦν. ὅτι δὲ κριθήσεται ἢ μὴ, πρῶτον μὲν ἐκ τῆς κινήσεώς τε καὶ τοῦ μεγέθους. ἔπειτα δ᾽ ἐκ τῆς ἰδέας, εἶτ᾽ ἐκ τοῦ κατὰ τὰς ὥρας τε καὶ τὰς τοιαύτας συστοιχίας. ἐκ μέντοι τῶν ἐπιγινομένων οὐχ ἁπάντων, ἀλλ᾽ ὅσα μικρῷ πρόσθεν εἶπον ἀρχομέναις ἤδη ταῖς κρίσεσι συνεπιβάλλειν, ἢ βραχύ τι φθάνειν αὐταῖς, ἅπερ δὴ καὶ κρίσιμα σημεῖα καλοῦμεν ἰδίως. τριχῆ γὰρ τῶν ἐπιγινομένων νενεμημένων, εἴς τε τὰ δηλοῦν τὸ ἦθος πεφυκότα, καὶ τὰ τὴν μέλλουσαν ἔσεσθαι κρίσιν ὑπόγυον, ἔτι τε πρὸς τούτοις, ὅσα μὴ μόνον ὡς σημεῖα κρίσεως, ἀλλὰ καὶ ὡς αἴτια τιθέμεθα. τὸ μὲν πρῶτον ἐκ τῶν εἰρημένων γένος ἁπλοῦν ἐστιν. τὰ μὲν γὰρ αὐτῶν ἐστιν μοχθηρὰ, τὰ δὲ χρηστὰ τετύχηκεν ὄντα διὰ παντός. τὸ δὲ δεύτερόν τε καὶ τρίτον, οὐκ ἀεὶ ταὐτὸν, οὔτε δηλοῦν, οὔτε ποιεῖν πέφυκεν, ἀλλὰ τοῖς τῆς νόσου καιροῖς ὑπαλλάττεται. λέλεκται δ᾽ ἤδη πλεῖστον ὑπὲρ ἁπάντων τούτων ἐν τῷ πρώτῳ γράμματι. σαφηνείας γοῦν ἕνεκα προκεχειρίσθω τις ἄρρωστος ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἐναργέστατα σωτηρίας ἔχων σημεῖα. πάντως μὲν γὰρ τούτῳ κατὰ τὴν πρώτην τετράδα λυθήσεται τὸ νόσημα. πότερον δὲ κριθὲν, ἢ λυθὲν, μεγέθει τε καὶ σμικρότητι διορίζεται. τὰ μὲν γὰρ μεγάλα, κρίνεται πάντως. ὅσα δὲ σμικρὰ, λύεται μόνον. ἡ δ᾽ ἡμέρα τῆς κρίσεως, ἐκ τῆς κινήσεως εὑρεθήσεται. συνόχου μὲν γὰρ ὄντος τοῦ πυρετοῦ, καὶ μηδενὸς πλημμεληθέντος, ἀεὶ χρὴ τούτου μεμνῆσθαι, κατὰ τὴν τετάρτην ἡμέραν ἐλπίζειν ἔσεσθαι τὴν κρίσιν. εἰ δὲ συνεχὴς εἴη, τότε μέγεθος ὁρᾶν χρὴ καὶ τὴν κίνησιν. ἐνδέχεται γὰρ κατὰ τὴν τρίτην, ἢ πέμπτην ἡμέραν, γενέσθαι τὴν κρίσιν, κατὰ μὲν τὴν τρίτην, μεγάλου τε τοῦ νοσήματος ὄντος, καὶ ταχέως κινουμένου, κατὰ δὲ τὴν πέμπτην, εἰ μὴ πάνυ μέγα, μηδὲ ταχέως κινοῖτο. χρὴ γὰρ τὴν κρίσιν συνδραμεῖν τῷ παροξυσμῷ, καὶ οὕτω σπάνιόν ἐστιν τὸ κατὰ τὴν τετάρτην κριθῆναι, ὥστε Ἀρχιγένης μὲν δὶς ἔοικεν αὐτὸ παρ᾽ ὅλον αὐτοῦ τὸν βίον ἑωρακέναι. ἐγὼ δὲ μέχρι τοῦ νῦν ἅπαξ, καὶ τοῦτο αἴτιόν ἐστιν, ὡς κἀν τοῖς περὶ κρισίμων ἡμερῶν εἴρηται, τοῦ τὴν κρίσιν πολλάκις ἐκ τῆς τετάρτης εἰς τὴν τρίτην τε καὶ εἰς τὴν πέμπτην μεθίστασθαι. τὸ μὲν γὰρ οὕτως ταχέως κρινόμενον νόσημα, πάντως κάτοξυ. τοῖς κατόξεσι δὲ πᾶσιν, ἤτοι συνόχους ἔχειν πάντως ἀνάγκη τοὺς πυρετοὺς, ἢ συνεχεῖς μὲν, ἀλλὰ διὰ τρίτης παροξυνομένους. οἱ μὲν δὴ σύνοχοι σπανιώτεροί τε εἰσὶ, καὶ μηδενὸς πλημμεληθέντος ἐν τῇ τετάρτῃ κρίνονται, τῆς φύσεως ταῖς οἰκείαις περιόδοις ἤδη τὴν κρίσιν ἀφικνουμένης. ἔστι δὲ καὶ αὐτὸ τοῦτο τὸ μηδὲν πλημμεληθῆναι σπάνιον. οἱ δὲ συνεχεῖς, ἐν τοῖς παροξυσμοῖς κρινόμενοι, τῇ τρίτῃ τῶν ἡμερῶν εὐλόγως, ἢ τῇ πέμπτῃ λύονται. εἰ γὰρ καὶ τῇ τετάρτῃ κριθεῖεν ποτὲ τῷ λόγῳ τοῦ κατὰ τὴν τρίτην ἡμέραν παροξυσμοῦ τοῦτο πάσχουσιν. ὁ γὰρ περὶ τὴν ἑνδεκάτην ὥραν, εἰ τύχοι, τῆς τρίτης ἡμέρας εἰσβαλὼν παροξυσμὸς, ἤτοι διὰ τρίτης νυκτὸς, ἢ διὰ τετάρτης ἡμέρας ἐπιφέρει τὴν κρίσιν. ὅταν οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, αὖθις γὰρ ῥητέον ταυτὰ, θεασάμενός τι πέψεως ἐναργὲς γνώρισμα, πάντων δὲ δηλονότι τῶν ἄλλων σημείων ἀκινδύνων ὑπαρχόντων, εἰδέναι μὲν ἤδη βεβαίως ὅτι περὶ τὴν πρώτην τετράδα τὴν λύσιν ἀνάγκη γενέσθαι τῷ νοσήματι. θεασάμενος δὲ τὸ μέγεθος αὐτοῦ, προσεπιμάθοις ὅτι καὶ μετὰ κρίσεως. ἐκ γοῦν τῆς κινήσεως χρή σε τοῦ νοσήματος, ἢ τὴν τρίτην, ἢ τὴν τετάρτην, ἢ τὴν πέμπτην ἐλπίζειν. εἰ μὲν πάνυ ταχέως κινοῖτο, τὴν τρίτην, εἰ δὲ βραδύτερόν πως, τὴν πέμπτην, εἰ δὲ σύνοχος ὁ πυρετὸς εἴη, τὴν τετάρτην. συνεπιλαμβάνεται δὲ, τῷ μὲν τάχει τῆς κινήσεως τό, τε μέγεθος τοῦ νοσήματος, καὶ ἡ ὥρα τοῦ ἔτους, καὶ ἡ ἡλικία, καὶ ἡ χώρα, καὶ τὰ ἄλλα ὅσα πολλάκις εἴρηται πικρόχολα τὴν φύσιν ὑπάρχειν, τῇ δὲ βραδυτῆτι τἀναντία. θέρους μὲν γὰρ νεανίσκος φύσει θερμότερος ἐξ ἐνδείας καὶ πόνου, ἐδεσμάτων τε καὶ ποτῶν χολωδῶν συνεπιλήψεται τῇ τρίτῃ κρίσει, καὶ μᾶλλον εἰ αὐχμώδης ἱκανῶς ἥ τε προγεγενημένη κατάστασις εἴη, καὶ ἡ νῦν ἐνεστῶσα, καὶ τὸ χωρίον ἐν ᾧ νοσεῖ φύσει θερμόν. εἰ δὲ καὶ τριταῖαι κρίσεις προδεδημηκυῖαι τηνικαῦτα εἶεν, ἔτι βεβαιότερος ὁ στοχασμός. εἰ μέντοι τἀναντία πάντα συνέλθοι, βραδυτέρα μὲν ἡ κίνησις τοῦ νοσήματος, οὐ πάνυ δέ τι τὸ μέγεθος ἀξιόλογον, ἡ δὲ ὥρα χειμὼν, ὁ δὲ νοσῶν, ἤτοι φύσει φλεγματωδέστερος, ἢ παρακμάζων, εἰς τὸν τῆς πέμπτης ἡμέρας παροξυσμὸν, ἐλπίζειν ἀφίξεσθαι τὴν κρίσιν, ἔτι δὲ μᾶλλον, εἰ καὶ τὸ χωρίον ὑγρὸν εἴη καὶ ψυχρὸν, ἥ τε παροῦσα κατάστασις ὁμοία, καὶ αἱ κρίσεις προδεδημηκυῖαι πεμπταῖαι, καὶ τἄλλα δὲ τὰ τούτοις

ἀνάλογα, ἀργία τε καὶ πλησμονή, καὶ φλεγματώδη τὰ προεδηδεσμένα σιτία χρόνῳ πλείονι. πάλιν οὖν ἕτερος
ἄῤῥωστος ὑποκείσθω, μήπω μὲν μηδὲν ἔχων ἐναργὲς πέψεως σημεῖον, μήτ᾽ ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, μήτ᾽ ἐν τῇ
δευτέρᾳ, μὴ μέντοι κινδυνῶδες, ἀλλὰ παντοίως ἀκίνδυνα πάντως. σωθήσεται μὲν δηλονότι καὶ οὗτος, ἀλλ᾽ οὐκ
ἐν τῇ πρώτῃ τετράδι τελέως ἀπαλλαγήσεται. προσέχειν οὖν αὖ δεῖ σε τὸν νοῦν ἐπιμελῶς, εἴ τι πέψεως ἐναργοῦς
ἐπιδείξει σημεῖον. εἰ γὰρ τοῦτο γένοιτο, κατὰ τὴν ἑβδόμην ἡμέραν ἀνάγκη λυθῆναι τὸ νόσημα, μηδενὸς ἐν τῷ με-
ταξὺ πλημμεληθέντος. εἰ δὲ μετὰ κρίσεως, ἢ μή, τῷ μεγέθει τοῦ νοσήματος διορίζεσθαι, πρόδηλον γὰρ ὡς εἴπερ
μέγα πάντως μετὰ κρίσεως. εἰ δὲ καὶ κινούμενον ὀξέως, ἔτι δὴ καὶ μᾶλλον, ὥστε κἂν ἁμαρτηθῇ τι μὴ πάνυ με-
γα περὶ τὸν κάμνοντα, πάντως μετὰ κρίσεως, καὶ οὕτως ἐλπίζειν ἑβδομαίαν ἀπαντήσεσθαι κρίσιν. εἰ μέντοι μὴ
πάνυ ταχέως κινοῖτο, πλημμεληθείη δέ τι μεταξὺ περὶ τὸν ἄνθρωπον, εἰς τὴν ἐνάτην ἡμέραν ἡ κρίσις μετα-
πίπτειν ὀφείλει. πάλιν οὖν ἕτερος ἄῤῥωστος ὑποκείσθω τῶν ἀκινδύνως ἐχόντων ἐπὶ τῆς ἑβδόμης ἡμέρας, πρῶτον
ἐναργὲς ἴσχων τι πέψεως σημεῖον. οὗτος εἰ μὲν μέγα τὸ νόσημα καὶ ταχέως εἴη κινούμενον, ἐνδεκαταῖος μᾶλλον, ἢ
τεσσαρεσκαιδεκαταῖος κριθήσεται. μικροτέρου δὲ ὄντος, ἢ μὴ πάνυ ταχέως κινουμένου, τεσσαρεσκαιδεκαταῖος
μᾶλλον ἢ ἐνδεκαταῖος. ἐπιδιορίζεσθαι δὲ δεῖ τοῖς ἄλλοις, εἰ μὲν καὶ νέος εἴη, καὶ φύσει χολώδης, καὶ θέρος, καὶ ἐν χω-
ρίῳ φύσει θερμῷ, καὶ τά τε τοῦ προάγοντος βίου, καὶ τὰ τῆς παρούσης καταστάσεως ἐπὶ τὸ θερμότερον ἅπαντα ῥέποι,
πάντως ἐπὶ τῆς ἐνδεκάτης ἡμέρας κριθήσεται οὗτος, καθάπερ εἰ καὶ τἀναντία τῶν εἰρημένων ἅπανθ᾽ ὑπάρχει
τῷ νοσοῦντι κατὰ τὴν τεσσαρεσκαιδεκάτην. εἰ δέ τινα μὲν εἴη, τινὰ δὲ μὴ πλημμεληθέντος δέ τινος ἐν τῷ με-
ταξύ, κατὰ τὴν ἐνδεκάτην ἡμέραν οὐκ ἐνδέχεται κριθῆναι τὸ νόσημα. πολλάκις δὲ οὐδὲ κατὰ τὴν ιδ᾽. ὅταν ᾖ
μεῖζον τὸ ἁμαρτηθέν. εἰ μέντοι μηδὲν ἁμαρτηθείη, μικτὰ δ᾽ εἴη τὰ συμπτώματα, γεγυμνασμένου τε καὶ ὀξέος
ἐν τῷδε χρεία τοῦ ἰατροῦ πρὸς τὸ διακρίνειν τὰ μείζονα τὴν δύναμιν ἔχοντα σημεῖα, καὶ τῇ κατ᾽ αὐτὰ προδη-
λουμένῃ κρίσει πιστεῦσαι μᾶλλον ἐπὶ τῶν οὕτως ἀμφιβόλων προγνώσεων. εἰ δὲ καὶ μὴ κατὰ τὴν ζ᾽. αὐτήν, ἀλλὰ
κατὰ τὰς ἄλλας γε τὰς μεταξὺ τῆς ἑβδόμης τε καὶ τῆς ια. ἔνεστιν ἀκριβῶς ἐξευρεῖν τὸ γενησόμενον. εἰ γὰρ ἤτοι τὸ
μέγεθος, ἢ τὸ τάχος τῆς τοῦ νοσήματος κινήσεως ἐπιταθείη κατὰ ταύτας τὰς ἡμέρας, ἀξιόλογός τε προσθήκη γίγνοιτο
τοῖς τῆς πέψεως σημείοις, ἐνδεκαταῖος ὁ τοιοῦτος ἄῤῥωστος κριθήσεται, καθάπερ εἰ καὶ τἀναντία τεσσαρεσκαιδε-
καταῖος. ὑποκείσθω τοίνυν πάλιν ἄῤῥωστος ἐν ἀκινδύνῳ νοσήματι, κατὰ τὰς προτέρας ἡμέρας ἀργοτέραν τε
τὴν κίνησιν ἔχων τοῦ πυρετοῦ, καὶ μηδὲ περιοδικῶς πάνυ πυρέττων, ἀλλὰ καὶ σὺν τοῖς τῆς ἀπεψίας σημείοις, ὅτι
μὲν ἐντὸς τῆς ιδ᾽. ὁ τοιοῦτος οὐκ ἂν ἀπαλλαγείη τοῦ νοσήματος, ἤδη δῆλον. εἴτε δὲ κατ᾽ αὐτὴν ἐκείνην, εἴτε καὶ
πορρωτέρω τοῖς καιροῖς τῆς ὅλης νόσου διορίζεσθαι. τὰ μὲν γὰρ τῆς ἀρχῆς σημεῖα μέχρι πολλοῦ παραμένοντα, χρό-
νιον εἶναι δηλώσουσι τὸ νόσημα, τὰ δὲ τῆς ἀναβάσεως εἰ κατὰ τὴν δ᾽. ἢ τὴν ζ᾽. φανείη, περὶ τὴν ιδ᾽. ἐλπίζειν τι,
διορισθήσεται δὲ ἐπὶ τῆς ια. εἰ γὰρ ἅμα τὰ τρία τάδε συνδράμοι κατὰ ταύτην τὴν ἡμέραν, ἥτε τῆς κινήσεως ὀξύ-
της ἱκανὴν αὔξησιν εἰληφυῖα, καὶ τὸ μέγεθος τοῦ πυρετοῦ, καὶ προσέτι πέψεως ἐναργὲς γνώρισμα, κατὰ τὴν ιδ᾽.
ἡ κρίσις. ἔτι δὲ δὴ μᾶλλον εἰ καὶ τὰ τῆς ὥρας τε καὶ τὰ τῆς ἡλικίας, καὶ τὰ τῆς φύσεως τοῦ νοσοῦντος, ὅσα τἆλλα τού-
τοις ἀνάλογον εἰς τάχος κρίσεως συντελεῖ. μόνου δὲ τοῦ τῆς πέψεως ἐναργοῦς σημείου, κατὰ τὴν ἐνδεκάτην ἡμέραν
γινομένου. μὴ μέντοι μήτε τοῦ μεγέθους τοῦ νοσήματος, μήτε τοῦ τάχους τῆς κινήσεως κατεπείγοντος, οὐκ ἂν ἐν
τῇ ιδ᾽. κριθείη. ἀλλ᾽ εἰ μὲν καὶ τὰ τῆς ὥρας, καὶ τὰ τῆς ἡλικίας τοῦ κάμνοντος, ὅσα τἆλλα τούτοις ἐστὶ σύστοιχα πρὸς
τὸ ψυχρότερον ῥέποι, μὴ πρὸ τῆς κ᾽. ἐλπίζειν ἔσεσθαι τὴν λύσιν τοῦ νοσήματος. εἰ δὲ μικτά πως εἴη, καὶ ἡ ιδ᾽. τὰ
σημεῖα τῆς πέψεως ἀξιολόγως αὐξήσει, κατὰ τὴν ἑπτακαιδεκάτην ἡ κρίσις ἀπαντήσεται. εἰ δὲ μήτ᾽ ἐπὶ τῆς ιδ᾽.
νεωτερισθείη μηδέν, ἀκριβῶς πάνυ προσέχειν τὸν νοῦν τοῖς ἐπὶ τῆς ἑπτακαιδεκάτης ἐσομένοις. πιστότατον γὰρ
ἔσται τὸ κατ᾽ αὐτὴν φανὲν σημεῖον, εἰ καὶ πάνυ σμικρὸν εἴη, καὶ προδηλώσει τὴν ἐπὶ τῆς κ᾽. ἡμέρας ἐσομένην κρίσιν.

Ὅτι δὲ αἱ τοιαῦται σύμπασαι κρίσεις ἃς ἐξηριθμησάμεθα, πασῶν εἰσιν ἄρισται, τουτέστιν ἀκίνδυνοί τε καὶ τέ-
λειαι, καὶ ἀσφαλεῖς, εἰ τοῖς ἐξ ἀρχῆς εἰρημένοις ἅπασιν ἠκολούθησέ τις, οὐδεμιᾶς ἀποδείξεως ἔτι προσδεῖται.
ὅταν γὰρ ἐπί τε σημείων ἀγαθῶν γίγνωνται καὶ πέψεως ἀκριβοῦς, ἀρίστας ἀναγκαῖον ὑπάρχειν αὐτάς. ὅπου γε
καὶ ὁ πεπασμὸς μόνος, ταχυτῆτα κρίσεως, καὶ ἀσφάλειαν ὑγιείας σημαίνει. οὐδὲ γὰρ ἐπινοῆσαι δυνατὸν ἐπ᾽
ἀκριβεῖ πέψει νοσήματα ἀπαντῆσαί ποτε κρίσιν, οὐκ ἀγαθήν, ἀκριβὴς δὲ πέψις ἐν ταῖς ἀκμαῖς γίνεται, καὶ
† προὔκειτο διὰ τοῦτο ἀπ᾽ ἀρχῆς εὐθὺς ὑφ᾽ ἡμῶν † παρῄνητο μηδὲν οὕτως ἀσκεῖν προγινώσκειν, ὡς τὴν ἀκμὴν τοῦ νοσήματος.
εἰ γὰρ καὶ τὸ σχῆμα τῆς διαίτης, ὡς πρὸς ἐκείνην συντάττεται, καὶ κρίσις ἀρίστη κατ᾽ ἐκείνην γίνεται, καὶ πα-
σῶν ἐστι τῶν κρίσεων αὕτη κανών. εἰ γὰρ ἡ ἐγγυτέρω ταύτης, ἀεὶ τῆς πορρωτέρω βελτίων, οὐδὲν οὕτως ἀσκεῖν χρὴ
τὸν ἰατρόν, ὡς προγινώσκειν ἀκμήν. ἔστω γὰρ ἐπὶ τῆς ιδ᾽. ἡμέρας ἐλπίζεσθαί σοι τὴν ἀκμήν, ἤτοι δὲ διὰ μέγε-
θος τοῦ νοσήματος, ἢ διὰ τὸ τῆς κινήσεως τάχος, ἢ καὶ δι᾽ ἄλλον τινὰ ἔξωθεν ἐρεθισμόν, ἐπὶ τὴν ια. εἰσβάλλειν τὴν
κρίσιν. οὐκέτ᾽ οὐδὲ τελείαν αὐτήν, οὐδ᾽ ὅλως ἀγαθὴν ἐλπίσαι δυνατόν, ἀλλ᾽ ἐν παντὶ δέει κατὰ τοῦτον τὸν καιρὸν
ἀνάγκη εἶναι, καὶ μάλιστα εἰ καὶ μὴ παντάπασιν ἀκίνδυνον ὑπάρχει τὸ νόσημα. σωτηρίου μέντοι φαινομένου,
τὸ γοῦν ἤτοι μετὰ χαλεπῶν γενέσθαι συμπτωμάτων τὴν κρίσιν, ἢ μὴ τελείαν, ἢ πάντως ὑποτροπιάσειν ἀναγ-
καῖον ὑποπτεύειν. οὕτως ἄρα μεγίστη τις δύναμις ἐν τοῖς πεπασμοῖς ἐστι, καὶ διὰ τοῦτο καὶ ἐν ταῖς ἀκμαῖς. καὶ
γὰρ οὖν καὶ εἴ τινα κατὰ ταύτας οὐκ ἐκρίθη νοσήματα, κριθῆναι τούτοις ἐπὶ τῶν παρακμῶν ἀμήχανον. ὅσα γὰρ ἂν
ἅπαξ ὑπερβῇ τὸν τῆς ἀκμῆς καιρόν, ἄκριτα μείναντα, κατὰ βραχὺ ταῦτα λύεται, καὶ μὲν δὴ καὶ κίνδυνος ἔτι
θανάτου μετὰ τὸν τῆς ἀκμῆς καιρὸν οὐδείς ἐστιν. ἐμοὶ γοῦν κριτῇ, καίτοι δοκοῦσί τινες ἑωρᾶσθαι τεθνεῶτες ἐν
ταῖς παρακμαῖς. ἀλλ᾽ εἴτε τῇ πείρᾳ χρὴ κρίνειν, εἴτε τῷ λόγῳ, κατ᾽ ἄλλο τι τούτους ἀποθανόντας οἶδα, καὶ οὐ
κατ᾽ αὐτὸ τὸ νόσημα. πάντων γοῦν ἐφ᾽ ἁμαρτήμασιν ἀπώλοντο, μάλιστα μὲν τοῖς ἑαυτῶν, ἐνίοτε δὲ καὶ τοῖς τῶν

ἰατρῶν. οὕτω μὲν ἡ πεῖρα μαρτυρεῖ τὸ μηδένα κατὰ τὰς παρακμὰς ἀποθανεῖν δι᾽ αὐτὸ τὸ νόσημα. ταύτης δ᾽ ἔτι πολὺ μᾶλλον ὁ λόγος. οὐ γὰρ ἐγχωρεῖ πεφθέντων τῶν νοσερῶν αἰτίων, οὐδὲ τῆς φύσεως ἐπικρατούσης ἔτι ἀπολέσθαι τὸν ἄνθρωπον, ἄν γε θεραπεύηται καλῶς ὑπὸ τῶν ἰατρῶν. ὅπου γὰρ διήνεγκέ τε καὶ ἀπεμαχέσατο, καὶ ἀντήρκεσε πρὸς σφοδροτάτῳ τῷ νόσου, καὶ κατηγωνίσατο τὰ λυποῦντα, τοῦτο γάρ ἐστιν ὁ πεπασμὸς, οὐκ ἐνδέχεται ταύτην οὐκέτι νικηθῆναι. καὶ μὴν εἴπερ ἀήττητος ἡ φύσις τοῦ νοσήματος εἴη, κατ᾽ οὐδένα τρόπον ἐγχωρεῖ θάνατον ἀπαντῆσαι, εἴ γε δὴ μηδ᾽ ἄλλό τι θάνατός ἐστι παρὰ τὴν παντελῆ τῆς φύσεως ἧτταν, διαρκούσης δὲ καὶ κρατούσης καὶ νικώσης, ἀνάγκη σώζεσθαι τὸ ζῶον. ἐκ πάντων οὖν ὁ λόγος ἀναγκάζει τοῦτ᾽ ἀσκεῖν μάλιστα, τῆς νόσου προγινώσκειν τὸ μέρος ὃ καλοῦσιν ἀκμήν. καὶ γὰρ δὴ καὶ ἡ τοῦ τεθνήξεσθαι τὸν ἄνθρωπον, ἢ μὴ τεθνήξεσθαι πρόγνωσις, ἄνευ τοῦ προγνῶναι τὸν καιρὸν τῆς ἀκμῆς, οὐκ ἄν ποτε γένοιτο. τότε γὰρ πρῶτον ἀποθανεῖν ἀναγκαῖον, ὅταν ἡ δύναμις ὑπὸ τοῦ νοσήματος ἡττηθῇ. χρὴ δὲ εἴτε δύναμιν, εἴτε φύσιν εἴποιμι, ταὐτὸν ἀκούειν σε νῦν, καὶ μὴν οὐκ ἐγχωρεῖ σε γνῶναι ποτὲ, πότερον πρῶτον ἡττηθήσεται, τοῦ μέλλοντος ἀδήλου παντάπασιν ὑπάρχοντος. εἰ μὲν γὰρ ἐντὸς ἡμέρας μιᾶς ἡ κρίσις ἔσεσθαι μέλλει, φθάσει δηλονότι σωθεὶς ὁ νοσῶν, πρὶν τὴν δύναμιν ὑπὸ τοῦ νοσήματος νικηθῆναι. εἰ δ᾽ οὐκ ἐνδέχεται πρὸ τῶν κ. ἡμερῶν, εἰ τύχοι γενέσθαι τὴν ἀκμὴν, ἐνδέχεται φθάσαι καμεῖν ἐν τῷ χρόνῳ τὴν δύναμιν, ὥστε τῶν ὁμοίων πάντων φαινομένων ἀῤῥώστων, ἐγχωρεῖ τὸν μὲν σωθῆναι, τὸν δ᾽ ἀπολέσθαι διὰ τὸν καιρὸν τῆς μελλούσης ἀκμῆς. εἰ μὲν οὖν εἶχέ τις ἄλλον ἡμᾶς διδάξαι διορισμὸν εἰς τὸ διακρίνειν δύνασθαι, τούς τ᾽ ἀπολεσθησομένους καὶ σωθησομένους, οὐδὲν ἂν ἴσως εἰς τοῦτο δεοίμεθα διαγινώσκειν ἀκμὴν μέλλουσαν, οὐδ᾽ οὐκ ἐνδέχεται τῶν ὡσαύτως φαινομένων νόσων ὅστις ἐστὶν ὁ σωθησόμενος ἢ τεθνηξόμενος ἑτέρως, ἢ ὡς ἐγὼ νῦν εἴρηκα, μεγίστη καὶ κατὰ τοῦτο χρεία τοῦ προγνῶναι τὴν ἀκμήν. Ἱπποκράτης μὲν οὖν συντεκμαίρεσθαι φησὶ χρῆναι τὸν νοσέοντα, εἰ ἐξαρκέσει πρὸς τὴν ἀκμὴν τῆς νόσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ »
ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος ἀπαυδήσει πρότερον καὶ ἀμβλυνεῖται. φαίνεται δὲ καὶ Διοκλῆς, καὶ Πλειστόνικος, »
καὶ Πραξαγόρας, καὶ Φιλότιμος, καὶ πάντες ἁπλῶς εἰπεῖν οἱ δοκιμώτατοι τῶν ἰατρῶν, οὐδὲν ἐξευρίσκοντες ἄλλο βέλτιον εἰς διάγνωσιν τοῦ τεθνήξεσθαι τὸν ἄνθρωπον, ἢ σωθήσεσθαι. τοῖς δὲ πάντη τὰ καλὰ τῆς τέχνης λυμηναμένοις, οὔτ᾽ ἄλλό τι σοφώτερον ἐξεύρηται, καὶ τοῦτ᾽ ἐσχάτως ἠμέληται. τίς γὰρ αὐτῶν, ἢ μέγεθος νοσήματος, ἢ ῥώμην δυνάμεως ἀσκεῖ διαγινώσκειν, ἢ τὴν μέλλουσαν ἀκμὴν προγινώσκειν; καὶ μὴν ἄνευ τῆς τῶν τριῶν τούτων ἀκριβοῦς διαγνώσεως, οὐκ ἐνδέχεται περὶ σωτηρίας οὐδὲν ἐξευρεῖν, οὐ μᾶλλον ἢ εἰ φορτίον τις ἱκανὸς κομίζειν ἔσοιτο, χωρὶς τοῦ καὶ τὴν ῥώμην εἰδέναι τοῦ ἀνθρώπου, καὶ τὸ μέγεθος τοῦ φορτίου, καὶ τὸ μῆκος τῆς ὁδοῦ. ἀνάλογον γάρ ἐστιν ἡ μὲν δύναμις τῷ κατασκάζοντι, τὸ δὲ νόσημα τῷ φορτίῳ, τὸ δὲ μῆκος τοῦ χρόνου τὸ μέχρι τῆς ἀκμῆς, τῷ μήκει τῆς ὁδοῦ. πῶς οὖν οἷόν τέ ἐστι γνῶναι περὶ τοῦ κάμνοντος, εἰ ἐξαρκέσει μηδεμίαν ἔχοντα πρόγνωσιν περὶ τῆς ἀκμῆς; ἐξ ἁπάντων οὖν ὁ λόγος ἀναγκάζει μηδὲν οὕτως ἀσκεῖν, ὡς τῆς μελλούσης ἀκμῆς τὴν πρόγνωσιν. εἰ γοῦν καὶ διαιτῆσαι καλῶς οὐκ ἐγχωρεῖ χωρὶς τοῦ ταύτην προγνῶναι, καὶ περὶ σωτηρίας τοῦ νοσοῦντος, ἢ περὶ θανάτου, καθ᾽ ἕτερον τρόπον, οὐχ οἷόν τε σαφῶς ἐξευρεῖν. ἀλλ᾽ οὐδὲ περὶ κρίσεως, εἴτε ὅλως, εἴτε μηδ᾽ ὅλως ἔσται, καὶ γινομένης πηνίκα, καὶ ὁποῖά τις ἔσται χωρὶς τῆς κατὰ τὴν ἀκμὴν προγνώσεως ἀδύνατον εἰδέναι. μέγιστον ἂν εἴη, καὶ πρῶτον ἁπάντων τῶν κατὰ τὴν τέχνην, ἀκμῆς μελλούσης ἀσκῆσαι πρόγνωσιν. ὅπως μὲν οὖν χρὴ τοῦτο ποιεῖν, ἔμπροσθεν εἴρηται. νυνὶ δ᾽ ὅπερ ἔμπροσθεν ἐλέγομεν ἀναληπτέον, ὡς ἐκ τοῦ γνῶναι μέγεθος τοῦ νοσήματος, καὶ ἰσχὺν δυνάμεως, καὶ ἀκμῆς καιρὸν, εἴτε σωθήσεται προγνόντες ὁ κάμνων, εἴτε μὴ δυναίμεθ᾽ ἂν οὕτω συλλογίζεσθαί τι περὶ τοῦ χρόνου, καὶ τοῦ τρόπου τῆς κρίσεως. εἰ μὲν γὰρ ἀκίνδυνον εὑρίσκοιτο τὸ νόσημα πάντη, καὶ μήτ᾽ ὀξύτης αὐτοῦ κατεπείγει, μήτε μέγεθος, ἀλλὰ μηδὲ πλημμεληθείη τι περὶ τὸν κάμνοντα, τὸν τῆς ἀκμῆς καιρὸν ἡ κρίσις ἀναμενεῖ, καὶ αὕτη μέν ἐστιν ἡ ἀρίστη κρίσις, ἤδη γοῦν πεπεμμένου τοῦ νοσήματος γίνεται. εἰ δέ γε ἤτοι διὰ τὸ μέγεθος, ἢ τὸ τῆς κινήσεως τάχος, ἢ διά τινα ἄλλον ἐρεθισμὸν ἐντὸς τῆς ἀκμῆς ἀναγκασθείη τὸ νόσημα κριθῆναι, τοσοῦτον τῆς ἀρίστης κρίσεως ἡ νῦν ἔσται χείρων, ὅσον ἔφθασε τὴν ἀκμήν. εἰ δὲ μηδ᾽ ἐξαρκέσαι δύναιτο μέχρι τῆς ἀκμῆς, ἀνάγκη μὲν ἀποθανεῖν ἐν τῷ τοιούτῳ νοσήματι τὸν ἄῤῥωστον, ἀλλ᾽ οὐ πάντως ἐγγὺς τῆς ἀκμῆς. ἐνδέχεται γοῦν καὶ πολὺ θᾶττον αὐτῆς, καὶ κατ᾽ ἀρχὰς εὐθὺς ὅλης τῆς νόσου. κρίσις μὲν γὰρ ἤτοι κατὰ τὴν ἀκμὴν, ἢ μικρὸν πρὸς αὐτῆς γίνεται, θάνατος δὲ ἐν τοῖς τρισὶ καιροῖς, ἀρχῇ καὶ ἀναβάσει, καὶ ἀκμῇ. πλειόνων δὲ ὄντων πραγμάτων ἵνα ὁ λόγος ᾖ σαφὴς, συγχωρησάτωσαν ἡμῖν οἱ σοφισταὶ, καθ᾽ ἕκαστον αὐτῶν ἴδιον ὄνομα θέσθαι, κἂν εἰ μὴ συγχωροῖεν δὲ, μακρὰν χαίρειν αὐτοῖς εἰπόντες. οὐ γὰρ ἐκείνοις, ἀλλὰ τοῖς τὴν ἀλήθειαν ἀσκοῦσιν ὁ λόγος ὅδε σύγκειται, σκοπῶμεν οὕτως. εἰ μὲν δή τις ἀθρόως ἀπηλλάγη τῆς νόσου, πάντως μὲν τούτῳ κένωσις ἀξιόλογος ἀπήντησε δι᾽ ἐμέτων, ἢ γαστρὸς, ἢ ἱδρώτων, ἢ οὔρων, ἢ αἱμοῤῥαγίας ἐκ ῥινῶν, ἢ αἱμοῤῥοΐδων ἐξ ἕδρας, ἢ καταμηνίων φορᾶς ἐπὶ γυναικῶν, ἀλλὰ καὶ παρωτίδες ἀπήλλαξαν οὐκ ὀλίγους ἐν καιρῷ τῷ δέοντι φανεῖσαι, καὶ εἰς γόνατα, καὶ εἰς πόδας, καὶ εἰς ἄλλο τι καὶ ἄλλο τῶν ἀκύρων μορίων ἀπόσκημμα. καὶ μὲν δὴ καὶ προηγεῖταί τε καὶ συνεδρεύει τούτοις ἅπασιν, οὐ σμικρὰ ταραχὴ κατὰ τὸ σῶμα τοῦ κάμνοντος, παραπαίουσί τε καὶ δυσπνοοῦσι καὶ ἀσώδεις εἰσὶ, καὶ τὰ ἄλλα ὅσα ἔμπροσθεν εἴρηται πάσχουσιν. εἷς μὲν δὴ τρόπος ὅδε λύσεως νοσημάτων, ὃν οὐχ ἡμεῖς μόνοι νῦν ἀξιοῦμεν ἕνεκα σαφοῦς διδασκαλίας ὀνομάζεσθαι κρίσιν, ἀλλὰ καὶ οἱ παλαιοὶ πάντες οὕτως ἐκάλουν. ἕτερος δὲ, τὰ μὲν ἄλλα τῷδε σύμπαντ᾽ ἔχων τὰ αὐτὰ, μόνῳ δὲ διαφέρων τῷ μὴ τελέως ἀπαλλάττειν τῆς νόσου. ὀνομάζεται δὲ καὶ οὗτος ἐνίοτε μὲν ἁπλῶς κρίσις, ὥσπερ καὶ ὁ πρότερος, ἐνίοτε δὲ μετὰ προσθήκης, ἀτελὴς κρίσις, ἢ ἐλλιπὴς κρίσις. ὅσα δὲ κατὰ βραχὺ παύεται νοσήματα, λύεσθαι μὲν ἐν τῷ παρόντι λεγέσθω, κρίνεσθαι δὲ μὴ λεγέσθω, καίτοι τοῦτο ἔφαμεν ὀνομάζεσθαι ποτὲ καταχρωμένων κρίσιν, ἀλλὰ νῦν ἐπὶ τρισὶ τοῖς εἰρημένοις ἴδιον ἑκάστῳ σαφηνείας ἕνεκεν ὄνομα κείσθω. κρίσις μὲν ἁπλῶς, ἡ ὀξύῤῥοπος τῆς νόσου λύσις, ἐλλιπὴς δὲ κρίσις, ἡ ὀξύῤῥοπος μείωσις. ἁπλῶς δὲ λύσις, ἡ ἐν χρόνῳ τε πλείονι, καὶ κατὰ μικρὸν γινομένη, ὥσπερ δὲ ταῖς κρίσεσιν ἐξ ἀνάγκης, ἤτοι κένωσις ἀξιόλογος, ἢ παν-

τως γ' ἀπόσκημμα μετά τινος ὀξείας γίνεται ταραχῆς, οὕτως ταῖς λύσεσιν, οὔτε σάλος οὐδείς, οὔτε ἀγώνισις, οὔτε ἀπόσκημμα συμπίπτει. τρεῖς μὲν δὴ τρόποι μεταβολῆς νοσημάτων οἵδε, μέλλοντος σωθήσεσθαι τοῦ κάμνοντος. τρεῖς δὲ ἄλλοι τούτοις ἀντίστροφοι, μέλλοντος τεθνήξεσθαι. ἢ γὰρ ἀθρόως ἀποθνήσκει τις, ἅμα ταραχῇ καὶ σάλῳ, καί τισιν ἐκκρίσεσιν, ἢ ἀποσκήμμασιν ἀξιολόγοις, ἢ οὐκ ἀπέθανε μὲν ἐπὶ τοῖσδε, χείρων δ' ἀπεδείχθη μακρῷ. καλείσθω δὴ ταῦτα κοινῇ μὲν ἄμφω κρίσεις οὐκ ἀγαθαί, μηδὲν διαφέροντος, εἴθ' οὕτως, εἴτε κακὰς κρίσεις ὀνομάζομεν αὐτάς, ἰδίᾳ δ' ἑκατέρα, τελεία μὲν ἡ προτέρα, ἐλλιπὴς δὲ ἡ δευτέρα. τὸ δὲ τρίτον εἶδος τῆς κακῆς μεταβολῆς τὸ κατὰ βραχὺ γινόμενον ἄχρι θανάτου, μαρασμὸς ὀνομαζέσθω. ταυτὶ μὲν οὖν τρία τρισὶν ἀντίκειται. τέταρτος δὲ τρόπος ἐστίν, ὀξυρρόπου μεταβολῆς ἐπὶ τὸ χεῖρον ἄνευ μεγάλων ἐκκρίσεων, ἢ ἀποσκημμάτων, ὃν οὐδὲ κρίσιν ὀνομάζω. ὅτι μὲν οὖν ἕτερον εἴπομεν εἶναι τόνδε τὸν τρόπον ἐκείνων, οὓς ἅμα σάλῳ τέ τινι, καὶ ταραχῇ, καὶ σὺν ἐκκρίσεσιν ἀξιολόγοις, ἢ ἀποσκήμμασιν ἐλέγομεν γίνεσθαι, πρόδηλον παντί. καὶ γὰρ καὶ τὸ χωρὶς ἐκείνων τῶν συμπτωμάτων, ἃ πρόσθεν ὠνομάσαμεν κρίσιμα, καὶ τὸ χωρὶς ἐκκρίσεως, ἢ ἀποσκήμματος, ἕτερόν ἐστι τῶν σὺν ἐκείνοις. εἰ δὲ ὀρθῶς, ἢ μὴ τῷδε τῷ τρόπῳ τοῦ θανάτου τὸ τῆς κρίσεως οὐκ ἐπιφέρομεν ὄνομα, τοῦτ' ἤδη περὶ ὀνόματός ἐστιν, οὐ περὶ πράγματος ἀμφισβητεῖν. ἐγὼ μὲν γὰρ ἐδίδαξα τρόπους τέτταρας ἀλλήλων διαφέροντας, καὶ τοὔνομά γε ἑκάστῳ σαφοῦς ἕνεκα διδασκαλίας ἠξίωσα θέσθαι διάφορον. εἰ δέ τις ἔχει βέλτιον, ἢ σαφέστερον ὀνομάζειν, οὐκ ἀμφισβητήσαιμι ἂν αὐτῷ τῆς κλήσεως. ἔστι δ' οὐκ ἐν τούτῳ τὸ διδάξαι τι χρηστόν, ἀλλ' ἐν τῷ καὶ διαγινώσκειν ἕκαστον τῶν τρόπων παρόντα, καὶ προγινώσκειν ἐσόμενον. οὐ μὴν οὐδ' εἰ τὰς αἰτίας ἐγχειρήσαιμι λέγειν ἐφεξῆς ἑκάστου τῶν τρόπων, εἶτα τις ἀντείποι αὐταῖς, ὡς οὐκ ὀρθῶς ἐχούσαις, οἴοιτο τοῖς τρόποις αὐτοῖς ἀντειρηκέναι, δεόντως ὑπολαμβάνει. τὸ μὲν γὰρ καὶ τοιούτους εἶναι τοὺς τρόπους, καθ' οὓς ὑγιάζονταί τε καὶ ἀποθνήσκουσιν οἱ νοσοῦντες, ὀνομάζεσθαι τοῖς εἰρημένοις ὀνόμασι, καὶ διαγινώσκεσθαι παρόντας, ἢ καὶ μέλλοντας ἔσεσθαι προγινώσκεσθαι, τὸ χρήσιμόν ἐστιν αὐτὸ πρὸς τὰς ἰάσεις, καὶ προσήκει τοῖς μὲν ὀνόμασι συγχωρεῖν, τὰς διαγνώσεις δὲ καὶ τὰς προγνώσεις, τῇ πείρᾳ βασανίζειν. εἰ δὲ καὶ πόθεν εὕροιμεν αὐτὰς ἐπιχειρούντων ἡμῶν διδάσκειν, ἠσκηκώς τις ἀντιλογικὴν ἕξιν, οἵαν καὶ ὁ θαυμάσιος Ἀσκληπιάδης ἤσκησεν, ἐμποδίζοι τε καὶ διακόπτοι τὸν λόγον, ἀναμιμνήσκειν χρὴ τοῦτον, ὡς οὐ τὸ πρᾶγμα αὐτὸ διαβάλλει τοῦ πράττειν, ἀλλὰ τὸν ὑπὲρ αὐτοῦ λόγον. οὔτε γὰρ ὡς οὐ γίνονταί τινες ἐξαιφνίδιοι ταραχαὶ περὶ τὸ τοῦ κάμνοντος σῶμα, δύναιτ' ἂν εἰπεῖν Ἀσκληπιάδης, οὔθ' ὡς οὐκ ἀκολουθοῦσιν αὐταῖς ἐκκρίσεις ἀξιόλογοι πολλάκις, οὔθ' ὡς οὐκ ἐγγίνεται μεγάλη μεταβολὴ τοῖς κάμνουσιν ἐπ' αὐταῖς, οὔθ' ὡς οὐ καλεῖται τὸ τοιοῦτον κρίσις. ἀλλ' ὅτι διαγωνιζομένης τῆς φύσεως τοῖς νοσεροῖς αἰτίοις οὐ γίνεται ταῦτα, τοῦτο πειράσεται δεικνύναι, ληρῶν μὲν κἀν τούτοις μακρά, καὶ διὰ τοὺς θαυμαστοὺς ὄγκους καὶ πόρους οὓς ὑπέθετο, δι' οὓς οὔτε τὰς διοικούσας δυνάμεις ἔγνω τοῦ ζώου, οὔθ' ὡς ἐπὶ σωτηρίᾳ πάντα ποιοῦσιν αἵδε, καὶ ὑγιαινόντων τε καὶ νοσούντων, οὔθ' ὡς αὗται κρίνουσι τὰς νόσους. ἀλλ' ὅμως ἔχων γέ τι φλυαρεῖν ἐν ἀδήλοις αἰσθήσει πράγμασι, οὐδὲν μέντοι τῆς ἰατρικῆς αὐτῆς ὁ τοιοῦτος ἅπτεται λῆρος. οὔτε γὰρ διαγινώσκειν ἡμᾶς τοὺς τρόπους τῶν κρίσεων, οὔτε προγινώσκειν, τὰ σοφίσματα ταῦτα κωλύει. ληρήσει μὲν οὖν πολλὰ πολλάκις καὶ Ἀσκληπιάδης, καὶ πάντες ὅσοι μὴ γινώσκουσιν, ὡς αἱ φύσιες τῶν νούσων ἰητροί. προγνῶναι δὲ θανάτου τρόπον ἢ σωτηρίας, οὐδέποτε δυνήσονται. καίτοι πῶς οὐκ αἰσχρὸν ὁμοίως τοῖς ἰδιώταις ἐκπεπλῆχθαι τὸν ἰατρὸν γενομένης κρίσεως, ὃν ἐχρῆν οὐ μόνον ὑπηργμένην ἤδη γνωρίζεσθαι, ἐν ὅτι τελευτήσειν μέλλει, ἀλλὰ καὶ προγινώσκειν ἐσομένην κρίσιν, καὶ μὴν οὐκ ἐξ ἄλλων ἀρχῶν ἐγὼ ταῦτα σύμπαντα περὶ τῆς κρίσεως, οὔτε μέλλοντα προγινώσκειν, οὔτ' ἤδη παρόντα διαγινώσκειν ἐξεῦρον, ἢ ὧν Ἱπποκράτης ὑπέθετο. καὶ γὰρ καὶ τὸ πέττεσθαι τὰ κατὰ τὸ σῶμα, καὶ τὸ μὴ πέττεσθαι τοῖς Ἱπποκρατείοις δόγμασιν, οὐ τοῖς Ἀσκληπιαδείοις προσήκει, καὶ τὸ τὴν φύσιν ἔχειν δυνάμεις πολλὰς αἷς διοικεῖται τὸ ζῶον, ἕν τι τῶν Ἱπποκράτους δογμάτων ἐστίν, καὶ τούτου χωρίς, οὐχ οἷόν τε τὴν ἐνεστῶσαν ἡμῖν θεωρίαν ἐπιστήμῃ περιλαβεῖν. οὐ γὰρ εἰς ἀπείρους τὸν ἀριθμὸν ἀποβλέπειν χρὴ σημείων συνδρομάς, ὡς ἐφ' ἑκάστης αὐτῶν ἰδίας ὑπορέοντα τηρήσεως, ἀλλὰ τὰ κατὰ μέρος πάντα πρὸς ἕνα τοῦτον ἀνάγειν σκοπόν, ὑπὲρ οὗ τὸν λόγον ποιούμενος, ἱκανῶς κἀνταῦθα ὑπομνησθῆναι τῶν σοφιστῶν, ὅσοι σπουδάζουσιν οὐ μόνον οὐδὲν ἐξευρεῖν χρηστόν, ἀλλὰ καὶ τοῖς καλῶς εὑρημένοις λυμαίνεσθαι. καὶ μὴν ἄμεινόν γε ἦν ὅταν ἡμᾶς θεάσωνται, καὶ τὴν ἡμέραν ἐν ᾗ κριθήσεται τὸ νόσημα προγινώσκοντας, καὶ τὸν τρόπον τῆς κρίσεως προλέγοντας, καὶ πρὸ ὅσων ἤδη διαγινώσκοντας ἐν ὅτι τελευτήσει, σπουδάσαι μαθεῖν τὴν θεωρίαν, ἐξ ἧς τὰ τοιαῦτα εὑρίσκεται, καὶ μὴ τοῖς ἰδιώταις ὁμοίως ἐκπεπλῆχθαι, ποῖ ποτ' ἀποβήσεται τὸ παρὸν ἀγνοοῦντας. ἐγὼ γοῦν καὶ τῶν τοιούτων ἰατρῶν ἐπειράθην οὐκ ὀλιγάκις, καὶ οἷον θαυμαζόντων μὲν τὴν πρόγνωσιν ἡμῶν ὅταν ἐπὶ τῶν ἀρρώστων εὐδοκιμοῦσαν θεάσωνται, καὶ σπουδαζόντων μαθεῖν, ἐπειδὰν δέ τις ἀρξάμενος αὐτοὺς διδάσκειν, περὶ πέψεώς τε διεξέρχηται τῶν νοσημάτων, ἢ περὶ ῥώμης φύσεως, ἢ τῶν ἄλλων τινός, ὧν χωρὶς οὐχ οἷόν τε τὴν περὶ τὰς κρίσεις θεωρίαν συστῆναι. καὶ πῶς μὲν πείσει φασκόντων, ὡς ἐστι τις φύσις, ἢ ὡς ἐπὶ σωτηρίᾳ πάντα πράττει τῶν ζώων, ἢ ὡς ἐκείνης ἐκκρινούσης τὰ περιττώματα τῶν νόσων, ἀπαλλάττονται τινές, ἢ ὡς τὸ θερμόν ἐστιν ἐν τοῖς ζώοις τὸ δραστικώτατον, ἢ ὡς ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ κέκραται τὰ σώματα; πρὸς οὓς αὖθις εἴωθα λέγειν, ἤρξω μὲν οὖν οὗτος, ὡς μαθητής, ἀκούεις δὲ ὡς ἀντιλογικός. οὐ γὰρ ἀπόχρη σοι τῶν ἔργων τῆς τέχνης ὧν ἐθαύμασας αὐτὸς ἐκμαθεῖν τὴν μέθοδον, ἀλλὰ τὰς ἀρχὰς κρίνειν ἐπιχειρεῖν αὐτῆς, οὐκέθ' ὡς ἰατρὸς μόνον, ἀλλ' ἤδη καὶ ὡς φυσικός. καίτοι γε ἄμεινον ἦν σοι καὶ περὶ τῶν ἀρχῶν αὐτῶν ἔμπαλιν κρίνειν. πολὺ γάρ ἐστιν οἶμαι βέλτιον, ἔργα θαυμαστὰ ταῖς ἀρχαῖς ἐκείναις ἑπόμενα θεασάμενον, ἔχειν τινὰ πίστιν ἐκ τούτων ἤδη καὶ περὶ τῶν ἀρχῶν αὐτῶν. ἀνάπαλιν γὰρ αἱ πίστεις τῶν τεχνῶν ἔχουσι ταῖς εὑρέσεσι. πιστεύονται μὲν γὰρ ἐκ τῶν ἔργων, εὑρίσκονται δ' ἐκ τῶν ἀρχῶν. ἐμοὶ μὲν οὖν ἐξευρεῖν ἔργον τι τεχνικόν, ἀμήχανόν ἐστι μὴ χρησαμένῳ ἀρχαῖς ἀληθέσιν, ὥστ' ἀναγκαῖον μοι τὴν φυσικὴν θεωρίαν ἐκμαθεῖν [εὑρηκὼς] ἀκριβῶς. σοὶ δ' ἤδη τῶν ἔργων εὑρημένων τῆς τέχνης, ἀπόχρη μαθεῖν τὴν ὁδόν, ὥστ' εἴπερ οὐκ ἔχεις χρόνον, ὡς φυσικὸς ἐκμαθεῖν ἅπαντα. τοῦτον

γοῦν

γρῷ σοι παρεστήτω λογίσασθαι, διότι μήτ᾽ ἄλλη τίς ἐστιν ὁδὸς παρὰ ταύτην ἡ τοῦ μέλλοντός σε προγνωστικὸν ἐργασαμένη, μήτ᾽ ἀναγκαῖον ἔτι σοι τὰς ἀρχὰς ἐπιστήμης προσλαβεῖν, ἀπολαύειν ἤδη δυναμένῳ τῶν ἐκ τῆς ἐπιστήμης. περὶ μὲν γὰρ πρῶτον τὰ τοιαῦτα ἐξευρεῖν ἐπιχειροῦντι, κίνδυνος ἦν οὐ σμικρὸν ἀπολέσαι ματαίως τὸν χρόνον. οὐδὲ γὰρ ἂν ἐξευρεῖν ἀληθὲς οὐδὲν ἐπὶ διεψευσμέναις ἀρχαῖς, σοὶ δὲ τοῦ μὲν ζητεῖν ἀπηλλαγμένῳ, τὰ δ᾽ ἤδη καλῶς εὑρημένα μαθεῖν ὀρεγομένῳ, περιττόν ἐστι τὰς ἀρχὰς ἐπιστήμης προσλαμβάνειν, καὶ μάλιστα εἰ μηδὲ χρόνον ἔχοις ἱκανὸν εἰς τοῦτο, μήτε προσεξευρεῖν τι τῶν λειπούντων ἐπιθυμεῖς, ἀλλ᾽ ἀρκεῖ σοι μόνον ὀρθῶς χρῆσθαι τοῖς εὑρημένοις. ὑποθέμενος οὖν τινα ζωτικὴν εἶναι δύναμιν, ἄσκησον αὐτῆς γνωρίζειν τὴν ἐν ἀῤῥωστίᾳ τε καὶ ῥώμῃ διάθεσιν. ἐπειδὰν δὲ τοῦτ᾽ ἀσκήσῃς, αὖθις ἄσκησόν μοι σαυτόν, ἑτοίμως διαγινώσκειν τὰς κατὰ τὸ μέγεθός τε καὶ τὸ ἦθος ἁπάντων τῶν νοσημάτων διαφοράς, εἶθ᾽ ἑξῆς τούτων ἀκμῆς μελλούσης πρόγνωσιν. ὅταν δ᾽ ἤδη ταῦτα σύμπαντα ἐκμάθῃς, ἄσκησόν μοι σαυτόν, ἀκριβῶς στοχάζεσθαι πηλίκον νόσημα, πηλίκη ῥώμη δυνάμεως, ἐν πόσῳ χρόνῳ διενεγκεῖν ἱκανή. πολὺ δ᾽ εἰς τοῦτο συντελέσει, καὶ ἡ περὶ τῶν ἔργων τριβή. περὶ δ᾽ ἑκάστου ὧν εἶπον ἀκριβῶς ἐκμαθεῖν, οὐδὲν ἂν εἴη σοι πλεῖον ἀνθρώπους νοσοῦντας θεωμένῳ. πῶς οὖν ἕκαστον αὐτῶν ἄρχεσθαι ἀκριβῶς χρὴ μανθάνειν; οὐκ ἄλλως, ἢ ὡς ἔμπροσθεν εἴρηται. καὶ γὰρ ὡς χρὴ μέγεθος ἐξευρίσκειν νόσου, καὶ ὡς ἦθος, ἔτι τε πρὸς τούτοις τὴν ἀκμήν, ἀκριβῶς διελήλυθα, τὴν δὲ καθ᾽ ἑκάστην δύναμιν ἀῤῥωστίαν, ἢ ῥώμην ἐν ἑτέρῳ φθάνω διῃρῆσθαι λόγῳ, τῷ περὶ πλήθους ἐπισκεπτομένῳ. μανθάνειν μὲν οὖν ἐκεῖθεν αὐτῶν τὰς διαγνώσεις ἀκριβῶς, χρῆσθαι δὲ πρὸς τὰς ἰάσεις, ὡς ἐν ἑτέροις διῄρηται, καὶ νῦν οὐχ ἧττον εἰς τὴν περὶ τὰς κρίσεις θεωρίαν. ὥσπερ γὰρ ὁ πάντα ἔχων ἀγαθὰ σημεῖα, τῇ πρώτῃ τετράδι τελέως ὑγιασθήσεται, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ᾧ πάντα ἐστὶ μοχθηρά, τεθνήξεται πάντως καὶ οὗτος ἐντὸς τῆς πρώτης τετράδος. ἀλλ᾽ ὁ μὲν σωζόμενος, ἅπαντας διέξεισι τῆς νόσου τοὺς καθόλου καιρούς, ἀρχὴν καὶ ἀνάβασιν, καὶ ἀκμήν, καὶ παρακμήν, εἰ καί τισιν μὴ δοκεῖ γίγνεσθαι παρακμὴν κατὰ τὰς αἰφνιδίους κρίσεις. εἰρήσεται γὰρ ὀλίγον ὕστερον ὑπὲρ τούτων. τῷ τεθνηξομένῳ δέ, εἰς μὲν τὸν τῆς παρακμῆς καιρὸν ἀδύνατον ἐξικέσθαι, οὐ μὴν οὐδ᾽ ἐξ ἀνάγκης εἰς τὸν τῆς ἀκμῆς. ἐνδέχεται γὰρ αὐτὸν καὶ κατὰ τὸν τῆς ἀναβάσεως, καὶ κατὰ τὸν τῆς ἀρχῆς χρόνον ἀπολέσθαι. κριθῆναι δὲ οὐκ ἀναγκαῖον αὐτῷ, καὶ μάλιστα εἰ κατὰ τὴν ἀρχὴν ἀποθνήσκει τῆς νόσου. γίνεται δὲ τοῦτο μεγάλως τῆς φύσεως ὑπὸ τοῦ νοσήματος κρατηθείσης. τηνικαῦτα γὰρ οὐδ᾽ ἐπιχειρεῖ διαγωνίζεσθαι πρὸς αὐτό, χωρὶς δὲ τοῦ διαγωνίζεσθαι, κρίσις οὐ γίνεται. τέταρτος οὖν οὗτος ἐστὶν ὁ τρόπος τοῦ θανάτου μηδενὶ τῶν τῆς σωτηρίας ἐοικώς. οὐδεὶς μὲν γὰρ ἀθρόως ἀπηλλάγη τοῦ νοσήματος ἄνευ κρίσεως, ἀθρόως δ᾽ ἀποθνήσκουσιν οὐκ ὀλίγοι μὴ κριθέντες. ἐν μὲν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν οἱ πλεῖστοι, καὶ μάλιστα ὅσοι διὰ πλῆθος, ἢ πάχος ὕλης, ἢ μέγεθος φλεγμονῶν ὀλεθρίως ἔχουσιν. ἐν δὲ ταῖς παρακμαῖς, ἐφ᾽ ὧν ἄῤῥωστος ἡ δύναμις, χρὴ γὰρ καὶ τοῦτο γινώσκειν, ἅπαντος μᾶλλον ἀληθέστατον ὑπάρχον, ὡς κἂν ταῖς παρακμαῖς τῶν κατὰ μέρος παροξυσμῶν ἀπόλλυνται πάμπολλοι, καὶ τοῦτο θεασάμενοί τινες, οἴονται ὡς καὶ ἐν τῷ καθόλου καιρῷ τῆς παρακμῆς ἐνδέχεταί τινα τελευτῆσαι, τὸ δ᾽ οὐχ οὕτως ἔχει. παρελθούσης μὲν γὰρ τῆς ἀκμῆς τοῦ νοσήματος, ἡ μὲν φύσις ἤδη κεκράτηκεν, οὐδὲ γὰρ ἂν ἄλλως παρήκμασε τὸ νόσημα. τρόπος δὲ οὐδ᾽ εἷς οὐδ᾽ ἐπινοηθῆναι θανάτου δύναται τηνικαῦτα, πλὴν ἐξ ἁμαρτήματος, οὐ μὴν τοῦτό γε πρόκειται νῦν σκοπεῖν, ἀλλ᾽ εἰ τῷ λόγῳ τοῦ νοσήματος. ὅτι οὖν εἶδόν ποτε τοῦτο γινόμενον, οὐδ᾽ ὁ λόγος ἐξευρίσκει. τῶν μέντοι κατὰ μέρος παροξυσμῶν ἐν ταῖς παρακμαῖς ἐθεασάμεθά τε παμπόλλους πολλάκις ἀποθνήσκοντας, ὅ, τε λόγος οὐδὲν εἶναι θαυμαστόν φησιν ἄῤῥωστον δύναμιν, ἐν μὲν τῷ χρόνῳ τῆς ἀρχῆς τοῦ παροξυσμοῦ, καὶ ἀναβάσεώς τε καὶ ἀκμῆς ἐξαρκέσαι, συνεχομένης ἔτι τηνικαῦτα, καὶ οἷον συσφιγγομένης τῆς ἕξεως. ἐν δὲ τῷ τῆς παρακμῆς, ἔμπαλιν κινουμένης τῆς θερμασίας, ἐκ μὲν τῶν μέσων νῦν ἐπὶ τὰ πέρατα, διαφορεῖσθαί τε καὶ διαλύεσθαι τὴν ἕξιν. ἔνιοι μὲν οὖν τῶν τοιούτων ἐξαιφνίδιον ἀποθνήσκουσιν, ὡς δοκεῖν τοῖς παροῦσι λειποψυχεῖν μᾶλλον αὐτούς, ἢ ἀπόλλυσθαι, τινὲς δὲ κατὰ βραχύ, καὶ οὐκ ἐξαίφνης ἀπέθανον. ἀρξάμενοι μὲν πάντες ἀπὸ τῆς ἀκμῆς τοῦ παροξυσμοῦ, λανθάνοντες δὲ τοὺς πολλοὺς οὕτως, ὥστε καὶ πάνυ ταχέως αὐτοῖς, καὶ θᾶττον ἢ κατὰ τὴν ἐλπίδα δοκοῦσιν οἱ τοιοῦτοι μεταπίπτειν ἐκ τῆς ἀκμῆς εἰς τὴν παρακμήν, ἀλλ᾽ ἥ γε γνώρισις σαφεστάτη διὰ τῶν σφυγμῶν. οὐ γάρ τι που βραχὺ τοὐν μέσῳ, τῶν τε θανάτου λόγῳ θᾶττον τῆς ἐλπίδος εἰς φαντασίαν ἡκόντων παρακμῆς, καὶ τῶν ὄντως παρακμαζόντων. ἐπ᾽ ἀμφοτέρων μὲν γὰρ ἀθροωτέρα ἡ πυρετικὴ θερμασία διαφορεῖται. γίνεται δ᾽ ὑπὸ τῶν ἐναντιωτάτων αἰτίων, εἴ γε δὴ ῥώμη φύσεως ἐναντιωτάτη ἐστὶν ἀῤῥωστίᾳ. σφοδρότερος μὲν οὖν ἀεὶ καὶ μᾶλλον ὁ σφυγμὸς εὐτακτότερός τε καὶ ὁμαλώτερος, ἐπὶ χρησταῖς γίνεται παρακμαῖς. ἀπωθεῖται γὰρ ἡ φύσις εὐρωστοτέρα ἅπασαν ἀθρόως ἔξω τὴν πυρετικὴν θερμασίαν. ἀμυδρότερος δὲ καὶ ἀτακτότερος, καὶ ἀνώμαλος ἐν ταῖς ὀλεθρίοις παρακμαῖς. διαῤῥεῖ γὰρ ἅμα τοῖς ἄλλοις, καὶ ἡ πυρετικὴ θερμασία τηνικαῦτα, κἀντεῦθεν ἡ φαντασία τοῦ βελτίονος, εἶτ᾽ ὀλίγον ὕστερον, ἢ ἀποπατῆσαι διαναστάντες, ἐλειποψύχησάν τε καὶ μικρὸν ἔνιοι καὶ γλίσχρον ἐφιδρώσαντες ἀπέθανον, ἢ καὶ χωρὶς τοῦ διαναστῆναι. κατὰ μὲν τὰς παρακμὰς τῶν παροξυσμῶν, οὕτως ἀποθνήσκουσιν ἄνευ κρίσεως, κατὰ δὲ τὰς ἀρχάς, ὑπὸ τῆς ἀθροωτέρας ἔσω τῶν χυμῶν ῥοπῆς, οἷον καταπνιγείσης, καὶ ἀποσβεσθείσης τῆς φύσεως, ὡς εἰ καὶ πλῆθος τις χλωρῶν ξύλων ἀθρόως ἐπισωρεύσειε φλογί. λοιπὸς δέ ἐστιν ἄνευ κρίσεως ἐν τοῖς ὀλεθρίοις νοσήμασιν ὁ κατὰ τὰς ἀκμὰς θάνατος, τῇ σφοδροτάτῃ τοῦ παροξυσμοῦ νικηθείσης τῆς φύσεως. οὕτω δὲ κἀν ταῖς ἀναβάσεσιν αὐτῶν ἀπόλλυνται πολλάκις, οὐ κατ᾽ ἄλλον τινὰ τρόπον, ἢ λόγῳ τῆς ἀκμῆς. ὅλως γὰρ ὅταν ὑπὸ σφοδροτάτου νοσήματος ἡ δύναμις νικηθῇ, λόγῳ μὲν ἀκμῆς ἀπόλλυται. συμβαίνει δὲ ἐνίοτε καὶ κατὰ τὰς ἀναβάσεις τῶν παροξυσμῶν, ἀλλὰ καὶ σπανιώτερον τοῦτ᾽ ἐστι, καὶ ὁ τρόπος ὁ αὐτὸς περὶ κατὰ τὴν ἀκμήν. τρεῖς οὖν οἱ πάντες τρόποι θανάτου, τοῖς χωρὶς τοῦ κριθῆναι θνήσκουσι. πρῶτος μὲν ὁ κατὰ τὰς εἰσβολὰς τῶν παροξυσμῶν ἐν ταῖς φλεγμοναῖς τοὐπίπαν μεγάλαις ἐν κυρίοις μορίοις γινομέναις, ἢ πλήθει καὶ πάχει, καὶ γλισχρότητι τῶν χυμῶν ἀθρόως εἴσω ῥυέντων, ὡς ἀποφράξαι τελέως τὰς διεξόδους τοῦ πνεύματος. ἕτερος δέ,

ὁ κατὰ τὰς ἀκμὰς τῇ βίᾳ τοῦ νοσήματος ἡττηθείσης τῆς φύσεως. ἄλλος δὲ καὶ λοιπὸς ἐν ταῖς παρακμαῖς σπανιώτατος, τοῦ τόνου τοῦ ζωτικοῦ λυθέντος, τούτων οὐδεὶς ἅμα κρίσει γίνεται. τὴν ἀρχὴν γὰρ οὐδὲ ἐπιχείρησιν ἀποτείνασθαι τὸ νόσημα κατὰ τοὺς τοιούτους θανάτους ἡ φύσις. ἡνίκα δ' ἐπιχειροίη μὲν, ἡττᾶται δὲ, κρίσιν ἤδη κακὴν ὀνομάζω τὸ τοιοῦτον, καὶ γίνεται πάντως ἢ σὺν ἐκκρίσεσιν, ἢ σὺν ἀποστήμασιν ἀξιολόγοις ἅμα τῇ λοιπῇ πάσῃ ταραχῇ τῇ πρόσθεν εἰρημένῃ. αἱ προγνώσεις δὲ τῶν τοιούτων κρίσεων, ἧττον εἰσὶ βέβαιοι, καὶ πάνυ συνετοῦ τε ἅμα καὶ τεχνίτου, καὶ γεγυμνασμένου δέονται τοῦ ἰατροῦ, πρῶτον μὲν εἰ γενήσονται, δεύτερον δὲ, εἰ κατὰ τήνδε τὴν ἡμέραν, ἔπειτ' εἰ παραχρῆμα τὸν ἄνθρωπον ἀναιρήσουσιν, ἢ βλάψουσι μόνον. ἀλλὰ γυμνάζεσθαι χρὴ πρότερον ἐπὶ τὴν τῶν ἀρίστων κρίσεων πρόγνωσιν, ὑπὲρ ὧν ἔμπροσθεν εἶπον, εἶθ' ἑξῆς ἐπὶ τῶν οὐκ ἀρίστων μὲν, ἀγαθῶν δὲ, κἄπειθ' οὕτω μεταβαίνειν ἐπὶ τὰς κακάς. ὥσπερ γὰρ ἐν ταύταις τὸ ἀβέβαιόν τε καὶ στοχαστικὸν πλεῖστον, οὕτως ἐν ταῖς ἀγαθαῖς τὸ ἐπιστημονικόν τε καὶ βέβαιον. ὡρισμέναι γάρ εἰσι καὶ τεταγμέναι τῆς φύσεως αἱ κινήσεις, ὅταν εὐρωστῇ τε καὶ κρατῇ τῆς ὕλης, καὶ τοῖς οἰκείοις λόγοις ἐνεργῇ. ἀόριστοι δὲ καὶ ἄτακτοι, καὶ διὰ τοῦτο ἄγνωστοι κρατουμένης. ἀλλ' εἰ μὲν τελέως κρατοῖτο, τὴν ἀρχὴν οὐδ' ἐγχωρεῖ κρίνειν, οὐδ' ὅλως ἀντέχειν κἂν βραχὺ, διανίσταται μὲν ὡς εἰς μάχην, ἡττᾶται δ' εὐθύς. αἰτία δὲ ταύτης τῆς ἀκαίρου ἐπαναστάσεως, ἡ βία τοῦ νοσήματος ἐρεθιστική τις οὖσα καὶ ὀξεῖα. φαίνεται γὰρ ἡ φύσις, οὐδαμῶς ἀνεχομένη τῶν τοιούτων, ἀλλ' εὐθὺς ἀποτρίβεσθαι σπεύδουσα τὸ διοχλοῦν, ὡς κἂν τοῖς κατὰ τὴν γαστέρα τε καὶ τὸν στόμαχον ἰδεῖν ἔστιν ἐναργῶς, ὅσα δάκνει, καὶ στροφεῖ, καὶ βαρύνει, καὶ ὁπωσοῦν ἄλλως ἐρεθίζει. τὰ μὲν γὰρ ἐπιπολάζοντα, δι' ἐμέτων ἀπωθεῖσθαι, τὰ δ' ἐν τοῖς κατωτέροις χωρίοις, δι' ἕδρας ἐκκρίνει. καὶ μέγιστον ἄρα τοῦτο σημεῖον ἐστὶ κρίσεως ἀκαίρου. τὰς μὲν γὰρ ἐν καιρῷ γινομένας, ὅπερ ἐστὶ ταυτὸν τῷ κατὰ τὴν ἀκμὴν, κἂν τοῖς πεπασμοῖς, εἰ καὶ μηδὲν ἐρεθιστικὸν εἴη, συμπιπτούσας ὁρῶμεν τοῖς θερμοῖς καὶ μεγάλοις νοσήμασιν. ὅσα δὲ προεκρήγνυται, καλεῖ δ' οὕτως Ἱπποκράτης ἅπαντα τὰ πρὸ τῆς ἀκμῆς ἐπὶ κρίσιν ὁρμῶντα, δι' ἐρεθισμόν τινα τοῦτο πάσχει, καὶ χείρων ἡ κρίσις γίνεται τῆς ἐν ἀκμῇ τοσοῦτον, ὅσον προέλαβεν ἡ κρίσις. ὡσαύτως δ' ἐπὶ τῶν ὀλεθρίων ἔχει νοσημάτων. οὐ γὰρ ἀναμένει τὴν ἀκμὴν, ἢ πάνυ σπανίως, ἀλλ' ἐν ταῖς ἀναβάσεσιν ἀναιρεῖ τοὐπίπαν, ἢ καὶ κατ' ἀρχάς. εἰ μὲν δὴ προδηλώσειέ τις ἐπίδηλος ἡμέρα τὴν μέλλουσαν ἔσεσθαι κρίσιν, ἅμα τε προδηλοῖ καὶ κακήν. φέρε γὰρ ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ὀφθῆναι πρῶτον ἐν τοῖς οὔροις νεφέλην μέλαιναν, ἢ ἐναιώρημα μέλαν, ἤ τι τῶν ἄλλων τῶν τοιούτων, εἶναι δὲ καὶ τὰ ἄλλα σύμπαντα σημεῖά τε καὶ συμπτώματα ὀλέθρια, τεθνήξεται μὲν πάντως ὁ τοιοῦτος ἄρρωστος. ἀλλ' εἰ μὲν ἐν περιτταῖς οἱ παροξυσμοὶ γίνοιντο, κατὰ τὴν ζ. ἡμέραν κριθήσεται. εἰ δ' ἐν ἀρτίαις κατὰ τὴν ϛ. βεβαιοτέραν δέ σοι ποιήσει τὴν προσδοκίαν ἡ κίνησις τοῦ νοσήματος. εἰ μὲν γὰρ ὀξέως κινοῖτο, συνεπιμαρτυρήσει τῇ ταχείᾳ κρίσει, τουτέστι τῇ κατὰ τὴν ϛ. εἰ δὲ βραδέως, τῇ κατὰ τὴν ζ. ὅταν δὲ μηδεμία ἡ ἐπίδηλος ἡμέρα προδηλώσῃ περὶ τῆς μελλούσης ἔσεσθαι κακῆς κρίσεως, οὐδ' ἡ πρόγνωσις αὐτῆς εὐπετής. ὅμως δεῖ κἀνταῦθα προσέχειν τὸν νοῦν οἷς ἐρῶ σημείοις. ἔστι δὲ αὐτῶν πρῶτον μὲν καὶ μέγιστον ἐν τοῖς ὀλεθρίοις νοσήμασι τοῦ χωρὶς κρίσεως τεθνήξεσθαι σημεῖον, ἡ ἀρρωστία τῆς δυνάμεως. οὐ γὰρ ἐπεγείρεται πρὸς διαμάχησιν τοῦ νοσήματος ἡ τοιαύτη δύναμις. δεύτερον δ' εἰ καὶ μηδὲν ὅλως εἴη, μηδὲ τοὐλάχιστον σημεῖον πεπασμοῦ κἀπὶ τούτοις. εἰ μέγα μὲν εἴη καὶ κακόηθες τὸ νόσημα, † μὴ μέντοι ταχέως κινοῖτο. οὕτω γὰρ ταῦθ' ὑπάρχει, πάντως τεθνήξεται μὴ κριθῆναι. εἰς τὴν δ' ἡμέραν τοῦ θανάτου προγινώσκειν, ἔκ τε τοῦ πόσον ὑπερέχει τὸ νόσημα τῆς δυνάμεως ἐπισκέψασθαι, κἀκ τῶν βαρυτέρων παροξυσμῶν. εἰ μὲν γὰρ ἀξιόλογος ἡ ὑπεροχὴ καὶ σμικρὸν ἀντέχειν ἡ δύναμις ἔτι φαίνοιτο, ταχὺς ὁ θάνατος. εἰ δὲ τἀναντία, βραδύτερος. ἔστω δὴ παραδείγματος ἕνεκα πολλὴ μὲν ἡ ὑπεροχὴ, μὴ μέντοι σαφὴς ὑπαρχέτω, πότερα μίαν ἡμέραν, ἢ δύο παρατεῖναι δυνήσεται. διορισθήσεται δὲ τοῦτο ταῖς τῶν παροξυσμῶν περιόδοις. ἐν ᾗ γὰρ ὁ παροξυσμὸς ἡμέρᾳ μέλλει γίνεσθαι κατ' ἐκείνην τεθνήξεται, καὶ τῆς ἡμέρας αὐτῆς τὴν ὥραν ἐν ᾗ τοῦτ' ἔσται ῥᾷστον ἤδη διαγνῶναι, μεμνημένον ἐν μὲν τῷ καθόλου τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων, ἡνίκα ἐδίδασκον, ἐν ὁποίοις μὲν νοσήμασιν ἀρχαὶ τῶν παροξυσμῶν μάλιστα φέρουσι τὸν θάνατον, ἐν ὁποίοις δὲ αἱ ἀκμαί τε καὶ παρακμαὶ, κατὰ μέρος δὲ ἐφ' ἑκάστου τῶν ἀρρώστων, ἡ τῶν προγεγονημένων ἡμερῶν μνήμη συνενδείξεταί σοι τὸ πάμπολυ. καὶ γὰρ εἰ μὴ κατ' αὐτὴν τοῦ νοσήματος τὴν ἰδέαν οἷός τε εἴης προγινώσκειν, ἐν ὁποίῳ μάλιστα μέρει τοῦ παροξυσμοῦ τεθνήξεται, τῶν γε ἐν ταῖς ἔμπροσθεν ἡμέραις ἀναμνησθεὶς, ὁποίῳ μάλιστα μέρει σφῶν αὐτῶν, βαρύτατοί τε καὶ σὺν ὀλεθρίοις ἐγίνοντο συμπτώμασιν, οὕτως ἂν ἔχοις τι καὶ περὶ τῶν μελλόντων εἰκάζειν. ἔστω δὴ πάλιν ἀληθῶς ἐγνωσμένον, ὀλέθριον μὲν εἶναι τὸ νόσημα, μὴ πολλὴ δὲ ἡ τῆς δυνάμεως ἧττα. πρῶτον μὲν ἤδη δῆλον, ὡς οὐκ ἐγγὺς ὁ θάνατος, ἔπειτα δὲ ζητητέον, εἰ δύναται γενέσθαι κρίσις. ἡ δὲ εὕρεσις, ἔκ τε τοῦ τὴν δύναμιν ὅπως ἔχοι ῥώμης ἐπισκέψασθαι, καὶ τοῦ νοσήματος αὐτοῦ τὴν κίνησιν, ἔτι τε πρὸς τούτοις τὰ σημεῖα τῶν πεπασμῶν. εἰ μὲν γὰρ ἥ τε δύναμις εὔρωστος ὑπάρχει, καὶ τὸ νόσημα ταχέως κινοῖτο, καίτοι σημεῖον παρείη πέψεως, οὐκ ἀπεικός ἐστιν ἐπιθέσθαι κρίσει τὴν φύσιν. εἰ δὲ ἥ τε δύναμις ὀκλάζει πως, καὶ τὸ νόσημα μὴ ταχέως κινοῖτο, καὶ μηδὲν εἴη σημεῖον πέψεως, οὐκ ἐνδέχεται κριθῆναι τοῦτον. ὅτι δὲ οὐ πάντως εἰ τὸ νόσημα τῆς δυνάμεως ἰσχυρότερον, ἐξ ἀνάγκης ἄρρωστος ἡ δύναμις, ἐν ἑτέρῳ μοι δέδεικται λόγῳ, καὶ χρὴ μανθάνειν ἐκεῖθεν ἴδια γνωρίσματα δυνάμεως ἀρρώστου. πάντα μὲν γὰρ ἅμα διεξέρχεσθαι, παντελῶς ἐστὶν ἀδύνατον. μεμνῆσθαι δὲ πάντων ἅμα, καὶ μηδὲν ὧν ἔμαθέ τις ἰδίᾳ παραλείπειν, ἀλλ' ἐφ' ἑκάστου τῶν νοσούντων ἅπαντα περιλαμβάνειν, οὐχ ὅπως ἀδύνατόν ἐστιν, ἀλλ' οὐδὲ χαλεπὸν οὐδέν. ἀναμνησθέντες οὖν πάλιν ὧν ἐν τοῖς ἔμπροσθεν διελεγόμεθα, „τῶν ἐφεξῆς ἐχώμεθα, τὰς ἀρίστας κρίσεις ἔφαμεν ἐν ταῖς ἀκμαῖς γίνεσθαι. κατὰ δὲ τὰς ἀναβάσεις, ἐπὶ μὲν τῶν σω„θησομένων, ἢ ἐλλιπεῖς, ἢ οὐκ ἀσφαλεῖς. ἐπὶ δὲ τῶν τεθνηξομένων, ἢ εὐθὺς ἀναιρεῖν, ἢ μεγάλην ἐπὶ τὸ χεῖρον ποιεῖσθαι „μεταβολὴν, ἐν ἀρχῇ δὲ τοῦ νοσήματος, οὐκ ἂν γενέσθαι κρίσιν. εἶναι δὲ τῶν μὲν ἀρίστων ἀκριβεῖς τὰς προγνώσεις. τῶν „δ' ἄλλων μετὰ τοῦ στοχάζεσθαι, καὶ μᾶλλον ὅταν ἄσημοι τυγχάνωσι γινόμεναι. καλεῖσθαι δὲ οὕτως ἔφαμεν, ὅσαι μὴ „προδηλοῦνται διὰ τῶν ἐπιδήλων ἡμερῶν. ἀλλά τοι καὶ ταύτας εἰ καὶ μὴ πρὸ πολλοῦ, μελλούσας γοῦν ὅσον οὔπω γενήσεσθαι,

Marginal note: † καὶ μέντοι ταχέως κινοῖτο. ἢν γὰρ ταῦτα οὕτως ὑπάρχῃ, πάντως τεθνήξεται πρὶν κριθῆναι ὁ ἄνθρωπος. τὴν δ' ἡμέραν τοῦ θανάτου προγνώσεις,

σεσθαι, προγινώσκειν ἐλέγομεν δεῖν. ἔσεσθαι δὲ τὴν πρόγνωσιν ἔκ τε τοῦ κατεπείγεσθαί τε καὶ σφοδρῶς ἐρεθίζεσθαι τὴν φύσιν ὑπὸ τοῦ νοσήματος, ἔκ τε τῆς παρὰ λόγον αἰφνιδίου ταραχῆς περὶ τὸ σῶμα. πάντως γάρ τι νεωτερίζεται μελλούσης κρίσεως, ἢ κατὰ τὴν ἀναπνοήν, ἢ κατὰ τὴν διάνοιαν, ἢ τὴν ἀκοήν, ἢ τὴν ὄψιν, ἢ τὴν εὐφορίαν, ἢ κατ' ἄλλο τι τῶν ἤδη πολλάκις εἰρημένων, ἅπερ ἐν περιλαβόντες ὀνόματι, κρίσιμα συμπτώματά τε καὶ σημεῖα προσαγορεύομεν. καὶ μὲν δὴ καὶ τὸ διὰ τῶν ἀφορισμῶν εἰρημένον ὑφ' Ἱπποκράτους. ὁκόσοισι δὲ κρίσις γίνεται, τουτέοισι νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ, τοῦτ' ἔστιν αὐτὸ νῦν τὸ λεγόμενον. ἐὰν οὖν ἐπὶ τῷ νοσήματι κρίσιν ἐμφαίνοντι, καὶ ἡ νὺξ γένηται δύσφορος, καὶ ἐπ' αὐτῇ ὁ παροξυσμὸς εἰσβάλλει θᾶττον ἅμα νεωτέροις τισὶ συμπτώμασιν, ἐν ἐκείνῳ τῷ παροξυσμῷ γενέσθαι τὴν κρίσιν ἀναγκαῖον. ὁποία δέ τις ἔσται, τουτέστιν εἰ δι' αἱμοῤῥαγίας ἢ ἐμέτων, ἢ ἱδρώτων, ἢ τινὸς ἄλλου τῶν πολλάκις ἤδη προειρημένων, ἐφεξῆς πειράσομαι διηγεῖσθαι, τὴν ἀρχὴν κἀνταῦθα τοῦ λόγου ποιησάμενος, ἀπὸ τοῦ συμπάντων ἡμῖν τῶν ἀρίστων μαθημάτων ἡγεμόνος. ἐν μὲν γὰρ προτῷ τῶν ἐπιδημιῶν ὧδέ πως εἰπόντος. τὰ περὶ τὴν κεφαλὴν καὶ τὸν τράχηλον ἀλγήματα καὶ βάρεα σὺν πυρετοῖς καὶ ἄνευ πυρετῶν, φρενιτικοῖσι μὲν σπασμοὶ καὶ ἰώδεα ἐπανεμέουσιν, ἔνιοι ταχυθάνατοι τουτέων. ἐν καύσοισι δὲ καὶ τοῖσιν ἄλλοισι πυρετοῖσιν, οἷσι μὲν τραχήλου πόνος, καὶ κροτάφων βάρος, καὶ σκοτώδεα τὰ περὶ τὰς ὄψιας, ἢ καὶ ὑποχονδρίου σύντασις, οὐ μετ' ὀδύνης, αἱμοῤῥαγέουσι διὰ ῥινῶν. οἷσι δὲ βάρεα μὲν ὅλης τῆς κεφαλῆς καρδιωγμοὶ δὲ καὶ ἀσώδεές εἰσιν, ἐπανεμέουσι χολώδεα καὶ φλεγματώδεα. τὸ πολὺ δὲ παιδίοισιν ἐν τοῖσι τουτέοισιν οἱ σπασμοὶ μάλιστα. γυναιξὶ δὲ καὶ ταῦτα καὶ ἀπὸ ὑστερέων πόνοι. πρεσβυτέροισι δὲ καὶ ὁκόσοισιν ἤδη τὸ θερμὸν κρατέεται, παραπληκτικὰ, ἢ μανικὰ, ἢ μελαγχολικὰ, καὶ στέρησις ὀφθαλμῶν. ἐν δ' αὖ τῷ προγνωστικῷ Ἱπποκράτης ὧδέ πως πάλιν φησίν. ὅς τις δ' ἂν τῶν πυρετῶν μηκύνῃ περιεστηκὼς, διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονὴν, μήτε δι' ἄλλην πρόφασιν ἐμφανέα, τουτέῳ προσδέχεσθαι ἀπόστασιν μετὰ οἰδήματός τε καὶ ὀδύνης, ἔς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον τῶν κάτω. μᾶλλον δὲ γίνονται, καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες, τοῖσι νεωτέροισι τριάκοντα ἐτέων. ὑποσκέπτεσθαι δὲ εὐθὺς χρὴ, τὰ περὶ τῆς ἀποστάσιος εἰ κ'. ἡμέρας ὁ πυρετὸς ὑπερβάλλῃ. τοῖσι δὲ γεραιοτέροισιν, ἧσσον γίνεται πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ. χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι, ξυνεχέος ἐόντος τοῦ πυρετοῦ. ἐς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ τε καὶ ἐπιλαμβάνῃ πεπλανημένον τρόπον. καὶ ταῦτα πάντα ποιέων τῷ φθινοπώρῳ πελάσῃ, ὥσπερ δὲ τοῖσιν νεωτέροισι τριάκοντα ἐτέων ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριάκοντα ἔτεσι, καὶ γεραιοτέροισι. τὰς δὲ ἀποστάσιας εἰδέναι χρὴ μᾶλλον τοῦ χειμῶνος γινομένας, χρονιωτέρως δὲ παυομένας, ἧσσον τε παλινδρομεούσας. ἱκανὰ μὲν καὶ ταῦτα καὶ πάνυ σαφῆ, τὰ περὶ τῶν ἀποστάσεων εἰρημένα. συνάπτων δ' αὐτοῖς ἐφεξῆς τὰ περὶ τῶν ἐκκρίσεων, ὧδέ πως φησίν. ὅς τις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φησὶ κεφαλὴν ἀλγεῖν, ἢ καὶ ὀρφνῶδές τι πρὸ ὀφθαλμῶν φαίνεσθαι, ἢν καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. ἢν δὲ καὶ ῥῖγος ἐπιλάβῃ, καὶ τὰ κάτω τοῦ ὑποχονδρίου ψυχρὰ ᾖ, ταχύτερος ἔτι ὁ ἔμετος παρέσται. ἢν δέ τι καὶ πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμήσεται. τουτέων δὲ οἷς ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρᾳ, τεταρταῖοι πιέζονται μᾶλλον ἢ πεμπταῖοι, ἐς δὲ τὴν ζ'. ἀπαλλάσσονται. οἱ μέντοι πλεῖστοι αὐτῶν ἄρχονται μὲν πονέεσθαι τριταῖοι, χειμάζονται δὲ πεμπταῖοι μάλιστα, ἀπαλλάσσονται δ' ἐνναταῖοι, ἢ ἑνδεκαταῖοι. οἱ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τὰ ἄλλα κατὰ λόγον αὐτοῖσι τῶν πρόσθεν γίνεται ἐς τεσσαρεσκαιδεκάτην. γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶν ἐν τοῖς τριταίοις μάλιστα. τοῖσι δὲ νεωτέροισι, γίνεται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ ἐν τοῖς συνεχεστέροισι πυρετοῖσι, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισιν. οἷσι δὲ ἂν ἐν τοιούτῳ τρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνηται, ἢ μαρμαρυγαὶ προφαίνονται. ἀντὶ δὲ τοῦ καρδιώσσειν ἐν τῷ ὑποχονδρίῳ, ἢ ἐπὶ δεξιὰ, ἢ ἐπ' ἀριστερὰ συντείνηταί τι, μήτε σὺν ὀδύνῃ, μήτε σὺν φλεγμονῇ αἷμα διὰ τῶν ῥινῶν, τουτέοισι ῥυῆναι προσδέχεσθαι ἀντὶ τοῦ ἐμέτου. μᾶλλον δὲ ἐνταῦθα τοῖσι νεωτέροισι τριάκοντα ἐτέων τοῦ αἵματος τὴν ῥύσιν προσδέχεσθαι. τοῖσι δὲ τριάκοντα ἔτεσι καὶ γεραιοτέροισιν ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθαι χρή. καὶ ταῦτα μὲν οὖν ἱκανά. πρὸς τούτοις δ' οὐδὲν ἧττον κἀκείνων μεμνῆσθαι προσήκει, τῶν ἐν τῷ αὐτῷ βιβλίῳ γεγραμμένων ὑπὸ Ἱπποκράτους. κεφαλῆς δὲ ὀδύναι ἰσχυραὶ, καὶ συνεχέες, σὺν πυρετῷ. εἰ μέν τι τῶν θανατωδέων σημείων προσγένοιτο, ὀλέθριον κάρτα. εἰ δὲ ἄτερ σημείων τοιουτέων ὑπερβάλλειν ἡ ὀδύνη κ'. ἡμέρας, προσεπισκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην ἀπόστασιν ἐς τὰ κάτω χωρία. ἐς ἂν δὲ ἡ ὀδύνη νεαρὰ ᾖ, προσδέχεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐμπύησιν. ἄλλως τε καὶ ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους ᾖ, καὶ τὸ μέτωπον. μᾶλλον δὲ χρὴ τὴν μὲν αἵματος προσδέχεσθαι τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων. τοῖσι δὲ γεραιοτέροισι, τὴν ἐμπύησιν. καὶ μὲν δὴ κἂν τῷ τῶν περιπνευμονικῶν λόγῳ. οἷσι δ' ἂν ἀποστάσιες φησὶ γίνονται ἐκ τῶν περιπνευμονικῶν περὶ τὰ ὦτα καὶ ἐκπυέουσιν, ἢ ἐς τὰ κάτω χωρία, καὶ συριγγοῦνται, οὗτοι περιγίνονται. εἶτα ἐπιφέρων ἐρεῖ, ὑποσκέπτεσθαι δὲ χρὴ καὶ τὰ τοιάδε ὧδε. ἢν ὅτε πυρετὸς ἔχῃ, καὶ ὀδύνη μὴ πεπαυμένη ᾖ, καὶ τὸ πτύελον μὴ χωρέῃ κατὰ τὸν λόγον, μηδὲ χολώδεες αἱ διαχωρήσιες τῆς κοιλίας, μηδὲ εὔλυτοι καὶ ἄκρητοι γίνονται, μηδὲ οὖρον πολύ τε καὶ κάρτα, καὶ ὑπόστασιν ἔχον πολλὴν, ὑπηρετέηται δὲ περιεστηκὼς ὑπὸ τῶν λοιπῶν σημείων πάντως, τούτοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι. γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷς ἂν περὶ τὸ ὑποχόνδριον τοῦ φλέγματός τι ἐγγένηται. αἱ δὲ ἄνω, οἷς ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέῃ, δύσπνους δέ τινα χρόνον γενόμενος, παύσηται ἄτερ προφάσιος ἄλλης. καὶ μὲν δὴ καὶ περὶ τῶν κατὰ τὰ ὑποχόνδρια οἰδημάτων διαλεγόμενος ὧδέ πως εἶπε. σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα, ἐν ἀρχῇ μὲν κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθαι. εἰ δὲ ὑπερβάλλει κ'. ἡμέρας, ὅ, τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται. γίνεται δὲ τουτέοισι ἐν τῇ α'. περιόδῳ, καὶ αἵματος ῥύσις διὰ ῥινῶν, καὶ κάρτα ὠφέλιμον. ἀλλ' ἐπανέρεσθαι μὴ κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυωπέουσιν. εἰ γὰρ εἴη τι τοιουτέων, ἐνταῦθα ἂν ῥέ-

„ πῳ, μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι. καὶ μὲν δὴ καὶ ταῦ-
τα κατὰ τὸ προγνωστικὸν εἴρηται Ἱπποκράτει, δηλωτικὰ τρόπου κρίσεως. ὅσοι δ' αὖ οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέου-
σι πολὺν χρόνον, ἢν τὰ ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω
τῶν φρενῶν χωρία. ἐν μὲν δὴ τῷ προγνωστικῷ, ταῦτα διὰ συντόμων εἴρηται πρὸς αὐτοῦ, τὸν τῆς μελλούσης τρόπον
κρίσεως ὁποῖός τις ἔσται διδάσκοντος. προστίθησι δ' αὐτοῖς οὐκ ὀλίγα κατὰ μέρος, κατά τε τὸ προρρητικὸν, καὶ
τὰ τῶν ἐπιδημικῶν, οἷον καὶ ὅτι πρὸς ῥῖγος ἐπισχέσεις τῶν οὔρων, καὶ ὅτι τὰ ἐξέρυθρα ὄμματα αἱμορραγικά. μετὰ
ταῦτα δὲ καὶ περὶ τῶν δακρυόντων ὀφθαλμῶν καὶ τῶν μήλων τῶν ἐρυθρῶν, καὶ τῆς ῥινὸς αὐτῆς. καὶ μὲν δὴ καὶ ὡς τὸ κάτω
χεῖλος σειόμενον, ἔμετον ἔσεσθαι προδηλοῖ, καὶ ὡς μετὰ κεφαλαλγίαν κῶμα, καὶ κώφωσις ἐξαίφνης γινόμενα, πα-
ρωτίδων ἐστὶ σημεῖα, καὶ ἄλλα πολλὰ τοιαῦτα κατὰ μέρος ἃ δυνάμει περιέχεται πάντα, διὰ τῶν κατὰ τὸ προγνωστι-
κὸν εἰρημένων. ὅλως γὰρ οὐδὲν ἄλλο χρὴ σκοπεῖν περὶ τοῦ τρόπου τῆς κρίσεως, ἀλλὰ τὴν ῥοπὴν τῆς φύσεως ἣν ἐνεδεί-
ξατο σαφῶς ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ. τῶν μὲν καρδιωγμοῦ καὶ ῥίγους μνημονεύσας, ἐφ' ὧν ἔμετος ἔσεσθαι
μέλλει. τῶν δὲ δυσπνοίας καὶ μαρμαρυγῶν, ἐφ' ὧν αἱμορραγία διὰ ῥινῶν, ἔτι τε πρὸς τούτοις διοριζόμενος ὑπέρ
τε τῶν διαχωρημάτων καὶ τῶν οὔρων, ἐν οἷς φησὶ μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδὲ ἄλυτοί τε καὶ ἄκρη-
τοι γίνονται, μήτε οὖρον πολὺ κάρτα, καὶ ὑπόστασιν ἔχον πολλήν. εἰ γὰρ δή τι τούτων γίνεται, δῆλον ὡς ἐνθάδε
ῥέποι τὸ νόσημα, καὶ διὰ τούτων ἐκκαθαίρεται. μὴ ῥέπον δὲ ἐνταῦθα καὶ μηκῦνον περιεστηκὼς, ἀπόστασιν ἔσεσθαι
προσδοκᾶν. τεκμαίρεσθαι δὲ καὶ περὶ τούτων τῇ ῥοπῇ τῆς φύσεως. ἐς μὲν γὰρ τὰ κάτω χωρία φησὶ ἔσεσθαι αὐτὰς,
οἷς ἂν περὶ τὸ ὑποχόνδριον τοῦ φλέγματος ἐγγίνηται, τουτέστι τῆς φλογώσεώς τε καὶ θερμασίας, ἐπειδὴ κάτω ῥέπου-
σιν οἱ τὴν περιπνευμονίαν ἐργαζόμενοι χυμοί. σύμπαντα γὰρ τοῦτον τὸν λόγον ὡς ἐπὶ παραδείγματι ἐπὶ τῶν πε-
ριπνευμονικῶν ἐποιήσατο. μὴ ῥεπόντων δ' αὐτῶν κάτω, τὸ μὲν ὑποχόνδριον λιπαρόν τε καὶ ἀνώδυνον ἔσται διὰ
παντός. ὁ δὲ ἄνθρωπος δύσπνοος ἐπί τινα χρόνον γενήσεται χωρὶς προφάσιος φανερῆς, καὶ δῆλον ὡς ἄνω τούτῳ τὰς
ἀποστάσιας ἀναγκαῖον ἀκολουθεῖν, τουτέστιν ἐς τὰ περὶ τὰ ὦτα ἀλγέας. εὐθὺς δ' αὖ αὐτῷ καὶ τῶν ἄλλων τι ση-
μείων προσγίνοιτο τῶν κατ' αὐτὴν τὴν κεφαλὴν συμβαινόντων, οἷον κῶμα καὶ κώφωσις αἰφνίδιός τε καὶ παράλο-
γος, καὶ βάρος τῆς κεφαλῆς, ἢ καὶ τῶν κροτάφων, ἢ τι τοιοῦτον ἕτερον. οὐδὲν οὖν λείπει γνώρισμα τρόπου κρίσεως, ἀλλ'
εἴρηται πάντα χωρὶς τῶν σφυγμῶν πρὸς Ἱπποκράτους. ἐπεὶ δ' οἱ πολλοὶ βραχυλογίᾳ παλαιᾷ μὴ γεγυμνασμέ-
νοι, λείπειν οἴονταί τινα, λέγωμεν οὖν ἡμεῖς αὐτοῖς ἑτέρᾳ λέξει σαφεῖ τὰ αὐτά, τάχα γὰρ ἂν οὕτω γε μαθόντες,
οὔτ' ἀδύνατον οἰήσονται προγνῶναι τὸν τρόπον τῆς ἐσομένης κρίσεως, οὔτε ῥαθυμήσουσι ἔτι περὶ τὴν ἄσκησιν. ὅταν
οὖν ὅτι κρίσις ἔσται, προγνῷς ἐξ ὧν ἔμπροσθεν εἰρήκαμεν, ἐφεξῆς ὁποία τις ἔσται διορίζεσθαι κατὰ τάδε. πρῶτον μὲν
εἰ ὀξὺ καὶ θερμὸν τὸ νόσημα, καὶ ἡ κρίσις ἐν ταῖς πρώταις περιόδοις. ἀναγκαῖον γὰρ ἐν ταῖς τοιαύταις κρίσεσιν,
οὐκ ἀπόστασιν ἀλλ' ἔκκρισιν ἀπαντῆσαι. δεύτερον δ' εἰ χρόνιον καὶ βραδὺ, σὺν ἀποσκήμμασι γὰρ εἰώθασι τὰ
τοιαῦτα καθίστασθαι, καὶ μάλιστα ὅταν οὖρα λεπτὰ καὶ ὠμὰ πολὺν χρόνον οὐρῶσιν. εἰ γὰρ πολλὴν καὶ χρηστὴν ὑπόστασιν
ἔχοντα, πεφθῆναι μᾶλλον εἰκὸς κατὰ βραχὺ τὴν νόσον, οὐκ εἰς ἀπόστασιν ὁρμῆσαι. τούτων δὲ διορισμένων, ἐφεξῆς
σκεπτέον. εἰ μὲν ἐκκρίσει μέλλει κριθήσεσθαι, πότερον αἱμορραγία τις, ἢ ἱδρὼς, ἢ ἔμετος, ἢ διαχώρησις ἔσται γαστρός.
εἰ δ' ἀποσκήμματι, ποῖον μόριον ἢ ἄρθρον ὑποδέξεται τὴν ἀπόστασιν. ἐπὶ δὲ τῶν ἐκκρίσει μελλόντων κρίνεσθαι, χρὴ δι-
χῶς διορίζεσθαι, τοῖς τε τῆς ἐσομένης τῆς ἐκκρίσεως σημείοις, εἰ παρείη, καὶ τοῖς τῶν ἄλλων εἰ μὴ παρείη. βεβαιότερον γὰρ
ἐλπίσεις τὸν ἑκάστοτε προδηλούμενον τρόπον τῆς κρίσεως, ἂν μηδεὶς τῶν ἄλλων περιέλκῃ. χρὴ τοίνυν ἐμὲ μὲν ἐφ' ἑκά-
στου τὸ ἴδιον εἰπεῖν, σὲ δὲ ἐπὶ τῶν ἀρρώστων μὴ μόνον τοῦτον ὁρᾶν, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον ἐπισκοπεῖν. εἰ γοῦν ἀλόγως
γαστὴρ ἐπισχεθῇ ἢ οὖρα, τῆς κρίσεως ἐγγὺς οὔσης, ἐλπίζειν χρὴ ῥῖγος. εἰ δὲ τοῦτο διορίζεσθαι πότερον ἱδρὼς ἐπ' αὐτῷ
γένοιτο, ἢ ἔμετος, ἢ διαχώρησις γαστρὸς, ἢ τινὰ τούτων, ἢ πάντα. καὶ πρῶτον μὲν ἐς τὴν τοῦ νοσήματος ἰδέαν ἀπο-
βλέπειν. εἰ γὰρ ἀκριβῶς εἴη περικαὲς, εὐθὺς ἂν καὶ ἡ τοῦ ῥίγους πρόγνωσις βεβαιοτέρα, χολῶδες γὰρ τὸ περικαές.
εἴρηται δὲ ἐν τοῖς ἔμπροσθεν ὡς ὁ χυμὸς οὗτος ἐπειδὰν σφοδρότερον κινηθῇ, ῥῖγος ἐργάζεται. μετὰ δὲ ταῦτα προσε-
πισκέπτεσθαι, πότερον τῶν οὔρων μόνον, ἢ καὶ τῆς γαστρὸς ἐπισχεθείσης ἐρρίγωσαν. εἰ μὲν γὰρ ἀμφοῖν, ἱδρὼς ἐξ ἀνάγ-
κης ἔσται πολύς. εἰ δὲ τῶν οὔρων μόνων, ἐπισκέπτεσθαι χρὴ τὰ κατὰ τὴν γαστέρα, πότερον πλείω τῶν πρόσθεν, ἢ ἐλάττω
πρὸ τῆς κρίσεως ἐπῆλθεν. εἰ μὲν γὰρ πλείω, ἐπισημότερον τὴν ἐνταῦθα ῥοπὴν γνωρίζειν, εἰ δὲ ἐλάττω, τὴν εἰς ἱδρῶ-
τας. εἰ δὲ καὶ τὰ τῶν ἐμέτων παρείη σημεῖα, δι' ἀμφοτέρων τῶν κρίσεων ὁ τοιοῦτος κριθήσεται. καὶ ἤτοι μᾶλλον κατὰ τὴν ἑτέ-
ραν αὐτῶν ἥτις ἂν ἐπικρατήσῃ μᾶλλον, ἢ ὁμοίως ἑκατέρωθεν, ὅταν ἴσα πως ᾖ τὰ γνωρίσματα. μὴ παρόντων δὲ τῶν
ἐμετικῶν σημείων, ἱδρῶτας μόνον προσδέχεσθαι, καὶ μᾶλλον ἐπειδὰν παραπαίωσιν οἱ κάμνοντες, ἐπιδιδόντος τοῦ
παροξυσμοῦ, καὶ θερμότερα τὰ ἐκτὸς καὶ ἐρυθρότερα γίνεται. καί τις ἀτμὸς ἀνίησι θερμὸς, οἷος οὐ πρόσθεν. εἰ δὲ καὶ κυ-
ματώδης ὁ σφυγμὸς γίνοιτο καὶ μαλακὸς ἐπισήμως, ἔτι μᾶλλον ἐλπίζειν ἱδρῶτας. ὁ σκληρὸς δὲ σφυγμὸς, ἐμέ-
τους μᾶλλον ἢ ἱδρῶτας προδηλοῦν εἴωθεν. ὁ μὲν γὰρ ὑψηλὸς, ἁπάσης ἐκκρίσεως ἐστὶ γνώρισμα, καθάπερ καὶ ὁ
σφοδρός. μέγας δὲ εἴπερ εἴη, τῆς ἔξω κινήσεως μᾶλλον, ἢ τῆς εἴσω σημεῖόν ἐστι. διττῆς δ' οὔσης ἑκατέρας, τῆς μὲν ἔξω
δι' αἱμορραγίας καὶ ἱδρώτων, τῆς δ' εἴσω ῥοπῆς, διὰ γαστρὸς καὶ στομάχου. κυματώδης μὲν σφυγμὸς ἱδρῶτας, μέ-
γας δὲ ἁπλῶς, αἱμορραγίας προδηλώσει. τῆς δ' εἴσω ῥοπῆς ἐπικρατούσης, ὅταν μὲν ἀπῇ τὰ τῶν ἐμέτων σημεῖα, δια-
χωρήσει γαστρὸς ὁ τοιοῦτος κριθήσεται. παρόντων δὲ, δι' ἐμέτων μᾶλλον. εἰ δὲ καὶ ταῦτα παρείη, καὶ ἡ γαστὴρ ἐπισήμως
ὑπείη, δι' ἀμφοτέρων. ἀνώμαλος δὲ ὁ σφυγμὸς, ἐπὶ τῶν πλείστων μὲν γίνεται κρίσεων. καὶ μάλιστα ἐπειδὰν ἀγωνιστικόν
τι καὶ περικινδυνευτικὸν ἔχωσιν. πολὺ δὲ μᾶλλον τῶν χολωδῶν ἐς τὴν γαστέρα συρρεόντων χυμῶν, ἅμα τῷ καὶ
τὰ ἄλλα παρεῖναι τῶν ἐμέτων σημεῖα τὰ πρὸς Ἱπποκράτους εἰρημένα. καὶ οἱ σφυγμοὶ παντοίως ἀνώμαλοι γίνον-
ται, δακνομένου καὶ βαρυνομένου τοῦ στομάχου. ἀλλὰ τὰ μὲν ἀπὸ τῶν σφυγμῶν, ἢ ὡς οὐ γινώσκων ὁ Ἱπποκράτης,
ἢ ὡς οὐκ ἀξιόλογα νομίζων οὐκ ἐξειργάσατο. τὰ δὲ τῶν ἐμέτων σημεῖα, καρδιωγμοί τε εἰσὶν ἅμα πόνῳ κεφαλῆς, καὶ

σκοτόδινοι σὺν τοῖς προφαινομένοις τῆς ὄψεως ὀρφνώδεσι, καὶ τῷ κάτω χείλει σειομένῳ, καὶ πολλῷ καὶ λεπτῷ παραρρέοντι σιέλῳ. ταῦτα δὲ ταῦτα συμπίπτει, χολώδους τε καὶ δακνώδους χυμοῦ, κατά τε τὴν γαστέρα καὶ τὸν στόμαχον ἠθροισμένου, καὶ δάκνοντός τε ἅμα τὸ στόμα τῆς γαστρὸς, ὃ δὴ καρδίαν ἐκάλουν οἱ παλαιοὶ, καὶ σὺν αὐτῷ καὶ τὸν στόμαχον ὅλον ἔσω καὶ κάτω κατασπῶντος, ὅθεν περ καὶ τὸ χεῖλος αὐτοῖς σείεται, καὶ σίελον παραρρεῖ λεπτόν. ὀρφνώδη δέ τινα πρὸ τῶν ὀφθαλμῶν φαίνονται, καὶ ἰλιγγιῶσι, καὶ σκοτοδινιῶσι, καὶ κεφαλαλγοῦσι, ἀναθυμιωμένου τινὸς ἐκ τοῦ χολώδους χυμοῦ, καὶ προσέτι τῇ κατὰ νεῦρα συμπαθείᾳ. τὰ δὲ τῶν αἱμορραγιῶν ἴδια, μαρμαρυγὲς μὲν ὅτι ξανθὸς ὁ χυμὸς, ἀμβλυωγμοὶ δὲ, ὅτι πολὺς ἀθρόως ἀναφερόμενος, ἐμφράττει τὰς ὁδοὺς τοῦ πνεύματος. οὕτω δὲ καὶ οἱ ὀφθαλμοὶ δακρύουσι τῷ πλήθει τοῦ ῥεύματος, ὥσπερ κἂν ταῖς ὀφθαλμίαις. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐρυθροὶ φαίνονται σὺν τοῖς μήλοις ἐνίοτε, καὶ ταῖς ῥισίν. ἴδιον δὲ τῶν αἱμορραγιῶν, καὶ ἡ τῶν ὑποχονδρίων σύντασις οὐ μετ' ὀδύνης. ἔστι γὰρ καὶ τοῦτο τῆς ἄνω ῥοπῆς τοῦ αἵματος οὐ σμικρὸν γνώρισμα. καθάπερ οὖν καὶ ἡ δύσπνοια, καὶ γὰρ καὶ ἥδε διεξερχομένου τοῦ αἵματος εἰς τὸν θώρακα γίνεται, σὺν ὀδύνῃ δὲ εἴπερ ἐκταθείη τὸ ὑποχόνδριον, οὐχ αἱμορραγίας ἐσομένης σημεῖα, ἀλλὰ φλεγμονῆς τινὸς αὐτόθι γεγενημένης ἐστὶ σύμπτωμα. καὶ μὴν δὴ καὶ τὸ τῆς κεφαλῆς ἄλγημα κἂν εἰ κοινὸν ἐμέτων τε καὶ αἱμορραγιῶν εἴη σημεῖον, ἀλλά τοι κἀνταῦθα τὸ μὲν οἷον δακνῶδες, ἐμέτου, τὸ δὲ οἷον βαρὺ καὶ διατεῖνον, καὶ σφύζον, καὶ θερμὸν, αἱμορραγίας ἴδιον. οὕτω δὲ καὶ τῶν κατὰ τὰ ὑποχόνδρια σπλάγχνων αἱ φλεγμοναὶ, τῶν αἱμορραγιῶν εἰσὶν αἴτιαι τε ἅμα καὶ σημεῖα μέλλοντός γε κριθήσεσθαι τοῦ νοσήματος ἐκκρίσεσιν. εἰ δὲ τὸ μὲν ἀνάπαλιν αἱμορραγοῖ, οὐκ ἀγαθόν ἐστιν. τὸ δὲ κατ' ἴξιν, ἀγαθὸν ὡς Ἱπποκράτης λέγει, καὶ ἡ πεῖρα διδάσκει, ῥᾷστον ἤδη σοι καὶ τὸν αἱμορραγήσοντα προειπεῖν μυκτῆρα, ἀφορμὴν τῆς αἱμορραγίας ἐξευρόντα. δεξιὸν μὲν γὰρ ὑποχόνδριον ἐκ δεξιοῦ μυκτῆρος, ἀγαθὴν ἐπιφέρει τὴν κρίσιν, ἀριστερὸν δὲ ἐξ ἀριστεροῦ. μεμάθηκας δ' ἔμπροσθεν ἤδη, τά τε τῶν κακῶν καὶ τὰ τῶν ἀγαθῶν κρίσεων σημεῖα. τί δὴ οὖν ἔτι χαλεπὸν τὸν αἱμορραγήσοντα μυκτῆρα, καὶ τοῦ μέρους τοῦ πεπονθότος ἀκριβῶς γνωρίζειν δυναμένου, καὶ τοῦ τῆς κρίσεως ἤθους οὐκ ἂν λαθόντος, καὶ τῶν αἱμορραγικῶν σημείων ἐναργῶς φαινομένων. ἐπὶ τούτοις ἅπασι καὶ τὰ παρὰ τῆς ἡλικίας, καὶ τῆς ὥρας, καὶ τῆς χώρας, καὶ τῆς φύσεως τοῦ κάμνοντος, ἱκανὰ προδηλοῦν τὴν ἐσομένην αἱμορραγίαν. αἱμορραγίας μὲν δὴ, καὶ ἐμέτων ἀκριβῆ τε καὶ ἴδια τὰ γνωρίσματα, δευτέρων δ' ἐπὶ τούτοις, τῶν ἱδρώτων. εἰ δέ γε διὰ γαστρὸς κρίσις ἔσεσθαι μέλλει, πρόδηλον μὲν οὐδὲν οὕτως οὐδὲ ἴδιον, ἀλλ' ἐκ τοῦ παρεῖναι μὲν τὰ τῆς κρίσεως σημεῖα, μὴ παρεῖναι δὲ τῶν ἐμέτων, ἢ τὰ τῆς αἱμορραγίας, ἢ τὰ τῶν ἱδρώτων ἔνεστι συλλογίζεσθαι. καί τι κἂν εἰ μηδὲν ἐκείνων παρείη, οὔπω τοῦτο μόνον, ἀλλὰ καὶ δι' αἱμορροΐδος ἐγχωρεῖ γενέσθαι τὴν κρίσιν, ἢ γυναιξὶν ἐπιμηνίων οὐ μὴν ἀδύνατον οὐδὲν διορίζεσθαι. βάρος μὲν γὰρ ἐπίσημον ὀσφύος, καὶ ἄλγημα, καὶ τάσις ἐνταῦθα προηγεῖται τῶν ἐπιμηνίων. αἱμορροῒς δὲ οὐ πᾶσι σύνηθές ἐστιν, ὅσοις οὖν ἐστι, τούτοις μόνοις οὐκ ἄν τις ῥᾳδίως διορίσειε. τοῖς δ' ἄλλοις ἅπασιν, ἐπειδὰν μὲν παρῇ, πέψεώς τε καὶ κρίσεως σημεῖα, μὴ παρῇ δὲ, ἐμέτων, ἢ αἱμορραγίας, ἢ ἱδρώτων ἐκταραχθήσεται πάντως ἡ γαστήρ. οὕτω μὲν δεῖ διακρίνειν ἴδιά τε καὶ κοινὰ τρόπων κρίσεως γνωρίσματα, τῶν ἐκκρίσει δηλονότι μελλόντων κριθήσεσθαι νοσημάτων. εἰ δὲ εἰς ἀπόσκημμα τρέποιτο, κοινὰ μὲν ἅπαντα γνωρίσματα, σωτηρίως τοῦ κάμνοντος ἔχοντος, τὸ μήτε λύεσθαι τὸ νόσημα, μήτε οὖρον πολὺ καὶ πολλὴν ὑπόστασιν ἔχον, ἀλλ' ὠμὸν καὶ λεπτὸν φαίνεσθαι. τὰ δ' ἴδια τῶν μὲν μὴ λίαν κεχρονικότων, εἰ δυσπνούστερος ὁ κάμνων ἐξαίφνης γινόμενος, ἀποπαύσοιτο μὲν ἐν τάχει τῆς δυσπνοίας, διαδέξετο δ' αὖ αὐτὸν ὀδύνη, καὶ βάρος τῆς κεφαλῆς, καὶ κῶμα, καὶ κώφωσις, εἰς τὰς ὑπὸ τοῖς ὠσὶν ἀδένας ἀνάγκη τούτῳ γενέσθαι τὴν ἀπόστασιν. εἰ δ' εἴη πολυχρόνιον ἤδη τὸ νόσημα, καὶ μήτε τούτων παρείη μηδὲν, ἐμφαίνοιτο δέ τινι τῶν κάτω χωρίων ἢ βάρος, ἢ τάσις, ἢ φλόγωσις, ἢ ὀδύνη, κάτω τούτῳ τὴν ἀπόστασιν ἔσεσθαι προσδοκᾶν. παράδειγμα δ' ἑκατέροις τῆς ἀποστάσεως ἐν νοσήμασι ποιησάμενος ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ, τοῖς δυναμένοις συνορᾶν τὸν λόγον ἐδίδαξε, καὶ ὡς χρὴ καθόλου περὶ πασῶν ἀποστάσεων συλλογίζεσθαι, διό μοι κἀγὼ δοκῶ καταπαύειν ἐνταῦθα τὸν ἐνεστῶτα λόγον. εἰ γάρ τις τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις προσθεὶς ταυτὶ τὰ ἡμέτερα, μή πω τεχνικὸς γέγονεν, ἢ προγνωστικὸς κρίσεων, ἐν τῷ μετὰ τοῦτο συγγράμματι τελευταίῳ τῆς προκειμένης ἡμῖν ἐσομένῳ πραγματείας, ἐλπίζω τὸ λεῖπον αὐτῆς ἐπιμαθήσεσθαι. τοῖς μὲν γὰρ συνετοῖς ἐξαρκεῖ καὶ ταῦτα, καὶ οὐδὲν ἔτι τετάρτου λόγου προσδεῖ.

Περὶ κρίσεων τέλος.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ

ΗΜΕΡΩΝ ΒΙΒΛΙΟΝ α'.

ΤΩΝ νοσημάτων αἱ λύσεις, ὅσαι μὴ κατὰ βραχὺ μειωθέντων, ἀλλ' ἐξαίφνης παυσαμένων γίνονται, δέονται πάντως ἵν' ὦσι πισταὶ, δαψιλοῦς τινος ἐκκρίσεως, ἢ ἀποστάσεως οὐκ ἀφανοῦς, ὡς ὅσαι γε χωρὶς τούτων ἐῤῥᾳστώνησαν, ὑποτροπιάζειν φιλεῖ. προσέχειν οὖν χρὴ τὸν νοῦν ἀκριβῶς, καὶ διὰ φυλακῆς ἁπάσης ἔχειν τὸν ἄῤῥωστον, μηδὲν, ὧν τοῖς πιστῶς ὑγιασθεῖσι συγχωροῦμεν, ἐπιτρέποντες πράττειν, μήτ' ἐν ἐδέσμασιν, ἢ πόμασι, μήτ' ἐν λουτροῖς, μήτε κινήσεσιν, ἢ ὅλως ἔν τισι τῶν ἄλλων. εἰ μὲν γὰρ μικρὸν εἴη τὸ ῥᾳστωνῆσαν νόσημα, τάχα ἂν ἐφ' οὕτως ἀκριβεῖ διαίτῃ καταστραίη παντάπασιν, ὡς μηκέτ' αὖθις ἐπανελθεῖν. εἰ δέ τι τῶν κακοηθεστέρων, ἐπανέλθοι μὲν ἂν καὶ οὕτω διαιτωμένων, ἀλλ' οὐχὶ σὺν ἐσχάτῳ κινδύνῳ. ἀμέλει θεν δὲ καὶ παροφθὲν, ὡς πιστῶς λελυμένον, πολὺ χαλεπώτερον, ἢ ἐξ ἀρχῆς ἐπιφαίνεται. χρὴ τοίνυν εἰ μέλλοι βεβαίως παύεσθαι, μέγα τι καὶ ἰσχυρὸν νόσημα προηγεῖσθαι τῆς λύσεως αὐτοῦ, τὰ πρὸς Ἱπποκράτους ὀνομαζόμενα λυ

τέλεια σημεῖα. τὰς μὲν ἱδρῶτας χρηστοὺς διὰ ὅλου τοῦ σώματος γινομένους, ἢ οὔρων πλῆθος, ἢ διαχωρημάτων, ἢ ἐμέτων. τὰς δ᾽ αἱμορραγίας ἐκ ῥινῶν, ἢ τινὰ ἄλλην αἵματος κένωσιν, οἷον διὰ αἱμορροΐδων, ἢ ὑστερῶν. τὰς δ᾽ εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἢ εἰς ἄλλο τι τῶν ἀκύρων μορίων, ἢ ἄρθρων ἀπόσκημμα. ὅσοις δὲ μηδενὸς τῶν τοιούτων σημείων ἐπιφανέντος, ἔδοξε πεπαῦσθαι τὸ νόσημα, περὶ τούτων ὁ πάντα θαυμαστὸς Ἱπποκράτης, ἐν μὲν καθόλου λόγῳ τόνδε τὸν τρόπον ἀπεφήνατο. τὰ ἀσήμως ῥαστωνήσαντα, φιλυπόστροφα. κατὰ μέρος δὲ, διά τε τῶν ἀφορισμῶν αὐτῶν καὶ διὰ τοῦ προγνωστικοῦ γράμματος, οὐχ ἥκιστα δὲ καὶ διὰ τῶν ἐπιδημιῶν ἐδίδαξε. τίνα μὲν ὀλέθρια τῶν ὑποστρεφόντων ἐστὶ, τίνα δ᾽ αὐτῶν μόνον ἁπλῶς ὑποστρέφει χωρὶς ὀλέθρου, τίνα δὲ καὶ δυνατὸν ἡμῖν ἐστι ἐξιᾶσθαί τε καὶ κωλῦσαι παλινδρομῆσαι. περὶ μὲν δὴ τούτων, ἐν ἑτέροις ὑπομνήμασιν ἐξηγούμεθα τὴν γνώμην αὐτοῦ. περὶ δὲ τῶν ἅμα τοῖς λυτηρίοις σημείοις παυσαμένων, ἃ δὴ καὶ κεκρίσθαι λέγεται, νῦν ἡγοῦμαι χρῆναι διελθεῖν, ἀναγκαίων ὄντων γινώσκεσθαι τοῖς μέλλουσιν περὶ κρισίμων ἡμερῶν ἐπίστασθαί τι χρηστόν. ἡγεῖται γὰρ ἤδη τῶν ἐν τούτοις ἐκκρίσεων ἢ ἀποστάσεων, οὐ μικρὰ ταραχὴ κατὰ τὸ τοῦ νοσοῦντος σῶμα. πολλάκις μὲν ἐξαιφνίδιον, ἢ δυσπνοοῦντος, ἢ παραπαίοντος, ἢ σκοτοδινιῶντος, ἢ μαρμαρυγὰς ὁρῶντος, ἢ δακρύοντος, ἢ τοὺς ὀφθαλμοὺς ἐρυθροὺς ἔχοντος, ἢ τοὺς κροτάφους βαρέος, ἢ τὸν τράχηλον ἐπώδυνον, ἐνίοτε δ᾽ ἤτοι τὴν κεφαλὴν ἀλγοῦντος, ἢ ὀρφνῶδές τι τῶν ὀφθαλμῶν προφαίνεσθαι νομίζοντος, ἢ καρδιώσσοντος, ἢ τὸ κάτω χεῖλος οἱονεὶ κλονούμενόν τε καὶ εἴσω σπώμενον ἔχοντος, ἢ ῥίγει σφοδρῷ τινασσομένου. καὶ μὲν δὴ καὶ ὑποχόνδριον ἀνασπᾶται πολλοῖς, καὶ δυσφοροῦσι, καὶ ἀναπηδῶσι, καὶ ψυχρὸν αἰτοῦσι, καὶ διακαίεσθαι φασὶν ἐπισημότερον ἢ πρόσθεν. ἐνίοις δ᾽ αὐτῶν καὶ ὁ παροξυσμὸς πρωϊαίτερος ἄρχεται, καὶ μακρότερος, καὶ σφοδρότερος γίνεται, καὶ κῶμα συνεδρεύει, καὶ ἄλλό τι καὶ ἄλλο σύμπτωμα, καὶ δὴ καὶ θεάσασθαι τοὺς παρόντας ἅπαντας ἔστιν, ἐν μεγίστῳ τηνικαῦτα καθεστῶτας φόβῳ, καὶ λεγόντων ἀκοῦσαι πάρεστιν, ὡς οὐδὲν ὁ κάμνων ἀποθεῖ τῶν ἐν δικαστηρίῳ περὶ θανάτου κρινομένων. ὅθεν οὐδὲ παραγεγονέναι μοι δοκοῦσιν ἔνιοι τῶν ἰατρῶν, οὐδέ πω ποτὲ τοιαύταις ταραχαῖς ἀρρώστων, ἢ οὐκ αὖ ἐζήτουν, οὔτε τὸ σημαινόμενον ὑπὸ τοῦ τῆς κρίσεως ὀνόματος, οὔτ᾽ εἰ δυνατὸν ὑπάρχει τὸ πρᾶγμα. πότερα γὰρ ὡς οὐ γίνονταί τινες ἀθρόαι λύσεις ἐν νόσοις μετά τινος ἐκκρίσεως, ἢ ἀποστάσεως ἀμφισβητοῦσιν, ἢ τοῦτο μὲν ὁμολογοῦσιν ἑωρακέναι. τὰ δ᾽ ἄλλα συμπτώματα, τὰ μικρῷ πρόσθεν εἰρημένα συνεδρεύειν αὐταῖς ἀγνοοῦσιν, ἢ καὶ ταῦτα γινώσκοντες, οὔ φασι χρῆναι καλεῖν τὸ γινόμενον κρίσιν. εἰ γὰρ δὴ τοῦτο περὶ ὀνόματος, οὐ περὶ πράγματος ἀμφισβητοῦσιν, ὡς τό γε μηδ᾽ ὅτι γίνονται τινὲς ἐξαιφνίδιοι περὶ τὸν νοσοῦντα ταραχαὶ, καρδιώσσοντα καὶ ἀναπηδῶντα καὶ παραπαίοντα, καὶ τἄλλα τὰ τοιαῦτα πάσχοντα, μηδ᾽ ὅτι μικρὸν ὕστερον ἐπ᾽ αὐταῖς, ἢ ἱδρῶτος, ἢ αἱμορραγίας, ἢ τινὸς ἑτέρου τοιούτου γινομένου, λύσις ἀσφαλὴς ἠκολούθησε γινώσκειν ὁμολογεῖν, ἢ φιλονεικίας, ἢ ἀμαθίας ἐσχάτης οὐδὲν ἀποδεῖ. οὐ γὰρ δὴ τῶν σπανίως γινομένων τὰ τοιαῦτα ἐστὶν, ἀλλὰ τῶν ὁσημέραι φαινομένων. ἡμεῖς μὲν δὴ τὴν ὀξεῖαν οὕτως ἐν νοσήματι ταραχὴν ὀνομάζομεν κρίσιν, καὶ τελευτῶν γε αὐτὴν τὰ πολλὰ μὲν εἰς σωτηρίαν, ἔστι δ᾽ ὅτε καὶ εἰς ὄλεθρον τοῦ κάμνοντος φαμέν. εἰ δέ τις ἄλλό τι καὶ οὐ τοῦτο τὴν κρίσιν εἶναι λέγει, ἔπειτ᾽ ἀμφισβητεῖ τε καὶ μεταβάλλει τὸν λόγον, τὴν οἰκείαν ὑπόνοιαν ὁ τοιοῦτος, οὐχ ἡμᾶς ἐξελέγχει. βέλτιον δ᾽ ἦν ἄρα τί ποτε ἐκ τῆς προσηγορίας δηλοῦται γνόντας, περὶ πράγματος αὐτοὺς ποιεῖσθαι τὸν λόγον. ἀλλὰ τὴν μὲν τούτων ἀμαθίαν τε καὶ φιλονεικίαν, οὐδ᾽ ἂν αὐτὸς ὁ Ζεὺς ἐξιάσαιτο, καί μοι καὶ ταῦτα πλέω τοῦ δέοντος εἴρηται πρὸς αὐτούς. ὅσοις δ᾽ ἐστὶ τῶν ἔργων τῆς τέχνης φροντὶς, ἐκείνοις ἤδη διαλέξομαι περὶ τοῦ προτεθέντος ἐν τῷδε τῷ γράμματι σκέμματος. αἱ γὰρ δὴ κρίσεις αὗται, γίνονται μὲν ἐν πάσαις ἡμέραις, ἀλλ᾽ οὔτ᾽ ἴσαι τὸν ἀριθμὸν, οὔθ᾽ ὁμοίως πισταί. διαφέρουσι δὲ καὶ τῷ τὰς μὲν ἀγαθὰς αὐτῶν γίνεσθαι, τὰς δὲ κακάς. καὶ τὰς μὲν μετὰ πλειόνων τε καὶ χαλεπωτέρων συμπτωμάτων, καὶ σὺν ἀγῶνι μείζονι, τὰς δ᾽ εὐθὺς ἐξ ἀρχῆς εἰσβάλλειν ἀσφαλῶς. ἀτὰρ οὖν οὐδὲ τῷ τὰς μὲν ἐλλιπεῖς γίνεσθαι, τὰς δὲ τελείας, μικρά τις ἡ διαφορά. μεγάλη δὲ κᾂν τῷ τὰς μὲν ὅτι γενήσονται διὰ τῶν ἐπιδήλων ἡμερῶν προδεδηλῶσθαι, τὰς δ᾽ ἐξαιφνίδιόν τε καὶ ἀδοκήτως, οὐ τοῖς ἰδιώταις μόνον, ἀλλὰ καὶ τοῖς τεχνίταις ἐπιφαίνεσθαι. τοσαῦται μὲν αἱ τῶν κρίσεων διαφοραὶ, τοσαῦται δὲ καὶ αἱ τῶν κρισίμων ἡμερῶν. κατὰ τὴν δωδεκάτην μὲν γὰρ καὶ ἑκκαιδεκάτην, ἐγὼ μὲν οὐδένα ποτὲ γινώσκω κριθέντα, κατὰ δὲ τὴν ἑβδόμην οὐδ᾽ ἀριθμεῖν ἔτι ἐγχωρεῖ. κατὰ δὲ τὴν ἕκτην κρίνονται μὲν, ἀλλὰ καὶ μετὰ χαλεπῶν συμπτωμάτων, καὶ κινδύνων μεγίστων, καὶ ἀπίστως, καὶ ἀτελῶς, καὶ ἀσαφῶς, καὶ ἀσήμως, καὶ πρὸς κακοῦ. ὅταν οὖν μὴ μόνον ἐμοὶ τῷ τοσούτοις ἔτεσι παραφυλάττοντι, τοιαύτη τις εὑρίσκηται διαφορὰ τῶν ἡμερῶν, ἀλλὰ καὶ τοῖς περὶ τὸν Ἀρχιγένην, πάνυ δή τι τοῖς ἔργοις τῆς τέχνης προσεδρεύσασι. καὶ τούτων ἔτι ἀνωτέρω τοῖς περὶ Ταραντῖνον Ἡρακλείδην, ἐκ τῆς πείρας ἀθροίσασι τὴν θεωρίαν. ἔτι τε τοῖς περὶ τὸν Φιλότιμόν τε καὶ Διοκλέα, καὶ τοὺς ἄλλους παλαιοὺς, καὶ πρὸ τούτων ἁπάντων τοῖς περὶ τὸν θειότατον Ἱπποκράτην, πῶς οὐκ ἄν τις δικαίως ἡγοῖτο τινὰ διαφορὰν ἐν τῷ τῶν ἡμερῶν ἀριθμῷ; τὴν γὰρ ἐν τοσούτοις ἔτεσι καὶ τὴν ἑβδόμην ἑωρᾶσθαι κρίνουσαν, πολλάκις τε ἅμα καὶ τελέως, καὶ πιστῶς, καὶ ἀκινδύνως, καὶ σαφῶς, καὶ προδήλως, καὶ χρηστῶς, καὶ τὴν ἕκτην τὰ τούτων ἐναντία, μεγάλης τινὸς ἔχεται διαφορᾶς. τὸ δ᾽ ἐμοὶ μὲν μηδέ ποτε τὴν δωδεκάτην ὦφθαι κρίνουσαν, ἄλλῳ δέ τινι σπανίως τε ἅμα καὶ ἀτελῶς, καὶ ἀβεβαίως, καὶ μετὰ κινδύνου, καὶ ἀσαφῶς, καὶ ἀσήμως, καὶ κακῶς, οὐδ᾽ αὐτὸ σμικρὰν ἐνδείκνυται τὴν ἐν ταῖς ἡμέραις διαφοράν. πολλαὶ μὲν γὰρ αἱ κατὰ τὴν ἑβδόμην κρινόμεναι νόσοι τελέως τε ἅμα καὶ ἀσφαλῶς, καὶ ἀκινδύνως, καὶ σαφῶς, καὶ εὐσήμως, καὶ ἀγαθῶς. αἱ δ᾽ ἐν τῇ δωδεκάτῃ, σπάνιαι μὲν οὕτως, ὡς ἡμῖν ὦφθαι μηδέπω. κἂν εἴ τῳ δέ ποτε ἑώραται πρὸ ἡμῶν ἐν τῇ δωδεκάτῃ τῶν ἡμερῶν ἐπιφανεῖσά ποτε κρίσις, ἢ ἀτελὴς, ἢ ἄπιστος, ἢ κινδυνώδης, ἢ ἀσαφὴς, ἢ ἄσημος, ἢ πάντως γ᾽ ὦπται πρὸς κακοῦ γινομένη. καλῶ δ᾽ ἀτελῆ μὲν κρίσιν, ὅταν ὑπολείπηταί τι τοῦ νοσήματος. ἄπιστον δὲ ὅταν ὑποτροπιάζῃ, κινδυνώδη δὲ τὴν μετὰ συμπτωμάτων σφαλερῶν, ἀσαφῆ δὲ τὴν χωρὶς ἐκκρίσεως,

ἢ τινὸς

ἤ τινος ἀποστάσεως ἐπιφανοῦς. ἄσημον δὲ τὴν ὑπὸ μηδεμιᾶς τῶν ἔμπροσθεν ἡμερῶν προδηλωθεῖσαν. ἡ κακὴ
δὲ ὅτι πάντως εἰς ἀπώλειαν τελευτᾷ τοῦ κάμνοντος, οὐ δέομαι λέγειν. ἔμπαλιν δὲ τελείαν μὲν καλῶ, τὴν μη-
δὲν ὑπολείπουσαν τοῦ νοσήματος. πιστὴν δὲ καὶ βεβαίαν καὶ ἀσφαλῆ, τὴν μηκέτι ἐπανερχομένην, ἀκίνδυνον
δὲ τὴν ἄνευ συμπτωμάτων σφαλερῶν. οὕτω δὲ καὶ σαφῆ, τὴν μετά τινος ἐκκρίσεως, ἢ ἀποστάσεως φανερᾶς.
εὔσημον δὲ τὴν προδηλωθεῖσαν ὑπὸ τῆς ἐπιδήλου. ἀγαθὴν δὲ, ὅτι τὴν εἰς ὑγείαν τελευτῶσαν χρὴ νοεῖν, οὐκ ἄν
τινα οἶμαι λαθεῖν, ἀλλ' ὅτι μὲν ἔχει ταῦτ' οὕτως φαίνεται, μεγίστη διαφορὰ τῶν ἡμερῶν ἐστι πρὸς ἀλλήλας, οὐ-
δεὶς ἀντιλέξει. φήσει δ' ἴσως τις μηδὲν ἀληθὲς εἶναι τῶν εἰρημένων, ἀλλ' ἡμᾶς ἀργύριον εἰληφότας παρὰ τῶν
κρισίμων, ἐπεισάγειν αὐτὰς τοῖς κατ' ἰατρικὴν πράγμασιν, ὥσπερ τινὰς νόθους παῖδας εἰσποιοῦντας γένει γνη-
σίῳ. τί γὰρ ἂν καὶ παθόντες καταψευδοίμεθα τῶν φαινομένων ἄλλο γε, ἢ ἀργυρίῳ δελεασθέντες; οὐ γὰρ δὴ
κατὰ γένος γε ἡμῖν αἱ κρίσιμοι προσήκουσιν, ἢ πολῖται, ἢ συνήθεις εἰσὶν, ἵν' αὐταῖς χωρὶς μισθοῦ βοηθῶμεν.
τί γὰρ ἂν εἴη καὶ βέλτιον, ἢ ἐκείναις κρισίμοις εἶναι νομισθείσαις, ἢ ἡμῖν ὡς εἰσὶν ἀποδείξασιν; ἀλλ' ὥσπερ καὶ
τἄλλα τὰ διὰ τῆς πείρας γνωσθέντα δηλοῦμεν ἀδεκάστως, ἀδικώτατον εἶναι νομίζοντες ἐγκαλύπτειν τἀληθὲς,
οὕτω καὶ τὰς τῶν ἡμερῶν διαφορὰς, ἃς πολλάκις ἐθεασάμεθα, λέγομεν ὡς εἴδομεν. ὅταν δὲ καὶ τοὺς ἀρίστους ἰα-
τρούς τε ἅμα καὶ ἀνθρώπους, ἄμφω γὰρ ἔσων, οἱ περὶ τὸν Διοκλέα τε καὶ Ἱπποκράτην, καὶ τοὺς ἄλλους, ὧν ὀλί-
γον ἔμπροσθεν ἐμνημόνευσα, τὴν αὐτὴν ὑπὲρ τῶν αὐτῶν εὑρίσκωμεν ἀπόφασιν πεποιημένους, ἔτι καὶ μᾶλ-
λον οἶμαι θαρροῦμεν ὡς ἀληθεύοντες. ἀλλ' οὐχ ὁμολογοῦσι φασὶν ἅπαντες ὅτι περὶ τῶν κρισίμων ἡμερῶν, ἀλλ'
οἱ μὲν πλείους, οἱ δὲ ἐλάττους αὐτὰς εἶναι λέγουσιν. καὶ τὰς μὲν ὁ δέ τις φησὶ εἶναι κρισίμους, τὰς δ' ὁ δέ τις
οὐ τὰς αὐτὰς ἁπάντων, ἀλλ' ὡς ἂν ἑκάστῳ παραστῇ τις γνώμη. τί οὖν ὦ πρὸς θεῶν εἴποι τις ἂν οἶμαι πρὸς αὐτοὺς
εἴ τι διαπεφώνηται, τοῦθ' ὅλως οὐκ εἶναι φατὲ, καὶ μὴν οὐκέτ' ἂν ὁμολογήσετε. τὸ μὲν γὰρ ἐπιμελεστέρας πεί-
ρας, ἐξετάσεώς τε καὶ κρίσεως δεῖσθαι τὰ τοιαῦτα, πρὸς ἁπάντων ὡμολόγηται. τὸ δ' ὅλως ἀληθεύειν μηδένα
τῶν διαφερομένων, οὐχ ὅπως ὑμεῖς οἱ δεινοὶ τῶν κρισίμων κατήγοροι, ἀλλ' οὐδ' οἱ τὴν πυρρώνειον ἀπορίαν πρεσ-
βεύοντες, ἀποδέχονται. τὴν γὰρ ἀνεπίκριτον οὗτοι διαφωνίαν, οὐχ ἁπλῶς ἅπασαν ἡντινοῦν ἀγνοίας τοῦ πράγ-
ματος εἶναι φασὶ σημεῖον. ἆρ' οὖν ἀδύνατον ἐπικρῖναι, τίς ἀληθεύει περὶ τῶν κρισίμων ἡμερῶν, καὶ τίς ψεύδε-
ται; δυνατὸν μὲν, ἀλλ' οὐ ῥᾴδιον. εἴ γε καὶ χρόνου δεῖται παμπόλλου, καὶ ἀκριβείας ἱκανῆς, αἵ τε γὰρ ἀρχαὶ τῶν
νοσημάτων ἀσαφεῖς ἐνίοτε, καὶ πότερον ἐν ᾗ τις ἡμέρᾳ τῆς κρίσεως ὑπῆρξατο, ταύτην εἶναι τὴν κρίσιμον ὑπο-
ληπτέον, ἢ καθ' ἣν πρῶτον ἐλύθη τὸ νόσημα, δεῖται τινὸς ἐπισκέψεως. ὁ μὲν γάρ τις οἶμαι θάτερον αὐτῶν, ὁ δὲ
θάτερον ὑπολήψεται, καί τις ἴσως οὐδέτερον. ἀλλ' εἰς ἣν ὁ πλεῖστος χρόνος τῆς κρίσεως ἀφίκετο, ταύτην εἶναι
φύσει τὴν κρίσιμον. ὅταν οὖν πρὸς τοῦτο καὶ τοῦ πολλάκις αὐτὰ θεάσασθαι χρήζωμεν, ἣν δὲ τοῦτο ἐπί τινων ἡμε-
ρῶν ἀδύνατον, ὅσαι σπανίως κρίνουσιν, ἢ κατά τινα τύχην. οὐ γὰρ ἀδύνατος ἡ ὑπόθεσις, εἰ ἐντύχοι τις ταῖς
σπανίαις ἡμέραις πρώταις. ἔπειτα πρὶν ἀναμεῖναι τὴν μακρὰν κρίσιν, ἀποφαίνονται περὶ αὐτῶν ὡς κρισίμων
ἐκ τῶν τοιούτων ἁπάντων, ἀναγκαῖον ἐπιβουλεύεσθαι τὴν ἀληθῆ τῶν κρισίμων ἡμερῶν ἱστορίαν. εἰ μὲν γὰρ ἐν ᾗ τις
ἐκρίθη, κρίσιμον εἶναι ταύτην ἐλέγομεν, ῥᾴστη τ' ἂν οὕτως ἡ γνῶσις αὐτῶν ἐγίνετο, καὶ σχεδὸν ἁπάσαις ὑπῆρχεν
ἂν εἶναι κρισίμοις. ἐπεὶ δ' οὔ τι τὸ σπάνιον ἱκανὸν, ἀλλὰ χρὴ πολλάκις ὦφθαι κρίνουσαν, ἔτι τε προσεῖναι τῇ κρί-
σει, τὰ μικρῷ πρόσθεν ῥηθέντα, τό, τε καλῶς, καὶ τὸ τελείως, καὶ τὸ ἀσφαλῶς, καὶ τὸ σαφῶς, καὶ προσέτι τὸ ἀκιν-
δύνως. καὶ τὸ μετὰ τοῦ προδεδηλῶσθαι, δῆλον ὡς εἰς σωρειτικὴν ἀπορίαν ἐμπίπτει τὸ σύμπαν. εἰ γάρ τινα μὲν
ὧν εἶπον, προσείη, τινὰ δ' ἀπείη, καὶ ἰσάζοι γε τὰ προσόντα τοῖς μὴ παροῦσιν, ἢ βραχεῖα τις εἴη τῶν ἑτέρων ὑπερο-
χὴ, δῆλον ὡς ἐν ἀμφιβολίᾳ καταστησόμεθα περὶ τῆς τοιαύτης ἡμέρας, εἴτε χρὴ ταύτην κρίσιμον καλεῖν, εἴτε μή.
τὸ μὲν γὰρ, ἤτοι πάντων ὑπαρχόντων ὧν εἶπον, ἢ τῶν πλείστων τε καὶ μεγίστων, ἔτ' ἀμφιβάλλειν ὡς οὐκ οὔσης
κρισίμου, παντελῶς ἠλίθιον, ὥσπερ γε καὶ εἰ μηδὲν αὐτῶν, ἢ παντάπασιν ὀλίγα καὶ μικρὰν ἔχοντα δύναμιν
ὑπάρχει. τὸ γὰρ καὶ ταύτην ἐκ τῶν οὐ κρισίμων ἀριθμητέον. εἰ δ' εἴη τῶν ὑπαρχόντων αὐτῇ καὶ μὴ ὑπαρχόντων
βραχεῖά τις ἡ διαφορὰ, πρόδηλον ὡς εἰς ἀπορίαν καταστησόμεθα, πότερον ἐκ τῶν κρισίμων αὐτὴν ἀριθμητέον
ἐστὶν ἢ μή. ἐγὼ γ' οὖν αὐτὸς ἐκ μειρακίου μὲν ὑπηρξάμην παραφυλάττειν τὰς κρισίμους ἡμέρας, ἵνα τι κἂν τῇ ἐμαυ-
τοῦ πείρᾳ ἐπικρίναιμι περὶ τῆς διαφωνίας αὐτῶν, ὅμως ἤδη γε δύναμαι περί τινων ἀποφήνασθαι σαφῶς, ὅσον
ἐπὶ τῇ προγεγονυίᾳ μνήμῃ. δοκεῖ δέ μοι καὶ ὁ Ἱπποκράτης ὡς ἂν ἀληθὴς ἀνὴρ, ἄχρι πολλοῦ χρόνου καὶ αὐτὸς τὸ πισ-
τὸν παθεῖν, εἴ τι χρὴ τεκμήρασθαι τῶν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἐν ᾧ παμπόλλας ἤθροισεν ἡμέρας εἰς ταυτὸν,
ἃς ἐν τῷ προγνωστικῷ κἀν τοῖς ἀφορισμοῖς παρακόπτειν φαίνεται. δέδεικται δ' ἡμῖν ἤδη μὲν τοῦτο δι' ἑτέρων. ἀλ-
λὰ καὶ νῦν οὐδὲν ἧττον ἔσται δῆλον ἐκ τῶν ἐφεξῆς εἰρησομένων, ὡς πρότερον αὐτῷ τὰ τῶν ἐπιδημιῶν γέγραπται
βιβλία, βασανίζοντι διὰ τῆς πείρας ἔτι τὰ θεωρήματα, καὶ μὴ τολμῶντι καθόλου τισὶν ἀποφάσεσιν ἐπ' αὐτῶν χρῆ-
σθαι, διό μοι καὶ δοκοῦσιν οἱ τὰς κρισίμους ἡμέρας ἀναιροῦντες, ὡς οὐκ οὔσας, ὅτι διαπεφώνηται περὶ αὐτῶν
τοῖς ἰατροῖς, οὐ πάνυ τι τοῖς ἔργοις τῆς τέχνης προσεσχηκέναι τὸν νοῦν, ὡς εἴ γε προσεσχήκεσαν, οὐ μόνον ὅτι δια-
φέρονται περί τινων ἡμερῶν οἱ γράψαντες περὶ αὐτῶν, ἀλλ' ὅτι καὶ συμφωνοῦσιν ἐν ταῖς πλείσταις ἐννοήσαν-
τες, ἔπειτα τῆς ἑαυτῶν πείρας ἀναμνησθέντες, ἐξεῦρον ἂν οἶμαι ῥᾳδίως ἑτέρας μὲν εἶναι φύσεως τὰς ὁμολογου-
μένας, ἑτέρας δ' ὑπὲρ ὧν διαφέρονται. τίς γὰρ ἢ τὴν ἑβδόμην, ἢ τὴν ἐνδεκάτην, ἢ τὴν τεσσαρεσκαιδεκάτην, ἢ
τὰς ἄλλας τὰς ὁμοίας οὐκ εἶπε κρισίμους; οὐδεὶς ὁστισοῦν. φαίνονται γοῦν ἅπαντες ὥσπερ ἐξ ἑνὸς στόματος
ἀποφαινόμενοι περὶ αὐτῶν. καὶ μὴν εἴπερ ὑπὲρ ἁπασῶν ὡμολόγουν ἀλλήλοις, ἴσως ἂν τῷ πρώτῳ ὑπολαμβάνειν
χωρὶς τοῦ κρῖναι καὶ βασανίσαι τἀληθὲς, ἅπαντας αὐτοὺς ἑξῆς ἀκολουθῆσαι, τῷ πρώτως περὶ κρισίμων ἡμε-
ρῶν ἀποφηναμένῳ. διαφερομένων δ' ἐν ταῖς πλείσταις, οὐκέτ' ἐνδέχεται τοιοῦτον οὐδὲν ὑπονοεῖν. ἀλλ' ἐμοὶ μὲν καὶ

θαυμάζειν ἐπέρχεται τοὺς ἄνδρας ἐπὶ τῇ περὶ τὴν ἀλήθειαν σπουδῇ. τὸ γὰρ μήτε τὰς αὐτὰς ἁπάσας εἰπεῖν, ἀλλ᾽ ἔστιν ἐν αἷς διηνέχθησαν, μήτε εἰκῇ τούτους καὶ ἀλόγως παθεῖν. ἀλλ᾽ ὅσαι μὲν ἅπαντα διαφυλάττουσι τὰ τῶν κρίσεων γνωρίσματα, τὰ μικρῷ πρόσθεν ὑπ᾽ ἐμοῦ λελεγμένα, ταύτας μὲν ὡσαύτως ἀναγράψαι σύμπαντας. ὅσαι δ᾽ ἀμφιβολίαν ἔχουσι τινὰ καὶ ἀπορίαν, ἐκ τοῦ τινὰ μὲν ὑπάρχειν αὐταῖς γνωρίσματα, τινὰ δ᾽ οὐχ ὑπάρχειν, οὐκέθ᾽ ὡσαύτως ἅπαντας ἀναγράψαι, τεκμήριον οὐ μικρὸν δήπου τοῦ φύσιν εἶναι τινὰ τῶν κρισίμων ἡμερῶν ἰδίαν ἐξαίρετον. ἃς γὰρ καὶ καθ᾽ ἑαυτὸν ἕκαστος ἡμῶν, ἐπὶ τὴν τῶν τοιούτων πεῖραν ἀφικόμενος, ἀποφήναιτ᾽ ἂν εἶναι κρισίμους, ἐκ τοῦ διαφυλάττειν ἅπαντα τῶν κρίσεων τὰ γνωρίσματα, ταῦτα καὶ παρ᾽ ἐκείνοις ἔστιν εὑρεῖν ὁμολογουμένας. ὥσπερ αὖ καὶ ὅσας ἄπορον ἑκατέρας κρῖναι, καὶ ταύτας διαπεφωνημένας. οὐδὲν οὖν ἔγωγε τούτων μεῖζον ἕτερον ἡγοῦμαι τεκμήριον, ὑπὲρ τῶν κρισίμων ἡμερῶν τῆς φύσεως, ὡς τὸ περὶ μὲν τῶν ἅπαντ᾽ ἐχουσῶν τὰ κριτικὰ γνωρίσματα, ταῦτα καὶ παρ᾽ ἐκείνοις ἔστιν εὑρεῖν συμφωνῆσαί τε πάντας. ὑπὲρ ὧν δέ τις καὶ αὐτὸς ἠπόρησεν, ὑπὲρ τούτων διηνέχθησαν. ἡ γὰρ ἐν ταῖς τοιαύταις διαφωνία, πίστιν βεβαίαν προσνέμει ταῖς ὁμολογουμέναις. ἄμεινον δ᾽ ἦν ἄρα τοῖς σοφισταῖς, ἤδη ποτὲ μισῆσαι τὰ σοφίσματα. περὶ μὲν δὴ τῶν πάντ᾽ ἐχουσῶν τὰ γνωρίσματα, καὶ πρὸς ἁπάντων ὁμολογουμένων ἑτοίμως ἀποφήνασθαι. σκοπεῖσθαι δὲ ὑπὲρ τῶν λοιπῶν, ὡς τό γε διὰ τὴν ἐν ταύταις ἀπορίαν ὀλιγίσταις οὔσαις, ἀνατρέψαι τὴν ἐν ταῖς πλείσταις εὐπορίαν, ἐσχάτως ἄλογον. φέρ᾽ οὖν ἡμεῖς εἴπερ δὴ σπουδάζομεν ἀληθείας, ἐπιχειρήσωμεν ἀδεκάστως αὐτῶν τῇ κρίσει. καὶ πρώτας μὲν προστησώμεθα καθάπερ τινὰς κανόνας τὰς ἅπαντ᾽ ἐχούσας τὰ κριτικὰ γνωρίσματα. δευτέρας δὲ τάξωμεν, τὰς τούτων πλησίον, εἶτα τινὰ καὶ τρίτον καὶ τέταρτον στοῖχον ἐφεξῆς ποιησώμεθα, καὶ δείξωμεν ἑκάστου τὴν ἀξίαν. ἡ γὰρ τοιαύτη γνῶσις, εἰς τὰς ἰάσεις τε καὶ λύσεις μέγα διαφέρει, μήτε τοὺς ἐν πισταῖς ἡμέραις κριθέντας διὰ ὑποψίας ἡμῶν ἑξόντων ἂν, ἢ λεπτῶς διαιτησόντων, μήτε τοὺς ἐν ταῖς ἀπίστοις ἀφυλάκτως. πρώτην τοίνυν ἁπασῶν τῶν κρισίμων ἡμερῶν τὴν ἑβδόμην εἴπωμεν, οὐκ ἀριθμῷ δηλονότι καὶ τάξει πρώτην, ἀλλὰ δυνάμει τε καὶ ἀξιώματι. πάντα γὰρ ἔχει συλλαβοῦσα τὰ τῶν κρισίμων γνωρίσματα, καὶ γὰρ καὶ πλείστους κρίνει, καὶ τελέως, καὶ μετὰ σαφοῦς ἐκκρίσεως ἢ ἀποστάσεως, καὶ χωρὶς κινδύνου σφοδροῦ, καὶ τούτοις πάσιν αὐτὴν ἡ τετάρτη προδηλοῖ. εἴ τι γὰρ τῶν οὔρων τῆς ἐν ἐκείνῃ πάντως, ἢ τῶν πτυσμάτων, ἢ τῶν διαχωρημάτων, ἢ ὀρέξεως, ἢ νοήσεως, ἢ αἰσθήσεως, ἢ τινὸς ἄλλου τοιούτου, σαφὴς ἐγένετο μεταβολὴ καὶ τῇδε τῇ μεταβολῇ, τὸ μὴ οὐχ ὁμοίαν ἀπαντῆσαι τὴν ἐν τῇ ἑβδόμῃ κρίσιν ἀμήχανον, ἀγαθὴν μὲν, εἰ ἐπὶ τὸ χρηστὸν, πονηρὰν δὲ, εἰ ἐπὶ τὸ φαῦλον μεταβάλλοι. τὰ πολλὰ μὲν οὖν ἀγαθαὶ κρίσεις αἱ κατὰ τὴν ἑβδόμην ἡμέραν. καὶ γὰρ αὖ καὶ τοῦτο ἐξαίρετον αὐτῇ πρόσεστιν. οὐ μὴν ἀλλὰ καὶ θνήσκουσι τινὲς ἐν αὐτῇ, καὶ τροπὴν ἀξιόλογον ἐπὶ χεῖρον ἔνιοι λαβόντες, ἔν τινι τῶν ἐφεξῆς κρισίμων ἀπόλλυνται. τὴν δὲ ἕκτην ἡμέραν, ὅσον ἀπολείπεται τῆς ἑβδόμης τῷ πλήθει τῶν ἐν αὐτῇ κρινομένων, τοσοῦτον πλεονεκτοῦσαν εὑρίσκω κακοηθείᾳ, καθάπερ ἐκ διαμέτρου τὴν φύσιν ἔχουσαν τῇ ζ. καὶ γὰρ καὶ τῶν ἐν τῇ τετάρτῃ μεταβαλλόντων ἐπὶ τὸ χεῖρον, οἱ πλεῖστοι κατὰ τὴν ἕκτην ἀπόλλυνται. τοὐναντίον δὲ αὖ πάλιν εἰ χρηστὴ γένηται τροπὴ, τὴν ἑβδόμην ἀναμένει. κἂν εἰ σπανίως δέ ποτε μεταβολὴν ἀγαθὴν ἐν τῇ τετάρτῃ γενομένην, ἡ ἕκτη παραλαβοῦσα κρίνειν ἐπιχειρήσειεν, ἀμήχανον ὅσην ἐπιφέρει ταραχὴν καὶ κίνδυνον, καὶ φόβον οὐ μικρὸν, ὡς αὐτίκα μάλα τεθνηξομένου τἀνθρώπου. καί γε εἰ καταφέροιντο, κάρῳ τι παραπλήσιον αὐτοῖς γίνεται, καὶ κεῖνται τελέως ἀναίσθητοί τε καὶ ἄφωνοι. καὶ εἴ τις ἔκκρισις ἐν αὐτοῖς γίνοιτο, λειποψυχοῦσί τε καὶ ἀσφυκτοῦσι, καὶ ἀχροοῦσι, καὶ τρέμουσι, καὶ καταπίπτουσι, τῆς ἑβδόμης ἡμέρας ἀεὶ πρὸς λόγον τῆς ἐκκρίσεως τὴν εὐφορίαν ἐπαυξούσης. ἀτὰρ οὖν καὶ κακοήθη, καὶ δριμέα, καὶ δυσώδη τὰ πολλὰ διαχωροῦσί τε καὶ ἐμοῦσι κατὰ τὰς ἑκταίας ἐκκρίσεις. ἱδρῶτες δὲ σπάνιοι μὲν οἱ ὁμαλοὶ, καὶ δι᾽ ὅλου τοῦ σώματος, καὶ θερμοί. κἂν εἰ γένοιντο δέ ποτε τοιοῦτοι, διακόπτονται τὰ πολλὰ, καὶ φόβος ἐπήρτηται τοῖς ὁρῶσι, μὴ στῶσιν. ἔστι δ᾽ ὅτε παρωτίδας οὐκ εὐήθεις, ἢ καὶ ἰκτέρους ἐπήνεγκεν, ἢ τινὰ ἄλλην ἀπόστασιν ἀγῶνος ἑτέρου δεομένην εἰς λύσιν. εἰ δὲ καὶ δι᾽ οὔρων ποτὲ κρίνοιεν, οὐδὲ ταῦτα ἂν εὕροις χρηστὰ, καὶ γὰρ ὠμὰ, καὶ ἄχροα, καὶ λεπτὰ, καὶ μηδεμίαν ἀγαθὴν ὑπόστασιν ἔχοντα, ἀλλ᾽ ἐνίοτε μὲν οἷον ὀστρακώδη, ἐνίοτε δὲ ψαμμώδη. πάντως δὲ ἀνώμαλόν τε καὶ ἄπεπτον, αὐτῷ τῷ πλήθει μόνον ὠφελοῦντα κατὰ τὴν ἕκτην ἡμέραν οἷς ἐπιφαίνεται. ταῦτα μὲν αὐτῆς τὰ μετριώτατα τῶν ἔργων εἴ τις μέλλει σωθήσεσθαι. τοὺς πλείστους δὲ τοὺς μὲν αὐτίκα συνέκοψεν, ἢ ἀπέπνιξεν αἱμοῤῥαγίαις λαύροις, ἢ κενώσεσιν ἀμέτροις, καὶ ἢ καὶ κατοχαῖς τισὶν, ἢ μανίαις. τοὺς δ᾽ εἰς προὖπτον ὄλεθρον ἐνέβαλεν, ἰκτέρους ἐπαγαγοῦσα, καὶ παρωτίδας οὐ χρηστὰς ἐγείρασα, καὶ μαρασμοῖς ἀνιάτοις ἐνίοτε περιβάλλουσα, καὶ τί γὰρ οὐ κακὸν ἐπιφέρει; καί μοι πολλάκις ἐπῆλθε τὴν μὲν τῆς ἑβδόμης ἡμέρας φύσιν εἰκάζειν βασιλεῖ, τὴν δὲ τῆς ἕκτης τυράννῳ. προνοεῖται γὰρ ἡ μὲν οἷον ἀγαθός τις ἄρχων τοῖς ὑπ᾽ αὐτὴν κρινομένοις, ἢ τῆς κολάσεως ὑφεῖναι τοῦ μεγέθους, ἢ τὴν νίκην ἐπιλαμπρῦναι. τὴν δὲ τῆς ἕκτης ἡμέραν, ἔμπαλιν εἰκάσαις ἂν, ἢ ταῖς ὀλέθροις αὐτὴν ἐπιχαίρειν, ἢ ταῖς σωτηρίαις ἄχθεσθαι, καὶ ζητεῖν ὅποι τὸν θυμὸν ἐκπλήσει, καὶ κακῶς δρᾶσαι τὸν εἰς αὐτὴν ἐμπεσόντα, καὶ μακρᾷ κολάσει περιβάλλουσα, διαχρήσεται. φέρ᾽ οὖν ἐνταῦθα γὰρ ὁ λόγος ἤδη μοι στήτω, πρὶν τῶν ἄλλων ἁπασῶν ἡμερῶν διέρχεσθαι τὴν φύσιν. εἴ τις ἔροιτό μοι περὶ τῆς ἑβδόμης ἡμέρας εἰ κρίσιμος ὑπάρχει, κἄπειθ᾽ ἑτοίμως ἀποκριναμένου μου, περὶ τῆς ἕκτης ἐπανερωτῴη, τί ἂν ἀποκριναίμην αὐτῷ; εἰ μὲν γὰρ τὴν αὐτὴν προσηγορίαν ἐπιφέροιμι καὶ τῇδε, τάχ᾽ ἄν τις δόξειέ με καὶ τὴν φύσιν αὐτῆς ὁμοίαν ὑπολαμβάνειν. εἰ δ᾽ ὅτι τὴν φύσιν ἐναντία, διὰ τοῦτο ταύτην ἐξαιροίμην τῶν κρισίμων. ἴσως ἄν τις ὑπονοήσειεν ἐκ ταυτοῦ γένους ὑπάρχειν αὐτὴν τῇ δωδεκάτῃ τε καὶ ἑκκαιδεκάτῃ, περὶ ὧν ἔμπροσθεν εἶπον, ὡς οὐκ εἶδον αὐτὰς κρινούσας οὐδέπω ποτέ. περὶ μὲν δὴ τούτων ἑτοίμως ἀποφανοῦμαι, καθάπερ εἶπον καὶ περὶ τῆς ἑβδόμης, τὰς μὲν γὰρ ὅτι μηδὲν ἔχουσι τῶν κριτικῶν γνωρισμάτων, οὐκ εἶναι κρισίμους ἐρῶ.

τὴν δ᾽

τὴν δ' ὅτι πάντῃ, διὰ τοῦτο κρίσιμον ὑπάρχειν. ἁπλῆν δ' οὕτως ὑπὲρ τῆς ἕκτης ἀπόφασιν οὐκ ἔχω ποιήσασθαι. κρίνει μὲν γὰρ πολλάκις, ἀλλ' ἐπιβούλως τε καὶ πονηρῶς, ὥστ' εἴπερ ἀναγκάζει μέ τις ἀποκρίνασθαι περὶ αὐτῆς, οὐ λόγῳ μακρῷ χρησάμενος, ὥσπερ ὀλίγον ἔμπροσθεν ὅτε διῄειν αὐτῆς ἅπασαν τὴν φύσιν, ἀλλ' ἐν κεφαλαίῳ περιλαβὼν, κακὴν ἂν εἴποιμι κρίσιμον εἶναι τὴν ἕκτην ἡμέραν, ὥσπερ τὴν ἑβδόμην ἀγαθήν. οὐ μὴν οὕτω γε προσήκει κατακλείειν ἑαυτὸν εἰς ἁπλῆν καὶ στενὴν ἀπόφασιν, ὑπὲρ πράγματος οὐχ ἁπλοῦ. τά τε γὰρ ἄλλα καὶ περὶ ὀνόματος ἁμιλλώμενοι λελήθασιν οἱ πολλοὶ τῶν ἰατρῶν. οἱ μὲν γὰρ τὴν ἀθρόαν ἐν νόσῳ μεταβολὴν ἡγοῦνται κρίσιν, οἱ δ' εἰ μὴ προσείη τὸ ἐπ' ἀγαθῷ, κρίσιν οὔπω τὸ τοιοῦτον ὀνομάζουσιν, ἔνιοι δὲ τούτων μὲν ἑκάτερον ἀποτέλεσμα κρίσεως εἶναι φασίν. τὴν κρίσιν δὲ αὐτὴν, τὸν μεταβλητικὸν ἐπιφανῶς ἐν ὀξεῖ καιρῷ σάλον ὑπάρχειν οἴονται, ἐξ αὐτῆς δηλονότι τοῦ νοσήματος τῆς φύσεως γινόμενον οὐκ ἔξωθεν, εἶτ' ἐρίζουσι περὶ τοῦ σημαινομένου μακρὰ, μηδ' αὐτὸ τοῦτο γινώσκοντες ὡς ἀποχωρήσαντες τῶν ἰατρικῶν πραγμάτων, ἢ διαλεκτικοῖς, ἢ γραμματικοῖς, ἢ ῥήτορσι πρέπουσαν ἐπαναιροῦνται σκέψιν. διαλεκτικοῦ μὲν γὰρ ὑπὲρ ὀνομάτων ὀρθότητος σκοπεῖσθαι, ῥητόρων δὲ καὶ γραμματικῶν, εἰ σύνηθες τοῖς Ἕλλησι τοὔνομα. καὶ ταῦτα ποιοῦσιν ἔνιοι τῶν ἰατρῶν, εἰς τοσοῦτον ἢ διαλεκτικῆς, ἢ γραμματικῆς, ἢ ῥητορικῆς ἐπαΐοντες, εἰς ὅσον ὄνοι λύρας. οὗτοι μὲν οὖν καὶ τὰ τῶν ἰατρῶν ἀφέντες, καὶ τὰ τῶν ἄλλων κακῶς μεταχειρισάμενοι, καθ' ἑκάτερα πλημμελοῦσιν. ἡμεῖς δὲ ὅπως μὲν ἄν τις ἄριστα χρῷτο τοῖς ἰατρικοῖς ὀνόμασιν, ἑτέρωθι δεδηλώκαμεν. ἐν δὲ τῷ παρόντι λόγῳ τῶν ἡμερῶν τὴν φύσιν ἐξηγήσασθαι προὐθέμεθα, τοὺς σοφιστικοὺς λήρους ἑτέροις παρέντες, οἷς οὐ τῶν ἔργων τῆς τέχνης φροντὶς, ἀλλὰ τοῦ φλυαρεῖν, ὥσπερ ἐπὶ μειρακίων διατριβαῖς. εἰρήσεται μὲν οὖν τι κἀν τοῖς ἑξῆς ὑπὲρ τῶν προειρημένων ὀνομάτων, ἵν' ἔχῃ τις αὐτῶν λύειν τὰ σοφίσματα, διαστελλόμενος τὰς ὁμωνυμίας. ἐν δέ γε τῷ νῦν λόγῳ τῷ ἐνεστῶτι, τὸ χρήσιμον αὐτὸ διέλθωμεν πρότερον, ὥσπερ ἐν ἁπάσαις ἐποιησάμεθα ταῖς πραγματείαις, ἵν' ἤδη τις ἔχων τοῦτο, καὶ καρπούμενος ἐκ περιουσίας, ἐλέγχειν μάθῃ τοὺς λήρους τῶν σοφιστῶν. τάτε γὰρ ἄλλα καὶ ὡς αὐτὸ τῆς φλυαρίας αὐτῶν τῆς μακρᾶς ἔνεστιν ἐκμαθεῖν τοῖς εἰσαγομένοις εἰς τὴν τέχνην ἅπασαν ἀκριβῶς τῶν ἡμερῶν τὴν φύσιν ἐξ αὐτῆς τῆς διδασκαλίας ἔργῳ μαθεῖν ἐστι, καίτοι γε παντάπασιν ἀπέχεσθαι τῆς φλυαρίας αὐτῶν οὕτω δεδημοσιευμένης ἀδύνατον. ἀμέλει καὶ ἡμεῖς ἐν τοῖς ἔμπροσθεν λόγοις, καίπερ ἄκοντες, ὅμως αὐτῆς ἐφηψάμεθα.

νόμιζε τοίνυν ἐκεῖνα μὲν οἷον προοίμιόν τι μοι διὰ τὸ τῆς θεωρίας ἔνδοξον γεγονέναι. τὸ δὲ χρήσιμον αὐτὸ καὶ διαφέρον εἰς τὰ τῆς τέχνης ἔργα, νῦν λέγεσθαι πᾶν ἐφεξῆς. ὅτι μὲν χρήσιμον ὑπάρχει καὶ χωρὶς συνηγορίας ἐνδεικνύμενον. ὅτι δὲ καὶ ἀληθὲς, οὐκ εὐθὺς φαινόμενον, ἀλλὰ τὴν ἐξ αὐτῶν τῶν πραγμάτων κρίσιν ἀναμένον, ὥστε καὶ τοὺς ἀναλεξομένους αὐτὸ παρακαλέσαι καιρός. ἐπειδὰν ὥσπερ ἡμεῖς ἐκρίναμεν ἅπαντα τὰ τῇδε γεγραμμένα παμπόλλῳ χρόνῳ καὶ αὐτοὶ βασανίσωσιν ἐπὶ τῶν ἀρρώστων αὐτὰ, τότ' ἀποφαίνεσθαι τολμᾶν ὑπὲρ τῆς ἐν τοῖς εἰρημένοις ἀληθείας, πρότερον δὲ μή. πάλιν οὖν αὖθις ἀρκτέον ἡμῖν ἐστιν ἀφ' ὧνπερ ἐξ ἀρχῆς τοῦ γράμματος ὑπηρξάμεθα, καὶ λεκτέον ὅσα μὲν εἴρηται, καὶ πρόσθεν διὰ κεφαλαίων ἀναλαμβάνουσιν ὡς ὑπομνῆσαι μόνον. ὅσα δ' οὔπω λέλεκται, κατὰ διέξοδον ἑρμηνεύουσιν. εἴρητο μὲν δὴ ταῦτα, τὰς λύσεις τῶν νοσημάτων ὅσαι ἀθρόαι γίνονται, δεῖσθαι τινὸς ἐκκρίσεως ἢ ἀποστάσεως ἐπιφανοῦς. εἶναι δὲ τῶν ἡμερῶν ἐν αἷς γίνονται τὰς φύσεις διαφερούσας. τὴν μὲν γὰρ ἑβδόμην καὶ πολλάκις λύειν, καὶ τελέως, καὶ πιστῶς, καὶ ἀγαθῶς, καὶ ἀκινδύνως, καὶ σαφῶς, καὶ εὐσήμως. τὴν δ' ἕκτην, πολλάκις μὲν καὶ αὐτὴν, ἀλλ' οὐχ ὁμοίως τῇ ἑβδόμῃ. καὶ γὰρ καὶ ποσότητι τῶν λυομένων ἀπολείπεσθαι, καὶ τῷ τρόπῳ τῆς λύσεως πάμπολυ διαφέρειν. οὔτε γὰρ ἀγαθὰς ὑπάρχειν αὐτὰς, ἀλλὰ τὰς πλείους μοχθηρὰς, οὔτ' εἴπερ ἀγαθὰς πάντως καὶ τελείας. ἀλλ' οὐδ' εἰ τελείας, εὐθὺς καὶ πιστάς. ὑποτροπιάζει γὰρ ἐνίοτε τὸ νόσημα, κἂν ἀκριβῶς δόξῃ λελύσθαι. εἴρηται μὲν δὴ καὶ ὅτι τὸ μετὰ κινδύνων τε καὶ ἀσαφῶς ἰδιαίτατόν ἐστι τῆς ἕκτης ἡμέρας, καὶ τοῦτο εἴρηται. τὸ γε μὴν ἀσήμως, οὐ πάνυ τι τῆς ἕκτης ἴδιον, ἀλλ' ἔστιν αὐτῆς ὥσπερ καὶ τῆς ἑβδόμης ἐπίδηλος ἡ τετάρτη. ταῦτα μὲν οὖν εἴρηται, προσκείσθω δὲ τὰ λείποντα. τῆς ἑβδόμης τὴν φύσιν, ἡ τεσσαρεσκαιδεκάτη μάλιστα μὲν μιμεῖται. πλησίον δ' αὐτῶν ἐστιν, ἐννάτη τε καὶ ἑνδεκάτη, καὶ εἰκοστή. καὶ ταύταις ἐγγὺς ιζ´. καὶ ε´. καὶ μετὰ ταύτας ἡ τετάρτη, καὶ μετὰ ταύτην, ἡ τρίτη τε καὶ ἡ ιη´. τῆς δ' ἕκτης τὴν φύσιν, οὐδεμία μὲν ἀκριβῶς ἐμιμήσατο τῶν ἄλλων ἡμερῶν. εἴ ποτε δ' εἰς τὴν ὀγδόην ἡμέραν, ἢ τὴν δεκάτην, ἐμπέσῃ λύσις ἀθρόα νοσήματος, ὁμοιοῦται πως τῇ κατὰ τὴν ἕκτην, ἀλλὰ καὶ σπανίως ἐν ταύταις λύεται, καὶ οὔτε πιστῶς, οὔτε ἀγαθῶς, οὔτε τελέως. ἔτι τε πρὸς τούτοις, ἀσαφῶς τε ἅμα καὶ ἀσήμως ὥστε ἑτέρας εἶναι φύσεως αὐτὰς πρὸς τὰς ἔμπροσθεν εἰρημένας. ὥσπερ δ' ἐν ταύταις οὐ λύεται νόσημα ἀθρόως, οὕτως οὐδ' ἐν ταῖς ἐφεξῆς εἰρησομέναις δωδεκάτῃ, καὶ ἑκκαιδεκάτῃ καὶ ἐννεακαιδεκάτῃ. μεταξὺ δέ πως τούτου τοῦ στοίχου τοῦ νῦν εἰρημένου παντὸς τῶν μὴ λυουσῶν ἀθρόως ἡμερῶν, τῆς ὀγδόης λέγω καὶ τῆς δεκάτης, καὶ τῆς δωδεκάτης, καὶ τῆς ἑξκαιδεκάτης, καὶ τῆς ἐννεακαιδεκάτης, καὶ τοῦ πρόσθεν εἰρημένου τῶν λυουσῶν, τῆς τε τρίτης καὶ τετάρτης καὶ πέμπτης, καὶ ἕκτης, καὶ ἑβδόμης, καὶ ἐννάτης, καὶ ἑνδεκάτης καὶ τεσσαρεσκαιδεκάτης, καὶ ἑπτακαιδεκάτης καὶ ὀκτωκαιδεκάτης καὶ εἰκοστῆς, ἡ τρισκαιδεκάτη μάλιστά μοι φαίνεται τετάχθαι, μήθ' ὁμοίως ἀπόβλητος οὖσα ταῖς ἐν τῷ δευτέρῳ στοίχῳ, μήθ' ὁμοίως ταῖς ἐν τῷ πρώτῳ λύειν πεφυκυῖα. τοιαύτη μέν τις ἡ τῶν εἰρημένων ἡμερῶν ἄχρι τῆς εἰκοστῆς διαφορά. τὰς δ' ἐφεξῆς ἁπάσας, ὕστερον ἐρῶ, πρότερόν γε τοῦτ' ἀναμνήσας ὅπερ ὑπεσχόμην ὀλίγον ἔμπροσθεν, ὡς ὅσον εἰς τὰ ἔργα τῆς τέχνης διαφέρει, μακροῦ μὲν εἰς εὕρεσιν δεῖται χρόνου, βραχυτάτου δ' εἰς διδασκαλίαν. τὸ δ' ἄλλο πᾶν ἤτοι λῆρος ἐστὶ σοφιστῶν, ἢ πρὸς τούτους ἀντιλογία, λῆρος μὲν οὖσα καὶ αὐτή, κάλλιον γὰρ ἦν αὐτῶν καταφρονεῖν. ἀλλὰ διὰ τοὺς νέους ἐνίοτε τοὺς ὑπὸ τῶν σοφισμάτων ἐξισταμένους τῶν κατὰ φύσιν λογισμῶν, χώραν ἀναγκαίαν λαμβάνουσα. τὸ οὖν προκείμενον ἤδη δέδεικται σαφῶς, ὡς ἔστι χωρὶς τῶν ὀνομάτων τῆς τε

κρίνεσθαι καὶ κεκρίσθαι, καὶ κρίσεως, καὶ κρισίμου τὴν διήγησιν ἐποιησάμην τῆς τῶν ἡμερῶν διαφορᾶς, οὐκ ἐκ λόγου τινὸς ἢ δόγματος τῶν ἀπορρήτων εἰσηγησάμενος, ἀλλ' ἐκ μόνης τῆς πολυχρονίου πείρας ἀθροίσας τὴν θεωρίαν. ὅστις δὲ ταύτην καταλιπὼν, ἢ πῶς ὁρίζεσθαι χρὴ τὴν κρίσιν, ἢ τίς λόγος ἐστὶν, δι' ὃν οὐχ ὁμοίως ἐν ἁπάσαις ταῖς εἰρημέναις ἡμέραις αἱ κρίσεις γίνονται ζητεῖ, σοφισταῖς ἀφορμὴν ἀντιλογίας παρέξει, οἳ τοῖς τοιούτοις λόγοις ἀντιλέγοντες, οἴονται τὸ πρᾶγμα διαβαλεῖν αὐτό. καθάπερ εἴ τις ταῖς ὀπτικαῖς αἰτίαις, ἃς οἱ φιλόσοφοι λέγουσιν, ἀντειπὼν, ἀνῃρηκέναι νομίζει τὴν ὄψιν, ἢ εἴ τις ἀπορήσας τοὺς περὶ τῆς κινήσεως λόγους, ἢ τοὺς περὶ τόπου καὶ χρόνου, καὶ γενέσεως καὶ φθορᾶς, οἴοιτο σὺν τοῖς λόγοις ἀνῃρηκέναι καὶ τὰ πράγματα. τοιαύτη γάρ ἐστι καὶ ἡ τῶν σοφιστῶν κατά τε κρίσεως καὶ κρισίμων ἡμερῶν ῥητορεία. τὸ μὲν φαινόμενον αὐτὸ, μὴ δυναμένων ὑπαλλάξαι, τὰ σημαινόμενα δὲ μετατιθέντων, καὶ πρὸς ὁρισμούς τινας ἀντιλεγόντων, καὶ τὰ περὶ τῆς φύσεως τῶν ἀριθμῶν δόγματα διασειόντων. ἀλλ' ἥ γ' ὑφ' ἡμῶν ἄρτι γεγραμμένη διδασκαλία, τούτων μὲν οὐδενὸς ἐφήψατο, καὶ διὰ τοῦτο ἀποφράττει τὸ τῶν σοφιστῶν στόμα. τὸ χρήσιμον δ' αὐτῆς, διὰ ταχέων ἐκδιδάσκει. ὡσαύτως δ' αὖ καὶ διὰ ταχέων ἐμήνυσα τὰς μετὰ τὴν εἰκοστὴν ἡμέραν διαφορὰς, εἰ μή τις γε κατεῖχεν ἀναγκαῖος λόγος, ὃν καὶ αὐτὸν οἱ μὲν ἐκ τῆς ἐμπειρίας ὁρμώμενοι, καὶ μηδὲν τοῖς ἐναργῶς φαινομένοις προσδοξάζοντες, ἀκριβῶς ἴσασιν. οὐ μὴν οἵ γε πρῶτον ἀναλαμβάνοντες τὴν τέχνην. ἔστι δ' οὗτος τίς, ὁ ζητῶν ἥτις ποτὲ τῶν νοσημάτων ἡ ἀρχή, καὶ γὰρ ἀγρυπνοῦσι, καὶ ἀνορεκτοῦσι, καὶ κεφαλὰς βαρύνονται, καὶ νωθροὶ, καὶ δυσκίνητοι, καὶ κοπώδεις γίνονται, καὶ μυρία τοιαῦθ' ἕτερα πάσχουσιν οἱ πλεῖστοι τῶν μελλόντων νοσήσειν. καὶ ταῦτ' εἰσβάλλει μὲν αὐτοῖς τὴν πρώτην σμικρὰ, παραύξεται δ' ἀεὶ, καὶ μᾶλλον κατὰ βραχὺ προερχομένοις ἤδη καὶ τὰ συνήθη πράττουσιν. ἐπειδὰν δὲ πρῶτον νικηθῶσιν ὑπὸ τοῦ δυσχερεστήματος, τηνικαῦτα κατακλίνονται. τίνα δ' οὖν ἀρχὴν τοῦ νοσήματος θέσθαι προσήκει, χαλεπὸν εἶναι δοκεῖ. τὴν μὲν γὰρ ἀκριβῶς πρώτην, σχεδὸν ἀναίσθητον ὑπάρχειν. τὴν δ' ὅτε κατεκλίθη, κατακλίσεως μὲν ἀρχὴν εἶναι, νόσου δ' οὐκ ἔτι. καὶ γὰρ καὶ τὸ καρτερικοὺς ὑπάρχειν καὶ ἀταλαιπώρους, καὶ τὸ κατέχεσθαι πρός τινος ὑπὸ πολιτικῆς πράξεως, ἢ καὶ βαδίζειν ὁδὸν μακροτέραν, καὶ πόῤῥω τῆς τοῦ οἴκου καταγωγῆς εἶναι, καὶ δι' ἄλλας τοιαύτας αἰτίας, δύναταί τις οὔπω μὲν κατακεκλίσθαι, κεκακῶσθαι δὲ καὶ μήν γε καὶ μαλακός τις τὴν γνώμην καὶ ταλαίπωρος, καὶ δειλὸς καὶ ὕποπτος, ὑπὸ μικραῖς προφάσεσιν εὐθὺς κατακλίνεται. τὴν τίνος οὖν κατάκλισιν ἀρχὴν τοῦ νοσήματος ὑποληπτέον, οὐκ ἄν τις ἐξεύροι ῥᾳδίως. καὶ μὴν εἰ μήτε τὴν πρώτην ἀκριβῶς ἀρχὴν οἷόν τε λαβεῖν ἐστι, μήτε τὴν κατάκλισιν εὔλογον ὑποθέσθαι τοῦ νοσήματος ἀρχὴν ὑπάρχειν, δῆλον ὡς οὐδ' ἄλλον τινὰ χρόνον, ἢ τὸν πρὸ τῆς κατακλίσεως, ἢ τὸν μετ' αὐτήν. οἱ μὲν γὰρ ἔμπροσθεν ἅπαντες, ἀδίκως ληφθήσονται τῆς πρώτης ἀρχῆς παροφθείσης. οἱ δ' αὖ μετὰ τὴν κατάκλισιν ἔτι ἀδικώτερον εἰ μηδ' ὁ ταύτης χρόνος ἀρχὴ τοῦ νοσήματος ὑπάρχει. τοιαῦται μὲν αἱ ἀπορίαι, λύσεις δ' αὐτῶν πολυειδεῖς. ἡ μὲν πρώτη καὶ μεγίστη, τὸ πολλὰς νόσους ἐξαίφνης εἰσβάλλειν, ἢ ἅμα ῥίγεσιν, ἢ σὺν ἀλγήμασιν ἰσχυροῖς, μηδενὸς ὅλως αἰσθητοῦ συμπτώματος αὐτῶν προηγησαμένου. τὰς οὖν ἄλλας ἐάσας νόσους ἐν αἷς ἀσαφεῖς αἱ ἀρχαὶ, τὴν πεῖραν τῶν κρινουσῶν ἡμερῶν ἐπὶ τῶν σαφεστάτων ποιοῦμαι. καὶ γὰρ καὶ δειπνήσασιν εὐφορώτατα πολλοῖς καὶ γυμνασαμένοις καὶ λουσαμένοις, ἐξαίφνης εἰσέβαλε νόσημα, καθάπερ καὶ Ἱπποκράτης ἐπὶ πολλῶν ἀῤῥώστων ἔγραψεν. ὥσπερ αὖ πάλιν ὁ αὐτὸς Ἱπποκράτης, ἐφ' ἑτέρων ἀῤῥώστων εἴωθε γράφειν, ὅτι πρὶν ὑπάρξασθαι νοσεῖν ὀρθοστάδην ἠνωχλοῦντο. καί τοι καὶ αὐτὸ τοῦτο λέγοντες, τὸ πρὶν ἄρξασθαι νοσεῖν, λελήθαμεν ἡμᾶς αὐτοὺς ἐξομολογούμενοι τἀληθές. ἀρχὴν γὰρ τοῦ νοσεῖν, ἐκεῖνον εἶναι νομιστέον αὐτοῖς τὸν χρόνον, ἡνίκα σαφῶς ἀρξάμενοι πυρέττειν κατεκλίθησαν. οὐ γὰρ δὴ ταυτόν γε ἐστι κεφαλῆς ἄλγημα καὶ πυρετὸς, ὥσπερ οὐδ' ἀγρυπνία, καὶ ἀνορεξία, καὶ βάρος ὅλου τοῦ σώματος, ἢ κοπώδης αἴσθησις, ἀλλ' ἕκαστον τούτων ἕτερόν τι τοῦ πυρέττειν ὑπάρχον, ἀγγέλλει πυρετόν. σὺ μὲν οὖν, ὦ σοφιστὰ, τὸν νοῦν τούτοις πρόσεχε. πυρετὸς δ' εἰσβαλὼν καὶ μάλιστ' ὀξὺς, οὔθ' ἡμᾶς λαθεῖν, οὔτ' ἰδιώτην οὐδένα δύναται. θὲς δ' εἰ βούλει καὶ λαθεῖν, ἀλλὰ θαυμάζοιμ' ἂν εἰ πλέον ὥρας λύσει τὸν κάμνοντα κἂν ἀναισθητότατος ᾖ. νομιζέσθω τοίνυν εἰσβεβληκέναι δεκάτης ὥρας, ἔστω δ' ἡ κατ' ἀλήθειαν ἀρχὴ μὴ δεκάτης ἀλλὰ ἐννάτης ὥρας γεγενημένη. τί τοῦτο πρὸς τὰς κρισίμους ἡμέρας; πάνυ γοῦν ὡς ὁρᾷς παρὰ τοῦτο τὰ τῆς ἰατρικῆς τέχνης ἔργα διαφθείρεται, παρ' ὅσον τῶν νοσούντων ἐνίους ἔλαθεν ὥρα μία. ὅ γε τοι πάντων ἰατρῶν ἀκριβέστατος, σύμπαντα τὰ τοιαῦτα παραφυλάξας Ἱπποκράτης, ὥσπερ ὅτι πολλοὶ μὲν ἐξαίφνης ἤρξαντο πυρέττειν, οὐδενὸς ἔμπροσθεν αὐτοῖς γινομένου συμπτώματος. ἔνιοι δ' ὀρθοστάδην ἐνοχληθέντες ἐνέγραψεν, οὕτω καὶ τὰς κρίσεις ἐτήρησε γινομένας, ἀφ' ἧς πρώτης ἡμέρας ἐπύρεξεν ὁ ἄνθρωπος, οὐκ ἀφ' ἧς ἤλγησε κεφαλὴν, ἢ τι τοιοῦτον ἕτερον ἠνωχλήθη. ἐπὶ ταῖς τοιαύταις γὰρ ἀρχαῖς ἡ τῶν κρινουσῶν ἡμερῶν ἐμπειρία τοῖς ἰατροῖς. σὺ δ' εἰ τὰς λόγῳ θεωρητὰς ἀρχὰς ἐπισκοπεῖσθαι βούλει, ταχὺ τοῦ τῆς ἀειπαθείας ἐφάψῃ δόγματος. ἀλλ' οὐχ ἥ γε τῶν Ἀσκληπιαδῶν ἰατρικὴ τοιαύτη, λόγῳ γὰρ θεωρητοὺς ἐκεῖνοι, πυρετοὺς οὔτε διαγινώσκειν, οὔτε θεραπεύειν ἠξίουν. οἱ δ' αἰσθητοὶ, καὶ σαφεῖς, καὶ μάλιστα ὅταν ὀξεῖς ὦσιν. ἐφ' ὧν δὴ καὶ μάλιστα τῆς τῶν κρισίμων ἡμερῶν θεωρίας χρῄζομεν, οὔτ' ἰδιώτην οὐδένα λαθεῖν, οὔτε ἰατρὸν δύνανται. τί δὴ καὶ βούλει; πότερον ἐκ τῶν ἐξαίφνης κατακλιθέντων ποιήσασθαι τὴν τήρησιν, ἢ τῶν ὀρθοστάδην ἐνοχληθέντων; Ἱπποκράτης μὲν γὰρ ἐπ' ἀμφοτέρων ποιησάμενος, τὰς αὐτὰς ἐπ' ἀμφοῖν ἀπεφήνατο κρισίμους. οὐχ ὅτε πρῶτον ἤλγησε τὴν κεφαλὴν, ἀλλ' ὅτε πρῶτον ἐπύρεξε, τὴν ἀρχὴν τοῦ νοσήματος ὑποθέμενος. οὕτω δὲ καὶ τῶν ἄλλων ἕκαστος, οἷς τῆς τέχνης ἐμέλησεν, οὐ λόγων ψευδῶν πιθανῶς συγκεκροτημένων. ἡ μὲν δὴ τῶν νοσημάτων ἀρχὴ, παντὸς μᾶλλον εὔγνωστος ἰατροῖς. εἰ δέ τις ἑαυτὸν ἐξαίρει τῆς προσηγορίας τῆσδε καὶ μήπω πείθεται, καὶ ληρεῖν οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ Ἱπποκράτην, καὶ Διοκλέα, καὶ τοὺς ἄλλους ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα νομίζει· νικάτω νίκην οὗτος καδμείαν. ἐμοὶ γὰρ οὐ σοφιστὰς ἐξελέγχειν πρόκειται νῦν, ὅτι μὴ πάρεργον, ἀλλὰ τοῖς ἀλήθειαν ασπάζουσιν, ἧς γινώσκω κοινωνῆσαι θεωρίας, ἔστω δ' ἤ τις τοιοῦτος ἡμῖν ἄῤῥωστος ἐξ ὑποθέσεως εἰς σαφήνειαν τῆς

διδα-

διδασκαλίας προκείμενος, τῇ δεκάτῃ τῆς ἡμέρας ὥρᾳ πυρέττειν ὀξέως ἀρξάμενος, ἐφ' οὗ ζητεῖν ἐπιτρέψαντες τοῖς σοφισταῖς τὴν λόγῳ θεωρητὴν ἀρχήν, αὐτοὶ τὴν δευτέραν ἡμέραν, ἢ εἴ τιν' ἀρχὴν ἑτέραν ἐν αὐτῇ ποιεῖται παροξυσμὸς ἕτερος, αἰσθητὴν καὶ σαφῆ παραφυλάξομεν, εἶθ' οὕτω καὶ τὴν τρίτην. ἵν' εἴτε διὰ τρίτης, εἴτε καὶ καθ' ἑκάστην ἡμέραν οἱ παροξυσμοὶ γίνονται, γινώσκωμεν. ἔτι δὲ τούτου μᾶλλον, εἴτ' ἐν ταῖς ἀρτίαις, εἴτ' ἐν ταῖς περιτταῖς ἡμέραις παροξύνεται σφοδρότερον. ἔστω δὴ συνεχὴς μὲν ὁ πυρετός, διὰ τρίτης δ' οἱ παροξυσμοί. καὶ τῇ τρίτῃ μὲν τῶν ἡμερῶν ἑνδεκάτης ὥρας, τῇ πέμπτῃ δὲ νυκτὸς ὥρας πρώτης παροξυνέσθω, τῇ δὲ ἑβδόμῃ νυκτὸς ὥρας τρίτης. ἀεὶ γὰρ ὑποκείσθω δυοῖν ὥραιν ὑστερίζειν τὸν παροξυσμόν, ὥστε καὶ τῆς ἐννάτης νυκτὸς ὥρᾳ πέμπτῃ παροξυνθήσεται, καὶ τῆς ἑνδεκάτης ἑβδόμῃ. ἔστω δὴ τούτῳ τὰ μὲν ἄλλα παραπλήσια δι' ὅλου τοῦ νοσήματος ἀπὸ τῆς ἀρχῆς ἕως τῆς ἑνδεκάτης νυκτός. κατὰ δὲ τὴν ἑνδεκάτην εὐχρούστερά τε ἅμα γινέσθω τὰ οὖρα, καί τινα καὶ λευκὴν νεφέλην ποιείσθω, πρότερον οὐ γεγενημένην. ἐνταῦθα πρῶτον μὲν ἐλπὶς οὐ σμικρὰ τοῖς γε ὄντως ἰατροῖς, ἐν τῇ ιδ΄ λυθήσεσθαι τὸ νόσημα. συμβαίνει μὴν πολλάκις ὑπερεκπίπτειν τὴν λύσιν εἴς τινα τῶν ἐφεξῆς ἡμερῶν. ἀλλὰ τοῦτο μὲν ὅπως γίνεται, τοῦ περὶ κρίσεων ἐστὶν ἴδιον λόγου, καὶ διὰ τοῦτο ἐν ἐκείνῳ ῥηθήσεται. τὸ δέ γε νῦν εἶναι, πρόκειται μὲν ὁ περὶ τῶν κρισίμων ἡμερῶν λόγος, οὗ δ' ἕνεκα τοῦ παραδείγματος ἐδεήθην, ἐγγὺς ἥκειν ἔοικεν. εἰσβαλλέτω γοῦν ὁ τῆς τρισκαιδεκάτης νυκτὸς παροξυσμός, οἱαδηποτοῦν ὥρᾳ μετὰ ῥίγους. ἐνδέχεται γὰρ αὐτὸν καὶ προλαβεῖν τὴν ὥραν τὴν συνήθη, καὶ μὴ προλαβεῖν, ἄμφω γὰρ γίνεται, καὶ πλέον γε θάτερον τὸ προλαβεῖν, ὅταν μέλλῃ γενήσεσθαι κρίσις. ἔστω δ' εἰ βούλει καὶ δύσφορος ἡ τρισκαιδεκάτη νὺξ ἅπασα γεγενημένη πρὸς τὸ βεβαιότερον ἡμᾶς ἐλπίσαι τὴν κρίσιν. οὐ γὰρ ἐνδέχεται τὸν οὕτω νοσήσαντα μὴ κριθῆναι κατὰ τὸν ἀπὸ τῆς τρισκαιδεκάτης νυκτὸς ἀρξάμενον παροξυσμόν. ἵν' οὖν μηδὲν ἀδιόριστον εἴη, κείσθω μὲν ἡ νὺξ δύσφορος. εἰσβαλλέτω δὲ ὁ παροξυσμός, ὥρας ὀγδόης μετὰ ῥίγους σφοδροῦ, καὶ μηδὲν ἄλλο τῶν ταῖς κρίσεσι προσγινομένων παρέστω σύμπτωμα. γινέσθω δὲ καὶ ὁ σφυγμός, ἄτακτος μὲν καὶ ἀνώμαλος, ἀλλ' αἱ πλείους κινήσεις, ὑψηλαὶ καὶ μεγάλαι φαινέσθωσαν. ὁ τοιοῦτος ἄρρωστος, ἐπειδὰν ὁ μετὰ τοῦ ῥίγους γενόμενος παροξυσμὸς ἀπολάβῃ τὴν οἰκείαν ἀκμήν, ἱδροῦν εὐθὺς ἄρχεται κρισίμως ἐν τῇ ιδ΄ δηλονότι τῶν ἡμερῶν. οὕτως γὰρ συμβαίνει τῆς ιγ΄ νυκτός, ὀγδόης ὥρας εἰσβάλλοντος τοῦ παροξυσμοῦ. γινέσθω τοίνυν πρὸς λόγον ἀεὶ τῆς κενώσεως, εὐπνούστερός τε καὶ εὐκινητότερος, καὶ εὐσφυκτότερος, καὶ εὐφορώτερος. καὶ δι' ὅλης γε τῆς ἡμέρας ἱδρούτω πολλῷ καὶ θερμῷ, διὰ παντὸς τοῦ σώματος ὁμαλῶς, εἶτ' εἰς ἑσπέραν ἀκριβῶς ἀπύρετος γινέσθω. ὁ τοιοῦτος ἄρρωστος ἀσφαλῶς κέκριται. καὶ χρὴ λοιπὸν ἀνατρέφειν αὐτὸν κατὰ βραχύ, μηδὲν δεδιότας. ἥτε γὰρ ἡμέρα πιστὴ καὶ πάντα τὰ κριτικὰ γνωρίσματα συνέδραμεν, ὅτι μὲν ἐπὶ τῆς ια΄ ἡμέρας τὸ κρίσιμον ἐν τοῖς οὔροις ἐφάνη, σημεῖον δ' ἐπισήμου τῆς κρίσεως εὐλόγως ῥηθείσης. ὅτι δ' ἥτε νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ, καὶ ἡ εἰσβολὴ μετὰ ῥίγους, καὶ ὁ τῶν σφυγμῶν σάλος ὁ κριτικός, καὶ οἱ ἱδρῶτες οἱ χρηστοί, διὰ τοῦτο σαφοῦς δικαίως ἂν ὀνομασθείσης. ὅτι δὲ ἄνευ συμπτωμάτων φοβερῶν, διὰ τοῦτ' ἀκινδύνου. καὶ μὲν δὴ καὶ τελείας μὲν ὅτι τὸν πυρετὸν ἀπήλλαξε τελέως, ἀγαθῆς δὲ διά τε ταὐτὸ τοῦτο, καὶ ὅτι χωρὶς κινδύνου. τί δὴ οὖν ἔτι λείπει μαρτυρῆσαι τῇ κρίσει; τούτῳ μοι τὸν νοῦν ἤδη προσέχειν, ὅτι πιστὴ καὶ ἀσφαλής, καὶ φόβος οὐδεὶς ὑποτροπιάσαι τὸ νόσημα. πόθεν οὖν ἐλάβομεν τοῦτο; τῶν μὲν γὰρ ἄλλων ἕκαστον, ἐξ ἑνός τινος, ἢ καὶ δυοῖν, ἢ πλειόνων μέν, ἀλλ' οὐκ ἐξ ἁπάντων γε τῶν γεγενημένων. τὸ δ' ὅτι πιστή, πάντων δεῖται συναριθμουμένων, ἐν οἷς ἐστὶ καὶ ἡ τῆς ἡμέρας φύσις. εἰ γὰρ καὶ τῶν ἄλλων ἁπάντων, ὧν εἴρηκα γεγενημένων εἰς τὴν πεντεκαιδεκάτην, ἐξέπεσεν ἡ κρίσις, οὐκ ἂν ὁμοίως ἦν ἀσφαλής. τὸ τοίνυν ἀκριβῶς πιστὸν ἐπισφραγίζεται παρὰ τῆς ἡμέρας, καὶ αὕτη τῶν κρισίμων ἡμερῶν ἡ χρεία. εἰ δέ τις ἡγεῖται μόνας αὐτὰς δύνασθαι τὸ πᾶν, οὗτος οὐ μόνον ἀγνοεῖ πλέον ἢ οὗ γινώσκει, ἀλλὰ καὶ τοῖς σοφισταῖς ἀφορμὴν ἀντιλογίας παρέχει. ἐροῦσι γοῦν εὐθέως εἰ τὸ πιστὸν ἐν ταῖς τῶν νοσημάτων λύσεσιν, ἡ τῆς ιδ΄ ἡμέρας παρείχετο φύσις. ἐχρῆν εἴ γε καὶ χωρὶς ἱδρώτων πολλῶν καὶ χρηστῶν ἀπήντησε, πιστὴν ὑπάρχειν αὐτήν. ὅπως δ' ἐστὶ ληρώδης ὁ λόγος, ἐγὼ μὲν οὐδ' ἐπιδεικνύναι τὴν ἀρχὴν ἐβουλόμην, ἀλλ' ἕκαστον τῶν εἰς ἰατροὺς φοιτώντων εἰς τοσοῦτον προπεπαιδεῦσθαι πρὶν φοιτᾶν, ὡς τὰ γοῦν οὕτω πρόδηλα σοφίσματα διαγινώσκειν δύνασθαι. ταχὺ γὰρ ὁ τοιοῦτος λῆρος ἀνατρέπει πᾶν βοήθημα, μήτε φλεβοτομίαν ποτὲ βοηθεῖν ἀποφαίνων. εἴπερ γὰρ ἐβοήθει, τί δή ποτ' οὖν οὐκ εὐθέως εἰς βαλανεῖον ἀπελύομεν τοὺς φλεβοτομηθέντας, ἀδεῶς τε διαιτᾶσθαι κελεύομεν, ἀλλ' ἐπὶ τῆς κλίνης συνέχομεν, καὶ λεπτῶς διαιτῶμεν, ἀλλὰ μηδὲ κατάπλασμα. καὶ γὰρ ἂν καὶ τοῦτο καὶ τοὺς ἐμπιπλαμένους τε καὶ λουομένους καὶ μεθυσκομένους ὠφελεῖ. ἀλλὰ μηδὲ κλυστῆρα, μηδ' ἄλλο τῶν πάντων οὐδέν. ὅμοιος γὰρ ὁ λῆρος. ἀλλ' ἐπειδὴ τέχνην οὕτω θαυμαστὴν καὶ μεγάλην, ἀντὶ τῶν Ἀσκληπιαδῶν τῶν πάλαι, νῦν ἱερουργοί τε καὶ τελῶναι μετέρχονται, χρὴ δήπου καὶ ἡμᾶς ἐπαμύνειν αὐτῇ προπηλακιζομένῃ, καὶ λέγειν ὡς εἴτε αἴτιον, εἴτε σημεῖον ὁτιοῦν, εἰ μὲν ἓν ἑνός, ἢ ποιητικὸν ἢ δηλωτικὸν εἶναι λέγοιτο, δείξαι τις ἀδυνατοῦν αὐτὸ πρὸς τὴν ἐπαγγελίαν, καὶ δεόμενον ἀεὶ παρουσίας ἑτέρου, καλῶς ἐξελέγχει τὴν δόξαν. εἰ δ' ἤτοι ποιεῖν, ἢ δηλοῦν ἅμα πλείω συνιόντα τὸ δέ τι λέγοιτο, ληρώδης ὁ κατὰ μόνας ἕκαστον αὐτῶν προχειριζόμενος. οὐ γοῦν ἓν ἕκαστον αὐτῶν ἰδίᾳ προσήκει διαβάλλειν ὡς οὐχ ἱκανόν, ἀλλ' ἅμα σύμπαντα. φαίης γὰρ ἂν οὕτως, οἶμαι, κἂν εἰ δέκα μὲν τινὲς οἷοί τ' εἶεν ἐπαίρειν βάρος ὁτιοῦν. ἕκαστος δ' ἰδίᾳ μὴ δύναιτο, μηδὲν εἰς τὴν τοῦ παντὸς ἔργου συντέλειαν εἰσφέρεσθαι τὸν ἕνα. τί δὴ βούλει; πότερον αἰτίας εἶναι τὰς κρισίμους ἡμέρας τῆς πιστῆς λύσεως τῶν νοσημάτων, ἢ σημεῖα; κατ' ἄμφω γὰρ ἑτοίμως ἐξελέγχεται τὸ σόφισμα. βούλει πρότερον αἰτίας ὑποθώμεθα, καθάπερ καὶ τὴν φλεβοτομίαν, καὶ τὸν κλυστῆρα, καὶ τὸ κατάπλασμα, καὶ τῶν ἄλλων ἕκαστον βοηθημάτων αἴτιον ὑγείας εἶναι φαμέν. ἀλλ' ὥσπερ ἐκείνων οὐδὲν οὕτως ἦν ἰσχυρόν, ὡς ἄνευ τῶν ἄλλων ὑγιάζειν, οὕτως οὐδ' ἡ κρίσιμος ἡμέρα. πάλιν οὖν εἰ βούλει, μηκέτ' αἰτίας αὐτάς, ἀλλὰ σημεῖα λέγωμεν, οἷα κἂν τοῖς οὔροις, καὶ διαχωρήμασι, καὶ πτύσμασι, καὶ τοῖς ἄλλοις ἅπασι τοῖς τοιούτοις ἐστίν. ἀλλ' οὐδ' ἐκείνων οὐδὲν ἱκανὸν ἦν μόνον

σωτηρίαν, ἢ θάνατον ἐνδέξασθαι. καὶ μὴν εἰ μήθ' ὡς αἴτια, μήθ' ὡς σημεῖα τὰς κρισίμους ἡμέρας ἀξιώσαιμεν ἀεὶ μόνας, ἢ δρᾶν, ἢ δηλοῦν τουτονί, ἀλλὰ μετὰ συνόδου πλειόνων, οὐκέτι οὐδεμίαν λόγον ἕξει τὸ σόφισμα αὐτῶν. οὐ γὰρ αὕτη βάσανος ὀρθὴ τῶν κρινουσῶν ἡμερῶν, τὸ καὶ χωρὶς τῶν ἄλλων σημείων τῶν κριτικῶν εἶναι πιστάς, ἀλλ' ἄλλη τις ἥπερ δὴ καὶ ὄντως ἐστίν. εἰ γὰρ δὴ τῶν ἄλλων ἁπάντων ὡσαύτως ἐχόντων ὑπαλλαχθείη μόνον ἡ κρίσιμος ἡμέρα, πολὺ τοῦ πιστοῦ τῆς κρίσεως ἀφαιρεῖται. κἂν εἰ τῶν ἄλλων δὲ κριτικῶν σημείων μὴ πάνυ συμπεπληρωμένων προσθείης αὐτοῖς ἡμέραν κρίσιμον, ἕξεις τινὰ ἐλπίδα λύσεως ἀσφαλοῦς. καίτοι κἂν εἰ τοῦθ' ὑπῆρχε μόνον ταῖς κρισίμοις ἡμέραις τὸ συντρέχειν αὐταῖς πολλάκις, ἤτοι τὰ πλεῖστα καὶ μέγιστα τῶν κρισίμων σημείων, ἢ τὰ σύμπαντα. δίκαιον δήπου ἦν, διά γε τοῦτο μόνον ἰδίαν τινὰ φύσιν ὑπολαβεῖν εἶναι ἡμερῶν κρισίμων. ὁπότε οὖν πρὸς τούτῳ καὶ παρ' ἑαυτῶν τι συνεισφέρουσιν, πολὺ δήπου μᾶλλον αὐτὰς τῶν μήτε συνεισφερουσῶν τι, μήτε τοῖς πολλοῖς τῶν κριτικῶν σημείων συντρεχουσῶν, ἀποκρινοῦμεν ὡς ἰδίαν μὲν ἐκείνων τὴν φύσιν. ἰδίαν δὲ τούτων ἐχουσῶν, ἐμοὶ μὲν καὶ πάνυ δοκεῖ. πάλιν οὖν ἀποχωρήσαντες τῶν λυμαινομένων τοῖς καλλίστοις τῆς τέχνης σοφιστῶν, ἀναμνησθέντες τε τῆς προγεγραμμένης ὑποθέσεως, ὀλίγον ἔμπροσθεν ἕνεκα σαφοῦς διδασκαλίας, τὸν ἄρρωστον ἐκεῖνον ὃν συνεχῶς μὲν πυρέσσοντα, διὰ τρίτης δὲ παροξυνόμενον, εἰς τὴν ια. ἡμέραν ἀγαγόντες τῷ λόγῳ, κριτικὸν ἐν τοῖς οὔροις ὑπεθέμεθα σημεῖον ἐσχηκέναι, κἄπειτα διὰ τῆς ιδ. κεκρίσθαι, νῦν μηκέθ' οὕτως, ἀλλ' ἔτ' αὖ ἄκριτον εἰς τὴν πεντεκαιδεκάτην ἀγαγόντες νύκτα, τὸν ἐν ταύτῃ παροξυσμόν. ὁμοίως μὲν εἰσβαλόντα μετὰ ῥίγους, ὡσαύτως δὲ ἱδρῶτι κρινόμενον, ὑποθώμεθα κατὰ τὴν ἑκκαιδεκάτην ἡμέραν, ἵν' ἐναργῶς μάθωμεν ὅσην τινὰ δύναμιν ἡμέρα κρίσιμος ἔχει. πρῶτον μὲν γὰρ οὐδ' αὖ καλῶς ὁ τοιοῦτος ἱδρώσειεν, οὐδ' αὖ τελέως ἀπύρετος γένοιτο κατ' ἐκείνην τὴν ἡμέραν. εἰ δ' ἄρα τι καὶ παράδοξον ἀπαντήσειεν, ἀλλ' ἄπιστός γε πάντως ἡ κρίσις, καί τι μικρὸν ἁμαρτόντος τοῦ κάμνοντος, ὑποστρέψει πάλιν τὸ νόσημα. πάλιν οὖν προχειρισάμενοι τὸν αὐτὸν ἄρρωστον, ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ὑποθώμεθα τὸ κριτικὸν ἐσχηκέναι σημεῖον, ὡς ὀλίγον ἔμπροσθεν ἐπὶ τῆς ἐνδεκάτης ὑπεθέμεθα τούτῳ τὴν κρίσιν ἑβδομαίαν προσδέχεσθαι. θεωρητὴ γὰρ ἐν μὲν τῇ δευτέρᾳ τῶν ἑβδομάδων ἡ ἐνδεκάτη, ἐπὶ δὲ τὴν πρώτην ἡ τετάρτη, καὶ δηλοῦν πέφυκεν. ὥσπερ ἡ ἐνδεκάτη τὴν τεσσαρεσκαιδεκάτην, οὕτως ἡ δ. τὴν ζ. ὁποία τις ἔσται. γινέσθω δὲ περὶ τὴν ἑβδόμην νύκτα περὶ τὴν τρίτην ὥραν ὁ παροξυσμὸς ὡς ἔμπροσθεν ὑπέκειτο, καὶ τὰ τοῦ ῥίγους καὶ τὰ τῶν σφυγμῶν ὡσαύτως ἀπαντάτω, καὶ νυκτὸς ἤδη παυομένης, ἱδροῦν ἀρχέσθω, κἄπειτα δι' ὅλης τῆς ἑξῆς ἡμέρας τῆς ὀγδόης ἱδρούτω καλῶς, εἶτ' ἀπύρετος εἰς τὴν ἑσπέραν γινέσθω. πρόσεχε δή μοι πάλιν ἐνταῦθα τὸν νοῦν, οὗ γὰρ ἕνεκα προὐχειρισάμην τὸν ἄρρωστον, οὐ μικρόν ἐστι. κατὰ μὲν γὰρ τὴν πρώτην ὑπόθεσιν ἐν τῇ ιγ. νυκτὶ παροξυνθεὶς κρισίμως, εἶτ' ἐν τῇ ιδ. γενόμενος ἀπύρετος, οὐ τρισκαιδεκαταῖος, ἀλλὰ τεσσαρεσκαιδεκαταῖος ἐλέγετο κεκρίσθαι. νυνὶ δὲ καίτοι τῶν ἱδρώτων, καὶ τῆς λύσεως τοῦ νοσήματος εἰς τὴν ὀγδόην ἡμέραν ὅλην ἐκπεσόντων, ὅμως ἑβδομαῖος αὖ ὁ τοιοῦτος κεκρίσθαι λέγοιτο. προσέχειν γὰρ χρὴ τὸν νοῦν οὐκ ἁπλῶς τῶν παροξυσμῶν ταῖς ἀρχαῖς, εἰ μετὰ κριτικῶν εἰσβάλλουσι σημείων, οὐδ' ὅταν πρῶτον ἱδροῦν ἢ ἄλλως πως ὑπάρξωνται κρίνεσθαι. καὶ γὰρ καὶ τοῦτο μόνον οὐ πιστόν, ἀλλ' οὐδ' ὅτε πρῶτον ἀπύρετοι γίνονται. οὐ μὴν οὐδὲ τὰ δύο συνιόντα πλείονα τοῦ λοιποῦ τὴν δύναμιν ἐξ ἀνάγκης ἔχει. τὰ μὲν γὰρ τρία συνερχόμενα, δῆλον ὡς ἐξαιρεῖ πᾶν ζήτημα. λέγω δ' εἰ κατά τινα μίαν ἡμέραν ὅτε παροξυσμὸς εἰσβάλλοι μετὰ τῶν κρινόντων σημείων, ἥ τε κρίσις ὑπάρξαιτο, καὶ ἡ τελέα λύσις ἀκολουθήσειεν. εἰ μέντοι μερισθείη, διοριζέσθω πρῶτον μὲν τὰ μάλιστα ταῖς ἐπιδήλοις τε καὶ θεωρηταῖς ἡμέραις ὀνομαζομέναις. ἂν γὰρ ἤτοι τῆς τετάρτης, ἢ τῆς ἐνδεκάτης ἐπιδήλου γενομένης, ἡ κρίσις ἐφάψηται καθ' ὁντινοῦν τρόπον, ἤτοι τῆς ἑβδόμης, ἢ τῆς ιδ. ἐκείνων εἶναι χρὴ νομίζειν αὐτήν. εἰ δ' ἐκπέσοι τελέως αὐτῶν, ὡς μήτ' ἄρξασθαι κατ' αὐτάς, μήτε συμπληρωθῆναι, δῆλον ὡς οὐκέτι μὲν ἐγχωρεῖ λέγειν ἑβδομαῖον, ἢ τεσσαρεσκαιδεκαταῖον κεκρίσθαι νόσημα. κατ' ἄλλην δέ τινα τῶν ἡμερῶν ἤ τις αὖ ὅλην τὴν κρίσιν ἐν αὐτῇ περιλάβοι. εἰ μέντοι μηδεμιᾶς ἐπιδήλου προγεγενημένης ἐξαίφνης γένοιτο κρίσις ἐφαπτομένη δυοῖν ἡμερῶν, εἰς ταῦτα ἀποβλέπων τὰ γνωρίσματα, διορίζεσθαι ποτέρας αὐτῶν ἐστιν· εἰς τὴν τῶν παροξυσμῶν ἀναλογίαν, εἰς τὴν τῶν ἡμερῶν φύσιν, εἰς τὸν ἀριθμὸν τῶν κριτικῶν καιρῶν, εἰς αὐτὸν τὸν χρόνον τῆς κρίσεως, εἰς μὲν τὴν τῶν παροξυσμῶν ἀναλογίαν ὧδε. ταῖς μὲν περιτταῖς ἡμέραις μᾶλλον πονοῦντος τοῦ κάμνοντος, οἰκειοτέρα τῆς περιττῆς ἡμέρας ἡ κρίσις, ὥσπερ εἰ καὶ ταῖς ἀρτίαις ἐκείνης ἴδιος. ἐν γὰρ τοῖς παροξυσμοῖς αἱ κρίσεις γίνονται τοὐπίπαν, εἰς δ' αὐτὴν τῶν ἡμερῶν τὴν φύσιν ὧδέ πως. ἐπὰν ἀμφισβητοῖτο πότερον ἐννάτης ἐστὶν ἡμέρας, ἢ δεκάτης ἡ κρίσις. εἰ μὲν γὰρ ἀγαθή, καὶ τελέα, καὶ ἀκίνδυνος, ἐννάτης μᾶλλον ἐστίν. εἰ δ' ἀτελής, καὶ φαύλη, καὶ κινδυνώδης, δεκάτης. εἰς δὲ τὸν ἀριθμὸν τῶν κριτικῶν καιρῶν ἐπειδὴ τρεῖς ἦσαν οὗτοι, ἡ ἀρχὴ τοῦ κριτικοῦ παροξυσμοῦ, ἡ ἀρχὴ τοῦ κριτικοῦ κινήματος, τὸ τέλος αὐτὸ τῆς κρίσεως, ἡ τοὺς δύο δεξαμένη καιροὺς εἰς ἑαυτὴν ἡμέρα, σφετερίζεται μᾶλλον τὴν κρίσιν. οὕτω δὴ καὶ αὐτὸς ὁ χρόνος ὁ τῆς κρίσεως ὁποτέρας ἂν ᾖ τῶν ἡμερῶν μακρότερος, ἐκείνῃ μᾶλλον προσνέμειν τὴν κρίσιν. εἰ μὲν δὴ τὰ τέτταρα ταῦτα γνωρίσματα μίαν ἡμέραν εἰσηγοῖτο, ταύτῃ καί σοι προσνέμειν τὴν κρίσιν. εἰ δ' ἓν ἐξ αὐτῶν ἀπολείποιτο, προσνέμειν ἔτι καὶ οὕτως. ἀλλ' ἤδη καὶ τὴν ἑτέραν αὐτῆς μεμερίσθαι νομιστέον. εἰ δ' ἴσα τὰ γνωρίσματα εἴη, καὶ τὴν κρίσιν οὕτω κοινὴν ἀμφοτέρων εἶναι τῶν ἡμερῶν ὑποληπτέον, ἐνίοτε δ' οὐ δυοῖν μόνον, ἀλλὰ καὶ τριῶν ἡμερῶν ἡ κρίσις ἐφάπτεται. πάλιν οὖν ἐνταῦθα τὴν μέσην μὲν ὅσον ἐπὶ τῷ μήκει τοῦ χρόνου προκριτέον. οὐ μὴν αὐτῇ γε τὸ σύμπαν δοτέον, ἀλλὰ πρῶτον μὲν εἰ χωρὶς ἐπιδήλου τε καὶ θεωρητῆς ἡμέρας ἡ κρίσις ἐγένετο σκεπτέον. εἴρηται γὰρ ὅτι μεγίστην δύναμιν ἔχει τοῦτο. δεύτερον δὲ καὶ τοῖς ἄλλοις κανόσι προσχρηστέον, οὓς νῦν ἤδη πέπαυμαι λέγων, ἀναλογίαν παροξυσμῶν, καὶ φύσιν ἡμερῶν, καὶ ἀριθμὸν κριτικῶν καιρῶν, καὶ αὐτὸν τὸν τῆς κρίσεως χρόνον. ἐπειδὴ δὲ καὶ περὶ τούτων αὐτάρκως διώρισται, πάλιν ἐπανελθόντες ὥσπερ ἔμπροσθεν, ἄχρι τῆς κ. ἡμέρας, οὕτως ἤδη τὰς μετ' ἐκείνην ἐξαριθμησώμεθα κρισίμους. τοσοῦτον μόνον ἔτι τοῖς ἔμπροσθεν εἰρημένοις ἤδη προσθέντες, ὅσα εἴς τε τὰ νῦν εἰρημένα χρήσιμα ὑπάρχει, καὶ μηδὲν ἐν τοῖς ἤδη

λελεγμέ-

λελεγμένοις ἀπολείπεται ζήτημα. τί δ' ἐστὶ τοῦτο; περὶ τῆς πρώτης ἡμέρας ἐν τοῖς νοσήμασι καὶ τῆς δευτέρας, οὐδὲν εἴπομεν ἐν τῷ πρόσθεν λόγῳ, καί τοι τοῖς γε περὶ τὸν Διοκλέα, καὶ αὗται κρίνειν ἔδοξαν. ὅπως οὖν χρὴ καὶ περὶ τοῦδε γινώσκειν, διοριστέον. εἰ μὲν γὰρ ἡ προηγουμένη τῆς λύσεως τοῦ νοσήματος ὀξεῖα ταραχὴ κατὰ τὸ τοῦ κάμνοντος σῶμα κρίσις ὀνομάζεται, μήτε τὴν πρώτην ἡμέραν, μήτε τὴν δευτέραν ὑποληπτέον εἶναι κρισίμους. ὁ γὰρ οἷον σάλος ὁ προηγούμενος τῆς λύσεως, οὐδ' ἀμῶς ἐπιφανὴς ἐν ταύταις γίνεται. εἰ δὲ τὴν λύσιν ἁπλῶς ὀνομαστέον ἐστὶ κρίσιν, εἶεν ἂν καὶ αἵδε κρίσιμοι. πάντες γοῦν οἱ ἐφήμεροι προσαγορευόμενοι πυρετοί, τὴν λύσιν οἱ μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν εὐθύς, οἱ δ' ἐν τῇ δευτέρᾳ ποιοῦνται. περὶ σημαινομένου τοίνυν ἡ ζήτησις κἀνταῦθα μᾶλλον, ἢ περὶ πράγματος. αὐτὸ γὰρ τὸ πρᾶγμα τὸ λύεσθαι πολλοὺς τῶν πυρετῶν εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις, οὐδεὶς ἀγνοεῖ. τῆς δ' αὐτῆς ἔχεται ζητήσεως κἀκεῖνο, πότερον ἐπειδὰν εἰς λύσιν τοῦ νοσήματος ἡ γινομένη ταραχὴ τελευτήσῃ κεκρίσθαι λεκτέον, ἢ κἂν ἀξιόλογός τις γένηται μεταβολή. καὶ μὲν δὴ καὶ αὐτὸ τῆς λύσεως τοὔνομα πότερον ἐπειδὰν εἰς ὑγείαν ὁ κάμνων μεταστῇ μόνον ἐπενεκτέον ἐστίν, ἢ κἀπειδὰν ἀκολουθήσῃ θάνατος, ἔτι λελύσθαι καὶ οὕτω λεκτέον τὸ νόσημα, πολλὴν ἔχει ζήτησιν. ὅτῳ δὲ καὶ τὰ τοιαῦτα σχολὴ ζητεῖν, αὖθις εὑρήσεται. νυνὶ δὲ ἐν τούτῳ τῷ πρώτῳ λόγῳ πρόκειταί μοι τὸ χρήσιμον αὐτὸ δεῖξαι μόνον, ὃ καὶ χωρὶς ἀποδείξεων λογικῶν ἐξ ὑποθέσεως περαίνεσθαι δύναται. ὑποκείσθω γὰρ ἡμῖν ἡ μὲν τῆς ἀκριβοῦς λύσεως ταραχή, κρίσιν ἁπλῶς ὀνομάζεσθαι. τῶν δ' ἄλλων οὐδεμία κρίσις ἁπλῶς, ἀλλ' ἡ μὲν εἰς ὄλεθρον τελευτῶσα, κακὴ κρίσις ὅλον τοῦτο καλείσθω. ἡ δ' ἀξιόλογον μὲν τὴν ῥοπὴν ποιησαμένη, μὴ λύσασα δὲ τὴν νόσον τελέως, ἐλλιπὴς κρίσις ὀνομαζέσθω. ἡ λοιπὴ δ' ἡ ῥοπὴν ἀξιόλογον ἐπὶ τὸ χεῖρον, ἀτελής τε ἅμα καὶ κακὴ προσαγορευέσθω κρίσις. οὕτω μὲν ἐπειδὰν τελέως τε καὶ σαφῶς δηλῶσαι βουληθῶμεν ἕκαστον ἰδίᾳ τῶν πραγμάτων, ἐνίοτε δὲ ταῖς ὀνομαζομέναις ἐλλειπτικαῖς ἑρμηνείαις χρώμενοι, κρίσεις ὀνομάζομεν ἁπάσας τὰς τέσσαρας διαφοράς, παραλιπόντες προσθεῖναι τὸ κακήν, ἢ ἀτελῆ. καὶ ὡς τοῦτο τὸ τῆς ἐλλιποῦς ἑρμηνείας ἱκανῶς ἐστὶ σύνηθες ἅπασιν ἀνθρώποις, εἴρηται μὲν ἐπὶ πλέον ἐν ἑτέροις. εἰρήσεται δὲ καὶ νῦν ὅσον ἐξαρκεῖ πρὸς τὰ παρόντα. χοίνικα γοῦν, καὶ πῆχυν, καὶ πόδα, καὶ τῶν ἄλλων τι μέτρων, οὔτ' ἐπειδὰν ᾖ τι μεῖζον τοῦ δέοντος, οὔτ' ἐπειδὰν ἔλαττον, οὕτως ὀνομάζειν προσήκει, ἐπειδὴ ποσοῦ τινὸς ὡρισμένου τῶν ὀνομάτων τῶν τοιούτων ἕκαστόν ἐστι δηλωτικόν. ἀλλ' ὅμως καὶ τὴν ἐλάττονα καὶ τὴν μείζονα τοῦ δέοντος, ἔστιν ὅτε χοίνικα προσαγορεύομεν. ὡσαύτως δὲ καὶ τὸν πῆχύν τε καὶ τὸν πόδα, καὶ τῶν ἄλλων ἕκαστον. ἀλλ' ὅταν ἀκριβῶς ἑρμηνεύωμεν, οὐ πῆχυν ἁπλῶς, ἀλλὰ μέγαν πῆχυν καὶ μικρὸν ὀνομάζομεν, ἁπλῶς δὲ τὸν δίκαιον μόνον. ἔστι δ' ὅτε καὶ κατ' ἐξοχὴν ὑπεροχὴν ἐνίᾳ τὴν τοῦ γένους ὅλου προσηγορίαν σφετερίζεται. ὥσπερ καὶ παρὰ τῷ ποιητῇ λέγεσθαι φαμὲν τὸ δέ τι, οὐκ ἂν οὐδενὸς ἄλλου παρὰ τὸν Ὅμηρον ἀκουομένου, καί τοι μυρίοι γ' εἰσὶν ἄλλοι ποιηταί. τοιοῦτον δ' ἐστὶ καὶ τὸ παρὰ τῷ κωμικῷ. ὡς χαρίεν ἐς ἄνθρωπος ὅτ' ἄνθρωπος. τὸν γὰρ ἄγριον, καὶ τὸν θηριώδη, καὶ τὸν ἀνόητον, καὶ τὸν σκαιόν, οὐ κατὰ τὴν ἀνθρώπου φύσιν ὑπάρχειν νομίζοντες, ἐπὶ τοὺς κατορθοῦντας ἐν τῇ φύσει τοὔνομα φέρομεν. εἴτ' οὖν οὕτω καθ' ὑπεροχήν τινα τὸ τῆς κρίσεως ὄνομα λέγομεν, εἴτε κατὰ τὸν πρότερον λόγον, ἑτέρου διασκέψασθαι καιροῦ. τὸ δ' εἰς τὰ ἔργα τῆς ἰατρικῆς διαφέρον, ἤδη περαίνεσθαι δύναται, κατὰ τὴν τῶν προγεγραμμένων ὀνομάτων ὑπόθεσιν. ἡ μὲν γὰρ πάντ' ἔχουσα τὰ τῆς κρίσεως γνωρίσματα, κρίσις ἁπλῶς, αἱ δ' ἄλλαι μετὰ προσθήκης ὀνομασθήσονται. καὶ μὲν δὴ κἂν εἰ μὴ τὴν τῆς ἀθρόας μεταβολῆς ταραχήν, ἀλλ' αὐτὴν μόνην μεταβολὴν ἀξιώσειέ τις ὀνομάζεσθαι κρίσιν, ἡ μὲν ἀγαθή τε ἅμα καὶ τελεία λύσις, ἁπλῶς ἂν ὀνομάζοιτο κρίσις, αἱ δ' ἄλλαι μετὰ προσθήκης ἅπασαι. τίνες μὲν οὖν αἱ μετὰ τὴν εἰκοστὴν ἡμέραν κρίσιμοι, τοῦτο γὰρ καὶ ἔτι πρόκειται διελθεῖν. τὴν μὲν εἰκοστὴν πρώτην, οἱ περὶ τὸν Ἀρχιγένην τε καὶ Διοκλέα πρώτην πασῶν μάλιστα προσίενται. καὶ γὰρ ὁ Ἀρχιγένης, καὶ τῆς εἰκοστῆς αὐτὴν προκρίνει. ἐμοὶ δ' οὐχ οὕτως ἐφάνη, καθάπερ οὐδ' Ἱπποκράτει. δεδείξεται δὲ τοῦτο διὰ τῶν ἐφεξῆς, ὡσαύτως δὲ καὶ περὶ τῆς κζ. ἔχει. καὶ γὰρ ἐγὼ μὲν καὶ ταύτην προτάττω τῆς κη. ἐκεῖνοι δ' ὑποτάττουσιν. ἔχει δὲ καὶ ἡ λδ. δύναμιν ἀξιόλογον, καὶ ταύτης ἔτι μᾶλλον ἡ τεσσαρακοστή. τούτων δ' ἧττον κρίνουσιν ἥτε κδ. καὶ ἡ λα. καὶ πολὺ τούτων ἔτι ἧττον ἡ λζ. ὡς ἐν μεθορίῳ τετάχθαι δοκεῖ τῶν κρινουσῶν ἡμερῶν τε, καὶ μή, καὶ μᾶλλον ἐκ τῶν μὴ κρινουσῶν εἶναι. τὸ δ' ἄλλο πᾶν πλῆθος τῶν ἡμερῶν, τὸ μεταξὺ τῆς κ. καὶ τῆς μ. ἄκριτον ἅπαν ἐστίν. ἄκουσον δ' αὐτὰς ἤδη λεγομένας ἐφεξῆς κβ. καὶ κγ. καὶ κς. καὶ κθ. καὶ λ. καὶ λβ. καὶ λγ. καὶ λε. καὶ λς. καὶ λη. καὶ λθ. αἱ σύμπασαι δώδεκα. φέρουσι δὲ μεγάλους μὲν σάλους αἱ μέχρι τῆς ιδ. ἔγγιστα δὲ αὐτῶν εἰσιν αἱ μέχρι τῆς κ. αἱ δ' ἀπὸ τῆσδε σύμπασαι, αἱ μέχρι τῆς μ. ἐκλύουσι κατὰ βραχὺ τὸ ἀγωνιστικόν. ὡς αἵ γε μετὰ τὴν μ. ἅπασαι τελέως εἰσὶν ἔκλυτοι, πέψεσι μᾶλλον καὶ ἀποστάσεσι τὰς λύσεις τῶν νοσημάτων ἢ ἐκκρίσεσι ποιούμεναι. γίνονται μὲν κἀν ταύταις ἐνίοτε δι' ἐκκρίσεων αἱ κρίσεις, ἀλλὰ σπάνιοι εἰσί, καὶ οὐ μέγαν ἔχουσι τὸν ἀγῶνα. καὶ τὰ πολλὰ πλείοσιν ἡμέραις αἱ κρίσεις συμπληροῦνται, καὶ μάλιστα ὅταν εἰς ἀπόσκημμα τρέπωνται. τῶν μὲν οὖν ἄλλων τῶν μετὰ τὴν τεσσαρακοστὴν ἡμέραν, τελέως ἔοικεν ὁ Ἱπποκράτης καταφρονεῖν. ἑξηκοστὴν δὲ καὶ ὀγδοηκοστήν, καὶ ἑκατοστὴν εἰκοστὴν ἐν λόγῳ τίθεται. μετὰ δὲ ταύτας τὰς μὲν ἐν ἑπτὰ μησί, τὰς δ' ἐν ἑπτὰ ἔτεσι κρίνεσθαι φησί. τὰς δ' ὡς ἔοικεν, ἐν διπλαῖς ἐτῶν ἑβδομάσι καὶ τριπλαῖς. εἰσὶ δ' οἳ καὶ τῆς μβ. καὶ τῆς με. καὶ προσέτι τῆς μη. καί τινων ἑτέρων μνημονεύουσιν, ὑπὲρ ὧν ἁπασῶν ὁ λόγος ἡμῖν ἐφεξῆς ἔσται. τοῖς μὲν οὖν πλείστοις ἰατροῖς ἀδύνατον εἶναι δοκεῖ προγνῶναι τὴν ἡμέραν ἐν ᾗ κριθήσεται τὸ νόσημα. ταῖς δ' ἀληθείαις οὐκ ἀδύνατόν ἐστιν, εἴ τις ἐπιμελῶς ἀναλεξάμενος τὴν Ἱπποκράτους θεωρίαν, ἐργάζεσθαι τὴν τέχνην σπουδάσειεν. εἰ δ' ἤτοι πρὶν ἐκμαθεῖν ταύτην ἐπὶ τῶν ἀρρώστων τρίβοιτο, πλέον οὐδὲν ἕξει τοῦ κατατρίβεσθαι μάτην, ἢ εἰ μάθοιεν αὐτὴν ἐπιμελῶς, ὀλιγωρήσει δ' ἐργάζεσθαι. μακρῷ μὲν γὰρ ὅδε θατέρου τοῦ μηδὲν προμεμαθηκότος ἀμείνων, ἐνδεῖ δ' οὐκ ὀλίγον, οὐδ' αὐτὸς πρὸς τὸ τέλειον. ὅστις οὖν βούλεται προγνωστικὸς εἶναι τῆς μελλούσης ἡμέρας κρῖναι τὸ νόσημα, τούτῳ πρῶτα μὲν ἁπάντων ἀκριβῶς ἐστι γνωστέα τὰ διὰ τοῦ προγνωστικοῦ γράμματος ὑφ' Ἱπποκράτους εἰρημένα. δεύτερα δὲ τὰ περὶ τῶν καταστάσεων ἐν ἑτέροις βιβλίοις

γεγραμμένα, κἄπειτα τὰ περὶ τῶν ἡλικιῶν τε καὶ φύσεων, καὶ ὡρῶν, καὶ χωρῶν, ὧν εἴρηται τινὰ καὶ κατ' αὐτὸ τὸ προγνωστικόν. ἐπειδὰν δὲ ταῦτ' ἐκμάθοι, τὴν κατὰ τοὺς σφυγμοὺς τέχνην ἐπιμαθών, οὐκ ἂν χαλεπῶς προγινώσκοι τὴν ἡμέραν τῆς κρίσεως. αὐτίκα γέ τοι νοσήματος ὀξέος μηδὲν τῶν κινδυνωδῶν σημείων ἔχοντος, εἰ κατ' αὐτὴν τὴν τετάρτην ἡμέραν φανείη τι πέψεως ἀξιόλογον γνώρισμα, κατὰ τὴν ἑβδόμην ἡ κρίσις ἀπαντήσεται. καὶ τοῦτ' εἴρηται μὲν οὑτωσὶ διὰ ταχέων, ἀληθὲς ὑπάρχον ἐν τοῖς μάλιστα. τῷ δὲ ἀγνοοῦντι διαγινώσκειν ὀλέθρια σημεῖα καὶ κινδυνώδη καὶ σωτήρια, πλέον οὐδὲν ἐκ τοῦ λόγου. καί τοι κἂν εἰ ταῦτα πάντα διαγινώσκοι, τὰ δὲ τῆς πέψεως ἀγνοεῖ, καὶ τῷδε πλέον οὐδὲν ἐκ τοῦ λόγου. τούτου δὲ χάριν ἠξίωσα τὸ προγνωστικὸν Ἱπποκράτους ἀναλέξασθαι σύγγραμμα. κινδυνωδῶν μὲν γὰρ συμπτωμάτων προόντων, ἅμα δὲ τῆς πέψεως γνωρίσματι τῷ κατὰ τὴν τετάρτην ἡμέραν φανέντι τὴν κρίσιν, εἰ μὲν ἐν ἀρτίαις ὁ παροξυσμὸς γένοιτο, κατὰ τὴν ἕκτην ἔσεσθαι προσδοκᾶν. εἰ δὲ ταύτην ὑπερβάλλοι, ἐπὶ τὴν ὀγδόην. εἰ δὲ ἐν περιτταῖς, ἐπὶ τὴν ἑβδόμην. ἀγαθῶν δὲ σημείων προόντων, κατὰ τὴν ἑβδόμην ἡμέραν λυθήσεται τὸ νόσημα. τὰ μὲν γὰρ ὀλέθρια σημεῖα σὺν τοῖς τῆς πέψεως γνωρίσμασιν οὐδ' ἂν γένοιτό ποτε, χρὴ δ' οὐχ ἧττον καὶ ταῦτα σκοπεῖσθαι τῶν κινδυνωδῶν τε καὶ σωτηρίων. εἰ γὰρ ἐν τῇ τετάρτῃ πρῶτον φαίνοιτο, κατὰ τὴν ἑβδόμην ὁ θάνατος. εἴρηται δ' ὡς καὶ ἡ τοιαύτη κρίσις ὀνομάζεται κακή. προσέχειν δὲ χρὴ ἐνταῦθα τῷ μεγέθει τε καὶ πλήθει τῶν ὀλεθρίων σημείων. εἰ μὲν γὰρ πολλὰ καὶ μεγάλα γίνοιτο κατὰ τὴν τετάρτην ἡμέραν, τοῖς παροξυσμοῖς διορίζεσθαι περὶ τοῦ μέλλοντος θανάτου, καὶ γινώσκειν μὲν ἑκταῖον τεθνήξεσθαι τὸν ἄνθρωπον ἐν ἀρτίαις παροξυνόμενον, ἑβδομαῖον δ' ἐν περιτταῖς. ἐνίοτε δὲ καί τοι τῶν περιττῶν παροξυνουσῶν, ἡ ἕκτη προσαπέκτεινε τὸν οὕτως ἔχοντα, διά τε τὴν ὀξύτητα τῆς νόσου, καὶ τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν ἐν τῇ δ. γενομένων συμπτωμάτων, διόπερ ἀκριβῶς χρὴ διαγνωστικὸν εἶναι τοῦ κατὰ δύναμιν μεγέθους τῶν συμπτωμάτων. ἀλλ' ὅπως μὲν χρὴ τοῦτο διορίζεσθαι τοῦ κατὰ φαντασίαν, ἐν τοῖς περὶ κρίσεων λέγεται. πάντα δὲ ἐν πᾶσιν, οὐ χρὴ συγχεῖν καὶ ταράττειν, ἀλλ' ὅσον αὐτῶν ἐστιν ἴδιον μόνον τῶν κρινουσῶν ἡμερῶν, ἐνταυθοῖ διεξέρχεσθαι. πάνυ γὰρ ἀκριβῶς παραφυλάξαντες ἐπὶ τῶν ὀξέως νοσούντων, εὕρομεν ἐπίδηλον ἀεὶ τὴν τετάρτην τῆς ἑβδόμης, ὅσον ἐφ' ἑαυτῇ. τὸ δ' ὅσον ἐφ' ἑαυτῇ, τοιόνδ' ἐστί, μηδενὸς σπανίου καὶ μεγάλου παρεμπεσόντος, ἢ ἔξωθεν, ἢ ἐξ αὐτῆς τοῦ νοσήματος τῆς φύσεως, ἢ καὶ τῆς τοῦ κάμνοντος ἕξεως, ἡ τετάρτη πάντως προδηλοῖ τὴν ἑβδόμην. εἰ δέ τι τῶν ἔξωθεν ἀδοκήτων προσγένοιτο, περὶ ὧν ἐφεξῆς ἐροῦμεν, ἢ καὶ τὸ νόσημα σφοδρῶς ἐπὶ τὴν κρίσιν, ἢ ἀμυδρῶς κινοῖτο, καὶ ἡ τοῦ κάμνοντος δύναμις ἰσχυρὰ ἢ ἄρρωστος ὑπάρχοι, προσέχειν ἐνταῦθα τὸν νοῦν, καὶ διορίζεσθαι, πότερον ἀπολεῖσθαι φθάσει πρὸ τῆς ζ. ἡμέρας, ἢ μετὰ ταύτην κριθήσεται. κακοῦ μὲν γάρ τινος ἔξωθεν ἀδοκήτου προσγενομένου, καὶ τοῦ νοσήματος οὐκ ὀξέος ἁπλῶς, ἀλλὰ κατοξέος ὑπάρχοντος, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως ἀσθενοῦς οὔσης, οὐκ ἀναμένει τὴν ἑβδόμην ἡμέραν, τὸ κατὰ τὴν τετάρτην γινόμενον κακὸν σημεῖον. ἀλλ' ἑκταῖος ὁ τοιοῦτος ἄρρωστος τεθνήξεται, καὶ μάλιστα εἰ παροξύνοιτο κατὰ τὰς ἀρτίας. εἰ δὲ μήτι ἔξωθεν ἁμαρτηθείη μηδέν, ἥτε τοῦ νοσήματος κίνησις εἴη μὴ πάνυ τοι κατοξύς, ὅ, τε κάμνων ἰσχυρός, εἰ μὲν σαφὲς ἐν τῇ τετάρτῃ τὸ κακὸν σημεῖον ἐγγένοιτο, κατὰ τὴν ἑβδόμην ὁ θάνατος. εἰ δ' ἀμυδρόν, ὑπερβάλλει καὶ κατὰ τήνδε. καὶ τῶν παροξυσμῶν ἐν ἀρτίαις μὲν γινομένων, ὀγδοαῖος, ἐν περιτταῖς δέ, ἐνναταῖος τεθνήξεται. τίνα δὲ σαφῆ, καὶ τίν' ἀμυδρὰ καλῶ σημεῖα, ἐν τοῖς περὶ κρίσεων εἴρηται, ἀλλὰ κἀν τῷδε τῷ λόγῳ προϊόντι δηλωθήσεται, πρότερον δὲ περὶ τῶν λειπόντων διορισμῶν ἐπάνειμι. χρηστὸν γάρ τι κατὰ τὴν τετάρτην ἡμέραν ἐναργῶς γινέσθω σημεῖον, καὶ μηδεὶς κίνδυνος ὑποπτευέσθω περὶ τὸν κάμνοντα, ἀδύνατον ἐνταῦθα τὸ μὴ οὐ τὴν ἑβδόμην ἡμέραν κρῖναι τὴν νόσον, ἄν γε μηδὲν τῶν ἔξωθεν ἁμαρτάνηται. τίνα δέ ἐστι τὰ ἁμαρτανόμενα, τὰ μὲν ὑπ' αὐτοῦ τοῦ κάμνοντος δηλονότι, τὰ δ' ὑπὸ τῶν θαυμαστῶν τούτων ἰατρῶν οἰομένων, εἰ μή τις εἰσελθὼν περὶ τὸν ἄρρωστον εἶτα περιζωσάμενος, ἢ καταπλάσειεν, ἢ καταιονήσειεν, ἢ κλύσειεν, ἢ φλεβοτομήσειεν, ἢ σικυάσειεν, ἢ ῥίψειεν, ἢ θρέψειεν, ἢ τι τοιοῦτον ἕτερον ἐργάσαιτο, μηδὲν αὐτῷ πεπρᾶχθαι τεχνικόν. οὗτοι γὰρ ὁποσάκις ἂν εἰσέλθωσι πρὸς τὸν νοσοῦντα, τοσαυτάκις ἁμαρτάνουσιν. οὐκοῦν ἐνδέχεται τὴν εἰς τὴν ἑβδόμην ἡμέραν παρασκευαζομένην κρίσιν ἐν ἐκείνῃ γενέσθαι, τοσούτων ἐν τῷ μεταξὺ πλημμεληθέντων. ἡ γάρ τοι τῆς φύσεως κίνησις, γίνεται μὲν ἐν περιόδοις τεταγμέναις, κατά γε τὸν ἴδιον λόγον. κωλύεται δὲ ἐνίοτε φυλάττειν τὰς περιόδους ὑπὸ τῶν ἔξωθεν εἰς αὐτὴν ἁμαρτανομένων. οὕτω γοῦν καὶ ὁ πάνυ θαυμαστὸς Ἱπποκράτης ἔλεγε, φύσις ἐξαρκεῖ πάντα πᾶσιν. εἰς δὲ ταύτην, ἔξωθεν μὲν κατάπλασμα, κατάχρισμα, ἐμβροχὴ ὅλου τε καὶ μέρεος. οὕτω δὲ καὶ τὸν ἰατρὸν ὑπηρέτην φύσεως ὀνομάζει τὸν ὄντως ἰατρόν, οὐ φαρμακοπώλην τινὰ ἐκ τριόδου. τοῦτον γὰρ οὗτος ἀποδεῖ τῆς φύσεως ὑπηρέτης δικαίως ὀνομάζεσθαι, ὥστε τὰς ἐναντιωτάτας αὐτῷ μᾶλλον πρέπειν προσηγορίας, ἐχθρῷ καὶ πολεμίῳ τῆς φύσεως αὐτῆς καὶ τῶν καμνόντων, οὐκ ἀλόγως ἂν ὀνομασθέντι. δεόντως οὖν καὶ ἡμεῖς ἐπειδάν τις ἀξιώσει ἡμᾶς προειπεῖν ἐπί τινος ἀρρώστου τὸ μέλλον ἀποβήσεσθαι, μετὰ διορισμοῦ τὴν πρόρρησιν ποιούμεθα, κριθήσεσθαι τόνδε ἵνα λέγοντες ἐν τῇδε τῇ ἡμέρᾳ, πρῶτον μὲν ὑφ' ἡμῶν διαιτώμενον, οὐχ ὑπ' ἄλλου τινὸς ἰατροῦ. ἔπειτα δὲ αὐτὸν οὐδὲν ἐξαμαρτόντα καὶ πράξαντα πάντα τὰ προσταττόμενα, καὶ τρίτον εἰ μηδὲν τῶν ἔξωθεν ἁμαρτηθείη τι μέγα. τίνα δὴ ταῦτά ἐστι τὰ ἔξωθεν, ὑπηγγειλάμην γὰρ οὖν καὶ τοῦτο διορίσασθαι, καιρὸς ἂν εἴη λέγειν. εἰ δή τις ἐμπρησμοῦ γενομένου κατὰ τὴν οἰκίαν, ἢ λῃστῶν ἐπελθόντων, ἢ ποταμοῦ κατακλύσαντος, ἐξαίφνης ἀναγκασθείη φυγεῖν, ὁπόση ἂν αὐτῷ βλάβη προσγένοιτο, τί δεῖ καὶ λέγειν; οὕτω δὲ κἂν εἰ καταπίπτοντος ὀρόφου τινός, ἢ τοίχου γνοῦς ἐξαιφνίδιον ἐκπλαγῇ τε ἅμα καὶ φεύγειν ἐπιχειρήσειεν. εἰ δὲ καὶ διὰ τοῦ κεράμου τι καταρρέοι, ἢ πλείονος ὑετοῦ γενομένου, κἄπειτα τοῦδ' ἐπιχυθῇ τῇ κεφαλῇ τοῦ κάμνοντος, ἢ εἰ καὶ ἄλλος αὐτὸν ὁπωσοῦν βρέξειεν, ὡς ἀναγκάσαι μετακινῆσαί τε, καὶ ἀγρυπνῆσαι καὶ φοβηθῆναι, καὶ τοῦτ' ἂν μεγάλως τὸν νοσοῦντα βλάψειεν. οὕτω δὲ καὶ θόρυβος γειτόνων, ἢ τι τοιοῦτον ἕτερον ἀγρυπνίας αἴτιον αὐτῷ γινόμενον, ἢ καί τις ἀγγελία λυπηρὰ κατὰ τὸ μέγεθος τῆς ἑαυτοῦ βλάβης, καὶ τὴν τῆς προρρήσεως ἀκρίβειαν διαφθείρει. ὅσα μὲν γὰρ δι' αὐτὸ τὸ νόσημα, μεταξύ τε τῆς προρρήσεως καὶ τῆς κρίσεως οἱ νοσοῦντες ἀγρυ-

τοῦ ἀγρυπνοῦσιν, οὐδὲν τοῦτο βλάπτει τὴν πρόῤῥησιν. ὅσα δ᾽ ἔξωθεν ἀδόκητα προσγίνεται, τούτων οὐδενός ἐστι
προγνωστικὸς ὁ ἰατρός. ὅθεν οὐδὲ τὴν μέλλουσαν ἀπ᾽ αὐτῶν ἔσεσθαι βλάβην ὑπολογίσασθαι δυνατὸν αὐτῷ, καὶ προ-
σθεῖναι τῇ κατὰ τὸν τοῦ νοσήματος λόγον ὑπαγορευομένῃ προῤῥήσει. ταῦτ᾽ οὖν αὐτὰ καὶ ὁ Ἱπποκράτης εὐθὺς
κατ᾽ ἀρχὰς τῶν ἀφορισμῶν παραινεῖται λέγων. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν
νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν. εἰ γάρ φησιν ἐξετάζειν τι καὶ βασανίζειν ἔγνωκας τῶν ἡμετέρων, αὐ-
τός γε σὺ πρῶτον ἅπαντα ποίει τὰ δέοντα, καὶ δεύτερον δὲ καὶ ὁ νοσῶν εὐπειθὴς ἔστω σοι τὰ πάντα, καὶ μηδὲν
ὑπ᾽ ἀκολασίας ἁμαρτανέτω. καὶ τρίτον οἱ παρόντες αὐτῷ, μηδὲν πλημμελείτωσαν, ὡς ἤτοι θυμὸν ἐγείρειν, ἐφ᾽
οἷς ἁμαρτάνουσιν, ἢ λύπην, ἐφ᾽ οἷς ἀκαίρως ἀγγέλλουσιν, ἢ βλάβην, ἐφ᾽ οἷς ἐλλιπῶς παρασκευάζουσιν. ἀλλ᾽ ἡ μὲν πα-
ρασκευὴ πᾶσα, πρὸ τοῦ τῆς κρίσεως ἑτοιμαζέσθω καιροῦ. τὰ δ᾽ ὄψα καλῶς εὐσκευαζέσθω, τὰ δὲ τῆς διακονίας ἄμεμπτα
πάντα ἔστω. καὶ πρὸς τούτοις ἔτι τὸ τέταρτον γένος, ὧν ὑπολογίζεσθαι προσέταξεν, ὀνομάζει δὲ αὐτὸ περιλαβὼν
ἐν ῥήματι, τῷ τῶν ἔξωθεν, καίτοι πολυειδὲς ὑπάρχον, ἄμεμπτον ἔστω καὶ αὐτό. καὶ γὰρ ὄμβροι, καὶ βρονταὶ, καὶ ἀστρα-
παὶ, καὶ θόρυβοι γειτόνων, καὶ κυνῶν ὑλακτούντων, ἔφοδοί τε λῃστῶν, καὶ κατάπτωσις οἰκίας, καὶ καταῤῥυὲν ὕδωρ,
καὶ ποταμὸς ἐπελθὼν, ἐμπρησμοί τε καὶ πληγαὶ, καὶ πάνθ᾽ ὅσα τοιαῦτα τῶν ἔξωθεν ἐστὶν ἅπαντα. ταῦτ᾽ οὖν τὰ
γένη τὰ τέσσαρα, καὶ πολυειδῆ κατὰ μέρος ὑπάρχοντα ταῖς τῆς φύσεως κινήσεσιν ἐμποδὼν ἱστάμενα, διαφθείρει
πολλάκις τὴν τάξιν τῶν περιόδων. ἐπεί τοι τῆς τετάρτης ἐναργὲς σημεῖον ἐνεγκούσης κρίσιμον, εἰ μήθ᾽ ὁ ἰατρὸς ἁμάρ-
τοι τι, μήθ᾽ ὁ κάμνων, μήτε τῶν ὑπηρετουμένων μηδεὶς, ἀλλὰ μηδὲ τῶν ἔξωθεν τι πλημμεληθείη, κατὰ τὴν ἑβδόμην
ἡμέραν ἐξ ἀνάγκης ἡ κρίσις ἀπαντήσεται. δῆλον οὖν ἐστὶν ὡς οὐκ ἄλλος μέν τις ἐστὶν ὁ ἀκριβῶς προγνωσόμενος, ἄλ-
λος δέ τις ὁ διαιτήσων ὀρθῶς, ἀλλ᾽ εἰς τὸν αὐτὸν ἀναγκαῖον ἄμφω συνελθεῖν, εἰ μὴ μέλλοι διαφθείρεσθαι θάτερον
ὑπὸ θατέρου. ὅτι μὲν γὰρ ἁμαρτηθὲν ὁτιοῦν τῶν κατὰ τὴν δίαιταν, οὕτω δὲ ὀνομάζω νῦν ἅπασαν τῆς νόσου τὴν
ἐπιμέλειαν, ἐμποδίζει τὴν κρίσιν, ἱκανῶς ἐπιδέδεικται, ὅτι δ᾽ οὐδὲ διαιτῆσαι καλῶς οἷόν τε χωρὶς τοῦ προγνῶναι
τήν τε ἀκμὴν τῆς νόσου καὶ τὴν κρίσιν, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου δείκνυται γράμμασιν. εἴπερ οὖν ἀλλήλων
δεῖται ταῦτα διὰ παντὸς, οὐκ ἄλλος μέν τις ἰατρὸς ὀρθῶς θεραπεύσει, προγνώσεται δὲ ἀκριβῶς ἄλλος. ἀλλ᾽ ὅστις
ἂν ἄριστος ᾖ, προγνωστικός τε ἐστὶν ἅμα καὶ θεραπευτικὸς ὁ τοιοῦτος. ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἐπὶ πλέον ἑτέρωθι
λέγεται, νυνὶ δὲ εἰς ὅπερ ἐξ ἀρχῆς προὔκειτο, πάλιν ἐπανίωμεν. ἡ γάρ τοι τετάρτη τῶν ἡμερῶν, ἐπειδὰν ἐνέγκῃ σα-
φές τι σημεῖον ἀγαθὸν εἰς τὴν ἑβδόμην ἡμέραν, προδηλοῖ τὴν κρίσιν ἀπαντήσεσθαι μηδενὸς ὧν εἴρηται, πλημμελη-
θέντος ἐν τῷ μεταξύ. γενομένου δέ τινος ἁμαρτήματος, ἐπισκεπτέον αὐτοῦ τὸ μέγεθος. εἰ μὲν γὰρ σμικρὸν εἴη, ἔσται
μὲν καὶ οὕτως ἡ κρίσις ἑβδομαία. λείψει δ᾽ αὐτὴν τι τῶν τῆς κρίσεως ἀγαθῶν. εἴρηται δ᾽ ἐν τοῖς ἔμπροσθεν, ὅτι τὸ
τελέως, καὶ ἀσφαλῶς, καὶ ἀκινδύνως, καὶ πάνθ᾽ ὅσα τοιαῦτα ταῖς ἀγαθαῖς ὑπάρχει κρίσεσιν. εἰ δ᾽ εἴη μεῖζον τὸ
πλημμεληθὲν, οὐδ᾽ ἂν τὴν κρίσιν ἔτι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐπιτρέψει γενέσθαι. προσέχειν οὖν δεῖ πᾶσιν ἐν-
ταῦθ᾽ ἀκριβῶς τὸν νοῦν, καὶ τεκμαίρεσθαι τῆς βλάβης τὸ μέγεθος. ἑρμηνεῦσαι μὲν γὰρ αὐτὸ, μὴ ὅτι χαλεπὸν, ἀλλὰ
καὶ τελέως ἀδύνατον, τεχνικὸν δὲ ἐργάσασθαι τὸν μαθητὴν, ὥστε καὶ διαγινώσκειν τὰ τοιαῦτ᾽ ἀκριβῶς δυνατόν.
ἀλλ᾽ οὐ νῦν ὁ καιρὸς, οἰκειότερος γάρ ἐστι τῆς περὶ κρίσεων θεωρίας. πάλιν οὖν ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβῶμεν,
ἀναμνησθῶμέν τε τῆς προκειμένης ὑποθέσεως. ὑπέκειτο μέντοι σημεῖον κριτικὸν, καὶ σαφὲς, καὶ ἰσχυρὸν ἐν τῇ δ.
γεγενημένον ἡμέρᾳ τοῦ νοσήματος ὀξέος τε καὶ περιεστηκότος τὴν φύσιν ὑπάρχοντος, εἶτα ὅτι μηδενὸς πλημμε-
ληθέντος μὲν, ἀγαθὴ τὰ πάντα κρίσις εἰς τὴν ἑβδόμην ἡμέραν προδηλοῦται. βραχέος δὲ παντελῶς ἁμαρτηθέν-
τος, εἰς τὴν ζ. μὲν ἡμέραν καὶ οὕτως, οὐ μὴν ἀγαθὴ τελέως. εἰ δ᾽ εἴη μέγα τὸ ἁμαρτηθὲν ὡς ἀφελέσθαι μὲν τῆς ζ. τὴν
κρίσιν, εἰς δέ τινα τῶν ἐφεξῆς μεταθεῖναι, προσέχειν ἐνταῦθα χρῆναι παρακελευόμεθα τῷ ποσῷ τῆς βλάβης.
ὁ γὰρ ἀκριβὴς τούτου γνώμων, εἴσεται σαφῶς, εἴτ᾽ εἰς τὴν θ. ἡμέραν, εἴτ᾽ εἰς τὴν ια. ἡ κρίσις μεταπεσεῖται. τὰ μὲν
οὖν ἀκίνδυνα τελέως νοσήματα, χρονίζειν εἴωθεν ἐπὶ τοῖς ἁμαρτήμασι, τὰ περιεστηκότα μὲν, οὐ μὴν αὐτοῦ κινδυνω-
δῶν συμπτωμάτων ὀλέθρια γίνεται ἐπὶ τοῖς ἁμαρτήμασι. καίτοι καὶ τὰ τελέως ἀκίνδυνα, πολλῶν καὶ μεγάλων
ἐφεξῆς γεγενημένων ἁμαρτημάτων, εἰς τὴν τῶν ὀλεθρίων μεταπίπτει φύσιν, καὶ οὐδὲν οἶμαι θαυμαστόν. ὅπου γὰρ
καὶ τοῖς ὑγιαίνουσι τὰ μεγάλα τῶν ἁμαρτημάτων αἴτια νοσημάτων ὀλεθρίων γίνεται, τί χρὴ προσδοκᾶν ἐπὶ τῶν
νοσούντων; ὥστ᾽ ἤδη δῆλον, ὡς ὁ τῶν ἐπιδήλων τε καὶ κρισίμων ἡμερῶν λόγος, ὃν Ἱπποκράτης ἡμᾶς ἐδίδαξεν,
οὐδ᾽ ἐξετασθῆναι πρὸς ἄλλου τινὸς ἐν τοῖς φαινομένοις ὁμολογεῖ δύναται, πλὴν ὅστις ἂν ὁμοίως ἐκείνῳ τεχνικὸς
ὑπάρχει περὶ δίαιταν. οὗτος γὰρ μόνος ἐξεταστικὸς καὶ διαγνωστικός ἐστι τῆς τῶν ἁμαρτανομένων δυνάμεως, καὶ
μόνος δύναται γνῶναι τῆς τε βλάβης τὸ μέγεθος, καὶ τῆς μελλούσης κρίνειν ἡμέρας τὴν μετάπτωσιν. ὥσπερ δὲ ἐν
τοῖς ἀκινδύνοις νοσήμασιν ὑστερίζουσιν τοσοῦτον αἱ κρίσεις, ὅσον ἂν ὑπὸ τῶν ἐν τῷ μεταξὺ πλημμεληθέντων οἱ κάμ-
νοντες βλάβωσιν, οὕτως ἐν τοῖς ὀλεθρίοις προλαμβάνουσιν. εἰ γὰρ τῆς δ. ἡμέρας ἐν θανατώδει νοσήματι θανατώ-
δες σημεῖον προδειξάσης, εἰς τὴν ἑβδόμην ἡμέραν ἡ κακὴ προδηλωθείη κρίσις, ἁμαρτηθείη δέ τι μεταξὺ, μὴ
πάνυ τι σμικρὸν, οὐκ ἀναμενεῖ τὴν ζ. ἡμέραν ἡ κρίσις, ἀλλ᾽ ἐν τῷ μεταξὺ τὸ νόσημα κριθήσεται, κακὴν δηλονότι
κρίσιν. πότερον δὲ κατὰ τὴν ε. ἢ τὴν ς. ἔκ τε τῆς αὐτοῦ τοῦ νοσήματος ὀξύτητος διορισθήσεται, κἀκ τοῦ τῆς βλάβης
μεγέθους, κἀκ τοῦ σχήματος τῶν παροξυσμῶν. ἐν περιτταῖς μὲν γὰρ γινομένων αὐτῶν, καὶ τοῦ νοσήματος ὄντος κα-
τόξεος, καὶ τῶν ἁμαρτηθέντων οὐ πάνυ σμικρῶν, ἐν αὐτῇ τῇ δ. δηλονότι, θαυμαστὸν οὐδὲν ἐν τῇ πέμπτῃ τὸν ἄν-
θρωπον ἀποθανεῖν. εἰ δ᾽ ἐν ἀρτίαις μὲν παροξύνοιτο, μὴ κάτοξυ δ᾽ εἴη τὸ νόσημα, μηδ᾽ ἡ τῶν ἁμαρτημάτων βλά-
βη μεγάλη, τὴν ς. ἀναμενεῖ. τὰ δὲ τοιαῦτα πάντα συγχεῖ τῶν ἐπιδήλων τε καὶ κρισίμων ἡμερῶν τὴν θεωρίαν, ὀλί-
γων μὲν ἰατρῶν, ὀρθῶς διαιτώντων, ὀλίγων δ᾽ ἀῤῥώστων εὐπειθῶν ὑπαρχόντων, ὀλίγων δὲ καὶ τῶν τὴν οἰκείαν
ὑπηρεσίαν ἄμεμπτον ἐχόντων, ἔτι δ᾽ ἐλαττόνων, οἷς οὐδὲν τῶν ἔξωθεν ἠναντιώθη. δεῖ τοίνυν ἀκριβῶς μὲν εἶναι
θεραπευτικὸν καὶ προγνωστικὸν τὸν ἰατρὸν, ἀκριβῶς δὲ καὶ τοῦ τῆς βλάβης μεγέθους διαγνωστικὸν, ἵνα εἰ καὶ προείποι

ποτὲ τὴν ἡμέραν τῆς κρίσεως, εἴτ' ἐν τῷ μεταξύ τι βλαβῆναι τὸν κάμνοντα συμβαίη μεταθεῖναι, καὶ αὐτὸς ἀκρι-
βῶς δυνηθείη τὴν πρόρρησιν. ἀλλ' ἐν τούτῳ πρόδηλον, ὡς ὅστις μὲν μικρὸς καὶ ταπεινὸς τὴν γνώμην ἐστὶν, οὐχ ὅπως
ἀσκῆσαι διαγινώσκειν ἕκαστον τῶν εἰρημένων ἐπὶ τῶν ἀρρώστων, ἀλλ' οὐδ' αὐτὴν τὴν θεωρίαν ἐκμαθεῖν ὑπομένοι.
γενναῖος δέ τις καὶ ἀληθείας ἑταῖρος, καὶ ταλαιπωρεῖν ἐπὶ τοῖς καλοῖς οὐκ ὀκνῶν, οὔτε τῶν θεωρημάτων τὸ χαλε-
πὸν, οὔτε τοῦ χρόνου τὸ μῆκος, οὔτε τῆς ἀσκήσεως τὸν πόνον ὑποδειδόμενος, ἐπὶ τὸ τέλος ἀφίξεται τῶν εἰρημένων, ὡς μὴ
μόνον ἡμέραν ἔχειν εἰπεῖν βεβαίως ἐνίοτε, ἀλλὰ καὶ τὴν ὥραν αὐτὴν ἐν ᾗ κριθῆναί τινα τῶν νοσούντων, ἢ ἀποθανεῖν
ἀναγκαῖον. ἐπειδὰν γὰρ προγνῷς τὴν ἡμέραν ἐνίοτε, εἰ οὕτως ἔτυχε τὴν τοῦ θανάτου, σκοπεῖσθαι χρὴ τοὐντεῦθεν, ἐν τίνι
μάλιστα καιρῷ τοῦ παροξυσμοῦ βαρύνεται μεγάλως ὁ κάμνων. εἰ μὲν γὰρ εὐθὺς εἰσβάλλοντος αὐτοῦ καταψύχοι-
τό τε σφοδρῶς, καὶ δυσεκθέρμαντος, καὶ ἄχρους μέχρι πλείστου μένοι, καὶ μικρόσφυκτος, ἢ ἄσφυκτος, ἢ κακόσφυ-
κτος γένοιτο, καὶ κινηθῆναι νωθρὸς, ἢ καὶ κωματώδης, ἤ τι τοιοῦτον ἕτερον πάσχει, τοῦτον ὑφορᾶσθαι μάλιστα τὸν και-
ρόν. εἰ δ' οὗτος μὲν μέτριος εἴη, περὶ δὲ τὴν ἀκμὴν ἤτοι παραπαίοντα τὸν ἄρρωστον, ἢ καταφερόμενον, ἢ ἀλύοντα
βλέποις, ἢ τοῦ πυρετοῦ τὸ μέγεθος οὐχ ὑπομένοντα, διακαιόμενον δὲ σφοδρῶς, καὶ σκοτοδινιῶντα, καὶ κεφαλὴν
ἀλγοῦντα, καὶ καρδιώσσοντα, καί τι τοιοῦτον ἕτερον πάσχοντα, τοῦτον ὑποπτεύειν μάλιστα τὸν καιρόν. εἰ δὲ καὶ τῆς
ἀρχῆς τοῦ παροξυσμοῦ, καὶ τῆς ἀκμῆς μετρίως γινομένων, ἡ παρακμὴ λειποψυχίας τινὰς, καὶ ἱδρῶτας ἀνωμάλους καὶ
ψυχροὺς, ἢ περὶ κεφαλὴν μόνον ἢ τράχηλον, ἢ στέρνον ἐπιφέρει, καὶ τοὺς σφυγμοὺς ἀμυδρούς τε καὶ μικροὺς ἐργάζοιτο,
καὶ τὰ τούτοις ὅμοια, τοῦτον ὑφορᾶσθαι μάλιστα τὸν καιρὸν, εἰδέναι τε σαφῶς ἐν τῷ χείρονι τοῦ παροξυσμοῦ καιρῷ
τεθνήξεσθαι τὸν ἄνθρωπον. καὶ μὴν εἰ τοῦτο διορισθείη τε καὶ γνωσθείη σαφῶς, οὐδὲν ἔτι χαλεπὸν, οὐδὲ τὴν ὥραν εἰπεῖν
τοῦ θανάτου. εἰ γὰρ καὶ τῆς δευτέρας ἡμέρας, εἰ τύχοι, καὶ τῆς τετάρτης τὸν σφοδρότατον παροξυσμὸν ἐνεγκούσης,
ἤπερ τῆς πρώτης τε καὶ τρίτης καὶ πέμπτης, εἰς τὴν ἕκτην ἡμέραν ὁ θάνατος προδηλωθείη, φαίνοιτο δὲ καὶ τὸ χα-
λεπώτατον μέρος τοῦ παροξυσμοῦ κατὰ τὴν εἰσβολὴν αὐτοῦ, καὶ τοῦτο ὥραν ἕκτην γένοιτο, ὅ τι χαλεπὸν ἐν ἐκείνῳ
τῷ καιρῷ τεθνήξεσθαι τὸν ἄνθρωπον εἰπεῖν, † καὶ τοῦτ' οὐδὲν ὃ πειρῶμαι κατασκευάζειν νῦν, ὅπερ ἂν ἴσως οἰηθείη τις,
ὡς οὐκ ἐνδέχοιτο ποτὲ σφαλῆναι τὸν ἐκ τοιαύτης θεωρίας ὁρμώμενον. ἀλλ' ὅτι τὰ πλείω τεύξεσθαι τἀληθοῦς, οὐ τι
κενοῖς λόγοις, ἀλλ' αὐτοῖς τοῖς ἔργοις ἐπιδεδειξάμην. ἐκεῖνο δὲ βίαιον οἶδα ποιοῦντας ἐνίους τῶν βασκαινόντων τοῖς
ἀρίστοις. ἀξιοῦσι γὰρ ἀεὶ προλέγειν ἡμᾶς τὸ μέλλον, κἂν μηδὲν ἔχωμεν ἐνίοτε βέβαιον σημεῖον, καίτοι τοῖς ἱεροσκό-
ποις τε καὶ τοῖς οἰωνισταῖς, ἐπεκθύεσθαι καὶ ἐπεξοιωνίζεσθαι συγχωροῦσιν, ὅταν ἀσαφῆ γένηται τὰ μαντεύματα,
εἶθ' ἅμα μὲν ἀντιλέγουσιν ἡμῖν ὡς μείζονος ἢ κατ' ἄνθρωπον θεωρίας ἐφιεμένοις, ἅμα δ' ἐπὶ τῶν ἔργων οὕτω πικρῶς
ἐξετάζουσι τὰς προρρήσεις, ὡς οὐδένα τῶν μάντεων. ἀλλὰ γὰρ οὐ πρὸς τούτους ἀποβλέπειν, ἀλλ' εἰς αὐτὴν χρὴ τὴν ἀλή-
θειαν, καὶ τῶν σημείων τὰς δυνάμεις ἀκριβῶς ἀσκήσαντας διαγινώσκειν, ἐπειδὰν ἀσφαλῶς οἷόν τε ᾖ διορίζεσθαι
προλέγειν τηνικαῦτα διατεινόμενον. εἰ δ' ἀσαφές εἴη τι, τὴν ἑξῆς ἡμέραν ἀναμένειν. εἰ δὲ καὶ μὴ κατ' αὐτήν τι δυνά-
μεθα βεβαίως προειπεῖν, ἄμεινον ἡσυχάζειν, ἢ προπετῶς ἀποφηνάμενον σφαλῆναι. ἐγὼ γοῦν ἐκ τῆς τοιαύτης ἀσφα-
λείας ὁρμώμενος, οὐκ οἶδα σφαλεὶς ἐν προρρήσει χρόνου πολλοῦ. καίτοι κατὰ τὴν πρώτην εὐθὺς ἀρχὴν τοῦ πυρετοῦ
πολλάκις ὑπὲρ ὅλης ἀπεφηνάμην αὐτοῦ τῆς φύσεως, ἢ τριταῖον εἰπὼν εἶναι τὸν εἰσβάλλοντα τοῦτον πυρετὸν, ἢ
τεταρταῖον, ἢ ἀμφημερινὸν, ἢ τούτων μὲν οὐδένα, συνεχῆ δέ τινα καὶ ὀξὺν, οὐκ ἂν ὑπερβάλλοντα τὴν δ΄ ἡμέραν,
ἀλλ' ἐπὶ πάσης ἀρχῆς οὐχ οἷόν τε διαγνῶναι τὸ μέλλον, ἀλλ' εἴ τις ἂν ἀκριβῶς ἐμφαίνει τὴν τοῦ νοσήματος ἰδέαν,
καὶ τοῦτο δὲ τῆς περὶ κρίσεων οὐκ ἔστιν ἤδη πραγματείας. πάλιν οὖν ἐπὶ τὸ προκείμενον ἐπανιτέον, καὶ ῥητέον ὡς εἴ τις
κατὰ τὴν πρώτην ἡμέραν ὀξέως μὲν πυρέττει, μηδὲν δ' αὐτῷ προσείη κινδυνῶδες σημεῖον, εὑρεθείη δέ τι κἀν
τοῖς οὔροις πέψεως γνώρισμα τῆς δ΄ ἡμέρας, οὐκ ἂν ἐξωτέρω λυθείη τὸ νόσημα. καὶ μὲν δὴ κἂν εἰ πάντα ὀλέθρια
κατὰ τὴν πρώτην ἡμέραν εὐθὺς εὑρίσκοιτο, τεθνήξεται πάντως οὐκ ἐξωτέρω τῆς δ΄. εἰ δέ γε πυρέττοι μὲν ὀξέως,
μηδὲν δὲ αὐτῷ παρείη τῶν ὀλεθρίων, ἀλλὰ μηδέ τι τῆς πέψεως γνώρισμα, τοῦτον οὐκ ἐνδέχεται τεταρταῖον παύ-
σασθαι. διορίζεσθαι δεῖ πάλιν ἐνταῦθα, πότερον ὥσπερ οὐδὲν ὑπάρχει γνώρισμα πέψεως αὐτῷ, κατὰ τὸν αὐτὸν
τρόπον, οὐδὲ χρόνου γνώρισμα πολλοῦ, ἢ πρὸς τῷ τὰ τῆς πέψεως ἀπεῖναι σημεῖα, καὶ τὰ τοῦ χρόνου πρόσεστιν. εἰ μὲν γὰρ
ὥσπερ τὰ τῆς πέψεως, οὕτω καὶ τὰ τοῦ χρόνου τελέως σημεῖα ἀπείη, περὶ τὴν δευτέραν τετράδα τὴν ἀκμὴν ἀπο-
λήψεται τὸ νόσημα. εἰ δὲ καὶ χρόνου μακροῦ σημεῖον παρείη, πάντως μὲν ὑπερπεσεῖται τὴν δευτέραν τετράδα, τουτέστι
τὴν ἑβδόμην ἡμέραν. εἰς δὲ πόσον ἐκταθήσεται, τοῦτο οὐκ ἐγχωρεῖ γινώσκειν εὐθὺς κατ' ἀρχὰς, ἀλλ' ἐν ταῖς ἐφεξῆς ἡμέ-
ραις διορισθήσεται. ὥσπερ δ' ἂν ἤδη πρὸς τῷ καλῶς διαιτᾶν ἀπολαύσειεν ἐκ τῆς εἰρημένης προγνώσεως γινώσκειν,
» ὅτι χρὴ τρέφειν ἤδη τοῦτον, ὡς ἂν ἐξ ὑστέρου μελλούσης ἔσεσθαι τῆς ἀκμῆς. ὅπου μὲν γὰρ κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ
» τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαι-
» τᾶν, τοσοῦτον ὑποκαταβαίνειν, ὁπόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ, δηλονότι τὰ ἔσχατα τὴν ἀκμὴν
λέγει τοῦ νοσήματος. εἴ γε δὴ καὶ τὸ κάτοξυ τοὺς ἐσχάτους πόνους ἔχειν αὐτίκα φησὶ, τουτέστι τοὺς παροξυσμοὺς, καὶ
τὰ συμπτώματα, τοῦτο δὲ οὐδὲν ἄλλο, ἢ ἀκμάζειν εὐθὺ τὸ νόσημα. τὸ δὴ τοιοῦτον νόσημα, τὸ κατὰ τὴν ἀρχὴν εὐθέως,
ὅτι τὴν δευτέραν ὑπερβήσεται τετράδα δηλοῦν, ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ τῶν ἡμερῶν ἐπιγνοίης ἂν ἀκριβέστερον
εἰς ὅσον ἂν ἐκταθήσεται χρόνου μῆκος. ἐν δὲ τῇ δ΄ κἂν ἐγγυτάτω στοχάσαιο τὴν μέλλουσαν ἀκμήν τε καὶ κρίσιν. εἰ μὲν
γὰρ τά τε τῆς ἀπεψίας σημεῖα, καὶ τὰ τοῦ χρόνου μηδὲν ἀξιόλογον ὑφειμένα φαίνοιτο, καὶ τῆς τρίτης τετράδος ἐπὶ
πλεῖον ἡ νόσος ἐκταθήσεται. εἰ δέ τινα σαφῆ ποιοῖτο μεταβολὴν, ὡς μὴν ἤδη γέ τι σημεῖον πέψεως ἐν τῇ πρώτῃ τε-
τράδι φαίνοιτο, περὶ τὴν τρίτην τετράδα προσδέχεσθαι τὴν κρίσιν. εἰ δ' ἀπεπτότερον ἔτι δὴ φαίνοιτο, κατὰ τὴν ἑβδό-
μην ἡμέραν, ὡς μὴν ἐξαίρετόν τι καὶ μέγα χρόνου σημεῖον ἔχον, ἐλπίζειν μὲν εἰς τὴν τετάρτην τετράδα, τουτέστιν
εἰς τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ἐκταθήσεσθαι τὴν κρίσιν αὐτοῦ. διορίζεσθαι δ' ἀκριβῶς ἐπὶ τῆς ἑνδεκάτης. ὡς
γὰρ ἡ δ΄ τὴν ἑβδόμην, οὕτω καὶ ἡ ἑνδεκάτη τὴν τεσσαρεσκαιδεκάτην προδηλοῖ. σαφὲς μὲν δή τι καὶ ἀκριβὲς
πιστὸν

† καὶ ὃ πει-
ρῶμαι

σεσὸν ἤδη προδεῖξαι πέψεως σημεῖον ἐν τῇ ιδ. τὴν κρίσιν ἔσεσθαί φησι. ἀμυδρὸν δ' εἰ γένοιτο, προσέχειν ἤδη τὸν νοῦν τοῖς ἄλλοις. εἰ μὲν γὰρ ὀξέως τε κινοῖτο τὸ νόσημα, καὶ μηδὲν τῶν ἄλλων κωλύῃ, τάχ' ἄν πως καὶ ἡ ιδ. κρίνειεν. εἰ δὲ μὴ, περὶ τὴν ιζ. ἡ κρίσις. εἰ δ' ὅλως μηδὲν ἄχρι τῆς ια. προδηλωθείη, τὴν μὲν ιδ. οὐκ ἐνδέχεται κρίνειν. σκοπεῖσθαι δὲ κἀνταῦθα τήν τε τοῦ νοσήματος ὅλου κίνησιν, καὶ τὰ ἄλλα πάντα συμπτώματά τε καὶ σημεῖα, πότερον περὶ τὴν ιζ. ἢ καὶ ιη. ἐλπίζειν χρὴ τὴν κρίσιν, ἢ προσωτέρω γενέσθαι. ἐνίοτε μὲν γὰρ καὶ κατὰ ταύτας κρίνεται, τὰ πολλὰ δὲ καὶ κατὰ τὴν κ. ἔνια δὲ καὶ περὶ τὴν κα. ἐπίδηλος δ' ἀμφοῖν μὲν ἡ ιζ. καὶ μᾶλλον τῆς κ. ἡ δὲ ιη. μόνης τῆς κα. εἰ δέ τι καὶ κατ' ἀρχὰς εὐθὺς νόσημα, μὴ σφόδρα ταχέως κινούμενον, ἀλλ' οἷον σμυχόμενον εἰσβάλλει, καὶ τἄλλα αὐτῷ σημεῖα προσείη μακροτέρου χρόνου, τούτου τοῦ νοσήματος οὐχ οἷόν τε κατ' ἀρχὰς προγνῶναι τὴν ἀκμήν. ἀλλ' ὅτι μὲν οὐκ ἐντὸς τῆς ιδ. κριθήσεται, δῆλον. εἰς ὅσον δέ γε ἐκταθήσεται μῆκος, οὐδέπω δῆλον. ἀλλὰ χρὴ διορίζεσθαι πρῶτον μὲν, εἰ κινδυνῶδες ἐστὶν ἢ ἀκίνδυνον. κινδυνώδους μὲν γὰρ ὄντος, καὶ σὺν τούτῳ τῆς δυνάμεως ἀρρώστου, φθάσειεν ἂν ὁ ἄνθρωπος ἀποθανεῖν, πρὶν εἰς μακρὸν ἐκταθῆναι χρόνον, ἀκινδύνου δὲ πόρρω πάντως ἡ κρίσις. οὐ γὰρ ἐνδέχεται ταχέως κριθῆναι, τὸ χρόνου μακροῦ προδεῖξαν γνώρισμα. πόσος οὖν χρόνος ἀκριβῶς αὐτῷ γενήσεται, μὴ ὅτι κατὰ τὴν πρώτην ἡμέραν, ἢ τὴν δευτέραν, ἢ τὴν τρίτην, ἀλλὰ μηδὲ περὶ τὴν τετάρτην, ἐλπίζειν ἐξευρίσκειν ἀκριβῶς, ἀλλ' ἐν ταῖς ἐφεξῆς περιόδοις τῶν κρισίμων ἡμερῶν ἔσται δῆλον. ἄχρι μὲν τῆς δευτέρας τετράδος ἐστί που στοχαζομένῳ πλατύτερον, ἀκριβέστερον δ' ἄχρι τῆς τρίτης. εἰ μὲν γὰρ ἕως τῆς ζ. ἡμέρας τὰ τῆς ἀπεψίας τε καὶ τοῦ χρόνου σημεῖα φαίνοιτο σφοδρότερα, πρὸ τῆς κ. οὐκ ἐνδέχεται κριθῆναι, μετριωτέρων δὲ γενομένων, ἢ ἴσων διαμενόντων, ἐνδέχεται. ἐὰν οὖν ὅτι πρὸ τῆς κ. οὐκ ἐνδέχεται κριθῆναι, σαφῶς ἂν εἰδείης. εἰ δ' ὡς εἴρηται, σφοδρῶν τῶν γνωρισμάτων τοῦ χρόνου γενομένων, ἐπισκέπτου τὴν τρίτην τετράδα, κἂν ἔτι καὶ κατὰ ταύτην ἐπιτείνηται, τά τε τοῦ χρόνου, καὶ τὰ τῆς ἀπεψίας σημεῖα, πόρρω που τῆς κ. ἐκταθήσεσθαι τὴν κρίσιν ἐλπιζε. μενόντων δ' ἴσων, ὅτι μὲν κἀνταῦθα μετὰ τὴν εἰκοστὴν ἤδη, καὶ πρὶν λέγειν ἐγχωρεῖ, τὴν δ' ἡμέραν αὐτὴν οὐκ οἷόν τε γινώσκειν ἤδη. δηλώσει δὲ αὐτήν, ἥ τρίτη τε καὶ τετάρτη τετράς. εἰ γὰρ ἀεὶ καὶ μᾶλλον ἐκλύοιτο τὰ τῆς ἀπεψίας σημεῖα, τῇ μετὰ τὴν τρίτην ἑβδομάδα πρώτῃ τετράδι κριθήσεσθαι τὴν νόσον ἐλπιζε. μὴ πάνυ δ' ἀξιολόγου γενομένης τῆς μεταβολῆς, εἰς τὴν τετάρτην ἑβδομάδα προβήσεται. τὰ δ' ἕως τῆς ιδ. ἡμέρας ἄπεπτά τε παντάπασιν ὑπάρχοντα, καὶ βραδύτερόν πως κινούμενα νοσήματα τῆς μ. οὐκ ἂν ἐγγυτέρω κριθείη. μετὰ δὲ τὴν μ. ὅτι τὰ τῶν κρίσεων ἐκλύεται, καὶ μάλιστα ταῖς κατὰ βραχὺ πέψεσιν, ἢ ταῖς ἀθρόαις μεταβολαῖς τὰ νοσήματα λύεται, καὶ ἡμῖν μὲν ἔμπροσθεν εἴρηται, καὶ τοῖς ἄλλοις δὲ πᾶσιν ὅσοις τῶν ἔργων τῆς τέχνης φροντὶς οὕτω δοκεῖ, καθάπερ οὖν καὶ Ἀρχιγένει. γίνονται μέν ποτε καὶ κατὰ ταύτας ὀξεῖαι μεταβολαὶ, ὥσπερ κἂν τοῖς ἐφ' Ἱπποκράτους γεγραμμένοις ἀρρώστοις ἐστὶν εὑρεῖν. ἡ δὲ τῆς προγνώσεως αὐτῶν μέθοδος αὕτη. καθόλου γὰρ χρὴ τὰς δυνάμεις ἐπίστασθαι τῶν σημείων, ὥσπερ οὖν καὶ Ἱπποκράτης ἐκέλευεν, εἰ μέλλοι τις ἔσεσθαι προγνωστικὸς ἀκριβῶς. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν ὅσοι γε τολμῶσιν ἅπτεσθαι τῆς τοιαύτης θεωρίας, εἰς τὸν ἀριθμὸν ἀποβλέπουσι τῶν σημείων, οὐκ εἰς τὰς δυνάμεις. ἀλλὰ περὶ μὲν τούτων κἂν τοῖς περὶ κρίσεων ὑπομνήμασι λέγεται. καιρὸς δ' ἂν εἴη μοι τοῦ τῆς διαφωνίας ἅπτεσθαι λόγου, καὶ κρίνειν αὐτὴν πειρᾶσθαι, διά τε τῆς ἐμπειρίας καὶ τοῦ λόγου. ταῦτα γὰρ δὴ καὶ δι' ἑτέρων ἐδείκνυμεν εἶναι κριτικὰ πάντων τῶν ἐν ἰατρικῇ ζητουμένων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ ΗΜΕΡΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΟΣον μὲν εἰς τὰ τῆς ἰατρικῆς ἔργα χρήσιμον, ἐν τῷ πρὸ τούτου λόγῳ σύμπαν εἴρηται. διατί δ' οὐχ ἅπαντες ὑπὲρ ἁπασῶν ὡσαύτως ἔγραψαν, εἴρηται μὲν καὶ τοῦτ' ἔμπροσθεν. ἀλλ' ὅπῃ σφαλῆναι μέν τισιν αὐτῶν, κατορθῶσαι δ' ἑτέροις ὑπῆρξεν, οὐκέτ' εἴρηται. περὶ οὖν ἀναληπτέον ἐν τῷδε τῷ λόγῳ πρῶτον, ἔπειτα καὶ τὴν αἰτίαν ῥητέον, δι' ἣν οὐθ' ἁπασῶν ἡμερῶν ἀριθμός ἐστι κριτικὸς, οὔθ' ὅσαι κρίνειν πεφύκασιν, ἴσην ἅπασαι ἔχουσι δύναμιν, ἀλλ' ἐπειδὴ πάντα τὰ κατὰ τὴν ἰατρικὴν τέχνην εὑρίσκεταί τε καὶ δοκιμάζεται, τὰ μὲν ἐμπειρίᾳ, τὰ δὲ λόγῳ, τὰ δὲ συναμφοτέροις, πειρατέον κἀνταῦθα δι' ἀμφοτέρων ὀργάνων ἐξελέγξαι μὲν τὸ ἡμαρτημένον, ἐπαινεῖσθαι δὲ καὶ προσίεσθαι τὸ κατωρθωμένον. ὅτι μὲν οὖν ἡ πεῖρα τὰς εἰρημένας ἡμέρας πρεσβεύει, τοὺς μὲν ὑπ' ἐμοῦ παρατηρηθέντας ἀρρώστους εἰ γράψαιμι, τάχ' ἄν τῳ ψεύδεσθαι δόξαιμι. τοὺς δ' ὑφ' Ἱπποκράτους ὃν ἀληθέστερόν γε πάντων καὶ κρίνειν ἱκανώτατον ἁπάντων εἶναι πεπιστεύκαμεν, ἄμεινον εἶναι μοι δοκεῖ παραθέσθαι τῷ λόγῳ, καὶ πρῶτον μὲν τοῦ συγκεχυμένου τε καὶ ἀδιορίστου κατὰ τὴν πεῖραν οὗ καὶ πρόσθεν ἐμνημονεύσαμεν, πρὸς τοὺς διορισμοὺς ἀναμνήσω. λέλεκται δ' ἐν αὐτοῖς πρῶτον ἓν μὲν, τὸ μὴ δεῖν ἄχρι πάντων ἑξῆς τῶν ἀρρώστων τὴν ἐξέτασιν τῶν κρισίμων ἡμερῶν ποιεῖσθαι. μόνους δ' ἐκλέγειν ἐκείνους, καὶ ἀναλαμβάνειν εἰς τὴν βάσανον, ἐφ' ὧν μήτ' αὐτὸς ὁ ἰατρὸς ἥμαρτέ τι, μήθ' ὁ κάμνων, ἀλλὰ μήθ' οἱ παραμένοντες, ἢ καί τι τῶν ἔξωθεν ἀπήντησε βλαβερόν. ἔπειτα δὲ καὶ τὸ τὰς ἀρχὰς τῶν νοσημάτων οὐκ ἐκ λόγου τινὸς, ἀλλ' ἐξ αὐτῆς τῆς ἐναργείας λαμβάνειν, ὁπότε πρῶτον ὁ κάμνων αὐτὸς ᾔσθετο σαφῶς, οὕτως εἰσβάλλοντος αὐτῷ τοῦ νοσήματος, ὡς κοινώσασθαι βούλεσθαι τινὶ τῶν παρόντων ἰατρῶν, καὶ τρίτον, ἐπειδὰν εἰς πλείονας ἡμέρας ἐφεξῆς ἀλλήλων οὔσας ἡ κρίσις μερισθῇ, τίνος ἐστὶν οἰκεία δύνασθαι διαγινώσκειν. εἰ μὴ γὰρ διορισάμενός τις ὑπὲρ τούτων, ἄχρι τῇ πείρᾳ τὰς κρισίμους ἡμέρας ἐξετάζειν ἀφίκοιτο, πάμπολυ σφαλήσεται. τὸ μὲν δὴ κατὰ τὴν πεῖραν αὐτὴν, τοιόνδε τι ἐστί. τὸ δὲ κατὰ τὸν λόγον ὡς χρὴ κρίνεσθαι τὴν πεῖραν, ἐφεξῆς δίειμι, φυσικὸν εἶναι χρὴ τὸν ταῦτα κρινοῦντα, καὶ πεπεισμένον ἀκριβῶς ὅτι φύσις ἐξαρκεῖ παντάπασιν, καὶ ὡς προνοεῖται τοῦ σώματος ἡμῶν, ἄκραν τινὰ πρόνοιαν, ὅτι τε ταῖς οἰκείαις κινήσεσιν, εἴπερ τι καὶ ἄλλο τεταγμέναις, οὕτως καὶ ἡ φύσις χρῆται. τούτων δὲ τὰ μὲν ἐκ τῶν περὶ χρείας μορίων ἔνεστι συλλογίσασθαι. δέδεικται γὰρ ἀκρι-

βώς. ἄκρα τίς ἐν τῇ διαπλάσει τοῦ ζώου τέχνη τῆς φύσεως, τὰ δ' ἐν ταῖς τῶν κυημάτων αὐξήσεσί τε καὶ τελειώσεσι, καὶ ἀποκυήσεσι. καθ' ἕκαστον γὰρ ζῶον ἡ τοῦ γένους οἰκεία προθεσμία τοῖς κυουμένοις ἅπασιν ἀκριβῶς φυλάττεται, τεταγμένας δηλονότι τῆς φύσεως ἀεὶ τὰς κινήσεις ἐχούσης. οὕτω δὲ καὶ ἡ μετὰ τὴν ἀποκύησιν αὔξησις ἑκάστου ζώου γίνεται. ἡ τελείωσις δὲ καὶ ἡ παρακμὴ, ἐν χρόνοις ὡρισμένοις γίνεται. καὶ μὲν δὴ καὶ ὅστις τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ὡμίλησε, καὶ τοῖς ἄλλοις ἅπασιν ὅσα κατὰ μέρος ἡμῖν ὑπὲρ ἑκάστης γέγραπται τῶν φυσικῶν ἐνεργειῶν, οἶμαι πεπεῖσθαι τοῦτον, εἰς ὅσον ἥκουσι προνοίας τε ἅμα καὶ τάξεως αἱ τῆς φύσεως κινήσεις. εἰ δή τις ὑπὲρ τούτων πέπεισται, καὶ θαυμάζει τὴν τέχνην θ' ἅμα καὶ τὴν τάξιν τῆς φύσεως, ἀναμνησθεὶς αὖθις ὅσον ἀπολείπεται, καὶ προνοίᾳ καὶ τάξει τῶν κατ' οὐρανὸν, ἀταξίαν τινὰ οἶμαι δώσει σύμφυτον τῇ τῆς ἐνταῦθα οὐσίας κινήσει. καὶ τὸ μὲν καλὸν ἅπαν, ὅσον αὖ ἢ καλὸν ἐνταῦθα, καὶ μέντοι καὶ τὸ τεταγμένον τε καὶ τεχνικὸν, ἄνωθεν ἐγγίνεσθαι φύσει. τὸ δ' ἄτακτόν τε καὶ πεπλανημένον, ἐκ τῆς ἐνταῦθα ὕλης ὁρμᾶσθαι. καὶ ταῦθ' Ἱπποκράτης πρῶτος ἁπάντων, ὧν ἴσμεν, ἐπέδειξεν Ἑλλήνων, μετ' αὐτὸν δὲ ἅπαντες οἱ ἄριστοι τῶν φιλοσόφων. εἰ δὲ μὴ μακρὸς ἔμελλεν ὁ λόγος ἔσεσθαι, τάχ' ἂν ὧν λέγουσιν ἀποδείξεων εἰς πίστιν τῶν εἰρημένων δογμάτων ἐμνημόνευσα. ἀλλὰ γὰρ ἀρκεῖ τῷ παρόντι λόγῳ καὶ ταῦτα. χρὴ τοίνυν τὸν ἰατρὸν ὅστις ἂν ἄξιος ἔσεσθαι μέλλῃ τῆς Ἱπποκράτους τέχνης, εἴπερ τι ἄλλο καὶ τοῦτο πεπεισμένον, ἥκειν ἐπὶ τὸ κρίνειν τὴν πεῖραν, ὡς τεταγμένον τι χρῆμα οὖσιν ἡ φύσις, κἀπειδὰν κρατῇ τῆς ὕλης, ἀναλογίαις τισὶν ὡρισμέναις, καὶ περιόδοις τεταγμέναις αἱ κινήσεις αὐτῆς γίνονται. τὰ δ' ἀλόγως παρεμπίπτοντα, ποτὲ καὶ συγχέοντα τὴν τάξιν, ἐπειδὰν μὴ πάντη κρατῇ τῆς ὕλης, ἀλλ' ἐμποδίζοιτό ποτε καὶ κωλύοιτο τοῖς ἑαυτῆς λόγοις κινεῖσθαι, τότ' αὐτῇ συμπίπτει. τοῦτο γὰρ εἴπερ ἂν πεπεισμένος, ἔπειτα ἐκ τῆς ἐμπειρίας ἐπιμάθοι, τότε τῆς ζ΄. ἡμέρας ἐν ταῖς κρίσεσιν ἀσφαλές θ' ἅμα καὶ τέλειον, καὶ ἀκίνδυνον, καὶ εὔσημον, καὶ πολὺ τότε τῆς ιδ΄. ταύτῃ παραπλήσιον. ἐπιμάθοι δὲ καὶ ὡς ἡ μὲν δ΄. τῆς ζ΄. ἐστὶν ἐπίδηλος. ἡ δὲ ια΄. τῆς ιδ΄. εὐθὺς αὐτῷ παραστήσεται, σκοπεῖσθαί τι περὶ τῆς ζ΄. ὅπου γὰρ καὶ τῆς πρώτης ἑβδομάδος δίχα διαιρεθείσης, ἡ δ΄. δεξαμένη τὴν τομὴν, ὁποῖόν τι τὸ τέλος ἔσται προδηλοῖ, καὶ τῆς δευτέρας ὡσαύτως, πῶς οὐκ ἄν τις εἰς ἔννοιαν ἀφίκοιτο τοῦ τελείαν μέν τινα εἶναι περίοδον ἑκάστην τῶν ἑβδομάδων, ἐπειδὴ τὸ μέσον ἑκατέρου τῶν ἄκρων ἴσον ἀφέστηκε. καὶ διὰ τοῦτο καὶ τὴν πρὸς ἄμφω κοινωνίαν ὁμοίαν ἔχει, τὴν μὲν τετάρτην, ὁπόσα διὰ τῆς α΄. ἡμέρας οὐκ ἐπαύσατο, πειρᾶσθαι λύειν αὐτήν. τὴν ια΄. δ' αὖ πάλιν ὁπόσα διὰ τῆς ζ΄. εἰ δ' εἴη μεῖζον, ἢ ὥστε μὴ διὰ τῆς τετάρτης ἡμέρας κριθῆναι τὸ νόσημα, προεργάζεσθαι μὲν ταύτην, τὸ τέλος δὲ ἐπιτιθέναι τὴν ζ΄. ὡσαύτως δὲ καὶ ὅσα κατὰ τὴν ζ΄. οὐκ ἐπαύσατο τὴν ια΄. αὐτῆς ἐπιχειρεῖν, καὶ οὕτως ἢ αὐτὴν κρίνειν, ἢ προεργάζεσθαι τῇ ιδ΄. καὶ κατ' αὐτὴν εὐθὺς εἰς τὴν θεωρίαν ἵστασθαι, καὶ τὸ μὲν εἴτ' αὐτοὶ πεφύκασιν οἱ ἀριθμοὶ δρᾶν, εἴτε ἕπονται τεταγμέναις κινήσεσιν, οὐκ αὐτοὶ δρῶντες, ἀλλὰ ταῖς ἐν χρόνῳ τινὶ δρώσαις οὐσίαις ἑπόμενοι, τοῖς φιλοσόφοις σκοπεῖσθαι παρείημι. τὸ δ' ἀμφοτέροις ὁμολογούμενον κοινῇ λαβών τις τὸ φαίνεσθαι, τάς τε κατ' οὐρανὸν οὐσίας ἀεὶ ταῖς οἰκείαις ἀναλογίαις τῆς κινήσεως κεχρημένας. ἤδη δὲ καὶ ἐν τοῖς ἐπιγείοις ζώοις ἐπειδὰν ἀκριβῶς ὑγιαίνωσιν, ἄλλην ἄλλῳ καὶ κυήσεως εἶναι, καὶ ἀποκυήσεως καὶ αὐξήσεως, καὶ τελειώσεως, καὶ ἀκμῆς, καὶ παρακμῆς, καὶ διαλύσεως ἀναλογίαν ἀριθμοῦ, πιστεύσει δήπου, καὶ τὰς κρινούσας ἡμέρας, ἀριθμόν τέ τινα τεταγμένον ἔχειν, συγχεῖσθαί τε τοῦτον, ἔστιν ὅτε κατὰ τὰς νόσους ὑπὸ τῶν παρὰ φύσιν διαθέσεων. εἰ δή τις ὡς καὶ πρόσθεν ἔφην, ἐπὶ τὴν πεῖραν ἀφίκοιτο, πάμπολυ μὲν τὰς ἑβδομάδας εὑρήσει δυναμένας, ἐφεξῆς δ' αὐταῖς τὰς τετράδας. ἐπισκέψεται δὲ περὶ τῶν παρεμπιπτουσῶν ἡμερῶν, οἷον τρίτης, ε΄. ϛ΄. θ΄. ἐκ τίνος ποτὲ λόγου τὸ κρίνειν ἐσχήκασιν. ἔτι δὲ μᾶλλον ἐπιζητήσεται καὶ διορυνήσεται περὶ τῆς ιζ΄. καὶ ιη΄. καὶ κ΄. καὶ κα΄. ἁπασῶν τε τῶν ταύταις ἀνάλογον ἑπομένων. εἰ μὲν γὰρ εἰς τὴν κ΄. ἡμέραν αἱ τρεῖς ἑβδομάδες τελευτῶσιν ὡς Ἱπποκράτης οἴεται, χρὴ δήπου τὴν μὲν ιζ΄. ἐπίδηλον εἶναι τῆς κ΄. ἐκπίπτειν δὲ τοῦ πρώτου λόγου τῶν κρισίμων ἡμερῶν, τὴν ιη΄. τε καὶ εἰκοστὴν πρώτην. εἰ δ' ὁλοκλήρους χρὴ συναριθμεῖσθαι τὰς ἑβδομάδας, ἐπίδηλος μὲν ἡ ιη΄. τῆς κα΄. γενήσεται. λόγον δ' οὐδὲν ἀκρίσιμον ἕξουσιν, ἥ θ' ἑπτακαιδεκάτη καὶ κ΄. πρῶτον οὖν ὅπως ἡ πεῖρα περὶ τούτων ἀποφαίνεται, διέλθωμεν, εἶθ' οὕτως ἐπὶ τὸν λόγον μεταβῶμεν. ἔστι δὲ ἡ τῆς πείρας ἀνάμνησις, ἐξ ὧν Ἱπποκράτης ἔγραψεν, ἀρξαμένοις ἡμῖν ἀπὸ τοῦ πρώτου τῶν ἐπιδημιῶν. ἐν μὲν οὖν τῇ δευτέρᾳ καταστάσει τάδε γράφων. οἱ μὲν οὖν καῦσοι, ἐλαχίστοισί τε ἐγένοντο, καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν. οὔτε γὰρ αἱμορραγία, εἰ μὴ πάνυ σμικρὰ καὶ ὀλίγοισιν, οὔτε παράληροι, τά τ' ἄλλα πάντα εὐφόρως. ἔκρινε δὲ τούτοισι πάνυ εὐτάκτως, τοῖσι πλείστοισιν σὺν τοῖσι διαλείπουσιν ἑπτακαιδεκαταίοισιν. εἶτα ἐπὶ τῇ τελευτῇ τῆς τρίτης καταστάσεως ἐπιμελέστερον ἔτι περὶ τῶν κατὰ τὴν ιζ΄. κριθέντων, γράφει τόνδε τὸν τρόπον † τὰ δὲ περὶ τὰς κρίσιας ἐξ ὧν ἐγινώσκομεν εἰ ὅμοια ἢ ἀνόμοια, οἷον οἱ δύο ἀδελφοὶ ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην. κατέκειντο παρὰ τὸ θέατρον Ἐπιγένεος ἀδελφεοί, τουτέων τῷ πρεσβυτέρῳ ἔκρινεν ἑκταίῳ, τῷ δὲ νεωτέρῳ ἑβδομαίῳ, ὑπέστρεψεν ἀμφοτέροις ὁμοῦ τὴν αὐτὴν ὥραν. † διέλιπεν ἡμέρας ε΄. ἐκ δὲ τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ σύμπαν ἑπτακαιδεκαταίοισιν. ἀλλ' οὔπω τοῦτο ἴσως ἀξιόπιστον, εἰς τὸ κρίσιμον ἀποφῆναι τὴν ιζ΄. ἡμέραν εἰ δύο τινὲς ἐκρίθησαν ἐν αὐτῇ. προσέχωμεν οὖν τὸν νοῦν τοῖς ἐφεξῆς λεγομένοις. ἔκρινε δὲ τοῖς πλείστοισιν ἑκταίοισιν, διέλιπεν ἕξ. ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε πεμπταίοισιν, ἤδη τοῦτ' ἀξιόλογον. εἰ καὶ κατὰ τὴν δευτέραν κατάστασιν ἑπτακαιδεκαταίους οἶδε κριθέντας πολλούς, καὶ κατὰ τὴν τρίτην οὐ μόνον τοὺς δύο ἀδελφοὺς, ἀλλὰ καὶ παμπόλλους ἄλλους, οὓς ἑκταίους μέν φησι κριθῆναι τὸ πρῶτον, ἔπειτα ἓξ διαλιπόντας, αὖθις πεμπταίους, ὅπερ ἐστὶν ἑπτακαιδεκαταίους ἀπὸ τῆς ἀρχῆς. ἀλλὰ καὶ τούτοις ἐπιφέρων ὁρᾷ. οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλιπεν ἑπτά. ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τριταίους, τουτέστι καὶ τούτους τὸ σύμπαν ἑπτακαιδεκαταίους. εἶτ' ἐφεξῆς πάλιν, οἷσι δὲ πεμπταίοισι διέλιπεν ἑπτά. ἐλάμβανε δὲ τρεῖς, διέλιπε μίαν, ἐπελάμβανε μίαν, ἔκρινε δηλονότι καὶ τούτοις τὸ σύμπαν ἑπτακαιδεκαταίοισι. καὶ μὲν δὴ καὶ ἄλλους τινὰς ἑκταίους μὲν κριθῆναι φησὶ, διέλιπε δὲ ἕξ. ἐλάμβανε φησὶ γ΄, εἶτα διέλιπε α΄. καὶ α΄. ἐλάμβανε τὴν ιζ΄. αὐτὴν δηλονότι καθ' ἥνπερ

†φύσει

†τὰ δὲ περὶ τὰς κρίσιας φησί, κατά τι μὲν ὅμοια, κατά τι ἀνόμοια γίνεσθαι.

†διέλιπεν ἡμέρας, ἓξ μὲν τῷ ἑτέρῳ, τῷ δ' ἑτέρῳ πέμπτα.

ὥσπερ καὶ ἐκείνῳ. ἄλλοις δέ τινας ἑκταίους μὲν κριθῆναι φησί, διαλείπειν δ᾽ ἑπτά. ἐκ δὲ τῆς ὑποστροφῆς ἐκείνους φησὶ τεταρταίοις, τουτέστι τὸ σύμπαν ἑπτακαιδεκαταίοις. οὐκ ἀρκεσθεὶς δὲ τῷ λόγῳ τούτῳ παντί, καίτοι μεγάλως ἐνδείκνυσθαι δυναμένῳ τῆς ιζ. ἡμέρας, τὸ πρὸς τὴν κρίσιν ἰσχυρὸν ἐπενήνοχεν, οὐδὲ τῶν διανοησάντων οὐδενί. διὰ τούτου τοῦ τρόπου οἶδα ὑποστροφὴν γενομένην πάλιν, ὥστ᾽ οὐ μόνον κρίνειν πολλάκις πέφυκεν ἡ ιζ. ἀλλὰ καὶ βεβαίως, οὐκ οὖν τῶν παρεμπιπτουσῶν οὐσῶν κρισίμων, ἀλλὰ τῶν ἰσχυρῶν τε καὶ πρώτων. καὶ μὴν εἴπερ ἐξ ἐκείνων ἐστίν, εὔλογόν τε αὐτὴν ἀναλογίαν τινὰ πρὸς τὴν τεσσαρεσκαιδεκάτην ἀποσώζειν. εἰ μὲν οὖν συνημμένην τὴν τετράδα διανοησαίμεθα καὶ σωζομένην, ὡς ἄρχεσθαι μὲν ἐν τῇ ιδ. τελευτᾶν δὲ εἰς τὴν ιζ. ἔχοιμεν ἂν οὕτω σωζομένην τὴν περίοδον. εἰ δὲ διαζεύξαιμεν, ὡς τὴν μὲν ιδ. ἡμέραν τέλος εἶναι τῆς δευτέρας ἑβδομάδος, ἄρχεσθαι δὲ ἀπὸ τῆς ιε. τὴν τρίτην οὐκ εἰς τὴν ιζ. οὕτως, ἀλλ᾽ εἰς τὴν ιη. ἡ πρώτη τῆς τρίτης ἑβδομάδος ἀφίξεται τετράς. ἀλλ᾽ εἴπερ τοῦτ᾽ ἀληθές, εἰς τὴν κα. ἀναγκαῖον ἔσται τὴν τρίτην ἑβδομάδα τελευτᾶν, ὥσπερ γε εἰ καὶ τὴν ιζ. ὑποθοίμεθα πέρας εἶναι τῆς α. κατὰ τὴν τρίτην ἑβδομάδα τετράδος, εἰς τὴν κ. ἡμέραν ἀφίξεται τὸ πέρας ταύτης τῆς ἑβδομάδος. εὔλογον οὖν ἐνόμισεν ὁ Ἱπποκράτης ὥσπερ τὴν ιζ. ἡμέραν ἐβασάνισε διὰ τῆς πείρας, οὕτω καὶ τὴν κ. βασανίσαι διὰ τῆς πείρας. κρίσιμος μὲν γὰρ εὑρεθεῖσα, μέγιστον ἔμελλεν ἔσεσθαι τῆς ιζ. μαρτύριον. ἐκπεσοῦσα δὲ τῶν κρισίμων ἡμερῶν, ἢ ὅλως τῆς κα. ἐλαττωθεῖσα, ζήτημα κινήσειν οὐ σμικρόν. εὔλογον γὰρ εἶναι δόξει τὴν μὲν ιζ. ἰσχυροτέραν ὑπάρχειν τῆς ιη. τὴν δ᾽ εἰκοστὴν ἀσθενεστέραν τῆς κα. διὰ τοῦτ᾽ οὖν ἐφεξῆς τοῖς περὶ τὴν ιζ. γεγραμμένοις ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ὑπὲρ τῆς κ. ὧδέ πως γράφει. †τοῖσι δὲ περὶ τὰ ὦτα ἐγένετο, ἐκείνῳ μὲν εἰκοσταίοισι, κατέσβη δὲ πᾶσι καὶ οὐκ ἐξεπυήθη, ἀλλ᾽ ἐπὶ κύστιν ἐτράπετο, καὶ τοῦτο μὲν ἱκανόν. ἀλλ᾽ ἐφεξῆς πάλιν ἐρεῖ. οἷσι δ᾽ ἐκείνῳ ἑβδομαίοισι, διέλιπεν ἐννέα, ὑπέστρεψεν, ἐκείνῳ ἐκ τῆς ὑποστροφῆς τεταρταίοισι, δηλονότι τὸ σύμπαν εἰκοσταίοισι. εἶτ᾽ ἐφεξῆς πάλιν. οἷσι δ᾽ ἐκείνῳ ἑβδομαίοισι, διέλιπεν ἕξ, εἶθ᾽ ὑπέστρεψε φησί, κἄπειθ᾽ ἑβδομαίοις ἐκείνῳ, ὅπερ ἐστὶν εἰκοσταίοισι τὸ σύμπαν, εἶτα βραχὺ προελθών, ἔστι δὲ οἷσιν ἐκείνῳ ἐνδεκαταίοισι φησί, ὑποστροφὴ τεσσαρεσκαιδεκαταίοισιν, ἐκείνῳ τελέως εἰκοσταίοισι. εἶτ᾽ ἐφεξῆς συνάπτων. εἰ δέ τινων φησὶ ἐπερρίγουν περὶ τὴν κ. τουτέοισιν ἐκείνῳ τεσσαρακοσταίοισιν. Ὁρᾷς σύ μοι πάλιν ἐνταῦθα τὴν ἀκρίβειαν τοῦ ἀνδρὸς, οἶδεν ὅτι τῶν ἰσχυρῶν κρισίμων, τουτέστι τῶν κατὰ τετράδας τε καὶ ἑβδομάδας αὐξανομένων, ἄν τέ τις τὴν ιζ. θῇ, καὶ τὴν κ. ἀναγκασθήσεται θέσθαι, καὶ τὴν μ. καὶ ὥσπερ τὴν κδ. καὶ τὴν λα. ἄν τε τὴν κ. εὐθὺς δηλονότι καὶ τὴν ιδ. ιζ. τε καὶ τὴν μ. καὶ μὲν δὴ καὶ τὴν μ. εἴ τις ἐν ταῖς ἰσχυρῶς κρινούσαις τίθοιτο, δῆλον ὡς καὶ τούτῳ τὴν ιζ. καὶ τὴν κ. ἀναγκαῖον ἔσται προϋποθέσθαι. μέχρι μὲν γὰρ τῆς ιδ. οὐδεμία διαφωνία. τὸ δὲ ἀπὸ τῆσδε συγκέχυται πᾶν, οὐ πάνυ τι τῇ πείρᾳ προσεχόντων τὸν νοῦν ἐνίων, ἀλλὰ τῷ λόγῳ μόνῳ, ὡς ὁλοκλήρους ἑβδομάδας οἴεσθαι δεῖν ἐπιπλέκειν. εἶθ᾽ οὕτω τὴν κα. καὶ κη. ἐν ταῖς ἰσχυραῖς κρισίμοις ἀριθμούντων. ἐξ ἀνάγκης δὲ διὰ ταῦτα καὶ τὴν ιη. καὶ τὴν μβ. τὴν μὲν ὡς ἐπίδηλον τῆς κα. τὴν δ᾽ ὡς ἓξ ἑβδομάδας συμπληροῦσαν. δυσχερεστέρα δὲ κατὰ τοῦτο ἡ βάσανος γίνεται τῶν κρισίμων ἡμερῶν. εἰ μὲν γὰρ ὁ ἀπὸ τῆς ιζ. στίχος ἅπας ἰσχυρότερος φαίνοιτο, διχόθεν ἑκάστη τῶν ἡμερῶν ἕξει τὴν πίστιν, ἔκ τε τῆς ἰδίας πείρας κἀκ τῆς τῶν ἄλλων μαρτυρίας. εἰ δ᾽ αὖ πάλιν ὁ ἀπὸ τῆς ιη. πλεονάκις κρίνων εὑρίσκοιτο, καὶ τελέως καὶ βεβαίως, ἀσθενέστερος οὗτος ὁ ἀπὸ τῆς ιζ. φανεῖται. ταῦτ᾽ ἐννοήσας ὁ Ἱπποκράτης, ἁπάσας ἁπάσαις παρέβαλε, τὴν μὲν ιζ. ἐνταῦθα γὰρ ἡ ἀρχὴ τῆς διαφωνίας τῇ ιη. τῇ δὲ κα. τὴν κ. πρώτην. κατὰ ταῦτα δὲ καὶ τὴν κδ. τῇ κε. τὴν δ᾽ αὖ κζ. τῇ κη. καὶ τὴν μὲν λα. τῇ λβ. τῇ δὲ λδ. τὴν λε. τὴν δ᾽ αὖ τεσσαρακοστὴν τῇ μβ. ὁποτέρῳ δὲ τῶν στίχων ἡ ἐμπειρία μαρτυρεῖ, διὰ τῶν ἐπιδημιῶν ἐδήλωσεν, αὐτά τε ταῦτα γράψας, ἃ προειθέμην ὀλίγον ἔμπροσθεν, ἔτι τε πρὸς τούτοις, ἐπὶ μὲν τῆς τρίτης καταστάσεως ὧδέ πως. ἐκείνῳ δὲ τουτέοισιν ὡς τὸ πολὺ ἐνδεκαταίοισιν, ἔστι δὲ οἷσιν εἰκοσταίοισιν. ἐφεξῆς δὲ τῶν ὀνομαστὶ γραφέντων ὑπ᾽ αὐτοῦ ἀρρώστων, τὸν μὲν τρίτον τῇ τάξει μετὰ τὰς τρεῖς καταστάσεις γεγραμμένον Ἡροφῶντα, ἐπὶ τὴν ιζ. ἡμέραν κριθῆναι φησὶ τόνδε τέταρτον. ἡ Φιλίνου δὲ ἦν αὕτη γυνὴ κατὰ τὴν κ. ἀπέθανεν. ἐφεξῆς δὲ αὐτῇ τῆς Ἐπικράτους γυναικὸς μνημονεύει, περὶ ἧς ἐπὶ τέλει τῆς ὅλης διηγήσεως ὧδέ πως γράφει. τεσσαρακοστῇ ἤμεσεν ὀλίγα, χολώδεα, ἐκρίθη τελέως, ἄπυρος ὀγδοηκοστῇ. μετὰ δὲ ταύτην ἕκτου τῇ τάξει μνημονεύει Κλεανακτίδου γράφων ἐπὶ τῷ τέλει τοῦ λόγου τουτί, ὀγδοηκοστῇ ἐρρίγωσε, πυρετὸς ὀξὺς ἔλαβεν, ἵδρωσε πολλῷ, οὔρησεν, ὑπόστασις ἐρυθρή, λείη, τελέως ἐκρίθη. δέκατος δέ ἐστιν ἄρρωστος ὁ Κλαζομένιος, ὃν καὶ αὐτὸν ἐν τῇ μ. κριθῆναι φησί, καὶ μὴν ἡ μ. τοῦ στίχου τῆς ιζ. ἐστίν, ὥσπερ οὖν ἡ π. ἔδει δὲ τὴν μ. δευτέραν εἶναι κρίσιμον, εἰ καθ᾽ ἑβδομάδας ὁλοκλήρους ἡ συναρίθμησις ἐγίνετο τῶν ἡμερῶν. οὕτω δὲ καὶ τὴν πδ. ἐχρῆν εὑρίσκεσθαι κρίνουσαν, οὐ τὴν π. οὐ μόνον τοίνυν ἐξ ὧν διηγεῖται κριθέντας πολλοὺς ἐν τῷ κατὰ τὴν ιζ. ἡμέραν στίχῳ πρόδηλόν ἐστιν, ὡς ἰσχυρότερος οὗτος θατέρου ὑπάρχει, ἀλλὰ κἀξ ὧν οὔτε τῆς ιη. ἐμνημόνευσεν, οὔτε τῆς κα. οὔτε τῆς κε. οὔτε τῆς κη. ἀλλ᾽ οὔτε τῆς τριακοστῆς δευτέρας, οὔτε τῆς λε. οὔτε τῆς μβ. οὔτε τῆς ξγ. οὔτε τῆς πδ. ἐν γὰρ τοσούτων ἀρρώστων καταλόγῳ τῶν τε ἰδίᾳ γραφέντων αὐτῷ κατ᾽ ὄνομα, καὶ τῶν διʼ ἑνὸς ἑκάστου κεφαλαίου περιλαμβανομένων ἐν ἑκάστῃ καταστάσει, τὸ μὴ πώποτε τῶν εἰρημένων ἡμερῶν μηδεμίαν εὑρεθῆναι κρίνουσαν, ἐναργῆ τὴν θατέρου τῶν στίχων ὑπεροχὴν ἐνδείκνυται. ὅταν γὰρ ἐξ ἐκείνου μέν, καὶ πολλαί, καὶ πολλάκις, καὶ τελέως, καὶ βεβαίως, καὶ ἀγαθῶς, καὶ ὀρθῶς εὑρίσκωνται κεκρικυῖαι, θατέρου δὲ τῶν στίχων μηδεμία καθ᾽ ὅλον τὸ α. τῶν ἐπιδημιῶν ἀσφαλῆ κρίσιν ἦ πεποιημένη, τὸ μὴ ὅτι τελέως ἢ ἀγαθῶς, ἀλλὰ μηδ᾽ ὥστε ἀποκτεῖναι, παμπόλλην τινὰ τὴν ὑπεροχὴν εἶναι νομιστέον. ἆρ᾽ οὖν ἐν τῷ πρώτῳ μὲν οὕτως, ἐν τῷ τρίτῳ δ᾽ ἑτέρως; ἢ κἀκεῖ τοὺς μὲν ἐν τῇ καταστάσει διηγούμενος ἐνὶ κεφαλαίῳ περιλαμβάνων, εἶπεν ἅπαντας σχεδὸν τοὺς διασωθέντας π. κριθῆναι. τῶν δὲ κατὰ μέρος ὧν ἐμνημόνευσεν ὀνομαστί, τοὺς μὲν ἐν τῇ μ. κριθῆναι φησί. καὶ ναὶ μὰ Δία γε τινὰς ἐξ αὐτῶν οὐκ ἀγεννῶς, οὐδὲ ἀσήμως, καθάπερ τὸν τρίτον ἀπὸ τῆς ἀρχῆς τοῦ βιβλίου γεγραμμένον τὸν ἐν τῷ Δεαλκους κήπῳ κατακείμενον. τί γάρ φησι μ. διεχώρησε φλεγματώδη, λευκά, ὑπόσυχνα, ἵδρωσε πολλῷ, δι᾽ ὅλου τελέως ἐκρίθη. τοὺς δέ τινας εἰς πάνυ μακρὸν ἐμπεσόντας, ὁμοίως καὶ αὐτὸς κριθῆναι

†τοῖσι δὲ παρὰ τὰ ὦτα ἐκείνῳ μὲν εἰκοσταίοισι, κατέσβη δὲ πᾶσι οἷς οὐκ ἐξεπυήθη, ἀλλ᾽ ἐπὶ κύστιν ἐτράπετο.

περὶ τῆς κ΄. ἡμέρας πολλαπλασιαζομένης λόγῳ, καθάπερ καὶ τὸν ἔννατον ἀπὸ τῆς καταστάσεως γεγραμμένον
Ἠρόπυθον ἐν κ΄. τε καὶ ἑκατοστῇ ἡμέρᾳ κριθῆναι τελέως φησίν. οὕτω δὲ καὶ κατὰ τὴν κδ΄. καὶ κατὰ τὴν κζ΄. καὶ
προσέτι κατὰ τὴν λδ΄. ἀνέγραψέ τινας κριθέντας ἀγαθῶς τε ἅμα καὶ ἀσφαλῶς καὶ τελέως. ἐν μὲν τῇ κδ΄. τὸν
δέκατον ἀπὸ τῆς καταστάσεως ἄῤῥωστον ὧδέ πως γράφων, τετάρτῃ καὶ κ΄. οὔρησε πολὺ λευκὸν πολλὴν ἔχον ὑπό-
στασιν, ἵδρωσε θερμῷ, διόλου ἄπυρος. ἐν ἑβδόμῃ δὲ καὶ εἰκοστῇ τὴν ἐν Ἀβδήροις παρθένον, ἀλλὰ καὶ ταύτην ἱδρώ-
σασαν πολλῷ τελέως ἄπυρον γενέσθαι φησί. γέγραπται δ' αὕτη μετὰ τὴν κατάστασιν ἑβδόμη. ἐν δ' αὖ τῇ δ΄.
καὶ λ΄. τὸν ὄγδοον ἀπὸ τῆς αὐτῆς καταστάσεως Ἀναξίωνα καὶ αὐτὸν ἱδρώσαντα, τελέως ἄπυρον διόλου γενέσθαι
φησί, καὶ κριθῆναι πιστῶς. οὐδεὶς δ' οὐδὲν τούτῳ τῷ βιβλίῳ κέκριται κατά τινα τῶν ἐκ θατέρου στίχου κρισίμων ἡμε-
ρῶν. ἀλλὰ τὴν μὲν Δελεάρκους γυναῖκα κατὰ τὴν κα. ἀποθανεῖν φησί, σωθῆναι δ' οὐδένα κατ' οὐδεμίαν ἡμέραν τῶν
ἐκ τοῦ κατὰ τὴν ιη΄. στίχου. λέγεται μὲν οὖν κατὰ τὸ δεύτερον, ὡς καὶ πρόσθεν εἴρηται σημαινόμενον, οὐχ ὁ σωθεὶς μόνον,
ἀλλὰ καὶ ὁ ἀποθανὼν κεκρίσθαι. ἀλλ' ὡς εἶπον οὐ μόνον οὐδεὶς ἐσώθη κατ' ἐκείνας τὰς ἡμέρας, ἀλλ' οὐδ' ἀπέθανε, χωρὶς
τῆς Δελεάρκους γυναικός. ἐν δέ γε θατέρῳ στίχῳ, πάμπολλοι μὲν οἱ σωθέντες, οὐ μὴν ἀλλὰ καὶ ἀπέθανόν τινες,
ὥσπερ ἑπτακαιδεκαταία μὲν ἡ ἐν Κυζίκῳ τεκοῦσα τὰς διδύμους θυγατέρας ἐν δ΄. τε καὶ κ΄. ὁ ἐν Λιβύῃ νεανίσκος
ὁ πάντων ὕστατος ἀναγεγραμμένος. ζ΄. δὲ καὶ κ΄. ὁ τρίτος ἀπὸ τῆς ἀρχῆς Ἑρμοκράτης. πρώτῃ δὲ καὶ λ΄. ὁ ἐν Ἀβδή-
ροις Ἀπολλώνιος, ὁ τρισκαιδέκατος ἀπὸ τῆς καταστάσεως γεγραμμένος. ὡς οὖν ἑβδομαίους πολλοὺς ἀποθανόντας
εἶδε καὶ εἰκοσταίους κατὰ τοῦτο τὸ βιβλίον, ὡς ἂν τῶν ἰσχυρὰν δύναμιν ἐχουσῶν ἡμερῶν οὐ μόνον σωζουσῶν, ἀλλὰ καὶ
ἀπολλυουσῶν ἐνίοτε. κατὰ τὸν αὐτὸν τρόπον ἑκάστην τῶν εἰρημένων ἐθεάσατο καὶ σώζουσαν πολλοὺς ἐνίοτε, καί τι-
νας ἀποκτείνουσαν. καὶ γὰρ οὖν καὶ τὸν δεύτερον ἀπὸ τῆς καταστάσεως ἄῤῥωστον ὀγδοηκοστῇ φησιν ἀποθανεῖν, καὶ τὸν
πρῶτον ἐν εἰκοστῇ καὶ ἑκατοστῇ, ὥσπερ οἶμαι καὶ τῆς πρώτης καταστάσεως τεσσαρεσκαιδεκαταῖον, τοὺς δὲ τρεῖς
τοὺς μετ' αὐτοὺς ἑβδομαίους. καί τι δεῖ πολλὰ λέγειν. οὐδεὶς γὰρ ἄλλος, οὔτε ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, οὔτε ἐν τῷ
τρίτῳ σωθείς, ἢ ἀποθανὼν εὑρίσκεται, ἐπὶ τὸν ἀπὸ τῆς ιη΄. ἡμέρας στίχον, ἀλλὰ καὶ πάντες, οἱ μὲν ἐντὸς τῶν ἑπτα-
καίδεκα, κατὰ τὰς ὁμολογουμένας κρισίμους ἡμέρας, ὑπὲρ ὧν οὐδεὶς τῶν περὶ ταῦτα ἐχόντων διαφέρεται. τῶν δὲ
ἐξωτέρω προελθόντων, εἷς μόνος ἄῤῥωστος εὑρίσκεται κατὰ τὴν πρώτην ἡμέραν καὶ κ΄. ἀποθανών. ἤρκει μὲν οὖν
καὶ ταῦτα εἰς ἐπίδειξιν τοῦ μὴ λόγῳ τινὶ πεισθέντα τὸν Ἱπποκράτην, τὴν ιζ΄. ἡμέραν ὑποθέσθαι εἶναι κρίσιμον,
τῆς δ' εἰκοστῆς πρώτης ἀφελέσθαι τὸ δραστήριον, ἀλλ' ὑπὸ τῆς πείρας διδαχθέντα, τηνικαῦτα ζητεῖν τὴν αἰτίαν.
ἀλλ' ἐπειδὴ καὶ τὸ δεύτερον, καὶ τὸ δ΄. καὶ τὸ ἕκτον τῶν ἐπιδημιῶν, ἢ αὐτοῦ τοῦ Ἱπποκράτους ἐστίν, ἢ τοῦ υἱοῦ αὐ-
τοῦ Θεσσαλοῦ γράμματα, καὶ τούτων ἐπὶ βραχὺ μνημονεύσωμεν. εὑρεθήσεται δὲ κἀνταῦθα κατὰ μὲν τὸ δεύτερον,
τὴν κ΄. τε καὶ μ΄. ἡμέραν ἀναγράφων κεκρικυῖαν, οὔτε δὲ τὴν κα΄. οὔτ' ἄλλην τινὰ τῶν ἀπ' αὐτῆς. κατὰ δὲ τὸ τέ-
ταρτον τῶν ἐπιδημιῶν οὕτως ἁπάντων μνημονεύων, ὡς ὀλιγάκις μὲν ἕως τῆς κ΄. ἀφικέσθαι, προελθεῖν δ' ἅπαξ ἐξω-
τέρω μέχρι τῆς κδ΄. ὥστε κἀνταῦθα τὴν μὲν κ΄. ὡσαύτως οὖσαν, καὶ τὴν κδ΄. ἐπίστασθαι κεκρικυῖαν, οὐ μὴν τῶν θα-
τέρου στίχου τινά, καὶ μὴν καὶ κατὰ τὸ ἕκτον τῶν ἐπιδημιῶν, ὀλίγων μὲν ἀῤῥώστων καὶ καταστάσεων μέμνηται. φαί-
νεται δ' οὐδ' ἐνταῦθα γινώσκων τινά, κατὰ τὰς ἐκ θατέρου στίχου κειμένων. εἰ δέ τι δεῖ καὶ τοῦ πέμπτου τῶν ἐπι-
δημιῶν μνημονεῦσαι, οὕτω περ ἂν ᾖ, κἀνταῦθα πεντήκοντα μέν εἰσιν οἱ σύμπαντες ἄῤῥωστοι. κέκριται δ' οὐδεὶς
αὐτῶν, οὔτε κατὰ τὴν ιη΄. οὔτε κατὰ τὴν κα΄. οὐδ' ὅλως ἐν ἄλλῃ τινὶ τῶν ἐκ τοῦδε τοῦ στίχου. τῆς πείρας οὖν ἀκριβῶς
προσαγούσης εἰς τὰς κρισίμους ἡμέρας, τὴν ιζ΄. καὶ τὴν κ΄. ἔτι δὲ καὶ τὰς ἀπ' αὐτῶν πάσας. ἔνιοι τῶν ἰατρῶν οὐ
πάνυ τι τοῖς φαινομένοις προσέχοντες τὸν νοῦν, ὡς ἐφ' ἕτοιμον ἀφίκοντο τὸν ἐκ τῆς τελείας ἑβδομάδος ἀριθμόν,
εἶτά που καὶ κριθέντα τινὰ ἐπὶ τὴν πρώτην καὶ εἰκοστὴν θεασάμενοι, πολὺ δὴ μᾶλλον ἐβεβαίωσαν τὴν ὑπόληψιν.

καὶ γὰρ οὖν καὶ τὸ διαγνῶναι ποίας ἐστὶν ἡμέρας ἴδιος ἡ κρίσις, ἐπειδὰν εἰς πλείονας τύχῃ μερισθεῖσα, διορισμοῦ
δεῖται, καθότι κἀν τῷ πρώτῳ δέδεικται λόγῳ. συμβαίνει δὲ καὶ χρονιζόντων τῶν νοσημάτων, τὰς κρίσεις ἀποτί-
θεσθαι μὲν τὸ τῆς ταραχῆς σφοδρόν, καὶ τῆς ἀλλοιώσεως τὸ σύντομον, καὶ εἰς δύο δὲ πολλάκις ἡμέρας ἢ τρεῖς ἐκτεί-
νεσθαι. πρόχειρον οὖν ἐν τούτῳ προσνέμειν τὴν κρίσιν τῶν τριῶν ἡμερῶν ᾗ τις ἂν βουληθῇ. πολλοὶ μὲν γὰρ τῶν ἰατρῶν,
οὐδ' ἀριθμοῦσιν ἔτι μετὰ τὴν τεσσαρεσκαιδεκάτην ποσταῖος ὁ κάμνων ἐστί, καὶ μάλιστα ἢν ἐν τῷ μεταξὺ δόξας
ἄπυρος γεγονέναι, πάλιν ἀναπυρέξῃ. ἔνιοι δὲ κἂν ἀριθμήσωσι τὸ μερίζεσθαι τὰς κρίσεις εἰς πλείους ἡμέρας,
ἀδιορίστως τε καὶ προπετῶς ᾗ βούλονται τῶν ἡμερῶν ἀνατιθέασι. διὰ ταῦτα γοῦν αὐτὰ καὶ ὁ Ἱπποκράτης ἐπὶ τῶν
ἀῤῥώστων ἐνίοτε μὲν ζ΄. φησίν, ἢ ἐνδεκάτῃ, ἢ ιδ΄. κριθῆναι τὴν νόσον, ἐνίοτε δὲ περὶ τὴν κ΄. ἢ μ΄. ἤ τινα ἄλλην,
» ὥσπερ εὐθὺς ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ καταστάσει τοῦ πρώτου τῶν ἐπιδημιῶν. ἐν μὲν γὰρ τῇ πρώτῃ φησίν, ἐκρίνε-
» το δὲ τούτων οἷσι τὰ βραχύτατα γένοιτο περὶ τὴν κ΄. τοῖσι δὲ πλείστοισι περὶ τὴν μ΄. πολλοῖσι δὲ περὶ τὴν ὀγδοη-
» κοστήν. ἐν δ' αὖ τῇ δευτέρᾳ καταστάσει, ἔστι δ' οἷσι φησὶν ἔκρινεν αὐτῶν ὀλίγοισιν, οἷσι τὰ βραχύτατα γένοιτο
» περὶ εἰκοστήν. ἐν δὲ τῇ τρίτῃ αἱμοῤῥαγεῖν φησί, μικρὸν ἤρξατο περὶ τετάρτην καὶ εἰκοστήν, καὶ ἐγένοντο εἰς αἱμοῤ-
ῥαγίην αἱ ἀποστάσιες Ἀντιφῶντι Κριτοβούλου. ἀπεκρίθη καὶ ἐπαύσατο τελέως περὶ τὴν μ΄. οὐκ ἐμνημόνευσα δὲ
κατ' ἀρχὰς εὐθὺς τούτων τῶν ῥήσεων, ὁπότε καὶ τοῦ πρώτου τῶν ἐπιδημιῶν παρετιθέμην, ἄμεινον εἶναι νομίσας, ἁπάσας
πρότερον ἐκθέσθαι τὰς ἡμέρας, ἐν αἷς ἀκριβῶς μόναις ἐθεάσατο τὰ νοσήματα κρινόμενα. διὰ τοῦτο οὐδὲ γέγραπται
τοὐπίπαν οὐδαμόθεν, τῶν συγγραμμάτων αὐτοῦ περὶ τὴν ε΄. ἢ τὴν ζ΄. ἢ τὴν θ΄. κριθεὶς οὐδείς, ἀλλ' ἁπλῶς, ἢ πεμ-
πταῖος, ἢ ἑβδομαῖος, ἢ ἐνναταῖος. ἀθρόως γὰρ αὗται κρίνουσιν. ὅσα δ' αὖ ἐξωτέρω προΐῃ τὰ νοσήματα καὶ χρονίζῃ,
παύεται μὲν ἡ πρὸ τῆς ὀξείας ἀλλοιώσεως ταραχή, κατὰ βραχὺ δὲ αἱ κρίσεις γινόμεναι, δύο που ἢ τρεῖς ἡμέρας ἐπι-
λαμβάνουσι τοὐπίπαν. ὡς γὰρ οὐδὲ μετὰ ἐκκρίσεως εἴωθε λύεσθαι τὰ πλεῖστα τῶν χρονισάντων, ἀλλ' ἤτοι δι' ἀποστάσεων
ἢ πέψεων, οὕτως οὐδ' ὅταν ἐπὶ σαφέσιν ἐκκρίσεσιν, ἢ ἀποστάσεσιν ἡ λύσις αὐτῶν γίνηται, διὰ μιᾶς ἡμέρας τελειοῦται μό-
νης, ὅθεν οἶμαι τῶν ἰατρῶν ἔνιοι τὴν ἀρχὴν οὐδὲ κρίνεσθαι φασὶ τὰ χρονίζοντα τῶν νοσημάτων. οὐ γὰρ τὴν λύσιν ἁπλῶς

εἶναι

εἶναι κρίσιν, ἀλλ᾽ ἤτοι τὴν ἀθρόαν, ἢ τὸν περὶ ταύτης σάλον. ἀλλ᾽ ὅτι γε τὸ σημαινόμενον τῆς κρίσεως οὐκ ἀπηκριβωμένον φυλάττεται διὰ παντὸς, ἀλλὰ τὴν λύσιν αὐτὴν μόνην, ὅπως ἂν γένηται, κρίσιν ὀνομάζουσιν οἱ πλεῖστοι τῶν ἰατρῶν, ἐξ αὐτῶν τε τῶν Ἱπποκράτους ἔνεστι μαθεῖν γραμμάτων, οὐχ ἥκιστα δὲ κἀξ ὧν οἱ ἄλλοι παλαιοὶ γράφουσιν. οὕτως οὖν καὶ Διοκλῆς τὴν πρώτην ἡμέραν ἐν ταῖς κρινούσαις ἀριθμεῖ, σαφὲς ἐνδεικνύμενος, ὡς οὐδὲν ἄλλο τὴν κρίσιν, ὅτι μὴ τὴν λύσιν ὀνομάζει τοῦ νοσήματος. ἔσται δὲ δῆλον ἐξ αὐτῆς τῆς λέξεως ἐχούσης ὧδε, „αὐτῶν δὲ τῶν πυρετῶν ὧν τὰ αἴτια μήτ᾽ ἐν αὐτῷ τῷ σώματι διαλύεται κινούμενα, καὶ μένοντά πως, μήτ᾽ ἐξικμάζεται, μήτ᾽ ἀθρόως ὠμὰ ἐξάγεται, κατὰ δέ τινας χρόνων περιόδους πεφευγότα φαίνεται. ὁ μὲν ἐπιπολαιότατος ἐν νυκτὶ καὶ ἡμέρᾳ κρίνεται, ἐν ἐλαχίστῳ γὰρ χρόνῳ τούτῳ τὰ αἴτια αὐτῶν διαλύεται. καὶ γὰρ τὰ σηπόμενα, καὶ πύον γινόμενα, ἔτι δὲ καὶ γάλα καὶ σὰρξ πᾶσα ἀποτελουμένη, καὶ ὅλως τὰ πολλὰ τῶν κατὰ τὸ σῶμα γινομένων, καὶ κινουμένων καὶ ἀλλοιουμένων κατ᾽ εἶδος, ἐν τούτῳ τῷ χρόνῳ φαίνεται πρῶτον.“ καὶ ταυτὶ μὲν ὁ Διοκλῆς. ὁ δ᾽ Ἱπποκράτης οὐχ ἅπαξ, οὐδὲ δὶς ἀλλὰ πάνυ πολλάκις ἔν τε τῷ πρώτῳ τῶν ἐπιδημιῶν, καὶ μάλιστα κἂν τῷ τρίτῳ τὴν λύσιν μόνην τοῦ νοσήματος ὀνομάζει κρίσιν, οὐδεμιᾶς οὔτ᾽ ἐκκρίσεως, οὔτ᾽ ἀποστάσεως σαφῶς προγεγενημένης. οὐ μὴν τούτου γ᾽ ἕνεκεν ἡγητέον, αὐτὸν ἐκκρίσεως πάσης φανερᾶς κρίνεσθαι τὰς χρονιζούσας νόσους, ὥσπερ οὐδὲ τὸ πλείους ἡμέρας ἐξ ἀνάγκης ἐπιλαμβάνειν. ὀγδοηκοστῇ γοῦν κριθῆναί τινα γράφων ὁ Ἱπποκράτης ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, ῥιγῶσαί τε φησὶν αὐτὸν καὶ ὀξέως πυρέξαι, καὶ ἱδρῶσαι πολλῷ. προὐθέμην δὲ τὴν λέξιν ὀλίγον ἔμπροσθεν, ὁπότε τοῦ Κλεαντίδου κατὰ τὸ τρίτον τῶν ἐπιδημιῶν ἐκτὸς τὴν τάξιν γεγραμμένου, τὴν διήγησιν ἐποιούμην. εὕροις δ᾽ ἂν καὶ ἄλλους ἀῤῥώστους, οὓς τε ἤδη προὐθέμην ἐν τῷδε τῷ λόγῳ, καὶ ὧν οὐδ᾽ ὅλως ἐμνημόνευσα κεκριμένους ἐναργῶς ἡμέρᾳ μιᾷ δι᾽ ἐκκρίσεως, ἐπὶ προήκοντι καὶ χρονίῳ νοσήματι. ταύταις οὖν μάλιστα προσέχειν χρὴ τὸν νοῦν, ὡς ἀκριβῶς διδασκούσαις τὴν τάξιν τῶν κρισίμων ἡμερῶν. εἰ γὰρ ὁ Κλεαντίδης οὗτος ὀγδοηκοστῇ ῥιγώσας τε καὶ ὀξέως πυρέξας, ἐκρίθη ἱδρώσας, δῆλον ὡς μεγάλην τινὰ δύναμιν ὁ τῆς εἰκοστῆς ἀριθμὸς ἔχει. τούτου γὰρ πολλαπλασιαζομένου, τὴν ὀγδοηκοστὴν ὥσπερ καὶ τὴν μ΄. καὶ τὴν ἑξηκοστὴν, καὶ τὴν ἑκατοστὴν εἰκοστὴν γενέσθαι συμβέβηκεν. εὑρήσεις δὲ ἄλλους ἀῤῥώστους ἐξωτέρω τῆς ιδ΄. κεκριμένους δι᾽ ἐκκρίσεως ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ὧν ἐνίους ἤδη προὐθέμην. οἵγε τοὺς μὲν νομίζοντας ἀθρόαν γενέσθαι κρίσιν ἐξωτέρω τῆς μ΄. ἐξελέγχουσι, καὶ τῶν κρισίμων ἡμερῶν ἐνδείκνυνται τὴν τάξιν. ὅτι μὲν γὰρ ἐκλύεται κατὰ βραχὺ τὸ δι᾽ ἀγῶνός τε καὶ σάλου παύεσθαι τὰ νοσήματα χρονίζοντα, καλῶς εἴρηται. τὸ δὲ μηδέποτε, διὰ μιᾶς ἡμέρας ὀξεῖαν αὐτῶν γενέσθαι μεταβολὴν, οὐκ ἔτ᾽ ὀρθῶς. ὅταν γὰρ καὶ ῥίγος εἰσβάλλῃ σφοδρὸν, ἅμα τῷ παροξυσμῷ τέως οὐ γεγενημένον, ὅτε πυρετὸς ὀξύτατός τε καὶ θερμότατος, καὶ δύσφορος ἐπιγένηται, καὶ μετὰ ταῦθ᾽ ἱδρὼς ἐξεκρίθη πολὺς, ἀπύρετον ἀκριβῶς τὸν ἄνθρωπον ἐργαζόμενος, εἴ τις οὐ φήσει τοῦτο κρίσιν εἶναι, προδήλως ἐρίζει, ἐγὼ δ᾽ οὐκ εἴωθα τοῖς ἐριστικοῖς ἐπὶ πλέον ἀντιλέγειν, ἀλλ᾽ ἐκεῖνο χρὴ μᾶλλον εἰδέναι γινόμενον, ὡς ἡμῖν τε γὰρ παραφυλάττουσιν, ἐφάνη πολλάκις ἔν τε τοῖς ὑφ᾽ Ἱπποκράτους ἀναγεγραμμένοις ἀῤῥώστοις ἔξεστιν εὑρεῖν, τὸ τὰς τοιαύτας λύσεις τῶν χρονιζόντων νοσημάτων, οὐχ ὅταν ἐφεξῆς εἴη μηδαμόθεν διακοπτόμενα συμπίπτειν, ἀλλ᾽ ἐπειδὰν λελύσθαι δοκοῦντα, πάλιν δευτέρας ὑποστροφῆς ἐνάρξηται. συμβαίνει δὲ πολλάκις καὶ αὐτὰς τὰς κατὰ μέρος ὑποστροφὰς ἐν ἡμέραις τέ τισι κρισίμοις ἄρχεσθαι, καί τινα κρισίμων ἡμερῶν ἀριθμὸν προελθουσῶν, αὖθις ἐν ἑτέρᾳ τινὶ τῶν κρισίμων ἡμερῶν κρίνεσθαι, καὶ οὕτω γίνεται τὰ μὲν κατὰ μέρος ἅπαντ᾽ ὀξέα, τὸ σύμπαν δὲ χρόνιον. ἐνίοτε δὲ καὶ τὰ διαλείμματα αὐτῶν ἀριθμῷ τινι τῶν κρισίμων ἡμερῶν ἐπιγράφεται, καθάπερ εἴ τις ἑνδεκαταῖος κριθεὶς, ἀτελῆ κρίσιν ὑποστρέψειε τεσσαρεσκαιδεκαταῖος, εἶτ᾽ αὖθις εἰκοσταῖος κριθεὶς ἐλλιπῶς, ὑποστρέψειεν ζ΄. καὶ κ΄. κἄπειτ᾽ ἐντεῦθεν ὀξέως πάλιν διανοσήσας, αὖθις ἐν μ΄. κριθείη. ταῦτα μὲν οὖν αὐτὸς ἕκαστος ἐπί γε τῶν νοσούντων ὄψεται προσεδρεύειν αὐτοῖς ἐπιμελῶς ἐθελήσας, ἔν τε τοῖς ὑφ᾽ Ἱπποκράτους γεγραμμένοις ἀῤῥώστοις ἐπισκοπούμενος. ὅτι δὲ καὶ τὴν ιζ΄. μὲν τῆς ιη΄. καὶ τὴν κ΄. τῆς κα΄. ἰσχυροτέραν ἡγητέον εἶναι, δέδεικται σαφῶς ἤδη διὰ πείρας ἕνεκεν τοῦ Ἱπποκράτους. εἰ δὲ καὶ διὰ τῆς ἐμῆς πείρας ἐφεξῆς ἂν μνημονεύσαιμι, μακρότερος μὲν ὁ λόγος ἔσται, πιστότερος δ᾽ οὐδὲν μᾶλλον. εἰ μὲν γάρ τις καὶ αὐτὸς παραφυλάττειν τὰ συμβαίνοντα τοῖς νοσοῦσιν ἐθέλοι, καὶ πιστεύειν τοῖς ὑφ᾽ Ἱπποκράτους εἰρημένοις, οὐδὲν ἔτι τῆς ἡμετέρας πείρας ὁ τοιοῦτος δεήσεται. εἰ δ᾽ ἤτοι πιστότερα τῶν ἐναργῶς φαινομένων τὰ σοφίσματα νενόμικεν, ἢ μηδὲν φροντίζει τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων, οὐ μόνον οὐδὲν ἕξει πλέον ἐκ τῆς ἡμετέρας ἱστορίας ὁ τοιοῦτος, ἀλλὰ καὶ διαπαίζειν αὐτὴν ἐπιχειρήσει. τῶν μὲν δὴ τοιούτων εἴρηται πολλάκις ὡς χρὴ καταφρονεῖν. εἰ δέ τις ἀληθείας ἐρᾷ, τὸν μὲν λῆρον τῶν σοφιστῶν ἀφεὶς, ἐπὶ δὲ τὴν πεῖραν αὐτὸς ἀφικόμενος, ὅταν ὀκτακοσίους ἢ χιλίους ἀῤῥώστους θεάσηται, σαφῶς οἶδα τοῦτον, οὐκ ἄλλα τὰ περὶ κρισίμων ἡμερῶν ἀποφαινόμενον ὧν Ἱπποκράτης ἐδήλωσεν. ὅσους γὰρ καὶ χρείας καὶ φύσεως διττῆς τῶν κρισίμων ἡμερῶν, καὶ τὴν διδασκαλίαν αὐτῶν διπλῆν Ἱπποκράτης ἐποιήσατο. ἐν μὲν τοῖς ἀφορισμοῖς καὶ τῷ προγνωστικῷ, τῶν περὶ τετράδας τε καὶ ἑβδομάδας ἐπιπλεκομένων ἀλλήλαις μνημονεύσας. ἐν δὲ τῷ πρώτῳ τῶν ἐπιδημιῶν οὐ τούτων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπασῶν τῶν παρεμπιπτουσῶν, ὧν τὴν μὲν αἰτίαν τῆς παρεμπτώσεως ἐν τοῖς ἐφεξῆς ἐρῶ. τὸ δὲ ὅτι καὶ φύσει καὶ χρείᾳ διαφέρουσιν ἀλλήλων, ἤδη δηλώσω. φύσει μὲν ὅτι καλῶς ἁπάντων γινομένων, εἰς τὰς περὶ τετράδα περιόδους αἱ κρίσεις ἀφικνοῦνται τὸ πάμπαν. πλημμεληθέντων δέ τινων, εἰς τὰς παρεμπιπτούσας μεθίστανται. τῇ χρείᾳ δὲ, διότι πρὸς μὲν τὸ γνῶναι τὴν μέλλουσαν ἔσεσθαι κρίσιν, ἡ κατὰ τετράδα περίοδος αὐτάρκης. εἰς δὲ τὸ κρῖναι τὴν ἤδη γεγενημένην, ἁπασῶν οἷον ἀεὶ γινωσκομένων, ἵνα εἰ οὕτως ἔτυχεν, ἀσφαλεστέραν μὲν τὴν κρίσιν τὴν ἐνναταίαν τῆς ὀγδοαίας, ἀπιστοτέραν δὲ τὴν ὀγδοαίαν τῆς ἐνναταίας ἡγώμεθα. τὸ μὲν οὖν πιστὸν ἢ ἄπιστον διὰ κρίσεως, εἰς τὸ καλῶς διαιτᾶν τοὺς ἤδη κεκριμένους διαφέρει. τὸ δ᾽ ὁπηνίκα μάλιστα κριθήσεται προγινώσκειν, εἰς τοὺς μήπω κεκριμένους διαφέρειν ἀναγκαῖον. εἰρήσεται μὲν οὖν τι κἀν τοῖς ἐφεξῆς ὑπὲρ τούτου, ἀλλ᾽ ὁ σύμπας λόγος ἐκ τῆς θεραπευτικῆς ἐστι μεθόδου, καὶ νῦν ἡμεῖς οὐ περὶ χρείας κρισίμων ἡμερῶν ἥκομεν, σπουδαστὸν ὅτι μὴ πάρεργον, ἀλλὰ τὴν δύναμιν αὐτῶν ἅπασαν ἐξηγήσασθαι σπεύδομεν. ἀπόχρη τοίνυν εἴς γε τὸ παρὸν ἀναμνήσαντας τῶν Ἱπποκράτους ῥήσεων, ἐπὶ τὰ ἐφεξῆς ἤδη μετιέναι. κατὰ μὲν δὴ τὸ περὶ

» γνωστικὸν οὕτω φησίν. οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσιν τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄν-
» θρωποι καὶ ἐξ ὧν ἀπόλλυνται. οἵτε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες, τεταρ-
» ταῖοι κρίνονται, οἵτε κακοηθέστατοι, καὶ ἐπὶ σημείων δεινοτάτων βεβῶτες, τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν. ἡ μὲν
» πρώτη ἔφοδος αὐτῶν οὕτω τελευτᾷ, ἡ δὲ δευτέρα τετρὰς, ἐς τὴν ζʹ περιάγεται. ἡ δὲ τρίτη, ἐς τὴν ιαʹ. ἡ δὲ τετάρ-
» τη, ἐς τὴν ιδʹ. ἡ δὲ πέμπτη, ἐς τὴν ιζʹ. ἡ δὲ ἕκτη, ἐς τὴν κʹ. αὗται μὲν οὖν ἤδη διὰ τεσσάρων ἐς τὴν κʹ. ἐκ πολλα-
» πλασιασμοῦ ἐκ προσθέσιος ἀφικνέονται. οὐ δύναται δ' ὅλῃσιν ἡμέρῃσιν ἀριθμέεσθαι οὐδὲν τουτέων ἀτρεκέως. οὐδὲ γὰρ
» ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες, ὅλῃσιν ἡμέρῃσιν ἀριθμέεσθαι πεφύκασιν. μετὰ δὲ ταύτας ἤγουν τὰς κʹ. τὰς ἐν τῷ αὐτῷ
τρόπῳ, καὶ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ πρώτη περίοδος διὰ τεσσάρων καὶ τριάκοντα ἡμερῶν, ἡ δὲ δευτέρα μʹ. ἡμερῶν,
» ἡ δὲ τρίτη ξʹ. αὕτη μὲν ἡ ἐκ τοῦ προγνωστικοῦ ῥῆσις. ἐν δ' αὖ τοῖς ἀφορισμοῖς προειπὼν, ὡς τὰ ὀξέα τῶν νοσημάτων
» κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν, ἐξῆς ἐπιφέρει, τῶν ἑπτὰ ἡ δʹ. ἐπίδηλος. ἑτέρας ἑβδομάδος ἡ ηʹ. ἀρχή. θεωρητὴ
» δὲ πάλιν ἡ ιαʹ. αὕτη γάρ ἐστι τετάρτη τῆς δευτέρας ἑβδομάδος. θεωρητὴ δὲ πάλιν ἡ ιζʹ. αὕτη γάρ ἐστιν τετάρτη μὲν
» ἀπὸ τῆς ιδʹ. ζʹ. δὲ ἀπὸ τῆς ιαʹ. ἐν μὲν δὴ τούτοις ἀμφοτέροις τοῖς συγγράμμασιν ἑβδομάσι τε καὶ τετράσιν, ἀνατίθησιν
ἁπάσας τῶν κρισίμων ἡμερῶν τὰς περιόδους. ἐν δ' αὖ τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἁπασῶν ἐφεξῆς μνημονεύει γρά-
φων ὧδε. ἔστι δὲ πρώτη κρίσιμος τῶν περιόδων, τῶν ἐν ἀρτίοισι κρινουσῶν τετάρτη† ϛʹ. ιʹ. ιδʹ. ιηʹ. κʹ. κδʹ. κηʹ. λʹ. λδʹ. μʹ. ξʹ. πʹ. ρκʹ. τῶν δὲ ἐν τῇσι περισσῇσι περιόδοισι κρινουσῶν, πρώτη γʹ. εʹ. ζʹ. θʹ. ιαʹ. ιζʹ. καʹ. κζʹ. λαʹ. δῆ-
λος οὖν ἐστιν ὁ Ἱπποκράτης ἁπάσας ἐν τούτῳ τῷ λόγῳ τὰς κρινούσας περιλαβὼν ἡμέρας, ὑπομνήματι γὰρ ἡ τοιαύ-
τῃ παρασκευὴ προσήκουσα. δέδεικται γὰρ ἡμῖν πολλάκις ὡς πρότερον γέγραπται τῶν ἐπιδημιῶν βιβλία,
τοῦ τε προγνωστικοῦ καὶ τῶν ἀφορισμῶν, ὅτι δύναμιν ὑπομνημάτων ἔχει. κατὰ λόγον οὖν ἐνταῦθα ἁπάσας μὲν
ἔγραψε τὰς κρισίμους ἡμέρας. ἐν ἐκείνοις δὲ μόνας τὰς μεγίστην δύναμιν ἐχούσας, καὶ τῷ λόγῳ τῆς αὐτῶν φύσεως
ἀποτελουμένας, ὡς ἐν τοῖς ἐφεξῆς ἀποδείξομεν. ἔτι τε πρὸς τούτοις οὐ σμικρὰν χρείαν εἰς τὴν τῆς μελλούσης ἀκ-
μῆς τε καὶ κρίσεως πρόγνωσιν παρεχομένας. διὰ τίνα μὲν οὖν αἰτίαν ὁ Ἱπποκράτης οὐ μίαν ἐν ἅπασι τοῖς βιβλίοις
ἐποιήσατο κρισίμων ἡμερῶν διδασκαλίαν, ἤδη δέδεικται σαφῶς. οὐκ ἄδηλον δὲ οὐδὲ διότι τοῖς ἄλλοις ἰατροῖς εἰς
διαφωνίαν ἀφικέσθαι συνέβη περὶ τῶν κρισίμων ἡμερῶν. οἱ μὲν γὰρ, ὅτι δὴ τὴν φύσιν αὐτῶν οὐδ' ὅλως ἐνόησαν,
οἱ δὲ τὴν ἀρχὴν οὐδὲ παρεφύλαξαν, ἀλλὰ τῷ λόγῳ τὸ σύμπαν ἐπέτρεψαν. ἔνιοι δὲ ἐπὶ μὲν τὸ διὰ τῆς πείρας ἐξευρεῖν
αὐτὰς ἧκον, ἀλλ' ἐσφάλησαν διττῶς, ἢ τῷ μηδὲν ὅλως διορίζεσθαι περὶ τῆς πείρας, ἢ τῷ περιττότερον ἀποφαίνεσθαι.
ἀλλ' ἡμῖν γε καὶ τίνα χρὴ διορίζεσθαι περὶ τῆς πείρας, εἴρηται, καὶ οὐ χρὴ πρότερον ἀποφήνασθαι περὶ κρισίμων ἡμερῶν
οὐδὲν, ἄχρις ἂν ἐπὶ πολλῶν ἀρρώστων ἔτεσι πολλοῖς ἀκριβῶς τις παραφυλάξῃ. τά τε γὰρ ἄλλα καὶ τῶν ἐπετείων κατα-
στάσεων αἱ διαφοραὶ πάμπολλαί τινες ὑπάρχουσιν. ἐν γοῦν ὅλῳ θέρει, ποτὲ πλείους ἢ τετρακοσίους ἀνθρώπους ὀξέως
νοσήσαντας ἐθεασάμην ἅπαντας, ἢ ἑβδομαίους, ἢ ἐνναταίους κριθέντας. ἐν ἑτέρῳ δ' αὖθις ἔτει τοὺς μὲν τεσσαρεσκαι-
δεκαταίους, τοὺς δ' εἰκοσταίους, τοὺς πλείστους δ' ἐξ ὑποστροφῶν. ἐν ἄλλῳ δὲ πεμπταίους μὲν αἱμορραγήσαντας παμ-
πόλλους, τελέως δ' ἑβδομαίους, ἢ ἐνναταίους κριθέντας. οἶδα δὲ καὶ φθινοπώρῳ ποτὲ πάντας ἐνδεκαταίους κριθέν-
τας. ἀλλὰ τούτους μὲν ἀγαθὴν τὴν κρίσιν ἐνεγκεῖν, ἕτερον δὲ φθινόπωρον ἑκταίους ἔκρινεν ἅπαντας οὐκ ἀγαθῶς. διὸ
καὶ μᾶλλον ἐπέρχεταί μοι θαυμάζειν τοὺς ὅλως οὐδεμίαν ἐν ταῖς ἡμέραις ἡγουμένους εἶναι διαφορὰν, ἀλλ' ὁμοτίμους ἁπάσας
ὑπάρχειν. ὅλαι γὰρ καταστάσεις πολλάκις, ἢ θερινῶν, ἢ μετοπωρινῶν νοσημάτων ἓν εἶδος ἔχουσι κρίσεων, ὡς κἂν
ταῖς ὑφ' Ἱπποκράτους γεγραμμέναις ἐστὶ δῆλον. ἐν αἷς εἴ τις μὴ παντάπασιν ἐστὶ ῥᾴθυμος, ἄλλοτε μὲν ἄλλην τῶν
κρισίμων ἡμερῶν ὄψεται πλεονάζουσαν, οὐ μὴν ὀγδόην τε καὶ ιβʹ. ἢ ιϛʹ. ἤ τινα τῶν τοιούτων. ἐοίκασιν οὖν εἰς ἄμφω
τὰ συνεστῶτα τὴν ὅλην ἰατρικὴν οἱ σοφισταὶ παρανομεῖν, τὴν πεῖράν τε καὶ τὸν λόγον. οὔτε γὰρ ἐν οἷς τῆς πείρας ἐστὶ
χρεία ταύτην ἀναμένουσιν, ἀλλ' ὡς ἂν ἑκάστῳ παραστῇ ληροῦσιν, οὔτε τῶν ἐναργῶς φαινομένων ἐξευρίσκουσι τὰς αἰ-
τίας. διὰ τοῦτο τοίνυν ὁ μέν τις αὐτῶν, οὔτε κρίσιμον ἡμέραν, οὔθ' ὅλως κρίσιν ὑπάρχειν φησίν. ὁ δὲ κρίσιν μὲν εἶναι
τινὰ, οὐ μὴν καὶ κρισίμους ἡμέρας, ὥσπερ δέον λόγῳ μᾶλλον, ἀλλ' οὐ πείρᾳ τὰς κρισίμους ἡμέρας καὶ τὰς κρίσεις ἐξευ-
ρίσκειν, ἢ φαυλοτέρων ὄντων, τῶν ὅσοι διὰ τῆς πείρας ἄμφω μεμαθηκέναι φασίν. ἡμῖν μὲν τοίνυν ὅσοι μεθ' Ἡρόφι-
λόν τε καὶ Ξενοφῶντα, καὶ Ἀσκληπιάδην ἐγενόμεθα, τάχ' ἂν εἴη τις εἰς τοὺς ἄνδρας ἐκείνους, ἢ φθόνος ἢ φιλονεικία.
τῷ πρώτως δ' ἀκριβῶς αὐτὰς ἐξευρόντι διὰ τῆς πείρας, ὡς τὰ τῶν ἐπιδημιῶν ἐνδείκνυται γράμματα, πόθεν ἂν
ἐπῆλθε τὸ προγνῶναι θεάσασθαι τινὰς ἐξ ἑτέρου βίου τοὺς σοφιστάς. οὐδὲ γὰρ ἐν τοῖς καθ' Ἱπποκράτην χρόνοις ἦσάν πω
τινὲς ὅμοιοι τούτοις, ἀλλ' ἕκαστος ἐκείνων ἐξευρεῖν τι καὶ συντελεῖν εἰς τὴν τέχνην ἐσπούδαζεν, οὐ λυμαίνεσθαι τοῖς ὀρ-
θῶς εὑρημένοις. καὶ μὴν καὶ τοὺς ἐμπειρικοὺς ὀνομαζομένους ἰατροὺς, ἔστι μὲν ἰδεῖν ὥσπερ τινὰς κοινοὺς ἐχθροὺς τῶν δογμα-
τιζόντων ἁπάντων ἐπιτηροῦντας ὃ καταμέμψονται. μὴ μέντοι μήτε κρισίμους ἡμέρας, μήτε κρίσεις ἀναιροῦντας,
ἀλλ' ὡς ἂν καὶ ἄλλο τι τῶν ἐναργεστάτων, καὶ ταῦτα ἄμφω τιθέντας, ἅλις ἤδη μοι σοφιστῶν ληρούντων. ἀλλ' ἐπὶ τὰ
συνεχῆ τῶν εἰρημένων αὖθις ἐπάνειμι, πρότερόν γε κεφαλαιώσας εἰς ἓν ἅπαντα τὰ προειρημένα. κρίσιμος μὲν γὰρ
ἰσχυροτάτη πασῶν ἡ ζʹ. περιδηλοῖ δ' αὐτὴν ἡ δʹ. δύο ταῦτ' ἔχουσα, τῷ τε κρίσιμος εἶναι μικροτέρα, καὶ τὸ τῆς ἑβδο-
μάδος ἐπίδηλος. ἐφεξῆς δ' ἐνδεκάτη τε καὶ ιδʹ. κατὰ τὴν αὐτὴν ἀναλογίαν τε καὶ φύσιν ἀποσώζουσαι πρὸς ἀλλήλας, ἥνπερ
ἡ δʹ. πρὸς τὴν ζʹ. κἄπειθ' ἑξῆς πολλάκις μὲν ἡ ιζʹ. πρὸς τὴν κʹ. ὀλιγάκις δὲ ἡ ιηʹ. πρὸς τὴν καʹ. τὸν αὐτὸν ἔχει λόγον
ὅνπερ ἡ δʹ. πρὸς τὴν ζʹ. καὶ ἡ ιαʹ. πρὸς τὴν ιδʹ. αὗται μὲν οὖν ὡς Ἱπποκράτης ἔλεγε, διὰ τεσσάρων εἰς τὴν κʹ. ἐκ προ-
σθέσιος ἀφικνέονται, παρεμπίπτουσι δ' αὐταῖς ἐνάτη, καὶ πέμπτη, καὶ τρίτη. πλείστους μὲν ἡ θʹ. κρίνουσα, δευτέραν δὲ
ἔχουσα δύναμιν ἡ εʹ. καὶ μετὰ ταύτην ἡ γʹ. περὶ δὲ τῆς ϛʹ. εἴρηταί μοι καὶ πρόσθεν, ὡς κακὴ κρίσιμος ἐστίν. ἡ μέντοι τρισ-
καιδεκάτη, πασῶν μὲν τῶν κρινουσῶν ἀσθενεστάτη, πασῶν δὲ τῶν μὴ κρινουσῶν ἰσχυροτάτη, καθάπερ ἐν μεθορίῳ
τινὶ τεταγμένη τῆς ἑκατέρων δυνάμεως. ἀγωνιστικώταται μὲν οὖν κρίσεις, ὡς καὶ πρόσθεν εἶπον, αἱ μέχρι τῆς ιδʹ. ἡμέ-
ρας, ἧττον δὲ αὐτῶν αἱ μέχρι τῆς κʹ. ἐντεῦθεν δ' ἄχρι τῆς μʹ. ἔτι τε καὶ μᾶλλον ἐκλύεται τὸ σφοδρὸν, ἐπ' ἐκείνους δὲ
τελέως

† δʹ. ϛʹ. ηʹ. ιʹ. ιδʹ. κηʹ. λʹ. μηʹ. ξʹ. πʹ. καὶ ρʹ.

τελέως ἔκλυτος γίνεται. ἡ δ᾽ ἀναλογία τῶν κρινουσῶν ἡμερῶν ἄχρι παντὸς διαφυλάττεται. καθάπερ γὰρ ἡ ιδ΄. καὶ πέρας ἐστὶ τῆς δευτέρας ἑβδομάδος, καὶ ἀρχὴ τῆς γ΄. οὕτω καὶ ἡ λδ΄. πέρας θ᾽ ἅμα τῆς πέμπτης ἐστὶ, καὶ ἀρχὴ τῆς ϛ΄. ὥστε ἀεὶ τὰς τρεῖς ἑβδομάδας εἴκοσιν ἡμέραις περιγράφεσθαι, καὶ διὰ τοῦτο τὴν ξ΄. ὡς καὶ πρόσθεν ἔφαμεν, οὐ τὴν ξγ΄. γίνεσθαι κρίσιμον. ὡσαύτως δὲ καὶ τὴν π΄. τε καὶ ρκ΄. ὡς γὰρ τὸ τῶν κρίσεων ἀγωνιστικὸν ἐκλύεται κατὰ βραχὺ τοῦ χρόνου προϊόντος, οὕτω καὶ τὰς ἀσθενεῖς κρισίμους ἀμαυροῦσθαι τελέως συμπίπτει. μόνας δ᾽ ἄχρι παντὸς διαρκεῖν, ὅσαι περιγράφουσιν τελείαν περίοδον ἀριθμῶν κρισίμων. ἔοικε δ᾽ ὅσα γε διὰ τῆς πείρας ἔνεστι μαθεῖν, πρώτη περίοδος τελεία ἡ τῶν εἴκοσιν ἡμερῶν ὑπάρχειν. εἰ μὲν γὰρ ἀεὶ κατὰ διάζευξιν ὁ τῆς ζ΄. ἀριθμὸς προὐχώρει, καθάπερ ἐπὶ τῶν πρώτων ἔχει δυοῖν, ἦν ἂν οὕτω γε καὶ αὐτὴ ἡ ζ΄. τελεία πρώτη περίοδος. ἐπεὶ δ᾽ ἡ μὲν δευτέρα τῆς πρώτης διέζευκται, συνῆπται δ᾽ ἡ τρίτη τῇ β΄. δῆλον ὡς οὐκέτι φυλάττεται μετὰ τὴν ιδ΄. ἡμέραν ἡ ἐξ ἀρχῆς ἀναλογία. μετὰ μέντοι τὴν κ΄. ἡ αὐτὴ τῶν περιόδων τάξις, ἄχρι παντὸς διαμένει. τῆς μὲν λδ΄. ἀνάλογον τῇ τεσσαρεσκαιδεκάτῃ γινομένης, ἐκ δυοῖν ἑβδομάδων διεζευγμένων, τῆς δ᾽ αὖ τεσσαρακοστῆς ἀνάλογον τῇ κ΄. τὴν τρίτην ἑβδομάδα τὴν συνημμένην πληρούσης. τοῦτ᾽ οὖν αὐτὸ διδάσκων ἡμᾶς Ἱπποκράτης, ἐν τῷ προγνωστικῷ μετὰ τὸ περὶ τῆς κ΄. ἡμέρας διελθεῖν, ἐφεξῆς φησί, μετὰ δὲ ταύτας ἐν τῷ αὐτῷ τρόπῳ, καὶ κατὰ τὸν αὐτὸν κόσμον ἡ πρώτη διὰ τεσσάρων καὶ τριάκοντα ἡμερῶν. πρώτην γὰρ εἶπε μετὰ τὴν κ΄. ἡμέραν εἶναι τὴν λδ΄. ὡς περίοδον οὐχ ὡς ἡμέραν κρίσιμον, ἐπεὶ καὶ δ΄. καὶ κα΄. μετὰ τὴν κ΄. ἐστὶ κρίσιμος. ἀλλ᾽ ἐπειδὴ περί τε τῶν μικροτέρων περιόδων, αἳ δὴ τετράδες εἰσίν, αὐτάρκως ἐδίδαξεν, καὶ περὶ τῶν ἑβδομάδων αὐτῶν ἱκανῶς διεξῆλθεν, εὐθὺς ἐβουλήθη ἑξῆς τὰς ὑπολοίπους δύο περιόδους ἐπιδιδάξαι, τήν τε ἐκ τῶν δύο ἑβδομάδων συγκειμένην, καὶ τὴν ἐκ τῶν τριῶν. ἀλλὰ τὴν μὲν ἐκ τῶν δύο οἷον ἡμιτελῆ τινα, τὴν δ᾽ ἐκ τῶν τριῶν, ἀκριβῶς τελείαν. εἴγε δὴ καὶ τὴν μ΄. καὶ τὴν ξ΄. καὶ τὴν π΄. καὶ τὴν ρκ΄. ἐκ τῆς κ΄. πολλαπλασιαζομένης γίνεσθαι συμβέβηκε. τοῦτ᾽ οὖν αὐτὸ καὶ οὐκ ἄλλο γνώρισμα τελείας ἐστὶ περιόδου, ἤτοι συντιθεμένης ἀεὶ καὶ πολυπλασιαζομένης αὐτῆς ἐφ᾽ ἑαυτήν, ἄλλης μηκέτι δεῖσθαι περιόδου, καὶ μὴν οὐδεμιᾷ τῶν πρὸ τῆς κ΄. ὑπάρχει τοῦτο. ἥτε γὰρ ζ΄. εἴπερ ἑαυτὴν ἐπολυπλασίαζε διὰ παντός, εἴς τε τὴν κα΄. ἂν ἐξέπιπτε, καὶ τὴν κη΄. καὶ τὴν λε΄. καὶ τὴν μβ΄. ἡ τεσσαρεσκαιδεκάτη, τήν τε κη΄. ὡσαύτως ἂν ἐποίει, καὶ τὴν μβ΄. ἀλλὰ καὶ ἡ τετρὰς καὶ ἤδη, εἰ τὴν σύνθεσιν αὐτῆς πρὸς ἑαυτὴν ἂν ἐποιεῖτο, τὴν ὀγδόην ἂν ἀπειργάζετο, καὶ τὴν ιβ΄. καὶ τὴν ιϛ΄. ἰσχυρὰς κρισίμους, ὥστε αὐτὴ μὲν ἡ δ΄. ἐναργῶς οὐδὲ περίοδός ἐστιν, ἀλλ᾽ οἷον ἥμισυ περιόδου. τῆς γὰρ ἑβδομάδος δίχα τμηθείσης, ἡ τετάρτη δεξαμένη τὴν τομήν, πέρας μὲν ἐστὶ τῆς πρώτης τετράδος, ἀρχὴ δὲ τῆς δευτέρας ἐγγίνεται. τάχα δ᾽ ἂν ἡ ἑβδομὰς αὕτη δόξειεν νομισθείη ἤδη τελεία περίοδος ὑπάρχειν. οὐ γὰρ δὴ κἀπὶ ταύτης γε τὴν ζ΄. ἡμέραν ἀρχὴν τῆς δευτέρας ἑβδομάδος εἶναι συμβέβηκεν. οὕτω γοῦν ἂν εἰς τὴν ιγ΄. οὐκ εἰς τὴν ιδ΄. ἐνέπιπτε τὸ τέλος αὐτῆς. ἀλλ᾽ ἐπεὶ πάλιν ἡ ιδ΄. πέρας θ᾽ ἅμα τῆς δευτέρας ἑβδομάδος, ἀρχή τε τῆς τρίτης ἐστίν, οὐκέτ᾽ ἂν οὕτως γε τελεία περίοδος ἡ ἑβδομὰς ὑπάρχοι. δὶς μὲν γὰρ ἑαυτὴν ἐπολυπλασίαζε, τὸ τρίτον δὲ οὐκ ἠδυνήθη. καὶ μὴν εἰ διὰ μὲν τὰς δύο τὰς πρώτας ἑβδομάδας ἐν διαζεύξει γινομένας, ὁλόκληρόν τινα περίοδον ὑπολαμβάνειν χρὴ τὴν ἑβδομάδα. διὰ δὲ τὴν τρίτην συναφθεῖσαν, οὐκέτ᾽ ὁλόκληρον, ἤτοι τελέως εἰς ἀχρείαν καταστῆναι ἀνάγκη τὸν λόγον, ἢ τὴν ἑβδομάδα πρώτην γέ τινα τῇ τάξει, καὶ ἁπλῆν περίοδον ἡγητέον εἶναι. τὴν δὲ ἐκ τῶν κη΄. ἡμερῶν συγκειμένην, δευτέραν τε ἅμα καὶ σύνθετον καὶ τελείαν.

ἅπτεται δή πως οὗτος ὁ λόγος τοῦ σκέπτεσθαι, τίς τούτων ἐστὶ τῶν ἡμερῶν ἡ κρίνουσα τὰς ὀξείας νόσους. Ἱπποκράτους γοῦν εἰπόντος ἐν ἀφορισμοῖς, τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν, ἀφορμὴν ἐντεῦθεν ἐσχήκασιν οἱ σοφισταὶ λήρων μακρῶν, ὧν ἁπάντων χωρὶς οἷόν τε ἐστὶ, καὶ προγνῶναι τὰς μελλούσας ἔσεσθαι κρίσεις, καὶ δοκιμάσαι τὰς ἤδη γεγενημένας. εἰ γὰρ εἰκοσταῖον εἰ τύχοι προγνοὺς, κριθήσεσθαι τὸ νόσημα τὴν δίαιταν ὁμολογοῦσαν αὐτῷ συστήσαιο, μέγιστα μὲν ἂν ὠφελήσεις τὸν κάμνοντα, καλεῖν δ᾽ ἐξέσται σοι καὶ ὀξὺ καὶ χρόνιον αὐτό, μηδεμιᾶς ὠφελείας ἢ βλάβης ἐκ τῆς προσηγορίας εἰς τὸν νοσοῦντα γινομένης. ἔστω γοῦν ὀξὺ καλεῖσθαι τὸ τοιοῦτον νόσημα, πάντων ὀρθῶς τῶν κατὰ τὴν δίαιταν ἐπὶ τοῦ κάμνοντος γεγενημένων. τί παρὰ τοῦτο χεῖρον ἢ βέλτιον ἔσται; πάλιν οὖν εἰ βούλει, χρόνιον αὐτὸ προσαγόρευσον, ἵν᾽ εἰδῇς ὅτι μηδὲν ἐκ τούτου βελτίων ἢ χείρων ὁ κάμνων γίνεται. καθάπερ οὖν καὶ ἄλλα πολλὰ περὶ ὀνομάτων ἐρίζοντες οἱ σοφισταὶ τῶν μανθανόντων κατατρίβουσι τὸν χρόνον, οὕτω κἂν τῷ περὶ τῶν ὀξέων καὶ χρονίων διορίζεσθαι. εἰ γὰρ δεῖ τἀληθὲς εἰπεῖν, οὐ δύο μόνας οἴεσθαι χρὴ νοσημάτων διαφοράς, ἀλλὰ πάνυ πολλάς. εἴ γε καὶ τεταρταῖος πυρετὸς εἰς ἐτῶν ἀριθμὸν ἐξέπεσε πολλάκις, καὶ ὅσαις ἡμέραις ἕτερος ἐκρίθη, καί τις ἄλλη νόσος εἰς μῆνας ἐξικνεῖται πολλούς. αὕτη μὲν οὖν ἡ πρώτη διαφορὰ τριττή, τῶν μὲν ἐν ἡμέραις, τῶν δὲ ἐν μησίν, τῶν δὲ ἐν ἔτεσιν ὅλοις κρινομένων. κατὰ μέρος δὲ πάλιν, ἐν μὲν τοῖς εἰς μῆνας ἐκπίπτουσι νοσήμασιν, οὐχ ὅμοιον δήπουθεν ἐστὶν δυοῖν μηνῶν γενέσθαι τὴν λύσιν, ἢ ἑπτά. οὕτω δὲ κἀπὶ δέκα ἡμερῶν, ἢ ἐτῶν ἀριθμῷ λύεται τὰ νοσήματα, παμπόλλη διαφορά. τί γὰρ ὅμοιον, ἢ τριταῖον, ἢ εἰκοσταῖον κριθῆναι, τί δ᾽ ὅμοιον εἰκοσταῖον, ἢ τεσσαρακοσταῖον. εἰ μὲν δὴ τὴν φυσικὴν αὐτῶν ἐθέλεις ἐξευρίσκειν διαφοράν, ὅσαι περ αἱ τῶν κρινουσῶν ἡμερῶν εἰσὶ περίοδοι, τοσαύτας ἀναγκαῖον ἔσται σοι ποιεῖσθαι καὶ τὰς νόσους. ἑτέρας μὲν οὖν φύσεως ὑποθεμένῳ, ὥσπερ οὖν δὴ καί ἐστιν ἑτέρας, τὸ μὴ δυνάμενον ὑπερβαλεῖν τὴν πρώτην τετράδα. ἑτέρας δὲ τὸ τὴν ζ΄. μὴ προβαῖνον. οὕτω δὲ καὶ τὸ τῆς ια΄. καὶ τὸ τῆς ιδ΄. καὶ τῆς ιζ΄. καὶ τῆς κ΄. ἁπασῶν τε τῶν ἐφεξῆς κρισίμων, ἴδιον ἑκάστης ἡγήσασθαι νόσημα. πρὸς μέντοι τὴν διδασκαλίαν, ἄμεινον ἐν μείζοσιν ὅροις αὐτὰ περιλαμβάνειν ὅπως μὴ πάμπολλα γίνοιντο. μὴ μέντοι μηδὲ πάλιν οὕτω μακροῖς, ὡς ἐφεξῆς ἀλλήλων τάττειν, τὰ πάμπολυ διαφέροντα, ὅθεν οὐδὲ τοὺς δύο τὰ πάντα τῶν νοσημάτων εἴδη τιθεμένους, εἶτ᾽ ἄτμητον αὐτῶν ἑκάτερον φυλάττοντας ἐπαινῶ, οὔτε τοὺς τοσαύτην εἶναι λέγοντας, ὅσαιπερ αἱ τῶν κρινουσῶν ἡμερῶν εἰσὶ περίοδοι. τίς ἂν οὖν ἡ ἀρίστη διδασκαλία γίνοιτο, καὶ μάλιστα τῇ χρείᾳ τῆς τέχνης ἐπιτήδειος, εἴ τις τῶν σοφιστῶν ἰατρῶν ἐπιχειρήσειεν ἰατρεύειν ἐπιμελῶς, ἐάσας τὸν ὑψηλὸν ἐκεῖνον θρόνον ἐφ᾽ οὗ καθεζόμενος, ὥσπερ τις μέγας βασιλεὺς ἐπιτρίβει τὰ μειράκια. τάχ᾽ ἂν εὖ οἶδ᾽ ὅτι πρὸς αὐτοῦ τοῦ πράγματος ἐκδιδαχθήσεται τὸ χρήσιμον. ὥσπερ οὖν καὶ ὁ πάντα θαυμαστὸς Ἱπποκράτης ἀπὸ τῶν ἐναργῶν αὐτῶν ὁρμώμενος, ποτὲ μὲν οὕτω γράφει, ὁκόσα μὲν κάρτοξυ τὸ νόσημα,

» αὐτίκα καὶ τοὺς ἐσχάτους ἔχει πόνους, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ποτὲ δ᾽ οὕτω τὰ ὀξέα τῶν
» νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν. εἶτ᾽ αὖθις. αὗται μὲν οὖν διὰ τεσσάρων εἰς τὰς κ. ἐκ προσθέ-
» σιος ἀφικνέονται. εἶτ᾽ αὖθις δὲ πάλιν. εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν πᾶσι
» τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖς ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. καὶ μὲν δὴ καὶ τῆς ξ. καὶ
τῆς π. καὶ τῆς ρκ. αὖθις μέμνηται, καὶ ταύτας πάλιν καταλιπὼν, τὰς μὲν θερινὰς νόσους χειμῶνος λύεσθαι φησί,
» τὰς δὲ χειμερινὰς θέρει. λέγει δὲ καὶ οὕτως, τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα, κρίνεται μὲν ἐν μ. ἡμέρῃσι, τὰ δὲ
» ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν. αὗται πᾶσαι πρός τε διδασκαλίαν ἅμα
σαφῆ, καὶ πρὸς τὴν τῶν ἀρρώστων χρείαν ἱκανῶς ὠφέλιμοι διαφοραί. καὶ γὰρ οὖν καὶ τὸ τῆς διαίτης εἶδος, ἕτερον ἐφ᾽ ἑκά-
στης ἐστὶν, γνοίης δ᾽ ἂν μάλιστα τὸν αὐτὸν ἄρρωστον ἐν ἁπάσαις αὐταῖς ἐξ ὑποθέσεως ὑποβαλὼν τῷ λόγῳ. νεα-
νίσκος δή τις ἰσχυρὸς ἑαλωκέτω νοσήματι, κατὰ τὴν πρώτην τετράδα κριθήσεσθαι μέλλοντι, τὸν ἀφορισμὸν ἐπὶ
τούτου μάλιστα προχειρισάμενος ἐκεῖνον. ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ
ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι, μήτε τροφήν τινα διδοὺς τούτῳ, μήτε μελίκρατον, ἢ ἄλλο τι τοιοῦτον,
ἀλλὰ καὶ τοῦ ὕδατος ὅσον οἷόν τε φείδεσθαι κελεύει, τὸν αὐτὸν τοῦτον νεανίσκον ὑποθέμενος ἑβδομαῖον κριθήσεσθαι, βρα-
χύ τι τῆς προειρημένης διαίτης ὑπαλλάξειν, ἤτοι μελίκρατον διδοὺς, ἤ τι τοιοῦτον ἕτερον πόμα τῇ φύσει τοῦ νοσήματος
οἰκεῖον, ὡς Ἱπποκράτης ἐδίδαξε. προσδιορίσεις δὲ καὶ ταῦτα τὰ μὲν αὐτὸς ἀπό τινων σημείων, οἷον κράσεως ἔθους,
καὶ ἡλικίας ἀνευρίσκων. ἔνια δὲ καὶ τοῦ νοσοῦντος ἀναπυνθανόμενος εἰ στόμαχον ἰσχυρὸν ἔχει, μακρὰς ἀσιτίας φέρειν
δυνάμενον, ἢ καμνόμενον ἑτοίμως, καὶ ῥᾳδίως λυόμενον. οὕτω δὲ καὶ τὴν ἕξιν ἐπισκοπῶν τἀνθρώπου, τὰ μὲν αὐτὸς
ἐξ ὧν ἔμαθεν ἐν τοῖς περὶ κράσεων ἐξευρίσκων, ἔνια δὲ καὶ τοῦ νοσοῦντος ἀναπυνθανόμενος. εἰσὶ γάρ τινες ἱκανῶς
εὐδιαφόρητοι, καὶ διὰ τοῦτο μακροτέρας ἀσιτίας οὐ φέρουσιν, οὐδ᾽ ἂν ἰσχυροὶ τὴν δύναμιν ἔμπροσθεν ὦσιν. εἰ δή τῳ
τι τοιοῦτον ἀνθρωπῶντι, καὶ αὐτῷ στοχαζομένῳ φαίνοιτο, καὶ ῥᾳδίως μὲν ὁ κάμνων διαφοροῖτο, ῥᾳδίως δ᾽ ὁ στόμα-
χος αὐτοῦ πάσχει. πτισάνης χυλὸν ἀκριβῶς διηθημένον ἑκάστης ἡμέρας ὀλιγοστὸν διδόναι, καὶ μνημονεύειν πάλιν
» ἐνταῦθα τῆς πρὸς Ἱπποκράτους εἰρημένου, ὅσον ἕνεκα τοῦ εἰσιέναι τι καὶ κενεαγγείην μὴ γίνεσθαι πολλὴν, αὐτῆς δὲ τῆς ζ.
» ἐπιστάσιος, μηκέτι τρέφειν, ἀλλὰ πρὸ μιᾶς ἢ πρόσθεν ἔλαττον διδόναι. καὶ γὰρ οὖν καὶ περὶ τούτων ἀκριβῶς ἡμᾶς
» ἐδίδαξεν ὁ παλαιὸς ἐν τῷ περὶ διαίτης ὀξέων. εἰ μέντοι τριταῖος, ἢ τεταρταῖος ὁ τοιοῦτος νεανίσκος ἐλπίζοιτο
» κριθήσεσθαι, μήτε τοῦ στομάχου τὴν κάκωσιν, μήτε τῆς ἕξεως τὴν κένωσιν ὑποπτεύει. πρὸς μέντοι τῷ νέος ὑπάρχειν
» ἅμα, καὶ ἰσχυρότατος εἶναι, καὶ ῥᾳδίως ἀσιτιῶν ἀνέχεσθαι μακρῶν, οὗτος ὁμολογήσει, καὶ δυσδιαφόρητός τε φαίνοιτο.
καὶ μηδὲν εἴη νόσημα νοσῶν τοιοῦτον, ὡς ὀξυμέλιτος, ἢ μελικράτου δεῖσθαι, τελέως ἀσιτεῖσθαι τοῦτον ἐγχωρεῖ μέχρι τῆς ζ.
εἰ δ᾽ εἰς τὴν γ. ἢ δ. τετράδα κρίσιν ἔσεσθαι προσδοκήσειεν, οὐκέτ᾽ ἐγχωρεῖ τὸν τοιοῦτον, οὔτ᾽ ἐπ᾽ ἀσιτίας φυλάττειν,
οὔτ᾽ ἐπὶ μόνου πόματος, ὥστε οὐ σμικρά τις ἡ μεταβολὴ τῆς διαίτης, οὔκουν οὐδὲ τῶν νοσημάτων ἡ διαφορὰ σμικρά.
καλείσθω δὴ τὸ μὲν ἄχρι τῆς ζ. ἐκτεινόμενον κάτοξυ, τὸ δὲ καὶ περαιτέρω που προϊὸν, ἁπλῶς ὀξὺ, μεμνημένων
ἡμῶν καὶ τῆς ἐν τῷ κατόξει διαφορᾶς. ἀκριβῶς μὲν γὰρ κάτοξυ τὸ μέχρι τῆς δ. ἡμέρας, οὐκ ἀκριβῶς δὲ τὸ μέχρι τῆς ζ.
ἐκτεινόμενον. οὕτω δὲ καὶ τῶν ὀξέων ἀκριβῶς μὲν ὀξὺ, τὸ μέχρι τῆς ιδ. οὐκ ἀκριβῶς δὲ τὸ μέχρι τῆς κ. ὀξὺ μέντοι καὶ
αὐτό. γένος δ᾽ ἄλλον νοσημάτων ἐπὶ τῷδε, τὸ ἐκ μεταπτώσεως ὀξὺ μέχρι τῆς μ. καλεῖν γὰρ ἄμεινον οὕτως αὐτὸ,
διότι τῶν ὀξέων τινὸς ἐλλιπῶς κριθέντος, ἐντὸς τῆς κ. ἡμέρας, εἶτα θραυσθείσης τῆς σφοδρότητος τὸ καταλειπόμενον,
ἐντὸς τῆς μ. εἴωθε λύεσθαι. ἔνια δ᾽ εὐθὺς ἐξ ἀρχῆς, οἷον κωλυόμενά τε καὶ βραδέως κινούμενα, καὶ μηδεμίαν ἀθρόαν
ἐν τῷ μεταξὺ ποιησάμενα μεταβολὴν, εἰς τὴν μ. ἐκτείνεται. διττὴ δὲ καὶ τούτων ἡ φύσις. ἢ γὰρ εἰς ἀπυρεξίαν ἀκρι-
βῆ τὰς παρακμὰς τῶν παροξυσμῶν ἔχει τελευτώσας, ἢ συνεχὴς ὁ πυρετὸς ἀεὶ διαμένει. τὰ μὲν δὴ τοιαῦτα, τῆς
τῶν ὀξέων φύσεως ἔχεσθαι δοκεῖ, τὰ δὲ ἕτερα σαφῶς ἐστιν ἤδη χρόνια. πολλαχῇ μὲν δὴ καὶ ἄλλοθεν τὸν Ἀρχιγένην δί-
καιον ἐπαινεῖν, οὐχ ἥκιστα δὲ καὶ ταύτην ἄν τις γνωρίσειεν αὐτοῦ τὴν περὶ τὰ τῆς τέχνης ἔργα σπουδήν. ὅτι μὴ τοῖς χρό-
νοις μόνοις ψιλοῖς, ἀλλὰ καὶ τῇ κινήσει γε καὶ φύσει μᾶλλον ὀξὺ, ἢ κάτοξυ προσαγορεύει νόσημα. τὸ γὰρ ἀργῶς τε καὶ
βραδέως, καὶ μετὰ διαλειμμάτων ἀπυρέτων ἕως τῆς μὲν τεσσαρακοστῆς ἐκτεινόμενον, οὐκ ἄν τις εὖ φρονῶν ἔτι κα-
λέσειεν ὀξὺ φύσει. καὶ γὰρ εἰ θᾶττον τῆς μ. παύοιτο, τοιοῦτον ὑπάρχον, ἤδη χρόνιον ἐστὶν, ἕτερα δὲ νοσήματα βραχυ-
χρόνια μὲν ὀνομάζει. δίκαιον δ᾽ εἶναι φησὶν, μήτ᾽ ὀξέα, μήτε χρόνια προσαγορεύεσθαι, καθάπερ τοὺς μικροὺς τούτους
καὶ ἀκινδύνους πυρετούς. οὗτοι γὰρ ὅτι μὲν οὐκ εἰσὶ χρόνιοι πρόδηλον, ἀποκεχωρήκασι μέντοι τῆς τῶν ὀξέων φύσεως. ὀξὺ
γὰρ δὴ τοῦτ᾽ εἶναι φησὶν ὃ ἢ διὰ ταχέων κινδυνῶδές ἐστιν. ὁρᾷς οὖν ὅτι καὶ λύσεως ἐνίοτε τὴν αὐτὴν ἐχούσης προθεσμίαν, ἢ
ὀξὺ τὸ νόσημα καλέσομεν, ἢ οὐκ ὀξύ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐνίοτε μὲν τὸ μὲν ὀξὺ, τὸ δὲ χρόνιον, αὐτῇ τῇ κινήσει μόνῃ
διοριζόντων. οἶδα γοῦν πολλοὺς ἕως τῆς μ. ἡμέρας ἐν συνεχεῖ πυρετῷ γινομένους, οὕτω δὲ καλῶ δηλονότι τὸν μὴ
παυόμενον εἰς ἀπυρεξίαν, ὥστε ὅτι μὲν οὐκ ἦν χρόνιος ἡ τοιαύτη νόσος, ἔχειν εἰπεῖν, οὐ μὴν οὐδ᾽ ἁπλῶς γ᾽ ὀξεῖαν αὐτὴν ὀνο-
μάζειν εὔλογον. ἀλλὰ γὰρ ἐπειδὴ τά τ᾽ ἐκ μεταπτώσεως ὀξέα τῆς ἀκριβοῦς λύσεως ὅρον ἔχει τὸν ἐσχάτως τὴν μ. ἡμέ-
ραν, ἔνια δὲ διὰ παντὸς ἐν συνεχεῖ πυρετῷ μέχρι ταύτης ἐξετάθη, κείσθω καὶ οὗτος ὁ χρόνος ἐνίοτε μὲν ἤδη χρονίων
σαφῶς νοσημάτων τῶν ἐχόντων διάλειμμα, ὡς ἔμπροσθεν εἶπον, ἐνίοτε δ᾽ ὀξέων εἶναι κριτικός. οὕτως οὖν ὁ Ἱπποκρά-
» της ἔλεγεν ἐν τῷ προγνωστικῷ. εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην ἐν πᾶσι τοῖ-
» σιν ὀξέσι νοσήμασιν ὁκόσα σὺν πυρετοῖς ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. οὐ γὰρ ἁπλῶς ὀξέων εἶπε, καίτοι
δυνάμενος εἰπεῖν, ἀλλὰ μετὰ προσθήκης, τῶν ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, ὡς ὄντων τινῶν ὀξέων ἃ τῆς παντε-
λοῦς λύσεως ἕνεκα εἰς αὐτὴν ἐκτείνεται τὴν ἡμέραν. τὰ μὲν οὖν ἁπλῶς ὀξέα, τῆς ιδ. οὐκ ἂν ἐξωτέρω προβαίη μὴ κριθέν-
τα. τὰ δὲ εἰς μ. ἐκπίπτοντα, ποτὲ μὲν αὐτὰ τοιαῦτα ἐστι, τὰ ἐντὸς τῆς ιδ. ἐλλιπῶς κριθέντα, ποτὲ δὲ ὧν ὀλίγον ἔμ-
προσθεν ἐμνημόνευσα μὴ πάνυ τι πολλάκις γινόμενα. καὶ μὲν δὴ καὶ τρίτα τὰ σαφῶς ἤδη βραδέα τὰ τοῖς ὀξέσιν αὐτοῖς
διαιρούμενα, τὴν μ. ἡμέραν ἔχει κρίσιμον. ἀλλὰ περὶ μὲν τούτων ὀλίγον ὕστερον ἐροῦμεν, ὅλον δὲ τὸ προκείμενον γένος,

τῶν ἐκ μεταπτώσεως ὀξέων ὀνομαζέσθω. δέδεικται μὲν οὖν ἡμῖν καὶ δι᾽ ἑτέρων, καὶ μάλιστα ἐν τῷ τρίτῳ τῶν περὶ δυσπνοίας, ὡς ἐν τῷ προγνωστικῷ γράμματι περί τε τῶν ἁπλῶς ὀξέων διαλέγεται, καὶ προσέτι τῶν ἐκ μεταπτώσεως ἐκείνων ἀποτελουμένων. ὅταν οὖν ἐπὶ τελευτῆς μὲν βιβλίου καθόλου ποιούμενος τὴν ἀπόφασιν εἴποι. ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τουτέων γίνεται. κατὰ μέρος δὲ περὶ μὲν ὑδρώπων ὧδέ πως. οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων γινόμενοι, πάντες κακοί. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ ὅταν περὶ τῶν ἐμπύων τε καὶ φθισικῶν ὀνομαζομένων, καὶ τῶν ἐξ ἀποστήματος εἰς χρόνον ἐμπιπτόντων μακρότερον ὁ λόγος αὐτῷ γίνηται, σαφῶς δηλοῖ ὡς οὐκ ἐπελάθετο μὲν τῶν προκειμένου. τὰ δὲ ἐκ τῶν ὀξέων νοσημάτων γινόμενα κἂν ᾖ χρόνια διορίζεται, οὕτως οὖν κἀκεῖνα εἴρηται. αἱ δ᾽ ἄλλαι ἐκ τουτέων αἱ πλεῖσται ῥήγνυνται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριακοσταῖαι, αἱ δὲ τεσσαρακοσταῖαι, αἱ δὲ πρὸς ἑξήκοντα ἡμέρῃσιν ἀφικνέονται. καὶ μὲν δὴ κἀν τῷ καταλόγῳ τῶν κρισίμων ἡμερῶν τῶν κατὰ τὸ προγνωστικὸν ἕως τῆς ξ´. ἡμέρας προὔβη δεόντως. ἐπεὶ γὰρ οὐ περὶ τῶν ὀξέων μόνον, ἀλλὰ καὶ τῶν ἐκ τούτων γινομένων ὁ λόγος ἦν αὐτῷ, προσηκόντως οἶμαι κἀν ταῖς κρισίμοις αὐταῖς, κἀν τῇ περὶ ῥήξεως τῶν ἀποστημάτων διδασκαλίᾳ, τῆς ξ´. ἡμέρας ἐμνημόνευσε. ταύτην οὖν τὴν διδασκαλίαν οἱ μὴ νοήσαντες, εἰκῇ καὶ μάτην ἐν τούτοις πλέκουσι ζητήματα, μάχεσθαι νομίζοντες τῷδε τῷ λόγῳ τῷ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένῳ, τῷ φάσκοντι, τὰ ὀξέα τῶν νοσημάτων ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι κρίνεται, ὥσπερ οὐκ αὐτοῦ τοῦ Ἱπποκράτους ἀκριβῶς ἐνδειξαμένου τῷ λόγῳ, τῶν ἐκ μεταπτώσεως ὀξέων τὴν φύσιν ἑτέραν τῆς τῶν ἁπλῶς ὀξέων. αὐτὸ γὰρ δὴ τοὐναντίον ἐστὶν, ἢ ἐκεῖνοι νομίζουσιν. εἰ μὴ γὰρ διττὴν ἠπίστατο τῶν ὀξέων τὴν φύσιν, ἑτέραν μὲν τῶν ἁπλῶς ὀξέων, ἑτέραν δὲ τῶν ἐκ μεταπτώσεως, οὐκ ἂν διωρίσατο τῇ προσθήκῃ τὴν ἀπόφασιν. ἀλλ᾽ ἁπλῶς εἶπεν ἄν, εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν, ἐς σωτηρίαν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασι. νυνὶ δὲ ἐπειδὴ τὴν τοιαύτην λέξιν ἠπίστατο τῶν ἁπλῶς ὀξέων ἐσομένην ἐνδεικτικὴν, οὐ μὴν ἐβούλετο γ᾽ οὕτως, ἀλλὰ σὺν αὐτοῖς καὶ τἄλλα περιλαβεῖν, εὐλόγως προσέθηκε, πρῶτον μὲν τὸ ὁπόσα σὺν πυρετοῖς ἐστι. μηκέτι προσγράψας τοῖσι συνεχέσιν, ὅπερ ἴδιον ἦν τῶν ἁπλῶς ὀξέων. ἔπειτα δὲ καὶ τὸ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, ὡς ἂν ἄλλων τινῶν ὄντων ὀξέων ἃ οὐκ ἐν μ´. ἡμέρῃσι κρίνεται. πανταχόθεν οὖν αὐτῷ διώρισταί τε καὶ δέδεικται σαφῶς ἡ φύσις τῶν νοσημάτων, ὑπὲρ ὧν ὁ σύμπας ἐστὶ κατὰ τὸ προγνωστικὸν λόγος. οἱ δ᾽ ἐξηγηταὶ τὰ σαφῶς εἰρημένα, ζητοῦσιν ἀσαφῆ ποιῆσαι. τὸ μὲν οὖν ὀνόματος προσθήκῃ λύειν ἐπιχειρεῖν ὃ πλέκουσι ζήτημα συγγνωστὸν, ἀλλὰ τοῦτο ποιήσουσιν οἱ οὕτω γράφοντες. εὔπνοιαν δὲ χρὴ νομίζειν, κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίαν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖς ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. τινὲς δὲ καὶ μὴ προσγράφοντες ἐν τῇ ῥήσει τὸ, καὶ ὁκόσα, συνυπακούειν δεῖ φασιν ἵν᾽ ὁ λόγος αὐτῷ γένηται διπλοῦς, ὁ μὲν ἕτερος περὶ τῶν ὀξέων νοσημάτων ὑπὲρ ὧν ἀπεφήνατο κατὰ τοὺς ἀφορισμοὺς, ὁ δ᾽ ἕτερος ὑπὲρ τῶν ἄλλων ὅσα σὺν πυρετοῖς ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. τὸ δὲ μηδὲ ἐν τοῖς ἀφορισμοῖς οἴεσθαι τὴν ιδ´. ἡμέραν κρίσιμον, ἀλλὰ κἀκεῖ δεκατέσσαρας τὰς πάσας ὑπολαμβάνειν, ἀποφαίνεσθαι τὸν Ἱπποκράτην κρισίμους ἡμέρας ὑπάρχειν. εἶναι γὰρ τοσαύτας, εἴ τις ἀπὸ τῆς τρίτης, ἢ πρώτης πασῶν κρίνειν πέφυκεν ἀριθμήσειεν, ἄχρι τῆς μ´. οὐ μικρᾶς καταγνώσεως ἄξιον. οὔτε γὰρ ὡς ἰατροὶ τοῦτο λέγουσιν, οὔθ᾽ ὡς ἀριθμεῖν γινώσκοντες, οὔθ᾽ ὡς ἀναγινώσκειν εἰδότες. ἰατροὶ γὰρ ὄντες, ἠπίσταντό τε ἄν, πρῶτον μὲν ὡς οὐδὲν τῶν ἀκριβῶς ὀξέων εἰς τὴν μ´. ἡμέραν ἀφικνεῖται μὴ κριθέν. ἔπειτα δὲ καὶ ὡς οὐδὲ τεσσαρεσκαίδεκα τὸν ἀριθμόν εἰσιν, αἱ μέχρι τῆς μ´. κρίσιμοι. κατὰ τοῦτο δὲ οὐδὲ ἀριθμεῖν ἄν τις αὐτοὺς ἐπίστασθαι φαίη. πλείους γάρ εἰσι τῶν δεκατεσσάρων, τό, τε ἀληθὲς αὐτὸ, καὶ τὸ φαινόμενον ἐπὶ τῶν ἔργων σκοπουμένοις, καὶ μέντοι καὶ τὸ πρὸς Ἱπποκράτους ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εἰρημένον. ἔμπροσθεν δὲ παρέγραψα τὴν λέξιν ἐκείνην ἐν ᾗ διδάσκει τὰς κρισίμους ἡμέρας ἁπάσας, εἴ τις ἀριθμεῖν ἐπίσταται, πλείους εὑρήσει τῶν ιδ´. μέχρι τῆς μ´. γινομένας. εἰ δὲ τὰς κατὰ τετράδα μόνας ἀριθμεῖ τις, ἴσως γὰρ ἐπὶ τούτῳ ἐξελεγχόμενοι πάλιν μεταβήσονται, ἐλάττους εἰσίν. αἱ δὲ τῶν ιδ´. ὅτι δ᾽ οὐδ᾽ ἀναγινώσκειν ἴσασιν οἱ τὰ τοιαῦτα λέγοντες, ὧδ᾽ ἂν μάλιστα γνοίης. εἰ μὲν οὖν ἐν τῷ προγνωστικῷ τὴν μ´. ἡμέραν κρίσιμον εἶπεν εἶναι τῶν ὀξέων, ἔπειτα ἐν τοῖς ἀφορισμοῖς ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν ταῖς πάσαις ἔλεγεν αὐτὰ κρίνεσθαι, τότε γ᾽ ἐνεχώρει τι τοιοῦτον οἷον ἐκεῖνοι λέγουσιν ἐπινοεῖν. ἐπεὶ δὲ κἀν τῷ προγνωστικῷ ἐν τεσσαράκοντα ἡμέρῃσιν ἔφησεν αὐτὰ κρίνεσθαι, κἀν τοῖς ἀφορισμοῖς ἐν τεσσαρεσκαίδεκα, γελοιότατόν ἐστι τῆς αὐτῆς λέξεως, ἄλλο τι ἄλλως ἀκούειν. ἀμείνους δὲ τούτων οἱ μὴ ζητοῦντες τοὺς λόγους ἀποδεῖξαι, ὁμολογοῦντες ἄλλου μὲν εἶναι τοὺς ἀφορισμοὺς ἀνδρὸς, ἄλλου δὲ τὸ προγνωστικὸν, ἀλλ᾽ οὗτοι θαυμαστοὶ τῆς μεγαλοψυχίας. ὅτι δὲ τὸ χρήσιμον εἰς τὴν τοιαύτην διδασκαλίαν ὁ Ἱπποκράτης ἐπισκοπούμενος, ἀεὶ τὰ μὲν ἁπλῶς ὀξέα τὴν ιδ´. ὅρον ὀρθῶς ἔφησεν ἔχειν. τῶν δ᾽ ἐκ μεταπτώσεως ὀξέων, τὰ μὲν τὴν μ´. τὰ δὲ τὴν ξ´. αὐτάρκως ἐπιδέδεικται. χρὴ δὲ εἰδέναι, καθόλου περὶ τῶν τοιούτων ἁπάντων, ὡς ὅσα ποσοῦ τινος εἰς μόρια διαιρουμένου γίνεται, ἔχει τὴν σωριτικὴν ἀπορίαν ἑπομένην. δεῖ τοιγαροῦν οὕτω τέμνειν ἐπιχειρεῖν, ὡς μήτε τὰ πολὺ διαφέροντα μόρια συναπτεῖν ἀλλήλοις, ὅπερ εἰς ὀλίγα τεμνομένου τοῦ παντὸς ποσοῦ γίνεται, μήθ᾽ οὕτω πολλὰ ποιεῖν, ὡς τὸ τῆς διδασκαλίας χρηστὸν ὑπερεκπίπτειν. ὡς οὖν ἐνδέχεται τὰ κάλλιστα διελεῖν, οὕτω μοι φαίνεται τέμνεσθαι τὰ πρὸς Ἱπποκράτους. πρῶτον μὲν γὰρ τὰ κατόξεα μέχρι τῆς ζ´. ἐνδείκνυται προϊέναι, δι᾽ ὧν ὡς ἔφην ἐν ἀφορισμοῖς εἶπεν ἐσχάτως χρῆναι λεπτῶς διαιτᾶν αὐτά. εἶτα μετὰ ταῦτα ἐν τῷ περὶ διαίτης ὀξέων ἄχρι τῆς ζ´. τινὰς ἐν ἀσιτίᾳ φυλάττειν παντελεῖ. ἔπειτα δὲ καὶ τὴν ιδ´. τῶν ἁπλῶς ὀξέων τέλος ἐτίθετο, κἄπειτα μέχρι τῆς κ´. προὔβη. αὖθις δὲ καθ᾽ ἑκάτερον εἶδος νόσου ἄχρι τῆς μ´. καὶ αὖθις τε καθ᾽ ἑκάτερον ἕως τῆς ξ´. εἶτ᾽ αὖθις ὅρον ἔσχατον τῶν κρινουσῶν ἡμερῶν τὴν ρ´. τε καὶ εἰκοστὴν ἐποιήσατο, τεττάρων δηλονότι μηνῶν ὑπάρχοντα χρόνον. ἑξῆς δὲ τὰ μὲν ἐν μηνῶν ἀριθμῷ κριτικῶν, τὰ δὲ ἐν ἐτῶν λύεσθαι λέγει. τὸ μὲν οὖν εἰς τὴν διδασκαλίαν χρήσιμον, τοῦτ᾽ ἐστί. παρεμπίπτει δέ τινα λογικὰ ζητήματα παραμυθίαν ἐπιζητοῦντα, καθάπερ οἶμαι καὶ τόδε, τῶν ὀξέων ὁμολογουμένων εἶναι νοσημάτων, ἔνια τὴν ιδ´. ἡμέραν ὑπερβαίνοντα φαίνεται, καὶ διὰ τοῦτο καὶ Διοκλῆς, οὐ τὴν ιδ´. ἀλλὰ τὴν κ´. πρώτην ὅρον αὐτὴν ἐτίθετο. κατὰ

τοῦτο μὲν ἁμαρτάνων, ὅτι μὴ τὴν κ΄ μᾶλλον, ἀλλὰ τὴν κα΄ ὅρον αὐτῶν ἔτι ἐτίθετο, οὐ μὴν ἐκεῖνός γε πάντως σφαλλόμενος ἐν τῷ ιδ΄ ὑπερβαίνειν. ἴσμεν γάρ τινας τῶν ὀξέως διανοσησάντων, ἑπτακαιδεκαταίους τε καὶ εἰκοσταίους κριθέντας, ὥσπερ ἀμέλει καὶ παρ᾽ αὐτῷ τῷ Ἱπποκράτει ἐν αὐτοῖς τοῖς ἐπιδημίοις ἔστιν εὑρεῖν. πῶς οὖν εἴπερ τοῦτο οὕτως ἔχει, καὶ φαίνεταί τινα τῶν ὀξέων νοσημάτων ὑπερβαίνοντα τὴν ιδ΄ ὅρον αὐτῶν, τήνδε τὴν ἡμέραν ἐν ἀφορισμοῖς ἐποιήσατο. πρόχειρον μὲν οὖν φάναι σπάνιον μὲν εἶναι τοῦτο, πλειστάκις δὲ θάτερον ἀποβαίνειν εἴωθεν. ἔστι δ᾽ ὅτε τὸν Ἱπποκράτην μόνον ἀποφαίνεσθαι τὸ πλειστάκις ὀφθὲν, ἐν οὐδενὶ λόγῳ τὸ σπάνιον τιθέμενον. ἀλλὰ καὶ βαθυτέρας τινὸς ἔχεται γνώμης ἡ ἀπόφασις, ἄν τις αὐτὴν ἐξετάζῃ προσηκόντως. ὅσα γὰρ εἰς τὴν ιζ΄ ἡμέραν, ἢ τὴν κ΄ ἐξέπεσεν ἀκριβῶς ὀξέα νοσήματα, πάντως ἤρξαντο ταῦτα καθάπερ ὑποβρύχια βραδέως τε καὶ οἷον μεμολυσμένως κινεῖσθαι, κἄπειτα τὰ μὲν ἐν τῇ πρώτῃ τετράδι, τὰ δ᾽ ἐν τῇ δευτέρᾳ τὴν τῶν ἀκριβῶς ὀξέων ἀπολαμβάνοντα κίνησιν, εἰς τὴν ιζ΄ τε καὶ κ΄ ἐξέπεσεν, ἐντὸς τῆς ιδ΄ καὶ ταῦτα τῆς ἑαυτῶν κριθέντα. τὰ γὰρ ἐν τῇ τετράδι τῶν ἡμερῶν ἀπαρξάμενα τῆς ὀξύτητος, ἔπειτα ἑπτακαιδεκαταῖα κριθέντα, δῆλον ὡς οὐχ ὑπερέβη τὴν ἑαυτῶν ιδ΄. οἶδε δὲ τοῦτο καὶ αὐτὸς μὲν ὁ Διοκλῆς, καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες οἱ παλαιοί. φρενιτικὸς γοῦν εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας, οὐ πάνυ τι γίνεσθαι φησίν. εἰ τοίνυν τις ἀρξάμενος φρενιτίζειν, ἤτοι πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ ἑπτακαιδεκαταῖος, ἢ εἰκοσταῖος κριθείη, πρόδηλον ὡς ἐντὸς τῆς ἑαυτοῦ τεσσαρεσκαιδεκάτης ἐκρίθη. κατὰ τοῦτο δὴ καὶ μάλιστα νομίζω τὴν κ΄ ἡμέραν, εἰς ἀμφιβολίαν ἐμπεσεῖν, ἐπαμφοτερίζουσαν τῇ δυνάμει. τῷ πολλάκις μὲν τὰ μετὰ τὰς πρώτας ἡμέρας, ὀξέα νοσήματα γενόμενα κρίνειν, ἐνίοτε δὲ ἐπικρίνειν τὰ προκριθέντα. τῶν γὰρ ἀπὸ τῆς πρώτης ἡμέρας ὀξέων οὐδὲν εἰς ταύτην ἐμπίπτει μὴ προκριθέν. εἰ δ᾽ ἔν τινι τῶν ἔμπροσθεν ἡμερῶν ἐλλιπῶς κεκριμένον αὐτῇ τελέως ἀπαλλάξειεν, οὐκ ἀναιρεῖ τὸ τῶν ὀξέων νοσημάτων τὴν ιδ΄ εἶναι πέρας. ὅσα δὲ κατὰ τὴν ἀρχὴν ὑποβρύχιά τε καὶ μολυνόμενα φανεῖται, καὶ μετὰ ταύτην ἕως τῆς μ΄ τοιαῦτα μείναντα, πάλιν ἐπιταθῇ, ταῦτα χρόνια δικαίως ἄν τις ὀνομάσειεν. ὥσπερ γε τῶν ὀξέων μὲν σαφῶς, ἀλλ᾽ ἔν τινι τῶν πρὸ τῆς κ΄ κριθέντων, οὐκ ἀσφαλῶς, εἶτα διαλειπόντων. κἄπειθ᾽ ὑποστρεψάντων, εἶτ᾽ αὖθις ὀξέων γινομένων, κἄπειτ᾽ ἐν τῇ μ΄ κριθέντων, διαπορήσειεν ἄν τις, εἴθ᾽ ἁπλῶς ὀξέα καλεῖν αὐτὰ προσήκει, εἴτ᾽ ἐκ μεταπτώσεως ὀξέα, πολὺ δὲ μᾶλλον εἰ χρόνια. ἐν μὲν δὴ τοῖς ἀμφιβόλοις τε καὶ ἀσαφέσιν, οὐ χρὴ ζητεῖν ἀπόφασιν ἀσφαλῆ. κατὰ γὰρ τὴν τῶν πραγμάτων φύσιν, ἀεὶ χρὴ γίνεσθαι τὰς ἀποφάσεις ἀσφαλεῖς. ἐν οἷς δὲ ἐστὶν ἡ τῶν πραγμάτων φύσις ἀκριβῶς ἁπλῆ, σαφῆ καὶ ἁπλῆν ἐνταῦθα χρὴ ποιεῖσθαι τὴν ἀπόφασιν. ἐπεί τοι καὶ κατ᾽ αὐτοὺς τοὺς ἀφορισμοὺς ὁ Ἱπποκράτης ἡνίκα τὴν ιδ΄ ἡμέραν ὅρον ἔθετο τῶν ὀξέων νοσημάτων, εὐθὺς καὶ τῆς ιζ΄ ἐμνημόνευσε, γράφων ὧδε. θεωρητὴ πάλιν ἡ ιζ΄. αὕτη γάρ ἐστι, δ΄ μὲν ἀπὸ τῆς ιδ΄, ζ΄ δὲ ἀπὸ τῆς ια΄. ἐμφαίνει γὰρ κἀνταῦθα περὶ τῆς κ΄ ὡς ἂν δευτέρου τινὸς ὅρου τῶν ὀξέων. ἀλλ᾽ ἐπεὶ καὶ τοῦτο τὸ βιβλίον αὐτάρκες ἤδη μῆκος ἔχει, καταπαύσω τῇδε τὸν ἐνεστῶτα λόγον. ὅσον δ᾽ ὑπόλοιπον ἐστὶ τῆς περὶ κρισίμων ἡμερῶν θεωρίας, ἐν τῷ μετὰ τοῦτο σύμπαν εἰρήσεται.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ ΗΜΕΡΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΟΤῼ δὲ καὶ τὰς αἰτίας εὑρῆσθαι κάλλιον εἶναι δοκεῖ, δι᾽ ἃς οὐκ ἐν ἁπάσαις ἡμέραις αἱ νόσοι κρίνονται, τούτῳ καὶ τάδε σύγκειται. χρὴ μέντοι καὶ τὰς ἀρχὰς τῆς εὑρέσεως τῶν κρινουσῶν ἡμερῶν αὐτῶν ὁμολογεῖσθαι, καθότι κἀν τῷ πρὸ τούτου γράμματι λέλεκται. διτταὶ δ᾽ εἰσὶν αὗται κατὰ γένος, ὑπὸ μὲν τῆς πείρας ἐναργῶς μαρτυρούμεναι, τῷ τε μὴ πᾶσαν ἡμέραν ὁμοίως εἶναι κρίσιμον, ἰσχυροτάτην δὲ δύναμιν ὑπάρχειν ταῖς καθ᾽ ἑβδομάδα περιόδοις, δευτέραν δὲ ταῖς κατὰ τετράδα, παρεμπίπτειν δέ τινας ἔξω τούτων. ἀλλὰ καὶ τὸ μήτε πάσας ἀλλήλων διεζεῦχθαι τὰς ἑβδομάδας, ἀλλὰ καί τινας ἐξ αὐτῶν καὶ συνάπτεσθαι, μήτε πάσας τὰς τετράδας, ἀλλὰ καὶ τούτων τὰς μὲν διαζεύγνυσθαι, τὰς δὲ καὶ συνάπτεσθαι, καὶ τὸ τὰς κρίσεις γίνεσθαι τοὐπίπαν. ἐν μὲν τοῖς ὀξέσι νοσήμασιν ἐν περιτταῖς ἡμέραις, ἐν δ᾽ αὖ τοῖς χρονίοις, ἐν ταῖς ἀρτίαις. ἅπαντά γε τὰ τοιαῦτα περὶ ὧν ἔμπροσθεν εἴρηται, πρὸς τῆς ἐμπειρίας ἱκανῶς μαρτυρεῖται, τῷ λόγῳ δ᾽ ἐξιχνεύουσιν ἡμῖν τὰς τούτων αἰτίας, ἐφαίνετο δύο ἀρχὰς θέσθαι χρῆναι τὰς πρώτας ἁπάντων τῶν γινομένων. ἄτακτον μὲν τὴν ἐκ τῆς ἐνταῦθ᾽ ὕλης ὁρμωμένην, ἐν τάξει δέ τινι καὶ κόσμῳ περιοῦσαν ἀεὶ, τὴν ἐκ τῶν κατ᾽ οὐρανὸν, ἅπαντα γὰρ τὰ τῇδε πρὸς ἐκείνων κοσμεῖται. καὶ δὴ καὶ νῦν ὧδε συναμφοτέροις, τοῖς τε ἐκ τῆς πείρας γνωσθεῖσι, καὶ οἷς ὁ λόγος ὑφηγήσατο πειρᾶσθαι χρὴ, πάντων τῶν κατὰ τὸν λόγον, καὶ κατ᾽ αὐτὴν πεῖραν τῶν κατὰ τὰς κρισίμους ἡμέρας, ἐξευρίσκειν τὰς αἰτίας ἐνθένδε ἀρχομένους. πάντων μὲν τῶν ἄνωθεν ἄστρων ἀπολαύομεν τῆς δυνάμεως, ἀλλ᾽ ὁ μάλιστα κοσμῶν τὰ τῇδε καὶ ῥυθμίζων, καὶ διατάττων, ὁ ἥλιος ἐστίν. οὐ γὰρ δὴ ἄλλος γέ τις ἦρος καὶ θέρους, φθινοπώρου τε καὶ χειμῶνος αἴτιος, οὐδ᾽ ἄλλος ἐπιφανῶς οὕτως, οὔτ᾽ ἐξ ἰλύος γηΐνης ζῷα γεννᾶν πέφυκεν, οὔτε καρποὺς τελειοῦν, οὔτ᾽ εἰς ὀχείαν τε καὶ τὴν τοῦ γένους διαμονὴν ἐκκαλεῖσθαι τὰ ζῷα. μεγάλα μὲν καὶ τὰ τῆς σελήνης ἔργα περὶ τὴν ἐνταῦθα οὐσίαν, ἀλλὰ τῶν ἡλίου δεύτερα. καὶ γὰρ ἀεὶ τοὺς μῆνας αὕτη διατάττει, καὶ μάλιστ᾽ ἐπιφανῶς ἐν τοῖς θαλαττίοις ζῴοις, ἀλλά τοι καὶ αὐτὸ τοῦτο δι᾽ ἥλιον ἔχει. νέον μὲν γὰρ αὐτῇ τὸ φῶς ὅταν ἡλίου πρῶτον ἀπολαύῃ, τοὐντεῦθεν δὲ αὐτῆς ἀεὶ πεφώτισται μέρος, ὁπόσον ὁ ἥλιος ὁρᾷ. τελέως δ᾽ ἐκλείπει καὶ ἀφώτιστος γίνεται, τῆς γῆς ἐπισκοτούσης αὐτῇ, ὥστε ἐκ τῶν πρὸς ἥλιον ἀποστάσεων, ἁπάσας ἔχει τὰς μεταβολάς. καὶ γὰρ καὶ πλήρης ἐστὶν, ἐπειδὰν διάμετρος ᾖ, καὶ διχότομος, ἐπειδὰν τετράγωνος, καὶ ἀμφίκυρτος, ἐπειδὰν τρίγωνος, καὶ μηνοειδὴς, ἐπειδὰν ἑξάγωνος. καὶ νέα τότε πρῶτον, ὅταν ἀπὸ συνόδου φαίνηται, καὶ ἀφανὴς παντάπασιν, ἐπειδὰν ὑπ᾽ ἐκείνου περιλάμπηται, καὶ καρποὺς οὖν παχύνει, καὶ τὰ ζῷα πιαίνει, καὶ τὰς τῶν καταμηνίων ταῖς γυναιξὶ προθεσμίας διαφυλάττει, καὶ τὰς τῶν ἐπιλήπτων τηρεῖ περιόδους, ἐξ ὧν ἡλίου πλέον, ἢ ἔλαττον μεταλαμβάνει. πάντα μὲν γὰρ ἃ δρᾶν πέφυκεν, ἀμυδρὰ γίνεται, μηνοειδοῦς γενομένης αὐτῆς.

ἅπαντα

ἅπαντα δὲ ἰσχυρᾷ πεπληρωμένης, ὥστε καὶ τοὺς καρποὺς ἐν τῷδε πεπαίνει καὶ αὐξάνει τάχιστα, καὶ τὰ νεκρὰ σώματα διασήπει, καὶ τοὺς ὑπὸ τὴν αὐγὴν αὐτῆς κοιμηθέντας, ἢ καὶ ἄλλως ἐπὶ πλέον διατρίψαντας, ὠχροὺς καὶ καρηβαρεῖς ἀπεργάζεται. οὕτω μὲν οὖν ἡλίου σελήνη τὰ πάντα λείπεται, οὕτω δ' ἥλιος εἰς οὐδὲν τῶν μεγίστων οὔτ' ἄλλου τινὸς ἄστρου, οὔτ' αὐτῆς τῆς σελήνης. οὐδεὶς γὰρ ὁ κωλύσων αὐτὸν, οὐ θέρος δημιουργεῖν, ἡνίκα ἐπὶ κορυφὴν ἡμῶν ἵσταται, οὐ κρύος ἐπιφέρειν, εἰ ταπεινὸς ἐπιφέρηται, οὐκ ἰσημερίας διαπράττειν ἑκατέρας, εἰ συμμέτρως ᾖ λοξός. ἀλλ' αὐτὸς μὲν οἷον βασιλεύς τις μέγιστός ἐστιν, ἡ σελήνη δ' ὕπαρχος οὐ σμικρός. ἐν μέσῳ τε γὰρ ἐκείνου καὶ ἡμῶν τεταγμένη, τὸν περίγειον εἰκότως ἐπιτροπεύει τόπον, οὐ δυνάμεως ὑπεροχῇ παρὰ τοὺς ἄλλους πλανήτας, ἀλλ' ἐγγύτητι πλεονεκτοῦσα. διὰ τοῦτο παντὸς μὲν κρύος κατέχει τὸν παρ' ἡμῖν τόπον, ἐπειδὰν ὁ ἥλιος εἰς τὰ χειμέρια τρέπηται, καὶ παντὸς θάλπος, ἐπειδὰν κατὰ κορυφὴν ἡμῶν ᾖ, πλησίον τε ταύτης φέρηται. τὰς κατὰ μέρος δ' ἐν ἑκάστῳ τῶν μηνῶν ἡμέρας, ἡ σελήνη διαπράττει, σμικρᾶς μεταβολῆς ἐξουσίαν ἔχουσα. καὶ ταύτην οὐχ ἁπλῶς, ἀλλ' ἐξ ὧν ὑφ' ἡλίου βλέπεται. σφοδρότεραι μὲν οὖν αἱ μεταβολαὶ ἐπὶ τὰς πρὸς ἥλιον αὐτῆς εἰσι συνόδους, καὶ προσέτι τὰς πανσελήνους φάσεις ὀνομαζομένας. ἐλάττους δὲ τούτων ἐν ταῖς διχοτόμοις, ἀμυδραὶ δ' ἐν ταῖς ἀμφικύρτοις τε καὶ μηνοειδέσιν. ἰσχυροτάτων μὲν γὰρ εἰς ἀλλοίωσιν τῶν ἔμπροσθεν ὄντων διὰ συνεῖναί τε καὶ καταλάμπεσθαι, φαινομένη γὰρ τέως, ἀφανὴς νῦν ἐστιν. ἐφεξῆς δ' ἡ διάμετρος στάσις, ὡς ἂν διορίζουσα καὶ δίχα τέμνουσα τὰς ἐναντιωτάτας τῆς σελήνης διαθέσεις, ἰσχυροτάτη τῶν ἄλλων ἐστίν. ὅτι δ' ἐναντιωτάτη διάθεσις αὔξησις μειώσει, οὐδὲν δέομαι δεικνύειν. ἐφεξῆς δὲ ταύτης τῆς συνόδου τε καὶ τῆς πανσελήνου αἱ διχότομοι δύο μέσον ἑκατέρα τέμνουσα. τὸν μὲν τῆς αὐξήσεως χρόνον ἡ προτέρα, τὸν δ' αὐτῆς μειώσεως, ἡ δευτέρα. πάντων δ' ἔσχαται τε καὶ ἀμυδρόταται τροπαὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἐν ταῖς μηνοειδέσι καὶ ταῖς ἀμφικύρτοις φάσεσι γίνονται, καὶ μᾶλλόν γε ἐν ταῖς ἀμφικύρτοις. οὐδεμία γὰρ ἐν αὐταῖς μεγάλη μεταβολὴ καθάπερ ἐν ταῖς μηνοειδέσιν, ὥστε οὐδὲ Ἄρατος κακῶς αὐτῶν κατεφρόνησεν, ὡς ἂν ἀμυδρῶν ὑπαρχουσῶν. ἐπαινεῖν τε χρὴ τοὺς γράψαντας ὑπὲρ αὐτῶν, ὡς οὐδὲ τὸ σμικρότατον παραλιπόντας. ἴδιον δ' ἐξαίρετον αἵ τ' ἐν ταῖς πανσελήνοις τροπαὶ, καὶ τούτων ἔτι μᾶλλον αἱ ἐπὶ τὰς συνόδους ἰσχύουσιν. αἱ μὲν γὰρ ὀξυτάτας εὐθὺς ποιοῦνται τὰς μεταβολὰς, αἱ σύνοδοι δ' ἀνωμάλους τε καὶ χρονίας. οὐδὲν γὰρ ἔχεις σαφῶς ἀποφῆσαι, πρὶν φανῆναι τὴν σελήνην. πολὺς δ' οὗτος ὁ χρόνος ὁ τῆς †κρίσεως ἐστὶν ὅλου σχεδὸν τοῦ ζῳδίου. τὴν δ' ἐκ τῆς αὐξήσεως εἰς τὴν μείωσιν μεταβολὴν, ἀκριβῶς διορίζει στιγμὴ, καὶ ταύτην ἡ σελήνη δῆλον ὡς ἐν ἀκαρεῖ χρόνῳ παραλλάσσει. ἐπὶ λόγον μὲν οὖν ὀξεῖαι μὲν αἱ πανσέληνοι, καὶ χρόνιαι δὲ αἱ συνοδικαὶ μεταβολαί. καὶ γὰρ ὁ τῆς κρύψεως χρόνος ὅμοιος ἑαυτῷ, καὶ ὁ τῆς πρώτης φάσεως ἐγγὺς κρύψεως, καὶ τῇ σμικροτάτῃ τοῦ φαινομένου τῆς πανσελήνου μορίου, καὶ τῇ τῆς αὐγῆς ἀμυδρότητι καὶ τῷ βραχυχρονίῳ τῆς ὑπὲρ γῆς φορᾶς. ἀσφαλὴς οὖν ἡ κρίσις ἀποτελεῖται τῆς ἐν ὅλῳ τῷ μηνὶ γενησομένης καταστάσεως ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἐν ᾗ πρώτῃ καὶ σαφὴς ἡ σελήνη, καὶ χρόνον ἀξιόλογον ὑπὲρ γῆς ἤδη φαίνεται, καὶ φῶς αἰσθητὸν ἀποπέμπει, καὶ σκιὰς ἐναργῶς δείκνυσιν. ἡ πρώτη δ' ἡμέρα μέχρι τοσούτου τὴν σελήνην ὑπὲρ γῆς ἔχει φερομένην, μέχρις ἂν ἔτι καὶ τὸ τοῦ ἡλίου φῶς ἐπέχῃ τὸ μετὰ τὴν δύσιν, ὡς ἐν ταύτῃ μὲν τῷ τοῦ ἡλίου συγκαταδύεσθαι φωτὶ, πολλάκις δὲ καὶ προκαταδύεται. πρῶτον δὲ σαφὴς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν φαίνεται, καὶ ποτὲ μὲν μᾶλλον, ποτὲ δ' ἧττον. καὶ τοῦτο δ' αὐτῇ συμπίπτει παρὰ τὸ ποσὸν τῆς πρὸς ἥλιον ἀποστάσεως. αὐτὸ δὲ τὸ ποσὸν τῆς ἀποστάσεως, διά τε τὴν ἰδίαν τῆς σελήνης γίνεται κίνησιν. οὐ γὰρ ἴσον ἀεὶ κινεῖται, καὶ διὰ τὴν τοῦ πλάτους ἐξάλλαξιν, καὶ διὰ τὴν τῶν ζῳδίων δύσιν οὐκ ἰσόχρονον οὖσαν, καὶ πρὸς τούτοις ἔτι διὰ τὸν τῆς προγεγονυίας συνόδου καιρὸν, ὡς οὐκ ἀεὶ μὲν εἷς ὁ χρόνος ἐστὶν ἐν ᾧ φαίνεται σαφῶς ἡ σελήνη. τοὔμπαλιν δὲ τρεῖς ἡμέρας τὰς περὶ σύνοδον ἡ ἀόρατος γίνεται τελέως, ἐν αἷς οὔπω τὰ παρ' ἡμῖν ἀλλοιοῦν ἱκανή. καί πως εἰς ταὐτὸν ὁ χρόνος αὐτῆς συμβαίνει, τῆς τ' οἰκείας περιόδου, τῆς τ' εἰς ἡμᾶς ἐνεργείας. ἡ μὲν γὰρ περίοδος ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν ἐστιν, ἐπιλαμβανουσῶν τρίτον ἔγγιστα μέρος. ἐν γὰρ τοσούτῳ γὰρ χρόνῳ, τὸν τῶν ζῳδίων κύκλον ἅπαντα διέρχεται. ἡ δὲ τῆς πρὸς ἡμᾶς φάσεως, ὅτι καὶ ἥδε πρὸς τὸν αὐτὸν ἀριθμὸν ὁμολογεῖ, σαφῶς εἴσῃ, τοῦ παντὸς χρόνου μηνιαίου τὸν τῆς κρύψεως ἀφελών. ὅτι δ' ὁ μηνιαῖος χρόνος οὐ τελέως τριάκοντα ἐστὶν ἡμερῶν, ἀλλ' ἥμισύ που, καὶ τούτῳ προσδεῖ μιᾶς ἡμέρας, Ἱππάρχῳ μὲν ἀποδέδεικται δι' ἑνὸς ὅλου βιβλίου. γινώσκεται δ' ἤδη καὶ τοῖς ἰδιώταις σχεδὸν ἅπασιν, ὡς τῶν μηνῶν, ὁ μὲν ἕτερος ὁ κοῖλος ὑπ' αὐτῶν ὀνομαζόμενος ἐννέα καὶ κ'. ἡμερῶν ἐστιν, ὁ δ' ἕτερος ὁ πλήρης, τριάκοντα. χρὴ γὰρ ἀμφοτέρων ἐννέα καὶ πεντήκοντα γίνεσθαι τὰς πάσας ἡμέρας, εἴπερ ὅλως ἐστὶν ἑκάτερος ἡμίσεος ἀποδέων τριάκοντα. ὥσπερ οὖν τὸν ὅλον ἐνιαυτὸν ὁ ἥλιος, οὕτως ἡ σελήνη διαπράττει τὸν μῆνα, καθ' ἑβδομάδας τῆς ἀλλοιώσεως ἐν αὐτῇ γιγνομένης. ἀπό τε γὰρ τῆς πρώτης φάσεως ἐπὶ τὴν διχότομον, ἀπό τε ταύτης, ἐπὶ τὴν πανσέληνον, ἑκάτερος μὲν ὁ χρόνος, ἡμερῶν ἐστιν ἑπτὰ, συναμφότερα δὲ τεσσαρεσκαίδεκα. ἐπὶ ταῦτα δὲ κἂν εἰ μετὰ τὴν διχοτομηνιαίαν ἕως τῆς δευτέρας διχοτόμου συναριθμήσεις, ἑπτά. καὶ ταύτας εὑρήσεις τὰς ἡμέρας. καὶ τὰς λοιπὰς δὲ τὰς μέχρι τοῦ παντελῶς ἀφανισθῆναι τὴν σελήνην, ἑπτά. τὸ δ' ὅτι μεταβάλλει μεγάλας μεταβολὰς ὁ περιέχων ἡμᾶς ἀὴρ, ἔν τε τῷ πρώτως κρύπτεσθαι καὶ πάλιν αὖ πρώτως φαίνεσθαι τὴν σελήνην, οὔτ' ἄλλος τις τῶν ἀνθρώπων ἀγνοεῖ καὶ μάλιστα πάντων, οἷσπερ δὴ καὶ μάλιστα μέλει τούτων, γεωργοῖς τε καὶ ναύταις, καὶ στάσιν τε καλοῦσι τὴν τηνικαῦτα τοῦ ἀέρος, ἐπειδὰν ἡ σελήνη πρώτως φανεῖσα κατά τινα τῶν ἀνέμων ἵσταται. λέγει γοῦν που καὶ ὁ Ἄρατος ἀληθέστατα λέγων, ἀπὸ τῆς πρώτης ἀπὸ συνόδου φανείσης σελήνης.

» Εἰ δέ κεν οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύοι, Δειδέχθαι Βορέω, ὅτε δ' ὕπτια εἰσί, νότοιο.
» Αὐτὰρ ἐπὴν τριτόωσαν ὅλην περὶ κύκλος ἑλίσσῃ Πάντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη.

καὶ μὲν δὴ καὶ ταῦτα λέγει κατὰ τὸ αὐτὸ βιβλίον.

» Σήματα δ' οὔτ' ἄρα πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται. Ἀλλ' ὅσα μὲν τριτάτῃ τε τεταρταίῃ τε πέλονται, Μέσφα διχαιομένης, διχάδος γε μὲν ἄχρις ἐπ' αὐτήν, σημαίνει διχόμηνον. ἀτὰρ πάλιν ἐκ διχομήνου Ἐς διχάδα φθιμένην. ἔχεται δ' οἱ αὐτίκα τετρὰς, Μηνὸς ἀποιχομένου, τῇ δὲ τετάρτῃ ἀπιόντος.

οὐκ εἰς ἅπαντα φησὶ τὸν ἐξ ἀρχῆς χρόνον ἐξαρκεῖν τὰ σημεῖα τῆς πρώτης φάσεως, μεταβολὰς δέ τινας φέρειν, τὰς

†κρύψεως

τε διχοτόμους καὶ πανσελήνους. ἅπασα δ' ὀξύῤῥοπος μεταβολή, κρίσις ὀνομάζεται. καὶ τὴν γε σύστασιν ὑπὸ τῆς μη-
νοειδοῦς σελήνης μάλιστα λέγουσιν, ἐφεξῆς μεταφέρουσιν ὑπὸ τὴν πανσέληνον, ὡσαύτως ὀνομάζοντες, ἰσχυρὰς αὖ
γὰρ καὶ αὗται δυνάμεις ἔχει. ταύτης δ' ἀσθενέστεραι μὲν, ἀλλὰ κρίνουσαι μὲν καὶ αὗται τὸ περιέχον αἱ διχότομοι στάσεις
εἰσίν, ὥστε ὅτι μὲν ὁ μὴν ὑπὸ σελήνης ἀλλοιοῦται καθ' ἑβδομάδας, ἤδη πρόδηλον. ὅτι δὲ καὶ τὰ ἄλλα σύμπαν-
τα πράγματα, τοῦτο μὲν οὐκέτι ὁμοίως ἅπασι γνώριμον, ἀλλὰ καὶ τοῖς τὰ τοιαῦτα παραφυλάξασιν ἐπιμελῶς ὁμο-
λογεῖται, καὶ ἡ μετὰ τὴν σύλληψιν τοῦ σπέρματος ἅπασα κύησις. οὐδὲν δ' ἧττον αὐτῆς καὶ ἡ μετὰ τὴν ἀποκύησιν αὔ-
ξησις, ἅπασά τε πράξεως ἀρχή, τὰς μεγάλας ἀλλοιώσεις εἰς ἑβδομαδικὰς ἴσχει περιόδους. ὅσα γὰρ ἐφήμερα συμ-
πίπτει πᾶσι τοῖς οὖσι, τούτων ἡ σελήνη τετήρηται τὴν αἰτίαν ἔχειν, καὶ μάλιστα ἀλλοιοῦσα αὐτὰ κατὰ τὰς τετραγώνους
καὶ διαμέτρους στάσεις. εἰ γὰρ ἐν ταύρῳ τῆς σελήνης οὔσης ἐγένετο σύλληψις τοῦ σπέρματος, ἢ ἀποκύησις, ἢ τινὸς ὅλως
ἀρχὴ πράγματος, ἐπειδὰν ἐν λέοντι καὶ σκορπίῳ καὶ ὑδροχόῳ περιερχομένη τοῦ ζωδιακοῦ γίνηται, τὰς μεγάλας
αὐτοῦ ποιήσεται μεταβολάς. ἀλλ' ἡ μὲν ἐν τῷ λέοντι τετράγωνος στάσις, ἑβδομάδος ἐστὶ μιᾶς. ἡ δὲ διάμετρος ἡ
ἐν τῷ σκορπίῳ, δυοῖν. οὕτω δὲ καὶ ἡ κατὰ τὸν ὑδροχόον, ἡ δευτέρα τετράγωνος στάσις εἰς τὴν τρίτην ἑβδομάδα
προήκει, καὶ τοῦτ' ἐξ ἀνάγκης γίνεται, διὰ τὸ τὴν σελήνην ὡς εἴρηται καὶ πρόσθεν ὅλον τὸν ζωδιακὸν ἑπτὰ καὶ εἴκοσιν
ἡμέραις διεξέρχεσθαι, μετά τινος ἐπικειμένου μορίου, τρίτου μάλιστα μιᾶς ἡμέρας. εἰ γοῦν δεῖ τὸν ὅλον κύκλον ἐν τοσού-
τῳ χρόνῳ διέρχεσθαι, πρόδηλον ὡς τὸ τέταρτον αὐτοῦ μέρος ὀλίγου δεῖν ἐν ἡμέραις ζ. διανύσει. τοῦτο μὲν οὖν καὶ
πάνυ χρὴ μεμνῆσθαι πρὸς τὰ μέλλοντα, τοῦ μὴ τελείας ἡμέρας ζ. περιγράφεσθαι, τὴν εἰς τὸ τετράγωνον τῆς σελήνης
μετάστασιν. ἐκεῖνο δ' αὖθις ἀναληπτέον, ὅπερ δὴ καὶ ἡμεῖς παραφυλάξαντες, ἀληθέστατον εὕρομεν ἀεὶ τὸ πρὸς τῶν
αἰγυπτίων ἀστρονόμων εὑρημένον, ὡς ἡ σελήνη τὰς ἡμέρας ὁποῖαί τινες ἔσονται δηλοῦν πέφυκεν, οὐ τοῖς νοσοῦσι
μόνον, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν. εἰ μὲν γὰρ πρὸς τοὺς εὐκράτους ἵσταιτο τῶν πλανητῶν, οὓς δὴ καὶ ἀγαθοποιοὺς ὀνομά-
ζουσιν, ἀγαθὰς ἀπεργάζεσθαι τὰς ἡμέρας. εἰ δὲ πρὸς τοὺς δυσκράτους, ἀνιαράς. ἔστω γὰρ ἀποκυήσεως μέν τινος, ἐν μὲν
τῷ κριῷ τοὺς ἀγαθοποιούς, ἐν δὲ τῷ ταύρῳ τοὺς κακοποιοὺς εἶναι. πάντως οὗτος ὁ ἄνθρωπος, ἐπειδὰν μὲν ἐν κριῷ
καὶ καρκίνῳ, καὶ ζυγῷ, καὶ αἰγοκέρωτι γένηται ἡ σελήνη, καλῶς ἀπαλλάξει. ἐπειδὰν δ' ἤτοι τὸν ταῦρον αὐτὸν, ἤ τι
τῶν τετραγώνων, ἢ τὸ διάμετρον αὐτοῦ ζώδιον ἐπέχῃ, κακῶς τηνικαῦτα καὶ ἀνιαρῶς διάξει. καὶ δὴ καὶ νοσημάτων
ἀρχαὶ τῷδε, κάκισται μὲν ἐν ταύρῳ, καὶ λέοντι, καὶ σκορπίῳ, καὶ ὑδροχόῳ τῆς σελήνης οὔσης. ἀκίνδυνον δὲ καὶ σωτή-
ριον τὸν κριὸν καὶ τὸν καρκίνον, καὶ τὸν ζυγὸν καὶ τὸν αἰγόκερων διερχομένης, καὶ τὰς ἀλλοιώσεις τὰς μεγάλας ἃς ἐν
τοῖς τετραγωνίοις τε καὶ διαμέτροις ἔφαμεν γίγνεσθαι καθ' ἑβδομάδα. ἐν μὲν τοῖς ὀλεθρίοις νοσήμασιν, ὀλεθρίας καὶ
αὐτάς, ἐν δ' αὖ τοῖς περιεστηκόσιν, ἀγαθὰς ἀνάγκη γίνεσθαι, καὶ διὰ τοῦθ' Ἱπποκράτης μέμφεται μάλιστα τὰς ἐν ταῖς
κρινούσαις ἡμέραις ἀλλοιώσεις ἐπὶ τὸ χεῖρον. ὀλεθρίου γὰρ νοσήματος σύμπτωμα, καθάπερ οἶμαι τοὐναντίον, ἐπιει-
κοῦς. εἰ δέ τις καὶ αὐτοῦ τούτου ζητεῖν τὴν αἰτίαν, τοῦ τὸ μέγιστον δύνασθαι τὰς τετραγώνους τε καὶ διαμέτρους στάσεις,
ἐπὶ πλεῖστον ἀποχωρεῖ τοῦ προκειμένου. πρόκειται γὰρ νυνί, οὐ τὰς πρώτας αἰτίας ἁπάντων τῶν κατ' ἀστρονομίαν ζη-
τεῖν, ἀλλὰ τὰς εἰς τὰ παρόντα χρησίμους. χρήσιμοι δ' εἰσὶν αἰτίαι τῆς ἑβδομάδος ἐξηγούμεναι φύσιν. πάλιν οὖν
αὐτὰς ἀναλάβωμεν ἐπὶ κεφαλαίων. αἱ τῆς σελήνης τετράγωνοί τε καὶ διάμετροι στάσεις, ἐπὶ μὲν ἀγαθαῖς ταῖς ἀρχαῖς
ἀγαθὰς ποιοῦσι τὰς ἀλλοιώσεις, ἐπὶ δὲ μοχθηραῖς, μοχθηράς. καὶ τοῦτο πρὸς τῷ τοῖς ἀστρονόμοις ὁμολογεῖσθαι, πάρεστιν
εἰ βούλει καὶ σοὶ παραφυλάξασθαι. εἰ δὲ μήτ' αὐτὸς παρατηρεῖν ἐθέλεις τὰ τοιαῦτα, μήτε τοῖς τηρήσασι πιστεύεις, τῶν
νῦν ἐπιπολαζόντων τις εἶ σοφιστῶν. οἳ λόγῳ κατασκευάζειν ἡμᾶς ἀξιοῦσι τὰ σαφῶς φαινόμενα, δέον αὐτὸ
τοὐναντίον ἐκ τῶν ἐναργῶς φαινομένων ὁρμωμένους, ὑπὲρ τῶν ἀδήλων συλλογίζεσθαι. πρὸς τὴν ἰδίαν οὖν ἀρχὴν
ἅπαν πρᾶγμα τὰς ἐφεξῆς περιόδους ἁπάσας ὁμολογούσας ἔχει. περίοδοι δ' εἰσὶν αἱ μὲν δι' ἡμερῶν ἀριθμοῦ τι-
νός, αἱ δὲ διὰ μηνῶν. αἱ μὲν δὴ διὰ τῶν ἡμερῶν ἑβδοματικαί εἰσι, καὶ πρὸς τὴν σελήνην ἀνήκουσιν. αἱ δὲ διὰ μηνῶν
εἰς ἥλιον ἀναφέρονται, τόνδε τὸν τρόπον γιγνόμεναι. πάλιν γὰρ ἀπὸ τῆς Ἱπποκράτους ἀρκτέον ῥήσεως. τὰς μὲν θερι-
νὰς νόσους ἐν χειμῶνι λέγοντος λύεσθαι, τὰς δὲ χειμερινὰς ἐν θέρει. αὕτη μὲν ἡ προθεσμία κρίσεως ἐστί, χρονίων τε
καὶ ὡς ἂν εἴποι τις ἐνιαυσιαίων νοσημάτων, οἵαπερ ἐν τοῖς ὀξέσιν ἡ τῆς ιδ. ὁ γὰρ μέχρι τῆς πανσελήνου χρόνος, ἥμι-
συς ὑπάρχων ὅλης τῆς σεληνιακῆς περιόδου, τὸν αὐτὸν ἔχει λόγον τῷ μέχρι θέρους ἐκ χειμῶνος διαστήματι. καὶ μὲν δὴ
καὶ ὁ ἀπὸ τῆς πανσελήνου μέχρι τῆς κρύψεως χρόνος, ἀνάλογος ἐστὶ τῷ μέχρι χειμῶνος ἐκ θέρους διαστήματι. τούτων
δ' ἑκατέρου δίχα τμηθέντος, ἐν μὲν τοῖς ὀξέσι νοσήμασιν ἡ ἑβδομάς ἐστιν, ἐν δ' αὖ τοῖς χρονίοις, αἱ τῶν ἐπιφανεστά-
των ἄστρων εἰσὶν ἐπισημασίαι, καθ' ἃς ἔαρ καὶ θέρος, καὶ χειμὼν καὶ φθινόπωρον ἀφορίζεται. οὐ γὰρ δὴ ἴσων γε ἡμερῶν
ἀριθμῷ διῄρηται ταῦτα κατ' οὐδένα τῶν ἀστρονόμων, ἀλλὰ ταῖς τοῦ περιέχοντος ἡμᾶς ἀέρος μεταβολαῖς ἐπισήμοις
οἰακίζεται. καί σοι πάλιν ἑτέρῳ λόγῳ, καθάπερ ἡ ἑβδομὰς ὀξέων νοσημάτων κριτική, τὸν αὐτὸν τρόπον ὥρας
ἐνιαυσιαίου μεταβολή, χρονίων ἔσται νοσημάτων λυτική, ἵνα τὴν μὲν ἐν χειμῶνι συστᾶσαν νόσον ἔαρ λύσῃ, τὴν δ'
ἐν ἦρι, θέρος. ὡσαύτως δὲ καὶ τὴν μὲν ἐν θέρει, φθινόπωρον, τὴν δ' ἐν ἐκείνῳ, χειμών. ἐν δὲ ταῖς ἐν τῷ μηνὶ τετρά-
σιν, ἀνάλογον αἱ τῶν ὡρῶν εἰσιν ἑκάστης δίχα τμηθείσης μοίρας, καὶ λέγεταί γε πρὸς τῶν ἀστρονόμων ὥσπερ ἀρχή τις
εἶναι καὶ τελευτὴ τῶν ὡρῶν ἑκάστης ἐπιτολαῖς, ἢ δύσεσιν ἄστρων ἐπιφανῶν ὁριζομένη. κατὰ τὸν αὐτὸν τρόπον καὶ με-
σότης ἑτέρου πάλιν ἄστρου φάσει διωρισμένη. τὰς οὖν τῶν νοσημάτων ἐν μέρει μεταβολὰς ἁπάσας, ἢ ὡς πρὸς τὴν
ἰδίαν ἀρχὴν αὐτῶν, ἢ ὡς πρὸς τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος τροπὴν ἀνάγκη γίγνεσθαι. τῶν μὲν οὖν πρὸς τὴν ἰδίαν
ἀρχὴν ἐξηγεῖσθαι τὴν σελήνην, τῶν δ' ὡς πρὸς τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος τροπήν, ἐν ὅλῳ μὲν τῷ ἐνιαυτῷ
τὸν ἥλιον, ἐν ἑκάστῳ δὲ τῶν μηνῶν τὴν σελήνην. ἐκ δὲ τούτων συμβαίνει τὰς μὲν ἰσχυροτάτας μεταβολὰς εἶναι, τὰς
ἰδίας ἑκάστῳ καθ' ἑβδομάδα δηλονότι γιγνομένας. οὐ μὴν ἀλλὰ καὶ συνεπιμίγνυσθαί πως αὐταῖς, τὰς ἐκ τοῦ πε-
ριέχοντος, ὡς εἰκότως ἐκ τοῦ διὰ παντὸς ὡσαύτως γίνεσθαι, μεταπίπτουσιν οὕτως εἰς τὸ πλειστάκις. ἔτι δὲ μᾶλλον
ἐπιταράττει τὴν τάξιν αὐτῶν, ἥτε βία τῶν παροξυσμῶν ἀναγκάζουσα προεκρήγνυσθαι τὰς κρίσεις, ὡς ἐφεξῆς ἐροῦ-
μεν, ἥτ'

μὲν, ἥ τε εἰς τοὺς νοσοῦντας πλημμέλεια πολυειδὴς γινομένη, αὐτῶν τε τῶν ἰατρῶν, εἴ γε χρὴ καλεῖν ἰατροὺς τοὺς λυμεῶνας τῆς τέχνης, τούτους δὴ τοὺς νῦν ἐπιπολάζοντας, οὐχ ἥκιστα δὲ κἀξ ὧν οἱ κάμνοντες ἁμαρτάνουσιν, καὶ διὰ τὴν ὑπηρεσίαν δ' ἐνίοτε, καὶ διά τι τῶν ἔξωθεν καὶ πρόσθεν εἴρηται. θαυμάζειν οὖν χρὴ τῶν ἑβδομαδικῶν περιόδων τὴν δύναμιν, εἰ τοσούτων αἰτιῶν διακοπτόντων αὐτὰς, ὅμως ἐπικρατέστεραι πολὺ τῶν ἄλλων εὑρίσκονται. κατὰ μὲν τὰς ὀξείας νόσους, αἱ παρεμπίπτουσαι κρίσιμοι πλείους εἰσὶν, ὅτι καὶ τὸ σῶμα πρὸς μεταβολὴν ἐπιτήδειον, ἐν κινήσει τε καὶ ταραχῇ μεγάλῃ καθεστηκός. ἐν δὲ ταῖς χρονιωτέραις, ὁδῷ καὶ τάξει μᾶλλον πρόεισιν ἡ τῶν ἑβδομάδων περίοδος. ἀρκτέον οὖν αὖθις ἀπὸ τῶν ὀξέων ἁπασῶν, ἐφεξῆς τῶν κρινουσῶν ἡμερῶν τὰς αἰτίας ἐξιχνεύοντας. ἐν μὲν δὴ τῇ πρώτῃ, τοὺς ἐφημέρους λύεσθαι συμβαίνει πυρετοὺς, οὐ μὴν ἤδη μετ' ἀγῶνός τε καὶ ταραχῆς ἀξιολόγου. καίτοι νομίζουσιν ἔνιοι τὸν Ἱπποκράτην τὰς κρινούσας ἡμέρας ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν καταλέγοντα, καὶ τῆς πρώτης μεμνημονευκέναι, κατὰ δεύτερον τρόπον ἁμαρτάνοντες. περίοδος γὰρ πρώτη καὶ οὐχ ἡμέρα πρώτη γέγραπται σαφῶς, ἐν τῷ τῶν περιττῶν καὶ ἀρτίων καταλόγῳ. καθάπερ οὖν ἐν τῷ τῶν ἀρτίων περίοδον πρώτην εἰπὼν, ἐπιφέρει τὴν τετάρτην ἡμέραν, οὕτως ἐν τῷ τῶν περιττῶν τὴν τρίτην. ἔτι δὲ μᾶλλον ἀγνοοῦσιν τὸ κατ' ἀρχὰς τοῦ προγνωστικοῦ γεγραμμένον ἐπὶ τοῦ νεκρώδους προσώπου τὸ κρίνεται ἐν ἡμέρῃ καὶ νυκτὶ, ἢν διὰ ταύτας τὰς προφάσιας τὸ πρόσωπον τοιοῦτον ᾖ, μή πω γινώσκοντες, ὡς ἐπὶ τοῦ δοκιμάζεται καὶ ἀναγνωρίζεται λέλεκται. τοῦτο μὲν οὖν ἐατέον. ἀρχὴν δὲ τῶν μετὰ σάλου τινὸς ἀλλοιουσῶν ὀξέως κρινουσῶν τὰς νόσους ἡμερῶν, τὴν τρίτην ἀπὸ τῆς ἀρχῆς θετέον, ὡς καὶ πρόσθεν εἴρηται, μηδεμίαν ἔχουσαν ἤδη πρὸς τὴν πρώτην ἑβδομάδα κοινωνίαν, ἀλλ' ἐκ τῶν παρεμπιπτουσῶν ὑπάρχουσαν. ἡ μὲν γὰρ τετρὰς, ὅτι δίχα τμηθείσης τῆς ἑβδομάδος ἀποτελεῖται, καὶ διὰ τοῦτο μεγάλην ἔχει δύναμιν, ἔμπροσθεν εἴρηται. κρίνουσι δ' οὐχ ἧττον τῆς δʹ. ἡμέρας ἡ γʹ. τε καὶ εʹ. καίτοι παρεμπίπτουσι δι' οὐδὲν ἄλλο, ἢ ὅτι μετὰ τῶν παροξυσμῶν αἱ κρίσεις γίνονται. τοῦτο γὰρ δὴ καὶ αὐτὸ πρός τε τῆς ἐμπειρίας μαρτυρεῖται. καὶ τῷ λόγῳ σκοπουμένοις, οὐκ ἄδηλος ἡ αἰτία. τὸ γοῦν τῆς ταραχῆς βίαιον, ἀναγκάζει τὴν φύσιν ἀποτρίβεσθαι τὰ λυποῦντα καὶ πρὸ τοῦ καιροῦ. δύναμις μὲν γάρ ἐστιν αὐτὴ τῶν ἀλλοτρίων ἐκκριτικὴ, καθότι δέδεικται πρότερον ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν. ὁ καιρὸς δὲ τῆς ἐνεργείας ἐπὶ τῷ τέλει τῆς ἀλλοιωτικῆς δυνάμεώς ἐστι. τότε γὰρ ἐνεργεῖν ἐδείκνυτο κατὰ φύσιν ἁπάντων ἐπιτελουμένων, ὅταν ἐκείνη παύηται, ἀλλ' ἀναγκάζηταί ποτε πρὸ τῆς τελείας πέψεως ἀποτρίβεσθαι τὰ λυποῦντα. ὥσπερ ἐνίοτε συμπεπληρωμένης ἤδη τῆς πέψεως, ἔτι μέλλει καὶ βραδύνει δι' ἀρρωστίαν. ἄμφω δ' ἐστὶν αὐτὰ θεάσασθαι σαφῶς ἐπὶ τῆς γαστρός. ἐρεθισθεῖσα τε γὰρ, οὐχ ὑπομένει τὸν τῆς πέψεως χρόνον, ἀλλ' εὐθὺς ἐκκρίνει σὺν τῷ λυποῦντι καὶ τὸ χρηστὸν, ἤδη τε πεπεμμένον αὐτάρκως, ἐνίοτε βραδύνει τε καὶ μέλλει τὸ περιττὸν ἐκκρῖναι δι' ἀρρωστίαν. ἐν δέ γε τῷ κατὰ φύσιν ἔχειν ὁ τῆς παντελοῦς πέψεως καιρὸς ὅρος ἐστὶν αὐτῇ τῆς τῶν περιττωμάτων ἀποκρίσεως, ὃν οὔτε προελάμβανεν, οὔτ' ἔμελλεν ἔτι παρόντος, ἀλλ' ὡς ἐπὶ τῆς γαστρὸς, οὕτω καθ' ὅλον ἐδείκνυτο τὸ σῶμα δύναμις ὑπάρχειν ἐν ἑκάστῳ τῶν μορίων, ἀποκριτικὴ τῶν ἀλλοτρίων, ἥ τις οἶμαι καὶ τὰς κρίσεις ἐν ταῖς νόσοις ἀπεργάζεται, καὶ διὰ τοῦτο ἄρισται γίνονται κρίσεις ὅταν ἤδη πεπεμμένα τὰ κατὰ τὸ ζῷον ὑπάρχῃ πάντα. τὸ δὲ προεκρήγνυσθαι, καὶ γὰρ οὕτως ὀνομάζειν εἴωθεν Ἱπποκράτης, αὐτὸ μοχθηρόν ἐστιν. ὁμοῦ γὰρ τοῖς λυποῦσιν ἐκκρίνεται τὰ χρηστὰ, καὶ γίνεται τοῦτο τῆς φύσεως ἐρεθισθείσης, ἤτοι πρός τινος τῶν ἔξωθεν, ἢ καὶ τῶν ἐν αὐτῷ τῷ σώματι ἐμπεριεχομένων. ἔξωθεν μὲν οὖν ἐστιν ὅ, τε ἰατρὸς οὐκ ὀρθῶς τι πράξας, ὅ, τε κάμνων, οἵ θ' ὑπηρέται, τά τ' ἄλλα τὰ ἰδίως ἔξωθεν ὀνομαζόμενα, τὰ δ' ἐν τῷ σώματι, τά τε νοσήματα ἐστὶν αὐτὰ, καὶ τὰ τούτων αἴτια, καὶ οἱ παροξυσμοί. νόησον δή μοι τοιοῦτόν τι συμβαῖνον ἐπὶ τῆς φύσεως, οἷον ἤδη συνέπεσεν ἀνθρώποις ἀσθενέσι, προπηλακισθεῖσιν ὑπό τινων ἰσχυροτέρων ἐξορμῆσαι πρὸς τοῦ δέοντος. ἀπαρασκευάστοις τε μαχομένοις ἡττηθῆναι. καὶ μὴν καὶ φορτίον ἀποθέσθαι τις βουλόμενος, ἄκων ἐνίοτε συγκατέπεσεν αὐτῷ, καί τις σφοδρότερον θέων, εἶτ' οὐκ ἐπισχεῖν ἑαυτὸν δυνηθεὶς, ἄκων ἠνέχθη κατὰ φάραγγος. ἅπαντα ταῦτα παραδείγματα κακῶν ἐστι κρίσεων, ὑπὲρ ὧν ἐπὶ πλέον μὲν ἐν τοῖς περὶ κρίσεων ἐροῦμεν. εἰρήσεται δὲ καὶ νῦν ἀναγκαῖον οἷον ἦν καὶ τὸ προεκρήγνυσθαι, βούλεται δηλοῦν ὁ Ἱπποκράτης, ἐξηγήσασθαί μου προελομένου. καὶ γὰρ ἀδύνατόν ἐστι περὶ κρισίμων ἡμερῶν ἐπιχειρήσαντά τι διέρχεσθαι, μὴ καὶ περὶ κρίσεως εἰπεῖν τι, ἢ καὶ περὶ κρίσεως διδάσκοντα, μὴ καὶ περὶ κρισίμων ἡμερῶν διελθεῖν, ἀλλ' ἐπανάγειν χρὴ τὸν λόγον ἐπὶ τὸ προκείμενον ἀεὶ, καὶ τοσοῦτον ἅπτεσθαι τῶν παρακειμένων ὅσον ἀναγκαῖον. ἓν δή τι τῶν ἐρεθιζόντων τὴν φύσιν ἐστὶ, καὶ οἷον προπηλακιζόντων ὁ παροξυσμὸς, οὐκ ἐπιτρέπων ἡσυχάζειν οὐδὲ μένειν, ἀλλ' ἐπεγείρων τε καὶ κινῶν, καὶ ὡς ἂν εἴποι τις εἰς διαμάχην προκαλούμενος, ὅθεν ἐπὶ τῶν ὀξέων νοσημάτων ἐν περιτταῖς ἡμέραις ἡ κρίσις. οὕτω γὰρ καὶ παροξύνεται. τίς μὲν οὖν ἐστιν ἡ αἰτία δι' ἣν ἐν τοῖς ὀξέσι νοσήμασι, διὰ τρίτης οἱ παροξυσμοὶ γίνονται τοὐπίπαν. ἐν δὲ τοῖς γε χρονίοις, ἤτοι καθ' ἑκάστην ἡμέραν, ἢ διὰ τετάρτης οὐκ εὐπετές ἐστιν εὑρεῖν, οὔτε νῦν ἀναγκαῖον ἐστὶν ζητεῖν. ὅτι δ' οὕτως συμβαίνει, φαίνεται. θεμένων γὰρ ὥσπερ καὶ φαίνεται, ὁ δεύτερος ἀπὸ τῆς ἀρχῆς παροξυσμὸς εἰς τὴν τρίτην ἡμέραν ἐκπεσεῖται, τρίτος δ' εἰς τὴν πέμπτην, τέταρτος δ' εἰς τὴν ἑβδόμην. πέμπτος δ' εἰς τὴν θʹ. εἰς περιττὰς δὲ σύμπαντες. ἐπεὶ τοίνυν ἡ φύσις οὐκ ἀεὶ τοῖς προσήκουσι καιροῖς ἐξορμῶσα κρίνει τὰς νόσους, ἀλλ' ἐρεθιζομένη πολλάκις ἄλλοτε πρὸς ἄλλων αἰτίων, ἀφ' ὧν ἐστι συνεχέστατα γινόμενος ἐν τοῖς ὀξέσι νοσήμασιν ὁ παροξυσμός. ἐδείχθη δ' οὗτος εἰς περιττὰς ἐμπίπτων, εὐλόγως ἐν περιτταῖς αἱ πλεῖσται κρίσεις γίνονται τῶν ὀξέων νοσημάτων, οὐκ αὐτῶν τῶν ἡμερῶν πρώτως τὴν τοῦ κρίνειν ἐχουσῶν δύναμιν. ἀεὶ γὰρ τούτῳ χρὴ προσέχειν τὸν νοῦν, ἀλλὰ κατά τι συμβεβηκὸς οὕτως ἀπαντῶντος. προείρηκε δὲ ὡς οἶμαι σαφῶς ἤδη τὸ συμβεβηκὸς τοῦτο. διότι γὰρ ἐν παροξυσμοῖς αἱ κρίσεις τῶν νοσημάτων γίνονται τοὐπίπαν, εἰς τὰς περιττὰς δ' ἡμέρας ἐμπίπτουσιν οὗτοι, διὰ τοῦτο ἐν τοῖς ὀξέσι νοσήμασιν αἱ κρίσεις ἐν περιτταῖς. εἰ δέ γε ὁ τῶν ἡμερῶν ἀριθμὸς ἦν αὐτὸς, ὁ τὴν δύναμιν ἔχων τοῦ κρίνειν, οὐκ ἐχρῆν πολλάκις μὲν ἐν ταῖς περιτταῖς, ὀλιγάκις δ' ἐν ταῖς ἀρτίαις, ἀλλὰ διὰ παντὸς μὲν ἐν ταῖς περιτταῖς, μηδέ ποτε δ' ἐν ταῖς ἀρτίαις κρίνεσθαι τὰς ὀξείας νόσους. οὐδὲ γὰρ ὁ τῶν ζʹ. ἀριθμὸς, ἢ ὁ τῆς δʹ. ἀ-

ποι τῆς κρίσεώς εἰσιν, ἀλλ᾽ ὅτι τῆς σελήνης νεωτεροποιούσης καὶ μεταβαλλούσης τὰ περὶ τὴν γῆν συμβέβηκε, καὶ τὰς τῶν κινήσεων περιόδους εἰς τούτους πρώτους ἐξήκειν τοὺς ἀριθμούς, εἰκότως ἐν αὐταῖς ὡς προθεσμίαι τῆς ἀλλοιώσεως εὑρίσκονται. οὐ γὰρ ὑπὸ τῶν ἀριθμῶν, ἀλλ᾽ ὑπὸ τῆς σελήνης αἱ μεταβολαὶ τοῖς ἐπιγείοις. τῷ δ᾽ αὖ τὸ μεταβάλλον ἐν κινήσει, χρόνος ἀναγκαῖος ἕπεται ταῖς μεταβολαῖς, ὥστε ἐξ ἀνάγκης καὶ ἀριθμός. οὐκοῦν ὅτι θῆλυς μὲν ὁ ἄρτιος ἅπας ἀριθμός, ἄρρην δ᾽ ὁ περιττός, αἱ κρίσεις τῶν ὀξέων ἐν περιτταῖς. οὔτε γὰρ ἁπλῶς ἰσχυρότερος ὁ περιττὸς τοῦ ἀρτίου, οὔτ᾽ εἴπερ ἰσχυρότερος ἤδη θῆλυς ὁ ἀσθενέστερος, οὔτ᾽ εἰ θῆλυς μὲν οὗτος, ἄρσην δ᾽ ὁ ἕτερος, εὔλογον ἐν μὲν τοῖς ἄρρεσιν ἀριθμοῖς τὰς ὀξείας κρίνεσθαι νόσους, ἐν δὲ ταῖς θήλεσι τὰς χρονίας. ἅπαντα γὰρ ὅσα λέγουσιν ὑπὲρ ἀριθμῶν δυνάμεως, οὕτως εὐφώρατον ἔχει τὴν ἀτοπίαν, ὥστε μοι γε πολλάκις θαυμάζειν ἐπῆλθεν, εἰ οὕτως ὁ Πυθαγόρας ἐκεῖνος ἅμα τε σοφὸς ἦν ἀνήρ, ἅμα τε τοσοῦτον ὤετο δύνασθαι τοὺς ἀριθμούς. ἀλλ᾽ οὐ νῦν καιρὸς ἀντιφλυαρεῖν αὐτοῖς. ἱκανὸν γὰρ εἰς τὰ παρόντα τότε τὴν σελήνην ἀλλοιοῦν τὰ περίγεια, καὶ μάλιστα μὲν καθ᾽ ἑβδομάδα τὰς μεγάλας ἐργάζεσθαι μεταβολάς. ἐφεξῆς δ᾽ αὐτῶν κατὰ τετράδα τὰς μικράς, ὅτι τε παροξυσμοῦ δεῖται τοὐπίπαν ἡ κρίσις, ὅτι τε διὰ τρίτης ἐν τοῖς ὀξέσιν οἱ παροξυσμοί. τούτων γὰρ ὑποκειμένων, ἀναγκαῖον ἔσται τὰς ὀξείας νόσους ἐν περιτταῖς μᾶλλον ἡμέραις κρίνεσθαι. διὰ τοῦτο οὖν ἡ τρίτη τε καὶ ἡ ε. κρίνουσιν εὐλόγως, οὐκ ἐκ τῆς σεληνιακῆς περιόδου λαβοῦσαι τὸ κρίνειν, ἀλλ᾽ ἤτοι τὴν μέλλουσαν ἐν τῇ δ. κρίσιν ἀπαντήσεσθαι, τῆς τρίτης προλαβούσης τῇ βίᾳ τοῦ παροξυσμοῦ, εἰ καὶ νὴ δία τῆς φύσεως ὑπὸ καμάτου τε ἅμα καὶ τοῦ μὴ βιασθῆναι, κατὰ μὲν τὴν δ. ἡμέραν ἡσυχίαν ἀγούσης, κινηθείσης δ᾽ ἐπὶ τὴν κρίσιν ἐν τῇ ε. φαίνεται γὰρ αὕτη μὲν ὀλίγον ὑστερίζειν τῆς ὄντως κρισίμου. προλαμβάνειν δ᾽ ὀλίγον ἡ τρίτη, καὶ τὸ κρίνειν ἐσχηκέναι, διότι πλησίον οὖσαι τῆς ὄντως κρισίμου, τοὺς παροξυσμοὺς ἐδέξαντο. καὶ γὰρ οὖν καὶ ἡ θ. τῶν ἡμερῶν ἐν τῷ μέσῳ τεταγμένη δύο κρισίμων, ἑβδόμης τε καὶ ια. ἤτοι τὴν οὐ γεγενημένην ἐπὶ τῆς ζ. ἡμέρας κρίσιν, ἢ τὴν ἐπὶ τῆς ια. ἐσομένην αὐτὴ σφετερίζεται κρίσιν. σπανιώτερον μὲν τὴν τῆς ζ. πολλάκις δὲ τὴν τῆς ια. ἡ μὲν γὰρ ἰδία τῆς ζ. ἡμέρας κρίσις, οὐκ ἂν εἰς τὴν θ. ποτ᾽ ἀφίκοιτο μὴ πολλῶν ἁμαρτηθέντων. δειχθήσεται δὲ τοῦτο ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασιν. ἡ δὲ τῆς ια. ἔμπαλιν, ὅταν ἀκριβῶς τε πάντα πραχθῇ, καὶ βίαιος ὁ τῆς ἐνάτης ἡμέρας γένηται παροξυσμός. ἀπόδειξις δ᾽ ἐναργεστάτη τοῦ διὰ τὰς σφοδροτάτας τῶν παροξυσμῶν τὰς τοιαύτας προεμπίπτειν ἡμέρας, τὸ μηκέθ᾽ ὁμοίως ἐπὶ προηκόντων γίνεσθαι τῶν νοσημάτων. ὡς γὰρ καὶ τὰ τῆς σφοδρότητος, οὕτω καὶ τὰ τοῦ πλήθους ἐκλύεται τῶν προεμπιπτουσῶν ἡμερῶν. οὕτω δὲ δή τι βίαιον ἔχει σφοδρότης παροξυσμοῦ πρὸς κρίσιν, ὥστ᾽ ἐν ἁπάσαις σχεδόν τι ταῖς ἡμέραις ἐστὶν ἰδεῖν κρινόμενα τὰ κατόξεα νοσήματα. τό, τε γὰρ ὥρας αὐτῶν ἡ ζ. τῶν ἡμερῶν ἐστι, κρίνειν δή που πεφυκυῖα, καὶ πρὸ ταύτης οὐχ ἡ δ. μόνον, ἀλλὰ καὶ ἡ γ. καὶ ἡ ε. καὶ ἡ ς. δέχονται ποτὲ κρίσεις. εὕρηνται δ᾽ ὡς ἔλεγον καὶ περὶ τὴν α. εἰ κρίνει. λοιπὴ τοίνυν ἡ δευτέρα βεβαίως τοῦ κρίνειν ἐκπέπτωκεν. ἔστω δ᾽ εἰ βούλει, καὶ ἡ α. ἀλλὰ καὶ ἡ τρίτη γε καὶ δ. καὶ ε. καὶ ς. καὶ ζ. κρίνουσιν ἅπασαι, καὶ πᾶσαι αἱ μετὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἐν τοῖς κατοξέσιν ἡμέραις κρίνουσαι φαίνονται, διὰ τὴν σφοδρότητα τῶν παροξυσμῶν. καὶ γὰρ οὖν καὶ ἡ ς. τῶν ἡμερῶν, οὔτ᾽ ἐκ τῶν κατὰ περίοδον οὖσα κρισίμων, οὔτ᾽ ἐν ἀριθμῷ περιττῷ, διὰ τοῦτο καὶ αὐτὴ δέχεται κρίσεις παμπόλλας, ὅτι τῆς ὑστάτης τῶν κατόξεων ἐντός ἐστιν. ἅπαντα δὲ τὰ τοιαῦτα, δυοῖν θάτερον, ἢ σύνοχον ἔχει τὸν πυρετόν, οὕτω δ᾽ ὀνομάζουσι τὸν ἀπὸ τῆς πρώτης συστάσεως ἄχρι τῆς κρίσεως ὁμότονον, ὡς εἴρηται, χωρὶς αἰσθητῆς παρακμῆς, ἢ εἰ καὶ σαφεῖς ἔχει τάς τε παρακμὰς καὶ τοὺς παροξυσμούς, οὐ διὰ τρίτης μόνον ἔχει σαφεῖς, ἀλλὰ κἂν ταῖς μέσαις αὐτῶν, ὥσπερ καὶ ὁ ἡμιτριταῖος. ἡ μὲν οὖν πρώτη διαφορὰ τῶν κατόξεων, οἷον εἷς τίς ἐστι παροξυσμός, ὥστ᾽ οὐδὲν ὅσον γε ἐπὶ τῷ παροξυσμῷ πλεονεκτήσουσιν αἱ περιτταὶ τῶν ἀρτίων, ὁμοίου τε τοῦ πυρετοῦ κατὰ πάσας τὰς ἡμέρας ὑπάρχοντος. ἡ δευτέρα δέ, κἂν διὰ τρίτης ἔχῃ τοὺς μεγάλους παροξυσμούς, καὶ τὰς οἷον ἀρχὰς τῆς περιόδου, ἀλλ᾽ ἥ γε μέση τηλικοῦτον καὶ αὐτὴ φέρει πολλάκις ἐν τοῖς κατοξέσι τὸν παροξυσμόν, ὡς τῶν ἐν ἄλλοις τισὶ νοσήμασι μεγάλων παροξυσμῶν μηδὲν ἀπολείπειν. ὅταν οὖν ἐπείγηται μὲν ὡς ἐπὶ τὴν ἑβδόμην τὸ νόσημα, καὶ κατὰ τὸν ἑαυτοῦ λόγον ἐν ταύτῃ κριθήσεσθαι μέλλῃ. τὸ δὲ μέγεθος τοῦ μέσου παροξυσμοῦ καταναγκάσῃ τὴν φύσιν ἐξορμῆσαι πρὸς τὴν κρίσιν, οὐ περιμείνασαν τὸν οἰκεῖον καιρόν, ἢ καί τι προσγένηται τῶν ἔξωθεν ἐρεθιζόντων αὐτήν, οὕτως ἡ κρίσις ἐν τῇ ς. προεκρήγνυται. αὕτη μὲν οὖν τοσούτῳ χείρων ἐστὶ τῆς ἐσομένης ἐπὶ τῆς ζ. ὅσῳ καὶ φθάνει. χειρίστη δὲ κρίσις ἡ ἑκταία καθ᾽ ἕτερον γίνεται τρόπον, ὃν ἐπὶ πλέον μὲν ἐν τοῖς περὶ κρίσεων ἐροῦμεν. ἐκείνης γὰρ ἐστὶ τῆς πραγματείας οἰκεῖον, ἀγαθὰς καὶ κακὰς διελέσθαι κρίσεις. ἐνταῦθα δὲ πρόκειται μόνον ὑπὲρ τῶν κρινουσῶν ἡμερῶν διελθεῖν. ἀλλ᾽ ἐπειδὴ κατέστην ἅπαξ τὰ περὶ τῆς ς. ἡμέρας εἰπεῖν ἅπαντα, καὶ τοῦτ᾽ ἔτι προσθήσω διὰ κεφαλαίων. ἐσβάλλει τινὰ νοσήματα, τὴν δευτέραν τῆς πρώτης ἔχοντα βαρυτέραν, καὶ τὴν τετάρτην τῆς τρίτης, καὶ ὅλως τοὺς παροξυσμοὺς ἐν ἀρτίοις, ὄντα μὲν ὡς ἐν τοῖς περὶ κρίσεων ἀποδειχθήσεται, τῆς τῶν χρονίων φύσεως, φθάνοντα δ᾽ ὡς ὀξέα κρίνεσθαι διὰ σφοδρότητα. ταῦτα καὶ δευτεραίους μὲν ἀναιρεῖ, καὶ τεταρταίους, ἑκταίους δὲ πλείστους. ἐπὶ μὲν γὰρ δὴ τῆς δευτέρας ἡμέρας, ἰσχύει πως ἡ φύσις ἔτι. κατὰ δὲ τὴν δ. ἰσχύει μὲν ἔτι κἀπὶ ταύτης μᾶλλον, ἢ κατὰ τὴν ς. ἀλλ᾽ οὔπω διαγωνίζεσθαι τολμᾷ. κατὰ δὲ τὴν ς. ἡ σφοδρότης τοῦ παροξυσμοῦ πολλάκις ἐκκαλεῖται μὲν αὐτὴν ἐπὶ τὸν ἀγῶνα. δυοῖν δὲ θάτερον ἢ κατέπεσεν αὐτῇ καὶ κατεσβέσθη πρὶν ἐκκρῖναι τὰ λυποῦντα, ἢ τὸ μὲν πλεῖστον αὐτῶν ἐξέκρινε. τὸ λοιπὸν δ᾽ οὐκ ἔτι ἴσχυσεν, ἀλλ᾽ ὑπ᾽ ἀρρωστίας τε καὶ καμάτου τελέως ἀναπίπτει τε καὶ κεῖται πάρετος. εἶτ᾽ εἰ μὲν ἐν τῷ μετὰ ταῦτα χρόνῳ δυνηθείη πως ἑαυτὴν ἀνακτήσασθαι, κατὰ βραχὺ πέττει τὴν νόσον. εἰ δ᾽ εἴη τὰ λείψανα τῆς νόσου μείζω τοῦ κατ᾽ αὐτὴν τόνου, τοσοῦτον ἐπιβιοῖ χρόνον ὁ τοιοῦτος ἄνθρωπος, ὅσον ἐξαρκεῖν ἡ φύσις ἔτι δύναται, τεθνήξεται δὲ μετὰ ταῦτα. περὶ μὲν δὴ τῶν προεμπιπτουσῶν ἡμερῶν αὐτάρκως εἴρηται. διὰ τί δ᾽ ἄμφω κρίνουσιν ἥ τε κ. καὶ κα. πολὺ δὲ μᾶλλον ἡ εἰκοστή, πρῶτον μὲν ὅτι χρόνιον ἤδη τὸ τοιοῦτον νόσημα καὶ τοὺς παροξυσμοὺς αἱ ἄρτιαι λαμβάνουσιν, εἶθ᾽ ὅτι καὶ ἡ ἑβδομὰς οὐκ ἔστιν ὁλοκλήρων ἡμερῶν ἑπτά, καθότι καὶ πρόσθεν εἴρητο, καὶ τοῦτο ἠπίστατο καὶ Ἱπποκράτης. εἰπὼν γὰρ ἐν τῷ προγνωστικῷ, αὗται μὲν οὖν διὰ τεσσάρων εἰς τὴν κ. ἐκ προσθέσιος ἀφικνέονται. μετὰ ταῦτα ἐπήνεγκεν, οὐ δύνα-

του δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τούτων ἀτρεκέως ἀριθμέεσθαι. οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμέεσθαι. ὡς οὖν ὁ ἐνιαυτὸς ἐπὶ ταῖς τ. καὶ ξ. καὶ ε. ἡμέραις ἐπικείμενον, ἔχει μόριον ἡμέρας μεῖζον ἢ τέταρτον. ὅτε μὴν ἥμισυ τῆς μιᾶς ἡμέρας ἀπολείπεται τοῦ τριακονθήμερος ὑπάρχειν, οὕτως καὶ ἡ ἑβδομὰς ἕκτῳ μάλιστα μέρει μιᾶς ἡμέρας ἀπολείπεται τὸ τέλειον ὑπάρχειν ἡμερῶν ἑπτά. συμβαίνει τοιγαροῦν οὐ μιᾶς καὶ εἴκοσιν ἡμερῶν γίνεσθαι τὰς τρεῖς ἑβδομάδας ὁλοκλήρων, ἀλλὰ ἀπολείπεσθαι σχεδὸν ὅλῳ τῷ ἡμίσει μέρει τῆς μιᾶς ἡμέρας, καὶ διὰ τοῦτο ἐπαμφοτερίζειν τὸν ἀριθμόν, οὐ μᾶλλον τι τοῦ εἴκοσι ἐγγύς, ἢ τῶν ἑνὸς καὶ εἴκοσιν ὑπάρχοντα. τῆς γὰρ ὅλης σεληνιακῆς περιόδου ἑπτὰ καὶ εἴκοσι ἡμερῶν οὔσης, καὶ προσέτι τρίτου μέρους μιᾶς ἡμέρας, καὶ διὰ τοῦτο ἑκάστης ἑβδομάδος ἑπτὰ γινομένης ἡμερῶν ἀπολιπουσῶν ἕκτον, αἱ τρεῖς ἑβδομάδες ἡμερῶν κ. καὶ ἡμισείας ἔσονται. πλησίον οὖν ὑπάρχουσαν αὐτῇ, τὴν ἀκριβῆ περίοδον ἡ εἰκοστὴ σφετερίζεται περὶ χρονίζειν ἤδη τὰ τοιαῦτα νοσήματα, καὶ τοὺς παροξυσμοὺς † ἐναντίαις ἴσχειν. ὧν δ' ἐν περιτταῖς οἱ παροξυσμοί, τούτων καὶ αἱ κρίσεις εἰς τὴν κα. ἐμπίπτουσιν. ἐπεὶ δ' οὐ μόνον ἡ περίοδος τῆς σελήνης, ἀλλὰ καὶ ὁ μηνιαῖος χρόνος ὁ τῆς φάσεως ἔχει τινὰ δύναμιν ὡς ἐλέγομεν. αὕτη μὲν γὰρ ἡ κατὰ τὸν ζωδιακὸν περίοδος οἰκειοτάτη ἐστὶ ταῖς ἰδίαις ἀρχαῖς ἑκάστου τῶν πραγμάτων. ὁ δ' αὖ μηνιαῖος χρόνος, ὁ τῆς φάσεως ἀλλοιῶν τὸν περίγειον ἀέρα, κοινῇ πᾶσιν ἡμῖν διαφέρει. ἐδείχθη δὲ καὶ οὗτος ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν ὡς ἔγγιστα δεόντως. διὰ τοῦτ' εἰκότως ἡ ἑβδομὰς ἔτι μικροτέρα γενήσεται τῆς ἔμπροσθεν εἰρημένης. εἴτε γὰρ ἀπὸ τῶν λ. βουληθείης ἀφελεῖν τὰς τρεῖς ἐκείνας τὰς ἡμέρας τὰς περὶ σύνοδον, ἐν αἷς ἔτ' ἄκριτον ἦν τὸ περιέχον, εἴτ' ἀπὸ τῶν κθ. καὶ ἡμισείας ὁ λοιπὸς χρόνος ἐν ᾧ σαφὲς ἔχει φῶς ἡ σελήνη. κατὰ μὲν τὸν πρότερον, ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν γενήσεται, κατὰ δὲ τὸν δεύτερον, εἴκοσι καὶ ἓξ καὶ ἡμισείας. ἐπεὶ τοίνυν ἀλλοιώσεις ἔφαμεν γίνεσθαι τοῖς σώμασιν ἡμῶν, τὰς μὲν ἰδίας, τὰς δὲ κοινάς. ἰδίας μέν, ὡς πρὸς τὰς ἰδίας ἀρχάς, κοινὰς δὲ περὶ συναπολαύειν τοῦ περιέχοντος. εἰς ταὐτὸν δὲ συμβαίνειν ἑκατέρας τῆς σελήνης τὰς περιόδους, καὶ βραχεῖ τινι λείπεσθαι τὰς κοινὰς τῶν ἰδίων, ἀφαιρεθήσεται δή τι καὶ κατὰ τοῦτο τοῦ τῆς ἑβδομάδος ἀριθμοῦ, συνεπιμιγνυμένης γὰρ τῆς κοινῆς τῇ ἰδίᾳ καὶ οὔσης ὀλιγοχρονιωτέρας, ἀνάγκη καὶ κατὰ τοῦτο παραθραύεσθαί τι τοῦ τῆς ἑβδομάδος ἀριθμοῦ, καὶ οἷον ἐν μεθορίῳ γίγνεσθαι τινὶ τοῦ κοινοῦ καὶ τοῦ ἰδίου. καλῶ δ' ἴδιον μὲν τὸν ἐκ τῆς ζωδιακῆς περιόδου γινόμενον, ἑκάστῳ γὰρ ἡμῶν αὐτὸς διαφέρει. κοινὸν δὲ τὸν ἐκ τῆς μηνιαίας, ὃν ὀλίγον ἔμπροσθεν ἔδειξα μηδ' ὅλως ὑπάρχειν ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν. ἐὰν γὰρ ἀπὸ μὲν τοῦ μηνιαίου χρόνου τοῦ ἀκριβοῦς, ὃς ἀπολείπεσθαι τῶν τριάκοντα ἡμερῶν ἡμίσει μάλιστα μιᾶς ἡμέρας ἐλέγετο, τὰς τρεῖς ἀφέλῃς ἡμέρας τὰς περὶ σύνοδον, αἱ λοιπαὶ δηλονότι τῶν ἑπτὰ καὶ εἴκοσι ἡμερῶν ἔσονται μείους ἥμισυ τῆς μιᾶς ἡμέρας. ἀλλ' οὗτος οὖν ὁ χρόνος ὁ διαιρούμενος εἰς τὰς ἑβδομάδας, οὐχ ὁ σύμπας μηνιαῖος, ὥστε ὁ κοινὸς χρόνος τῆς ἑβδομάδος, ὁ τὸ περιέχον ἀλλοιῶν, ἐλάττων ἔσται τοῦ καθ' ἕκαστον ἰδίου. δύναται δὲ καὶ οὗτος ἐλέγετο, καὶ διὰ τοῦτο παραθραύειν τι τοῦ χρόνου τῆς ἑτέρας ἑβδομάδος, ὥστε ὁ μέσος ἀμφοῖν, ὁ οἷον μικτὸς ἐξ αὐτῶν ἐπὶ πλέον ἀφαιρήσει τῆς ἑβδομάδος ἕκτου μέρους. τὸ μὲν οὖν ἀκριβές, ἢ τῆς μίξεως, ἢ τῆς ἀφαιρέσεως, ὁ θεὸς οἶδεν. ὅσον δὲ ἀνθρωπίνῳ στοχασμῷ συμβάλλειν ἐγχωρεῖ, πιθανώτερόν ἐστι μέσον ἀμφοῖν ποιῆσαι τῶν περιόδων τὸν ἐξ ἀμφοῖν κοινόν. ἐπεὶ τοίνυν ὁ μὲν τῆς φάσεως ἐστὶ τῆς ἐναργοῦς καὶ δραστηρίου χρόνος κϛ. ἡμερῶν καὶ ἡμισείας, ὁ δὲ τῆς ζωδιακῆς περιόδου κ. καὶ ζ. καὶ τρίτον. δῆλον ὡς ὁ μέσος αὐτῶν κ. καὶ ϛ. ἡμερῶν ἔσται, καὶ προσέτι μάλιστα μορίου μιᾶς ἡμέρας ἡμίσεος [sic] καὶ ιβ. συνθεὶς γὰρ ἀμφοτέρους τοὺς χρόνους, εἰ τὸ ἥμισυ λαβών, εὑρήσεις τὸν μέσον. ἀλλ' οὗτος ὁ χρόνος ὁ μέσος ἀπολείπεται τῶν ἑπτὰ καὶ κ. ἡμερῶν, δωδεκάτῳ μάλιστα μέρει μιᾶς ἡμέρας. εἰ μέντοι τέμοις αὐτὸν εἰς τέτταρα, τὸν ἀκριβῆ χρόνον εὑρήσεις τῆς ἑβδομάδος, οὐχ ἕκτῳ μόνον μιᾶς ἡμέρας ἀπολειπόμενον, ἀλλ' ἔτι πλέον. λαμβανέσθω γὰρ τῶν κϛ. καὶ ἡμίσεος τρίτον ιβ. τὸ τέταρτον μέρος. ἔσται δὲ χρόνος ἡμερῶν ϛ. ἡμίσεος πέμπτον, καὶ προσέτι μορίων ἄλλων ἐπικειμένων μικροτέρων, ἅπερ ἐστὶ ξ. πρῶτα καὶ ρκ. τὰ δεύτερα σ. δὴ καὶ μ. ὁ δ' αὐτὸς χρόνος καὶ οὗτος αὖ λέγοιτο ἡμερῶν ϛ. καὶ ἡμίσεος, καὶ ἕκτου καὶ κδ. καὶ μη. ὁ δὲ τηλικοῦτος χρόνος, ἀπολείπεται τοῦ τῶν ἑπτὰ ἡμερῶν, τετάρτῳ μέρει μιᾶς ἡμέρας, καὶ ἔτι πρὸς τὸν ἀκριβῆ λόγον ξ. τε καὶ ρκ. καὶ σμ. καὶ τούτων οὕτως ἐχόντων, αἱ τρεῖς ἑβδομάδες ἡμερῶν, εἴκοσιν ἔσονται, καὶ προσέτι μορίου τινὸς ἡμέρας α. ἕκτου, ὥστε καὶ κατὰ τοῦτον τὸν τρόπον ἀκριβολογουμένοις, ὀλίγον ὑπερβάλλει τῆς † κ. ἡμέρας. ὁ τῶν τριῶν ἑβδομάδων ἀριθμός, καὶ ταύτης ἔσται πολὺ μᾶλλον ἢ τῆς κα. οἰκεῖος. ἐμοὶ μὲν δέδεικται κατά τε τὸ ἀληθὲς αὐτὸ καὶ κατὰ τὴν Ἱπποκράτους γνώμην, ὅτι μηδὲν τούτων ὅλῃσιν ἡμέρῃσιν ἀτρεκέως ἀριθμεῖσθαι δύναται, τουτέστιν ἀπηκριβωμένως τε καὶ ἀπηρτισμένως. οὔθ' ἡ ἑβδομάς, οὔθ' ἡ τετράς, οὔθ' ὁ μήν, οὔθ' ὁ ἐνιαυτός, οὔτ' ἄλλο τῶν ἁπάντων οὐδέν. [marginal: † ἀρτίαις; † ιθ.]

ὅστις δὲ τῇ τῶν λόγων ἀκριβείᾳ δυσχεραίνει, τοῦτον οὐδεὶς ἀναγκάζει μανθάνειν αὐτούς, ἀλλ' ἀρκεῖ τὸ πρῶτον αὐτῷ, τῆσδε τῆς πραγματείας ὑπόμνημα. εἰ δὲ μὴ πάνυ τις ἀργὸς εἴη, προσθέτω μὲν καὶ τὸ δεύτερον, ἀπεχέσθω δὲ τοῦ τρίτου. ἡμεῖς γὰρ ταῦτα καὶ αὐτοὶ γινώσκομεν, ὀλίγοις παντελῶς γεγραφότες οὐδὲ τούτοις γε ἑκόντες. ἀλλ' ἴσασι γὰρ θεοί, καὶ καλείσθωσαν μάρτυρες, ὅτι πολλὰ βιασθέντες ὑπό τινων ἑταίρων, ἠναγκάσθημεν αὐτοῖς γράψαι ταῦτα. μωροὶ τ' αὖ εἶημεν εἰ δημόσιον ἄκουσμα νομίζοιμεν εἶναι λόγον τοιοῦτον. ὅτι γὰρ τοῖς πολλοῖς ἀκούειν ἥδιον ἀμήτορα μὲν τὴν μονάδα, τολμᾶν δὲ τὴν δυάδα, καὶ καθ' ἕτερον τρόπον, ἰδέαν μὲν τὴν μονάδα, τὴν δυάδα δὲ ὕλην ἄπειρον, εἶθ' ἑξῆς τὴν τριάδα πεπερασμένην ἁρμονίαν, ἢ τέλειον ἀριθμὸν καὶ α. ἢ στερεὸν ἢ ἐπίπεδον. ὅτι γὰρ αὖ αὐτοῖς δόξει λέγουσιν ἄλλοι ἄλλο, καὶ ἀθηνᾶν γε τινὰ καλοῦσιν ἀριθμόν, ἕτερον δ' ἄρτεμιν, ἀπόλλωνα δ' ἄλλον. ὥσπερ οὖν οὐκ ἀγνοοῦμεν, οὕτως οὐδὲ λέγειν ὑπομένομεν, οὐδεμίαν ἐπιστημονικὴν ἀπόδειξιν ἐπάγειν τοῖς λόγοις αὐτῶν δυνάμενοι. καὶ τοῖς γε φίλοις ἐδείξαμεν ἔργῳ πολλάκις, ὡς ταῖς τοιαύταις τις χρώμενος ψυχρολογίαις, εἴτ' ἐπαινεῖν ὁντινοῦν ἀριθμόν, εἴτε καὶ ψέγειν βούλοιτο, πρόχειρον αὐτῷ. κινδυνεύουσι γὰρ εἰς τοσοῦτον ἥκειν ἠλιθιότητος οἱ τὰ τοιαῦτα ληροῦντες, ὡς ἐπειδὰν ἢ περὶ τῆς ἑβδομάδος, ἢ περί τινος ἄλλου λέγωσιν, οὐκ ἀρκεῖσθαι μόνοις τοῖς τοιούτοις ψυχρεύμασιν ὥστε πλειάδες ἑπτὰ καὶ τῶν ἄρκτων ἑπτάστερος ἑκατέρα. καὶ γὰρ καὶ ὀνομάζουσιν οὕτως. ἀλλὰ καὶ τῶν ἑπταπύλων θηβῶν μνημονεύουσι, καὶ δηλονότι τῶν ἐπὶ θήβαις ἑπτά. καί τοι τί πρὸς ἔπος, εἰ

πλειάδες ἑπτὰ, Δίωνα πλευριτικὸν γενόμενον, ἑβδομαῖον κριθῆναι. καὶ γὰρ ἄλλοτε μὲν ἐνναταῖος, ἄλλοτε δὲ δεκαταῖος ἐκρίθη. τί δ᾽ ὅμοιον, εἰ ἑπτὰ Νείλου στόματα, Θέωνα περιπνευμονικὸν γενόμενον, ἑβδομαῖον κριθῆναι. καὶ γὰρ ἄλλοτε μὲν τεταρταῖος, ἄλλοτε δὲ πεμπταῖος ἐκρίθη. ἀλλ᾽ ὥσπερ κἂν τοῖς ἄλλοις ἅπασι διττὴ τῶν φαύλων ἁπάντων ἐστὶν ἡ φύσις, ὑπερβολή τε καὶ ἔλλειψις. οὕτω κἀνταῦθα τινὲς μὲν ὅλως μισοῦσι καὶ τοὺς τἀληθῆ λέγειν ὑπὲρ ἑβδομάδος ἐπιχειροῦντας, ἐσχάτως ὄντες μισόλογοι. τινὲς δὲ εἰς τοσαύτην ἐμπίπτουσι φλυαρίαν, ὡς καὶ τῶν μηδὲν προσηκόντων μνημονεύειν. ἑκατέρα φασὶ τῶν ἄρκτων ἀστέρων ἐστὶν ἑπτὰ, πρῶτον οὐκ ἀληθὲς, ἀλλὰ καὶ τοῦτο ἐσχάτην αὐτῶν ἀμαθίαν κατηγορεῖ. κείσθω γοῦν ἀληθές. ἀλλ᾽ οὔθ᾽ ὁ Βοώτης, οὔθ᾽ ὁ διὰ αὐτῶν τῶν ἄρκτων δράκων, ἀστέρων ἐστὶν ἑπτά. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὔθ᾽ ὁ *ἐνγόνασιν, οὔθ᾽ ὁ ὀφιοῦχος. οὔτε καρκῖνος, ἢ λέων, οὔθ᾽ ὅλως οὐδὲν τῶν ιβ′ ζωδίων, ἐν οἷς οἱ πλανῆται φέρονται. καίτοι ὅτι τὰ τῇδε κοσμεῖσθαι οἶδε καὶ διατάττεσθαι, οὐ τοῖς ἀστρονόμοις μόνον, ἀλλὰ καὶ τοῖς ἀρίστοις ἅπασιν ὡμολόγηται φιλοσόφοις. οὔτ᾽ οὖν τοὺς φλυαροῦντας ἀποδέχεσθαι χρὴ, καὶ τοὺς ἀποδιδράσκοντας ἀεὶ τοιαύτην θεωρίαν, μὴ προσαναγκάζειν. ἐμοὶ δ᾽ οὖν αὐτὸ τὸ ἀληθὲς εἰς ὅσον ἀνθρώπῳ δυνατὸν εὑρῆσθαι νομίζω. γιγνωσκόμενον μέν πω καὶ πρόσθεν Ἱπποκράτει, καθότι διὰ τῆς προγεγραμμένης ῥήσεως ἐνεδείξατο, ῥαθυμίᾳ δὲ τῇ τῶν πολλῶν σιωπηθέν. ἐγὼ δ᾽ οὔτ᾽ ἄλλο τι παρ᾽ Ἱπποκράτους μάτην εὑρίσκω γεγραμμένον, οὔθ᾽ ὅτι μηδὲν τούτων ὅλαις ταῖς ἡμέραις ἀτρεκέως ἀριθμεῖσθαι δύναται, καὶ λαβὼν ἀρχὴν ὁμολογουμένην οὐκ ἀστρονόμοις μόνον, ἢ φυσικοῖς φιλοσόφοις, ἀλλὰ καὶ γεωργοῖς, καὶ ναύταις, καὶ πᾶσιν ἀνθρώποις ὡς ἡ σελήνη τὸν περίγειον ἐπιτροπεύει τόπον, οἷον ὕπαρχός τις οὖσα μεγάλου βασιλέως τοῦ ἡλίου, ταῖς ταύτης περιόδοις ἐπέδειξα τὰς κρινούσας ἡμέρας ἑπομένας. ἐπέδειξα δὲ καὶ τῶν παρεμπιπτουσῶν ἡμερῶν τὰς αἰτίας, καὶ διατί τὰς τρεῖς ἑβδομάδας οὐκ εἰς τὴν κα′. ἀλλ᾽ εἰς τὴν κ′. μᾶλλον ὁ Ἱπποκράτης ἀξιοῖ περιάγεσθαι. τούτων δ᾽ ἀποδεδειγμένων, οὐδὲν ἔτι χαλεπὸν εὑρεῖν, οὐδὲ διατί τὴν μὲν πρώτην ἑβδομάδα τῆς δευτέρας διαζευγνύουσι, συνάπτει δὲ ταύτην τῇ τρίτῃ. οὔτε γὰρ τὴν δευτέραν τῇ πρώτῃ συνάπτειν εὔλογον ἦν, εἰς τὴν ιδ′. ἀφικνουμένης τῆς κρίσεως, οὔτε τὴν τρίτην τῇ δευτέρᾳ διαζευγνῦναι τῆς κ′. μᾶλλον ἢ τῆς κα′. ἐκδεχομένης τὰς κρίσεις. ἐπεὶ δὲ τῶν ἑβδομάδων αὐτῶν, αἱ δύο μόναι πρῶται διαζεύγνυνται, συνάπτεται δ᾽ ἡ τρίτη, δῆλον ὡς καὶ τῶν τετράδων ἔνιαι μὲν ἐξ ἀνάγκης συναφθήσονται, διαζευχθήσονται δ᾽ ἕτεραι. ἡ μὲν οὖν δευτέρα τετρὰς καὶ ἡ πρώτη συναφθήσονται, διότι μιᾶς ἑβδομάδος τῆς πρώτης δίχα τμηθείσης, ἑκατέρα μόριον ἐστίν. ἡ δὲ τρίτη, τῆς δευτέρας διαζευχθήσεται, διότι καὶ ἡ ἑβδομὰς ἡ δευτέρα, τῆς πρώτης διεζεύγνυτο. συναφθήσεται δὲ ἡ τρίτη τῇ τετάρτῃ, διότι τῆς δευτέρας ἑβδομάδος ἑκατέρα μόριον ἐστίν. αὕτη δ᾽ οὖν πάλιν ἡ τετάρτη τῇ ε′. συναφθήσεται, διὰ τὴν τρίτην ἑβδομάδα συναφθεῖσαν τῇ δευτέρᾳ. συναφθήσεται δὲ καὶ ἡ ς′. τετρὰς τῇ ε′. κατὰ τὴν ιζ′. ἡμέραν, ὡς αὖ τῆς τρίτης ἑβδομάδος ἑκατέρα μέρος ὑπάρχουσα. εἰς μὲν οὖν τὸ καλῶς διαιτῆσαι, χρησιμώτατόν ἐστι προγνῶναι τὸν χρόνον τῆς κρίσεως. εἴτε δ᾽ ὀξὺ χρὴ καλεῖν, εἴτε χρόνιον, εἴτ᾽ ἄλλως πῶς ὀνομάζειν τόδε τὸ νόσημα, τὸ κατὰ τὴν κ′. ἡμέραν, εἰ οὕτως ἔτυχε κριθησόμενον, οὐδὲν ὠφελεῖ τὸν κάμνοντα. δύναται γάρ τις μηδὲν φθεγξάμενος, ἀλλὰ μηδὲ νοήσας ὅλως, ὅτι πότε χρὴ καλεῖν αὐτὸ, καλῶς διαιτῆσαι τὸν νοσοῦντα, μηδενὸς γε τῶν ἄλλων παραλιπὼν ἃ πρὸς τοῦτο διαφέρει. τὸ μὲν ἀληθὲς ἅμα καὶ χρήσιμον εἴρηταί μοι, τὸ δὲ τοῦ σοφιστικοῦ λήρου περαινέσθω. μετὰ ταῦτα δεικνύντων ἡμῶν κἀνταῦθα, πόσον ἀγνοοῦσι τοῦ προσήκοντος οἱ πλεῖστοι τῶν ἰατρῶν. οἴονται γὰρ ὀξὺ μὲν καλεῖσθαι νόσημα, τὸ ταχέως κρινόμενον, ἐναντίον δ᾽ ὑπάρχειν αὐτοῦ τὸ χρόνιον. ἔχει δ᾽ οὐχ οὕτω τἀληθές, ἀλλ᾽ ἔστι γάρ τι νόσημα βραχὺ χρόνιον μὲν, οὐ πάντως δ᾽ ὀξύ. καὶ τούτῳ μὲν ἐναντίον ἐστὶ τὸ χρόνιον ἢ πολυχρόνιον, ἢ ὅπως ἄν τις ἑτέρως ἐθέλοι καλεῖν αὐτό. τῷ δ᾽ ὀξεῖ, φύσις ἑτέρα νοσήματος ἀντίκειται, οὐδὲν ἴδιον ὄνομα κεκτημένη, καὶ τοῦτ᾽ εἰκότως ἐγένετο. τοῦ γὰρ ὀξέος νοσήματος, ὡς ὁ μὲν Ἀρχιγένης ὑπεγράφετο, τοῦ διὰ συντόμως κινδυνώδους, ὡς δ᾽ Ἱπποκράτης ἔλεγε, τοῦ μετὰ πυρετῶν συνεχοῦς γιγνομένου, συμβεβηκὸς ἐξ ἀνάγκης ἔσται τὸ ταχέως κρίνεσθαι. κατὰ μὲν γὰρ τὸ τῆς κινήσεως εἶδος, ὀξὺ προσηγόρευται. παύεσθαι δ᾽ ἀναγκαῖον αὐτὸ διὰ ταχέων, ὡς ἂν ἐπειγομένου πρὸς τὴν οἰκείαν τελευτήν. αὐτὸ γὰρ τοῦτ᾽ ἐστὶ τὸ ταχέως κινεῖσθαι τὸ συρρεῖν ἐπὶ τὸ πέρας. ἔσται δὴ πάντως βραχυχρόνιον, μὴ κατ᾽ ἄλλο μέντοι καὶ ἄλλο τῶν ἐν αὐτῷ, τό, τε ὀξὺ καὶ τὸ βραχυχρόνιον εἰρήσεται. διὰ μὲν γὰρ τὸ τῆς κινήσεως ἠπειγμένον ὀξὺ, διότι δ᾽ οὐχ οἷόν τε χρονίζειν αὐτῷ ταχέως κινουμένῳ, βραχυχρόνιον ὀνομασθήσεται. φύσις δ᾽ ἄλλη νοσήματος αὐτῷ παράκειται. πολλοὶ γὰρ τῶν ἐφημέρων πυρετῶν, διά τινα ψύξιν, ἢ ἔγκαυσιν ἐπιπόλαιον, ἢ κάματον βραχὺν, ἢ ἀγρυπνίαν, ἢ λύπην, ἢ μέθην, ἢ θυμὸν, ἢ τι τοιοῦτον ἐγένοντο, μικροί τε ἅμα καὶ βραχεῖς, καὶ τελέως ἀκίνδυνοι, καὶ τούτους οὐδεὶς οὔτε ἰδιώτης, οὔτε ἰατρὸς ὀξὺ νόσημα καλεῖν εἴθισται. τὸ μὲν οὖν ὀξὺ τοῦ βραχυχρονίου σαφῶς, ἐν αὐτοῖς τούτοις διακέκριται. τὸ δὲ βραδὺ, τῷ πολυχρονίῳ συγκέχυται. καίτοι γ᾽ οὐ τὴν αὐτὴν ἔχον ἔννοιαν, εἴ γε τὸ μὲν ὀξὺ τῷ βραδεῖ, τὸ δ᾽ ὀλιγοχρόνιον, τῷ πολυχρονίῳ κατ᾽ ἀντίθεσιν εἴρηται. πᾶν μὲν οὖν ὀξὺ, πάντως ὀλιγοχρόνιον, καὶ πᾶν χρόνιον, ἐξ ἀνάγκης βραδὺ, οὐ μὴν οὔτ᾽ εἰ βραχυχρόνιον ὀξὺ πάντως, οὔτ᾽ εἰ βραδὺ, πολυχρόνιον. ἐξ οὖν τῆς τοιαύτης ὑπαλλάξεως, οὐ πάνυ τι σαφοῦς ὑπαρχούσης τοῖς πλείστοις τῶν ἰατρῶν, οὐ μόνον αἱ προσηγορίαι συνεχύθησαν, ἀλλ᾽ ἐκ τοῦ πραγμάτων αὐτῶν αἱ διαγνώσεις.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΟΥ ΠΡΟΓΙΝΩΣΚΕΙΝ ΒΙΒΛΙΟΝ.

ΟΣΟΝ μὲν ἐπὶ τοῖς πολλοῖς τῶν ἰατρῶν ὦ Ἐπιγένες, ἀδύνατόν ἐστι προγινώσκειν τὰ τοῖς κάμνουσιν ἐσόμενα καθ' ἑκάστην νόσον. ἀφ' οὗ γὰρ οἱ τὸ δοκεῖν μᾶλλον ἢ εἶναι σπουδάσαντες, οὐ κατὰ τὴν ἰατρικὴν μόνον, ἀλλὰ καὶ περὶ τὰς ἄλλας τέχνας ἐπλεόνασαν, ἠμέληται μὲν τὰ κάλλιστα τῶν τεχνῶν. ἤσκηται δ' ἐξ ὧν ἂν τις εὐδοκιμήσειεν παρὰ τοῖς πολλοῖς εἰπεῖν τι καὶ πρᾶξαι πρὸς ἡδονὴν, κολακεύεσθαι, θωπευτικῶς προσαγορεύειν ἑκάστης ἡμέρας, τοὺς πλουτοῦντάς τε καὶ δυναμένους ἐν ταῖς πόλεσι συμπροέρχεσθαι, παραπέμπειν προσερχομένους οἴκαδε, δορυφορεῖν ἐν τοῖς δείπνοις, βωμολοχεύεσθαι. τινὲς δ' αὐτῶν οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τῇ τῶν ἱματίων καὶ δακτυλίων πολυτελείᾳ, καὶ τῷ πλήθει τῶν ἀκολουθούντων, καὶ σκευῶν ἀργυρῶν παρασκευῇ τοὺς ἰδιώτας ἀναπείθουσιν, ὡς ἀξιοζήλωτοί τινες ὄντες. ἐκ τούτων οὖν ἁπάντων, τὰ μὲν ἥδοντες, τὰ δ' ἐκπλήττοντες ἀνθρώπους ἀπείρους ἀληθινῆς κρίσεως πραγμάτων, ὡς μὲν οὗτοι νομίζουσιν, ἀγαθῶν πολλῶν τυγχάνουσιν, ὡς δ' ἐγὼ φαίην ἂν οὕτως ὄντων ἀγαθῶν ἄλλων, αὐτοὶ ψευδεῖ ὑπειλήφασιν. ἅτε δ' ὄντες τοιοῦτοι, τἄλλα παρανομεῖν οὐκ ὀκνοῦσιν, ἐλαχίστῳ τε χρόνῳ τὰς τέχνας ἐπαγγελλόμενοι διδάσκειν, ἀθροίζουσι πλῆθος μαθητῶν, ἐξ ὧν καὶ αὐτοὶ προσλαμβάνουσι τὸ δύνασθαι κατὰ τὰς πόλεις, ἐν αἷς διατρίβουσιν. αὕτη μὲν οὖν κοινὴ τῶν τεχνῶν ἁπασῶν δυστυχία, κατείληφε τὸν νῦν βίον. ἡ δὲ τῆς ἰατρικῆς ἐστι μὲν πολυειδὴς, ἀλλ' ἐν τι τῶν περὶ αὐτὴν ἔγνωκα προχειρίσασθαι τῶν ἐμοὶ μάλιστα διαφερόντων. ὅταν γάρ τις ἰατρὸς τῷ νόμῳ μεμαθηκότων αὐτὴν, ἢ παραφροσύνην ἐσομένην τῷ νοσοῦντι, ἢ ῥῖγος, ἢ καταφορὰν, ἢ αἱμοῤῥαγίας, ἢ παρωτίδας, ἢ ἀπόστασιν ἄλλην εἰς ὁποιονοῦν μόριον, ἢ ἔμετον, ἢ ἱδρῶτας, ἢ κοιλίαν ταραχθησομένην, ἢ συγκοπὴν, ἢ τι τῶν τοιούτων προείπῃ ἄλλο, ξένον τε καὶ τέρας τοῖς ἰδιώταις ὑπ' ἀηθείας φαίνεται, καὶ τοσοῦτον ἀποδεῖ τοῦ θαυμάζεσθαι παρ' αὐτοῖς ὁ προειπὼν, ὥστε ἀγαπήσειεν ἂν, εἰ μὴ καὶ γόητα τις εἶναι δόξειεν. ὀλίγοι δέ τινες αὐτῶν οὐκ ἀπογινώσκουσι μὲν ὡς ἀδυνάτου τῆς τοιαύτης θεωρίας, ἐρωτῶσι δ' εὐθέως καὶ αὐτὸν τὸν προειπόντα, καὶ τοὺς ἄλλους ἰατροὺς, εἰ καὶ τοῖς ἔμπροσθεν εὕρηται τι τοιοῦτον, ἢ μόνου αὐτοῦ τοῦ προειπόντος ἐστὶν εὕρημα. τοὐντεῦθεν οὖν ἀναγκαῖον γίγνεται, τοὺς μὲν ἰατροὺς ἀποκρυπτομένους σφετέραν ἀμαθίαν, ἴσως δέ τινας καὶ ὄντως ἀγνοοῦντας, οὐδενὶ φάναι τῶν ἔμπροσθεν οὐδὲν τοιοῦτο γεγράφθαι, γόητα δ' εἶναι τὸν ἐπιδεικνύμενον τοιαύτην πρόῤῥησιν. αὐτὸν δὲ τὸν προειπόντα, μήθ' ὅτι γέγραπται πολλοῖς τῶν ἔμπροσθεν, καὶ μάλιστα τῷ Ἱπποκράτει τῷ πάντων ἡμῖν τῶν καλῶν ἡγεμόνι τολμᾷ εἰπεῖν, αἰδοῖτε ἅμα τῶν παρόντων ἰατρῶν καὶ μίσους ὑποψίᾳ, μήθ' ὡς αὐτὸς εὑρηκὼς εἴη, ψεύδεσθαι γὰρ οὕτως, καὶ μᾶλλον μισηθήσεσθαι πρὸς αὐτῶν. ἄπορον δὴ πανταχόθεν ἐρώτημα τις ὑπεχόμενος, ὀκνῶν οἶμαι καὶ διαβαλλόμενος, αὔξανει μὲν τὴν τῆς γοητείας ὑποψίαν αὐτῷ τῷ μέλλειν ἀεί, τελευταῖον δὲ φθόνον ἐφ' ἑαυτὸν ἤγειρεν ὥστ' ἐπιβουλεύεσθαι πρὸς αὐτῶν. πρώτη μέντοι τῆς φαρμακείας ἐνέδρα, δευτέρα δὲ ἣν Κόϊντος ἦλω, βελτίων μὲν ὢν ἰατρὸς τῶν καθ' ἑαυτὸν, ἐκβληθεὶς δὲ τῆς πόλεως ὡς ἀναιρῶν τοὺς νοσοῦντας, ὥστε δυοῖν θάτερον ἀναγκαῖον γίνεται, παθεῖν τὸν φιλοσόφως τὴν τέχνην μετιόντα. καὶ τῶν Ἀσκληπιαδῶν ἀξίως, ἢ παραπλησίως Κοΐντῳ φυγαδευθέντων, λαμπρὰ τῆς αἰσθήσεως τὰ ἐπίχειρα κομίσασθαι, ἢ διαβαλλόμενόν γε φανερῶς, εἰ μὲν ἀτολμηρότερος εἴη, τὰ μὲν ἀπολογούμενον, τὰ δ' ὑποπτεύσοντα, λαγὼ βίον ζῆν, ἀεὶ τρέμοντα καὶ τι πείσεσθαι προσδοκῶντα, πρὸς τῷ καὶ τὴν τῆς γοητείας ὑποψίαν αὐξάνειν. εἰ δ' εὐτονώτερος ὢν ὁμόσε χωρεῖ, καὶ διαμάχεται μόνος πολλοῖς πανούργοις ἀνθρώποις, καὶ πολλοὺς ἀδοκιμωτάτους τρόπους ἠσκηκόσι αὐτοὺς ἐκ παιδείας, καὶ μαθημάτων ὁρμώμενος, καὶ τῶν τοιούτων ἄπειρος κακῶν, ἤτοι κατὰ κράτος ἁλόντα, γενέσθαι τὸ λοιπὸν ἐπ' ἐκείνοις ὅτι ἂν αὐτῷ χρῆσθαι βουληθῶσιν, ἢ εἴπερ ἐπὶ πλέον ἀντέχοι καὶ διαγωνίζοιτο, τύχῃ τινὶ χρησάμενος θαυμαστῇ. τὸ μὲν οὖν ἀεὶ πολεμεῖν τε καὶ πολεμεῖσθαι τὸν χείριστον τῶν πολέμων, ὃν ὀνομάζουσιν ἐμφύλιον, ἐκφεύγειν μὴ δύνασθαι. συμβαίνειν οὖν ἀναγκαῖον πολλοῖς τῶν οὕτως παρασκευασμένων, καὶ τῶν ἄλλων ὅσοι τετιμήκασιν ἀλήθειαν εἰλικρινῶς, οὐ διά τι τῶν ἔξωθεν, ἀλλ' αὐτὴν δι' ἑαυτῆς, ὅταν ἅπαξ πειραθῶσι τῆς κατεχούσης τὸν νῦν βίον ἀδικίας, καὶ γνῶσι σαφῶς ὡς οὐδὲν ἔσονται τοῖς ἀνθρώποις ὄφελος, ἐξαναχωρεῖν τοῦ τῶν πολλῶν συρφετοῦ, καὶ ὥσπερ ἐν χειμῶνι μεγάλῳ καὶ ζάλῃ πνευμάτων, ἑαυτοὺς γοῦν σῶσαι σπεύδοντας. οὗτοι δὴ τοῖς πολλοῖς μὲν ἄγνωστοι, γνώριμοι δὲ καὶ φίλοι μάλιστα μὲν καὶ πρῶτον θεοῖς, εἶτα τῶν ἀνθρώπων τοῖς ἀρίστοις ἐν ἡσυχίᾳ βιοῦσιν, ἐπιτρέψαντες τοῖς πανούργοις εὐδοκιμεῖν παρὰ τοῖς πολλοῖς ἀνθρώποις. ἁπάντων δὲ τούτων τὰ αἴτια τοῖς ἀνθρώποις ἐστὶ τῶν πλουτούντων ἐν ταῖς πόλεσι, καὶ δυναμένων ἡ τρυφή. οἱ πρότερον ἡδονὴν ἀρετῆς τετιμηκότες, ἐν οὐδενὶ λόγῳ τίθενται τοὺς τι καλὸν ἐγνωκότας, τοῖς τε ἄλλοις ὑφηγήσασθαι δυναμένους. ὅλοι δ' ἐπὶ τοῖς τὰς ἡδονὰς ἐκποριζουσιν εἰσὶ, καὶ τούτους πλουτίζουσι καὶ θαυμάζουσι, καὶ ὑψηλοὺς αἴρουσιν, ὥστε τῶν μὲν ὀρχηστῶν καὶ τῶν ἡνιόχων εἰκόνας ποιοῦνται τοῖς τῶν θεῶν ἀγάλμασι συνέδρους. τοὺς δ' ἀπὸ τῶν μαθημάτων τοσαῦτα τιμῶσιν, ὅσα τῆς χρείας αὐτῶν δέονται. τὸ γὰρ ἐν ἑκάστῳ καλὸν οὐ θεωροῦσιν, οὔτε τῶν δεινῶν αὐτῶν ἀνέχονται, ἀλλὰ γεωμετρίας μὲν καὶ ἀριθμητικῆς, ὅσον εἰς ἀναλωμάτων λογισμοὺς καὶ οἰκίας κατασκευήν. ἀστρονομίας δὲ καὶ μαντικῆς, ὅσον εἰς τὸ προγνῶναι τίνων κληρονομήσουσι, χρήζουσιν, ὥσπερ γε καὶ μουσικῆς, ὅσον εἰς ἡδονὴν ἀκοῆς. τὴν δὲ τούτων συμπάντων τὸ κῦρος ἔχουσαν φιλοσοφίαν, ἀποδεικτικῆς θεωρίας οὐδὲν αὐτοῖς μέλει. πλὴν ὅσον ἡ χρεία προσάγει τινὰς τῶν ῥητορικῶν ἀνδρῶν ὀργάνῳ πανούργῳ τῇ σοφιστικῇ καλουμένῃ χρῆσθαι θεωρίᾳ. φιλοσοφίας γὰρ αὐτῆς οὐδὲν ἐπαΐουσιν, ἀλλὰ πάντων

μαθημάτων ἀχρηστότατον εἶναι νενομίκασιν ὁμοίως τὸ κέγχρον τρυπᾶν. οὗτοι τοίνυν εἰσὶν, οἱ περὶ τῆς ἰατρικῆς τὴν ἀναγκαίαν χρείαν ὁρῶσιν μόνην οὐδὲ ταύτην ὀρθῶς. ἀλλ' ὡς Πλάτων που φησὶν, εἰ δέοι κρίνεσθαι παρὰ παισὶν ἢ ἀνθρώποις ἄφροσιν ἰατρὸν καὶ μάγειρον, ὁ μάγειρος ἂν οὐκ ὀλίγῳ δή τινι πλέον ἐνέγκαιτο. ταῦτ' οὖν ἐγὼ ἀγνοῶν κατὰ τὴν προτέραν ἐπιδημίαν ἐν Ῥώμῃ μοι γενομένην οὐδὲν ὑφορώμενος, ἐπεδεικνύμην οὐ διὰ λόγων ψιλῶν, ἀλλὰ τοῖς ἔργοις τοῖς τε τῶν ἐσομένων προγνώσεως καὶ τῆς θεραπείας ἄχρι τοῦ γενέσθαι τι τοιοῦτον, ὡς ἐπίστασαί σὺ ὁ μάλιστα παρὼν τῇ νόσῳ πάσῃ, μέχρι τέλους ἀπ' ἀρχῆς Εὐδήμου τοῦ περιπατητικοῦ φιλοσόφου. ἤρξατο μὲν γὰρ ἡμέρᾳ τινὶ μετὰ λουτρὸν ἀνωμαλία τις αὐτῷ, φρίκη δ' ἀπὸ ὥρας ὀγδόης, δι' ἧς ἀναγκασθεὶς ἀσιτῆσαι κατὰ τὴν ὑστεραίαν ἀμέμπτως διάγων, ὑπέλαβεν ἀσφαλέστερον εἶναι τὴν ὀγδόην ὥραν ὑπερβάλλειν, ὡς δ' οὐ κατ' αὐτὴν ἀπήντησέ τι δυσχερὲς ἀσιτήσαντί γε μέχρι τῆς ἐννάτης καὶ πρόσω, οὐδεμία παραλλαγή τις ἐφαίνετο. λουσάμενός τε καὶ βραχέα προσενεγκάμενος, ἐπὶ τῇ τρίτῃ ἡμέρᾳ συνεγένετο μὲν ὡς ἔθος ἡμῖν, ἀσφαλείας δ' ἕνεκεν ἔδοξεν αὐτῷ καὶ κατ' ἐκείνην ὑπερβάλλειν τὰς ὑπόπτους ὥρας. ἐλούσατο οὖν μετὰ τὴν †ὀγδόην, καὶ τραφεὶς †εὐφόρως ἐπέπειστο μηδὲν αὐτῷ γενήσεσθαι δυσχερές. ἐν τῇ τετάρτῃ δὲ τῶν ἡμερῶν, ἐν ᾗ συγγενόμενος ἡμῖν ἐπὶ τὸ βαλανεῖον ἐστέλλετο, μειδιάσας τε ἅμα καὶ ἀποβλέψας πρός σε, πότερα ἔφη καὶ κατὰ τήνδε τὴν ἡμέραν τετάρτην οὖσαν, ἀσφαλέστερον οὐκ ἔστιν ὑπερβάλλειν τὴν ὀγδόην ὥραν, ἢ τῷ λουτρῷ χρηστέον ἤδη. σὺ μὲν οὖν ὡς οὐδενὸς ἐσομένου δυσχεροῦς, ἐκέλευσας ἐπείγεσθαι λουσόμενον, οἵ τ' ἄλλοι πάντες οἱ παρόντες, ἐγὼ δ' ἐσιώπων μόνος. ἐρωμένῳ δὲ αὐτῷ περὶ τῆς σιωπῆς ἀπεκρινάμην, οὐκ εἶναι μοι τελέως ἀνύποπτον ἀρχὴν γεγονέναι τεταρταίας περιόδου, κατὰ τὴν πρώτην ἡμέραν ἡνίκα με τὸν σφυγμὸν ἐκέλευσας ἅψασθαι. τῷ δὲ μὴ προεγνωκέναι με ποτὲ τὸν κατὰ φύσιν σου σφυγμὸν ὁποῖός τις ἦν, οὗ χωρὶς οὐχ οἷόν τε τὰς βραχείας αὐτοῦ μεταβολὰς εἰς τὸ παρὰ φύσιν ἐπιγνῶναι, σαφῶς οὐδὲν ἀπεφηνάμην, ὥσπερ οὐδὲ νῦν πλέον ἔχω τι τῆς τότε μοι γενομένης ὑποψίας εἰπεῖν. ἐλούσατό τε οὖν †εὐφόρως καὶ ἐτράφη μετρίως, εἶτα περὶ τὴν ἑσπέραν μετακαλεσάμενός με, καὶ πάλιν τὸν σφυγμὸν αὐτοῦ κελεύσας ἅψασθαι, τὴν αὐτὴν ἀπόφασιν ἤκουσεν ἣν πρὸ τοῦ λουτροῦ, καὶ μᾶλλον ἔτι θαρραλεώτερον ἢ τότε. διὰ τοῦτο οὖν ἔδοξε τὴν ἑξῆς ἡμέραν ἑβδόμην μὲν ἀπὸ τῆς ἀρχῆς ἐσομένην, τετάρτην δὲ ἀπ' ἐκείνης ἀκριβέστερον παραφυλάξαι, καὶ διατρίψας ἐπὶ τῆς οἰκίας, ἐλούσατό τε καὶ σιτίων προσηνέγκατο πλειόνων ὡς οἶσθα τελέως ἀπύρετον αὐτὸν εἶναι †φάντων. ἐγὼ μὲν οὖν ἐρομένῳ σοι, μέμνησαι γὰρ πάντως καὶ τοῦτο, τὴν ὑποψίαν μοι νῦν φήσας ὡς μικροτάτης τινὸς αὐτῷ τεταρταίας περιόδου προοίμιον εἴη συμβαῖνον, ἐγχωρεῖσθαι ἔχων ἐπισκοπεῖσθαί τινα περὶ τὴν ἑσπέραν ἄρρωστον, οὐκ ἐγγὺς οἰκοῦντα. λουσάμενος δ' Εὔδημος, ἐτράφη μὲν εὐθέως, οὐ μετὰ πολὺ δὲ θερμασίας ᾔσθετο δι' ὅλου τοῦ σώματος, ἣν ἐν τῷ ποθέντι πόματι γεγονέναι νομίσας. οἴνου γὰρ παλαιοῦ προσενήνεκτο, κατὰ τὴν ὑστεραίαν αὐτὸ τοῦτο διηγήσατο τοῖς συνήθεσιν ἰατροῖς, αἰτιασαμένων τε κἀκείνων ἑτοίμως τὸν οἶνον, οὐδὲν ἔτι νομίσας ἔσεσθαι δυσχερὲς ἐν τῇ τετάρτῃ μετὰ τὴν γενομένην θερμασίαν, ἐλούσατό τε καὶ διαιτήθη κατὰ τὸ συνηθὲς τρόπῳ, σαφῶς δὲ πυρέττειν ἀρξάμενος, ἐπείσθη τεταρταίου μὲν εἶναι τὴν περίοδον. ἐπῄνει δὲ τοὐντεῦθεν ἐμὲ μόνον, ὡς ἀκριβῶς ἁπτόμενον σφυγμοῦ κατὰ τὸν ἔμπροσθεν χρόνον ἐν φιλοσοφίας θεωρίᾳ μόνῃ πεπεισμένος ἀξιόλογον ἕξιν εἶναι μοι. τῶν δὲ κατὰ τὴν ἰατρικὴν ἐν παρέργῳ πεφροντικέναι. καὶ γὰρ ἐπέπειστο τοῦ πατρὸς ἐπὶ φιλοσοφίαν ἄγοντός με, προσαχθὲν αὐτῷ δι' ὀνείρων ἐναργῶν ἐκδιδάξαι καὶ τὰ τῆς ἰατρικῆς, οὐχ ὡς πάρεργόν τι μάθημα τοῦτο. συνέβη μοι γεγονέναι τότε κατά τινα τύχην, ὡς οἶσθα καὶ αὐτὸς, νενοσηκότος τινὸς ἀνθρώπου κατὰ τὴν ἀρχὴν τοῦ φθινοπώρου νόσον ὀξεῖαν, εἶτα κατὰ τὴν ἀνάληψιν ἀρξαμένου περὶ πέμπτην ὥραν πυρέττειν, θεασάμενον τὸν ἄνθρωπον ἀποφήνασθαί σοι παρόντι σαφεστάτην εἰσβολὴν εἶναι τεταρταίου περιόδου. ὁπότε γὰρ κατὰ τὴν ἀναλογίαν, ἡ διὰ τὴν τετάρτην ἀνταπόδοσις ἐγένετο, πυθόμενος παρὰ σοῦ τὴν γενομένην πρόρρησιν ὁ Εὔδημος ἔτι μᾶλλον ἐπείσθη προσέχειν ἐμοί, ὥστε ἐπειδὴ προὔβαινεν ὁ κατὰ τὴν περίοδον παροξυσμὸς εἰς μέγεθος, ἀθροίσας τοὺς ἀρίστους τῶν κατὰ τὴν πόλιν ἰατρῶν ἠξίωσε σκέψασθαι περὶ τῆς θεραπείας τοῦ νοσήματος. ἐγὼ δὲ ἑκὼν ἀπελείφθην, οὐ βουλόμενος ἁμιλλᾶσθαι διὰ λόγων αὐτοῖς. ὡς δὲ τοῖς ἐνδοξοτάτοις αὐτῶν ἔδοξε τῆς θηριακῆς αὐτὸν πιεῖν, ἕωθεν ἐκείνης τῶν ἡμερῶν ἐν ᾗ προσδοκώμενος ἦν ὁ διὰ τῆς τετάρτης παροξυσμὸς ἔσεσθαι, χωρισθέντων αὐτῶν ὡς οἶσθα σὺ παρόντος, ἐπυνθάνετό μου τίνα τὴν ἐλπίδα τῆς τοῦ φαρμάκου χρήσεως ἔχοιμι. γινώσκεις οὖν ὅπως ἀπεκρινάμην αὐτῷ μηδὲν ἀμφιβάλλων, ὡς οὐ μόνον οὐδὲν ὀνήσει τὸ φάρμακον, ἀλλὰ καὶ διπλοῦν ἐργάσεται τὸν τεταρταῖον, καὶ τὴν γ' αἰτίαν ἐρωτήσαντος αὐτοῦ δι' ἣν οὕτως ἀπεκρινάμην, ἄπεπτον ἔφην ἔτι εἶναι τὸ νόσημα, τό τε φάρμακον τοῦτο κακοχυμίαν ἄπεπτον, καὶ μάλιστα ἐν χειμῶνος ἀρχῇ, μέχρι μὲν τοῦ ταράξαι δύνασθαι προσάγαγεῖν, οὐ μὴν οὔτε πέψαι τελέως οὔτε διαφορῆσαι. ταῦτα μὲν οὖν ἀπεκρινάμην ἐγὼ τῷ Εὐδήμῳ. κατὰ δὲ τὴν ὑστεραίαν ἕωθεν ἀφικόμενοι πρὸς αὐτὸν, οὐδέ πω παρόντων ἡμῶν, ἔδοσαν τὸ φάρμακον. αἰσθανθέντος διηγήσασθαι τὰ ὑπ' ἐμοῦ λεγόμενα αὐτῷ, καὶ ἅμα θεασάμενος μετ' ἐνστάσεως ὡς ὑποσχομένους τοὺς ἀφικνουμένους ἰατροὺς ἅπαντας, ὀνήσειν αὐτὸν οὐ σμικρὰ τὴν τοῦ φαρμάκου προσφοράν. γενομένου δὲ τοῦ παροξυσμοῦ κατὰ τὴν αὐτὴν ὥραν, ἐνίοτε συμβαίνειν οὕτως ἔφασαν ἐπὶ τῆς πρώτης πόσεως, ὡς κινεῖσθαι καὶ μοχλεύεσθαι τὸ νόσημα, δεύτερον πιόντα ἀπαλλάττεσθαι τελέως, εἰ κατὰ τὴν ἡμέραν ἐν ᾗ προσδοκᾶται γενησόμενος ὁ διὰ τετάρτης παροξυσμὸς, ὁμοίως ἕωθεν αὐτοῦ προσενέγκαιτο. ἐκεῖνοι μὲν οὖν οὕτως εἰπόντες, ἐχωρίσθησαν εὐέλπιδες. οὐ περιμείνας δὲ τὴν ἑξῆς περίοδον ὁ τεταρταῖος, ἀπροσδοκήτως ἐνέβαλε τὴν ὀγδόην ὥραν, ἰσχυρότερος ἢ κατὰ τὴν προτέραν ἡμέραν ἐγεγόνει. ἐλθοῦσιν οὖν ἕωθεν αὐτοῖς ὡς οἶσθα δεύτερον, ἐδόκει διδόναι τοῦ φαρμάκου. καὶ δὴ καὶ δόντες ἐπὶ τῆς ἡμέρας ἀναλόγου τῷ προτέρῳ παροξυσμῷ τὸ φάρμακον, ἐχωρίσθησαν. ὁ γοῦν ἀνάλογος τῷ προτέρῳ παροξυσμῷ, κατ' αὐτὸν ἀπήντησε, καὶ ὁ μετ' αὐτὸν ἐπιγενόμενος δεύτερον, ἐφ' ᾧ κατὰ τὴν ἑσπέραν ἐπυνθάνετό μου, τίνα προσδοκίαν ἔχοιμι τῶν μελλόντων. ἐγὼ δὲ ὡς οἶσθα καταμαθὼν αὐτοῦ τὴν κίνησιν τῶν ἀρτηριῶν, νῦν μὲν ἔφην ἀποκρίνασθαί σοι τι πρὸς τὴν ἐρώτησιν ἀσφαλῶς ἀδύνατος ὑπάρχω. ἕωθεν δὲ τάχα

†ἐννάτην

†ἀφθόνως

†ἀφθόνως

†φάσκων

δὲ τάχα ἂν διανοηθείην, θεασάμενος ἅπαντα τὰ διὰ τῆς νυκτὸς οὐρηθησόμενα. παραγενόμενος οὖν ὑπὸ τὴν ἕω καὶ
θεασάμενος αὐτά, ἐκβαλεῖν τε κελεύσας, αὖθις ἐὰν οὐρήσῃ τι μεταξύ, περὶ τετάρτην ὥραν ἔφην ἀφίξεσθαι.
καὶ μὴν καὶ παραγενόμενος, ὡς ἐθεασάμην τε τὰ οὖρα, καὶ τῶν σφυγμῶν ἐπὶ πλέον ἡψάμην, ἀπεφηνάμην αὐ-
τῷ τρίτον τετάρτου γενήσεσθαι παροξυσμόν, ὡς περὶ τὴν αὐτὴν ὥραν. ἐγὼ μὲν οὖν ἐχωρίσθην. ὀλίγον δ' ὕστε-
ρον ἐπισκεψάμενοι τὸν Εὔδημον, ἀφίκοντο Σέργιός τε καὶ ὁ Παῦλος, ὃς οὐ μετὰ πολὺν χρόνον ἔπαρχος ἐγένε-
το τῆς πόλεως, καὶ Φλάβιος ὑπατικὸς μὲν ὢν ἤδη καὶ αὐτός. ἐσπουδακὼς δὲ περὶ τὴν Ἀριστοτέλους φιλοσοφίαν,
ὥσπερ καὶ ὁ Παῦλος, οἷς διηγησάμενος, ἅπαντα ὁ Εὔδημος τὰ κατ' ἐμέ, λυπεῖν ἔφη τὴν σήμερον ἐσομένην
πρόρρησιν περὶ τοῦ μέλλοντος παροξυσμοῦ, παραφυλάττειν δ' ὅπως ἀποβήσοιτο. γενομένου δὲ κἀκείνου περὶ τὴν
αὐτὴν ὥραν τοῖς προειρημένοις, ὁ μὲν Εὔδημος ἐθαύμαζέ τε καὶ τοῖς ἐπισκοπουμένοις αὐτὸν ἅπασιν ἐδή-
λου τὰς ἐμὰς προρρήσεις. ἦσαν δ' οὗτοι σχεδὸν ἅπαντες οἱ κατὰ τὴν Ῥωμαίων πόλιν ἀξιώματί τε καὶ παι-
δείᾳ προύχοντες. ὁ δ' οὖν Βοηθὸς ἀκηκοὼς εἰς ἄκρον ἠσκῆσθαί με τὴν ἀνατομικὴν θεωρίαν, ἔτυχεν ἤδη παρακα-
λῶν ἐπιδεῖξαί τι περὶ φωνῆς τε καὶ ἀναπνοῆς, ὅπως τε γίγνοιτο, καὶ διὰ τίνων ὀργάνων. ὡς οὖν ἐγνώρισέ μου
τὸ ὄνομα, καὶ τοῦτ' αὐτὸ τῷ τε Παύλῳ διηγήσατο, καὶ μετὰ τὴν πεῖραν ἔφη παρακαλεῖν με δεῖξαί τι καὶ αὐτῷ,
πάνυ γὰρ ἔφη δεῖσθαι τῆς θέας τῶν κατὰ τὰς ἀνατομὰς φαινομένων ὁ Παῦλος. ὁμοίως δὲ καὶ Βάρβαρος ὁ θεῖος τοῦ
βασιλεύοντος Λουκίου κατὰ τὴν Μεσοποταμίαν ὀνομαζομένην ὄντος ὑπάρχου, ἐδεῖτο τοῦ †μαθήματος καὶ αὐ-
τὸς ὥσπερ ὁ Παῦλος. ὕστερον δὲ καὶ Σεβῆρος ὕπατος μὲν ὤν, ἐσπουδακὼς δὲ καὶ περὶ τὴν Ἀριστοτέλους φιλο-
σοφίαν. ὅπως μὲν οὖν τὰ κατὰ τὰς ἀνατομὰς ἐγένετο, γινώσκοντί σοι βραχείας ἀναμνήσεως δεήσει, μικρὸν ὕ-
στερον ἐσομένης. νῦν δὲ τὰ κατὰ τὸν Εὔδημον ἐπάνειμι. καταπονούμενος γὰρ ὑπὸ τῶν τριῶν τεταρταίων, ἀπήλ-
πιστο πρὸς τῶν ἰατρῶν ὄντος ἤδη που μέσου χειμῶνος. ἐγὼ δὲ οἷα διδασκάλῳ μέν, ἀλλὰ καὶ κατὰ τύχην οἰκῶν
αὐτοῦ πλησίον ἀνάγκην εἶχον, ὑπακούειν δὶς τῆς ἡμέρας καλοῦντι. καταγελῶν δέ μου κατὰ τὸν καιρὸν ἐκεῖ-
νον, Ἀντιγένης εἷς τῶν Κοΐντου μαθητῶν, συγγεγονὼς δὲ καὶ Μαρίνῳ, πρωτεύειν τε τῶν ἰατρῶν πεπιστευμένος,
ἅπαντάς τε τοὺς πολυδυναμένους ἰώμενος, οὐκ οἶδ' ὅτι δόξαν αὐτῷ τοῖς ἐπαινοῦσι καταγελῶν ἔφασκεν, ὀλί-
γον ὕστερον αὐτοὺς γνώσεσθαι τίνα τυγχάνουσιν ἐπαινοῦντες, ὅταν ἐκφερόμενον ἴδωσιν Εὔδημον. καὶ ταῦ-
τα λέγων πρὸς τοὺς παρόντας ἰδιώτας, ἀποστρέφων ἐνίοτε μὲν τὸν λόγον, ἀποβλέπων τε πρὸς τοὺς ἰατροὺς ἔφα-
σκεν, Εὔδημον ἑξηκοστὸν καὶ τρίτον ἔτος ἄγοντα, τρεῖς ἔχοντα τεταρταίους ἐν μέσῳ χειμῶνος, θεραπεύειν ὑπι-
σχνεῖται Γαληνός. σὺ μὲν οὖν Ἐπίγενες φίλτατε, τάς τε μετὰ ταῦτα γενομένας προρρήσεις ἐπ' αὐτοῦ, καὶ τὴν θε-
ραπείαν, οἶδ' ὅτι κηρύττων διετέλεσας. ἐμοὶ δ' ἀρχὴ φθόνου τότε πρῶτον ἐγένετο, θαυμαζομένῳ ἐπί τε βίου σεμ-
νότητος, καὶ τοῖς κατὰ τὴν τέχνην ἔργοις. ἐκ γὰρ τῶν τριῶν τεταρταίων, τὸν μὲν πρῶτον ἀρξάμενον ἐν τῇδε
παύσασθαι τῇ ἡμέρᾳ προειπών, ἐθαυμάσθην. ἐπεὶ δὲ καὶ τοῦ δευτέρου τὴν προθεσμίαν τῆς λύσεως ἠλήθευσα,
ἅπαντες μὲν ἐξεπλάγησαν. περὶ τοῦ τρίτου γοῦν ἀποτυχεῖν με τοῖς θεοῖς ηὔχοντο. παυσαμένου δὲ κἀκείνου, κα-
τὰ τὴν ὑπ' ἐμοῦ προρρηθεῖσαν ἡμέραν, οὐκ ἐπὶ ταῖς προρρήσεσι μόνον, ἀλλὰ καὶ τῇ θεραπείᾳ δόξαν ἔσχον οὐ σμι-
κράν. ὁ γοῦν Ἀντιγένης μονονοὺ κατὰ γῆς ἐδύετο, διὰ τὰς προπετῶς αὐτῷ γενομένας εἰς ἐμὲ βλασφημίας.
ὁμοίως δ' αὐτῷ καὶ Μαρτιανός, οὗ καὶ αὐτοῦ κατά τε τὸν χρόνον ἐκεῖνον, ἔτι τε πρότερον ὡς ἀνατομικωτάτου, δό-
ξα μεγάλη παρὰ τοῖς ἰατροῖς νεανίσκοις ἦν. ἐσπούδαζε δὲ δύο βιβλία τῶν ὑπ' αὐτοῦ γεγραμμένων ἀνατο-
μῶν. ἀνιαθεὶς δὲ καὶ αὐτὸς ἐφ' οἷς Εὔδημος οὐ μόνον ἐπαινεῖσθαι χρῆναί με πρὸς ἅπαντα δικαίως, ἀλλὰ καὶ θαυμά-
ζεσθαι δεῖν ἔφασκεν, οὐκ ἐξ ἰατρικῆς τὰς προρρήσεις, ἀλλ' ἐκ μαντικῆς γίνεσθαι ταύτας ὑπ' ἐμοῦ διέβαλε. καὶ
τήν γε μαντικὴν ἥν τινα λέγοι ἄν, πυνθανομένων τινῶν, ἐνίοτε μὲν οἰωνιστικὴν ἔφασκεν, ἐνίοτε δὲ θυτικήν,
ἔστι δ' ὅτε συμβολικήν, ἢ μαθηματικήν. ὕστερον δέ τι παρὰ τῷ Εὐδήμῳ τοιοῦτον ἐγένετο, τοῦ τρίτου τῶν τεταρ-
ταίων τῆς ἡμέρας ἐνεστώσης, ἐν ᾗ τελείαν ἀπαλλαγὴν αὐτῷ προειρήκειν ἔσεσθαι. παραγενόμενος ὁ Μαρτιανὸς πρὸς
τὸν Εὔδημον ὥρας ἐνάτης, οὐ σμικρῷ σφοδρότερον, ἀλλὰ καὶ πάνυ πολλῷ τοῦ προγεγενημένου παροξυσμοῦ
τὸν νῦν ὄντα φήσας ὑπάρχειν, ἐχωρίσθη παραχρῆμα φαιδρῷ τῷ προσώπῳ, φανερῶς ἐνδεικνύμενος ἐπιχαί-
ρειν, ὡς ἀποτετευγμένης τῆς προρρήσεως. αἰσθανόμενος δὲ ὁ Εὔδημος δυσφορίας ὁποίας οὔπω πρότερον ᾔσθετο,
καὶ μέντοι καὶ θαρρῶν ὡς οὐ σφαλησομένῳ μοι κατὰ τὴν πρόρρησιν, ἀναμένας ἀφίκεσθαι τινὰ καὶ ἄλλον ἰα-
τρόν. ἀφικομένου δὲ οὐχ ἑνὸς μόνον, ἀλλὰ καὶ δυοῖν καὶ τριῶν, ἐπετήρουν γὰρ ἅπαντες ὅπως ἀποβῇ τὰ κατὰ τὴν
πρόρρησιν, εὐχόμενοι κἂν ἐπί γε τοῦ τρίτου τῶν τεταρταίων ἀτυχῆσαί με τῆς τε προρρήσεως καὶ τῆς ἀπ' αὐτοῦ θε-
ραπείας. ὁ μὲν Εὔδημος ἠξίου τε κἀκείνους ἀποφήνασθαι πῶς ἔχειν αὐτοῖς τὰ κατ' αὐτὸν δοκοίη. τὴν δ' αὐτὴν ἀ-
πόκρισιν ἀκούσας ἣν ὁ Μαρτιανὸς πεποίητο, καὶ προσχὼν ὁμοίως κἀκείνοις ὡς Μαρτιανῷ φαιδροτέροις γεγονό-
σιν, ἐνόησε μὲν καὶ αὐτὸς ἐπιχαίρειν αὐτούς, ὡς ἀποτετευγμένης τῆς προρρήσεώς τε καὶ θεραπείας. ἐπεὶ δὲ χρονί-
ζων ἐγὼ παρὰ τὸ ἔθος, ἐν ἐπισκέψει τινὶ κατειχόμενος, ἔπεμπε συνεχῶς πρός με πλησίον οἰκοῦντα καθάπερ ἔφην,
ἐπικουφίσαι τὴν δυσφορίαν ἣν εἶχεν ὑπ' ἐμοῦ βουλόμενος. ὡς δ' οὖν ἀφικόμην, ὁ δὲ καθίσαι με περιμένας, ἐξέτεινε
τὴν χεῖρα, κελεύων ἅψασθαι τῶν σφυγμῶν. ἁψαμένου δὲ μετὰ σπουδῆς, ἐπυνθάνετο τί ποτε ἀγγέλοιμι. κἀγὼ μειδιά-
σας, τί ἄλλο ἔφην ἢ ἀγαθά. ποῖα εἶπε ταῦτα ἰδικῶς μοὶ φράσον. ἐγὼ δ' οὐκ ἀρκέσει ἔφην σοι τὸ κεφάλαιον αὐτὸ
ἀθρόως ἀκηκοότι χαίρειν νῦν τοῖς ἐσομένοις. οὐδαμῶς εἶπεν. ἀκοῦσαι γὰρ ποθῶ καὶ τὰ κατὰ μέρος. ἄκουε δὴ ἀπαλλα-
γήσῃ τῇ νυκτὶ ταύτῃ τελέως ἁπάσης τῆς νοσώδους διαθέσεως, ὧν ἐπιγενομένων καὶ τῶν ἐσομένων αὐτῇ συμπτωμά-
των ἁπάντων, ἡ λύσις ἀκολουθήσει. καὶ τοῦτ' ἔφην ἄρτι μοι διὰ τῶν σφυγμῶν δεδηλωκέναι, τὴν διοικοῦσαν σου τὸ σῶ-
μα φύσιν, ἐπεγηγερμένην ἤδη καὶ κινουμένην, ὡς ἐκβαλεῖν ἐκ τοῦ σώματος ἅπασαν οὖσαν ἐν σοὶ μοχθηρίαν τὴν ἐν
τοῖς κατὰ τὸ σῶμα χυμοῖς. πῶς οὖν δὴ παρὰ τῆς φύσεως τοῦτο λέγεις σοι δεδηλῶσθαι. οὐ γὰρ δὴ φθεγξαμένης γε ταῦτ' εἶπε,
ἀπόκριναι μοι. πάντως γὰρ οἶδα παρακολουθήσαντά με τῷ λόγῳ μᾶλλον ἁπάντων τούτων τῶν ἰαλέμων ἰατρῶν, ὅτι τῆς

† μανθάνειν

κίνησιν ἔφην τῶν ἀρτηριῶν εἰς ὕψος ἀνήγαγεν, ἐπὶ πλέον τῆς ἐφ᾽ ἑκάτερον διαστάσεως, ὅπερ ἀεὶ ποιεῖν εἴωθεν ἐγχειροῦσα τὸ λυποῦν ἐκκρίνειν τοῦ σώματος. ἀλλὰ τούτοις ῥηθεῖσιν ὁ Εὔδημος ὑπολαβὼν ἔφη. ἀλλ᾽ ἐπεὶ πολλαὶ τῆς ἐκκρίσεως ὁδοὶ τετάχαται τῇ φύσει, καὶ γὰρ ἔμετος καὶ γαστὴρ καταῤῥήξασα, τάχα δὲ καὶ οὔρων πλῆθος ἱδρώτων τε πολλῶν ἐκκρίσεις, αἱμοῤῥαγία τε καὶ συνήθης αἱμοῤῥοῒς ἀναστομωθεῖσα, κρίσιν ἀθρόαν ἐργάζεται. τῆς σῆς ἂν εἴη τέχνης ἔργον οἰκεῖον ἑρμηνεῦσαί μοι τὸ τῆς κρίσεως εἶδος. αἱμοῤῥαγίας μὲν οὖν ἔφην ἐσομένης, τάδε καὶ τάδε προηγεῖται σημεῖα, καθάπερ γε καὶ ἱδρώτων ταυτί. προσέθηκα δ᾽ ἐν τῷ λόγῳ, καὶ τὰ τῶν ἐμέτων προηγούμενα. τῆς δὲ διὰ τῆς κάτω γαστρὸς κρίσεως ἀθρόας κριτικῆς, οὐδὲν ἔχομεν ἴδιον ἐξαίρετον σημεῖον, ἀλλ᾽ ἐκ τοῦ μηδὲν τῶν ἄλλων παρεῖναι, καταλείποιτ᾽ ἂν ἐλπίζειν ἐκεῖθεν γενήσεσθαι τοῦτο. διαλεκτικῶς ἔφη συνελογίσω τὴν εὕρεσιν τοῦ γενησομένου. ταῦτα μὲν ἑσπέρας οὔσης ἤδη διελέχθημεν ἀλλήλοις. παραγενόμενος δ᾽ ἕωθεν, ἤκουσας αὐτὸς σὺ τοῦ κεφαλαίου τῆς προῤῥήσεως, οὐχ ὑπομένοντος μετρίως φθέγγεσθαι τοῦ Φιλοσόφου καθάπερ εἴωθε. κεκραγότος δὲ πρὸς ἅπαντας ἡμᾶς τοὺς εἰσιόντας φίλους, ὡς ὁ Πύθιος Ἀπόλλων διὰ τοῦ Γαληνοῦ στόματος ἐβουλήθη θεσπίζειν τοῖς νοσοῦσι μετὰ τοῦ θεραπεύειν αὐτοὺς, ἀπαλλάττειν τε τελέως αὐτοὺς ἐν ἡμέρᾳ τῇ προῤῥηθείσῃ. τὴν γοῦν γεγενημένην λύσιν τοῦ νοσήματος, πέπεισμαι γὰρ ἤδη τελέως ὑγιαίνειν, ἐπαγγειλάμενος ἐκ πολλοῦ, καὶ τῆς θεραπείας καὶ τῆς προῤῥήσεως ἔτυχον. ἀπήλλαξε δέ με τριῶν τεταρταίων, οἷς ἐξ ἀκαίρου πόσεως τοῦ θηριακοῦ φαρμάκου περιέπεσον, ὁπότε καιρὸς αὐτῆς ἐγένετο μηδὲν ἐκείνων φθεγγομένων, δοὺς οὗτος ἀπήλλαξέ με καταγελώμενος ὑπ᾽ αὐτῶν. εἴ γε νομίζει γέροντα χειμῶνος ὥρᾳ κάμνοντα τρισὶ τεταρταίοις ἀπαλλάξειν. οἱ μὲν οὖν ἰδιῶται τῆς ἰατρικῆς τέχνης ἀκούοντες ταῦτα, κοινὸν ἀγαθὸν ἡγούμενοί με τοῖς ἐν Ῥώμῃ γενήσεσθαι, πάντες ἔχαιρον. ὁ δ᾽ οὐκ ἰατρὸς μόνον ἀλλὰ καὶ φίλος εἶναι μαρτυρούμενος Μαρτιανὸς, ἀκούσας τήν τε κατὰ τὴν γεγονυῖαν ἡμέραν ἀπόφασίν μου περὶ τῆς ἐν ταῖς ἀρτηρίαις κινήσεως, ἣν ἐκεῖνοι θορυβώδη νομίζοντες οὐ κριτικὴν ἐδεδίεσαν, εὑρόντες κατὰ φύσιν ἀκριβῶς ἔχοντα τὸν Εὔδημον, ἐπαινέσαι μὲν οὐδ᾽ ἄχρι ῥήματος ἑνὸς ὑπέμεινέ με. καταβὰς δὲ εἰς τὸ σανδαλάριον, ἀπήντησέ μοι κατὰ τύχην. εὐθέως δὲ μήτε προσαγορεύσας ὡς ἔθος εἶχεν, ἐπύθετο πότερον ἀνεγνωκὼς εἴην τὸ δεύτερον τῶν Ἱπποκράτους προῤῥητικῶν, ἢ ὅλως ἀγνοοίην τὸ σύγγραμμα, κἄπειτα ἀκούσας ὡς ἀναγνωκὼς εἴην, καί μοι δοκοῖεν ὀρθῶς ἔνιοι τῶν ἰατρῶν, οὐκέτι εἶναι τῶν γνησίων Ἱπποκράτους βιβλίων αὐτὸ, καὶ προσηκόντως ἀποφήνασθαι. πάντως γοῦν γινώσκεις ἔφη τῶν γεγραμμένων ἐν αὐτῷ. ἐγὼ δὲ τοιαῦτα μὲν οὐ μαντεύομαι. πρὸς τί δὲ ἔφην εἴρηταί σοι νῦν τοῦτο, καὶ ὡς ἄρτι κεχωρίσθαι παρ᾽ Εὐδήμου θαυμάζοντος, ἔλεγεν, ἐπὶ τοῦ χθὲς ἑσπέρας ἁψάμενόν σε τὸν σφυγμὸν, προειπεῖν ἔκκρισιν ἔσεσθαι διὰ τῆς κάτω γαστρὸς ἐφ᾽ ἧς μηκέτι πυρέξειν. εἰπόντος οὖν αὐτοῦ ταῦτα, μόνον ἀποκρινάμενος ἐγὼ, παρ᾽ Εὐδήμου ταῦτ᾽ ἀκήκοας οὐ παρ᾽ ἐμοῦ, † παρῆλθον αὐτίκα, πορευθείς τε πρὸς τὸν Εὔδημον, ἀπήγγειλα τὸ γεγονὸς, ἐθαύμαζόν τε τὴν κακόνοιαν τῶν εὐδοκιμούντων ἰατρῶν ἐν τῇ Ῥωμαίων πόλει. ὁ δὲ κατὰ λόγον ἔφη μοι τοῦτο πεπονθέναι, ἀπεικάζων τοῖς ἐν πατρίδι τοὺς τῇδε κατὰ πλείους αἰτίας εἰς ἄκρον ἥκοντας κακοηθείας, καὶ διῆλθεν ἁπάσας ἑξῆς ὧδέ πως. μὴ νόμιζε τοὺς ἀγαθοὺς ἄνδρας ἐν ταύτῃ τῇ πόλει γίνεσθαι πονηροὺς, ἀλλ᾽ ὅσοι φθάνουσιν εἶναι πονηροὶ, πραγμάτων ὕλην εὑρόντες ἐνταῦθα, καὶ κέρδη πολὺ μείζονα τῶν ἐν ταῖς ἔξω πόλεσιν ἔχουσιν, ὁρῶντές τε πεπλουτηκότας ὁμοίους αὐτοῖς πολλοὺς, ἐμιμήσαντο τὰς πράξεις αὐτῶν πολυειδεῖς οὔσας καὶ ἐκ πλειόνων αἰτιῶν, εἰς ἔσχατον ἥκουσι πονηρίας. ἐρῶ δέ σοι τινὰς αὐτῶν, ὡς ἂν ἐκ πολλοῦ χρόνου πεπειραμένος. οὐ γὰρ μόνον ἡ φύσις, οὐδὲ ἡ τῶν κερδαλέων πραγμάτων ὕλη τὴν πονηρίαν ηὔξησε τῶν φύσει πονηρῶν, ἀλλὰ καὶ μάθησις ἠκολούθησε πανουργίας ὁδῶν, ἃς ἑώρων ὁσημέραι γινομένας ὑπὸ τῶν ὁμοίων ἑαυτοῖς, εἶτα ἐν τῷ μιμεῖσθαι ταύτας διετρίβησαν, κἂν φωραθῶσιν ὑπό τινος πανουργοῦντες, ἐπ᾽ ἄλλους ἔχειν ἀγνῶτας ἑαυτῶν μεταβαίνειν, οἷς ἐκ τῆς πρώτης πείρας ὧν πράττοντες κακῶς ἐγνώσθησαν, ἀσφαλέστερον προσφέρονται, οὐ σμικρὰν ἔχει δύναμιν, οὐδ᾽ αὐτὸ πρὸς μηδέ ποτε παύεσθαι πανουργοῦντας. οἱ δ᾽ ἐν ταῖς σμικραῖς πόλεσιν, οὔθ᾽ ὑπὸ μεγέθους κερδῶν δελεαζόμενοι, καθάπερ οἱ τῆσδε, γινωσκόμενοί τε ῥᾳδίως ὑπὸ τῶν πολιτῶν, εἰ καὶ μικρὸν ἁμάρτοιεν, † ἀγύμναστον ἔχουσι τὴν θεωρίαν. ἐνταῦθοι δὲ καὶ τὸ μὴ γιγνώσκεσθαι πρὸς ἁπάντων ἃ πράττουσιν ἑκάστοτε πανουργοῦντες, αὐξάνει τὴν κακίαν τῆς φύσεως αὐτῶν. ἐπιτίθενται γὰρ τοῖς ἀγνοοῦσιν αὐτοὺς ἀπροοράτοις καὶ μάλισθ᾽ ὅταν ἀντιδακεῖν αὐτοὺς, οἱ δι᾽ ἁπλότητα γνώμης μὴ δύνωνται, καθάπερ αὐτοὶ δάκνουσιν ἀλλήλους ἐάν τι καὶ σμικρὸν ἀδικηθῶσιν. ὡς οὖν οἱ παρ᾽ ἡμῖν λῃσταὶ βοηθοῦσι μὲν ἀλλήλοις ἐπὶ τῇ τῶν ἄλλων ἀδικίᾳ, ἑαυτοῖς δὲ φείδονται, κατὰ τὸν αὐτὸν δὴ τρόπον οἱ τῇδε καθ᾽ ἡμῶν ποιοῦντες τὰς συνωμοσίας, μόνῳ τούτῳ διαφέροντες τῶν λῃστῶν τῷ κατὰ τὴν πόλιν, οὐκ ἐν τοῖς ὄρεσι κακουργεῖν. ἀλλὰ τό γέ μοι προκείμενον ἔφην ἀκήκοας ἤδη πολλάκις, ὡς ἐπειδὰν ἡ κατὰ τὴν πατρίδα μου στάσις παύσηται, παραχρῆμα θεάσῃ με τῆς πόλεως τῆσδε χωριζόμενον, καὶ ὀλιγοχρόνιον ἔτι ποιήσω τὴν ἐνταῦθα διατριβὴν, ὥστε θᾶττον ἀπαλλαγῆναι τῆς πανουργίας τῶν μοχθηρῶν τούτων ἀνθρώπων. ἀλλ᾽ οὔτε γινώσκουσιν ὁ Εὔδημος ἔφη δεδογμένον σοι τοῦτο, καὶ εἰ γνῶσιν ὥσπερ αὐτοὶ ψεύδονται πάντες, σε νομιοῦσιν ὁμοίως αὐτοῖς ψεύδεσθαι, καὶ ὥσπερ αὐτοὶ τῶν ἀπόρων τε καὶ ἀπαιδεύτων ὄντες, ἐν ταῖς πατρίσιν οὐ δύνανται διαμένειν, διὰ τὸ γινώσκεσθαι τἄλλα ὅσα προείρηκα πανουργοῦντες μαθεῖν, εἰς τήνδε τὴν πόλιν ἥκουσιν. οὕτω καὶ τοὺς ἄλλους οἴονται παραγεγονότας εἰς αὐτήν. καὶ οὐκ ἂν ἐθελῆσαι πρὶν ἀθροῖσαι πολὺ ἀργύριον ἀπαλλαγῆναι, κἂν ἀκούσωσιν ὑπὸ τῶν πολιτῶν σου τὸ γένος καὶ τὴν κτῆσιν, ὡς οὐκ ἐκ τῶν ἀπόρων εἴης, κατεσκευάσθαι πάντως ὑπὸ σοῦ φήσουσιν ἕνεκα τῆς τῶν ἀκουσόντων ἀπάτης. ἃ γὰρ αὐτοὶ πεπράχοιεν, περὶ πάντων ὑπονοοῦσιν. εἰπόντος οὖν Εὐδήμου ταῦτα καὶ τοιαῦθ᾽ ἕτερα, καὶ προσθέντος ὡς εἰ μὴ ταῖς πανουργίαις ἡμᾶς βλάψαι δυνηθεῖεν, ἐπὶ τὴν διὰ τῶν φαρμάκων ἐπιβουλὴν ἔρχονται. καὶ φαίνεταί γε ἐν τῇ διηγήσει νεανίσκον τινὰ πρὸ ἐτῶν ὡς δέκα παραγενόμενον εἰς τὴν πόλιν, ἐπιδεικνύντα τε δι᾽ ἔργων ὁμοίως ἐμοὶ τὴν ἐν τῇ τέχνῃ παρασκευὴν, ὑπὸ φαρμάκων ἀναιρεθῆναι μετ᾽ ὧν

† ἐπῆλθον

† γυμνὴν

ἠκε

ἧκε δυοῖν ἱκετῶν. χαίρειν ἔφη γίνωσκω σοι φίλτατε διδάσκαλε, ταῦτά μοι διηγησαμένῳ τὰ τῆς πονηρίας αὐτῶν. ἐγὼ γὰρ ἀσφαλῶς ἐμαυτὸν φυλάξω, χωρήσας αὐτοῖς ὁμόσε, καταφορόν τε τὴν ἀμαθίαν αὐτῶν ἐργασάμενος, ἀπαλλάξομαι τῆς μεγάλης τῆσδε καὶ πολυανθρώπου πόλεως, εἰς τὴν ὀλιγάνθρωπόν τε καὶ σμικρὰν, ἐν ᾗ πάντες ἴσμεν ἀλλήλους ἐκ τίνων τε γεγόναμεν, ὅπως τε παιδείας ἔχομεν, καὶ κτήσεως καὶ τρόπου, καὶ βίου. παπόμενος ὧν ἕνεκα τὴν ἀμαθίαν αὐτῶν, καὶ τὴν πονηρίαν αὐτῶν ἐλέγχειν οὐκ ἐφρόντιζα, ἀλλὰ τόν τε προειρημένον νεανίσκον, ᾧ παραγινόμενος εὐθέως ἐπὶ τὴν πρώτην ἡμέραν ἔφην εἰσβολὴν παροξυσμοῦ τεταρταίου πυρετοῦ γεγονέναι παραλαβὼν, ἐθεράπευσα, τὴν προθεσμίαν τῆς λύσεως τοῦ νοσήματος ὡς ἐπ᾽ Εὐδήμου προειπὼν, ὑπὸ σοῦ τε παρακληθεὶς, ἄνθρωπόν τινα Χαριλάμπους τοῦ κοιτωνίτου μὲν ὡς ἅπαντες οἱ νῦν Ἕλληνες ὀνομάζουσι, σωματοφύλακος δὲ ὡς οἱ περιέργως ἀττικίζοντες, νευρότρωτον γενόμενον, ἐθεράπευσα, μηδενὸς τῶν κατὰ τὴν αὐλὴν ἰατρῶν δυναμένου τοῦτο ποιῆσαι. καὶ μετ᾽ αὐτὸν ἐν τῷ σανδαλαρείῳ ῥήτορος Διομήδους, οὗ μηδ᾽ αὐτοῦ τῶν ἐκ τῆς αὐλῆς οἱ δοκιμώτατοι τὴν διάθεσιν τοῦ νοσήματος ηὕρισκον, ἀλλὰ διὰ τῶν ἐναντίων ἢ προσῆκεν ἐποιοῦντο τὴν θεραπείαν, ἡμέραις ὀλίγαις προνοησάμενος, ἰασάμην τελέως χρόνιον τὸ νόσημα, καὶ τοῦ θέρους αὐτὸς, ὑπὸ τῶν πρωτευόντων ἐν τῇ Ῥώμῃ προῤῥήσεις τε καὶ θεραπείας ἐποιησάμην, ἀξίας ἐπαίνου μεγάλου, καὶ ἐν πολλῇ δόξῃ παρὰ πᾶσιν ἦν ὡς οἶσθα, καὶ μέγα ἦν τοὔνομα Γαληνοῦ, συνηυξάνετό τε τῇ δόξῃ φθόνος ἐκ τῶν οἰομένων εἶναί τι καὶ αὐτῶν, ὡς ἂν ἐν παντὶ μέρει τῆς τέχνης ὑπ᾽ ἐμοῦ νικωμένων, ἐλεγόν τε περιθέοντες τὴν πόλιν, ἄλλος ἄλλό τι διαβάλλων, ὁ μὲν ὡς κατὰ τύχην ἰασάμην τόν δέ τινα, ῥιψοκινδύνῳ τρόπῳ θεραπείας χρησάμενος, ὁ δ᾽ ὡς ἐκ μαντικῆς αἱ προῤῥήσεις, καὶ οὐκ ἐκ θεωρίας ἰατρικῆς γίγνοιντο. προσεγένετο δὲ καὶ τὸ κατὰ τὴν ζήτησιν, ἣν πρὸς τοὺς στωϊκούς τε καὶ περιπατητικοὺς ἐποιησάμην, ἀθροίσαντος αὐτοῦ τοῦ Βοηθοῦ, καὶ μετὰ ταῦτα τῆς Ἰοσοῦ γυναικὸς, ἧς συντηκομένης αὐτῆς τοῦ φαίνεσθαί τι μόριον, πεπονθέναι δ᾽ ἐξεῦρον οὐ μόνον ἐρῶσαν ἀλλὰ καὶ τίνος ἤρα, καὶ μικρὸν ὕστερον ὅθεν εὗρον τοῦτο λεχθήσεται. τὸν δὲ ἐπὶ τὸν πρὸς τοὺς στωϊκούς τε καὶ περιπατητικοὺς ἀγῶνα, παρόντων καὶ ἄλλων τινῶν ἅμα αὐτοῖς ἰατρῶν τε καὶ φιλοσόφων ἀναμνήσω σε πρῶτον ὅθεν ἤρξατο διελθὼν, ἵν᾽ εἰ καί τινων τῶν ἀξίων κοινωνίας πιστῶν λόγων ἐθελήσαις μεταδοῦναι τουτὶ τὸ γράμμα, τὴν ἀκολουθίαν ἅπασαν ἴδοι τῶν γενομένων, καὶ μὴ διὰ παντὸς ἀσχολίαν ἔχοις αὐτὸς διηγούμενος, ὅσα διά τε τῶν ἔργων τῆς ἰατρικῆς τέχνης ἀνατομῶν τε καὶ τῶν ἐπ᾽ αὐταῖς λόγων ἐπράχθη μοι τοὺς φθονεροὺς, ἰατρούς τε καὶ φιλοσόφους ἐλέγχοντι. προπηλακιζόμενος γὰρ ὑπ᾽ αὐτῶν, ἐπὶ τοῦτ᾽ ἦλθον, Ὁμήρου με παιδεύσαντος ἄνδρ᾽ ἐπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ. τοιαύτην οὖν ἀρχὴν ἔσχον ἡ πρὸς αὐτοὺς συνουσία. Φλάβιος Βοηθὸς ὑπατικὸς ἀνὴρ, ὅπως μὲν ἦν φιλόκαλός τε καὶ φιλομαθὴς, οἶσθα καὶ σύ. διδασκάλῳ δ᾽ ἐχρῆτο τῶν περιπατητικῶν δογμάτων Ἀλεξάνδρῳ τῷ Δαμασκηνῷ, γινώσκοντι μὲν καὶ τὰ τοῦ Πλάτωνος, ἀλλὰ τοῖς Ἀριστοτέλους προσκειμένῳ μᾶλλον. ὁπότ᾽ οὖν παρεκάλεσέ με δεῖξαι διὰ τῶν ἀνατομῶν, ὅπως ἀναπνοή τε καὶ φωνὴ γίνεται, παρεσκεύασεν ἐρίφους τε καὶ χοίρους πλείονας. πιθήκων γὰρ οὐδὲν ἔφην δεῖσθαι τὴν ἀνατομὴν, ὁμοίως τε τὴν κατασκευὴν ἐχόντων οὐ μόνον τούτων τῶν ζώων, ἀλλὰ καὶ τῶν πεζῶν σχεδὸν ἁπάντων, ὅσα δὲ φωνὴν ἔχει μεγάλην, ἐπιτηδειότερα τῶν μικροφώνων εἶναι παρέχειν ἀποδεικτικὰ λήμματα, πρὸς τὴν τοῦ προκειμένου πίστιν. παρῆσαν δ᾽ ἐν τῇ μελλούσῃ γενήσεσθαι δείξει καὶ ἄλλοι μέν τινες. ἀτὰρ οὖν καὶ Ἀδριανὸς ὁ ῥήτωρ, οὔπω σοφιστεύων, ἀλλ᾽ ἔτι συνὼν τῷ Βοηθῷ, καὶ Δημήτριος Ἀλεξανδρεὺς ἑταῖρος Φαβωρίνου, δημοσίᾳ λέγων ἑκάστης ἡμέρας εἰς τὰ προβαλλόμενα κατὰ τὴν ἰδέαν τῆς Φαβωρίνου λέξεως. ἐμοῦ δὲ πρὶν ἀνατέμνειν εἰπόντος, ὡς αὐτὸς μὲν δείξαιμι τὰ ἐκ τῆς ἀνατομῆς φαινόμενα, συλλογίσασθαι δὲ τὰ ἐξ αὐτοῦ περαινόμενα, οὐκ ἐμοῦ μόνον, ἀλλὰ καὶ τῶν ἁπάντων μᾶλλον ἐλπίζοιμι δύνασθαι τὸν διδάσκαλον Ἀλέξανδρον. οἱ μὲν ἄλλοι πάντες ὡς ἐπιεικῆ τὸν λόγον ἀπεδέξαντο, τιμὴν εἰς τὸν Ἀλέξανδρον ἔχοντες, καὶ ἅμα προτροπὴν εἰς τὴν ὅλην οὐσίαν αὐτοῦ φιλονεικίας γενέσθαι. γινώσκεις γὰρ ὡς ἐπὶ τούτῳ τῷ πάθει πρὸς ἁπάντων καὶ Ἀλέξανδρος ἐγινώσκετο, καθάπερ καὶ τότε σαφῶς ἐδήλωσε. δείξειν γὰρ ὑποσχομένου νεύρων λεπτοτάτων, ὡς εἶεν τριχοειδῆ συζυγίαν τινὰ τοῖς τοῦ φάρυγγος μυσὶν ἐκφυομένην, τοῖς μὲν ἐκ τῶν ἀριστερῶν μερῶν, τοῖς δὲ ἐκ τῶν δεξιῶν. ἐφ᾽ οἷς βρόχῳ διαληφθεῖσιν ἢ τμηθεῖσιν, ἄφωνον γίνεται τὸ ζῶον, οὔτ᾽ εἰς τὴν ζωὴν τι βλαπτόμενον, οὔτ᾽ εἰς τὴν ἐνέργειαν, ὁ Ἀλέξανδρος ὑπολαβὼν πρὶν δειχθῆναι, τοῦτο πρῶτον ἔφης ἄν σοι συγχωρηθῇ, τοῖς διὰ τῶν αἰσθήσεων φαινομένοις πιστεύειν ἡμᾶς δεῖν. ἀκούσας δ᾽ ἐγὼ ταῦτα, καταλιπὼν αὐτοὺς ἐχωρίσθην, ἓν μόνον φθεγξάμενος ὡς ἐσφάλην οἰόμενος, οὐκ εἰς τοὺς ἀγροικοπυῤῥωνίους ἥκειν, ἢ οὐκ ἂν ἀφικνεῖσθαι. ἐμοῦ δὲ χωρισθέντος, οἵ τ᾽ ἄλλοι τοῦ Ἀλεξάνδρου κατέγνωσαν, ὅ, τ᾽ Ἀδριανὸς καὶ ὁ Δημήτριος, ἐχθρῶς ἀεὶ διακείμενοι πρὸς τὴν φιλονεικίαν αὐτοῦ, πιθανὴν ἀφορμὴν ἔχον ἐπιτιμῆσαι σφοδρῶς. ἐπεὶ δὲ καὶ τοῖς φιλολόγοις ἅπασιν, ὅσοι κατὰ τὴν τῶν Ῥωμαίων πόλιν ἦσαν ἐγνώσθη τοῦτο, καὶ τῷ Σεβήρῳ, καὶ τῷ Παύλῳ, καὶ τῷ Βαρβάρῳ. πάντες οὖν σφοδρῶς ἐπετίμησαν αὐτῷ, καὶ παρόντων αὐτῶν, ἠξίωσαν γενέσθαι τὰς ἀνατομὰς, ἀθροίσαντες εἰς αὐτὸ τοὺς ἄλλους ἅπαντας, ὅσοι κατὰ τὴν ἰατρικήν τε καὶ φιλοσοφίαν ἦσαν ἔνδοξοι. γινομένης δὲ πλείοσιν ἡμέραις τῆς συνουσίας, καὶ δείξαντος ἐμοῦ τὴν μὲν εἰσπνοὴν γίνεσθαι διαστελλομένου τοῦ θώρακος, τὴν δ᾽ ἐκπνοὴν συστελλομένου, δείξαντος δὲ καὶ τοὺς μῦς ὑφ᾽ ὧν τε διαστέλλονται, καὶ πρὸς τούτοις γε τὰ εἰς αὐτοὺς κατηγμένα νεῦρα τὴν ἔκφυσιν ἐκ τοῦ νωτιαίου μυελοῦ ποιούμενα, καὶ ὡς μὲν ἀβίαστος ἔξω φορὰ τοῦ πνεύματος, ἐκπνοὴν ἄψοφον ἐργάζοιτο, βιαίαν δ᾽ εἶναι τὴν ἑτέραν αὐτῆς γινομένην μετὰ ψόφου ἣν ἐκφύσησιν ὀνομάζομεν. ἐπιδείξαντος δὲ καὶ ὡς ἡ τοιαύτη μόνη κατὰ τὴν διὰ τοῦ φάρυγγος ἔξοδον ὑπὸ τῶν κατὰ τὸν χόνδρον πληττομένη, τὴν φωνὴν ἐργάζοιτο, καὶ ὡς ὑπὸ μυῶν οὗτοι κινοῖντο, καὶ ὡς τὰ νεῦρα τὰ τούτους κινοῦντα κακωθέντα, τὴν ἀφωνίαν ἐργάζοιτο, καὶ τῶν παραφθεγξαμένων ὁπότε ἐδείκνυον ταῦτα πάντων ἐλεγχθέντων, ὁ Βοηθὸς ἐδεήθη μου σχεῖν αὐτῶν ὑπομνήματα. καὶ πέμψαντός γε αὐτοῦ τοὺς διὰ σημείων ἠσκημένους, ἐν τάχει γράφειν ὑπηγόρευσα πάντα τά τε δειχθέντα καὶ λεχθέντα, μὴ προορώμενος ὃ μέλλει δώσειν αὐτὰ πολλοῖς. καὶ μέχρι γε νῦν ὦ Ἐπίγενες οὐδὲν ἐτόλμησέ τις ἀντειπεῖν

αὐτοῖς ἐτῶν ἐν τῷ μεταξὺ γεγονότων ιε΄, καί τοι γε διαβαλλομένων γε πολλῶν αὐτὰ πρὶν, ὅπως ἀκουσθῶσιν αὐτὸ τοῦτο μόνον ὡς αὐτεἰρήκασιν, οὐ μὴν τολμώντων γε εἰς κρίσιν ἐπὶ φιλολόγων ἀνδρῶν ἀγαγεῖν τὰ γραφέντα. λοιπὸν οὖν ὅπερ ὑπεσχόμην ἐφεξῆς σοι διηγήσομαι, ἣν λέξιν καὶ προσθεῖναι δεῖ τῷ παρόντι λόγῳ, μάλιστ᾽ ἐπειδὴ καὶ τῶν σοφιστῶν ἰατρῶν ἔνιοι ἀγνοούμενοι τίνι λόγῳ τὸν ἔρωτα τῆς παλλακῆς τοῦ πατρὸς Ἐρασίστρατος ἐγνώρισε, ἔγραψαν τῶν ἀρτηριῶν τοὺς σφυγμοὺς τοῦ νεανίσκου σφύζοντας ἐρωτικῶς ἐξευρεῖν αὐτὸν, οὐκέθ᾽ ὑπομείναντες εἰπεῖν ἐκ τῶν σφυγμῶν εὑρεθῆναι. ἐγὼ δ᾽ ὅπως μὲν Ἐρασίστρατος ἔγνω, τοῦτο λέγειν οὐκ ἔχω. ὅπως δὲ αὐτὸς ἔγνων, ἤδη σοι φράσω. παρεκλήθημεν εἰς τὴν ἐπίσκεψιν τινὸς γυναικὸς ὡς ἀγρυπνούσης ἐν ταῖς νυξὶ, καὶ μεταβαλλούσης ἑαυτὴν ἄλλοτε εἰς ἄλλο σχῆμα κατακλίσεως, εὗρον δ᾽ ἀπύρετον, ἐπυθόμην ὑπὲρ ἑκάστου τῶν κατὰ μέρος αὐτῇ γεγονότων, ἐξ ὧν ἴσμεν ἀγρυπνίας συμβαινούσας. ἡ δὲ μόγις ἢ οὐδ᾽ ὅλως ἀπεκρίνετο, ὡς μάτην ἐρωτωμένη ἐνδεικνυμένη. καὶ τὸ τελευταῖον ἀποστραφεῖσα, τοῖς μὲν ἐπιβεβλημένοις ἱματίοις ὅλῳ τῷ σώματι σκεπάσασα πᾶσαν ἑαυτὴν, ἄλλῳ δέ τινι μικρῷ ταραντινιδίῳ τὴν κεφαλὴν, ἔκειτο καθάπερ οἱ χρῄζοντες ὕπνου. χωρισθεὶς οὖν ἐγὼ, δυοῖν θάτερον αὐτὴν ἐνόησα πάσχειν, ἢ μελαγχολικῶς δυσθυμεῖν, ἤ τι λυπουμένην, οὐκ ἐθέλειν ὁμολογεῖν. εἰς τὴν ὑστεραίαν οὖν ἀνεβαλλόμην ἀκριβέστερον διασκέψασθαι περὶ αὐτῶν, καὶ πορευθεὶς τὸ μὲν πρότερον ἤκουσα τῆς παραμενούσης οἰκέτιδος, ὡς ἀδύνατον αὐτὴν ἄρτι θεάσασθαι. δεύτερον δ᾽ ἐπανελθὼν, ὡς ἤκουσα πάλιν ταὐτὸ, τρίτον πάλιν ἧκον. εἰπούσης δέ μου τῆς θεραπαίνης ἀπαλλάττεσθαι, μὴ βούλεσθαι γὰρ ἐνοχλεῖσθαι τὴν γυναῖκα, καὶ γνοὺς αὐτὴν ἐμοῦ χωρισθέντος λελουμένην τε καὶ τὰ συνήθως προσενηνεγμένην, ἧκον τῇ ὑστεραίᾳ, καὶ μόνος διαλεχθεὶς τῇ θεραπαίνῃ πολυειδῶς, ἔγνω σαφῶς τινὶ λύπῃ τειρομένην, ἣν ἐξεῦρον κατὰ τύχην, ὁποίαν οἶμαι καὶ Ἐρασιστράτῳ γενέσθαι. προεγνωσμένου γάρ μοι τοῦ μηδὲν εἶναι κατὰ τὸ σῶμα πάθος, ἀλλὰ ἀπὸ ψυχικῆς τινὸς ἀηδίας ἐνοχλεῖσθαι τὴν γυναῖκα, συνέβη κατὰ τὸν αὐτὸν καιρὸν ὃν ἐσκόπουν αὐτὴν βεβαιωθῆναι τοῦτο. παραγενομένου τινὸς ἐκ τοῦ θεάτρου, καὶ φάντος ὀρχούμενον ἑωρακέναι Πυλάδην, ἤλλαξε γὰρ αὐτῆς καὶ τὸ βλέμμα, καὶ τὸ χρῶμα τοῦ προσώπου, κἀγὼ θεασάμενος τοῦτο τῷ καρπῷ τῆς γυναικὸς, ἐπιβαλὼν τὴν χεῖρα τὸν σφυγμὸν εὗρον ἀνώμαλον ἐξαίφνης πολυειδῶς γενόμενον, ὅς τις δηλοῖ τὴν ψυχὴν τεθορυβῆσθαι. ὁ αὐτὸς οὖν καὶ τοῖς ἀγωνιῶσι περί τι πρᾶγμα συμβαίνει. κατὰ τὴν ὑστεραίαν οὖν εἰπὼν ἀκολούθῳ τινὶ τῶν ἐμῶν, ὅταν ἐπισκεψάμενος ἔλθω πρὸς τὴν γυναῖκα, μετ᾽ ὀλίγον ἀφικόμενον ἀναγγέλλειν μοι, Μόρφον ὀρχεῖσθαι σήμερον, εἶθ᾽ ὡς ἤγγειλεν, ἄτρεπτον εὗρον τὸν σφυγμόν. ὁμοίως δὲ καὶ κατὰ τὴν ἑξῆς ἡμέραν ποιήσας ἀγγελθῆναι περὶ τοῦ τρίτου τῶν ὀρχηστῶν, ὁμοίως μένοντος ἀτρέπτου τοῦ σφυγμοῦ. κατὰ τὴν τετάρτην ἀκριβῶς ἄνω νύκτα πάνυ παραφυλάξας, ἡνίκα Πυλάδης ὀρχούμενος, ἠγγέλθη ταραχθέντα πολυειδῶς αὐτὸν ὁρῶντα, εὗρον οὕτως ἐρῶσαν τοῦ Πυλάδου τὴν γυναῖκα, καὶ τοῦτο παραφυλαχθὲν ἀκριβῶς ἐν ταῖς ἐφεξῆς ἡμέραις, εὑρέθη βεβαίως. καθάπερ γε καί τινος ἄλλου τῶν πλουσίων δοῦλος οἰκονόμος ὁμοίως κάμνων ἐγνώσθη μοι. λυπούμενος γὰρ ἐν τῷ μέλλειν ἀποδιδόναι λογισμοὺς ὧν διῴκησεν, ἐν οἷς ἠπίστατο λεῖπον οὐκ ὀλίγον ἀργύριον ὑπὸ τῆς φροντίδος, ἠγρύπνει τε καὶ λυπούμενος ἐτήκετο. προειπὼν δὲ αὐτοῦ τῷ δεσπότῃ μηδὲν εἶναι σωματικὸν πάθημα τῷ πρεσβύτῃ, σκέψασθαι συνεβουλευσάμην, ὅτι φοβοῖτο μέλλοντος αὐτοῦ τοὺς λόγους ὧν ἐνεχειρίσθη ἀπαιτεῖν, καὶ διὰ τοῦτο λυποῖτο. γινώσκων οὐκ ὀλίγον ἐν αὐτοῖς εὑρήσεσθαι λοιπόν. ἐπειδὴ καλῶς ἔφη με στοχάζεσθαι, τοῦτο συνεβούλευσα βεβαίας ἕνεκεν διαγνώσεως εἰπεῖν αὐτῷ ὅσον ἔχει παρακείμενον ἀργύριον αἰτῆσαι τοῦτο, μήπως ἐξαιφνιδίου τελευτήσαντος ἀπόληται, μεταστάσης εἰς ἄλλον οἰκέτην τῆς διοικήσεως, οὗ μήπω πεῖραν ἔχει. παρὰ γὰρ ἐκείνου μὴ χρῄζειν ἀπαιτήσεως λογισμῶν. ὡς δὲ ὁ δεσπότης αὐτῷ ταῦτα διελέχθη, πεισθεὶς οὐκ ἐξετασθήσεσθαι, καὶ διὰ τοῦτο γινόμενος ἄλυπος, ἐν τῇ τρίτῃ τῶν ἡμερῶν τὴν κατὰ φύσιν ἕξιν τοῦ σώματος ἀνεκτήσατο. τί δή ποτ᾽ οὖν ἐλάνθανε τοὺς ἔμπροσθεν ἰατροὺς, τήν τε προειρημένην γυναῖκα, καὶ τὸν προειρημένον οἰκέτην ἐπισκοπουμένους. ἐκ γὰρ κοινῶν ἐπιλογισμῶν εὑρίσκεται τὰ τοιαῦτα, κἂν βραχεῖαν ἐπιστήμην ἔχει τῆς ἰατρικῆς θεωρίας. ἐγὼ μὲν ἡγοῦμαι διότι μηδεμίαν ἔχουσι διάγνωσιν, ὧν τὸ σῶμα διὰ τῆς ψυχῆς πάθη πάσχειν εἴωθε. ἴσως δὲ ὅτι οὐδὲ διὰ τοὺς ἀγῶνας καὶ τοὺς φόβους ἐξαίφνης τὴν ψυχὴν ταράξαντας, οἱ σφυγμοὶ τρέπονται γινώσκουσιν, ὅπερ Ἐρασίστρατος ἐπιστάμενος ἐπὶ τῆς αὐτῆς οἰκίας περὶ νοσοῦντι τῆς γυναικὸς ὑπαρχούσης, εὐκολώτερον ἐξεῦρεν, ὡς ἂν δυναμένου αὐτοῦ συνεχέστερον ὁρᾶσθαι τὸν νεανίσκον, μὴ διὰ πλειόνων ἡμερῶν καθάπερ ὁ Πυλάδης. οὐδ᾽ οὖν οὐδὲ τότε φαινομένου, ἀλλ᾽ ἀκουομένου, ἐκταράττειν τὴν γυναῖκα. λῆρος οὖν μακρὸς ἐρωτικῶς κινούμενοι σφυγμοὶ, τῶν οὐ γινωσκόντων ἔρωτος μὲν οὐδένα δηλωτικὸν σφυγμὸν εἶναι. θορυβουμένης δὲ ψυχῆς τοὺς σφυγμοὺς ἀλλοιοῦσθαι, μήτε τὴν κατὰ φύσιν ὁμαλότητα, μήτε τὴν τάξιν ἀποσῴζοντας. ἐν οὖν ἔτι προσθεὶς, ἐφ᾽ οὗ παραχρῆμα μὲν ἐξεπλάγη Βοηθὸς, ἀκούσας δ᾽ ὅπως εὑρέθη, θαυμάζειν οὐκέτι ἔφασκεν, ἀλλὰ τῶν ἀγνοούντων τὸ θεώρημα καταγινώσκειν ὡς ἀμαθῶν, ἐπ᾽ ἄλλο τι μεταβήσομαι. νοσήσαντος γὰρ αὐτοῦ θατέρου τῶν υἱῶν, εἶτα ῥωσθέντος, ὑποστρέψαντός τε τοῦ νοσήματος, εἶτ᾽ αὖθις παυσαμένου, καὶ μετὰ ταῦτα πάλιν ἐπιπυρέξαντος τοῦ παιδὸς, ἐμοῦ τε λέγοντος ἐσθίειν αὐτὸν λάθρα. τὰ γὰρ ἐν τῷ φανερῷ διδόμενα, πρὸς τῷ ταῖς ποιότησιν ὑπάρχειν ἐπιτήδεια, καὶ τῇ ποσότητι σύμμετρα εἶναι, τὴν μητέρα τοῦ παιδὸς ὑπισχομένην ἀκριβῶς αὐτὸν φυλάξαι ἐπίστευσε φύλακα, παρακαθημένην τε δι᾽ ὅλης τῆς ἡμέρας, ἀποκωλῦσαί τε τοὺς εἰς τὸν οἶκον ἐκεῖνον εἰσιόντας, κατὰ τὸν οἶκον αὐτοῦ κοιμωμένου, ἀποκεκλεισμένον ἔνδοθεν ἀκριβῶς ἀπ᾽ αὐτῆς. ἐπεὶ δὲ τέτρασιν ἡμέραις οὕτω φυλαττόμενος, ἐθερμάνθη διὰ τῆς νυκτὸς, ὁ Βοηθὸς ἀναρτήσας με καὶ παραλαβὼν, ἦγεν εἰς τὴν οἰκίαν ἐπὶ τὸν παῖδα, συνηκολούθησαν δ᾽ αὐτῷ καὶ οἱ κατὰ τὴν ὁδὸν ἀπαντῶντες, ἐν οἷς ἦσθα καὶ σύ. κατέλαβον δὲ ἐκ μὲν τοῦ κοιτῶνος ἅμα τῇ μητρὶ προεληλυθότα τὸν παῖδα πρὸς ἕτερον οἴκημα, ἐν ᾧ καὶ κλίνη, καθ᾽ ἧς ἡ μήτηρ τοῦ παιδὸς ἐκαθέζετο. σκίμπους δέ τις ἔζευκτο μικρὸν τῶν μέσων αὐτοῦ κατωτέρω, καθ᾽ οὗ τὸν παῖδα κατακλίνασα, παρεφύλαττεν ὡς μηδεὶς αὐτῷ προσέρχοιτο. καθέδρα δὲ ἦν μία τοῦ σκίμποδος, οἷα σύμμετρον ἐφ᾽ ἑαυτῇ ἐπ᾽ αὐχένι ἔχουσι. καταντικρὺ δὲ τοῦ σκίμποδος πρὸς τοῖς ἄνω πέρασι τῆς κλίνης ἐφεξῆς ἀλλήλων ἔκειντο δύο βάθραι, καθ᾽ ὧν ὁ Βοηθὸς ἡμᾶς καθίσας, αὐτὸς τῇ γυναικὶ παρακαθε-

σθείς,

θεὶς ἤγαγον Γαληνὸν ἔφη ὅπερ ὁ πᾶς ἀκούσει παρὰ σοῦ περὶ τῆς ἀκριβοῦς φυλακῆς ἐν ταύταις ταῖς ἡμέραις γε-
γενημένης τοῦ παιδίου ὡς οὐδὲν ἐν τῇ διαίτῃ πλημμελοῖτο. θεασάμενός τε πρότερον ὄντα ἐπύρεξε διά τινος ἢ
σὺ φάσκουσά μοι θερμότερον αὐτὸν γεγονέναι παρελογίσθης ὑπὸ δειλίας ὡς οἰηθῆναι πυρετὸν εἶναι τὴν θερμότητα,
δι' ἄλλην ἴσως αἰτίαν γενομένην. ὅπως δ' ἄγει σαφῶς ἡμῖν δηλώσειεν. ἅμα δὲ καὶ τὰ περὶ διαίτης αὐτῷ πάντα
σε διδάξειν. ἁψάμενος οὖν ἐγὼ περὶ τὸν καρπὸν ἀρτηρίας τοῦ παιδὸς ἀπύρετον μὲν αὐτὸν ἔφην εἶναι, παρέχειν δὲ
μοι σκωμμάτων ἀρχὴν τοῖς ὀνομάζουσί με μάντιν. ὑπολαβὼν οὖν ὁ Βοηθὸς ἔφη. κἀγὼ πρὸς ἐκείνους ὡς οἶδα καὶ ἐν
εἴωθά σε μάντιν ὄντα, ὅταν τοιοῦτον εἴπῃς, ὁποῖον οἱ ἀντίτεχνοί σου φάσκουσιν ἀδύνατον εἶναι διὰ τῶν τῆς ἰατρικῆς
θεωρημάτων γνωσθῆναι. ἀλλά τοι μέχρι δεῦρο πάντα ἔφην ἔδειξάς μοι τὰ τοιαῦτα διὰ θεωρίας ἰατρικῆς εὑρισκό-
μενα. καί τινας τε τῶν ἰατρῶν αὐτὰ γεγραφότων. λέγειν οὖν † πάντες ἤδη τὸ μάντευμα. κἀγὼ δεηθεὶς ἅπαξ ἔτι
συγχωρήσειν μοι τῶν σφυγμῶν ἅψασθαι τοῦ παιδός. ἐπειδὴ τοῦτ' ἔπραξα, μαρτυρήσεις ἔφην ὦ Βοηθὲ μηδένα μοι
παραγινομένῳ μετά σου διαλεγομένων ἡμῶν δι' ὅλης τῆς ὁδοῦ προσεληλυθότα τὸ μέλλον λέγεσθαι μάντευμα, με-
μηνυκέναι. φάντος οὖν αὐτοῦ μαρτυρήσειν, οἶσθα ὅπως γελάσας ἐγὼ προσέχειν τε καὶ ἀκούειν ὑμᾶς ἐκέλευσα
τὸ τοῦ μάντεως θέσπισμα ποῖόν δέ τι φήσας εἶναι. τῷ κυείλλῳ πύτῳ κατὰ τὸν οἶκον ὅπερ ἀποκέκρυπταί τι
τῶν ἐδωδίμων, ὅπως ὅταν εἰς τὸ βαλανεῖον ἡ μήτηρ αὐτοῦ πορευομένη κλείσῃ τὸν οἶκον, εἶτα ὑπὲρ ἀσφαλείας
εἰς γλωττόκομον ἐμβάλλουσα τὴν κλεῖν κατασημαίνηται, ὅπερ γ' ἀκούω ποιεῖν αὐτὴν ἑκάστοτε. κατακεκρυμμέ-
νον ἀνελόμενος ὁ υἱὸς αὐτῆς οὕτως προσενέγκηται. ταῦτ' ἀκούσας Βοηθὸς, εὐθέως ὁρμήσας πρὸς τὸν παῖδα
συναρπάζει τε, καὶ μετακομίσας ἐπὶ τὴν κλίνην ἀνασορευθῆναι τὸν σκίμποδα κελεύσας, ἐπειρᾶτο κατακε-
κρυμμένον ὡς αὐτίκα φανησόμενον. ἐπειδὴ τά τε † περιβλαστήματα πάντα καὶ τὸ ὑπεστορεσμένον αὐτοῖς ἀνετι-
νάχθη, τὸ γνάφαλον ἐξῆς ἀνετίναξεν, εἶτα τὴν καθέδραν ἐπάρας, ἐπεσκοπεῖτο μή τι κατακεκρυμμένον ὑπ'
αὐτῇ φανείη. ὡς δ' οὐδ' ἐν οὐδ' οὕτως ἐφάνη, μετακομίσας ἀπὸ τῆς κλίνης τὸ παιδίον ἐπὶ τὴν σκίμποδα τὴν
κλίνην ὅλην ἀνασορεύσας, ἐκέλευσεν αὖθις στρώννυσθαι. γελάσας τε τί φησιν ὁ μάντις λέγει. θαυμάσας δ' ἐγὼ
διότι μηδὲν εὗρεν ἐφ' ὧν ᾤετο κατακεκρυμμένον, ὃ μόνον ἀζήτητον ὡς οὐδενὸς ὑποπτεύοντες ἐν αὐτῷ περιέχεσθαι τὸ
ζητούμενον ἐπάρας ἀνέσεισεν. ἦν δὲ ὅπερ παντελῶς σμικρὸν τῆς μητρὸς αὐτοῦ ταραντινίδος ἐπικείμενον τῇ
καθέδρᾳ. σεισθέντος δ' αὐτοῦ, μέρος ἄρτου τὸ περιεχόμενον ὑπ' αὐτοῦ κατὰ γῆς ἔπεσε. καὶ ὑμεῖς πάντες ἀνεκε-
κράγατε μέγιστον, ἅμα τῷ Βοηθῷ γελῶντες, καὶ τὴν μαντικὴν ἐπαινοῦντες. ὁ δ' οὖν Βοηθὸς ὑπὲρ πάντας γε-
λῶν ἐθαύμαζε. πῶς ὁ σφυγμὸς εἰ καὶ τὸ κατακεκρυμμένον ἐδώδιμον, ἱκανὸς ἐστι δηλοῦν. ἀλλὰ τό γε μέλλον ὑπὸ
τοῦ παιδὸς ἔσεσθαι λουομένης τῆς μητρὸς ἐμήνυσε. κἀγὼ πρὸς αὐτὸν ἔτι ἔφην. ὦ δριμύτατε, μὴ γινωσκόντων
ὅπερ τῶν σφυγμῶν, ὁ Γαληνὸς ἐτεκμήρατο. κλεισθείσης γὰρ ἀκριβῶς τῆς θύρας κατὰ πολλὴν σχολὴν τὴν ἐδω-
δὴν αὐτῷ τῷ παιδὶ γενέσθαι δυναμένην ἀδεῶς οὐ χαλεπὸν ἦν τεκμήρασθαι. ἀλλὰ καὶ ὅτι κατακέκρυπτα-
τι, καὶ τὸ κατακεκρυμμένον, ἐδώδιμον ἦν, ὁ μὲν σφυγμὸς οὐκ ἤγγειλέ μοι. τεταγμένον δ' αὐτὸν θεασάμε-
νος ἐννοήσας, καθάπερ ἐπὶ τῆς ἐρώσης γυναικὸς καὶ τοῦ φοβουμένου δῆλον τὴν ταραχὴν, ἐπὶ ψυχικῷ τινι πάθει
γενέσθαι, ἀπυρέτου τελέως γε ὄντος τοῦ παιδός. ἐρωτήσεις οὖν ἴσως ἐκ τίνος ἐτεκμηράμην ἐδώδιμον εἶναι τὸ κα-
τακεκρυμμένον, ἄκουε δὴ καὶ περὶ τούτου τὴν ταραχὴν τῆς ψυχῆς. οὔτε δίκην μέλλων ἐρεῖν ὁ παῖς. οὔτε πα-
λαίειν, ἢ παγκρατιάζειν, ἢ ὅλως ἐπιδείκνυσθαι πλεονέκτημά τι σωματικὸν ἢ ψυχικόν. οὐκ ὅλως ἐγκαλούμενος
τι διαμένουσιν ἔχειν. ἀκούσας οὖν ὁ Βοηθὸς ταῦτα, νὴ τοὺς θεοὺς ἔφη θαυμάζειν, εἰ οὕτως σύγνωστα φάρμακα τῶν
ἰατρῶν οὐδεὶς οἶδεν. εὔδηλον γὰρ ὅτι μήτ' αὐτοὶ τοιοῦτον ἔργον ἐπεδείξαντο πώποτε. καὶ σὲ πάντα μᾶλλον ἢ
ἐξ ἰατρικῆς αὐτὰ πράττειν φασίν. ἐοίκασι δ' ἔφη μὴ μόνον ἀγνοεῖν ὁποῖος ἐστι τῶν ἀγωνιώντων ὁ σφυγμός. ἀλ-
λὰ μηδ' εἴπερ ἔγνω τις αὐτῶν περὶ τύχην ἃ προσελογισω, προσεπιλογίζεσθαι δύνασθαι. διὰ τὸ μήτε φῦναι συ-
νετοὶ, μήτε μαθήσεσι γεγυμνάσθαι τὸν λογισμόν. ἀλλά γε τῆς κακοηθείας ἔφην ἔργα γεγυμνασμένοι τε εἰσὶ καὶ σο-
φοί. τούτων μὲν οὖν ὦ Ἐπίγενες, αὐτὸν ἔχω μάρτυρά σε. πολλῶν δ' ἄλλων ἑτέρους ἁπάντων τῶν πραχθέντων μοι
περὶ τὴν πρώτην ἐπιδημίαν. ἤκουες δ' αὐτὸ παρ' αὐτῶν τῶν ὑπ' ἐμοῦ θεραπευθέντων. ἓν οὖν ὄντως θαυμάσιον
πραχθὲν ὃ οὐ μόνον με παραδοξολόγον ὡς ἔμπροσθεν οἱ πολλοὶ τῶν ἰατρῶν ὠνόμαζον, ἀλλὰ καὶ παράδοξα ποιῶν
ἐποίησε κληθῆναι σιωπήσω. ἡ γὰρ τοῦ Βοηθοῦ γυνὴ τῷ καλουμένῳ ῥῷ γυναικείῳ περιπεσοῦσα κατ' ἀρχὰς μὲν
αἰδουμένη τοὺς ἀξιολόγους ἰατροὺς, ὧν εἷς ἤδη κἀγὼ πᾶσιν ἐδόκουν εἶναι, ταῖς συνήθεσι μαίαις ἀρίσταις οὔ-
σαις τῶν κατὰ τὴν πόλιν, ἑαυτὴν ἐπέτρεπεν. ὡς δ' οὐδὲν ὠφελεῖτο, πάντας ἡμᾶς ὁ Βοηθὸς ἀθροίσας ἐπε-
σκοπεῖτο τί χρὴ ποιεῖν. ὡς δὲ συνωμολογήθη κατὰ τὴν γεγραμμένην ὑφ' Ἱπποκράτους τε καὶ τῶν ἀρίστων μετ'
αὐτὸν ἰατρῶν θεραπείαν. ἅπαντα πράττειν ἀξιώσαντος αὐτοῦ, καὶ συνεχῶς ἐπιφαίνεσθαί με ταῖς ὑπηρετού-
σαις αὐτῇ γυναιξὶν ὁρᾶν τε τὰς ὕλας τῶν κατὰ μέρος βοηθημάτων. πρὸς τὸν καθόλου σκοπὸν ἀποβλέποντα
κεφάλαιον ἔχοντα, ξηραίνειν μὲν οὐ μόνον τὰς μήτρας τὰ χωρία, ἀλλὰ καὶ σύμπαν τὸ σῶμα. προσφέρειν τε
καὶ ἀλειμμάτων στυφόντων τοῖς γυναικείοις τόποις, ἐποίουν οὕτως. ἐπεὶ δὲ ταῦτα πραττόντων ἐφαίνετο χείρων
ἡ διάθεσις ἀποτελουμένη, κατὰ τὸ εἰκὸς ἀπορία πᾶσιν ἡμῖν ἐγίνετο, καὶ ζήτησιν ἑτέραν ἀγωγὴν θεραπείας
ἐφ' ἣν μεταβῶμεν, οὔτ' ἐκ λογισμοῦ τις ηὕρισκεν, οὔτ' ἐκ πείρας ἀνεμιμνήσκετο βέλτιον τῆς ὑπὸ τῶν ἀρίστων
ἰατρῶν ὁμολογουμένης. ἐν τούτῳ δὲ καὶ ὄγκος τις ὤφθη κατὰ τὴν γαστέρα, παραπλήσιος τῷ γινομένῳ ταῖς
κυούσαις. ὧν ἔνιαι τῶν θεραπευουσῶν αὐτὴν γυναικῶν ᾠήθησαν ὄντως ἐπικυήσει γενέσθαι οὐ μὴν τῶν γε ἄλ-
λων ἰατρῶν τις ἐπύθετο. τὰ γὰρ ἐκκρινόμενα γνωρίσματα ὄντα τοῦ ῥοῦ τοῦ γυναικείου, καθ' ἑκάστην ἡμέραν
ἀντιμαρτυρήσει τῇ δόξῃ ταύτῃ. τῆς φυλαττούσης οὖν αὐτὴν ἣν ἐπεπιστεύκειμεν ἀρίστην εἶναι, τά τ' ἄλλα πραττού-
σης ὡς ἐπὶ κυούσης, λουούσης τε καθ' ἑκάστην ἡμέραν, συνέβη περὶ τὸν πρῶτον οἶκον τοῦ βαλανείου, σφοδροτάτης
ὠδῖνος γενομένης, οἷαι ταῖς τικτούσαις εἰώθασι συμπίπτειν, ὑδατῶδες ὑγρὸν ἐκκενωθῆναι τοσοῦτον ὡς λειποθυ-
μήσασαν, ἐξενεχθῆναι τοῦ βαλανείου τὴν γυναῖκα. καλουσῶν δὲ καὶ κεκραγυιῶν τῶν ἀμφ' αὐτὴν, οὐδεμιᾶς δὲ,

† al. ἐκέλευέ μοι πάντ.

† al. ἐπιβεβλημένα

οὐ δὲ πόδας, οὐ δὲ χεῖρας, οὐ δὲ τὸ στόμα τῆς γαστρός, ὃ δὴ καὶ στόμαχον ὀνομάζουσι κατὰ τὸ σύνηθες, ἀνατριβούσης,
ἐγὼ κατὰ τύχην ἔσω πρὸ τῆς ἔξω θύρας τοῦ βαλανείου κραυγῆς ἀκούσας, εἰσεπήδησα καὶ θεασάμενος ἀπεψυγμένην
αὐτὴν εἰς χεῖρας λαβὼν, ναρδίνου μύρου τὸν στόμαχον ἀνατρίβειν ἐγκελευσάμενος ταῖς παρούσαις, μὴ μάτην ἑστά-
ναι κεκραγυίας. ἀλλὰ τὰς μὲν τοὺς πόδας ἐκθερμαίνειν, τὰς δὲ τὰς χεῖρας. ἐνίας δ' ὀσφραντὰ προσφέρειν τῇ
ῥινί. τότε μὲν ἀνεκτησάμεθα ταχέως αὐτήν. ᾐδεῖτο δὲ μεγάλως ἡ μαῖα, προστελείσης ἐπὶ τῇ κενώσει τῆς γα-
στρός, οὐχ οὕτως ἐπὶ τῷ σφαλῆναι ἐπὶ τῇ τοῦ τίκτειν δόξῃ. ἀλλ' ἐπὶ τὸ διατεταγμένον ἀπιστοῦσιν ἡμῖν ἀντι-
λέγειν, ὡς ἐπιστημονικῶς εἰδυῖα τὸ πρᾶγμα. ἀποροῦντος δ' ἑκάστου ὅτι δεῖ πράττειν, καὶ μὴ κατὰ τὸν αὐτὸν σκο-
πὸν τῷ πρόσθεν ἰᾶσθαι τὴν γυναῖκα, † κατατολμῶντες. ἐφ' ἕτερον μεταβῆναι, φροντίζοντι νύκτωρ ἐπῆλθε
τοιόνδε τι. λειποψυχίας αὐτῇ γεγενημένης ὡς ἔφην, ὁπότε καὶ τὰς γυναῖκας εἶπον οὐδὲν μὲν βοηθεῖν, ἑστά-
ναι δὲ κλαιούσας, ἐμαυτόν τε μύρον νάρδινον εἰς τὰς χεῖρας λαβόντα τὸ στόμα τῆς γαστρός, καὶ τὸ ὑποχόν-
δριον παρατρίβειν, ἀνεμνήσθην ὅτι τοσαύτην εὗρον ἐν τοῖς χωρίοις τούτοις μαλακότητα τῶν ὑποχονδρίων
μυδῶν, ὡς ἐμὲ γοῦν ἐν ἀρχῇ βιαιότερον, ἀνατρίβειν αὐτὰ διεγνωκότα, φοβηθέντα μὴ θλίψας τὴν σάρκα πελιδ-
νὸν ἐργάσωμαι τι μόριον, ἀποστῆναι τοῦ βιαίου. ὡς γὰρ ἄν τις ἀκριβῶς εἰκάσαι βουληθείη παραπλήσια γάλακτι
μὲν πηγνυμένῳ εἰς τυροῦ γένεσιν. οὐ μὴν ἤδη γε πεπηγότι, κατεφάνη μοι κατὰ τὸ ὑποχόνδριον ἅπαντα.
τοῦ μὲν οὖν ξηραίνειν τὴν ἄμετρον ὑγρότητα τοῦ πάθους ὑδατώδους ὄντος τυροῦ, πάντες ἔχεσθαι διεγνώκειμεν.
ἐξευρεῖν δὲ τρόπον ἰάσεως οὐ διὰ ξηραινούσης ὕλης μόνον, ἀλλὰ καὶ θερμαινούσης ὅπως μὴ τήκοιτο τὸ σῶμα,
ψυχρᾶς κράσεως ἀμέτρου ὑπάρχον. καὶ μάλιστ' ἐπειδὴ θέρους ὥρα ἦν κατ' ἐκεῖνον τὸν καιρὸν ἡμεῖς τοὐναντίον ἐπράτ-
τομεν. ἐν θαλαττίᾳ ψάμμῳ θερμῇ κατακλίναντες αὐτήν. λογισάμενος δέ τι καὶ ἄλλο κοινότερον ἁμάρτη-
μα κατὰ τὰ πλεῖστα τῶν παθῶν, ἑκάστοτε γιγνόμενον ὑπὸ τῶν ἰατρῶν. ἀγνοούντων μὲν τὸ περιττόν. ὅπως
δὲ μὴ γίγνοιτο παραπλήσιον τῷ ἀγνωσθέντι παραλειπόντων, ἐνενόησα τὸν σκοπὸν τῆς διαίτης ποιήσασθαι.
διά τε πόματος ἐλαχίστου, καὶ τρίψεως ὅλου τοῦ σώματος. ἔτι τε χρίσεως οὕτω σκευαζομένης. οὐ διὰ πίττης τε
καὶ ῥητίνης, ἀλλὰ διὰ μέλιτος μόνου μέχρι πλείονος μὲν ἑψηθέντος. ἀποψυχθέντος δ' εἰς τοσοῦτον, ὡς τούτῳ
δὴ τῷ κατὰ τὰς κρήνας ὕδατι θερινῇ ὥρᾳ παραπλήσιον εἶναι. καθάπερ δὲ διὰ τοῦ δέρματος ἔγνων ἀμεί-
νον εἶναι διαφορεῖν τὴν περιττὴν ὑγρότητα, τὸν αὐτὸν τρόπον οὐρητικοῖς τε φαρμάκοις ἐπὶ τὴν κύστιν αὐ-
τὴν προάγειν. ἐπιμελεῖσθαι δὲ τοῦ καὶ διὰ κάτω γαστρὸς ὑπάγεσθαι. πειρασθεὶς δ' ἐν ταῖς μετὰ τὴν ἀθρό-
αν ἔκκρισιν ἡμέραις ἐφεξῆς ὡς ἑπτὰ, καθ' ἃς ὁ μὲν Βοηθὸς ἅπαντας ἡμᾶς ἰδίᾳ τε καὶ κοινῇ παρεκάλει σκο-
πεῖσθαι τινὰ θεραπείας τρόπον, ἀπαγαγὼν αὐτὸν ἀπὸ τῶν παρόντων οἰκετῶν τε καὶ φίλων ἰδίᾳ περὶ τῆς οἰκεί-
ας διελέχθην. οὐδὲν εἰπὼν ἄχρι τήμερον οὐδὲ καθ' ἓν με σφαλέντα τῶν ἰατρικῶν ἔργων ἐπιστάμενος ἐπι-
σκέψαι κατὰ σαυτὸν εἰ συγχωρεῖς δέκα ταῖς πάσαις ἡμέραις, ὡς βούλομαι πρᾶξαι περὶ τὴν γυναῖκα σου. καὶ δὴ
ἄμεινον ἴσχειν ἑκάστοτε φαίνηται, μετὰ ταῦτα ἄλλαις τοσαύταις ἐπιτρέψεις μοι πράττειν τι περὶ αὐτήν. εἰ δὲ
μή, τότε κἀγὼ χωρισθήσομαι τελέως αὐτῆς. ἑτοίμως δέ μοι συγχωρήσαντος αὐτοῦ, πρῶτον μὲν ὑδραγωγῷ
φαρμάκῳ διὰ τῆς κάτω γαστρὸς ἐκένωσα. μετὰ ταῦτα δὲ πίνειν ὕδωρ ἐναφεψηθέντος ἀσάρου τε καὶ σελί-
νου. ἐπεὶ δὲ ταῖς πρώταις ἡμέραις, δύο τούτων γενομένων οὐδὲν ἐφάνη, τοῦ ῥοῦ, κατὰ τὴν τρίτην ἔδωκα
πάλιν ὃ πολὺ τοῦ διὰ τῆς κάτω γαστρὸς ἐκκενοῦντος τὸ ῥεῦμα ἐμπροσθεν εἰς τὴν μήτραν. οὐ μόνον δι' οὔρων, ἀλλὰ καὶ
διὰ τῆς κάτω γαστρὸς προοχετεύειν βουλόμενος. καὶ μετ' αὐτὸ ἔχριόν τε τῷ μέλιτι καθ' ἑκάστην ἡμέραν, ἀνέτριβόν τε
τὸ σῶμα, τὰ μὲν πρῶτα, διὰ σινδόνων μαλακωτάτων, εἶτα διὰ σκληροτάτων. ἐδίδουν τε κρέα τῶν ὀρείων ὀρνίθων
ἰχθύων δὲ πετραίων. ὡς δὲ διὰ τούτων ἡμέραις. ιε. τῆς θεραπείας γινομένης οὐδὲν ὅλως ἐφάνη τοῦ πάθους γνώρισ-
μα, γνοὺς ὁ Βοηθὸς μεῖζον ἢ κατὰ τὴν ὑπόσχεσιν εἰργασμένον με τελέως ἐκθεραπεῦσαι τὴν διάθεσιν, ἐδεῖτο
ὑποθήκας τε δοῦναι πρὸς τὸν λοιπὸν χρόνον ὅπως μηκέτι ὁμοίως νοσήσειε ἐπειδὴ πληρωθέντος τοῦ μηνός,
εὔχρους τε ἦν ἀκριβῶς, ὡς μηδὲν ἀπολείπειν ἀκριβῶς τῆς κατὰ φύσιν ἕξεως, οὐδὲν δὲ τοῦ ῥεύματος ἐπεφάνη, τετρα-
κοσίους μὲν ἔπεμψέ μοι χρυσοῦς. ηὔξησέ τε τὸν φθόνον τούτων τῶν γενναίων ἰατρῶν ἐφ' οἷς ἐτύγχανον ἐπαι-
νῶν με. καὶ μέντοι καὶ αὐτὸς ἕτοιμος ἦν ὥσπερ ὅτε σεβῆρος, τὸ μηνῦσαι τὰ κατ' ἐμέ, τῷ τε κατὰ τὴν τῶν
ῥωμαίων πόλιν ὄντι μάρκῳ αὐρηλίῳ ἀντωνίνῳ αὐτοκράτορι. λούκιος γὰρ ἀπεδήμει τῆς πόλεως ἕνεκα τοῦ
παρθικοῦ πολέμου γενηθέντος ὑπὸ Βολογέσου. κἀγὼ θεασάμενος αὐτῶν τὴν ὁρμὴν καὶ δείσας μὴ φθα-
σάντων τι πρᾶξαι κωλυθῶ τῆς εἰς ἀσίαν ἐπανόδου, παρεκάλεσα βραχὺν ἐπισχεῖν χρόνον. ἐγὼ γὰρ ἔφην
ἐρεῖν αὐτοῖς τὸν καιρὸν, ὁπόταν βουληθῶ τοῦτό μοι γενέσθαι. καὶ τοίνυν ὅταν ἐπυνθανόμην πεπαῦσθαι τὴν
στάσιν, ἄφνω τῆς ῥωμαίων πόλεως ἐξῆλθον, ὡς δῆθεν εἰς καμπανίαν ἀπιών. ἵνα καταλιπὼν οἰκέτην φυλάτ-
τοντα τὰ κατὰ τὴν οἴκησιν. ᾧ προσέταξα πλοῖον ἐπιτηρήσαντι τῶν εἰς ἀσίαν ἐξιόντων ἡμέρᾳ μιᾷ τῶν ἐκ
τῆς Βηβούρας κερκώπων παραλαβόντα τινὰ πωλῆσαί τε τὰ κατὰ τὴν οἰκίαν, ἐξελθεῖν τε παραχρῆμα, καὶ
τῆς νεὼς ἐπιβάντα, κατὰ τὸν περὶ σικελίας πλοῦν εἰς τὴν πατρίδα παραγενέσθαι. ταῦτα μὲν οὖν ὀλίγον
ὕστερον ἐπράχθη. ἐγὼ δ' ἀνὰ καμπανίαν γενόμενος εἶτ' ἐκεῖθεν ἐπορευσάμην εἰς τὸ Βρεντήσιον. ἀφικόμενος δὲ
ὥρμησα κατὰ τὴν πρώτην ἀναγομένην ναῦν, εἴτ' εἰς δυρράχιον, εἴτ' ἐπὶ τῆς ἑλλάδος πλέοι, διαπεραιωθῆναι.
δεδιὼς μή τις ἄρα τῶν πολὺ δυναμένων ἀνδρῶν, ἢ καὶ αὐτὸς ὁ αὐτοκράτωρ γνούς μου τὴν ἔξοδον ὡς δρα-
πέτου, πέμψας στρατιώτην εἰς ῥώμην ἐπανελθεῖν κελεύσειεν. ἐγὼ μὲν οὖν οὕτως μετὰ μίαν ἡμέραν εἰς κασσιό-
πην ἔπλευσα. ζητοῦντες δέ με οἱ ἐν ῥώμῃ φίλοι, παρά τε τοῦ καταλειφθέντος οἰκέτου πυνθανόμενοι τὸ ποῦ ποτ'
εἴην, ἀκούοντες δὲ ἐν τῇ καμπανίᾳ διατρίβειν με τὸ μὲν πρῶτον ὑπώπτευον τὸ γεγονός. προϊόντος δὲ τοῦ χρό-
νου μήθ' ὁρῶντες μήτε τὸν ἐμὸν ἄνθρωπον ἐν ῥώμῃ, ἔγνωσαν πεποιηκότα μετὰ ἐξ ἀρχῆς λεγόμενα. καὶ τό τε
μόγις ἐπείσθησαν ἅπαντες οἱ πρόσθεν ἀπιστοῦντες ὄντως προσκεῖσθαί μοι καταλιπεῖν τὴν ῥώμην, ὅτι μὴ ψευ-
δῶς, ἀλλ' ἀληθῶς ἔφασκον τοῦτο. μετὰ χρόνον δ' οὐ πολὺν, ἐπανεληλυθότος τοῦ λουκίου, πολέμου δ' ἑτέρου τοῦ
πρὸς

† αλ. κατατολμῶντος

πρὸς γερμανοὺς πολεμηθέντος αὐτοῖς ἀρχὴν καθεστήκει. γινομένου δὲ λόγου περὶ τῶν ἔργοις, οὐ λόγοις ἐπιδεικνυμένων ἰατρικήν τε, καὶ φιλοσοφίαν, οὐκ ὀλίγοι τῶν περὶ αὐτούς, ὀνόμαζον ἐμὲ τοιοῦτον ὑπάρχειν. ἐξωρμηκότων οὖν ἤδη τῆς πόλεως ὡς ἐπὶ τὸν πόλεμον ὁρμηκότων τε τοῦ χειμῶνος ἐν ἀκυληΐᾳ διατρίψαι, παρεσκευακότων τε καὶ συγχωρούντων τὸ στράτευμα, πέμπουσιν ὡς ἐμὲ κελευόντων ἥκειν ὡς αὐτούς. ἀλλὰ τοῦ λουκίου κατὰ μέσον τοῦ χειμῶνος μεταστάντος εἰς θεούς, ὁ ἀδελφὸς αὐτοῦ κομίσας εἰς ῥώμην τὸ σῶμα, καὶ ποιήσας ἀμφ' αὐτῷ τὰ νομιζόμενα, ἐπὶ τὴν ἐπὶ γερμανοὺς ὁδοιπορίας εἴχετο κελεύων ἕπεσθαι κἀμέ. χρηστὸν δ' ὄντα καὶ φιλάνθρωπον αὐτὸν ἐδυνήθην ὡς οἶδα πεῖσαι καταλιπεῖν ἐν τῇ ῥώμῃ με. καὶ γὰρ διὰ ταχέων ἐπανήξειν. παντὶ δ' οὖν τῷ τῆς ἀποδημίας αὐτοῦ χρόνῳ, μεμνημένος τῆς συνήθους κακοηθείας τῶν κατὰ τὴν πόλιν ἰατρῶν τε καὶ φιλοσόφων, ἔγνων ἀναχωρεῖν αὐτῆς ἄλλοτε εἰς ἀλλοχωρίων. ἐν ᾧπερ ἂν ὁ υἱὸς αὐτοῦ κόμοδος, ὑπὸ πειθολάῳ τρεφόμενος ἐντολὰς ἔχοντι παρ' αὐτοῦ τοῦ αὐτοκράτορος ἀντωνίνου καλεῖν πρὸς τὴν ἐπιμέλειαν ἐπὶ παιδὸς εἰ νοσήσειέ ποτε διὰ προσεδρείαν δ' αὐτοῦ χρονίσαντος ἐν τῷ γερμανικῷ πολέμῳ παντὶ τούτῳ τῷ χρόνῳ πολλὰς πραγματείας ἔγραψα, φιλοσόφους τε καὶ ἰατρικούς, ἃς ὑποστρέψαντος τοῦ βασιλέως εἰς τὴν ῥώμην αἰτήσασι τοῖς φίλοις ἔδωκα. παρὰ μόνοις ἐκείνοις ἐλπίζων αὐτὰς ἔσεσθαι. ὡς εἴ γε ἠπιστάμην ἐκδοθήσεσθαι τοῖς ἀναξίοις, οὐκ ἂν οὐδ' ἐκείνοις ἔδωκα. καλῶ δ' ἀναξίους, ὅσοι μοχθηροὶ τὴν ψυχήν, οὐχ ἕνεκα τοῦ μαθεῖν τι πρὸς τὴν ἀνάγνωσιν ἥκουσιν. ἀλλ' ὅπως ἐπηρεάσαι τινὰ δυνηθῶσιν διὰ αὐτῶν. ἐν τούτοις οὖν τοῖς βιβλίοις ἡ θεωρία πᾶσα γέγραπται, τῆς τε διὰ τῶν σφυγμῶν προγνώσεως, καὶ τῶν ἄλλων προγνωστικῶν σημείων. ἣν οὖν πρόγνωσιν ἐποιησάμην ἐπὶ θατέρου τῶν κυιντιλιανοῦ υἱῶν διὰ αὐτῶν βουληθεῖσι μαθεῖν, ἐκείνης θεωρίας ἐγένετο, ῥᾳδία καὶ καταφανὴς ἔσται τὴν περὶ κρίσεων πραγματείαν ἀναγνόντι, γεγυμνασμένῳ τὸν λογισμὸν ἐκ παιδὸς ἐν γεωμετρίᾳ τε καὶ διαλεκτικῇ. τοῖς πολλοῖς δὲ τούτοις ἰατροῖς, οἳ οὐ μὴν ἐν τοῖς ἔργοις γυμνασίας ἀπέστησαν, εἰς πανουργίαν δ' ἐκτραπόμενοι, τὴν ἐπ' αὐτῇ τέχνην ἤσκησαν οὔτε γνωσθῆναι τῶν γεγραμμένων δύνανται, οὔτε ἀκοῦσαι. Σέξτος δὲ Ἀντωνίνου υἱὸς ἤρξατο μὲν ὀξύτατα νοσεῖν ὡς μὴ δύνασθαι τὴν. ζ΄. ἡμέραν ὑπερβαλεῖν ἄνευ κρίσεως. ἥτις δ' αὐτοῦ τούτου πρόγνωσις ἐστὶ διὰ τῶν περὶ κρίσεως ὑπομνημάτων γέγραπται, δι' ὧν καὶ ὅτι προεκρήγνυται πολλάκις ἡ κρίσις οὐ περιμένουσα τὴν πιστῶς κρίνουσαν δεδήλωται. συμβῆναι δὲ τοῦτο τοῦ Σέξτου δυναμένου, ἔγνων κατὰ τὴν τετάρτην ἡμέραν ὡς προειπεῖν ἐρομένῳ πειθολάῳ τῷ κοιτωνίτῃ ὅτι θεσπίζοιμι περὶ τῶν μελλόντων. ἤρετο γὰρ οὗτος, ἐπειδὴ προεπεπείρατό μου πολλὰ τῶν δοκούντων τοῖς σοφωτάτοις ἰατροῖς ἀδύνατον εἶναι προειρηκότος. ἀπεκρινάμην οὖν αὐτῷ γελάσας. τῆς μὲν. ζ΄. ἡμέρας ἐξωτέρω μὴ δύνασθαι προελθεῖν τὸ νόσημα. κριθήσεσθαι δὲ πάντως ἢ ἑκταῖον ἢ ἑβδομαῖον. ἑκταῖον μὲν οὖν κριθὲν ὑποστρέφειν αὐτό. ἑβδομαῖον δὲ βεβαίαν ἕξειν τὴν κρίσιν. ἔσεσθαι μέντοι τὴν κρίσιν ἐξ ἀνάγκης δι' ἱδρῶτος. ἐπεὶ δὲ κατὰ τὴν ἕκτην ἡμέραν οὕτως γε ἐκρίθη φιλόνεικος ὢν ἐσχάτως ὁ Σέξτος ὅπως ἐλέγξῃ ἐμὲ μὴ γενομένης ὑποστροφῆς, ἐλούετο μὲν καθ' ἑκάστην ἡμέραν. οὔτε δ' οἶνον ἔπινεν, οὔτε προσενέγκατό τι πλὴν χυλοῦ πτισάνης, ἢ αὐτῆς, ἢ μετὰ ψίχας ἄρτου. πολλάκις δὲ καὶ αὐτὸς τὸν ἄρτον ἐν ὕδατι βρέξας ἠρκεῖτο μόνον. ταῦτα ποιήσας ἄχρι τῆς. ιβ΄. ἡμέρας ἐκαυχήσατο κατ' αὐτὴν νενικηκέναι μου τὴν πρόγνωσιν. ἔπιε δὲ κατὰ τὴν τρισκαιδεκάτην ἡμέραν τρίτῃ ὥρᾳ ὑδατώδους οἴνου βραχύ τι σὺν τῷ καὶ τὴν ὅλην δίαιταν ἁδροτέραν βραχὺ ποιήσασθαι τοῖς δ' ἔμπροσθεν. ἔτι μέντοι φυλάττων λεπτήν, ἀλλὰ κατά τε τὴν ἑξῆς ἡμέραν ἀπὸ τῆς πρώτης κατακλίσεως. ιδ΄. οὖσαν ἀρξάμενος πυρέττειν, ἐκέλευσε μηδένα μοι δηλῶσαι, νομίζων μὴ δὲ σφοδρὸν ἔσεσθαι τὸν πυρετόν, μὴ δὲ πλέον ἡμέρας μιᾶς ἐκταθήσεσθαι αὐτόν. ἐπεὶ δὲ προϊούσης τῆς ἡμέρας ἀεὶ καὶ μᾶλλον ἐφαιδρύνετο, Κλαύδιος Σεβῆρος ὑποστρέφων εἰς τὴν ἑαυτοῦ οἰκίαν πλησίον οὖσαν τῆς ἐκείνου, πυθόμενος αὐτὸν πυρέττειν, ἐπορεύθη πρὸς αὐτόν, εὑρών τε σφοδρῶς ἤδη πυρέττοντα, πρῶτον μὲν ἐπύθετο τίνα γνώμην ἐγὼ περὶ τῆς ἀρχῆς τοῦ γεγονημένου πυρετοῦ νῦν αὐτῷ φαινοίμην ἔχων, ἀκούσας δὲ παρ' αὐτοῦ τὸ ἀληθές, ὡς διὰ φιλονεικίαν οὐκ ἐδήλωσε πορευθῆναί τινα πρός με, ἐκέλευσεν παρακαλεῖν με εἰς τὴν ἐπίσκεψιν τοῦ Σέξτου, καὶ μετὰ ταῦτα, πρὸς αὐτὸν ἀφικέσθαι. τούτων γενομένων ἐπυνθάνετο τί μοι δοκεῖ περὶ τῆς ὑποστροφῆς τοῦ νοσήματος. ἀπεκρινάμην οὖν αὐτῷ ὅπερ καὶ τῷ Σέξτῳ προειρήκειν, μετὰ τρεῖς ἡμέρας λυθήσεσθαι τὴν ἐπιβολὴν ταύτην, ἱκανῶς θερμοῦ γενομένου τοῦ πυρετοῦ κατὰ αὐτάς. εἶτα κριθησομένου κατὰ τὴν ἑπτακαιδεκάτην ἀπὸ τῆς ἀρχῆς ἡμέραν. Σέξτος οὖν ἡδέως ἀκούσας τὴν ἐν τάχει γενησομένην λύσιν, ἑτοίμως ἐπίστευσεν. ὁ γὰρ ἕκαστος βούλεται δηλονότι, τοῦτο καὶ οἴεται γενήσεσθαι. Σεβῆρος δ' ὅτι οὐκ ἂν σφαλείην ὑπὲρ τοῦ σωθήσεσθαι τὸν Σέξτον ἐπίστευσέ μοι. τὸ δὲ τῆς ἡμέρας ἐν ᾗ τελέως ἀπαλλαγείη τοῦ νοσήματος οὐκ ἐπίστευε δύσκολον εἶναι νομίζων ἄνευ τοῦ περιμεῖναι, κἂν τὴν ἑξῆς ἡμέραν ἀποφήνασθαί τι βέβαιον ὑπὲρ τῆς εἰς τετάρτην ἡμέραν ἐσομένων. ἅτε δ' οὕτως διακείμενος, ἔπεμψεν ὄρθρου βαθέως ἐπὶ τὴν οἰκίαν Σέξτου περιμένοντά τε καὶ πρὸς αὐτὸν ἄξοντα, μετὰ τὴν ἐσομένην ἐπίσκεψιν. ὡς δὲ θεασάμενος τὸν Σέξτον ἐπορεύθην πρὸς αὐτόν, ἀντιφήσεις ἔφη οἷς χθὲς εἶπες, ἢ διαμένεις ἐπὶ τῶν αὐτῶν, ἐπεὶ δὲ νῦν μᾶλλον ἔφην ἢ χθὲς ἀποφήνασθαί μοι τὰ αὐτά, μετ' ἄριστον αὖθις με καλέσας ἤρετο πάλιν εἰ βεβαίως εἴην πεπεισμένος Σέξτῳ ἐσομένην κρίσιν. ἤκουσεν οὖν παρ' ἐμοῦ μᾶλλον ἢ χθὲς ἔχειν διατείνασθαι. ὡς δὲ καὶ τὴν β΄. ἡμέραν ἐπύθετό μου, πότερον φυλάττοιμι τὴν αὐτὴν γνώμην ἐπὶ τοῖς προειρημένοις, ἤ τι καὶ μετακινοῖ μοι τῶν ῥηθέντων, ἤκουσεν οὐδὲν μὲν ἐκείνων κινεῖν, προστίθεσθαι δέ τι τοῖς εἰρημένοις ἔχων. καὶ ὃς αὖθις ἤρετο. τί τοῦτ' ἐστίν. ἤκουσεν ὅτι διελθούσης τῆς ἑπτακαιδεκάτης ἡμέρας ἄρξασθαι τὸν ἱδρῶτα περὶ δευτέραν ὥραν νυκτερινήν. ἆρ' οὖν ἔφη καὶ πειθολάῳ ταῦτ' εἶπας, εἰρηκέναι τε ἔφην αὐτῷ καὶ πεπεῖσθαι γε ἐκεῖνον ὡς οὐκ ἂν σφαλείην ἐν τῇ προρρήσει, καὶ θεραπείᾳ. πάντως οὖν ἔφη καὶ τῷ αὐτοκράτορι δεδηλωκέναι πειθόλαον. ἴσως ἔφην οὗτος ἔφη. ἐμοὶ δ', οὐ μέλει τῆς ἐπὶ τοῖς τοιούτοις δόξης, οὐ γὰρ περιέρχομαι κηρύττων τὰς ἐμὰς προγνώσεις τε καὶ θεραπείας. ἵνα μᾶλλον οἱ ἰατροί τε καὶ φιλόσοφοί με μισῶσι, γόητά τε, καὶ μάντιν ἕτερά τε κατ' ἐμοῦ τοιαῦτα θρυλλοῦντες. ὑμῖν δὲ τοῖς φίλοις, ὅσοι κατε

γνώκατε τῆς ἰατρικῆς τέχνης ἐκ τῆς τούτων ἀμαθίας ἐπιδείκνυμι τὴν μὲν τέχνην ἀξίαν ἀπόλλωνός τε καὶ
ἀσκληπιοῦ. τοὺς δὲ ἰατροὺς τούτους ὑβρίζειν αὐτήν. ὥσπερ καὶ τοὺς φιλοσόφους φιλοσοφίαν οἵ γε μηδ᾽ ἑνὸς ἰδιώτου
βέλτιον βιοῦντες ὀνομάζουσιν αὐτοὺς ὀνόματι σεμνῷ τῷ τῆς φιλοσοφίας. ταῦτα μὲν εἶπον τῷ Σεβήρῳ.
σὺ δὲ ὦ Ἐπίγενες ἔγνως τὴν κακοήθειαν τῶν ἰατρῶν σχεδὸν ἁπάντων εὐχομένων φανερῶς ἀποτυχεῖν με, πεμ-
πόντων τε δι᾽ ὅλης ἡμέρας τοὺς γνωσομένους, τε καὶ ἀγγέλλοντας αὐτοῖς τὸ γινόμενον, οὐ γὰρ ᾔδεσάν με τῷ
Σεβήρῳ καὶ Πειθολάῳ προειρηκότα δείλης ὄψεσθαι ἐσομένην τὴν ἀρχὴν τῆς κρίσεως. ἐπεὶ δὲ περὶ τὴν. ζ΄.
ὥραν ἐπιπροξυνθέντα τὸν ἔξω ἐπύθοντο, καταγελῶντες, καὶ φανερῶς ἐπιχαίροντες, ἅπασι τοῖς ἀπαντῶ-
σιν ἔλεγον κερτομοῦντες, ὡς ἡ θαυμαστὴ μαντεία τοῦ Γαληνοῦ, κατὰ τοὐναντίον ἀπέβη. γινομένης μέν τοι τῆς
κρίσεως ὡς προειρήκειν ἤδη τῇ προτεραίᾳ (ἔφασαν ἑπομένην ἐναλλάξ,) ἐτρέποντο πάντες αἰσχυνόμενοι,
καὶ ταῦτα τῆς προγνώσεως οὐδὲν ἐχούσης θαυμαστόν, ὡς ἔδειξά σοι διά τε τῶν εἰς πρῶτον ἐπιδημιῶν ὑπομνη-
μάτων, ἔτι τε τὴν περὶ τῶν κρίσεων πραγματείαν. τούτοις μέν τοι τοῖς ἰατροῖς οὐ μόνον ἀγνοεῖν ὑπάρχει τὰ
γεγραμμένα τοῖς παλαιοῖς, ἀλλὰ μηδὲ τὰς ἡμέρας ἀριθμεῖν ἔτι μετὰ τὴν. ζ΄. καὶ μάλιστα ἐὰν ἀπύρετος γινόμε-
νος ὁ κάμνων αὖθις ἐξ ὑποστροφῆς πυρέττει. καίτοι παρ᾽ Ἱπποκράτους ἤδη τῶν ἐπιδημιῶν βιβλία γεγραμμέ-
νων ἁπασῶν τῶν ἡμερῶν ἐφ᾽ ἑκάστῳ τῶν ἀρρώστων, ἄχρι τῆς ἐσχάτης λύσεως, οὐ μόνον εἰ ἤδη τὴν. ιδ΄. ἡμέραν,
ἀλλὰ καὶ κατὰ τὴν. ξ΄. ἢ π΄. τύχῃ γεγενημένη. αὕτη μὲν οὖν ἡ πρόρρησις. ὡς ἔφην, εἰ καὶ θαυμαστὴ τοῖς πολλοῖς
τούτοις ἰατροῖς ἔδοξεν, ἀλλ᾽ οὐ τοιαύτη γε κατ᾽ ἀλήθειαν ἦν. ὥσπερ οὐδ᾽ ἡ μετὰ γνώσεως τῶν ἐνεστώτων θε-
ραπεία τοῦ παιδίου αὐτοῦ Κομόδου κατὰ τὴν ἐπιδημίαν ἐκείνου γενομένη. θαυμαστὴ δ᾽ ὄντως, ἡ νῦν ἐπ᾽ αὐτοῦ
τοῦ βασιλέως συμβᾶσα. δόξαντος μὲν καὶ αὐτοῦ καὶ τῶν ἀμφ᾽ αὐτὸν ἰατρῶν ὅσοι συναπεδήμησαν αὐτῷ παρο-
ξυσμόν τινα πυρετικὸν ἄρξασθαι. σφαλέντων δὲ πάντων, καὶ τῆς δευτέρας καὶ τρίτης ἡμέρας ἕωθεν καὶ
περὶ τὴν ὀγδόην ὥραν. εἰλήφει δὲ τῆς προτεραίας τοῦ διὰ τῆς ἀλόης πικροῦ φαρμάκου πρώτης ὥρας. εἶτα
τῆς θηριακῆς, ὡς ἔθος ἦν αὐτῷ καθ᾽ ἑκάστην ἡμέραν προσφέρεσθαι, καὶ τό τε προσενηνεγμένου περὶ ὥραν ὡς
ἕκτην, εἶτα λουσαμένου περὶ δυσμὰς ἡλίου καὶ βραχὺ τραφέντος καὶ ἐπιγινομένων ὅλης τῆς νυκτὸς στρόφων ἅμα
τῇ διὰ τῆς κάτω γαστρὸς κενώσει. καὶ διὰ τοῦτο πυρέξαντος αὐτοῦ, καὶ τῶν ἀμφ᾽ αὐτὸν ἰατρῶν θεασαμένων ἡσυχά-
σαι τε κελευσάντων, εἶτα ῥοφήματι θρεψαμένων ὥρας. θ΄. ἐμοῦ δὲ μετὰ ταῦτα κληθέντος, ὅπως καὶ αὐτὸς
ἐν τῷ παλατίῳ κοιμηθείην, ἧκέ τις καλῶν ἡμᾶς ἄρτι λύχνων ἡμμένων ὑπὸ τοῦ αὐτοκράτορος στελλόμενος. ὡς δὲ
τριῶν ὄντων τῶν ἕωθέν τε καὶ περὶ τὴν ἕω ἑωρακότων αὐτὸν ἁψαμένων τε δυοῖν τῶν σφυγμῶν, ἐπισημασίας ἀρχὴ τοῖς
τρισὶ πᾶσιν ἐφαίνετο, σιωπῶν δὲ εἱστήκειν ἐγώ. προσβλέψας με πρῶτον ἐπύθετο, διατί τῶν ἄλλων ἁψαμένων,
ἐγὼ μόνος οὐχ ἡψάμην. εἶπον οὖν αὐτῷ ὅτι δύο ἤδη τούτων ἡμμένων. ἤδη δὲ ἴσως καὶ κατὰ τὴν μετὰ σοῦ γε-
γενημένην αὖθις ἀποδημίαν, ἐγνωσμένης τῇ πείρᾳ τῆς ἰδιότητος τῶν σφυγμῶν σου, μᾶλλον αὐτοὺς ἐλπίζω διαγινώ-
σκεσθαι τὴν ἐνεστῶσαν ἄρτι διάθεσιν. ὡς δ᾽ εἰπόντος μου ταῦτα, καὶ αὐτὸν ἐμὲ κελεύσαντα ἅψασθαι, φανέντος μου
τοῦ σφυγμοῦ περὶ τὸ κοινὸν μέτρον ἁπάσης ἡλικίας τε, καὶ φύσεως, ἀφεστηκέναι τοῦ δηλοῦντος ἀρχὴν ἐπισημασίας ἀπε-
φηνάμην εἰσβολὴν μηδεμίαν εἶναι πυρετοῦ. θλίβεσθαι δὲ αὐτοῦ τὸν στόμαχον ὑπὸ τῆς εἰλημμένης τροφῆς, φλεγματω-
θείσης μὲν πρὸ τῆς ἐκκρίσεως. ἐμφαινούσαις δ᾽ ἔπαινόν τινα τῆς διαγνώσεως αὐτῇ λέξει τῇ δέ, τρὶς ἐφεξῆς εἰπὼν
αὐτὸ ἐστίν, αὐτὸ τοῦτο, ὃ εἶπας ἐστίν. αἰσθάνομαι γὰρ ὑπὸ ψυχροτέρας τῆς τροφῆς βαρυνόμενος. καὶ ἤρετο τί
ποιεῖν χρή. ἐγὼ δ᾽ ἀπεκρινάμην ἅπερ ἔγνων. καὶ ἐλέχθη μοι πρὸς αὐτὸν ὡς εἰ ἄλλος τις ἦν ὁ διακείμενος οὕτως
ἔδωκα ἂν αὐτῷ, καθάπερ εἴωθα πιεῖν οἶνον πεπέρεως ἐπιπάσας. ἐφ᾽ ὑμῶν δὲ τῶν βασιλέων ἀσφαλεστά-
τοις βοηθήμασιν εἰωθότων χρῆσθαι τῶν ἰατρῶν, ἀρκεῖ ναρδίνῳ μύρῳ θερμῷ δεύσαντα μᾶλλον ἐρίου, θεῖ-
ναι κατὰ τοῦ στόματος τῆς κοιλίας. ὁ δὲ καὶ ἄλλως εἰπὼν ἔθος ἐκείνῳ ὅταν ποτὲ μέμψηται τὸν στόμαχον, ἀνει-
λημμένον, πορφυρᾶ τε ἔρια τὸ νάρδινον μύρον ἐπιτεθῆναι θερμόν. κελεύσας τε Πειθολάῳ πρᾶξαι τοῦτο, καὶ
ἡμᾶς ἀπολῦσαι. ἐπιτεθέντος δ᾽ αὐτοῦ καὶ τῶν ποδῶν ἐκθερμανθέντων, ὑπὸ τῶν ἀνατριβόντων θερμαῖς ταῖς χερ-
σίν, ᾔτησεν οἴνου σαβίνου, καὶ πεπέρεως ἐπιβαλὼν ἔπιε. καὶ εἰπὼν τῷ Πειθολάῳ μετὰ τὸ πιεῖν, ὡς ἰατρὸν ἔχων
ἕνα καὶ τοῦτον ἐλεύθερον πάνυ διετέλει τε περὶ ἐμοῦ λέγων ἀεὶ καθάπερ οἶσθα, καὶ σύ. τῶν μὲν ἰατρῶν πρῶ-
τον εἶναι. τῶν δὲ φιλοσόφων, μόνον. ἐπεπείρατο γὰρ ἤδη πολλῶν οὐ μόνον φιλοχρημάτων, ἀλλὰ καὶ φι-
λονείκων, καὶ φιλοδόξων, καὶ φθονερῶν, καὶ κακοήθων. ὅπερ οὖν ἔφην ἐγώ, ταύτης τῆς ἐπισκέψεως, οὐ-
δεμίαν ἄλλην ἡγοῦμαί μοι γεγονέναι θαυμαστοτέραν. ἐζητημένου γὰρ ἅπασι τοῖς ἄριστα τὴν περὶ τοὺς σφυγ-
μοὺς τέχνην ἀσκήσασιν, ὧν εἷς καὶ Ἀρχιγένης ἐγένετο τί σημεῖον ἴδιον ἐπισημασίας. καὶ τινῶν μὲν ἐν ἀρχῇ,
τῆς κατὰ τὴν ἀρτηρίαν συστολῆς εὑρίσκεσθαι φάντων αὐτῶν. τινῶν δὲ μηδόλως αἰσθητὴν εἶναι τὴν συστολήν,
ἐντυχήσας ἐγώ, τί γὰρ ἄλλο φαίη τις αἰσθητικωτάτην ἁφὴν τῆς παρὰ μικρὸν ἐν τοῖς σφυγμοῖς διαφορᾶς,
ἁμαρτανόντων εἰς τοσοῦτον ἐνίων ἰατρῶν ἐπειράθην, ὡς ἀρχομένους ἐπισημαίνεσθαι τινὰς εἰς τὸ βαλανεῖον ἐκπέμ-
πειν ἢ τραφῆναι κελεύειν ἐκώλυσα. διαπαντὸς οὖν ἀκριβῶς ἐμαυτοῦ πεπειραμένος διαγνόντος ἀρχὴν παροξυσ-
μοῦ προπετέστερον μὴ ἴσως, ὅμως δ᾽ ἐτόλμησα βασιλεῖ διατεινάμενος εἰπεῖν ὅταν πρῶτον ἡψάμην ἐναντίαν ἀπό-
φασιν, ἧς αὐτός τε καθ᾽ ἑαυτὸν ἐδόξαζε, καὶ τῶν ἰατρῶν ἤκουε. τὸ μέν τοι ἤδη Κόμοδον ἔχειν μὲν φασί τι μέγιστον,
τῇ δ᾽ ἀληθείᾳ πάμπολυ λείπεται τοῦ δέ. τῆς παλαίστρας γὰρ ἀπαλλαγέντος αὐτοῦ † πρὶν σιτίων ὥρας ὀγδόης
εἰσέβαλε θερμὸς ἱκανῶς πυρετός. ἁψαμένῳ δέ μοι τῶν σφυγμῶν, φλεγμαίνειν τι μόριον ἐφαίνετο, καὶ
ταῦτα ἀκούσας ὁ Πειθόλαος θαυμάζειν ἔφησεν εἰ τῶν παρισθμίων ἡ φλεγμονὴ τὸν σφυγμὸν ἠλλοίωσε τοῦ
παιδίου, οὐδὲν γὰρ ἄλλο μέρος αὐτοῦ φλεγμαίνει. κἀν τούτῳ διανοίξας αὐτῷ τὸ στόμα κελεύει με θεάσασθαι.
φανέντων δὲ τόπων τραχέων καὶ λίαν ἐρυθρῶν, οὐ μέν τοι μέγαν ὄγκον ἐχούσης τῆς φλεγμονῆς, ἠρόμην τίς ὁ ἀνατρί-
ψας εἴη στοματικῷ φαρμάκῳ σφοδροτέραν τῆς ἁρμοζούσης τῷ παιδὶ στύψιν ἔχοντι. τοῦ δὲ φανέντος ἑαυτὸν
εἶναι τὸν ἀνατρίψαντα τῷ διὰ μέλιτος καὶ † ῥοῦ φαρμάκῳ, μεταβῆναι μὲν ἐπὶ μελίκρατον ἐναφεψημένων

† al. περὶ τὰς ὥρας ἕκτης

† al. μήλων καὶ ῥοῦ

ῥόδων

ῥόδων ἐκέλευσε. καὶ τούτῳ μόνῳ χρῆσθαι διά τε τῆς νυκτὸς καὶ τῆς ἐχομένης ἡμέρας ὅλης πολλάκις ἅμα τῇ
μετ᾽ αὐτὴν νυκτί. τῇ δὲ τρίτῃ τῶν ἡμερῶν ἔωθεν ἐπειδὴ τά τε τῆς φλεγμονῆς ἐπέπαυτο τελέως, ἀπύρετός τε
ἦν μικροῦ δεῖν ὁ παῖς. ἔπεισε δ᾽ οὖν τὸν Πειθόλαον εἰς βαλανεῖον ἐγγὺς ὂν τοῦ κοιτῶνος εἰσαγαγόντα, μεθ᾽ οὐ
πολὺ περὶ κατὰ τὴν πύελον ὕδατι χρήσασθαι. διαβρεχομένων μὲν ἁπάντων τῶν ἄλλων μορίων, μόνης δὲ
τῆς κεφαλῆς καταντλουμένης δαψιλῶς. γραφέντι αὐτῷ περὶ τρίτην ὥραν ἧκεν Ἀννία Φαυστῖνα συγγενὴς οὖσα
τῷ αὐτοκράτορι ἔγγιστα παραιτουμένη. διότι δευτεραῖον αὐτὸν οὐκ εἶδε. χθὲς γάρ ἔφην μετ᾽ ἀρίστον ἐγνωκέναι
περὶ τοῦ γενομένου πυρετοῦ, καὶ τούτοις ἔτι προσετίθει δῆλον εἶναι μέλλοντας ἡμᾶς ὑπερβάλλειν τὴν ὀγδόην
καθ᾽ ἣν εἰσέβαλεν ὁ παροξυσμός. μειδιάσας οὖν ὁ Πειθόλαος. πῶς δὲ οὐ μέλλομεν ἔφη τὸν θεσσάλειον ὑπερ-
βάλλειν διάτριτον. ἀλλὰ Γαληνὸς οὗτος ἔφη θεασάμενος ἔωθεν ἰσχνόν τε καὶ ξηρόν, μὴ πυρέξειν ἔφη. καὶ μέν τοι
10 καὶ λούειν αὖθις ἑσπέρας ἐπηγγείλατο. καὶ δεῖπνον παρέχειν ὁποῖον ὑγιαίνων δειπνεῖ. ταῦτα ἀκούσασα βραχύ τι
χρόνον αὐτόθι διατρίψασα ἡ Φαυστῖνα λαβομένη τῆς χειρὸς αὐτῇ συνεξήγαγεν ἰατρόν τινα τῶν συνηκολουθηκό-
των αὐτῇ μεθοδικῶν παίζουσα, Γαληνόν ἔφη ἐστὶν ἰδεῖν μὴ λόγοις ἀλλ᾽ ἔργοις ὑμῖν τοῖς μεθοδικοῖς πολεμεῖν.
πολλάκις γοῦν ἤδη πολλοὺς τῶν ἀρχομένων, (πυρέττειν) ἔλουσέ τε καὶ ἔδωκεν οἶνον πιεῖν. ἐνίους δὲ καὶ περὶ τὴν πρώτην.
ἐνίους τῇ τρίτῃ τῶν ἡμερῶν ἀπέλυσεν ἐπὶ τὰς συνήθεις πράξεις. ἐν ᾗ πάντες ἡμεῖς ταῖς πρώταις ἡμέραις δύο
παρασιτῆσαι κελεύσαντες, ὑπερβάλλειν τὰς ὑπόπτους ὥρας κατακειμένους φυλάττεσθαι. καὶ νῦν οὖν ἔφη
τὸ τῆς ἐπιστήμης βέβαιον ἐπιδείκνυται. βασιλικοῦ παιδὸς ἀποδημοῦντος τοῦ πατρὸς ἐν ταῖς πρώταις δύο πυ-
ρέξαντος σφοδρῶς ὡς καὶ ὑμεῖς χθὲς ἠκούσατε, κατὰ τὴν τρίτην ἡμέραν οὐχ ὑπερβάλλειν ὡς ὑμεῖς ἀξιοῦ-
τε τὴν ὀγδόην ὥραν ἀναμείνας, ἀλλ᾽ ἤδη λούσας τε καὶ θρέψας. ὅ, τε τροφεὺς αὐτῷ, Πειθόλαος ἀκριβέστατος
ὢν περὶ τὰ τοιαῦτα, ὡς δειλίαν εἶναι τὴν ἀκρίβειαν αὐτοῦ, διὰ τὸ πεπειρᾶσθαι τῆς τέχνης τοῦ ἀνδρὸς ἐπεί-
20 σθη, καὶ λοῦσαι καὶ θρέψαι πρὸ τῆς ὑπόπτου. ἡ μὲν τοιαῦτα ἔλεγε διαβαδίζουσα μέχρι τοῦ ὀχήματος. ἐγὼ
δὲ μελλούσης αὐτῆς ἐπιβαίνειν αὐτοῦ χαριζόμενος εἶπον, ἐποιήσας με πολὺ μᾶλλον, ἢ πρόσθεν ὑπὸ τῶν ἰα-
τρῶν μισεῖσθαι, χαριζομένη τε περὶ Πειθολάου, διηγουμένη δὲ αὐτός. καὶ μέν τοι καὶ ὅτι διὰ τοὺς τοιούτους ἰα-
τροὺς ἐναγχος ἔγραψα τὰς πραγματείας, μίαν μὲν τὴν περὶ τὰς διαφορὰς τῶν πυρετῶν. ἑτέραν δὲ τὴν περὶ
τῶν κρισίμων ἡμερῶν. καὶ τρίτην τὴν περὶ τῶν κρίσεων. ἐπιδεικνὺς ὑφ᾽ Ἱπποκράτους γεγράφθαι τὴν θεω-
ρίαν ἐφ᾽ ἧς ἄν τις προγινώσκοι τὰ γενησόμενα περὶ τοὺς ἀρρώστους. οἱ δ᾽ οὕτως εἰσὶν ἀφυεῖς ὥστε μὴ δὲ μετὰ τῆς
ἐμῆς ἐξηγήσεως δύνασθαι αὐτὰ μαθεῖν. αὐτὸς γὰρ σὺ Ἐπίγενες φίλτατε τὰ γεγραμμένα μοι περὶ τούτων
ἁπάντων ὧν ἐθεάσω με προλέγοντα, γινώσκεις ἐπιδεδειγμένα πρὸς Ἱπποκράτους εἰρῆσθαι, μόνην αὐτοῖς
προσθέντος, τὴν περὶ τοὺς σφυγμοὺς θεωρίαν. ἥν περ καὶ μόνην οὐκ ἐξειργάσατο. καθάπερ οἱ μετ᾽ αὐτὸν
ἄλλος ἄλλο τι προσθεὶς αὐτῇ μέχρι καθ᾽ ἡμᾶς χρόνου ἐπεκόσμησαν. καὶ γὰρ ἡ γνῶσις τῶν τοῦ σώματος διαθέ-
30 σεων† ἀκριβοῦς γνώσεως ἡ τῶν μελλόντων ἔσεται πρόγνωσις. καὶ τό γε σοῦ παρόντος γενόμενον ἡνίκα περὶ
φλεβοτομίας ἐσκέπτοντο τῶν ἐν Ῥώμῃ πρωτευόντων ἔνιοι, διὰ τῶν ὑπομνημάτων ὧν ἐποίησα δείκνυται.
δεδειγμένων ἐφ᾽ Ἱπποκράτους τελεώτατα. πέμπτην γὰρ ἡμέραν ἤγε τοῦ νοσήματος ὁ νεανίσκος. ἐφαίνετο δὲ
παραλελεῖφθαι τὸ τῆς φλεβοτομίας βοήθημα, δεομένου τοῦ πάθους ἐν ἀρχῇ γεγονέναι περὶ δευτέραν ἢ
τρίτην, ἢ πάντως γε τὴν τετάρτην ἡμέραν αὐτήν. εἶτ᾽ ἐπειδὴ μήθ᾽ ἡ ὥρα τοῦ ἔτους, μήθ᾽ ἡλικία τοῦ κάμνον-
τος, ὥσπερ γε μήθ᾽ ἡ κατὰ τὴν ζωτικὴν δύναμιν ἀσθένεια, μήθ᾽ ἡ προγεγενημένη δίαιτα τοῦ νοσήματος ἀντε-
δείκνυτο. πάντα δ᾽ ἀλλήλοις ὡμολόγει τὴν φλεβοτομίαν ἐνδεικνύμενα, συνεβούλευσαν οἱ ἰατροὶ τέμνειν τὴν
φλέβα προσηκόντως φρονοῦντες. ἐγὼ δὲ περινοήσας ἀκριβῶς ἅπαντα τὰ φαινόμενα, τὰ πρὸς Ἱπποκρά-
τους εἰρημένα τῶν αἱμορραγήσειν μελλόντων σημεῖα, καλῶς μὲν ἔφην αὐτοὺς ὁρίζειν τὴν ἀφαίρεσιν τοῦ αἵματος,
ἔρχεσθαι δὲ ἐπὶ τοῦτο καὶ τὴν φύσιν ἐπειγομένην ἀποκρῖναι τὸ βαροῦνον αὐτήν. καὶ τοῦτο αὐτίκα μάλα γε-
40 νήσεσθαι, κἂν ἡμεῖς μὴ ποιῶμεν. οἱ μὲν οὖν ἰατροὶ ταῦτ᾽ ἀκούσαντες ἐθαύμαζον δῆθεν. ἐξαναστάντος δ᾽ ἐπὶ τῆς
κλίνης τοῦ νοσοῦντος ὡς ἀναπηδῆσαι θέλοντος, ἐρωτηθέντος δὲ τίνος ἕνεκεν ἀναπηδήσειε, μηδενὸς φοβεροῦ παρόντος,
φάντος† δὲ τὸν ἐρυθρὸν ὄφιν ἐξέρποντα τῆς ὀροφῆς θεασάμενον αὐτὸν δεῖσθαι, μήπως ἀποσφαλεὶς ἐπ᾽ αὐ-
τὸν κατενεχθείη. καὶ διὰ τοῦτο φυγεῖν τὸν τόπον ἐν ᾧ κατέκειτο. τοῖς μέν τοι, οὐδ᾽ ἔν τι συντελεῖν ἐδόκει τοῦτο
πρὸς τὴν μέλλουσαν αἱμορραγίαν. ἐμοὶ δὲ τά τ᾽ ἄλλα διασκεψαμένῳ πάντα, καὶ τὸ κατὰ τὸ δεξιὸν μέρος τῆς ῥι-
νὸς ἄχρι τοῦ μήλου θεασαμένῳ, τὴν τέως ἀμυδρὰν ἐρυθρότητα, πολὺ δή τι νῦν ἐμφανεστέραν γενομένην, ἐπί-
δοξον ὅσον οὔπω κατὰ τὸν δεξιὸν μυκτῆρα τὸ τῆς αἱμορραγίας ἔσεσθαι σαφῶς ἐφαίνετο. κἀκείνῳ τῶν παρόν-
των οἰκετῶν τοῦ κάμνοντος ἠρέμα διαλεχθεὶς ἀγγεῖον ἔχειν ἕτοιμον ὑπὸ τὴν ἐφεστρίδα τῶν ἐπιτηδείων δέξα-
σθαι τὸ αἷμα, κἄπειτα φθεγξάμενος εἰς ἐπήκοον πάντων ἰατρῶν, ἐὰν βραχύτατον προσμείνωσι, θεάσασθαι
τὸν ἄνθρωπον ἐκ δεξιοῦ μυκτῆρος αἱμορραγοῦντα. τῶν δὲ γελασάντων ἐν τῷ πεπειρᾶσθαι προσκεῖσθαι κατὰ
50 τὸν λόγον τὸν δεξιὸν μυκτῆρα. καὶ μὴν ἔφην ἢ ἀμφότερα δεῖ γενέσθαι, ἢ περὶ θάτερά με σφαλῆναι. ὑπὸ
γὰρ τῆς θεωρίας ἀμφότερα τὴν πρόγνωσιν ἔχει, τό θ᾽ αἱμορραγῆσαι τὸν νοσοῦντα, τό θ᾽ ἐκ δεξιοῦ μυκτῆρος.
† ἐφ᾽ ᾧ τεκμήρασθαι, προσέχειν ἠξίωσα περὶ γινομένῳ τὸν κρύπτοντα τὸ ἀγγεῖον, ὅπως ἐπειδὰν ἤδη τὸ αἷμα τοῦ
μυκτῆρος ἐκχεόμενον, προσδραμὼν ὑποθῇ τὸ σκεῦος. ἅμα τε οὖν ἔλεγον ταῦτα καὶ τὸν δάκτυλον ᾑμαγμένον
ἐξείλκυσεν. ὅτε οἰκέτης προσδραμὼν, ὑπέθηκεν αὐτῷ τὸ ἀγγεῖον, ἐφ᾽ ᾧ μεγίστης κραυγῆς ὡς οἶσθα γενομένης,
οἱ μὲν ἰατροὶ πάντες ἔφυγον. ἐγὼ δ᾽ ἐρομένοις τὴν θεωρίαν τῆς προγνώσεως ἐδήλωσα πᾶσαν ἐκ τῶν ὑφ᾽
Ἱπποκράτους εἰρημένων δεδιδαγμένος. ἔτι δὲ καὶ τοῦτο προσέθηκα σφοδρὰν ἔσεσθαι προσδοκᾶν τὴν αἱμορ-
ραγίαν. ἥτε γὰρ ὁρμὴ τῆς φύσεως ἐστὶν ἰσχυρά. καὶ ἡ νόσος ἄπεπτος. εἰώθασι δὲ τοῖς τοιούτοις αἰτίοις ἄμετροι κε-
νώσεις γίνεσθαι. διὸ καὶ περιμεῖναι ὀλίγον χρόνον τῷ κάμνοντι κάλλιον εἶναι νομίσας, ἔπεμψα τὸ ἀκόλουθόν μου παι-
δία, κομίσαντα σικύαν μεγάλην ἀφανῶς τοῖς πολλοῖς ἐν τάχει τε αἵματος πολλοῦ κατὰ τὸ ἀγγεῖον ἀθροισθέν

† αλ. ἐκ θεωρίας γίνεται ὥσπερ ἐκ τούτων

† αλ. φανέντος

† αλ. θεασάμενος ἂν νοσοῦντα τὸν δάκτυλον ὡς κνίζοντα τῷ μυκτῆρι ἐντρέχοντα, προσέχειν ἠξίωσα.

τος ἕτερον αἰτήσας δεξάμενος τὸ αἷμα καὶ τὸν σταθμὸν ἰδὼν τοῦ κενουμένου λιτρῶν ὄντα. δ΄. καὶ ἡμισείας ἀνάῤῥοπόν τε τὸν κάμνοντα σχηματίσας, καὶ ψυχρὸν ὀξύκρατον ἀναῤῥοφεῖν τῷ μυκτῆρι κελεύσας, ἐπιθείς τε τῷ μετώπῳ σπόγγον ἐκ ψυχροῦ βεβρεγμένον μελικράτου, καὶ τὰ κῶλα διαδήσας, ὡς οὐδὲν ὅλως ἤνυσε ταῦτα, τὴν σικύαν κατὰ τὸ δεξιὸν ὑποχόνδριον ὑποβαλὼν, εὐθέως ἔστησα τὴν αἱμοῤῥαγίαν. ὅπερ ὅτι καὶ αὐτὸ τῆς Ἱπποκράτους ἐστὶ τέχνης, ἐδήλωσά σοι. καί μοι διὰ τοῦτο καὶ ταῦτα καὶ τ᾽ ἄλλα πάνθ᾽ ὅσα διὰ τῶν ἔργων ἐπεδειξάμην ἐγράφη. καὶ γὰρ ῥῖγος ἐσόμενον ὅπως χρὴ προγινώσκειν, ἔγραψα. καὶ διάῤῥοιαν γαστρὸς ἔμετόν τε καὶ πλῆθος οὔρων ἀμέτρων, ἢ ἐπίσχεσιν, ἱδρῶτάς τε καὶ παρωτίδας ἐσομένας. ἀποσκήμματά τε παραφροσύνην τε καὶ παραφοράν. ἅπαντά τ᾽ ἄλλα συμπτώματα. τινὰ δὲ, ὡς ἔφην, καὶ πρόσθεν, ὁ προμαθὴς ταῦτα προσεπιλογίζεται πρὸς ἑαυτῆς καθάπερ ἐπὶ τοῦ Βοηθοῦ παιδὸς προσεπιλογισάμην ἐγὼ ἐπί τε τῆς ῥώσεως. καὶ τοῦ διὰ φόβον ἀθυμοῦντος. ἔναγχος, ὡς οἶσθα. καὶ τοίνυν δ᾽ ἔτι προειπόντος μου, τοὺς πολλοὺς ἐξέπληξεν ἡ πρόγνωσις. οἰκονόμος γάρ τις ἅπαντα διοικῶν ὀρθῶς, τὰ τοῦ δεσπότου, καὶ διὰ τοῦτο τιμώμενος, ἑτέρων αὐτὸν ἰατρῶν ἰωμένων, ἐκείνῃ μὲν ἑβδομαῖος ἱδρῶτι. τῇ δ᾽ ὑστεραίᾳ διαλείποντα τὸν σφυγμὸν εὑρόντες αὐτοῦ, κακοήθη διάθεσιν ἐν τῷ σώματι φωλεύειν ἔδοξαν, σφαλέντες μεγάλως. εἶτα τῆς οἰκίας ἐξελθόντος ἅμα τῷ δεσπότῃ τοῦ νεανίσκου, κατὰ τύχην ἀπήντησάν μοι διηγησάμενοι τὰ προγεγονότα καὶ τὰ παρόντα συμπτώματα, τί ποτε σημαίνει τὸ κατὰ τὸν σφυγμὸν ἀλόγως γεγονὸς, ἐδέοντο μαθεῖν. κἀγὼ πυθόμενος πλησίον εἶναι τὴν οἰκίαν ἐν ᾗ κατέκειτο, συνῆλθον αὐτοῖς ἁψάμενός τε σφυγμὸν τοῦ νεανίσκου. κατὰ γὰρ αὐτὴν τὴν αἰσθητικὴν διάθεσιν εἶπόν σοι πολλάκις οὐκ ὀλίγα σφάλλονται καὶ τῶν ἀξιολόγων ἰατρῶν ἔνιοι. μέγαν ἡγούμενοι τὸν οὐ μέγαν σφυγμόν. ὥσπερ γε ἐνίοτε καὶ ταχὺν τὸν οὐ ταχύν. ἢ βραδὺν τὸν μὴ βραδύν. ὡσαύτως δὲ περὶ τῶν ἀμυδρῶν τε καὶ σφοδρῶν καὶ σκληρῶν, καὶ μαλακῶν σφυγμῶν διάγνωσιν σφάλλονται. καὶ μᾶλλον ἔτι περὶ τὴν τῶν ἀτάκτων τε καὶ τεταγμένων ὁμαλῶν τε καὶ ἀνωμάλων ἐν ἀθροίσματί τε καὶ κατὰ μίαν διαστολὴν, δι᾽ οὓς κἀγὼ τέτταρα περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν ἔγραψα βιβλία, προηγούμενα τεττάρων ἑτέρων, ἃ περὶ τῶν ἐν σφυγμοῖς αἰτιῶν ὑπογέγραπται. δεῖται γὰρ ἀμφοτέρα τῶν πραγματειῶν ἡ περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως ἐν τέτρασί τε καὶ αὐτὴ γεγραμμένη βιβλίοις, δι᾽ ἣν καὶ αἱ προειρημέναι δύο τυγχάνουσιν οὖσαι. χρησιμωτάτης δὲ τῆς καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίας οὔσης, ὡς ἐπιδέδεικται γυμνασίας ἰσχυροτέρας αἰσθανομένους, ὡς μὴ δὲ πράττειν ἢ ὑπομένειν ἃ πρότερον ἀμέμπτως ἔπραττον, ἀλλὰ κατακλιθῆναί τε καὶ δεῖσθαι σκεμμάτων. καὶ τοῦτο παθόντας ἐνίους μὲν, ὥραις τρισὶ τοῦ φυγεῖν αὐτὴν τὴν γλωσσολαλίαν. οὐ δὲ γὰρ οὐδὲ βλάβη ἕως ὧδε. πολλῆς δεομένης εἰς διάγνωσιν. ὡς ἂν πολλὰς ἐχούσης διαφοράς. ὅταν ὁ σφυγμὸς ὅτε κατὰ μίαν ἐνέργειαν, ὅτε κατὰ πλείους ἐφεξῆς ἀλλήλων μηδὲν ἔχει παρὰ φύσιν ἄλλο, πλὴν τοῦτο μόνον ὃ κατὰ διάλειψιν γίνεται. γινώσκειν οὖν χρὴ τὸ τοιοῦτον ἐκ γενετῆς εἶναι σύμπτωμα. διαγινώσκεσθαι δὲ χαλεπώτατόν ἐστιν. μᾶλλον δ᾽ ἀδύνατον ἄνευ τῶν πασῶν τῶν κατὰ τοὺς σφυγμοὺς διαφορῶν ἀκριβῶς αἰσθάνεσθαι. θεασάμενος οὖν τὸν ἄνθρωπον οὕτως ἔχοντα συνεβούλευσά τε τοῖς ἰατροῖς ἀναληπτικῶς ἄγειν αὐτὸν ἀσφαλῶς κεκειμένον. εἶθ᾽ ὅταν προσέχηται ἤδη καὶ τὰ συνήθη πράττοι τότε τῶν σφυγμῶν ἁψάμενος αὐτοῦ, διαλιπόντας εὑρήσειν ἔφην ὡς καὶ νῦν. τοῦτο γὰρ αὐτῷ φύσει συμβεβηκέναι, οὐκ ἐξ ὑποπιπτούσης, αἰτίας τινὸς νοσώδους. ἐκ μὲν οὖν τοῦ παραχρῆμα τὸ ῥηθὲν αὐτοῖς ἄπιστον ἐφαίνετο. κατὰ δὲ τὸν ἑξῆς λόγον ἅπαντα διαλιπόντα μίαν πληγὴν τὸν σφυγμὸν εὑρίσκεσθαι ἄλλοτε καθ᾽ ἄλλον ἀριθμόν. ὕστερον δέ ποτε προσελθόντες μοι, παρεκάλουν ἀκοῦσαί μου. διὰ τίνος σημείου τὴν φύσιν ἐγνώρισα τοῦ νεανίσκου τοιαύτην οὖσαν. ἀπεκρινάμην οὖν αὐτοῖς ὅπερ ἤκουσα ποτὲ εἰπεῖν Ἰσοκράτην τὸν ῥήτορα τῶν ἑταίρων πυνθανομένῳ περὶ τριῶν ἐτῶν ἀσκήσεως. εἰ δυνήσεται, καὶ ἀσκήσας ἐν τοσούτῳ χρόνῳ ἕκαστον τῶν προβαλλομένων εἰπεῖν, ὃς ἑώρα λέγοντα τὸν Ἰσοκράτην. φασὶ γὰρ ἀποκρίνασθαι τῷ μειρακίῳ τὸν ἄνδρα. σὺ μὲν ἂν ὦ παῖ συνηυξάμην κἂν ἐν ἡμέρᾳ μιᾷ δύνασθαι μαθεῖν ὅπερ πυνθάνῃ. αὐτὸς δ᾽ ἂν ἐμοὶ τοῦ κατὰ γνώμην ἀφυΐαν ἔτεσι πολλοῖς ἀσκήσας αὐτόν. γνώσεσθαι δὲ ἔφην ὅσαι παρὰ φύσιν εἰσὶν ἐν τοῖς σφυγμοῖς διαφοραὶ τουτὶ τὸ βιβλίον ἀναγνόντες. ἦν δὲ τὸ πρῶτον περὶ τοῦ τὰς τῶν σφυγμῶν διαφορὰς ἁπάσας διαγινώσκειν. ἐπαγομένων ἀσκήσεως τὴν ὁδὸν ἐν τέτταρσι γεγράφθαι βιβλίοις. ἃ λαβεῖν ἔξεστιν ἡμῖν ὅταν ἀπὸ στόματός μου τὰς γεγραμμένας ἐν τῷ δὲ τῷ βιβλίῳ διαφορὰς εἴπητε τοῦτ᾽ οὖν ὦ Ἐπίγενες ἀξιόλογον ἔργον ἰατρικῆς προγνώσεώς ἐστιν, ὥσπερ καὶ τὸ κατὰ τὸν αὐτοκράτορα τῆς διαλειπούσης αὐτῷ εἰσβολῆς γεγενῆσθαι τοῦ παροξυσμοῦ. τῶν δ᾽ ἄλλων ὅσα θαυμάζουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, οὐδὲν οὐδ᾽ ἐγγὺς ὅμοιόν ἐστι. τοῖς δὲ θαυμαστὸν γὰρ εἶναι φαίνεται διὰ τὴν τῶν πολλῶν ἄγνοιαν, ἃ δι᾽ ἑαυτὰ τοῖς νομίμως ἠσκηκόσι τὰ κατὰ τὴν τέχνην, οὐκ ἔχοντα δύσκολον τὴν πρόγνωσιν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΤΗΣ ΕΞ ΕΝΥΠΝΙΩΝ ΔΙΑΓΝΩΣΕΩΣ.

Τὸ ἐνύπνιον δὲ ἡμῖν ἐνδείκνυται διάθεσιν τοῦ σώματος. πυρκαϊὰν μέν τις ὁρῶν ὄναρ, ὑπὸ τῆς ξανθῆς ὀχλεῖται χολῆς. εἰ δὲ καπνὸν, ἢ ἀχλὺν, ἢ βαθὺ σκότος, ὑπὸ τῆς μελαίνης χολῆς. ὄμβρος δὲ, ψυχρὸν ὑγρότητα πλεονάζειν ἐνδείκνυται. χιὼν δὲ καὶ κρύσταλλος καὶ χάλαζα, φλέγμα ψυχρόν. δεῖ δὲ καὶ τοῦ καιροῦ, καὶ τῆς ληφθείσης τροφῆς προσέχειν. ὁ γὰρ χιονίζεσθαι δοκῶν, εἰ κατ᾽ εἰσβολὴν παροξυσμοῦ μετὰ ῥίγους, ἢ φρίκης, ἢ καταψύξεως γινομένης, τοῦτ᾽ ἐμφαντασθῇ, τῷ καιρῷ τὸ πλέον, ἢ τῇ διαθέσει τοῦ σώματος διδόναι χρή. περὶ μέντοι τὴν παρακμὴν τοιοῦτον ὄναρ θεασάμενος, βεβαιοτέραν ἡμῖν ἔνδειξιν ἐργάσηται τῆς τῶν ἐπικρατούντων χυμῶν ψυχρότητος. ἔτι δὲ μᾶλλον ἐὰν μὴ ἐδηδοκότες ὦσί τι τῶν φλεγματικῶν ἐδεσμάτων, ὧν ἐν τῇ γαστρὶ περιεχομένων, ἐνδέχεται τοιαύτην τινὰ γενέσθαι φαντασίαν, καίτοι τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως οὐκ οὔσης ὁμοίας. ἐπεὶ δὲ ἐν τοῖς ὕπνοις, οὐκ ἐπὶ ταῖς τοῦ σώματος ἡ ψυχὴ διαθέσεσι φαντάζεται μόνον ἀλλὰ κἀκ τῶν συνήθως ἡμῖν πραττομένων ὁσημέραι, ἔνια δὲ ἐξ ὧν πεφροντίκαμεν. καὶ δή τινα μαντικῶς ὑπ᾽ αὐτῆς προδηλοῦνται, καὶ γὰρ τοῦτο τῇ πείρᾳ μαρτυρεῖται, δύσκολος ἡ διάγνωσις τοῦ σώματος γίγνεται ἐκ τῶν τοῦ σώματος ὁρμωμένων ἐνυπνίων. εἰ μὲν γὰρ ἀπὸ τῶν ἐφ᾽ ἡμέρας πραττομένων ἢ φροντιζομένων, ἔδει διακρίνειν αὐτὸ μόνον, οὐδὲν ἂν ἦν χαλεπὸν, ὅσα μηδὲ πέπρακται, μὴ δὲ φροντίζεται, ταῦτα ἐκ τοῦ σώματος ὁρμᾶσθαι δοκεῖν. ἐπεὶ δὲ καὶ μαντικά τινα συγχωροῦμεν εἶναι, πῶς ταῦτα διακριθείη τῶν ἀπὸ τοῦ σώματος ὁρμωμένων, οὐ ῥᾴδιον εἰπεῖν. ἐθεάσατο γοῦν τις τὸ ἕτερον τῶν σκελῶν λίθινον γεγονέναι, καὶ τοῦτο ἔκριναν πολλοὶ τῶν περὶ τὰ τοιαῦτα δεινῶν, ὡς πρὸς τοὺς δούλους τείνειν τὸ ὄναρ, ἀλλ᾽ †ἐπαρελύθη τὸ σκέλος ἐκεῖνο ἄνθρωπος, οὐδενὸς ἡμῶν προσδοκήσαντος τοῦτο. τὸν μὲν γὰρ παλαιστὴν αἵματος δεξαμενῇ δόξαντα ἑστάναι, καὶ μόγις αὐτῆς ὑπερέχοντα, πλῆθος αἵματος ἔχειν ἐτεκμηράμεθα, καὶ δεῖσθαι κενώσεως. τινὲς δὲ ἱδρῶσαι κριτικῶς μέλλοντες, λούεσθαι καὶ κολυμβᾶν ἔδοξαν ἐν θερμῶν ὑδάτων δεξαμεναῖς. οὕτω δὲ καὶ ἡ τοῦ πίνειν φαντασία χωρὶς τοῦ ἐμπίπλασθαι, διψῶσι πάνυ συμβαίνει. καθάπερ καὶ τοῦ ἐσθίειν ἀπλήστως τοῖς πεινῶσι. τοῦ δὲ ἀφροδισιάζειν, τοῦ σπέρματος πλήρεσιν. ἔοικε γὰρ ἐν τοῖς ὕπνοις εἰς τὸ βάθος τοῦ σώματος ἡ ψυχὴ εἰσδῦσα, καὶ τῶν ἐκτὸς ἀποχωρήσασα αἰσθητῶν, τῆς περὶ τὸ σῶμα διαθέσεως αἰσθάνεσθαι, πάντων ὧν ὀρέγεται, τούτων ὡς ἤδη παρόντων λαμβάνειν φαντασίαν. καὶ εἴπερ ἔχει ταῦθ᾽ οὕτως, οὐδὲν ἂν εἴη θαυμαστὸν, ὁπότε μὲν ὑπὸ πλήθους χυμῶν ἡ ψυχικὴ δύναμις ἐνοχλεῖται βαρυνομένη, μόγις μὲν κινουμένους ἑαυτοὺς κατ᾽ ὄναρ φαντάζεσθαι καὶ βαστάζοντας ἄχθη τινά. τοὐναντίον δὲ, ἢ κουφότης καὶ ἀπέριττος ἡ τοῦ σώματος διάθεσις, ἤτοι πετομένους, ἢ θέοντας ὠκύτατα τοὺς οὕτω διακειμένους ὁρᾶν ὄναρ, ὁμοιουμένων ἀεὶ τῶν φαντασμάτων τῆς ψυχῆς, ταῖς τοῦ σώματος διαθέσεσιν, ἄχρι καὶ τῶν δυσωδῶν, ἢ εὐωδῶν ἀνέρχεσθαι δοκεῖν. οἱ μὲν γὰρ ἐν κόπρῳ καὶ βορβόροις διατρίβειν ἑαυτοὺς φαντασθέντες, ἤτοι τοὺς χυμοὺς ἐν αὐτοῖς μοχθηροὺς καὶ δυσώδεις καὶ σεσηπότας ἔχουσιν, ἢ πλῆθος κόπρου περιεχομένης ἐν τοῖς ἐντέροις. τοὺς δὲ ἔμπαλιν τούτων διακειμένους καὶ δοκοῦντας ἐν εὐώδεσι τόποις διατρίβειν ἐναντίαν ἔχειν ἐν τῷ σώματι διάθεσιν ἡγητέον. ἃ τοίνυν ὁρῶσιν οἱ κάμνοντες ἐν τοῖς ἐνυπνίοις καὶ πράττειν δοκοῦσι, συνδείκνυται πολλάκις ἡμῖν, ἐνδείας τε καὶ πλεονεξίας, καὶ ποιότητας χυμῶν.

†al. παρελύθη

ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΤΟΥΣ ΠΕΡΙ ΤΥΠΟΥ ΓΡΑΨΑΝΤΑΣ Η ΠΕΡΙ ΠΕΡΙΟΔΩΝ.

Τοῖς μὲν παλαιοῖς ἰατροῖς ἀπόχρη μόνον τοῦτ' εἰπεῖν, ὡς κατὰ περιόδους ἐνίοις τῶν νοσημάτων οἱ παροξυσμοὶ γίνονται, μηκέτι προστιθεμένοις τί σημαίνει τοὔνομα ἡ περίοδος. ἠπίσταντο γὰρ Ἕλλησιν ἀνθρώποις γράφοντες τὰ βιβλία, σαφῶς εἰδόσιν, ὡς ἐπειδὰν δι' ἴσου χρόνου γίνηταί τι ταυτὸ τῷ εἴδει, τὸν χρόνον τοῦτον ἅπαντες Ἕλληνες ὀνομάζουσι περίοδον. οὕτω γοῦν ὀλυμπιακάς τέ τινας καὶ πυθιακὰς ἐκάλουν περιόδους. οἱ νεώτεροι δὲ πρῶτον μὲν ἐπεισήγαγον ταῖς περιόδοις τὴν τοῦ τύπου προσηγορίαν, εἶθ' οἱ μὲν ταυτὸ ἡγοῦντο σημαίνεσθαι πρὸς τῆς περιόδου φωνῆς, καὶ τάξις, καὶ τύπος. οἱ δὲ οὐ ταυτόν. ὡρίσαντο δὲ πάντα ταῦτα ἐπιχειροῦσιν, ἄλλοι ἄλλως, οὐ μόνον κατασκευάζοντες τοὺς ἰδίους ὅρους, ἀλλὰ καὶ τοῖς τῶν ἄλλων ἀντιλέγοντες. ὅσοι μὲν οὖν ἄχρι τῆς περὶ τοὺς ὅρους φιλοτιμίας προεληλύθασι συγχωροῦντες ἐκ τῶν κυρίων ὀνομάτων ἕν τι σημαίνεσθαι τύπου, καὶ περιόδου, καὶ τάξεως, ἐλάττονα φλυαροῦσιν. ὅσοι δὲ περίοδον μὲν ὀνομάζουσι τὸν χρόνον, δι' ὃν τι ταυτὸ γίνεται. τύπον δὲ, οὐχ ἁπλῶς ἅπαντα τὸν τοιοῦτον χρόνον, ἀλλ' ὅταν ὁλοκλήροις ἡμέραις τε καὶ νυξὶ περιγράφηται, μακρὰς οὗτοι καὶ ἀχρήστους φλυαρίας καταβάλλονται, καὶ διὰ τοῦθ' αὑτῶν τε καὶ τῶν μαθητῶν κατατρίψαντες τὸν χρόνον, ὅταν ἐπὶ τοὺς κάμνοντας ἀφίκωνται, χείρους εἰσὶν ἰδιώτου παντός. ἰδιώτης μὲν γὰρ νοῦν ἔχων, ἐπειδὰν θεάσηταί τινα καθ' ἑκάστην ἡμέραν παροξυνόμενον, ἐάν θ' ὑστερῇ σμικρὸν ὁ παροξυσμός, ἐάν τε προλαμβάνῃ, φαντασίαν τινὰ ἔχει περιόδου, τῆς καθημερινῆς ἀμφημερινῆς. εἰ δέ τις καὶ φιλόπονος εἴη καὶ φιλίατρος, ἔννοιά τις αὐτὸν εἰσέρχεται δυοῖν τριταίοιν ἢ τριῶν τεταρταίων, καὶ τοῦτο ἀξιοῖ διορισθῆναι πρὸς τῶν ἰατρῶν. οἱ δὲ ταῖς εἰρημέναις ὑποθέσεσι δουλεύοντες, ἐὰν ἐντύχωσιν ἀρρώστῳ δυοῖν ὥραιν ἑκάστης ἡμέρας τὸν παροξυσμὸν ἔχοντι προληπτικόν, εἴκοσι μὲν εἶναι, καὶ δυοῖν ὥραιν φασὶ τὴν περίοδον, τὸν δ' ὅλον τύπον οὐχ ἁπλοῦν, ἀλλά τινα σύνθετον ὑπάρχειν, νομίζουσιν. εἶτα ζητήσαντες ἱκανῶς, καὶ λογισάμενοι κατὰ σφᾶς αὐτούς, οἱ μὲν ἐπὶ δακτύλων, οἱ δὲ καὶ ἐπὶ διαγράμματος ἔν τινι βιβλίῳ γεγραμμένῳ, δώδεκα φασὶν εἶναι δωδεκαταίους, τὸν τοιοῦτον τύπον. γελώντων δὲ ἐπὶ τούτοις τῶν ἀκουσάντων, ἀγανακτοῦσιν. ἔτι δὲ μᾶλλον ὅταν ὥρᾳ μιᾷ ποτὲ θεάσωνται τὸν παροξυσμὸν προλαμβάνοντα, καὶ τό γε ἀποφαίνονται, δ'. εἶναι καὶ κ'. εἰκοσιτεταρταίους, αὐτοί τε καταγελῶνται, καί τινα τοῖς ἄλλοις ἰατροῖς ὑποψίαν ἀγνοίας παρὰ τοῖς ἰδιώταις παρασκευάζουσιν. ὅταν γὰρ ἐκείνους ἐκ βιβλίου θεάσωνται μετὰ σεμνότητός τινος εὑρίσκοντας ὥς τι μέγιστον πρᾶγμα κδ'. εἰκοσιτεταρταίους, ἐπέρχεται καταγινώσκειν αὐτοῖς ἁπάντων τῶν ἀναγινωσκόντων τὰ βιβλία, καὶ μάλιστα τοῖς ἀλόγῳ τριβῇ μεταχειριζομένοις τὴν τέχνην ἑαυτοὺς ἐπιτρέπουσιν. ἐὰν γοῦν τις ἕπηται ταῖς ὑποθέσεσι τῶν τὰ τοιαῦτα ληρούντων ἰατρῶν, καὶ τὸν τριταῖον, ὅταν ἤτοι προλαμβάνῃ μίαν ὥραν, ἢ ὑστερίζῃ, πάντα μᾶλλον, ἢ τριταῖον ἐρεῖ. τὸν μὲν γὰρ προλαμβάνοντα, τεττάρων καὶ κ'. ὄντα, φησὶ τεσσαρακοστοδυαῖον ἐπιπλοκὴν εἶναι. τὸν δὲ ὑστερίζοντα, πεντηκοσταῖον, καὶ τοῦτον ἐρεῖ, ε'. καὶ κ'. εἶναι. τίς μὲν οὖν ἦρξατο πρῶτος τῆς ἐμπλήκτου ταύτης σοφίας, οὐκ οἶδα, ἡνίκα δ' ἐγὼ πρῶτον ἤκουσα τοῦ γε μιμουμένου αὐτήν, ἐρῶ. Μεθεστήκει μὲν ἐξ ἀνθρώπων ἔναγχος Ἀντωνῖνος, ὁ μετ' Ἀδριανὸν γενόμενος αὐτοκράτωρ, ἦρχεν δὲ ὅ τε Σεβῆρος, ἑαυτὸν μὲν Ἀντωνῖνον μετονομάσας, εἰς δὲ τὴν τῆς ἀρχῆς κοινωνίαν προσλαβὼν Λούκιον καὶ μετονομάσας Σεβῆρον. ἐν τούτῳ τῷ χρόνῳ πρῶτον ἀκούσας ἐθαύμασα τοὺς προβάλλοντας ὧδέ πως. ἐὰν πέντε ταῖς ὥραις παροξυνόμενος, ἀνίεται δυοῖν, ὡς εἶναι τὴν ὅλην περίοδον ὡρῶν ζ'. καὶ τοῦτ' ἐφεξῆς γίνηται, τίνα χρὴ νομίζειν τὸν τύπον. ἀπεκρινάμην οὖν εὐθέως αὐτῷ, μὴ δ' οἷόν τε γενέσθαι τοῦτο. τοὺς γὰρ ὀλιγοχρονίους οὕτω παροξυσμοὺς μακρὰς ποιεῖσθαι τὰς παρακμάς, καὶ τό γε πάμπαν γε καὶ εἰς ἀπυρεξίαν ἀφικνεῖσθαι. σὺ δὲ παροξυσμὸν μὲν, ἔφην, διηνεκῆς νοσήματος ἐπιτέτακας, τῇ συνεχείᾳ δὲ τῆς περιόδου, ὀλεθριωτάτου αὖθις ἀποφαίνεις αὐτόν. μηδὲν, ἔφη, σκόπει τό γε νῦν πότερον ἀδύνατός ἐστιν ἡ ὑπόθεσις, ἢ δυνατή, γυμνασίας δ' ἕνεκα τὰ τοιαῦτα συγχώρει ζητεῖσθαι. πρὸς γὰρ τὴν τῶν ποικίλων τύπων εὕρεσιν, εὐπορωτέρους ἡμᾶς ἐργάζεται. ἐκείνῳ μὲν οὖν ὅτι τὸ τοιοῦτον γυμνάσιον ἀχρειοτέρους ἡμᾶς ἐργάζεται μᾶλλον, ἤπερ εὐπορωτέρους ἐπειράθην ἐνδείξασθαι τό γε νυνὶ δὲ τοῖς ἄλλοις ἐπιδείξω προδιηγησάμενος ἥτις ποτ' ἐστὶν ἡ χρεία τῆς τοιαύτης θεωρίας. ἐπεὶ τοίνυν οὐδὲν οὕτω χρήσιμόν ἐστι, καὶ μάλιστα ἐν τοῖς πυρετοῖς, ὡς τὸ προγινώσκειν τὰς ἀρχὰς τῶν ἐσομένων παροξυσμῶν, ἐὰν μέν τις εὐθέως ἀπ' ἀρχῆς οἷός τε ἢ στοχασμῷ τεχνικῷ τοῦτ' ἐξεργάζεσθαι, μέγιστα τὸν κάμνοντα δι' ὅλου τοῦ νοσήματος ὠφελήσει. ἐὰν δ' εὐθὺς μὲν ἐξ ἀρχῆς ἀδυνατήσῃ, προϊόντος δὲ τοῦ χρόνου δυνηθῇ, κατὰ τὸν ὑπόλοιπον χρόνον ὀνήσει τὸν κάμνοντα. καὶ ὅσῳ γὰρ θᾶττον εἰς πρόνοιαν ἀφίκηται τῆς τοῦ νοσήματος ἰδέας, τοσούτῳ πλείονα χρόνον ὠφελήσει τὸν νοσοῦντα. πειρατέον μὲν οὖν εὐθὺς ἀπ' ἀρχῆς διαγινώσκειν ὁποῖός τίς ἐστιν ὁ πυρετός, ὡς ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι δέδεικται, καὶ τά γε πολλὰ βεβαίως ἐστὶ γνῶναι τοῦτο διὰ τῶν ἐν ἐκείνοις γνωρισμάτων. εἰ δέ τις ἀμφιβολία γενηθείη κατὰ τὴν πρώτην ἡμέραν, ἐν τῇ δευτέρᾳ διακριτέον αὐτήν. εἰ δὲ καὶ ταύτην γέ ποτε ἐκφύγοι, τῇ τρίτῃ γε πάντως γνωρισθήσεται. εἰ δ' ἄρα καὶ ταύτην γέ ποτε διεκφύγοι κατὰ τὸ σπάνιον, ἀλλ' ἐν τῇ τετάρτῃ ἐξ ἀνάγκης γνωρισθήσεται. εἰ δὲ μηδ' ἐν ταύτῃ τις ἤδη τὴν ἰδέαν τοῦ νοσήματος ἐγνώρισεν, ἀλλ' ἔτ' ἀγνοεῖ, πολὺ μέρος οὗτος τῆς τέχνης ἀγνοεῖ. τά τε γὰρ ἄλλα καὶ οἱ παροξυσμοὶ πάντες, οἱ ἐν τοῖς πυρετοῖς, ἤτοι καθ' ἑκάστην ἡμέραν, ἢ διὰ τρίτης, ἢ διὰ τετάρτης ἀπαντῶσιν. ἐν μὲν τοῖς πλείστοις νοσήμασιν, ἐφ' ὧν δὴ καὶ μάλιστά ἐστι χρεία τῆς προγνώσεως τοῦ μέλλοντος ἔσεσθαι παροξυσμοῦ διὰ τρίτης, καὶ καθ' ἑκάστην ἡμέραν, ἐν ὀλιγίστοις δέ τισι διὰ τετάρτης. ἀλλ' ἴσως τίς φησι τῶν νεωτέρων τουτωνὶ σοφιστῶν, καὶ διὰ πέμπτης ἡμέρας γίνεσθαι τινὰς περιόδους, καὶ δι' ἕκτης, καὶ ἑβδόμης, καί τινας ἄλλας ἄχρι παμπόλλων ἡμερῶν ἐκτεινομένας οὓς ὄντως ἐστὶ μακαρίζειν τῆς θαυμαστῆς συνέσεως, εἰ μὴ παρακολουθοῦσιν, ἐξ ὧν λέγουσιν ἄρδην ἀναιροῦντες τὸ χρήσιμον ἁπάσης τῆς περὶ τύπων πραγματείας. ὅσοι μὲν γὰρ ἀγνοεῖν ὁμολογοῦντες ἀπὸ τῆς πρώτης ἡμέρας εἴδη διαγινώσκειν πυρετῶν, ἀναμένουσι τὰς μέχρι τῆς τετάρτης, οὔτε πεμπταίαν τινὰ περίοδον, οὔθ' ἑκταίαν, οὔτε τούτων ἐξωτέραν τινὰ ἑωρακέναι φάσκοντες, εἰ καὶ μὴ τῇ β', καὶ τῇ γ'. τῶν ἡμερῶν, ἀλλὰ τῇ γε δ' ἑξῆς ἐλπίζειν τι δύνανται περὶ τοῦ μέλλοντος παροξυσμοῦ. τοῖς δ' εἰς πολὺ πλῆθος ἡμερῶν ἐκτείνουσι τὰς περιόδους ἀδύνατον προγνῶναι τὸν ἐσόμενον παροξυσμόν. αὐτίκα γοῦν τῷ κατὰ τὴν πρώτην ἡμέραν

ἡμερῶν γενομένων δυνατόν ἐστι καὶ ἐφ' ἀμφημερινοῦ καὶ τριταίου, καὶ τεταρταίου, καὶ πεμπταίου, καὶ πᾶσι τοῖς ἐφεξῆς ὑπάρχειν. ἐὰν οὖν γενηθῇ κατὰ τὴν δευτέραν ἡμέραν παροξυσμός, ἄντε καὶ μή, περὶ τῆς τρίτης ἡμέρας ἐλπίζειν οὐδὲν ἔχουσιν, οἱ τὰς μακρὰς περιόδους εἰσηγούμενοι. καὶ τοίνυν ὑποκείσθω μετὰ τὴν πρώτην ἡμέραν, μήτ' ἐν τῇ δευτέρᾳ, μήτ' ἐν τῇ τρίτῃ, μήτ' ἐν τῇ τετάρτῃ γεγονέναι παροξυσμόν. οἱ μὲν τὰς τρεῖς μόνας εἰδότες περιόδους ἀνιστᾶσί τε τὸν ἄνθρωπον ἀπὸ τῆς κλίνης, καὶ τῶν συνήθων ἔχεσθαι κελεύουσιν, ἀπηλλάχθαι νομίζοντες ἁπάσης ὑποψίας. οἱ δὲ καὶ τὰς ἐφεξῆς, ὅσαι πολυήμεροι, γίγνεσθαι φάσκοντες, ὁμοίως ὑποπτεύειν τὴν ε'. ἡμέραν εἰσὶ δίκαιοι, καθάπερ καὶ τῶν ἄλλων τῶν ἔμπροσθεν, οὕτω δὲ καὶ τὴν ϛ'. καὶ τὴν ζ'. καὶ τὰς ἄλλας τὰς ἐφεξῆς ὑποπτεύουσιν. εἰ δὲ καὶ γένοιτό τις καὶ ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν παροξυσμός, ἄδηλον εἴτε κατ' ἀμφημερινοῦ σχῆμα πρὸς τὸν ἐν τῇ πρώτῃ γεγονότα τὴν ἀναλογίαν ἐφύλαξεν, εἴτ' ἐστὶν ἑτέρας ἀρχὴ περιόδου. κατὰ ταῦτα δέ, εἰ καὶ κατὰ τὴν τρίτην αὖθις τῇ δευτέρᾳ γενηθείη. δεῖ γὰρ ἀγνοοῦντι διαγινώσκειν εὐθὺς ἐξ ἀρχῆς εἴτε ἀμφημερινός ἐστιν, εἴτε τριταῖος, εἴτ' ἄλλος τις πυρετός, ἄδηλον εἴθ' εἷς ἐστιν ἀμφημερινός, εἴτε δυοῖν ἐπιπλοκὴ τριταίοιν, εἴτε καὶ τριῶν τεταρταίων. καὶ περὶ τῶν ἄλλων δὲ τῶν μειζόνων περιόδων, ὁ αὐτὸς λόγος. ὅτι μὲν οὖν ὅσοι νομίζουσι πολλὰς εἶναι περιόδους, οὐ μόνας τὰς τρεῖς, οὐδέποτε δυνήσονται προγνῶναι τὸν ἐσόμενον παροξυσμόν, ἤδη δέδεικται. λέγομεν δ' ἐφεξῆς περὶ τῶν μόνας τὰς τρεῖς ἡγουμένων, οὐ μὴν ἐκ τῆς ἰδίας φύσεως ἑκάστην διαγινωσκόντων, ἀλλ' ἐκ τῶν ἐπὶ τοὺς παροξυσμοὺς ἀνταποδόσεων, οὕτω γὰρ εἰώθασιν ὀνομάζειν αὐτοὶ τὰς ἀναλογίας τῶν παροξυσμῶν. οἱ τοιοῦτοι δ' εἰ μὴ διὰ παντὸς ὥσπερ οἱ πρότεροι, τὸν ἐσόμενον παροξυσμὸν ἀγνοήσουσιν, ἀλλὰ μέχρι τῆς τετάρτης, ἢ πέμπτης ἡμέρας ἐξ ἀνάγκης. ὑποκείσθω γοῦν ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν, ἕνα γεγονέναι παροξυσμόν, ἐν δὲ τῇ δευτέρᾳ, δύο καὶ δύο πάλιν ἐν τῇ τρίτῃ, καὶ δύο κατὰ τὴν τετάρτην. ἐνδέχεται μὲν οὖν καὶ τοιαύτην εἶναι τὴν ἐπιπλοκὴν τῶν ἁπλῶν περιόδων, ὡς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἀμφημερινὸν ἦρχθαι. κατὰ δὲ τὴν δευτέραν, τριταῖον. ἐν δὲ τῇ τρίτῃ δύνασθαι μὲν καὶ τριταῖον, δύνασθαι δὲ καὶ τεταρταῖον. ἄδηλον γὰρ ἄχρι περὶ τῆς πέμπτης. εἴτ' ἐν τῇ τετάρτῃ τοῦ τε κατὰ τὴν πρώτην ἡμέραν ἀρξαμένου τεταρταίου δεύτερον παροξυσμόν, καὶ τοῦ κατὰ τὴν δευτέραν τριταίου δεύτερον. δῆλον δὲ ὡς ἡ πέμπτη τῶν ἡμερῶν, δύο παροξυσμοὺς ἕξει. τοῦ τε κατὰ τὴν τρίτην ἡμέραν ἀρξαμένου τριταίου τὸν δεύτερον, καὶ τοῦ κατὰ τὴν δευτέραν ἡμέραν ἀρξαμένου τεταρταίου τὸν δεύτερον. ἡ δ' ἕκτη τοῦ κατὰ τὴν τρίτην ἠργμένου τεταρταίου τὸν δεύτερον, καὶ τοῦ κατὰ τὴν δευτέραν τριταίου τὸν τρίτον. ἐνδέχεται δὲ τῶν ἄλλων ὡσαύτως ἐχόντων ἐν τῇ τρίτῃ τῶν ἡμερῶν ἦρχθαι δύο τριταίους ἄλλους. ἢ δύο τεταρταίους ἄλλους. ἐπεὶ γὰρ ἡ τετάρτη τῶν ἡμερῶν κατὰ τὴν τοιαύτην ὑπόθεσιν οὐδεμίαν ἔχει πρὸς τὴν τρίτην κοινωνίαν, ἐνδέχεται καὶ δύο τριταίους καὶ δύο τεταρταίους, καὶ τριταῖον καὶ τεταρταῖον ἕνα κατὰ τὴν τρίτην ἡμέραν ἄρξασθαι. θαυμάσαι δ' ἐστὶ τὰς τοιαύτας ἐπιπλοκὰς συντιθέντων. εἰ μηδέποτε ἐνενόησαν ἐνδέχεσθαι τῶν δύο τύπων εἰς τὴν αὐτὴν ὥραν συνελθεῖν τοὺς παροξυσμούς, ὅπερ εἰ γένοιτο, διέφθαρται τὰ τῆς ἀνταποδόσεως αὐτοῖς γνωρίσματα. κατὰ γοῦν τὴν προκειμένην ὑπόθεσιν ἐγχωρεῖ τὸν μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀρχόμενον τεταρταῖον ὥρᾳ δευτέρᾳ, τὸν δὲ τεταρταῖον ἐνδεκάτῃ. τούτων δ' οὕτως ἐχόντων, εἷς ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ἐστι παροξυσμὸς ὁ ἐπὶ τὴν δευτέραν ὥραν. οὐ μὴν ἕνα λέγουσί ποτε γενέσθαι ἐπὶ τὴν ὑποκειμένην ὑπόθεσιν, ἀλλ' ἀεὶ δύο. θέασαι δ' ὅπως ἐγχωρεῖ καὶ τρεῖς ἅμα παροξυσμοὺς εἰς μίαν ὥραν συνδραμεῖν, καὶ διὰ τοῦτ' οὐκ ἀγνοηθῆναι τὴν ἐπιπλοκὴν τοῖς εἰδόσιν ἑκάστου τύπου τῶν ἁπλῶν διαγινώσκειν τὸ εἶδος. ὑποκείσθω γὰρ ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ἦρχθαι τεταρταῖον ὥρᾳ τρίτῃ. ἐν δὲ τῇ δευτέρᾳ, ἐπὶ τὴν αὐτὴν ὥραν τριταῖον. ἐν δὲ τῇ τρίτῃ, ἐπὶ τὴν αὐτὴν ὥραν ἀμφημερινόν. ἀνάγκη δὴ τούτων ὑποκειμένων ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ὥρᾳ τρίτῃ γενέσθαι παροξυσμὸν ἕνα, τῶν τριῶν περιόδων εἰς ταὐτὸν ἀλλήλαις ἀφικομένων. ἀλλ' οὐδεὶς αὐτῶν ἔγραψε τοῦτο. πάντες δὲ ὥσπερ ἐξ ἑνὸς στόματος αὖθις τῇ προειρημένῃ νῦν ὑποθέσει κατὰ τὴν τετάρτην ἡμέραν τρεῖς λέγουσι γενέσθαι παροξυσμούς. ἄν τέ τις (ἀναστρέψῃ) καθ' ἑκάστην ἡμέραν ἅπαξ ὑποθῆται τὸν κάμνοντα παροξυνόμενον. ἔνιοι μὲν ἁπλῶς ἀμφημερινὸν ἀποφαίνονται. τινὲς δὲ ἐνδέχεσθαί φασι καὶ δύο τριταίους εἶναι, καὶ τρεῖς τεταρταίους. ὅπως μέντοι χρὴ διακρίνειν αὐτούς. οἱ πλείους μέν, οὐδὲ ὅλως ἐζητήκασιν. ἔνιοι δέ, τῇ διαφορᾷ τεκμαίρονται τῶν ὡρῶν, ὥσπερ οὐκ ἐνὸν ὥρας ἕκτης εἰ τύχοι, πάντας εἰσβάλλειν ἐν διαφερούσαις ἡμέραις. ὅπερ εἰ γένοιτο, συμβήσεται καθ' ἑκάστην ἡμέραν ἕνα φαίνεσθαι παροξυσμόν, ἐπιπλεκομένων ἀλλήλαις τῶν τριῶν περιόδων, ἀμφημερινῆς, καὶ τριταίας, καὶ τεταρταίας. ἡ μὲν γὰρ πρώτη τῶν ἡμερῶν, τὴν τεταρταίαν ἕξει μόνην. ἡ δὲ δευτέρα, τὴν τριταίαν. ἡ δὲ τρίτη τὴν ἀμφημερινήν. ἡ δὲ τετάρτη ἅμα πάσας τὰς τρεῖς εἰς ἕνα χρόνον συνεληλυθυίας. ἐφ' αἷς ἡ πέμπτη πάλιν ἡμέρα τὴν ἀμφημερινὴν ἕξει μόνην. ἡ δ' ἕκτη πρὸς ταύτην καὶ τὴν τριταίαν. ἡ δὲ ζ'. τὰς τρεῖς εἰς ἕνα χρόνον συνεληλυθυίας. ἄδηλον οὖν, ὡς εἴρηται, πότερον ἀμφημερινὸς εἷς ἐστιν, ἢ δύο τριταίων μίξεις, ἢ τριταίων καὶ τεταρταίων, ἢ τεταρταίου καὶ τριταίου, καὶ ἀμφημερινοῦ. καὶ μὴν οὐχ ἡ αὐτὴ θεραπεία τριταίου καὶ τεταρταίου, καὶ ἀμφημερινοῦ, πλὴν εἰ καὶ τοῦτο νομίζουσιν. ἀφ' οὗ γοῦν ἐπεπόλασεν ἀπαιδευσία τε ἅμα καὶ ἀναισχυντία τῶν ἐπιχειρούντων τῇ τέχνῃ, θαυμαστὸν οὐδέν ἐστιν ἀγνοεῖσθαί τισι καὶ τὰ τηλικαῦτα, ἀλλ' ἡμεῖς γινώσκομεν εἰς ὅσον διαφερούσης δέονται θεραπείας ἀμφημερινὸς εἷς, τριταίοιν δυοῖν, καὶ τριταῖοι τεταρταίοιν, ὡς οὐχ οἷόν τ' ἐστὶ διακρῖναι ἐπὶ τοὺς ἀγνοοῦντας ἑκάστου πυρετοῦ τὴν ἰδέαν, καὶ πολλάκις ἐπὶ τῶν καμνόντων ἐθεασάμεθα δυοῖν τριταίοιν ἐπιπλοκὴν ἀμφημερινὸν ἕνα νομίζοντας εἶναι τοὺς θεραπεύοντας, οὓς μόγις ἐπείσαμεν ὑπὸ δυοῖν τριταίοιν ἐνοχλεῖσθαι τὸν κάμνοντα. λυθέντος μὲν ἐξ αὐτῶν πρότερον τοῦ προτέρου, καταληφθέντος δὲ μόνου τοῦ χαλεπωτέρου. ἅπαντες ἂν ἐοίκασιν, οἱ τὰ περὶ τύπων βιβλία γεγραφότες, οὐδὲν φροντίσαι τῆς εἰς τὴν πρόγνωσίν τε καὶ δίαιταν ἐξ αὐτῶν ὠφελείας. ἀλλ' ὥσπερ λέγουσιν, οὕτω καὶ ποιῆσαι, γυμνάσματα τοῖς νέοις γράψαι ταῦτα, παραπλήσια τοῖς περὶ δεῖπνον αἰνίγμασιν. εἰ μὲν οὖν αὐτοὺς ἁπλῶς βούλονται γυμνάζειν, ἐν ᾗ

ὥσπερ πράττειν, ἐπί τε γεωμετρίαν ἄγουσι, καὶ ἀριθμητικὴν, καὶ λογιστικὴν, καὶ διαλεκτικήν. εἰ δ' ἕνεκα τοῦ προγινώσκειν τὸν ἐρχόμενον παροξυσμὸν ἐπὶ τὸ γυμνάσιον ἀφικνοῦνται ὥσπερ, τοῦ παντὸς ἁμαρτάνουσι, διὰ μοχθηρῶν ὁδῶν ἰέναι τοὺς νέους ἀναπείθοντες, ἐξ ὧν οὐδὲν εὑρίσκουσιν, οὔτ' εἰς πρόγνωσιν, οὔτ' εἰς θεραπείαν χρηστόν, ἐνὸν αὐτοὺς ἐᾶν τοὺς διδάξαι διαγινώσκειν παροξυσμὸν ἀμφημερινοῦ πυρετοῦ, καὶ τριταίου, καὶ τεταρταίου, καὶ ἡμιτριταίου, καὶ τριταιοφυοῦς, ἑκάστου τε τῶν ἄλλων, ὅσοι μὴ μόνον κατὰ τὸ σχῆμα τῶν περιόδων, ἀλλὰ καὶ κατὰ τὴν ὅλην φύσιν ἀλλήλοις διαφέρουσιν. ὡς ὅστις γε τούτους ἐπίσταται γνωρίζειν, ἄχρηστος αὐτοῖς πᾶσα ἡ περὶ τύπων θεωρία. κάλλιον δ' ἂν ἴσως εἰπεῖν, ὡς αὕτη γε ἅπασα ματαία. τῷ δὲ ἀσκήσαντι διὰ τῶν ἰδίων σημείων ἕκαστον τῶν πυρετῶν γνωρίζειν, οὐ μόνον κέρδος ἐστὶ τὸ τῆς ματαίου φλυαρίας καταφρονεῖν, ἀλλὰ καὶ τὸ προγινώσκειν γε τὸ τῆς διαίτης εἶδος ἑκάστῳ πρόσφορον. ἀλλ' οὗτοι μὲν ἔτ' ἀνεκτοί, καὶ γὰρ Ἀγαθῖνος ἀνὴρ οὐχ ὁ τυχὼν, εἰς τὴν τοιαύτην ὑπόθεσιν διδασκαλίαν. οἱ δ' ἑπτὰ ποιοῦντες ὡρῶν περιόδους, ἐδέοντο μὲν οὐχ ἡμῶν, ἀλλὰ Φιλιστίωνος, ἤ τινος τοιούτου τοῦ διαπαίζοντος αὐτῶν τὸν λῆρον. ἐπεὶ δ' ἠνάγκασάν με τινὲς τῶν νεωτέρων δεηθέντες, ἣν ἐγὼ παίζων αὐτὸς ἐδίδαξα μέθοδον εἰς εὕρεσιν τῶν ἐν ταῖς τοιαύταις ὑποθέσεσιν τύπων, ἐν γράμμασι καταθέσθαι, δι' ἐκείνους ἀνέθηκα καὶ τούτῳ τῷ λόγῳ μίαν ἡμέραν οὐχ ἑκών. ἀρξώμεθα οὖν ἤδη τῆς διδασκαλίας αὐτῶν ἐνθένδε. Τύπον οὗτοι καλοῦσιν οὐχ ἅπασαν περίοδον, ἀλλ' εἴ τις ἂν ἐξ ὁλοκλήρων ἡμερῶν τε καὶ νυκτῶν συγκέκτηται, καὶ καθ' ἕκαστόν γε πλῆθος ἡμερῶν ἴδιον εἶναι βούλονται τύπον. οὐ δὲ κ', ἢ λ'. μόνον ἡμερῶν, ἀλλὰ καὶ τούτων ἐξωτέρω τὰς τῶν τύπων περιόδους ἐκτείνοντες. ἐν δὲ τοῖς τύποις τούτοις ὁ τοῦ παροξυσμοῦ χρόνος ἐπὶ παροξυσμόν, οὐκέτι μὲν τύπος, αὐτὸ δὲ ὥσπερ μόνον ὀνομάζεται αὐτοῖς περίοδος. ἐπυθόμην δή τινα καὶ βιβλίον ὅλον οὐ σμικρόν γε γεγραφηκέναι, διδάσκοντα, πῶς ἄν τις ἐφ' ἑκάστῃ περιόδῳ παροξυντικῇ προβληθείσῃ, τότ' εὐθὺς εὑρίσκει καὶ τὸν ἀριθμὸν τῶν τύπων, καὶ νὴ τοὺς θεοὺς ἐθαύμαζον, τίνα ποτ' ἐστὶν ἃ λέγει κατὰ τὸ βιβλίον. ἡ γάρ τοι μέθοδος ἐξ ὧν ἄν τις εὑρίσκοιτο πόσων ἐστὶ τύπων ἐπιπλοκὴ δι' ἐλαχίστων ἐπῶν διδαχθῆναι δύναται, τοιαύτη τίς οὖσα. τὸν ἀριθμὸν τῶν ὡρῶν ἑκάστου τύπου πρόχειρον ἔχειν προσήκειν, ἤτοι διὰ μνήμης, ἢ γεγραμμένον ἐν χαρτίῳ. τοῦ μὲν ἀμφημερινοῦ, τὸν τῶν κδ'. τριταίου δὲ τὸν τῶν ὀκτὼ καὶ τετταράκοντα. καὶ οὕτως ἐφεξῆς, τεταρταίου μὲν οβ'. πεμπταίου δὲ ϟϛ'. ἑκταίου ρκ'. ἑβδομαίου δὲ ρμδ'. καὶ τῶν ἄλλων ὡς ὥσπερ τὸ διάγραμμα τὸ ὑποτεταγμένον ἔχει.

Τύποι	ὧρας.				
ἀμφημερινός.	κδ'.	24	εἰκοστὸς ἕκτος.	600	χ'.
τριταῖος.	μη'.	48	εἰκοστὸς ἕβδομος.	624	χκδ'.
τεταρταῖος.	οβ'.	72	εἰκοστὸς ὄγδοος.	648	χμη'.
πεμπταῖος.	ϟϛ'.	96	εἰκοστὸς ἔννατος.	672	χοβ'.
ἑκταῖος.	ρκ'.	120	τριακοστός.	696	χϟϛ'.
ἑβδομαῖος.	ρμδ'.	144	τριακοστὸς πρῶτος.	720	ψκ'.
ὀγδοαῖος.	ρξη'.	168	τριακοστὸς δεύτερος.	745	ψμδ'.
ἐνναταῖος.	ρϟβ'.	192	τριακοστὸς τρίτος.	768	ψξη'.
δεκαταῖος.	σιϛ'.	216	τριακοστὸς τέταρτος.	792	ψϟβ'.
ἑνδεκαταῖος.	σμ'.	240	τριακοστὸς πέμπτος.	816	ωιϛ'.
δωδεκαταῖος.	σξδ'.	264	τριακοστὸς ἕκτος.	840	ωμ'.
τρισκαιδεκαταῖος.	σπη'.	288	τριακοστὸς ἕβδομος.	864	ωξδ'.
τεσσαρεσκαιδεκαταῖος.	τιβ'.	314	τριακοστὸς ὄγδοος.	888	ωπη'.
πεντεκαιδεκαταῖος.	τλϛ'.	336	τριακοστὸς ἔννατος.	912	ϡιβ'.
ἑξκαιδεκαταῖος.	τξ'.	360	τεσσαρακοστός.	936	ϡλϛ'.
ἑπτακαιδεκαταῖος.	τπδ'.	384	τεσσαρακοστὸς πρῶτος.	960	ϡξ'.
ὀκτωκαιδεκαταῖος.	υη'.	408	τεσσαρακοστὸς δεύτερος.	984	ϡπδ'.
ἐννεακαιδεκαταῖος.	υλβ'.	432	τεσσαρακοστὸς τρίτος.	1008	,αη'.
εἰκοσταῖος.	υνϛ'.	456	τεσσαρακοστὸς τέταρτος.	1032	,αλβ'.
εἰκοστὸς πρῶτος.	υπ'.	480	τεσσαρακοστὸς πέμπτος.	1056	,ανϛ'.
εἰκοστὸς δεύτερος.	φδ'.	504	τεσσαρακοστὸς ἕκτος.	1080	,απ'.
εἰκοστὸς τρίτος.	φκη'.	529	τεσσαρακοστὸς ἕβδομος.	1104	,αρδ'.
εἰκοστὸς τέταρτος.	φνβ'.	552	τεσσαρακοστὸς ὄγδοος.	1128	,αρκη'.
εἰκοστὸς πέμπτος.	φοϛ'.	576	τεσσαρακοστὸς ἔννατος.	1152	,αρνβ'.
			πεντηκοστός.	1176	,αροϛ'.

Τοιοῦτον ἐχέτωσαν ἐν χαρτίῳ διάγραμμα ἐσκευασμένον οἱ μὴ δυνάμενοι ῥᾳδίως λογίζεσθαι. μετὰ δὲ τὴν ταύτου παρασκευὴν ἐπισκοπείσθωσαν, ὁ προβληθεὶς παροξυσμὸς τῶν κατὰ τοὺς παροξυσμοὺς περιοδικῶν ὡρῶν, οὗ τινος πρώτου τῶν γεγραμμένων ἀριθμός ἐστι μόριον. εὑρόντες γὰρ αὐτὸν ἕξουσι τὸ γένος τοῦ τύπου. γένος δέ, ἢ εἶδος, ἢ ἰδέαν, ἢ φύσιν ἐν τῷ παρόντι λέγειν, οὐ διοίσει. τῶν δὲ ἀριθμὸν τῶν τύπων εὑρεθέντων, † κατὰ τὸ μόριον. εἰ μὲν γὰρ τρίτον εἴη τὸ μόριον, ὁ κατὰ τὴν περίοδον ἀριθμὸς τῶν ὡρῶν τοῦ τύπου, τρεῖς ἐρεῖς ἀλλήλοις ἐκείνους περιπεπλέχθαι τοὺς τύπους. εἰ δὲ τέταρτον, τέτταρας. εἰ δὲ πέμπτον, πέντε, παρώνυμον ἀεὶ τὸν ἀριθμὸν τοῦ μέρους ποιούμενος. ἵνα δὲ καὶ διὰ παραδείγματος εὑρεθῇ σαφεστέρα ἡ μέθοδος, ἔστω τινὰ παροξύνεσθαι μὲν ὥραις ς'. ἐξανίεσθαι δὲ δυοῖν, ὥστε τὴν ὅλην περίοδον ὑπάρχειν ὡρῶν ὀκτώ, κατὰ ταύτην τὴν ὑπόθεσιν ἐπισκέψῃ, τί μέρος ἐστὶ τὰ η'. τῶν κδ'. εἶθ' εὑρὼν, ὅτι τρίτον, ἀμφημερινοὺς ἐρεῖς ἐπιπλέχθαι τρεῖς. ἀμφημερινοὺς μὲν, ὅτι τοῦ τῶν κδ'. ἀριθμοῦ μόριόν ἐστιν ὁ τῶν ὀκτώ. τρεῖς δὲ, ὅτι τρίτον. ὑποκείσθω δὲ πάλιν ἑκκαίδεκα ὡρῶν εἶναι τὴν κατὰ τοὺς παροξυσμοὺς περίοδον, ἐπεὶ τοίνυν

† ἄλ. καὶ τὸ μόριον ἔξουσι

τοίνυν τὰ δεκαέξ, τῶν κδ΄. οὐδὲν ἐστὶ μόριον, τῶν τε. μη. τρίτον ἐστὶ. τὰ δὲ. μη. τριταίους ἐστὶν ἀριθμὸς περιό-
δου τριταίους ὁρᾷς συνεστῶ τρεῖς ἀλλήλοις ἐπιπλέχθαι. ὑποκείσθω πάλιν ἡ τῶν παροξυσμῶν περίοδος ὡ-
ρῶν ὑπάρχειν ὀκτωκαίδεκα. μόριος δέ ἐστιν οὗτος, οὔτε τῶν κατὰ τὸν ἀμφημερινὸν ὡρῶν ἀριθμῶν, οὔτε τῶν
ἐπὶ τὸν τριταῖον, ἀλλὰ τοῦ κατὰ τὸν τεταρταῖον, ὅς ἐστιν. οβ΄. φύσεις οὖν ἐπιπεπλέχθαι τεταρταίους ἀλ-
λήλοις τέτταρας. τεταρταίους μὲν, ὅτι ἐκ τοῦ τῶν. οβ΄. ὡρῶν ἀριθμοῦ. τέτταρας δὲ, ὅτι τέταρτον ἐστὶ μόριος
ὁ τῶν ὀκτωκαίδεκα ὡρῶν ἀριθμὸς, τοῦ τῶν οβ΄. ὑποκείσθω πάλιν ἡ τῶν παροξυσμῶν περίοδος ὡρῶν εἶναι ε.
μόριος δὲ εἰσιν αἱ ε. τῶν ρκ΄. εἰκοστοτέταρτον, ὁρᾷς οὖν εἶναι τύπους ἑκταίους ἐπιπεπλεγμένους ἀλλήλοις κδ΄.
ὑποκείσθω πάλιν ἡ τῶν κατὰ τοὺς παροξυσμοὺς ὡρῶν περίοδος ζ΄. μόριος δὲ εἰσιν αὗται τῶν ρξη. τουτέστιν
ὀγδοαίου τύπου, τὸ εἰκοστὸν τέταρτον. ὁρᾷς οὖν εἶναι τύπους ὀγδοαίους εἰκοσιτέτταρας. ὑποκείσθω πάλιν
10 ἡ τῶν κατὰ τοὺς παροξυσμοὺς περίοδος ὡρῶν θ΄. μόριος δέ εἰσιν αὗται τῶν σις΄. εἰκοστοτέταρτον. αὗται δὲ αἱ
σις΄. περίοδός ἐστι δεκάτου τύπου. γενήσονται γοῦν ἐπὶ τῆς ὑποθέσεως ταύτης, δεκαταῖοι τύποι τέτταρες
καὶ εἴκοσιν. ὑποκείσθω πάλιν ἐπὶ τοὺς παροξυσμοὺς περίοδος ὡρῶν δέκα. δωδέκατον δέ ἐστι μόριος ἀριθμὸς
οὗτος τῶν ρκ΄. ὅς τις ἐστὶν ἑκταίας περιόδου, διὰ ταῦτα οὖν ἑκταῖοι γενήσονται δώδεκα. ὑποκείσθω πάλιν ἡ
κατὰ τοὺς παροξυσμοὺς περίοδος ὡρῶν ὑπάρχειν ἕνδεκα. μετρεῖται δὲ ὁ τῶν σξδ΄. ἀριθμὸς ὑπὸ τῶν ἕνδεκα
κατὰ τὸν κδ΄. ἔσονται οὖν κδ΄. ἀλλήλοις ἐπιπλεκόμενοι τύποι δωδεκαταῖοι. διότι ἐπὶ τὸν τῶν κδ΄. ἀριθμὸν ὁ
τῶν ια΄. μετρεῖ τὸν τοῦ δωδεκαταίου τύπου τῶν ὡρῶν ἀριθμὸν, ὅς τις ἐστὶν ὁ τῶν σξδ΄. ἀεὶ τοίνυν εὑρεθήσεταί
σοι τὸ μὲν εἶδος τῶν τύπων ἐκ τῶν ἐν τῷ διαγράμματι γεγραμμένων ἀριθμῶν. τὸ δὲ πλῆθος αὐτῶν ἐκ τοῦ
γνῶναι πόσον ἐστὶ τὸ τοῦ ἀριθμοῦ μόριος, ὁ τῶν κατὰ τοὺς παροξυσμοὺς ὡρῶν ἀριθμός. ὅπερ ταυτόν ἐστι τῷ γνῶ-
ναι κατὰ τίνα τῶν ἀριθμῶν, ὁ ἐπὶ τοὺς παροξυσμοὺς μετρεῖ τὸν τοῦ τύπου. παρονομάζονται γὰρ ἀλλήλοις ὅ τ' ἀ-
20 ριθμὸς οὗτος. καὶ τὸ μόριον. οὐδὲν γοῦν διαφέρει τρίτον εἶναι μέρος φάναι τῶν ιβ΄, τὸν τῶν δ΄. ἀριθμὸν ἢ μετρεῖ-
σθαι πρὸς τοὺς τέσσαρας τὸν δώδεκα ἐπὶ τὸν τρία. ταυτὸν δέ ἐστι τούτῳ κἂν οὕτως εἴπωμεν, ὁ τέσσαρα τὸν δώδε-
κα μετρεῖ ἐπὶ τὸν τρία. γράψας οὖν πάλιν ἐν κεφαλαίοις βραχέσι τὴν μέθοδον, ἐφ᾽ ἕτερον ἐφεξῆς μεταβήσομαι
λόγον. ἔσονται δ᾽ ὥσπερ τινὲς αὐτῆς ἀφορισμοὶ τοιοίδε. Επισκέπτεσθαι χρὴ τ. ἐπὶ τοὺς παροξυσμοὺς περιόδων τὰς
ὥρας πόσον μέρος εἰσὶ τῶν κατὰ τοὺς τύπους ὡρῶν. ὁ μὲν γὰρ τῷ μέρει παρονομαζόμενος ἀριθμὸς, τὸ πλῆθος
ἔσται τῶν τύπων. ὁ δ᾽ ὑπὸ τούτων μετρούμενος, αὐτὸς ὁ τύπος. ἑτέρᾳ δὲ λέξει ταυτὸν ἑρμηνευθήσεται οὕτως
τῆς κατὰ τοὺς παροξυσμοὺς περιόδου τὸν ἀριθμὸν τῶν ὡρῶν ἐπισκέπτου, κατὰ τίνα μετρεῖ τῶν ἐκ τοῦ δια-
γράμματος ὁντιναοῦν. αὐτὸς μὲν γὰρ ὁ ἐκ τοῦ διαγράμματος ἀριθμὸς, τὸ εἶδος τῶν τύπων δηλώσει. καθ᾽ ὃν δὲ
τούτων ἐμέτρησεν ὁ τῆς περιόδου, τὸ πλῆθος αὐτῶν. ἄλλῃ δὲ λέξει ταυτὸν οὕτως ἑρμηνευθήσεται. ὁ ἐπὶ τοὺς πα-
ροξυσμοὺς ἀριθμὸς τῶν περιοδικῶν ὡρῶν ὁσάκις ἂν μετρῇ τινὰ τῶν κατὰ τοὺς τύπους, τοσαυτάκις ὁ τύπος
30 ἐκεῖνος ἑαυτῷ συμπλέκεται. συμπλέκεται δὲ ἢ ἐπιπλέκεται λέγειν, οὐ διοίσει. πολλαῖς δὲ καὶ ἄλλαις λέξεσιν
ἐστὶν ἑρμηνεῦσαι τὴν αὐτὴν μέθοδον, ἀλλ᾽ ἀρκεῖ καὶ μέχρι τοσούτου προεληλυθέναι τῆς ματαιοτεχνίας αὐ-
τῶν, ἵνα καὶ διὰ βραχέων κεφαλαίων ἐπιδεῖξαι δυνηθῶμεν ἕκαστον τῶν ἑπομένων ἁμαρτημάτων, ἀρξάμενος
πάλιν ἀπὸ τῶν προχειροτέρων. Επειδὴ γὰρ ὅταν ἡ κατὰ τοὺς παροξυσμοὺς περίοδος ὡρῶν ᾖ δώδεκα.
δύνανται μὲν εἶναι καὶ δύο ἀμφημερινοί. δύναιντο δὲ, καὶ τριταῖοι τέτταρες, καὶ τεταρταῖοι δ᾽ οὐδὲν ἧττον ἕξ,
καὶ ὀκτὼ πεμπταῖοι, καὶ δέκα ἑκταῖοι, καὶ δώδεκα ἑβδομαῖοι, καὶ δεκατέσσαρες ὀγδοαῖοι, καὶ δέκα ἓξ ἐνναταῖοι,
καὶ δεκαοκτὼ δεκαταῖοι. πάλιν οὖν ἐπὶ τόν δε τὸν τρόπον ὁδὸς εὑρίσκεται φλυαρίας οὐ σμικρᾶς, εἴωθε μὴ δύνα-
μένη, μὴ δέ τινα σκοπὸν ὡρισμένον ἔχειν, ἔνθα περιγράφειν αὐτὴν ἀναγκαῖον ἐστι. τί γὰρ μᾶλλον ἄχρι τῶν
ὀκτωκαίδεκα δεκαταίων, ἢ τῶν εἴκοσιν δωδεκαταίων, ἢ τῶν εἴκοσι δύο δωδεκαταίων προαιρεῖσθαι προσήκειν,
ἢ τινὸς τῶν ἐφεξῆς περιόδων; ἔξεστι γὰρ λέγειν εἴκοσι τέσσαρας μὲν εἶναι τεσσαρεσκαιδεκαταίους. ἓξ δὲ καὶ
40 εἴκοσι πεντεκαιδεκαταίους, ὀκτὼ δὲ ἐπὶ ταῖς κ΄. καὶ ι. ὁμοίως τε τούτοις ἔξεστι δὴ προσιθέναι. διάκορον
μὲν γὰρ ἤδη τοῦτο καὶ κατὰ τοὺς ἀμφημερινούς ἐστιν. ἔτι δὲ ληρωδέστερον ἐπὶ τῶν τριταίων, καὶ τεταρταίων, καὶ
πολὺ μᾶλλον ἁπάντων τῶν ἐφεξῆς, ἢ γοῦν τῶν ἑκκαίδεκα ὡρῶν περίοδος οὐδὲν μᾶλλον ἐστὶν τριῶν τριταίων, ἢ
ἓξ πεμπταίων, ἢ ἑβδομαίων θ΄. δύναται δὲ αὕτη δώδεκα μὲν ἐνναταίων εἶναι, πεντεκαίδεκα δὲ, δεκαταίων. ὀκ-
τωκαίδεκα, τρισκαιδεκαταίων. ἑνὸς δὲ ἐπὶ τ κ΄. πεντεκαιδεκαταίων, ἀναλογόν τε τ ἐφεξῆς ἁπάντων. ἀλλ᾽
ἐμοὶ, τὴν ὁδὸν ἀρκεῖ μόνον ἐνδεδεῖχθαι τῆς περὶ τὰ τοιαῦτα ἀπωλείας τοῦ χρόνου. καὶ γάρ τι καὶ ἡ τῶν ε. καὶ ι.
ὡρῶν περίοδος ἐνδειξάμενος γε ἔτι καὶ τῆς ταύτης ὁδὸν ἐπ᾽ ἄλλο τι μεταβήσομαι, τεττάρων μὲν ἐστὶ τεταρταίων,
ὀκτὼ δὲ ἑβδομαίων, δεκαταίων δὲ ἑκκαίδεκα, καὶ τούτων ἁπάντων ἐστὶν ἑκάστου μέθοδος, ὥστε ἐπὶ δακτύλων λο-
γίσασθαι μὴ δεηθέντα διαγράμματος. ἀλλ᾽ ἐγὼ μὲν ἀντὶ παιδείας ἕκαστον τούτων ἀρκοῦμαι τοῖς προλαβοῦσι πα-
ράγγελμα, διὰ τὸ γεγυμνάσθαι τὴν παιδικὴν ἡλικίαν ἐν ἀριθμοῖς. ἀγύμναστος δὲ ἄνθρωπος οὐ μόνον, ἀλλ᾽ ἐκ τῶν ὅλων
50 εἰς αὐτοὺς δεῖται χάριν τοῦ γενέσθαι σοφὸς ἐν ἀχρήστοις πράγμασιν, ἃ μετὰ σπουδῆς τινὲς ἀλλήλοις προβάλλοντες οὐκ
αἰδοῦνται. ὅτι μὲν οὖν ἁμαρτάνουσι διττὰ πάντες οἱ τὰ περὶ τύπων ὑπομνήματα γράψαντες, οὔτε τὰς ἰδέας τῶν
νοσημάτων διδάσκοντες, οὔτε τοῖς οὐ χρηστοῖς τρίβοντες τὸν χρόνον, αὐτάρκως ἡγοῦμαι δεδεῖχθαι, ἐπειδὴ ἀνάγκα-
σαν ἡμᾶς ἐάσαντας χρήσιμα, τὸν χρόνον εἰς τὴν πρὸς αὐτοὺς ἀντιλογίαν ἀναλίσκειν, ἂν ἐπιδείξωμεν αὖθις εἰς ὅσον
ἀναισθησίας ἥκουσιν αὐτοί τε καὶ οἱ προσέχοντες αὐτοῖς, ὡς εἰ διδάσκουσι χρήσιμον. ὁμολογήσαντες γε αὐτοῖς περὶ
πράγματος ἀδυνάτου γίγνεσθαι σφίσι τοὺς λόγους, ὅμως ὥς τι γυμνάσιον αὐτοὺς μεταχειριζόμενοι, τί δή ποτε
τῆς ὅλης θεραπείας, οὐδ᾽ αὐτῷ χιλιοστῷ μέρει γυμνάζονται, πρὸς τῷ καὶ μάχεσθαι τὰς ὑποθέσεις αὐτῶν
ἀλλήλαις, ἃς καὶ πρώτας σοι δίειμι. τινὲς μὲν αὐτῶν ἄχρι τῶν ε. καὶ ι. ἡμερῶν τύπων ὑποτίθενται
προέρχεσθαι τὰς περιόδους. ἔνιοι δὲ μέχρι τῶν μηνιαίων. εἰσὶ δὲ καὶ οἱ μέχρι δυοῖν ἢ τριοῖν μηνοῖν. ἐγὼ δὲ
τίνα μὲν ἔχω γνώμην, ὑπὲρ ὧν Ιπποκράτης εἶπεν, ἐξωτέρω τοῦ τεταρταίου περιόδου, ἐν ἑτέροις ἐδήλωσα,

διῶν ἐδίδασκον, ὡς ἐμαυτὸν πείθω θεωρίαν χρήσιμον τῇ τέχνῃ. νυνὶ δὲ, οὐ γὰρ διδάξαι μοι τι πρόκειται κατὰ τόνδε τὸν λόγον, ἀλλ' ἐξελέγξαι τοὺς μήτε τὰ χρήσιμα γράφοντας, ἐπαινοῦντάς τε θεωρίαν ἀχρηστοτάτην, ἐπὶ πρώτους τρέψομαι, τοὺς ἄχρι τοῦ πεντεκαιδεκαταίου τύπου, γυμνασίας ἕνεκα, προϊέναι φάσκοντας. ἀνατρέποντες γὰρ οὗτοι τὴν ἑαυτῶν ὑπόθεσιν ἑτέραις ὑποθέσεσιν ἃς προστιθέασιν οὐκ αἰσθάνονται. εἰ γὰρ ὁ διὰ κ'. καὶ γ'. ὡρῶν προοξυνόμενος πυρετὸς οὐκ ἔστιν ἀμφημερινὸς προληπτικὸς, ἀναγκαῖον αὐτὸν εἶναι τέτταρας καὶ εἴκοσιν εἰκοστοτεταρταίους. ὥσπερ οὖν καὶ τὸν ὑστεροῦντα μίαν ὥραν εἰκοστοεκταίους εἶναι, καὶ τοὺς κ'. τε καὶ τέτταρας. οὔκουν ἀληθεύουσιν, εἰς ε'. καὶ ι'. ἡμέρας ἐκτείνεσθαι τοὺς τύπους ὑποτιθέμενοι. πολὺ δὲ μᾶλλον ὅταν ἤτοι τριταίων ἢ τεταρταίων ἢ δὴ πεμπταίων περίοδον ὥραις ἤτοι δυοῖν ἢ τρισὶν ὑστερίζουσαν ἢ προλαμβάνουσαν εἰς ἐπιπλοκὰς τύπων ἄγωσιν, ὁμοίως τοῖς εἰκοσιτέσσαρσιν εἰκοσιεκταίους. ἵνα γὰρ ἐάσας τὴν πεντεκαιδεχ' ἡμερῶν αὐτῶν περίοδον, ἐπὶ τὴν τοῦ πεμπταίου παραγίνωμαι. κατὰ τοῦτον τὸν τύπον, ἐὰν μὲν προλάβῃ μίαν ὥραν ὁ παροξυσμὸς, εἴκοσι καὶ τέτταρες ἐνενηκονθεκταῖοι γενήσονται. ἐὰν δὲ ὑστερίζῃ, ἐνενηκοστοογδοαῖοι πάλιν κδ'. εἰ δ' αὐτὰ δεῖ, ὑπόθωνται τινὰς ἤδη προλαμβάνοντας καὶ ὑστερίζοντας ἀναιροῦσιν ἄρδην ἑαυτῶν τὴν ὑπόθεσιν, ὥστε τὸ μὲν ὁλοκλήροις ἡμέραις τε καὶ νυξὶ περιγράφεσθαι τοὺς τύπους ἀναγκαῖον αὐτοὺς ὑποτίθεσθαι, ἢ οὐκ ἔστιν τι ληροῦσιν. ὑποκειμένου δ' αὐτοῦ, προήξουσιν εἰς μακρὸν ἀριθμὸν ἡμερῶν οἱ τύποι, κἂν ἐκεῖνοι μὴ θέλωσι. κάλλιον οὖν ἴσως ποιοῦσιν οἱ κατ' ἀρχὰς εὐθέως ὑποτιθέμενοι τὸν ἀριθμὸν τῶν κατὰ τύπους ἡμερῶν ἀπερίληπτον ὑπάρχειν. εἰ γὰρ καὶ μηδὲν ἄλλο λέγουσι, καλῶς γε ἐκφεύγουσι τὴν πρὸς αὐτοὺς ἀντιλογίαν, οὐχ ὥσπερ οἱ πρόσθεν ὑπὸ σφῶν αὐτῶν καταβάλλονται, μέχρι πεντεκαίδεχ' ἡμερῶν ὑποτιθέμενοι προϊέναι τοὺς τύπους. ἀναγκαζόμενοι δὲ χρῆσθαι μὴ μόνοις τοῖς ἐκ πολλῶν δεκάδων συγκειμένοις, ἀλλὰ καὶ τοῖς ἐξ ἑκατοντάδων. ἐπεὶ τοίνυν ἀδύνατόν ἐστιν αὐτοῖς φυγεῖν τὸ πλῆθος τῶν τύπων, ἀδύνατον δή που καὶ τὰς ἐπιπλοκὰς ἀλλήλοις ἐπιπλέκοντας φεύγειν. ἀλλὰ καθάπερ οἱ τοὺς τρεῖς τύπους ὑποθέμενοι μόνους ὑπάρχειν ἀμφημερινὸν καὶ τριταῖον καὶ τεταρταῖον ὅμως ἐκ τῆς ἐπιπλοκῆς αὐτῶν συζυγίας ἀποτελοῦσι πολλὰς, οὕτως ἀναγκαῖον ἔσται καὶ τούτοις ἐπιπλέκειν ἀλλήλοις ἅπαντας τοὺς τύπους. ὡς οὖν ἐπιπλέκουσι τοὺς τρεῖς λέγοντες, ἑαυτῷ μὲν πρῶτον ἕκαστον, ἔπειτ' ἀλλήλοις, οὕτως ἀναγκαῖον ἔσται καὶ τούτοις ἐπιπλέκειν. ἀρξώμεθα οὖν ἀπὸ τοῦ πεμπταίου, καὶ δείξομεν αὐτοῖς, ὅπως ἐπιπλεκόμενος τῷδε παμπόλλας ποιήσει συζυγίας, οὐδὲν διαφέροντος εἰ μὴ συζυγίας, ἀλλ' ἐπιπλοκὰς ὀνομάζοι τις αὐτάς. Μία μὲν γὰρ ἡ συζυγία τοιαύτη. τῇ πρώτῃ τῶν ἡμερῶν ἀρχέσθω πεμπταῖος, εἶθ' ἡ τρίτη τε καὶ τετάρτη καθαρευέτω πυρετοῦ παντὸς, ἡ πέμπτη μὲν τοῦ κατὰ τὴν πρώτην ἡμέραν ἀρξαμένου πεμπταίου τὸν δεύτερον ἐχέτω παροξυσμὸν, ἡ δ' ἕκτη τοῦ κατὰ τὴν δευτέραν, εἶτα τῆς ζ'. καὶ τῆς η'. καθαρευουσῶν ἡ μὲν ἐνάτη τὸν τρίτον ἐχέτω παροξυσμὸν τοῦ πρώτου τῶν πεμπταίων. ἡ δὲ δεκάτη τοῦ δευτέρου καὶ αὐτὴ τὸν τρίτον ἐφεξῆς. καὶ κατὰ τὴν αὐτὴν ἀναλογίαν ὁ τέταρτος πεμπταῖος προερχέσθω, διαφέροντος οὐδὲν εἰς τὰ παρόντα, διπλοῦν πεμπταῖον, ἢ δύο πεμπταίους λέγειν ὅπερ οὐδ' αὐτὸ συγχωροῦσιν ἅπαντες. Ἑτέρα συζυγία δυοῖν πεμπταίων. ἡ πρώτη τῶν ἡμερῶν ἕνα παροξυσμὸν ἑνὸς, ἐχέτω πεμπταίου μέθοδον, δευτέρα δὲ καθαρευέτω, κἄπειθ' ἡ τρίτη τὸν ἕτερον πεμπταῖον ἀρχόμενον ἐχέτω, σωζομένης τῆς ἀναλογίας ἐν ταῖς ἐφεξῆς ἡμέραις. Ἄλλη συζυγία δυοῖν πεμπταίοιν. ἡ μὲν πρώτη τῶν ἡμερῶν τὸν ἕτερον αὐτῶν. ἡ δὲ τετάρτη, τὸν ἕτερον ἀρχόμενον ἐχέτω, τῶν ἐξῆς ἡμερῶν τὴν ἀναλογίαν φυλαττουσῶν. Τετάρτη συζυγία δυοῖν πεμπταίοιν. ὁ μὲν ἕτερος αὐτῶν εἰσβαλλέτω κατὰ τὴν πρώτην νύκτα. Πέμπτη συζυγία δυοῖν πεμπταίοιν. ὁ μὲν ἕτερος αὐτῶν, ἀρχέσθω κατὰ τὴν πρώτην ἡμέραν. ὁ δὲ ἕτερος κατὰ τὴν δευτέραν νύκτα. Ἕκτη συζυγία δυοῖν πεμπταίοιν. ὁ μὲν ἕτερος ἀρχέσθω κατὰ τὴν πρώτην ἡμέραν. ὁ δ' ἄλλος κατὰ τὴν τρίτην νύκτα. Ἑβδόμη συζυγία δυοῖν πεμπταίοιν. ὁ μὲν ἕτερος ἀρχέσθω κατὰ τὴν πρώτην ἡμέραν. ὁ δ' ἄλλος κατὰ τὴν τετάρτην νύκτα. ταύτας οὖν τὰς ἑπτὰ συζυγίας ἐπλέξαμεν ὑποθέμενοι τὸν πρότερον τῶν πεμπταίων ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἄρχεσθαι. πάλιν δὲ ἄλλας. ζ'. ποιήσομεν ὑποθέμενοι, τὸν πρότερον αὐτῶν ἄρχεσθαι τῆς πρώτης νυκτὸς. ἐὰν οὖν οὕτως ἐπιπλέξωμεν αὐτῷ καὶ τὸν ἑκταῖον, εὔδηλον ὡς πλείους αἱ συζυγίαι γενήσονται. καὶ πλείους ἔτι τὸν ἑβδομαῖον ἐπιπλεκόντων, ἢ καὶ πολὺ πλείους ἔτι τὸν ὀγδοαῖον, ἢ καὶ τὸν δεκαταῖον. ἵνα μηδὲν εἴπω περὶ τῶν εἰκοσταίων καὶ τριακοσταίων, καὶ τεσσαρακοσταίων. ὅσοι τε τούτοις ἐδέχθησαν ἐξ ἀνάγκης ἑπόμενοι ταῖς ὑποθέσεσιν αὐτῶν. ἐκεῖνοι μὲν οὖν ἐάσθωσαν ἐν τῷ παρόντι, γινέσθω δὲ ἡμῖν ἄχρι τοῦ δεκαταίου. καί μοι πρῶτον ἐννόησον, ὡς νῦν ὁπότε δ' ἁπλοῦς ὁ πεμπταῖος γίγνεται, τὰς συζυγίας εἴπομεν, ἐὰν δὲ διπλοῦς γεννηθείη, δῆλον ὅτι πλῆθος οὐκ ὀλίγων ἄλλο γίνεται συζυγιῶν. ἐγχωρεῖ δή που καὶ τετραπλοῦν αὐτὸν γίνεσθαι καθ' ἑκάστην ἡμέραν ἑνὸς εἰσβάλλοντος παροξυσμοῦ. πενταπλοῦς δ' ἂν γένοιτο μιχθέντος τῷ τετραπλῷ κατὰ μίαν νύκτα πέμπτου τινὸς ἐπὶ τοῖς εἰρημένοις τέτταρσι πεμπταῖος, καὶ τούτου πάλιν αὐτοῦ τετραχῶς, εἰ γὰρ ἐν τῇ πρώτῃ νυκτὶ τὴν ἀρχὴν δύναται λαβεῖν, ἢ τινὶ τῶν ἐφεξῆς, ἤτοι τῇ δευτέρᾳ, ἢ τῇ τρίτῃ, ἢ τῇ τετάρτῃ, ἢ τῇ πέμπτῃ. ἡ δ' αὐτὴ ποικίλη τούτοις ἐστὶ καὶ κατὰ τοὺς ἄλλους τύπους, καὶ μᾶλλον ἔτι κατὰ τοὺς πολυημεροτέρους αὐτῶν. ἐὰν οὖν ἐπιπλέκῃς ἅπασαν τὴν τοῦ πεμπταίου ποικιλίαν, τῇ κατὰ τὸν ἑκταῖον, ἐννοεῖς, οἶμαι, πόσον ἔσται πλῆθος. ἐὰν δὲ μίξαις αὐταῖς καὶ τὸν ἑβδομαῖον, ἢ ὀγδοαῖον, ἢ τινὰ τῶν ἐφεξῆς, εἶτα πάλιν ἐκ τεττάρων τύπων οὕτως ἀλλήλοις ἐπιπεπλεγμένων ἑτέρας ποιήσεις συζυγίας, εἶτ' ἐκ πέντε, κἄπειτ' αὖθις ἐκ πλειόνων, οἶμαί σε λογίζεσθαι πόσος ἀριθμὸς ἔσται συζυγιῶν, ἢ πόσων δεήσει βιβλίων εἰς τὴν διδασκαλίαν αὐτῶν. ὁποία γὰρ τις ἡ κατ' αὐτὰς ἔσται πλοκὴ, πειράσομαί σοι διὰ βραχέων ἐνδείξασθαι, τὴν ἀρχὴν τοῦ λόγου τήνδε τιθέμενος. Καθ' ἕκαστον τῶν τύπων πρότερον δεήσει τὴν ποικιλίαν τῶν συζυγιῶν διελθεῖν, ὡς ἐπὶ τοῦ πεμπταίου σμικρὸν ἔμπροσθεν ἔδειξα, μετὰ ταῦτα ἐπιπλέκειν ἀλλήλαις αὐτάς, πρῶτον μὲν μίαν συζυγίαν τῶν ἐκ τοῦ πεμπταίου, φέρε εἰπεῖν, μιᾷ τῇ κατὰ τὸν ἑκταῖον, ὡς ἐκ δυοῖν συζυγιῶν

γίνεσθαι

γενέσθαι τινὰ τρίτην ἄλλην, εἶθ᾽ ἑξῆς ἁπάσαις ἁπάσας ἐπιπλέκειν, εἶθ᾽ οὕτω μίαν δυοῖν, εἶτα τρισὶν, εἶτα πλείοσιν ἄχρι περ ἂν ἁπάσας τοῦ συμπλεκομένου τύπου τὰς συζυγίας ἀναμίξῃς τῇ μιᾷ. μετὰ δὲ ταῦτα δύο συζυγίας ἑνὸς τύπου τοῦ πεμπταίου μιᾷ καθ᾽ ἑκάστην τῶν ἄλλων μιγνύειν, εἶτα δυοῖν, ἢ τρισὶν, ἢ τέτταρσιν, ἄχρις ἂν ἁπάσας ἀλλήλαις ἐπιπλέξῃς. εἶθ᾽ οὕτω πάλιν τέτταρας συζυγίας ταῖς καθ᾽ ἕκαστον τύπον μιγνύειν, εἶτα πέντε, κἄπειτα ἕξ, μέχρι περ ἂν ἁπάσας τοῦ πεμπταίου τὰς συζυγίας ἁπάσαις τῶν ἄλλων ἀναμίξῃς, οὐχ ὁμοῦ δηλονότι πάντων, ἀλλ᾽ ἑκάστου κατὰ μόνας, οἷον τὰς τοῦ πεμπταίου ταῖς τοῦ ἑβδομαίου, εἶθ᾽ οὕτω ταῖς τοῦ ὀγδοαίου, ἢ τοῦ ἐννα-ταίου, ἢ τοῦ δεκαταίου, ἢ τινα τῶν ἐφεξῆς. εἶθ᾽ ὥσπερ τὸν πεμπταῖον ἑκάστῳ τῶν ἄλλων ἔμιξας, οὕτως ἤδη τὸν δε-καταῖον ἑκάστῳ τῶν ἄλλων μιγνύειν, ἐπειδὴ ἑβδομαῖόν τε καὶ ὀγδοαῖον, καὶ τοὺς ἄλλους. ὅταν δὲ τοῦτο ποιήσῃς, ἀναγκαῖον ἔσται τριῶν τύπων τὰς συζυγίας ἁπάσας ἁπάσαις ἐπιπλέκειν, εἶτα τεττάρων, εἶτα πέντε, κἄπειθ᾽ ἕξ, εἶτα ἑπτά, καὶ οὕτω κατὰ ἑξῆς, ἄχρι περ ἂν ἁπάσας ἁπάντων ἐπιπλέξωμεν. ὅτι δ᾽ οὕτω πολὺ πλῆθος ἔσται τῶν συζυγιῶν, ὡς δυσαρίθμητους γενέσθαι, μυριάδας ἤδη νομίζω κατανοεῖν τινα, κἂν ἄπειρος ἀριθμοῦ ᾖ. δύναται δὲ ἐπὶ τοῖς ἀριθμητικοῖς κοινωσάμενος τὸν λόγον, ἀκοῦσαι παρ᾽ αὐτῶν τὸ πλῆθος. ἐγὼ γὰρ ἐὰν ἐπιδεικνύωμαι νυνὶ αὐτῶν τὸ πλῆθος, βιβλίου μοι δεήσει μείζονος, ὧν οἱ ταῦτα ληροῦντες ἔγραψαν, οὐκ ἐννοήσαντες ὅτι μυριοστοῦ μορίου τῶν ἐπιπλοκῶν ἥψαντο, καίτοι γ᾽ ἀδολεσχήσαντες πολλά. εἰ μὲν οὖν χρήσιμον εἶναι νομίζουσιν ἐπιπλέκειν ἀλλήλοις τοὺς τύπους, ἴστωσαν τοῦ χρησίμου τὸ μυριοστὸν μέρος εὑρηκότες. εἰ δ᾽ ἄχρηστον, αἰδεσθέντες ἤδη ποτὲ, καλέτωσαν ἐπὶ τὰς βίβλους τὸν Ἥφαιστον, ἢ κἂν αὐτοὶ μὴ καλέσωσιν, ὁ χρόνος αὐτὰς διαφθερεῖ. τίς γὰρ ἐξ αὐτῶν ἄλλος ἔτι γράψει; τίς δὲ οὐ καὶ ταύτας ἤδη κατατεμὼν, εἰς τὰς ἐφημέρους χρείας ἀναλώσει; τούτων ἤδη γεγραμμένων, καί τισι τῶν ἑταίρων ἐκδιδομένων, ἢ ἀξιωσάντων ἑτέρους μαθεῖν ὅπως ἂν ᾖ τοῦ διαγράμματος, ἐγὼ παραχρῆμα τοῖς προ-βάλλουσιν ἀποκρίνομαι τὸ πλῆθος τῶν τύπων. ἔστιν οὖν ἡ μέθοδος οὐχ ἑτέρου τινὸς γένους, ἀλλ᾽ ὑποπέπτωκεν τῇ προτέρᾳ. πειραθήσῃ δὲ καὶ αὐτὸς οὕτως ἔχειν ἀναμνησθεὶς πρότερον, ἀεί τε πρόχειρον ἔχων τὴν μνήμην αὐτῶν, ὡς ἡμέραν ὀνομάζομεν ἐν τῷ χρόνῳ τούτῳ τὸν συγκείμενον χρόνον, ἔκ τε τῆς ἡμέρας καὶ τῆς νυκτὸς, ὅπερ ἔνιοι προ-σαγορεύουσιν νυχθήμερον. οὕτω γοῦν καὶ τὸν ἐνιαυτὸν εἶναι λέγομεν ἡμερῶν τξε. καὶ τετάρτου. μιᾶς μὲν οὖν ἡμέ-ρας τέτταρες ἐπὶ ταῖς κ. ὧραι γίγνονται, δυοῖν δὲ ὀκτὼ καὶ τετταράκοντα, τριῶν δὲ δύο καὶ ἑβδομήκοντα. τὰ δ᾽ ὀνόματα τοῖς τύποις, οὐκ ἀπὸ τῶν συμπληρουμένων ἡμερῶν ἐστιν, ἀλλ᾽ ἀπὸ τῆς ἀνταποδόσεως τοῦ παροξυσμοῦ. τριταῖον μὲν ὀνομάζομεν, ᾧ διὰ τρίτης ἡμέρας ὁ παροξυσμὸς γίγνεται, δυοῖν μεταξὺ δηλονότι καὶ συμπληρω-θεισῶν. τεταρταῖον δὲ, ᾧ κατὰ τετάρτην, τριῶν κἀπὶ τούτῳ μεταξὺ συμπληρουμένων ἡμερῶν, ἐπί τε τῶν ἄλλων ἀνάλογον, ὥσθ᾽ ὅταν εὕρῃς περίοδον τύπου τεττάρων ἡμερῶν, πεμπταῖον ἐρεῖς αὐτόν. ταὐτὸν γάρ ἐστι διὰ πέμ-πτης τε παροξύνεσθαι, καὶ πέντε ἡμερῶν ἔχειν περίοδον. ἐν μνήμῃ τοίνυν θέμενος ταῦτα, πάλιν ἀναμνήσθητί μοι τῆς εἰρημένης ἔμπροσθεν ἐπὶ τῷ διαγράμματι μεθόδου. λέλεκται δ᾽ ὅτι τὸν προελθόντα περιοδικῶν ἀριθμὸν ὡρῶν, ὃς ἐν τῷ μεταξὺ δυοῖν ἀρχῶν γίνεται παροξυσμὸς, ἐπισκέπτου πότερον μετρεῖται ἐν τῷ διαγράμματι περιεχόμενον ἀριθμὸν ὁντινοῦν. ἦσαν δ᾽ ἐκεῖνοι κατὰ πολλαπλασιασμὸν ὡρῶν κδ. γενόμενοι. ἵνα οὖν χωρὶς δια-γράμματος αὐτὸς εὑρίσκῃς ἐπὶ δακτύλου, τοῦτο ταυτὶ πρᾶττε. τοῦ μὲν ἓξ καὶ ὀκτὼ προβληθέντος εὐκαίρως ἂν εὕρῃς τέσσαρας μὲν ἀμφημερινοὺς γιγνομένους, ὅταν ἓξ ὡρῶν προβεβλημένη περίοδος ᾖ, τρεῖς δ᾽ ὅταν ὀκτώ. τοῦ δ᾽ ἑπτὰ προβληθέντος, ἢ τινος ἄλλου τῶν μὴ μετρούντων τὸν τῶν κδ. ὡρῶν ἀριθμὸν, ἐπισκέπτου πότερον ἔχει τι μέρος ὁ προβληθεὶς ἢ οὐδὲν, ὅτι μὴ τὴν μονάδα. εἰ μὲν ἔχει τι παρὰ τὴν μονάδα μέρος ἄλλο, καθάπερ ὁ μὲν ἐννέα τὸ τρίτον, ὁ δὲ ε. καὶ ι. τὸ τρίτον τε τὸ καὶ πέμπτον, ἐπισκέπτου ποῖον αὐτοῦ τῶν μερῶν κοινόν ἐστι πρὸς τὸν τῶν κδ. εὐθέως γοῦν τρίτον μὲν ὁ τῶν κδ. ὡρῶν ἀριθμὸς ἔχει, πέμπτον δ᾽ οὐκ ἔχει, καθάπερ ὁ τῶν ιε. ἐὰν μὲν οὖν προ-βεβλημένη περίοδος ὡρῶν ἐννέα τύχῃ, τὸ τρίτον μὲν ταύτης λήψῃ, τὸ τρίτον δὲ καὶ τῶν κδ. τὰ ὀκτὼ, καὶ φήσεις ὀκτὼ τύπους εἶναι τρισὶν ἡμέραις περιγραφομένους. ἠξίουν δέ σε μεμνῆσθαι τοὺς τοιούτους τύπους τεταρταίους ὀνο-μάζεσθαι. εἰ δὲ ιε. ὡρῶν περίοδος εἴη, τῶν μὲν ιε. τὸ τρίτον λαβὼν, πέντε ἡμερῶν εἶναι τοὺς τύπους, ὅπερ ἐστὶν ἑκταίους. τῶν δὲ κδ. ἐπειδὴ καὶ τούτων τὸ τρίτον ὀκτὼ γίγνεται, τοσούτους ἐρεῖς εἶναι καὶ τοὺς ἑκταίους τύπους. εἰ δὲ μηδὲν μόριον ὁ προβεβλημένος ἀριθμὸς ᾖ οἷός περ ἐστὶν ὁ ζ. κδ. ὀγδοαίους. οὕτω δὲ καὶ εἰ δέκα ὡρῶν ᾖ προβεβλημένη πε-ρίοδος, κδ. εἶναι τοὺς τύπους ἑνδεκαημέρους ἐρεῖς, ὅπερ ἐστὶν ἑνδεκαταίους. οὕτω δὲ καὶ εἰ τρισκαίδεκα ὡρῶν ἡ πε-ρίοδος ᾖ, δ. ἐπὶ τοῖς κ. ὡσαύτως δὲ κἂν μείζων ᾖ προβεβλημένη περίοδος τῶν κδ. ὡρῶν. εἰ γὰρ μηδὲν ἔχοι μέτρον κοινὸν πρὸς τὸν τῶν κδ. ὥσπερ ἐπὶ τοῦ τῶν ε. καὶ κ. συμβέβηκε, τέτταρας ἐπὶ κ. ἐρεῖς εἶναι εἰκοστοεκταίους τύπους, ὥσπερ γε καὶ κ. εἰ δ᾽ εἴη τι κοινὸν μέτρον ἀμφοῖν, ὥσπερ ἐπὶ τῶν ζ. καὶ κ. τὸ τρίτον ἐστὶν, ὀκτὼ φήσεις εἶναι δεκα-ταίους. ἐπειδὴ τῶν μὲν κ. καὶ δ. τὸ τρίτον ἐστὶν η. τῶν δὲ κζ. θ. δῆλον γὰρ ὅτι τοῦ δεκαταίου τύπου περίοδος ἐστὶν ἡμερῶν θ. συμπληρουμένων, αἵ τινες ὡρῶν ἀριθμὸν ἐργάζονται σις. οὗ μέρος ὄγδοον ἐστὶν ὁ προβεβλημένος ἀρι-θμὸς κζ. ὡρῶν. ὑποπέπτωκεν οὖν ἡ μέθοδος αὕτη τῇ κατὰ τὸ διάγραμμα κοινῇ προειρημένῃ, τοσοῦτον ἐκείνης διαλ-λάττουσα, τῷ δύνασθαι καὶ χωρὶς τοῦ διαγράμματος εὑρεῖν τινα πρῶτον ἀριθμὸν ὡρῶν ἡμερησίαις περιόδοις μετρού-μενον, οὗ μέρος ὁ προβεβλημένος ἐστίν. τὸ δὲ θεώρημα τοῦτο δέδεικται καὶ πρὸς Εὐκλείδου κατὰ τὸ τῶν στοιχείων, ἕβδομον δὲ αὐτοῦ ἐστι κεφάλαιον. τὸ δὲ μεῖζον κοινὸν ἀμφοτέρων τῶν ἀριθμῶν χρὴ λαμβάνοντας σκέψασθαι, ποσά-κις ἑκάτερον μετρεῖ τὸν ἀριθμὸν τὸ κοινὸν τοῦτο μέτρον, οἷον ἐπὶ τοῦ ε. καὶ ι. καὶ τοῦ τῶν κδ. πρῶτον κοινὸν μέτρον ἐστὶν, ὁ τῶν τριῶν ἀριθμός. οὗτος δὲ τὸν ε. καὶ ι. μετρεῖ κατὰ τὸν ε. τὸν δὲ κδ. κατὰ τὸν η. ἐὰν τὸν ε. πολλαπλα-σιάσῃς ἐπὶ τὸν τῶν κδ. ἐάν τε τὸν η. οὖν ἐπὶ τῶν ιε. τὸν αὐτὸν ἀριθμὸν εὑρήσεις γινόμενον, ὥσπερ ρκ. ὡρῶν, ἡμερῶν δὲ δηλονότι ε. καὶ διὰ τοῦτο τὸν τύπον δεκαταῖον ἐρεῖς. κατὰ δὲ τὸν αὐτὸν λόγον, εἰ τρισκαίδεκα ὡρῶν ὁ προβε-βλημένος ἀριθμὸς εἴη, κοινῇ μετρήσουσιν, οὗτός τε καὶ ὁ τῶν κδ. [τῶν] ἐξ ἀμφοτέρων ἀλλήλων πολλαπλασίων γι-νόμενος, ὅπερ ἐστὶν ὁ τῶν τιβ. ἐπειδὴ τῶν πρώτων καλουμένων ἀριθμῶν ἐστὶν ὁ τρισκαίδεκα. προσαγορεύουσι γὰρ

οὕτως ὧν οὐκ ἔστι κοινὸν μέτρον μονάδος. ὁ μὲν οὖν ἀριθμὸς, ὃν ἀμφότεροι μετροῦσιν, ἔσται τιβʹ. τρισκαιδεκάκις γὰρ οὗτος ἔχει τὰς κʹ. ὥρας. ὁ δὲ τύπος, ἡμερῶν ἔσται τελείων τριῶν καὶ ιʹ. τουτέστι τεσσαρεσκαιδεκαταῖος. ἐπειδὴ τετράκις τε καὶ εἰκοσάκις οὗτος μετρεῖ τὸν τῶν τιβʹ. τὸ πλῆθος, τῶν τύπων ἔσται δʹ. ἐπὶ τῶν κʹ. ἐχέτω γοῦν ἤδη καὶ ταύτην ἀπόδειξιν τῆς μεθόδου, καί τοι γε οὐ βουληθέντος ἐμοῦ διδάσκειν ὑμᾶς ἄχρηστα πράγματα. κάλλιον γὰρ ἦν αὐτῶν ὅλως καταφρονεῖν μεμνημένους τοῦ πυθικοῦ παραγγέλματος, ὡς φείδεσθαι προσήκει χρόνου.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΥΠΩΝ.

Πολλῶν πλατύτερον ὑπὲρ τῆς περὶ τύπων θεωρίας πεπραγματευμένων, ἀναγκαῖον ἡγησάμην αὐτὸς ὁριστικώτερον, καὶ ἐπὶ περιγραφὴν ὑποδραμεῖν ταῦτα. οὕτω γοῦν καταριθμητὸν οἰόμενος τοῖς νέωσι προσιοῦσι τῇ τέχνῃ τὸ πρᾶγμα, ὅν τε ἁπλοῦν, καὶ μετὰ τὴν ἁπλουστέραν κατάληψιν εὐκολώτερον, καὶ καθάπερ ἐξ ἑτοίμου τοῖς πολλοῖς ἐντυγχάνειν. ἀρκτέον δ' ἐντεῦθεν, τύπος ἐστὶ τάξις ἐπιτάσεως καὶ ἀνέσεως. περίοδος δέ ἐστι χρόνος ἐπιτάσεως, καὶ ἀνέσεως ἐν νοσήμασι γινόμενος. ὀλίγα τῶν παθῶν οὐ τυποῦται ὡς ἀτροφία, παράλυσις, καὶ ἐλεφαντίασις, καὶ τὰ τούτοις ἀνάλογα. τὰ πλείονα δὲ τῶν παθῶν τυποῦται μὲν, ἀλλὰ σπανιώτερον, πάντων δὲ μάλιστα πυρετοὶ τυποῦνται, δίχα τῶν συνεχῶν τῶν διηνεκῶν λεγομένων, ἢ τῶν ἀτάκτων, τῶν τύπων οἱ μέν εἰσι πρῶτοι, οἱ δὲ δεύτεροι, καὶ οἱ μὲν ἑστῶτες, οἱ δὲ κινούμενοι, καὶ πάλιν οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ σύνθετοι. πρῶτοι μὲν οὖν εἰσιν, οἱ τὴν μικρὰν ἔχοντες τὴν ἐπισημασίαν, μακρὰν δὲ τὴν ἄνεσιν, οἷοι τριταῖοί τε καὶ τεταρταῖοι. δεύτεροι δὲ, οἱ μακρὰν μὲν ἔχοντες τὴν ἐπισημασίαν, μικρὰν δὲ τὴν ἄνεσιν, οἷος ὁ ἀμφημερινὸς, καὶ ὁ παρεκτεταμένος ἡμιτριταῖος. τῶν δὲ παρεκτεταμένων, οὗτος μόνος ἐξηλλαγμένος παρὰ τοῖς παλαιοῖς ὠνόμασται. ἑστῶτες δέ εἰσιν, οἱ ἐν ταῖς αὐταῖς ὥραις ἐπισημαίνοντες καὶ ἀνιέντες. κινούμενοι δὲ, οἱ ἀεὶ ἄλλαις ὥραις ἐπισημαίνοντες, ὧν οἱ μὲν φθάσαντες καὶ προδόντες τὰς ὥρας τάχιον, προληπτικοὶ λέγονται, οἱ δὲ βραδύνοντες, ὑστερητικοί. ἁπλοῖ δέ εἰσιν, οἱ μίαν ἐπίτασιν ποιούμενοι, σύνθετοι δὲ, οἱ ἐκ πλειόνων ἐπισημασιῶν καὶ ἀνέσεων συνεστῶτες. τῶν δὲ συνθέτων τύπων, οἱ μὲν ἐξ ὁμογενῶν συνίστανται, οἱ δὲ ἐξ ἑτερογενῶν. ἐξ ὁμογενῶν μὲν ὅταν ἀμφημερινός. λόγου δὲ χάριν ἁπλοῦς, διπλῷ ἀμφημερινῷ συμπλέκηται, ἢ τριταῖοι διπλοῖ, ἢ δύο τριταῖοι τυγχάνουσιν, ἢ πάλιν δύο καὶ τρεῖς τεταρταῖοι. ἐξ ἑτερογενῶν δὲ, ὅταν ἀμφημερινὸς λόγου χάριν τριταίῳ συμπλακῇ, ἢ τριταῖος τεταρταίῳ, ἢ ἄλλῳ τινὶ τῶν μὴ τοῦ αὐτοῦ γένους ὄντων. ἀμφημερινὸς δέ ἐστιν ὁ καθ' ἑκάστην ἡμέραν, μίαν ἐπισημασίαν, καὶ τὴν αὐτὴν ἔμμετρον ἐν τῷ μήκει, καὶ μίαν καὶ τὴν αὐτὴν ἄνεσιν ποιούμενος. τριταῖος δέ ἐστιν ὁ διὰ τρίτης μίαν, καὶ τὴν αὐτὴν ἐπισημασίαν σύμμετρον ἐν τῷ μήκει, καὶ μίαν καὶ τὴν αὐτὴν ἄνεσιν ποιούμενος. τεταρταῖος δέ ἐστιν ὁ διὰ τετάρτης μίαν, καὶ τὴν αὐτὴν ποιούμενος ἄνεσιν. τὰ αὐτὰ δὲ νοείσθω περὶ πεμπταίου καὶ ἑβδομαίου, καὶ εἴ τις ἄλλη τύπων εὑρίσκεται τάξις. ἀμφημερινῷ δὲ παρέπεται ὑγρότης ἕξεως, καὶ φλεγματώδεις ἔμετοι, καὶ δίψος οὐκ ἐπιτεταμένον, καὶ βαρυσμὸς τοῦ σώματος ὅλου, καὶ ὕπνος καρώδης, καὶ καταφορικὸς, καὶ σφυγμὸς μέγας, καὶ ἀραιὸς, καὶ χαῦνος, τὸ πρόσωπον ὑποπέλιδνον, καὶ χαῦνον, καὶ πεπονῶδες, καὶ πολλὴν ἐμφαῖνον τὴν τῆς ὕλης καχεξίαν, καὶ τροπήν. καὶ σπλὴν δὲ ἐν τῷ τύπῳ τούτῳ παρακολουθήσει σκληρώδης. χρονίζοντος δ' αὐτοῦ, τρομώδεις καὶ ληθαργώδεις καταφοραὶ, καὶ θώρακος ῥευματισμοὶ, καὶ παρεγχύσεις ὑδερικαὶ, συνίσταται δὲ μάλιστα τοῖς στομάχῳ κακοπραγοῦσι. παρέπεται δὲ τριταίῳ δίψος ἐπιτεταμένον, ἔγκαυσις, δριμεῖς καὶ χολώδεις ἔμετοι, ἀσιτίαι, καὶ ῥιπτασμοί. κατὰ πολλὰ μὲν τῷδε ῥίγη προηγοῦνται, ποτὲ δὲ καὶ περίψυξις. σφυγμὸς δὲ τοῖς τριταΐζουσιν μακρὸς καὶ πυκνὸς παρέπεται, αἱ νύκτες αἱ πρὸ τῶν παροξυντικῶν ἡμερῶν δύσφοροι γίγνονται. ἐπιτεινομένης δὲ τῆς νόσου, οὐκέτι γίγνονται δύσφοροι, ἀλλὰ καὶ πυρετὸν ἴσασιν, καὶ οὕτω πυρέττοντες, μεταβάλλουσί ποτε τὸν τριταῖον εἰς ἡμιτριταῖον. ἔστι δὲ πάντων τύπων ἀλυπότερος ὁ τύπος οὗτος, καὶ μάλιστα εἰ συσταίη ἐν θέρει. παρασημειοῦται δὲ ὁ Ἱπποκράτης λέγων, τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι, τὸ μακρότατον. σπανίως δὲ χρονίζει, καὶ μάλιστα εἰ μὴ συσταίη φθινοπώρου λήγοντος ἤδη, καὶ τῷ χειμῶνι προσάπτοντος. ἔστι δὲ καὶ τὰ οὖρα ξανθὰ, πάρεστι δὲ τούτοις καὶ ἀγρυπνία. πάντα δὲ ὅσα παρακολουθεῖ τῷ τριταίῳ καὶ ἡμιτριταίῳ, ταῦτα συμβέβηκε. καὶ γὰρ καὶ τοῦ αὐτοῦ κεκοινωνήκασι γένους, διὰ τρίτης ποιούμενοι τάς τε τῶν ἀνέσεων, καὶ τῶν παροξυσμῶν ἀνταποδόσεις. ἴδιον δὲ περὶ τῶν τύπων τῶν ἡμιτριταίων συμβέβηκεν ἡ παρέκτασις τῶν ἐπισημασιῶν, καὶ τὸ μετὰ περιψύξεως ὡς ἐπὶ τὸ πλεῖστον, καὶ ταῖς ἀκμαῖς μηδέπω συντετελεσμέναις προσεμβάλλειν ἃς ἰδίως ἐπαναδιπλάσεις καλοῦμεν. ἔστι δὲ κινδυνώδης ὁ ἡμιτριταῖος, οὐ μόνον τοῦ στομάχου, καὶ τοῦ νευρώδους καθαπτόμενος, καὶ καθόλου τῶν μέσων, ἀλλὰ καὶ ληθαργικὰς ἐπιφέρων καταφορὰς, καὶ παρακρουστικὰς ἀγρυπνίας, ἔστι δ' ὅτε καὶ συγκοπτικὰς διαφορήσεις, γλῶσσαν τε ἰσχυρῶς ξηραίνει, καὶ λειποθυμίαν ἀπεργάζεται, σφοδρῶς κινῶν τὰ ἐν τῷ βάθει, καὶ καθόλου ἄγριός τέ ἐστιν καὶ κινδυνωδέστατος οὗτος ὁ τύπος. ἔσθ' ὅτε μὲν δὲ ἀπὸ τῆς πρώτης ἡμέρας συνίσταται, καθάπερ καὶ οἱ λοιποὶ τύποι. ποτὲ δ' ἀπὸ τῆς δευτέρας καὶ τρίτης ἡμέρας ἄρχεται, ὥστε μεγίστη αἰτία ἀπάτης γίγνεται τοῖς ἰατροῖς τῇ τοιαύτῃ εἰσβολῇ. γεννᾶται δὲ καὶ ἀπὸ τριταίου παρεκταθέντος, καὶ λυόμενος ἐνίοτε, εἰς τριταῖον ὑποστρέφει, ποτὲ δὲ καὶ διακόπτεται τὸ μῆκος τοῦ κατὰ τὴν ἐπισημασίαν, εἰς βʹ τριταίους καὶ ἀμφημερινός. πλεονάζει δὲ ἐπὶ μὲν τῆς φύσεως τῆς κατὰ τοὺς ἄνδρας, ἡλικίας δὲ, τῆς κατὰ τοὺς ἀκμάζοντας. ὥρας δὲ μᾶλλον τῆς φθινοπωρινῆς, ὅτε καὶ λίαν κινδυνώδης τυγχάνει. ἔστι δὲ οὐ πάντοτε συνεχὴς, ἀλλὰ καὶ διαλείπων εὑρίσκεται. παραδίδοται δὲ ἀφ' Ἱπποκράτους, τὸ μὴ μόνον αὐτὸν ἐν τοῖς ὀξέσι καταριθμεῖσθαι, ἀλλὰ καὶ ἐν τοῖς χρονίζουσιν. ἔχει δὲ καὶ τὰς κατὰ τὸ μέγεθος διαφορὰς τρεῖς. ὁ μὲν γὰρ σμικρός ἐστιν ἡμιτριταῖος, ὁ δὲ μέσος, ὁ δὲ μέγας. σμικρὸς μὲν οὖν ἐστιν, ὁ παρὰ τὰς εἴκοσι τέσσαρας ὥρας στρεφόμενος. μέσος δὲ ὁ παρὰ τὰς τριακονταέξ. μέγας δὲ ὁ παρὰ τὰς

τεσσαράκοντα καὶ ὀκτώ, ὃς δὴ συνεγγίζει τῷ συνεχεῖ πυρετῷ. τινὲς δέ φασι τὸν ἡμιτριταῖον οὕτως ὀνομασθῆναι ὡς τὸ ἡμικύκλιον, καὶ ἡμισφαίριον, λέγοντες αὐτὸν ἐλάττονα τοῦ ἡμίσεος τῆς τριταϊκῆς περιόδου. ἄλλοι δέ φασι τὸν ἡμιτριταῖον ὀνομασθῆναι, ὡς καὶ τὸν ἡμιόλιον ἀριθμόν, ὥστε τῆς τριταϊκῆς ἐπισημασίας λόγου χάριν, ἐκ δώδεκα ὡρῶν συγκειμένης, τὸν ἡμιτριταῖον μὲν ἐμπεριλαμβάνειν τὰς ιβ´ ὥρας τοῦ τριταίου, προσειληφέναι δὲ ταύτας καὶ τὸ ἥμισυ τῶν ιβ´ καὶ τὰς πάσας γίγνεσθαι δέκα καὶ ὀκτώ, ὡς εἶναι ἥμισυ μείζονα τῶν τριῶν κατὰ περίοδον τύπων, ἀμφημερινοῦ τριταίου, καὶ τεταρταίου, ὥστε ὡρῶν αὐτὸν εἶναι εἴκοσι καὶ τεσσάρων. ὁ Ἀγάθινος ἀπὸ τῆς πρὸς τὸν τριταῖον ἐπιφορᾶς φησιν ὀνομασθῆναι τὸν ἡμιτριταῖον, διὰ τρίτης γὰρ ἐπισημασίαι ἀμφοτέροις. πότερον οὖν ὥραις, ἢ διαστήμασι χαρακτηρίζεται ὁ ἡμιτριταῖος; κατὰ μὲν τὸν Ἀγάθινον, οὔτε ὥραις, οὔτε διαστήμασιν. ἀμφότερα γὰρ ταῦτα, περιγεγραμμένον ἔχει τὸ μέγεθος, ὡς καὶ ἡμιτριταῖον ἀπεριορίστως ἔχειν τὴν σύστασιν ἐν πλάτει, ὥραις τε ὡς περιγεγραμμέναις. τεταρταίῳ δὲ παρακολουθεῖ ῥίγη σύντονα, καὶ φλεγματώδεις ἔμετοι, καὶ σπληνὸς φλεγμονή, καὶ διόγκωσις, ἔσθ᾽ ὅτε δὲ καὶ ἀνορεξία, καὶ σιελισμὸς παρέπεται, ποτὲ δ᾽ ἐκ τῶν ἐναντίων ὄρεξις ἐπιτεταγμένη, βηχίον τε ποτὲ συμπάρεστιν αὐτῷ, καταφθειρομένης τῆς ὀρέξεως, διὰ τοῦτο δύσλυτοι, καὶ χρονιώτεροι παρὰ πάντας τοὺς τύπους, ὥστε καὶ μέχρι δέκα ἐτῶν προβαίνειν. ἐπιπλέκεται δὲ σφοδρυνόμενος αὐτὸς ἑαυτῷ, ὥστε β´ καὶ γ´ ἀποτελεῖν τεταρταίους, ἢ καὶ μέχρι τινὸς συνεχείας προβαίνειν, καὶ πάλιν ἐκεῖνος μετριάζων, εἰς ἕνα περιίσταται. γίγνονται δὲ ἐνίοτε καὶ κινδυνώδεις, διὰ τὰ περιπλεγμένα αὐτῷ συμπτώματα, ὥστε φθίσιν τὸ τελευταῖον, ἢ παρεγχύσεις ὑδρωπικὰς ἀποτελεῖν. πλεονάζει δὲ μάλιστα φθινοπώρῳ, καί ἐστι μάλιστα δύσλυτος. ὁ δὲ θερινὸς ἀλυπότατος, καὶ κατὰ πολὺ μὲν ἄλλων προηγησαμένων ἐπιγίνεται ἀτάκτως. σπανίως δ᾽ ὅτε καὶ αὐτὸς ἀπὸ τῆς ἀρχῆς συνίσταται. σφυγμὸς δὲ τοῖς τριταΐζουσιν οὐκ ἐπὶ τοσοῦτον παρέπεται, σμικρὸς περὶ μεγέθει, ἐφ᾽ ὅσον τοῖς τεταρταΐζουσι, οὐδὲ μὴν ἐπὶ τοσοῦτον διογκοῦται, ἐφ᾽ ὅσον τῇ ἀμφημερινῇ νόσῳ τυγχάνει. μεσότης γὰρ τῶν σφυγμῶν ἐν τύπῳ τούτῳ, κατὰ τοὺς σφυγμοὺς εὑρίσκεται. ἔστι δ᾽ ὅτε καὶ κατ᾽ ἀρχὰς τῶν ἐπισημασιῶν †σφοδρότερος παρὰ τοὺς ἐν τῷ κατὰ φύσιν εὑρίσκεται. οἱ μὲν ἀποσώζοντες τὰ τυπικὰ τῶν ἡμερῶν κινήματα, παρὰ τρεῖς, οἱ δὲ ἀτυπώτατοι, παρ᾽ ἕνα. οἱ μὲν οὖν ἀποσώζοντες τὰ τυπικὰ τῶν ἡμερῶν, κινήματα ἤτοι παρὰ τὴν συνήθη τῶν ὡρῶν προλαμβάνουσιν, ἢ ἐφυστεροῦσιν. ἄτακτοι δὲ γίγνονται, καὶ παρὰ τὸ εἶδος τῶν κινήσεων, ὥστε ποτὲ μὲν προλαμβάνουσιν, ποτὲ δὲ ἐφυστερίζουσιν, ἀτάκτως δὲ ἑκάτεροι. παρὰ τὸ ποτὲ μὲν κινεῖσθαι ἀτάκτως, ποτὲ δ᾽ εἴσασθαι, μηδέποτε δὲ τεταγμένως, ἔνθα παρ᾽ οὐδενὸς κεκώλυται, μένοντος τοῦ κατὰ τὰς ἡμέρας σχήματος, ἐν ταῖς περὶ μέρει συμφόρους ἀταξίαις μόναις. οἱ δὲ ἀτυπώτατοι, παρὰ πάντας μὲν τοὺς κατηριθμημένους τρόπους, καὶ παρὰ τὴν τάξιν γίγνονται τῶν ἡμερῶν, τινὲς μὲν ἐπισημαίνουσιν, τινὲς δὲ παντελῶς εἰσιν ἄτακτοι. τὰς δὲ περὶ εἴδους διαφοράς, πλείονας οὔσας συμβέβηκεν, ἔξεστι δὲ σκοπεῖν περὶ προειρημένῳ τρόπῳ, καὶ συμπλέκειν ὡς ἂν βούλεται τὰ τῶν προειρημένων τύπων ἰδιώματα. τύπων δὲ διπλοῦνται οἱ πρῶτοι καλούμενοι, οἷον ἀμφημερινός, τριταῖος, τεταρταῖος. ἀμφημερινὸς μὲν οὖν ἐστι διπλοῦς ὁ καθ᾽ ἑκάστην ἡμέραν δὶς ἐπισημαίνων ὁμοίως, δίς τε ἐπανιείς. δύο τριταῖοι δὲ τυγχάνουσιν, ὁπότε διαφόρων ἐπισημασιῶν καθ᾽ ἑκάστην ἡμέραν ἐπιγινομένων ἑαυτοῖς διὰ τρίτης ἀπαντῶσι, τεταρταῖοι δέ, ὁπότ᾽ ἂν μιᾶς ἡμέρας γινομένης καλῆς, ἑξῆς δυσὶν ἡμέραις συμβαίνει πυρέσσειν. τῶν διὰ τεσσάρων σχημάτων, καθ᾽ ἑκάστην τῶν ἐπισημασιῶν, τῶν ὅρων ἀποσωζομένων. ἐπιπλέκεται δὲ ἀμφημερινὸς τριταίῳ, ὅταν ἡ μὲν α´. τῶν ἡμερῶν δὶς ἐπισημαίνει, καὶ δὶς ἀνίει. ἡ δ᾽ ἑξῆς ἅπαξ, τρίτη δὲ πάλιν, ὁμοίως πρώτῃ. ἐπιπλέκεται δὲ ἀμφημερινὸς τεταρταίῳ, ὅταν τῇ μὲν α´. δὶς ἐπισημαίνει, ταῖς δ᾽ ἑξῆς δυσίν, ἅπαξ, τῇ δ´. δὲ ὁμοίως δίς. συμπλέκονται δὲ ἀλλήλοις ἀμφημερινός, τριταῖος καὶ τεταρταῖος, ὅταν ἡ μὲν α´. τῶν ἡμερῶν τρεῖς ἐπισημασίας ἔχῃ, καὶ τρεῖς ἐπανέσεις, ἡ δὲ β´. μίαν. ἡ δὲ γ´. δύο, καὶ ἡ δ´. τρεῖς, καὶ ἡ ε´. μίαν, ἡ ϛ´. δὲ δύο, ἑβδόμη δὲ πάλιν τρεῖς. καὶ αἱ λοιπαὶ τὴν αὐτὴν ταῖς πρώταις τάξιν φυλάττουσιν, καὶ καθ᾽ ἕτερον τρόπον συμβάλλουσιν οἱ τύποι, καὶ εἰς τὸ αὐτὸ σχῆμα παραγίγνονται. ἐπιπλέκεται δὲ τριταῖος τεταρταίῳ, ὅταν ἡ μὲν α´. τῶν ἡμερῶν δύο ἐπισημασίας ἐνέγκῃ, καὶ δύο ἀνέσεις. ἡ δὲ β´. μηδ᾽ ὅλως. τρίτη δὲ ἅπαξ, καὶ τετάρτη πάλιν ὁμοίως, ὡσαύτως καὶ αἱ ἑξῆς, ἐπιπλέκεται δὲ τριταῖος, τεταρταῖος, καὶ πεμπταῖος, ὅταν τῇ μὲν α´. τῶν ἡμερῶν ἐπισημανθῆναι συμβῇ. τῇ β´. δ᾽ ἀνασχῆναι, καὶ πάλιν τῇ τρίτῃ, τριταῖος, καὶ τῇ τετάρτῃ, τεταρταῖος, καὶ τῇ πέμπτῃ ἅμα ἅπαξ. καὶ ἄλλως δέ πως τούτου τοῦ τύπου ἡ εἰσβολὴ γίγνεται, οὐδὲν ἧττον εἰς τὸν αὐτὸν τύπον διὰ τάξεως ἐμπιπτούσης τοῦ τριταίου πρὸς τὸν ἡμιτριταῖον συμπλοκῆς, καθάπερ ἐπὶ τῆς ὑπογραφῆς ἔχει, ταύτης τῇ α´. ἤρξατο ἀφ᾽ ἑσπέρας μετὰ ῥίγους, καὶ ἔλυσε ἕως πρωΐ, παρέμεινε δὲ ἕως ὥρας ὀγδόης, εἶτα ἐμπίπτει ἐπισημασία μετὰ περιψύξεως, καὶ μένει τὴν ἐρχομένην νύκτα, καὶ τῆς ἡμέρας ἕως ὥρας η´. καὶ πάλιν ἄνεσις ἀκολουθεῖ, εἶτα εἰς τὴν νύκτα πάλιν ἐπισημασία μετὰ ῥίγους, καὶ εἰς ἡμέραν πάλιν ἄνεσις, ὁμοία τῇ ἀναλόγῳ, καὶ ἑξῆς κύκλος ὁμοίως.

ΓΑΛΗΝΟΥ ΤΕΧΝΗ ΙΑΤΡΙΚΗ

Τρεῖς εἰσιν αἱ πᾶσαι διδασκαλίαι τάξεως ἐχόμεναι. πρώτη μὲν ἡ ἐκ τῆς τοῦ τέλους ἐννοίας κατὰ ἀνάλυσιν γινομένη. δευτέρα δέ, ἡ ἐκ συνθέσεως τῶν κατὰ τὴν ἀνάλυσιν εὑρεθέντων. τρίτη δέ, ἡ ἐξ ὅρου διαλύσεως, ἣν νῦν ἐνιστάμεθα. καλεῖν δ᾽ ἔξεστι τὴν τοιαύτην διδασκαλίαν, οὐ μόνον ὅρου διάλυσιν, ἀλλὰ καὶ διάπτυξιν, ὥς τινες ὠνόμασαν, ἢ ἀνάλυσιν, ἢ διαίρεσιν, ἢ ὡς ἕτεροί τινες ἐξάπλωσιν, ἢ ἐξήγησιν ὡς ἄλλοι. ἐπεχείρησαν μὲν οὖν ἔνιοι τῶν Ἡροφιλείων τοιαύτην ποιήσασθαι διδασκαλίαν, ὡς καὶ Ἡρακλείδης ὁ ἐρυθραῖος. ἐπεχείρησαν δὲ καὶ τὴν κατὰ σύνθεσιν, αὐτοί τε οἱ Ἡροφίλειοι, καί τινες τῶν Ἐρασιστρατείων τε, καὶ Ἀθήναιος ὁ Ἀτταλεύς. οὐδεὶς μέντοι γε τῶν πρὸ ἡμῶν ἔγραψε τὴν ἐκ τῆς τοῦ τέλους ἐννοίας ἀρχομένην διδασκαλίαν,

† ἀραιότερος

ἐξῆς αἱ τέχναι πᾶσαι συνίστανται κατὰ μέθοδον. ἀλλ' ἐκείνην μὲν ἔμπροσθεν διήλθομεν, ἐνταῦθα δὲ τὴν ὁρικὴν ποιησόμεθα διδασκαλίαν. ὅσον γὰρ ἀπολείπεται τῆς κατὰ ἀνάλυσιν, ἀξιώματί τε καὶ μεθόδῳ, τοσοῦτον πλεονεκτοῦσαν εὑρήσομεν εἰς σύνοψίν τε τοῦ ὅλου, καὶ μνήμην τῶν κατὰ μέρος. εὐμνημόνευτα γὰρ ἱκανῶς ἐκ τῆς τοῦ ὅρου διαλύσεως ἅπαντα, διὰ τὸ περιέχειν ὅλης τῆς τέχνης ἐν ἑαυτῷ τὰ κεφάλαια τὸν ἄριστον ὅρον, ὅνπερ τινὲς καὶ οὐσιώδη ὀνομάζουσιν, ἀντιδιαιρούμενον τοῖς ἐννοηματικοῖς προσαγορευομένοις. ἐκεῖνοι μὲν γὰρ ἀπὸ τῶν συμβεβηκότων εἰς ὁρίζονται πράγμασιν, οὗτοι δὲ ἀπὸ τῆς οὐσίας αὐτῆς συνίστανται. ἡ δὲ κατὰ μέρος ἐξεργασία συμπάσης τῆς ἰατρικῆς θεωρίας, ἐν πολλαῖς ἡμῖν ἑτέραις γέγραπται πραγματείαις, αἷς ἔξεστι χρῆσθαι πρὸς τὰς τρεῖς διδασκαλίας. ἀλλὰ νῦν γε τῆς ὁριστικῆς ὑπαρξόμεθα, τοσοῦτον ἔτι προσθέντες ὡς μόνα τὰ κεφάλαια, καὶ οἷον συμπεράσματα τῶν κατὰ διέξοδον ἀποδεδειγμένων, εἰρήσεται νῦν. Ἰατρική ἐστιν ἐπιστήμη, ὑγιεινῶν καὶ νοσωδῶν, καὶ οὐδετέρων. οὐ διαφέρει δὲ οὐδ' εἰ νοσερῶν τις εἴποι. τοῦ μὲν οὖν τῆς ἐπιστήμης ὀνόματος κοινῶς τε καὶ οὐκ ἰδίως ἀκούειν χρή. τὸ δὲ ὑγιεινὸν καὶ τὸ νοσῶδες, καὶ τὸ οὐδέτερον, τριχῶς ἕκαστον λέγεται. τὸ μὲν ὡς σῶμα, τὸ δὲ ὡς αἴτιον, τὸ δὲ ὡς σημεῖον. καὶ γὰρ τὸ ἐπιδεκτικὸν σῶμα τῆς ὑγείας, καὶ τὸ ποιητικόν, καὶ φυλακτικὸν αὐτῆς αἴτιον, καὶ τὸ δηλωτικὸν σημεῖον, ἅπαντα ταῦτα καλοῦσιν οἱ Ἕλληνες ὑγιεινά. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ νοσώδη, τά τε ἐπιδεκτικὰ νόσων σώματα, καὶ τὰ ποιητικά τε καὶ φυλακτικὰ νόσων αἴτια, καὶ τὰ δηλωτικὰ σημεῖα. καὶ δὴ καὶ τὰ οὐδέτερα κατὰ τὸν αὐτὸν λόγον σώματά τε καὶ αἴτια, καὶ σημεῖα. καί ἐστι κατὰ πρῶτον μὲν λόγον, ἐπιστήμη τῶν ὑγιεινῶν αἰτίων ἰατρική. δι' ἐκεῖνα δ' ἤδη καὶ τῶν ἄλλων, δεύτερον μὲν τῶν νοσωδῶν, τρίτον δὲ τῶν οὐδετέρων. καὶ δὴ καὶ μετὰ ταῦτα τῶν σωμάτων, πρῶτον μὲν κἀνταῦθα τῶν ὑγιεινῶν, ἐφεξῆς δὲ τῶν νοσερῶν, εἶτα τῶν οὐδετέρων. καὶ περὶ τῶν σημείων δὲ κατὰ τὸν αὐτὸν λόγον. ἐν μέντοι ταῖς πράξεσι, πρότερον μὲν τῶν σωμάτων ἡ διάγνωσις ἐκ τῶν σημείων δηλονότι, μετὰ ταῦτα δὲ ἡ τῶν ἐπ' αὐτοῖς αἰτίων εὕρεσις. Ἀλλ' ἐπεὶ καὶ τὸ ποιητικόν, καὶ τὸ δηλωτικόν, καὶ τὸ ἐπιδεκτικὸν διχῶς ἕκαστον λέγεται, τὸ μὲν ἁπλῶς, τὸ δὲ ἐν τῷ νῦν. ἰστέον ἀμφοῖν οὖσαν ἐπιστήμην τὴν ἰατρικήν. καὶ αὐτὸ δὲ τὸ ἁπλῶς διχῶς λέγεται, τό, τε διὰ παντός, καὶ ὡς ἐπὶ τὸ πολύ, καὶ ἔστιν ἀμφοτέρων τούτων ἐπιστήμη ἡ ἰατρική. τὸ δὲ οὐδέτερον, αἴτιόν τε καὶ σημεῖον καὶ σῶμα. τό, τε ἁπλῶς λεγόμενον, καὶ τὸ ἐν τῷ νῦν, τριχῶς ἕκαστον λέγεται. τὸ μὲν τῷ μηδετέρου τῶν ἐναντίων μετέχειν, τὸ δέ, τῷ τῶν ἀμφοτέρων, τὸ δέ, τῷ ποτὲ μὲν τοῦδε, ποτὲ δὲ τοῦδε. τούτων δ' αὐτῶν τὸ δεύτερον, κατὰ δύο τρόπους λέγεται. ποτὲ μὲν τῷ μετέχειν ἑκατέρου τῶν ἐναντίων ἐξ ἴσου, ποτὲ δὲ τῷ πλέον θατέρου. ἔστι δὲ καὶ καθ' ὅλου τοῦ ὅρου κατὰ τὴν λέξιν ἀμφιβολία τις, ἣν καὶ αὐτὴν χρὴ διαλύεσθαι. ἐν γὰρ τῷ λέγειν τὴν ἰατρικὴν ἐπιστήμην ὑπάρχειν ὑγιεινῶν, καὶ νοσερῶν, καὶ οὐδετέρων, σημαίνεται μέν, καὶ τὸ πάντων τῶν κατὰ μέρος, σημαίνεται δὲ καὶ τὸ ὁποίων, σημαίνεται δὲ καὶ τὸ τινῶν. ἀλλὰ τὸ μὲν πάντων, ἀπεριόριστόν τε καὶ ἀδύνατον, τὸ δὲ τινῶν, ἐλλιπές τε καὶ οὐ τεχνικόν. τὸ δ' ὁποίων, τεχνικόν τε ἅμα καὶ διαρκὲς εἰς ἅπαντα τῆς τέχνης τὰ κατὰ μέρος, ὅπερ καὶ περιέχεσθαί φαμεν ἐν τῷ τῆς ἰατρικῆς ὅρῳ. ἀρξώμεθα οὖν ἀπὸ τῶν σωμάτων πρῶτον, ὁποῖά τινα τά θ' ὑγιεινά, καὶ τὰ νοσώδη, καὶ τὰ οὐδέτερα τετύχηκεν ὄντα. μετὰ δὲ ταῦτα τὸν περὶ τῶν σημείων τε καὶ αἰτίων διεξέλθωμεν λόγον. Ὑγιεινόν ἐστιν ἁπλῶς σῶμα, τὸ ἐκ γενετῆς εὔκρατον μὲν ὑπάρχον, τοῖς ἁπλοῖς καὶ πρώτοις μορίοις, σύμμετρον δὲ τοῖς ἐκ τούτων συγκειμένοις ὀργανικοῖς. ὑγιεινὸν δὲ νῦν ἐστι σῶμα, τὸ κατὰ τὸ παρὸν ὑγιαῖνον. ἔστι δὲ δήπου καὶ τοῦτο καθ' ὃν ὑγιαίνει χρόνον, εὔκρατόν τε καὶ σύμμετρον, οὐ τὴν ἀρίστην εὐκρασίαν τε καὶ συμμετρίαν, ἀλλὰ τὴν οἰκείαν. αὐτοῦ δὲ τοῦ ἁπλῶς ὑγιεινοῦ σώματος, διὰ παντὸς μὲν τοιοῦτόν ἐστι, τὸ εὐκρατώτατόν τε καὶ συμμετρότατον, ὡς τὸ πολὺ δέ, τὸ τῆς ἀρίστης κατασκευῆς ἀπολειπόμενον οὐ πολλῷ. Νοσῶδες δέ ἐστιν ἁπλῶς σῶμα, τὸ ἐκ γενετῆς, ἤτοι δύσκρατον τοῖς ὁμοιομερέσιν, ἢ ἀσύμμετρον τοῖς ὀργανικοῖς, ἢ ἀμφότερα. νοσῶδες δὲ νῦν ἐστι σῶμα τὸ νοσοῦν, ἐν ᾧ λέγεται χρόνῳ τοιοῦτον ὑπάρχειν. εὔδηλον δέ, ὡς καὶ τοῦτο καθ' ὃν λέγεται χρόνον εἶναι νοσῶδες, ἤτοι δύσκρατόν ἐστιν ἐν τοῖς ὁμοιομερέσιν, ἢ ἀσύμμετρον ἐν τοῖς ὀργανικοῖς, ἢ ἀμφότερον. καὶ δὴ καὶ διὰ παντὸς νοσῶδές ἐστιν, ὅτι περ αὖ ἐκ γενετῆς, ἤτοι δυσκρατώτατον ὑπάρχον, ἐν ἁπλοῖς καὶ πρώτοις μορίοις ἅπασιν, ἢ τισίν, ἢ τοῖς κυριωτάτοις, ἢ καὶ τοῖς ὀργανικοῖς ἀσυμμετρότατον, ὁμοίως καὶ ἐν τούτοις, ἢ πᾶσιν, ἢ τισιν, ἢ τοῖς κυριωτάτοις. ὡς τὸ πολὺ δὲ νοσῶδές ἐστι σῶμα, τὸ τοῦ τοιούτου τῆς κακίας ἀπολειπόμενον, οὔπω δ' ἐν τῷ μέσῳ καθεστηκός. Ἐπεὶ δὲ καὶ τὸ οὐδέτερον σῶμα τριχῶς ἐλέγετο, τὸ μὲν μηδετέρας τῶν ἄκρων διαθέσεων μετέχειν, τὸ δὲ τῷ ἀμφοτέρων, τὸ δὲ τῷ, ποτὲ μὲν τῆσδε, ποτὲ δὲ τῆσδε. κατὰ μὲν τὸ πρῶτον σημαινόμενον, οὐδέτερον ἔσται σῶμα, τὸ μέσον ἀκριβῶς ὑπάρχον, τοῦ τε ὑγιεινοτάτου σώματος, καὶ τοῦ νοσωδεστάτου, καὶ τούτου τὸ μὲν ἁπλῶς τοιοῦτον ἐστὶν, ὅτι περ ἐκ γενετῆς τοιοῦτον κατέστη. τὸ δὲ νῦν ὁποιοῦν, κατὰ τὸ παρὸν τὸ μέσον ὑπάρχει τοῦ τε ὑγιεινοτάτου, καὶ τοῦ νοσωδεστάτου, αὐτοῦ δὲ τοῦ ἁπλῶς. τὸ μὲν διὰ παντὸς τοιοῦτον, ὅτι περ αὖ ἐν ἁπάσαις ταῖς ἡλικίαις διαμένει τοιοῦτον. τὸ δ' ὡς ἐπὶ τὸ πολύ, τὸ καὶ μεταβολάς τινας λαμβάνον. κατὰ δὲ τὸ δεύτερον σημαινόμενον, οὐδέτερον ἔσται σῶμα. τὸ δ' ἐναντίων ἅμα διαθέσεων μετέχον ἐκ γενετῆς, ἤτοι καθ' ἓν μόριον, ἢ κατὰ δύο διαφέροντα. καθ' ἓν μέν, εἰ κατὰ τὴν ἑτέραν ἀντίθεσιν εὔκρατον εἴη τῶν δραστικῶν ποιοτήτων, ἢ κατ' ἀμφοτέρας μέν, ἀλλὰ περὶ τὴν διάπλασιν, ἢ τὸ μέγεθος, ἢ τὸν ἀριθμὸν τῶν μορίων, ἢ τὴν θέσιν ἐσφαλμένον, ἢ ἔμπαλιν ἐν τούτοις μὲν κατωρθωμένον ἅπασιν ἢ τισίν, ἐν δὲ τῇ κράσει διημαρτημένον, ἐν διαφέρουσι δὲ μορίοις, καὶ κατὰ πάσας τὰς ἀντιθέσεις δύναταί τι τῶν ἐναντίων ἅμα μετέχειν. καὶ διὰ παντὸς μὲν τοιοῦτον, τὸ κατὰ πάσας τὰς ἡλικίας μένον ὅμοιον, ὡς τὸ πολὺ δ' ἐστί, τὸ καὶ μεταβάλλον κατά τι. οὕτως δὲ κἂν τῷ νῦν οὐδέτερον ἔσται σῶμα, κατὰ τὸ δεύτερον σημαινόμενον, ἢ τῷ περὶ ἓν μόριον, τὰ μὲν ἔχειν ὑγιεινά, τὰ δὲ νοσερὰ τῶν ὑπαρχόντων αὐτῷ, ἢ τῷ περὶ διαφέροντα μόρια. κατὰ δὲ τὸ τρίτον σημαινόμενον, οὐδέτερον ἔσται σῶμα, τὸ ποτὲ μὲν ὑγιεινόν, ποτὲ δὲ νοσερὸν ἐν μέρει γινόμενον, ὥσπερ ἐνίοις ὑπῆρξε, παισὶ μὲν οὖσιν, ὑγιεινοῖς γενέσθαι, νεανίσκοις δὲ γενομένοις, νοσεροῖς, ἢ ἔμπαλιν. ἐν ἑνὶ δὲ χρόνῳ τὸ οὕτως οὐδέτερον, ἀκριβῶς μὲν οὐκ ἐγχωρεῖ συστῆναι, κατὰ πλάτος δ' ἐγχωρεῖ. ἴσμεν δὲ ὅτι τὸ νῦν διχῶς λέγεται. τὸ μὲν οὖν ὑγιεινόν, καὶ νοσῶδες καὶ οὐδέτερον σῶμα ποσαχῶς λέγεται,

λέγεται, καὶ ὁποῖον ἕκαστόν ἐστιν αὐτάρκως διώρισται. Περὶ δὲ τῶν σημείων ἐφεξῆς ἂν εἴη ῥητέον. ἔστι δὲ καὶ τούτων ὑγιεινὰ μὲν, ὅσα τῆς τε παρούσης ὑγείας ἐστὶ διαγνωστικὰ, καὶ τῆς μελλούσης ἔσεσθαι προγνωστικὰ, καὶ τῆς προγεγενημένης ἀναμνηστικά. νοσώδη δὲ τά τε τῆς παρούσης νόσου διαγνωστικὰ, καὶ τῆς προγεγενημένης ἀναμνηστικὰ, καὶ τῆς μελλούσης ἔσεσθαι προγνωστικά. κατὰ ταῦτα δὲ, καὶ τὰ οὐδέτερα, τά τε τῶν οὐδετέρων διαθέσεων διαγνωστικὰ, καὶ προγνωστικὰ, καὶ ἀναμνηστικὰ, καὶ τὰ μηδὲν ὅλως δηλοῦντα περὶ διαθέσεων, ἢ τὰ μηδὲν μᾶλλον ὑγιεινὴν, ἢ νοσερὰν δηλοῦντα διάθεσιν. καὶ τὰ κατά τι μὲν ὑγιεινὴν, κατά τι δὲ νοσερὰν δηλοῦντα διάθεσιν, καὶ τά ποτε μὲν ὑγιεινὴν, ποτὲ δὲ νοσώδη. καὶ ταῦτα δὲ κατὰ τοὺς τρεῖς χρόνους ὁμοίως τοῖς ὑγιεινοῖς τε καὶ νοσώδεσι. καλεῖται δ' ἐνίοτε πρὸς τῶν παλαιῶν ἰατρῶν ἅπαντα ταῦτα τὰ σημεῖα προγνωστικὰ, καὶ τῶν ἐνεστώτων, ἢ προγεγονότων ὄντα δηλωτικά. καὶ ἡ χρεία μεγάλη μὲν τῶν διαγνωστικῶν τε καὶ προγνωστικῶν, ἐλάττων δὲ τῶν ἀναμνηστικῶν. ὄντων οὖν σωμάτων ὑγιεινῶν, τῶν μὲν ἁπλῶς, τῶν δὲ ἐν τῷ νῦν, ἅπερ δὴ καὶ ὑγιαίνοντα λέγεται. τῶν ἁπλῶς ὑγιεινῶν σωμάτων, διττὴν ἔφαμεν εἶναι τὴν διαφορὰν, τῷ τὰ μὲν διὰ παντὸς ὑπάρχειν τοιαῦτα, τὰ δὲ ὡς τὸ πολὺ, διὰ παντὸς μὲν ὅσα τὴν ἀρίστην ἔχει κατασκευήν. ὡς τὸ πολὺ δὲ, ὅσα μὴ πολλῷ ταύτης ἀπολείπεται. Τὰς διαγνώσεις δὲ αὐτῶν, ἀπό τε τῶν ὑπαρχόντων κατὰ τὸν τῆς οὐσίας αὐτῶν λόγον χρὴ ποιεῖσθαι, καὶ τῶν ἐξ ἀνάγκης τούτοις ἑπομένων ἐνεργειῶν τε καὶ συμπτωμάτων, ἃ δὴ καὶ συμβεβηκότα καλοῦμεν ἰδίως. ἔστι μὲν τῆς οὐσίας αὐτῆς, τῶν ἐν ἀρίστῃ κατασκευῇ, συμμετρία τῶν ὁμοιομερῶν, ἐν θερμότητι καὶ ψυχρότητι, καὶ ξηρότητι, καὶ ὑγρότητι. τῶν δ' ὀργανικῶν ἐν ποσότητι, καὶ πηλικότητι τῶν συντεθέντων αὐτὰ, καὶ προσέτι διαπλάσει τε καὶ θέσει τῶν μορίων ἑκάστου καὶ ὅλου τοῦ ὀργάνου. ἔστι δὲ τῶν ἐξ ἀνάγκης ἑπομένων τοῖς ὁμοιομερέσιν, ὡς μὲν πρὸς τὴν ἁφὴν, ἐν σκληρότητι καὶ μαλακότητι συμμετρία, πρὸς δὲ τὴν ὄψιν, εὐχροιά τε καὶ ἡ κατὰ λειότητα καὶ δασύτητα συμμετρία. κατὰ δὲ τὰς ἐνεργείας ἡ τελειότης, ἣν δὴ καὶ ἀρετὴν αὐτῶν ὀνομάζομεν. τῶν δὲ τοῖς ὀργανικοῖς ἑπομένων, ἐν συμμετρία τε καὶ κάλλει τῶν τοῦ παντὸς σώματος ὀργάνων, ἔτι τε τῇ τῶν ὑπαρχουσῶν αὐτοῖς ἐνεργειῶν ἀρετῇ. τῆς μὲν οὖν ἀρίστης κατασκευῆς τοῦ σώματος, τὰ διαγνωστικὰ σημεῖα ταῦτά ἐστι. τῶν δ' ἀπολειπομένων μὲν αὐτῆς, ὑγιεινῶν δ' ἔτι. τὰ μὲν ἐν τῇ τῶν ὁμοιομερῶν ἐσφάλται κράσει μικρόν τι σφάλμα. τὰ δὲ ἐν τῇ τῶν ὀργανικῶν, μικρόν τι κἀνταῦθα, καὶ ἤτοι πάντων, ἢ τινων, ἢ καθ' ἑκάτερον. τὰ δὲ γένη τῶν σφαλμάτων, τὰ αὐτὰ τοῖς τὴν ἀρετὴν αὐτῶν συμπληροῦσι, κράσις μὲν ἐν τοῖς ὁμοιομερέσιν, ἀριθμὸς δὲ, καὶ διάπλασις, καὶ μέγεθος, καὶ θέσις ἐν τοῖς ὀργανικοῖς, ἀμφοῖν δὲ κοινὸν ἡ ἕνωσις, ἣν δὴ καὶ συνέχειαν αὐτῶν ὀνομάζομεν. ἐν δὲ τοῖς αὐτοῖς τούτοις γένεσι, καὶ ἡ τῶν νοσωδῶν σωμάτων ἐστὶ κακία, καθ' ἑκάτερον τοῦ νοσώδους τὸ σημαινόμενον. ὅρος δ' ἀμφοῖν ἐστι διακεκριμένος, ἡ τῆς ἐνεργείας αἰσθητὴ βλάβη. τὰ δὲ τῆς ἀρίστης ἀπολειπόμενα κατασκευῆς σώματα βραχύ τι, βέβλαπται μὲν δή που καὶ αὐτὰ κατά γε τὴν ἀλήθειαν, οὐ μὴν αἰσθητόν γε τοῦτο δηλοῖ. τοιγαροῦν αὐτὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ἔν τε ταῖς ἐνεργείαις, καὶ τῷ τοῖς νοσώδεσιν αἰτίοις ἀπομάχεσθαι. τὰ δέ γε ἁπλῶς νοσώδη σώματα διώρισται, τῷ τε ῥᾳδίως ὑπὸ τῶν νοσωδῶν αἰτίων νικᾶσθαι, καὶ τῷ πολύ τι κατὰ τὴν ἀρετὴν τῶν ἐνεργειῶν ἀπολείπεσθαι. γίνεται γοῦν ἀμφοῖν ἐν μέσῳ τὰ οὐδέτερά τε [καὶ] ἁπλῶς λεγόμενα, καὶ τὰ σύν τινι πλάτει, καὶ τμηθήσεται τὸ τῆς ὅλης ὑγείας πλάτος εἰς τρία μόρια, πλάτος ἔχοντα καὶ αὐτὰ συχνόν. ὧν τὸ μὲν πρῶτον, ἔσται τῶν ὑγιεινόντων σωμάτων, τὸ δὲ δεύτερον, τῶν οὐδετέρων, τὸ δὲ τρίτον, τῶν νοσωδῶν. οἷς ἐφεξῆς ἐστι τὰ ἤδη νοσοῦντα σώματα, βλάβαις αἰσθηταῖς ἐνεργειῶν ἀφωρισμένα. τὰ μὲν οὖν ὀδυνώδη τε καὶ ὧν αἱ κινήσεις πλημμελεῖς εἰσιν, ἢ ὅλως ἀπολώλασιν, ἐναργῆ ἔχει τοὺς ὅρους. ὅσα δ' ἀτόνους κέκτηται τὰς ἐνεργείας, ἐν μὲν ταῖς μεγίσταις ἀποστάσεσιν εὐδιάκριτα, κατὰ δὲ τὰς μικροτέρας ἀμφίβολον, καὶ διὰ τοῦτο κατὰ τὸ γένος τοῦτο τῆς βλάβης, ἡ μηδετέρου τῶν ἐναντίων ἐνεργειῶν μετέχουσα συνίσταται διάθεσις, ἣν καὶ αὐτὴν ἔφαμεν οὐδετέραν ὀνομάζεσθαι. πάντων τούτων αἰσθήσει διακρινομένων, οὐκ αὐτῇ τῶν πραγμάτων τῇ φύσει. κίνδυνος γὰρ εἰς τὸ τῆς ἀπαθείας ὑποσυρῆναι δόγμα, καὶ τοίνυν καὶ τὰ σημεῖα τῶν ὑγιαινόντων μὲν σωμάτων. ἀλλ' ἤτοι νοσωδῶν, ἢ οὐδετέρων ὑπαρχόντων, κατὰ ποσῷ τῆς ἀποστάσεως διοίσει, θεμένων ἡμῶν ἄκρους μὲν ὅρους ἐναντίους ἀλλήλοις, τήν τε ἀρίστην κατασκευὴν, καὶ τὴν ἄρτι γινομένην νόσον. ἐπισκοπουμένων δὲ, ὁποτέρῳ τούτων ἐστὶν ἐγγυτέρω τὰ δοκιμαζόμενα σώματα. τὸ μὲν γὰρ ἐγγυτέρω τῆς ἀρίστης κατασκευῆς, ὑγιεινὸν, τὸ δὲ ταύτης μὲν πορρωτέρω, τοῦ δ' ἤδη νοσοῦντος ἐγγυτέρω, νοσῶδες. τὸ δ' ἀμφοῖν μεταξὺ, καὶ ἴσον ἑκατέρων ἀπέχειν φαινόμενον, οὐδέτερον ἔσται τοῦτο. τῆς μὲν οὖν ἀρίστης κατασκευῆς τοῦ σώματος, εἴρηται τὰ γνωρίσματα. τῶν δ' ἀπολειπομένων αὐτῆς, ἰσάριθμα μὲν τὰ γένη, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον τέμνεσθαι δυναμένων. ἀφωρισμένων δὲ εἰς τρία μόρια, τὰ σημεῖα τοῦ νοσώδους σώματος ἁπλῶς ὀνομάζομεν. ἐξ αὐτῶν ἐν ἔσται δῆλα, καὶ τὰ λοιπὰ δύο πλάτη. κατὰ γένος μὲν οὖν εἴρηται πρόσθεν ἐν τῷ τῆς ἀρίστης κατασκευῆς λόγῳ, κατ' εἶδος δὲ, νῦν εἰρήσεται διελομένων ἡμῶν πρότερον τὰ μόρια. Τέσσαρες δ' αὐτῶν εἰσιν αἱ πᾶσαι διαφοραί. τὰ μὲν γὰρ ἀρχαί τινές εἰσιν, τὰ δὲ ἀπ' ἐκείνων ἐκπέφυκε. τὰ δὲ, οὔτ' ἄλλων ἄρχει τῆς διοικήσεως, οὔθ' ὑπ' ἄλλων ἄρχεται, συμφύτους ἔχοντα τὰς διοικούσας αὐτὰ δυνάμεις. ἔνια δὲ συμφύτους τε ἅμα καὶ ἐπιρρύτους ἔχει. ἀρχαὶ μὲν οὖν εἰσιν ἐγκέφαλος, καρδία, ἧπαρ, καὶ ὄρχεις. ἀπ' ἐκείνων δ' ἐκπέφυκε, κἀκείνοις ὑπηρετεῖ. νεῦρα μὲν καὶ νωτιαῖος μυελὸς ἐγκεφάλῳ, τῇ καρδίᾳ δ' ἀρτηρίαι, φλέβες δ' ἥπατι, τὰ σπερματικὰ δ' ἀγγεῖα τοῖς ὄρχεσιν. αὐτὰ δ' αὐτὰ διοικεῖ χόνδρος, ὀστοῦν, σύνδεσμος, ὑμὴν, ἀδὴν, πιμελὴ, σὰρξ ἁπλῆ. τὰ δ' ἄλλα πάντα μόρια κοινὴν τούτοις ἔχοντα τὴν ἐξ ἑαυτῶν διοίκησιν, ἀρτηριῶν τε καὶ φλεβῶν, καὶ νεύρων προσδεῖται. τριχῶν δὲ καὶ ὀνύχων, οὐδὲ διοίκησίς τίς ἐστιν, ἀλλὰ γένεσις μόνη. αὗται μὲν οὖν αἱ τῶν μορίων διαφοραί.

Σημεῖα δ' ἑκάστου τῆς κράσεως ἐφεξῆς εἰρήσεται, τὴν ἀρχὴν ἀπ' ἐγκεφάλου ποιησαμένων ἡμῶν. Ἔστι δὲ πέντε τὰ σύμφυτα γένη τῶν γνωρισμάτων αὐτοῦ. ἓν μὲν ἡ τῆς συμπάσης κεφαλῆς διάθεσις, δεύτερον δὲ ἡ τῶν αἰσθητικῶν ἐνεργειῶν ἀρετή τε καὶ κακία, καὶ τρίτον ἡ τῶν πρακτικῶν, καὶ τέταρτον ἡ τῶν ἡγεμονικῶν, καὶ πέμπτον ἡ τῶν φυσικῶν. ἄλλο δὲ γένος ἐπὶ τούτοις ἅπασιν, ἡ ἀπὸ τῶν ἔξωθεν αὐτῷ προσπιπτόντων ἀλλοίωσις. ἡ μὲν δὴ τῆς συμπάσης κεφαλῆς διάθεσις, ἐκ μεγέθους τε καὶ σχήματος αὐτῆς λαμβάνεται καὶ τριχῶν. Ἡ μὲν οὖν μακρὰ κεφαλὴ,

μοχθηρᾶς ἐγκεφάλου κατασκευῆς ἴδιον σημεῖον. ἡ μεγάλη δὲ οὐκ ἐξ ἀνάγκης ἀγαθῆς κατασκευῆς σημεῖον. ἀλλ' εἰ μὲν διὰ ῥώμην ἐγγίνεται τῆς ἐγχωρίου δυνάμεως, ὕλην χρηστὴν τε καὶ πολλὴν δημιουργούσης, ἀγαθὸν σημεῖον· εἰ δὲ διὰ τὸ μόνης τῆς ὕλης τὸ πλῆθος, οὐκ ἀγαθόν. διοριστέον οὖν ἐστὶν αὐτά, τῷ τε σχήματι, καὶ τοῖς ἀπ' αὐτοῦ πεφυκόσι. τῷ σχήματι μὲν, εἰ εὔρυθμος, ἀεὶ γὰρ ἀγαθὸν τοῦτο σημεῖον, τοῖς δ' ἀπ' αὐτοῦ πεφυκόσιν, εἰ κρατεραύχην τε ἐστὶν, καὶ τοῖς ἄλλοις ὀστοῖς ἄριστα διάκειται. καὶ εἰ τὸ νευρῶδες αὐτῷ σύμπαν, εὐτραφές τε ἐστὶ καὶ εὔτονον, οἰκεῖον δὲ σχῆμα κεφαλῆς, ὥσπερ ἂν εἰ νοήσαις σφαῖραν ἀκριβῆ κηρίνην, ἑκατέρωθεν ἀτρέμα πεπιλημένην. ἀνάγκη γὰρ τῆς τοιαύτης, κυρτότερα μὲν ἢ κατὰ σφαῖραν γίνεσθαι, τά τε ὄπισθεν καὶ τὰ ἔμπροσθεν, εὐθύτερα δὲ τὰ ἑκατέρωθεν. εἰ δ' ἡ κατ' ἰνίον ἐξοχὴ μειωθείη τινὶ, συνεπισκέπτου τά τε νεῦρα, καὶ τὸν αὐχένα σὺν τοῖς ἄλλοις ὀστοῖς. κατὰ φύσιν μὲν γὰρ ἐχόντων, ἔνδεια τῆς ὕλης, οὐ δυνάμεως ἀρρωστία τοῦτο ἐγγίνεται. φαυλοτέρων δὲ ὑπαρχόντων, ἀσθενὴς ἡ ἀρχή. τὰ πολλὰ δὲ ταῖς κατ' ἰνίον ἐνδείαις, ἀσθένεια τῶν εἰρημένων ἕπεται, καὶ σπάνιον πάνυ τὸ μὴ τοιοῦτον. καὶ τὴν φοξοτέραν δὲ κατ' ἰνίον ἐπισκέπτου κεφαλὴν, ὡσαύτως τοῖς ἐφ' ὅλης αὐτῆς μεγάλης γινομένης διορισμοῖς. ὡς τὰ πολλὰ δὲ κἀνταῦθα σὺν εὐρύθμῳ τῷ σχήματι γινομένης τῆς παρεγκεφαλίδος, ἀγαθὸν σημεῖον, ἣν ἔνιοι τῶν ἰατρῶν ὀπίσθιον ἐγκέφαλον ὀνομάζουσιν. ὥσπερ οὖν καὶ ἔστιν ὀπίσθιος, ὁριζόμενος τῇ λαμβδοειδεῖ ῥαφῇ, τοῦ νωτιαίου δὲ ἐστὶν ἀρχὴ τὸ μόριον τοῦτο, καὶ δι' ἐκεῖνον, ἁπάντων τῶν καθ' ὅλον τὸ ζῶον νεύρων πρακτικῶν. αὐτὸ δὲ τὸ ὄπισθεν μέρος καθ' αὑτὸ, παντάπασιν ὀλίγων αἰσθητικῶν μετέχει, παμπόλλων δὲ τῶν πρακτικῶν, ὥσπερ γε καὶ θάτερον τὸ πρόσθιον. αἰσθητικῶν μὲν παμπόλλων, ὀλίγων δὲ τῶν πρακτικῶν, ὥστε καὶ καλῶς διακείμενα, ῥωμαλέας ἕξει τὰς ἀποφύσεις ἑκάτερον τὰς ἰδίας. οἱ αὐτοὶ δὲ κἀπὶ τῶν ἔμπροσθεν τῆς κεφαλῆς τῶν κατὰ τὸ μέτωπον διορισμοὶ τοῖς ὄπισθεν, εἴς σμικρότητά τε καὶ μέγεθος αὐτοῦ βλεπόντων, καὶ σχῆμα, καὶ τὰς ἐνταῦθα αἰσθήσεις, ὄψιν τε καὶ γεῦσιν καὶ ὄσφρησιν. ἀλλήλων γάρ ἐστι γνωρίσματα, καὶ ἀλλήλοις μαρτυρεῖ, τά τε ἀπὸ τῆς ἀρχῆς πεφυκότα, τῇ τῆς ἀρχῆς ἀρετῇ τε καὶ κακίᾳ, καὶ ἡ ἀρχὴ τοῖς ἀπ' αὐτῆς. Ἡ μέντοι τῶν ἡγεμονικῶν ἐνεργειῶν ἀρετή τε καὶ κακία, τῆς ἀρχῆς μόνης ἐστὶν αὐτῆς καθ' ἑαυτὴν γνώρισμα. καλῶ δὲ ἡγεμονικὰς ἐνεργείας, τὰς ὑπὸ τῆς ἀρχῆς μόνης γινομένας. ἀγχίνοια μὲν οὖν λεπτομεροῦς οὐσίας ἐγκεφάλου γνώρισμα, βραδύτης δὲ διανοίας παχυμεροῦς. εὐμάθεια δ' εὐτυπώτου, καὶ μνήμη μονίμου. οὕτω δὲ καὶ ἡ μὲν δυσμάθεια δυστυπώτου, ἡ δ' ἐπιλησμοσύνη διαρρεούσης, καὶ τὸ μὲν εὐμετάβολον ἐν δόξαις, θερμῆς, τὸ δὲ μόνιμον ψυχρᾶς. ἔτι δὲ μοι δοκῶ λείπεσθαι δύο γένη γνωρισμάτων, ὧν ἐξ ἀρχῆς ὑπεσχόμην ἐρεῖν. ἓν μὲν τὸ τῶν φυσικῶν ἐνεργειῶν, ἕτερον δὲ τὸ τῶν ἔξωθεν προσπιπτόντων, ἔσται δὲ κοινὸς ὑπὲρ ἀμφοῖν ὁ λόγος. Εἰ μὲν εὔκρατος ὁ ἐγκέφαλος ὑπάρχει κατὰ τὰς τέσσαρας ποιότητας, ἁπάντων τῶν εἰρημένων ἕξει μετρίως, καὶ τῶν περιττωμάτων, ὅσα διὰ ὑπερῴας, ἢ ὤτων, ἢ μυκτήρων ἐκκαθαίρεται, καὶ τούτων ἕξει μετρίως, ἥκιστά τε βλαβήσεται πρὸς ἁπάντων τῶν ἔξωθεν προσπιπτόντων, ὅσα θερμαίνει καὶ ψύχει, καὶ ξηραίνει, καὶ ὑγραίνει. τοῖς τοιούτοις αἱ τρίχες τῆς κεφαλῆς, βρέφεσι μὲν οὖσιν ὑπόπυρροι, παισὶ δὲ ὑπόξανθοι, τελειουμένοις δὲ, γίνονται ξανθαὶ, μεταξύ πως οὖσαι τῶν τε ἀκριβῶς οὔλων καὶ ἁπλῶν, οὐ μὴν οὐδὲ φαλακροῦνται ῥᾳδίως. ἀκούειν δὲ χρὴ τῶν εἰρημένων τε καὶ ῥηθησομένων γνωρισμάτων, ὡς ἐπὶ εὐκράτων οἰκήσεων. ὅσα δὲ κατὰ τὰς τρίχας οὐκ ἐπὶ χωρίων μόνον, ἀλλὰ καὶ τῆς τῶν χυμῶν κράσεως ἀνάλογον ἐχούσης τῇ κράσει τῶν κατὰ τὸν ἐγκέφαλον. εἰ δὲ θερμότερος εἴη τοῦ συμμέτρου, κατὰ δὲ τὴν ἑτέραν ἀντίθεσιν εὔκρατος. εἰ μὲν ἐπὶ πλέον εἴη θερμότερος, ἰσχυρὰ πάντα τὰ ῥηθησόμενα γενήσεται γνωρίσματα, βραχείας δὲ τῆς ὑπερβολῆς ὑπαρχούσης, ἀμυδρά. κοινὸς δὲ οὗτος ὁ λόγος ἐπὶ πάντων εἰρήσθω μοι τῶν μορίων, τῶν ἐν πάσαις ταῖς κράσεσι μελλόντων λέγεσθαι γνωρισμάτων. Ἑξῆς δ' οὖν σημεῖα τῆς ἐν ἐγκεφάλῳ θερμότητος, ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις, ἐρυθρότερα καὶ θερμότερα τὰ περὶ τὴν κεφαλὴν σύμπαντα, καὶ αἱ ἐν τοῖς ὀφθαλμοῖς φλέβες αἰσθηταὶ, αἱ τρίχες τούτοις γεννηθεῖσαι, ταχέως ἐπὶ τῆς κεφαλῆς φύονται. πολλῷ μὲν οὖσι θερμοτέροις τῶν εὐκράτων, μέλαιναι καὶ ἰσχυραὶ καὶ οὖλαι γίνονται. μὴ πολλῷ δὲ, ὑπόξανθοι μὲν τὸ πρῶτον, εἶτα μελαίνονται, προϊόντων δὲ ταῖς ἡλικίαις φαλακροῦνται, καὶ μᾶλλον γε οἱ ἐπὶ πλέον θερμοί. περιττώματα δὲ καθ' ὑπερῴαν καὶ μυκτῆρας, ὀφθαλμούς τε καὶ ὦτα, βραχέα καὶ πέπονα τούτοις ἐστίν. πεπλησμένης δὲ τῆς κεφαλῆς ἐνίοτε, συνεχῶς καὶ μάλιστα αὐτοῖς ὅταν ἀφυλάκτως διαιτῶνται, τὸ τοιοῦτον συμβαίνει, πλείω μὲν, ἀλλ' οὐκ ἄπεπτα τὰ περιττώματα γίνεται. πληροῦνται δὲ καὶ βαροῦνται τὴν κεφαλὴν ὑπὸ θερμαινόντων ἐδεσμάτων τε καὶ πομάτων καὶ ὀσμῶν, καὶ τῶν ἔξωθεν προσπιπτόντων ἁπάντων, ἐν οἷς ἐστι καὶ ὁ περιέχων ἡμᾶς ἀήρ. ἔτι τε μᾶλλον, εἰ μὴ μόνον εἴη θερμὰ τὰ τοιαῦτα τὴν φύσιν, ἀλλὰ καὶ ὑγρὰ, βραχέσιν ὕπνοις αἱ τοιαῦται κράσεις ἀρκοῦνται, πρὸς τῷ μηδὲ βαθεῖς αὐτοὺς γίνεσθαι. Ψυχροτέρου δὲ ἢ προσῆκεν ἐγκεφάλου γνωρίσματα, περιττώματα πλείω κατὰ τὰς οἰκείας ἐκροὰς, καὶ αἱ τρίχες εὐθεῖαι τε καὶ πυρραὶ καὶ μόνιμοι, καὶ μετὰ πολὺν χρόνον τοῦ γεννηθῆναι φυόμεναι, λεπταὶ καὶ ἄτροφοι τὸ πρῶτον, καὶ ῥᾳδίως ὑπὸ τῶν ψυχρῶν αἰτίων βλάπτονται, καὶ κατ' αὐτὸν τὸν χρόνον τῆς βλάβης κατάρροις τε καὶ κορύζαις ἁλίσκονται. οὐ μὴν οὐδ' ἁπτομένοις θερμὰ τὰ περὶ τὴν κεφαλὴν, οὐδ' ὁρῶσιν ἐρυθρὰ, καὶ τῶν ὀφθαλμῶν αἱ φλέβες ἀόρατοι, καὶ ὑπνωδέστεροί πως εἰσί. Ξηροτέρου δ' ἐγκεφάλου γνωρίσματα, τὸ ἀπέριττον ἐν ταῖς ἐκροαῖς, καὶ τὸ τῶν αἰσθήσεων ἀκριβές. ἀγρυπνητικοὶ δέ εἰσι, καὶ τρίχας ἰσχυροτάτας μὲν καὶ τάχιστα φύουσι γεννηθέντες, οὔλας μᾶλλον ἢ εὐθείας, φαλακροῦνται δ' ἐν τάχει. Ὑγροτέρου δὲ τρίχες ἁπλαῖ, καὶ οὐδ' ὅλως φαλακροῦνται, καὶ αἱ αἰσθήσεις ἀχλυώδεις εἰσὶ, καὶ περιττωμάτων πλῆθος, ὕπνοι τε πολλοὶ καὶ βαθεῖς. αὗται μὲν αἱ ἁπλαῖ δυσκρασίαι. Σύνθετοι δὲ, θερμὴ μὲν καὶ ξηρὰ πρώτη, καθ' ἣν ἀπέριττοί τε εἰσι, καὶ ἀκριβεῖς ταῖς αἰσθήσεσι, καὶ ἀγρυπνητικώτατοι, καὶ φαλακροῦνται ταχέως. ἡ πρώτη μέντοι γένεσις τῶν τριχῶν ταχίστη τέ ἐστι καὶ εὐτραφεστάτη, μελανότριχές τε καὶ οὐλότριχές εἰσι, καὶ θερμοὶ ψαυόντων τῆς κεφαλῆς, ἐρυθροί τε μέχρι τῶν τῆς ἀκμῆς χρόνων. Εἰ δ' ὑγρότης προσείη τῇ θερμότητι, βραχὺ μὲν ὑπερβαλλουσῶν ἀμφοτέρων τὸ σύμμετρον, εὔχροιαί τε καὶ θερμότης, καὶ αἱ ἐν τοῖς

ὀφθαλ-

ὀφθαλμοῖς φλέβες μεγάλαι, καὶ περιττώματα πλείω, μετρίως πέπονα, καὶ αἱ τρίχες εὐθεῖαι καὶ ὑπόξανθοι, καὶ οὐ φαλακροῦνται ῥᾳδίως. πληροῦνται δὲ καὶ βαρύνονται τὴν κεφαλὴν ὑπὸ τῶν θερμαινόντων. εἰ δὲ καὶ ὑγραίνοιντο, πολὺ δή τι μᾶλλον, ἡνίκα καὶ πλῆθος ἴσχουσι περιττωμάτων. ἐὰν δὲ ἐπὶ πλεῖστον ὑγρότητός τε καὶ θερμότητος ἥκωσι, νοσώδης τούτοις ἡ κεφαλὴ, καὶ περιττωματικὴ, καὶ ῥᾳδίως ὑπὸ τῶν ὑγραινόντων τε καὶ θερμαινόντων βλαπτομένη. νότος δὲ αὐτῇ πολέμιος ἀεί. ἄριστα δὲ ἐν τοῖς βορείοις διάγουσιν, οὐ μὴν οὐδὲ ἐγρηγορέναι δύνανται μέχρι πλείονος, ὕπνῳ τε ἐπιτρέψαντες ἑαυτοὺς, ἅμα τε κωματώδεις εἰσὶ καὶ ἄγρυπνοι, καὶ φαντασιώδεις τοῖς ὀνείρασιν, καὶ αἱ ὄψεις ἀχλυώδεις, καὶ αἱ αἰσθήσεις οὐκ ἀκριβεῖς. εἰ δὲ πολλῷ μὲν εἴη τοῦ συμμέτρου θερμότερος ὁ ἐγκέφαλος, ὀλίγῳ δὲ ὑγρότερος, μένουσι τὰ τῆς θερμῆς κράσεως γνωρίσματα, μιχθέντος δὲ αὐτοῖς ἀμυδρῶς τὰ τῆς ὑγρότητος, ὥσπερ καὶ εἰ πολλῷ μὲν ὑγρότερος, ὀλίγῳ δὲ εἴη θερμότερος. ἐναργῆ μὲν ἔσται καὶ σφοδρὰ τὰ τῆς ὑγρότητος, ἀμυδρὰ δὲ, τὰ τῆς θερμότητος γνωρίσματα. κοινὸς δὲ οὗτος ὁ λόγος ἐπὶ πασῶν ἐστι τῶν κατὰ συζυγίαν δυσκρασιῶν. Αἱ ψυχραὶ δὲ ἅμα καὶ ξηραὶ κράσεις ἐγκεφάλου, ψυχρὰν καὶ ἄχρουν ἀποτελοῦσι τὴν κεφαλὴν, ὅσον ἐφ᾽ ἑαυταῖς. ἀεὶ γὰρ χρὴ μεμνῆσθαι τοῦ κατ᾽ ἀρχὴν διορισμοῦ, προσεπιλογιζόμενον, ὅσον ἐκ τῆς τῶν χυμῶν κράσεως ἀλλοιοῦται τὰ κατ᾽ αὐτόν. εὐθὺς δὲ αἱ τοιαῦται κράσεις, ἄφλεβοί τε τὰ κατὰ τοὺς ὀφθαλμούς εἰσι, καὶ πρὸς τῶν ψυχρῶν αἰτίων ἑτοίμως βλάπτονται, διὸ καὶ ἀνωμάλως ὑγιαίνουσι, ποτὲ μὲν κουφότατοι τὰς κεφαλὰς, ἀπέριττοί τε τὰς ἐκροάς. ἐνίοτε δὲ καταῤῥοίς τε καὶ κορύζαις ἐπὶ σμικροῖς αἰτίοις ἑτοίμως ἁλισκόμενοι. Αἱ δὲ αἰσθήσεις αὐτοῦ, ἐν νεότητι μὲν ἀκριβεῖς τέ εἰσι, καὶ ἄμεμπτοι τὰ πάντα. προϊοῦσι δὲ, ἀπομαραίνονται ταχέως, καὶ συλλήβδην φάναι, ταχύγηροι τὰ περὶ τὴν κεφαλὴν ἅπαντές εἰσι, διὸ καὶ πολιοῦνται ταχέως. αἱ τρίχες δὲ αὐτοῖς γεννηθεῖσι μὲν ἄρχονται, μόγις ἄτροφοι καὶ πυῤῥαί. προήκοντι δὲ τῷ χρόνῳ, κρατούσης μὲν ἐπὶ πλέον τῆς ψυχρότητος ἤπερ τῆς ξηρότητος, οὐ φαλακροῦνται. τοὔμπαλιν δὲ, εἰ συμβαίη τὴν ξηρότητα μὲν πλεῖστον κρατῆσαι τῆς ὑγρότητος, τὴν ψυχρότητα δὲ τῆς θερμότητος, ὀλίγον οἱ τοιοῦτοι φαλακροῦνται. Αἱ δὲ ὑγραὶ καὶ ψυχραὶ κράσεις ἐγκεφάλου, κωματώδεις ἐργάζονται, καὶ ὑπνηλοὺς, καὶ φαύλους ταῖς αἰσθήσεσι, καὶ περιττωματικούς. εὐψύκτους τε καὶ εὐπληρώτους τὴν κεφαλὴν, εὐαλώτους τε καταῤῥοίς καὶ κορύζαις. οὐ μὴν οὐδὲ φαλακροῦνται οἱ τοιοῦτοι. ταυτὶ μὲν οὖν ἐστι τὰ σημεῖα τῶν ἐγκεφάλου κράσεων. ἐξ αὐτῶν δὲ ὁρμώμενος ἐφ᾽ ἕκαστον ὄργανον αἰσθήσεως, ἴσθι τὰς διαγνώσεις μεταφέρων. Ἀρκέσει δὲ ἐπ᾽ ὀφθαλμῶν μόνον εἰπεῖν, ὅσοι μὲν ἁπτομένοις ἐναργῶς εἰσι θερμοὶ, καὶ κινοῦνται ῥᾳδίως τε καὶ πολλάκις, καὶ φλέβας εὐρείας ἔχουσι, θερμοὶ σύμπαντές εἰσι. ψυχροὶ δὲ οἱ τούτοις ἐναντίοι, καὶ ὑγροὶ μὲν, οἱ μαλακοί τε ἅμα καὶ πλήρεις ὑγρότητος. ξηροὶ δὲ οἱ αὐχμηροί τε ἅμα καὶ σκληροί, καὶ βλάπτονται μὲν ὑπὸ τῶν ὁμοίων αἰτίων τῇ κράσει ῥᾳδίως. ὠφελοῦνται δὲ ὑπὸ τῶν ἐναντίων τῇ ἐμμέτρῳ χρήσει. ἀλλὰ τοῦτό γε κοινὸν ἐπὶ πάσῃ διαγνώσει κράσεως ἅπαντος μορίου. Μέγεθος δὲ ὀφθαλμῶν ἅμα μὲν εὐρυθμίᾳ τε καὶ τῇ τῶν ἐνεργειῶν ἀρετῇ, πλῆθος οὐσίας εὐκράτου ἐξ ἧς διεπλάσθησαν ἐνδείκνυται. τὸ δὲ αὖ τούτων, πολλὴν μὲν τὴν οὐσίαν, οὐκ εὔκρατον δὲ δηλοῖ. μικρότης δὲ ὀφθαλμῶν ἅμα μὲν εὐρυθμίᾳ τε καὶ τῇ τῶν ἐνεργειῶν ἀρετῇ, ὀλίγην μὲν, ἀλλ᾽ εὔκρατον ἐνδείκνυται τὴν οὐσίαν ἐξ ἧς διεπλάσθησαν, ἅμα δὲ ἀῤῥυθμίᾳ τινὶ καὶ κακίᾳ τῶν ἐνεργειῶν, ὀλίγην τε ἅμα καὶ φαύλην εἶναι σημαίνει τὴν οὐσίαν αὐτῶν. Τὰ δὲ κατὰ χρόας, ὧδε χρὴ διορίζεσθαι, γλαυκοὶ μὲν ὀφθαλμοὶ λάμποντες ὑγρότητι καθαρᾷ τε καὶ οὐ πολλῇ, φωτὸς λαμπροῦ γίνονται περιουσίᾳ, μέλανες δὲ ἔμπαλιν. οἱ δὲ αὖ μεταξὺ, κατὰ τὰς ἀνὰ μέσον αἰτίας. Γλαυκὸς μὲν οὖν ὀφθαλμὸς ἤτοι διὰ μέγεθος, ἢ λαμπρότητα τοῦ κρυσταλλοειδοῦς, ἢ προπετῆ θέσιν, ἢ διὰ τὴν τοῦ λεπτοῦ καὶ ὑδατώδους ὑγροῦ τοῦ κατὰ τὴν κόρην ὀλιγότητά τε καὶ καθαρότητα γίνεται. πάντων μὲν ἅμα συνελθόντων, ὁ γλαυκότατος. εἰ δὲ τὰ μὲν αὐτῶν παρείη τὰ δὲ μὴ, τὸ μᾶλλόν τε καὶ ἧττον ἐν γλαυκότητι συνίσταται. μέλας δὲ ὀφθαλμὸς, ἢ διὰ τὴν σμικρότητα τοῦ κρυσταλλοειδοῦς, ἢ διὰ τὸ ἐν βάθει θέσει, ἢ ὅτι λαμπρόν τε καὶ αὐγοειδὲς ἀκριβῶς οὐκ ἔστιν, ἢ ὅτι τὸ λεπτὸν ὑγρὸν, ἤτοι πλέον, ἢ οὐ καθαρόν ἐστιν, ἢ διά τινα τούτων, ἢ διὰ πάντα πέφυκε γίνεσθαι. τὸ μᾶλλον δὲ καὶ ἧττον ἐν αὐτοῖς, ὡς ἔμπροσθεν εἴρηται. τὸ μὲν οὖν λεπτὸν ὑγρὸν, ὑδατωδέστερόν τε καὶ πλέον γενόμενον, ὑγρότερον ἀποφαίνει τὸν ὀφθαλμὸν, ὥσπερ γε καὶ εἰ παχύτερον, ἢ ἔλαττον γένοιτο ξηρότερον. τὸ δὲ κρυσταλλοειδὲς, εἰ μὲν σκληρότερον εἴη, ξηρότερον, εἰ δὲ μαλακώτερον, ὑγρότερον. οὕτως δὲ καὶ εἰ μὲν ὑπερβάλλει τῆς συμμετρίας τοῦ λεπτοῦ ξηρότερον, εἰ δὲ ἀπολείποιτο, τοὐναντίον. Περὶ δὲ τῶν τῆς καρδίας κράσεων ἑξῆς λεγέσθω. πρότερόν γε τοῦτο ἀναμνησάντων ἡμῶν, ὡς ἕκαστον μόριον ἤτοι θερμότερον ἢ ψυχρότερον, ἢ ξηρότερον ἢ ὑγρότερον ἑαυτοῦ γεγονέναι φαμὲν, οὐ πρὸς ἕτερόν τι παραβάλλοντες. ὅπως γὰρ ἂν ἡ καρδία γένηται τινὶ φύσει ψυχροτέρα, πολὺ θερμότερον τὴν κρᾶσίν ἐστιν, ἐγκεφάλου τοῦ θερμοτάτου. Τῆς μὲν οὖν θερμοτέρας, ὡς πρὸς τὴν οἰκείαν συμμετρίαν καρδίας σημεῖα. τὰ μὲν ἀχώριστά τε καὶ οἰκεῖα, μέγεθος ἀναπνοῆς, καὶ σφυγμοῦ τάχος, καὶ πυκνότης ἐστὶν, εὐτολμία τε καὶ τὸ πρὸς τὰς πράξεις ἄοκνον. εἰ δὲ ἐπὶ πλεῖστον ἥκει θερμότητος, ὀξυθυμία τε μανιώδης καὶ θρασύτης. ἔστι δὲ καὶ λάσιος αὐτοῖς ὁ θώραξ, καὶ μάλιστα τὰ στέρνα, καὶ τῶν καθ᾽ ὑποχόνδριον ὅσα τούτοις πλησίον. ὡς ἐπὶ τὸ πολὺ δὲ καὶ τὸ σύμπαν σῶμα, θερμὸν ἐπὶ θερμῇ τῇ καρδίᾳ γίνεται, πλὴν εἰ μὴ μεγάλως ἀντιπράττοι τὸ ἧπαρ. ἐρήσεται δὲ ὀλίγον ὕστερον ἅπαντος τοῦ σώματος τὰ γνωρίσματα. καὶ μέντοι καὶ ἡ τοῦ θώρακος εὐρύτης, θερμότητος γνώρισμα. πλὴν εἰ μὴ κἀνταῦθα μεγάλως ὁ ἐγκέφαλος ἀντιπράξειεν. ἐπειδὴ τὸ μὲν τοῦ νωτιαίου μέγεθος, ἀνάλογόν ἐστιν ἐκείνῳ τὰ πολλά, καὶ τηλικοῦτοι μὲν οἱ σπόνδυλοι τὸ μέγεθος ἡλίκος ὁ νωτιαῖος, ὥστε καὶ ἡ ῥάχις ὅλη. συμπήγνυται δὲ ὁ θώραξ ἐπὶ τὸ κατὰ τὸ μετάφρενον αὐτῆς μόριον, καθάπερ ἐπὶ τρόπιν ναῦς, ὥστ᾽ ἐξ ἀνάγκης ἕξει τὸ μὲν μῆκος ἴσον τῷ μεταφρένῳ, τὸ δὲ εὖρος, ὅταν ᾖ ἀνάλογον τῷ πάχει τῶν σπονδύλων ἡ σύμπηξις αὐτοῦ γένηται

κατ' ἐκείνους. ὅταν δὲ ἡ τῆς καρδίας θερμότης κρατήσασα, διαφυσήσῃ τε καὶ αὐξύνῃ κατὰ τὴν πρώτην γένεσιν, ἀνάλογον τῇ ταύτης θερμότητι. διὸ καὶ ὅταν μὲν ἐπὶ σμικρᾷ κεφαλῇ ὁ θώραξ εὐρὺς ᾖ, μέγιστον γίνεται γνώρισμα τῆς κατὰ τὴν καρδίαν θερμότητος. ὅταν δ' ἐπὶ μεγάλῃ σμικρὸς, ἰδικώτατον καὶ τοῦτο σημεῖον ἐστὶ καρδίας ψυχροτέρας. εἰ δ' ἀνάλογον ἔχει τὴν κεφαλὴν τοῖς ἄλλοις σημείοις, διορίζου περὶ τῆς καρδίας, ὡς ἐκ θώρακός γε πηλικότητος οὐδὲν λαμβανομένου. Ἐπὶ δὲ ψυχροτέρας καρδίας, σφυγμοὶ μικρότεροι τῶν συμμέτρων, οὐ μὴν βραδύτεροί γε ἐξ ἀνάγκης, ἢ ἀραιότεροι. ἡ ἀναπνοὴ δὲ, εἰ μὲν τοσοῦτον μικρότερος ὁ θώραξ, ὅσον ἡ καρδία ψυχροτέρα, τοῖς σφυγμοῖς ἀνάλογον. εἰ δὲ μείζων ἢ κατὰ τὸ ποσὸν τῆς ψύξεως, οὐ μικροτέρα μόνον, ἀλλὰ καὶ βραδυτέρα καὶ ἀραιοτέρα. δειλοὶ τὴν φύσιν οἱ τοιοῦτοι, καὶ ἄτολμοι εἰσὶ καὶ ἀμεληταὶ, καὶ ψιλὸν αὐτοῖς τὸ στέρνον τριχῶν ἐστι. περὶ δὲ σμικρότητος αὐτῆς διοριστέον, ὡς ἔμπροσθεν εἴρηται. κατὰ ταῦτα δὲ καὶ περὶ τῆς ὅλου τοῦ σώματος θερμότητος. Ἡ δὲ ξηροτέρα καρδία, τοὺς σφυγμοὺς ἐργάζεται σκληροτέρους, καὶ τὸν θυμὸν οὐχ ἕτοιμον μὲν, ἄγριον δὲ καὶ δυσπαυστον, ὡς τὰ πολλὰ δὲ καὶ ὅλον τὸ σῶμα ξηρότερον, εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττει. Ὑγροτέρας δὲ καρδίας σημεῖα, σφυγμοὶ μαλακοὶ, καὶ ἦθος εὐκίνητον μὲν πρὸς ὀργὴν, εὐκατάπαυστον δὲ, καὶ τὸ σύμπαν σῶμα ὑγρότερον, πλὴν εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττει. κατὰ δὲ συζυγίαν τῶν πρώτων ποιοτήτων, αἱ δυσκρασίαι τῆς καρδίας ὧδε ἔχουσιν. Θερμῆς καὶ ξηρᾶς καρδίας οἱ σφυγμοὶ σκληροὶ καὶ μεγάλοι, καὶ ταχεῖς, καὶ πυκνοὶ, καὶ αἱ ἀναπνοαὶ μεγάλαι τε καὶ ταχεῖαι καὶ πυκναί. καὶ πολὺ δὴ μᾶλλον εἰς τάχος ἐπιδίδωσι καὶ πυκνότητα, οὐ συναυξηθέντος, ἀνάλογον τῇ καρδίᾳ τοῦ θώρακος. πάντων οὗτοι λασιώτατοι τὰ κατὰ τὸ στέρνον εἰσὶ καὶ τὸ ὑποχόνδριον. εἰς δὲ τὰς πράξεις ἕτοιμοι, καὶ θυμικοὶ, καὶ ταχεῖς, καὶ τυραννικοὶ τοῖς ἤθεσι, καὶ γὰρ ὀξύθυμοι καὶ δυσπαυστοι. περὶ δὲ τῆς ἅπαντος τοῦ σώματος κράσεως, ἔτι τε τῆς τοῦ θώρακος εὐρυχωρίας, ἀνάλογον τοῖς ἔμπροσθεν εἰρημένοις διοριστέον. Εἰ δ' ὑγρότης ἐπικρατήσειεν ἅμα θερμότητι, λάσιοι μὲν ἧττον οἱ τοιοῦτοι τῶν προειρημένων, ἕτοιμοι δὲ εἰς τὰς πράξεις οὐδὲν ἧττον. οὐ μὴν ἄγριός γε ὁ θυμὸς, ἀλλ' εἰς ὀργὴν μόνον ἕτοιμοι, οἱ σφυγμοὶ δὲ μαλακοί τε καὶ μεγάλοι, καὶ ταχεῖς, καὶ πυκνοί. καὶ ἡ ἀναπνοὴ τοῦ μὲν θώρακος ἀνάλογον ἔχοντος τῇ καρδίᾳ, κατὰ τὴν αὐτὴν ἰδέαν τοῖς σφυγμοῖς. μικροτέρου δὲ γενομένου, τοσοῦτον θάττον τε καὶ πυκνοτέρα τῶν προειρημένων, ὅσον καὶ ὁ θώραξ μικρότερός ἐστιν. πολλῆς δὲ τῆς κατὰ τὴν κρᾶσιν ἐκτροπῆς γενομένης, καὶ μάλιστα εἰ κατὰ τὴν ὑγρότητα συμπέσοι τοῦτο, πρὸς τοῖς εἰρημένοις ἔτι καὶ τὰ σηπεδονώδη νοσήματα, διαφθειρομένων τε καὶ σηπομένων αὐτοῖς τῶν χυμῶν συμπεσεῖται, καὶ αἱ ἐκπνοαὶ, μείζους τε καὶ θάττους τῶν εἰσπνοῶν, κἂν τοῖς σφυγμοῖς ἡ συστολὴ ταχεῖα. Ὑγροτέρας δὲ καὶ ψυχροτέρας καρδίας, οἱ μὲν σφυγμοὶ μαλακοὶ, τὸ δὲ ἦθος, ἄτολμόν τε καὶ δειλὸν καὶ ὀκνηρόν. εἰσὶ δὲ καὶ ψιλοὶ τριχῶν οἱ τοιοῦτοι τὰ στέρνα, καὶ ἥκιστα μηνιῶσιν, ὥσπερ καὶ εἰς ὀργὴν οὐχ ἕτοιμοι. τὰ δὲ κατὰ θώρακα, καὶ τὸ σύμπαν σῶμα, τοῖς ἔμπροσθεν ὡσαύτως διοριστέον. Ἡ ψυχροτέρα δὲ καὶ ξηροτέρα καρδία, τοὺς μὲν σφυγμοὺς, σκληροὺς ἐργάζεται καὶ μικρούς. τὴν δὲ ἀναπνοὴν, εἰ μὲν ἀνάλογον τῇ ψυχρότητι, μικρὸς ὁ θώραξ γένοιτο σύμμετρον. εἰ δὲ μείζων ἀραιὰν καὶ βραδεῖαν, ἀοργητότατοι πάντων οὗτοι. βιασθέντες μέντοι ποτὲ ὀργισθῆναι, φυλάττουσι τὴν μῆνιν, εἰσὶ δὲ καὶ ἄτριχοι τὰ στέρνα πάντων μάλιστα. περὶ δὲ σμικρότητος τοῦ θώρακος, ἔτι τε τῆς τοῦ ὅλου σώματος ψυχρότητος ὁμοίως διοριστέον. ἐν κοινὸν ἐπὶ πᾶσι τοῖς εἰρημένοις ἐκεῖνο μεμνημένος, ὡς ὅσα περὶ ἠθῶν, ἢ νοῦ, ἢ κατ' ἄλλον τινὰ γέγραπται λόγον, εἰς διάγνωσιν κράσεως, οὐχ ὑπὲρ τῶν ἐκ φιλοσοφίας, ἢ χρηστῶν, ἢ μοχθηρῶν ἠθῶν ἐγγινομένων, ἀλλ' ὑπὲρ τῶν ἐμφύτων ἑκάστῳ λέλεκται. Ἥπατος θερμοτέρου γνωρίσματα, φλεβῶν εὐρύτης, ἡ ξανθὴ χολὴ πλείων. ἐν δὲ τῷ χρόνῳ τῆς ἀκμῆς καὶ ἡ μέλαινα, θερμότερον αὐτοῖς τὸ αἷμα, καὶ διὰ τοῦτο καὶ τὸ σύμπαν σῶμα. πλὴν εἰ μὴ τὰ περὶ τὴν καρδίαν ἀντιπράττει, δασύτης τῶν καθ' ὑποχόνδρια καὶ γαστέρα. Ψυχροτέρου δὲ στενότης φλεβῶν, φλέγμα πλεῖον, αἷμα ψυχρότερον, καὶ ἡ σύμπασα τοῦ σώματος ἕξις ψυχροτέρα, εἰ μὴ πρὸς τῆς καρδίας θερμαίνοιτο, ψιλὰ τριχῶν ὑποχόνδριά τε καὶ γαστήρ. Ξηροτέρου δὲ, τὸ μὲν αἷμα παχύτερον καὶ ὀλιγώτερον, αἱ φλέβες δὲ σκληρότεραι, καὶ ἡ σύμπασα τοῦ σώματος ἕξις ξηροτέρα. Ὑγροτέρου δὲ, τὸ μὲν αἷμα πλεῖόν τε καὶ ὑγρότερον, αἱ φλέβες δὲ μαλακώτεραι. οὕτως δὲ καὶ τὸ σύμπαν σῶμα, πλὴν εἰ μὴ κατὰ τὴν καρδίαν ἀντιπράττει. Θερμοτέρου δὲ ἅμα καὶ ξηροτέρου ἥπατος γνωρίσματα, λασιώτατον ὑποχόνδριον, αἷμα παχύτερόν τε ἅμα καὶ ξηρότερον, ἡ ξανθὴ χολὴ πλείστη, ἤδη δὲ τὴν ἀκμὴν καὶ ἡ μέλαινα, φλεβῶν εὐρύτης τε καὶ σκληρότης. οὕτως δὲ καὶ τὸ σύμπαν σῶμα. θερμότης μὲν γὰρ ἡ ἐκ καρδίας ὁρμωμένη, νικῆσαι δύναται τὴν ἐξ ἥπατος ὁρμωμένην ψυχρότητα, καθάπερ καὶ ἡ ψυχρότης τὴν θερμότητα. τὴν ξηρότητα δὲ, οὐχ οἷόν τε πρὸς τοὐναντίον ὑπὸ τῆς καρδίας ὑγροτέρας γενομένης ἀχθῆναι. μεταξὺ δὲ ἐστιν ἡ ἀφ' ἥπατος ὑγρότης τῶν εἰρημένων. μᾶλλον μὲν γὰρ ὑπὸ τῆς ἐν καρδίᾳ νικᾶται ξηρότητος, ἤπερ ἡ ξηρότης ὑπὸ τῆς ὑγρότητος. ἧττον δὲ τῆς θερμότητος, ἔτι δὲ μᾶλλον ἧττον τῆς ψυχρότητος. δυσνικητοτάτη γὰρ αὕτη τῶν ἐξ ἥπατος ὁρμωμένων ποιοτήτων. εὔδηλον οὖν ὡς ἐπειδὰν εἰς ταὐτὸ συνδράμωσιν αἱ τῶν ἀρχῶν ἀμφοτέρων κράσεις, ὅλον ἀκριβῶς τὸ σῶμα κατ' ἐκείνας διατίθεται. λεχθήσεται δὲ ὀλίγον ὕστερον αὐτοῦ τὰ γνωρίσματα. Τὸ δὲ ὑγρότερον ἅμα καὶ θερμότερον ἧπαρ, ἧττον μὲν τοῦ θερμοτέρου καὶ ξηροτέρου τὰ καθ' ὑποχόνδριον ἐργάζεται λάσια. πλεῖστον δ' αἷμα καὶ φλέβας μεγάλας, καὶ τὴν ἕξιν ὑγροτέραν καὶ θερμοτέραν, εἰ μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράττει. εἰ δὲ ἐπὶ πλέον ἀμφοτέραις ταῖς ποιότησιν ἐκτραπείη τοῦ κατὰ φύσιν, ἑτοίμως ἁλίσκεται τοῖς σηπεδονώδεσι καὶ κακοχύμοις νοσήμασιν, ἔτι μᾶλλον εἰ ἐπὶ πλεῖστον μὲν αὐξηθείη τὸ ὑγρὸν, ἐπ' ὀλίγον δὲ τὸ θερμόν. εἰ δ' ἔμπαλιν ἐπ' ὀλίγον μὲν αὐξηθείη, τὸ ὑγρὸν, ἐπὶ πλεῖστον δὲ τὸ θερμὸν, ἥκιστα κακόχυμοι γίγνονται. Τὸ δ' αὖ ὑγρότερον καὶ ψυχρότερον ἧπαρ, ἄτριχον μὲν ἔχει τὸ ὑποχόνδριον. αἷμα δ' ἐργάζεται φλεγματικώτερον, ἅμα φλεβῶν στενότητι. καὶ τὸ σύμπαν σῶμα παραπλησίως ἔχον, εἰ μὴ πρὸς τῆς καρδίας εἰς τἀναντία μετάγοιτο. Τὸ δὲ ψυχρότερον καὶ ξηρότερον ἧπαρ, ὀλίγαιμόν

γαιμόν τε καὶ εὐρύφλεβον ἐργάζεται τὸ σῶμα καὶ ψυχρότερον. ὑποχόνδριόν τε ψιλὸν, εἰ μὴ κἀνταῦθα νικήσειεν ἡ καρδία. τῶν δὲ τῶν ὄρχεων κράσεως, ἡ θερμὴ μὲν, ἀφροδισιαστική τέ ἐστι, καὶ ἀῤῥενογόνος, καὶ γόνιμος, καὶ ταχέως δασύνει τὰ γεννητικὰ μόρια. συνεφάπτεται δὲ καὶ τῶν πέριξ, ἡ ψυχροτέρα δὲ, τἀναντία. καὶ ἡ μὲν ὑγρὰ πολύσπερμός τέ ἐστι καὶ ὑγρόσπερμος, ἡ ξηρὰ δὲ, ὀλιγόσπερμός τε καὶ μετρίως παχύσπερμος. Ἡ θερμοτέρα δὲ καὶ ξηροτέρα, παχυσπερμοτάτη τέ ἐστι καὶ γονιμωτάτη, καὶ τάχιστα πρὸς συνουσίαν ἐπεγείρει τὸ ζῷον εὐθέως ἐξ ἀρχῆς. ἀτὰρ οὖν οἱ τοιοῦτοι δασύνονται τάχιστα τὰ γεννητικὰ μόρια, καὶ σύμπαντα τὰ πέριξ, ἄνω μὲν ἄχρι τῶν κατὰ τὸν ὀμφαλὸν χωρίων, κάτω δὲ, μέχρι μέσων μηρῶν. ὁρμητικὴ μὲν οὖν ἡ τοιαύτη κρᾶσις ἱκανῶς ἐπ' ἀφροδίσια, τάχιστα δὲ ἐμπιπλαμένη, καὶ εἰ βιάσαιτο, βλαπτομένη. Συνελθούσης δὲ ὑγρότητος τῇ θερμότητι, λάσιοι μὲν ἧττον οἱ τοιοῦτοι, πολύσπερμοι δὲ μᾶλλον, οὐ μὴν ὀρέγονταί γε μᾶλλον τῶν ἑτέρων, ἐξαρκοῦσι δ' ἀβλαβέστερον ἀφροδισίοις πλείοσιν. εἰ δ' ἱκανῶς ἄμφω συναυξηθείη τό, τε ὑγρὸν καὶ θερμὸν, οὐδ' ἀβλαβῶς ἀπέχονται τῶν ἀφροδισίων. Εἰ δ' ὑγρότεροι καὶ ψυχρότεροι τὴν κρᾶσιν οἱ ὄρχεις γένονται, ψιλὰ τὰ πέριξ τριχῶν, καὶ βραδέως ἀφροδισιάζειν ἄρχονται, καὶ οὐδ' ὁρμητικοὶ πρὸς τὴν ἐνέργειαν εἰσὶν, ὑδατῶδες δὲ καὶ λεπτὸν αὐτοῖς τὸ σπέρμα, καὶ ἄγονον καὶ θηλύγονον.

Ἡ ψυχροτέρα δὲ καὶ ξηροτέρα κρᾶσις, ὁμοία μὲν τἄλλα τοῖς προειρημένοις, παχύτερον δ' αὐτοῖς τὸ σπέρμα καὶ παντάπασιν ὀλίγον. Αἱ δ' ὅλου τοῦ σώματος ἕξεις, εἴρηνται μὲν που καὶ πρόσθεν, ὡς ὁμοιοῦνται καρδίᾳ καὶ ἥπατι. κρατεῖ δὲ ἡ ὁμοιότης τοῦ σφοδροτέραν ἔχοντος ἥντινα οὖν τῶν πρώτων ποιοτήτων, ἃς δὴ καὶ δραστικὰς ὀνομάζουσιν. ὅλου δὲ τοῦ σώματος ἡ ἕξις, ἐπ' ἐκείνων λέγεται μάλιστα τῶν μορίων, ὅσα θεωμένοις ὑποπίπτει πρῶτα. μύες δέ εἰσιν οὗτοι πᾶσι τοῖς ὀστοῖς περιβεβλημένοι, σύνθετοί τινες σάρκες, ἔκ τε τῆς ἁπλῆς καὶ πρώτης σαρκὸς, ἔτι τε τῶν ἰνῶν αἷς αὗται περιπεφύκασιν. ἡ γὰρ οἰκεία τῶν μυῶν οὐσία, τουτ' ἐστὶν ἄμφω. τὰ δ' εἰς αὐτοὺς ἥκοντα τῶν ἀγγείων, οἷον ὀχετοί τινές εἰσιν, οὐ συμπληροῦντες αὐτῶν τὴν οὐσίαν, ἀλλ' ὑπηρετοῦντες εἰς διαμονήν. ἀρέσει γοῦν καὶ τὰ τῆς τούτων κράσεως γνωρίσματα, περὶ τὴν εὔκρατον οἰκοῦσιν. ἐξαλλάττουσι γὰρ αἱ δύσκρατοι τὸ δέρμα, καθ' ἑαυτὰς τυχοῦσαι, καὶ διαφθείρουσιν ἔνια τῶν γνωρισμάτων. οὕτως δὲ καὶ εἰ περὶ τὴν εὔκρατον χώραν ὥρᾳ θέρους ἑαυτὸν ἡλίῳ παραβάλλοι γυμνὸν, ἐξαλλάξει τῶν γνωρισμάτων ὅσα περὶ χρόαν τέ ἐστι, καὶ τὴν ἐν μαλακότητι καὶ σκληρότητι οὖσαν. εἰ δ' ὥσπερ εὔκρατόν ἐστι τὸ χωρίον, οὕτως καὶ αὐτὸς εὐκράτως διαιτῷτο, μήτ' ἐξοπτώμενος ἐν ἡλίῳ, γυμνὸς ἑκάστης ἡμέρας ἐπὶ πλεῖστον. ἀλλὰ μήθ' ὥσπερ ἔνιοι δίκην παρθένου σκιατραφούμενος, ἀκριβῆ τὰ τῆς κράσεως ἐνδείξεται γνωρίσματα. τοίνυν ὡς ἐπὶ τούτων τοῦ λόγου γενησομένου, προσέχωμεν ἤδη τὸν νοῦν αὐτῷ. Συμμέτρου κράσεως γνωρίσματα πρὸς ὅλην τοῦ ζώου τὴν ἕξιν, ἡ χροιὰ μὲν ἐξ ἐρυθροῦ καὶ λευκοῦ συμμιγής. αἱ τρίχες δὲ ξανθαὶ μετρίως, καὶ οὖλαι τὰ πολλά. συμμετρία δὲ σαρκώσεως, ἐν ποσότητι καὶ ποιότητι. μέσον γὰρ ἀκριβῶς ἐστι τὸ τοιοῦτον σῶμα πασῶν τῶν ὑπερβολῶν, ὡς αὖ καὶ νοουμένων τε καὶ λεγομένων πρὸς αὐτό. καὶ γὰρ τὸ παχὺ σῶμα πρὸς τοῦτο λέγεται παχὺ, καὶ τὸ λεπτὸν ὡσαύτως πρὸς τοῦτο, πολύσαρκόν τε καὶ ὀλιγόσαρκον, καὶ πιμελῶδες, καὶ σκληρὸν, καὶ μαλακὸν, καὶ λάσιον, καὶ ψιλόν. οὐδὲν γοῦν τούτων ἐστὶ σύμμετρον. ἀλλ' οἷος ὁ Πολυκλείτου κανὼν εἰς ἄκρον ἥκει συμμετρίας ἁπάσης, ὡς ψαυόντων μὲν μήτε μαλακὸν φαίνεσθαι, μήτε σκληρὸν, μήτε θερμὸν, μήτε ψυχρόν. ὁρώντων δὲ μήτε λάσιον, μήτε ψιλὸν, μήτε παχὺ, μήτε ἰσχνὸν, ἢ τινα ἑτέραν ἔχον ἀμετρίαν. Ὅσα δὲ τοῦ συμμέτρου θερμότερα μέν ἐστιν, οὐ μὴν ὑγρότερά γε ἢ ξηρότερα κατὰ τὸ σαρκῶδες γένος. καὶ ὑπὲρ τούτου γὰρ ὁ ἐνεστηκὼς λόγος φαίνεται μὲν δὴ καὶ ἁπτομένοις θερμότερα τοῦ μέτρου, ὅσον περ ἐστὶ τῇ κράσει θερμότερα. λασιώτερα δὲ τοῦ μέτρου ἔσται, ὅσον περ καὶ θερμότερα, καὶ πιμελῆς ἧττον ἔχοντα, τῇ χροιᾷ δὲ ἐξέρυθρα, καὶ μελανότριχα. Ψυχροτέρας κράσεως σημεῖα, τὸ ἄτριχον, τὸ πιμελῶδες, τὸ ψυχρὸν ἁπτομένοις. ἡ χροιὰ δ' αὐτοῖς, ἅμα ταῖς θριξὶ πυῤῥοτέρα. πολλῆς δὲ τῆς ψύξεως οὔσης, πελιδνή πως ἐστὶν, καὶ καλεῖν ἔθος ἐστὶν ἐνίοις τῶν ἰατρῶν τοὺς τοιούτους μολυβδοχρῶτας. Ἡ δὲ ξηροτέρα κρᾶσις, ἰσχνοτέρα τέ ἐστι, καὶ σκληροτέρα τῆς εὐκράτου τοῦ μέτρου, ὅσον περ αὖ ἡ ξηροτέρα. τὰ δ' ἄλλα παραπλήσιος. Καὶ ἡ ὑγροτέρα δὲ, τὰ μὲν ἄλλα παραπλήσιος, εὐσαρκωτέρα δὲ καὶ μαλακωτέρα, καὶ μὴν καὶ κατὰ συζυγίαν τῶν πρώτων ποιοτήτων αἱ δυσκρασίαι γινόμεναι, σύνθετον ἔχουσι καὶ τὴν τῶν γνωρισμάτων ἰδέαν.

Ἡ μὲν γὰρ θερμοτέρα καὶ ξηροτέρα, λασιωτέρα, καὶ θερμοτέρα, καὶ σκληροτέρα, καὶ ἀπίμελος ἐστὶ, καὶ ἰσχνὴ, καὶ μελανόθριξ. εἰ δὲ ἐπὶ πλέον ἥκει θερμότητος, καὶ μελάγχρους. Ἡ θερμοτέρα καὶ ὑγροτέρα κρᾶσις, μαλακωτέρα τε καὶ εὐσαρκοτέρα, καὶ θερμοτέρα τῆς ἀρίστης κράσεως εἰς τοσοῦτον ἐστὶν, εἰς ὅσον ἀμφοτέραις αὐξηθῇ ταῖς ποιότησιν. ἐπὶ πλέον δὲ αὐξηθεῖσα, τοῖς σηπεδονώδεσιν ἑτοίμως ἁλίσκεται νοσήμασιν, ὅτι καὶ κακόχυμος ἑτοίμως γίγνεται. εἰ δ' ὀλίγῳ μὲν ὑγροτέρα, παμπόλλῳ δ' εἴη θερμοτέρα, καὶ μαλακώτεροι μὲν ὀλίγῳ τῶν συμμέτρων οἱ τοιοῦτοι, καὶ σαρκωδέστεροι, λασιώτεροι δὲ οὐκ ὀλίγῳ. καὶ μὲν δὴ καὶ ἁπτομένοις, οὐκ ὀλίγῳ θερμότεροι. μέλαιναι δ' αὐτοῖς αἱ τρίχες, καὶ ἡ σὰρξ ἀπίμελος. εἰ δ' ὀλίγῳ μὲν εἴη θερμοτέρα, παμπόλλῳ δὲ ὑγροτέρα, μαλακὴ τούτοις ἐστὶν ἡ σὰρξ, καὶ πολλὴ, καὶ τὸ χρῶμα συμμιγὲς ἐξ ἐρυθροῦ καὶ λευκοῦ, καὶ ψαυόντων ὀλίγῳ θερμότεροι. συλλήβδην δ' εἰπεῖν ἐπὶ τῶν κατὰ συζυγίαν κράσεων, ἀεὶ τῆς ἐπικρατούσης ποιότητος, ἐπικρατήσει τὰ γνωρίσματα. Ἡ ψυχροτέρα δὲ καὶ ὑγροτέρα κρᾶσις, ἐπ' ὀλίγον μὲν ἀμφοῖν ηὐξημένων, ἄτριχός τέ ἐστι, καὶ λευκὴ καὶ μαλακὴ, καὶ παχεῖα, καὶ πιμελώδης, ἐπὶ πλεῖον δὲ τὰ μὲν ἄλλα κατὰ ἀναλογίαν τῆς τῶν ποιοτήτων αὐξήσεως, ἡ χροιὰ δὲ ἅμα ταῖς θριξὶ πυῤῥὰ, καθάπερ γε καὶ εἰ ἐπὶ πλεῖστον ἀμφοῖν ηὐξημένων πελιδνή. εἰ δ' ἄνισος ἡ αὔξησις εἴη τῶν ποιοτήτων, ἐπικρατήσει τὰ τῆς μᾶλλον ηὐξημένης ἴδια. Εἰ δὲ τὸ ψυχρὸν ἅμα τῷ ξηρῷ κατ' ἴσον αὐξηθείη, φύσει σκληρὸν καὶ ἰσχνὸν ἔχουσι τὸ σῶμα καὶ ἄτριχον, ἁπτομένοις δὲ ψυχρόν. ἡ πιμελὴ δὲ ὅμως αὐτοῖς, καίτοι γε ἰσχνοῖς οὖσι, παρέσπαρται τῇ σαρκί. τὰ δὲ τῶν τριχῶν καὶ τῆς χροιᾶς, ἀνάλογον τῷ μέτρῳ τῆς ψυχρότητος. μεταπεσούσης δὲ τῆς θερμῆς, καὶ ξηρᾶς κράσεως ἐν τῷ χρόνῳ τῆς παρακμῆς εἰς τὴν ξηράν τε καὶ ψυχρὰν, ἡ ἕξις τῶν τοιούτων ἰσχνὴ καὶ σκληρὰ, καὶ μελαγχολική, διὰ τοῦ μέλαινά τε ἅμα καὶ δασεῖα. κρατούσης μὲν τῆς ἑτέρας τῶν ποιοτήτων παρὰ πολύ. τῆς δ' ἑτέρας ὀλίγον τι τοῦ συμμέτρου παραλλαττούσης, ἐπικρατήσει μὲν τὰ τῆς ἐπικρατούσης, ἀμυδρὰ δὲ ἔσται τὰ τῆς ἑτέρας γνωρίσματα.

ἐπὶ πᾶσι δὲ τοῖς εἰρημένοις τε καὶ μέλλουσι λέγεσθαι, κοινὸν γνώρισμα κράσεως. εἰ μὲν εὔψυκτον εἴη τὸ μόριον, ἤτοι ψυχρότητος, ἢ ἀραιότητος, εἰ δὲ δύσψυκτον, ἤτοι θερμότητος, ἢ πυκνότητος. εἰ δ᾽ ὑπὸ τῶν ξηραινόντων βλάπτοιτο, αὐχμηρόν τε καὶ ξηρὸν καὶ δυσκίνητον γένοιτο ξηρότητος, ὥσπερ γε καὶ εἰ βαρύνοιτο πρὸς τῶν ὑγραινόντων ὑγρότητος. ἐπιβλέπειν δὲ καὶ εἰ ὡσαύτως ἀλλήλοις ἅπαντες οἱ μύες, ἢ οὐχ ὡσαύτως κέκρανται, συνεπισκεπτόμενον ἐν ἅπασι πηλικότητα τῶν ὑποβεβλημένων ὀστῶν. ἐνίοτε γοῦν ἰσχνότερον εἶναι δοκεῖ τὸ μόριον, οὐκ ὂν ἰσχνότερον, ὅσον ἐπὶ τοῖς μυσί, διὰ δὲ τὴν στενότητα τῶν ὀστῶν τοιοῦτον φανταζόμενον. οὕτως δὲ καὶ παχύτερον ἐνίοις εἶναι δοκεῖ πολλάκις, οὐ διὰ τὴν εὐρύτητα τῶν ὀστῶν, ἀλλὰ διὰ τὸ τῆς σαρκὸς πλῆθος, ἥτις αὐξανομένη τε καὶ μειουμένη, σκληροτέρα τε καὶ μαλακωτέρα γινομένη, ἢ ξηρότερον ἢ ὑγρότερον ἀποφαίνει τὸ μόριον. ἡ μὲν οὖν ὀλίγη τε καὶ σκληρά, τὸ ξηρότερον. ἡ πολλὴ δὲ καὶ ἡ μαλακή, τὸ ὑγρότερον. οὕτω δὲ καὶ αἱ μεταξὺ χῶραι τῶν ὁμοιομερῶν σωμάτων, ἤτοι πλέον ὑγρὸν ἐν αὐταῖς, ἢ ἔλαττον περιέχουσαι, καὶ ἤτοι παχύτερον, ἢ λεπτότερον, ἢ ὑγρότερον, ἢ ξηρότερον ἀποφαίνει τὸ μόριον. ὑγρότερον μὲν ἔνθα λεπτοτέρα τε καὶ πλείων ἐστὶν ἡ ὑγρότης, ξηρότερον δὲ ὅπου παχυτέρα τε ἅμα καὶ ἐλάττων. αὐτὰ μὲν γὰρ τὰ στερεὰ τοῦ σώματος μόρια, τὰ ὄντως στερεὰ καὶ πρῶτα, κατ᾽ οὐδένα τρόπον οἷόν τέ ἐστιν ὑγρότερα ποιεῖν, ἀλλ᾽ ἱκανόν, εἰ κωλύει τις αὐτὰ μὴ διὰ ταχέων ξηραίνεσθαι, τὰς δὲ διαλαμβανούσας αὐτὰ χώρας ἔνεστι πληροῦν ὑγρότητος, ἤτοι τοίας ἢ τοίας. τοιαύτη δέ ἐστιν ἡ οἰκεία τροφὴ τῶν ὁμοιομερῶν ἐκ παραθέσεως, οὐ διὰ ἀγγείων ἑλκομένη. κοινὸς δὲ καὶ οὗτος ὁ λόγος ἁπάντων ἐστὶ τῶν μορίων, καὶ ῥηθήσεται καὶ αὖθις ἐν τῇ τῶν ὑγιεινῶν αἰτίων διδασκαλίᾳ. νυνὶ δὲ τῶν ἐφεξῆς ἐχώμεθα. Γαστρὸς γνωρίσματα τῆς μὲν φύσει ξηροτέρας, εἰ ταχέως διψώδεις γίγνοιντο, καὶ ὀλίγον αὐτοῖς ἀρκοίη ποτόν, καὶ βαρύνοιντο τῷ πλείονι, καὶ κλύδωνας ἴσχοιεν, ἢ ἐπιπολάζοι τὸ περιττεῦον αὐτοῖς, ἐδέσμασί τε χαίροιεν ξηροτέροις. Ὑγροτέρας δέ, εἰ μήτε διψώδεις γίγνοιντο, καὶ τὸ πλεῖον ὑγρὸν ἀλύπως φέροιεν, ἐδέσμασί τε χαίροιεν ὑγροτέροις. Ἡ δὲ θερμοτέρα φύσει γαστήρ, πέττειν μὲν ἀμείνων, ἢ ὀρέγεσθαι, καὶ πολὺ μᾶλλον ὅσα σκληρὰ καὶ δυσαλλοίωτα. διαφθείρεται γὰρ ἐν αὐτῇ τὰ εὐαλλοίωτα, χαίρουσα δὲ τοῖς θερμοῖς ἐδέσμασί τε καὶ πόμασιν, οὐδ᾽ ὑπὸ τῶν ψυχρῶν οὐδὲν βλάπτεται, κατά γε τὴν ἔμμετρον χρῆσιν. Ἡ δὲ ψυχροτέρα φύσει γαστήρ, ὀρεχθῆναι μὲν ἀγαθή, πέψαι δὲ οὐκ ἀγαθή, καὶ μάλιστα ὅσα δυσαλλοίωτα καὶ ψυχρὰ τῶν ἐδεσμάτων ἐστίν. ὀξύνεται γοῦν ἑτοίμως ἐν αὐτῇ, διὸ καὶ ὀξυρεγμιώδης ἐστὶν ἡ τοιαύτη γαστήρ, καὶ χαίρει μὲν τοῖς ψυχροῖς. βλάπτεται δὲ ῥᾳδίως ἀμετρότερον χρησαμένη. οὕτως δὲ καὶ τῶν ἔξωθεν αὐτῇ προσπιπτόντων ψυχρῶν, οὐ φέρει τὴν πολυχρόνιον ὁμιλίαν, ὥσπερ οὐδ᾽ ἡ θερμὴ τῶν θερμῶν. αἱ μέντοι διὰ νόσον ἐν τῇ γαστρὶ δυσκρασίαι, ταύτῃ διαφέρουσι τῶν ἐμφύτων, ἢ τῶν ἐναντίων ἐπιθυμοῦσιν, οὐ τῶν ὁμοίων ὥσπερ αἱ σύμφυτοι. Αἱ δὲ κατὰ συζυγίαν ἐν τῇ γαστρὶ δυσκρασίαι, διὰ τῆς τῶν ἁπλῶν γνωρισθήσονται συνθέσεως. ἀκριβῶς δὲ χρὴ προσέχειν τὸν νοῦν τοῖς εἰρημένοις, διακρίνοντας αὐτὰ τῶν ῥηθησομένων. οὐ μόνον γὰρ ἡ κοιλία διψώδεις τε καὶ ἀδίψους ἐργάζεται, καὶ ψυχροῦ καὶ θερμοῦ πόματος ὀρεκτικούς, ἀλλὰ καὶ τὰ κατὰ θώρακα σπλάγχνα, καρδία καὶ πνεύμων. ἀλλ᾽ οἵ γε διὰ τὴν τούτων θερμότητα διψῶντες, εἰσπνέουσί τε πλέον, ἐκφυσῶσί τε μακρόν, αἰσθάνονταί τε κατὰ τὸν θώρακα τοῦ καύματος, οὐχ ὥσπερ οἱ διὰ τὴν γαστέρα κατὰ ὑποχόνδρια. καὶ μὲν δὴ πίνοντες, οὐκ εὐθέως ἡσυχάζουσι, καὶ τὸ ψυχρὸν πόμα ἴησιν αὐτῶν μᾶλλον τὴν δίψαν ἤπερ τὸ πολὺ θερμόν. ἀναψύχει δὲ αὐτοὺς καὶ ὁ ψυχρὸς ἀὴρ εἰσπνεόμενος, οὐδὲν ἐπικουφίζων τοὺς ἐκ γαστρὸς διψώδεις. οὕτως δὲ καὶ οἱ ἐναντίως ἔχοντες, ὑπὸ τῆς ψυχρᾶς εἰσπνοῆς αἰσθητῶς ἀνιῶνται. Καὶ μέγιστόν ἐστι τοῦτο γνώρισμα τῆς ἐν πνεύμονι ψυχρότητος. ὥσπερ δὲ εἰσπνέοντες ψυχρὸν αἰσθάνονται σαφῶς ἀνίας τε καὶ ψύξεως, οὕτως τὸ θερμὸν αὐτοῖς ἐστι φίλιον, ἀλλὰ καὶ φλεγματικὰ περιττώματα χρεμπτόμενοι, καὶ μετὰ βηχὸς ἀναπτύουσιν. Αἱ ξηρότητες δὲ τοῦ πνεύμονος ἄπτυστοί τέ εἰσι, καὶ καθαραὶ τῷ φλέγματι, καθάπερ αἱ ὑγρότητες ἀλαμπῆ μὲν ἐργάζονται, καὶ βραγχώδη τὴν φωνήν. ἐντρέχει δ᾽ αὐτοῖς περιττώματα, μεῖζόν τε καὶ ὀξύτερον φθέγξασθαι προαιρουμένοις. Οὐ μὴν αὐτό γε τὸ τῆς φωνῆς μέγεθος ὑπὸ τῆς θερμότητος αὐτῆς, ὥσπερ οὐδ᾽ ἡ σμικρότης ὑπὸ τῆς ψυχρότητος γίνεται. ἀλλὰ τὸ μὲν εὐρύτητι τῆς τραχείας ἀρτηρίας, ἐκφυσήσει τε σφοδροτέρᾳ. σμικρότης δὲ τοῖς ἐναντίοις ἀκολουθεῖ, ὥστε οὔτε διὰ παντός, οὔτε πρώτως, ἀλλὰ κατὰ συμβεβηκός τε καὶ μόναις ταῖς συμφύτοις κράσεσιν, οὐ ταῖς ἐπικτήτοις ἕπεται τὸ τῆς φωνῆς μέγεθός τε καὶ ἡ σμικρότης. ὅτι γὰρ τοιάδε τὰ ὄργανα διὰ τὴν κρᾶσιν ἐγένετο, τοῖς τοιούτοις δὲ ἕπεται τοιάδε φωνή, ἐκ φωνῆς ἔνεστι περὶ τῆς συμφύτου κράσεως συλλογίζεσθαι. Καὶ γὰρ ἡ λεία φωνή, λειότητι τῆς ἀρτηρίας ἕπεται, καθάπερ ἡ τραχεῖα τραχύτητι. λειότης μὲν οὖν ἀρτηρίας συμμετρίᾳ κράσεως ἕπεται, τραχύτης δὲ ξηρότητι. τραχύτης μὲν γὰρ ἐστὶν ἀνωμαλία, κατὰ ξηρὸν σῶμα, τὴν δὲ ἀρτηρίαν ἐργάζεται σκληρὰν μέν, ἡ τῶν ὁμοιομερῶν αὐτῆς μορίων ξηρότης. ἀνώμαλον δὲ ἡ τῆς παρεσπαρμένης τούτοις ὑγρότητος ἔνδεια. Κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὔτε ἡ ὀξεῖα φύσει φωνὴ χωρὶς στενότητος φάρυγγος, οὔθ᾽ ἡ βαρεῖα χωρὶς εὐρύτητος δύναται γενέσθαι. στενότης μὲν οὖν, ἐμφύτου ψυχρότητος ἔκγονός ἐστιν, εὐρύτης δὲ θερμότητος. ἀνάλογον δὲ ταῖς φυσικαῖς διαφοραῖς τῶν φωνῶν, αἱ κατὰ πάθος ἐπιτελοῦνται, γνωρίσματα καὶ αὗται γινόμεναι τῶν ἐργαζομένων αἰτίων, ὑπὲρ ὧν ἀκριβῶς ἐν τοῖς περὶ φωνῆς διώρισται. τὰ δ᾽ ἄλλα μόρια τοῦ ζώου τὰ ἐντός, ἀμυδρὰ τῆς κράσεως ἔχει τὰ γνωρίσματα. πειρατέον δὲ ὅμως αὐτά, διά τε τῶν ὠφελούντων καὶ βλαπτόντων διαγινώσκειν, ἔτι τε κατὰ τὰς τῶν φυσικῶν δυνάμεων ἐνεργείας. εἴρηται δ᾽ ἐν τῷ τρίτῳ περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων, † ὅτι τῆς ἑκάστης δυνάμεως ἀρετῆς τε καὶ κακίας ἡ προηγουμένη κρᾶσίς ἐστιν. τὰ μὲν οὖν τῶν κράσεων γνωρίσματα, καὶ ἤδη λέλεκται. Τὰ δὲ περὶ τὸ μέγεθος ἤτοι τὴν διάπλασιν, ἢ τὸν ἀριθμόν, ἢ τὴν θέσιν σφαλμένα. ὅσα μὲν ὑποπίπτει ταῖς αἰσθήσεσιν, γνωρισθῆναι ῥᾴδιον. τῶν δ᾽ οὐχ ὑποπιπτόντων, τὰ μὲν δύσγνωστα, τὰ δὲ ἄγνωστά ἐστιν. τὸ μὲν οὖν τῆς κεφαλῆς μέγεθός τε καὶ σχῆμα, καὶ σὺν αὐτῇ τοῦ ἐγκεφάλου, πρόδηλόν τέ ἐστι, καὶ πρόσθεν εἴρηται. κατὰ ταυτὰ δὲ καὶ τὸ τοῦ θώρακος, οὕτως δὲ καὶ ὅσα κατ᾽ ὠμοπλάτας, ἢ ὤμους, ἢ βραχίονας, ἢ πήχεις, ἢ ἄκρας χεῖρας, ἢ ἰσχίον, ἢ μηρόν, ἢ κνήμην, ἢ πόδας, οὐ χαλεπὸν διαγινώσκειν. ἄν τε κατὰ τὴν διάπλασιν ἐσφαλμένον ᾖ τι τῶν τοιούτων, ἄν τε κατὰ τὸ μέγεθος,

† ὅτι τῆς ἑκάστης δυνάμεως, ἀρετή τε καὶ κακία, ἡ προηγουμένη κρᾶσις ἐστίν.

ἄν τε

αὖ τε κατὰ τὸν ἀριθμὸν, ἢ τὴν σύνθεσιν τῶν συντιθέντων αὐτά. πρόδηλοι δὲ καὶ αἱ τῶν ἐνεργειῶν ἐφ' ἑκάστου βλάβαι. τὰ δ' ἐντὸς τοῦ σώματος, οὐ πάντα διαγνωσθῆναι δυνατόν. Γαστέρα μὲν γάρ τινος οὕτω σμικράν τε καὶ στρογγύλην καὶ προπετῆ κατὰ τὸ ὑποχόνδριον ἐθεασάμην, ὡς ἐναργῶς φαίνεσθαι κατὰ περιγραφὴν ἰδίαν, ὁρᾶσθαί τε καὶ ἁπτομένοις. Οὕτως δὲ καὶ κύστιν τινὸς ἐθεασάμην, ἐγκειμένην τε καὶ σμικράν, ὥστ' εἴποτε χρονίσειε περὶ τὴν ἔκκρισιν τῶν οὔρων, ὄγκος ἐφαίνετο περιγεγραμμένος ἐναργῶς. οὐ μὴν τῶν ἄλλων τι τῶν ἐντὸς ἐναργῆ διάγνωσιν παρέσχε μοί ποτε. πειρᾶσθαι μέντοι χρὴ διαγινώσκειν ὡς οἷόν τέ ἐστιν, ἀρετήν τε καὶ κακίαν αὐτῶν, εἰ καὶ μὴ κατ' ἐπιστήμην βεβαίαν, ἀλλ' οὖν κατὰ στοχασμόν τινα τεχνικόν, οἷον εἰ οὕτως ἔτυχεν ἐπὶ ἥπατος. Εἶδον γάρ τινας ἤδη καὶ πολλοὺς, στενὰς μὲν φλέβας ἔχοντας, ἄχρουν δὲ τὸ σύμπαν σῶμα, καὶ εἰ βραχὺ πλείω προσενέγκαντο τροφῆς, καὶ μᾶλλον εἰ φυσώδη, καὶ παχέα καὶ γλίσχρα. τούτους μὲν ὥσπερ τινὸς βάρους ἐγκειμένου καὶ κρεμαμένου, κατὰ τὸ δεξιὸν ὑποχόνδριον αἰσθανομένους ἐν βάθει, τοὺς δὲ τάσεως ὀδυνώδους. ἐπὶ τούτων οὖν εἰκός ἐστι καὶ μικρὸν εἶναι τὸ ἧπαρ, καὶ στενὸν ταῖς διεξόδοις. Ἕτερον δὲ ἐθεασάμην φλεγματικὸν μὲν ὅλην τὴν ἕξιν, ἐμοῦντα δὲ ἑκάστης ἡμέρας χολὴν ὠχράν. ἔγνων οὖν χρῆναι καὶ τὰ διαχωρήματα αὐτοῦ θεάσασθαι, καὶ ὀλιγοστὸν εἶχε χολῆς. ἐτεκμηράμην οὖν τοῦτον τὸν τὸ χολῶδες ὑγρὸν ἐξοχετεύοντα πόρον, οὐ μικρὰν ἑαυτοῦ μοῖραν εἰς τὸν πυλωρὸν τῆς γαστρὸς ἀποπέμπειν, ὡς ἐπ' ἐνίων φαίνεται ζώων, ἐξ ὧν δῆλον, ὡς ἐν τοῖς ἀδήλοις τῇ αἰσθήσει μεγάλα συντελεῖ πρὸς διάγνωσιν, ἥτε τῶν ἐξ ἀνατομῆς φαινομένων γνῶσις, ἥτε τῶν ἐνεργειῶν τε καὶ τῶν χρειῶν εὕρεσις. ὅστις οὖν διαγνωστικὸς εἶναι βούλεται, τῶν ὡς εἴρηται νῦν ἀφανῶν σωμάτων, ἐν ταῖς ἀνατομαῖς αὐτὸν γυμναστέον ἐστὶ, κἂν ταῖς τῶν ἐνεργειῶν τε καὶ χρειῶν εὑρέσεσι. γέγραπται δὲ ὑπὲρ πάντων ἰδίᾳ καθ' ἑτέρας πραγματείας, ὑπὲρ ὧν ἐπὶ τελευτῇ τοῦ λόγου παντὸς εἰρήσεται, χάριν τοῦ γινώσκειν τοὺς φιλομαθεῖς ἕκαστον ὧν αὖ ὀρεχθῶσι μαθεῖν, ἐκ ποίας μάλιστα πραγματείας ἀναλέγεσθαι χρή. ἀλλὰ περὶ μὲν τούτων ἅλις. Ὅσα δὲ ἐν τῷ νῦν ἐστι νοσώδη σώματα, τουτέστιν ὅσα νοσεῖ, διαγινώσκειν χρὴ καὶ ταῦτα, ταῖς μὲν αἰσθήσεσιν ὑποπίπτοντα τῇ μεταβολῇ τῶν κατὰ φύσιν αὐτοῖς ὑπαρχόντων, ἐν μεγέθει, χροιᾷ, σχήματι, καὶ ἀριθμῷ, καὶ θέσει, καὶ τῇ κατὰ σκληρότητα καὶ μαλακότητα, καὶ θερμότητα, καὶ ψυχρότητα διαφορᾷ. μὴ φαινόμενα δὲ, καθόλου μὲν φάναι ταῖς βλάβαις τῶν ἐνεργειῶν, ἢ τοῖς ἐκκρινομένοις, ἢ ταῖς ὀδύναις, ἢ τοῖς ὄγκοις, τοῖς παρὰ φύσιν, ἢ τισὶ τούτων, ἢ πᾶσι. Κατὰ μέρος δὲ, τὰς μὲν κατὰ τὸν ἐγκέφαλον νοσώδεις διαθέσεις, ἢ τοῖς τῆς παραφροσύνης εἴδεσιν, ἢ ταῖς τῶν αἰσθήσεων, ἢ φαντασιῶν βλάβαις, ἢ ταῖς τῶν προαιρετῶν, ἢ τοῖς ἐκκρινομένοις δι' ὑπερῴας, καὶ ῥινὸς, καὶ ὤτων, ἢ ταῖς τῶν κατ' αὐτὸν ὀδυνῶν διαφοραῖς. Τὰς δὲ περὶ τὴν καρδίαν, ἔκ τε τῶν τῆς δυσπνοίας εἰδῶν, καὶ παλμῶν τῶν κατ' αὐτὴν, ἔτι τε τῶν κατ' αὐτὴν σφυγμῶν, καὶ ταῖς ἀρτηρίαις, ὀξυθυμίας τε καὶ ἀθυμίας, καὶ πυρετῶν, καὶ καταψύξεων, καὶ τῶν ἐν τῷ χρώματι διαφορῶν, ἀλγημάτων τε τῶν κατ' αὐτήν. Τὰς δὲ καθ' ἧπαρ, ἔκ τε τῆς τῶν χυμῶν ἐνδείας τε καὶ πλεονεξίας, ἐκτροπῆς τε τῆς εἰς τὸ παρὰ φύσιν καὶ ἀχροίας, καὶ προσέτι τοῖς κατὰ τὴν αὔξησιν, ἢ θρέψιν, ἢ τὴν τῶν περιττωμάτων ἔκκρισιν ὑπαλλαττομένοις, ἀλλὰ καὶ τοῖς βάρεσι τοῖς κατ' αὐτὸ, καὶ ὄγκοις, καὶ ἀλγήμασιν, οὐ τοῖς ἐγχωρίοις μόνον, ἀλλὰ καὶ κατὰ συμπάθειαν ὅσα γίνεται, κατά τινα δυσπνοίας ἰδέαν καὶ βηχός. Οὕτως δὲ καὶ κατὰ τὴν γαστέρα, τοῖς περὶ τὴν πέψιν τε καὶ τὴν ὄρεξιν ὑγρᾶς, ἢ ξηρᾶς προσφορᾶς, ἢ περιττωμάτων ἔκκρισιν ἁμαρτανομένοις, ὡσαύτως δὲ λυγξὶν, ἐρυγαῖς, ναυτίαις, ἐμέτοις, αὐταῖς τῶν ἐμουμένων ταῖς ἰδέαις. Καὶ μέν γε καὶ ὅσα περὶ θώρακα, δυσπνοίαις, βηξὶν, ὀδύναις, ταῖς κατ' αὐτὸν, τῇ τῶν ἀναβηττομένων διαφορᾷ, καὶ περὶ τὴν τραχεῖαν ἀρτηρίαν νοσήματα, δύσπνοιά τε καὶ βὴξ, ἥ τε περὶ τὸν τόπον ὀδύνη, τά τε ἀναπτυόμενα, καὶ αἱ τῆς φωνῆς βλάβαι γνωρίζουσιν. ἀνάλογον δὲ κἀπὶ τῶν ἄλλων μορίων ἁπάντων, ἐξ ὄγκου, καὶ ὀδύνης, καὶ βλάβης ἐνεργειῶν, ἔτι τε περὶ τῶν ἐκκρινομένων διαφορᾶς αἱ διαγνώσεις ἔσονται. ὄγκους μὲν δὴ τοὺς παρὰ φύσιν, ἐν φλεγμοναῖς, καὶ σκίρροις, καὶ οἰδήμασιν ἐξεταστέον. ἄλγημα δὲ καθ' ὃν ἂν ἐρείδῃ τόπον, ἤτοι συνεχείας λύσιν, ἢ ἀλλοίωσιν ἀθρόαν ἐνδείκνυται. λύεται μὲν οὖν ἡ συνέχεια τομῇ, καὶ διαβρώσει, καὶ θλάσει, καὶ τάσει, ἀλλοιοῦται δὲ ἡ οὐσία θερμότητι, καὶ ψυχρότητι, καὶ ξηρότητι, καὶ ὑγρότητι. Βλάπτεται δὲ ἡ ἐνέργεια τριχῶς, ἢ ἀρρώστως, ἢ πλημμελῶς, ἢ μηδ' ὅλως γιγνομένη. Ὅσα δ' ἐκκρίνεται, τὰ μὲν ὡς μόρια τῶν πεπονθότων, τὰ δὲ ὡς περιττώματα, τὰ δὲ ὡς ἐν αὐτοῖς περιεχόμενα, κατὰ φύσιν ἕκαστον ἔνδειξιν ἰδίαν ποιήσεται. λέλεκται δὲ περὶ τῶν τοιούτων ἁπάντων ἐπὶ πλέον, ἐν τῇ τῶν πεπονθότων τόπων πραγματείᾳ. μηδενὸς αὐτὴν ὑπὸ μέθοδον τῶν ἔμπροσθεν ἀγαγόντος, ἢ τὸ τέλειον ἀποδόντος, ὥσπερ οὐδ' ἄλλην οὐδεμίαν ὧν ὑπήρξαντο μὲν οἱ παλαιοὶ, οὐ συνετέλεσαν δέ. τῶν μὲν δὴ νοσούντων σωμάτων, ἐξ ἐκείνης τῆς πραγματείας μανθάνειν χρὴ τὰ γνωρίσματα, τῶν νοσησόντων δὲ καὶ τῶν ὑγιασθησομένων, ἐκ τῆσδε τῆς μεθόδου. Τὰ μὲν οὖν τῶν νοσησόντων, ἐν τῷ μεταξὺ τὴν ἰδέαν ἐστὶ, τῶν τε τοῖς ὑγιαίνουσι καὶ τοῖς νοσοῦσι συμβαινόντων. κατὰ φύσιν μὲν γὰρ ἅπαντα τοῖς ὑγιαίνουσιν ὑπάρχει, παρὰ φύσιν δὲ, τοῖς νοσοῦσιν καθόλου νοσοῦσιν. ἐν μεθορίῳ δὲ τούτων ἐστὶ τὰ δηλωτικὰ τῶν νοσωδῶν. ἔνια μὲν ἐκ τοῦ γένους ὑπάρχοντα τῶν κατὰ φύσιν, ἀλλὰ ποσότησιν, ἢ ποιότησιν, ἢ καιροῖς ὑπηλλαγμένα. τινὰ δὲ ἐκ τῶν παρὰ φύσιν μὲν, ἀλλὰ μικρότερα τῶν ἐν ταῖς νόσοις. καὶ διὰ τοῦτο καὶ αἱ διαθέσεις μὲν αὗται τῶν σωμάτων, ὅσα νοσήσειν ὑπέδειξα, τῶν οὐδετέρων εἰσὶ, καὶ τὰ δηλοῦντα αὐτὰς σημεῖα. πρώτως μὲν γὰρ ταῦτα ὑγείαν δηλοῖ, δευτέρως δὲ τὰς νόσους, καὶ γίνεται τὰ αὐτὰ σημεῖα κατὰ τὴν πρός τι σχέσιν, οὐδέτερά τε καὶ νοσώδη. τὰ μὲν τὴν ἤδη διάθεσιν δηλοῦντα, οὐδέτερα, τὰ δὲ τὴν ἐσομένην προδηλοῦντα, νοσώδη. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ὅσα τοῖς νοσοῦσιν ἐπιφαίνεται σημεῖα σωτήρια, λεχθήσεται μὲν ὑγιεινὰ, διότι τὴν ἐσομένην ὑγείαν προδηλοῖ. λεχθήσεται δὲ καὶ νοσερὰ, καθότι τὴν ὑπάρχουσαν νόσον ἐνδείκνυται, καὶ δῆλον ὡς ὅσαπερ ἀμφοῖν ἐστι δηλωτικὰ, λεχθείη ἂν οὐδέτερα καθ' ἕν τι τῶν σημαινομένων τῆς οὐδετέρας φωνῆς. οὐδὲν δὲ θαυμαστὸν τὰ αὐτὰ σημεῖα τοὺς τρεῖς ἔχειν λόγους ἐν διαφερούσαις σχέσεσιν, ὑγιεινά τε καὶ νοσερὰ, καὶ οὐδέτερα λεγόμενα. καθ' ἕτερον δὲ σημαινόμενον, ὅσα τοῖς ἀνακομιζο †ἑκάτερον μένοις ἐκ νόσων ὑπάρχει σημεῖα, λέγομεν οὐδέτερα, καθ' ὃ οἶμαι καὶ τὰ τῶν ἐν γήρᾳ. ταῦτα μὲν οὖν ἅπαντα πλείοσιν

ὑποπέπτωκεν ἐννοίαις τε καὶ λόγοις. ὅσα δὲ τοῖς ἀμέμπτως ὑγιαίνουσιν ὑπάρχει, μόνῃ τῇ τῶν ὑγιεινῶν ἐννοίᾳ, καὶ ὅσα τοῖς νοσοῦσι μὴ προδηλοῦντα τὴν ἐσομένην ὑγείαν, μόνῃ καὶ ταῦτα τῇ τῶν νοσωδῶν ὑποπέπτωκεν ἐννοίᾳ. περὶ μὲν δὴ τούτων ἑξῆς εἰρήσεται. τὰ δὲ τῆς μελλούσης νόσου προγνωστικὰ, διέλθωμεν πρότερον. διττῆς δὲ οὔσης τῆς αὐτῶν διαφορᾶς, προχειρισώμεθα πρότερον, τὰ ποσότησιν, ἢ ποιότησιν, ἢ καιροῖς, οὐκ αὐταῖς ταῖς οἰκείαις ἰδέαις ἐξηλλαγμένα τῶν κατὰ φύσιν, οἷον ὄρεξιν σιτίων ἐπιτεταμένην, ἢ ἐκλελυμένην, ἢ μὴ κατὰ τὸν συνήθη καιρὸν, ἢ οὐ συνήθων ἐδεσμάτων, ἢ ἀπόκρισιν τῶν περιττωμάτων τῆς τροφῆς ἐλαττόνων, ἢ πλειόνων, ἢ ὑγροτέρων, ἢ σκληροτέρων. οὕτως δὲ καὶ τῶν ὑγρῶν περιττωμάτων ἔνδεια καὶ πλεονεξία παρὰ τὸ κατὰ φύσιν, ἢ χροιᾶς, ἢ συστάσεως ἐξάλλαξις, ἢ καιροῦ κενώσεως, ἀγρυπνία τε καὶ πλείων ὕπνος, ἢ οὐκ ἐν καιρῷ τῷ συνήθει. κατὰ ταῦτα δὲ καὶ ἡ περὶ πόμα πλεῖον ἢ ἔλαττον, ἢ θερμὸν, ἢ ψυχρὸν ἐπιθυμία παρὰ τὸ συνηθές. ὥσπερ γε καὶ ἡ περὶ τὴν τῶν ἀφροδισίων χρῆσις ἄμετρος, ἢ ἄκαιρος ἐπιθυμία, ἱδρῶτες πλείους τοῦ δέοντος ἢ ἐλάττους, ὄκνος εἰς τὰς κινήσεις, ἢ περαινομένων κινεῖσθαι βαρύτης, ἢ ἔκλυσις ἰσχυρὰ, καταμηνίων κρύψις, ἢ πλείων ἢ ἐλάττων κένωσις. οὕτω δὲ καὶ ἡ δι' αἱμορροΐδων. ἀλλὰ καὶ ἡ κατ' αὐτὴν τὴν ἐδωδὴν, ἢ πόσιν, οὐχ ὁμοία τῇ πρόσθεν ἡδονὴ, γνώρισμά ἐστι μέλλοντος νοσήματος. οὕτως δὲ καὶ ἡ τῆς διανοίας ἀμβλύτης οὐ κατὰ φύσιν, ἢ ἐπιλησμοσύνη τις ἀήθης, ἢ φαντασιωδέστεροι τῶν ἔμπροσθεν ὕπνοι. καὶ μὲν δὴ καὶ ἀκοὴ καὶ ὄσφρησις, καὶ ὄψις ἀμβλύτεραί τε καὶ ἀχλυωδέστεραι. καὶ ἁπλῶς εἰπεῖν, ὅσα κατὰ φύσιν ὑπῆρχε, τὰ μὲν αὐξανόμενα, τὰ δὲ μειούμενα, τὰ δὲ καιροῖς τισιν, ἢ ποσότησιν, ἢ ποιότησιν ἐξαλλαττόμενα. καὶ γὰρ οὖν καὶ τοῦ σώματος ὄγκος, ἐλάττων τε καὶ μείζων γινόμενος, ἐρυθρότερός τε καὶ λευκότερος, ἢ οἷον πελιδνότερος καὶ μελάντερος, ἐρυγαί τε καὶ πταρμοὶ, καὶ φῦσαι πλείους ἢ ἐλάττους τῶν κατὰ φύσιν. οὕτω δὲ καὶ ὅσα διὰ ῥινῶν, ἢ ὑπερῴας, ἢ ὤτων, οἷς ὁ ἐγκέφαλος ἐκκαθαίρεται ποσότησιν, ἢ ποιότησιν, ἢ καιροῖς ἐξαλλαττόμενα. ταῦτα μὲν ἅπαντα τοῦ γένους τῶν κατὰ φύσιν ἐστίν. δῆξις δὲ γαστρὸς, ἢ κατὰ στόμαχον, ἢ κατά τι τῶν ἐντέρων, ἢ ἐπὶ τοῖς διαχωρουμένοις, ἢ ἐμουμένοις, ἢ οὐρουμένοις, ἢ τις ἕτερος μέτριος πόνος, ἐκ τοῦ γένους μέν ἐστι τῶν παρὰ φύσιν. οὔπω δὲ νοσεῖν οἱ οὕτως ἔχοντες λέγονται, καθάπερ οὐδ' οἱ βαρυνόμενοι τὴν κεφαλὴν, ἢ ἀλγοῦντες, ὅταν γε μηδέπω διὰ ταῦτα πρὸς τὰ συνήθη τῶν ἔργων ἐμποδίζωνται. καὶ ὅ γε τοῦ νοσεῖν ὅρος οὗτός ἐστιν ἐπὶ ταῖς τοιαύταις διαθέσεσι, καὶ διὰ τοῦτ' ἐν τῷ πρός τι, τὴν αὐτὴν διάθεσιν ἤδη τε νοσώδη καὶ οὐδετέραν ἐροῦμεν ἔτι. πρὸς γὰρ τὴν ῥώμην τῆς φερούσης ῥᾳδίως, ἢ νικωμένης ἤδη δυνάμεως, ἤτοι νόσος ἐστὶν, ἢ οὐδετέρα διάθεσις ἑκάστη τῶν εἰρημένων. οὕτω δὲ καὶ ὅσα κατὰ τὰς αἰσθήσεις, οὐκ ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διενηνόχασιν, ἀλλ' ὅσα τῷ γένει παρὰ φύσιν εἰσὶ, καὶ ταῦτ' ἐστὶ νοσώδη σημεῖα, μέχρι περ ἂν ᾖ σμικρὰ, καὶ μηδέπω τῶν ἐθισμένων πράξεων ἀπάγειν ἱκανά. τοιαῦτα δ' ἐστὶ κατὰ μὲν τὴν γεῦσιν, ὅταν ἁλμυρᾶς, ἢ πικρᾶς, ἢ τινος ἑτέρας ποιότητος ἔμφασις ᾖ τοῖς ἐσθιομένοις τε καὶ πινομένοις ἅπασιν, ἢ καὶ χωρὶς τοῦ προσφέρεσθαί τι τὸ σίαλον αὐτὸ φαίνηται τοιοῦτον. κατὰ δὲ τὴν ὄσφρησιν, ὅταν ἤτοι τινὸς αἰσθανώμεθα μιᾶς ποιότητος, οὐδενὸς ὀσφρητοῦ παρόντος, ἢ καὶ προσφερόντων πλείω τε καὶ διαφέροντα, πάντων αὐτῶν, ὡς ὁμοίων αἰσθανώμεθα. πολλάκις δ' οὐδ' ὅλως αἴσθησις ἡμῖν οὐδενὸς, ἢ δυσωδίας τινὸς γίνεται, μηδενὸς παρόντος δυσώδους. κατὰ δὲ τὴν ἀκοὴν, ἦχοι καὶ ψόφοι τοῦ παρὰ φύσιν εἰσὶν, ὥσπερ γε καὶ κατὰ τὴν ὄψιν ὅσα προφαίνεσθαι δοκεῖ, μέλανά τε καὶ ὀρφνώδη, καὶ κυανᾶ, καὶ πυῤῥὰ, καὶ ξανθὰ, τὰ μὲν στρογγύλα, τὰ δὲ προμήκη, καὶ τὰ μὲν ἰσχνὰ, τὰ δὲ παχέα, παραπέτασθαι πάντα δοκοῦντα. κατὰ δὲ τὴν ἁπτικὴν αἴσθησιν, ὅταν ἀνωμαλία τις, ἢ πύκνωσις, ἢ βάρος, ἢ τάσις, ἢ ναρκώδης, ἢ ἑλκώδης διάθεσις ἐμφαίνηται καθ' ὅλην τὴν ἕξιν. οὕτως δὲ καὶ καθ' ὁτιοῦν μόριον, ἢ τάσις, ἢ θλίψις, ἢ δῆξις, ἢ βαρύτης, ὅταν σμικραί τινες ὦσι, καὶ μὴ μόνιμοι, τὴν μὲν διάθεσιν οὐδετέραν εἶναι δηλοῦσι, προαγγέλλουσι δὲ νόσον. Ὅσα δ' ἐν τοῖς ἤδη νοσοῦσιν γίνεται σημεῖα, τὰ μὲν ὑγείαν δηλοῦντα, τὰ δὲ θάνατον. ὑγιεινὰ μὲν τὰ πρότερα, τὰ δὲ ἕτερα τῷ γένει μὲν νοσερὰ, κατ' εἶδος δὲ ὀλέθρια λέγεται. λαμβάνεται δὲ καθόλου μὲν εἰπεῖν, ἔκ τε τῶν ἐνεργειῶν ἀρετῆς τε καὶ κακίας, κατὰ μέρος δὲ ἐκ τοῦ τῶν κατὰ μέρος ἐνεργειῶν, ὧν τὰ μὲν γένη πρόσθεν εἴρηται. πρῶτον μὲν τὸ τῶν ἀρχῶν, δεύτερον δὲ τὸ τῶν ἀπ' ἐκείνων πεφυκότων, καὶ τρίτον τῶν ἰδίαν μὲν ἐχόντων διοίκησιν, ἐκ δὲ τῶν ἀρχῶν ἀποφύσεις τινὰς δεχομένων. τὸ γὰρ δὴ τέταρτον γένος τῶν τότε ῥυέντων, ἐξ ἑαυτοῦ μὲν ἄχρηστον εἰς τὰς προγνώσεις, κατὰ συμβεβηκὸς δὲ, κἀκ τούτων ἔσται ποτὲ πρόγνωσις, ὥσπερ γε κἀκ τῶν περιττωμάτων διὰ παντός. ἐκ τούτων μὲν λόγῳ συμπαθείας, ἐκ δὲ τῶν περιττωμάτων, ὅτι πέψεως καὶ ἀπεψίας ἐν αὐτοῖς ἐστι σημεῖα, ὥστε οὐκ ἐνδέχεται μὴ δηλοῦν αὐτὰ διὰ παντὸς, ἤτοι τὴν φύσιν ἐπικρατεῖν τῆς ὕλης, ἢ τὴν ὕλην τῆς φύσεως, ἢ οὐδέτερον οὐδετέρου. ὑγιεινὰ μὲν σημεῖα λεχθήσεται, κρατούσης τῆς φύσεως, νοσώδη δὲ, κρατουμένης. οὐδέτερα δὲ τὰ ἐν ταῖς ἰσοσθενέσι μάχαις. τὰ μὲν δὴ τῆς ἐναργοῦς πέψεως σημεῖα, τῶν ὑγιεινῶν ἐστι, καθάπερ καὶ τὰ τῆς ἀπεψίας νοσερὰ, τὰ δὲ οὔτε πέψιν, οὔτε ἀπεψίαν ἐναργῶς ἐνδεικνύμενα, τῆς τῶν οὐδετέρων ἐστὶ φύσεως. οὐδέτερα δὲ καὶ ὅσα νῦν μὲν τοῦτο, νῦν δὲ τοὐναντίον δηλοῖ, καθάπερ οἱ μελαινόμενοι δάκτυλοι. τοιαῦτα δ' ἐστὶ καὶ τὰ κρίσιμα συμπτώματα. λέλεκται δὲ ὑπὲρ ἁπάντων αὐτῶν ἐν τοῖς περὶ κρίσεως, ὥσπερ καὶ περὶ τῶν καθ' ἑκάστην ἐνέργειαν ἐν τοῖς περὶ συμπτωμάτων αἰτίοις. ἐκ τούτων οὖν χρὴ τὴν κατὰ μέρος ἅπασαν αὐτῶν ὕλην ἀναλέγεσθαι. ἐγὼ δὲ μήκους φειδόμενος, ἐνταυθοῖ μὲν ἤδη καταπαύσω τὸν περὶ τῶν σημείων λόγον, μεταβήσομαι δὲ ἐπὶ τὸν τῶν αἰτίων. Ἐπεὶ δὲ καὶ τούτων ἐστὶ τὰ μὲν ὑγιεινὰ, τὰ δὲ νοσερὰ, τὰ δὲ οὐδέτερα, πρῶτον περὶ τῶν ὑγιεινῶν ὁ λόγος ἔσται. ἐπεὶ δὲ καὶ τούτων αὐτῶν, τὰ μέν ἐστι φυλακτικὰ, τὰ δὲ ποιητικὰ τῆς ὑγείας, ἔστι δὲ καὶ χρόνῳ καὶ ἀξιώματι πρότερα τὰ φυλακτικὰ τῶν ποιητικῶν, ἀπὸ τῶν φυλακτικῶν ἀρκτέον. ὄντος τοίνυν οὐχ ἑνὸς τοῦ ὑγιεινοῦ σώματος, ἀλλὰ πλειόνων, ὡς ἔμπροσθεν δέδεικται, καθ' ἕκαστον αὐτῶν ἴδιον ἔσται τὸ φυλακτικὸν, ὅτι καὶ πᾶν αἴτιον ἐν τῷ πρός τι. πάλιν οὖν κἀνταῦθα τὴν ἀρχὴν ἀπὸ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος ποιητέον, ἐπισκεπτομένους τὰ πρὸς ταύτην ὑγιεινά. τὴν δὲ εὕρεσιν αὐτῶν ἡ τοῦ πράγματος αὐτοῦ φύσις ὑπαγορεύει. εἰ μὲν γὰρ ἦν ἀπαθὲς καὶ ἀναλλοίωτον τὸ σῶμα, διὰ παντὸς ἂν ἔμενεν ἡ ἀρίστη κατασκευὴ, καὶ οὐδ' ἂν ἐδεῖτο τέχνης ἐπιστατούσης αὐτῷ. ἐπειδὴ δὲ ἀλλοιοῦται, καὶ διαφθείρεται

φθείρεται καὶ τρέπεται, μὴ φυλάττον ἣν εἶχεν ἐξ ἀρχῆς κατάστασιν, ὑπηρεσίας ἐν τῷ τοιούτῳ δεῖται. Καθ' ὅσους οὖν τρόπους ἀλλοιοῦται, τοσαῦτα γένη καὶ τῶν ὑπηρετικῶν ἕξει, τουτέστι τῶν φυλακτικῶν αἰτίων, ἃ πρόδηλον ἤδη κἀξ αὐτῶν τῶν εἰρημένων, ἐπανορθωτικὰ τῷ γένει τετύχηκεν ὄντα. τῷ δὲ κατὰ βραχὺ ποιεῖσθαι τὰς ἐπανορθώσεις, πρὶν ἀθρόον ἀπαντῆσαι τὸ βλάβος, οὐ προφυλακτικὰ τοῦ μέλλοντος ἔσεσθαι κακοῦ πρὸς τῶν ἰατρῶν κέκληται, ἀλλὰ φυλακτικὰ τῆς παρούσης κατασκευῆς. ἀλλοιοῦται τοίνυν τὸ σῶμα, πρὸς μὲν τινῶν ἐξ ἀνάγκης, πρὸς δὲ τινῶν οὐκ ἐξ ἀνάγκης. λέγω δὲ ἐξ ἀνάγκης μὲν οἷς ἀδύνατον αὐτῷ ἐστὶ μὴ πλησιάζειν, οὐκ ἐξ ἀνάγκης δὲ τὰ λοιπά. τὸ μὲν γὰρ τῷ περιέχοντι διὰ παντὸς ὁμιλεῖν, ἐσθίειν τε καὶ πίνειν, καὶ ἐγρηγορέναι καὶ ὑπνοῦν ἀναγκαῖον αὐτῷ, ξίφεσι δὲ καὶ θηρίοις οὐκ ἀναγκαῖον. ὅθεν ἐν μὲν τῷ προτέρῳ γένει τῶν αἰτίων, ἡ περὶ τὸ σῶμα τέχνη καταγίνεται, κατὰ δεύτερον οὐκέτι. ὁπόσα τοίνυν ἐστὶ τὰ ἐξ ἀνάγκης ἀλλοιοῦντα τὸ σῶμα, διελόμενοι καθ' ἕκαστον αὐτῶν, ἴδιον γένος αἰτίων ὑγιεινῶν εὑρήσομεν. ἓν μὲν ἐκ τῆς τοῦ περιέχοντος ἀέρος ὁμιλίας, ἕτερον δὲ ἐκ κινήσεως καὶ ἡσυχίας ὅλου τε τοῦ σώματος καὶ κατὰ τὰ μόρια, τρίτον ἐξ ὕπνου καὶ ἐγρηγόρσεως, τέταρτον, ἐκ τῶν προσφερομένων, πέμπτον, ἐκ τῶν ἐκκρινομένων, ἢ ἐπεχομένων, ἕκτον, ἐκ τῶν ψυχικῶν παθῶν. ὑπὸ τούτων γὰρ ἁπάντων ἀνάγκη τὸ σῶμα διατίθεσθαί πως. ὑπὸ μὲν γὰρ τοῦ περιέχοντος, ἤτοι θερμαινόμενον, ἢ ψυχόμενον, ἢ ξηραινόμενον, ἢ ὑγραινόμενον, ἢ κατὰ συζυγίαν τι τούτων πάσχον, ἢ καθ' ὅλην τὴν οὐσίαν ἀλλοιούμενον. ἐκ κινήσεως δὲ καὶ ἡσυχίας ἀμέτρων ἀμφοῖν γινομένων, ἢ θερμαινόμενον, ἢ ξηραινόμενον, ἢ ψυχόμενον, ἢ ὑγραινόμενον, ἢ κατὰ συζυγίαν τι τούτων πάσχον. οὕτω δὲ καὶ ἐξ ὕπνου καὶ ἐγρηγόρσεως ἀνάγκη πάσχειν αὐτό. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐκ τῶν προσφερομένων ἢ ἐκκρινομένων, ἢ ἐπεχομένων. ἅπαντα γὰρ ταῦτα, τὰ μὲν αὐτίκα, τὰ δὲ διὰ μέσων ἑτέρων αἰτίων ἀλλοιοῖ τὸ σῶμα καὶ διαφθείρει τὴν ὑγείαν, καὶ γέγραπται περὶ τούτων αὐτῶν ἰδίᾳ καθ' ἕκαστον ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. τὰ μὲν οὖν ἅπαντα τὰ νῦν εἰρημένα γένη τῶν ὑγιεινῶν αἰτίων, ὗλαι τινὲς ὑπάρχουσι. μετὰ δὲ τῆς δεούσης χρήσεως, αἴτια γίνεται φυλακτικά τε καὶ ὑγιεινά. διαμαρτανόμενα δὲ τῆς συμμετρίας, νοσώδη καθίσταται, ὥστε δῆλον ἤδη κἀκ τούτων, ὡς οὐχ ἑτέρας μὲν οὐσίας τῶν ἐκτὸς τούτων πραγμάτων ὑγιεινὰς ἡμῖν, ἑτέρας δὲ νοσερὰς ὑποληπτέον. ἀλλὰ τὰς αὐτὰς ἐν τῷ πρός τι, ποτὲ μὲν ὑγιεινάς, ποτὲ δὲ νοσώδεις γινομένας. ἡνίκα μὲν γὰρ δεῖται κινήσεως τὸ σῶμα, τὸ μὲν γυμνάσιον ὑγιεινόν, ἡ δὲ ἡσυχία νοσερόν. ἡνίκα δὲ ἀναπαύσεως, ὑγιεινὸν μὲν ἡ ἡσυχία, νοσερὸν δὲ τὸ γυμνάσιον, ὡσαύτως δὲ καὶ περὶ σιτίων καὶ πομάτων, καὶ τῶν ἄλλων ἁπάντων. ἕκαστον γὰρ ἐπειδὰν δεομένῳ τῷ σώματι προσάγηται μετὰ τῆς οἰκείας ποσότητος καὶ ποιότητος, ὑγιεινὸν γίνεται. τῷ δὲ ἤτοι μηδ' ὅλως δεομένῳ προσφερόμενον, ἢ οὐκ ἐν τῷ προσήκοντι μέτρῳ, νοσῶδες καθίσταται, καὶ δύο εἰσὶν οὗτοι σκοποὶ περί τε τὸ ὑγιεινὸν καὶ τὸ νοσερόν, ἡ ποιότης τε καὶ ἡ ποσότης τοῦ προσφερομένου. τὸ γὰρ καὶ τὸν καιρὸν ὡς ἕτερόν τι τούτων τρίτον ἐπεισάγειν ἐν τοῖς εἰρημένοις περιεχόμενον, οὐκ εὔλογον. εἰ γὰρ δεῖται τὸ σῶμα τοῦδε καὶ τοσοῦδε τοῦ προσφερομένου, δηλονότι καὶ κατὰ τὸν καιρὸν τὸν δέοντα προσφέρεται. καὶ ἡ γένεσις τοῦ καιροῦ, ἐκ τοῦ ῥευστὸν καὶ εὐμετάβλητον εἶναι τὸ θνητὸν σῶμα, καὶ δεῖσθαι κατὰ τὰς μεταβολὰς, ἄλλοτ' ἀλλοίων τῶν ὠφελούντων, ὥστε οὐκ ἔστιν ἐν τῷ γένει τρίτον ἐν τοῖς εἰρημένοις ὁ καιρός. εἰς δὲ τὴν διδασκαλίαν αὐτῷ, πολλάκις ὡς τρίτῳ χρώμεθα, διὰ τὴν εἰρημένην αἰτίαν. ἐπεὶ δὲ ἐν τούτοις τοῖς σκοποῖς, τά τε ἄλλα τῶν αἰτίων τῶν ὑγιεινῶν, καὶ τὸ νῦν ἡμῖν προκείμενον ἐστὶ γένος, αὖθις ἀναλάβωμεν αὐτά. τῇ τοίνυν ἀρίστῃ κατασκευῇ τοῦ σώματος ἐπειδὰν εὔκρατον ᾖ τὸ περιέχον, ἁρμόσει συμμετρία, τῶν τε ἄλλων ἀκριβής, ὧν ἀρτίως εἴπομεν, ἡσυχίας τε καὶ κινήσεως, καὶ ὕπνου καὶ ἐγρηγόρσεως, καὶ τῶν προσφερομένων τε καὶ ἐκκρινομένων. ἐπειδὰν δὲ δύσκρατον, εἰς τοσοῦτον καὶ τὰς συμμετρίας ἐξαλλάττειν προσήκει, εἰς ὅσον καὶ τὰ τῆς εὐκρασίας διέφθαρται. σκοποὶ δὲ τῆς συμμετρίας ἐπὶ μὲν τοῦ περιέχοντος, ὡς μήτε φρίττειν διὰ κρύος, μήθ' ἱδροῦν διὰ θάλπος. ἐν δὲ τοῖς γυμνασίοις ὅταν πρῶτον ἄρξηται πονεῖν τὸ σῶμα, καταπαύειν εὐθύς. ἐν δὲ τοῖς ἐδέσμασι, πέψεως ἀκρίβεια, καὶ διαχωρήσεως συμμετρία, κατά γε τὸ ποιὸν καὶ τὸ ποσόν. ἰσάζει δέ πως ἐπὶ τούτων ἡ ὄρεξις τῇ πέψει, ὥστε οὐδ' ἐπιστάτου δέονται, τοῦ τὸ ποσὸν ἑκάστου τῶν προσφερομένων μετρήσοντος. ἡ γὰρ ἀρίστη φύσις ὅσον ὀρέγεται, τοσοῦτον καὶ πέττει καλῶς. οὕτω δὲ καὶ τῶν ὕπνων τὸ ποσόν, ἡ φύσις αὐτὴ μετρεῖ τοῖς ἐν ἀρίστῃ κατασκευῇ, καὶ παύονται τηνικαῦτα ὑπνοῦντες, ὅταν μηκέτι δέηται δὲ τὸ σῶμα. καὶ δὴ καὶ οὕτως αὐτῶν διαιτωμένων, ἐν ταῖς ἐκκρίσεσιν, οὐδὲν πλημμελεῖται κατὰ γαστέρα, καὶ οὖρα καὶ ὅλον τὸ σῶμα. τὰς μὲν γάρ, ἡ συμμετρία τῶν προσφερομένων, τὴν δὲ καθ' ὅλον τὸ σῶμα διαπνοήν, ἡ τῶν γυμνασίων ὑγιεινὴν ἀπεργάζεται. ἀπέχεσθαι δὲ δηλονότι τῆς ἀμετρίας αὐτοὺς χρὴ ἁπάντων τῶν ψυχικῶν παθῶν, ὀργῆς, λύπης, θυμοῦ, φόβου καὶ φθόνου. ἐξίστησι γὰρ καὶ ταῦτα, καὶ ἀλλοιοῖ τὸ σῶμα τῆς κατὰ φύσιν συστάσεως. Ἀφροδισίων δὲ κατὰ μὲν Ἐπίκουρον οὐδεμία χρῆσις ὑγιεινή, κατὰ δὲ τὸ ἀληθές, ἐκ διαλειμμάτων τηλικούτων, ὡς ἐπὶ ταῖς χρήσεσι μήτ' ἐκλύσεως αἰσθάνεσθαι, καὶ κουφότερον αὐτὸν ἑαυτοῦ δοκεῖν γεγονέναι, καὶ εὐπνούστερον. ὁ δὲ καιρὸς τῆς χρήσεως, ὅταν ἀκριβῶς μέσον ᾖ τῶν ἔξωθεν περιστάσεων ἁπασῶν τὸ σῶμα, μήθ' ὑπερπεπληρωμένον, μήτ' ἐνδεές, μήθ' ὑπερεψυγμένον, μήθ' ὑπερτεθερμασμένον, ἢ ἐξηρασμένον, ἢ ὑγρασμένον ἀμέτρως. εἰ δὲ καὶ διαμαρτάνοιεν ποτέ, σμικρὸν ἔσται τὸ διαμαρτανόμενον. ἄμεινον δὲ τεθερμασμένῳ μᾶλλον ἢ ὑπερεψυγμένῳ, καὶ ὑπερπεπληρωμένῳ, ἢ ἐνδεεῖ καὶ ὑγρασμένῳ, ἢ ἐξηρασμένῳ τῷ σώματι κεχρῆσθαι τοῖς ἀφροδισίοις. ποιότητα δὲ ἑκάστου τῶν εἰρημένων ἐπὶ τῆς ἀρίστης κατασκευῆς ἐκλέγεσθαι. γυμνασίου μὲν ἐν ᾧ πάντα τὰ μόρια τοῦ σώματος ἀνάλογον κινεῖται, καὶ μὴ τὸ μὲν ὑπερπονεῖν, τὸ δὲ ἐνδεέστερον πονεῖν. τῶν δὲ ἐσθιομένων τε καὶ πινομένων, τὸ εὐκρατώτατον. ταῦτα γὰρ οἰκειότερα ταῖς εὐκράτοις φύσεσιν. ὡσαύτως δὲ κἀπὶ τῶν ἄλλων. εἰ δέ τι τῆς ἀρίστης κατασκευῆς ἀπολείποιτο τὸ σῶμα, μὴ πολλῷ δὲ ὕστερον, καὶ τὰ φυλακτικὰ δὴ τῆς ὑγείας αἴτια, κατὰ τὴν ἀναλογίαν ὑπηλλαγμένα γενήσεται. πλειόνων δὲ τούτων ὄντων σωμάτων καθ' ἕκαστον γένος ἰδίᾳ ῥητέον. τὸ μὲν οὖν τῇ κράσει παραλλάττον, ἐν μέντοι τῇ συμμετρίᾳ τῶν ὀργανικῶν μορίων μὴ παραλλάττον, διττὴν ἰδίαν ἔχει τῶν ὑγιεινῶν αἰτίων. ἑτέραν μὲν τῶν φυλαττόντων αὐτοῦ τὴν κρᾶσιν, ἑτέραν δὲ τῶν ἐπὶ τὴν ἀρίστην ἀγόντων. τὰ μὲν δὴ φυλάττοντα τὴν κρᾶσιν αὐτοῦ, τοσοῦτον παραλλάξει τῶν ἐπὶ τῆς εὐκρατωτάτης φύσεως αἰτίων, ὅσονπερ καὶ ἡ τοῦ σώματος ὅλου κρᾶσις ἐκείνης παραλλάττει. τὰ μὲν γὰρ

θερμότερα σώματα, θερμοτέρων δεῖται διαιτημάτων, τὰ δὲ ψυχρότερα, ψυχροτέρων, καὶ τὰ μὲν ξηρότερα, ξηροτέρων, τὰ δὲ ὑγρότερα, ὑγροτέρων. καὶ κατὰ συζυγίαν τὰ θερμότερα καὶ ξηρότερα, τῶν θερμοτέρων καὶ ξηροτέρων, καὶ τούτοις ἀνάλογον ἐπὶ τῶν λοιπῶν τριῶν συζυγιῶν. χρήσεται γὰρ ταῖς ὕλαις τῶν αἰτίων ὀρθῶς, ὁ τὰς συμφύτους αὐτῶν δυνάμεις ἐπιστάμενος. οἷον ὅτι κίνησις μὲν καὶ ἔνδεια, καὶ ἀγρυπνία, καὶ ἔκκρισις, καὶ πάντα τὰ ψυχικὰ πάθη, ξηραίνει τὸ σῶμα, τὰ δ' ἐναντία τούτοις ὑγραίνει. οὕτως δὲ καὶ περὶ τῶν θερμαινόντων καὶ ψυχόντων ἐπιτηδευμάτων, καὶ ἐδεσμάτων, καὶ πομάτων, καὶ ἁπλῶς εἰπεῖν ἁπάντων τῶν κατὰ τὸ σῶμα γινώσκων τις τὰς ὕλας καὶ τὰς δυνάμεις, ὑγιεινοῖς αἰτίοις χρήσεται, τὰς ὁμοίας τοῖς ὁμοίοις προσφέρων, ὅταν γε φυλάττειν βούληται τὴν τοῦ σώματος κρᾶσιν ἣν παρέλαβεν. εἰ δ' ἐξαλλάττειν ἐθέλει καὶ μετάγειν ἐπὶ τὸ βέλτιον, ἕτερόν ἐστιν ἐνταῦθα γένος αἰτίων ὑγιεινῶν. ἐναντίον μὲν τοῖς προειρημένοις, ἴσον δὲ ἀπέχον ἐπὶ θάτερα τῶν εὐκράτων τε καὶ μέσων, ἃ ταῖς ἀρίσταις φύσεσιν ἁρμόττειν ἐλέγομεν. τὴν γὰρ θερμοτέραν καὶ ξηροτέραν κρᾶσιν, οὐ τὰ θερμὰ καὶ ξηρὰ διαιτήματα ποιήσειεν ἂν εὔκρατον ἀκριβῶς, ἀλλὰ τοσοῦτον τοῦ εὐκράτου ψυχρότερά τε καὶ ὑγρότερα ταῖς κράσεσιν, ὅσον καὶ ἡ φύσις τῆς φύσεως ἦν θερμοτέρα καὶ ξηροτέρα. τὸ μὲν γὰρ τοιοῦτον γένος τῶν αἰτίων, ἐπανορθοῦται τὰς συμφύτους δυσκρασίας, τὸ δὲ ἕτερον τὸ προειρημένον, διαφυλάττει. χρεία δὲ ἑκατέρων ἐν μέρει τοῖς ἰατροῖς ἐπανορθοῦσθαι μὲν ἐπὶ πολλῆς σχολῆς, κατὰ βραχὺ μετάγοντας ἐπὶ τὸ βέλτιον. οὐ γὰρ φέρουσιν αἱ φύσεις τὰς ἀθρόας ἀλλοιώσεις, φυλάττειν δ' ἐν ταυτῷ κατὰ τὰς ἀναγκαίας ἀσχολίας. πῶς οὖν καὶ τὸ τοιοῦτον εἶδος τῶν αἰτίων φυλακτικὸν ὀνομάζομεν; ἐπρεπε γὰρ αὐτὸ μᾶλλον ἴσως ἀλλοιωτικόν τε καὶ θεραπευτικόν, καὶ τῶν συμφύτων ἁμαρτημάτων ἐπανορθωτικὸν κεκλῆσθαι, ὅτι πρὸς ὅλον τὸ γένος τῆς ὑγείας ἀναφέροντες, οὐ πρὸς τὰς κατ' εἶδος αὐτῆς διαφοράς. ὅσα μὲν ὑγιαίνοντας φυλάττει, φυλακτικὰ πάντα κεκλήκαμεν, ἐάν τε πρὸς τῷ φυλάττειν τὴν ὑγείαν, ἐπὶ τὸ βέλτιον ἄγῃ τὴν ὅλην κρᾶσιν, ἄν τε φυλάττῃ τὴν ἐξ ἀρχῆς. ὅσα δὲ χείρονα τὴν κατάστασιν ἀποτελεῖ, νοσερά. τῶν μὲν οὖν ὁμοίως δυσκράτων ἅπασι τοῖς τοῦ σώματος μορίοις, ὁμοία καὶ ἡ ἐπιμέλεια. τῶν δ' οὐχ ὁμοίων, οὐχ ὁμοία. δύναται γὰρ ἡ μὲν γαστὴρ ψυχροτέρα τοῦ προσήκοντος ὑπάρχειν, ἡ κεφαλὴ δὲ θερμοτέρα, καὶ δεῖσθαι τῶν οἰκείων ἑκάτερα. κατὰ ταυτὰ δὲ καὶ τῶν ἄλλων ἕκαστον μορίων, ἢ ὑγρότερον, ἢ ξηρότερον, ἢ θερμότερον, ἢ ψυχρότερον ὑπάρχειν τοῦ συμμέτρου, καὶ τῶν οἰκείων τῆς δυσκρασίας δεῖσθαι διαιτημάτων. οὔτ' οὖν ἐξ ἴσου γυμνάζομεν ἅπαντα τὰ τοιούτων τὰ μόρια τοῦ σώματος, οὔθ' ὡσαύτως ὑγραίνομεν καὶ ξηραίνομεν, ἤ τι τῶν ἄλλων πράξομεν. ἐπὶ πλέον δὲ λέγεται περὶ αὐτῶν ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. Τὰ δὲ τῶν ὀργανικῶν μορίων αἴτια ὑγιεινά, κατὰ τὸ σφάλμα κἀνταῦθα τῆς ἀρίστης κατασκευῆς ἀλλήλων διενήνοχεν. ἄλλα μὲν γάρ ἐστιν ὑγιεινά, τῶν παρὰ τὴν διάπλασιν σφαλμάτων, ἄλλα δὲ τῶν παρὰ τὸ μέγεθος, ἢ τὸν ἀριθμόν, ἢ τὴν θέσιν. ἐν μὲν οὖν τῇ διαπλάσει πλείω τὰ σφάλματα. καὶ γὰρ καὶ τὸ σχῆμα τοῦ μορίου, καὶ εἴ πού τις ἐν αὐτῷ κοιλότης ἐστὶ κατὰ φύσιν, ἢ στόμιον, ἢ πόρος, ἢ τραχύτης τις, ἢ λειότης, ὅταν ἐξίστηται τῆς οἰκείας συμμετρίας, ἐπ' ὀλίγον μὲν τοῦτο πάσχοντα, τῆς τῶν ὑγιεινῶν σωμάτων ἔχεται προσηγορίας, ἐπὶ πλέον δὲ τῆς τῶν νοσωδῶν. εἰ δ' ἐπὶ τοσοῦτον ὡς βλάπτειν τὴν ἐνέργειαν, ἤδη νοσεῖν λεχθήσεται. κατὰ δὲ τὸ ποσόν, ἡ ὑπερβολή τε καὶ ἔλλειψις εἰς τὰς αὐτὰς ἄγει διαφοράς. ἐν ἀριθμῷ δὲ λείπεται ἢ πλεονάζει ὁποιονοῦν τῶν ὁμοιομερῶν ἕν, ἢ πλείω. τούτου τοῦ γένους εἰσὶ καὶ ὅσαι παρὰ φύσιν ἐν ἡμῖν οὐσίαι συνίστανται. λοιπὸν δ' ἐστὶ γένος ἄλλο παρὰ τὴν θέσιν ἑκάστου τῶν ἁπλῶν μορίων, ἐν ᾧ καὶ αὐτῷ τέτταρες αἱ πᾶσαι γίνονται διαφοραί. πρώτη μὲν ἡ ἀρίστη, δευτέρα δὲ ἡ βραχύ τι παραλλάττουσα, καὶ διὰ τοῦτ' ἔτι τὸ ὑγιεινὸν ἀποτελοῦσα σῶμα. καὶ τρίτη νοσερόν, ὅταν ἐπὶ πλέον ἐξίσταται, καὶ τετάρτη, τὸ ἤδη νοσοῦν, ὅταν ἐπὶ πλεῖστον. ὅσα μὲν οὖν ἡμάρτηται μόρια κατὰ σχῆμα, καθάπερ ὅσα βλαισά, καὶ ῥαιβά, καὶ λοξά, ταῦτα νεογενῆ μὲν ἔτι καὶ ἁπαλά, διαπλάσει τε καὶ ἐπιδέσει εἰς τὸ κατὰ φύσιν ἐπανέρχεται. σκληρὰ δ' εἰ φθάσειεν αὐξηθέντα γενέσθαι, τὴν ἐπανόρθωσιν οὐ προσίεται. καὶ μὲν δὴ καὶ ὅσα περὶ κοιλότητος ἡμάρτηται, καὶ ταῦτα ὡσαύτως ἐπανορθοῦται μὲν αὐξανόμενα, τελειωθέντα δὲ οὐ δύναται. μικρὰς μὲν οὖν κοιλότητας, ἐπίδεσίς τε καὶ ἡσυχία. μεγάλας δὲ ἐνέργειά τε τῶν μορίων, καὶ κατάληψις ἐργάζεται πνεύματος. οὕτως δὲ καὶ ὅσα κατὰ πόρους, ἢ στόμια, καὶ μὲν δὴ καὶ ὅσα μείζω τοῦ δέοντος, ἡσυχία τε καὶ ἐπίδεσις ἐπιτήδειος, ἐλάττονα πέφυκεν ἐργάζεσθαι. μείζω δ' ἀποτελεῖται τὰ μόρια κινήσει τῇ κατὰ φύσιν ἅμα τρίψει συμμέτρῳ, καὶ τοῖς ἄλλοις ὅσα πέφυκεν ἐπισπᾶσθαι πλέον αἷμα. τῶν δὲ λειπόντων μορίων, ὅσα μὲν ἐξ αἵματος ἔχει τὴν γένεσιν, οὐκ ἀδύνατος ἡ ἐπανόρθωσις. ὅσα δ' ἐκ σπέρματος, ὀλίγου δεῖν ἀδύνατος. ἔστι δ' ὅμως ἀντ' αὐτῶν ἐνίοτε ποιεῖν ἕτερα παραπλησίαν ἐκείνοις ἔχοντα τὴν χρείαν. ἁπάντων δ' αὐτῶν, ἡ μὲν φύσις ἐστὶ δημιουργός, ὁ δ' ἰατρὸς ὑπηρέτης. ὅσα δὲ περιττεύει κατ' ἀριθμόν, ἀφαίρεσις ἐστὶν αὐτοῖς ὑγιεινόν. ἐπισκέπτεσθαι δὲ ἐφ' ὧν δυνατόν. εἰ δ' ἀδύνατον φαίνοιτο, μετατιθέναι πειρᾶσθαι. ἡ δ' αὐτὴ καὶ τῶν παρὰ τὴν θέσιν ἡμαρτημένων ἐπανόρθωσις. εὔδηλον δὲ ὡς δύο καὶ τρία πολλάκις ἁμαρτήματα δύναται συστῆναι περὶ μόριον ἕν, ὥσπερ ἐπὶ τοῦ τὴν γαστέρα μικράν τε ἅμα καὶ στρογγύλην, καὶ κατὰ τῶν διαφράγματος ἐπικειμένην ἔχοντος. ἡμάρτητο γὰρ ἐν αὐτῇ μέγεθός τε καὶ διάπλασις καὶ θέσις. ἦν δὲ καὶ τῇ κράσει ψυχροτέρα, ταύτην εἰς μὲν τὸ κατὰ φύσιν ἄγειν ἀμήχανον ἦν. ὥσπερ δὲ ἧττον ὑπ' αὐτῆς ἐνοχλεῖσθαι, δυνατόν. ἐπειδὴ γὰρ ἐδυσπνόει πληρωθείσης τῆς γαστρός, ἐλάττονά τε καὶ τρόφιμα, καὶ μὴ βαρέως ὑπιόντα, προσεφέρετο δὶς τῆς ἡμέρας. ἄλλῳ δὲ ἐμφράξεως ἐν ἥπατι διὰ τὴν στενότητα τῶν ἀγγείων συνεχέστατα γινομένης, ὑγιεινὸν αἴτιον ἐξευρέθη ἡ λεπτύνουσα δίαιτα. Λοιπὸν οὖν ἔτι γε ἐν κοινὸν ὁμοιομερῶν τε καὶ ὀργανικῶν ἐστιν, ἡ λύσις τῆς συνεχείας, ἣν ἴσως τις οὐ συγχωρήσει τοῖς ἀμέμπτως ὑγιαίνουσιν ὑπάρξαι ποτέ. εἶεν γὰρ ἀεὶ πάθος, οὐκ εἰδὼς ὁμοίαν ἀπορίαν ἐσομένην ὑπὲρ ἁπάντων τῶν γενῶν. εἰ μὲν γὰρ ἐνεργείας αἰσθητὴ βλάβη διορίζοι τὸ νόσημα τῆς ὑγείας, ἀλλὰ κατὰ τὸ ποιὸν τῆς διαθέσεως ἐπινοοῖτο μόνον, ἀναγκαῖον ἔσται τὸ τῆς ἀειπαθείας προσδέξασθαι δόγμα, μηδενὸς ἀρίστας ἔχοντος ἁπάσας τὰς ἐνεργείας. ἀλλὰ τοῦτο μὲν ὡς ἂν λογικώτερον σκέμμα, καθ' ἑαυτὸ λόγου τυγχανέτω. τὰ δ' ὡς πρὸς τοὺς ὁμολογουμένως νοσοῦντας ὑγιεινὰ τῶν αἰτίων, ἑξῆς διέλθωμεν, ἀπὸ τῶν τῆς δυσκρασίας ἀρξάμενοι γενοῦς. διοριστέον οὖν ἐνταῦθα πρότερον ἅπερ ὀλίγου δεῖν ἅπαντες οἱ ἰατροὶ παραλείπουσιν, ὡς ἄλλα μέν ἐστιν ὑγιεινά, τῆς ἤδη γεγενημένης δυσκρασίας, ἄλλα δὲ τῆς ἔτι γινομένης, ὥσπερ γε καὶ τῆς γενησομένης ἄλλα.

ταύτης

ταύτης μὲν τῆς ὑστάτης, τὰ μὲν ἐν τῷ προφυλακτικῷ μέρει τῆς τέχνης ἐστὶ, τὰ δὲ ἐν τῷ ὑγιεινῷ. τῆς δὲ πρώτης ἁπασῶν, ἐν τῷ θεραπευτικῷ μόνῳ. τῆς δ' ἀμφοῖν μέσης λεχθείσης, ἐν τῷ προφυλακτικῷ τε καὶ θεραπευτικῷ. τὴν μὲν γὰρ ἤδη γεγενημένην τε καὶ οὖσαν νόσον, ἰᾶσθαι χρή. τὴν δ' οὔπω μὲν οὖσαν ἐσομένην δὲ, ἐκ τῆς περὶ τὸ σῶμα διαθέσεως κωλῦσαι γενέσθαι. τῆς γινομένης δὲ τὸ μὲν ἤδη γεγονὸς ἰᾶσθαι, τὸ γενησόμενον δὲ, κωλῦσαι γενέσθαι. κωλυθήσεται δὲ, τῆς διαθέσεως, ἐφ' ἧς γίνεσθαι πέφυκεν, ἀναιρεθείσης. ὀνομάζεται δὲ ἡ τοιαύτη διάθεσις αἰτία προηγουμένη. γεγονυῖα δὲ νόσος ἤδη, θεραπευθήσεται, τῆς διαθέσεως ὑφ' ἧς πρώτης ἡ κατὰ φύσιν ἐνέργεια βλάπτεται, λυθείσης, ἥνπερ δὴ καὶ φαμὲν αὐτὴν εἶναι τῆς νόσου τὴν αἰτίαν. Η δ' ἴασις ἐνταῦθα μὲν ἔχει καὶ πρῶτον τὸν κοινότατον σκοπὸν, αὐτῷ τῷ μέλλοντι λυθήσεσθαι τὸ ἐναντίον. ἐκ τούτου δὲ τοῦ γένους ἐστὶ, πάντα τὰ δημιουργοῦντα τὴν ὑγείαν αἴτια, κατὰ μέρος δ' ἐκ τοῦ καθέκαστον ἐναντίων. τῇ μὲν οὖν θερμῇ διαθέσει, τὸ ψυχρὸν αἴτιον ἐναντίον ἐστὶ, τῇ ψυχρᾷ δὲ τὸ θερμὸν, ἐπί τε τῶν ἄλλων ἀνάλογον. εἰ γὰρ ἄμετρον μὲν ἅπαν τὸ παρὰ φύσιν, ἔμμετρον δὲ τὸ κατὰ φύσιν, ἀνάγκη πᾶσα τὸ ἄμετρον ὑπὸ τοῦ κατὰ τοὐναντίον ἐμμέτρου, πρὸς τὸ σύμμετρον ἐπανελθεῖν. εὔδηλον δὲ ὡς τὸ κατὰ δύναμιν, οὐ τὸ κατὰ φαντασίαν θερμαῖνον καὶ ψῦχον, ὅσα τε ἄλλα τοιαῦτα ληπτέον ἐστί. καλῶ δὲ κατὰ δύναμιν μὲν ὅπερ ὄντως τε καὶ ἀληθῶς οἷον λέγεται. κατὰ φαντασίαν δὲ, τὸ τῇ προχείρῳ μὲν αἰσθήσει τοιοῦτον εἶναι φανταζόμενον, ὄντως δ' οὐκ ὂν τοιοῦτον, ὅπως δὲ χρὴ γνωρίζειν αὐτὰ, κατὰ τὴν περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως εἴρηται πραγματείαν. εἰς δὲ τὴν εὕρεσιν τῶν ὑγιεινῶν αἰτίων, ὅσα μὲν ὡς πρὸς τὴν ἤδη γεγενημένην νόσον ἐστὶν ὑγιεινὰ, τῇ μεθόδῳ χρηστέον, ἣ τὸ κατὰ φαντασίαν τοῦ κατὰ δύναμιν ὁρίζεται. ὅσα δὲ ὡς πρὸς τὴν ἔτι γινομένην αὐτῇ τε ταύτῃ, καὶ προσέτι καθ' ἣν ἐξευρίσκεται τὰ τῶν νοσημάτων αἴτια. φέρε γὰρ, εἰ οὕτως ἔτυχεν, ἐπὶ χυμοῖς σηπομένοις ἀνάπτεσθαι πυρετὸν, ἐνδείξις ἐπὶ τοῖς τοιούτοις, ἀλλοίωσίς τε καὶ κένωσις ἐστίν. ἀλλοίωσις μὲν ἡ παύουσα τὴν σηπεδόνα, μενούσης τῆς οὐσίας. κένωσις δὲ, ἡ ὅλην ἐκ τοῦ σώματος ἐξάγουσα τὴν οὐσίαν. ἀλλὰ τὸ μὲν εἰρημένον εἶδος τῆς ἀλλοιώσεως πέψις ἐστὶν, ἣν ὑπό τινων αἰτίων ἐγχωρεῖ ποιεῖν ἐξευρόντες, ἐν ἐκείνοις ἂν ἔχοιμεν ἤδη τὴν γνῶσιν τῶν οὕτως ὑγιεινῶν. αἱ κενώσεις δὲ διά τε φλεβοτομίας, καὶ κλυστήρων, καὶ οὔρων, καὶ τῆς κατὰ τὸ δέρμα διαπνοῆς εἰσίν. ἔτι δὲ ἀντισπάσεως καὶ μετοχετεύσεως εἰς ἕτερον. τούτου γὰρ τοῦ γένους ἐστὶ, καὶ τὸ καταμήνια κινῆσαι, καὶ αἱμοῤῥοΐδας ἀναστομῶσαι, καὶ διὰ ῥινῶν, καὶ ὑπερῴας καθᾶραι. ἐξευρόντες οὖν κἀνταῦθα τὰς ὕλας, αἷς ἐν ποιότητι καὶ ποσότητι, καὶ καιρῷ, καὶ τρόπῳ τῆς χρήσεως προσφερομέναις ἡ κένωσις γίνεται, κατ' αὐτὸ τὸ μέρος τῆς τέχνης εὕροιμεν ἂν ὑγιεινὰ, καὶ γέγραπται πάντων ἡ εὕρεσις ἐν τῇ θεραπευτικῇ πραγματείᾳ. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ ταῖς ἄλλαις δυσκρασίαις ταῖς τρισὶν, ἐν κοινὸν ἔχοντες παράγγελμα, τὸ ποιεῖν ἑκάστην αὐτῶν αἰτίαν ἐκκόπτειν πρότερον, εἶθ' οὕτως ἥκειν ἐπὶ τὸ γεγονὸς ὑπ' αὐτοῦ νόσημα, τὴν τῶν ὑγιεινῶν αἰτίων εὕρεσιν ποιησόμεθα. κατὰ δὲ τὰς συνθέτους δυσκρασίας, ἥν γ' ἐκ τῶν ἁπλῶν σύνθεσις ἐνδείξεται, τὰ ὑγιεινὰ παραγγέλματα. κἀνταῦθ' ἐχόντων ἡμῶν ἀνάλογον τῷ μεγέθει τῆς δυσκρασίας, τὸ πρὸς ἐκείνην ἁρμόττον ἐξευρίσκειν, οἷον εἰ οὕτως ἔτυχεν, ἕνδεκα μὲν ἀριθμοῖς ἐπὶ τὸ θερμότερον ἐξεστήκει τι τοῦ κατὰ φύσιν, ἑπτὰ δ' ἐπὶ τὸ ξηρότερον. εἶναι δήπου χρὴ τὸ ὑγιεινὸν αἴτιον ἐπὶ ταῖς τοιαύταις διαθέσεσι, δέκα μὲν ἀριθμοῖς ψυχρότερον, ἑπτὰ δὲ ὑγρότερον. εἰ μὲν οὖν αὐτῷ τῷ πεπονθότι μορίῳ προσάγοιτο τοιοῦτον φάρμακον, εἰς τοσοῦτον ἔσω ψυχρότερόν τε καὶ ὑγρότερον, εἰς ὅσον ἡ ἔνδειξις κελεύει. διὰ βάθους δὲ κειμένου τοῦ πεπονθότος, ἐπιτεχνᾶσθαι χρὴ τοιοῦτον ἐργάζεσθαι τὸ ὑγιεινὸν, ὡς μὴ φθάνειν ἐκλύεσθαι κατὰ τὴν ὁδόν. εἰ μὲν οὖν θερμότερον εἶναι δέοιτο τοῦ συμμέτρου, μὴ τοσοῦτον μόνον ἔσω θερμότερον, ὅσου δεῖται τὸ πάθος, ἀλλ' ἐξ ἐπιμέτρου προσκείσθω τὸ διὰ τὴν θέσιν ἀναγκαῖον προσερχόμενον. εἰ δὲ ψυχρότερον, οὐχ ἁπλῶς χρὴ τοσοῦτον ποιεῖν αὐτὸ ψυχρότερον, ἀλλὰ καὶ τὴν ὕλην σκοπεῖσθαι πρότερον. εἰ μὲν γὰρ παχυμερές ἐστιν, οὐχ ὁδοιπορήσει μέχρι βάθους πολλοῦ. τοὐναντίον δὲ πᾶν ἐργάζεται πυκνῶσαν τὴν ἐπιφάνειαν. εἰ δὲ λεπτομερὲς ὑπάρχει, δύναιτ' ἂν ἐξικέσθαι μέχρι πλείονος βάθους. οὕτως δὲ καὶ ἐπὶ τῶν ὑγραινόντων καὶ ξηραινόντων, τὸ παχυμερὲς καὶ λεπτομερὲς τῆς οὐσίας ἐπισκεπτέον. ἀπὸ μὲν δὴ τῆς θέσεως τοῦ πεπονθότος, ἡ ἔνδειξις εὑρίσκει τὸ ὑγιεινὸν ὡς εἴρηται νῦν. ἀπὸ δὲ τῆς διαπλάσεώς τε καὶ θέσεως, ὅταν ἐκροὰς αἰσθητὰς ἔχῃ συντετρημένας εἰς ἕτερον, ἢ μηδεμίαν ἔχῃ. τὰς μὲν γὰρ εἰς τὰ κυριώτατα φερούσας ἐκροὰς, ἀποτρέψομεν, ἐρεθίζομεν δὲ τὰς εἰς μὴ κυριώτατα. δῆλον δὲ ὡς τῶν τοιούτων αἰτίων τὴν δυσκρασίαν, ἡ διὰ τῆς κενώσεως ἐστὶν ἴασις. αὐτῶν γὰρ τῶν δυσκρασιῶν μόνων ἀλλοίωσις ἴασις ἐστίν. Λυθείσης δὲ τῆς συνεχείας, ὁ μὲν τῆς ἰάσεως σκοπὸς, ἕνωσις, ἐπὶ μὲν τῶν ὀργανικῶν μορίων ἀδύνατος. ἐπὶ δὲ τῶν ὁμοιομερῶν, οὐκ ἀεὶ δυνατὸς, ἀλλ' ἐνίοις, ὡς ἐν τοῖς σαρκώδεσι, κόλλησις ἴασις ἐστὶν, οὐ διοίσει δὲ οὐδ' εἰ σύμφυσιν ὀνομάζεις. ἡγεῖται δ' αὐτῆς, ὅταν μεῖζον γένηται τὸ τραῦμα, προσαγωγὴ τῶν διεστώτων μορίων, ἐκ τοῦ τῆς διαπλάσεως ὑπάρχουσα γένους. ἵνα δ' αὐτὴ γένηται μόνιμος, ἐπίδεσις ἡ συνάγουσα τὰ διεστῶτα, καὶ ἀγκτῆρες, καὶ ῥαφαὶ χρήσιμοι. κολλᾷ μὲν οὖν τὰ διεστηκότα, καὶ τὴν ἐξ ἀρχῆς ἕνωσιν ἀποδίδωσιν ἡ φύσις. ἡμέτερον δ' ἔργον ἓν, μὲν ὡς εἴρηται, τὸ συνάγειν εἰς ταὐτὸ τὰ διεστῶτα, δεύτερον δὲ τὸ φυλάττειν ὡς συνήχθη, καὶ τρίτον, ὡς μηδὲν ἐμπέσῃ τῶν χειλῶν μεταξὺ προνοεῖσθαι, καὶ τέταρτον, αὐτὴν τοῦ μέρους τὴν οὐσίαν ὑγιεινὴν διαφυλάττειν. τὸ μὲν δὴ πρῶτόν τε καὶ δεύτερον ὡς ἄν τις ποιήσειεν, εἴρηται. τὸ δὲ τρίτον, ἐν μὲν τῷ συνάγειν τὰ διεστῶτα γίνοιτ' ἂν, εἰ μηδὲν ἔξωθεν ἐμπίπτειν ἐάσομεν, ὡς πολλάκις γε θρὶξ, ἢ ἔλαιον, ἢ ὑγρότης τις ἑτέρα μεταξὺ στᾶσα τῶν κολληθησομένων, ἐκώλυσεν αὐτῶν τὴν ἕνωσιν. ἐν δὲ τῷ μετὰ ταῦτα χρόνῳ, διὰ τῶν ὑποῤῥύσεων, ἡ τοῦ τρίτου σκοποῦ φυλακή. τὴν δ' ὑπόῤῥυσιν αὐτὴν, ἐξ ἐπιδιαιρέσεως καὶ ἀντιδιαιρέσεως, καὶ σχήματος ἐπιτηδείου ποριστέον. ἡ δ' οὐσία τοῦ μέρους ὑγιεινὴ, φυλαχθήσεται διὰ τῶν μετρίως ξηραινόντων. αὕτη μὲν ἡ ἴασις ἐστὶ, συνεχείας λύσεως ἐν σαρκώδει μορίῳ γεγενημένης, αὐτῆς καθ' ἑαυτὴν μόνης. εἰ δ' ἑτέρῳ τινὶ μιχθείη νοσήματι, πλείους οἱ σκοποὶ τῶν ἐνδείξεων, οὓς ἐν ταῖς τῶν συνθέτων, ἢ ἐπιπεπλεγμένων, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, διδασκαλίαις ἐξῆς ἐροῦμεν. ἐν δὲ τῷ παρόντι λόγῳ πρὸς τὰς λοιπὰς τῆς ἑνώσεως λύσεις ἰτέον. Κάταγμα τοίνυν ἐστὶ, τῆς ἐν ὀστῷ συνεχείας λύσις, ἀνίατον δὲ ὂν, ὅσον ἐπὶ τῷ πρώτῳ σκοπῷ, κατὰ δεύτερον δέ τινα τρόπον, ἰατόν πως γίνεται. πρῶτος μὲν οὖν σκοπὸς, ἡ σύμφυσις οὐ δυναμένη διὰ σκληρότητα τοῦ μορίου γενέσθαι, δεύτερος δὲ ἡ δέσις

διὰ πώρου δεσμοῦντος ἐν κύκλῳ τὸ κάταγμα. γένεσις δὲ τῷ πώρῳ, καθ᾽ ὅσον μὲν ἐξ ὕλης καὶ ἀπὸ φύσεως γίνεται, κοινὴ πρὸς τὰ ἄλλα, καθ᾽ ὅσον δὲ ἐγγύς ἐστιν ὀστῷ τὴν ἰδέαν, ἐκ τῆς ἐκείνου τροφῆς. μαλακὸν δὲ καὶ παιδικὸν ὀστοῦν, καὶ συμφῦναι δυνατόν. σπανίως δὲ καὶ ἡ τοῦδε τοῦ πάθους γένεσις ἄνευ συμπλοκῆς. ὡς τὰ πολλὰ γοῦν οἱ παρακείμενοι μύες ἅμα τοῖς ἄλλοις σώμασι πάσχουσι, ῥηγνυμένων τῶν ὀστῶν, ὥστε καὶ ὁ σκοπὸς τῆς θεραπείας διττὸς, ἕτερος μὲν ὁ ἐπὶ τοῖς ὀστοῖς, ἕτερος δὲ ὁ ἐπὶ τοῖς ἀμφ᾽ αὐτὰ σώμασιν. ὁ μὲν δὴ δεύτερος, ἐν ταῖς τῶν σαρκωδῶν μορίων ἐπιπεπλεγμέναις διαθέσεσιν εἴρηται. περὶ δὲ τῶν καταγμάτων ἐν τῷδε ῥητέον. ἐπεὶ γοῦν καὶ τούτων ἡ ἴασις ἐστὶν ἐκ τῆς πωρώσεως, ἵνα δ᾽ αὐτὴ γένηται, τῆς οἰκείας τροφῆς ὀστοῦ δεῖ περίττωμα πρὸς τὴν τοῦ πώρου γένεσιν ὑποβεβλῆσθαι τῇ φύσει. τὸ περίττωμα δὲ τοῦτο, καὶ τῇ ποιότητι καὶ τῇ ποσότητι σύμμετρον εἶναι χρὴ, διὰ τοῦτ᾽ ἀγωγῆς δεῖται τῆς ὑστέρου καὶ πρώτου τὸ ἐπιρρέον αἷμα τοῖς ὀστοῖς παρασκευαζούσης, ἐξ οὗ καὶ ὅσου γεννήσεται πῶρος. ἐπεὶ δ᾽ ἐκχεῖται τοῦτο διὰ τῶν συναγόντων τοῦ κατεαγότος ὀστοῦ, σκοπεῖν αὐτοῦ χρὴ τό πλῆθος τε καὶ τὴν ποιότητα, καὶ οὕτως ἢ ξηραντικωτέραν ποιεῖσθαι τὴν ἀγωγὴν ἢ ὑγραντικωτέραν, ἅπερ ἐπὶ πλέον ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασι λέλεκται. Νεύρου δὲ καὶ τένοντος νύγμα, διὰ τὸ περιττὸν τῆς αἰσθήσεως, καὶ διότι συνεχές ἐστι πρὸς τὴν ἀρχὴν τὸ μόριον, ἕτοιμον ἐπικαλέσασθαι σπασμὸς, καὶ μάλισθ᾽ ὅταν μηδὲν διαπνέηται πρὸς τὰ ἐκτὸς, τυφλωθείσης τῆς τοῦ δέρματος τρώσεως. τοῦτο τοίνυν χρὴ ἀνεστομοῦν, καὶ ξηραίνειν οὐσίᾳ λεπτομερεῖ, διικνεῖσθαι δυναμένῃ πρὸς τὸ βάθος ἄχρι τοῦ τετρωμένου νεύρου. λέλεκται δὲ καὶ περὶ τούτου τελέως ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. ἐν μὲν δὴ ταῖς ἁπλαῖς τοῦδε τοῦ γένους διαθέσεσιν, ἡ τῶν ὑγιεινῶν αἰτίων ἰδέα τοιάδε. περὶ δὲ τὰς συνθέτους, ἐπιπέπλεκται τοῖς ἕλκεσιν. πρώτη μὲν κοιλότης, ἣν οὐκ ἄλλην διάθεσιν, ἀλλ᾽ ἕλκους ἡγοῦνται διαφοράν. ἔστι δὲ οὐ διαφορὰ τό γε πρῶτον, ἀλλ᾽ ἕτερόν τι γένος ὅλου τοῦ νοσήματος, ἐν ᾧ τῆς οὐσίας αὐτῆς ἐστιν ἀπώλεια. καὶ τοίνυν καὶ ἡ ἴασις ἐπὶ διττῷ πάθει, διττοῦ δεῖται σκοποῦ. ἡ μὲν γὰρ τῆς συνεχείας λύσις, ἑνώσεως, ἡ δὲ τῆς οὐσίας ἀπώλεια, γενέσεως χρήζει. λελεγμένοι δ᾽ εἰσὶν ὀλίγον ἔμπροσθεν οἱ τῆς γενέσεως σκοποί, καὶ μὲν δὴ καὶ ὡς χρὴ πρῶτον ἰᾶσθαι τήνδε τὴν διάθεσιν. εἶθ᾽ ἑξῆς ἑνοῦν ἐπιχειρεῖν, αὐτὴ τῶν πραγμάτων ἡ φύσις ἐνδείκνυται. ὅταν οὖν ἀναπληρωθῇ μὲν τὸ κοῖλον, ὁμαλὸν δὲ τὸ ἕλκος ὑπάρχῃ, τὸν ἕτερον τῶν σκοπῶν ἀνῃρῆσθαι συμβαίνει. μέσης γὰρ τῆς νεογενοῦς σαρκὸς ἱσταμένης τῶν χειλῶν τοῦ ἕλκους, ἑνωθῆναι μὲν ἀδύνατον τὰ διεστῶτα. σκοπὸν δ᾽ ἄλλον ἰάσεως ἐξευρεῖν χρή. τὴν δ᾽ εὕρεσιν ἐκ τοῦ κατὰ φύσιν ἑξόμεθα, ὃ περιποιῆσαι τῷ μέρει προσήκει. κατὰ φύσιν δ᾽ ἦν αὐτῷ σκέπεσθαι δέρματι. τοῦτ᾽ οὖν ἡμῖν ἐστι ποιητέον, ἢ εἴπερ ἐστὶν ἀδύνατος ὁ σκοπὸς, ὅμοιόν τι δέρματι. τὴν γοῦν σάρκα δερματώδη ποιητέον ἐστίν. ἔστι δὲ τοιαύτη, ξηραινομένη τε ἅμα καὶ τυλουμένη. ξηραινόντων δὲ καὶ στυφόντων ἀδήκτως, ἔσται χρεία φαρμάκων εἰς τὰς ἐπουλώσεις. οὕτως δὲ καὶ ἂν ῥύπος ἐπιτραφῇ, σκοπὸς μὲν ἀπορρύψαι. φάρμακον δὲ ὑγιεινὸν, τὸ ῥυπτικόν. εἴρηται δ᾽ αὐτῶν ἐν τοῖς περὶ φαρμάκων ἡ ὕλη. καὶ μὲν δὴ καὶ εἰ φλεγμονή τις, ἢ θλάσις, ἢ σκίρρος, ἢ οἴδημα περὶ τὸ ἕλκος εἴη, θεραπευτέον ἐκεῖνα πρότερα διὰ τῶν εἰρημένων μεθόδων. οὕτως δὲ καὶ εἰ ἐπιρρεῖ τι τῷ ἕλκει, περὶ τὴν τῶν ἐπιρρεόντων ἴασιν. ὡσαύτως δὲ καὶ εἰ δυσκρασία τις εἴη κατὰ τὸ ἡλκωμένον, ἐπὶ τὰ τῆς δυσκρασίας πρότερον ἰέναι βοηθήματα. καὶ περὶ μὲν τούτων ἅλις. Ἐπὶ δὲ τὸ παρὰ τὴν διάπλασιν ἰτέον ἤδη γένος, εἰς πλείους διαφορὰς τεμνόμενον. ἀλλ᾽ ἀεὶ τὴν σαφεστάτην τὴν ἀρχὴν τῷ λόγῳ θετέον, ὃ κατὰ τὴν τοῦ σχήματος ἐξάλλαξιν γίνεται. τῶν μὲν οὖν ἔτ᾽ αὐξανομένων οἷόν τε τὸ σχῆμα τῶν πλείστων μορίων ἐπανορθώσασθαι, τῶν δ᾽ ηὐξημένων, οὐκέτι. σκοπὸς δ᾽ ὧν οἷόν τε θεραπεῦσαι πρὸς τοὐναντίον ἀπάγειν τῆς διαστροφῆς. εἰ δὲ κατάγματος οὐκ ὀρθῶς διαπλασθέντος ἡμάρτηταί τινος κώλου σχῆμα, πωρωθῆναι φθάσαντος, ἐὰν ἔτι πρόσφατος ὁ πῶρος ὑπάρχῃ, κατάξαντα χρὴ διαπλάττειν αὖθις ὀρθῶς, εἶτα πωροῦν. Ἔστι δὲ ἡ ἔμφραξις ἐκ ταὐτοῦ γένους τῶν νοσημάτων. ἡ μὲν ὑπὸ γλίσχρων καὶ παχέων γινομένη χυμῶν, ἔνα μὲν ἔχουσα καὶ αὐτὴ σκοπὸν ἐναντίον τῷ πάθει τὴν ἔκφραξιν. αἴτια δὲ ὑγιεινὰ τά τε ῥυπτικὰ καὶ τμητικὰ τῶν φαρμάκων. ἡ δ᾽ ὑπὸ κόπρου σκληρᾶς ἐμφραχθείσης ἐντέρῳ, προτέραν μὲν ἕξει τὴν τῆς σκληρότητος ἐπανόρθωσιν ἐξ ὑγρῶν καὶ λιπαρῶν κλυσμάτων, ἑξῆς δὲ τὴν κένωσιν ἐκ δριμέων. ἡ δ᾽ ὑπὸ λίθου κατὰ κύστιν, ἐν μὲν τῷ παραυτίκα τὴν μετάθεσιν. ἰάσεως δὲ παντελοῦς ἕνεκα, τὴν διὰ τομῆς κομιδήν. ἡ δὲ τῆς παρὰ φύσιν περιεχομένης ὑγρότητος ἴασις, ἐν τῇ παντελεῖ κενώσει, καθάπερ ἐπὶ τῶν ἐμπύων. ἡ δ᾽ ἄμετρος πλήρωσις, ἐν ἀμέτρῳ κενώσει, καθάπερ ἐπὶ τοῦ κατὰ τὰς φλέβας αἵματος, ὡσαύτως καὶ ὅσοις κατὰ γαστέρα, καὶ ἔντερα, ἢ ἀρτηρίαν, ἢ πνεύμονα πῦον, ἢ αἷμα περιέχεται, παντελοῦς κενώσεως δεῖται. τοῦ δὲ πλείονος ἐδέσματος, ἢ πόματος, ἔτι τε προσφάτου, κατὰ τὴν ἀποκένωσιν ἡ ἐπανόρθωσις. ὅσα μὲν οὖν ἐν πνεύμονί τε καὶ θώρακι περιέχεται, μετὰ βηχῶν μὲν ἡ κένωσις, ὑπὸ δὲ φαρμάκων λεπτυντικῶν. ὅσα δὲ καθ᾽ ἧπαρ, ἢ φλέβας, ἢ ἀρτηρίας, ἢ νεφροὺς, ἤτοι δι᾽ οὔρων, ἢ γαστρὸς, ἀλλὰ δι᾽ οὔρων μὲν ὑπὸ τῶν λεπτυνόντων σφοδρῶς. διὰ γαστρὸς δὲ ὑπὸ τῶν ἑλκτικῶν τε καὶ ἀναστομωτικῶν. ὅσα δὲ κατὰ τὴν ἄνω γαστέρα, δι᾽ ἐμέτων. ὅσα δὲ κατὰ τὴν κάτω, δι᾽ ὑπαγωγῆς. ὅσα δὲ ὑπὸ τῷ δέρματι, διὰ τομῆς, ἢ καύσεως, ἢ φαρμάκων καυστικῶν. οὕτως δ᾽ ἐνίοτε καὶ ὅσα κατά τινα κοιλότητα φυσικὴν ὡς ἐπὶ θώρακος. ἐν δὲ κεφαλαίῳ, τῶν μὲν ὅλῳ τῷ γένει παρὰ φύσιν ἔν τισι μέρεσι περιεχομένων, σκοπὸς τῆς ἰάσεως ἄρσις ἐστίν. εἰ δ᾽ ἀδύνατος γενέσθαι, μετάθεσις. ὅσα δὲ οὐχ ὅλῳ τῷ γένει παρὰ φύσιν, ἀλλὰ τῷ ποσῷ, σκοπὸς τούτων ἡ ἀποκένωσις. ἡ δ᾽ εὕρεσις τῶν ἰασομένων αὐτὰ, μέρος μέντοι κἀξ αὐτῆς λαμβάνεται τῆς διαθέσεως. ἡ πλείστη δὲ ἐκ τῶν πεπονθότων μορίων. Ὅσα δὲ ἐν τῷ τετραχύνθαι παρὰ φύσιν ἔχει, τὴν κατὰ φύσιν αὐτοῖς ἀντεισακτέον λειότητα. κατὰ μὲν οὖν ὀστοῦν ξύοντα, κατὰ δὲ ἀρτηρίαν, ἢ γλῶτταν, ἐκλεαίνοντα δι᾽ ὑγρῶν ἀδήκτων καὶ γλίσχρων. ὅσα δὲ τῷ λεῖα γενέσθαι παρὰ φύσιν ἔχει, τὴν κατὰ φύσιν αὐτοῖς ἀντεισακτέον τραχύτητα, διά τε φαρμάκων ἱκανῶς ῥυπτικῶν, καὶ διὰ βραχείας τρίψεως. ὅσαις δὲ ἐμφράξεις, ἢ στενοχωρίαι νοσήμασιν ἑτέροις ἕπονται, θεραπευτέον ἐκεῖνα πρότερα. δέδεικται δ᾽ ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, ὡς φλεγμοναῖς καὶ σκίρροις καὶ οἰδήμασι καὶ ξηρότησιν ἐνίοτε ἀμέτροις, ἔτι τε μοχθηροῖς σχήμασιν αὐτῶν τῶν περιεχόντων σωμάτων, ἕπεται πολλάκις τὰ εἰρημένα, καθάπερ καὶ ὄγκοις τισὶ τῶν πέριξ σωμάτων. εἰ δὲ καὶ πρὸς ἄλληλα τῶν εἰρημένων ἐπιπλέκοιτό τινα, τὰς ἐνδείξεις ἔχει ποικίλας. ἀρκέσει δ᾽ ἐφ᾽ ἑνὸς, ὡς ἐπὶ παραδείγματος, ποιήσασθαι τὸν λόγον. ἐπὶ πλέον γὰρ ὑπὲρ ἁπάντων ἐν τοῖς θεραπευτικοῖς λέγεται. ὑποκείσθω τοίνυν ἐπὶ ἕ-

νων ἐπιῤῥεῖν τινὶ μέρει πλῆθος αἵματος, ὡς διατείνεσθαι τὰ κατὰ τὸ μόριον ἀγγεῖα, μὴ τὰ μεγάλα μόνον, ἀλλὰ καὶ τὰ σμικρὰ τὰ πρότερον ἐκφεύγοντα τὴν ὄψιν. ἐκ δὲ τοῦ πεπληρῶσθαι φαινόμενα νῦν, ὥσπερ γε ἐπ' ὀφθαλμῶν ὁρᾶται σαφῶς ἐνίοτε διὰ τὴν λευκότητα τοῦ χιτῶνος. εἰκὸς δὲ δήπου, καὶ ἄλλα τῶν μὴ ὁρωμένων ἀγγείων διατετάσθαι μεμεστωμένα, μηδέ πω μηδ' αὐτὰ φαινόμενα διὰ τὴν σμικρότητα, καὶ δὴ κίνδυνος ἐκχυθῆναι τὸ διϊδρούμενον ἐκ τῶν ἀγγείων, εἰς τὰς μεταξὺ χώρας τὰς κενάς, ἢ καὶ παρεκχεῖσθαι μικρὸν ἤδη. τοῦ τοιούτου πάθους ἡ ἴασις. ἕξει μὲν δή που σκοπὸν τὴν κένωσιν, ἢ ἵνα σαφέστερον εἴπωμεν, ἀποκένωσιν. ἐπεὶ δὴ τὸ πάθος ἦν ἐν τῷ πεπληρῶσθαι τὸ μόριον ἀμέτρως, ἀναγκαῖον δή, ἤτοι παλινδρομῆσαν ἐκκενωθῆναι τὸ περιττόν, ἢ δι' αὐτοῦ τοῦ πεπονθότος μορίου. παλινδρομήσει μὲν οὖν, ἢ ὠσθέν, ἢ ἑλχθέν, ἢ παραπεμφθέν, ἢ κατά τινα τούτων, ἢ κατὰ πάντα. δι' αὐτοῦ δὲ τοῦ πεπονθότος ἐκκενωθήσεται, τὸ μέν τι φανερῶς τε καὶ αἰσθητῶς, τὸ δὲ εἰς ἀτμοὺς λεπτυνθέν. εἰ μὲν οὖν εἴη τὸ σύμπαν σῶμα πληθωρικώτερον, οὐ χρὴ διὰ τοῦ πεπονθότος τόπου ἐκκενοῦν. εἰ μὲν γὰρ ἀμυχαῖς καὶ τομαῖς αἰσθητῶς ἐκκενώσομεν ὀδυνήσαντες, ἐπισπασόμεθα πλέον διὰ τὴν ὀδύνην. εἰ δὲ τοῖς θερμαίνουσι διαφορεῖν ἐπιχειρήσομεν, ἕλξομεν διὰ τὴν θερμότητα πλέον εἰς τὸ μέρος ἢ φορήσομεν. εἰ δ' αὖ βουλοίμεθα παλινδρομεῖν ἀναγκάζειν τὴν ἐπιῤῥοήν, οὐκ ἂν δέξαιτο μεστὸν ὑπάρχον τὸ σῶμα. πρὸς ἄμφω τοίνυν ταῦτα χρὴ κενῶσαι τὸ ὅλον, ἢ ἀντισπάσαι γε πάντως εἰς ἄλλα χωρία τὸ ἐπιῤῥέον τῷ πεπονθότι. τοῦτο δὲ ἐργασάμενον ἀπωθεῖσθαι τοῦ μέρους πρότερον, ἢ διαφορεῖν ἐπιχειρεῖν. ἑτοιμοτέρα γὰρ ἡ κένωσις ὅσῳ διὰ μειόνων. ἀρκεσόμεθα δ' ἐκ τοῦ πεπονθότος, εἰ στύφοιμέν τε καὶ ψύχοιμεν. ἀλλὰ καὶ τὰ κενωθέντα πρὸς ἑαυτά, ἀναπληρωσόμενον ἕλξει. δέδεικται γὰρ καὶ τοῦτο διὰ τῶν περὶ τῶν φυσικῶν δυνάμεων λόγων. καὶ δὴ καὶ παραπέμψει τὰ ἀγγεῖα, τονωθέντα τοῖς στύφουσι φαρμάκοις. εἰ μὲν οὖν ἅπαν οὕτω παλινδρομήσει, εὖ ἂν ἔχοι. καταλειφθέντος δέ τινος ἐν τῷ μορίῳ, ἐχρῆν μὲν δήπου τεκμαίρεσθαι τοῦτο γλίσχρον ὑπάρχειν, ἢ παχύ, καὶ διὰ τοῦτ' ἐσφηνῶσθαι δυσλύτως. δύναται δὲ καὶ μὴ τοιοῦτον ὄν, εἰς τὰς μεταξὺ χώρας ἐκκεχύσθαι. τότ' οὖν ἥκειν ἤδη καιρὸς ἐπὶ τὸ κενοῦν αὐτὸ διὰ τοῦ πεπονθότος, ἐπιθέντα τοῖς ὑποκειμένοις ἀποκρουστικὰς τῶν ἐπιῤῥεόντων δυνάμεις. ἐκκενώσεις δὲ μάλιστα, εἰ κατὰ τὰς μεταξὺ χώρας τεκμαίροιο περιέχεσθαί τι, δι' ἀμυχῶν τε ἅμα καὶ διὰ φαρμάκων διαφορητικῶν. ἀλλ' ἐπεὶ τὰ διαφοροῦντα πάντα θερμὰ ταῖς δυνάμεσιν ὑπάρχει, τῆς δ' αὐτῆς ἐστι κράσεως ἔργον τὸ δάκνειν, ὅταν ἀμετρότερον ᾖ θερμά, φυλακτέον ἐν αὐτοῖς τὰ πάνυ θερμά, καὶ μάλιστα ἢν ἐπιπολῆς τὸ πεπονθός. ὀδυνήσεται γὰρ οὐ σμικρῶς, ἂν ἅμα πεπόνθῃ καὶ δάκνηται, ὀδύνη τε πᾶσα προξενεῖ τὰ ῥεύματα. τὸ μετρίως οὖν θερμόν, ἐπὶ τούτων ἀνώδυνον, ἔτι δὲ μᾶλλον ἐὰν ὑγρὸν ὑπάρχῃ. καὶ μέντοι καὶ ἱκανόν ἐστι διαφορῆσαι τὸ ἐπιπολῆς, εἰ καὶ μὴ σφοδρὸν εἴη τὸ διαφορητικὸν φάρμακον. εἰ δὲ τὰ μὲν ἐπιπολῆς ἀπαθῆ παντάπασιν ὑπάρχει, διὰ βάθους δ' εἴη τὸ κενώσεως δεόμενον, ἐπιτεῖναι καὶ αὐξῆσαι δεῖ τοῦ διαφορητικοῦ τὴν θερμασίαν. κινδυνεύσει γὰρ ἐκλυθῆναι, πρὶν εἰς τὸ βάθος ἀφικέσθαι. οὐ μὴν οὐδ' ἀνιάσει τι τὰ ἐπιπολῆς ὧν ψαύσει, διότι μὴ πέπονθεν, ὥστε καὶ νῦν ἐν ταυτὸν ἄμφω συμβαίνει, πρὸς τὴν τῶν θερμοτέρων τε ἅμα καὶ δριμυτέρων φαρμάκων χρῆσιν, τά τ' ἐπιπολῆς ἀνεχόμενα, καὶ τὰ διὰ βάθους δεόμενα. ταύτην μὲν οὖν τὴν ἔνδειξιν ἐκ τοῦ μορίου ἐλάβομεν. Ἑξῆς δὲ σκοπῶμεν εἰ λείπει τι πρὸς τὴν ἴασιν. ἔοικε γὰρ λείπειν, ὃ μικρὰ τῶν πεπονθότων αὐτῶν, ἐν οἷς ἐστι τὸ περιττὸν τοῦ ῥεύματος. ἔνια μὲν ἀραιὰ καὶ χαῦνα, καὶ μαλακὰ τὴν φύσιν ἐστίν, ἔνια δὲ πυκνὰ καὶ πεπιλημένα καὶ σκληρά. τὰ μὲν οὖν πρότερα, ῥᾳδίως ἐκκενοῦται. τὰ δ' ἕτερα, δριμυτέρων δεῖται τῶν κενωσόντων αὐτά, καὶ προσέτι λεπτομερεστέρων. ἂν δὲ καὶ κατὰ συχνοῦ κεῖνται βάθους, ἔτι δὴ καὶ μᾶλλον. αὕτη σοι πάλιν ἔνδειξις ἑτέρα παρὰ τῆς οὐσίας τοῦ πεπονθότος. ἄλλη δ' ἀπὸ τῆς διαπλάσεως ἅμα καὶ θέσεως. ὑποκείσθω γὰρ εἰ οὕτως ἔτυχεν, ἐν ἥπατι τὴν προειρημένην εἶναι διάθεσιν, ἐν τοῖς στενοῖς πέρασι τῶν ἀγγείων ἐσφηνωμένων ὑγρῶν, ἤτοι γλίσχρων, ἢ παχέων, ἢ πολλῶν. ἆρ' οὐχ ἕτοιμον ἐλίγμασί τε καὶ πόμασι λεπτυντικοῖς. τὸ πάχος μὲν πρῶτον ἅμα τῇ γλισχρότητι λεπτομερὲς ἐργάζεσθαι. δεύτερον δὲ μὴ διὰ τῶν ἀοράτων καὶ στενῶν μόνον, ἀλλὰ καὶ δι' εὐρέων ὁδῶν ἐκκενῶσαι τὸ λυποῦν. εὐρύτεραι γάρ εἰσι κατὰ τὸ ἧπαρ αἱ φλέβες, ὥσπερ καὶ πλεῖσται. τελευτῶσι δ' αἱ μὲν ἐν τοῖς κυρτοῖς εἰς τὴν κοίλην, αἱ δ' ἐν τοῖς σιμοῖς, ἐπὶ πύλας, ὥστ' ἤδη σοι ῥᾷστον, ἐν ὁποτέραις ἂν ὦσιν αἱ σφηνώσεις, ἐκκενοῦν ἑτοίμως αὐτάς, ἕλκοντα μὲν εἰς τὴν γαστέρα διὰ τῶν ἑλκτικῶν ὅσα τῶν ὑγρῶν ἐσφήνωται, κατὰ τὰς ἐν τοῖς σιμοῖς φλέβας. ἐπ' οὖρα δὲ προτρέποντα διὰ τῆς κοίλης φλεβός, ὅσα κατὰ τὰς ταύτης φλέβας, ἑτέρα δὲ ἐπὶ ταῖς προειρημέναις, ἔνδειξις ἀφ' ἥπατος, ὡς ἀρχῆς φλεβῶν. ἐπεὶ γὰρ οὐχ ἑαυτὸ μόνον, ὥσπερ τὰ πλεῖστα μόρια τοῦ ζώου διοικεῖν πέφυκεν, ἀλλ' ἐπιπέμπει δύναμιν ταῖς φλεψί, κίνδυνός ἐστιν ἐὰν κωλύσωμεν αὐτοῦ τὸν τόνον ἐπιβροχαῖς τε καὶ καταπλάσμασι χαλαστικοῖς, αὐτό τε πρῶτον ἀτονῆσαι περὶ τὴν ἐνέργειαν, ἀτόνους τε συμπάσας ἐργάσασθαι τὰς φλέβας, ὅθεν ἐπιμιγνύναι χρὴ τῶν στυφόντων τι φαρμάκων ἐν ταῖς θεραπείαις αὐτοῦ. ἀλλ' ἐπειδὴ διὰ βάθους ἐστὶ συχνοῦ, κίνδυνος ἐκλυθῆναι τὴν δύναμιν τοῦ στύφοντος, ἐὰν μὴ ποδηγῆται πρός τινος ἑτέρας οὐσίας λεπτομεροῦς, οἵαπερ ἡ τῶν ἀρωμάτων ἐστί. κάλλιον δὲ εἰ αὐτὸ τὸ στῦφον φάρμακον εὐθὺς εἴη καὶ ἄρωμα. συμφύτους γὰρ ἔχον δύο ποιότητάς τε καὶ δυνάμεις, ἰσχυρότερον ἐνεργήσει. καὶ τοίνυν ἐκκενούσθω μὲν καὶ ἤδη τὸ παρὰ φύσιν εἰς τὸ μόριον ἐγχυθέν. ἐχέτω δὲ τὴν συμμετρίαν τῶν χυμῶν τὴν κατὰ φύσιν. ἐπισκεπτέον οὖν ἡμῖν ἐν τούτῳ, μή τι πρὸς τῆς τοῦ ῥεύματος ποιότητος ἠλλοιώθη τὴν κρᾶσιν. εἰ μὲν φλεγματικώτερον ἦν, ψυχθέν, εἰ δὲ χολωδέστερον, θερμανθέν, ἵνα καὶ ταύτην αὐτοῦ τὴν δυσκρασίαν ἰασάμενοι, τελέως ὑγιὲς ἀποφαίνωμεν. ἰασόμεθα δὲ τὴν ἐναντίαν ἀντεισάγοντες ποιότητα, καθάπερ ἐν ταῖς τῶν δυσκρασιῶν εἴρηται θεραπείαις εἰς ὅσον ἕκαστον ἐγένετο θερμότερον, ψύχοντες εἰς τοσοῦτον, ὥστ' ἐνταῦθα πάλιν ἀναγκαῖον ἐπίστασθαι τὴν κατὰ φύσιν εὐκρασίαν αὐτοῦ. πῶς γὰρ ἂν εἰδείημεν; ὁπόσῳ τοῦ κατὰ φύσιν ἐστὶ ψυχρότερον, ἢ θερμότερον, ἢ πότε ψύχοντες παυσόμεθα, μὴ γινώσκοντες τὸ μέτρον τῆς κατὰ φύσιν θερμότητος. οὕτω δὲ καὶ εἰ τὸ ψυχρότερον γενόμενον θερμαίνομεν, μὴ γινώσκοντες τὸ μέτρον αὐτῆς τῆς κατὰ φύσιν ψυχρότητος, οὐχ οἷόν τε ἡμῖν ἔτ' εὐπορῆσαι τοῦ θερμαίνοντος οἰκείως ἔτι παύσασθαι θερμαίνοντας. Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, μεταβαίνειν ἤδη καιρὸς ἐπὶ τὰ κατὰ τὸν ἀριθμόν, ἃ

νόσοι κατὰ τὸν ἀριθμόν

παρὰ φύσιν ἔχοντα. διττῆς δὲ οὔσης αὐτῶν τῆς διαφορᾶς, οἷς μὲν ἐλλιπές τι μόριον, ἐργάζεσθαι τοῦτο σκοπὸς ὑπηρετοῦντας δηλονότι τῇ φύσει, καθ' ὃν ὀλίγον ἔμπροσθεν εἴρηται τρόπον. οἷς δ' αὖ περιττεύει, τοῦτ' ἐκκόπτειν αὐτὸ, ἤτοι διὰ σμίλης, ἢ διὰ πυρὸς, ἢ διὰ φαρμάκου καυστικοῦ. ταυτὶ μὲν οὖν ἅπαντα, σχεδὸν δυνατόν ἐστιν ἰάσασθαι, γεννῆσαι δ' οὐχ ἅπαντα δυνατὸν, ὡς ἐν τῷ περὶ σπέρματος ἀποδέδεικται λόγῳ. ἔνια δὲ καὶ αὐτὰ μὴ δυνατὸν μὲν γεννῆσαι, ποιῆσαι γοῦν ἀντ' αὐτῶν ἕτερόν τι δυνατόν, ὡς ἐπὶ τοῦ ὀστοῦ τελέως ἐξαιρεθέντος, οὐσίαν ἑτέραν ἐν τῇ κατ' αὐτὸ χώρᾳ διαφέρουσαν ὀστοῦ τε καὶ σαρκός. ἔστι γὰρ ἡ γινομένη κατὰ τὴν χώραν αὐτοῦ, καθάπερ τις σὰρξ πωρώδης, ἢ πῶρος σαρκοειδὴς, καὶ τοῦ χρόνου δὲ προϊόντος, ἐπὶ τὸ πωρωδέστερον μεθίσταται, κατ' ἀρχὰς σαρκοειδὴς μᾶλλον οὖσα. καθότι δ' αὖ μόριον ἀπολλύμενον, οὔτε τὴν αὐτὴν οὐσίαν κατ' εἶδος, οὔθ' ὁμοίαν ἐργάζεσθαι δυνάμεθα, τρίτος ἡμῖν σκοπὸς ἐξευρεῖν τινὰ κόσμον, ὡς ἐπὶ κολοβωμάτων.

νόσοι κατὰ τὸ πηλίκον.

Ἐπικοινωνεῖ δὲ δηλονότι τὸ γένος ὅλον τοῦτο τῷ παρὰ τὸ πηλίκον. ὅσον γὰρ αὐτοῦ περὶ τὸ κατὰ φύσιν ἐστὶν, ἐκείνῳ πλησιάζει. τὸ δ' ἐν τοῖς τῷ γένει παρὰ φύσιν, ἀποκεχώρισται μόνον, ἐφ' οὗ πρῶτος μὲν σκοπὸς ἡ ἀφαίρεσις. εἰ δ' ἀδύνατος οὗτος, ἡ μετάθεσις δεύτερος, ὡς ἐπὶ τῶν ὑποχυμάτων. ὅσα δ' οὐχ ὅλοις μορίοις, ἀλλ' ἐν μέρεσι μορίων, ἐλλείπει τε καὶ ὑπερβάλλει τοῦ κατὰ φύσιν, ἀνάθρεψις μὲν ἡ γένεσις ἐπὶ τῶν ἐλλειπόντων, ἀφαίρεσις δὲ ἢ καθαίρεσις, ἐπὶ τῶν ὑπερβαλλόντων, ὅθεν οὔτε σκοπὸς ἐπ' αὐτῶν ἕτερος, οὔτ' ἰδέα φαρμάκων ἑτέρα κατὰ γένος.

νόσοι κατὰ θέσιν.

Ἀλλ' ἐπὶ τὸ λοιπὸν ἔτι γε ἰτέον τῶν ὑγιεινῶν αἰτίων, ὅσον ἐπανορθωτικόν ἐστι τῶν παρὰ τὴν θέσιν ἐσφαλμένων σωμάτων, οἷον ἐξαρθρήματα, καὶ ἔντερον ἐν ὀσχέῳ. γίνεται δὲ τὸ μὲν ἐκ βιαίας τάσεως, ἢ ὤσεως. τὸ δὲ ἐξ ἀνευρύσεως ἢ ῥήξεως τοῦ περιέχοντος, ὥστε καὶ ἡ ἴασις τῶν μὲν ἐξ ἀντιτάσεώς τε καὶ τῆς εἰς τοὐναντίον, ἐπεὶ ἤλλαξεν, ὤσεως, τῶν δὲ ἐκ τοῦ †στεγανὸν ἐργάσασθαι, τὸ περιέχον. ἐξ ὧν δ' αὖ τις μεθόδων τὰ κατὰ μέρος ἐξευρίσκει, διὰ τῆς θεραπευτικῆς πραγματείας δεδήλωται.

περὶ προφυλακτικῶν.

Ἑξῆς δ' ἂν εἴη λέγειν ὅσα κατὰ τὸν ἔμπροσθεν λόγον ἀνεβαλλόμεθα. καλοῦσι δὲ αὐτὰ προφυλακτικά. τριττὴ δ' ἐστὶ καὶ τούτων ἥ γε κατὰ γένος διαφορά. πρώτη μὲν ὑγιαινόντων ἀμέμπτως τῶν ἀνθρώπων, δευτέρα δὲ ἡ μεμπτῶς, ἡ τρίτη δὲ νοσούντων. τὸ μὲν οὖν πρῶτον γένος ἐκ τῆς ὑγιεινῆς ἐστὶ πραγματείας, διττὸν ὑπάρχον, ὡς ἔμπροσθεν εἴρηται. τὸ δεύτερον δὲ ἐκ τῆς προφυλακτικῆς, τὸ δὲ τρίτον, ἐκ τῆς θεραπευτικῆς.

Humores quales esse debeant.

ἐν χυμοῖς δὲ μάλιστα τὴν σύστασιν ἔχει σύμπαν τοῦτο τὸ γένος, οὓς οὔτε γλίσχρους εἶναι προσήκει, οὔτε παχεῖς, οὔτε πολλοὺς, οὔτ' ἐπὶ πλέον θερμοὺς ἢ ψυχροὺς, οὔτε δακνώδεις, οὔτε σηπεδονώδεις, οὔτε δηλητηρίους. αὐξηθέντες γὰρ, αἴτιοι καθίστανται νοσημάτων. αὐξάνονται δὲ ποτὲ μὲν ὑπὸ τῆς αὐτῆς αἰτίας, ἥπερ αὐτοὺς ἐγέννησε τὸ πρῶτον. ἔστι δὲ ὅτε συναλλοιοῦντες ἑαυτοῖς τοὺς κατὰ τὸ σῶμα χυμούς. σκοπὸς δ' ἐστὶ καὶ τούτων ὁ τῆς ἰάσεως διττὸς, ἀλλοίωσίς τε καὶ κένωσις. ἀλλοιοῦνται μὲν οὖν ἤτοι πεττόμενοι πρὸς αὐτοῦ τοῦ σώματος, ἢ ὑπό τινων φαρμακωδῶν δυνάμεων, ἐν αἷς εἰσὶ καὶ αἱ θεραπεύουσαι τοὺς ἰοὺς τῶν ἰοβόλων ὀνομαζομένων ζώων, ἔτι τε τὰ δηλητήρια φάρμακα μεταβάλλουσαι. κενοῦνται δὲ ὑπὸ τῶν θερμῶν ἱκανῶς φαρμάκων, καὶ καθάρσεων, καὶ κλυστήρων, καὶ ἱδρώτων, καὶ ἐμέτων. αὗται μὲν αὐτῶν αἱ κοιναὶ κενώσεις. ἴδιαι δὲ ἐκ τῶν τόπων ἐν οἷς ἀθροισθῶσι λαμβάνονται, καθάπερ ἐν τοῖς ὑγιεινοῖς δεδήλωται, κατὰ τὸ τρίτον καὶ τέταρτον μάλιστα περί τε κόπων ἡμῶν διεξιόντων ὅσαι τε ἄλλαι παράκεινται τοῖς κόποις διαθέσεις. ἐκκενοῦνται γὰρ ἑτοιμότερον, οἱ μὲν ἐν ταῖς πρώταις φλεψὶ, διὰ γαστρός. οἱ δ' ἐν ταῖς μεθ' ἧπαρ, δι' οὔρων. οἱ δὲ καθ' ὅλην τὴν ἕξιν, δι' ἱδρώτων. ὥσπερ γε καὶ οἱ κατὰ τὴν κεφαλὴν, ἤτοι δι' ὑπερῴας, ἢ διὰ ῥινῶν, ἢ δι' ἀμφοτέρων. οἱ δ' ἐν ταῖς τοῦ θώρακος εὐρυχωρίαις, διὰ φάρυγγος ἅμα καὶ βηχός. οἱ δὲ κατὰ νεφροὺς ἢ κύστιν, δι' οὔρων. ἀντίσπασις δὲ κοινὴ πρὸς ἁπάντων τῶν μορίων, ἔνδειξις ἐπὶ τὰ πορρωτάτω, παροχέτευσις δὲ ἐπὶ τὰ πλησίον. ἅπαντα δ' οὖν ὅσα θεραπεύει τὰς τοιαύτας διαθέσεις, ὑγιεινὰ προσαγορεύομεν αἴτια, καθάπερ νοσερὰ, τὰ προσαύξοντα. καὶ οὐδέτερα, τὰ μήτε βλάπτοντα, μήτε ὠφελοῦντα. δύναιτο δ' ἄν τις αὐτὰ, μήτ' αἴτια προσαγορεύειν ὅλως, οἷοίπερ εἰσὶν οἱ πολλοὶ τῶν σοφιστῶν, ἀμελοῦντες μὲν αὐτῶν τῶν πραγμάτων ἐξευρίσκειν τὴν διαφοράν. ἐν δὲ τοῖς ὀνόμασι τὸ πλεῖστον τοῦ χρόνου διατρίβοντες. εἴρηται δ' ἐπὶ πλέον ἐν ἑτέροις πρὸς αὐτούς. τὸ μὲν δὴ προφυλακτικὸν τῆς τέχνης τοιόνδε.

ἀναληπτικὰ καὶ ἀναθρεπτικά

Τὸ δ' ἀναληπτικόν τε καὶ ἀναθρεπτικὸν, ἐπὶ τῶν ἀνακομιζομένων ἐκ νόσου καὶ γερόντων. ὁποία δέ τις ἐστὶ καὶ ἡ τούτων διάθεσις, ὑπό τινων τε μάλιστα αἰτίων, εἰς τὸ κατὰ φύσιν ἐπανέρχεται, τελεώτατα μὲν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου δεδήλωται. διὰ κεφαλαίων δ' αὖ ῥηθείη καὶ νῦν. ἡ μὲν οὖν διάθεσις ἐστὶ τοιάδε. χρηστὸν μὲν, ἀλλ' ὀλίγον τὸ αἷμα, καὶ σὺν αὐτῷ τό τε ζωτικὸν ὀνομαζόμενον πνεῦμα, καὶ τὸ ψυχικόν. αὐτὰ δὲ τὰ στερεὰ μόρια, ξηρότερα, καὶ διὰ τοῦτο καὶ αἱ δυνάμεις αὐτῶν ἀρρωστότεραι, καὶ διὰ ταύτας ὅλον τὸ σῶμα ψυχρότερον. αἴτια δ' ὑγιεινὰ, τὰ τὴν εἰρημένην ἐπανορθούμενα διάθεσιν, ἐνὶ μὲν κεφαλαίῳ περιλαβεῖν ὅσα ταχεῖαν μὲν καὶ ἀσφαλῆ θρέψιν ἐργάζεται. κατὰ μέρος δὲ συμμέτροις κινήσεσι, καὶ σιτίοις καὶ πόμασι καὶ ὕπνοις.

ὕλη κινήσεων

εἰσὶ δὲ ὗλαι τῶν μὲν κινήσεων αἱ αἰῶραι, περίπατοι καὶ τρίψεις, καὶ λουτρά. καὶ εἰ πολὺ βελτίους ἐπὶ τούτοις γίνοιντο, καὶ τῶν συνήθων ἔργων ἐπ' ὀλίγον ἁπτέσθωσαν. τῶν δὲ σιτίων κατ' ἀρχὰς μὲν ὑγραὶ καὶ εὔπεπτοι καὶ μὴ ψυχραὶ, προϊόντων δὲ, καὶ τροφιμώτεραι. πόμα δὲ ἐπιτήδειον, οἶνος ἡλικίᾳ μὲν σύμμετρος, ἰδέᾳ δὲ καθαρός τε καὶ διαυγὴς, ἤτοι λευκὸς ἢ ὑπόξανθος, ὀσμῇ ἡδὺς, μετρίως ἐν τῷ γεύεσθαι, μήθ' ὑδατώδης τὸ πᾶν, μήτε τινὰ σφοδρὰν ἐνδεικνύμενος ποιότητα, μήτ' οὖν γλυκύτητα, μήτε δριμύτητα, μήτε πικρότητα. λέγεται δ' ὡς ἀρτίως εἶπον, ἐν τοῖς θεραπευτικοῖς ἐπὶ πλεῖστον ὑπὲρ αὐτῶν. νυνὶ γὰρ οὐ διελθεῖν ἅπαντα τὰ κατὰ μέρος ἡμῖν πρόκειται. μόνον δ' ἀναμνῆσαι τῶν κεφαλαίων, ὧν ἐν ἑτέραις πραγματείαις ἐποιησάμεθα τὴν διέξοδον, ἃς προσγράψας ὁπόσαι τέ εἰσι καὶ ποῖαι, καταπαύσω τὸν λόγον ἐνταῦθα.

κατάλογος βιβλίων τοῦ Γαληνοῦ

κατάλογος εἴρηται μὲν οὖν καὶ πρόσθεν ὡς ἔστιν ἐν ἄλλο βιβλίον, ἐν ᾧ περὶ συστάσεως τῆς ἰατρικῆς τέχνης διερχόμεθα. προηγεῖται δ' αὐτοῦ τὰ πρότερα δύο περὶ τεχνῶν συστάσεως. ἀλλὰ ταῦτα μὲν ἅμα τῷ νῦν περαιωθέντι χωρὶς τῆς κατὰ διέξοδόν ἐστι πραγματειῶν. ἐκεῖναι δὲ τήνδε τὴν τάξιν ἔχουσι. περὶ μὲν οὖν τῶν καθ' Ἱπποκράτην στοιχείων, ἓν βιβλίον ἐστὶν, ἑξῆς δ' αὐτῷ τρία περὶ κράσεων. ὧν τὰ μὲν δύο, περὶ τῶν ἐν τοῖς ζώοις ἐστὶ κράσεων, τὸ τρίτον δὲ, ὑπὲρ τῶν ἐν τοῖς φαρμάκοις. διὸ καὶ τὴν περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως πραγματείαν, οὐχ οἷόν τε κατανοῆσαι καλῶς, ἄνευ τοῦ τὸ τρίτον ἀκριβῶς ἀναγνῶναι περὶ κράσεων. ἔστι δὲ καὶ ἄλλο βιβλίον μικρὸν ἑπόμενον τοῖς πρώτοις

πρώτοις δύο περὶ κράσεων, τὸ περὶ τῆς ἀνωμάλου δυσκρασίας ἐπιγραφόμενον, ὁμοίως δ' αὐτῷ καὶ ἄλλα δύο μικρά. τὸ μὲν περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος, τὸ δὲ περὶ εὐεξίας. τρίβιβλος δ' ἄλλη πραγματεία ἡ περὶ φυσικῶν δυνάμεών ἐστιν. ἣν εἴτε μετὰ δύο περὶ κράσεων, εἴτε μετὰ τὸ περὶ στοιχείων ἀναγινώσκειν τις ἐθέλει, δύναται ἀνεπιδεῶς. μετὰ δὲ ταῦτα ἐν πλείοσι πραγματείαις ὑπὲρ τῶν ψυχικῶν ἐνεργειῶν διέξειμεν. ἐπεὶ δὲ εἰς τὰς ἀποδείξεις αὐτῶν οὐ σμικρὸν ὄφελός ἐστι τὰ διὰ τῶν ἀνατομῶν φαινόμενα, πρώταις ἐκείναις ἐγγυμνάσασθαι προσήκει. ἔστι δὲ χρησιμωτάτη μετ' αὐτῶν, ἡ τῶν ἀνατομικῶν ἐγχειρήσεων. ἄλλαι δέ τινες ἐπ' αὐταῖς πλείους, ἐν δυοῖν μὲν περὶ ἀνατομικῆς διαφωνίας, ἐν ἑνὶ δὲ περὶ τῆς τῶν τεθνεώτων ἀνατομῆς, οἷς ἐφεξῆς δύο περὶ τῆς ἐπὶ τῶν ζώντων. ἐν ἄλλοις δέ τισι κατὰ μέρος τοῖς εἰσαγομένοις ἐποιησάμεθα τὰ περὶ ὀστῶν, καὶ ἡ τῶν μυῶν ἀνατομὴ, καὶ ἡ τῶν νεύρων, καὶ ἡ τῶν ἀρτηριῶν καὶ φλεβῶν. καί τινα τοιαῦτα ἕτερα τῶν τοιούτων ἐστὶ, καὶ εἰ κατὰ φύσιν τὸ ἐν ἀρτηρίαις αἷμα. τὰ δὲ τὰς ἐνεργείας αὐτῶν ἀποδεικνύντα, δύο μέν εἰσι περὶ μυῶν κινήσεως, τρία δὲ περὶ θώρακος καὶ πνεύμονος κινήσεως, οἷς ἐφεξῆς ὑπὲρ τῶν τῆς ἀναπνοῆς αἰτίων, οἷς ἕπεται τὰ περὶ φωνῆς. ὑπὲρ ἡγεμονικοῦ δὲ καὶ τῶν ἄλλων ἁπάντων, ὅσα περὶ φυσικῶν ἢ ψυχικῶν ἐνεργειῶν ζητεῖται, διὰ πολυβίβλου πραγματείας ἐδηλώσαμεν, ἣν περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπιγράφομεν. ἐκ τούτου τοῦ γένους ἐστὶ τῆς θεωρίας, καὶ τὰ περὶ σπέρματος ἰδίᾳ γεγραμμένα, καὶ προσέτι τῆς Ἱπποκράτους ἀνατομῆς, οἷς ἅπασιν ἡ περὶ χρείας μορίων ἕπεται πραγματεία. εἰς δὲ τὰς διαγνώσεις τῶν νοσημάτων, ἥ τε περὶ πεπονθότων τόπων, καὶ ἡ περὶ σφυγμῶν πραγματεία χρήσιμος ὑπάρχει, καθ' ἣν καὶ τὰς προγνώσεις διδάσκομεν. ἡγεῖται δὲ τῆς περὶ σφυγμῶν δύο βιβλία, τὸ περὶ χρείας ἀναπνοῆς, καὶ τὸ περὶ χρείας σφυγμῶν. αὕτη δὲ ἡ περὶ τῶν σφυγμῶν, εἰς τέτταρα μέρη νενέμηται. πρῶτον μὲν, τὸ τῆς διαφορᾶς αὐτῶν, δεύτερον δὲ τὸ τῆς διαγνώσεως, καὶ τρίτον, τὸ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, καὶ τέταρτον, περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως. ἐκ τούτου τοῦ γένους ἐστὶ, καὶ τὸ τοῖς εἰσαγομένοις περὶ σφυγμῶν γεγραμμένον. ἐννοῶ δὲ καὶ ἄλλο τι ποιῆσαι βιβλίον ἓν, οἷον ἐπιτομὴν ἁπάντων, ὅπερ ἤτοι τέχνην περὶ σφυγμῶν, ἢ ἐπιτομὴν ἐπιγράψω. χρήσιμα δὲ εἰς τὴν τοιαύτην θεωρίαν ἐστὶ καὶ δι' ὧν ἐξηγοῦμαί τε ἅμα καὶ κρίνω τὸ περὶ σφυγμῶν Ἀρχιγένους βιβλίον. εἰς δὲ τὰς προγνώσεις, χρησιμωτάτη μάλιστά ἐστιν ἡ περὶ κρίσεων πραγματεία. προηγεῖται δ' αὐτῆς ἡ περὶ τῶν κρισίμων. ἀλλὰ καὶ ἡ περὶ δυσπνοίας πρὸς διάγνωσίν τε τῆς παρούσης διαθέσεως καὶ πρόγνωσιν τῶν ἐσομένων ἀγαθῶν ἢ κακῶν περὶ τὸν κάμνοντα, χρήσιμος ὑπάρχει. ταῦτά τε οὖν ἅπαντα, καὶ σὺν αὐτοῖς ἔνια μονόβιβλα ἐστὶ γινώσκεσθαι χρήσιμα, καθάπερ τὸ περὶ τῶν προκαταρκτικῶν αἰτίων, καὶ τὸ περὶ τῆς ἰατρικῆς ἐμπειρίας, καὶ τὸ περὶ τῆς λεπτυνούσης διαίτης, ἔτι τε τὸ περὶ τῆς φλεβοτομίας πρὸς Ἐρασίστρατον, καὶ τὸ περὶ τῶν παρὰ φύσιν ὄγκων. ὡσαύτως δὲ καὶ τὸ περὶ πλήθους, ἕτερά τε τινὰ τοιαῦτα. πάντων δὲ ἀναγκαιότερα πρὸς τὴν θεραπευτικὴν μέθοδόν ἐστιν, τό τε περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, καὶ τὸ περὶ τῆς τῶν συμπτωμάτων, καὶ τρίτον ἐπ' αὐτοῖς, ἐν ᾧ τὰς αἰτίας τῶν νόσων διέξειμεν, ἐφ' οἷς ἄλλα τρία, ἐν οἷς τὰς ἐπὶ τοῖς συμπτώμασιν αἰτίας ἐξηγούμεθα, τά τε περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεώς ἐστιν, ὧν ἔμπροσθεν ἐμνημόνευσα, καὶ τὰ περὶ συνθέσεως φαρμάκων, εἰς τὰ τῆς θεραπευτικῆς ἐπειδὴ μεθόδου γεγραμμένης ἡμῖν ἰδίᾳ, καὶ τῆς τῶν ὑγιεινῶν πραγματείας. ὅτι δὲ καὶ πρὸ ἁπάντων τούτων ἐγγεγυμνάσθαι χρὴ τῇ περὶ τῆς ἀποδείξεως πραγματείᾳ, τὸν μέλλοντα λογικῶς μεταχειρίζεσθαι τὴν τέχνην, ἐν τῷ περὶ τῆς ἀρίστης αἱρέσεως ἐπιδέδεικται γράμματι. περὶ δὲ τῶν ἄλλων συγγραμμάτων τε καὶ ὑπομνημάτων ὧν ἐγράψαμεν, οὐκ ἀναγκαῖον ἐστὶ διέρχεσθαι νῦν, ὑπὲρ ἁπάντων γε μέλλοντας ἐρεῖν ἑτέρωθι, καθ' ἓν ἴσως ἢ δύο βιβλία τὴν ἐπιγραφὴν ἕξοντα, Γαληνοῦ περὶ τῶν ἰδίων βιβλίων.

ΤΕΛΟΣ.

ἡ διαγνώσις τῶν νοσημάτων

ἡ προγνώσις

Plato

Gal. in fine πεπονθότων τόπων.

[illegible]

ΓΑΛΗΝΟΥ Δ

GALENI LIBRORVM

PARS QVARTA, QVORVM INDEX VIII. PAGINA CONTINETVR.



BASILEAE EX OFFICINA HERVAGIANA. ANNO M. D. XXXVIII.

IOACHIMVS CAMERARIVS AD LECTOREM.

NE LAVDES Tydida meas neue ingere probra,
Omnia nam coràm memorabis nota Pelasgis.

Liceat enim mihi ijs uersibus nunc uti, quibus affatur Diomedem prudentissimus uir Vlysses, ille quidem magna in re, sed tamen & hæc qualiacunq; habenda dicendaq; sint, nobis profecto cordi sunt. Atq; utinam possem ut Diomedes Vlyssem, sic ego hoc nostrũ opus atq; studium uerè meritoq; laudare. In quo si res non esset contraria uotis meis, haud scio an non paterer me deterreri ulla ratione, quin prædicarem de hac ipsa, uel iactãtius, &, ut ille apud Comicum loquitur, plenis faucibus. Nunc ita se res habet, ut quicquid est hoc operæ ac laboris nostri, quemadmodũ in medium proponitur, ita relinquendum sit, probandũ improbandúmue omnibus, in quo quidẽ non quid prestiterit diligentia & industria nostra, sed quanta, ut aliquid prestaretur, cura & assiduitas fuerit, possem sanè, si uellem, uerbosẽ cõmemorare. Nihil enim certe, neq; cogitationũ neq; considerationũ omisimus: nihil coniecturæ, nihil exquisitionis. Verborum omnium respectus à nobis habitus: Sententiarum quasi rationes acceptæ & relatæ animo nostro. Læsis autem & saucijs atq; uitiosis, ea est medicina adhibita, non quæ præsens quidem malũ tolleret, sed aliud non minus uel etiam grandius infligeret, id quod de imperitorum curationibus usu uenire solet, qui sæpenumero non sanitate morbũ, sed alio difficiliori morbo commutant, nonnunquam etiam extinctione uitæ illum tollunt. Sed nos hanc præcipitem uel potius sceleratã uiam ingrediendã non putauimus. Itaq; & à quibusdam non nimis, ut arbitrabamur, difficilis correctionis, tamen abstinuimus manus, atq; interdum demonstrato remedio, sicut nobis quidem uideretur, usum reliquimus arbitrio aliorum. Quod igitur de nobis paulo inflatius commemorare fortasse non malo iure posse uideamur, id est, quod maxima & singulari cũ religione in hac emẽdatione nostra uersati simus, hocq; egerimus ut pauca potius & certa reponeremus, quàm incerta multa supponeremus. Quæ timiditas, uel magis fidelitas studiosis infinita castigatione gratior esse debet, certe multo utilior futura est. Cum autem hanc editionem possem si non alio pacto, at comparatione cum priore in cœlum propemodum efferre, tum uero pulcherrimos & diuinos conatus atq; uoluntatẽ eorum qui nunc hæc cõmoda facultatibus, & laboribus suis comparata afferunt studiosis Medicinę, uel potius philosophiæ, cuius ista scripta præceptis & doctrina referta sunt, debita celebratione ornare, sed mihi in utroq; temperandum. Nec enim uelut eminere hoc opus alterius quasi supplantatione, sed per se uolumus, & eorũ qui hoc nunc proferunt atq; edunt, cum aliæ res innumerabiles præconia laudum faciunt, tum hæc occasio ad illas tanquam concinendas idonea non est. De ipso uero autore scriptorum quid dicam? An ego ausim tentare? ut ille gloria augeatur laudatione nostra, idq; breuiter, non enim certe à nobis liber nunc etiam alius inserendus his libris fuit. Itá ne ego desipiam ut Solis tantum iubar accensa lucernula illustrius me redditurum existimem? Redeo igitur ad rem, & de nostra opera dicam adhuc paucula. Quam profecto fideliter se & attentè atq; cautè gessisse quisquis hæc leges, & facile perspicies & probare debebis, acceptamq; habere hanc timiditatẽ nostram, magis quàm audaciam requirere. In ipsis quibus ἀναμφισβήτως Galeni scriptis quibusdam, notis sumus adiuti Britannicis, ut opinor, præterea nullum extrinsecus auxilium affuit, nisi leuissimum quoddam uersionum, ideo quia ex

 hac

hac ipsa Aldina descriptione illæ essent elaboratæ. In uno autem & altero libello τῶν νό-θων, scriptis adiuti sumus eiusdem argumenti aliorum, nonnullo quidem cum fructu, ut in Dogmatis & Astrologicis. Huius omnino partis quædā ita fuere miserè deprauata, ut si maximè corrigi possent, ille tamen qui corrigeret non alienū scriptum emendasse, sed composuisse suū uideretur: ut exempli gratia libellus de Elenchis & de Qualitatibus, insi-gnes ut calamitates indicem: In quibus & diligentius percensendis & quasi articulatè fin-gendis libenter inseruiuimus publico usui studiosorū, cum elaborari in hac editione cōpe rissemus, quod nos multorū sanè annorū ualetudinis afflictione uexati eo tempore cupi dè faceremus, quantū liceret, quantumq; suppeditaretur ocij, cum ab alijs negotijs tum hoc maiore & magis ex nobis ægrotationum, ut medicorum scripta legeremus & inpri-mis Galeni doctissimi & diligentissimi Asclepiadum & interpretis & imitatoris. Hanc au tem partem seu tomum, in quo accuratius uersaremur, non tam propter eximios curatio num libros, quàm uarietatē quandam scriptorū nobis proposuimus, cuius lectio si nunc ulli ullo in loco melior, expeditior, iucundior uisa fuerit, debet is ob id gratiam habere studio nostro, sin hoc illam non merebitur, non improbare tamen neq; spernere uoluntatem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΟΡΚΟΣ.

Ὄμνυμι Ἀπόλλωνα ἰητρὸν, καὶ ἀσκληπιὸν, καὶ ὑγείαν, καὶ πανάκειαν, καὶ θεοὺς πάντας
τε καὶ πάσας ἵστορας ποιεύμενος ἐπιτελὲς ποιήσειν κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν ὅρ-
κον τόνδε, καὶ ξυγγραφὴν τήνδε. ἡγήσασθαι δὲ τὸν διδάξαντα με τὴν τέχνην ταύτην
ἴσα καὶ γενέτῃσι ἐμοῖσι, καὶ βίου κοινώσασθαι, καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσα-
σθαι, καὶ γένος τὸ ἐξ ἑωυτέου ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄρρεσι, καὶ διδάξειν τὴν τέχνην
ταύτην ἢν χρηΐζωσι ἄνευ μισθοῦ καὶ ξυγγραφῆς. παραγγελίης τε, καὶ ἀκροήσιος, καὶ
τῆς ἁπάσης μαθήσιος μετάδοσιν ποιήσασθαι υἱοῖσί τε ἐμοῖσι καὶ τοῖς ἐμὲ διδάξαντος, καὶ μαθηταῖς
γραμμένοις τε καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ, ἄλλῳ δὲ οὐδενί. διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείῃ
ντων κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν. οὐ δώσω δὲ οὐδενὶ φάρμακον
εἰς θανάσιμον. οὐ δὲ ὑφηγήσομαι συμβουλίην τοιήνδε. ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον δώσω.
: δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν καὶ τέχνην τὴν ἐμήν. οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας. ἐκχωρή-
ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε. εἰς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόν-
τὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης, καὶ φθορίης τῆς τε ἄλλης, καὶ ἀφροδισίων ἔργων. ἐπί τε γυναικείων
των καὶ ἀνδρείων ἐλευθέρων τε καὶ δούλων ἃ δ' ἂν ἐν θεραπείῃ ἢ ἴδω ἢ ἀκούσω ἢ καὶ ἄνευ θεραπείης
κατὰ βίον ἀνθρώπων, ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι, ἄρρητα ἡγεύμενος εἶναι τὰ τοιαῦ-
τα. ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι καὶ μὴ ξυγχέοντι, εἴη ἐπαύρασθαι καὶ
βίου καὶ τέχνης δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποις εἰς τὸν αἰεὶ χρόνον, παρα-
βαίνοντι δὲ καὶ ἐπιορκοῦντι τἀναντία τουτέων.

ΓΑΛΗΝΟΥ ΤΑ ΕΝ ΤΩ ΤΕΤΑΡΤΩ. — GALENI QVAE IN QVARTO.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΛΕΒΟΤΟΜΙΑΣ ΠΡΟΣ ΕΡΑΣΙΣΤΡΑΤΟΝ.

ΑΞΙΟΝ εἶναι μοι δοκεῖ, ζητήσεως οὐ σμικρᾶς, τί δή ποτε καὶ τἄλλα τῆς τέχνης ἱκανὸς ὢν ὁ Ἐρασίστρατος, καὶ τοῖς σμικροτάτοις οὕτως ἐπιμελὴς, ὥς τε καὶ λαχάνων τινῶν καὶ καταπλασμάτων ἑψήσεις γράφειν, ἐφ' ὧν ἤρκεσεν ἂν ἑτέροις πρὸς ὅτι συμφέρει μόνον εἰπόντι, τὸν τρόπον τῆς σκευασίας παραλιπεῖν, ὡς οὐδὲν μέγα καὶ αὐτὸν τινὶ τῶν ἐντυγχανόντων ἐξευρεῖν, ἐν οὕτως ἰσχυρῷ καὶ μεγάλῳ βοηθήματι τῇ φλεβοτομίᾳ, καὶ οὐδενὸς ἧττον τῶν δραστικωτάτων εὐδοκιμοῦντι παρὰ τοῖς πρεσβυτέροις αὐτοῦ, λόγον οὐδένα πεποίηται. χρὴ δὲ μὴ γὰρ οὔτε τοὔνομα τῆς φλεβοτομίας ἔστιν εὑρεῖν ἐν οὐδενὶ συγγράμματι, πλὴν ἅπαξ ἐν τῷ περὶ αἵματος ἀναγωγῆς ἐπιμνησθέντος αὐτοῦ, ἐπὶ τὸ πάρεργον μᾶλλον, ὡς ἄν τῳ δόξειεν, ἢ μετά τινος ἀξιολόγου σπουδῆς. μάθοις δ' ἂν ἐξ αὐτῆς τῆς ῥήσεως ἐχούσης ὧδε. ἀποδέσεις δὲ ποιεῖσθαι περί τε τὰς μασχάλας καὶ τοὺς βουβῶνας, μὴ ὥσπερ ἔνιοι τῶν μιμουμένων τὰς θεραπείας, οὐδὲν παρακολουθοῦντες, αἵματος χάριν ταῦτα ποιοῦνται, ἀλλ' ἀποπιέζονται ἱκανῶς τοῖς δεσμοῖς. ἐν γὰρ τοῖς ἀποδεδεμένοις μέρεσι τοῦ σώματος πλεῖον αἷμα ἀπολαμβάνεται. δηλοῖ δὲ ἥ τε διάτασις τῶν φλεβῶν, καὶ ἡ φλεβοτομία. πολὺ γὰρ πλεῖον ῥεῖ, ὅτε ἀποδεθῇ τὸ φλεβοτομούμενον μέρος τοῦ σώματος. ἐπὶ δὲ τῆς ἀναγωγῆς τοῦ αἵματος πλεῖστον ἀπολαμβάνεται τοῦ αἵματος ἀπὸ τῆς ἀποδέσεως, ἔν τε τοῖς σκέλεσι καὶ τοῖς βραχίοσιν. ἐλάσσονος γὰρ γινομένου τοῦ περὶ τὸν θώρακα καὶ ἐλαφροτέρα ἔσται ἡ ἀναγωγή. τὸ δ' αὐτὸ τοῦτο βούλονται ποιεῖν καὶ οἱ φλεβοτομοῦντες τοὺς ἀνάγοντας τὸ αἷμα. ἀλλὰ πολὺ βέλτιον ὁ Χρύσιππος, οὐ μόνον τὸ παρὸν ἐπιβλέπων, ἀλλὰ καὶ τοῦ ἐπιφερομένου κινδύνου φροντίζων. ἐχόμενος γὰρ τοῦ περὶ τὴν ἀναγωγὴν ὁ ἐπὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος ἐκλυθῆναι, ὁ δὲ τὴν ἐνυπάρχουσαν τροφὴν ἐν τῷ σώματι κατεργασαμένην εἰς τόπους ἀλύτους μεταστησάμενος, καθ' ὃν καιρὸν ὁ τῆς ἐκλύσεως κίνδυνος, ὅταν δὲ † οὕτως παραλλάξῃ ἐξ ἑτοίμου ταῦτ' ἤδη χρώμενος, καὶ μὴ προσφέρειν ἀναγκαζόμενος, ἄκρως περιττὸς τῇ διανοίᾳ καὶ ἄξιος ἐπαίνου, καὶ δι' ὅλου ἀκόλουθον αὐτὸς ἑαυτῷ. ὅτι μικρὰ ταῦτα, καὶ τὰ τυχόντα, καὶ οὔτε τῆς Ἐρασιστράτου περὶ τὴν τέχνην ἀκριβείας, οὔτ' αὐτοῦ τοῦ βοηθήματος τῆς δυνάμεως ἄξια, παντὶ δῆλον. εἰ μὲν μήτε παρ' Ἱπποκράτει, μήτε παρὰ Διοκλεῖ, μήτε παρ' Εὐρυφῶντι, μήθ' ὅλως παρ' ἄλλῳ μηδενὶ τῶν Ἐρασιστράτου πρεσβυτέρων ἦν εὑρεῖν τὸ βοήθημα γεγραμμένον, ἴσως ἄν τις ὑπενόησεν, εἰ μήπω τῆς χρήσεως εὑρημένης, εἰ μὴ παρὰ τοῖς ἐνδόξοις εὐδοκιμούσης, εὐλόγως αὐτὸν παραλιπεῖν. ἐπεὶ δὲ εὕροιντο ἄλλοι, καὶ πολλή τις χρῆσις ἤδη τοῦ βοηθήματος ἦν, οὐκ ἐφ' ἑνὸς μόνου, οὐδὲ τοῦ τυχόντος πάθους, ἀλλ' ἐπὶ τῶν πλείστων τε καὶ ὀξυτάτων, οὕτως γὰρ ὁ Ἱπποκράτης γε αὐτὸς, ὁ τῶν καλῶν τῆς τέχνης ἁπάντων ἡμῖν ἡγεμὼν, οἵ τ' ἄλλοι παλαιοὶ φαίνονται χρώμενοι. τί δή ποτε παθὼν ὁ Ἐρασίστρατος ἠμέλησε τελέως τὸν ὑπὲρ αὐτῆς διεξελθεῖν λόγον; καὶ γὰρ ἀρεσκόμενον ἐχρῆν ἐπισημαίνεσθαι τοῖς πάθεσιν αὐτὸ προσαναγράψαντα, καθάπερ τἄλλα βοηθήματα, καὶ ἀρεσκομένου εἰπεῖν τὴν αἰτίαν, δι' ἣν ἀρέσκεται. ὁ δὲ τοσοῦτον ἀποδεῖ τὸν λόγον ὑπέχειν περὶ τῆς τοῦ βοηθήματος δυνάμεως, ὥστ' οὐδ' ὅτι χρηστὸν ἢ μὴ χρηστὸν ἐμήνυσεν, οὐδ' ὅλως ἐτόλμησεν ἀποφήνασθαι, ἣν ἔχει γνώμην, πλὴν ἅπαξ, ὡς εἶπον, ἐφ' ἑνὸς πάθους, καί τοι κατ' αὐτῶν ὧν σιωπᾷ καταφωρῶν αὐτοῦ τῆς γνώμης τὸ κεφάλαιον. οὐ γὰρ δὴ ἀρεσκόμενον γ' ἂν αὐτῷ παρέλιπεν, οὐδὲ τὰ μὲν σμικρὰ τῶν τοῖς πάθεσιν συμφερόντων, γραφῆς ἄξια δοκεῖν, τὰ δ' οὕτω μεγάλα, δύνασθαι τινὰ, καὶ χωρὶς τοῦ παρ' ἐκείνου μαθεῖν, αὐτὸν ἐξευρεῖν. ἡ δ' αἰτία δι' ἣν οὐκ ἐχρῆτο φλεβοτομίᾳ τὸ μὲν ἀληθέστατον φανεῖται τάχ' ἄν τῳ δόξειε μαντείας δεῖσθαι. τί γὰρ ἄν τις εἰδείη πῶς Ἐρασίστρατος ἐγίνωσκεν ὑπὲρ ὧν αὐτὸς οὐδὲν ἐμνημόνευσε διεξοδικῶς; ὅμως δ' οὖν ἐτόλμησαν τινὲς ἀπομαντεύσασθαι τῆς γνώμης αὐτοῦ, κατάφωροι δ' εἰσὶν ἁμαρτάνοντες οὐχ ἥκιστα ἐξ ὧν πρὸς ἀλλήλους διαφέρονται. δοκεῖ γὰρ αὐτῶν οὐδενὶ τὰ αὐτὰ, καὶ τὸ πάντων δεινότατον, ὅτι μηδ' αὐτοῖς τοῖς συμφοιτηταῖς μὲν τοῦ Ἐρασιστράτου, μαθηταῖς δὲ Χρυσίππου τοῦ Κνιδίου, οἵπερ δὴ πρῶτοι τὸ δόγμα τοῦτ' ἦν μὴ χρῆσθαι φλεβοτομίᾳ, οὐδὲ γὰρ ἐκείνοις ὁμολογεῖται περὶ τῆς Χρυσίππου γνώμης οὐδέν. ἀλλὰ τὰ μὲν ὑπό τε Ἀπολλοφάνους καὶ Στράτωνος εἰρημένα καταγέλαστα. καὶ γὰρ τὸ σχάσαι τὴν φλέβα δύσκολον εἶναι φασὶν, καὶ τὸ διαγνῶναι, καὶ τὸ διαιρῆσαι τὴν ἀρτηρίαν αὐτήν, μετὰ δ' ἐν τούτῳ κακὸν ἀποβαίνει εἰ ἀντὶ φλεβὸς ἀρτηρίαν διαιρεῖσθαι συμβαίνει. καὶ ὅτι δείσας τις ἔθανεν, ὁ μὲν καὶ πρὸ τοῦ τμηθῆναι τὸ ἀγγεῖον, ὁ δὲ καὶ τμηθεὶς οὐκ ἀνεκομίσθη. καὶ ὅτι αἱμορραγήσαντες ἀνεπισχέτως. τὰ δ' ὑφ' ἑτέρων λεγόμενα, τῶν μὲν, ὅτι τοῦ μέτρου τῆς κενώσεως ἐστοχάσθαι χαλεπὸν, ὥς τε ἀναγκαῖον ἢ ἐνδεῶς κενώσαντι, μηδὲν εἶναι πλέον, ἢ τὸ σύμμετρον ὑπερβαλόντι, μεγίστην ἀκολουθῆσαι βλάβην. τί γὰρ ἂν ἀποδέοι φασὶ σφαγῆς, ἄμετρος φλεβοτομία; τῶν δὲ ὅτι παρεμπτώσεις τοῦ πνεύματος ἐκ τῶν ἀρτηριῶν εἰς τὰς φλέβας γένοιτ' ἄν, ἀκολουθήσει γὰρ ἐξ ἀνάγκης ἐπὶ τὰς †συναστομώσεις τοῦ αἵματος κενουμένου, τὸ πνεῦμα. τῶν δ' ὅτι τοῦ πάθους τῆς φλεγμονῆς ἐν ἀρτηρίαις συνισταμένου, περιττὸν ἐκκενοῦν τὰς φλέβας. τὰ δὲ τοιαῦτα, κἂν εἴ τινι ἔδοξεν εἶναι πιθανὰ, κατά γε τὴν ἀλήθειαν αὐτὴν οὔτε πιθανὸν οὐδὲν ἔχει, καὶ ψευδῆ φανερῶς ἐστί. πολλῷ γὰρ ἂν ἦσαν πιθανώτεροι ταῦτα λέγοντες, ἅπερ ἑτέροις τισὶν, ἐκ τῆς τῶν χυμῶν φύσεως ὁρμωμένοις, εἴρηται. καὶ τάχ' ἂν ἴσως καὶ δέοιτό τις πρὸς ἐκείνους λόγου πλείονος, ἀλλ' οὐ νῦν καιρός. εἰς μακρόν τε γὰρ οὕτω λόγου μῆκος ἐκπεσεῖν ἀνάγκη. καὶ ἄλλως οὐδὲν κατεπείγει τὰ μήθ' ὑπ' Ἐρασιστράτου, μήθ' ὑπ' ἄλλου τινὸς τῶν Χρυσίππου μαθητῶν εἰρημένα νῦν ἐπιχειρεῖν ἐξελέγχειν.

† τούτους

† ἀν

Ἄριστα οὖν μοι δοκῶ διαλέξεσθαι τὸν λόγον, εἰ τἆλλα παραλιπὼν ἀπ᾽ αὐτῶν ἀρξαίμην τῶν Ἐρασιστράτῳ δοκούντων. εἰρήσεται δ᾽ ὡς ἐνὶ μάλιστα διὰ βραχυτάτων. ἀρέσκει δὲ αὐτῷ πνεύματος μὲν ἀγγεῖον εἶναι τὴν ἀρτηρίαν, αἵματος δὲ τὴν φλέβα. σχιζόμενα δ᾽ ἀεὶ τὰ μείζω τῶν ἀγγείων εἰς ἐλάττονα μὲν τὸ μέγεθος, ἀριθμὸν δὲ πλείω, καὶ πάντῃ τοῦ σώματος ἐνεχθέντα, μηδένα γὰρ εἶναι τόπον, ἔνθα μὴ πέρας ἀγγείου κείμενον ὑπάρχει, εἰς οὕτω σμικρὰ πέρατα τελευτᾶν, ὥστε τῇ μύσει τῶν ἐσχάτων στομάτων κρατούμενον ἐντὸς αὐτῶν ἴσχεσθαι τὸ αἷμα. καὶ διὰ τοῦτο καίτοι παρακειμένων ἀλλήλοις τοῦ στόματος τοῦ τε τῆς φλεβὸς καὶ τῆς ἀρτηρίας ἐν τοῖς ἰδίοις ὅροις μένειν τὸ αἷμα μηδαμόθι τοῖς τοῦ πνεύματος ἐπεμβαῖνον ἀγγείοις. μέχρι μὲν δὴ τοῦδε νόμῳ φύσεως διοικεῖσθαι τὸ ζῶον. ἐπειδὰν δέ τις αἰτία βίαιος ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας τὸ αἷμα μεταχθῆναι αὐτὸ, νοσεῖν ἀναγκαῖον ἤδη. αἰτίας δὲ καὶ ἄλλας τινὰς καὶ οὐδεμιᾶς ἐλάττω τὸ πλῆθος εἶναι τοῦ αἵματος, ὑφ᾽ οὗ διατείνεσθαι μὲν τὸν χιτῶνα τῆς φλεβὸς, ἀναστομοῦσθαι δὲ τὰ πρότερον μεμυκότα πέρατα, μεταχεῖσθαι δὲ εἰς τὰς ἀρτηρίας τὸ αἷμα, κἀντεῦθεν ὑπὸ τοῦ παρὰ καρδίας φερομένου πνεύματος προσκόπτον καὶ ἐνιστάμενον, ἀλλοιοῦντι τὴν ἐκείνου κίνησιν, ἡνίκ᾽ ἂν ἐγγὺς ᾖ καὶ κατ᾽ εὐθὺ τῆς ἀρχῆς, καὶ τοῦτ᾽ εἶναι τὸν πυρετόν. ὠθούμενόν τε ὑπ᾽ αὐτοῦ πρόσω σφηνοῦσθαι κατὰ τὰ πέρατα τῶν ἀρτηριῶν, καὶ τοῦτ᾽ εἶναι τὴν φλεγμονήν. οὕτω μὲν ἐπὶ πλήθει φλεγμονὴν ἐργάζεται τῷ λόγῳ τῷδε. ἐπὶ τραύμασι δὲ φλεγμονὴν αἰτιᾶται μὲν κἀνταῦθα τὴν παρέμπτωσιν ἐκ τῶν φλεβῶν εἰς τὰς ἀρτηρίας τοῦ αἵματος, αὐτῆς δὲ τῆς παρεμπτώσεως αἰτίαν εἶναί φησι τὴν πρὸς τὸ κενούμενον ἀκολουθίαν. ὅταν γὰρ τῶν ἐν τῷ τετρωμένῳ μέρει διαιρεθεισῶν ἀρτηριῶν ἐκχυθῇ κατὰ τὴν τρῶσιν ἅπαν τὸ πνεῦμα, καὶ κίνδυνος ᾖ κενὸν γενέσθαι τόπον, ἕπεσθαι κατὰ τὰς συναναστομώσεις τὸ αἷμα, τοῦ κενουμένου πνεύματος τὴν βάσιν ἀναπληροῦντος. ἀνεῳγότος μὲν οὖν τοῦ πνεύματος ἐκχύεσθαι. κλεισθέντος δὲ καὶ μύσαντος, ἔνδον ὠθούμενον ὑπὸ τοῦ παρὰ καρδίαν ἐπιπεμπομένου πνεύματος ἀθροίζεσθαι πάλιν ἅπαν ἐν τοῖς περὶ τὸ τραῦμα τόποις, καὶ τὴν φλεγμονὴν οὕτως ἐργάζεσθαι. ἄγε δὴ, συγχωρήσωμεν γὰρ αὐτὸν κατά γε τὸ παρὸν ἀληθεύειν ἅπαντα περί τε πυρετοὺς καὶ φλεγμονὰς, καίτοι γ᾽ ὅτι μηδὲν αὐτῶν ἀληθές ἐστιν, ἐν ἑτέροις ἀπεδείξαμεν, ἐφεξῆς ἡμᾶς διδαξάτω τὰ ἰάματα. φησὶ γοῦν αὐτὸς ἔν τε ἄλλοις πολλοῖς κἀν τῷ τρίτῳ περὶ
» πυρετῶν κατὰ λέξιν οὕτω. περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀρρωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις, ἀφαιρετέον ἂν εἴη πάσας προσφορὰς ῥοφημάτων. καὶ γίνονται ὡς τὸ πολὺ † αὐτοὺς πυρετοὶ ποιοῦσι φλεγμονὰς διὰ πληθώραν. διδομένων οὖν ἐν τοῖς τοιούτοις καιροῖς προσφορῶν καὶ τῆς πέψεως καὶ ἀναδόσεως τὰς καθ᾽ αὑτὰς ἐνεργείας ἀποδιδουσῶν πληρουμένων τῶν ἀγγείων τῆς τροφῆς, ἐπὶ πλέον τε ἰσχυροτέρας συμβήσεται τὰς φλεγμονὰς γίνεσθαι. ταῦτα μὲν ὑπὲρ τῶν περὶ πλήθει χωρὶς τραύματος γιγνομένων φλεγμονῶν. ὑπὲρ δὲ τῶν ἐπὶ τραύμασιν ἐν πρώτῳ πάλιν περὶ πυρετῶν, ὧδέ πως φησίν. ἀκόλουθοι δὲ καὶ θεραπεῖαι τούτοις εἰς τὸ ἀ-
» φλέγμαντα πάντα γίνεσθαι τὰ τραύματα. τῶν γὰρ φαρμάκων τὰ μὲν περιχριόμενα ἐπὶ τοὺς ὑγιεῖς τόπους
» ἀποστύφοντα καὶ μύοντα κωλύει τὴν συνίωσιν τοῦ ἄνωθεν κεχυμένου αἵματος ἐπὶ τοὺς διῃρημένους τόπους γί-
» νεσθαι. ἐν δὲ τοῖς ἀπαθέσι τόποις πολλῶν ἀνεστομωμένων ἀρτηριῶν τε καὶ φλεβῶν εἰς τοὺς αὐτοὺς τόπους με-
» τάληψις γίνεται, εἰς τὰς φλέβας τοῦ παρεμπεπτωκότος αἵματος εἰς τὰς ἀρτηρίας. εἶτα ἐφεξῆς πάλιν ἀκό-
» λουθον τούτοις καὶ τὸ μηδὲν προσφέρειν τοῖς τετραυματισμένοις ὑπὸ τοὺς τῆς φλεγμονῆς καιρούς. κενούμεναι
» γὰρ αἱ φλέβες τῆς τροφῆς ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. τούτου δὲ συμβαίνοντος, ἧττον αἱ φλεγμοναὶ ἔσονται. οὐκοῦν ὅτι μὲν χρὴ κενῶσαι τὸ πλῆθος, καὶ ὅτι δέξασθαι πάλιν εἰς ἑαυτὰς αἱ φλέβες οὐκ ἂν δύναιντο τὸ αἷμα μεσταὶ τυγχάνουσαι, καὶ διατεταμέναι, συμφωνεῖται τοῦτό γε καὶ αὐτῷ τῷ Ἐρασιστράτῳ. τὸ δὲ ὅτῳ χρὴ τρόπῳ κενῶσαι αὐτὰς τὸ ἀμφισβητούμενόν ἐστιν. ἐγὼ μὲν οὖν ᾤμην ἐπειδὴ ἅπαξ τὸ κενούμενον ὡμολόγηται ῥᾷστόν τε ἤδη καὶ ἑτοιμότατον ἐστιν τεμεῖν τὴν φλέβα. καὶ γὰρ ἂν τάχιστα οὕτω καὶ αὐτὰς μόνας τὰς φλεγμονὰς ἐκκενώσαιμεν, ὡς αἵ γε ἀσιτίαι πρὸς τῷ χρόνου δεῖσθαι μακροῦ, καὶ ὅλην τὴν ἕξιν κενοῦσιν ὁμοίως. τὸ δὲ οὐ χρή. τί γὰρ ἄν τις κενοίη, τὸ μὴ δεόμενον κενώσεως; ἢ τί τὰς σάρκας ἐκτήκοι πρὶν ἀρχεῖν τοῦ αἵματος; ἵνα τἆλλα ὅσα ταῖς μακραῖς ἀσιτίαις ἐξ ἀνάγκης ἕπεται κακὰ παραλείπω. τήν τε δύναμιν κάμνουσαν, καὶ τοὺς χυμοὺς ἐπὶ τὸ χολῶδες καὶ πικρὸν τρεπομένους, καὶ καρδιωγμοὺς πολλοὺς, καὶ ἄσην, καὶ διαχώρημα ἰσχόμενον, καὶ πάνθ᾽ ἁπλῶς τὰ περιττώματα δριμύτερα γινόμενα, ὧν οὐδὲν ὁ Ἐρασίστρατος ἰδὼν, ὥσπερ οἱ τυφλοὶ, λείας ὁδοὺς, καὶ πλατείας, καὶ εὐθείας ἐγγὺς οὔσης, πολλάκις στενὴν, καὶ τραχεῖαν, καὶ μακρὰν ἀλώμενοι περιέρχονται, καὶ αὐτὸς οὕτω παρακειμένην ὁδὸν σύντομον ἱκανῶς καὶ ἄλυπον παριδὼν, ἐπὶ μοχθηρὰν καὶ μακρὰν ἐλήλυθεν, τοῦτο μόνον θεασάμενος εἰ ἐφ᾽ ὃ βούλεται ἄγει αὐτὸν ἡ ὁδὸς, οὐκέτι δὲ εἰ ταχέως καὶ ἀλύπως. ἄγει μὲν γὰρ ἐπὶ τὴν τοῦ πλήθους κένωσιν, καὶ ἡ ἀσιτία, σύμφημι τοῦτο, ἀλλ᾽ ἐν χρόνῳ τε μακρῷ σὺν τῷ λυπῆσαι πολλὰ, καὶ ὅμως τηλικοῦτον βοήθημα παραλιπὼν ὁ σοφὸς Ἐρασίστρατος, ὃν ἀξιοῦσί τινες Ἱπποκράτει παραβάλλειν, οὐκ αἰδεῖται μηδὲν πιθανόν τι καὶ εὔλογον, ἀλλ᾽ ἀπομνημονεύσας ὥσπερ τινὸς τῶν φαυλοτάτων τε καὶ οὐδενὸς ἀξίων. ἀλλ᾽ οὐχ Ἱπποκράτης, ὦ Ἐρασίστρατε, μηδ᾽ ἕν τι χείρων ἰατρός σου περὶ φλεβοτομίας οὕτως ἐπεγίνωσκεν. ἀλλ᾽ ἃ σὺ θαυμάζεις λόγῳ, ταῦτ᾽ ἔργῳ ποιῶν εὑρίσκεται. θαυμάζεις μὲν γὰρ τὴν φύσιν, ὡς τεχνικήν τε ἅμα καὶ προνοητικὴν τοῦ ζώου, μιμῇ δ᾽ αὐτὴν οὐδαμοῦ; ἢ διὰ τί πολλάκις ἰδὼν αἵματος κενώσει τὴν φύσιν ἰασαμένην πολλὰ νοσήματα, τοῦτο οὐδ᾽ ἐφ᾽ ἑνὸς ἔπραξας σὺ δὲ πώποτε; τί δὲ σιγᾷς τὰ τῆς φύσεως ἔργα ἣν ἐπαινεῖς; διὰ τί παρὰ μὲν Ἱπποκράτει πολλὰ τοιαῦτα εὑρίσκων γεγραμμένα, γυναικὶ αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων λύσις, ἀπὸ χολῆς μελαίνης εἰς ὅμοι αἱ μορροΐδες. αἱ μορραγίαι λάβροι τὰ πολλὰ ῥέουσιν ἐκ ῥινῶν, παρά σοι δὲ οὐδὲν τοιοῦτον, ἀλλ᾽ ἄχρι λόγου μόνου ἐπαινουμένη ἡ φύσις, ἔργον δ᾽ οὐδὲν οὐδαμοῦ φύσεως γεγραμμένον; ἤρκει μοι τὰ τῆς φύσεως μόνης ἔργα μαθεῖν. ἱκανὸς ἂν ἦν ἐκ τούτου ὁρμώμενος εὑρίσκειν τὸ δέον. ἆρα μοι συγχωρήσουσιν οἱ θαυμάζοντές σε τὸ πα-

Ἴσ. τοὺς πυρετοὺς ποιοῦσαι τῶν φλεγμονῶν, ut paulo post citatur.

ριστάμενον

ρισάμενον εἰπεῖν, ἢ παντάπασιν ἀνόητος μοι δοκεῖς εἶναι, ἢ μικρὰ τοῖς τῆς φύσεως ἔργοις ὡμιληκέναι. τὸ γὰρ ἢ μηδ᾽ ὅλως γινώσκειν αὐτά, ἢ μὴ ζηλοῦν γινώσκοντα, θατέρῳ τοῖν δυοῖν ἔνοχον ἐστίν. ἢ γὰρ ἐν οἴκῳ τινὶ καθειργμένος ἔγραφες ταῦτα, μηδένα μηδεπώποτε θεασάμενος ἄῤῥωστον. ὅθεν εἰκότως ἀγνοεῖς τὰ τῆς φύσεως ἔργα, ἐθαύμαζες μὲν ἀεὶ, ἐμιμήσω δεύτερον ἐσχάτως ἀνόητος. εἰ δ᾽ εἰ τοίνυν γράφειν ἐπιχειρεῖς τὸν νόμον τοῦ γράφειν ὑπερβὰς, ἐχρῆν σε πρῶτον γράψαι μοι τὰ τῆς φύσεως ἔργα, δεύτερον δ᾽ ἐξηγήσασθαι τινὰ μὲν ὁλοκλήρως καὶ ἀπηρτισμένως τοῖς οἰκείοις λόγοις κινουμένη δρᾷ, τινὰ δ᾽ ἐλλειπῶς ὑπὸ τῶν περὶ τὰς νόσους αἰτιῶν κωλυομένη. ὁδὸς γὰρ αὕτη πρὸς εὕρεσιν ἰαμάτων, ἵνα ἐκμαθὼν τὰ καλῶς ὑπ᾽ αὐτῆς ἀποτελούμενα, τούτοις ἐπιχειρεῖν δύνωμαι, τὸ λεῖπον προστιθεὶς. ἢ μηδ᾽ ὅλως κινουμένης, καὶ γὰρ καὶ τοῦτο ποτὲ πάσχει τῇ ῥώμῃ τῶν νοσωδῶν αἰτιῶν νικηθεῖσα, τὸ πᾶν αὐτὸς ἐκπορίζωμαι. τούτων οὐδὲν ἐπιδείξας, ἴσως γὰρ, ὅπερ φασὶν, ὀλιγωρεῖς μὲν τοὺς ἀῤῥώστους θεᾶσθαι, μένων δ᾽ οἴκοι, τὸ δόξαν ἔγραφες. ἀλλ᾽ εἰ καὶ μὴ αὐτὸς ἐθεάσω, τά γοῦν ὑφ᾽ Ἱπποκράτους ἐν οἷς ἀναγινώσκοντί σοι μανθάνειν, ὅσα μὲν ὁλοκλήρως, καὶ ἀνελλιπῶς, καὶ, ὡς αὐτὸς ἐκεῖνος εἴωθεν λέγειν, ἀρτίως ἡ φύσις κινουμένη, κρίνονται. πῶς δ᾽ ἂν αὐτὴν κάλλιστα τις μιμήσαιτο, μὴ δὲ ἐγχειροῦσαν κρίσει. καὶ πῶς ἐπιχειρούσῃ μὲν ἀλλ᾽ ἐνδεῶς κινουμένῃ βοηθεῖν. εἰ γὰρ ἐν τούτοις ἐγυμνάσω, τοιαῦτα ἂν ἤκουόν σου συμβουλεύοντος, οἷα καὶ Ἱπποκράτην ἀκούω, τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως μὴ κινεῖν, μηδὲ νεωτεροποιεῖν, μήτε φαρμακίησι, μήτε ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ᾽ ἐᾶν, τοῦτο μέν σοι φύσεως ὁλοκλήρως κινουμένης παράγγελμα. τὸ δὲ ἐφεξῆς τούτῳ κινουμένης μὲν ἐπὶ κρίσιν, ἀλλ᾽ ἐνδεῶς. διὰ τοῦτο αὐτῇ συνεργεῖν παρακελευόμενος ἐρεῖ, ἃ δεῖ ἄγειν, ταῦτα ἄγειν ὅπῃ ἂν μάλιστα ῥέπῃ διὰ τῶν ξυμφερόντων χωρίων. βούλεται μὲν γὰρ ἡ φύσις τηνικαῦτα τὸ λυποῦν ἀπώσασθαι, μὴ δυναμένη δ᾽ ἐπιθεῖναι τῷ ἔργῳ τὸ τέλος ὑπ᾽ ἀῤῥωστίας, ἡμῶν βοηθῶν δεῖται. διὰ τοῦτο καὶ πλευριτικοὺς θεραπεύων κατὰ τὴν ῥοπὴν τῶν χυμῶν κενοῖ. τί γοῦν φησιν; ἀλλ᾽ εἰ μὲν ἡ ὀδύνη ἐς κληῖδα, ἢ ἐν βραχίονι βάρος, ἢ περὶ μαζὸν, ἢ ὑπὲρ τῶν φρενῶν, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔσω, καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρεῖν, ἐς ἂν ἐρυθρότερον πολλῷ ῥυῇ, ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ πελιδνόν. ἀμφότερον γὰρ γίνεται. ἢν δὲ ὑπὸ φρένας ἢ τὸ ἄλγημα ἐς δὲ τὴν κληῖδα μὴ σημαίνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην, ἢ μέλανι ἐλλεβόρῳ, ἢ πεπλίῳ. πάλιν δ᾽ ἔν τινι τῶν νεφριτικῶν παθημάτων συνδρομῇ προειπὼν, καὶ ἐς νεφρὸν ὀδύνη βαρείη, ἀρχὴ μηροῦ κατ᾽ ἰξὺν ἐπιφέρει, ἰγνύην τέμνειν, τουτέστι τὴν ἐν ἰγνύῃ τέμνειν φλέβα. ἐκεῖνο δέ πως εἴρηται; ἐκ τοῦ μαργέω οἰκέτιδος οὐδὲ αἷμα ἐγένετο, ὡς ἔτεκε θυγατέρα ἀπεστράφθη τὸ στόμα πρὸς ἰσχίον, καὶ σκέλος, ὀδύνη παρὰ σφυρὸν, τμηθεῖσα ἐρράϊσε, καί τοι τρόμοι τὸ σῶμα πᾶν κατεῖχον. ἀλλ᾽ ἐπὶ τὴν πρόφασιν χρὴ ἐλθεῖν καὶ τῆς προφάσιος τὴν τροφήν. Ἱπποκράτης μὲν οὖν σοι τὴν πρόφασιν τοῦ νοσήματος ἐξετάζειν κελεύει, καὶ τῆς προφάσεως τὴν γένεσιν. ὅπερ εἰ ποιοῖς, οὐκ ἂν οἶμαί γε πλήθους αἵματος ἐνοχλοῦντος ἄλλο τι πρὸ τῆς φλεβοτομίας αἱρήσεσθαι. ἐπὶ γοῦν τῆς προειρημένης γυναικὸς, καί τοι τρομώδους οὔσης, οὐκ ἐμέλλησε τέμνειν τὴν φλέβα, μηδενὸς ἂν ἄλλου τολμήσαντος αἵματος ἀφελεῖν ἐν τρόμοις, ὥσπερ οὐδὲ ἐν ὑστέροις, οὐδ᾽ ἄλλῳ ψυχρῷ πάθει οὐδενί. δέον γὰρ ἐν τοῖς τοιούτοις ψυγῆναι μὲν ἔτι καὶ μᾶλλον τὸ σῶμα τῇ τοῦ θερμοῦ χυμοῦ κενώσει, καὶ πρότερον ἤδη ὑπὸ τοῦ πάθει κατεψυγμένον σβεσθῆναί τε τὸ ἔμφυτον θερμόν. ἀλλ᾽ Ἱπποκράτης σκεψάμενος, ὡς αὐτὸς λέγει, τήν τε † πρὸ τοῦ πάθους τὸ πλῆθος ἦν τοῦ αἵματος. οὐ γὰρ ἐκαθάρθη τὸ γυναῖον τὴν λοχείαν καλουμένην κάθαρσιν. ἡ τροφὴ τῆς προφάσεως, τουτέστιν ἡ γένεσις καὶ ἡ πρώτη αἰτία, τοῦ μὴ καθαρθῆναι καλῶς, ἡ διαστροφὴ τῆς μήτρας, ἀπεστράφθη γὰρ πρὸς τὸ ἰσχίον. ἐνδειξαμένης οὖν αὐτῷ τῆς μὲν ἐπιχύσεως, τὴν κένωσιν, τῆς δὲ ἐπὶ μήτραν ῥοπῆς, τὸν τόπον δι᾽ οὗ χρὴ κενῶσαι, τὴν παρὰ σφυρὸν ἔταμε φλέβα. τοιοῦτος ἐν ἅπασιν ὁ Ἱπποκράτης. ἀλλ᾽ ἵνα μὴ λυπῶ τοὺς Ἐρασιστρατείους ἐπὶ πλέον αὐτὸν ἐπαινῶν, καὶ γάρ μοι δοκοῦσιν αὐτοί τε οὗτοι καὶ πρὸ αὐτῶν ὁ Ἐρασίστρατος ἐριστικῶς ἔχειν πρὸς τὸν ἄνδρα, καταλείψωμεν ἤδη τὰ Ἱπποκράτους. ἐν ἑτέρῳ γάρ μοι καιρῷ πᾶσαν αὐτοῦ τὴν περὶ τὰς κενώσεις τέχνην ἔξεστι δηλῶσαι. μεταβῶμεν δὲ ἐπὶ τοὺς ἄλλους ἄνδρας† ἑκατέρας αἱρέσεως ἐμπειρικῆς τε καὶ λογικῆς. οὐδὲ γὰρ τούτων οὐδένα εὑρίσκω τῆς φλεβοτομίας ἀποστάντα. δογματικὸν μὲν γὰρ οἶδα καὶ Διοκλέα, καὶ Πλειστόνικον, καὶ Διεύχη, καὶ Μνησίθεον, Πραξαγόραν τε καὶ Φιλότιμον, καὶ Ἡρόφιλον, καὶ Ἀσκληπιάδην φλεβοτομοῦντας. καί τοι φιλόνεικος οὕτως ἦν Ἀσκληπιάδης, ὥστε ὀλίγου δεῖν ἅπαντα κινῆσαι τὰ πρόσθεν δόγματα, καὶ μήτ᾽ ἄλλου τινὸς τῶν πρὸ αὐτοῦ φείσασθαι, μήθ᾽ Ἱπποκράτει†, ὥστε καὶ θανάτου μελέτην, τὴν τῶν παλαιῶν ἰατρικὴν οὐκ ὤκνησεν εἰπεῖν. ἀλλ᾽ οὐδ᾽ οὗτος ἐπὶ τοσοῦτον ἀναίσχυντος, ὥστε τολμῆσαι παντάπασιν ἐξελάσαι φλεβοτομίαν τῶν ἰατρικῶν βοηθημάτων. ἀλλ᾽ οὐδέ τις οὔτε τῶν νεωτέρων, οὔτε τῶν παλαιῶν, οὐ Μαντίας, οὐκ Ἀθήναιος, οὐκ Ἀγαθῖνος, οὐκ Ἀρχιγένης, οὐχ ὁ τῶν ἐμπειρικῶν χορός. καὶ τούτων μὲν οὐδὲν τῷ λόγῳ προσεχόντων ἑπομένων, καὶ ἀεὶ τῇ πείρᾳ καταγνοὺς, ἀλλ᾽ οὐκ ἂν ἔχοις εἰπεῖν οὐδένα. τί ποτ᾽ οὖν οἱ διαφωνοῦντες ἐν ἅπασι σχεδὸν τοῖς ἄλλοις, ἐν τούτῳ συμπεφωνήκασιν; ἐμοὶ μὲν γὰρ οὐδὲν εἶναι δοκεῖ πιστότερον ἀνυπόπτου συμφωνίας. παραλείπωμεν δ᾽ εἰ βούλει τούτους, ἵνα μηδὲ τῷ πλήθει τῶν μαρτύρων δυσωπητὰ τὰ τῆς φύσεως, ἣν ἐπαινεῖς, ἔργα ποιήσωμεν. οὐχ αὕτη γυναῖκας μὲν ἁπάσας ἐφ᾽ ἑκάστῳ μηνὶ κενοῖ τὸ περιττὸν ἀποχέουσα τοῦ αἵματος; ἔδει γάρ οἶμαι οἴκοι τὸ θῆλυ γένος, οὔτ᾽ ἐν ἰσχυροῖς πόνοις διαιτώμενον, οὔθ᾽ ὁμιλοῦν ἡλίῳ καθαρῷ, καὶ δι᾽ ἄμφω ταῦτα πλῆθος ὑποτρέφον ἴαμα φυσικὸν ἔχειν τοῦ πλήθους τὴν κένωσιν. ἓν μὲν τοῦτο τῆς φύσεως ἔργον. ἕτερον δὲ ἡ μετὰ τόκον κάθαρσις. καί τοι καὶ ἡ κύησις αὐτὴ κένωσις ἦν. ἐκ γὰρ τοῦ τῆς μήτρας αἵματος τὸ κυούμενον τρέφεται. καὶ ἡ μετὰ τὴν κύησιν δὲ τοῦ γάλακτος ἐν μαστοῖς γένεσις οὐ σμικρὰ, κένωσις οὐδ᾽ αὐτὴ τῷ πλήθει. μία γοῦν ἀμφοτέρων ἡ οὐσία καταμηνίων τε καὶ γάλακτος, καὶ κοιναὶ, καθάπερ ἄν τις εἴποι, πηγαὶ τῶν ὀχετῶν ἑκατέρων αἱ φλέβες εἰσί. διὰ τοῦθ᾽ ὅσαις διὰ ἡλικίαν ἤδη τὸ καταμήνιον μηκέτ᾽ ἔρχεται, ταύταις οὐδ᾽ ἐν μαστοῖς ἀθροίζεται γάλα. καὶ ὅσαι καθαίρεσθαι μὲν ὥρας ἔχουσι, ἀλλὰ θηλάζουσιν, οὐ καθαίρονται. καὶ ἢν θηλαζούσῃ γυναικὶ διὰ ὑστέρων ὁρμήσει τὸ αἷμα, σβέννυται τὸ γάλα. καὶ τῶν ζώων ὅσα μὴ

†πρόφασιν

†τας

†της

κυΐσκεται, τούτοις οὐδὲ γάλα ἐστίν. καὶ ὅσαις γάλα ἐστί, ταῦτα κυΐσκεσθαι φύσιν ἔχει. εἰ δὲ καὶ μάθοις ἡλίκων ἐκ ταύτης τῆς κενώσεως ἀπολαύει τὸ θῆλυ γένος ἀγαθῶν, καὶ ὅσα βλάπτεται μὴ κενούμενον, οὐκ οἶδα πῶς ὑπομένεις ἔτι μὴ παντὶ τρόπῳ σπεύδειν κενῶσαι πλεονάζον αἷμα. γυνὴ οὐ ποδαγριᾷ, εἰ μὴ τὰ καταμήνια αὐτῇ ἐκλείπῃ, φησὶν Ἱπποκράτης. καίτοι τῷ δοκεῖν τῶν Ἱπποκράτους φωνὴν πρὸς ἄνθρωπον ἐχθρὸν [illegible] ἐστι; νομίζω τοίνυν αὐτὴν λέγειν σοι τὴν ἀλήθειαν δι' ἐμοῦ κήρυκος, οὔτε ποδαγρεῖ, οὔτε ἀρθρίτισιν, οὔτε πλευρίτισιν, οὔτε περιπνευμονίαις ἁλίσκεται γυνὴ καλῶς καθαιρομένη. ἀλλ' οὐδὲ ἐπίληπτος, οὐδὲ ἀπόπληκτος, οὐδὲ ἄπνους, οὐδὲ ἄφωνος οὐδενὶ ἐν καιρῷ ποτε γίνεται καθαιρομένη καλῶς. ἑάλω δέ ποτε φρενίτισιν, ἢ ληθάργοις, ἢ σπασμοῖς, ἢ τρόμοις, ἢ τετάνοις τῶν μηνιαίων ἰόντων; εἶδον δέ ποτε μελαγχολοῦσαν, ἢ μαινομένην, ἢ πτύσασαν ἐκ θώρακος, ἢ ἐμοῦσαν ἐκ γαστρὸς αἷμα, ἢ κεφαλαλγίᾳ κάμνουσαν, ἢ συνάγχῃ πνιγομένην, ἢ τι τῶν μεγάλων καὶ ἰσχυρῶν παθημάτων ὑπομένουσαν, εἰ καλῶς ἐκκρίνεται τὰ καταμήνια; ἰσχομένων δ' αὖ πάλιν ἕτοιμον ἐν παντὶ κακῷ γενέσθαι. καὶ αἱ κενώσεις ἰάματα. καταλιπὼν δὲ ἤδη τὰς γυναῖκας ἐπὶ τοὺς ἄνδρας ἐλθὲ καὶ μάθε, πόσοι μὲν αἱμορροΐδι τὸ περιττὸν εἰθισμένοι κενοῦσθαι πάντων ἀπαθεῖς νοσημάτων διατελοῦσι, πόσοι δ' ἐπισχεθείσης τῆς κενώσεως ἐν χαλεπωτάτοις ἐγένοντο. πότερον οὐδὲ τούτων ἀποκενώσεις τοῦ αἵματος, οὐδ' ἂν συναγχικοὶ γενόμενοι τύχωσιν, οὐδ' ἂν περιπνευμονικοί. ἀλλ' ὑπὸ τοῦ μὴ ἀνατίθεσθαι τὰ κακῶς ἐγνωσμένα, περιόψει τοσούτους ἀπολλυμένους; σὺ μὲν ἴσως τοῦτο δράσεις, ἐγὼ δ' οὐ ταῦτα μόνον, ἀλλὰ καὶ σπασμὸν καὶ ὕδερον αἵματος κενώσει πολλάκις ἰασάμην. οὕτως γάρ ἥτε μακρὰ πεῖρα διδάσκει με. ὅτε λόγος οὕτως ἐπὶ τὴν πρόφασιν κελεύει ἔρχεσθαι καὶ τῆς προφάσεως τὴν ῥοπήν. ὅτι δὲ καὶ ἡ πεῖρα, τὰ τῶν ἐμπειρικῶν ἀναγνοὺς εἴσῃ γράμματα. μὴ τοίνυν ἔτι φιλονεικεῖν Ἱπποκράτει μόνον δόκει κενοῦν αἷμα παραινοῦντα, κἂν εἰς τρόμον, κἂν εἰς ὕδερον, κἂν εἰς ἄλλο τι ψυχρὸν πάθος ἢ ἀνὴρ δι' ἐπίσχεσιν αἱμορροΐδος, ἢ γυνὴ διὰ ἐμμηνίων ἐμπέσοι, ἀλλὰ καὶ τοῖς ἀπὸ τῆς ἐμπειρίας ἅπασιν ἰατροῖς, καὶ τῷ βίῳ τῶν ἀνθρώπων. ἀνατρέπειν γοῦν μοι δοκεῖς τὸν κοινὸν ἁπάντων λογισμόν. οὐκ ἂν

* φαίης κατὰ φύσιν εἶναι παντὶ τῷ λογίζεσθαι κενοῦν αἵματος σοι διὰ πλῆθος [illegible]. τίς οὐκ οἶδεν ὅτι τἀναντία τῶν ἐναντίων ἰάματα; μὴ γὰρ Ἱπποκράτους ἡ γνώμη μόνου, κοινὴ πάντων ἀνθρώπων ἐστίν. ἀλλά μοι δοκεῖς ὑπὸ τῆς πρὸς Ἱπποκράτη φιλονεικίας, καὶ τῶν ἄλλων ἀνοητότερος εἶναι. ταῦτα γοῦν ὁσημέραι τῆς φύσεως ποδηγούσης αὐτά, καὶ τὴν ἔνδειαν προσφοραῖς ἰᾶται, καὶ τὰς πλησμονὰς κενώσεσι, καὶ τὸ κρύος θάλψεσι, καὶ τὰς θάλψεις ἐμψύξεσι. τί γὰρ ἐστὶ τροφὴν προσφέρεσθαι ἄλλο γε ἢ τὸ πλῆθος ἐκποιεῖσθαι; τί δ' ἀποκρῖναι κόπρον, ἢ ἔντερον πεπληρωμένον ἐκκενῶσαι; τί δ' οὐρῆσαι ἢ κύστεως πλησμονὴν ἰᾶσθαι; ταῦτα μὲν ζῶα καὶ κρύει πονήσαντα φωλεοὺς ἑαυτοῖς, καί τινας ἀλεεινὰς εἰς τὴν γῆν καταδύσεις ἐκποιεῖται. καὶ τῷ θάλπει κάμνοντα θέρους ὥρᾳ νήχεται μὲν ἐν ὕδατι ψυχρῷ, διατρίβει δ' ἐν τόποις συσκίοις τε καὶ προσηνέμοις. ἔγωγε κύνα πολλάκις εἶδον ἐμοῦντα κελεύοντα, καὶ τὴν αἰγυπτίαν ἶβιν διὰ κλυσμοῦ καθαιρομένην, ἀνθρώποις δὲ αὐτά τε ταῦτα ὡς ἂν λόγῳ χρωμένοις εὐμηχανώτερα ἅπαντα. [illegible] ἰδιώτην ἰατρικῆς ἐπὶ ἄρρωστον εὐεκτῆ, νέον, πολύαιμον ὑπὸ συνάγχης, ἢ περιπνευμονίας πνιγόμενον, † [illegible] τὸν ἄνθρωπον εἴ τι πρὸς τὸ πάθος ἐπινοεῖ, τίς οὕτως ἀνόητος ὡς μὴ κένωσιν αἵματος εἰπεῖν; ἀλλ' Ἐρασίστρατος ὑπὸ τῆς πρὸς Ἱπποκράτη φιλονεικίας, οὐδὲ τὰς κοινὰς ἁπάντων ἀνθρώπων ἐννοίας φαίνεται διασώζων. ἀλλ' ἔτι καὶ τῶν γεράνων ἀνοητότερος εὑρίσκεται. μακρῷ τοιγαροῦν καὶ ταύτας, ὡς ἀεὶ τοὺς μὲν [illegible] ὑποφευγούσας ἐν μέρει κρύος τε καὶ θάλπος [illegible] μένας τε διὰ παντὸς τοῖς ἐναντίοις τὰ ἐναντία. [illegible] οὔπω τῆς Ἱπποκράτους ἀξίαι τέχνης, ὡς χρὴ κενοῦν αἵματος, οἷς διὰ πλῆθος αἵματος ὁ κίνδυνος [illegible] καὶ τρόπῳ τὴν κένωσιν ποιεῖσθαι, καὶ ἐν ὅτῳ καιρῷ, καὶ μέχρι τοσούτου μᾶλλον ἐβουλόμην [illegible] διαλέγεσθαι. τὸ γὰρ ἐπίστασθαι πηνίκα μὲν χρὴ τέμνειν τὴν ἐν τῷ μετώπῳ φλέβα, πηνίκα δὲ τὰς παρὰ τοὺς κανθοὺς τῶν ὀφθαλμῶν, ἢ τὰς ὑπὸ τῇ γλώττῃ, ἢ τὴν ὠμιαίαν ὀνομαζομένην, ἢ τὴν διὰ μασχάλων, ἢ τὰς κατ' ἰγνύας, ἢ παρὰ σφυρόν, ὑπὲρ ὧν ἁπασῶν ἐδίδαξεν Ἱπποκράτης, τοῦτ' ἐγὼ νομίζω τὸν λογισμὸν ἰατρῶν εἶναι. τὸ δ' ἔτι γε τὰ ἐναντία τοῖς ἐναντίοις ἰᾶσθαι, καὶ ὡς τῷ πλήθει ἡ κένωσις ἐναντίον, τοσούτῳ δέω θαυμάζειν, [illegible] τοῖς ἀλόγοις ζώοις μετεῖναι φημὶ τῆς ἐννοίας. εἰ δὲ βούλει μικρὸν ἀνοίξας τὰ ὦτα, μᾶλλον δὲ τὴν ψυχήν, ἀληθῆ λόγον καταδέξασθαι, τῆς πρὸς Ἱπποκράτη δυσμενείας ἐπιλαθόμενος, εἴποιμ' ἄν σοι τί τῆς ἐκείνου τέχνης ἄξιον [illegible] τοῦδε, καὶ Διοκλῆς ἠπίστατο, καὶ Πλειστόνικος, Ἡρόφιλός τε καὶ Πραξαγόρας, καὶ Φιλότιμος ἄλλοι τε πολλοὶ τῶν ἰατρῶν. οὐκ αὐτοὶ μὲν εὑρόντες, ἑπόμενοι δ' Ἱπποκράτει πηνίκα χρὴ τέμνειν ἑκάστην ὧν εἶπον φλέβα. ὅτι δ' ἀπὸ χολῆς μελαίνης εἰς ὅμοιον αἱμορροΐδι, τοῦτ' οὐκέτι πάντες γιγνώσκουσι, καίτοι σαφῶς Ἱπποκράτους διδάξαντος, ἀλλ' ὅσοι γνησίως ὡμίλησαν αὐτοῦ τοῖς γράμμασιν οὗτοι μόνοι πῶς μὲν αἱμορροῒς γίγνεται μεμαθήκασι παρ' αὐτοῦ. πῶς δὲ καὶ δυσεντερία, πῶς δὲ καὶ κιρσός, ὅτι τε οὐ διὰ παντὸς ἕκαστον τούτων συνιστάμενον κωλυτέον. ἀλλ' ὅτι ὅτε συνεργητέον, ἢ τῆς φύσεως ἡσυχαζούσης αὐτῇ τὸ πᾶν διατρεπτέον ὅτε οὕτω συμφέρει, τοσοῦτον ἀπολείπουσιν οἱ ταῦτα μαθόντες τὴν δυσεντερίαν καὶ αἱμορροΐδα πρὸ τοῦ καιροῦ σπεύδειν ἰᾶσθαι, ὥστε αὐτοὶ μηχανῶνται μὴ δ' ὅλως ὄντα ποιῆσαι. καὶ ἔγωγε πολλοὺς οἶδα καὶ μελαγχολήσαντας, καὶ ἄλλως ἐκμανέντας ἐπὶ ταῖς τοιαύταις κενώσεσιν ἰατρῶν ἀμαθείᾳ κωλυθείσαις. οἱ δέ τινες αὐτῶν πλευρίτισι καὶ νεφρίτισιν ἑάλωσαν. ἄλλοι δὲ αἵματος ἤμεσαν ἐκ γαστρός, ἢ ἐκ θώρακος ἀνέβηξαν, ἢ παραπληγίαις, ἢ ὑδέροις ἀπώλοντο. ταῦτ' ἐγὼ χρῆναι γινώσκειν φημὶ τὸν ἰατρόν. αὕτη μεγάλη περὶ τὰς κενώσεις τέχνη. τὸ δ' ὅτι χρὴ κενοῦν αἵματος πλεονάζοντος, οὐδὲν μέγα. τί δήποτ' οὖν παρεῖδεν ὁ Ἐρασίστρατος αὐτὸ καθάπερ τι τῶν μεγάλων; ἢ τί ληροῦσιν οἱ πρὸς ἅπαν ἐρίζειν ἑτοιμότατοι, τῆς κενώσεως ἄγνωστον εἶναι φάσκοντες, ὥσπερ καὶ τῶν ἄλλων βοηθημάτων ταῦτα κατηγοροῦντες; ἢ τινός, ὦ πρὸς θεῶν, ἀκριβῶς οἴονται τὸ μέτρον λαβεῖν, ὡς μήθ' ὑπερβάλλειν τὸ ποσόν, μήθ' ἐλλείπειν; ἆρά γε κλυστῆρος, ἢ τῶν καθαιρόντων τινὸς φαρμάκων, ἢ τῶν οὔρησιν κινούντων, ἢ τροφῆς, ἢ πόματος οὐδενὸς τῶν πάντων; ὥρα τοίνυν αὐτοῖς εἰς ἅπαντα τὴν ὑπο-

ψίαν

ψίαν ἐκτείνουσιν ἡσυχάζειν περὶ παντός. τί ποτ᾽ οὖν αὐτὸς ὁ Ἐρασίστρατος καθαίρουσι χρῆται φαρμάκοις, καὶ οἶνον δίδωσιν ὕδατι ψυχρῷ κεραννὺς, ἄλλοις τέ τισι τῶν χολερικῶν. ἐνταῦθα μέν γε φορτικὸν ἱκανῶς ἐπαινῶν τὸν διδάσκαλον Χρύσιππον, ὡς ἐξευρόντα βοήθημα μηδενὶ τῶν ἔμπροσθεν ἐγνωσμένον μόνον διαρκὲς εἰς ἴασιν χολερικῶν ἤδη θανάτῳ πελαζόντων· οὐ γὰρ ἐν τῷ τυχόντι δίδωσιν αὐτῷ καιρῷ, ἀλλ᾽ εἰς ὀξὺ σφόδρα κατήγαγε τὴν χρῆσιν τοῦ βοηθήματος. καὶ οὐ μέμφομαι ταῦτά γε, πάντα ἀκριβῶς ἐστοχάσατο τοῦ καιροῦ. †θαυμαζέτω δὲ ἐκεῖνο πῶς, ἐν οἷς μὲν αὐτὸς εἴρηκεν, εἰ Χρυσίππειόν τι διδάσκει, τολμηρὸς ἱκανῶς ἐστὶ, καὶ οὐδὲν ἄρα τηνικαῦτα αὐτὸν, οὐκ ὀξύτης καιροῦ κατέπληξεν, οὐ τοῦ μέτρου τὸ δυσληπτὸν, οὐ τοῦ πάθους τὸ κινδυνῶδες, ἀλλ᾽ οὕτως οἴεται σαφῶς ἅμα καὶ ἀκριβῶς αὐτό τε τὸ μέτρον καὶ τὸν καιρὸν ἐκδιδάσκειν, ὥστ᾽ οὐ μόνον ἰατροῖς, ἀλλ᾽ ἤδη καὶ ἰδιώταις χρησίμους εἶναι τὰς ὑποθήκας νομίζειν. οἷς δ᾽ ἂν ἵνα δέοι τῶν πρεσβυτέρων ἰατρῶν ἐπαινέσαι τῆς εὑρέσεως, ἐνταῦθα παντάπασιν ἀποδιδράσκει. φέρε δὴ καὶ τοῦτ᾽ αὐτοῖς ἐπιδείξομεν, ὡς παντὸς οὑτινοσοῦν βοηθήματος ἐν φλεβοτομίᾳ τὸ μέτρον εὐληπτότερον. εἰ καὶ γὰρ χρόας μεταβολὴν ἔνεστι πολλάκις τεκμήρασθαι καὶ διχῶς τοῦτο ποιῆσαι, ποτὲ μὲν τοῦ ῥέοντος αἵματος, ποτὲ δὲ καὶ τοῦ κάμνοντος αὐτοῦ. καὶ λειποθυμίας ἐπὶ πολλῶν παθῶν ὅρος ἐστὶ κενώσεως. καὶ ὁ τόνος τῆς ῥύσεως τοῦ αἵματος ὀκλάζων. καὶ οἱ σφυγμοὶ τρεπόμενοι. καὶ μόνης ταύτης κενώσεως αὐτοκράτορα τὴν ἐξουσίαν ἔχει ὁ ἰατρὸς παύειν ὅτε βούλοιτο, τῶν δ᾽ ἄλλων οὐδεμιᾶς. ἀλλ᾽ εἴθ᾽ ὑπήλατον φάρμακον δοίη, εἴτε ἐμετήριον, εἴτε οὔρων κενωτικὸν, εἴτε θώρακος, εἴτε κεφαλῆς καθαρτικὸν πρώτη δόσις ἐπ᾽ αὐτοῖς, τὰ δ᾽ ἐφεξῆς ἡ τύχη βραβεύει, καὶ μέγας ὁ κίνδυνος ἐπὶ φαρμακῶν καθαιρόντων δόσεσιν, ἢ μὴ κινηθῆναι τὴν κάθαρσιν, ἢ μὴ ῥᾳδίως ἐκκενωθῆναι τὸ συρρέον εἰς τὴν κοιλίαν, ἢ μετὰ πόνων, καὶ δήξεων, καὶ στρόφων, καὶ καταψύξεως, καὶ ἀσφυξίας, καὶ λειποθυμίας ἐκκρίνεσθαι, ἢ ταραχθῆναι μὲν ὅλον τὸ σῶμα σφοδρῶς ὀλίγον δὲ κενωθῆναι, ἢ ὑπερκενωθῆναι. καὶ γὰρ αὖ καὶ τοῦτο γίνεται πολλάκις ἐν τῷδε κακῶν ἔσχατον. οὐ γὰρ ὥσπερ ἐπὶ τῆς φλεβὸς τῆς διῃρημένης ἐπιθεὶς τὸν δάκτυλον εὐθὺς ἔπαυσας, τὸ ῥεῖον εἰς τὴν γαστέρα παύειν. ἀλλ᾽ ὅμως οὐδεὶς ἰατρῶν ἀφίσταται δόσεως φαρμάκων εὐλαβείᾳ τῶν ἐπιγιγνομένων συμπτωμάτων, ἀλλ᾽ ὡς σφαλεὶς νῦν οὕτω μηκέτι χρῆσθαι προνοεῖται. τί λέγω καθαρτικὰ καὶ φαρμάκων ἰσχυρῶν μνημονεύων διατρίβω, σιτίου παντὸς ἡ διαμαρτία τοῦ μέτρου μέγιστα βλάπτει. θεάσασθαι δέ ἐστι ἐναργῶς τῆς βλάβης τὸ μέγεθος ἐν τοῖς ὑπερινοις μὲν καὶ ἀσθενέσι, ταχείας δὲ ἀναθρέψεως δεομένοις. ἐν οἷς τὸ μὲν ἔλαττον ἐνδεῶς τρέφον μαραίνει τὴν δύναμιν, τὸ δ᾽ ὑπερβάλλον ἄχθος ὂν τῇ φύσει μᾶλλον ἢ τροφὴ τελέως ἀπέπνιξέ τε καὶ κατέσβεσεν. ἆρ᾽ οὖν ἀρκέσει καὶ τοῦ σιτίου διδόναι, διότι τὸ μέτρον δυσληπτόν; οὕτω μέν γε καὶ τοῦ ἰατρεύειν ἀποστήσῃ παντάπασιν. ὡς οὐδὲν γὰρ εὕροις τῶν κατ᾽ ἰατρικὴν ὃ μὴ συμμέτρως τινὶ τὴν χρείαν παρέχει. φλεβοτομίας δὲ καὶ μόνης, οὐδὲ τοῦτ᾽ ἔχεις μέμψασθαι. ἄμφω τοῦ μέτρου αἱ διαμαρτίαι μεγάλα βλάπτουσιν. αἱ μὲν γὰρ ὑπερβολαὶ βλαβερώταται τίς δ᾽ οὔ φησιν; ἀλλ᾽ οὐκ ἀναγκαῖον ὑπερβάλλειν ἐν ᾧ τοὐλάττονα κίνδυνον. ἔστω γὰρ εἰ τύχῃ τριῶν κοτυλῶν ἡ σύμμετρος ἀφαίρεσις, εἰ μὲν δ᾽. ἀφέλοις ἔβλαψε μέγιστα. δύο δ᾽ εἰ ἐκκενώσαις ὠφέλησεν μὲν ἱκανῶς, ἔβλαψε δ᾽ οὐδέν. ἔνεστι μὲν γάρ σοι τὴν μίαν ἢ κλυστῆρσιν, ἢ ἀσιτίαις, ἢ τρίψεσιν, ἢ ἱδρῶσιν ἐκκενῶσαι. πρὸς τὸ μὴ δ᾽ εἰ αὖθις αἵματος ἀφελεῖν ἐθέλοις κεκώλυσαι. ἀλλὰ τί πολλὰ λέγω φιλοτιμούμενος ἀντιπαρεξάγειν ἀνθρώποις ἀμαθέσιν, οἳ πρὸς τὸ μηδὲν ἐχόμενον λόγου φλυαρεῖν, οὐδὲ τὰ πρὸς αὐτῶν ἐπαινούμενα γινώσκουσι. θαυμάζουσι μὲν γὰρ τοὺς Ἐρασιστράτου λόγους καὶ τοὔνομα ἐπ᾽ αὐτοῖς †ἐπ᾽ ἐκείνου τίθενται, προσαγορεύοντες Ἐρασιστρατείους, οὕτω δὲ αὐτῶν ἀμαθεῖς εἰσὶν, ὥστε πάντα μᾶλλον, ἢ τὴν ἐκείνου γνώμην ἐξηγοῦνται. περὶ γοῦν φλεβοτομίας οὕτω μακρὰ καὶ ἀλλόκοτα ληροῦσιν, ὡς ἄν τινα μὴ τὴν ἀμάθειαν αὐτῶν μόνον, ἀλλ᾽ ἤδη καὶ τὴν ἀναισχυντίαν θαυμάσαι. σαφῶς γὰρ αὐτοῦ λέγοντος Ἐρασιστράτου ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, ἐν ᾧ καὶ μόνῳ φλεβοτομίας ἐμνημόνευσε, ὅτι Χρύσιππος ὑπὲρ τοῦ διαρκέσαι τὸν κάμνοντα ταῖς ἀσιτίαις ἀναγκαίως παραληφθησόμενον διὰ τὰς φλεγμονὰς, οὐκ ἀφῄρει τοῦ αἵματος. αὐτοὶ πάντα μᾶλλον ἢ ταῦτα λέγουσιν. εἶτ᾽ οὖν ἐμὲ βούλει, προσέχειν ἀνθρώποις Ἐρασιστράτου φλυαροῦσιν αὐτὰς ἔχων τὰς Ἐρασιστράτου φωνὰς, οὐδ᾽ ἐμὶ τὸν τρόπον ἡγοῦμαι προσήκειν. ἀκούσωμεν οὖν αὐτοῦ τῶν φωνῶν. πολύ φησιν βέλτιον ὁ Χρύσιππος ἐποίει, οὐ μόνον τὸ παρὸν ἐπιβλέπων, ἀλλὰ καὶ τοῦ ἐπιφερομένου κινδύνου φροντίζων. ἐχόμενος γὰρ τοῦ περὶ τὴν ἀναγωγὴν ὁ περὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι ὁ κίνδυνος ἐκλυθῆναι. σαφῶς γὰρ ἐνταῦθα τὸν κατ᾽ ἔνδειαν κίνδυνον εὐλαβεῖσθαι φησὶν αὐτὸν ὃν ἐξ ἀνάγκης ἀκολουθήσειν οἴεται πλείονι χρόνῳ, διὰ τὴν φλεγμονὴν λιμαγχονουμένου τοῦ ἀνθρώπου, καὶ οὐ δέομαι πάλιν ἐνταῦθα ληρούντων Ἐρασιστρατείων διὰ τί προσφέρειν τροφὰς τοῖς φλεγμαίνουσιν ἀνθρώποις εἶπεν, ἀλλ᾽ αὐτὸν Ἐρασίστρατον ἐξηγούμενον ἑαυτὸν ἔχω, δι᾽ ὧν ἔμπροσθεν ἐμνημόνευσα ῥήσεων. ἐκ μὲν τοῦ τρίτου περὶ πυρετῶν ὑπὲρ τῶν ἐπὶ πλήθει γινομένων φλεγμονῶν. ἐκ δὲ τοῦ πρώτου, περὶ τραύματος. ἐν ἀμφοτέροις γὰρ βιβλίοις οὐχ ἅπαξ, ἀλλὰ πολλάκις ὑπὸ τῶν ἀσιτιῶν κενουμένας τὰς φλέβας ἐπιτηδειοτέρας ἔσεσθαι φησὶ πρὸς τὸ πάλιν εἰς αὐτὰς δέξασθαι τὸ παρεγχυθὲν αἷμα. τί γάρ φησιν; ἀκόλουθον δὲ τούτοις καὶ τὸ μηδὲν προσφέρειν τοῖς τετραυματισμένοις, ὑπὸ τοὺς τῆς φλεγμονῆς καιρούς. κενούμεναι γὰρ αἱ φλέβες τῆς τροφῆς, ῥᾷον παραδέχονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. ὡς κενωτικὸν οὖν βοήθημα ἡ ἀσιτία φλεγμονὰς λύεται. οὐ γὰρ δι᾽ ἄλλο τί φησι αὐτὴν ἐπὶ τῶν φλεγμαινόντων παραλαμβάνειν, ἢ ὅτι κενούμεναι αἱ φλέβες ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. εἶτα, ὦ πρὸς θεῶν, κενῶσαι τις τὰς φλέβας βουλόμενος ἐνὸν ἀλύπως καὶ ταχέως τοῦτο ποιῆσαι, μακρὰ κάμνει. οὐκ οἶδα πῶς ἄν τις μᾶλλον ἑαυτῷ περιπίπτων εὑρεθείη. οὐ φλεβοτομῶ φησὶν ἵν᾽ ὁ κάμνων ἐξαρκέσῃ τὰς διὰ τὰς φλεγμονὰς ἀσιτίας. τινὸς δὲ χάριν τὰ φλεγμαίνοντα λιμαγχονεῖς; ἵνα κενώσω φησὶ τὰς φλέβας. τί οὖν οὐκ ἀπ᾽ ἀρχῆς ἐκένους; ἐγὼ μὲν οὖν ἐλεῶ τῶν ἁμαρτημάτων τὸν ἄνδρα· πρὸς γὰρ οἷς ἐναντίοις ἐστὶν, οὐ τοῖς φαινο-

†θαυμάζω δὲ seu θαυμαζέσθω δέ

†ἀπ᾽

μένοις μόνον ἐπὶ τῶν τέχνην ἔργοις, ἀλλὰ καὶ τοῖς ἑαυτοῦ λόγοις, ἔτι καὶ τοῦτο ἀγνοῶν εὑρίσκεται, τίνος ἕνε-
κεν ἀσιτίαι παραλαμβάνονται, καίτοι τὴν χρείαν αὐτῶν ἱκανῶς τε ἅμα καὶ σαφῶς Πραξαγόρας ἔφθανεν γεγρα-
* φέναι, πρὸς τὸ μὴ δὲ Ἱπποκράτην παραλιπεῖν, μὴ δὲ Διοκλέα. οὐδὲ οὕτω χρηστός, ὥστε ὑπὲρ τοῦ κενῶσαι τὰς
φλέβας οἴεται τὰς ἀσιτίας παραλαμβάνεσθαι, καὶ ταύτῃ μόνον βοηθεῖν. εἶτα πρὸς διός, κενωτικοῦ δεόμενος
βοηθήματος ἐπὶ τὸ πάντων ἀσθενέστατον ἀφῖξαι, παρελθὼν τὰ δραστικὰ, καὶ ταχέως ἄγειν ἐφ᾽ ὃ βούλει δυνά-
μενα. ἀλλ᾽ ἔστω συγχωρείσθω σοι καὶ τοῦτο τὰς ἐπὶ τραύμασι φλεγμονὰς οὕτω θεραπεύειν, ὡς τὰς ἐπὶ πλήθει, τί
* ποιήσομεν αὐτὸ τὸ πλῆθος ἐν ταῖς φλεψὶν ἔτι μένον καὶ διατεῖνον αὐτάς, εἰς δὲ τὰς ἀρτηρίας οὕτω παρὸν
ὅπως ἰατέον; ἐγὼ μὲν γὰρ ᾤμην ἐπὶ τῶν τοιούτων ἁπάντων ἑτοιμοτάτην εἶναι τὴν διὰ φλεβὸς κένωσιν. ἐπὶ θώ-
ρακα φερέσθω τὸ πλῆθος, κινδυνευέτω τι τῶν ἐν τούτῳ ῥαγῆναι ἀγγεῖον, οὐδ᾽ οὕτως φλεβοτομήσομεν, ἀλλ᾽ ἐρίοις
δηλαδὴ διαδήσομεν τὰ κῶλα. καὶ τοῦθ᾽ ἱκανὸν εἰ πρὸς θεῶν ἀντισπαστικῷ βοηθήματι χρώμενος, οὐκ ἴσθι
ὅτι πολὺ τούτου δραστικώτερον ἀντισπάσεως φλεβοτομία. πολλῶν γοῦν ἀνεπισχέτως αἱμορραγούντων τεμόν-
τες φλέβα τὴν αἱμορραγίαν ἐστήσαμεν. Ἐρασίστρατον δ᾽ οἶμαι καὶ τοῦτ᾽ ἀγνοεῖν. οὐδὲ γὰρ τὸ τυχόν ἐστιν εἰδέναι
ποίας ἐπὶ ποίοις μέρεσιν αἱμορραγοῦσιν τμητέον φλέβας. ὅταν οὖν αὕτη τὰ μέγιστα δρᾷ ὧν νῦν δεόμεθα,
παρῆκε τὸ κενοῦν καὶ τὸ ἀντισπᾶν. τί μέλλεις ἔτι καὶ τρίβεις τὸν χρόνον, καὶ τὸν ἄνθρωπον ἐπιτρίβεις; ἐνὸν κε-
νῶσαι καὶ τὴν ῥῆξιν αὐτὴν τῶν ἀγγείων, καὶ τὴν ἐπὶ ταύτῃ φλεγμονήν, καὶ τὰς ὑπὲρ τοῦ τὴν φλεγμονὴν ἰά-
σασθαι παραλαμβανομένας λιμαγχονίας; εἰ γὰρ τὸ πλῆθος ἐργάζεται τὴν ῥῆξιν ἐκκενώσας τὸ ἐργαζόμενον,
κωλύσεις τὸ ἐσόμενον. εἰ δὲ τοῦτο, καὶ τὴν ἐπὶ τῇ ῥήξει φλεγμονήν. εἰ δὲ τοῦτο, οὐδὲ τῶν ἀσιτιῶν ἔτι χρεία. σὺ δέ
μοι δοκεῖς ὥσπερ ἐπιθυμῶν ἀσιτίαν συμβουλεύειν αὐτὸς ἐργάζεσθαι πάθη χρήζοντα λιμαγχονίας, τί δ᾽ ἐνὸν ἦν
τὸ λυποῦν κενώσαντα, μηδὲ ἔχειν πρᾶγμα; καίτοι μάτην πολλὰ κάμνω πρὶν ὑπομνῆσαι σε τὸν λόγον. εἰ
γὰρ οὐκ αὐτὸς ἡμᾶς ἐδίδαξας, ἐν τῷ προτέρῳ τῶν ὑγιεινῶν ἔνθα γένεσιν τοῦ κατὰ τὰς φλέβας πλήθους πρό-
τερον ἐφεξῆς γράφεις ἰάματα, σκοπὸν μὲν αὐτῶν ἁπάντων κένωσιν θέμενος, ἄλλην δ᾽ ἄλλῳ συμφέρειν φάσκων.
πλὴν ἀλλά γε κενοῦντα τὴν πληθώραν, οὕτως γὰρ ἀξιοῖς καλεῖν τὴν ἐν ταῖς φλεψὶ τροφῆς πλῆθος, καὶ γυ-
μνάσια, καὶ λουτρὰ πλείω, καὶ λεπτὴν εἶναι κελεύεις. οὐ ταυτὸν δὲ πᾶσι συμφέρειν φῂς βοήθημα κενωτικόν,
ὅτι μήτε πάντες εἰθισμένοι χρῆσθαι πᾶσιν, ἀλλ᾽ οἱ μὲν, λουτροῖς μᾶλλον, οἱ δὲ γυμνασίοις, οἱ δὲ τοῖς μετὰ δεῖ-
πνον ἐμέτοις, καὶ ὅτι μὴ τοῖς αὐτοῖς ἅπαντες ἁλίσκονται νοσήμασι. ἀλλ᾽ ὁ μέν τις ἐπιληψίαις, ὁ δ᾽ αἵματος
πτύσεσι, ὁ δὲ τοῖς καθ᾽ ἧπαρ, ἢ σπλῆνα πάθεσιν. οὐκ οὖν οὔτε τὸν ἐπίληπτον ἐπιχειρήσομεν βαλανείοις κε-
νοῦν, ὡς σὺ φῄς, ὀρθῶς τοῦτο κελεύων. οὐδ᾽ ἐφ᾽ ᾧ τις φόβος ἀγγεῖον ἐν θώρακι ῥαγῆναι γυμνάσομεν. κίνδυνος γὰρ
δηλαδὴ ταῖς τῶν γυμνασίων συντονίαις, εἰ καὶ μὴ πλῆθος ἦν, ἀλλ᾽ ὡς διὰ ἀσθένειαν κατὰ θώρακα ῥαγῆναι
γυμναζομένων. ὅπως οὖν αὐτὸν ἰασόμεθα δίδαξον ἡμᾶς. ὅτι μὲν γὰρ κενωτέον ἐστὶν ὁμολογεῖς καὶ σύ. κενωτι-
κὰ δ᾽ ἔχομεν βοηθήματα γυμνάσια καὶ λουτρὰ πλείω, καὶ λεπτὴν δίαιταν. ἀλλὰ γυμνασίοις μὲν οὐδ᾽ αὐ-
τὸς ἀξιοῖς χρῆσθαι. περὶ δὲ λουτρῶν, σὺ μὲν ὅλως οὐδὲν εἶπας, οὔτ᾽ εἰ χρηστέον, οὔτ᾽ εἰ μὴ χρηστέον ἐπὶ τῶν οὕτως
ἐχόντων. ἐγὼ δ᾽ ἐρῶ τὸ φαινόμενον αὐτὸ καὶ τῇ πείρᾳ κεκριμένον. εἰ δέ τι χρὴ καὶ περὶ σοῦ μαντεύσασθαι, καί-
τοι τάχα ἂν δόξαι. σὺ γοῦν αὐτὸς ἐντὸς ἐν τῷ περὶ αἵματος ἀναγωγῆς συγγράμματι, διαδεσμοῖς τε ἅμα καὶ
ἀσιτίαις χρώμενος ὑπὸ τούτων μὲν ἀντισπᾶσαι τοῦ πλήθους, τοῦ δὲ κενῶσαι βαλανείοις οὐ χρῆ. λογίζομαι γάρ
σε φθεγγόντα τὸ λουτρὸν ἐπὶ τῇ ἐρρωγυίας ἤδη φλεβός, οὐ δ᾽ ἔφης εἰ ἐπίδοξος ἡ ῥῆξις ἐθελῆσαι ἂν χρήσασθαι.
εἰ δὲ καὶ μὴ σὺ οὕτως ἐγίνωσκες, ἀλλ᾽ ἐμοὶ τὸ φαινόμενον ἀρκεῖ. μεγίστη γὰρ αἱμορραγίαις ἁπάσαις ἡ ἐκ βαλα-
νείου βλάβη, καὶ ἡ αἰτία πρόδηλος, εἴγε δὴ χεῖται μὲν τὸ αἷμα καὶ εἰς ἀτμοὺς λύεται, καὶ τὰ πνεύματα τοῦ τε
θερμαινομένου, ὥστε καὶ εἰς κίνησιν προτρέπεσθαι, καὶ εἰς ὄγκον αἴρεσθαι. μαλακὰ δὲ καὶ ἀσθενῆ ταῖς θερμο-
λουσίαις ἀποτελεῖται τὰ σώματα. πῶς δὴ οὖν οὐκ ἂν ῥᾷστα πάθοι αὐτά γε μαλακώτερα γενόμενα, καὶ τοῦ ῥι-
γνῦντος αὐτὰ κίνησίν τε ἅμα καὶ ὄγκον προσλαβόντος; οὐκ οὖν οὐδὲ ἐν βαλανείοις ἐπιχειρήσομεν κενοῦν οἷς φό-
βος διὰ αἵματος πλῆθος ῥαγῆναι τὰς φλέβας εἰς λοιπὸν τὸ τρίτον συγκλειόμεθα τῶν κενωτικῶν βοηθημάτων
τὴν λεπτὴν δίαιταν. ἄγε δὴ ἐπεὶ δὴ ~~ἐπεὶ δὴ~~ ταύτην αὐτὸς σὺν τρισὶ τρόποις ἐργάζῃ λεπτὰ ἢ μικρὰ καὶ ἄ-
τροφα σιτία προσφέρων, ἢ οὐδ᾽ ὅλως προσφέρων, ἢ ἐμεῖν ἀπὸ δείπνου κελεύων. ἴδωμεν οὖν ὅπως λεπτῶς διαι-
τήσομεν. ἆρά γε μετὰ δεῖπνον ἐμεῖν κελεύσαντες, ἀλλ᾽ εἰς τὴν ἐν τοῖς γυμνασίοις συντονίαν εὐλαβηθείημεν,
εἴπου γέ τι καὶ πρὸς τοὺς ἐμέτους ἀδεῶς χρησόμεθα. τοῦτο μὲν οὐδ᾽ ἂν ἰδιώτην λάθοι. λοιπὸν οὖν ἢ ἀσιτίαν προσάξο-
* μεν, ἢ μικρὰ καὶ ἄτροφα σιτία δώσομεν. ἀλλ᾽ εἰ καὶ μὴ ἰσχυρῶς τὰ τοιαῦτα, τρέφει γοῦν. ἡμεῖς δ᾽ οὐ προσθεῖναι
νῦν ἀλλ᾽ ἀφελεῖν βουλόμεθα. λοιπὸν ἄρα τὴν ἐπίπονον καὶ μοχθηρὰν ὄντως, ὥσπερ τινὰ ἱερὰν ἄγκυραν εἰς ἅπαν-
τα πάθη διαρκῆ, παραληψόμεθα λιμοκτονίαν. εἶτα δηλαδὴ σκεψόμεθα Ἀπολλώνιον καὶ Δέξιππον ἐπὶ λιμαγχο-
νίᾳ, καίτοι καὶ τοῦτ᾽ αὐτὸς ἐδίδαξε, βούλομαι μᾶλλον ὑπομνῆσαι. καὶ γὰρ αὐτός μοι δοκεῖς αἰσθάνεσθαι περὶ τῆς ἀσι-
τίας, ὡς οὐ κενωτικοῦ βοηθήματος. ἀποδείξας δὲ πρότερον ὃ βούλομαι τηνικαῦτα δὴ καὶ τὰς παρὰ σοῦ μαρτυρίας
μνημονεύσω. ἡ ἀσιτία οὐδέπω τῶν ὄντων τι πραγμάτων ἐστίν, οὐ μᾶλλον ἢ τυφλότης, ἢ κωφότης, ἀλλὰ πάντα
τὰ τοιαῦτα στερήσεις τῶν ὑπαρχόντων εἰσί. αὐτὸ μὲν γὰρ τὸ προσενεγκεῖν σιτία τῶν ὄντων ἐστὶν ὅθ᾽ αὐτὴν καὶ
τὸ ἔργον εὑρήσεις ὑπάρχειν θρέψιν τοῦ σώματος. τὸ μὴ προσενέγκασθαι οὐ ταυτὸν τῶν ὑπαρχόντων ἐστὶν, οὔτ᾽
ἔργον αὐτοῦ δεῖξαι δυνήσῃ, καθάπερ ἱδρώτων μὲν καὶ φλεβοτομίας, καὶ κλυστῆρος, κένωσιν, ἐδεσμάτων δὲ θρέ-
ψιν. μέση τοίνυν ἀμφοῖν ἐστὶν ἡ ἀσιτία τοῦ τε κενοῦν καὶ τοῦ τρέφειν. οὔτε γὰρ τρέφει οὔτε κενοῖ. ὅπως ἂν φησὶν ἀπέ-
θανον πολλοὶ κατ᾽ ἔνδειαν ἀχρείᾳ σιτίων. οὐ τῇ τῶν σιτίων ἀχρείᾳ φήσομεν, ἐπεὶ οὕτω γ᾽ ἂν οὐδὲ τὰ φωλεύοντα
ζῶα τροφῆς ἀχροῦντα διαρκεῖν ἐδύνατο. διαρκεῖ δέ γε, καὶ τοῦτ᾽ αὐτὸς ὁ Ἐρασίστρατος λέγει καὶ τὴν αἰτίαν προ-
στίθησιν. ἅπαν γάρ φησι τὸ ἐπὶ τὴν ἐκτὸς ἐπιφάνειαν διαπνεῖσθαι πέφυκεν, ἀλλ᾽ ἢ πλέον ἢ ἧττον ὡς ἂν καὶ μα-
νότητος.

νότητος ἔχει, τοῦ δ' ἧττόν τε καὶ μᾶλλον γίνεσθαι μανὴν τὴν ἐπιφάνειαν, ἄλλαι τέ τινες αἰτίαι καὶ οὐδὲ μιᾶς ἐλάττους αἱ κατὰ θερμασίαν καὶ ψύξιν, καὶ ἡσυχίαν, καὶ κίνησιν τροπαὶ τοῦ σώματος, θερμοῦ μὲν γὰρ ὄντος τοῦ περιέχοντος ἀέρος καὶ τοῦ ζώου γυμναζομένου πλεῖστον ἀπορρεῖν. ἐπὶ δέ γε τοῖς ἐναντίοις, κρύους τοῦ περιέχοντος καὶ ἀκινησίᾳ τοῦ ζώου πυκνοῦσθαι μὲν τὴν ἐκτὸς ἐπιφάνειαν, ἀπορρεῖν δὲ ἢ μηδὲν, ἢ παντάπασιν ὀλίγον. καὶ διὰ τοῦτο μὴ δεῖσθαι τροφῆς τὰ φωλεύοντα. ἅτε γὰρ ψυχρῶν μὲν καὶ ἀργῶν καὶ παχέων τῶν καθ' ὅλον τὸ σῶμα διὰ τὴν ἡσυχίαν γιγνομένων, πυκνουμένης δὲ τῆς ἐκτὸς ἐπιφανείας ἐν τῷ χειμερινῷ κρύει, καθ' ἣν ὥραν φωλεύει τὰ ζῶα μηδὲν ἐκτὸς ἀπορρεῖν. οὔκουν οὐδὲ τοῦ πληρώσοντος, τὸ κενούμενον δεῖσθαι. χρεία δ' ἦν αὕτη τροφῆς, καὶ διὰ τοῦτ' ἐπ' αὐτὴν ὀρέγεται τὰ ζῶα τὴν ἐκ τῆς κενώσεως ἔνδειαν ἰώμενα. σαφὲς οὖν ὅτι τῆς μὲν ἐνδείας ἡ καθ' ὅλην τὴν ἐπιφάνειαν κένωσις αἰτία, καὶ χρεία σιτίων ὑπὲρ τοῦ τὸ κενούμενον ἀναπληρῶσαι. τῆς οὖν αἰτίας ἀπολλυμένης δι' ἣν ὅλως ἐδεῖτο τὰ ζῶα σιτίων, ἀνάγκη πᾶσα καὶ τὴν χρείαν συναπόλλυσθαι; καὶ διὰ τοῦτο οὐ δεῖται τὰ φωλεύοντα σιτίων, ὅτι μηδὲ προσθέσεως. σαφῶς οὖν ἐμάθομεν ὡς οὐχ ἡ ἀσιτία κενοῦν πέφυκεν, ἀλλ' ἡ τοῦ δέρματος μανότης. εἰ δὲ τοῦτο πυκνώσαις ἡσυχίᾳ καὶ κρύει, τί τῆς λιμαγχονίας ἔτ' ὄφελος; καὶ μὴν ἀναγκαῖον ἄμφω φυλάξασθαι καὶ τὰ γυμνάσια καὶ πᾶσαν ἀλέαν, ᾧ κίνδυνος αἷμα πτύσαι. τὰ μὲν γὰρ τῇ συντονίᾳ ῥηγνύναι πέφυκε τὰς φλέβας. αἱ θερμασίαι δὲ κατὰ τὸν αὐτὸν λόγον καὶ τὰ λουτρά. μὴ θερμαίνων μὲν ἄρα κενώσεις τὸ σῶμα, θερμαίνων δὲ ἢ γυμνασίοις ἢ λουτροῖς μέγιστα βλάψεις τὴν πρὸς τὸ ῥήγνυσθαι τῶν φλεβῶν αὐτῶν ἐπιτηδειότητα. τί δὴ λοιπὸν ἔτι συμβουλεύσομεν τοῖς ὧδε κάμνουσιν. αἱ μὲν γὰρ ἀσιτίαι χωρὶς τοῦ γυμνάζεσθαι τὸν ἄνθρωπον, ἢ ἄλλως ὁπωσοῦν θερμαίνεσθαι, κενοῦν οὐ δύνανται. φλεβοτομίαν δὲ ὡς ἐοίκαμεν ἐσχάτως φεύγομεν, ὥσπερ οἶμαι καὶ τὰς ἰσχυρὰς καθάρσεις. θαυμαστὴ γὰρ ἡ εὐπορία τῶν κενωτικῶν βοηθημάτων εἰς ἀσιτίαν κατακλεισθέντων. εἰ μὲν μόνῃ χρησόμεθα πλέον οὐδὲν ἕξομεν, οὐ γὰρ κενοῖ μόνη, σὺν δὲ τῷ κενοῦν πέφυκε μείζονα ταύτας τὰς ἄλλας βλάβας τῆς ἐκ τοῦ κενοῦν ὠφελείας ἔχει.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΦΛΕΒΟΤΟΜΙΑΣ
ΠΡΟΣ ΕΡΑΣΙΣΤΡΑΤΕΙΟΥΣ ΤΟΥΣ ΕΝ ΡΩΜΗ.

Ὅτε τὸ πρῶτον ἧκον εἰς Ῥώμην εὗρον τινὰς ἰατροὺς εἰς τοσοῦτον φυλαττομένους φλεβοτομίαν, ὥστε ἐνίοτε διὰ πλῆθος ἀνθρώπου πνιγομένου, μηδὲ τότε χρῆσθαι τῷ βοηθήματι, καί τινα γυναῖκα τῇ μὲν ἡλικίᾳ σχεδὸν ἐτῶν κα΄. ἐξ ἐπισχέσεως τῆς ἐμμήνου καθάρσεως ἐρυθρόν τε τὸ πρόσωπον ἔχουσαν καὶ βήττουσαν ἀτρέμα καὶ δυσπνοοῦσαν ἤδη πως σμικρὰ διαδοῦντας ἐρίοις δεσμοῖς τὰ κῶλα, καὶ ἀσιτεῖν κελεύοντας, οὔτε δὲ αὐτοὺς φλεβοτομοῦντας, ἡμᾶς τε κωλύοντας, ἐπεὶ ὡς συνήθεις ἦν τοῖς οἰκείοις τῆς γυναικὸς, καὶ πρεσβεύονται μᾶλλον ἐπιστεύοντο. πείθειν μὲν αὐτοὺς ἔτι περὶ τῆς φλεβοτομίας οὐδὲ ἐπεχείρησα, προσανηρώτησα δ' εἰ μὴ κωλύοιεν ἐρεθίζειν ἐπὶ μήτραν τὸ αἷμα τοῖς τοῦτ' ἐργάζεσθαι δυναμένοις φαρμάκοις. ὡς δὲ συνεχώρησαν ἑτοίμως τὴν συνήθη τῇ καμνούσῃ μαιεύτριαν ἐξ ὑστέρων ἐπὶ τὴν χρῆσιν αὐτοῦ προὔτρεπον. ἡ δὲ κεχρῆσθαι καθ' ὃν ἐχρῆν καιρὸν ἔλεγεν, ἡνίκα ἐπίδοξος ἡ ἔμμηνος ἦν ἔσεσθαι κάθαρσις. ἐμέμνητό τε τῶν φαρμάκων, ἃ προσήνεγκε τῇ γυναικὶ δοκίμων ἁπάντων ὄντων, ὡς μὴ δόξαι τινὰ τῇ τούτων ἀσθενείᾳ τὴν βοήθειαν ἄπρακτον γενέσθαι. ταῦτα τε οὖν ἐγὼ πυθόμενος ἔτι τε πρὸς τούτοις ὅτι τέταρτος εἴη μὴν πεπληρωμένος τῆς ἐπισχέσεως τοῦ αἵματος, αὖθις ἐντυχὼν τοῖς ἰατροῖς ἐπεχείρουν πείθειν ἐπὶ τὴν φλεβοτομίαν ἀφικέσθαι. μὴ βουληθέντων δὲ, θαυμάζων εἰ διὰ μὲν τῆς μήτρας ἐκκενῶσαι τὸ περιττὸν αἷμα σπουδάζουσιν, ἀναστομώσαντος δηλαδὴ φλέβας ἐνταῦθα πολλὰς, ἄλλης δέ τινος φλεβὸς τμηθείσης, ἡγοῦνται βλαβερὰν ἔσεσθαι τὴν κένωσιν. τῶν δὲ εἰπόντων ὑπὸ μόνης τῆς ἀσιτίας κενωθῆναι δύνασθαι τὸ πλεονάζον αἷμα, χωρὶς τοῦ προσαχθῆναι βοήθημα τοιοῦτον, σιωπήσας ἀπηλλαττόμην, οὐδὲν χρηστὸν ἐλπίζων ἐπὶ τῇ γυναικὶ, διά τε τὴν βῆχα καὶ τὴν δύσπνοιαν. ἢ γὰρ αἷμα τι πτύσειν αὐτὴν ἐκ θώρακος, ἢ πνεύμονος, ἀγγείου ῥαγέντος, ἢ πάντως γε συναγχικὴν, ἢ πλευριτικὴν, ἢ περιπνευμονικὴν ἔσεσθαι προσεδόκων. ἐβουλόμην τε μᾶλλον, ὡς ἐν κακῶν αἱρέσει, πλευριτικὴν γενέσθαι τὴν γυναῖκα, δεδιὼς τῆς μὲν, ἐν συνάγχῃ τε καὶ περιπνευμονίᾳ τὴν ὀξύτητα τοῦ κινδύνου, τῆς δὲ, ἐν τῷ πνεύμονι ῥήξεως ἀγγείου, τὸ θανατῶδες, ἅπερ οὖν καὶ συνέβη γενέσθαι. βηξάσῃ γὰρ αὐτῇ συντονώτερον αἷμα συνανήχθη. καὶ ἤδη καὶ τῶν ἰδιωτῶν οὐκ ὀλίγοι τοῖς κωλύσασι φλεβοτομηθῆναι τὴν ἄνθρωπον ἐμέμφοντο. καὶ πάντως, εἰ καὶ μὴ πρόσθεν, ἀλλὰ νῦν γοῦν, ἤλπιζον αἰδεσθέντας αὐτοὺς συγχωρῆσαι τῷ βοηθήματι. τῶν δὲ μὴ δὲ τότε ἐπιτρεπόντων, ἀλλὰ τά τε τῶν κώλων δεσμὰ ἐπισφίγγειν σφοδρότερον ἀξιούντων, ἐρεθίζειν τε διὰ μήτρας, ἐπιμένειν τε ταῖς ἀσιτίαις, ἐγὼ μὲν ἐχωρίσθην, ὡς ἂν μηδὲν ἀνύσειν ἐλπίζων, διά τε τὴν ἡλικίαν τῶν ἀνδρῶν, καὶ τὴν δόξαν. ἡ γυνὴ δ' ἀπέθανεν οὐ μετὰ πολὺν χρόνον, ἀνιάτου δυσπνοίας συμβάσης. καὶ μὲν δὴ καὶ συναγχικῶν ὑπὸ τῶν αὐτῶν τούτων ἰατρῶν κωλυθέντων φλεβοτομῆσαι διὰ ταχέων ἀποθανόντων. καὶ πάλιν ἄλλον τινὰ, ἦρος ὥρᾳ, δι' ὅλου μὲν τοῦ χειμῶνος ἐμπεπλησμένον ἄνευ γυμνασίων, ἐρυθροὺς δὲ οὕτω τοὺς ὀφθαλμοὺς ἔχοντα, καὶ τὸ πρόσωπον ὅλον, ὡς εἰ καί τις μὲν ἐρείσας χαμαὶ τὴν κεφαλὴν, ὑψηλὰ δ' ἀνατείνας τὰ σκέλη, χρονίσει ἐν τούτῳ τῷ σχήματι, πεμπταῖος οὗτος δυσπνοήσας ἐπνίγη. τετάρτην ἐπὶ τούτων γυναῖκα τῆς ἐμμήνου καθάρσεως ἐπεσχημένης οὐκ ὀλίγου χρόνου κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ θάνατον ἐπώδηγουν οἱ τῆς φλεβοτομίας ἐχθροί. τὰς τρεῖς μὲν ἡμέρας ἐν πρώτοις ἐν ἀσιτίᾳ φυλάξαντες, καὶ γὰρ καὶ ὁ πυρετὸς ἦν αὐτῇ συνεχής. τῇ τετάρτῃ δὲ δόντες αὐτῇ ὀλιγοστόν τι ῥοφήματος, εἶτα τῇ πέμπτῃ πάλιν ἀσιτεῖν κελεύσαντες, ἐν ᾗ καὶ προεξωσθεῖσα σφοδρότερον ἀνεπήδα τε παραφρονοῦσα, καὶ διὰ τῶν θυρῶν ἐκτὸς ἔθει κεκραγυῖα, καὶ μόγις αὐτὴν οἱ παρόντες ἠδύναντο κατέχειν. ἀλλὰ ταύτην γε ἡ φύσις ἔσωσεν, αἷμα ἐκ μυκτήρων ἐκχέασα

πάμπολυ. καὶ ἦν θαυμάσαι τε ἅμα καὶ διδαχθῆναι πηλίκην ἔχει δύναμιν εἰς τὴν τῶν τοιούτων παθημάτων
ἴασιν αἵματος ἀφαίρεσις. αὐτίκα γοῦν ἐπὶ τῇ διὰ τῶν μυκτήρων αἱμοῤῥαγίᾳ πάντων ἀπήλλακτο τῶν συμπτω-
μάτων ἡ γυνή. ἔμπροσθεν μὲν οὖν ἐδεδίεσαν εἰς λόγους ἰέναι τοῖς ἰατροῖς, εἰκάζων ἃ μέλλουσιν ἐρεῖν εἰς τὸ μὴ χρῆ-
σθαι τῇ φλεβοτομίᾳ. φανερῶς δὲ δόξασης ἅπασι σωθῆναι τῆς γυναικὸς ἐπὶ τῇ κενώσει τοῦ αἵματος, ἀνεμέμνησκε
αὐτοὺς τῶν ἀποθανόντων, ὡς εἰ καί τις ἐκείνους ἐφλεβοτόμησεν, ἴσως ἂν ἐσώθησαν, ἔλεγόν τε τινὰς ἐπὶ τούτων λο-
γισμούς, οἱ δὲ περιέπλεκον μὲν ἄνω καὶ κάτω τοὺς λόγους ἑλίττοντες, ἐπέραινον δ' οὐδέν, ἀλλὰ καὶ τελευτῶντες
ἐπὶ τὸν Ἐρασίστρατον κατέφευγον ἐν μὲν τῷ περὶ αἵματος ἀναγωγῆς βιβλίῳ, φάσκοντες ἀποδεδεῖχθαι πρὸς
αὐτοῦ κάλλιον εἶναι τοῦ φλεβοτομεῖν, τὸ διαδεῖν τὰ κῶλα, κατά τε τὴν περὶ τῶν πυρετῶν πραγματείαν, μὴ δὲ ὑπο-
μνησθῆναι τὴν ἀρχὴν τῆς φλεβοτομίας αὐτόν, ὡς ἂν ὧν δὴ ἔδειξεν ἐν τῷ περὶ αἵματος ἀναγωγῆς μεμνημένον. καὶ
γὰρ ἂν ἦν ἔφασαν γελοῖος εἰ παραιτησάμενος τῆς φλεβοτομίας ἐπὶ τοῦ μάλιστα δεῖσθαι δοκοῦντος πάθους ἔμελ-
λεν ἔτι περὶ τῶν ἄλλων ἐρεῖν. τὸν αὐτὸν δὲ τοῦτον Ἐρασίστρατον οὐ μόνον ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ σε-
σιγηκέναι περὶ τῆς φλεβοτομίας ἔλεγον, ἀλλὰ κἀν ταῖς ἄλλαις ἁπάσαις. οὔτε γὰρ ἐν τῇ τῶν κατὰ τὴν κοιλίαν πα-
θῶν, οὔτε ἐν τῇ τῶν παρέσεων, οὔτε ἐν τῇ περὶ ποδάγρας, ἀλλ' οὐδὲ ἐν τῇ τῶν ὑγιεινῶν κεχρῆσθαι φλεβοτομίας. καίτοι
τὸ πλῆθος γε τοῦ αἵματος ἐν τοῖς ὑγιεινοῖς συγγράμμασι μάλιστα αὐτὸν αἰτιᾶσθαι τῶν νόσων. ἐμοῦ δ' ἀποθαυμά-
ζοντος τε τὰ λεγόμενα, καὶ τοσοῦτον ἔτι προσανερωτήσαντος αὐτούς, εἰ μηδέ ποτε χρηστέον ἐστὶ φλεβοτομίᾳ, μηδ'
ἂν περιπνευμονικός τις ᾖ, ἢ συναγχικῶς πνιγόμενος τύχῃ. μηδ' ἂν ἐξ ἐπισχέσεως ἐμμήνου καθάρσεως, ἢ αἱ-
μοῤῥοΐδος ἐπὶ θώρακα ὠθεῖται τὸ πλεονάζον αἷμα. καὶ πρὸς τούτοις ἀπεκρίναντο προχειρισάμενοι τοὺς ἐν τοῖς
τῶν διαιρέσεων βιβλίοις Ἐρασιστράτῳ γεγραμμένους ἀῤῥώστους, καὶ μάλιστα αὐτῶν τὸν Κρίτωνα, καὶ τὴν ἐκ τῆς Χίου παι-
δίσκην. τὸν μὲν γὰρ ἐξ ἀρχῆς συναγχικῶς ἐνοχλούμενον, ἅμα δὲ καὶ πληθωρικὸν ὄντα, καθάπερ αὐτὸς ὁ Ἐρασί-
στρατος ἔγραψεν. τὴν δέ, τῶν καταμηνίων ἐπισχημένων καὶ τοῦ πλήθους ὁρμήσαντος ἐπὶ πνεύμονα μὴ φλεβοτο-
μῆσαι τὸν ἄνδρα. λεγόντων δ' αὐτῶν ἔτι ταῦτα, Τεύθρας τις ἐμὸς πολίτης ἅμα καὶ συμφοιτητής, ἦν δὲ πά-
νυ τὸν τρόπον ἐλεύθερος, οὐ κάμψεις ἔφη τούτους ποτέ, τοὺς μὴ δὲ ἄχρι τοσούτου σωφρονοῦντας, ὡς μεμνῆσθαι τῶν δι'
Ἐρασίστρατον ἀποθανόντων. διατί γὰρ ἄλλο ἔφη τοὺς προκεχειρισμένους ὑπ' αὐτῶν ἀῤῥώστους ἀποθανεῖν συνέβη,
πλὴν ὅτι παρελείφθη τὸ τῆς φλεβοτομίας βοήθημα; διατί δὲ ἄλλο τοὺς πρῴ ὑπὸ τούτων κωλυθέντας κενωθῆναι;
καὶ πάντας ἑξῆς αὐτοὺς ὀνόματι κατέλεξεν ἅμα ταῖς διαθέσεσιν ἃς εἶχον, ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα.
καὶ ταῦτα μεθ' ἱδρῶν †ἀνελιττόμενος τὴν χεῖρα, καὶ βίαιον ἐπισπασάμενος ἀπῆγε τῶν ἰατρῶν. τῇ δ' ὑστεραίᾳ προ-
κομίσας τὰ τῶν διαιρέσεων Ἐρασιστράτου βιβλία, τοῖς φιλοσόφοις ἅπασιν ἀνεγίνωσκε, ἅμα μὲν ἐπιδεικνὺς ὅτι
δι' Ἐρασίστρατον ἀπέθανον ἥ τε ἐκ τῆς Χίου παιδίσκη, καὶ Κρίτων, ἅμα προσκαλούμενος τοὺς πρεσβύτας ἰατροὺς
εἰς διάλογον. ἐκεῖνοι μὲν οὖν οὐκ ἀφικνοῦντο, μικρότερον ἑαυτῶν εἶναι νομίζοντες ἁμιλλᾶσθαι νεανίσκου. συνέβη γάρ
πως ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ' ἑκάστην ἡμέραν εἰς τὰ προβαλλόμενα λέγειν ἐν πλήθει. προεβλήθη μὲν οὖν ὑπό τι-
νος, εἰ δεόντως Ἐρασίστρατος οὐ κέχρηται φλεβοτομίᾳ. διῆλθον δ' ὡς ἔδοξε τοῖς τότε ἀκούσασιν ὠφελιμώτατον
πρόβλημα. διὸ καὶ παρεκάλεσεν ὁ Τεύθρας ὑπαγορεῦσαι μεταλελεγμένα τῷ πρὸς αὐτοῦ πεμφθησομένῳ παι-
δί. καὶ γάρ τοι καὶ μέλλων εἰς τὴν Ἰωνίαν ἀποδημῆσαι καὶ ἐξορμήσασθαι πάντως ἔφασκεν ἔχειν αὐτὰ βούλεσθαι. ἐγὼ
μὲν οὖν ἐπείσθην, τε τῷ ἑταίρῳ, καὶ τὸν λόγον ὑπηγόρευσα. συνέβη δ' ἐκπεσεῖν εἰς πολλοὺς τὸ βιβλίον, οὐ κατὰ τὴν
γνώμην ὑπ' ἐκείνου διαδοθέν. ὁ γάρ τοι λόγος οὐ συγγράμματι πρεπόντως, ἀλλ' ἀκουσκείῳ συνέκειτο δεηθέν-
τος τοῦ φίλου καθ' ὃν ἐῤῥέθη τρόπον, οὕτως αὐτὸν ὑπαγορευθῆναι. ἀλλὰ καὶ τοιοῦτος ὢν καὶ πολλὰ λείποντα ἔ-
χων ὡς τὸ τέλεον, ὅμως ἔοικεν ἠνυκέναι μεῖζόν τι τῆς ἐλπίδος. ἐπὶ γὰρ τοὐναντίον ἀφιγμένοι πάντες εἰσὶν οἱ νῦν
ὀνομάζοντες ἑαυτοὺς Ἐρασιστρατείους, ἐφεξῆς τε φλεβοτομοῦσιν ἅπαντας, οὐ μόνον οὓς ὀλίγον ἔμπροσθεν εἶπον,
ἀλλὰ καὶ τοὺς ὁπωσοῦν πυρέττοντας. ὥστε κατὰ τὸν Στησίχορον ἔοικα δεήσεσθαι παλινῳδίας τινός, ἐν ᾗ παρακαλέσω
τοὺς ἄνδρας. ἀπὸ μὲν τῆς κατὰ τοὺς λόγους διατριβῶν ἐρίζειν, εἰς ὅσον βούλονται, φείδεσθαι δὲ τῶν ἀῤῥώστων ἀφαιρουμένους
τὸ σφοδρὸν τοῦ τῆς ἐφ' ἑκάτερον ὁρμῆς. οὔτε γὰρ ἐπέχεσθαι χρὴ φλεβοτομίας διὰ παντός, οὐδ' ἡγεῖσθαι πάντας,
ὅσους ἂν Ἐρασίστρατος ἀσιτεῖν κελεύῃ, δεῖσθαι φλεβοτομίας, ὅπερ οἱ νῦν Ἐρασιστράτειοι φασίν. οὐ μὴν οὐδὲ ῥᾷστον εἶναι
πάντας τοὺς χρῄζοντας τοῦ βοηθήματος διαγνῶναι, καθάπερ οὐδὲ τὸ μέτρον εὑρεῖν, ἢ τὴν τμηθησομένην φλέβα,
καὶ τὸν καιρόν. τόν τε Ἐρασίστρατον αὐτὸν διὰ τοῦτο οἶμαι παραλιπεῖν ἐφ' ἑκάστου τῶν παθῶν, ὥς γε σαφῶς ἐν τῷ μά-
λιστα δεομένῳ φλεβοτομίας ἐκώλυσε χρῆσθαι. ἀλλά τοι φασὶν ἀσιτεῖν κελεύων ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς αὐ-
τοῖς ἔγραψε κατὰ λέξιν ὧδε. κενούμεναι γὰρ φλέβες ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτη-
ρίας. τούτου δὲ συμβαίνοντος ἧττον αἱ φλεγμοναὶ ἔσονται. εἴπερ οὖν ὡς κενωτικὸν βοήθημα τὴν ἀσιτίαν συμβουλεύει,
πολὺ δήπου φασὶ μᾶλλον ἀπὸ φλεβοτομίας ἀφέξεται. ὅτι μὲν οὖν ἐπὶ φλεβοτομίαν ἐχρῆν ἔρχεσθαι μᾶλλον αὐτόν,
ἔνθα ταχέως κενῶσαι βούλεται, κάλλιστα λέγουσι, πλὴν ὅτι κἀνταῦθα παραλείπουσι τοὺς κωλύοντας ἐνίοτε σκο-
πούς, ὧν τοῦ λόγου προϊόντος ἐγὼ μνημονεύσω. ζητεῖται δὲ νῦν οὐχ ἁπλῶς τί βέλτιον ἐστίν, ἀλλ' εἰ φαίνεται χρώμε-
νος Ἐρασίστρατος τῷ βοηθήματι. τούτου δ' οἱ μὲν ἔμπροσθεν ἡνίχ' ἧκον εἰς Ῥώμην τὸ πρῶτον ἅπαντες ἠρνοῦντο τῶν
Ἐρασιστράτου μαθητῶν, †οἱ λοιμωδέστατοι ὡς αὐτὸς οἶδα νῦν ὡς σμικρῷ τινι παραλλάττουσιν αὐτῶν. ἵνα γοῦν ἐάσας τοὺς
ἄλλους Στράτωνος μνημονεύσω, διὰ παντὸς μὲν Ἐρασιστράτῳ συγγενομένου, γράψαντος δ' ἐπὶ τῆς οἰκείας αὐτοῦ,
καὶ διὰ τοῦτο λεγομένου δεδουλευκέναι τῷ ἀνδρί. τά τ' ἄλλα φησὶν ἐκεῖνος Ἐρασίστρατον ἐπαινεῖσθαι δίκαιον εἶναι, καὶ
ὅτι χωρὶς φλεβοτομίας ἐθεράπευσεν ἃ μετὰ τοῦ φλεβοτομεῖν οἱ πρόσθεν ἐπεχείρουν ἰᾶσθαι. καὶ μέν τοι καὶ αὐτὸς ὁ
Στράτων φαίνεται διὰ τῶν ἰδίων συγγραμμάτων ἀεὶ τὰς θεραπείας χωρὶς φλεβοτομίας ποιούμενος. καὶ τί θαυμα-
στὸν Ἐρασίστρατον ἐπειδὴ τὰ πάντα Χρυσίππῳ τῷ Κνιδίῳ προσεσχηκὼς ἀποστῆναι τοῦ φλεβοτομεῖν ὥσπερ κἀκεῖ-
νος, οὕτω δὲ καὶ Ἀριστογένης, καὶ Μήδιος, οἵ τ' ἄλλοι πάντες οἱ ἀπὸ τοῦ Χρυσίππου φαίνονται ποιοῦντες. ὅσον μὲν οὖν
ἐπὶ τῷ

†οἱ δὲ λοιμωδέστατοι οὓς

ἐπὶ τῇ τῶν καμνόντων σωτηρίᾳ, πολὺ βέλτιόν ἐστι πεπεῖσθαι φλεβοτομίᾳ χρῆσθαι τὸν Ἐρασίστρατον. ὡς δ' ἐπὶ τοῖς νῦν Ἐρασιστρατείοις, ἄμεινον μὴ πεπεῖσθαι. μανίας γὰρ ἐσχάτης οἶμαι ἔργον διὰ τὸ τὸν Ἐρασίστρατον ἐφ' ὧν εἰρήκαμεν ὀλίγον ἔμπροσθεν παθῶν σεσιγηκέναι τὴν φλεβοτομίαν, ὅτι κενοῦσθαι τὰς φλέβας ἀξιοῖ, καὶ τοῦτον τίθεσθαι τῆς θεραπείας τὸν σκοπὸν, ὅγε τοι τούτῳ πεισθεὶς ἐφ' ὧν ἂν εὕροι παθῶν Ἐρασίστρατον ἀσιτίαν συμβουλεύοντα, πρόδηλον γὰρ ὡς τοῦτ' ἕπεται τοῖς ὁμότιμον εἰποῦσιν εἶναι βοήθημα τὴν φλεβοτομίαν ταῖς ἀσιτίαις, εἰ δὲ οὐκ ἔστιν ὁμότιμον, ἀλλὰ δεῖται τινῶν διορισμῶν, οὓς ὁ μαθὼν ἐξευρήσει, πηνίκα μὲν ἄμεινόν ἐστι διὰ φλεβοτομίας μόνης τὴν κένωσιν ποιεῖσθαι, πηνίκα δ' ἤτοι διὰ ἀσιτίας μόνης, ἢ δι' ἀμφοτέρων, καταβάλλεται φανερῶς αὐτοῖς ὁ λόγος. ἔγραψε γὰρ ὁ Ἐρασίστρατος τοὺς διορισμοὺς ἐκείνους, εἴπερ, ὡς οὗτοί φασιν, ἔδοξε περὶ τῆς φλεβοτομίας ὡς ὁ λόγος αὐτῶν ἑαυτὸν περιτρέπει καθ' ἑκάτερον. εἰ μὲν γὰρ ὁμότιμόν ἐστι διὰ τοῦτο παρέλιπεν ὁ Ἐρασίστρατος, ἔν τε τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ, καὶ ταῖς ἄλλαις, ὧν ὀλίγα ἔμπροσθεν ἐμνημόνευσα, γράψαι τι περὶ φλεβοτομίας. εἰ δ' οὐκ ἔστιν ὁμότιμον πάντη τὸ τῆς φλεβοτομίας βοήθημα παρὰ τῆς ἀσιτίας, οὐκ ὀρθῶς αὐτοὶ λέγουσιν ἐξ ὧν ἐπὶ τῆς ἀσιτίας ἔγραψεν, εἰς τούτων ἡμᾶς χρῆναι τεκμαίρεσθαι περὶ τῆς φλεβοτομίας. καὶ μὴν ἤδη τοῦτο πάλιν ὁ λόγος αὐτῶν ἑαυτὸν περιτρέπει τὴν ἀσιτίαν ἀποφαίνων ἄχρηστον. εἴπερ γὰρ ὅτι κενουμέναις ταῖς φλεψὶν ἐν ταῖς ἀσιτίαις ἕπεται τὸ λύεσθαι τὰ πάθη, διὰ τοῦτ' αὐτὰς παραλυόμεθα, πολλῷ βέλτιον ἐστὶν ἅπαξ ἐκκενώσαντας τὸ περιττὸν ἀρκεσθῆναι τῶν ἀσιτιῶν, ἀηδίαν τε πολλὴν παρεχουσῶν τοῖς κάμνουσι, καὶ ἀγρυπνίαν, καὶ ἄσην ἐπιφερουσῶν, ἔτι τε στομάχου κάκωσιν, καὶ χυμῶν διαφθορὰν, καὶ γαστρὸς, ἐνίοτε καὶ οὔρων ἐπίσχεσιν. ὅτι δὲ ὄντως Ἐρασίστρατος οὐ κέχρηται τῇ φλεβοτομίᾳ, δῆλον ἐναργῶς ἐστιν ἐκ τῶν ἐν τοῖς διαιρέσεων βιβλίοις γεγραμμένων ἀρρώστων, ἐφ' ὧν διηγούμενος ἅπαντα τὰ πραχθέντα περὶ τὴν θεραπείαν οὐδαμῆ φαίνεται φλεβοτομίας μνημονεύων. ἅπαντας μὲν οὖν αὐτοὺς προχειρίζεσθαι μακρὸν, ἀρκεῖ δ' ἀναμνῆσαι μόνων ἐκείνων, ὧν ὀλίγον ἔμπροσθεν ἔφην τοὺς πρεσβύτας ἰατροὺς μνημονεῦσαι. γέγραπται δ' αὐτῶν ὁ μὲν ἐν τῷ προτέρῳ τῶν διαιρέσεων, ὁ δ' ἕτερος ἐν τῷ δευτέρῳ. καί τοι καὶ νῦν ἤδη καιρὸς αὐτὰς τὰς λέξεις παραγράψαι, καθ' ἃς ὁ Ἐρασίστρατος ἅπαντα διηγεῖται τὰ γινόμενα τοῖς ἀρρώστοις. ἐν μὲν οὖν τῷ προτέρῳ τῶν βιβλίων οὕτως ἔγραψε. τῇ ἐκ τῆς Χίου παιδίσκῃ τὰ μὲν γινόμενα τῶν καθάρσεων τὸ πρότερον ἐπεσχέθη ἐπὶ πλείω χρόνον. εἶτα ἐπῄει τὰ βηχία καὶ ἀναγωγὴ φλέγματος. χρόνου δὲ προϊόντος αἵματος ἀναγωγὴ ἐγένετο, περὶ τὴν τῶν καθάρσεων περίοδον ἑαυτῇ ἀκολουθεῖ ἐνίοτε μὲν διὰ μηνῶν δ', ὅτε δὲ διὰ δύο. εἰ δέ πως ταῖς ἡμέραις ἐν αἷς αἱ καθάρσεις ἐγίνοντο, καὶ ἡ ἀναγωγὴ συνέβαινεν, παρηκολούθει ἐφ' ἡμέρας τρεῖς ἢ τέσσαρας. ὥστε πανταπᾶσιν ἐμφαίνειν ὅτι ἀντὶ τῶν καθάρσεων ταύτην τὴν ἔκκρισιν λαμβάνει. ἐπηκολούθει δὲ καὶ πυρετὸς ἐν ταύταις ταῖς ἡμέραις ἔπειτα ἀπεκαθίστατο. ταῦτα προειπὼν ὁ Ἐρασίστρατος ἐφεξῆς γράφει περὶ τῶν ἰαμάτων αὐτῆς ὧδε. ἐν δὲ τοῖς πρώτοις χρόνοις αὐτὴ ἐπεχείρησε θεραπεύεσθαι ποτήμασί τε καὶ πυριάσεσι, τῇ ὑστεραίᾳ δὲ καὶ προσθέτοις, καὶ τῇ ἄλλῃ διαίτῃ, πρὸς ταῦτα ἁρμοζούσῃ. ἦν γὰρ δή τις καὶ περὶ τὸ στόμα τῆς ὑστέρας οὐκ ἰσχυρὰ σκληρότης, οὐδαμῶς δὲ οὐδὲν ὑπακουούσης τῆς θεραπείας, ἀλλὰ κατά τινα μίαν περίοδον εἰς τὴν ὀσφὺν βάρους ἀπαντήσαντος. ὑγρασίας δὲ οὐδὲ μιᾶς, οὔτε πυρετοὶ συνεχέστεροι ἦσαν, ἢ καὶ τῷ σώματι ὧ ἐνεδίδου, καὶ βῆχες ἠκολούθουν σφοδραί. τῆς μὲν οὖν περὶ τὴν ὑστέραν θεραπείας ἀπέστημεν, ἐργῶδες ὑπολαμβάνοντες εἶναι τῶν πυρετῶν μενόντων καθάρσεις ποιεῖσθαι. τῇ δὲ λοιπῇ θεραπείᾳ χρώμεθα, ὡς εἰθίσμεθα πρὸς τὰ τοιαῦτα τά τ' ἄλλα καὶ πρὸς τὴν θεραπείαν, περίοδον τῶν καθάρσεων προσλαμβανόντων, ὑπεστέλλομεν τὰ σιτία, καὶ ἡ μὲν τοῦ αἵματος ἀναγωγὴ οὐκ ἐγένετο, ἀλλ' ἢ ἅπαξ ἐπὶ βραχὺ, ἀλλὰ μέν τοι οὐδὲν ἔφρασεν, ἀλλά που καὶ ἔτρεχον ἤδη πυώδεις ἀναγωγαί. φλεβοτομίας λόγος ἐνταῦθα οὐδείς, καὶ προσῆκόν γε ἦν, ὡς ἅπαντες ἴσασιν οἱ τῶν ἔργων τῆς τέχνης ἔμπειροι, τὴν ἀρχὴν τῶν βοηθημάτων ἀπὸ φλεβοτομίας ποιεῖσθαι. ἴσως τις φήσει τούτων τῶν ἅπανθ' ἑτοίμως λέγειν οὐκ ὀκνούντων, ὡς οὐ περὶ Ἐρασιστράτου τῆς θεραπείας προσισταμένου ταῦτ' ἐγένετο. διηγεῖται δὲ αὐτὰ νῦν ἡμῖν ἕνεκα τοῦ μηδὲν τῶν πραχθέντων λαθεῖν. ἀλλ' ἐξελέγξει γε τούτους τὸ ἐπιφερόμενον ἔνθα φησί, τῆς μὲν οὖν περὶ τὴν ὑστέραν θεραπείας ἀπέστημεν, ἐργῶδες ὑπολαμβάνοντες εἶναι τῶν πυρετῶν μενόντων τὰς καθάρσεις ποιεῖσθαι, τῇ δὲ λοιπῇ θεραπείᾳ χρώμεθα πρὸς τὰ τοιαῦτα, τά τε ἄλλα, καὶ πρὸς τὴν θεραπείαν περίοδον τῶν καθάρσεων προσλαμβανόντων, ὑπεστέλλομεν τὰ σιτία. ἐν τούτοις γὰρ ὁ Ἐρασίστρατος ἐνδείκνυται σαφῶς οὐχ ἑτέρων θεραπείαν διηγούμενος, ἀλλ' ἑαυτὸν συναριθμῶν τε καὶ συνεπιγράφων ἅπασι τοῖς πραχθεῖσι περὶ τὸν ἄνθρωπον. τὸ γὰρ ἀπέστημεν καὶ ὑπολαμβάνοντες, ἔτι τε τὸ χρώμεθα, καὶ τὸ προσλαμβάνοντες, ἔτι τε πρὸς τούτοις τὸ ὑπεστέλλομεν τὰ σιτία, προδήλως ἐνδείκνυται δυοῖν θάτερον, ἤτοι γε αὐτὸν ἐξηγεῖσθαι τῆς θεραπείας τὸν Ἐρασίστρατον, ἢ τοῖς ὑφ' ἑτέρου γιγνομένοις ἀρέσκεσθαι. καὶ μὴν εἴπερ ἠρέσκετο τοῖς πραττομένοις ἐναργὲς ἂν εἴη τεκμήριον αὐτοῦ τῆς γνώμης, ἣν εἶχε περὶ φλεβοτομίας. τὸ γὰρ ὑποστέλλειν τὰ σιτία δυοῖν τούτοιν τὸ ἕτερον, ἤτοι ἀφαιρεῖν τελέως, ἢ μειοῦν. ὅπερ ἐπὶ τῆς νοσούσης ὁ Ἐρασίστρατος ἔφη πεπρᾶχθαι, καθ' ὃν καιρὸν τῆς καθάρσεως περίοδος ἦν, ὡς ὁμολογεῖ τοῖς ἄλλοις συγγράμμασιν ἅπασιν αὐτοῦ καὶ ταῖς φλεβοτομίαις μὲν οὐδαμόθεν χρώμενος, συμβουλεύων δ' ἀσιτεῖν. εἰ μή τι ἄρα κἀνταῦθα φήσουσί γε φλεβοτομεῖσθαι μὲν τὴν γυναῖκα παραλελεῖφθαι δὲ ἐν τῇ διηγήσει τὸ βοήθημα νοσούντων ἡμῶν αὐτὸ προσῆχθαι, κἂν μὴ ῥηθῇ. τί δή ποτ' οὖν καὶ περὶ τῆς ἀσιτίας ἐσίγησε νοεῖσθαί τε δυναμένων καὶ ταῦθ' ὁμοίως. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ποτημάτων, καὶ τῆς πυριάσεως, καὶ τῶν προσθέτων. εἰ γὰρ μηδ' ὅλως ἐγέγραπτο πρὸς Ἐρασιστράτου, πάντως ἄν που συνήκαμεν ὑπὸ τῶν ἰατρῶν αὐτὰ πεπρᾶχθαι. ὡς τό γε συνήθων πεπραγμένον, εἰ καὶ μὴ ἐγέγραπτο, κοινὸν ἁπάντων ἐστὶ τῶν βοηθημάτων. ἀλλ' Ἐρασίστρατός τε διηγεῖσθαι πάντα προύθετο, σαφηνείας ἀκριβοῦς ἕνεκεν, ἵνα μή τις τὴν ἐξουσίαν ἔχῃ τὰ μὲν προστιθέναι τῶν βοηθημάτων, ὡς προσαχθέντα τῇ καμνούσῃ, τὰ δ' ἀφαιρεῖν, ὡς παραλειφθέντα, πρὸς τῷ καὶ μάχεσθαι τῇ τούτων δόξῃ, τὴν διήγησιν αὐτοῦ. εἰ γὰρ ὅλως ἐφλεβοτομήθη τὸ γύναιον ἡ ἀσιτία μάτην παρελαμβάνετο. μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, οὐ μάτην μόνον, ἀλλὰ καὶ πρὸς κακοῦ. δείξω γὰρ ὀλίγον ὕστερον τοῦτο, νῦν δὲ ὅτι μάτην ἁρμόττει πρὸς τὸν ἐνεστῶτα λόγον. ἐπεὶ γὰρ ἐν

περὶ καιρὸν τῆς κατὰ περίοδον καθάρσεως ἐπὶ θώρακα φερομένου τοῦ περιττοῦ, κίνδυνος ἦν αἷμα τι πτύσαι τὴν γυναῖκα, μειῶσαι τὸ πλῆθος ὁ Ἐρασίστρατος βουλόμενος ἐπὶ τὴν ἀσιτίαν ἀφίκετο, περιδήλως ματαίαν οὖσαν, εἴπερ ἡ φλεβοτομία παρελέλειπτο, καθ' ἣν ἐν ἀκαρεῖ χρόνῳ ῥᾷστον ἦν ἐκκενῶσαι τὸ περιττὸν τοῦ αἵματος. οἱ γοῦν θεραπεύοντες ἐν Ῥώμῃ τὰς γυναῖκας αὐτῇ τῇ τοῦ συμβαίνοντος ἐμπειρίᾳ μάλιστα ἐπείσθησαν ἐπὶ μὲν τὴν φλεβοτομίαν ἔρχοντες κατὰ τὸν καιρὸν ἐκεῖνον, ᾧ ἐπίδοξος ἡ φορὰ γενέσθαι τῶν καταμηνίων, μήτε δ' ἡσυχίαν προστάσσειν, μήτ' ἀσιτίαν, ἀλλὰ καὶ μελίκρατον διδόναι, καὶ τροφῆς ὑγραινούσης δαψιλῶς καὶ λουτροῖς χρῆσθαι συγχωρεῖν, ἐφ' οἷς εἰώθεν εἶναι †σαυτόν, ὅτε γε μετρίως ἀφαιρεθῶσι τοῦ αἵματος ἡ κάθαρσις ἐπιφαίνεται, καὶ μάλιστ' ὅτε κατ' ἰγνύαν παρὰ σφυρὸν ἡ φλεβοτομία γένηται, ὡς εἴγε φλεβοτομήσας τις ἀσιτεῖν προστάξειεν, οὐ μόνον ἐπέσχητο τὴν ἔμπροσθεν μηνῶν, ἀλλὰ καὶ ταῖς ἀμέμπτως κενουμέναις ἐπισχεθήσεσθαι νῦν καθάρσεις. ξηραίνεται γὰρ ἐν ταῖς ἀσιτίαις καὶ παχύτερον ἑαυτοῦ γίνεται τὸ αἷμα, καὶ διὰ τοῦτο δύσρουν ἀποτελεῖται. λουομέναις δ' αὐταῖς καὶ μελικράτου μὲν προσλαμβανούσαις, ὕστερον δὲ καὶ σιτία, καὶ πινούσαις οἶνον μήτε παχὺν αἱ καθάρσεις ἐπιγίνονται. διὰ τοῦτο οὖν ἔφην οὐ μόνον ἐκ περιττοῦ παραλαμβάνεσθαι τὰς ἀσιτίας ἐπὶ ταῖς φλεβοτομίαις, ἀλλὰ καὶ πρὸς κακοῦ. τῇ δὲ ἐκ τῆς Χίου παιδίσκῃ, καὶ ἐξ αὐτῶν τῶν ἐπιγινομένων δῆλον οὖν παραλελεῖφθαι τὴν φλεβοτομίαν, αἵματος τε γὰρ ἔπτυσεν, οὐκ ἄν, εἴπερ ἐκενώθη, πτύσασα, καὶ μετὰ δυσπνοίας ἀπέθανεν, οὐκ ἂν οὐδὲ τοῦτο παθοῦσα. μεγίστην δὲ βάσανον ἡ φλεβοτομία παρεῖχε κατὰ τοὺς ἡμετέρους καιροὺς ἐν Ῥώμῃ διὰ τὸ πλῆθος τῶν γυναικῶν ὕδωρ ψυχρότατον ἀεὶ χιόνος πινουσῶν, ἤτοι μηδ' ὅλως, ἢ ἐλλιπῶς καθαίρεσθαι. ἀλλ' ὅμως ταύτας ἰατροὶ φλεβοτομοῦντες ὑγιαινούσας διαφυλάττουσιν, ὡς μήθ' αἷμα πτύσαι, μήτε πλευρίτισιν, ἢ περιπνευμονίαις, ἢ κυνάγχαις ἁλῶναι. οὔκουν οὐδὲ ἐκ τῆς Χίου παιδίσκην †ἤκουσαν ὑπὸ Ἐρασιστράτου φλεβοτομηθῆναι. ὅτε γε ἂν ἐν τῇ τῶν ἄλλων διηγήσει παρέλιπεν ὡς μικρόν τι βοήθημα τῆς φλεβοτομίας. οὔτ' ἂν ἐκεῖνος διὰ τὴν ἀσιτίαν. οὔτ' ἂν ὅλως ἀπέθανεν ὑπὸ τοῦ πλήθους ἡ γυνὴ πνιγεῖσα. περὶ μὲν δὴ ταύτης ἀρκέσει πρός γε τὸ παρόν. ἐπὶ δὲ τὸν Κρίτωνα μεταβάντες ἤδη παραγράψωμεν αὐτῇ λέξει τὴν Ἐρασιστράτου διήγησιν, ὧν ἔπαθεν ὁ ἄνθρωπος, ἔχει δὲ οὕτως.

τὰς ταυτὸν (margin)

ἤκουσ' ἂν (margin)

» Κρίτωνι ἡ μὲν ἀρχὴ τῆς ἀρρωστίας ἐγένετο πληθώρα. συνέβη δὲ αὐτῷ ἐμπεσεῖν εἰς πάθη συναγχικά. ἔστι δὲ τὸ γινόμενον φλεγμονὴ τῶν τε παρισθμίων καὶ τῆς ἐπιγλωττίδος. συμβαίνει οὖν τοὺς εἰς ταῦτ' ἐμπίπτοντας πνίγεσθαι, καὶ ἐὰν μὴ θᾶττον βοηθῶνται, συντόμως ἀπόλλυσθαι. ἐν τούτοις οὖν ὄντος τοῦ Κρίτωνος τῇ μὲν πρώτῃ ἡμέρᾳ βοηθοῦμεν πυριῶντες σπόγγοις τὸν εἰθισμένον τρόπον, ὁπότε διαλείποιμεν τὰ καταπλάσματα ἐπιθέμενα, ὥστε διὰ παντὸς ἐν θεραπείᾳ εἶναι. ἐδόθη δὲ αὐτῷ καὶ καταπότια τὰ διὰ τοῦ καστορίου πρὸς τὸ τὴν κοιλίαν ὑπάγειν, καὶ πρὸς τούτοις ὑπήκουσεν ἀστείως. »

οὐδένα λανθάνειν οἶμαι τὴν ἐπιμέλειαν τῆς διηγήσεως ἁπάντων τῶν πραχθέντων ἐπὶ τοῦ Κρίτωνος, καὶ γὰρ διὰ τῶν σπόγγων πυρίαν εἶπε, καὶ τὴν τῶν καταπλασμάτων χρῆσιν, ἔτι τε τὴν τῶν καταποτίων. ἆρ' οὖν ὅτι μὲν ἐπυριάσθη διὰ τῶν σπόγγων ἐδήλωσε καίτ' ἀλλ' ἐξῆς ἐπιμελῶς διηγήσατο, περὶ δὲ τῆς φλεβοτομίας ἑκὼν ἐσιώπησεν, ὅτι μικρότερον ἦν δηλαδὴ τοῦτο τὸ βοήθημα. μεμνῆσθαι δ' οὐ προσήκει μοι τῶν πάνυ μικρῶν ἐν τοιαύταις διηγήσεσιν. ἀλλά τοι κἀνταῦθα μετ' ὀλίγα πάλιν αὐτὸς ὁ Ἐρασίστρατος ἐρεῖ. ἐφαίνετο οὖν ἡμῖν μετάστασιν εἰληφέναι τὰ πάθη ἐπί τε τὸν πνεύμονα καὶ τὸ ἧπαρ καταρρυῆσαι μὲν αὐτῷ τὴν συνάγχην. αὐξηθῆναι δὲ τοὺς πυρετούς, αὐτοῦ τῇ καθ' ὑποχόνδριον ἐντάσει τὴν μετάχεσιν ἐλογίζετο γεγενῆσθαι τῶν παθῶν. ἔνθα τε καὶ μάλιστα τὸν νοῦν προσέχειν ἀξιῶ σκοπούμενον οἷόν τι ἐστι διὰ τῆς λέξεως ταύτης, ἐν ᾗ φησὶ μετάστασιν εἰληφέναι τὰ πάθη πότερον αὐτῶν τῶν φλεγμαινόντων μορίων μεταβάντων ἢ τοῦ αἵματος ὃ τὴν φλεγμονὴν αὐτῶν εἰργάζετο μεταρρυέντων. ἐμοὶ μὲν γὰρ δοκεῖ τὸ πρότερον μὲν τῶν προειρημένων, μηδὲ νοηθῆναι δύνασθαι, τὸ δεύτερον ἐξ αὐτῶν εἶναι τὸ ἀληθές. * ἐγὼ μὲν γοῦν ἐνίοτε τὸ κατασκῆψαν εἰς τὸ μόριον πλῆθος ἴσχων, εἶθ' αὐτὸ διώσασθαι τῆς ἐν ἐκείνῳ δὴ ἀμέσως ἐφ' ἕτερον ἢ μεθίστασθαι. τοῦτο τοίνυν φαίνεται καὶ τῷ Κρίτωνι συμβάν, ἀλλ' ὅμως οὐδὲ τότε φλεβοτομίας ἐμνημόνευσεν ὁ Ἐρασίστρατος. ἀλλὰ τί φησι, κατεπλάσατο καὶ τὸν θώρακα ὅλως καὶ τὰ ὑποχόνδρια. ὥσπερ δὲ ἐκ τῶν κατὰ τὴν ἐπιγλωττίδα καὶ τὰ παρίσθμια μορίων ἡ τοῦ πλεονάζοντος αἵματος ἐπὶ τὰ κάτω χωρία μετάστασις ἐγένετο, κατὰ τὸν αὐτὸν τρόπον αὖθις ἐκ τῶν κάτω μερῶν ἐπὶ τὴν κεφαλὴν ἀνενεχθέντος αὐτοῦ. τοὺς μὲν πυρετοὺς καὶ συνέβη λωφῆσαι, σύμπτωμα δ' ἐπιγενέσθαι τὴν τῶν νεύρων ἀρχὴν ἐνδεικνύμενον πάσχειν. ἄκουε δὲ καὶ ταύτης τῆς Ἐρασιστράτου ῥήσεως.

» ὄντος δ' αὐτοῦ ἀπὸ μὲν γοῦν τῆς ἀρχῆς δεκαταίου. ἀπὸ δὲ τῆς ἐπιστάσεως ἑκταίου ὅτε πυρετὸς εὖ μάλα ἐπανῆκεν καὶ παραστροφή τις ἐγένετο τοῦ τ' ἰνίου. ὀψὲ δὲ τῆς ὥρας ἀναισθησία τις ἐγένετο, ὥστε καὶ τὸ οὖρον †ἐκ γαστράματος προΐεσθαι. καὶ μετ' οὐ πολὺ ἐπίστασις τοῦ πυρετοῦ. εἶτα ἐπιφέρων φησίν. ἐφαίνετο οὖν ἡμῖν πάλιν μετάστασιν εἰληφέναι τὰ πάθη ἐπὶ τὴν κεφαλήν, καὶ κατὰ μὲν αὐτὴν τὴν μετάστασιν ἐπανῆκέναι τὸν πυρετόν. ὕστερον δὲ πάλιν ἐπιτεταικέναι ἐμπαθῆ γενόμενον τῶν περὶ τὴν κεφαλήν. »

ἐκ τοῦ στρω. (margin)

εἴπωμεν ἤδη καὶ ἡμεῖς ἐπὶ τῇδε τῇ ῥήσει πρὸς τὸν ἄνδρα. κάλλιστα λέγεις ὦ Ἐρασίστρατε μετάστασιν ἐπὶ τὴν κεφαλὴν γεγονέναι τῶν παθῶν. ἄμεινον δ' ἦν εἰ μὴ τῶν παθῶν εἴποις, ἀλλὰ παθῶν αἰτίου πλήθους. ὥσπερ οὐκ ἄν τις φαίη τὰ μέρη τοῦ σώματος αὐτὰ τὰ πάσχοντα εἰληφέναι. †κατὰ τὸν αὐτὸν τρόπον οὐδὲ τὰ πάθη. βέλτιον γοῦν οἶμαι φάναι, παύσασθαι μὲν τὰ πρότερα πάθη, γενέσθαι δ' αὖθις ἕτερα τῆς αἰτίας μεταστάσης, ἥτις ἦν ὡσαύτως ἐν ἀρχῇ τῆς ὅλης διηγήσεως, ἐφ' ἣ πληθώρα. ταύτην οὖν εἴπερ ἐκένωσεν οὐκ ἂν οὐδ' ὁ †κύων κατὰ τὴν ἐπιγλωττίδα τούτων εἰς τὸ κάτω τὴν μετάστασιν ἔλαβεν. οὔτ' αὖθις ἐκεῖνο ἐπὶ τὴν κεφαλὴν ἀνηνέχθη. ὥστε φαίνεται καὶ Κρίτων ὁμοίως τῇ Χίᾳ γυναικὶ διὰ τὸ παραλειφθῆναι τὴν φλεβοτομίαν ἀποθανεῖν. ἀλλὰ τοῦτο μὲν δοκεῖ καὶ αὐτὸς ὁ Ἐρασίστρατος αἰσθέσθαι. τί γὰρ φησί; τοῦτο ἐδόκει αἴτια τῆς ἀπωλείας γενέσθαι τὰ ἐπὶ τὸν πνεύμονα ἐπενεχθέντα, πλὴν ὅτι κακῶς οὐκ ἔφθασεν ἐκκενῶσαι ταῦτα, καίτοι γινώσκων εὐθὺς ἐξ ἀρχῆς ὡς πληθωρικὴ διάθεσις εἴη περὶ τὸν ἄνθρωπον. ἐὰν οὖν τις ἐθέλοι κατασκευάζειν, ὡς οὐκ εἰκὸς ἦν Ἐρασίστρατον ἰατρὸν ἄριστον ὄντα, καὶ μέντοι καὶ γνόντα Κρίτωνι μὲν ἐκ πληθώρας συμβῆναι τὰ πάθη, τῇ δὲ ἐκ τῆς Χίου παιδίσκῃ διὰ τὴν τῶν ἐμμηνίων ἐπίσχεσιν ἑκόντα παραλιπεῖν ἀφαίρεσιν τοῦ αἵματος, ἀλλ' ἀφαιρεῖσθαι

†μετάστασιν (margin)

†κιὼν (margin)

μὲν

μὲν αἵματος καὶ αὐτὴν καὶ ἐκείνην, παραλελεῖφθαι δὲ ἐν τῇ διηγήσει, τί κωλύει κἀμὲ λέγειν ὅτι περ ἂν ἄλλο βο-
λωμαι τῶν κενωτικῶν βοηθημάτων, προσενηνέχθαι μὲν τοῖς κάμνουσι, παραλελεῖφθαι δὲ ἐν τῇ διηγήσει. καὶ τίς
νῦν ἔχων ἰατρὸς ἀνέξεται ταῦθ᾽ ἡμῶν λεγόντων; ὅπως γε καὶ τὰ μέχρι θανάτου συμπτώματα ταῦτ᾽ αὖθις φαί-
νεται διὰ πλῆθος γινόμενα, καὶ αὐτὸς ὁ θάνατος οὐ δι᾽ ἄλλην τινὰ αἰτίαν ἀκολουθήσας, ἢ διὰ τὸ μὴ κενωθῆναι
τὸ πλῆθος. τίς δ᾽ ἀνέξεται λεγόντων ἀνθρώπων τὰ μὲν μικρὰ τῶν πραχθέντων ὑπ᾽ Ἐρασιστράτου γεγράφθαι, φλε-
βοτομίαν καὶ κάθαρσιν ὑπ᾽ ἐλεβόρου τε καὶ σκαμμωνίας. εἰ γὰρ ἐκ τοῦ μόνου εἰπεῖν τὸ κοινὸν ὡς ἡ πληθώρα κενώσεως
δεῖται δεδήλωται φλεβοτομία, διότι τῶν κενωτικῶν ἓν βοηθημάτων, τί κωλύει καὶ τῶν ἄλλων ἕκαστον εἰρῆσθαι τῶν κενωτι-
κῶν. μὴ τοίνυν μόνην τὴν φλεβοτομίαν ὑπ᾽ Ἐρασιστράτου προσῆχθαι τοῖς κάμνουσι λεγέτωσαν; ἀλλὰ καὶ τἄλλα
πάντα, κλυστῆρας, ἐμέτους, καθάρσεις, λουτρά, γυμνάσια, ῥίψεις, αἰωρήσεις, χρίσματα, θερμαίνοντα καταπλάσματα
πάνθ᾽ ἑξῆς ὅσα ἐκεῖνος. εἰ δ᾽ ἀρκεῖ μόνον ὅτι κενωτέος ὁ κάμνων ἐστίν, οὐδὲ τούτων τὸ τέλος ὑπάρχει τῆς τῶν βοη-
θημάτων διδασκαλίας, ἀλλὰ πρῶτον μὲν προσθεῖναι χρὴ τὸν τρόπον τῆς κενώσεως. εἶτα τὴν ὕλην εἰπεῖν δι᾽ ἧς
ἄριστα πραχθήσεται, καὶ ταύτῃ προσθεῖναι τὸν καιρὸν καὶ τὸ μέτρον, καὶ τρόπον τῆς χρήσεως, ὅτε κοινὸν εἰπὼν
σκοπὸν τῶν βοηθημάτων, οὐδέπως κατὰ μέρος οὐδὲν εἰρηκέναι. εἰ γὰρ ἀρκεῖ τὸ κοινὸν εἰπεῖν, ἐκ περιττοῦ μνημονεύει
καταπλασμάτων τε καὶ ἀσιτίας, καὶ πυρίας τῆς διὰ σπόγγων. εἰ τὸ μὲν κατάπλασμά τε καὶ τὴν ἀσιτίαν οὐκ
ἂν ἡμεῖς εὕροιμεν ἄνευ τοῦ παρ᾽ ἐκείνου μαθεῖν; ἡ φλεβοτομία δὲ ἐστὶ δήλη πᾶσι κἂν Ἐρασίστρατος μὴ λέγῃ.
ἀλλὰ κἂν τοῦτό τις αὐτοῖς συγχωρήσῃ, καίτοι φανερῶς ὂν ἄτοπον, ἀλλὰ μεγάλα καὶ πολλὰ λείπεται σκέμμα-
τα τῷ μέλλοντι χρήσασθαι προσηκόντως τῷ βοηθήματι. πρῶτον μὲν εἰ μηδὲν διαφέρει τέμνειν ἥντινοῦν φλέβα, κα-
θάπερ οἴονταί τινες, ἢ καθ᾽ ἕκαστον τῶν πεπονθότων μορίων ἴδιαι φλέβες εἰσὶν αἱ ταχέως ἐκκενοῦσαι τὸ πλῆ-
θος αὐτῶν. δεύτερον δ᾽ ἐπὶ τούτῳ σκέμμα, πότερον ἅπαξ, ἢ πλεονάκις ἀφαιρεῖν προσήκει. καὶ τρίτον δ᾽ ἐπ᾽ αὐ-
τοῖς, σκοποὺς ἐξευρεῖν, οἷς προσέχων τις ἀκριβῶς στοχάσαιτο τοῦ μέτρου τῆς κενώσεως. καὶ τέταρτον, ὁ καιρὸς ἐν ᾧ
χρὴ μάλιστα ποιεῖσθαι τὰς φλεβοτομίας, εἰ μηδέν ἐστιν ἐξαίρετον, αὐτὸ τοῦτο σὺν ἀκριβείᾳ διδάξεται. τῷ μὲν οὖν
ὅλως ἀποστάντι φλεβοτομίας οἴχεταί τε καὶ συνανῄρηται τούτων ἁπάντων ἡ σκέψις, τῷ προθεμένῳ δ᾽ ἐξ ἀνά-
γκης ἕπεται. καὶ γάρ τοι κἀπὶ τῶν ἄλλων βοηθημάτων ἁπάντων ὁ αὐτός ἐστι λόγος, οἷον ἐλεβόρου, σκαμμωνίας,
οἴνου, λουτροῦ, σιτίων. εἰ μὲν γὰρ μηδ᾽ ὅλως ἐστὶ χρηστέον ἐπὶ τῶν νοσούντων ὁτῳδήποτε τῶν εἰρημένων, οὔτε καιρός,
οὔτε ποσότης, οὔτε τρόπος τῆς χρήσεως, οὔτ᾽ ἄλλο οὐδὲν ἔτι καὶ ζητηθήσεται τῶν κατ᾽ αὐτό. προσιεμένῳ δὲ τὴν
χρῆσιν ἀναγκαῖόν ἐστι περὶ τούτων πάντων διελθεῖν, οὐ μόνον ἐπὶ τῶν δραστικῶν βοηθημάτων, ἐν οἷς εἰ παρο-
φθείη τι σμικρόν, ἡ βλάβη μεγίστη δι᾽ αὐτὸ γίνεται τοῖς νοσοῦσιν, ἀλλὰ κἀπὶ τῶν ἐλαττόνων. καὶ φαίνεται τοῦτο
οὕτως γινόμενον ἑκάστης ἡμέρας ἐπὶ πάντων τῶν νοσούντων. οὐδεὶς γοῦν εἰπὼν ἰατρὸς ἀνθρώπου οὕτω γράφει τὸ
χαρίζεται. μήτε τὸν καιρὸν ἔτι προσθείς, ἐν ᾧ κελεύει τραφῆναι τὸν κάμνοντα, μήτε τὸ σιτίον ὁρίσας αὐτό, μή-
τε τὴν ποσότητα, μήτε τὴν σκευασίαν, ἢ τὴν τῆς χρήσεως τάξιν, ἀλλ᾽ ἕκαστον τούτων ἀκριβῶς ἐκδιηγεῖται τοῖς πα-
ροῦσιν ὅπως πραχθῆναι, καὶ τοίνυν καὶ γράφουσιν ἐν τοῖς βιβλίοις ἅπασιν ἐφ᾽ ὧν ἂν πράττουσι βοηθημάτων
ἐξῆς ταῦτα σύμπαντα, καίτοι γ᾽ αὐτῶν ὄντες οὐ μακρολογώτεροι χρονίζουσι τῇ διηγήσει, οὐ μακρολογίαν,
ἀλλ᾽ ἐπιμέλειαν ἡγούμενοι τὴν τοιαύτην διδασκαλίαν. Ἱπποκράτης μὲν ἐν τοῖς πλείστοις τῶν ἑαυτοῦ συγγραμ-
μάτων ἐσχάτως βραχυλόγος ὤν, ὅμως οὐκ ὀκνεῖ γράφειν περὶ τῆς φλεβοτομίας, οὔτε τὸ μέρος τοῦ σώματος, ἐν
ᾧ χρὴ τμηθῆναι τὸ ἀγγεῖον, οὔτε τὸ μέτρον τῆς κενώσεως, οὔτε τὸν καιρόν. Ἐρασίστρατος δέ, ὃν οἱ νῦν Ἐρασιστρά-
τειοί φασι χρῆσθαι φλεβοτομίᾳ, μακρολογώτερος ὤν, ὡς ὀλίγον ὕστερον δείξω, πρῶτον μὲν οὐδὲ αὐτὸ τὸ ὄνομα
ὑπέμεινε προσγράψαι τῆς φλεβοτομίας ἅμα τοῖς ἄλλοις βοηθήμασιν. εἶτα παρέλιπεν ἑξῆς πάντα τὰ κατει-
λεγμένα, καιρόν, καὶ τὸ μέτρον, καὶ τόπον ἀγγείου, καὶ τρόπον χρήσεως, ὁ μηδ᾽ ὡς χρὴ τὰ καταπλάσματα ἐφ᾽
ἑκάστου τῶν νοσούντων προσφέρειν, ἢ τὴν μάζαν φυρᾶν ὀκνῶν προσγράφειν, ὁ μὴν δὲ περὶ τῆς τῶν λαχάνων ἑψή-
σεως σιωπῶν. ἄκουσον γοῦν ὡς γράφει κατὰ τὴν περὶ τῆς κοιλίας πραγματείαν προσφέρειν· τὴν μὲν πρώτην προ-
σφορὰν ἄλφιτα κριμνώδη πεφρυγμένα εὖ ἀποσεσεισμένα. ὅταν δὲ προσφέρεσθαι μέλλῃ ἐν τινι ψυκτῆρι ἐπι-
χέοντα ὕδωρ φυράσαντα διδόναι μηδ᾽ εἰς ἅπαξ δὲ ἅπαν ὃ ἂν μέλλῃς διδόναι φυράσας, ἀλλὰ δὶς ἢ τρίς, ὅ-
πως μὴ ξηρὰ γινομένη ἡ μάζα δυσάλωτος μὴ πολὺ τὸ ὑγρὸν ἀναδέξηται. οὐδὲν γὰρ τοῦτον χρήσιμον. προ-
σεσθίειν δὲ διδόναι τῶν κιχωρείων συχνὰ εἰς ὄξος μὴ δριμὺ ἐμβάπτοντας καὶ ἐπὶ τῶν σιτίων, ἀναλίσκειν ἐφθὰ
κιχώρια ἑψῆναι δεῖ δύο παρασκευάζοντας χυτρίδας. καὶ εἰς μὲν τὴν μίαν ἐμβάλλοντας ἕψειν. ὅταν δὲ ἤδη †κα- †κατεψη-
τεξηκότα εὖ μάλα ᾖ καὶ ἡ ἑτέρα χύτρα τοῦ ὕδατος ζέῃ μεταγγίζειν αὐτὰ εἰς τὴν ἑτέραν. ἐὰν δὲ δέσμια ὅπως θέντα
εὐμετάθετα ᾖ. συνεψήσαντα δὲ καὶ ἀποχέοντα τὸ ὕδωρ ἀρτῦσαι ἁλὶ καὶ ἐλαίῳ καὶ διδόναι προσφέρεσθαι.
ἆρ᾽ ἐπινοεῖς ἔτι δύνασθαί τι ἐπιμελέστερον γράψαι, τὰ σμικρότατα τοῦ μηδ᾽ ὅτι χρὴ δεσμίδια ποιεῖν τῶν κι-
χωρίων ὅπως εὐμετάθετα ᾖ σκοπήσαντος. εὔδηλον γὰρ ὅτι τὰ λελυμένα δυσμετάθετα γίγνονται, καὶ διὰ
τοῦτο κηδόμενος οὐ μόνον ἡμῶν ἰατρῶν, ἀλλὰ καὶ τῶν ἑψόντων τὰ λάχανα μαγείρων ἐδίδαξεν αὐτοὺς ὡς χρὴ
†σωδεῖν τὰ λάχανα. τοιοῦτος δ᾽ ἐστὶ κἀπειδὰν ἤδη καταπλάσματός τινος γράφῃ σκευασίαν, ἢ περιπατεῖν †συνδεῖν
κελεύει τοὺς δισταδίους, ἢ τρίβεσθαι ῥίψεις ὡσαύτως, ἢ τι τοιοῦτον ἕτερον ἐφ᾽ οἷς ἤδη τινὲς οὐ μόνον οὐκ ἐπαι-
νοῦσι τῆς περιττῆς ἐπιμελείας, ἀλλὰ καὶ ψέγουσιν, ὡς ὅρους καὶ μέτρα τιθέμενον ἐπὶ τῶν ἀορίστου ἐχόντων τὴν πο-
σότητα. τίς ἂν οὖν οὐ πεισθείη τὸν οὕτως ἐπιμελῆ κεχρῆσθαι μὲν ὁμοίως τοῖς ἄλλοις φλεβοτομίᾳ, μηδαμόθεν
αὐτῆς μνημονεῦσαι, πλὴν ἅπαξ ἐν τῷ περὶ αἵματος ἀναγωγῆς; οὐδ᾽ οὖν οὐδὲ τότε χρώμενον, ἀλλὰ τοὐ-
ναντίον ἅπαν ἐπαινοῦντα τὸν Χρύσιππον ἐπὶ τὸ μὴ χρῆσθαι φλεβοτομίᾳ, καὶ τὴν ἀπόδειξιν αὐτοῦ καθ᾽ ἣν
ἀποδεικνύναι νομίζει τὸ Χρυσίππου δόγμα περὶ τῆς φλεβοτομίας, τοῦ μᾶλλον τῶν αἷμα πτυσάντων *
οἷς μόριόν τι τοῦ σώματος μέλλει φλεγμαίνειν. ἀλλὰ περὶ μὲν τοῦδε καὶ αὖθις εἰρήσεται, νῦν δ᾽ ὅπερ ἔλεγον

ἀναληπτέον, ὡς οὐκ ἂν Ἐρασίστρατος ἐπὶ πλεῖστον ἐκτείνων ἅπαντας τοὺς λόγους, καὶ μέντοι καὶ δὶς καὶ τρὶς ἐνίοτε διεξερχόμενος ἕνα λόγον ἐν διαφέρουσι βιβλίοις, ὀλιγωρήσειεν ἄν που, κἂν ἅπαξ ε΄. συλλαβὰς προσγράψαι προσθεὶς ἅμα τοῖς ἄλλοις βοηθήμασι τὸ τῆς φλεβοτομίας ὄνομα, πρὸς δὲ καὶ τὴν ποσότητα πάντως ἂν αὐτῆς εἰπεῖν· ὡς ἐπ' ἄλλων ἐποίησε, καὶ τὸν καιρὸν ὡς εἴρηται πρόσθεν, ὅσα τ' ἄλλα τοιαῦτα. τινὲς μέν γε τῶν ἰατρῶν ἐπὶ σημείοις ὁρίζουσι τὸ ποσὸν τῆς κενώσεως, οἷον εἰ μεταβάλλοι κατὰ τὴν χρόαν, ἢ τὸν τόνον, ἢ τὴν ῥύσιν τοῦ αἵματος, ἢ εἰ καταπίπτοιεν εἰς ἀτονίαν οἱ σφυγμοί, καί τινος ἱδρῶτος ἐπιφαίνοιντο ἐν αὐτῷ τῷ καιρῷ τῆς ἀφαιρέσεως. ταῦτα †δ' οὐχ ἵνα πόνους φησίν, καὶ τοὺς σφοδροτέρους τῶν ἐμέτων, καὶ τὰς ἀλογωτέρας διαχωρήσεις ἄλλοις διείρηκεν ἄχρι λειποθυμίας ἄγειν τὴν κένωσιν, ὁπόταν τι φαίνηται κατὰ τὸν λόγον αὐτῇ γινομένῃ τῆς κενώσεως, οὐχ ὑπὸ χυμοῦ ῥυέντος εἰς τὸ τῆς γαστρὸς στόμα πολλάκις ἐναργῶς φαίνεσθαι διὰ χολήν, ἢ διὰ φλέγμα συρρυὲν ἐνταῦθα λειποθυμίαν γινομένην. ἔνιοι δὲ τῇ τε τοῦ παντὸς σώματος μεταβολῇ κατὰ χρόαν, καὶ τῇ κατὰ τοὺς σφυγμοὺς ἐτεκμήραντο τὴν σύμμετρον ἀφαίρεσιν, καὶ διὰ τοῦτο εἰς ἅπαξ ἀπαγορεύουσιν, ἢ χρῆσθαι δαψιλεῖ τῇ κενώσει, βέλτιον εἶναι τοῖς ἐπιγινομένοις, τεκμηραμένους πρότερον οὕτως ἐπὶ τὴν τοῦ λυποῦντος ἔρχεσθαι κένωσιν. ἄλλοι δέ τινες ἐτόλμησαν ἤδη τι καὶ μέτρον ὁρίζειν οἷον ἤτοι δύο κοτύλας ἀττικὰς εἶναι τὴν σύμμετρον ἀφαίρεσιν, ἢ βραχὺ πλείω, ἢ ἔλασσον, ὡς ἐκ τοῦ συμμέτρου δυναμένων ἡμῶν εὑρίσκειν τὸ μᾶλλόν τε καὶ ἧττον ἁρμόττον ἑκάστῳ τῶν φλεβοτομουμένων καθ' ἡλικίας, καὶ φύσεις, καὶ ὥρας, καὶ χώρας. οὐκοῦν Ἐρασίστρατον ἀριθμὸν μέν τινα τρίψεως ὁρίζειν, ἵνα κἂν σφαλλώμεθα τῆς ἀκριβοῦς συμμετρίας, οὐδὲ μία μεγάλη βλάβη, μετὰ δὲ μηδὲν εἰπεῖν ὅλως περὶ φλεβοτομίας. ἐγὼ μὲν γὰρ εὖ οἶδα ὅτι καὶ περὶ τῶν φλεβῶν αὐτῶν, τῶν τμηθησομένων ἔγραψεν ἂν οὐκ ὀλίγα, καὶ μάλισθ' ὅτι πολλάκις Ἱπποκράτης αὐτῶν ἐμνημόνευσεν. ἐνίοτε μὲν, κατ' ἰγνύαν ἢ παρὰ σφυρόν, ἐνίοτε δὲ, τὴν ὀρθίαν ἐν τῷ μετώπῳ, καὶ αὖθις τὴν ὑπὸ τῇ γλώττῃ. περὶ μὲν γὰρ τῶν κατ' ἀγκῶνα τί δεῖ καὶ λέγειν ὡς οὐκ ἂν ἐσιώπησεν ὁ Ἐρασίστρατος; εἴτε χρὴ πάσας ἐπὶ πᾶσι τέμνεσθαι νοσήμασιν, εἴθ', ὡς Ἱπποκράτης ἐκέλευσεν, ἄλλην ἐπ' ἄλλων. τοῦ γὰρ οὕτως ἐπιμελῶς γράφοντος πάντα καὶ †τοὺς τὴν ἔργον οἰκεῖον ὁρίζαι μέν τι ἄμετρον ἐν τηλικούτῳ βοηθήματι, προσγράψαι δ' ἣν ἔχει γνώμην ὑπὲρ τῶν φλεβῶν, ὥσπερ οἱ ἄλλοι πεποιήκασιν ἰατροί. τινὲς μὲν οὐδὲν διαφέρειν φάσκοντες ὁποίαν αὖτις ἐθέλοι τέμνειν φλέβα, κενοῦσθαι γὰρ ἐξ ἑκάστης αὐτῶν ὁμοτίμως τὸ πᾶν. τινὲς δὲ πάμπολλα ἡγούμενοι καὶ παρὰ τοῦτο γίνεσθαι διαφοράν. ἐνίας μὲν γὰρ αὐτῶν θᾶττον, ἐνίας δὲ ἐν χρόνῳ πλείονι τὸ πεπονθὸς μέρος ἐκκενοῦν. ὁ τοίνυν μήτε τούτων τι γράψας, μήτε τοῦ μέτρου τῆς φλεβοτομίας ὁρίσας τοὺς σκοπούς, εὔδηλον διὰ τοῦτο παραλελοιπὼς ἅπαντας τοὺς δὲ τοὺς λόγους ὅτι μηδ' ὅλως ἐχρῆτο τῷ βοηθήματι. ὥσπερ γὰρ ὁ μηδέποτε χρώμενος ἐπ' ἀρρώστου καταπλάσματα, γράφειν οὐ δύναται τὰς διαφορὰς αὐτῶν, ἢ τὰς σκευασίας, ἢ τὸν καιρόν, ἢ τὸν τρόπον τῆς χρήσεως, ἀναγκαῖον δ' εἶναι τοῖς χρωμένοις, ὥσπερ Ἐρασίστρατος ἐχρῆτο, καὶ περὶ τούτων ἑκάστου διορίσαι, κατὰ τὸν αὐτὸν τρόπον ὅσοι μὲν μηδ' ὅλως χρῶνται φλεβοτομίᾳ, καιρὸν καὶ τρόπον χρήσεως καὶ σκοποὺς τοῦ μέτρου γράφειν οὐ δύνανται. τοῖς χρωμένοις δ' ἀναγκαῖον ἐστι καὶ περὶ τούτων διορίζεσθαι, καὶ πολὺ μᾶλλον ὑπὲρ τῆς φλεβῶν διαφορᾶς. εἰ καὶ μηδ' ἐν ἄλλο, τὸ γοῦν τοσοῦτον ὡς οὐδὲν διαφέρει τήνδε πρὸ τῆσδε τέμνειν, ὁμοίως ἁπασῶν ἐκκενοῦν δυναμένων τὰ φλεγμαίνοντα μόρια. τὸ δὲ μήτε τούτων τι γράψαι, καὶ τὴν χρείαν ὅλην ἀνελεῖν τοῦ βοηθήματος, ἐπὶ δὲ πάθους ὃ μάλιστα χρῄζειν αὐτοῦ πεπίστευται, πῶς οὐκ ἄν τις ἐναργὲς εἶναι φαίη γνώρισμα τοῦ μηδέποτε Ἐρασίστρατον κεχρῆσθαι τῷ βοηθήματι; τί γὰρ οὖν δύσκολον ἡνίκα ἔγραφεν ἐν τῇ τῶν πυρετῶν θεραπείᾳ κατὰ λέξιν ὧδε. περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀρρωστιῶν, καὶ τὰς τῶν φλεγμονῶν γενέσεις ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων τε καὶ σιτίων, ἐνταῦθα προσγράψαι χρηστέον δὲ φλεβοτομίας. ὥσθ' ὅλην αὐτοῦ τὴν ῥῆσιν γενέσθαι τοιάνδε,

» περὶ μὲν τὰς ἀρχὰς τῶν ἀρρωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις ἀφαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων τε καὶ σιτίων, χρηστέον δὲ φλεβοτομίᾳ. γίνονται γὰρ ὡς τὸ πολὺ αἱ τοὺς πυρετοὺς ποιοῦσαι φλεγμοναὶ διὰ πληθώραν. διδομένων οὖν ἐν τοῖς τοιούτοις καιροῖς προσφορῶν καὶ τῆς πέψεώς τε καὶ ἀναδόσεως τὰς κατ' αὐτὰς ἐνεργείας ἀποδιδουσῶν, πληρουμένων τε τῶν †ἐνεργειῶν τῆς τροφῆς, ἔτι γε πλείους τε καὶ ἰσχυρὰς συμβήσεται τὰς φλεγμονὰς γίνεσθαι. βέλτιον οὖν μήτε διδόναι σιτία καὶ τέμνειν φλέβα.

τοιαύτη μὲν ἂν ἡ ῥῆσις ἐγένετο, βουληθέντος αὐτοῦ κἀπὶ ταῖς ἀσιτίαις οὕτω καὶ τῇ φλεβοτομίᾳ χρῆσθαι. μὴ προσγράψαντος δὲ πῶς ἄν τις πιστεύσειε ἐπαινεῖν τὸν ἄνδρα τὴν χρῆσιν τοῦ βοηθήματος. ὅτε δὲ μηδ' ἐν ἄλλῃ τινὶ πραγματείᾳ θεραπευτικῇ φαίνεται τοῦτο ποιεῖν, ἔτι καὶ μᾶλλον ἄν τις πιστεύσειεν ὑπὸ τῆς γνώμης αὐτοῦ. τίς γὰρ ἂν δύναιτο πεισθῆναι τὸν μακρολογώτατον Ἐρασίστρατον ὀκνῆσαι προσθεῖναι συλλαβάς, ἤτοι δ΄. ἢ ε΄. κἂν ἅπαξ που τῶν γεγραμμένων αὐτῷ πραγματειῶν; ἐγὼ μὲν οὖν εἰ καὶ μηδὲν ἐσώζετο Ἐρασιστράτου βιβλίον, ἀλλ' ἤδη πάντα ἀπολώλει, καθάπερ τὰ Χρυσίππου κινδυνεύει παθεῖν, τοῦτο τοῖς μαθηταῖς ἂν αὐτοῦ μᾶλλον ἐπίστευσα περὶ τοῦ διδασκάλου λέγουσιν, ἢ τοῖς μήτ' Ἐρασίστρατον αὐτὸν ἰδοῦσι ποτέ, μήτε μαθητὴν αὐτοῦ, μήτε τῶν ὡς ἐκεῖνον φοιτησάντων, ἢ τῶν τούτοις συγγενομένων. ἀλλὰ μετὰ τοσαύτας ἐτῶν γενεὰς ἀποφαινομένων, τολμηρῶς ὑπὲρ ὧν οὔτ' εἶδον, οὔτε ἰδόντος τινὸς ἤκουσαν, οὔτε ἀνέγνωσαν Ἐρασίστρατον γράψαντα οὐδ' ἄχρι τεττάρων, ἢ πέντε συλλαβῶν, ὡς ἔφην. τὸ μὲν γὰρ τεμεῖν φλέβα δ΄. συλλαβῶν, φλεβοτομία δὲ αὐτὴ ε΄. τὸ δ' εἰς τὴν ῥῆσιν αὐτοῦ παραγραφὲν ὀλίγον ἔμπροσθεν ὑπ' ἐμοῦ, τό, χρηστέον δὲ φλεβοτομίᾳ διὰ θ΄. λέγεται συλλαβῶν. παυσάσθωσαν οὖν ἤδη †λαβούμενοι τοῖς γε μανθάνουσι τὴν τέχνην καὶ τοῖς νοσοῦσιν αὐτοῖς οἱ λέγοντες Ἐρασίστρατον κεχρῆσθαι μὲν τῇ φλεβοτομίᾳ, λόγον δ' οὐδένα πεποιῆσθαι περὶ αὐτῆς, ὡς παραδήλου πᾶσιν οὔσης μᾶλλον ἢ τῆς τῶν καταπλασμάτων τε καὶ λαχάνων ἑψήσεως. εἰ γὰρ διὰ τοῦτο φλεβοτομήσουσιν οἱ μανθάνοντες τὴν τέχνην διότι καθάπερ ἐν ταῖς ἀσιτίαις αἱ φλέβες κενούμεναι λύουσι τὰς φλεγμονάς, οὕτω καὶ αἱ φλεβοτομίαι, πάντας ἑξῆς φλεβοτομήσουσιν ὅσους Ἐρασίστρατος ἀσιτεῖν κελεύει. καὶ τοῦτο μὲν ἔτι σμικρόν. τὸ δὲ μήτε περὶ τοῦ μέτρου φλεβοτομίας, μήτε περὶ τῶν τμηθησομένων φλεβῶν ἀκούσαντάς τι τοὺς νέους ἐπὶ βοηθήμα-

† δ' οὖν καὶ Ἱπποκράτης

† τοῦτο

† ἀγγείων

† λωβῶ

βοηθήματος παραγίνεσθαι, μεγίστην οἶσει βλάβην τοῖς κάμνουσιν, ὥσπερ ἔφην εὐθὺς κατ᾽ ἀρχάς. ἄμεινον οὖν αὐ-
τοῖς μηδ᾽ ὅλως ἐπιχειρεῖν φλεβοτομεῖν, ἢ χωρὶς τοῦ † διορισθέντος περὶ τῶν εἰρημένων ἐπὶ βοήθημα παραγίνεσθαι.
πλείονες γὰρ οὕτως ἀπώλλοντο τῶν ἔμπροσθεν ἐπ᾽ ἀκολουθημένων διὰ τοὺς μὴ φλεβοτομοῦντας. οἱ μέν γε τό τε πρεσ-
βύται μηδ᾽ ὅλως φλεβοτομοῦντες ἄλλοις ἐχρῶντο κοινωνικοῖς βοηθήμασι ἐν μακροτέρῳ χρόνῳ ταὐτὸν τῇ φλεβο-
τομίᾳ δυναμένοις ἐργάζεσθαι, πλὴν εἴπου διὰ τὸ κύριον τοῦ πάσχοντος μέρος, ἢ τὴν τοῦ πλήθους ὑπερβολὴν ἔφθα-
σεν ἀποθανεῖν ὁ κάμνων. οἱ δὲ νῦν οἰόμενοι δεῖσθαι πᾶσαν ἀρχὴν πυρετοῦ φλεβοτομίας οὐ σμικρὰ λυμαίνονται τοῖς
νοσοῦσιν. οὕτως γὰρ πεπείκασιν ἑαυτοὺς περὶ τοῦ βοηθήματος, ὡς εἰ καὶ πρὸς Ἐρασιστράτου ἐγέγραπτο, καθ᾽ ὃν ἐγὼ
μικρὸν ἔμπροσθεν ἐδήλωσα τρόπον, ἐνθεὶς αὐτὰς τῇ ῥήσει τὰς θ᾽. συλλαβάς, ὡς γενέσθαι τὴν λέξιν τοιαύτην,
ἄνωθεν γὰρ αὐτῆς ἄμεινον μνημονεῦσαι. περὶ δὲ οὖν τὰς ἀρχὰς τῶν ἀρρωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις, ἀ-
φαιρετέον ἂν εἴη πᾶσαν προσφορὰν ῥοφημάτων τε καὶ σιτίων. χρηστέον δὲ φλεβοτομίᾳ. τοιαύτην γὰρ οἱ νῦν εἶναι
βούλονται τὴν Ἐρασιστράτου γνώμην οὐκ ἐπ᾽ ἀγαθῷ τῶν καμνόντων. ἑτέρων μὲν ὑπαρχόντων καιρῶν καὶ σκοπῶν
ἀσιτίας, ἑτέρων δὲ φλεβοτομίας, οὓς ἐγὼ κατὰ τήνδε τὴν πραγματείαν ἐρῶ πάντας ἐν τῇ προσηκούσῃ τάξει. νυνὶ
δὲ γὰρ ὥσπερ οἱ τοῖς πρεσβύταις ἔμπροσθεν πεπεισμένοι κοινῆς ὑπήρξαντο παλινῳδίας, οὕτω κἀμοὶ παλι-
νῳδητέον ἐστὶν, ἐπεγνωστέον τε καὶ τοὺς νῦν ἀλόγως φλεβοτομοῦντας ἐπὶ τὸ μηδόλως φλεβοτομεῖν. ὡς γὰρ ὁ Πλάτων
ἔλεγεν ἧττον εἰκός ἐστι σφάλλεσθαι τοὺς μηδ᾽ ὅλως ἐγχειροῦντας, οἷς οὐκ ἴσασι τῶν πραττόντων ἃ μὴ γινώσκουσιν,
ὅπερ οἱ νῦν ποιοῦσιν ἀναπεπεικότες ἑαυτούς, οὕτω γὰρ ῥᾷστον εὑρεῖν, πρῶτον δὲ, οὓς χρὴ φλεβοτομεῖν, εἶθ᾽ ἕκα-
στον τῶν ἄλλων. τῶν ἐν ἅπαντι νοσήματι κατὰ τὴν ἀρχὴν ὡς ἀσιτίαν, οὕτω καὶ φλεβοτομίαν παραλαμβάνουσι. μᾶλ-
λον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὑπηλλάχασι τὴν Ἐρασιστράτου γνώμην. φλεβοτομοῦσι γὰρ καὶ τρέφουσιν εὐθέως τοὺς
φλεβοτομηθέντας, ἐκείνου τὸ φλεβοτομεῖν, ἀπαγορεύοντος τὸ δὲ, μὴ τρέφειν συμβουλεύοντος. ἐπεὶ τοίνυν τὴν
ἀλήθειαν οὗτοι τιμῶσιν, οὐκ Ἐρασίστρατον, ἐπιδεικτέον αὐτοῖς ἐστὶν ὡς ὁ γεγραμμένος ὑπ᾽ αὐτοῦ λόγος ἐν τῷ περ-
ὶ αἵματος ἀναγωγῆς, οὐκ ἔστιν ἴδιος ἐκείνου τοῦ πάθους, ἀλλὰ κοινὸς ἁπάσης φλεγμονῆς. ἔχει γοῦν ἡ ῥῆσις οὑ-
τως. ἐχόμενος γὰρ τούτων περὶ τὴν ἀναγωγὴν ὁ περὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον,
φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος ἐκλυθῆναι. οὕτως ὁ λόγος ἔχει πτύουσιν αἷμα. διὰ τοῦτο
κωλύει φλεβοτομεῖσθαι τοὺς κάμνοντας. ἀλλ᾽ ὅτι φλεγμονὴν ὑπείληφεν αὐτοὺς ἀκολουθήσειν, ἐν ᾗ φησὶ προσφέρειν
μὲν οὐ ῥᾴδιον, ὅπερ ἐστὶν διδόναι σιτία, φλεβοτομηθέντι δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντι κίνδυνος καταλυθῆ-
ναι τὴν δύναμιν. οὐδὲ ἐνταῦθ᾽ ἴδιον αἵματος ἀναγωγῆς ἐστι, δι᾽ ὃ φυλάξαιτ᾽ ἄν τις τὴν φλεβοτομίαν, ἀλλὰ ἀμ-
φω κοινὰ καὶ πρὸς τοὺς πυρετούς, τό, τε μὴ δύνασθαι σιτία διὰ τὰς φλεγμονάς, τό, τε τοῦ πράττοντος ἐπὶ φλεβοτο-
μίας κίνδυνος καταλυθῆναι τὴν δύναμιν. εἰ δὲ προσέχοις τὸν νοῦν ἐπιμελέστερον ὁ, πρὸς Ἐρασιστράτου λόγος εἰ-
ρημένος ἀπαγορεύειν σοι δόξει τὴν φλεβοτομίαν ἐπὶ τῶν πυρεττόντων μᾶλλον ἢ τῶν αἷμα πτυόντων. ἐν ἀρχῇ μὲν
γὰρ τῆς ἀναγωγῆς τοῦ αἵματος οὐδέποτε φλεγμαίνει τὸ ἐρρωγὸς ἀγγεῖον. αἱ δὲ ἀρχαὶ τῶν πυρετῶν ἐξ ἀνάγκης
ἔχουσι κατὰ τὸν Ἐρασίστρατον ἀρχὴν φλεγμονῆς. εἴπερ οὖν, ὡς αὐτὸς ἐκεῖνος βούλεται, τοῖς ἐναργῶς φαινομένοις χρη-
στέον ἐστὶ εἰς τὴν τῶν ἀδήλων πίστιν, ὅρα πολλὰ τῶν τραυμάτων κολληθῆναι φθάνοντα, πρὶν φλεβοτομηθῆναι.
δυνατὸν οὖν ἐστι καὶ τὴν ἐρρωγυῖαν φλέβα μηδόλως φλεγμῆναι φθασάντων ἡμῶν, τἆλλα πρᾶξαι προσηκόν-
τως, ἐκκενῶσαί τε τοῦ μέλλοντος ἐργάζεσθαι τὴν φλεγμονὴν αἵματος, ὁπόσον ἂν βουληθῶμεν. εἴπερ οὖν ἐν ᾧ χρόνῳ
φλεγμαίνει τὰ φλεγμαίνοντα φησὶν Ἐρασίστρατος ἀναγκαῖον εἶναι τὰς ἀσιτίας παραλαμβάνεσθαι, καὶ διὰ τοῦτο φο-
βεῖται προκαταλῦσαι τὴν δύναμιν τῇ φλεβοτομίᾳ, πολὺ μᾶλλον αὐτὴν ἐπὶ τῶν πυρεσσόντων εὐλαβεῖσθαι προσήκει
τῶν ἀναγόντων αἷμα. τούτων μὲν γὰρ ἐγχωρεῖ πρὸ τοῦ φλεγμῆναι συμφῦναι τὴν ἐρρωγυῖαν φλέβα, καὶ μᾶλλον
ὅταν κενωθῶσι. τοῖς πυρέσσουσι δ᾽ ἀναγκαῖόν ἐστι φλεγμαίνειν ἤδη τι μόριον. ὅτι δὲ ἐγχωρεῖ συμφῦναι τὸ ἀγ-
γεῖον ἄνευ τοῦ φλεγμῆναι πάρεστι μέν τινι κἀπὶ τῶν ἄλλων ἁπάντων τραυμάτων ὑπιδεῖν. πολλάκις οἴδα-
μεν ἐπὶ τῶν μονομαχούντων ὅλον ἀναπτυγέντα μηρὸν, ἢ βραχίονα κολληθέντα πρὶν φλεγμῆναι, καὶ μᾶλλόν γε
ὅτε ὡς Ἱπποκράτης ἔφη δαψιλὲς αἷμα παραχρῆμα συμβῇ ῥυῆναι. πολλάκις δὲ καὶ συντρῆσιν εἰς τὰ κενὰ κα-
λούμενα τοῦ θώρακος ἐντὸς τῆς τρίτης ἡμέρας ἐθεασάμεθα κολληθεῖσαν. ἀλλὰ καὶ πρώην τις ἐν παλαίστρᾳ πλη-
γεὶς σφοδρῶς ἀνέβηξεν αἵματος αὐτίκα κοτύλας ὡς δύο, φλεβοτομηθεὶς δὲ παραχρῆμα καὶ τῶν ἄλλων ὡς ἐ-
χρῆν γενομένων, οὔτε ἔβηξεν ἔτι τελέως καὶ ὑγιής ἐστι, κἂν τούτων οἶμαι τινὰ συνορᾶν ὡς ἐπὶ τῶν ἤδη φλεγμαί-
νειν ἠργμένων ἀπέχεσθαι χρὴ μᾶλλον, εἴ τις Ἐρασιστράτῳ πείθοιτο φλεβοτομίας, ἤπερ ἐφ᾽ ὧν οὐδέπω φλεγμαίνει.
δῆλον δ᾽ οὐδὲν ἧττον τόδε καὶ ὅτι τὰς φλεβοτομίας ὁ Ἐρασίστρατος, οὔτε σὺν ταῖς ἀσιτίαις, οὔτε πρὸ αὐτῶν
παραλαμβάνει. ἀλλὰ γὰρ εἰς τοσοῦτον ἥκουσι τινὲς φιλονεικίας, ἢ ἀνοίας, ὥσθ᾽ ὅταν ἀκούσωσι τῶν τοιούτων λόγων, λύειν
μὲν αὐτοὺς οὐδ᾽ ὅλως ἐγχωροῦσι. ὥσπερ δὲ μηδενὸς εἰρημένου λόγων ἀρχὴν ἰδίαν ποιοῦνται τὴν λέξιν ἐκείνην μό-
νην προχειριζόμενοι καθ᾽ ἣν ὁ Ἐρασίστρατος φησὶν, ἀκόλουθον εἶναι μηδὲν προσφέρειν κατὰ τοὺς τῆς φλεγμονῆς και-
ρούς. κενούμεναι γὰρ αἱ φλέβες ῥᾷον παραδέξονται τὸ παρεμπτωκὸς αἷμα εἰς τὴν ἀρτηρίαν. τούτου δὲ συμβαίνοντος,
ἧττον φλεγμοναὶ ἔσονται. κᾆπειτ᾽ ἐπ᾽ αὐτῇ λέγουσιν αὐτὸ πρόδηλον εἶναι τὴν ἐκ τῆς φλεβοτομίας χρείαν. ὅπου γὰρ καὶ
αὐτὴν τὴν ἀσιτίαν ὡς κενωτικὸν βοήθημα παραλαμβάνει, πολὺ δήπου μᾶλλον φασὶν ἐπὶ τὴν φλεβοτομίαν ἀ-
φίξεται, πρὸς οὓς ἐάν τις εἴπῃ δι᾽ ὧν λέγουσιν οὐ τομίαν τὸν Ἐρασίστρατον ἐπιδεικνύειν αὐτούς. ἀλλὰ τὸ τῆς εἰρη-
μένης ἐπὶ τῆς ἀσιτίας ἀκόλουθον εἶναι δεῖ καὶ τῇ φλεβοτομίᾳ χρῆσθαι, καταγελῶντες, εἶτα σὺ μὲν φασὶ γινώσκεις
τὸ ἀκόλουθον, Ἐρασίστρατος δ᾽ οὐκ ἐγίνωσκεν. ἀγύμναστος ἦν δηλαδὴ τὸν λογισμόν, ὃν γεγύμνασαι σὺ μᾶλ-
λον ἐκείνου, καὶ εἴπερ ἔζη συνεβουλεύσαμεν ἂν αὐτῷ παρὰ σὲ φοιτᾶν, ἵν᾽ ἐθισθῇ γινώσκειν ἀκόλουθόν τε καὶ μαχόμε-
νον. ἔπειτ᾽ ἐντεῦθεν ἐκτραπόμενοι συνείρουσι τοὺς ἀσελγεῖς εἰς ὕβριν τῶν προσδιαλεγομένων, οὕτω πολλοὺς ἐφε-
ξῆς ὡς μηκέτ᾽ ἂν ἐπιτρέπειν φθέγξασθαι μηδενὶ, καὶ τοῦτ᾽ αὐτοῖς ἐστὶ τὸ τέλος τῆς συνουσίας. ἀλλ᾽ ἡμῖν γε νῦν

† διορισμοῦ

οὐχ ὥς ἄν τις ἀμείψαιτο τὸν ὑπαρξάμενον λοιδορεῖσθαι ζητοῦμεν, ἀλλὰ πρῶτον μὲν εἰ Ἐρασίστρατος ἐχρήσατο φλεβοτομίᾳ, δεύτερον δὲ περὶ τῆς δυνάμεως τοῦ βοηθήματος. ἑκατέρου δ' αὐτῶν ἀποδείξεις εἰσὶν ἴδιαι. τοῦ μὲν γὰρ μὴ χρῆσθαι φλεβοτομίᾳ τὸν ἄνδρα τά τε συγγράμματα αὐτοῦ καὶ τῶν μαθητῶν οἱ ἀξιοπιστότατοι, καὶ τοῦ Χρυσίππου διδασκαλεῖον ἅπαν. τῆς δὲ τῶν βοηθήματος δυνάμεως οὐκ ἔτι ταῦτα. προτάσεις δὲ τινὸς ἀληθεῖς, ἅμα τοῖς οἰκείοις συμπτώμασι. εἰ δὲ ἐάσας τις ταῦτα πάντα τὴν ἀκολουθίαν μόνην ἐπικελεύεσθαι βούλοιτο, κινδυνεύσει τὰ σαφῶς ὑπὸ Ἐρασιστράτου γεγραμμένα, μηδ' ὅλως οἴεσθαι γεγράφθαι. πρόχειρον γοῦν μοι τὸν νῦν ἐντεῦθεν ἀρξάμενον, ἐν ᾧ περὶ αἵματος ἀναγωγῆς αὐτὸς ἐπαινῶν Χρύσιππον, ὡς καλῶς ἀντὶ τῆς φλεβοτομίας τοῖς δεσμοῖς τῶν κώλων χρώμενον ἔγραψεν αὐτοῖς ὀνόμασι ταυτί. τὸ δὲ αὐτὸ τοῦτο βούλονται ποιεῖν καὶ φλεβοτομοῦντες τοὺς ἀνάγοντας αἷμα. ἀλλὰ πολὺ βέλτιον ὁ Χρύσιππος, οὐ μόνον τὸ παρὸν ὑποβλέπων, ἀλλὰ καὶ τὸν ὑποφερόμενον κίνδυνον φροντίζων. ἐχόμενον περὶ τὴν ἀναγωγὴν ὁ περὶ τὴν φλεγμονὴν κίνδυνος, ἐν ᾧ προσφέρειν μὲν οὐ ῥᾴδιον, φλεβοτομηθέντα δὲ καὶ πολὺν χρόνον ἀσιτήσαντα κίνδυνος ἐκλυθῆναι. οὐκ ἔτι προσέθηκεν ἐνταῦθα τὴν αἰτίαν δι' ἣν ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς ἀσιτίαν ἀξιοῖ. λέλεκτο γὰρ δ' αὐτῷ περὶ τούτου κατ' ἐκείνην τὴν ῥῆσιν ἐν ᾗ φησιν. ἀκόλουθον δὲ καὶ τὸ μηδὲν προσφέρειν τοῖς τε τραυματισμένοις ὑπὸ τοὺς τῆς φλεγμονῆς καιρούς. στερούμεναι γὰρ αἱ φλέβες τῆς τροφῆς ῥᾷον παραδέξονται τὸ παρεμπεπτωκὸς αἷμα εἰς τὰς ἀρτηρίας. τούτου δὲ συμβαίνοντος ἧττον αἱ φλεγμοναὶ ἔσονται. ὥστε τὴν ἀσιτίαν ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς διὰ τοῦτο ἐπαινεῖ, διότι κενοῖ τὰς φλέβας. ἀλλὰ ἐὰν ἑνώσεις τοὺς εἰρημένους δύο λόγους εἷς ἔσται τοιοῦτος. ὀρθῶς ὁ Χρύσιππος οὐκ ἐφλεβοτόμει τοὺς ἀνάγοντας αἷμα διὰ τὸ χρῄζειν αὐτοὺς ὀλίγον ὕστερον κενωτικοῦ βοηθήματος τῆς ἀσιτίας. οὕτως δ' αὐτὸς πάλιν ὁ λόγος, καὶ διὰ συντομωτέρων λεχθῇ τοιοῦτός τις ἔσται. οὐκ ἦν χρὴ κενοῦν τοὺς ἀνάγοντας αἷμα διὰ τὸ μικρὸν ὕστερον ἐν τοῖς τῆς φλεγμονῆς καιροῖς κενώσεως χρῄζειν. ἔτι δὲ σαφέστερον οὕτως ἂν ῥηθείη. πρὸ τοῦ καιροῦ τῆς φλεγμονῆς οὐ δεῖ κενοῦσθαι τὰς φλέβας, ὅτι κενουμένων αὐτῶν αἱ φλεγμοναὶ παύονται, καὶ μὴν πρόδηλός γε ὁ λόγος οὗτος ἐναντιοῦται πρὸς ἑαυτόν. πλὴν οὖν εἴ τις αὐτῷ βοηθῶν ἱταμῶς δύο ταῦτα εἰσηγοῖτο τό τε βέλτιον εἶναι κενοῦν τὸ σῶμα κατὰ τὸν τῆς φλεγμονῆς καιρὸν οὐ πρόσθεν, ἀσιτίαν τε μᾶλλον, ἢ φλεβοτομίαν, ἀλλ' ἐάν. ταῦτα λέγοντα οὔτε ἀποδεδεῖχθαι τὸ προκείμενον φήσομεν οὔθ' ὁμολογούμενον ὑπάρχον ἑαυτῷ. διαφέρεται γοῦν τοὺς λόγους τὰ μέρη μὴ σώζοντα τὴν ἀκόλουθον*. ἐναργῶς γὰρ φαίνεται πᾶσιν ἀνθρώποις. ὅσοι γὰρ ἔχουσιν νοῦν τε καὶ σμικρὸν ὥστε σκοπεῖν ὡς θεμένων, τὸ παρεμπεπτωκὸς εἰς τὰς ἀρτηρίας αἷμα διὰ τοῦ κενῶσαι τὰς φλέβας εἰς τὴν οἰκείαν ἐπανάγειν χώραν, ὅτι τάχιστα τοῦτ' εἶναι πρακτέον. ἐναργὲς δὲ καὶ ὅτι βοηθήματι κενωτικῷ χρηστέον ἐλαχίστῳ τε χρόνῳ τὴν κένωσιν ἦν ποιήσασθαι δυναμένῳ καὶ χωρὶς τοῦ κακῶσαι τὸ σῶμα. δέδεικται γὰρ ὀλίγον ἔμπροσθεν ὅσα βλάπτουσιν αἱ ἀσιτίαι πολλάκις τοὺς κάμνοντα. ἐξεῖναι γοῦν τινὶ λέγειν οὑτωσί, γελοιοτάτους ἐγὼ νομίζω τοὺς ὑπολαμβάνοντας Ἐρασίστρατον ἐπὶ τῶν ἀναγόντων αἷμα χρῆσθαι φλεβοτομίᾳ. ὅπου γε ἀσιτίαν ὡς κενωτικὸν ἐπαινεῖ βοήθημα, πολὺ δήπου μᾶλλον αὐτὴν ἐπαινέσει τὴν φλεβοτομίαν. ὅπου δὲ κατὰ τὸν τῆς φλεγμονῆς καιρὸν ἡγεῖται δεῖν ἔτι κενοῦν, εὔδηλον ὅτι μᾶλλον ἀρχομένης αὐτῆς ἢ μελλούσης ἐπαινέσει τὴν κένωσιν. οὐ γὰρ οὕτω γε ἦν ἀμαθὴς Ἐρασίστρατος, ὅτι θᾶττον πολὺ ἐκ τῶν ἀρτηριῶν εἰς τὰς φλέβας ἐπανάξει τὸ αἷμα κατὰ τὴν ἀρχὴν τῆς παρεμπτώσεως, οὔτε σφηνωθὲν ἤδη σφοδρῶς, οὔτ' ἐξικμασμένον ὑπὸ τῆς πυρετώδους θερμότητος, διὰ τοῦτο παχὺ γεγενημένον. ὁ ταῦτα λέγων* ἆρ' οὐκ ἂν εἴη γελοῖον ἑαυτοῦ ἀποφαίνων οὐκ ἐκείνοις οἷς ἐγκαλεῖ. γεγραφότος γε αὐτοῦ τοῦ Ἐρασιστράτου μὴ χρῆσθαι φλεβοτομίᾳ, διότι φυλάττειν ἄμεινον ἐστὶν ἐν τῷ τῆς φλεγμονῆς παραληφθήσεσθαι.

ἔχειν ἀνίατον, ἢ πάνυ γε δυσίατον, οἷα καὶ ταῖς αἱμορροΐσιν ἐπιγίνεται. λεγόντων δ' ἡμῶν ὡς οἱ τῶν κώλων δεσμοὶ τὸ πλῆθος εἰς ἑαυτοὺς ἀγαγεῖν εἰσὶν ἱκανοὶ χωρὶς τῆς φλεβοτομίας, ἀδύνατον ἔφασκεν εἶναι γενέσθαι τοῦτο κατὰ τὰς πληθώρας, ἐφ' ὧν αὐτὸς ὁ Ἐρασίστρατος ἔφη παραπίπρασθαι βραχίονάς τε καὶ χεῖρας, καὶ κνήμας, τοῦτο γὰρ εἶναι τὸ παραπίμπρασθαι γίνεσθαι διὰ πλῆθος τοῦ αἵματος τεινομένων τῶν ἀγγείων. πῶς οὖν ἔτι δυνατὸν εἰς αὐτὰς μεταστῆσαι τὸ κατὰ βάθος, ὁπότε φαίνεται καὶ τὸ χωρὶς ἐκείνου κινδυνεύειν ἤδη ῥαγῆναι; καὶ μὴν Ἐρασίστρατον γεγράφαμεν ἐπαινεῖν Χρύσιππον, οὐ μετὰ τοῦ διορίσασθαι τὸν λόγον, ὡς νῦν ποιήσω γράψας, ἀλλ' ἁπλῶς ἀποφηνάμενος. ἔχει γὰρ ἡ λέξις ὧδε. ἀποδέσεις δὲ ποιεῖσθαι ἐρίοις παρ' αὐτὰ τὰς μασχάλας καὶ τοὺς βουβῶνας. ἀποδέσεις ἔφη ποιεῖσθαι, μηδὲν ἔτι προσθεὶς περὶ λόγου πότερον ἐπὶ μὲν τῶν πληθωρικῶν οὐδὲν μὲν ὀνήσει τὸ βοήθημα. τοὺς δὲ ἄλλους ὠφελήσει, ἀλλ' ἁπλῶς ἀποφηνάμενος ἵν' ἐπὶ πάντων σκοπῶμεν. τί γὰρ ἔφη προσέθηκεν ἐπὶ πάντων ἀκούσωμεν οὑτωσί πως γράψας. ἀποδέσεις ποιεῖσθαι. ἐρεισδέων ἐπὶ πάντων. ἀλλ' ἁπλῶς εἶπεν, ἀποδέσεις ποιεῖσθαι ἐρίοις παρά τε τὰς μασχάλας καὶ τοὺς βουβῶνας, ὡς ἡμῶν δυναμένων νοεῖν ἐπ' ἐκείνων εἰρῆσθαι τὸν λόγον, ἐφ' ὧν ἐστὶ δυνατὸν εἰς τὰ κῶλα μεταχθῆναι τοῦ αἵματος. ὡς ἐφ' ὧν ἀδύνατον, οὐδὲ ἐπιχειρητέον ἐστὶ τοῖς τῶν κώλων δεσμοῖς. τί δή ποτ' οὖν ἔφαμεν οὐκ αὐτὸ τοῦτο ἔγραψεν ὁ Ἐρασίστρατος ὡς σὺ νῦν εἶπες. ὡς ἐπὶ μὲν τῶν οὕτω πληθωρικῶν, ἐν οἷς παραπίμπρανται βραχίονές τε καὶ κνῆμαι καὶ πήχεις, αἵματος ἀφαιρεῖν προσήκει, τῶν δ' ἄλλων διαδεῖν τὰ κῶλα; ὅτι ἔφην ἀνθρώποις ἔγραψεν οὐ κοινοῖς δυναμένοις τὰ ἀκόλουθα γνῶναι καὶ πρᾶξαι ταῦτα, καὶ μὴ δὲ ἐπιχειρεῖν ὅλως ἀδυνάτοις. μὴ δεῖν κελεύεις οὖν ἡμᾶς ἔφαμεν ὅταν μέν ποτε πληθωρικὴ διάθεσις ἦ κατὰ τὸ σῶμα, κἂν Ἐρασίστρατος μὴ γράψῃ, φλεβοτομίαν. ἐναργὲς γάρ ἐστι τοῦτο καὶ φαίνεσθαι σαφῶς ἅπασι, καὶ διὰ τοῦτο μηδ' ὑπὸ Ἐρασιστράτου γεγράφθαι, τὰς ἄλλας διαθέσεις

ὅσαι

ὅσαι χωρὶς πληθώρας εἰσὶν Ἐρασίστρατος ἔγραψεν ἰᾶσθαι. τὸν δὲ πνεύσαντα πρὸς ταῦτα πρώτης μὲν ἐπακοῦ-
σαι τῆς ἐκ τοῦ τρίτου περὶ πυρετῶν ἠξίωσα ῥήσεως. ἐφεξῆς δὲ καὶ τῆς ἐκ τοῦ προτέρου τῶν ὑγιεινῶν. ἔστι δὲ ἡμῖν ἐκ
τοῦ τρίτου τῶν πυρετῶν ἥδε. περὶ μὲν οὖν τὰς ἀρχὰς τῶν ἀῤῥωστιῶν καὶ τὰς τῶν φλεγμονῶν γενέσεις, ἀφαιρε-
τέον ἂν εἴη πᾶσαν πρόσφοραν ῥοφημάτων τε καὶ σιτίων. γίγνονται γὰρ ὡς τὸ πολὺ αἱ τοὺς πυρετοὺς ποιοῦσαι
τῶν φλεγμονῶν διὰ πληθώρας. διδομένων οὖν ἐν τοῖς τοιούτοις καιροῖς προσφορῶν καὶ πέψεως καὶ ἀναδό-
σεως, τὰς κατ᾽ αὐτὰς ἐνεργείας παραδιδουσῶν πληρουμένων ἀγγείων τῆς ῥοφῆς, ἐπιπλέον τε καὶ ἰσχυροτέρας συμ-
βήσεται τὰς φλεγμονὰς γίνεσθαι. ἐν τούτῳ τῷ λόγῳ σαφῶς ὁ Ἐρασίστρατος ἔγραψέ τε τὸ τῆς πληθώρας ὄνομα,
καὶ θεραπείαν αὐτῆς διδάσκων, ἀσιτίας μὲν ἐμνημόνευσε, φλεβοτομίαν δὲ ἐσιώπησε. ὥστε καὶ τετράκις ἐψεύσω
βέλτιστε πρὸς τῆς Ἐρασιστράτειον ἔφην, ἐπειδὴ φαίνεται καὶ θεραπείας πληθώρας ὁ Ἐρασίστρατος γράψας. οὕτω δὲ
κἀν τῷ προτέρῳ τῶν ὑγιεινῶν, μετὰ τὸ προειπεῖν ὅπως ἄν τις γνωρίζοι πληθώρας ἐφεξῆς ἰάματα γράφων, πάντων
μᾶλλον ἢ φλεβοτομίας ἐμνημόνευσεν. ἔχει δὲ ἡ ῥῆσις ὧδε. μεγίστην δὲ ἔχειν πίστιν εἰς ὑγιείας φυλακήν, ὡς ἐμπρο-
σθεν συμβαλλόμενον τὸ γνῶναί τε καὶ φυλάξασθαι δύνασθαι τὴν περὶ πληθώραν διάθεσιν. δι᾽ ὧν μὴ δεῖ μάλιστα μὲν
ἀρχομένης αὐτῆς διαλύειν. εἰ δὲ μὴ προσελθούσης πρὸ τῆς ἀρχὴν ἀῤῥωστίαν ποιῆσαι. πλείους δὲ τρόποι τοῦ δια-
λύειν τὴν τοιαύτην διάθεσιν εἰσίν, καὶ οὐχ οἱ αὐτοὶ πᾶσιν ἁρμόζουσιν, περὶ ὧν ἂν ἐφεξῆς εἴη τοῦ λέγειν. τοῖς μὲν
οὖν εἰθισμένοις διαπονεῖν τῶν σωμάτων κράτιστον ἂν εἴη, τοὺς συνήθεις πόνους μικρῷ πλείους ποιοῦντας διαλύειν
πειρᾶσθαι τὴν τοιαύτην διάθεσιν, μετὰ δὲ τὰ γυμνάσια ἱδρῶτας τε ἐν βαλανείῳ ἐκκρίνειν, ἢ διὰ πυριάσεως
ἐξηράνθαι συνήθους καὶ λουτρῷ πλείονι χρῆσθαι, καὶ μετὰ ταῦτα πάντα ἐν ἡσυχίᾳ πλείονι γίνεσθαι πλείω χρόνον
μηδὲν προσφερόμενον. οὗτος γὰρ καιρὸς μάλιστα συναιρεῖ τὴν πληθώραν ὁ ἀπὸ τῶν γυμνασίων καὶ τοῦ λουτροῦ, ἐὰν
μηδενὸς προσγευσάμενός τις ἡσυχάζει πλείονα χρόνον μετὰ ταῦτα. ἄριστον μὲν ἀφαιρεῖσθαι. τὸ δὲ δεῖπνον ἔλασ-
σον λαμβάνειν, καὶ ὀλίγους ἀτρόφους εἶναι τοὺς προσφερομένους. εἴη δ᾽ ἂν τοιαῦτα, λαχάνων τε γένη ὠμῶν καὶ ἑφθῶν,
καὶ κολοκύνται, καὶ σικυοί, πέπονές τε οἱ ἁπαλοί, καὶ σῦκα χλωρά, καὶ τῶν ὀσπρίων τινὰ μετὰ λαχάνων ἑψόμε-
να, ἄρτος τε μὴ πεπονημένος. ἅπαντα γὰρ τὰ τοιαῦτα, τὴν μὲν κοιλίαν εὐέκκριτον ποιοῦσι, τὰ δὲ ἀναδιδόμε-
να ἀπ᾽ αὐτῶν, οὐδὲ πολλὰ οὐδὲ ἰσχυρὰ ἐστί. κρεωφαγίας καὶ ἰχθύων, καὶ τῶν ἑψημάτων τῶν μετὰ γάλακτος χόνδρου τε καὶ ἀμύ-
λου, καὶ πάντων τῶν τοιούτων, ἀφεκτέον ἐν τῷ εἰρημένῳ καιρῷ ἢ ὀλίγοις παντάπασι. χρῆσθαι δὲ τῇ ἀγωγῇ τῆς
ἐπιμελείας ταύτης, ὡς ἂν ἀσφαλῶς καθαιρεθῇ ἡ γενομένη πληθώρα. οἷς δὲ μὴ σύνηθες τὸ μὴ διαπονεῖν τῶν
σωμάτων, οὐκ ἐπιτήδειον γυμνάσια πλείω ἐμβάλλειν. ταῦτα γὰρ ὁμοίως τοῖς πλείστοις ἀσφαλεῖς ποιεῖται τὰς
κενώσεις. χρήσιμον δὲ πᾶσι κοινὸν ὅσοι τυγχάνουσιν εὐεμεῖς ὄντες, τοὺς ἀπὸ τοῦ δείπνου ἐμέτους ποιεῖσθαι, ἐὰν μὴ
πρός τι ἄλλο ἀνάρμοστοι ὦσι, μὴ πολὺν χρόνον διαλείποντας ἀπὸ τῆς προσφορᾶς, ἵνα μετέωρά τε τὰ σιτία λαμ-
βάνοντες πρὸς τὸ ἐμεῖν, καὶ μὴ πολὺ πρὸ τοῦ ἐμεῖν τὰ ἀναδιδόμενα ἀπ᾽ αὐτῶν. τῇ δὲ ὑστεραίᾳ ἀριστᾶν τε, καὶ ἱδρῶ-
τας καὶ λουτρὰ ποιεῖσθαι. κενωθέντος δὲ τοῦ σώματος καὶ τῆς πληθώρας ἀποκατάστασιν λαβούσης, συντόμως ἐπὶ
τὰ εἰθισμένα ἐπαναγαγεῖν. ἐν τε οὖν τούτῳ τῷ λόγῳ πάντα σαφῶς ὁ Ἐρασίστρατος ἐδήλωσεν. ἄλλοις μὲν τοῖς
βοηθήμασιν ἑαυτὸν χρώμενον ἐπὶ τῆς πληθωρικῆς διαθέσεως οὐ χρώμενον φλεβοτομίᾳ, καὶ πάλιν ἐν τοῖς κα-
τωτέρω τοῦ συγγράμματος, ἔνθα φησίν. ἐννοεῖν δὲ χρὴ καὶ τὰ τοιαῦτα διότι οὐ πάντες ἄνθρωποι ἐπὶ ταῦτα
φέρονται πάθη. ἀλλὰ γενομένης περὶ πλείους τοῦ αὐτοῦ συμπτώματος, λέγω δὲ πληθώρας οἷς πᾶσιν ἐπὶ τοὺς τό-
πους εἴθισται ἡ ὁρμὴ γίγνεσθαι, ἀλλὰ τοῖς μὲν ἐπὶ τὸ ἧπαρ, ἐνίοις δὲ ἐπὶ τὴν κοιλίαν, ἄλλοις δὲ εἰς ἐπιληπτικὰ πάθη,
τοῖς δὲ ἐπὶ τὰ ἄρθρα. ἕκαστον οὖν δεῖ συνθεωροῦντα εἰθισμένα ἑαυτῷ συμβαίνειν τὴν ἁρμόζουσαν φυλακὴν γιγνομέ-
νοις πάθεσι ποιεῖσθαι. οὐ γὰρ ὡσαύτως φυλακτέον τῷ εἰθισμένῳ εἰς ἐπιληπτικὸν φέρεσθαι, καὶ τῷ εἰς αἱμοπτοϊκά,
ἀλλὰ τῷ μὲν εἰς πόνους ἀφειδῶς δοτέον, τῷ δὲ φυλακτέον τὰ ἐπιπονώτερα γυμνάσια. κίνδυνος γὰρ ἂν ἦν
ἐν τῷ διαπονεῖν ἀρχὴν ῥήξεως γενέσθαι. ὁμοίως τῷ μὲν εἰς ἐπιληπτικὰ φερομένῳ, ἀφειδῶς αὐτὸν διδόναι εἰς
ἀσιτίαν τε καὶ ὀλιγοσιτίαν. τὰ δὲ πλείω λουτρά, καὶ μεταβολὴν ἰσχυρὰν ποιοῦντα, φυλακτέον. τῷ δὲ ἐπὶ νεφριτικὰ
πάθη φερομένῳ σιτία μὲν ἐλαφρὰ ποιεῖν, λουτροῖς δὲ ἀφειδῶς χρῆσθαι, τό, τε πινόμενον οὐκ ἐπιτήδειον συστέλλειν,
ἵνα μὴ δριμέων τῶν οὔρων γινομένων, ἀναδάκνωνται οἱ τόποι δι᾽ ὧν φέρεται ἡ ἔκκρισις, ἐργάζωνταί τε καὶ τὸ διαπο-
νεῖν πλείω τοῖς τοιούτοις. οἷς δὲ ἐπὶ τὸν πλεύμονα, ἢ τὸ ἧπαρ εἴθισται φέρεσθαι, κόπους τε καὶ ψυχρολουσίαν εὐλαβητέον,
ἀσιτίαις τε, καὶ ὀλιγοποσίαις, καὶ λουτροῖς τὸ ἐπίπαν τὴν φυλακὴν ποιεῖσθαι. ἐν τούτοις πάλιν ὁ Ἐρασίστρατος ἐναρ-
γῶς ἐνεδείξατο τὴν αὐτοῦ γνώμην. ἄγει τοὺς ἐκ πληθώρας ἤτοι γ᾽ αἷμα πτύσειν μέλλοντας, ἢ τοῖς ἐπιληπτικοῖς
ἁλώσεσθαι πάθεσι, οὔτε διὰ τῶν ἰσχυρῶς καθαιρόντων φαρμάκων ἐπεχείρησε κενοῦν. ἀλλ᾽ οὐδὲ διὰ πλήθους τρί-
ψεως ἀθροωτέρου μέν, ἢ κατ᾽ αὐτὰ βοηθήματος, ἰσχυροτέρου δὲ οὐ σμικρῷ μόνης τῆς ἀσιτίας. πλήθους γοῦν τρίψεως
ἐνίους τῶν τοιούτων ἐκγνώσαμεν ὑπὸ μαλακίας ψυχῆς, οὔτε καθαῖρον φάρμακον ὑπομένοντας λαβεῖν, οὔτε
ἐπιτρέποντας τέμνειν τὴν φλέβα. καὶ εἴπερ ἦν ἱκανὸν ἐπὶ πάντων τὸ βοήθημα τοῦτο, τάχα ἂν τις αὐτὶ φλεβο-
τομίας αὐτῷ χρῆσθαι δικαίως ἐδύνατο. νῦν δὲ οὐκ ἔστιν ὅτε μικρότερον εὑρίσκεται τῆς περὶ τὸ σῶμα πληθώρας, καὶ μάλ-
λις ἀνθῶν τρίβεσθαι κοπώδεσιν αὐτίκα διαθέσεσιν ἁλισκομένων ἢν ἐπὶ πλεῖον τριφθῶσιν. ἔνιοι δὲ πυκνὸν
καὶ σκληρὸν ἔχουσι τὸ δέρμα, κἂν πλείστη τρῖψις προσαχθῇ κένωσις βραχυτάτη γίνεται. εἰ δέ τις ἰατρὸς ἐπι-
μελῶς ὁμιλήσει τοῖς ἔργοις τῆς τέχνης αὐτῇ τῇ πείρᾳ διδαχθείς, οἶδεν ὅπως ἐπικαλεῖται παροξυσμὸν ἐπιλη-
πτικόν, ἡ τοῦ στομάχου κένωσις. ἔγνων δὲ καὶ τοὺς ἐπὶ κακοπραγίᾳ μόνῃ στομάχου ταῖς ἐπιληψίαις ἁλισκομένους, ὧν
ἔνιοι βλάπτονται μεγάλως ὑπὸ τῆς ἀσιτίας, ὥσπερ γε καὶ Διόδωρος ὁ γραμματικός. οὗτος γὰρ εἴ ποτε κατά τινα
περίστασιν γραμμάτων ἐπιπλεῖον ἄσιτος διετέλεσεν, ἐπιληπτικὸς ἐγίνετο. καὶ τοῦτον ἐπεγνωσάμεν αὐτῷ βοήθη-
μα τι περὶ τρίτην ὥραν ἢ τετάρτην ἄρτον προσλαμβάνειν ἐξ οἴνου κεκραμένου. καὶ τοῦτο χρώμενος, ἔτι ἤδη πολλῶν ἐτῶν
ὑγίαινε, μόνου φροντίζων ἑνὸς τοῦ πέψαι ὅτι κάλλιστα τὴν ἐπὶ τῷ δείπνῳ ῥοφήν. καὶ ποτὲ διά τινα χρείαν πολιτικὴν

ἀναγκασθεὶς περὶ τῆς ἀγορᾶς, ἕως μεσημβρίας ἄσιτος διατρίψαι, καταπεσὼν ἐσπάσθη. οὗτος μὲν οὖν, ὡς ἔφην, ἐπὶ τῷ στομάχῳ κακοπραγοῦντι ταῖς ἐπιληψίαις ἡλίσκετο. τοὺς δὲ ἄλλους εἰ καὶ μὴ μόνους ἀλλ' ὅταν ἐπιτηδείως ἔχει, συμπαροξύνει τε κἀξελκεῖ διὰ ταχέων ὁ στόμαχος βλαβεὶς εὔδηλον. ἔστι δ' ὅτε τὸ στόμα τῆς γαστρὸς ὀνομάζεται στόμαχος ὑπὸ τῶν ἰατρῶν. ἐν ταύταις ταῖς διαθέσεσι, καὶ πολλοῖς γε ἤδη πρὸ ἡμῶν ἐγνώσθησαν αἱ τοιαῦται διαθέσεις ὑπὲρ ὧν ἑτέρωθι κάλλιον εἰπεῖν. ἐν δὲ τῷ παρόντι μέχρι τοσούτου λελέχθαι μετρίως δηλούντων ἡμῶν ὅτι πολλοὶ τῶν ἐπιλήπτων ὑπὸ τῶν μακροτέρων ἀσιτιῶν κακούμενοι τὸν στόμαχον ὑπ' αὐτοῦ τούτου παροξύνονται. ὑποκείσθω τοίνυν, ὁ μὲν ἄνθρωπος εἶναι πληθωρικὸς οὕτως ὡς παραπεπρῆσθαι βραχίονάς τε καὶ τὰ περὶ μηροὺς καὶ κνήμας, ἡ δ' ὥρα τοῦ ἔτους ἔαρ εἰσβαλόν, οὐδὲ γὰρ οὐδὲ αὕτη σπάνιος ὑπόθεσις, ἀλλ' ἡμεῖς μὲν καὶ πάνυ πολλάκις ἐθεασάμεθα διακειμένους οὕτως ἀνθρώπους ἐν ἐκείνῳ τῷ καιρῷ. προσυποκείσθω δὲ καὶ τρίψεων εἶναι καὶ γυμνασίων ἀήθης ὁ τοιοῦτος, ὑπό τε τῆς ἀσιτίας κακούμενος, εἶτα ζητῶμεν ὅπως αὐτὸν κενώσωμεν. ἆρά γε λουτροῖς πλείοσιν ἢ γυμνασίοις, ἢ τοῖς ἀπὸ δείπνων ἐμέτοις ἢ ἀσιτίαις. ταῦτα γάρ ἐστιν Ἐρασιστράτῳ πλήθους ἰάματα. γυμνάσια μὲν οὖν οὐδὲ αὐτὸς ἀξιοῖ χρῆσθαι τοὺς ἀήθεις. λουτρῶν δὲ εἴργει πάντας ἁλῶναι πάθεσιν ἐπιληπτικοῖς. εἴρξει δ' οἶμαι καὶ τῶν ἐμέτων αὐτοὺς ἐναργῶς πληρούντων κεφαλήν. ἡ δ' ἀσιτία μόνη τῶν οὕτω πεπληρωμένων ὡς τάσεως σφόδρα αἰσθάνεσθαι κατὰ τὰ σκέλη καὶ τὰς χεῖρας οὐχ ἱκανὴ κενοῦν αὐτάρκως μετὰ τοῦ καὶ βλάπτειν ἰσχυρῶς, εἰ τὸν στόμαχον ἔχοιεν εὐπαθῆ. πῶς οὖν αὐτὴν κενώσομεν; ἆρά γε μόναις τρίψεσιν; ὧν οὐδ' ὅλως ἐμνημόνευσεν Ἐρασίστρατος. ἀλλὰ τοῖς ἀήθεσιν οὐχ οἷόν τε τρῖψιν τοσαύτην προσφέρειν ὡς αὐτάρκως κενῶσαι; ἢ διαδήσωμεν αὐτὸν ἐρίοις; ὅπερ οὐδὲ ὅλως εἶπεν ὁ Ἐρασίστρατος ἐνταῦθα, καίτοι γε ἐν τῷ περὶ αἵματος ἀναγωγῆς εἶπεν. ὑποκείσθω δ' ὡς εἴρηκεν ἐκ περιουσίας ἡ σκέψις γενηται. ἀλλ' εἴρηται καὶ πρόσθεν ὡς ἀνιαρόν τε ἀλλὰ καὶ ἀδύνατον εἶναι τὸ βοήθημα τοῦτο, τοὺς εἰς τοσοῦτο πληθώρας ἥκοντας ὡς εἰς τὰ κῶλα πιμπρᾶσθαι νομίζειν. οὐδὲ ἐκεῖνο δυνατὸν εἰπεῖν, ὅπερ ἐν τῷ περὶ αἵματος ἀναγωγῆς ὁ Ἐρασίστρατος ἔγραψεν. ὡς ἐχόμενός τε περὶ τὴν ἀναγωγὴν ὁ κατὰ τὴν φλεγμονὴν κίνδυνός ἐστιν. ἐν ᾧ τῶν ἀσιτιῶν ἀναγκάζει. ὡς παραλαμβανομένων οὐ χρὴ τῇ φλεβοτομίᾳ προσκαταλελῦσθαι τὴν δύναμιν. οὐδὲ μία γὰρ ἀνάγκη φλεγμονὴν ἀκολουθῆσαι τῇ πληθώρᾳ φθασάντων αὐτὴν κενῶσαι. ἀλλά τοι καὶ τούτου τοῦ πιθανοῦ μὲν οὐ μὴν ἀληθοῦς κατὰ τὴν τῶν ὑγιεινῶν πραγμάτων ἐκποδὼν ὄντος, ὅμως ὁ Ἐρασίστρατος οὐκ ἐτόλμησεν ἐκκενῶσαι διὰ φλεβοτομίας, τὸ μέλλον ἤτοι γ' ἐπιληψίαν, ἢ αἵματος ἀναγωγὴν ἐργάζεσθαι πλῆθος. οὕτως ἄρα προκείμενον ἐστὶν αὐτῷ διαφυλάττειν ἀεὶ τὸ τοῦ Χρυσίππου, καὶ μὴ φλεβοτομίᾳ χρῆσθαι, μήτε τινὶ τῶν ἰσχυρῶς καθαιρόντων φαρμάκων. ἐνὸν γοῦν καὶ διὰ φλεβοτομίας, ἀλλὰ καὶ διὰ καθάρσεως γε τινὸς ἐκκενῶσαι τὸ πλῆθος. οὐ μὴν γε ὁ Ἐρασίστρατος ἔγραψεν ὑπὲρ αὐτῶν, ὥσπερ γε οὐδὲ ἐν τοῖς περὶ παραλύσεως, ἢ περὶ ποδάγρας. αἰτιᾶται μὲν γὰρ κἀκεῖ τὴν πληθώραν, οὔτε δὲ φλεβοτομίας, οὐδέ τινι τῶν δραστηρίων χρῆται καθαρτικῶν φαρμάκων. ἔτι δὲ ἐναργέστερον ἐδήλωσε τὴν ἑαυτοῦ γνώμην ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, ἐν ἐκείνῳ τῷ μέρει τοῦ γράμματος ἔνθα φασὶν ἐνίους τῶν ἀνθρώπων εἰς κίνδυνον ἥκειν αἵματος ἀναγωγῆς ἐπισχεθείσης αὐτοῖς συνήθους ἐκκρίσεως. μεμνημένος γὰρ ἅμα ταῖς ἄλλαις ἐπισχέσεσι καὶ τῆς τῶν ἄλλων αἱμορροΐδων ἀφαιρέσεως. οὐχ ἁπλῶς εἶπεν ὅτι κενοῦν χρὴ τοὺς τοιούτους, ἀλλὰ κατ' εἶδος ἔγραψε τὰ κενωτικὰ βοηθήματα. καθάπερ ἐν τοῖς ἄλλοις βιβλίοις, οὕτω κἀνταῦθα τὰ δοκοῦντα αὐτῷ πάντα χωρὶς τῆς φλεβοτομίας. ἔχει δὲ ἡ ῥῆσις ὧδε.

» τοῖς μὲν οὖν νῦν ἐνεστῶσιν οἷς ἔκκλυσις αἵματος πλείων εἴθισται γίγνεσθαι, ἐκκρίσεις ἁρμόττοιεν ἂν
» οὐρήσεων τε καὶ ἱδρώτων. ἁρμόζει δὲ καὶ συστολὴ τῶν προσφερομένων, καὶ περιπάτων πλῆθος ἐπιπέδων
» μὴ ταχέων.

ἐν τούτοις πάλιν ἱδρῶσιν καὶ οὔροις καὶ ἀσιτίαις καὶ περιπάτοις ἐκκενῶν τὸ πλῆθος, οὐ χρῆται φλεβοτομίας. καὶ μὴν εἰ μήτε πρὶν γενέσθαι τὴν φλεγμονήν, μήτε γενομένης ἢ ὑποπτευομένοις ἔσεσθαι παραλαμβάνειν φλεβοτομίαν ὡσαύτως ἐδήλωσε διὰ ἑνὸς τούτου βιβλίου, περιττὸν ἦν κατ' ἄλλην πραγματείαν αὐτὸν μνημονεύειν φλεβοτομίας ἐν ᾗ φλεγμονὴν ἤτοι γεγενημένην ἤδη θεραπεύει, καθάπερ ἐν τῇ περὶ τῶν πυρετῶν, ἢ μέλλουσαν, ἢ ὑποπτευομένην, ἢ ἀρχομένην ὡς ἐν ταῖς ἄλλαις. ἀλλ' οὐδὲν τούτων ὁρῶντες ἔνιοι τῶν Ἐρασιστρατείων ὅμως φασὶ ὡς κενωτικοῦ γε βοηθήματος χρῆται τῇ φλεβοτομίᾳ. καὶ γὰρ Ἐρασιστράτου σαφῶς εἰρηκότος αὐτὸ τὸ ἐναντιώτατον. ἐπειδὴ γάρ φησι κατὰ τὸν φλεγμονῆς καιρὸν οὐκέτι ῥᾴδιον προσφέρειν σιτία τούτῳ μὴ χρῆσθαι φλεβοτομίᾳ μελλούσης ἔσεσθαι φλεγμονῆς. ὁ τοίνυν λόγος οὗτος ἄντικρυς ἐνδείκνυται φυλάττεσθαι φλεβοτομίαν, ἐφ' ὧν μέλλομεν ἀσιτίαν συμβουλεύειν. οὐκ οὖν ἐνδέχεται καθ' ἕνα καὶ τὸν αὐτὸν ἄρρωστον ἄμφω παραλαμβάνειν τὰ βοηθήματα, τὴν ἀσιτίαν καὶ τὴν φλεβοτομίαν. ὥστε εὔδηλον ὅπερ εὕροι Ἐρασίστρατος συμβουλεύοντος τὴν ἀσιτίαν μὴ χρῆσθαι τηνικαῦτα φλεβοτομίᾳ, διὰ τοῦτο γοῦν οὐδὲ ἐμνημόνευσεν, ὡς ἔφην, ἔτι τοῦ βοηθήματος ἐν ταῖς ἄλλαις πραγματείαις. ἐν ἁπάσαις γὰρ αὐταῖς, ὡς δέδεικται, συμβουλεύων ἀσιτίαν, ἀναιρεῖ δηλονότι τὴν φλεβοτομίαν. οὐκ ὀρθῶς μὲν πράττων, ὥσπερ καὶ καθ' † ἑκατὸν ἦν πρότερον, ὡς ἔφην, ἐδείχθη † πρᾶγμα, μικρότερον † ἁμαρτανόντων τῶν οἰομένων ἅπαντας ὅσοι χρήζουσι ἀσιτίας, εὐθὺς τούτους δεῖσθαι φλεβοτομίας. ἐγὼ γὰρ ἐπιδείξω κατὰ τὸν ἑξῆς λόγον, οὐ μόνον ἅπαντας οὐ δεομένους φλεβοτομίας, ἀλλ' οὐδὲ τοὺς πληθωρικοὺς αὐτούς, ἐὰν μὴ πρότερον αὐτό τε τὸ πλῆθος ὁποῖόν τι τὴν φύσιν ἐστὶ διορίσηται, καὶ μετὰ τοῦτο τὴν ἕξιν τοῦ κάμνοντος ἡλικίαν τε, καὶ ὥραν καὶ χώραν, καὶ κατάστασιν, ὅσα τε προηγεῖται, καὶ ὅσα πάρεστι τῷ κάμνοντι συμπτώματα. καθ' ἕκαστον γὰρ τούτων ἐπιδείξω πολλοὺς μὴ φέροντας ἀβλαβῶς τὴν φλεβοτομίαν. ὥσπερ αὖθις πάλιν ἑτέρους ἐπιδείξω χωρὶς πληθώρας δεομένους φλεβοτομίας. ἐπειδὰν δὲ ταῦτα διορίσωμαι τόν τε καιρὸν ἐρῶ τῆς φλεβοτομίας καὶ τὸ μέτρον. ἔτι τε πρὸ τούτων τὴν ἐν ταῖς τμηθησομένοις φλεψὶ διαφοράν. εἰρήσεται δὲ καὶ περὶ τοῦ πλεονάκις ἢ ἅπαξ ἀφαιρεῖν. ἐπί τε τούτοις οὐδὲν ἧττον ὡς τινὲς ἐν ἔαρι φλεβοτομεῖν, ἢ καθαίρειν ἔτι ὑγιαίνοντας προσήκει.

† ἕτερον
† γράμμα
† δ' ἁμαρτανόντων

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΦΛΕΒΟΤΟΜΙΑΣ ΘΕΡΑΠΕΥΤΙΚΟΝ.

ΤΟΙΣ περὶ φλεβοτομίας σκοπουμένοις, ἐν μὲν καὶ πρῶτον ἐστὶ πρόβλημα, σκέψασθαι τὰς διαθέσεις τοῦ σώματος, ὅσαι δέονται κενώσεως. εἶθ' ἑξῆς δεύτερον, ὅσαι τῆς διὰ φλεβοτομίας, ὡς πολλαί εἰσι διαθέσεις, ἄλλαι μέν τινος κενώσεως, οὐ μὴν φλεβοτομίας δεόμεναι. τρίτον ἐπὶ τούτοις σκέμμα διακρῖναι τοὺς δυναμένους ἀλύπως ἐνεγκεῖν τὴν κένωσιν. εὑρίσκεται γὰρ ἡ μὲν διάθεσις ἐνίοτε δεομένη φλεβοτομίας, ὁ κάμνων δ' οὐ φέρει αὐτήν, ἤτοι διὰ ἡλικίαν, ἢ διὰ ὥραν τοῦ ἔτους, ἢ διὰ τὴν τῆς χώρας φύσιν, ἢ διὰ κάκωσιν τοῦ στόματος τῆς γαστρὸς, ὃ καταχρώμενοι πολλάκις ὀνομάζουσι στόμαχον, ὥσπερ ἀμέλει καὶ νῦν ἐν ὅλῳ τῷ λόγῳ χρώμεθα τῇ προσηγορίᾳ βραχυλογίας ἕνεκεν. εἰσὶ δὲ οἳ καὶ διὰ τὴν ἕξιν ὅλου τοῦ σώματος, οὐ φέρουσι φλεβοτομίαν, εἰ καὶ μάλιστα αὐτῆς τυγχάνοιεν ὅσον ἐπὶ τῷ νοσήματι, δεόμενοι. ἣν δὲ δὴ καὶ ταῦτα διορίσεταί τις, ἡ περὶ τοῦ † μέτρου σκέψις ἡμᾶς διαδέχεται. καθάπερ ἐπὶ παντὸς ἄλλου βοηθήματος. εἶθ' ἑξῆς ἡ περὶ τῶν φλεβῶν ἃς χρὴ τέμνειν, ἐζήτηται γὰρ ἱκανῶς καὶ περὶ τούτων, ἆρά γε διαφέρει μηδὲν, ἣν ἂν ἐθελήσῃ τις, τέμνειν φλέβα, ἅπασαι γὰρ ὡσαύτως ὠφελοῦσιν ἁπάσας τὰς διαθέσεις, ἢ καθάπερ Ἱπποκράτης καὶ οἱ δοκιμώτατοι τῶν ἰατρῶν ὑπειλήφασι πάμπολυ διαφέρειν τὸ, τήνδε ἢ τήνδε σχάσαι. διορισθέντος δὲ καὶ τούτου τοῦ σκέμματος, ἔσται ἑξῆς ὁ περὶ τῶν σκοπῶν λόγος, οἷς ἄν τις προσέχων τὸν νοῦν, στοχάζοιτο τοῦ μέτρου τῆς κενώσεως. ἐπὶ δὲ τούτοις ἅπασιν, ἐπὶ τίνων μὲν ἅπαξ ἀφαιρεῖν ἄμεινον, ἐπὶ τίνων δὲ τὴν καλουμένην ἐπαφαίρεσιν ποιεῖσθαι προσήκει, καὶ τίνας μὲν ἄχρι λειποθυμίας κενοῦν, ἐπὶ τινῶν δὲ φυλάττεσθαι ταύτην, ὡς μέγιστον κακόν. ταῦτα μὲν οὖν ἀναγκαῖον ἐστὶν ἐπισκέπτεσθαι τὸν μέλλοντα καλῶς χρῆσθαι τῷ βοηθήματι. καὶ λέλεκται περὶ πάντων αὐτῶν ἤδη κατὰ τὴν τῆς θεραπευτικῆς μεθόδου πραγματείαν. καθάπερ γε καὶ πρὸς Ἐρασίστρατον ἰδίᾳ περὶ τοῦ κακῶς αὐτὸν ἀφεστάναι τοῦ βοηθήματος. εἶτα αὖθις ἄλλο πρὸς ἐκείνους τῶν Ἐρασιστρατείων ὅσοι φασὶ κεχρῆσθαι τῷ βοηθήματι τὸν ἄνδρα. διὸ καὶ μισήσειεν ἄν τις, ἤτοι τὴν πανουργίαν τῶν μιαρῶν σοφιστῶν, ὅταν γιγνώσκοντες ὅτι ψεύδονται, ἐπιτεχνάζονται ἐπιθυμίᾳ καινοτομίας, ἢ τὴν δοξοσοφίαν, ὅταν ἀγνοοῦντες τὰ χρησιμώτατα, κατασκευάζουσι τῷ λόγῳ τἀναντία. τούτων γάρ τοι τὸ ἕτερον ὁ Κνίδιος Χρύσιππος ἔπαθεν ἐξελὼν παντάπασι φλεβοτομίαν τῶν βοηθημάτων τῶν ἰατρικῶν. ἠκολούθησαν δ' αὐτῷ καὶ οἱ μαθηταὶ Μήδιός τε καὶ Ἀριστογένης ἔνδοξοι καὶ αὐτοὶ παρ' Ἕλλησι γενόμενοι. τούτων δ' ἔτι μᾶλλον ὁ Ἐρασίστρατος εἰς δόξαν ἀρθεὶς λαμπροτάτην, ἐφύλαξε τὴν Χρυσίππου γνώμην. εἶθ' ἑξῆς οἱ τούτου μαθηταὶ, τό γε κατ' ἀρχὰς ἠκολούθησαν ἅπαντες τῷ τοῦ διδασκάλου δόγματι, χρόνῳ δ' ὕστερον ἀπέστησαν τινὲς αὐτοῦ, αἰδεσθέντες ἀναίσχυντον αἰδῶ. τί γὰρ ἂν ἄλλο τις εἴπῃ πρὸς τοὺς ὑπομείναντας ἀφῃρῆσθαι, προσίεσθαι τὸ τῆς φλεβοτομίας βοήθημα τὸν Ἐρασίστρατον, εἰ καὶ μηδαμόθι φαίνεται τῶν συγγραμμάτων ἐπὶ μηδενὸς πάθους αὐτὸ συμβουλεύων. ἀκόλουθον γὰρ οὖν ἦν φασι τῷ τὴν ἀσιτίαν ὡς κενωτικὸν βοήθημα παραλαμβάνοντι, καὶ τὴν φλεβοτομίαν πολὺ μᾶλλον ἐγκρίνειν. οἱ δὲ ταῦτα λέγοντες ἅπαντες ἀξιώσουσι φλεβοτομεῖν, ἐφ' ὧν Ἐρασίστρατος ἐκέλευσεν ἀσιτίᾳ χρῆσθαι, γεγραφότος οὖν αὐτοῦ κατὰ τὴν τῶν πυρετῶν πραγματείαν, ἐν ταῖς ἀρχαῖς τῶν νόσων ἀσιτίαν, ἀκόλουθον ἐστὶν ἅπαντας φλεβοτομεῖν, ὡς καὶ ὁ τούτων λόγος ἐν ἐκείνῳ τῷ καιρῷ. ἔστι μὲν δὴ καὶ τοῦτο μέγιστον κακὸν εἰ πεισθεῖεν οὕτω πράττειν οἱ τὴν τέχνην μανθάνοντες νέοι. πολὺ δὲ τούτων χεῖρον, εἰ μηδὲ τῶν ἄλλων ὧν διορίζεσθαι προσήκει, ἐπισκέψονται. ταῦτ' οὖν ἠναγκάσθην αὐτὰ καθ' ἕτερον γράμμα διεξελθεῖν, ἐπιδεῖξαί τε τοῖς νέοις Ἐρασίστρατον οὔτε φλεβοτομίᾳ κεχρημένον, ἄμεινον γὰρ τοῦτο πεισθῆναι, τοὺς πάντας ἑξῆς φλεβοτομεῖν, ὅσους ἐκεῖνος ἀσιτεῖν ἐκέλευσε, μεγίστην τε τὴν ὠφέλειαν ἐκ τοῦ βοηθήματος γίγνεσθαι τοῖς κάμνουσιν, ἐάν τις αὐτῷ προσηκόντως ᾖ χρώμενος. οὐκ οὖν ἔτι γε δέει κατά γε τὴν ἐμὴν γνώμην ἄλλο τι μοι γράφειν περὶ φλεβοτομίας, ἐν μὲν τῇ θεραπευτικῇ πραγματείᾳ τῆς χρήσεως τοῦ βοηθήματος εἰρημένης, ὥσπερ γε κἂν τοῖς ὑγιεινοῖς. ἐν δὲ τοῖς δύο βιβλίοις, ὧν τὸ μὲν ἕτερον ἔγραφε πρὸς Ἐρασίστρατον αὐτὸν, τὸ δὲ ἕτερον, πρὸς τοὺς ἐν Ῥώμῃ Ἐρασιστρατείους, ἐπιδεδειχότος μου τὰ κακῶς ὑπὸ αὐτοῦ δοξασθέντα, παρακαλεσάντων δὲ πολλάκις πολλῶν μὲν φίλων ἰατρῶν, οἳ δοκοῦσί μοι τὴν θεραπευτικὴν πραγματείαν ὀκνεῖν ἀναγινώσκειν, ἠναγκάσθην ὕστερον ἐπὶ τὴν ἐνεστῶσαν ἀφικέσθαι διέξοδον, ὅπως μὴ δόξαιμι φθονεῖν αὐτοῖς, ἐφεξῆς δὲ ἅπαντα κατὰ τὴν προσήκουσαν τάξιν ὑπὲρ τοῦ βοηθήματος εἰπεῖν. καὶ τοίνυν ἤδη μοι καιρὸς ἄρξασθαι τοῦ λόγου. Τὸ μὲν τῆς διαθέσεως ὄνομα καθότι καὶ δι' ἄλλων ἡμῖν εἴρηται παρὰ τὸ διακεῖσθαι γεγονὸς, ὁμοίως ἐκείνῳ κατὰ πολλῶν λέγεται πραγμάτων. ἀλλὰ νῦν γε τὰς εἰς τὸ παρὰ φύσιν ἐκτροπὰς ὁποῖαι τινὲς ἂν ὦσι, διαθέσεις ὀνομάζομεν ἐν ἅπαντι τῷ λόγῳ. ζητήσομεν δὲ πρότερον ὁπόσαι καὶ ὁποῖαι τούτων εἰσὶν αἱ κενώσεως δεόμεναι, δεύτερον δὲ τίνες ἐξ αὐτῶν αἱ φλεβοτομίας. ἐπεὶ δὲ τὰ ζητούμενα πάντα δύο τῆς εὑρέσεως ὄργανα κέκτηται, λόγον, καὶ πεῖραν ἐν ἁπάσαις ταῖς τέχναις, οὐχ ἥκιστα τε καθ' ὅλον τὸν βίον, ἀναγκαῖον οἶμαι καὶ νῦν, ἤτοι διὰ τοῦ λόγου μόνου γίνεσθαι τῶν προκειμένων τὴν εὕρεσιν, ἢ διὰ πείρας μόνης, ἢ δι' ἀμφοτέρων. ἐπεὶ δὲ καὶ ὁ λόγος αὐτὸς, ὁ μὲν ἐκ τῶν κοινῶν ἐννοιῶν μόνων ἀρχόμενος εὑρίσκεται, καὶ ἀποδείκνυσιν, ὁ δὲ καὶ τοῖς ἐκ τούτων εὑρημένοις χρῆται πρὸς ἀπόδειξιν, ἑκατέρων τε τῶν λόγων ἐδείχθησαν ἡμῖν αἱ τέχναι πᾶσαι χρώμεναι, καὶ ἡμεῖς νῦν ὁπότερος ἂν αὐτῶν εὑρίσκηται χρήσιμος, ἐκεῖνον προχειρισόμεθα. τῷ μὲν οὖν προτέρῳ τῶν λόγων, ἅπαντες ἄνθρωποι χρῶνται καθ' ὅλον τὸν βίον. τῷ δευτέρῳ δ' οὐχ ἅπαντες, ἴδιος γάρ ἐστι τῶν τεχνιτῶν. ὁ γάρ τοι γεωμέτρης τὸ μὲν πρῶτον θεώρημα τῆς αὐτοῦ τέ-

χύσεως διὰ τοῦ προτέρου λόγου μόνου δείκνυσιν, εἶτα τῷ δευτέρῳ μόνῳ χρῆται, προσλαμβάνει δὲ εἰς τὴν ἀπόδειξιν αὐτῆς καὶ τὸ ἐκ τοῦ πρώτου κατασκευασθέν. ὅσῳ δ᾽ ἂν ἐπὶ πλέον ἀφίστηται τοῦ πρώτου θεωρήματος, ἐπὶ τοσοῦτον ἀφίστανται καὶ τοῦ προτέρου λόγου, καὶ τελευτῶν ἐλαχίστοις χρῆται, διὰ τῶν ἀποδεδειγμένων ἀποδεικνὺς ἕτερα, καὶ δι᾽ ἐκείνων αὖθις ἄλλα. καὶ εἶτ᾽ αὖ αὖθις ἄλλα δι᾽ ἐκείνων, ὥστε ἔρχεσθαί ποτε τὴν δεῖξιν αὐτῶν ἄχρι τῶν τοῖς ἰδιώταις ἀπίστων, ἡλίου, καὶ σελήνης, καὶ γῆς, οὐ μόνον τῶν μεγεθῶν, ἀλλὰ καὶ τῶν διαστημάτων τῆς γνώσεως, ἐξ ὧν εὑρεθέντων ὡρολογιά τε κατασκευάζουσι, καὶ κλεψύδρας οἱ τὴν ὁδὸν ταύτην βαδίσαντες, ἐκλείψεις τε προλέγουσιν ἡλίου καὶ σελήνης. οὕτως οὖν καὶ ἡμῖν ὁ τεχνικὸς λόγος ἀποδεδειγμένοις ἐν ἑτέραις πραγματείαις χρήσεται πολλοῖς, ἐνίοις μὲν ὡς δυνάμεις τινές εἰσι διοικοῦσαι τὰ ζῷα πλείους, ὧν τὰς μὲν φυσικάς, τὰς δὲ ψυχικὰς ὀνομάζομεν. αἱ δ᾽ ἀρχαὶ τῆς γενέσεως ἅπασι τοῖς οὖσιν, ὕλην ἔχουσι, τὰ τέτταρα στοιχεῖα, κεράννυσθαί τε πεφυκότα δι᾽ ὅλων ἀλλήλων καὶ δρᾶν εἰς ἄλληλα. διὰ γὰρ οὐδὲ Ἀσκληπιάδου μνημονεύσομεν ἔτι κατὰ τόνδε τὸν λόγον ἀποδεδειχότος αὐτοῦ τὰ στοιχεῖα ψευδῆ, κατά γε τὸ τρισκαιδέκατον ὑπόμνημα τῆς περὶ τῆς ἀποδείξεως, καὶ κατὰ τὴν τῶν Ἀσκληπιάδου δογμάτων πραγματείαν, ἐν ᾗ τὸ πέμπτον τε καὶ ἕκτον ἔλεγχον ἔχει τῶν στοιχείων αὐτοῦ. δέδεικται δὲ κἀν τῷ περὶ τῶν Ἱπποκράτους στοιχείων ὑπομνήματι, περί τε τῶν δραστικῶν ποιοτήτων, ὧν ὀνόματα θερμότης, ψυχρότης, ξηρότης, ὑγρότης, ἥτε τῶν χυμῶν διαφορά τε καὶ γένεσις. εἴρηται δὲ καὶ περὶ τῶν καθαιρόντων φαρμάκων ἕκαστον τῶν χυμῶν, ὀλίγα μέν τινα κἀν τῷ περὶ τῶν στοιχείων συγγράμματι, καὶ κατὰ μόνας δ᾽ ἐν ἑτέρῳ βιβλίῳ, καὶ ἡ περὶ κράσεων δὲ πραγματεία τῇ περὶ τῶν στοιχείων ἑπομένη χρησίμη πρὸς τὸν ἐνεστῶτα λόγον. ἁπάντων δὲ μάλιστα τὸ περὶ πλήθους βιβλίον, ἐν ᾧ δέδεικται, τὸ μὲν ὡς πρὸς δύναμιν πλῆθος, τὸ δ᾽ ὡς πρὸς τὴν εὐρυχωρίαν, ἐν ᾗ περιέχεται ὑπὸ τῶν ἰατρῶν τὸ πλῆθος γὰρ κατὰ τὸ ἔγχυμα. κάλλιστον οὖν ἐστι, τοῖς μέλλουσιν ἐξετάζειν ἐπιστημονικῶς τὰ κατὰ τήνδε τὴν πραγματείαν εἰρημένα, τὸ περὶ πλήθους ἀνεγνωκέναι βιβλίον. ὅσων δ᾽ αὖ πάλιν ἐκεῖνο δεῖται προανεγνωσμένων αὐτὸ δηλώσει. θαυμαζέτω δὲ μηδεὶς εἰ τοσούτων δεόμεθα πρὸς τὸ καλῶς ἐπισκέψασθαι περὶ φλεβοτομίας. οὐ γὰρ εἰς τὴν τούτου μόνου τοῦ βοηθήματος εὕρεσιν, ἀλλὰ καὶ τὴν τῶν ἄλλων ἁπάντων, ἀναγκαία τῶν εἰρημένων ἐστὶν ἡ γνῶσις, ὡς εἴγε χωρὶς τῆς ἐκείνων ἐπιστήμης ἐνεχώρει θεραπεύειν ὀρθῶς, οὐκ ἂν ἐσπουδάζομεν αὐτά. ταυτὶ μὲν οὖν ἀναγκαῖα ἦν προειπεῖν. Αὐτοῦ δ᾽ ἤδη καιρὸς ἄρξασθαι τοῦ λόγου σκοπουμένοις, ὁπόσαι διαθέσεις εἰσὶν αἱ δεόμεναι κενώσεως. ἐὰν μὲν οὖν ἐκ πείρας τις αὐτὰς ἀθροικῶς διέρχηται, μνήμης χρεία μόνης ἐστὶ πρὸς τὴν δήλωσιν. ἐὰν δ᾽ ἐκ λογικῆς ὁδοῦ, τὸ κοινὸν καὶ καθόλου ἀναγκαῖον ἐστὶν εὑρεῖν, ἔπειτ᾽ ἐκ τῆς ἐκείνου τομῆς εἰς εἴδη τε καὶ διαφοράς, ἄχρι τῶν ἐσχάτων εἰδῶν εὑρίσκειν τὸν ἀριθμὸν τῶν ἐνδεικνυμένων τὴν κένωσιν διαθέσεων, οὕτω γὰρ δείξομεν ἅπαντα συνιστάμενα τὰ διὰ λογικῆς ὁδοῦ τὴν εὕρεσιν ἔχοντα. τῆς οὖν ἰατρικῆς τέχνης ἔργον ἐχούσης ἁπάσας τῶν μορίων τοῦ σώματος τὰς κατὰ φύσιν ἐνεργείας ἀνασώζειν μὲν ὁπότε διαφθείροιντο, φυλάττειν δ᾽ ὁπότε σώζοιντο, τούτων δ᾽ ἑπομένων τῇ φυσικῇ κατασκευῇ, ταύτην ἀναγκαῖον ἐστὶ φυλάττειν τε παροῦσαν, ἀνακτᾶσθαι δὲ διαφθειρομένην. ἐπεὶ τοίνυν ἐδείχθησαν ὑπὸ τῶν ὁμοιομερῶν σωμάτων αἱ πρῶται τῶν ἐνεργειῶν ἐπιτελούμεναι, διὰ δὲ τῶν ὀργανικῶν, αἱ δεύτεραι, ἐπισκεπτέον ἔσωθεν τὰ κατὰ τὸ σῶμα περιεχόμενα τῶν ὑγρῶν ἥν τινα τὴν ὠφέλειαν, ἢ τὴν βλάβην ἐργάζεται, τοῖς μορίοις αὐτοῦ. δεδειγμένου τοίνυν ἐν τῷ περὶ πλήθους βιβλίῳ διττῶς γίνεσθαί τε καὶ λέγεσθαι τὸ πολύ, κατὰ μὲν τὸ ἕτερον τῶν σημαινομένων ὡς πρὸς τὴν δύναμιν, κατὰ δὲ θάτερον ὡς πρὸς τὴν εὐρυχωρίαν τῶν περιεχόντων τοὺς χυμοὺς ἀγγείων, ὅ, περ ὀνομάζουσιν ἔνιοι κατὰ τὸ ἔγχυμα, κενώσεως δὲ ἐστὶν ἑκατέρῳ χρεία, κἂν ἐπὶ νοσοῦντος ἀνθρώπου, κἂν ἐπὶ ὑγιαίνοντος ἐπιγίγνηται. καθάπερ γε καὶ ὁ τὸ φορτίον βαστάζων, οὐκ εὐθὺς ἅμα τῷ βαρύνεσθαί τε καὶ κάμνειν ἤδη καταπέπτωκέ τε καὶ νενίκηται πρὸς αὐτοῦ, κατὰ τὸν αὐτὸν τρόπον, ὅταν ἡ δύναμις ὑπὸ πλήθους βαρύνηται, δυνατόν ἐστι μηδέπω νοσεῖν τὸν ἄνθρωπον, οἱ γοῦν ἔνιοι τῶν ἔτι τὰς συνήθεις πράξεις πραττόντων, λέγουσιν ὡς αἰσθάνονται βαρέων ἑαυτῶν καὶ νωθρῶν καὶ ὀκνηρῶν καὶ δυσκινήτων, αὐτὸ γὰρ ἐστὶ τὸ πλῆθος τὸ πρὸς τὴν δύναμιν, ὥσπερ καὶ ὅταν ἀπὸ γυμνασίων τετάσθαι δοκῶσιν, ὥσπερ Ἐρασίστρατος ἔφη, παραπίπτονται βραχίονές τε καὶ πήχεις, οὐ μικρὸν γνώρισμα ἐστὶ θατέρου πλήθους, ὃ κατὰ τὸ ἔγχυμα καλεῖσθαι πρός τινων εἶπον, ἐπειδὴ κατὰ τοὺς ἐγκεχυμένους τοῖς ἀγγείοις χυμούς, συνίσταται καὶ νοεῖται, λέλεκται δ᾽ ἐν τοῖς ὑγιεινοῖς ἑλκώδους αἰσθήσεως ἐν ὅλῳ τῷ σώματι γιγνομένης, καὶ μάλιστα κατὰ τὰς κινήσεις, κακοχυμίας ἔγγονον εἶναι τὴν τοιαύτην διάθεσιν. ἀλλ᾽ ὅμως καὶ γὰρ φαίνεται γιγνόμενον οὐκ ὀλίγοις τῶν πραττόντων ἔτι τὰς συνήθεις πράξεις. καὶ κατὰ μόρια δέ τινα τοῦ σώματος οὐχ ὅλον ἐνίοτε τὸν ὄγκον ἐπιφαίνεται τὰ σημεῖα τῶν ἐν ἐκείνοις τοῖς μορίοις ὁμοίων διαθέσεων. ὁποῖαι τοίνυν εἴρηνται καθ᾽ ὅλον τὸ σῶμα, συνίστασθαι. κεφαλῆς γοῦν μόνης αἰσθανόμεθα, ποτὲ βαρυνομένης, ἢ ἑλκώδη τινὰ αἴσθησιν ἐχούσης, ἢ τῶν κροταφιτῶν μυῶν τεινομένων, ἤτοι γ᾽ ἁπλῶς, ἢ μετὰ θερμασίας πλείονος. οὕτω δὲ καὶ καθ᾽ ἧπάρ τε καὶ σπλῆνα, καὶ γαστέρα, καὶ πλευράς, καὶ διάφραγμα, βάρους αἰσθανόμεθα. πολλάκις ὡσαύτως δὲ καὶ κατὰ τὸ στόμα τῆς γαστρὸς ἤτοι βάρους, ἢ δήξεως, ἢ ναυτίας, ἢ ἀποστροφῆς σιτίων, ἢ ὀρέξεως παραλόγου, γίνεταί ποτ᾽ αἴσθησις, πρὸς τούτοις καὶ ὀδύναι καθ᾽ ὁτιοῦν ἐρείδουσαι μόριον, ἢ διὰ χυμῶν πλῆθος ἀθρόως ἐπενεχθέν, ἢ διὰ πνεῦμα φυσῶδες, ἐνδείκνυνται κένωσιν, ὥσπερ γε καὶ διὰ χυμὸν δριμὺν ἐσθίοντα τε καὶ διαβιβρώσκοντα τὸ μόριον. ἔνιαι δὲ κατὰ δυσκρασίαν γίνονται. καὶ τούτων αὐτῶν τινὲς μὲν ψιλὴν ἄνευ χυμῶν, ἔνιαι δὲ μετὰ χυμῶν. ἐφ᾽ ἁπάντων μὲν οὖν τῶν εἰρημένων αἱ κενώσεις τῶν λυπούντων χυμῶν ἢ ἀτμῶν, ἀπαλλάττουσι τῶν παθημάτων τὸν ἄνθρωπον, οὐ μὴν φλεβοτομίας δεόμεθά γε πάντως, ἀλλ᾽ ἀρκεῖ καὶ καθῆραι, καὶ τρῖψαι, καὶ λοῦσαι, καὶ χρῖσαι τινὶ διαφορητικῷ φαρμάκῳ. τινὲς οὖν εἰσὶν αἱ διὰ φλεβοτομίας ὠφελούμεναι διαθέσεις, ἐφεξῆς λεγέσθωσαν.

Οὐ μόνον ἡ τροφὴ τοῖς τοῦ ζῴου μέρεσιν ἐξ αἵματός ἐστιν, ἀλλὰ καὶ ἡ κατὰ φύσιν θερμασία τὴν διαμονὴν ἐξ αἵματος ἔχει, καθάπερ ἐκ τῶν ἐπιτηδείων καίεσθαι ξύλων τὸ κατὰ τὰς ἑστίας πῦρ, ὑφ᾽ οὗ καὶ τοὺς οἴκους ὁρῶμεν ὅλους θερμαινομένους. ὥσπερ οὖν τὸ πῦρ γὰρ βλάπτεται ποτὲ μὲν

ἀθρόως ξύλων ἐπιβληθέντων αὐτῷ, ποτὲ δ᾽ εἰ καὶ μὴ πολλῶν, ἀλλ᾽ ὑγρῶν ἱκανῶς, ἐνίοτε δ᾽ οὐδ᾽ ὅλως ἐπιτιθεμένων, ἢ παντάπασιν ὀλίγων, οὕτω καὶ ἡ περὶ τὴν καρδίαν θερμότης, ποτὲ μὲν ἐλάττων ἑαυτῆς διά τε πλῆθος αἵματος, ἢ ἔνδειαν πολλήν, ἢ ποιότητα ψυχρὰν ἀποτελεῖται, ποτὲ δὲ πλείων, ἤτοι διὰ ποιότητα θερμὴν αἵματος, ἢ δι᾽ ἔνδειαν ὀλίγην. ὅ,τι δ᾽ ἂν ἡ καρδία πάθοι κατὰ ψύξιν ἢ θερμότητα, τούτου καὶ τἆλλα μέρη τοῦ σώματος εὐθέως μεταλαμβάνει. γίγνεται δὲ καὶ καθ᾽ ἕν τι μέρος ἐνίοτε παρὰ φύσιν ἤτοι θερμότης ἢ ψυχρότης, ὡς δέδεικται πολλάκις ἐν ἑτέροις ὑπομνήμασι. καὶ γενέσεις δὲ τούτων ἐν διττῷ τρόπῳ, ποτὲ μὲν ἐπὶ χυμοῖς θερμοῖς, ἢ ψυχροῖς, ἐνίοτε δὲ καὶ κατὰ δυσκρασίαν μόνην. ἀλλ᾽ αἱ μερικαὶ θερμότητες καὶ ψύξεις, ὅσαι μὲν ἐγγύς εἰσι τῷ πεπονθότι μορίῳ, συμμεταβάλλουσιν, εἰς ὅλον δ᾽ οὐκ ἐκτείνονται τὸ σῶμα πρὶν τὴν καρδίαν ἀλλοιῶσαι, κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐπεδείχθη καὶ τὸ σῶμα τῆς καρδίας ἀλλοιούμενον, διττῶς, ἤτοι κατὰ δυσκρασίαν, ἢ διὰ χυμοὺς θερμοὺς ἢ ψυχρούς, ἢ δι᾽ ἔνδειαν τινὸς αὐτῶν. οἱ χυμοὶ δὲ ἐδείχθησαν θερμοὶ καὶ ψυχροὶ γινόμενοι διά τε τὸ ποσὸν τῶν ἐσθιομένων τε καὶ πινομένων, καὶ δι᾽ ἡσυχίας τε καὶ κινήσεις σώματός τε καὶ ψυχῆς πλείους. ὥσπερ δὲ ἐν τῇ γαστρὶ πολλάκις αἱ πέψεις γίνονται μοχθηραί, φλεγματωδεστέρων, ἢ χολωδεστέρων ἀποτελουμένων τῶν ληφθέντων, ἢ τινὰ παρὰ φύσιν ἑτέραν διαφθορὰν ἰσχόντων ἢ ὠμῶν καὶ ἀμεταβλήτων ἄχρι πλείστου μενόντων καὶ πνευματουμένων. οὕτω καὶ κατὰ τὴν τοῦ αἵματος γένεσιν ἀποτυγχανομένων, ἀνάλογον ταῖς ἐπὶ τῆς γαστρὸς ἀποτυχίαις τῆς πέψεως, ἔσονται κατ᾽ αὐτὰς τὰς ἀρτηρίας καὶ τὰς φλέβας κατὰ τοὺς χυμοὺς διαθέσεις. ἐπεὶ δὲ πάντα τὰ θερμὰ καὶ ὑγρὰ φαίνεται τάχιστα σηπόμενα καὶ μάλιστα ὅταν ἐν θερμοῖς ἢ χωρίοις, ἀναγκαῖόν ἐστι καὶ τὴν ἐκ τῆς κοιλίας ἀναδιδομένην τροφήν, ὅταν μὴ κρατῆται καὶ μεταβάλληται πρὸς τῆς φύσεως εἰς γένεσιν αἵματος χρηστοῦ, σηπεδόνας ἴσχειν ἄλλοτε ἀλλοίας. ἐπεὶ δὲ τοῖς ἐξ ὕλης θερμοῦ σηπομένοις συμβαίνει γίνεσθαι θερμοτέροις, διὰ τοῦτο θερμότερον ἔσται τὸ σηπόμενον αἷμα. τούτου δὲ θερμοτέρου γιγνομένου καὶ τὸ μόριον ἐν ᾧ σήπεται θερμότερον αἰσθητῶς ἔσται. ἐπειδ᾽ ὑπὸ τῶν αἰσθητῶς θερμῶν, τὰ πλησιάζοντα συνθερμαίνεται, συνθερμανθήσεται τοῖς οὕτω διακειμένοις μορίοις τὰ πέριξ ἅπαντα, δακνώδει καὶ δριμείᾳ δηλονότι θερμασίᾳ, τοιαύτη γὰρ ἡ ἐκ σηπεδόνος. ἐὰν οὖν ἀξιόλογόν τε τὸ μόριον ᾖ τὸ οὕτως θερμανθέν, ἐκτείνειν τε τὴν ἑαυτοῦ θερμασίαν ἐπὶ τὴν καρδίαν ἱκανόν, ἤτοι γε ὅτι πλησίον αὐτῆς ἐστιν, ἢ ὅτι κύριον, ἢ ὅτι θερμόν, συνεκπυρώσει κἀκείνην, ἅτε φύσει θερμοτάτην οὖσαν. εἰ δὲ ἅπαξ αὕτη πυρωθείη ῥᾳδίως ἤδη τὸ πᾶν αὐτῆς σῶμα συνεκθερμανθήσεται. καθάπερ τινὸς ἑστίας, φλόγα πολλὴν ἐχούσης, ὁ περιέχων αὐτὴν οἶκος. ὀνομάζουσι δὲ τὸ τοιοῦτον πάθημα τοῦ σώματος οἱ Ἕλληνες πυρετόν, ἐνίοτε δὲ πρὶν ἄρχεσθαι σήπεσθαι τὸ πλῆθος τοῦ αἵματος, ἐπί τι μόριον ἀθρόως ἀφικόμενον, ἤτοι τελέως ἐνέκρωσεν, ὥστε διαφθεῖραι τὴν ἐνέργειαν, ἢ βλάβην ἀξιόλογον ἐνεγκεῖν. αἱ γοῦν ἀποπληξίαι, κατὰ τοῦτον γίνεται τὸν τρόπον, ἐπὶ τὴν ἀρχὴν τοῦ ζώου ῥυέντος ἀθρόως αἵματος πολλοῦ. ὡς ὅταν γ᾽ εἰς ἄλλο τι κατασκήψῃ μόριον, ὄγκον ἐν τούτῳ παρὰ φύσιν ἐργάζεται. ἐκ τούτου τοῦ γένους ἐστὶ καὶ ἡ φλεγμονή. ὅταν δὲ παχύτερόν τε καὶ μελαγχολικώτερον ᾖ τὸ κατασκῆψαν αἷμα, σκιρρώδης ὁ ὄγκος γίνεται. καθάπερ γε καὶ χαῦνος ὅταν ᾖ φλεγματικώτερον τὸ ῥεῦμα, χολώδους δ᾽ ὄντος, ἐρυσίπελας ἀποτελεῖται. διωρισμένα δ᾽ ἀκριβῶς ἔχεις ἅπαντα ταῦτα, κατὰ τὰς προειρημένας ἄρτι πραγματείας, ἀλλὰ νῦν γ᾽ ὡς ἔφην, ὑποθέσεις ἕνεκεν παρὸν τι λόγῳ τὰ δεδειγμένα ποιούμενος, ἀκολούθως αὐτοῖς τὸν περὶ τῆς φλεβοτομίας ἐπιδείκνυμι λόγον. ὄντος οὖν πλήθους διττοῦ, κάλλιστον γὰρ ἐντεῦθεν ἄρξασθαι, καὶ τοῦ μὲν ὡς πρὸς τὴν δύναμιν, εἰς σηπεδόνα τε ῥᾳδίως ἀφικνουμένου, καὶ μὲν δὴ καὶ κατασκήπτοντος ἐνίοτε εἰς μόριά τινα, κἀν τούτοις ἐργαζομένου τοὺς παρὰ φύσιν ὄγκους, ἑτέρου δὲ τοῦ κατὰ τὸ καλούμενον ἔγχυμα, κατασκήπτοντος μὲν καὶ τούτου πολλάκις εἰς μόρια, καὶ γεννῶντος ὄγκους, ἀλλὰ καὶ τὰς ἀποπληξίας, καὶ τὰς ῥήξεις τῶν φλεβῶν ἐργαζομένου, πειρᾶσθαι χρὴ κενοῦν αὐτὸ διὰ ταχέων, πρὶν ἄρξασθαί τι μέγα κακὸν ἐργάσασθαι περὶ τὸν ἄνθρωπον. εἴρηται δ᾽ ἐπὶ πλέον ὅπως τε χρὴ διαγινώσκειν ἄμφω τὰ πάθη, καὶ ὅπως ἰᾶσθαι, κατὰ τὴν τῶν ὑγιεινῶν πραγματείαν, ὥσπερ γε κἀπειδὰν ἤτοι πυρετὸς ἢ αἵματος ἀναγωγὴ γίνηται διὰ πλῆθος, ἤτοι τῶν ἀποπληκτικῶν ἀρρωστημάτων, ὅπως χρὴ καὶ ταῦτα θεραπεύειν, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν εἴρηται, διὸ καὶ περιττὴν ἡγοῦμαι τήνδε τὴν συγγραφήν. εἰ μὲν γὰρ ὡσαύτως καὶ ἐν ἐκείναις ταῖς πραγματείαις ἔγραψα, κἀνταῦθα γράφοιμι, δὶς περὶ τῶν αὐτῶν ἀναγκασθήσομαι διέρχεσθαι. καὶ διὰ ταῦτα μακρὸν ἀποτείνειν τὸν λόγον. εἰ δὲ ἐπὶ τὸ συντομώτερον ἄγοιμι τὸν λόγον τόνδε, κινδυνεύσω παθεῖν θάτερον, ἢ ἀσαφῶς τι διὰ τὴν βραχυλογίαν εἰπεῖν, ἢ διορισμόν τινα τῶν χρησίμων παραλιπεῖν. ἀλλ᾽ ἐπεὶ μὴ κατὰ τὴν ἐμαυτοῦ προαίρεσιν ἥκω ἐπὶ τὸν λόγον τοῦτον, εἴ τι γίγνοιτο τῶν εἰρημένων τούτων ἐν αὐτῷ σφάλμα, τὴν αἰτίαν οἱ ἀξιώσαντες ἕξουσιν. ὥσπερ γε καὶ εἰ κατορθωθείη, καὶ φανείη χρήσιμος, ἀποστήσομαι τῶν ἐπαίνων ἐκείνοις, ἥδε οὖν αὖθις ἀρχὴ γιγνέσθω τῷ λόγῳ. Τοῖς μὲν τὰ συνήθη πράττουσιν ἤτοι δὲ τῶν κυρίων τι μορίων ἢ σύμπαν τὸ σῶμα βαρυνομένοις ἢ τεινομένοις, ἀναγκαία μέν ἐστιν ἡ κένωσις. εἰ δὲ κατὰ τὴν ἡλικίαν μήτε παῖδες εἶεν ἔτι, μήτε ἤδη γέροντες, ἐπισκέπτου περὶ φλεβοτομίας, ἀποβλέπων, μάλιστα μὲν εἰς τοὺς πρώτους σκοποὺς τούσδε, τήν τε ποσότητα τοῦ πλήθους, καὶ τὴν ποιότητα, καὶ τὴν τῆς δυνάμεως ῥώμην, ἢ ἀρρωστίαν, ἐφεξῆς δὲ τὴν φυσικὴν ἕξιν ὅλου τοῦ σώματος, ὥραν τε καὶ χώραν, καὶ τὸν προγεγενημένον βίον, εἰ πλῆθος ἐδεσμάτων καὶ πομάτων καὶ μάλιστα πολυτρόφων ὁ οὕτως ἔχων προσενήνεγκτο. τὸ ἔθος τε καὶ παρὰ τὸ ἔθος, κινήσεις τέ τινας ἐκινήθη, ἐκκρίσεις τέ τινας ἔσχεν, ἢ ἐπεσχέθη παρὰ τὸ ἔθος, ἐπὶ δὲ τούτοις ἅπασι, πότερον ἰσχνότερος ἢ παχύτερος ἐγένετο. ἡ μὲν δὴ τοῦ πλήθους ἑκατέρου ποσότης, ἐκ τοῦ μεγέθους τῶν ἰδίων ὁρισθήσεται σημείων. εἰς ὅσον γὰρ ἑαυτῷ βαρύτερος ὁ ἄνθρωπος εἶναι δοκεῖ, πρόδηλον ὅτι καὶ τὸ πρὸς τὴν δύναμιν πλῆθος, εἰς τοσοῦτον ηὔξηται. κατὰ δὲ τὸν αὐτὸν λόγον εἰς ὅσον ἡ τονώδης αἴσθησις ηὔξηται κατὰ τοσοῦτον καὶ τὸ ἕτερον πλῆθος ὃ καλεῖσθαι πρός τινων ἔφην κατὰ τὸ ἔγχυμα. τὴν ποιότητα δ᾽ ἐφ᾽ ἑκατέρου τοῦ πλήθους ἔκ τε τῶν χρωμάτων

διαγνώσῃ, μεμνημένος ὅτι τὸ χρῶμα, χυμῶν ἐστιν, ἐπειδὰν μετρίως ἔχει θερμότητος λείπων σῶμα φύσει. τοῖς μὲν γὰρ ψυχροτέροις, ψυχροτέρα τοῦ παντὸς σώματος ἡ αἴσθησις ἕπεται, τοῖς δὲ θερμοτέροις, θερμοτέρα, καὶ τοῖς μὲν ἐπὶ τὰς φλέβας ἠθροισμένοις χυμοῖς, ὄγκος καὶ διάτασις τῶν ἀγγείων. τοῖς δ' ἐν τῇ σαρκί, κατ' ἐκείνην ἡ αἴσθησις ἤτοι τοῦ βάρους, ἢ τῆς τάσεως, ὥσπερ γε καὶ θερμότητος. αἱ δὲ τῶν διοικουσῶν ἡμᾶς δυνάμεων, ἀῤῥωστίαι τε καὶ ῥῶμαι, ταῖς οἰκείαις ἐνεργείαις ἐλέχθησαν κρινόμεναι, προαιρετικαῖς μὲν, ἐπὶ τὰ νεῦρα, καὶ τὴν τούτων ἀρχὴν τὸν ἐγκέφαλον. ταῖς δὲ ἐπὶ τοὺς σφυγμούς, κατὰ τὰς ἀρτηρίας τε καὶ τὴν καρδίαν, τῇ δὲ κατ' εὐτροφίαν τε, καὶ ἀτροφίαν εὐχροίαν τε καὶ ἀχροίαν, ἡ τρίτη δύναμις ἡ θρεπτική, ἣν ἐξ ἥπατος ὁρμᾶσθαι ἐδείκνυον, τὴν διάγνωσιν ἐλάμβανον. ὅταν οὖν ἐπὶ τοῖς τοῦ πλήθους σημείοις αἱ δυνάμεις ἐῤῥωμέναι τυγχάνουσιν οὖσαι, φλεβοτομήσεις δηλονότι, ἐπὶ μὲν τὴν τονώδη διάθεσιν, οὐδὲν ἐπιδιοριζόμενος, ἔτι δὲ μᾶλλον οὐδὲ ἐπὶ τὴν φλεγμονώδη. τοῦ δὲ βαρύνοντος πλήθους ἐνοχλοῦντος, οὐ πάντως αἵματος ἀφαιρετέον. ἐνδέχεται γὰρ ὠμὸν ἠθροῖσθαι ἐπὶ τὸ σῶμα χυμόν, ἐφ' οὗ προσέχειν ἀκριβῶς χρή, μέχρι πόσου μὲν ἡ δύναμις ἔῤῥωται, μέχρι δὲ πόσου αὐτὸς ὁ χυμὸς † ἐφυ. προκαταλυθεῖσα γὰρ ὑπὸ τῶν χειρίστων διαθέσεων ἡ δύναμις ἐν ταῖς φλεβοτομίαις, εἴωθε καταπίπτειν εἰς ἔσχατον, ὡς μηκέτ' αὐτὴν ἀνακτήσασθαι δυνηθῆναι. τούτου δὲ γινομένου, κίνδυνος οὐ σμικρὸς ἕπεται, μάλισθ' ὅταν ἐπιπέσῃ πυρετὸς ἐν καταστάσει θερινῇ στομάχου μοχθηρῶς ἔχοντος, ἢ τοῦ σώματος ὅλου, μαλακοῦ τε φύσει καὶ ὑγροῦ τὴν κρᾶσιν ὄντος. διαφοροῦνται γὰρ οἱ τοιοῦτοι, συγκόπτονταί τε τάχιστα κἂν μὴ μέγας αὐτοῖς ἐπιπέσῃ πυρετός. εἰ δὲ μηδὲν εἴη τούτων, ἀλλ' ὁ χειμὼν ἢ τὸ χωρίον ὑπάρχει φύσει ψυχρόν, ἤτε φύσις τ' ἀνθρώπου ψυχροτέρα, καταψύχονταί τε δεινῶς ὅλον τὸ σῶμα φλεβοτομηθέντες, ἐμπίπτει τέ τινα τῶν διὰ κατάψυξιν ἰσχυρὰν ἑπομένων συμπτωμάτων. τοὺς οὕτω διακειμένους οὐ προσήκει διὰ φλεβοτομίας κενοῦν, ἀλλὰ τρίψεσί τε καὶ χρίσμασι μετρίως θερμαίνουσι, καὶ πόμασι τέμνουσι τὸ πάχος τῶν χυμῶν, καὶ θερμαίνουσι μετρίως. ὅσα γὰρ σφοδρῶς θερμαίνει, καταλύει τὴν δύναμιν ἀθροώτερον, ὡς μηκέτι ἐξαρκεῖν τῇ θεραπείᾳ. πολλάκις δὲ καὶ τὸν πυρετὸν συνεκκαίουσιν, ὥστε κἀντεῦθεν βλάβην γίνεσθαι τῇ δυνάμει. διὸ δὲ τῶν τεμνόντων τὸ πάχος χυμῶν, ἐδεσμάτων τε, καὶ πομάτων ἡ ἐπὶ τὸ θερμαίνειν δύναμις ἔστω μετρία. ἔνιοι δὲ αἷμα πτύσαντες, ἐθεραπεύθησαν μὲν τῷ παραυτίκα, τοιαύτην δὲ ἔχουσι κατασκευήν, ἐν τοῖς ἐπὶ θώρακά τε καὶ πνεύμονα μορίοις, ὡς εἰ βραχὺ πλέον ἀθροισθῆ θέλοι τὸ αἷμα, πάλιν αὐτοῖς ἤτοι γ' ἀναστομωθῆναί τι τῶν ἀγγείων ἢ ῥαγῆναι, τούτους εἰ καὶ μηδὲν εἴη ἐπὶ τὸ σῶμα μηδέπω σύμπτωμα, φλεβοτομεῖν χρὴ κατὰ τὴν ἀρχὴν τοῦ ἦρος. ὡσαύτως δὲ καὶ τοὺς εἰς ἐπιληπτικὰ πάθη ῥαδίως ἐμπίπτοντας, ἢ ἀποπληκτικούς. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καί τισι τῶν ἄλλων νοσημάτων εὐάλωτον εἰδείημεν εἶναι τὸν ἄνθρωπον, οἷον ἤτοι περιπνευμονικοῖς, ἢ πλευριτικοῖς, ἢ συναγχικοῖς, ἄμεινον φθάνειν φλεβοτομοῦντας μὴ περιμένοντας φανῆναί τι σύμπτωμα πλήθους ἐναργές. ὡσαύτως δὲ καὶ οἷς αἱμοῤῥοΐδες ἐπέχονται, καὶ μάλιστα εἰ μελαγχολικώτεροι φαίνονται. καὶ ὅσοι δὲ καθ' ἕκαστον ἔτος ἐν θέρει νοσοῦσι νοσήματα πληθωρικά, καὶ τούτους χρὴ κενοῦν εἰσβάλλοντος ἦρος. ὡσαύτως καὶ ὅσοι κατ' αὐτὸ τὸ ἔαρ ἁλίσκονται τοῖς τοιούτοις. ἔνιοι ὀφθαλμοὺς ἔχοντες ἀσθενεῖς, ἢ τοῖς ὀνομαζομένοις σκοτωματικοῖς πάθεσιν εὐάλωτοι, καὶ αὐτοὶ ἐπὶ τὴν ἀρχὴν τοῦ ἦρος δέονται κενοῦσθαι, προδιασκεψαμένων ἡμῶν, ὁποῖον ἐστι τὸ ἀθροιζόμενον αὐτοῖς εἴη. ἔνιοι μὲν γὰρ τὸν πικρόχολον ἀθροίζουσι χυμὸν πλέονα τῶν ἄλλων. τινὲς τὸν μελαγχολικόν, ἢ φλεγματικόν, ἔνιοι δὲ ὁμοτίμως ἅπαντας, ἐφ' ὧν αἷμα πλεονάζειν λέγεται. τούτοις οὖν ἅπαντας κενώσεις, ὥσπερ καὶ τοὺς ποδαγρικούς τε καὶ ἀρθριτικοὺς ἐν ἀρχῇ τοῦ ἦρος, ἀλλ' ἤτοι φαρμακεύων, ἢ φλεβοτομῶν. ἐγὼ γοῦν πολλοὺς ἐτῶν ἤδη τριῶν καὶ τεττάρων ἐνοχλουμένους ἐκ διαλειμμάτων ἀλγήμασι ποδῶν ἰασάμην, ἤτοι καθαίρων τὸν πλεονάζοντα χυμὸν ἐν ἀρχῇ τοῦ ἦρος, ἢ αἵματος ἀφαιρῶν. εὔδηλον δ' ὅτι καὶ μέτριοί τινες οἱ τοιοῦτοι ἐπὶ τὴν ὅλην εἰσὶ δίαιταν, ὡς τούς γε ἀκολάστους οἰνόφλυγάς τε καὶ γαστριμάργους οὐδὲν ὀνήσεις μέγα, φαρμακεύων ἢ φλεβοτομῶν. ἀθροίζουσι γὰρ ἐν τάχει πλῆθος ὠμῶν χυμῶν, ἀκολάστως διαιτώμενοι. τούτους μὲν οὐδὲ ἐπιχειρεῖν χρὴ θεραπεύειν, ὅπῃ δ' εὐπειθεῖς εἰσίν, ὀνήσεις αὐτοὺς μέγιστα κατὰ τὴν ἀρχὴν τοῦ ἦρος, προκενώσας μὲν πρῶτον, ἐφεξῆς δ' ἐπὶ γυμνάσια καὶ δίαιταν ὑγιεινὴν ἀναγαγών. ἃ δ' ἐπὶ τούτων εἴρηκα, ταῦτά σοι νόμιζε καὶ περὶ πάντων εἰρῆσθαι τῶν ἐπιτηδείων ἁλίσκεσθαι πάθεσιν, οἷς ἀρτίως εἶπον, οἷον ἐπιληπτικοῖς, ἢ ἀποπληκτικοῖς, ἢ σκοτωματικοῖς, ἢ αἱμοπτοϊκοῖς, ἢ μελαγχολικοῖς. οὐ μόνον δὲ πλήθους ὄντος, ἢ τοῦ πρὸς τὴν δύναμιν, ἢ τοῦ κατὰ τὸ καλούμενον ἔγχυμα, φλεβοτομία μεγάλως ὀνίνησιν, ἀλλὰ καὶ χωρὶς πλήθους ἀρχομένην φλεγμονήν, ἤτοι διὰ πληγήν, ἢ ὀδύνην, ἢ ἀτονίαν μορίων. ἤτε γὰρ ὀδύνη πρὸς αὑτὴν ἐπισπᾶται τὸ αἷμα καὶ πολλάκις ἀτονία μορίων ἐργάζεται φλεγμονὴν ἄνευ τοῦ καθ' ὅλον τὸ σῶμα πλήθους. ἐδείχθη γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ὅταν ἀσθενὲς ᾖ φύσει μόριον, ἑτοίμως βαρυνόμενον, εἰ καὶ βραχὺ πλεῖον ἀθροισθείη ποτὲ ἐν αὐτῷ περίττωμα. καὶ μέν τοι καὶ ὅτι δύναμιν ἔχει πᾶν μόριον, ὥσπερ ἑλκτικὴν τῶν οἰκείων, οὕτω καὶ τῶν ἀλλοτρίων ἀποκριτικήν, ὅτι τε διττὸν εἴη τὸ ἀλλότριον. ἕτερον μὲν τῷ ποσῷ, τῷ ποιῷ δ' ἄλλο. διὸ κἂν μὴ βαρύνοιτό τι μόριον ὑπὸ τῶν καθ' ἑαυτὸ χυμῶν, ἴσχει δέ τινα περιττώματα κατὰ τὴν ποιότητα παρὰ φύσιν, ἐπὶ τὴν ἀπόκρισιν αὐτῶν ὁρμᾷ διὰ τῶν ἐν αὐτῷ φλεβῶν, ὥσπερ δι' ὀχετῶν, ἀλλ' εἴθ' αἷμα μοχθηρὸν εἴη τὸ ὠθούμενον, εἴτ' ἄλλος χυμός, ἀνάγκη μὲν εἴς τι τῶν πλησίον ἀφικέσθαι μορίων αὐτόν. ἐν ἐκείνῳ δὲ δυοῖν θάτερον, ἢ πεφθέντα, ἢ καὶ διαφορηθέντα, μηκέτ' εἰς ἄλλο μεταῤῥυῆναι βέλτιον, ἢ μηδ' ἑτέρου τῶν εἰρημένων τυχόντα πάλιν ἐκ τοῦ δευτέρου μορίου μεταῤῥεῖν εἰς ἕτερον, εἶτ' ἐξ ἐκείνου πάλιν εἰς ἄλλο. καὶ τοῦτο μὴ παύεσθαι γιγνόμενον, ἄχρις ἂν εἴς τι κατασκήψῃ τοιοῦτον, ὃ μηκέτ' εἰς ἄλλο διώσασθαι δύναται τὸ πλεονάζον ἐν ἑαυτῷ. συμβαίνει δὲ τοῦτο τῶν μορίων ἐκείνοις ὅσα τὴν ἀποκριτικὴν δύναμιν ἀσθενεστέραν ἔχει τῶν πλησιαζόντων ἁπάντων. οὐκέτι γὰρ ἀπώσασθαι τὸ λυποῦν εἰς ἐκεῖνα δύναται τὰ μὴ παραδεχόμενα, διὰ τὴν ἐν αὐτοῖς ἰσχύν. ἐδείχθη γοῦν καὶ τοῦτο ἡμῖν δι' ἐκείνων τῶν ὑπομνημάτων ὡς οὐ μόνον ὠθεῖ τὸ περιττὸν ἕκαστον τῶν μορίων εἰς τὸ πλησιάζον, ἀλλὰ

καὶ ὅτι

καὶ ὅτι δέχεται μὲν, πολλάκις δ' ἀντιπέμπει, καὶ αὐτόθεν μὴ παραδεχόμενον εἰς ἑαυτό, κἂν τοῦτο τὸ ἰσχυρότερον ἐκράτησε. διὸ καὶ τὰ πάντων ἀσθενέστερα μόρια πρῶτα τοῖς περιττωματικοῖς ἁλίσκεται νοσήμασιν. ἐκ τοιούτου δέ τινος τρόπου, καὶ τὰς καλουμένας ῥευματικὰς διαθέσεις ἐπὶ γιγνομένας, ἀσθενοῦς μὲν ὅλου τοῦ σώματος ὄντος, ὅπερ ἕν τι τῶν τῆς καχεξίας εἰδῶν ἐστὶν, εἰωθότων τῶν κυρίων αὐτοῦ μορίων βαρύνεσθαι κἂν ὀλίγον ἐν αὐτοῖς ᾖ τὸ αἷμα, διωθουμένων τε τοῦτο πρὸς τὰ κατὰ τὸ δέρμα μέρη τὰ σαρκώδη, καὶ μᾶλλόν γε εἰς τοὺς ἀδένας ἐπιτηδείους ὄντας ὑποδέχεσθαι τὸ περιττὸν, διά τε τὸ χαῦνον τῆς οὐσίας, καὶ ὅτι τῶν ἄλλων μορίων ἀσθενεστάτας ἔχουσι τὰς φυσικὰς δυνάμεις, ὥσπερ γε καὶ ἡ πιμελή. τεττάρων γοῦν αὐτῶν οὐσῶν, ὡς ἐδείχθη, πρώτης μὲν τῆς ἑλκτικῆς, δευτέρας δὲ καθεκτικῆς, καὶ τρίτης τῆς ἀποκριτικῆς, καὶ τετάρτης τῆς ἀλλοιωτικῆς, τὰς μὲν ἄλλας τρεῖς ἀσθενεστάτας ἔχουσιν οἱ ἀδένες καὶ αἱ σάρκες, τὴν ἀλλοιωτικὴν δὲ μόνην οὐ πολλῷ μείω τῶν ἄλλων μορίων. ἐφεξῆς δὲ τοῖς ἀδένεσιν ὁ πνεύμων ἐστὶν ἑτοιμότατος δέξασθαι ῥεῦμα. καὶ γὰρ οὗτος ἀσθενεῖς τε τὰς τρεῖς ἔχει δυνάμεις, καὶ τὸ σῶμα χαῦνον. εἶθ' ἑξῆς ὁ σπλήν. ὁ δ' ἐγκέφαλος ὅμοιος μὲν τούτοις, ἢ καὶ μᾶλλον ἐπιτήδειος δέξασθαι ῥεῦμα. πλεονεκτεῖ δ' αὐτῶν ἐκ τῆς κατασκευῆς εἰς ἀπόκρισιν ἑτοίμης οὔσης, ὧν ὑπεδέξατο. κοιλίας μὲν γὰρ ἔχει μεγάλας καταντεῖσι πόροις ἐκκρινομένας. οἷς ἂν οὖν φύσει ῥωμαλεώτερος ᾖ τοῦ σαρκώδους γένους ὁ πνεύμων τε καὶ ὁ σπλὴν, καὶ ὁ ἐγκέφαλος, ἐπὶ τούτων εἰς τοὺς ἀδένας, καὶ τὰς σάρκας ἀφικνεῖται τὰ ῥεύματα, τῆς τοῦ σώματος ἕξεως ὅλης ἀσθενούσης, ὡς ἐπὶ τῶν ῥευματικῶν ἐστι διαθέσεων. εἰκότως τοιγαροῦν ἡ θεραπεία τούτων οὐ κένωσιν ἔχει τὸν σκοπὸν, ἀλλὰ τοῦ παντὸς σώματος τὴν ῥῶσιν. ἥτε μὴν ἀρχὴ τῆς θεραπείας ἀπὸ φλεβοτομίας αὐτοῖς γίγνεται. μοχθηρῶν δὲ τῇ ποιότητι τῶν περιττωμάτων ὄντων, καὶ κάθαρσιν παραλαμβάνομεν ἐφ' ὧν μάλιστα σωμάτων οὐδετέρου πλήθους ἀναμένειν χρὴ τὸ οἰκεῖον σύμπτωμα, βάρος μὲν τοῦ πρὸς τὴν δύναμιν, τάσιν δὲ τοῦ κατὰ τὸ ἔγχυμα. κατὰ δὲ τὸν αὐτὸν λόγον, ἐπὶ τῶν πληγέντων τι μορίων ἀξιολόγως, ἤτε ἄλλως ὁπωσοῦν ἀρχομένην ἐχόντων φλεγμονὴν, ἐπειδὰν μεγάλην αὐτὴν ἔσεσθαι προσδοκήσωμεν, ἀπὸ κενώσεως ἀρχόμεθα τῆς θεραπείας, ἢ καθαιροῦντες, ἢ φλεβοτομοῦντες, ὁποτέραν κρίνομεν ἀμείνω κένωσιν ἔσεσθαι. καλῶς οὖν ἐν τοῖς προκειμένοις τῶν περὶ διαίτης ὀξέων παραινεῖ φλεβοτομεῖν ἡμᾶς, ὅταν ᾖ μέγα τὸ νόσημα, καὶ ἀκμάζῃ ἡ νόσος, ἢ ὁ νοσῶν, καὶ ῥώμη παρῇ. καὶ κακῶς ὁ Μηνόδοτος ἐπὶ τῇ καλουμένῃ πληθωρικῇ συνδρομῇ μόνῃ τὰς φλεβοτομίας λέγει τετηρῆσθαι. τοὐναντίον γὰρ ἅπαν οἱ σκοποὶ τῆς φλεβοτομίας οὐ περιλαμβάνουσι, πρῶτον ἐν αὐτοῖς τὸ πλῆθος, ἀλλὰ τὴν ὑποψίαν τοῦ γενησομένου πάθους, εἰ γὰρ ἔσεσθαι φαίνοιτο μέγα, φλεβοτομήσομεν πάντως, κἂν μηδὲν ᾖ τῶν τοῦ πλήθους γνωρισμάτων, ἐπισκοποῦντες ἡλικίαν τε, καὶ χώραν, καὶ δύναμιν ἃ μόνα φαίνεται κἂν τοῖς προκειμένοις τῶν περὶ διαίτης εἰρημένα. τὸν μὲν γὰρ ἀκμάζοντα διὰ τὰ παιδία, καὶ τοὺς γέροντας, εἰς διορισμὸν παρέλαβεν. οἱ πρῶτοι δ' εἰσὶ καὶ κυριώτατοι σκοποὶ τῆς φλεβοτομίας, μέγεθος νοσήματος, καὶ ῥώμη τοῦ κάμνοντος, καὶ ταύτην χρὴ πρώτην λέγειν εἶναι συνδρομὴν, οὐ τὴν πληθωρικὴν, ἐφ' ᾗ τετήρηται φλεβοτομία. περιέχεται γὰρ ἐν αὐτῇ κἀκείνη τὸ μέγεθος αὐξάνουσα τοῦ νοσήματος. οὐ μόνον γοῦν ὅταν ἤδη παρῇ τὸ μέγα νόσημα, φλεβοτομίας καιρὸς, ἀλλὰ κἀπειδὰν ἐπίδοξον ἔσεσθαι. φθάνει γοῦν ἡ παίδευσις ἣν Ἱπποκράτης εἶπε διδάσκων ἡμᾶς, ὅσα παρόντων ἤδη τῶν νοσημάτων ὀρθῶς ἂν πράξαιμεν, ἄμεινον εἶναι ταῦτα κατὰ τὰς ἀρχὰς αὐτῶν, ἢ μελλόντων ἄρχεσθαι, φθάνειν ποιοῦντας. ὥστε τοὺς εἰρημένους σκοποὺς ἐπὶ τοὺς ὑγιαίνοντας ἔστι μεταφέρεσθαι. καὶ γὰρ καὶ τούτους φλεβοτομήσεις ἐπιδόξους γενομένους ἁλώσεσθαι μεγάλῳ νοσήματι, πρός τε τὴν ἡλικίαν ἀποβλέπων, καὶ τὴν ῥώμην. εἰ γὰρ ἐπιτήδειός τις ἐν νοσήματι γενέσθαι μεγάλῳ, κἂν μηδὲν μηδέπω κατὰ τὸ σῶμα παρῇ σύμπτωμα, φλεβοτομεῖν ἀξιοῦμεν. ἀρκεῖ γοῦν τὴν ἡλικίαν ἐπισκέψασθαι μετὰ τῆς δυνάμεως, ὥστε τρία τὰ συνέχοντα τὴν διάγνωσιν εἶναι μέγεθος νοσήματος, ἤτοι παρὸν, ἢ προσδοκώμενον καὶ ἡλικίαν ἀκμάζοντος, καὶ ῥώμην δυνάμεως. ἴσως δὲ μόνον ἀμελέστερον ἑρμηνεῦσθαι δόξει τὸ τῆς ἡλικίας ἐν τοῖς προκειμένοις, ἐν τῷ περὶ διαίτης ὀξέων. οὐ γὰρ τὴν τῶν ἀκμαζόντων εἰρῆσθαι μόνον ὀρθῶς ἔχει, ἀλλὰ καὶ τὴν πρὸ αὐτῆς καὶ μετ' αὐτὴν, ὡς δύο μόνας ἐξαιρεῖσθαι τοῦ διορισμοῦ, τήν τε τῶν παίδων καὶ τὴν τῶν γερόντων, ἀλλ' ἡ μὲν τῶν γερόντων ἐν τῷ τῆς δυνάμεως λόγῳ περιέχεσθαι δύναται. ῥώμη γὰρ οὐδενὶ τῶν κατ' αὐτὴν τὴν ἡλικίαν ἐστίν. ἐνίοις δὲ τῶν ἰατρῶν, οὐδὲ τοῖς παισὶν ἔδοξεν ὑπάρχειν ῥώμην κακῶς ἐγνωκόσιν, ὡς ἐν ἑτέροις ἐπιδέδεικταί μοι. φλεβοτομήσομεν οὖν, εἰ μέγα τὸ νόσημα προσδοκοίημεν εἶναι, ἢ παρὸν ἤδη θεωροίημεν, ἢ ἀρχόμενον, ἐπισκεψάμενοι τὴν ῥώμην τῆς δυνάμεως, ἐξελόντες τοῦ λόγου μόνα τὰ παιδία, καὶ φήσομεν ἐλλιπέστερον εἰρῆσθαι, τὴν ἀπὸ τῆς ἡλικίας διάγνωσιν, ὑπὸ τοῦ γράψαντος τὰ προκείμενα, τῷ περὶ διαίτης ὀξέων, ἀρκοῦσι γὰρ οὗτοι μόνοι σκοποὶ πρὸς φλεβοτομίαν. οὐδὲ γὰρ ὁπότε πλῆθος ὠμῶν χυμῶν ἤθροισται τοιοῦτον, ὡς κελεύεσθαι φλεβοτομεῖν, ὁ λόγος ἐλέγχεται. ῥώμη γὰρ τούτοις δυνάμεως οὐ πάρεστι. καὶ αὐτό γε τοῦτ' ἐστὶ γνώρισμα, τοῦ μὴ δύνασθαι φλεβοτομίαν ἐνεγκεῖν αὐτοὺς, ὅταν ἅμα τῷ χρώματι τοῦ παντὸς σώματος ἐμπεπληκότι τοῦ δηλοῦντος αἷμα πλεονάζειν, ὁ σφυγμὸς ἀνώμαλος ᾖ κατὰ σφοδρότητα καὶ μέγεθος ἐπικρατούντων κατὰ τὴν ἀνωμαλίαν αὐτοῦ τῶν ἀμυδρῶν τε καὶ μικρῶν. ὡρισμένων οὖν τριῶν σκοπῶν φλεβοτομίας, μεγέθους νοσήματος, ἤτοι παρόντος, ἢ προσδοκωμένου, ἢ ἀρχομένου, ἡλικίας ἀκμάζοντος, ῥώμης δυνάμεως ἔξω τε τῆς τῶν παίδων ἡλικίας, ἐπὶ τὰ ἄλλα τὰ πρόσθεν εἰρημένα γνωρίσματα φλεβοτομίας, ἃ προσέθηκαν οὐκ ὀλίγοι τῶν ἰατρῶν ἀφιξόμεθα συνενδεικνύμενοι τὸ ποσὸν τῆς ἀφαιρέσεως ἐκ αὐτὴν τὴν φλεβοτομίαν, ὥστε ἐκ μὲν τοῦ νοσήματος, καὶ τῆς ἡλικίας, καὶ τῆς δυνάμεως, ὅτι φλεβοτομητέον γνωρίζεσθαι, τὸ ποσὸν δὲ τῆς κενώσεως, οὐκ ἐκ τούτων μόνων ἀλλὰ καὶ τῶν ἄλλων λαμβάνεσθαι. ταῦτα δέ ἐστιν ἥτε πληθωρικὴ καλουμένη συνδρομὴ, καὶ ἡ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσις, εἰς ὥραν καὶ χώραν τεμνομένη, καὶ τὰ κατὰ τὸν προηγούμενον βίον γεγονότα περί τε ποιότητα, καὶ ποσότητα τῶν ἐδηδεσμένων, ἐκκρίσεις τε καὶ κινήσεις ἤτοι γεγονυίας ἢ μή. περὶ μὲν οὖν τῶν ἐν τούτοις διαφορῶν, ὀλίγον ὕστερον ὀψόμεθα, περὶ δὲ τῶν ἑκατέρου τοῦ πλήθους γνωρισμάτων ἐν τῷ παρόντι σκεψόμεθα, πότερον ἐπὶ φλεβοτομίαν ἀφιξόμεθα πάντως ὅταν φαίνηται ταῦτα παρεῖναι τῶν ἔτι τὰ συνήθη πραττ-

προηκόντων, ἢ οὐκ ἀναγκαῖον, ὅταν μηδεμία προσδοκία μεγάλου νοσήματος. ἣν τινα κρίνειν ἔχωμεν γνώμην καὶ περὶ
τούτου ἴστε, πολλάκις αὐτοὶ παραγεγονότες μοι συμβουλεύοντι, ἤτοι ποδαγρικοῖς ἢ ἀρθριτικοῖς, ἢ ἐπιληπτικοῖς
ἢ μελαγχολικοῖς, ἢ αἷμα πρόσθεν ἐπτυκόσιν, ἢ περὶ θώρακα πρὸς τοιοῦτον πάθημα κατασκευὴν ἐπιτηδείαν ἔ-
χουσιν, ἢ στομαχικοῖς, ἢ συνεχῶς ἁλισκομένοις συνάγχῃ ἢ περιπνευμονίᾳ, ἢ πλευρίτισιν, ἢ ἡπατίτισιν, ἢ
ὀφθαλμίαις σφοδραῖς, ἢ καθόλου φάναι μεγάλῳ νοσήματι. φλεβοτομίαν γοῦν ἐπὶ τῶν τοιούτων ἁπάντων ἀναγ-
καῖον εἶναι φημὶ βοήθημα παραχρῆμα προσαγόμενον, ἐπὶ διωρισμένῃ τῇ δυνάμει τε καὶ ἡλικίᾳ. ταῦτα εἰ μὴ λε-
χθείη ποτὲ προσυπακούεσθαι χρή. τοῖς δὲ μηδέπω τοιοῦτον πεπονθόσιν ἔμπροσθεν ἁπάντων τε τῶν μορίων τοῦ σώ-
ματος ἄμεμπτον ἔχουσι κατασκευήν, ἴστε δή που διττὴν ὁδὸν τῆς κενώσεως ὑποτιθέμενόν με, διὰ φλεβοτομίας
μὲν εἰ ἀκρατεῖς εἶεν τῇ διαίτῃ, χωρὶς δὲ ταύτης εἰ ἐγκρατεῖς. ἐνεστι γὰρ καὶ τρίψεσι πολλαῖς, καὶ λουτροῖς, καὶ περιπά-
τοις, καὶ ταῖς ἄλλαις κινήσεσι, ἔτι χρίσμασι διαφορητικοῖς ταχέως ἐκκενῶσαι τὸ πλῆθος, εἰ μὴ ἄρα σοι δόξει πο-
τε παχέος αἵματος εἶναι πλεονεξίαν. τοιοῦτον δέ ἐστι μάλιστα τὸ μελαγχολικὸν ὡς τὰ πολλά. σπανίως δέ που καὶ
τὸ τῶν ὠμῶν καλουμένων χυμῶν. ἀλλ' ἐπὶ μὲν τῆς μελαγχολικῆς καλουμένης περιουσίας φλεβοτομεῖν ἄμεινον, ἢ πάν-
τως γε φαρμάκῳ χρῆσθαι μελάνων καθαρτικῷ, τῶν δ' ὠμῶν χυμῶν ἐπικρατούντων, πρὶν μὲν ἄρξασθαι νοσεῖν, εὐλαβῶς
ἀποκενώσεις, ἤδη δὲ πυρεττόντων, ὡς ἔμπροσθεν εἶπον, οὐδ' ὅλως. ἕξεις δὲ αὐτῶν γνώρισμα, τό, τε τῆς χροιᾶς μο-
λιβδῶδες, ἢ ὀχρόλευκον ἅπαντα τε μᾶλλον ἢ ἐρυθρόν, καὶ τὴν τῶν σφυγμῶν ἀνωμαλίαν. εἰ δὲ ἱκανῶς ηὐξημέ-
νον εἴη τὸ τοιοῦτον πλῆθος, καὶ τὸ βάρος τοῦ σώματος αὐτοῖς σύνεστι, καὶ πρὸς τὰς κινήσεις ὄκνος, καὶ γνώ-
μης νωθρότης, καὶ αἰσθήσεων ἀμαυρότης. ἔμπαλιν δὲ τούτοις τοὺς διὰ ἐπισχέσεως αἱμορροΐδων ἠθροικότας αἷμα
φλεβοτομήσεις θαρρῶν κἂν μὴ πρότερον ὦσι πεπειραμένοι μεγάλου νοσήματος. ἐνδέχεται μὲν γὰρ αὐτοὺς ἐπι-
τηδείους μὲν εἶναι πρός τι τῶν τοιούτων, οὐδέπω δὲ πεπονθέναι διὰ τὴν ὑπὸ τῶν αἱμορροΐδων κένωσιν. ἐὰν δὲ καὶ
φαίνονταί τινα μόρια κατεσκευασμένοι μοχθηρῶς, καὶ μάλιστα τὰ περὶ θώρακα, πάντως αὐτοὺς φλεβοτομήσεις
ἐν τάχει. τὴν αὐτὴν δὲ γνώμην ἴστε με καὶ περὶ γυναικῶν ἔχοντα, τῶν ἐπεχομένων τὴν ἔμμηνον κάθαρσιν. οὐδὲ γοῦν
οὐδ' ἐπὶ τούτων ἀναβάλλεσθαι χρὴ τὴν κένωσιν. οὐ μὴν ἀναγκαῖόν γε σχάσαι τὴν φλέβα. καὶ γοῦν αἱ τῶν σφυρῶν ἀπο-
χαράξεις ἱκαναὶ κενῶσαι τὸ περιττόν, ἔχουσαι δὲ καὶ τι ἄλλο προτρεπτικὸν εἰς τὴν τῶν ἐμμήνων κίνησιν, ὥσπερ γε
καὶ αἱ περὶ τὰ σφυρὰ καὶ τὰς ἰγνύας φλεβοτομίαι. τὰς γὰρ διὰ ἐπισχέσεως καταμηνίων ἀπὸ τῶν σκελῶν πάντως
κενώσεις, εἴτε φλέβα χρὴ τέμνειν, εἴτ' ἀποσχάζειν. ἀντισπᾷ γοῦν ἔσωθεν ἡ διὰ ἀγκῶνος φλεβοτομία τὰς τῶν γυ-
ναικῶν καθάρσεις. ἀθροίζουσι δὲ καὶ τούτων αὐτῶν ὅσαι μὲν λευκότεραι, λεπτότερον αἷμα, καὶ διὰ τοῦτο ταῖς ἀπὸ τῶν
σφυρῶν ἀμυχαῖς ὀνίνανται μάλιστα. τὰς μελαντέρας δὲ φλέβας τέμνων, θεράπευε. παχύτερον γὰρ ἀθροί-
ζουσιν αἷμα καὶ μελαγχολικώτερον, ἔτι δὲ μᾶλλον ἂν μεγάλας ἔχειν φαίνονται τὰς φλέβας. ὑπάρχει δὲ τοῦτο
ἰσχνοτέραις τε καὶ μελαντέραις. εὐσάρκοις δὲ καὶ λευκαῖς, σμικρότης τῶν φλεβῶν, ἐφ' ὧν ἀποσχάζειν ἄμεινον τὰ
σφυρὰ τοῦ τέμνειν τὴν φλέβα. καὶ γὰρ καὶ μικρὰς αὗται τὰς ἐν τοῖς σκέλεσι φλέβας ἔχουσιν, ὥστε οὐδὲ ῥεῖ τὸ σύμ-
μετρον, εἰ καὶ καλῶς τμηθείη. οὐ χρὴ δὲ ὑμᾶς καταφρονεῖν φλεβοτομίας ὡς οὐκ ἀντισπαστικοῦ βοηθήματος, ἑωρα-
κότας ἐμὲ πολλάκις ἐπὶ τῶν ἐκ ῥινῶν αἱμορραγιῶν, ὅταν ἡ σφοδρά, χρώμενον τῷ βοηθήματι, καὶ παύοντα τὴν ῥύ-
σιν αὐτίκα. προσήκει δ' ὡς ἐθεάσασθε, μὴ περιμένειν εἰς ἔσχατον ἀφικέσθαι καταπτώσεως τὴν δύναμιν, ἀλλ'
ὅταν ἤδη δοκεῖ κενοῦσθαι μὲν τὸ σύμμετρον, ἡ δ' ὁρμὴ τῆς φορᾶς τοῦ αἵματος, ἰσχυρὰ διαμένει, τέμνειν ἐν ἀγκῶ-
νι φλέβα, δεξιοῦ μὲν αἱμορραγοῦντος μυκτῆρος, τῇ δεξιᾷ χειρί, θατέρου δὲ περὶ τὴν ἀριστεράν. ἅμα δὲ τοῦτο τῷ ἔργῳ,
καὶ τοῖς κώλοις περιβάλλειν δεσμοὺς ἐκ ταινίων ἢ ἐρίων, καὶ σικύαν ὑποχονδρίῳ προσβάλλειν ὡ κατ' εὐθὺ τῷ ῥαι-
ταγοῦν καὶ ἡμεῖς ποιοῦντες, ὡς ἴστε, διαπαντὸς ἐπέχομεν τὰς ἐκ ῥινῶν αἱμορραγίας, πειραθέντες ἔμπροσθεν,
ὧν γεγράφασιν εἴς τε τὰς ῥῖνας ἐκτιθεμένων φαρμάκων, ἐπί τε τοῦ μετώπου καταχριομένων, πάντων ἀσθε-
νῶν. ὥστε πρὸς τοῖς εἰρημένοις περὶ φλεβοτομίας ἔμπροσθεν, καὶ τοῦτο καταβάλλει τὸν μηδενὸς λόγου ἡγουμένου
τὴν πληθωρικὴν ὀνομαζομένην συνδρομήν, ἀναμιμνήσκειν ἡμᾶς τοῦ βοηθήματος. ἡ γὰρ εἰρημένη νῦν διάθεσις
ἐναντία σαφῶς ἐστι τῇ πληθωρικῇ. παραλαμβάνομεν δ' ἐπ' αὐτῆς τὴν φλεβοτομίαν, οὐχ ὡς κενωτικόν, ἀλλ' ὡς ἀν-
τισπαστικὸν βοήθημα. Οὐδὲν οὕτω τὴν ἰατρικὴν τέχνην ἐν ταῖς πράξεσιν ἀποφαίνει στοχαστικόν, ὡς τὸ ποσὸν
ἑκάστου τῶν βοηθημάτων. εἰδότες γοῦν ἀκριβῶς πολλάκις, ὡς καιρὸς τοῦ δοῦναι τροφήν, ἢ ποτόν, ἤτοι θερμόν, ἢ ψυ-
χρὸν ἐνεστηκεν, ὁπόσον χρὴ δοῦναι, βεβαίως οὐκ ἴσμεν. ὡσαύτως δὲ κἀπὶ τῶν καθαιρόντων φαρμάκων. ὅτι ἤτοι χο-
λῆς ξανθῆς, ἢ μελαίνης, ἢ φλέγματος, ἢ τῶν ὀῤῥωδῶν περιττωμάτων ἐστὶ δοτέον τῷ κάμνοντι κενωτικὸν φάρμα-
κον ἀκριβῶς ἴσμεν ἐνίοτε, πόσον δὲ δοῦναι προσήκει, οὐκ ἐπιστάμεθα. ἀλλὰ τοιαύτη μὲν ἡ δόσις ἐπανόρθωσιν οὐ-
δεμίαν ἔχει. τὸ γὰρ ἅπαξ εἰς τὴν γαστέρα καταποθὲν φάρμακον, οὐ δύναται μὴ καταπεπωθῆναι πᾶν, οὐδ' ἔστιν
οἷόν τε μᾶλλον ἤδη καθαιρομένου τοῦ ἀνθρώπου, μέρος ἀφελεῖν τι τοῦ προσενηνεγμένου. ἐπὶ δὲ τῆς φλεβοτομίας,
ἀγαθὸν τοῦτο μέγιστον ὑπάρχει, παύειν ὁπότε βούλοιο τὴν κένωσιν, εἶθ' αὖθις πάλιν ἐν ᾧ περ ἂν ἐθελήσεις και-
ρῷ, ῥεῖν ἐπιτρέπειν, ἄχρις ἂν ὀρθῶς ἔχειν σοι φαίνηται. διόπερ ἄμεινόν ἐστιν, ἐὰν μηδὲν ἐπείγῃ, τὴν πρώτην ἀ-
φαίρεσιν ἐλλιπέστερον ποιησάμενοι, ἐπαφαιρεῖν αὖθις. εἰ δὲ βούλοιο καὶ τρίτον. ἐφ' ὧν οὖν ἐστι κενώσεως μὲν χρεία
πολλῆς, οὐκ ἰσχυρὰ δ' ἡ δύναμις, ἐπὶ τούτων προσήκει ταμιεύεσθαι τὴν κένωσιν, ὥσπερ ἀμέλει κἀπὶ τῶν πλῆθος
ἐχόντων ὠμοτέρων χυμῶν ἐθεάσασθέ με πράττοντα. κενώσας γὰρ ὀλίγον αἷμα, εὐθέως δίδωμι μελικράτου και-
λῶς ἡψημένου μετά τινος τῶν λεπτυντικῶν φαρμάκων, ἢ ὑσσώπου, ἢ ὀριγάνου, καὶ ποτὲ καλαμίνθης, ἢ γλήχω-
νος ἢ καὶ μετὰ τοῦ μελικράτου, ἢ ὀξυμέλιτος, ἢ ὀξυγλυκέος, εἶτ' αὖθις ἀποφαιρῶ ποτὲ μὲν ἐπὶ τῆς αὐτῆς ἡμέρας,
ἐνίοτε δὲ περὶ τὴν ὑστεραίαν, ἐν ᾗ πάλιν ὁμοίως διδοὺς τῶν εἰρημένων τι φαρμάκων, αὖθις ἐπαφαιρῶ. καὶ περὶ τὴν τρίτην
ἡμέραν δὶς ὡσαύτως. ἀλλ' ὅταν ἡ ζέοντος αἵματος πλῆθος, ἀνάπτον ὀξύτατον πυρετόν, ἀθρόας ἐστὶ κενώσεως
χρεία, καὶ τοῦτο χρὴ πειρᾶσθαι κενοῦν, ἄχρι λειποθυμίας, ἐπισκεψάμενον τὴν ῥῶσιν τῆς δυνάμεως. ὥστε ἐνίων οἶδα

ταῦτα

κοτύλας ἐξ ἀφελεῖν εὐθέως ἤτοι κατὰ τὴν δευτέραν ἢ τὴν τρίτην ἢ τὴν τετάρτην ἡμέραν. ἐνίοτε καὶ κατὰ τὴν πρώτην αὐτήν, ὅταν μὲν ὁ πυρετὸς ἄρξηται περὶ τὰ πρῶτα τῆς νυκτός, ἢ τὰ μέσα, καλῶς δ' ᾖ πεπεμμένα τὰ κατὰ τὴν προτεραίαν ἐδηδεσμένα. τινῶν δὲ κατὰ τὴν προτεραίαν ἀνωμαλίαν ἱδρῶτα, ἢ ἄλγημα κεφαλῆς, ἢ ἄλλου τινὸς μέρους ἠτιασμένων καὶ διὰ τοῦτο ἐνδεῶς διαιτηθέντων, ἀρχομένων δὲ πυρέττειν, νυκτὸς ἢ διηπορηκυίας, οἶδα κατὰ τὴν πρώτην ἡμέραν τελευτῶσαν, ἀφελὼν αἵματος. ἐφ' ὧν γὰρ ἂν σοι φαίνηται ζέοντος αἵματος πλῆθος, ὅτι τάχιστα πειρῶ κενοῦν αὐτό, πρὶν ἐπί τι κατασκῆψαι μόριον κύριον, ὥστε καὶ διὰ τῆς νυκτὸς οὐκ ὀκνήσεις τέμνειν ἐνίοτε φλέβα. γελοῖον γὰρ ὅπερ οἱ πολλοὶ πράττουσιν ἄχρι δευτέρας ὥρας ἡμέρας ἄχρι ε. ἢ ς'. ἀφοροῦντες μόνον αἵματος, ἐν ἄλλῳ δ' οὐδενὶ χρόνῳ, οὓς εἰ μὴ καὶ κλυστῆρσι, καὶ τροφῆς προσφορᾷ καὶ τοῖς ἄλλοις βοηθήμασιν ἑώρων χρωμένους ἐν ἅπαντι καιρῷ τῆς νυκτός, ἐνῆν ἄν μοι χαλεπὸς ὁ πρὸς αὐτοὺς λόγος. ἐπεὶ δὲ πάντα πράττοντες οὐ τὸν ὡρισμένον ἀριθμὸν ὡρῶν ἕνα καὶ κοινὸν ἐπὶ πάντων τῶν νοσούντων, ἀλλ' ὡς ἂν ὑπαγορεύῃ τὸ πάθος, ἐπὶ μόνης τῆς φλεβοτομίας τὸν εἰρημένον ἀρτίως ἀεὶ περιμένουσι καιρόν, εὐφωρατώτατον ἴσχουσι τὸ σφάλμα. τοὺς οὖν οὕτω διακειμένους ἀρρώστους, ὡς εἰρήκαμεν, προσήκει μέχρι λειποθυμίας ἄγειν. ἐνίους γοῦν αὐτῶν οἶδα καταψυχθέντας μὲν ἐξ ἀνάγκης ἐπὶ τῇ λειποθυμίᾳ. προσγενομένων δὲ νοτίδων ἐν ὅλῳ τῷ σώματι, καὶ τῆς γαστρὸς καταρραγείσης, ἐν τάχει παυσαμένους τῆς νόσου. προσέχειν μέντοι καλῶς ἔχει τῇ καθαιρέσει τῶν σφυγμῶν, ἐφαπτόμενον αὐτῶν ἔτι ῥέοντος τοῦ αἵματος, ὥσπερ κἀπὶ τῶν ἄλλων ἁπάντων εἴωθα πράττειν τῶν φλεβοτομουμένων, ὅπως μή ποτε λάθῃς αὐτὸν ἀντὶ λειποθυμίας θάνατον ἐργασάμενος, ὅπερ οἶδα τρισὶν ἰατροῖς γενόμενον. ἐφλεβοτόμησαν εἷς μὲν αὐτῶν γυναῖκα πυρέττουσαν. ἑκάτερος δὲ τῶν ἄλλων, ἄνδρα μέχρι λειποθυμίας τοσαύτης, ὡς μηκέτι ἀναληφθῆναι. καὶ διὰ τοῦτο αὐτό, βέλτιόν ἐστι φυλάττεσθαι τὰς ἀθρόας κενώσεις, εἰ μή τις ἀνάγκη μεγάλη κελεύῃ. καὶ μέντοι καὶ ἡ ἀντίσπασις, οὐ μικρὸν οὖσα βοήθημα, καὶ διὰ φλεβοτομίας γιγνομένη, πολλάκις ὅσῳπερ εἰς ἀριθμὸν πλείονας τὰς κατὰ μέρος ἀφαιρέσεις αὐξήσεις, τοσούτῳ δραστικώτερον γίνεται. ταῦτα μὲν οὖν ἄμεινον προεγνῶσθαι. πάλιν δὲ ἐξ ἀρχῆς ἀνελθόντες ἐπὶ τὸ προκείμενον σκέμμα, διέλθωμεν ὅσα τε γινώσκομεν ἀναγκαιότατα βουλομένους ἀβλαβεῖς ἀεὶ τὰς φλεβοτομίας ἐργάζεσθαι. πρῶτον μὲν ἐπίστασθαι προσήκει τοὺς εἰρημένους σκοποὺς τοῦ βοηθήματος αὐξομένους μὲν ἐνδείκνυσθαι πλείονα κένωσιν, ἐκλυομένους δὲ καθαιρεῖν εἰς τοσοῦτον τὴν ποσότητα τῆς κενώσεως, εἰς ὅσον ἐμειώθησαν αὐτοί. μέγεθος οὖν νοσήματος ἅμα ῥώμῃ δυνάμεως οἱ πρῶτοι σκοποὶ φλεβοτομίας ἦσαν. ὁ μὲν ὡς ἐνδεικνύμενος αὐτὸ ὃ χρὴ πράττειν, ὁ δ' ὡς οὐ κωλύων ἐκεῖνον, ὅπερ ἀντενδείκνυσθαι καλοῦσιν ἔνιοι τῶν νεωτέρων ἰατρῶν. ἐνίοτε γὰρ ἡ μὲν διάθεσις ὑπαγορεύει τὴν φλεβοτομίαν, ἡ δ' ἀρρωστία τῆς δυνάμεως κωλύει. τούτων δ' ἀμφοτέρων τῶν σκοπῶν ὑπαρχόντων, δῆλον μὲν ὡς ἐλέχθη πρόσθεν, οὐδὲ πλῆθος εἶναι χυμῶν ὠμῶν τοσοῦτόν τε καὶ τοιοῦτον, ὡς κωλῦσαι τὸ βοήθημα. συνεπισκέπτεσθαι δ' ἐφεξῆς ὁποία ἡ φυσικὴ κρᾶσις ἐστὶ τἀνθρώπου. τοὺς μὲν γὰρ μεγάλας ἔχοντας τὰς φλέβας, ἰσχνούς τε μετρίως καὶ μὴ λευκούς, μηδ' ἁπαλοσάρκους, ἀφειδέστερον κενώσεις. τοὺς δ' ἐναντίους φειδομένως. αἷμά τε γὰρ ὀλίγον ἔχουσιν, εὐδιαφόρητόν τε τὴν σάρκα. κατὰ τοῦτον οὖν τὸν λόγον, οὐδὲ τοὺς παῖδας φλεβοτομήσεις μέχρι τεσσαρακαιδεκάτης τῆς ἡλικίας; μετὰ δὲ ταύτην ἐὰν αἷμα πάμπολύ τε φαίνηταί ποτε ἠθροισμένον, ἥ θ' ὥρα τοῦ ἔτους ἐαρινή, καὶ τὸ χωρίον εὔκρατον φύσει, καὶ ἡ τοῦ παιδὸς φύσις εὔαιμος, ἀφαιρήσεις ἔτι μᾶλλον αἷμα, εἰ κίνδυνος ἐφεδρεύει, περιπνευμονίας, ἢ συνάγχης, ἢ πλευρίτιδος, ἢ τινὸς ἄλλου ὀξέως καὶ σφοδροῦ νοσήματος. ἀφαιρήσεις δὲ τὸ πλεῖστον, ἄχρι κοτύλης τὸ πρῶτον. ἐὰν δέ σοι μετὰ ταῦτα ἐπισκεπτομένῳ δόξῃ τὰ τῆς δυνάμεως ἰσχυρὰ διαμένειν, ἥμισυ προσθήσεις κατὰ τὴν ἐπαφαίρεσιν. ἔμαθες δὲ τῷ σφοδρῷ σφυγμῷ μετὰ ὁμαλότητος, ὡς ἀψευδεῖ σημείῳ πιστεύειν περὶ δυνάμεως ἰσχυρᾶς, ἐξ ἐπιμέτρου δὲ καὶ τῷ μεγάλῳ. καὶ τοίνυν καὶ τοὺς ἑβδομηκοντούτας φλεβοτομήσεις ὧν εἴρηκα σφυγμῶν ὑπαρχόντων, ἐπειδὰν ἡ διάθεσις κελεύῃ. εἰσὶ γὰρ ἔτι καὶ κατὰ τὴν ἡλικίαν ταύτην πολύαιμοί τινες, ἅμα ῥώμῃ δυνάμεως, ὥσπερ ἕτεροι ξηροί, καὶ ὀλίγαιμοι καὶ ῥᾳδίως μελαινόμενοι πᾶν τὸ πληγὲν μέρος. οὐ προσέξεις οὖν τῷ ἀριθμῷ μόνον καθάπερ ἔνιοι προσέχουσιν, ἀλλὰ τῇ τοῦ σώματος ἕξει. καὶ γὰρ ἑξηκοντοῦταί τινες, οὐκέτι φέρουσι φλεβοτομίαν, ἑβδομηκοντοῦται δὲ φέρουσιν, ἀλλὰ ἐλάττους ἀφαιρήσεις δηλονότι τούτων, εἰ καὶ τὴν αὐτὴν ἔχειν φαίνονται διάθεσιν ἀκμαστικῷ σώματι. κάλλιστον μὲν πρὸ τοῦ διαιρεῖν τὴν φλέβα τὰ τοιαῦτα ὄντα ἐπισκέπτεσθαι, καὶ μάλιστα περὶ αἱμορροΐδων ἐπεχομένων, καὶ γυναικείας καθάρσεως. ὁπότε γὰρ χαλασθείσης τῆς φλεβὸς ῥέει τὸ αἷμα, τῇ μεταβολῇ μὲν αὐτοῦ, καὶ μάλιστα ὅταν ᾖ ἤδη φλεγμονή, καὶ τῷ τόνῳ δὲ τῆς ῥύσεως ὀκλάζοντι, μάλιστα δὲ τῇ μεταβολῇ τῶν σφυγμῶν ὡς ἀψευδεῖ γνωρίσματι προσέχειν δεῖ τὸν νοῦν, καὶ παύειν αὐτίκα μεταβάλλοντος, ἢ κατὰ μέγεθος, ἢ κατὰ ἀνωμαλίαν ἡντινοῦν. περὶ μὲν γὰρ τῆς εἰς ἀμυδρότητα μεταβολῆς, τί δεῖ καὶ λέγειν; ἔμαθες γὰρ ἐν τῇ ποιότητι ταύτῃ, βεβαίαν γίγνεσθαι διάκρισιν ἰσχυρᾶς τε καὶ ἀσθενοῦς δυνάμεως. ἐφ' ὧν δὲ ἐγγὺς τῆς διαιρουμένης φλεβός ἐστί τις φλεγμονὴ μεγάλη, κάλλιστον ἀναμένειν τὴν μεταβολὴν τοῦ αἵματος, ἔν τε τῇ χροιᾷ, καὶ τῇ συστάσει, καθάπερ καὶ ὁ Ἱπποκράτης ἐδήλωσεν ἐν τῷ περὶ διαίτης ὀξέων, ἐπὶ πλευρίτιδος ποιούμενος τὸν λόγον. ἕτερον γάρ ἐστι τὸ κατὰ φλεγμονὴν αἷμα τοῦ κατὰ φύσιν, ἐπιθερμαινόμενον ἐπὶ πλέον, εἰ μὲν ἦν ἔμπροσθεν ὠμότερον, ἐρυθρότερον καὶ ξανθότερον γίνεται. εἰ δὲ τοιοῦτον ἦν ἔμπροσθεν, ἐπὶ τὸ μέλαν ἐκτρέπεται κατοπτώμενον, διὰ τοῦτο ἔγραψεν ἐπὶ τῶν πλευριτικῶν ὁ Ἱπποκράτης ὧδε. ~~ὁποίαν δὲ χρή,~~ τέμνειν δὲ χρὴ τὴν ἐν ἀγκῶνι φλέβα, τὴν ἔσω, καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρέειν, ἔστ' ἂν ἐρυθρότερόν τε καὶ ξανθότερον πολὺ ῥυῇ. ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ, πελιδνόν. ἀμφότερα γὰρ γίνεται, σημεῖον γὰρ τίθεται τοῦ μετειλῆφθαί τι τοῦ κατὰ τὴν φλεγμονὴν αἵματος εἰς τὴν τετμημένην φλέβα, τὸ φανῆναι μεταβολὴν ἐν αὐτῷ. οὐ μὴν ἐκ παντὸς τρόπου περιμένειν χρὴ ταύτην, ἀλλ' ἔσθ' ὅτε καὶ πρὸ τοῦ γενέσθαι, παύεσθαι προσήκει, διὰ διττὴν αἰτίαν, ἤτοι δυνάμεως ἀρρωστούσης, ἢ κακοήθους φλεγμονῆς, ἐνίοτε γοῦν οὐδὲν μεθιᾶσιν, ἀλλὰ ἐσφήνωται σφοδρῶς. εἰ μέντοι ἡ δύναμις μὴ φαίνοιτο καταλυομένη διὰ τῆς κενώσεως, ἤδη δὲ τοῦτο τῶν σφυ-

γνῶμεν ἁπτόμενοι, ὅταν φλεβοτομούμενος ἀκμάζων ᾖ, περιμένειν προσήκει τὴν μεταβολήν, καὶ μᾶλλον εἰ τὸ περιέχον εὔκρατον εἴη. δύο γάρ ἐστι ταῦτα δι' ἃ μάλιστα γίγνεται στοχαστικὸν τὸ ποσὸν τῆς κενώσεως ἐν τούτῳ τῷ βοηθήματι, τοῦ τε κάμνοντος ἡ φύσις ὁποία τίς ἐστιν, ἀδυνατούντων ἡμῶν ἀκριβῶς διαγνῶναι, τοῦ τε περιέχοντος ἡ κρᾶσις ὁποία τις ἔσται μετὰ τὴν φλεβοτομίαν. ὁπόταν γὰρ ἡ μὲν πυρετώδης θερμασία διαφορῇ πολὺ τοῦ αἵματος, ἐνδεῶς δ' ὁ κάμνων ᾖ διαιτώμενος, ἐξ ἀνάγκης ἐπιλείπει ταχέως αὐτὸν ἡ ἐκ τοῦ αἵματος τροφή, κἀν τούτῳ καταλύεται ἡ δύναμις. ἐκδαπανᾶται δὲ διὰ μὲν τὴν κρᾶσιν τοῦ νοσοῦντος, ὑγράν τε καὶ θερμὴν οὖσαν, οἷά περ ἐστὶ καὶ ἡ τῶν παίδων. διὰ δὲ τὸ περιέχον, ἐν χώρᾳ θερμῇ καὶ ὥρᾳ θερινῇ. διὰ τοῦτ' οὖν ἔλαττον ἀφαιρουμένην ἡ τὸ πλῆθος ὑπαγορεύει, ἐπὶ μὲν τὰς ἡλικίας, ἐπὶ τῶν παίδων, ἐπὶ δὲ τὰς ἕξεις τοῦ σώματος, ἐπὶ τῶν ἁπαλοσάρκων καὶ λευκῶν, οἷοί περ εἰσὶν οἱ κελτοί. ἐπὶ δὲ τὰς ὥρας, ὑπὸ τοῦ κυνός. παραπλησίως δὲ ἐπὶ τὰ χωρία, καὶ τὰς καταστάσεις. καθ' ἕτερον δὲ τρόπον, ὡς εἴρηται καὶ ἔμπροσθεν ἐπὶ τῶν ἐναντίων, ὅ, περ ἐστὶν ἐπὶ τῶν ψυχρῶν ὡρῶν, τε καὶ χωρῶν, εὐλαβούμεθα κένωσιν δαψιλῆ, διὰ τὴν ἑπομένην κατάψυξιν, οὐκ ὂν οἷόν τε διὰ γραφῆς ἐφ' ἑκάστῳ τῶν εἰρημένων ἐν ἀφορίσαι κενώσεως μέτρον. οἶδα γοῦν ἐπ' ἐνίων μὲν αὐτάρκως ἀφελεῖν, ς'. λίτρας αἵματος, ὡς τόν τε πυρετὸν αὐτίκα σβεσθῆναι, καὶ μηδεμίαν ἀκολουθῆσαι κάκωσιν τῆς δυνάμεως. ἐπ' ἐνίων δέ, μίαν καὶ ἡμίσειαν οὐκ ἄνευ τοῦ βραχύ τι παραβλάψαι τὴν δύναμιν, ἐφ' ὧν εἰ δύο τις ἐκένωσεν, ἔβλαψεν ἂν ἐσχάτως. διὰ τοῦτ' οὖν οἶδα καὶ μίαν ἀφῃρηκὼς λίτραν ἐνίοτε ὠφελίμως. καί ποτε καὶ ταύτης ἐλάττονα, ἀπὸ φλεβὸς κατ' ἀγκῶνα, καὶ ἰγνύαν, καὶ ἀστράγαλον, ὡς ἔκ γε τῶν παρὰ τοὺς μεγάλους κανθοὺς τῶν ὀφθαλμῶν, ἢ ὑπὸ τὴν γλῶτταν, οὐδὲ ῥεῖν εἴωθεν ἀξιόλογον ὥσπερ οὐδ' εἴ τις ἐν ποσίν, ἢ ἄκραις χερσὶ τέμνει φλέβα, καθάπερ καὶ οἱ σπλῆνα θεραπεύεσθαι νομίζοντες ὑπὸ τῆς παρὰ τὸν δεύτερον τῶν μικρῶν δακτύλων φλεβὸς τμηθείσης, ὑπὲρ ἧς ἐπὶ πλέον, ἐφεξῆς εἰρήσεται. ὅσα οὖν καὶ περὶ τοῦτο τοῦ σκέμματος εἴρηται τοῖς ἰατροῖς, εἰ γράφοιμι, δεήσει μοι βιβλίου μεγάλου, καθ' ἑαυτὸ δὲ πληρουμένου. καθάπερ δὲ ἐπὶ τῶν ἄλλων, ἃ μέχρι δεῦρο τοῦ λόγου διώρισται, τὴν ἐμαυτοῦ γνώμην ὑμᾶς ἀνέμνησα, τεθεαμένους ἐπὶ τῶν ἔργων αὐτὴν μαρτυρουμένην, οὕτω καὶ νῦν πράξω. τὴν ἀρχὴν τοῦ λόγου ποιησάμενος ἐκ τῶν ἐναργῶς ὁσημέραι θεωρουμένων ἐπὶ τῶν καμνόντων, ἃ πρῶτος Ἱπποκράτης ἀκριβῶς παραφυλάξας ἔγραψεν. ἔστι δὲ αὐτῶν ἓν μὲν καὶ πρῶτον κεφάλαιον. ὅσα κατ' ἴξιν αἱμορραγεῖ, μεγίστην ὠφέλειαν ἐπιφέρειν τοῖς νοσοῦσιν, τὸ δὲ κατ' ἴξιν, ὅτι κατ' εὐθὺ λέγει, πᾶσι ὁμολογεῖται, σαφῶς αὐτοῦ κεχρημένου πολλάκις ἐπὶ τοῦδε τοῦ σημαινομένου τῇ κατ' ἴξιν φωνῇ. τὰ δ' ἀνάπαλιν αἱμορραγοῦντα, μηδὲν ὠφελεῖν, ἢ καὶ βλάπτειν ἐνίοτε, τῷ καταλῦσαι τὴν δύναμιν ἄνευ τοῦ τὸ πάθος κουφίσαι, οὔτε γὰρ ἐπὶ σπληνὶ μεγάλῳ μυκτὴρ δεξιὸς αἱμορραγήσας, οὔτε ἀριστερὸς ἐφ' ἥπατι φέρει τινὰ ὠφέλειαν ἀλλὰ ἀντίσπασις μὲν ἐν τοῖς κατ' εὐθὺ ἀντισπωμένοις ἐναργῆ τὴν ὠφέλειαν ἐν τάχει δεικνύει, ἐπὶ δὲ τοῖς ἀνάπαλιν, οὐκέτι. δεξιοῦ μὲν οὖν αἱμορραγοῦντος μυκτῆρος, ἡ ἐπὶ τὸ ὑποχόνδριον τὸ δεξιὸν ἐρειδομένη σικύα σαφῶς ἵστησιν ἐν τάχει τὴν αἱμορραγίαν, ὥσπερ καὶ ἡ ἐπὶ τὸν ἀριστερὸν αἱμορραγοῦντος ἀριστεροῦ. καὶ φλεβοτομίας δὲ χάριν ἀντισπάσεως, ἐπὶ μὲν ταῖς κατ' εὐθεῖαν αἱμορραγίαις, ἐν τάχει θεάσῃ σαφῆ τὴν ὠφέλειαν. ἔμπαλιν δ' εἰ τέμνοις, οὐδὲν ὄφελος. οὕτω τοίνυν καὶ σπληνὸς πάσχοντος, ἡ τῆς ἐπὶ τὸν παρὰ μέσον δάκτυλον φλεβὸς διαίρεσις ὤνησεν ἐξ ἀριστερᾶς χειρός, ὡς εἰ καὶ τὴν ἐν ἀγκῶνι φλέβα τέμνῃς τὴν ἔνδον, ὠφελεῖ γὰρ ἱκανῶς σπλῆνα κακοπραγοῦντα κένωσις αἵματος ἐξ ἀριστερᾶς χειρός, ἄμεινον δὲ μὴ ἅπαξ ἐκκενοῦν τὸ σύμμετρον, ἀλλ' εἰς δύο μερίζοντας ἡμέρας. οὐ μὴν οἶδα κατά τι τοῖς ἰατροῖς ἠμέληται, τοῦ φλεβοτομεῖν τοὺς σπληνώδεις. ἐγὼ γὰρ ἀεὶ μεγάλην ὠφέλειαν ἔγνων γινομένην εἰ καὶ λίτραν τις ἐκκενώσειεν μίαν, ἀλλὰ τό γε ποσὸν τῆς κενώσεως ἐκ τῶν προειρημένων σκοπῶν χρὴ ποιεῖσθαι. καὶ μήν γε κἀπὶ τῶν πλευριτικῶν, ἡ κατ' εὐθὺ τοῦ πάσχοντος πλευροῦ φλεβοτομία, τὴν ὠφέλειαν ἐναργεστάτην ἐπεδείξατο πολλάκις, ἡ δὲ ἐκ τῆς ἀντικειμένης χειρός, ἢ πάντως ἀμυδράν, ἢ μετὰ χρόνον. ὀδύνας τε πολλάκις ὀφθαλμῶν ἰσχυροτάτας ἐντὸς ὥρας μιᾶς ἔπαυσεν, ἡ κατ' εὐθὺ φλεβοτομία, τῆς ὠμιαίας καλουμένης φλεβὸς τεμνομένης. πειρᾶσθαι δ' ἐπὶ πάντων παθῶν ἄμεινον ἦν ἐπὶ ταῖς φλεβοτομίαις μετρίαις γινομέναις τὴν καλουμένην ἐπαφαίρεσιν ποιεῖσθαι, ποτὲ μὲν ἐπὶ μιᾶς ἡμέρας, ὅταν οὕτω πράττειν ἐγχωρῇ, ποτὲ δὲ καὶ ἐπὶ τὴν ὑστεραίαν. πλὴν εἴποτε ὡς ἔμπροσθεν εἴρηται, μέχρι λειποθυμίας ἄγειν τὴν κένωσιν ἐπιχειροῖμεν. ἐπὶ μὲν οὖν τῶν ὀφθαλμῶν, ἥτ' ὠμιαία καλουμένη φλέψ, ἥτ' ἐπ' αὐτῆς καταςχιζομένη κατ' ἀγκῶνα τμηθεῖσα, φανερὰν ἐν τάχει τὴν ὠφέλειαν ἐπιφέρουσιν. ἐπὶ δὲ πλευρᾶς πεπονθυίας, ἢ πνεύμονος, ἢ διαφράγματος, ἢ σπληνός, ἢ ἥπατος τε καὶ γαστρός, ἡ διὰ μασχάλης ἐπὶ τὴν κατ' ἀγκῶνα διάρθρωσιν ἀφικνουμένη. τέμνειν δὲ † καὶ ταύτην, μάλιστα μὲν αὐτὴν τὴν ἔνδον. εἰ δὲ μή, τὴν ἀπ' αὐτῆς ἀποσχιζομένην εἰς τὴν καμπὴν τῆς διαρθρώσεως, ἵστε δὴ πού μικρὸν ἔμπροσθεν ἀπὸ τῆς ὠμιαίας φλεβὸς ἀποσχίζεσθαι τὴν προειρημένην συνάψουσαν αὐτῇ.

τρεῖς γοῦν οὗτοι τρόποι τῆς κατ' ἀγκῶνα φλεβοτομίας εἰσίν, ὅτ' ἔνδον, καὶ ὁ ἐκτός, καὶ ὁ μέσος. ὁ μὲν οὖν ἔνδον ἐπὶ τῶν τὰ κάτω τοῦ τραχήλου πεπονθότων, ὠφελίμως. ὁ δὲ ἐκτός, ἐπὶ τῶν ὑπὲρ τούτων ἢ προσώπου ἢ κεφαλῆς. ὁ μέσος δὲ τόπος ἐνίοτε μὲν ἀμφοτέρας ἔχει τὰς ἀποσχισμένας φλέβας, εἰς τὸ πρόσω τῆς χειρὸς ἐκτεινομένας, εἶτ' ἐνταῦθα συναπτομένας, ἐνίοτε δὲ διὰ ταχέων εἰς ταὐτὸ ἀλλήλαις ἰούσας ἐπὶ τὴν καμπὴν τῆς διαρθρώσεως, ἔστι δ' ὅτε σαφῆ μὲν τὴν ἑτέραν αὐτῶν, ἀσαφῆ δὲ τὴν ἑτέραν. ὅταν οὖν ἀσαφεστέρας οὔσης τῆς οἰκείας τῷ πάσχοντι μορίῳ φλεβός. ἐπί τινα τῶν μέσων ἥκῃς, πειρῶ τὴν ἀποσχιζομένην τῆς οἰκείας τέμνειν μᾶλλον. ἔστι δ' ὅτε καὶ τὰς κατωτέρας τῆς κατ' ἀγκῶνα διαρθρώσεως ὅσαι ἐπὶ τὸν πῆχυν εἰσί, διαιρεῖν οὐδὲν κωλύει, μὴ φαινομένων τῶν κατ' ἀγκῶνα, καὶ τούτων αὐτῶν τὰς κατ' εὐθὺ τοῖς πεπονθόσιν, οὕτω δ' ἐναργῆ διὰ ταχέων ἐνίοτε τὴν ὠφέλειαν αἱ κατ' εὐθὺ τῶν πασχόντων μορίων φλεβοτομίαι φέρουσιν, ὥστε καὶ τοὺς πάσχοντας αὐτούς, καὶ τοὺς οἰκείους αὐτῶν ἐκπλήττεσθαι πολλάκις. ἐγὼ γοῦν οἶδά ποτε παρακληθεὶς ὑπό τινος οἰκοῦντος ἐν προαστείῳ τῆς ῥωμαίων πόλεως ἀνδρὸς πλουσίου, θεάσασθαι τινὰ τῶν διοικούντων αὐτοῦ τὰ πράγματα, κινδυνεύοντα τυφλωθῆναι, τοῦτον γὰρ ἐκεῖνος ἔλεγεν, ὀδυνώμενόν τε μεγάλως, καὶ τοῦτο πάσχοντος σχεδὸν ἡμερῶν κ. ἦν δ' ὁ τῆς οἰκείας τοῦ πλουσίου προεστάμενος ἰατρὸς Ἐρασιστράτειος, ἔργον πεποιημένος ἀπέχεσθαι φλεβοτομίας ἀεί. θεασάμενος οὖν ἐγὼ τὸν πάσχοντα, νεανίσκον, ὄντα πολύαιμον

...ναιμον ἀνεληλυθότας μὲν ἔτι τοὺς ὀφθαλμοὺς ἔχοντα, φλεγμονὴν δὲ μεγίστην ἔχοντα, καὶ ῥεῦμα, καὶ δασύτητα ἐν
...μφοτέροις τοῖς βλεφάροις, ἐν θατέρῳ καὶ τραχύτητας ἤδη τινάς, ὑφ' ὧν ἐπισκοτούμενος ἔτι καὶ μᾶλλον ὠδύ-
...ετό τε, καὶ παρωξύνετο, τήν φλεγμονὴν καὶ τὸ ῥεῦμα. ταῦτα θεασάμενος ἐγὼ καὶ γνοὺς ἅπασαν ἣν ἐποιεῖτο τῆς θε-
...ραπείας ἀγωγὴν, ὁ ἰατρός, αὐτὸν μὲν οὐκ ἔφη δύνασθαι συνεχῶς εἰς τὸ προαστεῖον ἰέναι, χρήζειν δὲ τὸν ἄνθρωπον, ἄχρι
... τριῶν ἡμερῶν τοὐλάχιστον, οὐκ ἐκ μακρῶν διαλειμμάτων ὑπ' ἐμοῦ θεωρεῖσθαι. δὸς οὖν αὐτὸν εἶπον τὰς τρεῖς ταύ-
...τας ἡμέρας ἐμοί, καὶ μὴν ἔφη παρακαλῶ σε, καὶ χάριν εἴσομαι, καὶ ἤδη πρὸς τὴν σὴν οἰκίαν ἄπαγε τὸν ἄνθρωπον,
...κε τέ που ὥρας ε. καὶ ἀφῄρεθην τὴν πρώτην ἀφαίρεσιν εὐθέως αἵματος λίτρας γ. εἶτα ἄλλην μίαν ὥρας θ. ἐν
...ις ἀνακαλύψας μεγάλως, ὑπηλείφθη κατὰ τὴν ὑστεραίαν ἑνὶ τῶν ἁπαλῶν κολλυρίων μιχθέντος αὐτῷ τοῦ διοίνου,
...καθάπερ εἰώθαμεν ἐπὶ τῶν τοιούτων πράττειν, καθ' ὑπερβολὴν τῆς μίλης τοῦ πυρῆνος ὑπὸ τὰ βλέφαρα τῆς ὑπα-
...λείψεως γιγνομένης. ἐπράχθη δὲ τοῦτο, πρῶτον μὲν ἕωθεν, εἶτα τετάρτης ὥρας, εἶτα θ. ἐφ' αἷς ὑπαλείψεσιν ἐλού-
...σατο περὶ δυσμὰς ἡλίου. κἄπειτα κατὰ τὴν ὑστεραίαν ἐκστραφέντων τῶν βλεφάρων, ὑπήλειψα δὶς ἐπιμιχθέντος τῷ
...ἁπαλῷ κολλυρίῳ πολὺ πλείονος τοῦ διοίνου, καὶ μετὰ ταῦτα, εἰς ἑσπέραν ἐλούσατο. κατὰ δὲ τὴν ἑξῆς ἡμέραν ἑω-
...θεν ἀπαντήσας τῷ πλουσίῳ, κατά τι χωρίον ἔνθα τῶν ὀχημάτων ἀποβαίνειν εἰσὶν εἰθισμένοι, προσηγόρευσεν αὐ-
...τῷ, ἀνεῳγόσι τε καὶ ἀφλεγμάντοις καὶ ἀρευματίστοις τοῖς ὀφθαλμοῖς, ὁ πρὸ δύο ἡμερῶν οὐδὲ διανοῖξαι τὰ βλέ-
...φαρα δυνάμενος, ὑπό τοῦ ῥεύματός τε καὶ τῆς ὀδύνης. ἔδοξεν οὖν τὸ πρᾶγμα μαγείᾳ τινὶ γεγονέναι παραπλή-
...σιον, ὥστε ἐκεῖνόν τε αὐτὸν ἀνακραγεῖν θαυμάζοντά τε τὸ τάχος τῆς θεραπείας, ἅπαντάς τε τοὺς μετ' αὐτοῦ παρα-
...πλησίως βοᾶν. οὐχ ἡμῶν μέγα τι ποιησάντων ἀλλ' ἐκ τῆς πρὸς τὸν οἰκεῖον ἰατρὸν αὐτοῦ παραβολῆς μέγιστα κακὰ δρῶν-
...τα διὰ τὸ τῆς φλεβοτομίας δέος. ἔχρηζε μὲν γὰρ ὁ κάμνων ἀποσμηχθῆναι τὰς ἐκ τῶν βλεφάρων δασύτητάς τε καὶ
...τραχύτητας, ἀδύνατον δ' ἦν τοῦτο γενέσθαι χωρὶς φαρμάκου δάκνοντος, οὐδὲν δ' ἐδύνατο φέρειν τοιοῦτον, ἄνευ
τοῦ προκενωθῆναι. λέλεκται γὰρ ἤδη, καὶ δέδεικται πολλάκις ἡμῖν ὡς ἅπαντα τὰ δριμέα φάρμακα προσφερόμε-
...να μορίοις τισίν, ἐὰν μὴ κενὸν ᾖ τὸ σῶμα πᾶν, καὶ ἀκριβῶς ἀπέριττον, ἐπισπᾶται ῥεῦμα, καὶ φλεγμονὴν ἐργάζε-
...ται. τό τε δ' ὁ πλούσιος ἐπυνθάνετο, τίς ἡ οὖν μαγεία τῆς θεραπείας ἐγίνετο, καὶ πάντα ἀκούσας τὰ πραχθέντα, ἀπ'
...κείνου τὸν Ἐρασιστράτειον ἰατρὸν αἱμοφόβον ὠνόμαζεν. αὕτη μὲν οὖν ἡ διήγησις ἀμφοῖν ἔνδειξιν ἔχει, τοῦ τε χρῆναι
...φλεβοτομεῖν, τὰς τοιαύτας διαθέσεις, ὅπερ οὐκ ἦν ἡμῖν προκείμενον ἐν τῷ παρόντι λόγῳ, τοῦ τε φλεβοτομεῖν χρῆ-
...ναι κατ' εὐθὺ τῶν πασχόντων μορίων, καὶ τὰς ὠμιαίας ἐντέμνειν φλέβας, ἐπὶ τῶν ἀνωτέρων μερῶν τοῦ θώρακος πα-
...σχόντων. ὥσπερ δὲ τὰ προειρημένα πάντα μόρια, ταῖς κατ' ἀγκῶνα φλεβοτομίαις, ὡς εἴρηται, γιγνομέναις ὠφε-
...λεῖται, κατὰ τὸν αὐτὸν τρόπον ὅσα κατωτέρω τούτων ἐστὶ ταῖς ἐπ' ἰγνύων τε καὶ σφυρῶν. ἔστι δὲ τῶν προειρημένων κα-
...τωτέρω τὰ κατ' ἰσχίον τε καὶ κύστιν καὶ μήτραν. νεφροὶ δὲ ἐπαμφοτερίζουσι, κάτω μὲν ὄντες ἤδη τῶν πρότερον εἰρη-
...μένων, ἄνω δὲ τῶν δευτέρων, διὸ καὶ ταῖς ἐπ' ἀγκῶνος ἐνίοτε φλεβοτομίαις ὑπακούουσιν, ὅταν ἤτε φλεγμονὴ
...πρόσφατος ᾖ, καὶ πλῆθος αἵματος. ἐφ' ὧν δ' ἡ διάθεσίς ἐστιν ἣν ἰδίως καλοῦσι νεφρῖτιν, τὴν κατ' ἰγνύαν ἐπὶ τού-
...του χρὴ τέμνειν, ἢ πάντως γε τὰς κατὰ σφυρὰ φλέβας. αἱ δὲ τῆς μήτρας φλεγμοναὶ μᾶλλον ἔτι νεφρῶν, ὑπὸ τῶν ἐν
...τοῖς σκέλεσι φλεβῶν τεμνομένων ὠφελοῦνται. ταῖς γὰρ ἐπ' ἀγκῶνος κενώσεσι, καὶ ἄλλό τι πρόσεστι μοχθηρόν. ἐπέ-
...χουσι γὰρ ἐμμήνους καθάρσεις, ἀντισπῶσαι τὸ αἷμα πρὸς τὰ τοῦ σώματος ὑψηλότερα. ταῖς δ' ἀπὸ τῶν σκελῶν,
...οὐ μόνον ἀντισπάσαι, ἀλλὰ καὶ προτρέπειν ὑπάρχει τὰ καταμήνια. καὶ ὅταν γε τοῦτο πρᾶξαι βουληθῇς κατὰ τὸν
...καιρὸν τῆς εἰωθυίας τῇ γυναικὶ περιόδου, προλαβὼν ἡμέρας ὡσεὶ γ. ἢ δ. ἤτοι φλέβα τεμών, ἢ ἀποσχάσας τὰ σφυ-
...ρὰ τοῦ ἑτέρου τῶν σκελῶν, ἀποκένωσον ὀλίγον, εἶτα κατὰ τὴν ὑστεραίαν ὡσαύτως ἀπὸ θατέρου σκέλους, αὖθις ὁμοίως κέ-
...νωσον ἅμα τῷ καὶ προνοεῖσθαι τῆς λεπτυνούσης διαίτης, ἐν αὐταῖς ταῖς ἡμέραις, ἐν αἷς οὕτως κενοῖς, καὶ πρὸ αὐτῶν
...ἄλλαις ἤδη τέσσαρσιν, ἢ πέντε. γέγραπται δέ μοι περὶ τῆς λεπτυνούσης διαίτης εἰς κατ' ἰδίαν λόγος, ἀλλὰ γυ-
...ναιξὶ καὶ ἄνευ τοιαύτης διαίτης ἱκανὰ προτρέψαι καταμήνια, καὶ καλαμίνθην καὶ γλήχωνα. διδόναι δὲ αὐταῖς
...ἀφεψῶν ἐν μελικράτῳ, καὶ ξηρὰ κόπτων, καὶ διαττῶν λεπτῷ κοσκίνῳ, καὶ τρίβων γε πάλιν χάριν τοῦ ποιῆσαι
...χνοώδη, ἐπιπάττε τῷ μελικράτῳ. καιρὸς δὲ τῆς πόσεως ἄριστός ἐστι μετὰ τὸ βαλανεῖον, περιβεβλημέναις ταῖς
...σινδόσι. ταῦτα μὲν οὖν ἐπιεικῆ φάρμακα, σφοδρότερα δὲ βράθυ, καὶ δίκταμνον. ἡ δὲ χρῆσις ὁμοία τοῖς προειρημένοις.
...δίδοται δ' ἐν τούτῳ τῷ καιρῷ καὶ τὸ πικρὸν ἰδίως ὀνομαζόμενον φάρμακον, ὃ τὰς ρ'. ἔχει < τῆς ἀλόης μιγνυμένας
...ταῖς τῶν ἄλλων φαρμάκων ἓξ ἑκάστου. κάλλιστον δ' ἐστὶν ὅταν λάβῃ κιννάμωμον. ταῦτα μὲν ἐν παρέργῳ λελέχθω, καί-
...τοι γ' οὐκ ὄντα πάρεργα, διότι τῇ τοῦ αἵματος ἐκ μήτρας φορᾷ συνεργεῖ, μετὰ τῆς ἀπὸ τῶν σκελῶν κενώσεως, ἤτοι
...τῶν σφυρῶν ἀμυττομένων, ἢ φλεβὸς τεμνομένης περὶ τὸν ἀστράγαλον, ἢ κατ' ἰγνύαν. οἶδα δὲ καὶ ἰσχιάδας ἐν
...ἡμέρᾳ μιᾷ θεραπευθείσας ὑπὸ τῆς διὰ τῶν σκελῶν κενώσεως, ὅσαι μὴ διὰ ψύξιν, ἀλλὰ πεπληρωμένων αἵ-
...ματος τῶν κατ' ἰσχίον ἀγγείων ἐγένοντο. διὸ καὶ συμφερώτερον τῆς ἀπὸ τῶν σφυρῶν φλεβοτομίας, ἡ ἀπὸ τῆς ἰ-
...γνύας ἐστὶ τοῖς οὕτω διακειμένοις. ἀποσχάσεις δ' αὐτοῦ οὐδὲν ὀνήνησι σαφές. συνελόντι γε μὴν εἰπεῖν τὰς μὲν
...ἀρχομένας φλεγμονάς, ἀντισπαστικῶς χρὴ κενοῦν, τὰς δὲ κεχρονισμένας ἐξ αὐτῶν, εἰ οἷόν τε, τῶν πεπονθότων.
...εἰ δὲ μή, τῶν ἐγγυτάτω τούτων. ἐπὶ μὲν γὰρ τῶν ἀρχομένων, ἀποστρέψαι χρὴ τὸ ἐπιρρέον. ἐπὶ δὲ τῶν κεχρονι-
...σμένων αὐτὸ μόνον ἐκκενῶσαι τὸ ἐστηριγμένον ἐν τῷ πεπονθότι μορίῳ. κενωθήσεται δ' ἄριστα τοῦτο διὰ τῶν
...συνημμένων φλεβῶν τοῖς κατ' αὐτά. τούτῳ τῷ λογισμῷ καὶ ἡ πεῖρα μαρτυρεῖ. καὶ διὰ ταῦθ' ὅσα κατὰ φά-
...ρυγγα, καὶ ἀρτηρίαν φλεγμαίνει μεγάλως, ἐν ἀρχῇ μὲν ἡ κατ' ἀγκῶνα, μετ' ἐκείνην δέ, ἡ ἐπ' αὐτῆς τῆς γλώττης
...βοηθεῖ μεγάλως, ἐντεμνομένων ἀμφοτέρων τῶν ἐπ' αὐτῆς φλεβῶν. οὕτω δὲ καὶ τὰ κατὰ τοὺς ὀφθαλμούς,
...σκιρρώδη λείψανα τῶν φλεγμονῶν, ἡ παρὰ τὸν μέγαν κανθὸν φλὲψ ὀνήνησι διαιρουμένη, καθάπερ γε τὰ τῆς
...κεφαλῆς βάρη καὶ τὰς διὰ πλῆθος ὀδύνας κεχρονικυίας ἐν αὐτῇ, κουφίζειν εἴωθε σαφῶς ἡ ἐν τῷ μετώπῳ
...φλὲψ τμηθεῖσα, τὰς δ' ἀρχομένας τε καὶ τὰς ἀκμαζούσας, ἡ ἐπ' ἰνίου ἀντίσπασις διὰ σικύας, ἐνίοτε μὲν αὐτῆς μό-

της, ἐνίοτε δὲ καὶ μετὰ ἀμυχῶν γιγνομένης. προκεκενῶσθαι δὲ χρὴ τὸ σύμπαν σῶμα. κατὰ δὲ τὸν αὐτὸν λόγον ὄπισθεν τῆς κεφαλῆς ὀδύνας ἀρχομένας καὶ ἀκμαζούσας, ἡ ἐν μετώπῳ φλὲψ ὠφελεῖ διαιρουμένη. τὰς μὲν γὰρ ἀντισπάσεις ἅμα τῇ κενώσει ποιεῖσθαι χρὴ μᾶλλον ἐπὶ τῶν ἀρχομένων ῥευμάτων. τὰς δὲ ἀπ' αὐτῶν τῶν πεπονθότων μορίων, ἢ τῶν πλησίων αὐτοῖς, ἐπὶ τῶν οἷον ἐνσκιρρουμένων φλεγμονῶν. ἐφ' ὧν δὲ σωμάτων οὐδὲν πάσχει μόριον οὐδέπω, φθάνομεν δὲ κενοῦν ἤρος εἰσβάλλοντος, ἐπὶ τούτων † ἐπὶ μὲν εἰθισμένου τοῦ ἀνθρώπου νοσήμασιν ἁλίσκεσθαι πυρετώδεσιν ὥρᾳ θέρους, ἐκκενῶσαι τὴν χορηγίαν αὐτῶν ἐφιέμεθα, πᾶν μέρος εἰς ἀφαίρεσιν αἵματος ὁμότιμον ἐστίν. ὥσπερ γε καὶ εἰ ἀρθριτικὸς εἴη πᾶσι τοῖς ἄρθροις πεπονθώς. οἷς δέ τι μέρος ἐξαιρέτως ἐνοχλεῖται μὴ προκενωθεῖσιν, οὐ χρὴ ποιεῖσθαι τὴν κένωσιν ὁμότιμον ἐξ ἁπάντων, ἀλλ' ὡς ἐπὶ τῶν ἀρχομένων ἤδη πάσχειν. διὸ τοὺς μὲν ποδαγρικοὺς ἐπ' ἀγκῶνος χρὴ κενοῦν, ἐπιληπτικοὺς δὲ καὶ σκοτωματικοὺς ἀπὸ τῶν σκελῶν μᾶλλον. εἰ δὲ δι' αἱμορροΐδος ἐπίσχεσιν ἐπὶ φλεβοτομίαν ἥκοις, εἰ μὲν ἐπέχειν αὐτὴν βούλοιο, τὰς ἐν ταῖς χερσίν, εἰ δὲ προτρέψαι, τὰς ἐν τοῖς σκέλεσι χρὴ τέμνειν φλέβας. ἀλλ' ἐπί γε τῶν ἐπεχομένων καταμήνια, τὰς ἐν σκέλει διαπαντός. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν αἱμορροΐδων, ἔνιοι μὲν ἀπηλλάχθαι τῆς τοιαύτης κενώσεως ἐθέλουσιν, ἔνιοι δὲ ἔχειν ἀγαπῶσιν, οὕτω κἀπὶ τῆς ἐμμήνου καθάρσεως. ἡ μὲν γὰρ ἐκ τῶν αἱμορροΐδων κένωσις, ὕποπτός ἐστιν ἀμετρίαν τοσαύτην ἐλθεῖν, ὡς ἤτοι παραχρῆμα τὸν ἄνθρωπον ἀνελεῖν, ἢ ὑδερώδη γε πάντως, ἢ καχεκτικὸν ἀπεργάσασθαι. ταῖς δ' ἐκ τῶν μητρῶν κενώσεσιν ὡς ἂν κατὰ φύσιν οὔσαις, οὐδὲν τοιοῦτον συμπίπτει. συμβαίνει μέν τοι ἐνίοτε, καὶ τὰς μήτρας ἐξ ἀναβρώσεως αἱμορραγεῖν, ἐφ' ὧν οὐκέθ' ὁ αὐτὸς σκοπὸς τῆς θεραπείας ἐστίν. οὐ γὰρ φέρεσθαι τὸ αἷμα καθάπερ ἐκ τῶν καταμηνίων, ἀλλὰ παντάπασι στῆναι βουλόμεθα. κοινὸς οὖν ἐπὶ τούτων ἁπάντων ἦρος εἰσβάλλοντος ἐπὶ φλεβοτομίαν ἡκόντων, ὅδε ὁ λόγος ἐστίν, εἰ μὲν ἐξαιρέτως ἀσθενές τι μόριον ἔχοιεν, ἐφ' ὃ τὸ ἀθροιζόμενον πλῆθος ἰδίως ἥκει, ἀντισπαστικῶς κενοῦν. εἰ δὲ μηδὲν εἴη τοιοῦτον, ὅθεν ἂν ἑκάστῳ φίλον ᾖ, πλὴν τῶν δι' αἱμορροΐδος ἐπίσχεσιν, ἢ καταμηνίων, ὡς ὀλίγον ἔμπροσθεν διώρισται. εἴρηται μὲν οὖν δυνάμει καὶ περὶ τούτου διὰ τῶν ἔμπροσθεν, ἄμεινον δὲ καὶ νῦν ἅπαντα διελθεῖν, ἀθροίζοντα μὲν εἰς ἕνα λόγον τοῦτον, ὅσα πρόσθεν εἴρηται, προσεπιδιορίζοντα δὲ τὰ μὴ διωρισμένα. καθόλου μὲν οὖν τοῦτο γνωστέον, ὡς οὐ χρὴ προσέχειν ἡμερῶν ἀριθμὸν πρῶτον ἐπὶ φλεβοτομίας, ὥσπερ τινὲς ἔγραψαν, καὶ ἔνιοι μὲν πάνυ γελοίως μετὰ τὸν τῆς τρίτης παροξυσμόν, ὁπόταν ὥς φασιν ἤδη τινὰ διάγνωσιν ἔχωμεν ὁποῖα τίς ἐστι κατά τε τὴν ἰδέαν καὶ τὸ ἦθος, ὅλην τε τὴν ἑαυτῆς φύσιν ἡ νόσος. ἔνιοι δὲ τὸν μὲν ἐσχάτατον ὅρον τῆς φλεβοτομίας ὥρισαν εἶναι τὴν τετάρτην ἡμέραν, ἐντὸς δὲ αὐτῆς συγχωροῦσι φλεβοτομεῖν ἐν τοῖς τῶν παροξυσμῶν διαλείμμασι, ὁπότε ἐθελήσαιεν. ἔνιοι δὲ προσδιδόασι ἀφαιρεῖν, ἐφ' ὧν ἂν ὁρίσωσιν αἵματος ἀφαιρέσεως εἶναι χρείαν. ἔτι μεταρρέοντος αὐτοῦ, καὶ μηδέπω κατεχομένου βεβαίως ἔν τινι μέρει δεξαμένῳ τὴν περιουσίαν, ἐν μόνον ἐπισκοποῦντες, εἰ μὴ διαφθορά τις εἴη γεγονυῖα τῆς ἐν τῇ γαστρὶ περιεχομένης τροφῆς, ἢ βραδυπεψία τις, ἢ καὶ σιτία περιεχόμενα κατ' αὐτήν. ὅτι μὲν οὖν περιμένειν προσήκει ἐφ' ὧν ἐστι χρεία κενώσεως εἰ μήπω προπεφθῆναι δέον τὰ σιτία, καὶ τοὺς κατὰ τὰς πρώτας φλέβας ἡμιπέπτους χυμούς, κάλλιστα λέγουσι καὶ πιστέον αὐτοῖς. ἀλλ' ἐπεὶ πολλάκις ἡμέρας πέντε ἤδη ἢ ἓξ ἄγοντος τινὸς ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὴν θεραπείαν αὐτοῦ καλούμεθα, καλῶς ἂν ἔχοι φλεβοτομεῖν, εἰ καὶ παρελείφθη τοῦ βοηθήματος ὁ πρῶτος καιρός. ἐν ᾗ γὰρ ἂν ἡμέρᾳ τοὺς σκοποὺς τῆς φλεβοτομίας ἐπὶ τοῦ κάμνοντος εὑρίσκῃς, ἐν ἐκείνῃ πράξεις τὸ βοήθημα, κἂν εἰκοστὴν ἡμέραν ἀπὸ τῆς ἀρχῆς ἐτύγχανεν ὤν. τίνες δ' ἦσαν οἱ σκοποί; μέγα τὸ νόσημα, ῥώμη τῆς δυνάμεως ὑπεξῃρημένης τῆς ἡλικίας παιδικῆς, καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἱκανῶς θερμοῦ. ἐπεὶ δὲ προκαταλύεται τοῦ χρόνου προϊόντος ἡ δύναμις ἐν τοῖς πλείστοις νοσήμασι, διὰ τοῦθ' ὁ τῆς φλεβοτομίας καιρὸς ἀναιρεῖται † τῷ πλήθει τῶν ἡμερῶν. οὐ πρώτως τοῦτ' ἐργαζομένου ἀλλὰ διὰ μέσου, πρὶν καταλυθῆναι τὴν δύναμιν. ὥστ' εἰ κατὰ τὴν δευτέραν ἡμέραν μετὰ τὴν ἀρχήν, φαίνεται καταλυομένη πως ἡ δύναμις, ἀφεξόμεθα τῆς φλεβοτομίας. ὅτι δ' ἐν αὐτῇ πάλιν ἐκείνῃ τῇ ἡμέρᾳ, καθ' ἣν φλεβοτομοῦμεν, ἐπιτηρῆσαι χρὴ τὴν παρακμὴν τοῦ πυρετοῦ, πρόδηλον εἶναι νομίζω. καὶ διότι γ' ἐνίοις ἐστὶν οὐδὲ τοῦτο πρόδηλον ὅσοι κελεύουσιν ἕωθεν μόνον φλεβοτομεῖν, ἢ τὸ μακρότατον, ἄχρι πέντε ἢ ἓξ ὡρῶν. ἀλλ' εἰ τῶν ἔμπροσθεν εἰρημένων ἐν ὅλῳ τῷ γράμματι μνημονεύει τις, οὐδὲν τοιούτων σφαλήσεται φλεβοτομῶν, ἐν ἁπάσῃ μὲν ἡμέρας ὥρᾳ, πάσης δὲ νυκτός, σκοπὸν ἔχων ἐπὶ μὲν τῶν πυρεττόντων, τὴν παρακμὴν τῶν κατὰ μέρος παροξυσμῶν, ἐπὶ δὲ τῶν ἤτοι δι' ὀφθαλμίαν ἢ δι' ἄλλο τι τοιοῦτον δεομένων τοῦ βοηθήματος χωρὶς πυρετοῦ, οὐ τὴν παρακμήν, οὐκ ὄντος γε ὅλως τοῦ πυρετοῦ. τὸ μέγεθος δ' αὐτῆς τῆς ὀδύνης ἢ φλεγμονῆς, ἢ ὅλης τῆς διαθέσεως, ἐν ᾗ τῆς φλεβοτομίας ἐστὶ χρεία. μηδενὸς δὲ τοιούτου κατεπείγοντος ἢ κωλύοντος, ἄμεινόν ἐστιν ἕωθεν φλεβοτομεῖν, οὐκ εὐθέως ἅμα τῷ τοῦ ὕπνου ἐξαναστῆναι, προεγρηγορήσαντες δὲ χρόνον ὡς ὥρας μιᾶς. εἴρηται δὲ ὅτι καὶ λάβειν τινὰς ἄμεινον, εἰ δὲ τοῦτο, καὶ προπεριπατήσαντας ἐνίους. ἐφ' ὧν δὲ ἦρος εἰσβαλόντος ἐπὶ φλεβοτομίαν † ἔρχεται. διὰ προσδοκίαν πυρετῶν οἶδα φλεβοτομήσας ἐνίους, καὶ μετὰ τὸ πρᾶξαι τινὰ τῶν συνήθων ἔργων, ἢ ἐν διδασκαλείοις, ἢ ἐργαστηρίοις, ἢ κατ' ἀγοράν, ἢ ἐπὶ τῆς οἰκίας. ὅ γε μὴν τῆς ἐπαφαιρέσεως καιρός, ἐφ' ὧν μὲν ἁπλῶς κενῶσαι, κἂν δύο ταῖς ἐφεξῆς ἡμέραις γένηται, βέλτιόν ἐστι. προσέχειν δ' ἐν ἅπασι τοῖς τοιούτοις σε χρὴ τὴν δύναμιν τοῦ κάμνοντος, ἁπτόμενον τῶν αὐτοῦ ἀρτηριῶν. ἔνιοι γὰρ εὐπαθεῖς εἰσι τὴν δύναμιν, ὡς μὴ φέρειν ἀθρόαν κένωσιν, ἐφ' ὧν ἀνακτησάμενος ἐν τῇ πρώτῃ τῶν ἡμερῶν τὸν κάμνοντα, ἐπαφαιρεῖν ἐν τῇ δευτέρᾳ προσήκει. ὅτι καὶ τὰς ἀρτηρίας, φλέβας ὀνομάζουσιν οἱ παλαιοί, καὶ ἡμῖν ἑτέρωθι δέδεικται, καὶ πρὸ ἡμῶν ἄλλοις ὡμολόγηται. διά τε οὖν αὐτὸ καὶ προσέτι τὴν οἰκειότητα τῶν διδασκαλιῶν, καὶ βραχύτητα τοῦ λόγου, κάλλιον ἔδοξέ μοι, μὴ γράφειν ἕτερον βιβλίον ὑπὲρ ἀρτηριοτομίας, ἀλλὰ τῷ τῆς φλεβοτομίας συνάψαι λόγῳ, καὶ τοῦτό γε αὐτό, κατὰ τόδε τὸ μέρος, ἐν ᾧ σκοπούμεθα, τίνας ἐπὶ τίσι μέρεσι πεπονθόσι προσήκει διαιρεῖσθαι φλέβας. ὡς γὰρ ἄλλας ἐπ' ἄλλοις ἐδείξαμεν, οὕτω δὴ καὶ τὰς κατὰ τοὺς κροτάφους ἀρτηρίας, καὶ τὰς τῶν ὤτων ὄπισθεν ἔθος ἐστὶ τοῖς ἰατροῖς διαιρεῖν, τὰς μὲν ἐν τοῖς κροτάφοις, ἐπὶ τοῖς ἐν ὀφθαλμοῖς

alit. τῷ πλήθει τῶν ἡμερῶν οὐ πρώτως τοῦτ' ἐργαζομένων

† εἰ

† ἐρχόμεθα

ῥεύμασιν

ῥεύματος, ὅσαι θερμὰ καὶ πνευματώδη. τὰς δὲ ὄπισθεν τῶν ὤτων, ἐπὶ σκοτωματικοῖς μάλιστα, καὶ ὅσοι χρονίοις ἀλγήμασι κεφαλῆς θερμοῖς καὶ πνευματώδεσι κάμνουσιν. ἤδη δὲ καὶ διὰ ἄλλα πάθη περὶ τὴν κεφαλὴν συνιστάμενα χρόνια, κέχρηνταί τινες ἀρτηριοτομίᾳ τῶν ὤτων ὄπισθεν. οὐ μὴν ἐφ᾽ ἑτέρου γέ τινος μορίου πάσχοντος ἐχρήσαντο τῷ βοηθήματι καίτοι τῶν πολλῶν δεομένων αὐτοῦ μᾶλλον ἢ φλεβοτομίας. ἔνθα γὰρ ἐνοχλεῖ θερμὸν αἷμα καὶ πνευματῶδες ἐν ταῖς ἀρτηρίαις ἠθροισμένον, ἐνταῦθα χρεία τῶν κοινῶν τῷ πάσχοντι μορίῳ τεμνομένων ἀρτηριῶν. ἀλλὰ διὰ τὸ δυσεπίσχετον τῆς ἀρτηρίας, οὐ τολμῶσιν οἱ ἰατροὶ διαιρεῖν τὰς ἀρτηρίας, ὅπου γε καὶ φλεβοτομοῦντές τινες, ὅταν ἀρτηρίαν τρώσωσιν ἐν τῷ παραχρῆμα, δυσχερῶς ἱστῶσι τὴν αἱμοῤῥαγίαν, καὶ ὅταν τὰ βέλτιστα πράξωσιν, εἰς ὕστερον τῆς διαιρέσεως ἴσης ἀνεύρισμα γίνεται. καὶ μέν τοι καὶ ἀποθανόντας τινὰς ἴσμεν ἐκ τῆς ὑποκειμένης ἀρτηρίας, τῇ κατ᾽ ἀγκῶνα φλεβί, τῇ ἔνδον. ἐνίους μὲν ἐν τῷ παραχρῆμα διὰ τὸν περιβληθέντα βρόχον. ἐθελησάντων τε τῶν ἰατρῶν ἐπέχειν, ὡς τὴν αἱμοῤῥαγίαν, εἰς γάγγραιναν ἐλθεῖν. ἐνίους δ᾽ ὕστερον ἐν τῇ τῶν ἀνευρυσμάτων χειρουργίᾳ διαφθαρέντας. ἀναγκαῖον γὰρ ἐν ταύτῃ, βρόχῳ διαλαμβάνεσθαι τὸ ἀγγεῖον. τὰς μὲν οὖν ἀξιολόγους κατὰ τὸ μέγεθος ἀρτηρίας διὰ ταῦτα φεύγουσιν οἱ ἰατροί, τὰς δὲ μικρὰς ὡς οὐδὲν μέγα δυναμένας ἀνύσαι. καίτοι, καὶ αὗται πολλάκις ἡμῖν ὤφθησαν οὐ μικρὰν ὠφέλειαν ἐπιφέρουσαι μετὰ καὶ τοῦ συνελθεῖν χωρὶς ἀνευρίσματος. καὶ μέν τοι κἂν μείζων ἀρτηρία ᾖ καὶ αὕτη χωρὶς ἀνευρίσματος συνελθεῖν διαιρεθεῖσα πᾶσα. καὶ πολλάκις παρ᾽ αὐτὸ τὸν ἐκ τῆς αἱμοῤῥαγίας κίνδυνον ἰάσατο. φαίνεται γὰρ σαφῶς ὅθ᾽ ὅλη δι᾽ ὅλης ἑαυτῆς ἐγκαρσίως διακοπῇ, τῶν μερῶν ἑκατέρων ἀνασπωμένων ἑκατέρωσε, τὸ μὲν ἄνω τοῦ μορίου, τὸ δὲ κάτω. παρ᾽ μέν γε καὶ ταῖς φλεψὶν ἀλλὰ μετρίως ὑπάρχει, ταῖς δ᾽ ἀρτηρίαις, ἀεὶ μᾶλλον τῶν φλεβῶν. ἐγὼ γ᾽ οὖν ὅθεν ὁρμηθεὶς ἐπὶ τὸ διαιρεῖν ἀρτηρίας ἧκον, ἤδη σοι φράσω. προτραπεὶς ὑπό τινων ὀνειράτων δυοῖν ἐναργῶς μοι γενομένων, ἧκον ἐπὶ τὴν ἐν τῷ μεταξὺ λιχανοῦ τε καὶ μεγάλου δακτύλου τῆς δεξιᾶς χειρὸς ἀρτηρίαν, ἐπέτρεψά τε ῥεῖν, ἄχρις ἂν αὐτομάτως παύσηται τὸ αἷμα, κελεύσαντος οὕτω τοῦ ὀνείρατος. ἐῤῥύη μὲν οὖν οὐδ᾽ ὅλη λίτρα. παραχρῆμα δ᾽ ἐπαύσατο χρόνιον ἄλγημα κατ᾽ ἐκεῖνο μάλιστα τὸ μέρος ἐρεῖδον, ἔνθα συμβάλλει τῷ διαφράγματι τὸ ἧπαρ. ἐμοὶ μὲν οὖν παρ᾽ συνέβη νέῳ τὴν ἡλικίαν ὄντι. θεραπευτὴς δὲ τοῦ θεοῦ ἐν Περγάμῳ χρονίου πλευρᾶς ἀλγήματος ἀπηλλάγη διὰ ἀρτηριοτομίας ἐν ἄκρᾳ τῇ χειρὶ γενομένης, ἐξ ὀνείρατος ἐπὶ παρ᾽ ἐλθὼν καὶ αὐτός. ἑτέρου δὲ τραύματος ἐν τῷ σφυρῷ γενομένου διαιρεθείσης ἀρτηρίας, οὐκ ἐπαύετο μὲν ἡ φορὰ τοῦ αἵματος ἄχρι κληθεὶς ἐγὼ διέτεμον ὅλην αὐτήν, εἶτα τῷ διὰ τῆς ἁλόης, καὶ μάννης, καὶ τοῦ λευκοῦ τῶν ὠῶν ἐχρησάμην φαρμάκῳ λαγῴαις ἀναλαμβανομένῳ θριξί, καὶ χωρὶς μὲν ἀνευρύσματος ἐθεραπεύθη τὸ τραῦμα περισαρκωθέντος τοῦ στόματος τῆς ἀρτηρίας. ὁ δὲ ἄνθρωπος ἐτῶν ἤδη τεσσάρων ἐκ διαλειμμάτων οὐ μικρῶν ὀδυνώμενος τὸ ἰσχίον, ἐξ ἐκείνου τελέως ὑγιὴς ἐγένετο. ταῦτα οὖν ἔπεισέ με πολλάκις ἐν ἄκροις τε τοῖς κώλοις. καὶ μέν τοι καὶ κατὰ τὴν κεφαλὴν ἀρτηρίας διαιρεῖν, ἐπὶ πᾶσιν ἀλγήμασι, ὅσα διὰ θερμὴν οὐσίαν ἢ πνευματώδη τὴν γένεσιν ἔχειν ἔδοξεν, καὶ μάλιστα κατὰ τῶν ὑμένας, ὧν τὸ ἄλγημα νυγματῶδές τ᾽ ἐστί, καὶ πλατυνόμενον ἀτρέμα. τῆς μὲν νυγματώδους αἰσθήσεως καθ᾽ ἕν τι μέρος, ὡς ἂν κέντρον τοῦ πεπονθότος τόπου γινομένης, τάσεως δ᾽ αἴσθησιν ἔχοντος τοῦ περὶ τὸ κέντρον τοῦ μυὸς παντός.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΒΔΕΛΛΩΝ, ΑΝΤΙΣΠΑΣΕΩΣ, ΣΙΚΥΙΑΣ, ΚΑΙ ἐγχαράξεως καὶ κατασχασμοῦ.

Οηρῶντές τινες τὰς βδέλλας κατακλείουσι, καὶ ἐπὶ πολλοῖς αὐταῖς χρῶνται. αὗται γὰρ ἐκμελιττῆσαι ῥαδίως ἅπτονται τῶν σαρκῶν. τὰς δὲ νέον εἰλημμένας φυλάττειν χρὴ ἡμέραν μίαν, αἷμα ὀλίγον εἰς διατροφὴν ἐμβάλλοντας. οὕτως γὰρ διαπιεσθήσεται τὸ ἰῶδες αὐτῶν. ἐπὶ δὲ τῆς χρείας, τὸ βδελλισόμενον μέρος προνιτρούσθω, καὶ κατακνιέσθω, ἢ κνάσθω τοῖς ὄνυξι, ἑτοιμότερον γὰρ ἅψονται. δεῖ δὲ ἐμβαλεῖν αὐτὰ εἰς ὕδωρ χλιαρόν, καὶ καθαρὸν ἀγγεῖον εὐρύ, ἔπειτα σπόγγῳ περιλαβόντες αὐτάς, καὶ τὸ γλισχρῶδες ἀποκαθαράντες, διὰ τῶν χειρῶν προσφέρομεν. μετὰ δὲ τὸ ἐμφῦναι, ἔλαιον χλιαρὸν ἐπιχέομεν τῷ μορίῳ, ὥστε μὴ ψυγῆναι. ἐπὶ δὲ χειρῶν ἢ ποδῶν, αὐτὸ τὸ μέρος ἐμβαλεῖν χρὴ τῷ ὕδατι, ἔνθα εἰσὶν αἱ βδέλλαι. εἰ δὲ ὀλίγον ἅψοιντο, ψαλίζειν χρὴ τὰς οὐρὰς αὐτῶν. ἐκχεομένου γὰρ τοῦ αἵματος, ἑλκοῦσαι οὐ παύονται, μέχρις ἂν ἡμεῖς ἅλας ἢ σποδὸν προσπάσωμεν αὐτῶν τοῖς στόμασι. μετὰ δὲ τὸ ἀποπεσεῖν, σικύᾳ χρὴ τὸ ἰῶδες ἐξελκύειν. εἰ δὲ μή, πυριατέον σπόγγοις. τὰ δὲ †σώματα, εἰ μὲν ὑποδιακρίνοιτο, κύμινον ἢ ἄλευρον προσπαστέον, ἔπειτα ἐρίῳ ἔλαιον βραχὺ καταπλεκτέον. εἰ δὲ αἱμοῤῥαγείη, ὀθόνια ἐπιβλητέον ἐξ ὄξους, ἢ κηκὶς κεκαυμένη, ἢ σπόγγον δεύσας ὑγροπίσσῃ καὶ καύσας, ἐπιθετέον. γινώσκειν δὲ χρή, ὡς αἱ βδέλλαι οὐ τὸ ἐν τῷ βάθει ἕλκουσιν αἷμα, ἀλλ᾽ αὐτὸ τὸ παρακείμενον τῇ σαρκὶ εἰσμύζουσιν. χρώμεθα δὲ αὐταῖς ἀντὶ σικύων, ἀποσπῶμεν δὲ αὐτὰς ὁπόταν εἰκάσωμεν τὸ ἥμισυ μέρος εἱλκῦσθαι τοῦ αἵματος. ἐκκωλυόμεθα δὲ καὶ οὐκ ἐῶμεν ἀποῤῥεῖν ἕως ἂν αὔταρκες ἀκριβῶς, ἐπειδὴ τὸ μόριον ψύχεται, ὑπό τε τῆς βδελλῶν φύσει ψυχρῶν οὐσῶν, καὶ ὑπὸ τοῦ περιέχοντος.

†τμήματα uel forte σώματα aut τρήματα legendum.

Περὶ ἀντισπάσεως.

Τὰς σφοδροτάτας ἐπιῤῥοὰς τῶν χυμῶν, ἀντισπαστικοῖς βοηθήμασι κωλύομεν ἀθρόως κατασκήπτειν. ἀντισπαστικὰ δὲ ἐστὶ βοηθήματα ἐπὶ τῆς εἰς θώρακα καὶ γαστέρα ῥοπῆς, εἰς χεῖρας. ἔμετοι δὲ ἐπὶ τῆς εἰς τὰ κάτω, καθάπερ καὶ ἡ διὰ τῶν δριμυτέρων κλυσμῶν τῆς ἐπὶ τοὺς ἐμέτους. ἄμφω δὲ ταύτας τὰς ῥοπάς, λέγω δὲ τὰς

διὰ τῆς ἄνω καὶ κάτω γαστρὸς, εἰς οὖρα καὶ ἱδρῶτας ἀντισπάσεις. καὶ μὴν τοί γε καὶ τὰ οὖρα, πρὸς ἱδρῶτάς τε καὶ διαχωρήσεις γαστρός. ἀντισπαστικὸν δὲ βοήθημα, καὶ ἡ παρὰ τοὺς τιτθοὺς προσβαλλομένη σικύα. ταῖς δὲ καθ᾽ ὑποχόνδριον ἐρειδομέναις ἀντισπάσεις τὴν ἐπὶ τοὺς μυκτῆρας ὁρμὴν τοῦ αἵματος, ὥσπερ γε καὶ τὴν διὰ μήτρας ἄμετρον φοράν. ἀντισπᾷ δὲ καὶ τὰ δριμέα φάρμακα τοῖς κόλποις ἐπιτιθέμενα τὰς ἐπὶ κεφαλὴν καὶ σπλάγχνα ῥοπὰς τῶν χυμῶν. καὶ ἁπλῶς τὴν ἀντίσπασιν ποιητέον, ἐπὶ μὲν τοῖς ἄνω ῥέουσι χυμοῖς, εἰς τὰ κάτω. ἐπὶ δὲ τοῖς εἰς τὰ κάτω, τοὐναντίον. καὶ ἐπὶ μὲν ταῖς ἔσω ῥοπαῖς, ἔξω. καὶ πάλιν ἐπὶ ταῖς ἐκτὸς, εἴσω. κἂν πρὸς τὰ δεξιὰ ῥέπῃ, ἐπὶ τὰ ἀριστερά. καὶ εἰ πρὸς τὰ ὁμώνυμα, πρὸς τὰ ἐναντία. οὕτω δὲ καὶ τὰς μὲν ὀπίσω ῥοπὰς, πρόσω. τὰς δ᾽ εἰς τὸ πρόσω, ὄπισθεν.

Περὶ σικύας.

Σικύαι προκενωθέντων χρήσιμοι. πληθωρικῶν γὰρ ὑπαρχόντων οὐ χρησόμεθα ταύταις. τῷ δ᾽ αὐτῷ λόγῳ καὶ ἐπὶ τῶν κατ᾽ ἐγκέφαλον καὶ μήνιγγας φλεγμονῶν οὐ χρησόμεθα σικύαις ἐν ἀρχῇ τῶν παθῶν, ὥσπερ οὐδ᾽ ἐπ᾽ ἄλλου μορίου φλεγμαίνοντος οὐδενός, ἀλλ᾽ ὅταν μὴ ἐπιρρέῃ μηδὲν ἔτι, καὶ προκενώσωμεν ὅλον τὸ σῶμα, χρεία τε γένηται ἢ κινῆσαί τε καὶ ἐκμοχλεῦσαι τὸ καταφλεγμαῖνον, ἢ πρὸς τοὐκτὸς ἐπισπάσασθαι. γινομένων δὲ ἔτι τῶν παθῶν, οὐκ αὐτοῖς τοῖς ἀρχομένοις κάμνειν μέλεσιν, ἀλλὰ τοῖς συνεχέσιν αὐτῶν ἐπιθετέον τὴν σικύαν ἀντισπάσεως ἕνεκεν. κατὰ τὴν ἀρχὴν δὲ τοῖς ἀποκρουστικοῖς χρηστέον. Σικύα δύναται τὴν ὕλην κενῶσαι, ὀδύνην λῦσαι, φλεγμονὴν μειῶσαι, ἐμπνευμάτωσιν διαφορῆσαι, ὄρεξιν ἀνακτήσασθαι, ἄτονον στόμαχον τονώδη ποιήσασθαι, λειποθυμίας ἀπαλλάξαι, τὰ ἐκ τῶν βάθεων μεταφέρειν ῥεύματα καὶ ξηρᾶναι, καὶ αἱμορραγίας ἐπισχεῖν, καὶ ἐμμήνων φθοροποιοὺς δυνάμεις ἑλκύσαι. καὶ ἔμμηνα κινῆσαι.

Περὶ ἐγχαράξεως καὶ κατασχασμοῦ.

Ἐγχαράττομεν μέρη τοῦ σώματος, ἤτοι φλεγμαίνοντα, ἢ σκιρρούμενα, ἢ τεταμένα, ἢ ἐπωδύνως ἔχοντα, ἢ ῥευματισθέντα, ἢ δὴ στάσιν εἰληφότος τοῦ ῥευματισμοῦ, ἢ δριμείας ὕλης περιεχομένης, ἢ ἰώδους δυνάμεως ἔξωθεν ἐμπεσούσης, ἢ βουλόμενοι μεταγαγεῖν ἐξ ἑτέρων μερῶν εἰς ἄλλο τὴν ὕλην. οἷον σκέλη κατασχάζομεν, κεφαλῆς πεπονθείας, ἢ πλεοναζούσης ὕλης ἐν τῷ σώματι, μειῶσαι θέλοντες. καὶ μάλιστα ὅταν ὁ πλεονασμὸς γίνηται δι᾽ ἐποχὴν ὕλης εἰωθυίας ἀποκρίνεσθαι συνήθως. οἷον αἱμορροΐδων ἐπισχεθεισῶν ἐγχαράσσομεν σκέλη προλουσάμενοι, ἢ ἐν θερμῷ πυριάν, ἢ σπόγγῳ. τὸ μὲν γὰρ φλέβα διαιρεῖν πολλάκις τοῦ ἔτους οὐκ ἐπιτήδειον γινόμενον. ἅμα γὰρ αἵματι πολλῷ συνεκκρίνεται τὸ ζωτικὸν πνεῦμα. τούτου δὲ ἀναλισκομένου πυκνότερον, ὅ, τε ὅλος ὄγκος καταψύχεται, καὶ πάντα τὰ ψυχικὰ ἔργα χεῖρον γίνεται. διὰ τοῦτο ἀπὸ τῶν ἀκυρωτέρων, οἷον σκελῶν τὴν ἀφαίρεσιν δεῖ ποιεῖσθαι. ὠφελεῖ δὲ ἡ ἐγχάραξις καὶ ὀφθαλμοὺς χρονίως ῥευματιζομένους, καὶ κεφαλῆς διαθέσεις, καὶ τὰ περὶ θώρακα καὶ μετάφρενα καὶ συνάγχας καὶ σφηνώσεις.

Τέλος.

ΓΑΛΗΝΟΥ ΤΩ ΕΠΙΛΗΠΤΩ ΠΑΙΔΙ ΥΠΟΘΗΚΗ.

ΓΩ μὲν ᾤμην ὦ Κεκιλλιανὲ μηδὲν δεήσεσθαί σε τῶν ἡμετέρων ὑποθηκῶν, εἰς τὴν τοῦ παιδὸς νόσον, ὁ γὰρ τεθεαμένος αὐτὸν ἤδη, καὶ μέλλων ἅμα σοι πλεύσεσθαι πάλιν εἰς Ἀθήνας, Διονύσιος, ἱκανός ἐστι καὶ πρᾶξαι παρὼν τὰ δέοντα, καὶ χωριζόμενος, αὖθις ὑποθήκας διδόναι τῇ τοῦ νοσήματος ἕξει προσηκούσας. ἐγὼ δὲ μηδέπω ποτὲ τεθεαμένος τὸν παῖδα, τάχ᾽ ἂν πολὺ καὶ σφαλείην, οὔθ᾽ ὅπως ἐξ ἀρχῆς ἡ φύσις αὐτῷ πρὸ τοῦ νοσήματος, οὔθ᾽ ὅπως νῦν ὑπὸ τοῦ νοσήματος γινώσκων, ἀλλ᾽ ἢ μόνον αὐτὸ παρ᾽ ὑμῶν ἀκούων, ἐπιληπτικὸς αὐτῷ γίνεσθαι παροξυσμός. ἐπεὶ δὲ ὀλιγωροῦντα με μᾶλλον ἢ ἀληθεύοντα νομίζειν ἀποδιδράσκειν τὴν γραφήν, ὃ μηδέποτε πρότερον ἔπραξα, τοῦτο νῦν ὑπομένω πρᾶξαί σοι χαριζόμενος. ὑποθήκας τινὰς γράψαι θεραπείας ἐπιλήπτου παιδός. ἐν αἷς ἀνάγκη, τι καὶ παρακοῦσαι τὸν ἰδιώτην, καὶ σφαλῆναι περὶ τὸ μέτρον, ἢ τὸν καιρὸν τῆς χρήσεως, ἀποδέδεικται γὰρ ἡμῖν ἐν ἑτέροις, ὡς οὐκ ἐνδέχεται χωρὶς τοῦ μέθοδόν τινα ἐκμαθεῖν θεραπευτικὴν ἰάσασθαί τι καλῶς, οὐδὲ τῶν σμικροτάτων νοσημάτων, μή τί γε τῶν οὕτω μεγάλων, ἡλίκον καὶ τὸ τῆς ἐπιληψίας ἐστί. καὶ ὅγε Διονύσιος, ἔφθανεν ἤδη κεκρινῶσθαί τε ἐμοὶ καὶ συνδιασκέψασθαι περὶ τῆς ὅλης θεραπείας τοῦ παιδὸς, πρίν καί σε κελεῦσαι γράψαι τὰς ὑποθήκας τάσδε. ἀλλ᾽ ἐκείνῳ μὲν ῥαδίως τὴν ἐμαυτοῦ γνώμην ἐδήλωσα, συνιέναι τε τῶν λεγομένων δυναμένῳ καὶ παρακοῦσαι μηδενός, ὡς ἱκανῶς ἠσκημένῳ περὶ τὴν θεραπευτικὴν μέθοδον. σοὶ δὲ, οὐδ᾽ ὅπως διέλθω τὸν λόγον οἶδα. τὸ μὲν γὰρ ἀκριβὲς ἐν αὐτῷ, διορισμῶν τε δεῖται πολλῶν, καὶ ἀσαφέστερον ἢ κατὰ ἰδιώτην ἐστί, τὸ δ᾽ αὖ σύντομόν τε, καὶ σαφὲς, οὐκ ἀκριβὲς ὑπάρχει. ταῦτά τοι καὶ γράφειν ὤκνουν τὰς ὑποθήκας. καίτοι πάνυ χαρίζεσθαί σοι προῃρημένῳ, ὅμοιόν τι πείσεσθαι προσεδόκων, οἷον ἂν ἔπαθε καὶ Φειδίας, εἰ μετὰ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα πλάττειν ἠναγκάζετο, δάκτυλον μὲν ἰδίᾳ, ἰδίᾳ δὲ αὖ βραχίονα, καὶ πόδα, καὶ ῥῖνα καὶ οὖς, ἕκαστόν τε τῶν ἄλλων μορίων. ἐμοὶ γὰρ οἷον ἄγαλμά τι γεγράφθαι νομίζω τὴν θεραπευτικὴν μέθοδον, ἐν ὑπομνήμασι πλείοσιν, οὐχ ὅπως ἰδιώτας ὠφελεῖν δυναμένην, ἀλλ᾽ οὐδὲ τοὺς ἐπιτυχόντας τῶν ἰατρῶν. ἐπεὶ δὲ σὺ βιάζεις με περὶ μορίου ἑνὸς τῆς τέχνης ποιήσασθαι τὸν λόγον, ἄνευ τῆς ἄλλης ἁρμονίας, εἴκω τῇ βίᾳ καὶ πείθομαι.

πείθομαι, καὶ γράφω σοι μὲν αὐτάρκεις ὑποθήκας, ἱκανὸν γοῦν ἰδιώτῃ μὴ μέγα τι καὶ ἀνήκεστον ἐξαμαρτεῖν ἐν ταῖς τῶν ἰατρῶν, καὶ μάλιστα τῷ νομίμως μεμαθηκότι, τοιούτοις ὁμιλεῖν ὑπομνήμασιν. ἐκείνοις μὲν οὖν ἡ τῆς θεραπευτικῆς μεθόδου πραγματεία γέγραπται, σοὶ δὲ καὶ τοῖς ἄλλοις, ὅσοι τεχνῶν μὲν τινῶν ἐστὲ λογικῶν ἐπιστήμονες, ἰδιῶται δὲ τῆς ἰατρικῆς, γένοιτ' ἂν ἴσως οἶμαι καὶ παρὰ τοῦδε τοῦ γράμματος ὠφέλεια. πειράσομαι δὲ ὡς οἷόν τε σαφέστατα διελθεῖν, ᾧ χρώμενος ὁ παῖς τρόπῳ τῆς διαίτης, ὀνίναιτό τε ἂν, οὐ σμικρὰ, καὶ ἥκιστα βλάπτοιτο πρὸς τῶν ἐφ' ἡμέρα συμπιπτόντων ἀδοκήτως αὐτῷ. φυλάττεσθαι μὲν οὖν καὶ ταῦτα προσήκει, καθ' ὅσον ἐγχωρεῖ. περιπίπτειν γε μὴν ἀναγκαῖον ἐνίοτε, καὶ κρύει καὶ θάλπει σφοδρῷ, καὶ ἀνέμοις ἰσχυροῖς, καὶ λουτροῖς μοχθηροῖς, καὶ τροφαῖς ἐκπληκτικαῖς, καὶ τροχοῖς περιδινουμένοις, καὶ ἀστραπαῖς, καὶ βρονταῖς, ἀγρυπνίαις τε καὶ ἀπεψίαις, καὶ λύπῃ καὶ θυμῷ καὶ κόπῳ καὶ ἄλλοις τοιούτοις, ὧν τὸ κεφάλαιόν ἐστι, σφοδρῶς κινῆσαι καὶ ταράξαι τὸ σῶμα, καὶ ἐπὶ πάθους ἀναμνῆσαι καὶ παροξυσμὸν γεννῆσαι. ταῦτα δὲ οὖν ἐκ πολλοῦ φυλάττεσθαι προσήκει, καὶ εἴποτε γεγενημένων αὐτῶν παρακολουθήσει παροξυσμὸς, ἀπέχεσθαι μὲν τελέως τηνικαῦτα, πάσης κινήσεως, ἐπὶ δὲ τῆς οἰκίας διατρίψαι, καὶ πάνυ λεπτῶς διαιτηθῆναι, μέχρι περ ἂν ἀπόθηται τὸ σῶμα τὸν ἐκ τοῦ παροξυσμοῦ κάματον. ἥτις δὲ ἡ λεπτὴ δίαιτα καὶ γινώσκειν μὲν οἶμαί σε, καὶ διὰ τῶν ἐφεξῆς ἀναγνοὺς, οὐδὲν ἧττον ἀκούσῃ τι περὶ αὐτῆς. ἄρξασθαι γὰρ οὖν ἤδη μοι τῶν ὑποθηκῶν καιρός. Εἰσβάλλοντος τοῦ ἦρος, καὶ γάρ πως οὕτως συμβαίνει κινεῖσθαι τὰ τῆς ἐπανόδου, καθῆραι φημὶ χρῆναι τὸν παῖδα, μετρίᾳ καθάρσει. ταύτης δ' ἂν ἐπιστατήσειε καὶ προσταίη παρὼν ὁ Διονύσιος, εἰδὼς ἀκριβῶς ὅπως τε χρὴ παρασκευάσαι πρὸς τὴν κάθαρσιν τὸ σῶμα, καὶ ᾧ τινι χρῆσθαι φαρμάκῳ, καὶ ἐν πόσῳ καὶ ὁποίῳ καιρῷ, καὶ μὲν δὴ καὶ μεθ' ἡμῶν ὑπὲρ τούτων ἤδη διέσκεπται. ὥστε τὸ μὲν σῶμα πρὸν ἔχεις ἀθήνησι τοῦ Διονυσίου, τὴν ψυχήν τε καὶ τὴν γνώμην ἅμ' ἐκείνῳ, καὶ τὴν ἐμήν. μετὰ δὲ τὴν κάθαρσιν, ὅταν ὅτε Διονύσιος οἴχηται, καὶ ὁ παῖς ὑπολείπηται περὶ τὰς ἀθήνας, ὧδε χρὴ διαιτᾶν αὐτὸν, ἕωθεν μὲν ἐκ τῆς κοίτης ἀναστὰς, πρὶν τοῖς διδασκάλοις φοιτᾶν, περιπατέτω μετρίᾳ, μὴ σφόδρα, συντόνῳ βαδίσματι. τὸ δ' ἀπὸ τοῦδε, μέχρι τοῦ τῆς παλαίστρας καιροῦ, τοῖς μαθήμασι σχολαζέτω καθότι σύνηθες, ἐπειδὰν δὲ πρῶτον αὐτῶν ἀπαλλαγῇ, περιπατήσας αὖθις, οὕτως εἰς τὸν παιδοτρίβην ἀπίτω. χρὴ δὲ τοῦτον εἴπερ τινὰ καὶ ἄλλον τῶν προνοησομένων τοῦ παιδὸς, ἱκανῶς εἶναι φρόνιμον. ἔστι δὲ οὐ πάνυ τι ῥᾴδιον εὑρεθῆναι τοιοῦτον, ὡς ἂν ἐξ ἀνθρώπων τῆς ἐκλογῆς γινομένης ἀπαιδεύτων τοὐπίπαν, καὶ οὕτως ἀνωδῶν τε καὶ παχέων τὴν ψυχὴν ὥσπερ καὶ τὸ σῶμα. μὴ τοίνυν ὡς μικρὸν, τοῦτο παρέλθοι σε, μὴ δὲ ἐπιτρέψεις τὸν παῖδα τῷ προστυχόντι, γινώσκων ὡς τὸ μὲν κεφάλαιον τῆς θεραπείας, ἐν δυοῖν τούτοιν ἐστὶ, τῇ χρήσει τοῦ δοθέντος σοι πρὸς ἐμοῦ φαρμάκου, καὶ τοῖς γυμνασίοις. τὰ δ' ἄλλα πάντα παρασκευή τις ὑπάρχει πρὸς ταῦτα. τὸν μὲν δὴ παιδοτρίβην, συνεκλέξοιτο σοι Διονύσιος. ἔστωσαν δ' αὐτῷ σκοποὶ τῶν γυμνασίων, ἐν μὲν τῇ ποσότητι τό, τε πρὶν κάμνειν ἀναπαύειν τὸν παῖδα, καὶ τὸ, θερμῆναι σύμπαν τὸ σῶμα, καὶ χρῶσαι συμμέτρως. ἄμφω δ' εἰς ἕνα καιρὸν τὸν αὐτὸν συμβαίνει, ἡνίκα γοῦν αὐτάρκως ἐκκενοῦται τὸ περιττὸν, ἐκτεθέρμανται δὲ ἱκανῶς ἤδη τὸ σῶμα, τηνικαῦτα καταπαύων τις τὰ γυμνάσια, πρὶν ἄρχεσθαι πονεῖν ἀναπαύσεται, τὸ δ' ἐπέκεινα τοῦδε τοῦ καιροῦ γυμνάσιον, ἅπτεται μὲν ἤδη τῶν στερεῶν σωμάτων, καὶ συντήκει τὴν ἕξιν, ἀθροίζει δ' ἔν τε τοῖς ἄρθροις μάλιστα, καὶ τοῖς μυσὶ τὰ συντήγματα. κἀντεῦθεν ὅ, τε κάματος ἕπεται τῆς δυνάμεως, εἶθ' ἑλκώδης αἴσθησις, ἐπειδὰν κινῆσαί τι μόριον ἐπιχειρήσωσι, καὶ τοῦτ' ἐστὶν ὁ κόπος. οὐ μόνον τοίνυν φρόνιμον, ἀλλὰ καὶ τρίβωνα μετρίου γυμνασίου εἶναι χρὴ τὸν παιδοτρίβην, ὡς μήτε θᾶττον τοῦ δέοντος καταπαύοι, δεδιὼς τὸν ἀκολουθήσοντα κάματον, μήτε θερμῆναι καὶ χρῶσαι τελέως ἅπαν τὸ περιττὸν, ὀριγνώμενος τῷ κόπῳ περιβάλλοι τὸν παῖδα. τοῦ μὲν δὴ μέτρου τῶν γυμνασίων, οὗτοι σκοποί. τῆς ποιότητος δὲ, ῥῶσαι σύμπαντα τὰ μόρια, καὶ μάλιστα κεφαλὴν καὶ γαστέρα, καὶ ταύτης ἐξαιρέτως τὰ περὶ τὸ στόμα τῆς γαστρός. ὅπως δ' ἄν τις καὶ τούτου τυγχάνοι, καὶ δὴ φράσω. πρῶτον μὲν ἐπειδὴ τὰ σφοδρὰ γυμνάσια πληροῖ τὴν κεφαλὴν, ἀπέχεσθαι τῶν τοιούτων κελεύω. δεύτερον, εἰ καὶ δεήσειέ ποτε χρήσασθαι, τῆς κεφαλῆς ὀρθίας ἀνεστηκυίας, κινείσθω τὰ κάτω, καὶ τούτων μάλιστα τὰ σκέλη, καὶ τρίτον ἐπὶ τούτοις ἀπὸ σμικρῶν καὶ βραδέων κινήσεων ἀρξάμενος ὁ παιδοτρίβης, ἐπὶ τὸ σφοδρότερόν τε καὶ θᾶττον, οὕτως ἀναγέτω. τὸ δ' ἀθρόως ἐπὶ τὸ σύντονον ἔρχεσθαι γυμνάσιον, οὐ τοῖς ἀσθενέσι μόνον, ἀλλὰ καὶ τοῖς ἰσχυροῖς σώμασιν, ἐσχάτως βλαβερόν. ἡγεῖσθαι δὲ χρὴ καὶ τὴν τρῖψιν εἶναι γυμνάσιον, καὶ μάλιστα τοῖς ἀσθενεστέροις σώμασι, καὶ πολλάκις γε καὶ μόνη καλῶς γιγνομένη, τῶν γε ἄλλων κινήσεων οὐδὲν ἔτι προσδεῖται. χρὴ δὲ τὰ μὲν πρῶτα διὰ σινδόνων ἀτρέμα ἄνωθεν κάτω τῶν χειρῶν φερομένων, ἐρυθραίνειν τὸ σῶμα, τὴν ἀρχὴν ἀπὸ βραχιόνων τε καὶ χειρῶν ποιουμένοις, εἶθ' οὕτως ἐπὶ τὰ στέρνα τε καὶ γαστέρα προϊόντας, ἑξῆς δὲ καὶ τὰ σκέλη τρίβειν ἱκανώτερον, ὡς ἐκ τῆς ἄνω τι μεταρρέοι τῇδε, κἄπειθ' οὕτως ἅπτεσθαι τῆς κεφαλῆς. τὸ δ' εὐθὺς ἐξ ἀρχῆς ἐπὶ ταύτην ἰέναι, σφαλερὸν, ἔτι γὰρ μεστοῦ τοῦ σώματος ὄντος, ἐπὶ τὸ πρῶτον θερμανθὲν ἕλκεται τὰ περιττώματα. χρὴ τοίνυν τῶν ἄλλων ὑστάτην μορίων τρίβεσθαι τὴν κεφαλὴν, ὡς εἴρηται νῦν χωρὶς τοῦ λίπους. ἐπειδὰν δὲ καὶ τὸ ἔλαιον προσαγάγῃς, οὐδὲν κωλύει σὺν καὶ τοῖς ἄλλοις. ὥστε τὸν μέν τινα τὴν κεφαλὴν, ἑτέρους δὲ δύο τὰ περὶ τὰ στέρνα τε καὶ τὴν γαστέρα, καὶ τοὺς ἄλλους δύο τὰ σκέλη τρίβειν. οὕτως δὲ καὶ μετὰ τὰ γυμνάσια καὶ μᾶλλόν γε τηνικαῦτα τρίβειν ἅμα καὶ σύμπαντα τὰ μέλη. θᾶττόν τε γὰρ οὕτως ἀναπαύεται τὸ σῶμα, καὶ ἧττον περιψύχεται. χρὴ δὲ εἴπερ τινὸς ἄλλου, καὶ τούτου φροντίζειν. ἀλουτεῖν δὲ προσήκει τὰ πολλὰ καὶ ταῖς παλαίστραις μὴ εὐθὺς ἐξιέναι μετὰ τὸ γυμνάσιον, ἀλλ' ἐπειδὰν ἀκριβῶς καταστῇ τὸ πνεῦμα, καὶ παύσηται τελέως ἡ ἐκ τοῦ γυμνασίου ταραχὴ, τηνικαῦτα δή που καὶ τὴν κεφαλὴν ἐπιπλεῖστον τρίβειν σινδόνι, πολλάκις δὲ καὶ κτενὶ προσχρῆσθαι, μετὰ δὲ ταῦτα πρὸς τὸ ἄριστον ἰέναι. καί τι πρό γε αὐτοῦ, τῶν λαπαττόντων τὴν γαστέρα λαχάνων, ἢ καὶ ταρίχους, ἢ πτισάνης, ἢ ἐλαίων, ἅμα τῷ τρίτῳ μέρει τοῦ ἄρτου προσενεγκάμενον, εἰς τὸ δεῖπνον ἀποθέσθαι τὰ λοιπὰ δύο μέρη μετὰ τῶν ἰσχυροτέρων ὄψων. αἱρήσεται δὲ τὰ ἰσχυρότερα μικρὸν ὕστερον,

ἐπειδὰν πρότερον ἅπαντα διέλθω τὰ χωρὶς βλάβης λαμβανόμενα. λαχάνων οὔτε θριδακίνης οὔτε μαλάχης, οὔτε ἀτραφάξυος, οὔτε βλίτου, τὸ σύμπαν εἴργεσθαι κελεύω, λαμβάνειν δ' οὐκ ἀεὶ μὲν ταυτὸ, ἄλλο τε δὲ ἀπ' ἄλλου τὸ μέτριον, ἐκ ταυτοῦ δὲ γένους ἐστὶ, καὶ τὸ τεῦτλον, καὶ κράμβη. χρὴ γοῦν καὶ τούτων ἀφορίζεσθαι τὰ σύμμετρα, πράσου δὲ καὶ σελίνου καὶ σμυρνίου προσάψασθαί ποτε συγχωρῶ, καὶ τῶν ὀπωρῶν ὅσαι μὴ παντάπασιν ὠμοὶ καὶ δυσπεπτοι τὴν φύσιν εἰσίν. ἴσχουσι τε γοῦν τὰ περιττώματα σφῶν αὐτῶν καὶ τῶν ἄλλων σιτίων. τά τε οὖν μόρα καὶ τὰ πραικόκκια καλούμενα καὶ τὰ σῦκα, καὶ εἴ τινα τούτοις ἔοικεν, ἀλύπως διέξεισι, καὶ ἡ καλουμένη κολοκύνθη τῶν μαλακωτάτων λαχάνων οὐδενὸς ἀπολείπεται, καὶ οἱ πέπονες οἱ σίκυοι. μοχθηροὶ γὰρ ὅσοι μὴ τοιοῦτοι, καὶ βοτρύων πεπείρων ἅψασθαί ποτε συγχωρῆσαι τῷ παιδὶ, μήλων δὲ καὶ ἀπίων, ἐλάχιστά τε καὶ σπανιάκις προσφέρεσθαι, καὶ ταῦτα μὴ μόνον ἐπὶ τοῦ δένδρου κατειργασμένα καλῶς, ἀλλὰ καὶ μετὰ τὴν ἀφαίρεσιν ἐπὶ τῆς οἰκίας. εὖ γὰρ εἰδέναι χρὴ περὶ τῶν εἰς ἀπόθεσιν ἐπιτηδείων ἀκροδρύων ὡς οὐδὲν ὅμοιον ἔχει τοῖς παλαιοῖς τὰ πρόσφατα, δύναται δὲ ἀποτίθεσθαι μῆλά τε καὶ ἄπια καὶ τὰ πλεῖστα τῶν ἀκροδρύων, καὶ τὰ δαμασκηνὰ προσαγορευόμενα, καὶ αἱ ἰσχάδες. τούτου τοῦ γένους εἰσὶ καὶ αἱ βάλανοι τῶν φοινίκων, ὧν οὐδ' εἴργω τελέως, ἀλλ' ἐν καιρῷ τε καὶ μέτρια προσφέρεσθαι συγχωρῶ. τὸ δὲ καθ' ἑκάστην ἡμέραν, ἢ πολλὰ, φυλάττεσθαι συμβουλεύω, καθόλου δ' εἰπεῖν ὅσα κακόχυμα τῶν ἐδεσμάτων εἰσὶν, ἢ ἐπέχοντα τὴν κοιλίαν, ἢ φυσώδη καὶ δύσπεπτα, συνεχῶς, ἢ πλείω τοῦ καιροῦ προσφερόμενα, βλάπτειν εἴωθεν οὐ μόνον τὸ νόσημα μόνον, ἀλλὰ καὶ τἄλλα σύμπαντα. καὶ μέχρι γε τοῦ δ' ἥκων ὁ περὶ τῆς διαίτης λόγος, ἑτέροις ἂν κοινὸς εἴη πολλοῖς ἀρρωστήμασιν. ὁ δὲ τοῦ πάθους ἴδιος καὶ ἐξαίρετος, ἐν τῷ φυλάττεσθαι μάλιστα τὰ φλεγματικὰ τῶν ἐδεσμάτων, ὅθεν, οὐδὲ τοῖς ἄλλοις μὲν ἀλύποις, γλίσχρον δέ τινα χυμὸν, ἢ ψυχρὸν, ἢ παχὺν ἔχουσιν, ἐγχρονίζειν προσήκει. τοιαῦτα δέ ἐστιν ἀτράφαξυς τε καὶ βλίτος καὶ μαλάχη, ὧν οὐκ εἴργομεν ἀπέχεσθαι, διὰ παντὸς δ' ἐν αὐτοῖς καταγίνεσθαι, κωλύω. τούτου δὲ τοῦ γένους εἰσὶ, καὶ αἱ κολοκύνθαι, καὶ πολὺ δὲ μᾶλλον αὐτῶν οἵ τε σικυοὶ, καὶ τὰ μῆλα, καὶ ἄπια, καὶ πάντων ὅσα φλεγματικὸν καὶ παχὺν, ἢ γλίσχρον ἔχει χυμὸν ἢ ἔδεσμα χείριστον, οἵ τε μύκητες ὀνομαζόμενοι, τούτου μέν γε τελέως ἀπέχεσθαι συμβουλεύω, καθάπερ καὶ τῶν γογγυλίδων, ὅσα τε ἄλλα τὴν ῥίζαν ἐδώδιμον ἔχει. παχύχυμά τε γάρ ἐστι καὶ δυσκατέργαστα τὸ σύμπαν, ὅσα τἄλλα τοιαῦτα, πλὴν εἴ τινα τούτων ἔχει τι δριμὺ καὶ θερμὸν ἐν ἑαυτοῖς. οἷον οἵ τε δαῦκοι καὶ αἱ ῥαφανίδες. ἀλλὰ ῥαφανίδων μὲν ἐκ περιόδου τινὸς ἡμερῶν, οὐ κωλύω γεύεσθαι. δαύκων δὲ καὶ ἀπέχεσθαι πειρᾶσθαι. καὶ τούτων ἔτι μᾶλλον, γογγυλίδων. πλεονάζειν δὲ ἐν τῇ χρήσει τῶν ἐδεσμάτων, ὅσα δριμύ τι καὶ τμητικὸν ἔχει χωρὶς ἐπισήμου κακοχυμίας, ἢ τινὸς ὀδμῆς, ἅψασθαι τῆς κεφαλῆς δυναμένης. ἐκ τούτου δὲ τοῦ γένους ἐστὶ, καὶ ὅσα διὰ θερμότητα τὴν κεφαλὴν συμπληροῖ, καθάπερ οἶνός τε καὶ νᾶπυ, καὶ πετροσέλινον, καὶ δαῦκος καὶ κρόμμυον, καὶ σμύρνιον, ταῦτα μὲν καὶ πέρα τοῦ δέοντος ἐστὶ καυσώδη τε κακόχυμα, τὸ δὲ νᾶπυ, καί τοι γε ἐπιτηδειότατον ὑπάρχον ὅσον ἐπὶ τὸ τέμνειν τοὺς παχεῖς χυμοὺς, ὡς ἁπτόμενον τῆς κεφαλῆς, παραιτητέον. ὀξυμέλιτι δὲ χρηστέον θαρροῦντα, κἂν εἰ καθ' ἑκάστην ἡμέραν βούλοιο. δύνανται δὲ ἥ τε κάππαρις δι' αὐτοῦ λαμβάνεσθαι, καί τινα ταρίχη τῶν μικρῶν, ἐλαίου δηλονότι παραχεομένου βραχέος, εἰς ὅσον ἡ δύναται προσήκει τὸ ὄψον. ἀλλὰ ὥσπερ μὲν, ὥσπερ τι φάρμακόν ἐστιν αὐτὸ τῆς διαθέσεως. καὶ μᾶλλον εἰ καὶ τὸ ὄξος ἐσκευασμένον εἴη διὰ τῶν σκιλλῶν, ὃ δὴ καλοῦσι συνήθως ἅπαντες ἤδη σκιλλητικὸν, ὅπερ ἐγὼ μὲν εἴπερ τι καὶ ἄλλο, καὶ τούτων θάτερον ἐφ' ἑκάστῃ κελεύω λαμβάνειν ἡμέρᾳ, λέγω δὲ τὴν κάππαριν, ἢ τὸ τάριχος ὀξυμέλιτος ἔχον. εἰ δὲ καὶ πίνειν ἐθελήσειεν ὁ παῖς ὀξύμελι, ἔστω μὲν ἐσκευασμένον ἕτοιμον, οὐκ αὐτοσχέδιον ἐπὶ τοῦ καιροῦ συντιθέμενον, † ἐκ ζωμῶν ἀμφοτέρων. ὡς δὲ χρὴ σκευάζειν αὐτὸ, γεγράψεται μετ' ὀλίγον. ὕδατι δὲ κεραννύσθω πλείονι. καὶ γὰρ καὶ ἥδιον οὕτω γένοιτ' ἂν, καὶ χειμῶνος μὲν θερμὸν λαμβανέσθω, θέρους δὲ, οὐδὲν ἂν κωλύσειε καὶ ψυχρῷ χρῆσθαι πολλάκις, εἰ θάλπος γε ὑπερβάλλον εἴη καὶ δίψος σφοδρὸν, καὶ ὁ λαμβάνων μὴ παντάπασιν ἀήθης πόσεως ψυχροῦ. τά τε γὰρ ἄλλα, καὶ ἀδιψότατόν ἐστιν ὀξύμελι τὸ μὴ λίαν γλυκὺ, καὶ μᾶλλον εἰ ὕδατι ψυχρῷ κεραννύοιτο. καί μοι πολλάκις ἤρκεσεν ἐπίληπτον παῖδα τελέως ἐξιᾶσθαι μετὰ τὴν πρώτην κάθαρσιν, οὐδὲν τῆς ἀρχαίας διαίτης μεταποιήσαντι, πλὴν τὰ περὶ τὴν δόσιν τοῦ ὀξυμέλιτος, καὶ τὴν χρῆσιν τοῦ φαρμάκου. ἀλλ' ἐπεὶ μή τε γινώσκω τὴν φύσιν τοῦ παιδός σου, μήτε εἰς ὅσον ἰσχύος ἥκει τὸ πάθος οἶδα, μήτε αὐτὸς ἐφεστάναι μέλλω παρὼν, οὐκ ἔχω μαντεύεσθαι, τίνων ἐλαχίστων τὸν ἀριθμὸν δεῖται βοηθημάτων, ἀλλ' ἄμεινον εἶναί μοι δοκεῖ περὶ πάντων ὑποτίθεσθαι. μετὰ τοίνυν τὰ γυμνάσια κατὰ τὸ ἄριστον ὀξυμέλιτί τε χρηστέον ὡς εἴρηται, καὶ λαχάνοις τισὶν ἐλαίαις τε καὶ καρύοις καὶ σύκοις καὶ ἰσχάσιν, οὐχ ἅμα πᾶσιν ἐφ' ἑκάστης ἡμέρας. ἓν γάρ τι καὶ ἁπλοῦν ἔστω τὸ λαμβανόμενον, ἀλλ' ὑπὲρ τοῦ ποικίλλεσθαι τὴν δίαιταν, ὑπὲρ τοῦ ἁπάντων δέομαι. κατὰ δὲ τὸν καιρὸν τοῦτον ὡς ἔλεγον καὶ τῶν ἄλλων ἀκροδρύων ἁπτέον ἐπιθυμοῦντος τοῦ παιδὸς, ἐπεὶ ἄλλως γε κάλλιον ἀπέχεσθαι μὴ ὅτι νοσήματος ἰάσεως ἕνεκεν, ἀλλὰ καὶ πρὸς τὴν ὅλην ὑγείαν, ὡς καὶ ἡμᾶς ὁρᾷς ἀπεχομένους ἁπάντων σχεδὸν τῶν ὡραίων ἐδεσμάτων. ἀλλὰ γὰρ οὐ φιλοσόφοις γράφομεν ὑποθήκας διαίτης ὑγιεινῆς. ὡς ἐμοί γε τοῦτ' ἂν ἦν εὐκταιότατον, οὐκ εἰς τὴν τοῦ πάθους ἴασιν μόνον, ἀλλὰ καὶ πρὸς τὸν σύμπαντα τοῦ παιδός σου βίον. ἐπιτρεπτέον οὖν αὐτῷ προσφέρεσθαι φανερῶς τε καὶ κατὰ καιρὸν, ὅσα μὴ μεγάλας ἔχει τὰς βλάβας, ἵνα μὴ λαθραίως τε καὶ ἀκαίρως ἀπολαβὼν αὐτῶν βλάπτεται μειζόνως. καὶ γὰρ ἀθρόως καὶ πλειόνως ἐμπίπλανται τῶν ἐπιθυμουμένων, οἱ φανερῶς εἰργόμενοι μὴ χρῆσθαι. ταῦτα τοι καὶ συγχωρῶ τοῖς παισὶν ἐγὼ πολλὰ τῶν οὐκ ἐπιτηδείων ἐδεσμάτων ὅσα γε μὴ μεγάλως βλάπτει φανερῶς τε καὶ κατὰ καιρὸν καὶ σὺν τῷ προσήκοντι μέτρῳ προσφέρεσθαι μᾶλλον, ἢ ὥστε διὰ τὴν σφοδρὰν ἐπιθυμίαν ἀκαίρως ἀναγκασθῆναι πλείω τε ἅμα καὶ λάβρως προσενέγκασθαι. τὰ μὲν δὴ κατὰ τὴν τροφὴν, οὕτω διατετάχθω. Μετὰ δὲ ταῦτα διαλιπόντα χρόνον ὀλίγον, ἀτρέμα περιπατῆσαι κελεύω πρὶν ἐπὶ τὰ μαθήματα παραγίνεσθαι. καὶ μὲν δὴ καὶ ἀπαλλαγέντα τῶν μαθημάτων, αὖθις ἀξιῶ περιπατῆσαι πρὸ τοῦ δείπνου. κἄπειθ' οὕτως τοῦ μὲν ἄρτου τὰς ὑπολοίπους δύο μοίρας προσφέρεσθαι, τῶν δ' ἄλλων

ἕκαστον

ἑκάστου ὡς εἴρηται, κρέας μὲν ἁπάντων σχεδὸν τῶν πτηνῶν, πλὴν ὅσα λιμναῖα. τῶν τετραπόδων δὲ μάλιστα μὲν ἁπάντων ἀπέχεσθαι. εἰ δ' ἄρα ποτὲ καὶ δεήσει χρήσασθαι, τοῦ μὲν ἡμέρου συὸς, τοῖς ἀκρέοις τε καὶ τῇ γαστρὶ, τοῦ δὲ ἀγρίου καὶ ταῖς σαρξὶ χρῆσθαι. γεύεσθαι δὲ καὶ τῶν ἐλάφων. ἔστι δ' ὅτε καὶ τῶν λαγωῶν, ἁπάντων ἠρτυμένων ἁπλῶς ἢ ὀπτημένων ἄνευ κνίσσης. τὸ δ' ἁπλῶς ἐστὶ δι' ὕδατος ἄνηθον ἔχοντος ἥδυσμα καὶ πράσον, ἔλαιόν τε καὶ ἅλας. ὡς δ' ἄνευ κνίσσης ὀπτηθείη κρέας καλῶς, τὸν παρ' ἡμῖν ἐθεάσω κλίβανον. ὅσα δὲ θαλάττια, τὰ μὲν ὄστρεα σύμπαντα μοχθηρά, τῶν δ' ἰχθύων οἱ πετραῖοι μὲν ἄριστοι πάντων, ἅπτεσθαι δὲ δεήσει καὶ τῶν πελαγίων. ἡ νάρκη δὲ μόνη σχεδόντι τῶν μαλακίων ἐπιτήδειος. ὀσπρίων δὲ, πτισσάνη μὲν πρώτη. φακὴ δὲ καὶ χόνδρος, καὶ πίσος ἐφεξῆς τῇδε. τὰ δ' ἄλλα μοχθηρά. καθόλου δ' εἰπεῖν ὅσα γλίσχρα καὶ παχύχυμα, καὶ φυσώδη καὶ περιττωματικά, καὶ δύσπεπτα, καθότι καὶ πρόσθεν ἔλεγον φυλάττεσθαι πάντα. τὰ μὲν ὄστρεα, καὶ τὰ σελάχη, καὶ οἱ βολβοὶ, καὶ κοχλίαι, καὶ τυροὶ, καὶ μύκητες καὶ τὰ βόεια κρέα, καὶ τῶν ὠῶν τὰ κατεψηθέντα, δύσπεπτα μέν ἐστι, ἀλλὰ καὶ παχεῖς ἐργάζεται τῶν ἐσθιόντων ταῦτα τοὺς χυμούς. ὁ χόνδρος δὲ καὶ τὰ χοίρεια κρέα, χρηστοῦ μὲν αἵματός ἐστι γεννητικά, ἀλλὰ γλίσχρου. τὰ δὲ λιμναῖα πάντα, περιττωματικά, φυσώδη τε τὰ ὄσπρια καὶ μάλιστα κύαμοί τε καὶ ἐρέβινθοι, καὶ ἡ πτισσάνη δὲ μὴ ἀκριβῶς καθεψηθεῖσα, φυσώδης ἐστὶν, ὥστε καὶ ταύτην ἑψεῖν, ἢ μὴ χρῆσθαι. καὶ ἡ φακὴ δὲ καλῶς ἑψηθεῖσα, πᾶν ἀποτίθεσθαι τὸ φυσῶδες. ἀλλ' οὐ χρὴ πλεονάζειν ἐν αὐτῇ, παχὺν ὑποτρεφούσῃ χυμόν. εἰς μὲν δὴ τὴν ἐφήμερον δίαιταν ἱκανὰ καὶ ταῦτ' ἐστὶ παραγγέλματα. τῷ δὲ διὰ τῆς σκίλλης φαρμάκῳ τῷ πρὸς ἡμῶν σοι δεδομένῳ, μετὰ τὴν κάθαρσιν, ἣν εἰσβάλλοντος τοῦ ἦρος ἠξίωσα γενέσθαι, χρήσεται καθ' ἑκάστην ἡμέραν ὁ υἱός σου, πρὶν εἰς τὴν παλαίστραν ἀπιέναι, καὶ εἰ μὴ μεγάλη τις εἴη πάνυ καὶ σκιρρώδης ἡ νόσος ἐν τεσσαράκοντα ταῖς πάσαις ἡμέραις ἐλπίζειν ἐπὶ τῷ δὲ τῷ φαρμάκῳ τελέως αὐτὴν καταστήσεσθαι, ὡς ἐγώ γε μυρίους ἤδη παῖδας ἰασάμην οὕτως, μηδὲν δεηθεὶς ἐλλεβόρου. χρὴ δὲ μετὰ τὴν κάθαρσιν πρὸ τοῦ χρῆσθαι τῷ φαρμάκῳ, πιεῖν ἀψίνθιον καὶ ἅπαξ που καὶ δίς. Ὀξύμελι δὲ, τὸ μὲν ὀξύτατον, τέταρτον ἔχει μέρος τοῦ ὄξους ὡς πρὸς τὸ μέλι. περιλαμβάνει δὲ τὸ γλυκύτατον, ὄγδοον. τὰ δ' ἄλλα τὰ μεταξὺ μέτρα καθ' ὅσον ἂν ἑκατέρῳ τῶν ἄκρων προσκεχώρηκε, κατὰ τοσοῦτον ὀξύτητος ἢ γλυκύτητος μετέχει. χρὴ δὲ καὶ ἑψεῖσθαι πάντως αὐτὸ, καὶ γὰρ ἑνωθείη οὕτως ἂν ἀκριβῶς ἄμφω τὰ μιχθέντα. καὶ τὸ σφοδρὸν τοῦ ὄξους δυνάμεως καθαιρεθείη, καὶ τὸ φυσῶδες ἐν τῷ μέλιτι κολασθείη. καὶ γὰρ δὴ καὶ τὸν ἀφρὸν αὐτοῦ, πάντως ὁ ἕψων ἀφαιρήσει. κατὰ δὲ τὴν Ἑλλάδα καὶ τὰς πλείστας τῶν νήσων, οἶδα καὶ τὸ ἐκ τῶν κηρίων σκευαζομένων ὀξύμελι. καί σοι καὶ τούτῳ χρῆσθαι πάρεστιν ἀδεῶς, καὶ μάλιστα θέρους, Ἀθήνησί γε διατρίβοντος τοῦ παιδός. ὁπηνίκα δὲ χρὴ γλυκύτερον ἢ ὀξύτερον αὐτὸ διδόναι, καὶ ὑδαρέστερον, καὶ ἀκρατέστερον, οὐκ ἐμὸν ἔτι τοῦτο διελεῖν. ὥσπερ οὐδὲ ἄλλα πολλὰ τῶν κατὰ μέρος, ἀλλὰ τοῦ παρόντος τε καὶ θεωμένου τὸ θεραπευόμενον σῶμα, καὶ δυναμένου τεκμήρασθαι περὶ τῆς τῶν χυμῶν διαθέσεως. ἐπὶ μὲν γὰρ τοῖς παχέσι καὶ γλίσχροις, ὀξυτέρῳ τε καὶ ἀκρατεστέρῳ χρηστέον, ἐπὶ δὲ τοῖς μὴ τοιούτοις ὑδαρεστέρῳ καὶ γλυκυτέρῳ. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τἄλλα σύμπαντα τὰ εἰρημένα ταῖς ἐφημέροις τοῦ σώματος καταστάσεσι, συμμεταβάλλεσθαί τε καὶ ποικίλλεσθαι προσήκει. καθάπερ καὶ τοῖς ἄλλοις ἅπασι νοσήμασιν. ὅθεν οὐδ' εἰ μυρίας τις ὑποθήκας γράφοι μήπω κατὰ τὴν θεραπευτικὴν μέθοδον ἠσκημένῳ, κἀκεῖθεν τετεχνημένῳ τὴν ψυχὴν, ἱκανὸν ἂν ἐργάσαιτο θεραπευτὴν τὸν τοιοῦτον, οὐχ ὅπως οὐ μεγίστων νοσημάτων, ἀλλ' οὐδὲ τῶν σμικροτάτων οὐδενός. ἔδειξα δ' ἐναργῶς αὐτὸ πολλάκις ἐγὼ, καὶ ἕλκη χρόνια, καὶ ὀφθαλμῶν διαθέσεις, διὰ τῶν αὐτῶν ἰασάμενος φαρμάκων, οἷς οἱ πρόσθεν ἰατροὶ χρώμενοι, μηδὲν ἤνυον. ὁ γάρ τοι καιρὸς τῆς χρήσεως ἑκάστου καθάπερ Ἱπποκράτης ἔλεγε, μέγα τὸ ποσὸν εἰς δύναμιν ἐστοχασμένως συναρμοσθὲν, τὰ λοιπὰ τῆς ὠφελείας ἐστί. τὰ δὲ φάρμακα, μᾶλλον βοηθημάτων ὗλαι εἰσὶν, ἢ βοηθήματα, καθάπερ καὶ τοῦτο τοῖς ἀρίστοις ἰατροῖς ἅπασιν ὡμολόγηται. καί μοι τετελεύτηκεν ὁ λόγος, εἰς ταυτὸν ὅθεν περ καὶ ἤρξατο. μὴ δὲ τοὐλάχιστον ὑποδέξασθαι δύνασθαι καλῶς τὸν ἰδιώτην μεταχειρίζεσθαι. ἀλλὰ χρῄζειν ἐπιστατοῦντος τοῦ τεχνίτου.

Ἐπειδὴ δ' οἱ πολλοὶ φαύλως τὸν χυλὸν τῆς σκίλλης ἐκλαμβάνουσιν, ἀξιώσαντί σοι μαθεῖν, ὅπως ἐγὼ τοῦτο πράττω, προσθήσω τῷ λόγῳ τὴν σκευασίαν αὐτῆς. τῶν μελιτηρῶν ἀγγείων, οὕτως δὲ ὀνομάζουσιν οἱ Ἕλληνες ἐξ ὧν ἐκενώθη μέλι, παρασκευάσας, ἐμβάλλω σκίλλαν, εἰς λεπτὰ διαθρύψας ταῖς χερσὶν, εἶτα πωμάσας στεγανῷ πώματι, καὶ περιθεὶς ἔξωθεν ὅλῳ τῷ σώματι τοῦ ἀγγείου δέρμα, καὶ δήσας ἀκριβῶς, ἐν χωρίῳ κατατίθημι πρὸς μεσημβρίαν μὲν ἐστραμμένῳ, σκεπομένῳ δὲ ὑπὸ τῶν βορείων πνευμάτων, ὡς μηδὲ ὅλως ὑπ' αὐτῶν καταπνεῖσθαι. ποιῶ δὲ τοῦτο κατ' ἐκείνην τοῦ ἔτους τὴν ὥραν, ἐν ᾗ τὴν τοῦ κυνὸς ἐπιτολὴν ἅπαντες Ἕλληνες πεπιστεύκασιν. αὗται δέ εἰσιν ἡμέραι τεσσαράκοντα, πρὸ μὲν αὐτῆς τῆς ἐπιτολῆς, εἴκοσι, ἴσαι δὲ αὐταῖς τὸν ἀριθμὸν αἱ μετ' αὐτὴν, ἀτρέμα δέ πως ἐν ποσὶ αὐτῶν ὑπαλλάττων τὴν θέσιν τοῦ κεραμίου, θερμαίνεσθαι κατὰ πᾶν μέρος ὁμοίως αὐτὸ βουλόμενος, εἶτα μετὰ τὸν χρόνον τοῦτον λύσας, εὑρίσκω τὸ ἀγγεῖον ἑψημένῳ παραπλήσιον τὸ σῶμα τῆς σκίλλης ἔχον, ἐξερρυηκότα δή τινα καὶ χυλὸν αὐτῆς, ὃν ἀναλόμενος ἡδίω μέλιτι καλλίστῳ, καὶ δίδωμι τούτῳ καθ' ἑκάστην ἡμέραν ἐν κοχλιάριον μεστὸν, τοῖς μὲν παιδίοις μικρὸν, τοῖς τελείοις δὲ, μέγα. καὶ μέντοι καὶ τὸ σωματῶδες ὅλης τῆς σκίλλης κόψας ἀκριβῶς, καὶ λειώσας μετὰ μέλιτος, δίδωμι κἀκ τούτου κοχλιάριον ἓν, ὡς προείρηται. δεύτερον τῇ δυνάμει τοῦτο γίνωσκε τοῦ πρόσθεν εἰρημένου. ὅσοι δὲ ἑψήσαντες ἐν ὕδατι τὴν σκίλλαν λάβωσιν, ἐκλύουσι τὴν δύναμιν αὐτῆς. ὥσπερ ὅσοι δι' ὄξους.

ἰσχυρὸν μὲν σφοδρῶς ἐργάζονται, τὸ φάρμακον,

οὐκ ἀβλαβὲς δὲ τῶν νεύρων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ ΤΗΝ ΛΕΞΙΝ ΣΟΦΙΣΜΑΤΩΝ.

ΑΡΙΣΤΟΤΕΛΗΣ ὁ φιλόσοφος διδάσκων ἡμᾶς ἐν τῷ περὶ σοφιστικῶν ἐλέγχων συγγράμματι, περὶ ὅσους τρόπους γίνεται τὰ παρὰ τὴν λέξιν σοφίσματα, τρόπους μὲν ἓξ τὸν ἀριθμὸν εἶναί φησι, ἐκτίθεται δὲ αὐτοὺς οὕτως. παρ' ὁμωνυμίαν, ἀμφιβολίαν, προσῳδίαν, σύνθεσιν, διαίρεσιν, σχῆμα λέξεως. καλεῖ δὲ παρ' ὁμωνυμίαν μὲν ὅταν διὰ τῶν ὀνομάτων ἐν τῷ λόγῳ † καθάπερ ἐν τῷ, κύνα τε θηρικά. πλείω γὰρ οὗτος ὁ λόγος σημαίνει, διὰ τοὔνομα τὸν κύνα. παρ' ἀμφιβολίαν δὲ, ὅταν παρ' αὐτὸν τὸν λόγον ἐν αὐτῷ τὸ διττὸν ᾖ, καθάπερ ἔχει τὸ βούλοιτο καταλαβεῖν τὸν δ' ἐμὲ, ἐνταῦθα τῶν μὲν ὀνομάτων οὐδὲν διττόν, αὐτὸς δὲ ὁ λόγος ἐφ' ἑαυτοῦ σημαίνει τὸ ἑλεῖν τε καὶ ἀναιρεθῆναι. παρὰ δὲ τὴν προσῳδίαν ὅταν διττὸν γίγνηται. καθάπερ ἐν τῷ, ὅρος ἔστηκε. τὸ γὰρ διπλοῦν παρὰ τὴν διττὴν προσῳδίαν τιθεμένην κατ' ἀρχὰς ἢ προδιαιρουμένην, παρὰ δὲ τὴν σύνθεσιν καὶ διαίρεσιν, ὅταν αὐτὴ ποιῇ τοῦ σημαινομένου τὴν διαφοράν, † ὥσπερ ν' ἀνδρῶν διαιρουμένων ἀπὸ τῶν ρ' ἀνδρῶν ἔλειπε δῖος ἀχιλλεύς, ἡ γοῦν διαφορὰ τῶν ἀνδρῶν, ἢ διαιρουμένου ἀπὸ τῶν ρ' ἐστί. παρὰ δὲ τὸ σχῆμα τῆς λέξεως, ὁπόταν ἕτερον τῷ ὄντι σημαίνει, ἕτερον δὲ διὰ τὸ εἶδος καὶ τὸ σχῆμα. δοκεῖ δὲ οἷον τὸ ἀκούω. ἔστι μὲν τοῦ πάσχειν δόξης ἂν τοῦ ποιεῖν διὰ τὴν προφοράν, ὅπερ ἐστὶ τὸ σχῆμα παραπλήσια κρατεῖσθαι τοῖς τοῦ ποιεῖν τῷ τρέχω καὶ νοῶ. ἑλκύσει γοῦν ἂν ὁ σοφιστικὸς πρὸς ἑκάτερον. πρὸς μὲν τὸ πάσχειν, ὅτι ἐστί. πρὸς δὲ τὸ ποιεῖν ὅτι φαίνεται. τούτους δ' ἐξαριθμημένους τοὺς τρόπους ἐφεξῆς δείκνυσιν, ὅτι μηδεὶς ἐστὶν ὃν παραλέλειπε, μηδὲ οἷόν τέ ἐστι τῶν παρὰ τὴν λέξιν τι σοφισμάτων, ἔξω πεσεῖν τῶν εἰρημένων. ὁ δὲ λόγος δι' οὗ ταῦτα δείκνυσιν ἐστὶν οὗτος. τούτου δὲ πίστις ἥτε διὰ τῆς ἐπαγωγῆς καὶ συλλογισμός, ἄντε ληφθῇ τις ἕτερος. καὶ ὅτι τοσαυταχῶς ἂν τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις μὴ ταυτὸν μέν τοι δηλώσαιμεν. τὸ μὲν οὖν τῆς ἐπαγωγῆς, γνώριμον, εἰ γὰρ καθ' ἕκαστον εἰπόντι καὶ λαβόντι τῶν παρὰ τὴν λέξιν σοφισμάτων, φαίνοιτο μὴτ' ἐμπίπτειν ἔξω τῶν εἰρημένων τρόπων, δῆλον ἤδη ταύτῃ γε ὅτι μηδεὶς παραλέλειπται τρόπος, τὸ δ' ἐφεξῆς παντάπασιν ἀσαφές ἐστι. τί ποτε βούλεται λέγειν ἐν τοῖς, καὶ συλλογισμόν, ἄντε ληφθῇ τις ἕτερος * τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις οὐ ταὐτὰ δηλώσαιμεν, οὐδέ γε ὅπως ἂν ἕτερον τινὰ λάβοιμεν συλλογισμὸς εἴρηται, τὸ δὲ καὶ ὅτι τοσαυταχῶς ἂν τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις οὐ ταὐτὰ δηλώσαιμεν, συλλογισμοῦ συμπεράσματι μᾶλλον ἔοικεν, ἢ συλλογισμῷ. σύνηθες δὲ τὸ τοιοῦτον τάχος τῷ φιλοσόφῳ, καὶ καθάπερ ὑπὲρ σημείων ἐκφέρειν τὰ πολλὰ, καὶ διὰ τὸ πρὸς τοὺς ἀκηκοότας ἤδη γράφεσθαι. τῶν οὖν ἐξηγησαμένων αὐτὸν, οἱ μὲν οὐδ' ἐπεχείρησαν ταῦτ' ἀκριβῶσαι τὸν προσήκοντα τρόπον. οἱ δ' οὐκ ἔτυχον. ἡμεῖς δὲ πειραθῶμεν, οὐκ Ἀριστοτέλους ἕνεκεν, οὐδ' ὡς τῷ λόγῳ βοήθειαν τινα πορίζοντες, ἀλλ' ἡμῶν αὐτῶν. φιλοσόφου γὰρ οὐ μόνον τὰς προτάσεις λαβόντα συλλογίσασθαι, καθάπερ τοῖς πλείστοις, ἀλλὰ καὶ τοῦ συμπεράσματος κειμένου, τὰς προτάσεις κατασκευάσαι. ἐπεὶ δὲ δεῖξαι πρόκειται, τοσαυταχῶς γίνεσθαι τὰ παρὰ τὴν λέξιν σοφίσματα, ὁσαχῶς Ἀριστοτέλης ἔφη, τὰ παρὰ τὸ διττόν, δῆλον ὡς δύο δεικτέον ἡμῖν, ἓν μὲν ὅτι πάντα τὰ παρὰ τὴν λέξιν, παρὰ τὸ διττόν ἐστιν, ἕτερον δ' ὅτι παρὰ τὸ διττὸν τοσαῦτα. δῆλον δ' ἐκεῖνό γε πᾶσιν, ὅτι πάντα τὰ παρὰ τὴν λέξιν σοφίσματα, παρὰ κακίαν αὐτῆς ἀνάγκη συμβαίνειν. ταύτης γὰρ ὥσπερ ἀρχῆς ἐχόμενοι καὶ ἐξαπατῶσιν οἱ σοφισταὶ τοὺς ἀπειροτέρους ἐν τούτοις, καὶ μὴ συνορῶντας τὸ κίβδηλον. εἰ δὴ βουλοίμεθα καλῶς λαβεῖν παρὰ τὴν λέξιν, συμβαίνει σοφίσματα ληπτέον πόσαι ποτ' εἰσὶν, ὃ ἂν συνοφθείη τῆς ἀρετῆς ληφθείσης εἴπερ ἐστὶ μία. εἴτε πλείους, ἁπασῶν. ἁμαρτία γοῦν τῆς ἀρετῆς ἔοικεν εἶναι, καὶ ταύτης ὀρθῶς ληφθείσης, εὐθὺς κἀκείνην γνωρίζεσθαι. ἐπεὶ δὲ καθάπερ ἑτέροις ἀποδέδεικται λόγοις τὸ εὖ τε καὶ ἡ ἀρετὴ ἐν ἐκείνῳ πρὸς ὃ πέφυκεν ἢ γέγονεν, ἀνθρώπου μὲν τὸ ζῆν, μαχαίρας δὲ τὸ τέμνειν, ληπτέον ἂν εἴη πρὸς τό τι πέφυκεν ἢ γέγονεν ἡ λέξις. φαίνεται δὲ πρὸς ἓν, τὸ σημαίνειν. δῆλον οὖν ὅτι καὶ εὖ καὶ κακῶς ἐν τούτῳ, δῆλον δὲ ὅτι καὶ μόνη τῆς ἀρετῆς αὕτη κατ' αὐτὴν τὴν λέξιν, αἱ δ' ἄλλαι κατὰ συμβεβηκὸς καὶ ἔξωθεν, καὶ οὐ τοῦ πράγματος, οἷον εὐαρμοστία καὶ εὐγραμματία. τούτων γὰρ εἰ καὶ φαίνεται τισὶν εὖ, ἀλλ' οὐ κατὰ τὸ πρᾶγμα. ἀλλ' ὥσπερ εἰ ξίφος ἐλεφαντόκωπον εἴη, ἢ ὀφθαλμὸς ὑπογεγραμμένος, καὶ γοῦν τούτοις ταῦτα ἔξωθεν, τὰ δὲ κατ' αὐτὰ ἐν τῷ τέμνειν τε καὶ ὁρᾶν ἤδη ταύτην ἀρετὴν ἑκάστου τυγχάνειν, εἶθ' ὡς λέγεται καθ' ἣν ἕδραν ἔχειν πρὸς ὃ πέφυκεν, ἢ γέγονεν. δῆλον ὡς καὶ τὸν ἀριθμὸν τῆς ἀρετῆς ἐντεῦθεν αὐτῆς ὁ πόσος ἐστὶν, εἰ μὲν γοῦν πρὸς πολλὰς, πλείους, εἰ δὲ πρὸς ἓν, μία. φαίνεταί γε μὴν ἡ λέξις πρὸς ἓν τὸ σημαίνειν, εἴπερ τὸ καλῶς πρὸς τὸ μὴ σημαίνειν, ἢ μὴ εὖ σημαίνειν καί τοι ἴσως δεῖται σκέψεως, εἰ θετέον εἶναι λέξιν ἐπὶ τῆς μὴ σημαινούσης. οὐδὲ γὰρ αὐλητὴς ὁ μὴ πεφυκὼς αὐλεῖν ὅλως. οὐκοῦν οὐδὲ κακὸς αὐλητὴς, οὐδὲ λέξεως ἄρα κακία τὸ μὴ σημαίνειν. τοῦτο δὲ εὐθὺς καὶ σημεῖον τοῦ μόνην τὴν ὑφ' ἡμᾶς, τούτων δὲ λεγομένων ἀρετὴν εἶναι τῆς λέξεως κατ' αὐτήν, ἐν ᾧ γὰρ ἑκάστῳ τὸ εἶναι ἐν τούτῳ καὶ ἡ ἀρετή, ἡ δὲ λέξις, ἐν τῷ σημαίνειν, τούτου γέ τοι διαφθαρέντος, οὐδὲ λέξις, οὐκοῦν ἐν τούτῳ καὶ ἡ ἀρετή, διὸ καὶ μόνη συναποβάλλεται. αἱ δ' ἄλλαι διὰ τὸ μὴ κατ' αὐτὸ τὸ πρᾶγμα εἶναι οὐδὲν κωλύονται. καὶ περὶ τὴν μὴ σημαίνουσαν ὑπάρξειν, οἷον ἡ εὐαρμοστία καὶ ἡ εὐγραμματία κρείττω γοῦν δια ταῦτα καὶ τῶν βαρβαρικῶν διαλέκτων ἑτέραν ἑτέρας φαμὲν, οἷον τὴν περσίδα τῆς αἰθιοπικῆς, καί τοι μὴ σημαινούσας ἡμῖν. τὸ δ' αἴτιον ὅτι φωνῆς μᾶλλον ἴσως ἢ λέξεως. ἀλλ' ὅπως καὶ δοκεῖ τούτων κἀκεῖνα τὸ μὴ σημαίνειν καὶ πλανᾶται τις διὰ τὴν ὁμοιότητα καὶ τῶν καλεῖσθαι. ἀλλ' ἐκεῖνο δὲ δῆλον, ὡς οὐδ' ἐναντία ταῦτα κακίαν σόφισμα συμβαίνει, τίς γοῦν ἂν ὁμολογήσειεν, ἢ θείη τις πρὸς ἄσημον καὶ σαφῆ λέξιν. λείπεται δὴ διὰ τὸ εὖ σημαίνειν. τοῦτο δὲ ὅτι διττῶς. ἐν τούτῳ γὰρ ὑπάρχει μόνη τῇ λέξει, σημαίνειν μέν τι, μὴ εὖ δὲ σημαίνειν. τὸ γὰρ κύων ὄνομα σημαίνει μέν τι, οὔπω δὲ τὸ δεῖ τι, οὐδὲ ἀφορισμένον ὅπερ ἦν,

τὸ εὐληπτον

† πλείω σημαίνεται.

† ὥσπερ πεντήκοντα ἀνδρῶν, διαιρουμένου ἀπὸ τῶν ἑκατὸν λίπε δῖος ἀχιλλεύς.

τὸ εὔληπτον δὲ κἀκεῖνο λέγεται καλῶς ὑπὸ πλάτωνος, ὅτι πάντα ὅσα φθαρτὰ τῇ σφετέρᾳ κακίᾳ φθείρεται, δὲ καὶ τούτων τὴν λέξιν. ἄγει γὰρ πρότερόν τινα εἰς ἀσάφειαν, ἀλλ' οὐχὶ ἁπλῶς ὥσπερ τὰ μηδὲν σημαίνοντα. ἡ δ' ἀσάφεια καὶ πρόσθεν ἐλέγετο, διαφορά τις εἶναι παντελὴς τῆς λέξεως. ὥσπερ πᾶν καὶ διαιρετὸν μόνη κακία τὸ διττὸν χωρὶς, εἰ μή τι οἴεται κἀκεῖνα κακίας. οἷον ἔνδειαν, ἢ μακρολογίαν ἢ περιττολογίαν. λανθάνειν δὲ τοῦτο νομίζω ἀπατώμενος, καὶ μὴ συνιεὶς τούτων οὐδὲν ἁπλῶς κακὸν τῆς λέξεως, εἰ μὴ τὴν ἀσάφειαν, εἰ τὸ διττὸν ἐργάζοιτο, εἰ δὲ μόνη κακία λέξεως αὕτη καὶ καλῶς τὰ πρόσθεν εἴρηται. πάντα δὲ τὰ παρὰ τὰ σοφίσματα παρὰ τὴν κακίαν αὐτὴν γίγνεται. πάντα τὰ παρὰ τὴν λέξιν ἔσται παρὰ τὸ διττόν. λεκτέον δὲ τὸ μετὰ τοῦτ' ἂν εἴη. διότι τὸ παρὰ τὸ διττὸν τοσαυταχῶς. ὅσα χωρὶς Ἀριστοτέλης φασὶ συνίσταται. εἰ δὲ καὶ τοῦτο μέλλει καλῶς εὑρεθήσεσθαι, ληπτέον πρότερον ὅτι ποτέ ἐστι λόγος τε καὶ ἐκ λόγων. λόγοι γὰρ καὶ αἱ προτάσεις, τούτων ἑνὶ ἢ πᾶσι διττὸν ζητοῦμεν. ἔσται δὴ λόγος ὡς πρὸς τὸ παρὸν ἀρκούντως εἰπεῖν σύνθεσις ὀνομάτων. καλῶ δὲ ὀνόματα κἂν καὶ τὰ ῥήματα, καὶ ὅλως τι σημαίνει διὰ τὸ γνωριμώτερα, ἀνάγκη τὸ διττὸν ἢ ἔν τινι τούτων εἶναι τῶν ὀνομάτων, ἢ ἐν αὐτῷ τῷ λόγῳ. τρίτον γὰρ οὐδὲν ἔχομεν ὅπως συσταίη, ὁπόταν ὥσπερ οὐδ' ἂν τύχει παρ' ἕκαστα τῶν λίθων, ἢ τὸ συγκείμενον καὶ τοῦτο, ἢ ἐνεργείᾳ, ἢ δυνάμει, ἢ φαντασίᾳ. παρὰ ταῦτα γὰρ οὐδὲν ἕτερόν τις εὕροι ὑπάρχον, ἢ λεγόμενον, καθάπερ ἐν ἄλλαις ἀποδέδεικται. πάντα δὲ ταῦτα συλλαβόντων ἔχουσι οἱ εἰρημένοι τρόποι. ἐνεργείᾳ μὲν γὰρ τὸ διττὸν ἔχουσι παρά τε τὴν ὁμωνυμίαν, καὶ τὴν ἀμφιβολίαν, καὶ ὀνόματι μὲν ὁ παρὰ τὴν ὁμωνυμίαν, ἐν λόγῳ δὲ ὁ παρὰ τὴν ἀμφιβολίαν. ἐνεργείᾳ δὲ ὅτι τῷ ὄντι δύο σημαίνουσι. δυνάμει δ' ὁπότε τῇ προσῳδίᾳ γιγνόμενοι διττὸς καὶ παρὰ τὴν σύνθεσιν καὶ διαίρεσιν. οὗτοι γὰρ οὔτε σημαίνουσι πλείω, ἀλλὰ πάντως ἕν. διά τε τὸ ἑκάτερον ἐνδέχεσθαι διττοὶ λέγονται. διὸ καὶ δυνάμει φαμὲν αὐτούς, τοιοῦτον γὰρ τὸ δυνάμει, οἷον τοῦτο αὖ πάλιν, ὥσπερ καὶ πρόσθεν διῄρητο, ἢ ἐν ὀνόμασιν, ἢ ἐν λόγῳ. ἐν μὲν οὖν ὀνόμασιν ἡ προσῳδία ποιεῖ τὸ διττόν. αὕτη γὰρ ἐφ' ἑκάτερον ἕλκει τοὔνομα, ὥσπερ ἐν τῷ ὄρος ἑστηκὼς ἡ δασεῖα κατ' ἀρχὰς τεθεῖσα, ἢ μή. ἐν δὲ λόγῳ, διότι σύνθεσις, καὶ αἵρεσις δὲ τὸ ποιεῖν, δύναται δὲ κἂν τοῖς συνθέτοις τῶν ὀνομάτων αὕτη διὰ τὸ προστεθεικέναι λόγῳ, καθάπερ ἐν τῷ νεάπολις, καὶ καλὸς κἀγαθός. μεταβάλλοι δ' αὐτὴ τῶν ἁπλῶν. ἀλλ' οὐκ εἰς ἕτερον ὄνομα. τοῦτο γὰρ ἡ προσῳδία μόνη ποιεῖ. ἀλλ' εἰς λόγον, ὥσπερ τὸ αὐλητρὶς δηλονότι καὶ τὸν λόγον συντεθείη ποτ' ἂν εἰς ὄνομα, ὥσπερ τὸ προκείμενον. δόξει δ' οὐδὲν ἄτοπον ἴσως τὸ φάσκειν διὰ τὴν προσῳδίαν τε καὶ τὴν σύνθεσιν συμβαίνειν τὰ σοφίσματα, εἴπερ ταῦτα μὴ διὰ τὸ διττόν, καθάπερ ἐλέγετο ταῦτα πρόσθεν, εἰ δὲ προσῳδία τε καὶ τὰ ὁμογενῆ καὶ τῶν δυνάμει διττῶν ἐξαιρεῖ τὸ διττόν, ποιεῖ γὰρ ἤδη ταῦτα, θάτερον σημαίνειν καὶ λέγεται ἀληθῶς συμβαίνειν οὐδὲν ἧττον τὰ σοφίσματα διὰ ταῦτα, τῷ γὰρ τὸν λόγον ἐνδέχεσθαι διὰ τούτων τὸ διττὸν λαβόντων θάτερον κατ' ἀρχὰς οἱ σοφισταί, θάτερον συνάγουσι, μεταβάλλοντες μὲν διὰ τούτων τὸν λόγον, πάντως γοῦν οὐκ ἂν ἄλλως τὸ σόφισμα συμβαίη, συλλογιζόμενοι δέ, ὡς ταὐτὸ λαμβάνοντες ὥσπερ ἔν τι λογικὸν ὄνομα καὶ ἴδιον ἀνθρώπου τὸ λογικόν, ἆρα οὖν ἴδιον ἀνθρώπου καὶ εἰ ὄρος ἐνταῦθα εἱστήκει ὁ τὸ χωρίον. ὅρος δ' ἐνταῦθα οὐκ ἕστηκε, καὶ λέπτιμεν ἂν οὐδένα τὸ κίβδηλον αὐτὰρ οὐκ ὀκνοῦσιν οἱ σοφισταὶ πανταχῆ σμικρὸν φροντίζειν τοῦ εὐλόγου. ἐπεὶ κἂν τοῖς ἐνεργείᾳ διττοῖς οὗτοι γε ταὐτὸν τοῦτο ἕτερον ποιοῦσι. λαβόντες γὰρ ἕτεροι συλλογίζονται. ἀλλ' ἐκεῖ μέν, ἀφανέστερον ὅτι κατ' ἐκεῖ σημαίνει ἂν ὁ λόγος ὁμολογηθείη. ἐνταῦθα δὲ πρόδηλος διὸ καὶ τοῖς αὐτοῦ ὀνόμασι καὶ λόγοις Ἀριστοτέλης ἔφη. οἱ μὲν γάρ εἰσιν οἱ τὸ εἶδος σοφισταὶ βιάζονται. ἐπεὶ δὲ ἔχομεν τὸ ἐνεργείᾳ τε καὶ δυνάμει, λείπεται φαντασίᾳ. τοῦτο δέ ἐστι τὸ παρὰ τὸ σχῆμα τῆς λέξεως, καθάπερ ἐλέγετο ἔμπροσθεν φάναι. τί γὰρ ἄντι καὶ ὄνομα διττὸν οὐχ οὕτως ἔχον, καὶ ὁ λόγος ὁμοίως, καὶ οὐ τοσοῦτον καθ' ἕκαστον τῶν προειρημένων τὰ παραδείγματα λάβοι τις ἄν, ἔκ τε τῶν εὐδήμου κἀξ ἄλλων. ἐπεὶ δ' οὖν ἔχομεν πάντας κατειλεγμένους τοὺς τρόπους ἂν γένοιτό τι διττόν, ἔχομεν πάντα τὰ παρὰ τὴν λέξιν σοφίσματα. ταῦτα γὰρ ἦν, ἢ παρὰ τὸ διττόν. ἐχόμενον δὲ καὶ τὸ τε τοσαυταχῶς ἂν τοῖς ὀνόμασι καὶ λόγοις οὐ ταὐτὸν δηλώσαιμεν, ὅτι ἢ ἐνεργείᾳ, ἢ δυνάμει, ἢ φαντασίᾳ. δῆλον δ' ὅτι καὶ συλλογισμοῦ τρόπον. ὁποῖον τις ἂν προσέλοιτο δυνατὸν ποιεῖν, ἅπαξ γε τὴν διαίρεσιν ἔχοντα καὶ ἐξ εὐθείας καὶ εἰς τὸ δυνατὸν ἅπαντα τὴν διαίρεσιν ἔχοντα, καὶ ἐξ εὐθείας, καὶ εἰς τὸ δυνατὸν ἐπάγοντες. εἰ γοῦν τὸ δυνατὸν ἀλλ' ἔσται οὔτ' ἐν νοήματι οὔτ' ἐν λόγῳ. οὔτ' ἐνεργείᾳ οὔτε δυνάμει, οὔτε φαντασίᾳ. παρὰ ταῦτα δ' οὐδὲν ὁ λόγος ἐδείκνυσε, κατ' αὐτὸ μὲν ἀφωρίσθω τὸν τρόπον τοῦτον. ὅτι δ' οὐ κατ' αὐτοὶ τὴν διαίρεσιν εὑρήκαμεν, οὐ Ἀριστοτέλης χαριζόμεθα νῦν. ἀλλὰ περὶ ταῦτα ἅπαντα τὴν μέθοδον γέγραπται δῆλον, τὸ μὲν γὰρ ἢ ἐν ὀνόματι δεῖν, ἢ ἐν λόγῳ τὸ διττὸν εἶναι σαφῶς αὐτοὺς εἴρηκεν ἐν οἷς φησίν, ὅτι τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις τὸ ἐνεργείᾳ, ἢ δυνάμει, ἢ φαντασίᾳ γνώριμον ἐκ τῆς τάξεως, γέγραπται γοῦν ἀφωρισμένα καθ' ἕκαστον εἶδος ἢ τὰ ὁμογενῆ, καὶ πρῶτα μὲν τὰ ἐνεργείᾳ, δεύτερον δὲ τὰ δυνάμει, τρίτον δὲ τὰ φαντασίᾳ καθάπερ δίκαιον, ἢ διὰ δή ποτ' οὐ συγκέχυται ταῦτα. ἀλλ' ὡς γελοῖον ἴσως καὶ τὸ τῶν τοιούτων ἑτέρα πίστιν πειρᾶσθαι φέρειν, μὴ τὴν ἐκ τοῦ πράγματος, εἰ γὰρ οὕτως ἔχει καθάπερ ἡ τέχνη φασὶ δηλονότι καὶ γέγονε κατ' αὐτὴν ὥσπερ ἡ ἰατρική, τομήν τινα οὐκ ἂν τύχη οὐδὲ τ' αὐτόματα ἐργάσαιτο. ταῦτα μὲν οὖν ὑπὲρ τούτων ἱκανὰ πρὸς τὸ παρόν ἐστιν. εἴρηται τινὰ καὶ τοῖς στωϊκοῖς περὶ τὸν τοῦ μέρους δίκαιον ἐπελθόντας ἰδεῖν εἴ τις ἔξω πίπτει τρόπος τῶν εἰρημένων. εἴη γὰρ ἐπαγωγὴ τίς αὕτη πίστις, καὶ δίκαιον ἄλλως μὴ δὲ μὴ δόξαν ἀνδρῶν εὐδοκίμων πάρεργον τίθεται, τὸν μὲν οὖν τῆς ἀμφιβολίας ὅρον, εἰ καὶ πρὸς πολλὰ τῶν ἡμετέρων μάχεσθαι δοκεῖ, τό γε νῦν θάτερον ἑτέρας γὰρ καὶ ὑπὲρ τούτων νοσεῖν σκοπεῖν πράγματα, τὰς δὲ διαφορὰς τῶν λεγομένων ἀμφιβολιῶν αὐτὰς ληπτέον. εἰσίν γε πρὸς τῶν χαριεστέρων λεγομένων τὸν ἀριθμὸν η'. μίαν μὲν ἣν κοινὴν ὀνομάζουσι τοῦ τε εἰρημένου καὶ τοῦ διαιρετοῦ, οἷα ἐστὶν ἡ αὐλητρὶς ὀνόματος καὶ τοῦ εἰρημένου. δευτέραν δέ, παρὰ τὴν ἐν τοῖς ἁπλῶς οἷον ἀνδρεῖος, ἢ γὰρ χιτών, ἢ ἄνθρωπος. τρίτην δὲ παρὰ τὴν ἐν τοῖς συνθέτοις ὁμωνυμίαν, οἷον ἄνθρωπός ἐστιν, ἀμφίβολος γὰρ ὁ λόγος, εἴτε τὴν

οὐσίαν, εἴτε τὴν πρόσθεσιν ἐπισημαίνει. τέταρτον δέ ἐστι, παρὰ τὴν ἔλλειψιν, ὅ ἐστιν ὡς σὺν καὶ ὡς ἐλλείπει τὸ διαφέρον, οἷον διαπότου ἢ πατρός. περιττὸν γὰρ παρὰ τὸν πλεονασμὸν ὥσπερ ἡ τοιαύτη ἀπαγορεύουσιν αὐτῷ μὴ πλεῖν, τὸ γὰρ μὴ προσκείμενον ἀμφίδοξον ποιεῖ τὸ πᾶν, εἴγε τὸ πλεῖν ἀπαγορεύουσιν, εἴτε τὸ μὴ πλεῖν. ἕκτην φασὶν εἶναι τὴν μηδὲν σαφοῦσαν τι μετά τινος ἄσημον μόριον τέτακται, ὡς ἐν τῷ καὶ νῦν, καὶ μὴ περιέλασε τὸ γοῦν στοιχεῖον ἂν γένοιτο διαζευκτικόν. ἑβδόμη δέ ἐστιν, ἡ μὴ δηλοῦσα τι μετά τινος τέτακται σημαντικὸν μόριον, ὡς ἐν τῷ πεντηκοντ' ἀνδρῶν ρ̄ λείπεται. ὀγδόη μὴ δηλονότι ἐπί τι ἀναφέρεται, ὡς ἐν τῷ δίων, θέων, εὕρων, ἄδηλος γάρ ἐστιν εἴτε ἐπὶ τὴν ἀμφοτέρων ὕπαρξιν ἀναφέρεται, εἴτε ἐπὶ τοιούτων, οἷον ὁ δίων θέων ἐστὶν, ἢ πάλιν. οἱ μὲν δὴ τρόποι πρὸς τῶν χαριεστέρων οὗτοι κατηρίθμηνται. δῆλον γε ὡς τις μὴ παρέργως τῶν ἐμπροσθεν ἤκουσεν, ὅτι πάντες πίπτουσιν εἰς τοὺς κατειλεγμένους ὑφ' ἡμᾶς τρόπους, τὸ δ' ἀμέθοδόν τε καὶ ἄτεχνον, πρόδηλον. οὔτε γὰρ ἐκ τῶν εἰρημένων ἀπόδειξιν τις λάβοι τοῦ μηδένα καθ' ἕνα τρόπον ἕτερον ἀμφίβολον ὄντι δύνασθαι συστῆναι, τότε κἂν τοῖς πεπλεγμένοις ὁμωνυμίαν φάσκειν συμβαίνει παντελῶς οὐδ' ἀκουόντων ἐστὶν ὀνομάτων. ἔστι δέ πως οὐκ εὔηθες ταῖς γενικαῖς διαφοραῖς δίχα καταριθμεῖσθαι, καθάπερ ἤδη τῶν περὶ τὴν διαίρεσιν ποιοῦσιν ἀσήμαντον μόριον σημαῖνον διαιρούμενοι. λάβοι γὰρ οὕτως γε πλείους τὰς ἰδικὰς διαφοράς, ἔτι δ' ἂν τοῦτον τὸν τρόπον ἧς καὶ τῆς ὁμωνυμίας, ποιήσειεν πλείω τὰς αἰτίας ἀναλεγομένας διαφοράς, ὅτι αὐτῶν παρὰ τὸ ἀπὸ τύχης, αἱ δὲ, παρὰ τὴν ἀναλογίαν, ἢ ὁμοιότητα, ἢ ἄλλον τινὰ τρόπον συνέστατο, καὶ δὴ καὶ τῆς ἐν λόγῳ ὁμωνυμίας ἐπ' αὐτῶν λεγομένης πλείους οἱ τρόποι μὲν τῇ παραθέσει τῶν ὁμοίων πτώσεων γίγνονται, ὡς ἐν τῷ εἴη μέλλει τὸν Σωκράτην νικῆσαι. οἱ δ' ἄλλοι τρόποι ταῦτα μὲν ἐλάττω, ἐκεῖνο δ' ἄξιον ἀπορίας πώποτε περὶ τὰς φαντασίας διττὰ πολὺ δὴ μᾶλλον ἔτι πῶς τὰ τῆς προσῳδίας, οἱ γὰρ τιθέμενοι διττοὺς τοὺς παρὰ τὴν θέσιν, πῶς οὐχὶ καὶ παρὰ τὴν προσῳδίαν, ὥσπερ ἐκείνη τῇ διαλείψει τοῦ ὅλου, καὶ τῇ μὲν σιωπῇ δύναται πρὸς τὸ διττὸν ἕλκεσθαι, οὕτω δὴ καὶ τὸ ὄνομα τῇ προσῳδίᾳ καθάπερ ἔξωθεν ὢν ὁ κενὸς χρόνος τοῦ λόγου, καὶ οὐ μόριον αὐτοῦ διττὸν ποιεῖν αὐτὸν πέφυκεν, οὕτω δὲ καὶ ἡ προσῳδία, ἔτι δὲ καὶ οἱ σοφισταὶ καθάπερ ἐκείνῳ χρῶνται πρὸς τὰς ἔριδας, καὶ τούτῳ. καὶ μὴν αὐτὸς ἄν τις ἐφ' ἑαυτοῦ σκοπούμενος ὥσπερ ἂν παρὰ τὴν σύνθεσιν ἢ διαίρεσιν ἀμφισβητοῦσιν, οὕτω δὲ καὶ παρὰ τὴν προσῳδίαν. δῆλον δὲ ἐπὶ τῶν γεγραμμένων λόγων θεὶς μὴ πρόσκειται διακρίνειν τὰ σημεῖα, δεῖται γοῦν ὥσπερ ἐκείνων εἰς τὴν διάκρισιν, οὕτω δὲ καὶ τῆς προσῳδίας, οὐκ ἀεί γε μὴ καὶ δι' αὐτὴν ἐγίγνετο διττὸς ὁ λόγος.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

ΕΠΕΙΔΗ καὶ σύ με πολλάκις ὦ Ἱέρων φίλτατε, καὶ ἄλλοι τινὲς νῦν ἑταῖροι παρακαλοῦσι θεραπευτικὴν μέθοδον αὐτοῖς γράψαι, ἐγὼ δὲ μάλιστα μὲν καὶ ὑμῖν χαρίζεσθαι βουλόμενος, οὐχ ἥκιστα δὲ καὶ τοὺς μεθ' ἡμᾶς ἀνθρώπους ὠφελῆσαι καθ' ὅσον οἷός τε εἰμὶ προαιρούμενος, ὅμως ὤκνουν τε καὶ ἀνεβαλόμην ἑκάστοτε διὰ πολλὰς αἰτίας, ἃς ἄμεινον εἶναί μοι δοκεῖ καὶ νῦν αὐτὰς διελθεῖν, πρὶν ἄρξασθαι τῆς πραγματείας. ἔχουσι γάρ τι χρήσιμον εἰς τὰ μέλλοντα ῥηθήσεσθαι. κεφάλαιον δ' οὖν ἁπασῶν αὐτῶν ἐστι τὸ κινδυνεῦσαι μάτην γράψαι, μηδενὸς τῶν νῦν ἀνθρώπων, ὡς ἔπος εἰπεῖν, ἀλήθειαν σπουδάζοντος, ἀλλὰ χρήματά τε καὶ δυνάμεις πολιτικὰς καὶ ἀπλήστους ἡδονῶν ἀπολαύσεις ἐζηλωκότων, οὐ τοσοῦτον ὡς μαίνεσθαι νομίζειν εἴ τις ἄρα καὶ γένοιτο σοφίαν ἀσκῶν ἡντιναοῦν. αὐτὴν μὲν γὰρ τὴν πρώτην καὶ ὄντως σοφίαν ἐπιστήμην οὖσαν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, οὐδ' εἶναι νομίζουσι τὸ παράπαν. ἰατρικὴν δὲ καὶ γεωμετρίαν, καὶ ῥητορικήν, ἀριθμητικήν τε καὶ μουσικήν, ἁπάσας τε τὰς τοιαύτας τέχνας, εἶναι μὲν ὑπολαμβάνουσιν, οὐ μὴν ἐπί γε τὸ τέλος αὐτῶν ἰέναι δικαιοῦσιν. ἀλλ' ἔμοι γε καὶ τῶν πάνυ δοκούντων με φιλεῖν ἔνιοι, πολλάκις ἐπετίμησαν, ὡς πέρα τοῦ μετρίου τὴν ἀλήθειαν σπουδάζοντι. καὶ ὡς οὔθ' ἑαυτῷ μέλλοντι χρησίμῳ γενήσεσθαι παρ' ὅλον τὸν βίον, οὔτε ἐκείνοις, εἰ μὴ, σχολάσαιμι μέν τοι τῆς τοσαύτης περὶ τὴν ἀλήθειαν σπουδῆς, προσαγορεύοιμι δὲ περιερχόμενος ἕωθεν, εἰς ἑσπέραν τε συνδειπνοίμι τοῖς δυναμένοις. ἐκ τούτων γὰρ καὶ φιλεῖσθαι καὶ προσάγεσθαι, καὶ τοὺς τεχνίτας πιστεύεσθαι, οὐκ ἐκ τῆς οἰκείας παρασκευῆς. οὐδὲ γοῦν εἶναι τοὺς κρίνοντας ἐκείνην, ἁπάντων δι' ὅλης ἡμέρας ἀσχολουμένων, ἕωθεν μὲν ἐν προσαγορεύσεσι κοινῇ, μετὰ ταῦτα δ' ἤδη σχιζομένων, ἐνίων μὲν τὴν ἀγορὰν καὶ τὰς δίκας, οὐ σμικροῦ τινος ἔθνους, ἐνίων δ' αὖ τοὺς ὀρχηστάς τε καὶ τοὺς ἡνιόχους, ἑτέρου πλείονος. οὐκ ὀλίγου δέ τινος ἄλλου τοῖς κύβοις, ἢ τισὶν ἔρωσιν, ἢ λουτροῖς, ἢ μέθαις, ἢ κώμοις σχολάζοντος, ἢ τισὶν ἄλλαις ἡδοναῖς τοῦ σώματος, οὐ ἑσπέραν δὲ κοινῇ πάντων αὖθις συναθροιζομένων εἰς τὰ συμπόσια. κἄπειδὰν ἐμπλησθῶσιν οἴνου, οὐ λύρας ἐν κύκλῳ περιφερομένης, ἢ κιθάρας, ἢ τινὸς ἄλλου τῶν μουσικῶν ὀργάνων, ὧν ἅπτεσθαι πάλαι περὶ τὰς τοιαύτας συνόδους καλὸν ἐνενόμιστο, καὶ δεινῶς αἰσχρὸν τοὐναντίον ἦν. ἀλλ' οὐδὲ λόγων τινῶν ἀνακινουμένων, οἵους ἐν τοῖς συμποσίοις συνέγραψαν ἡμῖν οἱ παλαιοὶ γινομένους, ἀλλ' οὐδ' ἄλλου τῶν καλῶν οὐδενός, ἀλλὰ προπινόντων μὲν ἀλλήλοις, ἁμιλλωμένων δὲ περὶ μεγέθους ἐκπωμάτων. ἄριστος γὰρ ἐν τούτοις, οὐχ ὁ πλείστων ἁψάμενος ὀργάνων μουσικῶν ἢ λόγων φιλοσόφων, ἀλλ' ὁ παμπόλλας καὶ μεγίστας ἐκπιὼν κύλικας. ὥστ' ἔμοι γε καὶ περὶ τὴν ἕω δοκοῦσιν ἔτι μεθύειν οἱ πολλοὶ τῶν τοιούτων. καί τινες αὐτῶν ὄζουσιν οἴνου σαφῶς οὕτως, ὡς ἄρτι προσενηνεγμένοι. ὥστ' εἰκότως ἐπειδὰν νοσεῖν ὑπάρξωνται, μετακαλοῦνται

λοῦνται τῶν ἰατρῶν οὐ τοὺς ἀρίστους, οὕς γε μηδὲ πώποτε κρῖναι προὐθυμήθησαν ὑγιαίνοντες, ἀλλὰ τοὺς συνηθεστά-
τους τε ἅμα καὶ κολακευτικωτάτους, οἳ καὶ ψυχρὸν δώσουσιν, ἣν αἰτηθῶσι, καὶ λούσουσιν, ἣν κελευσθῶσι. καὶ χιόνα
καὶ οἶνον ὀρέξουσι, καὶ πᾶν ὑπηρετήσουσι τὸ προσταττόμενον, ὥσπερ ἀνδράποδα, ἔμπαλιν ἐκείνοις τῶν ἰατρῶν
τοῖς παλαιοῖς ἀσκληπιάδαις, οἳ τῶν νοσούντων ἠξίουν ἄρχειν, ὡς στρατηγοὶ στρατιωτῶν, καὶ βασιλεῖς ὑπη-
κόων, οὐκ ἄρχεσθαι καὶ δεσπόζεσθαι καθάπερ Γέται, καὶ Τίβιοι, καὶ Φρύγες, καὶ Θρᾷκες ἀργυρώνητοι. οὐκοῦν οὐχ
ὁ κρείττων τὴν τέχνην, ἀλλ' ὁ κολακεύειν δεινότερος, ἐντιμότερος αὐτοῖς ἐστι, καὶ τούτῳ ἅπαντα βάσιμα καὶ
πόριμα, καὶ τῶν οἰκιῶν ἀνέῳγασιν αἱ θύραι τῷ τοιούτῳ, καὶ πλουτεῖ ταχέως οὗτος, καὶ πολὺ δύναται, καὶ μα-
θητὰς ἔχει τοὺς ἐκ κοιτῶνος πολλούς, ὅταν ἔξωροι γένωνται. καὶ τοῦτο κατανοήσας ὁ Θεσσαλὸς ἐκεῖνος, οὐ τὰ ἄλ-
λα μόνον ἐκολάκευε τοὺς ἐπὶ τῆς Ῥώμης πλουσίους, ἀλλὰ καὶ ἐν ἓξ μησὶν ἐπαγγειλάμενος διδάξειν τὴν τέχνην, ἑ-
τοίμως ἐλάμβανε μαθητὰς παμπόλλους. εἰ γὰρ οὔτε γεωμετρίας, οὔτε ἀστρονομίας, οὔτε διαλεκτικῆς, οὔτε μου-
σικῆς, οὔτε ἄλλου τινὸς μαθήματος τῶν καλῶν, οἱ μέλλοντες ἰατροὶ γενήσεσθαι δέονται, καθάπερ ὁ γενναιότα-
τος ἐπηγγείλατο Θεσσαλός, ἀλλ' οὐδὲ μακρᾶς ἐμπειρίας χρήζουσι καὶ συνηθείας τῶν ἔργων τῆς τέχνης, ἕτοιμον ἤ-
δη προσιέναι παντὶ γενομένῳ ῥᾳδίως ἰατρῷ. διὰ τοῦτο καὶ σκυτοτόμοι, καὶ τέκτονες, καὶ βαφεῖς, καὶ χαλκεῖς ἐ-
πιπηδῶσιν ἤδη τοῖς ἔργοις τῆς ἰατρικῆς, τὰς ἀρχαίας αὐτῶν ἀπολιπόντες τέχνας. οἱ μὲν γὰρ τὸν ῥῶπον δια-
τιθέμενοι, καὶ περὶ πρωτείων ἐρίζουσι. καὶ διὰ τοῦτο κἀγὼ γράφειν ὤκνουν θεραπευτικὴν μέθοδον, ἣν εἰσηγήσαν-
το μὲν ἄνδρες παλαιοί, τελειῶσαι δ' ἐπεχείρησαν οἱ μετ' αὐτούς. καὶ πρόσθεν μὲν ἔρις ἦν οὐ σμικρὰ νικῆσαι τῷ
πλήθει τῶν εὑρημάτων ἀλλήλους ὀριγνωμένων τῶν ἐν Κῷ καὶ Κνίδῳ. διττὸν γὰρ ἔτι τοῦτο τὸ γένος ἦν τῶν ἐπὶ τῆς
Ἀσίας ἀσκληπιαδῶν, ἐπιλιπόντος τοῦ κατὰ Ῥόδον. ἤριζον δ' αὐτοῖς τὴν ἀγαθὴν ἔριν ἐκείνην, ἣν Ἡσίοδος ἐπῄ-
νει, καὶ οἱ ἐκ τῆς Ἰταλίας ἰατροί, Φιλιστίων τε, καὶ Ἐμπεδοκλῆς, καὶ Παυσανίας, καὶ οἱ τούτων ἑταῖροι, καὶ τρεῖς
οὗτοι χοροὶ θαυμαστοὶ πρὸς ἀλλήλους ἁμιλλωμένων ἐγένοντο ἰατρῶν. πλείστους μὲν οὖν καὶ ἀρίστους χορευτάς, ὁ Κῷος
εὐτυχήσας εἶχεν. ἐγγὺς δ' ἔτι τούτῳ, καὶ ὁ ἀπὸ τῆς Κνίδου. λόγου δ' ἦν ἄξιος οὐ σμικροῦ, καὶ ὁ ἀπὸ τῆς Ἰταλίας. ἀλλ'
οὐδεὶς τούτων οὔτε ἕωθεν ἐπὶ τὰς τῶν πλουσίων ἐφοίτα θύρας προσαγορεύσων αὐτούς, οὔτ' εἰς ἑσπέραν, δειπνη-
σόμενος, ἀλλ' ὥσπερ Ἡσίοδος φησίν. Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων Πλούσιον, ὃς σπεύδει μὲν ἀρόμ-
μεναι ἠδὲ φυτεύειν, Οὕτω κἀκεῖνοι διὰ παντὸς ἤριζον ἀλλήλοις. οὐκ ἀροῦν ἢ φυτεύειν γῆν, σμικρότερα γὰρ
ταῦτα τοῦ τῶν ἀσκληπιαδῶν γένους, καὶ Ἀσκραίῳ πρέποντα ποιητῇ, ἀλλ' ἀσκεῖν καὶ αὔξειν ἀεὶ καὶ τελειοῦν πει-
ρᾶσθαι τὴν Ἀπόλλωνός τε καὶ Ἀσκληπιάδου τέχνην. νυνὶ δ' ἀπόλωλε μὲν ἡ ἀγαθὴ ἔρις, ἢ σμικρόν ἔτι καὶ ἀμυ-
δρὸν αὐτῆς ἐν ἀνθρώποις ἐστίν. ἐπικρατεῖ δ' ἡ πονηρά, καὶ ὁ ἀποτρέψων οὐδ' ὁ ἰασόμενος, ὥσπερ Ἡσίοδος.
Μηδέ σ' ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι. Αὕτη γὰρ ἡ ἔρις, ὡς ὁ θειότερος αὖ πάλιν Ἡσιόδου ποιητής,
φησίν. Ἡ δ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα, Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει. Ὑπὸ
ταύτης τῆς ἔριδος ἐκμανεὶς ὁ Θεσσαλὸς ἐκεῖνος, Ἱπποκράτει τε καὶ τοῖς ἄλλοις ἀσκληπιάδαις ἐπιτιμᾷ, καὶ κοι-
νὸν τῆς οἰκουμένης θέατρον ἐν ταῖς ἑαυτοῦ βίβλοις πληρῶν, ἐπ' ἐκείνου κρίνεται, καὶ νικᾷ, καὶ στεφανοῦται κατὰ τῶν
παλαιῶν ἁπάντων, ἀνακηρυττόμενος αὐτὸς ὑφ' ἑαυτοῦ. ταυτὶ μὲν οὖν ἔν τε τῷ περὶ τῶν κοινοτήτων ἐποίησε,
κἀν τοῖς συγκριτικοῖς. ἐν ἅπασι δὲ τοῖς ἄλλοις, ὑβρίζων οὐ παύεται. καθάπερ οἶμαι καὶ δι' ὧν ἐπέστειλε Νέρωνι,
κατ' ἀρχὰς μὲν εὐθέως γράφων αὐτοῖς ὀνόμασιν οὕτως. Παραδέδωκώς νέαν αἵρεσιν, καὶ ὡς μόνην ἀληθῆ, διὰ τὸ
τοὺς προγενεστέρους πάντας ἰατροὺς μηδὲν παραδοῦναι συμφέρον πρός τε ὑγείας συντήρησιν, καὶ νόσων ἀπαλ-
λαγήν. ἐπιπροσθήκοντι δὲ ἐν γράμμασι, πρῶτον φησίν, ὡς Ἱπποκράτης μὲν ἐπιβλαβῆ τὴν παράδοσιν πεποίηκε.
ἐτόλμησε δὲ καὶ τοῖς ἀφορισμοῖς ἀντιλέγειν, ἀσχημοσύνην ἀσχημονήσας μεγίστην, καὶ δείξας ὅτι μηδ' εἰσήχθη
πρός τινος εἰς τὴν Ἱπποκράτειον θεωρίαν, μηδ' ἀνέγνω παρὰ διδασκάλου τὰ συγγράμματα αὐτοῦ, καὶ ὅμως ὁ
τοιοῦτος, ἑαυτὸν οὐκ αἰδεῖται στεφανῶν. διό μοι δοκῶ κἀγώ, καί τοι γε οὐκ εἰθισμένος ἐξελέγχειν πικρῶς τοὺς
σκαιούς, ἐρεῖν τι πρὸς αὐτὸν ὑπὲρ τῆς τῶν παλαιῶν ὕβρεως. τί ποτ' ἄρα διαβάλλειν ὦ οὗτος τὰ χρυσᾶ διὰ τὸ παρὰ
τοῖς πολλοῖς εὐδοκιμεῖν, ἐνὸν ὑπερβάλλεσθαι τοῖς ἀληθέσιν, εἰ φιλόπονός τε τις εἴης καὶ ἀληθείας ἐραστής; τί δὲ τῇ
τῶν ἀκροατῶν ἀμαθίᾳ συμμάχῳ κέχρησαι κατὰ τῆς τῶν παλαιῶν βλασφημίας; μὴ τοὺς ὁμοτέχνους τῷ πατρί σου
κριτὰς καθίσῃς ἰατρῶν τολμηρότατε Θεσσαλέ; νικήσεις γὰρ ἐπ' αὐτοῖς, καὶ καθ' Ἱπποκράτους λέγων, καὶ κατὰ Διο-
κλέους, καὶ κατὰ Πραξαγόρου, καὶ κατὰ πάντων τῶν ἄλλων παλαιῶν, ἀλλ' ἄνδρας παλαιούς, διαλεκτικούς, ἐπιστημο-
νικούς, ἀληθές καὶ ψευδές διακρίνειν ἠσκηκότας, ἀκόλουθον καὶ μαχόμενον, ὡς χρὴ διορίζειν ἐπιστάμενους, ἀποδεικτι-
κὴν μέθοδον ἐκ παίδων μεμελετηκότας, τούτους εἰς τὸ συνέδριον εἰσάγαγε δικαστάς. ἐπὶ τούτων τόλμησον Ἱπ-
ποκράτει τι μέμψασθαι. τούτων κρινόντων, ἐπιχείρησον τῇ μιαρᾷ καὶ βαρβάρῳ σου φωνῇ, πρὸς Ἱπποκράτην
διελθεῖν. πρῶτον μὲν ὡς οὐ χρὴ φύσιν ἀνθρώπου πολυπραγμονεῖν. ἔπειτα δέ, ὡς εἰ καὶ τοῦτο συγχωρήσειέ τις,
ἀλλ' ὅτι γε κακῶς αὐτὴν ἐζήτησεν ἐκεῖνος, καὶ ψευδῶς ἀπεφήνατο σύμπαντα. τίς οὖν ἔσται κριτής; εἰ βούλει
Πλάτων. ἐπειδὴ τοῦτον γοῦν οὐκ ἐτόλμησας λοιδορεῖν. ἐγὼ μὲν γὰρ οὐδὲ τοὺς μαθητὰς αὐτοῦ φύγοιμ' ἄν, οὔτε τὸν
Σπεύσιππον, οὔτε τὸν Ξενοκράτην. τὸν Ἀριστοτέλην δὲ κἂν παρακαλέσαι μοι σε κριτὴν ὑπομεῖναι, καὶ σὺν αὐ-
τῷ Θεόφραστον, εὐξαίμην δ' ἄν σε καὶ Ζήνωνα, καὶ Χρύσιππον, ἅπαντάς τε τοὺς ἀπ' αὐτῶν ἑλέσθαι κριτάς. οὐ-
δεὶς τούτων ὦ τολμηρότατε Θεσσαλέ, τῶν Ἱπποκράτους κατέγνω περὶ φύσεως ἀνθρώπου δογμάτων, ἃ τὴν ἀρ-
χήν, οὔτ' ἀνεγνωκέναι μοι δοκεῖς, οὔτ' εἴπερ ἀνέγνως, συνιέναι. καὶ εἰ συνῆκας δέ, κρῖναι γοῦν ἀδύνατον ἦν σοι,
τραφέντι μὲν ἐν γυναικωνίτιδι παρὰ πατρὶ μοχθηρῶς ἔρια ξαίνοντι. μὴ γὰρ ἀγνοεῖσθαί μοι δόκει τὸ θαυμα-
στόν σου γένος, καὶ τὴν ἀοίδιμόν σου παιδείαν. μηδ' ὡς ἐν κωφῷ θεάτρῳ λοιδορεῖν Ἱπποκράτην τε καὶ τοὺς ἄλ-
λους παλαιούς. ἀλλὰ τίς ὤν, καὶ πόθεν, ἐκ ποίου γένους, ἐκ ποίας ἀναστροφῆς, ἐκ ποίας παιδεύσεως, ἐπίδειξον πρό-
τερον. εἶθ' οὕτως λέγε τοῦτ' αὐτό, πρῶτον μαθὼν ὦ θρασύτατε, ὅτι λέγειν οὐκ ἐφεῖται πᾶσι δημοσίᾳ, ἐν οὐδε-

μιᾶς τῶν εὐνομουμένων πόλεων, ἀλλ' εἴ τις ἐπίσημός ἐστι, καὶ γένος ἔχει καὶ ἀνατροφὴν δεῖξαι, καὶ παιδείαν ἀξίαν τοῦ δημηγορεῖν, τούτῳ συγχωροῦσιν ἀγορεύειν οἱ νόμοι. σὺ δ' οὐδὲν τούτων ἔχων ἐπιδεῖξαι, τολμᾷς ὦ γενναιότατε κατηγορεῖν Ἱπποκράτους, καὶ καθίζεις μὲν ἐν ταῖς ληρώδεσί σου βίβλοις δικαστὰς τοὺς ἕλληνας, ἀφαιρῇ δ' αὐτὸς, οὐκ ἀναμείνας ἐκείνους, καὶ στεφανοῖς σεαυτὸν, ἐνίοτε μὲν κατὰ πάντων τῶν ἰατρῶν, ἐνίοτε δὲ κατὰ πάντων ἁπλῶς ἑλλήνων. τοῦτο γάρ τοι τὸ θαυμαστόν ἐστι τόλμημα τοῦ σοφωτάτου Θεσσαλοῦ, νικῆσαι μὲν ἅπαντας ἰατροὺς, αὐτὸν ἀγωνιστὴν, αὐτὸν ἀγωνοθέτην, αὐτὸν κριτὴν γενόμενον, ἐφεξῆς δὲ καὶ τοὺς ἄλλους ἕλληνας, εἰς ἀγῶνα προσκαλέσασθαι, ῥήτορας, γεωμέτρας, γραμματικοὺς, ἀστρονόμους, φιλοσόφους, εἶτ' ἐν αὐτοῖς καταστάντα, καὶ τῇ τῶν ἐρίων ἐργασίᾳ χρησάμενον, ἀξιοῦν ἁπάντων εἶναι πρῶτον. ἰατρικὴν μὲν γὰρ ἁπασῶν τῶν τεχνῶν πρωτεύειν, ἑαυτὸν δὲ τοὺς ἰατροὺς ἅπαντας νενικηκέναι. τοῦτο μόνον ἐκ τύχης ἀληθῶς συνελογίσατο Θεσσαλός. εἰ γὰρ ἰατρικὴ μὲν ἁπασῶν ἐστι τῶν τεχνῶν ἀρίστη, πρῶτος δ' ἐν αὐτῇ Θεσσαλὸς, εἴη ἂν οὕτω γε πάντων ἀνθρώπων πρῶτος, καὶ Σωκράτους δηλονότι, καὶ Λυκούργου, καὶ τῶν ἄλλων, οὓς ὁ Πύθιος ἐπῄνεσεν, ἢ ὡς ἀγαθοὺς, ἢ ὡς σοφοὺς, ἢ ὡς μουσῶν θεράποντας, ἢ ὡς Διὸς ὑπηρέτας, ἢ ὥς ἄλλό τι θεοφιλὲς ἔχοντας. ἄγε δὴ λοιπὸν ὕμνους ᾀδόντων ἁπάντων Θεσσαλοῦ, καὶ γραφόντων ἐπινίκια μέλη, καὶ κοινὸν τῆς οἰκουμένης τὸ θέατρον γενέσθω, καὶ παρελθὼν ᾀδέτω τις ὡς ὁ παρὰ τοῖς ἰσοις τραφεὶς, ἐνίκησε μὲν Δημοσθένην καὶ Λυσίαν, καὶ τοὺς ἄλλους ῥήτορας. ἐνίκησε δὲ Πλάτωνα καὶ Σωκράτην, καὶ τοὺς ἄλλους φιλοσόφους. ἐνίκησε δὲ καὶ Λυκοῦργον καὶ Σόλωνα, καὶ τοὺς ἄλλους νομοθέτας. ἐστεφάνωται δὲ κοινῇ κατὰ πάντων ἀνθρώπων, ῥητόρων, φιλοσόφων, νομοθετῶν. εἰ γὰρ δὴ γεωμετρῶν ἔτι καὶ γραμματικῶν καὶ μουσικῶν ὀνόμασι μνημονεύοιμι μετὰ τὰς τηλικαύτας νίκας, ὑβρίζειν δόξω τὸν ἄνθρωπον. ὅπου γὰρ Λυκοῦργος, καὶ Σόλων, καὶ Πλάτων, καὶ Σωκράτης, καὶ Πυθαγόρας ἐνικήθησαν, ἦπου ἄρα καλὸν ἔτι μνημονεύειν Ἱππάρχου καὶ Ἀρχιμήδους καὶ Ἀριστοξένου καὶ Ἀριστάρχου, καί τινων ἑτέρων τοιούτων, οὐδενὸς ἀξίων, ὡς ἂν εἴποι Θεσσαλός; ἀλλὰ τίς ἡμῖν οὕτω μεγαλόφωνος ποιητὴς, ὃς ᾄσεται ταῦτα; τίνος Ὁμήρου νῦν εὐπορήσομεν ἐν ἑξαμέτρῳ τόνῳ, τὴν Θεσσάλειον ὑμνήσοντος νίκην; ἢ τίνος μελοποιοῦ κατὰ Πίνδαρον ᾄσοντος ὑψηλῶς ἐν διθυράμβοις, ὡς πάλαι τὸν Διόνυσον, οὕτως νῦν τὸν Θεσσαλόν; ἢ τούτων μὲν οὐδενὸς χρῄζομεν. Ἀρχιλόχου δέ τινος ἢ Ἱππώνακτος ἰάμβους γραφόντων, ἢ τινὸς τῶν ἀπὸ τῆς τραγικῆς σκηνῆς, ὃς ἐρεῖ πρὸς αὐτόν. Μένε ὦ ταλαίπωρε ἀτρέμας σοῖς ἐν δεμνίοις. Ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ' εἰδέναι. Ὄνειρον ὀρέσθον δ' ἰκνῇ Θεσσαλέ. Ποῖον τοῦτο τὸ θέατρον, ἐν ᾧ νικᾷς Ἱπποκράτην; τίνων οἱ κριταὶ καθεδοῦνται; τίνων οἱ ἀγωνοθετοῦντων; ἆρα βούλει πρώτου Πλάτωνος ἀναγνῶμεν τὴν ψῆφον; ἴσως γὰρ οὐκ ἀναίνῃ τοιοῦτον ἑλέσθαι κριτήν. ἀλλά τοι φησὶν οὗτος αὐτοῖς ὀνόμασι. Ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι, ἄνευ τῆς τοῦ ὅλου φύσεως; εἰ μὲν Ἱπποκράτει τῷ τῶν ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι, οὐδὲ περὶ σώματος ἄνευ τῆς μεθόδου ταύτης. καλῶς γὰρ ὦ ἑταῖρε λέγεις. χρὴ μὲν πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντας, σκοπεῖν εἰ συμφωνεῖ. φημὶ τῷ τοίνυν περὶ φύσεως σκοπεῖν. τί ποτε λέγει Ἱπποκράτης τε καὶ ὁ ἀληθὴς λόγος; ἆρ' οὐχ ὧδε δεῖ διανοεῖσθαι περὶ τῆς ὁτουοῦν φύσεως; πρῶτον μὲν εἰ ἁπλοῦν ἢ καὶ πολυειδές ἐστιν οὗ πέρι βουλευσόμεθα, αὐτοί τε εἶναι τεχνικοὶ, καὶ ἄλλους δυνατοὶ ποιεῖν. ἔπειτα δὲ ἂν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ, τίνα πρός τι πέφυκεν εἰς τὸ δρᾶν ἔχον, ἢ τίνα εἰς τὸ παθεῖν ὑπό του. ἐὰν δὲ πλείω εἴδη ἔχῃ, ταῦτα ἀριθμησάμενον ὅπερ ἐφ' ἑνὸς τοῦτο ἰδεῖν ἐφ' ἑκάστου, τὸ τί ποιεῖν αὐτὸ πέφυκεν, ἢ τὸ τί παθεῖν ὑπό του. ἤκουσας ὦ γενναιότατε Πλάτωνος ὁποίᾳ μεθόδῳ τὰ κατὰ τὴν ψυχὴν ἀξιοῦντος εὑρίσκειν, οἵᾳ περ Ἱπποκράτης τὰ κατὰ τὸ σῶμα; πότερον ἔτι βούλει πολλὰς πολλαχόθι αὐτοῦ τῶν συγγραμμάτων ἐκλέξω ῥήσεις, ἐν αἷς ζηλοῖ τὸν Ἱπποκράτην πάντων μάλιστα τῶν ἔμπροσθεν αὐτοῦ γεγονότων; ἢ τοῦτο μὲν ἐν ἑτέρᾳ πραγματείᾳ πεποιηκὼς, ἐν ᾗ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπισκέπτομαι, εἰς ἐκείνην ἀναπέμψω τὸν βουλόμενον. ἀποδέδεικται γὰρ ὡς ἐγὼ νομίζω πάνυ σαφῶς, ἡ περὶ τὰ πλεῖστα τε καὶ μέγιστα δόγματα συμφωνία τῶν ἀνδρῶν. μεταβὰς δὲ τὸν ἕτερον ἤδη σοι καλέσω χορὸν μάρτυρα, τὸν ἐκ τοῦ περιπάτου, τὰς Ἱπποκράτους ἀρχὰς τῆς φυσιολογίας τιθέμενον. ἀλλά τοι καὶ περὶ τούτου δέδεικταί μοι δι' ἑτέρων ὑπομνημάτων, ὧν ἓν μέν ἐστι, τὸ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων, ἐφεξῆς δ' ἕτερα τρία, τὰ περὶ κράσεων, εἶθ' ἑξῆς ἕτερα δύο. τὸ μὲν, περὶ τῆς ἀνωμάλου δυσκρασίας, ἐκ τῆς περὶ κράσεων ἔτι πραγματείας ὑπάρχον, ἄλλο δὲ περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος, εἶτ' ἐπὶ τούτοις, τὰ περὶ φυσικῶν δυνάμεων τρία. ταῦτ' οὖν εἴπερ ἀναγνοίη τις, ἐπιγνώσεται σαφῶς ἐξηγητὴν ὄντα τῶν περὶ φύσεως λογισμῶν Ἱπποκράτους Ἀριστοτέλη. καὶ μὲν δὴ καὶ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ὁπόσα τέ ἐστι καὶ ὁποῖα, καὶ περὶ συμπτωμάτων ὡσαύτως, ἔτι τε καὶ τῶν καθ' ἑκάτερον αἰτιῶν, Ἱπποκράτης μὲν πρῶτος ἁπάντων ὧν ἴσμεν, ὀρθῶς ὑπάρξασθαι φαίνεται. μετ' αὐτὸν δ' Ἀριστοτέλης ἐπὶ πλεῖστον ἐξηγήσατο. εἴσεται δὲ καὶ περὶ τούτων, ὁ βουληθεὶς ἀναγνῶναι τὰ καθ' ἕκαστον αὐτῶν ὑπομνήματά μοι γεγραμμένα. ὥστ' εἴπερ οἱ ἐκ τοῦ περιπάτου κριταὶ καθίσαιεν, Ἱπποκράτης μὲν οἶμαι νικήσει, Θεσσαλὸς δ' ὡς ἀναίσχυντός τε καὶ ἰταμὸς ἐκβληθήσεται. εἰ δὲ τοὺς ἀπὸ τῆς στοᾶς φιλοσόφους εἰς τὸ συνέδριον εἰσαγαγόντων ἐπιτρέψαιμεν καὶ τούτοις τὴν ψῆφον, ἐξ ὧν αὐτοὶ τίθενται δογμάτων, ἐκ τούτων Ἱπποκράτην στεφανώσουσι. τὸ γὰρ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ ξηρὸν, καὶ τὸ ὑγρὸν, Ἱπποκράτης μὲν πρῶτος εἰσηγήσατο, μετ' αὐτὸν δ' Ἀριστοτέλης ἀπέδειξεν. ἕτοιμα δ' ἤδη παραλαβόντων, οὐκ ἐφιλονείκησαν οἱ περὶ τὸν Χρύσιππον, ἀλλ' ἐκ τούτων, τὰ σύμπαντα κεκρᾶσθαι λέγουσι, καὶ ταῦτ' εἰς ἄλληλα πάσχειν καὶ δρᾶν, καὶ τεχνικὴν εἶναι τὴν φύσιν. ἅπαντά τε τἄλλα τὰ περὶ φύσεως Ἱπποκράτους δόγματα, πρεσβεύονται, πλὴν περὶ μικροῦ τινός ἐστιν αὐτοῖς ἡ διαφορὰ πρὸς Ἀριστοτέλη. λέγοντος γὰρ Ἱπποκράτους ὀρθῶς, ὡς σύμπνουν καὶ σύρρουν ἐστὶν ἅπαν τὸ σῶμα, καὶ πάντα συμπαθέα τὰ τῶν ζώων μόρια, πρεσβεύονται μὲν ἀμφότεροι τουτί. διαφέρονται δὲ ἐν τῷ τὰς μὲν ποιότητας μόνας, τὸν Ἀριστοτέλη δι' ἀλλήλων ἰέναι καὶ κεράννυσθαι πάντη, τοὺς δ' ἀπὸ τῆς στοᾶς, οὐ ταύτας μόνας, ἀλλὰ καὶ τὰς οὐσίας αὐτὰς ὑπολαμβάνειν. ὅτι δὲ τοῦτο διορίζεσθαι

ρίζεσθαι περὶ τὸν ἰατρὸν, καὶ ὡς ἀρκεῖ μόνον ὁμολογηθῆναι εἰς τὰ τῆς ἰατρικῆς ἔργα τὰ πρὸς ἀμφοτέρων ἀποδεικνύ-
μενα, καὶ ὡς αἱ ποιότητές τε καὶ αἱ δυνάμεις ἐν τοῖς κεραννυμένοις, ὅλαι δι' ὅλων ἀναμίγνυνται, δέδεικταί
μοι πρόσθεν ἤδη, καὶ νῦν ἔτι δεήσει, δειχθήσεται. ὥστε καὶ κατὰ Πλάτωνα, καὶ κατὰ τοὺς ἐκ τοῦ περιπάτου, καὶ κατὰ
τοὺς ἐκ τῆς στοᾶς, ὁ Ἱπποκράτους νικᾷ φυσιολογία. καὶ πολὺ δὴ μᾶλλον ἐκ τῆς φυσιολογίας, ἅπαντες ἐπιδεικνύου-
σιν οἱ προειρημένοι φιλόσοφοι, μὴ δύνασθαί τινα καλῶς ἰάσασθαι τὰ νοσήματα, πρὶν ὅλου τοῦ σώματος ἐπι-
σκέψασθαι τὴν φύσιν. ἆρ' οὖν ἐνίκησεν ἂν ἐν τούτοις τοῖς φιλοσόφοις ὁ Θεσσαλὸς, ἀγωνιζόμενος ὑπὲρ τῶν πρω-
τείων, οἳ τῆς ἑαυτῶν ἁπάσης φυσιολογίας Ἱπποκράτην προὐστήσαντο; τί δὲ, εἰ τοῖς γεωμέτραις, ἢ τοῖς ἀστρονό-
μοις, ἢ τοῖς μουσικοῖς, ἢ τοῖς ῥήτορσιν ἐπιτρέψειε τὴν κρίσιν; ἆρ' οἰόμεθα καὶ τούτους Ἱπποκράτην παρελθόντας,
ἕτερόν τινα στεφανώσειν; ἐγὼ μὲν οὔτ' ἄλλον τινὰ πέπεισμαι τὰ πρωτεῖα λήψεσθαι, καὶ πάντων ἥκιστα τὸν
ἰταμώτατον Θεσσαλόν. οὐδεὶς γὰρ οὕτως ἠτίμησεν οὐ γεωμετρίαν, οὐκ ἀστρονομίαν, οὐ μουσικὴν, οὐ ῥητορι-
κὴν, ὡς ἐκεῖνος. ὥστε ταύτῃ γ' ἐν ἐχθρῶν θεάτρῳ γένοιτ' ἂν ὁ ἀγὼν αὐτῷ. ἀλλ' ἴσως τούτους μὲν οὐκ ἂν εἰς τὸ
θέατρον ἐκάθισεν, οὕς γε αὐτὸς φθάνων ἐχθροὺς ἐποιήσατο. μόνοις δὲ τοῖς ἐν διαλεκτικῇ γυμνασθεῖσι φιλοσό-
φοις, ὡς ἂν ἀληθῶν τε καὶ ψευδῶν λόγων τὸ κριτήριον ἠσκηκόσιν, ἐπιτρέψειε τὴν κρίσιν. ἀλλ' ἐὰν τοὺς περὶ
Πλάτωνα, καὶ Ἀριστοτέλη, καὶ Χρύσιππον ὡς ἀγυμνάστους ἐν τῇ δε παρέλθωμεν, οὐχ εὑρήσομεν ἑτέρους. εἰ τοίνυν
οὔτε τοὺς ἀπὸ τῶν ἄλλων τεχνῶν ὑπομένει δικαστὰς ὁ Θεσσαλὸς, οὔθ' οἱ διαλεκτικώτατοι τῶν φιλοσόφων οἴσου-
σιν αὐτῷ τὴν ψῆφον, ὑπὸ τίνων ἔτι κριθήσεται νικᾶν; τίνες πληρώσουσιν αὐτῷ τὸ θέατρον; τίνες ἀναγο-
ρεύσουσι; τίνες στεφανώσουσιν; αὐτὸς ἑαυτὸν δηλονότι. τοῦτο γὰρ ἐν ταῖς ἑαυτοῦ βίβλοις, ταῖς θαυμασταῖς, ἐποίη-
σεν αὐτὸς, ἑαυτὸν καὶ κρίνας, καὶ στεφανώσας, καὶ ἀναγορεύσας. ἀλλ' ἴσως ὑπενόησε τοῦτ' αὐτῷ τιμὴν γενήσεσθαι,
καὶ μνήμης ἀφορμὴν, εἰ λοιδορησάμενος τοῖς ἀρίστοις ἀνδράσιν, ἀναγκάσειεν ἡμᾶς ἀντιλέγειν αὐτῷ. ἀλλ' οὕ-
τω γε καὶ Ζωΐλος ἐνδοξος τὴν Ὁμήρου μαστίζων εἰκόνα, καὶ Σαλμωνεὺς τὸν Δία μιμούμενος, καὶ ἄλλο πλῆ-
θος οὐκ ὀλίγον τῶν τριπτῶν ἀνθρώπων, ἢ τοὺς βελτίονας οὐκ αἰδουμένων, ἢ καὶ τοῖς θεοῖς αὐτοῖς λοιδορουμένων.
ἀλλ' οὐκ ἀγαθήν οὗτοι γε δόξαν ὑπελίποντο σφῶν αὐτῶν, οὐδὲ ζηλοῦν οὖν ἔχων ἀνὴρ οὐδεὶς, οὔτε τὸν † Ὁμή-
ρου μάστιγα Ζωΐλον, οὔτε τὸν παραπλῆγα Σαλμωνέα, καί τοι τοῖς μὲν φιλολοιδόροις ζηλωτὸς ὁ Ζωΐλος, τοῖς
δ' ἱεροσύλοις ὁ Σαλμωνεύς. ἀλλὰ τί τοῦτο; καὶ γὰρ οἱ βαλαντιοτόμοι τὰ τῶν βαλαντιοτόμων ζηλοῦσι, καὶ οἱ
προδόται τὰ τῶν προδότων. καὶ οὐδείς ἐστιν ἁπλῶς ἄνθρωπος, ὃς οὐκ ἂν σχοίη χορὸν οἰκεῖον, ἐν ᾧ στεφθήσεται.
καὶ ἅπερ ἔγραψε Θεσσαλὸς, ὡς ἐν μαγείροις καὶ βαφεῦσι, καὶ ἐριουργοῖς, καὶ σκυτοτόμοις, καὶ ὑφάνταις τε
καὶ κναφεῦσιν ἀγωνιζόμενος, ἀποίσεται τὴν νίκην καὶ καθ' Ἱπποκράτους, καὶ οὐδεὶς ἂν ἡμῶν ἀντείπῃ. ἐ-
πεὶ γε πάντας ἀνθρώπους καθίζει δικαστὰς, ἐκ τῶν πάντων δ' ἐστὶ δήπου καὶ Πλάτων, καὶ Ἀριστοτέλης, καὶ Θεό-
φραστος, καὶ Χρύσιππος, οὐκ ἂν ἔτι πάσας μόνος ἀποστρέφοιτο τὰς ψήφους, ἀλλ' ἴσως ἔνεστι δίκην ἐφέσιμον ἀ-
γωνίσασθαί τινι. κἂν γὰρ Ἱπποκράτης καταφρονήσῃ, μικρότερον ἑαυτοῦ νομίσας ἀγωνίσασθαι πρὸς Θεσσαλὸν, ἀλλ'
ἴσως Ἐρασίστρατος οὐ καταφρονήσει, καὶ πολύ γε μᾶλλον Ἡρόφιλος, καὶ τούτων ἔτι μᾶλλον Ἀσκληπιάδης, ἄλλοι
τε πολλοὶ τῶν νεωτέρων ἰατρῶν, ἔχοντές τι φύσει φιλόνεικον, οὐ καταφρονήσουσι τῆς ὕβρεως, ἣν εἰς ἅπαντας ἅμα
τοὺς Ἕλληνας ὑβρίζει Θεσσαλὸς, ἀλλ' εἰς τὸ μέτρον τε προάξουσιν, ἐπιδείξουσί τε τοῖς Ἕλλησιν ἁπάσας αὐτοῦ τὰς
βίβλους, ἀμαθίας ἐσχάτης μεστὰς, ὃς τοσαῦτά τε καὶ τηλικαῦτα γράψας βιβλία, καὶ τοσαύτας ληρήσας ἐπῶν
χιλιάδας, ἀπόδειξιν οὐδεμίαν οὐδαμόθι τῶν ἑαυτοῦ συγγραμμάτων ἐπεχείρησεν εἰπεῖν, ἀλλ' ὡς τύραννος κε-
λεύει δύο μόνα εἶναι τὰ πάντα κατὰ δίαιταν νοσήματα, ῥοῶδες καὶ στεγνὸν, οὐκ εἰδὼς ὅτι διαφοράν τινα νοσημά-
των εἴρηκεν, ἐγνωσμένην μὲν καὶ τοῖς ἔμπροσθεν ἰατροῖς, ὡς ἐπιδείξομεν. ἀλλ' οὐδεὶς ἦν οὕτως ἀπαίδευτος, ὡς
τὰς διαφορὰς τῶν νοσημάτων αὐτὰ νομίζειν εἶναι τὰ νοσήματα, καὶ τῆς θεραπείας τὴν ἔνδειξιν ἐξ ἐκείνων λαμ-
βάνειν, ὑπερβὰς τὴν οὐσίαν. ἀλλὰ τοῦτο τὸ σφάλμα τοῦ Θεσσαλοῦ, σμικρὸν μὲν, ὦ Ζεῦ καὶ θεοὶ, σμικρότατον, ὃ καὶ
παιδάριον ἐν ἐλευθέροις μαθήμασι τεθραμμένον, εὐθέως γνωρίσειεν. ὅμως δ' οὖν τοῦτο τὸ σφάλμα τὸ σμικρὸν,
εἰς τοσοῦτον ἐπῆρεν αὐθαδείας αὐτὸν, ὥστε νομίζειν εὑρηκέναι τι μέγα καὶ σεμνόν. ὁμοίως ὡς εἰ καί τις εἰπὼν,
πᾶν ζῷον ἢ λογικὸν ὑπάρχειν ἢ ἄλογον, ἄλλο τι νομίζει καὶ μὴ διαφορὰς εἰρηκέναι ζῴων. ὡσαύτως οὖν τούτῳ,
κἀκείνου ῥηθέντος, ἅπαν ζῷον ἢ θνητόν ἐστιν, ἢ ἀθάνατον. ἡ γὰρ ἐν ἑκάστῃ τῶν διαφορῶν ἀντίθεσις, ὅλη κατὰ πάν-
των λέγεται τῶν εἰδῶν. ἅπαν οὖν ζῷον, ἢ ἄγριόν ἐστιν, ἢ ἥμερον. ἅπαν οὖν ζῷον, ἢ ὑπόπουν ἐστὶν, ἢ ἄπουν. ἅπαν οὖν
ζῷον, ἢ κερασφόρον ἐστὶν, ἢ ἄκερον. καὶ οὐδὲν γε εὑρεῖν ἑτέραν ἑτέρας ἀντίθεσιν, ἐν ταῖς διαφοραῖς ἐστιν εὑ-
ρεῖν, οὐδὲ μᾶλλον ὑπάρχουσαν ἅπασι τοῖς κατὰ μέρος. ἀλλ' οὐ χρὴ περὶ ζῴων ἐρωτηθέντας ὁπόσα τὰ πάντα ἐστὶ, ἀπο-
κρίνασθαι μίαν ἀντίθεσιν διαφορῶν. οὕτω μὲν γὰρ ἔσται δύο τὰ πάντα, καὶ οὐδὲν μᾶλλον ἢ λογικὸν καὶ ἄλογον, ἢ θνη-
τὸν καὶ ἀθάνατον, ἢ ἄγριον καὶ ἥμερον, ἢ τῶν ἄλλων τις ἀντιθέσεων. εἰ δὲ τὰς διαφορὰς ἐάσας τις, ὡς οὖν ἐστι δί-
καιον ἵππον ἀποκρίναιτο, καὶ βοῦν, καὶ κύνα, καὶ ἄνθρωπον, ἀετόν τε καὶ μέλιτταν, καὶ μύρμηκα, καὶ λέοντα, καὶ πρό-
βατον, ἅπαντά τε τἄλλα κατ' εἶδος ἐπέλθοι ζῷα, δῆλον ὡς οὗτος ὀρθῶς ἀποκεκριμένος ἐστὶ τῷ πυνθανομένῳ ὁ-
πόσα τὰ πάντ' ἐστὶ ζῷα. κἂν εἰ πολλὰ μὲν διέλθοι τῷ λόγῳ ζῷα, πάντα δ' ἐξαριθμήσασθαι μὴ δυνατὸν εἶναι
λέγοι, καὶ οὕτως ἂν εἴη δεόντως ἀποκεκριμένος. ὁμοίας οὖν οὔσης τῆς ζητήσεως περὶ τοῦ τῶν νοσημάτων ἀριθμοῦ,
παρὰ πᾶσι τοῖς παλαιοῖς ἰατροῖς, καὶ τῶν μὲν εἰπόντων ἑπτὰ τὰ πάνθ' ὑπάρχειν αὐτὰ, τῶν δὲ ἐλάττω τού-
των ἢ πλείω, πάντων δ' οὖν εἰς τὰ κατὰ τὴν οὐσίαν εἴδη βλεπόντων, οὐκ εἰς τὰ κατὰ τὴν διαφοράν. οὐδεὶς
γὰρ ἦν οὕτως ἀπαίδευτος οὐδ' ἀμαθὴς λογικῆς θεωρίας, ὡς διαφορὰν εἰδῶν εἰπεῖν ἀντ' οὐσίας. ὁ δ' ἐκ τῆς γυ-
ναικωνίτιδος ἐκπηδήσας Θεσσαλὸς, ἐπιτιμᾷ τηλικούτοις ἀνδράσιν οὐ γένος ἔχων εἰπεῖν, οὐκ ἀνατροφὴν,
οὐ παιδείαν, οἵαν ἐκείνων ἕκαστος, ὁ μὲν, Ἀριστοτέλους, ὁ δὲ, Πλάτωνος, ὁ δὲ, Θεοφράστου γενόμενος ὁμιλητὴς,
ἢ τινὸς ἄλλου τῶν ἐν τῇ λογικῇ θεωρίᾳ γεγυμνασμένων ἀνδρῶν. ὡς οὖν εἴ τις ἐρωτηθεὶς ὁπόσαι τῆς φωνῆς τὰ

πάντ' ἐστὶ στοιχεῖα, δύο φύσεις ὑπάρχειν. ἤτοι γὰρ φωνῆεν εἶναι φύσει πάντως, ἢ σύμφωνον, ὅ, τι περ ἂν ᾖ στοιχεῖον φωνῆς, ἀληθὲς μὲν εἴρηκεν, οὐ μὴν πρός γε τὴν ἐρώτησιν ἀπεκρίνατο. κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, ὅστις ἂν ὁπόσα τὰ πάντ' ἐστὶ νοσήματα διελέσθαι βουληθείς, ὑπάρχειν μὲν εἶδος τι λέγειν νοσήματος, οἷον ἤτοι φλεγμονὴν, ἢ σκίρρον, ἢ οἴδημα, διαφορὰς δ' εἴπῃ μόνας, εἴτ' οὖν στεγνὸν καὶ ῥοῶδες, εἴτ' ἀραιὸν καὶ πυκνὸν, εἴτε σκληρὸν καὶ μαλακὸν εἴτε συντεταγμένον καὶ κεχαλασμένον, ἀληθὲς μὲν εἴρηκεν, οὐ μὴν πρός γε τὴν ἐρώτησιν ἀπεκρίνατο. πρῶτον μὲν γὰρ οὐδὲ πᾶσα διαφορὰ προστιθεμένη τῷ γένει, συντελεῖ τι πρὸς τὴν τοῦ εἴδους γένεσιν, ἀλλ' ἥτις ἂν ἐκ τῆς τοῦ γένους οἰκείας ᾖ διαιρέσεως. αὗται γάρ εἰσιν εἰδοποιοὶ μόναι τῶν διαφορῶν. αἱ δ' ἄλλαι πᾶσαι, περιτταί. ζώου μὲν γὰρ οἰκεῖαι διαφοραὶ, τὸ θνητὸν καὶ ἀθάνατον, ἄλογόν τε καὶ λογικὸν, ἥμερόν τε καὶ ἄγριον, ὅσα τ' ἄλλα τοιαῦτα. μαλακὸν δὲ καὶ σκληρὸν, καὶ βαρὺ καὶ κοῦφον, καὶ ἀραιὸν καὶ πυκνὸν, καὶ μέγα, καὶ μικρὸν, οὐ ζώου, ἀλλ' οὐσίας εἰσὶ διαφοραί. καὶ τοίνυν εἰ μὲν προστεθείη τῷ ζώῳ τὸ μαλακὸν, καὶ τὸ σκληρὸν, ἢ τὸ πυκνὸν, ἢ τὸ ἀραιὸν, ἢ τὸ μικρὸν, ἢ τὸ μέγα πλεῖον οὐδὲν εἰς εἴδους γένεσιν συντελέσει. εἰ δ' ἤτοι λογικὸν καὶ ἀθάνατον, ἢ λογικὸν καὶ θνητὸν, εἴη ἂν τὸ μὲν, εἶδει θεὸς, τὸ δὲ, ἄνθρωπος. οὕτω δὲ κἂν εἰ προσθείης τῷ λογικῷ ζώῳ διττὰς οἰκείας διαφορὰς τὸ πεζὸν καὶ τὸ δίπουν, εἶδος ἐργάσῃ τι, καὶ οὕτως τὸν ἄνθρωπον. ὅθεν ἀδύνατόν ἐστιν οὐδενὸς τῶν ὄντων εἰδοποιοὺς εὑρεῖν διαφορὰς, ἄνευ τοῦ τὸν ὁρισμὸν, ἢ τὸν λόγον τῆς οὐσίας ἀκριβῶς αὐτοῦ περιγράψασθαι. δεύτερον δ' ἐπὶ τούτῳ σφάλμα τοῖς ἀγυμνάστοις περὶ λόγον, ἐπειδὰν ἐξευρήσουσι μίαν τινὰ διαφορᾶς ἀντίθεσιν, εὐθύς τι τοῦ προβεβλημένου γένους ὑπολαμβάνειν εὑρηκέναι, ὥσπερ ὀλίγον ἔμπροσθεν ὑπὲρ τῶν τῆς φωνῆς στοιχείων ἐλέγετο. φωνῆεν γάρ τις εἰπὼν καὶ σύμφωνον, οὔπω τὰ πάντα στοιχεῖα τῆς ἀνθρώπου φωνῆς εἴρηκεν, ἀλλὰ δύο τὰς πρώτας γενικὰς διαφοράς. εἰ δὲ τὰ μὲν φωνήεντα τέμνων αὖθις εἰς μακρὰ, καὶ βραχέα, καὶ δίχρονα, τὰ σύμφωνα δ' εἰς ἡμίφωνά τε καὶ ἄφωνα, καὶ αὖθις, τὰ μὲν μακρὰ, διχῆ, καθάπερ οὖν καὶ τὰ βραχέα. τὰ δ' αὖ δίχρονα, τριχῆ. καὶ δὴ καὶ τὰ ἄφωνα, πρῶτον μὲν εἰς δασέα, καὶ ψιλὰ, καὶ μέσα. καὶ τούτων ἕκαστον αὖθις τριχῆ, τὰ δ' ἡμίφωνα πάλιν, εἰ καὶ ταῦτα κατὰ τὴν οἰκείαν τέμνοις τομὴν, ἵνα μὴ μακρολογῶ περιττῶς, οὕτως ἂν ἐξεύροις τὰ τέτταρα καὶ εἴκοσι στοιχεῖα τῆς φωνῆς, οἷς χρώμεθα. τὸ μὲν γὰρ εἰπεῖν αὐτὸ τοῦτο μόνον, ὡς ἔστι τῶν στοιχείων τῆς φωνῆς, τὰ μὲν, φωνήεντα, τὰ δὲ, σύμφωνα, τεχνικὸν οὔπω ποιεῖ τὸν ἀκροατὴν, οὐδ' ἀκριβῶς ἐπιστήμονα, συμπάντων τῶν στοιχείων. ἀλλ' ἐὰν διαιρούμενος εἰς βραχέα, καὶ μακρὰ, καὶ δίχρονα, βραχέα μὲν εἶναι φῇ, δύο, τό, τε ε, καὶ τὸ ο. μακρὰ δ' ὁμοίως, δύο. τό, τε η, καὶ τὸ ω. δίχρονα δὲ τρία, τό, τε ἄλφα, καὶ τὸ ι, καὶ τὸ υ, τεχνικὸν οὕτω ποιήσει τὸν ἀκούσαντα περὶ τῶν φωνηέντων ἁπάντων. ὡσαύτως δὲ καὶ περὶ τῶν συμφώνων κατὰ τὸν αὐτὸν τρόπον. οὕτως οὖν καὶ ὅστις ἐπιχειρεῖ λέγειν ὑπὲρ τοῦ τῶν νοσημάτων ἀριθμοῦ πόσα τὰ σύμπαντ' ἐστὶν, οὐ χρὴ τοῦτον ἐν τῇ πρώτῃ καταμένειν διαφορᾷ, τέμνοντα δ' αὐτὴν ἐπεξιέναι, μέχρι περ ἂν ἐπί τι τῶν ἐσχάτων εἰδῶν ἀφίκηται, τῶν μηκέτι τμηθῆναι δυναμένων εἰς ἕτερον εἶδος. ὅτι δ' οὐ τοῦ τυχόντος ἐστὶ τοῦτο ποιεῖν, ἀλλ' ἀνθρώπου γεγυμνασμένου μεγάλως ἐν τῇ διαιρετικῇ μεθόδῳ, μαθεῖν ἔνεστι τῷ βουλομένῳ, πρῶτον μὲν ἅπαντα ἀναγνόντι κατὰ τὴν ἀρχὴν τοῦ φιλήβου πλάτωνι γεγραμμένα περὶ τῆς τοιαύτης μεθόδου, μετὰ ταῦτα δὲ τόν τε σοφιστὴν ἀναλεξαμένῳ, καὶ τὸν πολιτικόν. ἔτι δὲ μᾶλλον αὐτῷ χαλεπώτερον φανεῖται τὸ γράμμα τὸ πρῶτον περὶ μορίων ζώων ἀριστοτέλους ἀναγνόντι. πειρᾶται μὲν γὰρ ἐν ἐκείνῳ, τὰς διαφορὰς ἁπάσας ἐξαριθμήσασθαι τῶν ζώων. ἀπορίας τε παμπόλλας κινήσας, μόγις ὑποπτῶς τε καὶ δειλῶς ἀποφαίνεσθαί τι τολμᾷ. εἶτ' Ἀριστοτέλους τε καὶ Πλάτωνος οὕτω μέγα καὶ χαλεπὸν εἶναι νομιζόντων εἰς τὰς οἰκείας διαφορὰς ἀκριβῶς τὰ γένη τέμνειν. καὶ μετ' αὐτοὺς, θεοφράστου τε καὶ τῶν ἄλλων φιλοσόφων ἐξεργάζεσθαι πειρωμένων τὸν τρόπον, ὡς οὔπω κατωρθωμένον οὐδὲ τοῖς ἐκείνοις, ὁ τολμηρότατος Θεσσαλὸς ἁπλῶς ἀποφηνάμενος, ἀξιοῖ πιστεύεσθαι δύο τὰ πάντ' εἶναι κατὰ δίαιταν νοσήματα. τὰ γοῦν ἁπλᾶ καὶ πρῶτα καὶ οἷον στοιχεῖα. τρίτον γὰρ ἐξ αὐτῶν ἄλλο γεννᾶται τῷ λόγῳ σύνθετον, ἐπιπεπλεγμένον ἐξ ἀμφοῖν. ἀλλ' εἴπερ μεθόδῳ τινὶ ταῦτ' ἐξεῦρες, ὥσπερ οὖν ἀλαζονεύῃ, τί οὐχὶ καὶ ἡμῖν ἔφρασας αὐτήν; ἀλλὰ πᾶν τοὐναντίον, ἢ κατὰ τοὔνομα τὸ σεμνὸν ὃ προσαγορεύεις σαυτὸν ἀμεθοδώτατε καὶ προπετέστατε, τὴν ἀπόφασιν ἐποιήσω. μὴ δ' ὅτι μηδὲ τῆς ἀρχῆς αὐτῆς ἐφαψάμενος, ἀφ' ἧς ἀναγκαῖον ἐστὶν ἄρξασθαι τὸν μέλλοντα καλῶς οὑτινοσοῦν πράγματος ἐξευρήσειν εἴδη τε καὶ διαφορὰς οἰκείας. περὶ παντὸς γὰρ ὦ παῖ μία ἀρχὴ ἀρίστη, εἰδέναι περὶ ὅτου ἡ ζήτησις ἢ πάντα ἁμαρτάνειν ἀνάγκη, Πλάτων που φησίν. οὐκ εἰς τὸ διαιρεῖν μόνον ὁτιοῦν ἀξιῶν ἡμᾶς ἀπ' αὐτῆς ἄρχεσθαι τοῦ ζητουμένου τῆς οὐσίας, ἀλλ' εἰς ἅπαν ἀεὶ χρῆσθαι σκέμμα τῷ τοιούτῳ τρόπῳ τῆς ἀρχῆς. ἐχρῆν μὲν οὖν κἀνταῦθα τί ποτέ ἐστι νόσημα καὶ τί σύμπτωμα καὶ τί πάθος ἀκριβῶς εἰπόντα, καὶ διορισάμενον ὅπῃ ταὐτόν ἐστιν ἕκαστον τῶν εἰρημένων, καὶ ὅπῃ μὴ ταὐτὸν, οὕτως ἤδη πειρᾶσθαι τέμνειν εἰς τὰς οἰκείας διαφορὰς αὐτὰ, καθ' ἣν ἐδίδαξαν ἡμᾶς οἱ φιλόσοφοι μέθοδον, ἢ εἴπερ ἑτέραν τινὰ βελτίω τῆς παρ' ἐκείνων γεγραμμένης ἐξεῦρεν, αὐτὸ τοῦτο πρότερον ἀγωνίσασθαι, καὶ δεῖξαι, καὶ διδάξαι τοὺς Ἕλληνας, ὡς ὁ παρὰ τοῖς ἱστοῖς τραφεὶς ὑπερεβάλετο μὲν Ἀριστοτέλη καὶ Πλάτωνα μεθόδοις λογικαῖς. κατεπάτησε δὲ Θεόφραστόν τε καὶ τοὺς στωϊκοὺς ἐν διαλεκτικῇ. φανερῶς δ' ἐξήλεγξε τοὺς ἑταίρους αὐτοῦ ἅπαντας, οὐδὲ τίνα ποτ' ἐστὶ τὰ πρῶτα νοσήματα γινώσκοντας τὸν ἡρόφιλον ἐκεῖνον τὸν διαλεκτικὸν, καὶ τὸν συμφοιτητὴν αὐτοῦ φιλότιμον, καὶ τὸν διδάσκαλον αὐτοῦ πραξαγόραν τὸν ἀπ' ἀσκληπιοῦ, καὶ σὺν τούτοις τε καὶ πρὸ τούτων, ἐρασίστρατον, διοκλέα, μνησίθεον, διεύχη, φιλιστίωνα, πλειστόνικον, αὐτὸν ἱπποκράτην. τὸ δ' ἁπλῶς ἀποφήνασθαι, δύο εἶναι τὰ πάντα πάθη κατὰ δίαιταν, οὐ μέθοδον, οὐκ ἀπόδειξιν, οὐ πιθανὴν πίστιν, οὐ παραμυθίαν, οὐδ' ὅλως οὐδὲν ἄλλο προσθέντα, πλὴν εἰς τοὺς παλαιοὺς βλασφημήσαντα, προστάττοντός ἐστιν ἔργον, οὐ διδάσκοντος. ἕως σιωπᾷς; ἐκ ποίας εὗρες αὐτὰ μεθόδου λογικῆς; ἀλλά τοι κἂν κριτήριόν γέ τι τοῦ λόγων τῆς ἀληθείας ἐχρῆν σε παρασχέσθαι. τοῦ μὲν γὰρ εὑρεῖν τὸ ζητούμενον, αἱ λογικαὶ μέθοδοι τὴν δύναμιν

ἔχουσι

ἔχουσι τοῦ δὲ πιστώσασθαι τὰ καλῶς εὑρημένα, δύο ἐστὶν ἅπασιν ἀνθρώποις κριτήρια, λόγος, καὶ πεῖρα. πρὸς γοῦν τὸν ἐρωτήσαντα διατί τῷ δέ τινι τῷ πυρέττοντι συνεχώρησας ὕδατος πιεῖν ψυχροῦ, δύο εἰσὶν ἀποκρίσεις. ἡ μὲν ἑτέρα, γένεσίν τε καὶ φύσιν ἐκδιδάσκουσα πυρετοῦ, καὶ περὶ τοῦ τῶν νόσων καιροῦ διεξιοῦσα, καὶ κατὰ τὸν αὐτὸν τρόπον ὕδατος ψυχροῦ φύσιν ἐξηγουμένη. κἄπειδὰν ταῦτα διεξέλθῃ πειρωμένη διδάσκειν, ὡς τῷ τοιῷδε νοσήματι, κατὰ τὸν τοιόνδε καιρὸν, εὔλογόν ἐστιν ἴαμα γενέσθαι τὸ ὕδωρ τὸ ψυχρόν. ἡ δ᾽ ἑτέρα τῶν ἀποκρίσεων, οὐδενὸς τούτων τῆς φύσεως ἐφαψαμένη, καταφεύγει πρὸς τὴν πεῖραν, ἐν τοιῷδε νοσήματι καὶ καιρῷ, τὸ ψυχρὸν ὕδωρ ἑωρᾶσθαι φάσκουσα πολλάκις ὠφελεῖν. ἐχρῆν οὖν οἶμαι καὶ τὸν Θεσσαλὸν ἤτοι πεῖραν ἢ λόγον ἐφ᾽ οἷς ἀποφαίνεται, κριτήριον ἐπάγειν, οὐχ ὡς τύραννον ἡμῖν ἐπιτάττειν, ἀξιοῦντα πιστεύεσθαι χωρὶς ἀποδείξεως. καὶ τίνα φασὶν ἀκούειν ἀπόδειξιν ἀξιοῖς; οὕτω γὰρ ἀντερωτῶσιν ἡμᾶς οἱ ἀπ᾽ αὐτοῦ. καὶ δικαίως γε τοῦτο ποιοῦσιν, οὐδ᾽ εἰς ἔννοιάν ποτε παρελθόντες ἀποδείξεως. ὡς ἂν οὔτε γεωμετρίας, οὔτ᾽ ἀριθμητικῆς, οὔτε διαλεκτικῆς, οὔτε ἀναλυτικῆς, οὐθ᾽ ὅλως λογικῆς τινος ἁψάμενοι θεωρίας. ἀποκριτέον οὖν αὐτοῖς ὡς ὀψὲ πάνυ μανθάνειν ἐφίεσθαι, τί ποτ᾽ ἐστὶν ἀπόδειξις. καὶ ὡς οὐκ ἐνδέχεται χρόνῳ βραχεῖ λεπτῆς γνώμης δεομένης, παρακολουθῆσαι θεωρίᾳ, μήτ᾽ ἠσκημένους ἀκούειν ἀκριβῶν λόγων, ἐν διαστροφῇ τε πολυχρονίῳ γεγονότας. ἐκείνους μὲν οὖν ἀποπεμψώμεθα, ὡς μηδὲ συνιέναι δυναμένους ἀληθῶν μαθημάτων, μή τι γε δὴ μαθεῖν ἢ κρῖναι καλῶς. ἡμεῖς μετὰ τῶν ἠσκημένων τε ἅμα καὶ παρακολουθεῖν ἀποδείξει καὶ φύσει συνετῶν, οὐ γὰρ δὴ ἀνόους Θεσσαλείους ἐπαγγελλόμεθα διδάσκειν, ἐπὶ τὸ προκείμενον ἐξ ἀρχῆς ἴωμεν, εὐθὺς ἅμα τῇ διδασκαλίᾳ τῆς θεραπευτικῆς μεθόδου, καὶ ὧν ἐσφάλησαν οἱ πλεῖστοι τῶν ἰατρῶν ἐπιχειρησάντων ἐξευρεῖν αὐτὴν ἐξηγούμενοι τὰς αἰτίας. εἰς γάρ τοι τὴν βεβαιοτέραν πίστιν τῶν ἀληθῶν, οὐδὲ τοῦτο σμικρὸν φαίνεται συντελεῖν. πρῶτον μὲν οὖν εὐλαβηθῶμεν ἀμφοῖν ἅμα μεμνῆσθαι μεθόδου τε λογικῆς, καὶ πείρας ἀλόγου. πρόκειται γὰρ οὐ περὶ πάσης εὑρέσεως ἰαμάτων εἰπεῖν νῦν, ἀλλὰ μόνης τῆς κατὰ μέθοδον. ὥσπερ καὶ περί γε τῆς ἐμπειρικῆς ἡμῖν τε δι᾽ ἑτέρου γράμματος εἴρηται, καὶ αὐτοῖς ἐμπειρικοῖς καλουμένοις ἰατροῖς ἐπὶ πλεῖστον ἐξείργασται. καὶ οὕτως ἂν εὐξαίμην καὶ τοὺς λογικοὺς ἅπαντας ἰατροὺς ἔχεσθαι τοῦ προκειμένου. καὶ μὴ συγχεῖν, μηδὲ ταράττειν, μηδὲ συνάγειν εἰς ταυτὸ ἀναλογισμόν τε καὶ πεῖραν, ἀλλ᾽ ἑκατέραν ἰδίᾳ μεταχειρίζεσθαι, καὶ σκοπεῖσθαι τίνα δύναμιν ἔχει, καὶ πόσον εἰς τὸ τέλος τῆς τέχνης συνεργεῖ. τὸ τοίνυν μεθόδῳ τι ζητεῖν ἐξευρεῖν, ἀντίκειται μὲν τῷ κατὰ τύχην τε καὶ αὐτομάτως. ἔστι δὲ τὸ τοιοῦτον μετά τινος ὁδοῦ καὶ τάξεως. ὡς εἶναί τι πρῶτον ἐν τῇ ζητήσει, καὶ δεύτερον, καὶ τρίτον, καὶ τέταρτον, καὶ οὕτως ἐφεξῆς τἄλλα σύμπαντα, μέχρι περ ἂν ἀφίκηταί τις ἐπ᾽ αὐτὸ τὸ προκείμενον ἐξ ἀρχῆς. οἱ μὲν οὖν ἀπὸ τῆς ἐμπειρίας καλῶς ποιοῦντες, ὁμολογοῦσιν ὡς οὔτε τῆς εὑρέσεως, οὔτε τῆς διδασκαλίας ἀναγκαία τάξις ἐστὶ παρ᾽ αὐτοῖς. ἄτεχνον γάρ τι καὶ ἄλογον ἡ πεῖρα, καὶ τύχης ἀγαθῆς δεόμενον, εἰς τὴν τῶν ζητουμένων εὕρεσιν. ὅσοι δὲ λόγον ἡγεμόνα τῆς εὑρέσεως ἐποιήσαντο καὶ τάξιν, ὁδόν τε μίαν τὴν ἐπὶ τὸ τέλος ἄγουσαν ὑπέθεντο, τούτοις ἀναγκαῖον μὲν ἦν ἀπὸ πρώτου τινὸς ἀρξαμένοις ὁμολογουμένου πᾶσιν ἀνθρώποις, οὕτως ἤδη μετιέναι πρὸς τὰ λοιπά. ποιοῦσί γε μὴν οὐχ οὕτως, ἀλλὰ καὶ τὰς ἀρχὰς οἱ πλεῖστοι διαφωνουμένας λαμβάνουσιν, οὐκ ἀποδείξαντες δὲ, ἐπὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον μετέρχονται. νομοθετοῦντες μᾶλλον, ἢ ἀποδεικνύντες. ἅπαντα δ᾽ αὐτοῖς τὰ τοιαῦτα συμβαίνει, διὰ τὸ μηδὲν ὑπὲρ ἀποδείξεως ἐπεσκέφθαι πρότερον, ἀλλ᾽ ἅμα τε τοῖς ζητουμένοις ἐφίστασθαι, καὶ τολμᾶν χρῆσθαι πρὸς τὴν πίστιν αὐτῶν ἀποδείξεσιν, ὅμοιόν τι ποιοῦσιν ἀνθρώπῳ μετρεῖν ἐπιχειροῦντι σφαῖραν, ἢ κύβον, ἢ κῶνον, ἢ κύλινδρον, ἢ τι τοιοῦτον ἕτερον, οὔτε γεωμετρίας, οὔτε λογιστικῆς ἐπιστήμονι θεωρίας, ἀλλὰ μηδὲ πῆχυν ἢ παλαιστὴν, ἢ πόδα παρεσκευασμένῳ, κἄπειτα ἀγανακτοῦντι πρὸς τοὺς ἀπόδειξιν ζητοῦντας, ἢ καὶ σιωπᾶν ἀξιοῦντας. ὡς γὰρ κἀκεῖ γελοῖος ὁ φάσκων ὀρθογωνίου, τῆς μὲν ἑτέρας τῶν περὶ τὴν ὀρθὴν γωνίαν πεντάποδος, εἰ οὕτως ἔτυχεν, ὑπαρχούσης, τῆς δ᾽ ἑτέρας, δωδεκάποδος, οὐ τριάκοντα ποδῶν γίγνεσθαι τὸ ἐμβαδὸν, ἀλλὰ τετταράκοντα, καὶ τούτων μηδὲ μίαν ἀπόδειξιν ἔχων εἰπεῖν. οὕτω κἀνταῦθα γελοῖος ὁ ἀποφαινόμενος μὲν ὁπωσοῦν, ἀποδεῖξαι δ᾽ οὐ δυνάμενος. ὡς οὖν ἐπὶ τῆς κατὰ τὸ τρίγωνον ἀποδείξεως, οὐ γὰρ ἀφεκτέον ἡμῖν ἐστι τοῦ παραδείγματος, ἀπεληλακόσιν ἤδη τοῦ λόγου τοὺς ἀπαιδεύτους μεθοδικοὺς, αὐτὸ μὲν τὸ προκείμενον, ἐκ δυοῖν τούτων ἐπεραίνετο προτάσεων. μιᾶς μὲν τῆς τὸ περιεχόμενον χωρίον, ὑπό τε τῆς πεντάποδος καὶ δωδεκάποδος, ἑξηκοντάπουν γίγνεσθαι. δευτέρας δὲ, τῆς ἥμισυ τρίγωνον ἐκείνου τοῦ χωρίου λεγούσης, καὶ δεικνυούσης ὑπάρχειν. ἑκατέρα δὲ πάλιν τούτων ἑτέρων τινῶν εἰς ἀπόδειξιν ἐδεῖτο προτάσεων, εἶτ᾽ ἐκεῖνα πάλιν ἑτέρων, ἄχρι περ ἂν ἐπὶ τὰς πρώτας ἀνέλθωμεν. αἳ δὲ, οὐκ ἐξ ἄλλων, οὐδὲ δι᾽ ἀποδείξεως, ἀλλ᾽ ἐξ ἑαυτῶν ἔχουσι τὴν πίστιν. οὕτως οἶμαι κἀπὶ τῶν τὴν ἰατρικὴν τέχνην ἀποδεικνυμένων ἁπάντων εἰς πρώτας τινὰς ἀναποδείκτους προτάσεις, καὶ ἐξ ἑαυτῶν πιστὰς ἀνάγεσθαι χρῆναι πάντας. καὶ εἴπερ οὕτως ἅπαντες ἐπεχείρησαν εἰπεῖν τι περὶ τῆς θεραπευτικῆς μεθόδου, πάντως ἄν που καὶ συνεφώνησαν ἀλλήλοις, ὥσπερ οἱ ἀριθμητικοί τε καὶ γεωμέτραι καὶ οἱ λογιστικοί. μαθεῖν γοῦν ἐστι παρ᾽ ἐκείνων εὐθὺς κατ᾽ ἀρχὰς, ὁποῖον μέν τοι δηλοῦται πρὸς ἑκάστου τῶν ὀνομάτων, οἷς μέλλουσι χρῆσθαι. τίνας δὲ προτάσεις ἀναποδείκτους παραλήψονται πρὸς τὸν λόγον, ἅσπερ δὴ καὶ ἀξιώματα καλοῦσιν, οἷον ὅτι γραμμὴν μὲν ὀνομάζω μῆκος ἀπλατές. ἐπιφάνειαν δὲ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον. καὶ τρίγωνον μὲν, τὸ δέ τι. τετράγωνον δὲ, τὸ δέ τι. καὶ τῶν ἄλλων ὁμοίως ἕκαστον. εἶθ᾽ ὅτι καὶ τοῖς τοιούτοις ἀξιώμασι χρήσοιτο προϊὼν, ὡς τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα. καὶ ἐὰν ἴσοις ἴσα προστεθῇ, τὰ ὅλα ἴσα ἔσται. μετὰ ταῦτ᾽ ἤδη πειρᾶται δεικνύναι τὰ θεωρήματα, μηδὲν τούτων ἔξωθεν ὧν ἐξ ἀρχῆς ὑπέθετο προλαμβάνων. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν ὡς οἶσθα καὶ αὐτὸς Ἱέρων κράτιστε, πόθεν ἤρξαντο τῆς εὑρέσεως ἣν εὑρηκέναι φασὶν ἐρωτώμενοι, τοσοῦτον ἀποδέουσι τοῦ λέγειν ἀναποδείκτους τε καὶ ἅπασιν ὁμολογουμένας ἀρχὰς, ὥστ᾽ οὐδ᾽ ἀποκρίνεσθαι σύμφωνον ἑαυτοῖς οὐδέν.

ἐξευρίσκουσιν. ἀλλ' εὐρίπου δίκην, ἄνω τε καὶ κάτω μεταβάλλονται, τἀναντία τιθέμενος ἕκαστος ἑαυτῷ, τοῦ
λόγου προϊόντος, ὧν ἐξ ἀρχῆς ὑπέθετο. φαινομένας γοῦν εἰπὼν εἶναι τὰς κοινότητας ὁ σοφώτατος Θεσσαλός, ὀλί-
γον ὕστερον οὐ μόνον οὐδένα τῶν ἔμπροσθεν ἰατρῶν ἰδεῖν αὐτάς φησιν, ἀλλ' οὐδὲ τὸν πρῶτον γεννήσαντα θε-
μίσωνα. τούτῳ γὰρ οὖν δὴ μόνῳ παραχωρεῖ, καθάπερ πατρὶ τέκνα γνήσια τὰς τερατώδεις ἐκείνας κοινότητας.
εἶθ' οἱ μετ' αὐτοὺς ἅπαντες ἀλλήλοις τε καὶ τῷ Θεσσαλῷ διηνέχθησαν. οὔτε τὰς αὐτὰς εἰσηγούμενοι κοινότη-
τας, οὔθ' ὅλως ἀλλήλοις ὁμολογοῦντες, οὐδὲ καθ' ἕν, ὥσπερ σοι καὶ τοῦτο πολλάκις ἀπέδειξα, περιιόντων αὐτῶν τῶν
μεθοδικῶν. ἴσως δ' ἄν ποτε καὶ γράψαιμι περὶ πολλὴν σχολήν, ὑπὲρ τῆς διαφωνίας αὐτῶν. ἀλλὰ νῦν γε τοσοῦτον εἰς
τὰ προκείμενα προσήκει λαβεῖν, ὡς ἐχρῆν ἀρχηγοὺς αἱρέσεως καθισταμένους αὐτοὺς ἐξηγήσασθαι πρότερον, ἐφ' ὅ-
του πράγματος ἕκαστον τῶν ὀνομάτων ἐπιφέρουσιν. ὥσπερ οὖν καὶ οἱ ἐμπειρικοὶ ποιοῦσι, φαίνεσθαι μὲν λέγοντες
τὰ ταῖς αἰσθήσεσιν ὑποπίπτοντα, γινώσκεσθαι δὲ τὰ μνημονευόμενα. φαίνεσθαι δ' ἅμα καὶ γινώσκεσθαι τὰ
καὶ πρότερόν ποτε ταῖς αἰσθήσεσιν ὑποπεσόντα, καὶ νῦν ὁμοίως ὑποπίπτοντα. πότερον οὖν οὕτω καὶ αὐτοὶ φαί-
νεσθαι λέγουσι τὰς κοινότητας, ὡς αἰσθήσει γνωριζομένας, ἢ καὶ τὰ διὰ λόγου λαμβανόμενα φαινόμενα καλοῦ-
σιν; οἱ μὲν γὰρ ἀπὸ τῆς ἐμπειρίας οὐ πάνυ τι συγχωροῦσιν οὐδὲν τῶν τῷ λόγῳ μόνῳ δοκούντων ἐγνῶσθαι, φαινό-
μενον ὀνομάζειν. οἱ δ' αὖ παλαιοὶ φιλόσοφοι διττὸν γένος εἶναί φασι τῶν φαινομένων. ἓν μέν, ὅπερ καὶ τοῖς ἐμπει-
ρικοῖς ὁμολογεῖται, τῶν αἰσθήσει τινὶ διαγινωσκομένων, οἷον λευκοῦ καὶ μέλανος, καὶ σκληροῦ καὶ μαλακοῦ, καὶ
θερμοῦ καὶ ψυχροῦ, καὶ τῶν ὁμοίων. ἕτερον δὲ τῶν ὑποπιπτόντων νοήσει, κατὰ πρώτην ἐπιβολὴν ἀναπόδεικτον,
ὡς τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ὑπάρχειν ἴσα. καὶ ἐὰν ἴσοις ἴσα προστεθῇ, καὶ τὰ ὅλα ἴσα γίγνεσθαι. καὶ ἐὰν
ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, καὶ τὰ λοιπὰ ἴσα εἶναι. τοῦ τοιούτου γένους εἶναί φασι, καὶ τὸ μηδὲν ἀναιτίως γίγνε-
σθαι, καὶ πάντ' ἐξ ὄντος τινός. ἐκ δὲ τοῦ μηδαμῶς ὄντος, οὐδέν. οὕτω δὲ καὶ τὸ φθείρεσθαι μηδὲν, εἰς τὸ τέως
οὐκ ὄν. καὶ τὸ, περὶ παντὸς ἀναγκαῖον ἢ καταφάσκειν ἢ ἀποφάσκειν, ἕτερά τε τοιαῦτα πολλά, περὶ ὧν ἐν ταῖς
λογικαῖς πραγματείαις ἐπισκέπτονται. καὶ ἡμῖν δὲ εἰς ὅσον οἷόν τε σαφέστατα διὰ τῶν ὑπὲρ ἀποδείξεως ὑπο-
μνημάτων εἴρηται, περὶ τούτων ἐν ταῖς τοιαύταις ἀρχαῖς, ἃς δὴ καὶ λογικὰς ὀνομάζομεν, ἀμφισβητοῦσιν
ἔνιοι τῶν φιλοσόφων ἐρίζοντες. ἀλλ' ἐκεῖνοι μὲν ἄχρι γοῦν τοσούτου σωφρονοῦσιν, ὡς ἀπιστεῖν ἀποδείξει πᾶσαν
γινώσκοντες οἶμαι, κἂν μὴ λέγωσιν, ὡς αὐτὸ γοῦν τοῦτο βεβαίως ἐπίστανται τὸ μηδὲν ἀποδειχθῆναι δύνασθαι
τῶν λογικῶν ἀρχῶν ἀπιστουμένων. οὗτοι δ' ἄχρι τοσούτου σκαιοὶ καὶ ἀνόητοι τυγχάνουσιν ὄντες, ὡς μὴ δὲ αὐτῷ
τούτῳ παρακολουθεῖν, ἀποδεικνύναι μὲν πειρῶνται. τίνες δέ εἰσι καὶ ποῖαι τῶν ἀποδείξεων ἀρχαί, μήτε γινώ-
σκειν, μήτε ζητεῖν ἐθέλειν, μήτ' ἄλλου διδάσκοντος ἀκούειν ὑπομένειν, ἀλλ' ἁπλῶς ἀποφαίνεσθαι καὶ φθέγγε-
σθαι ῥήματα, μηδ' ὅ, τι σημαίνει σαφῶς εἰπεῖν δυνάμενοι. εὐλόγως οὖν ἑκατοντὰ βίβλοι πραγματεῖαι γρά-
φονται τοῖς ἀπ' αὐτῶν, ἅμα μὲν ζητοῦσι καθ' ὅτου πράγματος ἕκαστον τῶν ὀνομάτων ὁ Θεσσαλὸς ἐπιφέ-
ρει, ἅμα δ' οὐχ εὑρίσκουσιν οὐδὲν τοιοῦτον ᾧ συμφωνήσει πάντα τὰ κατὰ μέρος ὑπ' αὐτοῦ λεγόμενα. τίνες
γὰρ οὖν αἱ φαινόμεναι κοινότητές εἰσιν, ἢ πῶς φαινόμεναι, λέγειν οὐκ ἔχουσιν, οὐδ' ἂν πολλαπλασίους ἄλλας
γράφουσι βίβλους. ἤτοι γὰρ αἰσθήσει πάντως ὑποπίπτειν χρὴ τὸ φαινόμενον, ἢ νοήσει, κατὰ μίαν ἐπιβολὴν ἀ-
θρόως ἑκάτερα χωρὶς ἀποδείξεως. εἰ δ' ἐκπέπτωκεν ἐκ τοῦ κατὰ μίαν προσβολὴν εἰς γνῶσιν ἥκειν, εὐθὺς
μὲν τοῦτο καὶ διαπεφώνηται πάντως, καὶ ἀποδείξεως δεῖται, καὶ τέχνην οὐδεμίαν ἀπὸ τοιούτου πράγμα-
τος ἄρχεσθαι προσήκει. ταῦτ' οὖν εἰ μὲν ἐγυμνάσαντο κατὰ τὰς λογικὰς μεθόδους, αὐτοί τ' ἂν ᾔδεσαν, ἡμεῖς
τε οὐκ ἂν μάτην κατετρίβομεν τὸν χρόνον. ἐπεὶ δ' ἀγύμναστοι καὶ ἀμαθεῖς ὄντες ὑπ' ἀπονοίας ἐτόλμησαν ἀπο-
δείξει χρήσασθαι, πρὶν ὅ, τί ποτέ ἐστιν ἀπόδειξις μαθεῖν, ἀναγκαῖον ἤδη τοὺς τοιούτους ἅπαντας σφάλλεσθαι καὶ
ληρεῖν μακρά. καὶ μὴ δὲ τοῖς ὀρθῶς ἀποδεικνύουσιν ἀκολουθεῖν, ἀλλ' ἀναλίσκειν μάτην τὸν χρόνον. μὴ τοίνυν αὐ-
τοῖς, μὴ δ' ὡς ζώοις λογικοῖς ἔτι διαλεγώμεθα, μὴ δ' ἀντιλέγωμεν μακρά, πρὶν ἂν ἐθελήσωσι μαθεῖν, οἷον
τι πρᾶγμα ἐστὶν ἀπόδειξις, ὅπως τε δεῖ τὸν μέλλοντα καλῶς αὐτῇ χρήσασθαι, γεγυμνάσθαι. καί σοι τὸν ἑξῆς λό-
γον, ἤδη ἅπαντα ποιήσομαι χρώμενος ταῖς μεθόδοις, ἃς ἐν τοῖς περὶ τῆς ἀποδείξεως ὑπομνήμασι κατεστη-
σάμην. ὅτι τε γὰρ ἀρχαὶ πάσης ἀποδείξεώς εἰσι τὰ πρὸς αἴσθησίν τε καὶ νόησιν ἐναργῶς φαινόμενα, καὶ ὡς ἐπὶ
πάντων τῶν ζητουμένων εἰς λόγον χρὴ μεταλαμβάνεσθαι τοὔνομα, δι' ἐκείνων ἀποδέδεικται. νυνὶ δ' ὅπως
μὲν ἢ εὑρίσκειν, ἢ ἀποδεικνύναι προσήκει, λέγειν οὐ πρόκειται. τοῖς δ' ἤδη μεμαθηκόσι τε καὶ ἠσκηκόσιν, ἅμα
μὲν ἀποδοῦναι τινὰ καρπὸν τῶν πόνων εὐκαιρότατον, ἐξευρόντας οὐ σμικρὸν πρᾶγμα τὸ νῦν ἡμῖν προκείμε-
νον, ἅμα δ' εἴ τινες ἐπιθυμηταὶ τῆς μεγίστης τέχνης εἰσίν, ἣ περὶ τὴν ψυχὴν τοῦ ἀνθρώπου καταγίνεται, προ-
γυμνάσαι καὶ τούτους εὔλογον ἐν τοῖς σμικροτέροις. τοῦτο γὰρ χρὴ μάλιστα κατὰ πάσας τὰς μεθόδους, ἀντέχε-
σθαι τοῦ γυμνάζεσθαι κατ' αὐτὰς ἐπὶ πολλῶν πολλάκις προβλημάτων μικροτέρων, πρὶν ἐπιχειρεῖν τοῖς μείζο-
σιν. ἤδ' οὖν ἡμῖν ἀρχὴ τῆς ἀληθοῦς ἔστω διδασκαλίας, ἣν ἂν εὐθὺς ἀπ' ἀρχῆς ἐποιησάμεθα, ζητοῦντές τε τὴν
τέχνην αὐτοὶ καὶ προηγοῦντες ἑτέρους μηδέ ποτε διεστραμμένους, οὕτως, ὥστ' ἐπεὶ πρόκειται θεραπείας εὑ-
ρεῖν ἁπάντων τῶν νοσημάτων, ἀναγκαῖον ἐπίστασθαι πρότερον ὁπόσα τὰ σύμπαντά ἐστιν. ἀλλ' ἐπεὶ μήτε
διαφοράς, μήτε εἴδη δυνατὸν ἐξευρεῖν γένους μηδενός, ἄνευ τοῦ βεβαίως αὐτὸ τὸ τεμνόμενον ἐπίστασθαι, χρὴ
δή που, καὶ νῦν, ὅ, τι ποτ' ἐστὶ νόσημα τῷ λόγῳ διελθεῖν, ἵν' οὕτως ἐπιχειρήσωμεν ὀρθῶς αὐτοῦ τῇ διαιρέσει.
πῶς οὖν ἐξεύρωμεν αὐτὸ ὀρθῶς μεθόδῳ; πῶς δ' ἄλλως, ἢ ὡς ἐν τοῖς περὶ ἀποδείξεως ἐλέγετο; τῆς ἐννοίας πρό-
τερον ὁμολογηθείσης, ἧς χωρὶς οὐχ οἷόν τε ἐστὶν εὑρεθῆναι τὴν οὐσίαν τοῦ προκειμένου πράγματος. αὐτὴν δὲ
τὴν ἔννοιαν ὁμολογουμένην ἅπασιν, ἐλέγομεν χρῆναι λαμβάνειν, ἢ οὐδ' ἂν ἀρχὴν δεόντως ὀνομάζεσθαι. τίς
οὖν ὑπὸ πάντων ἐστὶν ἀνθρώπων ὁμολογουμένη περὶ τοῦ νοσεῖν ἔννοια; καὶ κατὰ τίνος μάλιστα φέρουσιν ὑπο-
κειμένου πράγματος, τουτὶ τὸ ῥῆμα τὸ νοσεῖν; ἆρ' οὐκ ἐπειδὰν μὲν ἀνεμπόδιστοι ταῖς ἐνεργείαις ἅπαντων

ὦσι

ἐπὶ τῶν τοῦ σώματος μορίων ὑγιαίνειν τε σφᾶς αὐτοὺς τηνικαῦτα φασὶ, καὶ οὐδὲν οἴονται δεῖσθαι τῶν ἰατρῶν. ἐπειδὰν δὲ τῶν κατὰ φύσιν ἔργων τοῦ σώματος ὁτιοῦν αἰσθάνονταί σφισιν, ἢ κακῶς, ἢ μηδόλως ἔτι γινόμενον, ἡγοῦνταί γε νοσεῖν ἐν ἐκείνῳ τῷ μέρει τοῦ σώματος, οὗ τὴν ἐνέργειαν ὁρῶσι βεβλαμμένην, ἰατρῷ τε συμβούλῳ χρῶνται περὶ τῆς ἰάσεως. ἐγὼ μὲν οὕτως ὁρῶ πάντας ἀνθρώπους, τῷ τε τῆς ὑγείας καὶ τῷ τῆς νόσου χρωμένους ὀνόματι, καὶ τὴν ἔννοιαν ἣν εἶπον ἅπαντας διασώζοντας, ἐπί τε τούτων αὐτῶν, καὶ ἔτι πρὸς τούτοις οὐδὲν ἧττον, ἐπὶ τῶν παρακειμένων αὐτοῖς ὀνομάτων τε καὶ ῥημάτων ἁπάντων. καὶ γὰρ ὑγιαίνειν ἐκεῖνον ὑπειλήφασιν, ᾧ μηδεμία βέβλαπται μηδενὸς ἐνέργεια μορίου, καὶ νοσεῖν, ᾧ βέβλαπται. καὶ ὑγιαίνων οὗτος ὀνομάζεται παρ' αὐτοῖς, ᾧ πάντα τοῦ σώματος τὰ μόρια κατὰ φύσιν ἐνεργεῖ, καὶ νοσῶν, ᾧ βέβλαπταί τι. καὶ οὐδεὶς ὅλως Ἑλλήνων οὔτ' ὠνόμασεν ἄλλως, οὔτ' ἐπ' ἄλλο τι πρᾶγμα φέρει τῶν εἰρημένων ὀνομάτων ἕκαστον, ὡς ἐπὶ πλεῖστον ἐδείξαμεν ἐν τῇ τῶν ἰατρικῶν ὀνομάτων ἐξηγήσει. καὶ αὐτοῦ γε τούτου μέμνησό μοι διὰ παντὸς τοῦ λόγου μάλιστα. διότι τὰς μὲν τῶν ὀνομάτων ἐξηγήσεις, ἐκ τῆς τῶν Ἑλλήνων συνηθείας ποιησόμεθα. καθότι κἀν τοῖς περὶ τῆς ἀποδείξεως ὑπομνήμασιν ἐλέγετο, τὰς δὲ τῆς οὐσίας αὐτῆς τοῦ πράγματος εὑρέσεις τε καὶ ζητήσεις, καὶ ἀποδείξεις, οὐκέτ' ἐκ τῶν τοῖς πολλοῖς δοκούντων, ἀλλ' ἐκ τῶν ἐπιστημονικῶν λημμάτων, ὑπὲρ ὧν τοῦ τρόπου τῆς εὑρέσεως ἐν ἐκείνοις εἴρηται. λαβόντες οὖν ἀρχὴν ὁμολογουμένην ἅπασιν ὡς ἐν τῇ θεραπευτικῇ μεθόδῳ τοῦτ' εἴη τὸ προκείμενον, ὑγείαν ἐκπορίζεσθαι τοῖς νενοσηκόσι σώμασι, τουτέστι τὰς κατὰ φύσιν ἐνεργείας τῶν μορίων, εἴπερ βεβλαμμέναι τύχοιεν ἐπανορθοῦσθαι, τὸ μετὰ τοῦτ' ἤδη ζητήσομεν, ὁπόσα τὰ σύμπαντά ἐστι κατὰ τὸν τόπον ἀλλήλοις παρακείμενα πράγματα, μή που τύχωμέν τινα τοῦ λόγου προϊόντος, ἢ νοσήματα νομίσαντες ὅταν ᾖ παραπλήσια τούτοις, ἢ ὑγείαν, ὅταν καὶ τῇ ταύτης φύσει πλησιάζῃ. προκεχειρίσθω δέ τινα μόρια σαφηνείας ἕνεκεν, ἐφ' ὧν ὁ λόγος ἡμῖν περανθήσεται. πρῶτον μὲν ἁπάντων ὀφθαλμός. ὁμολογεῖται γὰρ οὖν ἐπὶ τούτου πᾶσιν ἀνθρώποις, οὐκ ἰατροῖς μόνον, ἀλλὰ καὶ τοῖς τυχοῦσιν, ὡς ἔστιν ἔργον αὐτῷ τὸ βλέπειν. εἴτε δ' ἔργον εἴποιμι κατὰ τὸν λόγον, εἴτ' ἐνέργειαν, οὐδὲν ἔν γε τῷ νῦν διαφέρει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδ' εἰ τὸ βλέπειν εἴποι τις ἔργον εἶναι τῶν ὀφθαλμῶν, οὐδ' εἰ τὴν βλέψιν, οὐδ' εἰ τὴν ὄψιν ἢ τὴν ὅρασιν, ἢ ὅπως ἂν ἄλλως ὀνομάσῃ, διαφέρει. κἂν γὰρ εἰ σολοικίζων ὀνομάζοι πρός γε τὴν αὐτὴν τοῦ πράγματος ἐπιστήμην, οὐδὲν τοῦτο βλάπτει. μόνον εἰ καθ' ὅτου πράγματος φέρει τοὔνομα, δηλοῖτο σαφῶς, ἐν τούτῳ γάρ ἐστι τὸ κῦρος τῆς διδασκαλίας. ὀνομαζέσθω τοίνυν ὀφθαλμὸς μὲν, τὸ μόριον τοῦ σώματος. οὐδὲν οὐδ' ἐνταῦθα διαφέρον, εἴτε μέρος, εἴτε μόριον εἴποι τις. ὅ, τι γὰρ ἂν ᾖ τοῦ παντὸς συμπληρωτικὸν, ἐκεῖνο μόριόν τε καὶ μέρος ὀνομάζεται τοῦ ὅλου δηλονότι σώματος, οὗ συμπληρωτικὸν ὑπάρχει. ἐν γὰρ τῷ πρός τι, τὸ μέρος. ὅλου γὰρ καὶ παντός ἐστι τὸ μέρος, ὥσπερ οἶμαι καὶ τὸ πᾶν καὶ τὸ ὅλον, πρὸς τὴν τῶν οἰκείων μερῶν τε καὶ μορίων ἀναφορὰν ὀνομάζεται. καὶ ἔστιν ὥσπερ τὸ δεξιὸν πρὸς τὸ ἀριστερὸν, καὶ τὸ ἀριστερὸν πρὸς τὸ δεξιὸν, οὕτω καὶ τὸ πᾶν πρὸς τὸ μέρος, καὶ τὸ μέρος πρὸς τὸ πᾶν. εἴ τις οὖν ταύτην φυλάττων τὴν ἔννοιαν, αἱρεῖται μέρος λέγειν, οὐ μόριον, ἢ εἴ τις ἔμπαλιν οὐ μόριον ἀλλὰ μέρος ἐμοὶ μὲν οὐδὲν εἰς τὴν εὕρεσιν τῶν πραγμάτων ἐμποδίζει, δείκνυσι δ' αὑτὸν ὀψιμαθῆ τῆς τῶν Ἑλλήνων φωνῆς. ὥσπερ γε καὶ εἴ τις ὅλον καὶ τὸ πᾶν διορίζει, καὶ οὗτος ἀγνοεῖ τὴν τῶν Ἑλλήνων διάλεκτον. εἴρηται δ' ὡς οἶσθα περὶ τῆς τῶν ὀνομάτων χρήσεως ἐπὶ πλέον ἑτέρωθι. καὶ νῦν ὅσον ἀναγκαῖον, εἰς τὸ προκείμενον δίειμι. τοῦτ' ἐνδεικνύμενος μόνον, ὡς οὐ χρὴ περιέλκεσθαι τοῖς ὀνόμασιν, οὐδὲ τοὺς ἐν τούτοις διαφερομένους, ἤδη καὶ τοῖς πράγμασιν αὐτοῖς ἡγεῖσθαι διαφέρεσθαι. καὶ τούτου δ' αὐτοῦ πάντας, ὡς ἔπος εἰπεῖν, ὁρᾷς ἀγυμνάστους, οὐ τοὺς ἰατροὺς μόνον τοὺς νῦν ὄντας, ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς πλείστους. ὀλίγοι γὰρ αὐτῶν ἴσασι διακρίνειν τὰς ἐν τοῖς ὀνόμασι διαφωνίας τῶν ἐν τοῖς πράγμασιν. ἀλλ' ἐδείχθη καὶ ἡ τούτου μέθοδος ἐν τῇ λογικῇ θεωρίᾳ. καὶ νῦν ἥκει καιρὸς αὐτῆς εἴπερ ποτὲ καὶ ἄλλοτε. τίς δ' ἦν ἡ μέθοδος; ἢ ἀπὸ τῆς τῶν πραγμάτων ἄρξασθαι διαφορᾶς, οὐκ ἀπὸ τῆς τῶν ὀνομάτων. καὶ δεῖξαι λόγου χάριν ἀλλήλοις παρακείμενα τέτταρα πράγματα. κἄπειθ' ἑξῆς ἀποδείξει βεβαιώσασθαι τὸ, μήτε πλείω τούτων εἶναι, μήτ' ἐλάττω τὰ κατὰ τὸ προκείμενον σκέμμα περιεχόμενα. μετὰ τοῦτο δ' ἤδη καὶ καθ' ἕκαστον τῶν πραγμάτων ἴδιον ὄνομα θέμενον, οὕτω περαίνειν ἅπαντα τὸν ἑξῆς λόγον. οὐκέτ' οὐδαμόσε μετατιθέντα καὶ μεταφέροντα τῶν ὀνομάτων οὐδὲν, ἀλλ' ἀκριβῶς διαφυλάττοντα, καθ' οὗπερ ἂν αὐτὸς ἐξ ἀρχῆς ἐπιτίθηται πράγματος. καὶ γὰρ σαφὴς οὕτως ἡ διδασκαλία γίνεται καὶ τῶν παρὰ τὰς ὁμωνυμίας σοφισμάτων ἐκτὸς, καὶ ῥᾳδίως ἐξελέγχεται τὰ μάτην προκείμενα, καὶ διὰ ταχέων εὑρίσκεται τὰ λείποντα, καὶ τά τε διαφωνούμενα, καὶ τὰ συμφωνούμενα, μάλιστα ἐν ταῖς τοιαύταις ἑρμηνείαις ἀκριβῶς γνωρίζεται. λεγέσθω δὴ πάλιν ἡμῖν ἀναλαβοῦσιν, ὄψις μὲν, ὀφθαλμῶν ἐνέργεια, διάλεξις δὲ γλώττης, βάδισις δὲ σκελῶν, ἡ δ' ἐνέργεια πάλιν αὐτὴ, κίνησις δραστική. τούτων δ' αὐτῶν, ἡ μὲν κίνησις, ἐξάλλαξις τοῦ προϋπάρχοντος. ἡ δραστικὴ δὲ ἡ ἐξ ἑαυτοῦ, ὥσπερ γε καὶ παθητικὴ κίνησις, ἡ ἀπό τινος τῶν ἔξωθεν. οἷον ἡ μὲν πτῆσις, ἐνέργεια τοῦ ζώου τοῦ πτηνοῦ, καὶ ἡ βάδισις, τοῦ βαδιστικοῦ. τὸ δ' ὑφ' ἑτέρου φερόμενον ὡς ἀμείβειν τόπους, οὐκ ἐνεργεῖν, ἀλλὰ πάσχειν ἐστὶν, ἐνήργησε μὲν γὰρ ὁ βαδίσας ἐκ Πειραιέως ἐπὶ Σούνιον. ἐκινήθη γὰρ δραστικῶς, τουτέστιν ἐξ ἑαυτοῦ τε καὶ κατὰ τὴν οἰκείαν φύσιν. ἔπαθε δὲ ὁ πλεύσας ἐπὶ τὸ Σούνιον ἐκ τοῦ Πειραιέως. ἠνέχθη γὰρ ὑπὸ τῆς νεώς. ἐπεὶ δ' ἐξάλλαξιν εἶπον εἶναι τοῦ προϋπάρχοντος τὴν κίνησιν, ἐξαλλάττεται δὲ διχῶς τὸ προϋπάρχον, ἢ κατὰ ποιότητα, ἢ κατὰ τόπον. ἡ μὲν οὖν κατὰ τόπον ἐξαλλαγὴ, αὐτοῦ φορὰ ὀνομάζεται. ἡ δὲ κατὰ ποιότητα μεταβολὴ, ἀλλοίωσις. ὥστε εἶναι φορὰν μὲν, ἐξάλλαξιν, ἢ ὑπάλλαξιν, ἢ ἀλλαγὴν, ἢ μεταβολὴν τοῦ προϋπάρχοντος τόπου. ἐξεπίτηδες γὰρ ἐχρησάμην πολλοῖς ὀνόμασιν, αὐτὸ τοῦτ' ἐνδείκνυσθαι βουλόμενος, ὡς ἔνεστι παμπόλλους ὁρισμοὺς ποιεῖν ἑνὸς πράγματος, ἐν ταῖς φωναῖς μόνον, οὐκ ἐν τοῖς νοήμασι διαφέροντας, ἀλλοίωσιν δὲ ἢ μεταβολὴν κατὰ τὸ ποιὸν, ἢ ἀλλαγὴν τῆς προϋπαρχούσης ποιότητος. ἢ ὑπαλλαγὴν

περὶ τὸ ποιόν, ἢ ὑπαλλαξιν ποιότητος, ἢ ὅπως ἂν ἄλλως ἐλπίσῃς μάλιστα συνήσειν τοῦ λεγομένου τοὺς ἀκούοντας. τὸ γὰρ πολυειδὲς τῆς ἑρμηνείας, εἰς ὅσον ἔξω τοῦ χρήσιμον. ἡ μὲν οὖν ὄψις, αὖθις γὰρ ἐπὶ τὸν ὀφθαλμὸν ἰτέον, ἐνέργεια τοῦ μέρους ἐστίν. ὁ δ' ὀφθαλμὸς αὐτός, τὸ τοῦ ζώου μόριον. οὐδὲν γὰρ ὡς εἴρηται διαφέρει μόριον εἰπεῖν, ἢ μέρος. ὄργανον δ' ὀνομάζω μέρος ζώου, τελείας ἐνεργείας ἀπεργαστικόν, οἷον ὀφθαλμὸν ὄψεως, καὶ γλῶτταν διαλέκτου, καὶ σκέλη βαδίσεως. οὕτω δὲ καὶ ἀρτηρία, καὶ φλέψ, καὶ νεῦρον, ὄργανά τε καὶ μόρια ζώων ἐστί. κατὰ ταύτην γοῦν τῶν ὀνομάτων τὴν χρῆσιν, οὐ πρὸς ἡμῶν μόνον, ἀλλὰ καὶ πρὸς τῶν παλαιῶν ἑλλήνων ὡρισθεῖσαν, ὁ μὲν οὖν ὀφθαλμός, ὀνομασθήσεται καὶ μόριον ζώου, καὶ μέρος, καὶ ὄργανον. ὁ δὲ κερατοειδὴς χιτών, μόριον μὲν καὶ μέρος, ὄργανον δ' οὔ. κατὰ ταῦτα δὲ καὶ ὁ ῥαγοειδής, καὶ ὁ ἀραχνοειδής, καὶ ὁ ἀμφιβληστροειδής. ἕκαστος γὰρ τούτων, πρώτων μὲν καὶ μάλιστα, μόριόν ἐστιν ὀφθαλμοῦ. διότι δ' οὗτος προσώπου, διὰ τοῦτο κἀκεῖνοι, κατὰ δεύτερον ἤδη λόγον. οὕτω δὲ καὶ τοῦ σώματος ὅλου. διότι καὶ τὸ πρόσωπον ὅλου τοῦ σώματός ἐστι μόριον. ὁμοιομερὲς δέ ἐστι μόριον, ὡς καὶ τοὔνομα αὐτὸ σαφῶς ἐνδείκνυται, τὸ διαιρούμενον εἰς ὅμοια πάντη μόρια, καθάπερ ἐν ὀφθαλμῷ, τό, θ' ὑαλοειδές, καὶ τὸ κρυσταλλοειδές, καὶ τῶν χιτώνων ἡ ἴδιος οὐσία. δείκνυται δὲ καὶ ταῦτα ἐπὶ πλέον ἐν τοῖς τῶν ἀνατομικῶν ἐγχειρήσεων ὑπομνήμασιν. ἐνταῦθα δὲ ἀρκεῖ μόνον εἰπεῖν, ὧν εἰς τὰ παρόντα δεόμεθα μνημονεῦσαι. δεόμεθα καθ' ἕκαστον μόριον ἐπιδεῖξαι πλείω πράγματα, διαφέροντα μὲν ἀλλήλων, οὐχ ὁρώμενα δὲ ἐνίοις τῶν ἰατρῶν. ἔφαμεν δὲ τοῦτο χρήσιμον ὑπάρχειν εἴς τε τὸ χρῆσθαι τοῖς ὀνόμασιν ὀρθῶς. οὗ περ ἕνεκα καὶ νῦν αὐτὸ μετεχειρισάμεθα. καὶ μέν τοι καὶ πρὸς αὐτὴν τὴν προκειμένην μέθοδον ἀναγκαιότατον ἐπιδειχθήσεται. τὸ μὲν γὰρ ὄργανον ὀφθαλμός, ἐνέργεια δ' ἡ ὄψις. ἐν δ' αὐτῷ τῶν μορίων ὁμοιομερές τε καὶ πρῶτον ὄργανον ὄψεως, τὸ κρυσταλλοειδὲς ὑγρόν, ὡς ἐν τοῖς περὶ αὐτῶν λόγοις ἀποδέδεικται. τοῦτο γάρ ἐστι τὸ δεόμενον ἀλλοιωθῆναι πρός τινος τῶν ἔξωθεν χρωμάτων, ἵν' ἴδῃ τὸ ζῷον. ἀλλοιοῦσθαι δ' οὐ ἠδύνατο, μὴ καθαρὸν ἀκριβῶς καὶ διαφανὲς γινόμενον. οὕτω δ' ἂν καὶ καθαρὸν καὶ διαφανές, οὐκ ἠδύνατο χωρὶς τῆς νῦν ὑπαρχούσης αὐτῆς κράσεως. ἐδείχθη γὰρ ἕκαστον τῶν ὄντων τοιοῦτον ὂν οἷόν πέρ ἐστι, διὰ τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ κρᾶσιν, ὥστ' εἴ τι τούτων ἐξαλλαχθείη μεγάλως, ἢ οὐκ ὄψεται τὸ ζῷον, ἢ κακῶς ὄψεται. ἀλλὰ τοῦτο μὲν οὔπω γινώσκομεν, ἄρτι ἀρχόμενοι ζητεῖν τὴν τέχνην. οὐδὲ χρὴ τῶν ἔπειτά τι μελλόντων ζητεῖσθαι προλαμβάνειν ὡς ἐπισταμένους. οὐδ' ἐγὼ τούτου χάριν ἐμνημόνευσα τῶν ὑπὲρ τοῦ κρυσταλλοειδοῦς μοι δεδειγμένων ἐν ἑτέροις, ἀλλ' ἕνεκα τῆς τῶν νῦν μελλόντων ῥηθήσεσθαι σαφηνείας. ὁρῶντος γὰρ ὀφθαλμὸν ἀκριβῶς ἐνεργοῦντα, καὶ αὖθις μὴ βλέποντα, καὶ τὸ μὲν, ὑγείαν αὐτοῦ, τὸ δέ, νόσον, ἢ πάθος, ἢ ὅ, τι βούλει καλοῦντος, οὐδὲν γὰρ τοῦτο διαφέρει πρός γε τὰ παρόντα, ζητοῦμεν ἑξῆς, τίς ποτ' ἐστὶν ἡ τῆς βλάβης αἰτία. πόθεν φήσεις ἐπὶ τοῦτ' ἐλθόντος; ἐξ ἀναποδείκτου μὲν ἀξιώματος, ὁμολογουμένου δὲ πᾶσιν, ὅτι πρὸς τὴν νόησιν ἐναργὲς ὑπάρχει. τί δὲ τοῦτ' ἐστί; τό, μηδὲν χωρὶς αἰτίας γίνεσθαι, τούτου γὰρ μὴ συγχωρηθέντος, οὐδὲ ζητεῖν δυνάμεθα τὴν αἰτίαν τοῦ βεβλάφθαι τὴν ὄψιν, ἢ ἀπολωλέναι παντελῶς. ἀλλ' ἐπὶ τῶν πρὸς νόησιν ἐναργῶν ἐστιν, ὑποθέμενοί τινα τῆς βλάβης ὑπάρχειν αἰτίαν, ἐπὶ τὸ ζητεῖν αὐτὴν ἀφικνούμεθα. ταύτην οὖν τὴν αἰτίαν, εἴτε διάθεσίν τινα σώματος, εἴτε πως διακείμενον σῶμα προσαγορεύειν ἐθέλοις, οὐδὲν μὲν εἴς γε τὰ παρόντα διαφέρει. πάντως δ' οὖν ἤτοι τὸ νόσημα αὐτὸ φήσεις ὑπάρχειν αὐτήν, ἢ εἴπερ τὸ νόσημά ἐστιν ἡ βλάβη τῆς ἐνεργείας, ἡ βλάπτουσα διάθεσις αὐτήν, αἰτία τοῦ νοσήματος ὑπάρξει. καὶ γίνεται κἀνταῦθα πάλιν ὑπὲρ ὀνόματος ἡ ἀμφισβήτησις. ἤτοι τὴν ἐν τοῖς ὀφθαλμοῖς διάθεσιν, ὑφ' ἧς ἡ ὄψις βλάπτεται νόσον ἡμῶν ὀνομαζόντων, ἢ αὐτὴν τὴν βλάβην τῆς ἐνεργείας. ἀλλ' εἴτε τὴν βεβλαμμένην ἐνέργειαν ἐθέλοι τις ὀνομάζειν νόσον, ἀνάγκη δή που τοῦτον πολὺ πρότερον ὑγείαν ὑποθέσθαι τὴν κατὰ φύσιν ἔχουσαν ἐνέργειαν, εἴτε τὴν διάθεσιν ὑφ' ἧς ἡ ἐνέργεια βλάπτεται, καὶ τοῦτον πολὺ πρότερον ἐπὶ τῆς κατὰ φύσιν ἤτοι διαθέσεως, εἴτε καὶ κατασκευῆς ἐθέλει καλεῖν, ἐπιφέρειν τὸ τῆς ὑγείας ὄνομα. τὸ δ' ἐν ταῖς ἐνεργείαις ὑποθέμενον εἶναι τὴν ὑγείαν, ἐν ταῖς διαθέσεσιν ὑπολαμβάνειν συνίστασθαι τὴν νόσον, ἢ ἔμπαλιν. ἐν μὲν τῇ κατασκευῇ τῶν μορίων τὴν ὑγείαν, ἐν δὲ τῇ βλάβῃ τῶν ἐνεργειῶν τὴν νόσον, ἄξιον τῶν τε ἄλλων μεθοδικῶν ἐστι, καὶ δὴ καὶ τοῦ τῆς ἐμπληξίας αὐτῶν ἀρχηγοῦ Θεσσαλοῦ. πάντες γοῦν σχεδὸν οἱ ἀπὸ τῆς ἀμεθόδου τε καὶ μανιώδους ταύτης αἱρέσεως, τὴν μὲν ὑγείαν, εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργειῶν εἶναί φασι καὶ ἰσχύν. τὴν δὲ νόσον, οὐκ ἔτι βλάβην ἐνεργείας καὶ ἀσθένειαν, ἀλλ' οἱ μέν, διάθεσίν τινα σώματος, οἱ δὲ σῶμα πῶς διακείμενον, ἧς τίς ἂν εὑρεθείη μείζων ἐμπληξία. τοῦτο μὲν γάρ τοι κἂν ὁ τυχὼν ἐξεύροι τὸ μὴ δεῖν ἐν ἑτέρῳ μὲν γένει, τὴν ὑγείαν, ἐν ἑτέρῳ δὲ τὴν νόσον, ἀλλ' ἐν ταὐτῷ πάντως ἄμφω τίθεσθαι. τὰ γὰρ ἐναντία, κατὰ πλεῖστον ἐστὶν ἀλλήλων διεστηκότα ἐν τῷ αὐτῷ γένει, καθάπερ λευκὸν καὶ μέλαν, ἓν γὰρ ἀμφοῖν γένος τὸ χρῶμα. καὶ τοίνυν εἴπερ ἐναντία ἐστὶν ὑγεία καὶ νόσος ἐν ᾧ περ ἂν ᾖ τῷ γένει τῶν κατὰ φύσιν ἡ ὑγεία, τούτου τοῦ γένους ἐν τῷ παρὰ φύσιν ἡ νόσος ὑπάρξει. ὥστε εἰ μὲν ἐνέργεια κατὰ φύσιν ἡ ὑγεία, πάντως δή που παρὰ φύσιν ἐνέργειά τις ἡ νόσος ἐστίν. εἰ δ' ἤτοι διάθεσίς τις, ἢ κατασκευὴ κατὰ φύσιν ἡ ὑγεία ἐστί, καὶ ἡ νόσος ἐξ ἀνάγκης ἔσται διάθεσίς τις ἢ κατασκευὴ παρὰ φύσιν. ὁ μὲν οὖν Θεσσαλός, οὐδ' ἐπεχείρησεν ὅλως ἀφορίσασθαι νόσον, ἀλλὰ χρὴ μαντεύεσθαι κατά τινος ἐπιφέρει τοὔνομα πράγματος. ὅτι μὲν γὰρ οὐδὲν διαφέρειν ἡγεῖται νόσημα πάθους, ἐπιδεῖξαί μέν σοι δι' αὐτῶν τῶν συγγραμμάτων αὐτοῦ, παράλληλα τιθέντος ἄμφω, καὶ μεταλαμβάνοντος ἑκάτερον εἰς θάτερον, ὡς οὐδὲν διαφέρον, ἢ οὕτως ἢ ἐκείνως εἰπεῖν. οἱ δ' ἀπ' αὐτοῦ πάντες ἄνω καὶ κάτω στρέφονται, λογιζόμενοί τε, καὶ παρακαλυπτόμενοι, καὶ πάντα ποιοῦντες ὡς ἤτοι παντάπασιν ἀσαφῶς εἰπεῖν, ἢ μὴ δ' ὅλως ὥσπερ αὐτὸς ὁ Θεσσαλός, καὶ πρὸ τούτου Θεμίσων, ὁ τὴν ῥίζαν αὐτοῖς τῆς ἐμπληξίας ταύτης ὑποθέμενος. εἰ δή σοι τὰ Πρόκλου καὶ Ῥηγίνου καὶ Ἀντιπάτρου λέγοιμι, καὶ πρὸς τούτοις Εὐδήμου καὶ Μνασέου καὶ Φίλωνος καὶ Διονυσίου, λάθοιμ' ἂν ἐμαυτὸν ἐκπεσὼν τῆς προκειμένης νῦν πραγματείας, ἐπιστημονικῆς τε οὔσης καὶ τὸ χρήσιμον αὐτὸ πειρωμένης ἐκδιδάσκειν. ἀλλὰ τῆς μὲν ἐκείνων διαφωνίας, ἴσως ἂν ποτε καὶ ὕστερον εἴη μνημονεῦ-

μνημονεῦσαι. καὶ σὺν αὐτοῖς γε τοῖς νῦν εἰρημένοις, τοῦ πάντα σοφωτέρου τοῦ ταράξαντός τε καὶ συγχέαντος αὐτῶν τὰ πράγματα Μνημάχου, καὶ τοῦ ληρώδους Ὀλυμπικοῦ, καὶ μετ' αὐτόν, Ἀπολλωνίδου. καὶ Σωρανοῦ. καὶ τοῦ νῦν ἔτι ζῶντος Ἰουλιανοῦ. τούτῳ μέν γε καὶ ἡμεῖς ἐνετύχομεν, ἵνα καὶ παρὰ ζῶντος ἀνθρώπου φωνῆς ἐκμάθωμεν λήρους μακρούς. εἶχε δ' οὖν οὐδ' οὗτος λέγειν ὅ, τι ποτ' ἐστὶ πάθος καὶ νόσημα. καὶ τεκμήριόν γε τούτου μέγιστον. ἐτῶν γὰρ ἤδη πλειόνων ἢ εἴκοσι γεγονότων ἐξ οὗ πρὸς ἡμᾶς ἐπὶ τῆς Ἀλεξανδρείας αὐτῷ τούτῳ συνεγενόμεθα, γεγραφὼς εἰσαγωγὰς ἄλλας ἐπ' ἄλλαις, ἀεὶ γὰρ αὐτὰς μετατίθησί τε καὶ μεταρρυθμίζει, τῷ μηδέποτ' ἀρκεῖσθαι ταῖς γραφείσαις, κατ' οὐδεμίαν αὐτῶν ἐτόλμησεν εἰπεῖν, ὅ, τι ποτ' ἐστὶ νόσος. καίτοι γε μηδὲ ἓν πρὸς ἔπος, ἐν αὐταῖς διεξέρχεται, μέχρι τοῦ καὶ τὰ τοιαῦτα ζητεῖν εἰ ζωγραφία χρήσιμος ἰατροῖς ἐστιν. ἀλλ' ὅμως τοσαῦτά τε καὶ τοιαῦτα γράφων, καὶ δῆλος ὢν ὥσπερ καὶ Μνήμαχος, ὅτι σαφῶς ἔγνωκε τῆς μεθοδικῆς αἱρέσεως τὴν ἀτοπίαν, οὐδέπω καὶ τήμερον ἔγραψεν ἐν ταῖς εἰσαγωγαῖς, ὅτι ποτὲ νόσον ἢ πάθος ὀνομάζει. ἐμοὶ δ' οὖν ἐρωμένῳ ποτ' αὐτόν, οὕτω μακρῶς τε ἅμα καὶ ἀσαφῶς διῆλθεν, ὡς ὧν μὲν ἔλεγε, συνιέναι μηδενός, ἀναγκασθῆναι δέ γε τό γε τοσοῦτον εἰπεῖν πρὸς αὐτόν, ὡς διαφέρεσθαί μοι δοκοίη πρὸς Ὀλυμπικόν, καίτοι πάππον αὐτῆς τῆς διδασκαλίας ὄντα. μαθητὴς γάρ ἐστιν οὗτος ὁ Ἰουλιανὸς Ἀπολλωνίδου τοῦ Κυπρίου. ἐκεῖνος δ' ἦν Ὀλυμπικοῦ φοιτητής. ὁ τοίνυν Ὀλυμπικός, ὡς ἔφην ὁρίσασθαι τολμήσας ὑγείαν τε καὶ πάθος, τὴν μὲν ὑγείαν, διάθεσιν ἔφησεν εἶναι κατὰ ἐκτότητα νόσου, τὸ δ' αὖ πάθος, ῥοπὴν τῆς κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐπίμονον. ἔστι μὲν δὴ καὶ τούτων ἑκάτερον, ἀλογίας παμπόλλης ἀνάπλεων. ἣν καὶ τότε διῆλθον τῷ Ἰουλιανῷ, καὶ νῦν τῶν κεφαλαίων ἐρῶ. τὸ γοῦν συγχέον ἔφην ἐστὶν ἐκεῖνο, τὸ μὴ μόνον ἁπλῶς οὕτως εἰπεῖν τὸν Ὀλυμπικόν, ὑγείαν εἶναι διάθεσιν κατὰ ἐκτότητα νόσου, ἀλλὰ προσθεῖναι τῷ λόγῳ ἣν διάθεσιν ὁριζόμεθα εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργημάτων καὶ ἰσχύν. οὐ γὰρ ἔχω συμβαλεῖν, εἴτε ἐν τῇ τῶν ἐνεργειῶν εὐσταθείᾳ μόνῃ τὴν ὑγείαν, εἴτε ἐν τῇ τοῦ σώματος διαθέσει, εἴτ' ἐν ἀμφοῖν ὑποτίθεται. τάχα δ' ὥσπερ εἴωθε χρῆσθαι τοῖς τῶν Ἑλλήνων ὀνόμασιν ἀλλοκότως τε καὶ τεταραγμένως, ἅμα τοῖς ἄλλοις ἅπασι μεθοδικοῖς, οὕτω καὶ νῦν, οὐκ ἐπὶ τὸ σῶμα τὴν διάθεσιν, ἀλλ' ἐπὶ τὰς ἐνεργείας ἀναφέρει, ὥστε ἡμᾶς ἀκοῦσαι τοῦ λόγου κατὰ τοῦτον τὸν τρόπον, ὑγεία ἐστὶ διάθεσις ἐνεργειῶν κατὰ ἐκτότητα νόσου. δίκαιον δ' ἦν οἶμαι προσθεῖναι τῷ λόγῳ δυοῖν θάτερον αὐτόν. ἢ ἐνεργειῶν, ἢ σώματος, ἵν' ἤτοι γένηται τοιοῦτος ὁ λόγος, ὑγεία ἐστὶ διάθεσις ἐνεργειῶν κατὰ ἐκτότητα νόσου, ἢ καὶ διὰ τοιοῦτος, ὑγεία ἐστὶ διάθεσις σώματος κατὰ ἐκτότητα νόσου. καὶ μέν γε καὶ εἰ ἄμφω συνθεῖναι προῄρητο, καὶ οὕτως ἐνεχώρει, σαφῶς τε ἅμα καὶ διὰ βραχέων εἰπεῖν, ὑγεία ἐστὶ διάθεσις ἐνεργειῶν τε καὶ σώματος κατὰ ἐκτότητα νόσου. τί δ' ὅταν ἐπιφέρων εἴπῃ. ἣν διάθεσιν ὁριζόμεθα εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργημάτων καὶ ἰσχύν. πότερον, μέρος ὑποληπτέον εἶναι τοῦτο τοῦ προειρημένου καὶ χρὴ συνάπτειν ἡμᾶς ὅλον τὸν λόγον ὧδέ πως; ὑγεία ἐστὶ διάθεσις σώματος κατὰ ἐκτότητα νόσου, καὶ εὐστάθεια τῶν κατὰ φύσιν ἐνεργημάτων καὶ ἰσχύς, ἢ τέλειός ἐστιν ὁ λόγος οὗτος αὐτὸς καθ' ἑαυτὸν ὅ, τι ποτ' ἐστὶν ὑγεία διδάσκων, ὥσπερ γε καὶ ἤρεσεν ἐνίοις τῶν μεθοδικῶν εὐστάθειαν ἀποφηναμένοις εἶναι τῶν κατὰ φύσιν ἐνεργειῶν τὴν ὑγείαν. ἀλλ' εἴπερ οὗτος τέλειος ὁ προειρημένος, οὐκ οἶδ' ὅ, τι διδάσκει διάθεσιν εἶναι λέγων τὴν ὑγείαν. ἐκεῖνο μὲν γὰρ οὗ ἔφη, τὸ κατὰ ἐκτότητα νόσου, τοιοῦτόν ἐστιν, οἷον καὶ παιδία γελάσαι. εἰ γὰρ δὴ συγχωρήσομεν οὕτως ὁρίζεται, δηλονότι καὶ ἡ νόσος ἔσται διάθεσις σώματος, κατὰ ἐκτότητα ὑγείας. ἵνα ἕκαστος τῶν ὅρων ἡμῖν, οὐ τοῦ τί ποτ' ἐστὶ τὸ ὑποκείμενον, ἀλλὰ τοῦ τί ποτ' οὐκ ἔστι, γίνηται διδάσκαλος. ἐάσθω δ' ἔφην εἰ βούλει καὶ ταῦτα. καὶ γὰρ πάρεργά πως ἐστίν. ἀλλ' ἐκεῖνό γε παρελθεῖν τε καὶ παριδεῖν οὐκ ἐγχωρεῖ, τὸ κατὰ μὲν τὴν τῆς ὑγείας διδασκαλίαν, ἅπαντα προσέχεσθαι ταῖς ἐνεργείαις ἤτοι μόναις, ἢ μετὰ τοῦ συγχέαι καὶ περιπλέξαι, καὶ ἀναμῖξαί πως ἀσαφῶς τὸ τῆς διαθέσεως ὄνομα, καθάπερ ὁ Ὀλυμπικός. ἐν δὲ τῷ, τοῦ πάθους οὐκέτι μεμνῆσθαι τῶν ἐνεργειῶν. ἀπέχρησε γὰρ εἰπεῖν αὐτῷ, πάθος ἐστὶ τροπὴ τοῦ σώματος ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐπίμονος. ἐχρῆν δ' ἔφην ἐν ταῖς ἐνεργείαις ἢ ἐν ταῖς διαθέσεσιν, ἄμφω τεθεῖσθαι αὐτόν. ὁ δέ μοι πρὸς ταῦτ' ἀπεκρίνατο, καὶ ἤδη μέν σοι πολλάκις εἰπὼν ἱερῶν κράτιστε, καὶ νῦν τ' ἀναμνῆσαι προσήκει, τὸ μηδὲν εἶναι θαυμαστόν, ἐν μὲν τῇ τῶν ἐνεργειῶν εὐσταθείᾳ, σὺν ἰσχύϊ τετάχθαι τὴν ὑγείαν, ἐν δὲ τῇ παρὰ φύσιν τοῦ σώματος διαθέσει, τὴν νόσον, οὐ γάρ ἐστιν ἐναντία καθάπερ σὺ νομίζεις ἔφησεν. ἔστι γάρ τι μέσον αὐτῶν, ὃ μήθ' ὑγεία, μήτε νόσος ἐστίν. ἀκούσας οὖν ἐγὼ τὸν λόγον τοῦτον, ἐχωρίσθην ἐκπεπληγμένος τε καὶ λυπούμενος ἅμα, χρὴ γὰρ ὁμολογεῖν τὸ συμβάν, ἔμπροσθεν μὲν γὰρ, οὐδενὶ τῶν ἐν τοιαύτῃ δόξῃ τελέως ἐντετυχήκειν ἐμπλήκτῳ, τότε δ' ἐντυχὼν πρῶτον, εἰκότως ἐξεπλάγην. οὐχ ὅτι μόνος ἐκεῖνος οὕτως ἦν ἀναίσθητος, ἀλλ' ὅτι πολλῷ σκαιοτέρους ἑαυτοῦ τοσούτους εἶχε μαθητάς. οἱ κατὰ τὴν αὐτὴν ἀρχὴν τῆς διδασκαλίας ὁρῶντες οὕτως ἐσφαλμένους τοὺς μεθοδικούς, οὐκ ἀφίστανται τῆς αἱρέσεως. ἢ εἴπερ οὐδ' ὅλως ὁρῶσι, τελέως εἰσὶν ἀπόπληκτοι. τί γὰρ δὴ καὶ πρὸς ἔπος, οὐκ εἶναι τὴν νόσον ἐναντίον ὑγείᾳ, διότι μέσον αὐτῶν ἐστί τι. δῆλον γὰρ ὡς οὐδὲ τὸ λευκὸν ἐναντίον ἔσται τῷ μέλανι, διότι μέσον αὐτῶν ἐστι τὸ ξανθόν τε καὶ τὸ φαιόν, ἐρυθρόν τε καὶ ὠχρόν, ἕκαστόν τε τῶν ἄλλων χρωμάτων, οὐδὲ τὸ θερμὸν τῷ ψυχρῷ. καὶ γὰρ καὶ τούτων ἐστὶ μέσα, χλιαρόν τε καὶ εὔκρατον. οἱ μὲν δὴ σοφώτατοι μεθοδικοὶ κατὰ τὴν ἀρχὴν εὐθέως πεπτωκότες, οὐ σμικρόν, οὐδὲ τὸ τυχὸν πτῶμα, τί ἂν ἔτι τῶν ἐφεξῆς ἀληθῶν καταμάθοιεν; οὐδὲ ἓν δή που. δειχθήσεται γὰρ ἅπαντα τὰ κατὰ τὴν ἰατρικὴν τέχνην ἐκ τούτων ἠρτημένα, καὶ δεόντως. εἴπερ ἐν ταῖς μεθόδῳ τινὶ συνισταμέναις τέχναις, ἀρχὴ τῆς συστάσεως ἡ τοῦ τέλους ἐστὶν ἔννοια, πεπλημμέληται μὲν οὖν καὶ ἄλλοις πολλοῖς εἰς τὴν τοῦ τέλους ἔννοιαν οὐκ ὀλίγα. τῶν μέν, τὸ ὑγιάζειν ὡς τὸ πολὺ τέλος εἶναι λεγόντων τῆς ἰατρικῆς, τῶν δέ, τὰ σύμφορα πράττειν ὡς πρὸς τὴν ὑγείαν, τῶν δ' ἐκκόπτειν τὰς νοσώδεις αἰτίας, τῶν δὲ τὰ παρ' ἑαυτῶν ἅπαντα ποιεῖσθαι, τῶν δ' ὡς ἂν ἑκάστῳ πρέπῃ καὶ δέῃ, καὶ περὶ τούτων ἴδια διορίσασθαι. ἀλλ' οὐδεὶς οὕτως ἔμπληκτος, ὡς ἐν ἄλλῳ μὲν γένει τὴν ὑγείαν, ἐν ἄλλῳ δὲ ὑποθέσθαι τὴν νόσον. ἀλλ' ἤτοι ταῖς κατὰ φύσιν ἐνεργείαις προσέχων, ἢ ταῖς κα-

τασκευαῖς τῶν μορίων, ἃς ἔνιοι διαθέσεις ὀνομάζουσιν. εἴτε δ' ἐν ταῖς κατὰ φύσιν ἐνεργείαις ἐστὶ τὸ ὑγιαίνειν, ἐν ταῖς παρὰ φύσιν ἔσται τὸ νοσεῖν. εἴτε ἐν ταῖς κατασκευαῖς ταῖς κατὰ φύσιν, ἐν ταῖς παρὰ φύσιν ἔσται κατασκευαῖς ἡ νόσος. εἴτ' ἐν ταῖς διαθέσεσιν, ἐν ταύταις ἔσται καὶ τὸ νοσεῖν. οὐδὲ γὰρ οὐδὲ βαθείας τινὸς εἰς ταῦτα θεωρίας ἐστὶ χρεία. μόνον δ' ἀπόχρη τὸ μὴ διεστράφθαι. τίς γὰρ οὐκ οἶδεν, ὡς εἰ τὸ βλέπειν ὑγιαίνειν ἐστὶν, ὅτι τὸ νοσεῖν ἔσται τὸ ἀμβλυώττειν, ἢ ὅλως τὸ μὴ βλέπειν. τίς δ' οὐ συνίησιν ὡς εἰ τὸ ἀκούειν ὑγιαίνειν ἐστὶν, ὅτι νοσεῖν ἔσται τό, τε μόγις ἀκούειν, καὶ τὸ μηδ' ὅλως ἀκούειν. οὕτω δὲ καὶ εἰ τὸ πέττειν ὑγιαίνειν ἐστὶ, τὸ ἀπεπτεῖν τε καὶ δυσπεπτεῖν, ἔσται νοσεῖν. καὶ εἰ τὸ κινεῖσθαι καθ' ὁρμὴν ἐστὶν ὑγεία, νόσος ἂν εἴη δήπου, σπασμὸς, καὶ παλμὸς, καὶ παράλυσις, καὶ τρόμος, καὶ συλλήβδην εἰπεῖν, ἅπαν ὅ, τί περ ἂν ἤτοι τελέως ἀναιρεῖ τὴν καθ' ὁρμὴν κίνησιν, ἢ ἐμποδίζει γέ πως αὐτήν. ὡσαύτως δὲ, εἰ τὸ κατὰ φύσιν αἰσθάνεσθαι τῆς ὑγείας ἐστὶν, ἡ ἀναισθησία, καὶ δυσαισθησία, καὶ νάρκη, καὶ ὀδύνη, νόσοι γενήσονται. καὶ εἰ τὸ τεταγμένως ἀναπνεῖν ὑγεία, ἄπνοια καὶ δύσπνοια νόσος. ἀλλ' εἴπερ ταῦτα νόσοι, πρόδηλον ὡς αἱ διαθέσεις τῶν μορίων ὑφ' ὧν ἀποτελοῦνται, νόσων εἰσὶν αἰτίαι. καὶ οὐ χρὴ λέγειν οὔτε φλεγμονὴν, οὔτε σκίρρον, οὔτ' ἐρυσίπελας, οὔτε ἀπόστασιν, οὐθ' ἕλκος, οὔτε οἴδημα, νοσήματα. καὶ εἴπερ ταῦτα νοσήματα, πρόδηλον ὡς οὐδὲν ἐκείνων νόσημα. δύο γάρ ἐστι γένη πραγμάτων οὐδὲν ὁμοίων ἀλλήλοις, ἀλλὰ πάντη τε διαλλαττόντων, καὶ ὅλῃ τῇ φύσει διαφερόντων. ὀνομάζουσι δὲ τὸ μὲν ἕτερον τῶν γενῶν, σῶμα. τὸ δ' ἕτερον, ἐνέργειαν. ὀφθαλμὸς μὲν οὖν καὶ γλῶττα, καὶ οὖς, καὶ σκέλος, ἕκαστόν τε τῶν τοιούτων, σῶμα πῶς ἔχον ἐστίν. ὄψις δὲ, καὶ ἀκοὴ, καὶ διάλεξις, καὶ βάδισις, ἐνέργειαι τῶν εἰρημένων σωμάτων. εἴπερ οὖν ἐν τῷ πῶς ἔχειν τὰ σώματα τὸ νοσεῖν ἐστὶν, ἐν τῷ πῶς ἔχειν τὰς ἐνεργείας, τὸ νοσεῖν οὐκ ἔσται. εἰ δέ γ' ἐν τούτῳ τὸ νοσεῖν εἴη, πρόδηλον αὖ πάλιν, ὡς οὐκ ἔστιν ἐν τῇ τῶν σωμάτων διαθέσει. τὸ μέντοι τὴν μὲν διάθεσιν αἰτίαν εἶναι, τὴν δὲ ἐνέργειαν τὸ γιγνόμενον ὑπὸ τῆς τοῦ σώματος διαθέσεως, ὁμολογεῖσθαι χρὴ καὶ φυλάττεσθαι παντὸς μᾶλλον. ὥστε καὶ ὅς τις ἀγνοεῖ τοῦτο, περί τι τῶν ἀναγκαίων ἔσφαλται πραγμάτων. ὁ δ' ἤτοι τὴν βλάβην τῆς ἐνεργείας, ἢ τὴν διάθεσιν τοῦ σώματος ὀνομάζων νόσημα, κἂν εἰ μὴ δεόντως ὀνομάζοι, δύναται γοῦν ὀρθὴν ἔχειν τὴν δόξαν ὑπὲρ αὐτῶν τῶν πραγμάτων. ἔστι δ' οὐκ ἐκ τῶν ὀνομάτων τὸ καλῶς ἰᾶσθαι τὰς νόσους, ἀλλ' ἐκ τῆς τῶν πραγμάτων ὀρθῆς ὑπολήψεως. εὐθὺς δὲ καὶ τοῦτ' αὐτὸ, πολλοὺς τῶν ἰατρῶν ἐστιν εὑρεῖν ἀγνοοῦντας, καὶ νομίζοντας ἐν πράγμασί τι διαφέρεσθαι, τούς τε τὰς διαθέσεις τῶν σωμάτων ἡγουμένους εἶναι νοσήματα, πρὸς τοὺς ἐν ταῖς βλάβαις τῶν ἐνεργειῶν ὑπολαμβάνοντας αὐτὰ συνίστασθαι. καὶ τούτων πάντων τῶν ἁμαρτημάτων, ὅπερ εἴρηταί τε πολλάκις ἤδη, καὶ αὖθις εἰρήσεται, ἓν αἴτιον ὑπάρχει, τὸ μὴ γεγυμνάσθαι κατὰ τὴν λογικὴν μέθοδον τοὺς ἐπιχειροῦντας ὁτιοῦν ἀποδεικνύειν λογικῶς, ἀλλ' ἅμα μὲν ἀναχωρεῖν τῆς ἐμπειρίας, ὡς γεγυμνασμένους τὸν λογισμόν, ἅμα δ' ἀγυμνάστους ὄντας ἐν αὐτῷ, σφάλλεσθαι μέγιστα. μυριάκις γοῦν ὑπὲρ ὀνομάτων αὐτοὺς εὑρίσκω διαφερομένους, ὡς ὑπὲρ πραγμάτων. αὖθις δ' αὖ εἰ τύχοι πρᾶγμά τι μέγιστον ἀγνοοῦντες, ὄνομα νομίζουσιν ἀγνοεῖν. ὥσπερ γε κἀπὶ τοῦ προκειμένου νῦν ἡμῖν οὐκ ἴσασι διακρίνειν. ὡς ἡ μὲν κατασκευὴ τῶν σωμάτων, αἰτίας ἔχει λόγον. ἡ δ' ἐνέργεια, τὸ πρὸς ἐκείνης ἐστὶν ἀποτελούμενον. οὐδ' ὡς τὸ θεραπευόμενον, ἡ τοῦ σώματός ἐστι διάθεσις. ἕπεται γὰρ ἐξ ἀνάγκης ταύτῃ κατὰ φύσιν μὲν ἐχούσῃ, κατὰ φύσιν ἐνεργεῖν, ἐξισταμένῃ δὲ τοῦ κατὰ φύσιν, εὐθὺς καὶ τὴν ἐνέργειαν εἰς τὸ παρὰ φύσιν ἐκτρέπειν. ἐν τούτῳ δὲ τὸ πᾶν ἐστι. καὶ τοῦτο ἀρχὴ καὶ οἷον στοιχεῖόν τι πρῶτον ἁπάσης τῆς θεραπευτικῆς ὑπάρχει μεθόδου. τὸ δὲ εἴτ' αὐτὸ τοῦτο χρὴ προσαγορεύειν νόσον, εἴτε τὴν βλάβην τῆς ἐνεργείας, ὑπὲρ ὀνόματός ἐστιν ἀμφισβητούντων. εἰρήσεται μὲν οὖν τί μοι καὶ περὶ τῆς τῶν ὀνομάτων χρήσεως, ὥσπερ εἴρηται καὶ πρόσθεν ἤδη δι' ἑτέρων. ἀλλὰ νῦν οὔπω διαστέλλομαι περὶ αὐτῶν, ἵν' ἔργῳ τοῦτ' αὐτὸ μᾶλλον βεβαιώσωμαι, καὶ δείξω τίς ἀρχὴ καὶ ῥίζα τῆς θεραπευτικῆς ἐστι μεθόδου, περὶ ἣν εὐθὺς ἄλλοι τε πολλοὶ τῶν λογικούς τε καὶ δογματικοὺς ἑαυτοὺς ὀνομασάντων, καὶ οἱ βέλτιστοι σφάλλονται μεθοδικοί. τοῦτο μὲν οὖν καὶ ἤδη πως φαίνεται τοῖς συνετοῖς, ὡς οὐδὲν ἄλλο ἐστὶ τὸ θεραπευόμενον ὑπὸ τῶν ἰατρῶν, πλὴν ἡ τῶν σωμάτων διάθεσις, ὡς ἐν τῷ μετὰ ταῦτα λόγῳ δειχθήσεται. τὸ δὲ τὴν ἄγνοιαν ἐπανορθώσασθαι τῶν μὴ γινωσκόντων ὅσα τὰ σύμπαντα ἐστὶ πράγματα κατὰ τὸν ἐνεστῶτα λόγον ἀλλήλοις παρακείμενα, νῦν ἡμῖν προύκειτο. φαίνεται γὰρ ἓν μέντοι γένος εἶναι τῶν σωμάτων αὐτῶν, ἕτερον δὲ τὸ τῶν ἐνεργειῶν. καὶ τὸ μὲν τῶν σωμάτων, ἡγεῖσθαί τε καὶ ποιεῖν τὰς ἐνεργείας. ἕπεσθαι δ' ἐκείνας, κατὰ φύσιν μὲν ἔχουσι τοῖς σώμασιν, ἀμέμπτως τε καὶ κατὰ φύσιν αὐτὰς διακειμένας. παρὰ φύσιν δ' ἐχόντων, ἢ μὴ γιγνομένας παντάπασιν, ἢ παραποδιζομένας γε πάντως. τρίτον δ' ἐπὶ τούτοις ἐστὶ γένος, τὸ τῶν ἐργαζομένων τὰς διαθέσεις αἰτίων. ὃν γὰρ ἡ διάθεσις ἔχει πρὸς τὴν ἐνέργειαν λόγον, τοῦτον ἕτερόν τι χρὴ πάντως ἔχειν πρὸς τὴν διάθεσιν, ἑνὶ μόνῳ διαλλάττον, τῷ, τὴν μὲν διάθεσιν, ἅμα ταῖς ἐνεργείαις ὑπάρχειν, καὶ μὴ δύνασθαί ποτε, μήτε τὴν κατορθουμένην ἐνέργειαν εἶναι χωρὶς τῆς τῶν σωμάτων κατὰ φύσιν διαθέσεως, μήτε τὴν βεβλαμμένην, ἄνευ τοῦ καὶ τὰ σώματα βεβλάφθαι. τὰ δ' αἴτια τῆς διαθέσεως ταύτης τῆς ἐμποδιζούσης τὴν ἐνέργειαν, δύναται μὲν καὶ μηκέτ' εἶναι, δύναται δὲ καὶ νῦν ἔτι παραμένειν. ἕτερα δ' οὖν πάντως ἐστὶ τῶν διαθέσεων αὐτῶν ταῦτα, καὶ τοῦτο τρίτον εὕρηται γένος ἕτερον, ἐνεργείας τε καὶ τῆς ἐργαζομένης αὐτὴν διαθέσεως. ἐπ' αὐτῷ δ' ἄλλο τέταρτον γένος διαθέσεως, ὅσα τοῖς σώμασιν ὑπάρχει, κατὰ φύσιν τε καὶ παρὰ φύσιν ἔχουσι, μηδὲν μήτ' ὠφελοῦντα, μήτε βλάπτοντα τὰς ἐνεργείας. οἷον, εἰ τύχοι τὸ χρῶμα τοῦ σώματος πάντως ἢ μέλαν ἐκ λευκοῦ γιγνόμενον, ἐν ἡλίῳ διατριψάντων ἐπὶ πλέον, ἢ λευκὸν ἐκ μέλανος, ἐν σκιᾷ διαιτηθέντων, ἢ ἐρυθρὸν λουσαμένων ἢ ὠχρὸν, φοβηθέντων. οὔτε γὰρ ἐνέργεια τοῦτ' ἐστὶν, οὔτε διάθεσις σώματος ἐνεργείας αἰτία. καὶ πολὺ δὴ μᾶλλον, οὐδ' ἡ τὰς παρὰ φύσιν ἐργαζομένη διαθέσεις αἰτία. σύμπτωμα δ' ἐστὶ συμβαῖνον ἐξ ἀνάγκης ἐπὶ ταῖς διαφόροις τῶν σωμάτων ἀλλοιώσεσιν, εἴτ' οὖν κατὰ φύσιν, εἴτε καὶ παρὰ φύσιν ἔχοιεν. ἐπειδὴ τοίνυν ἤδη τέτταρα γένη διώρισται. κἄν τις ταῦτα γινώσκειν ἅμα μὴ, τὸ καλῶς ἄρχεσθαι τῆς

θεραπευτικῆς

θεραπευτικῆς μεθόδου λέξομεν ὑπάρχον, ἐξέστω λοιπὸν τῷ βουλομένῳ κατ᾽ αὐτῶν ἃς ἂν ἐθέλῃ τίθεσθαι προσηγορίας, οἷον, εἰ βούλοιτο τὴν μὲν παρὰ φύσιν τῶν σωμάτων διάθεσιν, ὅταν ἐνέργειάν τινα βλάπτῃ, νόσημα προσαγορευέτω, αὐτὴν δὲ τὴν βλάβην τῆς ἐνεργείας, ἐξαίρετόν τι σύμπτωμα νοσήματος. ὅσα δ᾽ ἄλλως συμβέβηκεν, ὥσπερ τὰ χρώματα, καὶ ταῦτ᾽ εἰ βούλοιτο καλείτω συμπτώματα, διοριζέτω μέντοι τῆς βλάβης τῶν ἐνεργειῶν αὐτά. καὶ εἴπερ ἐκεῖνα ἐξαίρετα συμπτώματα νοσημάτων ὀνομάζει, ταῦτ᾽ οἰκεῖά τε καὶ ἴδια καλείτω. καί τινα πρὸς τούτοις εἰ βούλοιτο, μήτ᾽ οἰκεῖα, μήτ᾽ ἴδια, συμπίπτοντα δὲ, κατά τινα τύχην. τέταρτον δ᾽ ἐπὶ τοῖς δὲ γένος τιθέσθω, τὸ τῶν νοσωδῶν αἰτίων. καὶ τούτων τὰ μὲν ἐν αὐτῷ τοῦ ζώου τῷ σώματι συνιστάμενα, προηγούμενα καλείτω, τὰ δ᾽ ἔξωθεν προσπίπτοντα, προκατάρχοντα. θέμενος δ᾽ οὕτως ἢ ἄλλως ὅπως ἂν ἐθέλῃ σαφῶς καὶ χρησίμως τοῖς ἀκούουσι, μηκέτι μετατιθέσθω, μηδ᾽ ἐξαλλαττέτω τὴν χρῆσιν, ἀλλ᾽ ἀεὶ φυλαττέτω παρ᾽ ὅλον τὸν λόγον, ἵνα καὶ μανθάνωμεν ἃ λέγει ῥᾳδίως, καὶ τὰς ἀντιλογίας, καὶ τοὺς ἐλέγχους, πρός τι σαφὲς καὶ διωρισμένον ποιώμεθα. πῶς καὶ τίνα τρόπον, ἐνδείξασθαι γὰρ ἔτι τοῦτ᾽ αὐτὸ χρὴ, διὰ τοὺς ἀναισθήτους μεθοδικούς. ἔστω τινὰ λέγειν, ὡς ἡ μὲν φλεγμονὴ, διάθεσίς ἐστι παρὰ φύσιν, τὸ δ᾽ ἔργον τοῦ φλεγμαίνοντος μέρους τὸ βεβλαμμένον, οἰκεῖον ἐξαίρετον τοῦ πάθους σύμπτωμα, ποδῶν μὲν βάδισις, ὀφθαλμῶν δὲ ὄψις, ὤτων δ᾽ ἀκοή. τὸ δ᾽ ἔρευθος εἰ τύχοι ἢ καὶ τάσις, ἢ ἀντιτυπία καὶ ὁ παρὰ φύσιν ὄγκος ὁ ταῖς φλεγμοναῖς ἑπόμενος, ἕτερόν τι γένος, εἴτε συμπτωμάτων, εἴτε συμβεβηκότων, εἴθ᾽ ὅπως ἂν ἄλλως ἐθέλῃ τις ὀνομάζειν. ἀλλ᾽ οὖν ὅτι γε μήτ᾽ αὐτὸ γένος ἐστὶ τῇ βλάβῃ τῶν ἐνεργειῶν, ἴστω τε καὶ διοριζέσθω σαφῶς. ἡ πληθώρα δ᾽ εἰ τύχοι τῆς φλεγμονῆς αἰτία προηγουμένη, καὶ ταύτης προκατάρχουσα τὸ πλῆθος τῶν ἐδεσμάτων, ὡς οὖν ἐγὼ καὶ παραδείγματα πεποίημαι σαφῆ τοῦ λόγου, καὶ τέτταρα γένη διώρισμαι, καὶ τὰς αἰτίας αὐτῶν εἴρηκα, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ἐχρῆν ποιῆσαι τὸν Θεσσαλὸν, ἐπὶ τοσούτοις τε καὶ τηλικούτοις ἀνδράσι, καθ᾽ ὧν ἑαυτὸν ἀνεκήρυττε, μέλλοντα νεωτέραν αἵρεσιν συνίστασθαι. νυνὶ δ᾽ οὔτε αὐτὸς οὐδὲν εἶπε σαφὲς, οὔτέ τις τῶν ἀπ᾽ αὐτοῦ. τολμήσας γοῦν ὁ Ὀλυμπικὸς ἀφορίσασθαι τί ποτ᾽ ἐστὶ πάθος, οὐ πάθους, ἀλλὰ συμπτώματος εἴρηκεν ἔννοιαν. ὅλως μὲν οὖν, οὐδ᾽ ὅ, τί ποτ᾽ ἐστὶ τὸ πάθος, οὐδ᾽ ὅπῃ τοῦ νοσήματος διαφέρει γινώσκουσιν, ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἑξῆς διορίσω. πάντα γὰρ ἅμα λέγειν οὐκ ἐγχωρεῖ. συγχωρηθέντος δ᾽ αὐτοῖς τοῦ ταὐτὸν εἶναι νόσημά τε καὶ πάθος, ἴδωμεν ὅ, τι ποτὲ φασί. πάθος ἐστὶ ῥοπὴ τοῦ σώματος, ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐπίμονος. εἶτα μικρὸν προελθὼν, φησί. ἰστέον δ᾽ ὅτι διαφέρει πάθος συμπτώματος. πάθος μὲν γάρ ἐστιν ὡς ὀλίγον ἔμπροσθεν ἔφην, διάθεσις παρὰ φύσιν τοῦ σώματος ἐπίμονος. σύμπτωμα δὲ, ὃ περὶ πάθει συμβαίνει, ἰδικήν ὥσπερ τινὰ καὶ μερικωτέραν ἐν τοῖς παρὰ φύσιν ἔχον τύπωσιν. αὕτη μὲν ἡ θαυμαστὴ ῥῆσις Ὀλυμπικοῦ τοῦ σοφοῦ, τολμήσαντος ἀφορίσασθαι πάθος τε καὶ σύμπτωμα. τοσούτων δ᾽ ἐστὶν ἁμαρτημάτων μεστὴ, ὥστέ μοι παρίστασθαι τὸ τοῦ μωροῦ, τοῦ πρὸς κόσκινον εἰπόντος οὐχ εὑρίσκειν ὅ, τι βύσειεν ἢ μὴ βύσειεν αὐτοῦ. τί γὰρ δὴ καὶ πρῶτον ἐξ αὐτοῦ εἴποι τις, ἢ τί παραλίποι; πάντα μὲν γὰρ ἐξελέγχειν ὅσα κακῶς ἀποφαίνονται, μακρὸν ἂν εἴη. ἡ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν τροπὴ πᾶσα νόσος ἐστὶν, εἰ μόνον αὐτῇ προσείη τὸ ἐπίμονον. ἀλλὰ τὴν ἀγρυπνίαν ὑμεῖς αὐτοὶ καὶ τὴν ἀτροφίαν, ἐν τοῖς συμπτώμασιν, οὐκ ἐν τοῖς πάθεσιν ἀριθμεῖτε. τί δ᾽ ἡ κακοχυμία; τί δὲ ἡ ἔνδεια; τί δὲ ἡ καχεξία; τί δὲ τὸ πλῆθος; οὐ παρὰ φύσιν; εἰ τοίνυν αὐτοῖς προσείη τὸ ἐπίμονον, ἐν τοῖς νοσήμασιν ἀριθμηθήσεται. καὶ μὴν οὐδ᾽ αὐτοὶ βούλεσθε, καὶ καλῶς γε τοῦτο ποιεῖτε. προσεῖναι γὰρ χρὴ τὸ παρὰ φύσιν εἶναι τὴν διάθεσιν, ἐνέργειάν τινα πρὸς αὐτῆς βλάπτεσθαι, μέχρι δ᾽ ἂν ἀβλαβεῖς αἱ πᾶσαι φυλάττονται, κἂν μυριάκις ἐξαλλάττηται, καὶ τρέπηται, καὶ μεταβάλληται τὸ σῶμα, νόσος οὔπω τῶν διαθέσεων ἐκείνων ἐστὶ οὐδεμία. τό γέ τοι τῆς θεραπείας δεόμενον, οὐδὲν ἄλλο ἐστὶ, πλὴν τῆς βλαπτούσης τὴν ἐνέργειαν διαθέσεως. οὗ μὲν γὰρ δεόμεθα πρώτου καὶ μάλιστα πάντων, ἡ κατὰ φύσιν ἐστὶν ἐνέργεια· διὰ ἐκείνην δὲ, καὶ τῆς κατὰ φύσιν εἴτε διαθέσεως εἴτε κατασκευῆς ὀνομάζειν ἐθέλοις. ὁρᾶν γὰρ δεόμεθα, καὶ ἀκούειν, καὶ διαλέγεσθαι, καὶ βαδίζειν, οὐκ ὀφθαλμῶν, οὐδ᾽ ὤτων, οὐδὲ γλώττης, οὐδὲ σκελῶν, εἰ γοῦν ἦν ὁρᾶν δι᾽ ἑτέρου μορίου, τίς ἂν ἦν ὀφθαλμῶν ἡ χρεία; καὶ εἴπερ ἦν ἀκούειν δι᾽ ἄλλου τινὸς ὀργάνου, τί τῶν ὠτίων ἐδεήθημεν ἄν; οὕτω δὲ καὶ τῆς γλώττης, καὶ τῶν σκελῶν. οὐκ ἂν δήπουθεν οὐδὲν ὄφελος ἦν ἡμῖν, εἰ διαλέγεσθαι καὶ βαδίζειν οἷόν τ᾽ ἦν ἄνευ τούτων. τὸ μὲν οὖν ὁρᾶν, δι᾽ ἑαυτῶν χρῄζομεν. ὀφθαλμῶν δὲ οὐ δι᾽ ἑαυτοὺς, ἀλλὰ διὰ τοῦτο. καὶ γλώττης δὲ καὶ ὤτων καὶ σκελῶν, οὐχ ἵνα ἔχωμεν ὄργανα καὶ πολλὰ μόρια χρῄζομεν, ἀλλὰ διαλέξεως ἕνεκα, καὶ ἀκοῆς, καὶ βαδίσεως. ὅταν γοῦν νεκρωθῇ τι μόριον ἀποτμηθῆναι δυνάμενον, οἷον, δάκτυλος, ἢ πούς, ἢ ἄκρα χείρ, οὐκ ἀνεχόμεθα βαστάζειν ἀργὸν αὐτὸ, καὶ περιφέρειν οἷον ἄχθος ἀλλότριον, ἐναργῶς δηλοῦντες ἐν τούτῳ, ὅτι μὴ τῶν μορίων αὐτῶν, ἀλλὰ τῶν ἐνεργειῶν χρῄζομεν. ὥσπερ οὖν ὅλον τὸ μόριον τῆς ἐνεργείας ἕνεκα ἔχειν δεόμεθα, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον καὶ τῆς κατὰ φύσιν αὐτοῦ κατασκευῆς, διὰ τὴν ἐνέργειαν ὀρεγόμεθα. ὡς γὰρ καὶ πρόσθεν ἐλέγετο, λόγον αἰτίας ἡ κατασκευὴ πρὸς τὴν ἐνέργειαν ἔχει. τὰ δὲ ἐξ ἀνάγκης ἑπόμενα ταῖς κατασκευαῖς ἀφ᾽ ὧν ἐνεργοῦμεν, ὑγιαινόντων μὲν ἡμῶν, συμβεβηκότα, νοσούντων δὲ, συμπτώματα καλεῖται. καὶ τέτταρα ταῦτ᾽ ἐστὶν γένη πάντων τῶν περὶ τὸ σῶμα κατὰ φύσιν τε καὶ παρὰ φύσιν ἐχόντων ἡμῶν, ἐνέργειαι, κατασκευαὶ, τὰ προηγούμενα τούτων, τὰ ἑπόμενα, τιθέσθω λοιπὸν ὁ βουλόμενος ὀνόματα καθ᾽ ἕκαστον αὐτῶν ἴδια. κἂν εἰ δίωνα, κἂν εἰ θέωνα βούλοιτο καλεῖν ὁτιοῦν ἐξ αὐτῶν, οὔ μοι διαφέρει, μόνον ἴστω τοῦτο καὶ φυλαττέτω διαπαντὸς, ὡς τέτταρα ταῦτ᾽ ἐστὶν ἀλλήλοις παρακείμενα πράγματα. ἐπεὶ δὲ κατὰ τοῦτο τοῦ λόγου γέγονα, δοκῶ μοι δικαίαν ἀξίωσιν ἐνεγκεῖν, ἵν᾽ ὡς ἡμεῖς ἐκείνοις συγχωροῦμεν ἅττα ἂν γ᾽ ἐθέλωσιν ὀνόματα τίθεσθαι, κατὰ τὸν αὐτὸν τρόπον κἀκείνους ἡμῖν συγχωρεῖν ἑλληνικοῖς τε χρῆσθαι καὶ παλαιοῖς. ἢ δεινὸν ἂν εἴη σολοικίζειν μὲν ἐκείνοις ἐξεῖναι καθάπερ τυράννοις, ἑλληνίζειν δ᾽ ἡμῖν οὐκ ἐξεῖναι. καλείτωσαν εἰ βούλοιντο τὴν ὑγείαν, εὐστάθειαν αὐτῶν ἐνεργειῶν, καί τοι δέδεικται πρὸς ἡμῶν, ὡς ἡ διάθεσίς τε καὶ ἡ κατασκευὴ τῶν μορίων ἀφ᾽ ἧς κατὰ φύσιν ἐνεργοῦμεν, ὑγεία πρὸς ἁπάντων ἑλλήνων ὀνομάζεται. καὶ τοῦτο θέμενοι τὴν ὑγείαν, ὅμως τὴν νόσον οὐκ

ἐνεργείας βλάβην, ἀλλὰ παρὰ φύσιν ἡγείσθωσαν εἶναι διάθεσιν. ὡς οὖν ἡμεῖς ἐκείνους μήθ' ἑλληνιστί, μήτε διαλε-
κτικῶς ὀνομάζοντας οὐ κωλύομεν, οὕτω καὶ κεῖνοι συγχωρείτωσαν ἡμῖν ἑλληνιστί τε ἅμα καὶ διαλεκτικῶς, οὐχ
ἅπασαν τὴν παρὰ φύσιν διάθεσιν, ἀλλ' εἴ τις ἂν ἐνέργειαν βλάπτῃ, νόσημα προσαγορεύειν, ἥτις δ' ἂν παρὰ φύ-
σιν μὲν ᾖ, μὴ μέν τοι βλάπτῃ γ' ἐνέργειαν, οὐ νόσον, ἀλλὰ σύμπτωμα νοσήματος. αὖθις δ' ὥσπερ ἐκεῖνοι τὸ ἐπί-
μονον προστιθέασιν, οὐ δηλοῦντες ἄχρι πόσου χρόνου ἡ παρὰ φύσιν αὕτη διάθεσις παραμείνασα νόσος ἐστίν, οὕτως
ἡμῖν συγχωρείτωσαν ἀφαιρεῖν τὸ ἐπίμονον. εἴτε γὰρ τρισὶν ὥραις, εἴτε τέτρασιν, εἴτε καὶ ἡμισείᾳ μόνον ὥρας,
ὅλῳ τις τῷ σώματι καταληφθείη σφοδρῶς, ὡς μήτ' αἰσθάνεσθαι, μήτε κινεῖσθαι, τοῦτον ἡμεῖς ἀπόπληκτον ὀνομά-
ζομεν. ὥσπερ εἰ καὶ σπασθείη σύμπαντι τῷ σώματι, καὶ τοῦτον ἐπίληπτον, οὐθ' ὡρῶν ἀριθμόν, οὐθ' ἡμερῶν ἔτι προσ-
λογιζόμενοι. μόνης γὰρ τῆς τοῦ πράγματος φύσεως, οὐ τῆς τοῦ χρόνου ποσότητος ὑπάρχει δηλωτικὰ τὰ τοιαῦτα
τῶν ὀνομάτων, ὥσπερ οἶμαι καὶ λευκὸν καὶ μέλαν, καὶ θερμὸν καὶ ψυχρόν. ἢ θαυμαστὸν ἂν εἴη τὸ ὕδωρ τὸ θερμὸν οὐκ
εἶναι θερμόν, ἂν μὴ δι' ὅλης ἡμέρας ὑπάρχοι τοιοῦτον, ἢ τὸν ἓξ ὥραις πυρέξαντα μὴ πεπυρεχέναι. χρῆναι γὰρ καὶ
τοῦτον εἴπερ ἐπύρεξεν, ἐπίμονον ἔχειν τὸ πάθος. καί τοι, τίς ὁ χρόνος οὗτός ἐστιν ὁ κείνων τὸ ἐπίμονον καὶ τὸ μὴ
τοιοῦτον, οὐδεὶς αὐτῶν ὥρισεν, ἆρά γε ἡμερῶν τις ἀριθμός, ἢ μηνῶν, ἢ ὡρῶν, ἢ διατί λέγουσιν ἐπίμονον, ἐνὸν εἰ-
πεῖν πολυχρόνιον, ἢ τοῦτο μὲν καὶ μεταθέντες ἔνιοι ἐξ αὐτῶν, δύσλυτον ὀνομάζουσιν. ἀλλὰ τοῦτό γε τὸ δύσλυ-
τον, οὐ νοσήματος ἁπλῶς, ἀλλὰ χρονίου νοσήματός ἐστιν ἴδιον. ὥσπερ γε οἶμαι καὶ τὸ ῥαδίως λυόμενον, ὀξέος. τὸ
δ' οἴεσθαι διαφέρειν, ἢ δύσλυτον, ἢ ἐπίμονον, ἢ χρόνιον εἰπεῖν, ἆρ' οὐκ ἐσχάτης ἀμαθίας ἐστίν; ἔτι δὲ θαυμαστότερον,
ὅταν οὗτοι μὲν ὥσπερ ἐξ ὕπνου βαθέος ἐγερθέντες ἐπιχειρῶσι διορίζεσθαι, πάθος συμπτώματος. ὁ δὲ τῆς ἐμ-
πληξίας αὐτῶν ἡγεμών, ἐν τῷ δευτέρῳ περὶ μεθόδου γράφει. τὰ γὰρ αὐτὰ προηγησάμενα μέν, πάθη λέγεται.
ἐπιγινόμενα δέ, συμπτώματα. καί τοι τοῦτό γε πολυθαυμαστότερον ὧν ἐκεῖνοι λέγουσι, τὴν τοῦ ἥπατος φλεγμο-
νήν, εἰ μὲν εὐθὺς εἰσβάλοι κατὰ τὴν πρώτην ἡμέραν, πάθος εἶναι συγχωρεῖ, εἰ δ' ἐφ' ἑτέρῳ τινὶ γένοιτο, κατὰ τὴν δευ-
τέραν ἢ τρίτην, εἰς τὰ συμπτώματα μεταθεῖναι. καί τοι τί λέγω δευτέραν ἡμέραν; ἄμεινον γὰρ εἰπεῖν ὥραν
δευτέραν ἀπὸ τῆς εἰσβολῆς τοῦ νοσήματος. οὐ γὰρ δήπου κατὰ μὲν τὴν δευτέραν ἡμέραν, ἡ τοῦ ἥπατος φλεγμονὴ
σύμπτωμα γενήσεται, κατὰ δὲ τὴν δευτέραν ὥραν ἀπὸ τῆς ἀρχῆς, ἄλλο τι καὶ οὐ σύμπτωμα. τὸ γὰρ ἐπιγίνεσθαι τι-
νὶ προηγουμένῳ, πάντως που καὶ τοῦθ' ἕξει. ἀλλὰ τὸ οὕτω φασὶ ταχέως ἐπιγινόμενον, οὐδὲν διαφέρει τοῦ συνεισ-
βάλλοντος. πάλιν οὖν αὐτὸν ἐχρῆν εἰρηκέναι σαφῶς, ὁπόσαις ὥραις ὁρίζεται, καὶ διακρίνει τοῦ συνεισβάλλοντος
τὸ ἐπιγιγνόμενον. ὁ Θεσσαλὸς μὲν δὴ τοιοῦτος. οἱ δὲ περὶ τὸν Ὀλυμπικόν, ὡς ἂν εἰς ἄκρον ἥκοντες σοφίας, οὐχ οὕτω
διορίζουσι πάθος συμπτώματος, ἀλλὰ τὸ μὲν πάθος, ὡς προείρηται. τὸ σύμπτωμα δέ, τὸ τῷ πάθει συμβαῖνον
ὑπάρχειν φασί, θαυμαστῶς πάνυ καὶ σαφῶς ἐξηγησάμενοι τὴν αἰτίαν αὐτοῦ. τί γὰρ δὴ καὶ ὂν τὸ σύμπτωμα, ὃ
τῷ πάθει συμβέβηκεν, ἐχρῆν οἶμαι προσθεῖναί τε καὶ διορίσασθαι. ἆρά γε διάθεσίς τις ἐστὶ σώματος, ἢ βλάβη τι-
νὸς ἐνεργείας, ἢ συναμφότερον; ἐκεῖνοι μὲν οὖν οὐ λέγουσιν, ἡμᾶς δὲ δηλονότι μαντεύσασθαι χρή. τὸ δὲ καὶ προσθεῖ-
ναι τῷ λόγῳ τοῦτ' αὐτόν, ἰδικὴν ὥσπερ καὶ μερικωτέραν ἔχον ἐν τοῖς παρὰ φύσιν ἐντύπωσιν, ὑπερβολὴν οὐκ
ἀπολέλοιπε σαφηνείας, ἅμα τῷ καὶ τοῖς ὀνόμασιν ἑλληνιστὶ καὶ παγκάλως ἑρμηνεύεσθαι, εἰδικώτερόν τινα τύ-
πον ἐν τοῖς παρὰ φύσιν ἔχει τὸ σύμπτωμα. τί ποτ' οὖν ἐστὶ τὸ γενικώτερον ἔχον τὸν τύπον; οὐ γὰρ εἴρηκας εἰ χω-
ρὶς τῆς πρὸς ἐκεῖνο παραβολῆς ἐγχωρεῖ τὸ εἰδικώτερον ἐξευρεῖν. εἰ δ' ὅλως πρὸς οὐδὲν παραβάλλοντες εἰδικώτε-
ρον ὀνομάζουσιν, ἀκριβῶς τε πάνυ καὶ σαφῶς ἑρμηνεύουσι. καί τοι διὰ συντόμων τε ἅμα καὶ σαφῶν οἷόν τ' ἦν εἰ-
πεῖν, ὡς τὰ παρὰ φύσιν ἅπαντα τὰ κατὰ τὸ σῶμα τῶν ζώων, ἤτοι νοσήματ' ἐστίν, ἢ αἴτια, ἢ συμπτώματα. κοινοῦ
δ' αὐτοῖς ὄντος τοῦ παρὰ φύσιν, ἡ νόσος μὲν ἐνέργειαν βλάπτει, τὸ δ' αἴτιον ταύτης προηγεῖται, τὸ σύμπτω-
μα δ' ἕπεται ταύτῃ, διττὸν ὂν τὴν φύσιν, ἐνεργείας μὲν βλάβη τὸ ἕτερον, διάθεσις δέ τις ἀκολουθοῦσα τῷ νοσή-
ματι τὸ λοιπόν. ἀλλὰ γὰρ ὥσπερ ἔφην εἰ πάντα τις ἐπέρχοιτο τὰ σφάλματ' αὐτῶν, οὐκ ἂν ἐπιθείη τέλος τῷ λό-
γῳ. καὶ γινώσκεις τοῦτο ἀκριβῶς καὶ σὺ φίλτατε Ἱέρων, ὅτι μήτε τὸ χιλιοστὸν αὐτῶν μέρος ἐξελέγχειν ἐπεχείρη-
σα. τοσοῦτον οὖν ἔτι προσθεὶς, ἐνταυθοῖ που καταπαύσω τὸ πρῶτον γράμμα, διότι κατὰ τὴν ἀρχὴν τῆς μεθόδου,
σφάλλονται πολλοὶ τῶν ἰατρῶν, οἱ μὲν, ἀπὸ Θεσσαλοῦ καὶ Θεμίσωνος, οἵπερ δὴ καὶ μεθοδικοὺς ἑαυτοὺς ὀνομάζουσιν,
ἔσχατά τε καὶ μέγιστα σφάλματα, σὺν αὐτοῖς δ' οὐκ ὀλίγοι τῶν ἀναλογιστικῶν τε καὶ δογματικῶν, καὶ λογικῶν
ὀνομαζομένων. εἰ μὴ γὰρ ἐξεύροι τις ἁπάσας τὰς διαθέσεις ὑφ' ὧν ἐνέργεια βλάπτεται, τὸ πλῆθος αὐτῶν τῶν
νοσημάτων ὁπόσον τ' ἐστὶ καὶ ὁποῖον, ἀδύνατον ἀκριβῶς ὁρίσασθαι. τοῦτο δ' οὐδ' ἐπιχειρήσαντες ἔνιοι ποιῆσαι, τυ-
ράννων δίκην ἀποφαίνονται τὰ δόξαντα σφίσι χωρὶς ἀποδείξεως. ἔνιοι δ' οὐ μόνον οὐκ ἀπέδειξαν, ἀλλ' οὐδὲ πα-
ρὰ τῶν ἀποδεικνύντων μανθάνουσι. καὶ τό γε πλεῖστον γένος, ὡς οἶσθα, τῶν νῦν ἐπιπολαζόντων ἰατρῶν, ἐστὶ τοιοῦ-
τον. καὶ θαυμαστὸν ἴσως οὐδέν. ὅπου γε καὶ τῶν φιλοσόφων οἱ πολλοὶ χωρὶς ἀποδείξεως ἀξιοῦσι πιστεύεσθαι, τί χρὴ
θαυμάζειν τινὰ τῶν ἰατρῶν; οὐδὲ γὰρ σχολή γε αὐτοῖς ἐστὶν ἀλήθειαν ζητεῖν. ἕωθεν μὲν ἐν ἀσπασμοῖς διατρί-
βουσιν, οὓς αὐτοὶ καλοῦσιν ἀσπασμούς, εἰς ἑσπέραν δ' ἐμπιπλαμένοις τε καὶ μεθυσκομένοις. ἀλλὰ κατὰ τὸν πα-
λαιὸν αὐλητὴν ὦ Ἱέρων, ἁμιλλῴμην ἂν καὶ ταῖς μούσαις. αἰσχρὸν γὰρ αὐλητὰς μὲν οὕτως εὑρεθῆναι φιλοκάλους,
οὐ μέγα τί πρᾶγμα κατορθοῦντας, μέθοδον δὲ θεραπευτικήν, ἐκ παλαιοῦ μὲν ζητουμένην, ἀκριβῶς δ' οὔπω γε-
γραμμένην ἐξευρεῖν τε καὶ τελειῶσαι δυναμένους ἡμᾶς, ὀκνεῖν καὶ μέλλειν, καὶ ἀναβάλλεσθαι, διὰ τὴν ἐπιπολάζου-
σαν ἐν τῷ νῦν χρόνῳ ῥᾳθυμίαν. ὥστ' ἔμπαλιν ἤδη μοι δοκῶ διακεῖσθαι νῦν, ἢ πρόσθεν. οὐδὲ γοῦν ὑμῖν χάριν οἰ-
κείαν δίδωμι, προτρεψαμένοις με τὴν θεραπευτικὴν μέθοδον ἅπασαν ἐφεξῆς διελθεῖν. ὁ μὲν δὴ πρῶτος μοι λό-
γος, ἐνταυθοῖ τελευτάτω. τοῦ δ' ἑξῆς πάντως, ὁ δεύτερος ἀρχέσθω τοῦτον τὸν τρόπον.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ

ΜΕΘΟΔΟΥ, ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Τῶν συμβαινόντων τοῖς σώμασιν ἐν τῷ παρὰ φύσιν ἔχειν ἱέρων κράτιστε, τέτταρες ἐδείχθησαν αἱ πᾶσαι διαφοραί. μία μὲν, αὐτῆς τῆς βεβλαμμένης ἐνεργείας, ἑτέρα δὲ, τῆς ἐργαζομένης αὐτὴν διαθέσεως, ἄλλη τε τρίτη, τῶν ταύτης αἰτίων, καὶ τετάρτη, τῶν ἐξ ἀνάγκης ἑπομένων αὐτῇ συμπτωμάτων. ὅτι μὲν οὖν ἤτοι πάντα ταῦτ᾽ εἶναι χρὴ τὴν νόσον, ἤ τινὰ τούτων, ἢ πάντως γ᾽ ἓν ἐξ αὐτῶν, ἕτοιμον συλλογίσασθαι. μηδενὸς γὰρ παρὰ τὰ προειρημένα τοῖς νοσοῦσιν ὑπάρχοντος, οὐδὲ ἔξω τούτων ἔσται τὸ νόσημα. λείπεται τοίνυν ἢ τὸ πάντων ἄθροισμα λέγειν τὴν νόσον εἶναι, ἤ τινὰ τούτων, ἢ ἕν γέ τι πάντως. ἀλλὰ τὸ μὲν ἐξ ἁπάντων ἄθροισμα πρὸς τὸ μὴ δ᾽ εἰρῆσθαι πρός τινος, οὐδ᾽ ἐγχωρεῖ λεχθῆναι. τί γὰρ ἔσται νόσου αἴτιον, ἢ τί σύμπτωμα νοσήματος, εἰ τὸ πάντων ἄθροισμα νόσημα νομισθήσεται; οὐδὲ ἓν δήπουθεν. ἀναγκαῖον οὖν ἀπολιπεῖν δύο ἄλλα γένη παρὰ τὰς νόσους. ἕτερον μὲν τῶν ἐργαζομένων αὐτὰς αἰτίων, ἕτερον δὲ τῶν ἑπομένων μὲν ἐξ ἀνάγκης, λυπούντων δ᾽ οὐδὲν τὸν ἄνθρωπον. ἀλλ᾽ εἰ ταῦτ᾽ ἀφέλοιμεν, ἐν δυοῖν ἐστι τούτοιν ἡ νόσος, ἢ ταῖς βεβλαμμέναις ἐνεργείαις, ἢ ταῖς ἐργαζομέναις αὐτὰς διαθέσεσι. καὶ δὴ καὶ διηνέχθησαν εὐθὺς ἐκ παλαιοῦ καὶ περὶ τοῦδε, καὶ νῦν ἔτι διαφέρονται πάντες, οὐκ ἰατροὶ μόνον, ἀλλὰ καὶ φιλόσοφοι, τῶν ἐνεργειῶν μὲν τὰς βλάβας ἕτεροι, τῶν δ᾽ ἐργαζομένων αὐτὰς διαθέσεων ἕτεροι προσαγορεύσαντες νοσήματα, τὸ μὲν οὖν διαφέρεσθαι τοὺς ἄνδρας ἐν οὕτως ἀσαφέσι πράγμασιν, οὐδὲν θαυμαστόν. τὸ δὲ μὴ διαγιγνώσκειν ὡς ὑπὲρ ὀνόματος ἐρίζουσιν, ἐπιτιμήσεως ἄξιον. εἴπερ γὰρ ὡμολόγηται πρὸς ἁπάντων ἡ θεραπεία τῆς ἐμποδιζούσης τὴν ἐνέργειαν εἶναι διαθέσεως, οὐδὲν ἔτι χρήσιμον εἰς τὰ τῆς τέχνης ἔργα τὸ διελέσθαι, πότερα, τὴν διάθεσιν, ἢ τὴν βεβλαμμένην ἐνέργειαν ὀνομαστέον ἐστὶ νόσημα. ἑκατέρως γὰρ ὀνομαζόντων, ὁ κάμνων ὑγιαίνων ἀποδειχθήσεται, μόνον εἰ τὰ δέοντά τις ἰάματα προσφέροι ταῖς διαθέσεσιν. αὗται γάρ εἰσιν ἃς ἀλλοιοῦν χρὴ, καὶ μεταβάλλειν, καὶ τελέως ἐκκόπτειν, οὐχ αἱ βλάβαι τῶν ἐνεργειῶν. οὐδεὶς γοῦν ἰᾶται τὸ χωλεύειν βαδίζοντα, καὶ γὰρ γελοῖον, ἀλλὰ τὴν ἐργαζομένην αὐτὸ διάθεσιν, οἷον τὴν φλεγμονὴν, εἰ διὰ ταύτην χωλεύει. καὶ ταύτην καταντλεῖ, καὶ καταπλάττει, καὶ σχάζει, καὶ διαφορεῖ, καὶ παντὶ τρόπῳ λύειν ἐπιχειρεῖ. τὸ γὰρ ὀρθῶς βαδίζειν ἕπεται ταύτῃ λυθείσῃ, καὶ οὐδὲν ἔτι δεόμεθα τὴν χωλείαν ἐπανορθοῦσθαι τῆς φλεγμονῆς οἰχομένης. οὐδὲ γὰρ ὑπομένει τι τῆς βεβλαμμένης ἐνεργείας, ἐὰν ἐκκόψῃ τις ἀκριβῶς τὴν ἐργαζομένην αὐτὴν διάθεσιν. ἔστ᾽ ἂν δ᾽ ὑπολείπηταί τι τῆς διαθέσεως, ἀνάγκη καὶ τὴν ἐνέργειαν ἀνάλογον ἐκείνῃ βεβλάφθαι. ταύτην οὖν τὴν διάθεσιν, εἴτε νόσημα καλεῖν, εἴτε πάθος, εἴτ᾽ αἰτίαν νοσήματος, εἴτε πάθους ἐθέλοι τις, οὐδὲν εἰς τὴν θεραπείαν, οὔτ᾽ ὄφελος, οὔτε βλάβος ἐντεῦθεν. ἀλλ᾽ οὐδ᾽ εἰ Θέωνά τις ἢ Δίωνα προσαγορεύσας αὐτὴν, ἔπειτ᾽ ὀρθῶς ἰῷτο, βλάψειεν ἂν οὐδ᾽ οὗτος οὐδὲν τὸν νοσοῦντα. κἂν εἰ τελέως δέ τις ἀνώνυμον ἀπολιπὼν αὐτὴν, ἃ χρὴ προσφέροι τῷ κάμνοντι βοηθήματα, πρὸς τῷ μὴ βλάπτειν μηδὲν, οὗτος ἔτι κάλλιστα θεραπεύσει. διδάσκειν μέντοι βουλόμενος ἕτερον ἃ γινώσκει, δεήσεταί τε πάντως ὀνομάτων ἐπὶ τοῖς πράγμασιν, ὅρον τε τῆς χρήσεως αὐτῶν ἕξει τὴν σαφήνειαν. ὁ γὰρ ὡς ἂν ὁ μανθάνων ἐκμάθοι, σαφέστατα μάλιστα σπουδάζων ὀνομάζειν, ἄριστος διδάσκαλος. ἐπεὶ τοίνυν καὶ ἡμεῖς ἐν τούτῳ νῦν καθεστήκαμεν, ἀνάγκη μὲν προσθέσθαι τοῖς πράγμασιν ὀνόματα. τὸ δ᾽ εἰ καὶ σαφῶς, ἡμῖν σκοπεῖσθαι πάρεστιν. ἡ μὲν δὴ τὴν ἐνέργειαν ἐμποδίζουσα διάθεσις, ὀνομαζέσθω νόσος. ὅτι δ᾽ ἕπεται τῇδε, σύμπτωμα. τὸ δ᾽ ἐργαζόμενον αὐτὴν, αἴτιον. οὕτω δὲ τούτων διωρισμένων, ἐπιβλέπειν ἀκριβῶς χρὴ τὴν ἀνωμαλίαν τῶν ὀνομάτων, ἃ κατὰ τῶν νοσημάτων ἐπήνεγκαν οἱ πρῶτοι θέμενοι. πολλαχόθι μὲν γὰρ ἀπὸ τοῦ βεβλαμμένου μορίου τὰ ὀνόματα, πλευρῖτις, καὶ περιπνευμονία, καὶ ἰσχιὰς, καὶ ποδάγρα, καὶ νεφρῖτις, καὶ ἀρθρῖτις, ὀφθαλμία τε καὶ κεφαλαλγία, καὶ δυσεντερία. πολλαχόθι δ᾽ ἀπὸ τοῦ συμπτώματος, εἰλεὸς, καὶ τεινεσμὸς, καὶ σπασμὸς, καὶ παλμὸς, καὶ τρόμος, καὶ παράλυσις, ἀπεψία τε, καὶ δύσπνοια, καὶ ἄπνοια, καὶ ἀγρυπνία, καὶ παραφροσύνη, καὶ κῶμα. πολλαχόθι δ᾽ ἀπ᾽ ἀμφοῖν ἅμα, κεφαλαλγία, καὶ ὠταλγία, καὶ καρδιαλγία, καὶ ὀδονταλγία, καὶ ὑστεραλγία. πολλαχόθι δ᾽ ἀπὸ τῆς δοξαζομένης αἰτίας, ὡς ἡ μελαγχολία μὲν ὑπὸ πάντων, αἱ χολέραι δὲ ὑπὸ τῶν κνιδίων ἰατρῶν. ἴσως δὲ καὶ ὁ λευκοφλεγματίας ὕδερος ἐντεῦθεν. ἐνίοτε δὲ ἀπὸ τῆς πρός τι τῶν ἐκτὸς ὁμοιότητος, ἐλέφας, καὶ καρκῖνος, καὶ πολύπους, καὶ σταφυλὴ, καὶ λεύκη, καὶ μυρμηκία, καὶ ἀθέρωμα, καὶ στεάτωμα, καὶ σταφύλωμα, καὶ μελικηρὶς, καὶ ἄνθραξ, ἀλωπεκία τε, καὶ ὀφίασις, καὶ σύκωσις, καὶ σατυριασμὸς, καὶ πριαπισμός. τῶν νοσημάτων δ᾽ αὐτῶν ὀνόματα, μήτε τόπου ἐφαπτόμενα πεπονθότος, μήτε τῆς ποιούσης αἰτίας ὀλίγα, φλεγμονὴ, καὶ γάγγραινα, καὶ σκίρρος, ἐρυσίπελάς τε, καὶ ἀπόστημα, καὶ οἴδημα, καὶ ἐμπύημα, καὶ ἕλκος, ἐξάρθρημά τε, καὶ κάταγμα, καὶ σπάσμα, καὶ ῥῆγμα, καὶ κολόβωμα, καὶ δοθιὴν, καὶ ἴονθος, καὶ φῦμα. καίτοι καὶ τούτων αὐτῶν ἔνια, τὰ μὲν, καὶ τὸν τόπον τοῦ σώματος, ἤτοι τὸ πεπονθὸς μέρος, ἐμφαίνειν ἔοικεν, ἔνια δὲ ἀπὸ τοῦ πλεονεκτοῦντος ὀνομάζεται συμπτώματος. εἰ δ᾽ ἄρα τι καὶ χωρὶς παρεμφάσεως ὀνομάζεται, τάς γ᾽ ἐν αὐτῷ διαφορὰς καὶ τοῦτο πολυειδεῖς ἔσχηκεν, οἷον ἕλκος. εἰ καὶ μὴ συνεχείας ἦν ἡ λύσις, ἐν σαρκώδει μορίῳ καὶ ταύτῃ παραδηλοῦν ἐδόκει τὸν πεπονθότα τόπον. ἀλλ᾽ αἵ γε κατὰ μέρος αὐτοῦ διαφοραὶ, ποικίλαι τοῖς ὀνόμασι. χειρώνιον, καὶ τηλέφιον, καὶ καρκῖνος, ἕρπης τε, καὶ φαγέδαινα, καὶ πάνθ᾽ ὅσα τοιαῦτα. τὰ μὲν, ἀπὸ τῶν πρώτως ἰασαμένων, ὡς τὸ χειρώνιον. ἔνια δ᾽ ἀπὸ τῶν πεπονθότων, ὡς τὸ τηλέφιον. ἀπὸ δὲ τῆς πρὸς τὸ ζῶον ὁμοιότητος, ὁ καρκῖνος. ἡ φαγέδαινα δ᾽ ἀπὸ τοῦ συμπτώματος. ὥσπερ γε καὶ ὁ ἕρπης. ἀλλ᾽ ἡ μὲν φαγέδαινα, πάντως ἐστὶν ἕλκος ἐσθιόμενον, ἢ ἀναβιβρωσκόμενον, ἢ ὅπως ἂν ἐθέλοι τις ὀνομάζειν. ὁ δ᾽ ἕρπης, οὐδ᾽ ἕλκος ἀεὶ, καὶ ὁπότε μεθ᾽ ἑλκώσεως, οὐ κατέχων τὴν ἀρχαίαν ἕδραν, ἐπινέμεται τὰ πλησίον,

ἀλλ' ὥσπερ τοὔνομα δηλοῖ δίκην ἕρποντος θηρίου, καταλείπει μὲν τὰ πρότερα, μετέρχεται δ' ἐφ' ἕτερα. κοῖλον δ' ἕλκος, καὶ ῥυπαρὸν, καὶ καθαρὸν, ὁμαλές τε καὶ ὑπερσαρκοῦν, οἰκειοτέρας μὲν ἔχει τὰς προσηγορίας, οὐ μὴν ὡσαύτως γε πάσας, ἀλλὰ τὸ μὲν ὁμαλὲς, ἀπὸ τῆς οἰκείας διαφορᾶς. ὡσαύτως δὲ καὶ τὸ κοῖλον ἢ ὑπερσαρκοῦν. ἔναιμον δὲ καὶ καθαρὸν καὶ ῥυπαρὸν, οὐ κατὰ τὰς οἰκείας διαφορὰς, ἀλλ' ἀπὸ τῶν ἔξωθεν ὀνομάζεται συμπτωμάτων. οὕτως οὖν ἀνωμάλου τῶν ὀνομάτων τῆς θέσεως τοῖς ἀρχαίοις γεγενημένης. καὶ πολὺ μᾶλλον, ὅταν ἐπινυκτίδα καὶ ἀκροχορδόνα καὶ νυκτάλωπα προσαγορεύωσι, τὸ μὲν ὅτι νύκτωρ ἐγένετο, τὸ δ' ὅτι κατ' ἄκρας ὀχεῖται τῆς ἐπιφανείας τοῦ δέρματος, τὸ δ' ὅτι τῆς νυκτὸς ἀποφαίνει μὴ βλέποντας, ἕτερά τε πολλὰ τοιαῦτα ποιῶσιν. εἰ γὰρ ἐπεξίοιμι πάντα, κινδυνεύσω σπουδάζειν δοκεῖν, ὃ φεύγειν ἐκέλευσα. πειρᾶσθαι οὖν χρὴ παντὶ τρόπῳ τὸν τῆς ἀληθείας αὐτῆς ὀρεγόμενον, ἀποχωρεῖν μὲν τοῦ προσδοξαζομένου τοῖς ὀνόμασιν, ἐπὶ δὲ τὴν οὐσίαν τῶν πραγμάτων αὐτὴν ἰέναι, καὶ ταύτην ἐπισκέπτεσθαι καὶ ζητεῖν, ὁπόσα τὰ σύμπαντ' ἐστὶ νοσήματά τε καὶ συμπτώματα, καὶ προσέτι τὰ προηγούμενα τούτων αἴτια. τοῦτ' οὖν ἡμεῖς ἐποιήσαμεν ἐν ἑτέροις ὑπομνήμασιν, ὧν ἐστι περὶ μὲν τοῦ πλήθους τῶν νοσημάτων, ἓν ἐπιγέγραπται δὲ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς. ἕτερον δὲ, περὶ τῆς τῶν συμπτωμάτων ἐστὶ διαφορᾶς. οὕτω δὲ καὶ τὰς αἰτίας αὐτῶν ἐπειράθημεν ἐξευρεῖν, ἑκατέρας ἰδίᾳ, τάς τε τῶν νοσημάτων, καὶ τὰς τῶν συμπτωμάτων ἁπάντων, ὡς μηδὲν ἔτι λείπειν, ἀλλ' ἑτοίμην εἶναι τὴν παρασκευὴν ἅπασιν εἰς τὴν νῦν ἡμῖν προκειμένην πραγματείαν. ὅθεν οὐδ' ἀναγινώσκειν ἔτι τὰ μετὰ ταῦτα ῥηθησόμενα συμβουλεύω, πρὶν ἐν ἐκείνοις γυμνάσασθαι. παρακούσας γάρ τις οὕτω πολλῶν θεωρημάτων, οὔτ' αὐτὸς ὠφεληθήσεται, καὶ μάτην ἐγκαλέσει τοῖς ὀρθῶς λεγομένοις. ἐν ἐκείνοις μὲν οὖν ἅπαν κατὰ μέρος ἐπεξέρχομαι, τά τε νοσήματα, καὶ τὰ συμπτώματα, καὶ τὰς αἰτίας. ἐνταυθοῖ δὲ, δύο ἔτι προσθεὶς ταῦτα ἀναγκαῖα γινώσκεσθαι τοῖς ἀσκήσασι τὴν θεραπευτικὴν μέθοδον, ἐπὶ τὸ χρῆσθαι τοῖς εὑρισκομένοις τηνικαῦτα μεταβήσομαι. τίνα δὲ τὰ δύο ταῦτ' ἐστὶν ἃ μέλλω λέξειν; ἓν μὲν, ὅπῃ διαφέρει νόσημα, πάθους. ἕτερον δὲ, ὅτι χωρὶς τοῦ γνῶναι τὰ στοιχεῖα τοῦ σώματος ἐξ ὧν πρώτων γέγονεν, ἀμήχανον ἐξευρεῖν τὰ νοσήματα. ταῦτ' οὖν ἐγὼ μὲν πειράσομαι διελθεῖν ἐπιμελέστατα. σὺ δ' ἀναλεξάμενος αὐτὰ, παρακαλῶ μὴ πρότερον ἐπ' αὐτὴν μετιέναι τὴν θεραπευτικὴν μέθοδον, πρὶν ὁπόσα τὰ πάντα ἐστὶ νοσήματα καὶ αὐτὸς ζητῆσαι κατὰ μόνας, καὶ τοῖς ὑφ' ἡμῶν γεγραμμένοις ἐπιμελῶς ἐντυχεῖν. ὡς οὖν ταῦτα ποιησάντων, ἄρξομαι τοῦ λόγου.

Τρεῖς ἐδείχθησαν οὖσαι διαθέσεις ἐν τῷ σώματι παρὰ φύσιν. αἰτίων τε, καὶ νοσημάτων, καὶ συμπτωμάτων. αἰτίων μὲν, οἷον τοῦ πλήθους, ἢ τῆς διαφθορᾶς. νοσημάτων δὲ οἷον τῆς φλεγμονῆς, ἢ τοῦ ἕλκους. συμπτωμάτων δὲ, οἷον τῆς ἀχροίας, ἢ τῆς ἰσχνότητος. ἔξωθεν δὲ τούτων ἐστὶ, τὰ ἀμέτρως ἐκκρινόμενα τοῦ σώματος, ἢ παρὰ φύσιν ἐπεχόμενα, καὶ τῶν ἐνεργειῶν αἱ βλάβαι, κοινῇ μὲν ἅπαντα προσαγορευόμενα συμπτώματα, γένος δ' οὐχ ἓν ἔχοντα. διάθεσις μὲν γάρ τις ἐστὶ σώματος ἡ ἀχροία. τὸ δὲ ἐκκρινόμενον ἢ ἐπεχόμενον, ἕπεται μὲν, διάθεσις δ' οὐκ ἔστιν. οὕτω δὲ καὶ ἡ ἐνέργεια βεβλαμμένη τε καὶ ἀβλαβὴς οὖσα, διάθεσις μὲν οὐκ ἔστιν. ἕπεται δὲ ἐξ ἀνάγκης τῇ τοῦ μορίου διαθέσει. τὸ μὲν οὖν οἴδημα καὶ ἡ φλεγμονὴ, τῶν ἁπλῶς ὄντων ἐστί. κατὰ ταῦτα δὲ καὶ τὸ πλῆθος, εἰ τύχοι, τοῦ αἵματος, ἢ τοῦ σώματος ἡ ὠχρότης. ἡ δ' ἐνέργεια, τῶν μὲν ἁπλῶς ὄντων, οὐκ ἔστιν, ἢ οὐχ ὁμοίως γε τούτοις ὄντων. οὐδ' ἕνα γὰρ αὐτῆς χρόνον ὑπομένει τὰ μόρια, καθάπερ οὐδὲ τὰ τῆς λέξεως, οὐδ' ὅλως κινήσεως οὐδεμιᾶς, ἀλλ' ἕκαστον τούτων, ἐν τῷ γίνεσθαι τὸ εἶναι λαμβάνει. διττοῦ δ' ὄντος γένους κινήσεως, τοῦ μὲν, κατὰ τόπον, τοῦ δὲ, κατὰ ποιότητα, φορὰ μὲν, τὸ πρότερον, ἀλλοίωσις δὲ, τὸ δεύτερον ὀνομάζεται. πᾶσα μὲν οὖν ἐνέργεια κίνησίς ἐστι δραστική, πᾶσα δ' ἀλλοίωσις, κίνησις παθητικὴ τοῦ ἀλλοιουμένου. πάσχει γάρ τι τὸ ἀλλοιούμενον. αἱ τοίνυν διαθέσεις, ἐπειδὰν ἀλλοιῶνται, κινοῦνται, παυσάμεναι δὲ τοῦ κινεῖσθαι, ἠλλοίωνται μὲν, ἀλλοιοῦνται δ' οὐκ ἔτι. πᾶν γὰρ τὸ ὁπωσοῦν ἔχον, ἔν τινι πάντως ἐστὶ διαθέσει. τὸ δ' ἐν δυσλύτῳ διαθέσει, καθ' ἕξιν ἤδη διάκειται. ἀλλοιοῦται μὲν ὁ μελαινόμενος, ἠλλοίωται δὲ ὁ μελανθείς, ὥστ' εἶναι τὴν ἀλλοίωσιν, γένεσιν ποιότητος, ἢ διαθέσεως, ἢ ὅπως ἂν ἐθέλοις ὀνομάζειν. οὐ μάχεται δὲ τὸ λέγειν ἀπαλλαγὴν εἶναι τοῦ προϋπάρχοντος τὴν ἀλλοίωσιν, τῷ λέγειν γένεσιν αὐτὴν εἶναι ποιότητος. ἅμα γὰρ ἄμφω συμπίπτει. καὶ ἡ πρόσθεν ὑπάρχουσα τῷ σώματι μεταβολή, καὶ νῦν ἄλλη γίγνεται. τοῦ γοῦν ἐν ἡλίῳ διατρίψαντος, ἀλλοιοῦται μὲν ἡ λευκότης, γεννᾶται δὲ ἡ μελανότης. καὶ τοῦ παρὰ πυρὶ θαλπομένου, μεταβάλλει μὲν ἡ ψυχρότης, γίγνεται δὲ ἡ θερμότης. ὅταν δὲ τοῦ δέ τινος, ὃ οὐκ ἔστιν οὐσία, γένεσιν εἶναι λέγωμεν, οὐ ταυτὸν δηλοῦμεν ἐν τῇ λέξει τῇδε, κἀπειδὰν ἁπλῶς ὀνομάσωμεν γένεσιν. ἡ μὲν γὰρ ἁπλῶς ὀνομαζομένη γένεσις, ὁδός ἐστιν εἰς οὐσίαν, ἡ δὲ τοῦ δέ τινος γένεσις, εἰς τὴν, ὡς ἂν εἴποι τις, ὕπαρξιν ἐκείνου. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ λελέχθω. ὃ δὲ ἐν τῷ λόγῳ μάλιστα προὔκειτο, σχεδὸν ἤδη διώρισται. τὸ τὰ μὲν, ἐν γενέσει τε καὶ μεταβολῇ, καὶ ἀλλοιώσει, καὶ ἁπλῶς εἰπεῖν, ἐν κινήσει τὸ εἶναι μεταλαμβάνειν, τῶν δ' ὑπομένειν τὴν οὐσίαν. ὑγεία μὲν οὖν καὶ νόσος, ὅσαι τε συμπτωμάτων ἢ αἰτίων εἰσὶ διαθέσεις, ἢ ἕξεις, ὑπομενόντων εἰσίν. αἱ δ' ἐνέργειαι πᾶσαι, καὶ αἱ καθ' ὁτιοῦν ἀλλοιώσεις, ἐν τῷ γίνεσθαι τὸ εἶναι κέκτηνται. καὶ τὸ καθ' ὁτιοῦν κινούμενον σῶμα, κατ' ἐκεῖνο πάσχει. καὶ ἡ κίνησις αὐτοῦ, πάθος ἐστίν. οἱ μὲν οὖν παλαιοί, καὶ τὰς ἐν τῷ κατὰ φύσιν ἔχειν ἁπάσας κινήσεις, ὅσαι γε μὴ δραστικαὶ, πάθη προσαγορεύουσιν. ὥσπερ οὖν ἐνεργείας τὰς δραστικὰς, οὕτω καὶ αὐτὰς τῶν αἰσθήσεων τὰς ἀλλοιώσεις ὁ Πλάτων ὀνομάζει πάθη. τοῖς νεωτέροις δὲ οὐκ οἶδ' ὅπως δόξαν, ἐπὶ τῆς παρὰ φύσιν μόνης, κινήσεως κεῖται τοὔνομα. ἰδίως μὲν οὖν τὸ πάθος ἐπὶ πάσης τῆς ἔξωθεν κινήσεως ἐλέγετο παρὰ τῶν παλαιῶν. ἤδη δὲ καταχρώμενοι καὶ τὰς ἐκ πάθους μὲν γεγενημένας τῶν διαθέσεων, οὐκέτι δ' ἐν κινήσει πάθη προσαγορεύουσιν. οὐ μὴν χρονιώτερόν γε, οὐδὲ δυσλυτώτερον ἡ διάθεσις τῆς ἕξεως, ὥσπερ οὐδὲ ἡ ἀρρωστία. ἀλλ' αἱ τοιαῦται νομοθεσίαι τῶν ὀνομάτων, ὑπὸ τῶν νεωτέρων ἐπεισήχθησαν. εἴρηται δὲ ἐπὶ πλέον ὑπὲρ τῶν ἰατρικῶν ὀνομάτων ἑτέρωθι. καὶ νῦν οὐ τοῦτο πρόκειται σκοπεῖν, ἀλλ' ὅπως ἡμεῖς χρησόμεθα, διελέσθαι μόνον ἀναγκαῖον ἔδοξε, σαφηνείας ἕνεκα. τὴν γὰρ ἐναντίαν ὑγείᾳ διάθεσιν, ὑφ' ἧς ἐνέργειαν

ἐνέργειαν λέγομεν βλάπτεσθαι, νόσημα μόνον προσαγορεύομεν, εἴτε πολυχρόνιος, εἴτε ὀλιγοχρόνιος, εἴτ᾽ ἐν ἀκαρεῖ χρόνῳ γίγνοιτο. τὰς δ᾽ ἄλλας ἁπάσας τὰς προηγουμένας τούτων, ἐν αἰτίας λόγῳ, διαθέσεις παρὰ φύσιν, αὐτὸ τοῦτο μόνον, αἰτίας, οὐ πάθη, τὰ δ᾽ ἑπόμενα ταύταις, ὅσα μὲν ἐνεργειῶν εἰσι βλάβαι συμπτώματά τε καὶ πάθη. κατὰ ταὐτὰ δὲ καὶ τὰς ἀμέτρους ἐκκρίσεις, ἢ ἐπισχέσεις. ὅσαι δὲ διαθέσεις, ὥσπερ καὶ ἡ ἄχροια, πρὸς ᾧ τοῦ πάθους τε καὶ τοῦ συμπτώματος ὀνόματι, διαθέσεις ὀνομάζομεν, ὥσπερ οὖν καὶ εἰσί. κοινὸν μὲν δὴ τούτων ἁπάντων, τὸ παρὰ φύσιν, καὶ τῶν αἰτίων, καὶ τῶν νοσημάτων, καὶ τῶν συμπτωμάτων. ἴδιον δὲ, τῶν μὲν νοσημάτων, τὸ βλάπτειν ἐνέργειαν. τῶν δὲ συμπτωμάτων τὸ τούτοις ἕπεσθαι, τῶν δὲ αἰτίων, τὸ προηγεῖσθαι. οὔτ᾽ οὖν ὅστις κίνησιν εἶπε παρὰ φύσιν εἶναι τὴν νόσον οἶδεν ὃ λέγει, καθάπερ ἐν τῷ πρὸ τούτου λόγῳ διήλθομεν ἐνίους τῶν μεθοδικῶν οὕτως ἀφορίσασθαι προσθέντας ἐκ περιττοῦ τὸ ἐπίμονον, οὐδ᾽ ὅστις τροπὴν ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν. οὐδὲν γὰρ μᾶλλον αἰτίας, ἢ νοσήματος, ἢ συμπτώματος ὁ λόγος. ἅπαντα γὰρ ταῦτα, διαθέσεις εἰσὶ παρὰ φύσιν. ἀλλ᾽ εἰ μὲν ὀλιγοχρόνια, δῆλον ὡς ὀξέα. εἰ δὲ δύσλυτα, χρόνια. διοίσει δ᾽ οὐδὲν, ἢ νόσον, ἢ νόσημα λέγειν, ὥσπερ οὐδὲ πάθος, ἢ πάθημα. καὶ μὲν δὴ καὶ ὅτι τὸ πάθος ὄνομα, καὶ κατὰ τοῦ νοσήματος ἐπιφέρουσιν οἱ παλαιοί, καθάπερ καὶ τὴν ἀρρωστίαν καὶ τὴν ἀσθένειαν, ἐπιδέδεικται καὶ τοῦτ᾽ ἐν τοῖς περὶ τῶν ἰατρικῶν ὀνομάτων, καὶ ὡς οὐδὲν διαφέρει λέγειν ἀρρωστίαν ἢ ἀρρώστημα. καὶ μέν γε καὶ ὡς τοὺς νοσοῦντας αὐτοὺς, οὐ νοσοῦντας μόνον, ἀλλὰ καὶ ἀρρωστοῦντας, καὶ ἀσθενοῦντας, καὶ κάμνοντας ὀνομάζουσιν, ἐπιδέδεικται δὲ καὶ τοῦτο δι᾽ ἐκείνων τῶν ὑπομνημάτων. λοιπὸν δ᾽ ἂν εἴη νῦν, οὗπερ ἕνεκα ταῦτ᾽ εἴρηται, πάντα προσθέντας, ἐπί τι τῶν ἑξῆς ἤδη μετιέναι. τί δὲ τοῦτ᾽ ἐστίν; οὐκ ἄλλο τοῦ πολλάκις ἤδη καὶ πρόσθεν εἰρημένου, τοῦ πρῶτόν τε καὶ μάλιστα τοῦτο σπουδάζειν τοὺς ἰατροὺς, καὶ τοῦτο σχεδὸν αὐτῶν ἔργον ὑπάρχειν ἴδιον, ἐκκόπτειν τὰς νόσους. εὐθὺς γὰρ ἅμα τούτῳ καὶ ἡ βλάβη τῆς ἐνεργείας οἴχεται, καὶ τ᾽ ἄλλα συμπτώματα πάντα συναναιρεῖται. χρῄζουσι μὲν γὰρ πάντων οἱ ἄνθρωποι πρώτης καὶ μάλιστα τῆς κατὰ φύσιν ἐνεργείας, δι᾽ ἐκείνην δὲ, καὶ τῆς ὑγείας. καὶ ἀποθέσθαι γε βούλονται τὴν βλάβην τῆς ἐνεργείας, καὶ διὰ τοῦτο, καὶ τὴν νόσον. οὐ μὴν τῇ γε βλάβῃ τῆς ἐνεργείας, ἀλλὰ τῇ νόσῳ προσφέρουσι τὰ βοηθήματα, τουτέστι τῇ παρὰ φύσιν διαθέσει, τῇ βλαπτούσῃ τὴν ἐνέργειαν. ὅστις οὖν οὐκ οἶδεν αὐτῶν τῶν κατὰ φύσιν ὑπαρχόντων τοῖς μορίοις, τάτ᾽ ἄλλως συμβεβηκότα, καὶ τὰ τῆς ἐνεργείας αἴτια διορίσαι, πῶς τοῦτον εἰκὸς ἐξευρεῖν τὴν διάθεσιν, ὑφ᾽ ἧς πρώτως ἡ ἐνέργεια βλάπτεται; τὰ μὲν γὰρ ἄλλως συμβεβηκότα τοῖς σώμασι, κἂν μυριάκις ἀλλοιωθείη, βλάπτειν τὴν ἐνέργειαν οὐ δύνανται, ἕως ἂν ὑφ᾽ ὧν ἐγίγνετο κατὰ φύσιν ἔχῃ πάντα. τούτων δ᾽ εἴπερ τι κἂν ἓν ἀλλοιωθῇ, βλαβῆναι τὴν ἐνέργειαν εὐθὺς ἀναγκαῖον εἰς τοσοῦτον, εἰς ὅσον περ καὶ ὠφελεῖται κατὰ φύσιν ἔχοντος. ἐμοὶ μὲν οὖν εἴρηται τὸ πᾶν, καὶ δέδεικται σαφῶς ἤδη τοῖς γε δυναμένοις ἕπεσθαι λόγοις ἀληθέσιν, ὡς οὐκ ἐγχωρεῖ ὁπόσα τὰ πάντ᾽ ἐστὶ νοσήματα, μεθόδῳ περιλαβεῖν, εἰ μή τις εἰδείη ὁπόσα τὰ πάντ᾽ ἐστὶν ὑπάρχοντα κατὰ φύσιν ἔχοντι τῷ σώματι, τῆς ἐνεργείας αἴτια. μανθάνειν δ᾽ οὔπω δυνατόν ἐστι τῶν εἰρημένων οὐδὲν, ὅσοι σκαιότεροί τε εἰσὶ, καὶ ἀργοὶ τὴν διάνοιαν, ἢ τοῖς τῆς μεθοδικῆς αἱρέσεως λήροις ἐντεθράφησαν. αὖθις οὖν κἀκείνοις, ὃ καθόλου νῦν εἴρηται, τοῖς συνετοῖς, ἐπέλθωμεν κατὰ μέρος. ἕν τι καὶ δεύτερον οἷον παραδείγματα τῷ λόγῳ προχειρισάμενοι. διατί γὰρ ἡ γλῶττα τῶν χυμῶν αἰσθάνεται, τῶν δ᾽ ἄλλων μορίων οὐδέν; ἆρά γε διὰ τὴν χρόαν, ἢ διὰ τὴν θέσιν, ἢ διὰ τὸ μέγεθος, ἢ διὰ τὸ σχῆμα; παχυνθείσης γὰρ αὐτῆς οἶμαι, καὶ μηκέτ᾽ αἰσθανομένης τῶν χυμῶν, ἤτοι τὴν χρόαν ἐπανάξομεν εἰς τὸ κατὰ φύσιν, εἰ κατὰ ταύτην εἶχε τὴν ἐνέργειαν, ἢ τῶν ἄλλων ἕκαστον τῶν εἰρημένων, εἰ κατ᾽ ἐκεῖνο. κἂν εἰ κατ᾽ ἄλλο δέ τι παρὰ ταῦτα, δῆλον ὡς κατ᾽ ἐκεῖνο μόνον, εἴπερ ἂν αὐτὴν ἐπανάγοιμεν εἰς τὸ κατὰ φύσιν, οὐδὲν τῶν ἄλλων ἔτι δεησόμεθα. φέρε γὰρ, ὅτι πυκνὴ τοῖς πόροις ἐστὶν εἰς τοσόνδε, διὰ ταῦτ᾽ αὐτὴν αἰσθάνεσθαι τῶν χυμῶν. ἆρ᾽ οὐ τὴν ἐκείνων συμμετρίαν μὲν ὁπόθ᾽ ὑγιαίνουσι φυλάξομεν, τὴν ἀμετρίαν δ᾽ αὖθις ὁπότε νοσοῦσιν ἐπανορθωσόμεθα; φέρε δ᾽ εἰ οὕτως ἔτυχε, διότι συμμέτρως ἔχει θερμότητος, αἰσθητικὴν εἶναι τὴν γλῶτταν τῶν χυμῶν, ἆρ᾽ οὐκ κἀνταῦθα πρόδηλον ὡς τῶν ἄλλων ἁπάντων ἀμελήσαντες, ἐκεῖνο φυλάξομεν αὐτῆς μόνον, ἀφ᾽ οὗ τὴν ἐνέργειαν ἐκέκτητο; φέρε δ᾽ εἰ ξηρότητός τε καὶ ὑγρότητος ὧδέ πως ἔχουσα, διὰ τοῦτ᾽ αἰσθάνοιτο, τίς οὐκ ἂν ἁπάντων τῶν ἄλλων ἀμελῶν, εἰς τοῦτ᾽ ἀποβλέψει μόνον αὐτῆς, ὅπως μήθ᾽ ὑγροτέρα τοῦ δέοντος ἔσται, μήτε ξηροτέρα; τίς δ᾽ οὐκ ἂν, εἴπερ τοῦτ᾽ ἐστὶν ἀληθὲς, ἐξ ἑτοίμου συλλογίσαιτο, δύο εἶναι τὰ πάντα τῆς γλώσσης νοσήματα. τὸ μὲν ὑγρὸν τὸ δὲ, ξηρόν. ὥσπερ αὖ καὶ εἰ θερμότητι καὶ ψυχρότητι συμμέτρῳ τὴν αἴσθησιν ἔχοι, τίς οὐκ ἂν κἀνταῦθα δύο εἶναι τὰ νοσήματα αὐτῆς ἐννοήσειεν, ἀμετρίαν θερμότητός τε καὶ ψύξεως; ὥσπερ εἰ καὶ τῇ τῶν πόρων συμμετρίᾳ τὴν αἴσθησιν ἐκέκτητο, πρόχειρον ἦν δήπου κἀνταῦθα λογίσασθαι πάντως ὑπὸ τῆς ἀμετρίας αὐτὴν βλαβήσεσθαι. διττὴν δὲ ταύτην ἔσεσθαι, πύκνωσίν τε καὶ μάνωσιν τῶν πόρων. ἆρ᾽ οὖν ἔτι λέγω πολλὰ τοὺς ἀναισθήτους ἐπάγων; εἰ καὶ μὴ δ᾽ ἄλλο, τοῦτο γοῦν ἐννοῆσαι τὸ μὴ δύνασθαί τι μήθ᾽ εὑρεῖν, μήτ᾽ ἀποδεῖξαι τὸ πλῆθος τῶν νοσημάτων, ἄνευ τοῦ γνῶναι, τίνα μὲν τῶν ὑπαρχόντων τοῖς μορίοις αἴτια τῆς ἐνεργείας ἐστὶ, τίνα δ᾽ ἄλλως τούτοις συμβέβηκεν. ἢ καὶ δεύτερόν τι καὶ τρίτον ἔτι παράδειγμα προχειρίσωμαι; πολλάκις γὰρ ὑπὸ τοῦ πλήθους αὐτῶν τιτρώσκονται τῶν ἀνοήτων αἱ ψυχαί. φέρε τοίνυν αὖθις ὧδέ πως αὐτοὺς ἐρωτήσωμεν. ἆρ᾽ αἰσθάνεται τὸ σῶμα, θερμῶν καὶ ψυχρῶν, καὶ σκληρῶν καὶ μαλακῶν, καὶ λείων καὶ τραχέων, καὶ ἁπλῶς ἁπάντων τῶν ἁπτῶν, ὅτι λευκὸν τὴν χρόαν ἐστὶν, ἢ ὅτι μέλαν, ἢ ὅτι πυῤῥὸν, ἢ ἁπλῶς εἰπεῖν ὅτι τοιόνδε τὴν χρόαν; ἢ κατ᾽ οὐδὲν μὲν τούτων, δι᾽ ἄλλο δέ τι; πρόδηλον γὰρ οἶμαι παντὶ, τὸ, φυλάττειν αὐτῷ χρῆναι μόνον ἐκεῖνο μέλλοντί γε αἰσθήσεσθαι καλῶς, ἐξ οὗπερ ἐκέκτητο μόνου, τὸ καλῶς αἰσθάνεσθαι. εἰ μὲν γὰρ ἐκ τοῦ λευκὸν εἶναι τοῦτ᾽ ἐκέκτητο, περὶ παντὸς ἐχρῆν ποιεῖσθαι, καὶ φυλάττειν τοῦτο, καὶ φεύγειν τὸ μέλαν. εἰ δ᾽ ἔμπαλιν ἐκ τοῦ μέλαν ὑπάρχειν ἦν αἰσθητικὸν, ἀποδιδράσκειν ἐχρῆν οἶμαι καὶ δεδιέναι τὰς ἄλλας ἁπάσας χρόας. οὕτω δὲ καὶ εἰ διότι ξανθὸν ἢ πυῤῥόν ἐστι διὰ τοῦτ᾽ αἰσθάνοιτο, φευκτέον ἐστὶν οἶμαι τὰς ἄλλας χρόας, ὡς ἂν δυσαισθησίας ἀπεργαστικάς. καὶ μὲν δὴ καὶ εἰ τῷ σκληρὸν εἶναι τὴν αἴσθησιν ἔχει, τῷ μαλακὸν γενέσθαι βλαβήσεται, καὶ εἰ τῷ

πυκνοῦ γὰρ ὄντος, τὸ μανὸν ἀπεργάσασθαι, καὶ εἰ συμμετρία πόρων ἠσθάνετο, πρὸς τὴν ἀμετρίας δήπου βλαβήσεται. καὶ καθόλου, τοῦτ' αὐτὸ μόνον ὑπάρχειν χρὴ πρὸς τὴν αἴσθησιν ἀφ' οὗ τὴν αἴσθησιν ἔχει, καὶ τοῦτ' ἐπανορθοῦσθαι μόνον, ἐπειδὰν ἐξίστηται τῆς φύσεως, ὑφ' οὗ τὴν αἴσθησιν βλάπτεται. ἆρ' οὖν δεήσει τρίτου παραδείγματος, ἢ καὶ ταῦθ' ἱκανά; τοῖς μὲν συνετοῖς οἶμαι, καὶ ταῦτ' ἐστὶ περιττά, τὸ καθόλου συνιέναι δυναμένοις ἄνευ τῶν παραδειγμάτων. ἀμαθέσι δὲ καὶ σκαιοῖς καὶ φιλονείκοις, ἴσως οὐδ' εἰ τρίτον προστεθείη παράδειγμα, πλέον οὐδέν. ἀλλ' ὅμως ἐπειδὴ περ εἴρηται δύο, καὶ κατατρίβουσιν ἀεὶ μάτην ἡμῶν τὸν χρόνον, εἴη ἂν καὶ νῦν οὐκ ἀπεικός, ἐν αὐτοῖς ἔτι προσθεῖναι παράδειγμα. καὶ δὴ καὶ προβεβλήσθω μὲν ὅπως ἀπεπτοῦσαν ἐπανορθωσόμεθα γαστέρα. τὸν δὲ λόγον οὐ πρὸς τοὺς μεθοδικοὺς ἔτι μόνους ἀλλ' ἤδη καὶ πρὸς ἐκείνους ποιησόμεθα τῶν λογικῶν, οἳ νομίζουσι μεθόδῳ τινὶ δύνασθαι καὶ λόγῳ τὴν τέχνην συστήσασθαι, χωρὶς τοῦ γνῶναι τὴν πρώτην αἰτίαν τῆς ἐνεργείας, ἣν δὴ καὶ προσεχῆ καλεῖν εἰώθασιν. ἔστω δή τινα λέγειν, ἀπὸ γὰρ τῶν πρόχειρον ἐχόντων τὴν ἀτοπίαν ἄρξασθαι βέλτιον, ἵν' ἐπαγάγωμεν αὐτοὺς εἰ οἷόν τε κατὰ βραχὺ πρὸς τὸ καὶ τῶν ἀμυδροτέρων αἰσθάνεσθαι, λέγειν οὖν ὑποκείσθω τινά, διότι πολλαῖς ἐφεξῆς ἡμέραις ὁ δέ τις ἄνθρωπος ὁ νῦν ἀπεπτῶν, ὑπὸ γάλακτος μόνου διαιτηθείς, ἠλλοίωσε τὸ τῆς γαστρὸς χρῶμα, καὶ λευκὸν ἐποίησεν ἀντ' ἐρυθροῦ, διὰ τοῦτ' αὐτῷ βεβλάφθαι τὴν ἐνέργειαν, οἶμαί σε γελᾶν ἤδη, καὶ δικαίως γελᾶν. ἀλλ' εἴπερ εἰδείης ὡς ἴσον ἐστὶ καὶ τοῦτο περὶ χρωμάτων εἰπεῖν ὁτιοῦν ἄνευ τοῦ προσθεῖναι τὴν ἀπόδειξιν, καί τι περὶ τῆς τῶν πόρων, εἰ οὕτως ἔτυχε, συμμετρίας, ἢ ἄλλης ἡστινοσοῦν διαθέσεως, οὐκ οἶμαί σε γελάσειν εὐλόγως. ἢ γὰρ κἀπὶ σαυτῷ τὸν γέλωτα κινήσεις, ἢ μηδ' ἐφ' ἑτέρῳ. ἔστω γὰρ ἰταμόν τινα ὄντα, τὸ χρῶμα τῆς γαστρὸς αἰτιώμενον, τοῦ μὴ πέττειν καλῶς, καὶ φάσκειν ὡς ἐπειδὴ κατὰ φύσιν ἔχουσα τὴν χρόαν ἐρυθρὰ ἦν, νῦν δ' ἀπειργάσθη λευκὴ ἀκριβῶς, διὰ τοῦτ' ἀπεπτῆσαι ἐξ ἀνάγκης αὐτήν, ἡδέως ἂν ἀκούσαιμί σου τὴν πρὸς τοῦτον ἀντιλογίαν. ἐγὼ μὲν γὰρ οὐδ' ἐπινοῆσαι δύναμαι τρόπον ἕτερον αὐτῆς, ἄνευ τοῦ κελεῦσαι τῷ ταῦτ' εἰπόντι δεῖξαι πρότερον, εἰ διὰ τὴν χρόαν ὅλως ἐνεργεῖ κατὰ φύσιν ἡ γαστήρ. σὺ δὲ εἴπερ ἔχεις, ἡδέως ἂν ἀκούσαιμί σου. ἀλλ' ὅτι ἔχεις, οὐκ ἔξεις εἰπεῖν ἕτερόν τινα τρόπον ἀντιλογίας, πρὸς τὸν τὴν χροιὰν αἰτιώμενον τῆς ἀπεψίας, ἀλλ' ἢ τὴν πρόκλησιν τοῦ δεῖξαι πῶς ἐκ τοῦ κατὰ φύσιν χρώματος ἡ γαστὴρ ἔχει τὸ πέττειν. εἶτ' ἐκεῖνος μὲν οὐ πιστευθήσεται τὴν χρόαν αἰτιώμενος τῆς ἀπεψίας, πρὶν δεῖξαι κατὰ τοῦτ' ἐνεργοῦσαν αὐτήν, σὺ δ' ἤτοι τὴν ἀμετρίαν λέγων τῶν πόρων, ἢ ὁτιοῦν ἄλλο πιστευθήσῃ πρὸ τοῦ δεῖξαι πῶς ἐνεργεῖ κατὰ τὴν ἐν ἐκείνῳ τῷ γένει συμμετρίαν; ἀλλ' οὐδὲ ταῦτα λέγω φησίν, οὐδ' ἄλλο τι τὸ προσεχὲς τῆς πέψεως αἴτιον, ἀλλ' ὅλως ἀγνοεῖν ὁμολογῶ. καὶ μὴν εἰ τῷ μὲν τὴν χρόαν αἰτιωμένῳ τῆς ἐνεργείας ἀναγκαῖόν ἐστι καὶ τῆς βλάβης αἰτιᾶσθαι, τῷ δὲ τὴν συμμετρίαν τῶν πόρων, καὶ τούτῳ τὴν ἀμετρίαν τῶν αὐτῶν τούτων πόρων, καὶ τῷ τὴν εὐκρασίαν τῶν τεττάρων ποιοτήτων, θερμότητος, καὶ ψυχρότητος, καὶ ὑγρότητος, καὶ ξηρότητος, καὶ τούτῳ τὴν δυσκρασίαν τῶν αὐτῶν, ἀναγκαῖον ἔσται καὶ σοὶ τὸ κατὰ φύσιν ὑποθεμένῳ πρότερον, οὕτως ἐξευρεῖν τὸ παρὰ φύσιν. εἰ δὲ μὴ γινώσκεις τὸ κατὰ φύσιν, οὐδὲ τὸ παρὰ φύσιν οἶσθα. καὶ γὰρ δὴ καὶ ὑμῶν αὐτῶν ἀκούω λεγόντων πρὸς τοὺς ἐμπειρικοὺς ἰατρούς, ὡς οὐκ ἐνδέχεται γνῶναι τὸ παρὰ φύσιν, εἰ μὴ πρότερον εἰδείη τις τὸ κατὰ φύσιν. ἀλλὰ γιγνώσκω φησὶ τὸ κατὰ φύσιν. ἆρά γε σύμπαν, ἢ μέρος αὐτοῦ τι; καὶ τοῦτο τὸ μέρος ὃ γινώσκεις, ἆρά γε τὸ τῆς ἐνεργείας ἐστὶν αἴτιον, ἢ ἄλλως ὑπάρχει τῇ γαστρί; τί γὰρ δὴ καὶ γινώσκεις αὐτῆς θέσιν δηλαδή, καὶ μέγεθος, καὶ πλοκήν, καὶ διάπλασιν. ἀλλ' οὐδὲν τούτων ἐστὶ τῆς ἐνεργείας αἴτιον. ἀλλ' οὐδὲ ἀγνοεῖταί τι τούτων τοῖς ἐμπειρικοῖς. ὁμολογοῦσι τε γὰρ χρῆσθαι τῇ κατὰ περίπτωσιν ἀνατομῇ, καὶ ταῦτ' ἐξ ἐκείνης μανθάνειν. οὐ μὴν ἐνεργείας τε καὶ χρείας μορίων. ἀλλ' οἶδά φησι καὶ τὴν ἐνέργειαν. ἔστι γὰρ περιστολὴ καὶ τρῖψις. ἀλλ' εἰ μὴ τὴν αἰτίαν εἰδείης αὐτῆς, οὐκ εἴσῃ τὴν νόσον. εἰ γὰρ ἡ εὐκρασία τῶν τεττάρων ποιοτήτων αἰτία τῆς ἐνεργείας ἐστίν, ἡ δυσκρασία πάντως τῆς βλάβης αἰτία ἔσται. σὺ δ' οἴει φλεγμονὴν καὶ σκίρρον, οἴδημά τε καὶ απόστημα, καὶ τἄλλα ὅσα τοῖς ὀφθαλμοῖς ἰδεῖν ἐστι, μόνα τῆς γαστρὸς εἶναι παθήματα. καίτοι γ' οὐδὲ ταῦτα τοῖς ἐμπειρικοῖς, ὁμοίως ὀφθαλμοῖς μόνοις καὶ χερσὶ καὶ ταῖς ἄλλαις αἰσθήσεσι καταμανθάνεις, ἀλλ' ὑπὲρ τὴν οὐσίαν αὐτῶν ἀντέχεσθαι πειρᾷ, καὶ ταύτην ἐξευρίσκειν ἀκριβῶς, οὐκ ἀρκούμενος τοῖς φαινομένοις αἰσθήσει συμπτώμασιν, ἃ τοῖς ἐμπειρικοῖς ὁρίζει τε καὶ περιγράφει τὴν συνδρομήν. οὕτω γὰρ ἀξιοῦσιν ὀνομάζειν αὐτοὶ τὸ τῶν συμπτωμάτων ἄθροισμα τῶν ὑπαρχόντων τῷ πεπονθότι τόπῳ. καὶ τὴν ἔνδειξίν γε τῆς θεραπείας, οὐκ ἐκ τῶν φαινομένων λαμβάνεις συμπτωμάτων. οὐδὲ γὰρ εἰ παρὰ φύσιν ὄγκος, οὐδ' εἰ ἀντίτυπος, οὐδ' εἰ ὀδυνηρός, οὐδ' εἰ ἐρυθρός, ἀλλ' εἰ σφήνωσις ἐν τοῖς πέρασι τῶν ἀρτηριῶν ὑπὸ παρεμπτώσεως σκοπεῖς, καὶ τὴν θεραπείαν, ὡς αὐτὸς ἔφης, πρὸς τοῦτ' ἀναφέρων ἐξευρίσκεις. ἢ γὰρ οὐχ οὕτως ὁ Ἐρασιστράτου τρόπος τῆς διδασκαλίας ἐν τοῖς περὶ πυρετῶν. ὥσπερ αὖ Διοκλέους μὲν ἕτερος, Πραξαγόρου δ' ἄλλος, Ἀσκληπιάδου δ' ἄλλος. ὥστ' οὐκ ἀπὸ τῶν περὶ τὸ φλεγμαῖνον μέρος φαινομένων συμπτωμάτων, ἡ ἔνδειξις αὐτοῖς γίγνεται τῶν βοηθημάτων, ἀλλ' ἀπὸ τῆς οὐσίας αὐτῆς. οὐ γὰρ εἰ παρὰ φύσιν ὄγκος, οὐδ' εἰ ἀντίτυπος, οὐδ' εἰ πόνος σφυγμώδης, ἀλλ' εἰ παρέμπτωσίς τε καὶ σφήνωσις ἐν τοῖς ἐσχάτοις τῶν ἀρτηριῶν, ἢ ἔμφραξις ἐν τοῖς πέρασι τῶν φλεβῶν, ἢ σῆψίς τις τῶν χυμῶν, ἢ λόγῳ θεωρητῶν ὄγκων ἔνστασις, ἐν λόγῳ θεωρητοῖς ἀραιώμασιν ἐπισκοποῦνται. ὥστε ἕκαστος τούτων ἀπὸ τῆς διαθέσεως τοῦ φλεγμαίνοντος μέρους, οὐκ ἀπὸ τῶν ἑπομένων αὐτῇ συμπτωμάτων, ἔνδειξιν τῶν βοηθημάτων λαμβάνει. κατὰ τὸν αὐτὸν οἶμαι τρόπον καὶ ὅστις αἰτιᾶται τὸ θερμὸν καὶ ψυχρόν, καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρόν. ἀλλ' οὗτος μὲν εἰ καὶ χωρὶς φλεγμονῆς, ἢ ἕλκους, ἢ ἀποστήματος, ἢ τινὸς ἑτέρου τοιούτου, μόνῳ τῷ ψυχρὰ γεγονέναι μὴ πέττοι καλῶς ἡ γαστήρ, εὐπορεῖ τῶν βοηθημάτων. οἱ δὲ τὰς φλεγμονὰς καὶ τοὺς σκίρρους, καὶ τἄλλα ὅσα τοῖς ὀφθαλμοῖς ἐστι θεάσασθαι μόνα νομίζοντες εἶναι νοσήματα, γελοίως πάνυ τὰς χωρὶς τούτων ἀπεψίας, ἀτονίᾳ τῆς κοιλίας γίγνεσθαι φασίν. ὥσπερ διάθεσίν τινα λέγοντες τὴν ἀτονίαν, ἰδίαν ἐξαίρετον. ἀλλ' οὐχ ὥσπερ καὶ τοῖς ἑλκουμένοις τε καὶ σκιρρουμένοις, καὶ φλεγμαίνουσι, καὶ ἄλλως ὁπωσοῦν πεπονθόσιν ὑπάρχειν. πάντα γὰρ ταῦτα τὰ πάθη, κἂν ἐν γαστρί, κἂν ἐν ἥπατι, κἂν ἐν θώρακι, κἂν ἐν ὁτῳδήποτε γένηται, παραχρῆμα τὸ μέρος ἀτονώτερον

τερον ἐργάζεται περὶ τὴν ἰδίαν ἐνέργειαν. ἀλλ' οὐ τοῦτ' ἄρ' ἦν αὐταρκὲς αὐτοῖς εἰς τὴν τῶν βοηθημάτων ἔνδειξιν, ἢ μάτην ζητοῦσι τὰς διαθέσεις, ἀλλ' ἐπ' αὐτὴν ἀνέρχονται τὴν οὐσίαν τοῦ νοσήματος, ὡς οὐκ ἐνὸν ἄλλως εὐπορῆσαι τῆς προσηκούσης ἰάσεως. οὐκοῦν ἔτι τὸν ἔλεγχον ἐξ ἡμῶν ἀναμένουσιν, ἀλλ' αὐτοὶ σφᾶς αὐτοὺς ἐξελέγχουσιν, οἱ τὴν ἀτονίαν εἶναι λέγοντες τὸ πάθος, ἐν οἷς οὐδὲν ὧν ἐκεῖνοι παθῶν ὡρίσαντο πεπονθυίας τῆς γαστρὸς ἀπεστάλη τὸ ζῶον. οὔτε γὰρ ἴδιον), ἀλλὰ κοινὸν ἁπάντων λέγουσι, καὶ τὴν θεραπείαν οὐδὲ κατ' αὐτοὺς ἐκείνους δυνατὸν ἐνδείξασθαι εὐλόγως. ὄνομα γάρ ἐστι ψιλόν, τὸ ῥώννυσθαι τὴν ἀτονίαν. καὶ οἷον σκοπὸς μᾶλλον, οὐ θεραπεία. τί γὰρ χρὴ ποιοῦντας ῥώμην ἐντιθέναι τοῖς ἀρρωστοῦσι περὶ τὴν ἐνέργειαν, οὐ λέγουσιν. ἐν τούτῳ δ' ἦν ἡ θεραπεία. καὶ χωρὶς τοῦ τὴν διάθεσιν εὑρεθῆναι τῆς γαστρός, εὐπορῆσαι βοηθημάτων ἀδύνατον. εἰ μὲν γὰρ ἔψυκται θερμαντέον, εἰ δ' ὕγρανται ξηραντέον. ὡσαύτως δὲ καὶ εἰ μὲν ἀμέτρως τεθέρμανται ψυκτέον, εἰ δ' ἐξήρανται ὑγραντέον. οὗτοι μὲν ἁπλοῖ τρόποι τῆς ἰάσεως τέτταρες. ἕτεροι δὲ τέτταρες σύνθετοι. εἰ μὲν ψυχροτέρα καὶ ξηροτέρα τὴν κρᾶσιν ἡ γαστὴρ ἐγένετο, θερμαντέον τ' ἐστὶ καὶ ὑγραντέον αὐτήν. εἰ δὲ ὑγροτέρα καὶ θερμοτέρα, ξηραντέον τε ἐστὶ καὶ ψυκτέον. οὕτω δὲ καὶ εἰ μὲν θερμοτέρα τε καὶ ξηροτέρα, ψυκτέον τε καὶ ὑγραντέον. εἰ δ' ὑγροτέρα τε καὶ ψυχροτέρα, ξηραντέον τε καὶ θερμαντέον. ὥστε καὶ αἱ διαθέσεις ὀκτὼ τῆς γαστρὸς αὐτῆς, ὡς ἐκεῖνοι λέγουσιν, ἀτονίας αἰτίαι. καὶ οἱ τρόποι τῆς ἰάσεως ὀκτώ. καὶ οὐκ ἐγχωρεῖ λέγειν οὐδενὶ τῶν δογματιζόντων ὁμοίως τοῖς ἐμπειρικοῖς, ὡς οὐδὲν δέοιντο γιγνώσκειν, εἴθ' ὑπάρχουσιν, εἴτε μή. τελέως γὰρ ἀνατρέψουσι τὴν λογικὴν αἵρεσιν, ὁμολογήσαντες εὐπορεῖν μὲν τῆς θεραπείας, ἀγνοεῖν δὲ τὴν διάθεσιν. ἐκ πείρας γὰρ δήπου πάντες εὐπορήσουσι τῆς ἰάσεως, εἴπερ μὴ ἐκ τῆς τοῦ πράγματος αὐτοῦ φύσεως ἔνδειξιν ἔλαβον. οἱ μὲν οὖν ἐμπειρικοὶ καὶ τῷ μὴ δύνασθαι νομίζειν εὑρεθῆναί τι τῶν ἀδήλων, καὶ τῷ μὴ δεῖσθαι, κἂν εὑρεθῇ, τετηρῆσθαι γὰρ αὐτοῖς τὰς θεραπείας ἐπὶ ταῖς φαινομέναις συνδρομαῖς, εὐλόγως οὔτε γιγνώσκειν φασίν, εἰ ὀκτὼ διαθέσεις εἰσὶ καθ' ἃς ἡ γαστὴρ ἀτονεῖ, καὶ χωρὶς τῆς τοιαύτης περιεργείας εὐπορεῖν τῶν ἰαμάτων. οἱ δὲ καὶ τὸν λόγον ὁμολογοῦντες ἔχειν, ᾧ καὶ περὶ τῶν ἀδήλων διασκέπτονται, καὶ τὴν εὕρεσιν αὐτῶν ἔνδειξιν ἰαμάτων παρέχεσθαι φάσκοντες, οὐκ οἶδ' ὅπως οὐκ αἰδοῦνται λέγοντες, ἢ μὴ γινώσκειν εἰ ὑπάρχουσιν αἱ ὀκτὼ διαθέσεις, ἢ μὴ δεῖσθαι πρὸς τὰς ἰάσεις αὐτῶν. οὐ γὰρ τοῦτ' ἀπόχρη μόνον εἰπεῖν ὡς οὐκ ἴσασιν, ἀλλ' ἐξελέγξαι προσήκει τοὺς εἰδέναι φάσκοντας, ὡς οὐκ ἀληθεύουσιν. ἄχρι δ' ἂν μήτ' αὐτοὶ τοῦτο ποιῶσιν, ἕτεροί τε πολλὰς ἀποδείξεις λέγωσι τοῦ πᾶν σῶμα διὰ τὴν ἐκ τῶν τεττάρων ποιὰν κρᾶσιν ἐνεργεῖν, εὐλογώτερον ἐκείνοις πιστεύειν, εἰ μή τι ἄρα προφάσεις ψιλὰς λέγοντες, ἀξιώσουσι πιστότεροι τῶν τὰς ἀποδείξεις λεγόντων εἶναι. καὶ μὴν ἐκεῖνοι μέν, εἰ καὶ μηδὲν ἄλλο, πείθειν γοῦν καὶ διδάσκειν τοὺς ἀκροατὰς οὐ βιάζεσθαι, καὶ προστάττειν ἐπιχειροῦσιν. οὗτοι δ' αὖ, τοὐναντίον ὡς τύραννοι κελεύουσι μὴ ζητεῖν τῆς ἐνεργείας τὴν αἰτίαν. ἀλλ' ἡμεῖς μὲν καὶ Διονύσιον, καὶ Φάλαριν, καὶ τοὺς ἄλλους τυράννους, διὰ τοῦτο μισοῦμεν, ὅτι κελεύουσι καὶ προστάττουσιν οὐ πείθουσι καὶ διδάσκουσιν, ὡς Σόλων, καὶ Δράκων, καὶ Λυκοῦργος. ἀλλ' ἐγώ φησι ἐν τοῖς ὅροις μένω τῆς τέχνης. ὑμεῖς δὲ ἀποχωρεῖτε, καὶ πρὸς τὰς ἄλλας ἀρχὰς ἡμᾶς ἀνάγειν ἐπιχειρεῖτε τῆς φυσικῆς θεωρίας. εἶτα οὐκ ἀποδείξεις ὦ γενναιότατε κἂν αὐτὸ τοῦτο, τίνες εἰσὶν οἱ ὅροι τῆς ἰατρικῆς θεωρίας, καὶ τίνα χρὴ γινώσκειν τὸν μέλλοντα λόγῳ ποιήσασθαι τὴν εὕρεσιν τῶν βοηθημάτων, ἀλλὰ μορμολυξάμενος οἴει καταπλήξειν ἡμᾶς; ἀκούω καὶ σοῦ λέγοντος ὡς οὐ χρὴ σκοπεῖσθαι τῆς ἐνεργείας τὴν αἰτίαν. ἀκούω δὲ καὶ τῶν ἐμπειρικῶν, ὡς οὐδὲ τὰς ἐνεργείας αὐτὰς ἐπισκέπτεσθαι προσῆκον. ἀκούω δὲ καὶ τοῦ λέγοντος ὡς οὐ μόνον ἐπισκεπτέον εἶναι δεῖν αὐτάς, ἀλλὰ καὶ τὰς αἰτίας ὑφ' ὧν γίγνονται ζητητέον. ἆρ' οὖν κελεύεις με γενέσθαι τῶν ἀδίκων κριτῶν; οἳ μὴ περιμείναντες ἁπάντων ἀκοῦσαι τῶν ἀμφισβητούντων ἀλλήλοις, ἑνὶ φέροντες ἔδοσαν τὴν ψῆφον; ἢ πρῶτον μὲν ἀκοῦσαι τοὺς λόγους ὑμῶν ἑκάστου καταμόνας, εἶτ' ἀλλήλοις παραβαλεῖν καὶ διασκέψασθαι, τίς ἑαυτῷ τε καὶ τοῖς φαινομένοις ὁμολογεῖ, καὶ τίς οὔτε τοῖς φαινομένοις, οὔθ' ἑαυτῷ. καὶ μὴν εἰ τοῦτο ποιήσαιμι, τῶν μὲν ἐμπειρικῶν ἀκούσαιμι κἂν παραμυθεῖσθαι γοῦν πειρωμένων ἃ λέγουσιν, εἰ καὶ μὴ βεβαίως ἀποδεικνύουσιν, ὑμῶν δ' οὐδὲ τοῦτο. τίς γὰρ ἢ παραμυθίαν ὑμῶν, ἢ ἀπόδειξιν εἰπεῖν ἐπεχείρησεν. ἡδέως ἂν ἀκούσαιμι δι' ἣν οὐ χρὴ ζητεῖν τῆς ἐνεργείας τὴν αἰτίαν. ἡ μὲν γὰρ ἔμπροσθεν ὑπ' ἐμοῦ ῥηθεῖσα μέθοδος, ἀπέδειξεν ὡς δεῖ ζητεῖν. ὑμεῖς δ' οὔτ' ἀπόδειξιν οὐδεμίαν, οὔτε λόγον οὐδένα πιθανὸν ἐπεχειρήσατε εἰπεῖν, ἀλλ' ἀνατείναντες τὰς ὀφρῦς ἐπιτιμᾶτε μόνον ἡμῖν σεμνῶς, ἀποχωρεῖν τῆς ἄκρας φυσιολογίας κελεύοντες, καὶ μὴ ζητεῖν οὕτω φύσιν ἀνθρώπου καταμαθεῖν, ὡς οἱ φιλόσοφοι καταμανθάνουσιν, ἄχρι τῶν πρώτων στοιχείων ἀνιόντες τῷ λόγῳ. καὶ τοῦθ' ὑμῶν ἀπόχρη μόνον εἰπεῖν, ὡς ἀρτηρίαν, καὶ φλέβα, καὶ νεῦρον, ἀρχὰς προσεχεῖς, καὶ οἷον στοιχεῖα χρὴ τίθεσθαι τῆς περὶ τὸν ἄνθρωπον φυσιολογίας. καί τις ἐπῄνεσεν ἐν τούτῳ τὸν Ἡρόφιλον εἰπόντα κατὰ λέξιν οὕτως. ἔστω ταῦτα εἶναι πρῶτα, εἰ καὶ μή ἐστι πρῶτα. τὸν δ' εἰς ἀπόδειξιν προκαλούμενον ἐξελέγχοντά τε τὰς ὑποθέσεις τῶν ταῦτα δοξαζόντων ἑαυταῖς μαχομένας, ἀποθεῖσθε καὶ φεύγετε, καὶ τὴν ἀρχὴν οὐδὲ παρέχετε τὰ ὦτα, καὶ καταφρονεῖν προσποιεῖσθε, καὶ μισόλογοι γίγνεσθε νῦν, οἱ τὸν λόγον καὶ τὴν ἀπόδειξιν ἐπανατεινόμενοι τοῖς ἐμπειρικοῖς. ὅτι γε ἑαυτοῖς οἱ λόγοι διαφέρονται, ἁπάντων τῶν ἐξ ἡμίσεος δογματιζόντων, εὐφωρότατόν ἐστι τοῦτο τῷ κἂν βραχὺ γεγυμνασμένῳ κατὰ τὰς ἀποδεικτικὰς μεθόδους. ἐπειδὰν μὲν γὰρ φλεγμαίνῃ γαστήρ, καὶ διὰ τοῦτο πέττειν ἀρρωστῇ, τίς ἡ τῆς φλεγμονῆς ἐστιν αἰτία ζητεῖν δικαιοῦσι, κἀντεῦθεν εὐποροῦσι τῶν ἰαμάτων, ἀποχωροῦντες τῆς ἐμπειρικῆς εὑρέσεως. ἐπειδὰν δὲ χωρὶς φλεγμονῆς ἢ τοιούτου τινὸς ἄλλου παθήματος ὑπὸ δυσκρασίας μόνης ἀρρωστῇ πέττειν, ἐνταῦθα πάλιν ἐκ τῆς ἐμπειρίας αὐτοῖς ἡ τῶν βοηθημάτων εὐπορία. καὶ μὴν ἀλλήλοις μὲν ταῦτα μάχεται. τὰ δὲ τῶν ἐμπειρικῶν ὁμολογεῖ, καὶ ἀποδείκνυσί τε καὶ περαίνει τὸ σφέτερον ἐξ ὧν αὐτοὶ ὑμεῖς συγχωρεῖτε λημμάτων. εἰ γὰρ ὅλως δυνατόν ἐστιν ἐπὶ φαινομένοις συμπτώμασι τετηρῆσθαι θεραπείαν ἀγνοουμένης τῆς διαθέσεως, οὐκ ἐπὶ μὲν τῆσδε δυνατόν, ἐφ' ἑτέρας δ' ἀδύνατον, ἀλλ' ἐπὶ πασῶν ὁμοίως ἔσται δυνατόν. τοιγαροῦν οὐδ' ἐνταῦθα λόγον οὐδένα λέγειν ἕξετε τοῦ μὴ τὴν ἐμπειρίαν αὐτάρκη γίγνεσθαι πρὸς τὴν τῶν βοηθημάτων εὐπορίαν, ἐφ' οἷς τὴν διάθεσιν

εὑρεῖν ἀδυνατεῖτε. πάντα οὖν ὡς τύραννοι προστάττετε, χρῆσθαι δ' ἀποδείξεσιν οὔτ' αὐτοὶ βούλεσθε. βέλτιον γὰρ ἴσως εἰπεῖν τοῦτο, ἢ μὴ δύνασθαι, καὶ τοῖς βουλομένοις τε ἅμα καὶ δυναμένοις οὐχ ἕπεσθε. τί ποτ' οὖν ἄλλ' εἰσὶν ὑμῶν οἱ λόγοι, πλὴν ἔρις, καὶ φιλονεικία, καὶ πρόκλησις εἰς λοιδορίας καὶ μάχας, οἵας καὶ τῶν ὑμετέρων διδασκάλων τις ἐποιεῖτο διὰ παντός. ἢ καταγελῶν εἴ τις ἐφθέγξατο θερμὸν καὶ ψυχρόν, ὡς βαλανεῦσι μᾶλλον, οὐκ ἰατροῖς προσηκόντων ὀνομάτων, ἢ σφοδρῶς ἐπιτιμῶν ὡς ἀποχωροῦντι πόρρω τῆς ἰατρικῆς, ἢ τὴν Ἐρασιστράτου προχειριζόμενος ἀξιοπιστίαν. ἀλλὰ ταύτην μὲν, πρῶτον ἀκούσας ἥσθην, δεύτερον δὲ καὶ τρίτον ἀκούων ἐμίσησα, βωμολοχίᾳ μᾶλλον οὐκ ἰατρικῇ πρέπειν ἡγησάμενος. εἰ γὰρ ἅπαξ ἡ τῶν κελευσάντων μὴ προσωτέρω χωρεῖν ἀξιοπιστία, μάρτυς ἱκανὴ πρὸς ἀπόδειξιν εἶναι νομισθήσεται, λῆρος ἤδη μακρὸς ἔσται πάντα, καὶ πέρας οὐδὲν ἐν τοῖς διαλόγοις. ἀλλ' ἢ τοῦθ' ὅπερ νῦν ὁρᾶτε γιγνόμενον ἔχθρα καὶ μάχη καὶ λοιδορία. τοῖς γὰρ ἀποχωρήσασι μὲν τῶν λογικῶν ἀποδείξεων, ὅτι δ' Ἡρόφιλος οὕτως ἐκέλευσεν, ἢ Ἐρασίστρατος, ἀξιοῦσι πιστεύειν, ἀνάγκη πᾶσαν λοιδορίαν καὶ μάχην ἀκολουθῆσαι, τὰ θαυμαστὰ τῶν νῦν διαλόγων ἆθλα. φέρε γὰρ ἑτέρου μέν τινος λέγοντος, ὡς τῷ δεῖνι τῷ μὴ πέττοντι καλῶς, ἡ γαστὴρ δύσκρατος ἐπὶ τὸ ξηρότερόν τε καὶ ψυχρότερον ἐγένετο, καὶ διὰ τοῦτ' αὐτῇ ὑγραντέον τ' ἐστὶ καὶ θερμαντέον. ἑτέρου δέ τινος ἐκ τροπῆς τῆς κατὰ φύσιν ἐπὶ τὸ ψυχρότερόν τε καὶ ὑγρότερον ἀπεργασθείσης, θερμὰ καὶ ξηρὰ τὰ διαιτήματα προσφέρεσθαι συμβουλεύοντος, καὶ ἄλλος τις τρίτος παρελθών, ὡς μὲν οὐκ ὀρθῶς εἴρηται τῶν εἰρημένων ὁτιοῦν, μὴ δ' ἐπιχειρήσειεν ἀντειπεῖν. μόνον δ' ἐπιτιμῶν ὡς περιττὰ ζητοῦσι, καὶ μάρτυρα τὸν Ἐρασίστρατον ἢ τὸν Ἡρόφιλον ἐπάγοιτο, πῶς οὐχ ὅπερ ἔφην ἀρχὴ διαφορᾶς ἐντεῦθεν ἔσται, καὶ λοιδορίας τῆς πρὸς ἀλλήλους; ἀνάγκη γὰρ δή που κἀκείνους, Ἀθήναιον, καὶ Μνησίθεον, καὶ Διοκλέα, καὶ Πλειστόνικον, Ἱπποκράτην τε καὶ Φιλιστίωνα, καὶ μυρίους ἑτέρους τοιούτους ἐπικαλέσασθαι μάρτυρας. εἰ γὰρ δὴ κατὰ μάρτυρας χρὴ διαιρεῖσθαι τὸν λόγον, οὐ σμικρῷ τινι κρατήσουσιν, ὅτι τε γὰρ τῆς νοσώδους δυσκρασίας εἴδη πολλά, καὶ ὅτι καθ' ἕκαστον ἡ θεραπεία διάφορος, οὐχ Ἱπποκράτην μόνον ἢ ἄλλους παμπόλλους ἰατρούς, ἀλλὰ καὶ Πλάτωνα, καὶ Ἀριστοτέλην, καὶ Θεόφραστον, καὶ Ζήνωνα, καὶ Χρύσιππον, ἅπαντάς τε τοὺς ἐλλογίμους φιλοσόφους παρεχόμενοι μάρτυρας. ὅτι τε χωρὶς τοῦ τὴν φύσιν εὑρεθῆναι τοῦ σώματος ἀκριβῶς, οὐχ οἷόν τ' ἐστὶν οὔτε περὶ νοσημάτων διαφορᾶς ἐξευρεῖν οὐδέν, οὔτε ἰαμάτων εὐπορῆσαι προσηκόντως, ἅπαντας πάλιν τοὺς νῦν εἰρημένους μοι φιλοσόφους τε καὶ ἰατρούς, οὐ προστάττοντας μὰ Δί' ὡς οὗτοι δίκην τυράννων, ἀλλ' ἀποδεικνύντας παρέξονται. πρὸς ταῦτ' οὖν οἱ τὸ θερμὸν καὶ ψυχρὸν βαλανέων οὐκ ἰατρῶν ὀνόματα φάσκοντες εἶναι, βωμολοχεύονται δηλονότι, καὶ γέλωτα ποιήσουσιν, ἢ μωρούς, ἢ φυγάς, ἢ σχολαστικοὺς δεικνύμενοι. σύνισασι γὰρ ἑαυτοῖς οὐ μόνον ἀποδεικτικὸν ἐπισταμένοις οὐδέν, ἀλλ' οὐδ' ὅτι τί ποτέ ἐστιν ἀπόδειξις ἐπαΐουσιν. ἐκ τούτων οὖν τῶν σκωμμάτων, ἀνάγκη γενέσθαι διαφορᾶς ἀρχήν. ἵνα γὰρ τοῦ πρώτου πάντων, ὧν οἱ χωρὶς ἀποδείξεως φλυαροῦντες οὐκ ὀκνοῦσι λέγειν ἐπιμνησθῶ, σκέψαι πῶς ἀναγκαῖόν ἐστιν ἀκολουθῆσαι μάχην αὐτῷ. πρὸς γὰρ τὰς ἀναποδείκτους φάσεις αὐτῶν, καὶ τοὺς ἀξιοπίστους μάρτυρας, ὅταν ἕτεροί τινες ἐνδοξοτέρους τε καὶ πολὺ πλείονας ἀντιπροτείνωνται μάρτυρας, ἀναγκαῖον ἢ συγχωρεῖν καὶ ἡττᾶσθαι κατ' ἄμφω νενικημένους ἔν τε τῷ μὴ συνακολουθῆσαι πρὸς τὴν ἀπόδειξιν, κἂν τῷ κεκρατῆσθαι πρὸς τοῦ πλήθους τῶν μαρτύρων, ἢ ἀναισχυντήσαντας Ἐρασίστρατον ἁπάντων ἐκείνων τῶν μαρτύρων ἀποφαίνεσθαι πιστότερον. ἀνάγκη γὰρ ἐνταῦθα τὸν μὲν εἰπεῖν ὡς οὐκ ἦν πιστότερος, οὔτε τῶν περὶ τὸν Ἱπποκράτην καὶ Μνησίθεον ἰατρῶν, οὔτε τῶν περὶ τὸν Ἀριστοτέλη τε καὶ Πλάτωνα φιλοσόφων, τὸν δ' ὡς ἀντειπεῖν, εἶτ' ἄνω καὶ κάτω τῆς τοιαύτης ἀντιλογίας φερομένης, οὕτως ἀπαίδευτά τε καὶ φιλόνεικα πραχθῆναι τὸν ἕτερον αὐτῶν εἰπεῖν, ὡς οὐκ ἔστιν οὕτω σοι καλῶς, ἣν Ἐρασίστρατον ἀτιμάζεις. ταυτὶ γὰρ ὁρᾷς ἑκάστης ἡμέρας ὦ Ἱέρων γιγνόμενα κατὰ τοὺς τῶν ἰατρῶν διαλόγους. τοιαύτης δ' ἅπαξ ἀνοιχθείσης ὁδοῦ, πάντ' ἐπιρρεῖ τὰ τῶν γυναικῶν ἴδια ῥήματα, καὶ κακῶς εἰπόντες ἀλλήλους, οὐ διδάξαντές τι χρηστόν, ἢ μαθόντες, ἀπαλλάττονται. καὶ τῆς τοιαύτης ἀσχημοσύνης οὐκ ἔστιν εἰπεῖν, ὡς οὐχ οἱ τὰς ἀποδείξεις ἀποδιδράσκοντες ἄρχουσιν. ἀποδιδράσκουσι δ' ὡς οἶσθα, πολυειδῶς. οἱ μὲν σεμνῶς ἐπισιωπήσαντες μόνον, οἱ δὲ κομψευσάμενοί τι βωμολοχικόν, οἱ δ' εἰς γέλωτα καὶ χλεύην ἐξάγοντες τὸν διάλογον. εἰ δέ τις καὶ τολμήσειε παραμεῖναί τε τῷ λόγῳ, καὶ τῶν ἀποδείξεων ἐπακοῦσαι, μάλιστα μὲν οὐδ' ἕπεται τὴν ἀρχήν, οὐ γὰρ ἐνδέχεται τὸν ἀγύμναστον ἀποδεικτικῆς μεθόδου, τοῖς χρωμένοις αὐτῇ παρακολουθεῖν, εἰ δ' ἄρα καὶ μέχρι τινὸς παρακολουθήσειεν, ἀλλὰ τοῦτό γε πάντως ἐπαμύνειν ἐθέλειν οἷς ἐνετράφη δόγμασιν ἐπιχειρῶν ἀντιλέγειν, εἶτ' ἐξελεγχόμενος, ἀπέραντα καὶ ἀσυλλόγιστα καὶ περιττὰ καὶ ληρώδη φλυαρῶν, ἀγανακτεῖ, καὶ καταρᾶται τοῖς διαλεκτικοῖς, ὡς κακῶν αἰτίοις. ὅτι δηλαδὴ τὴν κόρυζαν ἀπομύττουσιν αὐτῶν, καὶ θεραπεύειν πειρῶνται, προσφέροντες, οὐ μέλι καὶ πλακοῦντας, ἀλλὰ σκόροδά τε καὶ κρόμμυα. τὰ καὶ τοὺς κορυζῶντας ἀλεκτρυόνας ἰώμενα. παραγέγονας γὰρ δὴ μυριάκις αὐτοῖς ὡς ὑπὸ σκορόδων οὕτως καὶ κρομμύων τῶν ἐλέγχων ἀναγκαζομένοις δακρύειν. οἶσθα δὲ δήπουθεν ὡς καὶ πολλοὶ πολλάκις ἡμῖν ἐξομολογήσαντο κατὰ μόνας, αἰσθάνεσθαι μὲν ἤδη τῆς κατὰ τὴν σφετέραν αἵρεσιν ἀτόπων, οὐ δύνασθαι δ' ἔν γε τῷ φανερῷ μετατίθεσθαι, διὰ τὸ μήτ' ἄλλα γινώσκειν ἀφ' ὧν τιμηθήσονται, καὶ τοῖς πολλοῖς τῶν ἀνθρώπων ἐφθακέναι ἀπὸ τούτων γιγνώσκεσθαί τε καὶ τιμᾶσθαι. διὰ ταῦτα τοίνυν κἀγὼ πολλάκις ἀνεβαλλόμην ὑπομνήματα γράψαι μεθόδου θεραπευτικῆς, ὡς ἂν ἀκριβῶς εἰδὼς ὀλιγοστοὺς τῶν νῦν ἀνθρώπων, ὑπ' αὐτῶν ὠφεληθησομένους. εἰ μὴ γὰρ μεγάλη τις γένοιτο καὶ δαιμονία μεταβολὴ τῶν ἀνθρωπείων πραγμάτων, οἴχεται πάντα τὰ καλά, καὶ συγκέχυται, καὶ διέφθαρται μηδενὸς ἀλήθειαν σπουδάζοντος, ἀλλὰ τὸ δόξαι μόνον. οἶσθα γὰρ δήπου καὶ σὺ σαφῶς, ὡς οὐδὲ πέντε τοῖς πᾶσιν ἀνθρώποις ἐντυγχάνομεν εἶναι μᾶλλον, ἢ φαίνεσθαι σοφοῖς ὀρεγομένοις. καὶ μὴν εἰ μή τις ὀρεχθείη σοφίας αὐτῆς δι' ἑαυτήν, οὐδὲ καιρὸν ἕξει τοῦ γυμνάσασθαι κατὰ τὰς λογικὰς μεθόδους, ἀλλὰ περὶ πλοῦτον, καὶ δόξαν, καὶ δύναμιν πολιτικὴν ἐσπουδακώς, περὶ τὴν ἐν ἐκείνοις ἀσχολίαν ἅπαντα κατατρίψει τὸν βίον. ἐάσαντες οὖν αὐτούς, πάλιν ἐπὶ τὸ προκείμενον ἴωμεν. ἔστι δὲ τὸ προκείμενον ἐξ ἀρχῆς, ὡς εἰ μή τις ἅπαντα τὸν ἀριθμὸν τῶν νοσημάτων

ἐξεύροι

ἐξευροι μέθοδον, πταίσει μέγιστον πταῖσμα περὶ τὴν ἀρχὴν εὐθὺς αὐτῆς τῆς θεραπευτικῆς μεθόδου. πρόδηλον γὰρ ὡς τοσοῦτοι καὶ τρόποι εἰσὶ τῆς ἰάσεως, ὅσαι περ καὶ αἱ τῶν νοσημάτων ἰδέαι. τὸ τοίνυν μήτ' ἄπειρα ποιῆσαι τὰ νοσήματα ταῖς κατὰ μέρος ἰδιότησι προσέχοντας, μήθ' εὐθὺς ἐν τοῖς πρώτοις καταμεῖναι γένεσιν, οὐ τοῦ τυχόντος ἐστὶν, ἀλλ' ἀνδρὸς, ὡς καὶ πρόσθεν ἐδείκνυτο, πάνυ γεγυμνασμένου περὶ τὰς διαιρετικὰς μεθόδους. ἀρχὴ δὲ τῆς διαιρέσεως αὐτῶν ὥσπερ καὶ τοῦτ' ἐλέγετο, τὸν λόγον τῆς οὐσίας τοῦ διαιρουμένου πράγματος ἀφορίσασθαι. καὶ τοίνυν ἐδείκνυτο παντὸς μὲν ἕν τι τῶν παρὰ φύσιν ὑπαρχόντων νόσημα. τεττάρων δ' ὄντων τῶν παρὰ φύσιν, ἤτοι τῆς βεβλαμμένης ἐνεργείας, ἢ τῆς ἐργαζομένης αὐτὴν διαθέσεως, ἢ τῆς ταύτην ποιούσης αἰτίας, ἢ τῶν ἑπομένων αὐτῇ συμπτωμάτων, εἴτε τὴν βλάβην τῆς ἐνεργείας, εἴτε καὶ τὴν ἐργαζομένην αὐτὴν διάθεσιν ἐθέλοι τις ὀνομάζειν νόσον, οὐδὲν εἰς τὴν θεραπευτικὴν μέθοδον ὑπαλλάττειν ἐδείκνυμεν, εἰ τοῦθ' ἓν μόνον γιγνώσκοι, τὸ, τὴν πρώτην θεραπείαν, ἣν δή που καὶ προσεχῆ καλοῦσιν ἔνιοι, τῆς τὴν ἐνέργειαν ἐμποδιζούσης εἶναι διαθέσεως. ἀποδεδεῖχθαι δ' ἡμῖν ἐλέγομεν, ὡς ταύτην εὐλογώτερον εἴη προσαγορεύειν νόσημα, μὴ μέν τοι κωλύειν ἡμᾶς, εἴ τις ἐθέλοι τὴν μὲν τῆς ἐνεργείας βλάβην ὀνομάζειν νόσημα, τὴν δ' ἐργαζομένην αὐτὴν διάθεσιν, αἰτίαν τοῦ νοσήματος. ὑποθέμενοι δὲ καλεῖσθαι νόσημα, διάθεσιν παρὰ φύσιν ἐνέργειαν βλάπτουσαν, ἐζητήσαμεν ἐφεξῆς ὁπόσα τὰ σύμπαντ' ἐστὶ νοσήματα. πρόδηλον δ' ἦν ἐν τούτῳ, τὸ, δεῖν ἐξευρεῖν πρῶτον ἥτις ὁδῷ καὶ τάξει μέλλει προϊέναι, καὶ μὴ καθάπερ οἱ πολλοὶ τῶν ἰατρῶν, ὡς τύραννοι προστάττειν, ἥτις ποτὲ διάθεσις ἐστὶν, ἡ τῆς ἐνεργείας αἰτία δραστική. ταύτην οὖν ἡμεῖς μὲν δυσκρασίαν ἐλέγομεν εἶναι θερμοῦ καὶ ψυχροῦ, ὑγροῦ καὶ ξηροῦ. καὶ διὰ τοῦθ' ἡ πρώτη νόσος ἡ ἐν τοῖς ὁμοιομερέσι, τῇ δυσκρασίᾳ τούτων ἐδείκνυτο γίγνεσθαι. ἕτερος δέ τις ἐν ὄγκοις καὶ πόροις θήσεται τὴν τούτων συμμετρίαν, καὶ διὰ τοῦτ' ἀμετρίᾳ τῶν πόρων αὐτῶν νοσήσει τὰ ζῶα. τὸ δὲ μήτ' αὐτὸν ἀποφήνασθαι τολμῆσαι τῆς ἐνεργείας τὴν αἰτίαν, ἐν ὁτῳδήποτε γένει τῶν ὄντων ἐστὶ, μήτε τοῖς λέγουσιν ἀντειπόντα, νομίζειν ἔτι λόγῳ καὶ μεθόδῳ προϊέναι, δεινῶς ἐλέγομεν εἶναι μοχθηρὸν, ἅμα μὲν, ἄφυκτον ἐργαζόμενον τὴν ἐκ τῶν ἐμπειρικῶν κατηγορίαν, ἅμα δὲ αὐτῷ μαχόμενον. ἐξ ἡμίσεος γὰρ δὴ τοὺς τοιούτους εἶναι λογικούς. ὅπως μὲν δὴ γίγνεται φλεγμονὴ, καὶ σκίρρος, καὶ οἴδημα, καὶ πάνθ' ὅσα τοιαῦτα πολυπραγμονοῦντας, ὅτι δὲ καὶ χωρὶς τούτων ἁπάντων κατὰ δυσκρασίαν μόνην ἐνέργεια βλάπτεται μὴ γινώσκοντας, ἀλλ' ἐμπειρικῶς τὰ τοιαῦτα θεραπεύοντας. ὅστις οὖν βούλεται γνῶναι πόσον ἁμαρτάνουσιν οἱ τοιοῦτοι, καὶ πόσον τι πλῆθος ὑπερβαίνουσι νοσημάτων, καὶ ὡς πολὺ πλέον ἀγνοοῦσιν ἢ γιγνώσκουσι, τὸ περὶ διαφορᾶς νοσημάτων ἀναλεξάσθω γράμμα. μαθήσεται γὰρ ὡς ὀρθῇ μὲν ὁδῷ πρῶτος ἁπάντων Ἱπποκράτης ἐχρήσατο. δέον δ' αὐτὴν τελειῶσαι τοὺς μετ' αὐτὸν, οὐχ ὅπως οὐδεὶς ἐτελείωσεν, ἀλλὰ καὶ τὰ καλῶς εὑρημένα διέφθειραν οἱ πλεῖστοι. πλησίον δὲ τοῦ τελειῶσαί τε καὶ συμπληρῶσαι τὴν ὑφ' Ἱπποκράτους παραδοθεῖσαν ὁδὸν, οἱ περὶ τὸν Ἀριστοτέλην τε καὶ Θεόφραστον ἀφίκοντο. καὶ εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἐτελείωσαν δυνάμει, διορισάμενοι τὸ μὴ ταὐτὸν εἶναι γένος τῶν νοσημάτων, ἔν τε τοῖς ὁμοιομερέσι σώμασιν, ἔν τε τοῖς ὀργανικοῖς ὀνομαζομένοις. ὑπὸ μὲν γὰρ τῶν ὁμοιομερῶν, τὰς ἐνεργείας γίγνεσθαι, καὶ διὰ τοῦτ' εἶναι καθ' ἕκαστον τῶν ὀργάνων ἓν ἴδιον ὁμοιομερές. ὅσα δ' ἄλλα μετὰ τούτου συμπληροῖ τὸ πᾶν ὄργανον, ἕνεκα χρείας τινὸς ἐκείνου τοῦ πρώτου τῆς ἐνεργείας αἰτίου γεγονέναι. καὶ τούτων μέν τοι πάλιν αὐτῶν ἑκάστου κατὰ μόνας ὑπάρχειν ἐνέργειαν, οἷον ἐπὶ τῶν ὀφθαλμῶν, ἄμεινον γὰρ ἴσως ὡς ἐν ἑτέροις ἐπὶ πλέον ἐδείξαμεν, ἐνταυθοῖ διὰ βραχέων ὑπομνήσεις ποιήσασθαι, τὸ μὲν τῆς ὄψεως ὄργανόν ἐστι, τὸ κρυσταλλοειδὲς ὑγρὸν, ἕκαστον δὲ τῶν ἄλλων μορίων, ἐκείνου χάριν ἐγένετο. καὶ πάντων εἰρήκαμεν αὐτῶν τὰς χρείας ἐν τῷ δεκάτῳ τῆς περὶ χρείας μορίων πραγματείας. ἀλλ' εἰ καὶ ὅτι μάλιστα τοῦ κρυσταλλοειδοῦς ἕνεκεν ἐγένετο σύμπαντα, κατὰ μέρος γοῦν ἕκαστον αὐτῶν ἐνεργείας τινὸς μετέχει. κοινῆς μὲν ὅλου τοῦ ζώου, φλὲψ, καὶ ἀρτηρία, καὶ νεῦρον. οἱ δ' ὑμένες ἅπαντες οἱ κατὰ τὸν ὀφθαλμὸν, ὡς ἂν τρεφόμενοι δηλονότι, καὶ τῶν φυσικῶν ἐξ ἀνάγκης μετέχουσι δυνάμεων, ὥστε καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν. ὅταν μὲν οὖν τὸ κρυσταλλοειδὲς ὑπὸ δυσκρασίας νοσήσῃ, βλάπτεται μὲν ἡ τῶν ὀφθαλμῶν ἐνέργεια πάντως, ἀλλ' οὐκ ἔστιν ὡς ὀργάνων αὐτῶν τὸ νόσημα. τὸ δ' ὑπόχυμα καλούμενον, οὐδενὸς μὲν ὁμοιομεροῦς ἐστι πάθος, ὅλων δὲ τῶν ὀφθαλμῶν ὡς ὀργάνων. οὕτω δὲ κἂν εἰ γλίσχρων τινῶν ἢ παχέων χυμῶν ἔμφραξις ἐν τοῖς πέρασι τῶν κατὰ τὰ σιμὰ τοῦ ἥπατος εἴη φλεβῶν, ἐμποδισθήσεται μὲν ἡ ἀνάδοσις, ὅλου δ' ἔσται τοῦ ἥπατος ὡς ὀργάνου τὸ πάθος. οὐδενὸς τῶν ὁμοιομερῶν αὐτοῦ μορίων νοσήσαντος. εἰ δὲ δυσκρασία καταλάβοι τὰς φλέβας, αὐτῶν μὲν ἐκείνων ἔσται τὸ νόσημα πρῶτον, κατὰ συμβεβηκὸς δὲ, καὶ τοῦ ἥπατος. Ἐρασίστρατος μὲν οὖν, ἔσφαλται περὶ τὴν οὐσίαν αὐτῆς τῆς φλεγμονῆς. οὔτε γὰρ ἐν τοῖς πέρασι τῶν ἀρτηριῶν γίγνεται σφήνωσις ἐξ ἀνάγκης ἐν τοῖς φλεγμαίνουσι μορίοις, οὔτε πνεῦμα μόνον ἐν τῷ κατὰ φύσιν αἱ ἀρτηρίαι περιέχουσιν, ὡς ἐν τοῖς περὶ τούτων λογισμοῖς ἀπεδείξαμεν. εἰ δ' οὖν ἐστί τι τοιοῦτον πάθος, οἷον ἐκεῖνος οἴεται φλεγμονὴ, καὶ σκίρρος τοιοῦτον, οἷον ἐκεῖνος νομίζει, καὶ τῶν ἄλλων ἕκαστον, ὡς αὐτὸς μὲν ἀσαφῶς ἐπὶ πολλῶν, οἱ δ' ἀπ' αὐτοῦ πειρῶνται διέρχεσθαι σαφέστερον, ὀλίγου δεῖν ἀπαθῆ καταλείπει τὰ στερεὰ, μόνον ἑλκωθῆναι δυνάμενα, καὶ διατμηθῆναι καὶ θλιβῆναι, καί τι τοιοῦτον ἕτερον ὑπομεῖναι πάθημα. νοσεῖν δ' αὐτὰ δι' ὅλων ἑαυτῶν οὐδαμόθι φησὶ νόσους τοιαύτας, οἵας ἡμεῖς ἀπεδείξαμεν εἶναι τὰς ὀκτὼ δυσκρασίας. καὶ μὴν ὁρᾶταί γε σύμπαντα τὰ σώματα μέχρι καὶ τῶν δυσπαθεστάτων, οἷον χαλκοῦ καὶ λίθου καὶ σιδήρου, θερμαινόμενά τε καὶ ψυχόμενα, καὶ ξηραινόμενα, καὶ ὑγραινόμενα, καὶ θαυμαστὸν εἰ ἀρτηρία μόνη, καὶ φλὲψ, καὶ νεῦρον οὐδὲν τοιοῦτον πείσεται. καὶ τούτου θαυμαστότερον, εἰ πείσεται μὲν, ἐνεργήσει δὲ ἀμέμπτως, οἷον ἐπὶ τῆς καρδίας εἰ τύχοι, δύναμις μέν τίς ἐστι καὶ κατ' αὐτὸν τὸν Ἐρασίστρατον, ᾗ διαστέλλεται καὶ συστέλλεται. καὶ βλάπτεσθαι δὲ δή που ταύτην χρὴ, τῆς καρδίας ἐξαιρεθείσης ζῶντος τοῦ ζώου, καθάπερ πολλάκις ὁρῶμεν ἐν ταῖς ἱερουργίαις γιγνόμενον. εἰ γὰρ μηδὲν βλάπτεται, κινηθήσεται διαπαντὸς, οὐχ ἕως χρόνου τινὸς, ὡς νῦν φαίνεται. δῆλον οὖν ὅτι βλάπτεται, καὶ διὰ τοῦτο παύεται κινουμένη. τίς οὖν ἡ βλάβη, καλῶς ἔχει

ἐπισκέψασθαι. δυνάμενος γε δηλονότι τὴν βλάβην ἀναλέξασθαι τῆς καρδίας, καὶ πρὶν ἐξαιρεθῆναι τοῦ ζώου. τίς οὖν ἄλλη, πλὴν δυσκρασίας ἐστίν; οὔτε γὰρ τὸ σχῆμα φαίνεται μεταλλαττόμενον αὐτῆς, οὔτε κοιλότης τις, οὔτε σύνδεσμος, οὔτε στόμιον, ἀλλ' οὐδ' ἄλλο μόριον οὐδὲν ἀπολλύμενον, ἀλλὰ μόνον ἡ φυσικὴ κρᾶσις ἐξαλλαττομένη. ταῦτ' οὖν ἅπαντα τῶν ὁμοιομερῶν, ὡς εἴρηται, νοσήματα τυγχάνοντα τελέως αὐτῷ παραλέλειπται. τὸ γὰρ διὰ τοῦ αἵματος ἐν τοῖς πέρασι τῶν ἀρτηριῶν σφηνωθέντος, ἐνέργειάν τινα βλαβῆναι τῶν ἀρτηριῶν, ὡς ὀργάνων ἐστὶ τὸ πάθος. ὡς δ' ὁμοιομερῶν σωμάτων, ὀκτὼ μὲν αἱ κατὰ ψιλὰς τὰς ποιότητας δυσκρασίαι, μετὰ ῥευμάτων δ' ὀκτώ. χρὴ τοίνυν ὅστις τὰς τούτων ἀποδείξεις ἐπίστασθαι βούλεται παραλαβεῖν, ἀπὸ τοῦ περὶ τῶν στοιχείων ἄρξασθαι λόγου. κἄπειτα ἑξῆς ἕκαστον ἀναλέξασθαι τῶν ἄλλων, ὡς εἴρηται καὶ πρόσθεν. ἔστι δ' ἐφεξῆς μὲν ἐκείνῳ τὰ περὶ κράσεων ὑπομνήματα. καὶ τούτων ἐφεξῆς, τὸ περὶ τῆς ἀνωμάλου δυσκρασίας. εἶτα τὰ περὶ τῶν φυσικῶν δυνάμεων. ὅσα τ' ἄλλα περὶ τῶν ψυχικῶν εἴρηται παθῶν, ἐφεξῆς ἑκάστης ἴδια. τούτοις δ' ἕπεται τὰ περὶ χρείας μορίων, οἷς τὰ περὶ τῶν νοσημάτων τε καὶ συμπτωμάτων διαφορᾶς. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν, οὔτε τῇ πείρᾳ μόνῃ προσέχοντες τὸν νοῦν, ἐνὸν αὐτοῖς ἀγαθοὺς ἰατροὺς γίγνεσθαι, καὶ κατὰ τὴν τῶν ἐμπειρικῶν ἀγωγὴν ὀρεγόμενοί τε τοῦ τελέου, κἄπειτα χωρὶς ἀποδείξεως ἀποφάσεσι πιστεύοντες, ἢ μοχθηραῖς ἀποδείξεσι παραλογισθέντες, οὐ μόνον οὐδὲν ἐξευρίσκουσι χρηστόν, ἀλλὰ καὶ τὰ διὰ τῆς ἐμπειρίας ἐγνωσμένα διαφθείρουσιν. οὐ γὰρ δή που σμικρὰν ἔχει δύναμιν ὁ λόγος ὡς πρὸς τὸ κοσμῆσαι τὴν ἐμπειρίαν ἢ διαφθεῖραι, ἀλλ' ὅσον ὁ χρηστὸς ἐπικοσμῶν προστίθησιν, τοσοῦτον ἢ καὶ πλέον ὁ μοχθηρὸς ἀφαιρεῖ. καὶ ταῦτ' ἀκούεις ἐμοῦ λέγοντος ἑκάστοτε τοῖς πολλοῖς τῶν ἰατρῶν, ὅσοι πρὶν γυμνάσασθαι κατὰ τὰς λογικὰς μεθόδους, ἢ ἀποδεικνύναι τι πειρώμενοι, παραλογίζονται σφᾶς αὐτούς, ἢ διαιρεῖν ὁτιοῦν εἰς εἴδη τε καὶ διαφοράς. εἶτα κἀνταῦθα κακῶν μαγείρων δίκην, οὐ κατ' ἄρθρα τέμνουσιν, ἀλλὰ συντρίβουσί τε καὶ θλῶσι καὶ διασπῶσιν, ὥσπερ κἀπὶ τοῦ νῦν ἡμῖν προκειμένου. συμβουλεύω δὴ πᾶσιν ὡς οἶδα τοῖς τοιούτοις τῇ πείρᾳ προσέχειν τὸν νοῦν. οὐ σμικρὸς γὰρ ὁ κίνδυνος ἅπαντι τῶν μειζόνων ἢ καθ' ἑαυτὸν ὀρεγομένῳ πραγμάτων, μήτ' ἐκείνων ἐφικέσθαι, καὶ τῶν ἐνδεχομένων γνωσθῆναι παντάπασιν ἀτυχῆσαι. τοῖς οὖν καὶ πεφυκόσιν εὖ ἄριστα, καὶ τοῖς μανθάνειν ἄγουσι σχολήν, αὖθις ἡμεῖς διαλεγώμεθα, τοσοῦτον ἀναμνήσαντες αὐτούς, ὧν εὐθὺς κατ' ἀρχὰς εἴπομεν, ὡς οὐ προσήκει συγχεῖν ἅμα καὶ φύρειν ἀμφότερα, τά τ' ἐκ τῆς πείρας εὑρισκόμενα, καὶ τὰ διὰ μόνου τοῦ λόγου, ἀλλ' ὑπὲρ ἑκατέρων ἴδια διαλεχθέντας, αὖθις ἄμφω συναγαγεῖν. εἰρηκότες οὖν ἡμεῖς ὑπὲρ τῆς ἐμπειρικῆς εὑρέσεως ἑτέρωθι, περὶ τῆς λογικῆς ἐν τοῖσδε τοῖς ὑπομνήμασι προυθέμεθα διελθεῖν. καί μοι δοκῶ σαφῶς ἤδη δεδειχέναι τοῖς γε τὰ περὶ τῆς τῶν νοσημάτων τε καὶ συμπτωμάτων διαφορᾶς ἀνεγνωκόσι, πρὸς οὓς ὁ μετὰ ταῦτα πᾶς ἔσται μοι λόγος, ὡς εὐθὺς ἐν ἀρχῇ μέγιστον πταῖσμα πεπταίκασιν οἱ περὶ τὸν Θεσσαλόν. ἦν μὲν γὰρ οὐ σμικρὸν οὐδὲ τὸ ἀσκληπιάδειον πταῖσμα, διὰ τὸ κατ' ἀρχὰς σφάλλεσθαι τὸν ἄνδρα περὶ τὰ τοῦ σώματος στοιχεῖα, πολὺ δ' ἔτι μεῖζον αὐτοῦ καὶ ἀνιατώτερον ἔπταισαν, οἱ περὶ τὸν Θεσσαλόν. εἰς δύο μὲν ἅπαντα τὰ κατὰ δίαιταν νοσήματα διαθέσεις ἀναγαγόντες, ὁμοίως ἐκείνῳ, πολλοὺς δὲ τῶν θεραπευτικῶν σκοπῶν ἀφελόντες, οἷς ἐκεῖνος ἐχρήσατο. χείριστον δὲ καὶ ἀνιατώτερον ἁμαρτάνοντες, ὅτι μήτε τὰς τῶν ἐνεργειῶν βλάβας, ἀλλὰ μηδὲ τὰς αἰτίας αὐτῶν τῶν διαθέσεων, ὑπολαμβάνουσιν εἶναι νοσήματα, μόναις δὲ ταῖς κενώσεσιν ἐπεχομέναις τε καὶ πλεοναζούσαις, ἀξιοῦσι προσέχειν τὸν νοῦν. οὐδ' οὖν οὐδὲ τί ποτ' ἐστὶ τὸ παρὰ τοῦ δέοντος, ἢ κενοῦσθαι τὰ ἐκ τοῦ σώματος, ἢ ἐπέχεσθαι διδάξαντες ἡμᾶς σαφῶς. ἢ γὰρ ὡς πρὸς τὴν δύναμιν, ἢ ὡς πρὸς τὴν αἰτίαν, ἢ ὡς πρὸς τὴν διάθεσιν, ἢ ὡς πρὸς τὸ κατὰ τὴν ὑγείαν ἑκάστῳ τετηρημένον. ἀναφέρεσθαι χρὴ τὴν τήρησιν, ὅθεν οἶμαι καὶ πόλεμος οὐ σμικρὸς τοῖς ἀπ' αὐτῶν ἐγένετο, κατά τε ἄλλα πάντα διενεχθεῖσι, καὶ περὶ τῆς τῶν παθῶν ἐννοίας τε καὶ ὑπάρξεως. ἀλλ' εἰ νῦν κινήσαιμι τὴν περὶ τῆς διαφωνίας αὐτῶν διέξοδον, ἀπάξω τοῦ χρησίμου τὸν λόγον, ὡς οὖν ἀνεγνωκόσιν ἤδη τὰ περὶ τῆς τῶν νοσημάτων τε καὶ συμπτωμάτων διαφορᾶς ὑπομνήματα, καὶ πρὸς τούτοις ἔτι τὰ τῶν αἰτίων αὐτῶν, ἔτι τε πρὸς τούτοις ἐκεῖνα σύμπαντα διεληλυθόσιν, ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα, τὸν ἑξῆς ἅπαντα ποιήσομαι λόγον, ἀρξάμενος ἐνθάδε.

Ἐπειδὴ τὰς ἐνεργείας ἁπάσας ἐδείξαμεν ὑπὸ τῶν ὁμοιομερῶν γιγνομένας σωμάτων, τὰ δ' ἄλλα πάντα τὰ καθ' ἕκαστον ὄργανον μόρια χρείαν τινὰ τούτοις παρέχοντα, διττὸν δή που γένος ἔσται νοσημάτων. ἕτερον μὲν ἐν τοῖς ὁμοιομερέσι σώμασιν, ἕτερον δὲ ἐν τοῖς ὅλοις ὀργάνοις. ἐν μὲν τοῖς ὁμοιομερέσι, αἱ δυσκρασίαι. τῶν δ' ὅλων ὀργάνων, ἓν μὲν τὸ παρὰ τὴν διάπλασιν, ἓν δὲ τὸ παρὰ τὸν ἀριθμὸν τῶν μορίων, ἄλλο δέ, τὸ παρὰ τὸ ποσὸν ἑκάστου, καὶ τέταρτον τὸ παρὰ τὴν θέσιν. κοινὸν δὲ τῶν ὁμοιομερῶν καὶ τῶν ὀργανικῶν μορίων νόσημά ἐστιν, ἡ τῆς συνεχείας λύσις. ἓξ οὖν ἐστὶ τὰ πάντα τῶν νοσημάτων γένη. ἓν μὲν ἴδιον τῶν ὁμοιομερῶν, ἡ δυσκρασία. τέτταρα δὲ ἑκάστου τῶν ὀργάνων ὡς εἴρηται νῦν ἤδη. καὶ πρὸς τούτοις, ἔστι κοινὸν ὀργανικῶν τε καὶ ὁμοιομερῶν ἡ τῆς συνεχείας λύσις. αἱ δὲ καθ' ἕκαστον αὐτῶν διαφοραί, μέχρι τῶν ἐσχάτων εἰδῶν, ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς εἴρηνται. τούτων οὕτως ἐχόντων, ἤδη λεκτέον ὑπὲρ τῶν θεραπευτικῶν ἐνδείξεων, αὐτὸ τοῦτο πρότερον ἐξηγησαμένους τὸ τῆς ἐνδείξεως ὄνομα. τὴν γὰρ οἷον ἔμφασιν τῆς ἀκολουθίας, ἔνδειξιν λέγομεν. εὑρίσκεται μὲν γὰρ κἀκ τῆς πείρας τὸ ἀκόλουθον, ἀλλ' οὐχ ὡς ἐμφαινόμενον τῷ ἡγουμένῳ. καὶ διὰ τοῦτο τῶν ἐμπειρικῶν οὐδεὶς ἐμφαίνεσθαί φησι τῷδέ τινι, τόδε τι. καίτοι γε ἀκολουθεῖν λέγουσι τόδε, τῷδε. καὶ προηγεῖσθαι τόδε, τοῦδε. καὶ συνυπάρχειν τόδε, τῷδε. καὶ ὅλως ἅπασαν τὴν τέχνην, τήρησίν τε καὶ μνήμην φασὶν εἶναι, τοῦ τί, σύν τινι. καὶ τί, πρό τινος. καὶ τί, μετά τινος πολλάκις ἑώραται. τὸν τοίνυν ἐξ αὐτῆς τῆς τοῦ πράγματος φύσεως ὁρμώμενον ἐξευρίσκειν τὸ ἀκόλουθον ἄνευ τῆς πείρας, ἐνδείξει καὶ εὕρεσιν ἐστὶ πεποιῆσθαι. διωρισμένου δὲ καὶ τοῦδε πάλιν, ἀναμνήσαντες ὅπερ ἤδη καὶ πρόσθεν εἴπομεν, ὡς ἡ θεραπευτικὴ πᾶσα μέθοδος, ἄνευ τῆς ἐμπειρίας προέρχεται. καὶ ὡς οὐκ ὀρθῶς ποιοῦσιν οἱ συνάγοντες εἰς ταὐτὸν καὶ συγχέοντες ἀμφοτέρας τὰς διδασκαλίας ἐμπειρικήν τε καὶ λογικήν, ἐχώμεθα τῶν ἑξῆς. εἴη δ' ἂν πρῶτον ἁπάντων τὸ ἐφεξῆς, ὅπερ καὶ πρῶτον ἁπάντων ἕπεται τοῖς ὑποκειμένοις. ἕπεται δὲ πρῶτον καὶ μάλιστα, τὸ δ' ἐνδείξεως

ἐνδείξεως ἅπασαν γίγνεσθαι τὴν θεραπευτικὴν μέθοδον. ὅθεν γὰρ ἀρχὴν ἔχουσι τῆς ἐμπειρίας, ἔνδειξιν ὀνομάζεται σύμπαν. ὥστε καὶ ὅστις ἀκριβῶς βούλεται συστήσασθαι τὴν θεραπευτικὴν μέθοδον, ἄρξασθαι μὲν αὐτὸν ἀπὸ τῶν πρώτων ἐνδείξεων χρὴ, μεταβῆναι δὲ ἐντεῦθεν ἐπὶ τὰς ἐφεξῆς, εἶτ' αὖθις ἐπὶ τὰς ἐκείνων ἐχομένας, καὶ τοῦτο ποιοῦντα, μὴ παύσασθαι πρὶν ἐφικέσθαι τοῦ τέλους αὐτῶν. τέλος δ' ἐστὶ τῆς νῦν ἡμῖν προκειμένης πραγματείας, ἐξευρεῖν ἑκάστου τῶν νοσημάτων ἰάματα. τίς οὖν ἀρχὴ τῆς ἐπὶ τοῦτο φερούσης ὁδοῦ; τοῦ νοσήματος ἡ γνῶσις, ὁποῖόν τι τὴν φύσιν ἐστὶν, ὡς ἀπεδείχθη καὶ πρόσθεν. εἰ γὰρ δὴ τὸ θεραπευόμενον αὐτὸ τοῦτ' ἐστὶν, εὔλογον δήπου καὶ τῶν ἐνδείξεων ἐντεῦθεν ἄρξασθαι. τίς οὖν ἡ γενικὴ καὶ κοινὴ πάντων τῶν νοσημάτων ἔνδειξις, εὑρεῖν χρὴ πρῶτον, εἶτα ἐντεῦθεν ἐπὶ τὰς κατ' εἴδη προελθεῖν. ἀνάγκη γὰρ δὴ τὰς νόσους ἁπάσας, ἑνός τινος καὶ ταὐτοῦ μετεχούσας νόσους ὀνομάζεσθαι. καθάπερ οἶμαι καὶ ἄνθρωπον, καὶ βοῦν, καὶ κύνα, καὶ τῶν ἄλλων ἕκαστον. ἓν γάρ τι καὶ ταὐτὸν ἐν ἅπασι τοῖς ἀνθρώποις ἐστί. διὸ καὶ τῆς αὐτῆς προσηγορίας ἅπαντες ἐτύχομεν ἄνθρωποι καλεῖσθαι. παραπλησίως δὲ, κἀν τοῖς κυσὶν ἅπασιν ἕν τι καὶ ταὐτόν ἐστιν, ἐφ' ὃ δὴ καὶ τὴν διάνοιαν ἐπερειδόμεθα νοῆσαι βουληθέντες τὸν κύνα. καὶ μὲν δὴ καὶ τοῖς ἵπποις, ὁμοίως ἕν τι καὶ ταὐτὸν ἅπασιν ἐστὶν, ᾗ πάντες ἵπποι καλοῦνται. μάθοις δ' ἂν ἐναργέστερον ἐπὶ τῶν ὁμωνύμων αὐτό. τοῖς γὰρ τετράποσι ζώοις ἅπασι τοῖς ὑλακτικοῖς, ἐν ταὐτὸν ὑπάρχει, τὸ, τετράποσί τε εἶναι σύμπασι καὶ ὑλακτικοῖς. τοῖς δ' ἐναλίοις θηρίοις τοῖς ἁρπακτικοῖς, ἃ δὴ καὶ αὐτὰ κύνας ὀνομάζομεν, ἓν αὖ κἀκείνοις ὑπάρχει ταὐτὸν, οὐχ ὑπάρχον τοῖς ἐπιγείοις. ὥστε μηδενὸς ἐκεῖνα τούτοις κοινωνεῖν ἄλλου κατὰ τὴν τῶν κυνῶν φύσιν, πλὴν ὀνόματος. ἀνθρώπῳ μέντοι πρὸς ἄνθρωπον, οἷον Σωκράτει πρὸς Ἀλκιβιάδην, οὐκ ὀνόματος μόνον, ἀλλὰ καὶ τῶν ὑπαρχόντων ἐστὶν ἡ κοινωνία. καὶ γὰρ καὶ ζῶα, καὶ δίποδα, καὶ πεζὰ, καὶ λογικὰ, καὶ θνητὰ, καὶ ὅλως οὐδὲν ἂν εὕροις ὑπάρχον οὐδενὶ τῶν κατὰ μέρος ἀνθρώπων ᾗ ἄνθρωπος, ὃ μὴ καὶ τοῖς ἄλλοις ἀνθρώποις ὑπάρχει. τοῖς μέντοι χερσαίοις κυσὶ πρὸς τοὺς ἄλλους θαλαττίους ὑπάρχει πολλὰ διαφέροντα, καὶ κατὰ τὴν τοῦ σώματος ἰδέαν, καὶ κατὰ τὸ τῆς ψυχῆς ἦθος. ἥμερον γὰρ τοῦτο καὶ φιλάνθρωπον, ἐπίβουλον δ' ἐκεῖνο καὶ ἄγριον. καὶ χερσαῖον μὲν τοῦτο, θαλάττιον δ' ἐκεῖνο. καὶ τὸ μὲν τετράπουν, τὸ δὲ οὔ. καὶ τὸ μὲν ὑλακτικὸν, τὸ δὲ, οὐχ ὑλακτικόν. οὐ μὴν τῶν ἐπιγείων κυνῶν, ὁ μὲν ὑλακτικός ἐστιν, ὁ δὲ οὐχ ὑλακτικός. καὶ τετράπους μὲν, ὅδε τις, ἕτερος δ' ἢ μὴ τοιοῦτος. ἀλλὰ πᾶσι μὲν αὐτοῖς, ἕν εἶδός ἐστιν, ᾗ κύνες ὀνομάζονται καὶ οὐ μόνον ταῖς οὐσίαις ἔοικεν ὑπάρχειν τὸ τοιοῦτον, ἀλλὰ καὶ τοῖς συμβεβηκόσιν αὐτοῖς. ἢ ὡς διαθέσεσιν, ἢ ὡς ἐνεργήμασιν, ἢ ὡς παθήμασιν. οἷον ἄνθρωπος περιπατῶν, ἀνθρώπου περιπατοῦντος οὐδὲν διαφέρει κατ' αὐτὸ τὸ περιπατεῖν. καὶ καιόμενος δὴ καιομένου, καὶ τεμνόμενος τεμνομένου, καὶ λευκὸς λευκοῦ. καὶ μέλας μέλανος. ἐν μέντοι τῷ μᾶλλόν τε καὶ ἧττον, ἕκαστον τούτων οὐ σμικρὰν ἔχει διαφοράν. οἷον, λευκὸς μᾶλλον ἢ ἧττον. ἀλλ' ᾗ λευκὸς, ἕν τι καὶ ταὐτὸν ἑτέρῳ λευκῷ κέκτηται. καθάπερ καὶ ᾗ ἄνθρωπος, ἕν τι ταὐτὸν ἀνθρώπῳ τῷ τυχόντι. καὶ καθ' ἕκαστον δὴ τῶν σημαινομένων ἐν ἅπασιν ὑπάρχει ταὐτόν. οὕτω δὴ καὶ τὸ νοσεῖν, καὶ τὸ ὑγιαίνειν. τὸ μὲν τοῖς νοσοῦσιν ἅπασιν ὑπάρχει, τὸ δὲ τοῖς ὑγιαίνουσιν, ἓν καὶ ταὐτὸν ἑκάτερον. καὶ ὥσπερ ἐκ τῆς ἄνθρωπος φωνῆς ἕν, οὕτω κἀκ τῆς ὑγείας ἓν σημαίνεται. δηλοῖ δὲ καὶ ἡ καθ' ἑκάστην ἡμέραν ἡμῖν γινομένη πρὸς ἀλλήλους διάλεκτος. ὡς ἐν οἷς οὐκ ἔστιν ὁμωνυμία, τὸ σημαινόμενον ἓν ὑπάρχει. λέγοντος γάρ τινος ὑπὸ ἀνθρώπου πληγῆναι λίθῳ τὴν κεφαλὴν, οὐδενὶ τῶν ἀκουόντων ἀσαφὴς ὁ λόγος, οὐδ' ἀμφίβολος. ὥσπερ εἰ καταβρωθῆναί τις, εἰ οὕτως ἔτυχε κορίσκον, ὑπὸ κυνὸς διηγεῖτο. τίνος γὰρ κυνὸς, ὁ ἀκούσας ἐρήσεται. διότι οἶμαι δύο ἐστὶν εἴδη κυνῶν, τὸ μὲν ἐπίγειον, τὸ δὲ ἐνάλιον. οὐ μὴν ὑπό τινός γε λίθου, καὶ τίνα τὴν κεφαλὴν ἐρωτήσει. καὶ γὰρ λίθου παντὸς ἓν εἶδος ᾗ λίθος ἐστί. καὶ κεφαλῆς ἁπάσης, ᾗ κεφαλή. κυνὸς δ' οὐχ ἓν, ᾗ κύων. ὥσπερ οὐδὲ γλώττης, ᾗ γλῶττα. καὶ γὰρ καὶ αὐλοῦ, καὶ ὑποδήματος, καὶ ζώου μόριον ἡ γλῶττα. καὶ εἴ τινος ἀκούσαις οἰκέτῃ προστάσσοντος ὠνήσασθαι γλῶτταν, ἄδηλόν ἐστιν ἥν τινα λέγει γλῶτταν. οὐ μὴν εἰ γαστέρα τις ἢ κύστιν ἢ ἧπαρ ὠνήσασθαι κελεύοι. καθ' ἕκαστον οὖν τῶν σημαινομένων, ἕν τι πρᾶγμα ἐστὶν ὑποκείμενον. οὐ μὴν καθ' ἑκάστην γε τῶν φωνῶν ἕν. ἐνίοτε μέντοι σημαίνεται μόνον πρὸς τῆς φωνῆς, ὑπόκειται δὲ οὐδὲ ἕν. ἀλλὰ περὶ μὲν τῶν οὕτω λεγομένων, οὐ πρόκειται νῦν διελθεῖν. ἐν οἷς δὲ οὐ σημαίνεταί τι μόνον ἐκ τῆς φωνῆς, ἀλλὰ καὶ πρᾶγμά τι ἐστὶν ὑποκείμενον, ὅσαπερ ἂν ᾖ τὰ σημαινόμενα, τοσαῦται καὶ αἱ τῶν πραγμάτων ὑπάρχουσιν ἰδέαι. τῆς μὲν φωνῆς ἓν σημαινούσης, ἓν ἐξ ἀνάγκης ἐστὶ καὶ τὸ τοῦ πράγματος εἶδος. ἀριθμῷ μέντοι πολλὰ ταῦτα ἐγχωρεῖ γενέσθαι, καθάπερ τὸ α. καὶ διὰ τοῦτο ἑπτὰ μὲν τὰ φωνήεντα φαμὲν ὑπάρχειν, στοιχεῖα δὲ τέτταρα καὶ εἴκοσι τὰ σύμπαντα, κατὰ τὴν ἡμετέραν δηλονότι διάλεκτον, ἐπὶ τὸ κοινὸν ἁπάντων εἶδος ἀποβλέποντες ἐν ὑπάρχον, οὐκ ἐπὶ τὰ κατὰ μέρος, ἐπεὶ τά γ' ἐν χάρταις, καὶ ξύλοις, καὶ διφθέραις, καὶ λίθοις γεγραμμένα, πάμπολύ τι πλῆθος ὄντα, καὶ μηδ' ἀριθμηθῆναι δυνάμενα, καὶ σχεδὸν εἰς ἄπειρον ἐκτεινόμενα. δύναται γοῦν ἄχρι τοῦ παντὸς αἰῶνος α. καὶ β. καὶ γ. γράφεσθαι μυρία, κατὰ ταῦτα δὲ καὶ τῶν ἄλλων ἕκαστον γραμμάτων ἀλλὰ τά γε σύμπαντα τέτταρα καὶ εἴκοσι τὸν ἀριθμὸν εἶναι φαμὲν, οὐ τὰ κατὰ μέρος προχειριζόμενοι, τὰ δ' εἴδη μόνον, καθ' ἅπερ οἶμαι καὶ τὰ ὀνόματα φέρομεν. ἄλφα γὰρ οὐ τουτὶ μέν τι λέγεται τὸ γεγραμμένον ἐν χάρτῃ, τουτὶ δ' οὐ λέγεται τὸ γεγραμμένον ἐν ξύλῳ, ἀλλὰ καὶ τοῦτο κἀκεῖνο, κἂν εἰ κατὰ τῆς γῆς γράψαις, κἂν εἰ κατὰ λίθου, κἂν εἰ καταξύσαις, κἂν εἰ διὰ χρωμάτων. καὶ οὐδὲ πολλὰ τοὺς παῖδάς τις διδάσκει, α. καὶ β. καὶ γ. καὶ τῶν ἄλλων ἕκαστον, ἀλλ' ἓν μὲν ἕκαστον, ὁμοῦ δὲ σύμπαντα τέσσαρα καὶ εἴκοσιν. οὕτως δὲ κἂν ἵππον ἕνα δείξῃς, ἢ κάμηλον παιδὶ, θεασάμενος αὖθις ἕτερον ἵππον, ἢ κάμηλον ἑτέραν, οὐκ ἐρωτᾷ τί ποτ' ἐστὶ τὸ ζῶον, ἀλλὰ τὸ μὲν ἵππον ὀνομάζει, τὸ δὲ κάμηλον. καὶ ταὐτόν γε εἶναι ἐκεῖνό φησι τοῦτο τὸ πρόσθεν ὀφθὲν τῷ νῦν ὁρωμένῳ. καίτοι τὸ μὲν, εἰ οὕτως ἔτυχεν, ἀπέθανεν, ἕτερον δ' ἐστὶ τὸ νῦν ὁρώμενον. οἶνον δὴ λέγουσιν οἱ ἄνθρωποι τὸν αὐτὸν χθὲς καὶ τήμερον πεπωκέναι, τῷ εἴδει δηλονότι τὸν αὐτόν. ἐνίοτε δέ φασι τρεῖς οἴνους πεπωκέναι τήμερον, ἢ καὶ διὰ ἕνα πανταχοῦ πρὸς τὸ εἶδος ἀποβλέποντες, ἐπικεῖσθαί τε μίαν, εἰ τύχοι, σφραγῖδα πεντεκαίδεκα θύραις, ἐν ἅπασι τούτοις, ἐπὶ τὸ εἶδος ἀναφέροντες τὸν λόγον. οὕτω δὲ ἐναργές ἐστι καὶ φύσει πᾶσιν ὑπάρχει, καὶ ἀνθρώποις, καὶ βοσκήμασιν.

ἕτερον μέν τι ὡς ὑποκείμενον κατ᾽ οὐσίαν, ἕτερον δ᾽ ὡς εἶδος ἓν ἐπινοεῖν. ὥστε καὶ τοῖς ὄνοις, οἵπερ ἁπάντων τῶν
θρεμμάτων ἀνοητότατοί γε δοκοῦσιν ὑπάρχειν, ἄλλο μὲν τὸ κατ᾽ εἶδος ἕν, ἄλλο δὲ τὸ κατ᾽ ἀριθμὸν, εἰς διάγνωσιν
ἥκει. θεασάμενος γοῦν κάμηλον ὁ ὄνος, ἐξίσταταί τε καὶ φεύγει καὶ δέδιεν, εἰ μηδέποτε τύχοι θεασάμενος. εἰ μέντοι
συνεθισθείη τῷ θεάματι, κἂν ἄλλην αὐτῷ καὶ ἄλλην ὑποδείξῃς κάμηλον, οὐκέτι δέδιεν ὑπὸ συνηθείας, ἀλλ᾽ ὡς ἓν
εἶδος ὁρᾷ κἀκείνην ἧς συνήθισθη, καὶ ταύτην ᾗ πρώτως ἐντυγχάνει. οὕτω δὲ καὶ τοὺς ἀνθρώπους οὐ δέδιεν ὑπὸ συ-
νηθείας, ἀλλ᾽ ὡς ἓν εἶδος ὁρᾷ καὶ τούτους. εἰ μέντοι θεάσαιτο τὸν ὀνηλάτην οὐχ ὡς ἄνθρωπον μόνον, ἀλλὰ καὶ ὡς τὸν δεῖ-
να γνωρίζει, καὶ σείει γε τὰ ὦτα πολλάκις, καὶ τὴν κέρκον κινεῖ, καὶ ὀγκᾶται, καὶ σκιρτᾷ θεασάμενος, ἐμφαίνων ὅτι
γνωρίζει τὸν οἰκεῖον. τοῦτον μὲν δὴ καὶ ὡς ἄνθρωπον καὶ ὡς συνήθη γνωρίζει. τὸν δὲ νῦν αὐτῷ πρῶτον ὀφθέντα, καθ᾽
ὅσον μὲν ἄνθρωπον ὡσαύτως, ὡς συνήθη δ᾽ οὐχ ὡσαύτως. ὥστ᾽ οὐ μόνον ἡμεῖς, ἀλλ᾽ ἤδη καὶ οἱ ὄνοι, τὸ μὲν ὡς ἀριθμῷ
ταὐτὸν ὁρῶσί τε καὶ διαγινώσκουσι καὶ μέμνηνται, τὸ δὲ ὡς εἴδει. καὶ τὸν Δίωνα τὸν ὀνηλάτην, ἔστω γὰρ, εἰ τύχοι, οὕτως
λεγόμενος, ἄλλως μὲν ὡς ἄνθρωπον, ἄλλως δὲ ὡς Δίωνα γνωρίζουσιν οἱ συνήθεις ὄνοι. τὸ μέντοι κοινὸν εἶδος αὐτοῦ
καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους, ὡς ἀνθρώπου λαμβανόντων. τὸ δὲ ἴδιον ἐξαίρετον, ὡς Δίωνος μόνου. καὶ τοσοῦτον τί-
νων δέον τοὺς παλαιοὺς φιλοσόφους ἐπαινεῖν, ὡς μέγα τι καὶ σοφὸν ἐξευρόντας. ὅτι τὸ ταὐτὸν, καὶ τὸ ἕτερον, καὶ τὸ ἓν
καὶ τὸ οὐχ ἓν, οὐ μόνον κατ᾽ ἀριθμὸν, ἀλλὰ καὶ κατ᾽ εἶδος χρὴ νοεῖν, ὥστε καὶ τοῖς ὄνοις φημὶ τοῦτο ὑπάρχειν φύσει. πρό-
σκειται μὲν οὖν ὑπὸ τῶν παλαιῶν φιλοσόφων, ὡς οὐ μόνον ἀριθμῷ καὶ εἴδει λέγεται τι ταὐτὸν, ἀλλὰ καὶ τῷ γένει.
οὐ μὴν ἤδη γέ πω τοῦδε χρῄζω πρὸς τὰ παρόντα. μόνον γὰρ ἀρκεῖ μοι τὸ δεῖξαι τῶν ὄνων ὑπάρχοντας ἀναι-
σθητοτέρους, ὅσοι μὴ συγχωροῦσιν ἕτερον μέν τι τῷ εἴδει τὸ ἓν, ἕτερον δ᾽ ἀριθμῷ λέγεσθαι. καὶ μᾶλλον ἔτι, τοὺς ἓν
μὲν τὸν φρενιτικὸν εἶναι λέγοντας, καὶ ἓν τὸν ἐμπειρικόν. ἓν δὲ τὸν ἄνθρωπον εἶναι μὴ συγχωροῦντας, ἢ μὴ
γινώσκοντας, ὡς εἴδει μὲν ἓν ὁ ἄνθρωπος, ἀριθμῷ δ᾽ οὐχ ἕν. ὁ Σωκράτης μὲν ἓν καὶ τὸ εἶδος καὶ τὸν ἀριθμόν. ὁ φρε-
νιτικὸς δὲ, τὸ μὲν εἶδος, εἷς, οὐχ εἷς δέ ἐστι τὸ πλῆθος. οὐ γὰρ ἐνδέχεται Δίωνα, καὶ Σωκράτην, καὶ Θέωνα, καὶ Κορίσκον,
ἅμα πάντας, εἰ τύχοι, φρενιτίζοντας, ἓν τῷ πλήθει τοὺς τέσσαρας ὑπάρχειν. ἀλλὰ τὸ μὲν εἶδος, ἕν, τὸ πλῆ-
θος δ᾽ οὐχ ἕν. παραλογώτερον δέ τι τῶν ἐμπειρικῶν ἰατρῶν ἐστιν, ὅτι καὶ τὸν ἐμπειρικὸν ἓν λέγουσιν, εἶτ᾽ ἐρωτηθέν-
των πῶς ἓν φασὶ τὸν ζῶντα τῷ τεθνεῶτι, καὶ τὸν ἐν τῇ Ἑλλάδι, τῷ κατ᾽ Αἴγυπτον, ἀποκρίνονται πρὸς τοῦτο θαυμα-
στὴν ἀπόκρισιν. ἡ γάρ φασιν ἐμπειρικός ἐστι, ταύτῃ καὶ εἷς. τοῦτο γὰρ δὴ τῆς ἐσχάτης ἀναισθησίας ἐστὶν, εἰ προστε-
θέντων τὸ ᾗ καὶ τὸ ταύτῃ, μηδ᾽ ὧν αὐτοὶ φθέγγονται, συνιᾶσιν. εἰ γὰρ δὴ ταύτῃ γε Σεραπίων καὶ Μηνόδοτος εἷς
ἐστὸν ᾗ ἐμπειρικοὶ, κατ᾽ ἄλλα δήπουθεν οὐχ εἷς ἔσονται. ὥστ᾽ εἴγε παντελῶς εἷς ἦν, ἐκ περιττοῦ καὶ μάτην ἂν οἶμαι προ-
σέκειτο τὸ ᾗ καὶ τὸ ταύτῃ, προὂν ἁπλῶς εἰπεῖν, ὡς εἷς ἐστι Σεραπίων καὶ Μηνόδοτος. οὕτως οὖν ὡς ὑπὲρ αὐτοῦ μόνου
Μηνοδότου τὸν λόγον ποιούμενος, οὐκ ἂν προσθήκης δεηθείης, ἀλλ᾽ ἁπλῶς ἂν εἴποις, εἷς ἐστι Μηνόδοτος. εἰ τοίνυν Μη-
νόδοτος μὲν εἷς ἁπλῶς, Μηνόδοτος δὲ καὶ Σεραπίων, οὐχ ἁπλῶς εἷς, ἀλλ᾽ ᾗ ἐμπειρικοὶ, πάντως δήπουθεν αὐτοῖς ἐστιν
ἕτερ᾽ ἄττα καθὰ δύο εἰσὶ, καὶ οὐχ εἷς ἀμφότεροι. καὶ γίνεται τοῦτο ἐκεῖνο τὸ πρὸς τῶν παλαιῶν φιλοσόφων εἰρημένον.
ἕτερον μὲν ἀριθμῷ, καὶ ταὐτὸν, καὶ ἕν. ἕτερον δὲ τῷ εἴδει. καὶ μηδὲν εἶναι θαυμαστὸν, εἰ Μηνόδοτος Σεραπίωνι κατά τι
μὲν ὁ αὐτός ἐστι καὶ εἷς, κατά τι δὲ οὐχ ὁ αὐτὸς, οὐδ᾽ εἷς. ᾗ μὲν γὰρ ἐμπειρικὸς, ὁ αὐτός. ᾗ δ᾽ ὁ μὲν, σιμὸς, ὁ δὲ γρυπὸς,
ἢ μέλας, ἢ λευκὸς, ἢ μέγας, ἢ μικρὸς, οὐχ ὁ αὐτός. ἆρ᾽ οὖν οὕτως ἐστὶν ἑκάτερος αὐτῶν ἄνθρωπος, ὡσεὶ ᾗ γρυπὸς, ἢ
σιμὸς, ἢ οὕτως ὡς ἐμπειρικός; ἢ κἂν παῖς τοῦτό γε νοήσειεν, ὡς ᾗ μὲν ἄνθρωπος, εἷς ἐστιν. ᾗ δ᾽ ὁ μὲν, σιμός. ὁ δὲ γρυ-
πὸς, οὐχ εἷς. ἆρ᾽ οὖν οὐκ ἐσχάτης ἀναισθησίας, ἢ φιλονεικίας, ἢ οὐκ οἶδ᾽ ὅ,τι ποτὲ καὶ προσειπεῖν ἄξιον, ἓν μὲν ὁμολο-
γεῖν εἶναι τὸν φρενιτικὸν ᾗ φρενιτικὸς, ὡσαύτως δὲ καὶ τὸν ληθαργικόν τε καὶ πλευριτικόν. οὐδ᾽ ἓν δὲ τὸν ἄνθρωπον ᾗ
ἄνθρωπος. καὶ τὸν μὲν ἐμπειρικὸν ἓν λέγειν, ᾗ ἐμπειρικός. οὐχ ἓν δὲ τὸν ἵππον, ᾗ ἵππος, ἐνὸν ἀκοῦσαι λέγοντος Ἀ-
ριστοτέλους τε καὶ Θεοφράστου, δύνασθαί τι τῷ μὲν εἴδει, ταὐτὸν ὑπάρχειν ἕτερον ἑτέρῳ. τῷ δ᾽ ἀριθμῷ, μὴ ταὐτόν.
ἔτι δὲ τούτων ἔμπροσθεν, αὐτοῦ τοῦ κἀκείνοις ὑφηγησαμένου τὴν τοιαύτην διαστολὴν τῶν σημαινομένων ἐπακοῦ-
σαι λέγοντος, ὡς οὐδὲν θαυμαστόν ἐστιν ἓν εἶναι τὰ πολλὰ, καὶ τὰ πολλὰ ἕν. οὕτω γὰρ σαφῶς ἅπαντα τοῦτον τὸν λόγον
ὁ Πλάτων διῆλθεν ἐν ἀρχῇ τοῦ Φιλήβου, ὥστ᾽ ἐγὼ μὲν καὶ τοῖς ἀναισθήτοις αὐτὸν εἶναι νομίζω σαφῆ. γνωρίζουσι γοῦν
οἱ ὄνοι, καὶ ἄνθρωπον, καὶ κάμηλον, καὶ βοῦν. καὶ τὸν δεῖνα τὸν ἄνθρωπον. καὶ τήνδε τινὰ τὴν κάμηλον. καὶ τὸν δεῖνα τὸν
βοῦν. οὕτω δὲ καὶ ὁδὸν, οὐ μόνον ἁπλῶς ὡς ὁδὸν, ἀλλὰ καὶ ὡς τήνδε τινὰ γνωρίζουσιν. ἐπίσκεψαι γοῦν ὄνον ἐπ᾽ ἀρχὴν
ὁδοῦ μὴ γνωρίμου, καὶ θέασαι πῶς αὐτὴν βαδίζει τε καὶ διέρχεται πᾶσαν οὐκ ἐκτρεπόμενος ἑκατέρωσε, πλὴν εἰ μὴ
τύχοι που σχιζομένη, δῆλον ποιῶν ὡς αὐτὸ τὸ εἶδος ὅ,τι ποτ᾽ ἐστὶν ὁδοῦ μέμνηται, καὶ γιγνώσκει σαφῶς. βαδίζει
γοῦν τὴν τετριμμένην. καθ᾽ ὅσον δὲ ἀγνοεῖ, σφάλλεται. οὐ γὰρ δὴ τήν γε ἄτομον καὶ μίαν τῷ ἀριθμῷ μεμνημένος,
ἀπ᾽ ἐκείνης, ἣν οὐκ οἶδε, βαδίζειν δύναται. δῆλον δ᾽ ὅτι τὴν ὁδὸν ταύτην ἣν νῦν βαδίζει πρῶτον, ᾗ μὲν ὁδὸς,
ὡς εἴδει γινώσκων, βαδίζει. καθ᾽ ὅσον δὲ ἀριθμῷ μία, κατὰ τοσοῦτον ἀγνοεῖ, τῷ τε μηδαμῶς πρὸς τὰς ἀτριπτους ἐκ-
τρέπεσθαι, καὶ τῷ καθ᾽ ὃ σχίζεται, μὴ γινώσκειν ὁποίαν ἴτέον, ὅπερ ἠπίστατο ἂν ἀκριβῶς, εἰ δεύτερον αὐτὴν ἢ
τρίτον ἔτυχε νῦν βαδίζων. ἐπειδὴ γὰρ ἕτερον μὲν οἶδεν, ἕτερον δ᾽ ἀγνοεῖ, καθ᾽ ὅσον τὸ μὲν κοινὸν εἶδος ὁδοῦ γι-
νώσκει, τὸ δ᾽ ἴδιον ταύτης ἢ τινὸς, ἀγνοεῖ. καθ᾽ ὅσον μὲν οἶδεν, οὐ σφάλλεται, βαδίζει γοῦν τὴν τετριμμένην,
καθ᾽ ὅσον δ᾽ ἀγνοεῖ, σφάλλεται πολλάκις ἐν ταῖς τριόδοις, οὐκ εἰδὼς ὁποίαν ἕληται. διττὰς οὖν ἔχουσι γνώσεις καὶ
οἱ ὄνοι. τῶν μὲν κοινῶν εἰδῶν ἑτέρας, τῶν δ᾽ ἰδίων ἄλλας. λοιπὸν εἴτε ἓν εἶδος ἐκεῖνο ἐθέλοις καλέσαι τὸ κοι-
νὸν, εἴτε γένος, εἴτε κοινότητα, φυλάττων αὐτοῦ τὴν ἔννοιαν, ἣν ἐγὼ νῦν ἐξηγοῦμαι, περὶ μὲν ὀνομάτων ἀμφισ-
βητήσεις, οὐ μὴν μεταθεῖναί γε δυνήσῃ τὸ πρᾶγμα. καίτοι πρὸς μὲν τὴν τῶν ὀνομάτων θέσιν ἴσως ἕτερος ἀμ-
φισβητήσει παραπλησίως σοι, ἐν τῇ περὶ τὰ πράγματα θεωρίας ἀγύμναστος. οὐ μὴν ἡμεῖς γε ἀμφισβητήσομεν,
ἀλλ᾽ ἐκείνου μόνου ἀξιώσομέν σε μεμνῆσθαι τοῦ παρὰ Πλάτωνος λεγομένου. ἓν γὰρ δὴ τὰ πολλὰ εἶναι, καὶ τὸ ἓν πολλὰ
θαυμαστῶς λεχθὲν, καὶ ῥᾳδίως ἀμφισβητεῖσθαι τῷ τούτων ὁποτερονοῦν τιθεμένῳ. εἰ γὰρ δὴ τοῦτο διασώζοις, ἐκεῖθ᾽
ἕξεις

ἕξεις ἐρίζειν, ὥσπερ νῦν ἐρίζεις. τὰ μὲν, ὑπὸ τῆς ἀμαθίας, τὰ δ᾽ ὑπὸ τῆς φιλονεικίας ἀγόμενος. ἀλλ᾽ εἴτε τις ἕνα λέγοι τὸν φρενιτικὸν, ἕνα συγχωρήσεις ὑπάρχειν. εἴτε πολλοὺς, καὶ οὕτω συγχωρήσεις. ὡσαύτως δὲ καὶ τὸν ἐμπειρικόν τε, καὶ δογματικὸν, καὶ τὸν μεθοδικόν. οὕτω δὲ τὸν ἰατρὸν ἕνα τε καὶ πολλοὺς φήσεις. ἕνα μὲν, ἢ ἰατρόν. οὐχ ἕνα δὲ τῷ κατὰ μέρος πλήθει. οὐ γὰρ δὴ ἐνταῦθα μὲν τοῦ ἐμπειρικοῦ, τὸ ἢ προσθήσεις, ἀφαιρήσεις δὲ ἐνταῦθα τοῦ ἰατροῦ. οὐδὲ ἐνταῦθα μὲν τοῦ ἰατροῦ προσθήσεις, ἀφαιρήσεις δὲ ἐπ᾽ ἀνθρώπου. οὐδὲ τὸν φρενιτικὸν μὲν ἕνα φήσεις ἢ φρενιτικὸς, τὸν νοσοῦντα δ᾽ οὐχ ἕνα. καὶ γὰρ καὶ οὗτος ἢ νοσῶν, εἷς ἐστιν. ἐπιλάθου τοίνυν ἤδη ποτὲ τῶν λήρων ἐκείνων, οὓς ἐν ἄλλοις βιβλίοις ἐρίζων λέγεις, ἀξιῶν δειχθῆναί σοι τὸν ἄνθρωπον αὐτὸν καθ᾽ ἑαυτὸν μόνον ἄνευ τῶν κατὰ μέρος, ὥσπερ αὐτὸς δεῖξαι δυνάμενος τὸν ἐμπειρικὸν ἄνευ Μηνοδότου καὶ Σεραπίωνος, καὶ τῶν ἄλλων τῶν κατὰ μέρος. ἢ νὴ Δία τὸν φρενιτικὸν ἄνευ τῶν κατὰ μέρος φρενιτικῶν. ἐν τίνι τοίνυν τὸ σφάλμα, καὶ πόθεν ἡ ἐκτροπὴ τοῦ καὶ τοὺς ὄνους αὐτοὺς γίγνεσθαι μωροτέρους; ἐξ ὧν περ καὶ ἄλλα μυρία σφάλλονται. μεταβῆναι γὰρ ἐνταῦθα τὰς οὐσίας τῶν πραγμάτων ἀπὸ τῶν ἐννοιῶν ἐπιχειροῦντες, εἶθ᾽ ὡς ἀγύμναστοι τῆς λογικῆς θεωρίας σφάλλονται, συνανατρέποντες τῇ περὶ τούτων ἀγνοίᾳ καὶ τὰς ἐννοίας. ἐνδέχεται γὰρ αὐτοὺς ἐνταῦθα τὸ περὶ γενῶν καὶ εἰδῶν ζήτημα, σφῆλαι δυνάμενον, οὐ μόνον ἀγυμνάστους ἀνθρώπους ἐν ταῖς λογικαῖς μεθόδοις, ἀλλὰ καὶ τῶν γεγυμνασμένων τινὰς, ἐὰν μὴ προσέχωσιν ἀκριβῶς τὸν νοῦν. ἀλλ᾽ οὐ χρὴ διότι περὶ τῆς οὐσίας ἀγνοοῦσι τῶν πραγμάτων, ἀφίστασθαι τῶν ἐναργῶν ἐννοιῶν. οὐδ᾽ ἡγεῖσθαι σοφὸν ἐξευρηκέναι τι τοὺς μὲν ἐμπειρικοὺς ἐὰν ἐν εἴπωσιν ἄνευ τοῦ προσθεῖναι κατὰ ποῖον σημαινόμενον, ἓν ἐστι. τοὺς δὲ μεθοδικοὺς ἐὰν ἀντὶ γένους, ἢ εἴδους, ἢ κοινοῦ, κοινότητα λέγωσιν. ἐμοὶ μὲν γὰρ ἄμεινον ἐδόκει σαφῶς τῆς ἐννοίας ἤδη διωρισμένης, ὡς ἡ μὲν φρενιτικοὶ, ταύτῃ πάντες εἷς. ἢ δ᾽ ὁ μὲν, νέος, ὁ δὲ γέρων, ἢ ἰσχνὸς, ἢ παχὺς, ἢ ἀνὴρ, ἢ γυνὴ, ταύτῃ πολλοὶ, χρήσασθαι λοιπὸν ἑρμηνείᾳ παλαιᾷ, καὶ συγκινδυνεῦσαι κατὰ τὴν λέξιν Ἀριστοτέλει, καὶ Θεοφράστῳ, καὶ Πλάτωνι. πάντα τὰ τοιαῦτα τῷ μὲν εἴδει λέγουσιν ἓν ὑπάρχειν, τῷ πλήθει δ᾽ οὐχ ἕν. οὐ φρενιτικὸν μόνον, ἢ ληθαργικὸν, ἢ ἐμπειρικὸν, ἀλλὰ καὶ δογματικὸν, καὶ μεθοδικὸν, καὶ ἄνθρωπον, καὶ ἵππον, καὶ ἄνδρα, καὶ γυναῖκα, καὶ τῶν ἄλλων ἕκαστον. εἰ δ᾽ ἐνταῦθα τὰ κατὰ μέρος ἔλθοις, οἷον τηνδὲ τὴν γυναῖκα τὴν δειχθῆναι δυναμένην, ταύτην οὐκ ἐγχωρεῖ τῷ μὲν εἴδει λέγειν ἓν, τῷ πλήθει δὲ, πολλὰ, κατ᾽ ἄμφω γὰρ ἕν ἐστιν ἡ δειχθῆναι δυναμένη γυνὴ καὶ τῷ εἴδει, καὶ τῷ πλήθει, ὅπερ δὴ καὶ τῷ ἀριθμῷ καλοῦμεν. οἱ δέ γε οὐκ οὕτως ποιοῦσιν, ἀλλ᾽ οἱ μὲν, κοινότητας ὀνομάζουσιν. ὥσπερ οὐ μᾶλλον ἀγνοηθῆναι δυναμένας εἰδῶν καὶ γενῶν. οἱ δ᾽ ἢ μὲν τὸ δέ τι λέγουσιν, ὑπάρχειν ἕν. ἢ δ᾽ οὐχ ἕν, οὐκέτι λέγουσιν ἓν ὑπάρχειν. ἐχρῆν γὰρ δή που καὶ τούτους ὥσπερ δή ποτε, ὅ, τε Μηνόδοτος καὶ Σεραπίων, καὶ Θευδᾶς καὶ Γλαυκίας, Ἀπολλώνιός τε καὶ Καλλικλῆς, καὶ Διόδωρος καὶ Ἡρακλείδης, καὶ Λύκος, εἷς ἁπάντων ὑπάρχουσιν ἢ ἐμπειρικοὶ, οὕτω πάλιν ἢ οὐχ εἷς ἁπάντων, ἀλλὰ πάμπολλοί τινές εἰσιν ἐξηγήσασθαι, ἐν αὐτῷ γὰρ τῷ ταῦτ᾽ ἐξηγεῖσθαι, πάντως ἄν που κατέγνωσαν, ὡς ἓν καὶ πολλὰ καὶ ταὐτὸν εἶναί τε καὶ λέγεσθαι δυνατόν ἐστι. Μηνόδωτος οὖν καὶ Σεραπίων, ἢ μὲν ἐμπειρικοὶ, εἷς. καὶ νὴ Δία γε ἢ ἰατροὶ καὶ ἢ ἄνθρωποι. τί δὲ ἢ ζῷα, καλὸν ἐρέσθαι τοὺς ἐμπειρικοὺς, ἆρά γε κατὰ ταῦτα Μηνόδοτος καὶ Σεραπίων εἷς ἐστί; εἰ μὲν γὰρ μὴ φαῖεν, οὐδ᾽ ἡμεῖς συγχωρήσομεν ἢ ἐμπειρικοὶ, ταύτῃ γίγνεσθαι τοὺς δύο ἀνθρώπους ἕνα. συγχωρούντων δὲ, καὶ ταύτῃ τοὺς δύο γίνεσθαί ἕνα, καθ᾽ ὅσον ἄμφω ζῷα, εὐθὺς μὲν ὑπομνήσομεν, ὡς ὀρθῶς ἄρα πρὸς τῶν παλαιῶν φιλοσόφων ἐλέγετο, τὸ μὲν ἀριθμῷ, τὸ δὲ εἴδει, τὸ δὲ γένει, ταὐτόν τε καὶ ἓν ὑπάρχειν. ἑξῆς δὲ πάλιν ἐρησόμεθα. φρενιτικὸς Μηνόδοτος, φρενιτικὸς Σεραπίων, πότερον ὁ αὐτός ἐστιν, ἢ ἕτερος; ἀποκρινομένων δὲ ταύτῃ φρενιτικὸν εἶναι, καὶ ἕνα καὶ τὸν αὐτὸν ἀμφοτέρους ἢ φρενιτικοὶ, πάλιν ἐρησόμεθα. τί δὲ καθὸ νοσοῦντες οὐ καὶ ταύτῃ εἷς ἄμφω ἐστίν; εἰ μὲν οὖν μὴ φαῖεν, οὐδ᾽ ἡμεῖς συγχωρήσομεν ἢ φρενιτικοί. συγχωρησάντων δὲ, ἐρησόμεθά τι δηλονότι πρᾶγμα, μίαν ἰδέαν ἔχον, ἐφ᾽ οὗ τοῦτο τὸ ὄνομα φέρουσιν ἅπαντες ἄνθρωποι νόσον. οὐ γὰρ δὴ φρενῖτις μέν τι γενήσεται πρᾶγμα μίαν ἰδέαν ἔχον, καὶ ταύτῃ ποιοῦν ἅπαντας ἕνα τοὺς δεξαμένους αὐτὸ, νόσος δ᾽ οὐχ ὡσαύτως ἕνα ποιήσει πάντας, οἷς ἂν ἐγγένηται. ἀλλ᾽ οὐκ ἔστι φησὶν οὐδὲν οὕτως ἀφωρισμένον εἶδος ἢ ζῴου, ἢ νοσήματος, ὡς ἀνθρώπου καὶ φρενίτιδος. τί φὴς ὦ οὗτος; ἆρά γε οὐδὲν αἱ φωναὶ δοκοῦσί σοι σημαίνειν, ἥ τε ζῷον καὶ ἡ νόσος, ἀλλ᾽ ὁμοίως ἐκφωνεῖσθαι τῷ βλίτυρι καὶ σκινδαψός. ἢ σημαίνουσι μὲν, οὐδὲν δ᾽ ὑπόκειται πρᾶγμα ταῖς φωναῖς, ὡς ἐν τῷ σκύλλα καὶ κένταυρος; ἢ καὶ σημαίνουσι, καὶ τὸ σημαινόμενον ἐν ὑπάρχει; εἰ μὲν γὰρ οὐδέν ἐστι πρᾶγμα τὸ δηλούμενον ὑπὸ τῆς ζῷον ἢ τῆς νόσημα φωνῆς, οὐκ ὀρθῶς λέγεις τὸν ἄνθρωπον εἶναι ζῷον, ἢ τὴν φρενῖτιν νόσον. εἰ δ᾽ ἔστι καὶ λέγεις ἀληθῶς, τουτὶ μὲν τὸ προσερχόμενον ζῷον εἶναι, ἢ τὴν φρενῖτιν νόσον, τοῦτον δ᾽ εἰ τύχῃ τὸν κατακείμενον ἄνθρωπον νοσεῖν, ἔστι τι πάντως τῶν ὑπαρχόντων αὐτοῖς ἐφ᾽ οὗ φέρεις ἕκαστον τῶν ὀνομάτων. ἀλλ᾽ οὐ γεγύμνασαι νοεῖν αὐτὰ, καί τοι γε ἐκ τῶν πρώτων εἰσαγωγῶν ὄντα τῆς λογικῆς θεωρίας. τί οὖν τοῦτο πρὸς τὸ ἀληθές, οὐ δή που γὰρ ἐξ ὧν ἂν σὺ μὴ συνιῇς, ἐκ τούτων χρὴ κρίνεσθαι τὴν ἀλήθειαν, ἀλλ᾽ ἐξ ὧν ἂν καὶ συνετός τις ὢν φύσει καὶ μαθὼν, καὶ ἀσκήσας, καὶ μὴ φιλονεικῶν, καὶ τιμῶν τὸ ἀληθὲς, ὧν οὐδὲν ὑπάρχει σοι. καί τοι μὰ τοὺς θεοὺς, οὐκ οἶδ᾽ εἴ τι προσδεῖταί τινος φύσει συνετοῦ τά γε τοιαῦτα. τίς γὰρ οὐκ οἶδεν ὡς οὐ ταὐτὸν σημαίνει Σωκράτης καὶ σιμὸς, ἀλλὰ τὸ μὲν Σωκράτης, ὅλης τῆς ὑποκειμένης οὐσίας ἐστὶν ὄνομα, τῶν δ᾽ ἄλλων ὀνομάτων οὐδὲν, κατὰ τῆς τοῦ σώματος οὐσίας ἁπάσης λέγεται. οὔτε γὰρ ὁ σιμὸς, οὔθ᾽ ὁ προγάστωρ, οὔθ᾽ ὁ φαλακρός. ἀλλὰ τὸ μὲν, τοῦ σχήματος τῆς ῥινός ἐστιν ὄνομα. τὸ δὲ τῆς ἐνδείας τῶν ἐν τῇ κεφαλῇ τριχῶν. τὸ δὲ τοῦ μεγέθους τῆς γαστρός. καὶ ταῦτα μὲν ἐστι τὰ κατὰ τὰ μόρια. λευκὸν δ᾽ εἰ φήσαιμεν ἢ μέλανα Σωκράτην, κατὰ παντὸς μὲν [illegible] τῶν μορίων τοῦ σώματος ἐπιφέρομεν τὰς προσηγορίας, οὐ μὴν τὴν οὐσίαν γε ἅπασαν, ἀλλ᾽ ἕν τι τῶν [illegible] βεβηκότων αὐτῇ δηλοῦμεν τὸ χρῶμα. καὶ μέν τοι κἂν εἰ παχὺν ἢ λεπτὸν εἴπομεν, ἢ σκληρὸν, ἢ μαλακὸν, ἢ δασὺν [illegible] ψιλὸν, ἢ τι τῶν ἄλλων ἕκαστος), ἃ τῷ Σωκράτει συμβέβηκεν, οὐ κατὰ πάσης, οὐδ᾽ οὕτω δηλονότι τῆς οὐσίας ἐπιφέρομεν τὴν προσηγορίαν, ἀλλ᾽ ἕν τι τῶν συμβεβηκότων αὐτῇ δηλοῦμεν. οὕτω δὲ καὶ τὸ καθῆσθαι καὶ τὸ περιπατεῖν, καὶ τὸ κινεῖσθαι, καὶ τὸ κοιμᾶσθαι, καὶ τὸ ἐγρηγορέναι, καὶ τῶν ἄλλων ἕκαστον τῶν τοιούτων ὀνομάτων, οὐ κατ᾽ οὐδενὸς

δή που τῶν ὄντων διαφέρομεν, ἀλλ᾽ ἔτι τῶν ὑπαρχόντων Σωκράτει δηλοῦμεν. ἃ κατὰ τὸν ἔμπροσθεν λόγον, ἢ ἐνεργείας ἐλέγομεν ὑπάρχειν, ἢ παθήματα τούτων, ἢ τινὰς διαθέσεις. ἄμεινον οὖν σε καὶ νῦν ἔτι τούτῳ τῷ τρόπῳ χρησάμενον γυμνάσασθαι, καθ᾽ ὅτι καὶ τοῖς ἔμπροσθεν ἐδείκνυμεν, οὐκ ἀπὸ τῶν ὀνομάτων, ἀλλὰ ἀπὸ τῶν πραγμάτων ἀρξάμενον. ἄρξαι δ᾽ ἀπὸ σαυτοῦ πρῶτον, καὶ σκέψαι, πότερον ἁπλοῦν τι πρᾶγμα ὑπάρχεις, ἢ σύνθετον. ἆρ᾽ οὖν γε πούς ὑπάρχεις, ἢ ῥίς, ἢ ὀφθαλμός, ἢ κεφαλή; δῆλον γὰρ ὅτι τούτων οὐδέν, οὔτε χωρὶς τούτων, ἀλλὰ κἀκ τούτων τε κἀκ τῶν ἄλλων ἁπάντων μορίων, ἑκάστου οἰκείαν ἔχοντος θέσιν, ὅλως ὑπάρχεις συγκείμενος. ὑποκείσθω δή σοι τοὔνομα Θεμίσων. ἀλλ᾽ ὅταν γε φῶ Θεμίσωνα χωλὸν εἶναι, τὸ μὲν χωλὸν ἐπὶ τῶν ποδῶν φέρω διαθέσεως, τὸ δὲ Θεμίσων, τοῦ παντὸς ἦν ὄνομα. καὶ μὲν δὴ καὶ σιμὸς καὶ τυφλὸς ἀπὸ μέρους ὁ Θεμίσων ὀνομάζεται. πυρρὸς δὲ καὶ παχύς, οὐκ ἀπὸ μέρους, ἀλλ᾽ ἀπὸ διαθέσεως ἐνυπαρχούσης τῷ παντί, παραπλησίως τῷ περιπατῶν, καὶ καθήμενος, καὶ διαλεγόμενος, καὶ ζῶν. ἆρ᾽ οὖν ταῦτα μὲν γνωρίζεις ὡς οὐκ ἔστι δηλωτικὰ τῆς ὅλης οὐσίας τῆς σῆς; ἀλλὰ τὰ μέν, ἀπὸ μορίου τινὸς ὠνόμασται, τὰ δ᾽ ἀπὸ διαθέσεως μιᾶς. ὅταν δὲ ἀγαθόν εἴπῃ τίς σε καὶ δίκαιον, οὐκέτι γνωρίζεις ὡς καὶ ταῦτα διαθέσεων ἐστὶν ὀνόματα τῶν ἐπιγιγνομένων τῇ σῇ ψυχῇ. καὶ μὴν εἴγε γνωρίσαις, ὡς ἀνάλογον ἔχει ταῦτα, τῷ λευκὸς καὶ τῷ μέλας. ὡς γὰρ ἐκεῖνα τῶν τοῦ σώματος, οὕτω ταῦτα τῶν τῆς ψυχῆς ἐστὶ διαθέσεων ὀνόματα. γνωριεῖς οἶμαι καὶ ὡς ὁ τεχνίτης, καὶ ὡς ὁ ἄτεχνος ἀπὸ τῆς ψυχῆς διαθέσεων ὀνομάζονται. καὶ τεχνίτην δ᾽ εἰ νοήσαις ὅθεν ὀνομάζεται, νοήσαις οἶμαι καὶ τὸν ἰατρὸν ὅθεν ὠνόμασται. τοῦτον δ᾽ εἰ νοήσαις ὅθεν ὀνομάζεται, οὐκ ἂν ἔτι σοι δεήσει πολλῆς πραγματείας, ἐξευρεῖν ἐφ᾽ ὅτου ποτὲ τὸ ἐμπειρικὸς ὄνομα τέτακται. τοῦτο δ᾽ αὐτὸ τί ποτέ ἐστιν ὃ κελεύω σε ποιεῖν; οὐδὲν σεμνὸν οὐδὲ μέγα. τὸ γὰρ διαιρεῖν τὰς κατηγορίας, ἀρχὴ τῆς λογικῆς ἐστι θεωρίας. ἧς ὅτι παντελῶς ἀμαθῶς ἔχετε, δηλοῦται δι᾽ ὧν εἰκῇ φλυαρεῖτε. καὶ νῦν οὖν σωφρονήσαντες αὖθις ἄρξασθε τὰ τῷ σώματι συμβεβηκότα κατονομάζειν. οἷον, ὅτι λευκός ἐστιν ὅδε καὶ μέλας. ἢ νὴ Δία θερμὸς ἱκανῶς, ὡς μὴ φέρειν ἀλύπως τὴν θέρμην. εἶτα τὴν οὕτω πολλὴν θερμασίαν ὡς κάμνειν τὸ σῶμα δι᾽ αὐτήν, καὶ καλῶς ἐνεργεῖν μὴ δύνασθαι, τῷ προσαγορεύοντι πυρετὸν ἐπιτρέψατε. πάντες γοῦν ἄνθρωποι, τὸν οὕτω θερμόν, πυρέττειν φασί. καὶ οὐδὲν μέγα ποιήσετε μεταλλάττοντες τὸ ὄνομα, πλὴν κατατρίψετε ὑμῶν τὸν χρόνον. ἀλλ᾽ ἐκεῖνο μᾶλλον ὦ οὗτος εἰ βούλει ποίησον. ὅταν εἴπῃς Θεμίσων πυρέττει, καὶ Δίων πυρέττει, καὶ πολλοὺς ἐφεξῆς οὕτως ὀνομάσῃς πυρέττοντας, ἐπίσκεψαι προσέχων τὸν νοῦν. ἆρα ἐν ἅπασιν αὐτοῖς ἓν καὶ ταὐτόν ἐστι τὸ πυρέττειν, ἢ ἕτερον. εὑρήσεις γὰρ ἓν μὲν καὶ ταὐτὸν τῷ εἴδει, τῷ πλήθει δέ, ὅπερ καὶ ἀριθμῷ καλοῦμεν, οὐχ ἕν. ἄλλως γὰρ οὔτ᾽ ἀποκρίνασθαί σοι δυνατόν, οὔτε νοῆσαι, εἷς οὖν ὁ πυρέττων ἢ πυρέττει νὴ Δία. καὶ γὰρ ὁ παραφρονῶν εἷς, ἢ παραφρονεῖ. τί δ᾽ ὁ πυρέττων τε ἅμα καὶ παραφρονῶν, ἆρ᾽ οὐχὶ καὶ οὗτος εἷς ἢ πυρέττει τε ἅμα καὶ παραφρονεῖ; πρόδηλον καὶ τοῦτ᾽ οἶμαι παντί. κείσθω τοίνυν κατ᾽ ἀμφοῖν τούτοιν ἓν ὄνομα, τὸ πυρέττειν λέγω καὶ παραφρονεῖν, καὶ καλείσθω φρενιτικὸς ὁ τοιοῦτος. εἰ δ᾽ οὐ νοεῖς ὅπως κατ᾽ ἀμφοῖν ἓν ὄνομα τίθεται, τάχ᾽ ἂν ἀναμνήσαιμί σε τῶν ὑπ᾽ αὐτοῦ σοῦ λεγομένων ὀνομάτων. ἵππον γὰρ δή που καλεῖς τι, τὸ ζῶον δηλονότι τὸ χρεμετιστικόν; ἆρ᾽ οὖν ἡγῇ σὺ διαφέρειν ἢ ἵππον εἰπεῖν, ἢ ζῶον χρεμετιστικόν; ἐγὼ μὲν γὰρ οὐχ ἡγοῦμαι. καὶ μὴν εἰ τοῦθ᾽ οὕτως ἔχει κατ᾽ ἀμφοῖν ἐκείνοιν τῶν ὀνομάτων ἵνα συντομώτερον εἴπῃς, ἵππον ἐπέθου. οὕτω δὲ κἂν ἔτι πεζὸν καὶ δίπουν ζῶον ἀντὶ τοῦ διὰ τριῶν ὀνομάτων ἐνδείξασθαι, δι᾽ ἑνὸς ἐθελήσειας δηλῶσαι, καλέσεις ἄνθρωπον. καὶ τό γε διαλύειν ἕκαστον τῶν ὀνομάτων εἰς λόγον οὕτω γίνεται. καὶ μὴν καὶ τὸ συντιθέναι τὸν λόγον εἰς ἓν ὄνομα, κατὰ τὸν εἰρημένον ἀπαρτίζεται τρόπον. ὅταν τῶν θ᾽ ἁπλῶν ἑκάστου τὴν ἔννοιαν ἔχῃς κατὰ τοὔνομα, καὶ δυνατὸς ᾖς ἐκ δυοῖν ἁπλοῖν ἔννοιαν αὖθις ἑτέραν ἐργάσασθαι σύνθετον, εἶτ᾽ ἐπ᾽ αὐτῇ ὄνομα θέσθαι. κἄπειτα πάλιν αὖθις ἐκείνῃ τῇ συνθέτῳ προσθεὶς ἕτερον ἁπλοῦν, ἐκ τριῶν ἁπλῶν ἔννοιαν αὖθις ἀπεργασάμενον μίαν, ἐπενεγκεῖν τι καὶ κατὰ ταύτης ὄνομα, πῶς καὶ τίνα τρόπον; οὐ γὰρ ἀποκνήσω γυμνάζων τοὺς σωθῆναι βουλομένους ἐκ τῆς πολυχρονίου ταύτης ἀπαιδευσίας, ἐπὶ πλέον ἐκτεῖναι τὸν λόγον. ἡ μὲν θερμότης, ἁπλοῦ πράγματος ὄνομα. καὶ μὲν δὴ καὶ ἡ βλάβη τῆς ἐνεργείας, ἁπλοῦν τι πρᾶγμα. τοσαύτη δὲ θερμότης ὡς ἤδη βλάπτειν ἐνέργειαν, οὐκέθ᾽ ὁμοίως ἁπλοῦν. εἰ τοίνυν καὶ περὶ σύμπαν γίνοιτο τὸ σῶμα, πολὺ δὴ μᾶλλον οὐκέθ᾽ ἁπλοῦν. ἵν᾽ οὖν μὴ πολλὰ λέγωσιν οἱ ἄνθρωποι, συντομίαν ἀσκοῦντες φύσει, τὴν τοιαύτην θερμότητα πυρετὸν ὀνομάζουσιν. ἑτοιμότερον γάρ ἐστιν εἰπεῖν πυρέττειν Δίωνα, τοῦ τοσαύτην θερμότητα ἔχειν ἐν ἅπαντι τῷ σώματι, ὡς βεβλάφθαι πολλὰς ἐνεργείας. ὅταν μὲν οὖν αὐτὴν τὴν διάθεσιν δηλῶσαι βουληθῶσι πυρετὸν ὀνομάζουσιν, ὅταν δὲ τὸν ἔχοντα τὴν διάθεσιν, ἀπ᾽ ἐκείνης παρονομάζουσι καὶ καλοῦσι πυρέττοντα, καθάπερ ἀπὸ τῆς λευκότητος, τὸν λευκόν, καὶ ἀπὸ τῆς μελανότητος, τὸν μέλανα. συνθέτου δὴ πράγματος ἐστὶν ὄνομα πυρετός, καὶ πολὺ μᾶλλον ὁ πυρέττων. ἁπλοῦν δέ γε παραφροσύνη. ἀλλ᾽ εἰ προστεθείη τὸ ἁπλοῦν τοῦτο τῷ συνθέτῳ, φρενιτικὸς μὲν ὁ ἄνθρωπος, ἡ διάθεσις δ᾽ αὐτοῦ, φρενῖτις ὀνομάζεται. καθάπερ οἶμαι καὶ ὁ ἄνθρωπος αὐτὸς ἵνα μὴ λέγηται ζῶον λογικὸν θνητόν, ἕνεκα συντομίας ἄνθρωπος ὠνομάσθη, λόγου τινὰ δύναμιν ἐχούσης τῆς ἄνθρωπος προσηγορίας. καὶ τοῦτ᾽ ἐστὶν ὃ καλοῦσιν οἱ παλαιοὶ φιλόσοφοι τὸν λόγον εἰπεῖν τοῦ ὀνόματος. οὐ μὴν εἰς ἄπειρόν γε προσάγουσιν, ἀλλ᾽ ἄχρι τῶν ἁπλῶν ἀνέρχονται. τὸν γὰρ ἄνθρωπον ἐπειδὰν διαλύσῃς εἰς ζῶον, καὶ λογικὸν καὶ θνητόν, καὶ αὖθις λύσεις τὸ ζῶον εἰς οὐσίαν αἰσθητικήν. οὐ μὴν τήν γ᾽ οὐσίαν ἔτι λῦσαι δυνήσῃ, καθάπερ οὐδὲ τὴν αἴσθησιν. ἁπλοῦν γὰρ ἤδη καὶ πρῶτόν ἐστιν ἑκάτερον τούτων. ἢ καὶ θαυμάζειν ἐπέρχεταί μοι τὸν φρενιτικὸν μέν τινα καὶ ἄνθρωπον εἶναι συγχωρούντων, νόσημα δὲ καὶ ζῶον, οὐ συγχωρούντων. ὅμοιον γάρ ἐστι τοῦτο, τῷ τὰ μὲν σύνθετα συγχωρεῖν, ἀμφισβητεῖν δὲ περὶ τῶν ἁπλῶν. ὥσπερ οὐ προτέρων τῇ φύσει τῶν ἁπλῶν ὑπαρχόντων, οὐκ εἶδον φησὶν αὐτὸ καθ᾽ ἑαυτὸ τὸ ζῶον. ἀλλ᾽ οὐδὲ ἄνθρωπον ὦ μωρέ, καί σοι λέγεις εἶναι σαυτὸν ἄνθρωπον. ἢ τοῦτο μὲν ὁμολογήσεις. εἰ δὲ καὶ ζῶον ὑπάρχεις, οὐχ ὁμολογήσεις. οὐκ ἐθεασάμην φησὶ καθ᾽ ἑαυτὴν οὐδαμόθι νόσον. οὐδὲ γὰρ φρενῖτιν ἐθεάσω ποτὲ μόνην, ἀλλ᾽ ἐπὶ Θέωνος, ἢ ἐπὶ Δίωνος, ἢ ἐπ᾽ ἄλλου τινὸς ἀνθρώπου. ὥστε τοῦτό γε τελέως ἠλίθιον, εἰ διότι μηδαμόθι τεθέασαι νόσημα, μόνον αὐτὸ καθ᾽

ἑαυτὸ

ἑαυτὸ; διὰ τοῦτο νομίζεις μὴ δεῖν εἶναι νόσημα. οὕτω γὰρ οὐδὲ πυρετὸν, οὐδὲ φρενῖτιν, οὐδ' ἄλλο τῶν τοιούτων οὐδὲν εἶναι συγχωρήσεις. ὡς οὐδὲ τούτων γε τεθέασαί τι μόνον αὐτὸ καθ' ἑαυτό. βέλτιον δ' ἦν οὐχ οὕτως, ἀλλ' ὥσπερ εἴρηται πρόσθεν, ἀπὸ τῶν πραγμάτων αὐτῶν ἄρξασθαι καὶ θεάσασθαι τῇ διανοίᾳ, πόσα τὰ σύμπαντα ἐστὶν ἁπλᾶ. κἄπειθ' ἑκάστῳ θέμενον ἴδιον ὄνομα, συμπλέκειν ἐξ αὐτῶν ἤδη τὰ σύνθετα. ἐγγιγνέσθω δὴ τῷ ὑποκειμένῳ σώματι τούτῳ ἐν πρώτοις, τὸ αἰσθάνεσθαι. πότερον οὐ καλέσεις ζῶον, ᾧ τοῦθ' ὑπάρχει; καὶ μὴν ὑπὲρ ὀνόματος οὕτως ἀμφισβητήσεις. ἀλλ' οὐδὲ εἶναι φήσεις αἰσθανόμενον σῶμα; καὶ μὴν οὕτω γε τῶν πραγμάτων αὐτῶν καταψεύσῃ, ἀλλὰ καὶ σῶμα συγχωρῶν αἰσθανόμενον εἶναί τι, καὶ περὶ τοῦ τοιούτου σώματος, τοὔνομα τοῦτο τὸ ζῶον λέγεσθαι, τολμήσεις φάναι μηδὲν εἶναι τὸ ζῶον; οὐκοῦν οὐδὲ τὸ λευκὸν οὐδέν ἐστιν, οὐδὲ τὸ βαδίζον, οὐδὲ τὸ τρέχον; ἀπὸ γὰρ τῶν συμβεβηκότων ἑαυτῷ τὸ σῶμα προσαγορεύεται, λευκὸν, βαδίζον, καὶ τρέχον. αὐτὰ δὲ τὰ συμβεβηκότα, τὸ μὲν, λευκότης ὀνομάζεται, τὸ δὲ βάδισις, τὸ δὲ δρόμος. κατὰ δὲ τὸν αὐτὸν τρόπον, αἴσθησις μὲν, ἕν τι τῶν ὑπαρχόντων τοῖς σώμασιν. αἰσθανόμενον δὲ, αὐτὸ τὸ σῶμα. τοῦτ' οὖν καὶ ζῶον ὀνομάζεται. τίς οὖν θεασάμενος αἰσθανόμενον σῶμα, ἀκούσας τὸ ζῶον ὄνομα, ζητήσει τί κατ' αὐτοῦ λέγειν ἕτερον; ἆρ' οὖν νοεῖται μόνον τὸ σῶμα καθάπερ κένταυρος, ἢ καὶ τυγχάνει τι τῆς προσηγορίας ταύτης ὑποκείμενον πρᾶγμα; δῆλον ὡς καὶ τυγχάνει. τί δὲ, νοεῖται μόνον ἡ αἴσθησις, ἢ καί τι τῶν τοῖς σώμασιν ὑπαρχόντων ἐστίν; ἐμοὶ μὲν δοκεῖ καὶ τοῦτ' εἶναι πρόδηλον, ὡς ἕν τι τῶν ἐν τοῖς σώμασιν ὑπαρχόντων ἐστὶ καὶ ἡ αἴσθησις. καὶ μὴν, εἰ μήτε τὸ σῶμα νοεῖται μόνον, ἀλλὰ καὶ ἔστι, μήθ' ἡ αἴσθησις, ἔστι γὰρ καὶ ἥδε, πῶς ἄμφω συντιθέντα, τὸ σύνθετον οὐκ ὂν ποιήσει; γελοῖον γὰρ ἤδη τοῦτό γε σῶμα μὲν εἶναί τι, καὶ αἴσθησιν, αἰσθανόμενον δὲ, οὐδὲν εἶναι σῶμα. καὶ τούτου γελοιότερον, αἰσθανόμενον μὲν εἶναι σῶμα, ζῶον δ' εἶναι μηδὲν, ὥσπερ ἄλλο τι καὶ οὐ τοῦθ' ὑπάρχον ζῶον. ἢ διαφέρον τι τῷ λόγῳ δηλοῦν ἐπιχειρεῖν ὁποίῳ ἢ ὀνόματι. τῆς δ' αὐτῆς ἀτοπίας ἔχεται, καὶ τὸ μὴ συγχωρεῖν εἶναί τι νόσον. εἰ μὲν οὐδὲν ἐστὶ διάθεσις, οὐδὲ νόσος ἔσται τι. δοθείσης δ' εἶναι διαθέσεως, ἔσται τι καὶ νόσος. ἥτις μὲν ἂν ἐνέργειαν βλάπτῃ διάθεσις, ἐκείνη νόσος ἐστίν. ἀλλ' οὐκ ἔχεις μοι δεῖξαι φασὶ νόσον αὐτὴν καθ' ἑαυτήν. οὐδὲ γὰρ φρενῖτιν ὦ οὗτος, οὐδὲ πυρετόν. ἀλλ' ὅμως καὶ ταῦτα συγχωρεῖς ὑπάρχειν, καὶ ἄλλα πολλά. τὴν γὰρ μικρολογίαν τῶν ὀνομάτων, ἣν ἐκομψεύσαντό τινες τῶν φιλοσόφων ἀνατρέπουσαν ἅπασαν τὴν ἐν τῷ βίῳ συνήθειαν, ὡς μὴ δι' ἐκείνους αὐτῇ χρῆσθαι δύνασθαι κατὰ τὰ σφῶν αὐτῶν συγγράμματα, παραιτοῦμαι λέγειν τὰ νῦν, ἑτέρωθι διειλεγμένος ὑπὲρ αὐτῆς ἤδη πλέον. εἰρηκὼς οὖν οὐδὲν ἧττον ὅσα χρὴ κἀν τοῖς περὶ τῶν στοιχείων λογισμοῖς, λέγω δὲ μικρολογίαν, ἐν ᾗ διαιροῦνται κατὰ γένη, τό, τε ὂν καὶ τὸ ὑπάρχον, καὶ τὸ ὑφεστός. ἀδιαφόρως γὰρ ἡμῖν κἀνταῦθα καὶ κατὰ τὸν ἑξῆς λόγον εἰρήσεται ταῦτα. πάντας δ' ἐν πᾶσιν ἐξελέγχειν, ἀδύνατον. ἀλλὰ γὰρ περὶ τοῦ μὴ μόνον ἔννοιαν εἶναι νοσήματος ἰδίαν, ἀλλὰ καὶ πρᾶγμά τι τῆς προσηγορίας ταύτης τυγχάνον ὑποκεῖσθαι, κατά γε τὸ παρὸν ἀρκεῖ λελέχθαι ταῦτα. σαφέστερον δ' ἔτι τοῦτ' αὐτὸ νοηθήσεται, τοῦ λόγου προϊόντος, ἐπειδὰν ὁ περὶ πρώτων ἐνδείξεων περαίνηται λόγος. ὅσα δὲ περὶ νοσήματος εἴρηται νῦν, ἡγοῦμαι καὶ περὶ συμπτώματος εἰρῆσθαι, καὶ πάθους, ὑγείας τε καὶ ἀρτιότητος, ἰσχύος τε καὶ δυνάμεως, ἁπάντων τε τῶν ἄλλων, ὧν ὀνόματά τε καὶ νοήσεις εἰσὶ, κατά τινων ὑποκειμένων λεγόμενα, πάντα γὰρ ταῦτα τοῖς σώμασιν ὑπάρχει. τὰ μὲν, ὡς διαθέσεις, τὰ δ' ὡς ἐνέργειαι, τὰ δ' ὡς πάθη. καὶ τὰ μὲν, ὡς κατὰ φύσιν ὄντα, τὰ δ' ὡς παρὰ φύσιν. ἔνδειξίς τε καθ' ἕκαστον αὐτῶν ἰδία γίνεται, παρεωραμένη τοῖς πλείστοις τῶν ἰατρῶν.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΕΙΠΕΡ οὖν ὦ Ἱέρων ἡ ἔνδειξις ἐκ τῆς τοῦ πράγματος φύσεως ὁρμωμένη τὸ δέον ἐξευρίσκει, τὴν ἀρχὴν τῆς τῶν ἰαμάτων εὑρέσεως, ἐκ τῆς τῶν νοσημάτων αὐτῶν ἀνάγκη γίγνεσθαι. καὶ γὰρ καὶ ἄτοπον ἕτερον μὲν εἶναι τὸ ἐνδεικνύμενον τὴν θεραπείαν, ἕτερον δὲ τὸ θεραπευόμενον. ἕκαστον γὰρ ὑπὲρ ἑαυτοῦ τι δύναται δηλῶσαι μᾶλλον, ἢ ὑπὲρ ἄλλου. τοῦτο μὲν δὴ κἀν τοῖς ἐφεξῆς ἔσται σαφέστερον. ἐπεὶ δὲ πάντες ὁμολογοῦσιν ἐκ τῶν διαθέσεων τὰς πρώτας ἐνδείξεις λαμβάνειν, οὐ χρὴ μηκύνειν ἔτι περιττῶς τὸν λόγον, ἀποδεικνῦντας ὡς ἐντεῦθεν ἄρχεσθαι προσήκει. μᾶλλον δ' ὅτι μήτε τὸ ξύμπαν τοῦτ' ἐστὶ, μήθ' ὅλως μέγα τι μέρος, ὡς οἱ μεθοδικοὶ νομίζουσιν, ἀλλὰ σμικρότατόν τε καὶ ἀρχὴν μόνον ἐπιδεῖξαι πειραθῶμεν, αὐτοὶ δή φασιν ἐκεῖνοι, τὸν μὲν ἐν τῇ κύστει λίθον, ὅτι τῷ γένει παρὰ φύσιν, ἐνδείκνυσθαι τὴν ἄρσιν. οὕτω δὲ καὶ τὰς ἀκροχορδόνας, καὶ τὰς μυρμηκίας, ἀθερώματά τε καὶ στεατώματα, καὶ μελικηρίδας, ὅσα τ' ἄλλα τοιαῦτα. τὸ δ' εἰς τὸν ὄσχεον ἐμπεπτωκὸς ἔντερον, ὅτι τῷ τόπῳ παρὰ φύσιν, ἅπαντά τε τὰ ἐξηρθρηκότα, τὴν εἰς τὴν οἰκείαν χώραν ἐπάνοδον ἐνδείκνυσθαι. καὶ μὴν οὐδὲν τούτων οὐδέπω τεχνικὸν, ἀλλ' ὅπερ οἶμαι καὶ τοῖς ἰδιώταις ἅπασιν ὑπάρχει γινώσκειν. ἐμβληθῆναι γοῦν ἑαυτῶν κελεύουσι τὸ κῶλον, ὅταν ἐξηρθρηκότος αἰσθάνωνται, καὶ ἀφαιρεθῆναι τὴν ἀκροχορδόνα, καὶ τὸ ἕλκος εἰς οὐλὴν ἀχθῆναι, καὶ τὸ ῥεῦμα τῆς κοιλίας ἐπισχεθῆναι. τὸ δὲ δι' ὧν χρὴ ταῦτα ποιεῖν, οὐκ ἴσασι. καὶ τοῦτ' ἐστὶν ὃ χρὴ προσιθέναι τὸν ἰατρόν. ὥστε ἡ ἀπὸ τῶν νοσημάτων ἔνδειξις, ἀρχὴ μὲν ἐστὶ καὶ οἱονεὶ ὁρμητήριόν τι τῆς θεραπευτικῆς μεθόδου, τῆς τέχνης δ' οὔπω τῆς ἰατρικῆς μόριον οὐδὲν, ἢ οὐκ ἀξιόλογόν γε μόριον οὐδὲ ἴδιον, ἀλλ' ὅπερ καὶ τοῖς ἰδιώταις ὑπάρχει. ὁ τοίνυν ἐξευρεῖν δυνάμενος, ὑφ' ὧν γένοιτ' ἂν ἔσται τὸ δηλούμενον ἐκ τῆς πρώτης ἐνδείξεως, οὗτός ἐστιν ὁ τῶν νοσημάτων θεραπευτής, καὶ εἰ μὲν διὰ τῆς ἐμπειρίας εὕροι, τηρητικός τέ τις καὶ ἐμπειρικὸς ὀνομασθησόμενος, εἰ δὲ διὰ λόγου τινὸς ἢ μεθόδου, λογικός τε, καὶ μεθοδικὸς, καὶ δογματικός. οὐκοῦν ὁ μὲν ἰδιώτης, ἄνωθεν γὰρ ταυτὸ ῥητέον, ἥκει παρὰ τὸν ἰατρὸν, ἐμβαλεῖν κελεύων

τὸ κοῖλον, ἢ διαπλάσαι τὸ συντετριμμένον ὀστοῦν, ἢ ἐξελεῖν τὴν μελικηρίδα. τὸ δ᾽ ὅπως χρὴ τούτων ἕκαστον ποιῆσαι, τῆς ἰατρικῆς ἐστι τέχνης εὕρημα. οἱ μὲν οὖν ἐμπειρικοὶ, διὰ ἐμπειρίας εὑρίσκεσθαι πάντα φασίν. ἡμεῖς δὲ τὰ μὲν, ἐμπειρίᾳ, τὰ δὲ, λόγῳ. μήτε γὰρ ἐκείνην ἱκανὴν εἶναι πάντα, μήτε μόνον εὑρίσκειν τὸν λόγον. οὐ μὴν ἀξιοῦμέν γε, συγκεχυμένην ποιεῖσθαι τὴν διδασκαλίαν, ἀλλ᾽ ἰδίᾳ μὲν τὴν ἐμπειρικὴν, ἰδίᾳ δὲ τὴν λογικὴν, ἵν᾽ ὅσην ἑκατέρα δύναμιν ἔχει σαφῶς εὑρεθῇ. καὶ νῦν ἡμῖν πρόκειται περὶ τῆς λογικῆς εὑρέσεως εἰπεῖν. ἆρ᾽ οὖν ἔχομέν τινα μέθοδον, ᾗ χρώμενοι τῶν εἰρημένων ἕκαστον εὑρήσομεν; ἀνελεῖν λέγω τὸ περιττὸν τῶν γλισχρῶν, καὶ μεταθεῖναι τὸ παραλλαχθὲν εἰς τὴν οἰκείαν χώραν, ἑνῶσαί τε τὸ τῆς συνεχείας λελυμένον, ἢ τὴν ἐμπειρικὴν ὑπὲρ αὐτῶν παρακαλέσομεν; ἐγὼ μὲν καὶ πάνυ πέπεισμαι μέθοδον ὑπάρχειν τινὰ τῆς τῶν ζητουμένων εὑρέσεως, ἧς ἀρχὴν εἶναι τὸν ἐκ τῶν νοσημάτων ἑκάστου προσπίπτοντα σκοπόν. ἡ γὰρ τῆς συνεχείας λύσις, τὴν ἕνωσιν ἐπιζητεῖ. κατὰ μὲν ὀστοῦν κάταγμα λεγομένη, κατὰ δὲ τὸ σαρκῶδες μέρος, ἕλκος. ὥσπερ γε καὶ τὸ τραῦμα καὶ τὸ ῥῆγμα, καὶ τὸ σπάσμα. τὸ μὲν ἐν σαρκώδει μορίῳ διὰ τοῦ τρωθῆναι γεγονὸς, τὸ δὲ ῥῆγμα καὶ τὸ σπάσμα, χωρὶς τοῦ τρωθῆναι, σαρκώδους μὲν ἐν τῷ ῥήγματι μορίου τῆς συνεχείας λυθέντος, νευρώδους δὲ ἐν τῷ σπάσματι. τούτων ἁπάντων, ὁ μὲν σκοπὸς ἕνωσις. εἴτε δ᾽ οἷόν τε τυχεῖν αὐτοῦ καθ᾽ ἅπαν, εἴτ᾽ οὐκ ἐγχωρεῖ πολλαχόθι, τοῦτ᾽ αὐτὸ πρῶτον ἤδη τεχνίτου γινώσκειν. ἰδιώτης γὰρ οὐδεὶς οἶδεν, οὔθ᾽ ὅτι τῶν φρενῶν τὸ νευρῶδες, οὔθ᾽ ὅτι τὰ λεπτὰ τῶν ἐντέρων, οὐκ ἐγχωρεῖ δέξασθαι τὸν σκοπὸν, οὐ μὴν οὐδὲ περὶ κύστεως, οὐδὲ περὶ τοῦ λεπτοῦ τῶν γνάθων οἶδεν. ἀλλ᾽ οὐδ᾽ εἰ τετρηθὲν ὀστοῦν δύναται θεραπευθῆναι, καθάπερ ἐν σαρκὶ διάβρωσις. οὐδ᾽ εἰ τὸ κάταγμα συμφῦναι, καθάπερ τὸ τραῦμα. κατὰ ταυτὰ δὲ οὐδ᾽ εἰ πωρωθῆναι δύναται γιγνώσκει. ὡσαύτως δὲ καὶ περὶ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων, ὁ ἰδιώτης οὐδὲν οἶδεν, εἴτε χρὴ τὴν πώρωσιν ἀναμένειν, εἴτ᾽ ἄλλως ἰᾶσθαι. πολὺ δὲ μᾶλλον, οὐδὲ εἰ καρδίας τρωθείσης, ἢ πνεύμονος, ἢ γαστρὸς, ἢ ἥπατος, ἐλπίζειν χρὴ τὴν ἴασιν. οὐδ᾽ ὅλως οὐδὲν οὐκέτι περαιτέρω τοῦ πρώτου σκοποῦ γινώσκει τῶν ἰδιωτῶν οὐδείς. τοῦτ᾽ οὖν αὐτὸ πρῶτον ἤδη τῆς τέχνης ἔργον, ἤτοι τυχεῖν ἐλπίζειν τοῦ τέλους, ἢ ἀπογινώσκειν τοῦ τυχεῖν. διττὴ δ᾽ ἡ γνῶσις αὐτοῦ, καὶ τρίτην οὐκ ἐγχωρεῖν γενέσθαι. διὰ μὲν τῆς ἐμπειρίας ἡ ἑτέρα, μακροῦ δηλονότι χρόνου δεομένη. διὰ δὲ τῆς αὐτοῦ τοῦ πράγματος φύσεως, ἡ ἑτέρα. καὶ γὰρ τὴν οὐσίαν ἑκάστου τῶν μορίων ἐπισκέψεται, καὶ τὴν ἐνέργειαν, καὶ τὴν χρείαν, καὶ τὴν θέσιν, ἐξ ὧν ὁρμωμένη, τό τ᾽ ἀδύνατον ἰαθῆναι προγνώσεται, καὶ τὸ δυνατὸν δέξασθαι τὴν ἴασιν, ὑπὲρ τῆς τῶν βοηθημάτων εὑρέσεως ἐπισκέψεται.

Πρόδηλον δ᾽ ὡς ἀπὸ τῶν ἁπλουστάτων ἄρξεται. τί δ᾽ ἁπλούστερον ἕλκους ἐπιπολῆς ἐν σαρκώδει μορίῳ; τοῦτ᾽ οὖν εἰ μὲν ἁπλῶς ἕλκος εἴη, σκοπὸς αὐτοῦ τῆς ἰάσεως, ἕνωσις. εἰ δὲ σὺν κοιλότητι, διττὸς μὲν ὁ σκοπὸς ὅτι καὶ ἡ διάθεσις διττή. συνεχείας μὲν λύσις τὸ ἕλκος. ἀπώλεια δὲ οὐσίας τινὸς οἰκείας τῷ ζώῳ ἡ κοιλότης. εὑρίσκεται δὲ κἀνταῦθα πολλάκις ὁ ἕτερος τῶν σκοπῶν, ἀδύνατος. οἷον εἰ μὴ μόνον ἡ σὰρξ, ἀλλὰ καὶ τὸ ὑποκείμενον ὀστοῦν ἀπολωλὸς εἴη. πληρωθῆναι γὰρ ἀκριβῶς ἡ τοιαύτη κοιλότης οὐ δύναται, ἀλλ᾽ ἐπουλωθῆναι μὲν ὅπερ ἦν ἕλκους ἴασις, ἀνίατος δὲ ἡ κοιλότης καταλειφθήσεται. τοῦτ᾽ οὖν αὖθις αὐτὸ πάντως μὲν ἤτοι διὰ τῆς ἐμπειρίας, ἢ διὰ τοῦ λόγου χρὴ γνῶναι. ὁ Θεσσαλὸς δὲ οὔτε τούτοις χρῆται, καὶ τρίτον οὐδὲν προστίθησιν. εἶτ᾽ οὐκ αἰδεῖται ληρῶν, ἀλλ᾽ ἐᾶ τοῦτο. τὸ κοῖλον δ᾽ ἕλκος ἐν σαρκώδει μορίῳ χωρὶς τοῦ πεπονθέναι τι τῶν ὑποκειμένων ὅπως ἰασόμεθα. λεγέτω παρελθὼν ὁ Θεσσάλειος ἰατρός. ἐμβαλόντες φησὶ τὸ σαρκωτικὸν φάρμακον, εὖ γε τῆς εὐχερείας, ἵνα δ᾽ ἀναισθησίας εἴπω ἦν ἄμεινον, εἰ σαρκωτικὸν εἰπὼν, ἀπηλλάχθαι δοκεῖ τοῦ ζητουμένου. εἰ γὰρ ἤδη τὸ σαρκωτικὸν ἐπιστάμεθα, τί ζητοῦμεν ἔτι; λέγε μοι τὸ σαρκωτικὸν ὅ, τί ποτ᾽ ἐστὶν, ᾧ μέλλεις χρῆσθαι. λιβανωτὸν οἶμαι φήσεις, ἶριν, ἢ ἀριστολοχίαν, ἢ ὀρόβινον ἄλευρον, ἢ πάνακα, τῶν γὰρ ξηρῶν φαρμάκων πρῶτον μνημονεύσω. ταῦτ᾽ οὖν εἰπέ μοι πόθεν εὗρες; ἐκ τῆς πείρας φησί. τί δὴ οὖν ἔτι προστίθησις σύ; τὸ μὲν γὰρ ὅτι χρὴ πληροῦν τὸ κοῖλον, οἶδε δήπου καὶ ὁ ἰδιώτης. τὸ δ᾽ ἐξ ὧν καὶ δι᾽ ὧν φαρμάκων, ἐδίδαξεν ἡ πεῖρα. Θεσσαλὸς δ᾽ οὔθ᾽ ὡς ἐμπειρικὸς οἶδε τὸ φάρμακον, οὔθ᾽ ὡς λογικὸς, ὡς ἐμπειρικὸς μὲν, ὅτι μὴ βούλεται. ὡς λογικὸς δὲ, ὅτι μὴ δύναται. ἐπεὶ ὅτι γε ὡς ἐμπειρικὸς οἶδεν, ἀκριβῶς ἐγὼ τοῦτο γινώσκω. δυοῖν γὰρ ὄντοιν ἁπάσης εὑρέσεως ὀργάνων, ἐμπειρίας καὶ λόγου, ὁ τὸ μὲν εὑρημένον ἐπιστάμενος, εἰπεῖν δ᾽ οὐκ ἔχων αὐτοῦ τὸν λόγον, εὔδηλός ἐστιν ἐκ τῆς ἐμπειρίας εὑρηκώς. ἵνα τοίνυν εἰδῇ πόσον ἁμαρτάνει μικρὸν ἡσυχάσας, ἀκροατὴς ἡμῖν γενέσθω. βούλομαι γάρ τινα διαλεχθῆναι, τῷ μόνην τὴν ἐμπειρίαν πρεσβεύοντι. δίκαιον γὰρ οἶμαι κἀκεῖνον εἰπεῖν, ὅπως εὗρε τουτὶ τὸ σαρκωτικὸν φάρμακον τὸ ξηρὸν, ὃ δὴ κεφαλικὸν ὀνομάζουσι. σύγκειται δὲ ἐξ ἴρεως. καὶ ἀριστολοχίας. ὀρόβου τε καὶ λιβανωτοῦ καὶ μάννης. ἔστι καὶ ἕτερόν τι, ᾧ πρὸς τοῖς εἰρημένοις, καὶ φλοιὸς πάνακος ἐπεμβάλλεται. καὶ μὲν δὴ καὶ ἕτερόν ἐστιν, ᾧ καὶ καδμεία πεπλυμένη προσεπεμβάλλεται. Λεγέτω τοίνυν ὑπὲρ τούτων, ὅπως εὑρέθη. καὶ τί μοι φησὶ ζητεῖν ὑπὲρ τῆς εὑρέσεως αὐτῶν, ἀλλ᾽ οὐ τοῖς εὑρημένοις ὀρθῶς χρῆσθαι; ταυτὶ μὲν οὖν εὐθὺς κατ᾽ ἀρχὰς ἀποφαίνονται, κατὰ σύμβασιν δὲ, καλοῦσι γὰρ οὕτως αὐτοὶ, καὶ τῷ ῥήματι τούτῳ, ποτὲ μὲν ἐξ ὀνειράτων ἐνδέχεσθαι τὰ τοιαῦτα εὑρῆσθαι φασίν, ἔστι δ᾽ ὅτε κατὰ δή τινα τύχην ἐκχυθῆναι τὸ ἕτερον, εἰς τὸ ἕτερον. εἶτά τινα τῷ μικτῷ τολμῆσαι χρήσασθαι, τῆς τόλμης δ᾽ οὐ λέγειν τὴν ἐλπίδα. ταυτὶ μὲν οὖν πρόδηλος λῆρος. ὁ δὲ τρίτος αὐτοῖς τρόπος τῆς εὑρέσεως ἐστὶν, ὄντως ἐπιλογιστικός. ἑκάστου γὰρ ἐκείνων ἁπλῶν, ἰδίᾳ τις πεπειραμένος ὡς σαρκωτικῶν, κἄπειτ᾽ εὑρίσκων ἐνίοτε μὴ σαρκοῦντα, προσεπελογίσατο μὴ πάσῃ φύσει πᾶν ἁρμόττειν. εἰ γὰρ ὃν οὐκ ἐσάρκωσεν ἡ ἀριστολοχία, τοῦτον ὁ λιβανωτὸς ἐσάρκωσεν, ᾧ δ᾽ ὁ λιβανωτὸς οὐχ ἥρμοττε, τούτῳ τῆς ἴρεως προσαχθείσης, ἀπήντησε τὸ δέον, εὔλογον οἶμαι μὴ πάντας ὑπὸ πάντων ὁμοίως διατίθεσθαι. τοῦτο δ᾽ ἅπαξ εἰς ἐπιλογισμὸν ἐλθόντος, ἄμεινον ἔδοξεν ὡς οἷόν τε πλεῖστα τῶν ὁμοειδῶν εἰς ταὐτὸ ἀναμίξαι, ἵν᾽ ἑκάστη φύσις σώματος εὐπορῇ τοῦ προσήκοντος. (καὶ μὴν ὦ ἑταῖρε ἐν τῇ συμπλοκῇ τῶν εἰδῶν, οὐ φυλάττονται τῶν οἰκείων οὐσιῶν αἱ ἐνέργειαι, ὡς ἐπὶ ἑνὸς ἑκάστου εἴδους τῷ ὠφελεῖν εἰς νόσον ἥνπερ χρὴ θεραπεύειν, εὐπορεῖ τοῦ προσήκοντος) εἰ μὲν γὰρ ἤτοι τὴν φύσιν ἠδύνατο τοῦ σώματος ἐξευρεῖν, ἢ τοῦ προσφερομένου φαρμάκου τὴν δύναμιν, οὐδὲν ἂν ἴσως ἐδεήσεν αὐτοῖς τῆς τοιαύτης ποικιλίας,

ἐν ἑκά-

τῷ ἑκάστοτε φάρμακον ἐφ' ἑνὶ σώματι τὸ συμφέρον εὑρίσκειν δυναμένοις. ἐπεὶ δ' ἀγνοοῦσιν ἑκάτερον, κακῶς ἀναμιγνύουσιν ἅπαντα, πολλαῖς φύσεσιν ἁρμόττον ἐπιτεχνᾶσθαι βουλόμενοι φάρμακον. τοῦτον τὸν τρόπον τῆς συνθέσεως τῶν φαρμάκων, ἐγὼ πείθομαι τοῖς πρώτοις τῶν ἰατρῶν ἐπινενοῆσθαι, καὶ ὡς ἀρχαῖον εὕρεμα πρεσβεύεται. τοσοῦτον γε μὴν ἀπολείπειν ἡγοῦμαι τῆς ὄντως μεθόδου θεραπευτικῆς, ὅσον εὐλογώτερός ἐστι τῶν ἐγχεομένων εἰς ἄλληλα κοσκίνων. εἰ γὰρ μὴ λογίζεται πρῶτον μὲν ὡς μόνης τῆς ἐξ ὁμοειδῶν φαρμάκων συνθέσεως, οὐ μὴν τῆς γε ἐξ ἐναντίων εἴρηκε τὴν μέθοδον. ἔπειθ' ὡς ἐν τῷ πλήθει τῆς μίξεως, ἓν μὲν εἰ τύχοι τὸ τῷ πάσχοντι προσῆκον ἐστὶ φάρμακον, ἐγχωρεῖ δὲ καὶ μηδέν, ἑπτὰ δ' ἢ ὀκτὼ τῶν οὐκ οἰκείων. ὥστε πλείοσιν ἀριθμοῖς βλάψαι τὸ τοιοῦτον ἢ ὠφελῆσαι. ταῦτ' εἰ μὴ λογίζεται, πλέον αὐτὸν ἀγνοεῖν ἢ γιγνώσκειν τοῦ πράγματος εἴποιμ' ἄν. ἐλαίου γοῦν ἐγχεόμενον ἕλκει κοίλῳ, πάντων ἐναντιώτατον φάρμακον. εἰ γὰρ ἐθελήσεις οὕτω θεραπεύειν, αὐτῇ γνώσῃ τῇ πείρᾳ ῥυπαρὸν καὶ βρυῶδες ἀποτελούμενον τὸ ἕλκος. εἰ δὲ καὶ ἡ ὥρα τοῦ ἔτους θερμὴ τύχοι, καὶ ὁ ἄνθρωπος εἴη κακοχυμότερος, ἢ φύσει ῥευματικώτερος, ἢ καὶ περὶ τὴν δίαιταν τι πλημμελοίη, κίνδυνος σαπῆναι τὸ μόριον, ἐν ᾧ τὸ ἕλκος ἐστίν. κίνδυνος δὲ κἂν εἰ κηρῷ μόνῳ χρῷτο, κἂν εἰ τήκων ἐλαίῳ. ταυτὶ μὲν οὖν διασήψει τὸ ἕλκος. εἰ δὲ ἰὸν λειώσας ἐμπλάττοις, οὐ διασήψει μὲν οὗτός γε οὐδαμῶς, ὀδύνην δ' ἐργάσεται καὶ δῆξιν οὐ σμικράν, ἀνάβρωσίν τε καὶ φλεγμονήν. εἰ δὲ ἐπὶ πλέον χρήσαιο, καὶ σπασμόν. ἐπεὶ τοίνυν οὔτε τὸ ἔλαιον, οὔτε ὁ ἰός, οὔτε ὁ κηρός, ἕλκος κοῖλον σαρκῶσαι δύναται, δῆλον ὡς οὐδὲ μίξει ποτ' αὐτὰ ἀπὸ τῆς ἐμπειρίας οὐδείς, ἀλλ' ἐγὼ μίξω γε τῷ δέοντι μέτρῳ καὶ ταῦτα, καὶ ἄλλα μυρία φάρμακα, τῶν βλαπτόντων ἰδίως ἕλκος κοῖλον. εἰ γὰρ μὴ ταῖς αὐταῖς δυνάμεσι βλάπτοιεν ἀλλ' ὑπεναντίαις, ἀμέμπτω δήπουθεν ἐστὶν ὡς πρὸς ἕλκους κοίλου πλήρωσιν. ἀλλ' ὅπως ἐκ δυοῖν ἀμέτροιν κράσεων, ἓν ἀποτελεῖται σύμμετρον, ἐν τοῖς περὶ φαρμάκων συνθέσεως ἐμάθομεν λογισμοῖς. οὐκοῦν ἔτι χαλεπὸν ἐξ ἐλαίου καὶ κηροῦ καὶ ἰοῦ, συνθεῖναι φάρμακον σαρκωτικόν. εἰ γοῦν εἰδείης ὡς ξηραίνεσθαι μετρίως δεῖται τὸ τοιοῦτον ἕλκος, οὐ ξηραίνει δ' οὔτε ὁ κηρός, οὔτ' ἔλαιον, εἰδείης ἂν ὡς οὔτε ἑκάτερον, οὔτ' ἄμφω πληρώσουσιν ἕλκος κοῖλον. οὐ μήν, οὐδ' ὁ ἰὸς μόνος, ἀμέτρως γὰρ ξηραίνει. μίξας οὖν ἅπαντα συμμέτρως, ξηρὸν ἐργάσασθαι δυνήσῃ φάρμακον. ὁπόσον δ' ἑκάστου χρὴ τὸ μέτρον εἶναι, δέδεικται μὲν ἤδη μοι κἀν τοῖς περὶ φαρμάκων συνθέσεως ὑπομνήμασι, δειχθήσεται δὲ καὶ νῦν, εἰ δεηθείη τοῦ λόγου προϊόντος. ἀποπέμψαι γάρ με χρὴ πρῶτον ἀπὸ τῶν ἐφεξῆς λόγων τὸν ἀμέθοδον ἐκεῖνον Θεσσαλόν, ἐνδειξάμενον αὐτῷ πόσον ἁμαρτάνει τοῦ δέοντος. φρονίμῳ γοῦν ἀνθρώπῳ καὶ τὰ νῦν εἰρημένα, σαφῶς ἐνδείκνυται τὴν θεραπευτικὴν μέθοδον ὁποίαν τινὰ εἶναι χρή. ἀλλὰ γοῦν οὐ πρὸς τοὺς τοιούτους ὁ λόγος. ὥστε ἀναγκαῖον ἔτι διαλεχθῆναι πρὸς αὐτοὺς ἐνθένδε ποθὲν ἀρξάμενον. Ἅπασα κοιλότης παρὰ φύσιν, ἐνδείκνυται τὴν πλήρωσιν, ὥστε καὶ ἡ ἐν τῷ σαρκώδει μορίῳ. αὕτη δὲ ἡ πλήρωσις, σκοπὸς τῆς τῶν ἰαμάτων εὑρέσεως γίγνεται. ἵνα δ' εὑρεθῇ τὰ πληρώσαντα, καὶ λόγου δεόμεθα συχνοῦ, καὶ πολλῶν τῶν κατὰ μέρος ἐνδείξεων, καὶ μεθόδου λογικῆς ἀκριβοῦς. ἐθεασάμην γοῦν πολλάκις ἕλκη δυσίατα μὴ δυναμένους θεραπεῦσαι μήτε τοὺς τὴν ἐμπειρίαν πρεσβεύοντας ἰατρούς, τούτους δὴ τοὺς πολυφαρμάκους, ἀλλὰ μὴ δὲ τοὺς τὸν ἀναλογισμὸν ἐπαγγελλομένους ἅπαντας. οἱ γὰρ Θεσσάλειοι, μεθοδικοὶ μὲν τοὔνομα, ταῖς δ' ἀληθείαις ἀμέθοδοι. καθάπερ τινὲς ὄνοι λύρας οὐδ' ἐπαΐειν ἱκανοὶ τῆς τοιαύτης θεωρίας εἰσί, μήτοι γε δὴ λογισμῷ τὸ δέον ἐξευρίσκειν. ἐθεασάμην δὲ πολλάκις ἐπὶ τῶν τοιούτων ἑλκῶν, τοὺς μὲν ἀπὸ τῆς ἐμπειρίας, ἄλλοτ' ἐπ' ἄλλο μεταβαίνοντας φάρμακον. οὐ μὰ Δία λογισμοῦ τινος ἐξηγουμένου τῆς μεταβάσεως, ἀλλ' ἐπειδὴ πολλῶν μὲν ἐπειράθησαν πληγέντων ἕλκη κοῖλα, τὴν δ' ὡς αὐτοὶ καλοῦσιν ἰδιοσυγκρασίαν, ἐφ' ἧς ἕκαστον αὐτῶν εὐδοκίμησεν. οὔτε διαγινώσκειν, οὔτε μεμνῆσθαι δύνανται, διὰ τοῦτο καὶ νῦν οὐκ ἐπιστάμενοι μὲν ἐφ' ὅ,τι χρὴ μεταβαίνειν, ἐλπίζοντες δ' ἐν πολλῇ τῇ κατὰ μέρος διεξόδῳ πάντως εὑρεθήσεσθαί ποτε τὸ προσῆκον, ἄλλοτ' ἐπ' ἄλλο μεταπηδῶσι, τύχῃ μᾶλλον ἢ λογισμῷ τὴν τοῦ συμφέροντος εὕρεσιν ἐπιτρέποντες. ὅμοιοι δ' αὐτοῖς εἰσι κἂν μὴ θέλωσιν, ὅσοι τῶν δογματιζόντων ἐπὶ τὰς φυσικὰς ἀρχὰς τῶν σωμάτων οὐκ ἐδυνήθησαν ἀναβῆναι τῷ λόγῳ. καὶ γὰρ αὐτοὶ καθ' ὅτι πρόσθεν ἐδείξαμεν ἐξ ἡμισείας εἰσὶν ἐμπειρικοί, οἱ οὐκ ἠδυνήθησαν διαλαβεῖν περὶ τῶν πρώτων στοιχείων. περὶ δὲ τῶν ἀμεθόδων τούτων Θεσσαλείων, τί ἄν τις καὶ λέγοι; μόνοι τοίνυν οἱ ὄντως μεθόδῳ θεραπεύοντες, ἐξευρίσκουσί τε τὸ δέον, ἢ φάρμακον, ἢ διαίτημα, καθ' ἕκαστον τῶν τοιούτων ἑλκῶν. ἐπιδεικνύουσί τε, τὰ σαφέστατα διὰ τῶν ἔργων αὐτῶν ὁ πηλίκον ἀγαθόν ἐστι, καὶ ὅσον φῶς παρέχει πρὸς τὰς ἰάσεις, ἡ περὶ φύσεως πραγματεία. καὶ γὰρ δὴ καὶ ὡς τοῖς συνεχῶς ἀφ' ἑτέρου φαρμάκου μεταβαίνουσιν ἐφ' ἕτερον ἐνίοτε παρορᾶται καὶ καταφρονεῖται τὸ χρήσιμον, ἐπιδέδειχά τοι πολλάκις ἑνὶ φαρμάκῳ τὰ τοιαῦτα τῶν ἑλκῶν θεραπεύσας, ὧν ἔφθανον ἐκεῖνοι κεχρῆσθαι. καταφρονηθεῖσα δ' εἰκότως ἡ δύναμις τοῦ τοιούτου φαρμάκου, διά τε τὴν ἀκαιρίαν τῆς χρήσεως, οὐ μόνον οὐδὲν ὠφελῆσαι δόξαντος, ἀλλὰ καὶ προσβλάψαι. καὶ διὰ τὸ μηδὲν ἐνίοτε σαφὲς ἐργάζεσθαι τὴν πρώτην χρῆσιν. ἐθεασάμην δὲ καὶ ὀφθαλμῶν ὀδύνας σφοδροτάτας ἰασαμένους ἡμᾶς, ἢ λουτροῖς, ἢ οἴνου πόσεσιν, ἢ πυρίαις, ἢ φλεβοτομίαις, ἢ καθάρσεσιν. ἐφ' ὧν οὐδὲν ἄλλ' ἔχουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, ἢ ταυτὶ τὰ διὰ ὀπίου, καὶ μανδραγόρου, καὶ ὑοσκυάμου συντιθέμενα φάρμακα, μεγίστην λώβην ὀφθαλμῶν. οὐδὲ γὰρ οὐδ' ἄλλῳ τινὶ τὴν ἐν τῷ παραχρῆμα δόκησιν τῆς ἀνωδυνίας, ἀλλ' ἢ τῷ νεκροῦν τὴν αἴσθησιν ἐργάζονται. καὶ πολλοὺς οἶδα μετὰ τὰς τοιαύτας χρήσεις τῶν φαρμάκων, ἐπειδὰν ἀμετρότερον προσαχθῇ, μηκέτ' ἐπανελθόντας εἰς τὸ κατὰ φύσιν. ἀλλ' ἀρξαμένους μὲν ἐντεῦθεν, ἀμυδρῶς καὶ μόγις ὁρᾶν, ἐν τῷ χρόνῳ δ' ὑποχύσεσιν, ἢ μυδριάσεσιν, ἢ φθίσεσιν, ἢ ῥυτιδώσεσιν ἁλόντας. οἶδα δὲ δήπου συνδιατρίψας ἡμῖν εὐθὺς ἐκ μειρακίου, μὴ δὲ παρ' ἑνὶ τῶν διδασκάλων θεασαμένους ἡμᾶς ἔργον τοιοῦτον, ἀλλ' ἐξευρόντας αὐτοὺς τῷ λογισμῷ. καὶ ὅτι γε πολλῷ χρόνῳ τὸν ἀφορισμὸν ἀνεσκεψάμην ἐκεῖνον. ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρόν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει. καὶ ὡς ἐκ τῆς ἄλλης ἀκριβείας τοῦ Ἱπποκράτους, ἤλπιζον μὴ δ' ἐνταῦθα μήτε ψεῦδός τι, μήτ' ἀδύνατον λέγεσθαι. καὶ ὡς ἔτι τὴν μὲν τὸ προβλέψαι ἐπὶ τὴν ζήτησιν, ἕως οὗ καὶ ταύτην τοῦ Ἱπποκράτους δῆλον ἐξευρὼν διορίσασθαι, πότε καὶ πῶς ἐφ'

ἑκάστου τῶν εἰρημένων χρηστόν. ᾧ καὶ δῆλον ἐποίησα πολλοῖς τῶν θεασαμένων τὰ τοιαῦτα, πηλίκη μέν ἐστιν ἡ τῆς θεραπευτικῆς μεθόδου δύναμις, ἡλίκον δὲ κακὸν εἰργάσαντο μὴ φυλάξαντες τὴν παλαιὰν ἰατρικὴν, οἱ τὰς νεωτέρας αἱρέσεις συστησάμενοι. ταῦτά τοι καὶ ὑμεῖς, καίτοι γε ἄκοντά με κατ' ἀρχὰς ἠναγκάσατε, λιπαροῦντες διεξελθεῖν ἅπασαν ἤδη τὴν πραγματείαν, ἣν εὔχομαι μὲν τοῖς θεοῖς, ὀνησίν τινα καὶ τοῖς ἄλλοις ἀνθρώποις γενέσθαι, βραχυτάτην δ' ἔχω τὴν ἐλπίδα, διὰ τὴν κατέχουσαν νῦν ὀλιγωρίαν μὲν τῶν καλῶν, ἐπίδοσιν δὲ, εἰς τιμὴν πλούτου, καὶ δόξης, καὶ πολιτικῶν δυνάμεων. ἐφ' ἃ τοῖς ἐκτραπεῖσιν, οὐκ ἐνδέχεται τἀληθὲς ἐν οὐδενὶ τῶν ὄντων ἐξευρεῖν. ἀλλὰ ταῦτα μὲν, ὅπῃ τῷ θεῷ φίλον, οὕτω τελευτήσει. τὴν δ' οὖν θεραπευτικὴν μέθοδον ἀσκηθεῖσαν μὲν τοῖς παλαιοῖς ἰατροῖς, ὀλιγωρουμένην δὲ νῦν, ἀνακτησώμεθα καθ' ὅσον οἷοί τ' ἐσμὲν, αὖθις ἀναλαβόντες τὸν λόγον ἐπὶ τοῦ προκειμένου παθήματος ἕλκους κοίλου. Περὶ μὲν δὴ τῆς πρώτης εὑρέσεως τῶν σαρκωσόντων τὸ τοιοῦτον ἕλκος φαρμάκων, ἀρκείτω τὰ μικρῷ πρόσθεν εἰρημένα, καὶ συγχωρείσθω δ' εἰ βούλει τοῖς ἐμπειρικοῖς ἃ λέγουσιν ἅπαντα. περὶ δὲ τῆς τῶν εὑρημένων χρήσεως, ἐπὶ μὲν τῶν ἔργων αὐτῶν ἐπέδειξα σοι πολλάκις. οὐδὲν δ' ἧττον καὶ νῦν ἐπιδεῖξαι τῷ λόγῳ πειράσομαι, πῶς ἐν οἷς ἂν μηδὲν δράσῃ τὸ συνήθως ἑκάστῳ φάρμακον, ἐπ' ἄλλο μεταβαίνειν εὐμηχάνως τε καὶ τεχνικῶς ἀπορούσιν οἱ ἐμπειρικοί. καὶ τοῦτ' εὐλόγως γίνεται. τοῦ γὰρ πρώτου φαρμάκου τῆς ἀτυχίας τὴν αἰτίαν ἀγνοοῦντες, οὐδὲ φυλάξασθαι δήπουθεν αὐτὴν ἐπὶ τοῦ δευτέρου δύνανται. ἀγνοουμένης γὰρ ἔτι τῆς αἰτίας δι' ἣν οὐκ ἐνήργει τὸ φάρμακον, οὐδὲ δι' ἣν ἀτυχεῖ γνῶναι δυνήσονται. ταύτης δ' ἀγνοουμένης, οὐδ' ἐφ' ἕτερον ἔτι μεταβαίνειν εὐλόγως ἐγχωρεῖ, φυλάξασθαι γὰρ οὐδ' ἐπ' ἐκείνου δυνήσονται τὴν αὐτὴν αἰτίαν. ἔπωμεν οὖν ἡμεῖς ἤδη, τὴν Ἱπποκράτειόν τε ἅμα καὶ ἀληθῆ μέθοδον ἑλκῶν κοίλων ἰάσεως. ἄρχεσθαι δὲ δήπουθεν αὐτὴν ἐκ τῆς οὐσίας χρὴ τοῦ πράγματος. ἐπεὶ τοίνυν ἐν τοῖς κοίλοις ἕλκεσι πρόκειται γεννῆσαι τὴν ἀπολωλυῖαν σάρκα, δεῖ γινώσκειν τι περὶ σαρκὸς γενέσεως. ὡς ὕλη μὲν αὐτῆς αἷμα χρηστὸν, οἷον δημιουργός τε καὶ τεχνίτης ἡ φύσις. ἀλλ' οὐχ ἁπλῶς εἰπεῖν χρὴ φύσιν, ἀλλὰ προσθεῖναι τὴν τίνων, καὶ ποῦ. δῆλον δὲ ὅτι τῶν ὑποκειμένων σωμάτων, οἷς σὰρξ ἐπιτρέφεσθαι μέλλει, τούτων ἡ φύσις ἔσται δημιουργὸς τῆς γεννηθησομένης σαρκός. ἀλλ' ἡ φύσις ἑκάστου τῶν σωμάτων, ἐδείχθη κατά τινα θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ κρᾶσιν ἀποτελεῖσθαι. δῆλον οὖν ὡς ἡ τούτων εὐκρασία, κατὰ τὸ ὑποκείμενον μόριον ᾧ μέλλομεν ἐπιθρέψειν τὴν λείπουσαν σάρκα, τὸν λόγον ἕξει τοῦ δημιουργοῦ. Πρῶτον μὲν οὖν ἡμῖν σκεπτέον ἐπὶ παντὸς ἕλκους κοίλου, δύο ταῦτα, τό θ' ὑποκείμενον εἰ εὐκράτως ἔχει, τουτέστιν εἰ κατὰ φύσιν, ἐδείχθη γὰρ ἡ ἐν τοῖς ὁμοιομερέσι σώμασιν ὑγεία, τῶν τεττάρων οὖσα ποιοτήτων εὐκρασία, καὶ προσέτι τὸ αἷμα τὸ ἐπιῤῥέον, εἰ χρηστόν τε καὶ σύμμετρον. εἰ μὲν δὴ καὶ τούτων τι μοχθηρῶς ἔχοι, πολλαὶ διαθέσεις γίγνονται παρὰ φύσιν. ἡμῖν δ' ὑπόκειται μία κοιλότης ἐν σαρκώδει μορίῳ. ὑποκείσθω τοίνυν ὑγιαίνοντι τὸ χωρίον, ἥ τ' ἐπιῤῥοὴ τοῦ αἵματος ἄμεμπτος ἐν ποσότητι καὶ ποιότητι, καὶ τούτων οὕτως ἐχόντων, οὐδὲν ἂν ἔτι κωλύῃ τὴν πρώτην γένεσιν τῆς σαρκὸς ἄμεμπτον γενέσθαι, μηδενὸς δεηθεῖσαν ἔξωθεν φαρμάκου. τῶν γὰρ αἰτίων ἀμφοτέρων ὑφ' ὧν γίγνεται παρόντων, καὶ μηδενὸς τῶν ἔξωθεν ἐμποδὼν ὄντος, οὐκ ἐνδέχεται κωλυθῆναι τὴν τῆς σαρκὸς γένεσιν. Ἀλλ' ἐν αὐτῷ δὴ τῷ γεννᾶσθαι τὴν πρώτην σάρκα, περίττωμα διττὸν ἀνάγκη γίγνεσθαι, καθότι καὶ τοῦτ' ἐν τοῖς περὶ φύσεως εἴρηται λογισμοῖς. ὡς ἁπάσῃ τῇ κατὰ ποιότητα μετακοσμήσει τῆς τροφῆς, ἕτερον μὲν παχύτερον, ἕτερον δὲ λεπτότερον ἕπεται περίττωμα. τούτων τῶν περιττωμάτων, καὶ καθ' ὅλον τὸ σῶμα γιγνομένων, ἀεὶ τὸ μὲν λεπτότερον, ἡ ἄδηλός ἐστι διαπνοή. γίγνεται δὲ καὶ δήλη πολλάκις, ὅταν ἤτοι τὸ ἔμφυτον ἀῤῥωστήσῃ θερμὸν, ἢ τροφῇ χρήσηται πλείονι τοῦ δέοντος, ἢ τις ἐπαχθῇ τῷ ζώῳ κίνησις σφοδροτέρα. τὸ δ' ἕτερον, ὁ ἐπιτρεφόμενος ἐστὶ τοῖς σώμασιν ἡμῶν ῥύπος. καὶ δὴ κἂν τοῖς ἕλκεσιν, ἰχὼρ μὲν καλεῖται τὸ λεπτὸν περίττωμα, ῥύπος δ' ἕλκους, τὸ παχύ. καὶ διὰ μὲν τὸ λεπτὸν περίττωμα, ὑγρὸν τὸ ἕλκος γίγνεται, διὰ δὲ τὸ παχὺ, ῥυπαρόν. καὶ δεῖται διὰ τοῦτο διττῶν φαρμάκων. ὡς μὲν ὑγρὸν, τῶν ξηραινόντων. ὡς δὲ ῥυπαρὸν, τῶν καθαιρόντων αὐτό. Κατ' οὐδένα τοίνυν χρόνον τῆς φύσεως ἀργούσης, οὐδεὶς ἔσται καιρὸς ἐν ᾧ μὴ ταῦτ' ἄμφω κατὰ τὸ κοῖλον ἕλκος ἀθροισθήσεται. ὥστε οὐδὲ χρόνος οὐδεὶς ἔσται καθ' ὃν οὐ δεήσεται τῶν φαρμάκων ἀμφοτέρων, τοῦ τε ξηραίνοντος, καὶ τοῦ καθαίροντος. ὁποῖον μὲν οὖν εἶναι χρὴ τῷ γένει τὸ φάρμακον, εὕρηται. ἀλλ' οὐκ ἀρκεῖ τοῦτο, χρὴ γάρ τι τῶν κατ' εἶδος ἐξευρεῖν, ᾧ προσαχθήσεται. πόθεν οὖν ἐκεῖνο κἂκ τίνος εὑρεθήσεται μεθόδου, ἢ τῆς ἐν τοῖς περὶ φαρμάκων ἁπλῶν δυνάμεως εἰρημένης; ἐδείκνυμεν γὰρ ἐν ἐκείνῃ τὰ μὲν ξηραίνοντα, τὰ δ' ὑγραίνοντα, τὰ δὲ ψύχοντα, τὰ δὲ θερμαίνοντα τῶν φαρμάκων. ἔνια δὲ κατὰ συζυγίαν, ἢ θερμαίνοντα καὶ ξηραίνοντα, ἢ ψύχοντα καὶ ὑγραίνοντα, ἢ θερμαίνοντα καὶ ὑγραίνοντα, ἢ ψύχοντα καὶ ξηραίνοντα. εἶναί τε καθ' ἕκαστον αὐτῶν, ἄπειρον μέντοι τῷ πλήθει τὸ μᾶλλόν τε καὶ ἧττον. εἰς δὲ τὴν χρείαν τὴν ἰατρικὴν, ὅροις εὐσήμοις περιγραφόμενον, πρώτης τινὸς ἐν αὐτοῖς γινομένης τάξεως, καὶ δευτέρας, καὶ τρίτης, καὶ τετάρτης. ἐκ ποίας οὖν τάξεως ἔσται τὸ σαρκωτικὸν φάρμακον, ὃ δὴ μετρίως ἔφαμεν χρῆναι ξηραίνειν τε καὶ ῥύπτειν; ἐκ τῆς πρώτης δηλονότι. μᾶλλον γὰρ ἐπιταθὲν, ὡς μὴ μόνον ἐκδαπανᾶν τὸ περιττὸν τῆς ἀποῤῥεούσης ὑγρότητος, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐπιῤῥέοντος αἵματος ἅπτεσθαι, κωλύσει τὴν σάρκωσιν, ἀναλίσκον αὐτῆς τὴν ὕλην. ἐδείχθη δὲ τοιαῦτα. λιβανωτός τε καὶ κρίθινον ἄλευρον, καὶ κυάμινον, ὀρόβινόν τε καὶ ἶρις, ἀριστολοχία τε καὶ καδμία καὶ πάναξ καὶ πομφόλυξ. ἅπαντα δὲ ταῦτα ἀλλήλων ἐδείκνυτο διαφέροντα τῷ τε μᾶλλον καὶ ἧττον. καὶ τῷ μὲν, ἁπλᾶς ἔχειν τὰς ἐπικρατούσας δυνάμεις, τὰ δὲ συνθέτους. ἀριστολοχία μὲν γὰρ καὶ πάναξ μᾶλλον ξηραίνει τῶν ἄλλων, καὶ θερμότερα τὴν φύσιν ἐστί. τὸ δὲ κρίθινον καὶ τὸ κυάμινον ἄλευρον, ἧττον πολὺ ἐκείνων ξηραίνει, καὶ ἥκιστα θερμότητος μετέχει. λιβανωτὸς δὲ θερμὸς μέν ἐστι μετρίως, ἧττον δὲ τούτων ξηραίνει, ὥστε τινὰς φύσεις σωμάτων, οὐδὲ ξηραίνει τὴν ἀρχήν. ὀρόβινον δὲ καὶ ἶρις, ἐν τῷ μεταξὺ τούτων τε καὶ ἀριστολοχίας καὶ πάνακός ἐστιν. ὅπερ δ' ὁ λόγος ἐκίνησε χρησίμως, αὖθις ἀναλάβωμεν. ὁ γάρ τοι λιβανωτὸς, ὑγρὰν μὲν φύσιν σώματος σαρκῶσαι δύναται, ξηρὰν δ' οὐ δύναται. χρὴ γὰρ

ἑτέρα-

ἐπίστασθαι περὶ τῶν πρώτων ἐνδείξεων, ὡς δύο ἐστὸν αὐτῶν αἱ διαφοραί, τοῦ μὲν κατὰ φύσιν, τὴν φυλακὴν ἐνδεικνυμένου, καὶ διὰ τῶν ὁμοίων ἑαυτοῦ δεομένου. τοῦ δὲ παρὰ φύσιν, τὴν ἀναίρεσιν τὴν ἑαυτοῦ, καὶ διὰ τῶν ἐναντίων. φθείρεται γὰρ πᾶν, εἰς ἐναντία τε καὶ δι' ἐναντίων. Τὸ μὲν οὖν ἕλκος ὅσῳ περ ἂν ὑγρότερον ᾖ, τοσούτῳ δεῖται φαρμάκου ξηραίνοντος μᾶλλον. ἡ φύσις δ' αὐτοῦ τοῦ σώματος ὅσῳ περ ἂν ὑγροτέρα τύχῃ, τοσούτῳ δεῖται φαρμάκου ξηραίνοντος ἧττον. ὥστε τῶν ἴσην ὑγρότητα ἐχόντων ἑλκῶν, τὸ μὲν ἐν ξηροτέρᾳ τῇ τοῦ κάμνοντος κράσει, μᾶλλον ξηραίνεσθαι δεῖται. τὸ δ' ἐν ὑγροτέρᾳ, τοσούτῳ καταδεέστερον, ὅσῳ περ ἂν καὶ ἡ φύσις τῆς φύσεως ἀπολείπεται. τὴν γὰρ ἀνατρεφομένην σάρκα, παραπλησίαν εἶναι χρὴ τῇ προϋπαρχούσῃ. ξηροτέρας οὖν οὔσης τῆς ἀρχαίας, ξηροτέραν χρὴ γενέσθαι καὶ τὴν νέαν, ὥστε ἐπὶ πλεῖον αὐτὴν δεῖ ξηραίνεσθαι. καὶ ὅσῳ περ ἂν ἡ ἐπὶ πλέον ξηρά, ἐπὶ τοσούτῳ καὶ τὸ προσαγόμενον φάρμακον εἶναι ξηραντικώτερον. ἐπὶ δέ γε τῆς ὑγροτέρας φύσεως εἰς τοσοῦτον αὖ πάλιν ἧττον ξηραινόντων χρεία ἐστὶ φαρμάκων, εἰς ὅσον καὶ ἡ σὰρξ ἧττόν ἐστι ξηρά. τοιαύτην οὖν ἔχει κρᾶσιν λιβανωτός, ὡς πρὸς ἀνθρωπίνην φύσιν σώματος. πρὸς μὲν γὰρ τὰς εὐκράτους καὶ μέσας ὁμολογεῖ. τῶν δ' ὑγροτέρων ἀτρέμα ξηραντικώτερος ὑπάρχει. ὥσπερ οὖν καὶ τῶν ἄκρως ξηρῶν, ὑγρότερος ἀτρέμα. δεόντως οὖν ἐπὶ μὲν ἐνίων ἑλκῶν τε καὶ φύσεων, ὁ λιβανωτὸς ἐκπυΐσκει μέν, οὐ μὴν καὶ σαρκοῖ. ἐπὶ δέ τινας ἤδη καὶ σαρκοῖ. παραφυλάξας οὖν, εὑρήσεις ὁμολογοῦν τῷ λόγῳ τὸ φαινόμενον. ἐν μὲν γὰρ ταῖς ὑγροτέραις φύσεσι, σαρκωτικός ἐστιν. ἐν δὲ ταῖς ξηροτέραις, οὐκέτι. καὶ ἐπὶ μὲν τὰ μετρίως ὑγρὰ τῶν ἑλκῶν, οἷός τε σαρκοῦν ἐστιν. ἐπὶ δὲ τὰ λίαν ὑγρά, παντάπασιν ἀδύνατος. ὁρᾷς οὖν ἤδη σαφῶς ὅσων δεῖ θεωρημάτων ἀνδρὶ μέλλοντι κατὰ μέθοδον ὀρθὴν ἕλκος ἰᾶσθαι; ἐπειδὴ γὰρ εὑρέθη πάντως ὑγρότης ὑπάρχουσα τῷ πάθει, τὸ ξηραῖνον ἐνεδείξατο φάρμακον. ἀλλ' ἐπεὶ τὰ μὲν αὐτῶν μᾶλλον ξηραίνει, τὰ δ' ἧττον, ἔκ τε τῆς τῶν ἑλκῶν διαφορᾶς τὸ χρήσιμον ἐλήφθη, κἀκ τῆς τοῦ κάμνοντος φύσεως. ὥστ' οὐ μόνον ἀνάγκη περὶ φύσεως σώματος ἐπεσκέφθαι τῷ μέλλοντι κατὰ τρόπον ἰατρεύσειν ἕλκος, ἀλλὰ καὶ τὴν περὶ φαρμάκων θεωρίαν ἀκριβῶς ἐκμεμαθηκέναι. καὶ κράσεως σώματος ὑγρᾶς καὶ ξηρᾶς ἐπίστασθαι γνωρίσματα. θέασαι τοίνυν ὅση τῶν μεθοδικῶν ἐστιν ἡ περὶ τὰς ἀποφάσεις τόλμα, τοῦθ' ἓν μόνον ἀρκεῖν αὐτοῖς ἡγουμένοις, εἰς ἕλκους ἴασιν κοίλου, τὸ γινώσκειν ὅτι πληρωτέον τέ ἐστιν αὐτὸ καὶ σαρκωτέον. οὐ γὰρ δὴ ἐν τούτῳ γε τὸ θεραπεύειν ἐστίν, ἀλλ' ἐν τῷ τὸ σαρκῶσον ἐξευρεῖν. ἀλλ' εὕρηται φησὶ τὸ σαρκῶσον τῇ πείρᾳ. λέγε τοίνυν καὶ τὸ θεραπεῦον ἐκ τῆς πείρας εὑρῆσθαι. καὶ μὴ μάτην φρυάττου, μηδ' ἀνατείνου τὴν μέθοδον. καί τοι καὶ παρ' αὐτοῖς τοῖς ἐμπειρικοῖς ἡ χωρὶς διορισμοῦ πεῖρα, κατέγνωσται. γράφουσι γοῦν ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν. ἔμπλαστρος πρὸς ἁπαλόχρωτας καὶ παῖδας καὶ γυναῖκας. ἴσασί τε τὸν λιβανωτὸν ἐπὶ τῶν τοιούτων φύσεων ἕλκη κοῖλα μηδὲν ἔχοντα σύμπτωμα ἕτερον, ἀνατρέφοντα, καὶ πληροῦντα. πότερον δ' ὑγρὰ τὰ τοιαῦτα σώματ' ἐστί, καὶ διὰ τοῦτο δεῖται μετρίως ξηραινόντων φαρμάκων, ἢ ἄλλη τις αἰτία τοῦ συμβαίνοντος ἐστίν, οὐκ ἐπίστανται. καὶ μὴν αὖ καὶ πρὸς τὰ γεροντικὰ σώματα γεγραμμένον εὑρήσεις ἕτερον φάρμακον. ἄλλο δέ τι πρὸς τὰ δυσεπούλωτα, καὶ ὀχθώδη τῶν ἑλκῶν. καὶ πολλοὺς ἄλλους διορισμοὺς ἐν ἅπασι τοῖς θεραπευτικοῖς ὑπομνήμασι γράφουσιν, ἐξ ὧν ὡς οἷόν τε πρὸς τὴν ἰδιότητα τῆς θεραπευομένης φύσεως, ἐξευρίσκουσι τὸ σωῖζον φάρμακον. ἅπαντες γὰρ οἱ διορισμοὶ κατὰ τὰς τέχνας ἀπὸ τοῦ κοινοῦ πειρῶνται τὸ ἴδιον χωρίζειν. καὶ ὅσῳ περ ἂν τις πλείω διορίσηται, πλησιαίτερον ἀφικνεῖται τοῦ ἰδίου, τοῦ δ' αὐτὸ ἀκριβῶς ἴδιον, οὔτε γραφῆναι δυνατόν ἐστιν, οὔτε λεχθῆναι. διὸ καὶ τῶν ἐμπειρικῶν, τοῖς μάλιστα τῶν ἔργων τῆς τέχνης φροντίσασι, καὶ σχεδὸν ἅπασι τοῖς δογματικοῖς ὡμολόγηται, τὸ μηδεμίαν οἷόν τ' εἶναι γραφῆναι θεραπείαν ἀκριβῶς, ἀλλὰ τὸ λεῖπον εἰς τὸν στοχασμὸν τῆς τοῦ κάμνοντος φύσεως, οἱ μὲν ἐκ τῆς ἑκάστου τῶν θεραπευόντων οἰκείας τριβῆς, οἱ δ' ἐκ τοῦ λογικῶς τεχνᾶσθαι, φασὶ χρῆναι προστιθέναι. οὐδεὶς δ' αὐτῶν οὕτως ἦν εὐχερής, ὡς ἅπαντος ἕλκους κοίλου, φάρμακον ἓν ἔχειν ἐπαγγέλλεσθαι σαρκωτικόν. οὐ γοῦν εὑρήσεις ἐν οὐδενὶ τοιοῦτον φάρμακον, οἷον πᾶν ἕλκος ἰᾶσθαι κοῖλον. ἀλλὰ παρὰ τὸ πλῆθος τῆς ὑγρότητός τε καὶ τοῦ ῥύπου, καὶ αὐτὴν τοῦ κάμνοντος τὴν κρᾶσιν, ὑπαλλάττεσθαι χρὴ τὸ φάρμακον. ἐάσαντες οὖν ἐνταῦθα τὴν ἀναισχυντίαν τῶν μεθοδικῶν, ἴδωμεν ὅ, τί ποτε λέγουσιν οἱ ἀπὸ τῆς ἐμπειρίας, ἐκ τῆς ἰδίας ἑκάστου τριβῆς καὶ γυμνασίας εἰσφέρεσθαί τι χρῆναι πρὸς τὴν τῶν οἰκείων τῷ κάμνοντι φαρμάκων εὕρεσιν ἀξιοῦντες. ὡς γοῦν καὶ πολλάκις εἰρήκαμεν, οὐδὲν μὲν τῶν κατὰ τὴν ἰατρικὴν πραγμάτων καὶ φαρμάκων ἄρρητον ὑπάρχει κατ' εἶδος, ἀλλ' ὃ μήτε ἐνδειχθῆναι, μήτε γραφῆναι, μήθ' ὅλως διδαχθῆναι δύναται, τὸ ποσόν ἐστιν ἐν ἑκάστῳ. καὶ δὴ κἀπὶ τῶν ἑλκῶν, ἡ μὲν ὑγρότης καὶ ὁ ῥύπος, οὐκ ἄρρητα, τὸ ποσὸν δ' ἄρρητον ἐν ἑκατέρῳ. καί τοι κἀνταῦθα προσέρχεσθαί πως βουλόμεθα τῇ δηλώσει πλησίον, ὀλίγον καὶ πολὺν λέγοντες ῥύπον, καὶ λεπτόν, καὶ παχύν, καὶ παντελῶς ὀλίγον, καὶ λίαν πολύν, καὶ μέτριον καὶ σύμμετρον, καί πως ἄλλως οὕτως ὀνομάζοντες πολυειδῶς. ἵν' ὡς οἷόν τε πλησίον ἀφικώμεθα τῆς δηλώσεως τοῦ ποσοῦ. πρόχειρον οὖν ἤδη μοι τὸ νῦν ἀκριβῶς, ἵν' εἰδῇς ὅσον πλεονεκτεῖ, τὸ μεθόδῳ ποιεῖν ὁτιοῦν, τοῦ διὰ ἐμπειρίας μόνης. ἔστω γοῦν ἐγνῶσθαι τόδε τι τὸ φάρμακον ἕλκους κοίλου σαρκωτικόν, ἐπὶ τῶν ὡς ἂν μὲν ἡμεῖς εἴποιμεν ὑγροτέρων τὴν κρᾶσιν, ὡς δ' ὁ τηρητικός τε καὶ ἐμπειρικός, ἁπαλοχρώτων τε καὶ παίδων καὶ γυναικῶν, εἶτα νῦν τῷ τοιούτῳ προσαγόμενον, ὀνῆσαι μηδέν. ἡμεῖς μὲν οὖν ζητήσωμεν κατὰ τί μηδὲν ὠφέλησεν, εἰς δύο τούτους ἀναγαγόντες σκοπούς. ἢ γὰρ ἐνδεέστερον, ἢ ἀμετρότερον ἐξήρανε. καὶ σημεῖά γε τούτων, τόν τε ῥύπον ἕξομεν, καὶ τὸν ἰχῶρα. εἰ μὲν γὰρ πλείων ὁ ῥύπος, ὑγρότερόν τε ὅλον εἴη τὸ ἕλκος, ἐνδεέστερον ἐξήρανεν. εἰ δὲ καθαρόν τε καὶ ἄνικμον εὑρεθείη, περαιτέρω τοῦ προσήκοντος. εὐθὺς δὲ καὶ τὸ ποσὸν τοῦ συμμέτρου μᾶλλον ἢ ἧττον, ἐκ τοῦ ποσοῦ τῶν γνωρισμάτων εἰσόμεθα. καὶ τοσούτῳ δυνησόμεθα τὸ ἐφεξῆς φάρμακον, ἢ ξηρότερον, ἢ οὐ τοιοῦτον προσενεγκεῖν. ὁ δ' ἐμπειρικὸς ὅτι μὲν οὐκ ἐσάρκωσε τὸ δεῖνα τὸ προσαχθὲν φάρμακον, ὁρᾷ. μὴ γινώσκων μέντοι, πότερα τῷ μᾶλλον ἢ τῷ ἧττον ξηραίνειν, μεταβαίνειν ἐφ' ἕτερον ἀδυνατεῖ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον ἐξ ἡμισείας, ὥσπερ καὶ πρόσθεν ἐλέξαμεν, ὄντες δογματικοί, κακῶς ἰατρεύουσιν ἕλκος. μόνα γοῦν ἐπιχειροῦσι λογικῶς θεραπεύειν,

ὅσα τῶν ὀργανικῶν ἐστι μορίων ἴδια νοσήματα. τὸ δ' ἕλκος, ὥσπερ καὶ πρόσθεν εἴρηται, κοινόν ἐστιν ὁμοιομερῶν τε καὶ ὀργανικῶν, ὥστε καὶ τοῦτο ἤδη τοσοῦτον ἐμπειρικῶς θεραπεύουσι, καθ' ὅσον ἐν τοῖς ὁμοιομερέσι πέφυκε γίνεσθαι. καὶ μὲν δὴ κἂν τῷ τὰς ἀπολωλυίας τελέως οὐσίας, ἢ κεκολοβωμένας ἐπιχειρεῖν θεραπεύειν, κἀνταῦθα ἀναγκαῖον αὐτοῖς ἐστιν ἁμαρτάνειν πολλαχῆ τοῦ λογικῶς. εἰ γὰρ αὐτὸ τὸ ἀπολωλὸς οὐσία τίς ἐστιν ὁμοιομερής, ἀναγκαῖον ἐστι τὸν προνοούμενον αὐτοῦ τῆς γενέσεως ὑπὲρ ἁπάσης τῆς φύσεως ἐπίστασθαι. περὶ μὲν δὴ τούτων καὶ αὖθις εἰρήσεται. τὸ δὲ μὴ τυχὸν εἶναι πρᾶγμα καλῶς ἕλκους προνοήσασθαι, καὶ ὡς ἡ πρώτη πασῶν ἔνδειξις, ἡ καὶ τοῖς ἰδιώταις γινωσκομένη πολλοστόν ἐστι μόριον τῆς θεραπείας, ἐναργῶς ἀποδεδεῖχθαι νομίζω. καὶ γὰρ ὅτι δραστικαὶ ποιότητές εἰσι θερμότης τε καὶ ψυχρότης, καὶ ὑγρότης καὶ ξηρότης, ἀναγκαῖον ἀποδεδεῖχθαι, καὶ τούτοις ἐφεξῆς ἅπαντα τὰ περὶ κράσεων ἐγνῶσθαι κατά τε τὸ ἡμέτερον σύγγραμμα, καὶ τἆλλα πάντα, τὰ τούτῳ πλησιάζοντα. νῦν μὲν οὖν ὁ λόγος ἐφ' ἕλκους εἴρηται κοίλου, μόνην αὐτὴν τὴν κοιλότητα θεραπευόντων ἡμῶν. ἡ γὰρ ὡς ἕλκους θεραπεία ἤδη τὸ πρὸν, οὔπω λέλεκται. συνίστασθαι δὲ καὶ ἥδε ἤδη τὴν αὐτὴν μέθοδον. ἀπό τε γὰρ τῆς τοῦ θεραπευομένου κράσεως λαμβάνεται, καὶ προσέτι τῆς τοῦ φαρμάκου δυνάμεως. ἤρτηται δ' ἄμφω ταῦτα, τοῦ περὶ τῶν στοιχείων λόγου. μὴ συγχωρηθέντος γοῦν ἐν τῇ μεθόδῳ γενέσεως καὶ φθορᾶς εἶναι τὰς τέτταρας ποιότητας, οὔτ' ἄρξασθαι τῆς μεθόδου δυνατὸν, οὔτε προελθεῖν, οὔτε τελειῶσαι. τὸ δ' ἐκείνας ἐπιδεῖξαι δρώσας τε καὶ πασχούσας εἰς ἀλλήλας, τῆς περὶ τῶν στοιχείων ἐστὶ θεωρίας. ὅπερ οὖν ἐν τοῖς ἔμπροσθεν ἐπεδείξαμεν, ὑπὸ τοῦ νῦν ἐνεστῶτος λόγου μαρτυρεῖται, τὸ μηδὲν δύνασθαι πραγματεύσασθαι περὶ μηδενὸς τῶν ὁμοιομερῶν τὸν ἰατρὸν, ἄνευ τῆς φυσικῆς ὀνομαζομένης θεωρίας. ἀλλ' ἐκεῖ μὲν ἐπὶ τῶν ὁμοιομερῶν ἀπεδείχθη μόνον. ἐνταῦθα δ' ἤδη πως ὁ λόγος ἐμφανίζει, μὴ δὲ ἐπὶ τῶν ὀργανικῶν ὁλόκληρον ἐξευρεῖν δύνασθαι τὴν θεραπείαν μηδένα, χωρὶς τοῦ κἀκείνης προσάψασθαι. δειχθήσεται δ' ἐναργέστερον ἔτι ταυτὸ τοῦτο, παρ' ὅλην τὴν πραγματείαν. Ἐπὶ δὲ τὴν τοῦ ἕλκους θεραπείαν μόνου μετέρχεσθαι καιρός. εἴη δ' ἂν μόνον, ἐπειδὰν μήτε διάθεσις αὐτῷ συμπαρῇ μηδεμία, μήτε σύμπτωμα. μὴ τοίνυν ἔστω μήτε ῥευματικὸν τὸ ἑλκούμενον μόριον, μήτε κακόχυμον, μήθ' ὅλως δύσκρατον. ἀλλὰ μὴ δὲ κοιλότης αὐτῷ συνέστω, μὴ δὲ τοῦ δέρματος ἀπώλεια μηδεμία. καὶ γὰρ αὖ καὶ τοῦτο παρορῶσιν οἱ πολλοὶ τῶν ἰατρῶν, οὐ συνιέντες ὡς ἐπειδὰν ἕλκος κοῖλον πληρωθὲν ὁμαλὲς μὲν ὑπάρχῃ, πλατὺ δὲ, διττὴ καὶ νῦν ἐστιν ἐν τῷ μορίῳ διάθεσις. ἑτέρα μὲν οὐσίας δέρματος ἀπώλεια, δευτέρα δὲ, συνεχείας λύσις. ἐπειδὰν μὲν οὖν αὐτὸ τοῦτο μόνον ἡ συνεχείας λύσις, ἤτοι τῆς ἐπιδερμίδος, ἢ καὶ τοῦ δέρματος ἅπαντος, ἢ καὶ τῆς ὑποκειμένης ἅμα αὐτῷ σαρκὸς, ἕλκος ἐστὶν οὕτω τὸ πάθημα, καὶ δεῖται κολλήσεως μόνης. εἰ γοῦν συναχθείη πρὸς ἄλληλα τὰ χείλη τοῦ δέρματος, οὐδὲν ἐστι μεταξὺ τοῦ δέρματος ἔτερον γενὲς, ὥσπερ ἐπὶ τοῦ πεπληρωμένου τε καὶ ὁμαλοῦ ἕλκους. ἐπ' ἐκείνου γὰρ, οὐχ ἅπτεται τὰ πέρατα τοῦ ἕλκους ἀλλήλων, ἀλλ' ἐκ τῆς εἱλκωμένης ἁπάσης χώρας ἀπόλωλε τὸ δέρμα, καὶ χρὴ γεννῆσαι δήπουθεν αὐτό. ἤδη μέν τοι τὸ διῃρημένον ὑπό τινος ὀξέος, κολλήσεως δεῖ μόνης, οὐ μὴν καὶ γενέσεως δέρματος. ὅταν οὖν ἕλκους ἁπλοῦ προκείμενον ᾖ θεραπείαν εὑρεῖν, ὑποτίθεσθαι χρὴ τῷ λόγῳ διαίρεσιν σαρκώδους μέλους, χωρὶς ἀπωλείας μορίου. τὸ δέ γε πλατὺ, τὸ ἐπουλώσεως δεόμενον ἕλκος, ἀπολώλεκε τελέως τὴν καλουμένην ἐπιδερμίδα, ταύτην οὖν γεννῆσαι χρὴ, καὶ πρὸς ἑαυτὴν ἑνῶσαι. καὶ δύο ἐνταῦθα πρόκεινται σκοποὶ, καθάπερ ἐπὶ τοῦ κοίλου. διότι καὶ ἡ διάθεσις ἐπ' ἀμφοῖν ἐστι διττή. τίνι τοίνυν, φήσει τις αὐτῶν ἴσως, ὁμαλὲς ἕλκος τοῦ κοίλου διενήνοχεν; εἰ καὶ διάθεσις ἐπ' ἀμφοῖν ἐστι διττὴ, καὶ διττὸς ὁ σκοπὸς τῆς θεραπείας. πλήθει τῶν ἀπολωλότων ὦ βέλτιστε μορίων. ἐπὶ μὲν γοῦν τοῦ κοίλου, καὶ ἡ ἐπιδερμὶς μὲν ἀπόλωλε, καὶ ἡ τοῦ δέρματος δὲ φύσις ἡ λοιπὴ πᾶσα, καὶ τῆς ὑποκειμένης σαρκὸς, οὐκ ὀλίγον ἐνίοτε μέρος. ἐπὶ δὲ τοῦ πεπληρωμένου, σὰρξ μὲν, οὐκέτι λείπει, τὸ δ' ἔξωθεν σκέπασμα, λείπει. τίς μὲν οὖν ἡ τῶν τοιούτων ἑλκῶν ἐστιν ἴασις, ἐφεξῆς ἐροῦμεν. ἐν δὲ τῷ παρόντι, τοῦ μόνου ἕλκους ὄντος, ἑτέραν δὲ μηδεμίαν ἔχοντος διάθεσιν, ὁποίαν τινὰ χρὴ τὴν θεραπείαν ποιεῖσθαι, λέγωμεν. ἐπεὶ τοίνυν διαίρεσις μόνον ἐστὶν, ἅμα χρὴ τὰ πέρατα γενέσθαι τῶν διῃρημένων. ἢ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μεῖναι συνελθόντα. διττὴ δ' ἡ τῶν συνελθόντων μονή. τὰ μὲν γὰρ δι' ἑαυτῶν, τὰ δὲ δι' ἄλλων μένει. δι' ἑαυτῶν μὲν, ὅσα συμφύεται. δι' ἄλλων δὲ, τά τε συνδούμενα, καὶ τὰ κολλώμενα. τὰ μὲν δὴ συμφυόμενα, πάντως χρὴ μαλακὰ τὴν φύσιν εἶναι. τοιοῦτον δέ ἐστι σὰρξ ἐστὶ αὐτὴ, καὶ ὅσα σαρκώδη μόρια κατὰ τὴν σύστασιν. ὅσα δ' ἐστὶ σκληρὰ καὶ ξηρὰ, συμφῦναι μὲν οὐ δύναται, κόλλης δέ τινος ἢ δεσμοῦ δεῖται πρὸς τὸ μεῖναι συναχθέντα. τῶν μὲν δὴ τοιούτων σωμάτων ἡ ἴασις, ἐν τοῖς ἑξῆς εἰρήσεται. περὶ δὲ τῶν ἑνωθῆναι δυναμένων, ὁ λόγος περαινέσθω. ζητούντων ἡμῶν κἀνταῦθα, τὸ τῆς συμφύσεως αἴτιον. ἔστι δ' ὥσπερ ἐπὶ τῶν κοίλων ἑλκῶν ἡ φύσις αἰτία τῆς σαρκώσεως, οὕτω κἀπὶ τῶν ἁπλῶν ἑλκῶν, τῆς συμφύσεως. ὅθεν ἐὰν συναγάγῃς εἰς ταυτὸν ἀκριβῶς τὰ διεστηκότα, χωρὶς τῆς ἄλλης ἁπάσης τῆς ἔξωθεν ἐπιτεχνήσεως, συμφύεται. καί σοι γέγονεν αὖθις ἕτερος σκοπὸς ὁ τῆς συναγωγῆς, ἵν' ἐντεῦθεν ὁρμώμενος ζητήσῃς δι' ὧν τοῦτο ποιήσεις. ἢ γὰρ δεσμὸν ἐν κύκλῳ περιλαβὼν ἐκ δυοῖν ἀρχῶν, ἢ ῥάψας, ἢ ἀγκτῆρας ἐπιθεὶς, ἢ τινὰ τούτων, ἢ πάντα συνάξεις εἰς ταυτὸ τὰ διῃρημένα. χρὴ δὲ μήτε μαλακὸν εἶναι πάνυ καὶ οἷον βρυῶδες τὸ περιβαλλόμενον, ἵν' ἀσφαλῶς συνέχῃ, μήθ' οὕτω σκληρὸν, ὡς θλίβειν. ἀλλὰ μὴ δὲ τὴν ἐπιβολὴν, ἢ οὕτω χαλαρὰν, ὡς μηδὲν ἀνύειν, ἢ οὕτω σφοδρὰν, ὡς θλίβουσαν, ὀδύνην ἐργάζεσθαι. ταῦτ' εἰ ποιήσαις, καὶ εἴη τὸ ἕλκος μόνον ἄνευ κακοχυμίας, ἢ ῥεύματος, ἢ δυσκρασίας, ἢ φλεγμονῆς, ἢ τινὸς ἄλλης κακώσεως, ἑνωθήσεται πάντως. εἰ δ' ἤτοι διὰ τὸ μέγεθος, ἀδύνατον εἴη μέχρι τοῦ βάθους ἀκριβῶς ἀλλήλοις προστεθεῖναι τὰ κεχωρισμένα σώματα, μήτε τῶν ῥαμμάτων, μήτε τῶν ἀγκτήρων, μήτε τῆς ἐπιδέσεως ἀφικνεῖσθαι δυναμένης αὐτῶν. ἢ φθάνει τις ἰχὼρ αὐτόθι συνειλεγμένος, ἢ καὶ τις ὀδύνη συνοῦσα, κολληθῆναι τὸ τοιοῦτον ἕλκος ἀδύνατον ἐπὶ μόνῃ τῇ συναγωγῇ. τότε γὰρ ὀδυνώμενον ἐρεθίζει τι πλέον ἐπιῤῥεῖν. εἰ δὲ καὶ τὸ ἴσον ἐπιῤῥεῖ τὸ κατὰ φύσιν, ἀλλ' ἥ γε δύναμις ἀῤῥωστοῦσα, τῶν ὀδυνωμένων τε ἅμα καὶ τετρωμένων μορίων, οὐκ οἴσει τὸ ἴσον. ἀλλ' ὡς ὑπὸ πλείονος, βαρυνθήσεται. κἀκ τούτου πάντως μὲν ἰχῶρες περιττοί. θαυμαστὸν δ' εἰ μὴ καὶ φλεγμονὴ γενήσεται.

νήσεται. καὶ μὲν δὴ κᾂν εἰ χωρὶς ὀδύνης ὁ ἰχὼρ ἐν τῷ μεταξὺ τῶν συναχθέντων χειλῶν τοῦ ἕλκους εἴη περιεχόμενος, ἢ καί τις χώρα γίγνοιτο μεταξὺ κενὴ μὲν ἰχῶρος, ἀέρος δὲ πλήρης, οὐκ ἐνδέχεται κολληθῆναι τὸ τοιοῦτον ἕλκος ἐκ μόνης τῆς συναγωγῆς. ὅ, τε γὰρ ἰχὼρ ἤδη διακόπτει τὴν ἕνωσιν, αἵ τε μεταξὺ τῶν ἑνωθησομένων χῶραι κεναὶ, κωλύουσιν ἅψασθαι τὰς ἐπιφανείας ἀλλήλων. ὥστ᾽ ἐκεῖνά γε τὰ μέρη τοῦ ἕλκους, ἡ φύσις δεῖται περὶ σαρκῶσαι πρότερον, ἵνα συμφύσῃ. μικρὰ δὲ δήπουθεν ἐστὶν οὕτως, εἰ καλῶς συναχθῇ τὸ ἕλκος, ὡς μιᾶς ἡμέρας ἢ τὸ πλεῖστόν γε δεῖσθαι δυοῖν. Ἐν οὖν τούτῳ τῷ χρόνῳ, φαρμάκου χρεία ξηραίνοντος τὸ μόριον, ἵν᾽ εἴ τε τίς ἤδη παρακείμενος ἰχὼρ εἴη, τοῦτον ἐκδαπανήσῃ, καὶ τὸν μέλλοντα συῤῥεῖν εἰς τὰς κενὰς χώρας, κωλύσῃ. νῦν οὖν πάλιν ἀναμνήσθητί μου τοῦ σαρκωτικοῦ φαρμάκου τοῦ μετρίως ξηραίνοντος, ἵν᾽ εἰδῶμεν εἴτε ξηραντικώτερον αὐτοῦ χρὴ τὸ κολλητικὸν ὑπάρχειν, εἴτε μή. τὸ μὲν δὴ σαρκωτικὸν εἰ σύμπαν ἐξεδαπάνα τὸ ἐπιῤῥέον αἷμα, τὴν ὕλην ἂν οὕτως ἀφῃρεῖτο τῆς σαρκώσεως. τὸ δέ γε κολλητικὸν, ἢ οὐδ᾽ ὅλως δεῖται γενέσεως σαρκὸς, ἢ σμικρᾶς παντάπασιν, ὥστε μᾶλλον αὐτὸ χρὴ ξηραίνειν τοῦ σαρκωτικοῦ. ταύτῃ τε οὖν ἀλλήλων διοίσει μακράν τινα διαφορὰν, ἑτέραν τε μεγάλην, ἣ τὸ μὲν σαρκωτικὸν, εὐθὺς χρὴ καὶ ῥυπτικὸν ὑπάρχειν, ἵνα μὴ μόνον ξηραίνῃ τὸ περιττὸν τῆς ὑγρότητος, ἀλλὰ καὶ τὸν ῥύπον ἀφαιρῇ. τὸ δὲ κολλητικὸν, οὐ ῥύπτειν, οὐδὲ ἀποσμᾶν, ἀλλὰ τοὐναντίον ἅπαν εἰς ταυτὸν συνάγειν ἅπασαν τὴν οὐσίαν. ὅπερ οἶμαι πέφυκε δρᾶν ὅσα τῶν φαρμάκων αὐστηρά τε καὶ στύφοντα καλεῖται. ταῦτα γὰρ εἰς ταυτὸ συνάγειν καὶ πιλεῖν, οὐκ ἀποῤῥύπτειν, οὐ δὲ καθαίρειν πέφυκεν. ὥστε μάλιστα πάντων φυλαξόμεθα τὸ στῦφον φάρμακον, ἵνα σαρκῶσαι πρόκειται, δυσαπολύτως ἐμπλάσσον τοῖς ἕλκεσι τὸν ῥύπον. οἶνος οὖν ἄριστον φάρμακον ἑλκῶν ἁπάντων ἢ ἕλκη. εἰ δὲ καὶ μὴ προσθείημεν τῷ λόγῳ, ἢ ἕλκη, ταυτὸν οἶμαι νοήσεις. ὑπὲρ γὰρ τοῦ μὴ παρακοῦσαί τινα, πρόσκειται χάριν ἀναμνήσεως, οὐχ ὡς ἀναγκαῖόν τι διοριζόμενον. ὡς εἴγε μοι μεμνημένος εἴης τῶν ἐν τῷ πρὸ τούτου βιβλίῳ λόγων ἁπάντων, τῶν περὶ τῶν καθ᾽ ἕκαστον ὄνομα σημαινομένων τε καὶ ὑποκειμένων πραγμάτων, οὐδὲν ἔτι σοι δέησομαι τὰ τοιαῦτα διορίζεσθαι. μόνον δὲ ἀρκέσει μοι καθ᾽ ἕκαστον αὐτῶν διελέσθαι, τὰς ἁπλᾶς διαθέσεις τῶν συνθέτων, ὑπὲρ ὧν ἤδη μέν πού τι καὶ πρόσθεν εἴρηται. ῥηθῆναι δ᾽ ἀναγκαῖον ἔσται καὶ νῦν, οὐ τοσοῦτον αὐτοῦ τοῦ πράγματος ἕνεκεν, ἀλλ᾽ ὅτι νομίζουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, ὑπὸ τῆς λέξεως ἐξαπατώμενοι, διαφορὰς ἑλκῶν εἶναι τὸ κοῖλον καὶ ὁμαλὲς, ἔναιμόν τε καὶ παλαιὸν, ῥυπαρόν τε καὶ καθαρὸν, ἀφλέγμαντόν τε καὶ φλεγμαῖνον. ἀναγκαῖον οὖν ἔσται διελέσθαι, τίνες μὲν αἱ οἰκεῖαι διαφοραὶ τῶν ἑλκῶν εἰσι, τίνες δ᾽ ἐπιπλοκαὶ διαθέσεων ἑτέρων. ἀλλὰ ταῦτα μὲν ὀλίγον ὕστερον. ἡ δὲ συνήθης διδασκαλία τοῖς παλαιοῖς, ἥνπερ δὴ κᾂν νῦν ηὐξάμην ἀσκηθῆναι, κατὰ φύσιν ὑπάρχειν μάλιστα τῶν ἁπλῶν ἑκάστης διαθέσεως ἴδιον ἴαμα λεγόντων αὐτῶν, καὶ μάλιστα πάντων Ἱπποκράτους. ἡ γάρ τοι μέθοδος ἡ θεραπευτικὴ, κατὰ τοῦτον ἂν μάλιστα περαίνοι τὸν τρόπον, ὑπὲρ ἑκάστου τῶν ἁπλῶν, ἴδια διελθόντων ἡμῶν. ἔπειτ᾽ αὖθις ἐπὶ τοῖς συνθέτοις ἅπασιν ἑτέραν μίαν ἐπιδειξάντων μέθοδον. ὥσπερ γὰρ εἰ δύο ἦν ὄντως κατὰ δίαιταν νοσήματα, τό, τε στεγνὸν καὶ τὸ ῥοῶδες, ἰδίαν ἑκατέρου θεραπείαν εἰπόντας, οὕτως ἐχρῆν ἐπιπεπλεγμένου μνημονεύειν, ὡς οἱ περὶ τὸν Θεσσαλὸν ἀξιοῦσι, τὸν αὐτὸν οἶμαι τρόπον, ἐπειδὰν τῶν μὲν ἑλκῶν ἢ ἕλκη, πάντων ἓν εἶδος ὑπάρχει, τῶν φλεγμονῶν δ᾽ ἢ φλεγμοναὶ, καὶ τούτων ἕτερον εἶδος ἓν, ἴδια μὲν χρὴ τῶν ἑλκῶν, ἴδια δὲ τῶν φλεγμονῶν εἰπόντας θεραπείας, οὕτως ἤδη συνάπτειν εἰς ταυτὸν ἀμφοτέρας. τοῦτ᾽ οὖν εἰ ποιησαίμεθα, ἕλκη μὲν ἅπαντα ξηραίνεσθαί τε ἅμα καὶ στύφεσθαι δεόμενα κατὰ τὴν εἰρημένην μέθοδον εὑρήσομεν. οὐ μὴν καὶ ῥύπτεσθαί γε. κοιλότητα δ᾽ ἐν σαρκὶ, ξηραίνεσθαι μὲν καὶ ῥύπτεσθαι, στύφεσθαι δ᾽ οὐκέτι. καὶ δὴ καὶ κατὰ τὸν αὐτὸν τρόπον, ὃν ἔμπροσθεν εἴπομεν, ἐπὶ τῶν κοίλων ἑλκῶν, ἀνάλογον καὶ νῦν ἐπισκεψόμεθα τοῦ σώματος τὴν φύσιν, εἰ μαλακὴ καὶ βρυώδης, ἢ σκληρὰ καὶ ξηρὰ καὶ σύντονος. ἡ μὲν γὰρ προτέρα, καθ᾽ ὅσον ὑγροτέρα, κατὰ τοσοῦτον καὶ τῶν φαρμάκων ἧττον ξηραινόντων δεήσεται. ἡ δευτέρα δὲ, καθ᾽ ὅσον ξηροτέρα, κατὰ τοσοῦτον αὖ καὶ ἤδη καὶ σφοδρότερον ξηραινόντων δεήσεται καὶ μᾶλλον στυφόντων. ὁ γοῦν ἐμπειρικὸς, οἶμαι κἀνταῦθα, παίδων μὲν καὶ γυναικῶν, καὶ ἁπαλοσάρκων μνημονεύει. νεανίσκους καὶ γεωργοὺς, καὶ θαλαττουργοὺς, ἀντιτάττων αὐτοῖς. οὐ μὴν ὅτι γε διὰ μὲν τὴν ὑγρότητα τῆς κράσεως, ἐπὶ παίδων καὶ γυναικῶν ἑωρᾶται τὰ τοιαῦτα τῶν φαρμάκων εὐδοκιμοῦντα. διὰ δὲ τὴν ξηρότητα πάλιν ἕτερα θερισταῖς καὶ ναύταις ἁρμόττοντα συνεῖναι δυνάμενος, οὔτε τῆς καθ᾽ ἕκαστον σῶμα θεραπείας ἀκριβῶς στοχάσεται, καὶ τῆς ἀποτυχίας οὐχ εὑρήσει τὴν αἰτίαν. ὥστε οὐδὲ τῆς ἐπὶ τὸ βέλτιον εὐπορήσει μεταβολῆς, ὁπόταν ἀποτυγχάνῃ τὰ διὰ τῆς ἐμπειρίας αὐτῷ προεγνωσμένα. ταῦτα μὲν δὴ καθόλου περὶ τῶν φαρμάκων εἴρηταί μοι τῶν κολλητικῶν. ἑξῆς δ᾽ ἄλλη τις μέθοδος εἰς τὴν σκευασίαν τε καὶ τὴν σύνθεσιν αὐτῶν διαφέρουσα προσέρχεται. τοῖς μὲν γὰρ κοίλοις ἕλκεσιν, ὃ βουλόμεθα προσφέρομεν εὐθὺς, εἴτ᾽ οὖν ξηρὸν, εἴθ᾽ ὑγρὸν φάρμακον. ἐγχωρεῖ γὰρ ἐπιπάττειν, ἢ ἐμπλάττειν αὐτὰ παντὶ μορίῳ τοῦ ἕλκους. ἐπὶ δὲ τῶν ἄχρι βάθους ἱκανοῦ γεγενημένων τραυμάτων, ἐπειδὰν ἅπαξ συναγάγωμεν τὰ χείλη, ψαῦσαι τῶν ἐν τῷ βάθει διῃρημένων οὐκ ἐγχωρεῖ. χρὴ τοίνυν οὐχ ἁπλῶς εἰ ξηραντικόν ἐστι καὶ αὐστηρὸν μετρίως τὸ φάρμακον, ἀλλ᾽ εἰ καὶ μέχρι τοῦ βάθους ἐξικνεῖσθαι δυνατὸν ἐπισκοπεῖσθαι. ψιμμύθιον γοῦν καὶ λιθάργυρος, στύφει καὶ ξηραίνει μετρίως. ἀλλ᾽ ἐὰν ἐπιπάσσῃς αὐτὰ δίκην τέφρας ἐν κύκλῳ τοῦ τετρωμένου, πλέον οὐδὲν ἀνύσεις. οὐ γὰρ διϊκνεῖται τῶν οὕτω ξηρῶν φαρμάκων εἰς τὸ βάθος ἡ δύναμις. ὑγρότητος οὖν αὐτοῖς δεήσει τινὸς, ἵν᾽ ὁποῖόν τι τῶν ἐμπλαστικῶν φαρμάκων, ἢ καὶ τῶν ὑγροτέρων τι γένηται. ταῦτα μὲν οὖν τῆς περὶ συνθέσεως φαρμάκων πραγματείας ἐστὶν ἴδιον. οὐκ αὐτῆς τῆς θεραπευτικῆς μεθόδου. καὶ εἰ δόξαι μὲν αὐτοῦ δεῖσθαί τι πρὸς τὰ παρόντα, κἂν ἐπὶ προήκοντι τῷ λόγῳ μνημονεύσαιμεν. Ἐπὶ δὲ τὸ τῆς οὐλῆς δεόμενον ἕλκος ἐπάνειμι, περὶ οὗ μικρὸν ἔμπροσθεν ἔλεγον, ὡς ὁ πρῶτος μὲν εἴη καὶ τούτου σκοπὸς ἐκ τούτου γένους τοῦ κοίλου. γεννῆσαι γὰρ χρή τι τῶν ἀπολωλότων οὐχ ἁπλῶς ἑνῶσαι τὰ διεστηκότα. τρόπον δ᾽ ἕτερον ἐπὶ τούτου γεννᾶσθαι τὸ λεῖπον, ἢ ὃν ἐπὶ τοῦ κοίλου. ἐν ἐκείνῳ μὲν γὰρ τὸ αἷμα, τούτῳ δ᾽ ἡ σὰρξ ὕλη. πληροῦται μὲν οὖν τὸ κοῖλον ὑπὸ τῆς γε-

ναμένης σαρκὸς τὴν γένεσιν ἐκ τοῦ αἵματος ἐχούσης. εἰς οὐλὴν δὲ ἀφικνεῖται τὸ ἤδη πεπληρωμένον ὑπὸ τοῦ γεννωμένου δέρματος, ἐκ τῆς ὑποβεβλημένης σαρκὸς τὴν γένεσιν ἔχοντος. ἀλλὰ σὰρξ μὲν ἡ αὐτὴ τῷ εἴδει τῇ διεφθαρμένῃ δύναται γεννηθῆναι κατὰ τὸ κοῖλον ἕλκος. δέρμα δ' οὐκ ἐνδέχεται γεννηθῆναι τοιοῦτον ἀκριβῶς, οἷον ἦν τὸ διεφθαρμένον. ἀλλ' ὅμοιον μέν τι δέρματι. καὶ τὴν χρείαν αὐτοῦ δυνάμενον ἀποπληροῦν, οὐ μὴν ἀκριβὲς δέρμα. διατί μὲν οὖν οὐχ οἷόν τ' ἐστὶν ἡμῖν γεννῆσαι δέρμα τὸ ἅπαξ ἀπολλυμένον, ὥσπερ σάρκα καὶ πιμελὴν γεννῶμεν, ἐκ τῶν φυσικῶν ἐστι προβλημάτων. ὅπως δ' ἄν τις μιμήσαιτο κατὰ φύσιν καὶ χρείαν δέρματος, ἐκ τῆς νῦν ἐνεστώσης πραγματείας, ἧς τὴν μέθοδον ἤδη λέγομεν. ἐπειδὴ πρόκειται σκεπάσαι τὴν σάρκα συμφύτῳ τινὶ σκεπάσματι, τοῦτο γάρ ἐστι τὸ εἰς οὐλὴν ἀγαγεῖν τὸ ἕλκος, ἤτοι δέρμα γεννητέον ἡμῖν ἐστιν, ἢ τῆς σαρκὸς τὸ ἐπιπολῆς δέρματι παραπλήσιον ἐργαστέον. ἀλλ' οὐκ ἐγχωρεῖ γεννῆσαι δέρμα, τὸ λοιπὸν ἄρα πειρατέον ἐργάζεσθαι. τίς οὖν ὁ τρόπος τῆς ἐργασίας; ἡ ἀλλοίωσις δηλονότι. σαρκὸς γάρ τι μόριον οὐκέτι σάρκα μένειν, ἀλλ' οἷον δέρμα γενέσθαι βουλόμεθα. πῶς οὖν ἀλλοιωθήσεται; κατά τινα τῶν ἀλλοιουσῶν δηλονότι ποιοτήτων. ἥκει γὰρ αὖθις ἐνταῦθα, κἂν μὴ θέλωμεν, ὁ περὶ τῶν στοιχείων λόγος, οὗ χωρὶς οὐδὲ ἐπουλωτικόν ἐστιν εὑρεῖν φάρμακον, οὐ μόνον σαρκωτικὸν ἢ κολλητικόν. ἐπεὶ τοίνυν τὸ δέρμα τῆς σαρκὸς ξηρότερόν ἐστι καὶ πυκνότερον, εἰ ξηραίνοιμεν καὶ στύφοιμεν τὴν σάρκα, δέρματι παραπλησίαν ἐργασόμεθα. τὸ μὲν κεφάλαιον ἔχεις ἤδη τῶν ἐπουλωτικῶν φαρμάκων, ἀλλ' οὐκ ἀρκεῖ τοῦτο. καὶ γὰρ τὰ κολλητικὰ ξηραίνοντά τε ἦν καὶ στύφοντα. ὅπῃ ποτ' οὖν διοίσει ταῦτ' ἐκείνων, εἰς αὐτὴν ἀποβλέπων τὴν οὐσίαν τῶν πραγμάτων, ἐξευρήσεις. ἐπειδὴ γὰρ ἐν μὲν ταῖς κολλήσεσι τῶν ἡλκωμένων ξηραίνεσθαι χρὴ τὸ ἐπιρρέον, ὡς ἀπερίττον μένειν τὸ πεπονθὸς μέρος, ἐν δὲ ταῖς ἐπουλώσεσιν, οὐ μόνον τὸ ἐπιρρέον, ἀλλὰ καὶ τὸ περιεχόμενον ἐν ταῖς σαρξὶν ὑγρὸν ἐκδαπανᾶσθαι προσήκει, πολὺ δήπου ξηρότερον εἶναι χρὴ τὸ συνουλωτικὸν φάρμακον τοῦ κολλητικοῦ. τῷ μὲν γὰρ κολλῶντι, σκοπὸς εἷς οὗτος μόνος ἐκδαπανῆσαι τὸ περιττὸν τὸ κατὰ φύσιν. τῷ δέ, οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ κατὰ φύσιν ἅψασθαι. κηκὶς οὖν ὀμφακῖτις ἐνταῦθα, καὶ τὰ τῆς ῥοιᾶς λέμματα, καὶ τῆς αἰγυπτίας ἀκάνθης ὁ καρπός, μετρίως ξηραίνοντα φάρμακα. χαλκῖτις δέ, καὶ χαλκὸς κεκαυμένος, καὶ λεπὶς χαλκοῦ, καὶ μίσυ, καὶ στυπτηρία σχιστή, πολὺ τούτων σφοδρότερα. μίσυ μὲν καὶ χαλκῖτις, μάλιστα, μετριώτερον δ' ἡ λεπὶς τοῦ χαλκοῦ. καὶ τούτου μετριώτερον, ὁ κεκαυμένος χαλκός. εἰ δὲ καὶ πλύναις αὐτούς, ἀδηκτότερον ἕξεις φάρμακον. ἔστι δὲ καὶ τοῦτο ἤδη τῆς περὶ φαρμάκων συνθέσεως πραγματείας, ἑπομένης τῇ θεραπευτικῇ μεθόδῳ. τὸ μὲν γὰρ τὰς δυνάμεις τῶν φαρμάκων γνῶναι, προηγεῖται τῆς θεραπευτικῆς μεθόδου. καὶ λέλεκται περὶ αὐτῶν ἑτέρωθι. τὸ δὲ συνθεῖναι τὰ φάρμακα, μετὰ τὴν θεραπευτικήν ἐστι μέθοδον. ὅταν γὰρ αὕτη μὲν διδάξῃ τὰ καθόλου, λέγω δὲ τὸ ξηραίνειν, ἢ ὑγραίνειν, ἢ ψύχειν, ἢ θερμαίνειν, καὶ ἤτοι μετρίως τοῦτο δρᾶν, ἢ σφοδρῶς, ἢ ἀμυδρῶς, εἰδῶμεν δὲ καὶ τὴν τῶν ἁπλῶν φαρμάκων ἑκάστου δύναμιν ἰδίᾳ καθ' ἑαυτὴν ἐπεσκεμμένοι, τηνικαῦτα πῶς ἄν τις ταῦτα μίξειεν ἐπιτηδείως τῇ χρείᾳ προσήκει σκέψασθαι. γίνεται γοῦν οὕτως, διττή τις ἡ περὶ τῶν φαρμάκων μέθοδος. ἑτέρα μὲν ἡ τῆς δυνάμεως αὐτῶν. ἑτέρα δὲ ἡ τῆς συνθέσεώς τε καὶ σκευασίας. ἀλλὰ γὰρ ἐπὶ τὸ λεῖπον ἔτι τῆς περὶ τῶν ἑλκῶν ἀπιέναι χρὴ μεθόδου. Λείπει δ' ὡς οἶμαι τὸ περὶ τῶν ὑπεραυξανομένων σαρκῶν εἰπεῖν, ὃ δὴ καὶ ὑπερσάρκωσιν ὀνομάζουσιν οἱ πλείους τῶν ἰατρῶν. ἔστι δὲ καὶ τοῦτο νόσημα τοῦ γένους τοῦ παρὰ τὸ ποσὸν ἢ τὸ πηλίκον τῶν μορίων. ἐξέστω γὰρ ὡς ἂν ἐθέλοις ὀνομάζειν. ἐκ ταὐτοῦ δὲ γένους καὶ ἡ κοιλότης ἦν, ὑπὲρ ἧς προειρήκαμεν. ὡς οὖν ὃ καλοῦσιν ἕλκος κοῖλον οὐχ ἕν ἐστι πάθος, ἀλλὰ κοιλότης τε ἅμα καὶ ἕλκος, οὕτως ἕλκος ὑπερσαρκοῦν, οὐχ ἕν ἐστι πάθος, ἀλλ' ὑπερσάρκωσίς τε ἅμα καὶ ἕλκος. ἐνδείκνυται δέ, τὸ τῷ μεγέθει παρὰ φύσιν τὴν πρώτην ἔνδειξιν, ἣν δὴ καὶ σκοπὸν τῆς τῶν ἰαμάτων εὑρέσεως ἐλέγομεν εἶναι, τοῦ πλεονάζοντος τὴν ἀφαίρεσιν. ὑπὸ φαρμάκων δ' αὕτη γίνεται μόνον, οὐκέθ' ὑπὸ φύσεως ἀνάπαλιν, ἢ ὡς ἐπὶ σαρκώσεως καὶ κολλήσεως εἶχεν. ἐκεῖνα μὲν γὰρ τῆς φύσεως αὐτῆς ἐστιν ἔργα, τῶν φαρμάκων, τὰ διακωλύοντα, τὰς ἐνεργείας αὐτῆς ἐκκοπτόντων. ἡ δὲ τῶν ὑπεραυξηθεισῶν σαρκῶν καθαίρεσις, οὐδὲν μὲν τῆς φύσεως ἐστὶν ἔργον. ὑπὸ δὲ τῶν ἰσχυρῶς ξηραινόντων γίνεται φαρμάκων. παράκειται δὲ ταῦτα τὰ φάρμακα, τοῖς τε ῥύπτουσιν ἰσχυρῶς, καὶ τοῖς ἐπουλοῦσιν. ὡς πολλοὺς διαμαρτάνοντας ἐνίοτε, τὸ καθαιρετικὸν φάρμακον, ἢ ὡς ῥύπου καθαρτικόν, ἢ ὡς εἰς οὐλὴν ἄγον παραλαμβάνειν. οἷον αὐτίκα τὸ μίσυ καὶ ἡ χαλκῖτις εἰ ὑγρᾷ φύσει προσάγοιτο, τῶν καθαιρόντων μᾶλλον ἢ τῶν ἐπουλούντων ἐστίν. ὅθεν εἴποτε τοιούτοις ἀναγκασθείημεν χρῆσθαι πρὸς ἐπούλωσιν, ἑτέρων δηλονότι μὴ παρόντων, ὡς ἐλαχίστοις αὐτοῖς χρησόμεθα, μόνον τῷ πυρῆνι τῆς μήλης καθιέντος εἰς ἄκρον λελειωμένα τὰ φάρμακα. κἄπειθ' οὕτως οἷον χνοῦν τινα τοῖς τῆς ἐπουλώσεως δεομένοις ἐπιβάλλομεν μορίοις. εἰ δὲ καὶ καθαίρειν βουλοίμεθα τὰ ὑπερέχοντα, δαψιλέστερον ἐπιβάλλομεν. ἰὸς δὲ τούτων ἐστὶ καθαιρετικώτερος, ὡς ὅλως ἐκπεπτωκέναι τοῦ γένους τῶν ἐπουλούντων. εἰ δὲ καὶ καύσειας αὐτά, δριμύτερα μὲν ἧττον, ἐπουλωτικώτερα δὲ ποιήσεις. εἰ δὲ καὶ πλύναις, ἠπιώτερα. μέμνησαι δὲ δήπου καὶ σὺ τὸν ἄνευ λογισμοῦ θεραπεύοντά ποτε τὸ ῥυπαρὸν ἕλκος τῷ συνήθει φαρμάκῳ τῷ χλωρῷ. μιγνῦντα μὲν αὐτῷ τὸ μέλι, πολλαῖς δὲ ἐφεξῆς ἡμέραις εὑρίσκοντα ῥυπαρὸν ὁμοίως. εἶτ' ἀπορούμενόν τε, καὶ ὅπῃ μεταβῇ μὴ γινώσκοντα. συνέβαινε γὰρ οὐ καθαίρεσθαι μόνον τὸν ῥύπον, ἀλλὰ καὶ συγκαθαιρεῖσθαί τι καὶ συντήκεσθαι τῆς ὑποκειμένης σαρκός, ἰσχυροτέρου τοῦ φαρμάκου τῆς τοῦ κάμνοντος ὑπάρχοντος φύσεως. εἶτ' ὁ μὲν ἰατρὸς ἀεὶ πλέον ἀνεμίγνυε τῷ φαρμάκῳ τοῦ μέλιτος. ἵνα δὴ σφοδρότερον καθαίρειν, ὡς ἐλλιπῶς τοῦ πρότερον τοῦτο δράσαντος. ἐγίγνετο δὲ πᾶν τοὐναντίον. εἰς ὅσον γὰρ ἐπετείνετο τῇ δριμύτητι τὸ προσφερόμενον, εἰς τοσοῦτον συνετήκετο μὲν ἡ ὑποκειμένη σάρξ, ὁ δὲ τῆς συντήξεως ῥύπος εὑρισκόμενος ἐπὶ τοῦ ἕλκους, ἐξηπάτα τὸν ἰατρόν, ὡς οὐδὲν ἀνύοντος τοῦ φαρμάκου. τοῦτο μὲν δὴ καὶ περὶ τὴν διάγνωσιν, οὐ μόνον περὶ τὴν θεραπευτικὴν μέθοδον ἡ ἄγνοια. καὶ γὰρ εἰ ὅτι μάλιστα ῥυπαρὸν ὁμοίως φαίνεται τὸ ἕλκος ἐπ' ἀμφοτέρων τῶν φαρμάκων, ἀλλά τοι κοιλότερον μὲν ἐπὶ τῶν ἰσχυρῶν τε καὶ συντηκόντων γίγνεται. καὶ προσέτι τοῖς χείλεσιν ὀχθῶδες, ἐρυθρόν τε καὶ ὑποφλεγμαῖνον ἐστίν. ἔτι δὲ καὶ δάκνεται σαφῶς ὁ ἄνθρωπος ὑπὸ τοῦ τοιούτου φαρμάκου.

μάκω. τὸ δ' ἧττον ἢ προσήκει ξηραῖνον, οὔτε δῆξιν, οὔτε τῶν ἄλλων οὐδὲν, ὧν εἴπομεν, ἐργάζεται. δῆλον δ' οἶμαι κἀ-
πὶ τούτων ἐστὶν, ὡς ὁ μὲν ἐμπειρικὸς εἰ καὶ ὅτι μάλιστα διωρισμένῃ χρήσαιτο τῇ πείρᾳ, τό γε μεταβαίνειν ἐπὶ τὸ
προσῆκον, εὐμηχάνως οὐκ ἔχει. μόνῳ δ' ὑπάρχει τοῦτο, τῷ κατὰ μέθοδον ἰατρεύοντι τὴν ὄντως δηλονότι μέθοδον,
ἣν ἐγὼ νῦν διέρχομαι. τήν γε μὴν τῶν ἀμεθόδων Θεσσαλείων μέθοδον, ὄνομα μόνον οἶδα δή που κενὸν, ἔρημον ἔργου
παντός. οἵ γε τοσαύτης τε καὶ τηλικαύτης οὔσης μεθόδου περὶ τὴν τῶν ἑλκῶν ἴασιν, οὔτε τοῖς τῶν ἐμπειρικῶν
ἐχρήσαντο διορισμοῖς εἰς τὴν τῶν φαρμάκων εὕρεσιν, οὔτ' ἀπὸ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων ἔλαβον τὴν ἔν-
δειξιν, ὡς οἱ δογματικοί. μόνον δ' εἰπόντων, ὃ καὶ τοῖς ἰδιώταις γνωρίζεται, τὸ, δεῖσθαι τὸ μὲν κοῖλον ἕλκος πληρώ-
σεως, τὸ δὲ πλῆρες ἐπουλώσεως, τὸ δ' ὑπερσαρκοῦν καθαιρέσεως, καὶ τὸ μὲν ῥυπαρὸν καθάρσεως, τὸ δὲ καθαρὸν ἐπουλώ-
σεως, τὸ δὲ ἔναιμον καὶ κολλήσεως, ἑλκῶν θεραπείας οἴονταί τινα μέθοδον εἰρηκέναι. τοσοῦτον ἀποδέουσι γιγνώσκειν,
ὡς ταῖς μὲν ὑγροτέραις φύσεσι, τῶν ἧττον ξηραινόντων φαρμάκων ἐστὶ χρεία, ταῖς δὲ ξηροτέραις, τῶν μᾶλλον. ὃ τοίνυν
περὶ ὅλον τὸν λόγον ἐφάνη σαφῶς, αὖθις ἀναληπτέον. ἵν' ἡμεῖς τε μάλιστα προσέχωμεν αὐτῷ τὸν νοῦν, οἵ τ' ἄλλοι πάν-
τες οἱ τὴν παλαιὰν μέθοδον διαφθείροντες, ἐναργέστερον γνῶσιν ὅσον ἁμαρτάνουσιν. ἄρξομαι δ' ἀπὸ τῶν σαρκώσεως
δεομένων ἑλκῶν, ἐν τοῦτο παράδειγμα προχειρισάμενος, ἐπειδὴ καὶ φθάνω τὸν λόγον ὑπὲρ αὐτοῦ πεποιημένος,
ἐφεξῆς περὶ πάσης ὁμοῦ τῆς ἰάσεως, ἐν τῷ καθόλου ποιήσομαι τὸν λόγον. ἐφάνη τοίνυν οὐ τῷ λόγῳ μόνον, ἀλλὰ καὶ
τῇ πείρᾳ σκοπουμένοις, οὐ τῶν αὐτῶν ἅπασα φύσις δεομένη φαρμάκων, ἀλλ' αἱ μὲν ἀσθενέστεραι καὶ μαλακώτεραι,
τῶν μαλακωτέρων, αἱ δ' ἰσχυρότεραι καὶ ξηρότεραι, τῶν ἰσχυροτέρων. οὕτω δὲ κἀπὶ τῶν εἰς οὐλὴν ἀγομένων ἑλκῶν ἔ-
χει, καὶ προσέτι τῶν κολλήσεως δεομένων. ἁπλῶς γὰρ οὐδὲν τῶν ἰσχυρῶν φαρμάκων αἱ μαλακαὶ φέρουσι φύσεις. ἐν δὲ
τῇ διεξόδῳ ταύτῃ τοῦ λόγου, κατάφωρον γίγνεται σαφῶς, ὅτι τε τὴν φύσιν ἐπισκεπτέον ἐστὶ τοῦ κάμνοντος. ὅτι
τε καθ' ἕκαστον ἄνθρωπον, ἰδία τίς ἐστι θεραπεία. καὶ τρίτον ἐπὶ τούτοις, ὡς ἐπειδὴ τὸ τῆς ἑκάστου φύσεως ἴδιον ἄρ-
ρητόν ἐστι, καὶ πρὸς τὴν ἀκριβεστάτην ἐπιστήμην ἄληπτον, οὗτος ἂν ἄριστος ἰατρὸς εἴη τῶν κατὰ μέρος ἁπάντων νοσημά-
των, ὁ μέθοδόν τινα πορισάμενος, ἐξ ἧς διαγνωστικὸς μὲν τῶν φύσεων ἔσοιτο, στοχαστικὸς δὲ τῶν ἑκάστης ἰδίων ἰαμά-
των. τὸ δ' οἴεσθαι κοινήν τινα ἁπάντων ἀνθρώπων εἶναι θεραπείαν, ἐσχάτως ἠλίθιόν ἐστιν. ὅπερ οἱ ἀναισθητότατοι
νομίζουσι μεθοδικοί. καὶ διὰ τοῦθ' ἑστάναι τὰ τῆς ἰατρικῆς ἔφασαν ἅπαντα θεωρήματα, τουτέστιν ἐπιστημονικὰ καὶ
βέβαια ταῖς γνώσεσιν ὑπάρχειν. εἶναί τε τὴν γνῶσιν αὐτῆς, τέχνην τινὰ κοινοτήτων, οὐκ ἰδιοτήτων, ὥσπερ εἰ τὸν κοι-
νὸν καὶ γενικὸν ἄνθρωπον θεραπευόντων, οὐ τοὺς κατὰ μέρος. ὡς οὖν ἐν τοῖς ἄλλοις ἅπασιν εὐθέως κατὰ τὰς ἀρχὰς ἐσ-
φάλησαν, οὕτω κἀν τῷδε. θεραπεύεται μὲν γὰρ, οὐχ ὁ κοινὸς καὶ γενικὸς ἄνθρωπος, ἀλλ' ἡμῶν ἕκαστος, ἄλλος ἄλλην ἔ-
χων δηλονότι κρᾶσίν τε καὶ φύσιν. οἱ δ' οἴονται μίαν θεραπείαν ἁπάντων ἀνθρώπων εἶναι. ἐγὼ δ' εἰ καὶ τὴν ἑκάστου
φύσιν ἀκριβῶς ἠπιστάμην ἐξευρίσκειν, οἷον ἐπινοῶ τὸν Ἀσκληπιὸν, αὐτὸς ἂν ἦν τοιοῦτος. ἐπεὶ δ' ἀδύνατον τοῦτο,
τὸ γοῦν ἐγγυτάτω προσιέναι καθόσον ἀνθρώπῳ δυνατὸν, αὐτός τε ἀσκεῖν ἔγνωκα, τοῖς ἄλλοις παρακελεύομαι.
πειρῶνται μὲν οὖν εἰς ὅσον οἷόν τε καὶ οἱ ἀπὸ τῆς ἐμπειρίας, ἀποχωρεῖν μὲν τῶν κοινῶν. προσέχεσθαι δὲ τοῖς ἰδίοις. ἀλλ' ὅσον
καὶ τούτοις ἐνδεῖ πρὸς τὸ τέλειον, εἴρηται πρόσθεν. οὐ μὴν ἐπὶ παίδων, ἢ γυναικῶν, ἢ γερόντων, ἢ μαλακὴν ἐχόντων
καὶ λευκὴν τὴν σάρκα, καὶ ὅσα τοιαῦτα, ὡς ἐκεῖνοι ποιοῦσι, προσδιοριστέον ἐστὶν, ἀλλ' ὅπως ὑγρότητος, ἢ ξηρότητος
ἔχει τὸ σῶμα. τοὺς μὲν οὖν ἐμπειρικοὺς ἰατροὺς, ἄλλων τε πολλῶν ἕνεκεν ἀποδέχεσθαι χρὴ, καὶ μάλισθ' ὅταν προσέρ-
χεσθαι πειρῶνται καθόσον ἐγχωρεῖ τῇ τοῦ κάμνοντος ἰδιότητι. μετὰ γὰρ τοὺς ἄλλους διορισμοὺς ἅπαντας οὓς διορί-
ζονται, καὶ τὸν ἀπὸ τῶν ἐθῶν ἐπάγουσιν, ὡς κἀντεῦθεν εὐπορησάντων, οἰκειοτέρων τῷ κάμνοντι βοηθημάτων. εἰρή-
σεται δ' ἡμῖν ἐν τοῖς ἑξῆς ἐπὶ πλέον ὑπὲρ τῶν ἐθῶν, ἀποδεικνύουσιν ὑπὲρ τοῦ γνῶναι τὴν ἰδιότητα τῆς τοῦ κάμνοντος
φύσεως, ἐξευρῆσθαι τοῖς παλαιοῖς καὶ τὸν ἀπὸ τοῦ ἔθους διορισμόν. τοῦτον οὖν ἐπὶ τοῖς ἄλλοις οἱ ἐμπειρικοὶ παραλαμ-
βάνουσι, καὶ πρὸς τούτῳ, καὶ αὐτὸν τὸν ἰατρὸν, εἰ πολλάκις εἴη παραγεγονὼς τῷ νοσοῦντι, βέλτιον ἂν ἰᾶσθαι φασὶ
τοῦ μὴ παραγεγονότος. εἶθ' ὅταν ταῦτα πάντα προσθῶσιν, οὔπω βεβαίαν οὐδ' ἐπιστημονικὴν ἔχειν φασὶ τῆς ἰ-
δίας τοῦ κάμνοντος ἰάσεως τὴν γνῶσιν. ὁ δ' ἀναισχυντότατος Θεσσαλὸς ἓν μόνον εἰδὼς, ὅτι τὸ κοῖλον ἕλκος
πληρωτέον, ἑστῶτά τε καὶ βέβαια φησὶ τὰ τῆς ἰατρικῆς εἶναι θεωρήματα. καί τοι τοῦτό γε πάντες, ὡς εἴρηται καὶ
πρόσθεν, ἄνθρωποι γινώσκουσιν, οἱ νῦν μόνον, ἀφ' οὗ Θεσσαλὸς ὁ δεύτερος Ἀσκληπιὸς εἰς ἀνθρώπους ἧκεν, ἀλλὰ καὶ
οἱ πρὸ Δευκαλίωνος οἶμαι, καὶ Φορωνέως, εἴπερ γε κἀκεῖνοι λογικοί τε ἦσαν. ἀλλὰ πρὸς τῷ γινώσκειν ὡς σαρκω-
τέον ἐστὶ τὸ κοῖλον ἕλκος, ἔτι κἀκεῖνο συνίεσαν, ὡς ὁ γινώσκων τὰ φάρμακα τὰ σαρκώσοντα τοιοῦτον ἕλκος, ἐκεῖ-
νος ἰατρός ἐστιν. εἰ μὲν οὖν ἐξ ἐμπειρίας εὕρηται ταῦτα, δῆλον ὡς ἐμπειρικῶς ἡμῖν ἰατρευτέον ἐστίν. εἰ δὲ ἐκ λόγου,
λογικῶς. οὐ γὰρ δὴ ἄλλο μὲν εὕρηκεν, ἄλλῳ δέ τινι νῦν ἐπιδεξίως χρήσεται. ἀλλὰ περὶ μὲν τούτου, πρὸς τοὺς ἐμπει-
ρικοὺς ἐστὶν ἡ ἀμφισβήτησίς τις ἡμῖν. ὅπερ δὲ λέγων ἀπέλιπον, ἡ ὄντως ἰατρικὴ, τῆς τοῦ κάμνοντος ἐστόχασται φύ-
σεως. ὀνομάζουσι δὲ οἶμαι τοῦτο πολλοὶ τῶν ἰατρῶν, ἰδιοσυγκρασίαν, καὶ πάντες ἀκατάληπτον ὁμολογοῦσιν ὑπάρ-
χειν. καὶ διὰ τοῦτο καὶ αὐτὴν τὴν ὄντως ἰατρικὴν, Ἀσκληπιῷ καὶ Ἀπόλλωνι παραχωροῦσιν. ἤρτηται δὲ ὁ λόγος οὗτος
σύμπας, ἀπὸ δυοῖν ἀρχῶν. ἀπὸ μὲν τῶν ἐναργῶς φαινομένων, τοῖς ἐμπειρικοῖς τε καὶ τηρητικοῖς. ἀπὸ δὲ τῶν στοι-
χείων, τοῖς λογικοῖς. ὅτι τε γὰρ ἄλλον ἄλλο φάρμακον ὠφελεῖ, σχεδὸν ἤδη καὶ οἱ παῖδες ἐπίστανται. συμφωνεῖ, τε
τούτῳ καὶ ὁ ἀπὸ τῶν στοιχείων λογισμός. εἰ γὰρ ὑπόθοιο πεντεκαίδεκα διαφορὰς εἶναι κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν
ταῖς κράσεσι τῶν ἀνθρώπων ἐπὶ μόνης τῆς ὑγρᾶς φύσεως, ἀνάγκη δή που καὶ τῶν φαρμάκων, οἷς μέλλεις χρῆσθαι,
πεντεκαίδεκα διαφορὰς ἐπίστασθαι. καὶ τὰς μὲν μᾶλλον. τὰς δὲ ἧττον ξηραινούσας. ἵν' ἑκάστῃ φύσει τὸ προσῆ-
κον ἐξευρίσκῃς. εἰ δὲ καὶ τῆς ξηροτέρας φύσεως ἄλλας πεντεκαίδεκα διαφορὰς ὑποθέμενος, ὡσαύτως κἀπ'
ἐκείνης ἄλλων πεντεκαίδεκα δέοιο φαρμάκων, ἔσται σοι τὰ πάντα τριάκοντα φάρμακα, πρὸς τριάκοντα φύ-
σεις ἡρμοσμένα. καὶ τούτοις προσηκόντως χρῆσθαι δυνήσεται μόνος, ὁ περὶ κράσεως σωμάτων ἀκριβῶς ἐπεσκεμ-
μένος. ἂρ οὖν εἰ μὲν ὅλον τὸ σῶμα εἴη ξηρότερον τὴν κρᾶσιν, ὑπὸ τῶν ξηραντικωτέρων ὠφεληθήσεται φαρμάκων.

εἰ δὲ μόριον αὐτοῦ τι τῶν ἄλλων φύσει ξηρότερον ὑπάρχει, τῶν ἧττον ξηραινόντων δεήσεται. ἢ πρόδηλον κἀνταῦθα, τὸ μὲν ξηρότερον τῇ κράσει μόριον, τῶν ξηραντικωτέρων, τὸ δ᾽ ὑγρότερον, τῶν ἧττον ξηραινόντων προσδεῖσθαι. καὶ τοῦτ᾽ οὖν ὅλον παραλέλειπται τοῖς ἀμεθόδοις Θεσσαλείοις, ἐν ἐπὶ παντὸς μορίου φάρμακον ἡγουμένοις ἁρμόττειν. οἱ δ᾽ ἀπὸ τῆς ἐμπειρίας ὅσον πλεονεκτοῦσι κἀν τῷδε τῶν Θεσσαλείων μεθοδικῶν, τοσοῦτον ἀπολείπονται τῶν ὄντως μεθοδικῶν τε καὶ λογικῶν. ἔχουσι γὰρ δὴ κἀκεῖνοι πρὸς τῆς πείρας διδαχθέντες, ἄλλο μὲν τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν, ἄλλο δὲ τῶν ἐν ὠσίν, ἢ ἄρθροις, ἢ σαρξίν, ἢ δέρματι μόνῳ φάρμακον. ἀλλ᾽ ὅτι γε κἀνταῦθα μεταβαίνειν ἐφ᾽ ἕτερον ἀδυνατήσουσιν, ἐκ τῶν ἔμπροσθεν εἰρημένων εὔδηλον. ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως διώρισται, πάλιν ἐπὶ τὴν ἀρχὴν ἀνέλθωμεν τοῦ λόγου, μιγνύντες ἁπάσας τὰς συμπιπτούσας ἕλκει διαθέσεις, ἀπὸ πρώτης ἀρξάμενοι τῆς δυσκρασίας. εἰ γὰρ ἤτοι πρόσθεν εἴη κατὰ δή τινα συντυχίαν, ἢ καὶ παρ᾽ αὐτὸν τῆς ἑλκώσεως τὸν χρόνον ἡ ἡλκωμένη σὰρξ γένοιτο θερμοτέρα τοῦ δέοντος, ἢ ψυχροτέρα, δεήσει τὸ φάρμακον οὐ μόνον ξηραίνειν μετρίως, ἀλλὰ καὶ θερμαίνειν ἢ ψύχειν εἰς τοσοῦτον, εἰς ὅσον ἡ ὑποκειμένη σὰρξ ἐξέστη τοῦ κατὰ φύσιν. οὐ γὰρ ἐγχωρεῖ σάρκωσιν, ἢ πλήρωσιν, ἢ κόλλησιν, ἢ ἐπούλωσιν ἕλκους ὀρθῶς ποτε γενέσθαι τῆς ὑποκειμένης σαρκὸς ἐχούσης κακῶς. οὐδὲ εἰκῇ πρόσθεν ἐλέγομεν ἔργα φύσεως εἶναι σύμπαντα ταῦτα. κάθαρσιν μέντοι τῶν ῥυπαρῶν καὶ καθαίρεσιν τῶν ὑπεραυξηθέντων ἐγχωρεῖ γενέσθαι καὶ χωρὶς τοῦ κατὰ φύσιν ἔχειν τὴν σάρκα. μόνων γὰρ τῶν φαρμάκων ἦν ἔργα. διὸ καὶ μείζων ἡ πρόνοια γιγνέσθω τῆς εὐκρασίας τῶν ἡλκωμένων μορίων, ὁπότε σαρκοῦν, ἢ κολλᾶν, ἢ ἐπουλοῦν ἐθέλοις αὐτά. σώζεσθαι γὰρ δεῖ τὰς κινήσεις τῆς φύσεως ὡς εἶπον τῶν εἰρημένων ἕκαστον. οὐ σώζονται δ᾽ ἄλλως εἰ μὴ πάντη κατὰ φύσιν ἔχοι τὸ μόριον. ὥσπερ οὖν εἰ φλεγμονή τις ἅμα τῷ ἕλκει τύχοι, πρὶν ταύτην λῦσαι σαρκοῦν, ἢ κολλᾶν, ἢ ἐπουλοῦν, οὐκ ἂν οὐδεὶς ἐπιχειρήσειεν αὐτό, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον εἰ καὶ χωρὶς φλεγμονῆς εἴη μόνη δυσκρασία τῶν εἰρημένων, οὐδὲν ἐλπίζομεν γενέσθαι πρὶν ἐκείνην ἰάσασθαι. πάλιν οὖν ἐντεῦθεν ἐνδείξεις τις εἰς τὴν τῶν ἔμπροσθεν εἰρημένων φαρμάκων εὕρεσιν γίνεται. ξηραίνοντα μὲν γὰρ ἦν ἅπαντα, διέφερε δ᾽ ἀλλήλων ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. οὐ μὴν ὅπως γε τοῦ θερμαίνειν ἢ ψύχειν ἔχει εἴρηταί που πρόσθεν, ἀλλ᾽ ἡ μέθοδος πῶς ἀναγκάζει καὶ τοῦτ᾽ ἐρευνᾶσθαι. οὐ γὰρ ἁπλῶς εἰ ξηραῖνον, ἀλλ᾽ εἰ μὴ καὶ σφόδρα θερμαῖνον ἢ ψῦχον ἐπισκέπτεσθαι χρή. φεύξῃ τοιγαροῦν ὑοσκύαμον, καὶ μανδραγόραν, καὶ κώνειον, ὡς πέρα τοῦ μετρίου ψύχοντα. καίτοι ξηραίνει γε εἰς τοσοῦτον, εἰς ὅσον ἕλκος ξηραίνεσθαι ὀφείλει. καὶ ῥητίνη, καὶ πίττα, καὶ ἄσφαλτος, εἰ καὶ ξηραίνει συμμέτρως, ἀλλὰ πέρα γε τοῦ προσήκοντός ἐστι θερμά. καὶ διὰ τοῦτο οὐκ ἄν τις αὐτοῖς χρήσαιτο μόνοις, ἀλλὰ τοῖς ἀτρέμα ψύχουσιν ἐπιμίξας, ἐν ἐξ ἁπάντων εὔκρατον ἀπεργάσασθαι φάρμακον. εἰ δὴ ταῦθ᾽ οὕτως ἔχει, καθάπερ οὖν ἔχει, προσεπιβλέπειν δεήσει καὶ τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν. οἷον γάρ φαρμακόν τι καὶ οὗτος ἔξωθεν προσπίπτων τοῖς σώμασιν ἐπειδὰν ἀμέτρως ἔχει θερμότητος ἢ ψύξεως, ἐμπόδιον ἵσταται τῇ θεραπείᾳ. χρὴ τοίνυν ἀντιπεπονθέναι τὰ φάρμακα ταῖς ἀμετρίαις αὐτοῦ. καὶ διὰ τοῦτο καὶ Ἱπποκράτης ψυχροτέροις μὲν τῇ δυνάμει χρῆται κατὰ τὰς θερμὰς ὥρας, θερμοτέροις δὲ κατὰ τὰς ψυχράς. οἶδα δὲ δή που κἀνταῦθα τῶν ἀναισθήτων τινὰ μεθοδικῶν ὁμολογήσαντα μὲν ἐπιβλέπειν ὅπως ἔχει θερμότητος ἢ ψύξεως ὁ περιέχων ἀὴρ τὸν κάμνοντα, μὴ μέντοι τὰς ὥρας τοῦ ἔτους ἐπισκέπτεσθαι συγχωροῦντα, ὥσπερ τῶν ὀνομάτων τῶν κατὰ τὰς ὥρας βλαπτόντων ἢ ὠφελούντων, ἀλλ᾽ οὐ τῆς κράσεως αὐτῶν, ἢ οὐ διὰ ταύτην ἀποβλεπόντων εἰς αὐτὰς τῶν παλαιῶν ἰατρῶν. ἀλλὰ γὰρ ὅτι μὲν ἀναγκαῖόν ἐστι τῷ μέλλοντι μεθόδῳ τινὶ θεραπεύσειν ἕλκος ἐπί τε τὰ στοιχεῖα πρῶτα καὶ μάλιστα παραγίνεσθαι, καὶ τὰς ὥρας τοῦ ἔτους καὶ τὰς κράσεις τῶν σωμάτων ὅλων τε καὶ κατὰ τὰ μόρια ἐπιβλέπειν, ἱκανῶς οἶμαι δεδεῖχθαι. πάλιν δ᾽ ἀναμνηστέον κἀνταῦθα τὸ καὶ πρόσθεν εἰρημένον ἐπὶ τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν ἐνδείξεως. ὡς γὰρ ἐπ᾽ ἐκείνων ἡ μὲν ὑγροτέρα φύσις ὑγροτέρων ἐδεῖτο τῶν φαρμάκων, ἡ δὲ ξηροτέρα, ξηροτέρων, οὕτως καὶ νῦν ἡ μὲν θερμοτέρα, θερμοτέρων, ἡ δὲ ψυχροτέρα, ψυχροτέρων δεήσεται. ἔμπαλιν δὲ τῆς ἐνδείξεως γιγνομένης ἀπὸ τῶν παρὰ φύσιν τε καὶ κατὰ φύσιν. τὰ μὲν γὰρ κατὰ φύσιν, ὁμοίων ἑαυτοῖς ἐστιν ἐνδεικτικά, τὰ δὲ παρὰ φύσιν, ἐναντίων. εἴγε τὰ μὲν φυλάττεσθαι, τὰ δέ, διαφθείρεσθαι χρή. τὸ μὲν οὖν καὶ τὰς κράσεις τῶν σωμάτων, καὶ τὰς ὥρας τοῦ ἔτους, καὶ τὰς φύσεις τῶν μορίων ἐπιβλέπειν χρῆναι τὸν μέλλοντα καλῶς ἕλκος ἰάσασθαι, δεδεῖχθαί μοι νομίζω σαφῶς. καὶ ὁ μὲν πρῶτος σκοπὸς τῆς ἰάσεως, ἐκ τῆς διαθέσεως λαμβάνεται μόνης, ἐξευρεῖν δὲ οὐκ ἐντεῦθεν ἐγχωρεῖ τὰ βοηθήματα, πρὶν ἐπί τε τὰ στοιχεῖα τῶν σωμάτων ἀναβῆναι, καὶ τοῦ κάμνοντος ἐπισκέψασθαι τὴν κρᾶσιν, ὅλου τε τοῦ σώματος, καὶ τοῦ πεπονθότος μέρους, εὐθὺς αὐτῷ καὶ τὴν τοῦ περιέχοντος κρᾶσιν συνεπισκεπτομένους. ἥτις ἐκτείνεται κἀπὶ τὰς ἐπιδήμους καταστάσεις, καὶ προσέτι τὰς χώρας. ἔστι δὲ πολλάκις ἐναντίαι ἐνδείξεις γίγνονται κατὰ μίαν θεραπείαν, ὅπως τε χρὴ μεταχειρίζεσθαι τὰς τοιαύτας, εἰρήσεται μὲν ἐπιπλέον ἐν τοῖς ἐφεξῆς. εἴη δ᾽ ἂν οὐκ ἀπὸ τρόπου καὶ νῦν ἐπὶ βραχὺ διελθεῖν ὑπὲρ αὐτῶν. οὐδὲν γὰρ οἶμαι θαυμαστὸν ὑγροτέραν μὲν ὑπάρχειν τὴν κρᾶσιν τοῦ κάμνοντος αὐτὸ δὲ τὸ πεπονθὸς μόριον ξηρότερον. ἢ τοῦτο μὲν ὑγρότερον, ἅπασαν δὲ τὴν κρᾶσιν, ξηροτέραν. ὡσαύτως δὲ καὶ κατὰ θερμότητα καὶ ψύξιν ὑπεναντίως ἔχειν τῇ κράσει τὸ μόριον πρὸς τὸ ὅλον. ὥσπερ οὖν εἰ τὸ πᾶν σῶμα τῆς μέσης ὑπῆρχε κράσεως, ἣν ἀρίστην ἐδείκνυμεν, οὐδὲν ἂν ἐνεκάγε τῆς τοῦ κάμνοντος φύσεως ἐνεωτερίζομεν ἐν τοῖς φαρμάκοις, οὕτως ἐπειδὰν ἤτοι ξηρότερον, ἢ ὑγρότερον, ἢ ψυχρότερον, ἢ θερμότερον ᾖ τοῦ δέοντος, ἐπιτείνειν εἰς τοσοῦτον χρὴ τὰς δυνάμεις τῶν φαρμάκων, εἰς ὅσον καὶ τὸ σῶμα φυσικῆς ἐπείληπται δυσκρασίας. οὐ γὰρ δὴ ἐπιλελήσμεθά γε τίς μὲν ἡ φυσικὴ δυσκρασία, τίς δ᾽ ἡ παρὰ φύσιν. εἴρηται γὰρ ὑπὲρ αὐτῶν ἐν ἄλλοις, καὶ μάλιστ᾽ ἐν τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας γράμματι. φέρε τοίνυν ὅλην τὴν κρᾶσιν τοῦ κάμνοντος σώματος ὑγροτέραν εἶναι, καὶ διὰ τοῦτο δεῖσθαι τῶν ἧττον ξηραινόντων φαρμάκων. αὐτὸ δὲ τὸ πεπονθὸς μόριον, τῶν φύσει ξηροτέρων ὑπάρχειν, αὐτῷ περ ἐλέγομεν εἶναι τὰ ἧττον σαρκώδη. τοιαῦτα δ᾽ ἐστί, τά τε κατὰ τοὺς δακτύλους, καὶ τὰ ἄρθρα, καὶ τὰ ὦτα, καὶ τὴν ῥῖνα, καὶ τοὺς ὀφθαλμούς, καὶ τοὺς ὀδόντας, ἁπλῶς δ᾽ εἰπεῖν, ἵνα χόνδροι πολλοί, καὶ ὑμένες, καὶ σύνδεσμοι, καὶ ὀστᾶ, καὶ νεῦρα, πιμελὴ δὲ καὶ σὰρξ, ἢ οὐδ᾽ ὅλως, ἢ ἐλα-

ἐλαχίστη. διάφορος δ' ἐν τούτοις ἡ ἔνδειξις ἀπό τε τοῦ πεπονθότος μέρους ἐστί, καὶ τῆς φύσεως τοῦ κάμνοντος. ὥστε εἰ μὲν ὅσῳ τοῦ κάμνοντος ἡ κρᾶσις ὑγροτέρα πέφυκε τοῦ συμμέτρου, τοσούτῳ καὶ τὸ μόριον εἴη ξηρότερον τοῦ συμμέτρου, μήτε προσθεῖναί τι, μήτ' ἀφαιρεῖν τοῦ φαρμάκου. τοιοῦτον δὲ προσφέρειν, οἷον ἂν ἐπὶ τοῦ συμμέτρου τῇ κράσει σώματος, ἐν συμμέτρῳ τῇ κράσει μορίῳ γεγονότος ἕλκους προὐλαβόμεν. εἰ δὲ πλέον εἴη τὸ μόριον τοῦ μετρίου ξηρότερον, ἢ ὅσῳ τοῦ σώματος ἡ κρᾶσις ὑγροτέρα, τοσοῦτον ἐπιτείνεσθαι χρὴ ξηρότητι τὸ φάρμακον, ὅσον ὑπερβάλλει τὸ μόριον τῆς ὅλης κράσεως. οἷον εἰ τέσσαρσι μὲν ἀριθμοῖς εἴη τὸ ἡλκωμένον μέρος ξηρότερον τοῦ συμμέτρου, δυσὶ δὲ ἀριθμοῖς ἡ φύσις τοῦ νοσοῦντος ὑγροτέρα τῆς εὐκράτου, πρόδηλον ὡς ἑνὶ τοῦ συμμέτρου μορίου τὸ νῦν ἡλκωμένον ἔσται, ξηροτέρου δεόμενον φαρμάκου. ὅτι δὲ ἅπαντα ταῦτα στοχασμῷ λαμβάνεται, καὶ ὅτι κάλλιστα δυνατός ἐστι στοχάζεσθαι ὁ γεγυμνασμένος ἐν τοῖς περὶ τούτων λογισμοῖς, ἄντικρυς δῆλον. ἐπὶ μὲν δὴ τῶν τοιούτων ἁπάντων, ἐναντίαι πολλάκις ἐνδείξεις καθ' ἕνα γίνονται χρόνον. οὐδὲν γὰρ ἔτι δέομαι λέγειν, ὑπὲρ τῶν κατὰ θερμόν τε καὶ ψυχρὸν ἐνδείξεων ἀνάλογον τοῖς εἰρημένοις νοεῖσθαι δυναμένων. ἐφ' ἑτέρων δέ, καὶ τοῖς χρόνοις ἐφ' οἷς αἱ ἐνδείξεις τέμνονται, καὶ χρὴ τὴν μὲν ἡσυχάσαι κατά γε τὴν ἀρχὴν τῆς θεραπείας, ἐνεργῆσαι δὲ ἑτέραν. οἷον ὅταν ἕλκος ᾖ κοῖλόν τε ἅμα καὶ ἱκανῶς ῥυπαρόν. αἱ μὲν γὰρ διαθέσεις αἱ παρὰ φύσιν, ἐν τούτῳ τρεῖς εἰσιν. ἕλκος, καὶ κοιλότης, καὶ ῥύπος. ἡ δὲ τῆς ἰάσεως τάξις, ἀπὸ τῆς ἀναιρέσεως τοῦ ῥύπου τὴν ἀρχὴν ἔχει. τῷ μήτε κολληθῆναί τι, μήτε σαρκωθῆναι δύνασθαι, πρὶν καθαρὸν γενέσθαι. δευτέραν δὲ χώραν ἡ τῆς κοιλότητος ἴασις ἔχει. εἰ γὰρ ἤτοι κολλήσαιμεν, ἢ ἐπουλώσαιμεν, ἢ καθόλου φάναι θεραπεύσαιμεν τὸ ἕλκος, οὐκέτι ἐγχωρεῖ πληρῶσαι τὴν κοιλότητα. φέρε τοίνυν μὴ μόνα ταῦτ' εἶναι τὰ τρία περὶ τὸ μέρος, ἀλλὰ καὶ φλεγμονήν, ἢ ἐρυσιπέλας, ἢ γάγγραιναν, ἢ τινὰ δυσκρασίαν ἁπλῆν, ἢ σύνθετον, ἆρ' οὐκ ἐνταῦθα πρόδηλον, ὡς εἰ μή τις πρότερον ἐκείνην ἰάσαιτο, πληρῶσαι σαρκὶ τὸ κοῖλον ἕλκος οὐκ ἐγχωρεῖ; λέλεκται γὰρ καὶ πρόσθεν ὡς ἡ τῆς σαρκὸς γένεσις ἐκ τῆς ὑποκειμένης ἄρχεται τῆς ὑγιοῦς. ἐκ φλεγμαινούσης δὲ καὶ δυσκράτου καὶ ἁπλῶς εἰπεῖν νοσούσης, οὐκ ἐγχωρεῖ γεννηθῆναι νέαν σάρκα. σκοπὸς οὖν ἐν ἁπάσαις ταῖς τοιαύταις ἐπιπλοκαῖς, ἔστω σοι τριττός. εἷς μὲν ὡς ὁ ἐξ αἰτίων τοῦ μέλλοντος ἔσεσθαι λαμβανόμενος. ὁ δὲ ἕτερος, ὡς ὁ τῶν οὐκ ἄνευ λόγον ἔχων. ὁ δὲ τρίτος, ὡς ὁ τῶν ἐπειγόντων τε καὶ κατεπειγόντων ὀνομαζόμενος. ἡ μὲν γὰρ εὐκρασία τῆς ὑποκειμένης σαρκός, αἰτίας λόγον ἔχει, συμφύουσά τε τὸ ἡλκωμένον αὐτῇ, καὶ ἀναπληροῦσα τὸ κοῖλον. ἡ δὲ καθαρότης τοῦ ἕλκους, τῶν οὐκ ἄνευ λόγου. καὶ ταύτην ὁ ῥύπος διακόπτων, κωλύει τὴν θεραπείαν. ἔχει δὲ καὶ αὐτὸ τὸ ἕλκος, ὡς πρὸς τὴν κοιλότητα τῶν οὐκ ἄνευ λόγου. εἰ γὰρ εἰς οὐλὴν ἀχθείη τὸ ἕλκος, οὐκέτ' οἷόν τε σαρκῶσαι τὴν κοιλότητα. πρὸς ταῦτ' οὖν ἀποβλέπων, ἐξευρήσεις τὴν τάξιν τῆς ἰάσεως. οἷον ἡ φλεγμονή, καὶ κοιλότης, καὶ ἕλκος, καὶ ῥύπος, ἅμα κατὰ ταυτὸν ὑπάρχει μόριον. ὅτι χρὴ πρῶτον μὲν τὴν φλεγμονήν. δεύτερον δὲ τὸν ῥύπον. τρίτον δὲ ἰάσασθαι τὴν κοιλότητα. καὶ τέταρτον, τὸ ἕλκος. ἐν μὲν δὴ τοῖς εἰρημένοις, ἥ τε τάξις, καὶ ἡ τῶν σκοπῶν εὕρεσις ἐντεῦθεν. ὁ δὲ τοῦ κατεπείγοντος σκοπός, ἐν τούτοις μὲν οὐκ ἔστιν, ἐν ἄλλοις δ' ἐστίν. ἀφ' ἧς γὰρ κινδυνεύει πρώτης καὶ μάλιστα διαθέσεως ὁ ἄνθρωπος, ἐκείνην πρῶτον ἰατέον. ἐνίοτε δὲ οὐ πρώτην μόνον, ἀλλὰ καὶ μόνην αὐτήν. οἷον εἰ νυγείσης κεφαλῆς μυός, ἀκολουθήσειε σπασμός, εἶτα πρὸς μηδενὸς τῶν οἰκείων ἰαμάτων καθίσταιτο. διατεμὼν γὰρ ὅλον τὸν μῦν ἐγκάρσιον, ἰάσῃ μὲν τὸν σπασμόν, ἀλλὰ πηρώσεις τινὰ τῶν τοῦ μορίου κινήσεων. οὕτω δὲ καὶ φλεβὸς ἢ ἀρτηρίας αἱμορραγούσης ἀμέτρως, ὁ διατεμὼν ὅλον ἐγκάρσιον τὸ ἀγγεῖον, οὐκέτι μὲν ἰάσασθαι δύναται τὸ ἕλκος αὐτοῦ. τὸν δ' ἐκ τῆς αἱμορραγίας κίνδυνον ἐπέσχεν. ἀλλὰ καὶ νεῦρον νυγέν, ἀναγκαζόμεθα πολλάκις ἐγκάρσιον διακόπτειν, ὅταν ἤτοι σπασμοὺς ἢ παραφροσύνας, ἢ ἀμφότερα μεγάλα καὶ δυσίατα βλέπωμεν ἑπόμενα τῇ τρώσει. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐξάρθρημα μεθ' ἕλκους ἐπειδὰν γένηται, κατά τι τῶν μειζόνων ἄρθρων, τὸ μὲν ἕλκος ἰώμεθα, τὸ δὲ ἐξάρθρημα, καταλείπομεν ἀνίατον. ὅτι καὶ τοῦτ' ἐγχειρούντων ἰάσασθαι, σπασμοὶ τοὐπίπαν ἕπονται. τρίτος οὖν οὗτος σκοπός ἐστιν ὁ πρὸς τὸ κατεπεῖγον γινόμενος, ἕτερος ἐκείνων τῶν δύο, τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων. οὐ γὰρ ταυτόν ἐστιν, ἢ ὡς αἴτιόν τι σκοπεῖν, ἢ ὡς τὸν τῶν οὐκ ἄνευ λόγον ἔχον, ἢ ὡς κατεπεῖγον, ἀλλὰ καὶ ὡς τὸ κατεπεῖγον ἐνίοτε τοιοῦτόν ἐστιν, ὡς ἀνίατον ἀναγκάζειν ἑτέραν ἀπολείπεσθαι διάθεσιν εἴρηται. καὶ ὡς ἡ διάθεσις αὕτη πολλάκις ὑφ' ἡμῶν αὐτῶν γίνεται. ὥσπερ μὲν ἐπὶ τῶν νενυγμένων νεύρων, ἢ τρωθέντων, ἢ αἱμορραγούντων ἀγγείων. ὥσπερ δὲ ἐπὶ τῶν κατὰ τὰς κεφαλὰς τετρωμένων μυῶν, ἐπὶ μὲν γὰρ ἐξαρθρήματος ἅμα καὶ ἕλκους, οὐκ αὐτὸ ποιοῦμεν, ἀλλὰ μόνον οὐκ ἰώμεθα τὸ γινόμενον. εἰρήσεται δὲ κἀν τοῖς ἑξῆς ἔτι περὶ τούτων ἐπιμελέστερον. ἐν γὰρ τῷ παρόντι, συγκεφαλαιώσασθαι βούλομαι τὸν ἐνεστῶτα λόγον, ἐπὶ τὰς οἰκείας διαφορὰς τῶν ἑλκῶν ἐπανελθών. ἵν' εἴ τις κἀντεῦθεν ἔνδειξις ἰαμάτων ἐστί, μὴ δὲ ταύτην παραλίπωμεν. τὸ μὲν οὖν φλεγμαῖνον ἕλκος καὶ τὸ σηπόμενον, ἀναβιβρωσκόμενόν τε καὶ γαγγραινούμενον, ἐρυσιπελατῶδές τε καὶ καρκινῶδες, ἀνώδυνόν τε καὶ ὀδυνῶδες, τά τ' ἄλλα τοιαῦτα λέγουσιν ὡς διαφορὰς ἑλκῶν. εἰ μὲν ἄλλως τις διέρχοιτο θεραπείαν ἐμπειρικὴν ἀναγράφων, οὐκ ἀμφισβητητέον αὐτῷ διαφορὰς ἑλκῶν ὀνομάζοντι. μυριάκις γὰρ εἴρηται τὸ μὴ δεῖν ὑπὲρ τῶν ὀνομάτων ἐρίζειν. εἰ δ' ὡς ἐντεῦθεν μέλλων ἐρεῖν τι τεχνικὸν ὑπὲρ ἐνδείξεων, ἐπιδεικτέον αὐτῷ τὰς μὲν εἰρημένας ἁπάσας διαθέσεις ὑπάρχειν συνθέτους. ἄλλας δ' εἶναι διαφορὰς ἕλκους ἁπλοῦ καὶ μόνου, χωρὶς ἑτέρας τινὸς ἐπιπεπλεγμένης αὐτῷ διαθέσεως. εἰ γὰρ ἁπλῶς διαιρέσεως γινομένης ὑπό τινος ὀξέος τὸ σχῆμα τοῦ τρώσαντος ἐναπομαχθείη τῷ διῃρημένῳ, γένοιτ' ἂν οὕτως ἑλκῶν διαφοραὶ πολλαί, λοξῶν, εὐθειῶν, ἑλικοειδῶν, ἀγκιστροειδῶν, ἄλλως ὁπωσοῦν ἐχόντων. αὗται μὲν οὖν αἱ διαφοραὶ πᾶσαι παρὰ τὸ σχῆμα. παρὰ δ' αὖ τὸ μέγεθος, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, ἕτεραι μυρίαι. καὶ γὰρ μικρόν, καὶ μέγα, καὶ μεῖζον, καὶ μικρότερον ἕλκος ἕλκους λέγεταί τι καὶ γίνεται. καὶ μὲν δὴ καὶ βραχὺ καὶ μακρόν, ἐπιπολῆς τε καὶ βαθύ, καὶ καθ' ἕκαστον αὐτῶν, τὸ μᾶλλόν τε καὶ ἧττον, ἐν τῇ κατὰ τὸ μέγεθος, ἢ τὸ πηλίκον, ἢ τὸ ποσόν, ἢ ὅπως ἂν ἐθέλοι τις ὀνομάζειν, διαφορᾷ. καὶ εἴπερ ταῦτα οὕτως ἔχει, πάντως δήπου καὶ ὁμαλὲς καὶ ἀνώμαλον ἕλκος ἐν τῷ βάθει τῆς διαιρέσεως ἔσται. κατὰ μῆκος γάρ, εἰ οὕτως ἔτυχεν, ἀνεσχισμένου τοῦ μηροῦ, τὸ μὲν ἄνω μέρος τῆς διαιρέσεως, ἐνδε-

χεται βαθὺ, τὸ κάτω δὲ, ἐπιπόλαιον ὑπάρχειν. ἢ ἔμπαλιν, ἐπιπολῆς μὲν τὸ ἄνω, βαθὺ δ' εἶναι τὸ κάτω. καὶ μὲν δὴ καὶ τὸ διεσπάσθαι κατά τι τοὐπίπαν, καὶ διατετμῆσθαι, καὶ τοῦ τρώσαντος ὑποδύντος ὑπὸ τὸ δέρμα λεξὸν, μέρος μέν τι τοῦ ἕλκους φαίνεσθαι, μέρος δ' ἕτερον ὑπὸ τῷ δέρματι κατακεκρύφθαι. καὶ τοῦτο ἢ ἐκ τῶν ἄνωθεν εἶναι μερῶν, ἢ ἐκ τῶν κάτωθεν, ἢ ἐκ τῶν πλαγίων, ἅπαντα καὶ ταῦθ' ἑλκῶν εἰσι διαφοραί. παρὰ δ' αὐτὸν χρόνον, ἕτεραι διαφοραὶ τῶν ἑλκῶν. ἔναιμον καὶ πρόσφατον, ὀλιγοχρόνιόν τε καὶ πολυχρόνιον. ἐν ἅπασι δ' αὐτοῖς τὸ μᾶλλόν τε καὶ ἧττον, πάμπολυ. ἐπὶ μὲν αὐτὴν τοῦ ἕλκους τὴν φύσιν, αὗται διαφοραὶ, κυριώταται μὲν, αἱ ἐπὶ τὴν οὐσίαν τοῦ πράγματος, εἶτε παρὰ τὸ σχῆμα, καὶ ἡ παρὰ τὸ ποσὸν τῆς διαιρέσεως. ἤτοι ἐπὶ τὸ μῆκος, ἢ βάθος, ἢ κατ' ἀμφοτέρας τὰς διαστάσεις, ὁμαλότητά τε καὶ ἀνωμαλίαν τὴν ἐν τούτοις. ἔξωθεν δὲ προσιοῦσαι τὸν ὧν οὐκ ἄνευ λόγον ἔχουσαι παρά τε τὸν χρόνον ἐν ᾧ τὸ ἕλκος. οὕτω γὰρ τὸ μὲν, πρόσφατον καλεῖται, τὸ δὲ, παλαιόν. καὶ παρὰ τὸ φαίνεσθαί τε καὶ μὴ φαίνεσθαι πᾶν ἢ μέρος. ἤδη δὲ καὶ παρὰ τὸν τῆς γενέσεως τρόπον, ἐν τῷ τμηθῆναι πᾶν, ἢ διασπασθῆναι πᾶν. ἢ τι μὲν τετμῆσθαι μέρος αὐτοῦ, διεσπάσθαι δ' ἕτερον. εἰ δὲ καὶ τὰς παρὰ τὸν τόπον ἐν ᾧ γέγονε τὸ ἕλκος ἐκλογίζοιο διαφορὰς, οἷον εἰ πέρας μυὸς, εἰ ἀρχὴ μυὸς, εἰ τὸ μέσον τοῦ μυὸς, εἰ δέρμα ἐστὶ τὸ ἡλκωμένον, εἰ ἧπαρ, ἢ γαστὴρ, εἶεν ἂν δή που καὶ αὗται διαφοραὶ τῶν ἑλκῶν. ταῦτα μὲν οὖν οὕτως ἔχει, οὐκ ἐκ τῆς οἰκείας αὐτῶν φύσεως, ἀλλ' ἐκ τῶν χωρίων ἐν οἷς συνίστανται τὴν γένεσιν ἔχουσαι. ὅταν δ' εἴποι τις ἤτοι φλεγμαῖνον ἕλκος, ἢ ὑπερσαρκοῦν, ἢ κοῖλον, οἴεται παραπλησίας εἰρηκέναι διαφορὰς ἑλκῶν, ἃς νῦν ἤδη πέπαυμαι λέγων, οὗτος ἐξ ἀνάγκης ἐν τῇ θεραπευτικῇ μεθόδῳ σφαλήσεται. τὸ γοῦν φλεγμαῖνον ἕλκος οὑτωσὶ λεγόμενον, ὅμοιον μὲν ἔχει τὸ τῆς ἑρμηνείας σχῆμα τῷ μικρὸν ἕλκος, οὐ μὴν τό γε δηλούμενον ὅμοιον ὑπάρχει. τὸ μὲν γὰρ ἐπιπολῆς ἢ βαθὺ κατηγορήσαντες τοῦ ἕλκους, οἰκείαν αὐτοῦ διαφορὰν ἐμηνύσαμεν. τὸ φλεγμαῖνον δ' οὐδόλως ἐστὶν ἕλκους διαφορά. δύναται γὰρ φλεγμῆναι μόριον καὶ χωρὶς ἕλκους. ὅθεν οἶμαι καὶ τὴν λέξιν, ἐνταυθοῖ μὲν ὑπαλλάξαι δυνατὸν εἰ γὰρ εἴποις ἕλκος τῷ δέ τινι γεγονέναι μετὰ φλεγμονῆς, οἰκειότερόν γε τῷ πράγματι καὶ σαφέστερον ἑρμηνεύσεις. οὐ μὴν εἰ φαίης μετὰ μεγέθους μὲν τῷ δὲ, μετὰ σμικρότητος δὲ, ἄλλῳ γεγονέναι. καὶ γὰρ οἰκειότερόν τε τῷ πράγματι καὶ σαφέστερον ἑρμηνεύσεις, εἰ τῷ δὲ μέν τινι φαίης ἕλκος μέγα γεγονέναι, τῷ δ' αὖ μικρόν. ὅθεν εἰ οἴονταί τινες καὶ τὴν λέξιν ὑπαλλάττειν ὡς καὶ τῷ λεγομένῳ πράγματι πρεπωδεστέραν ἐργάζεσθαι, καὶ τοῖς ἀκούουσι σαφεστέραν, οὐ χρὴ κατοκνεῖν οὕτω ποιεῖν. ἀρχὴ γὰρ τοῦ μὴ σφάλλεσθαι περὶ τὰ πράγματα, τὸ καὶ τῇ λέξει χρῆσθαι διωρισμένῃ. τίς οὖν ἐν τοῖς τοιούτοις ἡ μέθοδος; εἰπεῖν γὰρ χρὴ παράγγελμά τι, καὶ οἷον σκοπὸν ᾧ προσέχοντες τὸν νοῦν, ἀεὶ δυνησόμεθα διορίζεσθαι ταχέως, εἴτε διαφορὰν εἴρηκέ τις ἡστινοσοῦν διαθέσεως, εἴτ' ἐπιπλοκὴν ἑτέρας. ἔστω δή σοι διορισμὸς ὅδε. τὸ δυνάμενον ἰδίᾳ ποτὲ καὶ καθ' ἑαυτὸ συστῆναι, τοῦτ' οὐκ ἄν ποτε γένοιτο τῶν ἄλλων οὐδενὸς διαφορά. μέγεθος μὲν οὖν καὶ σμικρότης, ὁμαλότης τε καὶ ἀνωμαλία, καὶ χρόνος, καὶ σχῆμα, τῶν ἑτέροις συμβεβηκότων ἐστίν. ἕλκος δὲ, καὶ φλεγμονὴ, καὶ γάγγραινα, καὶ σηπεδὼν, ἕκαστον ἰδίᾳ τε καὶ καθ' αὑτὸ δύναται συστῆναι, διαθέσεις γάρ τινές εἰσι τοῦ σώματος ἡμῶν παρὰ φύσιν, οὐ τὰ ταῖς διαθέσεσιν ἐξ ἀνάγκης συμβεβηκότα. πᾶσι γὰρ τοῖς εἰρημένοις ἐξ ἀνάγκης συμβέβηκεν, ἤτοι μικροῖς ἢ μεγάλοις ὑπάρχειν, ἢ ὁμαλέσιν ἢ ἀνωμάλοις, ἢ προσφάτοις, ἢ παλαιοῖς, ἢ φαίνεσθαι προχείρως, ἢ κεκρύφθαι καὶ μὴ βλέπεσθαι. τὸ φλεγμαίνειν δ' οὐκ ἔστι τῶν συμβεβηκότων ἕλκει, καθάπερ οὐδὲ τὸ σήπεσθαι καὶ γαγγραινοῦσθαι. πάντα γὰρ ταῦτ' ἐστὶν ἐκ τοῦ τῶν νοσημάτων γένους, εἴγε παρὰ φύσιν εἰσὶ διαθέσεις, καὶ βλάπτουσιν ἐνέργειαν. ἑτέρῳ δ' αὖ πάλιν τρόπῳ ἕλκος ὀδυνώμενον, ἢ ἕλκος ῥυπαρὸν, λέγεται μὲν ὥς τις ἕλκους διαφορά. σύνθετον δέ τι δηλοῦται κἀνταῦθα, πλὴν ἕτερον τρόπον, ἢ ὡς φλεγμαῖνον ἕλκος ἐλέγετο καὶ σηπόμενον. ἐκεῖ μὲν γοῦν διάθεσις ἡ φλεγμονὴ καὶ ἡ σηπεδών. ἐνταυθοῖ δὲ ὁ, πόνος, καὶ ὁ ῥύπος ἐκ τοῦ τῶν συμπτωμάτων γένους. οὕτω δὲ κἀπειδὰν εἴποι τις ἕλκος, ἢ κακόχυμον, ἢ ῥευματικὸν, ἢ ἀναβιβρωσκόμενον, αἰτίαν συνεμφαίνει τῇ διαθέσει. καὶ δῆλον ἐκ τῶν τοιούτων ὡς οἷα στοιχεῖα τινὰ τῆς θεραπευτικῆς ἐστι μεθόδου τὰ πρῶτά τε καὶ ἁπλᾶ, καὶ ἀσύνθετα νοσήματα. καὶ διὰ τοῦτ' ἐν τῷ περὶ τῆς διαφορᾶς τῶν νοσημάτων ὑπομνήματι, πάντ' ἐξηριθμησάμεθα ταῦτα. διοίσει δ' οὐδὲν ἢ πρῶτα λέγειν, ἢ ἁπλᾶ. καὶ γὰρ εἰ πρῶτον, ἁπλοῦν, καὶ εἰ ἁπλοῦν, πρῶτον. ὥστε καὶ στοιχειώδη. ἔνδειξις δὲ ἰάσεως, ἐκ τῶν διαφορῶν οὐχ ἁπασῶν γίνεται. τὸ γὰρ πρόσφατον ἢ παλαιὸν ἕλκος, οὐδὲν ἐνδείκνυται, καίτοι δοκεῖ τισὶν, ἀλλὰ παραλογίζονται σφᾶς αὐτοὺς, ὡς κἂν τοῖς ἐπὶ δίαιταν, ἑτέραν μὲν ἀρχῆς, ἑτέραν δ' ἐπιδόσεως, ἄλλην δ' ἀκμῆς τε καὶ παρακμῆς ἔνδειξιν εἶναι λεγόντων. ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τοῖς ἑξῆς ἐρεῖν μελλόντων, οὐ δεόμεθα νῦν μηκύνειν τὸν λόγον. ἀλλ' ὅσον εἰς τὰ παρόντα μόνον αὐταρκές ἐστιν ἐροῦμεν. τὸ ἕλκος τὸ πρόσφατον ἐπειδὴ τοὐπίπαν ἄνευ τε διαθέσεως ἑτέρας ἐστὶ, καὶ σύμπτωμα μηδὲν μηδέπω ἔχει σύνον, ἑτέραν οἷόν τε ποιεῖσθαι τὴν ἔνδειξιν τοῦ παλαιοῦ. τὸ δ' οὐχ οὕτως ἔχει. τὸ γοῦν αὐτὸ τοῦτο μόνον ἕλκος. ἔστι δὲ τοιοῦτον, ᾧ μήτε κοιλότης τις σύνεστι, μήτ' ὀδύνη, μήτε ῥύπος, ἁπασῶν τε τῶν ἄλλων ἀπήλλακται διαθέσεων. αὐτῆς δὲ μόνης δεῖται τῆς ἰδίας ἰάσεως, ἧς ὁ σκοπὸς, ἕνωσις, ἢ κόλλησις, ἢ σύμφυσις, ἢ συνέχεια. μυριάκις γοῦν εἴρηται τὸ, καλεῖν ὡς ἂν ἐθέλῃ τις, ἔνθα μηδὲν βλάπτεται τὸ πρᾶγμα. εἴτ' οὖν πρόσφατον εἴη τὸ τοιοῦτον ἕλκος, εἴτε παλαιὸν, ἀεὶ τῆς αὐτῆς δεῖται θεραπείας, οὐδὲν τῆς ἐκ τοῦ χρόνου διαφορᾶς ἴδιον ἐνδεικνυμένης. εἰ μέντοι κοιλότητα βαθεῖαν ἔχει κατακεκρυμμένην ὑπὸ τῷ δέρματι, σκέπτεσθαι, πότερον ἐκ τῶν ἄνωθεν μερῶν εἴη, ὡς ὑπορρεῖν ἐξ αὐτῆς τοὺς ἰχῶρας καταντεῖς, ἢ κάτωθεν, ὡς αὐτόθι συνίστασθαι. τῶν μὲν οὖν ὑπορρύσεις ἐχόντων, ἡ αὐτὴ θεραπεία τοῖς ἄλλοις. τῶν δ' οὐκ ἐχόντων ἡμᾶς χρὴ μηχανᾶσθαί τινας ἐκροάς. διττὴ δ' ἡ μηχανή. ποτὲ μὲν ἀνατέμνοντί σοι τὴν κοιλότητα σύμπασαν. ἐνίοτε δὲ ἀντιδιαιροῦντι μόνον ἐν τῷ πυθμένι. τὸ δ' ὅτε χρὴ τούτων ἑκάτερον δρᾶν, ἥ τε τῶν χωρίων ἐνδείξεται φύσις, καὶ τὸ τοῦ ἕλκους μέγεθος. εἰ μὲν γὰρ καὶ τὰ χωρία σφαλερὰν ἔχει τὴν διαίρεσιν, καὶ τὸ ἕλκος εἴη μέγα, βέλτιον ἀντιδιαιρεῖν, εἰ δὲ τἀναντία, τὸ ἀνατέμνειν ἄμεινον. ἡ δ' ἐπίδεσις, ἀρχέσθω μὲν ἐκ τῶν ἄνωθεν. τελευτάτω δὲ κάτω, ἵνα περ ἡ ἐκροή. ὅτι δὲ καὶ ἡ παρὰ τὰ τετρωμένα μόρια σύμπαντα διαφορὰ τῶν ἑλκῶν ἐπικαιροτάτη πρὸς ἔνδειξιν τῆς ἰάσεως, ἔμπροσθεν εἴρηται. ἀλλ'

ἐκείνῃ

ἐκείνη μὲν ὡς ὁμοιομερῶν, ἣς δὲ νῦν ἐμνημονεύσαμεν, ὡς ὀργανικῶν ἐστιν ἔνδειξις. εἰρήσεται μὲν δὴ καὶ περὶ τῆς ἢ ὡς ὁμοιομερῶν, ἢ ὡς ὀργανικῶν σωμάτων ἐνδείξεως, ἐπὶ πλέον ἐν τοῖς ἑξῆς. ἐν δὲ τῷ παρόντι, πάλιν ἐπὶ τὰς οἰκείας διαφορὰς τῶν ἑλκῶν ἰτέον. ἔστι ἐγκάρσιον ἢ εὐθύ. καὶ μέχρι βάθους, ἢ ἐπιπολῆς. καὶ μικρὸν ἢ μέγα διορίζομένοις. τὰ μὲν γὰρ ἐγκάρσια, διὰ τὸ τὰ χείλη μᾶλλον αὐτῶν διεστηκέναι τε καὶ ἀφεστηκέναι, τῆς συναγωγῆς ἀκριβεστέρας δεῖται. ὥστε καὶ ῥαφαῖς, καὶ ἀγκτῆρσιν ἐπὶ τούτων χρηστέον. ὅσα δὲ κατὰ τὸ μῆκος τῶν μυῶν ἐγένετο, ταῦτ᾽ ἐκ δυοῖν ἀρχῶν ἐπιδέων, οὔτε ῥαφῶν, οὔτε ἀγκτήρων δεήσει. εἰ δ᾽ ἄλλως ἐπιδεῖν ἐθελήσαις, ἢ ἀγκτῆρσιν, ἢ ῥαφαῖς, ἀρκέσουσιν ἢ ἐλάχισται παντελῶς αἱ ῥαφαί. καὶ τὰ μὲν μεγάλα τῶν ἑλκῶν, ἐπὶ μᾶλλον ξηραίνουσι θεραπεύσεις φαρμάκοις, ἔτι τῶν ἔμπροσθεν εἰρημένων μέμνησαι. τὰ δὲ σμικρὰ καὶ τὸ μετρίως ξηραῖνον αὐτάρκως ἰάσεται. τὰ δ᾽ εἰς βάθος διήκοντα, πάντως μὲν ἤδη καὶ μεγάλα, δεῖται δὲ τῆς ἐκ δυοῖν ἀρχῶν ἐπιδέσεως, καὶ τοῦ μὴ προπετῶς κολληθῆναι τὰ χείλη. τὰ δ᾽ εἰς βάθος τε καὶ μῆκος ἐπὶ πολὺ προήκοντα, διχῇ τ᾽ ἂν εἴη μεγάλα, καὶ διττὴν ἔχει τὴν ἔνδειξιν. ὡς καὶ τῶν πάνυ ξηραινόντων δεῖσθαι φαρμάκων. καὶ μὴ συνάγεσθαι προπετῶς τὰ χείλη. καὶ ἐκ δυοῖν ἀρχῶν ἐπιδεῖσθαι, καὶ ῥάπτεσθαι διὰ βάθους. οὕτω δὲ κἂν εἰ πολλὰς ἐπιπεπλεγμένας ἴδοις διαφοράς, ἑκάστην ἰδίαν ἔνδειξιν ἔχουσαν. εἰ μὲν μὴ μάχοιντο, πάσαις χρῆσθαι κράτιστον. εἰ δέ πῃ καὶ διαφέροιντο, πῶς χρὴ διορίζεσθαι περὶ τῶν τοιούτων, εἴρηται μέν πως κἀν τοῖς ἔμπροσθεν, εἰρήσεται δὲ κἀν τοῖς ἐφεξῆς ἐπὶ πλέον. ἤδη γάρ μοι καιρὸς εἶναι δοκεῖ καταπαύειν ἐνταυθοῖ τὸ τρίτον τῶν δὲ τῶν ὑπομνημάτων. ἐν δὲ τῷ μετ᾽ αὐτὸ τετάρτῳ, περὶ τῶν ἅμα τοῖς ἕλκεσιν ὡς τὸ πολὺ γινομένων διαθέσεων, ὁ λόγος ἡμῖν ἔσται. συναναγράψομεν δ᾽ αὐταῖς καὶ τὰς τῶν προηγουμένων αἰτιῶν θεραπείας.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ

ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Ἕν τι γένος ἦν νόσου καὶ ἡ τῆς συνεχείας λύσις ἐν ἅπασι μὲν τοῦ ζῴου τοῖς μέρεσι γινομένη, προσαγορευομένη δ᾽ οὐχ ὡσαύτως ἐν ἅπασιν. ἕλκος μὲν γάρ, ἐν σαρκώδει μορίῳ, κάταγμα δ᾽ ἐν ὀστῷ, σπάσμα δ᾽ ἐν νεύρῳ καλεῖται. τούτου δὲ τοῦ γένους ἐστὶ καὶ τὸ ἀπόσπασμα, καὶ τὸ ῥῆγμα, καὶ τὸ θλάσμα. τὸ μὲν ἐν συνδέσμῳ γινόμενον, τὰ δ᾽ ἐν ἀγγείοις τε καὶ μυσίν, ἐκ βιαίας πληγῆς, ἢ καταπτώσεως, ἢ τινὸς ἑτέρας ἰσχυρᾶς κινήσεως. ἡ δ᾽ ἐκχύμωσις, ὡς τὰ πολλὰ μὲν ἅμα τῷ θλασθῆναί τε καὶ ῥαγῆναι γίνεται. συμπίπτει δέ ποτε καὶ κατ᾽ ἀναστόμωσιν ἀγγείων. καὶ τὴν καλουμένην ὑπό τινων διαπήδησιν, ἕτερόν τι γένος συνεχείας λύσεως ὑπάρχουσαν τηνικαῦτα. καὶ μὴν καὶ κατ᾽ ἀνάβρωσιν ἐνίοτε διαφθείρεται τὸ συνεχὲς ἐν τοῖς τοῦ ζῴου μέρεσιν. ἀλλ᾽ ἤδη μικτὴ διάθεσις τοῦτο. συνεφάπτεται γὰρ ἑτέρου γένους νοσήματος, ὑπὸ τὸ ποσὸν τῶν μορίων πεπτωκότος, ὥσπερ ἐπὶ τῶν κοίλων ἑλκῶν ἔμπροσθεν ἐδείκνυμεν. ἔστι γὰρ οὖν καὶ αὐτῶν τούτων ἡ γένεσις διττή, ποτὲ μὲν ἐκ περιαιρέσεως ἀποτελουμένη, ποτὲ δὲ ἐξ ἀναβρώσεως. ἀλλ᾽ ἡ μὲν περιαίρεσις ὅπως γίνεται, πρόδηλον. ἡ δ᾽ ἀνάβρωσις, εἰ μὲν ἔνδοθεν ἐξ αὐτοῦ τοῦ ζῴου τὴν γένεσιν ἔχει, χυμῶν ἐστὶ μοχθηρῶν ἔγγονος. εἰ δ᾽ ἔξωθεν, ἐπὶ φαρμάκοις ἤ τινι συνίσταται. καὶ δὴ καὶ προσέχειν χρὴ τὸν νοῦν, ὥσπερ καὶ πρόσθεν ἐλέγετο, καὶ διορίζεσθαι τὰς ἁπλᾶς διαθέσεις τῶν ἐπιπεπλεγμένων. ἁπλῆν μὲν γὰρ ἐφ᾽ ἁπλῷ νοσήματι καὶ τὴν θεραπείαν, οὐχ ἁπλῆν δὲ ἐπὶ συνθέτῳ ποιεῖσθαι προσήκον. ἥτις μὲν οὖν ἐστι μέθοδος ἐπὶ ταῖς τῶν συνθέτων ἰάσεσιν, ἔμπροσθεν εἴρηται. χρὴ δ᾽ οὐ τὸ καθόλου μόνον αὐτῆς ἐκμαθεῖν, ἀλλὰ καὶ τοῖς κατὰ μέρος γεγυμνάσθαι. καὶ γὰρ οὖν καὶ τούτοις ἑτέρων ἐστὶ χρεία μεθόδων πολλῶν, ὡς ἂν εἴποι τις μερικῶν. ἐφ᾽ ἑκάστου γὰρ εἴδους νοσήματος, ἴδιον εἶδός ἐστι μεθόδου. πάλιν οὖν ὅσον ὑπόλοιπόν ἐστι τῆς τῶν ἑλκῶν ἰάσεως, ἐν τῷδε τῷ γράμματι λεγέσθω, τὴν ἀρχὴν ἡμῖν ἐνθένδε ποιησαμένοις. ἕλκος ἅπαν, ἤτοι μόνον ἐστὶν αὐτὸ καθ᾽ ἑαυτό, μήτε συνεισβαλούσης αὐτῷ διαθέσεως ἑτέρας, μήτε προηγησαμένης, μήτε ἀκολουθησάσης, ἢ μετά τινος ἑτέρας ἤτοι μιᾶς, ἢ καὶ πλειόνων συνίσταται. καὶ τούτων τῶν διαθέσεων ἔνιαι μὲν οὐ μόνον εὐθὺς ἐξ ἀρχῆς ἐποίησαν τὸ ἕλκος, ἀλλὰ καὶ νῦν ἔτι καὶ μεῖζον ἐργάζονται. τινὲς δὲ τῶν οὐκ ἀνάλογον ἔχουσιν ὡς πρὸς τὴν ἴασιν. ἀλλὰ περὶ μὲν τούτων, εἴρηται πρόσθεν, ὑπὲρ δὲ τῶν μεῖζον ἐργαζομένων τὸ ἕλκος, ἐν τῷδε λεχθήσεται. δῆλος μὲν οὖν ὁ ἐπ᾽ αὐτῶν σκοπός, ἢ ἐκκόψαι τελέως ἐκ τοῦ σώματος τὰς τοιαύτας διαθέσεις, ἢ νικῆσαι τὴν ἀπ᾽ αὐτῶν βλάβην. ἀλλὰ τοῦτο μὲν ἐπειδὰν σμικρὰ παντελῶς ἡ διάθεσις ὑπάρχῃ, δυνατὸν ἐργάσασθαι. μεγάλης δ᾽ οὔσης, τὸ ἕλκος εἰς οὐλὴν ἀγαγεῖν οὐκ ἐνδέχεται, πρὶν ἐκείνην ἰάσασθαι. τίνες οὖν αἱ τοιαῦται διαθέσεις, καὶ πόσαι, σκεπτέον ἡμῖν ἀκριβῶς ἐνθένδε ποθὲν ἀρξαμένοις, ὅθεν κἀν τοῖς ἔμπροσθεν ἠρξάμεθα. Πᾶν ἕλκος, εἴτε μετὰ κοιλότητος, εἴτε καὶ μόνον ὑπάρχει, τῆς θ᾽ ὑποκειμένης σαρκὸς δεῖται κατὰ φύσιν ἐχούσης, καὶ μηδενὸς μεταξὺ παρεμπίπτοντος εἰς τὰ κολληθησόμενα χείλη, καθάπερ πολλάκις γίνεται θρίξ, καὶ ψάμμου, καὶ ῥύπον, ἔλαιόν τε, καί τι τοιοῦτον ἕτερον ἐμποδίσαι τὴν κόλλησιν, ἀλλὰ ταῦτα μὲν οἷον συμπτώματά τινα τῶν ἑλκῶν ἐστι, κωλῦσαι μὲν ὁπότε παρείη τὴν ἴασιν δυνάμενα, ποιῆσαι δ᾽ εἰ μὴ παρείη, δυνάμενα. τῆς δ᾽ ὑποκειμένης σαρκὸς ἡ διάθεσις, αἰτίας λόγον ἔχει πρὸς τὸ γινόμενον. ἐξ αὐτῆς γὰρ καὶ διὰ αὐτήν, ἥ τε κόλλησις τῶν διεστώτων, καὶ ἡ σάρκωσις τῶν κοίλων γίνεται. χρὴ τοίνυν ταύτην ἀκριβῶς κατὰ φύσιν ἔχειν, ἵν᾽ ἑκάτερον ἐκείνων ἀμέμπτως ἐπιτελῆται. τὸ καλῶς δ᾽ ἔχειν αὐτήν, κατὰ τὴν οἰκείαν ὑπάρχει κρᾶσιν, ὥσπερ καὶ τοῖς ἄλλοις ἅπασιν. εὔκρατον μὲν οὖν ἀκριβῶς εἶναι προσήκει τὴν ὑποκειμένην σάρκα, πρὸς κόλλησίν τε καὶ σάρκωσιν ἑλκῶν. ἆρ᾽ οὖν ἀρκεῖ τοῦτο μόνον, ἢ καὶ τὸ ἐπιρρέον αἷμα, χρηστὸν καὶ σύμμετρον εἶναι χρή; ἐμοὶ μὲν καὶ τοῦτο παντὸς μᾶλλον ἀληθὲς εἶναι δοκεῖ. τό, τε γὰρ διεφθαρμένον αἷμα, τοσοῦτον ἀποδεῖ πρὸς κόλλησιν ἢ γένεσιν σαρκὸς ἐπιτήδειον ὑπάρχειν, ὥστ᾽ αὐτὸ πολλάκις ἀναβιβρώσκειν καὶ ἑλκοῦν τὸ σῶμα. τό, τε πολὺ πλῆθος ἐν τοῖς

ἡλκωμένοις περιττὸν ἐργαζομένου, ἐμποδὼν ἵσταται ταῖς ἰάσεσιν, ὥς που καὶ πρόσθεν ἐδείκνυτο. καὶ τρεῖς οὖν τρόποι τῶν δυσιάτων ἑλκῶν ἐοίκασιν ὑπάρχειν. ὅ, τε ἐκ τῆς δυσκρασίας τῆς ὑποκειμένης σαρκός, καὶ ὁ ἐκ τῆς μοχθηρίας τοῦ ἐπιρρέοντος αἵματος, καὶ τρίτος ὁ ἐκ τῆς ποσότητος. ἢ οὐχ ὧδε χρὴ τὴν διαίρεσιν, ἀλλ᾽ ὡδὶ ποιήσασθαι μᾶλλον. Ὡς τῶν δυσιάτων ἑλκῶν, τὰ μὲν διὰ τὴν δυσκρασίαν τῆς ἡλκωμένης σαρκός. τὰ δέ, διὰ τὴν ἐπιρρέοντα χυμὸν γίνεται τοιαῦτα. καὶ ὡς τῆς μὲν δυσκρασίας, δύο ἔστωσαν διαφοραί. ποτὲ μὲν ταῖς ποιότησι μόναις, οὐ κατὰ φύσιν ἐχούσης τῆς ὑποκειμένης σαρκός. ἐνίοτε δέ, καὶ μετ᾽ ὄγκου τινὸς ἀντιτύπου. τῆς δ᾽ ἐπιρροῆς, ἕτεραι δύο. τό, τε ποσόν, καὶ τὸ ποιὸν τῶν ἐπιρρεόντων χυμῶν. ἐνίοτε δὲ καὶ μίγνυσθαι συμβέβηκέ τινας τῶν εἰρημένων διαθέσεων. ἢ καὶ πάσας ἅμα. χρὴ δ᾽ οὐ πασῶν δὴ πρόσθεν ἅμα λέγεσθαι τὴν μέθοδον τῆς ἰάσεως, ἀλλ᾽ ἑκάστης ἰδίᾳ. τῆς μὲν οὖν σαρκὸς αὐτῆς ἴασις τὴν δυσκρασίαν, εἰ μὲν αὐχμώδης καὶ ξηρὰ φαίνοιτο, τέγγων εὐκράτῳ πολλάκις ὕδατι. καθ᾽ ἑκάστην δὲ χρῆσιν, ὁ σκοπὸς ἔστω σοι τῆς καταντλήσεως, ὅταν πρῶτον εἰς ἔρευθός τε καὶ ὄγκον αἴρηται τὸ μόριον, ἀφίστασθαι τηνικαῦτα. διαφορήσεις γὰρ ὃ εἵλκυσας καταντλῶν ἐπὶ πλέον. ὥστ᾽ οὐδὲν ἔσται σοι πλέον. ἀλλὰ καὶ τῶν φαρμάκων ἡ δύναμις, ὑγροτέρα τῆς ἔσω τῆς ἔμπροσθεν ἐπὶ τῆς ὑγιοῦς σαρκὸς προειρημένης. εἰ δ᾽ ὑγροτέρα τοῦ κατὰ φύσιν ἡ σὰρξ φαίνοιτο, τὰ ἐναντία ποιητέον. ἐπιτείνοντα μὲν τῶν φαρμάκων τὴν δύναμιν ἐπὶ τὸ ξηρότερον, ὕδατι δὲ μηδόλως χρώμενον. ἀλλ᾽ εἰ καὶ ἀποπλῦναι δέοι τὸ ἕλκος, οἶνος, ἢ ὀξύκρατον, ἢ ἀφέψημα πόας αὐστηρᾶς παρασκευαζέσθω. κατὰ ταῦτα δὲ τὴν μὲν θερμοτέραν τοῦ δέοντος σάρκα, ψυκτέον, τὴν δὲ ψυχροτέραν, θερμαντέον. ἔσται δὲ ἑκατέρα δήλη, καὶ χροιᾷ, καὶ ἁφῇ, καὶ τῇ τοῦ κάμνοντος αἰσθήσει. ποτὲ μὲν γὰρ πυρώσεως ὁμολογοῦσιν αἰσθάνεσθαι. ποτὲ δ᾽ ἐπιδήλου τινὸς ψύξεως κατὰ τὸ μόριον. καὶ χαίρουσιν ἢ τοῖς ψυχροῖς φαρμάκοις, ἢ τοῖς θερμοῖς. καὶ τοῖς μὲν ἐρύθημα λεπτὸν ἐπανθεῖ. τοῖς δέ, ἐπὶ τὸ λευκότερον ἡ χροιά. ταυτὶ μὲν οὖν, οὐ τῆς παρούσης ἐστὶ πραγματείας διορίζειν. οὐ γὰρ διαγνωστικὴν μέθοδον, ἀλλὰ θεραπευτικὴν ἐνεστησάμεθα. τῇ δ᾽ ἀκολουθίᾳ πως τοῦ λόγου συνεξεδράμομεν, αὖθις οὖν ἐπανέλθωμεν ἐφ᾽ ἅπερ ἐξ ἀρχῆς προὐθέμεθα.

Τῶν σὺν ὄγκῳ τινὶ παρὰ φύσιν ἡλκωμένων μορίων, ἰᾶσθαι χρὴ πρότερον τὸν ὄγκον. ἥτις δὲ τῶν παρὰ φύσιν ἐστὶν ὄγκων ἁπάντων ἴασις, ἐν τοῖς ἑξῆς εἰρήσεται. νυνὶ δ᾽ ὅσον ἐξ αὐτῶν συνῆπται τῇ τῶν ἑλκῶν θεραπείᾳ ῥητέον. ἐπειδὰν τὰ χείλη μόνα τῶν ἑλκῶν ἐπὶ πλέον ἀχροίας, ἢ σκληρότητος ἥκοι, περιτέμνειν αὐτὰ χρὴ μέχρι τῆς ὑγιοῦς σαρκός. ἐπειδὰν δὲ καὶ μέχρι πλείονος ἡ διάθεσις ἐκτείνηται, σκέψις ἐνταῦθα γίνεται. πότερα περικοπτέον ἅπαν τὸ παρὰ φύσιν ἐστίν, ἢ θεραπευτέον ἐν χρόνῳ. καὶ δῆλον ὡς καὶ τῇ τοῦ κάμνοντος εἰς τοῦτο προσχρῆσθαι δεῖ προθυμίᾳ. τινὲς μὲν γὰρ ἐν χρόνῳ πλείονι θεραπεύεσθαι βούλονται χωρὶς τομῆς. ἔνιοι δὲ πᾶν ὁτιοῦν ὑπομένειν εἰσὶν ἕτοιμοι τοῦ θᾶττον ὑγιᾶναι χάριν. οὕτω δὲ κἀπὶ τῶν ἐπιρρεόντων τοῖς ἡλκωμένοις μέρεσι μοχθηρῶν χυμῶν. ἡ μὲν ὡς ἡλκωμένων ἴασις, ἐν τῷδε λέλεκται. ἡ δ᾽ ὡς κακοχυμίας, ἢ πλήθους, ἐν τοῖς ἰδίοις ἐκείνων λογισμοῖς. ὅταν οὖν ὀλίγος τε πλείω, καὶ μὴ πολλῷ φαυλότερος ἢ τοῦ κατὰ φύσιν ὁ ἐπιρρέων τοῖς ἡλκωμένοις χυμός, ἀποτρέπειν αὐτὸν καὶ ἀναστέλλειν προσήκει, στύφοντά τε καὶ ψύχοντα τὰ πρὸ τῶν ἡλκωμένων χωρία. χρὴ δὲ καὶ τὴν ἐπίδεσιν ἄρχεσθαι μὲν ἀπὸ τοῦ πεπονθότος, ἐπινέμεσθαι δὲ ἐπὶ τὸ ὑγιές, ὡς ἐν τοῖς κατάγμασιν ἐκέλευσεν ὁ Ἱπποκράτης. ἀλλὰ καὶ τὰ τοῖς ἕλκεσιν αὐτοῖς προσαγόμενα φάρμακα, ξηραντικώτερα τῶν τοῖς ἁπλοῖς ἕλκεσι προσαγομένων ὑπαρχέτω. μὴ δυναμένης δ᾽ ὑπὸ φαρμάκων κρατηθῆναι τῆς ἐπιρροῆς, τὴν αἰτίαν αὐτῆς ἐπισκεψάμενον, ἐκείνην ἐκκόπτειν πρότερον. εἰ μὲν οὖν δι᾽ ἀτονίαν τινὰ τοῦ δεχομένου τὸ ῥεῦμα μορίου τοῦτο συμβαίνει, ταύτην ἰατέον. εἴη δ᾽ ἂν ἔτι τοῦτο, τῶν ἡλκωμένων μορίων οἰκεία τις ἴασις. εἰ δὲ διὰ πλῆθος ἢ κακοχυμίαν, ἤτοι παντὸς τοῦ σώματος, ἢ τινὸς τῶν ὑπερκειμένων μορίων, ἐκεῖνα πρότερον ἐπανορθωτέον. ἡ μὲν οὖν ἀτονία τοῦ μέρους, δι᾽ ἣν ἐπ᾽ αὐτὸ πλείους τοῦ δέοντος ἀφικνοῦνται χυμοί, πάντως μὲν ἐπὶ δυσκρασίᾳ γίνεται, οὐ μὴν ἁπάσῃ γε ἕπεται ἀτονία δυσκρασίᾳ. καὶ διὰ τοῦτο πολλάκις μὲν αὐτὸ τοῦτο μόνον ἡ ἡλκωμένη σὰρξ δύσκρατός ἐστιν, οὐ μὴν καὶ ἄτονος. ἐνίοτε δ᾽ ἄμφω, δύσκρατός τε ἅμα καὶ ἄρρωστος. αἱ γὰρ ἐπὶ πλέον ἐκτροπαὶ τῆς δυσκρασίας, ἀτονίας εἰσὶν αἰτίαι τοῖς πεπονθόσιν. ἰατέον δὲ ταύτας, ὡς καὶ πρόσθεν εἴρηται, τὰς μὲν θερμάς, ψύχοντα. τὰς δὲ ξηράς, ὑγραίνοντα. καὶ τὰς μὲν ψυχράς, θερμαίνοντα. τὰς δὲ ὑγράς, ξηραίνοντα. καὶ δὴ καὶ κατὰ συζυγίαν. εἰ ψυχρότερός τε ἅμα καὶ ὑγρότερος ὁ τόπος εἴη, θερμαίνοντά τε καὶ ξηραίνοντα. κἀπὶ τῶν ἄλλων ὡσαύτως, ἀεὶ ταῖς κρατούσαις ποιότησι, τὰς ἐναντίας προσάγοντα. λογισμὸς δὲ τούτου, τοιόσδε. τὸ κατωρθωμένον ἅπαν, οὐκ ἐν ζώοις μόνον ἢ φυτοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι σύμμετρόν τί ἐστι καὶ μέσον ἁπάντων τῶν διημαρτημένων. ὅτου γὰρ ἂν μήτ᾽ ἀφελεῖν ἐστιν μήτε προσθεῖναι μηδὲν ἢ μόριον ἢ ποιότητα, πάντη τοῦτ᾽ ἀμέμπτως ἔχει. τὸ δ᾽ ἀφαιρέσεως τινός, ἢ προσθήκης χρῇζον, ἐκπέπτωκε μὲν ἤδη τῆς ἀρίστης κατασκευῆς, ἐπανελθεῖν δ᾽ αὐτὴν ἑτέρως ἀμήχανον αὐτῷ, χωρὶς τοῦ, τὸ μὲν περιττὸν ἀφελεῖν, τὸ δὲ ἐλλεῖπον, προσθεῖναι. περὶ μὲν δὴ τῶν μορίοις τισὶν ἐλλειπόντων ἢ πλεοναζόντων, ἕτερος λόγος. ἐν οἷς δὲ ἐπικρατεῖ τις ποιότης, εὐθὺς μὲν ἐνταῦθα νικηθῆναι τὴν ἐναντίαν ἀναγκαῖον. εὐθὺς δὲ καὶ τὴν ἐπανόρθωσιν ἐκ τῆς τέως κεκρατημένης, αὖθις ἀντεπαγομένης ἀνάγκη γίνεσθαι. ψύχων γὰρ τὸ τεθερμασμένον, ἅμα μὲν ἀντεισάξεις τὸ λεῖπον. ἅμα δὲ καὶ καθαιρεῖς τὸ πλεονάζον. ὥστε ἀνάγκη πᾶσι τῶν κατὰ δυσκρασίαν τινὰ τοῦ κατὰ φύσιν ἐξεστηκότων τὴν ἴασιν γίνεσθαι διὰ τῶν ἐναντίων τῇ δυνάμει. οὕτω μὲν ἡ δι᾽ ἀτονίαν ὑπὸ ῥεύματος ἐνοχλουμένη σάρξ, ἤ τι μόριον ἕτερον σαρκῶδες, ἐπειδὰν τὴν τῆς δυσκρασίας πρότερον ἰαθῇ διάθεσιν, ἐφεξῆς δηλονότι καὶ τὴν τῆς ἑλκώσεως ἰαθήσεται. οὐκ ἄλλως μὲν νῦν θεραπευθεῖσα τὴν δυσκρασίαν, ἄλλως δ᾽ εἰ χωρὶς ἕλκους ἐπεπόνθει. ὅθεν καὶ δῆλον, ὡς οὐχ ἕλκους ἐστίν, ἀλλὰ δυσκρασίας ἴδιος ἡ τοιαύτη πᾶσα θεραπεία. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ δ᾽ ἕτερόν τι μόριον, ἢ καὶ τὸ σύμπαν σῶμα πληθωρικὸν ἢ κακόχυμον ὑπάρχει ἐπιρρέον τι τοῖς ἡλκωμένοις μέρεσι μοχθηρόν, ἰᾶσθαι χρὴ πρότερον ἢ τὸ τοῦ ῥεύματος αἴτιον, ἢ καὶ τὸ σύμπαν σῶμα. κατὰ τοῦτ᾽ οὖν καὶ κιρσοὺς πολλάκις ὑποκειμένους, τῶν ἡλκωμένων μορίων ἰασάμεθα πρότερον, ἵν᾽ ἐφεξῆς ἰασώμεθα τὸ ἕλκος, καὶ τῶν σπληνωδῶν τὸν σπλῆνα, καὶ τῶν ἄλλο τι μόριον ἐπίσημον πεπονθότων, ἐκεῖνο πρότερον ἐκθεραπεύσαντες, οὕτως ἐπὶ τὴν

ἐπὶ τὴν τῶν ἑλκῶν ἴασιν ἀφικνούμεθα. ἀλλ' οὐδὲ μία τῶν ἰάσεων τούτων αὐτοῦ τοῦ ἕλκους ἐστὶν, ἀλλά τινος ἑτέρας διαθέσεως, ἤτοι γεννώσης, ἢ αὐξανούσης τὸ ἕλκος. καὶ γὰρ αὖ καὶ τοῦτο καιρὸς διορίσασθαι ἤδη, τὸ μηδὲν τῶν προκαταρξάντων τῆς διαθέσεως αἰτίων, ἐνδείκνυσθαι τὴν θεραπείαν. ἀλλὰ τὴν μὲν ταύτης ἔνδειξιν, ἀπ' αὐτῆς ἄρχεσθαι τῆς διαθέσεως. ἐξευρίσκεσθαι δὲ τὰς κατὰ μέρος ἐνεργείας, ἀπό τε τοῦ πρώτου σκοποῦ, καὶ τῆς τοῦ πεπονθότος μορίου φύσεως, καὶ τῆς τοῦ περιέχοντος κράσεως, ὅσα τε ἄλλα τούτοις ἐστὶν ὁμογενῆ. συνελόντι γὰρ εἰπεῖν, ἀπ' οὐδενὸς τῶν μηκέτι ὄντων, ἔνδειξιν τοῦ συμφέροντος ἔνεστι λαβεῖν. ἀλλ' ἐπεὶ πολλάκις εἰς διάγνωσιν τῆς διαθέσεως, ἀδήλου παντάπασιν ὑπαρχούσης, καὶ τῷ λόγῳ, καὶ ταῖς αἰσθήσεσιν, ἀναγκαζόμεθα πυνθάνεσθαι περὶ τοῦ προκατάρξαντος αἰτίου, δόκησις τοῖς πολλοῖς γίνεται κἀκεῖνο συνενδείκνυσθαι τὴν ἴασιν. τὸ δ' οὐχ οὕτως ἔχει. μαθήσῃ δ' ἐναργῶς ἐφ' ὧν ἐγχωρεῖ ἀκριβῶς γνῶναι τὴν διάθεσιν. εἴτε γὰρ ἐκχύμωσις, εἴθ' ἕλκος, εἴτ' ἐρυσίπελας, εἴτε σηπεδὼν, εἴτε φλεγμονὴ κατά τι μέρος ὑπάρχει, περιττὸν ζητεῖν τὸ ποιῆσαν, εἰ μὴ νῦν ἔτι ποιεῖ. οὕτως γὰρ ἅμα τε τὸ γεγονὸς θεραπεύσομεν ἤδη, ἅμα τε τὸ ποιοῦν ἔτι ποιεῖν διακωλύσομεν. εἰ δ' ἐποίησε μὲν ἀπηλλάγη δὲ, τὸ μὲν γεγονὸς ἰασόμεθα. τὸ δ' οὐκέτι ὂν, οὐδ' ἂν ἐκκόπτειν προαιρώμεθα, δυνησόμεθα. τῶν μὲν γὰρ ὄντων, αἱ θεραπεῖαι, τῶν δὲ ἔσεσθαι μελλόντων, αἱ προφυλακαί. τὰ δὲ μήτ' ὄντα, μήτε βλάψαι προσδοκώμενα, καὶ τοῦ θεραπευτικοῦ, καὶ τοῦ προφυλακτικοῦ μέρους τῆς τέχνης ἐκπέπτωκεν. ὥστε οὔτε ἔνδειξις ἀπ' αὐτῶν ἐστὶν εἰς θεραπείαν, οὔτε προφυλακή τις. ἀλλ' ἡ μόνον, ὡς εἴρηται, πρὸς τὰς ἐκπιπτούσας τὴν ἡμετέραν ἐπίγνωσιν διαθέσεις, ἡ γνῶσις τοῦ προκατάρξαντος αἰτίου χρησίμη. τοῖς δ' ἀπὸ τῆς ἐμπειρίας ἰατροῖς ὡς μέρος τῆς ὅλης συνδρομῆς, ἐφ' ἣ τετηρήκασι τὴν θεραπείαν, καὶ τὸ προκατάρξαν αἴτιον ἐνίοτε προλαμβάνεται. καθάπερ ἐπί τε τῶν λυττώντων κυνῶν, καὶ τῶν ἰοβόλων ἁπάντων θηρίων. ἤδη δὲ καὶ τῶν δογματικῶν ἐκείνων ὅσοι χωρὶς ἐνδείξεως λογικῆς ἀπὸ τῆς ἐμπειρίας μόνης ὁμολογοῦσι θεραπεύειν τὰ τοιαῦτα. καὶ γὰρ καὶ τούτοις, ὡς ἓν μέρος τῆς ὅλης συνδρομῆς τὸ προκατάρξαν αἴτιον ζητεῖται. τοῖς δ' ἐκ μὲν τῆς ἔμπροσθεν πείρας ἐγνωκόσι τῶν ἰοβόλων θηρίων τὰς δυνάμεις, ἔνδειξιν δὲ θεραπείας ἀπ' αὐτῶν λαμβάνουσιν, οὐκ εἰς ἔνδειξιν ἰάσεως τὸ προκατάρξαν αἴτιον γνωσθὲν, ἀλλ' εἰς τὴν τῆς παρούσης διαθέσεως ἐπίγνωσιν συντελεῖ. φέρε γὰρ ἐπίστασθαι μὲν τὸν ἰὸν τοῦ σκορπίου ψυχρὸν εἶναι τῇ δυνάμει, καὶ λαμβάνειν ὡς ἀπὸ ψυχροῦ τὴν τῆς ἰάσεως ἔνδειξιν, ἔχειν δὲ μηδὲν μή πω σημεῖον ὅτι τοιαύτη τις ἐν τῷδε τῷ σώματι διάθεσις ὑπάρχει, δῆλον γὰρ ὡς εἰ πυθοίμην ὅτι σκορπίος ὁ πλήξας, ἐκθερμαίνειν πειράσομαι τό, τε σύμπαν σῶμα, καὶ τὸ νενυγμένον ὑπ' αὐτοῦ μόριον, οὐκ ἀναμείνας ἔτι τὴν πεῖραν, ἀλλ' ἀπ' αὐτῆς τοῦ πράγματος τῆς φύσεως λαβὼν τὴν ἔνδειξιν. ἐδείχθη γὰρ ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν, ἐν οἷς ἠξίωσα γεγυμνάσθαι πρότερον, ὅτῳ μέλλει τι καὶ τῶν νῦν λεγομένων ὄφελος ἔσεσθαι, μηδεμίαν ἄνευ πείρας εὑρίσκεσθαι δύναμιν. ἣν γοῦν ἂν δή που μακάριον, εἴ τις ἐκ τοῦ θεάσασθαι λιθάργυρον, ἢ καστόρειον, ἢ κανθαρίδας, εὐθέως ἐγίνωσκεν αὐτῶν τὰς δυνάμεις. ἀλλ' ὥσπερ ἐν ἅπασιν αἱ διαμαρτίαι, τοῖς ὑπερβάλλουσι τοῦ μέτρου, καὶ τοῖς ἐλλείπουσιν, οὕτω κἀνταῦθα γίνονται. καὶ διὰ πασῶν οὐχ ἅπαξ, ὡς ἔοικεν, ἀντᾴδουσιν ἀλλήλοις. οἵ τε μηδέ πω καὶ τήμερον ὁμολογοῦντες ἐπίστασθαί γε τὰς δυνάμεις τῶν φαρμάκων ἐπὶ τοσαύτῃ πείρᾳ. οἵ τε καὶ πρὸ τῆς μιᾶς πείρας ἀξιοῦντες ἐπίστασθαι. καὶ γὰρ καὶ τοῦτο προπετὲς, εἰ χρὴ προπετὲς εἰπεῖν, τὸ ἀδύνατον. καὶ θάτερον ἢ τελέως ἀναισθήτων ἐστὶν, ἢ φανερῶς ἐριζόντων. ἀλλὰ γὰρ ὡς ἔφην, οὐ χρὴ νῦν περὶ τούτων ἀκούειν ποθεῖν, εἰρημένων ἐπὶ πλέον ἔν τε τῷ τρίτῳ τῶν περὶ κράσεων, κἀν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν, ἀλλ' εἰς διάγνωσιν τῶν διαθέσεων, ἔνια τῶν προκαταρξάντων αἰτίων συντελεῖ. ἔνθα δ' οὐδὲν λανθάνειν τῆς παρούσης διαθέσεως, οἴχεται καὶ τοῦ προκατάρξαντος ἡ χρεία. εἴρηται μὲν οὖν μοι κἀν τοῖς ἔμπροσθεν ὡς οὐ δεῖ συνάπτειν εἰς ταυτὸν ἀμφοτέρας τὰς διδασκαλίας, ἀλλ' ἰδίᾳ μὲν τὴν ἐμπειρικὴν, ἰδίᾳ δὲ ποιεῖσθαι τὴν λογικήν. ἀναμιμνήσθω δὲ κἀν νῦν, ὡς ἐπειδὴ πρόκειται μόνην τὴν λογικὴν ἐν τοῖσδε τοῖς ὑπομνήμασι διελθεῖν, εἰ δὲ καὶ μὴ προσκέοιτό που περί τινος τῶν λεγομένων, ὡς οὐχ ἁπλῶς ἐστὶν ἀληθὲς, ἀλλὰ μόνοις τοῖς κατὰ μέθοδον ἰατρεύουσιν, ἀκόλουθον αὐτῶν λογίζεσθαί τινα τοῦτο. καὶ προστιθέναι παρ' ἑαυτοῦ. νυνὶ μὲν γὰρ ἡμεῖς προσεθήκαμεν, ὡς οὐδὲν τῶν προκαταρξάντων αἰτίων εἰς ἔνδειξιν θεραπείας ἐστὶ χρήσιμον, ἀλλὰ εἰς διάγνωσιν ἐνίοτε διαθέσεως, ὁμολογούντων ὡς τοῖς ἐμπειρικοῖς ἰωμένοις ὁπωσοῦν, ἕν τι τῶν τῆς ὅλης συνδρομῆς μορίων ἐστὶ καὶ τὸ προκατάρχον αἴτιον. εἴτ' οὖν λογικῶς τἆλλα θεραπεύοιεν, εἴτε δι' ἐμπειρίας ἅπαντα. κατὰ δὲ τὸν ἐφεξῆς λόγον, οὐκ ἀναγκαῖον ἂν εἴη προσγράφειν τοῦτο. πάλιν οὖν τὸ προκείμενον ἐπανέλθωμεν, ἀρχὴν ὁμολογουμένην λαβόντες, ᾗ κἀν τοῖς ἔμπροσθεν ἤδη κεχρήμεθα φάσκοντες, τὴν τῆς θεραπείας δεομένην διάθεσιν, αὐτὴν εἶναι τὴν τὸν πρῶτον σκοπὸν ἐνδεικνυμένην. ἐκ δὲ τούτου, τἆλλα πάντα λαμβάνεσθαι. τούτῳ δ' ὅτι, τῷ σκοπῷ κοινωνίαν οὐδεμίαν ἔχει τῶν προκαταρχόντων αἰτίων οὐδὲν, ἐξ αὐτῶν μάλιστα τῶν ἑλκῶν ὅθεν περ ὁ λόγος ὥρμηται, μαθήσῃ. γεγενήσθω γοῦν ἕλκος ἐξ ἀποστήματος. ἀλλ' εἰ τοῦτο, δῆλον ὡς ἐκ μοχθηρῶν χυμῶν. οὕτω γὰρ εἴωθεν ἡ φύσις ἐν νόσοις ἐκκαθαίρουσα τὸ σῶμα, τὸ περιττὸν ἅπαν ὠθεῖν ἐπὶ τὸ δέρμα. τούτῳ μὲν ἑλκώσεσι συμβαίνει, τῷ δ' ὅλῳ σώματι ἐκκεκαθάρθαι. τίς οὖν ἡ τῶν τοιούτων ἑλκῶν ἴασις, οἵα περ καὶ ἡ τῶν ἄλλων ἁπάντων, οἷς οὐκ ἐπιπλέκεται διάθεσις οὐδεμία κακοήθης. ἀλλ' εἴπερ τοῦθ' οὕτως ἔχει, δῆλον ὡς οὐδεμία παρὰ τῆς ποιησάσης τὸ ἕλκος αἰτίας ἔνδειξις εἰς τὴν θεραπείαν ἐλήλυθε. καὶ μὴν εἴπερ ἔμενεν ἡ κακοχυμία πάντως ἄν που καὶ παρ' αὐτῆς τὴν ἔνδειξιν ἐλάβομεν. ἀλλὰ καὶ ἄλλως ἄτοπον ἦν δεῖσθαι θεραπείας τὸ μηκέτ' ὄν. ἢ ἐνδείκνυσθαι θεραπείαν τὸ μὴ δεόμενον αὐτῆς. ὥστε παντοίως ἄτοπον ἐκ τοῦ προκατάρξαντος αἰτίου ἔνδειξιν λέγειν γίνεσθαι θεραπείας. ἐπεὶ τοίνυν οὐ τοῦτο, δῆλον ὡς τὸ παρὸν αἴτιον ἔνδειξιν ποιήσεται. τίς οὖν ἡ ἔνδειξις; ἀκριβολογουμένῳ μὲν ἡ προφυλακτικὴ προσαγορευομένη. καταχρωμένῳ δ' ἡ θεραπευτική. καὶ γὰρ καὶ αὐτῶν τῶν ἑλκῶν τῆς ἰάσεως, εἴθ' ἁπλῶς ἕλκη μόνον, εἴτε καὶ μετὰ κοιλότητος ὑπάρχοι, κατὰ τὸν ἀκριβῆ λόγον ἡ ἴασις ἐκ τοῦ φεύγειν τε καὶ προφυλάττεσθαι τὰ λυπήσοντα τὴν φύσιν ἀποτελεῖται. καὶ ὅλως ἐφ' ὧν

τὸ γινόμενον ὑπὸ τῆς φύσεως ἔργον ἐστίν, ὡς κόλλησις ἕλκους καὶ σάρκωσις, ἐκ τοῦ προφυλακτικοῦ γένους ἐστὶν ἡ τῶν τοιούτων ἐπιμέλεια. ἀλλ' ὅμως ἴασις λέγεται πρὸς ἁπάντων ἀνθρώπων. καὶ τούτῳ διώρισται τοῦ προφυλακτικοῦ μέρους τῆς τέχνης, τῷ διάθεσιν μὲν ὑπάρχουσαν ἤδη τινὰ νοσερὰν ἐκκόπτεσθαι, κατὰ τὸ ἕτερον εἶδος τῆς προφυλακτικῆς. κωλύεσθαι δὲ γίνεσθαι τὴν μηδέπω γεγενημένην κατὰ τὸ ἕτερον. ὥστε κἀνταῦθα περὶ ὀνομάτων ἐρίζοντες, ἀγνοοῦσιν οἱ νεώτεροι τῶν ἰατρῶν. ἐχρῆν δ' αὐτοὺς εἰ περὶ πραγμάτων ἐσπούδαζον, ἐξευρεῖν ὡς δύο εἰσὶν αἱ πρῶται διαφοραὶ τῶν ἐνεργειῶν τοῖς ἰατροῖς. ἢ γὰρ τὰς οὔσας ἤδη διαθέσεις ἐξ ὧν πράττουσι θεραπεύουσιν, ἢ τὰς οὐκ οὔσας γενέσθαι κωλύουσι. τὸ μὲν δὴ τὰς οὔσας ἐκκόπτειν, εἴτε τὰ διακόπτοντα τὰς ἐνεργείας τῆς φύσεως ἐκποδὼν ποιουμένους, εἴτε καὶ αὐτοὺς τι διὰ τῶν φαρμάκων ἐργαζομένους, ἅπαντες ἄνθρωποι θεραπεύειν ὀνομάζουσι. τὸ δὲ κωλύειν γενέσθαι, προφυλάττεσθαι. καὶ δὴ καὶ τὰ μετὰ κακοχυμίας ἡλκωμένα θεραπεύουσιν, οἱ λόγῳ τε καὶ μεθόδῳ τῇ τέχνῃ προσιόντες, ἅμα μὲν ἐκείνην ἐκκαθαίροντες, ἅμα δὲ τὰ διακόπτοντα τὰς κινήσεις τῆς φύσεως ἀναιροῦντες. ἄμφω δ' ἐστὶν ἀκριβολογουμένῳ ταῦτα προφυλακτικά. κωλύει γὰρ ὡς κἂν τῷ πρὸ τούτου δέδεικται λόγῳ πάντα τὰ τοιαῦτα, ῥύπον ἐπιτρέφεσθαι τοῖς ἕλκεσιν, ἢ ὑγρότητα πολλήν, ἢ μοχθηράν. οὔκουν ἐν ὀνόμασι μικρολογεῖσθαι καλόν, ἀλλ' ἄμεινον εἰπεῖν τινα μέθοδον ἰάσεως ἑλκῶν, οἵαν ἡμεῖς ἔν τε τῷ πρὸ τούτου λόγῳ κἂν τῷδε διεξερχόμεθα. ἐγὼ μὲν γοῦν καὶ θαυμάζω τὴν ἀναισθησίαν τοῦ Θεσσαλοῦ, γράφοντος ὧδέ πως ὑπὲρ τῆς τῶν κακοήθων ἑλκῶν ἰάσεως. Εἰσὶ δὲ σφόδρα ἀναγκαῖαι καὶ αἱ κοινότητες αἱ τῶν χρονίων ἑλκῶν καὶ μὴ ὑγιαζομένων, ἢ κατουλουμένων, καὶ πάλιν ἀναλυομένων. πρὸς τῷ ἐπὶ μὲν τῶν μὴ συμφυομένων σκέπτεσθαι τί ἐστι τὸ ἐμποδίζον, καὶ τοῦτ' αἴρειν. τὸ δ' ἐπουλούμενον, καὶ ἀναξαινόμενον, ἀναγκάζειν κρατεῖν τῆς ὕλης, μετασυγκρίνοντας τὸ πάσχον μέρος. ἢ καὶ κοινῶς ὅλον τὸ σῶμα, καὶ δυσπαθὲς αὐτὸ ποιεῖν, διὰ τῶν αὐτὸ δρώντων βοηθημάτων. ταυτὶ μὲν οὖν ὁ Θεσσαλὸς ἐν τῷ περὶ χειρουργίας βιβλίῳ κατ' ἀρχὰς εὐθὺς προειπών, ἐν τοῖς ἐφεξῆς ἐπὶ πλέον ὧδέ πως ὑπὲρ αὐτῶν τούτων γράφει. τὰ δὲ χρόνια τῶν ἑλκῶν καὶ μὴ ὑγιαζόμενα, ἢ κατουλούμενα καὶ ἀναξαινόμενα, ἐμφαίνει. τὰ μὲν εἰς οὐλὴν μὴ συνερχόμενα, ἐκκόπτειν τὰ κωλύοντα τὴν σύμφυσιν γίνεσθαι, καὶ νεωτεροποιεῖν τοὺς πεπονθότας τόπους, καὶ παραπλήσια ποιήσαντας τοῖς νεοτρώτοις, πάλιν ἐναίμως ἰᾶσθαι. κἂν μὴ κραταιῇ, παρηγορεῖν τὴν φλεγμονήν, καὶ τὴν λοιπὴν προσάγειν ἐπιμέλειαν. τὰ δ' εἰς οὐλὴν ἐρχόμενα καὶ ἀναλυόμενα, κατὰ μὲν τοὺς παροξυσμούς, καὶ τὰς ἑλκώσεις, ὁμοίως θεραπεύειν τοῖς προσφάτως φλεγμαίνουσι, καταπλάσμασι τοῖς παρηγοροῦσιν, ἕως ἂν παύσηται ἡ ἀγανάκτησις. ἐνδούσης δέ, συνεργεῖν εἰς ἐπούλωσιν. μετὰ δὲ ταῦτα, φοινίσσειν τὰ κύκλῳ μέρη πλατὺν περιλαμβάνοντας τόπον, τῷ διὰ τοῦ νάπυος μαλάγματι. ἢ τινὶ ἑτέρῳ μεταβάλλειν δυναμένῳ, καὶ τὴν εὐπάθειαν ἀναιρεῖν. μὴ ληγόντων δέ, καὶ κοινῶς ὅλου τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι. μετασυγκρίνοντας αὐτὸ διὰ γυμνασίων ποικίλων, καὶ αἰώρας, καὶ ἀναφωνήσεως, προόντων ἐμπέρων. καὶ διαίτης κατὰ πρόσθεσιν αὐξανομένης τε καὶ μειουμένης, ἀρχῆς ἐντιθεμένης διὰ τοῦ ἀπὸ ῥαφανίδων ἐμέτου. χρῆσθαι δὲ καὶ τῇ τοῦ λευκοῦ ἐλλεβόρου δόσει. καὶ τοῖς ἄλλοις ἅπασιν οἷς χρώμεθα ἐπὶ τῶν ὑπαγομένων διαίτῃ χρονίων καὶ δυσαποτρίπτων παθῶν. Αὕτη μὲν ἡ τοῦ Θεσσαλοῦ ῥῆσις. ἄξιον δὲ θαυμάσαι τἀνθρώπου τὴν ἀναισθησίαν, ἢ τὴν τόλμαν. εἰ μὲν αὐτὸς ἑαυτὸν ἀνέπεισεν ὡς ὀρθῶς λέγει, τὴν ἀναισθησίαν. εἰ δ' ἐπιστάμενος ὡς οὐδὲν λέγει παρακρούεσθαι τοὺς ἀναγινώσκοντας ἅπαντας ἤλπικε, τὴν τόλμαν. Ἐκ τῶν χρονίων ἑλκῶν, ὦ γενναιότατε, τίς ἔνδειξις γίνεται θεραπείας; ἐγὼ μὲν γὰρ οὔτ' ἐκ τούτων, οὔτ' ἐκ τῶν προσφάτων, οὐθ' ὅλως ἐκ χρόνου κατ' οὐδὲν τῶν νοσημάτων ἐξεῦρον οὐδὲ πώποτε τὴν θεραπείαν, ἀλλ' ἐξ αὐτῆς τῆς διαθέσεως, ἣν ἰᾶσθαί μοι πρόκειται. καθόλου γὰρ ἐὰν εἰς τὸν χρόνον ἀποβλέπῃ τις, ὡς ἔνδειξιν παρ' αὐτοῦ λαμβάνειν, ἑτέραν μὲν πάντως ἡ δευτέρα τῶν ἡμερῶν, ἑτέραν δ' ἡ τρίτη παρέξει τὴν ἔνδειξιν. οὕτως δὲ καὶ ἡ τετάρτη τῆς πέμπτης ἑτέραν. καὶ τούτων ἁπασῶν, ἡ ἕκτη, καὶ τῶν ἄλλων ἑκάστη τῶν μετὰ ταύτας. ὥστ' οὐκέτι τὰς διαθέσεις ἃς θεραπεύομεν, ἐπισκεψόμεθα. καὶ παρ' αὐτῶν ἔνδειξιν ληψόμεθα. καίτοι γε τούτου ἀλογώτερον, οὐδ' ἐπινοῆσαι δυνατόν ἐστι. πῶς οὖν ἀναγκαῖαι αἱ κοινότητες αἱ τῶν χρονίων ἑλκῶν εἰσιν, οὐδέν γε ἐνδείκνυσθαι δυναμένου τοῦ χρόνου καθ' ἑαυτόν; οὐ δή πού γε ἐπειδὰν ὑπὸ κακοχυμίας ἕλκος ἀναβιβρώσκηται, διάφορον ἔνδειξιν ἀπ' αὐτοῦ ληψόμεθα μετὰ τέτταρας μῆνας, ἧς εὐθὺς ἐξ ἀρχῆς ἐλάβομεν. ἐγὼ μὲν οὐδ' ἂν ἐάσαιμι χρονίσαι τὸ τοιοῦτον ἕλκος, ἀλλ' εὐθέως ἀπὸ τῆς ἀρχῆς ἐκκόψαιμι τὴν αἰτίαν αὐτοῦ. καὶ γὰρ καὶ γνωρίζειν δυνατόν ἐστι τὴν διάθεσιν ἀπὸ τῆς ἀρχῆς ὡς τὰ πολλά. καὶ τὴν ἔνδειξιν ἀπὸ τῆς διαθέσεως λαμβάνειν, ἀναγκαῖον. ὁ χρόνος δέ τι πλέον ἡμᾶς διδάξει τοῦ τῶν ἡμερῶν ἀριθμοῦ, μὰ τοὺς θεοὺς οὐκ ἔχω συμβαλεῖν, πλὴν εἰ τοῦτο λέγειν ἠβουλήθη ὁ Θεσσαλός, ὡς εἰς διάγνωσιν τῶν τοιούτων ἑλκῶν, ἀναγκαῖον ἀναμεῖναι τὸν χρόνον. ἀλλ' οὕτω γε, πρῶτον μὲν ἂν ἰδιώτης εἴη παντάπασιν, εἰ μηδέποτε πρὸ τοῦ χρονίσαι τὸ ἕλκος ὁμολογεῖ διαγνῶναι δύνασθαι τὴν διάθεσιν. ἔπειτα δὲ σαφῶς ἂν ἔτι καὶ τοῦθ' ὁμολογήσειεν ὡς ἐξ ἄλλου μὲν ἡ τῆς ἰάσεως ἔνδειξις, ἐξ ἄλλων δὲ ἡ διάγνωσις γίνεται τῆς διαθέσεως. ἔσω γάρ τι συμβάλλεσθαι τὸν χρόνον εἰς τὴν διάγνωσιν. ἀλλ' ἥ γε ἔνδειξις τῆς ἰάσεως, οὐκ ἐκ τοῦ χρόνου. τί γὰρ ἂν εἴη πρὸς ἔπος, εἴ τι χρονίζει τῶν ἑλκῶν, ἐκκόπτειν τὰ κωλύοντα τὴν σύμφυσιν γίνεσθαι, καὶ νεωτεροποιεῖν τοὺς πεπονθότας τόπους; εἰ γὰρ διὰ ῥεῦμα κακόηθες, ὦ γενναιότατε, τὰ χείλη τοῦ ἕλκους ἐν διαθέσει τινὶ γέγονε, τί πλέον ἕξομεν; ἂν περικόψωμεν αὐτὰ πρὶν ἰάσασθαι τὸ ῥεῦμα, μεῖζον ἐργασόμεθα δηλονότι τὸ ἕλκος. ὥσπερ καὶ ποιοῦσιν ἔνιοι τῶν ὁμοίως ἐκείνῳ θεραπευόντων ἕλκη. τῆς γὰρ αἰτίας μενούσης, ἣ καὶ πρότερον αὐτὰ σκληρὰ καὶ τυλώδη ποιήσασα, οὐδὲν ἔσται πλέον ἐκ τῶν περιτεμνομένων ἄλλο γε, ἢ μέγεθος ἕλκους. πάλιν γοῦν ἐκεῖνα τὰ περιτμηθέντα, τοῖς πρότερον ὁμοίως ἔσται τυλώδη καὶ σκληρά. καίτοι γ' οὐδ' αὐτὸ τοῦτο προσέθηκεν ὁ σοφώτατος Θεσσαλός, ὡς ἐκκοπτέον ἐστὶ τὰ τυλώδη, καὶ σκληρά, καὶ κακόχροα τῶν ἡλκωμένων μορίων, ἀλλ' ἁπλῶς ἐκκόπτειν κελεύει τὰ κωλύοντα τὴν σύμφυσιν καὶ νεωτεροποιεῖν. εἰ μὲν οὖν ἐκκόπτειν τὰ κωλύοντα τὴν σύμφυσιν αἴτια συνεβούλευε, παλαιὸς τ' ἂν ἦν ὁ τοιοῦτος λόγος. ἐγώ τε, οὐδὲν ἂν ἐμεμφόμην αὐτῷ. παρῄνηται γὰρ ὑπὸ πάντων σχεδὸν τῶν παλαιῶν

ἰατρῶν

ἰατρῶν, ὅσοι γε λόγῳ τινὶ καὶ μεθόδῳ περὶ θεραπείας ἑλκῶν ἔγραψαν, ὡς ἐκκοπτέον ἐστὶ τὰς ἐργαζομένας αἰτίας αὐτά, καθάπερ οἶμαι καὶ τῶν ἄλλων ἁπάντων νοσημάτων. οὐ γὰρ δὴ ἐπὶ μὲν τῶν ἑλκῶν ἔτι μενούσης τῆς ποιούσης αὐτὰ αἰτίας, κάλλιον ἐκείνην πρότερον ἐκκόπτειν, ἐπὶ δὲ τῶν ἄλλων νοσημάτων, οὐ κάλλιον, ἀλλ᾽ ἐπὶ πάντων ἁπλῶς ὧν τὸ ποιοῦν ἔτι πάρεστιν, ἀπ᾽ ἐκείνου τῆς θεραπείας ἀρκτέον. εἰ δὲ τὰ κωλύοντα τὴν σύμφυσιν, οὐκ ἐπὶ τῶν αἰτίων ἁπάντων ὅσα τοῦτο πέφυκε δρᾶν, ἀλλ᾽ ἐπὶ τῶν χειλῶν εἴρηκε μόνον, ὡς ἐξ ὧν ἐπιφέρει δῆλος ἐστὶν, πλέον ἀγνοεῖν ἔοικεν, ἢ γινώσκειν εἰς ἑλκῶν ἴασιν. εἴη μὲν γὰρ ἄν ποτε καὶ τοῦτο μόνον αἴτιον τοῦ μὴ θεραπεύεσθαι τὸ ἕλκος. εἴη δ᾽ ἂν οὐδὲν ἧττον, ὡς εἴρηται, καὶ ἡ χωρὶς ὄγκου παρὰ φύσιν ἐν τοῖς ἡλκωμένοις μέρεσι δυσκρασία, καὶ ἡ μετ᾽ ὄγκου μέν τινος, ἀλλ᾽ οὐ πάντως τοῦ γε περιτομῆς δεομένου. καὶ πρὸς τούτοις ἔτι σκίρρος ὑποβεβλημένος, ἢ σπλὴν μέγας, ἤ τις ἐν ἥπατι κακοπραγία. καὶ χωρὶς τούτων ἁπάντων ἀτονία τοῦ μέρους αὐτοῦ τοῦ πεπονθότος, ἐπίτασις οὖσα δυσκρασίας καὶ ἥδε. καὶ μὲν δὴ καὶ ἡ καθ᾽ ὅλον τὸ σῶμα κακοχυμία, μέγιστον τῶν αἰτίων, ὅσα λυμαίνεσθαι τοῖς ἕλκεσι πέφυκεν. ἐνοχλεῖ δ᾽ οὐδὲν ἧττον αὐτοῖς καὶ ἡ καλουμένη πληθώρα. τούτων ἕκαστον εἰ κελεύοι ἐκκόπτειν Θεσσαλὸς, ἐπαινῶ τὸν ἄνθρωπον, ὡς ἑπόμενον τοῖς παλαιοῖς. εἰ δὲ τὰ χείλη μόνον, ἐν ἐκ πολλῶν ἐγνώκει, ὃ μηδὲ τοὺς αἰπόλους λανθάνει. εἰ γὰρ σκληρὰ καὶ τετυλωμένα, καὶ πελιδνὰ, καὶ μέλανα, καί τινα ἄλλην ἐπίσημον ἀχροιαν ἔχοντα. θεάσαιτό τις αἰπόλος, ἕλκους χείλη, πάντως τολμήσει περικόπτειν αὐτά. καὶ γάρ τοι καὶ προχειρότατόν ἐστι τὸ περικόψαι. μεῖζον δέ γε καὶ τεχνικώτερον, ἰᾶσθαι φαρμάκοις. Θεσσαλὸς δὲ, οὔτε τῶν ὑπὸ φαρμάκων δυναμένων μαλαχθῆναι χειλῶν εἰς γνῶσιν ἧκέ ποτε, καὶ γοῦν καὶ λέγουσιν αὐτὸν ἀπεστερῆσθαι τελέως τοῦ τοιούτου μέρους τῆς τέχνης, ὥσπερ οὖν ἐμφαίνει καὶ αὐτὸς, οὐδ᾽ ὅλως ἐμπειρίαν ἢ λογικὴν ἐπιστήμην ἐοικὼς ἔχειν οὐδενὸς φαρμάκου. καθότι καὶ τοῦτο διὰ τῶν περὶ φαρμάκων ἐνδείκνυται βιβλίων. ἀλλὰ περὶ μὲν τῶν ἐν ἐκείνοις οὐκ ὀρθῶς εἰρημένων, ἐπὶ προήκοντι τῷ λόγῳ διαλέξομαι. περὶ δὲ τῆς τῶν χρονίων ἑλκῶν ἰάσεως, ἣν ἐν τῇ προγεγραμμένῃ ῥήσει Θεσσαλὸς ἐποιήσατο, πρόκειταί μοι τό γε νῦν εἶναι διελθεῖν. ἄμεινον μὲν ἦν δήπου μὴ χρόνια καλεῖν, ἀλλὰ κακοήθη ταῦτα. καὶ τὴν φύσιν αὐτῶν ἐκδιηγήσασθαι. καὶ τὰς αἰτίας τῆς γενέσεως εἰπεῖν, καὶ τὴν θεραπείαν ἑκάστου. τὴν μὲν ὡς ἐφ᾽ ἕλκει κοινὴν ἁπάντων αὐτῶν, οἵαν ἐν τῷ τρίτῳ γράμματι διῆλθον· ἰδίαν δ᾽ ἐφ᾽ ἑκάστου, κατὰ τὸ τῆς ἐργαζομένης αἰτίας εἶδος, ὡς ἐν τούτῳ τῷ λόγῳ διωρισάμην. ὁ δὲ, οὐδὲν τούτων ποιήσας, καὶ νεωτεροποιεῖν τοὺς ἡλκωμένους τόπους ἀξιοῖ, καὶ παραπλήσια τοῖς νεοτρώτοις ἀπεργασαμένους ἐναίμους ἰᾶσθαι. τοῦτο μέν γε νὴ μὰ τὸν Ἀσκληπιὸν ἐναργῶς ἄν τις γνωρίσειε τοῖς ἔργοις τῆς τέχνης ἐγγεγυμνασμένος, ὡς ὑπ᾽ ἀνθρώπου γέγραπται ταῦτα μηδέ ποτε προνοήσαντος ἕλκους. ἐναίμως ἰᾶσθαι δύναταί τις, ἕλκος χρόνιον ὅμοιον τοῖς νεοτρώτοις ἐργασάμενος, ἀγκτῆρσι συναγαγὼν, ἢ ῥάψας αὐτοῦ τὰ χείλη. ἢ τούτων μὲν οὐδενὶ, ἐναίμῳ δέ τινι φαρμάκῳ καὶ μόνῃ σὺν αὐτῷ θαρρήσας ἐπιδέσει. τίς οὐκ οἶδεν ὡς πᾶν ἕλκος κακόηθες εὐθὺς καὶ κοῖλόν ἐστιν, ὡς ἂν ἐξ ἀναβρώσεως γενόμενον. ἆρ᾽ οὖν, ὦ σοφώτατε Θεσσαλὲ πρὶν σαρκωθῆναι τὸ κοῖλον ἕλκος εἰς σύμφυσιν ἀχθῆναι δύναται; ἢ οὐ τοῦτ᾽ ἐστὶ τὸ ἐναίμως ἰᾶσθαι; μάτην τοίνυν αὐτὸς σὺ τῶν κοίλων ἑλκῶν τὸν σκοπὸν, οὐ κόλλησιν, ἀλλὰ πλήρωσιν ἔγραψας. εἰ δὲ καὶ μὴ δι᾽ ἑαυτὸ κοῖλον ἦν ἅπαν ἕλκος κακόηθες, ἀλλά τοι γ᾽ ἐν τῷ νεωτεροποιεῖν αὐτοῦ τὰ χείλη περικόπτοντας ὡς σὺ κελεύεις, ἐξ ἀνάγκης οἶμαι καὶ κοῖλον γίνεται, καὶ πλείστην ἴσχει τῶν χειλῶν τὴν διάστασιν. ὥστ᾽ οὐκ οἶδ᾽ ὅπως ἔτι κολλήσεις αὐτὸ, καὶ συμφύσεις ἐναίμως. εἰ γὰρ προσάγειν ἐπιχειρήσεις βιαίως τὰ διεστῶτα πάμπολυ χείλη, φλεγμανεῖ μὲν ἐξ ἀνάγκης, οὐ συμφύσεται δὲ, τούτου καὶ μόνου συνεῖναί μοι δοκεῖ καὶ Θεσσαλός. ἐπιφέρει γοῦν, κἂν μὴ κρατηθῇ, παρηγορεῖν τὴν φλεγμονήν. ἄμεινον δὲ ἦν γράψαι, καὶ μὴ κρατηθέντων παρηγορεῖν τὴν φλεγμονήν. ἐξ ἀνάγκης γὰρ οὐ κρατηθήσεται. ἀλλ᾽ εἰ καὶ τοῦτο συγχωρηθείη τῷ Θεσσαλῷ, καὶ παρέλθοιμεν αὐτὸ, καὶ μὴ λίαν ἀκριβῶς ἐξετάζοιμεν, ὅτι γε τελέως ἀποκεχώρηκε τῆς κοινότητος ἧς αὐτὸς ὑπέθετο, πρόδηλον παντί. εἰ γὰρ τὸ ἐμποδίζον ἐξαιρήσομεν, οὐδὲν ἔτι περὶ τῆς τῶν χρονίων ἑλκῶν ὡς χρονίων κοινότητος ληψόμεθα. ἀλλ᾽ ἔστω καὶ τοῦτο. θεασώμεθα δὲ τὰ ἐφεξῆς. γράφει γοῦν ὧδε. τὰ δ᾽ εἰς οὐλὴν ἐρχόμενα καὶ ἀναλυόμενα, κατὰ μὲν τοὺς παροξυσμοὺς καὶ τὰς ἑλκώσεις, ὁμοίως θεραπεύειν τοῖς προσφάτως φλεγμαίνουσι. μετὰ δὲ ταῦτα φησί. φοινίσσειν τὰ κύκλῳ μέρη τῷ διὰ τοῦ νάπυος μαλάγματι. τί φὴς ἄνθρωπε, κἂν δριμὺ, κἂν θερμὸν ῥεῦμα τὸ φερόμενον ᾖ, φοινίσσειν χρὴ νάπυϊ τὸ μόριον; ἵν᾽ ὅπερ ἐν πολλῷ χρόνῳ πάσχειν ὑπὸ τοῦ ῥεύματος ἔμελλεν, ὑπὸ τοῦ Θεσσαλείου ταχέως πάθοι φαρμάκου, πᾶν ἑλκωθέν τε καὶ ἀναβρωθέν; τὰς γὰρ διὰ ψύξιν, ἢ ὑγρότητα πολλὴν, ἄνευ θερμασίας ἐπιφανοῦς, ἀτονίας τῶν μερῶν, φοινιγμοῖς ἐθεράπευον οἱ παλαιοί. σὺ δ᾽ ἑξῆς ἐπὶ πάντων χρᾷ, πρῶτον μὲν αὐτὸ τοῦτο μὴ διορισάμενος, εἴτε δι᾽ ἀτονίαν τοῦ μέρους, εἴτε διὰ κακοήθειαν τοῦ ῥεύματος, οὐ θεραπεύεται τὸ ἕλκος. ἔπειτα δ᾽ ὑπαλλάττων τὴν τάξιν. ὅταν γὰρ κατακαύσας τὸ νάπυϊ τὸ μέρος, ἀνύσῃς μηδὲν, ἐπὶ τὴν τοῦ παντὸς σώματος ἔρχῃ θεραπείαν, ἔμπαλιν δ᾽ οἶμαι καὶ τῷ λόγῳ καὶ τῇ πείρᾳ περὶ τούτων ἔγνωσται, τὸ σύμπαν σῶμα πρότερον ἀπέριττον ἐργασαμένους, τολμᾶν ἐπιφέρειν τι τῷ μορίῳ θερμαῖνον καὶ δριμὺ φάρμακον. ἕλκειν γὰρ ἐφ᾽ ἑαυτὰ πέφυκεν ἐξ ὅλου τοῦ σώματος ἅπαντα τὰ τοιαῦτα, δίκην σικύας. ἐὰν μὴ φθάσῃς κενώσας αὐτὸ, χορηγίαν ῥεύματος ἐγκαταλήψεις τῷ δριμεῖ φαρμάκῳ. τοῦτο καὶ τοῖς ἐμπειρικοῖς ἰατροῖς ὡμολόγηται, καὶ τοῖς δογματικοῖς. τοῦτο καὶ τοῖς ἀρίστοις ἔδοξε τῶν φιλοσόφων. ἐπειδὴ γὰρ κἀκείνων μέμνηται Θεσσαλὸς, οὐ χεῖρον αὐτοὺς ἐπικαλέσασθαι μάρτυρας. ὡς ὀφθαλμὸν οὐκ ἐγχωρεῖ καλῶς ἰάσασθαι πρὸ τῆς ὅλης κεφαλῆς. οὐδὲ ταύτην ἄνευ τοῦ παντὸς σώματος. οὕτως Ἀριστοτέλης καὶ Πλάτων ἐγίνωσκον ὑπὲρ νοσημάτων ἰάσεως. οὕτω δὲ καὶ Ἱπποκράτης, καὶ Διοκλῆς, καὶ Πραξαγόρας, καὶ Φιλότιμος, καὶ πάντες οἱ παλαιοί. Θεσσαλὸς δὲ μόνος ἔμπαλιν ἐπὶ τὸ διὰ τοῦ νάπυος ἥκει φάρμακον πρῶτον. εἶθ᾽ ὕστερον ἐπιμελεῖται τοῦ παντὸς σώματος. οὔκουν οὐδ᾽ ἐν τούτῳ φρονίμως οὐδὲν ὑποτιθέμενος. ἐνίοτε γὰρ ἅπαξ ἐκκενώσαντα τὸ σῶμα καθαίροντι φαρμάκῳ, μετὰ τοῦτο χρηστῶς ἀνατρέφειν, ἀναφωνήσεώς τε μεμνῆσθαι καὶ γυμνασίων, αἰωρήσεών τε καὶ διαίτης ἐκ περιόδου μεταβαλλομένης.

καί τινος ἀπὸ ῥαφανίδων ἐμέτου. κἄπειτα τὸν κολοφῶνα τούτοις ἐπάγει, τὸν ἐλλέβορον αὐτόν, ὁ χωρὶς περιεργείας ἐπαγγειλάμενος ἅπαντα θεραπεύειν. ἐγὼ δ' οὐδ' ἐπινοῆσαι δύναμαι, πῶς ἄν τις χεῖρον ἢ μακρότερον, ἢ περιεργότερον ἕλκος ἰάσαιτο. φέρε γὰρ ἵν' ὥσπερ ἔργῳ πολλάκις ἑωράκαμεν, οὕτω καὶ τῷ λόγῳ πλάσωμεν ἄνθρωπον ἰάσεως ἕλκους κακοήθους δεόμενον. ἔστω τις ὑγιαίνων μὲν τἄλλα, κνησάμενος δ' ἐξαίφνης ὁτιοῦν μόριον, εἰ βούλει πῆχυν, ἐγειράτω παραχρῆμα φλυκταίναν. εἶτ' αὖθις καὶ αὖθις κνησαμένου γιγνέσθω ταὐτὸ τὸ μόριον. ἐκραγείσης δὲ τῆς φλυκταίνης, ἕλκος κακόχρουν ἀνωμάλως ἀναβιβρωσκόμενον γεννάσθω. καὶ ταῦτ' ἐν τρισὶν ἢ τέτταρσιν ἡμέραις ἀπὸ τῆς ἀρχῆς συμπιπτέτω. λεγέτω δή τις ἐνταῦθά μοι τῶν Θεσσαλείων ἰατρῶν, ὅν τινα χρὴ τρόπον ἰᾶσθαι τὸ τοιοῦτον ἕλκος. ἐγὼ μὲν γάρ φημι, κακόηθές τε πάντως ὑπάρχειν αὐτό. καὶ διὰ τοῦτο συνεπισκέψομαι παραχρῆμα τὴν τοῦ παντὸς σώματος διάθεσιν, ὁποία τίς ἐστιν. εὑρήσω γὰρ ἔκ τε τῶν περὶ τὸ ἕλκος συμπτωμάτων, κἀκ τῶν περὶ σύμπαν τὸ σῶμα φαινομένων σημείων, ὁποῖος μάλιστα τὴν ἰδέαν ἐστὶν ὁ πλεονάζων χυμός. καὶ τοῦτον ἐκκενώσω φαρμάκῳ παραχρῆμα. καὶ οὐκ ἀναμενῶ τὸν πῆχυν ὅλον τ' ἀνθρώπου διάθεσίν τινα κακοήθη καὶ δυσίατον σχεῖν. οἱ δ' ἀπὸ τοῦ Θεσσαλοῦ, τὰς ἐκείνου δηλονότι φυλάττοντες ὑποθήκας, πρῶτον ἀναμένουσι χρόνιον γενέσθαι τὸ ἕλκος, ἵν' εἰς τὴν θαυμαστὴν ἐμπέσῃ κοινότητα τῶν χρονίων ἑλκῶν. ὥσπερ οὐκ ὂν ἄμεινον μακρῷ, κακοήθων ἑλκῶν, ἀλλὰ μὴ χρονίων, ἐνδεικτικὴν θεραπείας ὑποθέσθαι κοινότητα. εἶτα δυοῖν θάτερον, ἢ ἐκκόψουσι καὶ νεωτεροποιήσουσι καὶ συνάξουσιν ὡς εἰς κόλλησιν, ἢ πρῶτον μέν, τῷ διὰ τοῦ νάπυος χρήσονται φαρμάκῳ. τούτου δ' ἀνύσαντος μηδέν, ἐπὶ τὰς ἀναφωνήσεις τε καὶ τὰς αἰωρήσεις καὶ τὰ ἄλλα γυμνάσια, καὶ τὰς τῆς διαίτης κατὰ περιόδους μεταβολὰς ἀφίξονται. κἄπειτα καὶ τοῖς ἀπὸ ῥαφανίδων ἐμέτοις χρήσονται. καὶ μηδὲ τούτων ἰωμένων τὸ ἕλκος, ἐλλέβορον δώσουσιν. ἂν δὲ μηδ' οὗτος ἀνύσῃ μηδέν, ἀποπέμψουσιν εἰς Λιβύην τὸν ἄνθρωπον. ἔτι γὰρ τοῦτ' ἔδει προσγεγράφθαι τὸν Θεσσαλὸν ἐπὶ τῇ θαυμαστῇ τῶν ἑλκῶν τῶν κακοήθων ἰάσει. κατατρίβει γοῦν ἐν ἀναφωνήσεσιν αἰώραις τε καὶ τοῖς τοιούτοις, ὥσπερ καχεξίαν, ἀλλ' οὐ κακοχυμίαν θεραπεύων. καὶ τί θαυμαστόν, εἰ μή τε γνωρίζειν ὁμολογοῦσιν ἄρτι συνιστάμενον ἕλκος κακόηθες, ἀναμένουσί τε χρόνιον αὐτὸ γενέσθαι, καὶ πολλάκις μὲν ἐπουλωθῆναι, πολλάκις δ' ἀναλυθῆναι, πρὸ τοῦ γνῶναι τί ποιητέον ἐστίν, ὅπου καὶ τοὺς ὁπωσοῦν πυρέξαντας ὑποβάλλειν ἀξιοῦσι τὸν διὰ τρίτης ἡμέρας ἤτοι γενησόμενον, ἢ μὴ γενησόμενον παροξυσμόν. οὕτως ἀκριβῶς ἄρα τὴν περὶ κρίσεων ἐκμεμαθήκασι θεωρίαν, ἢ τῆς μελλούσης ἀκμῆς τοῦ νοσήματος ὑπάρχουσι προγνωστικοί. τί δὴ συμβαίνει πολλάκις; ἐπὶ τῆς κλίνης κατασήπεσθαι τοὺς ἀνθρώπους ὑπ' αὐτῶν, ἀπηλλάχθαι δυναμένους εὐθὺς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν. οὐχ ἅπαξ γὰρ ἡμεῖς, ἢ δίς, ἢ τρίς, ἀλλὰ μυριάκις αὐτοί τε πολλοὺς τῶν πυρεξάντων ἐλουσάμεθα, ἅμα τῷ παύσασθαι τὸν πρῶτον παροξυσμόν, τούς τε διδασκάλους ἡμῶν ἐθεασάμεθα ταὐτὸ τοῦτο ποιοῦντας. ἀδεῶς τε τοῦ λοιποῦ διαιτᾶσθαι συνεχωρήσαμεν, ὡς οὐκ ἂν ἔτι πυρέξοντας, οὓς ὁ σοφώτατος Θεσσαλός, ὁ τὴν πρώτην διάτριτον ἐξευρών, ἐταρίχευσεν ἂν ὅλαις, οἶμαι, τρισὶ λιμοκτονίσας ἡμέραις. εἶθ' οὕτως ἔθρεψεν ἄν, οἶμαι, δηλαδὴ μετρίως τεταρταίους. εἶτα κατ' ὀλίγον ἀνακομίζων, μόλις ἑκταίους ἢ ἑβδομαίους ἀπέπλασεν ἂν ἐπὶ τὰ συνήθη τοὺς ἅπαξ πυρέξαντας. οὕτως ἀεὶ κατασήπουσι τοὺς ἀνθρώπους ἐν τοῖς πάθεσι, κἂν ἀπαλλαγῆναι ῥᾳδίως αὐτῶν ᾖ δυνατόν. ὀλιγίσταις οὖν ἡμέραις, οἷόν τε θεραπευθῆναι κακόηθες ἕλκος ἀρχόμενον, ὁ Θεσσαλὸς εἰς ἐνιαυτὸν ἢ καὶ πλείονα χρόνον ἐκπίπτειν ἐᾷ. τὸ γὰρ ἀναμένειν πολλάκις μὲν αὐτὸ συνουλωθῆναι, πολλάκις δ' ἀναλυθῆναι, ἵν' εἰδῇ εἰ κακόηθες, κἄπειτα τῆς θεραπείας ἀρξάμενον, οὐδ' οὖν οὐδὲ τότε καθαίρειν εὐθύς, ἀλλὰ τῷ διὰ τοῦ νάπυος μὲν πρῶτον, εἶθ' αἰώραις, ἀναφωνήσεσί τε καὶ διαίταις χρῆσθαι, κἄπειτα ῥαφανίσιν, εἶθ' οὕτως ἐλλεβόρῳ, τί ἄλλο, ἢ ἐνιαυτὸν ἀναμένοντός ἐστιν; εἶτ' ὦ πρὸς θεῶν, ἐξ ἡμερῶν ἢ τὸ πλεῖστον ἑπτά, δυναμένου τἀνθρώπου τε θεραπεύεσθαι, μῆνας ἀναμενοῦμεν πολλούς, ἵνα δηλαδὴ πρῶτον μὲν γνῶμεν εἰ χρόνιόν ἐστιν, ἔπειτα δ' ἀρξώμεθα τῆς θεραπείας. καὶ τίς ἡ ἀνάγκη χρονίων ἑλκῶν ἰδίαν ὑποθέσθαι κοινότητα, μηδὲν εἰς τὰς ἰάσεις ἡμᾶς ὠφελοῦσαν; ἐνὸν μὴ χρονίων, ἀλλὰ κακοήθων, οὐ κοινότητα μὰ Δία, οὐδὲ τούτων ἐνδεικτικήν, ἀλλὰ θεραπείαν γράψαι. συμβέβηκε μὲν γάρ τισιν ἕλκεσί τε καὶ νόσοις κακοήθεσιν ὑπάρχειν, οὐ μὴν ἀπὸ τούτου γε ἡ τῆς θεραπείας ἔνδειξις. ἀλλ' ἡ μὲν διάθεσις αὐτὴ τὸν πρῶτον τῆς ἰάσεως ὑπαγορεύει σκοπόν, ἐξ ἐκείνου δ' εὑρίσκεται τὰ ποιητέα, καθ' ὃν ἐγὼ διελήλυθα τρόπον. ὥστε τοῦτ' ἐστὶ τὸ μεθόδῳ θεραπεύειν, ὃ ποιοῦμεν ἡμεῖς ἑπόμενοι τοῖς παλαιοῖς. εἴγε χρὴ τὴν μέθοδον ὁδόν τινα εἶναι καθόλου μίαν ἁπάντων κοινὴν τῶν κατὰ μέρος. ὁ δέ γε κἂν τούτῳ σφάλλεται, καὶ τὸ πάντως ὑπάρχον τοῖς ὁπωσοῦν μεθόδῳ ποιοῦσι, τοῦτο τὴν μέθοδον αὐτὴν εἶναι νομίζει. γνῶσιν μὲν γὰρ ἔχειν ἀναγκαῖόν ἐστι τὸν μεθόδῳ πᾶν ὁτιοῦν ἐργαζόμενον, ὁμοιότητός τε καὶ ἀνομοιότητος, οὐ μὴν αὐτό γε τοῦτ' ἐστὶν ἡ μέθοδος, ὁμοίου τε καὶ ἀνομοίου γνῶσις. οὐδὲ τοῦτο λέγει Πλάτων ἢ Ἀριστοτέλης, ὧν τολμᾷ καταψεύδεσθαι Θεσσαλός. ἀλλὰ γὰρ οὐ τοῦ παρόντος καιροῦ ταῦτ' ἐξελέγχειν. αὖθις οὖν ἐπὶ τὴν θεραπευτικὴν μέθοδον ἐπάνειμι, καὶ δείξειν ἐπαγγέλλομαι τήν τε ἀρχὴν αὐτῆς μίαν ἐν ἁπάσαις ταῖς ἰάσεσι, τήν τε ἀπὸ τῆς ἀρχῆς ὁδὸν ἕως τοῦ τέλους, ὁμοίαν ἐν ἅπασι τοῖς κατὰ μέρος. ὥστ' εἰ καὶ καθ' ἕκαστον πάθος, ἰδία τις φαίνοιτο μέθοδος ἰάσεως, ἀλλὰ τό γε κοινὸν ἐφ' ἁπάσαις γένος, ἐν ὑπάρχει. ἄρχεσθαι μὲν γὰρ ἀεὶ χρὴ τῆς ἐνδείξεως, ἀπὸ τῆς διαθέσεως ἣν θεραπεύειν ἐπιχειροῦμεν. ἐπισκέπτεσθαι δὲ καὶ διορίζεσθαι, πότερον ἤδη πέπαυται τὸ ποιῆσαν αἴτιον τὴν διάθεσιν, ἢ καὶ νῦν ἔτι συνεπαύξει τε καὶ ποιεῖ. κἄπειτα πεπαυμένου μὲν ἐπὶ τὴν ἐν τῷ τρίτῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένην μέθοδον ἰτέον. ἔτι δὲ ποιοῦντος, ἐπὶ τὴν ἐν τῷ δε. τῇ γὰρ αὐτῇ μεθόδῳ τῇδε, καὶ φλεγμονῆς, καὶ πυρετοῦ, καὶ πάντων ἁπλῶς τῶν νοσημάτων τὰς ἰάσεις, ἐξευρήσομεν εἰ μὲν μηκέτι γίγνοιτο μηδέν, μὴ προσχρώμενοι τοῖς προηγησαμένοις αἰτίοις, ἀλλ' ἐξ αὐτῆς μόνης τῆς διαθέσεως ὁρμώμενοι. εἰ δέ τι καὶ νῦν γίγνοιτο, καὶ διττὸν σκοπὸν τῆς θεραπείας ὑποτιθέμενοι, καὶ τἄλλα ἑξῆς ὡς εἴρηται ποιοῦντες. ἀλλὰ γὰρ καὶ τῆς ἀναισθησίας τῶν ἑπομένων τῷ Θεσσαλῷ θαυμάζειν ἄξιον. οὐκ ἐπειδὰν

ἐν τοῖς

ἐν τοῖς τοιούτοις ἁμαρτάνουσιν, ἀλλ' ὅτι δυσπαθείας τε καὶ μετασυγκρίσεις, ἀτονίας τε καὶ ῥώσεις, καὶ πολλὰ τοιαῦθ' ἕτερα λέγοντες ὀνόματα, σημαινόμενα πρὸς αὐτῶν οὐδέπω καὶ νῦν ἐρωτηθέντες, ἀποκρίνασθαι δύνανται. τί γὰρ ἐστι τὸ μετασυγκρίνειν τὴν ἕξιν ἐπὶ τῶν χρονιζόντων ἁπάντων, οὔθ' ὡσαύτως ἀλλήλοις, οὔτε σαφῶς, οὔτε νουνεχῶς ἀποκρίνονται. εἰ μὲν οὖν ἢ παλαιὸν ἢ παρά τινι τῶν ἑλλήνων ἦν γεγραμμένον τοὔνομα, τάχ' ἂν ἴσως ἐξ ὧν ἐκεῖνοι γράφουσιν ἐνοήσαμεν ἐφ' ὅτου πράγματος ἐπιφέρουσιν αὐτό. νυνὶ δέ, καὶ γὰρ τούτων ἐμπληξίας ἐστὶν οἰκεῖον, ἀπὸ τῆς Ἀσκληπιάδου γεγενημένων ὑποθέσεως ὥσπερ καὶ τἄλλα αὐτῶν δόγματα, δίκαιοι δήπουθεν εἰσί, τοὺς ἰδίους ὀνείρους ἐξηγεῖσθαι. ὅθεν συγκρίνεσθαι τὰ σώματα καὶ διακρίνεσθαι τοῖς ὄγκους καὶ πόρους ὑποθεμένοις, ἢ ἄτομα καὶ κενόν, ἢ ὅλως ἀπαθῆ καὶ ἀναλλοίωτα τὰ πρῶτα στοιχεῖα, μόνοις ἐγχωρεῖ λέγειν, ὥσπερ οὖν καὶ λέγουσι καὶ συνεχῶς αὐτοὶ χρῶνται τοῖς ὀνόμασι. καὶ δῆτα καὶ ὁ Θεσσαλὸς ἐν τῷ κανόνι ταύτας κατασκευάζων τὰς ἀρχάς, νεωτεροποιεῖ μέν τι κἀκεῖ παρὰ τὰ Θεμίσωνί τε καὶ ἀσκληπιάδει δοκοῦντα. διδάσκει δ' οὖν ὅμως τὴν ἑαυτοῦ γνώμην οὐκ ἀσαφῶς. οὐ γὰρ ἁπλῶς ὡς Ἀσκληπιάδης ἐν συμμετρίᾳ μέν τινι πόρων, τὸ ὑγιαίνειν ἡμᾶς ὑποθέμενος, ἐν ἀμετρίᾳ δέ, τὸ νοσεῖν, ἐπάνοδον εἶναι τὴν θεραπείαν εἰς τὴν ἀρχαίαν συμμετρίαν τῶν πόρων ὑπέλαβεν, οὕτω καὶ ὁ Θεσσαλός, ἀλλὰ τὸν τρόπον τῆς ποροποιΐας ὅλον ὑπαλλάττεσθαι νομίζει. κἀκ ταύτης τῆς ὑπολήψεως ἥκει τὸ μετασυγκρίσεως ὄνομα, ταυτὸν δηλοῦν δυνάμει, τῷ τῆς μεταποροποιήσεως. οὐκ ἐχρῆν δ' αὐτὸν ἐν οἷς ἀποχωρεῖν τῶν ἀδήλων κελεύει, καὶ μόναις προσέχειν τὸν νοῦν ταῖς ἐναργῶς φαινομέναις κοινότησιν, ἐν τούτοις ἔτι δογματικοῖς χρῆσθαι τοῖς ὀνόμασιν. ἀλλὰ μὴ δογματικῶς ἄκουε λέγοντος αὐτοῦ φασιν, ἀλλ' ἀφελῶς. εἰώθασι γὰρ οὕτως ἀντιλαμβάνεσθαί τινες τῶν ἀπ' αὐτοῦ. πάλιν ἐφ' ἕτερον ἡμᾶς ἄγοντες ὄνομα τὴν ἀφέλειαν, ἣν οὐδ' αὐτήν, ἔγωγ' οὖν ἔχω νοῆσαι τί δηλοῖ. εἰ μὲν γὰρ ὡς αὐτοὶ καὶ τοῦτ' ἐξηγοῦνται, πάλιν εἰς ἕτερον ὄνομα μεταλαμβάνοντες ληρωδέστερον τὸ βιωτικῶς, εἶτ' αὖθις καὶ τοῦτ' ἐξηγούμενοι, φασὶ δηλοῦσθαι πρὸς αὐτοῦ τὸ τοῖς πολλοῖς τῶν ἀνθρώπων ὡσαύτως. ἴδοιμ' ἂν εἴη δήπου τὸ ἀφελῶς, τῷ μὴ διηκριβωμένως μηδ' ἀκριβῶς, ἀλλ' ἀτέχνως τε καὶ χωρὶς ἐπιστήμης ἁπάσης. φθέγγονται μὲν γὰρ οἱ πλειότεροι τῶν ἀνθρώπων ὀνόματα τεχνικὰ μετά τινων ὑπονοιῶν, οὐδὲν ἐχουσῶν ὡρισμένον. τοῖς δ' ἐρωτήσασιν ὅ, τί ποτε δηλοῦσιν, οὐκ ἔχουσιν ἀποκρίνασθαι σαφῶς. εἰ δὲ τοῦθ' ὁμολογοῦσι καὶ οἱ Θεσσάλειοι πεπονθέναι, φθέγγεσθαι μέν τινα, μὴ γινώσκειν δ' ἀκριβῶς ἃ λέγουσιν, αὐτὸ δήπου πρόσεστι τὸ πρὸς ἡμῶν αὐτοῖς ὀνειδιζόμενον. ἡ γοῦν μετασύγκρισις, εἰ μὲν ὑπὸ τοῦ τὴν ποροποιΐαν ἐναλλάττεσθαι λέγοιτο, νοῦν μὲν ἕξει τινά, καὶ δηλώσει τι πρᾶγμα. ληρώδης δ' ἔσται πολυειδῶς. οὔτε γὰρ ἐξ ὄγκων καὶ πόρων τὰ σώματα ἡμῶν συνέστηκεν, οὔτ' εἰ καὶ τοῦτ' ἀληθὲς ἦν, ἔχει τις δεῖξαι, πῶς ἐξαλλάττει τὸ πάνυ τὴν ποροποιΐαν. οὔτ' εἰ καὶ τοῦτ' ἔχει τις δεῖξαι, κατὰ τὴν ἀκολουθίαν ἦν τῆς αἱρέσεως αὐτῶν, ἀρκεῖσθαι φασκόντων ταῖς φαινομέναις κοινότησι. μὴ τοίνυν μηδὲ χρήσθωσαν τῷ ὀνόματι. μηδὲ πρᾶγμαθ' ἡμῖν παρεχέτωσαν. ἔνεστι γὰρ δήπου καὶ χωρὶς τοῦ χρῆσθαι τῷ τῆς μετασυγκρίσεως ὀνόματι, τὴν θεραπείαν εἰπεῖν τῶν χρονιζόντων ἑλκῶν ἑτέροις ὀνόμασιν, ὥσπερ καὶ οἱ ἐμπειρικοὶ ποιοῦσιν. ὅτι δὲ καὶ ἡ τῆς ἀτονίας προσηγορία κατὰ τὸν αὐτὸν τρόπον φλυαρεῖται, δέδεικται πρόσθεν ἐν τῷ δευτέρῳ λόγῳ. εἰ μὲν γὰρ ὡς ἐμπειρικοὶ προφέρονται τοὔνομα, πλέον οὐδὲν δηλοῦσι τοῦ μὴ σώζεσθαι τὴν ἐνέργειαν. εἰ δέ τινας ὑποτίθενται δυνάμεις τὸ ζῷον διοικεῖν, οἵας ἡμεῖς τε λέγομεν, ἅπαντές τε σχεδὸν οἱ παλαιοί, πρὸς τῷ τοῖς Ἀσκληπιάδου δόγμασιν ἐναντία τίθεσθαι, καὶ τῶν ἀδήλων τε καὶ διαπεφωνημένων ἐφάπτονται. καίτοι φεύγειν ταῦτα παρακελευόμενοι. τί λέγεις ἄνθρωπε; τὸ μετασυγκρίνειν, ἀποσαφήνισον ἡμῖν. εἰ μὲν γὰρ τὸ τοὺς πόρους ὑπαλλάττειν, καὶ ψεῦδος, καὶ τῶν ἀδήλων ἐφάπτῃ. εἰ δ' αὐτὸ τοῦτο τὸ ῥώννυσθαί τε καὶ ὑγιάζεσθαι τὸ μόριον τοῦ σώματος, ἢ τὸν ἄνθρωπον ὅλον, οὐδὲν ἂν πλέον ἐνταῦθα τῶν ἐμπειρικῶν ἀποφαίνῃ, πλὴν ὀνόματος. γινώσκουσι γὰρ δήπου κἀκεῖνοι τῶν δέ τινων προσαγομένων τῶν βοηθημάτων ὑγιάζεσθαι τὸν ἄνθρωπον. ἀλλὰ τί ποιούντων αὐτῶν, οὐκ ἴσασιν. οὔτε γὰρ εἰ τοὺς πόρους ὑπαλλάττουσιν αἱ δυνάμεις τῶν βοηθημάτων, οὔτ' εἰ συμμετρίαν αὐτοῖς ἐκπορίζουσιν, οὔτ' εἰ σύμπαν ἀλλοιοῦσι κατὰ ποιότητα τὸ θεραπευόμενον μόριον, ἔχει τις εἰπεῖν τῶν ἐμπειρικῶν. ἐκεῖνοι μὲν οὖν σωφρονοῦσιν ἓν μόνον ἐπίστασθαι λέγοντες, ὡς τῷ τοιῷδε νοσήματι, κατὰ τὸν δε τὸν καιρόν, προσφερομένου τοῦ δεῖνα τοῦ φαρμάκου, πολλάκις ἐτήρησαν ὠφέλειαν ἀκολουθοῦσαν. οὐ μὴν μεθόδους γε φθέγγονται, καὶ τὰς ὀφρῦς ἀνατείνουσι καὶ σεμνύνονται τῇ τοιαύτῃ γνώσει, καὶ τοῖς παλαιοῖς λοιδοροῦνται, καὶ τὸν Ἱπποκράτην τὸ μηδὲν ὑπειλήφασιν, ἀλλ' αὐτὸν τοὐναντίον ἐπαινοῦσί τε, καὶ σχεδὸν ἅπαντα φασὶν ἀληθεύειν αὐτόν. ὃ δὴ καὶ τούτου καὶ τῶν ἄλλων ἰατρῶν ἁπάντων καταφρονήσας Θεσσαλός, ἕλκους κακοήθους ἐμπειρικὴν ἀναγράφων διδασκαλίαν, οὐκ αἰσθάνεται. καίτοι γ' εἰ καὶ τοῦτο δεόντως ἐποίησεν, ἦν ἄν τι πλέον ἐξειργασμένος. ἀλλὰ γὰρ οὐδὲ τοῦτο ποιεῖν ἔοικεν, ὑπαλλάττων τὴν τάξιν τῶν βοηθημάτων. καὶ πρότερον χρώμενος τῷ τοῦ πεπονθότος μέρους, πρὶν ἂν τὸ σύμπαν σῶμα παρασκευάσαι. τοῦτο γὰρ ὑπερβολὴν ἀμαθείας ἔχει. μον γοῦν σχεδόν τι τοῖς ἰατροῖς ἅπασιν ὡμολόγηται, καίτοι γε τῶν πλείστων διαπεφωνημένων, τὸ πᾶν σῶμα καθαρὸν καὶ ἀπέριττον ἐργάζεσθαι, πρὶν ὁτιοῦν μόριον ἰσχυροῖς ὑποβάλλειν βοηθήμασιν. εἴτε γὰρ τῇ πείρᾳ κρίνειν ἐθέλοι τις ἄν, εἴτε καὶ τῷ λογισμῷ, τρίτον γὰρ οὐδὲν ἕτερον κριτήριον, οὔτε κατ' ἄλλην τέχνην, οὔτε καθ' ὅλον τὸν βίον ἔχομεν, εὑρήσει μέγιστον κακὸν ὑπάρχον, ὅταν τοῦ παντὸς σώματος ἐπικρασίας δεομένου, πρὶν ἐκείνου προνοήσασθαι, τῷ πεπονθότι μορίῳ προσφέρῃ τις ὁτιοῦν δριμὺ καὶ θερμὸν φάρμακον. ἕλκει γὰρ ἐφ' ἑαυτὸ δίκην σικύας ἐξ ὅλου τοῦ σώματος τὰ περιττώματα. καὶ στηρίζει δυσλύτως κατὰ τὸ πεπονθὸς μέρος. ἄξιον οὖν ἐρέσθαι τοὺς Θεσσαλείους πόθεν ἐπῆλθε τοιαῦτα φλυαρεῖν ὑπὲρ ἑλκῶν κακοήθων ἰάσεως. οὔτε γὰρ ἐμπειρικὸς οὐδεὶς τῶν πρόσθεν, οὔτε λογικὸς ἀνὴρ οὕτως ἔγραψεν. ἀλλὰ μὴν οὐδ' αὐτὸς ὁ Θεσσαλός, οὐδὲ τῶν ἀπ' αὐτοῦ τις τολμήσειεν εἰπεῖν, ἢ τῇ πείρᾳ συμφωνεῖν, ἢ τῷ λογισμῷ τὴν τοιαύτην τάξιν τῶν βοηθημάτων. οὐ μὴν οὐδὲ δεῖξαι δύνανται πῶς ὁ χρόνος οὐχ ἡ διάθεσις ἐνδείκνυται. καὶ τὸ τούτου μεῖζον ἔτι πῶς αὐτὸς ὁ Θεσσαλὸς ἀξιῶν σκέπτεσθαι τί τὸ ἐμποδίζον ἐστὶ τὴν συνούλωσιν τῶν ἑλκῶν, καὶ τοῦτ' ἐκκόπτειν, οὐχὶ τελέως ἐστὶν ἀναίσθητος;

ἅμα γὰρ οὐκ εἰδὼς, ὡς τοῦτ᾽ ἀρκεῖ μόνον. ἡ χρονιότης δὲ τῶν ἑλκῶν οὐδὲν ἐστὶ πρὸς ἔπος. ἅμα δὲ ὡς οὐκ ἐφ᾽ ἑλκῶν μόνον, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπάντων νοσημάτων τοῦτο ποιητέον ἐστὶν, ὡς οἱ παλαιοὶ παραινοῦσιν. ἀλλὰ πρὸς ταῦτα μὲν ἡμῖν οὐδὲν ἀποκρίνονται. παρακοὰς δὲ ἑκάστοτε λέγοντες ὡς δῆθεν ἀκριβῶς μεμαθηκότες, ἢ τὴν Ἱπποκράτους, ἢ τὴν ἄλλου τινὸς τῶν παλαιῶν γνώμην, ὀρθῶς φασὶ τὸν Θεσσαλὸν ἀποφήνασθαι χρονίων ἑλκῶν εἶναι τινὰ κοινότητα μίαν. οὕτω γοῦν καὶ Ἱπποκράτην γινώσκειν ἐν τῷ περὶ ἑλκῶν ὧδέ πως γράψαντα. Καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ξυμφέρει αἷμα ποιέειν ἀπορρέειν πυκινά. ὅπως ἂν δοκέῃ καιρὸς εἶναι. τάχα οὖν ἄμεινον ἂν εἴη καί τοι μὴ προῃρημένον με περὶ τῆς Ἱπποκράτους γνώμης ἐνταυθοῖ διέρχεσθαι, δηλῶσαί τι κἂν διὰ κεφαλαίων ὑπὲρ αὐτῆς. εἴη δ᾽ ἂν οὐδὲν ἧττον καὶ τῆς τῶν παλαιῶν διανοίας ἐξήγησις ὅδε ὁ λόγος. Ἐκεῖνοι γὰρ οἱ ἄνδρες, ἅτε μήπω δουλευόντων αἱρέσει δογμάτων, ἀλλὰ καθαρᾷ καὶ ἁπλῇ τῇ διανοίᾳ σπουδαζόντων ἐξευρίσκειν τι χρηστὸν εἰς τὰς ἰάσεις, ἔμελλον δήπου τὰ μὲν, ἐκ τῆς πείρας εὑρήσειν, τὰ δὲ, ἐκ τοῦ λόγου. καὶ γράψειν γε τὰ εὑρημένα πολλαχόθι μὲν χωρὶς τοῦ προσθεῖναι τὸν τρόπον τῆς εὑρέσεως. ἐνίοτε δὲ καὶ σὺν τούτῳ, καὶ τοῦτό γε ποιήσειν αὐτὸ τῆς ὠφελείας ἕνεκα τῶν ἀναγινωσκόντων. εἰ μὲν γὰρ εἰς τὴν ἐπιδέξιον χρῆσιν τῶν εὑρημένων ἤλπιζόν τι συντελέσειν τοῖς ἔπειτα, τὸν τρόπον τῆς εὑρέσεως γνωσθέντα, τηνικαῦτα μὲν ἀκριβῶς ἔγραφον. εἰ δὲ μὴ περιττόν τι λέγειν ἡγοῦντο, καὶ παρέλειπον, ὅτι γὰρ εἴπερ τι καὶ ἄλλο καὶ ἡ βραχυλογία τοῖς παλαιοῖς ἐτετίμητο, πάντες ἤδη τοῦτο γινώσκουσι, κἂν ἐγὼ μὴ λέγω. καὶ διά γε ταύτην τὴν αἰτίαν, οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ ἄλλοι παλαιοὶ τὸ μέσον ὑπερβαίνοντες, ἐνίοτε τῷ πρώτῳ τὸ τρίτον συνάπτουσιν. εἰ γὰρ σημεῖον μὲν εἴη τὸ πρῶτον τοῦ δευτέρου, τούτῳ δ᾽ ἐξ ἀνάγκης ἕποιτο τὸ τρίτον, οὕτως ἐπιφέρουσι τῷ πρώτῳ τὸ τρίτον, ὑπερβαίνοντες τὸ δεύτερον. ἔδειξα δὲ πολλάκις τοιαῦτα, τούς τ᾽ ἄλλους παλαιοὺς, καὶ μάλιστα πάντων τὸν Ἱπποκράτην γράψαντα, καὶ χρὴ τὸν βουλόμενον ἐθάδα γενέσθαι παλαιᾶς ἑρμηνείας, ἐν ἐκείνοις γυμνάσασθαι. νυνὶ δ᾽ αὐτὸ τὸ προβεβλημένον ἐξηγήσομαι μόνον. ὅσα γοῦν τῶν ἑλκῶν, ἁπάντων ὀρθῶς καὶ δεόντως γιγνομένων, ὅμως οὐ θεραπεύεται, καλεῖται μὲν ὑπὸ τῶν ἰατρῶν κακοήθη. χρονίζει δὲ πάντως ὅταν τὴν ὡς ἑλκῶν μόνην αὐτοῖς τις ἐπάγῃ θεραπείαν. ἥτις δ᾽ ἐστὶ τῶν ἑλκῶν, ὡς ἑλκῶν, ἴασις, ἐν τῷ πρὸ τούτου λόγῳ διώρισται. ταῦτα γοῦν τὰ ἕλκη, καὶ κακοήθη καὶ πεπαλαιωμένα καὶ χρονίζοντα καλοῦσιν, ἀδιαφόρως χρώμενοι τοῖς ὀνόμασιν ἐπ᾽ αὐτῶν. καὶ δὴ καὶ πρὸς τὸ διαγνῶναι τὴν διάθεσιν ὅτι κακοήθης, ἅμα τοῖς ἄλλοις γνωρίσμασι, καὶ τὸ χρονίζειν αὐτὰ πάντων τῶν δεόντων γιγνομένων, ἔχει τινὰ μοῖραν. οὐ μὴν τοῦτό γε αὐτὸ χρονίζειν ἢ χρόνια καλεῖσθαί τε καὶ εἶναι τὴν προσήκουσαν ἐνδείκνυται θεραπείαν. ἀλλ᾽ ἐκ μὲν τούτου, τὸ μοχθηρῶς διακεῖσθαι τὸ ἡλκωμένον μόριον ἔνεστι συλλογίσασθαι. τούτου δ᾽ εὑρεθέντος, ἀπορῆσαι τῆς θεραπείας. πῶς καὶ τίνα τρόπον; εἰ μὲν μόνα τὰ περιέχοντα μόρια τὴν ἕλκωσιν οὕτως εἴη διακείμενα, ταῦτ᾽ ἐξιασάμενον. εἰ δὲ σύμπαν τὸ σῶμα κακοχυμίας τινὸς εὑρίσκοιτο μεστὸν, ἐκείνην ἐκκενώσαντα. σημεῖον μὲν οὖν τῆς κακοχυμίας τὸ χρονίζειν τὰ ἕλκη. τοῦ συμφέροντος δ᾽ ἡ εὕρεσις, οὐκ ἐκ τοῦ χρονίζειν, ἀλλ᾽ ἐκ τῆς κακοχυμίας. ὥστ᾽ εἶναι τρία ταῦτ᾽ ἐφεξῆς ἀλλήλων. τὸ σημεῖον. τὴν διάθεσιν. τὴν θεραπείαν. σημεῖον μὲν, τὸ χρονίζειν. διάθεσιν δὲ, τὴν κακοχυμίαν. θεραπείαν δὲ, τὴν ταύτης κένωσιν. καὶ μετὰ τοῦτο πολλάκις τοὺς παλαιοὺς ὑπερβαίνοντας τὸ μέσον, ἐπὶ τὸ τρίτον εὐθέως ἀπὸ τοῦ πρώτου παραγίνεσθαι, ὥσπερ καὶ Ἱπποκράτης ἐποίησεν εἰπών. Καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκῶν ξυμφέρει αἷμα ποιέειν ἀπορρέειν πυκινά. ὅπως ἂν δοκέῃ καιρὸς εἶναι. οὐ τῆς παλαιότητος δήπουθεν ἐνδεξαμένης τὴν θεραπείαν. ἀλλὰ τῆς μοχθηρίας τοῦ αἵματος. ἐπιφέρων γοῦν αὐτὸς ἐρεῖ. Κωλύει γὰρ μάλιστα μὲν τὰ τοιαῦτα ἕλκεα ὑγιαίνεσθαι, ἔπειτα δὲ καὶ τἄλλα σύμπαντα αἵματος σηπεδών. καὶ ὅτι ἐξ αἵματος μεταστάσιος γεγένηται. καὶ δὴ καὶ μετ᾽ ὀλίγον αὖθις ὑπὲρ τῶν μὴ συνιόντων εἰς οὐλὴν ἑλκῶν διεξιὼν, οὐδ᾽ ὧν φησι τὰ περιέχοντα τοῦ ἕλκεος μελανθῇ αἵματος σηπεδόνι, ἢ καὶ κιρσοῦ παρέχοντος τὴν ἐπιρροὴν, οὐδὲ ταῦτα ἐθέλει συνιέναι, ἢν μὴ τὰ περιέχοντα τοῦ ἕλκεος ὑγιέα ποιήσῃς. εἶτα καὶ περὶ τῶν κιρσῶν τῆς ἰάσεως γράφει. καὶ πρὸς τούτοις ἔτι καθάρσεως μέμνηται τοῦ σύμπαντος σώματος ἐπί τε ἄλλοις τισὶ τρώμασι, καὶ οἷς σφακελίσαι κίνδυνος. ἕρπησί τε καὶ πᾶσι τοῖς ἐσθιομένοισιν. οὕτω δ᾽ ὀνομάζειν εἴωθε τὰ ἀναβιβρωσκόμενα. καὶ μὲν δὴ κἂν τοῖς ἐφεξῆς πάλιν ὧδέ πως φησὶν, ἐπὶ παντὶ ἕλκει ἐρυσιπέλατος ἐπιγενομένου, κάθαρσιν ποιέεσθαι παντὸς τοῦ σώματος. καὶ ὅλως ἐθελήσαις ἐπιμελῶς διελθεῖν τὸ περὶ τῶν ἑλκῶν βιβλίον, εὑρήσεις αὐτὸν ἀεὶ μὲν ἀπὸ τῶν διαθέσεων τὴν ἔνδειξιν λαμβάνοντα. προσχρώμενον δέ ποτε τῷ χρόνῳ πρὸς τὴν τῆς διαθέσεως διάγνωσιν. ὅτι δ᾽ οὕτω ταῦτ᾽ ἔχοι, μάθοις ἂν ἐκ πρώτης μὲν ἀρχῆς τοῦ συγγράμματος ἐχούσης ὧδε. Ἕλκεα ξύμπαντα, οὐ χρὴ τέγγειν πλὴν οἴνῳ.

*(ὅτι πολλάκις ἑτέρα διάθεσις ἐπιπλακεῖσα τῷ ἕλκει, κωλύει τὴν ὡς ἕλκους προσφέρεσθαι θεραπείαν.)

Καὶ τὴν αἰτίαν διδάσκων φησί. τὸ γὰρ ξηρὸν, τοῦ ὑγιέος ἐγγυτέρω ἐστί. τὸ δ᾽ ὑγρὸν, τοῦ μὴ ὑγιέος εἶναι ἐξῆς. τὸ γοῦν ἕλκος, ὑγρόν ἐστι. τὸ δὲ ὑγιὲς, ξηρόν ἐστι. καὶ διὰ τοῦτο καθ᾽ ὅλον τὸ σύγγραμμα τῆς θεραπείας τῶν ἑλκῶν ἁπάσης, σκοπὸν ποιησάμενος τὸ ξηραίνειν, οὕτως ἤδη τὰ κατὰ μέρος ἐξευρίσκει. σὺν τῷ, καὶ πολλάκις ἀναμιμνήσκειν ἡμᾶς τοῦ σκοποῦ. ἔν τε γὰρ τῷ γράψαι, τῶν δὲ ἑλκέων, ὅτι μὲν ἂν ὀξεῖ βέλει, ἢ διατμηθῇ, ἢ διακοπῇ, ἐνδέχεται καὶ ἔναιμον φάρμακον τὸ κωλῦον διαπυεῖν καὶ ἀναξηραῖνον. γίνεται γὰρ ἀπορρέοντος τοῦ αἵματος, ξηρότερον. καὶ πάλιν. ὁκοῖα δ᾽ ἂν καθαρθέντα καλῶς καὶ ὡς τὸ δέον, ἀεὶ ἐπὶ τὸ ξηρότερον θεραπεύεται, πλὴν εἰ θλασθῇ. καὶ πάλιν. ὅτι δ᾽ ἂν μὴ δύνηται προσθεῖναι ἡ σὰρξ ὑγρὴ ἐοῦσα αἰτίη ἐστὶν, ἐν τοῖς τοιούτοις ἅπασιν ἀναμιμνήσκει τοῦ πρώτου σκοποῦ τῶν ἑλκῶν τῆς ἰάσεως. ἕλκους γὰρ ᾗ ἕλκος ἐστὶν ἴαμα, τὸ ξηραίνεσθαι μετρίως. εἴρηται δ᾽ ἡ ἀπόδειξις, ἐν τῷ πρὸ τούτου βιβλίῳ. τοῦ μέντοι μεθ᾽ ἑτέρας διαθέσεως ἧς πρώτης χρὴ ποιεῖσθαι τὴν ἐπιμέλειαν, οὐκ ἔθ᾽ ὡς ἕλκους ἐστὶν ἡ θεραπεία μόνου, ἀλλὰ πρώτης μὲν ἐκείνης τῆς διαθέσεως. ἐφεξῆς δὲ τοῦ ἕλκους. εἴτε γὰρ φλεγμονή τις, εἴτε μελανότης, εἴτ᾽ ἐκχύμωσις, εἴτ᾽ ἐρυσίπελας, εἴτ᾽ οἴδημα, περὶ τὴν ἑλκωμένην συσταίη σάρκα, πρώτης ἐκείνης χρὴ ποιεῖσθαι τὴν θεραπείαν. ἀλλ᾽ ὅτι γε τὸ ἕλκος ἐν τούτῳ τῷ χρόνῳ μὴ ὅτι θεραπεύεται προσηκόντως, ἀλλὰ καὶ πολὺ μεῖζον ἑαυτοῦ γίνεται, παντί που δῆλον. εἴτε γοῦν θλασθείη τὰ πέριξ χωρία τοῦ ἕλκους, εἴτε φλεγμονή τις,

ἔτι ὄγκος ἕτερος ἐν αὐτοῖς συνίστη, τὴν οἰκείαν ἐκείνης τῆς διαθέσεως ἴασιν προσεξευρήσομεν, εὖ εἰδότες, ὡς οὐχ οἷόν τ᾽ ἐστὶν ἰαθῆναι τὸ ἕλκος πρὶν ὑγιᾶναι τὸ χωρίον ἐν ᾧ συνίσταται. ἀλλὰ ταῦτ᾽ οὖν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἀναμιμνήσκων ἡμᾶς εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος ἀπεφήνατο, τά τ᾽ ἄλλα τὰ μικρῷ πρόσθεν εἰρημένα προσέγραψε, καὶ μέντοι καὶ τάδε. Τῶν δ᾽ ἑλκέων ὅτι μὲν ἂν ὀξεῖ βέλει ἢ διατμηθῇ, ἢ διακοπῇ, ἐνδέχεται καὶ ἔναιμον φάρμακον τὸ κωλῦον διαπυΐσκειν, καὶ ἀναξηραῖνον. ὅτις δ᾽ ὑπὸ τοῦ βέλους ἐθλάσθη τε καὶ διεκόπη σάρξ, ταύτην ἰατρεύειν, ὅπως διάπυος ὡς τάχιστα γένηται. ἧσσόν τε γὰρ φλεγμαίνει, καὶ ἀνάγκη τὰς σάρκας τὰς θλασθείσας καὶ κοπείσας, πῦον γενομένας, †ἐκτακῆναι, ἔπειτα βλαστάνειν νέας σάρκας. δηλοῖ γὰρ ἐν τούτῳ τῷ λόγῳ σαφῶς, ὡς μόνας ἐκείνας τῶν ἐν τοῖς εἱλκωμένοις μέρεσι γινομένων διαθέσεων οὐ χρὴ ξηραίνειν, ἐφ᾽ ὧν ὅτι τάχιστα γεννῆσαι βουλόμεθα πῦον, εὐθὺς συνεμφαίνων ὅτι μετὰ σήψεώς τινος γεννᾶται τὸ πῦον. ἅπαντα δὲ τὰ σηπόμενα, θερμῷ καὶ ὑγρῷ τοῦτο πάσχει. καὶ τοίνυν καὶ τὰ διὰ τῆς ὠμηλύσεως καταπλάσματα, θερμαίνοντά τε καὶ ὑγραίνοντα προσφέρομεν ἐπὶ πασῶν τῶν ἐκπυῆσαι δεομένων διαθέσεων. ὠμήλυσις γὰρ δι᾽ ὑδρελαίου, καὶ ἄρτος δι᾽ ὑδρελαίου, καὶ καταιόνησις δι᾽ ὕδατος θερμοῦ πολλοῦ, καὶ ἡ τετραφάρμακος δύναμις, ἅπαντά τε τὰ θερμαίνοντα καὶ ὑγραίνοντα, διαπυΐσκει τάχιστα. διὰ τοῦτο καὶ τοῖς φλεγμαίνουσι μορίοις, ἐπειδὰν ἤδη σφύζῃ σφοδρότερον, ὡς ἀπελπισθῆναι τὴν χωρὶς διαπυήσεως ἴασιν, ἐπ᾽ αὐτῶν ἁπάντων οἱ παλαιοὶ τὰ τοιαῦτα προσφέρουσι φάρμακα. πρότερον δ᾽ οὔ. καὶ τοῦτο καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐναργῶς ἡμᾶς διδάσκει κατὰ τὴν προγεγραμμένην ῥῆσιν ἐν ᾗ κελεύει τὰ μὲν χωρὶς τοῦ τεθλᾶσθαι τετρωμένα μόρια, ξηραίνειν ὡς μάλιστα. τὰ δ᾽ ἅμα θλάσει τινὶ γεγενημένα διαπυΐσκειν ὡς τάχιστα. καὶ μέντοι κἀπειδὰν εἴπῃ, τὰ δὲ ἕλκεα ὅσα μὴ καλῶς καθαρθέντα ἐς τὸ δέον, ἀεὶ πρότερον ἄρξεται βλαστάνειν, ταῦτα ὑπερσαρκεῖ μάλιστα. ὁκοῖα δ᾽ ἂν καθαρθέντα καλῶς καὶ ἐς τὸ δέον ἀεί, ἐπὶ τὸ ξηρότερον θεραπεύηται, πλὴν εἰ θλᾶσθαι, ταῦτα οὐχ ὑπερσαρκεῖ ὡς ἐπὶ τὸ πολύ. καὶ γὰρ καὶ ἐνταῦθα τὸ πλὴν εἰ θλασθῇ προσκείμενον, ἀναμιμνήσκει τοῦ κατὰ τὴν προγεγραμμένην λέξιν εἰρημένου, τοῦ χρῆναι πάντα ξηραίνεσθαι, πλὴν τῶν θλασθέντων. οὐδὲ γὰρ ὁπότε τὰ φλεγμαίνοντα καταπλάσσεται θερμαίνοντι καὶ ὑγραίνοντι καταπλάσματι, κατὰ πρῶτον λόγον γίνεται τοῦτο. τοῦτ᾽ ἔστιν οὐχ ὡς ἴαμα τῆς διαθέσεως, ἀλλ᾽ ὡς παρηγορία τοῦ συμπτώματος. ἐπεί τοι τά γε τῶν φλεγμονῶν αὐτῶν ἰάματα, τῆς ξηροτέρας ἐστὶ δυνάμεως. ἀκούομεν γοῦν λέγοντος τοῦ Ἱπποκράτους καταπλάσματα οἰδημάτων καὶ φλεγμασίης τῆς ἐν τοῖς περιέχουσιν, ἑφθὴ φλόμος, καὶ τῆς τριφύλλου τὰ φύλλα ὠμά. καὶ τοῦ ἐπιπέτρου τὰ φύλλα ἑφθά. καὶ τὸ πόλιον. ἅπαντα γοῦν ταῦτα ξηραίνειν πέφυκε. καθότι κἂν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἐλέγετο. καὶ ἡ σύντομος θεραπεία τῶν φλεγμαινόντων μορίων, διὰ τῶν τοιούτων ἐπιτελεῖται φαρμάκων. ἃ ἤτοι τελέως ἐξιᾶται τὴν διάθεσιν, ἢ εἰ καὶ καταλείποι τι βραχὺ διαπυΐσκον, ἑτέρου χρῄζει φαρμάκου δριμέος, ἐκκενοῦν δυναμένου τὸ πῦον. ἢ εἴπερ λεπτὸν εἴη τὸ περιέχον δέρμα, καὶ θᾶττον ἀπαλλάξαι τὸν κάμνοντα βουλόμεθα, τομῆς ἐστι χρεία. ἡ δὲ διὰ τῆς ὠμηλύσεως ἀγωγὴ τῶν φλεγμαινόντων, ἐκ τοῦ παρηγορητικοῦ τρόπου τῆς τέχνης ἐστίν, οὐ τοῦ θεραπευτικοῦ τε καὶ ἀγωνιστικοῦ. ἀλλὰ περὶ μὲν τῆς τῶν τοιούτων διαφορᾶς, ἐν τοῖς ἑξῆς ἐπὶ πλέον ἐροῦμεν. ὅτι δὲ τὰ ἕλκη πάντα ξηραίνειν ὁ Ἱπποκράτης κελεύει, καὶ ὅτι τὸν σκοπὸν τοῦτον εἶναι τῆς ἰάσεως ἀπεφήνατο, τῆς διαθέσεως ἐνδειξαμένης, οὐ τοῦ χρόνου, σαφῶς ἤδη μοι δεδεῖχθαι νομίζω. εἰ δέ τις ἐπὶ μᾶλλον πεισθῆναι βούλεται, τῷ περὶ τῶν ἑλκῶν βιβλίῳ τἀνδρὸς ἐπὶ πλέον ὁμιλησάτω πάντῃ. γνώσεται γὰρ ἐναργῶς αὐτό τε τοῦτο, τὸ μίαν εἶναι πάντων ἑλκῶν ἴασιν καθόλου τὴν ὑφ᾽ ἡμῶν ἐν τῷ πρὸ τούτου λόγῳ δεδειγμένην, ἔτι τε πρὸς τούτῳ κἀκεῖνο μαθήσεται, τὸ μηδεμίαν ὑπάρχειν ἔνδειξιν ἀπὸ τοῦ χρόνου, μήτ᾽ ἐπὶ τῶν ἑλκῶν, μήτ᾽ ἐπὶ τῶν φλεγμονῶν, μήθ᾽ ἁπλῶς ἐπ᾽ ἄλλης ἡστινοσοῦν διαθέσεως. Ἐπεὶ δὲ κατὰ τοῦτο τοῦ λόγου γεγόναμεν, ἐπιδεῖξαι δίκαιον ὡς οὐ μόνον ὧν ἄρτι διεληλύθαμεν εὑρετὴς ὁ Ἱπποκράτης ἐστίν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, ὅσα χρὴ γινώσκειν τὸν μέλλοντα καλῶς ἕλκος ἰάσασθαι. φαίνεται γὰρ οὐ μόνον τῶν ἄνευ τινὸς ἑτέρας διαθέσεως ἑλκῶν ἐξευρὼν τὴν ἴασιν, ὡς ἐν τῷ ξηραίνειν ἐστίν, ἀλλὰ καὶ τῶν διαθέσεων ἁπασῶν, ἑκάστης ἰδίᾳ κατ᾽ εἶδος. ἤτοι γοῦν οὐκέτ᾽ ἐπιρρεῖ τῷ δεδεγμένῳ τὴν ἕλκωσιν μορίῳ μοχθηρὸς χυμός, ἢ ἐπιρρεῖ. μηκέτι μὲν οὖν ἐπιρρέοντος, αὐτὸ μόνον ἰᾶσθαι χρὴ τὸ πεπονθός. εἰ μὲν ἤτοι πελιδνὸν, ἢ μέλαν, ἢ ἐρυθρὸν εἴη, σχάζοντάς τε, καὶ τοῦ αἵματος ἀφαιροῦντας. εἶθ᾽ οὕτως παραχρῆμα μὴ ἐπιθέντας, ὡς αὐτὸς ἔλεγε, σπόγγον ξηρότερον μᾶλλον ἢ ὑγρότερον. οὐ γὰρ ἀγνοήσειν οἶμαί τινα, τὸ ἢ μόριον ἀποφάσεως ἔχον ἐνταῦθα δύναμιν. ὡς εἰ καὶ οὕτως εἶπε ξηρότερον οὐχ ὑγρότερον. ἔπειτα δὲ τοῖς ξηραίνουσι φαρμάκοις χρωμένους. εἶτ᾽ εἰ πάλιν δεήσειεν, αὖθις αἵματος ἀφαιροῦντας. εἶτ᾽ αὖθις τὰ τοιαῦτα ποιοῦντας ἄχρις ἂν ἐξυγιασθῇ τελέως. εἰ δὲ τὰ χείλη σκληρὰ καὶ τυλώδη φαίνοιντο, περιτέμνοντας αὐτά. καὶ γὰρ δὴ καὶ περὶ τούτων φησί. τῶν δ᾽ ἑλκέων τὰ κυκλοτερῆ, ἢν ὑπόκοιλα ᾖ, ἐν κύκλῳ περιτέμνειν χρὴ τὰ ἀφεστῶτα, ἢ πάντα, ἢ τὰ ἡμίσεα τοῦ κύκλου κατὰ μῆκος τοῦ ἀνθρώπου. γέγραφε δὲ καὶ περὶ τῶν ἅμα τοῖς ἕλκεσιν ὄγκων ἁπάντων ὡς χρὴ θεραπεύειν ἕκαστον. ὡσαύτως δὲ καὶ περὶ τῶν κιρσῶν. ὅταν καὶ διὰ τούτους ἕλκη δυσίατα γίγνηται, δῆλον ὡς ἐπιρρέοντός τινος ἐξ αὐτῶν τοῖς ἡλκωμένοις μορίοις. οὕτως δὲ κἀπειδὰν ἐξ ὅλου τοῦ σώματος ἡ ἐπιρροὴ γίγνηται, καθαίρειν κελεύει τὸ πᾶν, ἐν οὐδενὶ τούτων ἀπὸ τοῦ χρόνου τὴν ἔνδειξιν λαμβάνων. ἐπεί τοι καὶ γελοῖον, ἀπὸ μιᾶς κοινότητος ἐνδείξεις οὕτω πολλὰς καὶ διαφερούσας καὶ πολλάκις ἐναντίας γίγνεσθαι. εἰ γὰρ καὶ συγχωρήσαιμεν ἔνδειξίν τινα περὶ τοῦ χρόνου λαμβάνεσθαι, τίς ποτ᾽ ἐστὶν αὐτὴ δίκαιον εἰπεῖν αὐτὴν ἑνὶ κεφαλαίῳ περιλαβόντα, καθάπερ ἐπὶ τῶν ἄλλων ἁπάντων ποιοῦμεν, οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ Θεσσαλός. ἓν γοῦν ἐνδείκνυται καθόλου τὸ στεγνὸν πάθος αὐτῷ, τὸ χαλᾶν. ὥσπερ γε καὶ τὸ ῥοῶδες ἓν ἕτερον, τὸ στέλλειν. ἀλλὰ καὶ κατ᾽ αὐτὰ τὰ ἕλκη, τὸ μὲν ῥυπαρὸν, καθαίρεσθαι δεῖται. τὸ δὲ κοῖλον, πληροῦσθαι. καὶ τὸ μὴ ὁμαλὲς, ἐπουλοῦσθαι. τὸ δὲ ὑπερσαρκοῦν, καθαιρεῖσθαι, καὶ κατ᾽ αὐτὸν ἐκεῖνον. λεξάτω τοίνυν ἡμῖν, οὕτω κἀπὶ τοῦ κεχρονισμένου τι τοιοῦτον ἕτερον ἕν, ὡς ἐπ᾽ ἐκείνων ἑκάστου. ἀλλ᾽ οὐκ ἔχει καὶ

γὰρ καὶ περιτέμνειν αὐτά φησι χρῆναι. καίτοι τίς ἂν ἔνδειξις αὕτη νῦν ἔχουσα περὶ τοῦ χρόνου γίγνοιτο; καὶ τῷ διὰ τοῦ νάπυος χρῆσθαι φαρμάκῳ, καθ' οὗ τὸ κοινὸν ὄνομα φθέγγεται, τὴν μετασύγκρισιν. ἔτι τε πρὸς τούτοις, τοῖς ἀπὸ ῥαφανίδων ἐμέτοις. καὶ τελευτῶν ἐπειδὰν μηκέτ' εὑρίσκει μηδὲν ἐλλεβόρῳ. ἀλλὰ ταῦτα μὲν, ὡς ἔφην, κἂν τοῖς ἐξῆς ἐπὶ πλέον εἰρήσεται, δεικνυόντων ἡμῶν, ὡς οὐδὲν ἐπ' οὐδενὸς νοσήματος ὁ χρόνος ἐνδείκνυται. σημεῖον μέν τοι πολλάκις γίγνεται τῆς διαθέσεως. ἐπάνειμι δὲ πάλιν ἐπὶ τὸν Ἱπποκράτην. θαυμάζω γὰρ τῆς ἀκριβείας τὸν ἄνδρα κἂν τοῖς ἄλλοις ἅπασιν. οὐχ ἥκιστα δὲ κἂν τῷ μὴ παραλιπεῖν εἰς ἔνδειξιν διαφέροντα σκοπὸν, οὐκ ἐφ' ἑνὸς μόνου ἢ δυοῖν, ἀλλ' ἐπὶ πάντων ἁπλῶς τῶν νοσημάτων. ἔστι δ' οὗτος ὁ ἀπὸ τῆς ἰσχύος τῆς διαθέσεως λαμβανόμενος. ὃν οὐ μόνον οἱ μεθοδικοὶ παρεῖδον, οὐδὲν γὰρ τοῦτό γε θαυμαστὸν, ἀλλὰ καὶ τῶν λογικῶν οἱ πλεῖστοι. καὶ καθ' ἕτερον τρόπον, ἅπαντες οἱ ἐμπειρικοί. ἐπειδὰν γὰρ ἐπὶ τῇ πληθωρικῇ καλουμένῃ συνδρομῇ κένωσιν ἑαυτοῖς τετηρῆσθαι λέγουσιν, ἄντικρυς ὁμολογοῦσιν, ὡς εἰς οὐδὲν ἄλλο τῶν περὶ τὸν κάμνοντα γιγνομένων ἀποβλέποντες, ἐπὶ τὸ κενοῦν παραγίγνονται. καὶ οὐ τοῦτό φημι διότι καὶ αἱ καθάρσεις, κενώσεις εἰσὶν, οὐδ' αὗται πρὸς τῆς πληθωρικῆς δεδιδασκόμεναι συνδρομῆς, ἀλλ' ὅτι καὶ τὴν φλεβοτομίαν αὐτὴν ἐνίοτε, καίτοι μὴ παρούσης τῆς πληθωρικῆς συνδρομῆς, δίκαιόν ἐστι παραλαμβάνειν. εἰ γοῦν ἰσχυρὸν εἴη τὸ νόσημα καὶ ῥώμη δυνάμεως, οὐκ ἔστιν ὅστις οὐκ ἂν φλεβοτομήσειε, τῶν ὡμιληκότων τοῖς ἔργοις τῆς τέχνης. αὐτοὺς γοῦν ὁρῶμεν τοὺς ἐμπειρικοὺς ἐπειδὰν ἐκ καταπτώσεώς τις ἢ ἄλλης πληγῆς θλασθῇ μέρη τινὰ τοῦ σώματος ἰσχυρῶς, ἐπὶ τὴν φλεβοτομίαν ἐρχομένους. καίτοι μικρὸν ἔμπροσθεν ὑγίαινεν ἐκεῖνος μηδεμίαν ἔχων πληθωρικὴν συνδρομήν. ᾧ δῆλον ὡς οὐχ οὗτός ἐστιν ὁ σκοπὸς τῆς φλεβοτομίας, ἀλλ' ἥ τε τοῦ νοσήματος ἰσχὺς, καὶ ἡ ῥώμη τῆς δυνάμεως, ἀφωρισμένων τοῦ λόγου τῶν παιδίων. καὶ γὰρ αὖ καὶ καθ' ἕτερον τρόπον εἴ τις ὑγιαίνων ἔτι καὶ μηδὲν μηδέπω βεβλαμμένος ἐν τῇ πληθωρικῇ γένοιτο συνδρομῇ, τοῦτον οὐκ ἀνάγκη φλεβοτομεῖν. ἀλλ' ἀρκεῖ τῷ μὲν ἀσιτία, τῷ δὲ, ὀλιγοσιτία, τῷ δ' ὑπαγωγὴ γαστρὸς ἢ κάθαρσις, ἢ πλείω λουτρά. τῷ δέ τινι, καὶ γυμνάσιον ἤρκεσε μόνον, ἢ τρίψις πολλή. φλεβοτομία δ' οὐκ ἐξ ἀνάγκης, οὐδ' ὑπ' αὐτῶν τῶν ἐμπειρικῶν τοῖς οὕτως ἔχουσι προσάγεται. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδὲ ἡ κάθαρσις ἐπὶ μόνῳ πλήθει χυμῶν μοχθηρῶν δεόντως παραλαμβάνεται. ἀλλ' ὥσπερ ἡ φλεβοτομία διά τε πλῆθος αἵματος καὶ ἰσχυρὰν νόσον, οὕτω καὶ ἡ κάθαρσις, διά τε πλῆθος ἑτέρου τινὸς χυμοῦ καὶ ἰσχὺν νοσήματος. περὶ μὲν τῆς φλεβοτομίας, ἐν ἑτέρῳ τέ μοι δίειρηται λόγῳ, κἂν τοῖς ἐξῆς εἰρήσεται. περὶ δὲ τῆς καθάρσεως, ἐν τῷδε τῷ λόγῳ δίειμι. χρήζουσι γὰρ αὐτῆς οἱ κάμνοντες οὐχ ὡς τὸ λυποῦν περίττωμα καθαιρούσης μόνον, ἀλλὰ καὶ ὡς ἀντισπώσης τε καὶ κενούσης. καὶ διὰ τοῦθ' Ἱπποκράτης ἔν τε τοῖς ἄλλοις ἅπασι συγγράμμασι, κἂν τῷ περὶ τῶν ἑλκῶν ἐπισκοπεῖται, καὶ τὴν ἰσχὺν τοῦ νοσήματος εἰς ἔνδειξιν καθάρσεως. ὑποκάθαρσις γάρ φησι τῆς κάτω κοιλίης ξυμφέρει τοῖς πλείστοισι τῶν ἑλκέων. καὶ ἐν τρώμασιν, ἐν κεφαλῇ ἐοῦσι, καὶ ἐν κοιλίῃ, καὶ ἐν ἄρθροισι, καὶ ὅσα σφακελίσαι κίνδυνος, καὶ ὅσα ῥάπτεται, καὶ τοῖς ἐσθιομένοισι, καὶ ἕρπουσι, καὶ τοῖσιν ἄλλοισι τοῖσι πεπαλαιωμένοισι τὰ ἕλκεα, καὶ ὁκοῖα δ' ἂν μέλλῃ τις ἐπιδεῖν, ὑποκαθαίρειν τὴν κάτω κοιλίην. ἐν τούτῳ τῷ λόγῳ σαφῶς ἡμᾶς ἐδίδαξεν, ὅτι τοῖς ἕλκεσιν ἅπασι καὶ τοῖς τρώμασιν ὅταν ἰσχυρὰ γένηται κάθαρσις, συμφέρει. τριχῶς γὰρ οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν ἄλλων παθῶν ἁπάντων ἰσχυρῶν γιγνομένων. ἢ διὰ τὸ κύριον τοῦ πεπονθότος μέρους, ἢ διὰ τὸ μέγεθος τῆς διαθέσεως, ἢ διὰ τὴν κακοήθειαν ἑκάστου τούτων, ἴδια φαίνεται μεμνημένος ὁ Ἱπποκράτης. ἐπὶ μὲν τῶν ἐν τῇ κεφαλῇ καὶ κοιλίᾳ τρωμάτων τὸ κύριον ἐμφαίνων τοῦ τετρωμένου μορίου. κοιλίαν δ' ὅτι μὴ τὴν κάτω μόνην ἀκούειν νῦν χρὴ, ἀλλὰ καὶ τὴν ἄνω, πρόδηλον οἶμαι παντί. διαιρουμένου γὰρ τοῦ μεταξὺ τραχήλου καὶ σκελῶν κύτους, εἰς δύο μεγίστας κοιλότητας, ἡ πρώτη μὲν ὑπὸ τοῦ θώρακος, ἡ δευτέρα δ' ὑπὸ τοῦ περιτοναίου περιέχεται. καὶ δὴ καὶ τῶν τρωμάτων ὅτι ἂν εἴη ἔσω τοῦ θώρακος, ἢ ἔσω τοῦ περιτοναίου διαχῇ, κίνδυνον οὐ σμικρὸν ἐπιφέρει. καὶ μάλιστ' ὅταν συντρώσῃ τι τῶν ἔνδον. ἀλλὰ καὶ ὅτι ταχέως κακοήθη γίνεται πάντα τὰ ἐν τοῖς ἄρθροις τρώματα, καὶ τοῦτο σχεδὸν ἅπαντες ἴσασιν. ἐκ μὲν τῆς πείρας μόνης μεμαθηκότες, οἱ ταύτῃ μόνῃ προσέχοντες τὸν νοῦν. ἐκ δὲ τῆς φύσεως αὐτῶν τῶν τετρωμένων ὀργάνων, οἷς ἐπεσκέφθη φύσεως σώματος ἐπιστήμην ἔχειν. ὅπου γὰρ τένοντες, καὶ νεῦρα, καὶ ἄσαρκα, καὶ ὀστώδη χωρία, κίνδυνος ἐνταῦθα καὶ ὀδυνηθῆναι, καὶ ἀγρυπνῆσαι, καὶ σπασθῆναι, καὶ παραφρονῆσαι. ταῦτά τε οὖν τὰ τρώματα, καὶ πρὸς τούτοις ὅσα ῥάπτεται, τουτέστιν ὅσα οὕτως ἐστὶ μεγάλα ὡς ῥαφῆς χρῄζειν, ἢ εἰ μὴ ταύτης, ἀλλ' ἐπιδέσεως γοῦν, ὑποκαθαίρεσθαι δεῖται. λέλεκται δ' ἐν τῷ πρόσθεν λόγῳ, διότι χρὴ τὰ μεγάλα τῶν ἑλκῶν ἢ ῥαφαῖς, ἢ ἐπιδέσεσι συνάγεσθαι. καὶ μὲν δὴ καὶ ὅσα σφακελίσαι κίνδυνος, ἐν μεγέθει δηλονότι φλεγμονῆς ἐστι. καὶ πρὸς αὐτοῖς καὶ τὰ ἐσθιόμενα, τουτέστι τὰ ἀναβιβρωσκόμενα, κακοήθη τε ἅμα καὶ κακοχυμίας ἐστὶν ἔκγονα. καὶ οἱ ἕρπητες δ' ἐπὶ χολώδει περιττώματι συνίστανται. καὶ τὰ ἄλλα σύμπαντα τὰ παλαιούμενα, κατά τινα τοιαύτην γίνεται πρόφασιν. ὥστ' εὐλόγως ἐπὶ πάντων τούτων ὑποκαθαίρειν συμβουλεύει. καὶ μὲν δὴ καὶ προελθὼν ἔτι τάδε φησίν. Ἐπὶ παντὶ ἕλκει, ἐρυσιπέλατος ἐπιγιγνομένου, κάθαρσιν ποιεῖσθαι τοῦ σώματος ἐφ' ὁπότερα ξυμφέρει τῷ ἕλκει. εἴτε ἄνω, εἴτε κάτω. τούτου δ' αὐτοῦ πάλιν ἡμᾶς τὸν διορισμὸν ἐν τῷ περὶ χυμῶν ἐδίδαξεν, ἀντισπᾶν μὲν κελεύων εἰς τἀναντία, παροχετεύειν δ' εἰς τὰ πλάγια. καὶ μὲν δὴ καὶ ὡς ἐπειδὰν μάλιστα ῥέπῃ, τό τε ἀντισπαστέον. εἴρηται καὶ περὶ τούτου κατ' ἐκεῖνο τὸ βιβλίον. ὥστε καὶ νῦν εἰ μὲν ἔτι φέροιτο σφοδρῶς τὸ ῥεῦμα, διὰ τῶν ἐναντίων ἀντισπῶμεν. ἄνω μὲν γενομένου τοῦ ἕλκους κάτω καθαίροντες. εἰ δ' ἐν τοῖς κάτω μέρεσι συσταίη, τὴν ἄνω κοιλίαν κινοῦντες. ἤδη δὲ καὶ πεπαυμένου καὶ κατὰ τὸ μόριον ἐστηριγμένου, παροχετεύειν ἄμεινον. ἐγγυτέρω γὰρ ἡ μετάληψις, καὶ ἡ ὁρμὴ, καὶ ἡ ὁλκὴ τῷ καθαίροντι φαρμάκῳ ῥᾷον ἐκ τοῦ πλησίον. ὅτι δ' ὁ λόγος οὗτος ἤδη καὶ ἄλλου τινὸς ἅπτεται τῶν τῆς τέχνης μερῶν τοῦ περὶ τὴν τῶν χυμῶν ἴασιν, οὐκ οἶμαί τινα λανθάνειν, ὅθεν κἂν τοῖς ἐξῆς αὐτὸν ἀναγκαῖον ἔσται πάλιν ἐπαναλαβεῖν, καὶ τελειῶσαι σύμπαντα. νυνὶ δ' ὅτι τὴν ἰσχὺν τοῦ νοσήματος, ἣν εἰ καὶ μέγεθός τις ὀνομάζειν ἐθέλει, σκοπόν ἐστι ποιητέον ἡμῖν ἀφαιρέσεως αἵματος, ἢ καθάρσεως, καὶ ὡς Ἱπποκράτης

της ἁπάντων πρῶτος ὢν ἴσμεν ἐξευρεῖν τοῦτον τὸν σκοπὸν ἐπιδεῖξαι βούλομαι. περὶ μὲν οὖν τῶν ἄλλων νοσημάτων, ἐν τοῖς ἑξῆς λόγοις ἐπιδείξω, περὶ δὲ τῶν ἑλκῶν, ἐν τῷ δε. τὰ μὲν οὖν τῶν καθάρσεων ἤδη μοι λέλεκται. τριχῶς γὰρ ἑκάστου νοσήματος ἰσχυροῦ γιγνομένου, διὰ τὸ κύριον τοῦ πεπονθότος μορίου, διὰ τὸ μέγεθος τῆς διαθέσεως, καὶ τρίτην τὴν κακοήθειαν αὐτοῦ, ἁπάντων τούτων ἐμνημόνευσεν Ἱπποκράτης ἐν τῷ τῆς καθάρσεως λόγῳ. τί δὴ οὖν ἴσως φησί τις ἐπὶ καὶ φλεβοτομεῖν ἐνίοτε συμβουλεύει διὰ τὰς αὐτὰς προφάσεις; ἐμοὶ γοῦν δοκεῖ καὶ τοῦτο κελεύειν. ἀλλὰ διὰ ταχέων τε καὶ μετ' ἀποδείξεως ὡς αὐτῷ τε τούτῳ, καὶ τοῖς ἄλλοις παλαιοῖς ἦν ἔθος. ἔστι δὲ πρῶτον μὲν ἀγνοοῦσι τὴν δὲ τὴν ῥῆσιν αὐτοῦ. Ἕλκει νεοτρώτῳ παντί, πλὴν ἐν κοιλίῃ συμφέρει ἐκ τοῦ τρώματος αἷμα ῥυῆναι αὐτίκα πλέον, ἢ ἔλασσον, φλεγμαίνει γὰρ ἧσσον αὐτό τε τὸ ἕλκος, καὶ τὰ περιέχοντα. μετὰ δὲ ταύτην ἐν τῷ περὶ ἑλκῶν γεγραμμένην ἀναμνησθεὶς ὧν ἐν τοῖς ἄλλοις ἅπασι συγγράμμασι πολλάκις ὑπέθετο, μιμητὴν ἀξιῶν εἶναι τὸν ἰατρὸν, οὐ τῆς φύσεως μόνον, ἀλλὰ κἀκείνων ὅσα αὐτόματα ὠφελεῖ, σαφῶς ἂν ἤδη τὴν γνώμην εἰδείης τοῦ παλαιοῦ περὶ τῆς τοῦ αἵματος ἀφαιρέσεως ἐπὶ τῶν ἰσχυρῶν τραυμάτων. εἰ γὰρ δὴ συμφέρει μὲν αἷμα ῥυῆναι τοῖς τοιούτοις, οὐκ ἐρρύη δὲ, τὸ λεῖπον αὐτὸν χρὴ προσθεῖναι. δηλοῖ δὲ τοῦτο κἀξ αὐτῶν, ὧν ἐπιφέρει. συνάπτων γοῦν τῇ προειρημένῃ ῥήσει τήνδε φησί. Καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ξυμφέρει αἷμα ποιέειν ἀποῤῥέειν πυκινά, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. καὶ ἀπ' αὐτοῦ τοῦ ἕλκεος, καὶ ἀπὸ τῶν περιεχόντων τὸ ἕλκος. ἐπειδὴ γὰρ προείρηκεν, ἕλκει νεοτρώτῳ παντὶ ξυμφέρει αἷμα ῥυῆναι, γιγνώσκων ὡς εἰ μὴ καὶ τῶν κεχρονισμένων μνημονεύσειεν, οἰήσεταί τις ἐπὶ τῶν προσφάτων μόνων οὕτως αὐτὸν ἀποφήνασθαι, διὰ τοῦτο δεόντως προσέθηκε τὸ, καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ἀφαιρεῖν τοῦ αἵματος. ἀλλ' εἴπερ ἐκεῖνο καθόλου παρ' αὐτοῦ μεμαθήκαμεν, ὡς ἀρχομένων μὲν τῶν ῥευμάτων ἀντισπᾶν προσήκει, ἐστηριγμένων δὲ ἐν τῷ πεπονθότι μορίῳ, τὴν κένωσιν ἢ ἀπ' αὐτοῦ ποιεῖσθαι τοῦ πεπονθότος, ἢ ὅτι μάλιστα πλησιεστάτω, πρόχειρον ἡμῖν καὶ νῦν συλλογίσασθαι περὶ τῆς τοῦ αἵματος ἀφαιρέσεως· ὡς ἐν ἀρχῇ μὲν πόῤῥωθεν, ἐξ ὑστέρου δ' ἀπ' αὐτῶν τῶν ἡλκωμένων προσήκει ποιεῖσθαι. καὶ μὲν δὴ καὶ τούτοις αὐτοῖς οἷς εἴρηκα προσθεὶς, ὡς τὸν πλεονάζοντα χυμὸν ἐκκενοῦν ὁ Ἱπποκράτης συμβουλεύει, ποτὲ μὲν ἐπὶ τὴν τοῦ αἵματος ἀφαίρεσιν ἄξεις, ὅταν οὗτος κρατῇ, ποτὲ δ' ἤτοι ξανθῆς ἢ μελαίνης χολῆς ἢ φλέγματος ἀγωγὸν δώσεις φάρμακον. ἐκείνου μεμνημένος ἐν ἅπασι τούτοις, ὡς οὐκ ἔστιν ἕλκους ᾗ ἕλκος οὐδεμία τῶν τοιούτων ἰάσεων, ἀλλ' ἤτοι κακοχυμίας συμπαρούσης, ἢ πλήθους, ἢ φλεγμονῆς, ἢ ἕρπητος, ἢ τινος ἑτέρου τοιούτου. καὶ μὲν δὴ καὶ ὡς ἐνίοτε τῶν συμβεβηκότων τι τοῖς ἕλκεσιν ἔνδειξιν ἰδίαν ποιεῖται, καθάπερ καὶ τὸ μέγεθος. εἴρηται δὲ καὶ περὶ αὐτῶν ἐν τῷ πρὸ τούτου γράμματι, τὰς διαφορὰς τῶν ἑλκῶν ἁπάσας ὁπόσαι τέ εἰσι καὶ ὁποῖαι. καὶ τίς ἐφ' ἑκάστης αὐτῶν ἔνδειξις, ἐξηγησαμένου μου. τὸ δ' ἀπὸ τῆς ἰσχύος τοῦ νοσήματος ἔνδειξιν γίγνεσθαι κενώσεως, ἐν ἐκείνῳ μὲν οὐκ εἶπον τῷ λόγῳ, διότι τε μακροτέρας ἀποδείξεως ἐδεῖτο. καὶ τὴν τοῦ ὅλου σώματος ἐπιμέλειαν, οὐ συνῆπτον ἐν αὐτῷ τοῖς ἕλκεσιν. ἐνταῦθα δὲ διεξῆλθον, ὅσον εἰς τὰ παρόντα χρήσιμον. ὁ γάρ τοι σύμπας λόγος ὑπὲρ τῆς τοιαύτης ἐνδείξεως, ἣν ἀπὸ τῆς ἰσχύος φαμὲν τοῦ νοσήματος λαμβάνεσθαι, καὶ μετὰ ταῦθ' ἡμᾶς ἀναμένει ῥηθῆναι, καθάπερ καὶ ἡ ἀπὸ τῆς ἡλικίας. καὶ προσέτι καὶ ἡ ἀπὸ τῆς τῶν χυμῶν ἰάσεως. οὕτω δὲ καὶ ἡ ἀπὸ τῶν πεπονθότων μορίων ἔνδειξις εἰς τὴν θεραπείαν γιγνομένη, τελεώτερον ἐν τοῖς ἑξῆς ὑπομνήμασιν ἀποδοθήσεται. νυνὶ μὲν γὰρ ὅσον ἀπὸ τῆς φύσεως αὐτῶν, τουτέστι τῆς κράσεώς τε καὶ οὐσίας, οἷόν τ' ἐστὶν εἰς τὰς ἰάσεις λαμβάνεσθαι, λέλεκται μόνον. ἡ δ' ἀπὸ τῆς θέσεώς τε καὶ διαπλάσεως, ἔτι τε χρείας, εὐαισθησίας τε καὶ δυσαισθησίας ἔνδειξις οὐκ εἴρηται. λεγέσθω δὲ καὶ περὶ τούτων ὅσον εἰς τὴν τῶν ἑλκῶν ἴασιν διαφέρει. τὸ μὲν οὖν αἰσθητικὸν μόριον, ἀνωδύνως ὅτι μάλιστα χρὴ πειρᾶσθαι θεραπεύειν. εἴρηται δ' ἐν τοῖς περὶ φαρμάκων ἡ τῶν ἀνωδύνων ὕλη. τὸ δὲ δυσαισθητότερον ἐγχωρεῖ καὶ διὰ τῶν σφοδροτέρων εἰ ἡ διάθεσις οὕτω κελεύει. καὶ μὲν δὴ καὶ τοῦ μὲν κυρίου μορίου τὸν τόνον χρὴ φυλάττειν, ὡς ἐπὶ πλέον ἐν τοῖς περὶ φλεγμονῆς λογισμοῖς ἀποδείξομεν. εἰ δέ τι μὴ τοιοῦτον, ἐγχωρεῖ τοῦτο καὶ τὴν χαλαστικὴν ἀγωγὴν τῆς θεραπείας ἀλύπως δέχεσθαι. ταυτὶ μὲν οὖν ἐν τοῖς ἐφεξῆς ἐπὶ πλέον ἐροῦμεν.

Ἐν δὲ τῷ παρόντι λόγῳ, τὴν ἀπὸ τῆς θέσεώς τε καὶ διαπλάσεως τῶν μορίων ἔνδειξιν ἔτι προσθέντες, οὕτω καταπαύσομεν καὶ τουτὶ τὸ τέταρτον βιβλίον. ἐντεῦθεν γοῦν ἐπενοήθη τὸν μὲν ἐπὶ τὴν κοιλίαν ἡλκωμένον, πίνειν τὰ φάρμακα. τὸν δὲ ἐπὶ τὸν στόμαχον, οὐχ ἅπαξ οὐδ' ἀθρόως ὅλα προσφέρειν, ἀλλὰ κατὰ βραχύ τε καὶ συνεχῶς. ἐν γὰρ τῷ παρέρχεσθαι καὶ ψαύειν, ἡ ὠφέλεια τούτοις ἐστίν. οὐκ ἐν τῷ περιέχεσθαι καὶ πλησιάζειν ἐπὶ πλείονα χρόνον, ὥσπερ τῇ γαστρί. καὶ μὲν δὴ καὶ ὡς χρὴ παχύτερα προσφέρειν ταῦτα καὶ γλίσχρα, παρὰ τῆς θέσεώς τε καὶ διαπλάσεως ἡ ἔνδειξις. ἐπεὶ γὰρ δίοδός τις ὁ στόμαχός ἐστι τῶν ἐσθιομένων τε καὶ πινομένων, διὰ τοῦτο πάντων τῶν ἔχεσθαί τε καὶ περιπήγνυσθαι, καὶ προσκολλᾶσθαι δυναμένων, ἐστὶ χρεία φαρμάκων, οὐ τῶν ἀποκλύζεσθαι καὶ διαῤῥεῖν ἑτοίμως πεφυκότων. περιπήγνυται μὲν οὖν ἐστὶ παχέα, κολλᾶται δὲ τὰ γλίσχρα. τὰ δ' ἐν τοῖς παχέσιν ἐντέροις ἕλκη, τῶν διὰ τῆς ἕδρας ἐνιεμένων χρῄζει μᾶλλον φαρμάκων. ἐγγυτέρω γὰρ ταύτης ἐστί. τὰ δ' ἐν τοῖς λεπτοῖς, ἀμφοτέρων. ποῤῥωτέρω γὰρ ἤδη ταῦτ' ἐστὶ καὶ μέσα τῇ θέσει τῶν ἄνωθέν τε λαμβανομένων, καὶ κάτωθεν ἐνιεμένων φαρμάκων. κοινὴ δ' ἐπὶ πάντων τῶν ἐντὸς μορίων ἔνδειξις, αἱρεῖσθαι μὲν τὰ συνηθέστατα τοῦ ζώου τῇ φύσει καὶ σιτία, καὶ φάρμακα. φεύγειν δὲ καὶ ἀποτρέπεσθαι τἀναντία. καί τοι γ' ἐπὶ τῶν ἐκτὸς ἑλκῶν, ἄλυπος καὶ ἡ τῶν τοιούτων χρῆσις, ἰοῦ καὶ χαλκοῦ κεκαυμένου, καὶ λεπίδος χαλκοῦ, καὶ καδμίας, καὶ πομφόλυγος, καὶ λιθαργύρου, καὶ ψιμμυθίου, ταῦτ' οὖν καὶ τὰ τοιαῦτα, μὴ προσφέρειν τοῖς ἐντός. εἴρηται δὲ περὶ τῆς φύσεως αὐτῶν ἔν τε τῷ τρίτῳ περὶ κράσεων, κἀν τοῖς περὶ φαρμάκων. αἱρεῖσθαι δὲ καὶ τὰς τροφὰς, εἰ μὲν εἰς οὐλὴν ἀγαγεῖν ἢ κολλῆσαι βουλοίμεθα τὸ ἕλκος, αὐστηράς τε καὶ γλίσχρας καὶ ἀδήκτους. εἰ δ' ἀνακαθῆραι, ῥυπτούσας μετρίως. εἰς μὲν δὴ τοῦτο πάντων ἄριστον μέλι ἄπεφθον. τὰ δ' αὐστηρὰ πόματα καὶ αἱ τοιαῦται τροφαί, πρόδηλοι παντί. καλῶ δ' αὐστηρὸν, ὅπερ καὶ στύφον ὀνομάζεται. τὸ στρυφνὸν δὲ, ἐπιτεταμένον ἐστὶν αὐστηρόν. ὅσα δὲ φάρμακα λαμβάνεται τοῖς ἐντὸς ἄλυπα, γέγραπται μὲν ἐν τοῖς περὶ φαρμάκων. εἰρήσεται δὲ καὶ νῦν ὁ τύπος αὐτῶν. ὑποκυστὶς δὴ καὶ βαλαύστιον, καὶ κύτινος ῥοιῶν, καὶ κηκὶς, καὶ ῥοῦς λέμματα, καὶ σά-

μιος ἀστὴρ, καὶ λημνία σφραγίς, καὶ χυλὸς ῥοῦ, καὶ ῥόδων, ἀκακία τε, καὶ τἄλλα ὅσα τοιαῦτα, τοῖς ἐν τοῖς ἕλκεσιν ἀρήγοντα, βλάβην δ' οὐδὲ μίαν ἐργάζεται περὶ τὰ σπλάγχνα. διδόναι δ' αὐτὰ διά τινος τῶν στυφόντων ἀφεψήματος, ἢ μήλων κυδωνίων, ἢ σχίνου, ἢ βάτων ἀκρεμόνων, ἢ ἀμπέλων, ἢ μύρτων, ἢ καὶ διὰ οἴνου τινὸς τῶν αὐστηρῶν. εὔδηλος δὲ ἡ τοῦ οἴνου χρῆσις, ὡς πεφυλάχθαι χρὴ τὸν καιρὸν τῶν φλεγμονῶν. ἄλλως δ' οὐδὲν κωλύει διδόναι. εὔδηλον δὲ ὡς καὶ ἀναλαμβάνειν χρὴ τὰ τοιαῦτα φάρμακα, παρασκευάζοντα διά τε τῶν εἰρημένων ὑγρῶν, καὶ προσέτι τραγακάνθης τε καὶ κόμεως ἐπιμιγνῦντα. καὶ μάλιστα τοῖς ἐν στομάχῳ προσάξειν μέλλοντα. καὶ μὲν δὴ καὶ ἀνακογχυλίζεσθαι μὲν τοῖς κατὰ τὴν φάρυγγα, καὶ τὰ παρίσθμια προσφέροντα, κελεύειν χρή. κατέχειν δ' ὕπτιον, ἐπὶ πλεῖστον ἐν τῷ στόματι, χαλαροὺς ἐργασάμενον ἅπαντας τοὺς τῇδε μῦς, ἐπὶ τῶν κατὰ τὴν ἀρτηρίαν ἑλκῶν. παραρρεῖ γὰρ οὕτως ἀτρέμα καὶ κατὰ βραχὺ σαφῶς καὶ αἰσθητῶς εἰς αὐτὴν τὴν ἀρτηρίαν τοῦ φαρμάκου. καὶ γὰρ κἂν τῷ κατὰ φύσιν ἔχειν, εὖ εἰδέναι χρὴ παραρρεόμενον οὐκ ὀλίγον ἐνταῦθα τοῦ πόματος. ἀλλ' ὥσπερ ὑγιαινόντων, οὕτω καὶ νοσούντων φυλάττεσθαι χρὴ τὸ πλέον, ὡς βηχὸς κινητικόν. ἄχρι μὲν γὰρ ἂν ἐν κύκλῳ περὶ τὸν χιτῶνα τῆς ἀρτηρίας, ὥσπερ παρὰ τοῖχον ὕδωρ φέρηται τὸ ὑγρόν, οὐκ ἐργάσεται βῆχα. τὸ δ' εἰς τὰς ὁδοὺς μέσας τοῦ πνεύματος ἐμπῖπτον, εὐθὺς βηχώδεις ἀποτελεῖ. ταῦτά γε οὖν ἀπὸ τῆς θέσεως καὶ διαπλάσεως τῶν μορίων εἴληπται πάντα. καὶ πρὸς τούτοις ἔτι, τὸ συμμιγνῦναι μέλιτος ἅπασι τοῖς πρὸς τὰς ἑλκώσεις φαρμάκοις, ἐπὶ τὸν κατὰ τὸν θώρακα καὶ τὸν πνεύμονα. μόνα γοῦν εἴπερ ἐπὶ τούτων αὐστηρὰ προσφέροις φάρμακα, χρονίζει κατὰ τὴν γαστέρα. τῆς οὖν ἀναδόσεως αὐτῶν, ὄργανον ὑπάρχει τὸ μέλι. καὶ ἔστιν οἷον ὄχημά τι ταχείας φορᾶς. ἅμα τῷ μηδὲ βλάπτειν ἕλκη. κατὰ δὲ τὸν αὐτὸν λόγον, αὐτό τε τὸ μέλι, καὶ τῶν οὔρησιν κινούντων τινὰ μίγνυσθαι χρὴ τοῖς τῶν ἑλκῶν φαρμάκοις, ἐπειδὰν τὰ κατὰ τὴν κύστιν καὶ τοὺς νεφροὺς ᾖ πεπονθότα. τὸ δὲ καὶ τὰς διαγνώσεις τῶν ἡλκωμένων μορίων, ἀπό τε τῆς οὐσίας αὐτῶν καὶ τῆς ἐνεργείας καὶ χρείας γίγνεσθαι, καὶ τῆς θέσεώς τε καὶ διαπλάσεως, εὔδηλον οἶμαι κἂν ἐγὼ μὴ λέγω. δείκνυται δ' αὐτάρκως, κἂν ταῖς περὶ τῶν πεπονθότων τόπων διαγνώσεσιν. ἀλλ' οὐ πρόκειται νῦν περὶ ἐκείνων λέγειν. αὖθις οὖν ἐπὶ τὴν θεραπευτικὴν μέθοδον ἐπάνειμι. φημὶ δὴ καὶ ταῦτα καὶ ἄλλα πολλὰ τὴν τῶν μορίων ἐνδείκνυσθαι θέσιν τε καὶ διάπλασιν. ἐπιδῆσαι γὰρ τὸ ἡλκωμένον μόριον οὐκ ἐγχωρεῖ καλῶς, ἄνευ τοῦ λαβεῖν τὴν ἔνδειξιν, ἢ ἐκ τῆς διαπλάσεως, ἢ ἐκ τῆς θέσεως, ἢ ἐκ συναμφοτέρων. ἐνιέναι τε τὸν αὐλίσκον τοῦ κλυστῆρος εἰς τὴν ἕδραν ἐπιτηδείως οὐχ οἷόν τε χωρὶς τῆς τοιαύτης ἐνδείξεως. καὶ μὴν καὶ διὰ τοῦ καυλοῦ φάρμακον ἐνιέναι πολλάκις εἰς τὴν κύστιν ἀναγκαῖόν ἐστι. περὶ μὲν γὰρ τοῦ καθετῆρος οὐδὲν δέομαι λέγειν, ὡς οὐχ οἷόν τέ ἐστι καλῶς χρήσασθαι αὐτῷ χωρὶς τοῦ καὶ θέσιν ἀκριβῶς ἐπίστασθαι καὶ διάπλασιν ὅλης τῆς κύστεως. ἐν μὲν δὴ τοῖς τοιούτοις ἅπασι, πρόδηλον ὡς οὐκ ὀλίγον εἰς τὴν ὅλην θεραπείαν ὁ πεπονθὼς τόπος συνενδείκνυται. ἐπὶ δὲ τῶν καλουμένων ῥηγμάτων, πλείονες ἐνδείξεις φαίνονται συντρέχειν εἰς ταὐτό. καὶ γοῦν καὶ ἡ ἀπὸ τῆς θέσεως ὀρθῶς ἂν ἐξετάζοιτο. διότι γοῦν ἐν βάθει τοῦ σώματός ἐστι καὶ κατακέκρυπται, διὰ τοῦτο καὶ τῆς θεραπείας ἐξηλλαγμένης παρὰ τὰ φαινόμενα δεήσεται. διότι δὲ σὺν ἐκχυμώσει μὲν πάντως, ἐνίοτε δὲ καὶ σὺν περιθλάσει τῆς ἐρρωγυίας σαρκὸς ἀποτελεῖται, διὰ τοῦτο πλείους ἰάσεις ἐνδείξεται. ἀεὶ γὰρ τῷ πλήθει τῶν διαθέσεων, οἱ πρῶτοι σκοποὶ τῶν ἰάσεων ἰσάριθμοι. λεχθήσεται μὲν οὖν ἐπὶ πλέον ἐν τοῖς περὶ τῆς φλεγμονῆς λογισμοῖς, ὡς ἰσχυροτέρων δεῖται φαρμάκων ἅπαντα τὰ διὰ βάθος πεπονηκότα σώματα, τῶν ἐπιπολῆς ἀρρωστούντων. δῆλον δ' οἶμαι καὶ νῦν ἤδη τόγε τοσοῦτον, ὡς ἐκλύεσθαι τὴν δύναμιν ἀναγκαῖόν ἐστι τῶν ἐπιτιθεμένων ἔξωθεν φαρμάκων, ὅταν ἐν τῷ βάθει κατακεκρυμμένον ᾖ τὸ δεόμενον τῆς ἀπ' αὐτῶν ὠφελείας. ἐπιτείνειν οὖν αὐτὴν εἰς τοσοῦτον προσήκει, εἰς ὅσον ἐκλύεσθαι μέλλει κατὰ τὴν εἰς τὸ βάθος ὁδόν. αἱ δ' ἐκχυμώσεις ἅπασαι, τὸν σκοπὸν τῆς ἰάσεως κένωσιν ἕξουσιν. ὥστε θερμαινόντων αὐταῖς καὶ μετρίως ξηραινόντων ἐστὶ χρεία φαρμάκων. ὅσα γὰρ ἰσχυρῶς ξηραίνει, διαφορεῖ μὲν εὐθὺς κατ' ἀρχὰς ἐπιδηλότερον τῶν ἀσθενεστέρων. ἀπολείπει δέ τι λείψανον τῆς διαθέσεως, σκιρρῶδες καὶ δυσίατον. εἰρήσεται μὲν οὖν κἂν τοῖς ἑξῆς περὶ τούτων ἀκριβέστερον. ἀλλὰ καὶ νῦν ὅσον εἰς τὰ παρόντα χρήσιμον, αὐτάρκως λέλεκται. τά τε γὰρ ὑγραίνοντα καὶ θερμαίνοντα φάρμακα, καὶ ταῦτα δὴ τὰ συνήθως ἅπασιν ὀνομαζόμενα χαλαστικά, καὶ τούτων ὅσα βραχὺ μὲν πρὸς τὸ ξηρότερον ἀποκεχώρηκεν, οὔπω δὲ σαφῶς οὐδ' ἐναργῶς ἐστι στυπτικά, τῶν ἐκχυμωμάτων ἁπάντων ἐστὶν ἰάματα. χρὴ δὲ δηλονότι καὶ ταῦτα τοῖς τῷ ἐν βάθει τοῦ σώματος ῥήγμασι, συνεπιτείνεσθαί τε τῇ δυνάμει, καὶ δριμύτερα προσφέρεσθαι καὶ τμητικώτερα, καὶ τὸ σύμπαν εἰπεῖν, ἐνεργέστερα τοσοῦτον, εἰς ὅσον τοῦ δέρματος ἀποκεχώρηκε πρὸς τὸ βάθος ἡ ἐκχύμωσις. ἐκ τῶν τοιούτων εἴη ἂν καὶ ἡ τῆς σικύας χρῆσις ὠφέλιμος. ὄργανον δὲ καὶ αὐτὴ τοῖς ἰατροῖς εὕρηται βιαίας ὁλκῆς. ἐπειδὰν μέντοι διαφορηθῇ τὸ σύμπαν ἐκχύμωμα, ξηραίνειν ἤδη σφοδρότερον ἐγχωρεῖ τὸ ῥῆγμα, καὶ συνάγειν ἐπιδέσει. καὶ τὸ σύμπαν εἰπεῖν, ἅπαντα πράττειν ὑπὲρ τοῦ συμφῦναι τὸ ἕλκος, εἰ μὲν οὖν ἐν τάχει διαφορηθείη τὸ ἐκχύμωμα, προσίεται ῥᾳδίως τὴν σύμφυσιν ἡ ἐρρωγυῖα σάρξ. εἰ δ' ἐν χρόνῳ πλείονι διαφοροῖτο, ῥύπος ἀξιόλογος ὑποτρεφόμενος ἐν τῷ μεταξὺ τῶν χειλῶν ἵσταται τοῦ ἕλκους. ὥστ' οὐκέτ' οἷόν τε συμφῦναι τῷ ῥήγματι. καὶ διὰ τοῦτο πᾶν ὁτιοῦν αἴτιον, ὑπομιμνήσκει ταῦτα. καὶ γὰρ ῥιγώσαντες καὶ ἀποπτήσαντες καὶ πυρέξαντες καὶ σφοδρότερον ἐνεργήσαντες τοῖς τοιούτοις μορίοις, εὐθέως ἀλγοῦσιν. οὐ γὰρ συνέφυ τὰ χείλη τοῦ ῥήγματος, ἀλλὰ παράκειται μόνον. ὥστε μικρὰ πρόφασις ἀφίστησί τε ῥᾳδίως ἀπ' ἀλλήλων αὐτά. καὶ τὴν μεταξὺ χώραν ἐμπίπλησιν ὑγρότητος περιττῆς. καὶ τί γὰρ ἄλλο, ἢ ἐκχύμωμα γίνεται συνεχῶς αὖθις ὅμοιον τῷ κατ' ἀρχάς, ἡνίκα τὸ πρῶτον ἡ σὰρξ ἐρράγη, πλὴν ὅτι νῦν μὲν ἰχῶρος τινὸς μᾶλλον λεπτοῦ. κατ' ἀρχὰς δ' αἵματος ἦν τὸ ἐκχύμωμα. διὰ τοῦτο καὶ ῥᾷον νῦν, ἢ κατ' ἀρχὰς διαφορεῖται. ταῦτα μὲν οὖν εἴρηταί μοι πρός γε τὸν περὶ τῶν ἑλκῶν λόγον ἀρκοῦντα, καὶ ἤδη τέλος ἐπιτίθημι καὶ τῷ δὲ τετάρτῳ γράμματι.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

Τ ΗΝ τῶν ἑλκῶν ἴασιν ὡς ἄν τις ἄριστα ποιοῖτο, διὰ τῶν ἔμπροσθεν τοῦ δε δυοῖν ὑπομνημά-
των διερχόμενος, καὶ τοὺς ἄλλους μὲν ἅπαντας ἰατροὺς ὅσοι χωρὶς τοῦ ζητεῖσθαι τὰ στοιχεῖα
τῶν ἁπλῶν ἐν ἡμῖν μορίων ἅπτονται τῆς τέχνης, ου δυναμένους οὐδὲν ἰᾶσθαι μεθόδῳ,
πάντων δὲ μάλιστα τοὺς τὴν Θεσσαλοῦ πρεσβεύοντας αἵρεσιν, ἐπέδειξα. οἱ μὲν γὰρ ἄλλοι
τά γ᾽ ἐν τοῖς διαφέρουσι μέρεσιν ἕλκη, διαφόρως θεραπεύειν ἀξιοῦσιν ὑπὸ τῆς πείρας δε-
δειδαγμένοι. τοῖς δ᾽ ἀπὸ τοῦ Θεσσαλοῦ διὰ τὸ περιττὸν τῆς σοφίας, ἅπαν ἕλκος ὁμοίας δο-
κεῖ δεῖσθαι θεραπείας, ἐν ὅτῳ περ ἂν ᾖ μέρει τοῦ ζώου γεγονός. εἰ μὲν γὰρ εἴη κοῖλον, ἀναπληρώσεως αὐτό φασι
χρῄζειν. εἰ δ᾽ ὁμαλὲς, ἐπουλώσεως. εἰ δ᾽ ὑπερσαρκοῦν, καθαιρέσεως. εἰ δ᾽ ἔναιμόν τε καὶ πρόσφατον, κολλήσεως.
ὥσπερ τῷ ταῦτα γινώσκειν, ἀκόλουθον ἐξ ἀνάγκης τὸ θεραπεύειν ὀρθῶς. ἀλλ᾽ οὐχὶ κοινὸν μὲν ταῦτα καὶ πρὸς τοὺς
ἰδιώτας ὑπάρχον. οὐδεὶς οὖν ἀγνοεῖ τῶν ῥηθέντων οὐδέν. οὐ μὴν οὐδ᾽ ὡς χρὴ σαρκῶσαι τὸ κοῖλον, οὐδ᾽ ὡς ἐπου-
λῶσαι τὸ πεπληρωμένον, ἢ καταστεῖλαι τὸ ὑπεραυξανόμενον, ἢ συμφῦσαι τὸ καθαρόν τε καὶ μὴ κοῖλον ἐπί-
στανται. μόνων γὰρ οἶμαι τῶν ἰατρῶν, τὰ τοιαῦτα τῶν ἔργων ἐστὶν, ἤτοι γ᾽ ἐκ λόγου τινὸς, ἢ ἐξ ἐμπειρίας, ἢ ἐκ συ-
ναμφοτέρου τὴν εὕρεσιν ἔχοντα. πάλιν οὖν ἀναλαβόντες ἐν κεφαλαίοις ὑπὲρ αὐτῶν διεξέλθωμεν, ἕνεκα τοῦ
συνάψαι τὴν ἀρχὴν τῶν μελλόντων λεχθήσεσθαι τῇ τελευτῇ τῶν φθανόντων εἰρῆσθαι. πᾶν ἕλκος ἐδείχθη ξη-
ραινόντων χρῄζειν φαρμάκων. ἀλλὰ τὸ μὲν κοῖλον ἧττον τε τῶν ἄλλων, καὶ πρὸς τῷ μετρίως ξηραίνειν, τὸ ῥύ-
πτειν ἐχόντων. τὸ δὲ τῆς ἑνώσεως τῶν χειλῶν δεόμενον, οἷα τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ἐστιν ἔναιμα, τῶν τε
μᾶλλον ἔτι ξηραινόντων, καὶ χωρὶς τοῦ ῥύπτειν ἀτρέμα στυφόντων. ἔτι δὲ μᾶλλον, ὅσα τῶν ἑλκῶν εἰς οὐλὴν ἀχθῆ-
ναι δεῖται, ξηραινόντων τε χρῄζει φαρμάκων καὶ στυφόντων οὐκ ἀγεννῶς. εἰ δὲ ἡ σὰρξ αὐτῶν ὑπὲρ τὸ κατὰ φύσιν
αὐξηθείη, δριμέων τε καὶ καθαιρετικῶν, ἅπερ ἐξ ἀνάγκης ἐστὶ θερμὰ καὶ ξηρά. συμπτώματος δέ τινος ἑτέρου
προσγινομένου τοῖς ἕλκεσιν, ἀπὸ τῆς ἐκείνου φύσεως, ὁ σκοπὸς τῆς ἰάσεως ἐλαμβάνετο. κἂν τούτου πάλιν, ἡ τῶν φαρ-
μάκων δύναμις. εἰ μὲν γὰρ ῥύπος ἐπιτραφείη, τῶν ἀφαιρούντων αὐτὸν ἐστὶ τὴν χρείαν. ἅπερ ἅπανθ᾽ ὑπάρχει ῥυ-
πτικά. πολὺ δή τι πλέον, ἢ κατὰ τὰ σαρκοῦντα. πλέονος δ᾽ ὑγρότητος ἐν αὐτοῖς φανείσης, ἔτι μᾶλλον ξηραίνειν
χρῆναι τὸ φάρμακον, οὐκ ἐξιστάμενον τῆς οἰκείας ἰδέας. ἀλλ᾽ εἰ μὲν κολλητικὸν εἴη, ξηραῖνον τε καὶ στῦφον, εἰ δὲ
σαρκωτικὸν, ξηραῖνον τε καὶ ῥύπτον. ἐφ᾽ ἑκάστου τε τῶν ἄλλων ὥσπερ εἴρηται. δυσκρατοῦς δὲ τῆς ὑποκειμένης γε-
γονυίας σαρκὸς, ἐκείνης προτέρας ἰᾶσθαι τὴν δυσκρασίαν, τὴν μὲν ξηροτέραν τοῦ κατὰ φύσιν ὑγραίνοντας. τὴν
δ᾽ ὑγροτέραν, ξηραίνοντας. καὶ τὴν μὲν θερμοτέραν, ψύχοντας. τὴν δὲ ψυχροτέραν, θερμαίνοντας. καὶ εἰ κατὰ
συζυγίαν δέ τινα δύσκρατος ὑπάρχει, καὶ τὴν τοῦ φαρμάκου δύναμιν ἐξ ὑπεναντίου κατ᾽ ἀμφοτέρας αἱρεῖ-
σθαι τὰς συζυγίας. κοινὸν γὰρ ἐστὶ τοῦτό γε τῶν παρὰ φύσιν ἁπάντων ὡς μηδὲν δύνασθαι πρὸς τὸ κατὰ φύσιν ἐ-
πανελθεῖν, ἄνευ τῶν ἐναντίων ἑαυτῷ τῇ δυνάμει. προσεπισκοπεῖσθαι δ᾽ ἐν τῷ δε καὶ τὰς αἰτίας τῆς δυσκρα-
σίας αἰτίας εἴτε κοιναὶ τοῦ σώματος ἅπαντος ὑπάρχοιεν, εἴτε μορίων τινῶν ἐξαίρετοι, κατὰ συμπάθειαν ἀδικοῦ-
σαι τὸ ἡλκωμένον. ἐξιᾶσθαι δὲ προτέραν μὲν τὴν τῆς γινομένης δυσκρασίας αἰτίαν, ἐφεξῆς δὲ καὶ τῆς ἤδη γε-
γενημένης. ἔστι γὰρ δὴ καὶ οὗτος ὁ σκοπὸς ἁπάντων κοινὸς, τῶν ὑπ᾽ αἰτίου τινὸς ἐπιγιγνομένων. ἐδείξαμεν δὲ
καὶ τὰς ἀπὸ τῆς διαφορᾶς τῶν ἑλκῶν διαφόρους ἐνδείξεις. καὶ τὰς ἀπὸ τῆς τῶν πεπονθότων σωμάτων κράσεως,
ἑτέρως ἐχούσας ταῖς προειρημέναις. ἐκεῖναι μὲν γὰρ ἀπὸ τῶν παρὰ φύσιν ὑπάρχουσαι, τῶν ἐναντίων ἅπασι χρῄ-
ζουσιν. αὗται δ᾽ ἐκ τῶν κατὰ φύσιν ὁρμώμεναι, τῶν ὁμοίων. τὸ μὲν γὰρ ξηρότερον μόριον, ξηραίνεσθαι δεῖ μᾶλλον.
τὸ δὲ ἧττον τοιοῦτον, ἧττον ξηραίνεσθαι χρή. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐπὶ τοῦ θερμαίνεσθαί τε καὶ ψύχεσθαι. λαμβά-
νεσθαι δέ τινα κἀκ τοῦ κύριον ἢ μὴ τοιοῦτον ἐστὶ τὸ μόριον, ἐναίσθητόν τε καὶ δυσαίσθητον, διάφορον ἰάσεως ἔν-
δειξιν. ἓν μὲν οὖν ὑπόλοιπον ἔτι τῆς τούτου τοῦ γένους θεραπείας ἐστὶν, ἤδη λέγομεν. ὀνομάζεται μὲν τὸ γένος τοῦτο
πρὸς ἡμῶν ἕνεκα σαφοῦς διδασκαλίας, ἑνώσεως λύσις. οὐδὲν διαφέρον εἰ καὶ συνεχείας εἴποιμεν. ἐγγίνεται δ᾽
οὐ μόνον τοῖς ὁμοιομερέσι τε καὶ ἁπλοῖς ὀνομαζομένοις μορίοις, ἀλλὰ καὶ τοῖς συνθέτοις τε καὶ ὀργανικοῖς. αἱ
δὲ τῶν βοηθημάτων ἐνδείξεις, ἕτεραι μὲν ἀπὸ τῶν ὁμοιομερῶν εἰσιν, ἕτεραι δὲ ἀπὸ τῶν ὀργανικῶν. ἀμφοτέρας
μὲν οὖν οἱ τὴν Ἱπποκράτους μέθοδον ἀσπαζόμενοι, γινώσκουσι. διότι καὶ τὴν ἑκατέρων τῶν μορίων φύσιν ἐπί-
στανται. τὴν δ᾽ ἑτέραν ἐξ αὐτῶν μόνην τὴν ἀπὸ τῶν ὀργανικῶν, οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον. ὡς-
τε κἂν τοῖς ἐφεξῆς λόγοις, ὅσα μὲν ἀπὸ τοῦ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ σώματος ἢ πάθους εἰς τὴν ἔνδει-
ξιν λαμβάνεται, τούτων οὐδενὸς ἕξουσι μέθοδον οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον. ὅσα δὲ ἀπὸ τῆς δια-
πλάσεως, ἢ θέσεως, ἢ κυριότητος, ἢ ἐναισθησίας, ἢ τῶν ἐναντίων, οὐκ ἀγνοήσουσι. φανείη δ᾽ ἂν σοι σαφέστερον
ὃ λέγω, τῶν σωμάτων αὐτῶν προχειρισθέντων. ἐπεὶ τοίνυν ἔμπροσθεν ὑπὲρ τῶν ἐν σαρκώδεσι μέρεσι γινομέ-
νων ἑλκῶν, ὁ πλεῖστός μοι λόγος ἐπεράνθη, νῦν δ᾽ ἤδη καιρὸς ὑπὲρ τῶν ἐν ἀρτηρίᾳ καὶ φλεβὶ καὶ νεύρῳ διελ-
θεῖν. οὐδὲ περὶ τούτων ἁπλῶς, ἀλλὰ καὶ καθ᾽ ἕκαστον σπλάγχνον. ἢ συλλήβδην εἰπεῖν, ὀργανικὸν τοῦ ζώου μόριον.
εἰ δέ τις ἀρτηρίαν ἢ φλέβα τρωθείη μεγάλην, αἱμορραγία τε λάβρος ἐπιπίπτει τοῖς αὐτίκα, καὶ κολληθῆναι
τῷ τοιούτῳ τραύματι χαλεπὸν μὲν κἂν τῇ φλεβὶ, κατὰ δὲ τὴν ἀρτηρίαν, οὐ χαλεπὸν μόνον, ἀλλὰ ἴσως καὶ ἀδύ-
νατον. ὥς τινες ἀπεφήναντο τῶν ἰατρῶν. λεκτέον οὖν ὑπὲρ ἑκατέρων ἐν μέρει. πρότερον μὲν τῶν αἱμορραγιῶν.
δεύτερον δὲ τῆς συμφύσεως. ἐπεὶ δὲ καὶ κατὰ ἀναστόμωσίν τε καὶ τὴν καλουμένην διαπήδησιν αἱμορραγίαι γί-
νονται, διὰ τὴν κοινωνίαν τῶν ἰαμάτων οὐδὲν χεῖρον ἐν τῷ δε μνημονεύειν αὐτῶν, εἰ καὶ δοκοῦσιν ἐξ ἑτέρου γένους
εἶναι νοσημάτων. ἐκχεῖται τοίνυν αἷμα φλεβὸς καὶ ἀρτηρίας, ἤτοι κατὰ τὸ πέρας ἀναστομουμένων τῶν ἀγγείων, ἢ

τοῦ χιτῶνος αὐτῶν διαιρεθέντος, ἢ ὥς ἄν τις εἴποι διιδρουμένου. ὁ μὲν οὖν χιτὼν διαιρεῖται τιτρωσκόμενός τε καὶ θλώμενος, καὶ ῥηγνύμενος, καὶ διαβιβρωσκόμενος. ἀναστόμωσις δὲ γίνεται, διά τε ἀτονίαν ἀγγείου καὶ πλῆθος αἵματος ἀθρόως ῥυέντος ἐπὶ τὸ στόμιον αὐτοῦ, καί τινα ποιότητα προσπίπτουσαν ἔξωθεν αὐτῷ δριμεῖαν. ἡ δὲ διαπήδησις ἀραιωθέντος μὲν τοῦ χιτῶνος, λεπτυνθέντος δὲ τοῦ αἵματος ἀποτελεῖται. γένοιτο δ' ἄν ποτε καὶ δι' ἀναστόμωσιν ἀγγείων μικρῶν. λεκτέον οὖν ὑπὲρ ἑκάστης διαθέσεως ἐν μέρει. καὶ πρώτης γε τῆς διαιρέσεως, ἣν ἐξ ἀναβρώσεως, καὶ τρώσεως, καὶ θλάσεως, καὶ ῥήξεως ἔφαμεν γίγνεσθαι. τὰ μὲν δὴ τιτρώσκοντα τῶν αἰτίων, ὀξέα τ' ἐστί, καὶ τομά. τὰ δὲ θλῶντα, βαρέα τε, καὶ σκληρά. τὰ δὲ ῥηγνύντα, διὰ μέσης μὲν ἅπαντα τῆς τάσεως ῥήγνυσιν. ἔστι δὲ πλείω σφοδρότης ἐνεργείας καὶ πλῆθος χυμῶν. οὐ τὸ πρὸς τὴν δύναμιν, ἀλλ' ὅταν ὑπὸ τῶν περιεχόντων μὴ στέγηται. καὶ κατάπτωσις ἐξ ὑψηλοῦ, καί τι τῶν βαρέων καὶ σκληρῶν ἐμπεσόν. τὸ γὰρ τοιοῦτον, ἐπειδὰν μὲν ἤτοι κενοῖς, ἢ ὀλιγοστὴν οὐσίαν περιέχουσιν ἀγγείοις ἐμπέσοι, θλάσιν ἐργάζεται, μετὰ τοῦ καὶ τὸ ἀντιστηρίζον ἔχειν σκληρόν. ἐπειδὰν δὲ πλήρεσιν ᾖ, φθάνει ῥηγνύειν πρὶν θλᾶσθαι, παραπλησίου τοῦ συμβαίνοντος ὄντος, ὥσπερ εἰ καὶ πληρώσας ἀσκὸν ἢ κύστιν, ἐπιρρίψαις λίθον. ἢ εἰ ἐπὶ τοῦ λίθου σφοδρῶς ἐπιρρίψαις τὸν ἀσκόν. ἔοικε δὲ μάλιστα τοῦτο γινόμενον ἐν ταῖς καταπτώσεσιν. ὃν γὰρ ἔχει λόγον ὡς πρὸς τὸν λίθον ὁ ἀσκός, τοῦτον ὡς πρὸς τοὔδαφος ὁ ἄνθρωπος. ὅσοι δὲ μέγιστον ἢ ὀξύτατον βοήσαντες, ἔρρηξαν ἀγγεῖον ἐν πνεύμονι, διὰ σύντονον ἐνέργειαν ἔπαθον οὕτως. ὡσαύτως δ' αὐτοῖς καὶ ὅσοι βαρὺν ὄγκον σώματος ἢ τοῖς ὤμοις ἀναθέσθαι προὐθυμήθησαν. ἢ ἄλλως πως ἆραι διὰ ταῖν χεροῖν. ἔτι δὲ μᾶλλον ὅσοι διὰ δρόμον ὠκύν, ἢ πηδήσαντες μέγιστα, ἤ πως ἄλλως ἰσχυρῶς τείναντές τι μόριον. ἔστι γὰρ καὶ τοῦτο παραπλήσιον ὡς εἰ καὶ σχοινίον, ἢ ἱμάντα διατείναις ἐπὶ πλεῖστον. ὅτι δὲ καὶ διὰ τὸ μὴ στέγειν τὸ περιεχόμενον ἐν αὐτοῖς αἷμα, καὶ μάλιστα ὅταν ᾖ πνευματικὸν οὐκ ὀλίγα ῥήγνυται, δηλοῦσιν οἵ τε πίθοι πρὸς τοῦ γλεύκους ἀναρρηγνύμενοι, καὶ ἄλλα πολλὰ τῶν ἰσχυροτάτων σωμάτων. εἰ μὲν οὖν ἐκ τρώσεως ἢ βοῆς ἢ καταπτώσεως ἢ θλάσεως ἡ ῥῆξις ἐγένετο, πέπαυται τὸ αἴτιον. εἰ δ' ὑπὸ πλήθους, ἐγχωρεῖ καὶ νῦν ἔτι τὸ ἀγγεῖον ἐπὶ πλέον ἀναρρήγνυσθαι μενούσης ἔτι τῆς ποιούσης αἰτίας. ἐπὶ μὲν οὖν τῆσδε τῆς διαθέσεως, ἐκκενωτέον ὅτι τάχιστα τὸ πλῆθος. εἶθ' οὕτως ἐπισκεπτέον τὸ αἷμα. κἄπειτα τὸ ἕλκος θεραπευτέον. ἐφ' ὧν δὲ οὐκ ἔστι τὸ αἴτιον, ἐπισχεῖν μὲν χρὴ πρῶτον τὸ αἷμα, τὸ δ' ἕλκος ἑξῆς ἰᾶσθαι. στεγνώσαντος μὲν τὸ ἐρρωγός, ἐκτρέψαντος δὲ καὶ ἀποστρέψαντος ἑτέρωσε τὸ δι' αὐτοῦ φερόμενον, ὡς εἴγε καὶ τοῦτ' ἐπιρρέοι, καθάπερ ἐξ ἀρχῆς ὥρμησε, καὶ τὸ στόμιον ἴσον ἑαυτῷ διαμένοι, θᾶττον ἂν ἀπόλοιτο τὸ οὕτως αἱμορραγοῦν ζῶον, ἢ τὸ αἷμα παύσαιτο κενούμενον. ἀλλὰ καὶ τό γ' ἕλκος ἤτοι τῶν διεστώτων χειλῶν εἰς ταὐτὸν ἀφικομένων, ἢ τοῦ στομίου φραχθέντος, στεγνωθήσεται. συναχθήσεται μὲν οὖν εἰς ταὔτ' ἀλλήλοις τὰ χείλη, διά τε τῶν ἡμετέρων χειρῶν ὅταν οὕτως πρόχειρον ᾖ τὸ τραῦμα, καὶ δι' ἐπιδέσεως. ὁπότε τῶν ψυχόντων καὶ στυφόντων φαρμάκων. οὐ γὰρ δὴ ῥάπτειν γε δυνάμεθα τὸ τῆς ἀρτηρίας ἢ φλεβὸς τραῦμα. καθάπερ ἂν εἴποιεν οἱ μηδὲ μίαν ἐκ τῆς τῶν τετρωμένων μερῶν οὐσίας τε καὶ φύσεως ἔνδειξιν γίνεσθαι φάσκοντες. ἐμφραγήσεται δὲ τὸ στόμιον ὑπό τε θρόμβου, καὶ τῶν ἔξωθεν ἐπιβαλλομένων αὐτῷ. δύναται δὲ ἐπιβάλλεσθαι τά τε περικείμενα σαρκώδη, καὶ τὸ δέρμα κατ' ἐνίας τρώσεις. ὅσα θ' ἡμεῖς ἐπιτεχνώμεθα. ταῦτα δ' ἐστὶν οἵ τε καλούμενοι μοτοί, καὶ τῶν φαρμάκων ὅσα τῇ ἐμπλάσει γλίσχρα καὶ παχέα ταῖς οὐσίαις ὄντα. καὶ ὅσα τὴν καλουμένην ἐσχάραν ἐργάζεται. καὶ γὰρ καὶ ταύτην οἷον φράγμα τι τοῖς τοιούτοις ἕλκεσιν ἐξεῦρον οἱ πρόσθεν. ἐργάζονται δ' αὐτὴν διά τε πυρὸς αὐτοῦ καὶ φαρμάκων, ὁμοίαν πυρὶ τὴν δύναμιν ἐχόντων. ἐκ τούτων μὲν δὴ στεγνοῦται τὸ στόμιον, ἀποτρέπεται δὲ καὶ ἀποστρέφεται τὸ αἷμα πρὸς ἕτερα μόρια, παροχετεύσει τε καὶ ἀντισπάσει. καὶ γὰρ καὶ ταῦθ' Ἱπποκράτους εὑρήματα κοινὰ πάσης ἀμέτρου κενώσεως. παροχετεύεται μὲν οὖν εἰς τοὺς πλησίον τόπους. ἀντισπᾶται δὲ ἐπὶ τοὺς ἀντικειμένους. οἷον τῷ δι' ὑπερῴας κενουμένῳ, διὰ ῥινῶν μὲν ἡ παροχέτευσις, κάτω δ' ἡ ἀντίσπασις. ὥσπερ γε τῷ δι' ἕδρας, διὰ μήτρας μὲν ἡ παροχέτευσις, ἄνω δὲ ἡ ἀντίσπασις. οὕτως γοῦν καὶ ἡ φύσις αὐτὴ δρᾶν πέφυκε. γυναικὶ μὲν φησὶν αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων, λύσις. διὰ τοῦτ' ἄρα καὶ καταμηνίων ἀθρόων ἐκκενουμένων, ἢ ὁπωσοῦν ἄλλως αἱμορραγούσης μήτρας, ἀντίσπασις ἄνω, σικύαν μεγίστην ὑπὸ τοὺς τιτθοὺς προσβαλών, ἔστι γὰρ καὶ τοῦθ' Ἱπποκράτους εὕρημα, διὰ τοῦτο δὲ καὶ τὰς ἐκ ῥινῶν αἱμορραγίας ἐπέχουσιν, αἱ κατὰ τῶν ὑποχονδρίων ἐπιβαλλόμεναι μέγισται σικύαι. χρὴ δ' ὅταν ἐκ δεξιοῦ ῥέῃ μυκτῆρος, ἐφ' ἥπατος ἐρείδειν. ὅταν δ' ἐξ ἀριστεροῦ, κατὰ σπληνός. ὅταν δ' ἐξ ἀμφοτέρων, ἀμφοτέροις τοῖς σπλάγχνοις ἐπιφέρειν τὰς σικύας. εἰ δὲ μηδέπω καταλελυμένος ὁ κάμνων εἴη, καὶ φλέβα τέμνειν ἐξ ἀγκῶνος τῆς κατ' εὐθύ. κενώσαντα δ' ὀλίγον, εἶτα διαλιπόντα μίαν ὥραν, αὖθις ἐκκενοῦν. εἶτ' αὖθις καὶ αὖθις ὡς πρὸς τὴν δύναμιν τοῦ κάμνοντος. οὕτω δὲ καὶ τἄλλα ῥεύματα σύμπαντα, κοινὸς γὰρ ὁ λόγος, ἀντισπάσεις τε καὶ παροχετεύσεις. τὰ μὲν διὰ γαστρός, ἤτοι δι' οὔρων ἢ μήτρας. τὰ δὲ δι' οὔρων, ἤτοι διὰ μήτρας ἢ δι' ἕδρας. ὡσαύτως δὲ καὶ τὰ διὰ μήτρας, ἤτοι δι' οὔρων ἢ διὰ γαστρός. ἐπὶ δὲ τῶν κατ' ὀφθαλμοὺς, καὶ ὦτα, καὶ ὑπερῴαν, διὰ ῥινῶν ἡ παροχέτευσις. ἡ δ' ἀντίσπασις, ἄνω μὲν ἐπὶ τοῖς κάτω πᾶσι. κάτω δ' ἐπὶ τοῖς ἄνω. καὶ μὲν δὴ κἀκ τῶν δεξιῶν ἐπὶ θάτερα. κἀξ ἐκείνων, ἐπὶ ταῦτα. κἀκ τῶν εἴσω, πρὸς τὰ ἔξω. κἀκ τούτων αὖ πάλιν, πρὸς ἐκεῖνα. τρίψεις οὖν τῶν ἀντικειμένων μερῶν, καὶ μάλιστα διὰ φαρμάκων θερμαινόντων, ἔτι τε δεσμὰ σφοδρότερα, τῶν ἀντισπαστικῶν ἐστι βοηθημάτων. ὥσπερ γε καὶ οἱ ἀντικείμενοι τῶν φυσικῶν πόρων ἀναστομωθέντες. εἴρηται δ' ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν, ἡ τῶν τοῦτο δυναμένων ἐργάζεσθαι φαρμάκων ὕλη. περὶ μὲν οὖν ἁπάντων ῥευμάτων εἰπεῖν, ἀναγκαῖον ἔσται κἂν τοῖς ἑξῆς ὑπομνήμασι. νυνὶ δὲ ἐπὶ τὰς αἱμορραγίας ἰτέον. ἐκ γάρ τοι τοῦ γένους τῆς στεγνώσεως ἐστί πως, καὶ ὁ βρόχος ὁ περιτιθέμενος αὐτοῖς τοῖς αἱμορραγοῦσιν ἀγγείοις. οἵ θ' ἡμέτεροι δάκτυλοι συνάγοντές τε καὶ σφίγγοντες αὐτά. τούτου δ' ἐστὶ τοῦ γένους καὶ ἡ ἐπίδεσις. καί τοι γ' οὐ κατὰ κύκλον τὸ ἀγγεῖον περιλαμβάνουσα, καθάπερ ὁ βρόχος, ἀλλὰ τῷ συνάγειν τέ πως ἐκ μέρους τὰ διεστῶτα χείλη τοῦ τετρωμένου μορίου, καὶ προστέλλειν τὰ ἐπικείμενα, τῶν στεγνωτικῶν ἐστι βοηθημάτων. ἔξωθεν δὲ τῶν εἰρημένων ἁπάντων, αἱμορραγίας βοήθημά ἐστι, τὸ ἐπιτήδειον σχῆμα τοῦ τετρω-

μένου

μένου μορίου. ἐπιτήδειον δὲ γίνεται δυοῖν τούτοιν ἐχόμενον σκοποῖν, ἀνωδυνίας τε καὶ ἀναῤῥοπίας. εἰ δ' ἤτοι κατάῤῥοπον ἢ ὀδυνῶδες γίγνοιτο, καὶ τὰς οὐκ οὔσας αἱμοῤῥαγίας ἐργάσεται, μή τοι γε δὴ τὰς οὔσας οὐ παύσει. ταῦτ' οὖν ἐπιστάμενος τις, ἣν ἐπιστῇ ποθ' αἱμοῤῥαγοῦντι μορίῳ διὰ τρῶσιν, ἐπὶ τούτων γὰρ ὁ λόγος μοι γιγνέσθω πρῶτον. αὐτίκα μὲν ἐπιβαλλέτω τὸν δάκτυλον ἐπὶ τὸ στόμιον τοῦ κατὰ τὸ ἀγγεῖον ἕλκους, ἐρείδων πρᾳέως καὶ πιέζων ἀνωδύνως, ἅμα τε γὰρ ἐφέξει τὸ αἷμα, καὶ θρόμβον ἐπιπήξει τῇ τρώσει. καὶ μέν τοι κἂν εἰ διὰ συχνοῦ βάθους εἴη τὸ αἱμοῤῥαγοῦν ἀγγεῖον, ἀκριβέστερον ἂν καταμάθοις τήν τε θέσιν αὐτοῦ καὶ τὸ μέγεθος. καὶ πότερα φλὲψ, ἢ ἀρτηρία ἐστί. μετὰ δὲ ταῦτα διαπείρας ἀγκίστρῳ, ἀνατεινέτω τε καὶ περιστρεφέτω μετρίως. μὴ ἐπισχεθέντος δ' ἐν τῷδε τοῦ αἵματος, εἰ μὲν φλὲψ εἴη, πειράσθω χωρὶς βρόχου στέλλειν τὸ αἷμα, τῶν ἰσχαίμων τινὶ φαρμάκων. ἄριστα δ' αὐτῶν ἐστι τὰ ἐμπλαστικὰ, συντιθέμενα διά τε τῆς φρυκτῆς ῥητίνης καὶ ἀλεύρου πυρίνου χνοῦ, καὶ γύψου, καὶ ὅσα τοιαῦτα. εἰ δὲ ἀρτηρία ἐστί, δυοῖν θάτερον, ἢ βρόχον περιθεὶς, ἢ ὅλον διακόψας τὸ ἀγγεῖον, ἐφέξεις τὸ αἷμα. βρόχον δ' ἀναγκαζόμεθά ποτε καὶ ταῖς μεγάλαις περιτιθέναι φλεψίν, ὥσπερ γε καὶ διατέμνειν ποτ' αὐτὰς ὅλας ἐγκαρσίας δηλονότι. καταστραίη δ' ἂν τις εἰς ἀνάγκην τοῦδε, κατὰ τὰς ἐκ πολλοῦ βάθους ὀρθίας ἀναφερομένας. καὶ μάλιστα διὰ στενοχωρίας τινὸς, ἢ μερῶν κυρίων. ἀνασπᾶται γὰρ οὕτως ἑκάτερον τὸ μέρος ἑκατέρωθεν. καὶ κρύπτεται καὶ σκέπεται πρὸς τῶν ἐπικειμένων σωμάτων ἡ τρῶσις. ἀσφαλέστερον δ' ἄμφω ποιεῖν, βρόχον μὲν τῇ ῥίζῃ περιτιθέναι τοῦ ἀγγείου. τέμνειν δὲ τοὐντεῦθεν. ῥίζαν δ' ἀγγείου καλῶ, τὸ πρότερον αὐτοῦ μέρος, ἤτοι τῷ ἥπατι συνάπτον, ἢ τῇ καρδίᾳ. τοῦτο δ' ἐν τραχήλῳ μέν ἐστι, τὸ κάτωθεν. ἐν χερσὶ δὲ καὶ σκέλεσι, τὸ ἄνωθεν. ἐν ἑκάστῳ τε τῶν ἄλλων μορίων, ὡς ἐξ ἀνατομῆς ἔνεστι μαθεῖν. ἣν οὐδ' αὐτὴν οἱ ἀμέθοδοι προσίενται Θεσσάλειοι. ταῦτα δὲ πράξαντας, σαρκοῦν ὅτι τάχιστα τὸ τραῦμα, πρὶν ἀποῤῥυῆναι τοῦ ἀγγείου τὸν βρόχον. εἰ μὴ γὰρ φθάσειεν ἡ ἐπιτραφεῖσα σὰρξ συνῶσαι τὸ πέριξ χωρίον τῆς ἀποτετμημένης ἀρτηρίας, ἀλλ' εὑρεθείη που χώρα κενὴ, τὸ καλούμενον ἀνεύρυσμα γίνεται. διὰ τοῦτο καὶ τοῖς ἐμπλάττουσιν ἰσχαίμοις, χρῆσθαι κελεύω μᾶλλον τῶν ἐσχαρούντων. ὅτι θᾶττόν τε καὶ ἀκινδυνότερον ἐπ' αὐτοῖς σαρκοῦται τὸ τραῦμα. κίνδυνος γὰρ ἐπὶ τῶν ἄλλων ἀποπιπτούσης τῆς ἐσχάρας, αὖθις αἱμοῤῥαγῆσαι τὸ ἀγγεῖον. ἄριστον οὖν ἁπάντων ὧν οἶδα φαρμάκων, ᾧ καὶ πρὸς τὰς ἐκ μηνίγγων αἱμοῤῥαγίας ἀσφαλέστερον χρῆσθαι, τὸ λεχθησόμενον ἐστί. λιβανωτοῦ μέρος ἓν, ἀλόης ἡμίσει μεμίχθω μέρει. κἄπειτα τῆς χρείας ἐπιστάσης, ὠοῦ τῷ λευκῷ φυράσθω τοσούτῳ τὸ πλῆθος ὡς μελιτώδη σύστασιν ἔχειν. εἶτ' ἀναλαμβανέσθω τούτῳ λαγωοῦ θριξὶ ταῖς μαλακωτάταις. κἄπειτα τῷ ἀγγείῳ καὶ τῷ ἕλκει παντὶ πλεῖστον ἐπιτιθέσθω. καταδείσθω δ' ἔξωθεν ἐξ ὀθόνης ἐν ὑποδεσμίδι. τὰς μὲν πρώτας ἐπιβολὰς τέτταρας ἢ πέντε, κατ' αὐτοῦ αἱμοῤῥαγοῦντος ἀγγείου ποιουμένων ἡμῶν. ἐντεῦθεν δὲ ἐπὶ τὴν ῥίζαν αὐτοῦ νεμομένων, ἐφ' ὧν ἐγχωρεῖ μερῶν ἐπὶ τὴν ῥίζαν νέμεσθαι. χεδὸν δ' ἐπὶ πάντων ἐγχωρεῖ, πλὴν μηνίγγων. εἶτα λύσαντα διὰ τρίτης, εἰ μὲν ἀσφαλῶς ἔτι προσέχοιτο τῷ ἕλκει τὸ φάρμακον, αὖθις ἕτερον ἐν κύκλῳ περιχέοντα, καὶ ὥσπερ ἐπιτέγγοντα τὸ ἐκ τῶν τριχῶν μοτὸν, ἐπιδεῖν ὡς ἐξ ἀρχῆς ἐπέδησας. εἰ δ' αὐτομάτως ὁ πρότερος ἀποπίπτοι μοτὸς, ἀτρέμα πιέζοντα τῷ δακτύλῳ τὴν ῥίζαν τοῦ ἀγγείου πρὸς τὸ μηδὲν ἐπιῤῥυῆναι, τοῦτον μὲν ἀφελεῖν ἠρέμα, προσθεῖναι δ' ἕτερον. οὕτω σε θεραπεύειν δεῖ μέχρι περ ἂν σαρκωθῇ τὸ ἀγγεῖον, ἀνάῤῥοπον ἀπ' ἀρχῆς ἄχρι τέλους φυλάττοντα τὸ μόριον. ἔστω δὲ μὴ δὲ τοῦτο ἄμετρον τὸ σχῆμα. κίνδυνος γὰρ ὀδυνώδη γενέσθαι, καὶ αὖθις αἱμοῤῥαγῆσαι τὸ ἀγγεῖον. οὐδὲν γὰρ ὀδύνης μᾶλλον αἱμοῤῥαγίας τε κινεῖ καὶ φλεγμονὰς αὐξάνει. τούτῳ τῷ φαρμάκῳ πολυειδέστατα χρῶμαι. ποτὲ μὲν ὡς εἴρηται, μιγνύων ἀλόης τὸ διπλάσιον τοῦ λιβανωτοῦ. ποτὲ δ' ἐξ ἴσης ἀμφοτέροις χρώμενος. ἢ βραχεῖ πλείονι τῷ λιβανωτῷ τῆς ἀλόης. ἢ πλείονι μὲν ἀλλ' οὔπω τῷ διπλασίῳ. καὶ μάννην δ' ἀντὶ λιβανωτοῦ, ποτ' ἔβαλλον. ἔστι δὲ στυπτικώτερον μὲν φάρμακον ἡ μάννη τοῦ λιβανωτοῦ. ὁ λιβανωτὸς δ' ἐμπλαστικώτερος τῆς μάννης. εὔδηλον δ' ὅτι τοῖς μὲν σκληροῖς σώμασι, τὴν ἀλόην χρὴ προσφέρεσθαι πλείονα. τοῖς δὲ μαλακοῖς, τὸν λιβανωτόν. ἔσται δὲ τὸ μὲν ἕτερον αὐτῶν, στυπτικώτερον. τὸ δ' ἕτερον, ἐμπλαστικώτερον. διὸ καὶ τὸν γλισχρότερον, καὶ ὡς ἂν εἴποι τις ῥητινωδέστερον αἱρεῖσθαι χρὴ λιβανωτὸν, ὅταν ἐμπλαστικώτερον ἐργάσασθαι τὸ φάρμακον ἐθέλῃς. ἔστι δ' οὗτος ἁπαλώτερος ἅμα, καὶ λευκότερος, καὶ μασσώμενος οὐ θρύπτεται δίκην ἀλόης καὶ μάννης, ἀλλὰ συνεχὴς ἑαυτῷ μένει, καθάπερ ἡ μαστίχη. ταυτὶ μὲν οὖν ἤδη τῆς περὶ συνθέσεως φαρμάκων πραγματείας ἐστὶν, ἧς ἀδύνατον μηδαμῶς ἅπτεσθαι κατὰ τὸν ἐνεστῶτα λόγον. ἢ γὰρ οὐδόλως ἐχρῆν ἡμᾶς μεμνῆσθαι τῶν ἐν μέρει παραδειγμάτων, ἀλλ' αὐταῖς μόναις ἀρκεῖσθαι ταῖς καθόλου μεθόδοις, ἢ καὶ τῶν ἐν μέρει προσαπτομένους, ἅπτεσθαί ποτε καὶ τῆς σκευασίας αὐτῶν. ἀλλ' ὡς καὶ πρόσθεν εἴρηται, παράδειγμα τοῦ γένους τῶν φαρμάκων τῶν κατὰ τὴν μέθοδον εὑρισκομένων, ἓν ἢ δύο ἐνταυθοῖ γράφοντας, ἀρκεῖσθαι προσήκει. τούτου μὲν οὖν ἀεὶ χρὴ μεμνῆσθαι. πάλιν δ' ἐπανέλθωμεν ἐφ' ὅπερ λέγοντες ἀπελείπομεν. ἐμνήσθην γὰρ ἐπὶ πλέον τοῦ προειρημένου φαρμάκου, διότι πάντων αὐτὸ τῶν ἄλλων ἄμεινον εἶναι πέπεισμαι. καὶ θαυμάζοιμ' ἂν εἴ τις εὑρεῖν δύναιτο βέλτιον. καὶ διὰ τοῦτ' αὐτῷ χρῶμαι, κατά τε τῶν μηνίγγων ἀεὶ καὶ τῶν ἐν τῷ τραχήλῳ τρώσεων, ἄχρι καὶ τῶν σφαγιτίδων αὐτῶν. καὶ γὰρ καὶ τούτων ἐπέχει τὸ αἷμα χωρὶς βρόχου. χρὴ δὲ μὴ σπεύδειν ἐν τῷ ἔργῳ, καθάπερ ἔνιοι τῶν ἐμπλήκτων χειρουργῶν, ἀλλὰ τῇ μὲν ἑτέρᾳ χειρὶ, τὸ κάτω μέρος τοῦ ἀγγείου προστέλλειν. ἢ περιλαβόντα κατέχειν. τῇ δ' ἑτέρᾳ τὸ φάρμακον ἐπιθέντα, τῇ τρώσει προστέλλειν ἀτρέμα, ἄχρι περ ἂν προσαγῇ. κἄπειθ' οὕτως ἐπιδεῖν ἄνωθεν κάτω, μὴ καθάπερ ἐν τοῖς κώλοις κάτωθεν ἄνω. πρὸς γὰρ τὰς ῥίζας τῶν ἀγγείων ἀφικνεῖσθαι χρὴ τὴν ἐπίδεσιν, ἀναστέλλουσαν τὸ ἐπιῤῥέον. ἔστι δὲ καὶ ἄλλα πλείω φάρμακα τῶν ἐμπλαττόντων ἀλύπως. ἀλλ' οὐδὲν οὕτως σαρκοῖ. χρεία δ' ἐστὶ μάλιστα κατὰ τὰ τοιαῦτα συμπτώματα τοῦ περισαρκοῦσθαι τὸ ἀγγεῖον, ἀποπίπτοντος τοῦ προτέρου φαρμάκου. τὰ δέ γε τὰς ἐσχάρας ἐπιπηγνῦντα, γυμνότερον ἐργάζεται τὸ μέρος, ἢ κατὰ φύσιν εἶχεν ἀποπιπτούσης αὐτῆς. ἔστι γὰρ ἡ γένεσις ταῖς ἐσχάραις ἐκ τῶν ὑποκειμένων καὶ περικειμένων σωμάτων, ὡς ἂν εἴποι τις ἡμικαύτων γινομένων. ἵν' ὁποῖόν τι χρῆμα, τουτουσὶ τοὺς σβεννυμένους ἄνθρακας εἰς τὸν χειμῶνα παρασκευάζονται, τοιοῦτο ὑπόλειμμα τῆς διαπύρου σαρκὸς ἡ ἐσχάρα γίνεται. ὥστ' ἀπόλλυται τοῦ μορίου τό-

αὐτὸν τὸ κατὰ φύσιν σαρκὸς, ὅσον ἐσχαρούμενον ἐκαύθη. τοῦτ᾽ οὖν ἅπαν λείπει τῷ μορίῳ τῆς ἐσχάρας ἐκπιπτούσης. καὶ διὰ τοῦτο γυμνὸν καὶ ἄσαρκον φαίνεται. καὶ πολλοῖς αἱμοῤῥαγία δυσεπίσχετος ἐπηκολούθησεν, ἐπὶ ταῖς τῶν ἐσχαρῶν ἀποπτώσεσι. ὥστε καὶ τούτοις, ὅστις ἂν ἐθέλῃ μεθόδῳ πάντα πράττειν, σκέπτεσθαι τὰ περὶ πολλοῦ τὰς ῥοπὰς ἁπάσας. εἰ ἐπέχει τὸ αἷμα, τοῦτ᾽ ἀκινδυνότερον αἱρεῖσθαι, πειράσθω χρώμενος καὶ τοῖς ἄλλοις ἅπασιν, ὅταν ἀνάγκη βιάζηται. μεγίστη δ᾽ ἀνάγκη οἶδα τοῦ χρῆσθαι φαρμάκοις ἐσχαρωτικοῖς ἢ καυτηρίοις διαπύροις, ὅταν ἐξ ἀναβρώσεως σηπεδονώδους ἡ αἱμοῤῥαγία γίγνηται. καὶ μέν τοι κἀπειδὰν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἅπαν ἐκκόψωμεν τὸ σηπόμενον, ἀσφαλέστερον ἤτοι καίειν αὐτοῦ τὴν οἷον ῥίζαν, ἢ φαρμάκοις ἐσχαρωτικοῖς χρῆσθαι. καὶ κατὰ τοῦτ᾽ ἐπ᾽ αἰδοίων καὶ ἕδρας εἰς τὴν τοιαύτην ἀνάγκην ἀφικνούμεθα πολλάκις. ὅτι ῥᾳδίως σήπεται τὰ μόρια διά τε τὴν σύμφυτον ὑγρότητα, καὶ ὅτι περιττωμάτων εἰσὶν ὀχετοί. σκοπὸς δ᾽ ἔσω σοι τῶν ἐσχαρούντων φαρμάκων, οὐχ ἁπλῶς ἡ θερμότης, ἀλλ᾽ ἄμεινον ὅταν ἅμα τῷ στύφειν ὑπάρχῃ, καθάπερ ἐν χαλκίτιδι, καὶ μίσυϊ, καὶ χαλκάνθῳ. καυθεῖσί τε καὶ ἀκαύστοις εἰς χρείαν ἀγομένοις. τὰ δὲ διὰ τῆς ἀσβέστου τιτάνου, σφοδρότερα μὲν τούτων. ἀλλ᾽ οὐ μέτεστι τῇ τιτάνῳ στυπτικῆς δυνάμεως. ἀποπίπτουσι τοιγαροῦν θᾶττον αἱ τοιαῦται τῶν ἐσχαρῶν. ἔχονται δὲ τῶν σωμάτων ἐπὶ πλέον, αἱ ἐκ τῶν στυφόντων. ἄμεινον δὲ τοῦτο μακρῷ. φθάνει γὰρ ὑποσαρκοῦσθαι τὰ κατὰ τὴν βάσιν αὐτῶν, καὶ γίνεσθαι καθάπερ τι πῶμα τοῖς ἀγγείοις. ὅθεν οὐδ᾽ ἡμᾶς αὐτοὺς χρὴ σπεύδειν ὥσπερ ἔνιοι τὰς ἐσχάρας ἐκβάλλειν, ἐνθα κίνδυνος αἱμοῤῥαγίας. ἀλλ᾽ ἐπ᾽ ἐκείνων μόνων τῶν διαθέσεων, ἐφ᾽ ὧν διὰ σηπεδόνα τὸ καυτήριον ἠναγκάσθημεν ἐπιφέρειν ἀνθρώπου σώματι. καλεῖται δ᾽ οὐκ οἶδ᾽ ὅπως ἅπασιν ἤδη τοῖς ἰατροῖς ἡ τοιαύτη διάθεσις, νομὴ, διότι νέμεσθαι συμβέβηκεν αὐτὴν ἀπὸ τῶν πεπονθότων μορίων ἐπὶ τὰ κατὰ φύσιν ἔχοντα. καὶ τούτων ἀεί τι προσεπιλαμβάνειν ὡς ἀπὸ τοῦ συμβεβηκότος, οὐκ ἀπὸ τῆς οὐσίας τοῦ δηλουμένου πράγματος, ἔθεντο τὴν προσηγορίαν. ἡ δ᾽ εὐπορία τῆς ὕλης ἁπάντων τῶν τοιαύτην ἐχόντων δύναμιν φαρμάκων, ἐν ταῖς οἰκείαις εἴρηται πραγματείαις. οἰκείας δὲ δηλονότι λέγω, τήν τε περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, καὶ τὴν περὶ συνθέσεως αὐτῶν. ἀναλαβόντες οὖν αὖθις τὰ κεφάλαια τῆς μεθόδου καθ᾽ ἣν ἰᾶσθαι χρὴ τὰς προχείρους αἱμοῤῥαγίας, ἑξῆς ἐπὶ τὰς διὰ βάθους γιγνομένας ἀφικόμεθα τῷ λόγῳ. τὸ τοίνυν ἐκχεόμενον αἷμα τῶν ἀγγείων, ἢ τῷ μηκέτι ἐπιῤῥεῖν αὐτὸ παύσαιτ᾽ ἄν, ἢ τῷ στεγνωθῆναι τὴν διαίρεσιν, ἢ ἅμα ἀμφοτέρων γινομένων, ὅπερ οἶμαι βέλτιον ἐστίν. ἐπιῤῥεῖν μὲν οὖν κωλύεται διά τε λειποθυμίαν καὶ ἀντίσπασιν, καὶ παροχέτευσιν, καὶ ψύξιν ὅλου τε τοῦ σώματος. καὶ πολὺ δὴ μᾶλλον αὐτοῦ τοῦ τετρωμένου μορίου. κατὰ τοῦτον γοῦν τὸν λόγον καὶ τὸ ψυχρὸν ὕδωρ ποθὲν, ἐπέσχεν αἱμοῤῥαγίας πολλάκις. ἔξωθέν τε καταντλούμενον αὐτό τε τὸ ὕδωρ ψυχρὸν. ὀξύκρατόν τε καὶ οἶνος στρυφνὸς. ὅσα τ᾽ ἄλλα στύφειν ἢ ἁπλῶς ψύχειν πέφυκε. στεγνοῦται δὲ ἡ διαίρεσις, ἢ μύσαντος, ἢ φραχθέντος τοῦ διῃρημένου. μύει μὲν οὖν στυφόμενόν τε καὶ ψυχόμενον, ἐπιδέσει τε συναγόμενον, καὶ βρόχῳ διαλαμβανόμενον. ἐμφράττεται δὲ ἢ ἔνδοθεν, ἢ ἔξωθεν. ἔνδοθεν μὲν ὑπὸ θρόμβου. ἔξωθεν δὲ, ὑπό τε τούτου καὶ μοτῶν, καὶ σπόγγων, ἐσχάρας τε καὶ τῶν ἐμπλαστικῶν φαρμάκων, ἔτι τε τῶν περικειμένων σωμάτων προσαλλομένων. ὅπως δ᾽ ἐργάσῃ τῶν εἰρημένων ἕκαστον, εἴρηται. τὰ δ᾽ ἐκ τοῦ βάθους αἱμοῤῥαγοῦντα, βρόχοις μὲν οὐκ ἄν τις, οὐδ᾽ ἐπιδέσει, θεραπεύσειεν. ὥσπερ οὐδὲ καυστηρίοις. οὐδ᾽ ἁπλῶς εἰπεῖν ὅσα διὰ τοῦ ψαύειν αὐτοῦ τοῦ διῃρημένου σώματος ἢ μέρους ἐπιτεχνώμεθα. διὰ ἀντισπάσεως δὲ καὶ παροχετεύσεως, ἐδεσμάτων τε καὶ πομάτων, ἐμπλαττόντων τε καὶ ψυχόντων, καὶ στυφόντων φαρμάκων. ἄφθονον δὲ καὶ τὴν τῶν τοιούτων ὕλην ἐν ταῖς οἰκείαις ἔχεις πραγματείαις. ἡ δ᾽ ἀπὸ τῶν μορίων ἔνδειξις τοῖς κοινοῖς τῆς θεραπείας σκοποῖς τοῖς εἰρημένοις, ἐξ ἐπιμέτρου καθ᾽ ἕκαστον πάθημα πρόσεισιν. ὀργάνοις γοῦν ἐνίοτε χρώμεθα διὰ τὴν ἰδιότητα τοῦ μέρους, ἄλλοις μὲν ἐπὶ μήτρας, ἄλλοις δὲ ἐπὶ κύστεως, ἄλλοις δὲ ἐπὶ τῶν παχέων ἁπάντων ἐντέρων. εἰς ταῦτα μὲν γὰρ διὰ κλυστῆρος. εἰς μήτραν δὲ, διὰ μητρεγχύτου, τῶν ἐπιτηδείων τι φαρμάκων ἐνίεμεν. ὥσπερ γε καὶ εἰς κύστιν, διὰ τῶν εὐθυτρήτων καθετήρων. σπανιώτεραι μὲν οὖν αἱ ἐκ τούτων αἱμοῤῥαγίαι. γίγνονται δ᾽ οὖν ποτὲ κἂν εἰ μὴ τῷ λάβρῳ κινδυνώδεις, ἀλλὰ τῷ γε χρονίζειν οὐκ ἀκίνδυνοι. τεττάρων γοῦν ἡμερῶν οἶδά ποτε διὰ μήτρας φερόμενον αἷμα, πρὸς οὐδὲν τῶν βοηθημάτων εἶξαν ἄχρι τῆς τετάρτης, χυλῷ χρησαμένων ἡμῶν ἀρνογλώσσου, παντάπασιν ἐπαύσατο. κάλλιστον μὲν οὖν τοῦτο τὸ φάρμακόν ἐστι καὶ πρὸς τὰς ἐξ ἀναβρώσεως αἱμοῤῥαγίας. εἴωθα δ᾽ αὐτῷ μιγνύειν τι τηνικαῦτα καὶ τῶν ἰσχυροτέρων φαρμάκων ἄλλο τε ἄλλο, πρὸς ὅλην ἀποβλέπων τὴν διάθεσιν, ὅπερ ἀεὶ χρὴ πράττειν, οὐ μικρὸν ἔχοντας εἰς ἅπαντα παράγγελμα. κατὰ γοῦν αὐτὰ ταῦτα τὰ ἐκ μήτρας, ἢ ἐκ κύστεως, ἢ ἐντέρων αἱμοῤῥαγοῦντα, σκέπτεσθαι μὲν χρὴ καὶ τὸ τῆς αἱμοῤῥαγίας ποσόν. ἵν᾽ ἤδη τὸν μὲν πρῶτον ἔχωμεν ἐν τῇ θεραπείᾳ σκοπὸν τοῦτον, ἢ τὸν δεύτερον. οὐ μὴν οὐδὲ τῆς ὅλης διαθέσεως ἀσκέπτως ἔχειν. εἰ μὲν γὰρ ἐῤῥωγεν ἀγγεῖόν τι τῶν μεγάλων, ἢ ἰσχυρῶς ἀνέστομωται, τῶν αὐστηρῶν φαρμάκων ἐστὶ χρεία. ὡς βαλαυστίου, καὶ ὑποκυστίδος, καὶ ῥοῦ, καὶ ὀμφακίου, καὶ ἀκακίας, καὶ κηκῖδος ὀμφακίτιδος, καὶ τῶν τῆς ῥοιᾶς λεμμάτων. εἰ δ᾽ ἤτοι μικρόν ἐστι τὸ ἐῤῥωγὸς ἀγγεῖον, ἢ ἀνεστόμωται μετρίως, ὡς ὀλίγον εἶναι τὸ φερόμενον αἷμα, καὶ ἄλοη, καὶ μάννα, καὶ ὁ τῆς πίτυος φλοιὸς, ἥ τε σφραγὶς ἡ λημνία, καὶ ὁ τῆς αἰγυπτίας ἀκάνθης καρπὸς, ἔτι τε κρόκος, καὶ λίθος ὁ αἱματίτης ὀνομαζόμενος. ὅσα τ᾽ ἄλλα τοιαῦτα, δι᾽ οἴνου μεγάλως αὐστηροῦ χρηστὰ φάρμακα. μὴ παρόντος δὲ μήτ᾽ οἴνου τοιούτου, μήτ᾽ ἀρνογλώσσου, μήτε στρύχνου, καὶ γὰρ καὶ ταῦτα ἐπιτήδεια, ἀφεψεῖν ἐν ὕδατι βλαστοὺς βάτου καὶ κυνοσβάτου, καὶ μυρσίνης, καὶ σχοίνου, καὶ κισσοῦ, καὶ ἁπλῶς εἰπεῖν ἁπάντων τῶν στυφόντων, εἴτε ῥίζα τις, εἴτε καρπὸς, εἴτε φλοιὸς, εἴτε βλάστημα τύχῃ. διὰ τοῦτο καὶ τῶν στυφόντων μήλων καὶ μάλιστα τῶν κυδωνίων. ἔτι τε μύρτων καὶ μεσπίλων ἐπιτήδειόν ἐστιν εἰς τὰ προειρημένα τὸ ἀφέψημα. εἰ δ᾽ ἐξ ἀναβρώσεως τις αἱμοῤῥαγία γίγνοιτο, τὰ πολλὰ μὲν οὐδὲ λάβρος αὐτοῖς ἐστιν, ἀλλ᾽ ὀλίγη καὶ κατὰ βραχύ. καὶ διὰ τοῦτο τῷ Πασίωνος, ἢ Ἀνδρωνος, ἢ Πολυείδου τροχίσκῳ χρηστέον, ἢ ὡς εἴρηται τῷ ἡμετέρῳ. τὴν αὐτὴν μὲν κατὰ γένος ἔχοντι δύναμιν, ἰσχυροτέρῳ δὲ ὑπάρχοντι. παύει γὰρ ταῦτα, τὴν ἀνάβρωσιν ἅμα τῷ δηλονότι καὶ τοῦ παντὸς σώματος προνοεῖσθαι, ὡς ἔμπροσθεν εἴρηται. λάβρου δὲ ἐμπεσούσης αἱμοῤῥαγίας, τοῖς αὐστηροτάτοις χρηστέον φαρμάκοις, ἄχρι περ ἂν ἐπισχῶμεν αὐτῆς τὸ σφοδρὸν.

δρόν. εἶθ' οὕτως ἄμ' ἐκείνοις μιγνύναι τοὺς τροχίσκους. εἶθ' ἑξῆς ἐπ' αὐτοὺς μόνους μετέρχεσθαι μετά τινος τῶν εἰρη-
μένων χυλῶν ἢ ἀφεψημάτων. ὅσα δὲ ἔξωθεν ἐπιτίθεται τοῖς αἱμοῤῥαγοῦσι, στύφοντά τε καὶ χωρὶς στύψεως ψύχον-
τα, ταῦτ' οὐχ ἁπλῶς ἐπαινῶ, καθάπερ οἱ πολλοὶ τῶν ἰατρῶν. ἀλλά μοι δοκεῖ τοὐναντίον ἐνίοτε ὧν οὐ δεόμεθα
διαπράττεσθαι, συνελαύνειν εἴσω τὸ αἷμα καὶ πληροῦν τὰς ἐν τῷ βάθει φλέβας. οἶδα γοῦν τινας ἐκ πνεύμονος ἀ-
ναβήττοντας αἷμα περιφανῶς βλαβέντας ἐπὶ ταῖς τοῦ θώρακος καταψύξεσιν. οὕτω δ' ἐνίους καὶ τῶν ἐμούντων αἷ-
μα τῆς γαστρὸς ἔξωθεν ψυγείσης. ὡσαύτως δὲ καὶ τῶν ἐκ ῥινὸς αἱμοῤῥαγούντων ἔνιοι φανερῶς ἐβλάβησαν ἐπὶ ταῖς
τῆς κεφαλῆς ψύξεσιν. οὔκουν ἁπλῶς, οὐδ' ἀδιορίστως, οὐδ' ἐν παντὶ καιρῷ συμβουλεύω ψύχειν τὰ κύκλῳ τῶν αἱ-
μοῤῥαγούντων, ἀλλ' ἀποτρέψαντας εἰς ἕτερον πρότερον, οἷον ἐπὶ τῆς ῥινός, ἤτοι φλεβοτομίᾳ χρησάμενον, ὡς εἴ-
πομεν, ἢ τρίψει καὶ δεσμοῖς τῶν κώλων, ἢ σικύαις ἐπὶ τῶν ὑποχονδρίων. οὐ δεῖ οὖν οὐδ' οὕτω χρῆσθαι τοῖς ψύχου-
σιν εὐθέως ἐπὶ μετώπῳ καὶ κεφαλῇ, ἀλλὰ σικύας πρότερον ἀντισπαστικῶς ἐρείδοντα κατ' ἰνίον. διττὴ γὰρ ἡ ἀντίσπα-
σις ἐπὶ ταῖς ἐκ μυκτήρων αἱμοῤῥαγίαις. ἥτε ἐπὶ τὰ κάτω μόρια τοῦ σώματος ὅλου, καὶ ἡ ἐπὶ τὰ τῆς κεφαλῆς ὀ-
πίσω. διότι καὶ αὐτὸ τὸ μόριον ἡ ῥίς, ἄνω τ' ἐστὶ καὶ πρόσω. ἀντίκειται δὲ τὸ μὲν ἄνω, τῷ κάτω. τὸ δὲ ὀπίσω, τῷ
πρόσω. ἀλλὰ περὶ μὲν αἱμοῤῥαγίας, ἱκανὰ καὶ ταῦτα. δῆλον γὰρ ὅτι καὶ ἡ διαπήδησις ὑπὸ τῶν ψυχόντων καὶ
στυφόντων θεραπευθήσεται. καὶ εἰ διὰ λεπτότητα γίγνοιτό ποτε τοῦ αἵματος, ὑπὸ τῆς παχυνούσης διαίτης. ὁ-
ποία δ' ἐστὶν αὕτη, λεχθήσεται μέν που κἀν τοῖς ἑξῆς. εἴρηται δὲ δυνάμει κἀν τῷ περὶ λεπτυνούσης διαίτης. ἐπὶ δὲ τὴν
θεραπείαν ἴτεον ἤδη τῶν εἰρημένων διαθέσεων. Τὸ μὲν οὖν τῆς φλεβὸς ἕλκος ἐπειδὰν πρόχειρον ᾖ, παραπλη-
σίας δεῖται θεραπείας τοῖς ἐν σαρκὶ γιγνομένοις. ὑπὲρ ὧν ἐν δυοῖν ὑπομνήμασι τοῖς πρὸ τοῦδε διηλέχθην.
εἴτε γὰρ ἐκτρώσεως ὑπουργοῦ τυγχάνει γεγονός, ἐγχωρεῖ συμφύειν αὐτὸ τοῖς ἐναίμοις καλουμένοις φαρμάκοις.
εἴτε κατ' ἀνάβρωσιν, ὅσα περὶ τῶν κακοηθῶν ἑλκῶν εἴρηται, ταῦτα τῷ λόγῳ διορισάμενον, ἑξῆς ἔργῳ πράττειν
αὐτὰ πειρᾶσθαι. καὶ μέν τοι καὶ ὁπότε βρόχῳ διαληφθείσης, ἢ ἰσχαίμοις φαρμάκοις, ἢ καυτηρίοις χρησαμένων, ὁ
σκοπὸς τῆς θεραπείας ἐστὶ περισαρκῶσαι τὰ χείλη τοῦ ἕλκους, τοῖς αὐτοῖς χρησόμεθα πάντως φαρμάκοις. οἷς ἡ
μέθοδος ἡμᾶς ἐδίδαξεν ἐπὶ τῶν κοίλων ἑλκῶν. ἐπ' ἀρτηρίας μέν τοι τρωθείσης, ἐῤῥέθη καὶ πρόσθεν ὡς ἐνίοις τῶν
ἰατρῶν ἀδύνατος ἡ σύμφυσις εἶναι δοκεῖ. καὶ λέγουσι τοῦτο τινὲς μὲν ἀρκεῖσθαι φάσκοντες μόνῃ τῇ πείρᾳ, τινὲς δὲ καὶ
λόγῳ χρώμενοι τοιῷδε, σκληρὸν καὶ χονδρώδη φασὶν εἶναι τὸν ἕτερον τῶν χιτώνων τῆς ἀρτηρίας. οὐδὲν δὲ τῶν τοιού-
των συμφῦναι δύνασθαι, μόνων γὰρ τῶν μαλακῶν σωμάτων ἰδίαν ὑπάρχειν τὴν σύμφυσιν, ὡς ἐπί τε τῶν ἐκ-
τὸς ἔνεστι θεάσασθαι, μήτε λίθου πρὸς λίθον ἑνωθέντος ποτέ, μήτε ὀστράκου πρὸς ὄστρακον. ἐπί τε τῶν ἐν ἡμῖν, μήτε
χόνδρου χόνδρῳ συμφύντος, οὔτ' ὀστοῦ πρὸς ὀστοῦν ἑνωθέντος. οὐδὲ γὰρ τὰ κατάγματα διὰ συμφύσεως, ἀλλὰ διὰ
πώρου τὴν κόλλησιν ἴσχειν. ἀρξώμεθα οὖν καὶ ἡμεῖς ἀπὸ τῆς πείρας τῆς ἡμετέρας πείρας, εἰς τὸ κοινὸν κατατιθέντες
ὅσα τυγχάνομεν ἑωρακότες. ἐθεασάμεθα γὰρ ἐπὶ μὲν γυναικῶν καὶ παιδίων, ἀρτηρίας κολληθείσας τε καὶ περι-
σαρκωθείσας ἐν μετώπῳ, καὶ σφυρῷ, καὶ καρπῷ. Νεανίσκῳ δ' ἀγροίκῳ ποτὲ καὶ τοιοῦτόν τι συνέπεσε, φλέβα
τμηθῆναι βουληθέντι κατὰ τὴν ἐαρινὴν ὥραν, ἐν ἔθει δὲ μάλιστα τοῦτ' ἐστὶ τοῖς παρ' ἡμῖν ἀνθρώποις, δήσαντος τὸν
βραχίονα τοῦ μέλλοντος αὐτὸν φλεβοτομεῖν ἰατροῦ, συνέβη κυρτωθῆναι τὴν ἀρτηρίαν, ὥστε καὶ διελεῖν αὐτὴν
ὁ ἰατρὸς ἀντὶ φλεβός. βραχεῖα μὲν οὖν ἡ διαίρεσις ἐγένετο. ξανθὸν δὲ, καὶ λεπτόν, καὶ θερμὸν εὐθέως ἐξηκοντίζε-
το τὸ αἷμα σφυγμωδῶς. ὁ μὲν οὖν ἰατρός, ἦν δὲ πάνυ νέος καὶ ἄπειρος τῆς τέχνης τῶν ἔργων, ᾤετο διῃρηκέναι τὴν
φλέβα. θεασάμενος δ' ἐγὼ τὸ γεγονὸς σὺν ἄλλῳ τινὶ τῶν παρόντων ἰατρῶν πρεσβύτῃ, τῶν ἐναίμων τι φαρμά-
κων τῶν ἐμπλαστῶν παρασκευάσας, ἐπιμελῶς τε πάνυ συναγαγὼν τὴν διαίρεσιν, ἐπέθηκά τε τὸ φάρμακον
αὐτίκα. καὶ σπόγγον μαλακώτατον ἔξωθεν ἐπέδησα. θαυμάζοντος δὲ τοῦ τέμνοντος τὴν ἀρτηρίαν, τὸ φλέ-
γμα τῆς ἀκμῆς ἡμῖν περὶ τὰ τοιαῦτα προνοίας, ἐδηλώσαμεν αὐτῷ τὸ γεγονός, ἐξελθόντες τῆς καταγωγῆς τοῦ
τμηθέντος. ἐκελεύσαμέν τε μήτε λῦσαι χωρὶς ἡμῶν, μήτε θᾶττον πρᾶξαι τοῦτο τῆς τετάρτης ἡμέρας, ἀλλ' ὡς
εἶχεν ἡ ἐπίδεσις, φυλάξαι. ἐπιτέγγοντα μόνον τὴν σπογγιάν. ἐπεὶ δὲ λύσαντες ἐν τῇ τετάρτῃ κεκολλημένην
ἀκριβῶς εὕρομεν τὴν διαίρεσιν, ἐπιθεῖναι τὸ αὐτὸ φάρμακον αὖθις ἐκελεύσαμεν, ἐπιδήσαντά τε ὁμοίως ἡμε-
ρῶν πλειόνων μὴ λύειν. οὕτω μὲν ἐθεραπεύθη τὴν διαίρεσιν τῆς ἀρτηρίας ὁ ἄνθρωπος ἐκεῖνος μόνος, ὃν εἶδον ἐν
ἀγκῶνι τμηθέντα ἀρτηρίαν. ἅπασι δὲ τοῖς ἄλλοις ἀνεύρυσμα, τοῖς μὲν μεῖζον ἐπεγένετο, τοῖς δ' ἧττον. ὅπως
μὲν οὖν χρὴ θεραπεύειν ἀνευρύσματα, προϊόντος τοῦ λόγου κατὰ τὸν οἰκεῖον εἰρήσεται καιρόν, ὅταν καὶ τῶν ἄλλων
ἁπάντων ὄγκων τῶν παρὰ φύσιν, ἡ θεραπεία γράφηται. νυνὶ δὲ ἐπὶ τὸ συνεχὲς ἴωμεν τοῦ λόγου. ἡ γάρ τοι φύσις ἡ
τῆς ἀρτηρίας, ὄντως ἐνδείκνυται τὸ δυσσύμφυτον, οὐ τὸ παντάπασιν ἀσύμφυτον τοῦ σκληροῦ τῶν ἐν αὐτῇ χι-
τώνων. οὐ γὰρ οὕτως ἐστὶ ξηρὸς καὶ σκληρός, ὡς ὀστοῦν, ἢ χόνδρος, ἀλλὰ πολὺ μαλακώτερος τούτων καὶ σαρκωδέστε-
ρος. οὔκουν εὐλόγως ἄν τις ἀπογινώσκοι συμφῦναι τὴν διαίρεσιν, ὅταν αὐτή τε γένηται μικρά, καὶ τὸ σῶμα τοῦ ἀν-
θρώπου μαλακὸν ὑπάρχει φύσει. ἔοικε δὲ καὶ ἡ πεῖρα τῷ λόγῳ μαρτυρεῖν. ἐπί τε γὰρ παίδων καὶ γυναικῶν ἐθεα-
σάμην συμφύσασαν αὐτὴν διὰ τὴν ὑγρότητα καὶ μαλακότητα τῶν σωμάτων. ἐφ' ἑνός τε νεανίσκου βραχεῖαν
ἔχοντος διαίρεσιν, ὡς εἴρηται. δυσιατωτέρα μὲν οὖν ἐστιν ἡ ἀρτηρία τῆς φλεβός. οὐ μὴν ἐξήλλακταί γε πολλῷ
τῶν φαρμάκων ἡ χρῆσις ἐφ' ἑκατέρου τῶν ἀγγείων, ἀλλ' ἔστιν ἡ αὐτὴ κατ' εἶδος ἐν τῷ μᾶλλόν τε καὶ ἧττον δια-
φέρουσα. τοσούτῳ γὰρ δεῖται ξηραντικωτέρων φαρμάκων ἡ ἀρτηρία τῆς φλεβός, ὅσωπερ καὶ φύσει ξηροτέρα τὴν
κρᾶσίν ἐστιν. εἰ δὲ περισαρκοῦσθαι δέοι, τῶν αὐτῶν ἀμφότεραι χρῄζουσι. σαρκὸς γάρ ἐστι γένεσις ἐν τῇ περισαρκώσει
κατὰ τὸν αὐτὸν τρόπον γιγνομένης, ὡς κἀν τοῖς κοίλοις ἕλκεσιν ἐδείχθη γιγνομένη. Αἱ δὲ κατὰ τὴν μήτραν, ἢ
κύστιν, ἢ ἔντερα, φλέβες καὶ ἀρτηρίαι, τῶν αὐτῶν δεόμεναι κατὰ γένος φαρμάκων ὅταν ἑλκωθῶσιν, ὀργάνων χρῄ-
ζουσι τῶν εἴσω παραπεμψόντων αὐτά. μητρεγχύτων δηλονότι, καὶ καθετῆρος εὐθυτρήτου, καὶ κλυστῆρος. εἰς δὲ
τὰ κατὰ τὸ ἀπευθυσμένον ἕλκη, καὶ διὰ κύστεως ἐγχωρεῖ ἐγχεῖν φάρμακον τηκτὸν χλιαρόν, αὐλίσκον ἐχούσης κατὰ

τῇ πείρας αὐτῆς εὐθύτρητον, ἐξελεγχθήσεται. τοιγαροῦν ἅμα τῇ τῶν ὀργάνων ἰδέᾳ, καὶ ἡ τῶν φαρμάκων σύστασις. οὐ γὰρ οἷόν τε παχέα φάρμακα τοῖς τοιούτοις ἐγχεῖν, ἀλλ' ὑγροτέρων δηλονότι δέονται. καὶ διὰ τοῦτο συμμέτρως θερμῶν ὡς τὰ πολλά. διὰ τοῦτο δὲ καὶ τῶν τηκτῶν καλουμένων φαρμάκων, ἐπιτηδειότερα τὰ ξηρά. μίγνυται γὰρ ἑτοίμως, εἴτ' ἀρνογλώσσου τις, εἴθ' ἑτέρου τοιούτου βούλοιτο χυλῷ. τὰ δὲ τοιαῦτα φάρμακα, κρόκος τε ὄξει, καὶ πομφόλυξ. καὶ ἀλόη. καὶ τὰ κεφαλικὰ καλούμενα. κατὰ δὲ τὸν πρῶτον καιρὸν τῆς σαρκώσεως, τὸν συνάπτοντα τῇ ἐπισχέσει τοῦ αἵματος, καὶ ἡ λημνία σφραγὶς ἀγαθὸν φάρμακον. Τὰ δ' ἐν τῷ πνεύμονι συνιστάμενα τῶν ἑλκῶν, χαλεπωτέραν ἔχει τὴν ἴασιν. ἐνίοις δ' οὐ χαλεπὴ μόνον, ἀλλὰ καὶ ἀδύνατος εἶναι δοκεῖ, τῷ τε λόγῳ τεκμαιρομένοις, καὶ τῇ πείρᾳ. τῷ λόγῳ μὲν ἐπειδὴ διὰ τὴν ἀναπνοὴν ἀεικίνητόν ἐστι σπλάγχνον ὁ πνεύμων, ἡσυχίας δὲ δεῖ, τοῖς μέλλουσιν ἰαθήσεσθαι. τῇ πείρᾳ δ' ὅτι μηδὲ πώποτε μηδένα τῶν οὕτω παθόντων ἐθεάσαντο θεραπευθέντα. τὸ μὲν δὴ τῆς πείρας, ἐντεῦθεν γὰρ ἄρξασθαι δίκαιον, ἀμφισβήτησιν ἴσως ἕξει κατὰ τὴν διάγνωσιν. ἡμεῖς γοῦν ἐθεασάμεθα, τὸν μέν τινα, τῷ βοῆσαι μέγα. τὸν δὲ, τῷ καταπεσεῖν ἀφ' ὑψηλοῦ. τὸν δ' ἐν παλαίστρᾳ πληγέντα, παραχρῆμά τε βήξαντα σφοδρότατα, καὶ σὺν τῇ βηχὶ, τοὺς μὲν μίαν ἢ δύο κοτύλας, ἐνίους δὲ, καὶ πλείους πτύσαντας. αὐτῶν δὲ τῶν ταῦτα παθόντων, ἔνιοι μὲν ἀνώδυνοι παντάπασιν ἦσαν, ἔνιοι δ' ὠδυνῶντο κατὰ θώρακα. καὶ τοίνυν καὶ τὸ αἷμα, τοῖς μὲν ὀδυνηθεῖσιν, οὔτ' ἀθρόον ἦν, οὔτε πολὺ, καὶ ἧττον ἐρυθρὸν, καὶ ἧττον θερμὸν, ὡς ἂν πόῤῥωθεν ἧκον. τοῖς δ' ἀνωδύνοις οὖσιν, ἀθρόον τε καὶ πλεῖστον, ἐρυθρόν τε καὶ θερμὸν ἀνεβήττετο, σαφῶς ἐνδεικνύμενον ὅτι μὴ πόῤῥωθεν ἥκει. ἔχει μὲν οὖν ἀπορίαν καὶ ἄλλην οὐ σμικρὰν, ἡ ἐκ τοῦ θώρακος εἰς τὰς τραχείας ἀρτηρίας μετάληψις τοῦ αἵματος, ἐζητημένην τοῖς ἰατροῖς, ὅσοι ἀδύνατον εἶναι νομίζουσι τὴν διὰ τοῦ περιέχοντος ὑμένος τὸν πνεύμονα, φορὰν αὐτοῦ. καὶ τάχ' ἂν εἰ μὴ πολλοῖς τῶν οὕτω παθόντων, ὅ, τε παραχρῆμα πόνος, ἥ τ' ἐξ ὑστέρου τισὶν αὐτῶν ἐπιγενομένη φλεγμονὴ, σὺν ἀποστάσει σαφεῖ, τὴν ἔνδειξιν ἔφερε τοῦ κατὰ τὸν θώρακα πάθους, ἀπεφήναντο μηδέ ποτ' ἐκ θώρακος αἷμα διὰ τῆς φάρυγγος ἀναβήττεσθαι. νυνὶ δ' ὑπὸ τούτων δυσωπούμενοι, συγχωροῦσι μὲν ἀπὸ τοῦ θώρακος φέρεσθαι, ζητοῦντες δ' ἑτέραν ὁδὸν τῆς διὰ τοῦ περιέχοντος ὑμένος τὸν πνεύμονα, πολλὰ καὶ ἄτοπα λέγειν ἀναγκάζονται. καίτοι τό γε πῦον ἐπὶ τῶν ἐμπύων ἐν τῇ μεταξὺ χώρᾳ θώρακός τε καὶ πνεύμονος ὁμολογοῦντες περιέχεσθαι, βλέπουσιν οἶμαι σαφῶς ἀναβηττόμενον ἐκ πνεύμονος. ἡμεῖς δὲ κἀπὶ τῶν ἀπόστημα τοιοῦτον ἐν θώρακι ἐχόντων, ὡς σφακελίσαι τι καὶ τῶν ὀστῶν, ἐπεδείξαμεν αὐτοῖς ἐναργῶς, τὸ ἐνιέμενον τῷ θώρακι μελίκρατον, ἀναβηττόμενον ἐκ πνεύμονος. ἴσμεν γὰρ δή που τὰς τοιαύτας διαθέσεις, ἐν θώρακι συνισταμένας, οὐκ ὀλιγάκις ἐν Ῥώμῃ μάλιστα, τρόπῳ ῥευματικῷ, ὡς ἀναγκασθῆναι τὸ πεπονθὸς ἐκκόπτειν ὀστοῦν. ἐπὶ τῶν πλείστων δ' εὐθὺς ἅμα τῇ διεφθαρμένῃ πλευρᾷ, καὶ ὁ ὑπεζωκὼς αὐτῇ ὑμὴν ἔνδοθεν εὑρίσκεται διασεσηπὼς. εἰώθαμεν οὖν ἐν τῇ θεραπείᾳ μελίκρατον ἐγχέοντες διὰ τοῦ ἕλκους, ἐνίοτε μὲν ἐγκελεύεσθαι βήττειν αὐτοῖς ἐπικεκλιμένοις τῷ πεπονθότι μέρει, πολλάκις δὲ κατασείειν ἠρέμα. καὶ ποτὲ πυουλκῷ κομίζεσθαι τὸ ὑπολειπόμενον, ἔνδον τοῦ μελικράτου. ἐπειδὰν δὲ οὕτω ποιήσαντες ἐκκεκλύσθαι τό, τε πῦον ἅπαν, καὶ τοὺς ἰχῶρας τοῦ ἕλκους ἐλπίζωμεν, ἐντίθεμεν οὕτως τὰ φάρμακα. κατὰ τὰς τοιαύτας οὖν διαθέσεις, ἔστιν ἰδεῖν ἐν τῇ μεταξὺ πνεύμονος καὶ θώρακος χώρᾳ τὸ ὑγρὸν, αὐτίκα ἀναβηττόμενον θεάσασθαι. θαυμάσαι δ' ἐστὶν ἐπὶ τῇ τοῦ πνεύμονος ὁδῷ τῶν ἀπορούντων, πῶς οὐ μᾶλλον ἀποροῦσιν ἐπὶ τοῦ περιεχομένου πάχους αἵματος ἐν ταῖς τῶν κατάγματων πωρώσεσιν. αὐτό τε γὰρ τὸ περιεχόμενον, οὐ μικρὸν παχύτερόν ἐστι τοῦ κατὰ φύσιν. ἥ τε τοῦ δέρματος οὐσία παμπόλλῳ δή τινι παχυτέρα, τοῦ περὶ τῷ πνεύμονι χιτῶνος. ὅπερ οὖν ἐλέγομεν ὅταν ἐκ καταπτώσεως, ἢ μεγάλης ἅμα καὶ ὀξείας φωνῆς, ἀγγείου ῥαγέντος ἐν πνεύμονι, χωρὶς ὀδύνης ἀθρόον καὶ θερμὸν, εὐανθές τε καὶ πολὺ μετὰ βηχὸς ἀναφέρηται τὸ αἷμα, πεπεῖσθαι μὲν χρὴ τὸ τραῦμα, κατὰ τὸ σπλάγχνον ὑπάρχειν. ἐπιχειρεῖν δὲ τῇ θεραπείᾳ καθάπερ ἡμεῖς πολλάκις ἐπιχειρήσαντες, ὀλιγάκις ἀπετύχομεν. Αὐτῷ μὲν οὖν τῷ κάμνοντι προστάξαι χρὴ, μήτ' ἀναπνεῖν μέγα καὶ σιωπᾶν ἀεί. τέμνειν δ' αὐτίκα φλέβα κατ' ἀγκῶνα τὴν ἔνδον. ἐπαφαιρεῖν δὲ δίς που καὶ τρίς, ἀντισπάσεως ἕνεκα. τρίβειν τε καὶ διαλαμβάνειν ὅλα τὰ κῶλα δεσμοῖς, ὥσπερ εἰώθαμεν. ἐπειδὰν δὲ ταῦτα πραχθῇ πρῶτον μὲν ὀξύκρατον ὑδαρές τε καὶ χλιαρὸν διδόναι πίνειν. ὅπως εἴ τις εἴη θρόμβος ἐν τῷ σπλάγχνῳ διαλυθεὶς, ἐκβηχθείη. καὶ τοῦτ' οὐδὲν κωλύει καὶ δὶς καὶ τρὶς ἐν ὥραις τρισὶν ἐργάσασθαι. μετὰ δὲ ταῦτα, διδόναι τι τῶν ἐμπλαττόντων τε ἅμα καὶ στυφόντων φαρμάκων. ἤτοι δι' ὑδαρεστέρου ὀξυκράτου τὴν πρώτην, ἢ δι' ἀφεψήματος μήλων ἢ μύρτων, ἢ τινὸς ἄλλου τῶν στυπτικῶν. εἰς ἑσπέραν τε πάλιν ὁμοίως διδόναι τὸ φάρμακον, εἴργοντας ἁπάσης τροφῆς, ἐὰν ἰσχυρὸς ᾖ. εἰ δὲ μὴ, ῥοφήματος αὐτάρκους διδόναι. κάλλιστον δὲ καὶ κατὰ τὴν ὑστεραίαν ἐπαφελεῖν αὖθις ὀλίγον αἵματος ἀπὸ τῆς τετμημένης φλεβὸς, ἐὰν ἰσχυρὸς ᾖ. καὶ τροφαῖς καὶ φαρμάκοις ὡσαύτως χρῆσθαι, μέχρι τῆς τετάρτης ἡμέρας, ἐπιβρέχοντας ἐν κύκλῳ τὸν θώρακα. θέρους μὲν μηλίνῳ, ἢ ῥοδίνῳ. χειμῶνος δὲ, μύρῳ ναρδίνῳ. εἰ δὲ καὶ τῶν ἐμπλαστῶν τινὶ χρήσασθαι βούλοιο φαρμάκων, κάλλιστον ἂν ἔχοις τὸ ἡμέτερον, ᾧ καὶ πρὸς τὰ ἄλλα τραύματα θαῤῥῶν χρῶ. σύγκειται δὲ ἐξ ἀσφάλτου καὶ ὄξους. ὅσα τ' ἄλλα μίγνυται τοῖς δε, κατὰ τὰς καλουμένας ὑπὸ τῶν ἰατρῶν ἐναίμους βαρβάρους. εἰ δὲ γυναῖκα θεραπεύοις, ἢ παιδία, ἢ ὅλως μαλακόσαρκόν τινα, τὸ διὰ τῆς χαλκίτεως ἱκανὸν φάρμακον. οὗ κατὰ τὸ πρῶτον ἐν τοῖς περὶ φαρμάκων συνθέσεως ἐδήλωσα τὴν δύναμιν. οὕτως ἡμεῖς ἐθεραπεύσαμεν οὐκ ὀλίγους ἐπιφανέντος αὐτίκα τῷ πεπονθότι. τὸ γάρ τοι μέγιστον αὐτὸ τοῦτ' ἐστὶν, ᾧ πάνυ προσέχειν σε χρὴ τὸν νοῦν, εἰ παραχρῆμα τῆς ῥήξεως τῶν ἀγγείων γεγενημένης ὑπάρξαις τῆς θεραπείας, ὥστ' ἔναιμον ὂν, κολληθῆναι τὸ τραῦμα πρὶν ἄρξασθαι φλεγμαίνειν. Εἰ δέ γε φλεγμήνειεν, ὀλίγη μὲν ἔτι τοῦ κολληθῆναι τὸ τοιοῦτον ἡ ἐλπὶς, εἰς χρόνον δ' ἐκπίπτει πλείονα. καὶ τὸ χαλεπὸν ἢ ἀδύνατον τὸ ἐν τῷ τοιῷδε, τῆς ἰάσεως ἐστι. ἐκπλύνειν γὰρ δηλονότι χρὴ τό, τε πῦον, καὶ τοὺς ἰχῶρας τοῦ ἕλκους, λυομένης τῆς φλεγμονῆς. ἐκ μὲν δὴ τῶν κατὰ μήτραν καὶ κύστιν, ἐκκρίνεται μὲν καὶ αὐτόματα τῷ κάταντι τῆς φορᾶς. ἐκκλύζεσθαι δὲ δύναται καὶ πρὸς ἡμῶν. ἐπὶ πνεύμονος δὲ γίνεσθαι ἑκάτερον, ἀδύνατον. ἀπολείπεται οὖν ἔτι μόνη τοῖς ἐνταυθοῖ πᾶσιν ἕλκεσιν ἡ μετὰ τοῦ βήττειν κάθαρσις. ἀλλ' εἴπερ ὀρθῶς τὴν τ' ἄλλην ἡσυχίαν αὐτοῖς συνεβουλεύομεν ἀναπνεῖν τε καὶ καταβραχὺ, καὶ μὴ δ' ὅλως

φθέγγεσθαι

φθέγγεσθαι προσετάξομεν ὑπὲρ τοῦ κολληθῆναι τὸ τραῦμα, τίς ἂν εἴη τοῖς βήττουσι τῆς ἰάσεως ἡ ἐλπίς. οὐκοῦν ὅτι διὰ τὴν ἀναπνοὴν, ἀκίνητον ἐστὶ τὸ σπλάγχνον ὡς οἱ πρὸ ἡμῶν φασὶν ἰατροὶ ἄπορος ἡ ἴασις, ἀλλὰ διὰ τὴν τῶν ἰχώρων τε καὶ τοῦ πύου κένωσιν. καὶ διὰ τοῦτο πρᾶγμα μὲν εἰς σύμφυσιν ἀφικνεῖται καθ' ὃν εἴρηται τρόπον ἰαθέντα. φλεγμονὴν δὲ φθάσαντα, χαλεπὴν καὶ ἄπορον ἴσχει τὴν ἐπανόρθωσιν. ὅ, τε γὰρ ἰχὼρ καὶ τὸ πῦον, οὐκ ἀκριβῶς ἐκκενοῦται τῶν κατὰ τὸν πνεύμονα χωρίων. αἵ τε βῆχες ἱκανῶς σπαράττουσι τὰ πεπονθότα. τὰ δ' ἐκ θώρακος βραχεῖ τῶν κατὰ τὸ σπλάγχνον τούτῳ πλεονεκτεῖ. τά τε γὰρ ἀγγεῖα πολὺ σμικρότερα, καὶ ἡ ἐκροὴ τῶν ἰχώρων εἰς τὴν ἔξω γίνεται χώραν. ὅλως τε σαρκωδέστερος ἐστὶ τοῦ πνεύμονος. οὐδὲ γὰρ οὐδ' ἡ τῶν τραχειῶν ἀρτηριῶν οὐσία κατ' ἄλλο τι τῶν ζώου μορίων ἐστὶν, ἱκανῶς ἀσάρκων καὶ ξηρῶν ὑπαρχουσῶν. ὧν καὶ αὐτῶν δή που ῥήξεις ἐν ταῖς τοιαύταις πτώσεσι γίνονται. ὡς εἴ γε τῶν ἄλλων μέν τι ῥαγείη, μένοιεν δ' ἀπαθεῖς αἱ τραχεῖαι, κατὰ τὰς συναναστομώσεις μόνας ἡ μετάληψις γίνεται. ὥστε οὔτε θερμὸν, οὔτ' ἐρυθρὸν, οὔτε πολὺ τοῖς τοιούτοις ἀναφέρεται τὸ αἷμα. καὶ δοκεῖ μοι εἶναι μετριώτερα τὰ τοιαῦτα παθήματα, τήν γε πρώτην ὡς ἂν μὴ καταπλήττοντα τῷ πλήθει τῆς κενώσεως. ἔστι δὲ χείρω δι' αὐτὸ τοῦτο. κωλύεται γὰρ ἡ σύμφυσις ὑπὸ τοῦ περιθερομένου τοῖς ἐρρωγόσιν ἀγγείοις αἵματος, οὐκ ἔχοντος εὐπετῆ τὴν εἰς τὰς τραχείας διέξοδον. ὡσαύτως δὲ καὶ τὰ τοῦ διαφράγματος τραύματα τά γε μὴ διασχόντα πρὸς τοὐκτός. ἐν μὲν τοῖς σαρκώδεσι μέρεσι πολλάκις ἐκολλήθη, μηδὲν ὑπὸ τῆς κινήσεως αὐτοῦ παρεμποδισθέντα. τὰ δ' ἐν τοῖς νευρώδεσιν, ἀνίατα. χαλεπὴ δὲ καὶ ἡ ἐν τοῖς σαρκώδεσιν ἴασις, εἰ φλεγμονὴν φθάσειεν. οὐκ αὖ τῷ τῷ διαφράγματι μόνῳ, ἀλλὰ καὶ τοῖς ἔνδον τοῦ περιτοναίου πᾶσιν. εἰς ταῦτα γὰρ ἀπορρέουσιν οἱ ἰχῶρες. ἀλλὰ χρὴ ξηραίνειν παντὶ τρόπῳ πειρᾶσθαι, διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων καὶ τῶν πινομένων δι' ὕδατος, ἢ οἴνου λεπτοῦ. ἔστι δ' αὐτῶν ἐπιτηδειότατα, τά τε διὰ σπερμάτων λεγόμενα, καὶ τὸ σύνηθες ἡμῖν, ᾧ καὶ πρὸς τὰς τοῦ θώρακος συρρήξεις ἀεὶ χρώμεθα, τὸ διὰ τῆς κασίας. ἀλλὰ καὶ ταῦτα καὶ τινῶν ἐπιβροχαί τοῖς τοιούτοις τραύμασιν ἐπιτήδειοι, τῆς περὶ φαρμάκων εἰσὶ πραγματείας. ἐνταυθοῖ δὲ τὰς μεθόδους λέγομεν μόνας ἐνδεικνυμένας τῶν φαρμάκων τὸ γένος. ὥστ' εἴποτε λέγεταί τινα τῶν κατὰ μέρος, ὡς παραδείγματα, σαφηνείας ἕνεκα, γεγράφθαι χρὴ νομίζειν αὐτά. αὖθις οὖν ἐπὶ τὰς μεθόδους ἀνέλθωμεν, ἐπιδεικνύντες ὅσον ἡ κοινὴ πάντων ἑλκῶν ἴασις ἐξαλλάττεται κατ' εἶδος ἐν ἑκάστῳ τῶν ζώου μορίῳ. μαθησόμεθα γὰρ ἐκ τοῦδε. μάλιστα μοι δι' ὅλης πρόκειται τῆς πραγματείας, ἀναμαρτήτους εἶναι κατὰ τὰς ἰάσεις, ἐν παρέργῳ δὲ καὶ τὴν τῶν ἑαυτοὺς ὀνομασάντων μεθοδικοὺς τόλμαν. εἰ γὰρ ἐμοί χρή τι πιστεῦσαι, μηδὲν, μήτε πρὸς χάριν εἰωθότι, μήτε πρὸς ἀπέχθειαν λέγειν, ἁπάντων τῶν ἰατρῶν ὄντες ἀμεθοδώτατοι, κατεγνώκασιν ὥς γε δὴ γράφουσιν, οὐ μόνον τῶν ἄλλων παλαιῶν, ἀλλὰ καὶ τοῦ πασῶν τῶν μεθόδων ἡμῖν ἡγεμόνος Ἱπποκράτους. ὁ μὲν οὖν ἐμπειρικὸς ἰατρὸς, ἐκ πείρας φησὶν ἐγνῶσθαι πάνθ' ἅπερ ἡμεῖς δι' ἐνδείξεως εὑρίσκεσθαι λέγομεν. τρίτου δ' οὐδενὸς ὄντος οὐδεμιᾶς εὑρέσεως ὀργάνου, παρά τε τὴν ἔνδειξιν καὶ τὴν πεῖραν, οὐδετέρῳ χρώμενοι, μεθοδικοὶ καλεῖσθαι δικαιοῦσιν. ἀκολουθησάτωσαν οὖν ἡμῖν. καὶ νῦν γοῦν εἰς τὴν τῶν καθ' ἕκαστον μέρος ἑλκῶν θεραπείαν, ἐπιδειξάτωσάν τε μίαν ἁπάντων ἴασιν. ἀκούσωμεν αὐτῶν ὅπως θεραπεύουσιν ἕλκος, ἢ τίνας ἐνδείξεις ἀπ' αὐτοῦ λαμβάνουσιν. ἆρ' ἄλλας τινὰς, ἢ τὸ μὲν ὁμαλὲς, ἐπουλῶσαι κελεύουσι. τὸ δὲ κοῖλον, σαρκῶσαι. τὸ δ' ἔναιμον, συμφῦσαι. πῶς οὖν εὑρεῖν τά τε ἐπουλωτικὰ, καὶ τὰ κολλητικὰ, καὶ τὰ σαρκωτικὰ, καὶ τὰ συμφυτικὰ, μὴ πάνυ φασίν. εὕρηται γάρ, ἀλλ' οὐκ οἶδ' εἰ καλῶς, ἢ εἰ πάντα. δύναται γὰρ ἤτοι γε εὑρῆσθαι μέν τινα τῶν φαυλοτέρων, οὐχ εὑρῆσθαι δὲ τὰ βελτίω, ἢ καὶ τὰ δοκοῦντα εὑρῆσθαι, καὶ αὐτὰ εἶναι μοχθηρά. καὶ διὰ τοῦτο τὰ μὲν μηδόλως θεραπεύεσθαι τῶν ἑλκῶν, τὰ δὲ ἐν χρόνῳ πλείονι, καὶ σὺν ἀλγηδόσι καὶ λιμαγχίαις οὐκ ἀναγκαίαις. οὐδὲ γὰρ οὐδὲ τολμᾷ τις νεωτέραν πεῖραν, πρὶν ἢ ἑαυτὸν πεῖσαι τὸν ἔμπροσθεν ἀγωγῆς ὀρθῶς κατεγνωκέναι. οἷον, αὐτίκα περὶ τῶν ἐν πνεύμονι συνισταμένων ἑλκῶν, ἃ μηδὲ διαγνῶναι τὴν ἀρχὴν οἴονται δεῖν αὐτοὶ τό τε ἀνατομικὸν καὶ τῆς τῶν ἐνεργειῶν γνώσεως, ἅπερ ἀμφότερα φεύγουσιν. ἀλλὰ συγκεχωρήσθω κατά γε τὸ παρὸν ἐγνῶσθαι τοῖς περὶ τὸν Θεσσαλὸν ἕλκος ἐν πνεύμονι γεγονός. πότερον οὖν ὥσπερ τοῦτο συνεχωρήσαμεν αὐτοῖς, οὕτω καὶ ὅτι ῥυπαρὸν, καὶ καθαρὸν, ἢ ὅτι κοῖλον, ἢ ὁμαλὲς, ἢ ἰχώρων, ἢ πύου μεστὸν, ἐπίστασθαι συγχωρήσωμεν. ἤτοι γ' ἐξ ἐπινοίας ἐνθέου, ἢ ὄναρ ἰδοῦσιν. ἢ καὶ τοῦτο γοῦν ἐρωτήσωμεν αὐτοὺς τὰς διαγνώσεις, ἢ χωρὶς τοῦ διαγνῶναι, συγχωρήσωμεν ὅ, τι βούλοιντο φάρμακον. ἐγὼ μὲν γὰρ ἡγοῦμαι καθῆραι μὲν χρῆναι τὸ ῥυπαρὸν πρότερον τὸν ῥύπον. σαρκῶσαι δὲ τὸ καθαρὸν ἅμα καὶ κοῖλον. ἀποκαθῆραι δὲ τοὺς ἰχῶρας τε καὶ τὸ πῦον, ᾧ περικέχυται ταῦτα. κἄπειθ' οὕτως ἐπουλοῦν. οἱ δὲ, οὐκ οἶδ' ὅπως ἰῶνται καὶ τὰ τοιαῦτα τῶν ἑλκῶν. τὴν ἀρχὴν γὰρ οὐδ' ἔγραψέ τι Θεσσαλὸς ὑπὲρ αὐτῶν, ἵν' ἤτοι τὴν ἄγνοιαν, ἢ τὴν συμφωνίαν αὐτοῦ πρὸς ἑαυτὸν ἐπιδείξῃ. ἤτοι γὰρ ἄλογα καὶ ψευδῆ περὶ αὐτῶν ἐροῦσιν, ἢ ἅπερ ἀληθῆ τίς φησι, τὴν ἔνδειξιν αὐτῶν ἀναγκαῖον ἐκ τῆς οὐσίας γενέσθαι τοῦ μορίου. καὶ προσέτι θέσεώς τε καὶ διαπλάσεως. ὑποκείσθω γὰρ αὐτοὺς ἐπίστασθαι διαγινώσκειν ἕλκος ἐν πνεύμονι ῥυπαρὸν καὶ καθαρὸν, ἀφλέγμαντόν τε καὶ φλεγμαῖνον, ὁμαλές τε καὶ κοῖλον. ἔτι δὲ καὶ τοῦτ' αὐτοῖς συγχωρήσθω γιγνώσκειν. οὐ μὴν οὐδ' αὐτοῦ, καί τοι γε μικροτάτου γε ὄντος, ἔχουσιν εἰπεῖν ἰδίαν εὕρεσιν, ὅτι τὸ τοιοῦτον ἕλκος ὑπὸ τοῦ χλωροῦ φαρμάκου γίνεται καθαρὸν, ἢ εἰ βούλει τοῦ Μαχαιρίωνος, ἢ τῆς ἴσιδος, οὐδὲν γὰρ διαφέρει. τί ποτε οὖν ποιήσουσιν ἐπὶ τοῦ κατὰ τὸ σπλάγχνον ἕλκους, ἀποκρινέσθωσαν ἡμῖν. ἆρα γε καταπιεῖν δώσουσι τοῦ χλωροῦ φαρμάκου; γελοῖον μὲν ὅλως τὸ πρᾶγμα. λεγέτωσαν οὖν ἡμῖν πόθεν ἴσασιν ἐνεχθησόμενον εἰς τὸν πνεύμονα τὸ τοιοῦτον φάρμακον. εἰδ' ἆρα καὶ τοῦτ' ἴσασιν, ἀλλ' ὅτι γε φυλάξει τὴν αὐτὴν δύναμιν, ἣν ἐπὶ τῶν ἑλκῶν τῶν ἐκτὸς εἶχεν, οὐχ οἷόν τε γιγνώσκειν αὐτοῖς. ἀλλὰ δὴ καὶ γινωσκέτωσαν ὅτι τε φυλάξει τὴν αὐτὴν δύναμιν, ἣν ἐπὶ τῶν ἐκτὸς ἑλκῶν εἶχε, καὶ ὅτι καθαίρει τὸν ῥύπον. οὐ μὴν ὅτι γε βῆχα κινῆσαι δύναται αὐτοῖς ἐπίστασθαι. χωρὶς δὲ τοῦ διὰ βηχὸς ἐκκαθαρθῆναι τὸν ῥύπον, οὐδὲ τοῦ ῥύπτοντος ἐστὶ χρεία φαρμάκου. συγχωρείσθω δὲ οὖν καὶ τοῦτ' αὐτοῖς. ἀλλὰ τό γε διάφορον, ἐφ' ἕλκους πεποιῆσθαι θεραπείαν, ἐν μηρῷ καὶ πνεύμονι γεγονότος, οὐ δύνανται φυγεῖν. εἴ γε τὸ μὲν, ὕδασι περιπλύνουσι. τὸ δὲ, ταῖς βηξὶν ἐκκαθαίρουσιν. ὑποκείσθω δὲ πάλιν ἐν τῷ πνεύμονι περικεχύσθαι τῷ ἕλκει παχὺ πῦον. ἆρα γε καὶ νῦν τὸ χλωρὸν δώσουσι φάρμακον;

ἢ μέλιτος ἐκλείχειν κελεύουσιν; ἀλλὰ καὶ τοῦτ' αὐτὸ πόθεν εὑρήκασι, λεγέτωσαν. οὐ γὰρ δὴ τοῦτό γε φήσουσιν
ὅτι λεπτυντικήν τινα καὶ τμητικὴν ἔχει δύναμιν, αὐτοί γε ἑκόντες ἀφεστῶτες τοῦ ζητεῖν τὰς τοιαύτας δυνά-
μεις. οὐ μὴν οὐδ' ὅτι τοῖς ἐμπειρικοῖς εὕρηται τὸ μέλι πρὸς τοιάνδε συνδρομὴν ἐπιτήδειον, γινώσκειν αὐτοῖς ὁμοίως ἐκεί-
νοις χρῆσθαι. πρῶτον μὲν ὅτι τῆς ἐμπειρίας καταφρονοῦσιν. ἔπειτα δ', ὅτι πρὸς τὰς τοιαύτας συνδρομὰς ὁ ἐμπειρικὸς,
ἥτις μέν ἐστιν ἡ ἐν τῷ πνεύμονι διάθεσις ἀγνοεῖν φησι, τετηρῆσθαι δ' ἐκ πείρας ἑαυτῷ τὰ συμφέροντα. Θεσσα-
λῷ δὲ οὐκ ἀρκεῖ θεραπεύειν ὃ μὴ δ' ὅλως οἶδεν, ἀλλ' ἀπὸ τῆς τῶν παθῶν ἐνδείξεως ὁρμᾶται. εἰ δὲ δὴ καὶ πάντ' αὐτῷ
συγχωρήσωμεν, ὥσπερ καὶ πρόσθεν, ὁμοίως ἡμῖν ἐπίσασθαι, τούς γε τοῖς διαφέρουσι μέρεσιν ἐξαλλάττεσθαι τὴν θε-
ραπείαν κατ' εἶδος, οὐκ ἄν ποτε ἐκφύγοι. οὐ γὰρ δήπου ταυτόν ἐστιν, ἢ μελίκρατον εἰς μήτραν ἐγχέαι διὰ ἕλκος ἐν
αὐτῇ, ἢ μέλιτος ἐσθίειν, ἢ καταπλύνειν σπόγγῳ τὸ ἕλκος. ἀλλὰ ταῦτα μὲν ἔτι μικρὰ, μέγιστα δὲ ἐκεῖνα. χρόνιον
ἀφλέγμαντον ἕλκος ἐν πολλοῖς ὑποκείσθω μέρεσιν, ὀφθαλμῷ, καὶ ἀκοῇ, καὶ μυκτῆρι, καὶ στόματι, καὶ μηρῷ, καὶ γα-
στρὶ, καὶ μήτρᾳ, καὶ ἕδρᾳ, καὶ αἰδοίῳ. προσυποκείσθω δ' εἰ βούλει τὸ ἕλκος, ἢ ὁμαλὲς ἀκριβῶς, ἢ ὀλίγου δεῖν ὑπάρχειν
ὁμαλές. ἀποκρινάσθωσαν ἡμῖν οἱ ἀπὸ Θεσσαλοῦ, τοῦ μηδὲν ὅλως περὶ τῶν τοιούτων διορισαμένου, πῶς ἐπουλώσομεν
αὐτὸ τῷ διὰ τῆς καδμίας νὴ Δία. τοῦτο γὰρ ἐπουλώσει καλῶς τὸ ἐπὶ τοῦ μηροῦ ἕλκος. ἆρ' οὖν καὶ ἐπὶ τοῦ ἀκουστικοῦ πό-
ρου; ἄπιστον μὲν ἴσως, ἀλλ' ἴσασιν οἱ θεοὶ, χρόνιον ἕλκος εὗρόν ποτε τῶν σοφωτάτων τινὰ Θεσσαλείων, οὕτω θερα-
πεύοντα. θᾶττον δ' ἂν ἐσάπη τὸ οὖς τοῦ ἀνθρώπου, καὶ σκώληκας ἔσχεν, ἢ τῷ διὰ τῆς καδμίας ἐπουλώθη φαρμάκῳ.
συγχωρήσαντος δ' ὅμως αὐτῷ πλείοσι χρήσασθαι ἡμέραις, ἐπειδὴ καθ' ἑκάστην δυσωδέστερόν τε τὸ οὖς ἐγίνετο
καὶ ἰχώρων μεστὸν, ἀπιστότερον ἔτι τοῦ πρόσθεν ἐθεασάμεθα τολμηθέν. οἰηθεὶς γὰρ φλεγμαίνειν ἐν τῷ βάθει τὸν πό-
ρον, ἐπὶ τὴν τετραφάρμακον ἧκεν, ὃ πολὺ δὲ μᾶλλον ἔμελλε σήψειν τὸ μόριον. οὐδὲ γὰρ ξηραίνειν ὅλως ἕλκει δυ-
νατόν ἐστιν, ἀλλὰ πέττειν τὰ φλεγμαίνοντα. ἅτε δ' ἐναντιωτάτῳ τῆς διαθέσεως αὐτοῦ χρησαμένου φαρμάκῳ, με-
τὰ μίαν ἡμέραν ἐπολυπλασιάσθη μὲν αὐτίκα τὸ τῶν ἰχώρων πλῆθος, ἀφόρητος δ' ἦν ἡ δυσωδία. οὐκοῦν ἔτι συ-
νεχώρουν οἱ οἰκεῖοι, τοῦ ὠτὸς ἅπτεσθαι τῷ Θεσσαλείῳ. ὁ δ' ὑπ' ἀναισχυντίας τε ἅμα καὶ ἀναισθησίας, ἠξίου μὴ μόνον
ἐντιθέναι τι τῆς τετραφαρμάκου δυνάμεως, ἀλλὰ καὶ καταπλάττειν ἔξωθεν αὐτῷ χαλαστικῷ καταπλάσματι. τῶν
δ' οἰκείων ἀπελαυνόντων τε καὶ δεδιότων ἐν μεγάλῳ κακῷ τὸν πάσχοντα γενέσθαι, προσεκαλέσαμεν ἡμεῖς, ἔτι μίαν
ἡμέραν ἐπιτρέψαι τῷ Θεσσαλείῳ τὴν θεραπείαν αὐτοῦ. ἔμελλον δ' δήπου πρὸς τὴν ὑστεραίαν ὅ, τε ἰχὼρ ἔσεσθαι πολ-
λαπλάσιος, ἥ τε ὀδμὴ δυσωδεστάτη. καθ' ἣν ἐπειράθην εἰ οἷόν τ' εἴη μεταπεῖσαι τὸν Θεσσάλειον ὄνον, ὅπως μὴ
πάντας ἐπιτρίβῃ τοὺς πάσχοντας, ἀλλὰ τινὰς ἤδη ποτὲ κἂν ὀλίγους δυνηθείη σῶσαι, τῆς ἀμεθοδωτάτης αἱρέ-
σεως ἀποστάς. ἠρξάμην μὲν οὖν λόγου τοιοῦδε πρὸς αὐτόν. ἆρα οὐχὶ φλεγμονή σοι δοκεῖ κατὰ βάθος εἶναι τοῦ πόρου, καὶ
διὰ τοῦτο χαλαστικοῖς χρῇ βοηθήμασιν; ὁ δὲ, καὶ πάνυ διετείνετο, καὶ οὕτως ἔχειν ἔφασκε, καὶ ἀδύνατον ἄλλως. ἆρ'
οὖν ἔφην ἐθεάσω σύ ποτε φλεγμαῖνον ἕλκος, ὄξει δριμυτάτῳ μετὰ γλαυκίου θεραπευθέν; οὐ μὴν οὖν εἶπεν.
ἀλλ' εἰ τὸν ἀνδρώνειόν τις κυκλίσκον ὄξει δεύσας χρῷτο, τάχα δ' ἂν ἔφη καὶ ἀπαθείη. ἐὰν οὖν εἴπον ἄλλο τι φάρ-
μακον οὐκ ὀλίγῳ τοῦ ἀνδρωνείου σφοδρότερον, ὄξει τις δριμυτάτῳ δεύσας χρήσηται, καὶ ταῦτ' εἰς οὖς ἐγγὺς οὕτω μό-
ριον ἐγκεφάλου καὶ μήνιγγος, ἆρ' οὐκ ὄντως ἀπαθήσεται κατὰ τὸν σὸν λόγον, εἴπερ γε φλεγμονή τις ὑπόκειται; ταῦτ'
ἐδόκει κἀκείνῳ καὶ τοῖς ἄλλοις τοῖς συμπαροῦσιν ἀληθῶς εἰρῆσθαι. ὅθεν μὲν οὖν ἔφην ἐπὶ τῷ δεῖσθαι τὴν διάθεσιν τῶν
μορίων ἐκτεθηλυσμένων ὑπὸ τῆς σῆς ἀγωγῆς, ἐσχάτως ξηραινόντων φαρμάκων, ἐχρησάμην ἂν ἤδη τοιούτῳ.
νυνὶ δ' ἐπειδὴ κακὸν ἔθος εἴθισας τὰ μόρια πλείοσιν ἡμέραις, ἐπὶ τοὐναντίον αὐτὰ μετάγειν ἀθρόως οὐκ ἔτ'
ἐγχωρεῖ. σοὶ μὲν γὰρ καὶ Θεσσαλῷ καταφρονεῖν ἔθους ἔξεστιν ὥσπερ καὶ φύσεως ἁμόρφων. ἡμῖν δ' οὐκ ἔξεστιν. ἀλλὰ
τῇ μὲν πρώτῃ τῶν ἡμερῶν, ὄξει χρήσομαι μετὰ γλαυκίου. τῇ δὲ δευτέρᾳ, τῷ ἀνδρωνείῳ. τῇ τρίτῃ δ' ἐπί τι σφο-
δρότερον ἔτι καὶ αὐτοῦ τοῦ ἀνδρωνείου παραγενήσομαι φάρμακον, ᾧ χρησάμενος ἡμέραις τρισὶν, ἢ καὶ τέτταρ-
σιν, ἐάν μοι φαίνηται δεῖσθαι σφοδροτέρου φαρμάκου τὸ ἕλκος, οὐκ ὀκνήσω κἀκείνῳ χρήσασθαι. ἔξωθεν δ' ἔφην, ἐπι-
θήσω τῇ κεφαλῇ κατὰ τὸ τοῦ πεπονθότος ὠτὸς χωρίον, οὐ μὰ Δί' ὡς σὺ κατάπλασμα χαλαστικὸν, ἀλλά τι τῶν
ξηραντικωτάτων φαρμάκων ὁποῖόν ἐστι τὸ διὰ τῶν ἰτεῶν ἢ καὶ αὐτὸ τοῦ ἀνδρωνείου καταχρίσω μετ' ὄξους. ἢ τῶν
τούτου τινὶ ξηραντικωτέρων. ἐπεὶ γὰρ ξηρὸν ἐσχάτως ἐστὶ τὸ θεραπευόμενον μόριον, ἀναγκαῖον αὐτὸ ξηραίνειν ἐ-
σχάτως. ἐνδείκνυται γὰρ ὥσπερ τὸ πάθος τοὐναντίον ἑαυτῷ πρὸς τὴν θεραπείαν. οὕτω τὸ μόριον ὅτι περ ἂν
ὁμοιότατον ἑαυτῷ τυγχάνῃ. καὶ τοίνυν ὥσπερ εἶπον, οὕτω καὶ ἔπραξα. καὶ ὁ ἄνθρωπος ὑγιάσθη, μὴ δεηθεὶς
ἰσχυροτέρων ἄλλων φαρμάκων. ἐπ' ἐνίων μέν σοι δεηθέντων, οἷς ἐξ ἐνιαυτοῦ καὶ δυοῖν ἐτῶν ἦν ἕλκη ἐν τῷ ὠτὶ,
προσήνεγκα μὲν φάρμακον ἁπάντων τῶν εἰρηθέντων ἰσχυρότερον. ἔστι δὲ καὶ ἡ καλουμένη σκωρία τοῦ σιδήρου
κοπτομένη τε καὶ διακοσκινουμένη λεπτοτάτῳ κοσκίνῳ, κἄπειτα λειουμένη μέχρι τοῦ χνοώδης γενέσθαι. μετὰ
δὲ ταῦτα, σὺν ὄξει δριμυτάτῳ καθεψομένη μέχρι τοῦ σύστασιν σχεῖν μελιτώδη τε καὶ γλοιώδη, δῆλον δ' ὅτι
πολλαπλάσιον εἶναι χρὴ τὸ ὄξος ἐν τῇ μίξει. ἀλλ' ὅπερ εἶπον ἤδη πολλάκις, ἡ μὲν εὐπορία τῆς ὕλης τῶν φαρμά-
κων, ἐξ ἑτέρων ὑπομνημάτων ἔσται σοι. τὰ δὲ τῆς μεθόδου, περαινέσθω. τὸ γάρ τοι τῆς ἀκοῆς χωρίον, ἐπειδὴ ξηρό-
τατόν ἐστι, διὰ τοῦτο τῶν ἄκρως ξηραινόντων δεῖται φαρμάκων. ὧν οὐδὲν οὐδενὶ τῶν ἄλλων μορίων ἁρμόττει προσ-
φέρειν. ἀλλ' ὀφθαλμῷ μὲν εἱλκωμένῳ, τὸ διὰ τοῦ λιβανωτοῦ κολλύριον, εἰ οὕτως ἔτυχε. μυκτῆρσι δὲ, πολὺ μὲν
ξηραντικώτερον ἢ κατ' ὀφθαλμοὺς, ἧττον δὲ ἢ κατ' οὖς. ὥστε καὶ οἱ κυκλίσκοι πάντες οἱ προειρημένοι, χρυσοί. καὶ
τὸ τοῦ Μουσᾶ φάρμακον. ὅσα τ' ἄλλα τοιαῦτα. τῶν δ' ἐν τοῖς στόμασιν ἑλκῶν, ὅσα μὲν ἱκανῶς πλαδαρὰ, τῶν ξη-
ραινόντων ἰσχυρῶς δεῖται φαρμάκων. οἷον τοῦ διφρυγοῦς αὐτοῦ τε καθ' αὑτὸ καὶ μετὰ μέλιτος. οἴνου τε καὶ οἰ-
νομέλιτος. ὡσαύτως δὲ καὶ τῆς ἴρεως καλουμένης. ἔτι τε τῆς ἀνθηρᾶς, ἤτοι ξηρῶν. ἢ μετὰ μέλιτος, ἢ οἰνομέλιτος,
ἢ οἴνου. ἀγαθὸν δ' εἰς τὰ τοιαῦτα καὶ τὸ τοῦ Μουσᾶ φάρμακον. ὅ, τε τοῦ ῥοῦ χυλός. ὀμφάκιόν τε, καὶ ὅσα περ ἐστὶν
ἄλλα γενναίως ξηραίνοντα. τί γὰρ δεῖ τὰς ὕλας ἐπεξέρχεσθαι. τὰ δ' ἁπλούστερα τῶν ἐν τοῖς στόμασιν ἑλκῶν,
ἱκανῶ

ἱκανὰ θεραπεύειν δεῖ, καὶ τὰ μετρίως ξηραίνοντα φάρμακα. καθάπερ ταυτὶ τὰ διὰ τὸ συνεχὲς τῆς χρείας ὀνο-
μαζόμενα στοματικά, τό τε διὰ μόρων, καὶ βάτου καρποῦ, καὶ καρύων χλωρῶν λέμματος χυλοῦ, καὶ τούτων ἔτι
μᾶλλον τὸ διὰ γλαυκίου τε καὶ τῶν τῆς κυπαρίττου σφαιρίων. ὅσα δ' ἱκανῶς ὑγρὰ τῶν ἐν τοῖς στόμασιν ἑλκῶν, πλη-
σίον ὀστῶν ἐστι, ἢ καὶ κίνδυνος διὰ τοῦτο καὶ αὐτὸ τὸ ὀστοῦν σφακελίσαι, σφοδροτάτων ταῦτα δεῖται φαρμάκων,
διὰ τὴν τῶν ὀστῶν οὐσίαν ξηρὰν οὖσαν. ὥστ' ἐγὼ λεαίνων ἀεὶ τοὺς προειρημένους κυκλίσκους, ἐπιτίθημι τὸ φάρμακον ξη-
ρόν. εἴρηται δ' ὀλίγου ἔμπροσθεν καὶ τῶν ἐπὶ κύστιν καὶ μήτραν ἔντερά τε καὶ πνεύμονα τὰ γένη τῶν φαρμάκων, οἷς
ἐφ' ἑκάστου χρηστέον ἐστί. ἀπὸ μὲν τῆς οὐσίας τῶν θεραπευομένων μορίων, τοῦ φαρμάκου λαμβανομένου μετὰ τοῦ προ-
σκέψασθαι τὴν διάθεσιν. Τοῦ τρόπου δὲ τῆς χρήσεως αὐτῶν, ἀπό τε τῆς διαπλάσεως ἅμα καὶ τῆς θέσεως. ἐν-
τεῦθεν γὰρ ἐπενοήθησαν, ὠτεγχύται τε, καὶ μητρεγχύται, καὶ καθετῆρες, καὶ κλυστῆρες. ἐντεῦθεν δὲ καὶ ὅτι τὰ
μὲν κατὰ γαστέρα, καὶ θώρακα, καὶ πνεύμονα συνιστάμενα τῶν ἑλκῶν, διὰ τῶν ἐσθιομένων καὶ πινομένων θερα-
πεύεσθαι χρή, τὰ δὲ κατ' ἔντερα, ὅσα μὲν ἐγγὺς τῇ γαστρί, διὰ τῶν ἐσθιομένων καὶ πινομένων. ὅσα δ' ἤδη κατωτέ-
ρω, διὰ τῶν ἐνιεμένων. οὔτε γὰρ τοῖς πλησίον τῆς γαστρὸς ἐπαναβῆναι δύναται τὸ διὰ τῆς ἕδρας ἐνιέμενον, οὔτ' εἰς
τὰ κάτω τοῦ διαστήματος ληφθέντος, ἡ δύναμις ἀκραιφνὴς ἐξικνεῖσθαι. διὰ τοῦτο καὶ ὅσα κατὰ θώρακα καὶ πνεύ-
μονα συνίσταται τῶν ἑλκῶν, ἅμα τε δυσιατότερα τῶν κατὰ τὴν γαστέρα, πόρρω γὰρ αὐτῶν ἡ θέσις, ὡς ἐκλύεσθαι τῶν
φαρμάκων τὴν δύναμιν. ἅμα τε διὰ αὐτὸ τοῦτο πολὺ σφοδροτέρων χρῄζει τῶν καταπινομένων φαρμάκων, ἢ εἰ
αὐτοῖς τοῖς ἕλκεσιν ἄντικρυς προσεφέρετο. καὶ διὰ τοῦτο ἐξεύρηται τοῖς ἰατροῖς, ἡνίκα ἐκκαθαίρειν δέονται πῦον
ἐκ θώρακος ἢ πνεύμονος, ἰσχυρότατά τε καὶ τμητικώτατα φάρμακα, καὶ τοιαῦτα τὴν δύναμιν ὡς προξῦναι
τὸ ἕλκος εἴπερ ἦν ἐν τῇ γαστρί. καὶ μέν γε τὸ διὰ τῶν βηχῶν ἐκκαθαίρειν αὐτά, ἐκ τῆς διαπλάσεως ἐλήφθη τῶν
μορίων, οὐδεμίαν ἐχόντων ἐκροὴν τοιαύτην οἵαν μήτρα, καὶ κύστις, καὶ ἕδρα, καὶ ὦτα, καὶ μυκτῆρες, καὶ στόμα. διὰ
τοῦτο καὶ ἡ γαστὴρ κατ' ἄμφω τὰ μέρη καθαίρεσθαι δύναται. ἄνω μὲν διὰ τῶν ἐμέτων, κάτω δ' ὡς ἡ φύσις. ἀπὸ γάρ
τοι τῶν μορίων ὡς ὀργανικῶν, αἱ τοιαῦται τῶν ἐνδείξεων, ὥσπερ αἱ κατὰ τὸ ξηραίνειν ἐνδείξεις, ἀπὸ τῆς οὐσίας αὐτῶν
ὡς ὁμοιομερῶν. ἀπὸ δέ γε τῶν παθῶν, αἱ τοιαῦται πάλιν, οἷον ἀπὸ τῶν ἑλκῶν, ἐπειδὴ περὶ τούτων ὁ λόγος ἦν, ὅτι
τὰ ξηραντέον, ὡς ἔμπροσθεν ἐδείκνυτο, καὶ ὅτι τῶν κατὰ τὴν γαστέρα τὸ πῦον ἀποπλῦναι βουλομένοις οὐκ ἀκίνδυ-
νον ἐμεῖν. ὥσπερ εἰ καὶ ἄλλως ἀκρίτοις ἐμπεπλασμένον αὐτῇ φλέγμα, δι' ὀξυμέλιτός τε καὶ ῥαφανίδων, ἀλλὰ
βέλτιον ὑπάγειν κάτω. κίνδυνος γὰρ ἐμοῦντι καὶ σπαράξαι τὸ ἡλκωμένον. καί τινα χυμὸν οὐ χρηστὸν ἐκ τῶν πλη-
σίον ἐπισπάσασθαι. διὰ τοῦτο δὲ ὡς ἔφην, καὶ τὰ κατὰ πνεύμονα τῶν ἑλκῶν δυσιατώτατα. χωρὶς μὲν γὰρ τοῦ βήττειν,
οὐκ ἂν ἐκκαθαρθείη, βηττόντων δ' ἐπιρρήγνυνται. δι' ἀλλήλων οὖν αὐτοῖς κυκλεῖται τὸ κακόν. ἐπιφλεγμαί-
νοντα γὰρ αὖθις τὰ σπαραχθέντα, δεύτερον αὖθις δεῖται πεφθῆναί τε τὴν φλεγμονήν, ἀποκαθαρθῆναί τε
τὸ πῦον. ὥστ' ἐκ πάντων αὐτοῖς παρασκευάζεσθαι τὸ δυσίατον. οὔτε τῶν οἰκείων ἕλκεσι φαρμάκων ψαῦσαι
δυναμένων τοῦ ἕλκους ὡς ἐν γαστρί, καὶ φθανόντων ἐκλύεσθαι μεταξύ. καὶ ὅτι κινεῖται κατὰ τὰς ἀναπνοάς, καὶ
σπαράττεται κατὰ τὰς βῆχας. ὥσθ' ὅταν ἀγγεῖον ἐν πνεύμονι ῥαγῇ, γιγνώσκειν χρὴ σαφῶς εἰ μὴ παραχρῆμα
πρὶν φλεγμῆναι κολληθείη, μετὰ ταῦτά γε ἀνίατον ἐσόμενον. ὅσα μέν τοι τῶν ἑλκῶν ἐν ταῖς τραχείαις ἀρ-
τηρίαις γίγνεται κατὰ τὸν ἔνδον αὐτῶν χιτῶνα, καὶ μάλισθ' ὅσα τοῦ λάρυγγος πλησίον, ἢ καὶ κατ' αὐτόν ἐστι, ταῦ-
τα θεραπεύεται. καὶ ἡμεῖς οὐκ ὀλίγους ἰασάμεθα τῶν οὕτω καμνόντων. εὕρομεν δὲ μάλιστα τὴν θεραπείαν
αὐτῶν ἐνθένδε. κατὰ τὸν μέγαν τοῦτον λοιμόν, ὃν εἴη ποτὲ παύσεσθαι, πρῶτον εἰσβάλλοντα, τό τε νεανίσκος τις
ἐνναταῖος ἐξήνθησεν ἕλκεσιν ὅλον τὸ σῶμα, καθάπερ καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες οἱ σωθέντες. ἐν τούτῳ δὲ
καὶ ὑπέβηττε βραχέα. τῇ δ' ὑστεραίᾳ λουσάμενος, αὐτίκα μὲν ἔβηξε σφοδρότερον. ἀνηνέχθη δ' αὐτῷ μετὰ
τῆς βηχός, ἣν ὀνομάζουσιν ἐφελκίδα. καὶ αἴσθησις ἦν τἀνθρώπῳ σαφής, κατὰ τὴν τραχεῖαν ἀρτηρίαν τὴν ἐν
τῷ τραχήλῳ πλησίον τῆς σφαγῆς, ἡλκωμένου τοῦ μέρους. καὶ μέν τοι καὶ διανοιξάντων αὐτοῦ τὸ στόμα, κατεσκε-
ψάμεθα τὸν φάρυγγα, μή πῃ κατ' αὐτὴν εἴη τὸ ἕλκος. οὔτ' οὖν οὕτως ἐπισκοπουμένοις, ἐφαίνετο πεπονθέναι.
καὶ πάντως ἂν ἐδήχθη τῇ διόδῳ τῶν ἐσθιομένων τε καὶ πινομένων, αἴσθησις ἔσεσθαι τῷ κάμνοντι σαφής, εἴπερ
ἕλκος ἦν αὐτόθι. καὶ μέν τοι καὶ δι' ὄξους, καί τινα διὰ νάπυος ἐδώκαμεν αὐτῷ προσενέγκασθαι βεβαιοτέρας ἕνε-
κα διαγνώσεως. οὔτ' οὖν τούτων ἔδακνεν αὐτόν τι, καὶ ἡ αἴσθησις ἦν ἐν τῷ τραχήλῳ σαφής. ἠρέθιζέ τε κατ'
ἐκεῖνο τὸ χωρίον ὡς ἐξορμᾶν εἰς βῆχας. συνεβουλεύομεν οὖν αὐτῷ ἀντέχειν καθόσον οἷός τ' ἐστί, καὶ μὴ βήττειν. ἔ-
πραττε δὲ τοῦτο. βραχύ τε γὰρ ἦν τὸ ἐρεθίζον. ἡμεῖς τε τρόπῳ παντὶ συνεπράττομεν εἰς οὐλὴν ἀχθῆναι τὸ ἕλ-
κος. ἔξωθεν μὲν ἐπιθέντες τι τῶν ξηραινόντων φαρμάκων, ὕπτιον δὲ κατακλίναντες. εἶτα διδόντες ὑγρὸν φάρ-
μακον τῶν πρὸς ἕλκη τὰ τοιαῦτα ποιούντων, καὶ τοῦτ' ἐν τῷ στόματι κατέχειν ἀξιοῦντες, ἐπιτρέποντα βραχύ τι παραρ-
ρεῖν εἰς τὴν τραχεῖαν ἀρτηρίαν. καὶ τοίνυν οὕτω πραττόντων, αἰσθάνεσθαι σαφῶς ἔφασκε τῆς ἀπὸ τοῦ φαρμάκου
στύψεως περὶ τὸ ἕλκος. εἴτε κατὰ διάδοσιν γιγνομένης, εἴτε καὶ αὐτοῦ τοῦ φαρμάκου περὶ τὸ ἕλκος δροσοειδῶς
παραρρέοντος εἰς τὴν ἀρτηρίαν, καὶ παραδυομένου. ἦν δὲ οὐδ' αὐτὸς ὁ κάμνων ἄπειρος τῆς ἰατρικῆς, ἀλλά τις τῶν
ἐκ τριβῆς τε καὶ γυμνασίας ἐμπειρικῶς ἰατρευόντων. αἰσθάνεσθαί τε οὖν ἔλεγε παραρρέοντος εἰς τὴν ἀρτη-
ρίαν τοῦ φαρμάκου. καί ποτε καὶ βῆχα κινοῦντος. ἀντεῖχε μέν τοι πολλὰ μὴ βήττων. καὶ τοίνυν αὐτὸς προθυ-
μηθείς, ἐν Ῥώμῃ μὲν ἔνθα περ ἐλοίμωξεν, ἄλλας τρεῖς ἡμέρας ἐπέμεινε μετὰ τὴν ἐννάτην. μετὰ ταῦτα δ' ἐνθεὶς
ἑαυτὸν πλοίῳ, κατέπλευσε μὲν πρῶτον ἐπὶ τὴν θάλατταν διὰ τοῦ ποταμοῦ. τετάρτῃ δ' ὕστερον ἡμέρᾳ πλέων,
ἐν ταῖς Ταβίαις γίγνεται. καὶ κέχρηται τῷ γάλακτι θαυμαστήν τινα δύναμιν ὄντως ἔχοντι καὶ οὐ μάτην ἐ-
παινουμένῳ. Καί μοι δοκεῖ καιρὸς ἤδη εἰπεῖν τι περὶ γάλακτος χρήσεως, οὐ τοῦ κατὰ τὰς Ταβίας μόνον, ἀλλὰ
καὶ τοῦ ἄλλου παντός. οὐδὲ γὰρ τοῦτ' ἐν Ἰταλίᾳ μόνῃ χρὴ θεραπεύειν, ἀλλ' ἕως οἷόν τε τοῦτο πανταχόθεν. τῷ μὲν οὖν
ἐν ταῖς Ταβίαις γάλακτι, πολλὰ συντέλεσεν εἰς ἀρετήν. αὐτό τε τὸ χωρίον ὑψηλὸν ὑπάρχον αὐτάρκως. ὅ, τε

περιέξ ἀὴρ ξηρός, ἥ τε νομὴ τοῖς ζώοις χρηστή. ταύτην μὲν γε καὶ ἀλλαχόθεν τεχνήσασθαι δυνατόν, ἐν λόφῳ μετρίως ὑψηλῷ, φυτεύσαντας καὶ βοτάνας καὶ θάμνους, ὁπόσοι γάλα χρηστόν τε ἅμα καὶ στῦφον ἐργάζονται. λεχθήσεται δ' αὐτῶν ὀλίγον ὕστερον παραδείγματα. τὸν μέντοι περιέξ ἀέρα κατασκευάσαι μὲν ὅμοιον ἀδύνατον. ἐκλέξασθαι δὲ τῶν ὄντων τὸν ὁμοιότατον, οὐκ ἀδύνατον. ὁμοιότατος δ' ἂν εἴη ὁ ταῦτ' ἔχων, ἅπερ ἐκείνῳ πάρεστιν. ὕψος μὲν τοῦ λόφου μέτριον. ὁδὸς δ' ἐπ' αὐτὸν ἀπὸ τῆς θαλάττης εἰς τριάκοντα στάδια, καί τι πλέον οὐ πολλῷ. τὸ δὲ χωρίον αὐτὸ τὸ ἐπὶ τῇ θαλάττῃ, αἱ Ταβίαι κατὰ τὸν πυθμένα τοῦ κόλπου, μάλιστα ἐστὶ τοῦ μεταξὺ Συρρεντοῦ τε καὶ Νεαπόλεως. ἐν τῇ πλευρᾷ μᾶλλον τῇ κατὰ Συρρεντόν. αὕτη δ' ἡ πλευρὰ πᾶσα λόφος ἐστὶν εὐμεγέθης, μακρός, εἰς τὸ Τυρρηνὸν ἐξήκων πέλαγος. ἐγκέκλιται δ' ἠρέμα πρὸς τὴν δύσιν ὁ λόφος οὗτος. οὐκ ἀκριβῶς δ' ἐπὶ τὴν μεσημβρίαν ἐκτέταται, οὗτος μὲν ὁ λόφος ἄκλειστον τοῖς ἀνατολικοῖς ἀνέμοις φυλάττει τὸν κόλπον, εὔρῳ καὶ ἀπηλιώτῃ, καὶ βορρᾷ. συνάπτει δ' αὐτῷ κατὰ τὸν μυχὸν τοῦ κόλπου, λόφος ἕτερος οὐ μικρός. ὃν ἔν τε τοῖς συγγράμμασιν οἱ παλαιοὶ ῥωμαῖοι καὶ τῶν νῦν οἱ ἀκριβέστεροι Βεσούβιον ὀνομάζουσι. τὸ δ' ἔνδοξόν τε καὶ νέον ὄνομα τοῦ λόφου, Βεσούβιον ἅπασιν ἀνθρώποις γνώριμον, διὰ τὸ κάτωθεν ἀναφερόμενον ἐκ τῆς γῆς ἐν αὐτῷ πῦρ. ὅ μοι δοκεῖ καὶ αὐτὸ μέγα συντελεῖν εἰς ξηρότητα τῷ περιέξ ἀέρι. καὶ χωρὶς δὲ τοῦ πυρός, οὔτε λίμνη τις ἐγγύς, οὔθ' ἕλος, οὔτε ποταμὸς ἀξιόλογος οὐδαμόθι τοῦ κόλπου. τῶν δ' ἀρκτικῶν πνευμάτων ἁπάντων ἄχρι δύσεως θερινῆς, ὁ Βεσουβιανὸς λόφος πρόβλημά ἐστι. καὶ πολλὴ τέφρα μέχρι τῆς θαλάσσης ἀπ' αὐτοῦ καθήκει λείψανόν τι τῆς ἐν αὐτῷ κεκαυμένης τε καὶ νῦν ἔτι καιομένης ὕλης. ταῦτα πάντα ξηρὸν ἐργάζεται τὸν ἀέρα. δύναιτ' ἂν οὖν τις ἑτέρωθι τῆς οἰκουμένης ἐκλέξασθαι λόφον οὕτω ξηρόν, οὐ πόρρω θαλάττης. οὔτε μέγαν ὡς ἐγκεῖσθαι ταῖς τῶν ἀνέμων εἰσβολαῖς, οὔτε πάνυ ταπεινὸν ὡς τὰς ἐκ τῶν ὑποκειμένων πεδίων ἀναθυμιάσεις ἑτοίμως δέχεσθαι. πεφυλάχθω δ' αὐτοῦ ἐστράφθαι πρὸς ἄρκτον. οὕτω γὰρ ἂν ἀπεστραμμένος εἴη τοῦ ἡλίου. εἰ δὲ κἂν τοῖς εὐκράτοις τῆς ὅλης οἰκουμένης ὁ λόφος ὑπάρχει καθάπερ ὁ κατὰ τὰς Ταβίας ἐστίν, ἄμεινον μακρῷ. ἐν τοιούτῳ λόφῳ πόαι μὲν ἔστωσαν, ἄγρωστις, καὶ λωτός, καὶ πολύγονον, καὶ μελισσόφυλλον. θάμνοι δέ, σχῖνος, καὶ κόμαρος, καὶ βάτος, καὶ κισσός, καὶ κύτισος, ὅσοι τ' ἄλλοι τούτοις ἐοίκασιν. οὕτω μὲν οὖν τὰ τοῦ λόφου παρασκευάσθω. τὰ δὲ ζῶα, βόες μὲν εἰσὶν ἐν τῷ κατὰ Ταβίας. καὶ ἔστι τούτου τῶν ζώων παχὺ τὸ γάλα, καθάπερ τὸ τῶν ὄνων λεπτόν. ἐγὼ δ' ἂν καὶ βοῦς καὶ ὄνους καὶ αἶγας ἀφείην ἐπὶ τὰς νομάς, ὥστ' ἔχειν χρῆσθαι γάλακτι παντί. παχεῖ μὲν ἐκ τῶν βοῶν, λεπτῷ δ' ἐκ τῶν ὄνων, μέσῳ δ' ἀμφοῖν ἐκ τῶν αἰγῶν. οἱ παλαιοὶ δὲ καὶ γυναῖκα θηλάζουσαν ἐφίστων τοῖς τῇ φθόῃ κάμνουσι. κἀγὼ ἀποδέχομαι τὴν γνώμην αὐτῶν. ὅτι τε τὸ οἰκεῖον κρεῖττον, καὶ ὅτι πρὶν ψυγῆναι τῷ περιέξ ἀέρι. καί τοι τοῦτ' ἔστω μέγιστον παράγγελμα γάλακτος χρήσεως ἐπὶ πάντων οἷς γάλακτος χρεία, αὐτίκα πίνειν ἀμελχθὲν τῷ ζώῳ παρεστῶτα. προσεπεμβάλλειν δὲ καὶ μέλιτος, ὅπως μὴ τυροῦσθαι πέφυκεν ἐν τῇ γαστρί. εἰ δ' ὑπελθεῖν αὐτό ποτε θάττον βούλοιο, καὶ ἁλῶν. ἐκεῖνος μὲν γε οὖν ὁ νεανίας ἐκ τοῦ λοιμώδους νόσου κατὰ τὴν ἀρτηρίαν ἕλκος ἔχων, ὑγιὴς ἐγένετο, καὶ ἄλλοι μετ' αὐτοῦ ὁμοίως. Ἑτέρῳ δὲ μειρακίῳ περὶ ἔτος ὀκτωκαιδέκατον, ἐκ κατάῤῥου πλείοσιν ἡμέραις γενομένου, τὰ μὲν πρῶτα μετὰ βηχὸς αἷμα θερμὸν ἐξαναθὲν οὐ πολύ, μετὰ δὲ ταῦτα, ἀνεπτύσθη τι καὶ τοῦ χιτῶνος αὐτοῦ μέρος. ὃς ὑπαλείφων ἔνδοθεν τὴν ἀρτηρίαν εἰς τὴν φάρυγγά τε καὶ τὸ στόμα, διὰ τοῦ λάρυγγος ἀνεφέρετο. ἐδόκει δέ μοι τῷ τε πάχει τεκμαιρομένῳ, καὶ τῇ τοῦ κάμνοντος αἰσθήσει τοῦ λάρυγγος ὑπάρχειν τὸ ἔνδοθεν σῶμα. καὶ μέν τοι καὶ ἐβλάβη τοὐντεῦθεν εἰς τὴν φωνὴν ὁ ἄνθρωπος. ἀλλὰ καὶ οὕτως ἐν χρόνῳ μὲν πλείονι διεσώθη καὶ αὐτός. οἱ δ' ἐκ τοῦ λοιμοῦ ῥᾳδίως ὑγιάζεσθαί μοι δοκοῦσι τῷ προεξηράνθαι τε καὶ προεκκεκαθάρθαι σύμπαν τὸ σῶμα. καὶ γὰρ ἔμετος τισὶν αὐτῶν ἐγένετο, καὶ ἡ γαστὴρ ἅπασιν ἐταράχθη. καὶ οὕτως ἤδη κεκενωμένοις τοῖς σώζεσθαι μέλλουσιν, ἐξανθήματα μέλανα διὰ παντὸς τοῦ σώματος ἀθρόως ἐπεφαίνετο. τοῖς πλείστοις μὲν ἑλκώδη, πᾶσι δὲ ξηρά. καὶ ἦν εὔδηλον εἰδόντι τοῦ σεσηπότος ἐν τοῖς πυρετοῖς αἵματος εἶναι τοῦτο λείψανον. οἷον τέφραν τινά, τῆς φύσεως ὠθούσης ἐπὶ τὸ δέρμα, καθάπερ ἄλλα πολλὰ τῶν περιττῶν. οὐ μὴν ἐδέησέ γε πρὸς τὰ τοιαῦτα τῶν ἐξανθημάτων φαρμάκου. καθῄσαιτο γὰρ αὐτόματα τρόπῳ τῷδε. τινῶν μὲν οἷς γε καὶ ἡλκώθη, τὸ ἐπιπολῆς ἀπέπιπτεν, ὅπερ ὀνομάζουσιν ἐφελκίδα. κἀντεῦθεν ἤδη τὸ λοιπὸν ἐγγὺς ἦν ὑγείας. καὶ μετὰ μίαν ἢ δύο ἡμέρας ἐπουλοῦτο. τινῶν δὲ οἷς οὐχ ἡλκώθη, τὸ μὲν ἐξάνθημα τραχύ τε καὶ ψωρῶδες ἦν. ἀνέπιπτε δὲ οἷόν τι λέμμα. κἀκ τούτου πάντες ὑγιεῖς ἐγίγνοντο. θαυμαστὸν οὖν οὐδὲν εἰ καὶ κατὰ τὸν πνεύμονα τοιούτων ἐξανθημάτων γεγενημένων, ἐσώζοντο διὰ τὴν ξηρότητα τῶν ἑλκῶν. ὧν γὰρ ἂν ἐπὶ τῶν ἄλλων ἑλκῶν ἁπάντων ὁ πρόσθεν λόγος ἐδείκνυε σκοπὸν εἶναι τῆς θεραπείας, τοῦθ' ὑπῆρχεν ἤδη τοῖς ἐκ τοῦ λοιμοῦ γεγενημένοις. ἅπαντα γὰρ ἦν ξηρὰ καὶ τραχέα. τὰ μὲν πλεῖστα, ψωρά. τινὰ δ' αὐτῶν, καὶ λέπραις παραπλήσια. μαρτυρούσης οὖν τῷ λόγῳ τῆς πείρας, καὶ τοῖς ἕλκεσιν ἕνα τοῦτον ἔχουσι σκοπὸν τῆς ἰάσεως τὸ ξηρανθῆναι. δύναιτ' ἄν τις σώζειν παμπόλλους τῶν αἷμα πτυσάντων ἐκ πνεύμονος, ὥσπερ καὶ ἡμεῖς ἐσώσαμεν. ὅπως μὲν οὖν χρὴ θεραπεύειν, οἷς ἀγγεῖον ἀξιόλογον ἐῤῥάγη κατενεχθεῖσιν, ἢ μέγα βοήσασιν, ἢ βάρος ἀραμένοις ὑπὲρ τὴν δύναμιν, ἢ τινὸς ἐμπεσόντος τῷ θώρακι, σκληροῦ καὶ μεγάλου ἔξωθεν σώματος, εἴρηται πρόσθεν. ὡς δ' ἄν τις κάλλιστα καὶ τοὺς ἐπὶ κατάῤῥου πτύσαντας αἷμα μεταχειρίζοιτο, νῦν εἰρήσεται, σαφηνείας ἕνεκα προχειρησαμένων ἡμῶν, ἣν ἐποιησάμεθα θεραπείαν ἐν ῥώμῃ γυναικὸς τῶν ἐν τέλει. αὕτη γὰρ ἀκηκοῦια λόγων τοιούτων οἵους νῦν διεληλύθαμεν ὑπὲρ τῶν ἐκ πνεύμονος αἷμα πτυσάντων, εἴτ' ἐκ κατάῤῥου τινός, ἢ βηχὸς ἰσχυρᾶς, ὀλίγον τι πτύσασα διὰ νυκτός, ἔπεμψεν αὐτίκα πρός με παρέχειν ἑαυτὴν φάσκουσα πᾶν ὅτι ἂν ἐθέλοιμι πράττειν. ἀκηκόει δὲ κατὰ τοὺς ἔμπροσθεν χρόνους, ὡς εἰ μή τις αὐτίκα βοηθήσειε δραστικῶς πρὶν ἢ φλεγμῆναι τὸ ἕλκος, οὐδὲν ἀνύσει. καὶ ὡς τοῦτ' ἂν εἴη μάλιστα τὸ αἴτιον τοῦ διαφθείρεσθαι τοὺς ἀναβήξαντας τὸ αἷμα. φλέβα μὲν οὖν τεμεῖν αὐτῆς οὐκ ἠξίωσα, τετάρτων ἡμερῶν ἤδη διὰ τὸν κατάῤῥουν ὀλίγου δεῖν ἀσίτου γεγενημένης. κλύσματι δὲ δριμεῖ κελεύσας χρήσασθαι, καὶ τρίψασθαί τε τὰ σκέλη καὶ τὰς χεῖρας ἐπὶ πλεῖστον ἅμα φαρμάκῳ θερμαίνοντι, καὶ διαδήσας, εἶτα ξυρήσας τὴν κεφαλὴν ἐπέθηκα τὸ διὰ τῆς κόπρου τῶν ἀγρίων περιστερῶν φάρμακον. ὡρῶν δὲ μεταξὺ τριῶν γενομένων,

ἐπὶ τὸ

ἐπὶ τὸ βαλανεῖον ἤγαγον. καὶ λούσας ἄνευ τοῦ ψαῦσαι λίπους τῆς κεφαλῆς, εἶτα σκεπάσας αὐτὴν συμμέτρῳ πίλῳ, πρὸς τὴν ἐνεστηκυῖαν ὥραν ἔθρεψα ῥοφήματι μόνῳ, τῷ αὐστηρῶν ὀπωρῶν ἐπιδιδούς. εἶθ' ὑπνοῦν μελλούσῃ, τὸ διὰ τῶν ἐχιδνῶν ἔδωκα φάρμακον, ὡς πρὸ τεττάρων μηνῶν ἐσκευασμένον. ἔτι γὰρ ἔχει τὸ τῆς μήκωνος ὀπὸν ἰσχυρὸν τὸ τοιοῦτον. ἐν δὲ τοῖς κεχρονικόσιν, ἐξίτηλος γίνεται. διὰ τοῦτ' οὖν ὑπνῶδές τέ ἐστι, καὶ ξηραίνει τὰ ῥεύματα σὺν τῷ καὶ παχύνειν ἀτρέμα. ἐπαύσατο μὲν οὖν ἤδη τελέως τοῦ καταῤῥοῦ, δῆλος μὲν οὖν ὁ πνεύμων ἦν, ἔκ τε τοῦ τῆς ἀναπνοῆς εἴδους, καὶ τοῦ ψόφου τῆς γινομένης ἅπαξ ποτὲ βηχός, ἐκκαθάρσεως δεόμενος. οὐ μὴν συνέπραξά γε εἰς τοῦτο κατὰ τὴν δευτέραν ἡμέραν. ἀλλ' ἐφ' ἡσυχίας τε καὶ σιγῆς ἁπάσης τὴν γυναῖκα φυλάξας, καὶ τρίψας τὰ κῶλα καὶ διαδήσας, ἐκέλευσα καὶ τἆλλα πάντα μέρη τρίψασθαι, πλὴν τῆς κεφαλῆς. ἔτι γὰρ ἦν ἀπὸ τοῦ φαρμάκου θερμή. αὖθις δὲ εἰς τὴν ἑσπέραν ἔδωκα τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου μέγεθος, ὅσον γε ὁ παρ' ἡμῖν κύαμος. ἦν δὲ πολὺ τούτου μεῖζον, ὃ κατὰ τὴν προτέραν εἰλήφει. ὡς δὲ καὶ ταύτῃ τῇ νυκτὶ καλῶς ἐκοιμήθη, τῇ τρίτῃ τῶν ἡμερῶν, ἕωθεν δοὺς μέλιτος ἑψημένου συχνόν, ἐφ' ἡσυχίας ἐφύλαξα. προηκούσης δὲ τῆς ἡμέρας, ἅπαν ὁμοίως τρίψας τὸ σῶμα, τροφὴν ἐκέλευσα λαβεῖν πτισάνης χυλὸν σὺν ἄρτῳ βραχεῖ. κἄπειτα τῇ τετάρτῃ τῶν ἡμερῶν ἕωθεν μὲν τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου, ἀκμαίου κατὰ τὴν ἡλικίαν ἅμα σὺν χρηστῷ μέλιτι προσέδωκα. τῇ κεφαλῇ δὲ τοῦ αὐτοῦ φαρμάκου πάλιν ἐπιθείς, ὃ θερμαίνει τε καὶ ξηραίνει σφοδρῶς. εἶτα λούσας καὶ θρέψας μετρίως, ἐκκαθαίρειν ἤδη σφοδρότερον ἐπεχείρησα τὸν πνεύμονα τῇ πέμπτῃ τῶν ἡμερῶν. εἶτ' αὖθις καὶ αὖθις ἐχρησάμην ἐκ διαλειμμάτων. κατὰ μὲν τῆς κεφαλῆς τῇ συνήθει κηρωτῇ, τῇ διὰ τῆς θαψίας. τὴν δ' ὅλην τοῦ σώματος ἐπιμέλειαν ἀναθρεπτικὴν ἐποιησάμην ἐν αἰωρήσεσι, καὶ τρίψεσι, καὶ περιπάτοις, καὶ λουτροῖς, καὶ διαίτῃ μετρίᾳ τε ἅμα καὶ εὐχύμῳ. αὕτη καλῶς ἔχει ἡ γυνὴ μὴ δεηθεῖσα τοῦ γάλακτος. ἄλλον δέ τινα νεανίσκον οὐκ ἐκ καταῤῥοῦ τῆς βηχὸς ὁρμηθείσης, ἀλλ' ἐπὶ ψύξει τῶν ἀναπνευστικῶν, αἷμα καὶ αὐτὸν πτύσαντα πλῆθος ὅσον ἥμισυ κοτύλης, παραχρῆμα μὲν ἐφλεβοτόμησα. καὶ δὶς τῆς αὐτῆς ἡμέρας ἐπαφεῖλον. εἶτα δὶς κατὰ τὴν ὑστεραίαν. τρίψει δὲ τῶν κώλων καὶ δεσμῷ ἐν τῇ πρώτῃ χρησάμενος, εἰς ἑσπέραν ἔδωκα τὸ διὰ τῶν σπερμάτων ἡμέτερον φάρμακον. ἐν δὲ τῇ δευτέρᾳ μετὰ τὴν ἐπαφαίρεσιν, ἐπέθηκα παντὶ τῷ θώρακι τὴν διὰ τῆς θαψίας κηρωτήν. εἶτ' ἄρας αὐτὴν εἰς ἑσπέραν ὅπως μὴ θερμαίνει πλέον τοῦ δέοντος, ἐν τῇ τρίτῃ πάλιν ἐπιθεὶς ὥραις που τρισίν, ἔλουσα τὸν ἄνθρωπον, ἔθρεψά τε ταῖς τρισὶν ἡμέραις παραπλησίως. ῥοφήματα μὲν ἐν ταῖς πρώταις δύο, τῇ τρίτῃ δὲ χυλὸν μὲν πτισάνης προσδούς, ἰχθὺν δέ τινα τῶν πετραίων δι' ὕδατος ἁπλῶς ἡψημένον, ἔδωκα δὲ καὶ τὸ διὰ τῶν σπερμάτων φάρμακον. ἐν δὲ τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ τῶν ἡμερῶν, ὁμοίως εἰς ἑσπέραν. ὑπνοποιόν τε γάρ ἐστι, καὶ ἀνώδυνον, καὶ ξηραντικόν. ἤδη δὲ καὶ τῶν ἀναπνευστικῶν ἐν εὐκρασίᾳ τῇ κατὰ φύσιν ὄντων, καὶ τοῦ παντὸς σώματος κεκενωμένου, καὶ μηδὲ μιᾶς ὑποψίας φλεγμονῆς ὑπολειπομένης κατὰ τὸ ἐῤῥωγὸς ἀγγεῖον, ἀνακαθαίρειν ἠρξάμην. εἶτα πίνοντα τὸ διὰ τῶν ἐχιδνῶν φάρμακον ἀκμαῖον κατὰ τὴν ἡλικίαν, ἐπὶ τὰς Σταβίας ἐξέπεμψα. ἅπαντας οὕτως ἐγὼ τοὺς κατὰ τὴν πρώτην ἡμέραν ἑαυτοὺς ἡμῖν ἐγχειρίσαντας ἰασάμην. οὐ μὴν τούς γε μετὰ δύο ἢ τρεῖς ἅπαντας, ἀλλ' ἔνιοί τινες αὐτῶν ἀνίατον ἔσχον τὸ ἕλκος. ὅσοι δ' ἔφθασαν οὕτω φλεγμήναντες ὡς πυρέξαι, τούτων οὐδεὶς ἐθεραπεύθη τελέως. ἀλλ' ὅσοι μετὰ ταῦτα διὰ πάντων ὀρθῶς τῶν βοηθημάτων διεξῆλθον ὡς ξηρανθῆναι τὸ ἕλκος, ἐκέρδησαν οὗτοι τοσοῦτον, ὡς μήτ' ἐπινέμεσθαι, μήτε μεῖζον γίγνεσθαι. ξηρανθὲν δὲ καὶ τυλωθέν, ἐπέτρεψαι χρόνῳ πλείονι ζῆσαι τὸν ἄνθρωπον. μόνοι δὲ ἀνιάτως διακεῖσθαί μοι δοκοῦσι τῶν ἕλκος ἐν πνεύμονι ἐχόντων, οἱ διὰ κακοχυμίαν τινὰ ἀναβρωθέντες, ὧν ἔνιοι καὶ τοῦ σιάλου φασίν, ὥσπερ ἅλμης αἰσθάνεσθαι. χρόνου μὲν γὰρ οἶμαι πάντως δεῖν μακροῦ, πρὸς τὴν τῆς κακοχυμίας ἐπανόρθωσιν. ἀνάγκη δ' ἐν τῷ χρόνῳ δυοῖν θάτερον. ἢ ξηραινόμενον τὸ ἕλκος τυλωθῆναι καὶ διὰ τοῦτ' ἀνίατον γενέσθαι παντάπασιν, ἢ μὴ ξηραινόμενον, αὐτῷ τε πρῶτον ἀκριβεχθῆναι σηπεδονώδες ἐπινέμεσθαί τε τὰ πέριξ, καὶ οὕτως ἐν χρόνῳ διασήψαι τὸν πνεύμονα. πολλοὶ δὲ τῶν ἐσχηκότων τοιαύτην κακοχυμίαν ἤδη βηττόντων ἐξ αὐτῆς, οὐ μὴν τοι γ' ἐπτυκότων οὐδέπω τὸ αἷμα τῆς παρ' ἡμῶν τυχόντων προνοίας εἰς τέλος ὑγιάσθησαν. Χρὴ δὲ ἐν ἀρχῇ μὲν οὐδενὸς οὕτως, ὡς τοῦ μήτε βήττειν αὐτοὺς φροντίσαι, μήτ' ἐκ τῆς κεφαλῆς καταῤῥεῖν τι εἰς τὸν πνεύμονα. καὶ γίνεται τοῦτο τρισὶ βοηθήμασι. καθάρσει μὲν πρώτῳ, δευτέρῳ δὲ τῷ διὰ τῶν σπερμάτων φαρμάκῳ. τρίτῳ δὲ τῇ προνοίᾳ τῆς κεφαλῆς. δεῖ δὲ τὸ μὲν καθαῖρον εἶναι μικτὸν, ἐκ διαφερουσῶν δυνάμεων οἷά πέρ ἐστι τὰ ἡμέτερα καταπότια, δι' ἀλόης, καὶ σκαμμωνίας, καὶ κολοκυνθίδος, καὶ ἀγαρικοῦ, καὶ βδελλίου, καὶ κόμεως ἀῤῥαβικοῦ συγκείμενα, πρὸς τὸ πλείονας ἰδέας ἐκκαθαίρειν τῶν περιττωμάτων. ἱκανὸν δὲ ὠφελῆσαι καὶ τὸ χωρὶς κόμεως. ὕστερον δ' ἂν δέῃσῃ, καὶ τοῖς τὰ μέλανα καθαίρουσι χρήσαιο. τὴν δὲ τῆς κεφαλῆς πρόνοιαν ἐπιτρέψαι τῇ διὰ θαψίας κηρωτῇ, ταῦτα μὲν ἐν ἀρχῇ ποιητέον ἐστίν. ἐφεξῆς δὲ ἀνατρέφειν χρηστοῖς εὐχύμοις ἐδέσμασι, καὶ τρίψεσι, καὶ περιπάτοις, καὶ λουτροῖς. εἰρήσεται δὲ ἡ περὶ τὰ τοιαῦτα μέθοδος ἐν τῷ προσήκοντι χωρίῳ τῆς συγγραφῆς, ὁποῖοι οὗτοι μάλιστα δέονται τοῦ γάλακτος. ἀμελησάντων δὲ πάντων, ἀνιατώτατοι γίνονται. περὶ δὲ φλεβοτομίας αὐτῶν, ὧδε χρὴ γινώσκειν. ὅσοι μὲν ἂν δόξωσιν ὀλίγον ἔχειν αἷμα καθ' ὃν εἴρηκα τρόπον, εἰς εὐχυμίαν τινὰ προσαγαγὼν αὐτούς, φλεβοτομῆσαι τε δυνήσῃ καὶ πάλιν ἀναθρέψαι. καὶ πάλιν καθᾶραι. καὶ αὖθις ἀναθρέψαι. καὶ αὖθις εἰ δέῃσει φλεβοτομῆσαι. καὶ μάλιστα ὅτῳ ἐστὶν οἷον ἰλύς τις μοχθηρὰ καὶ παχεῖα τὸ σύμπαν αἷμα. τοὺς δ' ἰσχυρούς τε καὶ πολυαίμους, εὐθὺς ἐξ ἀρχῆς φλεβοτομεῖν. οὐδὲν ὧν εἶπον οὔτε νῦν, οὔτε πρόσθεν, ὧν ἂν ἢ αὐτὸς ἐξεῦρον, ἢ κατὰ τὴν Ἱπποκράτους ὁδὸν ἐχρησάμην, ἀβασάνιστόν ἐστιν οὐδ' ἄκριτον, ἀλλ' ὑπὸ τῆς πείρας ἅπαντα κέκριται. τὸν μὲν τῆς ἀτυχίας κίνδυνον ὑμῶν ὑπομεινάντων, τὸν καρπὸν δὲ τῆς χρήσεως ἑξόντων ἁπάντων οἷς ἂν μέλῃ τῶν ἔργων τῆς τέχνης. ἄλλοι μὲν γάρ εἰσιν οἱ ἀληθεῖς, ἄλλοι δὲ οἱ τῶν σοφιστῶν λόγοι. καὶ τί δεῖ λέγειν περὶ τῶν σοφιστῶν, ὅπου καὶ τῶν ἀξιολόγων ἰατρῶν ἔνιοι ὅλα γράψαντες βιβλία περὶ αἵματος ἀναγωγῆς, ἄλλα μὲν πολλὰ καὶ μικρὰ καλῶς διεξῆλθον, οὐδενὸς δὲ τῶν μεγίστων ἐμνημόνευσαν. οὐκ ἐννοοῦντες ὡς μὲν διὰ τὰ πολλὰ καὶ σμικρά, τὰ καλῶς παρ' αὐτῶν προειρημένα, μακρὸς ὁ θάνατος αὖθις τοῖς κάμνουσι γίνεται. διὰ δὲ τρία ταῦτα σώζονται.

πάντων οἱ συνθῆναι δυνάμενοι. διὰ φλεβοτομίαν, καὶ κάθαρσιν, καὶ τὰ ῥωννῦντα τὴν κεφαλὴν φάρμακα. εἰρήσεται δὲ τελεώτερον ἐν τοῖς ἑξῆς περὶ φλεβοτομίας ὅταν ὑπὲρ τῆς τῶν χυμῶν θεραπείας διερχώμεθα. μὴ τοίνυν ὥσπερ ἔνιοι τῶν ἰατρῶν ἀπὸ τῶν μικρῶν ἄρχεσθαι βοηθημάτων. μὴ δ' ὅπερ ἐκεῖνοι λέγουσιν ἐννοεῖν ὡς ἀποπειρατέον ἐστὶ τούτων πρότερον, εἶτ' εἴπερ ἀνύει μηδὲν ἐπιτίθεσθαι τοῖς μείζοσιν. ἐπὶ μὲν γὰρ τῶν ἀκινδύνων παθῶν, ἀληθὴς ἡ τοιαύτη δόξα, τεθνηξομένου δὲ πάντως τοῦ κάμνοντος ἐὰν εἰς ἀρχὴν κατασταίη φθόης, ἀλογώτατόν ἐστιν ἀπὸ τῶν μικροτέρων ἄρχεσθαι. τά τε γὰρ ἄλλα πάντα καλῶς ὑφ' Ἱπποκράτους εἴρηται. καὶ σὺν αὐτοῖς, ὁ ἀφορισμὸς ὅδε. εἰς δὲ τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι εἰς ἀκριβείην κράτισται. Τί ποτ' οὖν Ἐρασιστράτῳ δόξαν ἀργῶς τε καὶ ῥᾳθύμως ἐν ἀρχῇ τῶν τοιούτων παθῶν γιγνόμενος, ἐπιμελὴς αὖθις ἐστιν, ὅτε οὐδὲν ὄφελος. φλεβοτομία γὰρ οὐδ' ὅλως ἐπ' οὐδενὸς ἐφ' αἵματος ἀναγωγῇ χρῆται, λογισμῷ φαυλοτάτῳ πιστεύσας. ἐκάθηρέ τε οὐδένα, καθάπερ οὐδὲ τὴν κεφαλὴν ἐξήρανεν. ἅπερ εἴ τις ἐξέλοι τῶν κινδυνευόντων ἁλῶναι φθόῃ, κἂν τἄλλα πάντα διέλθοι καλῶς, οὐδὲν οἶμαι πλέον ἀνύσει. φλεβοτομίαν γὰρ παραιτεῖται, δεσμοῖς μόνοις χρώμενος ἐπὶ τῶν κώλων ὑπὲρ ἀντισπάσεως. ἵν' ὡς αὐτός φησιν εἰς τὸν τῆς φλεγμονῆς καιρὸν ἔχωμεν αὐταρκὲς αἷμα, καὶ μὴ διὰ τὴν ἔνδειαν αὐτοῦ τρέφειν ἀναγκαζώμεθα τὸν ἄρρωστον. ἀλλ' ὦ γενναιότατε, φαίη τις ἂν οἶμαι πρὸς αὐτόν, ἐὰν φθάσῃ φλεγμῆναι πνεύμων ἐπ' ἀγγείου ῥήξει, μηκέτι ἐλπίζε τοῦτον ἰαθήσεσθαι δι' οὓς ὀλίγον ἔμπροσθεν εἶπον λογισμούς. ὥστ' οὐδὲν ἔτι σου χρήζει, προδοθεὶς ἐν ἀρχῇ. παραπλήσιον γάρ τι ποιεῖς κυβερνήτῃ δι' ἀμέλειαν περιτρέψαντι τὸ πλοῖον. εἶτ' ἐγχειρίζοντι σανίδας τῶν πλωτήρων τινὶ καὶ συμβουλεύοντι διὰ ταύτης πορίζεσθαι τὴν σωτηρίαν. ἀλλ' ἴσως Ἐρασίστρατος ἡγεῖτο τῶν ἐξ ἀνάγκης ἑπομένων τραύμασιν εἶναι τὴν φλεγμονήν, ἀγνοεῖ δ' εἴπερ οὕτω γιγνώσκει μεγάλα. πάρεστι γοῦν θεάσασθαι τῶν βουλομένων μυρίους τῶν ὁσημέραι μονομαχούντων, ἄνευ φλεγμονῆς τραύματα μέγιστα κολληθέντας. ὥστε τῇ δευτέρᾳ ἢ τῇ τετάρτῃ τῶν ἡμερῶν ἐν ἀσφαλείᾳ ἁπάσῃ καθεστηκέναι. παμπόλλους δὲ καὶ ἡμεῖς ἐθεραπεύσαμεν ἀγγεῖον ἐν πνεύμονι ῥήξαντας ἐκ καταπτώσεως, ἢ ἐκπλήξεως, ἢ βοῆς, πρὶν φλεγμῆναι τὸ ῥαγέν. εἰ δὲ καὶ τοῦτον φύσει φλεγμῆναι τὸν πνεύμονα, τοῖς ἑαυτοῦ μάχεται δόγμασιν. ἅμα μὲν φλεγμαίνειν λέγων κύριον σπλάγχνον ἐγγυτάτω κείμενον καρδίας, ἅμα δ' ἀπύρετον φαίνεσθαι τὸν ἄνθρωπον. ἔτι τε λυθείσης τῆς φλεγμονῆς, μηδὲν ἀναπτυσθῆναι. ἀντακουσάτω τοιγαροῦν παρ' ἡμῶν ὡς οὐκ ἔνι κολληθῆναι τὸ ἕλκος οἷόν τ' ἐστίν, ἐὰν ὁ πνεύμων φλεγμαίνῃ. καὶ πάντως πυρέξει, φλεγμήναντος. ἀναπτύσεταί θ' ἑξῆς σὺν βηχὶ πυώδη πτύσματα λυομένης τῆς φλεγμονῆς. ἐὰν τοίνυν μήτε πυρέξῃ, μήτε βήξῃ, μήτε ἀναπτύσῃ τι τῶν ἐφ' ἕλκει καὶ φλεγμονῇ ἰχώρων, τίνα νοῦν ἔχει φλεγμῆναι φάναι τοῦτον τὸν πνεύμονα. τοῦτό τε οὖν τὸ βοήθημα μέγιστον ὑπάρχον, οὐκ ὀρθῶς παρ' αὐτοῦ κατέγνωσται. τούτῳ τ' ἐφεξῆς ἡ κάθαρσις ἀμνημόνευτος ἔασται, καὶ φάρμακον ἀγωνιστικὸν οὐδὲν εἴρηται τῷ ἀνδρὶ κατ' οὐδὲν γένος τῶν προειρημένων. ἀλλ' ἐάν τε κεφαλὴ πέμπει τὸ ῥεῦμα, φυλαχθήσεται πέμπουσα. ἐάν τε διὰ δυσκρασίαν αὐτῶν τῶν ἀναπνευστικῶν γίγνηται ἡ βήξ, καὶ αὐτὴ φυλαχθήσεται. παραπλήσιος γοῦν ἐστιν ὁ Ἐρασίστρατος ἀγαλματοποιῷ. τὰ μὲν ἄλλα πάντα κοσμήσαντι, τυφλὸν δ' ἐργασαμένῳ τὸ ἄγαλμα. τί γὰρ ὄφελος τοῦ λοιποῦ κάλλους, ὀφθαλμῶν μὴ παρόντων. εἶτα τῶν τηλικούτων ἀνδρῶν μέγιστα σφαλλομένων, ὁ θαυμασιώτατος Θεσσαλὸς οὐδ' ἐννοήσας τὴν τέχνην, ἀξιώσει μεθοδικὸς ὀνομάζεσθαι. καὶ νῦν ὁρῶμεν σχεδὸν ἅπαντας τοὺς ἀπ' αὐτοῦ φλεβοτομοῦντας, ἄλλους τε πολλοὺς τῶν καμνόντων. οἷς οὐχ ὅπως ὠφέλιμον, ἀλλὰ καὶ βλαβερὸν ἐχρῆν ὑπειλῆφθαι τὸ βοήθημα. φυλαττόντων γε αὐτῶν τὰς οἰκείας ὑποθέσεις. οὐχ ἥκιστα δὲ καὶ τοὺς αἷμα πτύσαντας. εἴτε σὺν ἐμέτοις εἴτε σὺν βηχὶ ὅταν ὦσιν ἰσχυροὶ τὴν δύναμιν. εἶτα πῶς ἀλλήλοις ὁμολογεῖ ταῦτα, τὸ φλεβοτομεῖν τινὰ τῶν αἷμα πτυσάντων, αὐτοὺς ἐν τοῖς ἰδίοις συγγράμμασι γράφοντας τοῖς στεγνοῖς πάθεσιν ἐπιτήδειον εἶναι τὸ βοήθημα. μὴ τοίνυν ἔτι μηδὲ μεθοδικοὺς ἑαυτοὺς ὀνομαζέτωσαν, ἀλλ' ἐμπειρικοὺς οἱ πρόσθεν τὸν λόγον ὃν ἐνόμιζον ὑπάρχειν ὑγιῆ, τῇ πείρᾳ χρῶνται πρὸς τὴν τῶν βοηθημάτων εὕρεσιν. ἀλλ' οὖν ἐν τούτοις μὲν ἐναργῶς ἐξελέγχονται μηδέν, μήτε μεθόδῳ, μήθ' ὅλως λόγῳ τινὶ πράττοντες. ἐν οἷς δὲ τὰ μέρη φασὶν ὑπάρχειν ἄχρηστα πρὸς τὴν τῆς θεραπείας εὕρεσιν, οὐ πολὺ μᾶλλον. καὶ μὴν εἴ τις ἀναμνησθείη τῶν εἰρημένων ἡμῖν ἐπὶ ὤτων, καὶ μυκτήρων, καὶ ὀφθαλμῶν, καὶ στόματος, καὶ θώρακος, καὶ πνεύμονος. ἔτι τε μήτρας, καὶ κύστεως, καὶ τῶν κατὰ τὴν γαστέρα, τοῦ παντὸς ἁμαρτάνοντες φανοῦνται. τοιοῦτος γοῦν καὶ ὁ τῷ Μακεδονικῷ φαρμάκῳ χρώμενος ἐπ' αἰδοίου φλεγμαίνοντος ἅμα τῷ χαλαστικῷ καταπλάσματι, τῷ συνήθει τούτῳ τῷ δι' ἄρτου καὶ ὑδρελαίου σκευαζομένῳ. καί τις ἄλλος αὐτῷ παραπλήσιος, ἐφ' ἕδρας ἡλκωμένης τοῖς αὐτοῖς χρώμενος. ἀλλ' ἐν τοῖς περὶ τῶν φλεγμονῶν λόγοις, ὑπὲρ τῶν τοιούτων ἐροῦμεν. ἕλκη δὲ χωρὶς φλεγμονῆς ἐν αἰδοίῳ καὶ ἕδρᾳ, καταπλάσματος μὲν οὐδενὸς δεῖται, φαρμάκου δ' ἐπουλοῦντος. οὐ μὰ Δία τοιούτου τὴν φύσιν, οἷον εἰς οὐλὴν ἄγει τὰ κατὰ τὰς σάρκας ἕλκη, ἀλλ' εἰς τοσοῦτον ξηροτέρου τὴν δύναμιν, εἰς ὅσον ἐστὶ καὶ τὰ μόρια ξηρότερα σαρκός. καὶ τό γε θαυμασιώτερον αὐτῶν τῶν ἐν αἰδοίῳ συνισταμένων ἑλκῶν, ἐπεὶ μᾶλλον δεῖται ξηραίνεσθαι, τά τε τοῦ καυλοῦ σύμπαντος, ὅσα τε ἐκτὸς αὐτοῦ κατὰ τὸ πέρας ἐστίν, ὃ προσαγορεύουσι βάλανον. ἧττον δὲ τούτων χρήζει ξηραινόντων φαρμάκων, ὅσα τῆς πόσθης ἐστὶν ἕλκη. κἀκ τούτων ἔθ' ἧττον ὅσα κατὰ τοῦ λοιποῦ δέρματος ὃ περὶ σύμπαν ἐστὶ τὸ αἰδοῖον. ὑγρόν οὖν ποθ' ἕλκος ἐπὶ τῆς βαλάνου τῶν ἀμεθόδων ἰατρῶν τις, οὗτος δὴ τῶν Θεσσαλείων, μὴ δυνάμενος ἰάσασθαι τούτοις τοῖς ἐπουλωτικοῖς ὀνομαζομένοις φαρμάκοις, εἰς συμβουλὴν ἡμᾶς παρεκάλεσεν. ἀκούσας οὖν ὅτι πολὺ ξηροτέρου δεῖται φαρμάκου τὸ μόριον τοῦτο, παρ' ὅσον ἐστὶ καὶ φύσει ξηρότερον, ἠπίστει μὲν τὸ πρῶτον. ὡς δ' ὑπ' ἀνάγκης εἰς τὸ χρήσασθαί τινι τῶν ἡμετέρων ἀφίκετο, τρισὶ μὲν ἡμέραις ὑγιάσθη τὸ ἕλκος. εὔδηλος δὲ ἦν ὁ ἰατρὸς οὐ τοσοῦτον χαίρων ἐπὶ τῷ θεραπεῦσαι τὸν ἄνθρωπον, ὅσον ἀνιώμενος ἐπὶ τῷ πονηρᾷ συντετράφθαι δογμάτων αἱρέσει. τὸ γάρ τοι διὰ χάρτου κεκαυμένου, τοῦτο δὴ τὸ συνηθὲς ἡμῖν, ἰᾶται τὰ τοιαῦτα τῶν ἑλκῶν. ὥσπερ γε καὶ ἄνηθον κεκαυμένον ὁμοίως ἐπιπαττόμενον. καὶ κολοκύνθη δὲ ξηρὰ κεκαυμένη κατὰ τὸν αὐτὸν τρόπον. ἄλλα τε πολλὰ τῶν ὄντως ἰσχυρῶς ξηραινόντων φαρμάκων. ὅσα δ' ἀνίκμα τῶν τοιούτων

ἑλκῶν ἐστὶ καὶ πρόσφατα, τούτοις καὶ ἡ ἀλόη μόνη φάρμακον ἀγαθόν. ἐπιπάττεται δὲ χνοώδης ξηρά. αὕτη δὲ καὶ τὰ περὶ τὴν ἕδραν ἕλκη τὰ ξηρὰ θεραπεύει καλῶς. ὁμοιοτάτην δ' αὐτῇ δύναμιν ἔχει καὶ καδμεία διὰ οἴνου πεπλυμένη ξηρά. καὶ ταύτης ἐγγύς ἐστιν ἡ καλουμένη λιθάργυρος. εἶθ' ἑξῆς ἡ μολύβδαινα. πάντων δ' αὐτῶν κυνωδυνώτατόν τε καὶ οὐδενὸς ἧττον δραστήριον ὁ πομφόλυξ ἐστίν. εἰ δ' ὑγρότερα τύχοι, πίτυος τε φλοιὸς αὐτὸς καθ' ἑαυτόν. ὅ, τε λίθος ὁ αἱματίτης ὀνομαζόμενος. εἰ δὲ καὶ βάθος αὐτοῖς συνείη τι, μετὰ τὸ ξηρᾶναι τῶν εἰρημένων τινὶ μάννης αὐτοῖς, ὅσον τοῦτον μικτέον, ὅσον αὐταρκὲς εἰς γένεσιν σαρκός. τούτων τε οὖν οὐδὲν οὐδὲ ὄναρ ἴσασιν, οἱ ἀπὸ τῆς ἀμεθοδωτάτης αἱρέσεως ἅπαν ἕλκος ἡγούμενοι τῆς αὐτῆς δεῖσθαι θεραπείας, ἐν ὥσπερ ἂν ᾖ τοῦ ζώου μορίῳ. καὶ πρὸς τούτοις ἔτι μὴ δ' ὅπως χρὴ ῥάπτειν αὐτῶν ἔνια, καθάπερ, εἰ τύχοι, τὰ κατ' ἐπιγάστριον. ὑπὲρ ὧν ἐν τῷ μετὰ ταῦτα λόγῳ λεχθήσεται σὺν τοῖς ὑπολοίποις ἅπασι.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

Ὅτι δ' ὅτι μηκύνειν δόξω τισὶν ἐν γένος ἓν νοσήματος ἐξηγούμενος, ὅπως χρὴ θεραπεύεσθαι μεθόδῳ. προσήκει δ' αὐτοὺς οὐκ ἐμοὶ τοῦ μήκους ἐγκαλεῖν, ἀλλὰ τοῖς ἃ μὴ δ' ὅλως ἔγνωσαν ὑφ' Ἱπποκράτους ὀρθῶς εἰρημένα, διαβάλλειν ἐπιχειρήσασιν. οὓς οὐδ' ἕλκος ἰᾶσθαι καλῶς ἐπισταμένους ἔδειξα, μή τοί γε δὴ τῶν ἄλλων τι τῶν μειζόνων. αὐτὸ μὲν οὖν τὸ γένος τοῦ πάθους, οὗ τῶν εἰδῶν ἕν ἐστι τὸ ἕλκος, εἴτε συνεχείας λύσιν, εἴθ' ἑνώσεως ὀνομάζοι τις, οὐ διοίσει δ' ἔλεικται. ὅτι καθ' ἕκαστον μέλος τοῦ σώματος, ἡ μέθοδος τῆς θεραπείας αὐτοῦ, τὰς μὲν ἐξ αὐτοῦ τοῦ πάθους ἐνδείξεις, φυλάττει κοινάς, ἐπικτᾶται δ' ἀπὸ τοῦ μέρους, ἄλλοτε ἄλλας. ἐν μὲν γὰρ τοῖς σαρκώδεσι μορίοις ἐπιγιγνόμενον, ὀνομάζεται μὲν ἕλκος, ἔχει δὲ τὸν μὲν κοινὸν σκοπόν, ἁπάντων τῶν παρὰ φύσιν, ἀναίρεσιν ἑαυτοῦ, τὸν δ' ὡς διαιρέσεως, τὸν διὰ τῶν ἐναντίων. τὸν δ' ὡς διαιρέσεως, ἕνωσιν. ἡ γάρ τοι τοῦ νοσήματος τοῦδε γένεσις, ἐν τῇ διαιρέσει τῆς ἑνώσεως ἐστί. καὶ διὰ τοῦτο, περὶ μὲν τὸ ὀστοῦν, ὀνομάζεται κάταγμα. περὶ δὲ τὰς νευρώδεις ἶνας, σπάσμα. περὶ δὲ τοὺς μῦς, ἕλκος τε καὶ ῥῆγμα, προσέρχεται δ' αὐτῷ ἡ διαφορά. νεύρῳ μέντοι καὶ ἀρτηρίᾳ καὶ φλεβὶ ταυτὸν τοῦτο τὸ πάθος ἐγγινόμενον, οὐδὲν ἴδιον ὄνομα κέκτηται. συγχεῖται δ' ἐνίοτε μὲν τῇ τοῦ ἕλκους, ἔστι δ' ὅτε τῇ τοῦ τραύματος ἢ ῥήξεως προσηγορίᾳ. ἀλλ' ὅτι βραχύ τι χρὴ φροντίζειν ὀνομάτων, ὅτῳ περ σπουδὴ τῶν πραγμάτων αὐτῶν ἐξευρίσκειν τὴν ἐπιστήμην, εἴρηταί μοι πολλάκις. ἐπὶ ταύτην οὖν σπεύδωμεν ἀμελήσαντες τῶν ὀνομάτων. οὐδὲ γὰρ ἐκ τῆς τούτων ἀκριβοῦς θέσεως, ἀλλ' ἐκ τῶν προσηκόντων ἰαμάτων, οἱ κάμνοντες ὀνίνανται. πάλιν οὖν ἀναμνηστέον, ὡς ὁ σεμνηρότατος Θεσσαλὸς οὐδὲ μίαν εἰπὼν μέθοδον ἑλκῶν ἰάσεως, οἴεται πάσας εἰρηκέναι. τὸ γάρ, εἰ οὕτως ἔτυχε, τὸ μὲν κοῖλον ἕλκος δεῖσθαι σαρκώσεως, τὸ δ' ἁπλοῦν κολλήσεως, οὐδὲ τοὺς ἰδιώτας λανθάνει, πῶς δ' ἄν τις εὕροι μεθόδῳ φάρμακα δι' ὧν ἤτοι σαρκωθήσεται τὸ κοῖλον, ἢ κολληθήσεται τὸ ἁπλοῦν ἕλκος, οὐκέτι οὐδεὶς ἰδιώτης ἐπίσταται. καὶ τοῦτ' ἐστὶν ὃ πρόκειται σκοπεῖσθαι τοῖς ἰατροῖς. κἂν τούτῳ βελτίων ἐστὶν ἕτερος ἑτέρου. καὶ γὰρ εὑρήσει φάρμακα, καὶ τοῖς εὑρημένοις ὀρθῶς χρήσεται, καθάπερ ἐδείκνυμεν ἐν τοῖς ἔμπροσθεν, ὁ γεγυμνασμένος ἐν τῇ θεραπευτικῇ μεθόδῳ. ἵνα γὰρ ἤδη τινὸς ἐχώμεθα τῶν ἀκολούθων τοῖς ἔμπροσθεν, ὑποκείσθω τις ἥκων πρὸς ἡμᾶς νενυγμένος αὐτὸ μόνον τὸ δέρμα βελόνῃ, τοῦτον τὸν ἄνθρωπον, εἰ μὲν εὐελκὴς εἴη, κἂν χωρὶς φαρμάκου γυμνὸν ἔχοντα τὸ μέλος, ἐπὶ τὰς συνήθεις ἀφίκηται πράξεις, οὐδὲν πείσεται φαῦλον. εἰ δὲ δυσελκὴς εἴη, πρῶτα μὲν ὀδυνήσεται, μετὰ ταῦτα δ' ἤδη καὶ σφύξει, καὶ φλεγμαίνει τὸ μέρος. ὁ μὲν οὖν ἐμπειρικός, ἐξ ἀνακρίσεως εἴσεται τὴν φύσιν τοῦ ἀνθρώπου. ἡμεῖς δὲ κἀκ ταύτης μὲν ἅπασί γε χρώμενοι τοῖς ἐκ τῆς πείρας εὑρισκομένοις, οὐδὲν δὲ ἧττον καὶ ἐξ ὧν ἔχομεν γνωρισμάτων εὐχύμου καὶ κακοχύμου φύσεως. εὐαισθήτου τε καὶ δυσαισθήτου. πληθωρικῆς τε καὶ συμμέτρως ἐχούσης χυμῶν. εὖ εἰδότες ὡς ὁ μὲν πληθωρικός, ἢ κακόχυμος, ἢ εὐαίσθητος, ἢ τινὰ τούτων, ἢ πάντα ἔχων, φλεγμαίνει. ὅτῳ δ' ὑπάρχει τἀναντία, δεινὸν οὐδὲν πείσεται. καὶ ταῦτα προγνῶντες, οὐ μὰ Δία τὸ κολλητικὸν ἐπιθήσομεν φάρμακον, ὁποῖα τὰ πλεῖστα τῶν καλουμένων ἐναίμων ἐστίν, ἃ προσφάτοις ἐπιτίθενται τραύμασιν, ἀλλὰ μαλακόν τε καὶ παρηγορικὸν καὶ ἀνώδυνον. ἔνθα μὲν γὰρ ἡ διαίρεσις ἡ μεγάλη, σπουδὴν χρὴ ποιεῖσθαι ξηραντικωτέροις φαρμάκοις, εἰς σύμφυσίν τε καὶ ἕνωσιν ἄγειν τὰ χείλη τοῦ ἕλκους. ἔνθα δ' ἐκ βελόνης ἢ γραφίου διαίρεσις, ἑνὸς μόνου χρὴ φροντίζειν τοῦ μὴ φλεγμῆναι. κἂν τοῦτο δὲ δῆλον ὡς ὁ γεγραμμένος ὑπὸ Θεσσαλοῦ σκοπὸς τῶν ἐναίμων ἑλκῶν, οὐδὲν ἡμᾶς οὐδέπω διδάσκει πλέον, οὗ καὶ τοῖς ἰδιώταις μέτεστιν. οὐ γὰρ ὃ χρὴ ποιεῖσθαι γιγνώσκειν μέγα, φύσει γε ὑπάρχον ἅπασιν ἀνθρώποις, δι' ὧν δ' ἄν τις αὐτὸ ποιήσειεν ἐπίστασθαι, τῶν τεχνικῶν ἐστι. καὶ γὰρ εἰ ναῦν τις μέλλει πήξεσθαι καλῶς, ἴσμεν δή που καὶ ἡμεῖς ἅπαντες οὐκ ὄντες ναυπηγοί, ποῦ μὲν χρὴ τάξαι τὰ πηδάλια, ποῦ δὲ τὴν πρύμναν, καὶ τὴν πρῷραν, ἕκαστόν τε τῶν ἄλλων. ἀλλ' οὐδὲν ἡμῖν πλέον πρόσεστιν, ἀγνοοῦσι πῶς αὐτὰ δημιουργήσομεν. οὕτω δὲ καὶ οἰκίαν κατασκευαζόμενός τις, οὐκ ἀγνοεῖ δήπουθεν, οὔθ' ὡς πρῶτα χρὴ θέσθαι τὰ θεμέλια τῶν τοίχων, οὔθ' ὡς ἐπ' αὐτοῖς καὶ ἀκλινεῖς ἐγεῖραι τοὺς τοίχους, οὔθ' ὡς κατὰ τοῦτον πήξασθαι τὴν ὀροφήν, οὔθ' ὡς θύρας τε καὶ θυρίδας, ἕκαστόν τε τῶν ἄλλων μερῶν τῆς οἰκίας, ἐν οἰκείῳ τάξαι χωρίῳ. οὐ μὴν οὐδὲν τοῦτο πλέον οὐδὲν εἰς οἰκίας κατασκευὴν ἄχρι περ ἂν ἀμαθὴς ὑπάρχων οἰκοδομικῆς, ἀγνοεῖ δημιουργεῖν αὐτά. μόνῳ τοίνυν τῶν ἁπάντων ἀνθρώπων σοφωτάτῳ ἀρκεῖ Θεσσαλῷ πρὸς ἐπιστήμην τεχνικήν, ὃ χρὴ ποιῆσαι γινώσκειν. ἀλλ' ἡμεῖς καὶ διὰ τῶν ἔμπροσθεν ἐδείξαμεν, ὡς ἀρχὴ μέν τίς ἐστι τοῦτο τῶν κατὰ τὰς τέχνας πράξεων, οὔπω μὴν ἴδιον οὐδὲν αὐτῶν μόριον. ἀλλ' ἔτι κοινὸν ἰδιώταις ἅπασιν. αἱ γὰρ ἐνδείξεις αἱ πρῶται κατὰ πᾶσαν τέχνην, φύσει πᾶσιν ἀνθρώποις ὑπάρχουσιν.

ὥστε εἴπερ εἰσὶν ἱκανοὶ τεχνίτας αὐτοὺς ποιεῖν, οὐδὲν κωλύει καὶ ναυπηγεῖν ἡμᾶς, καὶ τεκταίνεσθαι, καὶ δύνασθαι πάντας ὑποδήματά τε κατασκευάζειν, καὶ ἱμάτια, καὶ οἰκίας, ἀρχιτεκτονεῖν τε καὶ κιθαρίζειν, καὶ ῥητορεύειν. ἀλλ᾽ οὐχ οὕτως ἔχει τὸ ἀληθές. οὐδ᾽ ὁ γινώσκων ὅτι τῷ τρωθέντι μορίῳ τὴν κατὰ φύσιν ἕνωσιν ἐκποριστέον ἰατρός ἐστιν, ἀλλ᾽ ὁ δι᾽ ὧν ἐκποριεῖσθαι ἐπίσταται. καί τοι γε οὐδὲ τοῦτ᾽ αὐτὸ μόνον ἱκανόν, ἐὰν ἀγνοῇ τις ὅπως χρηστέον αὐτοῖς ἐστιν, ἀλλ᾽ ὁ τὴν ὁδὸν ἅπασαν ἐπιστάμενος τῆς θεραπείας ἄχρι τοῦ τυχεῖν τοῦ σκοποῦ, μόνος οὗτός ἐστιν ὁ γινώσκων ἰᾶσθαι. συμβαίνει τοιγαροῦν γε τοῖς ἀμεθόδοις θεσσαλείοις ἐξ ὧν μείζω τολμῶσιν ἢ δύνανται, μηδὲ τῶν δυνατῶν ἐφικνεῖσθαι. γραφέως γοῦν τινὸς φάρυγγος εἰς τὴν χεῖρα πληγέντος, ὡς διαιρεθῆναι μὲν ὅλον τὸ δέρμα, νυχθῆναι δέ τι τῶν ὑποκειμένων αὐτῷ νεύρων, ἐν ἀρχῇ μὲν ἐπέθηκεν ἔμπλαστόν τι φάρμακον ὁ σοφώτατος θεσσάλειος, ᾧ πολλάκις ἐπὶ μεγίστων τραυμάτων εὐδοκίμει χρώμενος. ὥσπερ γὰρ οἶμαι τῆς αὐτῆς δεῖσθαι θεραπείας ἅπαν τραῦμα. φλεγμονῆς δ᾽ ἐπιγενομένης, ἐπὶ τὸ δι᾽ ἀλεύρου πυρίνου κατάπλασμα μεταβάς, ἐν τούτῳ τε σήπων τὸν ἄνθρωπον, ἀπέκτεινεν ἐντὸς τῆς ἑβδόμης ἡμέρας. οὐδ᾽ ἀριθμήσασθαι δυνατὸν ὅσοι παθόντες ἀπέθανον, εἰς τὰς παιωνείας χεῖρας ἐμπεσόντων αὐτῶν. ἵνα δηλαδὴ σώζηται τὸ θεσσάλειον θέσπισμα, πᾶν ἕλκος ἔναιμον ὁμοίως θεραπευθῆναι, μηδὲν τῶν πεπονθότων μορίων συνενδεικνυμένων. ἀλλ᾽ οὐχ ἥ γε ὄντως μέθοδος εἰς τοσοῦτον ἀμέθοδός ἐστιν εἰς ὅσον ἡ θεσσάλειος. εὑρίσκειν δὲ δύναται καὶ νῦν ἔτι μετὰ τοσούτους τε καὶ τηλικούτους ἰατρούς, οὐ μόνον φάρμακα βελτίω τῶν ἔμπροσθεν, ἀλλὰ καὶ τὸν σύμπαντα τῆς θεραπείας τρόπον. οὐδεὶς γοῦν χρώμενος εὐθὺς ἐξ ἀρχῆς οἷς ἡμεῖς εὕρομεν φαρμάκοις, ἐπὶ νεύρων τρώσεσιν ἐσπάσθη. κατεγνώκεσαν γὰρ ὡς ἐπειδὰν νυγῇ νεῦρον, ἀναγκαῖον αὐτῷ διὰ περιττὸν τῆς αἰσθήσεως, ὀδυνᾶσθαί τε μεῖζον ἢ τἄλλα, καὶ φλεγμαίνειν ἐξ ἀνάγκης, εἰ μή τις ἐξεύροι ἄκος τῶν ὀδυνῶν, ἐπίσχοι τε τὴν γένεσιν τῆς φλεγμονῆς. εὔλογον οὖν ἐφαίνετό μοι τὴν μὲν τοῦ δέρματος τρῶσιν, ἀκόλλητον φυλάττειν, ὅπως ἐκρέοιεν δι᾽ αὐτῆς οἱ ἐκ τῆς τοῦ νεύρου τρώσεως ἰχῶρες, ἀπερίττον δ᾽ ἐργάζεσθαι τὸ σύμπαν σῶμα, καὶ τοῦ μηδεμίαν ὀδύνην ἐπιγίνεσθαι τῷ τετρωμένῳ μορίῳ, μεγάλην ποιεῖσθαι φροντίδα. καὶ τοίνυν ἐξεῦρον οὐκ ὀλίγα φάρμακα ἐπὶ τοῦ τραύματος ἐπιτιθέμενα, πρὸς ἄμφω θαυμαστῶς παρεσκευασμένα. τό τε τὴν ὀδύνην ἰᾶσθαι, καὶ τὴν ἐκροὴν ἀνασομοῦν τοῖς ἰχῶρσιν. ἀσφαλέστερον δ᾽ ἂν εἴη καὶ προσανατέμνειν τὸ δέρμα. τὸ δ᾽ ὅλον σῶμα διὰ φλεβοτομίας ἐκκενοῦν, ἐρρωμένης τῆς δυνάμεως. εἰ δ᾽ εἴη κακόχυμον, ἐκκαθαίρειν αὐτίκα. τὸ δὲ τὰς ἄλλας φλεγμονὰς ἱκανῶς παραμυθούμενον, ὕδωρ θερμόν, πολεμιώτατον ἡγεῖσθαι νεύρου τρώσει. γεγενημένης τε τῆς οὐσίας αὐτοῦ, ἐπὶ ψύξιν τε καὶ πῆξιν ἐξ ὑγροτέρας ὕλης. ἅπασαι γὰρ αἱ τοιαῦται συστάσεις, ὑπὸ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων ἅμα, διαλύονταί τε καὶ σήπονται. τοῦ μὲν οὖν ὕδατος τοῦ θερμοῦ, παντάπασιν ἀπέχου τοὺς οὕτω τρωθέντας. ἐλαίῳ δὲ καταιονᾷν, ἄμεινον εἴη κρίνας θερμῷ. διότι καὶ τοῦτο ἀποδέδεικταί μοι ψυχρὸν μὲν προσφερόμενον, ἐμπλάττειν. θερμὸν δέ, διαφορεῖν. ἔφυγον μὲν οὖν καὶ τοῦτο τό, τε ὠμοτριβὲς ὀνομαζόμενον, καὶ ὅλως τὸ στύφον. εἱλόμην δὲ τὸ λεπτομερέστατον, οἷόν περ ἐστὶ τὸ σαβῖνον. ἄμεινον δὲ εἴη εἰ καὶ δυοῖν ἢ τριῶν ἐτῶν εἴη. διαφορητικώτερον γὰρ τοῦτο τοῦ προσφάτου. τὸ δ᾽ ἔτι παλαιότερον, ἀεὶ μὲν καὶ μᾶλλον ἑαυτοῦ γίνεται διαφορητικώτερον, ἀνώδυνον δὲ ἧττον. ἐν δὲ τοῖς φαρμάκοις ἐθέμην σκοπόν, ὧν ἡ δύναμις λεπτομερής τε ἐστί, καὶ θερμὴ συμμέτρως, καὶ ξηραίνειν ἀλύπως ἱκανή. μόνη γὰρ αὕτη δύναιτ᾽ ἂν ἐκ βάθους ἕλκειν ἰχῶρας ἄνευ τοῦ συντείνειν καὶ δάκνειν τὸ μόριον. ἐχρησάμην δὲ πρῶτον μὲν τῇ τερμινθίνῃ ῥητίνῃ, καθ᾽ ἑαυτήν τε καὶ βραχὺ προσμίξας εὐφορβίου. καθ᾽ ἑαυτὴν μὲν ἐπί τε παίδων καὶ γυναικῶν, καὶ ὅλως τῶν ἁπαλοσάρκων. σὺν εὐφορβίῳ δέ, ἐπὶ τῶν σκληροσάρκων. οὕτω καὶ πρόπολιν καθ᾽ ἑαυτήν τε καὶ σὺν εὐφορβίῳ μαλάττων αὐτήν, εἴπερ δ᾽ εἴη σκληροτέρα, σύν τινι τῶν λεπτομερῶν ἐλαίων. καὶ σαγαπηνῷ δὲ ἐχρησάμην ἐπὶ τὰ σκληρὰ σώματα μετ᾽ ἐλαίου τε καὶ τῇ τερεβινθίνῃ μιγνύς. καὶ ὀποπάνακί τε ἐπὶ τὸν αὐτὸν τρόπον, ὡς καὶ τῷ σαγαπηνῷ. δοκεῖ δέ μοι καὶ ὁ κυρηναῖος ὀπὸς ὀνήσειν, εἴ τις δι᾽ αὐτοῦ σκευάσοι φάρμακον ἔμπλαστον ὁποῖον ἡμεῖς τὸ δι᾽ εὐφορβίου συνεθήκαμεν, ἀλλ᾽ οὐδέπω τοῦθ᾽ ἡμῖν ἐκρίθη τῇ πείρᾳ καθάπερ τὰ ἄλλα σύμπαντα. χρὴ γὰρ ἡγεῖσθαι μὲν τὴν ἐκ τῆς ἀληθινῆς μεθόδου τῶν ἰαμάτων εὕρεσιν, ἐπιμαρτυρεῖν δ᾽ αὐτῇ καὶ τὴν πεῖραν εἰς ἀκριβεστέραν πίστιν. ἐκ γοῦν τῆς τοιαύτης μεθόδου, καὶ τὸ θεῖον τὸ ἄπυρον, ὅταν γε μὴ λιθῶδες ἀλλ᾽ ἱκανῶς ὑπάρχῃ λεπτομερές, ἠλπίσαμεν ὀνήσειν τοὺς τὰ νεῦρα τρωθέντας εἰς τοσοῦτον ἐλαίῳ λεπτομερεῖ μιγνύντες, ὡς ἐργάσασθαι γλοιῶδες τὸ μικτὸν ἐξ ἀμφοῖν. ἐπὶ δὲ τῶν ἰσχυροτέρων τε καὶ σκληροτέρων σωμάτων, εἰ καὶ μελιτώδες ἐργάσαιο τῇ συστάσει, καὶ οὕτως ὀνήσεις. ἐκρίθη γοῦν καὶ τοῦτο τῇ πείρᾳ. καὶ τὴν πεπλυμένην δὲ τίτανον ἐπιγνοήσαμεν, ὁμοίως μιγνύντες ἐλαίῳ, προσφέρειν αὐτοῖς. καὶ μᾶλλόν γε ὀνίνησιν ἐπειδὰν θαλάττῃ πλυθῇ. καλλίστη δὲ ἡ πλύσις, ὥρᾳ θέρους ἐν τοῖς ὑπὸ κύνα καύμασιν. εἰ δὲ καὶ δὶς αὐτὴν ἢ τρὶς ἐκπλύναις, ἄμεινον ἐργάσῃ τὸ φάρμακον. ὅπως δὲ χρὴ σκευάζειν τὰ τοιαῦτα, διὰ τῶν περὶ φαρμάκων συνθέσεως ὑπομνημάτων εἴρηται. νυνὶ δὲ ἀρκέσει μοι λεχθῆναι τοσοῦτον, ὡς καὶ ταῦτα καὶ τἄλλα πλείω φάρμακα πρὸς νεύρων τρώσεις ἐξεῦρον, οὔτε τῶν διδασκάλων τινὰ θεασάμενος χρώμενον, οὔτε ἀναγνοὺς που γεγραμμένα κατά τι θεραπευτικὸν σύγγραμμα τῶν πρεσβυτέρων. ἢ τούτων δή τι τῶν ἐπιγεγραμμένων αὐτοῖς δυνάμεων ἐξ ἰδίας σοφίας, ἀλλ᾽ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως ἐνδεικτικῶς ὁρμηθείς. ὅπερ ἐστὶν ἴδιον ἰατροῦ μεθόδῳ χρωμένου. Θεσσαλὸς δὲ ὁ θαυμασιώτατος οὐδὲν φάρμακον εὑρών, ἐγνῶσθαί φησι τὴν ὕλην αὐτῶν ἐκ πολλοῦ. καὶ μὴν οὐκ ἐγνῶσθαί τι παμπόλλων φαρμάκων ὧν ἡμεῖς εὑρήκαμεν, οὐ μόνον Θεσσαλῷ καὶ τοῖς πρὸ αὐτοῦ πᾶσιν ἰατροῖς, ἀλλ᾽ οὐδὲ τοῖς μετ᾽ αὐτὸν ἄχρι δεῦρο. ὑπαχθεὶς γοῦν ἐγὼ πρός τινα ποτὲ τῶν σηπομένων ὑπὸ Θεσσαλείων ἰατρῶν ἀμεθόδων, καὶ θεασάμενος αὐτὸν μέλλοντα καταπλάττεσθαι τῷ δι᾽ ἀλεύρου πυρίνου καταπλάσματι, μηδὲν ἐν τῷ παραχρῆμα φάρμακον ἔχων, ἢ τιτανοκονίαν σακτήν, ἑωρακὼς ἐκ γειτόνων τοῦ κάμνοντος πηλοποιόν, ἑψήσας δὲ δι᾽ αὐτῆς ἄλευρον κρίθινον, οὐχ ὡς ἐκεῖνοι δι᾽ ὑδρελαίου τὸ πύρινον ἕψουσιν, ἐπέθηκα. καὶ αὖθις ὀρόβινον ἄλευρον ὁμοίως ἑψήσας, ἐπὶ

φλεγμαίνοντός τε καὶ σηπομένου τοῦ νεύρου, διὰ τὰς κακὰς αὐτῶν θεραπείας ἐπιτεθεὶς, ἔπαυσα ταύτης τῆς σηπεδόνος τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τῶν φλεγμαινόντων καὶ σηπομένων, ἕτερος μὲν λόγος ἐκδέχεται μακρὸς, ἐν ἰδίῳ καιρῷ τῆς πραγματείας. τῆς δὲ τοῦ νεύρου τρώσεως, ἀρκεῖ τὰ εἰρημένα φάρμακα. καὶ πάμπολλοί γε τῶν εὑρημένων ἡμῖν ἑνὶ χρῶνται μάλιστα τῷ δι' εὐφορβίου καὶ κηροῦ καὶ φρυκτῆς ῥητίνης ἐμπλαστῷ φαρμάκῳ. εἶτα οὐκ οἶδ' ὅπως ἔνιοι μὲν ἔμιξαν αὐτῷ σινώπιδος, ἔνιοι δ' ὤχρας, ὑπὲρ τοῦ χρωσθὲν ἐκ τίνων σύγκειται λανθάνειν. ἵνα μὴ δοκῇ εἶναι τὸ ἐμὸν, φθονοῦντες. οὐ μὴν ὑπ' ἐμοῦ γε ἐξ ἀρχῆς οὕτως συνετέθη. τινὲς δ' ἂν ἴσως αὐτῷ μίξειαν ἁλὸς ἄνθος, ἤ τι τοιοῦτον ἕτερον, ὃ καὶ τὴν χροιὰν ὑπαλλάξει, καὶ τὴν δύναμιν οὐ βλάψει. δύναιτο δ' ἄν τις ὑπ' ἀγνοίας μίξαι τι καὶ τοιοῦτον, ὅπερ βλάψει τὴν δύναμιν. Ἀλλ' ἡμεῖς γε συνεθήκαμεν αὐτὸ διὰ κηροῦ, καὶ ῥητίνης τερμινθίνης, καὶ πίττης, καὶ εὐφορβίου. τοῦ μὲν κηροῦ, βάλλοντες μέρος ἕν. τῆς τερμινθίνης δὲ καὶ τῆς πίττης ἑκατέρας, ἥμισυ. ὥστε τὸ ἐξ ἀμφοῖν ἴσον εἶναι τῷ κηρῷ. δύναιτο δ' ἄν ποτε καὶ πλέον γίγνεσθαι τὸ ἐξ ἀμφοῖν τοῦ κηροῦ. δύναιτο δ' ἂν καὶ τὸ ἕτερον αὐτῶν μόνον, μίγνυσθαι τῷ κηρῷ. καὶ μέντοι καὶ μὴ παρούσης τερμινθίνης, ἥ τ' ἐκ τῶν κεραμίων ὑγρὰ, καὶ ἡ φρυκτὴ καλῶς ἂν μιχθεῖεν. οὐδὲν δὲ ἧττον αὐτῶν καὶ ἐλατίνη μιγνύοιτ' ἄν. ἡ δὲ στροβιλίνη, μόνων τῶν σκληρῶν σωμάτων ἐστὶ φάρμακον. ἐπὶ δὲ τῶν μαλακωτέρων, οὐ χρὴ μιγνύειν. εἰ μὲν οὖν ὑγρὰ ῥητίνη μιγνύοιτο, κόψας καὶ διασείσας τὸ εὐφόρβιον, ἀναμίγνυε τοῖς ἄλλοις τακεῖσιν. ἔστω δὲ ὁ σταθμὸς αὐτοῦ τὸ δωδέκατον μέρος τοῦ κηροῦ, καί ποτε καὶ πλέον, εἰ βούλοιο ποιεῖν ἰσχυρότερον. εἰ δὲ ξηρὰ, καθάπερ ἡ φρυκτὴ, δεήσεται βραχέος ἐλαίου τὸ εὐφόρβιον. ὥστ' ἐγώ γε τηνικαῦτα, λεῖον αὐτὸ σὺν ἐλαίῳ καὶ γλοιῶδες ἐργαζόμενος ἐψυγμένοις τοῖς ἄλλοις μετὰ τὸ τακῆναι, ξύσας μιγνύω, πολλάκις δὲ καὶ ὕδατος ἔμιξα σκευαζομένῳ τῷ φαρμάκῳ, τοσοῦτον ὅσον ἐν αὐτῷ τῷ τήκεσθαι τὰ μιγνύμενα, δαπανηθῆναί τε δύνασθαι, καὶ ἀφανισθῆναι τελέως. ἀλλὰ τὰ μὲν τοιαῦτα σύμπαντα, τῆς περὶ φαρμάκων πραγματείας ἐστὶν οἰκειότερα. νυνὶ δ' ἀρκεῖ καθάπερ ἔμπροσθεν ἐποιήσαμεν, ὁποῖον εἶναι χρὴ τὸ γένος τῶν φαρμάκων δηλώσαντες, ὀλίγα προσθεῖναι τῶν κατὰ μέρος, ἕνεκα παραδείγματος. ἄφθονον γὰρ ἁπάντων τὴν ὕλην, ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων ἔχεις πραγματείᾳ. σκευάζειν δ' ὡς ἐν τῇ περὶ συνθέσεως αὐτῶν εἴρηται. νῦν οὖν ἀρκεῖ τοσοῦτον εἰπόντι μόνον, ἐπ' ἄλλα μεταβαίνειν. Ἡ τοῦ τετρωμένου νεύρου θεραπεία, φαρμάκων δεῖται. θερμασίαν μὲν ἐγειρόντων χλιαρὰν, ξηραινόντων δ' ἱκανῶς. καὶ τῇ φύσει δὲ τῆς οὐσίας ἑλκτικῶν τε ἅμα καὶ λεπτομερῶν. οὐ μόνον δὲ εἰς εὕρεσιν φαρμάκων τε καὶ διαιτημάτων ἡ θεραπευτικὴ μέθοδος ἐπιτήδειόν ἐστιν, ἀλλὰ καὶ εἰς τὴν τῶν εὑρημένων χρῆσιν. ὥσπερ γὰρ ἐν τοῖς ἔμπροσθεν ἐδείκνυμεν, οὐδὲ τῷ τυχόντι φαρμάκῳ τῶν πρὸς ἕλκη, καλῶς δύνασθαι χρήσασθαι τὸν ἄνευ μεθόδου μεταχειριζόμενον αὐτὰ, τὸν αὐτὸν τρόπον ἔνεστι καὶ νῦν ἐπιδεικνύναι. γνωρίζειν γὰρ εἰς ὅσον εἴτε ἐξήρανεν, ἢ ἐθέρμηνεν, ἢ παρηγόρησεν, ἢ ἠρέθισε τὴν διάθεσιν ἡ τοῦ φαρμάκου προσφορὰ, μόνος ὁ κατὰ μέθοδον ἰατρεύων, ἱκανός ἐστιν. οὗτος δ' αὐτὸς οἶδε μόνος, ἥντιν' ἐπιτεῖναι τὴν ἐξ ἀρχῆς χρῆσιν, ἢ ἐκλῦσαι. τὸ γοῦν δι' εὐφορβίου φάρμακον ἐπιθείς τις παραχρῆμα νευροτρώτῳ, πολλάκις δὲ ἄρα πρόσθεν εὐδοκιμοῦντος αὐτοῦ πεπείρατο, τριταῖον ἐπεδείκνυέ μοι τὸ τετρωμένον μόριον, ὀδυνώμενόν τε ἅμα καὶ φλεγμαῖνον, ἀπορῶν ὅπως οὐδὲν ὤνησε τὸ φάρμακον. ἠρόμην οὖν τὸν τετρωμένον, εἰ θερμασίας τινὸς οἷον ἐξ ἡλίου πραέος ᾔσθετο, τῇ πρώτῃ τῶν ἡμερῶν ἐπιβληθέντος αὐτοῦ. ὁ δὲ ἀπεκρίνατο μηδενὸς ᾐσθῆσθαι τοιούτου. πάλιν οὖν ἠρόμην τὸν ἰατρὸν ἐκ πόσου τε χρόνου τὸ φάρμακον ἐσκευασμένον ἔχει, καὶ τίνας αὐτῷ θεραπεύσειεν. ὁ δὲ τὸν μὲν χρόνον, ἐνιαυτοῦ πλέονα. τοὺς δὲ θεραπευθέντας, ἔλεγε δύο μὲν παῖδας, ἓν δὲ μειράκιον εἶναι. πυθομένου δέ μου καὶ περὶ τῆς τοῦ μειρακίου ἕξεως τῆς κατὰ τὸ σῶμα, λευκὸν ἔφρασεν αὐτὸ καὶ μαλακὸν εἶναι. τούτων ἀκούσας ἐγὼ, καὶ συνεὶς ἐλλείπειν ὡς πρὸς τὴν τοῦ παρόντος νεανίσκου κρᾶσιν τὸ εὐφόρβιον, αἰτήσας τε τὸ ἐμπλαστὸν φάρμακον, καὶ τὸ εὐφόρβιον ἀνελόμενος, ὅσον ἤλπιζον αὐτάρκως αὐτῶν ἀλλήλοις μιχθήσεσθαι, μαλάττειν μὲν ταῖν χεροῖν ἐκέλευσα τὸ φάρμακον, ἀκριβῶς δὲ λειῶσαι τὸ εὐφόρβιον, ὡς δὲ ταῦτα ἐγένετο, μιγνύειν αὐτὰ πρὸς ἄλληλα κελεύσας, εἶτ' αὐτὸς ἐλαίῳ σαβίνῳ ἠρέμα παλαιῷ θερμήνας συμμέτρως, κατήντλησα τὸ τετρωμένον μόριον. ἀνακείρας τε βραχὺ μεμυκυῖαν αὐτοῦ τὴν ὀπὴν τῆς νύξεως, ἐπέθηκα τὸ φάρμακον, ἀσιτῆσαι προστάξας τὸν ἄνθρωπον. εἰς ἑσπέραν τε πάλιν ἐκέλευσα τὸν ἰατρὸν ἐπιλῦσαί τε καὶ χρήσασθαι κατὰ τὸν αὐτὸν τρόπον ἐλαίῳ, καθ' ὃν ἐμὲ χρώμενον ἐθεάσατο. τούτων οὖν γινομένων, ἀνώδυνόν τε ἅμα καὶ ἀφλέγμαντον ἐφάνη κατὰ τὴν ὑστεραίαν τὸ πεπονθὸς μόριον. ἔγνωσάν τε πάντες οἱ παραγινόμενοι τῷ ἔργῳ τῷδε, τὸ πολλάκις ἡμῖν λεγόμενον ἀληθέστατον ὑπάρχειν, ὡς οὐδέν τι μέγα δύναται τὰ φάρμακα, χωρὶς τῶν χρωμένων ἐπιτηδείως αὐτοῖς. τοῦτο δ' αὐτὸ τὸ χρῆσθαι δεξιῶς, εὔδηλον δή που μεθόδῳ γιγνόμενον, οἵαν ἡμεῖς ἤδη πολλάκις ἐν τοῖς πρὸ τοῦδε διήλθομεν ὑπομνήμασιν, ἐπὶ τὸ θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν ἁπάσης χρήσεως φαρμάκων ὡς ἐπὶ κανόνας ἀναφερομένης. ἣν οὐ μόνον οἱ ἀμέθοδοι Θεσσάλειοι μεταχειρίζεσθαι καλῶς ἀδυνατοῦσιν, ἀλλὰ καὶ οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ τοὺς ἄλλους ἰατροὺς, ὅσοι τὰ στοιχεῖα τοῦ σώματος ἢ οὐδ' ὅλως ἐζήτησαν, ἢ ἄλλα παρὰ τῶν εἰρημένων ἔθεντο. περὶ μὲν δὴ τούτων, ἅλις. εἰ δὲ μὴ νυγείη τὸ νεῦρον, ἀλλὰ τρωθείη σαφῶς τῇ τομῇ, σκέπτεσθαι τὴν ῥῶσιν ὁποία τις ἐγένετο. πότερον, ἐγκαρσία τις, ἢ κατὰ τὸ τοῦ νεύρου μῆκος. ὁπόσον τέ τι τοῦ προκειμένου διῄρηται δέρματος. ὑποκείσθω δὴ πρότερον ἀνεπτύχθαι πολὺ τοῦ δέρματος, ὡς γυμνὸν φαίνεσθαι τὸ νεῦρον, ὄρθιον οὐκ ἐγκάρσιον διῃρημένον. οὐ χρὴ τούτῳ τῷ νεύρῳ τῶν εἰρημένων φαρμάκων οὐδὲν προσφέρειν, ὅσα δι' εὐφορβίου καὶ τῶν οὕτω δριμέων ἐμπλαστὰ γίνεται. γεγυμνωμένον γὰρ, οὐκ οἴσει τὴν δύναμιν αὐτῶν, ὥσπερ, ὅτε διὰ μέσου τοῦ δέρματος, ἔφερεν. ἄριστον οὖν τηνικαῦτα τὴν πεπλυμένην τίτανον ἐλαίῳ πλείονι διαλύσαντα χρῆσθαι. ἀγαθὸν δὲ καὶ τὸ διὰ τοῦ πομφόλυγος φάρμακον, ἐν πλείονι ῥοδίνῳ τακέν. ἄμεινον δὲ εἰ καὶ τὸ ῥόδινον εἴη καὶ τοὔλαιον ἄναλον. σκοπὸς γάρ σοι γιγνέσθω τῆς θεραπείας ἁπάσης τοῦ νεύρου γεγυμνωμένου, τὸ ξηραίνειν ἀδηκτότατα. πάνυ δὲ ὀλίγιστα φάρμακα τὸ τοιοῦτο

πέφυκε δρᾶν. ἔστω τοίνυν ἡ τίτανος ἡ τοιαύτη πολλάκις ὕδατι χρηστῷ πεπλυμένη ὥρᾳ θέρους. πεπλύσθω δὲ ὡς εἴρηται καὶ ἡ πομφόλυξ. ὥσπερ οὖν καὶ πέπλυται κατὰ τὸ σύνθετον φάρμακον, ᾧ συνήθως χρώμεθα, πολλὰ καὶ ἄλλα πεπλυμένα δεχόμενον. ὅσα γὰρ ἐκ μετάλλων ἐστὶ, πεπλῦσθαι χρὴ πάντα μέλλοντά γε ξηραίνειν ἀδήκτως. ἀγαθὸν δὲ καὶ τὸ διὰ μέλιτος ἔμπλαστον φάρμακον, ὅταν ἐκ καλλίστου μέλιτος ᾖ. λύειν δὲ καὶ τοῦτο χρὴ ῥοδίνῳ, τά τε ἄλλα καλλίστῳ καὶ τῶν ἁλῶν ἥκιστα μετέχοντι. καὶ τὸν κηρὸν δὲ χρὴ πεπλῦσθαι τὸν εἰς τὰ τοιαῦτα φάρμακα βαλλόμενον. εἰ δὲ καὶ τερμινθίνης τι ῥητίνης μιγνύοιτο, πεπλῦσθαι χρὴ καὶ ταύτην. ἔτι δὲ μᾶλλον εἰ ἄλλης ῥητινώδους. ἐξ ἁπάντων γὰρ ὧν ἂν πλύνῃς φαρμάκων, οἱ δριμεῖς καὶ δακνώδεις ἰχῶρες ἐκκλύζονταί τε καὶ ἀπορρύπτονται. εἰ δ' ἰσχυρὸς ὁ τετρωμένος εἴη καὶ σὺν τούτῳ καὶ ἀπέριττος τὸ σῶμα, δυνατὸν ἐπ' αὐτοῦ χρῆσθαι καὶ τῶν ἰσχυροτέρων φαρμάκων ἐνίοις. ὥσπερ ἐγὼ ποτὲ τοιαύτης τρώσεως γενομένης ἐν καρπῷ ἐπὶ νεανίσκου φιλοσοφοῦντος, εὐέκτου τε τἆλλα καὶ κατωπτηκότος ἐν ἡλίῳ θερινῷ τὸ σῶμα, τὸν πολυείδη τροχίσκον ἀνεὶς σιραίῳ, κἄπειτα χλιάνας ἐφ' ὕδατος θερμοῦ, βάψας ἐν αὐτῷ μοτὸν, ἐπέθηκα. καὶ γὰρ καὶ τοῦτο χρὴ μάλιστα φροντίζειν ἀεὶ, τοῦ μηδὲν τῶν ψαυόντων τῆς τρώσεως ψυχρὸν εἶναι. ἐπειδὴ τὸ πεπονθὸς μόριον αἰσθητικώτατόν ἐστι, καὶ τῇ κυριωτάτῃ τῶν ἀρχῶν συνεχὲς, ἔτι τε τῇ κράσει ψυχρότερον. ἐξ ὧν ἁπάντων ἑτοίμως μὲν ὑπὸ τοῦ ψυχροῦ βλάπτεται, διαδίδωσι δὲ ἐπὶ τὸν ἐγκέφαλον τὸ πάθος. εἰ δὲ καὶ τῶν εἰς μῦς καθηκόντων εἴη, καὶ σπασμὸς ἐπικαλεῖται ῥᾳδίως. ἐδείχθησαν γὰρ οἱ μύες ὄργανα τῆς κατὰ προαίρεσιν κινήσεως. οὕτω δὲ καὶ ἐπὶ τῶν τενόντων προσδόκα γενήσεσθαι διὰ τὰς αὐτὰς αἰτίας. ἀλλὰ τό γε προειρημένον φάρμακον ἐπιθεὶς, τῷ νεανίσκῳ κατά τε τοῦ τραύματος αὐτοῦ, καὶ μέντοι καὶ τῶν ὑποκειμένων μορίων, οὐκ ὀλίγον ἐπιλαμβάνων αὐτῷ τὰ κατὰ μασχάλας καὶ τράχηλον καὶ κεφαλὴν, ἐλαίῳ θερμῷ διέβρεχον ἅπαντα συνεχῶς. ἀφεῖλον δὲ καὶ τοῦ αἵματος αὐτοῦ, σχάσας τὴν φλέβα κατὰ τὴν πρώτην ἡμέραν εὐθέως. ἐν οὖν τῇ τετάρτῃ τῶν ἡμερῶν, οὕτως ὁ νεανίσκος ἔσχε καλῶς, ὥστε ῥυσσὸν καὶ βραχὺ καὶ προσεσταλμένον φαίνεσθαι τὸ ἕλκος. οὐ μὴν ἀλλὰ καὶ προμηθέστερον ἐδόκει μηδὲν νεωτεροποιεῖν ἄχρι τῆς ἑβδόμης, μεθ' ἣν τελέως ἦν ὑγιής. ἐλαίῳ δ' αἰωνᾶν οὐ χρὴ τὸ τοιοῦτον ἕλκος. καὶ μάλιστα ὅταν ὡς νῦν εἴρηται θεραπεύηται. τῇ γὰρ τοῦ τροχίσκου δυνάμει, τὸ ἔλαιον ἐναντίον ἐστὶ καὶ ῥυπαίνει τὸ ἕλκος. οὐ γὰρ δή πού ταυτόν ἐστιν, ἢ γυμνῷ τῷ νεύρῳ προσφέρειν τοὔλαιον, ἢ διὰ προβεβλημένου τοῦ δέρματος. ἀποπλύνειν οὖν αὐτοῦ τοὺς ἰχῶρας, ἔριον μαλακὸν ὑπαλείπτρῳ περιελίττοντας. ἀποβρέχειν δ' εἰ βούλοιο τὸ ἔριον, ὅπως μὴ ξηρῷ ψαύσῃς τοῦ ἕλκους, ἀρκέσει τὸ σίραιον, ὅπερ καὶ ἕψημα καλοῦσι παρ' ἡμῖν ἐπὶ τῆς Ἀσίας συνήθως. ἐν τούτῳ βάψας τὸ ἔριον, εἶτ' ἀποθλίψας, οὕτως ἀπομάττειν τὸ ἕλκος. ἔστω δὲ καὶ αὐτὸ τοῦτο χλιαρὸν ἐν ταῖς πρώταις μάλιστα ἡμέραις. εἰ δὲ πάντα κατὰ γνώμην περαίνοιτο, καὶ οἴνῳ γλυκεῖ βρέχειν ἀκίνδυνον. ἄδηκτος δὲ ὁ γλυκὺς οἶνος ἔστω παντάπασιν. οἷος ὁ Θηραῖός τε καὶ Σκυβελίτης ἐστί. καὶ μετ' αὐτοὺς, ὁ Καρύϊνος ὀνομαζόμενος. ὅσοι δὲ γλυκεῖς τε ἅμα καὶ κιρροὶ τῶν οἴνων εἰσὶν ὥσπερ ὁ Φαλερῖνος, ἀνεπιτήδειοι. δριμεῖς γὰρ ἅπαντές οἱ τοιοῦτοι, καὶ πέρα τοῦ μετρίου θερμοί. ἤδη δὲ εἰς οὐλὴν ἰόντων τῶν ἑλκῶν, ὅσοι λευκοὶ τῶν οἴνων εἰσὶν ἀκριβῶς, καὶ λεπτοὶ, καὶ ὀλιγοφόροι, καὶ ἄνοσμοι, βελτίους τῶν γλυκέων εἰσί. ὕδατος δὲ χρῆσιν ἀεὶ φεῦγε τρωθέντος νεύρου καθάπερ γε καὶ καταπλάσματος χαλαστικοῦ. τῇ δὲ εἰρημένῃ τοῦ τροχίσκου χρήσει πλησίον ἥκει, τὸ διὰ τῆς χαλκίτεως φάρμακον, ᾧ συνήθως χρώμεθα. τετῆχθαι δὲ καὶ τοῦτο χρὴ, θέρους μὲν ῥοδίνῳ, χειμῶνος δὲ σαβίνῳ. γέγραπται δ' ἐν τῷ πρώτῳ περὶ φαρμάκων συνθέσεως. ὁ δὲ πολυείδης τροχίσκος, ἢ κυκλίσκος, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, γιγνώσκεται σχεδὸν ἅπασι. καὶ εἰ μὴ παρείη, τὸν Ἄνδρωνος, ἢ τὸν Πασίωνος ἀντ' αὐτοῦ παραλαμβάνειν. ἢ τὸν ἡμέτερον ἰσχυρότερον ἁπάντων αὐτῶν ὑπάρχοντα. προείρηται δὲ, ὅτι τοῖς μὲν ἰσχυροῖς σώμασι, τὰ ἰσχυρὰ φάρμακα. τοῖς δὲ ἀσθενέσι, τὰ μαλακὰ προσφέρειν χρή. ταῦθ' εὑρίσκει μὲν ἡ ἀληθὴς μέθοδος. ἐπισφραγίζεται δὲ ἡ πεῖρα. Θεσσαλὸς δὲ ἅμα τοῖς ἑαυτοῦ σοφισταῖς ἐφ' ὑψηλοῦ θρόνου καθήμενος, ἐν κριομύξοις ἀνδράσιν, ὡς ὁ Κορκίδας φησὶν, εὐδοκιμήσε κατασκευάζων τῷ λόγῳ παντὸς ἕλκους προσφάτου τὴν αὐτὴν εἶναι θεραπείαν, οὐδεμίαν ἔνδειξιν ἐκ τῆς τοῦ μορίου φύσεως λαμβανούσαν. εἷς δέ τις τῶν ὑπὸ τῆς σοφίας αὐτοῦ κεκομισμένων, θαυμαστὴν ἐξεύρισκε θεραπεία τῶν νευροτρώτων. αὐτίκα γὰρ ὅλα διέκοπτεν ἐξαίφνης αὐτά. μὴ δὲ προειπόντι τῷ τρωθέντι, καί τοι κἀνταῦθ προειδέναι τὴν αἵρεσιν. ἐχρῆν γὰρ ἢ καὶ τοὺς μύας τρωθέντας, καὶ τὰς ἀρτηρίας, καὶ τὰς φλέβας, καὶ πᾶν ὁτιοῦ ἄλλο διακόπτειν ὅλον, ἢ μηδὲ τὸ νεῦρον. ἢ οὕτως ἂν, ὃ φεύγουσι, πράττοντες ἁλίσκονται, διάφορον ἐκ τῶ διαφερόντων μορίων ἔνδειξιν θεραπείας λαμβανόντων. Τούτων μὲν οὖν ἀπαλλαγῶμεν ἤδη. τῆς δ' ἐγκασίας τρώσεως τῶν νεύρων, μνησθῶμεν. ἐφ' οἷς καὶ ὁ κίνδυνος τοῦ σπασθῆναι μείζων τῆς μὲν φλεγμονῆς ἐκ τῶ τετρωμένων ἰνῶν εἰς τὰς ἀτμήτους διαδιδομένης, τοῦ σπασμοῦ δὲ, διὰ τὰς ἀτμήτους γιγνομένου. τὰ μὲν δὴ τ θεραπείας τοῦ ἕλκους, καὶ τούτοις τὰ αὐτά. κενοῦν δ' αἵματος ἀφειδέστερον αὐτῶν, καὶ λεπτότερον ἢ κατ' ἐκνους διαιτᾶν. ἐν ἡσυχίᾳ τε καὶ στρωμνῇ μαλακῇ συνέχειν τὸν ἄνθρωπον, ἐλαίῳ θερμῷ δαψιλῶς χρώμενον ἐπ μασχαλῶν, καὶ τραχήλου, καὶ τενόντων, καὶ συνδέσμων, καὶ κεφαλῆς. εἰ δὲ τῶν ἐν σκέλει νεύρων εἴη τὸ τμηθὲν, ὥσπερ ἐπὶ χειρὸς μασχάλας, οὕτως ἐνθάδε βουβῶνας ἐλαίῳ πολλῷ τέγγειν. ἐπαναβαίνειν δὲ δι' ὅλης τῆς ῥάχεως, ἐπὶ τράχηλόν τε καὶ κεφαλήν. ἡ δὲ θλάσις ἡ τῶν νεύρων, ὅταν μὲν ἅμα τῷ δέρματι θλασθέντι τε καὶ ἑλκωθέντι γίγνηται, φαρμάκων δεῖται. τῶν μὲν τοῦ ξηραίνειν σκοπὸν ἐχόντων κοινὸν, συνάγειν δέ πως καὶ σφίγγειν δυναμένων τὰ διὰ τὴν θλάσιν ἀλλήλων ἀφεστῶτα μόρια. τὰ δὲ χωρὶς τοῦ θλασθῆναι τὸ δέρμα συνεχέστατα, καταντλεῖν ἐλαίῳ θερμῷ διαφορητικῷ. τὴν δ' ὅλην τοῦ σώματος ἐπιμέλειαν ὁμοίαν ποιεῖσθαι. ἅπαξ οὖν εἶδον τοῦτο γιγνόμενον, ἰασάμην τε ταχέως αὐτὸ, διὰ τῆς καταντλήσεως. ἅμα μέν τοι τῷ δέρματι πολλάκις ἐθεασάμην νεῦρα θλασθέντα, καὶ διὰ τὸ συνεχὲς τοῦ συμπτώματος, οἱ ἀθληταὶ τῇ πείρᾳ διδαχθέντες, ἔχουσι κατάπλασμα τὸ δι' ὀξυμέλιτος, καὶ τοῦ τῶν κυάμων ἀλεύρου. καὶ ἔστιν ὄντως ἀγαθὸν φάρμακον. εἰ δ' ὀδύνη τις συνείη τῇ θλάσει, πίττης ὑγρᾶς μιγνύειν, ἕψοντάς τε καλῶς ἐπιτιθέναι θερμόν. ὅταν δὲ ξη-

ραντικωτέρ

ῥυπτικώτερον ἐθέλοις γίγνεσθαι, μιγνύειν ὀρόβων ἄλευρον. καὶ εἰ μᾶλλον βούλοιο ξηραίνειν, ἴρεως τῆς ἰλυρίδος, ἢ μυρσίνης. ἡ δὲ τοῦ παντὸς σώματος ἐπιμέλεια, καὶ τούτοις κοινή. διακοπέντος δὲ ὅλου τοῦ νεύρου, κίνδυνος μὲν οὐκέτι οὐδείς. ἀνάπηρον δ' ἔσται τὸ μόριον. ἡ δὲ ἴασις, κοινὴ τοῖς ἄλλοις ἕλκεσιν, ἣν μόνην ἴσασιν οἱ Θεσσάλειοι. περὶ μὲν δὴ τῶν νεύρων, ἱκανὰ καὶ ταῦτα. τὰς δὲ ἐπιγινομένας αὐτοῖς φλεγμονὰς ὅπως χρὴ θεραπεύειν, ἐν τῷ τῶν φλεγμονῶν λόγῳ διαιρησόμεθα. ὁμοιοτάτην δὲ τοῖς τένουσιν ἔχοντες ἰδέαν οἱ σύνδεσμοι, θεραπείας ἰσχυροτάτης ἀνέχονται. διά τε τὸ μὴ περαίνειν ἐπὶ τὸν ἐγκέφαλον, ἀναίσθητοί τε εἰσίν. τὰ μὲν γὰρ νεῦρα σύμπαντα, τὰ μὲν ἄντικρυς ἐξ αὐτοῦ πέφυκε τοῦ ἐγκεφάλου, τὰ δὲ διὰ τοῦ νωτιαίου. καὶ μήν γε καὶ οἱ τένοντες, ἐπειδὴ σύνθετον αὐτῶν ἐπεδείκνυμεν εἶναι τὴν οὐσίαν ἐκ νεύρου καὶ συνδέσμου. καθ' ὅσον μὲν νεύρου μετέχουσι, κατὰ τοσοῦτον ἐξ ἐγκεφάλου πεφύκασιν, οὐ μὴν ἧττόν γε τῶν νεύρων αὐτῶν ἐπιφέρουσι τοὺς σπασμούς. οἱ σύνδεσμοι δὲ, ἐξ ὀστοῦ πεφυκότες, ὅσοι μὲν στρογγύλοι, νεύροις ἐοίκασι. πολὺ δή τι τῇ σκληρότητι διαφέροντες. ἀλλὰ τῷ λευκοί τε εἶναι καὶ ἄναιμοι, καὶ ἀκοίλιοι, διαλύεσθαί τε εἰς ἶνας, ἡ ὁμοιότης αὐτῶν ἐστι πρός τε τὰ νεῦρα καὶ τοὺς τένοντας. ἔνθα μὲν οὖν στρογγύλοι σύνδεσμοι καὶ τένοντές εἰσι, τοῖς ἀπείροις ἀνατομῆς ὡς νεῦρα φαντάζονται. καὶ μάλισθ' ὅταν ἀγνοῶσιν ὅτι καὶ σκληρότεροι πολὺ τῶν νεύρων εἰσίν. ἔνθα δὲ πλατεῖς, ἐνταῦθ' ὅτι μὲν νεύρων διαφέρουσιν ἐπίστανται, καίτοι γε οὐδὲ τοῦτο πάντες. οὐ μὴν γιγνώσκουσί γε διακρίνειν αὐτοὺς ἀπ' ἀλλήλων. ἀλλὰ σύ γε τὴν φύσιν ἑκάστου τῶν τριῶν μορίων ἐπιστάμενος, ἔτι τε διάπλασιν καὶ θέσιν, ἣν ἔχουσιν ἐν ἅπαντι τῷ σώματι καθ' ἕκαστον μέλος, ἐπειδὰν ποτὲ τύχῃ καθ' ἐκεῖνο τραῦμα γενόμενον, ἑτοίμως γνωριεῖς εἴτε νεῦρόν ἐστι τὸ τετρωμένον, εἴτε σύνδεσμος, εἴτε τένων. περὶ μὲν δὴ τῆς τῶν νεύρων καὶ τενόντων θεραπείας, προείρηται. σύνδεσμος δὲ τρωθεὶς, ὁ μὲν ἐξ ὀστοῦ διήκων εἰς ὀστοῦν, ἀκινδυνότατός ἐστι καὶ πάντη ξηραίνων αὐτὸν ὁποίοις βούλοιο φαρμάκοις, οὐδὲν βλάψεις τὸν ἄνθρωπον. ὁ δ' εἰς μῦν ἐμφυόμενος ὅσον ἀκινδυνότερός ἐστι τένοντος καὶ νεύρου, τοσοῦτον τῶν ἄλλων συνδέσμων σφαλερώτερος, ἢν μὴ χρηστῶς θεραπεύηται. τοῦτον οὐδὲν οἷοί τέ εἰσι διαπράξασθαι μεθόδῳ τῶν ἰατρῶν, ὅσοι μήτε τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν εἰς τὰς τῶν ἑλκῶν ἰάσεις χρήσιμον εἶναι συγχωροῦσιν, οὔθ' ὅσοι τοῦτο μὲν ὁμολογοῦσιν, ἀγνοοῦσι δὲ τὴν ἑκάστου φύσιν, ἥτις ὡς ἐδείκνυμεν ἐκ τῆς τῶν στοιχείων γίνεται κράσεως. ἀλλ' οὗτοι μὲν εἰ καὶ μηδὲν ἄλλο, τά γ' ἐκ τῆς ὀργανικῆς κατασκευῆς τῶν μορίων ἐνδεικτικῶς λαμβανόμενα γιγνώσκουσι. Οἱ δ' ἀπὸ τοῦ Θεσσαλοῦ, καὶ ταῦτ' ἀγνοοῦσιν. οἷον αὐτίκα διαιρεθέντος ἐπιγαστρίου μέχρι τοσούτου βάθους ὡς προπεσεῖν ἔντερον, ὅπως τε χρὴ καταστεῖλαι τοῦτο. καὶ ἢν ἐπίπλους προπέσῃ, πότερον ἀποκόπτειν, ἢ οὐκ ἀποκόπτειν αὐτὸν χρή. καὶ πότερον βρόχῳ διαλαμβάνειν, ἢ μή. καὶ εἰ ῥάπτειν ἢ μὴ ῥάπτειν τὸ τραῦμα. καὶ ῥάπτοντας ὅτῳ χρὴ τρόπῳ ῥάπτειν, οὐδὲν τούτων ἐπίστανται. οὐδὲ γὰρ ἡμεῖς ἂν ἔγνωμεν, εἰ μὴ δι' ἀνατομῆς ἐμάθομεν ἁπάντων τῶν τῇδε μορίων τὴν φύσιν, ἣν καὶ διελθεῖν ἀναγκαῖόν ἐστιν, οὐ σαφηνείας μόνης ἕνεκα τῶν λεχθησομένων, ἀλλὰ καὶ πίστεως. δέρμα μὲν ἔξωθεν ἁπάντων περιβέβληται τελευτῶν εἰς ὑμένα. μεθ' ὃ κατὰ μὲν τὴν μέσην χώραν, ἀπονευρώσεις μυῶν τέτανται διτταὶ δίκην ὑμένων. ἃς οὐδ' ὅτι δύο εἰσὶν οἱ πολλοὶ τῶν ἀνατομικῶν ἐπίστανται. καὶ γὰρ καὶ συμπεφύκασιν ἀλλήλαις, ὡς ἔργον εἶναι χωρίσαι, καὶ λεπτότητος εἰς ἄκρον ἥκουσιν. ἐφεξῆς δὲ ταῖσδε, δύο μύες ὄρθιοι σαρκώδεις ἀπὸ τοῦ στήθους ἐπὶ τὰ καλούμενα τῆς ἥβης ὀστᾶ καθήκουσι. ταῦτα μὲν δὴ σύμπαντα τὰ εἰρημένα, συμφυῆ τ' ἐστὶ, καὶ οἱ τὰς καλουμένας γαστρορραφίας ὅπως χρὴ ποιεῖσθαι γράψαντες, ἐπιγάστριον ὀνομάζουσι τὸ συγκείμενον ἐξ αὐτῶν. ὅσον δ' ἐφεξῆς τῷδε, καλεῖται μὲν ὑπ' αὐτῶν περιτόναιον, οἰομένων ἓν ἁπλοῦν ἀσύνθετον εἶναι σῶμα. τὸ δὲ, οὐχ οὕτως ἔχει. σύγκειται γὰρ ἐκ δυοῖν σωμάτων ἀναίμων μὲν ἀμφοῖν καὶ νευρωδῶν. ἀλλὰ τὸ μὲν ἕτερον αὐτῶν, ἀπονεύρωσίς ἐστι μυῶν ἐγκαρσίων. τὸ δ' ἕτερον, ὑμὴν ἀκριβῶς λεπτὸς οἷόν περ τὸ ἀράχνιον. ὥσπερ δὴ τὸ περιτόναιον ὄντως ἐστὶ, τοιοῦτον μὲν ἐν τοῖς μέσοις ἑαυτοῦ, τὸ ἐπιγάστριον. ὅσον δὲ ἀποκεχώρηκεν ἑκατέρωσε πρὸς τὸ πλάγιον ὡς ἐπὶ τέσσαρας δακτύλους, τοῦτο ἐφεξῆς τῷ δέρματι, τοὺς λοξοὺς ἔχει μῦς. προτέρους μὲν τοὺς ἀπὸ τοῦ θώρακος καταφερομένους, δευτέρους δὲ τοὺς ἀπὸ τῶν λαγόνων ἀναφερομένους. εἶτα ἐπὶ τούτοις τὸν ἐγκάρσιον. ἐφ' ὧν τὸ περιτόναιον. ἀκινδυνότερόν τε οὖν ἐστι τοῦτο τὸ χωρίον, τοῦ μέσου, μηδεμίαν ἔχον ἀπονεύρωσιν. αἵ τε γαστρορραφίαι κατὰ τὸ μέσον εἰσὶ δυσμεταχείριστοι. καὶ γὰρ καὶ προπίπτει τὰ ἔντερα ταύτῃ μάλιστα, καὶ δύσκρατά τ' ἐστὶν ἐν τούτῳ τῷ τόπῳ. τὸ γὰρ σφίγγον αὐτὰ καὶ προστέλλον, οἱ ὄρθιοι μύες ἦσαν, οἱ σαρκώδεις, οὓς ἐκ τοῦ θώρακος ἐπὶ τὰ τῆς ἥβης ὀστᾶ καθήκειν ἔφαμεν. ὅταν οὖν τις τούτων τρωθῇ διὰ διττὴν αἰτίαν, ἀναγκαῖόν ἐστι † προπίπτειν ἔντερον. ἐκ μὲν τῶν πλαγίων μερῶν, ὑπὸ τῶν ταύτῃ μυῶν σφιγγόμενον, ἐκ δὲ τῶν μέσων, οὔτε τὸν μῦν ἐρρωμένον ἔχον, ἐπιτήδειόν τε χώραν εἰς πρόπτωσιν. εἰ δὲ καὶ μεῖζον εἴη τὸ τραῦμα, πλείω τε προπίπτειν ἀναγκαῖόν ἐστιν ἔντερα, καὶ χαλεπώτερον καταστέλλεσθαι. καθ' ἕτερον δ' αὖ τρόπον, αἱ βραχεῖαι τρώσεις δυσμεταχείριστοι. ἢν γὰρ μὴ παραχρῆμα τις εἰς τὴν ἑαυτοῦ χώραν ἐμβάλλῃ τὸ προπεπτωκὸς, εἰς ὄγκον αἴρεται πνευματούμενον. ὥστ' οὐκ ἔτι οἷόν τε διὰ τῆς στενῆς ἐμβάλλειν αὐτό. βέλτιον οὖν ἐν ταῖς τοιαύταις τρώσεσι τὸ σύμμετρον τραῦμα. ταυτὶ μὲν δὴ προεπίστασθαι χρή. ὡς δ' ἄν τις ἄριστα μεταχειρίζοιτο τὰς τοιαύτας τρώσεις, ἐφεξῆς σκεπτέον. ὅτι μὲν γὰρ οὐκ ἀρκεῖ τὸ Θεσσάλειον παράγγελμα τὸ κολλᾶν τοῖς ἐναίμοις φαρμάκοις αὐτὰς, οὕτως ἡγοῦμαι πρόδηλον ὑπάρχειν, ὡς οὐδὲ ἕνα λαθεῖν τῶν ἐχόντων νοῦν. ἐπεὶ τοίνυν προηγεῖσθαι μὲν χρὴ τὸ εἰς τὴν οἰκείαν χώραν ἀποτίθεσθαι τὰ προπεπτωκότα ἔντερα, δεύτερον δὲ ἐπὶ τῷδε ῥάψαι τὸ ἕλκος, εἶθ' ἑξῆς τρίτον ἐπιθεῖναι τὸ φάρμακον, εἶτ' ἐπ' αὐτῷ τέταρτον ὅπως μὴ συμπάθῃ τι τῶν κυριωτέρων προνοῆσθαι, περὶ τοῦ πρώτου ῥηθέντος ἤδη σκοπῶμεν. οὐσῶν δὲ ὡς εἴρηται τριῶν ἐν τοῖς τραύμασι κατὰ μέγεθος διαφορῶν, ἀφ' ἑκάστης αὐτῶν πειρᾶσθαι χρὴ λαβεῖν οἰκείαν ἔνδειξιν. ἔστω δὴ πρότερον μικρὸν οὕτως ὡς τὸ προπεσὸν ἔντερον ἐμφυσηθὲν, μηκέτι οἷόν τε εἶναι καταστεῖλαι, ἆρ' οὐκ ἀναγκαῖον ἐνταῦθα δυοῖν θάτερον, ἤτοι τὴν φῦσαν ἐκκενοῦν, ἢ τὸ τραῦμα μεῖζον ἐργάζεσθαι; βέλτιον οἶμαι τὸ πρότερον, ἐάνπερ οἷόν τε ᾖ τυχεῖν αὐτοῦ. πῶς δ' ἄν τις τύχοι μᾶλλον; εἰ τὴν αἰτίαν ὑφ' ἧς ἐκφυσᾶται τὸ ἔντερον ἐκποδὼν

† περιτόναιον ἔντερον

ποιησάμεθα. τίς οὖν ἐστιν αὕτη; ἡ ἐκ τοῦ περιέχοντος ἀέρος ψύξις. ὥστε καὶ ἡ ἴασις ἐν τῷ θερμῆναι. σπόγγον οὖν
χρὴ μαλακὸν ὕδατι θερμῷ βρέξαντας, εἶτ' ἐκπιέσαντας, ἐκθερμαίνειν τούτῳ τὸ ἔντερον. διατρυπιζέσθω δ' ἐν τῷ
τέως, οἶνος αὐστηρὸς θερμός, καὶ γὰρ θερμαίνει μᾶλλον ὕδατος, καὶ ῥώμην ἐντίθησι τῷ ἐντέρῳ. εἰ δὲ καὶ τούτων χρο-
σαμένων ἔτι διαμένει τὸ ἔντερον ἐμπεφυσημένον, ἐπιτέμνειν τοῦ περιτοναίου τοσοῦτον, ὅσον δεῖται τὸ προπε-
πτωκός. ἐπιτήδεια δ' ἐστὶν εἰς τὴν τοιαύτην τομὴν τὰ καλούμενα συριγγοτόμα. τὰ δ' ἀμφήκη τῶν μαχαιρίων,
ἢ κατὰ τὸ πέρας ὀξέα, παντὶ τρόπῳ φυλακτέα. σχῆμα δ' ἐπιτήδειον τῷ κάμνοντι, πρὸς μὲν τοῖς κάτω μέρεσι τῆς
ἢ κατὰ τὸ πέρας, τὸ ἀνάῤῥοπον. πρὸς δὲ τοῖς ἄνω, τὸ κατάῤῥοπον. εἷς δ' ἐπ' ἀμφοῖν σκοπός, ὡς μὴ βαρύ-
τρώσεως γεγενημένης, τὸ ἀνάῤῥοπον. πρὸς δὲ τοῖς ἄνω, τὸ κατάῤῥοπον. ὥστε καὶ τοῦ σκοποῦ τοῦδε, κατὰ μὲν τὰ δεξιὰ μέρη, τοῦ τραυμα-
νοιτό τι πρὸς τῶν ἄλλων ἐντέρων, τὸ προπεπτωκός. ὥστε καὶ τοῦ σκοποῦ τοῦδε, κατὰ μὲν τὰ δεξιὰ μέρη, τοῦ τραυμα-
τος γεγονότος, ἐπὶ θάτερον ῥέπειν. εἰ δ' ἐκ τῶν ἀριστερῶν ᾖ, πρὸς τὴν δεξιὰν ἐπικλίνεσθαι πλευράν, ὑψηλότερον
ἀεὶ ποιοῦντας τὸ τετρωμένον μόριον. τοῦτο μὲν τοι καὶ τοῖς μεγάλοις καὶ τοῖς μέσοις ἕλκεσι συνοίσει. κοινὸς γὰρ ἁ-
πάντων ὁ σκοπός. αἱ δ' ἀναθέσεις τῶν ἐντέρων, εἰς τὴν οἰκείαν χώραν ὅταν ἐπὶ τοῖς μεγάλοις γίγνονται τραύμα
σιν, ὑπηρέτου δέονται δεξιοῦ. χρὴ γὰρ αὐτὸν ὅλον ἔξωθεν καταλαβόντα τὸ τραῦμα ταῖς ἑαυτοῦ χερσίν, εἴσω προ-
στέλλειν τε καὶ σφίγγειν, ὀλίγον ἑκάστοτε τῷ ῥάπτοντι προγυμνοῦντα. καὶ μὲν δὴ καὶ τὸ ῥαφὲν αὐτὸ μετρίως προστέλ-
λειν, ἄχρι περ ἂν ὅλον ἀκριβῶς ῥαφῇ. τίς δ' ἂν εἴη τρόπος ἐπιτήδειος εἰς τὰ τοιαῦτα τῆς καλουμένης γαστρορα-
φίας, ἐφεξῆς λέγωμεν. Ἐπειδὴ συμφῦσαι χρὴ τῷ περιτοναίῳ τὸ ἐπιγάστριον, ἀρκτέον μὲν ἀπὸ τοῦ δέρματος
ἔξωθεν εἴσω διαπείροντα τὴν βελόνην. ἐπειδὰν δὲ τὸ δέρμα καὶ τὸν μῦν τὸν ὄρθιον ὅλον διεξέλθοι, τὸ παρακείμε-
νον ὑπερβαίνοντα περιτόναιον, ὠθεῖν αὐτὴν ἔσωθεν ἔξω, διὰ τοῦ λοιποῦ περιτοναίου. κἄπειτ' ἐντεῦθεν ἔσωθεν ἔ-
ξω, διαπείρειν τὸ ἕτερον ἐπιγάστριον. διεξελθούσης δὲ τελέως αὐτῆς ἔξωθεν εἴσω τὸ ἐπιγάστριον τοῦτο διαιροῦν-
τας. εἶτα τὸ παρακείμενον αὐτῷ περιτόναιον ὑπερβαίνοντας, ἐπί τε τὸ ἀντικείμενον ἐλθόντας ἔσωθεν ἔξω τοῦτο
διακεντεῖν. ἅμα δ' αὐτῷ καὶ τὸ πλησίον ἐπιγάστριον ἅπαν. εἶτ' αὖθις ἀπὸ τούτου πάλιν ἀρξαμένους συῤῥάπτειν αὐ-
τῷ τῷ ἀντικειμένῳ περιτοναίῳ. κἄπειτα διεκβάλλειν διὰ τοῦ πλησίον δέρματος. ἐκεῖθεν δ' αὖ πάλιν εἴσω
διείρειν, συῤῥάπτοντας αὐτὸ τῷ ἀντικειμένῳ περιτοναίῳ. διεκβάλλοντάς τε διὰ τοῦ πλησίον δέρματος. εἶτ'
αὖθις καὶ αὖθις ἐργάζεσθαι ταῦτα μέχρι περ ἂν ὅλον ὁμοίως ῥάψωμεν τὸ τραῦμα. διάστημα δὲ τῶν ῥαφῶν, ὅσον
μὲν ἐπὶ τῷ σφίγγεσθαι τὰ ὑποκείμενα, βραχύτατον εἶναι χρεών. ὅσον δ' ἐπὶ τῷ τὸ μεταξὺ τῶν ῥαφῶν δέρμα δια-
μένειν, ἀσύῤῥηκτον οὐ χρηστὸν τὸ βραχύ. φεύγων οὖν ἑκατέρου τὴν ὑπερβολήν, ἀμφοῖν αἱρεῖσθαι τὸ μέτριον. ἤδη
δὲ καὶ τοῦτο, κοινόν πως ἁπάντων ἑλκῶν. ὥσπερ γε καὶ αὐτοῦ τοῦ ῥάμματος ἡ σύστασις. τὸ μὲν γὰρ σκληρότερον,
χρὴ ῥήσσειν τὸ δέρμα. τὸ δὲ μαλακώτερον, αὐτὸ φθάνει ῥηγνύμενον. οὕτω δὲ καὶ τὸ μὲν ἐγγυτάτω τῶν ἄκρων χει-
λῶν διαπείρειν τὴν βελόνην, τὸ λοιπὸν τοῦ δέρματος ὀλίγοστον ὄν, ἀναγκάζεται καὶ βιάζεται ῥήγνυσθαι. τὸ δὲ
ἐπὶ πλεῖστον ἀποχωρεῖν τοῦδε, πολὺ τοῦ δέρματος ἀκόλλητον ἀπολείπει. ταυτὶ μὲν οὖν εἰ καὶ πάντων ἑλκῶν ἐστι
κοινά, μάλιστα αὐτὰ φυλακτέον ἐν ταῖς γαστρορᾳφίαις. αὐτὰς δὲ τὰς γαστρορᾳφίας ἤτοι γε ὡς προείρηται ποιη-
τέον, ἐστοχασμένους τοῦ συμφῦσαι τῷ περιτοναίῳ τὸ ἐπιγάστριον, ἐπειδὴ μόγις αὐτῷ συμφύσεται νευρῶδες
ὑπάρχον. ἢ ὡς ἔνιοι, συνάγοντας ἀλλήλοις τὰ κατὰ φύσιν οἰκεῖα, περιτοναίῳ μὲν περιτόναιον. ἐπιγάστριον δ' ἐ-
πιγαστρίῳ. ἔσται δὲ τοῦτο κατὰ τόνδε τὸν τρόπον. ἀπὸ τοῦ πλησίον ἡμῶν ἐπιγαστρίου, διεκβάλλειν χρὴ τὴν βελόνην
ἔξωθεν εἴσω δι' αὐτοῦ μόνου. κἄπειθ' ὑπερβάντας ἄμφω τὰ χείλη τοῦ περιτοναίου, πάλιν ἀντεπιστρέψαι τὴν βε-
λόνην ἔξωθεν εἴσω, δι' ἀμφοτέρων τῶν χειλῶν τοῦ περιτοναίου. κἄπειτ' αὖθις ἀντεπιστρέφοντας ἔσωθεν ἔξω διεκ-
βάλλειν, κατὰ τὸ ἀντικείμενον ἐπιγάστριον. οὗτος ὁ τρόπος τοῦ κοινοῦ καὶ προχείρου, καθ' ὃν διὰ τῶν τεττάρων χειλῶν,
ἐπιβολῇ μιᾷ διεκβάλλουσι τὴν βελόνην, διαφέρει τῷ κατακρύπτειν ὅλον ἀκριβῶς ἔνδον τοῦ ἐπιγαστρίου, τὸ πε-
ριτόναιον. ἑξῆς δὲ περὶ τῶν φαρμάκων εἴπωμεν. εἴη δ' ἂν δήπου καὶ ταῦτα τῆς αὐτῆς ὕλης τοῖς ἐναίμοις ὀνομαζο-
μένοις. ἃ καὶ τοῖς ἄλλοις μέρεσι συμφύειν τὰ τραύματα διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων ἀπεδείξαμεν. ἡ δ'
ἔξωθεν ἐπίδεσις ἔτι δὴ καὶ μᾶλλον ἐπὶ τούτων ἀναγκαία. τὸ δὲ δὴ τέταρτον ἔτι τῆς θεραπείας μέρος, οὐ σμι-
κρῷ τινὶ τῶν ἄλλων ἀποκεχώρηκεν. ἐλαίῳ γὰρ χρὴ θερμῷ συμμέτρως, ἔριον ἁπαλὸν δεύοντας, ὅλον ἐν κύκλῳ
περιλαμβάνειν, τὸ μεταξὺ βουβώνων τε καὶ μασχαλῶν. ἄμεινον δὲ καὶ διὰ κλυστῆρος ἐνιέναι τοῖς ἐντέροις, ἔτε-
ρον τοιοῦτον. εἰ δέ τι καὶ αὐτῶν τῶν ἐντέρων τρωθείη, τὰ μὲν ἔξωθεν, ὡς εἴρηται, πάντα πράττειν ὡσαύτως. τὸ
δ' ἐνιέμενον, οἶνος αὐστηρὸς μέλας χλιαρὸς ἔστω. καὶ μᾶλλον εἰ διατρωθείη σύμπαν εἰς τὸν εἴσω πόρον. εὐίατα
μὲν οὖν τὰ παχέα τῶν ἐντέρων. δυσιατώτερα δὲ τὰ λεπτά. παντάπασι δὲ ἀνίατος ἡ νῆστις, διά τε τὸ πλῆ-
θος καὶ τὸ μέγεθος τῶν ἀγγείων, καὶ τὸ λεπτὸν καὶ νευρῶδες τοῦ χιτῶνος. ἀλλὰ καὶ τὴν χολὴν ἀκραιφνῆ πᾶσαν
ἐκδέχεται τὸ ἔντερον τοῦτο. καὶ πάντων ἐστὶν ἐγγυτάτω τοῦ ἥπατος. γαστρὸς δὲ τὰ μὲν κάτω τὰ σαρκώδη, θερα-
πεύειν τολμᾶν. ἐγχωρεῖ γὰρ καὶ τυχεῖν, οὐ μόνον ὅτι παχύτερα ταῦτ' ἐστίν, ἀλλὰ καὶ τοῖς ἰωμένοις φαρμάκοις εὐ-
πετὴς ἡ ἕδρα κατὰ τήνδε τὴν χώραν αὐτῆς. τὰ δ' ἐν τῷ στόματι καὶ τῷ στομάχῳ, τῇ προσόδῳ μόνῃ ψαύει τῶν πεπον-
θότων. τοῖς ἐν τῷ στόματι καὶ τὸ περιττὸν τῆς αἰσθήσεως, ἀνανταγωνίστου πρὸς τὰς ἰάσεις. ὅπως δ' ἐπιχειρεῖ γαστέρα
τετρωμένην, ὁ Ἱπποκράτης ἰᾶσθαι σὺν καὶ τοῖς ἄλλοις ὀλεθρίοις τρώμασι παρ' ἐκείνου μανθάνειν ἄμεινον. ἐγὼ γὰρ
οὐχ ὑπὲρ τοῦ μηδένα τοῖς Ἱπποκράτους συγγράμμασιν ὁμιλεῖν ἐπὶ τήνδε τὴν πραγματείαν ἧκον, ἀλλ' ὅτι μοι
δοκεῖ πρῶτος μὲν ἐκεῖνος ὁδῷ χρήσασθαι προσηκούσῃ, μὴ μέν τοι γε ἅπαντα συμπληρῶσαι. καὶ γὰρ ἀδιώρισταί τι-
να τῶν ὑπ' αὐτοῦ γεγραμμένων ἐστὶν εὑρεῖν, καὶ ἐλλιπῆ καὶ ἀσαφῆ. διὰ τοῦτο γοῦν ἐγὼ προὐθυμήθην ἅπαντά τε σα-
φῶς διελθεῖν, ἐξεργάσασθαί τε τὰ χωρὶς διορισμῶν εἰρημένα, καὶ προσθεῖναι τὰ λείποντα. προγυμνασάμενος
γάρ τις ἐν τοῖς ἡμετέροις, ἐπὶ τὴν τῶν Ἱπποκράτους συγγραμμάτων ἀνάγνωσιν ἴτω. καὶ τό, τε τὸ περὶ τῶν ἑλ-
κῶν βιβλίον ἀναγνώτω τοῦ ἀνδρός. τό, τε περὶ τῶν ὀλεθρίων τρωμάτων. ἕξει δὲ εἰς αὐτὰ μεγίστας ἀφορμὰς ἐκ
τῶνδε τῶν ὑπομνημάτων. ἔτι τε γνώσεται βεβαίως, ὅτι μήτε τις τῶν ἀπὸ τῆς ὀνόματι μὲν σεμνῷ κεκοσμηκότες
ἑαυτὴν

ἑαυτὴν αἱρέσεως τῆς μεθοδικῆς, ἔργῳ δὲ ἀμεθοδωτάτης, ὀρθῶς εἰληφότος ἰᾶσθαι δυνατός ἐστι, μήτε τῶν ἄλλων λογικῶν, ὅσοι χωρὶς τοῦ γνῶναι τὰ τῶν ὁμοιομερῶν στοιχεῖα μεταχειρίζεσθαι τὴν τέχνην δικαιοῦσιν. ἀπορήσουσι γὰρ καὶ οὗτοι λογικῆς θεραπείας, ἐπὶ τῶν ἁπλῶν τοῦ ζώου μορίων, ἀπὸ τῶν ὀργανικῶν μόνων τὴν ἔνδειξιν λαμβάνοντες. ὀλίγον οὖν ἔτι πρὸς τοὺς μεθοδικοὺς εἰπόντες ὑπὲρ τῶν κατὰ τὴν γαστέρα τραυμάτων, ἐφ᾽ ἕτερόν τι μεταβησόμεθα. Τρωθέντος τοῦ περιτοναίου, περιπίπτει πολλάκις ἐπίπλους. οὔτ᾽ εἰ κύριον ὑπάρχει μόριον, οὔτ᾽ εἰ μὴ κύριον, οὔτ᾽ ἐξ ὧν τινων σύγκειται γινωσκόμενον αὐτοῖς, οὐδ᾽ ἥν τινα ἔχων ἐνέργειαν, ἢ χρείαν. ἐὰν οὖν πελιδνόμενον ἢ μέλαν γένηται τὸ προπεσὸν αὐτοῦ μέρος, ὅ, τί ποτε πράξουσιν ἐπ᾽ αὐτοῦ, καλὸν ἀκοῦσαι. πότερον ἀποτέμνουσιν, ἢ καταθήσουσιν ἔσω τοῦ περιτοναίου; πάντως μὲν γὰρ ἤτοι γ᾽ ἐκ πείρας ἡ γνῶσις, ἢ ἐξ αὐτῆς τοῦ μορίου τῆς φύσεως ἡ ἔνδειξις αὐτοῖς ἐστί. καί τοι φεύγουσί γ᾽ ἑκατέρας. τὴν μὲν ἐκ τῆς πείρας γνῶσιν, ἀνατεινόμενοι τὸ σεμνὸν δὴ

10 τοῦτο τῆς αἱρέσεως αὐτῶν ὄνομα, τὴν μέθοδον. τὴν δ᾽ ἐκ τῆς φύσεως τοῦ μορίου, διότι μήτε τὴν οὐσίαν αὐτῶν γινώσκουσι, μήτε τὴν ἐνέργειαν ἢ τὴν χρείαν, ἀπεστραμμένοι ὡς ἀχρήστου τῆς ἀνατομῆς. ὥστε οὐκ ἴσασιν, εἴτε τῶν ἀναγκαίων ἐστὶν εἰς τὸ ζῆν, εἴτε τῶν οὐκ ἀναγκαίων μὲν οὐ μὴν ἀκύρων γε παντάπασιν. ἀλλ᾽ οὐδ᾽ εἰ συμπάσχειν αὐτῷ τι μέλλει μέλος κύριον, ἢ μὴ συμπάσχειν. οὐδ᾽ εἰ τῶν ἀγγείων κατ᾽ αὐτὸ δύναταί τι διὰ αἱμορραγίας ἀποκτεῖναι τὸν ἄνθρωπον. οὐδ᾽ εἰ μετὰ τὴν ἀποτομὴν τοῦ μελανθέντος, εἰ βρόχῳ διαληφθείη τὸ ὑγιὲς ὑπὲρ τοῦ μὴ δὲ μίαν αἱμορραγίαν γενέσθαι, τοῦτ᾽ αὐτὸ κίνδυνον οἴσει τινά. καὶ γάρ τοι νευρώδης φαίνεται κατά γε τὴν πρόχειρον φαντασίαν. ὥστε εἰ μή τις ἀκριβῶς εἰδείη τὴν φύσιν αὐτοῦ, μή ποτ᾽ ἂν θαρρήσῃ βρόχῳ χρήσασθαι, φόβῳ σπασμοῦ. τούτων οὐδὲν οἱ θαυμασιώτατοι γιγνώσκοντες μεθοδικοί, τί ποτε πράξουσιν ἐπιπλόου μελανθέντος, οὐκ ἔχουσι φάναι. ἀλλ᾽ οὐχ ἡμεῖς γε παραπλησίως ἐκείνοις ἀπορεῖν καθεζόμεθα. γινώσκοντες γὰρ τὴν μὲν χρείαν αὐτοῦ, μικράν τι τῷ ζώῳ συντελοῦσαν, τὴν δὲ οὐσίαν, ἐξ ὑμένος τε λεπτοῦ καὶ ἀρτηριῶν, καὶ φλεβῶν συγκειμένην, ἰδόντες

20 γὰρ καὶ τούτων τὰς ἀρχὰς ἀπὸ μεγίστων οὔσας ἀρτηριῶν καὶ φλεβῶν, αἱμορραγίαν μὲν εὐλαβησόμεθα, συμπάθειαν γὰρ νεύρων οὐ φοβηθησόμεθα. καὶ διὰ τοῦτο βρόχῳ τε διαληψόμεθα τὸ πρὸ τοῦ μελανθέντος. ἀποτεμοῦμέν τε τὸ μετὰ τὸν βρόχον, ἐν τῷ κάτω πέρατι τῆς προειρημένης γαστρορραφίας, ἐκκρεμεῖς τοῦ βρόχου τὰς ἀρχὰς ποιησάμενοι, πρὸς τὸ κομίσασθαι ῥᾳδίως αὐτάς, ὅταν ἀποπυηθῶσιν ἐκπυήσαντος τοῦ τραύματος. περὶ μὲν οὖν τῶν ἄλλων μορίων τοῦ σώματος, αὐτάρκως εἴρηται. περὶ δὲ τῶν ὀστῶν, ὑπόλοιπον ἂν εἴη λέγειν. Ἐγγίνεται γὰρ δὴ καὶ τούτοις τὸ προκείμενον ἐν τῷ λόγῳ νόσημα, τὸ καλούμενον ὑφ᾽ ἡμῶν ἑνώσεώς τε καὶ συνεχείας λύσις. ὄνομα δὲ ἴδιον αὐτῷ κεῖται κατὰ ταῦτα τὰ μόρια, κάταγμα, σχεδὸν πᾶσιν ἀνθρώποις, ὅσοι γε τὴν ἑλλάδα γλῶσσαν ἐπίστανται συνηθές. ἄγμα δὲ τῶν ἰατρῶν ἴδιον ὄνομα ἐστί, τοῖς πολλοῖς ἀνθρώποις ἄηθες. εἰώθασι γὰρ οὕτω προσαγορεύειν, ὅταν ἀποκαυλισθῇ τι πέρας ὀστοῦ καθ᾽ ὃ διαρθροῦται μάλιστα. καὶ μὲν δὴ καὶ τῶν καταγμάτων, ὅσα τελέως διέστησε τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ, καυληδὸν γεγονέναι φασίν. εὔδηλον δὲ ὡς ἐγκάρσιος ἡ τοιαύ-

30 τη διαίρεσις, ὥσπερ ἑτέρα, κατὰ τὸ μῆκος μᾶλλον ἐστίν, οὐ διακόπτουσα παντάπασιν ἀπ᾽ ἀλλήλων τὰ μόρια τῶν οὕτω παθόντων, ἀλλ᾽ οἷον σχίζουσα κατ᾽ εὐθυωρίαν, ἣν ὀνομάζειν αὐτοῖς ἔθος ἐστὶ σχιδακηδόν. ἔνιοι δὲ τῶν νεωτέρων ἰατρῶν ἄχρι τοσούτου φιλοτιμοῦνται πάσας τῶν καταγμάτων τὰς διαφορὰς ἰδίοις ὀνόμασιν ἑρμηνεύειν, ὥστε καὶ ῥαφανηδόν τι γίνεσθαι φασίν, οὐκ ἀρκούμενοι τῷ λόγῳ δηλῶσαι τὸ πολυειδῶς συντετριμμένον ὀστοῦν. οὐ μὴν Ἱπποκράτης γε τοιοῦτος. ἀλλ᾽ ὡς ἔνι μάλιστα τοῖς συνηθεστάτοις ὀνόμασι χρώμενος, ἑρμηνεύειν οὐκ ὀκνεῖ λόγῳ καὶ ταύτας τῶν καταγμάτων τὰς διαφοράς. καὶ τούτων οὐδὲν ἧττον, ὅσα κατὰ τὰ τῆς κεφαλῆς ὀστᾶ γίγνονται. καὶ εἴπερ οὕτως αὐτῷ περὶ πάντων τῶν παθῶν ὁ λόγος ἐξείργαστο, σύντομος ἂν ἡμῖν ἡ προκειμένη πραγματεία γεγόνοιτο. νυνὶ δ᾽ ἐπειδὴ τῶν πλείστων ὑποδείξας τὴν ὁδὸν οἵαν δεῖ ποιεῖσθαι, τὰ κατὰ μέρος ἀνεξέργαστα παρέλιπεν, ἀναγκαῖον ἡμῖν ἐν ἐκείνοις χρονίζειν. οὐ μὴν οὐδὲ ταῦθ᾽ ὑπερβῆναι δίκαιον, ἀλλ᾽ ὅσα μὲν εἴρηται τελέως Ἱπποκράτει, διὰ κεφαλαίων ὑπομνῆσαι, προσθεῖναι δ᾽ ἐνίοις ἀπόδειξιν ἄνευ πίστεως ὑπ᾽ αὐ-

40 τοῦ ῥηθεῖσι. καί τι καὶ διορίσασθαι τῶν ἀδιορίστων. καὶ τάξαι τῶν ἀτάκτων. καὶ σαφέστερον ἑρμηνεῦσαι τι τῶν ἀσαφεστέρων ὑπ᾽ ἐκείνου γραφέντων. ἀλλ᾽ εἰ μὲν τὰς ῥήσεις αὐτοῦ ἐφ᾽ ἑκάστου παραγράφοιμι, μῆκος ὑπομνημάτων ἐξηγητικῶν, ὁ λόγος ἕξει. καί τις ἴσως ἡμῖν ἐγκαλέσει μακρολογίαν εὐλόγως, τῶν οὐκ εὐλόγως ἤδη μεμψαμένων, ἐπὶ τῷ τρίτῳ, καὶ τετάρτῳ γράμματι. κατ᾽ ἐκεῖνα μὲν γὰρ ἀναγκαῖον ἐγένετό μοι, πολλὰς ἐκ τοῦ περὶ τῶν ἑλκῶν βιβλίου ῥήσεις Ἱπποκράτους παραθεμένῳ δεικνύναι τοῖς ἄλλοις ἰατροῖς ἅπασιν, ὁποῖόν τι τὸ κατὰ μέθοδον ἑλκῶν ἐστιν ἰάσεις γράφειν. ἐν δὲ τῷ περὶ τῶν καταγμάτων, τίς οὕτως ἔμπληκτος, ὃς οὐκ ἐπαινεῖ τὴν διδασκαλίαν, ὡς σαφῆ τε ἅμα καὶ τελεώτατα πᾶσαν ἐξειργασμένην. εἰ δὲ καὶ φαίη τις εἷς ἢ δύο, μὴ θαυμάζειν τὸ γράμμα, πρὸς τοὺς τοιούτους μάλιστα μὲν ἐν καιρῷ τὸ τοῦ ποιητοῦ λεχθείη. τοὺς δὲ δ᾽ ἔα φθινύθειν ἕνα καὶ δύο. τίς οὖν ἐστιν ἡ τῆς καταγμάτων ἰάσεως ἀληθής τε καὶ ὄντως μέθοδος, ἐξ αὐτῶν τῶν πραγμάτων τῆς φύσεως ἐνδεικτικῶς λαμβανομένη, λέγειν ἂν εἴη καιρός, ἀρχὴν τῶν λόγων τήνδε θεμένους. ἐπειδὴ λέλυται τῆς συνεχείας

50 τὰ τοῦ κατεαγότος ὀστοῦ μόρια, σκοπὸς μὲν τῆς θεραπείας αὐτοῖς, ὁ γοῦν πρῶτος, ἡ ἕνωσις. εἰ δ᾽ οὗτος ἀδύνατος φαίνοιτο, διὰ τὴν τῶν πεπονθότων μορίων ξηρότητα. δεύτερος ἄλλος ὁ τῆς δι᾽ ἑτέρου κολλήσεως ἀπόκειται σκοπός. ὃς εἰ μὴ δ᾽ αὐτὸς εὑρίσκοιτο δυνατός, ἀνίατον ἐροῦμεν εἶναι τὸ πάθος. ὅτι μὲν οὖν ἀδύνατόν ἐστι συμφῦναι τὸ οὕτως σκληρὸν ὀστοῦν οἷον ἐπὶ νεανίσκων τ᾽ ἐστὶ καὶ μειρακίων, καὶ ἀνδρῶν, καὶ πολὺ δὴ μᾶλλον ἐπὶ γερόντων, εὔδηλον δή που παντί. μόνον δ᾽ ἐγχωρεῖ μαλακὸν ἱκανῶς ὀστοῦν, οἷον ἐπὶ τῶν παιδίων ἐστί, δέξασθαι σύμφυσιν. ὅτι δὲ καὶ δι᾽ ἑτέρας οὐσίας οἷον διὰ κόλλης, ἐγχωρεῖ κολληθῆναί τε καὶ δεθῆναι πρὸς ἄλληλα τὰ διεστῶτα μόρια τοῦ κατεαγότος, ἐνθένδε μάλιστα ἄν τις ἐλπίσειεν. ἕκαστον τῶν τοῦ ζώου μορίων, τὴν ἰδίαν τροφὴν ὁμοίαν ἔχειν ἑαυτῷ δέδεικται. εἴπερ οὖν ἀληθὲς τοῦτο, καὶ ἡ τῶν ὀστῶν οἰκεία τροφή, παχυτάτη καὶ γεωδεστάτη τῶν ἄλλων ἁπασῶν ἔσται τῶν καθ᾽ ὅλον τὸ ζῶον. οὐκοῦν ἀδύνατον ἐξ αὐτῆς ταύτης τῆς οἰκείας τροφῆς περιττεύοντι,

τοῖς τοῦ κατάγματος ἐπιπηγνύμενον χείλεσι, διʼ ἑαυτοῦ μέσου κἀκεῖνα κολλῆσαι. καὶ δὴ καὶ φαίνεται γιγνόμενον οὕτως. καὶ μαρτυρεῖ τῇ λογικῇ τοῦ πράγματος ἐλπίδι, καὶ ἡ πεῖρα. σκεπτέον οὖν ἐφεξῆς, ὅτῳ μάλιστʼ ἄν τις τρόπῳ τουτὶ τὸ σῶμα τὸ τοῖς κατάγμασιν ἐπιτρεφόμενον, ὅσον τε καὶ οἷον χρή, γεννήσειεν. ὅτι μὲν γὰρ οὐθʼ ὁπόσον ἔτυχεν, οὐθʼ ὁποῖον, ἀλλὰ συμμετρίας τινὸς εἰς ἄμφω δεόμενον, ἄντικρυς δῆλον. ἥτις δʼ ἡ συμμετρία, κατά τε τὸ ποιὸν αὐτὸ καὶ κατὰ τὸ ποσὸν ἔτυχεν, εὑρόντας, ἐφεξῆς χρὴ ζητῆσαι τὸν τρόπον ᾧ μάλιστʼ ἄν τις ἑκατέρου τυγχάνῃ. ζητῆσαι δʼ οὐδὲν ἧττον ἀναγκαῖον ἐστι, καὶ τὸν καιρὸν ἐν ᾧ ταῦτʼ ἐργάζεσθαι χρή. πότερον, εὐθέως ἅμα τῷ γενέσθαι τὸ κάταγμα καθάπερ ἐπὶ τῶν τραυμάτων αὐτίκα τὴν σύμφυσιν ἐποιοῦμεν, ἢ μοχθηρὸς μὲν ὁ τοιοῦτος καιρός, ἕτερον δέ τινα βελτίω χρὴ ζητεῖν. εὕροιμεν δʼ ἂν καὶ αὐτὸ τοῦτο πρὸς τῆς τοῦ πράγματος φύσεως, ὥσπερ καὶ τἆλλα πάντα, διδασκόμενοι. τίς οὖν ἡ τοῦ πράγματος φύσις; ὀστοῦν κατεαγὸς ἅμα τινὶ τῶν εἰρημένων ὀλίγον ἔμπροσθεν διαφορῶν. ἴδωμεν οὖν ἔτι παρʼ ἑκάστης τῶν διαφορῶν εἰς τὴν θεραπείαν αὐτοῦ λαβεῖν ἐστιν ἀπὸ τῆς καυληδὸν ὀνομαζομένης ἀρξάμενοι. παραλλάττει δʼ ἐπὶ ταύτης ἀλλήλων τὰ μέρη τοῦ κατεαγότος ὡς μὴ κεῖσθαι κατʼ εὐθύ. δῆλον οὖν ὅτι κατʼ εὐθὺ χρὴ πρότερον αὐτὰ ποιήσαντα, τῶν ἐφεξῆς τι πράττειν. ἕξει δὲ δή που τὴν τοιαύτην θέσιν, ἐὰν ἐπὶ τἀναντία παράγηται τὰ διεστῶτα, παραλλάγματα κεχωρημένοις τῷ ὑγιεῖ. παρʼ ἐκείνου γὰρ ἀκριβὴς ἡ ἔνδειξις ἐστι τῆς μεταθέσεως αὐτῶν. ἐγχωρεῖ γέ τοι καὶ πρόσω τοῦ κώλου καὶ ὀπίσω καὶ τῇ μὲν καὶ τῇ δὲ γενέσθαι τὰς μεταστάσεις. ὅσα μὲν οὖν ὀπίσω μᾶλλον μετέστη, ταῦτʼ ὠθεῖν χρὴ πρόσω μετὰ τοῦ τὸ ἕτερον μέρος τοῦ κατεαγότος, ἀντωθεῖν μετρίως εἰς τοὐναντίον. ὅσα δὲ πρόσω, ταῦτʼ εἰς τοὔπισω μὲν αὐτά, τὸ δὲ ὑπόλοιπον μέρος ἄγειν ἠρέμα πρόσω. κατὰ ταῦτα δὲ καὶ τῶν εἰς τὸ δεξιὸν μέρος διεστώτων, ἡ ἴασις εἰς τὸ ἀριστερὸν ἀγομένων. ὥσπερ καὶ τῶν ἐπὶ τὸ ἀριστερὸν εἰς τὸ δεξιόν, ἀεὶ τοῦ ἑτέρου μέρους ἀντωθουμένου μετρίως. ἀλλʼ ἐν τῷ τὴν ἐναντίαν ὁδὸν ἄγειν ἑκάτερον, οὐ σμικρὸς κίνδυνός ἐστι θραυσθῆναί τινας ἐξοχὰς αὐτῶν. οὐ γὰρ δὴ λεῖόν γε τὸ πέρας ἑκατέρου τοῦ μέρους ἐστίν, ὡς ἐπὶ τῶν ἀποπριομένων γίνεται. καὶ μὴν εἴπερ αὗται θραυσθεῖεν, οὐκ ἂν ἀκριβῶς ἔτι συναρμοσθείη πρὸς ἄλληλα τοῦ κατεαγότος ὀστοῦ τὰ πέρατα, διὰ διττὴν αἰτίαν. αὐτά τε γὰρ οἶμαι τὰ θραύσματα, μεταξὺ τῶν συναγομένων μερῶν ἱστάμενα, διακωλύσει ψαύειν ἀλλήλων τὰ συναρμοττόμενα. καὶ εἴπερ ἄρα δυνηθείη τι πρὸς τοὐκτὸς τῶν ὀστῶν ἐκπεσεῖν, οὐδʼ οὕτως ἀκριβὴς ἡ ἁρμονία γενήσεται τῶν διαπλαττομένων, ὡς τὴν ἀρχαίαν ἕνωσιν μιμήσασθαι. μόνως γὰρ ἂν ἐκείνη γένοιτο, τῶν ἐξοχῶν ἁρμοσθεισῶν ἐν ταῖς κοιλότησιν. εἰ δʼ ἅπαξ ἀπόλοιντο θραυσθεῖσαι, κενὴν χώραν ἀναγκαῖον ἀπολειφθῆναι μεταξὺ τῶν ἁρμοζομένων ἀλλήλοις ὀστῶν. εἰς ἣν ἰχῶρας ἀθροιζομένους, εἶτʼ ἐν τῷ χρόνῳ σηπομένους, ὅλον ἅμʼ ἑαυτοῖς τὸ κῶλον ἀνάγκη διαφθεῖραι. διὰ ταῦτα μὲν οὖν χρὴ τὴν παραγωγὴν τῶν ὀστῶν ποιεῖσθαι διεστώτων. αὐτὸ δὲ δὴ τοῦτο πάλιν οὐχ οἷόν τε καλῶς ἐργάσασθαι, χωρὶς ἀντιτάσεως. χρὴ τοίνυν ἤτοι διὰ τῶν χειρῶν, εἰ μικρὸν εἴη τὸ κῶλον, ἢ διὰ βρόχων περιβαλλομένων, ἢ καὶ σὺν αὐτοῖς ὀργάνων οἵων Ἱπποκράτης ἡμᾶς ἐδίδαξε τὴν ἀντίτασιν ποιεῖσθαι τῶν ὀστῶν. ἐπειδὰν δʼ ἱκανῶς διαταθῇ καὶ μηκέτι κίνδυνος, ἀλλήλοις ἐνερείδειν τῷ παράγεσθαι, κατʼ εὐθὺ θέμενον ἀνεῖναι τοὺς βρόχους, ἐπιτρέψαντα τοῖς μυσί, συνάγειν εἰς ταὐτὸ τὰ διεστῶτα. συνεφάπτεσθαι δὲ ἐν τούτῳ ταῖς χερσί. καὶ αὐτὸν ἔτι που παραλλάττει μικρὸν ἐπανορθούμενόν τε καὶ διαπλάττοντα. μετὰ δὲ ταῦτα, δεύτερος ἂν εἴη σκοπὸς ἀτρεμεῖν ἀκριβῶς τὸ κῶλον, ὡς μηδὲν κινεῖτο τῶν διαπλασθέντων. ἀναγκαῖον γὰρ ἐν τῷδε παραλλάττειν αὖθις. εἰ μὲν οὖν ἐπιτρέψαις αὐτῷ τῷ κάμνοντι προνοεῖσθαι τῆς ἡσυχίας αὐτοῦ, περὶ μὲν τὸν τῆς ἐγρηγόρσεως χρόνον, ἴσως ἂν τοῦτο πράξειεν. ὑπνώττων δʼ ἐξ ἀνάγκης, κινήσει τὸ κῶλον. ὅπως οὖν ἀεὶ φυλάττοιτο τῶν διαπλασθέντων ἡ θέσις, οὐ μόνον ὑπνώττοντος, ἀλλὰ καὶ πρὸς ἄφοδον ἀνισταμένου τοῦ ἀνθρώπου, κἂν ταῖς μεθυποστρώσεσιν, ἀσφαλεῖ δεσμῷ περιλαβεῖν χρὴ τὸ κάταγμα, σφίγγειν ἀκριβῶς δυνάμενον πρὸς ἄλληλα τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ. ἀλλʼ ἐπεὶ τῶν δεσμῶν ὁ μὲν χαλαρός, ἐπιτρέπει κινεῖσθαι τοῖς ὀστοῖς, ὁ δʼ ἰσχυρῶς σφιγγόμενος, ὀδύνην ἀπεργάζεται, πειρατέον ἀπολαύοντα τῆς ἀφʼ ἑκατέρου χρείας, φυλάττεσθαι τὴν βλάβην. γένοιτο δʼ ἂν τοῦτο φευγόντων τὰς ἀμετρίας. μήτε οὖν εἰς τοσοῦτον σφίγγειν ὡς ἤδη καὶ θλίβειν, μήθʼ οὕτως ἐκλύειν τὴν σφίγξιν, ὡς χαλαρὸν ἐργάζεσθαι. εἰ μὲν οὖν ἰσοπαχὲς εἴη ἕκαστον τῶν μορίων, ὁ πλατύτατος ἂν ἐπίδεσμος ἄριστος ὑπῆρχεν, ὅλον ὁμαλῶς τε καὶ συνεχῶς ἐκ παντὸς μέρους περιλαμβάνων τὸ κατεαγός. ἐπεὶ δʼ οὐχ οὕτως ἔχει, τῷ μὲν θώρακι περιβάλλειν ἐγχωρεῖ τὸν πλατύτατον. οὔτε δʼ ἐπὶ τῶν κώλων, οὔτʼ ἐπὶ κλειδός, ἀλλʼ ἐπὶ τῶν τοιούτων, ὁ στενὸς ἀμείνων. ὡς ἂν μήτε ῥυτιδούμενος ἅπαντί τε μορίῳ ψαύων τοῦ δέρματος ᾧ περιελήλικται. ἀλλʼ οὗτός γε οὐκ ἀσφαλής, ὀλίγαις λαβαῖς συνέχων τὸ κατεαγός. ὅσον οὖν εἰς ἀσφάλειαν αὐτοῦ διὰ τὴν στενότητα λείπει, τοῦτʼ ἐκ πλήθους τῶν περιβολῶν καὶ τῆς ἐπὶ τὸ ὑγιὲς νομῆς, προστιθέναι. ἀλλʼ ἐπεὶ τῶν ἐπιδέσμων, ὅσοι πιλοῦσί τε καὶ σφίγγουσιν ἀλύπως τὴν σάρκα, φύσιν ἔχουσιν ἐκθλίβειν μὲν ἐξ ἐκείνων τῶν μορίων οἷς πρώτοις ἐπιβάλλονται τοὺς χυμούς, ἐναποτίθεσθαι δὲ καὶ στηρίζειν εἰς ἅπερ ἐτελεύτησαν, εὔλογον οἶμαι βάλλεσθαι μὲν τὴν ἀρχὴν τῶν ἐπιδέσμων ἐπʼ αὐτὸ τὸ κάταγμα. νέμεσθαι δὲ ἐντεῦθεν ἐπὶ τὸ λοιπὸν κῶλον. ὁ γὰρ ἔμπαλιν ἐπιδῶν ἀπὸ τῶν ὑγιεινῶν ἐπὶ τὸ πεπονθὸς ἐκθλίβοι τὸ αἷμα. καὶ μὴν εἴπερ ἀπὸ μὲν τοῦ πεπονθότος ἄρχεσθαι προσήκει, τελευτᾶν δὲ ἐπὶ τὸ ὑγιές, οὐ μόνον ἀβλαβὴς ἡ ἐπίδεσις εἰς ἅπερ εἴπομεν ἡ τοιαύτη γένοιτʼ ἄν, ἀλλὰ καὶ χρηστόν τι προσεκπορίζει. φλεγμονὴν γὰρ οὐδεμίαν ἐάσει συστῆναι περὶ τὸ κάταγμα. χρὴ δὲ οἶμαι καὶ τούτου φροντίζειν ἐν τοῖς μάλιστα. κίνδυνος γὰρ ἐπί τε ταῖς ἀντιτάσεσιν, ἃς διαπλάττοντες τὸ κῶλον ἐποιούμεθα, καὶ πρὸ τούτων ὅτι τὰ πλεῖστα τῶν ἐργαζομένων αἰτίων τὸ κάταγμα τὴν περιβεβλημένην τοῖς ὀστοῖς σάρκα, πρότερον ἀδικεῖ πιλοῦντα καὶ θλῶντα, ὡς μεγάλας ἀκολουθῆσαι φλεγμονάς. οὐ θαυμάσαιμι δʼ ἂν οὐδʼ εἰ καὶ τοῖς ὀστοῖς αὐτοῖς τοῖς κατεαγόσιν, ἀνάλογόν τι φλεγμονῇ συμπίπτει. καὶ γὰρ καὶ φαίνεται τά γε μὴ καλῶς ἰαθέντα, σαφῶς ὑγρότερα τῶν κατὰ φύσιν, ὅταν ἅμα τραύματι τὸ κάταγμα γενόμενον, ὑπὸ τὴν τῆς ὄψεως ἥκῃ διάγνωσιν. Οὐ μὴν οὐδὲ ὁ σφάκελος ἐξ ἄλλης προφάσεως ὁρμᾶται,

φθορὰ καὶ αὐτὸς ὑπάρχων ὅλης τῆς οὐσίας αὐτῶν. οὔκουν ἀμελεῖν χρὴ τοῦ τὸ περιττὸν ὑγρὸν ἐκθλίβεσθαι πάντων τῶν περὶ τὸ κάταγμα μορίων. ἄρχεσθαί τε οὖν ἀπὸ τοῦ πεπονθότος, καὶ δὶς ἢ τρὶς ἐν κύκλῳ περιβαλόντα, νέμεσθαι τοὐντεῦθεν ἐπὶ τὸ ὑγιές. τὸ γὰρ οὕτως ἐπιδῶν, ἀπείργει τε τὴν ἐκ τῶν ὑγιῶν εἰς τὸ πεπονθὸς ἐπιῤῥοὴν τοῦ αἵματος, ἐκθλίβει τε τὸ φθάσαν ἠθροῖσθαι κατ' αὐτό. διττῶν δὲ ὄντων χωρίων τῶν δυναμένων ἐνδέξασθαί τι παρὰ τῶν πεπονθότων, καὶ πέμψαι, τὰ μὲν ὑποκείμενα, διά τε τὸ πλῆθος καὶ τὸ μέγεθος ἱκανώτερα πρὸς ἄμφω. τὰ δὲ ἄκρα, διὰ τἀναντία, βραχὺ μέν τι καὶ δέξασθαι καὶ πέμψαι δύναται. πολὺ δὲ οὔτε χορηγῆσαί ποτε τοῖς πεπονθόσιν, οὔτε παρ' ἐκείνων λαβεῖν. ὥστε διὰ ταῦτα δύο ἐπιδέσματα τὰ πρῶτα ποιησάμενος ὁ Ἱπποκράτης, τῷ μὲν ἑτέρῳ προτέρῳ τό, τε περιεχόμενον ἐν τοῖς πεπονθόσιν ἐκθλίβει πρὸς τὰ ὑποκείμενα, τό, τε ἐξ ἐκείνων ἐπιῤῥέον ἀνείργει. τῷ δὲ ὑπολοίπῳ, κατὰ μὲν τὰς πρώτας ἐπιβολὰς ἃς κατ' αὐτοῦ τε τοῦ κατάγματος, ἔτι τε τῆς ἐπὶ τὰ κάτω νομῆς τῶν ὀθονίων ποιεῖται, τὸ μὲν ἐκθλίβει πρὸς αὐτά, τὸ δὲ, ἀνείργει. κατὰ δὲ τὰς ἑξῆς ἁπάσας ἡνίκα ἐκ τῶν κατωτάτω μερῶν ἄνω παλινδρομεῖν ἀξιοῖ τὸν ἐπίδεσμον, ὡς εἰς ταὐτὸ τῷ προτέρῳ τελευτῆσαι τοῖς ὑποκειμένοις ἐκθλίβων, τὰς ἐξ αὐτῶν ἐπιῤῥοὰς κωλύει. φρουρεῖ τ' οὖν ἅμα καὶ στηρίζει τὸ κατεαγός. ἀφλέγμαντόν τε φυλάττει τὰ πρῶτα δύο τῶν ὀθονίων. οὐ μὴν ἱκανά γε μόνα τὰ εἰρημένα, πρὸς ἀμφοτέρας τὰς χρείας, ὅθεν εἰς μὲν τὴν φρουρὰν, ἐπικουρίαν αὐτοῖς ὁ Ἱπποκράτης ἐξεῦρε τὴν τῶν σπληνῶν ἐπιβολὴν, ἅμα καὶ τοῖς ἔξωθεν ὀθονίοις, ἃ τούτους αὐτοὺς στηρίζει. πρὸς δὲ τῷ μὴ φλεγμῆναι, φαρμάκῳ τινὶ κελεύει χρῆσθαι τῶν ἀφλεγμάντων, οἵαπέρ ἐστιν ἡ ὑγρὰ κηρωτή. ταῦτα τε οὖν ἅπαντα τοῖς εἰρημένοις λογισμοῖς εὑρέθη. καὶ πρὸς τούτοις ἔτι τὸ τῆς ἀποθέσεως σχῆμα, διττῷ καὶ τοῦτ' ἐνδείξεως ὑποπίπτον τρόπῳ. προτέρῳ μὲν ἐκ τῆς κοινῆς ἐννοιῶν ἠρτημένῳ ψιλῷ. ἑτέρῳ δὲ ἐκ τῆς τῶν θεραπευομένων ὀργάνων κατασκευῆς. ὁ μὲν οὖν πρότερος, ἀνωδυνώτατον αἱρεῖσθαι συμβουλεύει σχῆμα, πρός τε τῷ μὴ φλεγμαίνειν τὰ μόρια, καὶ διαμένειν ἀτρέμα ἐπ' αὐτῷ μόνου δύνασθαι τὸν κάμνοντα χρόνῳ παμπόλλῳ. ὁ δὲ δεύτερος τρόπος ὁ ἐκ τῆς τῶν θεραπευομένων φύσεως ὁρμώμενος. ἀρτηρίας καὶ φλέβας, καὶ νεῦρα, καὶ μῦς, ὡς εὐθύτατα κεῖσθαι κελεύει. καὶ δὴ καὶ ὁμολογοῦσιν ἀλλήλοις οἱ τρόποι. τό, τε γὰρ εὐθύτατον ἑκάστου μορίου σχῆμα, μάλιστά ἐστιν ἀνώδυνον. ὅτι δ' ἂν ἑτέρου μᾶλλον ἀνώδυνον ᾖ, κατὰ φύσιν μάλιστα ἐστὶ τῷ κώλῳ. χειρὶ μὲν τὸ καλούμενον ἐγγώνιον, σκέλει δὲ, τὸ μικροῦ δεῖν ἐκτεταμένον. εἰς ἀνωδυνίαν δὲ οὐ μόνον τὸ κατὰ φύσιν ἑκάστου σχῆμα τῶν ὀργάνων, ἀλλά τι καὶ τὸ ἔθος ἔοικε συντελεῖν. αὕτη μὲν οὖν μία καὶ ἡ τοῦ σχήματος εὕρεσις, ἐν ᾧ χρὴ διαφυλάττειν τὸ κῶλον. ἡ δ' αὐτὴ, κατὰ τὴν ἀντίτασίν τε καὶ διάπλασιν. ἄμεινον γὰρ ἐν εὐθυτάτῳ καὶ ἀνωδυνωτάτῳ διατείνειν καὶ διαπλάττειν τὸ κῶλον. πολὺ δὲ δὴ μᾶλλον ἐν τῷ αὐτῷ σχήματι τὴν ἐπίδεσίν τε, καὶ τὴν ἡσυχίαν τοῦ μορίου ποιεῖσθαι προσήκει, τὸ γὰρ ἐν ἄλλῳ μὲν ἐπιδεῖν, ὑπαλλάττειν δὲ εἰς ἕτερον, οὐκ ὀδύνην μόνον, ἀλλὰ καὶ διαστροφὴν ἐργάζεται τοῖς ὀστοῖς. εἰ γάρ τι μεμνήμεθα τῶν ἐν τοῖς περὶ μυῶν κινήσεως ὑπομνήμασιν εἰρημένων, ἀναγκαῖον ἐστὶν, ὑπαλλαττόντων τὸ σχῆμα, τινὸς μὲν τῶν μυῶν ἐντείνεσθαί τε καὶ οἷον σφαιροῦσθαι συναγομένους. ἐνίους δ' ἐκλύεσθαί τε καὶ χαλᾶσθαι. ἔνθα μὲν οὖν ἐντείνονται, θλίβεσθαί τε πρὸς τῶν ἐπιδέσμων αὐτοὺς ἀναγκαῖον ἐστὶν, ὀδυνᾶσθαί τε διὰ τὴν θλίψιν. ἔνθα δὲ ἡ τάσις ἐκλύεται χαλαρὰν μὲν ἐν ἐκείνῳ τῷ μέρει τὴν ἐπίδεσιν. ἀστήρικτον δὲ γίνεσθαι τὸ κάταγμα. διὰ ταῦτ' οὖν ἅπαντα διατείνειν τε καὶ διαπλάττειν, ἐπιδεῖν τε καὶ ἀποτίθεσθαι καθ' ἓν σχῆμα τὸ ἀνωδυνώτατον, ἕλοιτ' ἄν τις. εἰς μὲν δὴ τὴν πρώτην ἐνέργειαν ἣν ἐνεργοῦμεν ἐν τοῖς κατεαγόσιν, οὐδὲν ἔτι λείπει παράγγελμα. λύειν δὲ κελεύει διὰ τρίτης ὁ Ἱπποκράτης, ὅπως μήτ' ἄση τις γίγνοιτο, μήτε κνῆσις ἀήθως σκεπασθέντι τῷ μορίῳ, μήτ' ἐπὶ πλέον αἱ διαπνοαὶ κωλύοιντο τοῦ φθάσαντος ἐστηρίχθαι κατὰ τὸ κάταγμα. δι' ἃς οὐ μόνον ἀσώδως κνήσεσθαι συμβαίνει τισὶν, ἀλλὰ καὶ διαβρωθέντος ὑπὸ τῆς τῶν ἰχώρων δριμύτητος ἐνίοτε τοῦ δέρματος, ἕλκωσιν γενέσθαι. καταντλεῖν οὖν ὕδατος εὐκράτου τοσοῦτον, ὅσον ἱκανόν ἐστι διαφορῆσαι τοὺς τοιούτους ἰχῶρας. ἢν δὲ δὴ καὶ αὖθις ὁμοίως πράξῃς, ἑβδόμη μὲν ἂν εἴη μετὰ τὴν πρώτην ἀρχὴν, ἡμέρα. φαίνοιτο δ' ἂν ἤδη μηδενός γε ἐμποδὼν γενομένου, πάντ' ἀφλέγμαντα, καὶ αὐτοῦ γε τοῦ κατὰ φύσιν, ἐνίοτε μᾶλλον ἰσχνά. τό τε οὖν ἐγχωρεῖ νάρθηκάς τε περιτιθέναι, καὶ λύειν διὰ πλέονος. ἔμπροσθεν μὲν γὰρ οὐδ' ὁ τῆς φλεγμονῆς ἐπεκράτει σκοπὸς, οὐκ ἦν ἀσφαλὲς θλίβειν τοῖς νάρθηξι. νυνὶ δὲ ἐπειδὴ πέπαυται μὲν αὕτη, στηρίζεσθαι δὲ χρὴ τὸ κάταγμα, καλῶς ἂν τις αὐτοῖς χρῷτο. καὶ μὲν δὴ καὶ διὰ πλέονος ἐγχωρεῖ λύειν ὡς ἂν μηκέτι χρῃζόντων τῶν μερῶν ἀποκρίνειν ἰχῶρας, ἀλλὰ καὶ ἡ πώρωσις ἄμεινον ἂν οὕτως γίγνοιτο. χρὴ γὰρ, ὡς ἔμπροσθεν εἴρηται, παγιωθῆναί τι τῆς οἰκείας τροφῆς τῶν ὀστῶν, ἵνα γένηται πῶρος. οὔκουν χρὴ τοῦτ' ἀποκλύζειν τῶν χειλῶν τοῦ κατάγματος, ἢ διαφορεῖν ἐκτὸς, ὅπερ αἱ συνεχεῖς λύσεις ἐργάζονται. οὐ μὴν οὐδ' οὕτω πολὺ διαλείπειν, ὡς μὴ δὲ γνῶναι πῶς προχωρεῖ τὸ κάταγμα. πολλάκις γοῦν ἐθεασάμην ἀκριβῶς ξηρανθέντων τῶν ὀστῶν, δυσχερῶς γιγνομένην τὴν πώρωσιν. ἐπαντλεῖν οὖν χρὴ τοῖς δὲ μέτριον τῷ πλήθει διὰ τρίτης ἢ τετάρτης ἡμέρας, ὕδωρ θερμὸν, ὅρον ἔχοντα τοῦ παύσασθαι τῆς καταιονήσεως, τὴν εἰς ὄγκον ἐρυθρὸν ἔπαρσιν τῶν σαρκῶν. ἐπὶ μὲν δὴ τούτων, πρὶν ἄρχεσθαι καθίστασθαι, παύσασθαι χρὴ, καθάπερ ἐφ' ὧν διαφορῆσαί τι βουλόμεθα, μὴ παύεσθαι πρὸ τοῦ συμπεσεῖν τὸν ἐκ τῆς αἰονήσεως ὄγκον. ἐφ' ὧν δ' ὑγρότης ἐστὶ πλείων, καὶ διὰ ταύτην οὐ πωροῦται τὰ κατεαγότα, ξηραίνειν αὐτὴν, ὡς ἔμπροσθεν εἴρηται, πειρᾶσθαι διὰ ἐπιδέσεως προσηκούσης καὶ καταντλήσεως, ἤτοι γ' ἐλαχίστης παντάπασιν, ἢ πλείστης. ἡ μὲν γὰρ ἐλαχίστη, πρὶν ἐπιῤῥυῆναί τι παυομένη, τά τε πρόχειρα τῶν ὑγρῶν διαφορεῖ, τά τε ἐν τῷ βάθει διαχεῖ μετρίως. συμφέρει δὲ οὕτω κεχύσθαι τοῖς ὑπὸ τῆς ἐπιδέσεως ἐκθλίβεσθαι μέλλουσιν. ἡ δὲ πλείστη, διαφορεῖ πλέον ἢ ἕλκει. εὔδηλον δὲ δήπου καὶ ὡς ἐπὶ μὲν τῆς ἐκθλιβούσης ἐπιδέσεως, ἧττον χρὴ πιέζειν τὰ τελευταῖα τῶν ὀθονίων. ἐπὶ δὲ τῆς ἀναστρεφούσης, οὐχ ἧττον ταῦτα. καὶ συμπάσας τὰς περιβολὰς χαλαρωτέρας ποιεῖσθαι. ἐπεὶ δὲ οὐ μόνον ἐν ᾧ χρὴ καιρῷ συμπράττειν ταῖς πωρώσεσιν, ἀλλὰ καὶ ὅπως ἐξεύρηται, λείποιτ' ἂν ἔτι περὶ τῆς συμπάσης διαίτης εἰπεῖν. ὅτι μὲν οὖν ἐν ἀρχῇ λεπτοτάτως χρὴ διαιτᾶν, ἐν τῇ τῶν φλεγμονῶν οἰκείᾳ θεραπείᾳ λεχθήσεται. λεχθήσεται δὲ καὶ ὡς φλέβα χρὴ τέμνειν ἐνίοτε, καὶ διὰ γαστρὸς ἐκκενοῦν τὰ περιττά. κατὰ δὲ τὸν τῆς πωρώσεως

καιρὸν, ἀναθρέψειν χρὴ τὸ σῶμα σιτίοις εὐχύμοις καὶ τροφίμοις. ἐξ ὧν εἴωθε γεννᾶσθαι χυμὸς, οὐ μόνον χρηστὸς, ἀλλὰ καὶ γλίσχρος. ἐξ οὗ χρὴ μάλιστα γίγνεσθαι τὸν πῶρον. ἐκ μὲν γὰρ τοῦ ὀρρώδους καὶ λεπτῆς ὑγρότητος, οὐδ᾽ ἂν γεννηθείη τὴν ἀρχήν. ἐκ δὲ τῆς παχείας μὲν ἀλλὰ ψαθυρᾶς καὶ ἀλιποῦς, γεννηθείη μὲν ἂν οὐ βραδέως, ἀλλ᾽ ἐν τῷ χρόνῳ ξηραινόμενος, κραυρότερος, καὶ διὰ τοῦτο εὔθραυστος γίνεται. μεγέθει δὲ ἔστω τηλικοῦτος, ὡς ἀσφαλῆ τε ἅμα δεσμὸν εἶναι τοῖς ὀστοῖς, καὶ μὴ θλίβειν τοὺς μῦς. ὁ μὲν γὰρ μικρότερος ἢ χρὴ, σφαλερὸς τοῖς ὀστοῖς, ὁ δὲ μείζων τοῦ προσήκοντος, ὀδυνηρὸς τοῖς μυσί. προσέχειν οὖν ἀκριβῶς αὐτῷ τὸν νοῦν, ἤτοι προτρέπειν ἐνδεῶς γιγνόμενον, ἢ κωλύειν ἀμέτρως αὐξανόμενον. ἐξ ὧν δ᾽ ἐργάσῃ ταῦτα, τό, τε ποσὸν τῆς αἰωρήσεως ἐστὶ, καὶ τὸ ποιὸν, καὶ τὸ ποσὸν τῶν ἐδεσμάτων. αἵ τε ἔξωθεν ἐπιτιθέμεναι κατ᾽ αὐτοῦ δυνάμεις φαρμάκων. περὶ μὲν οὖν αἰωρήσεως καὶ διαίτης, προείρηται. τῶν δὲ φαρμάκων ὅσα μὲν ἐμπλαστικὰ ταῖς οὐσίαις ἐστὶ μετρίως θερμαίνοντα, προτρέπει τε καὶ συναύξει τοὺς πώρους. ὅσα δὲ διαφορητικὰ, καὶ τοὺς ὄντας ἤδη μεγάλους, καθαίρει. μήτε δὲ ἀναθρέψειν ἐθέλων, μήτε καθαίρειν τὸν πῶρον, ἀλλ᾽ ὡς αὐτὸς ὡρμήθη δέχεσθαι, φαρμάκων κέχρησο τῶν ἐναίμων ὀνομαζομένων. ἃ δὴ μετρίως ξηραίνοντα, καὶ τὴν πῆξιν ἐργάζεται μετρίαν τοῦ πώρου. περὶ μὲν δὴ τῶν ἐγκαρσίων καταγμάτων, ἱκανὰ ταῦτα. περὶ δὲ τῶν παραμήκων, τὰ μὲν ἄλλα σύμπαντα τὰ αὐτά. πιέζειν δὲ χρὴ μᾶλλον ταῦτα κατ᾽ αὐτὸ τὸ κάταγμα, καὶ προστέλλειν εἴσω τὸ ἀφεστηκός. ὅσα δὲ ἐθραύσθη πολυειδῶς, καὶ μάλιστα σὺν ἕλκεσιν, ὅπερ ὡς τὰ πολλὰ φιλεῖ γίγνεσθαι, σπλῆνα σκεπαρνηδὸν ὡς Ἱπποκράτης ἐκέλευσε περιβάλλειν, οἴνῳ τέγγοντας αὐστηρῷ τε καὶ μέλανι. καὶ μάλιστ᾽ ἐν θέρει. ὁπότε τε γὰρ εἴτ᾽ ἐλαίῳ τις, εἴτε κηρωτῇ χρῷτο, δεόμενά γε ξηραίνεσθαι μειζόνως ἢ τἆλλα. διότι καὶ μεῖζον τὸ πάθημα. καὶ τοίνυν καὶ τὰ φάρμακα πάντα τῶν ξηραινόντων ἔστω, καθάπερ ἐκεῖνος ἐκέλευσεν, ἅμα καὶ τὸ μέτρον ἐπ᾽ αὐτοῖς ὁρίσας. ἐκ γὰρ τῶν ἐναίμων ὀνομαζομένων εἶναι κελεύει τὰ τοιαῦτα τῶν φαρμάκων. εἰ δὲ καὶ κατ᾽ ἀρχάς τις εὐθέως αὐτοῖς χρῷτο, τοιοῦτον εἶναι συνεβούλευε τὸ ἔναιμον, ὃ συντροφόν ἐστιν ἐπιτέγξει. τὰ μὲν οὖν ἄλλα σύμπαντα, ταῖς ἐκείνου ποιητέον ὑποθήκαις, οὐκ ἐν τοῖς εἰρημένοις μόνον, ἀλλὰ κἂν γυμνωθὲν τὸ ὀστοῦν, ἐκτρήσεως δέοιτο, κἂν παραχιδίας τινὰς, ἤτοι γ᾽ αὐτὸν ἀφαιρεῖν, ἢ τῆς φύσεως ἐξωθούσης συμπράττειν προσήκει. περὶ δὲ τῶν ὑποτιθεμένων σωλήνων τοῖς σκέλεσιν, ὅσα μὲν Ἱπποκράτης ἠπόρησεν, εἴτε χρηστὸν, εἴτε μὴ χρηστὸν, ἅπαντές τε γινώσκουσιν. ἐπαινεῖν τε χρὴ τοὺς λογισμούς. ὃ δὲ τοῖς νεωτέροις εὕρηται γλωσσοκόμιον, ᾧ χρώμεθα μάλιστα περὶ τὸν τῆς πωρώσεως καιρὸν, ἐπαινῶ μὲν, εἴπερ τι καὶ ἄλλο τῶν τοιούτων μηχανημάτων. οὐ μὴν ἔοικέ γε Ἱπποκράτης γινώσκειν αὐτό. καίτοι γε οὐκ ἀμελὴς ὑπάρχων εἰς τὴν τῶν χρησίμων ὀργάνων εὕρεσιν, ἀλλὰ τό γε τοῖς σκέλεσιν ὑποτιθέμενον ὄργανον, ὀρθῶς αὐτοῖς ἐξεύρηται. δι᾽ ἑνὸς ἄξονος ἐπὶ τελευτῇ τοῦ μηχανήματος ἐν τοῖς κάτω μέρεσι τεταγμένου, τὴν ἀντίτασιν ἐργαζομένων ὅλῳ τῷ κώλῳ, ἐν τάσεσι διτταῖς. ὀνομάζεται δὲ αὐτῶν, ἡ μὲν κατ᾽ εὐθὺ τείνουσα τὸ κῶλον, εὐθύπορος. ἡ δ᾽ ἄνω μὲν πρότερον, εὐθὺς δὲ κάτω, μεταληπτική. γίνονται δὲ ἀμφότεραι, διὰ περιθέσεως βρόχων. ἄριστος δ᾽ εἰς τοῦτο βρόχος, ὁ ἐκ δυοῖν διαιρετέων. οὗτος οὖν ἐν μὲν τοῖς κάτω τοῦ κατάγματος μέρεσι τοῦ κώλου περιτεθεὶς, τὴν εὐθύπορον ἐργάζεται τάσιν, τῶν σκελῶν αὐτοῦ περιτεθέντων τῷ ἄξονι. ἐν δὲ τοῖς ἄνω μέρεσι τοῦ κατάγματος, ὁ αὐτὸς οὗτος βρόχος εἰ περιβληθείη, τὴν μεταληπτικὴν ἀποτελεῖ τάσιν, ἀπαχθέντων αὐτοῦ τῶν σκελῶν. ἄνω μὲν πρότερον, εἶτ᾽ αὖθις κάτω. περιβληθῆναι γὰρ χρὴ καὶ ταῦτα τῷ ἄξονι. τὴν περιαγωγὴν δὲ καὶ τὴν οἷον καμπὴν τῶν σκελῶν τοῦ βρόχου τὴν ἐκ τῶν ἄνω μερῶν εἰς τὸ κάτω, διὰ τροχιλίων γίγνεσθαι χρὴ, περὶ τὰς πλευρὰς τοῦ γλωττοκομίου τεταγμένων. ἔξεστι δὲ καὶ σωλῆνα καλεῖν τὸ τοιοῦτον μηχάνημα. καὶ μετὰ προσθήκης, σωλῆνα μηχανικὸν, ἢ γλωττοκόμιον μηχανικόν. ἀλλὰ περὶ μὲν ὀργάνων, ἐπὶ πλέον ἐροῦμεν ἐν ταῖς τῶν ἐξαρθρημάτων ἰάσεσιν. ὡσαύτως δὲ καὶ περὶ τῆς ἐπιδέσμων ποικιλίας, ἐν ἐκείνοις λελέξεται. νυνὶ δὲ ἐπειδὴ περὶ τοῦ μηχανικοῦ σωλῆνος ἐμνημονεύσαμεν, πολλὴν χρείαν παρεχομένου τῷ σκέλει, καὶ περὶ τὴν ἄλλην μὲν ἀπόθεσιν, ἔτι δὲ μᾶλλον ἐπειδὰν ἀλλάττῃ τὴν κοίτην ὁ κάμνων, ἢ ἀποτρίβηταί τι τῶν περὶ γαστέρα, καλῶς ἂν ἔχοι πρὸς τῷ μηδὲν ἔτι ἐνδεῖν εἰς τὸν ὑπὲρ τούτων λόγον, ἐπαινέσαι πολὺ μᾶλλον ἐκεῖνο τὸ γλωττοκόμιον. οὗ καὶ τὴν ἑτέραν τῶν πλευρῶν, καὶ τὸ σανίδιον ἐφ᾽ ὃ τὸν πόδα στηρίζουσι, κινούμενα κατασκευάζουσιν. ὥστε ἁρμόζειν ἅπαντι μεγέθει κώλου. περὶ μὲν δὴ τῶν ἄλλων καταγμάτων, ἀρκεῖ καὶ ταῦτα μετὰ τῶν ὑφ᾽ Ἱπποκράτους εἰρημένων γιγνώσκεσθαι.

περὶ δὲ τῶν ἐν τῇ κεφαλῇ, γέγραπται μέν πως καὶ περὶ τούτων Ἱπποκράτει βιβλίον ὅλον, ἅπαντα διδάσκων ὅσα χρὴ πράττειν ἐπ᾽ αὐτῶν. καὶ ἡμεῖς δὲ ὅταν τήνδε τὴν πραγματείαν, ἐπιτελέσωμεν ἐπιθησόμεθα ταῖς ἐξηγήσεσι τῶν συγγραμμάτων αὐτοῦ. περὶ δὲ τὸ παρὸν, ἐπειδὴ τά τε προσευρημένα τοῖς ὑπ᾽ ἐκείνου λεχθεῖσιν ἐν τοῖς δὲ τοῖς ὑπομνήμασι προστίθεμεν, ὅσα τε ἀδιορίστως εἶπε διορίζομεθα, πρῶτον μὲν ἀναγκαῖον ἐστὶ μνημονεῦσαι τῶν κοίλων ἐκκοπέων, οὓς καὶ κυκλίσκους ὀνομάζουσιν. εἶθ᾽ ἑξῆς τῶν φακωτῶν. καὶ μετ᾽ αὐτοὺς, τῶν στενῶν ξυστήρων. εἶτα περὶ τῆς τῶν φαρμάκων χρήσεως εἰπεῖν τι. τῶν τοίνυν καταγμάτων τοῦ κρανίου, τινὰ μὲν ἄχρι τῆς διπλόης διήκει. τινὰ δὲ ἄχρι τῆς ἔνδον ἐπιφανείας τῶν ὀστῶν. καὶ τινὰ μὲν ἁπλαῖ ῥωγμαί. τινὰ δὲ, θλάσεις. τινὰ δὲ, ἕδραι τῶν πληξάντων εἰσίν. αἱ μὲν οὖν ἁπλαῖ ῥωγμαὶ μέχρι τῆς διπλόης διαχθεῖσαι, τῶν νῦν εἰρημένων ξυστήρων χρήζουσι τῶν στενῶν. εἶναι δ᾽ αὐτοὺς χρὴ πολλοὺς μὲν τὸ πλῆθος, ἀνίσους δὲ τὸ μέγεθος, ὡς μηδέ ποτε ἀπορεῖν τοῦ χρησιμωτάτου τῷ ἔργῳ. κἄπειτα γυμνωθέντος περὶ τὰ εἰθισμένα τοῦ πεπονθότος ὀστοῦ, χρῆσθαι πρώτῳ μὲν τῷ πλατυτέρῳ. δευτέρῳ δὲ, τῷ μετ᾽ αὐτὸν στενοτέρῳ. κἄπειθ᾽ οὕτως ἑξῆς τοῖς ἄλλοις ἄχρι τοῦ στενοτάτου. τούτῳ δὲ χρηστέον, ἐπ᾽ αὐτῆς τῆς διπλόης. εἶθ᾽ ἰᾶσθαι χρὴ ξηροῖς φαρμάκοις, αὐτίκα τε καὶ μέχρι τέλους. ἃ δὴ καὶ δι᾽ αὐτὸ τοῦτο προσηγορεύεται κεφαλικά. σύγκειται δὲ διά τε τῆς ἰλλυρίδος ἴρεως, καὶ τοῦ τῶν ὀρόβων ἀλεύρου, καὶ μάννης. ἀριστολοχίας τε, καὶ πάνακος ῥίζης φλοιοῦ, καὶ ἁπλῶς εἰπεῖν, ἁπάντων ὅσα ῥύπτειν πέφυκεν ἄνευ τοῦ δάκνειν. αὕτη γὰρ ἡ γενομένη σὰρξ, ἔργον τῆς φύσεως ἐστίν. ὥστε οὐδὲν εἰς τοῦτο τῆς ἰατρικῆς ὁ κάμνων δεῖται. τὸ δὲ τὴν γενομένην συμφύεσθαί τε καὶ περιφύεσθαι πᾶσι τοῖς τῶν ὀστῶν μέρεσιν, ἐκ τοῦ μήτε ῥύπον ἐπ᾽ αὐτοῖς εἶναι, μήτ᾽ ἐλαιώδη τινὰ λιπαρότητα, γίγνοιτ᾽ ἂν μάλιστα. τοῦτ᾽ οὖν ἐστιν, ὃ παρὰ τῶν ἰατρῶν οἱ κάμνοντες ἔχουσιν εἰς τὴν σάρκωσιν, ὡς ξηρὸν μὲν

ἅπαν

ἅπαν ᾖ τὸ χωρίον, ἑκάστου δὲ μέρους τῶν πεπονθότων ὀστῶν, ἀκριβῶς καθαρόν. ταῦτα μὲν οὖν κοινὰ πάντων τῶν καταγμάτων, ὅταν ἄρχηται σαρκοῦσθαι. τῶν δ' ἄχρι μήνιγγος διηκόντων, εἰ μὲν εἴη μόνη ῥωγμή, τοῖς εἰρημένοις ξυστῆρσι χρηστέον. εἰ δὲ μετὰ θλάσεως τινός, ἐκκόπτειν χρὴ τὸ τεθλασμένον. ἤτοι διὰ τρυπάνων ἐν κύκλῳ πρότερον κατατιτρῶντα, κἄπειθ' οὕτω χρώμενον τοῖς ἐκκοπεῦσιν, ἢ διὰ τῶν κυκλίσκων εὐθὺς ἐξ ἀρχῆς. ἡ μὲν οὖν διὰ τρυπάνων ἐνέργεια, σφαλερά, διὰ τὸ πολλάκις ἅψασθαί τινας, ἀθροώτερον αὐτοῦ βαπτισθέντος, τῆς μήνιγγος τῆς σκληρᾶς, τῆς ὑποτεταμένης τοῖς ὀστοῖς. ἡ καὶ διὰ τῶν κυκλίσκων, οὐδ' αὐτὴ παντάπασιν ἄμεμπτος. σείει γὰρ ἐπὶ πλεῖον τὴν κεφαλήν, ἡσυχάζειν δεομένην. ἀρκεῖ δέ μοι κἀνταῦθα μεγάλων μὲν οὐσῶν τῶν ῥωγμῶν, καὶ τῶν ὀστῶν τῶν καταγέντων ἰσχυρῶς κεκινημένων, τοῖς κυκλίσκοις χρῆσθαι. βραχείαις γὰρ ἐπιβολαῖς, χώραν παρέξει τοῖς φακωτοῖς ἐκκοπεῦσιν. ἰσχυρῶν δὲ ἔτι τὰ πλεῖστα τῶν ὀστῶν ὑπαρχόντων, κατατιτρᾶναι τοῖς τρυπάνοις αὐτά. τινὲς δὲ ὑπὲρ τοῦ μηδέ ποτε ἁμαρτεῖν, ἀβάπτιστα τρύπανα κατεσκευάσαντο. καλοῦσι δὲ οὕτως αὐτά, διὰ τὸ μὴ βαπτίζεσθαι. περίκειται γὰρ ἐν κύκλῳ περιφερής τις ἴτυς, προὔχουσα μικρὸν ὑπὲρ ἄνω τοῦ κατὰ τὸ τρύπανον ὀξέος πέρατος. εἶναι δὲ δή που χρὴ πολλὰ καὶ ταῦτα πρὸς ἅπαν πάχος κρανίου παρεσκευασμένα. τοῖς μὲν γὰρ παχυτέροις, τὸ μακρότερον ἁρμόσει τρύπανον. ὀνομάζω δὲ οὕτως ᾧ μεῖζόν ἐστι, τὸ μεταξὺ τοῦ ἄκρου πέρατος, καὶ τῆς κυκλοτεροῦς ἴτυος. τοῖς δὲ λεπτομερέσι, τὸ μικρότερον. ἔστι καὶ δή που καὶ τούτῳ τὸ μεταξὺ τοῦ πέρατός τε καὶ τῆς ἴτυος ἔλαττον. ἔνιοι δὲ τούτων, εἴτε δειλοτέρους χρὴ λέγειν, εἴτ' ἀσφαλεστέρους, τοῖς καλουμένοις χοινικίσιν ἐχρήσαντο. σὺ δὲ εἰ μήτε ἀφύλακτος εἶναι μέλλοις τῶν ὄντων σφαλερῶν, μήτε πέρα τοῦ προσήκοντος φοβερός, ἄριστόν σοι τοῖς κυκλίσκοις χρῆσθαι. κατὰ μὲν τὴν πρώτην ἐπιβολήν, τοῖς πλατυτέροις. ἐξῆς δ' αὐτῶν, τοῖς στενοτέροις ἄχρι περ ἂν ἐπὶ τὴν παχεῖαν μήνιγγα καταλήξῃς. οὐ μὴν οὐδ' ἐν κύκλῳ πᾶν ὅσον ἐκκοπῆναι χρὴ τοῖς κυκλίσκοις γυμνωτέον, ἀλλὰ κατ' ἐκεῖνο μάλιστα τὸ μέρος, ἔνθα τὸ κάταγμα βιαιότερον αὐτοῦ γέγονε. πρὸς μὲν γὰρ αὖ τοῖς ἄλλοις, καὶ ἡ μῆνιγξ ἀφίσταται τάχιστα τῶν ἰσχυρῶς παθόντων ὀστῶν. ὥστε οὐδεὶς ἔσται κίνδυνος ἅψασθαι τῆς ἀφεστώσης ἤδη. ἣν δ' ἅπαξ ἕν τι γυμνώσῃς μέρος, ὑπολαβὼν ἐκκοπέα, τὸ μὲν φακοειδές, ἐπὶ τῷ πέρατι προὔχον ἀμβλὺ καὶ λεῖον ἔχοντα. τὸ δὲ ὀξύ, κατὰ τὸ μῆκος ὄρθιον, ὅταν στηρίξῃς κατὰ τῆς μήνιγγος τὸ πλατὺ τοῦ φακοειδοῦς, ἐπικρούων τῇ μικρᾷ σφύρᾳ, διαιρεῖν οὕτω τὸ κρανίον. συμβαίνει γὰρ ἐπὶ ταῖς τοιαύταις ἐνεργείαις, πάντα ὅσων χρῄζομεν. ἡ μὲν γε μῆνιγξ, οὐδ' ἂν νυστάζων τις ἐνεργῇ, τρωθῆναι δύναται, τῷ πλατεῖ μέρει μόνῳ τοῦ φακοειδοῦς ὁμιλοῦσα. καὶ ἣν προσέχηται ἔτι που τῷ κρανίῳ, καὶ ταύτης τὴν προσάντησιν ἀλύπως ἀποσπᾷ τὸ περιφερὲς πέρας τοῦ φακοειδοῦς. ἕπεται δὲ ἐξόπισθεν αὐτῷ προηγοῦντι, διακόπτων τὸ κρανίον ὁ ἐκκοπεὺς αὐτός. ὥστε οὔτε ἀκινδυνότερον, οὔτε θᾶττον ἐνεργοῦντα, τρόπον ἕτερον ἀνατρήσεως εὑρεῖν ἐγχωρεῖ. μάλιστα δ' αὐτὸν ἐπαινέσεις, ἐν τοῖς σφοδροτάτοις κατάγμασιν. ἃ δὴ τινὲς τῶν νεωτέρων ἰατρῶν, ἐγγεισώματά τε καὶ καμαρώσεις ὀνομάζουσι. τὰ μὲν ἐγγεισώματα, τῷ μέσῳ σφῶν αὐτῶν ἐρείδοντα κατὰ τῆς μήνιγγος. τὰ δὲ καμαρώματα, τοῦτο μὲν ὑψηλὸν ἔχοντα. καθ' ἃ δὲ πρῶτον ἀπὸ τῶν ὑγιῶν τὸ πεπονθὸς ἤρξατο χωρίζεσθαι ταῖς τοῦ κατάγματος ῥωγμαῖς εἴσω μᾶλλον ἀπεληλυθότα, καὶ κατὰ τῆς μήνιγγος ἐστηριγμένα. τάχιστα γὰρ ἐπὶ τῶν τοιούτων ἐκκόπτεται, τὸ πεπονθὸς ἅπαν. ἑτοιμότερον ὑποδυομένου τοῦ φακωτοῦ πέρατος, ἐν τοῖς ἐπὶ πλεῖον ἐξεστηκόσι τοῦ κατὰ φύσιν. ἀλλὰ καὶ διὰ τῆς ὀστάγρας ἀνατείνοντος ἢ ἀνακλάσαντος ἔνια τῶν ἰσχυρῶς συντετρημένων ὀστῶν, κατ' ἐκεῖνο μάλιστα τὸ μέρος ὑποδύναι τὸν φακωτὸν παρασκευάζομεν. ἕπεται δὲ τούτου γινομένου, πάντα ἑξῆς ὧν δεόμεθα, σὺν ἀσφαλείᾳ τε ἅμα καὶ τάχει. καὶ σχεδὸν ὡς ἄν τις εἴποι, κατὰ μὲν τἆλλα σύμπαντα, καλῶς εἴρηται, τοῦτο δὴ τὸ πολυθρύλλητον. ἀρχὴ δὲ τὸ ἥμισυ παντός. ἐνταυθοῖ δ' οὐχ ἥμισυ τοῦ παντός, ἀλλ' ἤτοι πᾶν ἢ ὀλίγου δεῖν ἅπαν ἔχοις ἂν ἐνθεὶς τὸ φακωτόν. αὕτη μὲν οὖν ἀρίστη χειρουργία τῶν ἐν τῷ κρανίῳ καταγμάτων. ὁπόσον δὲ ἐκκόπτειν χρὴ τοῦ πεπονθότος, ἐφεξῆς σοι δίειμι. τὸ μὲν ἰσχυρῶς συντριβέν, ὅλον ἐξαιρεῖν. εἰ δ' ἀπ' αὐτοῦ τινὲς ἐπὶ πλέον ἐκτείνοιντο ῥωγμαί, καθάπερ ἐνίοτε φαίνεται συμβαῖνον, οὐ χρὴ ταύταις ἕπεσθαι μέχρι πέρατος, εὖ εἰδότας ὡς οὐδὲν βλάβος ἀκολουθήσει διὰ τοῦτο, τῶν ἄλλων ἁπάντων ὀρθῶς πραχθέντων. ἡμεῖς γοῦν οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ πάνυ πολλάκις τοῦτο ποιήσαντες, ἐτύχομεν τοῦ τέλους. ἡ δ' ἔνδειξις ἡμῖν κἀνταῦθα εἰκότως τῶν ποιητέων ἐκ τῆς φύσεως τῶν πεπονθότων μορίων εὑρέθη. ἣν γὰρ ἐπὶ τῶν ἄλλων καταγμάτων ἐπίδεσιν ὡς ἀφλεγμαντοτάτην ἐξεῦρεν ὁ λόγος, ἐπὶ κεφαλῆς οὐχ οἷόν τε ἐστὶ ποιήσασθαι. ὥστε οὔτε ἀποστρέψαι τὸ ἐπιρρέον, οὔτε τὸ περιεχόμενον ἐν τοῖς πεπονθόσιν ἐκθλίψαι δυνατόν. ὧν χωρὶς, οὐδὲ τῶν ἄλλων ὀστῶν οὐδέν, ὑγιὲς φυλαχθῆναι δύναται. ὑποκείσθω γοῦν βραχίων ἄχρι τοῦ μυελοῦ ῥωγμὴν ἐσχηκώς. εἶτα μηδεὶς αὐτὸν ἐπιδείτω νόμῳ καταγματικῷ, πᾶσα δήπουθεν ἀνάγκη τοὺς ἰχῶρας οὐκ ἔξω μόνον ὑπό τε τὸ δέρμα καὶ τοὺς μῦς ἀθροιζομένους, ἀλλὰ καὶ τῷ μυελῷ περιεχομένους, ἐκεῖνόν τε πρῶτον καὶ μάλιστα σῆψαι, καὶ σὺν αὐτῷ τὸ σύμπαν ὀστοῦν, ὅπου γε καὶ νῦν ἁπάντων προσηκόντως γινομένων, ἔστιν ὅτε τοιαῦτα συμπίπτει. πῶς οὖν οὐχὶ καὶ μᾶλλον ἂν ἐπὶ κεφαλῆς ταῦτα συμβαίνῃ. μήτε καταγματικὴν ἐπίδεσιν ἐγχωρούσης δέξασθαι, τῶν τε ἰχώρων ἐπὶ τὸ κάταντες φερομένων ὡς ἀθροίζεσθαι πάντας ἐπὶ τῆς μήνιγγος. ἐπὶ μὲν οὖν τῶν ἄλλων καταγμάτων ἡ ἐπίδεσις ὅταν ὀρθῶς γένηται, τοσοῦτο δεῖ, περιττὴν ὑγρότητα συγχωρεῖν ἐπιτρέφεσθαι κατὰ τὸ πεπονθὸς ὀστοῦν, ὥστε καὶ τοῦ κατὰ τὴν φύσιν ἰσχνότερον ἀποφαίνειν τὸ χωρίον. ἐπὶ δὲ τῆς κεφαλῆς, ὁ μὲν διὰ τῆς ἐπιδέσεως τρόπος, οὐχ οἷός τε ἐστὶ ξηραίνειν οὕτω τό, τε κατεαγὸς ὀστοῦν αὐτὸ καὶ τὰ πέριξ, ὡς μήτε φλεγμῆναι, μήτ' ὅλως ἐργάσασθαί τινα ἰχῶρα. φάρμακόν τε οὐδὲν οὐδ' ἐπὶ τῶν ἄλλων μερῶν ἄνευ τῆς ἐπιδέσεως, ἱκανὸν εἰς ὅσον εἴρηται, ξηρὸν καὶ ἀπέριττον ἐργάσασθαι τὸ κατεαγός. ἀναγκαῖον οὖν ἡμῖν γίγνεται γυμνῶσαί τι τοῦ κατάγματος, ἵν' ἔχωμεν ἐκμάττειν καὶ ἀποπλύνειν ἀπὸ τῆς μήνιγγος τοὺς ἰχῶρας, ἐπειδὰν ἅ, τε τῆς φλεγμονῆς παύσηται καιρός, ἀκριβῶς τε ᾖ ξηρὰ πάντα, σαρκῶσαι καὶ συνουλῶσαι τὸ χωρίον. οὐκ ἔστιν ὁ λόγος οὗτος ψιλός. οἷον οἱ μηδὲν ἐπ' αὐτῶν τῶν ἔργων εἰδότες σοφισταὶ ζητοῦσι, διὰ τί τὰ τῆς κεφαλῆς οὐ πωροῦται κατάγματα; πωροῦται μὲν γὰρ ὦ βέλτιστοι. καὶ ὑμεῖς οὕτως ἐστὲ ληρώδεις, ὥστε τῶν οὐκ ὄντων λέγειν

αἰτίας. οἶδα γοῦν ποτε τὸ μὲν τοῦ βρέγματος ὀστοῦν, συντριβέν. τὸ δ' ἐφεξῆς αὐτῷ τὸ τοῦ κροτάφου καλούμενον, ἐν ᾧ τὰς λεπιδοειδεῖς ἐπιβολὰς εἶναι συμβέβηκεν, ἄχρι πλείστου μεγίστην ἔχον ῥωγμήν. ἧς ἡμεῖς ὅλως μὴ προσαψάμενοι, μόνον δ' ἐκκόψαντες τὸ τοῦ βρέγματος, ἰασάμεθα τὸν ἄνθρωπον, ὡς καὶ νῦν ἔτι ζῆν ἐξ ἐτῶν πολλῶν. εἰ δὲ καὶ τοῦ βρέγματος ἰασάμεθα, οὕτως ἐσάπη θᾶττον ἡ ἐπὶ τοῦθ' ὑποκειμένη μῆνιγξ, ἢ ἐπωράθη τὸ κάταγμα, ὡς εἴγε μηδεὶς ἐκ τῶν πεπονθότων ἰχὼρ ἔνδον ἔρρει, προσῆκον ἦν ἐκκόπτειν ὀστοῦν. ἐκεῖνοι μὲν οὖν ὡς σύνηθες αὐτοῖς ἐστι, φλυαρείτωσαν. ἐγὼ δ' ἐφ' ἑτέρου κατάγματος ὁμοίως γεγονότος, ἐννενοηκὼς τὸ μὲν ὑψηλὸν ὀστοῦν ἐᾶσαι. τὸ δ' ἐν τοῖς πλαγίοις, ἐκκόψαι πρὸς ἀπόρρυσιν τῶν ἰχώρων. εἶτ' ἐννοήσας τό, τε πάχος αὐτοῦ καὶ τὴν σκληρότητα, βέλτιον ᾠήθην εἶναι τὸ μετέωρον ὀστοῦν ἐξελεῖν μᾶλλον, ἢ τῆς ἀπορρύσεως φροντίζων, σεῖσαι σφοδρῶς τὸν ἐγκέφαλον. ἐννενόηκα δὲ καὶ ὡς εἰς τὰ πλάγια γεννηθείσης ὀπῆς μεγάλης τοῖς ὀστοῖς, ἐξίσχειν ταύτῃ συμβήσεται τὸν ἐγκέφαλον. ἔστι δὲ δήπου πολλαχόθι κατὰ τὰ πλάγια, καὶ νεύρων τις ἔκφυσις ἐπικαίρων. ἐν δὲ τοῖς ὑψηλοῖς τῆς κεφαλῆς, οὐδὲ σμικρότατον οὐδαμόθι νεῦρον ἐκφύεται. διὰ ταῦτα μὲν δὴ ἀπέστην ἐκκόπτειν τὸ πλάγιον ὀστοῦν τῆς κεφαλῆς. ἐπωράθη δὲ ἀεὶ θεραπευόντων ὡς χρή. καὶ σχεδὸν ἔτι τοῦθ' ὑμῖν ὑπολείπεται διασκέψασθαι, τίς ἡ τῶν φαρμάκων τε καὶ ὅλης τῆς μετὰ τὴν ἀνάτρησιν ἐπιμελείας ἀγωγὴ βελτίστη πασῶν ἐστιν. ἆρά γε ἡ πραοτάτη καὶ παρηγορικωτάτη, καθάπερ νῦν ὑπὸ τῶν πλείστων γίνεται, ἢ ἡ ταύτης ἐναντιωτάτη διὰ τῶν ἰσχυρότατα ξηραινόντων φαρμάκων, οἷον καὶ Μέγης ὁ Σιδώνιος ἐπαινεῖ. καί τις ἡμέτερος πολίτης ἐχρῆτο διὰ παντὸς ὡς καὶ τὴν ἶσιν ἐπονομαζομένην εὐθέως ἐπιθεῖναι γυμνωθείσῃ τῇ μήνιγγι ἔμπλαστρον. καὶ κατὰ ταύτης ἔξωθεν ὀξύμελι. πρεσβύτης δὲ ἦν οὗτος ἱκανῶς τρίβων τὰ τοιαῦτα τῆς τέχνης. οὐ μὴν οὔτε ἄλλον τινὰ χρώμενον εἶδον, οὔτε αὐτὸς ἐτόλμησα χρήσασθαι. τοσοῦτο μόνον ἔχω μαρτυρεῖν τῷ Εὐδήμῳ, τοῦτο γὰρ ὁ πρεσβύτης ἐκαλεῖτο, ὡς ἐσώζοντο μᾶλλον οἱ ὑπ' ἐκείνου θεραπευόμενοι, τῶν παρηγορικῶς ἀγομένων. ἐπεχείρησα δ' ἄν ποτε καὶ αὐτὸς δι' ἐμαυτοῦ πειραθῆναι τῆς τοιαύτης ἀγωγῆς, εἰ διὰ παντὸς ἐν Ἀσίᾳ κατέμεινα. διατρίψας δ' ἐν Ῥώμῃ, τὰ πλεῖστα τῷ τῆς πόλεως ἔθει συνηκολούθησα, παραχωρήσας τοῖς χειρουργοῖς καλουμένοις, τὰ πλεῖστα τῶν τοιούτων ἔργων. τὴν μέν τοι φύσιν τοῦ πράγματος ἐπισκοπούμενος, ἐννοῶ τοιοῦτόν τινα διορισμόν, ὑπὸ μακρᾶς πείρας ἡμετέρας μαρτυρούμενον, ὁ καλούμενος ἀκουστικὸς πόρος, οὐ μόνον ἄχρι τῆς σκληρᾶς ἀφικνεῖται μήνιγγος, ἀλλὰ καὶ αὐτοῦ τοῦ νεύρου ψαύει τοῦ καθήκοντος ἐξ ἐγκεφάλου εἰς αὐτόν. κείμενος δ' οὕτως ἐγγύς, ὅμως ἰσχυροτάτων ἀνέχεται φαρμάκων, ὡς καὶ πρόσθεν εἴρηται. θαυμαστὸν οὖν οὐδέν, εἰ καὶ μετὰ τὰς ἀνατρήσεις ἡ μῆνιγξ ἡ παχεῖα, πρὶν ἀξιολόγως φλεγμῆναι, τοῖς ἰσχυροτάτοις χαίροι φαρμάκοις, ὡς ἂν φύσει ξηρὰ τὴν οὐσίαν ὑπάρχουσα.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ

ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

Τὴν θεραπευτικὴν μέθοδον ὦ Εὐγενιανὲ φίλτατε, πάλαι μὲν ὑπηρξάμην γράφειν, Ἱέρωνι χαριζόμενος. ἐπεὶ δὲ ἐξαίφνης ἐκεῖνος ἀποδημίαν μακρὰν ἀναγκασθεὶς στείλασθαι, μετ' οὐ πολὺν χρόνον ἠγγέλθη τεθνεώς, ἐγκατέλιπον κἀγὼ τὴν γραφήν. οἶσθα γὰρ ὡς οὔτε ταύτην, οὔτε ἄλλην τινὰ πραγματείαν ἔγραψα, τῆς παρὰ τοῖς πολλοῖς ἐφιέμενος δόξης, ἀλλ' ἤτοι φίλοις χαριζόμενος, ἢ γυμνάζων ἐμαυτόν, εἴς τε τὰ παρόντα χρησιμώτατον γυμνάσιον, εἴς τε τὸ τῆς λήθης γῆρας, ὡς ὁ Πλάτων φησίν, ὑπομνήματα θησαυριζόμενος. ὁ γάρ τοι τῶν πολλῶν ἀνθρώπων ἔπαινος, εἰς μὲν χρείας τινάς, ἐπιτήδειον ὄργανον ἐνίοτε γίγνεται τοῖς ζῶσιν, ἀποθανόντας δέ, οὐδὲν ὀνίνησιν, ὥσπερ οὐδὲ τῶν ζώντων ἐνίους. ὅσοι γὰρ ἥσυχον εἵλοντο βίον, ὠφελημένοι μὲν ἐκ τῆς φιλοσοφίας, αὐτάρκη δ' ἔχοντες τὰ πρὸς τὴν τοῦ σώματος θεραπείαν, τούτοις ἐμπόδιον οὐ σμικρόν ἐστιν ἡ παρὰ τοῖς πολλοῖς δόξα, περαιτέρω τοῦ προσήκοντος ἀπάγουσα τῶν καλλίστων αὐτούς. ὥσπερ ἀμέλει καὶ ἡμᾶς οἶσθα πολλάκις ἀνιωμένους ἐπὶ τοῖς ἐνοχλοῦσιν οὕτω συνεχῶς ἐνίοτε χρόνον ἐφεξῆς πολύν, ὡς μηδ' ἅψασθαι δυνηθῆναι βιβλίου. ἐγὼ δὲ οὐκ οἶδ' ὅπως εὐθὺς ἐκ μειρακίου θαυμαστῶς ἢ ἐνθέως, ἢ μανικῶς, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, καταφρονήσας μὲν τῶν πολλῶν ἀνθρώπων δόξης, ἐπεθύμησα δὲ ἀληθείας καὶ ἐπιστήμης. οὐδὲν εἶναι νομίσας οὔτε κάλλιον ἀνθρώποις, οὔτε θειότερον κτῆμα. διὰ ταῦτ' οὖν οὐδ' ἐπέγραψά ποτε τὸ ἐμὸν ὄνομα, τῶν ὑπ' ἐμοῦ γεγραμμένων βιβλίων οὐδενί. παρεκάλουν δ' ὡς οἶσθα καὶ ὑμᾶς μήτ' ἐπαινεῖν με παρὰ τοῖς ἀνθρώποις ἀμετρότερον ὥσπερ εἰώθατε, μήτ' ἐπιγράφειν τὰ συγγράμματα. διὰ ταῦτ' οὖν ἅπαντα καὶ ἡ θεραπευτικὴ μέθοδος ἐγκατελείφθη μοι. τὰ μὲν κεφάλαια τῶν εὑρημένων, διὰ βραχέων ὑπομνημάτων ἐμαυτῷ γράψαντός μου, διεξοδικὴν δ' οὐδεμίαν ἔτι προσθέντος διδασκαλίαν. νυνὶ δ' ἐπειδὴ καὶ σύ, καὶ ἄλλοι πολλοὶ τῶν ἑταίρων, ἅπερ ἐθεάσασθέ με πολλάκις ἐπὶ τῶν νοσούντων ἔργῳ διαπραττόμενον, ἐν ὑπομνήμασιν ἔχειν ἀξιοῦτε, προσθήσω τὸ λεῖπον ἔτι τῇδε τῇ πραγματείᾳ. ἐν μὲν οὖν τῷ τρίτῳ καὶ τετάρτῳ καὶ πέμπτῳ καὶ ἕκτῳ τῶνδε τῶν ὑπομνημάτων, τὸ κοινὸν νόσημα τῶν ὁμοιομερῶν τε καὶ ὀργανικῶν μορίων, ὅπως χρὴ θεραπεύειν ἐγγράφειν. ἀρξάμενος μὲν οὖν ἀπ' αὐτοῦ διότι τε σαφέστερόν ἐστι τῶν ἄλλων, ἐναργῆ τε τὸν ἔλεγχον ἔχει τῶν ἔμπροσθεν ἁπάντων σχεδὸν ἰατρῶν, ὅσοι μεθόδῳ μὲν ἐπαγγέλλονται μεταχειρίζεσθαι τὴν τέχνην, ἀμέθοδοι δέ εἰσιν ἐν ταῖς θεραπείαις. πλὴν γὰρ Ἱπποκράτους τοῦ πάντων ἡμῖν τῶν καλῶν παρασχόντος τὰ σπέρματα, τῶν ἄλλων οὐδεὶς οὐδ' ἐπεχείρησε τὸ γένος τοῦτο τοῦ νοσήματος ἰάσασθαι μεθόδῳ. δεῖται δὲ καὶ τὰ Ἱπποκράτους αὐτοῦ, γεωργῶν ἀγαθῶν, οἳ σπεροῦσί τε αὐτά, καὶ αὐξήσουσι, καὶ τελειώσουσι προσηκόντως. καὶ ὅτι πρὸ ἡμῶν οὐδεὶς τοῦθ' ἔπραξεν, ἀλλ' οἱ πλεῖστοί γε καὶ προσδιέφθειραν αὐτοῦ τὰ σπέρματα, νομίζω σαφῶς ἐπιδεδεῖχθαι τοῖς προσεσχηκόσι τὸν νοῦν. τοῦτο μὲν οὖν τὸ γένος τοῦ νοσήματος, εἴτε συνεχείας λύσιν, εἴθ' ἑνώσεως, εἴθ' ὁπωσοῦν ἄλλως ὀνομάζειν τις ἐθέλοι, καλεῖν ἐπετρέψαμεν ὡς ἑκάστῳ φίλον. οὐ γὰρ ὑπὲρ ὀνομάτων σπουδάζομεν, οὔτε κατὰ ταύτην τὴν πραγματείαν, οὔτε καθ' ἑτέραν τινὰ τῶν ἰατρικῶν

κῶν, ἀλλ' ὅπως ἂν μάλιστα τῆς τέχνης τοῦ τέλους τυγχάνωμεν. ἐπὶ δὲ τὸ πρῶτον ἁπάντων ἐπανερχόμεθα νῦν
τῷ λόγῳ νόσημα, τὸ τοῖς ὁμοιομερέσιν ἐγγινόμενον, ὧν πρῶτον εἰσὶν αἱ κατὰ τὸ ζῶον ἐνέργειαι. δέδεικται γὰρ ἐν
ἄλλαις πραγματείαις, ὅπως ἕκαστον τῶν ὀργανικῶν μορίων ἐνεργεῖν τι λέγομεν. οἷον ὀφθαλμὸν ὁρᾶν, ἢ βαδί-
ζειν σκέλος. ἐστὶ γὰρ οὔτε ὅλου τοῦ σκέλους, ἀλλὰ τοῦ μυώδους ἐν αὐτῷ γένους τὸ κῦρος τῆς ἐνεργείας. οὔτε ὀφθαλμοῦ τὸ
βλέπειν, ἀλλὰ τοῦ κρυσταλλοειδοῦς. ἐπί τε τῶν ἄλλων ἁπάντων ὀργάνων ἀνάλογον. ἐδείχθη δὲ ἐν τῷ δευτέρῳ τῆς
δε τῆς πραγματείας, καὶ ὡς ἀναγκαιότατόν ἐστι τὸ γένος τοῦ νοσήματος τούτου. καὶ ὡς οὐδεὶς αὐτὸ λογικῶς ἰάσαι-
το τῶν ἀγνοησάντων τὰ πρῶτα στοιχεῖα. καὶ ὡς οὐδὲν ὧν φθέγγονται συνιᾶσιν ἔνιοι, τῶν λογικοὺς ἑαυτοὺς ὀνομαζόντων.
ὅταν ἀτονίαν εἶναι φάσκωσιν, ἢ κοιλίας, ἢ ἐντέρων, ἢ ἥπατος, ἢ ὀφθαλμῶν, ἢ ὁτουδήποτοῦν μέρους. εἰ μὲν γὰρ τὴν
περὶ τὸ σύμφυτον ἔργον ἀσθένειαν οὕτως ὀνομάζουσιν, οὐδὲν ἰδιώτου πλέον ἴσασιν. ἀκοῦσαι γοῦν ἔστι κἀκείνων ἀτο-
νεῖν ἑαυτῶν τὴν γαστέρα φασκόντων. μὴ πέττειν γοῦν αὐτὴν, μήτε τὰ σμικρότατα καὶ κουφότατα τῶν προσφερο-
μένων. εἰ δὲ διάθεσίν τινα λέγουσιν ἐν τῇ γαστρὶ τὴν ἀτονίαν, ἑρμηνευσάτωσαν ἡμῖν ἥν τινα ποτὲ ταύτην εἶναι
φασὶν, ὡς ἐπὶ φλεγμονῆς ἐποίησαν. τῷ μὲν γὰρ ἐμπειρικῷ, τὰ συμπτώματα μόνον ἀρκεῖ τῶν πεπονθότων μορίων
ἑρμηνεῦσαι, παρὰ φύσιν ὄγκον εἰπόντι καὶ ἀντιτυπίαν. ὀδύνην τε σφυγματώδη καὶ τάσιν, ἔρευθός τε καὶ ὅσα
τοιαῦτα. καὶ τίθενταί γε πολλάκις ἓν ὄνομα κατὰ τοῦ σύμπαντος ἀθροίσματος ἕνεκα διδασκαλίας συντόμου. κα-
θάπερ ἐπὶ τοῦ προειρημένου φλεγμονήν. οἱ δογματικοὶ δ' οὐχ οὕτως, ἀλλ' αὐτὴν τὴν οὐσίαν ἐπισκέπτονται τοῦ νοσήμα-
τος, ᾗ τὸ προειρημένον ἄθροισμα τῶν συμπτωμάτων ἐξ ἀνάγκης ἕπεται. δοκεῖ γοῦν Ἐρασιστράτῳ τὸ παρεμπεσὸν εἰς
τὰς ἀρτηρίας αἷμα, πρὸς τοῦ πνεύματος ὠθούμενον, ἐν τοῖς πέρασιν αὐτῶν σφηνωθῆναι, καὶ τοῦτο εἶναι τὴν φλεγμο-
νήν. ἀλλ' ἦν οἶμαι δίκαιος ἢ Ἐρασίστρατος αὐτὸς, ἢ τῶν ἀπ' αὐτοῦ τις, ὁμοίως ἐξηγήσασθαι καὶ τὴν ἐν ταῖς ἀτονίαις
ἑκάστου μορίου διάθεσιν. ὥσπερ γὰρ ἐπὶ τῆς φλεγμονῆς εἰς ὅ, τι μεταπέπτωκεν ἡ φυσικὴ κατασκευὴ τοῦ μέρους ἐδή-
λωσεν, οὕτως ὁ λόγος ἐπιζητεῖ ῥηθῆναι καὶ τὴν εἰς ἀτονίαν ἑκάστου μορίου μετάπτωσιν. οὐ γὰρ δὴ κατὰ φύσιν γε δια-
κείμενον, ἀτονεῖ περὶ τὴν οἰκείαν ἐνέργειαν, ἀλλά τι πάντως αὐτῷ παρὰ φύσιν αἴτιον ἐγγινόμενον, ἐξέλυσέ τε,
καὶ κατέβαλε, καὶ νεκρῷ παραπλήσιον ἀπέφηνεν. ὃ οὔτε Ἐρασίστρατος, οὔθ' Ἡρόφιλος, οὔτ' ἄλλος οὐδεὶς ἰατρὸς εἶπε τῶν
μὴ τολμησάντων ἀποφήνασθαί τι περὶ τῆς τῶν πρώτων σωμάτων φύσεως. ἀλλ' οὐ χρὴ μηκύνειν ἐπὶ πλέον, αὐτάρ-
κως προαποδεδειχότας ἔμπροσθεν, ὡς χρησιμώτατόν τε τοῦτ' ἐστὶ τὸ γένος τοῦ νοσήματος ἐζητεῖσθαι τοῖς ἰατροῖς,
καὶ ἀναγκαῖον τὸ περὶ στοιχείων πρότερον ἐπεσκέφθαι, τὸν μέλλοντα καλῶς αὐτὸ ἐγχειρίζεσθαι. ὥσθ' ἡμῖν ὁ μέλλων
νῦν λεχθήσεσθαι λόγος, ἐπὶ τοῖς προαποδεδειγμένοις παρανθήσεται στοιχείοις. ὑπὲρ ὧν ἓν ὡς οἶσθα βιβλίον ἐποιη-
σάμεθα τὸ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐπιγεγραμμένον. ἔστι μὲν οὖν καὶ Διοκλεῖ καὶ Μνησιθέῳ καὶ Διεύχει καὶ
Ἀθηναίῳ, καὶ σχεδὸν πᾶσι τοῖς εὐδοκιμωτάτοις ἰατροῖς, ὥσπερ οὖν καὶ τῶν φιλοσόφων τοῖς ἀρίστοις, ἡ αὐτὴ δόξα πε-
ρὶ φύσεως σώματος, ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, νομίζουσι κεκρᾶσθαι. τά τε ἄλλα σύμπαντα σώματα, καὶ
τὰ τῶν ζώων οὐχ ἥκιστα. τῷ δὲ περὶ τούτων ἁπάντων ἀποφηναμένῳ τε καὶ ἀποδείξαντι πρώτῳ, δίκαιον οἶμαι
μαρτυρεῖν ἐστι τὴν εὕρεσιν. καὶ διὰ τοῦθ' ἡμεῖς ὀνομάζομεν αὐτὰ καθ' Ἱπποκράτην στοιχεῖα. κἂν ὅτι μάλιστα
Χρύσιππος ἢ Ἀριστοτέλης ἤ τις ἄλλος ἰατρὸς ἢ φιλόσοφος, ὡσαύτως ὑπὲρ αὐτῶν δοξάζῃ. καὶ τοίνυν ἐπειδὴ
τῶν τοῦ ζώου μορίων ἕκαστον ἰδίαν ἐνέργειαν ἐνεργεῖ, τῶν ἄλλων ἐνεργειῶν εἰς τοσοῦτον διαφέρουσαν, εἰς ὅσον καὶ αὐ-
τὸ διαφέρει τῶν ἐνεργούντων αὐτὰς, διαφέρει δὲ τῷ θερμότερον ἢ ψυχρότερον ἢ ὑγρότερον ἢ ξηρότερον ὑπάρ-
χειν, ἢ κατὰ συζυγίαν τι τούτων πεπονθέναι, τὴν κρᾶσιν αὐτῶν φυλακτέον ἐστὶ, τῷ τὴν ἐνέργειαν φυλάττοντι. φυ-
λαχθήσεται δὲ, ψυχόντων μὲν εἰ πρὸς τὸ θερμότερον ἐκτρέποιτο. θερμαινόντων δὲ, εἰ πρὸς τὸ ψυχρότερον. ὑ-
γραινόντων δὲ, εἰ πρὸς τὸ ξηρότερον. οὕτω δὲ καὶ ξηραινόντων μὲν εἰ ὑγραίνοιτο. ξηραινόντων δ' ἅμα καὶ θερμαινόν-
των, εἰ ὑγραίνοιτό τε ἅμα καὶ ψύχοιτο. ξηραινόντων δὲ καὶ ψυχόντων, εἰ πρὸς τὸ ὑγρότερόν τε καὶ θερμότερον ἐκ-
τρέποιτο. καὶ κατὰ τὰς λοιπὰς δύο συζυγίας ἀνάλογον. ἀεὶ γὰρ χρὴ τῷ πλεονάζοντι, τὸ ἐναντίον ἀντεισάγειν εἰς το-
σοῦτον, ἄχρις ἂν εἰς τὸ σύμμετρόν τε κατὰ φύσιν ἀγάγῃς τὸ μόριον. ἡ μὲν δὴ καθόλου τοῦ γένους ἅπαντος νοσήμα-
τος ἐν ὁμοιομερέσι συνισταμένου μέθοδος ἰάσεως, ἤδη μοι λέλεκται. ὀκτὼ γὰρ ὄντων αὐτῶν, ὡς ἐν τῷ περὶ τῆς τῶν
νοσημάτων ἀποδέδεικται διαφορᾶς, ὀκτὼ καὶ οἱ τῆς ἰάσεως ἔσονται τρόποι, κοινὸν ἔχοντες σκοπὸν τὴν ἀλλοίω-
σιν τοῦ πεπονθότος ὁμοιομεροῦς σώματος. ἐπειδὴ καὶ τὸ νόσημα αὐτὸ κατὰ δυσκρασίαν καὶ ἀλλοίωσιν, ἐγένετο τῆς
κατὰ φύσιν ἑκάστου κράσεως. ἡ δὲ τῶν κατὰ μέρος ἴασις, ἐν δυοῖν τούτοιν περιεχομένη γίνεται, τῇ τε τῆς ὕλης εὐπο-
ρίᾳ, καὶ τῇ ταύτης ἐπιδεξίῳ χρήσει. τὴν μὲν δὴ τῶν φαρμάκων εὐπορίαν, ἔκ τε τῆς περὶ τῶν ἁπλῶν φαρμάκων δυ-
νάμεως, ἔτι τε τῆς περὶ συνθέσεως αὐτῶν πραγματείας ἔξεστί σοι λαμβάνειν μεθόδῳ. τὴν δὲ ὁδὸν τῶν διαιτημά-
των, ἐντεῦθεν. ἀλλὰ καὶ ὅπως χρὴ διαγινώσκειν ἑκάστου μορίου δυσκρασίαν, ἐκ τριῶν πραγματειῶν ἀναμιμνή-
σκου. πρώτης μὲν τῆς περὶ κράσεων. δευτέρας δὲ, τῆς περὶ τῶν πεπονθότων μορίων. καὶ τρίτης, ἣν ἐπιγράφομεν
ἰατρικὴν τέχνην. οὔκουν ἔτι δεῖ πολλῶν εἰς τὰ νῦν ἐνεστῶτα τοῖς φύσει τε συνετοῖς καὶ γεγυμνασμένοις τὸν λο-
γισμὸν ἐν τοῖς πρώτοις. ὅτῳ δὲ οὐδέτερον ὑπάρχει τούτων, ἔτ' ἐνδεῖ τῷ λόγῳ πάμπολυ. εἰ δὲ καὶ μοχθηρᾷ λόγων
αἱρέσει συνανετράφη, διττὴ γ' οὕτω χρεία τοῦ χρόνου. ἑτέρου μὲν ἵνα ἀποτρίψηται τὰς μοχθηρὰς δόξας. ἑτέρου δ' ἵν'
ἀσκηθῇ κατὰ τὰς βελτίους. σὺ μὲν οὖν εὖ οἶδ' ὅτι καὶ αὐτὸς ἱκανὸς ὑπάρχεις ἐκ τῶν καθόλου τοῦ γένους εἰρημένων,
εὑρίσκειν τὰ κατὰ μέρος. ἀλλὰ καὶ ἡμᾶς ἐθεάσω πολλὰ τῶν τοιούτων νοσημάτων ἰωμένους. ὥστ' ἐξ ἀμφοτέρων ἔχεις
τὸ μὴ δεῖσθαι τῶν κατὰ μέρος. ἀλλ' ἐπεὶ φησὶν ὁ Πλάτων, οὐ γάρ ἐστι τὰ γραφέντα μὴ ἐκπεσεῖν, ἵν' εἴποτε καὶ εἰς ἄλλον
ἀφίκοιτο τὸ βιβλίον ἀγύμναστον τῷ λογισμῷ, ῥᾷον αὐτὸν διδάξει, προσθεῖναι χρὴ τινὰ τῶν κατὰ μέρος. ἐξ ὧν εὐ-
θέως ἐνέσται καὶ αὐτὸ τοῦτο πεισθῆναι σαφῶς, ὃ μικρὸν ἔμπροσθεν εἴρηται, ὡς δυνατόν ἐστι σαυτῷ τὰ κατὰ μέρος
ἐξευρίσκειν. ἐγὼ γοῦν ἐμαυτῷ πάντα ἐξεῦρον αὐτὰ, τῷ λόγῳ ποδηγούμενος. ὅσον μὲν γὰρ ἐπὶ τοῖς διδασκά-
λοις, ἐχρῆν δή που κἀμὲ, τοῖς ἀτόνοις τὴν γαστέρα συμβάλλειν, ἐδέσματα μὲν τὰ στύφοντα καὶ ὑπόπικρα. καὶ

Contraria contrariorum remedia.

In Phaedro

οἶνον ὡσαύτως τὸν αὐστηρόν. ἀψίνθιόν τε καὶ τὸν διὰ μήλων κυδωνίων χυλοῦ. καὶ ὅσα τοιαῦτα καταπίνεται φάρμακα. τῶν δ' ἔξωθεν ἐπιτιθεμένων, πρώτην μὲν ἡ δι' ἀψινθίου καὶ ὠμοτριβοῦς ἐλαίου καταντλησιν. εἶτ' ἐπίδεσιν ἐρίου πιλήματος, ἐξ αὐτῶν τε τούτων καὶ προσέτι μύρου μηλίνου καὶ μαστιχίνου καὶ ναρδίνου. καὶ μετὰ ταῦτα κηρωτὴν διὰ τῶν αὐτῶν ἐσκευασμένην. εἶτ' ἄλλα φάρμακα κηρωτῶν ἰσχυρότερα, τὰ πρὸς τῶν ἰατρῶν ἐπιθέματα καλούμενα, διά τε τῶν εἰρημένων μύρων συγκείμενα, καὶ φαρμάκων τῶν παραπλησίων, ἐν οἷς ἐστιν ἤδη καὶ ἀρωμάτων πλῆθος οὐκ ὀλίγον, στάχυς νάρδου, καὶ ἄμωμον, καὶ ὁ ἀρωματικὸς κάλαμος, ἶρίς τε, καὶ λάδανον. καὶ τὸ τοῦ μαλαβάθρου φύλλον, καὶ στύραξ, καὶ βδέλλιον. ὀποβάλσαμόν τε, καὶ βάλσαμον, καὶ ξυλοβάλσαμον. ὅ, τε λοιπὸς τῶν ἀρωμάτων κατάλογος. εἰ δὲ μηδὲ ταῦτα μηδὲν ἐνεργοίη, τὸ κοινὸν ἁπάντων τῶν ἀτονούντων ἐπὶ τέλει βοήθημα ποιοῦμεν. καλοῦσι δ' αὐτὸ φοινιγμόν. ἤτοι διὰ θαψίας γιγνόμενον, ἢ διὰ νάπυος, ἤ τινος τῶν τοιούτων. εἶτ' ἀποπέμψαι πρὸς ὑδάτων χρῆσιν αὐτοφυῶν. οὐδὲν γὰρ τούτων οἶδε πλέον ὁ ἐμπειρικός, ὡς καὶ τὰ συγγράμματα αὐτῶν δηλοῦσι. Κόϊντος μέν γε τοῖς ἀπεπτεῖν ἢ ἀνορεκτεῖν φάσκουσι, πρῶτον μὲν γυμνάζεσθαι συνεβούλευε, καὶ ἐσθίειν, ὡς εὐπεπτότατά τε καὶ μὴ πολλά. μηδὲν δὲ ὠφελουμένων, ἠναγκάζετο καὶ αὐτός, εἰς τὰ τῶν ἐμπειρικῶν μεταπίπτειν. τίς γὰρ οὐκ οἶδεν ὡς τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ ξηρὸν καὶ ὑγρόν, εἰώθει σκώπτειν βαλανείων ὀνόματα προσαγορεύων. ὧν χωρίς, ἀδύνατόν ἐστι θεραπεῦσαι μεθόδῳ τὰς ἀτονίας τῶν μορίων. ὥσθ' ὅσον μὲν ἐπὶ τούτοις, τὴν αὐτὴν ὁδὸν ἐβάδιζον ἂν κἀγὼ κατὰ τὴν τῶν τοιούτων διαθέσεων ἴασιν. ἀλλ' ὁ λόγος ἐδίδαξέ με τὰς ὀκτὼ διαφορὰς τῆς θεραπείας ἀτόνου γαστρός. ἐθεάσω γοῦν καὶ σύ τινας μέν, ἡμέρᾳ μιᾷ, μᾶλλον δὲ ὥρᾳ, ψυχροῦ πόσει θεραπευθέντας. ὧν ἐνίοις μὲν οὐ μόνον τὸ πρόσφατον ἔδωκα πηγαῖον, ἀλλὰ καὶ τὸ διὰ χιόνος ἐψυγμένον. ὡς ἐν Ῥώμῃ σκευάζειν ἔθος ἔχουσι, προθερμαίνοντες τὴν κατασκευὴν ἣν αὐτοὶ προσαγορεύουσι δηκόκταν. ἐδέσματά τε τὰ οὕτως ἐψυγμένα πολλάκις ἐθεάσω συγχωροῦντά με λαμβάνειν αὐτοῖς. ἐν οἷς ἐστι καὶ ἡ μέλκα, τῶν ἐν Ῥώμῃ καὶ τοῦτο ἐν εὐδοκιμούντων ἐδεσμάτων, ὥσπερ καὶ τὸ ἀφρόγαλα. τοῖς δ' αὐτοῖς τούτοις, καὶ τὰς ψυχρὰς κατὰ δύναμιν ὀπώρας, ὁμοίως ἀπὸ ψύχους ἐδίδου. καὶ πτισάνην καλῶς ὡσαύτως ἐψυγμένην. ἕτερά τε τοιαῦτα μυρία. σκοπὸν ἕνα ποιούμενος ἐπ' αὐτῶν, τὴν ψύξιν. ἐκώλυον δ' ἀψινθίου καὶ τῶν στυφόντων ἅπτεσθαι. καθάπερ γε καὶ ἄλλους, ὁμοίως μὲν ἀπεῖργον τῶν ψυχόντων. ἐθέρμαινον δὲ παντοίως οἶνον παλαιὸν τῶν ἱκανῶς θερμῶν τῇ δυνάμει διδούς, οἷοι μάλιστά εἰσι φαλερῖνός τε καὶ σουρρεντῖνος. καὶ τροφὰς θερμαινούσας μετὰ πεπέρεως συχνοῦ. τισὶ δ' ὡς οἶσθα τὸν σκοπὸν τῆς θεραπείας ἐποιησάμην ἐν τῷ ξηραίνειν. καὶ ἦν αὐτοῖς ἐδέσματά τε τὰ φύσει ξηρά, καλῶς ὠπτημένα. καὶ τὸ σύμπαν ὀλιγοστὸν ποτόν. ἥ τε τῶν στυφόντων ἁπάντων χρῆσις, ἣν μόνην γινώσκουσιν οἱ χωρὶς λόγου θεραπεύοντες αὐτούς. ἄλλον δ' οὐ πρὸ πολλοῦ ξηρότατον ἤδη γεγενημένον, ὡς ὁμοιότατον εἶναι τὴν ἰδέαν τοῖς μαρασμώδεσιν, ἰασάμην, εἰς τὰ ἐναντία πάντα μεταγαγών, ἢ ὡς οἱ θαυμασιώτατοι ἰατροὶ συνεβούλευον. οὐδὲ γὰρ οὐδ' ἐξ ἄλλου τινὸς εἰς τοῦτο ἧκε κινδύνου. βραχεῖαν τότε κατ' ἀρχὰς ἔχων δυσκρασίαν ἐπὶ ξηρότητι, δεομένην ὑγράνσεως. ἀλλ' οἱ παραλαβόντες αὐτόν, ἀψίνθιόν τε ποτίζοντες, καὶ πικροὺς ἀσπαράγους καὶ βολβοὺς ἐσθίειν διδόντες, ἔτι τε μῆλα κυδώνια, καὶ κεστιανά, καὶ ῥοιάς. ὕστερόν τε, ὡς οὐδὲ μὲν ὁ τούτων ἡ γαστὴρ ἐκράτει, καὶ ῥοῦ χυλὸν ἀναγκάζοντες πίνειν, ὅσα τε ὀλίγον ἔμπροσθεν εἶπον ἐπιτιθέντες ἔξωθεν. ὀλίγου δεῖν ἀπέφηναν τὸ ἀλίβαντα, ὅνπερ ἡμεῖς ἰασάμεθα, παντοίως ὑγραίνοντες. αὐτοὶ τὴν ὕλην ἐξευρίσκοντες, ἐκ τῆς γεγραμμένης ἡμῖν μεθόδου κατὰ τὴν περὶ τῶν φαρμάκων πραγματείαν. ὡς γὰρ κἂν τῷ περὶ τῆς ἀρίστης αἱρέσεως εἴρηται γράμματι; περιαντληθεὶς ὑπὸ τοῦ πλήθους τῆς τῶν ἰατρῶν διαφωνίας, εἶτ' ἐπὶ τὸ κρίνειν αὐτὴν τραπόμενος, ἔγνων χρῆναι πρότερον ἐν ταῖς ἀποδεικτικαῖς μεθόδοις γυμνάσασθαι. καὶ τοῦτο πράξας, ἔτεσιν ἐφεξῆς πολλοῖς, ὑπέβαλλον οὕτως ἕκαστον τῶν δογμάτων αὐτῇ. καὶ ὡς ἡ τῶν εὑρεθέντων ἔνδειξις ὑφηγεῖ με, τὰς θεραπείας ἐποιούμην. ἀλλὰ γὰρ οὐ πάντες γε τοιοῦτοι. χρὴ τοίνυν γράφειν αὐτοῖς γυμνάσια τῆς ἐν τοῖς κατὰ μέρος εὐπορίας τῶν ὑλῶν, ἐπὶ τοῖς ὀκτὼ σκοποῖς τῆς θεραπείας, ἀρξαμένους αὖθις ἀπὸ τῆς κοιλίας, ἐπειδὴ πρώτης ταύτης ἔτυχον ἄρτι μνησθείς. εὐιατώταται μὲν οὖν εἰσιν αἱ κατὰ θερμότητα καὶ ψύξιν ἀλλοιώσεις. ὅτι ταῖς δραστικωτάταις ἐπανορθοῦνται ποιότησι. δυσιατώτεραι δέ, αἱ καθ' ὑγρότητα καὶ ξηρότητα. ταῖς γὰρ ἀσθενέσι, καὶ ὡς ἂν εἴποι τις, ὑλικωτέραις ποιότησιν, ἡ ἴασις αὐτῶν ἐπιτελεῖται. καὶ μάλιστα ὅταν ὑγραίνειν δέῃ. τὰ μὲν δὴ τοῦ χρόνου τῆς ἐπανορθώσεως, ἴσά πως ἐστὶ θερμότητί τε καὶ ψυχρότητι. τὸ δὲ τῆς ἀσφαλείας, οὐκ ἴσον. εἰ μὴ γὰρ ἰσχυρὰ πάντα εἴη τὰ πέριξ μόρια τοῦ θεραπευομένου, κίνδυνος αὐτοῖς ὑπὸ τῶν ψυχόντων, οὐ σμικρὰν πληγῆναι πληγήν. ἐπὶ δὲ τῶν ὑπολοίπων δυοῖν ποιοτήτων, ἡ μὲν ἀσφάλεια, παραπλήσιος. ὁ δὲ χρόνος τῆς θεραπείας, πολλαπλάσιος ἐπὶ ταῖς ξηραῖς δυσκρασίαις. οἷον γάρ τι τὸ γῆράς ἐστιν ἐπὶ τῶν ὑγιαινόντων, τοιοῦτον ἡ ξηρὰ δυσκρασία τοῖς νοσοῦσιν. ὥστε καὶ ἀνίατον ὑπάρχειν ὅταν ἀκριβῶς συμπληρωθῇ. τὸ δ' ἀκριβὲς τῆς συμπληρώσεως ἐστίν, ἐν τῷ τὰ τῆς στερρᾶς οὐσίας τῶν ὁμοιομερῶν σωμάτων γεγονέναι ξηρότερα. ἑτέρα γάρ ἐστιν ἡ ξηρότης τῶν ἐκ τῆς ὑγροπαγοῦς οὐσίας συνεστώτων, ὁποῖόν ἐστι πιμελὴ καὶ σὰρξ ἐκτακέντων. καὶ τρίτη γε πρὸς ταύταις, τῆς οἰκείας ὑγρότητος ἐξ ἧς τρέφεται τὰ μόρια τελέως ἀπολλυμένης. περιέχεται δ' αὕτη κατὰ πάντα τοῦ ζώου τὰ μόρια δροσοειδῶς ἐν αὐτοῖς παρεσπαρμένη. καὶ λέλεκται πολλάκις ἤδη περὶ αὐτῆς ἑτέρωθι. ταύτην οὖν ἐνθεῖναι τοῖς μορίοις οὐχ οἷόν τε χωρὶς τροφῆς. καὶ διὰ τοῦτο χαλεπωτάτη τῶν τοιούτων ἐστὶ διαθέσεων ἡ ἴασις. ἄλλη δὲ ξηρότης ἐστὶν ἡ κατὰ τὰς μικρὰς ἀρτηρίας καὶ φλέβας τὰς ἰδίας ἑκάστου τῶν μορίων συνισταμένη. γίγνεται δὲ αὕτη δηλονότι κατὰ τὴν τοῦ αἵματος ἔνδειαν. ἁπάσας ταύτας τὰς ξηρότητας ἐσχάτως βλάπτουσιν, αἱ τῶν αὐστηρῶν ἐδεσμάτων καὶ πομάτων καὶ φαρμάκων προσφοραί. ἐκδαπανῶσι γὰρ εἰ καί τι λείποιτο τῆς ἐν αὐτοῖς ὑγρότητος ἐμφύτου. τὸ μὲν ἐκπιέσασαι. τὸ δέ, ἐκθλίβουσαι διὰ τῶν πόρων, εἰς τὴν ἐντὸς εὐρύτητα τῆς κοιλίας. τὸ δ' ἐπὶ τὰ συνεχῆ μόρια διωθούμεναι, θεραπεύειν οὖν αὐτὰς προσήκει, τὸ μὲν συνιζήσεως τῶν πόρων, ἀναπεταννύντα. τὰ δ' εἰς τὰ παρακείμενα μόρια

μόρια δηλαδὴ, ἐπισπωμένου. ὑγραίνουσι τε τροφαὶ πληροῦντα τῆς οἰκείας ὑγρότητος ἕκαστον τῶν ὁμοιομερῶν. ὥσπερ καὶ ἡμεῖς τὸν ἐξηρασμένον ὑπὸ τῶν ἰατρῶν ἐθεραπεύσαμεν ἄνθρωπον. ἐν μὲν γὰρ τῇ περὶ τὸ θερμὸν καὶ ψυχρὸν ἀντιθέσει, μηδεμίαν ἐπικρατοῦσαν ἐναργῶς ἔχοντα δυσκρασίαν, μήτε καθ' ὅλον τὸ σῶμα, μήτε κατὰ τὴν γαστέρα, ξηρὸν δὲ καὶ λεπτὸν ἱκανῶς γεγενημένον, ἐκ τοῦ μὴ πέττειν καλῶς ἀτονούσης τῆς κοιλίας ἐπὶ τῇ περὶ ξηρότητα δυσκρασίᾳ. τούτου γὰρ ὁ μὲν σκοπὸς τῆς θεραπείας ἦν, ὑγρᾶναι τήν τε γαστέρα, καὶ σύμπαν τὸ σῶμα. τίσι δ' ἐνεργείαις ἐχρησάμεθα ταῖς κατὰ μέρος, ἐπὶ τίσι τε μάλιστα ὕλαις ὑπὲρ τοῦ τυχεῖν τοῦ σκοποῦ, διελθεῖν ἄμεινον. οἴκημα μὲν αὐτῷ παρεσκευασάμην ἐγγυτάτω τοῦ βαλανείου, τοιαῦτα δ' ἐστὶν ὡς οἶσθα πολλὰ κατὰ τὰς τῶν πλουσίων οἰκίας, ἐξ αὐτοῦ δ' εὐθέως ἕωθεν, εἰς τὸ βαλανεῖον εἰσφερόμενον ἐπὶ σινδόνων, ὅπως μὴ καταξηραίνοιτό τε δι' ἑαυτοῦ κινούμενος, ἐκλύοιτό τε πρὸ τοῦ δέοντος καιροῦ. τούτων γὰρ, τὸ μὲν εἰς αὐτὴν τὴν διάθεσιν συντελεῖ, τὸ δὲ, συντέμνει τὴν ἐν τῷ βαλανείῳ διατριβήν. ἐπεὶ πλεῖστον γὰρ χρὴ τὸν ἄνθρωπον ἐνδιατρίβειν τῷ ὕδατι. καὶ διὰ τοῦτο καὶ αἱ κολυμβῆθραι βελτίους εἰσὶ τῶν μικρῶν πυέλων. καὶ μάλιστα ὅσαι πλησίον ὑπάρχουσι τῆς ἔξωθεν θύρας, ὡς μὴ δὲ διὰ μακροῦ τὴν ἐκ τοῦ ὕδατος αὐτῷ πρὸς τοὔκτος εἶναι φοράν. οὐ γὰρ δὴ τοῦ ἀέρος ἐπὶ τῶν οὕτως ἐχόντων χρῄζομεν. ἔστω δ' ἀκριβῶς εὔκρατον τὸ ὕδωρ. τὸ μὲν γὰρ ψυχρότερον, λεληθυῖαν ψύξιν ἐναπεργάζεται τοῖς ἀσθενοῦσι σώμασι. τὸ δὲ θερμότερον, συνάγει καὶ σφίγγει τοὺς πόρους καὶ πυκνοῖ. ἡμεῖς δ' ἀνεῖναι καὶ χαλάσαι καὶ ἀνευρῦναι δεόμεθα συνεζηκότας αὐτούς. ὅπερ ἡ τῶν εὐκράτων ὑδάτων ἐργάζεται ποιότης. ἡδίστη γὰρ οὖσα, προκαλεῖται τὴν φύσιν ἐξαπλοῦσθαι καὶ ἐκτείνεσθαι πανταχόσε πρὸς τὸ τερπνὸν ἀνάπαλιν τοῖς ἀηδέσιν. ἀναχωρεῖ γὰρ ἀπὸ τούτων καὶ φεύγει πρὸς τὸ βάθος. οὐδὲν οὖν θαυμαστὸν ἐπὶ μὲν τῇ τῶν ἀνιόντων ὁμιλίᾳ, πιλεῖσθαι καὶ σφίγγεσθαι καὶ σκληρύνεσθαι τὰ σώματα, καὶ τοὺς πόρους αὐτῶν συνάγεσθαι καὶ πυκνοῦσθαι. τοῖς δ' ἐναντίοις τοῖς ἡδέσιν, ἕπεσθαι τὰ ἐναντία. χεῖσθαι μὲν γὰρ καὶ μαλάττεσθαι τὰ σώματα, τοὺς πόρους δ' εὐρύνεσθαι. μετὰ δὲ τὸ τοιοῦτον λουτρὸν, εὐθέως ἐδίδομεν ὄνειον γάλα, τὴν ὄνον εἰς τὸν οἶκον εἰσάγοντες ἐν ᾧ κατέκειτο. ἐπεπείσμεθα γὰρ ὡς μάλιστα μὲν εἰ αὐτὸν τὸν ἄνθρωπον οἷόν τε ἦν θηλάζειν τὴν ὄνον, οὕτως ἂν ἐθεραπεύθη τάχιστα. τούτου δ' ἔχοντος ἀηδίαν, ἐλάχιστον χρόνον ὁμιλεῖν αὐτὸ τῷ περιέχοντι ἀέρι, τάχιστα μεταβάλλεσθαι πεφυκὸς, ὁμοίως τῷ σπέρματι. καὶ γὰρ καὶ τοῦτο, χρόνον οὐδένα χρὴ διαμένειν ἔξω τῶν οἰκείων ὀργάνων εἰ μέλλει τὴν ἑαυτοῦ φυλάξαι δύναμιν. ἀλλ' ἢ ἐν τοῖς τοῦ ἄρρενος εἶναι μορίοις, ἢ τοῖς τῆς θηλείας συνῆφθαι. καὶ δὴ καὶ τὸ γάλα κάλλιστον μὲν εἰ ἐξ αὐτῶν τῶν θηλῶν ἐπισπῷτό τις, ὥσπερ Εὐρυφῶν καὶ Ἡρόδοτος ἀξιοῦσιν. οἳ τοσοῦτον ἄρα τεθαρρήκεσαν αὐτῷ πρὸς ἀνάθρεψιν σωμάτων, ὥστε καὶ τοὺς ὑπὸ φθόης συντετηκότας, ἐκέλευον ἐντιθεμένους τοῦ τιτθοῦ τῆς γυναικὸς τὴν θηλὴν βδάλλεσθαι τὸ γάλα. τοῦτο δὲ οὐχ ὑπομενόντων ποιεῖν τῶν πλείστων, ἄμεινόν ἐστιν ὅτι τάχιστα θερμὸν μεταφέρειν ἐκ τῶν τιτθῶν εἰς τὴν κοιλίαν τοῦ κάμνοντος αὐτό. τὸ μὲν οὖν ἀνθρώπειον ὡς ἂν ὁμόφυλον, ἄριστον. ἐπεὶ δ' οὐχ ὑπομένουσιν οἱ πολλοὶ γάλα γυναικὸς προσφέρεσθαι ἡλίκην παιδίων, ὡς ὄνοις αὐτοῖς δοτέον ὄνειον γάλα. τοῦτο γάρ ἐστι πάντων τῶν ἄλλων ἄριστον εἰς τὴν ἐνεστῶσαν διάθεσιν. λεπτότατον γὰρ ὑπάρχει, ἥκιστά τε τυροῦται, καὶ τάχιστα διαδίδοται πανταχόσε. δεῖται δ' ἀμφοῖν τούτοιν ὁ πεπονθὼς τὴν γαστέρα. τοῦ μὲν μὴ τυροῦσθαι, διὰ τὴν κοινὴν χρείαν. ἅπαντας γὰρ βλάπτει τοῦτο. τοῦ διαδίδοσθαι δὲ, διά τε τὸ δεῖσθαι ταχείας θρέψεως, καὶ ὅτι μεμύκασιν αὐτῆς αἱ διέξοδοι. τοῦτό τε οὖν δοτέον αὐτὸ καθ' αὑτὸ, καὶ μέλι χλιαρὸν ὀλίγον ἐπιμιγνύντα αὐτῷ. μεγίστη δ' ἔστω φροντὶς ἀμφοῖν τῆς ἀρετῆς, ἐν ταῖς τοιαύταις διαθέσεσι. τὸ μὲν οὖν μέλι τὸ ξανθὸν τὴν χροιὰν, καὶ ἡδὺ τὴν ὀσμὴν, καὶ καθαρὸν οὕτως, ὡς ὅλον διαυγεῖσθαι καὶ γευομένοις ἐπ' ὀλίγον δριμὺ καὶ ἥδιστον. εἰς τοσοῦτό τε συνεστὸς, ὡς ἐπαρθὲν τῷ δακτύλῳ, καταρρεῖν χαμᾶζε, συνεχὲς ἑαυτῷ διαμένον, ἁπάντων ἄριστον. εἰ δ' ἀρρηγνύοιτο κατά τι καὶ μὴ μένοι συνεχὲς ἐπὶ τὴν γῆν καταφερόμενον, ἤτοι παχύτερόν ἐστιν, ἢ λεπτότερον, ἢ ἀνομοιομερές. ὀνομάζω δὲ ἀνομοιομερὲς, ὥσπερ οὖν καὶ αὐτὸ τοὔνομα ἐνδείκνυται, τὸ συγκείμενον ἐξ ἀνομοιομερῶν. εὑρήσεις οὖν αὐτὸ διαθεώμενος ἤτοι παχύτητας ἢ ὑγρότητας ἐμφερομένας ἔχον, οὐχ ὁμοίας ἀλλήλαις τε καὶ τῷ παντί. κηρωδέστερον οὖν μέλι, τό, τε παχὺ, καὶ ᾧ τοιαῦται τινὲς ἐμφέρονται παχύτητες. περιττωματικώτερον δὲ καὶ ἀκατεργαστότερον καὶ δυσπεπτότερον, τό, θ' ὑγρὸν ὅλον, ᾧ τε πολλαὶ κατὰ τὰ μόρια κατεσπαρμέναι φαίνονται σταγόνες ὑγρότητος. ᾧ δ' ἐμφέρεταί τις ἢ κηροῦ ποιότης, ἢ προπόλεως, ἥτις ἄλλη τοιαύτη γευομένοις, οὐ μόνον οὐκ ἄριστον, ἀλλ' ἤδη καὶ φαῦλον. ὅλως γὰρ οὐδεμίαν ἐπέχουσαν ἑτέρου οὐδενὸς πράγματος ἐν αὐτῷ χρὴ περιέχεσθαι ποιότητα. διόπερ οὐδὲ τὸ τῶν θύμων ὄζον ἐναργῶς ἐπαινῶ. ἀκατεργαστότερον γάρ ἐστι τοῦτο, καὶ οὐκ ἀκριβῶς περ μέλι. καίτοι τινὰς οἶδα τὸ τοιοῦτον ἐπαινοῦντας: ὥστε καὶ τῶν πιπρασκόντων ἔνιοι κόπτοντες τὸν θύμον ἐπιβάλλουσιν, ὅπως αὐτοῦ ὄζοι, καὶ δόξειεν εἶναι κάλλιστον. ἀλλ' ἐγὼ τὸ μὲν οὕτως ἀναιδῶς ὄζον, οὐκ ἐπαινῶ. καὶ πολὺ δὴ μᾶλλον, εἰ ἐπεμβληθείη τι θύμου. τὸ δ' ἀμυδράν τινα ποιότητα κατ' ὀσμὴν ἢ γεῦσιν φέρον, οὐ μέμφομαι. Κατὰ ταῦτα δὲ, καὶ τὸ γάλα μηδεμίαν ἔξωθεν ἐπιδεικνύσθω ποιότητα κατ' ὀσμὴν ἢ γεῦσιν. ἀλλ' ἔστω γλυκὺ μὲν ὡς ἐνι μάλιστα, καὶ συνεχὲς ἑαυτῷ καὶ λαμπρὸν, ὡς γάλακτι πρέπει. πρὸ πάντων δ' ὁμοιομερὲς, εἰς ὅσον ἐγχωρεῖ γάλακτι γενέσθαι τοιούτῳ. τελείαν γὰρ οὐκ ἐπιδέχεται τὴν ἀρετὴν ταύτην, ὥσπερ τὸ μέλι τὸ ἄριστον. ὅπως δ' εἴη τοιοῦτον, καὶ τροφὰς τῷ ζώῳ παρασκευαστέον ἐπιτηδείους, καὶ γυμνάσια γυμναστέον σύμμετρα, καὶ εἴ τινα θηλάζει πῶλον, ἀφαιρετέον. ὅτι δὲ καὶ ἡλικία τὸ ἀκμαιότατον εἶναι προσήκει, παντί που δῆλον. ἐπιμελητέον δὲ καὶ ὅπως εὐπεπτότατον ἔσται, καταφρονοῦντας τῶν γελασόντων, εἰ καὶ τὰς ὄνους διαιτήσειν μέλλομεν. εἰ γὰρ οἱ περὶ Βαίνετον καὶ πράσινον ἐσπουδακότες, ὀσφραίνονται τὰς κόπρους τῶν ἵππων, ἕνεκα τοῦ γνῶναι πῶς κατεργάζονται τὰς τροφάς. ὡς ἐκ τούτου τὴν ὅλην αὐτῶν εὐεξίαν κατανοήσαντες, καὶ ἡμᾶς δή που χρὴ πολὺ δὴ μᾶλλον εἰς ἀνθρώπου σωτηρίαν ἅπαντα προορᾶσθαι τὰ τοιαῦτα. καὶ πόας τε παρέχειν τῷ ζώῳ, μὴ λίαν ὑγράς. καὶ χόρτου καὶ κριθῆς τὸ σύμμετρον. οὐκ ἀμελεῖν δὲ οὐδὲ ψήχειν καὶ ἀνατρίβειν καὶ ἀπορρύπτειν καὶ καθαίρειν τὸ τῆς ὄνου σῶμα. εἰ μὲν οὖν ἀποπατήσειεν ὑγρότερα καὶ δυσωδέστερα, καὶ φύσης μεστὰ φαίνοιτο, πρόδηλον δήπουθεν ὡς οὐκ ἔπεψε καλῶς, ὥστε ἤτοι τῶν τροφῶν ἀφελεῖν,

ἢ προσθεῖναι τοῖς γυμνασίοις, ἢ ὑπαλλάξαι χρὴ τὰς ποιότητας, ἢ τὴν περὶ τὰς τρίψεις τε καὶ ψύξεις ἐπιμέλειαν οὐ τὴν αὐτὴν ποιεῖσθαι. σκληρότερα δ' ἀποπατήσαντος τοῦ ζώου, πρὸς τἀναντία βλέπειν, κἀκείνων τι μετακοσμεῖν. ἐγὼ γὰρ εἰ πάνθ' ὅσα χρὴ σκοπεῖσθαι περὶ τὸ ζῶον, οὗ τῷ γάλακτι χρῆσθαι μέλλοιμεν, ἑξῆς ἅπαντα λέγοιμι, τῆς ὑγιεινῆς ὅλης ὑπομνήσομαι πραγματείας. ἣν ἀναγκαῖον μὲν ἐστι γινώσκειν τὸν χρηστὸν παρασκευάσοντα τὸ γάλα. λέγειν δ' οὐ νῦν καιρός, ἑτέρωθί γε διειλεγμένον τελεώτατα ὑπὲρ αὐτῆς. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπάνειμι. καί μοι πάλιν ἀναμιμνήσκου τοῦ λελουμένου τε καὶ τὸ γάλα προσενηνεγμένου. τοῦτον οὖν τὸν ἄνθρωπον ἡσυχάζειν ἐάσαντες ἄχρι τοῦ δευτέρου λουτροῦ, τρίψομεν τηνικαῦτα μετρίως τε ἅμα καὶ λιπαρῶς, εἰ ἀκριβῶς κατείργασται τὸ δοθὲν γάλα ταῖς ἐρυγαῖς τε καὶ τῷ τῆς γαστρὸς ὄγκῳ τεκμηράμενοι. σύμμετρος δὲ ἀεὶ τοῦ πρώτου λουτροῦ πρὸς τὸ δεύτερον, ὡρῶν ἰσημερινῶν τεττάρων ἢ πέντε, χρόνος. εἴγε τὸ τρίτον ἔτι μέλλοις λούειν αὐτόν. εἰ δὲ μή, πλειόνων. λούσεις δὲ τὸ τρίτον, ἢν εἰθισμένος ᾖ λουτροῖς χρῆσθαι πλείοσιν. οὗτοι γὰρ καὶ χαίρουσι, καὶ ὀνίνανται πολλάκις λουόμενοι. καὶ μὲν δὴ καὶ ἐπαλείψομεν αὐτὸν ἐλαίῳ πρὶν ἀμφιέννυσθαι καθ' ἕκαστον λουτρόν. εἰς ἀνάθρεψιν γὰρ συντελεῖ καὶ τοῦτο, καθάπερ καὶ αἱ τρίψεις. εἴρηται δὲ ὑπὲρ ἁπάντων τῶν τοιούτων τῆς δυνάμεως ὁ λογισμὸς ἐν τοῖς ὑγιεινοῖς. οὐδὲν μὴν χεῖρον ἀναμνῆσαι καὶ νῦν ἐπὶ κεφαλαίων αὐτῶν. εἴτε γὰρ ὕδωρ ἐπιχέοις θερμὸν εὔκρατον ὁτῳδήποτε μορίῳ τοῦ σώματος, εἴτε τρίβοις, εἴτε λούοις, εἴθ' ὁπωσοῦν ἄλλως θερμαίνοις, ὄψει γιγνόμενον, ὅπερ Ἱπποκράτης ἐπὶ τοῦ ὕδατι θερμῷ καταντλουμένου εἶπε. τὸ μὲν γὰρ πρῶτον, αἴρεται. ἔπειτα δὲ ἰσχναίνεται. διὰ τοῦτο σαρκῶσαι μὲν ἡμῖν βουλομένοις ὁτιοῦν σῶμα, μέχρι τοσούτου θερμαντέον, ὡς εἰς ὄγκον ἀρθῆναι. διαφορῆσαι δὲ καὶ κενῶσαι, μέχρι τοσούτου χρονιστέον, ὡς ἰσχνωθῆναι τὸ πρότερον ὀγκωθέν. ἀκριβῶς δὲ τὸν νοῦν προσέχειν χρὴ τὸν ἐπιστατοῦντα ταῖς τοιαύταις ἐνεργείαις, καὶ μάλιστα ἐφ' ὧν βούλεται σαρκῶσαι. τοῦ μὲν γὰρ διαφορῆσαι πλατὺς ὁ καιρός. ὥστε οὐδ' ἑκὼν ἁμάρτοις ἂν αὐτοῦ. τοῦ σαρκῶσαι δ' ὀξύς. ὅταν γὰρ πρῶτον ὀγκωθῇ, τό τε παύσασθαι χρή. τὸ δ' ὀγκωθῆναι τοῦτο, καθ' ἕκαστον τῶν σωμάτων ἴδιον ἐστίν. οὐ γὰρ οἷόν τε τὸν τῷ λόγῳ προκείμενον νῦν τὸν ἰσχνὸν εἰς ὄγκον ἀφικέσθαι τοῖς ὑγιαίνουσιν ἴσον. ἀλλ' ὅταν ἐπ' ὀλίγον ἀρθῇ, διαφορεῖται παραυτίκα. χρὴ τοίνυν ἀκριβῶς προσέχειν τὸν νοῦν, ὅπως μὴ λάθῃ σε παρελθὼν ὁ καιρός. ἐὰν γοῦν ἀνατρίβῃς τὸν ἄκρως ἰσχνόν, ἀρκεῖ τὸ ἐρύθημα μόνον. ἐάν τε λούῃς, τὸ θερμῆναι μετρίως. ἐπέκεινα δὲ τοῦ δέοντος χρονίζων, καταλύσεις μᾶλλον ἢ θρέψεις αὐτόν. ἐπαλείφειν δὲ ἐλαίῳ μετὰ τὰ λουτρὰ χάριν τοῦ μὴ διαπνεῖσθαι πλέον τοῦ προσήκοντος, ἀλλ' ἐμπεφράχθαι τοῦ δέρματος τοὺς πόρους. εἴη δ' ἂν εὐθέως αὐτὸ τοῦτο, τῆς μὲν ξηρότητος ἄκος, οἷον πρόβλημα δέ τι πρὸς τὴν ἐκ τοῦ περιέχοντος βλάβην. καὶ εἰ μὲν οὖν ἥδοιτο τῷ γάλακτι, καὶ μετὰ τὸ δεύτερον αὐτῷ δώσομεν λουτρόν. εἰ δὲ μή, πτισάνην ἀκριβῶς κατεψημένην, ἢ χόνδρον ὡς πτισάνην κατεσκευασμένον. εἶτ' αὖθις ἡσυχάσαντα, πάλιν πρὸς τὸ τρίτον ἄξομεν λουτρόν. ἢ ἄντικρυς ἐπὶ τὸ δεῖπνον. ἄρτος δ' ἔστω παρεσκευασμένος αὐτῷ κριβανίτης καθαρός. ἐπιμελῶς μὲν ὠπτημένος, ἔχων δὲ ζύμης τε καὶ ἁλῶν αὐτάρκως. ὄψον τε τῶν πετραίων ἰχθύων. ἢ ὀνίσκος ἐκ λευκοῦ ζωμοῦ. καὶ μὴν καὶ τὰ πτερά, καὶ οἱ ὄρχεις τῶν ἐν γάλακτι τρεφομένων ἀλεκτρυόνων, ἐπιτήδειοι. μὴ παρόντων δὲ τούτων, ἄλλοις χρηστέον. οὕτω δὲ καὶ πέρδιξι, καὶ στρουθοῖς χρῆσθαι τοῖς ὀρείοις τε καὶ μαλακοσάρκοις. φυλάττεσθαι δὲ τὰ θ' ἕλεια, καὶ σκληρόσαρκα. συνελόντι δὲ φάναι, τὸ κεφάλαιον τῆς τροφῆς, εὔπεπτος ἔστω καὶ τρόφιμος, ἥκιστα δὲ καὶ γλίσχρα καὶ περιττωματική. τροφιμώτατον οὖν ἐστιν ἁπάντων ὧν ἴσμεν ἐδεσμάτων, χοίρειον κρέας, ἀλλ' οὐχ ὁμοίως τοῖς εἰρημένοις εὔπεπτον, καὶ χυμοῦ γλίσχρου καὶ πάχεος γεννητικόν. οὐδὲ γὰρ οὐδ' ἄλλως οἷόν τε διακεῖσθαι τὸ ἄκρως τρόφιμον. ἴσχεσθαι γὰρ αὐτὸ χρή, καὶ περιπλάττεσθαι δυσαπολύτως, οὐ διαρρεῖν ὑπὸ λεπτότητος. οὐ μὴν εἴς γε τὰ παρόντα χρηστόν. εἰ μὲν γὰρ ἡ τροφὴ ἑαυτὴν ἔπεττέ τε καὶ ἀνεδίδου, καὶ τοῖς τρεφομένοις ὡμοίου, προσεφύετό τε τοῖς πλείστης ἀναθρέψεως δεομένοις, τροφιμωτάτων ἂν ἔδει σιτίων. ἐπεὶ δ' οὐκ ἄλλο μὲν ἐστι τὸ τρέφεσθαι δεόμενον, ἄλλο δὲ τὸ ταῦτα κατεργαζόμενον, ἀλλ' ἑαυτῷ τε τὴν τροφὴν ἐπισπᾶται τὸ τρέφεσθαι μέλλον, ἑαυτῷ τε μεταβάλλει καὶ πέττει, καὶ προσφύει, καὶ ἐξομοιοῖ, διττὸν ἕξει σκοπὸν τῆς τῶν σιτίων ἐπιτηδειότητος. ἕνα μὲν οὖν, αὐτοῦ τοῦ σιτίου τὴν φύσιν. ἕτερον δέ, τὴν οἰκείαν τε αὐτῷ καὶ σύμφυτον δύναμιν. ἐξ οὖν τῶν εἰρημένων, εὔδηλον ὡς οὔτε τὸ τροφιμώτατον σιτίον ἄριστον εἰς τὰ δεόμενα σώματα πλείονος ἀναθρέψεως. οὐ γὰρ ὑπάρχει τῷ τοιούτῳ τὸ πέττεσθαι ῥᾳδίως, οὔτε τὸ εὐπεπτότατον. ὅτι γε μὴν δὲ τοῦτο δυνατὸν ἐστὶ τροφιμώτατον. ἐναντιουμένων οὖν ἀλλήλοις τῶν σκοπῶν, οὐ χρὴ τοῦ ἑτέρου τῆς ἀκρότητος ὀριγνώμενον ἐπιλαθέσθαι θατέρου παντάπασιν, ἀλλ' ἀμφοῖν ἀεὶ μεμνημένον, εἰς ὅσον οἷόν τε ἐστὶ μιγνύειν αὐτούς. τούτου μὲν δή μοι διαπαντὸς μέμνησο τοῦ παραγγέλματος. Οἴνου δ' ἐφεξῆς ποιότητός τε καὶ ποσότητος μνημονεύσωμεν, μεγίστην ἔχοντος εἰς τὰ τοιαῦτα δύναμιν. ἐπειδὴ καὶ μόνῳ τούτῳ ποτῷ χρηστέον εἶναί φημι πᾶσι τοῖς ἀναθρέψεως δεομένοις σώμασιν ἄνευ τοῦ πυρέττειν. ἔστω τοίνυν ὡς ἐν παραδείγματι μὲν εἰπεῖν, οἷος ὁ Σαβῖνος μὲν ἐπὶ τῆς Ἰταλίας. Ἀρσυίνιος δέ, κατὰ τὴν Ἀσίαν. ὡς δὲ τύπῳ τε καὶ ὅλῳ τῷ γένει περιλαβεῖν, ὁ ὑδατώδης μὲν τἄλλα, βραχεῖαν δ' ἔχων τὴν στύψιν. ὑδατώδη δ' οἶνον ὀνομάζω, τὸν λευκόν τε καὶ καθαρόν, καὶ ὀλιγοφόρον, ὡς Ἱπποκράτης ἐκάλεσεν. ὀλιγοφόρος δ' ἐστίν, ὡς ἂν ἐν τῷ κεράννυσθαι, τὴν τοῦ ὕδατος μῖξιν ὀλιγίστην φέρει. τουτέστιν ὁ ἀσθενέστατός τε καὶ ὑδατωδέστατος ὡς ἐν οἴνοις. ὁ γὰρ ἀνεχόμενος ὕδατος πλείστου μῖξιν ἐν τῷ κεράννυσθαι, σφοδρότατός ἐστι καὶ ἰσχυρότατος. ὠνόμαζε τὸν τοιοῦτον ὁ Ἱπποκράτης, οἰνώδη. ἀλλὰ τοῦτον μὲν φυλάττεσθαι, πλήττοντα τὰς ἀσθενεῖς δυνάμεις. ὁ δ' ὑδατώδης μὲν αὐστηρὸς δέ, ἐπιτήδειος, ὡς ἂν τὴν τοῦ ὕδατος ἐκπεφευγὼς ἀσθένειαν. καὶ μηδέπω τὴν οἴνου βλάβην ἔχων. ἐκ τούτων οὖν τῶν σκοπῶν, εὑρήσεις αὐτοῦ καὶ τὴν ἡλικίαν, καὶ τὴν κρᾶσιν. ὁ μὲν γὰρ νέος, ὑδατωδέστερός τε καὶ ἀσθενέστερός ἐστι, ἢ ὡς οἴνῳ πρέπει. μετά τε τοῦ δυσπεπτότερος εἶναι καὶ περιττωματικώτερος. ὁ δὲ πρεσβύτερος, οἰνωδέστερός τε καὶ ἰσχυρότερος, ἢ ὡς τοῖς παροῦσιν ἁρμόττει. διὸ καὶ θᾶττον ἐτῶν ἓξ ὁ εὐγενὴς Σαβῖνος οὐκ ἐπιτήδειος, ἐμπλέων ἐπὶ πλεῖστον ἔν τε τῷ στομάχῳ καὶ τῇ γαστρί, καὶ κλύδωνας ἐργαζόμενος. εὐγενῆ δ' ὀνομάζω τὸν αὐστηρόν. ὁμοίως μὲν Σαβῖνον. ὁμοίως δὲ Ἀδριανόν τε καὶ Ἀλβανόν. ὁμοίως

δὲ ἀρσυ-

δὲ ἀρσυΐνιόν τε καὶ τιτακαζηνόν, ὅσοι τε ἄλλοι τοιοῦτοι. λέλεκται γὰρ ἤδη πλέον ὑπὲρ ἁπάντων οἴνων ἰδία. πρὸς τούτους οὖν ἀναφέρων τοὺς σκοποὺς, καὶ τὴν πρὸς τὸ ὕδωρ αὐτοῦ ποιεῖσθαι κρᾶσιν. ἔτι δ' ἂν μᾶλλον ἀκριβῶς στοχάζοιο τῶν εἰρημένων, εἰ τῆς τοῦ ὕδατος κακίας τὰ κεφάλαια διὰ μνήμης ἔχοις. εἴρηται δὲ ἐκ τῆς ψυχρότητος αὐτοῦ πάντα. δι' ἣν ἐν τοῖς ὑποχονδρίοις τε μέχρι πλείστου παραμένει, καὶ κλύδωνας ἐργάζεται. καὶ πνευματοῦται, καὶ διαφθείρεται, καὶ τῆς γαστρὸς ἐκλύει τὸν τόνον, ὡς καὶ τὰς πέψεις διὰ τοῦτο χείρους γίγνεσθαι. συμπράττει δ' οὐδὲ ταῖς ἀναδόσεσι τῆς τροφῆς οὐδὲν, ὅ, τι καὶ ἄξιον λόγου. καὶ μὲν γε καὶ αἱ τῶν προειρημένων οἴνων ἀρεταὶ, ταῖς νῦν εἰρημέναις κακίαις, ἐξ ὑπεναντίου τὴν φύσιν ἔχουσιν. οὔτε γὰρ ἐμφυσῶσι τὸ ὑποχόνδριον, ἀλλ' εἰ καί φυσωδέστερον πως εἴη προσελθοῦσιν, οὔτε χρονίζουσιν αὐτόθι τῷ τῆς θερμασίας συμμέτρῳ. τὰς θ' ὁδοὺς τῆς ἀναδόσεως ἀνοιγνύντων, αὐτοί τε συνεπωθοῦντων ἅμα καὶ συναναφερόντων τὴν τροφὴν εἰς τάχος τῇ κατὰ τὴν ἀνάδοσιν ἐνεργείᾳ συντελοῦσιν. εὔχυμοί τ' εἰσὶ καὶ κατακερασικοὶ, καὶ πεπτικοὶ τῶν κατὰ γαστέρα τε καὶ φλέβας. αὐξάνουσι δὲ καὶ τὴν δύναμιν τῶν ὀργάνων, καὶ τὰ περιττώματα πρὸς τὰς ἐκκρίσεις προάγουσι. ταῦτ' ἄρα καὶ οὐρητικοὶ τῶν ἄλλων οἴνων οἱ τοιοῦτοι μᾶλλόν εἰσιν. ὡς ἂν αὐτοί τε ταχέως διεξερχόμενοι τὸ σύμπαν σῶμα, καὶ τὰ περιττώματα τῇ ῥύμῃ τῆς φορᾶς ἑαυτοῖς συνεκκρίνοντες. εἴρηται μὲν οὖν ἑτέρωθι τελεώτερον ὑπὲρ τῆς τῶν οἴνων δυνάμεως, ὥσπερ γε καὶ περὶ τῆς τῶν σιτίων. καὶ χρὴ τὸν μεθόδῳ τὴν τέχνην ἐργάζεσθαι βουλόμενον, ἰδίᾳ τῶν ὑλῶν ἁπασῶν ἐκμαθόντα τὰς δυνάμεις, μηκέτι καθ' ἕκαστον πάθος ἀκούειν ἀξιοῦν, ἀλλ' αὐτὸ μόνον ἐπιγνόντα τὸ τῆς θεραπείας εἶδος, εὑρετικὸν εἶναι τῆς ἁρμοζούσης διαίτης. ἐγὼ δ' οὐκ ὀκνήσω κηδόμενος, τῶν τ' ἀληθῆ σπευδόντων ἐκμανθάνειν, ἐφάψασθαι καὶ τῆς τοιαύτης διδασκαλίας, ἕνεκα τοῦ τοὺς ἀγυμναστοτέρους τὸν λογισμὸν ἀπὸ τῶν καθόλου μεταβαίνειν ἐπὶ τὰ κατὰ μέρος, ὑπὸ τῶν παραδειγμάτων προδηγουμένους. ὅσον οὖν ὑπόλοιπόν ἐστι, προσθετέον αὖθις. ὁ σκοπὸς τῆς ποσότητος ἐπὶ μὲν τοῦ πόματος, ὡς μηδέ ποτ' ἐκπλύσαι τῇ γαστρὶ, καὶ κλύδωνος ἐργάζεσθαί τινα αἴσθησιν. ἐπὶ δὲ τῶν σιτίων, μάλιστα μὲν εἰ οἷόν τε, μηδὲ βαρῦναι ποτὲ αὐτήν. χαλεπὸν δὲ τὸ τοιοῦτον, ἢ ἴσως ἀδύνατον, ἐν ἀτόνῳ γαστρὶ φυλάξασθαι παντάπασιν. δεύτερον δ' ὅτι τάχιστα παύεσθαι τὸ βάρος. ἐφεξῆς δὲ, διάτασιν καὶ πνευμάτωσιν ὑποχονδρίων φυλάττεσθαι. εἰ μὲν δὴ συμπέσοι τοιοῦτό τι κατὰ τὴν πρώτην ἡμέραν, ἀνάλογον τῷ μεγέθει τοῦ συμπτώματος ἀφελεῖν χρὴ τῶν σιτίων ἐπὶ τῆς ὑστεραίας. εἰ δ' ἀμέμπτως ἅπαντα γίγνοιτο, προσθεῖναι βραχύ τι. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐπὶ τῆς τρίτης ἡμέρας, ἢ ἀφαιρεῖν ἢ προσθεῖναι, τῇ προηγουμένῃ παραβάλλοντας. καὶ οὕτως ἄχρι παντὸς, ἀναθρεπτικῶς τε καὶ ἀναληπτικῶς ἅπαντα διαπράττεσθαι, κινήσεσιν, αἰωρήσεσι, καὶ περιπάτοις. ἀνάλογον τῇ τοῦ σώματος ἐπιδόσει, προστιθέντα καὶ τἄλλα πάντα κατὰ τὸν ἀναληπτικὸν ὀνομαζόμενον τρόπον, ὃς οὐ τῷ γένει διενήνοχε τοῦ νῦν ἡμῖν ἐνεστῶτος, ἀλλὰ τῷ σύμπαν ὡσαύτως ἔχειν ἐπ' ἐκείνου τὸ σῶμα, καθάπερ ἡ γαστὴρ ἐπὶ τοῦδε. συμβαίνει δὲ μάλιστα κατὰ τὰ χρόνια τῶν ἀρρωστημάτων, ὅταν ἡ σύμφυτος ὑγρότης ἑκάστου μέρους ἐξ ἧς πρώτης τρέφεται, κινδυνεύῃ μηκέτι εἶναι. τὴν μὲν γὰρ αὐτῶν τῶν στερεῶν σωμάτων ξηρότητα, τῶν ἀδυνάτων ἐστὶν ἐπανορθώσασθαι, καθάπερ καὶ τὸ γῆρας. ὡς κἀν τῷ περὶ μαρασμοῦ δέδεικται λόγῳ. τὴν ὑγρότητα δὲ κἂν ἀπόλυται τελέως, οἷόν τε γεννῆσαι, κατὰ τὴν εἰρημένην ἀρτίως δίαιταν. ἐν μὲν οὖν ταῖς ἄλλαις ἀναλήψεσιν, οὐδὲν ἐξαίρετον ἡ γαστὴρ πέπονθεν. ἐν δὲ τῇ νῦν προκειμένῃ διαθέσει, τὸ νόσημα μέν ἐστι τῆς γαστρὸς, λεπτύνεται δὲ τῷ χρόνῳ τὸ σύμπαν σῶμα μὴ καλῶς τρεφόμενον. εὔλογον οὖν ἀκριβεστέρας δεῖσθαι διαίτης τούσδε, διὰ τὸ περὶ τὰς πέψεις ἄρρωστον. ἀλλ' ὅταν γε βελτίους γένωνται, κατὰ βραχὺ μετάγειν αὐτοὺς ἐπὶ τὴν ἀναθρεπτικὴν καὶ ἀναληπτικὴν ὀνομαζομένην ἀγωγήν. γίγνοιτο δ' ἂν τοῦτο, τρίψεσί τε πλείοσιν, ἢ πρόσθεν. αἰωρήσεσί τε χρωμένων. ὑπαλλάττειν δ' ἐν τούτῳ χρὴ καὶ τῶν τροφῶν τό, τε ποσὸν, καὶ τὸ ποιόν. ὡς καὶ πλείω καὶ ἰσχυρότερα σιτία τῶν ἔμπροσθεν ἐνδοῦναι. καὶ τοῦ χρόνου δὲ προϊόντος, ὅταν ἤδη πλησίον ἥκωσι τῆς ὑγιεινῆς καταστάσεως, ἀποχωρῆσαι πτισάνης καὶ γάλακτος. ἔτι δὲ τῶν ἐκ χόνδρου ῥοφημάτων, ἐπὶ τὰ συνήθη προσάγοντας σιτία. εἶτα καὶ τοὺς ἰχθύας ἀφελεῖν, εἰ μὴ δι' ἔθους εἶεν, ἐπὶ τοῖς πλείοσι διαιτωμένους. ἐδωδῆς τε χοιρείων κρεῶν, ἄρξασθαι μὲν ἀπὸ ποδὸς ἐν πτισάνῃ καθεψημένου, μετὰ ταῦτα δὲ καὶ ὁ κωλῆν ἂν ληφθείη καλῶς, ἔπειτα ἤδη καὶ τἄλλα μόρια. τὸ μὲν πρῶτον, ἱερείου νέου, καὶ εἰ χειμὼν εἴη, πρὸ μιᾶς ἡμέρας ἐσφαγμένου. τὸ γὰρ ἕωλον, εὐπεπτότερόν ἐστι τοῦ προσφάτου. θέρους δ' ἀρκεῖ τεθύσθαι μὲν ἕωθεν τὸ ἱερεῖον, ἐσθίεσθαι δὲ περὶ δυσμὰς ἡλίου. φυλακτέον γὰρ ἄχρι παντὸς μὲν διαφυλάττειν ὃ προειώθαμεν ἐν τοῖς ἔμπροσθεν, ἡνίκ' εἰς ἑσπέραν ἠξιοῦμεν δίδοσθαι τὴν ἰσχυροτέραν τροφὴν, οὐ μικρῶν ἀγαθῶν ἀπολαβόντων τῶν οὕτω διαιτωμένων. γνώσῃ δ' ἐπισκεψάμενος ἀκριβέστερον. ἄμεινον γὰρ ἐπ' ἀρχὴν ἀναγαγεῖν τὸν λόγον. ἐπειδὴ δέονται μὲν οἱ οὕτως ἔχοντες, ὅτι πλείστου τοῦ θρέψαντος, οὐ δύνανται δὲ πέττειν οὐδὲ τὰ μέτρια, κατὰ βραχὺ καὶ πολλάκις ἄμεινον αὐτοῖς διδόναι. διὰ τοῦτο οὖν οὐ μόνον ἅπαξ οὐχ οἷόν τ' ἐστὶ τρέφειν αὐτοὺς ἱκανῶς, ἀλλ' οὐδὲ δὶς, ἕως ἂν ὦσιν ἰσχνότατοι. καὶ διὰ ταύτην τὴν αἰτίαν, εἴωθα τρὶς αὐτοὺς τρέφειν. ὅταν μέν τοι βελτίους ἑαυτῶν ἐναργῶς ἤδη φαίνωνται γεγονότες, ἀρκεῖ καὶ δὶς αὐτοὺς τρέφειν. τοσαύτην οὖν εὔλογον εἶναι τὴν πρώτην τροφὴν, ὡς ἀκριβῶς ἅπασαν πεπέφθαι πρὶν ἢ τὴν δευτέραν λαμβάνεσθαι. τοῦτο δὲ οὐχ οἷόν τε ταῖς ἰσχυροτέραις ὑπάρξαι. ληπτέον οὖν ἀσθενῆ τὴν πρώτην, ὡς πεφθῆναί τε τάχιστα καὶ ὑπελθεῖν αὐτῆς τὸ περίττωμα. καὶ κενῇ καὶ καθαρᾷ τῇ γαστρὶ, τὴν δευτέραν δοθῆναι τροφήν. ἀλλ' ἐπεὶ μὴ μόνον ἡσυχία καὶ ὕπνος, ἀλλὰ καὶ χρόνος μακρότερος ἐκδέχεται τὴν ταύτης οἰκονομίαν, εὔλογον ὅσα τῶν σιτίων ἰσχυρότερα, κατὰ τοῦτον μάλιστα δίδοσθαι τὸν καιρόν. ἀμέλει καὶ οἱ ἀθληταὶ τοῦτο πράττουσιν ἅπαντες, οὐ λόγου μόνον ἐξευρόντος αὐτοῖς τινὸς, ἀλλὰ καὶ τῆς πολυχρονίου πείρας μαρτυρούσης. καὶ μέν τοι καὶ ὅπερ ἐκεῖνοι πράττουσιν, οὐδὲν χεῖρόν ἐστι καὶ τοὺς ἀναληπτικῶς ἀγομένους ποιεῖν. καὶ μὴ πίνειν ἐπὶ τῷ δείπνῳ παραυτίκα, πρὶν πεφθῆναι τὴν τροφήν. ἐμπλέει γὰρ τὰ σιτία πινόντων, ὡς μὴ ψαύειν αὐτῶν τὸ τῆς γαστρὸς σῶμα, μέσου ἱσταμένου τῆς ὑγρότητος. εἰ δὲ διψώδης εἴη, ἀπέχειν μὲν αὐτοὺς τοπάμπαν, ἀνιαρόν τε ἅμα καὶ ἀλυσιτελές. ὀλίγον δὲ δοτέον ὡς παραμυθήσασθαι τὴν ἀνίαν καὶ πραῧναι τὸ δίψος. ἐπειδὰν δὲ πέψωσι τὴν

τροφὴν, ἐπιτρέπειν αὐτάρκως πιεῖν. ἀναδίδοται γὰρ οὕτω πραξάντων τάχιστα. μετὰ δὲ τὸν ὕπνον, ἕωθεν μετὰ
ἀποπατήσαντα, καὶ βραχύ τι περιπατήσαντα, τρῖψαι συμμέτρως. ἡ δὲ σύμμετρος ἐπὶ τούτων τρῖψις ἐστὶν,
ὡς θερμῆναι τὸ σῶμα. κἄπειτα αἰώραις χρηστέον. εἶτ᾽ αὖθις λουτέον τε καὶ τριπτέον ἐντὸς τοῦ μέσου τῆς ἡμέρας.
ἢ πάντως γε περὶ τὸ μέσον, ὡς ἱκανὸν γίγνεσθαι τὸ πρὸς τὴν ἑσπέραν διάστημα. τὸ δ᾽ ὅτι καὶ τῶν οἴκων ἐν οἷς
ὁ ἀναλαμβανόμενος διαιτᾶται, φροντιστέον ἐστὶν ἐν τοῖς μάλιστα, ὅπως μὴ ψυχρότεροι τοῦ προσήκοντος ἢ θερ-
μότεροι γεννηθῶσιν, οὐδὲν δέομαι λέγειν. ὅσα τ᾽ ἄλλα τοιαῦτα, δυνατὸν ἑαυτῷ τινὰ καὶ χωρὶς ἡμῶν εὑρίσκειν,
οὐ μόνον ἐκ τῶν ἐνταῦθα λελεγμένων ὁρμώμενον, ἀλλὰ καὶ ἐκ τῆς ὑγιεινῆς πραγματείας. ἔστι γὰρ ἡ ἀναληπτι-
κὴ δίαιτα μέση τῆς ὑγιεινῆς τε καὶ θεραπευτικῆς. ὥστε ἐκ τῶν καθ᾽ ἑκατέραν λεγομένων, οὐδ᾽ ἐν ἔτι χαλεπὸν
ἑαυτῷ τινὰ τὸ μέσον ἐξευρίσκειν. τά τε γὰρ ἄλλα καὶ οὐχ ἓν εἶδος ἅπασι διαίτης ἐν ἔθει. τοῖς μὲν γὰρ ἅπαξ.
τοῖς δὲ, δὶς σιτεῖσθαι. καὶ τοῖς μὲν θᾶττον. τοῖς δ᾽ εἰς ἑσπέραν ἄρχεσθαι τῆς προσφορᾶς ἔθος ἐστί. καὶ δὴ καὶ τὰ
ἐσθιόμενα τοῖς μὲν ἰχθύες εἰσὶ τὸ πλεῖστον, ἢ ὅλως τὰ ἐκ τῆς θαλάττης. τοῖς δὲ λάχανα μᾶλλον, ἢ ὅλως τὰ ἐκ
κήπων. τοῖς δὲ ὀπῶραι. τοῖς δὲ ὄσπρια. τοῖς δὲ ἀκρόδρυα. τοῖς δὲ κρέα τετραπόδων ζώων, ἄλλοις ἄλλα. τοῖς
δὲ ὀρνίθων, ἄλλων ἄλλοις καὶ ταῦτα. καὶ δὴ καὶ τυρῷ καὶ γάλακτι χρῶνται τινές. οἱ πλεῖστοι μὲν αἰγῶν τοῦτο-
παν, ἢ βοῶν, ἔνιοι δὲ καὶ ἑτέρων τινῶν. καὶ πίνουσιν οἱ μὲν θερμὸν. οἱ δὲ, ψυχρόν. καὶ οἶνον ἢ πολὺν, ἢ ὀλίγον. ἢ
οὐδόλως. ἢ τοῖον ἢ τοῖον. εἰς ταῦτ᾽ οὖν ἐπανάγειν ἕκαστον, εἰς ἅπερ εἴθισται. γέγραπται δὲ καὶ περὶ ἔθους ἀκριβέ-
στερον, ἰδίᾳ. καὶ νῦν ἀρκεῖ τὸ γε τοσοῦτον εἰπεῖν, ὡς οὐ μόνον ἐπὶ τῆς ἀναληπτικῆς διαίτης, ἀλλὰ καὶ κατὰ τὰς νό-
σους παμπόλλην μοῖραν εἰς ὕλην τροφῆς καὶ φαρμάκου ἐκλέξιν, ἐκ τῶν ἐθῶν ἐστι λαβεῖν. ὁ μὲν γὰρ λόγος, ὅλου
τοῦ γένους ὑπαγορευτικώτερός ἐστι. τὰς δ᾽ ὕλας ἔκ τε τῶν ἄλλων ὧν εἶπον, ἀτὰρ οὐχ ἥκιστα καὶ ἐκ τῶν ἐθῶν λη-
πτέον. ἐπιβλέπειν δὲ καὶ τὰς τῶν φύσεων ἰδιότητας. οἶδα γοῦν τινὰς εἰ διὰ τῆς νυκτὸς ὁπωσοῦν ἀναγκασθεῖεν ἐ-
γρηγορικὸν διαπράξασθαι, μηκέτι κοιμηθῆναι δυναμένους. ἐκείνοις οὖν οὐ χρὴ συμβουλεύειν τῇ νυκτὶ πίνειν,
μή πως δι᾽ αὐτὸ τοῦτο περιπεσόντες ἀγρυπνίᾳ, βλαβῶσι τὰ μέγιστα. ξηραίνει γὰρ ὅλου τοῦ σώματος τὴν ἕξιν, ἡ
ἀγρυπνία, καὶ διὰ τοῦτό ἐστι βλαβερωτάτη τοῖς κατὰ ξηρότητα νοσοῦσιν. ἔνιοι δὲ, εἰ γεύσαιντο πιοσάνης, αὐτίκα
ναυτιῶσιν. ἐνίοις δ᾽ ὀξύνεται ῥᾳδίως. ὅτι δὲ καὶ τὰ βόεια κρέα πέττουσι τινὲς ῥᾳδίως, ἔν τι τῶν τεθρυλλημένων
ἐστί. καὶ ὡς ἄλλοι πρὸς ἄλλα βρώματά τε καὶ πόματα διάκεινται εὖ τε καὶ κακῶς. οὐ μόνον δ᾽ ἐκ τούτων, ἀλ-
λὰ κἀκ τῶν ὡρῶν τε καὶ χωρῶν, εὐπορία τῆς ὕλης τῶν διαιτημάτων γίγνεται. καὶ ἤδη πολλοῖς τῶν πρὸ ἐμοῦ
πρεσβυτέρων γέγραπται ταῦτα. διὸ κἀγὼ παρατρέχω μὲν τὰ τοιαῦτα, μόνον ἀναμιμνήσκων αὐτῶν, ὑπὲρ τοῦ
μηδὲν παραλείπεσθαι. τὸ παραλελειμμένον δὲ τοῖς νεωτέροις ἰατροῖς ἅπασιν ἐπέξειμι, τὸ τὰς διαθέσεις τῶν σω-
μάτων θεραπεύειν μεθόδῳ τῶν παλαιῶν, ὡς εἶπον καὶ πρόσθεν, ἀρξαμένων μὲν καλῶς, οὐ συντελεσάντων
δὲ τὴν μέθοδον. ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ἰτέον αὖθις. αἱ ξηραὶ δυσκρασίαι τῶν σωμάτων αὐτῶν ἁψάμεναι τῶν
στερρῶν, εἰ μὲν περί τι μόριον συσταῖεν, ὥσπερ ὑπόκειται νῦν κατὰ τὴν γαστέρα, τελέως οὐκ ἄν ποτε θεραπευ-
θεῖεν, οὐδ᾽ ἐπανέλθοιεν εἰς τὴν πρὸ τοῦ νοσῆσαι διάθεσιν. ἀλλ᾽ ὅπερ εἴωθε λέγεσθαι συνήθως, ὑπ᾽ αὐτοῦ τοῦ πρά-
γματος διδαχθεῖσι τοῖς πολλοῖς, ὡς ἡ νόσος ἐκάκωσε τὴν γαστέρα, καὶ ἀσθενῆ παρεσκεύασεν εἰς τὸν ἐπίλοιπον
βίον, ἐπὶ ταῖς τοιαύταις μάλιστα συμπίπτει δυσκρασίαις. γέροντες γὰρ οὗτοι ἔχουσι γαστέρα πρὶν γηρᾶσαι.
διὸ καὶ βλάπτονται ῥᾳδίως ὑπὸ σμικρῶν αἰτιῶν, ὥσπερ οἱ γέροντες. καὶ πέττειν οὐ δύνανται καλῶς. ἐξ οὗ συμ-
βαίνει καὶ τὸ σύμπαν αὐτοῖς σῶμα χεῖρον ἴσχειν. οὕτως δὲ κἂν ἄλλο τι πάθωσι μόριον. ἂν δὲ καὶ τὴν καρδίαν
αὐτὴν, ἐν τάχει μαραίνονται. καὶ καλεῖ τὸν τοιοῦτον μαρασμὸν ὁ Φίλιππος, ἐκ νόσου γῆρας. οὗτος μὲν οὖν ὁ
μαρασμὸς, ἐπὶ θάνατον ἄγει συντόμως. ἐφεξῆς δὲ καὶ ὁ ἀπὸ τοῦ ἥπατος ἀρξάμενος. εἶθ᾽ ὁ ἀπὸ τῆς γαστρός. οἱ δ᾽ ἐπὶ
ἄλλοις μορίοις, εἰς τοσοῦτον χρονιώτεροι, εἰς ὅσον ἕκαστον αὐτῶν ἀκυρώτερόν ἐστι τῶν εἰρημένων. εἰ δὲ βραχύ τι τὸ
τῆς καρδίας σῶμα ξηρανθείη, ταχύγηροι μὲν γίγνονται, διαρκοῦσι δ᾽ εἰς ἔτη πλείω, τῶν ἰσχυρῶς βλαβέντων. με-
τὰ ταῦτα δ᾽ ἐφ᾽ ἥπατι καὶ γαστρὶ καθάπερ εἴρηται. κἀπὶ τοῖς ἄλλοις ἅπασιν ἀνάλογον. ἀλλ᾽ ἥ γε δίαιτα κα-
τὰ γένος ἡ αὐτὴ καὶ ταύτῃ τῇ ξηρότητι, καὶ τῇ τὴν ὑγρότητα μόνην ἐκδαπανώσῃ τὴν τρέφουσαν τὰ στερεά.
καὶ πρὸς ταύταις γέ τοι τῇ τρίτῃ ῥηθείσῃ ξηρότητι κατὰ τὸν ἔμπροσθεν λόγον. δυσιατοτάτη δὲ πασῶν ἐστὶν ἡ
τετάρτη, καθ᾽ ἣν αἱ φλέβες ἐκκενοῦνται τῶν χυμῶν. καὶ μᾶλλον ὡς ψυχροτάτης ἕξεως· ἡ τοιαύτη θεραπευτέα
διάθεσις, ἤπερ ὡς ξηρότης. καὶ ἵνα σαφέστερον εἴπω, τὸ μὲν τῆς ψύξεως ἐπικρατεῖ, καὶ ὁ κίνδυνος κατὰ τοῦτο. δευτέ-
ρα δ᾽ ἐστὶν ἡ ξηρότης. ὅθεν καὶ ἡ ἴασις ἑτοίμη τε καὶ ταχίστη. δύο γὰρ ἡμέραις εἴ τις αὐτοὺς διαιτήσειε περιφυλαγ-
μένως θερμαίνων τε ἅμα τὰ μέτρια, καὶ ἀνατρέφων ἀσφαλῶς, εὐθέως τῇ τρίτῃ προσίενται δίαιταν ἁδρο-
τέραν ἀβλαβῶς. καὶ πολὺ δὴ μᾶλλον τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ. καὶ τοῦτ᾽ ἄρα ἦν τὸ ὑφ᾽ Ἱπποκράτους λεγό-
μενον, τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα, νωθρῶς ἐπανατρέφειν. τὰ ἐν ὀλίγῳ, ὀλίγως. ἰστέον δ᾽ ὅτι καὶ ταῖς ξη-
ρότησι τῶν στερρῶν σωμάτων, ψύξις ἐξ ἀνάγκης ἀκολουθεῖ χρονιζούσαις. διαμένειν γὰρ αὐτὴν καθ᾽ ἑαυτὴν ἡ ξη-
ρότης, ἀμέμπτου τῆς κατὰ τὸν θερμὸν καὶ ψυχρὸν ἀντιθέσεως ὑπαρχούσης, οὐ δύναται. τάχιστα γὰρ ἐπὶ ταῖς ἀτρο-
φίαις, ἀποψύχεται τὰ μόρια. διότι καὶ ἡ θρέψις αὐτοῖς ἐστὶν ἐκ θερμοῦ χυμοῦ τοῦ αἵματος. ἀλλ᾽ ὅπερ ἐν ἀρχῇ λέ-
λεκται, ξηρότητος ἴασιν ἐποιησάμεθα νῦν, ἐξ ἀρχῆς τε συστάσης μόνης, ἄχρι πλείστου τε μηδεμίαν ἀξιόλογον ἀ-
κολουθοῦσαν ἐχούσης ψύξιν. ἑξῆς ἂν οὖν εἴη μιγνύειν αὐτῇ ψύξιν, ἐναργῆ μὲν ἔχουσαν τὰ γνωρίσματα. μὴ μὴν ἤδη
μεγάλα. ἔσται τοίνυν ὁ σκοπὸς τῆς θεραπείας, οὐκέθ᾽ ἁπλοῦς, ὡς ὁ καὶ πρόσθεν. οὐ γὰρ ὑγραίνειν μόνον, ἀλλὰ καὶ
θερμαίνειν δεήσει. προσέχειν οὖν ἀκριβῶς ταῖς ὕλαις τῶν βοηθημάτων μή τι λάθῃ μὲν ἡμᾶς αὐτοὺς, ὑπερπλεονε-
κτοῦν τι τῶν ἄγαν θερμαινόντων, τοῖς ὑγραίνουσιν. ὑπάρχει γὰρ τούτοις, τὸ ξηραῖνον ἰσχυρῶς. ἀλλὰ καὶ τὸ ποσὸν
τῆς βλάβης, ἐν ἑκατέρᾳ δυσκρασίᾳ πρὸς τὴν τῆς ὕλης εὕρεσιν ἱκανὸν ἔσται ποδηγεῖν. οἷον αὐτίκα μεγίστης μὲν
ξηρότητος ἴασιν, ἄρτι πέπαυμαι γράφων. αἱ μέτριαι δὲ, τῆς οὕτως ἀκριβοῦς οὐ δέονται διαίτης. ὅτι μὴ δὲ τὰ τῆς
δυνάμεως

δυνάμεως ἐπ' αὐτῶν ἐσχάτως καταπέπτωκεν. οὐδὲ γὰρ οὐδὲ δι' ἄλλο τι χαλεπὸν γίγνεται θεραπεῦσαι καλῶς ἰσχυρὰν ξηρότητα σώματος, ἢ ὅτι χρήζει μὲν ἀναθρέψεως, ἡ τροφὴ δ' οὐ πέφυκεν ἑαυτὴν προσφύειν. ἀλλ' αὐτοῦ δεῖται τοῦ τρεφομένου δημιουργοῦντος αὐτήν, ὅπερ ἐστὶν ἄτονον. ὅταν οὖν ἡ μετρίως ἔτι ξηρόν, ἅτε μὴ τῆς δυνάμεως ἐσχάτως καταπεπτωκυίας, ἁδροτέραν τε διαιτᾶν ἐγχωρεῖ. καὶ κίνδυνος οὐδεὶς ἁμαρτεῖν τοῦ μέτρου, διά τε καὶ ἡμεῖς ἐπὶ τὴν χαλεπωτάτην δυσκρασίαν τὸν λόγον ἀγαγόντες, ἐγυμνάσαμεν τοὺς φιλομαθεῖς ἐπ' αὐτῆς, ὡς ἐπὶ παραδείγματος. ἐντεῦθεν γὰρ ὁρμηθέντες αὐτοί, ἐξευρήσουσιν ὕλας ἐπιτηδείας εἰς ἐπανόρθωσιν ξηροτήτων μετρίων. Ὑποκείσθω δὲ καὶ νῦν ἔτι παραπλησία μὲν ἡ ξηρότης τῇ πρόσθεν, ἐζεύχθω δ' αὐτῇ ψυχρότης. εἰς τοσοῦτον οὖν ἐπιμίξωμεν τοῖς ἔμπροσθεν εἰρημένοις τὴν τῶν θερμαινόντων ὕλην, εἰς ὅσον ἔψυκται τὸ μόριον. ὑποκείσθω δὴ πρῶτον ἐψύχθαι μετρίως αὐτό, προσθήσομεν οὖν τοῖς εἰρημένοις ὀλίγον ἔμπροσθεν, ἐν μὲν τῇ τοῦ γάλακτος χρήσει, τὸ μέλι πλέον. ἐν δὲ τῇ τοῦ οἴνου, τὸν αὐτὸν μὲν τῷ γένει δώσομεν, ἧττον δ' ὑδαρῆ τοῦ πρόσθεν, ἐτῶν δὲ πλειόνων. ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα σύμπαντα, θερμότερα δοτέον, οὐ ταῖς φυσικαῖς κράσεσι μόνον, ἀλλὰ καὶ ταῖς προσφάτοις ποιότησι. καὶ ναρδίνῳ μύρῳ συνεχῶς ἐπαλειπτέον τὴν κοιλίαν ὡς μηδέποτε γενέσθαι ξηράν. εἰ δὲ ἔτι μὴ παρείη, τὸ μαστίχινον ἱκανόν. ἀλλὰ καὶ ὀποβαλσάμῳ χρίσομεν αὐτήν, αὐτῷ τε καθ' ἑαυτὸ καὶ μιγνύντες τοῖς προειρημένοις. καὶ εἰ μᾶλλον ἐθέλοιμεν ἔχεσθαι τοῦ χρωτὸς αὐτά, καὶ κηροῦ τι προσμίξομεν. εἰ δὲ καὶ τὸ περιέχον εἴη ψυχρόν, ἔριον βρέξαντες, ἐπιθήσομεν. ἀλλὰ καὶ τὴν χίαν μαστίχην ἐν ὀποβαλσάμῳ λειώσαντες, ἢ μύρῳ ναρδίνῳ κἄπειτα ἔριον δεύσαντες, ἐπιθήσομεν τῇ γαστρί. κάλλιον δὲ τὸ δευόμενον ἀρίστην εἶναι πορφύραν οἵαπερ ἐστὶν ἡ τυρία. στύφειν τε γὰρ χρὴ μετρίως αὐτήν, ἐμπλάττειν τε τοῦ δέρματος τοὺς πόρους. τὰ μὲν γὰρ ἀραιοῦντα καὶ χαλῶντα, διαφορεῖ τε ἅμα, καὶ τοῖς ἔξωθεν προσπίπτουσι ψυχροῖς, εὐάλωτα παρασκευάζει τὰ μόρια. τὰ δ' ἐπὶ πλέον στύφοντα, ξηραίνει. ὅθεν οὔτε διαφορητικῆς εἶναι προσήκει δυνάμεως τὸ θερμαῖνον φάρμακον τὰ οὕτως διακείμενα σώματα, καὶ μὴ πολλὴν ἔχειν ἐπιμεμιγμένην στῦψιν. ἀναμνησθήσῃ γὰρ ὧν ἐπί τε τῶν ἀρρώστων ἐθεάσω, κἂν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις ἐδιδάχθης. ὡς ἤδη μὲν τὴν ἑαυτῆς δύναμιν ἡ στρυφνὴ ποιότης, ψύχει τε, καὶ ξηραίνει. μιγνυμένη δέ τινι τῶν ἰσχυρῶς θερμαινόντων τὸ συγκείμενον ἐξ ἀμφοῖν, ἧττον μὲν ἐργάζεται θατέρου θερμαῖνον, οὐχ ἧττον δ' ἑκατέρου ξηραῖνον. ἐναντιώτατα δὲ τούτων, οἱ νῦν ἰατροὶ διαπράττονται. ξηρῷ καὶ ἀτρόφῳ μορίῳ πολλάκις ἐπιτιθέντες ἐκ θερμῆς καὶ στρυφνῆς ὕλης, σύνθετον φάρμακον. ἔστι δὲ οὐδὲν τῶν στρυφνῶν μετρίως στῦφον, ὅθεν οὐδὲ ξηραίνει μετρίως. ἀφεκτέον οὖν ἐστιν αὐτῶν ἐπὶ τῶν προκειμένων διαθέσεων. εἰ δὲ καὶ ἡ ψύξις εἴη πολλὴ τῆς ἤδη ξηρότητα δυσκρασίας ὡς ἀναγκάζειν ἐπὶ πλέον θερμαίνειν, πρῶτον μὲν ἀναμιμνήσκου τοῦ τῆς δυσκρασίας εἴδους. ἐδείχθη γὰρ ἁπάντων χαλεπώτατον. ὥστε δυσεπανόρθωτον αὐτὸ γίνωσκε, καὶ πολλῆς ἀκριβείας δεόμενον. ἀπέχεσθαι δὲ ὁμοίως τῶν προειρημένων ὑλῶν πειρῶ, ἐλπίζων ἐν χρόνῳ πλείονι διὰ τῶν ἀσφαλεστέρων ἰᾶσθαι τὴν διάθεσιν. ἀσφαλέστεραι δέ εἰσιν αὗται, αὖθις γὰρ εἰπεῖν ὑπὲρ τῶν ὄντως ἀναγκαίων ἄμεινον, ἐν ναρδίνῳ μύρῳ λειώσας μαστίχην χίαν ὡς λιπαρωτάτην, ἀναλαμβάνων πορφύρᾳ χρῶ. μιγνύναι δ' ἄμεινον εἰ παρείη καὶ τὸν ὀπὸν τοῦ βαλσάμου. διδόναι δὲ καὶ τὸ μέλι πλέον, ἅμα τῷ γάλακτι προαπηφρισμένον. ὅπως ἧττόν τε εἴη περιττωματικόν, καὶ μᾶλλον τρόφιμον. ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ ἀφεψημένον τὸ μέλι, τροφὴ καλλίστη ψυχρᾷ γαστρί. πολεμιώτατον δὲ τῇ θερμῇ. καὶ χρὴ μεμνῆσθαι τούτων ἀμφοτέρων ἐν τοῖς μάλιστα μὴ γινωσκομένων τοῖς πλείστοις ἰατροῖς. καὶ μήθ' αἱρεῖσθαί τι μέλιτος μᾶλλον ἐν ψυχροῖς σώμασι, μήτε φεύγειν ἐν θερμοῖς. ἡ μὲν δὴ πλείστη τροφὴ τῆς τοιαύτης διαθέσεως, ἔστω μὲν μέλι τὸ κάλλιστον, ἀφεψημένον ἐπ' ἀνθράκων δρυΐνων ἢ ἀμπελίνων εἰς τέλος διακαῶν, ἀφῃρημένου παντὸς τοῦ ἀφροῦ. τὸν δ' οἶνον ἀεὶ καὶ μᾶλλον αἱρεῖσθαι παλαιότερον ὅσῳπερ ἂν ἡ ψύξις ἐπὶ μᾶλλον κρατῇ. καὶ εἰ δεήσειεν ὅλον τὸ γένος ὑπαλλάττειν, ἀδριανὸν μετὰ τὸ πρῶτον. εἶτ' αὖθις τιβουρτῖνον, ἤ τινα τῶν ὁμοίων αἱρούμενον. ἅπαντας παλαιοὺς μὲν ἀλλ' οὐχ οὕτως ὥστε πικροὺς ὑπάρχειν ἤδη. ξηραίνουσι γὰρ οἱ πικροὶ περαιτέρω τοῦ δέοντος. ἄριστον δὲ φάρμακον ἐπὶ τῶν τοιούτων ἁπάντων, ᾧ καθ' ἑκάστην ἡμέραν οἱ πιττωταὶ χρῶνται. καταχρίειν οὖν αὐτῷ προσήκει τὴν γαστέρα σύμπασαν. εἶτ' ἀποσπᾶν πρὶν ψυχθῆναι. καὶ ἔτι ἀρκεῖ ποιῆσαι δὶς ἐφεξῆς ἐν ἡμέρᾳ μιᾷ. πλεονάκις δ' οὐ χρή. διαφορήσεις γὰρ οὕτως οὐ πληρώσεις αἵματος χρηστοῦ τὸ μόριον. ἡμεῖς δὲ οὐ διαφορεῖν τὸ περιεχόμενον, ἀλλ' ἐκ τῶν πλησίον ἐπισπᾶσθαι βουλόμεθα. ἔτι καὶ ἐπὶ τῶν ἠτροφηκότων ἁπάντων μορίων, θαυμαστὸν φάρμακον, ἤν τις ἐπίστηται μετρίως χρῆσθαι. καὶ μέντοι καὶ τὸ θερμαίνειν τὴν γαστέρα, μὴ ποιότητι παραύξοντα τὸ θερμόν, ἀλλ' ὅτι μάλιστα φυλάττοντα μὲν αὐτοῦ τὴν κατὰ φύσιν εὐκρασίαν, αὐξάνοντα δὲ τὴν οὐσίαν, οὐχ ὁ φαυλότατός ἐστι τῶν ἐν ταῖς τοιαύταις διαθέσεσι σκοπῶν. ἐργάζεται δὲ ἔτι ἤδη μὲν τὴν δίαιταν ἅμα τοῖς εἰρημένοις ἔμπροσθεν, οἶνος μάλιστα. τῶν δ' ἔξωθεν τῇ γαστρὶ προσφερομένων εὔσαρκον παιδίον συγκοιμώμενον ὡς ψαύειν ἀεὶ τῶν κατ' ἐπιγάστριον. ἔνιοι δὲ καὶ κυνίδια λιπαρὰ τῆς αὐτῆς ἕνεκα χρείας ἔχουσιν. οὐκ ἐν τῷ νοσηλεύεσθαι μόνον, ἀλλὰ καὶ ὑγιαίνοντες. τὰ μὲν οὖν τοιαῦτα, καὶ τοῖς διὰ ξηρότητα μόνην ἀτονοῦσι τὴν κοιλίαν ἐπιτήδεια. καὶ χρὴ περὶ παντὸς ποιεῖσθαι τὸ παιδίον ἄνικμον ἔχειν τὸν χρῶτα. τὰ γὰρ ἐφιδροῦντα διὰ νυκτὸς ψύχει μᾶλλον, ἢ θερμαίνει. Βλάπτουσι δὲ καὶ αἱ θερμαὶ πυρίαι τὰς τοιαύτας διαθέσεις. αἱ μὲν οὖν ἅμα ξηρότητι συνιστάμεναι, διότι τῶν ὁμοιομερῶν σωμάτων ἐκβόσκονται τὰς νοτίδας. αἱ δὲ σὺν ὑγρότητι τῷ διαφορεῖν τε ταῦτα, καὶ μάλισθ' ὅταν ἐπὶ πλέον χρησόμεθα. καὶ γὰρ σφόδρα μανὸν ἐργάζεσθαι καὶ τὸ σῶμα καὶ δύσψυκτον. Περὶ μὲν οὖν ταύτης τῆς συζυγίας τῶν δυσκρασιῶν, ἱκανὰ καὶ ταῦτα. μιγνύσθω δ' ἐφεξῆς δαψιλεῖ ξηρότητι καθάπερ ὑπόκειται, μὴ πάνυ πολλὴ θερμότης. ἐπὶ μὲν τῆς τοιαύτης ὑπαλλάξεως, τὴν πρώτην ἀγωγὴν φυλάξωμεν. οὐχ ὅπως αὐξανόντες ἢ τὴν τοῦ οἴνου δύναμιν, ἢ τὸ πλῆθος τοῦ μέλιτος, ἀλλὰ καὶ καθαιροῦντες, ὡς μέλιτος μὲν μηδόλως γεύεσθαι. τὸν δ' οἶνον ἥκιστα παλαιὸν προσφέρεσθαι. χλιαρὰ δὲ τὰ ἐδέσματα προσοίσομεν. ἃ καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς γαλακτώδη. θέρους δ' ὄντος, ἃ κα-

λᾶσι κρηναίᾳ. καὶ τὴν κοιλίαν ἐπαλείφομεν ὀμφακίνῳ τε καὶ μηλίνῳ. πολὺ δὲ δὴ μᾶλλον ἐὰν πλείων ἡ θερμότης ᾖ, τὸν οἶνον ὑδαρέστερόν τε δώσομεν. καὶ οὕτως ἔχοντα ψύξεως, ὡς τὸ κρηναῖον ὕδωρ ἐν ἦρι μέσῳ. γινώσκοντες ὡς ἡ τοιαύτη διάθεσις, ἀνάλογός ἐστι πυρετῷ. ὅπερ γὰρ ἐκεῖνος ἢ κατὰ σύμπαν τὸ ζῷον, ἢ κατὰ τὴν καρδίαν ἐστί, τοῦθ' ἡ νῦν προκειμένη διάθεσις, ἐν τῇ γαστρί. καὶ ἐγὼ πρῶτον μὲν ἁπάντων οἶδά τινα, θεασάμενος ἅμα τοῖς διδασκάλοις ἄνδρα τῆς καθεστώσης ἡλικίας ἐνοχλούμενον ἤδη μηνῶν οὐκ ὀλίγων. ἀλλ' οὔτ' ἐκείνων τις ἐγίνωσκε τὴν διάθεσιν, οὔτ' ἐγώ. μετὰ ταῦτα δ' ἀνεμνήσθην, εὑρηκὼς ἤδη τὴν θεραπευτικὴν μέθοδον, ὡς τοῦτ' ἄρ' ἦν ἐκεῖνο τὸ θεωρηθέν μοι πάλαι. κάλλιον δ' αὐτὸ καὶ διηγήσασθαι. πάντως γάρ δή που καὶ τοὺς ἀκούσαντας ὀνήσει, καθάπερ κἀμέ. τετταρακοντούτης μὲν ἦν ὁ ἄνθρωπος, ἕξεως δὲ συμμέτρου κατὰ πάχος καὶ λεπτότητα κατὰ τὸν τῆς ὑγείας χρόνον. ἐδίψει δὲ σφόδρα καὶ μισεῖν ἔφασκε τὸ θερμόν. ἐδίδου δ' αὐτῷ οὐδεὶς ψυχρόν, ἱκανῶς λιπτοῦντι. πυρέττειν μέν τοι τοῖς ἰατροῖς οὐκ ἐδόκει. καὶ ἡ γαστὴρ διέκρινε τὰ ληφθέντα, τριῶν ἢ τεττάρων ὡρῶν ὕστερον, ἅμα τῷ ποτῷ. τοῦτ' ἄρα καὶ ἰσχνὸς ἦν ἤδη, καὶ πλησίον ἀφῖκτο κινδύνου, μηδὲν ὀνινάμενος ὑπὸ τῶν αὐστηρῶν καὶ στρυφνῶν ἐδεσμάτων τε καὶ φαρμάκων. ἐλάμβανε δὲ καὶ οἶνον αὐστηρὸν ἐπὶ τῇ τροφῇ. οὗτος ὁ ἄνθρωπος, ἅμα μὲν οὐκέτι φέρων τὸ δίψος, ἅμα δὲ καὶ ὡς ἔφασκεν ἑλόμενος ἀποθανεῖν μᾶλλον ἢ ζῆν ἀνιώμενος, ὕδατος ψυχροῦ δαψιλὲς ἀθρόως ἐπὶ τῇ τροφῇ προσενεγκάμενος, αὐτίκα μὲν ἐπαύσατο διψῶν. διήμεσε δ' ὀλίγον ὕστερον τὸ πλεῖστον. φρικῶδες δὲ τοὐντεῦθεν γίνεται τὸ σύμπαν σῶμα, καὶ δεῖται σκεπασμάτων πλειόνων ἀκριβεστέρων ἔμπροσθεν ἅπαντα. τό τε οὖν λοιπὸν ἅπαν τῆς ἡμέρας ἐφεξῆς τοῦτ' ἔπραξε. καὶ δι' ὅλης νυκτὸς ἐφ' ἡσυχίας ἔμεινεν, ἐν θάλπων ἑαυτὸν ἐπιβλήμασιν. διέκρινε δ' ἅπαξ ἡ γαστὴρ αὐτῷ μετρίως συνεστῶτα, διὰ μέσης νυκτός. ὥστε οὐδὲ διψώδης ἦν ἔτι κατὰ τὴν ὑστεραίαν, εὐχρούστερός τε μακρῷ καὶ ἰσχυρότερος ἀπείργαστο. καὶ σκέψις μὲν ἐγένετο τοῖς ἰατροῖς, εἰ λουστέον αὐτόν, ἐνίων μὲν κελευόντων, ἐνίων δ' ἀπαγορευόντων. ἐκράτει δὲ ἡ τοῦ λούειν δόξα. καὶ τοίνυν λουσάμενος εὐφόρως. μετρίως τε διῃτήθη. καὶ κρεῖττον ἢ κατὰ τὴν προτεραίαν ἔπεψεν ἡ γαστήρ. ἐμέμψατο δὲ τὴν κατάποσιν, ὡς δυσχερῆ. καὶ πᾶσιν ἐδόκει διὰ τὸν ἔμετον ἀήθως γενόμενον, ἐσπαράχθαι τε καὶ κάμνειν τὸν στόμαχον. ὡς δὲ καὶ τῶν ἑξῆς ἡμερῶν ἔμενε τὸ σύμπτωμα, δῆλον ἐγίγνετο πᾶσιν ἡμῖν, ὡς ἡ μὲν γαστὴρ ἐθεραπεύθη τὴν ἀτονίαν. ὁ στόμαχος δὲ ἐψύχθη. καὶ οὐδὲν ἄρα θαυμαστὸν ἦν εἰς συμμετρίαν μὲν ἐπανελθεῖν τῇ πόσει τὸ ὑπερτεθερμασμένον. ψυχθῆναι δὲ τὸ μετρίως θερμόν. οὐ μὴν οὐδὲ ἐδυνήθη τις αὐτοῦ θεραπεῦσαι τὸν στόμαχον. ἀλλ' ἕτερον δ' ἀνθ' ἑτέρου κακὸν ἀνταλλαξάμενος, ἐτελεύτα τῷ χρόνῳ. ἄλλον δὲ τοιοῦτον ἔτεσιν ὕστερον οὐκ ὀλίγοις, ἐθεασάμην, ἤδη διαγινώσκειν εἰδὼς ἁπάσας τῆς γαστρὸς τὰς δυσκρασίας, ἐδόκει μοι δὴ ψύχειν ἀγωνιστικώτερον εὐθέως, πρὶν ἐπὶ πλέον λεπτυνθέντα, παραπλήσιόν τι τῷ πρόσθεν ἐπὶ τῇ ψύξει παθεῖν. ἀσφαλέστερον οὖν ἐφαίνετό μοι τὴν πρώτην, ἀποπειραθῆναι τῶν κατὰ τὸ ὑποχόνδριον ἐπιτιθεμένων ψυκτηρίων φαρμάκων. καὶ οὕτω πράξαντος, ἠλαττώθη μὲν τὸ καῦμα τῆς κοιλίας, ἀνέπνει δὲ τοῖς στενάζουσιν ὁμοίως ὁ ἄνθρωπος, ὡς μόλις κινῶν ὅλον τὸν θώρακα. καὶ μέν τοι καὶ αὐτὸς ἀνερωτώμενος, ὡμολόγει τοιούτου τινὸς αἰσθάνεσθαι παθήματος. ἔγνων οὖν ἐψύχθαι τὰς φρένας αὐτῷ. καὶ διὰ τοῦτ' ἀπορρίψας τὰ ψυκτήρια, κατήντλουν ἐλαίῳ θερμῷ. τάχιστα δὲ τῆς ἀναπνοῆς ἀπολαβούσης τὸν κατὰ φύσιν ῥυθμόν, ἐπαυσάμην μὲν τῆς αἰονήσεως, ἔγνων δὲ μετρίως αὐτὸν ψύχειν ἐν χρόνῳ πλείονι. τά τε οὖν ἔξωθεν ἐπιτιθέμενα, κάτω μᾶλλον ἐπετίθουν ἀποχωροῦν τοῦ διαφράγματος, ὡς ἐπὶ τὸν ὀμφαλόν. ἅπαντά τε τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα, πλὴν τοῦ γάλακτος, ἐδίδου ψυχρά, παραπλησίως ὕδατι κρηναίῳ. καὶ οὕτως ἐν χρόνῳ πλείονι κατέστη, μηδὲν τῶν ἄλλων βλαβείς. ἰστέον δέ σοι καὶ τοῦτο πρὸ πάντων, ὡς ἐπειδὰν μὲν ἰσχυρῶς ἀλλοιωθῇ κατ' ἀμφοτέρας τὰς ποιότητας ὁποιονοῦν μόριον, ἀπόλλυται τὸ ἔργον αὐτοῦ σύμπαν. οὐ ῥᾴδιον δὲ οὐδὲ τὸ οὕτω διατεθέν, ἐπανελθεῖν εἰς τὸ κατὰ φύσιν. ἐπειδὰν δὲ ἡ ἑτέρα μόνη ποιότης ἐπὶ πλέον ὑπαλλαχθῇ, καθάπερ νῦν ὑπεθέμεθα τὴν ξηρότητα, τῶν δ' ἄλλων τις ἢ μετρία, δυνατὸν ἰάσασθαι τὸν οὕτω διακείμενον ἄνθρωπον.

Ὑποκείσθω δὴ πάλιν ἐπικρατεῖν μὲν τὴν θερμὴν δυσκρασίαν. μιγνύσθαι δ' αὐτῇ, ποτὲ μὲν ὑγρότητα ποτὲ δὲ ξηρότητα μετρίαν ἑκατέραν. καὶ προτέραν γε τὴν ὑγρότητα. τὴν τοιαύτην δυσκρασίαν ἀδεέστερον ὕδατι θεραπεύσωμεν ψυχρῷ, διὰ τὸ μὴ βλάπτεσθαι πρὸς αὐτοῦ τὰ γειτνιῶντα μετρίως διακείμενα. κατὰ γὰρ τὰς ξηρὰς διαθέσεις, ἀναγκαῖον ἐστὶν οὐ τὰ πλησιάζοντα μόνον, ἀλλὰ καὶ τὸ σύμπαν ἰσχνότερον γενέσθαι τὸ σῶμα. τῆς κοιλίας δ' αὐτῆς μηδέπω κατεξηρασμένης, ὡς ὑπόκειται νῦν, οὐδὲ τὸ σύμπαν σῶμα λεπτύνεσθαι δυνατόν. ὥστε οὐδὲ βλάπτεσθαι τῇ πόσει τοῦ ψυχροῦ, εἰ δ' οὕτω ποτὲ ἰσχυρὰ δυσκρασία θερμότητος εἴη κατὰ τὴν κοιλίαν, ὡς μέχρι τῆς καρδίας διικνεῖσθαι, πυρέττειν ἀνάγκη τὸν ἄνθρωπον. ὥστε δὲ καὶ τὸν κίνδυνον ὀξύτερον εἰκὸς ἕπεσθαι ταῖς τοιαύταις δυσκρασίαις. ἡ δ' ἴασις ἡ αὐτὴ μὲν κατὰ γένος. εἰρήσεται δὲ αὖθις ἐν ταῖς θεραπείαις τῶν πυρετῶν. ἡ δὲ μετὰ ξηρότητος θερμότης, τοῖς αὐτοῖς μὲν ὑπάγεται κατὰ γένος. οὐ μὴν ὁμοίως γε ἀδεὴς τῶν ψυχόντων ἡ χρῆσίς ἐστι, δι' ἃς εἶπον αἰτίας. Ἡ δὲ ὑγρὰ δυσκρασία καὶ μόνη συστᾶσα, πασῶν ἐστὶν εὐιατοτάτη, καὶ μετὰ θερμότητος ἢ ψυχρότητος ἐπιπλεκομένη. καὶ διότι γε συνεχῶς αἱ τρεῖς αὗται δυσκρασίαι καταλαμβάνουσι τὴν γαστέρα, καὶ εἰσὶν ἰαθῆναι ῥᾶσαι, τὴν θεραπείαν δὲ ἀεὶ τούτων ἐχόντων ἐν μνήμῃ πάντες οἱ χωρὶς μεθόδου θεραπεύοντες τὰς νόσους, ἐπὶ τὰς ἄλλας ὡς εἴρηται μεταφέρουσιν, ἀγνοοῦντες ὅτι πλείους εἰσίν. ἔστι δὲ δή που τῆς μὲν ὑγρᾶς δυσκρασίας μόνης συνισταμένης βοηθήματα, τὰ ξηραίνοντα τῶν ἐδεσμάτων, ἄνευ τοῦ θερμαίνειν ἢ ψύχειν ἰσχυρῶς. Ἔτι τε πρὸς τούτοις, ἔνδεια τῶν συνήθων ποτῶν. τῆς δὲ μετὰ θερμότητος, ἡ τῶν στυφόντων ἐδεσμάτων καὶ ποτῶν χρῆσις. ἔστω δὲ καὶ ταῦτα χωρὶς τοῦ θερμαίνειν, αὐστηρά. καὶ μὲν δὴ καὶ τὸ ψυχρὸν ποτόν, ἐπιτήδειον αὐτοῖς. τῆς δὲ μετὰ ψύξεως ὑγρᾶς δυσκρασίας. ἄριστα μὲν ἰάματα, τὰ δριμέα σύμπαντα. μιγνύσθω δ' αὐτοῖς καὶ τὰ στρυφνά, χωρὶς τοῦ ψύχειν σαφῶς. ἄριστον δ' ἴαμα καὶ τούτοις ὀλιγοστὸν πόμα. καὶ τοῦτο τις τῶν θερμαινόντων ἰσχυρῶς οἴνων. εὔδηλον δὲ καὶ ὡς ὁ τοιοῦτος οὐδὲ νέος ἐστίν. ἀνάλογον δὲ τοῖς ἐσθιομένοις καὶ πινομένοις,

καὶ τἄλλα

καὶ τἆλλα ἔσω σύμπαντα τὰ ἔξωθεν προσαγόμενα. ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, πάλιν ἐπ' ἀρχὴν τὸν λόγον ἀναγαγόντες, ἀθροίσωμεν αὐτοῦ τὰ κεφάλαια. τὴν μὲν οὖν θερμὴν δυσκρασίαν, ψυκτέον ἐστί. τὴν δὲ ψυχρὰν, θερμαντέον. οὕτω δὲ καὶ τὴν μὲν ὑγρὰν ξηραντέον, τὴν δὲ ξηρὰν ὑγραντέον. εἰ δὲ κατὰ συζυγίαν τινὰ εἴη γεγενημένη, μιγνύειν ἀμφοτέρους τοὺς σκοπούς. τὴν μὲν ὑγρὰν καὶ θερμὴν, ξηραίνοντας καὶ ψύχοντας. τὴν δ' ὑγρὰν καὶ ψυχρὰν, ξηραίνοντας καὶ θερμαίνοντας. οὕτως δὲ καὶ τὴν μὲν ξηρὰν καὶ θερμὴν, ὑγραίνοντας καὶ ψύχοντας. τὴν δὲ ψυχρὰν καὶ ξηρὰν ὑγραίνοντας καὶ θερμαίνοντας. ἁπασῶν δὲ χειρίστην ἰστέον εἶναι, τῶν μὲν ἁπλῶν, τὴν ξηράν. τῶν δὲ συνθέτων, τὴν ξηράν τε ἅμα καὶ ψυχράν. ἐν τούτῳ μὲν ἡμῖν τέλος ἐχέτω τὰ περὶ τῆς δυσκρασίας τῆς γαστρὸς, ἄνευ περιττῆς τινος ἔξωθεν ὑγρότητος. Ἑξῆς δ' ἐπὶ τὰς διὰ τι τοιοῦτο γιγνομένας, ἴωμεν τῷ λόγῳ. πολλάκις μὲν οὖν ἐν αὐτῷ τῷ κύτει τῆς κοιλίας τι περιεχόμενον ὑγρὸν, ἤτοι θερμαίνειν, ἢ ψύχειν, ἢ ὑγραίνειν, ἢ ξηραίνειν αὐτὴν πέφυκεν, ἢ κατὰ συζυγίαν, τινὰ τούτων ποιεῖν. ἐνίοτε δ' εἰς αὐτοὺς τοὺς χιτῶνας, ὡς ἂν εἴποι τις, ἀναπεπωμένον ἢ ἐμπεπλασμένον, ἐργάζεται τὴν δυσκρασίαν. ἡ μὲν οὖν προτέρα διάθεσις, εἰ μὲν ἅπαξ συσταίη, δι' ἐμέτων ἐκκαθαρθεῖσα, καθίσταται ῥᾳδίως. εἰ δ' αὖθις καὶ αὖθις ἐξ ἑτέρου τινὸς ἢ ἑτέρων ἐπιρρέοι μορίων, ἀκριβοῦς δεῖται τῆς διαγνώσεως. ἡ θεραπεία δ' εὐθέως ἐπακολουθήσει τῇ γνώσει τῆς ποιούσης αἰτίας. ἐλέχθη γὰρ ἡμῖν ἔν ἄλλοις τέ τισι, κἀν ταῖς τῶν πυρετῶν διαφοραῖς, ὡς ἐπιρρεῖ πολλάκις ἐξ ἑτέρων μορίων ἑτέροις, ἡ περιουσία. καθάπερ εἰ οὕτως ἔτυχε τῶν κατὰ τὴν κεφαλὴν, τοῖς ὀφθαλμοῖς. ἔνθα χρὴ τὰ πέμποντα θεραπεύοντα μόρια, μόνου τοῦ τόνου προνοεῖσθαι τῶν ὀφθαλμῶν, ὡς μὴ ῥᾳδίως δέχοιντο μηδὲν τῶν ἐπιρρεόντων αὐτοῖς. οὕτως οὖν χρὴ καὶ ἐπὶ τῆς κοιλίας εὑρόντα τὸ πέμπον τὰ περιττὰ, σύμπασαν μὲν ἐκείνῳ προσάγειν τὴν θεραπείαν. τῆς γαστρὸς δὲ προνοεῖσθαι τοσοῦτον μόνον, ὡς μὴ ῥᾳδίως δέχοιτο τὰ ἐπιρρέοντα. γένοιτο δ' ἂν οἶμαι τοῦτο, κατὰ διττὸν τρόπον. ἕνα μὲν τὸν κοινὸν ἁπάντων ῥευμάτων. ἀναστέλλεται γὰρ ὑπὸ τῶν στυφόντων. ἕτερον δὲ, καὶ τοῦτον κοινὸν ἁπάντων τῶν εἰς εὐεξίαν ἀγομένων μορίων ὑπὸ τῆς ἐν τῇ κράσει συμμετρίας. ἐπισκέπτεσθαι τοιγαροῦν ὅλον μὲν τὸ σῶμα πρότερον χρὴ, εἰ περιττωματικὸν ἢ πληθωρικὸν ὂν, ἐπιπέμπει ῥεῦμα τῇ γαστρί. δεύτερον δ' εἰ μὴ τοῦτο φαίνοιτο, τὸ καθ' ἓν ἕκαστον τῶν μορίων σκοπεῖσθαι. κατὰ μὲν δὴ τὴν τοῦ παντὸς σώματος ἐπίσκεψιν, ἔμαθες μὲν καὶ τὰ τοῦ πλήθους, καὶ τὰ τῶν περιττωμάτων γνωρίσματα, διά τε τῆς ὑγιεινῆς πραγματείας, καὶ τοῦ περὶ πλήθους βιβλίου. προσεπισκέπτου δ' αὐτοῖς, καὶ τάδε. πρῶτον μὲν ἐπὶ γυναικῶν, εἰ μὴ καθαίρονται κατὰ φύσιν. ἑξῆς δ' ἐπ' ἀνδρῶν, εἰ συνήθης ἔκκρισις ἐπέχεται. πολλοῖς μὲν γὰρ αἱμορροΐσιν ἔθισται τὸ περιττὸν ἐκκενοῦν. ἐνίοις δ' αἱμορραγίαι διὰ ῥινῶν, ἢ ἔμετος, ἤ τι κατ' ἄλλον τινὰ τόπον ἐν ὡρισμέναις περιόδοις ἀναστομούμενον ἀγγεῖον. οἶδα γοῦν ἐν στόματι καὶ φάρυγγι πολλοῖς τοῦθ' ὑπάρχον. εἰσὶ δ' οἷς καὶ διὰ γαστρὸς αἵματος ἔκκρισις ἀνὰ χρόνον γίγνεται. καὶ μάλισθ' ὅσοι γυμνασίων ἰσχυρῶν ἀρξάντες, οὐκ ἀπέστησαν τῆς ἔμπροσθεν διαίτης. ἤ τι κῶλον ὅλον ἀφῃρέθησαν, ὡς ἐδήλωσε καὶ ὁ Ἱπποκράτης. ἐνίοις δὲ καὶ διάρροιαι, καὶ χολέραι, διὰ χρόνων τινῶν γιγνόμεναι, κενοῦσιν ἅπαντος τοῦ σώματος τὴν περιουσίαν. ἐπὶ δὲ τοῖσδε, σκεπτέον ὁποίᾳ τινὶ κέχρηται διαίτῃ. πότερον, ἀπεψίαις πλείοσιν, ἢ πλησμοναῖς, ἐν ἀργῷ βίῳ. καὶ μάλιστα παρὰ τὸ ἔθος. ἢ τοὐναντίον. εἶθ' ἑξῆς ἐπισκεπτέον, εἰ μέλος ἄλλο τοῦ σώματος ἐνοχλούμενον ἐν περιόδοις τισὶ χρόνων, οὐκ ἐνοχλεῖται νῦν. ἐνίοις μὲν γὰρ, ἀρθρῖτις, ἢ ἰσχιὰς, ἢ ποδάγρα. κεφαλαία δ' ἄλλοις. ἢ εἰς ὀφθαλμοὺς, ἢ εἰς ὦτα κατασκῆπτον ῥεῦμα, μετέστη νῦν εἰς τὴν γαστέρα. πολλοῖς δὲ καὶ κατάρροι, καὶ κόρυζαι συνεχῶς γινόμεναι, μεθίστανται κατά τινα χρόνον εἰς τὰ κατὰ τὴν γαστέρα χωρία. ταῦτ' οὖν ἅπαντα κατασκεψάμενος, εἰ μὲν ἐξ ἀκυρωτέρων ἡ μετάστασις εἴη γεγενημένη, πρὸς ἐκεῖνα πάλιν ἀντισπάσεις τὸ περιττὸν. εἰ δ' ἐκ κυριωτέρων, ἀμφοῖν ὁμοίως προνοήσεις τὴν ἐργαζομένην τὸ ῥεῦμα διάθεσιν ἐκκόπτων ἀεί. γίγνοιτο δ' ἂν τοῦτο, πάντα μὲν εἰς εὐεξίαν ἀγόντων ἡμῶν τὰ τοῦ σώματος μόρια, πάσας δὲ τὰς φυσικὰς ἐκκρίσεις εὐρους ἀεὶ παρασκευαζόντων. ὅπως δ' ἄν τις ἐργάζοιτο ταῦτα, διὰ τῆς ὑγιεινῆς πραγματείας δεδήλωται. πρόδηλον δ' ὅτι κἂν εἰ διὰ πληθώραν ὅλου τοῦ σώματος ἡ γαστὴρ δέχηται ῥεῦμα, τὸ σύμπαν σῶμα κενωτέον ἐστίν. ὥσπερ γε καὶ εἰ διὰ κακοχυμίαν, ἐκείνην ἐκκαθαίρειν προσήκει. κἄπειθ' οὕτως, ἐπ' αὐτὴν ἰέναι τὴν γαστέρα. πάντως γάρ δή που πλείοσιν ἡμέραις εἰς αὐτὴν ἐνηνεγμένων τῶν περιττῶν, ἀπήλαυσέ τι τῆς μοχθηρίας αὐτῶν. ὥστε ἐν καιρῷ χρήσαιτ' ἂν ὁ οὕτω κάμνων, ἀψινθίου ποτῷ. δήλη δ' οἶμαί σοι. καὶ ἡ μετὰ ταῦτα πρόνοια μέχρι τοῦ τὴν ἔμπροσθεν ἕξιν ἀνακτήσασθαι τῇ γαστρί. κατὰ γάρ τοι τὴν κρᾶσιν τοῦ λυπήσαντος αὐτὴν ῥεύματος, ἐστὶν ὅτε δύσκρατος γενομένη, τῶν ἐναντίων εἰς ἐπανόρθωσιν ἰαμάτων δεῖται. ῥᾷστον δὲ δή που τὴν τοιαύτην ἰάσασθαι βλάβην, ὅταν ὀλίγων ἡμερῶν ᾖ. ὡς εἴγε δι' ἀχρείαν τῶν ἰωμένων διαμένῃ χρόνῳ πλείονι, ποτὲ μὲν οἱ χιτῶνες αὐτῆς ἐμπίπλανται τῆς κακοχυμίας, ἔστι δ' ὅτε καὶ αὐτὸ τὸ ὁμοιομερὲς αὐτῶν σῶμα δύσκρατον ἱκανῶς γενόμενον, ὁμοίας χρῄζει θεραπείας, τῇ λελεγμένῃ πρόσθεν ἐν τῷδε τῷ λόγῳ τῶν δυσκρασιῶν. Ὑπόλοιπον οὖν ἐστι διελθεῖν ὅπως ἄν τις ἰῷτο τὰς ἐν τοῖς χιτῶσι τῆς γαστρὸς κακοχυμίας. ἔστι δὲ ἐπιτήδεια πρὸς τὰς τοιαύτας διαθέσεις φάρμακα, τῷ γένει μὲν ἐκ τῶν καθαιρόντων μετρίως, ὡς μὴ προϊέναι τῆς διαίτης ἀμιν αὐτῆς ἀνωτέρω τῶν κατὰ γαστέρα τε καὶ τὰ ἔντερα χωρίων. ἢ εἴπερ ἄρα, πρὸς τούτοις ἅπτεσθαι τῶν κατὰ τὸ μεσεντέριον ἀγγείων. ἐν εἴδει δὲ, τὰ διὰ τῆς ἀλόης ἐστὶ κάλλιστα, καὶ αὐτὴ καθ' αὑτὴν ἡ ἀλόη μὴ παρόντων ἐκείνων. ἄπλυτος μὲν οὖν, ἱκανωτέρως ἐκκενοῖ. πλυθεῖσα δὲ, ἧττον μὲν καθαίρει, ῥώννυσι δὲ μᾶλλον τὴν γαστέρα. Χρὴ τοίνυν ἔχειν τὴν καλουμένην ἤδη πρὸς ἁπάντων τῶν ἰατρῶν πικρὰν ἐσκευασμένην διττῶς. ἐξ ἀπλύτου τε καὶ πεπλυμένης ἀλόης. μίγνυται δὲ αὐτῇ κινναμώμου τε καὶ ξυλοβαλσάμου, καὶ ἀσάρου, καὶ νάρδου στάχυος, καὶ κρόκου, καὶ χίας μαστίχης. ἔστωσαν δὲ ἓξ μὲν τούτων ἑκάστου δραχμαί. μόνης δὲ τῆς ἀλόης, ἑκατόν. ἄριστον δὲ τοῦτο τὸ φάρμακον εἰς τὰς τῶν χιτώνων τῆς γαστρὸς κακοχυμίας. ἄμεινον δὲ χρῆσθαι ξηρῷ δι' ὕδατος ὅσον δυοῖν κοχλιαρίων μικρῶν τὸ πλῆθος, ὅταν γε μετρίως καὶ μέσως αὐτῷ χρῆσθαι προαιρώμεθα. τὸ γὰρ δὴ πλεῖστον καὶ τελεώτατον, οὐ σμικρῶν δυοῖν, ἀλλὰ μεγάλων ἢ

πόσις, ἐν ὕδατος εὐκράτου τρισὶ κυάθοις. ἐλαχίστη δὲ δόσις ἑνὸς κοχλιαρίου μικροῦ. χρῆσθαι δ' ἐν τῷ καιρῷ τῷ δὲ καὶ πτισάνης χυλῷ, πρῶτον αὐτὸν ἀπὸ τοῦ βαλανείου λαμβάνουσα. τὸ μὲν γὰρ φάρμακον αὐτὸ κατὰ τὸν συνήθη τοῖς καθαίρουσι δίδοσθαι καιρόν. ἐπ' αὐτῷ δὲ περιπατήσαντα σύμμετρα, καὶ κινηθέντα μέτρια, τῶν ἄλλων τῶν κατὰ τὴν δίαιταν, ὑπαλλάττειν μηδέν. ἔνιοι δ' ἀποτίθενται τὸ φάρμακον, ἀναλαμβάνοντες ἀπηφεψημένῳ μέλιτι. καὶ γίνεται μὲν οὕτω μονιμώτερον, οὐ μὴν δὲ ὁμοίως γε πρὸς τὰς ὑποκειμένας ἐν τῷ παρόντι λόγῳ διαθέσεις ἀγαθόν. ἧττον γὰρ ῥώννυσι τὴν κοιλίαν, καὶ μᾶλλον ὑπάγει. γλίσχρου μέν τοι φλέγματος ἐμπεπλασμένου τῇ γαστρί, δοτέον αὐτοῖς πρότερον ὅσα τέμνει τοῦτο. κἄπειτα οὕτω καθαρτέον. εἰ δὲ καὶ πρὸς ἔμετον ἐπιτηδείως ἔχοιεν, οὐδὲν ἂν εἴη χεῖρον ἐμεῖν ἀπὸ ῥαφανίδων δι' ὀξυμέλιτος. εἰ δὲ μήτε γλίσχρος ὁ χυμὸς εἴη, μήτε παχύς, ἀρκεῖ καὶ ὁ ἀπὸ τοῦ χυλοῦ τῆς πτισάνης ἔμετος μόνου, καὶ ὁ ἀπὸ τοῦ μελικράτου. λαμβάνειν δ' ἑκατέρου πλέον ἢ ὡς ἄν τις ἔλαβεν, ἤτοι τροφῆς ἕνεκεν, ἢ ὑπαγωγῆς γαστρός. ἐπιτήδειον δὲ καὶ τὸ μελίκρατόν ἐστιν ἀφεψημένου καθ' αὐτὸ τοῦ ἀψινθίου πίνεσθαι. καὶ γὰρ καὶ τοῦτο καλῶς ὑπάγει κάτω τοὺς λεπτοὺς χυμούς, ὅσοι περ ἂν ἐν τῷ στόματι τῆς γαστρὸς αὐτῆς περιέχονται. κοινωνεῖ δὲ ὁ λόγος ὁ σύμπας ὁ περὶ τῆς δυσκρασίας τοῖς ὑγιεινοῖς παραγγέλμασι, καθ' ὅ τι μέρος ἑαυτοῦ τὸ τῶν ἀσθενῶν ἐνεργειῶν. οὐ γὰρ δὴ τῶν γε ἀπολωλυιῶν ἢ πλημμελῶς γιγνομένων· ἐκπέπτωκε γὰρ ἐκεῖνα τελέως τῶν ὑγιεινῶν. ἡ δ' ἀσθενὴς ἐνέργεια, κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον τῆς ὑγιεινῆς ἔσται πραγματείας ἢ τῆς θεραπευτικῆς. ὀλίγον μέν τι παραποδιζομένη, τῆς ὑγιεινῆς, ἐπὶ πλέον δέ, τῆς θεραπευτικῆς. ὅρος δ' ἑκατέρας, τὸ τῶν συνήθων πράξεων ἤτοι γε ἀφίστασθαι διὰ τὸ μέγεθος τῆς βλάβης, ἢ μή. λέλεκται δὲ καὶ περὶ τούτων ἐν τοῖς ὑγιεινοῖς. καὶ χρὴ καὶ διὰ τοῦτο θᾶττον ἀφίστασθαι τοῦ λόγου. γεγραμμένης γε δὴ συμπάσης ἤδη τῆς μεθόδου καθ' ἣν χρὴ τὰς δυσκρασίας ἰᾶσθαι τῆς γαστρός, εἴτε καθ' ἕξιν, εἴτε κατὰ σχέσιν ἐν αὐτῇ γένοιντο. δῆλον δὲ ὡς καὶ μικτή ποτ' ἔσται διάθεσις ἐν τῇ γαστρὶ τῶν εἰρημένων τριῶν τῶν ἁπλῶν. ὥστε καὶ αὐτὰ τὰ στερεὰ μόρια δυσκράτως ἔχειν. καὶ χυμοὺς μοχθηροὺς ἐμπεπλάσθαι δυσεκνίπτως τῇ γαστρί. καὶ κατὰ τὴν ἔνδον εὐρυχωρίαν ἑτέρους περιέχεσθαι. δύναται μὲν γάρ ποτε καὶ τὸ πρῶτον ἅμα τῷ δευτέρῳ ῥηθέντι συστῆναι. δύναται δὲ καὶ τὸ δεύτερον ἅμα τῷ τρίτῳ. καὶ αὖθίς γε τὸ πρῶτον ἅμα τῷ τρίτῳ. καὶ πάνθ' ἅμα πολλάκις, ἐφ' ὧν ἀναμνησθήσῃ μὲν δήπου καὶ τῆς ἔμπροσθεν εἰρημένης μεθόδου ἐν τοῖς περὶ τῶν ἑλκῶν λόγοις, ἁπασῶν τῶν ἐπιπλεκομένων ἀλλήλαις διαθέσεων. οὐδὲν δ' ἂν εἴη χεῖρον καὶ νῦν αὐτὴν διελθεῖν. ἐπισκέψαι γὰρ ἐν ταῖς τοιαύταις ὑπαλλάξεσι, πρῶτον μὲν ἀφ' οὗ μάλιστα κινδυνεύειν εἰκός ἐστι τὸν κάμνοντα. δεύτερον δέ, τί μὲν ἐξ αὐτῶν ἢ τίνα λόγον αἰτίας ἔχει. τίνα δὲ ἀποτελεῖται πρὸς αὐτῶν. καὶ τρίτον, οἷς ἀδύνατόν ἐστιν ἰαθῆναι πρὸ τῶν ἄλλων, καὶ ὅσοις δυνατόν. ὥσπερ ἐπὶ τῶν ἑλκῶν ἐδείκνυμεν τῶν ἅμα φλεγμοναῖς συνισταμένων. ἔνθα μὲν γὰρ ἀπό τινος τῆς διαθέσεων οὐ μικρὸς ὁ κίνδυνός ἐστιν, ὁ πρὸς τὸ κατεπεῖγον σκοπός, αἱρετέος. ἔνθα δὲ τὸ μὲν ποιοῦν ἐστι. τὸ δὲ γιγνόμενον, ὁ πρὸς τὸ αἴτιον. ἔνθα δὲ οὐχ οἷόν τε θεραπευθῆναι τόδε πρὸ τοῦδε, ὁ ἀπὸ τῆς τάξεως. ἐν μὲν οὖν τῷ πρὸς τὸ κατεπεῖγον σκοπῷ, τὸ μέγεθος τῆς διαθέσεως σκεπτέον. ἔστι δὲ τρία μεγέθη. τὸ μέν τι, κατὰ τὸ τῆς βεβλαμμένης ἐνεργείας ἀξίωμα. τὸ δέ τι, κατὰ τὴν οἰκείαν οὐσίαν τῆς διαθέσεως. καὶ τρίτον ἐπὶ τούτοις δέ, τὸ πρὸς τὴν διοικοῦσαν τὸ βεβλαμμένον σῶμα δύναμιν. ἐν δὲ τῷ πρὸς τὸ αἴτιον σκοπῷ, θεωρητέον. τί μὲν ἐκ τῶν ἐπιπεπλεγμένων ἀλλήλαις αὐξάνειν ἢ γεννᾶν πέφυκε τὰ λοιπά, τίνα δ' ἤτοι τὴν γένεσιν ἢ τὴν αὔξησιν ὑπ' ἐκείνου λαμβάνει. ἐν δὲ τῷ κατὰ τὴν τάξιν, τί πρός τινος, ἢ τί σύν τινι, ἢ τί μετά τι δυνατὸν ἰᾶσθαι. ὑποκείσθω γοῦν εἰς τὴν γαστέρα καταῤῥέουσά τις ἐξ ἐγκεφάλου περιουσία ψυχρά. καὶ διὰ ταύτην ἤδη μέν τις οὖσα δυσκρασία κατὰ τὴν κοιλίαν. ἔτι δὲ μᾶλλον καὶ χυμοὶ μοχθηροὶ καθ' ὅλον αὐτῆς τὸ σῶμα τὰς μεταξὺ χώρας ἁπάσας τῶν ὁμοιομερῶν κατειληφότες, ἐν ταῖς τοιαύταις ἐπιπλοκαῖς, ἀξιώματι μέν ἐστι μείζων ἡ δυσκρασία, διότι καὶ ἡ εὐκρασία, κατὰ δὲ τὴν οἰκείαν οὐσίαν, ὅ, τί περ ἂν αὐτῶν τύχῃ περὶ τὸν ὑποκείμενον ἄῤῥωστον ἐν τῷ λόγῳ. καὶ κείσθω πρός γε τὸ παρόν, ἐν τοῖς εἰρημένοις τρισὶ μείζων εἶναι διάθεσις ἡ τῶν ἐν τοῖς χιτῶσι τῆς γαστρὸς χυμῶν. ἔστω δ' εἰ βούλει καὶ τοῦτο αὐτὸ τὸ πάθημα, δῆξιν ἐργαζόμενον, καὶ διὰ τοῦτο αὐτὸ λειποψυχίαν τε καί τινας ἱδρῶτας ἅμα συγκοπτικαῖς ἐκλύσεσιν, ὡς εἶναι μεῖζον αὐτὸ τῶν ἄλλων, καθ' ὅσον ὑπὲρ τὴν δύναμίν ἐστιν. εὔδηλον οὖν ὅτι τὴν μὲν πρώτην αὐτῆς ἐπιμέλειαν ἀντιτάξαιτο πρὸς τὸ καταλῦον τὴν δύναμιν. ἑξῆς δ' ἐπειδὴ μέγιστον τῶν ἄλλων ὑπέκειτο τοῦτο κατὰ τὴν οἰκείαν οὐσίαν, ἐπὶ πρῶτον αὖθις αὐτὸ παραγίγνοιτο, καὶ πρῶτον ἰάσθω. εἰ δ' ἡμῖν ἤδη μετρίως ἔχει τοῦτο, καὶ μήθ' ἡ δύναμις ἔτι καταπίπτει, μήτε ἡ κατὰ τὴν γαστέρα κακοχυμία παμπόλλη τις εἴη, τό τε ἐπὶ τὴν αἰτίαν ἀφιξόμεθα, γιγνώσκοντες ὡς οὐχ οἷόν τ' ἐστὶ τελέως ἰαθῆναι διάθεσιν οὐδεμίαν, ἔτι μενούσης τῆς ἐργαζομένης αὐτὴν αἰτίας. ἡ δέ γε τάξις τῆς θεραπείας, ἐνίοτε μὲν ὡς ἐπὶ φλεγμονῆς καὶ ἕλκους ἐναντίων ἐστὶν ἐνδεικτικὴ βοηθημάτων. ἐδείκνυτο γὰρ ὡς τὰ τὴν φλεγμονὴν θεραπεύοντα, μεῖζον ἀπεργάζεται τὸ ἕλκος. ἐνίοτε δ' οὐδὲν βλάπτει τὴν ἑτέραν διάθεσιν, ὥσπερ ἐπὶ τῆς ἐνεστώσης ὑποθέσεως. ὁ γὰρ ἐκκενῶν τὸ περιεχόμενον ὑγρὸν ἐν τῷ τῆς γαστρὸς κύτει, τῶν ἐν τοῖς χιτῶσι περιεχομένων ὑγρῶν ὑποτέμνεται τὴν τροφήν. ὥσπερ γε καὶ ὁ τὸν ἐγκέφαλον ἰώμενος, ὡς μηδεμίαν ἐν ἑαυτῷ γεννᾶν αἰσθητὴν περιουσίαν, ἐκκόπτει τὴν οἷον πηγὴν τῶν εἰς τὴν γαστέρα ῥευμάτων. ἐπὶ μὲν δὴ τούτων, ἡ τάξις τῆς θεραπείας, τῇ τάξει τῶν αἰτίων ὁμολογεῖ, κἂν ἐν ἄλλοις διαφέρηται. τὸ δ' ἀπὸ τοῦ μεγέθους χρὴ διορίζεσθαι καθάπερ εἴρηται. καὶ πρῶτον μὲν [illegible] τῷ μεγίστῳ τὴν οἰκείαν ὕλην ἐφαρμόζειν τῶν βοηθημάτων. ἑξῆς δὲ κατὰ τὸν τῶν αἰτίων στοῖχον ἰᾶσθαι τὸ σύμπαν. ὅταν γὰρ μήτε πλῆθος ἀξιόλογον ᾖ τῶν κατὰ τὴν γαστέρα περιττωμάτων, μήτ' ἐν τῇ κοιλότητι περιεχομένων αὐτῆς, μήτ' ἐν τοῖς χιτῶσι, μήτε δῆξις ἀδικοῦσα τὴν δύναμιν, ἁπάντων μὲν χρὴ πρῶτον ἐκνοσηλεῦσαι τὸν ἐγκέφαλον. ἐφεξῆς δὲ τὸ κύτος τῆς γαστρὸς ἐκκενῶσαί τε καὶ διαῤῥύψαι, καὶ μετὰ ταῦτα ἐκκαθῆραι τοὺς χιτῶνας. εἶτα τὴν δυσκρασίαν ἰᾶσθαι. εἴρηται δὲ ἑκάστου τὰ ἰάματα πρόσθεν, ὥστε οὐ χρὴ μηκύνειν ἔτι τὰ κατὰ τὸν λόγον, ἀλλ' ἤδη τέλος ἐπιθεῖναι τῷ γράμματι. τὰς γὰρ τῶν ἄλλων ἁπάντων μορίων δυσκρασίας, ἀνάλογον αὖθις ἰᾶσθαι

τοῖς ἐπὶ τῆς γαστρὸς εἰρημένοις. ἀεὶ γὰρ χρὴ τό, τοῦ ἐναντίου τῇ διαθέσει προσφέρεσθαι βοήθημα, καὶ τὴν ἀπὸ τῆς φύσεως τοῦ πεπονθότος ἔνδειξιν τῶν ὠφελησάντων, προστιθέναι, περὶ ἧς εἴρηται μὲν ἤδη καὶ διὰ τῶν ἔμπροσθεν, εἰρήσεται δὲ καὶ διὰ τῶν ἑξῆς ἐπὶ πλέον. ἀναγκαῖον δ' ἂν εἴη καὶ νῦν ἐπ' ὀλίγον αὐτῆς μνημονεῦσαι. πρώτη μὲν ἔνδειξις ἀπὸ τῆς τοῦ πεπονθότος τόπου κράσεως ἐστί, τὸ μέτρον ὁρίζουσα τοῦ θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν, ἢ κατὰ συζυγίαν τὸ πράττειν αὐτῶν. δευτέρα δέ, ἀπὸ τοῦ κοινὸν εἶναι τὸ ἔργον ἅπασι τοῖς τοῦ ζώου μορίοις, ἢ κοινὴν τὴν δύναμιν χορηγεῖν. καὶ τρίτη, παρὰ τῆς διαπλάσεως αὐτοῦ. καὶ τετάρτη, παρὰ τῆς θέσεως, ἧς μέρος ἐστὶν ἡ πρὸς τὰ πλησιάζοντα τοῦ ζώου μόρια κοινωνία. καὶ πρὸς τούτοις ἅπασι, τὸ τῆς αἰσθήσεως ποσόν. λεχθήσεται μὲν οὖν κἀν τοῖς ἑξῆς ὑπὲρ ἑκάστου τῶν εἰρημένων ἐπὶ πλέον. ἐπέλθωμεν δὲ καὶ νῦν αὐτά, διὰ βραχέων. ὅσα μὲν θερμότερα φύσει μόρια κατὰ τὴν ψύξιν νοσεῖ, μειζόνως τε ταῦτα καὶ μέχρι πλείονος χρόνου θερμαίνεσθαι δεῖται. καθάπερ γε καὶ τὰ ψυχρότερα κατὰ θερμότητα νοσοῦντα ψύχεσθαι. καὶ τὰ ξηρότερα καθ' ὑγρότητα, ξηραίνεσθαι. καὶ δὴ κατὰ τὸν αὐτὸν λόγον ὑγραίνεσθαι τὰ φύσει μὲν ὑγρότερα, κατὰ ξηρότητα δὲ νοσοῦντα, μειζόνως τε καὶ μέχρι πλείονος χρήζει τοῦ χρόνου. τοσοῦτον γὰρ ἐπανελθεῖν εἰς τὸ κατὰ φύσιν ἕκαστον αὐτῶν ἀναγκαῖον ἐστίν, ὁπόσον εἰς τὸ παρὰ φύσιν ἐξετράπετο. καὶ καθάπερ ὁδόν τινα παλινδρομοῦσαν εἰς τοὐπίσω τῆς γενομένης αὐτῷ μεταστάσεως. ἔμπαλιν δὲ τῷ μὲν θερμοτέρῳ φύσει μορίῳ, θερμὸν νόσημα νοσοῦντι, βραχείας ἢ ὀλιγοχρονίου δεῖται τῆς ψύξεως, τῷ δὲ ψυχροτέρῳ, τῆς θερμάνσεως. ὡσαύτως δὲ κἀπὶ τῶν ὑγρῶν τε καὶ ξηρῶν. ὀλίγη γὰρ ἡ εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ τοῖς τοιούτοις ἐστί, καὶ ἡ εἰς τὸ κατὰ φύσιν ἐπάνοδος. ὅθεν καὶ κινδυνεύουσιν ἧττον, οἷς ἂν οἰκεῖα τῆς φύσεως ἡ νόσος ὑπάρχῃ. δῆλον δ' ὅτι καὶ κατὰ συζυγίαν αἱ δυσκρασίαι γινόμεναι, τηλικαύτην ἕξουσι τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον, ἡλίκην ἐποιήσαντο τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπήν. οὕτω μὲν οὖν ἀπὸ τῆς κράσεως τῶν πεπονθότων μορίων, ἡ τῶν βοηθημάτων ἔνδειξις γίγνεται. ἀπὸ δὲ τοῦ κατὰ τὴν ἐνέργειαν, ἤτοι χρήσιμον ἅπασι τοῖς τοῦ ζώου μορίοις ὑπάρχειν, ἢ ὀλίγοις τισίν, ἢ ἑαυτῷ μόνῳ. κατὰ μὲν τὰς ἄνευ χυμῶν δυσκρασίας, οὐδὲν ἐκ τούτου τοῦ σκοποῦ λαμβάνεται. καὶ γὰρ ψύχεσθαι καὶ θερμαίνεσθαι, καὶ ξηραίνεσθαι καὶ ὑγραίνεσθαι, καὶ κατὰ συζυγίαν πάσχειν τι τούτων, ἕκαστον τῶν μορίων ἀνάλογον δεῖται τοῦ νοσήματος. κατὰ μέντοι τὰς ἐπὶ τοῖς χυμοῖς, εἰ μὲν ἑαυτῷ μόνῳ τὸ μόριον ἐνεργεῖ, θαρρῶν ποιήσεις τὰς κενώσεις, ὡς ἂν ἡ διάθεσις ὑπαγορεύῃ, συνεπιβλέπων τὴν δύναμιν. εἰ δ' ἀναγκαῖον εἴη τὸ ἔργον αὐτοῦ πᾶσι τοῖς τοῦ ζώου μορίοις, ὥσπερ τὸ τῆς γαστρός τε καὶ τοῦ ἥπατος, οὐ μικρὰν χρὴ φροντίδα ποιεῖσθαι τοῦ τόνου τῆς δυνάμεως, μή πως καταλύσωμεν αὐτόν, ἀθροωτέραις κενώσεσι χρησάμενοι. κοινὸν δὲ τὸ ἔργον ἐστὶ καὶ φλεψὶ καὶ ἀρτηρίαις, καὶ καρδίᾳ καὶ θώρακι, καὶ νεφροῖς καὶ κύστει, τῇ τε τὸ οὖρον ὑποδεχομένῃ, καὶ τῇ χοληδόχῳ, σὺν τοῖς ἀπ' αὐτῆς ἀγγείοις. ἐγκεφάλου δὲ τὸ ἔργον, ὑγιαινόντων μὲν ἡμῶν εἰς τὰς καθ' ὁρμὴν ἐνεργείας, ἀναγκαῖον ἐστὶ τοῖς τὰς τοιαύτας ἐνεργείας διαπραττομένοις ὀργάνοις. οὐκ ἀναγκαῖον δὲ νοσούντων, ὅτι μὴ μόνον τοῖς ἀναπνευστικοῖς. ἄλλων δ' ὀργάνων ἐνέργεια μὲν οὐκ ἔστιν. ὑπηρεσία δὲ ἀναγκαία πρὸς τὸ ζῆν. ὡς πνεύμονος, καὶ τραχείας ἀρτηρίας, καὶ φάρυγγος. ἐκ μὲν δὴ τῶν τοιούτων μορίων, ὅτι τάχιστα τὰς περιουσίας ἐκκενοῦν ἔξεστιν ὡς ἂν ἐθέλῃς. ἐκ γαστρὸς δὲ καὶ ἥπατος, οὐχ ὡς ἔτυχεν, ἀλλὰ σὺν τῷ φροντίζειν μηδὲν βλάψαι τὴν δύναμιν. ἐπεὶ δὲ οὐκ ἴσον ἐστὶ τὸ τῶν ἔργων ἀξίωμα πρὸς τὸ διασώζεσθαι τοὺς νοσοῦντας, ἀλλὰ τὸ μὲν μᾶλλον αὐτοῖς ἐστί, τὸ δὲ ἧττον χρηστόν, ἀνάλογον χρὴ τῶν ἀξιωμάτων ἑκάστου μορίου προνοεῖσθαι τοῦ τόνου. μέγιστον μὲν οὖν ἀξίωμα τοῦ τῆς καρδίας ἐστὶν ἔργου. καὶ πάντων ἀναγκαιότατον τοῖς νοσοῦσι. τοῦ δ' ἐγκεφάλου πρὸς μὲν τὴν ζωήν, ὁμότιμον. οὐ μὴν τῆς ἴσης ῥώμης ἐπὶ νοσούντων αὐτοῦ χρήζομεν. οὐ γὰρ ἀναγκαῖον πᾶσιν ἐνεργεῖν νεύροις καὶ μυσίν. ὥστ' ἀρκεῖ τοσοῦτον αὐτοῦ διασωζόμενον, ᾧ μέλλει μόνον ἐπιτελεῖσθαι τὸ τῆς ἀναπνοῆς ἔργον. ἡ δ' ἥπατος ἐνέργεια, πᾶσι μὲν ἀναγκαία τοῖς μορίοις ἐστίν. οὐ μὴν οὕτω γε διηνεκῶς ἔχει τὸ ἀναγκαῖον, ὡς ἡ τῆς καρδίας. ἀνάλογον δ' αὐτῷ καὶ ἡ τῆς γαστρός. ἐπιστάμενος οὖν ἁπάντων τῶν μορίων τὰς ἐνεργείας, καὶ τὰς χρείας ἐν ἑτέροις ὑπομνήμασιν ἀποδεδειγμένας, οὐ χαλεπῶς ἂν εὑρίσκοις εἰς ὅσον ἑκάστου φυλάττειν χρὴ τὸν τόνον. οὕτω δὲ καὶ ὅσα τῶν μορίων ἑτέροις ἀρχαὶ δυνάμεων εἰσί, διασώζειν αὐτῶν χρὴ τὸν τόνον, ἀνάλογον τῇ χρείᾳ τῶν δυνάμεων, ἣν ὑπηρετεῖ τοῖς τοῦ ζώου μέρεσιν. ἔμαθες δὲ καὶ περὶ τῶν τοιούτων μορίων, ὡς ἐγκέφαλός ἐστι, καὶ καρδία, καὶ ἧπαρ. ὁ μὲν τοῖς νεύροις τε καὶ μυσίν. ἡ δέ, ταῖς ἀρτηρίαις. τὸ δ' ἧπαρ, ταῖς φλεψί, χορηγὰ τῆς δυνάμεως. ἀπὸ δὲ τῆς διαπλάσεως, ἡ ἔνδειξις γίγνεται τοῦ τρόπου τῆς κενώσεως τῶν περιττῶν ὧδέ πως. ἐμέτοις μὲν καὶ διαχωρήμασιν, ἡ γαστὴρ ἐκκενοῦται. τὰ δ' ἔντερα, μόνοις τοῖς κάτω διερχομένοις. ὥσπερ γε καὶ τοῦ ἥπατος τὰ σιμά. νεφροὶ δὲ καὶ κύστις καὶ τοῦ ἥπατος τὰ κυρτά, πολλῆς μὲν ἐμπεπλησμένα κακοχυμίας διὰ τῶν ὑπηλάτων τε καὶ κατωτερικῶν ὀνομαζομένων ἐκκαθαίρεται φαρμάκων, μετρίας δέ, διὰ τῶν οὐρητικῶν πόρων. ἐγκέφαλος δέ, δι' ὑπερῴας καὶ ῥινῶν, καὶ ὤτων. θώραξ δὲ καὶ πνεύμων, διὰ τραχείας ἀρτηρίας καὶ φάρυγγος. ἀπὸ δὲ τῆς θέσεως, ἔνδειξις ἔσται, εἴς τε τὰς δυσκρασίας τῶν στερρῶν, οὐχ ἥκιστα δὲ καὶ τὰς κακοχυμίας, οὐ μικρά. τοῖς μὲν γὰρ ἐπιπολῆς δυσκράτοις οἵων δεῖται φαρμάκων τοιαῦτα προσοίσομεν. τοῖς ἐν τῷ βάθει, προσλογιούμεθα τὸ διάστημα. εἰ γὰρ οἵων δεῖται τοιούτοις χρῷτο, πολὺ ἂν ἀσθενέστερα τῆς χρείας γιγνόμενα, πρὸς τὸν πεπονθότα τόπον ἀφίκοιτο. καὶ πρὸς τὰς κενώσεις δὲ ἡ θέσις συνενδείκνυταί τι, διδάσκουσα τὴν κοινωνίαν τοῦ πεπονθότος μορίου πρὸς τὰ ἄλλα. εἰ μὴ γὰρ εἰδείημεν ὅτι τοῖς σιμοῖς τοῦ ἥπατος ὑπόκειται τὰ κατὰ τὴν γαστέρα, καὶ τὴν νῆστιν, ὅτι τε τὴν μὲν νῆστιν, ἐκδέχεται τὸ λεπτὸν ἔντερον, ἐκεῖνο δέ, τὸ κῶλον, εἶτ' αὖθις ἐκεῖνο, τὸ ἀπευθυσμένον, οὐκ ἂν οἷοί τε εἴημεν εὑρεῖν, ἐκκαθαίρεσθαι, μὲν δύνασθαι καὶ διὰ τῆς κάτω γαστρὸς καὶ δι' ἐμέτων τὸ ἧπαρ, ἄμεινον δ' εἶναι τὴν προτέραν κένωσιν, ἀνέχεσθαι μεμελετηκότων τῶν ἐντέρων, ἀεὶ τῆς ἐξ ἥπατος περιουσίας. οὐ μικρὰ δ' ἔνδειξις οὐδὲ παρὰ τῆς εὐαισθησίας τε καὶ δυσαισθησίας τῶν μορίων ἐστί. καταφρονεῖ μὲν γὰρ πάντων τῶν φαρμάκων τὰ δυσαίσθητα, κἂν ἱκανῶς ᾖ δακνώδη. τὰ δ' εὐαίσθητα μόρια, καταλύεται τὴν δύναμιν ἀνιώμενα. χρὴ τοίνυν ταῦτα

μὲν οὐκ ἀθρόως οὐδ' ἅπαξ ἰσχυροῖς ἐπιχειρεῖν ἰᾶσθαι φαρμάκοις, ἀλλ' ἐν χρόνῳ μᾶλλον ἀσφαλῶς. ἐπὶ δὲ τῶν [illegible]σαιωθέντων, οἷόν τ' ἐστὶ καὶ διὰ ταχέων ἀνύσαι τὸ δέον, εἰσάπαξ χρησαμένους τῷ προσήκοντι βοηθήματι. ἀλλ' ὥσπερ ἔφην, εἰρήσεται καὶ αὖθις ἐπὶ πλέον ὑπὲρ τῆς ἀπὸ τούτων ἐνδείξεως, καὶ μάλισθ' ὅταν ἡμῖν ὁ λόγος γίγνηται περὶ τῆς τῶν παρὰ φύσιν ὄγκων ἰάσεως.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ

ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

ΩΣ δ' ἄν τις καὶ τοὺς πυρετοὺς ἰῷτο μεθόδῳ, τοῖς ἄλλοις ὡσαύτως νοσήμασι τοῖς κατὰ δυσκρασίαν συνισταμένοις ἐν ἡμῖν, ἃ διῆλθον ἐν τῷ πρὸ τοῦδε γράμματι, καιρὸς ἂν εἴη λέγειν. ὅτι μὲν οὖν ὦ Εὐγενιανὲ, ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ὑγροῦ καὶ ξηροῦ κεραννυμένων ἀλλήλοις ἡ τῶν ἁπλῶν καὶ πρώτων μορίων συνέστηκε φύσις, ἅπερ Ἀριστοτέλης προσαγορεύει ὁμοιομερῆ, δι' ἑνὸς ἀποδέδεικται γράμματος, ἐν ᾧ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐσκεπτόμεθα. ὅτι δ' ἐν τῷ τὸ μὲν θερμότερον εἶναι, τὸ δὲ, ψυχρότερον, ἢ ὑγρότερον, ἢ ξηρότερον, ἢ κατὰ συζυγίαν τι τούτων πεπονθέναι, τῶν ἁπλῶν καὶ πρώτων μορίων ἐστὶν ἡ πρὸς ἄλληλα διαφορὰ, διὰ τῆς περὶ κράσεων ἐδείχθη πραγματείας. ἐν δέ γε τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς βιβλίῳ, τῶν μὲν ἁπλῶν τοῦ ζώου μορίων δύο τὰ πάντ' εἶναι γένη νοσημάτων ἐδείκνυτο. κοινὸν μὲν τὸ ἕτερον αὐτοῖς, πρὸς τὰ σύνθετά τε καὶ δεύτερα καὶ ὀργανικὰ μόρια. καλοῦμεν δὲ αὐτὸ λύσιν ἑνώσεως. ἕτερον δ' ἐξαίρετον ἴδιον ἐν δυσκρασίᾳ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ συνιστάμενον. εἶναι δὲ τῶν δυσκρασιῶν τὰς μὲν κατὰ μίαν ἀντίθεσιν, ἁπλᾶς. τὰς δὲ κατ' ἄμφω, συνθέτους. ἐν μὲν οὖν τῇ κατὰ τὸ θερμὸν καὶ ψυχρὸν ἀντιθέσει, δύο συνίστασθαι δυσκρασίας ἁπλᾶς. ἑτέραν μὲν ὅταν ἑαυτοῦ γένηταί τι θερμότερον εἰς τοσοῦτον, ὡς ἤδη βλάπτεσθαι τὴν ἐνέργειαν αὐτοῦ. δευτέραν δὲ, ὅταν ὁμοίως ἐπικρατήσῃ τὸ ψυχρόν. ἐν δὲ τῇ κατὰ τὸ ξηρὸν καὶ ὑγρὸν, † ἑτέρας δύο καὶ τὰς δὲ δυσκρασίας, ὑγρὰν, καὶ ξηράν. ἐπιπλεκομένων δ' ἀλλήλαις τῶν ἁπλῶν, ἄλλας συνίστασθαι τέτταρας. ὑγρὰν καὶ ψυχρὰν, ὑγράν τε καὶ θερμὴν, καὶ ξηρὰν καὶ θερμὴν, ξηράν τε καὶ ψυχράν. εἴρηται δὲ καὶ γεννῶντα τὰς δυσκρασίας αἴτια δι' ἑτέρου γράμματος, ἐν ᾧ τὰς τῶν νοσημάτων αἰτίας ἐδηλοῦμεν. ἓν δέ τι τῶν κατὰ δυσκρασίαν νοσημάτων ἐστὶ, καὶ ὁ πυρετὸς, εἰς τοσαύτην ἀμετρίαν αἰρομένης τῆς θερμασίας ὡς ἀνιᾶν τε τὸν ἄνθρωπον, ἐνέργειάν τε βλάπτειν, ὡς ἄν γε μήπω μηδέτερον ἔχει, κἂν ὅτι μάλιστα θερμότερος ἑαυτοῦ τύχῃ γεγονὼς, οὐδέπω πυρέττειν αὐτὸν ἐδείκνυμεν. ἐπεὶ δ' ἕκαστον τῶν παρὰ φύσιν ἐν ἡμῖν συνισταμένων, εἴτε εἰδικωτέρας τυγχάνει προσηγορίας, εἴτε γενικωτέρας, οὐκ ἔστιν ἐκτὸς τοῦ σώματος, ἀλλὰ καὶ ἡ φλεγμονὴ, καὶ ἡ πλευρῖτις, καὶ ἡ νόσος ἅμα τὰ τρία καθ' ἓν γίνεται σῶμα τὸ Δίωνος, εἰ οὕτως ἔτυχεν. ἐνδείκνυται δὲ καὶ τούτων μὲν ἕκαστον ἰδίαν ἔνδειξιν, οὐδὲν δ' ἧττον αἱ διαφοραὶ τοῦ πάντων εἰδικωτάτου, διὰ τοῦτ' οὖν ἄμεινον ἔδοξεν ἰδίᾳ πραγματεύεσθαι περὶ τῆς διαφορᾶς τῶν πυρετῶν. ἵν' ἐφ' ἑτοίμοις ἅπασιν ὁ λόγος ἡμῖν ἐνθάδε περαίνηται, χωρὶς τῆς πρὸς τοὺς κακῶς ὑπὲρ αὐτῶν γράψαντας ἀντιλογίας. ἀναμνησθῶμεν οὖν τὰ κεφάλαια τῆς διαφορᾶς αὐτῶν, ἵν' ἐξ ἑκάστου τὴν οἰκείαν ἔνδειξιν ἀναλάβωμεν. ἔστιν οὖν μία μὲν αὐτῶν διαφορὰ, καθ' ἣν ἤτοι πάρεστιν ἔτι τὸ ποιοῦν αἴτιον τὸν πυρετὸν, ἢ πέπαυται ποιῆσαν. ἑτέρα δὲ, καθ' ἣν ἤτοι γ' ἑκτικός ἐστιν ὁ γεγονὼς πυρετὸς, ἢ ὡς ἂν εἴποι τις, σχετικός. ἐπειδὴ γὰρ ὀνομάζουσι τὰς μὲν εὐλύτους διαθέσεις, ἐν σχέσει. τὰς δὲ μὴ τοιαύτας, ἐν ἕξει, συγχωρητέον ἐστὶν ἕνεκα σαφοῦς διδασκαλίας καὶ αὐτῶν τῶν πυρετῶν, τοὺς μὲν δυσλύτους, ἑκτικούς. τοὺς δ' εὐλύτους, σχετικοὺς ὀνομάζεσθαι. καὶ λεκτέον ἐνίους μὲν τῶν πυρετῶν εὔλυτον ἔχειν τὴν διάθεσιν οὕτως, ὡς τὸ θερμανθὲν ἐν ἡλίῳ ξύλον. ἐνίους δὲ, δύσλυτον, ὡς τὸ μέχρι τοῦ τύφεσθαί τε καὶ καπνὸν ἐκβάλλειν ὑπὸ πυρὸς θαλφθέν. αὗται μὲν αἱ πρῶται διαφοραὶ τῶν πυρετῶν, ἃς συνάψαντες πρότερον ταῖς γενικωτέραις ἐνδείξεσιν, αὖθις ἐπὶ τὰς αὐτῶν τῶν εἰρημένων εἰδικωτέρας ἀφιξόμεθα. πρώτη μὲν γὰρ ἔνδειξις, ὡς ἀπὸ νοσήματος, ἐστὶν ἅπαντος πυρετοῦ, τὴν ἀναίρεσιν ἐνδεικνυμένη. δευτέρα δὲ ὡς τοιοῦδε νοσήματος, οὐκέθ' ἁπλῶς ἀναίρεσιν, ἀλλὰ τοιάνδε τινα. κατὰ γάρ τοι δυσκρασίαν νοσούντων τῶν πυρεττόντων, ἀναγκαῖον καὶ τὴν ἴασιν αὐτῶν ἀναίρεσιν εἶναι τῆς δυσκρασίας. ἅπασα δ' ἀμετρία, διὰ τῆς ἐναντίας ἀμετρίας ἰᾶται. καὶ γὰρ καὶ τοῦτ' ἔμπροσθεν ἐδείχθη. καὶ τοίνυν καὶ ἡ τῆς τοῦ πυρετοῦ δυσκρασίας ἀμετρία, διὰ τῆς ἐναντίας ἀμετρίας ἰαθήσεται. ἔστι δ' ἡ ἀμετρία τῆς τῶν πυρεττόντων δυσκρασίας, ἐν πλεονεξίᾳ θερμότητος. ἡ τοίνυν εἰς εὐκρασίαν ὁδὸς αὐτοῖς, διὰ ψύξεως ἔσται. εἰ μὲν οὖν ἤδη γεγονότες εἶεν οἱ πυρετοὶ, τὸ δὲ ποιῆσαν αὐτοὺς αἴτιον οἴχοιτο, μόνως ἂν οὗτος εἴη τῆς θεραπείας αὐτῶν ὁ σκοπὸς ἡ ψύξις. ὥστε ζητητέον ἡμῖν τὰς ὕλας, ὅσαι ψύξιν ἰσόρροπον ἔχουσι τῇ πλεονεκτούσῃ θερμότητι. γιγνομένων δ' ἔτι τῶν πυρετῶν, τὴν ποιοῦσαν αὐτοὺς αἰτίαν ἀναιρετέον. εἰ δὲ τὸ μὲν ἤδη γεγονὸς αὐτῶν εἴη, τὸ δ' ἔτι γίγνοιτο, τοῦ συναμφοτέρου στοχαστέον. ἀναιρούντων πρότερον μὲν τὴν ἀνάψασαν αἰτίαν αὐτοὺς, ἐφεξῆς δὲ σβεννύντων, τὸ φθάσαν ἀπ' αὐτῆς ἀνῆφθαι. τίνες οὖν αἰτίαι πυρετοὺς γεννῶσαι, καὶ κατὰ τίνα σώματος ἑκάστου διάθεσιν, εἰ μή τις εἴη μεμνημένος ἀκριβῶς, οὐκ ἄν ποτε μεθόδῳ προνοήσαιτο πυρετῶν. ἐλέχθη γοῦν ἐν ἐκείνοις τοῖς σώμασιν ἡ στέγνωσις ἐργαζομένη πυρετὸν, ἐν οἷς ἐστι τὸ διαπνεόμενον οὐκ ἀτμῶδες, οἷόνπερ ἐν τοῖς εὐχύμοις, ἀλλὰ δακνῶδες καὶ δριμὺ, καὶ καπνῷ παραπλήσιον, ἢ λιγνύϊ. τούτοις οὖν τοῖς σώμασιν, ὑγιεινότατα μὲν λουτρὰ γλυκέων ὑδάτων εὐκράτων, καὶ τρῖψις ἀραιωτικὴ, καὶ γυμνάσια σύμμετρα, καὶ δίαιτα γλυκύχυμος. ἐναντιώτατα δὲ λουτρὰ ψυχρὰ καὶ στυπτηριώδη, καὶ ἀλουσία, καὶ γυμνάσιον ὀξὺ, καὶ τρῖψις ἤτοι μηδόλως, ἢ σκληρὰ γινομένη, καὶ δίαιτα κακόχυμος, ἀγρυπνία τε καὶ θυμὸς, καὶ λύπη, καὶ φροντὶς, ἔγκαυσίς τε καὶ κόπος. ἀλλὰ περὶ μὲν τῶν ἄλλων, αὖθις ἐπάνειμι. περὶ δὲ τῆς στεγνώσεως νῦν ὅθεν ὁ λόγος ὡρμήθη, γινώσκειν χρὴ σαφῶς, ὅτι καὶ μόνη χωρὶς τῶν ἄλλων ἁπάντων, ἱκα-

aliter ἑτέρας αὖ καὶ κατὰ τὸ δύο

ἐπὶ γεννῆσαι πυρετούς. ἐὰν οὖν ἑξῆς τὰς τοιαύτας φύσεις τῶν οἰκείων λουτρῶν, αὐτίκα πυρέττουσιν. ἐθεάσω
δὲ δή που καθ' ὃν ἐν Ῥώμῃ σὺν ἡμῖν διέτριψας χρόνον, ἐνίους οὕτω νοσήσαντας. ἐφ' ὧν οἱ τὴν θαυμαστὴν διά-
τριτον ἀσίτους ὑπερβάλλειν ἀξιοῦντες, αὐτοὶ κακοηθεστάτους πυρετοὺς κατασκευάζουσι. δέον αὐτίκα τοῦ
πρώτου παροξυσμοῦ παρακμάζοντος, ἀπάγειν εἰς τὸ βαλανεῖον. ἐπιτρέπειν τε λούεσθαι πολλάκις εἰ βούλοιν-
το, μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ δίς. ἐγὼ γοῦν ἐάσας ἅπαντας τοὺς ἄλλους, ἀναμνήσω σε τοῦ λουσαμένου μὲν ἐν
τοῖς στυπτηριώδεσιν ὕδασιν, ἃ καλοῦσιν Ἀλβοῦλα, πυκνωθέντος δ' ἐκ τούτου τὸ δέρμα, κἀντεῦθεν ἀρξα-
μένου πυρέττειν, ἀρκέσει γὰρ ἕνεκα σαφηνείας οὗτος οἷον παράδειγμά τι τοῦ λόγου γενέσθαι, παρῆσαν μὲν
ἐπισκοπούμενοι τῶν οὐκ ἀφανῶν τινὲς ἰατρῶν, ὁ μὲν Ἐρασιστράτειος, ὁ δέ, μεθοδικός. ἔδοξε δ' ἀμφοτέροις
ἀσιτῆσαι τὸν ἄνθρωπον. οὐ μὴν εἰάσαμέν γε ἡμεῖς χωρισθέντων αὐτῶν ἐλθόντες, ἀλλ' εἰς βαλανεῖον εἰσαγα-
γόντες εὐθέως, καὶ χλιαρὸν ἔλαιον ἐπὶ πλεῖστον αὐτῷ περιχέαντες, ἀνατρίψαντές τε πραότατα, τὸ πλεῖ-
στον τοῦ χρόνου μέρος ἐν τῷ τῆς θερμῆς δεξαμενῆς ὕδατι διατρίβειν ἐκελεύσαμεν. εἶτα ἐξελθόντα καὶ χρησά-
μενον ὕδατι ψυχρῷ κατὰ τὰ εἰωθότα, σκεπάσαντες σινδόνι, καὶ βραχὺ καθίσαι κελεύσαντες ὡς ἀνακτή-
σασθαι τὴν δύναμιν, αὖθις εἰσαγαγόντες εἰς τὸ βαλανεῖον, ὁμοίως τε πάλιν ἀλείψαντές τε καὶ τρίψαντες,
καὶ κατὰ τὸ θερμὸν ὕδωρ χρονίσαι κελεύσαντες, εἶθ' αὖθις ἐξαγαγόντες καὶ τῷ ψυχρῷ βάψαντες, ἀπομά-
ξαντές τε, τροφὴν ἐδώκαμεν, αὐτίκα μὲν ἐξελθόντι μετὰ τὸ πιεῖν ὕδατος, πτισάνης χυλόν. εἶτα βραχὺ
διαλιπόντες, θριδακίνην. καὶ μετ' αὐτήν, ἐξ ἁπλοῦ λευκοῦ ζωμοῦ τῶν ἁπαλοσάρκων ἰχθύων, οἷοί περ οἱ
πετραῖοι πάντες εἰσί, καὶ οἱ ὀνίσκοι καλούμενοι. κάλλιον δ' ἕνεκα τοῦ παραλελεῖφθαι μηδὲν ἅπαντα προσ-
θεῖναι τῇ διηγήσει, τοῦ μὲν ἔτους ἦν ὁ καιρὸς ἐκεῖνος ἐν ᾧ ταῦτ' ἐπράττετο, βραχύ τι μετὰ τὰς ὑπὸ κυνὸς
προσαγορευομένας ἡμέρας. ὁ δὲ ἄνθρωπος, ὡς πέντε καὶ τριάκοντα ἐτῶν, μελάντερος τὴν χροιάν, καὶ λε-
πτὸς τὴν ἕξιν, καὶ δασύς, ἁπτομένοις τε σαφῶς δακνώδη τὴν θερμασίαν ἔχων ὁπότε ὑγιαίνοι, οὖρα κατα-
κορῆ ξανθά. καὶ εἰ ἐπὶ πλέον ἀσιτήσειε δάκνοντα, γαστὴρ ἐξηραίνετο συνεχῶς. καὶ ἦν τὰ διαχωρήματα βρα-
χέα, καὶ δριμέα, καὶ ξηρά. τὸ δὲ τῆς ψυχῆς ἦθος, ὀξύθυμόν τε καὶ φροντιστικὸν ὑπῆρχεν. ὀλιγόϋπνός τε τὰ
πάντα, καὶ συνεχῶς ἀγρυπνίαν μεμφόμενος. οὗτος ἐν χωρίῳ τινὶ πράξεων ἕνεκα γενόμενος, ἐχρῆτο τοῖς
Ἀλβούλοις πλησίον οὖσιν. ὥρας τε ἑβδόμης ὡς ἔφασκε, καὶ τρίς γε καὶ τετράκις ἐλούετο, χρηστόν τι δὴ τοῦτο νο-
μίζων ἐργάζεσθαι. ἐκεῖθεν τε πάλιν εἰς τὸν ἀγρὸν ἀφικόμενος, καὶ τροφὴν προσαράμενος, εἶθ' ὑπνώσας βρα-
χέα, παρεγένετο μὲν εἰς τὴν πόλιν ἑσπέρας βαθείας. ἀπορήσας δ' ἐπιτηδείου λουτροῦ διὰ τῆς νυκτός, ἐπύ-
ρεξε. θεασάμενοι δὲ αὐτὸν οἱ ἰατροὶ σχεδὸν ὥρας τρίτης τῆς ἡμέρας, ἐκέλευσαν οὐ μόνον ἐκείνην, ἀλλὰ καὶ
τὴν ἑξῆς ἀσιτεῖν ὅλην, ἵνα τὴν διὰ τρίτης νύκτα φυλάξαιντο. καὶ ταῦτ' εἰπόντες, ἀπηλλάττοντο. λούσαντες
οὖν ἡμεῖς αὐτόν, καὶ διαιτήσαντες, ὡς εἴρηται, τοῖς οἰκέταις ἐκελεύσαμεν, ἐὰν εἰς ἑσπέραν οἱ ἰατροὶ παραγενη-
θῶσιν, ἡσυχάζειν τε φάναι τὸν ἄνθρωπον. ἀποπέμπειν τ' ἐκείνους παραχρῆμα, τῆς ἐπιούσης ἡμέρας ἥκειν ἀ-
ξιώσαντας. ὡς δ' ἐχωρίσθησαν αὖθις ὁμοίως λούσαντές τε καὶ διαιτήσαντες αὐτόν, ἐξ αὐτῶν τούτων ὧν
ἐπράξαμεν, ὑπνῶσαι καλῶς ἐποιήσαμεν. παραγενόμενοι δὲ οἱ ἰατροὶ κατὰ τὴν ὑστεραίαν ἕωθεν, ἠξίουν αὐ-
τὸν ἔτι κἀκείνην ἀσιτῆσαι τὴν ἡμέραν, εἰ καὶ ὅτι μάλιστα τελέως ἀπύρετος εἴη. τοῦ δ' ὑπισχομένου πράξειν
ὡς κελεύουσιν, οἶσθα μὲν δή που τὸν γέλωτα τὸν γενόμενον, ἀπελθόντων αὐτῶν. ὃν ὑμεῖς ὀλίγον ὕστερον ἀφι-
κόμενοι, κατελάβομεν. ἐπίστασαι δὲ καὶ ὅπως ἐπράχθη τὰ περὶ τὸν ἄρρωστον. ἐπειδὴ γὰρ ἔφην ὑγιαίνων ἐλούου
δίς, οἱ δ' ἰατροὶ τελέως ἀσιτῆσαι σε κελεύουσιν, οὔτ' ἐκείνοις τὸ σύμπαν πεισθῆναι δίκαιον, διαλλάξαι τέ τι
τῶν ἐπὶ τῆς ὑγείας προσήκει. τοῦ δ' οἰομένου με συμβουλεύειν αὐτῷ, λούεσθαι μὲν ἀλλ' οὐ δίς, ἑτοίμου τε πράτ-
τειν εἶναι φάσκοντος, ὅ,τι περ ἂν ἐγὼ κελεύσαιμι, μὴ τοίνυν ἔφην μήτ' ἀσιτήσῃς, μήτε λούσῃ δίς, καὶ γάρ
καὶ καμεῖν μοι δοκεῖς τρίτην ἡμέραν, καί που καὶ θερμανθῆναι σφοδρότερον ὑπὸ τοῦ ἡλίου, διά τε οὖν τὸν κά-
ματον ἔφην καὶ τὴν ἔγκαυσιν, ἕν σε χρὴ προσθεῖναι λουτρὸν τοῖς δύο, καὶ τρὶς λούεσθαι πειθόμενον ἐμοί. τοῦτο
γὰρ ὑπέχου ποιήσειν. ὁ δέ, μειδιάσας, χαλεπὰ μὲν ἔφη προστάττεις, ἀλλ' ἐπεὶ συνθήκας φυλάττειν δίκαιον, ἃ κε-
λεύεις ποιήσω. τὰ δὲ πραχθέντα μετὰ ταῦτα τοῖς ἰατροῖς, οἶσθα δή που σαφῶς ὁπόσου καταγέλωτος ἦν ἄ-
ξια. δὶς μὲν ἐλέλουτο καὶ ἠριστηκὼς ἐκεκοίμητο. περὶ δὲ δυσμὰς ἡλίου, τῶν οἰκετῶν τις ἀγγέλλει παρεῖναι τοὺς
ἰατρούς. ὁ δέ, προσποιεῖται πυρέττειν, καὶ περιβαλλόμενος ἱμάτιον, εἴσω τε στραφεὶς ὅπως μὴ καταφανὴς αὐ-
τοῖς γένοιτο πεπωκὼς οἶνον, τῶν φίλων τινὶ κελεύει, τοῖς ἰατροῖς ἀνθ' αὐτοῦ ποιεῖσθαι τὰς ἀποκρίσεις, ἥντι πυν-
θάνωνται. ἔμελλον δὲ δή που τὸ συνηθέστατον αὐτοῖς πρῶτον ἐρήσεσθαι, θεώμενοι περιβεβλημένον ἐπιμελῶς
ἅμα τῇ κεφαλῇ τὸν ἄνθρωπον. ἥτις ἦν ὥρα καθ' ἣν ὁ παροξυσμὸς εἰσέβαλεν. ἀποκρινομένου δὲ τοῦ φίλου σχεδὸν
οὐδεμίαν ὁλόκληρον ὥραν γεγονέναι μεταξύ, πότερον μετὰ φρίκης ἢ μετὰ περιψύξεως ὑπήρξατο πυνθάνον-
ται. τοῦ δὲ μετὰ φρίκης εἰπόντος, ἅπτονται τοῦ ἀνθρώπου διά τε τὸ γελᾶν καὶ περικεκαλύφθαι νοτιζομένου. ἐ-
παινέσαντες οὖν αὐτὸν ἐπὶ τῷ πεισθῆναι σφίσι, καὶ μηδὲν ἁμαρτεῖν περὶ τοῦ διὰ τρίτης παροξυσμοῦ, τοιγάρ-
τοι διὰ τοῦτο ἔφασαν ἤδη μέν σοι πέπαυται τὰ τῆς φρίκης. ἱδρῶτος δ' ἐστὶν ὑπόφασις, καὶ νοτὶς πολλὴ περὶ τὸ
δέρμα. καὶ ταῦτ' οὐκ ἂν ἐγένετο, μὴ ἀσιτήσαντός σου, καὶ τὴν διάτριτον ὑπερβάλλοντος. κελεύσαντες οὖν
τοῖς οἰκείοις ἐὰν γένωνται τινὲς αὐτῷ νοτίδες, ἀπομάττειν ἐπιμελῶς, ὅπως μὴ ψυχθείη. παραγενήσεσθαί τε
φάντες ἕωθεν, ἀπαλλάττονται, μὴ δὲ τότε κελεύοντες ἐπὶ τοῖς ἱδρῶσι τραφῆναι τὸν ἄνθρωπον. ἐδόκουν γὰρ
αὐτοῖς αἱ κατ' ἐκεῖνον τὸν καιρὸν νύκτες εἶναι μικραί. καὶ κάλλιον ἐφαίνετο κατὰ τὴν ὑστεραίαν ἕωθεν τρέφειν.
ἀπαλλαγέντων οὖν αὐτῶν, ἐν ἱδρῶτι ῥεόμενος ὁ νεανίσκος ὡς ἐνετετύλικτο τοῖς ἱματίοις, καταδραμὼν εἰς
τὸ βαλανεῖον, ἐλούσατο τὸ τρίτον. ὁμοίως τε διῃτήθη. κἄπειτα κατὰ τὴν ὑστεραίαν πρὶν ἀφικέσθαι τοὺς
ἰατρούς, προῆλθε τῆς οἰκίας ἐπιτηδείως, ὅπως μὴ καταλάβοιεν αὐτόν. οἱ δ' ἄρα μικρὸν ὕστερον ἥκοντες,

καὶ μαθόντες αὐτὸν προεληλυθέναι, καθ᾽ ἑαυτοὺς ἐθαυμάζομεν, ὅ,τι ποτ᾽ εἴη τὸ προελθεῖν ἀναγκάσαν ἠσιτηκότα δυοῖν ἡμέραιν τὸν ἄνθρωπον. εἰ μὲν οὖν ἐν τῷ μόνον ὑπὸ τῶν τοιούτων ἰατρῶν οἱ κάμνοντες ἠδικοῦντο, τὸ μέχρι πλειόνων ἡμερῶν ἐπὶ τῆς κλίνης κατέχεσθαι, δυνάμενοι καὶ χωρὶς ἀσιτίας ἀκαίρου, πολὺ θᾶττον ἐπὶ τὰς συνήθεις ἀφικνεῖσθαι πράξεις, ἦν μὲν ἂν δήπου καὶ οὕτω δεινὸν τὸ γιγνόμενον, ἀλλ᾽ ἧττον μακρῷ τῶν καταλαμβανόντων αὐτούς. ἐπειδὴ δὲ χαλεπωτάτοις ἁλίσκονται πυρετοῖς αἱ εἰρημέναι φύσεις, ὅταν οὕτω διαιτηθῶσιν, οὐδὲν ἀποδεῖν μοι δοκοῦσι δημίων, οἱ τὰ τοιαῦτα διαπραττόμενοι τῶν ἰατρῶν. οὐ γὰρ ὥσπερ οἱ ὑγροὶ καὶ εὔχυμοι κατὰ τοὺς ἐφημέρους πυρετοὺς ἀναγκασθέντες ὑπερβάλλειν τὴν δαιμονίαν διάτριτον, ἐν τῷ ἀδικοῦνται μόνον τὸ κατατρίβεσθαι μάτην, οὕτω καὶ αἱ προειρημέναι φύσεις, ἀλλ᾽ ἐπὶ ταῖς μακροτέραις ἀσιτίαις, ἁλίσκονται πυρετοῖς δριμυτάτοις τε καὶ ὀξυτάτοις. ἐξ ὧν ἡ μετάπτωσις, εἰς τοὺς ἑκτικοὺς γίνεται ῥᾳδίως. κἀξ ἐκείνων αὖθις, εἰς τὸν περιφρυγῆ μαρασμόν, ἢ ἐὰν εὐδιάλυτον εἴη τὸ στόμα τῆς γαστρός, εἰς τὸν συγκοπώδη. πολλάκις γοῦν ἤκουσας ἡμῶν λεγόντων ἐνίοις τῶν τοιούτων ἰατρῶν, ὡς ἔξεστιν αὐτοῖς ἐναργέστατα μαθεῖν ἡλίκον ἐργάζονται κακόν, ἐν ἀσιτίᾳ φυλάττοντες τὰς προειρημένας φύσεις, ἢν ἐθελήσωσιν ὑγιαίνοντας ἀμέμπτως αὐτοὺς ἀσιτῆσαι κελεῦσαι δυοῖν ἡμέραιν. ὄψονται γὰρ αὐτίκα πυρέττοντας δι᾽ οὐδὲν ἄλλο δήπουθεν, ἢ τὸν λιμόν. ᾧ γὰρ οὔτ᾽ ἦν ἔμπροσθεν οὐδὲν ἄλλο περὶ τὸ σῶμα μέμψεως ἄξιον, οὔτ᾽ ἐν τῷ μεταξὺ προσεγένετό τι νεώτερον ἔξωθεν, οὗτος ἐναργῶς ὑπὸ τῆς ἀσιτίας ἐπύρεξεν. ὅταν δ᾽ ὡς εἴρηται μὴ μόνον εἷς ἢ δύο τῶν οὕτω δυσκράτων, ἀλλ᾽ ἐφεξῆς ἅπαντες, ἀσιτήσαντές τε καὶ ἀλουτήσαντες ἁλίσκονται πυρετοῖς, οὐδ᾽ ἀμυδρὰν ὑπόνοιαν ἔτι δυνατὸν ἡμῖν γίγνεσθαι τοῦ δι᾽ ἄλλο τι καὶ μὴ διὰ τὴν ἀσιτίαν πυρέττειν αὐτούς. οἷς γ᾽ ἐν τῇ κράσει τοῦ μὲν ὑγροῦ, τὸ ξηρόν, τοῦ δὲ ψυχροῦ, τὸ θερμὸν πλεονεκτεῖ, τούτοις ἡ μὲν ἕξις τοῦ σώματος, ἰσχνὴ καὶ δασεῖα καὶ μελαντέρα. καὶ εἰ ἅψαιο † θερμοτέρα τῶν ἄλλων τριῶν τῶν δυσκράτων, τῶν ἧττον θερμῶν ἐντεύξῃ. παμπόλλη δ᾽ ἡ ξανθὴ χολή. καὶ οὖρα, καὶ διαχωρήματα κατακορῆ, καὶ οἱ σφυγμοὶ μεγάλοι, καὶ ὕπνοι λεπτοὶ καὶ ὀλίγοι, καὶ ὁ θυμὸς σφοδρός. εἴρηται τοιγαροῦν ἐπ᾽ αὐτῶν ὀρθῶς Ἱπποκράτει τό, τε καθόλου τῆς διαίτης εἶδος ὁποῖόν τι χρὴ ποιεῖσθαι, καὶ ὅσα καὶ οἷα καταλαμβάνει συμπτώματα, τοὺς τοιούτους ἀνθρώπους. οὐ μόνον ἐπειδὰν δι᾽ ὅλης ἡμέρας ἀσιτήσωσιν, ἀλλὰ κἂν τῆς ἑτέρας τροφῆς ἀπόσχωνται τῆς κατὰ τὸ ἄριστον. ἐν μὲν γὰρ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν φησίν, ἐν θερμῇ φύσει ψύξις. ποτόν, ὕδωρ. ἐλιννύειν. ἐν δὲ τῷ περὶ διαίτης ὀξέων, ὅ τινες ἐπιγράφουσι πρὸς τὰς κνιδίας γνώμας ὑπὲρ τῶν ἐκλειπόντων τὸ εἰθισμένον ἄριστον διαλεγόμενος, ἐμνημόνευσε καὶ τούτων τῶν φύσεων, ὀνομάζων αὐτὰς πικροχόλους ἀπὸ τοῦ κρατοῦντος χυμοῦ. ἔχει δ᾽ ἡ ῥῆσις ὧδε. Ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενέες καὶ ἄῤῥωστοί εἰσι. καὶ δειλοὶ εἰς πᾶν ἔργον. καὶ καρδιαλγέες. κρεμᾶσθαι δοκέει αὐτοῖσι τὰ σπλάγχνα. καὶ οὐρέουσι θερμὸν καὶ χλωρόν. καὶ ἡ ἄφοδος συγκαίεται. ἔστι δ᾽ οἷσι καὶ πικραίνεται τὸ στόμα. καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται. καὶ οἱ κρόταφοι πάλλονται. καὶ τὰ ἄκρα διαψύχονται. ταῦτα προειπών, εἶθ᾽ ἑξῆς ἕτερά τινα περί τε τοῦ δείπνου καὶ τῆς νυκτὸς ἐπὶ τελευτῇ τοῦ λόγου φησί. Τοὺς πικροχόλους, χαλεπώτερόν τε φέρειν τήν τε μονοσιτίαν καὶ τὴν ἀσιτίαν τῶν ἄλλων ἀνθρώπων. ἐν τισὶ μέρος ἐξηγούμενος ἐπ᾽ αὐτῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ, τὸ κατὰ τὴν δίαιταν, ὧν ἐν τῷ καθόλου παρῄνεσεν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν. ἡ γάρ τοι ψύξις ἣν ἐν ταῖς θερμαῖς φύσεσι συνεβούλευε, γίγνεται μὲν καὶ ἐξ ἄλλων τινῶν, οὐχ ἥκιστα δέ, καὶ διὰ τῆς τῶν σιτίων προσφορᾶς. οἷς γὰρ αὐχμῶδές τέ ἐστι καὶ δριμὺ τὸ ἔμφυτον θερμόν, ἀμετρότερον ἐξ ἀρχῆς κραθεῖσι, τούτοις αἱ τροφαὶ πραότερον αὐτὸ καὶ ἧττον ἀποφαίνουσι δακνῶδες. εὔδηλον δὲ δήπουθεν ὡς εὐχύμους τε καὶ ἀκριβεῖς εἶναι χρὴ τροφὰς τὰς διδομένας αὐτοῖς οὐ τῷ μετέχειν τῆς τοιαύτης ὀλίγης οὐσίας, ὀνομαζομένας τε καὶ τρέφειν μὴ δυναμένας, ἀλλὰ τῷ τὸ πλεῖστον ἐν ἑαυταῖς ἔχειν χρηστόν. εἰσὶ μὲν γάρ πως καὶ αἱ μαλάχαι, καὶ αἱ κράμβαι, καὶ τὰ τεῦτλα, καὶ αἱ θριδακῖναι, καὶ ἁπλῶς εἰπεῖν, τὰ λάχανα σύμπαντα, καὶ αἱ ὀπῶραι τροφαί. περιέχεται γάρ τις ἐν αὐταῖς οὐσία τρόφιμος. ἀλλ᾽ ὥσπερ ἐπὶ τούτων ὀλίγον μέν ἐστι τὸ τρέφον, οὐκ ὀλίγον δὲ τὸ ἄχρηστον, οὕτως ἐπ᾽ ἄρτου καθαροῦ καὶ ὠῶν, καὶ κρεῶν, καὶ χόνδρου, πλεῖστον μὲν τὸ τρέφον, ἐλάχιστον δὲ τὸ μὴ τοιοῦτον. ἐὰν δὲ δὴ πρὸς τῷ μὴ τρέφειν, τὸ μεμιγμένον ἄχρηστον τῷ χρησίμῳ, συμβαίνει δριμεῖαν, ἢ ὀξεῖαν, ἢ στρυφνήν, ἢ πικράν, ἢ ὅλως μοχθηράν τινα δύναμιν ἔχειν, οὐ μόνον ἐκπέπτωκε τὰ τοιαῦτα τοῦ μὴ κυρίως ὑπάρχειν τροφαί, ἀλλὰ καὶ τῆς τῶν φαρμάκων δυνάμεως, οὐ σμικρόν τι μετείληφε. τρέφειν οὖν χρὴ τοὺς τοιούτους ἀνθρώπους ἐκείναις ταῖς τροφαῖς, ὅσαι μήτε τινὰ φαρμακώδη δύναμιν ἔχουσιν αἰσθητήν, ἀλλὰ μὴ δι᾽ αὐτὸ τὸ τρόφιμον παμπολύ. πρόσεστι γάρ τις καὶ τούτῳ κακία πλεονασθέντι. πρῶτον μὲν γάρ, οὐδ᾽ ἡ κατὰ τὴν γαστέρα πέψις ἐπ᾽ αὐτῶν ἀκριβοῦται. εἰ δ᾽ ἄρα καὶ κρατήσειεν αὐτῶν ἡ γαστήρ, ἀλλ᾽ ἥ γε κατὰ τὰς φλέβας, οὐκ ἀκριβὴς γίγνεται. εἰ δὲ κἂν ταύτῃ μηδὲν τι μέγα πλημμεληθείη, τήν γοῦν τρίτην πέψιν ἥτις ἐστὶν ἑκάστου τῶν μορίων οἰκεία, χαλεπὸν ἐν ἅπασιν αὐτοῖς κατορθωθῆναι. πρόσεστι δὲ δήπου τῷδε, καὶ τὸ χρῆναι τὰς τροφὰς ἐπειδὰν θερμότερόν τε καὶ ξηρότερον ἑαυτοῦ γένηται τὸ σῶμα, ψυχούσας πως εἶναι καὶ ὑγραινούσας. ὅθεν ἄριστος μὲν ὁ τῆς πτισάνης χυλός, ἀκριβῶς καθεψημένης, οὐδὲν ἐχούσης ἐν ἑαυτῇ περίεργον ἥδυσμα. καὶ γὰρ ἐμψῦξαι καὶ ὑγρᾶναι καὶ ἄδιψον φυλάξαι τὸν ἄνθρωπον, ἱκανή, πρὸς τῷ μήτ᾽ ἀτμῶδές τι, μήτ᾽ ὑγρόν, μήτε ξηρὸν ἐπέχειν περίττωμα. καλῶ δ᾽ ἀτμώδη μὲν ὅσα διὰ τοῦ δέρματος, εἰς τοὐκτὸς ἀποῤῥεῖν πέφυκεν. ὑγρὰ δ᾽ ὅσα διὰ τῆς κύστεως. ξηρὰ δ᾽ ὅσα διὰ τῆς κάτω γαστρός. ἀπὸ γὰρ τῆς ἐπικρατούσης ἐν ἑκάστῳ τῶν εἰρημένων οὐσίας, ἐθέμην αὐτοῖς τὰς προσηγορίας. ὅτι δ᾽ οὐδὲν τι τούτων ἐφέξει πτισάνης χυλός, εὔδηλον. αἱ μὲν γὰρ διὰ τῆς κάτω γαστρὸς ὑποχωρήσεις τῶν περιττῶν, ὑπὸ τῶν στυφόντων ἴσχεσθαι πεφύκασιν. αἱ δὲ δι᾽ οὔρων τε καὶ σύμπαντος τοῦ δέρματος, ὑπό τε τῶν ἐμπλαττομένων τοῖς πόροις, καὶ σφοδρῶς στυφόντων, ἅπερ ὀνομάζουσι στρυφνά. πτισάνη δ᾽ οὔτε ἐμπλαστικῆς, οὔτε στυπτικῆς μετέχει δυνάμεως. ὅτι μὲν οὖν οὐ στύφει, δηλοῖ καὶ ἡ γεῦσις, ἧς μόνης ἴδιόν ἐστιν αἰσθητόν, τὸ στῦφον. ὅτι δ᾽ οὐδ᾽ ἐμπλάττει λογίζεσθαι

πάρεστιν

al. θερμότερα τῶν δὲ ἄλλων τριῶν τῶν δυσκρατῶν ἧττον θερ.

παρέστιν ἐκ τῶν ἄλλων αὐτοῦ ἔργων. εἴτε γὰρ ἔξωθεν ἀνατρίβοις τῇ πτισάνῃ ῥυπαρὸν σῶμα, ῥύπτει τοῖς ἀφρονίτροις τε καὶ τῷ μέλιτι παραπλησίως. εἴτ' ἐν τῇ γαστρὶ περιεχόμενον μέτριον φλέγμα δι' ἐμέτων ἐκκενῶσαι βουληθείης, οὐδὲν ἧττον μελικράτου πτισάνης χυλὸς χρήσιμος. πρόσκειται δ' ἐν τῷ λόγῳ τὸ μέτριον, ὅτι εἰ πολὺ καὶ γλίσχρον ἰσχυρῶς καὶ παχὺ, ῥαφανίδων δεῖ καὶ ὀξυμέλιτος, οὐ μελικράτου καὶ πτισάνης πεφύκασιν ἀποῤῥύπτειν. ἔστι μὲν δὴ καὶ μελικράτου, εἰς ἁπάσας τὰς εἰρημένας ἐκκρίσεις ἐπιτήδειον. ἀλλ' οὔτε ἄδιψον ὥσπερ ἡ πτισάνη, κἂν ταῖς πικροχόλοις φύσεσιν ἐκχολοῦται ῥᾳδίως. ἄριστον μὲν οὖν, ὡς εἴρηται, σιτίον ἐπὶ τῶν τοιούτων κράσεων, ἡ πτισάνη. δεύτερον δ' ἐπ' αὐτῇ, χόνδρος, ὄξος, χάριν ἀναδόσεως, ὀλίγον εἰληφώς. τρίτον δ' ὁ χωρὶς ὄξους ὑγρὸς οὐ παχὺς, ὁποῖον ἔνιοι σκευάζουσιν ἔτνει παραπλήσιον. ἐμβαλεῖν δὲ καὶ τῷδε βέλτιον ἑψημένου πράσου. δῆλον δ' ὅτι καὶ ἀνήθου, καὶ ἁλῶν ἐξ ἀνάγκης μετέχειν. καὶ μὲν δὴ καὶ οἱ κριβανῖται τῶν ἄρτων, ἀγαθὸν ἔδεσμα, καὶ τῶν ἰχθύων οἱ πετραῖοι πάντες. οὐδὲν δ' ἧττον αὐτῶν οἱ ὀνίσκοι. πλὴν εἴπου λίμνης ἢ ποταμῶν μεγάλων ἐμβαλλόντων εἰς θάλατταν νεμόμενοι πλησίον, ὑγροτέραν τε καὶ γλισχροτέραν ἔχοιεν τὴν σάρκα. ἐφεξῆς δὲ τῶν ὀνίσκων, τά τε βούγλωσσά ἐστι, καὶ αἱ νάρκαι, καὶ τῶν ἰχθύων ὁ λάβραξ, καὶ ἡ τρίγλα, κἄπειτα πελάγιος κέφαλος. ἁπάντων δὲ χείρους ἰχθύες, ὅσοι λίμνης θαλάττῃ συναπτούσης, ἢ στόματος ποταμοῦ μεγάλου νέμονται πλησίον. ἐκ δὲ τῶν πτηνῶν, ἄριστοι μὲν οἱ πέρδικες ἅμα τοῖς ὀρείοις ἅπασι στρουθοῖς. ἐφεξῆς δὲ ἀλεκτορίδες καὶ φασιανοὶ, καὶ νέαι περιστεραί. μὴ καθειργέσθω δ' ἔνδον μηδὲ ταῦτα. περιττωματικὰ γὰρ ἅπαντα τὰ ἀγύμναστα. περιττωματικὰ δὲ καὶ τὰ λιμναῖα σύμπαντα καὶ ἑλώδη. διὸ καὶ τῶν χοιρείων αὐτῶν ἀμείνω, τὰ ἐκ τῶν ὀρῶν. ἐφεξῆς δὲ αὐτῶν οἱ ἔριφοι. πάντων δὲ τῶν εἰρημένων φευκτέα τά τε παλαιὰ ζῷα, καὶ τὰ νεωστὶ γεγεννημένα. τὰ μὲν γὰρ, σκληρότερά ἐστι καὶ δυσπεπτότερα. τὰ δὲ, πέρα τοῦ δέοντος ὑγρὰ καὶ περιττωματικά. καὶ μάλισθ' ὅσα φύσει τῶν ζῴων ἐστὶν ὑγρά. καθάπερ οἶές τε καὶ σύες. ἀλλὰ περὶ μὲν τῆς ἐν ἅπασι τοῖς ἐδέσμασι δυνάμεως, ἑτέρωθι διήρηται. νυνὶ δ' ἕνεκα παραδείγματος, ὥσπερ τ' ἄλλα τὰ κατὰ τήνδε τὴν πραγματείαν, οὕτω λελέχθω καὶ ταῦτα. πρόκειται γὰρ οὐ τὰς ὕλας ἡμᾶς ἐξευρεῖν ἐν αὐτῇ, καθάπερ ἔν τε τοῖς περὶ τῶν ἐδεσμάτων, καὶ φαρμάκων, ἀλλὰ μόνας τὰς καθόλου δυνάμεις. οὐδὲν δ' ὅπου διοίσει δυνάμεις γενικὰς, ἢ καθόλου προσαγορεύειν αὐτάς. Επανέλθωμεν οὖν αὖθις ἐπὶ τὸ προκείμενον. οἷς δ' ἀκριβοῖ τὸ δριμὺ καθ' ἑκάστην ἡμέραν, ἕτοιμον τούτοις ἁλῶναι πυρετῷ, στεγνωθεῖσι τὸ δέρμα. στεγνοῖ δ' αὐτὸ, τά τε στύφοντα πάντα καθάπερ ὀλίγον ἔμπροσθεν ἐμνημονεύσαμεν τῶν [illegible] ὑδάτων, ὅσα τ' ἐμπλάττεται τοῖς πόροις. ἔστι δ' ὅτε καὶ ἡ ξηρότης αὐτοῦ τοῦ δέρματος ἀμετροτέρα γινομένη, πυκνοῖ τοὺς πόρους αὐτοῦ. διὰ τοῦτο οὖν ἡμᾶς ἐθεάσω, καὶ τὸν οἰνάνθῃ χρώμενον ἐν τῷ βαλανείῳ, κωλύσαντας χρῆσθαι, καθ' ὃν ἔφησε χρόνον, ἀνωμαλίας αἰσθάνεσθαι. καὶ τὸν ὡσαύτως ἐκείνῳ μετ' ἐλαίου βραχέος οἴνῳ πολλῷ. καὶ τὸν τῷ χινίνῳ δὲ χρώμενον, ἡνίκα πυκνώσεως ᾔσθετο. καὶ τοῦτον ὡς οἶσθα τοῦ λοιποῦ χρῆσθαι διεκωλύσαμεν. εἴρξαμεν δὲ καὶ τὸν εἰλυθοροῦντα καθ' ἑκάστην ἡμέραν, καὶ τὸν τῇ κόνει χρώμενον. ἑτέρῳ δ' εἰς ἀνωμαλίαν ἀφικομένῳ πυρετώδη, τὸ σφοδρὸν τῆς τρίψεως ἐπανεῖναι προσετάξαμεν. ἄλλον δ' ὡς οἶσθα ἐθεράπευσα θαυμάσαντας πάντας ἑνὶ λουτρῷ μετὰ τρίψεως τῆς προσηκούσης, ἡμερῶν παμπόλλων ἀνωμαλίαν αὐτοῦ φρικώδη διελύσαμεν. ἐχρῆτο δὲ κἀκεῖνος ἐλαίῳ στύφοντι τούτῳ, τῷ δικαίως ἐν δόξῃ διὰ τὴν εἰς τἆλλα χρείαν, ὃ καλοῦσι σπανόν. ἀφελόντες οὖν τοῦτο, καὶ τῷ σαβίνῳ λιπαρῶς τε καὶ μαλακῶς ἐπὶ πλεῖον ἀνατρίψαντες καὶ λούσαντες δὶς, εὐθέως ἀπεφήναμεν ὑγιῆ. ταῦτά τε οὖν ἅπαντα φυλακτέα, τοῖς τὰ καπνώδη τε καὶ λιγνυώδη διαπνεομένοις. ὅσα τε γλίσχρα καὶ παχύχυμα. καὶ γὰρ καὶ ταῦτ' ἐμπλάττοντα τοὺς πόρους, ἐπέχει τὰς διαπνοάς. ἐπέχει δ' ὡς εἴρηται καὶ τὰ ξηραίνοντα τὸ δέρμα, πέρα τοῦ μετρίου. πολλοὺς γοῦν ἐν ἡλίῳ χρωμένους τοῖς τοιούτοις, ἄλλους δὲ νίτρῳ πλέονι, τινὰς δ' ἅλσιν ἢ γυμνασίοις πολλοῖς, ἢ τρίψει σκληρᾷ, ξηροτριβίᾳ τε, καὶ κόνει νοσοῦντας ἐκ τούτων καθ' ἕκαστον ἐνιαυτὸν, οἶσθ' ὡς ἐπισχόντες αὐτῶν, ἀνόσους ἤδη παμπόλλων ἐτῶν ἐφυλάξαμεν. ἔστι δ' εἰκότως τὰ τοιαῦτα παραγγέλματα κοινὰ τῶν θ' ὑγιαινόντων ἔτι, καὶ τῶν ἤδη δυσαρεστουμένων. οὐ γὰρ τῶν γεγονότων, ἀλλὰ τῶν γιγνομένων ἔτι πυρετῶν ἐστι προφυλακτικὰ, κατὰ τὴν τῶν ποιούντων αὐτοὺς αἰτιῶν ἄρσιν. ὁ γὰρ ἔτι γιγνόμενος πυρετὸς, ἀρθέντος τοῦ αἰτίου, συναναιρεῖται καὶ αὐτός. ὥσθ' ὅσαπερ ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ περὶ τῶν τοιούτων κράσεων εἴρηται, μεταφέρειν ἅπαντα προσήκει ἐπὶ τὴν τῶν ἀρχομένων πυρέττειν, εἴτε ἴασιν χρὴ λέγειν, εἴτε προφυλακήν. ἰώμεθα γὰρ τὸ ἤδη γεγονὸς αὐτῶν, κἂν ὀλίγον ᾖ. προφυλαττόμεθα δὲ μὴ γεννηθῆναί τι πλέον, ἀναιροῦντες τὸ αἴτιον. ὥσπερ δὲ εὔρουν τε καὶ ἔμπνουν εἶναι τὸ σῶμα παντὸς, κοινὸς ἐπὶ τῶν εἰρημένων μάλιστα φύσεων ὑγιαινόντων τε καὶ δυσαρεστουμένων σκοπὸς, οὕτω καὶ τὸ φεύγειν ἀγρυπνίας, καὶ θυμοὺς, καὶ λύπας, καὶ φροντίδας, ἐγκαύσεις τε καὶ ψύξεις, καὶ κόπους, ἑτοιμότατα γὰρ ἐφ' ἑκάστῳ τῶν εἰρημένων αἱ τοιαῦται κράσεις ἁλίσκονται πυρετοῖς. ἰᾶσθαι δὲ αὐτὰς ὅταν ἐπί τινι τῶν ἤδη λελεγμένων προφάσεων πυρέξωσιν, ἔστιν οὖν ἢ μὲν ὁμοίως τοῖς ἐπὶ στεγνώσει ῥηθεῖσιν, ἢ δὲ καὶ διαφερόντως. ἄγειν μὲν γὰρ ἐπὶ τὰ λουτρὰ χρὴ πάντας ἐν τῇ παρακμῇ τοῦ πρώτου παροξυσμοῦ. τρίβειν τε λιπαρῶς τε ἅμα καὶ μαλακῶς. τοὺς μὲν ἐπί τινι τῶν στυψάντων τὸ δέρμα, καθάπερ εἴρηται. τοὺς δ' ἐπὶ ξηρότητι, τρίβειν μὲν ἀλλ' ἐλάττω τούτοις, λούειν δὲ πλείω. στοχάζεσθαι δ' ἀεὶ τοῦ μέτρου τῆς δυνάμεως, ἐν ἅπαντι τῷ τοιούτῳ βοηθήματι. θυμοὶ μὲν οὖν καὶ λῦπαι καὶ ἀγρυπνίαι καὶ φροντίδες, οὔτε τρίψεων, οὔτε λουτρῶν δέονται πολλῶν. ἀλλὰ πολὺ μὲν ἐξ ἁπάντων ἐκ τοιᾶσδε πυρεξάντων αἰτίας, ἔλαιον περιχεῖν χλιαρὸν ἥκιστα μετέχον στύψεως. ἀνατρίψαντες δὲ βραχέα, λούειν ὡς ἔθος. αἱ δ' ἐγκαύσεις, εὐθέως μὲν ἐξ ἀρχῆς τῶν ψυχόντων δέονται, καὶ πλειόνων λουτρῶν. ἥκιστα δὲ ἐλαίου δαψιλοῦς, ἢ συχνῆς τρίψεως. ἔστω δὲ τὰ ψύχοντα, ῥόδινόν τε καὶ τὸ καλούμενον ὀμφάκινον ἔλαιον. ὅπερ οἶμαι καὶ ὠμοτριβὲς ὀνομάζουσιν. ἀμείνω δ' ἐξ αὐτῶν, ὅσα μηδ' ὅλως ἐν ἑαυτοῖς ἔχει τῶν ἁλῶν. ἐργάζεσθαι δὲ ψυχρὸν τὸ ἀγγεῖον, ἐν ᾧ μᾶλλον περιέχεται, κρεμῶντας ἐν φρέατι ψαῦον τοῦ ὕδατος. ἔτι δὲ μᾶλλον

ἀκρουνὸς ὕδατος ψυχροῦ καταράττει τοῦ ἀγγείου, ψύχει τὸ ὑγρόν. εἰ δ' ἐπὶ πλέον ἐψύχθαι βούλοιο, χιόνι περιπλάττειν αὐτό. καταχεῖν δὲ τοῦ βρέγματος μετέωρον ἐξαίροντα τὴν χεῖρα δι' ἐρίου συμμέτρου τῷ μεγέθει. ταῦτα ποιήσαντας μέχρι τῆς παρακμῆς, ἄγειν ἐπὶ τὸ λουτρόν. εἰ δὲ καὶ ψυχθεὶς πυρέξειεν ὁ τὴν προειρημένην ἔχων κρᾶσιν, ὑπὲρ οὗ ταῦτα πάντα λέγεται, καὶ τοῦτον ἐπὶ τὸ βαλανεῖον ἀκτέον ἐν ταῖς παρακμαῖς. εἰ δὲ σὺν κορύζῃ καὶ κατάρρῳ πυρέττοι, πρὶν πεφθῆναι ταῦτα, λούειν οὐ χρή. τοὺς δ' ἐπ' ἐγκαύσει καὶ τούτων παρόντων, λουστέον ὡς ἐν τοῖς ὑγιεινοῖς ἐπεδείκνυμεν. ἐπὶ δὲ τῷ λουτρῷ, τὴν κεφαλὴν τοῖς αὐτοῖς ἑκατέρων βρέχειν, οἷς περ ἐμψύχουσι μὲν τῶν ἐπ' ἐγκαύσει πυρεξάντων, θερμαίνουσι δὲ, τῶν ἐπὶ ψύξει. μέτρια δ' ἔστω καὶ ταῦτα μετὰ τὸ λουτρόν, οἷον τό, τε καλούμενον ἴρινον ἐστί, καὶ τὸ νάρδινον μύρον. ἀλλ' οὐ χρὴ μηκύνειν ἔτι περὶ τῶν δὲ, λελεγμένων ἐν τοῖς ὑγιεινοῖς. ἀρκέσει δ' εἰπεῖν, ὡς τὰ μὲν ἄλλα, πρακτέον ὁμοίως ἐπὶ τῶν πυρεξάντων, ἅπερ ἐπὶ τῶν ἐγκαυθέντων τε καὶ ψυχθέντων ἐλέγομεν χρῆναι πράττειν, ἄνευ τοῦ πυρέξαι. οὐ μὴν ἅπαντί γε καιρῷ τοὺς πυρέξαντας λουστέον, ἀλλ' ἐν τῇ παρακμῇ τοῦ παροξυσμοῦ. [1] καὶ μέντοι καὶ ὡς ἐπιτείνειν μὲν χρὴ τῶν πυρεξάντων ἐπ' ἐγκαύσει τὴν ἐμψυκτικὴν ὀνομαζομένην ἀγωγήν, ἐκλύειν δὲ τῶν ψυχθέντων τὴν θερμαντικὴν ὑπόλοιπον δ' ἂν εἴη τὴν ἐν τῇ διαίτῃ κοινότητά τε καὶ διαφορὰν ἐπελθεῖν, ἁπάντων τῶν εἰρημένων ἐπὶ τῆς ὑποκειμένης κράσεως, ἑκάστης ἐφημέρῳ πυρετῷ. κοινὸν μὲν δὴ πάντων εἶδος ἔστω σοι διαίτης, εὔχυμον. εὔπεπτον, οὐδαμόθι κατὰ τοὺς πόρους ἰσχόμενον. ἀλλὰ τοῖς μὲν ἐγκαυθεῖσι, μετὰ τοῦ ψύχειν, καὶ ὑγραίνειν. οὕτως δὲ καὶ τοῖς θυμωθεῖσι. τοῖς δὲ ψυχθεῖσι, μετὰ τοῦ θερμαίνειν μετρίως. τοῖς δ' ἀγρυπνήσασι, καὶ λυπηθεῖσι, καὶ πλεῖον φροντίσασιν, ὑγρὸν καὶ ὑπνῶδες. οὕτως δὲ καὶ τοῖς μὲν κοπωθεῖσι, τροφιμώτερον. τοῖς δὲ ψυχθεῖσιν, ἀτροφώτερον. τοῖς δ' ἄλλοις, τὸ μέσον ἀμφοῖν. οἶνον δὲ πίνειν γινώσκεις δή που καὶ σὺ διδόντα με τοῖς τοιούτοις ἅπασι, τὸν ὑδατώδη καὶ ὄψει, καὶ δυνάμει. βελτίων γὰρ ὕδατος αὐτὸς τὰ πάντα, τῇ πέψει συναιρόμενος, καὶ οὖρα καὶ ἱδρῶτας προτρέπων. δῆλος δ' ἐστὶ καὶ ὁ Ἱπποκράτης, οὐ μόνον ἐν τοῖς ἐφημέροις πυρετοῖς, ἀλλὰ κἂν τοῖς ὀξέσι διδοὺς οἶνον, ἐξ ὧν ἐν τῷ περὶ διαίτης ὀξέων γράφει. [2] κατὰ δὲ τὸ ἕκτον τῶν ἐπιδημιῶν, εἴτε οὖν αὐτὸς, εἴτε καὶ Θεσσαλὸς ὁ υἱὸς αὐτοῦ, παραιτεῖται τὸν οἶνον, οὐ μόνον εἰ πυρέξειαν οἱ θερμοὶ ταῖς κράσεσιν, ἀλλὰ κἂν τὸν τῆς ὑγείας χρόνον. ἐν θερμῇ γοῦν φύσει παραινεῖ ψύξιν τε καὶ ποτὸν ὕδωρ, καὶ ἐλινύειν. εἰ μὴ ἄρα τὸ πλείονι χρῆσθαι τῷ ὕδατι τοῦ οἴνου κατὰ τὰς τοιαύτας φύσεις, ὅπερ ἀρέσκει τισί, φαίημεν ὑπ' αὐτοῦ παρῃνεῖσθαι. τοῦτο μὲν οὖν αὐτὸ καθ' αὐτὸ ζητείσθω. περὶ δὲ ποτοῦ ψυχροῦ, διοριστέον. ἐγὼ μὲν δή φημι τὰς τοιαύτας φύσεις, ὑγιαινούσας τε μᾶλλον πρὸς τοῦ τοιούτου πόματος ὀνίνασθαι μεγάλα. καὶ κατὰ τὸν ἐφήμερον πυρετόν, οὐκ ἀφαιροῦμαι τοὺς εἰθικότας. ἄνευ δὲ, οὐκ ἀρξαίμην τηνικαῦτα διδόναι, ἀλλὰ πρότερον ἀκριβῶς ἀκούσας αὐτῷ τὴν ἀρχαίαν ὑγείαν. εἰ δὲ διὰ δειλίαν ἢ ἔθος ἐκ παίδων, ἢ ὑπόληψιν ψευδῆ φοβοῖτο τὸ ψυχρόν, ἔργῳ τε πείσαιμ' ἂν αὐτόν, ἐπιτηρήσας ποτὲ αὐτὸν καυσούμενον ἐν θέρει, καὶ λόγῳ μετὰ τὸ ἔργον. ὅταν γὰρ ἐπὶ τῇ χρήσει τοῦ τοιούτου πόματος ἀπαλλαχθῇ μὲν αὐτίκα τοῦ καυσοῦσθαί τε καὶ ἀλύειν, ἑαυτοῦ δὲ εὐτονώτερον ἐπί τε [3] τὸν στόμαχον ἔχειν φαίνηται, καὶ ἡ γαστὴρ καταρρήξει χολώδη καὶ πέψει καλῶς, αὖθις τε καὶ αὖθις χρησάμενος ἀνατρέφηται τὸ σῶμα, τότε ἂν ἤδη καὶ τοὺς ἄλλους αὐτῷ δείξας, οὓς ὁμοίως ὤνησα, διέλθοιμι πρῶτον μὲν ὡς παντὸς μᾶλλον ἀληθές ἐστι, τὸ τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. γέγραπται δέ μοι περὶ τούτου πρόσθεν. εἶθ' ὡς ἡ κρᾶσις αὐτῷ, τὴν ὑγιεινὴν ἐκβεβηκυῖα συμμετρίαν, πλησίον ἥκει νόσου. καὶ ὡς τοῖς τοιούτοις σώμασιν ἡ ὑγίεια σφαλερά. καὶ κατὰ σχέσιν μᾶλλον ἢ καθ' ἕξιν ὑπάρχει. καὶ ὡς εἰ μὲν ἀγαθῆς ὢν ἔτυχε κράσεως, ἐφύλαττον ἂν ἐκείνην αὐτῷ τρόπῳ παντί. μοχθηρᾶς δ' ὑπαρχούσης φύσεως, ἐπὶ τὸ κρεῖττον ἐξαλλάττω. λέλεκται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον, ἐν τοῖς ὑγιεινοῖς. ὅθεν οὐ χρὴ μηκύνειν ἐνταῦθα, μιμούμενον ἐκείνους τῶν συγγραφέων, ὅσοι παντάπασιν ὀλίγα γινώσκοντες, ἐν ἅπασι τοῖς βιβλίοις αὐτὰ διέρχονται. τοῦτο γὰρ οὐχὶ πολλὰ διδάσκειν, ἀλλὰ γράφειν ἐστὶ πολλά. καὶ πολλοὺς χάρτας ἀναλίσκειν ἐνὸν ὀλίγους. καὶ πολλὴν κατατρίβειν χρόνον, ἐνὸν μή. οὐκοῦν μὴ δὲ τὰς διαγνώσεις τῶν ἐφημέρων πυρετῶν ἐνταυθοῖ γράφω, προειρηκὼς μὲν ἐν τῷ δευτέρῳ περὶ κρίσεων ὀλίγου δεῖν ἁπάσας. εἰρηκὼς δὲ τὰ λείποντα κἀν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν, οὐδὲν δ' ἧττον κἀν τοῖς περὶ σφυγμῶν, ὅσον ἐξ αὐτῶν χρηστὸν ἑρμηνεύσας, ὡς οἶδα μόνος ἁπάντων τῶν ἔμπροσθεν, οὕτω σαφῶς, ὡς μὴ δ' ἂν παῖδα λαθεῖν τὸ δηλούμενον. Ἀρχιγένους ὡς ἐπεδείξαμεν, οὐ διδάξαντος, ἀλλὰ περιλαλήσαντος τὰ πλεῖστα, κατά τε τὸ περὶ σφυγμῶν σύγγραμμα, καὶ τὴν πραγματείαν ἣν αὐτὸς ἐπιγράφει περὶ τῆς τοῦ πυρετοῦ σημειώσεως. ὥσπερ δὲ τὸν ἐν τῷ στυπτηριώδει λουσάμενον ὕδατι, τὴν τρίτην ἡμέραν ἀσιτεῖν ἐκέλευον οἱ ἰατροί, κατὰ τὸν αὐτὸν τρόπον οἶδα καὶ τῶν ἐγκαυθέντων τε καὶ κοπωθέντων ἐπί τε τοῖς ἄλλοις τοῖς εἰρημένοις αἰτίοις πυρεξάντων, οὐδένα λούοντας, οὐδὲ τρέφοντας αὐτοὺς, πρὶν ὑπερβαλεῖν τὴν διάτριτον ἀνάγκη δή που κἀμὲ λέγειν διάτριτον, ὅπως μὴ καὶ περὶ τοῦ δὲ τῆς φλυαρίας αὐτῶν ἐνέχωμαι, φασκόντων ἕτερον μὲν εἶναι τὸν διὰ τρίτης παροξυσμόν, ἑτέραν δὲ τὴν πρώτην διάτριτον. ἤκουσας γάρ ποτε καὶ σὺ μέχρι τοσούτου τῆς ἀδολεσχίας αὐτῶν ἐκταθείσης. ἀλλ' εἴτε πρώτην διάτριτον, εἴτ' ἄλλο τι καλεῖν ἐθέλουσιν, οὐχ ἅπαξ, ἢ δίς, ἢ τρίς, ἀλλ' ὁσάκις οὐδὲ μεμνῆσθαι δυνατόν, ἔν τε τῇ πρώτῃ τῶν ἡμερῶν εὐθέως εἰς ἑσπέραν ἐλούσαμεν τοὺς τὸν ἐφήμερον πυρέξαντας, ἔν τε τῇ δευτέρᾳ πολὺ μᾶλλον, ἀλλὰ καὶ κατ' αὐτὴν τρίτην ὡς ὀλίγον ἔμπροσθεν ἔφαμεν, ἐπὶ τοῦ στενωθέντος τὸ δέρμα. τοῦτο μὲν οὖν τὸ αἴτιον, ὀλιγάκις ἐθεασάμην ἀνάψαν πυρετόν. ὅθεν αὐτὸ μάλιστα προκεχειρισάμην. ἔγκαυσιν δὲ καὶ κόπον ἕκαστόν τε τῶν ἄλλων πάνυ πολλάκις. ἐθεάσω δὲ καὶ σὺ πάντας αὐτοὺς τῇ τετάρτῃ τῶν ἡμερῶν ἕωθέν τε προσελθόντας ἐπὶ τὰς συνήθεις πράξεις. ἀπαντῶντάς τε τοῖς ἰατροῖς, ὅσοι καὶ τὴν τρίτην ἡμέραν ᾤοντο τελέως αὐτοὺς ἠσιτηκέναι. καὶ τοίνυν θαυμάζοντί σοι καὶ ζητοῦντι τί ποτ' ἐστὶ τὸ αἴτιον τοῦ μὴ κἂν νῦν γοῦν ἀποστῆναι τοὺς τοιούτους ἰατροὺς τῶν κακῶς αὐτοῖς ὑπειλημμένων, ὡς νομίζω προσηκόντως

εἶπον.

Frigida potio.

ἔπου, ὅτι μήτε γινώσκουσι τὴν ἀληθῆ θεωρίαν, αἰδοῦνταί τε νῦν ἄρξασθαι μανθάνειν αὐτήν. ἔνιοι δ' ὡς ἤκουσας ποτέ τινος ἐξ αὐτῶν ὁμολογήσαντος ἡμῖν ἰδίᾳ τ' ἀληθῆ μετὰ τοῦ δακρύειν, οὐδὲ τῶν ἐπιτηδείων εὐπορῆσαι φασίν, ἐὰν οἱ νομίζοντες αὐτοὺς ἐπίστασθαί τι, θεάσωνται μανθάνοντας. ἀλλὰ σὺ μὲν ἅπαξ ἤκουσας. τοὺς θεοὺς δ' ἐγὼ σύμπαντας ἐπόμνυμι, πολλοὺς ἐμοὶ πολλάκις ὡμολογηκέναι μόνῳ ταῦτα μετὰ τοῦ δακρύειν τε καὶ τὴν ἑαυτῶν ὀδύρεσθαι δυστυχίαν ἐπὶ † τὸ τὸν χρόνον ἀπολέσαι μοχθηροῖς διδασκάλοις χρησαμένους. ἐπόμνυμι δ' αὖθις σοι τοὺς θεοὺς ἢ αὖ καὶ τοῦτο μοι λεχθῆναι πάνυ πολλάκις ὑπὸ τῶν συμφοιτησάντων, ἔτι μειρακίῳ τὴν ἡλικίαν ὄντι. ἐπειδὴ γὰρ εἴωθα ὁπότε τις ἔροιτο περὶ τινὸς δόγματος εἰ ἀληθὲς εἴη, μηδὲν ἀποκρίνασθαι δύνασθαι φάσκειν, εἰ μὴ καὶ τὰ τῶν ἄλλων ἁπάντων μάθοιμι, καί τινα μέθοδον κτησαίμην, ᾗ διαγινώσκοιμι τὸ βέλτιον, οὐκ ὀλίγοι τῶν ταῦτα ἀκουόντων συμφοιτητῶν ἔφασάν μοι. σὺ μὲν καὶ φύσει διαφερούσῃ κέχρησαι, καὶ παιδείᾳ θαυμαστῇ διὰ τὴν τοῦ πατρός σου φιλοτιμίαν καὶ ἡλικίαν δυναμένην μανθάνειν ἔχεις. ὅθεν σε δαπανᾶν χρὴ σχολάζοντα μαθήμασι κέκτησαι. τὸ δ' ἡμέτερον, οὐχ ὧδ' ἔχει. καὶ γὰρ ἀπαίδευτοι τὴν πρώτην παιδείαν ἐσμέν, καὶ οὐκ ὀξεῖς τὴν διάνοιαν, ὥσπερ σύ. καὶ ἀναλίσκειν οὐκ ἔχομεν. ἀγαπητέον οὖν ἡμῖν ἐστιν ὁποῖα ποτ' ἂν εἴη ταῦτα τὰ νῦν γινωσκόμενα. μὴ τοίνυν ἔτι θαύμαζε, διατί πολλοὶ τῶν ἰατρῶν οὐκ αἰσχύνονται φθεγγόμενοι τὴν διάτριτον. καίτοι μυριάκις ἡμᾶς ἑωρακότες ἐπὶ τῶν νοσούντων προγινώσκοντας εἴτ' ἐφήμερος ἐστὶν ὁ πυρετὸς, εἴτε καὶ κατὰ τὴν τρίτην ἢ τετάρτην ἡμέραν οἴσει τινὰ παροξυσμόν. ἀλλ' ἐκεῖνο σκόπει τὸ ὑφ' Ἱπποκράτους εἰρημένον, ἀνθρώπου φιλοσοφωτάτου τὸ ἦθος. Ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει. καὶ τῇ ἐσχάτως λεπτῇ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μή, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾶν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρα τῶν ἐσχάτων εἴη. πόνους μὲν γὰρ λέγει πάντα τὰ λυποῦντα τὸν ἄνθρωπον. ἐσχάτους δὲ ὀνομάζει, τοὺς μεγίστους, οἵπερ ἐν ταῖς ἀκμαῖς γίνονται. κελεύει δ' εἰς τοῦτον τὸν χρόνον ἀποτίθεσθαι τῆς διαίτης τὸ λεπτότατον, οὐδέν τι διδάσκων ἀλλοιότερον, ἢ ὁπότ' ἔφασκεν, ὅταν ἀκμάζῃ τὸ νόσημα, τότε λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. καὶ μὴν οὐχ οἷόν τε τὸ λεπτότατον τῆς διαίτης εἰς τὴν ἀκμὴν ἀναβάλλεσθαι, χωρὶς τοῦ κατὰ τὴν ἀρχὴν ἐστοχάσθαι περὶ πόσην ἡμέραν ἀκμάσει τὸ νόσημα. ἀλλὰ καὶ Ἱπποκράτη φασὶ ληρεῖν ταῦτα γράψαντα, καὶ ἡμῶν ἔργῳ διαδεικνυμένων αὐτά, πάντα μᾶλλον νομίζουσιν ἢ δυνατὸν ἀνθρώπῳ κατὰ τὸν πρῶτον ποτὲ παροξυσμὸν ἀκριβῆ γνῶσιν ἔχειν τῆς τοῦ κάμνοντος διαθέσεως. ἐγὼ δ' οὔτ' ἐφ' ἁπάντων τῶν νοσούντων ἀκριβῶς φημὶ γινώσκειν τὴν διάθεσιν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, οὔτε τῶν ἐφημέρων τινὰ πυρετὸν λαθεῖν ἄν με. τοῦτο δ' ἀρκεῖ κατά γε τὰς πρώτας ἡμέρας εἰς τὸ μηδὲν ἁμαρτεῖν ἐν τῇ διαίτῃ, τὸ διακρῖναι τὸν ἐφήμερον πυρετὸν τῶν ἄλλων. διὰ τοῦτό γέ τοι τῇ τετάρτῃ τῶν ἡμερῶν ἐν ᾗ πρῶτον ἐκεῖνοι προταριχεύσαντες τὸν ἄνθρωπον, ἄρχονται τρέφειν, ἡμεῖς ἤδη τὰ συνήθη τῶν ἔργων προσεχόμεθα πράττειν, κωλύομεν δὲ κἀκ τῶν ἐφημέρων πυρετῶν τὴν μετάστασιν εἰς τοὺς ὀξεῖς γενέσθαι τῷ τρόπῳ τούτῳ τῆς διαίτης, ὡς εἴ γέ τις ἑτέρως διαιτήσειεν, ἐξ ἀνάγκης ἀκολουθήσουσι κατά γε τὰς προειρημένας κράσεις, ὅσοι διακαέστατοι τῶν πυρετῶν. ἕτεραι γάρ εἰσι φύσεις ἐφ' ὧν ἢ οὐδὲν ἢ οὐκ ἀξιόλογόν γέ τι τοσούτων ἡμερῶν βλάπτει λιμός. ὥσπερ ἕτεραί γε πάλιν, ἐφ' ὧν οὐ μόνον ἀβλαβής, ἀλλὰ καὶ πρὸς ὠφέλειαν ἐστὶν ἡ ἀσιτία τῶν τριῶν ἡμερῶν. ἀλλὰ περὶ μὲν τῶν ἄλλων φύσεων, ἑξῆς διορίσω. τὴν ὑποκειμένην ἐξ ἀρχῆς κρᾶσιν εἰς τοὔσχατον ἄγουσι κινδύνου αἱ ἀσιτίαι κατὰ πάντας τοὺς πυρετοὺς, οὐ μόνους ὧν νῦν ἐμνημόνευσα τοὺς ἐφημέρους ὀνομαζομένους. εἰ γὰρ καὶ δι' ἔμφραξιν, ὡς ἐλέχθη, στεγνωθείη πως ἡ διαπνοή, μικρὰν μὲν ὑπάρχουσαν αὐτήν, ἔτις ὀρθῶς διαφύψει, κωλύσει γενέσθαι δεύτερον παροξυσμόν. ἀξιολόγου δὲ γενομένης, οὐκ ἔθ' ὁμοίως ἐπαγγείλασθαι δυνατόν. εἰ δὲ καὶ πολλοὶ καὶ παχεῖς καὶ γλίσχροι σφηνωθεῖεν χυμοί, τὸν ἐπὶ τούτοις πυρετὸν ἀδύνατόν ἐστιν ἐν τοῖς ὅροις διαμεῖναι τῶν ἐφημέρων. ἐξ ἀνάγκης γὰρ αὐτὸν ὁ ἐπὶ σήψει χυμῶν διαδέξεται κατὰ τὰς κακοχύμους φύσεις. ὡς ἐπ' ἄλλων γε κράσεων, ἃς ἐν τοῖς ἑξῆς ἑρμηνεύσω, γένοιτ' ἄν τις ἰδέα πυρετοῦ συνόχου, διὰ τὴν τοιαύτην αἰτίαν ἄνευ σήψεως χυμῶν. ἕπεσθαι δὲ τοῖς τοιούτοις λόγοις, ἀδύνατον, ὅσον ἄν τις μὴ πρότερον ἐν ταῖς εἰρημέναις πραγματείαις γυμνάσηται. καὶ μάλιστα τῇ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν. ἐπειδὰν γὰρ ἔμφραξίς τις ᾖ μετρία, δι' ἣν ἐπύρεξαν οἱ κακόχυμοι, κατὰ μὲν τὴν πρώτην καὶ δευτέραν ἡμέραν, ἄχρι τινὸς οὐκ ἔστιν ἐν τῷ σφυγμῷ, τὸ τῆς σήψεως σημεῖον. ὥσπερ οὐδ' ἐν τοῖς οὔροις τὸ τῆς ἀπεψίας. μηκυνομένης μέντοι τῆς παρακμῆς, καὶ μηκέτ' ἀνάλογον ἐνδιδούσης ὥσπερ ὑπήρξατο μετὰ τὴν ἀκμήν, ὕποπτος ἐστὶν ἡ διάθεσις, ὥσπερ ἐφ' ὧν ἐπάγεται πρὸς τὴν λύσιν, ἀτμοί γέ τινες ἢ ἱδρῶτες ἐξεκρίθησαν, ἢ οὖρα πλείω χρηστὰ μετὰ τῶν κατὰ τὸν σφυγμὸν σημείων ἀγαθῶν ὑπαρχόντων, ἐφήμερός ἐστι βεβαίως ὁ πυρετός. ἀλλ' ὅ γε διὰ μικρὰν ἔμφραξιν ὅμοιος μὲν τοῖς ἐφημέροις ἐστὶν ὡς εἴρηται κατά γε τὰ πρῶτα, μηκυνομένης δὲ τῆς παρακμῆς, ὕποπτος γίγνεται κἂν μηδέπω τὸ τῆς σήψεως σημεῖον ἐμφαίνηται τοῖς σφυγμοῖς. ἐὰν γὰρ μὴ διαπνευσθῇ τελέως, ἀναγκαῖον ἐστὶ σαπῆναι τὴν κακοχυμίαν. ἵν' οὖν διαπνεύσῃ, μείζονος ἡμῖν ἤδη βοηθείας ἐστὶ χρεία. εἰ μὲν οὖν ἤτοι παιδίον ἢ γέρων εἴη, φλεβοτομεῖν οὐκέτ' ἐγχωρεῖ. μεταξὺ δὲ τῶν ἡλικιῶν τούτων, ῥώμης παρούσης τῷ κάμνοντι, φλεβοτομητέον, εἰ καὶ τὰ τοῦ πλήθους ἀπείη σημεῖα. βέλτιον γὰρ ἐκκενώσαντα τὸ πλέον τῆς κακοχυμίας, ἐπὶ τὸ διαρύπτειν τὰς ἐμφράξεις ἰέναι. κίνδυνος γὰρ ἐκφραττόντων πρὶν ἐκκενῶσαι, σφηνωθῆναι μᾶλλον αὐτάς. ἐκφράττουσι μὲν οὖν αἱ ῥυπτικαὶ δυνάμεις, ἔξωθέν τε προσπίπτουσαι τῷ δέρματι, καὶ εἴσω τοῦ σώματος λαμβανόμεναι. κίνδυνος δὲ καὶ τὰς ἐκτὸς ἑλκούσας ἅμα τοῖς ἐμφράττουσι, συνεπισπᾶσθαί τι καὶ ἄλλο. καὶ τὰς ἔνδοθεν ἀναφερομένας, ἑαυταῖς συνεπισύρεσθαί τι τῶν ἐν τοῖς ἀγγείοις. ὅπερ εἰ μὲν γλίσχρον ἢ παχὺ τύχοι, διπλασιάσει τὴν ἔμφραξιν. εἰ δὲ μή, ἀλλὰ τῷ πλήθει γε πάντως οὐ σμικρὰ λυπήσει. φαίνεται γὰρ ἐνίοτε καὶ τὸ πολὺ ῥεῦσαν ἀθρόως, οὐδὲν ἧττον ἐμφράττεσθαί τε καὶ σφηνοῦσθαι τῶν γλίσχρων καὶ παχέων. εἰ δὲ καὶ διὰ πόρων στενῶν ἡ διέξοδος εἴη, πολὺ δὴ μᾶλλον ἴσχεσθαι. ὅπως οὖν ἀσφαλῶς

Educatio Gal. liberalis.

καὶ τόποις ἡ φορὰ, καὶ τοῖς ἔξωθεν ἡ ὁλκὴ γίγνοιτο, χρησιμώτατόν τε ἐστὶ κνῆσαι τὸ σῶμα. καὶ μὴν τοι καὶ τὰ διαπνεόμενα τῶν χυμῶν καπνώδη καὶ λιγνυώδη περιττώματα, μειωθέντων αὐτῶν ἐλάττω γίγνοιτο ἄν. ὥστε καὶ διὰ τοῦτο βραχύτερον ἔσται τὸ πυρετῶδες θερμὸν, ὡς ἐγχωρεῖν αὐτὸ διαπνεῖν εἰς τοὐκτὸς, εἴπερ εἶεν αἱ ἐμφράξεις βραχεῖαι. ὅταν οὖν ποθ᾽ ὑπονοήσῃς ἐστεγνῶσθαι τὸ δέρμα δι᾽ ἔμφραξιν ἐκ τε τοῦ μὴ γίγνεσθαι κατὰ τὴν παρακμὴν τοῦ πρώτου παροξυσμοῦ κενώσεις ἀξιολόγους, καὶ διαμένειν ὁμοίαν ἑαυτῇ τὴν παρακμὴν, εἰ μὲν ἀπὸ μηδενὸς τῶν προφανῶν αἰτίων ἐπύρεξεν ὁ ἄνθρωπος, ἔτι καὶ μᾶλλον ἂν εἴη σοι βεβαιοτέρα τῆς ἐμφράξεως ἡ διάγνωσις. εἰ δὲ σύν τινι τῶν προφανῶν, οὐκ ἀδύνατον ἅμα συνεληλυθέναι διττὰς αἰτίας. εἰ γὰρ ἡ ἑτέρα μόνη τῶν αἰτιῶν ἡ ἐκ τοῦ προκατάρξαντος αἰτίου ἦν, ἐμειοῦτο ἂν ἡ παρακμὴ σὺν αἰσθηταῖς ἐκκρίσεσιν, οὔκουν ἀναβάλλεσθαι τῶν τοιούτων ἀρρώστων ἀφαιρεῖν αἵματος, ἀνάλογον τῇ τε δυνάμει, καὶ τῷ μεγέθει τῆς ἐμφράξεως. ἡ δ᾽ ἔνδειξις δὲ τοῦ ποσοῦ τῆς ἐμφράξεως, ἐκ τοῦ μεγέθους ἔσται τοῦ κατὰ τὸν πυρετόν. μείζων μὲν γὰρ ἐπὶ ταῖς σφοδροτέραις ἐμφράξεσιν. ἐλάττων δ᾽ ἐπὶ ταῖς μικροτέραις συμπίπτει. κενώσαντα δὲ τὸ σύμμετρον, οὐ μετὰ πολὺ διδόναι τῶν ῥυπτικῶν τινὰ τροφῶν ἢ φαρμάκων. ἔστι δ᾽ οὐ πολλὰ τὰ τοῦτο δυνάμενα ποιεῖν ἐν πυρετοῖς. ἀλλ᾽ ὡς εἴρηται καὶ πρόσθεν ἐν τῷ τροφῆς μὲν λόγῳ, ἡ πτισάνη τ᾽ ἐστὶ καὶ μελίκρατον. ἐν φαρμάκοις δὲ, τό, τε ὀξύμελι, καὶ ὅσα τῷ μελικράτῳ συνεψεῖν οἷόν τε, ὡς καλαμίνθη, καὶ ὕσσωπον, καὶ ὀρίγανον, καὶ ἕρπυλλον, καὶ ἶρις, καὶ σέλινον. ἀλλὰ ταῦτα γε πάντα, πλέον ἢ δεῖ θερμά. καὶ διὰ τοῦτο ἐξάπτει τοὺς πυρετοὺς, ὥσπερ οἶνος. ὀξύμελι δὲ μόνον οὔτε τοὺς πυρετοὺς ἐξάπτει καὶ ῥύπτει γενναίως, ὡς διαλύειν μὲν ὅσα γλίσχρα καὶ παχέα, τοὺς πόρους δ᾽ ἐκφράττειν. ἐν δὲ τῷ μεταξὺ μελικράτου τε καὶ ὀξυμέλιτος, εἴη ἂν τὸ καλούμενον ἀπόμελι. χρῶνται δ᾽ αὐτῷ κατὰ τὴν πελοπόννησον πλεῖστον. θείη δ᾽ ἄν τις εὐλόγως οἶμαι καὶ τὸ σάκχαρ ἐν τοῖς τοιούτοις. ἐπὶ δὲ τῇ τοιαύτῃ τροφῇ, παραφυλάττειν πόσον ἀφαιρεῖται τῆς πυρετώδους θερμασίας. εἰ γάρ σοι φαίνοιτο κατὰ τὴν τρίτην ἡμέραν ἕωθεν ἐλάχιστόν τι λείπεσθαι τοῦ πυρετοῦ, μήτε τοῦ τῆς σήψεως τῶν χυμῶν σημείου παρόντος ἐν τοῖς σφυγμοῖς, μήτ᾽ ἐν τοῖς οὔροις τοῦ τῆς ἀπεψίας, ἡ δ᾽ ὕποπτος ὥρα καθ᾽ ἣν εἰσέβαλεν ὁ πυρετὸς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἐξωτέρω τῆς μεσημβρίας εἴη, θαρρῶν λοῦε τὸν ἄνθρωπον, ὅσον οἷόν τε τάχιστα πρὸ πολλοῦ τῆς ἕκτης ὥρας. ἱκανὸν δὲ κἂν ἐντὸς τρίτης ὥρας ξυμπληρωθῇ τὸ λουτρόν. οὕτω δὲ καὶ εἰ δεκάτην ὥραν ὑποπτεύοις, ἄχρι τῆς ἑβδόμης λούειν ἐγχωρεῖ, τριῶν ἢ τεττάρων ὡρῶν ἰσημερινῶν αὐταρκεστάτων οὐσῶν εἰς διάστημα τοῦ τε βαλανείου, καὶ τοῦ παροξυντικοῦ καιροῦ. χρὴ δ᾽ ἐν τῷ βαλανείῳ, περιαλείψαντα καὶ περιανατρίψαντα μετριώτατα διαρρύπτειν τε καὶ ἀποπλύνειν ἔξωθεν τὸ σῶμα. τὴν δ᾽ ὕλην τῶν ῥυπτικῶν, ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἔχεις. ἐκλέγειν οὖν ἐκεῖθεν δεῖ τὰ πρὸς τὸ παρὸν ἁρμόττοντα. διήρηται γὰρ ἐν αὐτοῖς ὅσα τε μᾶλλον αὐτῶν, ὅσα θ᾽ ἧττον ῥύπτει. λεχθήσεται δὲ καὶ νῦν ἕνεκα παραδείγματος ὀλίγα. μετριώτατα μὲν οὖν ῥύπτει, τό, τε τῶν ὀρόβων ἄλευρον, καὶ τὸ τῶν κριθῶν, καὶ τὸ τῶν κυάμων, καὶ τὸ μελίκρατον τὸ ὑδαρές. ἔτι δὲ μᾶλλον τούτων, ἶρις, καὶ πάνακος ῥίζα. καὶ ἀριστολοχία. καὶ τὸ μέτριον ἐν τῇ κράσει μελίκρατόν ἐστιν, ὥσπερ γε καὶ τοῦδε μᾶλλον ὅταν ἀκρατέστατον ᾖ. γίνεται δὲ τοιοῦτο, τῷ μέλιτι μιχθέντος ὕδατος βραχέος, ὡς χυθὲν τοῖς μικροῖς τοῦ δέρματος εὐκόλως ἐνδύναι πόροις. ἔστι δὲ τοῦδε μᾶλλον ὁ ἀφρὸς τοῦ νίτρου καὶ τὸ νίτρον αὐτό, καὶ τὸ ἀφρόνιτρον. εἶναι δὲ χρὴ τὸ μὲν νίτρον λεπτομερὲς, οἷόν περ ἐστὶ τὸ βερενίκιον. εἰ δὲ τὸ λιθῶδες εἴη, καίειν τε καὶ λειοῦν ἀκριβῶς αὐτό. μέλι δὲ τὸ καθαρώτατον καὶ δριμύτατον οἷόν περ ἐστὶ τὸ ὑμήττιον. ἔστι δὲ δή πού καὶ ὃν σάπων ὀνομάζομεν ἐν τοῖς μάλιστα ῥύπτειν δυναμένοις. ἅλις ἔστω σοι παραδειγμάτων, τῆς τῶν ῥυπτόντων ὕλης. μετιέναι γὰρ ἤδη καιρὸς ἐπὶ τὰ μετὰ τὸ λουτρόν. ἔστι δ᾽ οὐ πολλά. πλὴν γὰρ ὕδατος ἔχοντος ἐναφεψημένον αὐτῷ σέλινον ὀλίγον, οὐδὲν αὐτοῖς δοτέον, κἂν τὸ μεταξὺ τοῦ τε λουτροῦ, καὶ τῶν ὑπόπτων διάστημα τριῶν ὡρῶν ἔσεσθαι στοχαζόμεθα. περὶ μέν τοι τὴν ἑσπέραν καὶ θᾶττον ὥραις δυοῖν τοῦ κατὰ τὴν πρώτην ἡμέραν εἰσβεβληκότος παροξυσμοῦ, καὶ λοῦσαι δυνατὸν ἕωθεν, καὶ θρέψαι μόνον πτισάνης χυλῷ. εἶτα εἰ μὲν μηδόλως ἐνέγκοιεν αἱ ὧραι τι, λούειν αὖθις εἰ βούλοιτο καὶ τρέφειν ὧν εἴρηκα σκοπῶν ἐχόμενον. εἰ δέ τι γένοιτο, παραβάλλειν τε τοῦτο τῷ κατὰ τὴν πρώτην ἡμέραν παροξυσμῷ, συνεπισκοπεῖσθαι τά τε οὖρα, καὶ τοὺς σφυγμούς. ἅπαντα δὲ δήπου φαίνεται μέτρια, βραχείας ὑπολειπομένης ἐμφράξεως ὥστε καὶ λούσεις τῇ τετάρτῃ τῶν ἡμερῶν αὐτὸν καὶ θρέψεις, τῶν εἰρημένων σκοπῶν ἐχόμενος. ἐλπίσεις τε μηδὲν ἔτι τῇ πέμπτῃ συμπεσεῖσθαι. μεγάλης δὲ τῆς ἐμφράξεως γεγενημένης, οὐκέτ᾽ ἂν ὁ τοιοῦτος ἐκ τῶν ἐφημέρων εἴη πυρετῶν, ὥστε εἰς τὸν ἑξῆς ἀναβεβλήσθω λόγον. ἐν γάρ τοι τῷδε, περὶ τῶν ἐφημέρων μόνων πρόκειται διελθεῖν. ἐπεὶ τοίνυν ἐφήμεροι πυρετοὶ ταῖς ὑποκειμέναις κράσεσι τῶν σωμάτων ἐπιγίγνονται πολλάκις, καὶ ἀπεψίαις σιτίων, ἑξῆς ἂν εἴη περὶ αὐτῶν διελθεῖν. χειρίστη μὲν οὖν ἐστιν ἐν ταῖς τοιαύταις κράσεσιν, ἀπεψία. καὶ τάχιστ᾽ ἀνάπτει πυρετὸν, ἐν ᾗ διαφθείρεται τὰ σιτία πρὸς τὸ κνισσῶδές τε καὶ καπνῶδες. ὡς ἥγε εἰς ὀξύτατον τρέπουσα, σπανιάκις τε γίγνεται ταῖς τοιαύταις φύσεσι, καὶ ἧττον βλάπτει. λεχθήσεται δὲ ὑπὲρ ἑκατέρας ἰδίας, τὴν ἀρχὴν ἀπὸ τῆς πλειστάκις τε γιγνομένης αὐτοῖς, καὶ μᾶλλον βλαπτούσης ποιησαμένοις. ἔστι δ᾽ ὡς εἴρηται κνισσώδης τέ τις αὕτη καὶ καπνώδης. ἔλαττον μὲν ὑπάρχουσα κακὸν, εἰ καταρρήξειεν ἡ γαστήρ. οὐ μικρὸν δὲ, εἰ ἐπισχεθείη. πυρέττουσι γὰρ ἐπὶ ταῖς ἐπισχέσεσιν αὐτῆς ἑτοίμως αἱ κακόχυμοι φύσεις. καὶ μάλισθ᾽ ὅταν ἐπὶ τὰς συνήθεις τράπωνται πράξεις, ὑπεριδόντος τοῦ μένειν ἔνδον ἐφ᾽ ἡσυχίας ἐν τῇ στρωμνῇ. πυρέττουσι δ᾽ ἔνιοι καὶ τῶν ἁλόντων διαρροίαις ἐπ᾽ ἀπεψίᾳ, συναυξανομένης αὐτοῖς τῆς πυρετώδους διαθέσεως, οὐχ ἥκιστα κατὰ τὸ πλῆθος τῶν ἐξαναστάσεων. εἰ δὲ καὶ δῆξίς τις, ἢ πόνος, ἢ θερμότης ἄμετρος ἐν τοῖς κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα γένοιτο, πολὺ δὴ μᾶλλον ἐντεῦθεν ἡ πυρετώδης αὐξάνεται διάθεσις. ἴασις δ᾽ οὐχ ἡ αὐτὴ τῶν ἐπισχεθέντων τοῖς ἐκκρίνουσι. λεκτέον οὖν ὑπὲρ ἑκατέρων ἐν μέρει. φανεῖται γὰρ οὕτως. οὐ μόνον ὅπῃ διαλλάττουσιν, ἀλλὰ καὶ ὅσον ἐν ἀμφοτέροις κοινόν. εἰ μὲν δὴ φαίνοιτο μόνα τὰ διεφθαρμένα κεκενῶσθαι, λουτέον τ᾽ ἐστὶ καὶ θρεπτέον ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ, πρόνοιάν τινα τὴν κατὰ τὴν γαστέρα ποιη-

σαμένους

σαμένοις πρότερον. εἰ δ' οὕτως εἴη πολλὴ κένωσις, ἤτοι γεγονυῖα πρόσθεν, ἢ καὶ νῦν ἔτι γιγνομένη κατὰ τὸν ἄνθρωπον ὡς κεκμηκέναι τὴν δύναμιν, ἄμεινον θρέψαι χωρὶς τοῦ λοῦσαι, προνοησαμένους τῆς κατὰ τὴν γαστέρα. πρόνοια δ' ἐπὶ τῶν οὕτως ἐχόντων. εἰ μὲν μηκέτι γίγνοιτο κένωσις, ἐμβροχὴ δι' ἐλαίου τε καὶ ἀψινθίου. χρὴ δὲ προδιαβρέχειν ὕδατι ζέοντι τὸ ἀψίνθιον ὅπως μὴ κνισωθείη. καὶ εἴγέ τις αἴσθησις ὑπολείποιτο κατὰ τὴν γαστέρα δήξεως ἢ πόνου, πίλημα μετὰ τὴν ἐπιβροχὴν ἤτοι θερμὸν καὶ ξηρὸν, ἢ βεβρεγμένον μὲν ἐλαίῳ ἐν ᾧ τὸ ἀψίνθιον ἀπεζέσθη. τὸ πλεῖστον δ' ἐκπεπιεσμένον ἐπιβάλλειν χρή. κάλλιον δ' εἰ παρείη μύρον νάρδινον ἐπιμελῶς συγκειμένον ἐν ἐκείνῳ δεύσαντα, κατὰ τὸν αὐτὸν τρόπον ἐπιτιθέναι τὸ πίλημα. καὶ πολύ γε κάλλιον, εἰ πορφύρα τοῦτ' εἴη θαλαττία. καὶ κάλλιστόν γε εἰ τυρία ἀρίστη τυγχάνοι. λεπτομερεστέραν γὰρ ἔχει τὴν στύψιν ἥ τε τοιαύτη πορφύρα, καὶ ἡ ἀρίστη νάρδος. ὥστε διὰ τοῦ βάθους διεξέρχεσθαι τῶν κατὰ τὴν γαστέρα σωμάτων ἡ δύναμις αὐτῶν ξηραινόντων, καὶ θερμαινόντων, καὶ τονούντων. εἰ δ' ἀτονώτερον ὑπάρχει τὸ στόμα τῆς γαστρὸς ὅπερ καὶ στόμαχον ὀνομάζειν εἰθίσμεθα καταχρώμενοι τῇ προσηγορίᾳ, καὶ τῆς χίας μαστίχης ἐν τῇ νάρδῳ λειώσαντες, ὡς γλοιῶδες γενέσθαι, δεύσαντες ἐξ αὐτοῦ, τὴν πορφύραν ἐπιθήσομεν. ἔστω δὲ θερμὸν ἱκανῶς ἕκαστον τῶν τοιούτων κατὰ τὴν πρώτην ἐπιβολήν. ἐκλύει γὰρ ἅπαντα τὰ χλιαρὰ τὸν τόνον τῆς γαστρός. οἶσθα δὲ καὶ ὡς ἐπ' ἀγγείου διπλοῦ προϋποβεβλημένου κατὰ τὸ ἕτερον αὐτῶν τὸ μεῖζον ὕδατος ζέοντος, ἔθος ἡμῖν ἐστι θερμαίνειν τὰ μύρα. διαφθείρεται γὰρ ἡ δύναμις αὐτῶν ἑτέρως θερμανθέντων. ἐπὶ δὲ ὑγιαινούσης τῆς γαστρὸς, ἄμεινον χρῆσθαι μηλίνῳ καλλίστῳ τε καὶ προσφάτῳ, τὸν αὐτὸν τρόπον τῇ νάρδῳ. χρηστὸν δ' εἰς τὰ τοιαῦτα σύμπαντα, καὶ τὸ μαστίχινον. οὐχ ἥκιστα δὲ καὶ τὰ τῆς τρυφῆς ἕνεκα τῶν διατεθρυμμένων γυναικῶν σκευαζόμενα μύρα ταυτὶ τὰ πολυτελῆ, χρήσιμα πρὸς τὰς τοιαύτας διαθέσεις τῆς γαστρός. ἅπερ ἔοικεν ὑπὸ τῆς ἐν Ῥώμῃ τρυφῆς εὑρεθέντα, καὶ τὰς προσηγορίας ἔχειν ῥωμαϊκάς. ὀνομάζεταί γέ τοι σπικάτα γε καὶ φουλιάτα. μὴ φερόντων δὲ τῶν καμνόντων τὴν ὀσμὴν, ἤτοι δι' ἔθους, ἢ τρυφῆς, ἐγχωρεῖ διὰ κηρωτῆς ἀνύειν ταυτόν. ἔστι δ' εἰς τὰ τοιαῦτα καλλίστη κηροῦ τυρρηνικοῦ τηχθέντος ἐν μύρῳ ναρδίνῳ, ψυχθείσῃ τῇ κηρωτῇ, μιχθείσης λείας ἀκριβῶς, ἀλόης τε καὶ μαστίχης. ἑκάστου δὲ αὐτῶν τὸ πλῆθος εἶναι χρὴ τοσόνδε. κηροῦ μὲν καὶ νάρδου, τὸ ἴσον. ἀλόης δὲ, τὸ ὄγδοον. ὥσπερ οὖν καὶ τῆς μαστίχης. ἢ εἰ βούλει, βραχύ τι ταύτης πλέον. εἰ δὲ καὶ τῶν εἰρημένων τι μύρων τῶν πολυτελῶν ἀναμίξαις τῇ κηρωτῇ, βέλτιον ἔσται σοι τὸ φάρμακον. ἐγκαιομένης δὲ τῆς γαστρὸς ὡς καὶ φλεγμονώδη διάθεσιν ἐν αὐτῇ συνίστασθαι δοκεῖν, ἀμείνων ἡ κηρωτὴ ἡ διὰ τοῦ μηλίνου γιγνομένη. πολλὰ δὲ καὶ ἄλλα φάρμακα, τὰ μὲν δι' οἰνάνθης ἐστὶ τὰ δὲ, δι' ὑποκυστίδος, καὶ βαλαυστίου, καὶ φοινίκων σαρκὸς, ἐπιτήδεια καὶ ψύχειν τὴν γαστέρα, καὶ ῥώμην ἐντιθέναι. τούτων οὖν ἐκλέγου τὸ κάλλιστον εἰς τὰ παρόντα, πρὸς τοὺς εἰρημένους σκοποὺς ἀποβλέπων. τρέφειν δὲ τοῖς δε χρή. ῥεούσης μὲν ἔτι τῆς γαστρὸς, ἀλφίτοις τε καὶ τοῖς καλουμένοις ὀξυλιπέσιν ἄρτοις ὀλίγιστον ὄξους ἔχουσιν, οὐχ ὡς ἐπὶ δυσεντερίας, ἢ χρονίας διαρροίας εἰώθαμεν σκευάζειν. ἐπιπάττειν δὲ τὸ ἄλφιτον, ἐνίοτε μὲν ὕδατι θερμῷ διαψιλές. ἐνίοτε δ' ὅταν ἡ γαστὴρ ἔτι ἐκκρίνει πλέον τοῦ δέοντος, ἤτοι ῥοιᾶς, ἢ ἀπίων, ἢ μήλων χυλῷ. καὶ μάλιστα τῶν κυδωνίων. εἰ δ' ἥδιον τοῖς κάμνουσι καὶ ἀφέψημά τι παρασκευάζοντας ἀπίων ἢ μήλων ἢ μύρτων, ἐπιπάττειν αὐτοῖς τὸ ἄλφιτον. εἰ δὲ μηκέτ' ἐκκρίνει ἡ γαστὴρ, ὅ τε χόνδρος ἱκανῶς ὁμοίως ἡρτυμένος τισάνῃ, τουτέστιν ὄξος ἔχων, τό τε δι' αὐτοῦ ῥόφημα χωρὶς ὄξους οἵ τε ὄρχεις τῶν ἀλεκτρυόνων, καὶ οἱ πετραῖοι τῶν ἰχθύων ἐκ τοῦ λευκοῦ ζωμοῦ. καί τις τῶν στυφουσῶν ὀπωρῶν καὶ μόνη, καὶ μετ' ἄρτου. ταύτας δὲ πολὺ μᾶλλον ἐπιδιδώσεις, ἔτι ῥεούσης τῆς γαστρός. εἰ δ' ἀνορέκτως ἔχοιεν ὡς ἀπεστράφθαι τὰ σιτία, γίνεται γὰρ καὶ τοῦτο πολλοῖς τῶν ἁλόντων διαρροίαις ἐπ' ἀπεψίᾳ, τοῦ διὰ τῶν κυδωνίων μήλων χυμοῦ προσδοτέον αὐτοῖς ὅσον κοχλιάριον ἐν ἢ δύο. εἰ δὲ μὴ παρείη τοῦτο, τοῦ διὰ τῆς σαρκὸς αὐτῶν. εἴρηται δ' ἡ σύνθεσις τῶν τοιούτων φαρμάκων ἐν τοῖς ὑγιεινοῖς. οὕτω μὲν ἐν τῇ πρώτῃ παρακμῇ τοὺς ἐπ' ἀπεψίᾳ πυρέξαντας ἰᾶσθαι προσήκει, τῆς γαστρὸς ἐκκρινούσης. εἰ δ' ἐπέχοιτο τελέως, ἁψάμενος πρότερον τῶν ὑποχονδρίων, εἶθ' ὅλης τῆς γαστρὸς, ἐπίσκεψαι σαφῶς εἰ ὑπελήλυθεν εἰς τὸ λεπτὸν ἔντερον, ἢ εἰς τὸ κῶλον ἡ τροφή. κἄπειτ' ἐρώτησον ἑξῆς τὸν κάμνοντα κατά τι μὲν αἰσθάνεται μάλιστα μέρος ἤτοι δήξεως, ἢ βάρους. ὁποῖαι δὲ τινές αἱ ἐρυγαί. διαγνοὺς δ' ἐκ τούτων, ἐν ᾧ μάλιστα μέρει τῆς συμπάσης γαστρὸς ἐστὶν ἡ τροφὴ, μετεώρου μὲν οὔσης ἔτι, τοῦ διὰ τῶν τριῶν πεπέρεων διδόναι, μὴ τοῦ φαρμακώδους, ἀλλ' ὅπερ ἐπηνέσαμεν ἐν τοῖς ὑγιεινοῖς, ὡς ἀπλυστατόν τε καὶ τοῖς ἠπεπτηκόσιν ἐπιτήδειον. εἶθ' ἑξῆς αἰονᾶν ὑποχόνδριά τε καὶ σύμπασαν τὴν γαστέρα. τοῦτο δὲ κἂν ἤδη κατωτέρω προήκῃ τὰ διεφθαρμένα, τῷ μᾶλλόν τε καὶ ἧττον διαλλάττοντα, πλείονος γὰρ δεῖται καὶ χρόνου καὶ καταντλήσεως εἰς τὴν παρασκευὴν τῶν ἐφεξῆς πρακτέων, οἷς ἔτι μετέωρος ἐστὶν ἡ διεφθαρμένη τροφὴ κατὰ τὴν γαστέρα. κινηθείσης δ' αὐτῆς ἀξιολόγως ἐπὶ τὰ κάτω, συμπράττειν ἤτοι διὰ τῶν προσθετῶν, ἢ διὰ κλυσμάτων πραέων. εἰ μὲν δῆξις συνείη, ταύτην πραΰνοντας. εἰ δ' ἐμπνευμάτωσις, ἐκείνην καθιστάντας. εἰ δὲ μηδέτερον, ἐκ μέλιτος καὶ ὕδατος ἐλαίου τε βραχέος συντιθεμένου τοῦ κλύσματος. ἔνθα δὲ εἴη σφοδροτέρα δῆξις, ἔλαιον σαβῖνον ἐπιτηδειότερον ἐνιέναι τηχθέντος στέατος ἐν αὐτῷ χηνός. εἰ δὲ μὴ παρείη τοῦτο, τοῦ τῆς ἀλεκτορίδος. εἰ δὲ μηδὲ τοῦτο, τοῦ τῆς αἰγός. ἀπορουντος δὲ καὶ τοῦδε, κηροῦ βραχύ τι προσεπεμβάλλειν τῷ ἐλαίῳ, καὶ μᾶλλον εἰ πεπλυμένος εἴη. τὰς δὲ ἐμπνευματώσεις ἰᾶσθαι συνέψοντας τῷ ἐλαίῳ πηγάνου τέ τι καὶ τῶν ἀφύσων σπερμάτων, σελίνου, καὶ κυμίνου, καὶ μαράθρου, καὶ σίνωνος. ὅσα τε ἄλλα τοιαῦτα. κενωθείσης δὲ τῆς γαστρὸς, αὐτίκα τρέφειν. τὰ μὲν ἄλλα, παραπλησίως τοῖς ἔμπροσθεν εἰρημένοις. ἀφαιρεῖν δὲ τὰ στύφοντα. εἰ μὲν οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν εἰς ἑσπέραν πραχθείη ταῦτα, ἢ νυκτὸς ὥρας ἑστιᾶσθαι, προνοεῖσθαι χρὴ κατὰ τὰ παραπλήσια καὶ τῇ δευτέρᾳ τῶν ἡμερῶν. καὶ λούεσθαί γ' ἐν αὐτῇ συγχωρεῖν, ἐὰν ἀκριβῶς ἀπύρετος ᾖ. κἄπειτα διὰ τῆς ἐπιούσης νυκτὸς ἀλύπως ὑπνώσῃ, τελέως ἤδη νομίζειν ὑγιαίνειν αὐτόν. εἰ δ' ἡ μετὰ τὴν ἀπεψίαν ἡμέρα μετὰ τῆς ἐπιούσης νυκτὸς ἐνέγκοι τὸν πυρετὸν, ὡς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, προνοηθῆναί τε καὶ τραφῆναι τὸν ἄνθρωπον ἐνέγκοι δέ τι εἰ καὶ ἡ διὰ τρίτης νὺξ βραχὺ πυρετώδους, οὐδ' οὕτως

χρὴ δεδιέναι, ἀλλὰ καὶ τούτους ἐπὶ τῆς ἐρχομένης ἡμέρας, καὶ λούειν, καὶ τρέφειν, ἅπαντά τε τἄλλα ποιεῖν ἀνάλογον ἐπ' αὐτῶν, ὡς ἔμπροσθεν διῄρηται. τὰς δ' εἰς ὀξεῖαν ποιότητα μεταβολὰς τῆς ἀπεπτηθείσης τροφῆς, οὔτε γιγνομένας ἔστιν ἰδεῖν ἐν ταῖς τοιαύταις φύσεσιν, ὅτι μὴ σπανίως ἐπὶ τροφαῖς ἑτοίμως ὀξυνομέναις, οὔτε πυρετὸν ἀνάψασας ἐφήμερον, ὥσπερ οὐδὲ τὰς βραδυπεψίας. ὡς εἴγε ποτὲ διὰ τοιαύτην ἀπεψίαν πυρέξειαν αἱ πικρόχολοι κράσεις, ἔμφραξίν τε καὶ σῆψιν χυμῶν ὑποπτεύειν προσήκει, περὶ ἧς ἀκριβέστερον ἐξῆς διοριοῦμεν κατὰ τὸν περὶ σήψεων λόγον. νυνὶ δὲ τῇ τῶν ἐφημέρων πυρετῶν διδασκαλίᾳ τοσοῦτον ἐπιπροσθεὶς, ἀπαλλάξομαι. καπνώδης ἀναθυμίασις οὐκ ἄν ποτε γένοιτο διὰ βραδυπεψίαν, ἢ ἀπεψίαν ὀξυρεγμιώδη. ψυχροὶ γὰρ ἀτμοὶ ἐκ τῶν τοιούτων χυμῶν ἀπορρέουσιν ὀλίγιστοι παντάπασιν. οὐκ ἀναθυμιάσεις πολλαὶ καπνώδεις τε καὶ λιγνυώδεις. οὐδὲ γὰρ οὐδ' ἐπὶ τῶν ἐκτὸς ἑτέρως ἔστιν ἰδεῖν καπνὸν ἢ λιγνὺν, ἀλλὰ καπνὸν μὲν ἐπὶ ταῖς ἡμικαύστοις, ὡς ἂν εἴποι τις, ὕλαις. λιγνὺν δὲ, ἐπὶ ταῖς ὑπεροπτηθείσαις τε καὶ καυθείσαις. ἔστι γὰρ ἡ μὲν λιγνὺς, ἀναθυμίασις γεώδης. ὁ δὲ καπνὸς, συμμιγὴς ἐξ ὑδατώδους τε καὶ γεώδους οὐσίας, οὐ μὴν οὐδ' ὅπως χρὴ προνοεῖσθαι τῶν βραδυπεπτησόντων ἢ ὀξῶδες ἐρυγγανόντων ἀκούειν χρὴ ποθεῖν ἐν τῷδε. τῆς γὰρ ὑγιεινῆς πραγματείας ἐστὶν ὁ περὶ τούτων λόγος. ἐνταῦθα δὲ μόνον τῶν τοιούτων ἀπεψιῶν μνημονεύομεν, αἷς πυρετὸς ἕπεται. ἐπεὶ τοίνυν ἐφήμερος μὲν οὐχ ἕπεται πυρετὸς ταῖς ὀξυρεγμιώδεσιν ἀπεψίαις, ὁ δὲ ἐπὶ σήψει χυμῶν ἕπεταί ποτε, δεόντως εἰς τὸν ὑπὲρ ἐκείνων λόγον ἀνεβαλλόμην περὶ τῶν τοιούτων ἀπεψιῶν ἐρεῖν. οὐδὲ τό γε καθ' ὃν ἐν τοῖς ὑγιεινοῖς τρόπον. ἐν ἐκείνοις μὲν γὰρ εἴπομεν ὁποῖάττα χρὴ πρᾶξαι τὸν ἀπεπτήσαντα περὶ τὸν τῆς ὑγείας καιρόν. ἐνταῦθα δὲ, ὁποῖα κατὰ τοὺς ταῖς ἀπεψίαις ἀκολουθήσαντας πυρετοὺς, σχεδὸν εἴρηταί μοι πάντα περὶ τῶν ἐφημέρων πυρετῶν. οἱ γὰρ ἐπὶ βουβῶσι πυρέξαντες, οὐδὲ πυνθάνονται τῶν ἰατρῶν, ὅ,τι χρὴ ποιεῖν. ἀλλὰ τοῦθ' ἕλκους ἐφ' ᾧ περ ἂν ὁ βουβὼν αὐτοῖς ᾖ γεγενημένος, αὐτοί τε τοῦ βουβῶνος προνοησάμενοι, λύονται κατὰ τὴν παρακμὴν τοῦ γενομένου παροξυσμοῦ. κἂν φθέγξηταί τις τηνικαῦτα διάτριτον, ἅπαντες καταγελῶσι καὶ κολαστικὸν ἀποκαλοῦσι. καταγνοῦντες οἶμαι φύσει μὴ δεῖν ὑπερβάλλειν τὸ μηδόλως ἐσόμενον. ἀξιοῦσί τε τοιούτους εἶναι τοὺς ἰατροὺς ἐν ἅπασι τοῖς ἄλλοις ὅσα διαφεύγει τὰς αἰσθήσεις, οἷοί περ αὐτοὶ περὶ τὰ φαινόμενα. τὸ δ' ἐν ἅπασιν εἶναι τοιούτους, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ γινώσκειν ὁπηνίκα μὲν ἔσοιτο διὰ τρίτης ὁ παροξυσμὸς, ὁπηνίκα δ' οὐκ ἔσοιτο. καὶ μέν γε καὶ ψυχθέντες ἢ ἐγκαυθέντες ἢ κοπιάσαντες, ἤ τι τοιοῦτον ἕτερον παθόντες, ἐπειδὰν πυρέξαντες τύχωσιν, εἶτα τῆς ἐν ταῖς παρακμαῖς εὐφορίας αἴσθησιν ἔχωσιν ὑγιεινῆς, οὐδὲ τότ' ἀνέχονται τῶν τὴν διάτριτον φθεγγομένων. ὃ γὰρ εἴωθα λέγειν πολλάκις ὡς ἅπαντος σοφιστοῦ, τῶν ἰδιωτῶν ἕκαστος ὃς ἂν ἔχῃ κατὰ φύσιν ἀληθέστερα δοξάζει, τούτου κἀπὶ τῆς θειοτάτης αὐτῶν διατρίτου θεάσασθαί σοι πάρεστι καταγελωμένης ὑπὸ πάντων τῶν κατὰ φύσιν ἐχόντων. ἔναγχος γοῦν τις ἰδιώτης ἐν δείπνῳ πολυτελεῖ πλείω προσενεγκάμενος καὶ πιὼν, ἧκε μὲν οἴκαδε, σφαλλόμενός τε καὶ χειραγωγούμενος. ἐπιπολασάντων δὲ αὐτῷ τῶν βαρυνόντων τὴν γαστέρα, πάντ' ἐξεμέσας αὐτὰ, διὰ νυκτὸς μὲν ἐπύρεξεν. ἐκοιμήθη δ' ἐπὶ πολὺ τῆς ἐπιούσης ἡμέρας. εἶτα διαναστὰς καὶ βραχέα περιπατήσας, ἐλούσατο καταγελάσας τοῦ τὴν διάτριτον αὐτῷ ἀναμένειν συμβουλεύσαντος. ὅσον μὲν γὰρ ἐπ' ἐκείνῳ, καὶ τὴν ἑξῆς ἡμέραν ἀσιτεῖν ἐχρῆν αὐτόν. ὅσον δ' ἐπὶ τοῖς ἀληθέσι καὶ οἷς αὐτὸς ἔπραξε λουσάμενος, καὶ μετρίως διαιτηθεὶς καὶ κοιμηθεὶς, ἀμέμπτως ἕωθεν ἀναστάντα τῶν συνήθων ἔχεσθαι ἐν αὐτῇ τῇ διατρίτῳ, καθ' ἣν ἀσιτεῖν αὐτὸν ἐχρῆν, πυθόμενον τοῖς διατριταρίοις ἰατροῖς, οὕτω γὰρ αὐτούς τις ἐπισκώπτων ὠνόμαζε χαριέντως, καὶ δεδειπνηκότος δὲ ἤδη κατὰ τὸ σύνηθες τοῦ ἀνθρώπου, παρὼν ὁ εὐτράπελος ἐκεῖνος, ἐγελωτοποίει, ἀναμιμνήσκων τὸν ἐμεμηκότα τρίτης ἑσπέρας, ὡς ἐχρῆν αὐτὸν ἄρτι δυοῖν ἡμερῶν ἄσιτόν τε καὶ ξηρὸν καὶ ἄσης μεστὸν κατακεῖσθαι, εἰς τὰς ὥρας ἀποβλέποντα κατὰ τὴν τῶν διατριταρίων πρόσταξιν. ἔστι γὰρ οἶμαι καὶ τοῖς ἰδιώταις εὔδηλα τὰ περὶ τὴν ἐνάργειαν ἀποτετολμημένα. κἀκ τούτου δεόντως ἰατροὺς μὲν ἑτέρους εἶναί φασι. λογιατροὺς δ' ἑτέρους. πῶς γὰρ οὐ δίκαιοι τούτου τοῦ προσρήματος εἰσὶ τυγχάνειν οἱ μὴ γινώσκοντες ἃ μηδεὶς ἰδιώτης ἀγνοεῖ. πῶς δ' οὐ καταγελᾶσθαι καὶ σκώπτεσθαι δικαιότατοί τυγχάνουσιν ὄντες, οἱ πρὸς τῷ τὰ τοιαῦτα ἀγνοεῖν, Ἱπποκράτει ἑαυτοὺς προκρίνοντες. ἀλλὰ τὴν μὲν ἐκείνων ἀναισθησίαν, οὐδ' ἂν ὁ Ἑρμῆς ἅμα ταῖς μούσαις ἰάσαιτο. συντετελεσμένου δὲ ἡμῖν τοῦ περὶ τῶν ἐφημέρων πυρετῶν λόγου κατὰ τὰς πικροχόλους φύσεις, ἐφ' ὧν τὸ μὲν θερμὸν στοιχεῖον, τοῦ ψυχροῦ, τὸ δὲ ξηρὸν, τοῦ ὑγροῦ πλεονεκτεῖ, μεταβαίνωμεν ἤδη πρὸς ἑτέραν κρᾶσιν τῶν σωμάτων, οὐδὲν ἧττον τῆσδε κακόχυμον. ἐν ᾗ τὸ μὲν θερμὸν, τοῦ ψυχροῦ. τὸ δ' ὑγρὸν, τοῦ ξηροῦ κρατεῖ. σηπεδονώδεσι γάρ τοι νοσήμασιν ἡ φύσις αὕτη ἁπασῶν μάλιστα τῶν δυσκρασιῶν ἁλίσκεται. διότι καὶ καθ' ὃν ὑγιαίνει χρόνον, ἐγγὺς σηπεδόνος ἐστίν. ὡς ἔκ τε τῶν ἱδρώτων ἔνεστι τεκμαίρεσθαι δυσωδῶν ὑπαρχόντων, οὐχ ἥκιστα δὲ καὶ τῶν οὔρων καὶ τῶν διαχωρημάτων, ἔτι τε καὶ τῆς ἐκπνοῆς. οἵα γὰρ ἡ τῶν τράγων κρᾶσίς ἐστι, τοιαύτη καὶ ἡ τῶν τοιῶνδε φύσεων. ἕτοιμον οὖν αὐτὴν νοσεῖν ἐξ αἰτίου παντὸς, ἄλλα τε νοσήματα πολλὰ, καὶ πυρετούς. οὔτε γὰρ ὁπόταν στεγνωθῇ τὸ δέρμα, δυνατὸν τοῖς οὕτω κεκραμμένοις μὴ πυρέττειν, οὔθ' ὅταν ἀπεπτῶσιν ἰσχυρῶς, ἢ ἐγκαυθῶσιν, ἤ τι τοιοῦτον ἕτερον πάθωσιν. αἱ μὲν οὖν στεγνώσεις, μάλιστα τῶν κακοχύμων ἅπτονται φύσεων. ὥστε οὐδὲν ἧττον αἱ πικρόχολοι κράσεις τῶν σηπεδονωδῶν ἁλώσονται πυρετοῖς ἐπὶ στεγνώσει. ὑπὸ δὲ τῶν κνισσωδῶν ἀπεψιῶν, ἑτοιμότερον αἱ ὑγραὶ καὶ θερμαὶ βλάπτονται φύσεις. ἃς ἀρτίως ὠνόμασα σηπεδονώδεις. ἐπειδὴ ῥᾷστα σήπονται κατὰ ταύτας οἱ χυμοί. περὶ δὲ τῶν ἐμφράξεων, τί δεῖ καὶ λέγειν, ἃς διὰ τοῦτο μάλιστα πυρετοὺς ἀνάπτειν ἔφαμεν, ὅτι σήψεις ἐργάζονται κατὰ τὰ μὴ διαπνεόμενα σώματα. ἀλλὰ περὶ μὲν τῶν τοιούτων πυρετῶν, αὖθις ἐροῦμεν. οἱ δ' ἐφήμεροι πάντες, ἑτοιμότατα μὲν ἐν ταῖς εἰρημέναις συνίστανται κράσεσιν, ἐπὶ πᾶσι τοῖς αἰτίοις, ὅσα μικρὸν ἔμπροσθεν εἴπομεν ἐπὶ τῶν πικροχόλων φύσεων. ἴασιν δὲ παραπλησίαν αὖθις ἔχοντες, ἐν ὀλίγοις πάνυ διαλλάττουσιν. ὑγρότεραι γὰρ αἱ φύσεις ὑπάρχουσαι, φέρουσιν ἐκείνων μᾶλλον ἀσιτίαν τε καὶ δίψος. ὥσθ' ἧττον οὗτοι βλάπτονται λιμαγχούμενοι πρὸς τῶν διατριταρίων ἰατρῶν, ἐὰν μόνον ἀκωλύτως διαπνέωνται. διὰ ταῦτα δὲ, καὶ τῶν βαλανείων ὡς μανούντων μὲν τὸ δέρμα,

δέονται

δέονται μᾶλλον, ἢ οὐχ ἧττόν γε τῶν πικροχόλων. ὡς ὑγραινόντων δ' οὐ δέονται. ὅσα δ' ὑπὲρ τῶν τοιούτων φύσεων εἴρηται, ταῦτα κἀπὶ τῶν ἐπικτήτων ἕξεων εἰρῆσθαι χρὴ νομίζειν. ἔνιοι γὰρ ὑπάρχοντες εὔχυμοι φύσει, πικρόχολοι γίγνονται συνελθόντων εἰς ἕνα χρόνον, ἐνίοτε πλειόνων αἰτιῶν ξηραινόντων τε καὶ θερμαινόντων τὸ σῶμα. φέρε γὰρ εἰς χωρίον ἀφῖχθαι τὸν ἄνθρωπον ὥρᾳ θέρους, θερμὸν καὶ ξηρόν. ἔστω δὲ καὶ ἡ ἐν τῷ τότε χρόνῳ κατάστασις θερμὴ καὶ ξηρά. ἐσθίειν τ' αὐτὸν ἐδέσματα θερμὰ καὶ ξηρά. καὶ φροντίζειν, καὶ λυπεῖσθαι, καὶ ἀγρυπνεῖν, καὶ θυμοῦσθαι, καὶ πονεῖν πάμπολλα. δώσω δ' ἂν ὁ αὐτὸς ἄνθρωπος ἀφροδισίοις τε συνεχέσι χρῆσθαι κατ' ἐκεῖνον τὸν καιρόν. ἐν ἡλίῳ τε διατρίβειν τὰ πλείω. καὶ πίνειν φαρμάκων ξηραινόντων τε καὶ θερμαινόντων. ὥσπερ ἔνιοι τῆς θηριακῆς. ἔνιοι δὲ τῆς ἀμβροσίας. ἔνιοι δὲ τῆς ἀθανασίας. ἴσμεν γὰρ δήπου τὰ καλούμενα πρὸς τῶν νεωτέρων ἰατρῶν φάρμακα τοῖς τοιούτοις ὀνόμασιν. ὅστις οὖν ἐν ἅπασι τοῖς εἰρημένοις ἐγένετο θέρους, ἀναγκαῖον αὐτῷ θερμὸν καὶ ξηρόν, καὶ διὰ τοῦτο πικρόχολον εἶναι τὸ σῶμα. κἂν ἔμπροσθεν εὐχυμώτατον ἦ. καὶ ῥιγῶσαι καὶ πυρέξαι ῥᾳδίως οὗτος ὑπὸ πᾶσι τοῖς ἔμπροσθεν εἰρημένοις αἰτίοις. οὕτω δὲ καὶ ὅστις εὔχυμος φύσει, χωρίον εὔκρατον οἰκῶν, εἰς ἕτερον χωρίον ὑγρὸν καὶ θερμὸν ἐν ἦρι μετέλθοι, καταστάσεως οὔσης θερμῆς καὶ ὑγρᾶς, ἅπαντά τε τὰ διαιτήματα θερμὰ καὶ ὑγρὰ ποιήσαιτο, καὶ οὗτος ὁμοίως τῷ φύσει σηπεδονώδει, τοῖς τ' ἄλλοις ἁλώσεται νοσήμασιν, οἷσπερ κἀκεῖνοι. καὶ πυρέξει, τούς τ' ἄλλους πυρετοὺς ὁμοίως ἐκείνοις ὑπὸ τοῖς αὐτοῖς αἰτίοις, οὐχ ἥκιστα δὲ καὶ τὸν ἐφήμερον, ὑπὲρ οὗ νῦν ὁ λόγος. ὀκτὼ δ' οὐσῶν τῶν πασῶν δυσκρασιῶν, ὡς ἐνδείκνυμεν, ἑτοιμοτάτη μὲν εἰς πυρετοὺς, ἡ θερμὴ καὶ ξηρά. καὶ ἣν μή τις αὐτὴν ὡς εἴρηται διαιτήσῃ, τάχιστα μεταπίπτουσιν ἀπ' αὐτῶν εἰς τοὺς ὀξεῖς πυρετοὺς οἱ ἐφήμεροι. ἐγγὺς δ' αὐτῇ, πυρετῶν γ' ἕνεκα, καίτοι πρὸς ἄλλα γε ὑπάρχουσα χείρων, ἡ θερμὴ καὶ ὑγρά. τρίτη δ' ἐπὶ ταύταις ἐστὶν, ἡ ἁπλῆ δυσκρασία, καθ' ἣν ἡ μὲν ἑτέρα τῶν ἀντιθέσεων ἡ κατὰ τὸ ξηρὸν καὶ ὑγρὸν, ἄμεμπτος. ἐν δὲ τῇ λοιπῇ πλεονεκτεῖ τὸ θερμόν. ἑτοιμοτέρα μὲν ἡ δὲ τῶν ὑπολοίπων, καὶ βλάπτεσθαι πρὸς ἁπάντων τῶν εἰρημένων αἰτιῶν, καὶ μεταπίπτειν ἐκ τῶν ἐφημέρων εἰς τοὺς πολυημέρους. οὐδὲν γὰρ χεῖρον οὕτως αὐτοὺς ὀνομάσαι. ταύτῃ δ' ἐφεξῆς ἐστὶν, ἡ κατὰ μὲν τὸ θερμὸν καὶ ψυχρὸν εὔκρατος, ἐπικρατοῦν δὲ τὸ ξηρὸν στοιχεῖον ἔχουσα τοῦ ὑγροῦ. μεθ' ἣν ἡ μέση πασῶν ἡ εὔκρατος ἐστὶ κατ' ἀμφοτέρας τὰς ἀντιθέσεις. αἱ δ' ὑπόλοιποι κράσεις αἱ τέτταρες, οὔτε ῥᾳδίως ἁλίσκονται πυρετοῖς ὑπὸ τοῖς εἰρημένοις αἰτίοις, οὔθ' ἁλοῦσαι τινὶ τῶν ἐφημέρων ἐὰν ἀσιτήσωσι, μεταπίπτουσιν εἰς τοὺς πολυημέρους. ἀλλ' ἔνιαί γε αὐτῶν ἐπειδὰν τύχωσι πλῆθος ἠθροικυῖαι χυμῶν ἄνευ διαφθορᾶς, ἀθροίζουσι δ' αἱ τοιαῦται συνεχῶς, ὑπὸ ἀσιτίας ὀνίνανται. μάλιστα μὲν ἡ ὑγρὰ, καὶ ψυχρά. δευτέρα δ', ἡ ὑγρά. καὶ τρίτη μετὰ ταύτης, ἡ ψυχρά. τετάρτη δ' ἡ ξηρὰ καὶ ψυχρά. ὑπὸ γὰρ τοῖς ἐφημέροις πυρετοῖς παυσαμένοις, ὅταν ἀναγκασθῇ τις οὐδὲν δέον ὑπερβάλλειν τὴν δαιμονιωτάτην διάτριτον, ἕτερος μὲν οὐκ ἂν ἐκ τῆς ἀσιτίας ἀναφθείη πυρετὸς ἐν ψυχραῖς κράσεσι. κακοῦται δ' ἡ ξηρὰ καὶ ψυχρὰ μάλιστα ἕξις, ὥστε πολλοῦ χρόνου χρήζειν ἵν' εἰς τὸ κατὰ φύσιν ἐπανέλθωσιν οἱ οὕτω δύσκρατοι. σωζούσης μέν τοι τινὸς αὐτοῖς κατὰ τύχην ἐπικτήτου κακίας χυμῶν, ἐγχωρεῖ μεταπεσεῖν ἐκ τῶν ἐφημέρων πυρετῶν εἰς τοὺς πολυημέρους, ὅταν ἄσιτοι καὶ ἄλουτοι φυλαχθῶσι τὰς τρεῖς ἡμέρας. ἡ μέν τοι ξηρὰ μὲν ἀλλ' εὔκρατος κατὰ τὴν ἑτέραν ἀντίθεσιν φύσιν σώματος, ἐν ταῖς μακροτέραις ἀσιτίαις, ἰσχνοῦται μὲν τῆς ξηρᾶς τὸ ψυχρᾶς μᾶλλον, ἀναθρέφεται δὲ ῥᾷον ὑπὸ τῆς προσηκούσης διαίτης. ἐξαλλαχθήσεται δὲ καὶ τοῖς τοιούτοις ἅπασιν ἡ δίαιτα πολὺ δή τι πλέον, ἢ τοῖς πρώτοις ἁπάντων ῥηθεῖσι τῷ θερμῷ καὶ ξηρῷ, καὶ τῷ θερμῷ καὶ ὑγρῷ. τὸν γοῦν ὑγρὸν καὶ ψυχρὸν φύσει, τῷ θερμῷ καὶ ξηρῷ κατ' ἀμφοτέρας τὰς δυσκρασίας ἐναντίως διακείμενον, ἐναντίως διαιτήσομεν. ἄμεινον δ' οὐχ ἁπλῶς ἐναντίως εἰπεῖν, ἀλλὰ κατὰ τὴν ἐκ τῆς κράσεως μόνης ἔνδειξιν, ὡς τήν γ' ἐκ τοῦ πεπυρεχέναι τὸν αὐτὸν πυρετὸν, οὐχ ἑτέραν, ἀλλὰ τὴν αὐτὴν ἔχουσιν ἔνδειξιν πάντη. λέλεκται γὰρ ἤδη πολλάκις ὡς τὸ μὲν κατὰ φύσιν, ἀεὶ χρήζει τῶν ὁμοίων. τὸ δὲ παρὰ φύσιν, τῶν ἐναντίων. εἴγε τὸ μὲν, φυλάττεσθαι σκοπὸς, τὸ δ' ἀναιρεῖσθαι. πυρετὸς μὲν οὖν ἅπας, τῶν παρὰ φύσιν ἐστί. καὶ διὰ τοῦτο χρήζει διαίτης ὑγρᾶς καὶ ψυχρᾶς. αἱ κράσεις δὲ, ποτὲ μὲν τῶν ὁμοίων, ἔστι δ' ὅτε τῶν ἐναντίων χρήζουσιν. αἱ μὲν γὰρ ἄμεμπτοι, τῶν ὁμοίων ἀεί. φυλάττειν γὰρ αὐτὰς προσήκει. αἱ δύσκρατοι δ' ὡς κἀν τοῖς ὑγιεινοῖς ἐλέχθη, ποτὲ μὲν τῶν ὁμοίων, ἔστι δ' ὅτε τῶν ἐναντίων. καὶ τοῦτ' εὐλόγως πεπόνθασιν. οὔτε γὰρ ἀκριβῶς κατὰ φύσιν ὑπάρχουσι, πῶς γὰρ ἂν ἦσαν μεμπτοί; οὔτε πάντη παρὰ φύσιν ἔχουσι, διὰ παντὸς γὰρ ἂν ἐνόσουν οἱ οὕτως κεκραμένοι. τῶν μὲν οὖν ὁμοίων δέονται κατ' ἄλλα τέ τινα περὶ ὧν αὖθις εἰρήσεται, καὶ μέν τοι καὶ † κατὰ τὰ ἕλκη πάντα. δέδεικται γὰρ ἤδη τοῦτο πολλάκις, διὰ τῶν ἔμπροσθεν. τῶν ἐναντίων δὲ κατὰ τὴν ὑγιεινὴν δίαιταν, ὡς ἐν τοῖς ὑγιεινοῖς ἐπεδείκνυμεν. οὐδὲ τούτων διαπαντὸς, ἀλλ' ὅτ' ἂν ἐπανορθοῦσθαι τὴν δυσκρασίαν αὐτῶν ἐθελήσωμεν. ἔστω γὰρ ἡμῖν σκοπὸν διττὸν ἐπὶ τῶν ὑγιαινόντων, ἤτοι φυλάττειν ὑγιαῖνον τὸ σῶμα κατὰ τὴν ἀρχαίαν κρᾶσιν, ἢ καὶ ταύτην αὐτὴν βελτίω ποιεῖν. οὕτως οὖν οἶμαι κἀν τῷ διαιτᾶν τοὺς τὸν ἐφήμερον πυρέξαντας, ἤτοι τῇ πυρετώδει διαθέσει μόνῃ τὸ ἐναντίον, ἢ καὶ τῇ τοῦ κάμνοντος δυσκρασίᾳ, παραλήψομαι. κατὰ μὲν τοίνυν τὴν εὔκρατον φύσιν, ἀναμφισβητήτως ἀπὸ τοῦ πυρετοῦ μόνου τὴν τῶν ἐναντίων ἔνδειξιν λαμβάνοντες, ὑγρὰν καὶ ψυχρὰν εἰς τοσοῦτον ποιησόμεθα τὴν δίαιταν, εἰς ὅσον ἂν αὐχμωδέστερόν τε καὶ θερμότερον ἑαυτοῦ φαίνηται τὸ σῶμα γεγονός. ἀλλὰ τοῦτο μὲν εὔδηλόν τε καὶ † ἀζήτητον. ἐπανέλθωμεν δ' αὖθις ἐπὶ τὰς δυσκράτους φύσεις. ἐπειδὴ γὰρ ὡς ἐν τοῖς ὑγιεινοῖς εἴρηται, τὰς διαίτας ἐγχωρεῖ μὲν καὶ φυλάττειν οἵας παρελάβομεν, ἐγχωρεῖ δὲ καὶ μετακοσμεῖν ἐπὶ τὸ βέλτιον, ἄμεινον οἶμαι τὴν ἐξάλλαξιν αὐτῶν τῆς διαίτης, ὅτ' ἂν ἀμέμπτως ὑγιαίνωσιν, οὐχ ὅταν ἤτοι νοσῶσιν, ἢ δυσαρεστῶνται ποιεῖσθαι. χαίρουσι γὰρ αἱ φύσεις ἀεὶ τοῖς ἔθεσιν, ὡς Ἱπποκράτης τε διὰ τῶν ἐναργεστάτων ἀπέδειξεν ἐν τῷ περὶ διαίτης ὀξέων: ἅπασί τε σαφῶς φαίνεται τοῖς κατὰ φύσιν ἔχουσι. τοὺς γάρ τοι δυσαρεστουμένους, ὅτι μὲν ἔξω τοῦ χοροῦ τῶν κατὰ φύσιν ἐχόντων θετέον ἐστὶν, οὐκ ἄν τις νῦν ἔχων ζητήσειεν. εἴτε δ' ἤδη παρὰ φύσιν, εἴτ' οὐ φύσει μόνον ἔχουσι, τοῦτ' ἄν τις σκέψεται. καὶ μὴν εἴπερ ἔνδειξίν τινα χρὴ κἀκ τῶν ἐθῶν λαμβάνειν, εἰ μὲν ἤδη φθάνοιμεν ἐκ πολλοῦ τὰς δυσκράτους φύσεις, ἐναντίον τῇ

†ἢ τὰ ἀλκεμένα

†ἀζήτητον

κρατούσῃ δυσκρασίᾳ διαιτῶντες, οὕτω καὶ δυσαρεστούντων πράξομεν. εἰ δὲ μὴ τῶν ὁμοίων τῇ κράσει τὴν ἔνδει-
ξιν ἕξομεν. οὕτω δέ μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης γινώσκειν, ἐπειδὰν λέγῃ, αἱ ὑγραὶ πᾶσαι δίαιται, τοῖσι πυρε-
ταίνουσι ξυμφέρουσι. μάλιστα δὲ παιδίοισι καὶ τοῖσιν ἄλλοισι, τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι. τοῖς μὲν γὰρ
πυρεταίνουσιν, ὑγραὶ δίαιται, καθόσον πυρεταίνουσιν ἐκ τῆς τῶν ἐναντίων ἐνδείξεως, ὠφέλιμοι. τοῖς δὲ παι-
δίοις, ἐκ τῆς τῶν ὁμοίων. ὡσαύτως δὲ καὶ τὴν ἀπὸ τῶν ἐθῶν ἔνδειξιν ἔλαβεν, ὡς καὶ τὴν ἀπὸ τῆς ἡλικίας. ἥτε γὰρ ἡλι-
κία τῶν κατὰ φύσιν οὖσα, τῶν ὁμοίων ἑαυτῇ δεῖται διαιτημάτων. ἥτε ἐκ τοῦ ἔθους ἔνδειξις, ὥσπερ καὶ ἡ ἐκ τῆς ἡλι-
κίας εἰλήφθη. φυλάττειν γὰρ συμβουλεύει καὶ τοῦτο, καθάπερ καὶ τὴν οἰκείαν τῆς ἡλικίας κρᾶσιν. ὥστε καὶ ἡμᾶς ἀπὸ πάν-
των τῶν περὶ τὸν ἄρρωστον ἀεὶ χρὴ τὴν τοῦ συμφέροντος εὕρεσιν ποιουμένους, ἐπισκοπεῖσθαι πηνίκα μὲν ἀλλήλαις
αἱ ἐνδείξεις ὅμοιαι πᾶσαι, πηνίκα δ' ἐναντίαι γίνονται. πασῶν μὲν γὰρ ὁμοίων οὐσῶν, ἓν εἶδος ἀκριβὲς διαίτης
συστησόμεθα. μαχομένων δ' ἀλλήλαις, τὰς ἰσχυροτέρας τε καὶ πλείους προκρινοῦμεν. ὥσθ' ἡμῖν ἐπικρατεῖσθαι μὲν
ἐκ τούτων τὸ τῆς διαίτης εἶδος. οὐ μὴν προσῶφθαι οὐδὲ τὸ ἐναντίον. ἡ δ' ἐπικράτησις, ἐνίοτε μὲν ἑκατέρων κεραν-
νυμένων εἰς ἑνὸς βοηθήματος ὕλην, ἐνίοτε δ' ἐν μέρει παραλαμβανομένων γίνεται. κοινὸς μὲν οὗτος ὁ λόγος ἁ-
πασῶν τῶν ἐμπεπλεγμένων ἀλλήλων ἐναντίων ἐνδείξεων. ὅπως δ' αὐτὸν χρὴ μεταχειρίζεσθαι, ποτὲ μὲν αὐτῶν
τῶν νοσημάτων ἐπιπλεκομένων, ἔστι δ' ὅτε ἑνὸς μὲν ὑπάρχοντος τούτου, τὴν δὲ ἔνδειξιν ἐναντίαν ποιουμένου τῇ
φυσικῇ κράσει τοῦ κάμνοντος, ἢ τῇ νῦν ἐπικτήτῳ, τῇ θ' ἡλικίᾳ καὶ τῷ ἔθει, καὶ τῷ χωρίῳ καὶ τῇ ὥρᾳ, δι' αὐτῶν
τῶν κατὰ μέρος ἐπιδείξω. νῦν οὖν ἡμῖν προκειμένου κατὰ τὸν λόγον εὑρεῖν ἐπιτήδειον δίαιταν ἑκάστῃ τῶν εἰρημένων
δυσκρασιῶν, ὁ κοινὸς τρόπος τῆς μεθόδου προχειρισθεὶς, ὡς ἐπὶ παραδείγματος ἐξεταζέσθω. φέρε γὰρ ἁλῶναι
πυρετῷ δύο ἀνθρώπους, ἐν εὐκράτῳ μὲν χωρίῳ γεγεννημένους καὶ τεθραμμένους. οὐκ ὄντας δ' ἐν αὐτῷ νῦν. ἀλλ'
ἐν μὲν θερμῷ καὶ ξηρῷ, τὸν ἕτερον. ἐν ὑγρῷ δὲ καὶ ψυχρῷ, τὸν ἕτερον. εἶναι δὲ καὶ τῇ κράσει διαφέροντας αὐτοὺς καὶ τῇ
φύσει καὶ τοῖς ἔθεσι, καὶ ταῖς ἡλικίαις, εἰ δὲ βούλει, καὶ κατὰ διαφερούσας ὥρας καὶ καταστάσεις ἀρρωστεῖν. ὥστε τὸν μὲν
θερμὸν καὶ ξηρὸν, φύσει καὶ τῇ διαίτῃ πάσῃ τοιαύτῃ συνειθίσθαι, καὶ νεανίσκον εἶναι, καὶ χειμῶνος νοσεῖν ἐν ὑγρῷ
καὶ ψυχρῷ χωρίῳ καὶ καταστάσει τοιαύτῃ. τὸν δὲ ὑγρόν τε καὶ ψυχρόν, ἐν ἔθει τε διαίτης ὁμοίῳ, καὶ παῖδα τὴν
ἡλικίαν. καὶ νοσεῖν δὲ θέρους ἐν θερμῷ καὶ ξηρῷ χωρίῳ καὶ καταστάσει τοιαύτῃ. τίνες οὖν ἐν ἑκατέρῳ τούτων αἱ
ἐνδείξεις; ἡ μὲν ἀπὸ τοῦ πυρέττειν ἀμφοτέροις κοινὴ, τῶν ὑγραινόντων τε καὶ ψυχόντων δεομένη. τῶν δ' ἄλλων, οὐ-
κέτ' οὐδὲ μία κοινή. τῷ μὲν γὰρ προτέρῳ, διά τε τὴν φύσιν καὶ τὴν ἡλικίαν ἐν ὁμοίοις τε αὐταῖς διαιτήμασιν
εἰθισμένῳ, ἐπιτήδεια τὰ ξηρότερα καὶ θερμότερα τῇ κράσει σιτία. καὶ μέν τοι καὶ διὰ τὴν ὥραν τε καὶ τὴν κατά-
στασιν καὶ τὸ χωρίον. οὐ γὰρ τῶν ὁμοίων ἐστὶν ἡ ἀπὸ τούτων ἔνδειξις, ἀλλὰ τῶν ἐναντίων. τῷ δ' ἑτέρῳ τῶν ὑποκειμέ-
νων, διὰ μὲν τὴν ἡλικίαν καὶ τὴν φύσιν καὶ τὸ ἔθος, τῶν ὁμοίων αὐτοῖς ὑγρῶν μὲν καὶ συμμέτρως θερμῶν, διὰ τὴν
ἡλικίαν. ὑγρῶν δὲ καὶ ψυχρῶν, διά τε τὴν φύσιν καὶ τὸ ἔθος. διὰ δὲ τὸ χωρίον καὶ τὴν ὥραν καὶ τὴν κατάστασιν,
τῶν ἐναντίων. ἅπερ ἐστὶ δή που καὶ αὐτὰ ψυχρότερα καὶ ὑγρότερα τοσούτῳ τῶν εὐκράτων, ὅσῳ περ ἐστὶ καὶ τὰ χω-
ρία τῶν εὐκράτων θερμότερα καὶ ξηρότερα. παρὰ μὲν γὰρ τῶν ἐθῶν, ἡ ἔνδειξις ἀεὶ τῶν ὁμοίων ἐστὶν, ἄχρις ἂν νοσῶσιν οἱ
ἄνθρωποι. παρὰ δὲ τῶν ἡλικιῶν καὶ φύσεων καὶ χωρῶν, ὡρῶν τε καὶ καταστάσεων, εὐκράτων μὲν οὐσῶν, ἔνδειξις
ἀεὶ τῶν ὁμοίων διαιτημάτων ἐστὶν ἄνθ' ὑγιαίνωσιν, ἄντε νοσῶσι. παρὰ δὲ τῶν δυσκράτων ὡρῶν μὲν καὶ καταστά-
σεων καὶ χωρῶν, ἔνδειξις τῶν ἐναντίων. ἡλικιῶν δὲ καὶ φύσεων οὐχ ἁπλῶς, ἀλλὰ σὺν τῷ ἔθει. σκοπεῖσθαι δ' ἐπὶ τῶν
ἐναντίων ἐνδείξεων οὐδὲν οὕτω προσήκει, ὡς τὸ μέγεθος ἑκάστου τῶν συνεισφερόντων, ὅπερ ἐδείκνυμεν ἐν τοῖς
ὑγιεινοῖς ὑπομνήμασι διττόν. ἕτερον μὲν αὐτοῖς τοῖς τῶν ἐνδεικνυμένων ἀξιώμασι μετρούμενον. ἕτερον δὲ, ταῖς
οἰκείαις αὐτῶν, ὡς ἂν εἴποι τις, οὐσίαις, ἃς ἐκ τοῦ παραβάλλειν τῷ συμμέτρῳ τε καὶ κατὰ φύσιν ἔφαμεν χρῆναι λαμ-
βάνειν. εἰ μὴ γὰρ οὕτω τις ἐξετάσειε τῶν ἐνδείξεων τὰς δυνάμεις, οὐχ οἷόν τε τὸ μέτρον ἐξευρεῖν τῆς διαίτης. ἐνδει-
κνυμένου γὰρ ἀεὶ τοῦ μὲν πυρετοῦ, τὸ ψύχειν καὶ ὑγραίνειν. τῶν δ' ἄλλων ἑκάστου, καθότι προείρηται, συμφωνούσης
μὲν αὐτῶν τῆς ἐνδείξεως, οὐδὲν ἂν εἴη πρᾶγμα. διαφωνούσης δὲ, κατὰ τὰ πλείω καὶ μείζω τυποῦσθαι χρὴ τὴν δίαιταν. ἐπὶ
γοῦν τῶν ὑποτεθέντων ἀρτίως ὅτι μὲν πυρέττουσιν, ἔνδειξις κοινὴ τῶν ὑγραινόντων καὶ ψυχόντων ἐστίν. οὐ μὴν ἀπό γε
τῶν ἄλλων. ἀλλ' ᾧ μὲν ἥ θ' ἡλικία καὶ ἡ κρᾶσις ἅμα τῷ ἔθει, καὶ ἡ χώρα, καὶ ἡ ὥρα, καὶ ἡ κατάστασις τῶν ὑγραινόντων
καὶ ψυχόντων ἔχει τὴν ἔνδειξιν, οὐ μόνον ἀναμφισβήτητόν ἐστι τὸ χρῆναι τοῦτον ὑγραίνειν καὶ ψύχειν, ἀλλὰ καὶ τὸ
μὴ μικρῶς μηδ' ὡς ἔτυχεν. ἰσχυρῶς δὲ πάνυ καὶ μεγάλως, ἁπάντων γε τῶν σκοπῶν ἐνδεικνυμένων ταὐτόν. ᾧ
δ' ἡ τῶν ἄλλων ἁπάντων ἔνδειξις οὐχ ὑγρῶν καὶ ψυχρῶν ὁμοίως τῷ πυρετῷ, τῶν διαιτημάτων ἐστὶν, ἀλλὰ τῶν
ἐναντίων αὐτοῖς τῶν θερμῶν καὶ ξηρῶν, ἀμφισβήτησις γίνεται καὶ μάχη τῶν ἐνδείξεων πρὸς ἀλλήλας, ἡνίκα μά-
λιστά ἐστι χρεία τοῦ παραβάλλειν τόν τε ἀριθμὸν, καὶ τὰ μεγέθη τῶν ἐνδείξεων. ἡ γοῦν ἀπὸ τοῦ πυρέττειν ἔνδειξις, ἀ-
ριθμῷ μὲν λείπεται τῶν ἄλλων, ὅταν ἅπασαι τὸν ἐναντίον ὑφηγῶνται τρόπον πράττειν. ὑπερέχει δὲ μεγέθει τῷ
κατὰ τὴν ἀξίαν ἢ τὴν δύναμιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. καὶ μάλισθ' ὅταν ἐπὶ πολὺ τοῦ κατὰ φύσιν ἐξεστή-
κῃ. δύο γοῦν αὐτῷ τάδ' ὑπάρχει μεγέθη. τό, τ' ἐκ τοῦ γένους τῶν πυρετῶν τὸ κοινὸν ἅπασι, τό, τ' ἴδιον οἰκεῖον αὐτοῦ.
καὶ γοῦν ὅτι πυρετός ἐστιν, ἐπιστρέφει μᾶλλον ἡμᾶς πρὸς ἑαυτὸν, ἁπάντων τῶν ἄλλων. καὶ ὅτι τὸ μέγεθος αὐτῷ τὸ
οἰκεῖον ἀξιόλογον ὑπάρχει, καὶ διὰ τοῦτο κατακρύπτει τε καὶ συσκιάζει τὰς ἐναντίας ἐνδείξεις. εἰ δὲ μικρὸς ὑπάρ-
χει, δύναιντ' ἂν αἱ ἄλλαι πᾶσαι συντεθεῖσαι πρὸς αὐτὸν, ἀντεξετάσεσθαι. κἂν εἴπερ ἴσαι φανεῖεν, οὔθ' ἡ τοῦ πυρετοῦ
κρατήσειεν ἂν ἔνδειξις ὡς ὑγραίνειν καὶ ψύχειν, οὔθ' ἡ τῶν ἄλλων, ὡς θερμαίνειν καὶ ξηραίνειν, ἀλλὰ τὸ μέσον
εἶδος τῆς διαίτης ἐπὶ τῶν οὕτως ἐχόντων σωμάτων ἐκλεξόμεθα. κρατούσης δὲ τῆς ἑτέρας ἐνδείξεως, εἰς τοσοῦ-
τον ἀποχωρήσομεν τῆς εὐκράτου καὶ μέσης τῆς διαίτης, εἰς ὅσον ὑπερέχει τῶν ἐναντίων τὰ κρατοῦντα. γεγυμνα-
σμένον τε οὖν εἰς ταῦτα πάντα καὶ φύσει συνετὸν εἶναι χρὴ τὸν ἰατρόν, ἵν' ἑκάστης ἐνδείξεως ἀκριβῶς ἐκλογιζό-
μενος τὴν δύναμιν, ἀλλήλαις τε παραβάλλων ἁπάσας, ἔν τι κεφάλαιον ἀθροίσῃ τῶν οἰκείων τῷ κάμνοντι
διαιτημάτων.

διαιτημάτων. αἱ μὲν οὖν παρὰ τῶν ἐφημέρων πυρετῶν ἐνδείξεις, ἐκ τούτων τῶν σκοπῶν λαμβάνονται, καὶ σπάνιον εἴποτε παρὰ τοῦ μέτρου τῆς τοῦ κάμνοντος δυνάμεως. αἱ δὲ τῶν πολυημέρων, ἐξ ἀνάγκης μὲν καὶ τὴν δύναμιν προσλαμβάνουσιν. οὐ μικρὸς γὰρ ἐπ' ἐκείνων ὁ παρὰ ταύτης σκοπός. οὐδὲν ἧττον δὲ καὶ τὴν γεννῶσαν αἰτίαν τοὺς πυρετούς, πλὴν τῶν ἑκτικῶν. οὐδὲ μία γὰρ ἀνάπτει τούτους αἰτία, καθάπερ οὐδὲ τὸ δεδεγμένον ἑκτικῶς εἰς ἑαυτὸ σῶμα, τὴν τοῦ πυρὸς θερμασίαν, εἴτε λίθος, εἴτε ξύλον ὑπάρχει. κοινὸν γὰρ αὐτοῖς τὸ μηκέτι γίνεσθαι πρὸς τοὺς ἐφημέρους ἐστί, διαλλάττοντας δὲ ἐν τῷ τοὺς μὲν ἐφημέρους, περὶ χύσιν ἔχειν τὴν θέρμην. τοὺς δ' ἑκτικοὺς ἐν ἕξει δυσλύτῳ. δύναιτο δ' ἄν τις φάναι καὶ τὴν παρὰ τῆς δυνάμεως ἔνδειξιν ἀεὶ παρεῖναι, κατά τε τ' ἄλλα σύμπαντα νοσήματα, καὶ τοὺς ἐφημέρους πυρετούς, ἡμᾶς δ' ἐν τῷ νῦν λόγῳ μηδὲν αὐτῆς δεηθῆναι, διότι πρώτως μὲν οὐκ ἐνδείκνυται, κατὰ συμβεβηκὸς δέ, περὶ οὗ συμβεβηκότος ἐν τοῖς ἑξῆς διοριῶ.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

ΤΩΝ ἐφημέρων πυρετῶν ὦ Εὐγενιανὲ τὴν τῆς θεραπείας μέθοδον ἐν τῷ πρὸ τούτου γράμματι διῆλθον ὀγδόῳ τῆς ὅλης ὄντι πραγματείας. ἔστι δὲ τοῦ γένους τοῦδε τῶν πυρετῶν, εἷς ὁ παροξυσμός, ἡμέρᾳ μιᾷ περιγραφόμενος ὡς τὸ πολὺ κατά γε τὴν ἑαυτοῦ φύσιν. ὅσα γὰρ ἢ διὰ τὴν τῶν ἰατρῶν ἀμαθίαν, ἢ διὰ τὴν τῶν καμνόντων ἀκολασίαν, ἢ διὰ τὴν τῶν ὑπηρετούντων πλημμέλειαν ἁμαρτανόμενα περὶ τοὺς τοιούτους πυρετοὺς εἰς ἕτερόν τι γένος αὐτοὺς μεθίστησιν, οὐ κατὰ τὴν οἰκείαν αὐτῶν ἀποβαίνουσι φύσιν, οὐδὲν γὰρ δή που θαυμαστὸν ἐκ τῶν ἁμαρτανομένων οὐ μηκύνεσθαι μόνον ἢ μεταπίπτειν εἰς ἕτερόν τι γένος ἡντινοῦν τῶν νόσων, ἀλλὰ καὶ γεννᾶσθαι νῦν, ἔμπροσθεν οὐκ οὖσαν. ὅπου γὰρ οὐδὲ τοῖς ὑγιαίνουσιν ἁμαρτάνειν ἀσφαλές, σχολῇ γ' ἀκίνδυνον ἄν ποτε τοῖς κάμνουσι γένοιτο. λοιπῶν δ' ὑπαρχόντων δυοῖν γενῶν, ὡς ἐν τῷ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν ὑπομνήμασιν ἤδη δέδεικται, τὸ μὲν ἕτερον, ἤδη χυμοῖς σηπομένοις ἐδείκνυτο γίνεσθαι. τὸ δ' ἕτερον, αὐτὰ τὰ στερεὰ τοῦ ζώου μόρια κατειληφός, ἑκτικὸν ὀνομάζεται. μεταπίπτουσι δ' εἰς ἑκάτερα γένη πολλάκις οἱ ἐφήμεροι πυρετοί, καθάπερ ἔμπροσθεν ἐδείκνυμεν, εἰ μή τις αὐτοὺς προσηκόντως μεταχειρίζοιτο. ὥσπερ δὲ ἐν τοῖς ἄλλοις ἅπασι πράγμασιν, ὅσα κοινωνεῖ ταῖς φύσεσιν ἑνὶ περιλαμβανόμενα γένει, καὶ διὰ τοῦτ' εἰς ἄλληλα μεταπίπτειν δυνάμενα, τρίτη τις ἰδέα κατὰ τὴν μετάπτωσιν αὐτῶν συνίσταται, μηδετέρου τῶν ἄκρων ἀκριβοῦσα τὸν τύπον, οὕτω κἀν ταῖς τῶν ἐφημέρων πυρετῶν μεταπτώσεσι, φαντασθείη τις ἄν, ἕτερόν τι γένος ἐν τῇ μεταπτώσει συνίστασθαι μηδετέρῳ τῶν ἄκρων ταὐτόν. καί μοι δοκεῖ περὶ τοῦδε πρώτου διοριστέον εἶναι, ἵν' ὥσπερ καὶ τἆλλα, καὶ τοῦτο γνωρίζοιτό τε συνιστάμενον αὐτίκα, καὶ κωλύοιτο κατὰ τὴν πρώτην γένεσιν, ὡς μὴ δὲ δυσίατον ἢ ἀνίατον αὐξηθὲν γενέσθαι. μέσον δ' αὐτὸ συνιστάμενον, οὔτε γνωρίσαι δυνατόν, οὔτε ἰάσασθαι τοῖς ἀγνοοῦσι τὴν ἰδέαν τῶν ἄκρων ὧν ὑπάρχει μέσον. ἀλλὰ σοί γ' ἐπισταμένῳ τά τε τῶν ἐφημέρων πυρετῶν γνωρίσματα, καὶ τὰ τῶν ὑπολοίπων δύο γενῶν, ἐπειδὰν ἤτοι νοθεύηται κατά τι τὰ τῶν ἐφημέρων πυρετῶν γνωρίσματα καὶ τὰ τῶν ὑπολοίπων δυοῖν γενῶν, ἢ παρεμφαίνηται τὰ τῶν ἄλλων, οὐδὲν ἂν εἴη χαλεπὸν ὑποπτεύειν ἤδη τὴν μετάπτωσιν. ἐπ' ἐγκαύσεσι μὲν οὖν, ἢ ἀπεψίαις, ἢ κόποις, ἢ ἀγρυπνίαις, ἢ πάθεσι ψυχικοῖς, ἢ βουβῶσιν, ἢ διά τινα αἰτίαν προφανῆ γεγενημένος, μέχρι τρίτης ἡμέρας οὐκ ἄν ποτε προέλθοι πυρετοῦ παροξυσμός, ἄνευ τοῦ πλημμεληθῆναί τι περὶ τὸν κάμνοντα. Τοῖς δ' ἐπὶ στεγνώσει πυρέξασιν ἐγχωρεῖ καὶ ταύτης ἐξωτέρω προβῆναι τὸν παροξυσμόν. ἐπειδὴ γὰρ ἡ στέγνωσις ἤτοι φραχθέντων, ἢ μυσάντων γίγνεται τῶν πόρων, ἢ καὶ τοῦ σώματος αὐτοῦ πιληθέντος ἀμφοτέρων, εὐλόγως ἔφαμεν ἐπί τε κρύει καὶ λουτροῖς, ἤτοι τῇ θίξει ψύχουσιν, ἢ τῇ δυνάμει, καὶ φαρμάκοις τοῖς τοιούτοις, ἔτι δὲ τοῖς ξηραίνουσι τὸ δέρμα, καθάπερ ἡλίῳ διακαεῖ, καὶ τοῖς πιλοῦσιν, ὡς τῇ σκληρᾷ ῥίψει μετὰ τῶν ψυχόντων, κατέχεσθαι μὲν ἐντὸς τοῦ σώματος τὰς οἷον καπνώδεις, ἢ λιγνυώδεις ἀπορροάς, ἀνάπτεσθαι δ' ἐπ' αὐτοῖς τὸν πυρετόν. ἀλλ' ἐπὶ τούτοις μὲν ὡς εἴρηται, πίλησίν τε τινὰ γίγνεσθαι τῶν σωμάτων αὐτῶν, καὶ μύσιν τῶν πόρων. ἔμφραξιν δέ, διὰ γλίσχρους, ἢ παχεῖς, ἢ πολλοὺς χυμούς. καὶ τοίνυν καὶ τοὺς πυρετοὺς ὅσοι μὲν ἐπὶ μύσει τῶν πόρων ἢ πιλήσει προσφάτῳ τῶν σωμάτων ἐγένοντο, παύεσθαί τε μετὰ τὸν πρῶτον παροξυσμόν, ἐάν τις ὀρθῶς αὐτοῖς προσφέρηται, καὶ ὄντως τούτους ἐφημέρους γίγνεσθαι καὶ προσαγορεύεσθαι. ὅσοι δ' ἐπ' ἐμφράξει τὴν γένεσιν ἔχουσιν, εἰ μὲν ὀλίγη τις αὕτη συσταίη, λύεσθαι καὶ τούτους, ὁμοίως γε τοῖς ἄλλοις ἐφημέροις, ἐὰν ἰάσηταί τις αὐτοὺς προσηκόντως. εἰ δ' ἰσχυρῶς οἱ χυμοὶ σφηνωθεῖεν, ὡς μοχλείας δεῖσθαι σφοδροτέρας, ἐκτείνεσθαι μὲν ἀνάγκη τοὺς τοιούτους πυρετοὺς ὑπὲρ τὴν μίαν ἡμέραν, ἐκπεπτωκέναι δὲ δοκεῖν ἤδη τοῦ γένους τῶν ἐφημέρων. πῶς γὰρ ἂν ἐφήμερος ἔτι δύναιτο λέγεσθαι πυρετός, ὁ μέχρι τρίτης ἡμέρας ἐκτεινόμενος. ἐν γὰρ τῇ δευτέρᾳ τῶν ἡμερῶν, προσήκει παύεσθαι τὸν τοιοῦτον πυρετόν, ὅσον ἐπὶ τῇ προσηγορίᾳ. λέλεκται γὰρ ἔμπροσθεν ὡς τεττάρων καὶ εἴκοσιν ὡρῶν ὁ χρόνος ἐστὶ τῆς οὕτω λεγομένης ἡμέρας, ὡς συναιρεῖσθαι καὶ τὴν νύκτα τῷ ὀνόματι τῆς ἡμέρας. καὶ μὴν εἰ μήτε σῆψις εἴη χυμῶν, μήτ' αὐτὸ τὸ σῶμα τὴν πυρετικὴν θερμασίαν ἑκτικῶς ἀναδέξαιτο, τῶν δύο γενῶν ἐκπεπτωκὼς ἂν εἴη. ἢ τοίνυν ἄλλο γένος ἐπὶ τοῖς εἰρημένοις τρισὶν ἀναγκαῖον ἐστὶ λέγειν ἐν τῇ πρώτῃ διαιρέσει τῶν πυρετῶν, ἢ καταφρονοῦντα τῆς προσηγορίας, ἐφημέρους ὀνομάζειν αὐτούς. οὐ γὰρ δὴ τῆς γ' οὐσίας ἦν αὐτῆς τῶν τοιούτων πυρετῶν, ὁ ἐφήμερος ὄνομα. προσηγορίας δ' οἰκείας ἀποροῦντες ἕνεκα σαφοῦς καὶ συντόμου διδασκαλίας, ἀπὸ τοῦ πολλάκις αὐτοῖς ἑπομένου τοὔνομα ἐθέμεθα. φύσις μὲν οὖν αὐτῶν, ἡ αὐτὴ τοῖς ἐφημέροις ἐστίν. ὄνομα δὲ οὐ ταὐτόν. Ἐφ' ὧν γὰρ ὁ παροξυσμὸς εἷς ἀπ' ἀρχῆς ἄχρι παντὸς διαμένων εἰς πολλὰς ἡμέρας ἐκτείνεται, συνόχους ὀνομάζουσι τοὺς τοιούτους πυρετούς. οὐχ ἑλληνικῷ μὲν ὀνόματι χρώμενοι, σολοικίζειν δ' ἑλόμενοι μᾶλλον ἢ καταλιπεῖν

Dies naturales 24 horarum

ἀνώνυμον αὐτῶν τὴν ἰδέαν. ἀλλ' ὥσπερ ἰδέα μία τῶν τοιούτων ἐστὶ πυρετῶν, ἀφ' ἧς ὀνομάζουσι συνόχους αὐτοὺς, οὕτως ἡ φύσις οὐκέτ' ἁπλῆ καὶ μία. τινὲς μὲν γὰρ αὐτῶν ἐναργὲς ἔχουσι τὸ τῆς σήψεως σημεῖον, ἔνιοι δ' οὐδ' ὅλως ἔχουσιν. οὓς ἐκ τοῦ γένους τῶν ἐφημέρων πυρετῶν ἔφαμεν εἶναι. ἐπειδὴ γὰρ ἡ τοῦ παροξυσμοῦ παῦλα διαπνεομένων γίνεται τῶν ζεσάντων χυμῶν, οὐ διαπνεῖται δ' ἐπὶ ταῖς ἰσχυραῖς στεγνώσεσιν, ἀναγκαῖον ἐστὶ πολυήμερον γίνεσθαι τὸν παροξυσμόν. ὅταν οὖν μὴ δὲ μία συνῇ τῷ τοιούτῳ πυρετῷ πρόφασις ἀρχὴν ἑτέρου παροξυσμοῦ γεννῶσα, πρὸς τὸ πολυήμερος ὑπάρχει, οὐδ' εἰς βολὴν ἐπισημασίας οὐδὲ μιᾶς ποιεῖται. μένει δ' ἀπ' ἀρχῆς ἄχρι τέλους εἷς ὁ πυρετὸς, οὔτ' ἀμφημερινὴν, οὔτε διὰ τρίτης, οὔτε διὰ τετάρτης ἡμέρας ἔχων ἐπισημασίαν. ὅταν δ' ἀκούσῃς μου λέγοντος ἔνδον τοῦ σώματος στέγεσθαι τὸ πυρετῶδες θερμὸν, ἐπὶ τῶν ἰσχυρῶς ἐστεγνωμένων σωμάτων, οὐχ οὕτω χρὴ νομίζειν ἀκριβῶς γεγονέναι τὴν πύκνωσιν, ὡς μηδὲν τῶν ἱκανῶς λεπτυνθέντων χυμῶν ἐπιτρέπειν εἰς τοὐκτὸς διαῤῥεῖν. οὐδὲ γὰρ οὐδ' ἐπὶ τῶν ὀστῶν λεγόμενον, ἀληθὲς ἂν εἴη τοῦτο, μή τοι γε δὴ τῶν σαρκῶν τε καὶ τοῦ δέρματος. ἀλλ' ὅταν ἡ μὲν ἐκ τῶν ζεόντων χυμῶν ἀναθυμίασις ᾖ παμπόλλη, διαῤῥέῃ δ' ἐκτὸς ὀλίγη, τὴν ὑπολειπομένην ἀνάγκη διαφυλάττειν τὸν πυρετόν. οὐ μόνον τῷ μένειν αὐτὴν, ἀλλὰ καὶ τῷ τὰ πλησιάζοντα συνεκκαίειν. ἐπεὶ τοίνυν ἐν δυοῖν τούτοιν ἐστὶ τὸ φυλάττεσθαι τὸν πυρετὸν, τῷ τε μὴ διαπνεῖσθαι πᾶσαν τὴν ἀτμίδα, καὶ τῷ συνεκθερμαίνειν τὰ ψαύοντα, τρεῖς ἀνάγκη διαφορὰς ἐν τοῖς συνόχοις γίγνεσθαι πυρετοῖς, ἤτοι διαμένοντος ἴσου τοῦ μεγέθους ὃ κατὰ τὸν πρῶτον παροξυσμὸν ἔσχεν ἀκμάζοντος, ἢ προστεθέντος, ἢ ἀφαιρεθέντος, ἀεί τι σμικρόν. καὶ ταῦτα ποιοῦντος, ἢ ὁμαλῶς, ἢ ἀνωμάλως. ἂν μὲν οὖν ἴσον ᾖ τῷ διαπνεομένῳ τὸ ἀναπτόμενον, οὔτ' αὔξησιν οὔτε μείωσιν ἕξει τὸ πυρετῶδες θερμόν. ἀλλ' οὕτως ἑαυτῷ διαμένει παραπλήσιον, ὡς εἰ μήτε προσετίθετο μηδὲν αὐτῷ, μήτ' ἀφῃρεῖτο. διαφέρει γὰρ οὐδὲν εἴς γε τὴν τῆς ἰσότητος διαμονὴν, ἢ διαφυλάττεσθαι τὴν αὐτὴν οὐσίαν διαπαντὸς, ἢ τῷ ἐκκενουμένῳ τὸ προστιθέμενον ἴσον ὑπάρχειν. εἰ δέ γε θάτερον αὐτῶν ἐπικρατήσειεν, εἰ μὲν τὸ κενούμενον, ἐλαττοῦσθαι τὸν πυρετὸν ἀναγκαῖον ἐστίν. εἰ δὲ τὸ προστιθέμενον, αὐξάνεσθαι πάντως. εὔδηλον δὲ καὶ ὡς τὸ μᾶλλόν τε καὶ τὸ ἧττον ἕτερον ἑτέρου τὸν πυρετὸν αὐξάνεσθαί τε καὶ μειοῦσθαι, διὰ τὸ τῆς πλεονεξίας ἄνισον, ἀναγκαῖον ἐστὶ γίγνεσθαι. ποτὲ μὲν γὰρ πλέονι μέτρῳ, ποτὲ δ' ἥττονι. πλεονεκτούσης ἤτοι τῆς γενέσεως τῶν πυρετῶν, ἢ τῆς διαπνοῆς, οὔτε τοῖς αὐξανομένοις ἅπασιν ἴσην τὴν αὔξησιν, οὔτε τοῖς μειουμένοις τὴν καθαίρεσιν οἷόν τε γίγνεσθαι. παμπόλλην δ' εἶναι τὴν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφοράν. ἓν μὲν δὴ τοῦτο τὸ γένος ἢ εἶδος ἢ ὅ, τί περ ἂν ὀνομάζειν ἐθέλοις ἐστὶ συνόχων πυρετῶν, ἐκ τῆς αὐτῆς ὑπάρχον φύσεως τοῖς ἐφημέροις. ἕτερον δ' ὅταν ἐν ἅπασι τοῖς ἀγγείοις καὶ μάλιστα τοῖς μεγίστοις, ὁμοτίμως οἱ χυμοὶ διασήπωνται. τῶν τοιούτων πυρετῶν οὐδέτερον ἐν ἰσχνῷ καὶ ψυχρῷ σώματι φιλεῖ συνίστασθαι. τὰ πολλὰ δ' ἐν πολυαίμοις τε καὶ πολυσάρκοις ἡ γένεσις αὐτῶν. αἵ τε γὰρ ἐμφράξεις οὐχ ἱκαναὶ γεννῆσαι πυρετὸν ἄνευ σήψεως, εἰ μὴ τὸ διαπνεόμενον εἴη πολὺ καὶ θερμόν. ἥ τε σηπεδὼν τῶν χυμῶν, εἰς ἁπάσας τὰς μεταξὺ βουβώνων τε καὶ μασχαλῶν φλέβας, ὁμοτίμως τε καὶ διὰ ταχέων ἐκταθῆναι κατὰ τὰς ψυχρὰς ἕξεις, οὐ δύναται. δεῖται γὰρ ἀεὶ τὰ σηπόμενα θερμά τ' εἶναι, καὶ ὑγρὰ, καὶ δυσδιάπνευστα. διὰ τοῦτ' οὖν οὔτ' ἐν ψυχραῖς ἡλικίαις, οὔτ' ἐν κράσεσι σωμάτων ψυχραῖς, εἴτ' οὖν ἐξ ἀρχῆς, εἴτε καὶ νῦν εἴη γεγονότα ψυχρὰ, σύνοχοι γεννῶνται πυρετοί. καθάπερ οὐδ' ἐν ἰσχνοῖς ἢ ἀραιοῖς. ἀλλὰ καὶ τῶν ἡλικιῶν ταῖς θερμαῖς, καὶ τῶν φύσεων, καὶ τῶν ἐπικτήτων κράσεων ταῖς ὁμοίαις ἐγγίγνονται. καὶ μᾶλλον ὅταν εὔσαρκοί τε, καὶ πολύαιμοι, καὶ πυκνοὶ τὰς ἕξεις οἱ κάμνοντες ὦσιν, ἢ περιττώμασι θερμοῖς πεπληρωμένοι. ταῦτ' ἄρα τοῖς οὕτω πυρέττουσιν ὁ σφυγμὸς μέγιστος ἐστὶ καὶ ὁμαλὸς καὶ σφοδρός. καὶ τὴν σύστασιν τῆς ἀρτηρίας οὔτε σκληροτέραν, οὔτε μαλακωτέραν τοῦ κατὰ φύσιν ἔχων. τάχους δ' εἰς τοσοῦτον ἥκει καὶ πυκνότητος, εἰς ὅσον ἂν ὁ πυρετὸς αὐτὸς ἥκοι μεγέθους. κοινὰ μὲν οὖν ἀμφοῖν ταῦτα. πρόσεστι δ' ἐξαίρετα θατέρῳ σημεῖα τὰ τῆς σήψεως, ἐν οὔροις τε καὶ σφυγμοῖς, καὶ τῷ τῆς θερμασίας ἀηδεῖ. καὶ δὴ παραδείγματος ἕνεκα, ἀναμνήσω σε τοῖν νεανίσκοιν οὓς ἐθεάσω μεθ' ἡμῶν. ἦν δὲ ὁ μὲν ἕτερος αὐτῶν, ἐλεύθερος καὶ γυμναστικός. ὁ δ' ἕτερος, δοῦλος, οὐκ ἀγύμναστος μὲν, οὐ μήν τά γε κατὰ παλαίστραν δεινὸς, ἀλλ' ὅσα δούλῳ πρέπει τὰ ἐφήμερα γυμνάσιά τε ἅμα καὶ ἔργα μεταχειρίζεσθαι. ὁ μὲν οὖν ἐλεύθερος, τὸν χωρὶς σήψεως ἐπύρεξε σύνοχον. ὁ δὲ δοῦλος, τὸν μετὰ σήψεως. ὁποίαν δ' ἑκατέρῳ τὴν ἴασιν ἐποιησάμεθα, καιρὸς ἂν εἴη λέγειν. ἐπειδὴ μάλιστα μὲν χρὴ γυμνάζεσθαι τοὺς μανθάνοντας ὁτιοῦν ἐπὶ παραδειγμάτων. οὐ γὰρ ἀρκοῦσιν αἱ καθόλου μέθοδοι πρὸς τὴν ἀκριβῆ γνῶσιν. ἀμείνω δὲ τῶν παραδειγμάτων ἐστὶν, ὧν αὐτόπται γεγόναμεν. ὡς εἴγε πάντες οἱ διδάσκειν ἢ γράφειν ὁτιοῦν ἐπιχειροῦντες ἔργοις ἐπεδείκνυντο πρότερον αὐτὰ, παντάπασιν ἂν ὀλίγα ἄττα ψευδῶς ἦν λεγόμενα. νυνὶ δ' οἱ πλεῖστοι διδάσκειν ἄλλους ἐπιχειροῦσιν, ἃ μήτ' αὐτοί ποτ' ἔπραξαν, μήτ' ἄλλοις ἐπεδείξαντο. τοὺς μὲν οὖν πολλοὺς τῶν ἰατρῶν οὐδὲν θαυμαστὸν ἀμελήσαντας ἤθους χρηστοῦ, δοξοσοφίαν μᾶλλον ἢ ἀλήθειαν σπουδάσαι. τὸ δ' ἡμέτερον, οὐχ ὧδ' ἔχει. οὐ γὰρ δὴ χθὲς ἢ πρώην, ἀλλ' εὐθὺς ἐκ μειρακίου φιλοσοφίας ἐρασθέντες, ἐπ' ἐκείνην ἤξαμεν πρῶτον. εἶθ' ὕστερον τοῦ πατρὸς ὀνείρασιν ἐναργέσι προτραπέντος, ἐπὶ τὴν τῆς ἰατρικῆς ἄσκησιν ἀφικόμεθα. καὶ δι' ὅλου τοῦ βίου τὰς ἐπιστήμας ἑκατέρας ἔργοις μᾶλλον ἢ λόγοις ἐσπουδάσαμεν. οὐδὲν οὖν θαυμαστὸν ἐν ᾧ προσαγορεύουσιν ἄλλοι περιθέοντες ὅλην τὴν πόλιν ἐν κύκλῳ, καὶ συνδειπνοῦσι καὶ παραπέμπουσι τοὺς πλουτοῦντάς τε καὶ δυναμένους, ἐν τούτῳ τῷ χρόνῳ παντὶ φιλοπονοῦντας ἡμᾶς ἐκμαθεῖν μὲν πρῶτον ὅσα καλῶς εὕρηται τοῖς παλαιοῖς. ἔπειτα διὰ τῶν ἔργων αὐτὰ κρῖναί τε ἅμα καὶ ἀσκῆσαι. τὸν τοίνυν γυμναστικὸν νεανίσκον ἀρξάμενον πυρέττειν ὥρας πρώτης τῆς νυκτὸς, ἐθεασάμεθα κατὰ τὴν ἐπιοῦσαν ἡμέραν ὥρας που τρίτης. εὑρόντες δὲ πυρετὸν ἱκανῶς μὲν θερμὸν, ἀλλὰ καὶ τοὺς τε σφυγμοὺς ὁμαλοὺς καὶ μεγίστους, καὶ ταχεῖς, καὶ πυκνοὺς, καὶ σφοδροὺς, καὶ τὴν τῆς θερμασίας ποιότητα τὸ διαβρωτικὸν τῆς ἁφῆς οὐκ ἔχουσαν. ἔτι δὲ καὶ τὰ οὖρα τῇ τε συστάσει καὶ τῇ χροιᾷ τῶν κατὰ φύσιν οὐ πάνυ λειπόμενα, πυθόμενοί τε τοῦ τῶν γυμνασίων ἔθους ἠμεληκότα τὸν ἄνθρωπον ἡμέραις ὡς τριάκοντα, τῇ δὲ προτεραίᾳ μόνῃ γεγυμνάσθαι σφοδρότερον μὲν, ἀλλ' οὐκ ἐπὶ πολὺ, προσενηνέχθαι τε τὰ συνήθη σιτία, καὶ ταῦτα πεπέφθαι μὲν ἀλλὰ βραδέως καὶ μόγις, ὡς ἂν ἐπιγινο-

ἐπιγινομένης κατὰ τὴν ἑσπέραν τοῦ πυρετοῦ. φαινομένου δὲ ἐρυθροῦ καὶ μεστοῦ τοῦ ἀνθρώπου, καὶ μήν τοι καὶ πληρώσεως αὐτῷ τινα αἴσθησιν εἶναι λέγοντος, ἐν τούτῳ τε φθεγξαμένου περὶ φλεβοτομίας τῶν παρόντων τινός, ἔδοξεν ἡμῖν ἀναβάλλεσθαι τὴν περὶ τοῦ βοηθήματος σκέψιν εἰς ἕτερον καιρόν. ἅμα μὲν ἵνα ἀκριβέστερον διαγνῶμεν ἐκ ποίου γένους ἐστὶν ὁ πυρετός, ἅμα δ' ἐξ ἀνάγκης διὰ τὴν προγεγενημένην βραδυπεψίαν. ἐπεὶ δὲ καὶ κατὰ τὴν ἑσπέραν ὁμοίως ἀκμάζειν ὁ πυρετὸς ἐφαίνετο μηδὲν ἀφαιρῶν αἰσθητῶς, ὕποπτος ἦν ἤδη συνόχος ὑπάρχειν ἐπ' ἐμφράξει τε καὶ πολυαιμίᾳ, καὶ τῇ διὰ τὸ πλῆθος τῶν σαρκῶν στεγνώσει. διαφυλαχθέντος δὲ τοῦ μεγέθους ἴσου δι' ὅλης τῆς νυκτός, κατὰ τῆς ὑστεραίας ἐδόκει τοῖς ἐπισκοπουμένοις αὐτὸν ἰατροῖς ἅπασι φλεβοτομητέος εἶναι. στάσεως δ' ἐγγινομένης περὶ τοῦ καιροῦ, καὶ κρατησάντων τῶν εἰς τὴν ἐπιοῦσαν ἀναβάλλεσθαι συμβουλευόντων, ὁ πυρετὸς ἐναργῶς ἐφάνη δι' ὅλης τῆς ἡμέρας ἐπακμάζων ἑαυτῷ. κἄπειτα τῆς ἐπιούσης νυκτὸς τῆς τρίτης, ἄλλος μὲν οὐκ ἐγένετο παροξυσμὸς ὡς πρὸς τὸ πρῶτον ἐξ ἀναλογίας, ἀφόρητον δ' ἦν τὸ καῦμα τῷ κάμνοντι. καὶ τάσις ὅλου τοῦ σώματος ὡς πεπληρωμένου, καὶ σφυγμὸς τῆς κεφαλῆς, ἀγρυπνία τε διὰ ταῦτα δεινή. καὶ μεταρριπτοῦντος ἑαυτὸν ἄλλοτ' εἰς ἄλλο σχῆμα τοῦ νεανίσκου καὶ ζητοῦντος ὡς οὐκέτ' ἔφερεν, ὥρας που τῆς νυκτὸς ὀγδόης ἐκπέμψας οἰκέτην πρός με, δεῖται παρ' αὐτὸν ἀφικέσθαι διὰ ταχέων. ὑπακούω δὴ καὶ ἀπέρχομαι, καὶ καταλαμβάνω θερμότατόν τε τὸν πυρετὸν, καὶ τοὺς σφυγμοὺς οἵους ἔμπροσθεν εἶπον. ἐπεὶ δ' οὔτ' ἐν τούτοις, οὔτε ἐν τοῖς οὔροις, οὔτ' ἐν αὐτῇ τῇ τῆς θερμότητος ποιότητι σημεῖόν τι σηπεδόνος ἐφαίνετο χυμῶν, ἐδόκει κάλλιον εἶναι τεμεῖν τὴν φλέβα, πρὶν ἄρξασθαι τὴν σῆψιν. ἀφαιρῶ τοίνυν αὐτοῦ τοσοῦτον ἐξεπίτηδες, ὡς λειποθυμίαν ἐπιγενέσθαι. μέγιστόν τι βοήθημα τῶν πυρετῶν συνόχων ἐν ἰσχυρᾷ δυνάμει, καὶ τῷ λόγῳ καὶ τῇ πείρᾳ δεδιδαγμένος. πρῶτον μὲν γὰρ εἰς ἐναντίαν κατάστασιν ἀφικνεῖται τάχιστα ψυχόμενον ἐν τῇ λειποθυμίᾳ τὸ σῶμα. τούτου δ' οὔτε τοῖς κάμνουσιν, οὐδ' αὐτῇ τῇ διοικούσῃ τὰ ζῶα φύσει δύναιτ' ἄν τις εὑρεῖν ἥδιον ἢ χρηστότερον, ἔπειτα δ' ἐξ ἀνάγκης ἐν τοῖς τοιούτοις σώμασιν ἕπεται διαχώρησις γαστρός, ἔστι δ' ὅτε καὶ χολῆς ἔμετος, ἐφ' οἷς αὐτίκα νοτίδες ἀπὸ παντὸς τοῦ σώματος ἢ ἱδρῶτες. ἅπερ οὖν κἀκείνῳ πάνθ' ἑξῆς γενόμενα, παραχρῆμα τὸν πυρετὸν ἔσβεσαν. ὥστε τινὰς τῶν παρόντων εἰπεῖν, ἔσφαξας ἄνθρωπε τὸν πυρετόν. ἐπὶ τούτου μὲν δὴ πάντες ἐγελάσαμεν. ὅπως δὲ πληρώσαιμι τὴν διήγησιν, οὐδὲν ἂν εἴη χεῖρον ὀλίγα προσθεῖναι. μετὰ δύο γὰρ τῆς φλεβοτομίας ὥρας βραχύ τι προσδοὺς τροφῆς τῷ κάμνοντι, καὶ κελεύσας ἡσυχάζειν, ἀπηλλαττόμην. ἀφικόμενος δὲ πέμπτης ὥρας τῆς ἡμέρας, οὕτω βαθέως ὑπνοῦντα κατέλαβον, ὡς ἁπτομένου μου μὴ δι' ὅλως αἰσθάνεσθαι. λεγόντων δὲ καὶ τῶν ὑπηρετουμένων αὐτῷ βαθὺν οὕτως εἶναι τὸν ὕπνον, ὡς μηδ' ὅταν ἀπομάττωσιν αὐτοῦ τὰς νοτίδας, ἐξεγείρεσθαι συνεβούλευον οὕτω πράττειν, εἶναι γὰρ ἀκριβῶς ἤδη τὸν ἄνθρωπον ἀπύρετον. ἀφικόμενος δ' αὖθις ὥρας δεκάτης, εὗρον ἔτι καὶ τότε κοιμώμενον αὐτόν. ἐξελθὼν δὲ πάλιν ἐπ' ἄλλους ἀρρώστους, ἐπανῆλθον ὥρας πρώτης νυκτός, οὐκέτι μετὰ σιωπῆς, ἀλλ' ἐξεπίτηδες μέγα φθεγγόμενος ὅπως ὁ κάμνων διεγερθείη τοῦ ὕπνου. καὶ τοίνυν οὕτω γενομένου, πτισάνης χυλῷ μόνῳ θρέψας αὐτὸν, ἀπηλλαττόμην. ἐπιμετρίσας δὲ τὴν ὑστεραίαν, ἐπὶ τὸ λουτρὸν ἀπέλυσα τῇ μετ' αὐτήν. τὰ μὲν δὴ κατὰ τοῦτον, οὕτως ἐπράχθη. τὰ δὲ κατὰ τὸν ἕτερον, ἤδη σοι δίειμι. δι' ὅλης ἡμέρας ἐκεῖνος ὁ ἄνθρωπος καμὼν πολλά, κἄπειτα λουσάμενος, ὀλίγα τε προσενεγκάμενος, ὑπήρξατο πυρέττειν ἐν τῇ νυκτί, συνάψας αὐτῇ καὶ τὴν ἑπομένην ἡμέραν. ἐθεασάμεθα δ' ἡμεῖς αὐτὸν μετὰ τὴν δευτέραν νύκτα, τὰ μὲν οὖν ἄλλα πάντα, τῷ προειρημένῳ παραπλησίως διακείμενον, ἐναργῆ δὲ τὰ τῆς σηπεδόνος τῶν χυμῶν ἔχοντα γνωρίσματα. φλέβα τοίνυν αὐτῷ παραχρῆμα διελόντες, ἄχρι λειποθυμίας ἐκενώσαμεν, ἐφ' ἧς διαλιπόντες αὐτάρκως, ἐθρέψαμεν. μελικράτῳ μὲν πρῶτον. μετὰ δὲ ὥραν ἐκείνου μίαν, πτισάνης χυλῷ. καὶ πάντ' ἐπέπρακτο ταῦτα πέμπτης ὥρας ἐντός: ὁμοίου δὲ αὐτῷ διαμένοντος τοῦ πυρετοῦ, συνόχου εἶναι προσεδοκήσαμεν ἐπὶ σήψει. καὶ τοίνυν καὶ οὕτως ἀπέβη. θεασάμενοι γὰρ αὐτὸν ὥρας που δευτέρας νυκτὸς ἐν ἴσῳ μεγέθει, τὸν διὰ τρίτης παροξυσμόν, ἤτοι γ' ἐσόμενον ἢ οὐκ ἐσόμενον, ἀκριβῶς ἠβουλήθημεν παραφυλάξαι νυκτὸς ὥραν ἑβδόμην τὴν ὕποπτον ἔχοντα. ὄρθρου δὴ βαθέος ἐπὶ τὸν ἄνθρωπον ἐλθόντες, εὕρομεν ὅπερ ἠλπίσαμεν. οὔτε γὰρ ὁ διὰ τρίτης ἐγεγόνει παροξυσμός. ἐφαίνετό τε βραχύ τι μικρότερος ὁ πυρετός, οὗ κατελείπομεν ἐπὶ τῆς ἑσπέρας. ὡς δὲ καὶ τῆς μεσημβρίας ἰδὼν αὐτὸν, ἦν ἤδη βεβαιότατος ἀφαιρεῖν τι βραχὺ καὶ σύνοχον εἶναι παρακμαστικόν, ἄμεινον ἐδόκει θρέψαι καὶ τότ' ὁμοίως τὸν ἄνθρωπον. διελθούσης δὲ καὶ τῆς τετάρτης νυκτὸς ἐναργῶς ἐλάττων ἑαυτοῦ κατὰ τὴν τετάρτην ἡμέραν ἦν, ἐν ᾗ πάλιν ὁμοίως αὐτὸν θρεψάντων, ἠκολουθήσαμεν ἀφαιροῦντι τοῦ μεγέθους, δι' ὅλης τε τῆς ἡμέρας ἐκείνης, καὶ τῆς ἐπιούσης νυκτὸς τῆς πέμπτης. ὥστ' ἐναργῶς τῇ πέμπτῃ τῶν ἡμερῶν, ἐλάττονα φαίνεσθαι τοῦ πρόσθεν. ἀνάλογον δὲ τῇ μειώσει τοῦ πυρετοῦ καὶ ἡ τῶν οὔρων πέψις προὐχώρει. καὶ ἦν δῆλον ὡς κατὰ τὴν ἑβδόμην ἡμέραν παύσαιτο. καὶ οὕτως ἐγένετο. παρακμαστικὸς οὖν ἀκριβῶς οὗτος ἡμῖν ὁ σύνοχος ἐπὶ σήψει χυμῶν ὤφθη. πολλοὺς δ' ἄλλους συνόχους ἐθεασάμεθα. τοὺς μὲν ἐπακμαστικούς, τοὺς δὲ ὁμοτόνους ἢ ἀκμαστικούς, ἢ ὅπως ἄν τις ἐθέλοι καλεῖν. ἐνίους δ', ὥσπερ καὶ οὗτος ὁ προειρημένος, παρακμαστικούς. καί τινας μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν τὰ τῆς σήψεως ἔχοντας γνωρίσματα, τινὰς δ' ἐν τῇ τρίτῃ ἔχοντας ἢ τὸ πλεῖστον γε τῇ τετάρτῃ, ποτὲ μὲν ἀμαθίᾳ τῶν ἰατρῶν μὴ τεμνόντων τὴν φλέβα, ποτὲ δ' αὐτῶν τῶν καμνόντων δειλίᾳ. τῶν γὰρ ἐπ' ἐμφράξει μόνῃ πυρεξάντων, οὐδεὶς μετέπεσεν εἰς τὸν ἐπὶ σηπεδόνι πυρετόν, ἀρχέσαντι φθασάντων αἵματος. ἰσχυρᾶς μὲν οὖν ὑπαρχούσης τῆς δυνάμεως καὶ τῆς ἡλικίας συγχωρούσης ἄχρι λειποθυμίας ἄμεινον ἄγειν. εἰ δέ τι τούτων ἐνδέοι κατά τι βέλτιον ἀφελεῖν μὲν ὅσον ἂν ἱκανὸν εἶναι φαίνηται, τήν γε πρώτην ἐπαφαιρεῖν δ' αὖθις ὅσον ἐνδέοι. μὴ φλεβοτομηθέντες γὰρ οἱ οὕτως πυρέττοντες, εἰς ἔσχατον ἥκουσι κινδύνου. πλὴν εἴ ποτε ῥώμῃ δυνάμεως, ἢ αἱμορραγία λάβρος, ἢ ἱδρὼς πολὺς ἐξαρπάσειεν αὐτοὺς ὀλέθρου προφανοῦς. ἀλλ' ὅμως ἔνιοι τῶν ἰατρῶν ὁρῶντες τὴν φύσιν ἐναργέστατα διὰ αἱμορραγίας ἐκσώζουσαν οὐκ ὀλίγους τῶν οὕτω κινδυνευόντων, ἀποδιδράσκουσι τὴν φλεβοτομίαν. οὔτ' ἐμπειρίαν οὐδεμίαν, οὔτε λόγον ἀληθῆ προσποιούμενοι. τούτους μὲν οὖν ἐάσωμεν αὐτάρκως πρὸς αὐτοὺς διειλεγμένοι, καθ' ἓν ὅλον γράμμα τὸ περὶ φλεβοτομίας

πρὸς Ἐρασίστρατον, αὐτοὶ δ' αὖθις ἐπὶ τὸ προκείμενον ἴωμεν. Ἦν δ' ἐν τῷ νῦν λόγῳ προκείμενον, ὑπὲρ ἐκείνων διελθεῖν τῶν πυρετῶν, ὅσοι στεγνώσεσιν ἕπονται ταῖς δι' ἔμφραξιν. οὓς εἰ μὲν ἄνευ σηπεδόνος εἶεν, ἐκ τοῦ τῶν ἐφημέρων ἔφασκον ὑπάρχειν γένους. εἰ δέ τις αὐτοῖς ἢ ἐξ ἀρχῆς εὐθέως, ἢ ἐξ ὑστέρου σῆψις ἐπιγίγνοιτο, κατὰ μὲν ἁπάσας τὰς φλέβας καὶ μάλιστα τὰς μεγάλας συνισταμένης αὐτῆς, τοὺς συνόχους γεννᾶσθαι πυρετούς. ἐν ἑνὶ δὲ μορίῳ τοῦ ζώου τοὺς κατὰ περίοδόν τινα παροξυσμούς. ἀλλὰ περὶ μὲν τούτων αὖθις. ὃ δὲ χρὴ καὶ δὶς οἶμαι καὶ τρὶς καὶ πολλάκις αὖθίς τε καὶ αὖθις εἰπεῖν, εἰ μέλλοιεν οἱ οὕτως νοσοῦντες ὀρθῶς θεραπευθήσεσθαι, τὸ τῆς φλεβοτομίας παραληπτέον ἐστίν. ὅσοις γὰρ ἐπὶ πλήθει χυμῶν δυσδιάπνευστον τὸ σῶμα γενόμενον ἤθροισε τοσαύτην θερμασίαν ὡς ἤδη πυρέττειν, ἀφαιρεῖν αἵματος χρὴ τοσοῦτον ἂν ὅσον ἡ δύναμις φέρει. γινώσκοντας ὡς εἰ μὴ παραληφθείη τὸ βοήθημα τοῦτο, πνιγήσεσθαι τοὺς οὕτω διακειμένους τὴν φύσιν ἢ συγκόπτεσθαί γε πάντως αὐτούς, εἰ μή που ὡς εἴρηται, ῥώμη τῆς φύσεως, ἢ ἱδρὼς πάμπολυς αὐτούς, ἢ λάβρος αἱμορραγία ῥύσεται τοῦ θανάτου. δῆλον μὲν οὖν ἐστι κἂν ἐγὼ μὴ λέγω, τοῖς γε τὸ περὶ πλήθους γράμμα καλῶς ἀναλεγομένοις. οὐδὲν δ' ἧττον εἰρήσεται καὶ πρὸς ἡμῶν, ὅτι νῦν ὁ λόγος ἐστίν, οὐ περὶ τοῦ πρὸς τὴν δύναμιν πλήθους. οὔτε γὰρ ἐμφράττει τοῦτο τὰ στόματα τῶν ἀγγείων, ὡς κωλύειν τὴν ἀνάψυξιν, οὔτε τείνει τοὺς χιτῶνας αὐτῶν. οὔτ' ἔρευθος, οὔτ' ὄγκον ἐργάζεται. πολὺ δὲ δὴ μᾶλλον οὐδὲ τὰς τῆς σαρκός, ἢ τοῦ δέρματος ἐπέχει διαπνοάς. ἀλλὰ περὶ τοῦ μηκέτι δυναμένου χωρεῖσθαι πρὸς τῶν ἀγγείων, ὃ καὶ διὰ τοῦτ' αὐτὸ ῥηγνύναι τε καὶ ἀναστομοῦν εἴωθεν αὐτά, καὶ τἆλλα συμπτώματα τὰ νῦν εἰρημένα φέρει τὴν ἔμφραξιν, τὴν τάσιν, τὸν ὄγκον, τὸ ἔρευθος. ὁ σύμπας μοι λόγος ἐπεράνθη τε καὶ νῦν οὐχ ἧττον περανθήσεται. τὸ γάρ τοι πλῆθος τοῦτο χρηστὸν ὄν, συναύξεσθαι πέφυκε τῇ ῥώμῃ τῆς δυνάμεως. ὥς γε βαρύνει ποτ' αὐτήν, οὔτ' αὐξηθήσεται τοῦ λοιποῦ, καὶ παύσεται χρηστὸν ὑπάρχον. εἰ γὰρ ἅπαξ ἀπολέσειε τὸν ἐκ τῆς φύσεως κόσμον, ἀδύνατον αὐτῷ μὴ σαπῆναι. διότι μὴ δ' ἄλλο μηδὲν ὑγρὸν καὶ θερμὸν σῶμα τουτωνὶ τῶν ἐκτός, ὁρῶμεν ἄσηπτον διαμένον. ταῦτά τοι χρὴ σπεύδειν ἀφαιρεῖν τοῦ αἵματος, ὅπως ἡ τῶν ἀγγείων φύσις ἐκ τοῦ διαπνεῖσθαί τε καὶ ῥιπίζεσθαι, τὴν φυσικὴν εὐκρασίαν φυλάττουσα, κατὰ τὸν ἐξ ἀρχῆς τρόπον ἐπικρατῇ τῶν χυμῶν. ὥς γε δύσκρατος γενομένη καὶ μοι, κίνδυνος αὐτοῖς σαπῆναι. ἡ δυσκρασία δ' ἐν αὐτῇ γίνεται, διὰ τὴν τοῦ πυρετοῦ θέρμην. ἣν ὅταν τις ἀμαθὴς ἰατρὸς αὐξήσῃ τῷ μὴ κενῶσαι τὸ τῆς στεγνώσεως αἴτιον, ἄπορος ἡ λοιπὴ πᾶσα βοήθεια γίγνεται. τοῦ μὲν γὰρ πλήθους κενοῦσθαι δεομένου, τῆς θέρμης δ' ἐμψύχεσθαι, μάχη καὶ στάσις εἰς ἄλληλα, τοῖς ἰωμένοις βοηθήμασι γίγνεται. τῶν μὲν ἐμψυχόντων, εἰ καὶ τὴν εὐκρασίαν ἐκποιρίζοιτο τῇ φύσει, κατεχόντων γοῦν τὸ πλῆθος ἐν τῷ σώματι. τῶν δὲ τῇ μειώσει τοῦ δέρματος ἐκκενούντων αὐτό, θερμαινόντων ἁπάντων. ὥστ' εἰ μὲν τοῦτο κενοῦν ἐθέλῃς, αὐξήσεις τὸν πυρετόν. εἰ δ' ἐκεῖνον ἐμψύχειν, καθέξεις τοῦτο. ταύτην τὴν ἀπορίαν τῶν ἰαμάτων οἱ μὴ κενώσαντες εὐθύς, ἐξ ἀρχῆς ἐργάζονται, πεισθέντες Ἐρασιστράτῳ, τῷ μὴ δὲ τὰς αὐτομάτους αἱμορραγίας μιμήσασθαι δυνηθέντι. Κάλλιστον μὲν οὖν εὐθέως ὡς ἐθεάσω διαπαντὸς ἡμᾶς ποιοῦντας, οὐχ ἡμερῶν ἀριθμῷ ἐπὶ παντὸς πράγματος προσέχειν τὸν νοῦν, ἀλλὰ τῇ ῥώμῃ μόνῃ τῆς δυνάμεως ἐπὶ τῶν τοιούτων πυρετῶν. εἰ γὰρ αὐτὴ διασῴζοιτο, μὴ μόνον ἑκταίους, ἢ ἑβδομαίους, ἀλλὰ καὶ κατὰ τὰς ἑξῆς ἡμέρας φλεβοτομεῖν. Εἰ δ' ἀναγκασθείης ποτὲ θεραπεύειν ἄρρωστον, ᾧ μὴ μόνον ἔμπροσθεν παρελείφθη τὸ τῆς φλεβοτομίας βοήθημα, ἀλλὰ καὶ νῦν, ἤτοι διὰ τὴν ἀμαθίαν τῶν ἰατρῶν, ἢ τὴν τοῦ κάμνοντος, ἢ τὴν τῶν οἰκείων αὐτῶν δειλίαν, ἐπὶ προήκοντι τῷ χρόνῳ κωλυθείης ἀφαιρεῖν αἵματος, ἐπὶ τὴν τοῦ ψυχροῦ δόσιν ἔρχεσθαι διορισάμενος ἀκριβῶς ὁπόση τις ἐξ αὐτοῦ γενήσεται βλάβη. μικρᾶς μὲν γὰρ ἢ οὐδ' ὅλως ἐσομένης, διδόναι πίνειν ἀκραιφνὲς ψυχρὸν ὅσον ἂν ὁ κάμνων βούληται. ἔτι καὶ μᾶλλον θαρρῶν εἰ ψυχροπότης εἴη. μεγάλης δὲ τῆς βλάβης προσδοκωμένης, ἀφίστασθαι μὲν τῆς δόσεως, τοῖς δὲ ἄλλοις χρῆσθαι βοηθήμασιν. ἃ τάς τ' ἐμφράξεις ἐκφράττει, καὶ τὸ πλῆθος κενοῖ, καὶ πραΰνει τὸ ζέον τῶν πυρετῶν. Αἱ δ' ἐξ ἀκαίρου ψυχρᾶς πόσεως ἢ ἀμέτρου βλάβαι, κατὰ τάδε γίγνονται. τοὺς γλίσχρους καὶ παχεῖς χυμούς, εἴτ' ἔμφραξιν, εἴτε σῆψιν, εἴτε φλεγμονήν, εἴτ' ἐρυσιπελατώδη διάθεσιν, ἢ σκιρρώδη τύχοιεν, ἢ οἰδηματώδη πεποιημένοι, κωλύει λεπτύνεσθαί τε καὶ διαφορεῖσθαι. ὅταν οὖν ἐκ τούτων μὲν ὁ πυρετὸς ἀνάπτηται, μηδὲν δὲ εἰς τὴν κένωσιν αὐτῶν ἡ τοῦ ψυχροῦ δόσις ὠφελεῖ, παραχρῆμα μὲν οὐκ ὀλίγην φέρει τὴν ῥαστώνην ἐπὶ τὸ σβέσαι τὸν ἤδη γεγονότα πυρετόν, ἅτε δὴ διαμενούσης τῆς αἰτίας, αὖθις ἕτερον ἀναγκαῖον ἀνάπτεσθαι. καὶ πολλάκις γε χαλεπώτερον τοῦ πρόσθεν, ὅταν ἐκ τοῦ ψυχροῦ πυκνωθῇ τὸ σῶμα. τουτὶ μὲν δή σοι βλάβης εἶδος ἕν, οὐκ εὐκαταφρόνητον. ἕτερον δὲ τοιόνδε. πολλὰ τῶν ἀσθενεστέρων τοῦ κάμνοντος μορίων, εἴτε διὰ φυσικὴν δυσκρασίαν, εἴτε δι' ἐπίκτητον βλάβην ὑπὸ τοῦ ψυχροῦ πλήττεται. τῷ μέν γε στόμαχος ἔπαθεν οὕτως ἰσχυρῶς, ὡς μόγις καταπίνειν. τῷ δ' ἡ γαστήρ, ὡς μόγις πέττειν. ἄλλῳ δὲ τὸ στόμα τῆς γαστρός, ἢ τὸ ἧπαρ, ἢ τὸ κῶλον, ἢ ὁ πνεύμων, ἢ αἱ φρένες. ἢ καὶ νὴ Δία νεφροὶ καὶ κύστις, ἢ τι τοιοῦτον ἕτερον ὑπὸ τοῦ ψυχροῦ πληγέν, ἄρρωστον εἰς τὴν οἰκείαν ἐνέργειαν ἐγένετο. Τινὲς δὲ αὐτῶν ἐξ ἀκαίρου τε καὶ ἀμέτρου πόσεως οὐκ εἰς μακρὰν οὐδ' εἰς ὕστερον, ἀλλ' αὐτίκα δυσπνοίαις καὶ σπασμοῖς καὶ τρόμοις ἁλίσκονται. καὶ συλλήβδην εἰπεῖν, κακοῦται πᾶν τὸ νευρῶδες γένος. οἶδ' ὅτι φοβερόν ἄν σε πρὸς τὴν τοῦ ψυχροῦ δόσιν εἰργασάμην ἐξ ὧν εἶπον, εἰ μή με πολλάκις ἐθεάσω μὲν χρησάμενον, ἀεὶ δ' ὠφελήσαντα χωρὶς τοῦ βλάψαι τι τὸν κάμνοντα σαφές. Ὅσοις μὲν γὰρ ἐν κυρίῳ μορίῳ φλεγμονώδης ὄγκος ἢ οἰδηματώδης ἢ σκιρρώδης ἐστίν, οὐ χρὴ τούτοις διδόναι τὸ ψυχρόν. οὐ μὴν οὐδ' ὅσοις ἔμφραξις ἢ σῆψις χυμῶν ἄπεπτος. Εἰ δ' ἐναργῆ βλέποις τὰ τῆς πέψεως σημεῖα χωρὶς τῶν εἰρημένων ὄγκων, ἐκεῖνο μόνον ἔτι διάσκεψαι, μή τι μόριον οὕτω ψυχρὸν εἴη τὴν κρᾶσιν, ὡς εἰς αὐτὸ κατασκῆψαι τὴν βλάβην. Ἐρυσίπελας δέ, τό γ' οὖν ἀκριβές, οὐκ ἂν ἄλλως ἰάσαιο. συμμιγὴς δ' εἴπερ εἴη φλεγμονῇ, τὰ τῆς πέψεως ἀναμεῖναι χρὴ γνωρίσματα. Ταῦτα μὲν οὖν ἐπὶ πλέον, ἢ κατὰ τὴν ἐνεστῶσαν ὑπόθεσιν. ἀλλ' ἴσως καὶ αὖθις ἀναγκαῖον ἔσται ποτὲ δόσεως ψυχροῦ μνημονεῦσαι. νυνὶ γὰρ ὁ μὲν ἕτερος τῶν συνόχων, ἐπ' ἐμφράξει μόνῃ τὴν γένεσιν ἔχων. ὁ δ' ἕτερος, ἅμα σήψει καθ' ὅλας τὰς φλέβας. ὅταν οὖν ποτ' ἐπ' αὐτῶν ἴδῃς τὰ τῆς πέψεως τῶν χυμῶν σημεῖα, περὶ ὧν αὐτάρκως ἐν τοῖς περὶ κρίσεων εἴρηται, θαρρῶν διδόναι τὸ ψυχρόν. ἡ γάρ τοι φύσις τῶν στερεῶν τοῦ

ζώου

ζώου μορίων ξωσθεῖσα, τοῖς προλελεπτυσμένοις ἀντίθεται χυμοῖς. ὥσθ' ὅσοι μὲν χρηστοὶ καὶ τρέφειν ἱκανοί, τούτους μὲν ἕλκειν εἰς ἑαυτά. τοὺς δ' ἀχρήστους ἐκβάλλειν, ἤτοι διὰ τῆς γαστρός, ἢ διὰ τοῦ δέρματος. εἰ δὲ ψυχροπότης ὁ κάμνων εἴη, πάνυ θαρρῶν δίδου τὸ ψυχρόν, αὐτῇ τῇ πείρᾳ δεδιδαγμένος ἀνέχεσθαι πάντα τὰ σπλάγχνα τῆς ὁμιλίας αὐτοῦ, πάντως γὰρ ἔστι ψυχρὸν οὕτως ὑπερέχον, ὡς πλήττεσθαι πρὸς αὐτοῦ κατὰ τὸν τῆς ὑγείας χρόνον, ἐναργῆ τὴν βλάβην ἐνεδέξατο ἄν. μηδενὸς δὲ μηδὲν μορίου βλαβέντος, οὐδ' ἂν ἐν τῷ πυρέττειν βλαβείη τι. ὅπου γὰρ καὶ ἀήθεις ἔνιοι ψυχροῦ διὰ καυσώδη πυρετὸν ἀναγκασθέντες πιεῖν, οὐδὲν ἐβλάβησαν, σχολῇ γε τῶν ἐθάδων ἄν τις βλαβείη, πρόβλημα μέγιστον ἔχων ἐξ ἀμέτρου τὸ πλῆθος τῆς θερμασίας. αὕτη γοῦν ἐν ταῖς εὐρυχωρίαις τῶν ἀγγείων πολλὴ περιεχομένη, τῆς ἀερώδους οὐσίας ἐν αὐτοῖς. καὶ προσέτι τῶν χυμῶν ἁπάντων ἐκπεπυρωμένων, ὅσον ὑπὸ τοῦ ψυχροῦ πάσχει ψυχομένη, τοσοῦτον εἰς αὐτὸ δρᾷ θερμαίνουσα. καὶ διὰ τοῦτο τοῖς ὀλίγον αἷμα καὶ σάρκας ἔχουσιν, ἡ πόσις τοῦ ψυχροῦ σφαλερωτέρα. ταχὺ γὰρ ἐπὶ τὰ στερεὰ τοῦ ζώου μόρια διϊκνεῖται μηδενὶ προσεντυγχάνων, ὑφ' οὗ θερμανθήσεται. διὰ τοῦτο δὲ καὶ οἱ ἑκτικοὶ τῶν πυρετῶν οὔτ' ἀκραιφνοῦς ὁμοίως οὔτε πολλοῦ χρῄζουσι τοῦ ψυχροῦ, λεπτοῖς καὶ ὀλιγαίμοις τοὐπίπαν ἐγγινόμενοι σώμασιν. ἀλλὰ περὶ μὲν ἐκείνων, αὖθις εἰρήσεται. Ἰάματα δὲ συνόχων πυρετῶν δύο ταῦτ' ἐστὶ μέγιστα. φλεβοτομία καὶ ψυχρόν. ἀλλ' ἐκείνη μὲν ἐν παντὶ καιρῷ, φερούσης γε τῆς δυνάμεως. ἡ δὲ τοῦ ψυχροῦ πόσις, ὅταν ἐν μὲν τοῖς σφυγμοῖς καὶ τοῖς οὔροις, τὰ τῆς πέψεως ἐναργῆ σημεῖα βλέπῃς. μέγιστος δὲ ὁ πυρετὸς εἴη. Προσεπιβλέπειν δὲ τοῖς τῆς φλεβοτομίας σκοποῖς, τά τε προηγούμενα, καὶ τὰ πάντως ἐπακολουθοῦντα. προηγησαμένης γὰρ ἀπεψίας σιτίων, τοσοῦτον χρόνον ἀναβάλλεσθαι κέλευε τὴν φλεβοτομίαν, ὅσος ἂν ἱκανὸς εἶναί σοι δόξῃ πρός τε τὴν πέψιν αὐτῶν καὶ τὴν τῶν περιττωμάτων ὑποχώρησιν. ἑπομένης δέ τινος ἐξ ἀνάγκης κενώσεως, ἀπολιπεῖν αὐτῇ τοῦ περιττοῦ τοσοῦτον, ὅσον μέλλει κενώσει. ὥστε εἴτε καταμήνια τύχοι κινηθέντα κατὰ τὸν τῆς φλεβοτομίας καιρόν, εἴτ' αἱμορροΐς ἀναστομωθεῖσα, θεασάμενος τοῦ φερομένου τὴν ὁρμήν, εἰ μὲν ἱκανὸν αὐτὸ φαίνοιτο μόνον ἐκκενῶσαι τὸ δέον, ἐπιτρέπειν τῇ φύσει τὸ σύμπαν. εἰ δὲ μή, τοσοῦτον ἀφαιρεῖν αὐτοῦ, ὡς ἐξ ἀμφοῖν συντεθέντων ἀνυσθῆναι τὸ προσῆκον. ὥσπερ δ' ἐπὶ τούτων, τὴν φυσικὴν κένωσιν αἰσθητὴν οὖσαν, οὐ μικρὸν χρὴ τίθεσθαι σκοπὸν οὕτως ἐστὶ καὶ τὴν φύσιν, ἢ τὴν ἡλικίαν ἢ τὴν κατάστασιν. ἔνιοι μὲν γὰρ εὐδιαφόρητοι φύσει. παῖδες δ' ἀεὶ διὰ τὴν ἡλικίαν. ἡ κατάστασις δ' ὅταν ἡ θερμή τε ἄγαν καὶ ξηρά, καλῶ δὲ δηλονότι κατάστασιν, τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν, ἐν ᾗ καὶ χώρα καὶ ὥρα περιείληπται. καὶ γὰρ καὶ τούτων ἑκάτερον ἔχει τὴν ἔνδειξιν ἐκ τῆς τοῦ περιέχοντος κράσεως. εὐδιαφόρητοι δ' εἰσίν, οἱ ὑγροὶ τὴν φύσιν ἅπαντες, καὶ μᾶλλον ἅμα θερμότητι. καὶ οἱ ἀραιοὶ τὴν ἕξιν. ἔτι δ' οἷς τὸ στόμα τῆς γαστρὸς ἢ πικρόχολον, ἢ ἄρρωστον, ἢ πέρα τοῦ δέοντος αἰσθητικόν. οὗτοι μὲν οὖν οἱ ἀντιπράττοντες τῇ φλεβοτομίᾳ σκοποί. συνενδεικνύμενοι δ' αὐτὴν τῇ πρώτως χρῃζούσῃ διαθέσει, σκληρὰ μὲν ἡ ἕξις καὶ πυκνή, καὶ τὸ σύμπαν φάναι, δυσδιαφόρητος. ὑγρὸν δὲ ἢ ψυχρὸν τὸ περιέχον. εὐλόγως δή πού τὰ μὲν συνενδείκνυται τὴν φλεβοτομίαν. τὰ δέ, ἀντενδείκνυται. κένωσις μὲν γοῦν αὐτῆς, ὁ σκοπός. τῶν δ' εἰρημένων τὰ μὲν ἐπέχει τὰς διαπνοάς. τὰ δέ, προτρέπει. καὶ τὰ μὲν εὐκένωτά ἐστι. τὰ δέ, οὔ. κωλύει μὲν οὖν διαπνεῖσθαι τὰ σώματα, στέγνωσίς τε τῶν πόρων καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ὑγρότης τε καὶ ψῦξις. προτρέπει δὲ τὰ τούτων ἐναντία. τῶν κενουμένων δ' αὐτῶν τὰ μὲν ὑγρὰ καὶ θερμὰ καὶ λεπτά, διαφορεῖται τάχιστα. τὰ δὲ παχέα καὶ γλίσχρα, καὶ ψυχρά, δυσδιαφόρητά ἐστι. ταυτὶ μὲν οὖν εἴς γε τὰ παρόντα περὶ φλεβοτομίας τε καὶ ψυχρᾶς πόσεως, εἰρῆσθαι κάλλιον. ἅπερ ἀμφότερα, πολλοὺς ἐθεασάμην δεδιότας ἀγυμνάστους ἰατρούς. ὧν τοὺς μὲν αἱμοφόβους. τοὺς δέ, ψυχροφόβους ὀνομάζομεν. ὥσπερ ὑδροφόβους, τοὺς λυττῶντας. εἰσὶ γὰρ ἀμέλει καὶ τούτων ἔνιοι διὰ τὴν περὶ τὰ δόγματα σπουδήν, οὐκ ἐν βραχείᾳ λύττῃ. καταλιπόντες οὖν αὐτούς, ἐχώμεθα τῆς ἐξ ἀρχῆς ἡμῖν προκειμένων, ἀναμνησθέντες, ὡς ἐκ τῶν ἐφημέρων πυρετῶν, ὁ λόγος εἰς τοὺς συνόχους ἀφίκετο τῇ κοινωνίᾳ τῶν συμβαινόντων αὐτοῖς. ἐπειδὴ γὰρ ἡ τῆς ἐμφράξεως διάθεσις ὅταν μὲν αὐτή τε σμικρὰ τύχοι καὶ καλῶς παιδαγωγηθῇ, τὸν ἐφήμερον ἐργάζεται πυρετόν. ὅταν δ' ἤτοι διὰ μέγεθος ἢ δι' ἀμαθίαν ἰατρῶν ἐκπέσοι τοῦ συνήθους χρόνου τῶν ἐφημέρων, ἤτοι σύνοχον, ἢ τινὰ τῶν περιοδιζόντων, εἰκότως ὁ περὶ τοῦ τοῖς ἐφημέροις ὁμογενοῦς συνόχου λόγος, ἡμᾶς ἐξεδέξατο. διὰ δὲ τούτων σήψεως, καὶ ὁ τοῦ μετὰ σήψεως χυμῶν. ἔδοξέ τε βέλτιον εἶναι σαφηνείας ἕνεκα καὶ γυμνασίας ἑνὸς ἀρρώστου μνημονεῦσαι καθ' ἑκάτερον εἶδος τῶν πυρετῶν. ἐπεὶ τοίνυν πέπρακται ἡμῖν, ἐναργῶς τε δέδεικται δι' αὐτῶν, ὅπερ ἐν τῷ πρὸ τούτου γράμματι κατὰ τὴν τελευτὴν ἐλέχθη τὸ χρῆναι τὰς ἐνδείξεις ἐπὶ τῶν ἄλλων πυρετῶν, ὅσοι μηκέτ' εἰσὶν ἐφήμεροι, μὴ μόνον ἀπὸ τῶν ἐν ἐκείνῳ τῷ λόγῳ διδαχθέντων σκοπῶν, ἀλλὰ καὶ τῆς τῶν πυρετῶν ἐργαζομένης αἰτίας, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως λαμβάνεσθαι, πάλιν ἐπὶ τὴν καθόλου γυμνασίαν ἀνέλθωμεν. εὖ εἰδότες ὡς οὐχ οἷόν τ' ἐστὶ τέχνης οὐδὲ μιᾶς ἐπιστήμην κτήσασθαι, χωρὶς τοῦ μέθοδον μέν τινα διὰ τῶν καθόλου λεγομένων θεωρημάτων, ἄσκησιν δὲ διὰ τῶν ἐν μέρει λαμβάνειν πραγμάτων. οὔτε γὰρ οἷόν τε χωρὶς τοῦ γυμνάσασθαι πολυειδῶς ἐν τοῖς κατὰ μέρος ἐπὶ τῶν καθ' ἕκαστον ἃ χρὴ πράττειν, οὔτ' αὐτὴν τὴν γυμνασίαν ἐγχωρεῖ γίγνεσθαι προσηκόντως ἄνευ τῆς τῶν καθόλου γνώσεως. ἐν ἐκείνοις μὲν γοῦν ἡ μέθοδος. ἡ δ' ἄσκησις, ἐν τοῖς κατὰ μέρος. ὥσπερ οὖν ὅσοι βαδίσαι τινὰ ὁδὸν ἐφίενται, τοῖς σκέλεσιν ἀμφοτέροις ἐν μέρει χρῶνται, θατέρῳ δ' εἴ τις σκάζων μόνῳ χρῷτο, παμπόλλῳ τε χρόνῳ, καὶ μετὰ τοῦ σφάλλεσθαι πολλάκις ἀνύσει τὴν πορείαν, οὕτως ὅστις ἐπὶ τέλος ἀσινοῦν ἀφικέσθαι τέχνης ἐθέλει, χρηστέον αὐτῷ τοῖς δύο τούτοις οἷόνπερ σκέλεσιν ἢ ὀργάνοις, ἢ ὅπως ἄν τις ὀνομάζειν βούληται. μεθόδῳ μὲν ἐν τοῖς καθόλου θεωρήμασιν. ἀσκήσει δ' ἐν τοῖς κατὰ μέρος. ἀνελθόντες οὖν αὖθις ἐπὶ τὴν μέθοδον, ὑπὲρ τῆς τοῦ κάμνοντος ἐπισκεψώμεθα δυνάμεως. εἴτε συντελεῖ τι πρὸς τὴν θεραπείαν, εἴτ' οὐδὲν ὅλως, ὡς ἔδοξέ τισιν. ἔοικε δέ τισιν ἄχρηστον εἰς θεραπείας εὕρεσιν εἶναι φαμένοις τὴν δύναμιν, οὐκ οἰκεία τοῖς ἔργοις τῆς τέχνης ἡ σκέψις, ἀλλὰ λογικωτέρα μᾶλλον ὡς σοφισταῖς γεγονέναι. λέγουσι μὲν γὰρ ἐκ τῆς διαθέσεως, ἣν θεραπεύομεν, εἶναι τὴν ἔνδειξιν.

ὧν χρὴ πράττειν, οὐκ ἐκ τῆς δυνάμεως. ἀμέλει καὶ ὥρας καὶ χώρας καὶ καταστάσεις καὶ ἡλικίας καὶ ἔθη καὶ κράσεις σωμάτων ἀχρήστους εἶναί φασι κατὰ τὸν αὐτὸν λόγον. εἶθ᾽ ὅταν ἀναγκάζωνται τὴν θεραπείαν ἐξαλλάττειν, διὰ ταῦτα τῶν ἐξ ἀρχῆς ῥηθέντων ἑαυτοῖς ἐπιλανθανόμενοι, τὰ μὲν αὐτῶν ἀντενδείκνυσθαι φασὶν ἐνίοτε τοῖς θεραπευτικοῖς σκοποῖς. τὰ δ᾽ εἰς ὕλας βοηθημάτων εἶναι χρήσιμα. καθάπερ καὶ τὰ μόρια τοῦ ζώου. καὶ γὰρ ἐπ᾽ ἐκείνων, τὴν αὐτὴν στρέφονται στροφήν, ἐν ἀρχῇ μὲν τοῦ λόγου ἄχρηστα πρὸς τὴν τῆς θεραπείας εὕρεσιν ὑπάρχειν αὐτὰ φάσκοντες. ὕστερον δ᾽ ὅταν ἐξελέγχωνται, πρὸς μὲν τὴν ἔνδειξιν τῆς θεραπείας, ἄχρηστα λέγοντες. εἰς δὲ τὴν τῆς ὕλης ἐξάλλαξιν ἢ εὕρεσιν, ἢ διαφορὰν, ἢ ποιότητα, καὶ γὰρ καὶ ὀνομάζουσιν οὐχ ὡσαύτως ἅπαντες, ἀναγκαῖα συγχωροῦντες ὑπάρχειν. ὅπερ οὖν εἶπον ἀρτίως, ἀναλήψομαι καὶ νῦν. ὡς ἐκ τοῦ χρησίμου τῆς τέχνης μεταβαίνοντες, εἰς λογικὴν ἀφικνοῦνται σκέψιν. ἔστι μὲν γὰρ τὸ χρήσιμον ἐξευρεῖν βοηθήματα, δι᾽ ὧν ὁ κάμνων θεραπευθήσεται. καταλιπόντες δ᾽ ἐκεῖνοι τοῦτο, περὶ ὀνομάτων ἐρίζουσιν. ἐνδείξεις τε καὶ ἀντενδείξεις λέγοντες, καὶ κοινότητας, καὶ σκοποὺς καὶ ὕλας βοηθημάτων. ὅσα τ᾽ ἄλλα τοιαῦτα τῇ διαφορᾷ τῶν ὀνομάτων ἀπολογεῖσθαι νομίζοντες, ὑπὲρ ὧν ἀπεφήναντο ψευδῶς. ἐγὼ δ᾽ οὐ κωλύω μὲν αὐτοὺς ὀνόμασιν οἷς ἂν ἐθέλωσι χρῆσθαι. μεμνῆσθαι δ᾽ ἀξιῶ τῶν ἐξ ἀρχῆς προτεθέντων ἀπερ δεῖ βοηθημάτων εὑρέσεις. εἰς ἃς ὅ,τι περ ἂν φαίνηται συντελοῦν, ὁπωσοῦν ἀναγκαῖον αὐτὸ φατέον εἰς τὴν θεραπείαν ὑπάρχειν. οὕτως οὖν καὶ ἡ δύναμις εἴτ᾽ ἀναγκαία σκοπεῖσθαι τοῖς ἰατροῖς ἐπὶ τῶν ἀρρωστούντων, εἴτ᾽ οὐκ ἀναγκαία σκοποῦμεν. ἐγὼ μὲν γάρ φημι πολλάκις ἀναγκαιοτάτην ὑπάρχειν αὐτὴν ὡς πάντα σχεδόν τι τὰ περὶ τὸν κάμνοντα δι᾽ ἐκείνην πράττεσθαι μόνην. ἔστι δ᾽ ὅτε μετρίως ἀναγκαίαν, ὡς λαμβάνεσθαι μέν τι καὶ ἐξ αὐτῆς εἰς τὰ ποιητέα. μὴ μὴν τοι πρὸς αὐτήν γε τὸ πᾶν κῦρος ἀναφέρεσθαι τῶν πρακτέων. αὖθις δ᾽ ἂν ἐπιδείξαιμι τὴν δύναμιν οὕτω βραχὺ συντελοῦσαν εἰς τὴν τῶν βοηθημάτων εὕρεσιν, ὡς διὰ σμικρότητα καὶ λανθάνειν ἐνίοτε καὶ παρεκπέμπεσθαι καὶ σιωπᾶσθαι, καθάπερ ὅλως οὐκ οὖσαν ἐκ τῶν χρησίμων σκοπῶν. ἀλλ᾽ ὅπερ ἐπὶ τῆς δυνάμεως ἐστὶ, τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὑπάρχει τῶν ἐνδεικνυμένων. ἄλλο τε γὰρ αὐτῶν ἄλλο. τὸ μὲν ἧττον δύναται. τὸ δὲ, πλέον. ἐνίοτε δὲ οὕτως ἰσχυρόν ἐστιν, ὡς μόνον ἐνδείκνυσθαι δοκεῖν. ἢ οὕτως ἀσθενὲς, ὡς παραλείπεσθαι. ταῦτ᾽ οὖν ὑποδεικνύντι μοι πρόσεχε τὸν νοῦν, ἐκεῖνο διὰ μνήμης ἔχων ὡς οὔτ᾽ ἐν ἄλλοις τισὶ τὸ μεθόδῳ θεραπεύειν ἐστὶν, οὔτ᾽ ἄλλος τις πρὸ ἡμῶν διωρίσατο πάνθ᾽ ἑξῆς αὐτά. καίτοι γε ὑφ᾽ Ἱπποκράτους εὑρημένης τῆς ὁδοῦ. ταυτὶ γὰρ ἃ νῦν ἐγὼ μέλλω διέρχεσθαι τὴν θεραπείαν ἐνδεικνύμενα, πρῶτος ἁπάντων ἐκεῖνος ἔγραψεν. ἀλλ᾽ ὡς ἂν πρῶτος εὑρίσκων, οὔτε τὴν προσήκουσαν ἅπασιν ἐπέθηκε τάξιν, οὔτε τὴν ἀξίαν ἑκάστου τῶν σκοπῶν ἀκριβῶς ἀφωρίσατο. παρέλιπέ τε τινὰς ἐν αὐτοῖς διορισμοὺς, ἀσαφῶς τε τὰ πλεῖστα διὰ παλαιὰν βραχυλογίαν ἑρμήνευσε. καὶ δὴ καὶ περὶ τῶν ἐπιπεπλεγμένων διαθέσεων, ὀλίγιστα παντάπασιν ἐδίδαξε. συνελόντι δὲ φάναι, τὴν ἐπὶ τὰς ἰάσεις ὁδὸν ἅπασαν μέν μοι δοκεῖ τέμνεσθαι, δεομένην μέντοι γ᾽ ἐπιμελείας εἰς τὸ τέλεον. ὥσπερ καὶ νῦν ὁρῶμεν ἐνίας τῶν ἐπὶ τῆς γῆς ὁδῶν τῶν παλαιῶν, ἢ πηλῶδες τι μόριον ἑαυτῶν, ἢ λίθων, ἢ ἀκανθῶν πλῆρες, ἢ λυπηρῶς ὄρθιον, ἢ κάταντες σφαλερῶς, ἢ θηρίων πλῆρες, ἢ διὰ μέγεθος ποταμῶν δύσβατον, ἢ μακρὸν, ἢ τραχὺ κεκτημένας. ἀμέλει ταῦτ᾽ ἐχούσας ἁπάσας τὰς ἐπὶ τῆς Ἰταλίας ὁδοὺς, ὁ Τραϊανὸς ἐκεῖνος ἐπανωρθώσατο. τὰ μὲν ὑγρὰ καὶ πηλώδη μέρη, λίθοις στρωννὺς, ἢ ὑψηλοῖς ἐξαίρων χώμασιν. ἐκκαθαίρων δὲ τά τε ἀκανθώδη, καὶ τραχέα, καὶ γεφύρας ἐπιβάλλων τοῖς δυσπόροις τῶν ποταμῶν. ἔνθα δ᾽ ἐπιμήκης οὐ προσηκόντως ὁδὸς ἦν, ἐνταῦθα σύντομον ἑτέραν τεμνόμενος. ὥσπερ καὶ εἰ δι᾽ ὕψος λόφου χαλεπὴ, διὰ τῶν εὐπορωτέρων χωρίων ἐκτρέπων. καὶ εἰ θηριώδης ἢ ἔρημος, ἐξιστάμενος μὲν ἐκείνης, ἐφιστάμενος δ᾽ εἰς τὰς λεωφόρους. ἐπανορθούμενος δὲ καὶ τὰς τραχείας. οὔκουν χρὴ θαυμάζειν εἰ μαρτυροῦντες Ἱπποκράτει τὴν εὕρεσιν τῆς θεραπευτικῆς μεθόδου, γράφειν ἐπεχειρήσαμεν αὐτοὶ τήνδε τὴν πραγματείαν. οὐ γὰρ ὡς οὐδ᾽ ὅλως εὑρεθείσης αὐτῆς, ἀλλ᾽ ὡς δεομένης ὧν ὀλίγον ἔμπροσθεν εἶπον, ἐπὶ τήνδε τὴν συγγραφὴν ἧκον. οὐδένα τῶν πρὸ ἐμοῦ συμπληρώσαντα τὴν μέθοδον εὑρών. ἔνιοι μὲν γὰρ οὐκ ἔγνωσαν ὅλως αὐτήν. ἔνιοι δὲ γνόντες, οὐκ ἠδυνήθησαν προσθεῖναι τὸ λεῖπον. εἰσὶ δ᾽ οἳ καὶ κατακρύψαι καὶ συσκιάσαι προείλοντο, καὶ ἀφανῆ ποιῆσαι παντάπασιν. οἵτινες δ᾽ εἰσὶν οὗτοι, προϊόντος ῥηθήσεται τοῦ λόγου. νυνὶ δ᾽ ὅπερ ὑπεσχόμην, ἤδη ποιήσω. πάντας ἑξῆς ἐκθήσομαι τοὺς θεραπευτικοὺς σκοπούς. ἀρχὴ δ᾽ αὐτῶν εἰς σαφήνειαν χρήσιμος, ἀνάμνησις ὧν ἐν τῷ πρὸ τούτου γράμματι διῆλθον, ὑπὲρ τῶν ἐφημέρων πυρετῶν διαλεγόμενος. ἐφαίνετο γὰρ ἐπ᾽ ἐκείνων ἔνδειξις ἡ πρώτη μὲν καὶ, ὡς ἂν εἴποι τις, κυριωτάτη, τὴν διάθεσιν τοῦ νοσοῦντος ἐκκόπτειν. ὥσπερ ἐπὶ τῶν ὑγιαινόντων ἐδείχθη, φυλάττειν. ἀλλ᾽ ὥσπερ τηρεῖσθαι διὰ τῶν ὁμοίων, οὕτως ἀναιρεῖσθαι διὰ τῶν ἐναντίων. συνενδείκνυσθαι δ᾽ ἐλέγομεν εἰς τὴν τῶν ἰαμάτων εὕρεσιν, αὐτήν τε τοῦ σώματος τὴν κρᾶσιν, ἅμα τοῖς ἔθεσι. καὶ τὴν χώραν καὶ τὴν ὥραν, καὶ τὴν κατάστασιν. ἐφ᾽ ὧν δὲ νοσημάτων ἐξαίρετός τις ἐν ἑνὶ μορίῳ τοῦ ζώου διάθεσις ἐγένετο, καθάπερ ἐπὶ τῶν ἐγκαύσεων ἐν τῇ κεφαλῇ, λαμβάνεσθαί τινα κἀκ τοῦ μέρους τούτου ἔνδειξιν. οὐ μὴν ἐν ἐκείνῳ γε τῷ γράμματι περὶ τῆς δυνάμεως, ἢ τὴν διάθεσιν ἐργαζομένης αἰτίας, εἴρηταί τι. διὰ τὸ τὴν μὲν δύναμιν, οὐδὲ μιᾶς ἐξαιρέτου δεῖσθαι προνοίας ἐν τοῖς ἐφημέροις πυρετοῖς, ὡς ἂν ἐρρωμένην τὸ πάμπαν. διάθεσίν τε οὐδὲ μίαν εἶναι τὸν ἀκριβῶς ἐφήμερον πυρετὸν, ἤτοι γεννῶσαν ἢ αὐξάνουσαν. ἑκατέρως γὰρ ἐγχωρεῖ λέγειν. ἀλλὰ νῦν γε περὶ πρώτης διελθὼν τῆς δυνάμεως, ἑξῆς ἐπὶ τὰς γεννώσας αἰτίας τὸν πυρετὸν ἀφίξομαι τῷ λόγῳ. διοικοῦσι τὸ ζῶον, ὡς ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπεδείκνυτο, τρεῖς ἑτερογενεῖς ἀλλήλων δυνάμεις, ὥσπερ ἐκ πηγῆς τινος ἰδίας ἑκάστη, παντὶ τῷ σώματι διανεμόμεναι. καλεῖ δ᾽ αὐτὰς ὁ Πλάτων ψυχὰς, ἰδίαν ἑκάστης εὑρίσκων τὴν οὐσίαν. ἔστι δ᾽ ἡ μέν τις αὐτῶν εἰς τὸ τρέφεσθαι τὸ ζῶον ἀναγκαία, καὶ κοινὴ πρὸς τὰ φυτά. τὴν μὲν οἷον πηγὴν ἔχουσα, τὸ ἧπαρ. ὀχετοὺς δ᾽ ἐξ αὐτῆς εἰς ὅλον τὸ σῶμα διασπειρομένους τὰς φλέβας. ἣν εἴτ᾽ ἐπιθυμητικὴν, εἴτε φυσικὴν, εἴτε θρεπτικὴν ὀνομάζοις, οὐδὲν διοίσει. καθάπερ οὐδ᾽ εἰ ψυχὴν, ἢ δύναμιν. ἑτέρα δ᾽ οὐ μόνον ὡς φυτοῖς ἡμῖν ἢ ζῶσιν, ἀλλὰ καὶ ὡς ζώοις ὑπάρχουσα ψυχὴ κατὰ τὴν καρδίαν ἵδρυται, πηγή τις οὖσα καὶ ἥδε τῆς ἐμφύτου θερμασίας. ὀχετοὶ δὲ καὶ ταύτης τῆς πηγῆς, αἱ ἀρτηρίαι, καλουμένης καὶ αὐτῆς, ὀνόμασι

ὀνόμασι πολλοῖς· καὶ γὰρ δύναμις ζωτικὴ, καὶ δύναμις θυμοειδὴς, καὶ ψυχὴ θυμοειδὴς ὀνομάζεται. τρίτη δ' ἐν ἐγκε-
φάλῳ καθίδρυται ψυχὴ λογικὴ, τῶν τε κατὰ προαίρεσιν ἐνεργειῶν, ἅμα ταῖς αἰσθήσεσιν ἐξηγουμένη. χρῆται δὲ μορίοις
καὶ ἤδη, καθάπερ ὀχετοῖς τισι τοῖς νεύροις, αἴσθησίν τε καὶ κίνησιν ἐπιπέμπουσα δι' αὐτῶν τῷ ζώῳ παντί. τὸ μὲν
δὴ ταύτας φυλάττειν τὰς δυνάμεις, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ φυλάττειν τὴν ζωήν. ἐδείχθη γὰρ ὅπως ἀπολλυμένης ἤτοι
νοσούσης ἐξ αὐτῶν μιᾶς, ἀναγκαῖόν ἐστι καὶ τὰς λοιπὰς συναπόλλυσθαι. καὶ διὰ τοῦτο κατὰ τὴν ὑγιεινὴν πραγμα-
τείαν, ὁ σκοπὸς ἡμῖν οὗτος ἦν. ἐπὶ δὲ τῆς θεραπευτικῆς, ὁ μὲν πρῶτος σκοπὸς, ἀνάλογον τῷ κατὰ τὴν ὑγιεινὴν, ἡ τοῦ
νοσήματος ἀναίρεσίς ἐστιν. οἷον γὰρ ἐπ' ἐκείνης τὸ φυλάξαι τὴν ὑγείαν ὑπάρχει, τοιοῦτον ἐπὶ ταύτης ἐκκόψαι τὴν
νόσον. ἐν δ' ἀμφοτέραις αὐταῖς κοινὸν, ἡ φυλακὴ τῆς ζωῆς. ἐπὶ μὲν τῆς ὑγιεινῆς πραγματείας, ἑπομένη τῇ φυλα-
κῇ τῆς ὑγείας. ὃ γὰρ ἂν ὑγείας ἕνεκα πράττοιτο, τοῦτ' εὐθέως ἐστὶ, καὶ τῆς ζωῆς φυλακτικόν. ἐπὶ δὲ τῆς θεραπευτικῆς,
οὐκέτι. διὰ τὸ τὰ λυτικὰ τῶν παρὰ φύσιν ἐν ἡμῖν διαθέσεων, οὐκ ἐξ ἅπαντος φυλάττειν τὴν ζωήν. ἔνια γοῦν ἐξ αὐ-
τῶν ἐστὶ τοιαῦτα ταῖς δυνάμεσιν, ὥστε ἀμετρότερον ἢ ἀκαιρότερον αὐτοῖς χρησαμένων, ἀπόλλυσθαι τὴν ζωήν.
αὐτίκα γοῦν τῆς φλεβοτομίας, ἣν ὀλίγον ἔμπροσθεν ἄχρι λειποθυμίας ἐλέγομεν χρῆναι ποιεῖσθαι, χάριν τοῦ σβέσαι
τὴν φλόγα τῶν ἐπὶ στεγνώσει συνόχων, οὐ σμικρόν τι τὸ βλάβος εἰκὸς ἀκολουθήσειν, εἰ μὴ κατὰ τὸν προσήκοντα
καιρὸν ἢ τὸ δέον ἐκπληρωθείη μέτρον. δύο οὖν ἀνθρώπους ἀπολλυμένους εἶδον ἐν αὐταῖς τῶν ἰατρῶν ταῖς χερσί.
λειποθυμήσαντας μὲν, ἀνακομισθέντας δ' οὐκέτι. πολλοὶ δὲ εἰ καὶ μὴ παραχρῆμα διεφθάρησαν, ἀλλ' ἐξ ὑστέρου γε
διὰ τὸν τῆς δυνάμεως κάματον. οὓς εἴ τις ἐκένωσεν ἄνευ τοῦ καταλῦσαι τὴν δύναμιν, οὐκ ἂν ἀπώλοντο. καὶ
μήν γε καὶ εἰς νόσον ἔνιοι μακρὰν ἐξέπεσον, ἐπὶ κενώσεσιν ἀμέτροις ἐκλυθείσης τῆς δυνάμεως. ἄλλοι δ' εἰς τὸν ἐφε-
ξῆς βίον ἅπαντα, τὴν κρᾶσιν ὅλην τοῦ σώματος ἔσχον ψυχροτέραν, οὐ δυνηθέντος οὐκέτ' ἀνακαλέσασθαι τὴν ἐκ τῆς
ἀμέτρου κενώσεως βλάβην. ἐξ ἧς ψυχρότητος οἱ μὲν, ἄχροοί τε καὶ καχέκται καὶ ῥᾳδίως ἐπὶ παντὶ βλαπτόμενοι
διετέλεσαν. ἄλλοι δ' ἐξ αὐτῆς τούτου, νοσήμασιν ἑάλωσαν ὀλεθρίοις, ὑδέροις, καὶ ὀρθοπνοίαις, καὶ ἥπατος ἀτονίαις
καὶ γαστρὸς, ἀποπληξίαις τε καὶ παραπληξίαις. εἰς τοσοῦτον οὖν ἀναγκαίας οὔσης τῆς δυνάμεως, ἁπάντων αὐτὴν
τῶν κενωτικῶν βοηθημάτων ὅταν ἀμετρότερον αὐτοῖς τις χρήσαιτο βλαπτόντων, ἐναντιούμεναι δηλονότι πρὸς
ἀλλήλας αἱ ἐνδείξεις γίγνονται, περὶ τὰ τοιαῦτα τῶν σωμάτων. ἐν οἷς ἡ μὲν διάθεσις ἵνα λυθῇ, δεῖται κενώσεως
ἀξιολόγου. φέρειν δ' αὐτὴν ἡ δύναμις οὐ δύναται. πολλάκις δ' οὐδὲν ὑπὸ τῆς κενώσεως ἡ δύναμις βλαπτομένη
παρορᾶται τοὐντεῦθεν ὑπὸ τῶν ἀσκέπτων τε ἅμα καὶ προπετῶν ἰατρῶν, ὡς οὐδέ ποτε οὐδὲν ἐνδεικνυμένη. σφάλ-
λονται δὲ ὡς εἴρηται διὰ τὸ μὴ γινώσκειν, ὡς ἄλλου μέν τινος ἕνεκεν ἡ δύναμις σκοπὸς τῶν ποιητέων ἐστίν. εἰς δὲ
τὴν λύσιν τῆς διαθέσεως, οὐδὲν ἐνδείκνυται. ὥσπερ οὖν ἐπὶ τῶν ὑγιαινόντων, ἕπεται διὰ παντὸς τοῖς ἕνεκα τῆς ὑ-
γείας πραττομένοις, καὶ οὐδὲν ἐστιν εὑρεῖν τὸ φυλακτικὸν ὑγείας ἀναιρετικὸν τῆς δυνάμεως, οὕτως ἐπὶ τῶν νοσούντων
ἐνίοτε μὲν ἕπεται τοῖς ὡς πρὸς τὴν λύσιν αὐτοῦ πραττομένοις, ἐνίοτε δ' ἀναιρεῖται πρὸς αὐτῶν. εἰ μὲν γοῦν ὀλίγον τῆς
δυνάμεως εἴη τὸ πλῆθος ἰσχυρότερον, ἐπὶ ταῖς συμμέτροις κενώσεσιν οὐ μόνον οὐδεμία βλάβη τῆς δυνάμεως,
ἀλλὰ καὶ ὠφέλεια μεγίστη γίνεται τοῦ βαρύνοντος αὐτὴν ἀρθέντος. εἰ δ' ἵνα μὲν ἡ διάθεσις ἰαθῇ, πολλὴ χρεία τῆς
κενώσεως εἴη. καταλύοιτο δὲ ὑπὸ τῆς τοσαύτης ἡ δύναμις. οὐ μόνον ἂν πάλιν οὐδὲν ὀνήσεται πρὸς αὐτῆς ὁ ἄνθρω-
πος, ἀλλὰ καὶ κινδυνεύσει τὰ μέγιστα. κατὰ μὲν οὖν τὰς ἐπὶ στεγνώσει συνόχους ἰσχυρᾶς οὔσης ὡς τὰ πολλὰ τῆς δυ-
νάμεως, ἀκίνδυνος ἡ κένωσις. ἐν ἑτέροις δὲ νοσήμασιν, ἐσχάτως ἐστὶ κινδυνώδης. οἷον ἐπὶ τῆς διαφθορᾶς εἰ τύχῃ
τῶν χυμῶν. ἐν καιρῷ γὰρ ἂν εἴη μνημονεύειν αὐτῆς, ὑπὲρ τοῦ καὶ τοὺς τῆς φλεβοτομίας ἅπαντας σκοποὺς, ἐν τούτῳ τῷ βι-
βλίῳ διορίζειν. τὸ τοίνυν διεφθαρμένον ἀλλότριόν ἐστι τῇ φύσει, τὸ τοιοῦτον δ' ἐνδείκνυται τὴν ἄρσιν. ἐὰν οὖν ἡ
διαφθορὰ ποτὲ μετὰ δυνάμεως ἀσθενοῦς συμπέσῃ, μάχεται τὸ τῆς διαθέσεως τὸ βοήθημα τῇ φυλακῇ τῆς δυνά-
μεως. ἡ μὲν γὰρ διάθεσις, ἐνδείκνυται τὴν κένωσιν ἤτοι διὰ φλεβοτομίας, ἢ καθάρσεως. οὐδετέραν δ' αὖ ἡ ἄρ-
ρωστος οἴσει δύναμις. ἐπεὶ τοίνυν ἐν ἁπάσαις ταῖς τοιαύταις μάχαις ἄπορος ἡ βοήθεια γίνεται, ποτὲ μὲν ὅλως
ἀνίατος ἡ διάθεσις ἔσται, ποτὲ δὲ ἐν χρόνῳ καὶ μόγις ἰατροῦ μεγάλου τυχοῦσα, δύναιτ' ἂν ἰαθῆναι. χρὴ γὰρ δη-
λονότι περὶ τὰς τοιαύτας ἐναντιώσεις τῶν ἐνδείξεων, κατὰ βραχὺ μὲν ἐκκενοῦν τὸ μοχθηρὸν, κατὰ βραχὺ δ' ἀντ'
αὐτοῦ τὸ χρηστὸν ἐντιθέναι. καλεῖται δ' ἐπίκρασις ὑπὸ τῶν ἰατρῶν, ἡ τοιαύτη θεραπεία τῆς κακοχυμίας. μεμνή-
σθω δέ μοι πρὸς τὰ μέλλοντα καὶ τοὺς τῆς φλεβοτομίας σκοπούς. ἐπειδὴ γὰρ αἵματός ἐστι κένωσις ἡ φλεβοτομία,
καὶ χρηστὸν τῇ φύσει τὸ αἷμα, χρὴ δή που καλῶς αὐτὴν γίγνεσθαι τὸ ἄχρηστον τῇ φύσει κενοῦσαν. ἄχρηστον δὲ γίγνεται τῇ
φύσει τὸ αἷμα διττῶς. ἢ τὸ μὴ φυλάττον ἀκριβῶς τὴν ἑαυτοῦ ποιότητα, μηδὲ τρέφειν ἔτι δυνάμενον ὡς πρόσθεν
χρηστὸν, ἢ τὸ πλῆθος τοσοῦτον γενόμενον, ὡς ἤτοι βαρύνειν τὴν δύναμιν, ἢ τείνειν, ἢ ῥηγνύειν, ἢ ἐμφράττειν τάς τε ἀρτη-
ρίας καὶ τὰς φλέβας. ἐν τούτοις μὲν ἡ φλεβοτομία χρήσιμος, ὡς ἕν τι καὶ αὐτὴ τῶν κενωτικῶν βοηθημάτων. ἐν ἑτέροις
δ' ὡς ἀντισπαστικὸν, ἢ παροχετευτικὸν, ὅταν ὁρμὴν χυμῶν σφοδροτέραν ἤτοι γε εἰς τοὐναντίον ἀντισπάσωμεν δι'
αὐτῆς, ἢ παροχετεύσωμεν εἰς τὰ πλάγια. δεῖται δ' ἀεὶ δυνάμεως ἰσχυρᾶς ἐξαρκούσης τῷ ποσῷ τῆς κατ' αὐτὴν κενώ-
σεως. ἐκ τούτων οὖν τῶν σκοπῶν, ἐνίοτε μὲν ἅπαξ ἀφαιροῦμεν αἵματος. ἐνίοτε δὲ, δὶς, ἢ τρὶς, ἢ πλεονάκις, ὡς κἀν τοῖς
ἑξῆς ἔσται δῆλον. ἐν δὲ τῷ παρόντι, τοῦθ' ἡμῖν δέδεικται σαφῶς ὅτι τῶν κενωτικῶν βοηθημάτων ἐνίοτε μὲν ἀλύπως ἡ
δύναμις ἀνέχεται μήτε ὀνιναμένη πρὸς αὐτῶν μηδὲν ὅτι καὶ ἄξιον λόγου, μήτε βλαπτομένη. πολλάκις δ' ἤτοι μᾶλ-
λον ἢ ἧττον ὠφελεῖταί τε καὶ βλάπτεται, καὶ ὡς ὁπόταν μὲν ἀξιόλογον γένηται τὸ βλάβος ἐκ τῶν κενωτικῶν βοηθημάτων,
ἐναργῶς φαίνεται τηνικαῦτα ἡ δύναμις ἐνδεικνυμένη τι καὶ αὐτὴ χρήσιμον. ὥσπερ γε καὶ ὁπόταν ὠφελῆται σα-
φῶς. ὁπόταν δὲ μήτε ὄφελος αὐτῇ τι μήτε βλάβος ἐκ τῶν τὴν διάθεσιν ἀνασκευαζόντων γένηται, παρορᾶται μὲν τη-
νικαῦτα ὡς ἄχρηστος, μία δὲ κἀκ ταύτης ἐστὶ διαπαντὸς ἡ τοῦ συμφέροντος ἔνδειξις. ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων.
περὶ γὰρ τὴν ἑαυτοῦ φύσιν ἐνδεικνύμενον ἕκαστον, ἓν ἐνδείξεται διαπαντὸς ὡς ἂν καὶ μίαν ἔχῃ τὴν φύσιν. καὶ τοῦτ' ἔστιν εἰ
μὲν ἁπλοῦν εἴη, τὸ τὴν ἔνδειξιν ποιούμενον, ἁπλοῦν ἔσται καὶ αὐτό. συνθέτου δ' ὑπάρχοντος ἐκείνου, καὶ τοῦτ' ἔσται σύνθετον:

Ἔνια μὲν οὖν ἐνδείκνυται τὴν ἑαυτοῦ φυλακήν, ἔνια δὲ τὴν ἀναίρεσιν. ὁποτέρως δ' ἂν τοῦτο ποιῇ. τὸ μὲν ἁπλοῦν, ἁπλῆν τε καὶ τὴν ἔνδειξιν ἔχει. τὸ δ' οὐχ ἁπλοῦν, οὐχ ἁπλῆν. διὰ τοῦτο ἐν τοῖς ἔμπροσθεν ἀεὶ τὴν μὲν ἁπλῆν δυσκρασίαν, ἁπλῆν καὶ τὴν ἔνδειξιν ἔφαμεν ποιεῖσθαι. καθάπερ, εἰ τύχοι, ἐπὶ ψύξεως τὴν θερμότητα. τὴν δ' οὐχ ἁπλῆν, οὐδὲ τὴν ἔνδειξιν ἔχειν ἁπλῆν. τὴν γὰρ θερμὴν καὶ ξηρὰν δυσκρασίαν ἐνδείκνυσθαι τὴν ἴασιν ἑαυτῆς, διὰ τῶν ὑγραινόντων τε καὶ τῶν ψυχόντων. ἕξει τοίνυν καὶ ἡ δύναμις ἀεὶ τὴν ἔνδειξιν μίαν, ἥτις ἐστὶν ἑαυτῆς φυλακή. ἐκ τίνων οὖν φυλαχθήσεται; κατὰ μὲν πρῶτον λόγον, ἐκ τοῦ τῆς οὐσίας αὐτῆς τὸ κενούμενον ἢ ἀλλοιούμενον, ἐπανορθοῦσθαι. κατὰ δεύτερον δ' ἐκ τοῦ κωλύειν ἡμᾶς τὰ κενοῦν ἢ ἀλλοιοῦν τὴν οὐσίαν αὐτῆς δυνάμενα. περιλαμβανέσθω δ' ἐν τοῖς ἀλλοιοῦσι βραχυλογίας ἕνεκα, καὶ τὰ τὴν συνέχειαν ἑαυτῆς διασπῶντα. ταύτῃ οὖν ἀεὶ τῆς δυνάμεως ἐνδεικνυμένης, ἐπὶ μὲν τῶν ὑγιαινόντων ὡς εἴρηται, συμφωνία τῶν πραττομένων ἁπάντων ἐστὶν εἰς τὴν διαμονὴν αὐτῆς. ἐπὶ δὲ τῶν νοσούντων, οὐκ ἀεί. κἀν τούτῳ χρὴ σκοπεῖσθαι τὸ ἐπικρατοῦν ἤτοι κατὰ τὸ μέγεθος, ἢ καὶ κατὰ τὴν ἀξίαν, ὡς καὶ πρόσθεν ἐλέγετο. μέγιστον μὲν οὖν ἀξίωμα τὸ τῶν δυνάμεών ἐστιν. αὐτὸ γὰρ τὸ ζῆν ἡμῖν, ἐκ τῆς τούτων ὑπάρχει φυλακῆς. ἐπειδὴ καὶ τὴν ζωὴν ἀναγκαῖον ἤδη αὐτὰς τὰς δυνάμεις ἢ τὰς ἐνεργείας αὐτῶν, ὑπάρχειν. οὐδὲν δ' ἂν εἴη τῆς ζωῆς πρῶτον ἐν τοῖς τῶν ζώων σώμασιν, ὅτι μηδ' ὑγιαίνειν οἷόν τε χωρὶς τοῦ ζῆν. ἡ δύναμις οὖν ἁπάντων πρῶτον φυλακτέα τοῖς ἀνθρώποις ἐστὶν ἐκ τοῦ μήτε κενοῦσθαι τὴν οὐσίαν αὐτῆς, μήτ' ἀλλοιοῦσθαι τοσαύτην ἀλλοίωσιν, ὅση πλησιάζει φθορᾷ. καὶ ταύτης τῆς φυλακῆς ἐστι μόριον, ὅταν τὴν εὐκρασίαν, ἤτοι φυλάττομεν οὖσαν, ἢ οὐκ οὖσαν ἐργαζόμεθα. μετὰ δὲ τὴν δύναμιν, ἡ ἀπὸ τῶν διαθέσεών ἐστιν ἔνδειξις, ἃς θεραπεύειν πρόκειται. κἄπειτα ἑξῆς τἄλλα. πᾶν οὖν ὅπερ ἂν μάχηται τῇ ἀπὸ τῆς δυνάμεως ἐνδείξει, δεύτερόν ἐστι καὶ ὕστερον ὧν ἐκείνη κελεύει. τὰ δ' εἰς ταὐτὸ συμβαίνοντα τοῖς ἐκείνῃ συμφέρουσιν, ἀμφοτέρας ἔχει τὰς ψήφους, καὶ τὴν τῶν πρωτείων, ὡς ἂν εἴποι τις, καὶ τὴν τῶν δευτερείων. ὥστε ταῦτα μὲν ἀναμφισβητήτως ποιητέα. τὰ δ' ἐναντιούμενα ποτὲ μὲν οὐδόλως ἐστὶ ποιητέα. ἐνίοτε δ' ἐπ' ὀλίγον. εἰ γὰρ ἡ διάθεσις ἣν θεραπεύειν προαιρούμεθα χρῄζοι κενώσεως, ἄρρωστος δ' ἡ δύναμις ἐσχάτως ὑπάρχει, τῶν τὴν διάθεσιν ἰωμένων, οὐδὲν τῷ κάμνοντι προσάξομεν ἐν ἐκείνῳ τῷ χρόνῳ παντί, καθ' ὅσον ἀνατρέφομεν τὴν δύναμιν. ὅταν δ' εἰς τοσοῦτον ἰσχύος ἥκειν αὐτὴν ὑπολάβωμεν, ὡς ἤτοι μηδὲν ἢ ὀλίγον ὑπὸ τῆς κενώσεως βλάπτεσθαι, τηνικαῦτα καὶ πρὸς τὴν τῆς διαθέσεως ἴασιν ἀφιξόμεθα. πρῶτος μὲν οὖν ἁπάντων σκοπός, ὁ τῆς δυνάμεώς ἐστιν. οὐ μὴν ὡς θεραπευτικός γε πρῶτος. ὅς γε τὴν ἀρχὴν οὐδὲ τῶν θεραπευτικῶν ἐστιν, ἀλλ' ὡς ἂν εἴποι τις τῶν ζωτικῶν. οὐ γὰρ ἵν' ὑγιαίνωμεν οὐδ' ἵν' ἀπαλλαγῶμεν νόσων δι' αὐτῆς τι πρώτως λαμβάνομεν, ἀλλ' ἵνα ζῶμεν. πρόσκειται δ' ἐν τῷ λόγῳ τὸ πρώτως, ὅτι γε καὶ κατὰ συμβεβηκός ποτε τῆς δυνάμεως ἡ ῥῶσις εἰς τὴν τῆς διαθέσεως ἴασιν ὑπάρχει χρήσιμος. ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἑξῆς ἐπιδειξόμεθα. ἐπὶ δὲ τὸ προκείμενον αὖθις ἐπανέλθωμεν, εἰς ὀλίγα κεφάλαια συνόψεως ἕνεκα τὸ πᾶν ἀθροίσαντες. οἱ θεραπευτικοὶ σκοποὶ παρά τε τοῦ νοσήματος εἰσὶ καὶ τῆς τοῦ σώματος κράσεως. καὶ τρίτος τοῦ περιέχοντος ἡμᾶς ἀέρος. εἰ δ' ἔμπροσθεν ἕτεροί τινες ἦσαν, ἢ καὶ αὖθις οὐχ οὗτοι μόνοι, ἀλλὰ καὶ ἄλλοι ῥηθεῖεν, ἐκ τῆς τούτων τομῆς ἅπαντες φανοῦνται γιγνόμενοι. ἡ μὲν γὰρ κρᾶσις τοῦ σώματος ἡ κατ' ἐκεῖνον τὸν καιρὸν ἡνίκα νοσεῖν ἤρξατο, πρὸς τὴν εὕρεσιν τῶν ἰαμάτων ὑπάρχουσα χρήσιμος, ἐκ φύσεως καὶ ἡλικίας καὶ ἐθῶν καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος γεννᾶται. τὸ περιέχον δ' αὐτὸ τοιοῦτον εἰργάσθη διά τε τὴν χώραν καὶ τὴν ὥραν καὶ τὴν κατάστασιν. ἓν τοίνυν ἑκάτερον αὐτῶν ὑπάρχον, ἐκ πολλῶν γίνεται τοιοῦτον. ἡ δέ γε διάθεσις, οὐχ ὡς εἰς αἰτίας τέμνεσθαι πέφυκεν, ἀλλ' ὡς εἰς διαφοράς. ἤτοι γὰρ ἐν τοῖς ὁμοιομερέσιν ἐστίν, ἢ ἐν τοῖς ὀργανικοῖς συνίσταται μορίοις. ἐν μὲν οὖν τοῖς ὁμοιομερέσιν, ἤτοι γ' ἁπλῆ τις ἢ σύνθετος ὑπάρχουσα δυσκρασία. ἐν δὲ τοῖς ὀργανικοῖς, περὶ τὴν τῶν ἁπλῶν μορίων γιγνομένη θέσιν, ἢ διάπλασιν, ἢ ἀριθμόν, ἢ μέγεθος. ὅσαι τε καθ' ἕκαστον τούτων ἐδείχθησαν οὖσαι διαφοραί. ταῦτ' οὖν ἐστι τρία τὰ πρῶτα τὰ τὴν θεραπείαν ἐνδεικνύμενα. τὸ περιέχον ἅμα ταῖς διτταῖς τοῦ σώματος ἤτοι διαθέσεσιν, ἢ κατασκευαῖς, ἢ ὅ,τι φίλον σοι φάναι. μία μὲν τῇ κατὰ φύσιν. ἑτέρα δὲ ἡ τῇ παρὰ φύσιν, ἥτις τὸ νόσημά ἐστιν. ὅτι δ' οὐκ ἐνδέχεται αὐτὰ τὰ πρῶτα γένη τῶν θεραπευτικῶν σκοπῶν πλείω τῶν εἰρημένων τριῶν ὑπάρχειν, ἐξ αὐτῆς τῆς τῶν πραγμάτων οὐσίας ἔνεστί σοι μαθεῖν. τὸ μὲν γὰρ νόσημα, καὶ ἡ ὑγεία, διαθέσεις εἰσὶ τοῦ σώματος. ἡ μὲν τὴν ἀναίρεσιν ἐνδεικνυμένη τὴν ἑαυτῆς. ἡ δὲ τὴν τήρησιν. τὸ περιέχον δέ, οὗ χωρὶς οὔτ' ἀνελεῖν οἷόν τε τὴν νόσον, οὔτε κτήσασθαι τὴν ὑγείαν, τοῦτο μὲν οὖν τῶν ὧν οὐκ ἄνευ λόγον ἐπέχει. τὸ νοσοῦν δ' ἀλλοιοῦντες, εἰ μὴ γινώσκοιμεν εἰς ὅ,τι μεθιστῶμεν, οὐδ' ὁπότε παυσόμεθα τῆς ἀλλοιώσεως εἰσόμεθα. καθόλου οὖν ἐπὶ πάσης τῆς θεραπείας ἐν τούτοις τοῖς τρισὶ γένεσιν, οἱ σκοποὶ τοῖς πλείστοις εἰσί. κατὰ μέρος δέ, ὡς ἔμπροσθεν εἴρηται. τινὲς μὲν τῶν ἁπλῶν μορίων εἰσὶν ἴδιοι. τινὲς δέ, τῶν συνθέτων. ἓν δή τι τῶν ἐγγιγνομένων τοῖς ἁπλοῖς ἐστιν, ἡ κατὰ τὸ θερμὸν δυσκρασία. ταύτης δ' εἰς ὅλον ἐκταθείσης τὸ σῶμα, πυρετὸς τοὔνομα. καὶ τοίνυν ἅπαντος πυρετοῦ καθόλου ἐστὶ πυρετὸς ὑγρότης καὶ ψύξις ἰάματα. μόνου μὲν οὖν ὄντος αὐτοῦ, σκοπὸς ἁπάντων τῶν βοηθημάτων κοινός, ὁ νῦν εἰρημένος. ὥστε οὐδὲν ἔτι δεῖ πρὸς τὴν ἴασιν, ἀλλ' ἢ τὰς ὕλας ἐξευρεῖν ἐν αἷς ὁ σκοπός. εὑρόντας δὲ τὰς ὕλας, τὸν μὲν καιρὸν ἐξ αὐτῶν τῶν τεσσάρων τοῦ πυρετοῦ λαμβάνειν καιρῶν. τὸ ποσὸν δ' ἐκ τοῦ παραβάλλειν τῷ κατὰ φύσιν, τὴν νόσον. εἰς ὅσον γὰρ ἀποκεχώρηκε τοῦ κατὰ φύσιν, εἰς τοσοῦτον χρὴ ψύχειν τε καὶ ὑγραίνειν τὸν κάμνοντα. τὸ περιέχον δὲ εἰ μὲν ἐναντίαν ἔχοι τῷ νοσήματι τὴν κρᾶσιν, ἕν τι τῶν βοηθημάτων ἐστίν. εἰ δὲ ὁμοίαν, ἕν τι τῶν νοσωδῶν αἰτίων. διότι δὲ τὰς μὲν ἄλλας ὕλας ἐκλέξασθαί τε καὶ φυγεῖν δυνάμεθα. τὴν δ' ἐκ τοῦ περιέχοντος οὐχ οἷόν τ' ἐστὶ φυγεῖν, ἀλλ' ἀναγκαῖον χρῆσθαι τῇ παρούσῃ καταστάσει, διὰ τοῦτο καὶ ταύτῃ προσέχειν ἀναγκαζόμεθα. πολλάκις μὲν ὁμολογούσῃ τῇ κατὰ τὸ νόσημα ἐνδείξει ὡς εἴπομεν. πολλάκις δ' ἐναντιουμένῃ τε καὶ ἀντιπραττούσῃ. λόγον μὲν οὖν ἔχει τὸ περιέχον ὡς εἴπομεν, ἐνίοτε μὲν ὕλης ἰωμένης. ἐνίοτε δὲ ὡς αἰτίου νοσάζοντος. εἰ μὲν γὰρ ὑγραίνεσθαι καὶ ψύχεσθαι δεομένης τῆς νόσου ταῦτ' ἐργάζοιτο, λόγον ὕλης ἔχει θεραπευτικῆς. εἰ δὲ θερμαίνοι καὶ ξηραίνοι, νοσώδους αἴτιον γίγνεται. συμφω-

νοῦντος

τοῦτο μὲν οὖν αὐτοῦ ταῖς θεραπευτικαῖς ἐνδείξεσιν, ἀσμενιστέον. ἐναντιουμένου δὲ, κωλυτέον τὴν βλάβην, ἐπιτείνοντάς τε καὶ παραυξάνοντας τῶν ἄλλων βοηθημάτων τὴν θ' ὑγρότητα καὶ τὴν ψύξιν. ἐπιτηδευτέον δὲ καθ' ὅσον ἐγχωρεῖ αὐτὸ τὸ περιέχον ἀέρα χρὴ κατασκευάζειν, ὑγροτέρους τε καὶ ψυχροτέρους οἴκους αἱρούμενον τε καὶ κατασκευάζοντα. καθάπερ εἰ καὶ ψυχρὸν καὶ ὑγρὸν εἴη τὸ εἶδος τοῦ νοσοῦ, τὸ θερμαίνειν καὶ ξηραίνειν ἐνδεικνυμένης, αἱρεῖσθαί τε καὶ κατασκευάζειν οἴκους θερμαίνοντάς τε καὶ ξηραίνοντας. αἱρεῖσθαι μὲν οὖν λέγω, τοὺς ἐξ ἑαυτῶν τοιούτους. κατασκευάζειν δὲ ἐπιτεχνώμενον. ἐν μὲν τῷ θέρει, καταγείους τε καὶ πρὸς ἄρκτον ἐστραμμένους αὐτούς, ῥαίνοντα συνεχῶς τὸ ἔδαφος αὐτῶν, ἐξ εὐρίπου τέ τινος αὔραν εἰσπνεῖν ἐπιτεχνώμενον. ἄνθη τε καὶ βλαστήματα δυνάμεως ὑγρᾶς τε καὶ ψυχρᾶς ἐπὶ τοῦ ἐδάφους καταβάλλοντα. χειμῶνος δὲ τἀναντία τούτων ἐπιτεχνώμενον, ὅταν γε τὸ νόσημα κελεύῃ ποιεῖν ὡς εἴρηται. μὴ κελεύοντος δὲ, τὴν ἀμετρίαν μόνην ἑκατέρας τῆς ὥρας κωλυτέον. ὑπὲρ ἧς ἐξ ἀνάγκης μοι τι καὶ μετὰ ταῦτα λεχθήσεται. νυνὶ γὰρ οὐ τὰς ὕλας τῶν βοηθημάτων ἔγνωκα κρίνειν, ἀλλὰ τὰς μεθόδους ἐκδιδάσκειν. ἀνάγωμεν οὖν αὖθις ἐπὶ ταύτας τὸν λόγον, ἐπιδεικνύντες ὅπως ὀλίγοι τε καὶ πολλοὶ γίγνονται σκοποὶ θεραπευτικοὶ κατὰ διαφόρους τομάς. τρεῖς τε γὰρ οἷόν τε ποιῆσαι τοὺς πάντας, ὡς ἀρτίως ἐποιήσαμεν, εἰς ὀλίγα κεφάλαια τὸ πᾶν ἀνάγοντες. ἕκαστόν τε πάλιν αὐτῶν τέμνοντες πολλοὺς ἐξ αὐτῶν ποιήσασθαι, καθάπερ καὶ πρόσθεν ἤδη δέδεικται καὶ μέν τοι καὶ αὐτῶν τῶν τμημάτων ἕκαστον οἷόν τε τέμνειν αὖθις, ἄχρις ἂν ἐπί τι τῶν ἀτμήτων ἀφικώμεθα. Καὶ τὰ πρῶτα δὲ πάντων εἰρημένα τρία, δυνατὸν εἰς ἐλάττω συναγαγεῖν, ὡς εἶναι δύο τὰ πάντα κεφάλαια τῶν τὴν θεραπείαν ἐνδεικνυμένων σκοπῶν. τήν τε ἐνεστῶσαν διάθεσιν, ἣν νόσον ὀνομάζομεν. ἥν τε ἔμπροσθεν εἶχεν, ἣν ὑγείαν τε καὶ τὸ κατὰ φύσιν ἐκαλοῦμεν. οὐ γὰρ δὴ ἄλλο γέ τι τὸ ὑγιάζειν ἐστὶ, παρὰ τὸ τὴν νῦν οὖσαν ἐν τῷ σώματι διάθεσιν εἰς τὸ κατὰ φύσιν ἄγειν. ἐναντίων δ' οὐσῶν τῶν διαθέσεων, ἀναγκαῖον ἐστὶ δι' ἐναντίων γίγνεσθαι τὴν εἰς ἀλλήλας αὐτῶν μετάπτωσιν. καὶ οὕτως αὖ πάλιν εἷς μόνος ὁ γενικώτατος ἔσται σκοπὸς τῶν ἰαμάτων, ἡ ἐναντίωσις. Ἐντεῦθεν οὖν πάλιν ἀρξάμενοι, τοὺς κατὰ μέρος ἐξευρίσκωμεν. ἐπειδὴ τὸ νοσοῦν ἐναντίον ἐστὶ ὑγιαίνοντι, δι' ἐναντίου ἡ ὁδὸς ἐπ' αὐτῶν. πῶς δ' εὑρεθήσεται τὸ ποσὸν ἐν τοῖς ἐναντίοις; οὐ γὰρ ἀρκεῖ δή που προσαγαγεῖν τὰ ψύχοντα ταῖς θερμαῖς διαθέσεσιν ἄνευ τοῦ προσήκοντος μέτρου. κίνδυνος γὰρ ἐλλείποντας μὲν ἀπολιπεῖν τι καὶ τῆς νόσου λείψανον. ὑπερβάλλοντας δὲ, γένος ἐναντίου ἀπεργάσασθαι νοσήματος. ὁ γὰρ ἐπὶ πλέον ἢ χρὴ ψύχων τὸ θερμὸν νόσημα, τὴν ὑγιεινὴν ὑπερβὰς συμμετρίαν, ἕτερον ἐργάσεται νόσημα ψυχρόν. ὅπως οὖν τοῦτο μὴ γίγνοιτο, τὴν φύσιν ἐπίστασθαι χρὴ τοῦ θεραπευομένου σώματος. ἵν' ὁπόσον ἀφέστηκεν αὐτοῦ ἡ νόσος τῆς συμμετρίας γνῶντες, ἐπιθῶμεν τῷ ψύχοντι βοηθήματι τὸ μέτρον. ἀλλ' οὐχ οἷόν τε τὴν ἀπόστασιν αὐτῶν ἐξευρεῖν, εἰ μὴ γνοίημεν εἰς ὅσον ἦν ὑγρὸν, ἢ ξηρὸν, ἢ θερμὸν, ἢ ψυχρὸν, ὅθ' ὑγίαινεν. εἰς ὅσον δ' ἐξέστηκεν ἐν τῷ νοσεῖν, τὸ μὲν γὰρ ἐπὶ πλεῖστον ἀποκεχωρηκὸς τοῦ κατὰ φύσιν, ἰσχυρῶν δεῖται τῶν ἐναντίων. τὸ δ' οὐκ ἐπὶ πλεῖστον, ἀσθενῶν. ἐπὶ πλεῖστον μὲν οὖν ἀφέστηκε τὸ ψυχρὸν νόσημα τοῦ φύσει θερμοῦ σώματος. ὥσπερ γε καὶ τὸ θερμὸν, τοῦ ψυχροῦ. ἔλαττον δὲ ἀφέστηκε τὸ μὲν θερμὸν, τοῦ θερμοῦ. τὸ δὲ ψυχρὸν, τοῦ ψυχροῦ. ὥστ' ἐξ ἀμφοῖν ἡ ἔνδειξις. ἀλλ' ἐπεὶ τῶν μὲν ἄλλων ἁπάντων βοηθημάτων τῆς ὕλης ἡ ἔκλεξις ἐφ' ἡμῖν ἐστι, τοῦ δὲ τοῦ περιέχοντος οὐκ ἐφ' ἡμῖν, εὔλογον δή που κἀκ τούτου τὴν ἔνδειξιν λαμβάνειν. ἀλλ' ἐπεὶ διαγινώσκειν προσήκει τὰς κράσεις τῶν σωμάτων ἀκριβῶς, ἔστι δὲ πάνυ χαλεπὸν τὸ τοιοῦτον, πειρατέον μὲν δή που καὶ ἐκ τῶν ἐν τοῖς περὶ κράσεων εἰρημένοις ἐξευρίσκειν αὐτάς. ἐξ ἐπιμέτρου δὲ πρὸς ἐπιστημονικωτέραν διάγνωσιν, ἀπό τε τῆς ἡλικίας καὶ τοῦ προηγουμένου βίου παντὸς, ὅς ἐξ ἐπιτηδευμάτων τε καὶ διαίτης συνέστηκε, καὶ τῆς ἐν τῷ τοιῷδε χωρίῳ. καὶ ὥρᾳ τῇ δε καὶ καταστάσει τῇ δε διατριβῆς. Εἰ μὲν γὰρ ἰσχνὸς φύσει καὶ θερμὸς ἁπτομένῳ, καὶ χολώδης, καὶ θυμικὸς, καὶ δασὺς, θερμὸς οὗτός ἐστι καὶ ξηρὸς τὴν κρᾶσιν. οὐ μὴν ἐξ ἀνάγκης γε καὶ νῦν ὁπότε νοσεῖν ὑπήρξατο, τὴν αὐτὴν ἀκριβῶς ἔχει διάθεσιν. ἐγχωρεῖ γὰρ αὐτῷ βίον ἀργὸν ἐν ὑγροῖς καὶ ψυχροῖς ἐδέσμασί τε καὶ ποτοῖς γεγονέναι. καὶ πρὸς τούτοις ἔτι καὶ βαλανείοις, ἐπὶ τροφαῖς καὶ ὕπνοις πολλοῖς. ἐν ὑγρῷ καὶ ψυχρῷ χωρίῳ, χειμῶνος ὑγρᾶς καὶ ψυχρᾶς ἐπικρατούσης καταστάσεως, ὥσπερ γε τἀναντία τούτων ἐγχωρεῖ προηγήσασθαι, τουτέστι τὰ θερμαίνοντα καὶ ξηραίνοντα καθ' ἕκαστον τῶν εἰρημένων γενῶν. ἐξ αὐτῶν οὖν τῶν προηγησαμένων, ἀναπληρώσομεν ὅσον ἂν ἐνδεὲς ἔχομεν εἰς τὴν τῆς ἐνεστώσης διάγνωσιν κράσεως. ἐξ ἐκείνης δὲ εὑρεθείσης, τὴν τῶν ποιητέων ἔνδειξιν ἕξομεν. Ἔλεγον γοῦν ἔμπροσθεν ἐπὶ τῆς τοῦ ψυχροῦ δόσεως, ἔν τι καὶ τοῦτο ἐπισκεπτέον εἶναι, μή τι τῶν μορίων φύσει ψυχρὸν ὂν, ἐκ τῆς πόσεως αὐτοῦ βλαβείη μεγάλως. ἆρ' οὖν ἐγχωρεῖ τὴν κρᾶσιν ἑκάστου τῶν μορίων ἐπὶ τοῦ κάμνοντος ἀνθρώπου, χωρὶς ὧν εἴπομεν σημείων ἐν ταῖς περὶ τούτων πραγματείαις ἐξευρεῖν, ἐκεῖνοι μὲν οὖν οὔτε ζητοῦσιν, οὔτε ἴσασιν. ἀλλὰ καὶ κατὰ τὴν παροιμίαν, ἐνὶ καλόποδι πάντας ὑποδοῦσιν. ἡμεῖς δὲ ζητήσαντες, εὕρομεν ὅτι διὰ πολλῶν καὶ δυσκόλων γνωσθῆναι γνωρισμάτων, ἑκάστου τῶν μορίων ἡ κρᾶσις εὑρίσκεται, στοχαστικῶς μᾶλλον ἢ ἐπιστημονικῶς. Ἐὰν τοίνυν φανῇ τι γνωρισμάτων πολλῶν τε καὶ μακρῶν ἀκριβέστερον ἓν, οὐκ ἂν ἀπορρίψαντες ἐκεῖνα τοῦτ' ἀντὶ πάντων ἑλοίμεθα, πᾶς οἶμαι νοῦν ἔχων ὁμολογήσει. καὶ μὴν οὐδ' ἐγγύς ἐστι τῇ πίστει τὰ γνωρίσματα τῶν κράσεων ἅπαντα συνελθόντα, πρὸς τὴν ἐκ τοῦ ἔθους ἔνδειξιν. εἰ γὰρ ὑγιαίνων τις ἔπινεν ἀεὶ ψυχρὸν, οὔθ' ἧπαρ, οὔτε κύστιν, οὔτε κοιλίαν, οὔτ' ἄλλο τι τῶν τοιούτων βλαπτόμενος, εὔδηλον ὡς ἰσχυρά τ' ἐστὶν ἅπαντα ταῦτα, καὶ οὐδ' ἂν νῦν ὑπὸ τοῦ ψυχροῦ βλαβείη. μὴ τοίνυν μικρόν τινα καὶ φαῦλον σκοπὸν εἰς βοηθημάτων εὕρεσιν ὑπολαμβάνομεν εἶναι τὸ ἔθος, ὥσπερ οὐδ' εἰς ὑγείας φυλακήν. οὐδεὶς γὰρ ἀνθρώπων οὕτως ἐστὶν ἔμπληκτος, ὡς μεγάλως βλαπτόμενος ὑπὸ τῆς τοῦ ψυχροῦ πόσεως, εἰς πολυχρόνιον ἔθος ἀγαγεῖν τὴν χρῆσιν. ἐν γὰρ τῷ μεταξὺ βλαβεὶς ἐναργῶς ὑπ' αὐτοῦ καὶ νοσήσας, ἀποστήσεται πάντως. Ὥσπερ οὖν ἄλλα πολλὰ παρὰ τὰς κοινὰς ἐννοίας ἐνίοις ἐρρήθη τῶν ἰατρῶν, οὕτω καὶ τὸ μηδεμίαν εὕρεσιν ἢ διαίτης ὑγιεινῆς, ἢ θεραπείας νοσούντων ἐξ ἔθους γίγνεσθαι. φαίνεται γὰρ οὐχ ὥσπερ ἄλλα τινὰ σμικρὰν καὶ φαύλην ἔχον τὴν δύναμιν, ἀλλὰ μεγίστην τε καὶ

Indicatio à consuetudine.

κυριωτάτην, ὡς ἂν ἐνδεικνυμένου ἑκάστου τῶν σωμάτων τὴν φύσιν. Ἡμεῖς μὲν οὖν ἐξ αὐτῆς τῆς μεθόδου προερχόμενοι, τὴν διάθεσιν τῶν μορίων εὑρίσκεσθαι φαμέν. εἶτ' ἐξ ἐκείνης αὖθις ἐπὶ τὴν ἔνδειξιν ἔρχεσθαι τῶν ποιητέων. ὁ δ' ἐμπειρικὸς ὑπερβαίνειν φησὶ τὴν ζήτησιν τῆς φύσεως. ἐφ' ὃ γὰρ ἂν ὑπὸ αὐτῆς ἤχθη, τοῦτ' ἔχειν ἤδη γνῶσιν τοῦ μὴ βλάπτεσθαι τὸ τοῦ κάμνοντος σῶμα πόσει ψυχροῦ, τοῦτο δ' ἦν τὸ ἐξ ἀρχῆς ἡμῖν προκείμενον, οὐ τὸ γνῶναι τὴν φύσιν. εἶτ' οἶμαι προσηκόντως ἡμᾶς μὲν ὡς μακρὰν ὁδὸν εἰκῆ περιερχομένους ἐπισκώψειεν. τοῖς δ' ὅλως ἄχρηστον εἶναι λέγουσι τὸ ἔθος, ὡς μηδὲ τὸν κοινὸν νοῦν ἔχουσιν, εἰκότως μέμψαιτο. τί ποτ' οὖν φήσεις πρὸς αὐτούς, ἐροῦμεν ἡμεῖς οἱ μεθόδῳ τὴν τέχνην συνιστάμενοι; Τί δ' ἄλλο γε, ἢ ὅτι τἀληθῆ λέγουσιν ἐπὶ τῶν οὕτως ἐναργῆ τὴν ὠφέλειαν ἢ βλάβην ἐχόντων ἐθῶν. ἴσασι γὰρ ἅπαντες αὐτὰ καὶ πρὸ τῆς μεθόδου. τῶν δ' ἄλλων ἐθῶν ἔνια τῶν κατὰ βραχὺ μεγάλην ἀθροιζόντων τὴν βλάβην, οὐκέθ' οἷόν τ' ἐστὶ διὰ ἐμπειρίας ἐξευρεῖν. εἴρηται δὲ περὶ τῶν τοιούτων ἐπὶ πλέον ἐν τοῖς ὑγιεινοῖς. ὅθεν εἰ κἂν τῇ τοῦ ψυχροῦ δόσει χωρὶς τῆς μεθόδου τὸ ἔθος ἱκανόν, οὐδ' ἡμεῖς δή που τὴν ἐμπειρίαν ἐκφεύγομεν. ἀλλ' ὅσα περ ἐκεῖνοι πάντα, ἐξ αὐτῆς ὠφελούμενοι προστίθεμεν ἔξωθεν, οἵ γε προστιθέναι δυνάμενοι τὴν ἐκ τῆς τῶν πραγμάτων φύσεως ἔνδειξιν. ἐν δὲ τῷ παρόντι λόγῳ τὴν ἀκολουθίαν τῆς μεθόδου φυλάττοντες, ὁμολογοῦμεν ὁδῷ μακροτέρᾳ ταὐτὸν εὑρίσκειν, ὃ διὰ βραχυτέρας ἐνίων ἐξευρεῖν ἀναλογισμοῦ χωρίς. Ἑωρακότες γὰρ οἶμαι πολλάκις ἤδη πολλοὺς τῶν καυσουμένων ἐν πυρετοῖς ὅταν ἤδη μετρίως ὦσιν οἱ χυμοὶ πεπεμμένοι, παραχρῆμα λύσαντας ἤδη τὸν πυρετὸν ἐπὶ τῇ πόσει τοῦ ψυχροῦ κἂν ἀήθεις ὦσιν αὐτοῦ, πολὺ δή που μᾶλλον ἐλπίζομεν ἐπὶ τῶν εἰθισμένων ἄνευ πάσης βλάβης, ἔσεσθαι τὴν ὠφέλειαν. ἔχεις οὖν ἤδη καὶ τὸν περὶ τῶν ἐθῶν λόγον, εἰ καὶ κατὰ τὸ πάρεργον, ἀλλ' ἱκανῶς διωρισμένον. ἓν γάρ τι καὶ τοῦτό ἐστι τῶν ἐνδεικνυμένων τὰς ἰάσεις διὰ μέσης τῆς τοῦ νοσήματος φύσεως. ὥσπερ καὶ ἡ ἡλικία. καὶ γὰρ καὶ αὕτη διὰ μέσης τῆς κράσεως ἔχει τὴν ἔνδειξιν. οἷον ἡ τῶν παιδίων ὑγρὰν καὶ θερμὴν ἔχουσα τὴν κρᾶσιν, ἑτοίμως διαφορεῖται. πρόχειρον γάρ μοι κἀνταῦθα τὸν νοῦν τῇ διαφορᾷ τῶν σωμάτων. ἡ μὲν τῶν λίθων οὐσία, μόνιμός ἐστι διὰ ξηρότητα καὶ ψύξιν. οὕτως δὲ ἡ τοῦ χαλκοῦ καὶ ἡ τοῦ σιδήρου καὶ ἡ τοῦ χρυσοῦ, καὶ συνελόντι φάναι, πάντων τῶν γεωδῶν σωμάτων. ἡ δέ γε τῶν ὑγρῶν καὶ θερμῶν, εἰς τὸ περιέχον ἀεὶ σκίδναται τάχιστα. ποτὲ μὲν εἰς αἰσθητοὺς ἀτμοὺς λυομένη. ποτὲ δ' εἰς ἀδήλους μὲν τῇ ὄψει, τῷ λόγῳ δὲ γνωστὰς ἀπορροάς. αὗται μὲν οὖν αἱ φύσεις τῶν σωμάτων οἷον ἐκ διαμέτρου πρὸς ἀλλήλας ἀντίκεινται. Τῶν δ' ἄλλων ἁπασῶν αἱ μὲν τῇ ξηρᾷ καὶ ψυχρᾷ φύσει πλησιέστερον ὑπάρχουσαι, δυσδιαφόρητοι μέν εἰσιν, ἀλλ' ἧττον σιδήρου, καὶ λίθου, καὶ ἀδάμαντος. αἱ δὲ τῇ θερμῇ καὶ ὑγρᾷ, διαφοροῦνται μὲν ἑτοιμότερον, ἀλλ' ἧττον καὶ αὗται τοῦ θερμανθέντος ὕδατος. χωρὶς μὲν γὰρ θερμότητος, οὐχ οἷόν τ' ἐστὶ διαφορεῖσθαί τι σῶμα, μενούσης αὐτῆς τῆς οὐσίας συμπεφυγμένης τε καὶ πεπιλημένης. ὑπὸ θερμότητος δ' οὐχ ἅπαν. ἀλλ' ὅσον ἐπιτήδειόν ἐστιν εἰς ἀτμοὺς λυθῆναι, τοιοῦτον δ' ἐστὶ δή που τὸ ὑγρόν. Ἡ τοίνυν τῶν παιδίων οὐσία, ῥᾷστα διαφορεῖται καὶ σκεδάννυται, διότι πασῶν μέν ἐστιν ὑγροτάτη. ψυχροτάτη δέ, οὐδὲ μιᾶς. ὥστε οὐ χρῄζει κενωτικοῦ βοηθήματος, ἐξ ἑαυτῆς ἔχουσα τὸ κενοῦσθαι σύμφυτον. Γίγνεται δὲ δή που καὶ διὰ χώραν θερμὴν καὶ ξηράν. ὥραν τε θερινὴν καὶ κατάστασιν ἱκανῶς θερμὴν καὶ ξηράν, ἡ διὰ τῆς ἐπιφανείας τοῦ σώματος ἀξιόλογος κένωσις. ὥσπερ καὶ διὰ ταύτην τοὺς δεομένους αἵματος ἀφαιρέσεως. ἢ οὐδ' ὅλως φλεβοτομοῦμεν, ἢ ὀλίγον ἀφαιροῦμεν. Ἔσονται δὲ καὶ κατὰ τὴν τομὴν τήνδε, πολλοὶ σκοποί. ἡ φύσις ἡ ἐξ ἀρχῆς. τὸ ἔθος. ἡ ἡλικία. τὸ χωρίον. ἡ ὥρα τοῦ ἔτους. ἡ κατάστασις. ἔτι τε πρὸς τούτοις, ἡ νοσώδης διάθεσις, ἣν θεραπεύομεν. ἑτέρῳ τε τρόπῳ πρὸ αὐτῆς ἡ τοῦ κάμνοντος δύναμις. οὐσῶν δὲ δηλονότι πολλῶν τῶν διαθέσεων, ἰδία καθ' ἑκάστην αὐτῶν ἡ ἔνδειξις. ἀεὶ μὲν τῆς θερμῆς, ἡ τοῦ ψύχειν. ἀεὶ δὲ τῆς ψυχρᾶς, ἡ τοῦ θερμαίνειν. ἑκάστης τε τῶν ἄλλων ὑπεναντίωσις. ὥστε ὀκτὼ δυσκρασιῶν οὐσῶν, ὀκτὼ καὶ τοὺς κατὰ μέρος εἶναι σκοποὺς ἁπάντων τῶν ἐπιγιγνομένων νοσημάτων τοῖς ἁπλοῖς σώμασιν. ἐξ ἐπιμέτρου δέ, τὸν κοινὸν πρὸς τὰς τῶν ὀργανικῶν διαθέσεις, οὗ μηδὲν ὄνομα ἦν τοῖς ἔμπροσθεν. ἀλλ' ἡμεῖς ἀναγκασθέντες ἑρμηνεύειν αὐτό, συνεχείας λύσιν ἐκαλέσαμεν. ἐπεδείξαμεν τε τὸν κοινὸν κἀνταῦθα τῆς θεραπείας σκοπὸν εἶναι, τὴν ἕνωσιν. ὅσοι δ' ἐξ αὐτοῦ τούτου πάλιν τεμνόμενοι κατὰ μέρος συνίστανται, διὰ τῶν τεττάρων ὑπομνημάτων ἐδείχθησαν, τοῦ τρίτου τοῦ ἐν τῇδε τῇ πραγματείᾳ καὶ τετάρτου καὶ πέμπτου καὶ ἕκτου. Νυνὶ μὲν οὖν ἔτι, τὸν περὶ τῶν δυσκρασιῶν ἐν τοῖς ἑξῆς ὑπομνήμασι ποιήσομαι λόγον. συντελέσας δ' αὐτόν, ἐπὶ τὰ τῶν ὀργανικῶν μορίων ἀφίξομαι νοσήματα, καὶ δείξω κατὰ τὴν αὐτὴν μέθοδον ἐν αὐτοῖς τούς τε πρώτους ἁπάντων σκοπούς, οὓς γενικωτάτους ὀνομάζειν οὐδὲν κωλύει, καὶ τοὺς ἐκ τῆς τούτων τομῆς γινομένους. εἶτ' αὖθις τοὺς ἐξ ἐκείνων ἄχρι περ ἂν ἐπί τι τῶν μηκέτ' ἐγχωρούντων τομὴν ἀφικώμεθα. ταύτην γὰρ ἡμᾶς ὁ Πλάτων ἐδίδαξε μέθοδον ἁπάσης τέχνης συστάσεως. ἀλλὰ περὶ μὲν τῶν ὀργανικῶν ὡς ἔφην αὖθις εἰρήσεται, νυνὶ δ' ἀναμνησθέντες ἐν τίνι μέρει τῆς προκειμένης πραγματείας ἐσμέν, ἐπιθῶμεν ἤδη τῇ παρούσῃ διεξόδῳ τὴν προσήκουσαν τελευτήν. Ἓν δή τι γένος ἐστὶ νοσήματος ἐγγινόμενον τοῖς ὁμοιομερέσι καὶ ἁπλοῖς ὀνομαζομένοις τῶν ζώων μορίοις, ὃ καλεῖται δυσκρασία. ταύτης τῆς δυσκρασίας ἐνίας μὲν ἐδείξαμεν ἀλλοιουμένων τῶν σωμάτων κατὰ ψιλὰς ποιότητας. ἐνίας δὲ μεθ' ὕλης τινὸς εἰς αὐτὰ κατασκηψάσης, ἀποτελεῖσθαι. γίγνεσθαι δ' ἑκατέρας αὖ πάλιν ἤτοι περὶ ἓν ἢ πλείω μόρια τοῦ ζώου. ἢ καὶ σύμπαν τὸ σῶμα. Διελθόντες οὖν ἐν τῷ τῆσδε τῆς πραγματείας ἑβδόμῳ γράμματι τὰς περὶ τὰ μόρια συνισταμένας δυσκρασίας ἀλλοιουμένων μόνων τῶν ποιοτήτων, ἑξῆς ἐν δυοῖν τούτοιν, ἐπὶ τὰς εἰς ὅλον ἐκτεταμένας τὸ ζῶον ἀφικόμενοι, περὶ πρώτων ἔγνωμεν διαλεχθῆναι τῶν πυρετῶν. Ἐπεὶ δὲ καὶ τούτων αὐτῶν ἔνιοι μὲν ἔτι γίνονται τῆς ἐργαζομένης αὐτοὺς αἰτίας ἐν τῷ σώματι περιεχομένης, ἔνιοι δ' ἐγένοντο μέν, οἴχεται δ' αὐτῶν τὸ ποιῆσαν αἴτιον, ἄμεινον ἐδόκει τὸν λόγον ἐπὶ τούτους πρώτους ἄγειν ἁπλῆν τὴν πρώτην ἔνδειξιν ἔχοντας, εἶθ' ἑξῆς αὐτῶν, ἅψασθαι τῷ λόγῳ, κἀκείνων τῶν πυρετῶν, ὧν ἐν τῷ σώματι τὸ ποιοῦν ἐστιν αἴτιον.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

Ἐπι μὲν δὴ τῶν ἐφημέρων πυρετῶν ἁπλῆ τίς ἐστιν ἡ παρὰ φύσιν ἐν τῷ σώματι διάθεσις, ὡς ἂν τῶν πρῶτον ἐργασαμένων αἰτίων αὐτοὺς οὐκ ἔτ᾽ ὄντων· ἐφ᾽ ὧν δ᾽ ἔστιν ἔτι τὸ ποιοῦν αἴτιον, οὐκ ἐπὶ τούτων οὐθ᾽ ἡ διάθεσις, οὐθ᾽ ἡ ἴασις ἁπλῆ. χρὴ γὰρ τὸ μὲν ἤδη γεγονὸς τοῦ πυρετοῦ, λύειν ἐκ τῆς οἰκείας ἐνδείξεως αὐτοῦ. τὸ δὲ γιγνόμενον, ἀποτρέπειν τε καὶ κωλύειν γίνεσθαι. κωλυθήσεται δὲ, τῆς ποιούσης αἰτίας αὐτὸ τελέως ἐκκοπείσης. ὥστ᾽ ἐν μὲν τοῖς ἐφημέροις, ἡ τῶν πρακτέων ἔνδειξις, ἐκ τοῦ πυρετοῦ μάλιστ᾽ ἡμῖν ἔσται, συνεπισκοπουμένοις αὐτῷ, φύσιν, καὶ ἡλικίαν, καὶ ἔθος, ὥραν τε, καὶ κατάστασιν, καὶ χώραν, καὶ δύναμιν. ἐν δὲ τοῖς ἄλλοις, ὅσοι τὴν ἀνάψασαν αὐτοὺς αἰτίαν ἔχουσιν ἔνδον, ὁ πρῶτος σκοπὸς τῆς ἐνδείξεως ἀπὸ τῆς αἰτίας ἐστίν. ἐπεὶ οὖν ὀρθῶς ἡμῖν ἐδείχθη σῆψις χυμῶν αἰτία τῶν πολυημέρων εἶναι πυρετῶν, ταύτην ἰᾶσθαι χρὴ πρώτην, οὐκ ἀμελοῦντας οὐδὲ τοῦ σβεννύναι τὸν ἐξ αὐτῆς ἀνάφθαι φθάσαντα πυρετόν. εἰ μὲν οὖν εἰς ταὐτὸ συμβαίνοι, τά τε τοῦ πυρετοῦ σβεστήρια, καὶ τὰ τῆς αἰτίας ἀλεξητήρια, τὸ δηλούμενον ὑπ᾽ ἀμφοῖν ἓν ὄν, ἑτοίμως πρακτέον. εἰ δὲ ἡ τῶν ἤδη γεγονότων πυρετῶν ἴασις, αὐξάνει τὴν ἀνάψασαν αὐτοὺς αἰτίαν, ἢ τὰ τὴν αἰτίαν ἐκκόπτοντα, παροξύνει τοὺς πυρετοὺς, ἐπισκεπτέον ἀκριβῶς ὑπὲρ τῆς τῶν βοηθημάτων ἰδέας. ἐπίσκεψις δ᾽ ἀκριβὴς ἂν γίγνοιτο, διελομένῳ τὴν ὅλην σκέψιν εἰς τρεῖς τούτους σκοπούς. ἆρά γε τὸν πυρετόν ἐστι μόνον ἰατέον ἀμελοῦντα τῆς αἰτίας, ἢ τὴν αἰτίαν ἐκκοπτέον οὐδὲν φροντίζοντα τοῦ πυρετοῦ, ἢ τὸ μὲν πλεῖστον τῶν βοηθημάτων ὡς πρὸς θάτερον αὐτῶν ἐστι, ποιητέον, οὐκ ἀμελητέον δ᾽ οὐδὲ τοῦ λοιποῦ; τὸ μὲν οὖν πρῶτον τῶν ῥηθέντων, οὐκ ἐπαινοῦμεν. εἰ γὰρ οἷς ἂν ἰώμεθα βοηθήμασι τὸ γιγνόμενον ἀεὶ τοῦ πυρετοῦ, ταῦθ᾽ ἡμῖν αὐξήσει τὴν ποιοῦσαν αὐτοὺς αἰτίαν, οὔτ᾽ ἀναιρήσομέν ποτε τὴν γένεσιν αὐτοῦ, οὔτε τὸ μέγεθος καθαιρήσομεν. ἥ τε γὰρ γένεσις, ἀκολουθήσει τῇ τῆς ποιούσης αἰτίας ἰδέᾳ. τό, τε μέγεθος ἐκείνῃ συναυξηθήσεται. τὸ δὲ δεύτερον τῶν ῥηθέντων, εἰ διορισώμεθα, γένοιτ᾽ ἂν ἡμῖν χρηστόν. εἰ μὲν γὰρ ἀφόρητον εἴη τῷ κάμνοντι τὸ τοῦ πυρετοῦ μέγεθος, οὐ χρὴ δή που τὴν αἰτίαν ἐκκόπτομεν, αὐξάνειν τὸν πυρετόν. ἅμα γὰρ ὡς ἔοικεν ἀναιρήσομεν ἀμφοτέρους, τόν τε πυρετόν, καὶ τὸν ἄνθρωπον. εἰ δ᾽ οὕτως εἴη μέτριος ὁ πυρετός, ὥστε μὴ προκαταλῦσαι τὴν δύναμιν τοῦ νοσοῦντος, ἐν ᾧ χρόνῳ πρὸς τὴν αἰτίαν ἐνιστάμεθα μόνην, οὐκ ἀπόβλητος ὁ τοιοῦτος ἂν εἴη τρόπος. οὐκ ἀπόβλητος δὲ οὐδὲ ὁ τρίτος. ἀνθίστασθαι μὲν κελεύων τῷ μείζονα τὴν ἀξίαν ἔχοντι, μὴ μὲν τοι μηδὲ θατέρου παντάπασιν ἀμελεῖν. ὡς τὰ πολλὰ μὲν οὖν ἡ αἰτία μείζονα τὴν ἰσχὺν ἔχει. γένοιτο δ᾽ ἄν ποτε τηλικοῦτον τοῦ πυρετοῦ τὸ μέγεθος, ὡς ὑπόγυιον ἐπιφέρειν τὸν ὄλεθρον, εἰ μή τις αὐτὸ κωλύσειεν. ἡνίκα γε χρὴ τοῦτ᾽ ἐκκόψαντας πρότερον, ἐπὶ τὴν τῆς αἰτίας ἀναίρεσιν ἰέναι. ταυτὶ μὲν οὖν ὦ Εὐγενιανὲ διωρίσθω κατ᾽ ἀρχὰς εὐθέως ὑπὲρ τῶν ἐναντίων ἐνδείξεων. Ἐπεὶ δ᾽ ἐν τῷ ταύτας ἐξετάζειν, οὐ σμικρὰν μοῖραν εἰς τὸ σωθῆναι τὸν ἄνθρωπον ἡ δύναμις ἔχειν ἐφάνη, γίγνοιτ᾽ ἂν καὶ ἥδε σκοπὸς οὐ σμικρὸς εἰς τὴν τῶν πρακτέων εὕρεσιν. ὥστε εἶναι τοὺς πρώτους τρεῖς σκοποὺς ἐνδεικτικοὺς τῶν ποιητέων ἐν τοῖς ὑποκειμένοις τῇ σκέψει πυρετοῖς. ἕνα μὲν οὖν αὐτὸν τὸν πυρετόν. ἕτερον δὲ, τὴν γεννῶσαν αὐτὸν αἰτίαν. καὶ τρίτον, τὴν δύναμιν. ἀλλὰ τοὺς μὲν δύο πρώτους σκοποὺς, ἀναιρεῖν προσήκει. φυλάττειν δὲ τὸν τρίτον. ἔσται δὴ καὶ κἀνθάδε πάλιν ἡ αὐτὴ σκέψις, ἣν μικρὸν ἔμπροσθεν ἐσκεψάμεθα, παραβάλλοντι τῇ δυνάμει τόν τε πυρετὸν ἐν μέρει, καὶ τὴν αἰτίαν. εἶτα εἰ μὲν τῶν αὐτῶν ἄμφω δέοιντο βοηθημάτων, ἑτοίμως λαμβάνοντι, μαχομένων δὲ τῶν ἐνδείξεων, ἤτοι τὴν ἀπὸ τῆς δυνάμεως, ἢ τὴν ἀπὸ τῆς αἰτίας, ἢ τοῦ πυρετοῦ προαιρουμένῳ. ἢ τῷ μὲν ἰσχυροτέρῳ μᾶλλον ἑπομένῳ, μὴ μέν τοι γ᾽ ἀμελοῦντι μηδὲ τῶν ὑπολοίπων. ἐκ γάρ τοι τῶν τοιούτων διορισμῶν δεδειχθήσεται, πρώτως μὲν τὴν αἰτίαν ἐκκόπτειν καὶ τὸν πυρετὸν, ὅταν στοχαζομένῳ φαίνηται τοῖς τοιούτοις ἰάμασιν ἡ δύναμις ἐξαρκοῦσα. πρώτην δ᾽ αὖ πάλιν ῥωννύναι τὴν δύναμιν, ὅταν ἄρρωστος οὖσα, μὴ φέρῃ τά τε τῆς αἰτίας καὶ τὰ τοῦ πυρετοῦ βοηθήματα. καὶ μέν τοι καὶ πάντων ἅμα στοχάζεσθαί ποτε δυνατὸν, ὡς ὀλίγον ἔμπροσθεν ἐπί τε τοῦ πυρετοῦ καὶ τῆς αἰτίας ἐδείχθη. Τριῶν οὖν ὄντων τούτων οἷς χρὴ προσέχειν τὸν νοῦν ἐν ταῖς προκειμέναις τῶν πυρετῶν ἰάσεσιν, αὐτοῦ τε τοῦ πυρετοῦ, καὶ τῆς ποιούσης αὐτὸν αἰτίας, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως, εὑρημένων δὲ καὶ τῶν τῆς ἐνδείξεως τρόπων τῶν γενικῶν οὓς καὶ καθόλου προσαγορεύομεν, ἐπὶ τὰς διαφορὰς ἤδη τῶν ἰδικῶν τε καὶ κατὰ μέρος ἰέναι χρὴ βοηθημάτων, ἀναμνήσαντας αὖθις τῶν ἐφημέρων πυρετῶν, ἐπειδὴ τινὲς ἐξ αὐτῶν μεταπίπτουσιν εἰς τοὺς πολυημέρους. γιγνομένης δὲ τῆς μεταπτώσεως αὐτῶν, καθ᾽ ἕνα τρόπον, τὸν κοινότατον διὰ ἀμαθίαν τῶν ἰατρῶν. ἰδικωτέρους δὲ, δύο. διότι καὶ αὐτῶν τῶν πυρετῶν ἤτοι γ᾽ ἀπήλλακται τὸ ποιῆσαν αἴτιον, ἢ καὶ νῦν ἔτι μένει, περὶ ἀμφοτέρων ἐν μέρει λεκτέον. Ἀπήλλακται μὲν οὖν τὸ ποιῆσαν αἴτιον, ὅταν ἐπὶ θυμῷ, καὶ λύπῃ, καὶ ἀγρυπνίᾳ, καὶ φροντίδι, καὶ ἡλίῳ θερινῷ, καὶ κόπῳ, καὶ βουβῶνι παυσαμένῳ γένηται πυρετὸς, ἄνευ στεγνώσεως. οὐκ ἀπήλλακται δὲ, ὅταν ὑπὸ τοῦ προκατάρξαντος ἢ αὐτοῦ τοῦ πυρετοῦ γένηταί τις στέγνωσις. ἥτε γὰρ ψῦξις ἀεὶ, καὶ ἡ τῶν στυφόντων ὁμιλία διὰ μέσης στεγνώσεως, ἐργάζονται πυρετόν. ἥ τ᾽ ἔγκαυσις, ἔστιν ὅτε στεγνοῖ τὴν ἕξιν. Αὐτή τε πολλάκις ἡ ἀρχὴ τοῦ πυρετοῦ φρικώδης γιγνομένη, στέγνωσιν εἰργάσατο. καὶ μέν τοι καὶ γλίσχροι καὶ παχεῖς ἢ καὶ πολλοὶ χυμοὶ μετρίαν ἔμφραξιν ποιησάμενοι, τὸν ἐφήμερον ἐνίοτε γεννῶσι πυρετὸν, ὅταν ἀγαθῶν ἰατρῶν τύχωσιν, ὡς ἔμπροσθεν ἐδείκνυτο. Καλοῦνται μὲν οὖν πάντως ἐφήμεροι οἱ τοιοῦτοι πυρετοὶ, διότι λύεσθαι πεφύκασιν ὅσον ἐφ᾽ ἑαυτοῖς ἡμέρᾳ μιᾷ συναριθμουμένης αὐτῇ δηλονότι καὶ τῆς νυκτός. ὥσπερ ἐν τῷ λέγειν ἡμερῶν εἶναι μῆνα τριάκοντα. καὶ τὸν ἐνιαυτὸν, τριακοσίων ἑξήκοντα καὶ πέντε. καὶ τὸ δέ τι πέπρακται πρὸ τριῶν ἡμερῶν, ἢ πραχθήσεται μετὰ τέσσαρας. Οὐ μὴν ἡ αὐτή γε διάθεσις ἁπάντων αὐτῶν ἐστιν, ἀλλ᾽ ἔνιοι μὲν ἀχώριστον ἔχουσι τὴν

στέγνωσιν ἔνιοι δὲ, οὐκ ἀχώριστον μὲν ἥκει δ᾽ ὡς τὰ πολλὰ συνοῦσαν ἢ ἀμφιδόξως ἢ σπανίως. ἀχώριστος μὲν οὖν ἡ στέγνωσις ἐστὶ τοῖς διὰ τὸ συνηθείᾳ ὕδατος ἢ χαλκανθώδους ὕδατος, ἤτι τοιούτου ἑτέρου. ἢ διὰ ψύξιν, ἢ διὰ βραχεῖαν ἔμφραξιν ἢ πυρέξασιν. ὡς τὸ πολὺ δὲ τοῖς δι᾽ ἔγκαυσιν. ἀμφιδόξως δὲ, τοῖς διὰ κόπον. ὅσοι δὲ διὰ θυμὸν, ἢ λύπην, ἢ ἀγρυπνίαν, ἢ σύντονον σκέψιν, ἢ ἀπεψίαν, ἢ βουβῶνα πυρέττουσι, σπανιάκις αὐτοῖς σύνεστι στέγνωσις. οὗτοι πάντες οἱ πυρετοὶ κατὰ τὸν ἑαυτῶν λόγον, οὐκ ἀναμένουσι δεύτερον παροξυσμὸν, ἀλλ᾽ ἐντὸς τῶν εἴκοσι καὶ τεσσάρων ὡρῶν παύονται τοὐπίπαν. ἢ εἴπου κατὰ τὸ σπάνιον ἐνίοτε τινὲς αὐτῶν ἐπὶ πλέον ἐκτείνονται, δύο δ᾽ αὐτοῖς αἰτίαι προσγινόμεναι, κωλύουσι λυθῆναι. μία μὲν ἡ ψύξις, ἤτοι γ᾽ ἐκ τοῦ περιέχοντος ἀέρος, ἢ ἐξ ἀλείμματός τινος ἔξωθεν προσενεχθέντος. ἑτέρα δ᾽ ἡ δαιμονία διάτριτος, ἐὰν ἀναγκασθῶσιν ὑπερβάλλειν αὐτὴν ἰατρῶν ἀμαθίᾳ. εἰ δὲ τὸ περιέχον ἀλεεινὸν ὑπάρχει, καὶ μηδεὶς τῶν τὴν διάτριτον σεβόντων ἰατρῶν παρείη τῷ κάμνοντι, παύσεται μὲν ὁ πυρετὸς ἐπὶ τῷ πρώτῳ παροξυσμῷ μεθ᾽ ἱδρῶτος ἢ νοτίδος ἢ διαπνοῶν ἀτμωδῶν. ὁ κάμνων δ᾽ αἰσθανόμενος ἀπηλλάχθαι ἑαυτὸν τοῦ πυρετοῦ, τὰ συνήθη πράττειν ἐπιχειρήσει, λουόμενος ἢ ἀλειφόμενος ἢ καὶ χωρὶς τούτων ἐσθίων εἴτις εἴη τῶν ὀρείων ἀγροίκων. οἱ μὲν οὖν ἰδιῶται, καθάπερ ἄλλα πολλὰ πρὸς αὐτῆς τῶν πραγμάτων τῆς φύσεως διδασκόμενοι, πράττουσιν ἄμεινον τῶν σοφιστῶν, οὕτω κἂν τοῖς ἐφημέροις πυρετοῖς ἱκανοὶ τὸ σύμπαν ἑαυτοῖς ἐκποιεῖζειν εἰσὶν, ὅταν γε χωρὶς ἰσχυροτέρας στεγνώσεως συστῶσιν. εἰ δὲ μετὰ τοιαύτης εἰσβάλοιεν, ἀτυχησάντων μὲν ἰατρῶν περιπίπτουσί τινι τῶν σεβόντων τὴν διάτριτον. εὐτυχησάντων δὲ, τῶν λουσάντων τε καὶ θρεψάντων αὐτοὺς, καὶ τἄλλα σύμπαντα πραξόντων, ὅπως ἡ στέγνωσις λυθείη. πολλάκις γοῦν ὡς εἴρηται διὰ ἔμφραξιν βραχεῖαν, ἅμα λεληθυίᾳ πυκνώσει τοῦ δέρματος, ἤτοι διὰ λουτρὸν μοχθηρὸν, ἢ δι᾽ ἄλλο τι γενομένῃ, πυρετοῖς ἐφημέροις ἑάλωσαν ἔνιοι. καθ᾽ ὃν καιρὸν, ἐὰν μὴ ταχέως τις ἰάσηται τὴν ἔμφραξιν, εἰς τοὺς πολυημέρους μεταπίπτουσιν. ἔστι γὰρ ὁ τοιοῦτος πυρετὸς, ὅσον μὲν ἐφ᾽ ἑαυτῷ, κοινὸς τῶν πολυημέρων τε καὶ τῶν ἐφημέρων. ἀλλὰ διὰ τὴν σμικρότητα τῆς αἰτίας, μονήμερος γίνεται. καθάπερ γε καὶ διὰ μεγέθους ἐστὶν ὅτε πολυήμερος. ἀλλ᾽ ὅγε παροξυσμὸς εἷς αὐτοῦ μέχρι τοῦ τέλους ἀπὸ τῆς ἀρχῆς ἐστὶν, ἐὰν μὴ τύχῃ διαδεξάμενος αὐτὸν ὁ ἐπὶ σήψει χυμῶν. ἔστ᾽ ἂν οὖν μήτ᾽ ἐν τῷ σφυγμῷ μηδέπω τὸ τῆς σήψεως ὑπάρχει γνώρισμα, μήτ᾽ ἐν τῇ θέρμῃ, μήτ᾽ ἐν τοῖς οὔροις, ἐπ᾽ ἐμφράξει τε μόνῃ τὴν γένεσιν ἔχει, καὶ ἴασις αὐτῷ, τῆς ἐμφράξεως ἡ λύσις γίγνεται. καὶ ὡς χρὴ λύειν αὐτὸν, ἔμπροσθεν εἴρηται. Πλείους οὖν αἱ κατὰ μέρος διαφοραὶ φαίνονται τῶν ἐφημέρων πυρετῶν. μία μὲν ὅταν μηδόλως ἢ μηκέτι τὸ ποιῆσαν αὐτοὺς αἴτιον. οἷον ἡ ἔγκαυσις. ἑτέρα δ᾽ ὅταν ἔτι παρείη, καθάπερ ἡ στέγνωσις. ἧς ἐδείχθησαν οὖσαι διτταὶ διαφοραί. † πύκνωσίς τε τῶν πόρων καὶ νῦν μεταχειριζόμεθα κατὰ τὸν λόγον ἔμφραξις. ἔστι δὲ δή που καὶ τῆς πυκνώσεως ἡ μὲν διὰ ξηρότητα, καθάπερ ἐπ᾽ ἐγκαύσεσιν, ἢ κόποις, ἢ θυμοῖς. ἡ δὲ, διὰ ψύξιν, ἤτοι γε ἁπλῆν, ἢ μετὰ σύψεως. ὅπῃ δ᾽ ἀλλήλων αὗται διαφέρουσιν, ἐν τοῖς περὶ φαρμάκων διήρηται. καὶ τῆς ἐμφράξεως δὲ, ἡ μέν τις, διὰ πλῆθος, ἡ δὲ διὰ ποιότητα γίνεται χυμῶν, ἤτοι γλίσχρων, ἢ παχέων ὑπαρχόντων. Ἐπικρατήσειε δὲ κατὰ τὴν ἴασιν, ἐν μὲν τῇ διὰ πλῆθος, ἀφαίρεσις αἵματος. ἐν δὲ τῇ διὰ ποιότητα, τῶν λεπτυνόντων ἡ χρῆσις. ὁ δ᾽ ἀπὸ τῆς δυνάμεως σκοπὸς, ἐν μὲν τοῖς ἐφημέροις πυρετοῖς, μικρός. ἀξιόλογος δ᾽ ἐν τοῖς πολυημέροις ἐστί. καὶ μᾶλλον ὅσῳ περ ἂν ὦσι μακρότεροι. κατὰ φύσιν μὲν οὖν ἐχούσης τῆς δυνάμεως, οὐδὲ τὸ βραχύτατον ἡ τῶν κενωτικῶν βοηθημάτων ἐμποδίζεται χρῆσις ἐν τοῖς πολυημέροις πυρετοῖς. οὐ κατὰ φύσιν δὲ ἐχούσης, λέγω δὲ οὐ κατὰ φύσιν, ὅταν ἀρρωστοτέρα πως ὑπάρχῃ, κατὰ τὸ μέγεθος ἀεὶ τῆς ἀρρωστίας, ἐμποδίζεται τὰ κενωτικὰ βοηθήματα. σπανιώτερον μὲν οὖν εὐθύς ἐστιν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἢ τῇ δευτέρᾳ, τὴν δύναμιν ὑπάρχειν ἀσθενῆ. γίγνεται δ᾽ ἐνίοτε καὶ διὰ καχεξίαν τοῦ κάμνοντος. καὶ διὰ γῆρας. ἐνίοις δὲ καὶ κόπος ἅμα ἐγκαύσει καὶ λύπῃ καὶ ἀγρυπνίᾳ προσγινομένη, καὶ ἀσιτία δι᾽ ὅλης ἡμέρας ἐπιγιγνομένη, κἄπειτα περὶ τὴν ἑσπέραν εἰσβάλλοντος τοῦ πυρετοῦ, πρὶν τραφῆναι τὸν ἄνθρωπον, ἀγρύπνου τε γενομένου τῆς νυκτὸς, ἱκανῶς κατέλυσε τὴν δύναμιν. Καί σοι διηγήσομαι τοιοῦτον ἄρρωστον, ἐφ᾽ οὗ πρῶτον ἐτόλμησα τῷ λόγῳ ποδηγούμενος, ὑπεριδεῖν μὲν τῆς διατρίτου, στοχάσασθαι δὲ τῆς δυνάμεως. ὕστερον δὲ καὶ ἄλλους ἰδὼν ὁμοίως αὐτῷ, θαρρῶν ἤδη τὸν αὐτὸν τρόπον ἰασάμην ὅνπερ κἀκεῖνον. ἡ γὰρ πρώτη πεῖρα μαρτυρήσασα τοῖς ὑπὸ τῆς ἐνδείξεως εὑρημένοις, θαρσαλεωτέρους ἀποτελεῖ πρὸς τὴν ἐκ δευτέρου χρῆσιν. Ὁ τοίνυν ἁλοὺς τῷ πυρετῷ νεανίσκος, ἦν μὲν ἐτῶν πέντε καὶ εἴκοσιν. ἰσχνὸς καὶ μυώδης τὸ σῶμα. καθάπερ κύων ξηρὸς καὶ θερμὸς ἀκριβῶς τὴν κρᾶσιν. ἔχαιρε δέ πως καὶ γυμνασίοις. καὶ τἄλλα φροντιστής τε καὶ φιλόπονος ἦν. οὗτος ἀποδημῶν, εἶτα πυθόμενός τι τῶν οὐχ ἡδέων, ἠνιάθη τε ἅμα καὶ συντείνας ἑαυτὸν εἰς τὴν πόλιν ἠπείγετο. διὰ μὲν οὖν τῆς προτέρας ἡμέρας, ἐκοπώθη τε μετρίως. καὶ λουσάμενος καὶ δειπνήσας, ἀνεπαύσατο κατά τι πανδοχεῖον, ἀγρυπνήσας τὰ πλείω. κατὰ δὲ τὴν ὑστεραίαν, ἔτι καὶ μᾶλλον ἐπείχθη. καὶ διανύσας ὁδὸν παμπόλλην καὶ ψαμμώδη, καὶ αὐχμηρὰν ἐν ἡλίῳ θερμῷ, σχεδὸν ὥρας ἑβδόμης καὶ ἡμισείας εἰς τὴν πόλιν ἀφίκετο. πυθόμενος δὲ ἥδιον δι᾽ ἅπερ ἐσπούδαζεν, εἰς γυμνάσιον ἐπορεύθη λουσόμενος. εἶτ᾽ ἀλειψάμενος, ἀντιτρίψασθαι σύν τινι τῶν αὐτόθι νεανίσκων. καὶ προτραπεὶς ὑπ᾽ αὐτοῦ κινηθῆναι βραχέα, φιλονεικίας αὖθις ἐγγενομένης, οἵας πολλάκις εἰώθασι περιπίπτειν οἱ γυμναστικοὶ, πλείω τοῦ δέοντος ἐγυμνάσατο. καὶ ἦν ἤδη ξηρὸς ἀμέτρως. ἐξελθὼν δὲ τοῦ γυμνασίου, καταλαμβάνει μαχομένους τῶν ἑταίρων τινάς. οὓς διαλύων, ἔλαθεν αὖθις ἑαυτὸν ἑτέρῳ περιπεσὼν οὐ μικρῷ γυμνασίῳ. τοὺς μὲν ἕλκων ἐξ αὐτῶν. τοὺς δὲ ὠθῶν. τοὺς δὲ διαλαμβάνων μέσους. ἐπιτιμῶν τέ τισιν ἐξ αὐτῶν ὡς ἀδικοῦσι, καὶ θυμούμενος ὑπὲρ τῶν ἀδικουμένων, ὥσθ᾽ ὑποστρέψαι ξηρὸς ἐσχάτως οἴκαδε, κόπου τε καὶ ἀνωμαλίας αἰσθανόμενος. ὕδατος οὖν ὡς εἰώθει πιὼν, ἐπειδὴ μηδὲν ἐγίγνετο κρεῖττον, ἀλλ᾽ ἐπετείνετο τὰ τῆς ἀνωμαλίας αὐτῷ, ὥραν μὲν ἥμισυ. ἄμεινον δ᾽ ὑπολαβὼν εἶναι μηδέπω τρέφεσθαι, κατέκλινε τό τε καὶ ἡσύχαζε

ὥρας

αἱ πύκνωσις τε τῶν μικρῶν πόρων, καὶ ἣν νῦν μεταχει.

ὥρας σχεδόν τι τῆς ἡμέρας ἐνδεκάτης τοῦτο πράξας. ἀγρυπνήσας δὲ μετὰ τοῦ πυρέξαι δι' ὅλης τῆς νυκτὸς, ἡσύχαζε κατὰ τὴν ἐπιοῦσαν ἄχρι μεσημβρίας, ἰάσασθαι τὴν ἀγρυπνίαν ἐλπίζων. ἡνίκα δέ τινες αὐτὸν ἰατροὶ τῆς διατρίτου θεασάμενοι, κατὰ μὲν τὸ παρὸν ἔφασαν ἀξιόλογον εἶναι πυρετὸν, εἰς ἑσπέραν δ' αὖθις ὄψεσθαι. καὶ τοίνυν καὶ θεασάμενοι πάλιν ἑσπέρας παρακμάζοντα τὸν πυρετὸν, οὐκ ἠξίωσαν οὐδὲ τό γε θρέψαι, καί τοι γ' ἄλλου τινὸς ἰατροῦ συμβουλεύοντος, ἀλλὰ ἀντέστησαν ἐκεῖνοι γενναίως. εἰ μὲν γὰρ ἀπύρετος ἐγεγόνει, τάχα ἂν αὐτῷ δοῦναι τροφὴν εἰπόντων, ἔτι δὲ πυρέττοντι, οὐκ ἂν δοῦναι. καὶ τοίνυν καὶ κατὰ τὴν τρίτην ἡμέραν, ἕωθεν ἀφικόμενοι, τὴν διάτριτον ὑπερβάλλειν ἠξίουν. ἦν δ' ὡς εἴρηται πρόσθεν, ἡ ὕποπτος ὥρα τῆς ἡμέρας ἐκείνης ἐνδεκάτη. χωρισθέντων οὖν αὐτῶν, ἐγὼ παραγενόμενος, ἐθεασάμην τοῦ νεανίσκου τὸ πρόσωπον οἷόν περ ὁ Ἱπποκράτης ἐν προγνωστικῷ γράφει διὰ τῆς δὲ τῆς ῥήσεως. ῥὶς ὀξεῖα. ὀφθαλμοὶ κοῖλοι. καὶ τἆλλα ἅπερ ἴσμεν ἐφεξῆς αὐτῷ εἰρημένα. πάντως οὖν αὐτὸν ἁλώσεσθαι πυρετῷ ἑκτικῷ τε καὶ μαρασμῷ δεῖ μὴ τραφέντα πείσας ἐμαυτὸν ὅτι τάχιστα παρασκευάσας ἐκ χόνδρου ῥόφημα, δίδωμι προσενέγκασθαι. ἀλλ' ὅμως καί τοι τοῦτο προσενεγκάμενος, οὐδὲν ἧττον ἐν τῷ καιρῷ τοῦ παροξυσμοῦ περὶ τὴν ἐνδεκάτην ὥραν εἰσβάλλοντος, ἀπεψύχθη τε τὰ ἄκρα δυσεκθερμάντως. καὶ ὁ σφυγμὸς αὐτῷ μικρὸς καὶ ἄῤῥωστος ἐσχάτως ἐγένετο. διὸ δὴ καὶ κατὰ τὴν τετάρτην ἡμέραν ἕωθέν τε καὶ εἰς ἑσπέραν, ἔδωκα τροφὴν αὐτῷ. τήν τε δύναμιν ἀνακτώμενος, καὶ τὸν αὐχμὸν τοῦ σώματος ἐπιτέγγων. ἦν γὰρ αὐτῷ τὸ δέρμα καρφαλέον ὥσπερ βύρσα. διαμένοντος δὲ τοῦ πυρετοῦ λεπτοῦ καὶ ὁμοίου, κατὰ τὴν πέμπτην αὖθις ἡμέραν ἐδικαίωσα τρέφειν αὐτὸν, οὐχ ἁπλῶς ῥοφήμασιν ὡς ἔμπροσθεν, ἀλλὰ καὶ κόκκους ῥοιᾶς ἐμβαλὼν εἰς χόνδρον ἐξ ὕδατος θερμοῦ χωρὶς ἀρτύσεως. κάλλιστον γὰρ ἔδεσμα τοῦτο κάμνοντι πικροχόλῳ στομάχῳ. καὶ γὰρ καὶ ῥώννυσιν αὐτὸν ἡ ῥοιά. καὶ χωρὶς τοῦ διαφθαρῆναι μέχρι πλείστου μένων ὁ χόνδρος ἐν τῇ γαστρὶ, πέττεται κατὰ βραχὺ μήτ' ὀξυνόμενος, μήτ' ἐπιπολάζων. ἅπερ εἴωθε τοῖς ῥοφήμασιν ἔστιν ὅτε συμβαίνειν. ἐγένετο δ' οὖν καὶ περὶ τὴν πέμπτην ἡμέραν ἡ ἀρχὴ τοῦ παροξυσμοῦ, παραπλησία. καὶ πάλιν ἡμῶν κατά τε τὴν ἕκτην καὶ τὴν ἑβδόμην ἡμέραν ὡσαύτως αὐτὸν διαιτησάντων, ἡ κατὰ τὴν ὀγδόην αὖθις ὁμοία ταῖς ἔμπροσθεν. ἔνθα δὴ καὶ μάλιστα τὴν ἄνοιαν ἢ τὴν φιλονεικίαν, ἢ οὐκ οἶδ' ὅ,τι φῶ, τῶν τὴν διάτριτον, αὐτὸν ἐν ἀρχῇ κελευσάντων ὑπερβάλλειν, ἀκριβῶς ἦν καταμαθεῖν. ἐναργῶς γάρ τοι φαινομένου πᾶσιν, ὡς οὐκ ἂν εἰς τὴν τετάρτην ἡμέραν ὁ ἄνθρωπος ἀφίκετο, μὴ τραφεὶς πρὸ τοῦ κατὰ τὴν τρίτην παροξυσμοῦ, κακῶς ἐκεῖνοι καὶ τότε καὶ ταῖς ἐφεξῆς ἡμέραις ἔφασαν αὐτὸν τεθράφθαι. ἀλλὰ γὰρ οὐχ οἷόν τε ἦν ἵν' ἐξελέγξῃ τις αὐτοὺς, προδοῦναι τὸν κάμνοντα, μὴ διδόντα τροφὴν ἐν τῇ παροξυντικῇ τῶν ἡμερῶν. ὁμοίως οὖν θρεψάντων ἐπὶ τῆς ἐννάτης ἡμέρας τὸν ἄνθρωπον, καὶ θεασάμενοι κατὰ τὸν παροξυσμὸν εὐτονώτερον μὲν ἑαυτοῦ γεγονότα τὸν σφυγμὸν ἔτι μέν τοι τὸ ἄῤῥωστον ἔχοντα, μετὰ τῆς τῶν ἄκρων ψύξεως, οὐχ ὑπεμείναμεν ἀνέχεσθαι τὴν γλωσσαλγίαν τῶν ἰατρῶν. ἀλλὰ κατὰ τὴν δεκάτην ἡμέραν προειπόντων τοῖς φίλοις τοῦ κάμνοντος, ὡς ἔσονται τήμερον, μέχρι τοῦ δεῦρο δι' ἡμᾶς τὸν ἄνθρωπον σωζόμενον, ἐπετρέψαμεν ὑπερβάλλειν αὐτὸν τὰς παροξυντικὰς ὥρας. ἀσφυξίας οὖν ἐν αὐταῖς γενομένης πάντως, καὶ καταψύξεως ἰσχυρᾶς ὅλου τοῦ σώματος, ὡς μήτε φθέγγεσθαι μηκέτι, καὶ μόγις τῶν θλιβόντων αἰσθάνεσθαι, κληθέντων ἅμα πάντων οἱ ἐξ ἀρχῆς ὁρώντων ἰατροὶ, μόνον οὐ διασπασθῆναι πρὸς τῶν οἰκείων τοῦ κάμνοντος ἐκινδύνευσαν. ἐγὼ μὲν ὡς ἑκὼν προδοὺς τὴν σωτηρίαν αὐτοῦ, διὰ φιλονεικίαν. οἱ δ' ἐρασταὶ τῆς διατρίτου, διὰ τὴν ἀμαθίαν, ἅμα δὲ καὶ ἀναισθησίαν. ἐκεῖνοι μὲν ὠχρότεροι καὶ ψυχρότεροι τοῦ νοσοῦντος αὐτοῦ γενόμενοι, μηχανήν τινα ἐβουλεύσαντο φυγῆς. προνοήσας δ' ἐγὼ τοῦτο, τὴν αὔλειον θύραν ἐκέλευσα κλεισθῆναι. καί τινι τῶν ἑταίρων προσέταξα λαβόντι τὴν κλεῖν φυλάττειν. εἶτ' ἐν τῷ μέσῳ καταστὰς, ἤδη μὲν οὖν ὑμᾶς ἔφην ἀκριβῶς πεπεῖσθαι τίς ἐστιν ὁ σώσας τὸν ἄνθρωπον ἄχρι τοῦ δεῦρο. σωθήσεται δὲ καὶ νῦν ὑφ' ἡμῶν. οὐ γὰρ ἂν εἰ πάντως αὐτὸν ἀπολεῖσθαι προσεδοκήσαμεν ἐν τῷδε τῷ παροξυσμῷ, τοῦ τρέφειν ἀπέστημεν ἄν. ἀλλ' ἐπειδὴ τοσοῦτον αὐτῷ ῥώμης ἐκ τῆς ἔμπροσθεν διαίτης ἔγνωμεν ὑπάρχειν, ὡς δύνασθαι διενεγκεῖν τὸν παροξυσμὸν, ἐπετρέψαμεν ὑπερβάλλειν ἀσίτῳ. κάλλιον μὲν οὖν ἦν τεθράφθαι πρὸ πολλοῦ τὸν ἄνθρωπον. ἀλλ' ἵνα καὶ τούτους ἐξελέγξω καὶ πείσω τινὰς τῶν παρεχόντων αὐτοῖς τὰ ὦτα, φάσκουσιν ὑφ' ἡμῶν ἐπιτρίβεσθαι τὸν νεανίσκον, ἀπολέσας ἐκεῖνον τὸν καιρὸν, ἐπιδείξω νῦν αὐτοῖς ὅτι καὶ κατ' αὐτὸν τὸν παροξυσμὸν ἐνίους τῶν ἀῤῥωστούντων προσήκει τρέφειν. μήτι γε μὴ πρὸ τοῦ παροξυσμοῦ. ταῦτ' εἰπὼν καὶ διαστήσας τὰς γνάθους αὐτοῦ, ἐγχέων πτισάνης χυλὸν δι' ἀγγείου στενοστόμου κυάθων τὸ πλῆθος τριῶν, εἶτα ὀλίγον ὕστερον οἴνου λευκοῦ λεπτοῦ κεκραμένου συμμέτρως θερμῷ δύο κυάθους. ἐφ' οἷς ἀνέβλεψέ τε, καὶ ἀκούειν καὶ φθέγγεσθαι καὶ γνωρίζειν τοὺς παρόντας ὑπήρξατο, πρότερον, οἷόν περ ξύλον ξηρὸν ἐκτεταμένος. ἀναίσθητός τε καὶ ἄφωνος. αὖθις οὖν αὐτῷ δοὺς ἄρτου τι καταπιεῖν ἐξ οἴνου καθ' ὃν εἴρηται τρόπον κεκραμένου, τελέως ἀνεκτησάμην. καὶ πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς ἀγαγὼν ὁδὸν τῆς διαίτης, εὐφόρως τὸν ἐν τῇ τρισκαιδεκάτῃ παροξυσμὸν ὑπομείναντα θεασάμενος, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πάλιν ἕωθεν θρέψας, ἔλουσα μετὰ τοῦτο, περὶ ὥραν ὀγδόην. εἶτ' αὖθις θρέψας γενναιότερον, ἐπιδοὺς τε πιεῖν οἴνου. τοῦτο δὲ καὶ κατὰ τὴν δωδεκάτην τε καὶ τρισκαιδεκάτην ἡμέραν ἐπεποιήκειν. ἐν τῇ πεντεκαιδεκάτῃ πάλιν ἕωθεν ἔθρεψα. μᾶλλον δὲ αὐτοῦ τότε τὸν παροξυσμὸν ἐνεγκόντος εὐφόρως, αὖθις ἔλουσα κατὰ τὴν ἑκκαιδεκάτην ἡμέραν. καὶ τἆλλα ὁμοίως ἔπραξα περὶ τὸν ἄνθρωπον τοῖς ἔμπροσθεν. ἐπεὶ δὲ κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν ὁ παροξυσμὸς ἄθλιπτος καὶ μικρὸς ἐγένετο, θαῤῥῶν ἤδη τοῦ λοιποῦ, διῄτων αὐτὸν ἀναληπτικῶς. Οὗτος ὁ ἄῤῥωστος ἐπαίδευσε πολλοὺς τῶν ἡμιμοχθήρων τε καὶ μὴ παντάπασιν ὄνων. ὡς καὶ πρὸ τῶν παροξυσμῶν ἐνίοτε χρὴ τρέφειν, εἰ καὶ δυοῖν ὡρῶν εἴη τὸ μεταξύ. καὶ πολὺ δὴ μᾶλλον ἔμπροσθεν τῆς διατρίτου. ἐδίδαξα δέ σε καὶ κατ' αὐτὴν τὴν εἰσβολὴν τοῦ πρώτου παροξυσμοῦ τοὺς τοιούτους τρέφεσθαι δεομένους. λέγω δὲ τοὺς τοιούτους, ἐφ' ὧν ἡ δυσκρασία τοῦ σώματος

ὑπὸ τὸ ξηρὸν καὶ τὸ θερμὸν ἐκτρεπομένη, πυρέσσουσιν ἀπαύστως. ἔστι μὲν οὖν ἴσως καὶ τοῦτο τοῖς πολλοῖς τῶν ἰατρῶν ἄπιστον. ἀλλ᾽ εἴτε διὰ λόγων χρὴ παρέχειν αὐτῷ τὴν πίστιν, εἴτε τοῖς ἔργοις, ἀμφοτέροις ἡμεῖς παρεχόμεθα. τοῖς μὲν ἔργοις ἀνθρώπους ὑποδεικνύντες αὐτοῖς, οὓς ἐὰν ἀσιτήσωσιν ὑπὲρ δυοῖν ἡμέραιν, ἀνάγκη πυρέξαι, καθάπερ ἐνίους ὀργισθέντας, ἢ λυπηθέντας, ἢ ἀγρυπνήσαντας. ἐναργέστατα γὰρ ἐπὶ τῶν ἀναλαμβανομένων ἐκ νόσου μακρᾶς τὰ τοιαῦτα φαίνεται γιγνόμενα, καὶ τῶν θερμῶν καὶ τῶν ξηρῶν τὴν κρᾶσιν. διὰ λόγων δ᾽ ἡ πίστις τοῦ γινομένου. λέλεκται μὲν ἤδη καὶ δι᾽ ἄλλων, εἰρήσεται δὲ αὐτοῦ καὶ νῦν τὰ κεφάλαια. οἱ δακνώδεις ἀτμοὶ καὶ χυμοὶ διὰ τῶν αἰσθητικῶν σωμάτων φερόμενοι, φρίκας καὶ ῥίγη γεννῶσιν. ἐν οἷς στεγνουμένου τοῦ δέρματος, ὑποχεθέντα τὰ διαπνεόμενα πρόσθεν, ὅταν ᾖ λιγνυώδη, πυρετὸν ἐξάπτει. τοὺς τοιούτους οὖν ἀτμοὺς καὶ χυμοὺς, αἵ τε κινήσεις αἱ πολλαὶ, καὶ σφοδραὶ, καὶ ἀγρυπνίαι, καὶ οἱ θυμοὶ, καὶ αἱ λῦπαι, καὶ αἱ φροντίδες, ἐργάζονται πλείονας. ἐφεξῆς δὲ τούτων, αὐτὸ καθ᾽ ἑαυτὸ μόνον ἱκανὸν ἐνίοτε τὸ μὴ προσενέγκασθαι τροφήν. ἐκχολοῦται γὰρ ἐπὶ τῶν πικροχόλων φύσεων ἡ ἕξις, ἐπὶ ταῖς μακροτέραις ἀσιτίαις. ἐὰν οὖν ἅμα τε τοῦτο συμβῇ, καὶ κίνησίν τινα κινηθεὶς ὁ κάμνων, ἰσχυροτέραν τῆς δυνάμεως, ἀθροωτέραν ἐργάσεται τῶν δακνωδῶν περιττωμάτων τὴν εἰς τοὐκτὸς φοράν. ἀναγκαῖον ἐστὶν ὡς ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις ἐπεδείκνυμεν ἤτοι ῥῖγος ἢ φρίκην ἐπιγίγνεσθαι. ῥῖγος μὲν οὖν ἔσται διά τε τὸ πλῆθος τῶν φερομένων, καὶ τὴν δριμύτητα, καὶ τὸ τάχος τῆς φορᾶς, καὶ τὴν τῆς δυνάμεως ἀσθένειαν. τά γε γὰρ πολλὰ τῶν ὀλίγων, καὶ τὰ ταῖς ποιότησιν ἠκριβωμένα τῶν μὴ τοιούτων δάκνει μᾶλλον, ὥσπερ γε καὶ τὰ θᾶττον φερόμενα τῶν βραδυτέρων. ἥ τε δύναμις ἰσχυρὰ μὲν οὖσα, καταφρονεῖ καὶ ἀνέχεται πάντων. ἀσθενὴς δὲ γινομένη, καὶ πρὸς τῶν τυχόντων ἀνιᾶται. φρίκη δ᾽ ἂν γένοιτο, τῆς τε ποιότητος αὐτῶν, καὶ τοῦ τάχους τῆς φορᾶς ἐκλυθέντων ἅμα τῷ πλήθει. καὶ μάλισθ᾽ ὅταν ἡ δύναμις ἀνθίσταται τοῖς λυποῦσιν. ἐπὶ πλέον δὲ τῶν εἰρημένων ἐκλυθέντων, οὐδὲ φρίκη γένοιτ᾽ ἄν. ἀλλ᾽ ἤτοι τις ἑλκώδης αἴσθησις, ἢ ἀνωμαλία μόνη. πάντων μὲν οὖν τῶν εἰρημένων συνελθόντων, τὸ σφοδρότατόν ἐστι ῥῖγος. ἁπάντων δ᾽ ἐκλυθέντων, οὐδεμία τῆς διεξόδου τῶν περιττωμάτων αἴσθησις. εἰ δὲ τὰ μὲν εἴη, τὰ δὲ, οὐκ εἴη, καὶ τὰ μὲν μείζω, τὰ δὲ σμικρότερα, τὸ ἐν μέσῳ πᾶν ἀναπληρωθήσεται πλάτος ἐν ταῖς τοιαύταις μίξεσι, τοῦ τε μεγίστου ῥίγους, καὶ τῆς παντελοῦς τῶν περιττωμάτων ἀναισθησίας. οὐδὲν οὖν ἐστι θαυμαστὸν, εἰ ποτὲ μὲν ἀνωμαλίαν, ποτὲ δὲ, ἑλκώδη τινὰ αἴσθησιν ἢ φρίκην, ἢ ῥῖγος ἕκαστον τῶν αἰτίων αὐτό τε καθ᾽ ἑαυτὸ καὶ σὺν ἄλλοις ὁρᾶται φέρον. ὑποκείσθωσαν γὰρ ἀσθενεῖς μὲν αἱ δυνάμεις. αἰσθητικὸν δ᾽ ἱκανῶς τὸ σῶμα, καὶ γὰρ καὶ τοῦτο ἐδείχθη συντελεῖν οὐκ ὀλίγον εἰς τὴν τῶν τοιούτων συμπτωμάτων γένεσιν, ἰσχνὴ δὲ ἡ ἕξις, καὶ ἡ κρᾶσις πικρόχολος. ὅ, τε στόμαχος ἐκχολούμενος ὁμοίως, ἐπί τε τούτοις ἅπασιν ἔνδεια γιγνέσθω σιτίων, ἀγρυπνία τέ τις, καὶ λύπη, καὶ φροντὶς, ἀναγκαία τε πρόοδος οἴκοθεν ἐπειγούσης τινὸς χρείας. εἶτα τούτων ὑποκειμένων, ὅπερ ἐθεασάμην ποτὲ γιγνέσθω. προθυμηθείτω διὰ τὴν χρείαν ὁ τοιοῦτος ἄνθρωπος, ὁδὸν μακροτέραν ἀνύσαι κατὰ τὴν πόλιν ἐπειγόμενος. ἆρ᾽ οὐχ ἑτοίμως ἐκ τῆς προσγενομένης αὐτῷ κινήσεως τῶν δακνωδῶν περιττωμάτων, ἀνωμαλίαν μέν τινα πρῶτον, αὐτίκα δὲ καὶ φρίκην γενέσθαι, καὶ εἰ ἐπιμένει κινούμενος ἢ μὴ φθάσει λαβεῖν σιτίων, αὐτίκα πυρέξειν αὐτόν; ἔδειξα δέ σοι πυρέξοντας οὕτω τινὰς, καὶ μάλιστα τῶν ἐκ νόσου μακρᾶς ἀνακομιζομένων. ὧν ἑνὶ κατὰ τύχην ἀπαντήσας τῆς φρίκης ἀρχομένης ἄρτι δηλώσαντι τὸ γιγνόμενον, ἄρτον ἐξ οἴνου κεκραμένου δοὺς προσενέγκασθαι, παραχρῆμα τὴν φρίκην ἔπαυσα. ἀλλὰ τοῦτον μὲν ὡς οἶσθα, κατὰ τὴν ὁδὸν εἰς ἐργαστήριον εἰσαγαγὼν, ἐκώλυσα πυρέξαι. ἑτέρους δ᾽ εἰς τὴν ἑαυτῶν καταγωγὴν ἀφικέσθαι φθάσαντας, ἔθρεψα κατὰ τὴν ἀρχὴν τῆς φρίκης, ἢ μικρὸν ὕστερον. ἁπλῶς δ᾽ εἰπεῖν, οἷς ἔτι τὰ τῆς ἀρχῆς τῶν παροξυσμῶν ἐστι συμπτώματα, τούτοις ἅπασιν ἄρτον ἐξ οἴνου κεκραμένου θερμοῦ διὰ ταχέων προσφέρων, ἔπαυσά τε παραχρῆμα τὴν φρίκην, ἐκώλυσά τε πυρέξαι. ὅσῳ δ᾽ ἂν θᾶττον αὐτοὺς θρέψαις, τοσούτῳ μᾶλλον κωλύσεις τὸν πυρετόν. εἰ δὲ βραδύνοις ποτὲ βραχὺ, πυρετὸς μὲν οὐδ᾽ οὕτω, θερμασία δὲ αὐτοῖς ἐπιγίγνεται πολλή. τρόπον ὁμοιότατον τοῖς ἐν κρύει μὲν ὁδοιπορήσασι σφοδρῷ. καταχθεῖσι δ᾽ οἴκαδε, καὶ τραφεῖσι θερμοῖς, ὡς εἴγε βραδύνοις πλέον, ἔτι πλεῖον οὗτοι θερμανθήσονται θερμασίαν τοσαύτην, τε καὶ τοιαύτην ὡς ἀμφιβάλλειν εἰ πυρετὸν ἤδη κλητέον αὐτήν. Εἰ δ᾽ ὧραι δύο μετὰ τὴν ἀρχὴν τῆς ἀνωμαλίας εἴησαν γεγενημέναι, τρέφειν μὲν καὶ τότε μενούσης γ᾽ ἔτι τῆς φρίκης. προλέγειν δ᾽ ὅτι πυρέξουσιν οὗτοι πυρετὸν ἄλυπον, ᾧ νοτίδων ἀπολελυθῆναι. καὶ τούτου γενομένου, καὶ λούειν χρὴ καὶ τρέφειν αὖθις. Εἰ δὲ ἡ μὲν φρίκη παύοιτο, πυρέττοιεν δ᾽ ἤδη σαφῶς, μηκέτι τρέφειν αὐτοὺς ἐν ἐκείνῳ τῷ καιρῷ, παρακμάζοντος δὲ τοῦ γενομένου παροξυσμοῦ, τρέφειν αὐτίκα μὴ περιμένων ἀπυρεξίαν. Ἐν ἁπάσαις γὰρ ταῖς αὐχμώδεσι διαθέσεσιν, οὐ παύονται καλῶς οἱ παροξυσμοὶ, πρὶν ἤδη λουτροῖς ἢ τροφαῖς ὑγραινούσαις τυχεῖν. Ταῦτα ἐγὼ πάντα δι᾽ ἔργων ἐπιδειξάμενος ἐφ᾽ οἷς ὡς οἶσθα παραδοξοποιὸς ὑπὸ τῶν ἐπαινούντων ἢ φθονούντων ἐκλήθην, ὁπότε δὲ λόγῳ διεξῄειν ὑπὲρ τῶν αὐτῶν ἐπιδεικνὺς ὡς χρὴ τινὰς μὲν πρὸ τοῦ παροξυσμοῦ τρέφειν, ἐνίους δὲ καὶ κατ᾽ αὐτὸν, ἤτοι παρακμῆς ἀρξαμένης ἢ καὶ νὴ Δία τῆς ἀκμῆς ἐνεστηκυίας, οἶσθ᾽ ὡς τηνικαῦτα παραδοξολόγον ἐκάλουν με. τί ἂν οὖν τις πάθοι πρὸς ἀνθρώπους, μήτε ἔργῳ, μήτε λόγῳ πεισθῆναι δυναμένους. ἀλλ᾽ ἀδύνατόν φασι διαγνῶναι τὰς τοιαύτας διαθέσεις. Πῶς οὖν ἡμεῖς τὰς τοιαύτας διαγινώσκομεν; ἀδύνατον εἶναί σοι δοκεῖ διαγνῶναι ξηρὰν καὶ θερμὴν κρᾶσιν, ἢ ἐξ ἀρχῆς γεγενημένην, ἢ ἐν τῷ νῦν χρόνῳ τοιαύτην ἀποτελεσθεῖσαν. ἐμοὶ μὲν γὰρ οὕτω ῥᾷον, ὡς καὶ ταυτὶ γνωρίζειν τὰ γράμματα. τί δ᾽ ὅτι τούτῳ μὲν οὐδέπω σκεπτέον οὐδεμία χυμῶν ἐστι. τούτῳ δ᾽ ἐστὶν, ἀδύνατον εἶναι διαγνῶναι νομίζεις; ἀλλ᾽ οὐχ ἡμεῖς γε. καὶ γὰρ διὰ τῶν σφυγμῶν καὶ διὰ τῶν οὔρων καὶ δι᾽ αὐτῆς ἐστιν ὅτε τῆς κατὰ τὴν θέρμην ποιότητος ἐναργῶς διαγινώσκομεν. εἰ δ᾽ ἐκ τοῦ μηδὲν αὐτοὶ μήτε μαθεῖν ἐθελῆσαι, μήτ᾽ ἀσκῆσαι, τοῖς ἐπιστήμοσιν ἀπιστοῦσι, τί κωλύει καὶ τοῖς γεωμέτραις αὐτοὺς καὶ τοῖς ἀριθμητικοῖς καὶ

τοῖς ἄλλοις ἅπασι τεχνίταις ἀπιστεῖν. ἐάσαντες οὖν ἤδη τοὺς τοιούτους ἀνθρώπους, αὖθις ἀνέλθωμεν ἐπὶ τὸ συ-
νεχὲς τοῦ λόγου. Ταῖς θερμαῖς καὶ ξηραῖς ἕξεσιν, ἐναντιώτατόν ἐστι καὶ πυρετωδέστατον αἴτιον, ἀσιτία. λέγω
δ' ἕξεις θερμὰς καὶ ξηράς, οὐ μόνον ὅταν ἐξ ἀρχῆς ὦσι τοιαῦται κατὰ τὴν οἰκείαν κρᾶσιν, ἀλλὰ κἂν ἐξ ὑστέρου γεν-
νηθῶσιν ἐκ διαίτης θερμῆς καὶ ξηρᾶς. καὶ κινήσεων πλειόνων. ἀγρυπνίας τε καὶ φροντίδος. καὶ λύπης. καὶ χωρίου
θερμοῦ καὶ ξηροῦ. καὶ ὥρας θερινῆς. καὶ καταστάσεως θερμῆς καὶ ξηρᾶς. ἔξεστι δὲ καὶ χωρὶς τοῦ τῆς ὥρας ὀνόματος ἐν
τοῖς τοιούτοις λόγοις, μόνης μεμνῆσθαι τῆς καταστάσεως. ἄνωθεν γοῦν ἀναληφθέντος τοῦ λόγου, μᾶλλον πειθή-
σει τῷ λεγομένῳ. Τὰς θερμὰς καὶ ξηρὰς κράσεις εἴτ' ἐκ τῆς ἀρχαίας φύσεως, εἴτ' ἐκ τῆς διαίτης καὶ πόνων ἀμέ-
τρων καὶ παθῶν ψυχικῶν καὶ χωρίου καὶ καταστάσεως εἰς τοῦτο εἶεν ἠγμέναι, βλάπτουσιν ἱκανῶς αἱ ἀσιτίαι. ἐν
τούτῳ τῷ λόγῳ παραλέλειπται μὲν ἡ ὥρα κατά γε τὴν λέξιν. οὐ παραλέλειπται δὲ τῇ δυνάμει. περιέχεται γὰρ
ἐν τῇ καταστάσει τῆς ἄκρως θερμῆς καὶ ξηρᾶς καταστάσεως τὴν εἰρημένην κρᾶσιν ἐργαζομένης, ἣν οὐχ οἷόν τε γε-
νέσθαι κατ' ἄλλην ὥραν οὐδεμίαν. ὅτι μὴ τοῦ θέρους. οὔτε γὰρ ἐν φθινοπώρῳ δυνατόν, οὔτ' ἐν ἦρι. πολὺ δὲ μᾶλ-
λον οὐδ' ἐν χειμῶνι, θερμοτάτην ἅμα καὶ ξηροτάτην γενέσθαι κατάστασιν. ὥσπερ οὐδὲ ψυχροτάτην οὐδὲ ὑ-
γροτάτην ἐν ἄλλῃ τινί, πλὴν ἐν χειμῶνι. διὰ ταῦτα μὲν δὴ κἀγὼ παραλιπὼν ἐνίοτε τὴν ὥραν, ἀρκοῦμαι τῇ κα-
ταστάσει. ἐξέστω μὲν ἑκάστῳ χρῆσθαι τοῖς ὀνόμασιν ὡς ἂν ἐθέλοι, φυλάττοντι τῶν πραγμάτων τὴν φύσιν. ἔστι δὲ ἡ φύ-
σις τῶν πραγμάτων οἵαν ἤδη τε πολλάκις ἔφην. οὐδὲν δὲ ἧττον ἐρῶ καὶ νῦν. ὅσα γὰρ ἀναγκαιότατα μὲν εἰς τὰς
ἰάσεις ἐστίν, ἀγνοεῖται δὲ μάλιστα, ταῦτ' οὐδ' Ἱπποκράτης ὀκνεῖ διδάσκειν πολλάκις. Ἀσιτία τοίνυν τοῖς ξη-
ροῖς καὶ θερμοῖς σώμασιν, ὑγιαίνουσι μὲν βλαβερά. πυρέττουσι δ' ἐν θέρει θερμῷ καὶ ξηρῷ τὸν ἐπ' ἐγκαύσει πυρε-
τόν, ἢ πόνοις ἀμέτροις, ἢ ἀγρυπνίαις, ἢ τοῖς εἰρημένοις πάθεσι τῆς ψυχῆς, οὐχ ἁπλῶς βλαβερόν, ἀλλ' εἴπερ τι καὶ
ἄλλο τῶν πάντων ὀλέθριον. ἤτοι γὰρ εἰς καυσώδεις ἐμπίπτουσι πυρετοὺς ἐξ αὐτῆς. ἐξ ὧν ἐὰν μὴ φθάσωσιν ἀ-
ποθανεῖν, εἰς τοὺς ἑκτικοὺς μεταπίπτουσιν. αὖθις δ' ἐκ τούτων, εἰς μαρασμόν. ἢ ἐξ ἀρχῆς εὐθέως ὁ ἑκτικὸς αὐτοῖς
συμπίπτει πυρετὸς ὑπερβὰς τὸν καυσώδη. μάλιστα δ' ὡς εἴρηται πολλάκις, αἱ ξηραὶ καὶ θερμαὶ διαθέσεις,
ἁλίσκονται τοῖς ἑκτικοῖς πυρετοῖς εὐθὺς ἐξ ἀρχῆς. ὥσπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου τοῦ φθινοπώρου μὲν ἀρξαμέ-
νης δι' ἀγρυπνίαν καὶ λύπην. ἐπὶ πλεῖστον δὲ παρατεινάσης τοῦ χειμῶνος. ἣν τεθεάμεθα μὲν ὡς οἶσθα, τε-
ταρταίαν. ἐγνωρίσαμεν δ' εὐθέως ἑκτικὸν εἶναι πυρετὸν ἐπιπεπλεγμένον ἑτέρῳ τινὶ τῶν ἐπὶ χυμοῖς. ἴασις
δ' ἦν μόνη διδόναι ψυχρὸν ἐν καιρῷ μέτριον, εἰθισμένῃ πίνειν αὐτὸ καὶ παρὰ τὸν ὑγείας χρόνον. ἀλλ' ἕτεροι
μὲν ἐπὶ ταύτης ἐνεπίστευον τὴν θεραπείαν. ὅθεν ἡμεῖς ἐγνώκαμεν σιωπᾶν. ἐπ' ἄλλου δὲ κατὰ τὸν αὐτὸν χρό-
νον, ὃς ἡμῖν ἑαυτὸν ἐπέτρεψε, καθ' ἑκάστην τροφὴν ἐδίδομεν ἀκραιφνοῦς πηγαίου ψυχροῦ. ποτὲ μὲν, δύο
κυάθους. ἔστι δ' ὅτε τρεῖς. ἀθρόον γὰρ οἱ τοιοῦτοι ψυχρὸν οὐ φέρουσιν ἄνευ τοῦ βλαβῆναι. διὸ κάλλιστόν ἐστιν
εὐθὺς ἐν τῷ πρώτῳ παροξυσμῷ, διαγνόντα τοῦ πυρετοῦ τὴν ἰδέαν, ἀκινδυνότερον χρήσασθαι ψυχρῷ πλεο-
νι, μηδέπω ξηρῶν ἱκανῶς τῶν σωμάτων γεγονότων. Ὁ γοῦν ἐκ θυμοῦ πυρέξας ἐν τοῖς ὑπὸ κύνα καύμασι,
θερμὸς καὶ ξηρὸς νεανίσκος ἐν τῷ πρώτῳ παροξυσμῷ πιὼν ὕδατος ψυχροῦ δύο κοτύλας, αὐτίκα μὲν ἤ-
μεσε χολὴν ξανθοτάτην. ἐξέκρινε δ' ὀλίγον ὕστερον καὶ κάτω. κἄπειτ' αὖθις ἐπὶ τῇ τροφῇ λαβὼν ὁμοίως ὕ-
δατος ὅσον κοτύλης, οὐκέτι ἐπύρεξεν. ἀλλ' ἔνιοι τῶν ἰατρῶν ἐν ἀρχῇ μὲν οὐ γνωρίζοντες οὐδεμίαν ἰδέαν πυ-
ρετοῦ, γνόντες δ' ὕστερον, ὅτε οὐδὲν ὄφελος εἰς ἑκτικόν, ἢ καὶ νὴ Δία ἤδη μαρασμώδη πυρετὸν ἐμπίπτοντα
τὸν ἄρρωστον, ἔδωσαν αὐτῷ ψυχρὸν πιεῖν ἡμᾶς μιμησάμενοι. καὶ πάντες ἀπέτυχον τοῦ σκοποῦ. πολλῆς γὰρ ἀκρι-
βείας δεῖται καὶ τὸ μέτρον ἐπὶ τῶν οὕτως ἐχόντων, ἡ δόσις τοῦ ψυχροῦ. καὶ λεχθήσεται περὶ αὐτῆς ὀλίγον ὕστε-
ρον. ἐπειδὰν πρότερον ἐπιθῶ τελευτὴν τοῖς ἐνεστῶσιν. Ὁ γάρ τοι προγεγραμμένος ἄρρωστος, ἁπάντων πα-
ράδειγμά ἐστι τῶν εὐθὺς ἐξ ἀρχῆς τρέφεσθαι δεομένων διὰ ξηρότητα, κἂν εἰ δὴ πυρέττειν ἄρχωνται. γινομένου
γὰρ αὐτοῖς τοῦ πυρετοῦ διὰ τὸ δακνῶδες τῶν ἐν ταῖς ἡλιώσεσι, καὶ ἀσιτίαις, καὶ πόνοις ἐκ θερμανθέντων καὶ
λεπτυνθέντων χυμῶν, ἡ ὑγραίνουσα τροφὴ μέγιστον ἴαμά ἐστιν. ὥσθ' ὅπου γε διὰ πλῆθος ἢ ἔμφραξιν ἢ φλεγμο-
νὴν ἢ ἁπλῶς εἰπεῖν σηπεδόνα τινῶν χυμῶν ὁ πυρετὸς γεννᾶται, μέγιστον κακόν ἐστιν ἡ τροφή. Τούτους μὲν
οὖν οὐδ' ἐν ταῖς παρακμαῖς ἀβλαβῶς ἂν τρέφοις, μήτι γε δὴ κατὰ τὴν εἰσβολὴν τῶν παροξυσμῶν. τοὺς
προειρημένους δὲ ἐν ἅπαντι μὲν καιρῷ, μάλιστα δ' ἐν τῇ παρακμῇ. καί με πολλάκις ἐθεάσω τοὺς ἐπὶ πλήθει καὶ
φλεγμονῇ νοσοῦντας ἐν ἀσιτίαις διαφυλάξαντα μακραῖς οὕτως, ὡς μηδόλως θρέψαι πρὸ τῆς ἑβδόμης ἡμέ-
ρας, ἀλλ' ἀρκεσθῆναι μόνῳ μελικράτῳ τῆς δυνάμεως ἐρρωμένης δηλονότι. τινὰς δ' αὐτῶν οἷς ἡ δύναμις οὐκ ἦν
εὔρωστος, ἢ χολώδης ὁ στόμαχος, ἢ ἀσθενής, ἢ περιττῶς αἰσθητικός, ἐπὶ χυλοῦ πτισάνης μόνου διεφύλαξα μέ-
χρι τῆς ἑβδόμης ἡμέρας, μέλλοντός γε δηλονότι κατὰ ταύτην ἤτοι ἀκμάζειν τοῦ νοσήματος, ἢ καὶ παντάπα-
σι λυθήσεσθαι διὰ κρίσεως. ἔστωσαν δή σοι καθ' ἕκαστον ἄρρωστον εὐθέως ἀπὸ πρώτης ἡμέρας οἱ σκοποὶ τοῦ τρέ-
φειν, ὡς Ἱπποκράτης ἐκέλευσεν, ἥτε τοῦ νοσήματος ἀκμή, καὶ ἡ τοῦ κάμνοντος δύναμις. εἶθ' εἰ μὲν ἐγχωρεῖ μηδό-
λως τρεφόμενον ὑπερβάλλειν τὴν ἀκμήν, ἐν ἀσιτίαις φύλαττε τὸν ἄνθρωπον. εἰ δὲ βραχείας τινὸς βοηθείας δέοι-
το, τὸ μελίκρατον ἀρκείτω μόνον. εἰ δὲ ἐπὶ μείζονος ἢ κατὰ μελίκρατον, ὁ χυμὸς τῆς πτισάνης. εἰ δ' οὐκ ἐγχωρεῖ τὴν
ἀκμὴν τοῦ νοσήματος ὑπερβάλλειν ἤτοι λεπτῶς διαιτώμενον, ἢ ἀσιτοῦντα, πειρᾶσθαι τρέφειν τοῦτον εὐθὺς ἐν τῇ
τοῦ πρώτου παροξυσμοῦ παρακμῇ. τινὰς δ' αὐτῶν, ὡς εἴρηται, καὶ μέλλοντος εἰσβάλλειν καὶ ἀρχομένου. ξηροὶ
δ' εἰσὶν οὗτοι καὶ θερμοὶ τὴν κρᾶσιν. ἤτοι γ' ἐξ ἀρχῆς, ἢ καθ' ἐκεῖνον τὸν χρόνον. ἀσθενεῖς τε τὴν δύναμιν ἐξ ἀνάγ-
κης. οὐ γὰρ ἐνδέχεται ξηρὸν καὶ θερμὸν ἱκανῶς σῶμα πυρέξαν, ἐρρῶσθαι ταῖς δυνάμεσιν. Εἰ μὲν οὖν ποτε συ-
νέλθοι φλεγμονὴ τοῖς τοιούτοις πυρετοῖς τε καὶ σώμασιν ἐπικαίρου μορίου, τεθνήξονται πάντες. ἐθεάσω γὰρ
ἡμᾶς καὶ τούτους προσέχοντας μὲν ἀεί, σωσαμένους δ' οὐδέ ποτε. καὶ μᾶλλον εἰ πνεύμονος, ἢ τοῦ τὰς πλευρὰς ὑπε-
ζωκότος χιτῶνος, ἢ γαστρός, ἢ ἥπατος. ἀεὶ γὰρ ἐν τούτοις τοῖς μέρεσι φλεγμοναί, μὴ ὅτι τοῖς οὕτως ἀσθενέσι

τὴν δύναμιν, ἀλλὰ καὶ τοῖς ἰσχυροτέροις αὐτῶν, ὀλέθριαι. καὶ μία σωτηρία πλευριτικοῖς τε καὶ περιπνευμονικοῖς, προκείσθω δὲ καὶ συναγχικοῖς, ἡ ῥώμη τῆς δυνάμεως. Ἐπὶ δὲ τούτων οὐδὲν ἧττον οἷς ἧπαρ ἢ γαστὴρ ἐφλεγμήνεν. ὅσον μὲν γὰρ ἐπὶ ταῖς φλεγμοναῖς αὐτῶν, ἥκιστα προσήκει τρέφειν. ὅσον δ' ἐπὶ τῇ τῆς δυνάμεως ἀῤῥωστίᾳ, πολλάκις. ὥστ' ἀναγκαῖον ἢ καταλῦσαι τὴν δύναμιν, ἢ τὰς φλεγμονὰς αὐξῆσαι. Ταυτὶ μὲν οὖν ἐπὶ πλέον ἴσως ἢ τοῖς ἐνεστῶσιν ἁρμόττει, λέλεκταί μοι, διεγνωκότι γε καὶ ἤδη τοῦτο τὸ γράμμα περὶ τῶν ἄνευ φλεγμονῆς διαλεχθῆναι πυρετῶν. ἀλλὰ διὰ τὴν τοῦ λόγου κοινωνίαν, ἐξέβην ἐφ' ὅσον ἦν ἀναγκαῖον. Αὖθις οὖν ἐπανέλθωμεν ἐπὶ τοὺς δὲ τοῖς προειρημένοις πυρετοῖς συγγενεῖς, οὓς ὀνομάζειν εἰώθαμεν ἑκτικούς. ὁ γάρ τοι νεανίσκος ὃν προέγραψα, τὸν ἑκτικὸν ἂν ἐπήνεγκε πυρετόν, ὑπερβάλλειν ἀναγκασθεὶς τὴν θαυμαστὴν διάτριτον. εἴπερ γε μὴ φθάσας ἀπέθανεν ὑπὸ τῶν εἰθισμένων ἄνευ μεθόδου διαιτᾶν. Ὑποκείσθω τοίνυν ἄλλος τις ἅπαντα μὲν ἔχων τὰ αὐτὰ τῷ προειρημένῳ. τὴν δύναμιν δὲ ἰσχυρότερος εἰς τοσοῦτον, ὡς καὶ τὴν διάτριτον ὑπερβάλλων ἀντέχειν. ἀνάγκη τὸν τοιοῦτον οὕτω διαιτώμενον, ὡς διαιτῶσιν οἱ τὴν διάτριτον ὑμνοῦντες, εἰς τὸν ἑκτικὸν πυρετὸν ἐμπεσεῖν. ἔθρεψαν γὰρ αὐτὸν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν. εἶθ' αὖθις ἐν τῇ ἕκτῃ. κἄπειτ' ὀγδόῃ τε καὶ δεκάτῃ. τοιοῦτος γοῦν τις ὁ τύπος τῆς διαίτης αὐτῶν ἐστιν, ὡς ἐθεάσω πολλάκις. Ἡ μὲν πρώτη τροφή, μετὰ τὴν πρώτην διάτριτον. αἱ δ' ἄλλαι, παρὰ μίαν. εὐθὺς δ' ἂν οἶμαι καὶ δι' ἀρχομένης ἐξήραναν αὐτοῦ τὰ ὑποχόνδρια. καὶ γὰρ καὶ τοῦτο ἐκ τοῦ νόμου τῶν τοιούτων ἰατρῶν ἐστιν, εἴτε φλεγμαίνοι σπλάγχνον, εἴτε καὶ μή.

Κατ' ἀρχὰς μὲν οὖν ὅπως χρὴ διαιτᾶν τοὺς οὕτω κάμνοντας, εἴρηται μὲν καὶ πρόσθεν. οὐδὲν δὲ ἧττον ἐν κεφαλαίοις εἰρήσεται καὶ νῦν. ὅταν ἤτοι γε ἐκ κόπων, ἢ θυμῶν, ἢ φροντίδων πλεόνων, ἢ ἀγρυπνίας, ἢ λύπης, ἢ ἐνδείας μακρᾶς, ἢ καὶ πάντων ἅμα συνελθόντων, ὥσπερ ἐπὶ τοῦ προγεγραμμένου νεανίσκου, ξηρανθέντος τοῦ σώματος, εἰσβάλῃ πυρετός, αὐχμηρὸν μὲν ποιῶν τὸ δέρμα, πυρώδη δ' ἔχων τὴν θέρμην. ἐλπὶς μὲν δή που τοῦτον τὸν ἄνθρωπον, ἑκτικῷ ληφθήσεσθαι πυρετῷ. καὶ μᾶλλον ἐν θέρει, καὶ ἐν θερμῇ καὶ ξηρᾷ καταστάσει. Χρὴ δὲ ὅτι τάχιστα διά τε πτισάνης χυλοῦ, καὶ τῶν διὰ χόνδρου ῥοφημάτων θρέψαντα, καὶ ἄρτου τι προσεπιδιδόντα, θεραπεῦσαι πόσει ψυχρᾷ τὸν κάμνοντα. σβέννυται γὰρ αὐτίκα καὶ παύεται τελέως ὁ πυρετός, ὅταν γε, ὡς εἴρηται, μήτε φλεγμονή τις αὐτῷ συνῇ, μήτε σῆψις χυμῶν. εἰ δέ γε τούτων τι συνεπιφαίνοιτο, προσέχειν ἀκριβῶς χρὴ καὶ διακρίνειν, ἐν τίνι καιρῷ πρώτως τὸ ψυχρὸν ὕδωρ αὐτῷ δοῦναι τολμήσομεν. ἐγὼ γὰρ ἔδωκα πολλοῖς, καὶ τῶν τοιούτων ἄμεινον εἶναι νομίσας αὐξῆσαι τὰς φλεγμονάς, τό γε παραυτίκα, τοῦ περιπεσεῖν ἀνέχεσθαι τὸν ἄνθρωπον ἑκτικῷ πυρετῷ. παντελῶς τοίνυν, ὡς ἀεὶ λέγομεν, ἡ θεραπεία τῇ διαγνώσει τε καὶ προγνώσει συνέπεται. Διαγνῶναι μὲν γὰρ χρὴ τὰ παρόντα, προγνῶναι δ' ἐξ αὐτῶν τὰ γενησόμενα, τὸν μέλλοντα χρήσεσθαι βοηθήματι δραστηρίῳ. Εἰ μὲν τοίνυν μεγάλην ἔσεσθαι στοχάζοιο τὴν βλάβην, ἤτοι τῆς σήψεως τῶν χυμῶν, ἢ τῆς φλεγμονῆς, ἐπισχεῖν μὲν τὴν δόσιν τοῦ ψυχροῦ. τοῖς δ' ἔξωθεν ἐπιτιθεμένοις ψυκτηρίοις ἰάμασι χρῆσθαι, ποτὲ μὲν ἐπὶ στόματι τῆς γαστρὸς ἢ καθ' ὅλων τῶν ὑποχονδρίων. ἔστι δ' ὅτε καὶ κατὰ τοῦ θώρακος ἐπιτεθέντα. καθάπερ ἂν ἡγησαίμεθα μάλιστα τὸ πλεῖστον εἶναι τῆς θέρμης. Εἴρηται δ' ὅτι καὶ βαλανεῖα τοῖς οὕτω κάμνουσιν ἐπιτήδεια. τουτέστι τοῖς ἐξηρασμένοις μὲν ἱκανῶς τὸ σῶμα, πυρέττουσι δ' ἄνευ χυμῶν σηπεδόνος ἐπί τινι τῶν προειρημένων αἰτίων. Ἐπιδέδεικται δὲ ἡμῖν ἐν τοῖς περὶ τῶν πυρετῶν λογισμοῖς, ὅτι καὶ ταῖς φλεγμοναῖς διὰ τὴν σηπεδόνα τῶν ἐν αὐταῖς χυμῶν, ἕπονται πυρετοί. Διὰ τοῦτο οὖν ὅταν εἴπω ποτέ, τοῖς ἐπὶ σήψει πυρετοῖς, ἤτοι συμφέρειν ἢ μὴ συμφέρειν τὸ δέ τι, καὶ τοὺς ἐπὶ φλεγμοναῖς ἀκούειν σε χρὴ περιλαμβανομένους ἐν τῷ κοινῷ γένει τῆς σηπεδόνος. Ὅταν δ' ἑξῆς ἀλλήλοις ἀμφοτέρους ὀνομάζοντος ἀκούῃς μου, τοὺς ἐπὶ φλεγμοναῖς ἴσθι τῶν ἐπὶ μόνῃ σήψει τηνικαῦτα διοριζομένους. ὁποία γάρ τις ἐστὶν ἡ τῆς φλεγμονῆς διάθεσις, εἴρηται μὲν ἔν τε τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας, καὶ τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων. ἀναμνῆσαι δέ σε καὶ νῦν ἀναγκαῖον ἐστιν, ὅτι κατασκήψαντος αἵματος θερμοῦ πλείονος, εἰς τὸ τοῦ ζώου μόριον, ἐξαίρεται μὲν αὐτίκα τὰ μείζω τῶν ἀγγείων, μὴ στέγοντα τὸ πλῆθος. ἑξῆς δ' αὐτοῖς τὰ σμικρότερα. κἄπειθ' οὕτως ἐπειδὰν μηδ' ἐν τούτοις στέγηται, διιδροῦται πρὸς τοὐκτὸς εἰς τὰς μεταξὺ τῶν ἀγγείων εὐρυχωρίας, ὡς καὶ τὰ ἐν τῇ συνθέτῳ σαρκὶ χώρας ἁπάσας καταλαμβάνειν. αὕτη μὲν ἡ τῆς φλεγμονῆς διάθεσις. ἐγχωρεῖ δὲ καὶ χωρὶς αὐτῆς ἐν αὐτοῖς τοῖς ἀγγείοις σήπεσθαί τινας χυμούς. ἤτοι καθ' ἕν τι τοῦ ζώου μόριον ἐν τοῖς πέρασιν αὐτῶν σφηνωθέντας, ἢ καὶ καθ' ὅλας αὐτῶν τὰς εὐρύτητας, ὁπόσαι μεταξὺ βουβώνων τέ εἰσι καὶ μασχαλῶν.

Ὅταν οὖν ὡς ἐλέγομεν ἄνευ σηπεδόνος αὐχμώδει σώματι πυρέττειν συμβῇ, τὸ κεφάλαιον τῆς ἰάσεως ἐν τοῖς ὑγραίνουσι καὶ ψύχουσι βοηθήμασι τίθεσθαι χρή. Δύο δ' εἰσὶν αἱ τούτων ὗλαι κατὰ γένος αἱ πρῶται. μία μὲν ἐν τοῖς προσπίπτουσιν ἔξωθεν. ἑτέρα δέ, ἐν τοῖς εἴσω τοῦ σώματος λαμβανομένοις, ἃ δὴ καὶ προσφερόμενα καλοῦσιν. ἔξωθεν μὲν οὖν προσπίπτει, τό, τε περιέχον ἡμᾶς αὐτό, καὶ ὅσα δυνάμει φαρμάκων ὑγραίνειν τε καὶ ψύχειν πεφύκασι. καὶ τρίτον πρὸς τούτοις, ὑδάτων γλυκέων λουτρά. τὰ δ' εἴσω τοῦ σώματος λαμβανόμενα, τά τε ἐσθιόμενα καὶ τὰ πινόμενα, καὶ ὁ εἰσπνεόμενος ἀήρ ἐστιν. ἐκ τούτων χρὴ πειρᾶσθαι, τήν θ' ὑγρότητα καὶ τὴν ψύξιν ἐκπορίζειν τοῖς ἐν τῷ δὲ τῷ λόγῳ προκειμένοις πυρετοῖς. Ἀλλ' ἡ μὲν ψύξις ὡς ἂν ὑπὸ δραστηρίου ποιότητος γινομένη, ὀλιγοχρόνιός τ' ἐστὶ καὶ σφαλερά. πολυχρόνιος δὲ ἡ τῶν ἐξηρασμένων ἐπανόρθωσις ὑπάρχει διὰ ὑγρότητος, ἧττόν τε σφαλερὰ τῆς διὰ ψύξεως. Ἐπέλθωμεν οὖν ἐφεξῆς τὰς εἰρημένας ἐκ διαφορᾶς τῆς ὕλης, ἀπὸ τοῦ περιέχοντος ἀρξάμενοι. Τούτῳ τοίνυν εὐκράτῳ μὲν ὄντι, χρηστέον ὡς ἔχει μηδὲν περιεργαζομένους. εἰ δ' ἤτοι θερμὸν ἱκανῶς ἢ ψυχρὸν ὑπάρχοι, τῷ μὲν θερμῷ τοὐναντίον ἐπιτεχνᾶσθαι κατάγειός οἴκους ψυχροτάτους τε καὶ εὐπνουστάτους ἐξευρίσκοντας πρὸς ἄρκτον ἐστραμμένους. αὔρας τέ τινας ἡδείας αὐτοῖς μηχανωμένους. ἐνίοτε μὲν ἐξ εὐρίπων, εἰς οὓς καταῤῥάσσουσιν ὕδατος κρουνοὶ πλείους. ἐνίοτε δ' ἐξ ἀγγείων εἰς ἀγγεῖα μεταῤῥέοντος ὕδατος ψυχροῦ. εὐθὺς δὲ τοῦτο καὶ ὑπνωτικὸν ὑπάρχει ῥαίνοντάς τε συχνῶς τὸν οἶκον, ἀκραιφνεῖ ψυχρῷ, καὶ

ῥόδα πολλὰ κατὰ τῆς γῆς ἐκχέοντας. ἢ ἀμπέλων ἕλικας. ἢ βάτων ἀκρέμονας. ἢ σχίνων κλῶνας. ἤτοι τῶν ἄλλων
φυτῶν ὅσα ψύχει. λέλεκται δὲ ὑπὲρ αὐτῶν ἤδη καὶ πρόσθεν. εἴργοντας δὲ δηλονότι καὶ πλῆθος ἀνθρώ-
πων εἰσιέναι. καὶ γὰρ καὶ τοῦτο θερμαίνει τὸν οἶκον. οὕτω μὲν τὸν θερμότατον ἀέρα πειρᾶσθαι ψύχειν. ἐν θέ-
ρει δηλονότι θερμῷ καὶ ξηρῷ συνιστάμενον. οὐ γὰρ ἂν ἐν χειμῶνι ποτὲ γένοιτο θερμότατος. ὥσπερ οὐδὲ ψυ-
χρότατος ἐν θέρει. τὸν ψυχρὸν δὲ μετρίως μὴ ὑπάρχοντα τοιοῦτον, ἀγαπᾶν καὶ δέχεσθαι μηδὲν αὐτὸν ἐπιτε-
χνώμενον ἢ ἐξαλλάττοντα τὴν κρᾶσιν αὐτοῦ. ψυχρότατον δ' ὄντα, καθ' ὅσον μὲν εἰσπνεῖται, προσίεσθαι. ψύ-
χει γὰρ ἱκανῶς τὴν ἐν τῇ καρδίᾳ θέρμην. οὐ μὴν καθ' ὅσον ἔξωθέν γε ἅπτεται τοῦ κάμνοντος, πυκνοῖ γὰρ καὶ
συνάγει τὸ δέρμα καὶ κωλύει τὰς ἀπορροὰς διαπνεῖσθαι τῶν σηπεδονωδῶν χυμῶν. διὰ μὲν γὰρ τοῦ πνεύμο-
νος ἀραιοῦ σπλάγχνου χαλεπὸν οὐδὲν ἐπὶ τὴν καρδίαν ἀφικνεῖσθαι ῥαδίως, οὐ μόνην τὴν ποιότητα, ἀλλὰ καὶ
τὴν οὐσίαν αὐτοῦ. διὰ μέν τοι τοῦ δέρματος, οὔτε τὴν ποιότητα δυνατὸν, οὔτε τὴν οὐσίαν ἐπὶ τὴν καρ-
δίαν ἀφικνεῖσθαι, φθάνοντος πυκνοῦσθαι. τὸ γὰρ ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ῥηθὲν ἐπὶ τῶν
ἰσχυρῶς στυφόντων, ἀναμνῆσαι χρὴ κἀνταῦθα καὶ γνῶναι τὸν ἄγαν ψυχρὸν ἀέρα τὰς ὁδοὺς ἀποκλείειν ἑαυτῷ,
τὸ δέρμα στεγνοῦντ' ἀεί. μείζονα μέν τοι γνωστέον γινομένην ἐκ τῆς ψυχρᾶς εἰσπνοῆς τὴν ὠφέλειαν, ἤπερ ἐκ τῆς
τοῦ δέρματος πυκνώσεως τὴν βλάβην. καὶ μάλισθ' ὅταν διὰ ἐπιβλημάτων οἷόν τε θάλπειν αὐτό. χρῆσθαι δ'
ἀέρι τοιούτῳ κατ' ἐκείνους μάλιστα τῶν ἑκτικῶν πυρετῶν, ἐν οἷς ἡ καρδία πάσχει πρώτως. καθάπερ γε καὶ
εἰ ἡ γαστὴρ πρώτη ἐπεπόνθει, διὰ τῶν ἐσθιομένων καὶ πινομένων ἀρήγειν αὐτῇ. ταύτῃ μὲν γὰρ ἐκεῖνα τὴν δύ-
ναμιν εἰλικρινῆ φυλάττοντα, προσπίπτει. τῇ καρδίᾳ δὲ, ὁ εἰσπνεόμενος ἀήρ. ἥπατι δὲ, ἐκ μὲν τῆς εἰσπνοῆς,
οὐδὲν ὄφελος. ὠφελεῖται δ' ἧττον μὲν τῆς κοιλίας, οὐ μὴν ἀμυδρῶς γε, διὰ τῶν ἐσθιομένων τε καὶ πινομέ-
νων. κοινὴ δ' ἁπάντων ἴασις ἡ διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων ὑγραινόντων τε καὶ ψυχόντων. ἐπὶ τούτοις μὲν
οὖν τοῖς σπλάγχνοις, ὡς τὰ πολλὰ, τοὺς ἑκτικοὺς καὶ μαρασμώδεις ἐθεασάμεθα πυρετούς. ἐπιγίγνονται
μὴν ἐνίοτε καὶ ταῖς τοῦ πνεύμονος ξηραῖς καὶ θερμαῖς δυσκρασίαις. ἀλλ' οὐκ ἐπιτήδειον εἰς τοὺς τοιούτους
πυρετοὺς τὸ σπλάγχνον ὑγρὸν καὶ χαῦνον ὑπάρχον. ἐπιγίνονται δὲ καὶ θώρακι, καὶ μεσαραίῳ, καὶ κύστει,
καὶ κώλῳ, καί ποτε καὶ μήτρᾳ, καὶ νεφροῖς. ἐπὶ δὲ τῷ διαφράγματι, μαρασμὸν μὲν οὐκ εἶδον, ἑκτικὸν δ'
ἐθεασάμην πυρετόν. ἅπαξ μὲν ἀκριβῶς ἀπεργασθέντα. πολλάκις δ' ἀποκτείναντα, πρὶν ἀκριβῶς συμ-
πληρωθῆναι. δύσπνοιά τε γὰρ ἕπεται καὶ παραφροσύνη ταῖς τοιαύταις διαθέσεσιν, ἐφ' αἷς ἀποθνήσκου-
σιν, ὡς τὰ πολλὰ, πρὶν ἑκτικὸν ἀκριβῶς γενέσθαι τὸν πυρετόν. ῥᾴστη δ' αὐτῶν ἡ διάγνωσις τῇ τε σκληρότη-
τι τοῦ σφυγμοῦ, καὶ περὶ τὸ ὑποχόνδριον ἐπὶ πλεῖστον ἀνασπᾶσθαι, καὶ τῷ δυσπνοεῖν ἀνώμαλόν τέ τινα καὶ
πολυειδῆ δύσπνοιαν. ἐπὶ πλεῖστον μὲν γὰρ ἐνίοτε σμικρὸν καὶ πυκνὸν ἀναπνέουσιν. αὖθις δ' ἔστιν ὅτε βρα-
δύνουσι σαφῶς. εἶτ' ἐξαίφνης ὥσπερ στενάζοντες, ἀνέπνευσαν. ἢ διπλῆν τὴν εἴσω φορὰν τοῦ πνεύματος,
οἷον ἐπεισπνεόντες. ἢ διπλῆν τὴν ἔξω ποιοῦνται, καθάπερ ἐπεκπνέοντες. ἀναπνέουσι δὲ καὶ τῷ ἄλλῳ θώ-
ρακι παντὶ πολλάκις αἰσθητὸν καὶ μέγα τὰς ὠμοπλάτας ἐξαίροντες. ἐνίοτε δ' ἱκανῶς ἀραιὰν καὶ μεγά-
λην ποιοῦνται ἀναπνοὴν, ὅταν ἐπικρατῇ τὰ τῆς παραφροσύνης. ἀλλ' οὐ πρόκειται νῦν λέγειν οὔτε τὰ γνω-
ρίσματα τῶν πεπονθότων τόπων, οὔτε τὰς αἰτίας αὐτῶν. αὖθις οὖν ἐπὶ τὴν θεραπείαν ἴωμεν, ἐπισκοπού-
μενοι τῶν προκειμένων ὑλῶν τὰς δυνάμεις ὁποίας τινὰς ἔχουσιν ὡς πρὸς τοὺς ἑκτικοὺς πυρετούς. εἴρηται δὲ
ἤδη περὶ ἀέρος οὐκ ὀλίγα θερμοῦ καὶ ψυχροῦ. καὶ μάλιστα μὲν ὠφελοῦντος, ὅταν, ὡς εἰώθασιν ὀνομάζειν,
ἡ καρδία πρωτοπαθῇ. βοηθοῦντος δ' οὐκ ὀλίγον, οὐδ' ἐν τοῖς ἄλλοις πυρετοῖς ἐπειδὴ κἀν τούτοις ἐξ ἀ-
νάγκης ἡ καρδία παραπλησίαν ἀναδέχεται δυσκρασίαν. ἧς χωρὶς, οὐχ οἷόν τε μὴ ὅτι μαρασμὸν, ἢ ἑκτι-
κὸν πυρετὸν, ἀλλὰ μὴ δὲ τῶν ἄλλων μηδένα γενέσθαι. δῆλον οὖν ὅτι κἂν ὁ πνεύμων ποτὲ πάθῃ πρώτως,
ἐμψύχοντος αὐτὸν ἀέρος δεήσεται τῶν ἄλλων ἁπάντων μᾶλλον. ἐφεξῆς δ' ἂν εἴη σκέψασθαι περὶ τῶν ἔξω-
θεν ἐπιβαλλομένων φαρμάκων ὑγραινόντων τε καὶ ψυχόντων. ὅτι μὲν δὴ καὶ τούτων ἐκλεκτέα τὰ ψύχον-
τα χωρὶς τοῦ στύφειν ἰσχυρῶς, πρόδηλον παντί. πρὸς γὰρ τῷ μὴ δ' ὑγραίνειν τὰ τοιαῦτα, καὶ διϊκνεῖσθαι
πρὸς τὸ βάθος, ἡ ψύξις αὐτῶν ἀδυνατεῖ συναγόντων τε καὶ σφιγγόντων τὸ δέρμα. κάλλιστα δ' οὐ μόνον
ὅσα ψύχει χωρὶς τοῦ στύφειν, ἀλλ' εἰ καὶ τῇ συστάσει τοῦ σώματος εἴη λεπτομερῆ. τελεωτάτην μὲν οὖν εὑ-
ρεῖν οὐσίαν λεπτομερῆ καὶ ψυχρὰν ἀκριβῶς, ἴσως ἀδύνατον. ἀκριβῶς δ' εἶπον, ἐπειδὴ τὸ πάντων ὧν ἴσμεν
ψυχρὸν τῇ δυνάμει λεπτομερέστατον τὸ ὄξος, ἔχει τινὰ μεμιγμένην ἑαυτῷ θερμότητα. καὶ μέν τοι καὶ ξη-
ραίνει τὰ πλησιάζοντα σώματα κἂν ὑγρὸν ᾖ κατὰ τὴν φαντασίαν. ὅθεν οὐδὲ μόνῳ αὐτῷ ποτε χρώμεθα
πρὸς τὰς ὑγραίνεσθαί τε ἅμα καὶ ψύχεσθαι δεομένας διαθέσεις, ἀλλ' ὕδατι ψυχρῷ τοῦτο μιγνύντες, ὡς
δύνασθαι πιεῖν. ἀλλ' εἰ καὶ τὸ τελέως λεπτομερὲς ἅμα καὶ ψυχρὸν σῶμα μὴ δυνατὸν εὑρεῖν, ὅμως ἐκλέγε-
σθαι χρὴ τὰς ἐπιτηδειοτάτας ὕλας εἰς τὴν τοῦ τοιούτου σύνθεσιν φαρμάκου. λέλεκται μὲν οὖν ἐπὶ πλέον ὑπὲρ
αὐτῶν, ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις. εἰρήσεται δὲ καὶ νῦν ἐπὶ παραδειγμάτων ὀλίγον, ἕνεκα
τοῦ γυμνάζεσθαί σε καὶ κατὰ τοῦτο τὸ γένος, ἐν τοῖς κατὰ μέρος. ἄρξομαι δ' ἀπὸ τοῦ πάντων ἁπλουστάτου
φαρμάκου τῶν ὑγραινόντων τε καὶ ψυχόντων, ᾧ καὶ κατὰ τῶν ἐρυσιπελάτων χρῶμαι. καὶ κατὰ τῶν ἐν
ἀιδίοις φλεγμονῶν ἐν ἀρχῇ πρὶν ὑποφαίνεσθαί τινα νομώδη σηπεδόνα. χρὴ δ' εἰς αὐτὸ παρασκευάσθαι
κηρὸν ὡς κάλλιστον πεπλυμένον. εἴη δ' ἂν κάλλιστος ὅ, τε ποντικὸς ὁ λευκὸς, ὅ, τε ἐξ ἀττικῶν κηρίων. ἔστω δὲ
τὸ ῥόδινον ἐξ ἐλαίου τοῦ καλουμένου πρός τινων μὲν ὀμφακίνου. πρὸς ἄλλων δὲ, ὠμοτριβοῦς, σκευασμένον
χωρὶς ἁλῶν. ἄριστον δὲ εἶναι καὶ τοῦτο τὸ ἔλαιον ἀκριβῶς λεπτομερὲς, ὥσπερ τὸ σαβῖνον. ἐπὶ δὲ τῆς χρεί-
ας ἄμφω μιχθέντα, τηκέσθω διὰ ἀγγείου διπλοῦ, καὶ γενομένης ὑγρᾶς κηρωτῆς. ἔσται δὲ τοιαύτη, τρι-
πλάσιον, ἢ τετραπλάσιον ἔχουσα τοῦ κηροῦ τὸ ῥόδινον. ἐπειδὰν δὲ αὐτὴ ψυχθῇ, μιγνύσθω ψυχθείσῃ κατὰ

Βραχὺ τοσοῦτον ὕδατος, ὅσον ἂν ἐν θυείᾳ μαλαττομένη σὺν αὐτῷ, δέξασθαι δύναιτο. Χρὴ δὲ καὶ τὴν κηρωτὴν αὐτὴν ἱκανῶς ἐψῦχθαι, καὶ τὸ μιγνύμενον ὕδωρ αὐτῇ ψυχρότατον ὑπάρχειν. ἱκανῶς δὲ ψύξεις τὴν κηρωτήν, ἐπειδὰν μετρίως παγῇ, καθιεὶς εἰς ὕδωρ ψυχρότατον ὅλον τὸ ἀγγεῖον, ἐν ᾧ περιέχεται. μίξας δὲ εἰ βούλοιο καὶ ὄξους ὀλίγον ἱκανῶς λεπτοῦ καὶ διαυγοῦς, ἔτι δὲ καὶ μᾶλλον ὑγραῖνόν τε ἅμα καὶ ψύχον ἐργάσῃ φάρμακον. οὐ χρὴ δ' ἀναμένειν ἐπιχεῖσθαι κατὰ τοῦ σώματος αὐτὸ τοῦ κάμνοντος εἰς τοσοῦτον, ὡς θερμανθῆναι σαφῶς, ἀλλ' ὑπαλλάττεσθαι συνεχῶς. Ἄλλο φάρμακον. Ὀξαλίδος ἢ ὀξυλαπάθου χυλός, ἀλφίτων ὀλίγων μιχθέντων, ἀναλαμβανέσθω διπτύχῳ ῥάκει τριβακῷ, ψυχρὸν δ' ἱκανῶς ἐπιτεθέσθω καὶ τοῦτο. μὴ παρόντος δὲ τοιούτου ῥάκους, ὀθόνιον δίπτυχον ἀναδεύσας, ἐπιτίθει τῷ ψύχεσθαι δεομένῳ μορίῳ, καὶ μὴν δὴ καὶ ὁ τῆς ἀνδράχνης, καὶ ὁ τοῦ ἀειζώου χυλὸς ἅμα τῷ τῆς ὄμφακος, ὁμοίως ἀλφίτοις μίγνυνται. Πρὸς τούτοις δ' ἔτι φακὸς ὁ ἀπὸ τῶν τελμάτων, καὶ τριβόλου χλωροῦ, καὶ πολυγόνου, καὶ θριδακίνης, καὶ στρύχνου χυλός. ὅσα τ' ἄλλα ψύχειν ἐλέχθη σὺν ἀλφίτοις λεπτοῖς πάντα. καὶ χωρὶς δ' ἀλφίτων, ὅλας τὰς πόας ἔξεστι λειώσαντα χρῆσθαι. καὶ μὴν δὴ καὶ τὸ διὰ τῶν φοινίκων ἐπίθημα τῶν λιπαρῶν, ὀνομάζουσι δ' αὐτοὺς πατητούς, ἀγαθὸν φάρμακον. ἑψεῖν δὲ χρὴ καὶ τούτων τὴν σάρκα, τὸ ὑμενῶδες ἅπαν ἐξαίροντα. ποτὲ μὲν δι' ὄξους μόνου διαυγοῦς. ἔστι δ' ὅτε καὶ ὕδατος αὐτῷ μιγνύντα. τακερᾶς δ' ἱκανῶς γενηθείσης, λειοῦντα χρῆσθαι. σκληρὸν δ' εἰ φαίνοιτό σοι κατὰ τὴν σύστασιν, ἄμεινον μιγνύναι τῆς προγεγραμμένης κηρωτῆς. εἰ δὲ καὶ ῥοδίνου ποτὲ τῶν εἰρημένων ἑκάστῳ μῖξαι βουληθείης, οὐδὲν ἔσται σοι χεῖρον τὸ φάρμακον. ἔστω δὲ ὀλίγιστόν τε τὸ μιγνύμενον καὶ ἁπλοῦν καὶ ψυχρὸν ἱκανῶς. κἀξ ἐλαίου γεγονός, ἅλας οὐκ ἔχοντος. Ἁπλοῦν δ' ὅταν εἴπω ῥόδινον ἢ ἄλλο τι τῶν τοιούτων ἀκούειν σε χρή, τὸ χωρὶς τῶν ἀρωμάτων συγκευασμένον. ἀγαθὸν φάρμακον εἰς τὰ τοιαῦτα, καὶ ὁ τῶν ῥόδων χυλός, ἅμα τοῖς ἀλφίτοις ψυχρός. ἀγαθὸν δὲ καὶ αὐτὰ λειωθέντα. καθάπερ οὖν καὶ αἱ λεῖαι βλάσται τῶν μετρίως στυφόντων φυτῶν, οὕτω δ' ἐστὶν ὅτε καὶ βοτάναις χρήσασθαι μετρίως στυφούσαις δυνατόν, ὥσπερ τῷ στρύχνῳ. ἀλλ' ἡ μὲν τῶν τοιούτων φαρμάκων ὕλη, δι' ἑτέρας πραγματείας εἴρηται πᾶσα. νῦν δ' ἀρκεῖ τὰ λελεγμένα παραδείγματος ἕνεκα, χρῆσθαι δ' οὐχ ὡς οἱ πολλοὶ καθ' ὅλου τοῦ θώρακος ἢ συμπάσης τῆς γαστρός, ἀλλὰ κατ' ἐκείνου μάλιστα τοῦ πρώτως πεπονθότος. οὐδὲ γὰρ ἀναγκαῖον ἢ σὺν τῷ ψύχεσθαι σφοδρῶς δεομένῳ, ψυχθῆναί τι τῶν οὐχ ὁμοίως δεομένων. ἢ θᾶττον τοῦ δέοντος παύσασθαι, δεδιότα βλάψαι τι τῶν γειτνιώντων. ἐγὼ γοῦν οἶδα κατὰ τῶν ὑποχονδρίων ἐπιτεθέντος ποτὲ ψύχοντος φαρμάκου, παραχρῆμα δυσπνοήσαντα τὸν ἄνθρωπον. ἄλλον δ' αὐτίκα βήξαντα, καὶ μικρὸν ὕστερον ἑκατέρῳ παυσάμενον τὸ σύμπτωμα, τοῦ ψύχοντος ἀρθέντος. μὴ βουλομένῳ δέ σοι γενναίως ψύχειν, οὐκ ὀλίγον ὑπάρχει πλῆθος ἐμπλαστῶν φαρμάκων κηρωτοειδῶν μετρίως ψυχόντων. ὧν οὐ μόνης τῆς ὕλης τὰς δυνάμεις, ἀλλὰ καὶ τῆς συνθέσεως ἔμαθες τὴν μέθοδον. ἐγὼ δ' αἰσθανόμενος ὕστερον τὸ μέτρον ἤδη τῆς προκειμένης πραγματείας ἐκπίπτων, ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβήσομαι. συνεχὴς δ' ἐστὶ τοῖς εἰρημένοις, ἡ περὶ βαλανείου σκέψις. αὐτοῦ τε τοῦ πράγματος ἕνεκα, ἔτι τε μάλιστα ἐπειδὴ Φίλιππος ἡγεῖται βλάπτειν αὐτὸ τοὺς μαραινομένους. ἐγὼ τοίνυν ἣν ἔχω γνώμην ὑπέρ γε τῆς δυνάμεως ἁπάσης τῶν βαλανείων, καὶ προσέτι τῆς εἰς τοὺς ἑκτικοὺς καὶ μαρασμώδεις, ἢ ἁπλῶς εἰπεῖν ἅπαντας, ἐν τῷδε τῷ λόγῳ μάλιστ' ἂν διέλθοιμι. μέμνημαι γὰρ γὰρ ὅτι καὶ πρόσθεν ἐπὶ τῶν ἐφημέρων πυρετῶν ἐπήνουν αὐτό. καὶ κατὰ τὸν ἕβδομον λόγον ἐπὶ τῶν κατὰ ξηρότητα δυσκρασιῶν τῆς γαστρὸς ἀπεπτούντων τε καὶ λεπτυνομένων, ἐκέλευον χρῆσθαι πολλάκις. οὐ μὴν περί γε τῆς συμπάσης δυνάμεως ἐν ἑτέρῳ τινὶ λόγῳ διῆλθον, ἀλλ' εἰς τοῦτον ἐφύλαξα καθ' ὃν ἀγωνιστικωτάτη μάλιστά ἐστιν ἡ χρῆσις αὐτοῦ. καὶ τὸν Φίλιππον ἔχει κωλύοντα. δέδεικται μὲν οὖν ἤδη καὶ πρόσθεν ἐπὶ τῆς τῶν ἑλκῶν ἰάσεως, ἡ αἰτία τῆς ἀγνοίας τῶν καθ' ἕκαστον πάθος οἰκείων σκοπῶν. εἰρήσεται δ' οὐδὲν ἧττον καὶ νῦν εἴς τε τὰ παρόντα καὶ τὰ μέλλοντα, χρήσιμος ὑπάρχουσα. μιᾶς μὲν γὰρ ἐν τῷ σώματι διαθέσεως οὔσης, εἰ καὶ μὴ τῷ λόγῳ, τῇ πείρᾳ γοῦν εὑρεῖν οὐ χαλεπὸν αὐτῆς ἐστι τὴν ἴασιν. ἐπιπλεκομένων δὲ δυοῖν ἢ τριῶν, καὶ μάλιστ' ὅταν ἐναντιωτάτων ἀλλήλοις δέωνται βοηθημάτων, ἀδύνατον μὲν εὑρεῖν τῇ πείρᾳ τὸ ποιητέον. οὐ ῥᾴδιον δ' οὐδὲ τῷ λόγῳ. καὶ γὰρ τὴν οὐσίαν ἑκάστης τῶν διαθέσεων, ἀκριβῶς χρὴ γνῶναι. καὶ τὴν οἰκείαν τῆς θεραπείας ἐφ' ἑκάστης αὐτῶν ἔνδειξιν λαβεῖν. ἥν τινά τε χρὴ πρώτην τῶν ἄλλων ἢ μᾶλλον. ἥν τινα δ' ἧττον, ἢ δευτέραν ἢ τρίτην ἰάσασθαι. διὰ ταύτην οὖν τὴν αἰτίαν, οὐδ' ὅτι πυρετῶν ἢ πυρετοῖς, συμπάντων ἐστὶν ἴδιον ἴαμα τὸ ψυχρόν. εἴτε οὖν κατ' ἐνέργειαν, εἴτε κατὰ δύναμιν εἴη τοιοῦτον, ἐγνώσθη τῷ πλήθει τῶν ἰατρῶν. οὐδ' ὅτι κατὰ συμβεβηκὸς ἕτερα πολλὰ πέφυκε ψύχοντα, πυρετῶν γίνεσθαι βοηθήματα. περὶ ὧν εἴρηται μὲν ἤδη τι κἀν τοῖς ἔμπροσθεν. εἰρήσεται δὲ κἀν τοῖς αὖθις. ἔνια γὰρ τῶν βοηθημάτων ἐπιπεπλεγμένην τέ πως ἔχει καὶ διττὴν δύναμιν ὡς καὶ πρώτως ὀνινάναι καὶ κατὰ συμβεβηκός, οἷόν περ ἐστὶ καὶ τὸ λουτρόν. ἡ μὲν γὰρ πόσις τοῦ ψυχροῦ, καθ' ἑαυτὴν μὲν ὀνίνησιν ἐνεργείᾳ ψύχουσα. χυλὸς δ' ὄμφακος τῇ δυνάμει ψυκτικὸν φάρμακον. ταυτὶ μὲν οὖν ἀμφότερα ψύχει πρώτως. ὅπερ ἐστὶ καθ' ἑαυτὰ διὰ μέσου μηδενός. Αἵματος δ' ἀφαίρεσις, ὡς ἔμπροσθεν ἐδείκνυμεν, ἐπὶ τῶν συνόχων καλουμένων πυρετῶν, οὐκέτι πρώτως, ἀλλὰ κατὰ συμβεβηκὸς ἰᾶταί ποτε τὰς θερμὰς δυσκρασίας. ὡσαύτως δὲ καὶ κλυστὴρ καὶ κάθαρσις, ἐπιβροχή τε καὶ κατάπλασμα διαφορητικὸν ἢ σηπτικόν. ἑκατέρας δὲ τὰς δυνάμεις ἔχει συλλαβὸν ἐν ἑαυτῷ τὸ προκείμενον ἐν τῷ λόγῳ λουτρόν, ὡς ἂν οἶμαι σύνθετον ὑπάρχον ἐκ διαφερόντων ταῖς δυνάμεσι τῶν ἑαυτοῦ μερῶν. εἰσελθόντες μὲν γὰρ ὁμιλοῦσιν ἀέρι θερμῷ. μετὰ δὲ ταῦτα, εἰς ὕδωρ εἰσίασι θερμόν. εἶτ' ἐξελθόντες, εἰς ψυχρόν. εἶτ' ἐκμάττονται τὸν ἱδρῶτα. Δύναται δὲ τὸ μὲν πρῶτον αὐτοῦ μέρος θερμῆναί τε δι' ὅλου τὸ σῶμα καὶ χέαι τὰς ὕλας. ὁμαλῦναί τε τὰς ἀνωμαλίας. ἀραιῶσαί τε τὸ δέρμα, καὶ κενῶσαι πολλὰ τῶν ἔμπροσθεν ὑπ' αὐτοῦ κατεχομένων. τὸ δὲ δεύτερον, ὅταν ἐπὶ ξηρᾷ διαθέσει τοῦ σώματος αὐτῷ τις χρῆται, νοτίδα χρηστὴν ἐνθεῖναι τοῖς στερεοῖς τοῦ ζώου μορίοις. ἡ δὲ τρίτη μοῖρα

τῶν λουτρῶν, ἐπειδὰν τῷ ψυχρῷ τύχωμεν χρώμενοι, ψῦξαι τε σύμπαν τὸ σῶμα, καὶ πυκνῶσαι τὸ δέρμα, καὶ
ῥῶσαι τὰς δυνάμεις. τὸ δὲ τέταρτον, ἐκκενῶσαι δι' ἱδρώτων τὸ σῶμα χωρὶς τῆς ἐκ τοῦ ψυχροῦ βλάβης. ταῦτ'
οὖν δυνάμενα περὶ τὸν ἄνθρωπον ἐργάζεσθαι πάντα τοῦ τῶν ποτίμων ὑδάτων εὐκράτου λουτροῦ, καὶ πρὸς τού-
τοις ἔτι φρίκας τε καὶ πυκνώσεις τοῦ δέρματος ὅταν ἀκαίρως λούωνται, πειρατέον ἐφεξῆς διορίσαι πάν-
τα, περὶ πρώτου ἐκείνων τὸν λόγον ποιησαμένους, ὅσοι φρικώδεις γίγνονται λουόμενοι. μία μὲν γὰρ αὐτοῖς ἐστιν,
ὡς ἂν εἴποι τις, αἰτία συνεκτικὴ τοῦ γινομένου συμπτώματος. ἄλλαι δ' ἐκείνης πλείους προηγοῦνται. τὴν μὲν
δὴ τὸ φρίττειν ἐργαζομένην αἰτίαν εἶναί φημι, κίνησιν ἀθροωτέραν τῶν δακνωδῶν περιττωμάτων. ὅθεν οἷς ταῦ-
τα μὲν πολλά, πυκναὶ δὲ αἱ σάρκες ἢ τὸ δέρμα, φρίττουσιν ἄντε εἰς βαλανεῖον εἰσέλθωσιν, ἄντε ἐν ἡλίῳ στῶ-
σιν, ἄντε κινηθῶσιν ὁπωσοῦν σφοδρότερον ἤτοι δι' αἰωρήσεων ἢ τρίψεων ἢ γυμνασίων. οἷς οὐδ' ὀλίγα ταῦτ'
ἐστι, καὶ ἡ τοῦ σώματος ἕξις ἑτοίμη χαλασθῆναι καὶ ἀραιωθῆναι πρὸς τῆς ἀμφ' αὐτοῦ θερμασίας, οὐ μόνον οὐ φρίτ-
τουσιν, ἀλλὰ καὶ βελτίους γίγνονται κενουμένων τῶν περιττωμάτων. Εἰκότως τοίνυν οὔτ' ἐν τῇ τῆς ἐπισημασίας
ἀρχῇ τις ἐλούσεν ἄρρωστον, οὔτ' ἐν ἐπιδόσει. πεπύκνωται γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ πεπίληται τὸ δέρμα, καὶ
ἡ ὑποκειμένη μετ' αὐτὸ σαρκώδης οὐσία. περὶ δὲ τὰς παρακμὰς ἤτοι γε ἀρχομένας ἢ προϊούσας ἢ προσελθούσας
ἐπὶ πλέον, ἡμεῖς τε πολλάκις ἄλλοι τέ τινες ἰατροί, πολλοὺς τῶν καμνόντων λούσαντες ὠφέλησαν οὐ σμικρά.
πότε μὲν οὖν χρὴ τῆς παρακμῆς ἀρχομένης, ἢ προελθούσης, ἢ καὶ περὶ τὴν ἀκμὴν ἐνίοτε, καὶ γὰρ καὶ τοῦτο συμβαίνει ποτὲ
σπανίως, ἐπὶ τὸ βαλανεῖον ἀπάγειν, ἐν τοῖς ἑξῆς διορίσω. Νυνὶ δὲ ὑπὲρ τῆς καθόλου δυνάμεως ἑκάστου τῶν μερῶν
τοῦ λουτροῦ διελθεῖν προθέμενος, ἐν τὸ πρῶτον πάντων δίειμι. καὶ φημὶ πολλοὺς μὲν καὶ τῶν ἀπεπτησάντων, ἔτι
δὲ πλείους, οἷς πλῆθός ἐστι δακνωδῶν περιττωμάτων, ἅπαντάς τε τοὺς ἐν ἐπισημασίαις ἢ ἀναβάσεσι, καὶ τοὺς
ἐν ἀκμῇ δέ, πλὴν ὀλίγων δή τινων, εἰκότως φρίττειν, ἄντ' εἰς βαλανεῖον εἰσέλθωσιν, ἄντ' ἐν ἡλίῳ θερμῷ στῶ-
σιν, ἄντε γυμνασίοις ἢ τρίψεσιν ἢ αἰωρήσεσιν ἐπιχειρήσωσιν. ἕκαστον γὰρ τῶν εἰρημένων, ἀθρόαν ὁρμὴν ἐργά-
ζεται τῶν περιττωμάτων. ὅταν δ' ἔτι μὲν ὑπάρχῃ πυκνὸν οὑτωσὶ τὸ δέρμα τῶν λουομένων, ὡς περὶ τὴν πρώτην
τοῦ περιέχοντος ἀέρος προσβολήν, μὴ δύνασθαι τὴν κατὰ φύσιν ἀπολαβεῖν ἑαυτοῦ διάθεσιν, ἀλλὰ χρόνου πλεο-
νος εἶναι εἰς τοῦτο δεόμενον, ἀθρόα δὲ ὁρμήσῃ πρὸς τοὐκτὸς φέρεσθαι τὰ περιττά, κατέχεσθαί τε τοὐντεῦθεν ἀναγ-
καῖον ἐστιν αὐτοῖς καὶ δάκνειν ἀθροιζομένοις ὑπὸ τὸ δέρμα, καὶ διὰ τῶν σαρκῶν φερομένοις. δέδεικται δ' ἐν
ταῖς τῶν συμπτωμάτων αἰτίαις, ὡς τὰ δακνώδη περιττώματα, διὰ τῶν αἰσθητικῶν σωμάτων φερόμενα, ῥί-
γη τε καὶ φρίκας ἐργάζεται. τοῦ μὲν δὴ φρίττειν ἐν τοῖς λουτροῖς ἅπαντας τοὺς εἰρημένους, ἐξευρήκαμεν ἤδη τὰς
αἰτίας. ὥσπερ γε καὶ τοῦ μὴ φρίττειν. οἷς ἤτοι μηδόλως ἐστὶ δακνῶδες μηδὲν ἐν τῷ σώματι περιττόν, ἢ τοσοῦτον,
ὡς ῥᾳδίως ἐκκενοῦσθαι. περὶ τούτων αὖθις αὐτῶν ὁ λόγος ἡμῖν γιγνέσθω. δι' οὓς καὶ τῶν φριττόντων ἐμνη-
μονεύσαμεν. εἰ γάρ τις εἰσελθὼν εἰς βαλανεῖον οὐκ ἔφριξεν, ἀλλ' ἐχαλάσθη τε καὶ ἠραιώθη τὸ δέρμα, τούτῳ
πάντως ἀναγκαῖον ἕπεσθαι τὰ πρόσθεν λεχθέντα. κένωσιν τῶν περιττῶν. ὁμαλὴν θερμότητα δι' ὅλου τοῦ σώ-
ματος. ἀραίωσιν τῶν πόρων. χάλασιν τῶν συντεταμένων. χύσιν τῶν πεπιλημένων. ἡ μὲν οὖν κένωσις τῶν
περιττωμάτων, χρησιμωτάτη πᾶσι πυρετοῖς ἐστιν. ὡσαύτως δ' ἀραίωσίς τε καὶ χάλασις. οὔτε δὲ ἡ χύσις,
οὔθ' ἡ θερμότης. ἀλλ' ἡ μὲν θερμότης, ἅπασιν ἐναντία. ψύχεσθαι μὲν γὰρ αὐτῶν ἡ διάθεσις, οὐ θερμαίνεσθαι
δεῖται. τὸ διαχεῖσθαι δ' ὁμαλῶς, τοῖς μὲν στερεοῖς τοῦ ζώου μορίοις οὐκ ἂν ἐπιτήδειον. τοῖς χυμοῖς δ' οὐκ ἀεὶ λυ-
σιτελές, ἀλλ' ὅταν ἤτοι φλεγμονή τις, ἢ ὁμοία φλεγμονῇ διάθεσις ὑπάρχῃ κατὰ τὸ ζῶον, ἢ πλῆθος ὁποτε-
ρονοῦν, εἴτε τὸ πρὸς τὴν δύναμιν, εἴτε τὸ πρὸς τὴν εὐρυχωρίαν τῶν ἀγγείων, ἁπάντων ἐστὶ βλαβερώτατον.
αὐξάνονται μὲν οὖν αἱ φλεγμοναὶ τῶν θερμανθέντων χυμῶν, ἐπιρρεόντων αὐταῖς. διατείνονται δ' οἱ χιτῶ-
νες τῶν ἀγγείων μὴ στεγόντων τὸ πλῆθος ἐν τῇ χύσει [illegible]ωθέν. ἡ δύναμις δ' αὐτῷ τούτῳ κακοπαθεῖ.
ταῖς τοίνυν θερμαῖς καὶ ξηραῖς διαθέσεσι τοῦ σώματος ὑπὲρ ὧν ὁ λόγος ἦν, ἀποχεῖσθαι μὲν τὰ δακνώδη
χρηστόν, ἀκίνδυνος γὰρ ἡ χύσις. οὐκ ἀβλαβὴς δ' ἡ θέρμανσις. ἐκ μὲν δὴ τοῦ πρώτου μέρους τῶν λουτρῶν με-
μνῆσθαι χρὴ ταῦθ' ὑπάρξαντα τοῖς οὕτω κάμνουσιν ὅταν ἐν καιρῷ λούωνται. μετίωμεν δή που πρὸς τὸ δεύ-
τερον αὐτῶν μέρος, ὅπερ ἦν αὐτὸ τὸ κυριώτατον προσαγορευόμενον λουτρόν. ἐν τούτῳ τοίνυν ὑγραινόμε-
νοι μὲν ὀνίνανται. θερμαινόμενοι δ' οὐδὲν ὀνίνανται. μετέλθωμεν οὖν αὖθις ἐπὶ τὸ τρίτον, ἐν ᾧ ψύχεται μὲν
ἀλύπως τὰ τεθερμασμένα. ῥώννυται δ' ἡ δύναμις. ὅσα δ' ἠραιώθη τε καὶ πορρωτέρω τοῦ προσήκοντος ἐχα-
λάσθη, ταῦτα εἰς τὴν κατὰ φύσιν ἐπανέρχεται συμμετρίαν, ὡς δηλοῖ καὶ τὸ τέταρτον τοῦ λουτροῦ μέρος.
ἐφ' ὧν γὰρ ἐπράχθη καλῶς πάντα, καὶ μετὰ τὴν τοῦ ψυχροῦ χρῆσιν ἱδροῦσιν ἔτι, καὶ πάντ' αὐτῶν ἐκκε-
νοῦται τὰ περιττά. καὶ τοίνυν ἐκ πάντων ὧν εἴπομεν περὶ βαλανείων, ἀθρόον κεφάλαιον συμβαίνει, κεκενῶ-
σθαι μὲν ὅσον ἦν ἐπὶ τῷ σώματι λιγνυῶδες τε καὶ καπνῶδες. ἐν δὲ τῇ κατὰ φύσιν ὑπάρχειν συμμετρίᾳ
τὰς σάρκας καὶ τὸ δέρμα. τὸν δὲ τῶν στερεῶν μορίων αὐχμόν, πεπαῦσθαι. καὶ τὴν θερμασίαν, οὐ μόνον τὴν ἐκ
τοῦ λουτροῦ προσγινομένην, ἀλλὰ καὶ τὴν ἔμπροσθεν οὖσαν ὑπὸ τῆς τοῦ ψυχροῦ χρήσεως ἀναιρεῖσθαι. μέγιστον
δὲ τοῦ λόγου τεκμήριον, ἡ συμβαίνουσα κατάστασις ἐπὶ τοῖς τοιούτοις λουτροῖς ὅταν ὁδοιπορήσωμεν ἐν ἡλίῳ θερ-
μῷ. παραγινόμεθα μὲν γὰρ ἐπ' αὐτὰ μὴ δὲ φθέγξασθαι δυνάμενοι διὰ τὴν ξηρότητα τῆς γλώττης καὶ φάρυγ-
γος. ἅπαν τε τὸ σῶμα καρφαλέον ἔχοντες. ἐξελθόντες δὲ τοῦ ψυχροῦ παραχρῆμα, πάντ' ἀνακτώμεθα τὰ
κατὰ φύσιν οὔτε τῇ πυρώδει θερμασίᾳ κάμνοντες, οὔτε τῇ ξηρότητι δυσφοροῦντες. ἑτοίμως τε φθεγγόμε-
νοι, καὶ τῆς δίψης τὸ πλεῖστον ἰαθέντες. ἆρ' οὖν ἐναργέστερον ἔτι δύναμιν λουτρῶν γνῶναι πιστεῖς ἐπὶ ξηραῖς
καὶ θερμαῖς σωμάτων διαθέσεσιν; ἐγὼ μὲν οὐκ οἶμαι. πάρεστι δὲ τοῖς βουλομένοις πειραθῆναι μετὰ τ[illegible]
τὴν ὁδοιπορίαν ἀλουτήσασι, τῆς ἑπομένης βλάβης. ἢ γὰρ εὐθέως πυρέξουσιν, ἢ πολλῆς ἄσης ἀνάπλεοι διατε-
λέσουσι βαρυνόμενοι τὴν κεφαλήν. καὶ μάλιστα ἐὰν μὴ δέ που τῷ ψυχρῷ σβέσωσι τὸ καῦμα. πολλοὶ μέν τοι

νεανίσκοι μετὰ τὰς τοιαύτας ὁδοιπορίας εὐθέως εἰς ὕδωρ ψυχρὸν ἑαυτοὺς ἐπιῤῥίψαντες, ὤναντο, καὶ μάλισθ' ὅσοι περ ἂν ὦσιν ἰσχυροί, καὶ ψυχρῶν λουτρῶν ἐθάδες. οὕτω δὲ κἂν τοῖς ἀγροῖς, ἐν οἷς οὐκ ἔστι βαλανεῖα, πράττουσιν, εἰς λίμνας ἢ ποταμοὺς ἑαυτοὺς ἐμβάλλοντες, οὐδενὸς ἰατροῦ συμβουλεύσαντος αὐτοῖς. ἀλλ' ὑπὸ τῆς διοικούσης τὸ σῶμα φύσεως ἀγόμενοι πρὸς τὸ δέον. ἥτις καὶ τοῖς ἀλόγοις ζώοις τὰς ἐπὶ τἀναντία τῶν λυπούντων ὁρμὰς ἐντίθησι. λούεται γὰρ ἢ ἐκεῖνα ψυχρῷ, τῷ θάλπει καταπονούμενα, καθάπερ γε καὶ θερμὰς εὐνὰς ἐξευρίσκει, τῷ κρύει κάμνοντα. ἐπεὶ δὲ τὴν τοιαύτην ἐναντίωσιν, ἐσθίει μὲν πεινῶντα. πίνει δὲ, διψῶντα. καὶ τἄλλα πάντα πράττει φύσει. καὶ εἴπερ γε διάγνωσιν ἀκριβῆ τῆς τῶν πυρεττόντων εἴχομεν φύσεως, ἐτολμῶμεν ἂν οἶμαι συνεχῶς ἐξ αὐτῶν λούειν ἐν ὕδασιν ἐνίας ψυχροῖς, βαλανείου χωρίς. ὅτι μὲν γάρ εἰσί τινες οἱ δεόμενοι τούτου, δῆλον ἐκ τῶν ὠφεληθέντων. οὓς οὐκ ἂν ὤνησε τὸ ψυχρὸν λουτρὸν, εἴπερ μὴ διέκειντο κατ' ἐκεῖνον τὸν καιρὸν ἐπιτηδείως πρὸς αὐτό. τῷ δ' ἀγνοεῖν ἡμᾶς ἀκριβῶς τὰς διαθέσεις, μεγίστην τε τὴν ἐκ τῆς ἀποτυχίας ὑπάρχειν βλάβην, ἀφιστάμεθα τῶν τοιούτων βοηθημάτων. καὶ μάλιστα ἐπὶ τῶν ἑκτικῶν πυρετῶν, ὡς ἂν ὀλιγαίμου καὶ ὀλιγοσάρκου καὶ ἀπιμελοῦς τοῦ σώματος αὐτοῖς γεγονότος. οὐδὲν γὰρ ἔχουσι τῶν στερεῶν μορίων πρόβλημα, τὴν ἐκ τοῦ ψυχροῦ προσβολὴν ἀλύπως ἐκδεχόμενον. ἀλλὰ αὐτοῖς εὐθέως προσπίπτει τοῖς ὁμοιομερέσιν ὀνομαζομένοις, ὑφ' ὧν ἅπασι τοῖς ζώοις αἱ ἐνέργειαι γίνονται. νέος δ' ἄν τις εὔσαρκος ὥρᾳ θέρους ἐν ἀκμῇ πυρετώδους νοσήματος, ἄνευ σπλάγχνου φλεγμονῆς, εἰς ψυχρὸν ἑαυτὸν ἐμβαλὼν ὕδωρ, ἱδρῶτα κινήσειεν. εἰ δὲ καὶ ψυχρολουσίας συνήθης εἴη, πάνυ θαῤῥῶν χρήσοιτο τῷ βοηθήματι. ἀλλὰ περὶ μὲν τῶν τοιούτων σωμάτων, αὖθις εἰρήσεται. τοῖς δὲ τὸν ἑκτικὸν πυρέττουσι πυρετὸν, ἐπὶ θερμῇ καὶ ξηρᾷ κράσει, καὶ μάλιστα τοῖς ἤδη μαραινομένοις, οὐκ ἀσφαλὲς εἰς ὅλον ἀναῤῥίπτειν, ἐπεὶ τὸ τοιοῦτον ἴσασι βοήθημα. καθάπερ οὐδ' ὅσοι θέρους ὥρᾳ θερμοῦ καὶ ξηροῦ, μακροτέραν ὁδὸν ἀνύσαντες, ἰσχνοὶ καὶ ἀσθενεῖς ὄντες, ἐμψυχθῆναι δέονται. οὐ γὰρ οὐδὲ τούτοις ἀκίνδυνος ἡ τοῦ ψυχροῦ χρῆσις, ἄνευ τοῦ πρότερον βαλανείου ὁμαλῶς προθερμανθῆναι. τοιοῦτον γάρ τοι συμβαίνειν ἔοικεν ἡμῖν εἰς τὴν ψυχρὰν δεξαμενὴν εἰσιοῦσιν ἐπὶ τοῖς βαλανείοις, οἷόν τι καὶ τῇ τοῦ σιδήρου βαφῇ. καὶ γὰρ ψυχόμεθα καὶ τονούμεθα, καθάπερ ἐκεῖνος. ἐπειδὰν διάπυρος γενόμενος ἐμβάπτηται τῷ ψυχρῷ, καὶ τούτου χάριν ἐπὶ τῶν ἀσθενεστέρων σωμάτων εὕρηται τὰ βαλανεῖα προθερμαίνοντα, καὶ προπαρασκευάζοντα τῷ ψυχρῷ λουτρῷ. τοιοῦτον δὲ δή τι καὶ οἱ χωρὶς τοῦ βαλανείου χρώμενοι τῷ ψυχρῷ πράττουσιν, ὅταν προγυμνασθέντες εἰς αὐτὸ καταβάλλωνται. οἷον γάρ τι τὸ βαλανεῖον ἡμῖν ἐστι τοιοῦτον ἐκείνοις τὸ γυμνάσιον. οὐ μόνον ἐκθερμαῖνον, ἀλλὰ καὶ τὴν ἐκ τοῦ βάθους κίνησιν τῆς ἐμφύτου θερμασίας πρὸς τοὐκτὸς ἐργαζόμενον. ὥστ' ἀπαντῆσαί τε τῷ προσπίπτοντι ψυχρῷ, καὶ ἀντιμαχέσασθαι, καὶ κωλῦσαι βιαίως ἐμπεσεῖν τῷ βάθει, καὶ πλῆξαί τι τῶν σπλάγχνων. οὔτε γὰρ τὴν οὐσίαν αὐτὴν τοῦ ψυχροῦ μέχρι τῶν σπλάγχνων ἀφικέσθαι καλὸν, οὔτε ἀκραιφνῆ τὴν ποιότητα. βέλτιον γὰρ καὶ ἀσφαλέστερόν ἐστι τῷ τῆς διαδόσεως λόγῳ πρὸς τὸ βάθος ὁδοιπορῆσαι μόνην τὴν ποιότητα χωρὶς τῆς οὐσίας. καὶ τοίνυν καὶ ὅσοι τῶν πυρεττόντων ἑκτικῶς ἐπὶ τὸ βαλανεῖον ἥκουσιν, εἰ μὴ τῷ ψυχρῷ βαφεῖεν, οὐδὲν ὀνίνανται. τῶν μὲν γὰρ ἄλλως πυρεττόντων, οὐδέπω τὰ στερεὰ μόρια δύσλυτον ἔχει τὴν θέρμην. ὥσθ' ἱκανὴ βοήθεια τούτοις ἐστὶν, ἡ ἐκ τῶν ἱδρώτων ἅμα ταῖς ἀδήλοις αἰσθήσει διαπνοαῖς. καὶ τῶν γ' ἐφημέρων πυρετῶν, αὐτὴ σχεδόν γε τὴν οὐσίαν ἐκκενοῦσθαι συμβαίνει δι' αὐτῶν. ἐπὶ δὲ τῶν διὰ ξηρότητα καὶ θερμασίαν ἑκτικοῖς ἁλόντων πυρετοῖς, ὁμοία τοῖς διαπύροις σιδήροις ἐστὶν ἡ τῶν στερεῶν μορίων διάθεσις. ὥστ' οὐκ ἀρκεῖ θερμῆναι καὶ τέγξαι μόνον ἐν τοῖς βαλανείοις αὐτούς. προφανὴς γὰρ ἂν οὕτω γε καὶ αὔξησιν δεχόμενον τῷ πυρετῷ. βέλτιον δ' ἐμβάπτοντας τῷ ψυχρῷ σβέσαι τὴν θέρμην. ἀλλ' ἐν τούτῳ κίνδυνος εἰς τοὐναντίον ἀγαγεῖν καὶ ψύξαι τὸ σῶμα. τίς δ' οὔ φησιν; οὐ μὴν διὰ τοῦτό γε τὸ κατορθούμενον ἐν τῷ βοηθήματι προσήκει ψέγειν. οὐδ' ὅτι δυσληπτότερον τὸ μέτρον, ἀφίστασθαι παντάπασιν. εἰ μὲν γὰρ οἷόν τ' ἦν ἑτέρως ἰᾶσθαι τούς τ' ἄλλους ἑκτικοὺς πυρετοὺς, καὶ τοὺς μαρασμώδεις, ἄμεινον ἂν ἦν τὴν ἀσφαλεστέραν ἰέναι. ἐπειδὴ δ' ἐν μὲν τῷ ψύξαι καὶ ὑγρᾶναι τὸ κῦρος τῆς θεραπείας ἐστὶν, ἅπασι δὲ τοῖς ψυκτικοῖς βοηθήμασιν ἐφεδρεύει βλάβη διὰ τὴν ἰσχνότητα τοῦ σώματος, ἀναγκαῖον οἶμαι γίγνεσθαι τὸ τοῦ Θουκυδίδου δράσαντάς τι καὶ κινδυνεῦσαι. οἷς μὲν γὰρ ἑτέρα μὲν οὐχ ὑπάρχει τῆς σωτηρίας ὁδός, ἡ δὲ οὖσα μόνη σφαλερὰ καθέστηκεν, ἀναγκαῖον οἶμαι τούτοις ἐστὶν, ὁμόσε τοῖς δεινοῖς ἰέναι. οὐ μὴν οὐδὲ τὸ σφάλμα θανατῶδες οὐδ' ἀβοήθητον. οὓς γὰρ ἂν ἐν τῷ σβεννῦναι τὸν πυρετὸν εἰς τὴν ἐναντίαν διάθεσιν ἀγάγῃ τὸ ψυχρὸν, ἔνεστιν ἰάσασθαι θερμαίνοντας ἐν τῷ μετὰ ταῦτα χρόνῳ παντί. ἀλλ' οὐ δ' ὁ κίνδυνος ἴσος, οὔθ' ὁ τῆς διαθέσεως τῆς ψυχρᾶς, οὔθ' ὁ τῶν ἰαμάτων αὐτῆς. ἐδείχθη γὰρ ἤδη καὶ πρόσθεν ἐν τῷ τῆς δὲ τῆς πραγματείας ἑβδόμῳ γράμματι. δέδεικται δὲ κἀν τῷ περὶ μαρασμοῦ βιβλίῳ. καὶ πρὸ τούτων ἔτι κατὰ τὴν ὑγιεινὴν πραγματείαν, ὡς οὐχ οἷόν τε τὴν τῶν στερεῶν μορίων ξηρότητα τελέως ἰάσασθαι. καὶ ὡς εἴπερ ἦν τοῦτο πρᾶξαι δυνατὸν, ἀγήρως ἄν τις ἐγένετο τοιαύτῃ διαίτῃ χρώμενος. εἴπερ οὖν ἀνίατος μέν ἐστιν ἡ ξηρότης τῶν στερεῶν σωμάτων, ὠκυτάτη δ' ἐπ' αὐτὴν ὁδὸς τέτμηται ἡ διὰ τῶν ἑκτικῶν πυρετῶν, ἄμεινον εἰς ψυχρὰν δυσκρασίαν μεταστήσαντα τὸν ἄνθρωπον, ἔχειν ᾧ θεραπεύσομεν. ὁ μὲν γὰρ τοῦτο πράξας ἀναμαχέσαιτ' ἂν ἐξ ὑστέρου τὴν βλάβην. ὁ δ' ἐπιτρέψας ἰέναι τὴν ἐπὶ θάνατον, ἀνέλπιστον τῷ κάμνοντι τὴν σωτηρίαν εἰργάσατο. ὅσῳ τοίνυν ἄμεινόν ἐστι τοῦ χωρὶς ἐλπίδος ἀπόλλυσθαι βεβαίως, τὸ σὺν ἐλπίδι χρηστῇ δράσαντάς τι καὶ κινδυνεῦσαι, τοσούτῳ τὸ μετὰ μεγάλων βοηθημάτων ἀγωνίσασθαι, τοῦ μηδὲν πρᾶξαι βέλτιον. ἐμψύχωμεν οὖν ἅπαντι τρόπῳ τοὺς ἑκτικῶς πυρέξαντας αὐτίκα, πρὶν προσελθόντας εἰς μαρασμὸν τελευτῆσαι. τὸν δ' ἀκριβῶς μαρανθέντα, μὴ δ' ἐπιχειρῶμεν ἰᾶσθαι. καὶ γὰρ εἰ τὴν θέρμην αὐτοῦ σβέσαιμεν, ἀλλ' ἥγε ξηρότης ὑπολειφθεῖσα γήρως τρόπῳ τὸν ἄνθρωπον ἀπολεῖ τοσοῦτον ἐπιβιώσαντα χρόνον, ὅσον ἀντισχεῖν τὰ στερεὰ μόρια πρὸς τὴν ἐσχάτην ξηρότητα. τάχα δ' ἄν τις ἕλοιτο τῶν οἰκείων τοῦ νοσοῦντος, ἔτι τε μᾶλλον ὁ κάμνων αὐτὸς, ἐπιβιῶναι τινὰ χρόνον ἐν γέροντος σχέσει μᾶλλον, ἢ τεθνάναι παραχρῆμα. θεραπεύειν οὖν καὶ τούτους μετὰ προῤῥήσεως, εἰς ἕτερον

μεθιστάντας

μεθιστάντας μαρασμόν, ὃν ἤδη καλεῖν ἔθος ἡμῖν ἐστὶν ἐκ νόσου γῆρας. ἐγχωρεῖ γοῦν αὐτοὺς οὐ μόνον ἡμέρας πλείους,
ἀλλὰ καὶ μῆνας ζῆσαι. νεανίσκον γοῦν ἐγώ τινα τῶν οὕτως ἐχόντων ἰασάμενος, εἶθ' ἑξῆς ἀνακομίζων καὶ οἷον
γηροτροφῶν αὐτοῦ τὴν πρεσβυτικὴν ἀσθένειαν, οὐ μόνον εἰς μῆνας, ἀλλὰ καὶ εἰς ἔτη διεφύλαξα ζῶντα. χρὴ δ'
οὐ νῦν ἀκούειν ποθεῖν τοῦ τοιούτου μαρασμοῦ τὴν ἐπιμέλειαν. ἔν τε γὰρ τῷ τῆσδε τῆς πραγματείας ἑβδόμῳ προεί-
ρηται δυνάμει, τὰς ξηρὰς καὶ ψυχρὰς δυσκρασίας ἰωμένων ἡμῶν. ἔν τε τῷ γηροκομικῷ μέρει τῆς ὑγιεινῆς πρα-
γματείας. ὁ δ' ἐνεστὼς λόγος, οὐ μαρασμῶν ἐπηγγείλατο θεραπείαν διδάξαι, ἀλλὰ πυρετῶν ἑκτικῶν. εἰσὶ δ' οὐ
χείρους εἰσὶ καὶ οἱ μαρασμώδεις. εἴρηται δή μοι περὶ τούτων ἄλλα τε πολλὰ λόγῳ καὶ πείρᾳ κεκριμένα, καὶ ὡς
οὐ χρὴ δεδιέναι βαλανεῖον, ὥσπερ ὁ Φίλιππος εὐλαβέστερον ἴσως αὐτῷ χρώμενος. ὃν τρόπον ἐπὶ τῶν ἄλλων εἰ-
θίσμεθα πυρετῶν, ὅσοι διὰ φλεγμονὰς καὶ σήψεις γίνονται χυμῶν. ἐπ' ἐκείνων μὲν γὰρ οὐδὲν βλάψοις, εἰ καὶ
μὴ βάπτοις εἰς τὸ ψυχρὸν ὕδωρ αὐτούς. ἀλλ' ὡς ἔθισαι περιχέοις χλιαρὸν μὲν πρῶτον, εἶθ' οἷον ἐστὶν ἡλίου θερινοῦ.
κἄπειτα τούτου βραχύ τι ψυχρότερον. ἐπὶ δὲ τῶν ἑκτικῶν πυρετῶν, οὐ τὸ θερμόν λουτρόν ἐστι, τὸ τὴν ὠφέλειαν
παρέχον, ἀλλὰ τὸ ψυχρόν, ᾧ παρασκευάζει τὰ βαλανεῖα τὸ τοῦ κάμνοντος σῶμα, καθάπερ ἐπὶ τῶν ἄλλων ἁπάν-
των τῶν ἐν ὑγείᾳ λουομένων. οὐ μόνον δὲ διὰ τοῦτο δοκεῖ μοι Φίλιππος ἀγνοεῖν ἐπὶ τῶν μαραινομένων ὁποῖόν τι
χρῆμά ἐστι βαλανεῖον, ὅτι τοὺς οὕτως ἰσχνοὺς οὐδεὶς τολμᾷ βάπτειν εἰς τὴν ψυχρὰν δεξαμενήν, ἢ τὸ γοῦν ὕστατον
ὕδωρ καταχεῖν ψυχρόν, ἀλλὰ καὶ διότι πολλάκις ἐξεύκταί τις ἄλλος αὐτοῖς πυρετὸς ἐπὶ χυμοῖς σηπομένοις ἢ
σπλάγχνου φλεγμονῇ. καὶ μὴν δὴ καὶ ὅτι πάθος ὀλέθριον τῶν μαραινομένων αὐτὸ ὑπάρχει, καὶ διὰ τοῦτο οὐκ ὀρθῶς
ἔνιοι πάντα μέμφονται τὰ προσφερόμενα, δέον οὐκ ἐκείνοις, ἀλλὰ τῇ διαθέσει τὴν αἰτίαν ἀναφέρειν. ἀναλα-
βόντες οὖν αὖθις ἅπερ ἐλέγομεν, ἐπιθῶμεν ἤδη τῷ λόγῳ κεφαλήν. ἅπαντας τοὺς ἑκτικὸν νοσοῦντας πυρετόν,
καὶ μᾶλλον ἔτι αὐτῶν ὅσοι περ ἂν ἤδη μαραίνονται, χωρὶς τοῦ τινὰ ἕτερον ἐπιπεπλέχθαι πυρετὸν αὐτοῖς, ἤτοι γ'
ἐπὶ σήψει μόνῃ χυμῶν ἢ μετὰ φλεγμονῆς, λούε θαρρῶν ἄνευ καμάτου παντός, ὡς μὴ καταλῦσαι τὴν δύναμιν.
ὅπερ οὐχ ἥκιστα καὶ αὐτὸ βλάπτον ἰσχυρῶς, αἴτιον γίγνεται τοῦ ψέγεσθαι τὸ λουτρόν. τὸ δ' ἄνευ καμάτου, ποῖον
δέ τι λέγω. τὸν ἀρρωστοῦντα βούλομαι κομίζεσθαι μὲν ἐπὶ τοῦ σκίμποδος εἰς τὸ βαλανεῖον. ἑτοίμως δ' αὐτῷ
παρεσκευασμένης σινδόνος θερμῆς, ἐπ' ἐκείνῃ ἐν τῷ πρώτῳ τῶν τριῶν οἴκων τοῦ βαλανείου μεταφέρεσθαι γυ-
μνωθέντα. τέσσαρες δ' ἔστωσαν οἱ κρατοῦντες αὐτόν, εἷς καθ' ἕκαστον πέρας. εἰ μὲν οὖν αὐτάρκως εἴη θερμὸς ὁ
πρῶτος οἶκος, ἐν αὐτῷ γυμνωθεὶς ὁ κάμνων, εἰς τὸν δεύτερον εἰσκομιζέσθω. εἰ δ' ἔτι σοι φαίνοιτο ψυχρότε-
ρον εἶναι, μὴ γυμνός, ἀλλ' ἐπιβεβλημένος ἤτοι γ' ἑτέραν σινδόνα μὴ ψυχράν, ἤ τι τοιοῦτον ἐπίβλημα. δῆλον δὲ
ὡς χρὴ τὴν μέλλουσαν ὀχεῖν αὐτὸν σινδόνα ἰσχυροτέραν ὑπάρχειν. εἰ δ' ἀσθενὴς εἴη καθ' ἑαυτὴν ἐπιπτύσσοντα δι-
πλῆν ἐργάζεσθαι βέλτιον. ἔστω δὲ ὁ μέσος οἶκος, οὐ μόνον τῇ θέσει, ἀλλὰ καὶ τῇ κράσει τοσούτῳ τοῦ πρώτου θερμότερος,
ὅσῳ τοῦ τρίτου ψυχρότερος. ἐν τούτῳ τῷ οἴκῳ, τὸ ἔλαιον ἔστω χλιαρόν, ὡς εὐθέως περιχυθῆναι τῷ κάμνοντι ἐπὶ τῆς
σινδόνος εἰσκομισθέντι. καὶ τοῦτο πραξάντων, εἰς τὸν τρίτον οἶκον εἰσίτωσαν, εἰς τὴν δεξαμενὴν ἀποκομίζοντες αὐτόν,
ὥστε δίοδον χρήσασθαι μόνῃ τοῖς τρισὶν οἴκοις τοῦ βαλανείου. μὴ ταχέως βαδιζόντων τῶν εἰσκομιζόντων τὸν κά-
μνοντα, ἀλλὰ τοσοῦτον ἐπιμεινάντων κατὰ τοὺς πρώτους οἴκους, ὅσον ἐν μὲν θατέρῳ μετατεθεῖναι μόνον ἀπὸ τοῦ σκίμ-
ποδος, ἐν δὲ τῷ μέσῳ περιχυθῆναι τὸ ἔλαιον. ἔστω δὲ καὶ ὁ ἀὴρ τῶν οἴκων ἁπάντων μήτε θερμὸς ἄκρως μήτε
ψυχρός, ἀλλ' εὔκρατος ἱκανῶς καὶ μετρίως ὑγρός. ἔσται δὲ τοῦτο προεκχυθέντος ὕδατος εὐκράτου δαψιλῶς
ἐκ τῆς δεξαμενῆς, ὡς διαρρεῖν διὰ πάντων τῶν οἴκων. ἐν αὐτῷ δὲ τῷ τῆς κολυμβήθρας ὕδατι, χρονιζέτω με-
τρίως, ὀχούμενος ἐπὶ τῆς σινδόνος, οὐδεμιᾶς ἐπαντλήσεως αὐτῷ γιγνομένης οἵας ἐπ' ἄλλων εἰθίσμεθα πράττειν.
ἀλλ' οὐδὲ κατὰ τῆς κεφαλῆς αὐτοῦ καταχεῖσθαι βουλοίμην ἄν. ἱκανὸν γὰρ καὶ ταύτῃ δῦναι δὶς ἢ καὶ τρὶς ἅμα τῷ
παντὶ σώματι κατὰ τοῦ ὕδατος, ὑφιέντων μετρίως εἰς τὸ κάτω τὴν σινδόνα. καὶ αὖθις ἀνακομιζόντων αὐτὸν
ὁμοίως νεανίσκων τεττάρων. ἐκκομισθεὶς δ' ἐντεῦθεν, εἰς ὕδωρ ψυχρὸν ἀθρόως βαπτέσθω μηδ' ἐπὶ βραχὺ χρονί-
ζων ἐν αὐτῷ. δεδιδάχθαι δὲ χρὴ καὶ τἆλλα μὲν ἀκριβῶς ἅπαντα τοὺς βαστάζοντας αὐτόν. ἐξαίρετον δ' ἔτι
τοῦ ἔσω δίδαγμά τε ἅμα καὶ παράγγελμα, τὸ τάχος τῆς βαφῆς. εὐθὺς δ' ἕτερος ἑτοίμην ἔχων σινδόνα, κατ'
αὐτοῦ βαλέτω. κἄπειθ' ἑξῆς ἐπιβληθεὶς τῷ σκίμποδι, διὰ σπόγγων μὲν ἀποματτέσθω τὰ πρῶτα, μαλακοῖς δ'
ὕστερον ὀθονίοις. μὴ δ' αὐτῶν τῶν ἀποματτόντων αὐτὸν βιαίως ψαυόντων, ἀλλ' ὡς ἔνι μάλιστα πρᾳότατα, μετὰ
δὲ ταῦτα ἐπαλείψαντάς τε καὶ περιθέντας ἱμάτια, κομίζειν αὖθις ἐπὶ τοῦ σκίμποδος εἰς τὸν οἶκον, ἐν ᾧ διαι-
τᾶται δώσοντας τροφήν. εἴρηται δὲ κἀν τοῖς πρόσθεν ἡνίκα ἰώμεθα τὰς ξηρὰς δυσκρασίας ἐν τῷ τῶνδε τῶν
ὑπομνημάτων ἑβδόμῳ, τὸν οἶκον ἐοικέναι χρῆναι τῷ βαλανείῳ. περὶ μὲν οὖν λουτρῶν, αὐτάρκης ὁ λόγος εἰς
τὰ παρόντα. συνεχὴς δ' ἐστὶ τοῖς εἰρημένοις, τὰ περὶ τῆς δυνάμεως τῶν τροφῶν. ὅτι μὲν οὖν ὑγρὰς καὶ ψυχρὰς εἶναι
προσήκει τὰς μελλούσας ὀνήσειν τοὺς ἑκτικοὺς πυρετούς, εὔδηλον παντί. τοιαῦται δ' εἰσὶν ὅ, τε χυλὸς ὁ τῆς πτισά-
νης ψυχρὸς λαμβανόμενος, ὅ, τε χόνδρος ὁμοίως πτισάνης σκευασθεὶς ὅπερ ἐστὶ δι' ὕδατος καὶ πράσου βραχέος
ἀνήθου τε καὶ ἁλῶν, ἐλαίου τε καὶ ὄξους. ἐπιτήδειος δὲ τοῖς ὧδε κάμνουσι, καὶ ὁ βραχὺς ἄρτος ἐν ὕδατι ψυχρῷ. μη-
δενὸς δ' αὐτῶν ἡ ψύξις εἰλικρινὴς ἔστω, καθάπερ ἡ τοῦ ποτοῦ. ἐκεῖνο μὲν γὰρ καὶ θερμαίνεται ταχέως, καὶ διεξέρ-
χεται. ταῦτα δ' ἐπὶ πλέον ἐν τῇ γαστρὶ διαμένοντα, τάχ' ἂν πως καὶ διαψύξαιεν αὐτήν, ἀμέτρως ὄντα ψυ-
χρά. χρονίου δ' ὑπάρχοντος ἤδη τοῦ πυρετοῦ, καὶ τὸ τῆς ὄνου γάλα δοτέον, ἀκριβῶς προσέχοντα τὸν νοῦν μὴ τυρω-
θῇ ποτε κατὰ τὴν γαστέρα. τοῦτο δὲ ἐνίοτε μὲν αὐτὸς ὁ κάμνων ἡμᾶς διδάξει τῆς ἑαυτοῦ φύσεως ἐμπείρως ἔχων· ἐνίο-
τε δὲ ἡμᾶς αὐτοὺς ἐξευρίσκειν δεήσει κατὰ βραχὺ τῇ χρήσει προσερχομένας. ἕτοιμον μὲν οὖν ἤτοι μέλιτος αὐτῷ
μιγνύντας, ἢ καὶ βραχύ τι τῶν ἐδωδίμων ἁλῶν κωλῦσαι τὸ σύμπτωμα. φευκτέον δ' εἰς ὅσον οἷόν τε τὸ μέλι
ἐπὶ τοῦ ἑκτικοῦ πυρετοῦ. καὶ διὰ τοῦτο καὶ τὸ μελίκρατον, ἐκχολοῦται γὰρ αὐτίκα καὶ ξηροτέρους ἅμα θέρμῃ δριμείᾳ
τοὺς πυρετοὺς ἀπεργάζεται. δοτέον οὖν τὴν πρώτην τὸ γάλα τῆς ὄνου κυάθου μὴ πλέον, ὡς ἐθεασάμην διδόντας ἡμᾶς.

εἰσαχθείσης μὲν εἰς τὸν κοιτῶνα τῆς ὄνου πρὸς τὸ μηδ' ὀλίγα χρόνου ἐν τῷ μεταξὺ γίνεσθαι. καταπιόντος δ' αὐτὸ τοῦ κάμνοντος αὐτίκα. ἐφεδρευόντων δ' ἡμῶν ἀκριβῶς, καὶ παραβαλλόντων τὴν κίνησιν τῶν ἀρτηριῶν τῆς ἐπὶ τῇ προσφορᾷ γιγνομένην, τῇ πρὸ τοῦ ληφθῆναι τὸ γάλα. εἰ μὲν γὰρ διαφθείροιτο, τοὺς σφυγμοὺς εὑρήσεις οἵους περ ἐπὶ θλίψει στομάχου συμβαίνοντας οἶσθα. εἰ δὲ μὴ διαφθείροιτο, τοὺς σφυγμοὺς μείζους τε καὶ ἰσχυροτέρους γιγνομένους. ὥστ' ἐξέσται σοι μετὰ ταῦτα προσφέροντι, τὸ πλῆθος αὐξῆσαι τοῦ γάλακτος ἥμισυ κυάθου. κᾄπειθ' ἥμισυ προσθεῖναι πάλιν. εἶθ' οὕτω κατὰ βραχὺ μέχρι τοῦ συμμέτρου προσαυξῆσαι. τοῦ μέτρου δὲ οὐ μόνου τοῦ γάλακτος, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων σιτίων ἔμαθες τοὺς σκοπούς, ἔνθα τὰς τῆς γαστρὸς ἰώμεθα δυσκρασίας ἐν τῷ τῶν δὲ τῶν ὑπομνημάτων ἑβδόμῳ. πρώτην γὰρ ἐν ἐκείνῳ τῷ λόγῳ, τὴν ξηρὰν δυσκρασίαν αὐτῆς ὑποθέμενοι κεχρονισμένην εἰς τοσοῦτον, ὡς σύμπαν ἤδη τὸ σῶμα λεπτὸν ὑπάρχειν ἐπεδείξαμεν, ὅπως ἄν τις ἅμα μὲν ἄμφω καλῶς ἰῷτο καὶ τὴν δυσκρασίαν τῆς γαστρὸς, καὶ τὴν ἰσχνότητα τοῦ σώματος. καὶ τοίνυν ἴσως ἄμεινον ὑπὲρ τοῦ μὴ γράφειν πολλὰ, πρὸς ἐκεῖνον ἀναπέμψαι τὸν λόγον ὑπὲρ τῶν ἄλλων ἁπάντων ἐδεσμάτων. ὅμοιαι γὰρ αἱ διαθέσεις οὖσαι, παραπλησίων χρήζουσι καὶ τῶν ἰαμάτων. ὅσον δ' ἐστὶν ἡ τῶν ἑκτικῶν πυρετῶν θερμοτέρα, τοσοῦτον καὶ τῶν βοηθημάτων δεῖται ψυχροτέρων, ἀκριβείας τε πλείονος, ὅπως μήτε βλάψαιμεν ἰσχυροῖς βοηθήμασι χρησάμενοι. καὶ τοὺς μὲν ἤδη μαραινομένους, ὡς εἴρηται, λουστέον. ὅσοι δ' ἐν τοῖς ἑκτικοῖς εἰσὶ πυρετοῖς, οὐδέπω μαραινόμενοι, τούτους οἷόν τ' ἐστὶ καὶ χωρὶς σινδόνος ὑποβεβλημένης λούειν, ὡς ἂν ἰσχυροὺς ἔτι τὴν δύναμιν ὄντας. εἰσφέρειν μέντοι καὶ τούτους εἰς τὸν οἶκον. ἤτοι γε ἐπὶ σκίμποδος, ἢ φορείου τινός. εἶθ' ἑαυτοῖς βαδίζοντας ἐπὶ τὸ θερμὸν ὕδωρ ἀκτέον, ὅπως ἐν ἐκείνῳ χρονίζοιεν. ὅσοι δ' ἀκρατέστεροι τῶν τοιούτων εἰσί, σφαλερὸν ἐπιτρέπειν αὐτοῖς ἐμβαίνειν ταῖς ψυχραῖς κολυμβήθραις. ἀλλ' ἔξω μᾶλλον αὐτὸν καταχεῖν ἐπὶ χλιαρῷ τῷ προτέρῳ, τὸ δεύτερον ψυχρόν. ἔστω δ' οὕτω ψυχρὸν τό τε κατὰ τὴν δεξαμενὴν ὕδωρ αὐτοῖς παρεσκευασμένον, ὅσον ἐξ ἐκείνης ἄν τις ἀρυσάμενος αὐταρκὲς ἀθρόως εἰς ἅπαξ ἐπιχέαι τοῖς λελουμένοις, ὡς μηδεμίαν ἐμφαίνειν σαφῆ ποιότητα, μήτε τῶν ἀκριβῶς ψυχρῶν, μήτε τῶν χλιαρῶν ὑδάτων, ἀλλ' οἷον τὸ κρηναῖον καλούμενον, ἐν μέσῳ ψύξεως πληκτικῆς καὶ χλιαρότητος ἐκλυτικῆς. εἰ μὲν οὖν ἀκριβῶς ἅπαντα γίγνοιτο κατά τε τὰ λουτρὰ καὶ τὰς τροφὰς, ἐλπὶς σωθήσεσθαι τοὺς μαραινομένους. εἰ δ' ἁμαρτηθείη τι κἂν ἕν, ἀνατρέπει τἄλλα σύμπαντα. τὸ γάρ τοι τῆς διαθέσεως αὐτῶν ὀλέθριον, οὐδὲ βραχύτατον ἁμάρτημα φέρει. καὶ εἴ τις ἐσώθη τῶν τοιούτων, τὸ σαρκῶδες αὐτοῦ γένος ὁ μαρασμὸς κατείληφε. τῶν στερεῶν δ' αὐτῶν ἐξηρασμένων, ἀδύνατόν ἐστι τὸν ἄνθρωπον ὑγιασθῆναι τελέως. ἀλλ' ἀναγκαῖον ἤτοι γ' ἐξ αὐτοῦ τοῦ πυρετοῦ τὸν θάνατον ἥκειν εὐθέως, ἢ μεταπεσόντος εἰς τὸ καλούμενον ἐκ νόσου γῆρας. πρῶτον μὲν γὰρ ὁ τοιοῦτος πυρετὸς ἐκβόσκεται τὴν οἰκείαν ἰκμάδα τῶν μορίων ὑφ' ἧς τρέφεται. μεταβαίνειν δ' ἐντεῦθεν ἐπὶ τὸ σαρκῶδες γένος, ὃ ταῖς ἰσὶ καὶ τοῖς ὑμενώδεσι τῶν στερεῶν μορίων περιπέφυκεν. εἶθ' οὕτως ἅπτεται καὶ αὐτῶν τῶν στερεῶν μορίων. καθ' ἕκαστον γάρ τοι μόριον τῶν ἁπλῶν καὶ πρώτων ὀνομαζομένων ἐθεάσω κατὰ τὰς ἀνατομάς. τὸ μὲν οἷον ἰνῶδες ἐστὶ τῆς οὐσίας αὐτῶν. τὸ δ' ὑμενῶδες. τὸ δὲ, σαρκῶδες, οἷον εἰ τύχοι τῆς φλεβὸς ἕνα χιτῶνα κεκτημένης λεπτὸν, ἔστιν εὑρεῖν κατ' αὐτὴν ἶνας πολλὰς ἀραχνοειδέσι διατάσεσι συναπτομένας. αἷς ἀμφοτέραις, ἡ οἰκεία τῆς φλεβὸς οὐσία περιπέφυκεν, ἄλλη κατ' ἄλλο μόριον ὑπάρχουσα, κοινὸν οὐδὲν ὄνομα κεκτημένη. καλεῖν γοῦν αὐτὴν οὐδὲν κωλύει διδασκαλίας ἕνεκα σαρκοειδῆ φύσιν. ἢ καὶ νὴ Δία τὴν τοῦ δεῖνος τοῦ μορίου σάρκα, κατὰ γαστέρα μὲν ἑτέραν ὑπάρχουσαν. καθ' ἧπαρ δ' ἑτέραν. ὥσπερ γε καὶ κατὰ ἀρτηρίαν καὶ μῦν. ὀνομάζεται δὲ μόνη σὰρξ ἡ ἐν μυσί. τῶν ἄλλων οὐδὲ μίαν ὀνομάζουσι σάρκα, πλὴν ὀλίγοι δέ τινες. ἀλλὰ τὰ μὲν ἐν τοῖς σπλάγχνοις οἷον ἥπατι καὶ νεφροῖς καὶ σπληνὶ καὶ πνεύμονι, παρεγχύματα καλοῦσι. τὰς δ' ἐν ἐντέροις καὶ γαστρὶ καὶ στομάχῳ καὶ μήτρᾳ, ἀνωνύμους καταλείπουσιν. ἀλλὰ σὺ τῶν μὲν ὀνομάτων μηδὲν φρόντιζε. γίγνωσκε δὲ ἑκάστου τῶν μορίων τὸν ὄγκον τῆς οὐσίας, ὑπὸ τῆς τοιαύτης μάλιστα συμπληροῦσθαι φύσεως, φθορὰν καὶ γένεσιν ἐπιδεχομένης, ὡς ἔνεστι θεάσασθαι σαφῶς ἐπὶ τῶν κοίλων ἑλκῶν. οὐ μὴν οὔθ' ἡ τῶν ἰνῶν φύσις, οὔθ' ἡ νευρώδης ἢ ὑμενώδης ὁρᾶται τὴν αὐτὴν ἔχουσα γένεσιν. οὐδ' ἐγχωρεῖ τὰς ἐν ἑκάστῳ μορίῳ τοιαύτας ἶνας, ὑπὸ τῶν κακοήθων πυρετῶν ἐκτακῆναι, καθάπερ τὰς σάρκας. ἀλλά γε πρὶν ξηρανθῆναι τελέως διαφθείρουσι τὸ ζῶον. εἰσὶ μὲν οὖν καὶ οἱ μαρασμώδεις πυρετοὶ πάντες, ἐκ τοῦ τῶν συντηκόντων γένους. ἀλλὰ διαφέρουσι τῷ τὸ συντηκόμενον ἑκάστοτε τῆς σαρκὸς, ἐπὶ μὲν τούτων, διαφορεῖσθαι. καταρρεῖν δ' ἐπ' ἐκείνων εἰς γαστέρα. φαίνεται δὲ τοῦτο κἀπὶ τῶν κρεῶν γιγνόμενον ἐναργῶς, ὀπτωμένων ἐπὶ τῆς καλουμένης ἐσχάρας. ἐνίων μὲν γὰρ ἀπορρεῖ πάμπολυ τὸ σύντηγμα. καὶ φέρεται κατὰ τῶν ἀνθράκων ἀθρόως. ἐνίων δ' ὅλως οὐδὲν αἰσθητὸν ἀπορρέον φαίνεται κἂν ἴσον ᾖ τὸ πλῆθος τῶν ἀνθράκων. οἱ γοῦν ἄγριοι σύες, ἢ οὐδ' ὅλως ἢ ὀλίγιστον ἔχουσι τὸ ἀπορρέον. οἱ δ' ἥμεροι, πάμπολυ. καὶ ὅσον περ ἂν ᾖ πιμελωδέστερον καὶ σαρκωδέστερον τὸ ζῶον, τοσοῦτον τὸ ἀπορρέον αὐτῶν τῶν σαρκῶν ἐπὶ τῆς ἐσχάρας ὀπτωμένων πλέον φαίνεται. τὸν αὐτὸν οὖν τρόπον, ἐπὶ τῶν θερμοτάτων πυρετῶν, εἰ μὲν οὖν εἶεν σάρκες ὑγραὶ καὶ μαλακαὶ μετὰ πλήθους πιμελῆς, τὰς συντήξεις αἰσθητὰς ἴσχουσιν. εἰ δὲ ἄνευ πιμελῆς καὶ ξηραὶ, τοῖς μαρασμώδεσιν ἁλίσκονται πυρετοῖς. ἐναργέστατον δὲ τούτου τεκμήριον, οἱ τὰς συντήξεις ἐκκρίνοντες ἄρρωστοι διὰ γαστρὸς, ἢν μὴ φθάσωσιν ἀποθανεῖν. ἤτοι γ' ὑπὸ βίας τοῦ νοσήματος, ἢ διὰ τὴν τῶν ἰατρῶν ἀμαθίαν, εἰς τοὺς μαρασμώδεις ἐμπίπτοντες πυρετούς. ἄχρι μὲν γὰρ ἂν ἔχωσι τὴν ὕλην δαψιλῆ, ταύτην συντήκουσιν. ὅταν δὲ ἐπιλείπωσιν αὐτοὺς αἵ τε πιμελαὶ, καὶ αἱ σάρκες αἱ μαλακαὶ, ξηραίνουσι τὰς σκληρὰς καὶ δυστήκτους σάρκας. ὧν οὐδὲν ἀπορρεῖ διὰ ξηρότητα, καθάπερ οὐδὲ τῶν ταριχηρῶν κρεῶν, εἰ καὶ ταῦτ' ἐθελήσειας ὀπτᾶν ἐπιβάλλων ἴσως τοῖς ἄλλοις πυρί, ξηρότεραι μὲν γὰρ αἱ σάρκες αὐτῶν ἔσονται. καὶ σκληρυνθήσονταί γε βύρσης τρόπον. οὐ μὴν ἐκρυήσεταί γε αὐτῶν οὐδεμία τηκεδὼν αἰσθητή. ταῦτ' οὖν γινώσκοντί σοι, καὶ ἡ τῶν συντηκτικῶν πυρετῶν, ἐπιμέλεια κατὰ

τὰς αὐτὰς γινέσθω μεθόδους. ἐπί τε ψυχροῦ δόσιν, ὅτι τάχιστα, παραγιγνομένων, καὶ διὰ τῶν ὑγραινόντων καὶ ψυχόντων τρέφοντι. μελίκρατον δ' οἰόμενον πολεμιώτατον εἶναι, ὦ μάλιστ' ὁρᾷς χαιρομένους ἐπὶ τῶν τοιούτων πυρετῶν, τοὺς πλείστους τῶν ἰατρῶν. ἀλλὰ περὶ μὲν τῶν συνεχόντων πυρετῶν, αὖθις ἐξέσται διελθεῖν. ὥσπερ γε καὶ περὶ τῶν ἐν λοιμοῖς πυρετῶν ἑκτικῶν, οἷος ὁ νῦν ἐπιδημῶν ἐστιν. εἰρήσεται γὰρ περὶ τοῦ δὲ κατὰ τοὺς λοιμώδεις πυρετούς. τῶν δ' ἄλλων ἑκτικῶν καὶ μαρασμωδῶν, αὐτάρκως εἰρῆσθαι νομίζω τὴν μέθοδον τῆς ἰάσεως.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

Τῶν δ' ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν, οἱ πρῶτοι μὲν εἴρηνται σκοποὶ πρόσθεν, ἡνίκα ἐδείκνυον ὅπως ἐγχωρεῖ καὶ δύο καὶ τρεῖς αὐτοὺς ποιῆσαι. κἂν εἰ βουληθείη μὲν ἕνα. νυνὶ δ' ὥσπερ ἐπὶ τῶν ἄλλων πυρετῶν, ἐκ τῆς τῶν πρώτων γενῶν τομῆς ἄχρι τῶν ἐσχάτων εἰδῶν ἀφικόμεθα τέμνοντες, οὕτω πρᾶξαι πειραθῶμεν κἀπὶ τῆς προκειμένης διαφορᾶς, ἐκεῖνο πρότερον ἀναμνήσαντες ὃ κἀν τοῖς περὶ διαφορᾶς τῶν σφυγμῶν ὑπομνήμασιν ἐδείξαμεν. ὡς εἴτε πρώτας διαφοράς, εἴτε γένη πρῶτα καλεῖν ἐθέλοι τις, εἴτε γενικωτάτας ἰδέας, εἴθ' ὁπωσοῦν ἄλλως φυλάττων ἀκριβῆ τοῦ πράγματος τὴν ἔννοιαν, οὐ διοίσει.

Τῶν μὲν δὴ πυρετῶν αὐτῶν τοὺς ἐφημέρους ὅπως χρὴ θεραπεύειν, ἐν τῷ τῶν δὲ τῶν ὑπομνημάτων ὀγδόῳ διῆλθον. ὥσπερ γε καὶ ὅπως τοὺς συνόχους ἐν τῷ μετ' αὐτό. καὶ τρίτους γε τοὺς ἑκτικοὺς ἐν τῷ μετ' ἐκεῖνο τῆς ὅλης πραγματείας ὄντι δεκάτῳ, μετὰ τῶν ἰδίων ἑκάστῳ, πλεῖστα καὶ τῶν κοινῶν ἐπελθών. νυνὶ δ' ὅπως ἄν τις ἰῷτο μεθόδῳ τοὺς ἐπὶ σήψει χυμῶν συνισταμένους, πρόκειται διελθεῖν. Οἱ σκοποὶ δ' οἱ θεραπευτικοί, κατὰ μὲν τὴν εἰς δύο τομήν, ἥ τε διάθεσις ἣν θεραπεύομεν ὑπάρχει, καὶ ἡ τῶν τοῦ κάμνοντος μορίων κρᾶσις. ἐγχωρεῖ δ' ὡς ἐλέχθη καὶ δι' ἑνὸς ἑρμηνεῦσαι κεφαλαίου, θεραπευτικὸν εἰπόντων ἡμῶν εἶναι σκοπὸν ἕνα κοινὸν ἁπάντων νοσημάτων τὴν ἐναντίωσιν. οὗ τεμνομένου, γεννᾶσθαι τοὺς δύο. τοῦ μὲν νοσήματος ἐνδεικνυμένου τὴν τῶν ἐναντίων ἑαυτῷ βοηθημάτων χρῆσιν. τῆς δὲ τοῦ θεραπευομένου κράσεως, ὁριζούσης ἅμα τῷ νοσήματι, τὸ μέτρον τῆς ἐναντιώσεως. ἐρρέθη δ' ἐν ἐκείνοις ὡς καὶ τὸ περιέχον ἡμᾶς, ἕνα ποιήσασθαι τὸν σκοπὸν ἐγχωρεῖ. καὶ ὡς ὁπόταν εἰς δύο μόνους τὴν πρώτην ποιησώμεθα τομήν, ἤτοι γ' ἐν τοῖς νοσεροῖς αἰτίοις, ἢ ἐν τοῖς ὑγιεινοῖς τίθεσθαι χρὴ τὸ περιέχον. ὄντων δ' αἰτίων ὑγιεινῶν ἁπάντων τῶν ποιούντων ὑγείαν, ἐν ἐξ αὐτῶν ἐστι τὸ καλούμενον βοήθημα, κατὰ διαφόρους ἐννοίας, ἔσχατον καὶ πρῶτον ὑγιεινὸν αἴτιον ὀρθῶς λεγόμενον. ἔσχατον μὲν γὰρ ἔσται τῷ χρόνῳ, διότι φύσις καὶ τέχνη καὶ τύχη, τῷ χρόνῳ πρότερα τῶν βοηθημάτων ἐστὶν ὑγείας αἴτια. πρῶτον δὲ καθ' ὅσον αὐτὸ ψαύει τοῦ νοσοῦντος, ἀλλοιοῦν τὴν διάθεσιν αὐτοῦ. καὶ διὰ τὴν ἐκ τούτου γινομένην ἀλλοίωσιν τῶν νοσούντων σωμάτων εἰς ὑγείαν ἀγομένων, ἡ τέχνη καὶ ὁ τεχνίτης αἴτια τῆς ὑγείας γίνεται, οὐ γὰρ πρώτως αὐτὰ τὰς νόσους ἐκκόπτειν, ἀλλὰ τῷ δι' ἑτέρων ὑλῶν ἐπιτηδείων, αἵ τινες ὀνομάζονται βοηθήματα. φλεβοτομία γοῦν αὐτὴ μὲν καθ' ἑαυτήν, αὐτὸ δὴ τοῦτο τὸ νῦν εἰρημένον ὄνομα κέκτηται. βλάψασα δὲ τὸν ἄνθρωπον, ἐκ τῶν αἰτίων γίνεται τῶν νοσωδῶν, ὥσπερ γε καὶ ὠφελήσασα, τῶν ὑγιεινῶν. καὶ διὰ τοῦτο καλεῖται βοήθημα, καθ' ὃν ἂν ὠφελεῖ καιρόν. ὡς καὶ πάσης ὕλης τῆς ὁπωσοῦν ἀλλοιούσης τὸ σῶμα, καθ' ὃν ἂν ὠφελεῖ χρόνον, ὀνομαζομένης βοηθήματος. οὕτως οὖν καὶ περιέχοντος ἡμᾶς, ἴδιον μὲν ὄνομα κατὰ τὴν ἑαυτοῦ φύσιν, ὁ ἀήρ. ἐν δὲ τῇ πρὸς ἡμᾶς σχέσει, ποτὲ μὲν βοήθημα καὶ τῶν αἰτίων ἕν τι τῶν ὑγιεινῶν γίγνεται. ποτὲ δὲ τῶν ἐναντίων αὐτοῖς τῶν νοσωδῶν. ἐπεὶ δ' ἔκ τε τῆς ἐνεστώσης καταστάσεως καὶ τῆς ὥρας τοῦ ἔτους καὶ τῆς τοῦ χωρίου φύσεως ὁ ἀὴρ ἴσχει τὰς καθ' ὑγρότητα καὶ ξηρότητα καὶ θερμότητα καὶ ψυχρότητα μεταβολάς, ἐξ ἐκείνων πάλιν ἑκάστου γίγνονταί τινες ἐνδείξεις μερικώτεραι. τύχη μὲν οὖν καὶ τέχνη καὶ τεχνίτης, διὰ μέσων τῶν ὑλῶν ἔχουσι τὸ δρᾶν. ἡ φύσις δ' αὐτὴ δι' ἑαυτῆς, ἐκ τριῶν τούτων συμπληρουμένη μορίων, τῆς τε τοῦ πνεύματος οὐσίας, καὶ τῆς τῶν ὄντως στερεῶν, ἅπερ ἐκ σπέρματος ἐδείχθη γιγνόμενα. καὶ τρίτης ἐπ' αὐτοῖς, τῆς σαρκοειδοῦς οὐσίας, ἐν ἑκάστῳ τῶν μορίων ἰδίας ὑπαρχούσης. ἕκαστον δὲ τῶν εἰρημένων τριῶν, ἰδίαν τινὰ ἔχει ποσότητα καὶ ποιότητα κατὰ φύσιν. ἡ μὲν οὖν ποιότης αὐτῶν, ἐκ τῆς πρεπούσης κράσεως ὑγρᾶς καὶ ξηρᾶς, καὶ ψυχρᾶς καὶ θερμῆς συνίσταται. τὸ ποσὸν δέ, τῶν μὲν στερεῶν σωμάτων, ἴσον ἀεὶ διαμένει. τοῖς μὲν αὐξανομένοις ἔτι, κατὰ τὸν ἀριθμὸν μόνον. τοῖς δ' ἤδη τετελειωμένοις, καὶ κατὰ τὸ μέγεθος. τῆς σαρκοειδοῦς δ' οὐσίας ἐξαλλάττεται τὸ μέγεθος, εἰ καὶ μηκέτι αὔξοιτο τὸ ζῷον. οὕτως δὲ καὶ ἡ τοῦ πνεύματος οὐσία, μόνον οὐ καθ' ἑκάστην ῥοπὴν ἐλάττων τε καὶ πλείων γίνεται. καὶ τοίνυν καὶ ἡ δύναμις ἐφ' οἷς ἔμπροσθεν εἶπον σκοποῖς, ἤτοι μόνη προστίθεται κατὰ τὴν τῶν εἰρημένων τριῶν οὐσιῶν συναρίθμησιν, ἢ τῆς κράσεως ἀφορισθείσης, ἰδία καθ' ἑαυτήν. ἥτις αὖ πάλιν καὶ αὕτη ποτὲ μὲν ὡς ἐδείκνυτο, διχῆ τέμνεται εἴς τε τὴν ἐξ ἀρχῆς φύσιν, καὶ τὴν ἐπίκτητον διάθεσιν. ὥστε ἀπὸ τούτων καὶ τῶν ἄλλων τῶν προειρημένων γίγνεσθαι τινὰ ἔνδειξιν ἰαμάτων ἰδίαν ἑκάστου. πολλάκις δὲ ἡ ἐπίκτητος κρᾶσις, εἰς τὰς ποιητικὰς αἰτίας ἀναχθεῖσα, τὴν ἔνδειξιν ἐκείναις ἐχαρίσατο, κατὰ τοῦτον οὖν ἔφαμεν τὸν τρόπον, ἐξ ἡλικίας, ἐπιτηδευμάτων τε καὶ ἐθῶν ἔνδειξιν βοηθημάτων γίγνεσθαι. συμφανεῖν δ' ἀλλήλαις ἁπάσας τὰς εἰρημένας ἐνδείξεις. ἐν γοῦν ταῖς ἰδικωτέραις ἀεὶ περιέχεσθαι τὰς γενικωτέρας. ἄγεσθαι δ' εἰς χρῆσιν τὰς ἰδικωτέρας, εὑρισκομένας ἐκ τῆς τῶν γενικωτέρων τομῆς. ἡ γάρ τοι πρώτη πασῶν ἔνδειξις θεραπευτική, ἐξ αὐτοῦ τοῦ θεραπευομένου νοσήματος γιγνομένη, τὴν ἐναντίωσιν ἐδίδαξεν. ἐπεὶ δ' ἐστὶ πλείονα γένη τῶν νόσων, ἕκαστον αὐτῶν ἰδίαν ἕξει τὴν ἐναντίωσιν. ἀλλὰ τὰ μὲν ἄλλα παρείσθω τό γε νῦν εἶναι. προκεχωρήσθω δὲ μόνον

ἡμῖν εἰς τὰ παρόντα, τῆς θεραπευομένης νόσου τὸ γένος ἐν δυσκρασίᾳ κείμενον. ἰαθήσεται τοίνυν τοῦτο διὰ τῆς ἐναντίας αὐτῷ δυσκρασίας. ἀλλ' ἐπεὶ τοῦ γένους ὅλου τῶν πυρετῶν ἡ δυσκρασία θερμότης ἐστὶ, διὰ ψυχρότητος ἰαθήσεται. ὥστε ἀλλήλαις ὁμολογεῖν ἁπάσας τὰς ἐνδείξεις. ἐάν τε γὰρ εἴπωμεν ἁπλῶς οὕτως ὡς χρὴ τὸν πυρετὸν ἰᾶσθαι διὰ τῶν ἐναντίων, ἐάν τε προσθέντες ὡς διὰ τῶν ἐναντίων τῇ κράσει, μάχην οὐδὲ μίαν ἕξουσιν οἱ λόγοι. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδ' εἰ φαίημεν ἰᾶσθαι χρῆναι διὰ τῶν ψυχόντων τὸν πυρετόν. ὥσπερ γε οὐδ' εἰ τέμνοντες τοῦτο, φαίημεν ἐνίοτε μὲν ἰᾶσθαι τὸν πυρετὸν ἡμᾶς διὰ τῶν ἐνεργείᾳ ψυχόντων. ἐνίοτε δὲ, διὰ τῶν δυνάμει. καί ποτε αὖθις, διὰ τῶν κατὰ συμβεβηκός. καὶ συντιθέντες ταῦτα, μάχην οὐδεμίαν ἕξει τοῖς προειρημένοις ὁ λόγος. ὥσπερ γε οὐδ' εἰ φαίημεν ὅσα μὲν κατ' ἐνέργειαν ἢ δύναμιν ἢ κατὰ συμβεβηκὸς θερμαίνει, χείρονας ἑαυτῶν ἀποτελεῖν τοὺς πυρετούς. ὅσα δ' αὖ κατ' ἐνέργειαν ἢ δύναμιν ἢ κατὰ συμβεβηκὸς ψύχει, θεραπεύειν αὐτούς. ἡ γὰρ ἀπὸ τῆς διαθέσεως ἔνδειξις εἰς τοσούτους ἐτμήθη τοὺς κατὰ μέρος σκοπούς. αὐτοὶ δὲ πάλιν οὗτοι οἱ σκοποὶ τὴν ὕλην τῶν βοηθημάτων εὑρίσκουσι κατὰ τὰς ἐν τοῖς περὶ φαρμάκων εἰρημένας μεθόδους. ἀρχὴ γὰρ ἐκείνων ἐστὶν εἰς ὅπερ ἐτελεύτησεν ἡ ἐκ τῆς θεραπευομένης διαθέσεως τομή. κυριωτάτη μὲν οὖν ἐν τῷ λυθῆναι τὴν νόσον θεραπεία νοεῖται. καταχρωμένων δὲ, καὶ τὸ μικτὸν γένος ἔκ τε τῆς ὄντως θεραπείας, καὶ ἣν ὀνομάζουσι προφυλακτικήν. Τῶν μὲν οὖν ἐφημέρων πυρετῶν, ἡ ὄντως ἐστὶ θεραπεία καθάπερ γε καὶ ἡ τῶν ἑκτικῶν. ὅσοι δ' ἐπὶ χυμοῖς συνίστανται σηπομένοις, ἡ λεγομένη θεραπεία καὶ τὴν προφυλακτικὴν προσείληφεν, ἥτις ἐστὶ τὸ τὴν νόσον ἐργαζόμενον αἴτιον ἐκκόπτειν. ὀνομάζεται δὲ καὶ αὐτὸ τοῦτο τὸ μέρος τῆς τέχνης, θεραπευτικόν. ἀποκεχωρισμένον τοῦ καθαρῶς τε καὶ εἰλικρινῶς προφυλακτικοῦ, τῷ γενέσθαι τὴν νόσον μὲν αἰσθητῶς ὑπὸ τῆς αἰτίας ἤδη. μέλλειν δὲ ἔσεσθαι, κατὰ τὰς προφυλακτικάς. τοῖς μὲν οὖν ὀνόμασιν ὡς ἂν ἐθέλοι τις χρήσθω. τοῦτο γὰρ ἀναμιμνήσκειν ἀεὶ χρή. φυλαττέτω δὲ τὴν ἐφ' ἑκάστου τῶν πραγμάτων ἔνδειξιν τῶν ἰαμάτων, ὡς εἴγε παραλείποι τι κἂν ἐν ἐξ αὐτῶν ἀνάλογον ἐκείνου τῷ μεγέθει τε καὶ τῇ δυνάμει, βλάψει τὴν ἴασιν. ὃν περ δὲ τρόπον ἀπὸ τῆς διαθέσεως ἐπὶ τὰς ὕλας τῶν βοηθημάτων ἀφικόμεθα, τὸν αὐτὸν τρόπον ἀφ' ἑκάστου τῶν ἄλλων γενῶν τῶν πρώτων κατάρχεσθαι χρὴ πρὸς αὐτάς. οἷον ἀπὸ τῆς δυνάμεως. ἀντιτέτακται γὰρ αὕτη τῇ νόσῳ, καθάπερ τις ἀνταγωνιστής. καὶ πρόκειταί γε τῷ ἰατρῷ βοηθεῖν ταύτῃ καὶ συναγωνίζεσθαι τρόπῳ παντί. Τίς οὖν ὁ πρῶτος σκοπὸς ἀπὸ τῆς δυνάμεως, ἢ τίς ἔνδειξις προτέρα; καὶ γὰρ κἀνταῦθα λεκτέον ὡς ἂν ἐθέλοι τις. αὐτὴν μὲν τὴν δύναμιν ἕνα τὸν πρῶτον σκοπὸν τιθέμενος. τὸ δ' ὑπ' αὐτῆς ἐνδεικνύμενον, ἕτερον σκοπὸν δεύτερον. ἐπεὶ τοίνυν ἐδείχθη τὴν ἑαυτῆς ἐνδεικνυμένη φυλακὴν, ὥσπερ ἡ νόσος τὴν ἀναίρεσιν, ἔσται πάλιν ὁ δεύτερος ἐπὶ τῇ δυνάμει σκοπὸς ἡ φυλακὴ, καθάπερ ἐπὶ τῶν νοσημάτων ἡ ἀναίρεσις. ἀλλ' ἡ μὲν φυλακὴ, τὴν τῶν ὁμοίων ἐνδείκνυται προσαγωγήν. ἡ δ' ἀναίρεσις, τὴν τῶν ἐναντίων. ἐπειδὴ δὲ τῆς δυνάμεως οὐσία συμπληροῦται διά τε τοῦ πνεύματος καὶ τῆς σαρκώδους ἰδέας καὶ τῶν στερεῶν, ἐκ τῶν ὁμοίων ἑκάστῳ πορίζεσθαι χρὴ τὴν διαμονήν. τῷ μὲν πνεύματι, διὰ τῆς ἀναπνοῆς τε καὶ διαπνοῆς, καὶ τῆς ἐκ τοῦ αἵματος ἀναθυμιάσεως, ἐξέστω δὲ κἀνταῦθα τῷ βουλομένῳ καλεῖν ἀέρωσιν ἢ λεπτοποίησιν αἵματος, ἢ εἰς ἀτμοὺς λύσιν, ἢ ὅπως ἂν αὐτὸς ἐθέλοι. τῷ δὲ τῶν στερεῶν γένει, διὰ τῆς στερεᾶς τροφῆς. ὥσπερ γε καὶ τῷ τῶν σαρκωδῶν διὰ τῆς ἐν μέσῳ φύσεως ὑγρῶν τε καὶ στερεῶν σωμάτων. ἑκάστου δὲ τούτων εὑρήσεις τὸ μὲν ποσὸν, ἐκ τῆς κατὰ τὴν φυλαττομένην οὐσίαν ποσότητος. τὸ δὲ ποιὸν, ἐκ τῆς κράσεως. αὐτῆς δὲ τῆς κράσεως καθ' ἕκαστον αὐτῶν ἤτοι γε ἀρίστης ὑπαρχούσης, ἢ μεμπτῆς κατά τι, τὴν μὲν ἀρίστην ἀεὶ φυλάττειν χρή. τὴν μεμπτὴν δὲ, ἐπὶ μὲν τῶν ὑγιαινόντων ἤτοι φυλάττειν, ἢ ἀλλοιοῦν. ἐπὶ δὲ τῶν νοσούντων, φυλάττειν. ἐξ οὗ λογισμοῦ πρόσθεν ἐδείκνυτο, μεγίστην ἔνδειξιν ἔχον τὸ ἔθος. ἢ γὰρ τὴν ἐξ ἀρχῆς αὐτοῦ φυλάττειν κράσιν, ἢ τὴν ἐπίκτητον ἐργάζεσθαι. γίγνεσθαι δ' ὡς ἔλεγον τὴν ἔνδειξιν τοῦ μέτρου τῶν βοηθημάτων, ἐκ τῆς νῦν κράσεως. ὥσπερ γε κἀκ τῆς ἡλικίας, οὐχ ἧς ἔμπροσθεν εἶχεν ὁ κάμνων, ἀλλ' ἧς νῦν ἔχει. Διαφορᾶς δ' οὐκ ὀλίγης ὑπαρχούσης ἐν τῇ κράσει τῶν τοῦ ζώου μορίων, ἴδιον ἑκάστῳ τὸ μέτρον ἔσεσθαι τῶν ὁμοίων ἑαυτῷ, τῷ μὲν γεωδεστέρῳ, τῶν γεωδεστέρων. τῷ δὲ ὑγροτέρων. οὕτω δὲ καὶ τῷ μὲν ἀερωδεστέρῳ, τῶν ἀερωδῶν. τῷ δὲ θερμοτέρῳ, τῶν πυρωδῶν. ἐντεῦθεν οὖν ἤδη τὰς ὕλας ἐξευρίσκειν ἁπάντων τῶν κατὰ μέρος ἐν τροφαῖς καὶ πόμασι καὶ ἀέρι καὶ τοῖς ἐπιτηδευομένοις ἅπασιν. ἔνθα δ' ἀλλήλαις ἐναντιοῦνταί τινες ἐνδείξεις, τῇ πρόσθεν εἰρημένῃ χρῆσθαι μεθόδῳ, πρὸς τὴν τῶν πρακτέων εὕρεσιν. ἐπιβλέποντα μέγεθός τε καὶ ἀξίωμα τῶν ἐνδεικνυμένων σκοπῶν. αἱρεῖσθαι γὰρ ἐδείκνυμεν χρῆναι τὰς ἀπὸ τῶν ἀξιολογωτέρων τε καὶ μειζόνων ἐνδείξεις σκοπῶν. ἀξίωμα μὲν οὖν αὐτῶν, εἰς ζωὴν ἢ ὑγείαν ἀποβλεπόντων κρίνεσθαι. μέγεθος δ' εἶναι δῆλον, ἤτοι κατὰ τὴν οἰκείαν οὐσίαν, ἢ τὴν τοῦ κατὰ φύσιν ἐκτροπήν. ἐπὶ ταύταις οὖν ἤδη ταῖς μεθόδοις γυμνασθῶμεν ἐν τῷ γένει τῶν ἐπὶ σηπεδόνι πυρετῶν. ἐπεὶ δὲ ἡ σηπεδὼν ἤτοι γε ὁμοτίμως ἐν ἅπασι συνίσταται τοῖς ἀγγείοις, ἢ ἐν τοῖς μεγίστοις καὶ κυριωτάτοις ἃ δὴ μεταξὺ βουβώνων τέ ἐστι καὶ μασχαλῶν, ἢ καθ' ἕν τι μόριον ἤτοι φλεγμαῖνον, ἢ καὶ χωρὶς φλεγμονῆς ἐν ἑαυτῷ περιέχον οἷον περ ἑστίαν τινὰ τὴν ἀρχὴν τοῦ πυρετοῦ, καθ' ἑκάστην τῶν εἰρημένων διαφορῶν, ἰδίᾳ χρὴ γυμνάσασθαι. καὶ πρώτην γε τὴν ἤτοι κατὰ τὰ μέγιστα τῶν ἀγγείων ἢ σύμπανθ' ἅμα γινομένην τῷ λόγῳ προχειρισόμεθα. τὸν γὰρ ἐπὶ τῇ τοιαύτῃ διαθέσει πυρετὸν, εἶναι μὲν δή που συνόχον ἀναγκαῖον. ἰαθῆναι δ' ἀδύνατον ἄνευ τοῦ παύσασθαι τὴν σηπεδόνα. παύσασθαι δ' οὐ δύναται μενούσης τῆς αἰτίας. ἐκκόπτειν οὖν χρὴ τὴν αἰτίαν αὐτῆς, εἰ μέλλει πρότερα μὲν ἡ σῆψις, ἐπ' αὐτῇ δ' ὁ πυρετὸς ἰαθήσεσθαι. τίς οὖν ἡ αἰτία τῆς ὁμοτίμου σηπεδόνος ἐν ἅπασι τοῖς ἀγγείοις, ἀναμνησθῆναι χρὴ πρῶτον, ἢ τίς πρόσθ' ἡμῖν ἐδείκνυτο σηπεδόνος αἰτία, κἄπειθ' ἑξῆς ζητῆσαι τὴν τῆς ὁμαλῶς γινομένης ἐν ἅπαντι μέρει τοῦ ζώου. δέδεικται τοίνυν ἐν ταῖς τῶν νόσων αἰτίαις, ὡς ἐκεῖνα μόνα σήπεται τῶν σωμάτων, ὅσα φύσιν ἔχοντα θερμὴν καὶ ὑγρὰν, ἀδιάπνευστα καὶ ἀρίπιστα μένει ἐν θερμῷ καὶ ὑγρῷ χωρίῳ. εἰ δ' ἐν κινήσει τε εἴη, καὶ ῥιπίζοιτο καὶ διαπνέοιτο, δύναιτ' ἂν ἄσηπτα φυλάττεσθαι. καὶ μάλισθ' ὅσα σώματα διοικοῦσιν αἱ φύσεις, ὥσπερ

τὰ τῶν

Febrium putridarum genera

τὰ τῶν ζώων τε καὶ τῶν φυτῶν. αὗται γὰρ ἐξ ἀρχῆς ἑαυταῖς ἔχουσι συμφύτους κινήσεις, ὡς ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἐδείκνυμεν, αἷς ἐκκρίνουσι τὰ περιττά. δέδεικται δὲ καὶ διὰ ἄλλων δυοῖν βιβλίων, πηλίκη τίς ἡ χρεία τῆς τ' ἀναπνοῆς ἐστὶ καὶ τῶν σφυγμῶν, ὑπὲρ τοῦ ῥιπίζεσθαι καὶ διαπνεῖσθαι τὸ σῶμα, καὶ τὴν κατὰ φύσιν ἑαυτοῦ φυλάττειν θερμασίαν. εἴπερ οὖν τι μέλλει σαφῶς σήπεσθαι τῶν κατ' αὐτό, τὰς εἰρημένας χρὴ διαπνοὰς ἐπισχεθῆναι. πῶς δ' ἂν καὶ δύναιντο αἱ καθ' ὅλον τὸ ζῶον εἰς τοῦτ' ἐλθεῖν, ἄνευ στεγνώσεως; ἤτοι γ' ἐν τοῖς πέρασι τῶν ἀγγείων γινομένης, ἢ κατὰ σύμπαν τὸ δέρμα; κατὰ μὲν οὖν τὰ πέρατα τῶν ἀγγείων ἡ στέγνωσις γίγνοιτ' ἄν, ἢ διὰ σφοδράν τινα ἔξωθεν ψύξιν, ἢ διὰ πάχος, ἢ πλῆθος, ἢ γλισχρότητα τῶν περιεχομένων ἐν αὐτοῖς χυμῶν ἀθροώτερον ῥυέντων ἐπὶ τὴν ἔξω φοράν. γίγνεται δ' αὐτοῖς τοῦτο καὶ διὰ γυμνάσια τὰ κατὰ παλαίστραν ἢ ἄλλως ἐπιτηδευθέντα, καὶ δι' ὁδοιπορίας συντόνους. ἢ διὰ τὸ περιέχον ἐξαίφνης ἐκ κρύους εἰς θάλπος μεταβαλόν. ἐνίοτε δὲ καὶ διὰ θυμὸν οἱ χυμοὶ ζέσαντες ἀθρόα, καὶ χρησάμενοι τῇ πρὸς τοὐκτὸς φύσει, τὰς εἰρημένας στεγνώσεις εἰργάσαντο. χρὴ τοίνυν ὅστις ἰᾶσθαι μέλλει τὸν προκείμενον ἐν τῷ λόγῳ πυρετόν, ἅμα μὲν ἐκκόπτειν αὐτοῦ τὴν αἰτίαν, ἅμα δὲ καὶ τὴν ἤδη γεγενημένην ὑπ' αὐτῆς ἐν τῷ ζώῳ θερμασίαν ἐμψύχειν. ὅπως μὲν οὖν ἐκείνην χρὴ ψύχειν, ἔμπροσθεν εἴρηται. τὴν δ' αἰτίαν ἐκκόπτειν προσήκει, κατὰ τὴν ἰδίαν ἑκάστης φύσιν ἐξευρίσκοντα τὴν ἐναντίωσιν. εἰ μὲν ὑπὸ ψυχρᾶς αἰτίας ἐπιλήθη τε καὶ πυκνὸν εἴργασται τὸ σῶμα, χαλῶντα καὶ ἀραιοῦντα παντοίως αὐτό. δι' ἔμφραξιν δὲ τοῦτο παθόν, ἐκφράττοντα. τὸ δὲ ἐκφράττον εὑρήσεις κἀνταῦθα τῷ τῆς ἐναντιώσεως προσέχων σκοπῷ. τοὺς μὲν γὰρ πολλοὺς χυμούς, κενώσεις. τοὺς παχεῖς δὲ καὶ γλίσχρους, ἐργάσῃ λεπτούς τε καὶ ῥυτούς. εἰ δὲ καὶ πλείω συνέλθοι ποτὲ αἴτια, πρὸς ἅπαντα ἐνιστάμενος ἐξ ὑπεναντίου. δυνατὸν γοῦν δή που καὶ πεπιλῆσθαι τὸ σῶμα καὶ πεπυκνῶσθαι τοὺς πόρους, καὶ πολλοὺς καὶ γλίσχρους εἶναι τοὺς χυμούς. ἐν δὲ ταῖς τοιαύταις ἐπιπλοκαῖς, ἔτι μεμνήμεθα τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων, ἄρχεσθαι προσήκει ἀπὸ τῆς φλεβοτομίας, ἐκκενοῦντα τὸ πλῆθος. ἀφικνεῖσθαι δ' ἐπὶ τὸ λεπτύνειν τοὺς χυμούς. εἶθ' ἑξῆς ἐπὶ τὸ χαλᾶν τὰ πεπιλημένα, καὶ ἀραιοῦν τὰ πεπυκνωμένα. ταυτὶ μὲν οὖν ἐκ τῆς νοσώδους διαθέσεως ἐνδεικτικῶς ληπτέον. ἀπὸ δὲ τῆς δυνάμεως, ἐπειδὴ σιτία καὶ ποτὰ καὶ ἐνδύματα ταύτην ἐφύλαττον, ἐν μέτρῳ τέ τινι καὶ ποιότητι δεούσῃ προσφερόμενα. καὶ ἦν αὐτῶν τὸ μὲν τοῦ ποσοῦ μέτρον, ἀπὸ τῆς οὐσίας τῆς δυνάμεως εὑρισκόμενον. τὸ δὲ τῆς ποιότητος, ἀπὸ τῆς κράσεως, ἐπισκεπτέον ὅπως ἔχουσιν αἱ διοικοῦσαι τὸ σῶμα δυνάμεις. εὐρώστων μὲν γὰρ οὐσῶν, θαρρεῖν χρὴ τοῖς κενωτικοῖς βοηθήμασιν, ἅπερ ἐκ τῆς κατὰ τὴν νόσον ἐλήφθη διαθέσεως. ἀρρωστοτέρων δὲ γεγενημένων, εὐλαβῶς μεταχειρίζου τὰ κενωτικὰ βοηθήματα. καὶ μὲν δὴ καὶ τὸ τῶν τροφῶν ποσόν, ἐντεῦθεν ληπτέον. ἐρρωμένων γὰρ τῶν δυνάμεων κατὰ τὸν ἑαυτῶν λόγον, καὶ τῆς ἀκμῆς τοῦ νοσήματος ἐν τάχει προσδοκωμένης, ἔξεστι λεπτότατα διαιτᾶν. ἀρρωστοτέρων γ' οὐσῶν, οὐκ ἔξεστιν ἄνευ ζημίας μεγάλης. ἀλλὰ χρὴ προστιθέναι τοῖς τρέφουσι τοσοῦτον, ὅσον ἀφῄρηται τῆς εὐτονίας αἱ δυνάμεις. ἐκ τούτων μὲν τῶν σκοπῶν, τὸ ποσὸν τῆς τροφῆς ληπτέον. ἐκ δὲ τῆς διαθέσεως τῆς κατὰ τὴν νόσον, ἅμα τῇ κατὰ φύσιν κράσει ἐν τῷ τότε χρόνῳ τῶν στερεῶν σωμάτων, τὸ ποιόν. ἀπὸ μὲν τῆς διαθέσεως, εἰ ἔμφραξις εἴη, τὰς λεπτυνούσας. ἀπὸ δὲ τῆς κατὰ φύσιν αὐτῶν κράσεως ἅμα τοῖς ἔθεσι, καθὼς καὶ περὶ τούτων διώρισται πρόσθεν. ὁ δὲ καιρὸς τῆς τροφῆς, ἐπὶ μὲν τῶν ἄλλων ἁπάντων πυρετῶν ὅσοι σήψεσιν ἕπονται, προϊόντος εἰρήσεται τοῦ λόγου. τοῖς δ' ἕνα μόνον ἀπ' ἀρχῆς ἄχρι τέλους ἔχουσι παροξυσμόν, ὑπὲρ τούτων γὰρ ἡμῖν ὁ ἐνεστὼς λόγος, ἥ τ' εὐφορία καὶ τὸ ἔθος, οἱ σκοποί. τηνικαῦτα γὰρ ἂν αὐτοῖς δοτέον ὅταν εὐφορώτατοι σφῶν αὐτῶν ὑπάρχωσι. καὶ μάλιστα κατ' ἐκεῖνον τὸν καιρὸν τῆς ἡμέρας, ἐν ᾧ καὶ πρόσθεν ὑγιαίνοντες ἔθος εἶχον σιτεῖσθαι. μάλιστα γοῦν ἂν εὐφόρως ἐνέγκαιεν τὰ σιτία ἐπὶ τούτους τοὺς σκοποὺς λαβόντες. ὅτι δὲ καὶ τὸ ψυχρὸν τοῖς οὕτω νοσοῦσι δοτέον, ὅταν ἤδη πέπτωνται μὲν οἱ χυμοί, τὸ δὲ πάχος αὐτῶν ἢ προλελεπτυσμένον, ἐκ τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων εὔδηλον. ἐπαμφοτερίζοντος γὰρ τοῦ τοιούτου πυρετοῦ, τοῖς τ' ἐπὶ σήψει χυμῶν ἐν περιόδοις τισὶ παροξυνομένοις, καὶ τοῖς ἐφημέροις ὀνομαζομένοις, ἐν ἑκατέρῳ τῷ γένει προσηκόντως ἐμνημονεύσαμεν τούτων. ἕνα μὲν ἐχόντων παροξυσμόν, ὡς ἐφημέρων. ἐπὶ σήψει δὲ γιγνομένων, καὶ ἤδη πολυημέρων πως ὄντων. ὥσθ' ἓν μὲν ἔχουσι κοινὸν πρὸς τοὺς ἐφημέρους. δύο δὲ, πρὸς τοὺς ἐπὶ σήψει πολυημέρους. τὸ δ' ἕτερον γένος τῶν συνόχων, δύο μὲν ἔχει κοινὰ πρὸς τοὺς ἐφημέρους. τό, τε χωρὶς σήψεως γίγνεσθαι, καὶ χωρὶς περιόδου. τὸ τρίτον δ' οὐ κοινόν. εἰς γὰρ τὴν πέμπτην ἡμέραν ἐκτείνεται πολλάκις. ἡ μὲν οὖν τῶν δὲ τῶν πυρετῶν θεραπεία, γέγραπται πρόσθεν. ἡ δὲ τῶν ἐπὶ σήψει συνόχων ἑκατέρῳ τῷ γένει κοινωνοῦσα, καὶ ἡμᾶς ἠνάγκασεν ἐν ἀμφοτέροις τοῖς λόγοις ὑπὲρ αὐτῆς διελθεῖν. ἀλλ' ἡ μὲν οὐσία καὶ ἡ σύμπασα φύσις αὐτῶν, ἐκ τοῦ γένους ἐστὶ τοῦ νῦν ἡμῖν προκειμένου. καθ' ἓν δέ τι τῶν συμβεβηκότων αὐτοῖς ἐκοινώνησαν τοῖς ἐφημέροις, ὅπερ ἦν εἷς ὁ σύμπας παροξυσμὸς ὅλης τῆς νόσου. χρὴ τοίνυν καὶ τὰ τῆς ἰάσεως αὐτοῖς καθ' ἓν μὲν τοῦτο μόνον εἰς κοινωνίαν ἥκειν τοῖς ἐφημέροις. κατὰ δὲ τἄλλα σύμπαντα, διχῇ τμηθῆναι. καὶ τοὺς μέν τινας σκοποὺς θεραπευτικούς, ἐκ τοῦ γένους τῶν ἐπὶ σήψει λαβεῖν. τοὺς δέ τινας, ἐκ τῆς οἰκείας αὐτῶν οὐσίας. οὕτω δὲ καὶ τὰς ἄλλας διαφορὰς τῶν ἐπὶ σήψει χυμῶν ἰᾶσθαι προσήκει, καθάπερ ἤδη πολλάκις ἔμπροσθεν εἴρηται, τὴν ἔνδειξιν, ἀπό τε τοῦ κοινοῦ γένους αὐτῶν λαμβάνοντας, καὶ τῆς καθ' ἕκαστον ἰδίας διαφορᾶς. ἀναλαβόντες οὖν αὖ εἴπωμεν, ὁπόσαι μὲν εἰσὶν αἱ πᾶσαι διαφοραὶ τῶν ἐπὶ σηπεδόνι χυμῶν ἀναπτομένων πυρετῶν. τίς δ' ἡ κοινὴ τοῦ γένους αὐτῶν ἔνδειξις τῶν ἰαμένων βοηθημάτων. εἶθ' ἑξῆς ὁποία τις ἡ καθ' ἕκαστον ἰδία. χρὴ γὰρ δή που τό, τε κοινὸν αὐτοῖς ἅπασι, κοινὴν καὶ τὴν ἔνδειξιν ἔχειν. τό, τ' ἐν ἑκάστῳ διάφορον εἰς ὅσον ἀποκεχώρηκε τῶν ὁμογενῶν, εἰς τοσοῦτον καὶ τὴν ἔνδειξιν ἀφωρισμένην ἐκείνων ἔχειν. εἰσὶ δὲ τῶν ἐπὶ σήψει χυμῶν αἱ διαφοραὶ αἵδε. μία μὲν ἐκ τοῦ παρεῖναι τὰς αἰτίας αὐτοῖς τῆς σηπεδόνος, ἢ μὴ παρεῖναι. δευτέρα δὲ, ἐκ τοῦ καθ' ὅλον τὸ ζῶον ἢ κατὰ μέρος ὑπάρχειν τὴν σηπεδόνα. καὶ τρίτη καθ' ὅσον ἤτοι μετὰ

φλεγμονῆς, ἢ χωρὶς ταύτης εἴη. ἐπισκεπτέον οὖν ἡμῖν ἐστι τί μὲν ἔχει κοινὸν ἡ ἀπὸ τῆς αἰτίας ἔνδειξις ὑπαρχούσης ἔτι, τί δ' ἡ τῆς σηπεδόνος αὐτῆς. κἄπειθ' ἑξῆς τί μὲν ἡ καθ' ὅλον τὸ ζῶον ἢ τά γε κυριώτατα τῶν ἀγγείων αὐτοῦ. τί δὲ ἡ καθ' ἕν τι μόριον. ἔπειθ' ἑξῆς τῶν καθ' ἕν τι μορίων τὰς διαφοράς. ἄλλην μὲν γὰρ εἰκὸς ἔνδειξιν εἶναι τῇ μετὰ φλεγμονῆς, ἑτέραν δὲ τῇ χωρὶς ταύτης. ἐν αὐταῖς δὲ ταύταις πάλιν ἑτέραν μὲν ἔτι παρούσης τῆς ποιούσης αἰτίας. ἑτέραν δ' οἰχομένης αὐτῆς. εἶθ' ἑξῆς τὰς καθ' ἑκάστην αἰτίαν ἔτι παροῦσαν διαφοράς, ἐπὶ πάντων τῶν εἰρημένων κατὰ τὴν τομὴν εἰδῶν. ἐνταῦθα γὰρ ἡμῖν ἀναγκαῖόν ἐστιν εἰς τὰς ἀπὸ τῶν θεραπευομένων διαθέσεων ἐνδείξεις τελευτῆσαι. Μετὰ δὲ ταύτας, δηλονότι τὰς ἀπὸ τῶν θεραπευομένων μορίων ἐνδείξεις ληψόμεθα, κατὰ τὴν προειρημένην μέθοδον. αἷς προσθέντες τὰς ἀπὸ τῆς δυνάμεως, τελείαν ἕξομεν ἤδη τὴν μέθοδον τῆς ἁπάντων τῶν ἐπὶ σήψει πυρετῶν ἰάσεως. Ἀρξώμεθα οὖν ἀπὸ τοῦ πρώτου σκοποῦ κατὰ τὴν διαίρεσιν ὅπερ ἦν ἡ σηπεδὼν τῶν χυμῶν, καὶ σκεψώμεθα τίσιν ἄν τις προσέχων σκοποῖς καὶ τίσιν ἐνδείξεσι χρώμενος, ἐξευρήσει τὴν θεραπείαν αὐτῆς. ἀρχὴ δ' εἰς τὴν εὕρεσιν ἡ φύσις ἔσται τοῦ πράγματος ὑπὲρ οὗ σκοπούμεθα. καὶ γὰρ καὶ τοῦτ' ἐμάθομεν ἐν ταῖς ἀποδεικτικαῖς μεθόδοις. τίς οὖν ἡ φύσις τῆς σηπεδόνος ἐστίν; ἡ μεταβολὴ τῆς ὅλης τοῦ σώματος σηπομένης οὐσίας ἐπὶ φθορὰν ὑπὸ τῆς ἔξωθεν θερμασίας. οὐ γὰρ δὴ ὑπό γε τῆς οἰκείας τι φθείρεται. τοὐναντίον δ' ἅπαν αὐξάνεταί τε, καὶ ῥώννυται, καὶ ὑγιαίνει, καὶ ζῇ καὶ τῶν ὄντων ἕκαστον ὑπὸ τῆς οἰκείας θερμασίας διοικούμενον, ὥσπερ ἀμέλει καὶ αὐτὰ τὰ τῶν ζώων σώματα, καί τοι τὸ πλεῖστον τῆς ἑαυτῶν οὐσίας ὑγρὸν καὶ θερμὸν ἔχοντα. διαρκεῖ πάμπολυν ἐτῶν ἀριθμὸν ἄσηπτά τε καὶ ὑγιῆ καὶ ζῶντα, φυλαττομένης αὐτῶν, ὡς ἐπιδέδεικται, τῆς οἰκείας θερμασίας. ἐν μὲν τῷ τῆς καρδίας σώματι, διὰ τῆς ἀναπνοῆς. ἐν ἅπασι δὲ τοῖς ἄλλοις μέρεσι, διά τε τῆς πρὸς τὴν καρδίαν κοινωνίας, καὶ δι' ἑτέρου τινὸς ὥσπερ ἀναπνοῆς, ὃ καθ' ὅλον τὸ δέρμα γιγνόμενον, ὠνόμασται διαπνοή. τῇ δὲ τούτων βλάβῃ συγκακοῦται μὲν τὸ κατὰ φύσιν θερμόν. ὀθνεῖον δέ τι καὶ παρὰ φύσιν ἕτερον ἐγγινόμενον τοῖς σώμασι, τοὺς μὲν χυμοὺς πρώτους, δι' ὑγρότητα σήπει τε καὶ διαφθείρει. τῷ χρόνῳ δέ, καὶ τῆς πιμελῆς ἅπτεται. καὶ τῆς σαρκός. ὥσπερ οὖν ὅσα τῶν μὴ ζώντων σωμάτων σήπεται, πρῶτον μὲν ἀποφράττουσιν αὐτῶν ὅσον ἤδη σέσηπται, εἶθ' ἑξῆς τὸ λοιπὸν αἰωρήσαντες ἐν ἀέρι ψυχρῷ, διαπνοὰς εὐψυχεῖς μηχανῶνται, κατὰ τὸν αὐτὸν τρόπον ἰασόμεθα τὴν ἐν τοῖς ζώοις σηπεδόνα. τὸ μὲν ἤδη διεφθαρμένον, ἐκκενοῦντες ἅπαντι τρόπῳ. τὸ δὲ ὑπόλοιπον, αἰωρήσεσι μετρίαις καὶ διαπνοαῖς εὐψυχέσιν εἰς τὴν ἀκριβῆ συμμετρίαν ἐπαναγαγόντες. ἡ μὲν δὴ κένωσις αὐτῶν, δι' οὔρων τε καὶ διαχωρημάτων ἐμέτων τε καὶ ἱδρώτων ἔσται. μετὰ δὲ ταῦτα, κινήσεις μετρίας ἅμα τῇ τοῦ περιέχοντος εὐκρασίᾳ προσάξομεν. ὅπως δ' ἄν τις ἕκαστον τούτων ὀρθῶς μεταχειρίζοιτο, μικρὸν ὕστερον ἐπισκεψόμεθα. νυνὶ δ' ἐπὶ τὸ δεύτερον ἐκ τῆς διαιρέσεως ἤδη μεταβῶμεν, ὡς ἄν τις κάλλιστα τῆς ποιούσης αἰτίας τὴν σῆψιν ἔτι μενούσης, ἐξεύροι τὴν ἴασιν. ἔστι δ' οὐδ' ἐνταῦθα χαλεπὸν οὐδὲν ἐξευρεῖν, ὅτι διὰ τῶν ἐναντίων ἀναιρουμένης αὐτῆς. ἐπεὶ τοίνυν ἡ κώλυσις τῆς διαπνοῆς ἐργάζεται τὴν σῆψιν, ἀναιρετέον αὐτήν. ἀλλ' ἐπεὶ πολυειδῶς ἐγίγνετο καὶ πυκνουμένων τῶν πόρων καὶ πιλουμένων τῶν σωμάτων, καὶ διὰ πλῆθος καὶ πάχος καὶ γλισχρότητα τῶν χυμῶν ἐμφραττομένων, ἑκάστην τῶν εἰρημένων διαθέσεων ἰᾶσθαι χρὴ διὰ τῶν ἐναντίων. τὴν μὲν πύκνωσιν, τοῖς ἀραιοῦσι. τὴν δὲ πίλησιν, τοῖς χέουσι. τὸ δὲ πλῆθος, τοῖς κενοῦσι. καὶ τὸ πάχος, τοῖς τέμνουσι. καὶ τὴν γλισχρότητα, τοῖς ῥύπτουσιν. καὶ εἰ μὲν καθ' ὅλον εἴη τὸ σῶμα τῶν εἰρημένων ἕκαστον ὅλῳ τῷ σώματι διὰ τῶν ἐναντίων τιμωροῦντες. καθ' ἓν δέ τι τῶν μορίων ὑπαρχούσης τῆς σηπεδόνος, ἐν ἐκείνῳ τὰ εἰρημένα μηχανώμεθα. οὐ τῶν αὐτῶν δὲ δηλονότι δεήσεται πάντα κενώσεως φαρμάκων, ὡς ἂν καὶ ταῖς κράσεσι καὶ ταῖς θέσεσι καὶ ταῖς διαπλάσεσι καὶ τῇ συμπάσῃ κατασκευῇ καὶ φύσει διαφέροντα ἀλλήλων. Ὅπως οὖν χρὴ βοηθεῖν ἑκάστῳ, μετὰ ταῦτα σκεψώμεθα κατὰ τὴν οἰκείαν τοῦ λόγου τάξιν. ἧς τὴν ἀρχήν, ἀπὸ τῆς ἐν ὅλῳ τῷ σώματι σηπεδόνος ποιησόμεθα. γεννώσης καὶ αὐτῆς τοὺς συνόχους ὀνομαζομένους πυρετούς. ἐκκαθαίρειν οὖν χρὴ τὰ σεσηπότα τῶν οὕτω καμνόντων σωμάτων δι' οὔρων τε καὶ γαστρὸς καὶ ἱδρώτων. εἰ δ' αὐτόματόν ποτε τὴν ὁρμὴν ἐπὶ τὸ στόμα τῆς γαστρὸς ποιήσαιτο, καὶ δι' ἐμέτων. ἄλλως δὲ οὐ χρὴ παρὰ φύσιν ἐρεθίζειν αὐτά. ἔστι μὲν οὐκ ὀλίγη τις ὕλη τῶν τὰς εἰρημένας ἐκκρίσεις προτρεπόντων. ἀλλ' αἱ πλείους αὐτῶν θερμαὶ καὶ ξηραὶ ταῖς δυνάμεσιν οὖσαι, τὸν πυρετὸν ἐπαύξονται. ἐκλεκτέον οὖν τὸν ἰατρόν, ὅσα χωρὶς τοῦ θερμαίνειν καὶ ξηραίνειν ἱκανῶς τὰς εἰρημένας κενώσεις ἐργάζονται, καθάπερ ὅ, τε τῆς πτισάνης χυλός, καὶ τὸ μελίκρατον. ὀξύμελί τε καὶ ἀπόμελι, καὶ ἡ τοῦ σελίνου ῥίζα κατὰ τὸ πινόμενον ὕδωρ ἑψομένη. αὐτὰ δὲ ταῦτα, καὶ κατὰ κοιλίαν ἀγαθά. μὴ διαχωρούσης δὲ τῆς κοιλίας, κλύζειν μελικράτῳ μετ' ἐλαίου. τὸ δ' ὅλον σῶμα πρὶν μὲν κενῶσαι, μανοῦν οὐ χρή. κενώσαντα δ' ἐγχωρεῖ μανοῦν φαρμάκῳ χλιαρὰν ἔχοντι τὴν θερμασίαν, ὁποῖόν ἐστι τὸ διὰ τοῦ χαμαιμήλου. ἐν τούτῳ τῷ καιρῷ καὶ οἶνος ὑδατώδης πινόμενος, ἁπάσας κινεῖ τὰς ἐκκρίσεις. καὶ λουτρὸν εὔκρατον ἐκ γλυκέος ὕδατος. εἰ δὲ καὶ μὴ προσκέοιτο ποτὲ κατὰ τὴν λέξιν τὸ γλυκύ, προσυπακούειν χρή, γινώσκοντας ὅτι περὶ τοῦ τοιούτου λουτροῦ διὰ παντὸς ὁ λόγος ἡμῖν ἐπὶ τῶν πυρεττόντων ἐστίν, οὐκ ἀσφαλτωδῶν, ἢ θειωδῶν ἢ στυπτηριωδῶν, ἢ χαλκανθωδῶν, ἢ ἁλμωδῶν, ἢ θαλάττης αὐτῆς. ἀλλ' ὅταν ἀνθίσταται τὸ μέγεθος τοῦ πυρετοῦ, καθάπερ ἐπὶ τῶν συνόχων, οὔτ' οἴνῳ χρηστέον, οὔτε λουτρῷ, οὔτε ἀλείμμασιν ἀραιωτικοῖς. ἀλλὰ τὸ ψυχρὸν ὕδωρ ἐν τούτοις τοῖς πυρετοῖς πινόμενον, ὡς ἔμπροσθεν εἴπομεν, ἐπιτηδειότατόν ἐστιν, εἰ μὴ καὶ τοῦτο κωλύει τι τῶν εἰρημένων. αὐτοῦ μὲν γὰρ τοῦ πυρετοῦ διαπαντὸς ἴαμα τὸ ψυχρὸν ποτόν, οὐ μὴν τοῦ γ' ἐκκενωθῆναι τὰ σηπόμενα διὰ γαστρὸς οὔρων ἢ ἱδρώτων. διὸ χρὴ γεγυμνασμένον ἐν ταῖς νῦν διδασκομέναις μεθόδοις ἐπὶ τῶν καμνόντων σκοπεῖσθαι, τίνα μέν ἐστιν αὐτοῦ τοῦ πυρετοῦ τὰ ἰάματα, τίνα δὲ τῆς σήψεως αὐτῆς καθ' ἑαυτὴν ἐγκειμένης μόνης. τίνα δὲ τῆς ποιούσης αὐτὴν αἰτίας. καὶ ταύτης αὐτῆς καθ' ἑαυτὴν ἐγκειμένης. οὐ γὰρ ὁμολογεῖ πάντα ἀλλήλοις διὰ παντός, ἀλλ' ἐναντιοῦνται πλειστάκις. ἔνθα χρὴ μεμνημένον ὧν ἐμάθομεν ἐπὶ τὸ μέγιστον

ἐπ' αὐτῶν

ἁπάντων ἄρχεσθαι. καὶ τοῦτ' ἤτοι πρῶτον ἢ μᾶλλον τῶν ἄλλων ἰᾶσθαι. χαλεπὸν μὲν οὖν εὖ ἔθει καὶ γνώμης ὀ-
ξείας δεόμενον ἀλλήλοις παραβάλλειν τὸν πυρετὸν καὶ τὴν σηπεδόνα, καὶ τὴν ποιοῦσαν αἰτίαν, ὅταν ἔτι καὶ
αὐτὴ παρῇ. χαλεπώτερον δὲ εἰ καὶ τὴν δύναμιν αὐτοῖς παραβάλλοις, ὅπερ ἀναγκαῖον μὲν ἀεί, διὰ τὸν τῆς
ζωῆς σκοπόν, ὡς ἔμπροσθεν ἐδείκνυμεν, ἐνίοτε δέ, καὶ κατὰ τὸ συμβεβηκός, ὡς πρὸς τὴν ἴασιν τῶν νοσημάτων
ὅπερ ὑπεσχόμεθα δεῖξαι. εἰ μὲν γὰρ ἱμάτιον εἴη τὸ σηπόμενον ἤ τι τῶν ἀψύχων ἄλλων σωμάτων, ἐκ τῶν εἰ-
ρημένων ἂν ὑπῆρχεν ἡμῖν μόνον ἡ ἔνδειξις. ἐπεὶ δ' ἐν ζῶντι σώματι γίνεται σῆψις ἀλλοιοῦν δυναμένῳ, καὶ
πέττειν, ἐπανάγειν τε πρὸς τὸ χρηστὸν ὅσα τῶν σηπομένων οἷον ἡμισαπῆ τ' ἐστὶ ἡμιμόχθηρα, τὴν δύναμιν αὐτοῦ
ταύτην, ἣ πέττειν πέφυκεν ἐπεγείρων καὶ ῥωννύων ἰάσῃ τὰ σηπόμενα. διὸ καὶ τό τε μάλιστα τολμῶμεν ἤ-
τοι λούειν ἐν τοῖς βαλανείοις αὐτούς, ἢ τοῖς ἀραιωτικοῖς χρῆσθαι φαρμάκοις. ἢ ὕδωρ ψυχρόν, ἢ οἶνον διδόναι πί-
νειν, ὅταν ἴδωμεν τὰ γνωρίσματα τῶν πεττομένων χυμῶν. οὐ γὰρ δὴ τῆς γε σφυγμικῆς δυνάμεως ἐρρωμέ-
νης μόνης εἰς τὰ τοιαῦτα χρῄζομεν, ὥσπερ οὐδὲ τῆς καθ' ὁρμὴν ἡμᾶς κινούσης, ἀλλ' ὡς εἴρηται τῆς πεπτικῆς μᾶλ-
λον. ἡ μὲν οὖν αἵ τε δυνάμεις ἰσχυραὶ πᾶσαι τυγχάνοιεν οὖσαι καὶ ὁ πυρετὸς διακαὴς εἴη, καὶ τὰ τῆς πέ-
ψεως ἐναργῆ σημεῖα, τὸ ψυχρὸν αὐτὸ διδόναι θαρροῦντες. δῆλον γὰρ ὅτι μὴ δὲ πρεσβύτης ἐστὶν ὁ τοιοῦτος
ἐξ ὧν προειρήκαμεν ἁπάσας ἰσχυρὰς ὑπάρχειν αὐτῷ τὰς δυνάμεις. εἰ δὲ καὶ εὔσαρκος εἴη, καὶ ἡ κατάστασις
θερμὴ καὶ ξηρά, κἂν εἰς κολυμβήθραν αὐτὸν ἐμβάλῃς ψυχράν, οὐ βλαβήσεται. κατὰ τὸν τοιοῦτον γοῦν καιρόν,
οἱ ῥίψαντες σφᾶς αὐτοὺς εἰς ὕδωρ ψυχρόν, ἵδρωσάν τε πάντως αὐτίκα, καὶ ἡ γαστὴρ οἷς τισιν αὐτῶν κατέρ-
ρηξε χολώδη. μετρίως δ' ὑπάρχοντος τοῦ πυρετοῦ καὶ τῶν δυνάμεων οὐσῶν οὐκ ἰσχυρῶν ἅμα τοῖς τῆς πέψεως
σημείοις, ὠφελεῖ τοὺς τοιούτους, τά τε βαλανεῖα, καὶ ἡ τοῦ οἴνου πόσις. ὅσα τε τῶν ἀλειμμάτων ἐστὶ μανωτικά. καὶ
πολὺ μᾶλλον ὅταν ᾖ τὸ περιέχον ψυχρόν. οὐδὲ γὰρ ἐπιθυμοῦσιν ὡς τὰ πολλὰ ψυχρῶν λουτρῶν ἢ πόσεων ἐν ταῖς
τοιαύταις καταστάσεσιν ἀναψυχόμενοι διὰ παντὸς ταῖς εἰσπνοαῖς. ὡς εἴ γε συμβαίη ποτὲ ψυχροῦ τοῦ περιέχον-
τος ἀέρος ὄντος, ἰσχυρῶς καυσοῦσθαι τὸν κάμνοντα, βραχείας ἐπ' αὐτοῦ σωτηρίας ἐλπίδας ἔχειν. εἰ δὲ μὴ δὲ τὰ
τῆς πέψεως εἴη σημεῖα, μὴ δὲ τὰς δυνάμεις ἰσχυρὰς ἔχειν φαίνοιτο, σωθῆναι τοῦτον ἀδύνατον. ὥστε οὔτε λούσαις
αὐτὸν οὔτ' ἀλείψαις τοῖς μανωτικοῖς φαρμάκοις. οὔτ' οἴνου δώσεις, οὔτε ψυχρόν. ἐφ' οὗ γὰρ ἀνέλπιστος ἡ σω-
τηρία, μάταιον ἂν εἴη διαβάλλειν τοῖς ἰδιώταις τὰ πολλοὺς σώζοντα βοηθήματα. ἐγὼ γοῦν οἶδά τινας ἰα-
τροὺς ἀμεθόδους μιμησαμένους τὰ ὑφ' ἡμῶν πραττόμενα, καὶ τοῖς αὐτοῖς χρησαμένους βοηθήμασιν ἐπὶ τῶν πάν-
τως τεθνηξομένων. ἀλλ' οὔτ' ἀνύσαντάς τι, καὶ τὴν εὔκαιρον αὐτῶν χρῆσιν ὕποπτόν τε καὶ φοβερὰν ἐργασα-
μένους. ἀλλ' ἡμεῖς γε καιροὺς δηλονότι καὶ βοηθήματα γράφομεν ἐπὶ τῶν σωθῆναι δυναμένων. ὡς ὅσοι γε ἀνίατοι
τῶν νοσούντων εἰσίν, οὔτε καιρὸς ἐπιτήδειος, οὔτε βοήθημα τούτοις ἐστί. καὶ χρὴ μεμνῆσθαι τοῦ δὲ παρ' ὅλον τὸν
λόγον ὑπὲρ τοῦ μὴ δόξαι ποτὲ τὸν κυριώτατον καὶ πρῶτον σκοπὸν ἁπάντων διαβάλλεσθαι. λέγοντος γοῦν
Ἱπποκράτους τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, τί κωλύει πᾶσιν ἑξῆς τοῖς πυρέττουσιν ὕδωρ ψυχρὸν διδό-
ναι; ἀλλ' οὔτε δοτέον, οὔτ' ἀνατρέπεται κατ' ἐκεῖνον τὸν χρόνον ὁ καθόλου σκοπὸς ἁπάσης τῆς θεραπείας. ἓν
μὲν γάρ τι τῶν ψυχόντων ἐνεργείᾳ τὸ ψυχρὸν ὕδωρ ἐστί, πλείω δ' ἄλλα. τὰ μὲν κατὰ δύναμιν, ὡς εἴρηται, ψύ-
χει. τὰ δὲ, κατὰ συμβεβηκός. ὧν ἄλλοτ' ἄλλῳ χρώμεθα διὰ τὴν ἐπιπλοκὴν τῶν ἐναντιουμένων ἀλλήλοις σκοπῶν.
εἴρηται δ' ἡ μέθοδος τῆς τοῦ συμφέροντος ἑκάστοτε πρὸ τῶν ἄλλων αἱρέσεων. ἐλέχθη δὲ καὶ ὡς ὅσον μὲν ἐπ' αὐ-
τῷ τῷ πυρετῷ, τὸ ψυχρὸν ὕδωρ ἀεὶ βοήθημά ἐστιν. ὅσον δ' ἐπὶ τοῖς ἄλλοις, οὐκ ἀεί. καθάπερ οὐδ' ὅταν ἔμφρα-
ξις γλίσχρων καὶ παχέων χυμῶν ἐργάσηται τὴν σηπεδόνα τῶν χυμῶν. ὑποκείσθω δὲ σὺν αὐτοῖς εἶναι καὶ
πλῆθος ἐν ὅλῳ τῷ σώματι, καὶ ἡ δύναμις οὐκ ἀσθενής. ἐν γὰρ ταῖς τοιαύταις ἐπιπλοκαῖς, πολλῶν ἐν τῷ σώμα-
τι παρὰ φύσιν ὑπαρχόντων, ἔνια μὲν αἴτια προηγούμενα γενήσεται, καθάπερ τὸ πλῆθος ἅμα τοῖς γλίσ-
χροις καὶ παχέσι χυμοῖς. ὑπὸ τούτων γὰρ ἡ ἔμφραξις ἀπειργάσθη νόσημα οὖσα τῶν ἐμφραττομένων σωμάτων
ὀργανικόν. ἐπὶ ταύτῃ δὲ σύμπτωμα ἐγένετο τῆς διαπνοῆς ἡ ἐπίσχεσις. ἐφ' ᾗ πάλιν ἡ σηπεδὼν τῶν χυμῶν,
αἴτιόν τι προηγούμενον τοῦ πυρετοῦ. τοῖς οὖν ἐπιχειροῦσιν ἰᾶσθαι τὸν πυρετόν, ἀναγκαῖον ἐστὶ παύειν τὴν σῆ-
ψιν, ὥστε δύο γενέσθαι σκοπούς. τὸν μὲν ἀπὸ τοῦ πυρετοῦ. τὸν δέ, ἀπὸ τῆς σήψεως. ἵνα τὸ μὲν γεγονὸς ἤδη τοῦ πυ-
ρετοῦ, θεραπεύηται. τὸ δὲ γιγνόμενον, κωλύηται. ἄλλοι δ' αὖ πάλιν ἔσονται δύο σκοποί. τὸ μὲν γεγονὸς ἤδη τῆς
σήψεως, ἰώμενοι. τὸ δὲ γινόμενον, κωλύοντες. ἣν δὲ τὸ γιγνόμενον, ἐκ τῆς ἀδιαπνευστίας. οὐδὲν γὰρ χεῖρον οὕ-
τως αὐτὴν ὀνομάσαι σαφοῦς ἕνεκα διδασκαλίας. ὥστε καὶ περὶ ταύτης, ἕτεραι δύο ἐνδείξεις ἔσονται. τὸ μὲν
ἐπεχημένον, ἐκκενούντων. τὸ δ' ἐπέχεσθαι μέλλον, κωλυόντων. κωλυθήσεται δὲ διὰ τῶν τὴν ἔμφραξιν ἰω-
μένων. ἧς πάλιν καὶ αὐτῆς, τὸ μὲν ἤδη γεγονός, ἰατέον ἐστί. τὸ δὲ ἐσόμενον, κωλυτέον. ἰαθήσεται μὲν οὖν τὸ
γεγονός, ὑπὸ τῶν ἐκφραττόντων. κωλυθήσεται δέ, τὴν ἐπιρροὴν τῶν ἐμφραττόντων χυμῶν ἀνειργόντων. ὅπερ
οὖν ἔσχατον εὑρέθη κατὰ τὴν ἀναλυτικὴν μέθοδον, ἐν τῇ θεραπείᾳ πρῶτον ἁπάντων χρὴ πραχθῆναι. δέδει-
κται γὰρ ἐν τοῖς ἔμπροσθεν λόγοις, ὡς ἐὰν ἐθελήσωμεν τοῖς ἐκφρακτικοῖς βοηθήμασι χρῆσθαι ἄνευ τοῦ προκενῶ-
σαι τὸ πλῆθος, οὐ μόνον οὐδὲν ἀνύσομεν, ἀλλὰ μείζονα τὴν διάθεσιν ἐργασόμεθα, μαχομένων ἀλλήλαις τῶν
ἐνδείξεων. ἀλλ' ἐὰν κενώσαντες πρότερον, ἐπὶ τὸ θεραπεύειν ἴωμεν τὴν ἔμφραξιν, ἐκφραττόντων, ἡμῖν δεή-
σει φαρμάκων. ἀλλ' ἐπεὶ τούτων ἐστὶ τὰ πλεῖστα θερμά, κίνδυνος αὐξῆσαι καὶ τὴν σηπεδόνα καὶ τὸν πυρετόν.
ὅσα τοίνυν ἄνευ τοῦ θερμαίνειν ἐκφράττειν δύναται, τούτοις χρησόμεθα. μετὰ δὲ τὸ διαρρύψαι καὶ τεμεῖν
τὰ ἐμφράττοντα, κενοῦν αὐτοὺς πειρασόμεθα, διά τε γαστρὸς καὶ οὔρων καὶ ἱδρώτων. οὐσῶν δὲ καὶ τῶν
ταῦτα ἐργαζομένων ὑλῶν θερμῶν, ἀναγκαῖον μὲν ἐν τούτῳ τήν τε σῆψιν αὐξάνειν. καὶ τοὺς πυρετούς.
ὥστε καθ' ὅσον ἐνδέχεται πειρατέον ἐκλέγεσθαι τὰς ἧττον θερμαινούσας ὕλας. ἢ εἴ τις εὑρίσκοιτο μὴ θερμαί-
νουσα, καθάπερ ἐν τῷ καιρῷ τῷ δὲ τὸ βαλανεῖον, ἐπ' αὐτὴν ἔρχεσθαι. πειρᾶσθαι δ' ἐν τούτῳ τῷ χρόνῳ

καὶ τὴν δύναμιν ῥωννύειν, ὅπως πέττῃ τοὺς χυμοὺς, ἐκνικῶσα τὴν σῆψιν. αὐτοῦ δὲ τοῦ πυρετοῦ τὸ γεγονὸς
ἤδη, ψυκτέον. ἔσχατος γὰρ ἐν τῇ τῶν βοηθημάτων τάξει σκοπὸς, ὁ ἀπὸ τοῦ δε. καί τοι καθ' ἕτερον τρόπον
ὑπάρχων πρῶτος. ἀπ' αὐτοῦ γοῦν ἤρξατο καὶ ἡ τῶν βοηθημάτων εὑρετικὴ μέθοδος. εἰ μὲν οὖν μηδὲν ἰσχυρὸν
ἐν τῷ μεταξὺ σύμπτωμα προσγινόμενον, ἐάσει οὕτω προελθεῖν ἀπὸ τῆς ἀρχῆς τοῦ νοσήματος ἄχρι τῆς τελευ-
τῆς τὰ βοηθήματα, ταχίστη λύσις ἐπακολουθήσει τοῦ πυρετοῦ. παρεμπεσόντος δὲ τοιούτου τινὸς ὡς ἐφ' ἑαυ-
τοῦ, τὴν ὅλην ἀνατρέψαι θεραπείαν, ἀναγκαῖον ἐστὶ βραδῦναι τὸ τέλος τῆς ἰάσεως. τὸ γὰρ παρεμπῖπτον
τοῦτο τοὔμπαλιν, ἤτοι γ' ἐναντίον ἐστὶ τοῖς λύουσι βοηθήμασι τὸν προειρημένον στοῖχον τῶν τ' αἰτίων καὶ διαθέ-
σεων, καὶ συμπτωμάτων, ἢ πάντως γ' οὐδὲν ὀνίνησιν. εἰ μὲν οὖν ἡ τοῦ παρεμπίπτοντος ἴασις ἐναντία ἡ τῇ
προειρημένῃ τάξει τῶν βοηθημάτων, ἐν ἐκείνῳ τῷ χρόνῳ πάντα χείρω γίνεσθαι. εἰ δὲ μήτ' ὠφελοῖ τι ταύτῃ,
μήτε βλάπτοι τὴν ἐξ ἀρχῆς διάθεσιν, ἡ τοῦ μεταξὺ γινομένου παθήματος ἐπανόρθωσις, εἰς τὸ τάχος τῆς
ὅλης θεραπείας ἐμποδισθησόμεθα. βλαπτούσης δ' ἀναγκαῖον ἤτοι γ' εἰς ἔτι πλείονα χρόνον ἐκταθῆναι τὴν
σύμπασαν ἴασιν, ἢ κίνδυνον ἀκολουθῆσαι τινὰ, ἢ συναμφότερον γίνεσθαι. φέρε γὰρ ἐν τῷ μεταξὺ κακωθέν-
τος στομάχου, συγκοπὴν ἐμπεσεῖν, ἣν ἀναγκαζομένων ἰᾶσθαι, τροφὰς ἀκαίρους δοθῆναι χρὴ σὺν οἴνῳ ψυχρῷ.
τῇ γὰρ τούτων χρήσει, τὰς ἐμφράξεις καὶ τὴν στέγνωσιν καὶ τὴν σῆψιν ἀναγκαῖον αὐξηθῆναι. καὶ διὰ τὴν τούτων
αὔξησιν, καὶ αὐτὸν τὸν πυρετόν. ἀλλ' ὅταν ἥτε δύναμις ἐξαρκῇ καὶ μηδὲν, ὡς εἴρηται, παρεμπέσῃ, καθά-
περ ἄρτι μὲν ἐρρήθη συγκοπὴ κακωθέντος στομάχου, γένοιτο δ' ἄν ποτε καὶ αἱμοῤῥαγία, καὶ ἀγρυπνία, καὶ
ἄλγημα, καί τι τῶν ἁμαρτανομένων ὑπὸ τοῦ κάμνοντος, ἢ τινὸς τῶν ἀμφ' αὐτὸν, ἡ εἰρημένη μικρὸν ἔμπρο-
σθεν ἅπασα τῶν βοηθημάτων τάξις, ἰάσεται τὸν ἄνθρωπον. οὔτ' αὐτὴ καθ' ἕκαστον βοήθημα, τὰ παρὰ φύσιν
ἐκθεραπεύουσα πάντα. τὸ γοῦν μελίκρατον, ὅσον μὲν ἐπὶ τὸ τέμνειν τοὺς παχεῖς χυμοὺς καὶ ῥύπτειν τοὺς γλίσ-
χρους, καὶ τὰς ἐκκρίσεις προτρέπειν, ἄριστον ἂν εἴη βοήθημα, κατὰ τοὺς ἐπὶ στεγνώσει καὶ σήψει συνόχους. ὅσον δ'
ἐπὶ τὸ τὴν θέρμην αὐξάνειν τοῦ πυρετοῦ, βλαβερόν. ὅθεν εἴπερ ἄμετρος ἥδε εἴη, φείδεσθαι μὲν χρὴ τοῦ μελι-
κράτου. χρῆσθαι δὲ τῷ χυλῷ τῆς πτισάνης. εἰ δὲ τὰς ἐμφράξεις δυσλύτους εἶναι λογιζόμεθα, καὶ ὀξυμέλιτι. καὶ
τούτῳ δ' αὖ πάλιν αὐτῷ χρησαμένων ἀμέτρως, ἔντερόν τε ξύει, καὶ βῆχα κινεῖ, καὶ τὰ νευρώδη βλάπτει. ὥστ'
εἶναι τῶν δυσχερεστάτων εὑρεῖν τι βοήθημα τοιοῦτον, ὃ μηδὲν βλάπτον, ὀνίνησι μεγάλως. καὶ τοῦθ' ὡς ἐδεί-
χθη γίνεται διὰ τὴν ἐπιπλοκὴν τῶν παρὰ φύσιν ἐν τῷ σώματι συνισταμένων διαθέσεων ἅμα τοῖς προηγου-
μένοις αὐτῶν αἰτίοις, καὶ τοῖς ἑπομένοις συμπτώμασιν. οὐ μὴν διά γε τοῦτο ποτὲ μὲν ἀληθὲς γίνεται τὸ, τὰ
ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα, ποτὲ δὲ ψεῦδος. ἀλλὰ διὰ παντὸς μένει ἀληθές. οὐδὲ γὰρ οἷόν τε
τὰ παρὰ φύσιν ἰαθῆναι δι' ἄλλης τινὸς ἰαμάτων ἰδέας. οὐ μὴν ἀεί γε βέλτιον ἰᾶσθαι πάντα τὰ παρὰ φύσιν.
ἀλλ' ὅταν μόνα τύχῃ καθ' ἑαυτὰ συνιστάντα, μετ' ἄλλων δ' εἰ γένοιτο, πολλάκις ἕτερα χρὴ πρὸ ἐκείνων ἰᾶσθαι,
καθάπερ ἐπὶ τῶν κοίλων ἑλκῶν, ὅταν ἅμα φλεγμονῇ συστῇ. μένει γὰρ καὶ νῦν ἀληθὲς τὸ ὑπὸ τῶν σαρκούντων
αὐτὰ θεραπεύεσθαι. χρῆσθαι δὲ οὐχ οἷόν τε τούτοις, πρὶν ἰάσασθαι τὴν φλεγμονήν. ἀλλ' ὁπότ' ἄν γε ταύτην
ἰώμεθα, τὸ ἕλκος τὸ κοῖλον οὐχ ὅπως ἑαυτοῦ κρεῖττον, ἀλλὰ καὶ κοιλότερον γίγνεται. κἂν εἰ βουληθείης δὲ χρήσα-
σθαι τοῖς σαρκωτικοῖς φαρμάκοις, οὔτε σαρκώσεις αὐτὸ, καὶ τὴν φλεγμονὴν αὐξήσεις. τὰ γάρ τοι σαρκωτικὰ τῶν
ἀφλεγμάντων σωμάτων, οὐ τῶν ἔτι φλεγμαινόντων ἐστὶ σαρκωτικά. τοῦτ' οὖν τὸ οὕτω μικρὸν ἐν τῇ λέξει, τὸ, τὰ
ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα, μέγιστον εὑρίσκεται τῇ δυνάμει. συγκεῖται γὰρ ἡ θεραπευτικὴ μέθο-
δος ἅπασα τῷ προειδόντι τοῦτον τὸν σκοπὸν, ἁπάντων τῶν παρὰ φύσιν ὑπὸ τῶν ἑαυτοῖς ἐναντίων θεραπευομέ-
νων. διττῆς δὲ οὔσης αὐτῶν τῆς πρώτης διαφορᾶς, τὰ μὲν γὰρ ὑπάρχει καθ' ἑαυτά. τὰ δ' ἐν τῷ γίνεσθαι τὸ εἶναι
λαμβάνει ταῖς διαθέσεσιν ἑπόμενα, δίκην σκιῶν. ἡ μὲν ἴασις, ἀναίρεσις ἐστὶ τῶν διαθέσεων. ἀκολουθεῖ δ' αὐτῇ
ἡ τῶν συμπτωμάτων ἀναίρεσις. οἷς οὐδὲν αὐτοῖς προσάγεται πρώτως, ἀλλὰ κἀπὶ τούτων γε μένει τὸ καθόλου,
τὸ, τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. τὰς γοῦν διαθέσεις αἷς ἕπεται τὰ συμπτώματα θεραπεύοντες,
εἰς ἐναντίαν κατάστασιν ἄγομεν. ὥσθ' ὅσα συμπτώματα διὰ πύκνωσιν ἐγένετο πόρων, ὑπὸ τῆς ἀραιώσεως ἀ-
ναιρεθήσεται. εἰ δὲ δὴ καὶ αὐτῷ τῷ συμπτώματι τῷ διὰ τὴν πύκνωσιν τῶν πόρων γιγνομένῳ, τουτέστι ταῖς ἐλάτ-
τοσι τῶν συμμέτρων ἀποῤῥοαῖς, ὅπερ ἐκαλέσαμεν ὀλίγον ἔμπροσθεν ἀδιαπνευστίαν, ἕτερον ἐθέλοις φάναι συμ-
πτώματος εἶδος ἀντιτάσσειν ἐναντίον, οὐδ' οὕτως ἄπορος ὁ λόγος. εἰσὶ γὰρ αἱ πλείους τῶν συμμέτρων ἀποῤ-
ῥοιαι, ταῖς ἐλάττοσιν ἐναντίαι. ὥστε κἂν ἐν τοῖς συμπτώμασιν αὐτοῖς ἐθέλῃ τις λέγειν τὰ ἐναντία τῶν ἐναν-
τίων ἰάματα, φυλάττεσθαι κἀπὶ τούτων τὸν πρῶτον ἁπάντων τῶν παρὰ φύσιν σκοπὸν τῆς ἰάσεως. ἄμεινον δ' ὡς
ἐλέγετο τῶν ὄντως τε καὶ πρώτως θεραπευομένων ὑπολαμβάνειν τὰ ἐναντία εἶναι βοηθήματα. τουτέστι τῶν
ἐν τῷ σώματι διαθέσεων, αἵπερ ὄντως εἰσὶν ὄντα. τὰς γοῦν ἐνεργείας αὐτῶν ὥσπερ οὖν καὶ τὰς βλάβας, γινό-
μενα μὲν εἶναι φατέον. ὄντα δὲ ἁπλῶς οὐ ῥητέον. οὔτε γὰρ τὸ ἐκτείνειν, οὔτε τὸ κάμπτειν τὴν χεῖρα τῶν ὄντων
ἁπλῶς ἐστὶν εἰπεῖν, ἀλλὰ τῶν γιγνομένων. οὔτε πολὺ μᾶλλον τὴν ἀκινησίαν αὐτῆς. ὅπερ καὶ αὐτὸ σύμπτω-
μά ἐστι τῆς ἐν τοῖς μυσὶν ἢ τοῖς νεύροις διαθέσεως. ἀλλὰ τὴν μὲν διάθεσιν, ἕν τι τῶν ὄντων ὑπάρχουσαν, ἐναν-
τίων δεῖσθαι βοηθημάτων. ἕπεσθαι δ' αὐτῇ λυομένῃ τὴν ἐναντίαν κατάστασιν, ἥπερ ἐστὶν ἡ ὑγεία. καὶ ταύτῃ
πάλιν, ἐνέργειάν τινα φύσεως, ἐναντίαν τῷ παυσαμένῳ συμπτώματι. μὴ μέν τοι μηδ' ὑπὸ τῶν ὀνομάτων
ἐξαπατᾶσθαι. πολλάκις μὲν ἐν ἑτέρῳ σχήματι λεγομένων, ἢ ὡς τοῖς ἐναντίοις προσήκει. πολλάκις δ' ὅλως οὐκ
ὄντων ὀνομάτων, ἀλλ' ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως εὑρίσκειν τὸ ἐναντίον. ἔχοντά γε δὴ καὶ τοῦτο σκο-
πὸν ὁμολογούμενον, ὡς ἐστὶν ἐναντία τὰ πλεῖστον ἀλλήλων διεστῶτα καθ' ἕν τι γένος. ἐννοήσας οὖν τὸ σύμμε-
τρον ἐν ἐκείνῳ τῷ γένει, τοῦτο δ' ὡς πολλάκις ἐδείχθη μέσον τῶν ἄκρων ἐστὶν, εὑρήσεις ἄπειρόν τι πλῆθος ἐναν-
τίων πραγμάτων ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφερόντων. ἐν μὲν γοῦν ταῖς διαθέσεσιν, εἰ οὕτως ἔτυχε,
τὴν

τὴν συμμετρίαν τῶν πόρων, ἧς ἐφ᾿ ἑκάτερα διτὰς ἀμετρίας ἀλλήλαις ἐναντίας. ἐν δὲ ταῖς ἐνεργείαις, τὴν συμμετρίαν τῶν κινουμένων. ἧς καὶ αὐτῆς ἐστὶν ἑκατέρωθεν ἀμετρία. ἀλλὰ κατὰ μὲν τοὺς πόρους, ὀνόματα κεῖνται ταῖς ἀμετρίαις, πύκνωσίς τε καὶ μάνωσις. ἐν δὲ τοῖς κινουμένοις, οὐ κεῖνται. διόπερ ἀναγκαζόμεθα λέγειν, ἐλάττους τε καὶ πλείους ἀποῤῥοίας. ὥσπερ εἰ καὶ τῶν πόρων ἀναγκαζοίμεθα, τοὺς μὲν ἐλάττους τῶν κατὰ φύσιν, τοὺς δὲ, μείζους λέγειν. οὐκ ἐχόντων, οὔτε τὸ τῆς πυκνώσεως, οὔτε τὸ τῆς μανώσεως ὄνομα. τοῦτο οὖν ὡς ἔφην ἐν τοῖς μάλιστα φυλακτέον ἡμῖν ἐστιν. ἅμα δὲ καὶ γυμναστέον ἀμφ᾿ αὐτὸ πρὸς τὸ ταχέως εὑρίσκειν δύνασθαι παντὸς τοῦ λεχθέντος οὕτω, τὸ, ἐναντίον. οὐ γὰρ ἐν τοῖς ποιοῖς σώμασι μόνον, ἀλλὰ κἂν τοῖς ποσοῖς ἐστιν εὑρεῖν τὴν τοιαύτην ἐναντίωσιν, ἣν οἱ περὶ τὸν Ἀριστοτέλη καλοῦσιν ἀντίθεσιν οὐκ ἐναντίωσιν. οὔτε γὰρ τὸ μέγα τῷ μικρῷ φασὶν ὑπάρχειν ἐναντίον, ἀλλ᾿ ἀντικείμενον ἐν τῷ πρός τι, οὔτε τὸ πολὺ τῷ ὀλίγῳ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδ᾿ ἀραιὸν τῷ πυκνῷ, οὐδὲ τῷ συντεταμένῳ τὸ κεχαλασμένον, οὐδὲ τῷ κατὰ φύσιν αὖ τὸ παρὰ φύσιν. ἀλλὰ κατά γε τὸν Ἱπποκράτη, πάντα τὰ τοιαῦτα τὴν τῶν ἐναντίων ἔχει προσηγορίαν. ὥσπερ γε καὶ κατὰ Πλάτωνα, τὰς γενέσεις ἐκ τῶν ἐναντίων εἶναι φάσκοντα. δέδεικται δέ μοι καὶ δι᾿ ἑτέρων, ὅτι καὶ Ἀριστοτέλης αὐτὸς οὐκ ἐφύλαξε τὴν ἑαυτοῦ νομοθεσίαν ἐν τοῖς ὀνόμασιν, ἡνίκα τὰς ἀρχὰς τῶν ὑπὸ φύσεως διοικουμένων, ὕλην ἔθετο, καὶ εἶδος, καὶ στέρησιν. ἀλλ᾿ ὅπερ ἀεὶ λέγομεν ἑπόμενοι τῷ θείῳ Πλάτωνι, καταφρονεῖν μὲν χρὴ τῶν ὀνομάτων, μὴ καταφρονεῖν δὲ τῆς τῶν πραγμάτων ἐπιστήμης. αὕτη μὲν γὰρ εἰς σωτηρίαν ἀνθρώπων διαφέρει. καὶ τὸ σφάλμα αὐτῆς, εἰς ὄλεθρον τελευτᾷ. τοῖς δ᾿ ὀνόμασιν, ἄντε κυρίως, ἄντε ἀκύρως χρησώμεθα, τοῖς κάμνουσιν οὐδὲν οὔτε πλέον οὔθ᾿ ἧττον ἐκ τοῦ τοιούτου. μάθοις δ᾿ ἂν ἐναργέστερον, εἰ μὴ τὰ ἐναντία τῶν ἐναντίων, ἀλλὰ τὰ ἀντικείμενα λέγοις, ἅπερ ἐκείνοις φίλον, ἀλλήλων ὑπάρχειν ἰάματα. τὸ μὲν γὰρ πλῆθος, ἡ κένωσις ἰᾶται. τὴν δ᾿ ἔνδειαν, αἱ τροφαί. καὶ ὅλως τὸ μὲν ὑπερβάλλον, ἡ ἀφαίρεσις. τὸ δ᾿ ἐλλεῖπον, ἡ πρόσθεσις. ὅθεν οἶμαι καὶ δι᾿ ἑτέρου λέλεκται γράμματος ὀρθῶς τῷ παλαιῷ. ἰατρικὴ γάρ ἐστι πρόσθεσις καὶ ἀφαίρεσις. πρόσθεσις μὲν τῶν ἐλλειπόντων. ἀφαίρεσις δὲ, τῶν πλεοναζόντων. ἐλλείπει δὲ καὶ πλεονάζει τὰ μὲν κατὰ τὸ ποσὸν δηλονότι. τὰ δὲ, κατὰ τὸ ποιόν. κατὰ μὲν τὸ ποσὸν, ὅταν αἷμα πλέον ἢ τοῦ δέοντος, ἢ πάλιν ἔλαττον γίνηται. κατὰ δὲ τὸ ποιὸν, ὅταν ἤτοι θερμὸν ἢ ψυχρὸν ἢ παχύτερον ἢ λεπτότερον, εἴτ᾿ οὖν ἐναντίωσιν, εἴτ᾿ ἀντίθεσιν ὀνομάζειν ἐθέλοις τοῦ ἐξ ἁπάντων τῶν παρὰ φύσιν σκοποῦ τῆς ἰάσεως, ἀεὶ μέμνησο καὶ πρόσεχε τὸν νοῦν αὐτῷ μάλιστα μὲν ὡς εἴρηται πρόσθεν, ἐν ταῖς διαθέσεσιν, ἤδη δὲ κἂν τοῖς συμπτώμασιν. ὧν οὔτε πρώτως ἐστὶν ἴασις, οὔτ᾿ ἐναντίωσις κυρίως. ἀλλ᾿ ἡ μὲν ἴασις ἅμα ταῖς διαθέσεσι, κατὰ συμβεβηκός. ἐναντίον δὲ καταχρηστικῶς ὀνομαζόντων ἕνεκα σαφοῦς τε ἅμα καὶ συντόμου διδασκαλίας. ἀνέλθωμεν οὖν αὖθις ἐπὶ τοὺς θεραπευτικοὺς σκοποὺς τοῦ προκειμένου γένους τῶν πυρετῶν. ἀναμνήσω μέν τε τὰ γένη τῶν παρὰ φύσιν ἐν ἡμῖν, τῶν τε αἰτίων, καὶ τῶν νοσημάτων, καὶ τῶν συμπτωμάτων. αἰτίων μὲν τοῦ πλήθους καὶ τοῦ πάχους καὶ τῆς γλισχρότητος τῶν χυμῶν. αἰτίου δ᾿ ἅμα καὶ συμπτώματος, τῆς κατὰ τὴν διαπνοὴν ἐπισχέσεως. ὥσπερ αὖ πάλιν αἰτίου τε ἅμα καὶ διαθέσεως τῆς σήψεως. νοσήματος δὲ, τῆς ἐμφράξεως καὶ τοῦ πυρετοῦ. συμπτώματος δὲ, τῆς ἐπισχέσεως τῆς διαπνοῆς. ἐνδείξεται τοιγαροῦν, ὡς ἐλέχθη, τῶν μὲν προηγουμένων αἰτίων ἕκαστον ἴδιόν τι. τὸ μὲν πλῆθος ἐν τῷ πρός τι κατὰ τὴν τοῦ ποσοῦ προσηγορίαν τὴν κένωσιν. ἡ δὲ γλισχρότης καὶ τὸ πάχος κατὰ τὴν τοῦ ποιοῦ διάθεσιν ὑπάρχοντα, τὴν διὰ τῶν ἐναντίων ἴασιν. ἅτε δὲ οὐκ ὄντων ἐν ταῖς πλείσταις ἀντιθέσεσι συνήθων ὀνομάτων, ἀπατᾶσθαι συμβαίνει τοὺς ἀγυμνάστους τὴν περὶ τῶν πραγμάτων ἐπιστήμην, ὅταν ὀνομάσαι μιᾷ προσηγορίᾳ μὴ δυνηθῶσι τὸ νοούμενον, ὡς οὐδ᾿ ὅλως ὄντος ἀφιστάμενοι. ὅπερ ἀμέλει καὶ κατὰ τοὺς γλίσχρους καὶ παχεῖς χυμοὺς πεπόνθασιν. ὁ μὲν γὰρ παχὺς χυμὸς, ἀντικείμενον ἔχει τὸν λεπτόν. ὁ δὲ γλίσχρος, ὡς μὲν ἐγὼ πρόσθεν ὀνόμασα, τὸν ῥυπτικόν. ὡς δ᾿ ἄν τις ἴσως ἀπὸ στερεῶν σωμάτων ὁρμώμενος φαίη, τὸν κραῦρον. οὕτω γὰρ φαίνεται καὶ ὁ Ἀριστοτέλης ἀεὶ ποιούμενος τὴν ἀντίθεσιν. ἀλλ᾿ οὐκ ἐπὶ τῶν χυμῶν, ὡς ἔφην, ἀλλ᾿ ἐπ᾿ αὐτῶν τῶν στερεῶν σωμάτων. εἰ δὲ νοήσαις τοῦ γλίσχρου χυμοῦ τὴν φύσιν ὡς παντὸς τοῦ ψαύσαντος ἀντέχεται δυσλύτως, εἰκότως οἶμαι τὸν μὴ συμπλεκόμενον ἀποῤῥύπτοντά τε τοὺς συμπλεκομένους, ἐναντίον εἶναι φήσεις αὐτῷ. κατὰ γοῦν τὰ προηγούμενα τῶν αἰτίων, αἱ ἀντιθέσεις αὐτάρκως εἴρηνται. κατὰ δὲ τὴν ὀργανικὴν νόσον ἥπερ ἐστὶν ἔμφραξις, τὸ ἐναντίον ταύτῃ ἡ ἔκφραξις ὑπάρχει. κατὰ δὲ τὸ σύμπτωμα τὸ τῆς ἐποχῆς τῶν διαπνεομένων, ἡ ἔκκρισις αὐτῶν ἐστι τὸ ἐναντίον. κατὰ δὲ τὴν σηπεδόνα τῶν χυμῶν, εἴτε ἔκκρισις, καὶ ἡ ἀνάψυξις, καὶ ἡ ῥίπισις, καὶ ἡ τῶν ἡμισαπῶν πέψις. αὐτῶν δὲ τῶν πυρετῶν ἡ ἀντίθεσις, ψύξις ἐστίν. ἐξ ὧν δ᾿ ἄν τις μεθόδῳ εὕροι τὴν ἐργαζομένην ἕκαστον τῶν εἰρημένων ὕλην, ἤδη εἴρηται. μαχομένων οὖν αὐτῶν, ὥσπερ ἐλέγομεν, ἄλλοτ᾿ ἄλλη κρατεῖ τῶν ἐνδείξεών τε καὶ ὑλῶν. καὶ κατὰ τοῦτο τινὲς ἀγνοήσαντες ὡς ἀφ᾿ ἑκάστου τῶν ὄντων ἔνδειξίς ἐστιν ἀεὶ μία, καὶ ὡς εἰ μὲν εἴη τῶν παρὰ φύσιν τι τὸ ἐνδεικνύμενον, ἡ ἔνδειξις αὐτοῦ τὸ ἐναντίον ἐστὶν, εἰ δὲ τῶν κατὰ φύσιν, οὐ τὸ ἐναντίον, ἀλλὰ τὸ ὅμοιον, οὐκ ἠδυνήθησαν οὔτε θεραπευτικὴν οὔτε ὑγιεινὴν συστήσασθαι μέθοδον. ὅπου γὰρ ἐν τοῖς πρώτοις ἐσφάλησαν σκοποῖς, πολὺ δή που μᾶλλον ἔμελλον ἐν τοῖς μετ᾿ αὐτοὺς σφαλήσεσθαι. χρὴ γὰρ οἶμαι τὰ θεμέλια τοῖς οἰκοδομήμασιν, ἰσχυρὰ προκαταβεβλῆσθαι. καὶ τὴν τρόπιν τοῖς σκάφεσιν, εἰ μέλλει τι τῶν ἐπ᾿ αὐτοῖς οἰκοδομουμένων τε καὶ πηγνυμένων ἀσφαλὲς γενήσεσθαι. ὅπου δ᾿ ἂν ἐξ ἀρχῆς εὐθὺς ἡ πρώτη κρηπὶς σαθρὰ συμπαγῇ, τίς μηχανὴ τῶν ἐπ᾿ αὐτῇ τι γενήσεσθαι μὴ σαθρόν; ἐπεὶ τοίνυν τῶν κατὰ τὴν προκειμένην στέγνωσιν συνόχων, οὐ γὰρ ὀκνητέον αὖθις καὶ αὖθις ἀναλαμβάνειν τὸν λόγον, ὑπὲρ τοῦ μαθεῖν τοὺς πολλοὺς τῶν ἰατρῶν, κἂν νῦν γοῦν τὴν ἀληθῆ μέθοδον, ἑπτὰ μὲν ὑπέκειτο τὰ παρὰ φύσιν ἀφ᾿ ὧν αἱ ἐνδείξεις, πλῆθος χυμῶν, καὶ πάχος, καὶ γλισχρότης. ἔμφραξίς τε καὶ τῶν ἀναπνεομένων ἐπίσχεσις, καὶ σῆψις, καὶ πυρετὸς οὐκ ἔχων διάλειμμα. καὶ ταῦτ᾿ ἐνεδείκνυτο πάντως τὸ ἐναντίον. ἔξωθεν δ᾿ αὐτῶν ἔνδειξις ἀπὸ τῶν κατὰ φύσιν, ἐκ τῆς κράσεως τοῦ τε

νοσοῦντος μορίου, καὶ τῶν ἄλλων ἁπάντων τῶν κυρίων, ἐκ τοῦ ποσοῦ τῆς οὐσίας αὐτῶν, καὶ ἐκ τοῦ ποιοῦ τε καὶ ποιοῦ τῆς τοῦ πνεύματος οὐσίας. αἱ δ' ἀπὸ τούτων ἐνδείξεις, οὐ τῶν ἐναντίων εἰσίν, ἀλλὰ τῶν οἰκείων. εἰς δὲ τὴν διάγνωσιν αὐτῶν, ὡς ἐλέγομεν, ἥ θ' ἡλικία, καὶ τὸ ἔθος, ἅπαντά τε τὰ προκατάρξαντα τῆς νόσου συντελεῖ. προερχομένων δὲ κἀντεῦθεν ἐνδείξεων οὐκ ὀλίγων, εἰς ἁπάσας χρὴ βλέπειν ἅμα τὸν ἰατρόν, ἵν' ἐξεύρῃ τίνι μὲν πρώτῳ ἢ μᾶλλον, τίνι δ' ἧττον τε ἢ δευτέρῳ, τίνι αὖθις τε καὶ τρίτῳ, καὶ οὕτως ἐφεξῆς ἄλλῳ μετ' ἄλλο χρήσεται βοηθήματι. τῶν μὲν γὰρ δυνάμεων ἰσχυρῶν ὑπαρχουσῶν, τοῦ τὸν ἐπὶ σηπεδόνι πυρετὸν πυρέττοντος, ὡς ὑπόκειται, φλεβοτομητέον αὐτίκα χωρὶς ἀπεψίας τῆς κατὰ γαστέρα τοῦ νοσήματος ὑπαρξαμένου. τῆς δυνάμεως δὲ ἀσθενεστέρας οὔσης ἢ τῆς ἡλικίας κωλυούσης, οὐ χρὴ τέμνειν φλέβα. λέλεκται δ' ἔμπροσθεν ὡς οὐδὲ συνεισβάλλει τῷ τοιούτῳ πυρετῷ δύναμις ἄρρωστος. συνεκτικὸν τε γάρ ἐστι σωμάτων καὶ ἡλικίας θερμῆς, ὁ συνόχος πυρετὸς οἰκεῖος. ἀλλ' ἐὰν ἐν παιδίῳ γένηται μήπω τεσσαρεσκαιδέκατον ἔτος ἄγοντι, φλεβοτομεῖν οὐ προσήκει. διότι τοῖς τηλικούτοις γε θερμοῖς καὶ ὑγροῖς οὖσι, καθ' ἑκάστην ἡμέραν ἀπορρεῖ καὶ διαφορεῖται πάμπολυ τῆς τοῦ σώματος οὐσίας. ὥσθ' ὅπερ ἂν ἐκ τῆς φλεβοτομίας ἐμηχανησάμεθα, τοῦτ' αὐτόματον ἐκ τῆς τοῦ θεραπευομένου σώματος ὑπάρχει φύσεως. εἰ δ' ὑπὲρ τεσσαρεσκαιδέκατον ἔτος εἴη τὸ σῶμα, σκεπτέον αὐτοῦ τὴν φύσιν ὁποία τίς ἐστιν. ἆρ' ἰσχνὴ ἢ πυκνὴ ἢ σκληρὰ καὶ πολύαιμος, ἢ τἀναντία. καὶ οὕτως ἐπὶ μὲν τῆς προτέρας, παραλήψῃ τὴν φλεβοτομίαν. ἐπὶ δὲ τῆς δευτέρας, οὐκέτι. ἢ μὴν δὴ καὶ τὸ μέτρον σοι τῆς κενώσεως ἐκ τῶν αὐτῶν σκοπῶν λαμβανέσθω. ἢ γὰρ εἰ τριακονταετὴς μὲν ὁ φλεβοτομούμενος εἴη, πλαδαρός τε καὶ μαλακὸς καὶ πιμελώδης ἢ λευκὸς ἢ μικρὰς ἔχων τὰς φλέβας, ἤτοι γ' οὐδόλως φλεβοτομήσεις αὐτόν, ἢ ὀλίγον ἀφαιρήσεις. οὐδ' ὅλως μὲν ἐν ὥρᾳ θερινῇ, ἢ πνιγώδει χωρίῳ θερμῆς καὶ ξηρᾶς οὔσης τῆς καταστάσεως. ὀλίγον δ' ἐν ταῖς ἄλλαις ὥραις καὶ χώραις ἢ καταστάσεσιν. εἰ μὲν γὰρ μήτ' ἔμφραξις ὑπέκειτο, μήτε σηπεδών, ἀλλὰ μόνον ἦν τὸ πλῆθος τῶν χυμῶν, εὐθὺς ἂν ἐπὶ τῇ φλεβοτομίᾳ κατὰ φύσιν ἔσχεν. ὥστε ἀφαιρεῖν ἦν προσῆκον ἐν ἁπάσῃ κράσει σώματος, ἢ πάσῃ χώρᾳ καὶ ὥρᾳ ἢ καταστάσει τοσοῦτον τῶν χυμῶν, ὅσον ὑπὲρ τὸ κατὰ φύσιν ηὔξηται. ἐπεὶ δ' οὔτε τὴν ἔμφραξιν οὔτε τὴν σηπεδόνα δυνατόν ἐστι θεραπεῦσαι διὰ τῆς φλεβοτομίας, ἑτέρων δεομένας βοηθημάτων, ὡς ἔμπροσθεν ἐδείκνυμεν, φείδεσθαι χρή τι τοῦ αἵματος εἰς τὸν τῆς θεραπείας χρόνον, ὅπως μήποτ' ἀνάγκη καταλάβῃ τις ἡμᾶς ἀκαίρως τρέφειν. ὅσον μὲν γὰρ ἐπὶ τοιούτῳ πυρετῷ, θρεπτέον οὐδ' ὅλως ἐστίν. ἐδείχθη γάρ σοι καὶ πρόσθεν ὁ ἀπὸ τῆς δυνάμεως σκοπὸς μόνος, ἐνδεικνύμενος τὴν τροφήν. ὅθεν δ' ἐπὶ τῷ κενῶσθαι τὸ σῶμα, δεήσει τρέφειν. ὥστ' ἀναγκαῖον ἔσται δυοῖν θάτερον, ἢ τρέφοντα τὸν πυρετὸν αὐξάνειν, ἢ μὴ τρέφοντα καταλύειν τὴν δύναμιν. ἄμεινον οὖν ὡς εἴρηται καταλιπεῖν τι τοῦ αἵματος, οἰκείαν τροφὴν τοῖς τοῦ ζώου μορίοις. αὐτὸν δ' ἀρκεσθῆναι προσφοραῖς ὀλιγίσταις ῥοφημάτων καὶ ποτῶν, ὧν ὡς φαρμάκων μᾶλλον, ἢ τροφῶν χρῄζομεν. ἐδείχθη γάρ σοι καὶ περὶ τοῦδε πρόσθεν. ὅθεν οὐ χρὴ μηκύνειν ἔτι περὶ αὐτῶν. ἀλλὰ καὶ περὶ καταπλασμάτων τε καὶ περὶ τῆς τῶν ὑποχονδρίων αἰονήσεως λεκτέον. ὁ μὲν γὰρ πολὺς ὅμιλος τῶν ἰατρῶν, ἕν τι καὶ τοῦτο τῶν ἐκ τοῦ νόμου τῆς ἀμεθόδου θεραπείας ἔθος. καὶ πάντας ὥσπερ τρέφουσι μετὰ τὴν διάτριτον, οὕτω καὶ προκαταντλοῦσιν ἐλαίῳ. κἄπειτα μίαν ὑπερβαλόντες, αὖθις τρέφουσι προκαταπλάττοντες. εἰ δέ που γαστὴρ ἐπισχεθείη, καὶ κλύζοντες. ὥστε τό γε κατὰ τούτους, ὥρᾳ μιᾷ δύνασθαι μαθεῖν τινα τέχνην διαιτητικήν. οὐ μὴν ὧδ' ἔχει τἀληθές. ἀλλ' ὅλης οὔσης μεγάλης τῆς τέχνης, ἕν τι τῶν μερῶν αὐτῆς, οὐ τὸ φαυλότατόν ἐστιν ἐπιστήμη διαίτης. ἥτις ἐκ τούτων μάλιστα συμπληροῦται τῶν βοηθημάτων, τροφῶν καὶ πομάτων ἐμβροχῶν τε καὶ καταπλασμάτων καὶ κλυστήρων. ἡ γάρ τοι φλεβοτομία κατὰ τὴν ἀρχὴν καὶ αὐτὴ μόνη πρὸς τῶν αὐτῶν ἰατρῶν παραληφθεῖσα, τὴν ἐφεξῆς ἅπασαν ἴασιν τοῦ νοσοῦντος ἐπιτρέπει τῇ διαίτῃ. μιᾶς οὖν ὥρας ὡς ἔφην ἐστὶν ἡ μάθησις τῆς διαίτης αὐτῶν. εἰ δ' ὁ μανθάνων εἴη συνετός, οὐδὲ ταύτης ὅλης, ἀλλ' ὀλιγοστοῦ μέρους αὐτῆς, ἐν ᾧ τούτων τῶν νῦν λεχθησομένων ἀκοῦσαι δυνατόν ἐστιν. ἅπαντας τοὺς πυρέττοντας ἐν ἀρχῇ μὲν φλεβοτομήσεις ἐὰν ἰσχυροὶ τὴν δύναμιν ὦσι. καταντλήσας δ' ἐλαίῳ μετὰ τὴν διάτριτον, ἤτοι μελικράτῳ μετὰ χόνδρου θρέψεις, ἢ ῥοφήματι. κἄπειθ' ἑξῆς τρέφε παρὰ μίαν, ἀρτομέλιτι προκαταπλάττων. εἰ δ' ἐπισχεθείη ποτὲ ἡ γαστήρ, ὑπάγειν αὐτὴν κλυστῆρι. τὴν μὲν οὖν ἐκείνων διαιτητικὴν τέχνην, ἤδη σύμπασαν ἀκήκοας ἐν τοῖσδε τοῖς ῥήμασιν. οὐκ ἐν ἓξ μησίν, ἀλλ' ἐν ἓξ στίχοις. τὴν δ' ὄντως διαιτητικήν, ἑξῆς ἄκουε. θερμαίνειν ὑποχόνδρια καταπλάσμασιν ἢ αἰονήσεσιν οὐ διὰ παντὸς ἀσφαλές, ἀλλ' ἐπ' ἐκείνων μόνων τῶν ἀρρώστων ἐφ' ὧν οὐκέτ' ἀλλᾶται περιττὸν ἐν ὅλῳ τῷ σώματι. τοῖς δ' ἄλλοις ἅπασι, κακὸν ἔσχατον. ἐάν τε γὰρ ἡ πλῆθος ὁποτερονοῦν, εἴτε τὸ πρὸς τὴν δύναμιν, εἴτε πρὸς τὴν εὐρυχωρίαν τῶν ἀγγείων, ἐάν τε περιττώματα μοχθηρὰ κατὰ τι μόριον ἐν ἢ καὶ πλείω ταῦθ' ἕλκεται πάντα πρὸς τὸ θερμαινόμενον. ἐθεασάμην οὖν οὐκ ὀλιγάκις ἀφλέγμαντα τελέως ὑποχόνδρια, κατὰ τέσσαρας ἡμέρας ἀρχομένων αἰονᾶν αὐτὰ τῶν ἀγελαίων ἰατρῶν φλεγμήναντα, αὐτό τε τοῦτο σοι δείξαντος ἐμοῦ καὶ κελεύσαντος ἀκριβῶς προσέχειν τὸν νοῦν τῇ μελλούσῃ γενήσεσθαι φλεγμονῇ ἐφ' ἃ μὲν καὶ μάλιστα ἔγνως πηλίκον ἐστὶ κακὸν ἄλογος τριβή. διὰ παντὸς γὰρ αὐτοὶ γεννῶντες τὰς φλεγμονὰς ἐξ ὧν πράττουσιν, οὐ γινώσκουσιν. ἀλλ' ἀεὶ τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτουσιν ὥσπερ Ἱπποκράτης ἔλεγε, τοὺς ἐνίους τε καὶ ἔνθεν ἐπιδοῦντας τὰ μεθ' ἕλκους κατάγματα. καὶ γὰρ κἀκεῖνοι φλεγμονὰς ἐργαζόμενοι κατὰ τὸ ἕλκος, ὅμως οὐκ ἐπαύοντο, νομίζοντες οὐ τὴν ἐπίδεσιν αἰτίαν ὑπάρχειν, ἀλλ' ἄλλην τινὰ ἀτυχίαν. πῶς δ' ἂν καὶ μετέβησαν ἐφ' ἕτερον ἰάσεως τρόπον, οἱ τὴν ἄλογον προσβεβλιόντες τριβὴν ἀφ' ὧν αὐτοί τε διὰ παντὸς εἰθίσθησαν οὕτω πράττειν. τούς τε διδασκάλους ἐθεάσαντο πρὸ αὐτῶν. οὐδὲν γὰρ οὐδ' ἐπιχειρεῖν ἀξιοῦσιν οἱ τοιοῦτοι διὰ τῆς ἐνδείξεως λαμβάνειν, ἀρκούμενοι μόνῃ τῇ πείρᾳ. ἀλλ' Ἱπποκράτης ἀπὸ τῆς τοῦ πράγματος ὁρμηθεὶς φύσεως, τὸν εὑρετὸν τρόπον ἰάσεως ἐπιτήδειον. οὐ λοιπὸν εἰς πεῖραν ἐλθόντος, ἐγνώσθη πότερον ὁ πρότερος σφάλλεται. καὶ τοίνυν εἴ τις ἐθελήσειεν ἐπὶ τῶν τοιούτων διαθέσεων, ἀποστὰς καταπλασμάτων τε καὶ τῆς δι' ἐλαίου καταντλήσεως, ἐπὶ

τὴν ἐκ τοῦ λόγου διδασκομένην ἀφικέσθαι θεραπείαν, οὐ χαλεπῶς ἂν οὐδ' αὐτὸς τῇ πείρᾳ κρίνειε πηλίκον
ἁμαρτάνουσιν οἱ οὕτω θεραπεύοντες τά τε πληθωρικὰ, καὶ τὰ μὴ καθαρὰ σώματα. συμβαίνει δ' ἐν τοῖς
τοιούτοις νοσήμασι τοὺς πλουσίους μᾶλλον τῶν πενήτων κακῶς θεραπεύεσθαι. ἀμφότερα γὰρ ἐπ' αὐτῶν ἁ-
μαρτάνεται διὰ τὴν τρυφὴν οὐκ ὀλιγάκις, ἥ τε τῆς φλεβοτομίας ἔνδεια, καὶ ἡ περιττοτέρα τοῦ δέοντος ἐπιμέ-
λεια τῶν ἰατρῶν, ὡς καθ' ἑκάστην τι προσάπτειν ἡμέραν ἐπὶ τῷ τοῦ κάμνοντος σώματι. κατ' ἀρχὰς μὲν οὖν ὑπὸ
τρυφῆς οὐκ ἀνέχονται τῆς φλεβοτομίας οἱ πλείους αὐτῶν. καίτοι μᾶλλον τῶν πενήτων ἁλισκόμενοι ταῖς
πληθωρικαῖς διαθέσεσιν, ὡς ἂν καὶ μᾶλλον ἐμπιπλάμενοι, καὶ βιοῦντες ἀργότερον. οἱ θεραπεύοντες δ' αὐ-
τοὺς ἰατροὶ, διότι παραλέλειπται μέγιστον βοήθημα, τῇ διὰ τῶν ἄλλων χρήσει, νομίζουσιν ἀναπληρώσειν ὁπόσον
ἐνδεῖ. καὶ μέντοι καὶ οἱ κάμνοντες οἰόμενοι τὴν μὲν ἐφ' ἡσυχίας δίαιταν ἀμέλειαν εἶναι, τὸ δ' ὁτιοῦν πράτ-
τειν ἐπιμέλειαν, ἐπαναγκάζουσιν αὐτοὺς ἑκάστης ἡμέρας προσφέρειν τι τοῖς ὑποχονδρίοις. βουλομένοις δὲ δή-
που καὶ τοῖς ἰατροῖς ἐστὶ, πρὸς τὸ δοκεῖν ἐνεργεῖν τι διαπαντός. ἐντεῦθεν γὰρ ἐλπίζουσι καὶ τὸν μισθὸν
πλείω λήψεσθαι. συμβαίνει τοιγαροῦν ἐν ἐκείνῳ τῷ χρόνῳ τὰς φλεγμονὰς ἄρχεσθαι τοῖς πλουσίοις, ἐν ᾧ πλη-
σίον ἤδη τῆς λύσεως ἐστὶν ἐπὶ τῶν πενήτων τὸ νόσημα. φλεβοτομηθέντες γὰρ ἐν ἀρχῇ κατὰ τοὺς προκειμένους
ἐν τῷ λόγῳ πυρετοὺς, οὐ μόνον οἱ πένητες, ἀλλὰ καὶ οἱ δοῦλοι τῶν πλουσίων, οἱ πλεῖστοι μὲν ἐν τῇ πέμπτῃ τῶν
ἡμερῶν ἐκρίθησαν. ἔνιοι δὲ εἰς τὴν ἑβδόμην ἀφίκοντο. περαιτέρω δ' οὐδείς. ἀλλ' οἵ γε πλούσιοι τὸ μὲν πλῆθος
καὶ τὰ περιττώματα πλείω τῶν πενήτων καὶ δούλων ἔχοντες, παραλιπόντες δὲ τὸ τῆς φλεβοτομίας βοή-
θημα, κἄπειτα καθ' ἑκάστην ἡμέραν αἰονώμενοί τε δι' ἐλαίου θερμοῦ καὶ καταπλαττόμενοι τοῖς χαλαστικοῖς
καταπλάσμασι, φλεγμονήν τινα συνισταμένην ἴσχουσιν, ἤτοι περὶ τὸ ἧπαρ, ἢ τὴν κοιλίαν, ἤ τι τῶν ἄλλων
τῶν τῇδε σπλάγχνων. ἔνιοι μὲν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν. ἔνιοι δ' ἐν τῇ πέμπτῃ. πάντως δ' οὖν ἐν τῇ ἕκτῃ. οἶ-
δα δὲ δή που καὶ τὸν ἐν αὐτῷ τῷ καταντλεῖσθαι δυσπνοήσαντα, τοῦ περιττοῦ παντὸς ἐπὶ τὰς φρένας ἐλθόν-
τος ὑπὸ τῆς θερμασίας. οὗτός τε οὖν ἀπέθανε, καὶ ἄλλοι μυρίοι καθ' ἑκάστην ἡμέραν ἀποθνήσκουσιν. ὥσπερ σι-
κύας τοῦ καταπλάσματος ἕλκοντος ἐπὶ τὰ σπλάγχνα τὰ καθ' ὅλον τὸ σῶμα περιττά. τινὲς δ' ἀμέλει καὶ αὐ-
τῇ τῇ σικύᾳ κατ' αὐτῶν ἐχρήσαντο. τοῦθ' ἓν μόνον γινώσκοντες κἀκεῖνοι τὸ φαίνεσθαί τι πράττοντες ἀεὶ περὶ τὸν
κάμνοντα. κάλλιστον μὲν οὖν, ὡς εἴρηται, φλέβα τέμνειν οὐ μόνον ἐν τοῖς συνόχοις πυρετοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις
ἅπασι τοῖς ἐπὶ σήψει χυμοῖς, ὅταν γε ἤτοι τὰ τῆς ἡλικίας, ἢ τὰ τῆς δυνάμεως μὴ κωλύει. κουφισθεῖσα γὰρ ἡ διοι-
κοῦσα τὰ σώματα ἡμῶν φύσις, ἀποθεμένη τε τὸ βαρῦνον αὐτὴν οἷον περ τι φορτίον, ἐπικρατήσει τοῦ λοιποῦ
ῥᾳδίως, ὥστε καὶ πέψει τὸ πεφθῆναι δυνάμενον, ἐκκρίνει τε τὸ δυνάμενον ἐκκριθῆναι, ἀναμνησθεῖσα τῶν
οἰκείων ἐνεργειῶν. ἡ γὰρ τῶν μέσων τοῦ σώματος ὡς οὗτοι καλοῦσι πρόνοια, μέγιστον μὲν κακὸν ἐπὶ τῶν μὴ φλε-
βοτομηθέντων ἐστίν. οὐ μέγιστον δὲ ἐπὶ τῶν φλεβοτομηθέντων. ἀλλ' ὅμως κἀπὶ τούτων τι βλάπτειν πέφυκεν ἐν
τοῖς συνόχοις πυρετοῖς. διακαιόμενα γὰρ ὑπὸ τοῦ πλήθους τῆς θέρμης τὰ σπλάγχνα προσέτι διακαίεται καὶ
ἐξοπτᾶται. μόνοι τοιγαροῦν ἐκεῖνοι δέονται προνοίας τοιαύτης, οἷς ἡ σῆψις ἐν ἑνὶ συνεχεῖ μορίῳ, προφλεβο-
τομηθέντες δηλονότι καὶ οὗτοι. ποιησόμεθα δ' αὐτῶν τὴν πρόνοιαν, οὐχ ὁμοίως τοῖς ἐκ τῆς τριόδου τούτοις
ἰατροῖς εὐθέως ἐξ ἀρχῆς χαλῶντες, ἀλλὰ πᾶν τοὐναντίον ἐπὶ τῶν πλείστων ἐργαζόμενοι. τὰ μὲν γὰρ χαλα-
στικὰ τῶν βοηθημάτων, ὥσπερ γε διαφορεῖ τὸ περιεχόμενον ἐν τοῖς μέλεσιν, οὕτως ἐπισπᾶται πλέον ἀντ' αὐ-
τοῦ κατ' ἀρχὰς προσαγόμενα. φερομένων γὰρ ἔτι τῶν ῥευμάτων ἐπὶ τὸ πεπονθὸς, ἀποκρούεσθαι βέλτιόν ἐστι καὶ
ἀναστέλλειν, οὐχ ἕλκειν ἐπ' αὐτά. τὰ δ' ἀποκρουστικὰ καλούμενα, μετέχοντα δηλονότι τῆς στυπτικῆς δυνάμεως,
ἐπιτήδεια πρὸς τὰς ἀρχάς ἐστιν. ἅμα μὲν ἐντιθέντα τόνον τοῖς πάσχουσι μορίοις, ὡς μὴ ῥᾳδίως ὑποδέχοιντο
τὰ ἐπιῤῥέοντα τῶν περιττωμάτων. ἅμα δὲ καὶ τῶν ἐν αὐτοῖς ἤδη περιεχομένων ἀντεκθλίβοντα τὸ λεπτότατον.
εἰδ' ἥ τε φορὰ παύσαιτο διὰ τῶν τοιούτων βοηθημάτων, ἥ τ' ἐκ τῆς στύψεως ἐγγινομένη πύκνωσις τοῖς πεπον-
θόσι κατέχοι τὰ παχύτερα, καιρὸς ἤδη χαλᾶν ὑπὲρ τοῦ κενῶσαι τὰ περιεχόμενα. μάλιστα δ' ὅταν εἰς ἧπαρ
ἢ γαστέρα κατασκήπτῃ τὰ περιττὰ, τοῖς στύφουσι χρῆσθαι. κύρια τε γὰρ ἱκανῶς τὰ μόρια, καὶ πάντως ἐργά-
ζεσθαι τὸ σφέτερον ἔργον ἀναγκαῖα κἂν ταῖς νόσοις. ἔστι δὲ οὐ σμικρὸν αὐτῶν τὸ ἔργον, οἷόν περ ἑκάστου τῶν
ἄλλων, ἃ μόνον ἐκεῖνο κατεργάζεσθαι πέφυκεν ὑφ' οὗ θρέψεται. ἀλλ' οὕτως εἰς μέγα τῷ ζώῳ διαφέρειν, ὡς
εἰ μήτε κατὰ γαστέρα πεφθείη καλῶς ἡ τροφὴ, μήτ' αἱματωθείη κατὰ τὸ ἧπαρ, οἷόν περ ἐν λιμῷ πάσχομεν
ἀπορίᾳ βρωμάτων ἀσιτεῖν ἀναγκαζόμενοι, τοιοῦτόν τι καὶ νῦν συμβήσεται πᾶσι τοῖς τοῦ ζώου μορίοις. οὐ γὰρ ἐκ
τῶν καταποθέντων, ἀλλ' ἐκ τῶν κατεργασθέντων ἐν τοῖς εἰρημένοις σπλάγχνοις, ἡ χορηγία τῆς τροφῆς ἐστιν ὅλῳ
τῷ σώματι. διὰ ταῦτα μὲν δὴ περιττότερον ἢ τὰ ἄλλα μόρια γαστήρ τε καὶ ἧπαρ τῶν στυφόντων χρήζουσιν. ἀ-
μέλει κἀπειδὰν καιρὸς ᾖ διαφορεῖν τὰ στηριχθέντα, καὶ τότε δεῖται στύφεσθαι τὰ μέτρια. τὸ γὰρ ἐξ ἐπιμέτρου
περὶ τὰ ἄλλα μόρια κατ' ἀρχὰς αὐτοῖς προστιθέμενον τῆς στύψεως, ἀεὶ φυλάττεσθαι χρὴ, μενούσης γε τῆς ἐν-
δειξαμένης αὐτὸ χρείας. ἡ χρεία δ' ἐστὶν, ὡς ὀλίγον ἔμπροσθεν εἴπομεν, ἡ κατεργασία τῆς τροφῆς. ἐὰν οὖν ἀτο-
νήσαντα μὴ πέψῃ καλῶς, οὐ μόνον οὐδὲν ὄφελος ἔσται τῶν καταποθέντων σιτίων, ἀλλ' ἐπὶ ταῖς διαφθοραῖς
αὐτῶν πολλάκις ἐρεθισθείσης τῆς γαστρὸς, συναπέρχεταί τι καὶ τῶν ὑπαρχόντων, ὥστε διχόθεν ἤδη τὴν βλά-
βην γίνεσθαι τῷ παντὶ σώματι, μήθ' ὑπὸ τῶν σιτίων τραφέντι καὶ τῆς οἰκείας παρασκευῆς τι προσαπο-
λλῦντι. καὶ χωρὶς δὲ τῶν εἰρημένων, αἱ σήψεις τῶν σιτίων ἄντε καθ' ἧπαρ ἀτυχήσωσιν, ἄντε κατὰ γαστέρα, τοὺς
πυρετοὺς αὐξάνουσι. καὶ δριμυτέρους ἐργάζονται τῇ κακοχυμίᾳ. διὰ τοῦτο γινώσκειν πολλὴν χρὴ πεποιῆσθαι
πρόνοιαν ἐν ἅπασι πυρετοῖς, πέψεως σιτίων, καὶ διὰ ταύτην τοῦ τόνου τῶν πεπτικῶν ὀργάνων οὐ σμικρὰ φρον-
τιστέον. ἔνιοι δ' ὡς φησιν Ἱπποκράτης, οὐ σμικρὰ κερδαίνουσιν ὅτι ἀγνοοῦσιν. οἴονται γοῦν ἥπατος φλεγμονὴν
ἰᾶσθαι χαλαστικοῖς βοηθήμασιν, ἐξ ὧν ἐν τῇ διαγνώσει σφάλλονται, δόξαν ἑαυτοῖς πορίζομενοι. φαίνεται γὰρ

Optimum non in continentibus ...

Inflam. Iecoris & Ventriculi

ἐνίοτε τοῦ καθήκοντος εἰς ὑποχόνδρια μυὸς ἐκ τῶν πλευρῶν τοῦ θώρακος ἡ περιγραφή, παραπλησία τῷ ἥπα-
τι. θαυμαστὸν δ' οὐδὲν οἶμαι τοὺς μήτ' ἄλλο μηδὲν ἐν τῇ τέχνῃ καλῶς ἐκμαθόντας, μήτ' ἀσκηθέντας ἐν διαγνώ-
σεσι πεπονθότων μορίων, τὰ τοιαῦτα κορδαλαίνειν. ἐκείνους μὲν οὖν ἐατέον. ἡμεῖς δὲ κἂν ἐλαχίστην περὶ ὑπό-
νοιαν σχῶμεν ἥπατος ἢ γαστρὸς κακοπραγούντων, εὐθέως ἀψίνθιον ἐλαίῳ προσαφεψήσαντες, αἰονῶμεν τὰ
μόρια. διττὴν δὲ ἅπαντος ἀψινθίου ποιότητα καὶ δύναμιν ἔχοντος, ὡς κἀν τοῖς περὶ φαρμάκων εἴρηται· ἐπὶ
μὲν τὸ ποντικόν, ἡ στύφουσα ποιότης ἐστὶν οὐκ ὀλίγη. τοῖς δ' ἄλλοις ἅπασιν, ἡ μὲν πικρὰ ποιότης, ὑπάρχει σφο-
δροτάτη. στύψεως δ' ἤτοι παντάπασιν ἀμυδρᾶς καὶ οὐδ' ὅλως δ' ἂν αἰσθανόμεθα αὐτῶν. ταῦτά τοι τὸ πον-
τικὸν ἀψίνθιον αἱρεῖσθαι βέλτιόν ἐστιν εἰς τὰς ἥπατος καὶ γαστρὸς φλεγμονάς. ἔστι δ' αὐτοῦ καὶ τὸ φύλλον καὶ τὸ
ἄνθος πολὺ σμικρότερον, ἢ τῶν ἄλλων ἀψινθίων. καὶ ἡ ὀσμὴ τούτῳ μὲν οὐχ ὅπως ἀηδής, ἀλλά τι καὶ τῶν ἀρωμά-
των ἐμφαίνουσα. τοῖς δ' ἄλλοις δυσώδης ἅπασι. φεύγειν μὲν οὖν ἐκεῖνα προσήκει. χρῆσθαι δ' ἀεὶ τῷ ποντικῷ. καὶ
τῶν ἄλλων δέ τι φαρμάκων ἐμβαλεῖν εἰς τοὔλαιον, οἷς ἐπιμέμικται τῇ πικρᾷ ποιότητι δύναμις στυπτική, κατὰ
τὸν αὐτὸν τρόπον χρήσῃ. δέδεικται γὰρ ἐν τοῖς περὶ φαρμάκων, ἡ πικρὰ ποιότης ποδηγοῦσα τὴν στύφουσαν.
διὸ καὶ κρεῖττόν ἐστι τὸ τοιοῦτον φάρμακον ἅπαν τοῦ στύφοντος μόνου. εἰ μὲν οὖν ἰσχυροτέραν ἐθέλῃς ἐργάσασθαι
τὴν στῦψιν, ἔστω σοι καὶ τὸ ἔλαιον στῦφον. ὁποῖόν ἐστι τό, τε Ἱσπανὸν ὀνομαζόμενον, ὅσα τ' ἄλλα σκευάζουσι μετὰ
θαλλῶν ἐλαίας. ἢ οἷόν περ ἐστὶ τὸ καλούμενον ὀμφάκινον. εἰ δ' ἀσθενεστέρᾳ βούλοιο χρῆσθαι τῇ στύψει, τῶν ἄλλων
ἐλαίων τι παρασκεύαζε, καὶ μάλιστα τῶν λεπτομερῶν, οἷόν περ ἐστὶ τὸ Σαβῖνον. ἄριστον δὲ ἐν οἷς στύψεως ἰσχυροτέ-
ρας ἐστὶ χρεία τὸ Ἰστρικὸν ἔλαιον, ὡς ἂν ἑκατέρας ἔχον ἐν ἑαυτῷ τὰς ποιότητας, στύφουσαν καὶ πικράν. ἀρκοῦντι
δ' ἀψινθίου, μήλινον, ἢ μαστίχινον, ἢ σχίνινον ἀρκέσει τὴν πρώτην. εἰ δὲ μικρὸς ὁ πυρετὸς εἴη, καὶ τὸ διὰ τῆς νάρδου
μύρον. ἔστω δὲ καὶ τοῦτ' ἄριστον. οὐ σμικρὰ γὰρ ἡ διαφορὰ τοῦ τοιούτου πρὸς τὸ φαῦλον. ὃ γοῦν ἐν Νεαπόλει τῆς Ἰτα-
λίας σκευάζουσιν, ὄνομα μόνον ἐστὶ μύρου ναρδίνου, παραβαλλόμενον τῷ κατὰ τὴν Ἀσίαν. ἔμπροσθεν μὲν ἐν Λαοδι-
κείᾳ μόνῃ σκευαζόμενον. νυνὶ δὲ ἐν πολλαῖς ἤδη πόλεσιν. εἰ δ' ἡ παρακμὴ τοῦ πυρετοῦ, καθ' ἣν δηλονότι πράτ-
τομεν τὰ τοιαῦτα, μὴ πάνυ τι πραεῖα γίγνοιτο, φυλάττεσθαι μὲν τὴν νάρδον. ἄμεινον δὲ χρῆσθαι τηνικαῦτα τῷ
μηλίνῳ. μὴ παρόντος δὲ τούτου, τῷ σχινίνῳ. καὶ μετ' αὐτό, τῷ μαστιχίνῳ. πάντων γὰρ τούτων τὸ νάρδινον μύρον
μᾶλλον θερμαίνει. διὸ τῶν μικτέον αὐτῷ τῶν ἄλλων ἀρκοῦντα, ῥοδίνου. ἡ δὲ τοῦ μυρσίνου στῦψις, οὐκ ἐπιτή-
δειος. ἔστι γὰρ τοῦτο παχυμερέστερον ἢ ὥστε διὰ βάθους ἰέναι. τὰ μὲν οὖν τοιαῦτα, παραδείγματος ἕνεκα λέ-
λεκται. πολὺ γὰρ αὐτῶν ἐκλέξῃ πλῆθος ἐκ τῶν περὶ φαρμάκων ὑπομνημάτων. ὡσαύτως δὲ καὶ τὸ κατάπλασμα
σύνθετον ἐχέτω τὴν δύναμιν ἔκ τε τῆς χαλαστικῆς λεπτομεροῦς καὶ πικρᾶς καὶ στυφούσης. ἐπικρατείτω δ' ἐν αὐ-
ταῖς εἰ μὲν ἀρκεῖσθαί τε καὶ τόνον ἐντιθέναι βουλοίμεθα, τὸ στῦφον. εἰ δὲ τέμνειν καὶ διαρρύπτειν, τὸ πικρόν. ἐκ
δὲ διαφορῶν, τὰ λεπτομερῆ τῶν χαλώντων. τὰ γὰρ παχυμερῆ, τοῖς ἐκπυΐσκουσιν ἐδείχθη χρηστά. διωρισμένων
δ' ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασι, τῶν τε μόνην ἐχόντων ἤτοι τὴν στύφουσαν ἢ τὴν πικρὰν ποιότητα, τῶν
τε συναμφοτέρας, ἄριστον μὲν οὖν ἀεὶ αἱρεῖσθαι τὰ συναμφοτέρας ἔχοντα. μὴ παρόντων δὲ τούτων, αὐτόν, μιγνύ-
ναι τὰ πικρὰ τοῖς στύφουσιν. ὥσπερ ἐθεάσω περὶ ἡμᾶς κατάπλασμα συντιθέντας ἥπατος φλεγμαίνοντος ἐπ
τῶν παρόντων. ἦν μὲν γὰρ ἰατρὸς ὁ κάμνων. ἐθεασάμεθα δ' αὐτὸν ἤδη λύχνων ἡμμένων, ὡς μηδὲν ἔτι δύνα-
σθαι πρίασθαι παρὰ τῶν καπηλευόντων τὰ τοιαῦτα. παρακμὴν οὖν εὑρόντες ἀξιόλογον, ἐσπεύσαμεν ὅτι τάχι-
στα χρήσασθαι τῷ καιρῷ. καὶ μάλισθ' ὅτι τὴν ὕποπτον ὥραν προσεδοκῶμεν, ἀρχὴν οἴσειν ἑτέρου παροξυσμοῦ, περὶ
τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. ἀφεψήσαντες οὖν ἐλαίῳ μὲν ἀψίνθιον, ἐν ὕδατι δὲ κυδώνιον μῆλον. ἐν ᾧ τοῦθ' ἡ-
ψετο, μυροβαλάνου πίεσμα, καὶ ἴρεως τὴν ῥίζαν εὑρόντες ἔνδον, καὶ κόψαντες καὶ διαττήσαντες, εἶτ' ἐμβαλόν-
τες ~~μέλιτι~~ τοῦτ' ἐλαίου καὶ τοῦ ὕδατος ὧν περ ἐσκευάκειμεν, ἀφεψήσαντές τε μετρίως ἐπεβάλλομεν ἅμα κη-
ρῷ βραχεῖ, τὴν μυροβάλανον καὶ τὴν ἶριν. ἕψομεν δ' ὡς οἶσθα τὸ μῆλον οὐ δι' ὕδατος μόνον, ἀλλὰ καὶ δι' οἴνου πολ-
λάκις αὐστηροῦ. καὶ μιγνύομεν ἐνίοτε καὶ αὐτῆς τι τοῦ μήλου τῆς σαρκὸς ἅπασι τοῖς τοιούτοις καταπλάσμασιν. ὅ-
ταν μὲν γὰρ τό, τε ἐπιρρέον εἴη πλέον, ἀτονώτερόν τε τὸ μόριον, αὐξάνομεν ὡς οἶσθα τὴν στῦψιν. ὅταν δὲ τό, θ' ὅ-
λον σῶμα κενὸν οὐκ ἄρρωστόν τε τὸ μόριον, ἐπιρρέῃ τε μηδὲν ἔτι, βραχύτατον ἔστω τὸ στῦφον. ἀξιολογώτερον δ'
αὐτοῦ τὸ χαλαστικόν. καὶ πρὸς τούτοις, τό, τε πικρόν, καὶ τὸ δριμύ, κατὰ τὴν τῶν ἐπεμβαλλομένων ὕλην. εἰ δὲ κα
μικρὸς ὁ πυρετὸς εἴη, καὶ ἡ φλεγμονὴ μὴ πάνυ θερμή, καὶ ἀσιτίαν ὁ κάμνων ἐνεγκεῖν δυνάμενος, αὐξανέσθω σο
τὸ διαφορητικὸν εἶδος τῆς θεραπείας, ἐκλυομένου τοῦ στυπτικοῦ. οὐ γὰρ δὴ τὴν φλεγμονὴν δυνατὸν ἀφελῆσαι τοῖ
στύφουσιν, ἡνίκα μήτ' ἐπιρρέῃ μηδέν, ἐσφήνωταί τε δυσλύτως ἐν τῷ πάσχοντι παχυμερὴς χυμός. ἀλλ' ὡς εἴρη-
ται βραδύνειν αἱρούμεθα μᾶλλον ἐν τῇ θεραπείᾳ μιγνύντες τι τῶν στυφόντων, ὑπὲρ τοῦ φυλάξαι τῶν μορίων
τὸν τόνον. ὅθεν οὔτ' ἐπὶ κώλου πάσχοντος ἢ τῶν ἄλλων ἐντέρων τινός, οὔτε τῶν καθ' ὑποχόνδρια μυῶν, ἢ περι-
τοναίου, μικτέον τὰ στύφοντα. καθάπερ οὐδὲ κύστεως ἢ μήτρας ὅταν γ' ὡς εἴρηται, μήτ' ἐπιρρέῃ μηδὲν ἔτι, μήτ
πλῆθος ἢ περιττώματα πολλά, καθ' ὅλον ὑπάρχῃ τὸ σῶμα. νεφροὶ δὲ καὶ θώραξ, ἐν μέσῳ τῶν εἰρημένων εἰσίν. ὅσ
γὰρ ἀπολείπονται γαστρὸς καὶ ἥπατος, τοσοῦτον τῶν ἄλλων πλεονεκτοῦνται. ἐπὶ μὲν γὰρ τοῦ ἥπατος ἢ τῆς γαστρ
ἐκλυθῆναι τὸν τόνον ὀλεθριώτατον. ἐπὶ δὲ τῶν ἄλλων, ἀκινδυνότατον. ἐπὶ τούτων δὲ κινδυνῶδες μέν. οὐ μ
ἐκείνοις γ' ὁμοίως. πλὴν εἴ ποτε πύον ἐκκαθαίρειν δέοι, περιεχόμενον ἐν θώρακι καὶ πνεύμονι. περὶ δὲ τοῦ σπλη-
νός, οὐχ ἁπλῶς ἀποφήνασθαι δυνατόν, ἀλλὰ μετὰ τοῦ διορίσασθαι τήν τε φύσιν ὅλου τοῦ σώματος, καὶ τὴν ἐν τ
τῆς θεραπείας χρόνῳ διάθεσιν. εἰ μὲν γὰρ ἤτοι φύσει τῶν ἀθροιζόντων εἴη περίττωμα μελαγχολικὸν ὁ κάμνων,
κατ' ἐκεῖνον τὸν χρόνον, ὁ τοιοῦτος ἐν αὐτῷ πλεονάζοι χυμός, ἀναγκαῖόν ἐστιν ἐν τῇ θεραπείᾳ τοῦ σπληνός, ἐπι-
πλέκεσθαι τοῖς ἄλλοις τὰ στύφοντα χάριν τοῦ φυλάττεσθαι τοῦ σπλάγχνου τὸν τόνον. οὕτω γὰρ ἕλξει τε πρὸς ἑαυ-
τὸν τὰ περιττώματα, καὶ καθήρας τὸ σῶμα, πάλιν αὐτὰ ἐκκρινεῖ διὰ τῆς γαστρός, ὡς ἐν τοῖς φυσικοῖς περὶ τούτ

ἐπιδέδεικτ

Historia de Medico laborante. Continua

ἐπιδέδεικται λόγοις. εἰ δὲ μηδὲν οὐδ᾽ ὅλως ἢ περίττωμα μελαγχολικὸν, ἢ οὐδ᾽ ὅλως σηπτέον, ἢ ὡς ἥκιστα. προσέχειν δ᾽ ἀκριβῶς τὸν νοῦν οὐ κατὰ τὸν σπλῆνα μόνον, ἀλλὰ καὶ κατὰ σύμπαντα τἆλλα μόρια καθ᾽ ἃ σήπεται χυμὸς, ὁποῖον μέν τοι τῶν συμπτωμάτων ἐστὶ τὸ ἰσχυρότατον. ὁποῖον τὸ δεύτερον, ἢ τὸ τρίτον, ἵν᾽ ἐξ αὐτῶν τὴν διάθεσιν ἀκριβῶς ἐξευρὼν, οἰκείαν αὐτῇ καὶ τὴν θεραπείαν ἁρμόσῃς. ἐνίοτε μὲν γὰρ ἡ θέρμη κρατεῖ κατὰ τὸ πεπονθός. ἐνίοτε δ᾽ ὄγκος. ἤτοι διὰ τὸ πλῆθος τοῦ χυμοῦ σκληρὸς, ἢ διὰ τὸ πάχος. εἰ μὲν οὖν ἡ θέρμη κρατοίη, πειρᾶσθαι διαφορεῖν ἀτρέμα διὰ τῶν χλιαρὰν ἐχόντων θερμασίαν, οἷόν ἐστι τό, τε λινόσπερμον, καὶ τὸ χαμαίμηλον. ἐπιμιγνύσθαι δ᾽ αὐτοῖς, ἄλευρον ἐκκριθῶν ἢ κυάμων. οὐδέτερον γὰρ αὐτῶν θερμαίνει. πολλάκις δ᾽ ὡς οἶσθα τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν ἀρτόμελι παρασκευάζοντες εἰς κατάπλασμα τοιαύτης φλεγμονῆς, ὕδατος ἐπεμίξαμεν. ἐπὶ δὲ σπληνὸς, ἔστιν ὅτε καὶ ὄξους. εἰ δ᾽ ἡ θέρμη τοῦ φλεγμαίνοντος μορίου μὴ πολὺ τοῦ κατὰ φύσιν ἐξεστήκοι, μέγεθος δ᾽ ἀξιόλογον εἴη, διαφορεῖν θαῤῥοῦντως, χωρὶς ὕδατος ἐπιμιγνύντα τοῖς εἰρημένοις καὶ πῆλιν. εἰ δ᾽ οἷον σκιῤῥώδης τις φλεγμονὴ τύχοι, διὰ τὸ πάχος ἢ τὴν γλισχρότητα τῶν ἐν αὐτῇ χυμῶν. ὄξους τε ἅμα καὶ τῶν πικρῶν μικτέον φαρμάκων. καὶ μάλιστ᾽ ἐπὶ σπληνός. τὸ γὰρ τοι σπλάγχνον τοῦτο διὰ τὸ παχὺ ἐπισπᾶσθαι χυμῶν ἐξ ἥπατος, ὑπὸ τοῦ τοιούτου καὶ νοσεῖ τὰ πολλά. διὰ τοῦτ᾽ οὖν αὐτὸ τά τε δι᾽ ὀξυμέλιτος καὶ ἀψινθίου καὶ καππάρεως ἐπιτήδεια καταπλάσματα. ταῦτ᾽ οὖν ἀγνοοῦντες οἱ πολλοὶ τῶν ἰατρῶν, ἅπαντας ἀλοιφῶσιν ἐλαίῳ, καὶ καταπλάττουσι τοῖς χαλαστικοῖς καταπλάσμασι, πρὶν κενῶσαι τὸ σῶμα. πάντων δ᾽ ὡς εἴρηται μάλιστα τοὺς πλουσίους, οἷς οὐ μόνον εἰς τὰ τοιαῦτα ὑπηρετοῦσιν, ἀλλὰ καὶ λούεσθαι συγχωροῦσιν. ἐγὼ δ᾽ οὔτε λούσαιμ᾽ ἂν οὐδένα τῶν ἐπὶ σηπεδόνι χυμῶν πυρεττόντων, οὔτε χαλαστικοῖς χρῶμαι καταπλάσμασι, πρὶν κενῶσαι τὰ περιττά. κενώσας δὲ, καὶ λούσαιμ᾽ ἂν ἤδη θαῤῥῶν, καὶ καταπλάττοιμι. τὰ μὲν ἄλλα μόρια τοῖς χαλαστικοῖς, ἧπαρ δὲ καὶ γαστέρα, μετὰ τοῦ τὰ μέτρια στύφειν. ἧττον δὲ ἐπὶ θώρακος τοῖς στύφουσι χρηστέον, ἀποκρούεται γὰρ εἰς πνεύμονα καὶ καρδίαν ἐνίοτε τὰ τοιαῦτα τοὺς τὴν φλεγμονὴν ἐργαζομένους χυμούς. ἀλλὰ διὰ τῶν ἐδεσμάτων αὐτοῖς, φυλακτέον τὸν τόνον. οὐ γὰρ ὥσπερ ἐπὶ γαστρὸς καὶ ἥπατος, οὕτω καὶ ἐνθάδε λεπτοτάτην διαιτᾶν ἀναγκαῖον. ἐν ἐκείνοις μὲν γὰρ ἡ τροφὴ πέττεται). καὶ κίνδυνός ἐστι φλεγμαινόντων αὐτῶν, μήτε πεφθῆναι καλῶς, αὐξηθῆναί τε τὰς φλεγμονάς. εἰς θώρακα δὲ τοσοῦτον ἀφικνεῖται τῶν πεφθέντων, ὅσον ἱκανὸν αὐτῷ μόνῳ τῷ τρεφομένῳ μορίῳ. πολὺ δὲ δὴ μᾶλλον ἐπὶ πνεύμονος φλεγμαίνοντος ἀφεκτέον ἐστὶ τῶν στυφόντων, ὅπου γε καὶ τοῖς χαλαστικοῖς μικτέον, ἐπ᾽ αὐτῶν τῶν δριμυτέρων τι καὶ σαφῶς θερμαινόντων. ἕλκειν γὰρ ἔξω μᾶλλον ἢ ἀποκρούεσθαι προσήκει. διὸ καὶ αἱ σικύαι προκενωθέντων, χρήσιμοι. πληθωρικῶν δὲ ὑπαρχόντων, οὐ μᾶλλον ἐκ πνεύμονος εἰς θώρακα μεθιστᾶσι τι τῶν περιττωμάτων, ἢ ἐξ ὅλου τοῦ σώματος ἕλκουσιν εἰς ἀμφότερα. τῷ δὲ αὐτῷ λόγῳ, κἀπὶ τῶν κατὰ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας φλεγμονῶν, οὐ χρησόμεθα σικύαις ἐν ἀρχῇ τῶν παθῶν. ἀλλ᾽ ὅταν μήτ᾽ ἐπιῤῥέῃ μηδὲν ἔτι καὶ προκενώσωμεν ὅλον τὸ σῶμα κατὰ τὴν ἀρχὴν δὲ κἀνθάδε τοῖς ἀποκρουστικοῖς ὀνομαζομένοις χρηστέον. ἐπεὶ δὲ τῶν ὀστῶν τοῦ κρανίου μέσον κειμένων τὴν δύναμιν αὐτῶν ἐξικνεῖσθαι βουλοίμεθα πρὸς τὸ βάθος, ἐπιμίξομεν τοῖς ἀποκρουστικοῖς ὀνομαζομένοις τῶν τμητικῶν τι δυναμένων. τουτέστι τῶν λεπτομερῶν κατὰ τὴν οὐσίαν. ὄξος μὲν οὖν οὐ μόνον ἐστὶ λεπτομερὲς, ἀλλὰ καὶ αὐτῆς τῆς ἀποκρουστικῆς δυνάμεως, οὐ μετρίως μετείληφεν. ὅθεν εἰκότως ἐν ἀρχῇ τῶν παθῶν αὐτῷ χρῶνται τῷ ῥοδίνῳ μιγνύντες. ἐπὶ προήκοντι δὲ τῷ χρόνῳ, καὶ σφονδυλίου καὶ ἑρπύλλου, μιγνύουσιν ἤδη τι καὶ θερμαῖνον ἐχόντων, οὐ μόνον λεπτομερές. ἐν ᾧ καιρῷ χρὴ μεταβαίνειν ἐπὶ τὰ διαπνέοντά τε καὶ διαφοροῦντα πλέον, ἢ κατὰ τὴν χρείαν τῶν φλεγμαινόντων αἱρούμενον ἑκάτερον, ὡς ἂν ἐκλυομένης αὐτῶν τῆς δυνάμεως ἐν τῷ μεταξὺ τεταγμένων ὀστῶν. οὕτως οὖν καὶ τῷ καστορίῳ χρώμεθα, καί τοι γ᾽ ἐπὶ τῶν ἄλλων οὐ χρώμενοι φλεγμονῶν. οὐδ᾽ ἢν ἐν ἐσχάτῳ τῆς παρακμῆς ὦσι. θερμότερον γάρ ἐστιν, ἢ ὡς ἐν ταῖς φλεγμοναῖς ἐπιτήδειον εἶναι. τοῖς μέν τοι κατὰ τὸν ἐγκέφαλον χωρίοις ἄριστον ἐν ταῖς παρακμαῖς τῶν φλεγμονῶν, ὡς ἂν οὐκ εὐθέως αὐτοῖς προσπίπτον, ἀλλὰ διὰ μέσων τῶν ὀστῶν. ὑπάρχει δὲ τῷ τοιούτῳ φαρμάκῳ καὶ τὸ λεπτομερὲς τῆς οὐσίας, ὃ καὶ αὐτὸ τοῖς διὰ προβλημάτων στεγανῶν διαπέμψειν μέλλουσι τὴν ἑαυτῶν δύναμιν, ἐπιτήδειόν ἐστιν, οἶσθα δὲ δή που καὶ τοὺς ἑκάστου τῶν μορίων οἰκείους πόρους, εἰς τὴν τῶν περιττωμάτων ἔκκρισιν εὑρεῖν ἡμᾶς παρασκευάζοντας. ἐντέρῳ μὲν καὶ γαστρὶ καὶ μεσαραίῳ καὶ τοῖς σιμοῖς τοῦ ἥπατος, τὸν διὰ ἀπευθυσμένου. νεφροῖς δὲ καὶ κύστει καὶ τοῖς κυρτοῖς τοῦ ἥπατος καὶ κοίλῃ φλεβὶ καὶ ἀρτηρίᾳ τῇ μεγάλῃ, καὶ πᾶσι τοῖς κατ᾽ ὀσφὺν, τὸν τοῖς οὔροις ἀνακείμενον. πνεύμονι δὲ καὶ θώρακι, τὸν διὰ τραχείας ἀρτηρίας καὶ φάρυγγος. ἐγκεφάλῳ δὲ καὶ μήνιγξι, τὸν δι᾽ ὑπερῴας καὶ ῥινός. ἡ δ᾽ εὔροια τοῖς μὲν δι᾽ ἕδρας ἐκκριθήσεσθαι μέλλουσιν, ὑπό τε μελικράτου γενήσεται, καὶ τῶν ἐδεσμάτων ὅσα λαπάττει τὴν γαστέρα, καὶ φαρμάκων ὅσα μετρίως ἐρεθίζειν πέφυκε. φυλάττεσθαι γὰρ χρὴ τὰ δριμύτερα, παροξύνοντα τὰς φλεγμονάς. ἐπὶ δὲ γαστρὸς καὶ ἥπατος καὶ σπληνὸς φλεγμαινόντων, οὐδὲ τὸ μελίκρατον ἀγαθόν. ἐκχολοῦται γὰρ αὐτίκα, καὶ τὰς φλεγμονὰς αὐξάνει τῶν σπλάγχνων. τοῖς δὲ διουρητικοῖς ὀνομαζομένοις φαρμάκοις, ἐπ᾽ οὖρα προτρέψεις τὴν περιουσίαν. ὥσπερ γε καὶ τοῖς βηχικοῖς τὰ κατὰ θώρακα καὶ πνεύμονα, διὰ βηχῶν ἐκκενώσεις. ἔμαθες δ᾽ ἐν τοῖς περὶ φαρμάκων τὰς ὕλας ἑκάστων. οὐ μόνον τῶν εἰρημένων, ἀλλὰ καὶ ὅσα διὰ ῥινῶν ἐκκενοῖ τὰ κατ᾽ ἐγκέφαλόν τε καὶ μήνιγγας περιττά. καὶ γὰρ καὶ τούτων ἁπάντων ἐν ἐκείνοις τοῖς ὑπομνήμασι τὴν ὕλην ἄφθονον ἔχεις. ὥστ᾽ ἀρκεῖ πρός γε τὰ παρόντα περὶ τῆς τῶν φλεγμαινόντων μορίων διαφορᾶς ὅσα λέλεκταί μοι. μελλήσω γὰρ ἐπὶ πλέον ἐρεῖν ὑπὲρ αὐτῶν, ἐν τῇ μεθόδῳ τῆς θεραπείας ἁπάντων τῶν παρὰ φύσιν ὄγκων. οὐδὲ γὰρ οὐδὲ νῦν ὡς ἔργον τι καὶ σπούδασμα μετεχειρισάμην τόνδε τὸν λόγον, ἀλλ᾽ ἐν παρέργῳ διῆλθον ὡς ἐξ ἀκολουθίας τινὸς ἐμπεσὼν αὐτῷ. πρόκειτο γὰρ οὐχ ὡς ἄν τις ἄριστα θεραπεύσειεν ἕκαστον τῶν μορίων φλεγμαῖνον, ὑποθέσθαι σοι κατὰ τὸν ἐνεστῶτα λόγον, ἀλλ᾽ ἐνδείξασθαι τὴν βλάβην τῶν καταπλαττομένων ἐν πυρετοῖς ἄνευ τοῦ κενωθῆναι τὸ σύμπαν σῶμα. καὶ μάλισθ᾽ ὅταν μὴ φλεγμαίνῃ τι τῶν ἔνδον. εἰ γὰρ εἴη τὸ περιτ-

χον θερμὸν ὡς κεχύσθαι τὰς ὕλας ἱκανῶς, μείζων ἡ βλάβη τοῖς τοιούτοις ἕπεται καταπλάσμασιν ἤπερ τοῖς λου-
τροῖς. καίτοι δοκοῦσί γε οἱ καθ' ἑκάστην ἡμέραν αἰονῶντές τε καὶ καταπλάττοντες τὰ ὑποχόνδρια, ἐκ τού-
των μὲν οὐχ ὅπως βλάβην, ἀλλὰ καὶ μεγάλην ὠφέλειαν γίγνεσθαι τοῖς νοσοῦσιν. ἐκ λουτρῶν δ' οὐκ ὠφέλειαν
γίγνεσθαι, ἀλλὰ καὶ μεγίστην βλάβην. ἀγνοοῦντες ὥσπερ τῶν ἄλλων ἁπάντων ὧν περὶ τὸν κάμνοντα πράττου-
σιν, οὕτω καὶ τῶν βαλανείων τὴν φύσιν. ἐγὼ δὲ περὶ μὲν τῆς ὅλης αὐτῶν τῆς δυνάμεως ἔμπροσθεν εἴρηκα τε-
λεώτατα. νυνὶ δ' ἀρκεῖ μοι τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐπί τινων μὲν ὅτι βλάψει τὸ βαλανεῖον ὅλως, ἐπί τινων
δὲ, τοῦ καταπλάσματος ἧττον. ὃ γὰρ ἐν τοῖς ὑποχονδρίοις ἐργάζεται τὰ χαλαστικὰ πρὸς αὐτῶν ὀνομαζόμε-
να βοηθήματα, τοῦτ' ἐν ὅλῳ τῷ σώματι τὸ βαλανεῖον. ὥσθ' ὅταν ἐν τῇ παρακμῇ παραλαμβάνηται διαπνεο-
μένου τοῦ σώματος ἤδη μετρίως, οὐ σμικρὸν ὄφελος ἐργάζεται κενῶσαν ἅπαντ' ἐξ αὐτοῦ τὰ λιγνυώδη καὶ κα-
πνώδη περιττώματα. καὶ εἴ γε μηδὲν εἴη τῶν σπλάγχνων ἀσθενὲς, ὀνήσει τὸν κάμνοντα, χωρὶς τοῦ φρῖξαι τό τε
γενόμενον. τρεῖς γὰρ ἔχειν δεῖ τούτους σκοποὺς ἐπὶ τῶν ἐν ἅπασι πυρετοῖς λουτρῶν. ἕνα μὲν εἰ χωρὶς τοῦ φρῖξαι
γένοιτο. δεύτερον δ' εἰ μηδὲν τῶν κυρίων μορίων ἀσθενὲς ὑπάρχοι. καὶ τρίτον εἰ μὴ πλῆθος ὠμῶν εἴη χυμῶν κατὰ
τὰς πρώτας φλέβας. ἡ μὲν γὰρ φρίκη λέλεκται πρόσθεν ὅπως οὐ μόνον αὐξάνειν τοὺς ὄντας ἤδη πυρετοὺς, ἀλλὰ
καὶ γεννᾶν ἐνίοτε πέφυκε τοὺς οὐκ ὄντας. ἡ δ' ἀσθένεια τῶν μορίων, χυθέντας τοὺς χυμοὺς ὑποδέχεται μᾶλλον, ἢ
πρὶν χυθῆναι. τὸ δὲ τῶν ὠμῶν χυμῶν πλῆθος, εἰς ὅλον ἀναδίδοται τὸ σῶμα. μηδενὸς δὲ τούτων ἐμποδίζοντος,
ἐπὶ τῶν βαλανείων δύο ἂν ταῦτα κερδαίνοι ὁ κάμνων, κενωθῆναί τι τῆς περιουσίας τῶν χυμῶν, καὶ διαπ-
νεῦσαι τὸ πολὺ τῆς τοῦ πυρετοῦ θερμότητος. εἰ δὲ πρὸς τὸ μηδὲν ἀσθενὲς εἶναι τῶν κυρίων μορίων, ἔτι δὲ καὶ τῶν
ἀκύρων ἀσθενὲς ὑπάρχει τι, καθάπερ ἐπὶ μὲν τῶν ποδαγρικῶν, οἱ πόδες, ἐπὶ δὲ τῶν ἀρθριτικῶν, ἅπαντα τὰ
τοῦ σώματος ἄρθρα, μεγίστη τις ἂν ἐκ τοῦ βαλανείου τῷ κάμνοντι πρὸς τὴν σωτηρίαν ἀπεργασθείη μοῖρα δεξα-
μένων τὰ περιττὰ τῶν ἀσθενῶν. εἴωθε μὲν γὰρ ἐνίοτε καὶ χωρὶς τῶν βαλανείων, ἐπιῤῥεῖν τοῖς ἀσθενέσι τὸ περιττόν.
ἐπὶ βαλανείοις δὲ μᾶλλον ὡς ἂν καὶ τῶν ὑγρῶν χεομένων, καὶ τῶν ὁδῶν αὐτοῖς παρασκευαζομένων εἰς εὔροιαν.
ἄμφω γὰρ ταῦτα θερμαινομένοις μετρίως ἀναγκαῖον ἐπακολουθεῖν. λέγω δὲ τήν τε χύσιν τῶν ὑγρῶν, καὶ
τὴν εὐρυχωρίαν τῶν ὁδῶν. ὅθεν ὅταν ἧπαρ ἢ γαστὴρ ἢ πνεύμων ἢ θώραξ, ἤ τι τῶν οὕτω κυρίων ἀσθενὲς τύχῃ, μέ-
γιστα βλάπτονται λουσάμενοι πάντες, οἷς ἂν ᾖ τι περιττὸν ἐν τῷ σώματι. τοῖς δ' αὐτοῖς τούτοις καταπλασθεῖ-
σιν, ἡ βλάβη γίγνεται διπλασία μετὰ τοῦ μηδὲν ὀνίνασθαι. τὰ μὲν γοῦν βαλανεῖα, καὶ κενοῖ τὸ σύμπαν σῶμα, καὶ
τὸ καπνῶδες ἅμα τῷ λιγνυώδει διαφορεῖ. τὰ δ' εἰρημένα καταπλάσματα τὰ χαλαστικὰ, μετὰ τῶν ὁμοίων
αἰονήσεων, οὔτε τι τῶν ἀγαθῶν ἔχει, καὶ πάνθ' ἕλκει τὰ περιττὰ πρὸς τὸ τῶν μορίων ἀσθενέστερον, ὅ, τι περ ἂν ᾖ
τῶν κατὰ τὰ μέσα τοῦ σώματος. εἴτ' οὖν ἧπαρ, εἴτε γαστὴρ, εἴτε φρένες, εἴτε μεσάραιον, ἢ νῆστις, ἢ κῶλον, ἢ νε-
φροί. εἰ δ' ἐπιμελέστεροι βουλόμεθα φαίνεσθαι, καὶ τὸν θώρακα συνθερμαίνοιεν, ἤτοι γ' εἰς αὐτὸν ἐκεῖνον ἕλξουσι
τὸ περιττὸν, ἢ εἰς τὴν καρδίαν, ἢ εἰς τὸν πνεύμονα. λέγω δὲ ἀσθενὲς μόριον ἤτοι τὸ φύσει δυσκρατότατον, ἄλ-
λως γὰρ ἄλλο τοιοῦτον, ἢ τὸ κατά τινα προηγησαμένην νόσον, ἐν δυσκρασίᾳ γενόμενον, ἢ κατὰ τὸν ἐνεστῶτα χρόνον
εἰς αὐτὴν ἠγμένον. οὐ γὰρ ἁπάντων εὐθέως τῶν φλεγμαινόντων μορίων, ἢ σηπομένους χυμοὺς περιεχόντων, ἢ
ἐμπεφραγμένων, ἡ δύναμις ἀῤῥωστεῖ. θᾶττον μέντοι κἀπὶ τούτων εἰς τὸ πεπονθὸς φέρεται τὸ περιττὸν ὁπόσον
ἂν ᾖ διὰ τὴν ἐκ τοῦ παθήματος θέρμην. ἡ γὰρ οἷον ἑστία τοῦ πυρετοῦ, τὸ τὴν ἔμφραξιν ἢ τὴν σῆψιν ἢ τὴν
φλεγμονὴν ἐκδεξάμενόν ἐστι μόριον. ὅταν οὖν ἕλκον τι διὰ θέρμην αὐτῷ προσέλθοι τις ἔξωθεν ἑτέρα πρόφα-
σις ἔκ τινος τῶν δυνάμει θερμαινόντων, ἀναγκαῖον αὐξάνεσθαι τὴν διάθεσιν. εἰ δ' ὡς εἴρηται προκεχωρημένος
ὅλον τὸ σῶμα, διὰ τῶν χαλαστικῶν θεραπεύοιτο, χωρὶς τοῦ μέγιστον εἶναι τὸν πυρετὸν, ὀνίναιτ' ἄν τι. τηνικαῦτα
δ' ὡς ἐλέχθη καὶ λούοιτ' ἂν ἀβλαβῶς. χρὴ δὲ φυλάττεσθαι τὴν ψυχρὰν δεξαμενὴν τοὺς τοιούτους. εἰώθασι γὰρ οἵ τ' ὠμοὶ
χυμοὶ καὶ οἱ σηπόμενοι, δυσ~~διάπνευστοι~~ γίγνεσθαι χρονιζόντων ἐν αὐτῇ. βλάπτει δ' αὐτοὺς κἂν ἰσχυρῶς εἴη τὸ
ὕδωρ ψυχρὸν, ἐπειδὴ διαπνεῖσθαι τῶν οὕτω διακειμένων καὶ ὅλον μὲν τὸ σῶμα δεῖται. μάλιστα δὲ τὸ πεπον-
θός. ὥστε ἤτοι περιχέειν αὐτοῖς ὡς εἰώθαμεν ἐπιτήδειον ὕδωρ, ἢ εἰ μετρίως εἴη τὸ κατὰ τὴν κολυμβήθραν ψυ-
χρὸν ἐπιτρέψαντες ἐμβῆναι, διὰ ταχέων ἐξιέναι κελεύειν. ἐπὶ δὲ πεπαινομένῳ (?) τῷ νοσήματι, καθ' ὃν ἤδη καιρὸν
ἐκδεδαπάνηται μὲν τὰ περιττὰ, πέπτεται δὲ τὰ ὠμὰ, καὶ τὰ σηπόμενα, καὶ καταπλάσμασι χαλῶσι. καὶ βα-
λανείοις ἀκινδύνως χρῆσθαι. καιρὸς δ' ἐπιτηδειότατος ἐν τοῖς διαλείπουσι πυρετοῖς, ὅταν ὡς εἴρηται διαπνοῇ
ἀρξηται τὸ πυρετῶδες θερμόν. εὐθὺς γὰρ καὶ τῇ τροφῇ παρασκευάζει τὸ σῶμα, δυοῖν τούτοιν σκοποῖν, καὶ τοῦ ταύ-
της καιροῦ δεομένου, τῆς τ' ἀκμῆς τοῦ προγεγονότος παροξυσμοῦ καὶ τῆς ἀρχῆς τοῦ γενησομένου. πρὸς τούτους γὰρ ἀπο-
βλέποντας, χρὴ πειρᾶσθαι ποῤῥωτάτω τρέφειν ἑκατέρου. εἰ μὲν οὖν ἱκανὸν εἴη τρέφειν ἐν μέσῳ τῆς τ' ἀκμῆς τοῦ
προτέρου παροξυσμοῦ, καὶ τῆς ἀρχῆς τοῦ δευτέρου ῥᾷστον ἐξευρεῖν τὸν καιρόν. εἰ δ' ὀλίγον, ἀναγκαῖον ἐστὶ δυοῖν
θάτερον, ἢ θερμὸν ἱκανῶς ἔτι τὸν κάμνοντα τρέφειν, ἢ μελλούσης ἤδη οὔπω τῆς εἰσβολῆς γενέσθαι τοῦ δευτέ-
ρου παροξυσμοῦ. προγνωστικοῦ τοιγαροῦν ὁ τοιοῦτος πυρετὸς δεῖται ἰατροῦ, δυναμένου στοχάζεσθαι κατὰ τὰς πρώ-
τας εὐθέως ἡμέρας, εἰς πόσον ἐκταθήσεται χρόνον ὁ πυρετός. δῆλον γοῦν ὅτι συνεχὴς ὑπάρχων, ὀξεῖαν ἔχει τὴν
λύσιν. εἰ μὲν οὖν μὴ πόῤῥω τῆς ἑβδόμης ἡμέρας μέλλοι προέρχεσθαι, παντάπασιν ἀσιτητέον ἐστὶ τῷ νοσοῦντι, σο-
χαζομένων ἡμῶν εἰ ἡ δύναμις ἐξαρκέσει. εἰ δ' ἤτοι μέχρι τῆς ἐννάτης ἢ ἑνδεκάτης ἢ τεσσαρεσκαιδεκάτης ἐκτε-
νεῖσθαι μέλλοι, ἢ καὶ περὶ μὲν τὴν ἑβδόμην λύεσθαι, τὴν δύναμιν δ' ἀσθενεστέραν, ἢ ὥστ' ἐξαρκέσαι μέχρι τοσού-
του χρόνου δόξειεν ἔχειν ὁ κάμνων, ἀναγκαῖον μὲν ἔσται τρέφειν, αἱρεῖσθαι δ' ὡς ἐν ἀπόροις προσήκει τὰ ἧττον βλα-
βερά. διοριζομένους τε καὶ ἧττον ἀφορίζοντα τῶν μᾶλλον βλαπτόντων αὐτὰ, τῷ τε τόπῳ τῷ πεπονθότι σὺν τῇ
διαθέσει δηλονότι, καὶ τῷ τοῦ παροξυσμοῦ καὶ τῷ τῆς ἀκμῆς ἤθει. φλεγμαίνοντος μὲν γὰρ ἥπατος ἢ γαστρὸς, ὀλ-
θριώτατον θρέψαι πρὸ τοῦ παροξυσμοῦ. χωρὶς δὲ φλεγμονῆς ἀῤῥωστούντων τὴν δύναμιν, ὠφελιμώτατον. εἰώθασι

γὰρ τῇ

γὰρ τῶν οὕτως ἐχόντων ἐπὶ μὲν τῷ ἥπατι κακοπραγοῦντι, διαχωρήσεις τοῖς παροξυσμοῖς συνεισβάλλειν. ἐπὶ δὲ τῷ στόματι τῆς γαστρὸς, συγκοπήν. τοῖς δ' εἰρημένοις ὀργάνοις τοῦ ζώου, τὸ ἀνάλογον ἐπὶ τῶν ἄλλων σκοπεῖν. κατά γε τὴν θέσιν καὶ τὴν ἀξίαν τοῦ μορίου. λεχθήσεται δὲ καὶ αὖθις ὑπὲρ αὐτῶν. ἦθος δ' ἀκμῆς καὶ παροξυσμοῦ ἀρχῆς, ἀξιῶσε σκοπεῖσθαι προσέχοντα τὸν νοῦν. ἐπὶ μὲν τῆς ἀκμῆς, εἰ ξηρὰ καὶ αὐχμώδης ἄνευ μεγέθους τῆς θέρμης τῆς πυρετικῆς, ἢ διακαὴς χωρὶς αὐχμοῦ. τὴν μὲν γὰρ προτέραν, ὅτι τάχιστα χρὴ τέγγειν ὑγραινούσαις τροφαῖς. ἐπὶ δὲ τῆς δευτέρας, ἀναμένειν λωφῆσαι τὸ πλεῖστον τῆς θερμότητος. οὕτω δὲ καὶ τῆς ἀρχῆς τοῦ παροξυσμοῦ τὸ ἦθος, ἐν ᾧ καταψύχειν τὰ τοῦ σώματος ἀκρωτήρια, καὶ πολλὴν ἔσω ποιεῖσθαι μετάστασιν τοῦ αἵματος, ἢ χωρὶς ἁπάσης γίγνεσθαι θλίψεως ἐπισκέψη. τῆς μὲν γὰρ δευτέρας εἰρημένης τῆς ἀθλίπτου, καταφρονεῖν ὡς ἐπιεικοῦς. ἐπὶ δὲ τῆς προτέρας, διορίζεσθαι. χωρὶς μὲν γὰρ φλεγμονῆς σπλάγχνου, ἢ πληθώρας χυμῶν, ἐπικρατούσης τῆς εἰς τὸ βάθος κινήσεως ἐν τοῖς παροξυσμοῖς οὐδὲν βλάψεις ὀλίγῳ θᾶττον τρέφων. εἰ δ' ἤτοι φλεγμονή τις ἢ πλῆθος εἴη, φυλακτέον τὴν πρὸ τοῦ παροξυσμοῦ τροφὴν, ὡς βλαβερωτάτην.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

Οὔτε γένος, οὔτε εἶδος, οὔτε διαφορά τίς ἐστι πυρετῶν ὡς ἔνιοι νομίζουσιν, οἱ μετὰ συμπτωμάτων συνιστάμενοι. ἀλλ' ὥσπερ ἄλλό τι ἄλλῳ νόσημά τε νοσήματι, καὶ σύμπτωμα συμπτώματι, καθ' ἕνα χρόνον ἐπιπλέκεται περὶ ἓν σῶμα, κατὰ τὸν αὐτὸν τρόπον ἅμα πυρετῷ γίγνεταί τινα μείζω συμπτώματα, περιττοτέρας προνοίας δεόμενα. τῶν μὲν γὰρ μετριωτέρων ἐξ ἀνάγκης ἑπομένων ταῖς γενέσεσι τῶν πυρετῶν. οὐδὲ μέμνηνται τὴν ἀρχήν. ἀλλ' ὡς οὐδ' ὅλως ὄντα, παραλείπουσιν ἀνώνυμα. τὰ δ' ἤτοι κατὰ τὸ σπάνιον ἐπιγινόμενα τοῖς πυρέττουσιν, ἢ τὸ συνήθους ὑπερβάλλοντα μέγεθος, ἐξαιρέτου παρὰ τἄλλα διδασκαλίας ἀξιοῦσιν. εἰσὶ μὲν οὖν αὐτῶν αἱ πρῶται διαφοραὶ, τρεῖς. ἤτοι γὰρ ἐν ταῖς τῶν ἐνεργειῶν βλάβαις εἰσὶν, ἢ ἐν ταῖς τῶν ἐπεχομένων, ἢ κενουμένων ἀμετρίαις, ἢ διαθέσεσι σωμάτων ὑπάρχουσι. οὐ γὰρ τὸ τέταρτον γένος ἐν συμπτώμασι θετέον, εἰ καὶ ὅτι μάλιστα πάμπολλοι καὶ τοῦτο τοῖς συμπτώμασιν ἔμιξαν. οἷον ἐρυσιπέλατα. καὶ ὀφθαλμίας, καὶ ἕλκη, καὶ παρωτίδας. ὅσα τἄλλα τοιαῦτα. τῶν δ' εἰρημένων τριῶν, αἱ μὲν τῶν ἐνεργειῶν βλάβαι λυπηραὶ γενηθεῖσαι, πρὸς ἑαυτὰς ἐπιστρέφουσι τὸν ἰατρὸν, ἀφίστασθαι τῶν διαθέσεων ἀναγκάζουσαι. καθάπερ γε καὶ αἱ τῶν ἐκκρινομένων ἢ ἐπεχομένων ἀμετρίαι. τὸ δ' ἐν ταῖς διαθέσεσι γένος τῶν συμπτωμάτων, σημεῖον μέν ἐστιν ἑτέρας διαθέσεως, ἣν χρὴ θεραπεύειν. αὐτὸ δ' οὐδεμίαν ἐξαίρετον ἴασιν ἔχει, παυόμενον ἅμα τῇ ποιούσῃ διαθέσει. καθόλου μὲν οὖν εἰπεῖν οὐδὲν τῶν συμπτωμάτων, ᾗ σύμπτωμά ἐστιν, οὔτ' ἐνδείκνυται θεραπείαν, οὔθ' ὑπαλλάττει πρώτως. ἐδείχθη γὰρ ἐκ τῶν νοσημάτων ἡ ἔνδειξις τῆς θεραπείας γινομένη, καθάπερ ἐκ τῶν αἰτίων ἡ προφυλακή. λέλεκται δὲ καὶ ὅπως ἡ προφυλακὴ τῷ τῶν ἰαμάτων μίγνυται γένει. κατὰ συμβεβηκὸς δέ ποτε καὶ τὰ συμπτώματα τὴν θεραπείαν ἐξαλλάττει λόγον αἰτίας ἔχοντα κατ' ἐκεῖνον τὸν χρόνον. ἐν δ' αὐτῶν ἐστιν ἁπάντων κεφάλαιον ὅταν γ' ὡς αἴτια τὴν θεραπείαν ὑπαλλάττῃ. λέγω δὲ τὸ ἐν τούτῳ, τὴν βλάβην, εἴτ' οὖν τῆς δυνάμεως, εἴτε τῆς διαθέσεως. ὡς ὅταν γε βλάπτῃ μηδὲν, οὐ διακόπτει τὴν ἴασιν. βλάπτει δὲ τὴν μὲν δύναμιν, ἀγρυπνία, καὶ ὀδύνη. καὶ κένωσις ἄμετρος. τὴν διάθεσιν δ' οὐκ ἀεὶ μὲν ὡς τὰ πολλὰ δέ. καὶ μάλισθ' ὅταν ἄμετρα γένηται. ἐπὶ τούτοις οὖν οὖν μόνοις ἀναγκαζόμεθα τὴν ἀγωγὴν τῆς θεραπείας, ἣν ἐξ ἀρχῆς ἐνεστησάμεθα μεταβαλόντες ἐν τῷ παρόντι, πρῶτον ἐκκόψαι τὸ σύμπτωμα. καταλυομένης οὖν τῆς δυνάμεως, οὐ μὴν ἤδη γε ἰσχυρῶς καταλελυμένης, ἀλλ' ἀντεχούσης ἔτι, πρὸς τὸ σύμπτωμα μόνον ἀποβλέπομεν, ὅτι τάχιστα σπεύδοντες ἀναιρεῖν αὐτό. καταλελυμένης δ' ἰσχυρῶς, οὐ μόνον τὸ σύμπτωμα παύειν, ἀλλὰ κἀκείνην ῥωννύειν σπεύδομεν. εἰ δ' ἑνὶ βοηθήματι καὶ τὸ σύμπτωμα παύεσθαι δύναιτο, καὶ τὸ νόσημα θεραπεύεσθαι, τοῦτο οὐκ ἂν εἴη πρὸς σύμπτωμα βλέπειν, ἢ συμπτώματος ἕνεκα βοήθημα παραλαμβάνειν. ἀλλ' ἄντικρυς ἡ τοιαύτη πᾶσα τῶν βοηθημάτων ἰδέα νοσημάτων ἴασίς ἐστιν. οὔτε γὰρ ὅταν ἄλγημα πλευρᾶς ἐν πλευρίτιδι φλεβοτομήσαντες, ἢ καθάραντες ἰασώμεθα, συμπτώματός ἐστιν ἡ τοιαύτη θεραπεία, οὔθ' ὅταν ἀπόστημα διατεινόμενον, καὶ σφύζον ὀδυνηρῶς διελόντες, ἐκκρίνωμεν τὸ πῦον. ἀλλ' ὅταν εἰ οὕτως ἔτυχεν ἐπὶ δυσεντερικῆς ἐκκρίσεσι δακνούσαις σφοδρῶς, ἤτοι τράγου χυλὸν ἐνιῶμεν, ἢ στέαρ αἴγειον, ἢ ῥοδίνην κηρωτήν. ὑφ' ὧν αὕτη μὲν ἡ τῶν ἐντέρων ἕλκωσις, οὐ θεραπεύεται. καὶ μάλισθ' ὅταν ἔχῃ τι σηπεδονῶδες. ἀναπαύεται δ' ἡ δύναμις ἐν τῷ μεταξύ. καὶ τοῦτ' ἔστι τὸ πρὸς τὸ σύμπτωμα ἱστάναι, τοῦ νοσήματος, ἀμελήσαντες παρ' ἐκεῖνον τὸν καιρόν. ὡς ὅταν γε θαρρῶμεν τῷ τόνῳ τῆς δυνάμεως, οὐδέ ποτε πρὸς τὸ σύμπτωμα ἐνιστάμεθα. τοὐναντίον δ' ἅπαν ἐνίοτε διὰ τῶν ὀδυνηρῶν βοηθημάτων, τὰ νοσήματα θεραπεύομεν. ὥσπερ ἀμέλει τὴν δυσεντερίαν αὐτὴν δηκτικωτάτοις φαρμάκοις τότε μάλιστα θεραπεύομεν, ὅταν ἡ σφοδροτάτη. πεντηκοντούτης γοῦν ἰατρός τις νοσῶν, ἑβδόμην ἄγων ἐκείνην τὴν νύκτα, μὴ πάνυ τι τὴν δύναμιν ἰσχυρὸς, ἀλγήματος αὐτῷ κεφαλῆς ἰσχυροῦ γενομένου κατὰ τὸν δεξιὸν μάλιστα κρόταφον, οὐκ ἀναμείνας ἀφικέσθαι τινὰ τῶν ἑτέρων, ἑαυτὸν ἐφλεβοτόμησεν ἐν τῇ νυκτί, καὶ τὸ μὲν ἄλγημα, διὰ ταχέων ἔπαυσεν. μέχρι μέντοι χρόνου πολλοῦ, κακόχρους καὶ ἄρρωστος τὴν δύναμιν. ἰσχνός τε καὶ ἄτροφος ἦν, ὡς μόλις ἀναλαβεῖν τὴν ἐξ ἀρχῆς ἕξιν. ἔστι δὲ κἀνταῦθα πρόφασις διττὴ τῶν πρὸς ὀδύνην ἱσταμένων ἰατρῶν. ἐνίοτε μὲν ὑπὲρ τοῦ χαρίσασθαι τῇ μαλακίᾳ τῶν καμνόντων. ἐνίοτε δὲ κατὰ τὸν τῆς τέχνης λόγον. εἰ μὲν γὰρ ἐνὸν ἀντιτιχόντα ταῖς ὀδύναις διὰ τῶν ἰσχυρῶν βοηθημάτων ἡμέρᾳ μιᾷ θεραπευθῆναι, πρὸς τὴν ὀδύνην ἵσταταί τις τῆς ὅλης θεραπείας ἀμελῶν, οὐ κατὰ τὸν λόγον τῆς τέχνης, ἀλλὰ τῷ κάμνοντι

χαριζόμενος οὕτω πράττει. εἰ δὲ ὑπὸ τῆς ὀδύνης ἡ δύναμις καταλύοιτο, καὶ κίνδυνος ἐφεδρεύοι διὰ τοῦτο, πραΰνειν μὲν χρὴ τὸ ἄλγημα, ῥωννύναι δὲ τὴν δύναμιν, ὅπως ἀντέχειν μὲν τῷ νοσήματι δυνηθῇ. πρὸς δὲ τὸν χρόνον διαρκέσαι τῆς ἰάσεως. οἶδα γὰρ ἐνίους τῶν γενναίων εἶναι προσποιουμένων ἰατρῶν τε καὶ καμνόντων ἀπολυμένους δι' αὐτὸ τοῦτο τὸ καρτερῶς τε καὶ ἀνδρείως ὁμόσε χωρεῖν ἀεὶ ταῖς ὀδύναις οὐδὲν τῶν παρηγορικῶν ἑλομένους, ἀλλ' ἐν τοῖς τραχέσι καὶ ὡς ἔλεγον αὐτοὶ τὴν διάθεσιν ἀνασκευάζουσι διαγιγνομένους βοηθήμασιν οὓς ἐν χρόνῳ πλείονι θεραπεῦσαι βέλτιον ἦν, ἢ τοὺς σπεύδοντας ἀνδρείως ἀποθανεῖν. ἰώμενος δέ τις ὡς αὐτὸς ἐνόμιζε, γενναίως δυσεντερικοὺς, ἰσχυροτάτῳ φαρμάκῳ πολλοὺς μὲν ἐθεράπευσεν ἐν ἡμέρᾳ μιᾷ. τινὰς δὲ ἀπέκτεινεν. ἦν δ' ὁ τρόπος αὐτοῦ τῆς θεραπείας τοιόσδε. κρόμυα τὰ κάρπα καλούμενα, μετὰ ἄρτου ἐδίδου ἐσθίειν καὶ πίνειν ὀλίγον ἡμέρᾳ μιᾷ. κατὰ τὴν ὑστεραίαν ἕωθεν ἔκλυζεν ἅλμῃ δριμυτάτῃ. καὶ μετ' αὐτὴν ἐνίει φάρμακον ἰσχυρόν. ὅσοι μὲν οὖν ἀντέχειν ἐδυνήθησαν αὐτῷ, τελέως ὑγιάσθησαν. ἔνιοι δὲ σπασθέντες ἢ μετὰ νοτίδος ὑπὸ τῆς ὀδύνης συγκοπέντες, ἀπέθανον. ὅρος οὖν, ἐστὶ καμνόντων τῷ κατὰ τὸν λόγον τῆς τέχνης ἀγωνιζομένῳ γενναίως πρὸς τὸ νόσημα. τὸ τῆς ἰάσεως ἀσφαλὲς, ὥσπερ γε καὶ τῷ πραΰνοντι τὰς ὀδύνας, ἡ τῆς δυνάμεως φυλακή. τὸ δ' ἐπέκεινα τῶνδε, σκαιοῦ μὲν ἀνδρὸς ἔργον ἐστὶν ἅμα τῷ νοσήματι καὶ τὴν ζωὴν ἀφελέσθαι τὸν ἄνθρωπον, κόλακος δὲ, τὸ χαρίζεσθαι τῷ νοσοῦντι, σκοπὸν ὧν πράττει θέμενον ἡδονὴν, οὐχ ὑγείαν. ἐμπίπτουσι δ' εἰς τὰς τοιαύτας ὑπερβολὰς ἐν πολλαῖς μὲν καὶ ἄλλαις ὕλαις βοηθημάτων οἱ ἰατροὶ, μάλιστα δ' ἐν τοῖς καλουμένοις ἀνωδύνοις φαρμάκοις, ὅσα δι' ὀποῦ μήκωνος, ἢ ὑοσκυάμου σπέρματος, ἢ μανδραγόρου ῥίζης, ἢ στύρακος, ἢ τινὸς τοιούτου συντιθέασιν. οὔτε γὰρ χαριζόμενοι τοῖς νοσοῦσι, πλεονάζουσιν ἐν τῇ χρήσει τῶν τοιούτων φαρμάκων, οὔτ' ἀκαίρως καὶ ἀμέτρως γενναῖοι μὴ δ' ὅλως χρώμενοι, διαφθείρουσιν ὀδύναις τοὺς κάμνοντας. ὥσπερ οὖν ἐν ἁπάσαις ταῖς καθ' ὅλον τὸν βίον ἕξεσί τε καὶ πράξεσιν, οὕτω κἀνταῦθα τὸ μηδὲν ἄγαν, αἱρετέον, ὅρον ἔχοντα τὴν ὠφέλειαν τοῦ κάμνοντος. εἰ μὲν γὰρ οἷόν τε εἴη τοῖς ἰωμένοις τὸ νόσημα βοηθήμασι χρώμενον ἀνύσαι τὸ δέον, ἀφίστασθαι χρὴ τῶν καρωτικῶν φαρμάκων, ἃ καλοῦσιν ἀνώδυνα. εἰ δὲ ὑπό τε τῶν ἀγρυπνιῶν καὶ τοῦ καταλύεσθαι τὴν δύναμιν εἰς κίνδυνον ὁ κάμνων ἥκει θανάτου, τότ' ἂν ἐν καιρῷ χρήσαιο καὶ τοῖς τοιούτοις φαρμάκοις. ἐπιστάμενος μὲν ὅτι βλάψεις τι τὴν ἕξιν τοῦ σώματος. αἱρετώτερον δὲ εἶναι νομίζων τοῦ θανάτου τὴν βλάβην. εἰ μὲν γὰρ μὴ πάνυ τις αὕτη μεγάλη γένοιτο, κἂν ἐκκόψαιμεν αὖθις αὐτὴν ἐπὶ μακροτέρας σχολῆς. εἰ δ' οὕτως ἄμετρος ὡς μὴ δ' ἐν χρόνῳ πολλῷ τελέως ἰαθῆναι, τοῦτο γοῦν αὐτὸ βέλτιον εἶναι νομίζομεν, ἢ ἀπολέσθαι τὸν ἄνθρωπον. κατὰ τοῦτον τὸν λογισμὸν, καὶ ἡμεῖς αὐτοὶ καί τοι μάλιστα πάντων ἐξιστάμενοι χρῆσθαι καρωτικοῖς φαρμάκοις, ἔσθ' ὅτε καὶ κωλικοῖς ἐδώκαμεν αὐτά. καὶ ὀφθαλμοὺς ὀδυνωμένοις σφοδρότατα. καὶ οὖς. ἕτερά τε μόρια κατὰ τὸν αὐτὸν τρόπον. ἔσθ' ὅτε καὶ διὰ κατάῤῥουν λεπτὸν ἀγρυπνοῦντός τε καὶ βήττοντος ἰσχυρῶς τοῦ κάμνοντος, ἐδώκαμεν ὀλίγον τι τοῦ τοιούτου φαρμάκου, ῥᾷστον εἶναι νομίζοντες ἐπανορθώσασθαι τὴν βλάβην τῷ χρόνῳ, εἴ τις ἅπαξ χρήσαιτο καρωτικῷ φαρμάκῳ. διαφέρει δὲ δή που καὶ αὐτὰ τὰ φάρμακα σφῶν αὐτῶν. τὰ μὲν γὰρ πλεῖστον ἔχοντα τῶν καρούντων, εὐδοκιμεῖ μὲν ἐν τῷ παραυτίκα μᾶλλον. ἰσχυρὰν δὲ καὶ δύσλυτον ἐναποτίθεται τὴν ψύξιν τῷ τοῦ κάμνοντος σώματι. τὰ δ' ἔλαττον μὲν τούτων ἔχοντα, τῶν μιγνυμένων δὲ αὐτοῖς θερμαντικῶν πλεῖστον, ὅσον ἀπρακτότερα πρὸς τὸ παρὸν ὑπάρχει, τοσοῦτον ἀβλαβέστερα πρὸς τὸ μέλλον. ἅπαντα δ' ἀμείνω τὰ τοιαῦτα μετ' ἐνιαυτὸν τῆς συνθέσεως λαμβανόμενα, καθάπερ καὶ τὸ τοῦ Φίλωνος, οὐδενὸς ἧττον ἐνδόξου ὀδύνας πραΰναι ναρκῶσαν τὴν αἴσθησιν. ἔστι δὲ καὶ ἄλλα πολλὰ φάρμακα διὰ τῶν σπερμάτων, ὀνομαζόμενα καὶ τρυγόνος μετριώτερα μὲν εἰς τὴν ἐν τῷ παραχρῆμα νάρκην. ἀκινδυνότερα δὲ, εἰς τὸ μέλλον. ἅπαντα δ' ἀμείνω καὶ ταῦτα μετ' ἐνιαυτὸν τοῦ συντίθεσθαι λαμβανόμενα. τό γε μὴν τοῦ Φίλωνος εἰ καὶ δυοῖν ἢ καὶ τριῶν ἢ καὶ τεττάρων ἐτῶν εἴη, πολὺ δή που βέλτιον, οὐκ ἄχρηστον δ' οὐδ' ἐν τοῖς ἐφεξῆς ἔτεσιν ἄχρι που ἐτῶν δέκα. τὸ γὰρ ἐπὶ πλέον κεχρονισμένον, ἀβλαβέστερον μὲν εἰς τοσοῦτον, εἰς ὅσον χρονιώτερον. ἤδη δ' ἐξίτηλον ἐστὶ τὴν δύναμιν, ὥστε ἀσθενῶς ἀνύειν, οὗ χάριν ἐσκευάσθη. ὥσπερ οὖν χρὴ φυλάττεσθαι καθ' ὅσον οἷόν τε τὴν τῶν τοιούτων φαρμάκων χρῆσιν, οὕτως ἀναγκασθέντας χρήσασθαι, μήτε νέα ἱκανῶς προσφέρειν ἰσχυρὰν ἔτι δύναμιν ἐχόντων τῶν ἐν αὐτοῖς ψυκτικῶν μήθ' οὕτως παλαιὰ ὡς ἁμαρτεῖν τοῦ σκοποῦ, ἀλλ' ὡς εἴρηται τοσοῦτον ἀναμένειν χρόνον ἐν ὅσῳ κολασθήσεται τὸ βίαιον τῶν ψυκτικῶν ὑπὸ τῆς τῶν θερμαινόντων δυνάμεως. ἡ μὲν δὴ τῶν τοιούτων φαρμάκων χρῆσις, ὡς πρὸς σύμπτωμά ἐστιν ἱσταμένων. καὶ μάλισθ' ὅταν ὑπὸ ψυχρᾶς αἰτίας ἡ ὀδύνη συνίσταται. βλάπτει γὰρ ἰσχυρῶς τὴν διάθεσιν ὅλην ταῦτα, καὶ δύσλυτον ἀπεργάζεται. φλεβοτομία δέ γε ἡ μὴ καταλύουσα τὴν δύναμιν, οὐ πρὸς τὸ σύμπτωμα βλεπόντων ἐστὶ, ἀλλὰ τὴν διάθεσιν ὅλην ἐκκοπτόντων. οὕτω δὲ καὶ λουτρὸν, καὶ κάθαρσις καὶ πυρία, καὶ οἴνου πόσις. ὧν ἁπάντων Ἱπποκράτης ἐπὶ ὀφθαλμῶν ὀδυνωμένων ἐμνημόνευσεν ἐν ἀφορισμοῖς λέγων ὧδε. » Ὀδύνας ὀφθαλμῶν ἀκρατοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει. » ἅπαντα γὰρ ταῦτα τὰς διαθέσεις ἰώμενα συνεξιᾶται τὰς ὀδύνας αὐτῶν. οὕτω δὲ καὶ τροφὴ καθάπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἶπον, ξηρῷ καὶ αὐχμώδει σώματι κάμνοντος στομάχου διδομένη, τὴν διάθεσιν ἰωμένη, κωλύει συγκόπτεσθαι. οὐ μὴν ἥ γε διὰ πλῆθος ψυχρῶν, ἤτοι γ' ἔκλυσις ἢ στομαχικὴ συγκοπὴ, τῆς τροφῆς, ὡς ἰάματος, δεῖται. καί τοι πολλάκις ἐν ταῖς τοιαύταις διαθέσεσιν οὐ τροφὴν μόνον, ἀλλὰ καὶ οἴνου τι δοῦναι τοῖς κάμνουσιν ἀναγκαζόμεθα, τὸν ἐν τῷ παραχρῆμα κίνδυνον ἀποτρέποντες, οὐ τὴν διάθεσιν ἰώμενοι. κένωσις γὰρ μᾶλλον ἢ πρόσθεσις ἡ τῶν τοιούτων ἐστὶν ἴασις. καὶ πλείστους ἰδεῖν ἐστι τῶν οὕτως ἐχόντων ὁσημέραι διαφθειρομένους ἀμαθίᾳ τῶν ἰατρῶν. ὑπὲρ ὧν μοι δοκεῖ καιρὸς εἶναι τὸν λόγον ἐπιστήσαντα διελθεῖν. ἄρχονται τοίνυν πυρέττειν ἔνιοι πάμπολυ πλῆθος ὠμῶν χυμῶν ἠθροικότος ἅμα τῷ κεκακῶσθαι τὸ στόμα τῆς γαστρός. ὃ δὴ καὶ στόμαχον ὀνομάζουσιν. ἤτοι γ' ἐξ ἀπεψιῶν ἢ καὶ ἄλλως πως, ἐμπεφύσηνται τούτοις τὸ ὑποχόνδριον, ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν ὅλον τὸ σῶμα ἐστί. καὶ ἡ χροιὰ, τοῖς μὲν ἐπὶ τὸ λευκότερόν τε καὶ ὑδαλεώτερον ἐκτέτραπται

τὸ κατὰ φύσιν. ἔστι δὲ οἷς ἐπὶ τὸ μελάντερον ἢ πελιδνότερον, οὓς ἔνιοι τῶν ἰατρῶν ὀνομάζουσι μολιβδοχρῶτας. οἱ
σφυγμοὶ δ' ἁπάντων μικρότεροί τε εἰσὶν ἢ κατὰ λόγον τῆς θέρμης, ἀμυδροὶ δὲ καὶ πάντως ἀνώμαλοι. πολλάκις
μὲν καὶ τὴν συστηματικὴν ὀνομαζομένην ἀνωμαλίαν, ἀεὶ δὲ τὴν κατὰ μίαν πληγήν. ἐπ' οὐδενὸς τῶν τοιούτων αἵμα-
τος ἀφαίρεσις ἄνευ μεγίστης εἴωθε γίγνεσθαι βλάβης. καί τοι δέονταί γε κενώσεως. ἀλλ' οὔτε φλεβοτομίαν, οὔτε
κάθαρσιν φέρουσιν. εἴγε καὶ χωρὶς τούτων ἐξαίφνης συγκόπτονται. πῶς οὖν χρὴ τοὺς τοιούτους ἰᾶσθαι δεομένους μὲν
κενώσεως, μὴ φέροντας δὲ τὰ κενωτικὰ βοηθήματα; οὐδὲ μίαν ἄλλην εὗρον ἐπ' αὐτῶν κένωσιν, πλὴν τὴν τῆς
διατρίψεως. ἄρχεσθαι δ' εὐθέως ἐν ἀρχῇ τῆς νόσου προσήκει. τὸ μὲν πρῶτον, ἀπὸ τῶν σκελῶν ἄνωθεν κάτω διὰ
σινδόνων μὴ πάνυ μαλακῶν, ἀλλά τι μέτριον ἐχουσῶν τραχύ. χρὴ γὰρ ἀμύττεσθαι πρὸς αὐτῶν τὸ δέρμα, θερ-
μαίνεσθαί τε ὁμοῦ αὐτὸ καὶ διαφορεῖσθαι δεομένου τοῦ κάμνοντος. ἐφεξῆς δὲ καὶ ὅλας τὰς χεῖρας ἀπὸ τῶν ὤμων
ἄνωθεν κάτω κατὰ τὸν αὐτὸν τρόπον τρίβειν. ἐπειδὰν δὲ ἱκανῶς ἅπαντα τὰ κῶλα φαίνηται θερμὰ, καὶ φό-
βος ἢ κοπώδη τινὰ αἴσθησιν αὐτοῖς γίνεσθαι, τεθλασμένης τῆς σαρκὸς ἐπὶ τῷ πλήθει τῆς θλίψεως, ἐλαίῳ χαλα-
στικῷ χρηστέον, οἷόν ἐστι τὸ σαβῖνον. ἀπέχεσθαι δὲ τῶν στυφόντων, σπανοῦ. καὶ ἰστρικοῦ. καὶ τοῦ μετὰ θαλλῶν. ἢ ἐξ
ὠμῆς ἔτι τῆς ἐλαίας ἐσκευασμένου. χειμῶνος δ' ὄντος, οὐδὲν ἂν εἴη χεῖρον ἐπί τι τῶν διαφορητικῶν ἰέναι, οἷόν
περ ἐστὶ τὸ σικυώνιον ἔλαιον, ἢ τὸ διὰ τοῦ χαμαιμήλου, ἢ τὸ παρὰ τοῖς αἰγυπτίοις εὐδοκιμοῦν. εἰ δὲ μὴ παρείη ταῦ-
τα, τῶν ἐλαιῶν τι τῶν χαλαστικῶν, οἷς οὐδεμία σύνεστι τις στύψις. καὶ μάλιστα εἰ παλαιότερον εἴη, λαβόντας, ἐμ-
βαλεῖν αὐτῷ σύμμετρον ἀνήθου. κἄπειτα, ὡς εἰώθαμεν, ἐπ' ἀγγείου διπλοῦ θερμήναντάς τε ὥστε δέξασθαι μετρίως
αὐτὸ τὴν ποιότητα τῆς βοτάνης ἀλείφειν τε τούτῳ, τρίβοντας καὶ νῦν ἐπὶ πλεῖστον τὰ κῶλα. μετὰ δὲ ταῦτα,
τὸ μὲν ἔλαιον ἀπομάττειν. ἀσκηρὸν γὰρ ἰέναι δὲ ἐπὶ τὴν ῥάχιν ὅλην, καὶ ταύτην ἀνατρίβειν ὁμοίως. τὰ μὲν πρῶ-
τα, ξηρᾷ τρίψει. τῷ λίπει δ' ὕστερον. εἶτ' αὖθις, ἐπὶ τὰ σκέλη μετιέναι, κἀκ τούτων αὖθις, ἐπὶ τὰς χεῖρας.
εἶτ' αὖθις ἐπὶ τὴν ῥάχιν ὅλης τῆς ἡμέρας οὕτω πράττοντας ἐν οἴκῳ φῶς ἔχοντι καθαρὸν καὶ ἄνικμον. ἔστω δὲ δη-
λονότι καὶ τῇ θερμότητι σύμμετρος ὁ οἶκος. ἐπιτηδειότατον δὲ τούτοις ἔστω τὸ μελίκρατον ἐναφεψηθέντος
ὑσσώπου. καὶ χρὴ μήτε σιτίων αὐτοῖς, μήτε ῥόφημα, μήθ' ὕδωρ διδόναι, μήτ' ἐπιτρέπειν ὅλως πίνειν δα-
ψιλῶς. ἀλλὰ τῷ μελικράτῳ μόνῳ χρῆσθαι, κατὰ τὰς τρεῖς τὰς πρώτας ἡμέρας ἐκ διαδοχῆς τρίβοντα καὶ μό-
νον ἐκεῖνον ἀνιέντα τὸν καιρὸν, ἐν ᾧ περ ἂν ὕπνος αὐτοὺς καταλάβῃ. συνεργεῖ δ' εἰς τοῦτο μάλιστα, καὶ ἡ πλείων
τρίψις. ὥστε καὶ κατὰ τοῦτ' ἂν εἴη βοήθημα χρηστὸν, οὐ μόνον τὸ κενοῦν, ἀλλὰ καὶ τὸν ὕπνον ἐμποιοῦν. οὐ μὴν οὐδ' ὁ
πλείων ὕπνος ἀγαθὸς τοῖς τοιούτοις. οὔτε γὰρ ἐπιτρέπει διαφορῆσαι τοὺς ὠμοὺς χυμοὺς, καὶ βαρύνει τὰ σπλάγ-
χνα. ἀλλ' εἴπερ τις ἄλλη διάθεσις ἑκατέρων δεῖται μετρίων ὕπνου τε καὶ ἐγρηγόρσεως, οὕτω καὶ ἥδε. πέττει μὲν
γὰρ ὁ ὕπνος, διαφορεῖ δὲ ἡ ἐγρήγορσις. ἀμφοτέρων δ' ἐστὶ χρεία τοῖς ἐκ πλήθους ὠμῶν χυμῶν νοσοῦσιν. ἐν μέρει
τοίνυν μετρίως γινόμενα, τιμωρεῖν ἀλλήλοις δύνανται χρηστῶς. εἰ μὲν γὰρ ὁ σφυγμὸς αὐτοῖς μικρὸς ἱκανῶς
εἴη καὶ ἄρρωστος, ἢ καὶ πρὸς τούτοις ἀνώμαλος ἰσχυρῶς, ἔσχατος ὁ κίνδυνος. καὶ χρὴ πράττειν τὰ λελεγμένα μη-
δὲν ἄλλο περιεργαζόμενον. εἰ δὲ καὶ τόνου μετρίως ἔχει καὶ μεγέθους, ἄθλιπτός τε εἴη καὶ ὁμαλὸς, ἐπισκέπτου τὰ κατὰ
γαστέρα, καὶ κλύζε θαρρῶν, εἰ μὴ καλῶς αὐτομάτως διεξέρχοιτο. συμβαίνει γὰρ ἐπὶ τῷ μελικράτῳ κενοῦσθαι
ταύτῃ χρηστῶς ἅπασαν τὴν περιουσίαν, τὴν ἐν ταῖς πρώταις τῶν φλεβῶν εἰωθυῖαν ἀθροίζεσθαι ταῖς καθ' ἧπάρ τε
καὶ μεσεντέριον. εἰ δὲ πλείων τοῦ δέοντος ἡ ὁρμὴ τῶν περιττῶν ἐπὶ τὴν γαστέρα γίνοιτο, τὴν μὲν πρώτην, ἐπὶ
πλέον ἕψειν τὸ μελίκρατον. ἧττον γὰρ ὑπάγον τὸ τοιοῦτον, τρέφει μᾶλλον. ὥσπερ γε τὸ ὠμὸν, ἧττον μὲν τρέφει,
μᾶλλον δ' ὑπάγει. μετὰ δὲ ταῦτα φερομένης ἐπὶ πλέον κάτω τῆς περιουσίας, μηδ' οὕτως μὲν ἵστασθαι. διδόναι
δ' ἀντὶ τοῦ μελικράτου, πτισάνης χυλόν. εἰ δ' ἐπιμένοι φερόμενα, τῷ ἐκ τοῦ χόνδρου ῥοφήματι τρέφειν, παρακο-
λουθοῦντα δηλονότι τοῖς σφυγμοῖς. ἔσθ' ὅτε γὰρ ἐξαίφνης μεταβάλλουσιν εἰς ἀρρωστίαν, ἢ ἀνωμαλίαν, ἢ μικρότη-
τα. καθ' ὃν καιρὸν ἄρτον ἐξ οἴνου κεκραμένου διδόναι προσήκει. μήτε γαστρὸς δηλονότι, μήθ' ἥπατος φλεγμαι-
νόντων. ὡς εἴγε φλεγμαίνειεν ὠμῶν χυμῶν πεπληρωμένου τοῦ σώματος, ἀνέλπιστος ὁ κάμνων ἐστὶ τῶν σφυγμῶν
οὕτω τραπέντων. ἐπὶ μὲν δὴ τῶν τοιούτων ἀρρώστων προλέγων τὸν θάνατον, ἀνέγκλητον φυλάξαις σεαυτὸν μη-
δενὶ βοηθήματι γενναίῳ χρώμενος. ἐφ' ὧν δ' ἐλπὶς σωτηρίας, ἐπὶ πάντων δ' ἐστὶ τῶν χωρὶς φλεγμονῆς οὕτω
νοσούντων, ὅταν ἐξ ἀρχῆς παραλαμβάνωμεν αὐτοὺς, αἴσχιστον εἶναί μοι δοκεῖ συγκοπῆναι τὸν κάμνοντα.
καί τοι γ' ὁσημέραι γίγνεται τοῦτο διὰ τὴν ἀμαθίαν τῶν ἰατρῶν. ἀλλ' οὐ πρὸς τούτους χρὴ βλέπειν, οὐδὲ τούτοις
παραβάλλειν ἑαυτόν. ἀλλ' ὅστις ἂν ὄντως ᾖ τέχνης ἰατρικῆς ἐπιστήμων, αἰσχρὸν εἶναι νομίσει ἐξαίφνης ἄρρωστον συγ-
κοπῆναι, μήτε προειπόντος αὐτοῦ τὸ σύμπτωμα, μήτε παρασκευασμένου πρὸς αὐτὸ, μήτε κωλύσαντος. εἴρη-
ται δέ μοι καὶ πρόσθεν ὡς ἐν ταῖς τοιαύταις διαθέσεσιν αὐτοὶ κατασκευάζουσι τὰς φλεγμονὰς, οἱ διαπαντὸς
τοῖς ὑποχονδρίοις λωβώμενοι διὰ καταπλασμάτων τε καὶ καταντλήσεων. οὔκουν χρηστέον αὐτοῖς, πρινὴ τὸ πο-
λὺ τοῦ πλήθους, τὸ μὲν ἐκκενῶσαι. τὸ δὲ, πέψαι. τηνικαῦτα δὲ ἤδη χρηστέον αὐτοῖς, οὐχ ἁπλῶς χαλῶντας, ἀλλ'
ἀναρρωννύντας διὰ ἀψινθίου μετρίως, ἢν ὁ πυρετὸς ὑπάρχῃ μὴ πάνυ μέγας. εἰ δ' ὡς εἴρηται θεραπεύοντί σοι τὰς
τρεῖς τὰς πρώτας ἡμέρας μηδὲν ἀπαντήσειε χεῖρον, ἐπὶ τῶν αὐτῶν ἄγειν ἄχρι τῆς ἑβδόμης μελικράτῳ μόνῳ
χρωμένους ὕσσωπον ἔχοντι. μακροτάτην γὰρ οἱ οὕτω διακείμενοι φέρουσιν ἀσιτίαν, ἐξ αὐτῶν ὧν ἔχουσιν ὠμῶν
χυμῶν πεττομένων, τρεφομένου τοῦ σώματος. εἰ δὲ μὴ μόνον ὠμοὶ τύχοιεν ὄντες, ἀλλὰ καὶ διαφθορᾶς εἰς τοσοῦ-
τον ἥκοντες, ὡς μὴ δύνασθαι πεφθῆναι τελέως, ἀδύνατον σωθῆναι τοὺς οὕτω νοσοῦντας. ἀλλὰ τούς γε σωθῆ-
ναι δυναμένους εἰ μηδὲν ἁμαρτάνοιτο, μέχρι τῆς ἑβδόμης, ἐπὶ μελικράτῳ μόνῳ διαιτᾶν, ἢ εἴ ποτ' ἄρα δεήσειεν
ἤτοι τῆς γαστρὸς ἐκκρινούσης, ἢ ἀποστραφέντων αὐτῶν τὸ μελίκρατον, ἐπὶ τὸν τῆς πτισάνης ἰέναι χυλόν. εἰ δὲ καὶ τοῦ-
τον ἀποστρέφοιντο, χόνδρον ὁμοίως ἀρτύειν πτισάνῃ. καὶ γὰρ οὐδὲ βλάπτει τοὺς οὕτω διακειμένους ὄξος. ἀλλ' ἤν αἰ-
σθοιό ποτε παχεῖς ἱκανῶς εἶναι τοὺς ὠμοὺς, ὀξύμελι διδόναι διὰ παντὸς ἀντὶ τοῦ μελικράτου. εἰ δ' ἄχθοιντο πρὸς

συνεχὲς τῆς νόσου, ἐξ ἀλλάττειν μὲν ἐπὶ μελίκρατον καὶ πτισάνην, ἐπανέρχεσθαι δ᾽ αὖθις ἐπ᾽ αὐτό. μάλιστα δὲ ἐπὶ τῶν μικρὸν ἐχόντων καὶ ἀραιὸν καὶ βραδὺν τὸν σφυγμὸν ἡγεῖσθαι ψυχροὺς εἶναι τοὺς χυμούς. εὐθὺς δὲ τούτοις σύνεστι καὶ ἡ τοῦ παντὸς σώματος ἀχροία σαφῶς, οἷα πέρ πρόσθεν εἴρηται. δόξει δὲ τισὶν ἴσως ἀδύνατον εἶναι τὸ λεγόμενον, οὐδ᾽ ἐπὶ τῶν πυρεσσόντων οὔτε βραδυτέρων οὔτε ἀραιοτέρων γινομένων τῶν σφυγμῶν. ἀλλὰ κατὰ διττόν γε τρόπον ἀληθὲς ὑπάρχει τὸ εἰρημένον. ἕνα μὲν ἐπειδὴ σαφῶς ἐν τοῖς παροξυσμοῖς καὶ βραδύτεροι καὶ ἀραιότεροι γίνονται τοῦ κατὰ φύσιν. ἕτερον δέ, διότι καὶ κατὰ τοὺς ἄλλους καιροὺς τοῦ παροξυσμοῦ πάντων τῶν ὅπως οὖν πυρεττόντων, ἀραιότερόν τε καὶ βραδύτερον αἱ τούτων ἀρτηρίαι σφύζουσιν. εἰ μὲν γὰρ δὴ θέρος εἴη, καὶ ψυχροπότης ὁ νοσῶν, ψυχρὸν τούτῳ διδόναι τὸ ὀξύμελι. χειμῶνος δ᾽ ὄντος, ἅπασι θερμὸν ὡσαύτως ψυχροπόταις τε καὶ θερμοπόταις. ὥσπερ εἰ καὶ ἄμετρον καῦμα θέρους ὥρᾳ ψυχρὸν καὶ τοῖς θερμοπόταις, εἰ μηδὲν δυσπαθὲς ἔχοιεν σπλάγχνον. ἐναντιώτατα δὲ τούτοις ἐστὶ βαλανεῖα, καὶ ὁ περιέχων ἀὴρ εἰ θερμὸς ἱκανῶς ἢ ψυχρός. ὅθεν οὔτε λούειν προσήκει, καὶ κατακλίνειν ἐν οἴκῳ ὥρᾳ μὲν θέρους ψυχεινῷ, χειμῶνος δ᾽ ἀλεεινῷ. βλάπτονται γὰρ ἱκανῶς ὑφ᾽ ἑκατέρας τῆς ἀμετρίας. ἐν μὲν τοῖς βαλανείοις, ὡς κἂν τῷ θέρει καὶ πάσῃ τῇ κατὰ τὸ θερμὸν αὐξήσει χεομένων τῶν ὠμῶν χυμῶν, καὶ πάντῃ τοῦ σώματος ῥεόντων, ὡς κίνδυνον εἶναι καὶ πρὸς τὸν πνεύμονα καὶ τὴν καρδίαν ἀφικέσθαι, καί ποτε καὶ εἰς τὸν ἐγκέφαλον ἀναδραμεῖν, ἄμεινον ὑπάρχον μακρῷ πέρι τε τὸ ἧπαρ αὐτοῖς ἔτι μένειν, καὶ τὰς πρώτας φλέβας. ἐν δὲ τοῖς ἀμέτρως ψυχροῖς οἴκοις καὶ χειμῶνι καὶ ὅλως ψυχρῷ τῷ περιέχοντι, δυσπεπτοί τε μένουσι οἱ ὠμοὶ χυμοί, καὶ τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις. εἰ μὲν εἶεν μικραί, παραυξουσιν. εἰ δ᾽ οὐκ εἶεν, γεννῶσι διὰ πάχος ἰσχόμενοι καὶ σφηνούμενοι. ταῦτα μὲν οὖν οὕτω πρακτέον, ὅταν ἀπὸ πρώτης ἡμέρας αὐτὸς ἄρχῃ τῆς θεραπείας αὐτῶν. εἰ δὲ συγκοπτομένων ἤδη κληθείης ἀφλεγμάντων ὄντων τῶν ἔνδον χωρίων, διδόναι μὲν αὐτοῖς ἄρτου μὴ πολύ, δι᾽ οἴνου δὲ τῶν ἀνάδοσιν ἐργαζομένων ταχεῖαν. εὐθέως δὲ ἐπὶ τὴν τρῖψιν ἰέναι, καὶ χρῆσθαι κατὰ τὸν εἰρημένον ὀλίγον ἔμπροσθεν τρόπον. εἰ μὲν οὖν εἴη θέρος καὶ τὸ χωρίον φύσει θερμὸν καὶ πνιγῶδες, ἢ ἡ κατάστασις ἱκανῶς θερμή, μεθ᾽ ὕδατος ψυχροῦ δοτέον τὸν οἶνον. εἰ δὲ μηδὲν τῶν τοιούτων εἴη, μετὰ θερμοῦ. τὸ μέντοι δεύτερον καὶ τρίτον, ἐκ παντὸς τρόπου πειρᾶσθαι θερμὸν διδόναι ποτόν. εἰς γὰρ τὴν ὅλην θεραπείαν ἧς ἕνεκα καὶ τὰς τρίψεις παραλαμβάνομεν, ἄμεινον τὸ θερμὸν ταῖς πέψεσι τῶν ὠμῶν χυμῶν συνεργοῦν. ἐφ᾽ ὧν δὲ διὰ χολὴν ξανθὴν ἀδικήσασαν τὸ στόμα τῆς γαστρὸς ἡ συγκοπὴ γένοιτο, ψυχρὸν τούτοις χρὴ προσφέρειν τὸ ποτόν. οἶνον μέντοι τῇ φύσει θερμὸν εἰς ἀνάδοσιν ὁρμῶντα, τοῖς συγκοπτομένοις ἅπασι δοτέον. ἀναδοθῆναι γὰρ βουλόμεθα τὴν ληφθεῖσαν τροφήν, οὐκ ἐν τῇ γαστρὶ μεῖναι. δῆλον δὲ ὅτι τοὺς οἴνους κιῤῥοὺς μὲν τῇ χροιᾷ, λεπτοὺς δὲ, τῇ συστάσει. παλαιοὺς δὲ, τὴν ἡλικίαν ἐκλεκτέον. εὐθὺς δ᾽ ἂν εἶεν εὐώδεις οἱ τοιοῦτοι, καὶ μέντοι καὶ αὐτῷ τῷ παρεῖναι καταπίοντι βραχὺ κραθέντων αὐτῶν, αἰσθάνεσθαι θερμασίας, εἰς ὅλον ἰούσης τὸ σῶμα. μὴ μέντοι πικροί γε ἔστωσαν ὑπὸ παλαιότητος οἱ οἶνοι. καὶ μάλιστα ἐφ᾽ ὧν ὁ τοῦ κάμνοντος στόμαχος ὑπὸ τῆς ξανθῆς ἀδικεῖται χολῆς. οὔτε γὰρ ἔτι τὸ τῶν οἴνων εὔχυμον καὶ τρόφιμον ἔχουσιν οἱ τοιοῦτοι καὶ ἀηδεῖς ὄντες αὐτῷ τούτῳ τὸν στόμαχον ἀνιῶσιν. ἄριστοι τοίνυν εἰσὶν ὅσοι τῶν οἴνων αὐστηροὶ τὴν φύσιν ὄντες, αἰσθητὴν μὲν οὐκέτι τὴν στύψιν ἔχουσι διὰ τὴν παλαιότητα. σαφῆ δ᾽ ἱκανῶς τὴν θερμασίαν. ἅπαντα γὰρ ὧν δεόμεθα ποιήσουσιν, ἐφ᾽ ὧν ὁ στόμαχός ἐστι πικρόχολος. ἡδέως τε λαμβανόμενοι καὶ πέψει καὶ ἀναδόσει συνεργοῦντες· καὶ τὴν κακίαν τοῦ χυμοῦ πραΰνοντες. καὶ θερμὴν τὴν ἕξιν ἐργαζόμενοι. καὶ ῥωννύντες τὸν στόμαχον. ἄριστοι δ᾽ εἰσὶ τῶν τοιούτων οἴνων, σουρεντῖνος, σιγνῖνος, τιβουρτῖνος, μάρσος. ἰταλιῶται πάντες οὗτοι στύφοντες μὲν ἀλλ᾽ οὐχ ὁμοίως ἅπαντες. ὁ μὲν γὰρ σουρεντῖνος, μετρίως τε στύφει καὶ θερμότερος τῶν ἄλλων, καὶ ἡδίων ἐστίν. ἐφεξῆς δ᾽ ὁ τιβουρτῖνος ὁ εὐγενής. ἔστι γάρ τις καὶ ἄλλος τιβουρτῖνος ὁμοίως σαβίνῳ, βραχέας μετέχων στύψεως. ὁ δὲ σιγνῖνος, αὐστηρότερος. καὶ τούτου πολὺ μᾶλλον ὁ μάρσος. πάντες οὗτοι χρηστοὶ πικροχόλῳ στομάχῳ. καὶ διὰ τοῦτ᾽ αὐτοῖς χρηστέον, ὅταν γ᾽ ἤτοι ὑπὸ καυσωδῶν πυρετῶν ἀδικηθεὶς ὑποφέρῃ συγκοπήν. ἢ καὶ ἄλλως πολλῆς εἰς αὐτὸν ἤτοι ῥυείσης ἢ ἀναποθείσης χολῆς. οἷς μέντοι διὰ ὠμοὺς χυμοὺς ὁ κίνδυνος τῆς συγκοπῆς, ὁ φαλερῖνος ἀμείνων τῶν εἰρημένων εἰς τοσοῦτον, εἰς ὅσον εὐχυμότερός τε ἐστὶ καὶ θερμότερος. ἀναδοθήσεται γὰρ αὐτῶν θᾶττον, καὶ τῇ πέψει τῶν ὠμῶν χυμῶν συνεργήσει. τῶν δ᾽ εἰρημένων ἕκαστος, ὁ μὲν μᾶλλον, ὁ δ᾽ ἧττον, ἅπαντες δ᾽ οὖν φαλερῖνοι τονοῦσι μᾶλλον τὸν στόμαχον. ἐπεὶ δὲ καὶ αὐτῶν τῶν φαλερίνων, ὁ μέν τις ἱκανός ἐστι γλυκὺς ὃν ὀνομάζουσι φαυστῖνον, ὁ δ᾽ ὡς μὲν πρὸς ἐκεῖνον, αὐστηρός, ὡς δὲ πρὸς τὸν σιγνῖνόν τε καὶ μάρσον γλυκύς, ἐκλεκτέον εἰς τὰ τοιαῦτα τὸν δεύτερον. εἰ δ᾽ ὁ κάμνων εἴθιστο χρῆσθαι παρὰ τὸν τῆς ὑγείας χρόνον οἴνοις γλυκέσιν, οὐδὲν κωλύει τούτῳ δοῦναι τὸν γλυκύτερον φαλερῖνον. ἐπὶ μέντοι τῆς Ἀσίας καὶ τῆς Ἑλλάδος, ὅσα τε τούτοις ἔθνη γειτνιᾷ, μὴ παρόντων τῶν εἰρημένων οἴνων ἔσθ᾽ ὅτε κάλλιστος πρὸς ἀνάδοσιν τῶν ἐν ἐκείνοις τοῖς χωρίοις εὑρισκομένων οἴνων, ὁ ἀριούσιός τε καὶ ὁ λέσβιος. ὁ μὲν οὖν λέσβιος εὔδηλός ἐστι κατὰ τῆς προσηγορίας ἐν Λέσβῳ γινόμενος. ὁ δ᾽ ἀριούσιος, ἐν χωρίοις τισὶ τῆς Χίου γεωργεῖται. τριῶν δὲ οὐσῶν ἐν Λέσβῳ πόλεων, ἧττον μὲν εὐώδης καὶ γλυκὺς ἐν Μιτυλήνῃ γεννᾶται. μᾶλλον δ᾽ εὐώδης καὶ γλυκύς, ἐν Ἐρέσσῳ. κἄπειτα ἐν Μηθύμνῃ. λαμβάνειν δ᾽ ἀπαραχύτους, οὕτω δ᾽ ὀνομάζουσιν οἷς οὐ μέμικται θάλασσα, μεγίστην βλάβην ἡγουμένους ἐφ᾽ ὧν μέμικται γενήσεσθαι. οὐ μὴν οὐδὲ εἰώθασι τοῖς εὐγενέσιν οἴνοις, ὑπὲρ ὧν ὁ λόγος ἐστὶ μιγνύναι τῆς θαλάσσης ἐν Λέσβῳ καθάπερ οὐδ᾽ ἐν Χίῳ τῷ ἀριουσίῳ. γεννᾶται δὲ καὶ κατὰ τὴν ἑλλησποντιακὴν Μυσίαν οἶνος ὅμοιος τῷ σουρεντίνῳ, μύσιος ὀνομαζόμενος κατ᾽ ἐξοχήν. οὗτοι πάντες οἱ οἶνοι, κιῤῥοί, καὶ θερμοί, καὶ εὐώδεις εἰσί. καὶ τῇ συστάσει μέσοι τῶν θ᾽ ὑδατωδῶν καὶ τῶν παχέων. ὑδατώδεις μὲν οὖν εἰσὶ τὴν σύστασιν, ὅ, τε ἀδριανός, καὶ σαβῖνος, καὶ ἀλβανός, καὶ γαυριανός. καὶ θοῦσκος. ὅ, τε νεαπολίτης ὁ ἀμιναῖος, ἐν τοῖς περὶ Νεάπολιν χωρίοις γιγνόμενος. ὥστε καὶ ὀνομάζουσιν οὕτως αὐτόν. ἐπὶ δὲ τῆς Ἀσίας, ὅ, τε τιβηνῖνος, καὶ ὁ τιτακαζηνός. καὶ τρίτος μετ᾽ αὐτούς, ὁ ἀρσυῖνος. ἔμπαλιν δὲ παχεῖς οἶνοι καθάπερ τὸ σίραιον, ὃ παρ᾽ ἡμῖν ὀνομάζουσιν ἕψημα, ὁ σκυβελλίτης καὶ ὁ θηραῖος ἀλβάτης. ἐπὶ δὲ τῆς

Ἀσίας,

ἀσίας, ἀγκάλτυς τε καὶ περπερῖνος. ἐφ' ὧν οὖν διὰ πλῆθος ὠμῶν χυμῶν ἡ συγκοπὴ γίγνεται, τοὺς μὲν παχεῖς, φευκτέον ὡς βλάπτοντας. τοὺς δὲ ὑδατώδεις, ὡς ἀπράκτους αἱρετέον δὲ τοὺς μέσους αὐτῶν κιῤῥοὺς ὡς εἴρηται καὶ θερμοὺς ὄντας. οὐδὲ γὰρ ἂν εὕροις οὐδένα τῶν λευκῶν οἴνων, θερμόν. ὅπου γε καὶ οἱ αὐστηροὶ καὶ μετρίως λευκοὶ παλαιούμενοι, κιῤῥότεροί πως γίνονται. εἰ δ' ἄλλως ἐθέλεις ὀνομάζειν τὸ κιῤῥὸν χρῶμα, δύναιο ἂν λέγειν πυῤῥὸν ὠχρόν. ὅσοι δ' ἐν αὐτοῖς εἰσὶ θερμότατοι, ξανθοὶ πάντες εἰσίν. ὁποῖος καὶ ὁ κέκουβος ὁ τῆς Ἰταλίας. ὃς οὐκ ἔν τι γένος ἐστὶν οἴνου τοιούτου ἐξ ἀρχῆς, ὡς ἔνιοι νομίζουσιν, ἀλλ' ὑπὸ παλαιότητος εἰς τοῦθ' ἥκων, ὡς πυῤῥὰν ἔχειν χρόαν. ὅθεν περ καὶ τοὔνομα αὐτοῖς. ἥκουσι δ' οὐ πάντες εἰς τοῦτο φθάνοντες παχύνεσθαι, πρὶν ἐν τῷ διαυγεῖ τὸ ξανθὸν λαβεῖν χρῶμα. τῶν δ' ἄλλων οἴνων τῶν αὐστηρῶν ὅσοι μετρίως λευκοὶ καὶ παχεῖς, οὐδεὶς ἐπιτήδειος εἰς ἀνάδοσιν. εἰ μέντοι παλαιωθεῖεν ἱκανῶς, χρήσαιτ' ἄν τις αὐτοῖς ἑτέρων μὴ παρόντων. δυσστόμαχοι δ' εἰσὶν οἱ τοιοῦτοι πάντες παλαιούμενοι. ὅπως δὲ καὶ τούτων ἔχοις τι παράδειγμα τοῦ τ' ἐκ τῆς Νικομηδίας ἀναμιμνήσκω σε πᾶσιν ἀνθρώποις γνωρίμου, καὶ τοῦ Σικελοῦ τοῦ ἀμιναίου τοῦ ἐν τοῖς μεγάλοις κεραμείοις, ὁ γὰρ ἐν τοῖς μικροῖς λαγυνίοις ἐναντιώτατος ὑπάρχει, κακοστόμαχος ἅμα καὶ κεφαλαλγὴς ὑπάρχων. πειρᾶσθαι μὲν οὖν ἀεὶ τὸν ἄριστον αἱρεῖσθαι. μὴ παρόντος δὲ, τὸν ὁμοιότατον ἐκείνῳ, κατὰ τὰ λελεγμένα γνωρίσματα. κάλλιστοι γοῦν εἰς ἀνάδοσιν, ὅ, τ' ἀριούσιος ἐστὶ, καὶ ὁ λέσβιος. ἀλλ' εἰ μὴ παρεῖεν, ἐν Ἀσίᾳ δὲ εἴημεν, ἤτοι τὸν ἀφροδισιαῖον ληπτέον, ἢ τὸν αὐστηρὸν τμωλίτην, ἢ τινα τῶν ὁμοίων αὐτοῖς, κιῤῥὸν τῇ χρόᾳ καὶ θερμαίνοντα σαφῶς εἰ ποθείη παραχρῆμα. ἐπισκέπτεσθαι δὲ χρὴ πρὸ πάντων ὁποία τίς ἡ τοῦ κάμνοντός ἐστι φύσις. εἰ μὲν γὰρ ἀσθενὴς τὴν κεφαλὴν εἴη, καὶ ῥᾳδίως ὑπὸ τῶν θερμῶν οἴνων πληρούμενος, ἐπὶ τοὺς ἧττον θερμοὺς ἔρχεσθαι μᾶλλον χρή. εἰ δ' ἰσχυρὸς τὴν κεφαλὴν ᾖ, καὶ χαίρων οἴνοις τοῖς τοιούτοις, ἢ εἰθισμένος ἀλύπως φέρειν, χρηστέον αὐτοῖς θαῤῥούντως. κεφαλαλγεῖς δέ εἰσιν ὅσοι ἐφ' ἑαυτοῖς οἶνοι πάντες οἱ δυνατοὶ καὶ κιῤῥοί. διὰ τοῦτο καὶ ὁ φαλερῖνος, καὶ ὁ τμωλίτης, καὶ ὁ λέσβιος, ἀσθενεῖ κεφαλῇ βλαβεροί, ὁποία δὲ ἐν τοῖς φαλερίνοις οἴνοις εἴρηται διαφορά, τοιαύτη κἀν τοῖς τμωλίταις. ὁ μὲν γὰρ ἕτερος, ἱκανῶς γλυκύς. ὁ δὲ ἕτερος, αὐστηρός, ὡς ἐκείνῳ παραβάλλειν. θερμοὶ δ' ἱκανῶς ἀμφότεροι, καὶ διὰ τοῦτο κεφαλαλγεῖς. οἱ δὲ αὐστηροί, τήν τε γαστέρα ῥωννύουσι, καὶ ἄλυποι τῇ κεφαλῇ πάντων οἴνων μάλιστ' εἰσίν. εἰς ἀνάδοσιν δὲ οὐχ ὁρμῶσιν. ὥστε καὶ φευκτέον αὐτοὺς ἐπὶ τῶν συγκοπτομένων, οὐδὲν ἧττον ὕδατος. ἐπιτήδειος δὲ εἰς ἀνάδοσιν καὶ ὁ ἱπποδαμάντειος παλαιωθεὶς ἐκ τῆς ἰδέας ὢν τοῦ τε φαλερίνου γλυκέος, καὶ τοῦ τμωλίτου. πρόσεστι δὲ αὐτῷ σύψις σαφής, ὅπερ ἐκείνων οὐδετέρῳ. καὶ διὰ τοῦτ' ἐστὶν εὐστομαχώτερος. ἀποροῦντι δέ σοι τῶν οἰκείων οἴνων, ἐν ἑκατέρᾳ τῇ συγκοπῇ, λέγω δὲ τῇ τε διὰ πλῆθος ὠμῶν, καὶ τῇ διὰ χολήν, ἀναγκαζομένῳ τε πάντως οἴνῳ χρήσασθαι, φευκτέοι μὲν ὡς εἴρηται, πάντες οἱ αὐστηροὶ καὶ νέοι. φευκτέοι δὲ καὶ οἱ παχεῖς. αἱρετέοι δὲ οἱ ὑδατώδεις, καὶ μᾶλλον εἰ παλαιοὶ τύχοιεν ὄντες. οὐ θερμαίνουσι μὲν γὰρ ἱκανῶς οἱ τοιοῦτοι. ῥᾳδίως δὲ ἀναδίδονται. ὥστε τοῦ τάχους τῆς ἀναδόσεως κοινοῦ τοῖς τοιούτοις οἴνοις πρὸς τοὺς κιῤῥοὺς ὄντος, ἡ διαφορὰ γίγνεται ἂν ἐν τοῖσδε. πέψει μὲν τῇ κατὰ τὴν γαστέρα καὶ φλέβας, οἱ κιῤῥοὶ συναίρονται μᾶλλον, ὅτι καὶ μᾶλλον θερμαίνουσι. ἐπικερασικοὶ δ' εἰσὶ καὶ θρεπτικοί· καὶ διὰ τοῦτο καὶ ταῖς εὐχυμίαις συντελοῦσιν, ὧν οὐδὲν ὑπάρχει τοῖς ὑδατώδεσιν. ἥκιστα γὰρ ἐκ τῆς τούτων οὐσίας ὁμοιοῦταί τι τῷ αἵματι. πληττόντων δὲ τῶν κιῤῥῶν τὴν κεφαλήν, ἀλυπότατοι πεφύκασιν οἱ ὑδατώδεις. οὐρητικοὶ δέ εἰσιν ἁπάντων οἴνων μάλιστα. δεύτεροι δ' ἐπ' αὐτοῖς, ὅσοι λεπτότατοι τῶν κιῤῥῶν. οὓς μάλιστ' ἄν τις εἰς συγκοπὰς αἱροῖτο. βραδυπορώτεροι δὲ τούτων, οἱ κιῤῥοὶ καὶ παχεῖς. ἀλλ' ὅμως τῶν αὐστηρῶν ἁπάντων ποριμώτεροι. τρέφουσι δὲ μᾶλλον τῶν λεπτῶν, κακοχυμίαν τε τάχιστα πάντων τῶν οἴνων ἐπανορθοῦνται, χρηστὸν αἷμα γεννῶντες. ἐπ' ἀρχὴν οὖν αὖθις ἐπαναγάγωμεν τὸν λόγον. ὅτι μὲν οὖν ἡ συγκοπὴ κατάπτωσις ἐστὶ ὀξεῖα δυνάμεως, εἴρηται τοῖς πρὸ ἡμῶν. ἐπεὶ δὲ ἡ οὐσία τῶν διοικουσῶν ἡμᾶς δυνάμεων ἔν τε τῷ πνεύματι, καὶ τῇ τῶν στερεῶν σωμάτων ἐστὶ κράσει, ταῦθ' ἡμῖν φυλακτέον ἐστὶ παρόντα, καὶ ἀνασωστέον διαφθειρόμενα. πῶς μὲν οὖν χρὴ φυλάττειν αὐτὰ κατὰ τὸν τῆς ὑγείας χρόνον, ἐν τοῖς ὑγιεινοῖς δεδήλωται. πῶς δὲ ἐν ταῖς νόσοις, εἴρηται μὲν ἤδη καὶ διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων. εἰρήσεται δὲ καὶ νῦν. οὐ μὴν ἤδη γέ πω τὸ σύμπαν εἰς πρέπουσαν ἧκε σύνοψιν. οὐδὲ τοιαύτην ἔχει μέθοδον οἵαν τ' ἄλλα τὰ πρότερα. ὅπερ οὖν ἐνδεῖ, προσθεῖναι καιρός. τὴν τοῦ πνεύματος οὐσίαν ἅμα τοῖς στερεοῖς σώμασι φυλακτέον ἡμῖν ἐστὶν ἐν ταῖς νόσοις. ὥστε καὶ τῇ ποιότητι καὶ τῇ ποσότητι καθ' ὅσον ἐνδέχεται κατὰ φύσιν ἔχειν αὐτά. εἰ μὲν οὖν ἐνεχώρει τοῦ τε μὴ κενοῦσθαί τι τῆς οὐσίας αὐτῶν, καὶ τοῦ μὴ δι' ὅλως ἀλλοιοῦσθαι προνοήσασθαι, τοῦτ' ἂν ἦν ἄριστον. ἐπεὶ δ' ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασιν ἀδύνατον ἐδείχθη τὸ τοιοῦτον ὑπάρξαι ποτὲ τῷ γεννητῷ σώματι, πειρᾶσθαι χρὴ τὸ μὲν ἐκρέον τῆς οὐσίας, ἐπανορθοῦσθαι προσθέσει, τὸ δὲ ἀλλοιούμενον, εἰς εὐκρασίαν ἐπανάγειν δι' ἐναντίας ἀλλοιώσεως. εἰ μὲν οὖν ἥτε κένωσις ἥτε ἀλλοίωσις γίγνοιτο κατὰ βραχύ, καὶ ἡ ἐπανόρθωσις ἀμφοῖν ἔσται κατὰ βραχύ. καὶ τοῦτ' ἐστὶν ἔργον, ὡς ἐδείχθη, τῆς ὑγιεινῆς τέχνης. εἰ δὲ καὶ ἀθρόως καὶ κατὰ μεγάλα μὴ μόνον αἱ κενώσεις, ἀλλὰ καὶ αἱ προσθέσεις ποτὲ γεγνοιντο, νόσος ἂν οὕτω γε συσταίη. θεραπευτικῆς δὲ ἂν εἰς τὴν ἴασιν αὐτῶν δεοίμεθα μεθόδου. ὥσπερ οὖν τῆς ὑγιεινῆς ἦν ἔργον τὸ κατὰ μικρὰ τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπὴν ἐπανορθοῦσθαι, οὕτω τῆς θεραπευτικῆς ἐστι, τὸ κατὰ μεγάλα. τοῦ μὲν δὴ ψυχικοῦ πνεύματος ἐναργῶς ἐδείξαμεν οἷον πηγήν τινα οὖσαν τὸν ἐγκέφαλον, ἀρδευομένου καὶ τρεφομένου διά τε τῆς εἰσπνοῆς, καὶ τῆς ἐκ τοῦ δικτυοειδοῦς πλέγματος χορηγίας. τοῦ δὲ ζωτικοῦ πνεύματος, οὐχ ὁμοίως μὲν ἐναργῶς ἡ ἀπόδειξις ἦν. οὐ μὴν ἀπίθανόν γε κατά τε τὴν καρδίαν αὐτὸ καὶ τὰς ἀρτηρίας δοκεῖν περιέχεσθαι τρεφόμενον, καὶ τοῦτο, μάλιστα μὲν ἐκ τῆς ἀναπνοῆς, ἤδη δὲ καὶ τοῦ αἵματος. εἰ δὲ ἔστι τι καὶ φυσικὸν πνεῦμα, περιέχοιτ' ἂν καὶ τοῦτο κατά τε τὸ ἧπαρ, καὶ τὰς φλέβας. εἴρηται δὲ ἐπὶ πλεῖστον ὑπὲρ οὐσίας δυνάμεων, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. ἡ δὲ τῶν στερεῶν σωμάτων οὐσία, δεῖται μὲν δή που ποσότης

ὑπάρχειν. καὶ διὰ τοῦτο αἱ τροφαὶ διασώζουσι τὸ θνητὸν γένος. οὐ μὴν ἧττον εὐκρασίας χρήζει τῶν συνθετικῶν αὐτῶν στοιχείων. καὶ λέλεκται πολλάκις ἤδη δι' ὧν χρὴ φυλάττειν αὐτὴν εὔκρατον. ἀλλ' ἥ γε κατάπτωσις τῆς δυνάμεως, ὑπὲρ ἧς νῦν πρόκειται λέγειν, ἐπὶ μὲν τῇ τῶν στερεῶν οὐσίᾳ διαφθειρομένῃ κατά γε τὰ χρονιώτατα νοσήματα, γίγνεται πολλάκις ἀτροφίᾳ λεπτυνθέντος τοῦ ζώου, καὶ τῶν ὀξέων ἐν τοῖς συντηκτικοῖς πυρετοῖς. ἐπὶ δὲ τῇ κράσει μεταβαλλούσῃ θερμανθέντων αὐτῶν ἀμέτρως, ἢ ψυχθέντων, ἢ ὑγρανθέντων, ἢ ξηρανθέντων, ἢ κατὰ συζυγίαν τι τούτων παθόντων. ἡ δὲ τοῦ πνεύματος ἀλλοίωσις, διά τε μοχθηρὸς γίγνεται χυμὸς, καὶ τὴν τοῦ περιέχοντος ἀέρος κακίαν ἄλλοτε ἐξ ἄλλης αἰτίας εἰς τοῦτ' ἀχθέντος. ἔτι τε τὰς δηλητηρίους δυνάμεις, ἢ τοὺς τῶν ἰοβόλων ζώων ἰούς. ἀλλ' ἐξῃρήσθω γε ταῦτα τῆς ἐνεστώσης ὑποθέσεως. ἡ δὲ τῆς οὐσίας τοῦ πνεύματος φθορὰ γίγνεσθαί τε κινδυνεύουσα. καὶ ἡ ἤδη γινομένη διά τε πάθος ψυχικὸν, καὶ ὀδύνην ἰσχυρὰν, καὶ κινήσεις πλείους. ἐξ οὗ γένους ἐστὶ καὶ ἀγρυπνία. καὶ προσέτι δι' ὑπερβάλλουσαν αὐτοῦ λεπτότητα, καὶ τῶν περιεχόντων αὐτὸ σωμάτων ἀραίωσιν. καὶ δὴ καὶ πρὸ τούτων ἁπάντων δι' ἐπίσχεσιν τῆς ἀναπνοῆς, καὶ τροφῆς ἀπορίαν ἐπανορθώσεως ἀκριβεστέρας δεῖται. τὰ μὲν οὖν πάθη τὰ ψυχικὰ, φόβοι τέ εἰσιν ἐξαιφνίδιοι καὶ σφοδροὶ, οὓς ἐκπλήξεις καλοῦσιν. αἵ τ' ἐναντίαι τοῖς φόβοις ἡδοναὶ μέγισται, καλοῦσι δὲ καὶ ταύτας περιχαρείας. ἴσμεν γὰρ ἐξ ἀμφοῖν ἀποθανόντας τινάς. ἤδη δὲ καὶ οἱ ἄλλοι φόβοι πάντες οἱ μεγάλοι σὺν ταῖς μεγίσταις ἡδοναῖς, εἰ καὶ μὴ ἀπέκτειναν, ἀλλ' ἔκλυτον εἰργάσαντο καὶ ἄτονον τὸ πνεῦμα. καὶ λῦπαι δὲ καὶ ἀγωνίαι καὶ θυμοὶ καὶ φροντίδες, ἐν οἷς ῥοπαῖς καὶ αἱ πλεῖσται ἀγρυπνίαι, βλάπτουσι καταλύουσαι τὴν δύναμιν. ἐν μὲν δὴ τούτοις ἅπασιν αὐτὴ καθ' ἑαυτὴν ἡ ψυχὴ κινεῖται. κατὰ δὲ τὰς πρακτικὰς ἐνεργείας, τὸ σῶμα κινεῖ. καταλύει δὲ αὐτῆς τὸν τόνον ἑκάτερα τὰ γένη τῶν οἰκείων κινήσεων, εἰς ἀμετρίαν ἐκταθέντα. περὶ δὲ πόνων, τί δεῖ λέγειν; ὅπως ἀνεῖλον μέν τινας αὐξηθέντες ἐπὶ τὸ σφοδρότερον, ἔβλαψαν δὲ πάντας εἰ καὶ μὴ τύχοιεν ἀποκτείναντες. ἐν τοῖς τοιούτοις ἅπασιν ἐναργῶς φαίνονται λειποθυμοῦντές τε καὶ καταλυόμενοι τὴν δύναμιν οἱ κάμνοντες. ἔνιοι δ' ὡς εἴρηται καὶ ἀποθνήσκοντες. ἔστι δ' ὅτε μὲν ἀπολυομένου τοῦ πνεύματος, ἔστι δ' ὅτε δὲ ἀλλοιουμένου. ποτὲ δὲ ἐκ μέρους διαφθειρομένου. πολλάκις δ' ἀμφότερα πάσχοντος. δίειμι γὰρ ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἔν τε ἄλλοις τισὶ κἀν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. εἰς δέ γε τὰ παρόντα, τὸν μὲν τρόπον ᾧ βλάπτειν ἕκαστον πέφυκεν, οὐκ ἀναγκαῖον ζητεῖν. τὸ δὲ ὅτι βλάπτει λαβόντα παρὰ τῆς ἐναργείας, χρῆσθαι συμφερόντως εἰς φυλακὴν δυνάμεως ἐν νόσοις. οὕτω δ' εἰ καὶ λεπτυνθείη ποτὲ περαιτέρω τοῦ δέοντος, ἡ τῶν διοικούντων ἡμᾶς πνευμάτων οὐσία, γίγνοιτ' ἂν ἀσθενὴς κατ' ἀμφότερα. καὶ ὡς ἠλλοιωμένη τὴν κρᾶσιν, καὶ ὡς εὐσκέδαστος, ἢ εὐδιαφόρητος, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλει γεγενημένη. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καὶ τὸ σῶμα σύμπαν εἰς ἄμετρον ἐκτραπείη μανότητα, διαφοροῖτ' ἂν ἡ τῶν πνευμάτων οὐσία ῥᾳδίως αὐτή τε λεπτομερὴς ὑπάρχουσα, καὶ τῶν σωμάτων μὴ στεγόντων αὐτήν. οὔκουν οὐδ' ἀραιοῦν ἀμέτρως χρὴ τοῦ νοσοῦντος τὸ σῶμα συνέχειν ἐν ἑαυτῷ τὸ πνεῦμα προαιρούμενον. οὔτε λεπτύνειν ἰσχυρῶς τὰ κατ' αὐτὸ, διὰ τῶν ἐσθιομένων τε καὶ πινομένων. ὅτι δὲ καὶ αὐτῶν τῶν τροφῶν ἅμα τοῖς ποτοῖς οὐ σμικρόν ἐστι φροντιστέον εἰς ῥώμην δυνάμεως, ὅπως τῇ τε ποσότητι σύμμετροι, καὶ ταῖς ποιότησιν ἠκριβωμένοι εἶεν, πρόδηλον εἶναι νομίζω. πρόδηλον δὲ οὐδὲν ἧττον, ὡς καὶ τῆς εἰσπνεομένης οὐσίας φροντιστέον ὅπως εὐκρατοτάτη τ' εἴη, καὶ παντὸς τοῦ μιαίνοντος αὐτὴν καθαρωτάτη. μήτ' ἐκ μετάλλων ἢ καμίνων ἢ βαράθρων ἐπιμιξίαν τινὰ λαμβάνουσα. μήτε ἐκ σηπεδόνος ὀσπρίων ἢ λαχάνων ἢ ζώων, ἢ ὅτου δήποτε. μήτ' ἀτμοὺς ἐκ λιμνῶν ἢ ἑλῶν, ἢ ποταμῶν δεχομένη. ταῦτ' οὖν ἅπαντα προνοεῖσθαι χρὴ, διασώζειν βουλόμενον τὴν δύναμιν ἀβλαβῆ. ἔτι τε πρὸς τούτοις αὐτῶν τῶν στερεῶν σωμάτων, ἐν οἷς δὴ καὶ μάλιστα ἔοικεν ἡ οὐσία τῶν δυνάμεων ὑπάρχειν, οὐ σμικρῶς προνοητέον, ὅπως ὑγιεινὰ ταῖς κράσεσιν εἴη. τοῦτο μὲν οὖν ἁπάντων μορίων κοινὸν ἀγαθόν. ἐξαίρετον δὲ εἰς ῥώμην δυνάμεως καὶ προφυλακὴν τοῦ μή ποτ' ἐξαιφνίδιον ἐπιπεσεῖν παροξυσμὸν συγκοπτικὸν ἡ φυλακὴ τῆς εὐκρασίας ἐστί. πρῶτον μὲν τῶν τριῶν ἀρχῶν, ἔπειτα δὲ καὶ τῶν ἄλλων μορίων, ὅσα τὰς ἀρχὰς εἰς συμπάθειαν ἐπισπᾶται ῥᾳδίως, οἷόν περ ἐστὶ καὶ τὸ τῆς γαστρὸς στόμα τῷ περιττῷ τῆς αἰσθήσεως, ἄλλα τε πολλὰ συμπτώματα καὶ συγκοπὰς ἐπιφέρον. ἡ μὲν οὖν προειρημένη διάθεσις τῶν ὠμῶν χυμῶν, εἰ μὲν καὶ τῷ πλήθει βαρύνοιεν οὗτοι τὴν δύναμιν, ἐμφράττοιέν τε διὰ πλῆθος καὶ πάχος τοῦ ζώου τοὺς πόρους κατὰ πολλὰς προφάσεις, ὀλέθριός τέ ἐστι καὶ συγκοπτική. καὶ τῷ μὴ τρέφεσθαι τὸ ζῷον, καὶ τῷ καταπνίγεσθαι καὶ ἀλλοιοῦσθαι, καὶ διαφθείρεσθαι τῆς κράσεως τὴν συμμετρίαν. οἱ μὲν γὰρ ὠμοὶ τρέφειν οὐ δύνανται πρὶν πεφθῆναι. οἱ δὲ πολλοὶ, βαρύνουσιν. εἰ δ' ἐμφράττουσι τὰς διαπνοὰς, σβεννύουσί τε τὸ θερμόν. εἰ δὲ μήτ' ἐμφράττοιεν μήτε βαρύνοιεν, οὐ συγκοπὰς οὗτοί γε φέρουσιν, ἀλλὰ τὰς καλουμένας λειποψυχίας. ἐκλύονται γὰρ εἰ μὴ τρέφοιντο συνεχέστερον οἱ τοιοῦτοι. διδόναι δὲ οὐ χρὴ πλῆθος εἰς ἅπαξ αὐτοῖς, οὐ μὴν οὐδὲ παχείας ἢ ψυχρὰς τῇ δυνάμει τροφὰς, ἀλλ' ὡς εἴρηται πρόσθεν ἐκ τοῦ γένους τῶν λεπτυνουσῶν τε καὶ θερμαινουσῶν. οὕτω δὲ αὐτοῖς καὶ τὰ φάρμακα δοτέον. ὅσα γε λαβεῖν δύναται πυρέττων ἄνθρωπος φάρμακα. λεπτύνοντα καὶ θερμαίνοντα, τούτοις ὁ ὑδατώδης οἶνος εὐθέως ἐξ ἀρχῆς ἐπιτήδειος, εἰ μὴ σφοδρῶς πυρέττοιεν, ὅπερ οὐ πάνυ τι συμβαίνει κατὰ τὴν εἰρημένην διάθεσιν. ἔτι δὲ μᾶλλον εἰ πρεσβῦται τύχοιεν ὄντες, οἶνον αὐτοῖς δοτέον ἐφ' ἑκάστῃ τροφῇ. καὶ μᾶλλον εἰ τὰ διαλείμματα εἴη μέτρια. παροξύνονται δὲ ἐπὶ τοῖς τοιούτοις χυμοῖς καθ' ἑκάστην ἡμέραν, καὶ μᾶλλον εἰς ἑσπέραν τε καὶ νύκτωρ. οὐχ ἕωθεν δὲ οὐδ' ἄχρι μεσημβρίας. περὶ μὲν δὴ τούτων, καὶ ταῦθ' ἱκανά ἐστι. μεταβῶμεν δὲ ἐπὶ τοὺς ἐναντίαν μὲν ἔχοντας αὐτοῖς τὴν διάθεσιν, ὁμοίως δὲ τούτοις συγκοπτομένους, ἂν μὴ προσέχῃ τις ἀκριβῶς αὐτοῖς. εἰσὶ δ' οὗτοι λεπτοὺς ἱκανῶς ἔχοντες τοὺς χυμοὺς ὡς διαφορεῖσθαι τάχιστα. καὶ δὴ καὶ θεραπευτέον αὐτοὺς, ἐναντίως τοῖς προειρημένοις. ἐκείνους μὲν γὰρ ἐκκενοῦμεν κατὰ βραχὺ συνεχῶς διὰ τὸ μὴ φέρειν ἀθρόαν τὴν κένωσιν. τοὺς δ' οὕτως ἔχοντας, θρέψομεν κατὰ βραχὺ συνεχῶς. εἰ δὲ ἐξ ἀρχῆς παραλάβοιμεν ἔτι τῆς δυνάμεως ἐρρωμένης, οὐδὲ κατὰ βραχύ. δύνανται γὰρ

οἱ τοιοῦτοι

οἱ τοιοῦτοι καὶ πλεῖον εἰς ἅπαξ δοθείσης περιγίνεσθαι τροφῆς. ὥσπερ δὲ τοὺς ἐκ πλήθους ὠμῶν χυμῶν κιν-
δυνεύοντας συγκοπῆναι, παντάπασιν ἐλέγομεν ὀλεθρίως ἔχειν, ὅταν τὸ ἧπαρ αὐτῶν ἢ ἡ κοιλία φλεγμαίνῃ,
κατὰ τὸν αὐτὸν τρόπον καὶ τοὺς νῦν ὑποκειμένους ἐν τῷ λόγῳ νομιστέον ἀνιάτως ἔχειν, ἢν φλεγμαίνῃ τι τούτων
σπλάγχνον καμνούσης ἤδη τῆς δυνάμεως. οὔτε γὰρ οἶνον καὶ τρέφειν αὐτοὺς συνεχῶς, ἀλλ' ἐν ταῖς παρακμαῖς
μόνον, οὔτε μὴ τρέφοντας οἷόν τε διασώζειν αὐτοὺς ἐστίν. ἐπὶ μὲν τῶν τοιούτων διαθέσεων, ἡ νεκρώδης ἐν τῷ προ-
σώπῳ κατάστασις ἐν τάχει γίνεται. ῥὶς ὀξεῖα. ὀφθαλμοὶ κοῖλοι, καὶ τἄλλα ὅσα τούτοις ἐφεξῆς λέλεκται. ἐάν τε
γὰρ ἐκκρίνωσι πλέον, ἐάν τε ἀγρυπνήσωσιν, ἢ λυπηθῶσιν, ἢ μὴ θᾶττον τραφῶσιν, αὐτίκα τοιοῦτον ἴσχουσι τὸ
πρόσωπον. εἰ μὲν οὖν σύν τινι τούτων, ἢ τισὶν ὀφθεῖεν οἱ τοιοῦτοι, μικρότερον εἶναι νόμιζε τὸ κακόν, ἢ εἰ χωρὶς τούτων
ἐλεπτύνθησαν. εἰ δ' ἄνευ τούτων, ὀλέθριον, ἔτι δὲ μᾶλλον, εἰ κατ' ἀρχὰς τοῦ νοσήματος οὕτως ἔχοιεν. οὐδὲ γὰρ ἐξαρ-
κέσουσιν εἰς τὴν πέψιν αὐτοῦ. ταῦτ' ἄρα καὶ ὁ Ἱπποκράτης ἔφη. καὶ ἢν μέν τι τουτέων ὁμολογῇ, ἧττον νομίζειν δει-
νὸν εἶναι. κατ' ἀρχὴν μὲν γὰρ τοῦ νοσήματος ὡς προεῖπον εἰ καὶ μετά τινος τῶν προειρημένων οὕτως ἔχοιεν, οὐκ ἀ-
γαθόν. ἧττον μὲν τοίνυν δεινόν, ἢ εἰ καὶ μὴ δὲ μετὰ τούτων τινός. ἀλλὰ τῷ διαφορεῖσθαι ῥᾳδίως χαλεπόν. οὐ μόνον
δὲ ἀπολεπτυνθέντος οὕτω τοῦ τε πνεύματος αὐτοῖς καὶ τοῦ αἵματος ἡ διαφόρησις εἴωθε γίνεσθαι πολλάκις,
ἀλλὰ καὶ τῆς ἐκκριτικῆς δυνάμεως τῆς καθ' ὅλον τὸν ὄγκον ἀμετρότερον κινηθείσης. ὅπερ εἴωθε μάλιστα γίνεσθαι
διὰ τὴν ἀμετρίαν τῆς καθεκτικῆς. τὸ μὲν δὴ τρέφειν, ἀναγκαῖον ὅτι περ ἂν ᾖ τούτων, ἀναγκαῖον δὲ καὶ τὸ πυ-
κνοῦν τὴν ἐπιφάνειαν, ὥσπερ τῶν προτέρων ἀραιοῦν. ἐκ διαμέτρου γὰρ ἀλλήλαις αἱ διαθέσεις ὑπάρχουσαι, καὶ τῆς
τῶν βοηθημάτων ἰδέας ἐναντιωτάτης δέονται. ψυχρὸν οὖν ἐπὶ τούτων τὸν ἀέρα καὶ στύφοντα ποιητέον. εἴρηται
δὲ ἔμπροσθεν, ὅπως χρὴ ταῦτα πράττειν. ἀλειπτέον δὲ αὐτοὺς ὁμοίως τοῖς στύφουσιν ἀλείμμασι. καὶ τροφὰς δοτέον οὐ
πάνυ τι διαρρεούσας ἑτοίμως. οὔτε μελίκρατον, οὔτε χυλὸν πτισάνης, ἀλλ' ἄρτους καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήμα-
τα. καὶ ὀπώρας αὐστηρὰς καὶ δυσφθάρτους. αὐτάς τε καθ' ἑαυτὰς καὶ μετ' ἄρτου καὶ χόνδρου δι' ὕδατος ἑψη-
μένου. δοτέον δὲ τούτοις ἐστὶν ὅτε καὶ ὠά. καὶ μᾶλλον τὰς λεκύθους αὐτῶν. δυσπεπτότερον γὰρ τὸ λευκόν. ἀλεκτρυό-
νων τε τῶν γάλακτι τεθραμμένων τοὺς ὄρχεις. δοτέον δὲ καὶ τοὺς ἐγκεφάλους τοὺς ὑείους. ἤτοι γ' ὀπτηθέντας ἀκρι-
βῶς. ἔναιμοι γὰρ δοθέντες, ἐσχάτως βλάπτουσιν. ἢ διὰ τοῦ λευκοῦ ζωμοῦ καλῶς ἑψημένους ἐμβεβλημένου πράσου καὶ
ἀνήθου. καὶ ὅλως ἅπαντα πρακτέον ὑπὲρ τοῦ παχυτέραν μὲν ἐργάσασθαι τὴν ὕλην τῶν χυμῶν, πυκνῶσαι δὲ τὸ
δέρμα, καὶ διακωλῦσαι τὰς διαπνοάς. ἀναγκαῖος δὲ τούτοις ὁ ὑδατώδης οἶνος ἐστίν, εὐθὺς ἐπὶ τοῖς σιτίοις ἐξ
ἀρχῆς λαμβανόμενος. εἰ δ' ὡς ἐλπίζομεν ἅπαντα γίγνοιτο καὶ κρεώδους τροφῆς ἐπιδιδῶμεν αὐτοῖς τι, καὶ
μάλιστα μετὰ τὴν τετάρτην ἡμέραν, ἤδη τῶν τοὺς πυρετοὺς γεννώντων χυμῶν, εἰς πέψιν ἡκόντων. ἐν τοιαύτῃ
διαθέσει γενομένου νεανίσκου κατὰ τὸν δέκατον ἐμνήσθην λόγον, ὃν ἐτρέφομεν ὡς εἶπον ἑκάστης ἡμέρας. καὶ μάλι-
στά γε πρὸ τοῦ παροξυσμοῦ. καὶ ὡς ἐξεπίτηδες ἅπαξ μου μὴ διδόντος αὐτῷ τροφήν, ἡ εἰσβολὴ τοῦ παροξυσμοῦ με-
τὰ συγκοπῆς ἐγένετο. κατὰ τὰς τοιαύτας οὖν θεραπείας ἁπάσας, ἤδη μὲν συγκοπτομένου τοῦ κάμνοντος ὁ πρὸς
τὸ σύμπτωμα κρατεῖ σκοπός. οὐδέπω δὲ εἰς τοῦθ' ἥκοντος, ἀμφοτέρων στοχαζόμεθα, τοῦ τε μὴ γενέσθαι τὸ σύμ-
πτωμα, καὶ τοῦ κατὰ βραχὺ λύειν τὸ νόσημα. θᾶττον δ' ἂν ἐλύσαμεν αὐτό, μὴ δεδιότες τὸ σύμπτωμα. τὸν μὲν γὰρ
ὑπὸ τοῦ πλήθους τῶν ὠμῶν χυμῶν βαρυνόμενον, ἅπαξ ἂν οἶμαι κενώσαντες, ἀπηλλάξαμεν τῆς διαθέσεως. εἴπερ
οἷός τε ἦν ἐνεγκεῖν ἀθρόαν κένωσιν. καὶ μηδεὶς φόβος ἐφεδρεύει συγκοπῆς. τὸν δ' εὐδιαφόρητον οὐκ ἂν πρὸ τοῦ
παροξυσμοῦ τρέφειν ἀναγκαζόμενοι, μακρότερον εἰργαζόμεθα τὸ νόσημα. περὶ μὲν δὴ τούτων, ἀρκείτω τὰ λε-
λεγμένα. τῶν δ' ἄλλων προφάσεων ἐφ' αἷς συγκόπτονται, μνημονεύσωμεν ἐφεξῆς. εἰσὶ δὲ τέσσαρες. ἀλγήματά τε
σφοδρόν, καὶ ἀγρυπνία, καὶ κένωσις ἄμετρος γαστρός. ἐπὶ δὲ τῶν παραπαιόντων καὶ ἡ κίνησις ἐστὶν ὅτε. καὶ εἰ βούλει
καὶ πέμπτην πρόσθες τὴν δυσκρασίαν τῶν ἀρχῶν. ὑπὲρ ἧς ἐπὶ τελευτῇ τοῦ λόγου διαλεξόμεθα. καὶ μάλισθ' ὅτι
διττῶς γίγνεται. ἤτοι κατὰ ψιλὰς τὰς ποιότητας ἀλλοιουμένων τῶν μορίων, ἢ κακοχυμίας τινὸς ἐν αὐτοῖς παρα-
λαμβανομένης. ἑξῆς οὖν ὑπὲρ ἁπάντων ῥητέον τῶν εἰρημένων, ἀρξαμένους ἀπὸ τῶν ἀλγημάτων. εἰ μὲν οὖν δυναί-
μεθα τὴν αἰτίαν αὐτὴν ἐκκόψαι δι' ἣν ἀλγοῦσιν οὕτως ἂν οὐ πρὸς σύμπτωμα εἴημεν ἐνεργοῦντες, ἀλλ' ἰώμε-
νοι τὸν κάμνοντα. κωλυόμενοι δὲ διά τινα πρόφασιν ἐπὶ τὴν διάθεσιν ἰέναι, πραΰνομεν τὸ τῶν ἀλγημάτων
σφοδρόν. ἐπεὶ δ' οὔτε ἀναιρεῖν οἷόν τε ἐστὶ τὰς τῶν ἀλγημάτων αἰτίας, οὔτ' ἀμβλύνειν τὰς σφοδρότητας ἄνευ
τοῦ γνῶναι τουτὶ τὸ ἄλγημα τὸ περὶ τὸν κάμνοντα συνεστηκός, ὑπό τινος αἰτίας γίγνεται, προεσκέφθαι χρὴ δη-
λονότι τὰς αἰτίας, καὶ τὰ σημεῖα δι' ὧν ἄν τις αὐτὰς γνωρίσειεν. ὡς τὰ πολλὰ γὰρ ἄδηλοι ταῖς αἰσθήσεσιν ὑ-
πάρχουσαι, γεγυμνασμένου δέονται περὶ τὴν τοιαύτην θεωρίαν ἀνδρός. εἴρηται μὲν οὖν ἡμῖν οὐκ ὀλίγα δι' ἑ-
τέρων πραγματειῶν ὑπὲρ ἀλγημάτων γενέσεως, ἁπάντων δὲ αὐτῶν τοῦ καιροῦ νῦν ἥκοντος, ἀναγκαῖον εἶναι
νομίζω διελθεῖν ἐπὶ κεφαλαίων ὅλον τὸν λόγον. ἐπεὶ τοίνυν ἐν τῷ τοῦ ζώου σώματι κατὰ πάσας τὰς αἱρέσεις οὐ
πάντα ἐστὶν αἰσθητικὰ τὰ μόρια, δῆλον ὡς οὐκ ὀδυνήσεται τὰ τελέως ἀναίσθητα. μόνοις οὖν τοῖς αἰσθητοῖς τῆς
ὀδύνης ὑπαρχούσης, ἐφεξῆς σκεπτέον. ἆρα γε διὰ παντὸς ὀδυνηθήσεται τὰ τοιαῦτα τῶν σωμάτων, ἢ καθ' ἕνα
τινὰ χρόνον ἐγγινομένης αὐτοῖς διαθέσεως ὀδυνηρᾶς. ἀλλ' εἴπερ αὐτὸ τὸ φαινόμενα ἐναργῶς ἡμᾶς διδάσκει πο-
λὺν εἶναι χρόνον, ἐν ᾧ μηδὲν ὀδυνώμεθα, δῆλον ὡς κατά τινα χρόνον ἐγγινομένης ἑκάστῳ τῶν ὀδυνωμένων ὀδυνηρᾶς
διαθέσεως, ἀναγκαῖον ἀλγεῖν ἐστίν. ἐὰν οὖν εὕρωμεν ἥτις ποτ' ἐστὶν ἡ τοῖς αἰσθητοῖς σώμασιν ἐγγινομένη διάθεσις,
καθ' ἣν ἀνιᾶται τὸ ζῶον, ἑαλωκὸς ἂν εἴη ἡμῖν τὸ ζητούμενον. ἐνταῦθ' οὖν ἀπὸ τῶν κατὰ φύσιν ἐννοιῶν αἳ δὴ καὶ κοιναὶ πᾶ-
σιν ἡμῖν εἰσιν, ἰέναι χρὴ μεθόδῳ πρὸς τὸ σκέμμα. διδάσκει δὲ ἡ κατὰ φύσιν ἔννοια, τὸ πάθος χρῆναι τοῦ σώματος, ὃ
μέλλει πονήσειν, ἤτοι συνεχείας λύσιν, ἢ ἀλλοίωσιν εἶναί τινα. διὸ καὶ καλῶς ἔλεγον τοῖς ἐξ ἀτόμων ἢ ἀναισθή-
των ἢ ἀνάρμων στοιχείων συντιθεῖσι τὸ σῶμα, παντάπασιν ἄπορον εἶναι διάθεσιν εὑρεῖν, ὑφ' ἧς ὀδύνη γίνεται.
φαίνεται γὰρ οὐδὲν τῶν ἁπλῶς ψαυόντων ὀδυνηρόν. ἁπλῶς δὲ ἀλλήλων ψαύει τὰ τοιαῦτα σώματα. κἂν εἰ μὴ ψαύοι

δὲ μόνον, ἀλλὰ καὶ θραύοι κατὰ τὴν πρόσπτωσιν ἄλληλα, πλέον οὐδὲν εἰς ἀλγήματος γένεσιν, ἀναισθήτων ὑποκει-
μένων τῶν θραυομένων. εἰ μή τι καὶ τοὺς λίθους ὀδυνᾶσθαι φήσομεν διηρημένους. ἀλλὰ περὶ μὲν τούτων, ἑτέρωθι πλέον ἐν ἄλ-
λοις τέ τισι, κἀν τῷ πέμπτῳ περὶ τῶν ἀσκληπιάδου δογμάτων ἐσκεψάμεθα. νυνὶ δὲ ἀρχὴν ὁμολογουμένην λαμ-
βάνοντος ὡς ἀναγκαῖον ἤτοι διαίρεσιν εἶναι τὴν διάθεσιν τῆς ὀδύνης, ἢ ἀλλοίωσιν, ἀναμνησθῶμεν αὖθις ὡς οὐδ'
ἡ ἀλλοίωσις ἡ κατὰ βραχὺ γινομένη, δύναιτ' ἄν ποτε ὀδυνῆσαι τὸ ζῶον, ἀλλ' ἀναγκαῖον ἀθρόαν τε ἅμα καὶ βι-
αίαν γίνεσθαι τὴν μεταβολήν, εἰ μέλλει τις ὀδύνη γενήσεσθαι. φαίνεται γοῦν οὐ μόνον εἰς τὸ παρὰ φύσιν ἀθρόως ἀγόμε-
να τὰ σώματα λυπηρὰν ἴσχειν τὴν μεταβολήν, ἀλλὰ καὶ τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον αὐτῶν, εἰ μὴ κατὰ βραχὺ λαμ-
βάνοι, κἂν τούτῳ πονοῦντα. τοὺς γοῦν ὁδοιπορήσαντας ἐν σφοδρῷ κρύει θερμαινομένους ἀθρόως, ἴσμεν ἀλγοῦντας
οὕτως ἰσχυρῶς τὰ περὶ τὰς ῥίζας τῶν ὀνύχων, ὡς μὴ δύνασθαι φέρειν. εἰ μὲν οὖν καὶ αὐτὸ τὸ σφοδρῶς θερμαίνεσθαι,
ἢ ψύχεσθαι διαίρεσίν τινα τῆς συνεχείας ἐργάζεται, πλείονος ἴσως δεῖται λόγου. καὶ δέδεικται καὶ τοῦτο ἐν τοῖς
περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν. ἀλλ' εἴς γε τὰ προὔντα τί ποιεῖν τὸ θερμαῖνον ἰσχυρῶς,
ἢ ψῦχον σφοδρῶς ὀδύνην ἐργάζεται, ζητεῖν οὐκ ἀναγκαῖον. εἴτε γὰρ ὡς τέμνον τὸ συνεχὲς τῆς οὐσίας τῶν αἰσθη-
τῶν, εἴθ' ὡς ἀλλοιοῦν αὐτὴν ἀθρόως, οὐδὲν διαφέρει πρὸς τὴν εὕρεσιν τῶν ἰασομένων τὰς ὀδύνας. ἐάν γε μόνον εἰδῶ-
μεν ὡς τὸ θερμαῖνον ἢ ψῦχον βιαίως ὀδυνηρὸν γίνεται τοῖς αἰσθανομένοις σώμασιν, ἅπερ γοῦν ἄρχεσθαι μὲν ἀπὸ
τῶν ἐναργῶν δεῖ, φαίνεται δὲ ἐναργῶς ταῦτα μόνα τῶν πλησιαζόντων ἡμῖν ὀδυνηρά, τά τ' ἰσχυρῶς θερμαίνον-
τά τε καὶ ψύχοντα, καὶ τὰ διαιροῦντα τὸ συνεχὲς τῆς οὐσίας ἅπερ ἐν τοῖς θλῶσί τε καὶ τέμνουσι καὶ τείνουσι περιέχε-
ται, ζητήσωμεν εὑρεῖν τὴν ἴασιν αὐτῶν ὁδῷ τινι προϊόντες, ἀπὸ τῆς τῶν ζητουμένων φύσεως, ὅπερ ὀνομάζεται
μέθοδος. ἄνωθεν οὖν αὖθις ἀρξάμενοι, λέγωμεν, ἐπειδὴ ζητοῦμεν ὅπως ἐν νόσοις ὀδυνώμεθα μηδενὸς ἡμῖν ἔξωθεν
ὀδυνηροῦ πλησιάζοντος, ἀναγκαῖον ἐν τῷ σώματι ζητῆσαί τι τῶν τοιούτων αἴτιον, ὃ θερμαῖνον σφοδρῶς ἢ ψύ-
χον ἢ διαιροῦν τὴν οὐσίαν ἑνός γέ τινος αἰσθητοῦ σώματος, ἀνιαρὸν ἡμῖν γίνεται. καὶ πρῶτόν γε θεασώμεθα τίνος
ἐστὶ χρὴ φύσεως ὃ διαιρήσει τὴν συνέχειαν. ἀναγκαῖον οὖν ἤτοι ῥῆξιν, ἢ θλάσιν, ἢ διάβρωσιν εἶναι τὴν διάθεσιν ἐν
τῷ διαιρεῖσθαι τὸ συνεχές. ἀλλ' ἡ μὲν ῥῆξις, ἐκ τάσεώς τινος. ἡ δὲ θλάσις, ἐκ βάρους. ἡ δὲ διάβρωσις, ἐκ δα-
κνώδους γίνεται ποιότητος. ὅταν οὖν ἔξωθεν μὲν μηδὲν ᾖ τὸ τεῖνον, ἢ βαρῦνον, ἢ δάκνον, ἐξ ἑαυτοῦ δέ τι πάσχ-
τούτων τὸ σῶμα, παντί που δῆλον. ὡς ἡ μὲν τάσις, ὑπό τινος ἔνδον οὐσίας πολλῆς, διατεινούσης τὸ περιέχον αὐ-
τὴν σῶμα γένοιτ' ἂν ἢ ἀμέτρου ξηρότητος. ἡ δὲ θλάσις, ἔξωθεν ἐπιπεπτωκυίας οὐσίας σκληρᾶς ἢ μεγάλης ἢ βα-
ρείας ἢ συναμφοτέρων. ἡ δὲ δῆξις, ὑπὸ χυμοῦ δακνώδους φύσιν ἔχοντος. ἐπισκεπτέον οὖν ἡμῖν ἐν ταῖς σφοδραῖς
ὀδύναις ἤτοι χυμὸν πολύν, ἢ πνεῦμα διέξοδον οὐκ ἔχον, ἢ βαρὺν ὄγκον, ἢ δακνῶδες ὑγρόν. ἢ διάθεσιν ξηρὰν.
ἔτι δὲ πρὸς τούτοις, ὡς ἐν ἀρχῇ διήρηται, τὸ θερμαῖνον ἰσχυρῶς ἢ ψῦχον, ὧν πάλιν αὐτῶν τὰς αἰτίας ἢ ἐν τῷ
πνεύματι θετέον, ἢ ἐν τοῖς ὑγροῖς, ἢ ἐν τοῖς στερεοῖς. ὅ, τι γὰρ ἂν αὐτῶν ἰσχυρῶς ψυχθὲν ἢ ὑποθερμανθὲν ψαύῃ τῶν
πλησιαζόντων, ὀδυνηρὸν αὐτοῖς γίνεται. πῶς μὲν οὖν χρὴ διαγινώσκειν ἕκαστον τῶν εἰρημένων, καὶ ὡς οὐχ ἁπάν-
των ἔχομεν ἐναργῆ σημεῖα, καὶ ὡς εἴπερ τι ἄλλο, καὶ ἡ διάγνωσις τῶν ἀδήλων πρὸς αἴσθησιν αἰτιῶν τε καὶ διαθέ-
σεων, ἐκ πολλῆς μὲν γυμνασίας, ἐπιμελοῦς δ' ἁπάντων περισκέψεως ἡμῖν περιγίνεται, δι' ἑτέρων δεδήλωται. νυνὶ
δὲ οὐ τοῦτο πρόκειται σκοπεῖν, ἀλλ' αὐτὴν μόνην διέρχεσθαι τὴν θεραπευτικὴν μέθοδον. ἐξ ἧς ἐπισημονικῶς διαγνω-
σθείσης, ἡλίκη βοήθεια καὶ ὠφέλεια γίνεται τοῖς ἰατροῖς, οὐ μόνον εἰς βοηθημάτων τε καὶ ἰαμάτων εὐπορίαν, ἀλλ'
ἔστιν ὅτε καὶ εἰς τὴν τῆς διαθέσεως γνῶσιν ἐναργῶς ὑμῖν ἔδειξα πολλάκις ἐπ' αὐτῶν τῶν καμνόντων ὧν ἤδη μνη-
μονεύσω, δυοῖν ἢ τριῶν οὐ πρὸ πολλοῦ θεραπευθέντων. ὁ μέν γε τεσσαρακοντούτης ἦν, ὡς οἶδα, κωλικὸς εἶναι νο-
μιζόμενος. οὐ μόνον οὐδὲν ὀνινάμενος ὑπὸ καταντλήσεων, καὶ πυρίας, καὶ καταπλασμάτων, καὶ κλυσμάτων,
οἷς συνήθως εἰώθασιν ἐπὶ τῶν τοιούτων χρῆσθαι διαθέσεων, ἀλλὰ καὶ παροξυνόμενος ὑπὸ τῶν πλείστων. ἐπὶ γοῦν ἐλαίῳ
πηγανίνῳ, διὰ τῆς ἕδρας ἐνεθέντι, χεῖρον ἐσχήκει. καὶ αὖθις ἐπὶ καστορίῳ. καὶ μέντοι καὶ μέλι ποτὲ προσφερόμε-
νος ἑφθὸν ἔχον πέπερι, ἐσχάτως ὠδυνήθη, καὶ τὸν χυλὸν δὲ τῆς ἑφθῆς τελέως ἅμα μέλιτι λαβών, ἱκανῶς παρω-
ξύνθη. στοχασάμενος οὖν ἐγὼ χυμοὺς δακνώδεις ἐν αὐτοῖς τοῖς χιτῶσι τῶν ἐντέρων ἀναπεπῶσθαι συνδιαφθείρον-
τας ἑαυτοῖς τά τε κάτωθεν ἐνιέμενα, καὶ τὰ διὰ τοῦ στόματος λαμβανόμενα, δύσφθαρτον αὐτῷ τροφὴν δοὺς,
εἶτ' ἰδὼν ἧττον ὀδυνώμενον, ἔγνων χρῆναι τὴν κακοχυμίαν ἐκκαθαίρειν. ὄντος δ' ἀρίστου πρὸς τὰς τοιαύτας κα-
κοχυμίας φαρμάκου τοῦ διὰ τῆς ἀλόης, ὃ καλοῦσιν ἤδη συνήθως πικράν, ἀθρόως μὲν οὐκ ἐτόλμησα καθαίρειν αὐτόν
τὸν ἄνθρωπον ὑπό τε τῆς ὀδύνης καὶ τῆς ἐνδείας καθῃρημένον ἤδη που δυοῖν μηνῶν, ἐκ διαστημάτων δέ τινων
σύμμετρον τοῦτ' ἐργαζόμενος, ἡμέρας, ὡς οἶδα, που πεντεκαίδεκα, τελέως ἰασάμην αὐτόν, οὐδὲν οὐκέτι αὐτῷ
προσαγαγὼν ἄλλο βοήθημα. οὗτος μὲν οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ πρῶτον οὕτως ἠνωχλεῖτο μηδέπω πρότερον ἀλγήσας
ἔντερα. νεανίσκος δέ τις ἐγγὺς ἐκείνῳ τὴν ἡλικίαν, οὐκ ὀλιγάκις ἔμπροσθεν ἠνωχλούμενος ὑπὸ κωλικῶν ἀλγη-
μάτων, ἐκαθάρθη λαβὼν σκαμμωνίας ὀπόν. ἀξιολόγου δὲ τῆς καθάρσεως γενομένης, ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶ
λουσάμενος εἰς ἑσπέραν, καὶ λαβὼν πτισάνης χυλὸν πρῶτον, εἶτ' ἐπιφαγὼν ἰχθύας, ἤμεσε τὰ ληφθέντα δι
νυκτός. ἐν δὲ τῇ δευτέρᾳ λουσάμενος, ἔφαγε. πρότερον μὲν θριδακίνης. εἶτα κρεῶν ὀρνιθείων ἑψομένων ἐν λευ-
κῷ ζωμῷ. κἄπειτα προσενέγκατο χόνδρον, ἐξ ὕδατος ἐπιβαλὼν οἶνον αὐστηρόν. μετρίως δὲ διάγειν δόξα
ἐπ' αὐτοῖς, διετέθη μὲν καὶ τῇ τρίτῃ τῶν ἡμερῶν παραπλησίως. ἐξέδωκε δὲ ἡ γαστὴρ αὐτοῦ μετὰ τὸ δειχθῆ-
ναι πλείω τῆς τῶν ἐδεσμάτων ἀναλογίας. εἶτα κατὰ τὴν τετάρτην ἡμέραν ἔτι καὶ μᾶλλον ὠδυνήθη τὰ κα
τὴν γαστέρα. καὶ δόξας ἐν τῷ βαλανείῳ που λεληθότως ἐψύχθαι πηγάνιον ἔλαιον ἐνεθεὶς, ὠδυνήθη τε σφοδρό-
τερον, καὶ μετὰ ταῦτα ἐξέκρινεν ὑγρὸν διαχώρημα πάμπολυ, σαφῶς ἐνδεικνύμενος ὡς κακ τοῦ σώματος
ὅλου τι φέρεται πρὸς τὰ κατὰ τὴν γαστέρα χωρία. κἄπειτ' ἐξῆς, ἐκ περιόδων ὁμοίως ἠνωχλεῖτο. πειθόμενοι δ' ἡμε
αὐτῷ τὰ συμπτώματα, τὴν βλάβην ἐκ τῆς σκαμμωνίας ἔγνωμεν ἐν ἐκείνοις μάλιστα γεγονέναι τοῖς ἐντέροις, ἃ κα
πρότερ

πρότερον ἦν ἀσθενῶν, ὥσθ' οἷον ῥευματικήν τινα συνίστασθαι διάθεσιν. οἶδα δ' οὖν ὅπως ἰασάμην καὶ τοῦτον ἀποῤῥίψαι μὲν κελεύσας τὰ κωλικὰ βοηθήματα, τραφῆναι δὲ χόνδρῳ θερμῷ δι' ὕδατος ἑψημένῳ, κόκκους ῥοιᾶς ἐμβαλὼν αὐτῷ. κοιμηθεὶς δ' ὅλῃ τῇ νυκτὶ χωρὶς ὀδύνης, ἐθαύμασε δή που τὸ παράδοξον τῆς βοηθείας. ἠρώτα δ' ὅ, τι χρὴ πιεῖν. ἐδώκαμεν οὖν αὐτῷ πιεῖν ὕδωρ ἢ ῥοῦ χυλόν. ὅπως εἴτε τις ἐπιπολῆς εἴη γεγενημένη περὶ τὸ ἔντερον ἑλκώδης διάθεσις, ἀποσύψειεν. εἴτε καὶ ῥέοι τι κατὰ τὸ σύνηθες ἐκ τῶν ἄνω χωρίων εἰς τὸ πεπονθός, ἀναστέλλειεν. ἀρίστῳ τε αὐτῷ χρήσασθαι προσετάξαμεν οὕτως, εἶτ' εἰς ἑσπέραν δειπνεῖν οἴνων † τινὰ τῶν αὐστηρῶν μὲν φύσει, παλαιῶν δὲ διαβραχέντος ἄρτου καθαροῦ. συνεχωρήσαμεν δὲ καὶ τῶν αὐστηρῶν ὀπωρῶν λαβεῖν, ἧς ἂν αὐτὸς ἐθέλει, μήλων, ἢ ἀπίων, ἢ ῥοιᾶς. ὁμοίως δὲ καὶ τῇ τρίτῃ τῶν ἡμερῶν διαιτηθεὶς, ἐν τῇ τετάρτῃ πιὼν τῆς θηριακῆς, ὑγιὴς τελέως ἐγένετο. καὶ τοῦ λοιποῦ τοῖς συνήθεσι χρώμενος, οὐδὲν ἐβλάπτετο. παραπλησίως δὲ ἕτερόν τινα διακείμενον ὥρᾳ θέρους, ἐπειδὴ διψώδης ἱκανῶς ὑπῆρχε πρὸς τοῖς ἄλλοις τοῖς εἰρημένοις, καὶ ψυχρῷ ποτῷ συνεχώρησα χρῆσθαι. μὴ τοίνυν ζήτει σημεῖα τοιαῦτα καθ' ἑκάστην διάθεσιν, οἷα πλευρίτιδός ἐστιν ἢ δυσεντερίας. ἐπιστημονικὴ μὲν γὰρ ἡ τῶν τοιούτων νοσημάτων διάγνωσις, ὡρισμένοις σημείοις γνωριζομένη. στοχαστικὴ δὲ, ἡ τῶν ἀρτίως εἰρημένων. καὶ μόνοις τοῖς ἀκριβῶς ἐπισταμένοις ἑκάστου νοσήματος τὴν οἰκείαν θεραπείαν εὑρίσκεσθαι δυναμένη. ὥστ' ἐπεὶ περὶ ταύτης πρόκειται νῦν λέγειν, αὐτὴ καθ' ἑαυτὴν περαινέσθω, μὴ προσαπτομένων ἡμῶν τῆς διαγνώσεως τῶν διαθέσεων, καὶ μάλισθ' ὅταν ἐκ στοχαστικῶν ἀρχομένη σημείων, συνάπτηται τῇ τῶν ὠφελούντων ἢ βλαπτόντων διαγνώσει. τὴν γὰρ ἐν τούτοις μέθοδόν τε καὶ γυμνασίαν ἐν ταῖς τῶν νοσημάτων διαγνώσεσιν ἰδίᾳ ποιούμεθα καθ' ἑαυτήν. ἵνα τεχνωθεὶς τις εὑρίσκῃ καθ' ἕκαστον ἄῤῥωστον, ὥσπερ καὶ ἡμεῖς τά τε πεπονθότα μόρια, καὶ τὰς διαθέσεις αὐτῶν. ἐπανέλθωμεν οὖν αὖθις ἐπὶ τὰς τὴν ὀδύνην ἐργαζομένας διαθέσεις. εἰ μὲν γὰρ αἵματος πλῆθος εἴη τὸ διατεῖνον, ὥσπερ ἀμέλει κἀν τοῖς φλεγμαίνουσι γίγνεται, φλεβοτομητέον αὐτίκα τῆς δυνάμεως ἰσχυρᾶς οὔσης. εἰ δ' ἤτοι φοβοῖτο τὴν φλεβοτομίαν ὁ ἄνθρωπος, ἢ ἀῤῥωστότερος εἴη τὴν δύναμιν, ἀντισπαστέον τε καὶ προχυτέον. εἴρηται δὲ ἔμπροσθεν ὅπως χρὴ ταῦτα ποιεῖν. εἰ δὲ καὶ τούτων γενομένων ἔτι μένοι τὸ ἄλγημα, δῆλον μὲν δή που κατὰ τὸ πεπονθὸς μόριον ἐσφηνῶσθαι τὸ λυποῦν. εὔδηλος δὲ καὶ ἡ θεραπεία τοῖς διαφορητικοῖς γινομένη φαρμάκοις. ὡσαύτως δὲ καὶ τὰς διὰ φυσῶδες πνεῦμα γινομένας ὀδύνας ἰασόμεθα προσβοηθοῦντες ἐπ' αὐτῶν μᾶλλον τοῖς λεπτύνουσι, ἐδέσμασί τε καὶ πόμασιν. ἐνέμασί τε καὶ καταπλάσμασιν. αἰονήσεσί τε καὶ πυριάμασιν. εἰ δ' ὄγκος βαρύνων ἢ θλῶν ὀδύνην ἐργάζοιτο, τὸν ὄγκον ἰατέον. εἰ δὲ δακνῶδες ὑγρὸν, ἐναντιώτατα τούτοις ἐστὶ, τὰ λεπτύνοντα καὶ θερμαίνοντα. χρῄζει γὰρ ἡ τοιαύτη διάθεσις, εἰ μὲν ἰαθήσεσθαι μέλλει, τῆς κενώσεως τῶν λυπούντων. εἰ δ' εἴη τοῦτο ποιεῖν ἀδύνατον, τῆς ἐπικράσεως. εἰ δὲ καὶ τοῦτ' ἀδύνατον, διὰ τῆς τῶν ναρκωτικῶν φαρμάκων προσφορᾶς. ἥτις ἐστὶ μὲν κοινὴ, βλάπτει δὲ ἥκιστα τῶν ἄλλων τὰς τοιαύτας διαθέσεις. λεπτὰ γὰρ ὑπάρχει ταῖς συστάσεσι, καὶ θερμὰ ταῖς δυνάμεσι τὰ πλεῖστα τῶν τοιούτων ὑγρῶν. ὅσα δὲ δι' ὀπίου καὶ ὑοσκυάμου καὶ τῶν οὕτως ψυχόντων σκευάζεται φάρμακα, ψύχει τε ἅμα καὶ ξηραίνει πάντως. ἐπὶ τούτων γοῦν οὐ μόνον ὡς αἰσθήσεως ναρκωτικὰ χρήσιμα καθέστηκεν, ἀλλὰ καὶ ὡς συνιστάντα καὶ παχύνοντα τὴν τῶν ὑγρῶν λεπτότητα. καὶ προσέτι καὶ τὴν θερμότητα σφοδρὰν ὑπάρχουσαν, ἐμψύχοντα. παχέων δὲ ὑγρῶν ἢ γλίσχρων ἐπικρατούντων, ἐναντιώτατα ὑπάρχει τὰ ναρκωτικὰ φάρμακα. καὶ πάνυ χρὴ φυλάττεσθαι τὴν χρῆσιν αὐτῶν ἐπὶ ταῖς τοιαύταις διαθέσεσιν. οὐ μὴν οὐδ' ὀδύνη τις ἕπεται σφοδρὰ τοῖς τοιούτοις χυμοῖς μόνοις οὖσιν. εἰ δέ ποτε συμπλακείη κατά τι συμβεβηκὸς ἀτμῶδες πνεῦμα τῶν περιεχόντων ἑαυτὸ σωμάτων ἀδυνατοῦν διεξιέναι, σφοδρότατα πάντως οἱ οὕτως ἔχοντες ὀδυνῶνται. ἕπεται δ' αὐτοῖς τοῦτο κατὰ διττὴν αἰτίαν. ἤτοι γ' ἔμφραξιν, ἢ θερμασίαν. ἥ τε γὰρ ἔμφραξις ἴσχει τὸ πνεῦμα, καὶ κωλύει διεξιέναι. θερμαινόμενά τε τὰ παχέα καὶ γλίσχρα, φυσῶδες πνεῦμα γεννᾶν πέφυκε. τοιαῦται μάλιστα γίνονται διαθέσεις τοῖς ἐμπεπλησμένοις ἐδεσμάτων ψυχρῶν μὲν ταῖς κράσεσι. παχέων δὲ καὶ γλίσχρων, ταῖς συστάσεσιν, ὅταν ἐν αὐτοῖς περιέχηται τοῖς χιτῶσι τῶν ἐντέρων τὸ φυσῶδες πνεῦμα. δυοῖν γὰρ ὄντοιν αὐτῶν, ἐπειδὰν ἐν τῇ μεταξὺ χώρᾳ τοιοῦτός τις ἀθροισθῇ χυμὸς, εἰς φυσῶδες μεταβάλλει πνεῦμα. παχὺ δὲ δή που τοῦτ' ἐστὶ καὶ ψυχρὸν, καὶ βραδύπορον. ὅταν οὖν ἴσχηταί τε καὶ διατείνῃ τοὺς χιτῶνας, ὅ, τε χυμὸς ἐξ οὗ τὴν γένεσιν ἔχει, ψύχει σφοδρῶς τὰ ψαύοντα μόρια τῶν ἐντέρων, κατὰ δύο προφάσεις οἱ οὕτω κάμνοντες ὀδυνῶνται. τὸ μὲν οὖν παραυτίκα, τελέως ἀνώδυνοι γίνονται, πιόντες τι τῶν ναρκωτικῶν φαρμάκων. αὐξάνεται δὲ ἡ διάθεσις αὐτοῖς παντοίως. οἵ τε γὰρ χιτῶνες τῶν ἐντέρων, πυκνότεροι, καὶ δυσδιαπνευστότεροι γίγνονται τῇ ψυχρότητι τῶν φαρμάκων, ὅ, τε χυμὸς παχύτερος καὶ δυσκινητότερος. ὥστε καὶ χρόνου πλείονος ἀναγκαῖον ἔσται δεηθῆναι τὸν κάμνοντα, καὶ τοῦ θεραπεύοντος εἰς ἄκρον γεγυμνασμένου κατὰ τὴν τέχνην. εἰ γὰρ ὡς ἔτυχεν αὖθις ἐγχειρήσειε τῇ θεραπείᾳ, κίνδυνος ἐκ δευτέρου πνευματωθέντας τοὺς χυμοὺς, τὴν αὐτὴν ὀδύνην ἐργάσασθαι, εἶτ' ἐκ δευτέρου δηλονότι δοθῆναί τι τῶν ναρκωτικῶν φαρμάκων δεῖ, τῆς αὐτῆς ἀνάγκης καταλαβούσης. ὡσαύτως δὲ κἀκ τρίτου καὶ τετάρτου, καὶ πολλάκις ἐφεξῆς, ἄχρις ἂν ὁ ἄνθρωπος ἀνίατος γενόμενος, εἰς καχεξίαν τε τοῦ παντὸς σώματος ἀφίκηται, καὶ πολλῷ χρόνῳ κακοπαθήσας, ἀποθάνῃ. πῶς οὖν χρὴ τὰς διὰ τοὺς ψυχροὺς χυμοὺς ἐν τῷ μεταξὺ τῶν ἐντέρων ἠθροισμένους ὀδύνας ἰᾶσθαι, οὐ θερμαίνοντες σφοδρῶς αἰονήσεσιν, ἢ καταπλάσμασιν. ὑπὸ γὰρ τῶν θερμαινόντων, εἰ μὴ καὶ διαφορηθεῖεν ἱκανῶς, χέονται καὶ πνευματοῦνται πάντες οἱ γλίσχροι καὶ παχεῖς καὶ ψυχροὶ χυμοί. προσήκει τοίνυν αὐτοὺς τέμνειν τε ἅμα καὶ πέττειν, ὅπερ ἐκ τῶν λεπτυνόντων γίνεται φαρμάκων. καὶ μάλισθ' ὅταν μὴ θερμαίνωσι σφοδρῶς. ὅτι δὲ καὶ τούτων αὐτῶν ὅσα ταῖς δυνάμεσιν ἐστὶν ἀφυσότερα καὶ ξηραντικώτερα, ταῦτ' αἱρεῖσθαι χρὴ μᾶλλον, εὔδηλον παντί. καὶ πολλῶν ἰδιωτῶν ἐστιν ἀκοῦσαι πολλάκις, ἧττον ἀλγεῖν φασκόντων τὸ κῶλον ὅταν μήτε καταπλάττωνταί τινι, μήτε καταντλῶνται δι' ἐλαίου, μήτε κλυζωνται. καὶ ὅσοι γενναῖοί εἰσι καὶ ἰσχυροὶ μετρίως διαιτηθέντες, ἐν χρόνῳ πλείονι συντομώτερον ἐκθεραπεύονται.

† τινὲς

αἱ ἀκινδυνότερον

τῶν δευτέρως ὡς εἴρηται θερμαινόντων. οὐδὲν γὰρ οὕτω χρὴ δεδιέναι ἐπὶ τοὺς τοιούτους χυμοὺς ὡς θερμότητα, χέουσαν μὲν καὶ πνευματοῦσαν αὐτοὺς, διαφορεῖν δ' ἀδυνατοῦσαν. ἐθεασάμην γοῦν τινα τῶν κατ' ἀγρὸν ἐργατῶν, ὃς ἐπειδὰν ἥλω τοῦ κωλικῆς ὀδύνης, ἐζώννυτο μὲν αὐτίκα, πρότερον οὐ ζωννύμενος. ἤσθιε δὲ μετ' ἄρτου σκόροδα, μηδὲ μίαν ἐκλείπων συνήθη πρᾶξιν. ἔπινε δὲ δι' ὅλης μὲν ἡμέρας, οὐδέν. εἰς ἑσπέραν δὲ, ἀκρατέστερον. εἶτα κοιμώμενος δι' ὅλης νυκτὸς, ἕωθεν ἀνίστατο παντάπασιν ἀνώδυνος. ἔστι γὰρ ἀμέλει καὶ τὰ σκόροδα τῶν ἀφύσων καὶ ἀδίψων βρωμάτων. ἔνιοι δὲ ἀπείρως ἔχοντες αὐτῶν, ὑπολαμβάνουσι κρομμύων εἶναι διψωδέστερα, τοῦ παντὸς ἁμαρτάνοντες. οὐ μόνον γὰρ οὐκ ἔστι διψωδέστερα κρομμύων, ἀλλ' οὐδὲ διψώδη τὴν ἀρχήν. ἀφυσότατά τε πάντων βρωμάτων. ὥστ' ἔγωγε τὴν ἀγροίκων θηριακὴν ὀνομάζω τὸ βρῶμα. καὶ εἴ τις ἢ θρᾶκας ἢ κελτὰς ἢ ὅλως τοὺς ψυχρὰν γῆν οἰκοῦντας εἴρξειεν ἐσθίειν σκορόδων, οὐ σμικρὰ βλάψει τοὺς ἀνθρώπους. ὅσοι μὲν οὖν ἄνευ πυρετῶν ἀλγοῦσι σφοδρῶς ἔντερα διὰ τὴν εἰρημένην αἰτίαν, καὶ σκορόδων ἐγχωρεῖ τούτους ἐσθίειν, καὶ τῆς διὰ τῶν ἐχιδνῶν πίνειν ὠφελούσης ἄκρως τὰς τοιαύτας διαθέσεις. ἐν πυρετοῖς δὲ, εἴποτε γένοιτο, πειρατέον μὲν πρῶτον εἰ πρόσιενται τὴν διὰ τῶν κέγχρων πυρίαν ξηράν. εἰ δὲ ἐπὶ ταύτης δὲ μὴ παύσαιντο, τῶν ἀφύσων τι σπερμάτων ἑψήσαντας ἐν ἐλαίῳ λεπτομερεῖ, κἄπειτα δι' ὀθονίου διηθήσαντας, ὡς καθαρὸν γενέσθαι τοὔλαιον, εἶτ' ἐν αὐτῷ τήξαντας στέαρ χηνὸς, ἐνιέναι. μὴ παρόντος δὲ τοῦ χηνείου στέατος, ὀρνιθείῳ χρῆσθαι. πρὸ παντὸς δὲ ἔστω τὸ καλούμενον ἄναλον. ἔστω δὲ μὴ πάνυ παλαιόν. ἐγχωρεῖ δὲ καὶ προσφάτῳ χρῆσθαι. καὶ μάλιστα τῷ χηνείῳ. εἰ δὲ μὴ δ' ἐπὶ τούτῳ καθίσαντο, δεύτερον αὖθις ἐνιέναι ταυτὸ, βραχὺ προσεπεμβάλλοντας καστορίου καὶ ὀποῦ. μέγεθος δὲ ἑκατέρου, μὴ μεῖζον κυάμου. τὸ δὲ τοῦ ἐλαίου πλῆθος, ἔστω κοτύλη. ἀναλαμβάνεται δὲ ἐκ τούτου τοῦ φαρμάκου καὶ κροκυδίου. χρὴ δὲ ἐξάψαντας αὐτὴν ἰσχυρῶς νήματος ἐπὶ πλεῖστον ἔσω, ἐπὶ τὸ ἀπολυόμενον ἔντερον ἐντιθέναι, πρὸς τῷ καὶ ῥᾳδίως ὅτε βούλει κομίζεσθαι. καὶ τὴν ὠφέλειαν ἐναργῆ παρέχεσθαι. ἐπὶ δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰ τῶν ὀφθαλμῶν, καὶ τὰ τῶν ὤτων ἀλγήματα διὰ τοιοῦτον χυμὸν, ἢ πνεῦμα φυσῶδες ἐν πυρετοῖς γινόμενα, πραΰνειν προσήκει. τῇ τε διὰ τῶν κέγχρων πυρίᾳ χρώμενον. ἐπειδὴ καὶ κουφότατόν ἐστιν ἁπάντων τῶν καὶ ξηραντικώτατον, ἀλύπους τε τὰς ἀρρώδίας ἔχει καὶ ἀδήκτους. ἐγχέοντα τε τοῖς ὠσὶ, τὸ διὰ καστορίου καὶ ὀπίου φάρμακον, ᾧ συνήθως χρώμεθα πρὸς τὰ τοιαῦτα. τὸ δὲ ὑγρὸν ᾧ ἀναδεύσεται ταῦτα, τὸ παρ' ἡμῖν καλούμενον ἕψημα ἐστίν. οἱ πλεῖστοι δὲ τῶν ἰατρῶν, ὀνομάζουσιν αὐτὸ σίραιον. εἰ δὲ καὶ καταπλάττειν ποτὲ δεήσειε, κωδύας ἐν ὕδατι καθεψόντας δι' ἀλεύρου τήλεως, ἢ κριθῶν, ἢ λινοσπέρμου, ἐμβαλλομένων τῷ ὕδατι, τὸ κατάπλασμα συνθετέον. εἰδέναι δὲ χρὴ τὸ διὰ καστορίου φάρμακον, οὐ μόνον ὤτων ἄλγημα πραΰνειν, ἀλλὰ καὶ ὀφθαλμῶν καὶ ὀδόντων, ἐνσταζόμενον τοῖς ὠσίν. ἴσασι δὲ δή που πάντες ἤδη καὶ τὰ δι' ὀπίου κολλύρια σφοδροτάτας ὀδύνας ὀφθαλμῶν πραΰνοντα. χρηστέον δ' αὐτοῖς, ὡς εἴρηται, μεγίστης ἀνάγκης καταλαβούσης, εἰδότα μὲν ὅτι βλαβήσεταί τι τὰ μόρια, καὶ ἀσθενέστερα πρὸς τὸ λοιπὸν τοῦ βίου γενήσεται ψυχθέντα. τὸ δὲ σωθῆναι τὸν ἄνθρωπον ἐν τῷ παραχρῆμα τῆς εἰς ὕστερον ἀκολουθούσης βλάβης προαιρούμενον. ἐπεί τοι γ' ὅτι πολλοὶ τῶν χρησαμένων αὐτοῖς ἐγγὺς ἧκον, οἱ μὲν τοῦ μηδ' ὅλως ὁρᾶν, οἱ δὲ, τοῦ κωφωθῆναι, γινώσκεται πᾶσιν. ὅθεν ἡμεῖς εἴποτε ἀναγκασθείημεν αὐτοῖς χρήσασθαι μετὰ ταῦτα ἐπὶ τὸν τῆς ὑγείας καιρὸν, ἐκθερμαίνομεν τὰ μόρια. τοῖς μὲν ὠσὶν, ἐγχέοντες τὸ διὰ μόνου τοῦ καστορίου. τοῖς δ' ὀφθαλμοῖς, τὰ θερμαίνοντα κολλύρια μόνα. μάλιστα δὲ ἐπαινοῦμεν εἰς ταῦτα τὸ διὰ κινναμώμου. περὶ μὲν οὖν ὀδύνης τῆς ἐπὶ παχέσιν ἢ γλίσχροις ἢ ψυχροῖς χυμοῖς ἢ φυσώδει πνεύματι, καὶ ταῦθ' ἱκανά. παραπλησία γὰρ ἁπάντων αὐτῶν ἐστὶν ἡ θεραπεία διὰ τῶν εἰρημένων ὑλῶν περαινομένη. πλήν γε διὰ πνεῦμα φυσῶδες, ἐξαίρετον ἴαμα κέκτηται, τὴν σικύαν πολλάκις προστιθεμένην, ἅμα δαψιλεῖ φλογί. καὶ δόξειεν τὸ βοήθημα τοῦτο μαγείᾳ τινὶ παραπλήσιον ἐργάζεσθαι ἐπὶ τὰς τοιαύτας διαθέσεις. εἴτε κατά τι τῶν ἐντέρων, εἴτε κατ' ἄλλο τι τοῦ σώματος γένοιτο μόριον. αὐτίκα γὰρ ἀνώδυνοί τε ἅμα καὶ εἰς τέλος ὑγιεῖς, οἱ διὰ πνεῦμα φυσῶδες ὀδυνώμενοι γίγνονται, προσβληθείσης σικύας. εἰ δὲ μὴ μόνον εἴη πνεῦμα φυσῶδες, ἀλλὰ καὶ χυμὸς ἐξ οὗ τοῦτο γεννᾶται, παραχρῆμα μὲν ἀνώδυνοι γίνονται. πάλιν δ' αὖθις ἤτοι διὰ τῆς ἐπιούσης νυκτὸς, ἢ ἐπὶ τὴν ὑστεραίαν ἡμέραν, ἢ καὶ διὰ τρίτης, ὅμοιαι συμβαίνουσιν ὀδύναι. καὶ μάλισθ' ὅταν ἐξαμαρτάνωσί τι περὶ τὴν δίαιταν, ἢ φιλοτιμότερον ἐκθερμαίνουσι τὰ μόρια. σοὶ δὲ καὶ τοῦτο μὲν αὐτὸ μέγιστον ἔστω γνώρισμα τῆς διαθέσεως. ἑπέσθω δὲ καὶ ἡ θεραπεία προσήκουσα. μὴ θερμαίνοντι μὲν ἐπιφανῶς τὸ μόριον. ἀγωγῇ δὲ ἐπιμελείας χρωμένῳ λεπτυνούσῃ. εἰ δὲ καὶ ἐπὶ γαστέρα τῶν τοιούτων τι συμβαίνει, θαυμαστῶς ὑπὸ κλυσμάτων ὀνίνανται δριμέων. χρὴ δὲ πρῶτον μὲν αὐτῶν ἰᾶσθαι τὸν παροξυσμὸν τῆς ὀδύνης προσβάλλοντα σικύαν ὑπὲρ τοῦ διαπνεῦσαι τὸ φυσῶδες πνεῦμα. μετὰ ταῦτα δὲ ἐκκενοῦν τὸν χυμὸν, ἐνιέντα τῶν τοιούτων τι φαρμάκων. ἐγὼ δὲ εἴωθα χρῆσθαι τῶν λεπτομερῶν ἐλαίων τινὶ πήγανον ἐναφεψῶν. ἔνιοι δὲ τῶν ὑπὸ τὴν τοιαύτην θεραπείαν ἀχθέντων ὅταν παραδέξωνται τοὔλαιον, ὀδυνῶνται σφοδρότατα. κἄπειτ' ὀλίγον ὕστερον ἐκκρίνουσιν ὑαλώδη χυμὸν. ἐφ' ᾧ παραχρῆμα τήν τ' ὀδύνην ἅμα καὶ τὴν διάθεσιν ἐκθεραπεύονται. κενωθέντος γὰρ τοῦ τὸ φυσῶδες πνεῦμα γεννῶντος αἰτίου, πάντα παύεται. τοιούτοις χυμοῖς ἐναντιωτάτην μὲν ἔχουσι φύσιν, οἱ λεπτοὶ καὶ δριμεῖς, ὁμοίαν δὲ τὴν ὀδύνην. ἐνίοτε δὲ καὶ σπασμοὺς συντόνους ἐπιφέρουσιν ἐν τῷ στόματι τῆς γαστρὸς ἀθροισθέντες. ὥσπερ καὶ πρώην τῷ μικρὸν ὕστερον ἐμέσαντι τὸν ἰώδη χυμόν. ἄμεινον δὲ οὐκ ἰώδη λέγειν αὐτὸν, ἀλλ' ἀκριβέστατον ἰόν. ἦν γὰρ δὴ τοιοῦτος, οἷος ὁ κάλλιστος ἰός. ἀλλὰ τούτῳ γε τῷ νεανίσκῳ μετὰ τοῦ σπᾶσθαι καὶ συγκόπτεσθαι, καί τινες ἐγίνοντο νοτίδες ψυχραί. καὶ ὁ σφυγμὸς ἐσχάτως μικρὸς ἦν. ἐξ ὧν περ καὶ τεκμηράμενος ἐν τῷ στόματι τῆς γαστρὸς, ὃ συνήθως ὀνομάζομεν στόμαχον, εἶναί τινα δακνώδη χυμὸν, ἔδωκα πιεῖν αὐτῷ ὕδατος χλιαροῦ. μεθ' ὃ παραχρῆμα τοιοῦτον ἤμεσεν, οἷόν περ εἰ καὶ σὺ βουληθείης ἐργάσασθαι μίξας ὕδατι τὸν ἐξανθήσαντα ἰόν. ὅταν μὲν οὖν ἐν τῇ γαστρὶ συνίσταται τοιοῦτος χυμὸς, ἐμέτοις ἐκκαθαίρειν αὐτόν. ὅταν δὲ ἐν τοῖς ἐντέροις, ἐνιέναι διὰ τῆς ἕδρας ἐπιτήδειόν τι, τοὺς τοιούτους χυμοὺς κατακλύζειν δυνάμενον. εἴη δὲ χρὴ τοῦτο, ῥυπτικὸν μὲν πάν-

ἢ πάντως. ἀλλ' ἐπειδὴ τὰ πλεῖστα τῶν τοιούτων δάκνει, κάλλιστα ἂν εἴη τῶν ἀδήκτων τι ῥυπτικὸν ἐκλέγεσθαι. τοιοῦτον δέ ἐστιν ἐν τοῖς μάλιστα πτισάνης χυλός. ἐδέσματα δὲ αὐτοῖς εὔχυμά τε καὶ δύσφθαρτα δοτέον, ὧν εἴρηται καὶ παραδείγματα κατὰ τὸν ἔμπροσθεν λόγον. ἐπεὶ δὲ καὶ τῶν διὰ ξηρότητα σφοδρὰν τεινομένων τε ἅμα καὶ ὀδυνωμένων ἐμνημόνευσα, προσθεῖναί τι καὶ περὶ τούτων ἄμεινον. εἰδέναι γὰρ χρὴ τὴν τοιαύτην διάθεσιν ἐνδεικνυμένην μὲν εἰ μέλλει θεραπεύειν τις αὐτήν, ὑγρότητα. χαλεπὴν δ' οὖσαν ἢ καὶ παντάπασιν ἀδύνατον ἐκθεραπεύεσθαι λόγῳ πυρετοῦ γενομένην, ἐπειδὴ μάλιστα ταῖς ὀλεθρίαις φρενίτισι. καὶ σωθέντα τινὰ τῶν οὕτω παθόντων, οὔτ' αὐτὸς εἶδον, οὔτ' ἄλλου λέγοντος ἤκουσα. τὰ πολλὰ γοῦν οἱ σπασμοὶ γίγνονται, διά τε πλήρωσιν τῶν νευρωδῶν μορίων, ᾧ λόγῳ καὶ τοῖς φλεγμαίνουσιν ἰσχυρῶς ἕπονται, καὶ προσέτι καὶ διὰ δακνώδη χυμὸν λεπτὸν ἀναβιβρώσκοντα τὰ νευρώδη μόρια, καὶ ψύξιν ἰσχυρὰν ὅμοιόν τι πήξει δρῶσαν. οὗτοι μὲν οἱ εἰρημένοι τρεῖς σπασμοὶ θεραπεύονται πολλάκις. ἀνίατος δὲ ὁ διὰ ξηρότητα τῶν νευρωδῶν μορίων γιγνόμενος. ἐδείχθη γάρ μοι κἀν τῷ περὶ μαρασμοῦ λόγῳ παντάπασιν ἀθεράπευτος ἡ τῶν στερεῶν σωμάτων ξηρότης. ὥστ' οὐδὲν ἔτι χρὴ περί γε τῶν τοιούτων λέγειν συμπτωμάτων. οὐ μὴν οὐδὲ περὶ τῶν διὰ κένωσιν ἀμέτρων, ἤτοι διὰ γαστρός, ἢ δι' ἐμέτου, ἢ δι' αἱμορραγίας. εἴρηται γὰρ ὑπὲρ αὐτῶν ἤδη μετρίως ἐν τοῖς ἔμπροσθεν. αὖθίς τε διελθεῖν ἀναγκαῖον ἔσται, καὶ μάλισθ' ὅταν ὁ λόγος μοι γίγνηται περὶ τῶν παρὰ φύσιν ὄγκων. καταπαύσω τοιγαροῦν ἤδη τὸν ἐνεστῶτα λόγον ἐπειδὴ περὶ τῶν ἀναγκαιοτάτων συμπτωμάτων καὶ μάλιστα τῶν συνεζευγμένων αὐταῖς ταῖς διαθέσεσι τῶν πυρετῶν, αὐτάρκως διῆλθον.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ
ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

ΔΥΟ μὲν ἤδη γένη νοσημάτων ὅπως ἄν τις ἰῷτο μεθόδῳ, δεδήλωται. τὸ μὲν ἕτερον, ἡ δυσκρασία, παλαιὰν ἔχουσα προσηγορίαν. τὸ δ' ἕτερον, ὑφ' ἡμῶν ὀνομασμένον, ἡ τῆς συνεχείας λύσις. ὑπὲρ ἧς πρώτης γράψαντες ἐν τῷ τρίτῳ καὶ τετάρτῳ καὶ πέμπτῳ καὶ ἕκτῳ τῶν δὲ τῶν ὑπομνημάτων, ἐφεξῆς αὐτῇ τὰ κατὰ δυσκρασίαν γιγνόμενα μέχρι τοῦ δωδεκάτου διήλθομεν. ἐν δὲ τῷδε τῷ τρισκαιδεκάτῳ τῆς ὅλης πραγματείας ὄντι, περὶ τῶν παρὰ φύσιν ὄγκων ἀρξόμεθα λέγειν ἐν οἷς δηλονότι κατὰ μέγεθος ἐξίσταται τὰ μέλη τοῦ κατὰ φύσιν. ὑγείαν δὲ καλεῖν ἢ κατὰ φύσιν, οὐ διοίσει πρός γε τὰ παρόντα. πολλῶν δὲ κατ' εἶδος ὄντων ἐν αὐτοῖς παθῶν, περὶ πρώτης ἐροῦμεν τῆς φλεγμονῆς. ἄμεινον γὰρ ἀπὸ ταύτης ἄρξασθαι, διά τε τὸ συνεχέστατα γίγνεσθαι, καὶ πυρετούς τε καὶ ἄλλα συμπτώματα ἐργάζεσθαι σφαλερώτατα. λεγόντων δὲ πολλάκις τῶν παλαιῶν φλεγμονὴν τὴν φλόγωσιν, ἰστέον νῦν ἡμᾶς οὐ περὶ ταύτης διέρχεσθαι τῆς φλεγμονῆς, ἀλλ' ἥτις ἅμα τῇ φλογώσει, καὶ τάσιν ἔχει περὶ τὸ μόριον, ἡμῖν θ' ἁπτομένοις φαινομένην, αὐτῷ τε τῷ κάμνοντι διὰ τῆς ἰδίως ὀνομαζομένης συναισθήσεως. οὐδὲν δ' ἧττον τῆς τάσεως ἀντίτυπόν ἐστι τὸ φλεγμαῖνον μόριον, ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν. ὀδύνη δ' αὐτῷ σύνεστιν ἤτοι γ' ἐλάττων ἢ μείζων. ἐνίοτε δὲ καὶ μετὰ σφυγμοῦ συναισθήσεως, ὅταν ἐπὶ πλέον αὐξηθῇ τὸ νόσημα. καὶ μάλισθ' ἡνίκα ἐκπυΐσκεται. οὕτω δὲ καὶ τὸ καλούμενον ἔρευθος ἤτοι γ' ἧττον ἢ μᾶλλον. ἀεὶ δὲ πάντα ἐστὶν ἐν τοῖς φλεγμαίνουσι μορίοις. ὥστε κἂν ἐν τῷ τοῦ ποδὸς ἴχνει, κἂν κατὰ τὸ τῆς χειρὸς ἔνδον γένηται μεγάλη φλεγμονή, καὶ ταῦτα φαίνεσθαί πως ἑαυτῶν ἐνίοτε ἐρυθρότερα. δέδεικται γάρ τοι πᾶσα φλεγμονὴ δι' ἐπιρροὴν αἵματος γιγνομένη. τισὶ μὲν εὐθέως θερμοῦ πλέον ἢ κατὰ φύσιν ἦν θερμόν. ἅπασι δ' οὖν ἐν τῷ φλεγμαίνοντι μορίῳ θερμοτέρου γιγνομένου. καὶ τοῦτο κοινὸν ἁπάσαις ταῖς αἱρέσεσιν ἐστίν. εἴτε σφήνωσιν μόνην αἰτιῶνται κατὰ τὰ πέρατα τῶν ἀγγείων, εἴτε παρέμπτωσιν τοῦ αἵματος ἐν μόναις ταῖς ἀρτηρίαις, εἴτ' ἔμφραξίν τινα, εἴτ' ἔνστασιν ἐν λόγῳ θεωρητοῖς ἀραιώμασιν. ὥστε καὶ ὁ τῆς ἰάσεως σκοπὸς ἁπάσαις κοινός. ἡ κένωσις τοῦ πλεονάζοντος αἵματος ἐν τῷ φλεγμαίνοντι μορίῳ. γιγνομένης δ' ἔτι τῆς φλεγμονῆς, διττὸς ὁ σκοπὸς ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων ἐδείχθη νοσημάτων, ὅσα τὴν γένεσιν ἐνεστῶσαν ἔτι καὶ μήπω συμπεπληρωμένην ἔχοι. τὸ μὲν γὰρ γεγονὸς αὐτῶν ἤδη, τῷ θεραπευτικῷ μέρει τῆς ἰατρικῆς ὑποπέπτωκε. τὸ δ' ἔτι γιγνόμενον, τῷ προφυλακτικῷ. καὶ διὰ τοῦτο ἔφαμεν οὐχ ἁπλῆν, ἀλλὰ σύνθετον εἶναι τὴν ὅλην ἐπιμέλειαν τῶν ἔτι γιγνομένων παθῶν, ἔκ προφυλακτικῆς, τε καὶ θεραπευτικῆς, ὥσπερ γε καὶ εἰ μὴ δ' ὅλως ἄρχοιτο φλεγμαίνειν μηδέπω. φαίνοιτο δὲ τὸ τῶν γεννῆσαι δυναμένων αἰτίων εἶδος ἤδη κατὰ τὸ σῶμα, σκοπὸς κἀπὶ τούτων ἁπάντων ἡ προφυλακὴ μόνη. μὴ δέ πω δ' αἰτίας μηδὲ μιᾶς ὑποτρεφομένης ἐν τῷ σώματι, τὸ καλούμενον ὑγιεινὸν μέρος τῆς τέχνης προνοεῖται καὶ οὕτως ἐχόντων. ὅσα τοίνυν αἴτια τὴν φλεγμονὴν ὁρᾶται γεννῶντα, ταῦτα ὅταν μὲν ἤδη πως ἦ κατὰ τὸ σῶμα μικρά τ' ἔτι καὶ ἀρχόμενα, κωλύειν αὐτὰ δεῖ μείζω γενέσθαι, καὶ τοῦτ' ἐστὶν ἡ προφυλακὴ τῆς φλεγμονῆς. εἰ δὲ τηλικοῦτον ἔχει τὸ μέγεθος ὡς ἤδη ποιεῖν φλεγμονήν, ἐκκόπτειν μὲν χρὴ ταῦτα, τὸ δὲ ἤδη γεγονὸς αὐτῆς ἰᾶσθαι. γένεσις μὲν οὖν κοινὴ πάσαις ταῖς φλεγμοναῖς, ἐξ αἵματος ἐπιρροῆς ἐστι πλείονος ἢ ὅσου δεῖται τὸ μέρος, ὡς ἔν τε τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων ἐδείχθη, καὶ τῷ τῆς ἀνωμάλου δυσκρασίας. ἐπιρρεῖ δὲ πλέον ἐνίοτε μὲν ἑτέρου τινὸς ἢ ἑτέρων τινῶν μορίων εἰς αὐτὸ πεμπόντων. ὑποδεχομένου δὲ τοῦ φλεγμαίνειν ἀρχομένου, ποτὲ δὲ ἕλκοντος ἐφ' ἑαυτὸ τοῦ πάσχοντος. τὰ μὲν οὖν πέμποντα, ποτὲ μὲν ὡς τῷ πλήθει περιττόν, ἢ ἀνιαρὸν τῇ ποιότητι, διωθεῖται τὸν χυμόν. ἐνίοτε δὲ καὶ δι' ἄμφω. τὰ δὲ ἕλκοντα διὰ θερμότητα νοσώδη. κατὰ δὲ τὰς ὀδύνας, ἄρχεται μὲν ἐκ τοῦ τὴν ὀδύνην ἔχοντος ἡ αἰτία. τὰ δ' ὑπερκείμενα, τὸ σύμπαν ἐργάζεται τῆς φλεγμονῆς. τὸ μὲν οὖν ὧδε τὸ θερμαινόμενον, ἤτοι γ' ἕλκεσθαι τοὺς πλησιάζοντας χυμούς, ὡς ἡμεῖς φαμέν, ἢ ὡς Ἀσκληπιάδης ἐνόμιζε ῥεῖν, ἐναργῶς φαίνεται, καὶ φυλάττεσθαι

τῷ λόγῳ κἀνταῦθα τὸ ἀληθὲς ἐξ αὐτοῦ τοῦ βλέπεσθαι. τά γε μὴν ὀδυνώμενα, φαίνεται μὲν καὶ ταῦτα φλεγμαίνοντα διὰ τὴν ὀδύνην. ἡ δ' αἰτία, τισὶ μὲν οὐδόλως εἴρηται. τισὶ δ' οὐδαμῶς πιθανή. καθ' ἡμᾶς δ' ἐστὶ τοιάδε. δέδεικται δὲ κατὰ τὴν πραγματείαν ἣν περὶ τῶν φυσικῶν δυνάμεων ἐποιησάμεθα, μία καὶ ἥδε τῆς φύσεως δύναμις, ἣν ἀπωστικὴν ὀνομάζομεν. ἐνεργεῖ δ' αὕτη κατ' ἐκείνους τοὺς καιροὺς ἐν οἷς ἂν αἰσθάνηται λυποῦντος τινός. ἓν δέ τι τῶν λυπούντων αὐτήν ἐστι, καὶ τὸ τὴν ὀδύνην ἐργαζόμενον αἴτιον, ὅ, τι ποτ' ἂν ᾖ. τοῦτ' οὖν ἀπορρῖψαι σπεύδουσα, φλεγμονήν ἐστιν ὅτε κατὰ τὸ μέρος ἐργάζεται. ὅταν γὰρ ταῖς πρώταις ἑαυτῆς κινήσεσι μηδὲν ἀνύσῃ, τηνικαῦτ' ἤδη σφοδρότερον ἐπιχειροῦσα τὸ λυποῦν ἀπορρίψασθαι, συνεκθλίβει τι πρὸς τὸ μέρος ἐκ τῶν ὑπερκειμένων αἷμα καὶ πνεῦμα, κἀντεῦθεν ἐπὶ ταῖς ὀδύναις εἰς ὄγκον αἴρεται τὸ μέρος, ἀνάλογον τῷ πρὸς αὐτὸ ῥυέντι χυμῷ. καὶ μέντοι καὶ πάντων τῶν παρὰ φύσιν ὄγκων ἡ ποικιλία τῆς διαφορᾶς ἕπεται τῇ τῶν ἐπιρρεόντων φύσει. πνευματωδέστεροι μὲν γὰρ, ὅταν ἡ πνευματώδης οὐσία πλείων ἀφίκηται, γίνονται φλεγμονωδέστεροι δέ, ὅταν ἡ τοῦ αἵματος. ἐρυσιπελατώδεις δέ, ὅταν ὁ τῆς ξανθῆς χολῆς χυμός. οἰδηματώδεις δέ, ὅταν ὁ τοῦ φλέγματος. ὥσπερ γε καὶ σκιρρώδεις ὅταν ἤτοι παχὺς ἢ καὶ γλίσχρος ἱκανῶς ὁ κατασκήψας εἰς τὸ μόριον ᾖ χυμός. ὁ μὲν οὖν παχὺς ἤδη πως ἐστὶ μελαγχολικός. καὶ ἤτοι γε ἧττον ἢ μᾶλλον. ὁ δὲ γλίσχρος, ἔκ τε γλίσχρων ἐδεσμάτων γίγνεται, καί ποτε καὶ αὐτῶν τῶν νευρωδῶν μορίων περίττωμα πολὺ γεννησάντων. ἀλλὰ περὶ μὲν τῶν ἄλλων ὄγκων, ἐφεξῆς εἰρήσεται. περὶ δὲ τῆς φλεγμονῆς, τὰ κοινὰ πάντων λαβόντες εἰς τὸν λόγον, οὕτως αὐτοῖς προσθήσομεν, ὅσα μόνης αὐτῆς ἐστιν ἴδια. ὅταν οὖν ἄρχηταί τι φλεγμαίνειν μόριον, ἐπισκεπτέον εἴτε διὰ θερμασίαν τινὰ παρὰ φύσιν ἐν αὐτῷ γενομένην, εἴτε δι' ὀδύνην, ἤτοι γ' οἰκείαν, ἢ τινὰ τῶν πλησιαζόντων εἰς τοῦθ' ἧκεν. ἵνα καὶ παύοντι τὴν αἰτίαν, ἡ φλεγμονὴ μηκέτ' αὐξάνηται. μετὰ δὲ τήνδε τὴν ἐπίσκεψιν, ἐφεξῆς θέασαι μή τι τῶν πλησιαζόντων μορίων ἐπιπέμπει πλέον αἷμα τῷ φλεγμαίνοντι. καὶ μετὰ τοῦτο, μὴ καὶ σύμπαν τὸ σῶμα πληθωρικῶς διάκειται. μεμνῆσθαι δ' οἶμαί σε, καὶ τούτου τοῦ δεδειγμένου πολλάκις, ὡς ἐκ τῶν ἰσχυροτέρων μορίων ὠθούμενα τὰ περιττὰ κατὰ πλῆθος, ἢ ποιότητα, τοῖς ἀσθενεστέροις ἐγκατασκήπτει. καὶ διὰ τοῦτό γε καὶ οἱ ἀδένες, ἑτοίμως δέχονται τὸ ῥεῦμα. καὶ μάλισθ' ὅσοι μανότεροι φύσει. σφοδρότερος μὲν γὰρ ὁ τῶν ἀρτηριῶν καὶ φλεβῶν καὶ νεύρων καὶ μυῶν ἐστι τόνος. ἀσθενέστερος δὲ καὶ ἴσως οὐδ' ὅλως, ὁ τῶν ἀδενωδῶν σωμάτων. οὕτως οὖν καὶ διὰ ἕλκος ἐν δακτύλῳ γενόμενον, ἤτοι ποδός, ἢ χειρός, οἱ κατὰ τὸν βουβῶνα καὶ τὴν μασχάλην ἀδένες ἐξαίρονταί τε καὶ φλεγμαίνουσι, τοῦ καταρρέοντος ἐπ' ἄκρον τὸ κῶλον αἵματος ἀπολαβόντες πρῶτοι. καὶ κατὰ τράχηλον δὲ καὶ παρ' ὦτα πολλάκις ἐξήρθησαν ἀδένες ἑλκῶν γενομένων ἤτοι κατὰ τὴν κεφαλὴν ἢ τὸν τράχηλον, ἤ τι τῶν πλησίων μορίων. ὀνομάζουσι δὲ τοὺς οὕτως ἐξαρθέντας ἀδένας, βουβῶνας. εἰ δὲ σκιρρωδεστέρα ποτ' αὐτῶν ἡ φλεγμονὴ γένοιτο, δυσίατός τέ ἐστι, καὶ καλεῖται χοιράς. ἥτις μὲν οὖν ἐστιν ἡ τῶν χοιράδων ἴασις ἰδία, κατὰ τὸν ἑξῆς λόγον εἰρήσεται. νυνὶ δὲ περὶ τῶν φλεγμονῶν ἐπειδὴ περὶ τούτων πρόκειται διελθεῖν, ἀναλαβόντες περὶ τούτων αὖθις λέγομεν. ὡς τὸ κωλύειν αὐτὰς ἀρχομένας, ἐκκοπτόντων τὴν γεννῶσαν αἰτίαν γίγνεται. καὶ πρῶτόν γε περὶ τῶν ἐφ' ἕλκεσι φλεγμονῶν εἴπωμεν. ἐπειδὰν γὰρ ἐγγὺς ἀρτηρίας μεγάλης ἢ φλεβὸς ἕλκος γένηται, τάχιστα μὲν οἱ βουβῶνες ἀνίστανται. φαίνεται δ' ἐνίοτε καὶ ἡ φλὲψ αὐτὴ καθ' ὅλον τὸ κῶλον ἐρυθρά τε καὶ θερμὴ καὶ τεταμένη. καὶ εἰ θίγοις αὐτῆς, ὀδυνωμένη. πληθωρικοῦ μὲν οὖν ὄντος ἢ κακοχύμου τοῦ παντὸς σώματος, ἡ θεραπεία δύσκολος γίνεται. ὑγιεινοῦ δ' ἀκριβῶς, ῥᾳδία. θερμαίνειν τε γὰρ καὶ ὑγραίνειν χρὴ μετρίως ὅλον τὸ κῶλον ὅπως ἀνώδυνον γένοιτο. γινώσκεις δὲ δή που τὴν τῶν τοιούτων ὕλην. αὐτῷ μὲν οὖν τῷ ἕλκει τῆς τετραφαρμάκου δυνάμεως ἐπιτιθεμένης ἐν μοτῷ. λύεται δὲ ῥοδίνῳ μὲν μάλιστα. μὴ παρόντος δὲ αὐτοῦ, τῶν χαλαστικῶν ἐλαίῳ τινί. τῷ δὲ ὅλῳ κώλῳ περιελιττομένου πιλήματος ἐλαίῳ θερμῷ βεβρεγμένου. καὶ μέντοι καὶ αὐτῷ τῷ ἕλκει τὸ φάρμακον ἐπιτιθέναι χρὴ θερμόν. ἔξωθέν τε καταπλάττειν αὐτὸ θερμῷ καταπλάσματι. τὸ δὲ ἄλευρον ἤτοι κρίθινον ἢ πύρινον ἢ μικτὸν ἐξ ἀμφοῖν ἐχέτω. τὸ δὲ ὑγρόν, ὕδωρ μετ' ἐλαίου βραχέος. οὕτω δὲ καὶ αὐτῷ τῷ ἀδένι τῷ φλεγμαίνειν ἠργμένῳ, παρηγορικῶς χρὴ προσφέρεσθαι, τήν γε πρώτην ἡμέραν ἐξ ἐλαίου θερμοῦ διάβροχον ἔριον ἐπιτιθέντας. οὐχ ὥς τινες εὐθέως μεθ' ἁλῶν. ὕστερον γὰρ ἐκείνοις χρησόμεθα, τοῦ τε καθ' ὅλον ὄγκου παρηγορηθέντος, ἀνωδύνου τε τοῦ ἕλκους γενομένου. καὶ μέντοι καὶ τὸ μακεδονικὸν καλούμενον φάρμακον, ὡσαύτως τῇ τετραφαρμάκῳ δυνάμει κατὰ τῶν ἑλκῶν ἐπιφέρειν προσήκει. καὶ γὰρ καὶ παραπλήσιά πως ἀλλήλοις ἐστὶ μόνου τοῦ λιβανωτοῦ πλεονεκτοῦντος τοῦ μακεδονικοῦ. πληθωρικοῦ δ' ὄντος ἢ κακοχύμου τοῦ σώματος, ἡ διὰ τῶν θερμαινόντων ἀγωγή, ῥευματίζει τὸ κῶλον. οὐ μὴν οὐδ' ἄλλῃ τινὶ χρῆσθαι δυνατόν. ἀναγκαζόμεθα τοιγαροῦν ἐνίοτε κενοῦν αἵματος, ἤτοι φλέβα τέμνοντες, ἢ ἀποσχάζοντες τὰ μὴ πεπονθότα κῶλα. χειρὸς μὲν γὰρ κακῶς ἐχούσης, τὰ σκέλη. τοῦ δ' ἑτέρου τῶν σκελῶν πεπονθότος, τὸ λοιπόν. ταύτας γὰρ τὰς κενώσεις, ἐνδείκνυται τὸ πλῆθος. ὥσπερ γε ἡ κακοχυμία τὴν τοῦ πλεονάζοντος χυμοῦ κάθαρσιν. ὡς τὰ πολλὰ μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις βοηθήμασι παύεται τῶν ἀδένων ἡ φλεγμονή. πολλάκις δ' ἤτοι τοῦ θεραπεύοντος βραδύνοντος περὶ τὴν τοῦ παντὸς σώματος κένωσιν, ἢ αὐτοῦ τοῦ κάμνοντος ὑπὸ μαλακίας αὐτὴν οὐ προσιεμένου, μείζων ἡ φλεγμονὴ γίνεται τῶν ἀδένων, ὡς εἰς ἐκπύησιν ἔρχεσθαι. καὶ μέντοι καὶ τὰ καλούμενα φύματα, κατ' αὐτοὺς τοὺς ἀδένας συμβαίνει, διὰ ῥεῦμα κατασκῆψαν ἄνευ τῆς ἐξ ἕλκους προφάσεως. ὅταν οὖν ποτε διατείνωνται σφοδρῶς ἀδένες, ἢ ἁπλῶς ὁτιοῦν μόριον ἄλλο φλεγμαῖνον, ἀναγκαζόμεθα προκενώσαντες τὸ ὅλον, ἀποσχάζειν αὐτό. κενοῦμεν δὲ τὸ ὅλον, ὡς κἀν τῷ περὶ πλήθους ἐδείξαμεν, οὐ μόνον ἐν πληθωρικῇ διαθέσει γιγνόμενον, ἀλλὰ καὶ διὰ μέγεθος τοῦ πάθους ἐν συμμετρίᾳ χυμῶν καθεστηκότος τοῦ παντὸς σώματος. ἡ γὰρ ὀδύνη καὶ ἡ θερμασία τοῦ φλεγμαίνοντος μέλους, αἰτίαι ῥεύματος γίνονται, κἂν ἀπέριττον ᾖ τὸ σύμπαν σῶμα. χρὴ τοίνυν ἐνδεέστερον αὐτὸ ποιεῖν τηνικαῦτα κενοῦντα κένωσιν ἥτις ἂν ἁρμόττειν φαίνηται μάλιστα, τῇ θ' ἡλικίᾳ καὶ τῇ φύσει τοῦ κάμνοντος, ἐπισκοποῦντα καὶ τὴν ὥραν, καὶ τὴν χώραν, καὶ τὰ ἔθη τοῦ νοσοῦντος. ὑπὲρ ὧν ἤδη πολλάκις ἐν πολλοῖς εἴπομεν. ὥστε κἂν μὴ προσκέηταί ποτε τῷ λόγῳ,

συνυπακούειν αὐτὰ χρή. ὅταν τὸ οἷον ζέον τῆς φλεγμονῆς παύσηται, τῶν παρηγορικῶν ἀποχωροῦντα καταπλασμάτων, ἐπὶ τὰ διαφορητικὰ χρὴ μεταβαίνειν κατὰ βραχύ. πρῶτον μὲν τοῖς παρηγορικοῖς μιγνύντα μέλιτος ὀλίγον. εἶτ' ἀφαιροῦντα μὲν ὅλον τὸ πύρινον ἄλευρον. ἀρκούμενον δὲ τῷ κριθίνῳ μετὰ τοῦ καὶ τὸ μέλι προσαύξειν. εἶθ' ἑξῆς ἐπί τι τῶν διαφορούντων ἰέναι φαρμάκων, ὅσα ταῖς συστάσεσιν ἤτοι γ' ὑγρὰ τοῖς ἐμμότοις ὁμοίως ἐστὶν, ἢ κηρωτοειδῆ. ἀφίστασθαι δὲ τῶν σκληρῶν οἷα πολλὰ τῶν ἐμπλαστῶν ἐστι. συντείνει τε γὰρ τὰ λείψανα τῶν φλεγμονῶν. αὖθίς τε φλεγμαίνειν ἀναγκάζει τὰ πεπονθότα μόρια. κἂν εἰ πῦον δέ τι κατὰ τὸ διαπυῆσαν ἀξιόλογον εἴη περιεχόμενον, οὐ χρὴ τέμνειν αὐτίκα καθάπερ ἔνιοι πράττουσιν, ἀλλὰ διαφορεῖν ἐπιχειρεῖν τοῖς τοῦτο δρᾶν πεφυκόσι φαρμάκοις. ὧν ἡ χρῆσις ἐστοχάσθω τῆς διαθέσεως. ὅταν μὲν γὰρ ἔτι φλεγμονῶδές τι κατὰ τὸ μόριον ᾖ, τὰ δριμέα τῶν φαρμάκων ἐρεθίζει μᾶλλον ἢ διαφορεῖ. ὅταν δὲ φαίνηταί σοι τὸ τῆς φλεγμονῆς λείψανον σκιρρῶδες γινόμενον, θαρρεῖν ἤδη τοῖς ἰσχυροῖς φαρμάκοις, ἐπιβλέποντα δὶς τῆς ἡμέρας ὁποῖόν τι δρᾷ. κατὰ μὲν τὴν ἕω, τὸ πρότερον. εἰς τὴν ἑσπέραν δὲ, τὸ δεύτερον. εἰ δὲ καὶ βαλανείῳ χρῷτο, καὶ κατὰ τὸν ἐκείνου καιρόν. ὅταν οὖν ἴδῃς ποτὲ διὰ τὴν τοῦ φαρμάκου δριμύτητα τὸ πεπονθὸς μέρος ἠρεθισμένον ὡς ὀγκωδέστερον ἢ ἐρυθρότερον ἢ ὀδυνωδέστερον γεγονέναι, παρηγορεῖν μεταξὺ τῇ διὰ τῶν σπόγγων πυρίᾳ. καὶ αὕτη δέ σοι ποτὲ μὲν ἐξ ὕδατος ἔστω ποτίμου. ποτὲ δ' ἁλῶν ἔχοντες τι κατὰ τὰς σκιρρωδεστέρας δηλονότι φλεγμονάς. εἰ δὲ καὶ συνήθειν ποτὲ τὰ φάρμακα πρὸς τὸ πλῆθος τοῦ πύου, καὶ φαίνοιτο μὴ δυνάμενα διαφορῆσαι πᾶν αὐτὸ, τέμνειν χρὴ τὸ οὕτως ἀφιστάμενον ἔνθα μάλιστά ἐστιν ὑψηλότατον ἑαυτοῦ. καὶ γὰρ λεπτότατον εὑρήσεις ἐνταῦθα τὸ δέρμα. μέμνησο δὲ καὶ θατέρου σκοποῦ τοῦ τῆς ὑπορρύσεως ἐν τῇ τομῇ. καὶ πρὸς ἀμφότερα ἀποβλέπων, οὕτως σχάζε τὸ διαπυῆσαν. ἐπιτίθει τε φάρμακον ἐφεξῆς τῶν ξηραινόντων ἀδήκτως. εἰ δὲ καὶ σεσηπέναι φαίνοιτό τινα τοῦ διαπυήσαντος, ἐκκόπτειν ἀναγκαῖον αὐτά. τινὲς δ' ἐπὶ τῶν κατὰ μασχάλην καὶ βουβῶνα διαπυϊσκόντων, ἀεὶ κελεύουσι μυρσινοειδῶς ἐκτέμνειν τοῦ δέρματος, ἐπειδὴ φύσει χαλαρὸν ἐν αὐτοῖς ἐστι, καὶ διὰ τοῦτο δεχόμενον ἑτοίμως πᾶν τὸ παραγινόμενον ἐπ' αὐτό. καὶ φλεγμαίνουσι ῥᾳδίως ἐπὶ σμικραῖς προφάσεσι. καὶ μεγίστας γ' ἔνιοι τὰς περιτομὰς εἰώθασι ποιεῖσθαι, δι' ἃς ἄμιστόν τε τὸ μέρος εἰς οὐλὴν ἀχθὲν γίνεται. καὶ προσέτι καὶ ἀσθενέστερον, ἐμποδίζει τε πολλάκις εἰς τὰς κινήσεις. τοῦτ' οὖν ἡμεῖς φυλαττόμενοι, τὰ μὲν πλεῖστα μόνῃ τῇ τομῇ, μετὰ φαρμάκων ξηραινόντων ἱκανῶς ἰασάμεθα τὰς τοιαύτας διαθέσεις. εἰ δέ ποτε καὶ περιτέμνειν ἐδέησε διὰ τὸ πλῆθος, οὐ τοῦ πύου μόνου, ἀλλὰ καὶ τῶν ἐφθαρμένων σωμάτων, ἤρκεσεν ἡμῖν οὐ πάνυ μεγάλη μυρσινοειδὴς περιαίρεσις. ἐχούσης δὲ τῆς τοιαύτης τὸ μῆκος μεῖζον τοῦ πλάτους, ἐγκάρσιον ἔστω τὸ μῆκος ἐπὶ τοῦ βουβῶνος, οὐ κατ' εὐθὺ τοῦ κώλου. καὶ γὰρ κατὰ φύσιν οὕτως ἐπιπτύσσεται τὸ δέρμα ἑαυτῷ καμπτόντων τὸ κῶλον. ἐπὶ δὲ τῇ περιαιρέσει, πληροῦν χρὴ τὸ πεπονθὸς μόριον τῇ καλουμένῃ μάννῃ. ἔστι δὲ ὑπόσεισμα λιβανωτοῦ τὸ φάρμακον τοῦτο, στύψεώς τε μετέχον ὀλίγης. καὶ κατὰ τοῦτο καὶ αὐτοῦ τοῦ λιβανωτοῦ πρὸς ἔνια βέλτιον. ἐκεῖνος γὰρ ἐκ τῆς πυητικῆς δυνάμεώς ἐστι μόνης, ὡς ἂν μὴ μετέχων στύψεως. καὶ μᾶλλον ὁ λιπαρώτερος ἐν αὐτῷ, καὶ τῇ χροιᾷ λευκότερος. ὥσπερ γε ὁ τοῦ δὲ ξανθότερος, ξηραντικώτερός ἐστι. τῇ δὲ μάννῃ καὶ φλοιοῦ τι λιβανωτοῦ μέμικται σμικρόν, ἀφ' οὗ τὸ στῦφον ἔχει. τοῦτο δ' αὐτὸ τὸ φάρμακον ὁ φλοιὸς τοῦ λιβανωτοῦ, καὶ στύφει, καὶ ξηραίνει γενναίως. διὸ καὶ πρὸς τὰς μετριωτέρας αἱμορραγίας, αὐτῷ χρώμεθα μόνῳ. καθάπερ γε καὶ πρὸς τὰς σφοδροτέρας καυθέντι μόνῳ καὶ τῷ τε διηττημένῳ δηλονότι, καὶ χνοώδει γεγονότι. καὶ μὴν δὴ καὶ παρηγορῆσαι χρὴ πρότερον τὸ τμηθὲν, ὡς εἴρηται, μέρος εἰς ὅσον ἂν φαίνηται δεόμενον. ἐπιβροχῆς μὲν πρῶτον, εἶτα καταπλάσματος. εἶτα τῶν ὑγραινόντων τινὸς φαρμάκων, ἢ μὴ ξηραινόντων, ἔξωθεν ἐπιτιθεμένων δηλονότι τούτων. κατ' αὐτοῦ γὰρ τοῦ ἡλκωμένου τήν τε μάννην, ὡς εἴρηται, καὶ τῶν ἐμμότων φαρμάκων τὰ διαπυΐσκοντα μὲν πρῶτον, εἶτ' ἀνακαθαίροντα θετέον ἐστίν. ἐφ' οἷς εἰ μὲν εἴη κοιλότης ἔτι, τὰ σαρκοῦντα προσφέρειν. εἰ δ' οὐκ εἴη, τὰ συνουλωτικά τε καὶ ἐπουλωτικὰ καλούμενα. καθάπερ καὶ τὸ διὰ τῆς καδμίας. ἐπεὶ δὲ καὶ κατὰ τὴν τούτων χρῆσιν οὐ σμικρόν τι παρορᾶται τοῖς πλείστοις τῶν ἰατρῶν, ἄμεινον ἂν εἴη καὶ περὶ τούτων δηλῶσαι. ἡνίκα ταῦτα γὰρ εἰς οὐλὴν ἄγειν ἄρχονται τὰ ἕλκη, τοῖς ἐπουλωτικοῖς χρωμένους φαρμάκοις, ὁπόταν ἀκριβῶς ἀναπληρωθῇ, καὶ μηδὲν ἔτ' ἔχῃ κοῖλον, εἶτ' αὐτοῖς συμβαίνει τὰς οὐλὰς ἐργάζεσθαι τοῦ πέριξ δέρματος ὑψηλοτέρας. ὅπως οὖν ἐκείνῳ γίγνοιντο ἴσαι, τοῖς τοιούτοις φαρμάκοις χρῆσθαι προσήκει πρὶν ἀκριβῶς ὁμαλὲς ἀποδειχθῆναι τὸ ἕλκος. ἐπὶ μὲν τὰ χείλη διὰ μήλης πυρῆνος ἐπιτιθέντας τῶν ξηρῶν τι φαρμάκων, ὧν ἐν τῇ τῶν ἑλκῶν ἐμνημονεύσαμεν θεραπείᾳ. τῷ δ' ἄλλῳ μοτῷ σκέποντας, κεχρισμένῳ τῶν ἐπουλωτικῶν τινὶ φαρμάκων ὑγρῶν τῇ συστάσει. προκοπτούσης δ' ἔτι τῆς θεραπείας, καὶ τοῦτο ἀφαιρήσεις ὕστερον, μόνῳ τῷ ξηρῷ φαρμάκῳ χρώμενος ἐφ' ὅλου τοῦ ἕλκους, ἐπικυλιομένου τοῦ τῆς σπαθομήλης πυρῆνος. ἔξωθεν δ' ἀρκεῖ μοτὸς ἤτοι ξηρὸς, ἢ ἐξ οἴνου. καὶ μᾶλλον ὁ ἐκ τῶν μαλακῶν ἐλλυχνίων, οἷά πέρ ἐστι τὰ ταρσικά. καὶ γὰρ καὶ αὐτὰ ἔχει τι καθαιρετικὸν τῶν ὑπερσαρκούντων ἑλκῶν. ταῦτα μὲν οὖν εἴρηται τῇ κοινωνίᾳ τῶν πραγμάτων ἀκολουθήσαντός μου. πάλιν δ' ἐπὶ τὸν περὶ τῆς φλεγμονῆς λόγον ἀφικόμενοι, λέγομεν, ὡς κοινῶς μὲν ἁπασῶν σκοπὸς, ἡ κένωσις. ὅσαι δ' ἔτι γίγνονται, πρότερον τοῦ κενοῦν ἐστι κωλῦσαι τὸ αἷμα ῥεῖν ἐπὶ τὸ φλεγμαῖνον. ἔσται δὲ τοῦτο καλῶς, εἰ τὴν τοῦ ῥεύματος αἰτίαν εὕροιμεν. ἔστι δὲ καὶ αὕτη διττή. ποτὲ μὲν ἐξ αὐτοῦ τοῦ φλεγμαίνοντος ὡρμημένη μορίου, ποτὲ δὲ ἐξ ἄλλου τινὸς ἢ ἄλλων. ἐξ αὐτοῦ μὲν ὅταν ἤτοι θερμότερον ἢ ὀδυνώμενον γένηται, καθότι καὶ πρόσθεν εἴρηται. οὐκ ἐξ αὐτοῦ δὲ, ὅταν ἤτοι γ' ἐξ ἑτέρου τινὸς ἢ ἑτέρων αὐτῷ πέμπηται τὸ περιττὸν, ἢ καὶ τῆς καθ' ὅλον τὸ σῶμα διαθέσεως. θερμότερον μὲν οὖν γίνεται, διὰ κίνησιν ἀμετροτέραν, ἢ τινὰ θάλψιν ἐξ ἡλίου καὶ πυρὸς, ἢ διὰ δριμὺ φάρμακον. ὀδυνᾶται δὲ διά τε δυσκρασίαν καὶ τραῦμα καὶ θλάσμα καὶ στρέμμα καὶ τάσιν. ἔτι τ' ἔμφραξίν τινα καὶ πνεῦμα φυσῶδες. ἡ δυσκρασία δὲ, ποτὲ μὲν ἔξωθεν αὐτῷ γίγνεται. ποτὲ δὲ, ἐκ τῶν κατὰ τὸ σῶμα χυμῶν. ἔξωθεν μὲν ἐπί τινι τῶν ἰοβόλων ὀνομαζομένων ζώων, ἢ φαρμάκῳ, θερμαίνοντι σφοδρῶς ἢ ψύχοντι, κἂν τοῦ περιέχοντος ἐνίοτε. διὰ δὲ τὸ σῶμα τοῦ κάμνοντος αὐτὸ, μοχθηρὸς

ἀθροῖσαι χυμοὺς ἀνομοίους ταῖς δυνάμεσι. ταῦτ' οὖν ἅπαντα διασκεψάμενος, ὅσαι μὲν ἐπιγίγνονται φλεγ-
μοναὶ, τὰς αἰτίας αὐτῶν ἐκκόπτε πρότερον. ὅσαι δ' ἤδη γεγόνασιν, αὐτὰς μόνας θεράπευε. πῶς οὖν χρή σε τοῦ
παντὸς σώματος ἐπιμελεῖσθαι μοχθηρῶς διακειμένου. λέλεκται μὲν οὖν οὐκ ὀλίγα, καὶ διὰ τῶν ἔμπροσθεν. εἰρή-
ται δὲ, κἀν τῷ περὶ πλήθους γράμματι. καὶ νῦν δ' εἰρήσεται τὰ κεφάλαια τῶν λόγων. ὅταν μὲν γὰρ ὁμοτίμως ἀλ-
λήλοις αὐξηθῶσιν οἱ χυμοὶ, πλῆθος τοῦτο καὶ πληθώραν ὀνομάζουσιν. ὅταν δ' ἤδη ξανθῆς χολῆς ἢ μελαίνης ἢ
φλέγματος ἢ τῶν ὀρρωδῶν ὑγρῶν μεστὸν γένηται τὸ σῶμα, κακοχυμίαν οὐ πληθώραν καλοῦσι τὴν τοιαύτην
διάθεσιν. ἡ μὲν οὖν πληθώρα, διά τε τῆς τοῦ αἵματος ἀφαιρέσεως θεραπεύεται, καὶ διὰ λουτρῶν πλεόνων, καὶ
γυμνασίων, καὶ τρίψεων. ἔτι δὲ φαρμάκων διαφορούντων. καὶ πρὸς τούτοις ἅπασιν, ἀσιτίας. ὑπὲρ ὧν ἐν τοῖς ὑ-
γιεινοῖς ὑπομνήμασιν εἴρηται τελέως. ἡ κακοχυμία δὲ, διὰ τῆς οἰκείας ἑκάστου τῶν πλεοναζόντων χυμῶν καθάρ-
σεως. εἴρηται δὲ καὶ περὶ ταύτης ἐν τῷ προφυλακτικῷ μέρει τῆς ὑγιεινῆς πραγματείας. ἐκεῖθεν οὖν αὐτὰ μεταφέ-
ρειν ἐνταῦθα σκοπούμενος, ὅτῳ βέλτιον ἐστὶν αὐτῶν χρῆσθαι. πυρέττοντος γὰρ ἤδη τοῦ κάμνοντος οὔτε γυμνα-
σίοις ἔτι δυνατὸν ἐκκενῶσαι τὸ πλῆθος, οὔτε θερμαίνουσι χρίσμασιν, οὔτε τρίψει πολλῇ, καθάπερ οὔτε τοῖς
λουτροῖς. ἀφαιρέσει δ' αἵματος ἅμα ταῖς ἀσιτίαις, ἢ καθάρσει τινί. μηδέπω δὲ πυρέττοντος, ἅπασι τοῖς εἰρημέ-
νοις χρῆσθαι, τὸ βέλτιον εἰς τὰ παρόντα προαιρούμενον. δῆλον γοῦν δήπου κἂν ἐγὼ μὴ λέγω, περὶ μὲν τῆς ἐν σκέλει
φλεγμονῆς ὡς οὐ προσήκει διὰ περιπάτων ἢ δρόμων γυμνάζειν. ἀλλ' οὐδ' ἑστάναι τούτῳ κάλλιον. ἄμεινον δὲ κα-
θήμενον ἐπὶ πολὺ τρίψασθαι, κἄπειτα διὰ τῆς τῶν χειρῶν κινήσεως γυμνάσασθαι. τῷ δ' ἐν τοῖς ἄνω μέρεσιν ἔχον-
τι τὸ φλεγμαῖνον ἀρχόμενον, ἡ διὰ περιπάτων ἢ δρόμων κίνησις ὠφέλιμος. οὕτω δὲ καὶ ἡ τρίψις. τούτοις μὲν
ἡ τῶν σκελῶν μᾶλλον. οἷς δ' ἐν σκέλεσι τὸ φλεγμαῖνον, ἡ τῶν ἄνω. τό γε τῆς ἀντισπάσεως παράγγελμα, κοινὸν
ἐπὶ τοῖς τοιούτοις ἅπασιν. οὔκουν οὐδ' ὅταν ἤτοι περὶ τὴν ἕδραν ἤ τι τῶν πλησίον μορίων ἀρχὴ φλεγμονῆς γίγνη-
ται, γαστέρα λαπάξεις. ὥσπερ οὐδ' εἰ περὶ κύστιν ἢ αἰδοῖον ἢ νεφροὺς, οὐρητικὰ φάρμακα καταπίνειν κελεύσεις.
οὐδ' εἰ γυναικὶ κατὰ μήτραν ἢ αἰδοῖον, ἐμμήνων κινήσεις, ἀλλ' ἐπὶ τὰ πορρωτάτω, τὴν ἀντίσπασιν ἀεὶ ποιή-
σῃ. προσέχων δηλονότι καὶ τῷ τῆς φλεγμονῆς μεγέθει, καὶ τῇ τοῦ παντὸς σώματος διαθέσει. παμπόλλου μὲν γὰρ
ὄντος τοῦ πλήθους, οὔτε γυμνασίοις, οὔτε λουτροῖς ἀκίνδυνον χρῆσθαι. βραχέος δ' ὑπάρχοντος, ἐγχωρεῖ καὶ διὰ
τούτων κενοῦν. ἀλλ' ὅπερ ἔφην, ἔν τε τῷ προφυλακτικῷ μέρει τῆς ὑγιεινῆς πραγματείας γέγραπται ταῦτα, κἀν
τῷ περὶ πλήθους γράμματι, κἀν τοῖς περὶ φλεβοτομίας. ἔτι κἀν τῷ περὶ τῆς τῶν καθαιρόντων δυνάμεως. ὅθεν δ'
ἀναμνῆσαι μόνον αὐτῶν, αὐτάρκως εἴρηται καὶ νῦν. ἐπὶ τοὺς ἰδίους οὖν μόνους τῆς φλεγμονῆς ἀφικώμεθα λόγους. ὧν
εἰσὶν εἰκότως πρῶτοι, γιγνομένης αὐτῆς διὰ τὴν ἐν αὐτῷ τῷ φλεγμαίνοντι μορίῳ διάθεσιν. εὔδηλον γοῦν ὡς
ἐκείνην μέν σοι πρότερον θεραπευτέον. ἐφεξῆς δὲ αὐτὸ τὸ γεγενημένον ἤδη τῆς φλεγμονῆς. ἐνίοτε δὲ διὰ τῶν
αὐτῶν, ἀμφοτέρων καθισταμένων. οἷον ὅταν ἐπὶ φυσώδει πνεύματι καὶ πυκνώσει τοῦ μορίου γένηταί τις ὀδύ-
νη. τηνικαῦτα γὰρ ἡ τῶν θερμαινόντων μετρίως, ἃ δὴ καὶ χαλαστικὰ προσαγορεύομεν, ἁρμόττει χρῆσις. ἅμα μὲν
ἀραιοῦσα τὰ μεμυκότα τοῦ σώματος. ἅμα δὲ λεπτύνουσα τὸ φυσῶδες πνεῦμα, καὶ διαφοροῦσα τὸ γεγενημέ-
νον ἤδη τῆς φλεγμονῆς. οὕτω δὲ κἂν τοῦ ψυχροῦ κρατοῦντος ἡ δυσκρασία γίγνηται. θερμαίνων γὰρ καὶ τό τε
τὴν δυσκρασίαν ἅμα καὶ τὴν φλεγμονὴν ἐκθεραπεύσεις. ὥσπερ γε καὶ εἰ διὰ θερμασίαν πλείονα, τοῖς ψύχου-
σιν ἰάμασιν ἄμφω καταστήσεις. ἡ μὲν γὰρ δυσκρασία, τῶν ἐναντίων ἀεὶ δεῖται. κενοῦται δὲ τὸ πεπληρωμένον οὐ
μόνον τοῖς διαφορητικοῖς φαρμάκοις, ἀλλὰ καὶ τοῖς στύφουσι καὶ τοῖς ψύχουσι. καὶ μᾶλλόν γ' ἐπὶ τῶν ἀρχομέ-
νων φλεγμονῶν τοῖς ψύχουσι καὶ στύφουσι χρηστέον, ἤπερ τοῖς διαφοροῦσιν. ἔτι δὲ μᾶλλον ὅταν μὴ παχὺ τὸ ἐπιρ-
ρέον ᾖ. σφοδρᾶς δὲ τῆς ἐν τῷ φλεγμαίνοντι μορίῳ σφηνώσεως γεγονυίας, οὐκ ἔθ' οἷόν τε τοῖς ἀποκρουομένοις χρῆ-
σθαι, ἀλλ' ἐπὶ τὸ διαφορεῖν ἰέναι καιρός. ὅταν δὲ ἐπὶ θηρίῳ νύξαντί πως ἢ δάκνοντι τὴν ὀδύνην γίνεσθαι συμ-
βαίνῃ, διττὸς τῆς ἀνωδυνίας ὁ σκοπός. ἢ κενῶσαι τὸν ἰὸν, ἢ ἀλλοιῶσαι τὸν τὴν ὀδύνην ἐργαζόμενον. κενοῦται
μὲν οὖν, διὰ τῶν σφοδρῶς ἑλκόντων φαρμάκων. ἀλλοιοῦται δὲ, διὰ τῶν ἐναντίων, ἤτοι κατὰ τὰς ποιότητας,
ἢ καθ' ὅλην τὴν οὐσίαν. ἐδείχθη γὰρ ἐν τοῖς περὶ φαρμάκων ἔνια μὲν ὅλαις ταῖς οὐσίαις ἀλλήλοις ἐναντία. τι-
νὰ δὲ, ταῖς ποιότησι μόναις. ἐδείχθη δὲ καὶ ὡς ἐπὶ μὲν τῶν ἐναντίων κατὰ ποιότητα, μέθοδός τίς ἐστιν. ἐπὶ δὲ
τῶν κατὰ τὴν οὐσίαν, οὐκ ἔστιν, ἀλλ' ἐκ πείρας εὕρηται πάντα. καὶ σὺ τοίνυν ὅσα μὲν ἐκ μεθόδου θεραπευτι-
κῆς, ἐντεῦθεν μάνθανε. τὰ δ' ἐκ μόνης τῆς πείρας ἐγνωσμένα, κατὰ τὰς περὶ τῶν φαρμάκων πραγματείας ἔ-
χεις ἠθροισμένα. μίαν μὲν τὴν περὶ τῆς δυνάμεως αὐτῶν. ἑτέραν δὲ, τὴν περὶ τῆς συνθέσεως. καὶ τρίτην, τὴν
περὶ τῶν εὐπορίστων ὀνομαζομένων. ἐν αἷς ἐπιδέδεικταί μοι, τίνα μὲν ἐκ μόνης τῆς πείρας εὕρηται φάρμακα.
τίνα δὲ ἐκ μόνου τοῦ λόγου. τίνα δ' ἐξ ἀμφοτέρων. ἡ τοίνυν μέθοδος ὑπὲρ ἧς ἐν τῇδε τῇ πραγματείᾳ πρόκειται
λέγειν ἐπὶ ταῖς ὀδύναις ἁπάσαις, ὅσαις διὰ θηρίων ἢ φαρμάκων γίνονται, διττὸν ἔχει τὸν σκοπὸν, κένωσίν τε
καὶ ἀλλοίωσιν τοῦ τὴν ὀδύνην ἐργαζομένου. κενοῖ μὲν οὖν τὰ θερμαίνοντα πάντα, καὶ τὰ χωρὶς τοῦ θερμαίνειν
ἕλκοντα σφοδρῶς, ὥσπερ αἵ τε σικύαι καί τινα τῶν κοίλων κεράτων, οἷς ὡς σικύαις ἔνιοι χρῶνται. τινὲς δὲ καὶ
δι' αὐτοῦ τοῦ στόματος ἕλκουσι τὸν ἰὸν, αὐτοὶ προσπίπτοντες τῷ πεπονθότι μορίῳ, καὶ περιλαμβάνοντες αὐ-
τὸ τοῖς χείλεσιν. ἔχεται γε μὴν καὶ τοῦ προειρημένου σκοποῦ τὸ καυτήριον, ὅσα τε φάρμακα παραπλησίως τοῖς
καυτηρίοις ἐσχάραν ἐργάζεται. ταῦτα μὲν οὖν ἐκκενοῖ πάντα τὴν οὐσίαν ὅλην τοῦ λυποῦντος. ἕτερον δὲ γένος
ἐστὶ βοηθημάτων ἀλλοιούντων τὴν ποιότητα, διὰ τῶν ἐναντίων. εἰ μὲν θερμασίας ὁ κάμνων αἰσθάνοιτο σφοδρᾶς,
ἤτοι κατ' αὐτὸ τὸ δεδηγμένον, ἢ καθ' ὅλον τὸ σῶμα, τὰ ψύχοντα φάρμακα προσφερόντων ἡμῶν. εἰ δὲ ψύξεως,
τὰ θερμαίνοντα. μεμάθηκας δὲ ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις ἑκάτερα. τοιαῦται μὲν οὖν αἱ κοι-
ναὶ πάσης φλεγμονῆς ἰάσεις. ὑπαλλάττονται δὲ κατὰ τὰ πεπονθότα μόρια. δέδεικται γὰρ ἤδη κἀν τῇ τῶν
ἑλκῶν θεραπείᾳ, τοῦτο. καὶ πολλῶν οὐ δεῖ λόγων τῷ μεμνημένῳ τῶν ἐν ἐκείνοις εἰρημένων. ἀλλ' ἀρκέσει διὰ

βραχέων ἐπελθεῖν αὐτά. μία μὲν οὖν ἔνδειξις ἐκ τῶν ὁμοιομερῶν καλουμένων γίνεται μορίων τοῦ σώματος. ἑτέρα δὲ, ἐκ τῶν ὀργανικῶν. ἡ μὲν οὖν ἐκ τῶν ὁμοιομερῶν, τὸ ποσὸν τοῦ θερμαίνειν ἢ ψύχειν ἢ ξηραίνειν ἢ ὑγραίνειν διορίζει. ἡ δ' ἐκ τῶν ὀργανικῶν, τὸν τόπον δι' οὗ χρὴ κενῶσαι, καὶ προσέτι τὸν τρόπον τῆς κενώσεως. ἔτι τε πρὸς τούτοις, τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τῇ τῶν ὁμοειδῶν φαρμάκων χρήσει. περὶ μὲν οὖν τῆς ἀπὸ τῶν ὁμοιομερῶν ἐνδείξεως, λέλεκται πρόσθεν ἐν τῇ τῶν ἑλκῶν ἰάσει. περὶ δὲ τῆς τῶν ὀργανικῶν, ἐν τῷδε λεχθήσεται. τῆς γάρ τοι φλεγμονῆς κατὰ διττὸν τρόπον ἐξεστώσης τοῦ κατὰ φύσιν, ὅτι τε πεπλήρωται τὸ μόριον αἵματος πολλοῦ, καὶ ὅτι θερμότερον ἐστίν. ὁ τῆς κενώσεως σκοπὸς ἐπικρατεῖ μᾶλλον τοῦ τῆς ἐμψύξεως, οὐχ ὡς ἐν τοῖς ἐρυσιπέλασιν. ἐπ' ἐκείνων γὰρ ὁ τῆς ἐμψύξεως ἐπείγει πρὸ τοῦ τῆς κενώσεως. καί τοι τό γε κεφάλαιον τῆς θεραπείας ἀμφοτέρων τῶν παθῶν, κοινόν ἐστιν ἡ κένωσις τοῦ λυποῦντος χυμοῦ. καὶ διὰ τοῦτο μετὰ τὴν ἔμψυξιν τῶν ἐρυσιπελάτων ἐπὶ τὰ διαφορητικὰ παραγινόμεθα φάρμακα. ἐπὶ τοίνυν τῆς φλεγμονῆς εἰς τοσοῦτον ψυκτέον ἐστὶν, εἰς ὅσον ἐκκόψαι τε καὶ κωλῦσαι τὴν αὔξησιν αὐτῆς συμφέρει. καὶ γὰρ ὀδυνώσης τῆς πλέονος θερμασίας, καί τι καὶ πρὸς τὸ πεπονθὸς ἑλκούσης, ἐξ ἀμφοῖν αὐξάνεσθαι συμβαίνει τὴν φλεγμονήν. ὅσον μὲν οὖν ὡς θερμῷ νοσήματι τῇ φλεγμονῇ τῆς ψύξεως ἁρμόττει, τοῦτο κωλυτικόν ἐστι τῆς αὐξήσεως. ὡσαύτως δὲ καὶ καθ' ὅσον ἀναστέλλει τὸ ἐπιρρέον. ὅσον δὲ τοῦ περιεχομένου κατὰ τὸ φλεγμαῖνον ἀποκρουστικὸν εἰς τὰ πλησιάζοντα μόρια, θεραπευτικὸν τοῦτ' ἐστὶ τῆς οὔσης ἤδη φλεγμονῆς. ὡσαύτως δὲ καὶ τὰ θερμαίνοντα μετρίως, ἐνίοτε κατ' ἀμφοτέρους τοὺς τρόπους ὀνίνησιν ὅταν τὴν ὀδύνην παύῃ, καὶ διαφορῇ τὸ περιεχόμενον ἐν τοῖς πεπονθόσι μορίοις. ἐν μὲν γὰρ τῷ παύειν τὴν ὀδύνην, κωλύει τὴν αὔξησιν. ἐν δὲ τῷ διαφορεῖν, ἰᾶται τὸ γεγονὸς ἤδη τῆς φλεγμονῆς. ἐπεὶ τοίνυν τὸ κῦρος ἅπαν ἐστὶ τῆς τῶν φλεγμαινόντων θεραπείας, ἐν τῷ κενῶσαι τὸ περιττὸν αἷμα τοῦ φλεγμαίνοντος μορίου. κένωσις δὲ ἐπινοεῖται διττὴ τῶν οὕτως ἐχόντων, ἢ μεθισταμένου πρὸς ἕτερα χωρία τοῦ περιεχομένου κατὰ τὸ φλεγμαῖνον αἵματος, ἢ ἔξωθεν τοῦ σώματος ἐκκρινομένου, βέλτιόν ἐστιν ἀμφοτέροις χρῆσθαι προσέχοντα τὸν νοῦν μή τι κατὰ συμβεβηκὸς ἕπεταί τις βλάβη. διττῆς τοίνυν ἑκατέρας τῶν εἰρημένων κενώσεως οὔσης, εἰς τέσσαρας τὰς πάσας ἡ τομὴ γίνεται τῶν κενωτικῶν ἁπάντων βοηθημάτων. τῆς μὲν εἰς τὰ ἄλλα μόρια μεταρρύσεως τοῦ αἵματος, ἡ μὲν ἑτέρα, διωθουμένων αὐτὸ τῶν φλεγμαινόντων μορίων. ἡ δ' ἑτέρα, τῶν ἀπαθῶν ἑλκόντων γίνεται. τῆς δὲ ἔξω τοῦ σώματος κενώσεως, ἡ μία μὲν αἰσθηταῖς ἐκροαῖς. ἡ δὲ ἑτέρα, λόγῳ θεωρηταῖς ἐπιτελεῖται. καὶ τῆς αἰσθηταῖς ἐκροαῖς γινομένης, ἡ μὲν ἑτέρα, δι' αὐτοῦ τοῦ φλεγμαίνοντος. ἡ δ' ἑτέρα, διὰ τῶν συνανεστομωμένων αὐτῷ. διὸ καὶ χρεία τῆς ἀνατομῆς ἐστὶν εἰς διάγνωσιν τῆς τοιαύτης κοινωνίας. αὗται μὲν οὖν ἀπὸ τῆς φύσεως τῶν μορίων ἐνδείξεις προέρχονται τὴν θεραπείαν ὑπαλλάττουσαι τῶν φλεγμαινόντων. ἔτι τε πρὸς ταύταις, ἡ ἐκ τῆς θέσεώς τε καὶ διαπλάσεως, ἃς ὡς ὀργανικὸν ἐνδείκνυται τὸ πεπονθὸς, οὐχ ὡς ὁμοιομερές. ἔτι δ' ἄλλαι κοιναὶ τῶν τε ὀργανικῶν εἰσι καὶ τῶν ὁμοιομερῶν, ὅταν ἐπισκεπτώμεθα τὴν τῆς ἐνεργείας αὐτῶν. καὶ εἰ ἀραιὸν ἢ πυκνὸν, ἢ ἀναίσθητον ἢ δυσαίσθητον ἐστὶν ἢ εὐαίσθητον. εἰς ἃς ἁπάσας ἀποβλέπειν χρή τινα ἐπιχειροῦντα θεραπεύειν ὀρθῶς. ἐπεὶ δὲ ὡς ἀεὶ λέγομεν, οὐχ ἱκανόν ἐστιν αὐτὰ μόνον γινώσκειν τὰ καθόλου χωρὶς τοῦ γεγυμνάσθαι περὶ τὰ κατὰ μέρος, οὕτω καὶ νῦν πράξομεν. οὐ διὰ πάντων τῶν κατὰ μέρος ἰόντες, ἀλλ' ὅσα περ ἂν ἡμῖν ἱκανὰ δόξῃ τοῖς ἀναγνωσομένοις αὐτὰ γενήσεσθαι.

Υποκείσθω τοίνυν ἧπαρ ἀρχόμενον φλεγμαίνειν, καὶ ζητείσθω τίς ἀρίστη θεραπεία γενήσεται τοῦ πάθους. ἐπισκέπτου δὴ πρῶτον μὲν ἁπάντων ἀφ' ὧν εἶπον ὡρμώμενος, εἰ δεῖται κενώσεως τὸ πᾶν σῶμα. κἂν εὕροις δεόμενον, ἐφεξῆς σκέπτου τὴν ῥώμην τοῦ κάμνοντος, εἰ δύναται κένωσιν ἀθρόαν ἐνεγκεῖν. ἔστω δὴ πρότερον ἐρρῶσθαι τὴν δύναμιν. ἐφεξῆς σκέπτου τὴν ἡλικίαν. εἰ γὰρ παιδίον εἴη, τὴν διὰ φλεβοτομίας οὐκ οἴσει κένωσιν, ὡς ἔμπροσθεν ἐδείχθη. κατὰ μὲν τὸν τῆς ἥβης καιρὸν, οἱ παῖδες ἤδη φέρουσι τὴν διὰ τῆς φλεβοτομίας κένωσιν. ἀντισπαστέον οὖν ἅμα καὶ κενωτέον τὸ φερόμενον ἐπὶ τὸ ἧπαρ αἷμα τῇ φλεβοτομίᾳ κατὰ τὸν δεξιὸν ἀγκῶνα, τὴν ἔνδον φλέβα τέμνοντας, ἐπεὶ κατ' εὐθὺ καὶ δι' εὐρείας ὁδοῦ τῇ κοίλῃ καλουμένῃ κοινωνεῖ. μὴ φαινομένης δὲ ταύτης, τὴν μέσην τέμνειν. εἰ δὲ μήτ' αὐτὴ φαίνοιτο, τὴν λοιπὴν καὶ τρίτην. τὸ δὲ ποσὸν τῆς κενώσεως, ἔκ τε τῆς κατὰ τὸ πλῆθος εὑρήσεις ποσότητος. ὅσα τ' ἄλλα κατὰ τὸν ἔμπροσθεν εἴρηται λόγον, ἡλικία τε καὶ φύσις, ὥρα τε καὶ χώρα, καὶ ἔθος. ἔτι τε πρὸ τούτων καὶ ἡ δύναμις τοῦ κάμνοντος. ἐφ' ἁπάντων γὰρ ταῦτα κοινά. τὸ δ' ἤτοι τὴν ἔνδον ἢ τὴν μέσην ἢ τὴν ὠμιαίαν φλέβα τέμνειν, ἢ τὴν παρὰ τὸ σφυρὸν, ἢ τὴν ἐν ἰγνύϊ παρὰ τοῦ πεπονθότος μορίου τὴν ἔνδειξιν ἔχει. καὶ διώρισται μὲν ἤδη κἀν τοῖς περὶ φλεβοτομίας ὑπὲρ τῶν τοιούτων ἁπασῶν κενώσεων. εἰρήσεται δὲ καὶ νῦν, ὅσον εἰς τὰ παρόντα χρήσιμον, αὐτό τε τοῦτο πρῶτον ὡς οὐκ ἀρκεῖ μόνον ὅτι κενωτέον ἐστὶν ἐξευρεῖν, ὡς ἂν φαῖεν οἱ τὴν ἀμέθοδον αἵρεσιν μετιόντες, οὐδὲν φροντίζοντες τῆς διαφορᾶς τῶν πεπονθότων μορίων. οὐ γὰρ ὁ λόγος μόνον, ἀλλὰ καὶ ἡ πεῖρα δείκνυσιν, ἄλλην ἄλλῳ μορίῳ κένωσιν ἁρμόττουσαν. θεάσω γοῦν ἐνίους τῶν ἀρξαμένων φλεγμαίνειν ὀφθαλμοὺς, αὐτῷ μόνῳ τῷ καθαρθῆναι διὰ τῆς κάτω γαστρὸς, ἡμέρᾳ μιᾷ θεραπευθέντας. ὅπερ ἐὰν ἐφ' ἥπατος ἀρχομένου φλεγμαίνειν ἐπιχειρήσῃ τις πρᾶξαι, μεγίστην ἐργάζεται τὴν φλεγμονήν. ὥσπερ γε κἂν εἰ τῶν νεφρῶν ἢ τῆς κύστεως φλεγμαίνειν ἀρξαμένων οὐρητικὰ ποτίζοι φάρμακα, καταμήνιά τε κινοῖ, μήτρας φλεγμαινούσης. ἀντισπᾶν γὰρ χρὴ τῶν ἀρχομένων ῥευματίζεσθαι πορρωτάτω τὸ περιττὸν, οὐχ ἕλκειν ἐπ' αὐτά. κατὰ τοῦτον οὖν τὸν λόγον οὐδὲ γαστρὸς οὐδ' ἐντέρων ἀρξαμένων φλεγμαίνειν, ὑπηλάτῳ χρῆσθαι προσήκει. τὴν δ' αὐτὴν ἔνδειξιν ἔχει, τούτοις μὲν μήτρα. τοῖς δ' οὐρητικοῖς ὀργάνοις, αἰδοῖα. τό γε μὴν ἐμέτοις χρῆσθαι τῶν αἰδοίων πεπονθότων, ἀντισπαστικόν ἐστι βοήθημα. κατὰ δὲ τὸν αὐτὸν λόγον, ἐπὶ μὲν τοῖς κατὰ τὴν κεφαλὴν ἅπασιν, ὑπήλατον φάρμακον. ὅσα δὲ κατὰ τὸν φάρυγγα καὶ οὐρανίσκον, ἢ τὴν ὑπερῴαν, ἢ τὴν γλῶτταν, ἢ ὅλως κατὰ τὸ στόμα φλεγμαίνειν ἄρχεται, φυλακτέον ἐπὶ τούτων ἁπάντων τοὺς καλουμένους ἀποφλεγματισμούς. ὅμοιον γὰρ τοῦτο τῷ καθαίρειν κάτω, τῶν ἐντέρων πεπονθότων. καὶ τῷ οὖρα κινεῖν, τῶν περὶ τοὺς νεφροὺς

ἢ κύστιν ἐχόντων κακῶς. ἢ ἐμέτοις, τῶν περὶ τὸν στόμαχον. ἄμεινον οὖν ἐπὶ τὴν ῥῖνα παροχετεύειν, ἀρχομένων τῶν περὶ
τὸ στόμα μορίων φλεγμαίνειν. οὕτω δὲ καὶ φλέβα τέμνειν, εἰ μὲν ταῦτα ἐπεπόνθοι τὴν ὠμιαίαν ἐν χειρί. καὶ ταύ-
της μὴ φαινομένης, τὴν μέσην. εἰ δ' ἧπαρ ἢ θώραξ ἢ πνεύμων ἢ καρδία, τὴν ἔνδον. ἐπὶ δὲ συνάγχης πρώτας
μὲν τὰς ἐν χερσὶ δευτέρας δὲ, τὰς ὑπὸ τὴν γλῶτταν. τῶν δὲ κατ' ἰνίον πασχόντων, καὶ τὴν ἐν ἀγκῶνι μὲν οὐχ ἥκιστα
δὲ καὶ τὴν ἐν τῷ μετώπῳ. ἐπὶ δὲ νεφρῶν καὶ κύστεως, αἰδοίου τε καὶ μήτρας, τὰς ἐν τοῖς σκέλεσι μάλιστα μὲν
τὰς περὶ τὴν ἰγνύαν. εἰ δὲ μὴ τὰς παρὰ σφυρῶν. ἀεὶ δ' ἐπὶ πάντων, τὰς κατ' εὐθύ. τοῦ μὲν ἥπατος ἀρχομένου
φλεγμαίνειν, τὰς ἐν τῇ δεξιᾷ χειρί. τοῦ δὲ σπληνός, ἔμπαλιν. ὥστ' εὐθὺς ἡ διαφορὰ τῶν κενώσεων, πρώτην
κατὰ τὴν τῶν μορίων διαφορὰν ὑπαλλάττεται. καὶ δηλονότι τὸ κοινὸν τῆς ἐνδείξεως οὐ μᾶλλον ὠφελείας ἢ
βλάβης αἴτιον. ὅτι μὲν γὰρ κενωτέον, ἔνδειξις κοινή. τὸ δ' ὅθεν ἢ ὅπως οἱ πεπονθότες τόποι διδάσκουσιν. οὕτω
γοῦν καὶ οἱ τῶν κώλων ἐπενοήθησαν δεσμοί, θώρακος ἢ γαστρός, ἢ τῶν περὶ τὸν τράχηλον, ἢ τὴν κεφαλὴν μορίων
φλεγμαινόντων. οὐ γὰρ δὴ τὸ φλεγμαῖνόν γε αὐτὸ δήσεις κῶλον. ἀλλ' ἐπὶ μὲν σκελῶν, τὰς χεῖρας ἐπὶ χει-
ρῶν δὲ, τὰ σκέλη. καὶ μὴν καὶ τὸ ψύχειν καὶ στύφειν ἐν ἀρχῇ τὰ φλεγμαίνοντα, χωρὶς τῆς ὑπὲρ τῶν πεπον-
θότων ἐνδείξεως, οὐ μᾶλλον ὠφελείας ἢ βλάβης αἴτιον. ἐπὶ μὲν γὰρ τῶν περὶ τὸ κῶλον μορίων, ἀρκεῖ καὶ σπόγ-
γον ἐπιθεῖναι βρέξαντας ἤτοι γε ὕδατι ψυχρῷ μικρὸν ὄξους μιγνῦντας, ἢ ὕδατι μόνῳ. καθάπερ γε καὶ οἴνῳ
τινὶ τῶν αὐστηρῶν. ἥπατος δ' ἀρξαμένου φλεγμαίνειν, οὐδεὶς ἂν χρήσαιτο τούτων οὐδενὶ νοῦν ἔχων ἄνθρωπος.
ἀλλ' οὐδ' εἰ μήλινον ἐπιβρέξαις, ἢ μύρσινον, ἢ μαστίχινον, ἢ νάρδινον, ἢ σχίνινον, ἢ τι τῶν στυφόντων ἐλαίων, ἢ
καὶ τῶν ἄλλων, ἐναφεψήσας ἀψίνθιον, οὐδὲ τούτων οὐδὲν ἁρμόττει ψυχρόν. ὥσπερ οὐδὲ κατάπλασμα ψυ-
χρὸν οὐδέν. ἀλλὰ μῆλα μὲν ἐναφεψῶν οἴνῳ καὶ μάλιστα κυδώνια, κατάπλασμα σκευάσεις δι' αὐτοῦ φλεγμο-
νῆς ἥπατος ἔτ' ἀρχομένης. ψυχρὸν δ' οὐδὲ τοῦτο προσοίσεις. ὥσπερ οὐδὲ τὸ ἔλαιον ἐσκευασμένον, ὡς εἴρηται, τοῖς
ὀφθαλμοῖς ἢ τοῖς ἐν τῷ στόματι μορίοις ἀρχομένοις φλεγμαίνειν. ὅτι δὲ κἂν ὄξος ἐγχέῃς μετὰ ῥοδίνου βλάψεις
οὐδέν. ἀλλ' οὐκ ὀφθαλμοῖς γε φλεγμαίνουσιν, ἀγαθὸν τοῦτο. καθάπερ οὐδὲ τὸ διὰ μόρων φάρμακον, ἢ τι τῶν
στοματικῶν ὀνομαζομένων ἄλλο. πάντα γοῦν ἀνιαρὰ τὰ τοιαῦτα τοῖς ὀφθαλμοῖς. καίτοι περὶ τὸ γένος ὄντα τῆς
ἐνδείξεως. ἀδένων δὲ φλεγμαίνειν ἀρχομένων, ἤρκεσε πολλάκις ἔλαιον μόνον θερμόν. ἀλλὰ καὶ ἡ ἄλλη δίαιτα,
τοῖς μὲν ἀδένας, ἢ τι τῶν περὶ τὰ κῶλα μορίων ἔχουσι φλεγμαῖνον, ἕνα μόνον λαμβάνει σκοπὸν ὡς τοσαῦτα
καὶ τοιαῦτα προσφέρεσθαι δεῖν, ὅσα δὴ καὶ οἷα πεφθήσεται ῥᾷστα. διαφέρει δ' οὐδέν, ἢ χόνδρον, ἢ πτισά-
νην, ἢ μελίκρατον, ἢ ῥοιάν, ἢ μῆλον, ἢ τι τοιοῦτον προσενέγκασθαι. φλεγμαίνοντος δὲ ἥπατος, ἀκριβεστάτης διαί-
της ἐστὶ χρεία, καθάπερ γε καὶ γαστρός. τὸ γοῦν ἔργον αὐτῶν ἅπασι τοῖς ζῴοις κοινόν ἐστι. καὶ μὴ πεφθείσης καλῶς
τῆς τροφῆς ἢ μὴ προσηκόντως αἱματωθείσης ἅπασι τοῖς τοῦ ζῴου μέλεσι, μεγίστη βλάβη προσγίνεται. τὰ δὲ τῶν
κώλων μόρια, τοσοῦτον λαμβάνει τῆς τροφῆς, ὅσον τρέφεσθαι πέφυκε. διὸ κἂν ἐκ μήλου καλῶς, ἐν τῇ γαστρὶ πεφ-
θέντος ἀφίκηται πρὸς αὐτὰ τροφή, κἂν ἐκ χόνδρου, κἂν ἐκ πτισάνης, οὐ μέγα διαφέρει. περὶ δὲ τὸ ἧπαρ ὁποῖον ἂν
διαφορὰ τῶν τροφῶν δύναται, καὶ ὡς μέγιστον ἐφ' ἑκάτερα, πάρεστί σοι μανθάνειν. ἐκκενοῦσθαι μὲν δὴ πρὸ χρὴ τοῦ
ἥπατος ὅσον ἀθροίζεται κατ' αὐτό, τοῦ τε πικροχόλου χυμοῦ, καὶ τῶν ἐκ τῆς φλεγμονῆς ἰχώρων. τοῦτο δ' οὐκ ἂν γέ-
νοιτο, χωρὶς τοῦ διαρρύπτεσθαι μὲν τὰ περὶ τὸ σπλάγχνον ἀγγεῖα, τὸν δ' εἰς τὴν νῆστιν καθήκοντα πόρον ἀναστο-
μοῦσθαι. χόνδρος οὖν ἐμπλάττων μὲν τοῦτον, ἐμπλάττων δὲ τὰ περὶ τὸ ἧπαρ ἀγγεῖα, καὶ μάλιστα τὰ πέρατ' αὐτῶν, κω-
λύει τήν τε χολὴν εἰς τὸ ἔντερον ὑπιέναι καὶ τὴν τροφὴν εἰς ὅλον ἀναδίδοσθαι τὸ σῶμα. χρεία τοίνυν ἐστὶ τῶν ἐκ-
φραττόντων ἐδεσμάτων τε καὶ φαρμάκων, αὐτῷ τε τῷ ἥπατι καὶ τῷ τοῦ χοληδόχου πόρου στόματι. τὰ δὲ τοιαῦτα
πάντα γλίσχρα μὲν ἥκιστ' ἐστί. λεπτὰ δὲ ταῖς συστάσεσι καὶ δακνώδη ταῖς ποιότησιν. ἀλλὰ πάλιν ὑπὸ τούτων
δακνόμενα τὰ φλεγμαίνοντα, παροξύνεται καὶ διὰ τοῦτο δεόμεθα τῆς ἄνευ τοῦ δάκνειν αὐτὰ ῥυπτόντων. οἷόν περ
ἐστὶ καὶ τὸ μελίκρατον. ἀλλ' ἴσμεν ὅτι τὰ γλυκέα πάντα καὶ σπλῆνα καὶ ἧπαρ ἐπὶ πλεῖον ἐξαίρει. λοιπὴ τοίνυν
ἄμεμπτος, ὡς ἐν ἐδέσματι μὲν ἡ πτισάνη. χωρὶς γὰρ τοῦ δάκνειν ῥύπτει, ὡς ἐν φαρμάκοις δ' ὀξύμελι μεθ' ὕδα-
τος κεραννύμενον. καὶ γὰρ καὶ ἡ ῥοιὰ καὶ τὸ μῆλον, ὅσα τ' ἄλλα στύφει συνάγοντα τοῦ χοληδόχου πόρου τὸ στόμα, κω-
λύει τὴν χολὴν ἐκκρίνεσθαι. καὶ διὰ τοῦτο βλάπτει φλεγμονὰς ἥπατος. καὶ μάλισθ' ὅταν ἐν τοῖς σιμοῖς ὦσι μέρεσι
τοῦ σπλάγχνου. πρὸς γὰρ τῇ διὰ φλεγμονὴν στενοχωρίᾳ, καὶ ἡ ἐκ τῶν στυφόντων τε καὶ γλίσχρων ἐδεσμάτων προσ-
έρχεται. καὶ τὰ δάκνοντα δὲ μᾶλλον, βλάπτει τὰς ἐν τοῖς σιμοῖς φλεγμονάς. ὅσαι γὰρ ἐν τοῖς κυρτοῖς αὐτοῦ μέ-
ρεσι γίγνονται, φθάνει μεταβεβλημένα πρὸς αὐτὰς ἀφικνεῖσθαι τὰ ληφθέντα. καὶ μήτε τὸ στῦφον ἔτι στύφειν ὁ-
μοίως, μήτε τὸ δάκνον δάκνειν, μήτε τὸ διὰ γλισχρότητα τοῖς στενοῖς ἀγγείοις ἐμπλαττόμενον, ἔτι μένειν ὁμοίως
γλίσχρον. ~~ἡ μεταβολὴ δ'~~ ἡ μεταβολὴ δ' αὐτοῖς διττή, τῷ τε προπεπέφθαι, καὶ διότι τῷ προϋπάρχοντι περὶ τὸ
σπλάγχνον αἵματι μίγνυται. τοῦ δέ γε σιμοῦ μέρους ἐν ἥπατι φλεγμαίνοντος, εὐθὺς μὲν ἀναγκαῖον ἐστὶ καὶ τὰς
ἐν τῷ μεσεντερίῳ συμφλεγμαίνειν φλέβας. αἱ γὰρ τῆς ἐπὶ πύλας, ἅπασαι πεφύκασιν. εὐθὺς δὲ καὶ τὰ προσπί-
πτοντα τοῖς στόμασιν αὐτῶν, ἐπιδείκνυται τὴν ἑαυτῶν δύναμιν. ἆρά σοι δοκεῖ σμικρὰ διαφορὰ προσέρχεσθαι
τῇ κοινῇ τῶν φλεγμονῶν θεραπείᾳ παρὰ τῶν μορίων; ἐμοὶ μὲν γοῦν μεγίστη φαίνεται κἂν εἰ τὴν θεσσάλειον ἀναισθη-
σίαν ζηλοῦντες, οἴονται τὴν κοινὴν ἔνδειξιν ἀρκεῖν μόνην. ἀναμνῆσαί σε δὲ βούλομαι καὶ τῆς καλῆς αὐτῶν θερα-
πείας, ἣν ἐπὶ Θεαγένους ἐποιήσαντο τοῦ κυνικοῦ φιλοσόφου. ταύτην γὰρ ἔγνωσαν οὐκ ὀλίγοι διὰ δόξαν τ' ἀνθρώ-
που δημοσίᾳ διαλεγομένου κατὰ τὸ τοῦ Τραιανοῦ γυμνάσιον ἑκάστης ἡμέρας. ὁ μὲν οὖν θεραπεύων αὐτόν, ἦν
εἷς τῶν Σωρανοῦ μαθητῶν Ἄτταλος τοὔνομα. κατέπλαττε δὲ ἑκάστης ἡμέρας τὸ ἧπαρ ἀρτομέλιτι, μὴ γινώσκων
ὅτι στύφεσθαι μετρίως δεῖται τὸ σπλάγχνον τοῦτο, διότι τῆς θρεπτικῆς δυνάμεως ἀρχὴ τοῖς ζῴοις ἐστί, καὶ τὸ φλε-
βῶν γένος ἀπ' αὐτοῦ πέφυκεν. οὕτως οὖν ἐθεράπευσε τὸ σπλάγχνον, ὡς τοὺς βουβῶνας ἀμίκτῳ καὶ μόνῃ διὰ
τῶν χαλώντων ἀγωγῇ καταπλάττων μὲν ἀρτομέλιτι, προκαταιονῶν δὲ ἐλαίῳ θερμῷ, καὶ τρέφων ἐκ χόνδρου
ῥοφήματι.

ῥοφήματι. ταῦτα γὰρ ἀρκεῖ τὰ τρία σχεδὸν ἅπασι τοῖς νῦν ἀμεθόδοις Θεσσαλείοις, εἰς τὴν τῶν ὀξέων ἴασιν. ἔδο-
ξε δέ μοι μηδὲ μόνας εἰπεῖν τῷ Ἀττάλῳ προσμιγνῦναί τι τῶν στυφόντων, καὶ μὴ ψιλῇ χρῆσθαι τῇ διὰ τῶν χαλαστι-
κῶν ἀγωγῇ. περὶ μὲν οὖν τῆς τοῦ σπλάγχνου φύσεως, οὐκ ἔμελλον ἐρεῖν αὐτῷ. τοῦτο γὰρ ἦν ὄντως ὄνῳ μῦθον λέγειν.
ὁ δ' ᾤμην εἰπὼν πείσειν αὐτὸν, ᾧ καὶ πάντας ἀνθρώπους ὁρῶ τάχιστα πειθομένους, τοῦτο δ' ἦλθον μόνον. ὡς ἡ
μακρὰ πεῖρα ἐδίδαξε τοὺς ἰατροὺς θεραπεύειν ἧπαρ ὕλῃ φαρμάκων μικτῇ. γεγραμμένην δ' αὐτὴν εὑρήσεις ἐν
τοῖς θεραπευτικοῖς γράμμασι τῶν ἰατρῶν. ἐὰν οὖν σοι δοκῇ, μῖξον ἔφην ἀψινθίου τι, τῆς κόμης μὲν, ἀκριβῶς κε-
κομμένης τῷ καταπλάσματι. τῆς πόας δ' ὅλης, τῷ ἐλαίῳ. καθάπερ ὁρᾷς ἄλλους ἐναφέψοντας αὐτῷ μετρίως.
τῷ καταπλάσματι δὲ μυροβαλάνου πίεσμα, καὶ ἶριν, καὶ σχίνου τὸ ἄνθος, ἢ τῆς ναρδίτιδος βοτάνης τὴν ῥί-
ζαν. ἢ κυπέρου μῖξον. οὐ χεῖρον καὶ δι' οἴνου ποτ' αὐτὰ κατασκευάσαι, καὶ μῖξαί ποτε τῆς ἰλύος αὐτοῦ, καὶ
τῶν στυφόντων ἀναφεψῆσαι μήλων, ὁποῖα τὰ κυδώνιά τε καὶ στρούθια καλούμενα. καὶ ταῦτα δὴ τὰ πλεο-
νάζοντα κατὰ τὴν ῥωμαίων πόλιν, ἃ προσαγορεύουσι κεστιανά. τὸ δ' ἔλαιον, ὁρῶ γάρ σε καὶ τοῦτο μιγνῦντα,
μὴ τὸ τυχὸν ἔστω. ἀλλ' ἤτοι τὸ ἀπὸ τῆς ἱσπανίας. ἢ τὸ ἰστρικόν. ἢ τὸ ὀμφάκινον. ἢ σχίνινον, ἢ μύρτινον. ἢ μήλινον. ἢ
νάρδινον μύρον. πολλὴν δὲ καὶ ἄλλην ἔφην ὕλην ἄφθονον εἶναι τῶν ἀναφεψῆσθαι δυναμένων, καὶ γὰρ σχίνου
τοὺς ἁπαλοὺς κλῶνας, καὶ μυρσίνης, καὶ βάτου, καὶ ἀμπέλου, καὶ μᾶλλον τῆς ἀγρίας, ἀφ' ἧς καὶ τὴν οἰνάνθην
καλουμένην λαμβάνομεν. οὐ χεῖρον δ' ἂν εἴη καὶ τὸ ἀττικὸν ὕσσωπον τῷ τε καταπλάσματι καὶ ταῖς κηρωταῖς
μιγνῦναι. καὶ γὰρ καὶ κηρωτάς τινας ἐξ ὕλης τοιαύτης αὐτῷ συνεβούλευον ἐπιτιθέναι μετὰ τὸ κατάπλασμα.
καὶ συνάπτειν γ' ἐπειρώμην ἐφεξῆς αὐτῷ τὴν ὅλην ἀγωγήν. ἵνα καὶ τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ἐπιθέ-
ματα διὰ μικτῆς ὕλης σκευάζῃ. βέλτιον γὰρ ἔφην εἶναι ἀρθέντος τοῦ καταπλάσματος, ἐπικεῖσθαί τι τῷ
σπλάγχνῳ. καὶ ὁ Ἄτταλος ὑποτεμνόμενός μου τὸν λόγον, εἰ μὴ σφόδρα σ' ἐτίμων ἔφη, τούτων οὐδ' ἑνὸς ἂν
ἠνεσχόμην. ἐν οἷς γὰρ ἐναυάγησαν οἱ πρόσθεν ἰατροὶ πρὶν τὴν ὄντως ἰατρικὴν ὑπὸ τῶν ἡμετέρων εὑρεθῆναι,
ταῦτά μοι συμβουλεύεις ὥσπερ οὐκ εἰδότι. τρεῖς οὖν ἡμέρας ἢ τέσσαρας ἔφη συγχώρησόν μοι προνοήσασθαι
τοῦ Θεαγένους ὡς ἐγὼ βούλομαι. καὶ θεάσῃ τελέως αὐτὸν ὑγιαίνοντα. τί οὖν ἔφην, ἐὰν ἐξαίφνης ἱδρώτων
ὀλίγων καὶ τούτων γλίσχρων ἐπιφανέντων ἀποθάνῃ, μνημονεύσεις ὧν ὑπέσχου καὶ μεταθῇ τοῦ λοιποῦ. κα-
ταγελῶν ἐπὶ τούτοις ὁ Ἄτταλος, ἐχωρίσθη μηκέτ' ἀποκρινόμενος μηδέν. ὥστ' οὐδὲ περὶ τοῦ χόνδρου τι συμ-
βουλεῦσαί μοι συνεχώρησεν. οὐδ' ὅτι δεήσει τῶν οὐρητικῶν φαρμάκων μιγνῦναι τῷ ὕδατι μικρὸν ὕστερον.
ἐπειδὴ τὰ κυρτὰ τοῦ ἥπατος ἐπεπόνθει. καθάπερ γὰρ τὰ σιμὰ διὰ τῆς γαστρὸς ἐκκενωτέον εἶναι, ὡς ὀλίγον
ἔμπροσθεν εἶπον, οὕτω τὰ κυρτὰ διὰ τῶν μετρίως οὐρητικῶν φαρμάκων, οἷόν ἐστι τὸ σέλινον. ἐν δὲ τῷ χρόνῳ
προϊόντι, πεπεμμένης ἤδη τῆς φλεγμονῆς, καὶ τοῖς ἰσχυροτέροις ἐγχωρεῖ χρήσασθαι, τῷ ἀσάρῳ καὶ τῇ κελ-
τικῇ νάρδῳ. καὶ τῷ καλουμένῳ φοῦ. καὶ πετροσελίνῳ. καὶ σμυρνίῳ, καὶ μήῳ. καθάπερ γε καὶ διὰ τῆς γαστρὸς
κενοῦν εἰ τὰ σιμὰ πεπόνθασι, κνῆκον μιγνῦντα τοῖς ἐδέσμασι, καὶ ἀκαλήφην, καὶ λινόζωστιν. ἐπίθυμόν τε
καὶ πολυπόδιον. καὶ πάνθ' ὅσα μετρίως ὑπάγει. ἔτι δὲ μᾶλλον ἐν ταῖς παρακμαῖς, αὐτοῖς τε τούτοις χρῆσθαι
θαρσαλεώτερον ἢ πρόσθεν. ὅσα τε τούτων ἐστὶ σφοδρότερα. τὰ μὲν ἐναφέψοντας τῇ πτισάνῃ. τὰ δὲ, κόψαν-
τας. ὡς χνοώδη γενέσθαι. διδόναι δὲ καὶ ταῦτα διὰ πτισάνης ἢ μεθ' ὕδατος. ἐγὼ γοῦν καὶ πολυποδίου ποτὲ
συνέψησα τῇ πτισάνῃ, καὶ μέλανος ἐλλεβόρου φλοιόν. καὶ διὰ τῶν κλυσμάτων δὲ κενοῦν αὐτοὺς προσήκει. ἐν ἀρ-
χῇ μὲν ἀρκουμένους, ἁλσὶν, ἢ νίτρῳ, ἢ ἀφρονίτρῳ μεμιγμένοις τῷ μελικράτῳ. κατὰ δὲ τὰς παρακμὰς καὶ μάλιστα
ἐὰν σκιρρῶδές τι καταλείπηται τῆς φλεγμονῆς, ἰσχυρότερα μιγνῦντας φάρμακα. τὸ γοῦν ὕσσωπον ἐναφεψόμε-
νον τῷ ὕδατι, τηνικαῦτα καὶ τὴν ὀρίγανον, καὶ τὴν κολοκυνθίδα, καὶ τὸ λεπτὸν κενταύριον. ἐπιτηδειότατα
γὰρ ἐστὶ σκιρρωθῆναι τὰ δύο σπλάγχνα, τό, θ' ἧπαρ, καὶ ὁ σπλὴν, ἐὰν ἀμελήσῃ τις αὐτῶν, ἢ τοῖς γλίσχροις ἐ-
δέσμασι χρήσηται. καθάπερ καὶ ὁ Ἄτταλος ἐπὶ τοῦ Θεαγένους ἑκάστης ἡμέρας χόνδρον προσφέρων. καὶ μηδὲν
διδοὺς τῶν ἐκφραττόντων τε καὶ ῥυπτόντων. ἀλλὰ τό γε συμβὰν τῷ Θεαγένει, μᾶλλον δὲ τῷ Ἀττάλῳ, καιρὸς εἰ-
πεῖν. ὡς γὰρ ὑπέσχετό μοι μετὰ τρεῖς ἡμέρας ἐπιδείξειν τὸν ἄνδρα τῆς φλεγμονῆς τοῦ ἥπατος ἀπηλλαγμένον,
ὁ μὲν ἔτι δὴ καὶ μᾶλλον ἐπὶ πλεῖστόν τε κατήντλει τὸ σπλάγχνον ἐλαίῳ θερμῷ, κατέπλαττέ τε συνεχέστερον ἐκ
τῆς ἐπιμελείας ἐλπίζων αὐτῷ προχωρήσειν τὰ τῆς θεραπείας ἄμεινον, ἀπεκρίνατό τε πυνθανομένοις γαυριῶν
ὑπὲρ τοῦ Θεαγένους τὰ βελτίω. ἀλλὰ συνέβη γε καθ' ὃν ἐγὼ τρόπον εἶπον, ἐξαίφνης ἀποθανεῖν αὐτόν. καὶ τὸ πάν-
των γελοιότατον, ὁ μὲν Ἄτταλος ἦγέ τινας τῶν ἠρωτηκότων φίλων, ὅπως διάγοι δεῖξαι βουλόμενος αὐτὸν
οὕτως ἔχοντα καλῶς, ὡς λούεσθαι μέλλειν, ἀγαλλόμενός τε μετὰ πολλῶν, εἰσῆλθεν εἰς τὸν οἶκον ἐν ᾧ κατέκειτο.
τὸν Θεαγένη δὲ τεθνεῶτα, λούειν ἐνεχείρουν ἔνιοι τῶν φίλων. ταῦτα δὴ τὰ νενομισμένα, κυνικοί τέ τινες ὄντες, καὶ
ἄλλως φιλόσοφοι. διὸ καὶ μέχρι τοῦ νεκροῦ παραγενέσθαι συνέβη τῷ Ἀττάλῳ μετὰ τοῦ χοροῦ τῶν θεατῶν. ἅτε
μηδενὸς ἔνδον οἰμώζοντος. οὔτε γὰρ οἰκέτης, οὔτε παιδίον, οὔτε γυνὴ τῷ Θεαγένει ἦν, ἀλλ' οἱ φιλοσοφοῦν-
τες μόνοι παρῆσαν αὐτῷ φίλοι. τὰ μὲν ἐπὶ τοῖς τεθνεῶσι νομιζόμενα πράττοντες, οὐ μὴν οἰμώζειν γε μέλλον-
τες. οὕτω μὲν ὁ Θεσσάλειος ὄνος εὐδοκίμησεν, ἐπὶ πολλῶν θεατῶν ἐπιδείξας ἀπηλλαγμένον τῆς φλεγμονῆς ἐν-
τὸς τῶν τεττάρων ἡμερῶν ὡς ὑπέσχετο τὸν ἄνθρωπον. οἱ δ' ἄλλοι μεθοδικοὶ μυρίους ἀποκτείνουσιν, ὁσημέραι τὴν
ἀγωγὴν τῆς θεραπείας οὐδέπω καὶ νῦν ὑπαλλάξαι τολμῶσιν. οὐδὲ πειραθῆναί ποτε κἂν ἅπαξ τῆς τοῖς ἄλλοις ἰα-
τροῖς, οἷς ὄντως ἐσπουδάσθη τὰ τῆς τέχνης ἔργα, γεγραμμένης. οὕτω δυσεπανόρθωτον πρᾶγμα ἐστὶν ἀμαθία σφο-
δρά. καὶ μᾶλλον ὅταν ἀλαζονίᾳ μιχθῇ. τοιοῦτοι μὲν οὖν ἐν ἅπασιν οἱ Θεσσάλειοι. χρὴ δ' ἡμᾶς φεύγοντας τὰ τοιαῦ-
τα ἁμαρτήματα, κἂν εἰ μηδὲν ἄλλο, ἀλλ' οὖν τῇ ἐμπειρίᾳ πιστεύειν. ὅπερ ἀεὶ παραινῶ τοῖς ἀγυμνάστοις περὶ τὸν λόγον.
ἄμεινον γὰρ αὐτοῖς ἐστὶ μηδὲν ἐξ ἀναλογισμοῦ τι λαμβάνειν, ὅταν ἀμαθεῖς τε ἅμα καὶ ἀγύμναστοι τῶν λογικῶν ὦσι
μεθόδων, ἃς νῦν ἡμεῖς γράφομεν. ἡ γάρ τοι τοῦ ἥπατος οὐσία, ῥᾷστα σκίρροις ἁλίσκεσθαι πέφυκεν, ἔχουσά τι καὶ φύσει

πηλώδεις, ὡς παίζων τις ἔλεγεν ἰατρὸς τῶν καθ' ἡμᾶς. ἡ δὲ τοῦ σπληνός, ἀραιοτέρα μέν ἐστι τῆς τοῦ ἥπατος, ἁλίσκεται δὲ συνεχέστερον ἐκείνου τῷ σκιρρώδει παθήματι. διὰ τὴν τῆς τροφῆς ἰδέαν ᾗ χρῆται. δέδεικται γὰρ ὑπὸ τοῦ παχέος αἵματος τρεφόμενος, ὃ καθάπερ τις ἰλύς ἐστι τοῦ καθαρωτέρου. καὶ ῥᾷστα γίγνεται μέλαινα χολή. διὸ καὶ μελαγχολικὸν αὐτὸ καλοῦμεν περίττωμα. ταῦτα μὲν οὖν τὰ δύο σπλάγχνα, καὶ ἡ ἐμπειρία δείκνυσιν ἐναργῶς ἁλισκόμενα τοῖς σκιρρώδεσιν ὄγκοις. οἱ νεφροὶ δὲ τῷ κατακεκρύφθαι λανθάνουσι τὴν ἁφήν. ὅ γε μὴν λόγος ἡμᾶς διδάσκει καὶ τούτους ἑτοίμως ἁλίσκεσθαι σκίρροις. καὶ διὰ τοῦτο τὰς μὲν ἀλύτους τὸ πάμπαν εἶναι νεφρίτιδας. τὰς δὲ, δυσλύτους. ἄμφω γὰρ ἔχουσιν οἱ νεφροὶ τὰ λελεγμένα τῶν προειρημένων σπλάγχνων ὑπάρχειν ἑκατέρῳ, τήν τε τῆς οὐσίας ποιότητα, καὶ τὴν τῶν διερχομένων ἐν αὐτοῖς περιττωμάτων φαυλότητα. διὸ καὶ οἱ τὰ παχύχυμα τῶν ἐδεσμάτων ἐσθίοντες, ἁλίσκονται τῷ τῆς λιθιάσεως πάθει. προορᾶσθαι τοιγαροῦν χρὴ τοσοῦτον μᾶλλον, ὅσον δυσιατώτεραι τῶν ἰδίων τούτων εἰσὶ σπλάγχνων αἱ σκιρρώδεις διαθέσεις, ὅπως μήτις αὐταῖς περιπέσῃ. μάλιστα δ' ὡς εἴρηται περιπίπτουσιν, οἱ φλεγμηνάντων αὐτῶν ἐδέσμασι χρώμενοι, παχεῖς ἢ γλίσχρους χυμοὺς γεννῶσι. καὶ μέντοι καὶ τὰ ἰάματα τῶν τοιούτων παθῶν ὡμολόγηται πᾶσιν εἶναι τὰ τέμνοντα καὶ διαλύοντα καὶ θρύπτοντα. τοῦ γένους μὲν ὄντα δηλονότι τοῦ τῶν ἐκφραττόντων καὶ ῥυπτόντων. ἰσχυρότερά γε μὴν ταῖς δυνάμεσι. μεμάθηκας δ' ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ τήν τε δύναμιν αὐτῶν, καὶ τὴν ὕλην. διὸ καὶ νῦν ὁ λόγος μοι γενήσεται σύντομος ἀρκουμένῳ ταῖς καθόλου δυνάμεσι, καὶ μόνῃ τῇ μεθόδῳ μετὰ παραδειγμάτων ὀλίγων. ὅπου γὰρ ἥ τε ὕλη τῶν δυνάμεων ἤδη προπαρεσκεύασταί σοι, καὶ τὰ συνενδεικνύμενα τὴν θεραπείαν ἔμπροσθεν εἴρηται, καταλείπεται νῦν οὐδὲν ἄλλο, πλὴν τῶν οἰκείων ἑκάστου νοσήματος ἐνδείξεων ὑπομνησθῆναι. τὰ συνενδεικνύμενα δὲ λέγω, δηλονότι δύναμιν, καὶ φύσιν, καὶ ἡλικίαν, καὶ ὥραν, καὶ χώραν, καὶ ἔθος, ὅσα τ' ἄλλα τοιαῦτα. καὶ τοίνυν περὶ τῆς ἀπὸ τῶν μορίων ἐνδείξεως ἐφεξῆς ἐρῶ, τὴν ἀρχὴν ἀπὸ τῶν κατὰ τὸ ἧπαρ ποιησάμενος. ἐνδείκνυνται γὰρ τοῦτο τὰ μὲν ἔξωθεν ἐπιτιθέμενα κατὰ τὰς φλεγμονὰς αὐτοῦ, μικτῆς εἶναι χρῆναι δυνάμεως. οὐ μόνον ἐν γενέσει τῆς φλεγμονῆς οὔσης. τότε μὲν γὰρ κοινὸν ἁπασῶν φλεγμονῶν. ὁπότε γε καὶ μόνοις τοῖς ἀποκρουστικοῖς βοηθήμασι κατὰ τὸν χρόνον ἐκεῖνον οὐκ ἄν τις ἁμάρτοι χρώμενος. ἀλλὰ κἀπειδὰν μήτ' ἐπιρρέῃ μηδὲν ἔτι, μήτ' ἀπώσασθαι δυνατὸν ᾖ τὸ ἐν τῷ φλεγμαίνοντι μορίῳ περιεχόμενον. γίγνεται γὰρ καὶ τοῦτο διὰ πλείους αἰτίας. ἐν ἀρχῇ μὲν οὖν ὀλίγον τέ τὸ ἐπιρρέον ἐστὶ καὶ λεπτότερον ὡς τὸ πολύ. ἐνίοτε δὲ καὶ ἡ κατ' αὐτὸ τὸ δεχόμενον μόριον ἰσχυροτέρα δύναμις, ὡς ἂν μηδέπω κεκμηκυῖα, καὶ τὸ περιεχόμενον αὐτὸ κατὰ τὸ φλεγμαῖνον, οὐδέπω βιαίως ἐσφηνωμένον. ἀκμαζούσης δὲ τῆς φλεγμονῆς, τό, τε περιεχόμενον αἷμα πολὺ καὶ πολλάκις παχύτερον, ἐσφηνωμένον τε σφοδρῶς. ἥ τε τοῦ μορίου δύναμις ἀσθενεστέρα. δεόμεθα δὲ καὶ ταύτης ἰσχυούσης, ὡς ὠθεῖν δύνασθαι τὸ περιττὸν ἀφ' ἑαυτῆς. ἐπειδὴ τῶν στυφόντων φαρμάκων ἡ δύναμις οὐχ ἱκανὴ τηνικαῦτα τὸ πᾶν ἐργάσασθαι μόνη, συνάγουσα μὲν γὰρ καὶ σφίγγουσα καὶ οἱονεὶ πιλοῦσα καὶ θλίβουσα τὰ σώματα, δύναται τὰ λεπτότερα ταῖς συστάσεσιν ὑγρὰ πρὸς τοὺς περικειμένους ἀποπέμπειν τόπους οὐ μὴν ἄνευ γε τοῦ συνεπιχεῖν τι. καὶ τὴν ἐν τῷ πάσχοντι μορίῳ δύναμιν ἀξιόλογον αὐτοῖς γίνεσθαι τοὔργον. τηνικαῦτα γοῦν ἡ μὲν ἀπὸ τῆς φλεγμονῆς ἔνδειξις, τῶν ποιητέων ἐστὶ μία. καλοῦσι δ' αὐτὴν διαφόρησιν ἐκκενοῦσαν λόγῳ θεωρητοῖς πόροις τὸν ἐν τῷ φλεγμαίνοντι μορίῳ χυμόν. ἡ δ' ἐπ' αὐτοῦ τοῦ μορίου, πρὸς τοὐναντίον ἀντισπᾷ, κελεύουσα φυλάττειν αὐτοῦ τὸν τόνον. ἐπὶ πλεκομένων οὖν ἀλλήλαις ἐναντίων ἐνδείξεων, ἐπιπεπλέχθαι χρὴ καὶ τὸ φάρμακον. μηροῦ γὰρ φλεγμαίνοντος, ἢ κνήμης, ἢ πήχεος, ἢ βραχίονος, ἢ καὶ τῶν ἐν αὐτοῖς ἀδένων, οὐ δεόμεθα φυλάττειν τὸν τόνον. οὗτος ὁ σκοπὸς ἔστω σοι κοινὸς ἐπὶ πάντων τῶν μορίων ὧν ἔργον τι τοιοῦτόν ἐστιν, ὡς ὅλῳ τῷ σώματι χρήσιμον ὑπάρχειν. ὅπου οὐδὲ τὸν σπλῆνα παντάπασι χαλᾶν χρή. καὶ γὰρ καὶ οὗτος ἐκκαθαίρει τοῦ ἥπατος ὅσον ἰλυῶδές τέ ἐστι, καὶ μελαγχολικόν. ἐπεὶ δ' ὑπὸ τοιούτου τρέφεται, καὶ διὰ τοῦθ' ὅταν ἔμφραξίς τις ἢ φλεγμονὴ κατ' αὐτὸν γένηται, καὶ μάλιστα ὅταν ᾖ ἐσκιρρωμένος, τῶν ἐκφραττόντων καὶ τεμνόντων ἰσχυροτέρων δεῖται. οἷον γάρ ἐστι φάρμακον ἥπατι τὸ ἀψίνθιον, τοιοῦτον τῷ σπληνὶ καππάρεως φλοιός. ὁποῖον δ' ἥπατι τὸ καλούμενον εὐπατόριον, τοιοῦτον τῷ σπληνὶ τὸ σκολοπένδριον. ὁμοίων μὲν γὰρ δεῖται φαρμάκων κατὰ τὸ γένος ἀμφότερα τὰ σπλάγχνα. τοσούτῳ δ' ἰσχυροτέρων ὁ σπλήν, ὅσῳ παχυτέρᾳ χρῆται τροφῇ. σκιρρουμένοις οὖν αὐτοῖς αἱ προσήκουσαι τροφαί, κοιναὶ μὲν τῷ γένει. διαφέρουσαι δὲ τῷ μᾶλλόν τε καὶ ἧττον εἰσίν. ὅθεν εἰ καὶ δι' ὀξυμέλιτος ἡ κάππαρις ἐσθίοιτο, χρησίμη μὲν ἀμφοτέροις ἐστὶ τοῖς σπλάγχνοις. ἀλλ' οὔτ' ἴση τὸ πλῆθος, οὔθ' ὁμοίως κεκραμένον ἔχουσα τὸ ὀξύμελι. πλείων τε γὰρ αὕτη, καὶ δι' ἀκρατεστέρου τοῦ ὀξυμέλιτος ἐπὶ τοῦ σπληνός, ὠφελιμωτέρα γίγνοιτ' ἄν. αὕτη μὲν οὖν ἡ διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. τῶν δὲ ὁμοίων κατὰ γένος ἢ εἶδος, ἢ ὡς ἄν τις ἐθέλοι ὀνομάζειν βοηθημάτων, ἔκ τε τῆς ἐνεργείας αὐτῶν εἴληπται, καὶ διαπλάσεως. ἀπὸ δὲ τῆς εἰς τὰ παρακείμενα κοινωνίας, ὅπερ ἐστὶ ταυτὸν τῇ θέσει, τὸ τὰ μὲν κυρτὰ τοῦ ἥπατος ἐκκαθαίρεσθαι διὰ νεφρῶν. τὰ δὲ σιμά, διὰ τῆς κάτω γαστρός. ἐπὶ δὲ σπληνός, τὴν ἑτέραν μόνην εἶναι κένωσιν τῶν περιττῶν, ἡ γὰρ ἐπὶ τοὺς νεφρούς, οὐκ ἔστι τούτῳ τῷ σπλάγχνῳ. διὰ τοῦτ' οὖν ὅταν φλεγμαίνῃ τοῖς κατωτερικοῖς ὀνομαζομένοις φαρμάκοις ἐρεθίζομέν τε καὶ διαρρύπτομεν αὐτόν, ὅπως μεθίῃ καὶ χαλάσῃ τὰ περιττά. διττὸς δ' ὁ τρόπος ἐστὶ τῆς τῶν τοιούτων φαρμάκων χρήσεως. ἐπὶ μὲν τῶν ἀνωτέρω κειμένων, διὰ τῶν μὲν ἐσθιομένων καὶ πινομένων. ἐπὶ δὲ τῶν κατωτέρω, διὰ κλυστῆρος ἐνιεμένων. ἐπειδὴ τῶν μὲν ἐσθιομένων καὶ πινομένων ἡ δύναμις, ἐκλύεται πρὶν ἐπὶ τὰ κάτω μέρη προχωρῆσαι. τὰ δ' ἐνιέμενα, τὴν ἀρχὴν οὐδ' ἐπαναβῆναι δύνανται πρὸς τὴν νῆστιν. ἀλλ' εἰ καὶ πάνυ σφόδρα βιάζοιο, τάχ' ἂν ἅψαιο τῶν λεπτῶν ἐντέρων μόνων. καὶ τοῦτ' οὖν αὐτὸ παρὰ τῆς τῶν μορίων θέσεως ἐδιδάχθημεν. ἐνιέναι μέντοι τοῖς κατωτέρω κειμένοις ἐντέροις. ἄνωθεν δὲ διδόναι τοῖς τ' ἀνωτέρω, καὶ αὐτῇ τῇ γαστρί, καὶ σπληνί, καὶ στομάχῳ. λέγω δὲ νῦν στόμαχον, ὅνπερ δὴ καὶ κυρίως ὀνομάζουσιν. ἐνίοτε γὰρ οὕτω καλοῦσι καὶ τὸ στόμα τῆς γαστρός.

ὥσπερ ὅταν ἅπασι συγκόπτεσθαί τινας στομαχικῶς. ἀλλ' ἐπί γε τοῦ κυρίως ὀνομαζομένου στομάχου, καὶ τὰ καταπλάσματα κατὰ τῆς ῥάχεως ἐπιτίθεμεν, οὐκ ἐμπροσθεν, ὥσπερ ὅταν τὸ στόμα τῆς γαστρὸς φλεγμαίνῃ. κατὰ γὰρ τοι τῆς ῥάχεως ὁ στόμαχος ἐπίκειται, διά τε τοῦ τραχήλου καὶ τοῦ θώρακος φερόμενος κάτω μέχρι τῆς γαστρός. οὔτ' οὖν ταῦτα γινώσκουσιν οἱ θεσσάλειοι, καὶ διὰ τοῦτο πάντας ὁμοίως θεραπεύουσιν. οὐδ' ὅτι πᾶν τὸ φλεγμαῖνον μέλος, ἐὰν μὴ στεγνὸν ἔχῃ τὸ περικείμενον ἑαυτῷ δέρμα, χαλᾷ τι καὶ μεθίησιν ἔξω τῶν λεπτομερῶν ἰχώρων. καὶ διὰ τοῦτ' ἔκ τε τῶν κατὰ τὸ στόμα καὶ τὴν φάρυγγα καὶ στόμαχον, ἔντερά τε καὶ γαστέρα καὶ τὰ σπλάγχνα πάντα ῥεῖ τι πρὸς τοὐκτός. οὕτω δὲ καὶ κατὰ τὰ ἔνδον ἐπιφάνειαν τοῦ θώρακος ἐκκρίνεταί τις ἰχὼρ ὅταν φλεγμαίνῃ. καθάπερ οὖν ὁ μὲν σπλὴν καὶ τὰ σιμὰ τοῦ ἥπατος ἐκκαθαίρεται διὰ τῶν ἐντέρων, οἱ νεφροὶ δὲ καὶ κυρτὰ τοῦ ἥπατος διὰ τῶν οὔρων, οὕτως ὁ θώραξ ὅταν γε τὰ ἔνδον αὐτοῦ φλεγμαίνῃ, κατὰ τὸν ὑπεζωκότα μεθίησί τι πρὸς τὴν μεταξὺ χώραν ἑαυτοῦ καὶ τοῦ πνεύμονος. ἐκκαθαρθῆναι δὲ τοῦτο δεήσεται, διὰ τῶν αὐτῶν ὁδῶν τῷ πνεύμονι, δίδομεν οὖν τοῖς οὕτω κάμνουσι φάρμακα τῆς λεπτυνούσης δυνάμεως. ὅπως ἀναστομῶνται μὲν αἱ ὁδοί. τέμνωνται δὲ τὰ δι' αὐτῶν ὁδοιπορήσειν μέλλοντα. καὶ μάλισθ' ὅταν ἢ παχέα ταῖς συστάσεσιν ἢ γλίσχρα. καθάπερ ἐπὶ τῶν ἐμπύων ἐστίν. ἐκλεξόμεθα δὲ καὶ τούτων ὅσα μὲν μετρίως φλεγμαινόντων ἐστὶ τῶν πεπονθότων μελῶν. ὅσα δὲ ἰσχυρότερα, κατὰ τὰς ἀκριβεῖς παρακμὰς τῶν φλεγμονῶν. ἢ καὶ τελέως μὲν αὐτῶν πεπαυμένων, ἐκκριθῆναι δὲ τῶν περιττῶν δεομένων. μέτριον μὲν οὖν ἐν τοῖς τοιούτοις ἐστὶν, ὅ, τε τῆς πτισάνης χυλὸς, καὶ τὸ μελίκρατον. ἰσχυρότερον δὲ τὸ τῆς ἀκαλήφης σπέρμα. καὶ ὅταν ἐμβληθῇ βραχύ τι τῷ μελικράτῳ τῶν δριμέων βοτανῶν. οἷον ὀριγάνου, καὶ ὑσσώπου, καὶ καλαμίνθης, καὶ γλήχωνος. ἰρεώς τε τῆς ἰλλυρίδος ἡ ῥίζα. πλέον δ' εἰ μίξαις τούτων, ἢ καὶ τὴν ἶριν, οὕτω κόψαις καὶ σήσαις ὡς χνοώδη ποιῆσαι, κἄπειτα ἐπιβάλλοις τῷ μελικράτῳ, τμητικώτατον ἕξεις φάρμακον. οὕτω δὲ καὶ τὸ διὰ πρασίου σκευαζόμενον, ὀξύμελί τε, καὶ ἄλλα τοιαῦτα, τέμνειν ἱκανῶς πέφυκε τὰ παχύτερα τῶν ἐν θώρακι καὶ πνεύμονι περιττῶν. καὶ πάντων αὐτῶν τὴν εὐπορίαν ἔχεις ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις. οὐ μόνον δὲ τὴν εἰρημένην τῶν βοηθημάτων διαφορὰν ἐκ τῶν πεπονθότων ἐμάθομεν τόπων, ἀλλὰ καὶ τὸ τὰ μὲν ἐπιπολῆς φλεγμαίνοντα, τοῖς τῆς φλεγμονῆς ἰδίοις βοηθήμασιν ἰᾶσθαι. τὰ δ' ἐν τῷ βάθει, μετὰ τοῦ μιγνύναι τι καὶ τῶν δριμυτέρων. ἐκλύεται γὰρ ἡ δύναμις εἰς τὸ βάθος αὐτῶν διαδιδομένων. οὕτω δὲ καὶ ἡ σικύα, βοήθημα γενναῖον εὕρηται. τῆς τ' ἔξω φορᾶς τῶν ἐν τῷ βάθει, καὶ τῆς οἱονεὶ μοχλείας τῶν ἤδη σκιῤῥουμένων. ἀλλ' οὐ χρηστέον ἐστὶ σικύᾳ κατ' ἀρχὰς ἐπὶ μορίου φλεγμαίνοντος. ἀλλ' ἐπειδὰν ὅλον τὸ σῶμα κενώσῃς, καὶ χρεία τις γένηται κενῶσαί τι καὶ ἐκμοχλεῦσαι τῶν κατὰ τὸ φλεγμαῖνον, ἢ πρὸς τοὐκτὸς ἀποσπάσασθαι. γινομένων δὲ ἔτι τῶν παθῶν, οὐκ αὐτοῖς τοῖς ἀρχομένοις κάμνειν μέλεσιν, ἀλλὰ τοῖς συνεχέσιν αὐτῶν ἐπιβάλλειν τὴν σικύαν ἀντισπάσεως ἕνεκεν. οὕτω γοῦν καὶ μήτρας αἱμοῤῥαγούσης πρὸς τοὺς τιτθοὺς ἐπιβάλλομεν σικύαν, ἐπ' αὐτῶν ἐρειδόντων μάλιστα τῶν κοινῶν ἀγγείων θώρακός τε καὶ μήτρας, τὸ τῆς σικύας στόμα. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱμοῤῥαγίας διὰ ῥινῶν γιγνομένης, ἐπιβάλλομεν τοῖς ὑποχονδρίοις μεγίστας σικύας. οὕτω δὲ καὶ πᾶσαν ἄλλην αἱμοῤῥαγίαν ἀντισπῶμεν ἐπὶ τἀναντία διὰ τῶν κοινῶν φλεβῶν. ὥσπερ αὖ πάλιν ἕλκομεν, εἰ τούτου δεοίμεθα. κατὰ γοῦν ἰσχίου τε καὶ βουβῶνος ἐπιτίθεμεν σικύαν, ἔμμηνα κινῆσαι βουλόμενοι. καὶ κατ' ἰνίου δὲ σικύα τιθεμένη, γενναῖον ἐστὶ βοήθημα ῥεύματος ὀφθαλμῶν. χρὴ δὲ προκεκενῶσθαι τὸ σύμπαν σῶμα. πληθωρικοῦ γὰρ ὄντος αὐτοῦ καθότι περ ἂν ἐρείσαις μέρος τῆς κεφαλῆς τὴν σικύαν, ὅλην αὐτὴν πληρώσεις. οὗτος οὖν ὁ κοινὸς σκοπὸς ἁπάσης φλεγμονῆς, οὐχ ὡσαύτως ἐφ' ἑκάστου τῶν μορίων ἐπιτελεῖται, προσέρχεται δ' ἅπασι τοῖς εἰρημένοις οὐ σμικρὰ μοῖρα, καὶ ἡ τοῦ προσφερομένου φαρμάκου φύσις. οὐ γὰρ ἁπλῶς εἰ στύψαι δεοίμεθα τὴν ἀρχομένην φλεγμονὴν, ἅπαν τὸ στύφον προσοίσομεν ἐπὶ τῶν καταπίνεσθαι μελλόντων, ἀλλ' ὅσοις ἂν αὐτῶν οὐδεμία μέμικται δύναμις φθαρτική, χάλκανθος γοῦν ἐν τοῖς μάλιστα στύφει. καθάπερ γε καὶ τὸ μίσυ, καὶ σῶρυ, καὶ χαλκῖτις. καὶ διφρυγές. ὅ, τε κεκαυμένος χαλκὸς, ἥ τε λεπὶς αὐτοῦ, καὶ τὸ ἄνθος. ἀλλ' ἐστὶ βλαβερὰ τὰ φάρμακα ταῦτα καταπινόμενα. διόπερ οὐδὲ τοῖς στοματικοῖς ἀσφαλῶς μιγνύνται. παραῤῥεῖ γὰρ ἐνίοτε αὐτῶν τι μέχρι τῆς γαστρός. οὐ μὴν οὐδ' ἀλόη καλῶς ἂν μιχθείη τοῖς καταπίνεσθαι μέλλουσι φαρμάκοις ἕνεκα φλεγμονῆς τῶν ἔνδον. ἐπειδὴ καὶ ταύτῃ μέμικταί τις δύναμις καθαρτική. παρηκμακυίας μέν τοι τελέως τῆς φλεγμονῆς, εἴ τις μικρὸν ἀλόης μίξειεν ἕνεκα τοῦ τὴν γαστέρα κινῆσαι, μὴ διακεχωρηκυῖαν τελέως, οὐδὲν βλάψει. βέλτιον δὲ διὰ λινοζώστιδος ἢ ἀκαλήφης ἢ κνίκου, ἤ τινος τῶν τοιούτων ὑπάγειν τὴν γαστέρα τῶν οὕτω καμνόντων, ὅλως δὲ ἄν τις ἀφέλῃ τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν, οὐδὲν κωλύει τὴν ἰατρικὴν, οὐχ ἓξ μησὶν, ἀλλ' ἓξ ἡμέραις ὅλην ἐκμαθεῖν. οὐ μὴν οὐδὲ προστεθέντος τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν ἔχοιμεν ἂν ἤδη τὸ πᾶν εἰς τὴν θεραπείαν ἄνευ τοῦ τὰς περὶ τῶν φαρμάκων ἐκμαθεῖν μεθόδους. ἐπ' ἐκείνας οὖν ἰτέον ἐστὶ τῷ μέλλοντι τελέως ἰᾶσθαι τὰ νοσήματα. νυνὶ γὰρ ὡς πολλάκις εἶπον, εἰ καί τινος ἐμνημόνευσα φαρμάκου παραδείγματος ἕνεκα, τοῦτ' ἔπραξα. προσθῶμεν οὖν ἔτι τῇ ἀπὸ τῶν μορίων ἐνδείξεως ὅσα μήπω λέλεκται καταβαλλόντων προφανέστατα τὴν τῶν θεσσαλείων αἵρεσιν, οἳ μήτε ἀνατομῆς ἁπτόμενοι, μήτ' ἐνεργείας ἢ χρείας εἰδότων, ὅταν ἴδωσί τινα κροκυδίζοντα καὶ καρφολογοῦντα, τολμῶσιν ὀξυροδίνῳ καταβρέχειν τὴν κεφαλὴν, ἡμῖν ἑπόμενοι. διὰ τί γὰρ οὐ τὸν θώρακα μᾶλλον εἴπερ ἐνδεικτικῶς μὲν εὑρίσκουσι τὰ βοηθήματα, δυνατὸν δ' ἐστὶ καὶ τῆς καρδίας παθούσης φρενιτικὸν γίνεσθαι τὸν ἄνθρωπον. ὁ μὲν γὰρ ἐμπειρικὸς, ἐκ τῆς πείρας φησὶ τὴν τῶν τοιούτων βοηθημάτων εὕρεσιν ἐσχηκέναι. τῷ δὲ καὶ ταύτην ἀτιμάσαντι, καὶ τὴν τῶν ἐνεργειῶν ζήτησιν φυγόντι, πόθεν ἐπῆλθεν ἀντὶ τοῦ θώρακος ἑλέσθαι τὴν κεφαλὴν ἐπὶ τῶν φρενιτικῶν ἐπιβρέχειν. ἀλλὰ τοῦτό γε τὸ ὀξυρόδινον ὃ τῇ κεφαλῇ προσφέρομεν ἐπὶ τῶν φρενιτικῶν, ὥσπερ ἔλεγε τῶν ἑταίρων, οὐ μόνον τοὺς ἀμεθόδους θεσσαλείους, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας, ἐξελέγχει φανερῶς ὅσοι κατὰ τὴν καρδίαν ἡγοῦνται τὸ ψυχῆς ἡγεμονικὸν ὑπάρχειν. ἰδὼν γοῦν ποτε τῶν ἀπ' Ἀθηναίου

τινὰ τὴν κεφαλὴν αἰονοῦντα ῥοδίνῳ καὶ ὄξει μεμιγμένοις, ἐκώλυον ἀξιῶν ἐπιφέρειν τῷ θώρακι τὸ βοήθημα. Βε
βλάφθαι μὲν γὰρ τῷ παραφρονοῦντι τὸ ἡγεμονικόν. εἶναι δ' ἐν καρδίᾳ τοῦτο κατὰ τὸν Ἀθήναιον, οὔκουν ὀρθῶς
αὐτὸν ποιεῖν ἀφέντα τοῦ θώρακος, ἐνοχλεῖν τῇ κεφαλῇ, καὶ πράγματα παρέχειν ἀπαθεῖ μορίῳ. νυνὶ μὲν ὀξυ-
ῥοδίνῳ καταντλοῦντα. νυνὶ δέ, ἀρκέσοντα, καὶ σφονδύλιον ἢ ἕρπυλλον ἤ τι τοιοῦτον προσφέροντα. καὶ εἰ χρο-
νίζοι τὸ πάθημα, καὶ τὸ καστόριον. ἢ καὶ νὴ Δία σικύαν. ὅμοιον γὰρ εἶναι τοῦτο τῷ φλεγμαίνοντος μηροῦ τῇ προ-
νῃ προσάγειν τὸ βοήθημα. καὶ μὲν δὴ κἀπὶ τῶν ληθαργικῶν οὐδείς ἐστιν ὃς οὐ προσφέρει τῇ κεφαλῇ τὰ βοη-
θήματα. καὶ τοῦτο γὰρ τὸ πάθος ἐναντίον μέν πως ἐστὶ κατὰ τὴν ἰδέαν τῇ φρενίτιδι. γίνεται δ' ἐγκεφάλου
πάσχοντος, ἐν ᾧ τῆς ψυχῆς ἐστι τὸ ἡγεμονικόν. ὅταν μὲν οὖν ὁ πλεονάζων ἐν ἐγκεφάλῳ ψυχρὸς ᾖ χυμός, ἀναι-
σθησία τε καὶ ἀκινησία καταλαμβάνει τὸν ἄνθρωπον. ὅταν δὲ θερμός, δυσκινησία μᾶλλον, ὡς ἂν εἴποι τις, ἅμα
τῇ τοῦ λογισμοῦ βλάβῃ. συμβαίνει γὰρ ὡς ἐν τοῖς περὶ τούτων δέδεικται λόγοις. διὰ μὲν τὴν ψύξιν, ἡ ἀργία.
διὰ δὲ τὴν θερμασίαν, ἡ ἄμετρος κίνησις. ἐκ δὲ τῆς τῶν χυμῶν μοχθηρίας, ἡ ἄνοια. φλεβοτομητέον οὖν ἐστιν ἐπὶ
τῶν τοιούτων παθῶν, κατ' ἀρχὰς εὐθύς. ἰσχυρᾶς μὲν οὔσης εἰς τοσοῦτον τῆς δυνάμεως, ὡς ἐνεγκεῖν ἀλύπως τὴν
φλεβοτομίαν. ἑτέρου δὲ μηδενὸς κωλύοντος, ὧν ἐν τοῖς περὶ φλεβοτομίας εἴπομεν, οἷον, ἤτοι πλῆθος ὠμῶν χυ-
μῶν, ἢ παιδικῆς ἡλικίας, ἢ ὥρας, ἢ χώρας ἐσχάτως θερμῆς ἢ ψυχρᾶς. τοῦτο μὲν οὖν κοινὸν ἀμφοτέροις τοῖς νοσή-
μασιν, ὅσα τε μετὰ καταφορᾶς, καὶ ὅσα μετ' ἀγρυπνίας γίνεται. κοινὸν δὲ καὶ τὸ κατὰ τὴν ἀρχὴν ὀξυρόδι-
νον προσφέρειν. ἀπώσασθαι γὰρ χρὴ τῆς κεφαλῆς τὸν χυμὸν ὁποῖος ἂν ᾖ. τὰ δ' ἐφεξῆς ἐναντία, πραΰνειν μὲν
γὰρ προσήκει, τὰ μετὰ τῶν ἀγρυπνιῶν. ἐπεγείρειν δέ, τὰ μετὰ τῆς ἀκινησίας. εἰκότως οὖν ἀκμαζόντων αὐτῶν,
τοῖς μὲν ἀγρυπνητικοῖς καὶ παρακοπτικοῖς νοσήμασι, τὰς διὰ μήκωνος κωδυῶν ἐπιβροχὰς προσοίσομεν, ὀσφρα-
νοῦμέν τε καὶ διαχρίομεν ἤτοι τὰ πτερύγια τῆς ῥινὸς ἐκ τῶν ἔνδοθεν μερῶν, ἢ τὸ μέτωπον ὁμοίοις φαρμάκοις. κα-
ρῶσαι γὰρ χρὴ καὶ ναρκῶσαι ποιῆσαι τὸ ἡγεμονικόν, ἐμψύχοντα δηλονότι τὸν ὑπερτεθερμασμένον ἐγκέφα-
λον. ἐπὶ δὲ τῶν ἐναντίων παθῶν, ἐπεγεῖραι καὶ τεμεῖν καὶ θερμῆναι προσήκει τὸ πάχος τοῦ λυποῦντος χυμοῦ,
ὅστις ἄνευ μὲν τοῦ σήπεσθαι καταφορὰς βαθείας ἐργάζεται, χωρὶς πυρετῶν, ἃς ὀνομάζουσιν ἀποπληξίας καὶ
κάρους καὶ κατοχάς. εἰ δὲ καὶ σήποιτό ποτε, μετὰ πυρετοῦ γίνεται τὰ τοιαῦτα, καὶ καλεῖται τὸ τοιοῦτο νόσημα
λήθαργος. ἐναφεψῶντες οὖν ὄξει θύμον καὶ γλήχωνα καὶ ὀρίγανον, ὅσα τ' ἄλλα τοιαῦτα τῇ ῥινὶ τῶν οὕτω
διακειμένων προσοίσομεν, ὅπως ὁ ἀτμὸς ἐπὶ τὸν ἐγκέφαλον ἀναφερόμενος τέμνει τὸ πάχος τοῦ χυμοῦ. μετὰ δὲ
ταῦτα, καὶ τὸν οὐρανίσκον ἰσχυροῖς καὶ δριμέσι φαρμάκοις χρίομεν. ἑξῆς δὲ τούτων, καὶ πταρμικοῖς χρησόμεθα.
καὶ περὶ τῆς κεφαλῆς ἐπιθήσομεν ὁμοίας δυνάμεις φαρμάκων ἄχρι καὶ τοῦ νάπυος, ἐπιτείνοντες ἀεὶ τὸ σφοδρὸν
αὐτῶν εἰ χρονίζει τὸ πάθος. ἀλλὰ καὶ ταῖς σικύαις ἐπ' ἀμφοτέρων χρονιζόντων χρησόμεθα, καὶ τῷ καστορίῳ.
πρέπει γὰρ αὐτὸ καλῶς ἐπὶ προήκοντι τῷ χρόνῳ παραληφθέν. ὥστε κἀνταῦθα πάλιν εἰς κοινὴν θεραπείαν ἄγε-
σθαι λήθαργόν τε καὶ φρενίτιδα ἐπὶ τῆς παρακμῆς. ἐν μὲν δὴ τοῖς τοιούτοις πάθεσιν, ἐξελέγχονται προφανῶς
οἵτε ἀπὸ τοῦ Θεσσαλοῦ πάντες, οἵτ' ἐν τῇ καρδίᾳ τὸ ἡγεμονικὸν τῆς ψυχῆς μέρος εἰπόντες ἰατροί. μὴ γὰρ ὅτι
τῶν εἰρημένων τινὸς εὐπορῆσαι βοηθημάτων αὐτοῖς ἐστι δυνατόν, ἀλλὰ μηδὲ ὅτῳ μορίῳ προσφέρειν δεῖ τὰ
βοηθήματα. οὐ γὰρ δὴ ὥσπερ ἐπ' ὀφθαλμίας ἢ πλευρίτιδος ἢ συνάγχης αὐτός τε ὁ κάμνων αἰσθάνεται τοῦ
πεπονθότος μορίου, ἡμῖν τε διὰ τῆς ἁφῆς καὶ τῆς ὄψεως εἰς γνῶσιν ἥκει, κατὰ τὸν αὐτὸν τρόπον ἐπί τε ληθάργου καὶ
φρενίτιδος. ἐπιληψίας τε καὶ παραπληξίας, καὶ σπασμῶν καὶ τετάνων. ἔτι τε τῆς καλουμένης ἰδίως κατοχῆς. ἐφ' ὧν
ἁπάντων ἡ μὲν ἰδέα τῶν βοηθημάτων, ἐκ τῆς τοῦ πάθους φύσεως εὑρίσκεται. τὸ δὲ χωρίον, ᾧ μάλιστα χρὴ προσφέρειν αὐ-
τά, διὰ τοῦ προεγνῶσθαι τὰς ἐνεργείας τε καὶ χρείας τῶν μορίων. ὅτι δ' ἀεὶ μεμνῆσθαι χρὴ τῶν συνενδεικνυμένων ἁπάν-
των, κἂν παραλειφθῇ ποτε ἐπὶ τῷ λόγῳ, πολλάκις εἴρηται πρόσθεν. ἀλλὰ νῦν γε τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν μόνην
πρόκειται διελθεῖν. οἷον εὐθὺς ἐπὶ τῆς κατὰ τὴν κεφαλήν, εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν ἔνεστιν ἅπαντι νοῆσαι προχεί-
ρως ὅτι πρόκειται τοῦ ἐγκεφάλου, πρῶτον μὲν ἡ παχεῖα μῆνιγξ ἐοικυῖα ταῖς ἐκτὸς ταύταις βύρσαις. ἐπ' αὐτῇ δ'
ἐστὶ τὸ κρανίον. ἀναγκαῖον ἐκλύεσθαι τῶν ἐπιτιθεμένων φαρμάκων τὴν δύναμιν ἐν τοῖς προβλήμασι πυκνοῖς καὶ
σκληροῖς οὖσι. καὶ εἰ μὴ ῥαφαὶ κατὰ τὸ τῆς κεφαλῆς ὀστοῦν ὑπὸ τῆς φύσεως ἐγεγόνεισαν, οὐδὲν ἂν μέγα τῶν φαρμά-
κων οὐδὲν ἤνυσεν ἔξωθεν ἐπιτιθέμενον. ἐπεὶ δὲ καὶ αἱ ῥαφαί, καὶ μάλιστα ἡ στεφανιαία παρίησιν ἔσω ῥᾳδίως, οὐ
τὰς ποιότητας μόνας τῶν ἐπιτιθεμένων φαρμάκων, ἀλλὰ καὶ τὰς οὐσίας ὅταν γε ᾖ λεπτομερεῖς, εἰκότως πολλὰ
τῶν κατὰ τὸν ἐγκέφαλον ὠφελεῖται παθῶν ὑπὸ τῆς τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων δυνάμεως. ἐγὼ γοῦν ἀπ'
ἐμαυτοῦ πειραθείς, οἶδα καταντληθέντος ῥοδίνῳ ψυχρῷ, ταχίστης τε καὶ σαφεστάτης ἔσω διαδόσεως αἰσθανό-
μενος, ἐν τῷ κατὰ τὸ βρέγμα τόπῳ. καὶ μέντοι καὶ διαφορὰ παμπόλλη τοῖς ἀνθρώποις ὁρᾶται πρὸς ἀλλήλους ἐναρ-
γῶς, ἐπὶ τῆς ῥαφῆς τῆσδε, καὶ περὶ τῆς ἀναβμῆς. ἐθεασάμεθα γοῦν τινῶν ἐξηρημένων ἔτι ἐν τῷ μασᾶσθαι, σαφεστάτην
κίνησιν τῆς συναρθρώσεως τῶν κατὰ τὴν στεφανιαίαν ῥαφὴν ὀστῶν, ὡς εἶναι πρόδηλον, ὅτι χαλαρὰ τοῖς ἀνθρώποις
ἐκείνοις ἡ σύνθεσις ἦν τῶν ὀστῶν τῆς κεφαλῆς. εἰκότως οὖν κατὰ τοῦτο μάλιστα τὸ χωρίον ἐπιφέρουσιν ἅπαντες ἰα-
τροί, τὰς ἐπιβροχὰς τῇ κεφαλῇ, κατὰ διαδοχὴν μὲν ἀπὸ τῶν πρώτως εὑρόντων ἐπὶ τοὔργον ἐρχόμενοι. θεώμε-
νοι δὲ καὶ αὐτοὶ ὅσοι γε προσέχουσι τὸν νοῦν οὐκ ἀργῶς τοῖς γινομένοις ὅπως μὲν ἡ ῥαφὴ φαίνεται κινουμένη σαφῶς,
ὅπως δ' αἰσθάνονται κατὰ τοῦτο τὸ μέρος οἱ ἄνθρωποι τάχιστα θερμαινόμενοί τε καὶ ψυχόμενοι διὰ τῶν ἔξωθεν
αὐτοῖς ὁμιλούντων. πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ λεπτότατόν ἐστιν ἐν τούτῳ τῷ μέρει τὸ κρανίον, καὶ ἀραιότατον.
ὅταν οὖν τινὸς ἔσω διικνεῖσθαι φαρμάκου τὴν δύναμιν ἰσχυρῶς ἐθελήσῃς, κατὰ τοῦτο μάλιστα τὸ χωρίον ἐπιτίθει.
κάλλιον δὲ καὶ μετὰ ἀναξύρσεως αὐτὸ πράττειν, ἀποκείραντα τῶν τριχῶν, ἢ ξυρῶντα τελέως. εἰ δ' ὑγρὸν εἴη τὸ προ-
σφερόμενον ἐξ ὑψηλοτέρου βάλλοντα καὶ οἷον καταχρουνίζοντα. διικνεῖται γὰρ ἔσω μᾶλλον ὑπὸ τῆς βολῆς ὠθούμε-
νον. ὥσπερ δ' ἐνταῦθα τὸ σφοδρότερον τῆς βολῆς συμφέρον ἐστίν, οὕτως ἐπ' ὀφθαλμῶν ἀλυσιτελές. ἐν κεφαλῇ

μὲν γὰρ

μὲν γὰρ ὀστοῦν ἐστὶ τὸ πληττόμενον. ἐπὶ ὀφθαλμοῦ δὲ, ὑμενώδη τινὰ καὶ ἀσθενῆ σώματα. καὶ ἐπὶ μὲν τὴν κεφα-
λὴν, ἕτερον μέν ἐστι τὸ πληττόμενον, ἄλλο δὲ τὸ θεραπευόμενον, ὃ τῆς μὲν πληγῆς, οὐκ αἰσθάνεται. τῆς δὲ διὰ τὴν
βολὴν ἀφικνουμένης εἰς αὐτὸ δυνάμεως, ἀπολαύσει. κατὰ δὲ τὸν ὀφθαλμὸν, οὐκ ἄλλο μέν τοι τὸ πληττόμενον,
ἄλλο δὲ τὸ θεραπευόμενόν ἐστιν. ἀλλ᾽ ὅπερ χρὴ θεραπευθῆναι. τοῦτο καὶ πλήττεται σφοδρῶς. ἔτι τε πρὸς τού-
τοις, τὸ μὲν ὀστοῦν τῆς κεφαλῆς, ἀναίσθητόν ἐστιν. αἰσθητικώτερον δὲ μόριον ὁ ὀφθαλμός. ἐγχεῖν οὖν αὐτῷ τὰ
φάρμακα, πρῶτον μὲν ἐπαίροντας τὸ ἄνω βλέφαρον ὡς ὅτι μαλακώτατα. δεύτερον δὲ, μὴ καταράσσοντα
καθάπερ ἐπὶ τῆς κεφαλῆς. ἐξευρίσκειν δὲ καὶ αὐτὰ τὰ ἐγχεόμενα μετὰ τῶν φαρμάκων ὑγρὰ, φύσεως ἀδη-
κτοτάτης. καί μοι δοκοῦσιν οἱ παλαιοὶ μετὰ πολλῆς περισκέψεως ἐπὶ τὸ τῶν ὠῶν ὑγρὸν ἀφικέσθαι, τό, τε ἀ-
δηκτότατον αὐτοῦ, καὶ τὸ γλίσχρον ἑλόμενοι. διὰ μὲν γὰρ τοῦ δάκνειν, ὁ προειρημένος αὐτοῖς ἐπληροῦτο σκο-
πός. διὰ δὲ τοῦ γλίσχρου, συντέλειά τις εἰς ἀνωδυνίαν ἐγίγνετο. λεαίνειν γὰρ πέφυκε τὰ τοιαῦτα τῶν ὑγρῶν
ἁπάσας τὰς τραχύτητας, ὅσαι διὰ ῥεῦμα γίγνονται δριμύ. καὶ προσέτι μονιμώτερα τῶν ὑδατωδῶν τε καὶ
λεπτῶν ὑγρῶν ἐστὶ τὰ παχέα μετρίως καὶ γλίσχρα. ὅτι μὲν οὖν τὸ χωρὶς τοῦ δάκνειν γλίσχρον ὅταν καὶ μετρίως
ᾖ θερμὸν ἀνωδυνώτατόν ἐστιν, ἔμαθες δή που κἀπὶ τῶν κατὰ τὴν γαστέρα δακνωδῶν διαχωρημάτων, ἐφ᾽ ὧν
ἐνιέμενον στέαρ, εὐθέως πραΰνει τὴν ὀδύνην. ὅτι δὲ καὶ διαμένειν ἄμεινόν ἐστι τὸ τοιοῦτον ὑγρὸν ἐν τῷ πεπον-
θότι μορίῳ, πρόδηλον. ἐπὶ μὲν γὰρ τῶν κατὰ τὴν γαστέρα, τὸ κλύζειν συνεχῶς ἀνιαρόν. ἐπὶ δὲ τῶν κατὰ τὸν
ὀφθαλμὸν, ἀνατείνειν τὸ βλέφαρον. ἥ γε μὴν εὐαισθησία τοῦ μορίου καὶ τὸ λεῖον αἱρεῖσθαι πάντως τὸ μέλλον
ἐνίεσθαι, καὶ μηδὲν ἐν αὐτῷ ἔχειν τραχὺ καὶ ψαμμῶδες, ἐνδείκνυται. διὰ τοῦτ᾽ οὖν ἐπενοήθη καλῶς, ἥτ᾽ ἐκ τῶν
ὠῶν ὑγρότης, καὶ τὸ λελειῶσθαι χρῆναι σφόδρα ἀκριβῶς, ὅσα γε τῶν γεωδῶν σωμάτων ἀναμίγνυνται τοῖς
ὀφθαλμικοῖς φαρμάκοις. ὅταν γε μὴν ὀδύναι γίγνωνται σφοδραὶ κατ᾽ αὐτοὺς, ἀναμνησθεὶς ὅσα περὶ γενέσεως
ἁπασῶν ὀδυνῶν ἔμαθες, ἐπισκέπτου κατὰ τίνα διάθεσιν ἐξ αὐτῶν ὀδυνᾶσθαι συμβαίνει τὸν ὀφθαλμὸν ἐν
ταῖς φλεγμοναῖς ὑπὲρ ὧν νῦν ὁ λόγος ἐστίν. ἤτοι γὰρ ἐπὶ τὸ δάκνεσθαι σφοδρῶς ἐκ τῆς τῶν ἐπιρρεόντων δρι-
μύτητος, ἢ διὰ τὸ τείνεσθαι πεπληρωμένους τοὺς χιτῶνας αὐτῶν, ἢ δι᾽ ἔντασίν τινα παχέων ὑγρῶν, ἢ πνευμά-
των φυσωδῶν, ὀδύναι γίνονται σφοδραὶ κατ᾽ αὐτούς. τὰς μὲν οὖν δήξεις, διά τε τῶν καθαιρόντων φαρμάκων
ἀντισπῶντας κάτω καὶ κενοῦντας θεραπεύειν προσήκει, καὶ αὐτῷ τῷ μορίῳ τοῦ ὠοῦ τὸ ὑγρὸν ἐγχέοντας, ὅπως
ἀλύπως ἐκκλύζηται σὺν αὐτῷ τὸ δριμὺ ῥεῦμα. πεπεμμένης δὲ τῆς φλεγμονῆς ἤδη, καὶ κενοῦ τοῦ σώμα-
τος ὄντος, ἐπιτηδειότατα τούτοις ἐστὶ λουτρά. καὶ γὰρ ἀνώδυνοι παραχρῆμα γίνονται, καὶ παύεται τὸ ἐπιρ-
ρέον ὑγρὸν τοῖς ὀφθαλμοῖς. ἐκκριθέντος μὲν τοῦ πλείστου δι᾽ ὅλου τοῦ σώματος ἐν τοῖς λουτροῖς, ἐπικερασθέν-
τος δὲ τοῦ λοιποῦ. τὰς δ᾽ ἐπὶ τῇ πληρώσει τάσεις, διά τε κενώσεως αἵματος, καὶ γαστρὸς ὑπαγωγῆς, καὶ τρί-
ψεως τῶν κάτω μορίων, ἰᾶσθαι προσήκει. εἰ δ᾽ ἀναγκαζοίμεθά ποτε, καὶ δεσμοῖς τῶν κώλων ἔπειτα πυριά-
σεσιν αὐτοῦ τοῦ φλεγμαίνοντος μορίου, δι᾽ ὕδατος ποτίμου θερμοῦ συμμέτρως. τὰς δ᾽ ἐντάσεις προκενώσαν-
τα κἀπὶ τούτων τὸ πᾶν σῶμα, καὶ μέν τοι καὶ ἀντισπάσαντα κάτω τὴν ῥοπὴν τῶν χυμῶν, ἑξῆς αὐτοῖς τοῖς το-
πικοῖς ὀνομαζομένοις βοηθήμασι θεραπεύειν, οὐ τοῖς ἀποκρουομένοις καὶ ἀναστέλλουσι φαρμάκοις χρώμενον, ἀλλὰ
τοῖς διαφοροῦσι. πυριατέον οὖν αὐτοὺς, ὡς ἀρτίως εἴρηται, καὶ τὸ τῆς τήλεως ἐγχυτέον ἀφέψημα, προπλύνον-
τας ἐπιμελῶς τὴν τῆλιν ὅπως μηδὲν αὐτῇ προσεζηκὸς ἤτοι κόνεως ἢ ψάμμου λάθῃ. διαφορητικὸν γὰρ ἀλύ-
πως ἐστὶ τὸ φάρμακον τοῦτο, πάντων μάλιστα τῶν ὀφθαλμοῖς προσφερομένων. μεμνῆσθαι δὲ χρὴ τῶν κοινῶν πα-
ραγγελμάτων ἐπὶ πάντων τῶν κατὰ μέρος. ὧν ἓν καὶ τόδ᾽ ἐστὶν, ὡς τὰ διαφορητικὰ φάρμακα, πλήθους ὄντος
ἐν ὅλῳ σώματι μορίοις τισὶ προσφερόμενα, πληροῖ μᾶλλον ἢ κενοῖ. ταῦτά τε οὖν καὶ τὰ ἄλλα θεραπεύων νοσή-
ματα, καὶ τὰς φλεγμονὰς ὑπὲρ ὧν νῦν ὁ λόγος ἐστὶ μηδέποτε θαρρήσῃς τῶν διαφορητικῶν ὀνομαζομένων βοη-
θημάτων, πρὶν τῇ τοῦ σώματος ὅλου χρήσασθαι κενώσει. πρόσεχε δὲ κἀκεῖνο τὸν νοῦν ἐπὶ πάντων παθῶν, οὐ μό-
νον φλεγμονῶν, ὡς ἐνίοτε τὸ μὲν ὅλον σῶμα, μετρίως διάκειται κατά τε ποιότητα καὶ συμμετρίαν χυμῶν. ἓν
δέ τι τῶν ὑπερκειμένων ἢ δύο τῷ κάμνοντι μορίῳ τὴν ἑαυτοῦ περιουσίαν ἐκπέμπει. καθάπερ ἀμέλει κἀπὶ
τῶν ὀφθαλμῶν, οὐ σπανιάκις, ἀλλὰ καὶ πάνυ πολλάκις ἰδεῖν ἐστι γιγνόμενον, ἐπιπεμπούσης αὐτοῖς τῆς κεφα-
λῆς τὸ ῥεῦμα. πρόδηλον οὖν οἶμαι κἀπὶ τούτων ἐστὶν ὡς χρὴ τὴν κεφαλὴν ἰάσασθαι προτέραν, εὑρόντα τὴν
διάθεσιν αὐτῆς, ᾗ τῶν περιττωμάτων ἡ γένεσις ἕπεται. καὶ τά γε χρονίζοντα τῶν ὀφθαλμῶν ῥεύματα θερα-
πεύομεν, ἀφιστάμενοι μὲν αὐτῶν τῶν ὀφθαλμῶν. ἐπὶ δὲ τὴν τῆς κεφαλῆς ἀφικνούμενοι πρόνοιαν, ἐκ μὲν τοῦ γένους
τῶν δυσκρασιῶν οὖσαν. ἐνδεικνυμένην δὲ θεραπείαν ἐναντίαν ἑαυτῇ καθὸ δέδεικται πρόσθεν. ὡς τὰ πολλὰ
μὲν οὖν ἤτοι ψυχρὰ δυσκρασία γίγνεται περὶ τὴν κεφαλὴν, ἢ ὑγρά. καὶ δηλονότι καὶ ἀμφότεραι συνέρχονται.
σπανιώτεραι δὲ εἰσὶν αἱ διὰ θερμότητα δριμὺ ῥεῦμα τοῖς ὀφθαλμοῖς ἐπιπέμπουσαι, καθ᾽ ἃς οὐ προσήκει τοῖς
διὰ θαψίας καὶ τοῦ νάπυος χρῆσθαι φαρμάκοις, ἀλλὰ τοὐναντίον ἅπαν ἐλαίῳ μὲν ὀμφακίνῳ τε καὶ ἰασανῷ, καὶ
ῥοδίνῳ, λουτροῖς δὲ ποτίμων ὑδάτων πλείοσιν. ἐνίοτε μὲν οὖν ὁ ἐγκέφαλος ἐπιπέμπει τὸ ῥεῦμα. καὶ χρὴ τούτου
μὲν τὴν κρᾶσιν ἐπανορθοῦσθαι τοῖς ὅλης τῆς κεφαλῆς ἐπιθέμασιν. ἐνίοτε δὲ τῶν ἀγγείων ἐστὶ τὸ πάθος, ἤτοι
τῶν φλεβῶν, ἢ τῶν ἀρτηριῶν ἀτονωτέρων ὑπαρχουσῶν, ὡς δέχεσθαι τὴν τῶν ἄλλων ἀγγείων περιουσίαν. ἡνί-
κα ἐκτέμνοντές τι μέρος αὐτῶν, ἢ καὶ διατέμνοντες ὅλα μέχρι πολλοῦ βάθους, διαλαμβάνομεν οὐλῇ σκλη-
ρᾷ τὰ μεταξὺ διορίζοντες μόρια τοῦ τμηθέντος, ὡς μηκέτ᾽ εἶναι συνεχῆ, μὴ δ᾽ ἐπιρρεῖν ἐκ τοῦ ἑτέρου πρὸς τὸ ἕτε-
ρον. ἀλλ᾽ ὅταν γε τῶν ἐν τῷ βάθει κειμένων ἀγγείων τῶν ἄνωθεν ἡκόντων ἅμα τοῖς νεύροις ἐπὶ τοὺς ὀφθαλμοὺς ᾖ
τὸ πάθημα, τούτων οὐδὲν οἷόν τ᾽ ἐστὶ πρᾶξαι. διὸ καὶ δυσίατα πάντη τὰ τοιαῦτα ῥεύματα γίγνεται. τὰ δ᾽ ἔξω-
θεν ἀγγεῖα καὶ χωρὶς χειρουργίας ἔνεστι ῥῶσαι, φαρμάκοις καταχρίοντα τονωτικοῖς. ἐνίοτε δὲ καὶ θερμὸν αἷμα καὶ
ἀτμῶν μεστὸν ἐπὶ τὴν κεφαλὴν ἀναφέρεται, καὶ πληθύνει μάλιστα κατὰ τὰς ἀρτηρίας. ἐφ᾽ οὗ χρησιμώτατον

Doloris oculorum cura

εὕρηται βοήθημα τοῖς ἰατροῖς ἡ ἀρτηριοτομία. χρὴ δὲ ξυρῶντα τὴν κεφαλὴν ἐπιμελῶς, ἅπτεσθαι τῶν τ' ὀπίσω
καὶ καθ' ἑκάτερον οὖς ἀρτηριῶν, καὶ τῶν ἐν τῷ μετώπῳ τε καὶ περὶ τοὺς κροτάφους. ὅσαι δ' αὐτῶν θερμότεραί σοι
φαίνονται τῶν ἄλλων εἶναι καὶ μᾶλλον σφύζειν, ἐκείνας τέμνειν. ὅσαι δὲ μικραί τε εἰσὶ καὶ ὑπὸ τῷ δέρματι, κἂν μέ-
ρος αὐτῶν ἐκτέμνῃς, ὥσπερ ἐν τοῖς σκέλεσιν ἐπὶ τῶν κιρσῶν εἰώθαμεν πράττειν, ἄμεινον ἐργάσῃ. καὶ τῶν καθ' ἡ-
μᾶς γε τις ὀφθαλμικῶν, οὐχ ὁ φαυλότατος, ἐξέκοπτε τῶν ἐποχουμένων τοῖς κροταφίταις μυσὶν ἀρτηριῶν οὐκ
ὀλιγίστην μοῖραν. ὡς τὰ πολλὰ μὲν οὖν ἀνασπᾶται τῆς ἐκτμηθείσης ἀρτηρίας τὰ καταλειπόμενα μόρια, πρὸς τὸ
συνεχὲς ἀμφοτέρων. καὶ μᾶλλον γίνεται τοῦτ' ἐπί τε τῶν μικρῶν ἀγγείων, καὶ ἧττον σφυζόντων. εἰ δ' ἐν τῷ γυ-
μνοῦν φαίνοιτό σοι μέγα τὸ ἀγγεῖον, ἢ μεγάλως σφύζοι, ἀσφαλέστερον αὐτῷ βρόχον περιβάλλοντα πρότερον, οὕ-
τως ἐκκόπτειν τὸ μεταξύ. γιγνέσθωσαν δ' οἱ τοιοῦτοι τῶν βρόχων ἐξ ὕλης δυσσήπτου. τοιαύτη δ' ἐστὶν ἐν Ῥώμῃ
μὲν ἡ τῶν γαϊτανῶν ὀνομαζομένων, ἐκ μὲν τῆς τῶν Κελτῶν χώρας κομιζομένων. πιπρασκομένων δὲ μάλιστα κατὰ
τὴν ἱερὰν ὁδόν, ἥτις ἐκ τοῦ τῆς Ῥώμης ἱεροῦ κατάγει πρὸς τὰς ἀγοράς. τούτων μὲν οὖν ἐν Ῥώμῃ ῥᾷστον εὐπορῆσαι. καὶ
γὰρ εὐωνότατα πιπράσκεται. κατ' ἄλλην δὲ πόλιν ἰατρεύοντί σοι, παρασκευαζέσθω τῶν νημάτων τι τῶν σηρι-
κῶν ὀνομαζομένων. ἔχουσι γὰρ αἱ πλούσιαι γυναῖκες αὐτά, πολλαχόθι τῆς ὑπὸ Ῥωμαίων ἀρχῆς. καὶ μάλιστα ἐν με-
γάλαις πόλεσιν, ἐν αἷς εἰσι πολλαὶ τῶν τοιούτων γυναικῶν. εἰ δὲ μὴ παρείη σοι τῶν κατ' ἐκείνην τὴν χώραν, ἐν
ᾗπερ ἂν ὢν τυγχάνῃς, ἐκλέγου τὴν ἀσηπτοτέραν ὕλην, οἵα πέρ ἐστιν ἡ τῶν ἰσχνῶν χορδῶν. αἱ μὲν γὰρ εὔσηπτοι,
ταχέως ἀποπίπτουσι τοῦ ἀγγείου. ἡμεῖς δὲ βουλόμεθα περισαρκωθέντων αὐτῶν ἀποπίπτειν τὸν βρόχον. ἡ γὰρ ἐπι-
τρεφομένη τοῖς ἀποτετμημένοις μέρεσι τῶν ἀγγείων σάρξ, ἐπίθεμα γίγνεται, καὶ μύει τὸ στόμιον αὐτῶν. ἐπειδὰν
δὲ φθάσῃ γενέσθαι, καιρὸς ἤδη τοῖς βρόχοις ἀκινδύνως ἀπερρυηκέναι. τὰς μέντοι φλέβας ὅτ' ἂν ποτε ἐκτέμνεις τι
μόριον αὐτῶν, οὐκ ἀναγκαῖον οὕτως ἀσήπτοις ὕλαις διαδεῖν, ἀλλ' ἀρκεῖ καὶ τῶν ἄλλων τις. ἐπὶ μὲν γὰρ τῶν ἀρτηριῶν
ἡ διηνεκὴς κίνησις, ἀνοίγνυσι τὰ στόματα τῶν τετμημένων ἀγγείων. ἐπὶ δὲ τῶν φλεβῶν ὅταν ἅπαξ μύσῃ καθ'
ὁντινοῦν τρόπον, ἤτοι πιληθέντα διὰ τῆς ἐπιδέσεως, ἢ στυφθέντα διὰ φαρμάκων, ἐπιτρέπει τῇ πέριξ σαρκὶ περι-
φύεσθαι. καὶ μάλισθ' ὅταν ἀκίνητον ἔχῃ τὸ μέρος ὁ χειρουργηθεὶς ἄνθρωπος. ἔτι δὲ μᾶλλον ἐὰν καὶ ἀνάρροπον ἔχῃ
ἐπὶ κοινῷ τῷ σύμπαντι σώματι. καὶ γάρ τι καὶ τοὺς κιρσοὺς οὕτω θεραπεύομεν. ὀνομάζεται δὲ κιρσὸς ἡ ἀνευρυσμένη
φλέψ. ἀνευρύνεται δ' ἐν ὄρχεσί τε καὶ σκέλεσι τοὐπίπαν. ἐπεὶ δὲ γραφομένων ἔτι τῶνδε τῶν ὑπομνημάτων,
ἠξίωσαν οὐκ ὀλίγοι τῶν ἑταίρων ἐπὶ τῇ τελευτῇ τῆς ὅλης πραγματείας ἁπάντων ἐφεξῆς μετὰ τὴν χειρουργίαν
μνημονεῦσαι, διὰ τοῦτο καὶ νῦν ὁ περὶ τῶν κιρσῶν ἀναβεβλήσθω λόγος. ὄντων δ' οὐκ ὀλίγων, κατὰ μέρος ἐν ὀφθαλ-
μοῖς παθῶν ἰδιωτέρας θεραπείας δεομένων, οὐδ' ὑπὲρ ἐκείνων ἔτι λέγειν ἐνταυθοῖ προσήκει. τῷ μὲν γὰρ ἐπι-
μελῶς ἀνεγνωκότι τὰ πρόσθεν εἰρημένα καὶ φύσει συνετῷ, ῥᾷστον ἐστὶ κατὰ τὴν ἀκολουθίαν ἐξευρίσκειν ἅπαν-
τα. τοῖς δὲ μὴ τοιούτοις, ἄμεινον ἰδίᾳ γράψαι θεραπευτικὴν πραγματείαν ἁπάντων τῶν ἐν ὀφθαλμοῖς πα-
θῶν. ἐπεὶ καὶ πολλοὶ τῶν ἑταίρων οὕτως ἀξιοῦσιν.

ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

ΠΕΡΙ μὲν τῶν παρὰ φύσιν ὄγκων πόσοι μέν εἰσι καὶ ὁποῖοι, γέγραπται πρόσθεν ἰδίᾳ καθ' ἓν
βιβλίον. ὡς δ' ἄν τις αὐτοὺς θεραπεύοι μεθόδῳ, τῆς προκειμένης πραγματείας ἴδιον ὄν, ἐν
τῷ τρισκαιδεκάτῳ τῶνδε τῶν ὑπομνημάτων ἠρξάμεθα λέγειν. ἐπεὶ δ' ἐν τοῖς ἔμπροσθεν
ὑπὲρ ἁπάντων πυρετῶν ὁ λόγος ἐγεγόνει, βέλτιον ἔδοξέ μοι περὶ πρώτης φλεγμονῆς διελ-
θεῖν ὡς ἂν συνεχέστατά τε γινομένης, καὶ πυρετοὺς ἐπιφερούσης πολλάκις. εἴρηται μὲν οὖν
τι καὶ τῇ τῶν πυρετῶν θεραπείᾳ περὶ φλεγμονῆς, ἅμα ταῖς ἄλλαις αὐτῶν αἰτίαις. ἀλλ'
ὁ τέλειός τε καὶ ἴδιος αὐτῆς λόγος, ἐν τῷ πρὸ τούτου βιβλίῳ γέγραπται, τὴν μέθοδον τῆς θεραπείας ὁποία τίς
ἐστι διερχομένων ἡμῶν, οὐ τὴν τῶν βοηθημάτων ὕλην, ὅτι μὴ παραδείγματος ἕνεκεν, ὡς κἀπὶ τῶν ἔμπροσθεν
ἐποιησάμεθα. οὐ πόρρω δὲ τῆς φλεγμονῆς ἕτερόν νόσημα ἐστὶν ἐρυσίπελας ὀνομαζόμενον, ὑπὸ χολώδους χυμοῦ, συ-
νιστάμενον, ὡς ἐδείχθη. βέλτιον δ' ἴσως αὐτὸ μακροτέρῳ λόγῳ διορίσαι τῆς φλεγμονῆς. κοινὰ μὲν οὖν ἀμφοῖν
ὅ, τε παρὰ φύσιν ὄγκος ἐστί, καὶ ἡ θερμασία. διαφέρει δὲ πρῶτα μὲν καὶ μάλιστα, τῇ χροιᾷ. ἐρυθρᾶς μὲν γὰρ οὔσης αὐ-
τῆς, φλεγμονὴν τὸ πάθος ὀνομάζουσιν. ὠχρᾶς δ' ἢ ξανθῆς, ἢ ὥσπερ ἐξ ὠχροῦ καὶ ξανθοῦ χρώματος μικτῆς, ἐρυσί-
πελας. ἀτὰρ οὖν καὶ ὁ σφυγμός, ἴδιον σύμπτωμά ἐστι τῆς μεγάλης φλεγμονῆς, καὶ γὰρ καὶ διὰ βάθους γίνεται μᾶλ-
λον, ὥσπερ γε τὸ ἐρυσίπελας ἐν τῷ δέρματι μᾶλλον, ἢ ἐν τῷ βάθει. λεπτὸς γὰρ κατὰ τὴν σύστασιν ὁ τῆς ὠχρᾶς χο-
λῆς χυμός, ὥστε διαρρεῖ ῥᾳδίως ἐπὶ τὸ δέρμα, τὰ σαρκώδη καὶ ἀραιὰ μόρια διερχόμενος. ἡ δὲ τοῦ δέρματος
πυκνότης, οὐκέθ' ὁμοίως εὔπορος τῇ δὲ τῇ χολῇ. πλὴν εἰ πάνυ λεπτὴ καὶ ὑδατώδης εἴη, τοιαύτη γὰρ μάλιστα
καὶ ἡ καθ' ἑκάστην ἡμέραν ἐστὶ συναπερχομένη τοῖς ἱδρῶσι. καὶ πολλῶν ὄψει κατὰ τὰ βαλανεῖα ταῖς στλεγγίσιν ἀ-
ποξυόντων τὸν ἱδρῶτα τοιοῦτον τὴν χρόαν, οἷόν περ καὶ τὸ οὖρον ἐστὶ τοῖς ἐπὶ πλέον ἀσιτήσασιν. οἶσθα γὰρ ὡς χρο-
νιζόντων ἡμῶν ἐν ταῖς ἀσιτίαις, ὠχρότερον ἐξ ὑδατώδους γίγνεται τὸ οὖρον. ὕστερον δέ ποτε καὶ ξανθόν, εἰ μὴ
φθάσειέ τις ἐπιτέγξαι τὸν αὐχμὸν τοῦ σώματος, ὑγραινούσῃ τε τροφῇ καὶ ποτῷ. κατὰ φύσιν μὲν οὖν διοικουμένου
τοῦ σώματος, ὁ πικρόχολος χυμὸς ἀδήλως διαπνεῖται. παρὰ φύσιν δέ, κατ' ἄλλα τε πάθη πλεονάζων φαί-
νεται, περὶ ὧν αὖθις εἰρήσεται, καὶ μέντοι κατὰ τοῦτο τὸ νῦν ἡμῖν προκείμενον, ὃ καλοῦσιν ἐρυσίπελας. ὅταν γὰρ ἤ-
τοι πολὺ πλέων τοῦ κατὰ φύσιν, ἢ παχύτερος γενόμενος, ἀθρόως ἐξωσθῇ πρὸς τὸ δέρμα, διακαίει τε τοῦτο καὶ
εἰς ὄγκον αἴρει. κρεῖττον δ' ἐστίν, ὥσπερ ἀεὶ λέγομέν τε, καὶ πράττομεν, οὕτω καὶ νῦν ἡμᾶς ἀπὸ τῶν πραγμάτων,

οὐ τῶν

οὐ τῶν ὀνομάτων ἄρξασθαι, δευτέραν ἀμείνω τῆς πρόσθεν ἀρχῆς τοῦ λόγου τήνδε θεμένους. ὅταν αἵματος πολλοῦ κατασκήψαντος εἴς τι μόριον ὡς μὴ στέγεσθαι πρὸς τῶν ἀγγείων τῶν κατ' αὐτὸ, διεκπίπτῃ τι δροσοειδῶς ἐκ τῶν ἀγγείων εἰς τὰς τῶν μυῶν χώρας, ἃς ἔχουσι μεταξὺ τῶν συντιθέντων αὐτοὺς ὁμοιομερῶν σωμάτων, ὄγκος μὲν γίγνεται διὰ τὸ πλῆθος. ἕπεται δὲ αὐτῷ τάσις μὲν τοῦ δέρματος. ὀδύνη δ' ἐν τῷ βάθει. καὶ πόνος μετὰ σφυγμοῦ καὶ ἁπτομένοις ἀντιτυπία τις. ἔρευθός τε καὶ θερμότης. ὡς ἂν καὶ τοῦ δέρματος ἀπολαύοντος, ὧν πάσχουσιν αἱ ὑπ' αὐτὸ σάρκες. ἀνάλογόν τε τοῖς νῦν εἰρημένοις, καὶ περὶ τὰ σπλάγχνα γίνεται διάθεσις. ἔστι γὰρ δὴ κἀν τούτοις ἰδία σάρξ. ἣν ἔνιοι παρέγχυμα προσαγορεύουσιν, εἰς ἣν ἀτμοειδῶς ἐκ τῶν πεπληρωμένων ἀγγείων ἐκκρινόμενον τὸ αἷμα, τὰ προειρημένα συμπτώματα ἐργάζεται. μία μὲν οὖν ἥδε διάθεσις αἱματώδους ἔκγονος ῥεύματος ἐν σαρκώδεσι σώμασι μάλιστα γινομένη. δευτέρα δ' ἑτέρα χολώδους, περὶ τὸ δέρμα συνισταμένη μάλιστα τὸ, τ' ἐκτὸς τοῦτο τὸ κοινὸν ἁπάντων σκέπασμα τῶν μορίων καὶ τὸ καθ' ἕκαστον τῶν ἐντὸς περιτεταμένον ὑμενῶδές τε καὶ λεπτόν. ὥσπερ οὖν ἡ προτέρα συνεπιλαμβάνει τι καὶ τοῦ δέρματος. οὕτω καὶ ἥδε τῆς ὑποκειμένης αὐτῷ σαρκός. εἰ δὲ καὶ παχύτερος ὁ χυμὸς εἴη καὶ δριμύτερος, ἀποδέρει τὴν ἐπιδερμίδα καί ποτ' ἐν τῷ χρόνῳ πρὸς τὸ βάθος ἐξικνεῖται τοῦ δέρματος ἡ ἕλκωσις. αὕτη μὲν οὖν ἡ διάθεσις ἐρυσίπελας ὀνομαζέσθω διττὴν δὲ ἔχον ὡς εἴρηται διαφορὰν, ἤτοι χωρὶς ἑλκώσεως, ἢ σὺν ταύτῃ γιγνόμενον. ἡ προτέρα δὲ μονοειδής ἐστι, καὶ καλείσθω φλεγμονή. ὅταν οὖν μήτε ἀκριβῶς ᾖ χολῶδες τὸ ῥεῦμα, μήθ' αἱματῶδες, ἀλλ' ἐξ ἀμφοῖν μικτὸν, ἀπὸ τοῦ μᾶλλον κρατοῦντος ἐν τῇ μίξει, τοὔνομα αὐτῷ τιθέσθω. κατηγορείσθω δὲ τοῦτο τὸ κρατούμενον, ὡς ἤτοι φλεγμονὴν ἐρυσιπελατώδη καλεῖν ἡμᾶς ἢ ἐρυσίπελας φλεγμονῶδες. εἰ δὲ μηδ' ἕτερον ἐπικρατοίη, μέσον ἐρυσιπέλατός τε καὶ φλεγμονῆς ὀνομαζέσθω τὸ πάθος. ἡ δὲ τῆς θεραπείας μέθοδος, ὡς ἐπὶ τῶν ἄλλων συνθέτων, οὕτω καὶ νῦν γιγνέσθω τὴν ἀρχὴν ἀπὸ τῶν ἁπλῶν ποιησαμένοις. κοινὸς μὲν οὖν σκοπὸς ἅπασι τοῖς οὕτω παρὰ φύσιν ὄγκοις, ἡ κένωσις. οὕτω δ' εἶπον, ἀναμιμνήσκων τοῦ πλήθους τῶν ἐργαζομένων αὐτοὺς χυμῶν. εἰ γάρ τις τούτους κενώσειε, τὴν κατὰ φύσιν ἕξιν ἀναλήψεται τὸ μόριον. ἀλλὰ καὶ ἡ κένωσις ὁμοίως ἅπασι διττή. μία μὲν οὖν, ἀπωθουμένων ἡμῶν αὐτοὺς εἰς ἕτερα μόρια. δευτέρα δὲ, διαφορούντων ἔξω κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν. ἐπεὶ δ' οὐ τῷ ποσῷ μόνον ἀνιᾷ τὸ ἐρυσίπελας, ἀλλὰ καὶ τῷ ποιῷ, σφοδρὰν ἔχον τὴν φλόγωσιν, ἐμψύξεως δεήσεται περιττοτέρας ἢ κατὰ τὴν φλεγμονήν. οὐ μὴν ἀκίνδυνός γε ἡ τοιαύτη θεραπεία τῷ παντὶ σώματι, διὰ τὸ φέρεσθαι τὴν χολὴν ἐνίοτε πρός τι τῶν ἐπικαίρων μορίων. ὅπου γε οὐδ' ὅταν αἷμα ψύχηται πλεονάζον, ἀκίνδυνον ἐκ τῶν ἀκύρων μερῶν ἀπωθεῖσθαι τὸ ῥεῦμα. καθάπερ οὖν ἐπ' ἐκείνου μετὰ τῆς τοῦ παντὸς σώματος κενώσεως τοῖς ἀποκρουστικοῖς ὀνομαζομένοις ἐχρώμεθα βοηθήμασιν οὕτω καὶ νῦν πράξομεν. ἀντὶ μὲν φλεβοτομίας, χολαγωγῷ φαρμάκῳ καθαίροντες. αὐτὸ δὲ τὸ πεπονθὸς μέρος ἐμψύχοντες. ὅρος δ' ἔστω, τοῦ ψύχειν ἡ τῆς χρόας μεταβολή. καὶ γὰρ τό γε ἀκριβὲς ἐρυσίπελας, εὐθὺς ἅμα ταύτῃ παύεται. τὸ δ' οὐκ ἀκριβὲς ἀλλ' ἤδη πως φλεγμονῶδες, πελιδνὸν ἀποφαίνει τὸ δέρμα ψυχόντων ἐπὶ πλέον. εἰ δὲ μηδ' οὕτως τις παύοιτο, μελαίνεται. καὶ μάλιστα ἐπὶ τῶν πρεσβυτικῶν σωμάτων. ὥστ' ἔνια τῶν οὕτω ψυχθέντων, οὐδὲ τοῖς διαφορητικοῖς φαρμάκοις ἐκτραπεύεται τελέως, ἀλλ' ὑπολείπει τινὰ περὶ τὸ μόριον ὄγκον σκιῤῥώδη. μεταβαίνειν οὖν ἄμεινον ἀπὸ τῶν ψυχόντων, τε καὶ στυφόντων, ἐπὶ τἀναντία καθ' ὃν ἂν καιρὸν ἴδῃς ἠλλοιωμένον τὸ χρῶμα τοῦ πάσχοντος μορίου, πρὶν ἤτοι πελιδνὸν, ἢ καὶ παντάπασι μέλαν γενέσθαι. λέλεκται δ' ἐν ταῖς περὶ φαρμάκων πραγματείαις, ἡ τῶν ψυχόντων ὕλη, τὸ στρύχνον καὶ τὸ ἀείζωον ἥτ' ἀνδράχνη καὶ ἡ κοτυληδών. καὶ τὸ ψύλλιον. ὅ, θ' ὑοσκύαμος, καὶ ἡ θριδακίνη. καὶ ἡ σέρις. ὅ, τι ἀπὸ τῶν τελμάτων φακός. αἵ τε δι' ὕδατος πάνυ ψυχροῦ κηρωταί, καὶ τἄλλα ὅσα τοιαῦτα. μετὰ πεσούσης δὲ τῆς φλογώσεως τοῦ πεπονθότος μορίου καταπλάττειν αὐτὸ πρὶν πελιδνὸν γενέσθαι δι' ὠμῆς λύσεως. ὀνομάζουσι οὕτω τὸ κρίθινον ἄλευρον. εἰ δὲ καὶ πελιδνὸν γενέσθαι φθάσειεν ἀποχαλῶντα καταπλάττειν. αἰονᾶν τε, τὰ μὲν πλεῖστα, δι' ὕδατος θερμοῦ. καὶ θάλασσα δὲ καὶ ἅλμη ποτὲ συνοίσει. καὶ αὐτῷ δὲ τῷ καταπλάσματι μίγνυται τοιοῦτον ὕδωρ, ἢ ὄξος, ἢ ὀξάλμη. ἐν τούτῳ δὲ τῷ καιρῷ καὶ κοριάννου μετ' ἀλφίτων ἔνιοι πειραθέντες ἔγραψαν ὡς ἀγαθὸν εἴη φάρμακον ἐρυσιπελάτων εἶτ' αὖθις ἕτεροι κατ' ἀρχὰς χρησάμενοι μεγάλης βλάβης τῷ κάμνοντι κατέστησαν αἴτιοι. καὶ ἡ διὰ τοῦ ῥοδίνου δὲ κηρωτὴ λαμβάνουσα τῆς τιτάνου, κατὰ τὸν αὐτὸν τρόπον ἐνίοις γέγραπται βοηθεῖν ἐρυσιπέλασι, καὶ ἄλλα τινὰ τοιαῦτα τῶν θερμαινόντων ἱκανῶς ὧν οὐδὲν ἐστὶν ἐρυσιπέλατος ἴαμα πρὶν μεταπεσὸν αὐτὸ παύσασθαι μὲν ὅπερ ἦν ἐξ ἀρχῆς, ἕτερον δ' ἐναντίον ἐκείνῳ γενέσθαι. πῶς γὰρ οὐκ ἐναντίον ἐστὶ τῷ θερμῷ πάθει τὸ ψυχρὸν ἢ τῷ ξανθῷ τὴν χρόαν. ἢ ὠχρῷ τὸ πελιδνὸν, ἢ μέλαν. ὥσπερ δὲ πολλάκις ἐπιμίγνυται φλεγμονῇ τὸ ἐρυσίπελας, οὕτως ἐνίοτε τῷ οἰδήματι. καὶ καλείσθω τηνικαῦτα τὸ μικτὸν ἐξ ἀμφοῖν, ἐρυσίπελας οἰδηματῶδες. ὥσπερ γε κἀπειδὰν ψυχόμενον σκληρόν τε καὶ δύσλυτον γένηται κληθήσεται σκιῤῥῶδες ἐρυσίπελας. καὶ τοίνυν καὶ ἡ θεραπεία καθάπερ ἐν ἅπασι τοῖς συνθέτοις οὕτω κἀπὶ τούτων σοι γιγνέσθω. καὶ μάλιστα μὲν ἀνθισταμένῳ πρὸς τὸ κρατοῦν. οὐκ ἐπιλελησμένῳ δ' οὐδὲ τῆς ἀπὸ τοῦ μιχθέντος ἐνδείξεως. ὥσπερ γε ἐπὶ χολώδει ῥεύματι τὸ ἐρυσίπελας, οὕτως ἐπὶ φλέγματι τὸ οἴδημα γίγνεται χαῦνός τις ὄγκος ἀνώδυνος. ἴσμεν δὲ δή που καὶ ἄλλως οἰδήματα γινόμενα περὶ τοὺς πόδας, ἐν ὑδερικαῖς διαθέσεσι καὶ φθόαις καὶ καχεξίαις ἑτέραις ἰσχυραῖς ἐπ' ἐκείνων μὲν οὖν σύμπτωμά ἐστι τὸ οἴδημα τοῦ κατέχοντος πάθους τὸν ἄνθρωπον, οὐδὲ μιᾶς ἰδίας ἐξαιρέτου θεραπείας δεόμενον ἀρκεῖ γὰρ εἴπερ ἄρα τηνικαῦτα ἀνατρίβειν τὰ σκέλη ποτὲ μὲν δι' ὀξυροδίνου, ποτὲ δὲ δι' ἐλαίου καὶ ἁλῶν ἢ καὶ αὐτῷ τῷ ὀξυροδίνῳ τὸν ἁλῶν ἐπεμβάλλοντα. διὰ δὲ τὸν φλεγματώδη χυμὸν ἐπιῤῥυέντα μορίῳ συνιστάντος οἰδήματος, ἱκανὸς ἐνίοτε καὶ σπόγγος μόνος ὕδατι βεβρεγμένος ὀλίγον ὄξους ἔχοντι. γενέσθω δ' ἡ κρᾶσις ἤτοι γ' ὡς ἂν καὶ πίοι τις ἢ οὐ πολλῷ γε τούτου πλέον ἔχουσα τὸ ὄξος. ἐπιδεῖν δὲ χρὴ τὸν σπόγγον ἐκ τῶν κάτω μερῶν ἀρχόμενον, καὶ ἄνω τελευτῶντα. καινὸς δ' ἔστω

πάντως εἰ μέλλοι τι χρηστὸν ἐργάσασθαι. μὴ παρόντος δὲ σοι καινοῦ, διαῤῥύπτειν χρὴ καὶ καθαίρειν τὸν ἐπιτυχόντα. νίτρῳ τε καὶ ἀφρονίτρῳ, καὶ τῇ καλουμένῃ κονίᾳ στακτῇ. μὴ καταστάντος δὲ ἐπὶ τοῖς δὲ τοῦ οἰδήματος ἐπειδὰν αὖθις ἐπιδέῃς, ἐπεμβάλλειν καὶ βραχὺ τῆς συμμετρίας, καὶ σπόγγον καινὸν προστιθέναι. εἰ δ' οὐκ ἔχοις καινὸν, ἄμεινον χρῆσθαι τούτῳ δὴ τῷ καλουμένῳ πρὸς τῶν πολλῶν ἐλλυχνίῳ. μαλακὸν δ' ἔστω πρὸ πάντων ὁποῖον τὸ ταρσικόν. εἰ δ' ἐκείνου τις ἀπορείη, θαῤῥῶν χρήσθω. βέλτιον γὰρ ἐμβρέξει τοῦ σπόγγου. διαβρέχεσθω δὲ δηλονότι διὰ τὴν συμμετρίαν ἔχοντι ὀξυκράτῳ, καὶ ἐπιδείσθω καθότι προείρηται κάτωθεν ἄνω. σφίγγειν δ' οὕτω συμμέτρως ὡς ἐν καταγμάτι. καὶ μᾶλλον μὲν τὰ κάτω πρῶτα. ἐπὶ βραχὺ δ' ἐκλύειν τὴν σφίγξιν. οὐ μὴν εἰς τοσοῦτόν γε ὡς χαλαρὸν γενέσθαι τι μέρος τῆς ἐπιδέσεως. ἀγαθὸν δὲ φάρμακον εἰς ταῦτα, καὶ τὸ γλαύκιον αὐτό τε καθ' ἑαυτὸ δι' ὀξυκράτου λυθέν. ἔτι τε μᾶλλον τὸ δι' αὐτοῦ συντιθέμενον ἡμέτερον φάρμακον, οὗ τὴν σύνθεσιν ἔχεις ἐν τῇ περὶ τῶν φαρμάκων πραγματείᾳ λεγομένην. ἦσαν δέ μοι μέχρι δεῦρο, τρεῖς. ἥ τε περὶ τῶν ἁπλῶν. καὶ μετὰ ταύτην, ἡ περὶ τῆς συνθέσεως αὐτῶν. εἶθ' ἡ περὶ τῶν εὐπορίστων. ἔοικα δὲ καὶ τετάρτην ἄλλην ποιήσειν, ἐπειδὴ καὶ πολλοὶ τῶν ἑταίρων οὕτως ἀξιοῦσιν, ἐν ᾗ περὶ τῶν κοινῶν καὶ ἰδίων ἑκάστου μορίου καὶ πάθους φαρμάκων ὁ λόγος ἔσται μοι. ἀλλὰ τοῦτό γε τὸ διὰ τοῦ γλαυκίου φάρμακον, οὐκ οἰδήματα μόνον, ἀλλὰ καὶ πολὺ δὴ μᾶλλον αὐτῶν, ἐρυσιπέλατά τε καὶ φλεγμονὰς ἀρχομένας ἰᾶται, καὶ μάλιστα τὰς θερμάς. εὔδηλον δὲ ὅτι καὶ τὰς ἐρυσιπελατώδεις φλεγμονάς. ἐρυσιπέλατά τε τὰ φλεγμονώδη θεραπεύσεις ταὐτῷ τούτῳ τῷ φαρμάκῳ, οὐ μὴν τάς γε σκιῤῥουμένας ἤδη τῶν φλεγμονῶν, ἢ τὰ ψυχθέντα τῶν ἐρυσιπελάτων, οὐδ' ὅλως οὐδεμίαν διάθεσιν σκιῤῥώδη. περὶ ὧν εἴρηται μέν τοι κἀν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. εἰρήσεται δὲ καὶ νῦν. ὁ μὲν γὰρ χυμὸς ὁ τὸ τοιοῦτον πάθος ἐργαζόμενος, ἤτοι γλίσχρος ἐστὶν, ἢ παχὺς, ἢ ἀμφότερα. τῆς θεραπείας δὲ αὐτοῦ κοινὸς ὁ σκοπὸς, ἐκκενῶσαι τὸ περιεχόμενον ἐν τῷ μορίῳ παρὰ φύσιν ἅπαν. ἴδιος δ' ὁ τρόπος τῆς κενώσεως. ἀποῤῥύψαι γὰρ αὐτὸν χρὴ δυσλύτως ἐμπεπλασμένον. ἐὰν οὖν ἀθρόως ἑλκοῦσί τε καὶ διαφοροῦσι φαρμάκοις ἐγχειρῇ τις κενοῦν ἄνευ τοῦ μαλάττειν τε καὶ χεῖν τοῖς ὑγραίνουσι καὶ θερμαίνουσιν, ἐν ὀλίγαις μὲν ἡμέραις ταῖς πρώταις, ἀξιόλογον ἐπίδοσιν δόξει λαμβάνειν ἡ θεραπεία, τό γε μὴν ὑπόλοιπον τῆς διαθέσεως ἀνίατον ἔσται. διαφορηθέντος γὰρ ἅπαντος τοῦ λεπτομεροῦς κατ' αὐτὴν, ὅμοιόν τι πώρῳ λιθῶδες τὸ λοιπὸν λήψεται. καὶ γὰρ οὖν καὶ τῶν ἐν ταῖς ἀρθρίτισι πώρων ἡ γένεσις, ἐξ ὑγροῦ παχέος ἐστὶ καὶ γλίσχρου, μὴ ἐπὶ βραχὺ διαφορηθέντος, ἀλλ' ἀθρόως ξηρανθέντος ὑπὸ βιαίων φαρμάκων. οὕτω δὲ κἀν τοῖς νεφροῖς οἱ λίθοι γεννῶνται, κατοπτηθέντος ἐν αὐτοῖς χυμοῦ παχέος καὶ γλίσχρου. διὰ τοῦτ' οὖν ἐπὶ τῶν σκιῤῥωδῶν διαθέσεων, οὐδὲν τῶν ἰσχυρῶς θερμαινόντων ἢ ξηραινόντων φαρμάκων, ἁρμόττει. μόνα δ' ὅσα μετὰ τοῦ μαλάττειν, ἱκανὰ διαφορεῖν ἐστίν. οἷον ὁ ἐλάφειος μυελός. καὶ μόσχειος. καὶ στέαρ αἴγειόν τε καὶ ταύρειον. καὶ λεόντειον. ἔτι τε πρὸς τούτοις, ἀμμωνιακὸν θυμίαμα. καὶ βδέλλιον ἑκάτερον, καὶ μᾶλλον τὸ σκυθικὸν, ὅσῳ περ ὑγρότερόν ἐστιν. ὡσαύτως δὲ καὶ ὁ στύραξ ὁ ὑγρότερος, ἀμείνων τοῦ ξηροῦ. τούτοις οὖν προσέχων τοῖς σκοποῖς, καὶ τὰς ἐπιπεπλεγμένας διαθέσεις ἰᾶσθαι δυνήσῃ, κατὰ τὴν εἰρημένην ἤδη πολλάκις ἐπὶ πάντων τῶν συνθέτων παθῶν μέθοδον. ἐμοὶ δὲ καιρὸς ἂν εἴη περὶ τῆς τῶν πασχόντων μορίων ἀναμνῆσαι διαφορᾶς, ἧς ἀεὶ μνημονεύειν ἠξίουν, ἐπὶ πάντων τῶν νοσημάτων τε καὶ συμπτωμάτων. εἴρηται δ' οὐκ ὀλίγα καὶ ἐπὶ τὸ πρὸ τούτου γράμμα, περὶ τῆς ἀπ' αὐτῶν ἐνδείξεως. ὁ μὲν γὰρ πρῶτος σκοπὸς τῆς ἰάσεως ἁπάντων τῶν παρὰ φύσιν ὄγκων ἐν οἷς οὐδέπω γεγόνασι πῶροι, κένωσίς ἐστιν. ἡ δὲ τῶν σκιῤῥουμένων μορίων κένωσις, ὑπὸ τῶν προειρημένων οὐ γίγνεται φαρμάκων, ἃ καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς, μαλακτικά. τῶν δ' ὄντων τῶν μορίων τὰ μὲν ἀραιότερα φύσει. τὰ δὲ, πυκνότερα, καὶ τὴν κένωσιν ἑτέρων δεῖσθαι κατ' εἶδος βοηθημάτων ἀναγκαῖόν ἐστι. Διὰ τοῦτ' οὖν ἐπὶ τενόντων τε καὶ συνδέσμων ἔδοξέ μοι βέλτιον εἶναι παραμίγνυσθαί τι τῇ διὰ τῶν μαλαττόντων φαρμάκων ἀγωγῇ τῆς τμητικῆς ὀνομαζομένης, ὧν ἐν τοῖς μάλιστα ὄξος ἐστὶ τοιοῦτον. ἐνίοτε μὲν οὖν αὐτῷ χρώμεθα, κἀπὶ τῶν ἄλλων μορίων σκιῤῥωθέντων, ὡς ἐρῶ μικρὸν ὕστερον. ἐπὶ δὲ τενόντων τε καὶ συνδέσμων ὧδέ πως. ὄξει δριμυτάτῳ σβέννυμι λίθον διάπυρον. εἰ μὲν οὖν οἷόν τε τὸν πυρίτην λίθον καλούμενον, ὃς οὐδ' αὐτός ἐστι σπάνιος ἐν ταῖς μεγάλαις πόλεσι. μὴ παρόντος δὲ τούτου, τὸν μυλίτην. ὀνομάζουσι δὲ οὕτως, ἐξ οὗ τὰς μύλας ἐφ' ὧν ἀλοῦσι κατασκευάζουσιν. εἶτα ἀναφερομένου τινὸς ἀτμοῦ θερμοῦ μετὰ τὸ καταχυθῆναι τοῦ λίθου τὸ ὄξος, ἐν ἐκείνῳ τὸν ἐσκιῤῥωμένον σύνδεσμον, ἢ τένοντα διακινεῖν ἀναγκάζω. καὶ μετὰ ταῦτα πάλιν ἐπιτίθημι τὸ μαλακτικὸν φάρμακον. ἐλαίῳ γε μὴν ἀπ' ἀρχῆς τῆς θεραπείας οὐχ ὕδατι καταντλῶ τὸ πεπονθὸς μόριον ἄχρι παντὸς ἑκάστης ἡμέρας. ἐχέτω δὲ τοῦτο μηδεμίαν στύψιν, ἀλλ' ἀκριβῶς ἔστω λεπτομερὲς, οἷόν περ ἐστὶ τὸ σαβῖνον. ἐναφεψῶ δ' ἐνίοτε τῷ ἐλαίῳ καὶ τῆς ἀλθαίας τὴν ῥίζαν, ἀγρίου τε σικύου. καὶ εἴ τις ἄλλη τοιαύτη. καὶ τούτῳ χρῶμαι καθ' ἑκάστην ἡμέραν ὡς εἶπον. ἡ δὲ δι' ὄξους θεραπεία, χρήσιμός ἐστιν ἐπὶ προσήκοντι τῷ πάθει, προπαρεσκευασμένου τοῦ μέρους ὑπὸ τῶν μαλακτικῶν. ἐπεγνόντα δέ τινα καὶ σύνθετα φάρμακα δι' ὄξους, ἃ μεταξὺ τῶν μαλακτικῶν ἐπιτίθημι πρὸς μίαν ἡμέραν. ἡ γάρ τοι τοῦ ὄξους δύναμις, ἐάν τις αὐτῇ μετρίως τε καὶ κατὰ τὸν προσήκοντα καιρὸν χρήσηται, ὠφελεῖ τὰς τοιαύτας διαθέσεις, τέμνουσα καὶ διαλύουσα τοὺς παχεῖς χυμούς. εἰ δὲ ἀμετρότερον ἢ οὐκ ἐν καιρῷ τῷ προσήκοντι τὸ λεπτότερον ἐξαρπάζουσα, τὸ καταλεῖπον ἐᾷ λιθοῦσθαι. καὶ μέν τοι καὶ μέχρι πλείονος, εἴ τις αὐτῷ χρῷτο τῆς οὐσίας ἅπτεται τῶν νεύρων. διὰ τοῦτ' οὖν οὔτε πολλάκις, οὔτε κατ' ἀρχὰς, οὔτ' ἐν χρόνῳ πολλῷ χρηστέον ἐστὶ τοῖς δι' ὄξους φαρμάκοις ἐπὶ συνδέσμων τε καὶ τενόντων. Ἐπὶ μέν τοι σπληνὸς ἢ τῶν σαρκωδῶν μορίων τοῦ μυὸς ἐσκιῤῥωμένων, ἀκίνδυνος ἡ χρῆσις. ἀραιά τε γὰρ ταῦτα φύσει καὶ φόβος οὐδείς ἐστι πληγῆναί τι νεῦρον ὑπὸ τῆς δυνάμεως αὐτοῦ. τῷ μὲν οὖν ἀμμωνιακῷ θυμιάματι μετ' ὄξους πολλοὶ καὶ ἄλλοι χρῶνται ἐπὶ τοῦ σπληνὸς ἐπιτιθέντες. πηλώδες τῷ πάχει τὸ μικτὸν ἐξ ἀμφοῖν ἐργαζόμενοι. καὶ πολλάκις γε τοῦτο μόνον ἤρκεσεν εἰς τὴν θεραπείαν αὐτοῦ. ἐπὶ δὲ τῶν μυῶν, ἄλλον μὲν οὐκ εἶδον, ἐγὼ δ' ἐχρησάμην

πολλάκις

πολλάκις ἐν τῷ μεταξὺ τῶν μαλακτικῶν. ἐπ᾽ ἐκείνοις μὲν οὖν οὐδεμία σαφὴς ὠφέλεια γίγνεται. προμαλαχθέντος δ᾽ ὑπ᾽ αὐτῶν τοῦ σκιῤῥώδους ὄγκου, μεγίστην ὠφέλειαν ἐργάζεται τὸ δι᾽ ὄξους λυθὲν ἀμμωνιακόν. ἀπόχρη δὲ καὶ τοῦτο κατὰ μίαν ἢ καὶ δευτέραν ἡμέραν χρησαμένους, ἐπανελθεῖν αὖθις ἐπὶ τὰ μαλακτικά. πάλιν δ᾽ ἐκείνοις, χρησαμένους ἡμέραις πλείοσιν, ἀφικνεῖσθαι πάλιν ἐπὶ τὸ δι᾽ ὄξους φάρμακον. εἴτ᾽ οὖν ἀμμωνιακόν, εἴτε καὶ τῶν ἄλλων τι τῶν μαλακτικῶν, ὅσα μικρὸν ἔμπροσθεν εἶπον. οὐ γὰρ δὴ ἄλλο γέ τι δεῖ προσφέρειν, οἷα τὰ πολλὰ τῶν ξηρῶν ὀνομαζομένων ἐστὶ φαρμάκων. εὐδοκιμήσει μὲν γὰρ ἐν ἀρχῇ τὸ φάρμακον. ἀνίατον δ᾽ ἐργάσει τὸ λείψανον τῆς διαθέσεως. διὰ τοῦτο γοῦν ἐγὼ πολλάκις ἐν τῷ μεταξὺ καὶ καταπλάσματι τῷ διὰ ἀλθαίας ἐχρησάμην. ὀνομάζουσι δὲ αὐτὴν ἀναδενδρομαλάχην οἱ πολλοί. ταύτης οὖν ἡ ῥίζα λυομένη μετὰ στέατος, ἀγαθὸν εἰς τὰ τοιαῦτα φάρμακα. ἔστω δὲ τὸ στέαρ, εἰ μὲν οἷόν τ᾽ εἴη, χήνειον. εἰ δὲ μὴ παρείη τοῦτο, ὀρνίθειον. εἰ δὲ μηδὲ τοῦτο, τὸ τῶν ὑῶν χρηστόν. ἀλλὰ καὶ τῆς ἀγρίας μαλάχης, ἥτις πανταχόθεν φύεται τὰ φύλλα λειωθέντα μετά τινος τῶν εἰρημένων, ὀνήσει. ἄμεινον δὲ τῶν ὠμῶν ἐστι, τὰ προαφεψημένα μετρίως. τὰ μὲν δὴ τοιαῦτα βοηθήματα, καὶ τὸ ποικίλειν, ὡς εἴρηται, τὴν θεραπείαν ἁπάντων μορίων, ἐστὶ κοινὰ ὅσα περ ἂν ἄλλῳ πάθει σκιῤῥῶδες, καθάπερ γε καὶ ἡ τῶν οἰδημάτων ἴασις ἣν ὀλίγον ἔμπροσθεν εἶπον, ἐξαλλάττεται κατὰ τὰ μόρια ταῖς εἰρημέναις διαφοραῖς. αὐτίκα γέ τοι τοῖς καθ᾽ ὑποχόνδριον οἰδήμασιν, οὐκ ἄν τις ψυχρὸν ἐπιθείη σπόγγον ἐξ ὀξυκράτου, καθάπερ οὐδὲ τοῖς ἄλλοις ὄγκοις τοῖς κατ᾽ αὐτό. τίς δ᾽ ἀψίνθιον ἐναποζέσας ἐλαίῳ κατήντλησέ ποτε τὸ γόνυ. τίς δὲ ὀφθαλμόν, ἢ τι τῶν ἔνδον τοῦ σώματος ὁπωσοῦν πάσχον; ἀλλ᾽ ἥπατί τε κακοπραγοῦντι καὶ σπληνὶ προσφέρεται πολλάκις ὠφελιμώτατα. μαρτυρεῖ δ᾽ αὐτοῖς καὶ ἡ πεῖρα δεικνῦσα τὴν δύναμιν ἐναργῶς, οὐδὲν ἧττον τοῦ λόγου. νυνὶ δ᾽ ἡμεῖς μόνην ἐν τῇδε τῇ πραγματείᾳ τὴν κατὰ μέθοδον εὕρεσιν τῶν ἰαμάτων ὁποία τίς ἐστι διερχόμεθα. κατὰ μέντοι τὰς περὶ φαρμάκων ἀμφοτέρας ἐμίξαμεν, ἅπαντα γινώσκειν ἀξιοῦντες τὸν ἰατρόν, ὅσα τ᾽ ἐκ πείρας εὕρηται μόνης, ὅσα τ᾽ ἐκ λόγου μόνου. καὶ τρίτα γε πρὸς αὐτοῖς, ὅσα συντελούντων ἀμφοτέρων εἰς τὴν εὕρεσιν. ἅπασι δ᾽ οὖν αὐτοῖς ὀρθῶς χρήσεται μόνος ὁ γεγυμνασμένος ἐν τῇδε τῇ μεθόδῳ. περὶ μὲν οὖν φλεγμονῆς καὶ σκίῤῥου καὶ οἰδήματος, ἀρκείτω τὰ εἰρημένα. μεμνημένων ἡμῶν, ὡς σκίῤῥον ὀνομάζομεν, ὄγκον σκληρὸν, ἀνώδυνον, οὐ μὴν ἀναίσθητόν γε πάντως. ὁ γὰρ τοιοῦτος, ἀνίατος. οἱ δ᾽ ἄλλοι πάντες ὥσπερ ἀναισθητότερόν τε καὶ δυσαισθητότερον ἀποφαίνουσι τὸ πάσχον μόριον, οὕτως οὐ παντελῶς ἀναίσθητον, ὅταν γ᾽ αἰσθητικὸν ᾖ φύσει. τοὺς γὰρ συνδέσμους, ἴσμεν ἀναισθήτους ὄντας. εἰ δέ τις ἐκείνους μόνους τῶν παρὰ φύσιν ὄγκων ὀνομάζειν ἀξιοῖ σκίῤῥους, ὅσοι παντάπασιν εἰσὶν ἀναίσθητοι, τοὺς δὲ ἄλλους, οὐ σκίῤῥους, ἀλλ᾽ ὄγκους σκιῤῥώδεις, ὑπὲρ ὀνόματος ἴσως ζυγομαχῶν. καὶ καλέσωμεν οὕτω καὶ ἡμεῖς τὸ πάθος, ὅταν ἐκείνῳ διαλεγώμεθα. καὶ γὰρ καὶ ἔθος ἡμῖν ἐστιν οἷς ἄν τις ὀνόμασι χαίρῃ, τούτοις αὐτῷ διαλέγεσθαι. καιρὸς οὖν ἤδη περὶ τῶν ἐμφυσημάτων διελθεῖν, οὐ τὴν αὐτὴν ἐχόντων θεραπείαν τοῖς οἰδήμασιν. ἐκεῖνα μὲν γάρ, ὡς ἔφην, ὑπὸ φλεγματώδους γίνεται χυμοῦ. καὶ διὰ τοῦτο θλιβόντων ἥκει μέχρι βάθους ἱκανοῦ, τῶν δακτύλων ἐγκαταβαινόντων. εἰς αὐτὰ δὲ τὰ φυσήματα, φυσώδους πνεύματος ἀθροιζομένου γίγνεται. ποτὲ μὲν ὑπὸ τῷ δέρματι· ποτὲ δὲ, ὑπὸ τοῖς περιοστέοις ὑμέσιν. ἢ τοῖς τοὺς μῦς περιέχουσιν. ἤ τι τῶν σπλάγχνων. ἀθροίζεται δ᾽ οὐκ ὀλίγον ἐνίοτε καὶ κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα, κἂν τῷ μεταξὺ τούτων τε καὶ τοῦ περιτοναίου. καὶ διαφέρει γε τῶν οἰδημάτων τῷ μὴ βοθροῦσθαι πιεζόμενα, καὶ ψοφεῖν, ὥσπερ τύμπανον. ἔτι τε καὶ τῷ περιέχεσθαι πολλάκις ἐν αἰσθητῇ κοιλότητι, καὶ ταύτῃ γ᾽ ἐστὶν ὅτε μεγίστῃ. σκοπὸς δ᾽ ἔστω σοι κἀπὶ τούτων, ὁ μὲν ἁπάντων αὐτῶν κοινὸς, ἐκκενῶσαι τὸ παρὰ φύσιν, ἐν ὅτῳ περ ἂν εἴη περιεχόμενον. ὁ δ᾽ ἴδιος ἐπὶ τῷ κοινῷ, τὸ διὰ τῶν λεπτομερεστάτων τε καὶ θερμοτέρων ταῖς δυνάμεσι φαρμάκων. ἐπὶ μὲν οὖν τῶν κατὰ τὴν γαστέρα τε καὶ σπλάγχνα, λεπτομερὲς ἔλαιον ἐργάζεται τοῦτο, πήγανον ἐναπεζεσμένον ἔχον, ἤ τι τῶν θερμαινόντων σπερμάτων, οἷόν περ ἐστὶ τό, τε τοῦ κυμίνου, καὶ τὸ τοῦ σελίνου τε καὶ πετροσελίνου. καί ποτε καὶ σικύα μεγάλη χωρὶς ἀμυχῶν δὶς ἢ τρὶς ἐπιβαλλομένη κατὰ μέσην τὴν γαστέρα. περιλήψεται δὲ δηλονότι τὸν ὀμφαλόν, ἡ τηλικαύτη τε καὶ οὕτω τιθεμένη. κατὰ δὲ τὰ κῶλα καὶ τοὺς ὑπὸ τῷ δέρματι μῦς, ἤ τινας τῶν περιοστέων ὑμένων ἐμφυσήματος γιγνομένου, χωρὶς μὲν ὀδυνῶν ὑγρόν τι τῶν λεπτομερεστάτων, ἱκανόν. οἷόν περ ἐστὶ τὸ τῆς στακτῆς ὀνομαζομένης κονίας, ἀναλαμβανομένης σπόγγῳ καινῷ. συνούσης δὲ ὀδύνης, ὑπαλείφειν τὸ μόριον ἐλαίῳ χαλαστικῷ. γίνονται δὲ ἐκ πληγῶν αἱ τοιαῦται διαθέσεις. ἐν αἷς ἤτοι μῦς τις, ἢ περιόστεος ὑμὴν βλάπτεται. ἐπὶ μὲν οὖν τοῦ περιοστέου, τὸν εἰρημένον ἐπιτιθέναι σπόγγον. ἐπὶ δὲ τῶν μυῶν, ὀδυνῶνται γὰρ ἐνίοτε, παρηγορικωτέρου χρεία φαρμάκου. διόπερ οὐ μόνῃ τῇ κονίᾳ χρώμεθα ἐπὶ τούτων, ἀλλὰ μιγνύντες αὐτῇ τὸ καλούμενον ἕψημα μετ᾽ ἐλαίου βραχέος. ἄμεινον δὲ μὴ δ᾽ ὅλως κατ᾽ ἀρχὰς τό τε μιγνύναι τὴν κονίαν, ἀλλὰ τῷ ἑψήματι χρῆσθαι μετὰ οἴνου καὶ ὄξους βραχέος, ἔλαιον ἐπιχέοντα συμμέτρως. ἐπειδὰν δὲ μίξῃς αὐτὰ θερμήνας, συμμέτρως ἐπιτίθει βρέχων ἔριον ἄπλυτον, ὃ καλοῦσιν οἰσυπηρόν. εἰ δὲ μὴ τοῦτο ἔχεις, ἀλλὰ τὴν οἴσυπον ἐκείνου ἐπεμβάλλειν τῷ μιχθέντι διὰ τῶν εἰρημένων. ὅτι δ᾽ ἀμείνων ὁ ἀττικὸς οἴσυπος ἁπάντων ἄλλου, κἂν ἐγὼ μὴ λέγω, γινώσκεις. καὶ τοίνυν καὶ ἡ διὰ αὐτοῦ κηρωτή, τῶν ἅπασι γινωσκομένων ἐστὶ φαρμάκων. καὶ χρῶνταί γε πάμπολλοι κατὰ τῶν ἐν ὑποχονδρίῳ φλεγμονῶν ταύτῃ. καὶ ταύτας οὖν ἐμβάλλων ὅταν οἴσυπος μὴ παρῇ, τὸ δέον ἐργάζῃ. χρὴ γὰρ τοὺς τεθλασμένους μῦς παρηγορῆσαι διὰ φαρμάκου μικτὴν ἔχοντος δύναμιν, ὡς καὶ πέττειν ἅμα καὶ διαφορεῖν καὶ στύφειν μετρίως. ὡς ὅταν γε μηδὲν ἔχῃ στύψεως, αὐξάνει τὰς φλεγμονὰς ἐνίοτε. καὶ μάλιστα ἐπὶ τῶν πληθωρικῶν σωμάτων. μεμνημένος οὖν τῶν εἰρημένων τριῶν σκοπῶν ἐπὶ τῶν ἐμπεφυσημένων διὰ πληγήν τινα μυῶν, εἰ μὲν ὀδύνη μείζων εἴη, τῷ παρηγορικωτέρῳ χρῶ τρόπῳ. μὴ παρούσης δὲ ταύτης, ἀγωνιστικωτέρῳ. καλεῖν δ᾽ οὕτως εἴωθα τοὺς διὰ συντόμων ὁδῶν ἐπὶ τὸ τέλος ἰόντας. αἱ σύντομοι δ᾽ ὁδοί, διὰ τῶν ἰσχυρὰν δύναμιν ἐχόντων γίνονται φαρμάκων. ἰσχυρὰ δὲ δύναμις ἐστί, μάλιστα μὲν ἐν τῇ κονίᾳ τε καὶ τῷ ὄξει, δεύτερον δ᾽ ἐν οἴνῳ. τούτων οὖν πλέον

περὶ ἐμφυσημάτων

μίξεις, ὅταν τοῦ περιηγορεῖσθαι καταφρονήσῃς. αὐτῶν δὲ τούτων πάλιν ἀκριβέστερον χρῆσθαι μὲν βουλόμενος, οἶνον ἐμβάλλοις πλείονα, κάλλιστος δ᾽ εἰς ταῦτα μέλας αὐστηρός. διαφορῆσαι δὲ προαιρούμενος, τὴν κονίαν. ὄξος δ᾽ αὐτῇ μιγνύμενον, εἰς ἄμφω συνεργεῖ. διότι καὶ μικτὴν δύναμιν ἔχειν ἐδείχθη. ἀνωδύνου δὲ γινομένου τοῦ μυός, ἔξεστί σοι μὴ παρούσης τῆς κονίας, ἀντ᾽ αὐτῆς ἐμβάλλειν ἀφρόνιτρον. ἔστω δὲ τοῦτο μὴ λιθῶδες, ἀλλ᾽ ἀφρῶδες μᾶλλον. ἔστι δὲ τὸ μὲν λιθῶδες, σκληρὸν καὶ πυκνόν, καὶ δυσκόλως διαχεόμενον ἐν τῷ μίγνυσθαι τοῖς εἰρημένοις ὑγροῖς. τὸ δὲ ἀφρῶδες, μαλακόν τε καὶ χαῦνον. ἔτι τε λευκότερον τοῦ λιθώδους. τοῦτ᾽ οὖν καὶ λύεται τάχιστα πρὸς τῆς ὑγρότητος. ὀνίνησί τε μάλιστα λεπτομερὲς ὑπάρχον. ὅσα δὲ τῶν τοιούτων ἐμφυσημάτων ἀμεληθέντα χρονίζει, πρῶτον μὲν ἐπ᾽ αὐτῶν, τῷ διὰ τῆς κονίας, ὡς εἴρηται χρήσαιο. δεύτερον δέ, τῶν ἐμπλαστῶν τινι. παράδειγμα δ᾽ ἐρῶ καὶ τῶνδε. γλοιὸν ἀναζέσας διήθησον πρῶτον, ὡς γενέσθαι καθαρόν. εἶτ᾽ αὖθις ἐμβαλὼν τῇ κακάβῃ τίτανον ἄσβεστον λίαν ὡς ἄλευρον, ἕψε μέχρι πηλώδους συστάσεως. ἀγαθὸν δ᾽ ἐπὶ 10 τούτοις ἐστί, καὶ τὸ διὰ τοῦ συκομόρου φάρμακον. ὅσα τ᾽ ἄλλα τοιαῦτα. νυνὶ γὰρ ὡς εἴρηται πολλάκις ἤδη παραδείγματα μόνα γράφω τῶν φαρμάκων, ὧν ἡ καθόλου δύναμις ὑπὸ τῆς θεραπευτικῆς εὑρίσκεται μεθόδου. ὥσπερ δὲ τῶν φαρμάκων τῆς χρήσεως ἐνταυθοῖ παραδείγματα γράφεται, χάριν τοῦ νοῆσαί τε σαφέστερον ὅλην τὴν μέθοδον, εὐπορώτερόν τε γίνεσθαι περὶ τὴν εὕρεσιν τῆς ὕλης, οὕτω καὶ τῶν πεπονθότων μορίων τοῦ σώματος. αὐτίκα γέ τοι πάθος ἐστὶ τὸ καλούμενον ὑπὸ τῶν νεωτέρων, πριαπισμός, ἐπειδὴ τὸ αἰδοῖον ἀκουσίως ἐξαίρεται τῶν οὕτω διακειμένων. ὁ θεασάμενός τις τῶν ἐν τοῖς δὲ τοῖς ὑπομνήμασι προγεγυμνασμένων, ἑτοίμως γνωριεῖ τοῦ τῶν ἐμφυσημάτων ὑπάρχον γένους, ἀναμνησθεὶς τά τε κατὰ τὴν ἀνατομὴν φαινόμενα τοῦ μορίου καὶ τὰ κατὰ τοὺς φυσικοὺς ὑπὲρ τῆς ἐνεργείας αὐτοῦ καὶ τῆς χρείας λόγους, οὐ χαλεπῶς ἐννοήσει τὸ πληρούμενον ἀτμώδους πνεύματος, τὸ σηραγγῶδες νεῦρον, ὃ τὴν ἰδίαν οὐσίαν συνίστησι τοῦ αἰδοίου, τὸ πάθος ἐργάζεσθαι τοῦτο. πνεῦμα δ᾽ ἀτμῶδες ἐν τοῖς τῶν ζώων σώμασιν ἐμάθομεν ἐκ χυμῶν θερμαινομένων ἠρέμα γίγνεσθαι. ἔνθα μὲν γὰρ ἰσχυρόν τ᾽ ἐστὶ τὸ ἔμφυτον θερμόν, ἥ θ᾽ ὑγρότης τοῦ μορίου κατειργασμένη τελέως εἰς ἀτμοὺς λεπτομερεῖς λυομένη κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοὴν εἰς τὸ περιέχον ἀποῤῥεῖ. ἔνθα δ᾽ ἤτοι τὸ σύμφυτον θερμὸν ἀσθενέστερόν ἐστιν, ἢ τὸ κατὰ φύσιν ὑγρόν, ἡμίπεπτόν τε καὶ παχὺ καὶ γλίσχρον, ἐνταῦθα παχύτερος ὁ ἀτμὸς ἢ ὡς διαπνεῖσθαι γεννᾶται. καὶ μάλισθ᾽ ὅταν καὶ τὸ μόριον αὐτὸ πυκνωθῇ ποτέ. πολλάκις δὲ τὸ μὲν ἐν τῷ μορίῳ περιεχόμενον ὑγρόν, ὑπόψυχρόν τ᾽ ἐστί, καὶ παχύ, καὶ γλίσχρον. αὐξηθεῖσα δὲ ἡ θερμότης, εἰς ἀτμοὺς αὐτὸ διαλύει παχεῖς. ὅπερ καὶ μάλιστά σοι σκεπτέον ἐστὶ καὶ διοριστέον ὡς πρὸς τὴν θεραπείαν. ἡ μὲν γὰρ ἀρχὴ κοινὴ τῶν διαθέσεων ἀμφοτέρων προκενῶσαι τὸν ὅλον ὄγκον, ἂν οἷόν τ᾽ ᾖ δέξασθαι κένωσιν. εἴρηται δὲ πολλάκις ὑπὲρ τῆς ἐν τοῖς κενωτικοῖς βοηθήμασι δυνάμεως, ἅπερ ἐστὶ φλεβοτομία καὶ κάθαρσις. ἥ τε διὰ τῶν ὑπηλάτων φαρμάκων, καὶ ἡ διὰ τῶν ἀνωτερικῶν ἢ ἐμετικῶν ὀνομαζομένων. ἔτι τε τρίψις πολλὴ καὶ κίνησις πᾶσα, καὶ λουτρά. καὶ μάλισθ᾽ ὅσα διαφορητικῶν ὑδάτων ἐστί. οὕτω δὲ καὶ τὰ δριμέα φάρμακα χριόμενα διαφορεῖ. καὶ πάνθ᾽ ἁπλῶς ὅσα θερμαίνουσί τε καὶ ξηραίνουσι. κατὰ συμβεβηκὸς δέ τι καὶ ἡ ἀσιτία δέδεικται κενοῦν. καὶ μάλισθ᾽ ὅταν ᾖ τὸ περιέχον θερμόν. ὅπερ ἂν οὖν ἐκ τούτων τῶν βοηθημάτων ὁ κάμνων ἐπιτηδειότατος ᾖ προσίεσθαι, τούτῳ κενωτέον αὐτὸν ἐπιθέντα τῷ μορίῳ φάρμακον. εἰ μὲν θερμότερον εἴη γεγονὸς τῶν ψυχόντων, ἀνάλογον τῇ πλεονεξίᾳ τῆς θερμασίας. εἰ δὲ μή, κατ᾽ ἀρχὰς μὲν πάντως μετρίως ψῦχον, ὕστερον δ᾽ οὐκ ἀναγκαῖον. οὕτω δὲ καὶ τὰ κατὰ τὴν ὀσφὺν ἅπαντα μόρια παραληπτέον ἐστὶ φαρμάκῳ, τὴν αὐτὴν δύναμιν ἔχοντι. καὶ τὴν ἄλλην δίαιταν ἄφυσόν τε καὶ ξηραντικὴν παραληπτέον. γίνεται δέ, οὐ πολλοῖς μὲν τὸ πάθος τοῦτο. νεανίαις γε μὴν μᾶλλον, ἢ κατ᾽ ἄλλην ἡλικίαν. ὥστε καὶ ἡ φλεβοτομία μάλιστα αὐτοὺς ὀνίνησιν, ὡς ἂν καὶ τῆς ἡλικίας οὐκ ἀρνουμένοις αὐτῶν. οἶδα γοῦν ἐγώ τινα τῶν ὑπ᾽ ἐμοῦ θεραπευθέντων, ἐν τρισὶν ἡμέραις εἰς τὸ κατὰ φύσιν ἐπανελθόντα, διά τε φλεβοτομίας, καὶ φαρμάκου τοιοῦδε, κηρωτὴν διὰ ῥοδίνου τοῦ ἁπλοῦ ποιήσας ὑγρὰν οὕτως, ὡς ἐπὶ τῶν καταγμάτων χρώμεθα μεθ᾽ ὕδατος ψυχροῦ. καὶ γὰρ θέρους ἦν ἀρχή, δεύσας τε καὶ ἀναφυράσας, ἐπέθηκα τῷ αἰδοίῳ. καὶ ταῖς ψόαις ὀνομαζομέναις. οὗτος μὲν οὕτως ἐθεραπεύθη. τούτου δ᾽ οὐχ ἧττον ἄλλος ἐπὶ τῇ φλεβοτομίᾳ, τῷ διὰ τοῦ χαμαιμήλου χρησάμενος ὑγρῷ φαρμάκῳ. δίδωμι δ᾽ αὐτοῖς καὶ τῆς νυμφαίας πίνειν τό γε κατ᾽ ἀρχάς. ἐφεξῆς δὲ τῆς ἄγνου τὸ σπέρμα. καὶ εἰ ἐπιχρονίζοι, πηγάνου δαψιλὲς ἐσθίειν. ἔστι γὰρ καὶ τοῦτο τὸ παράγγελμα κοινὸν ἐπὶ πάντων σχεδὸν τῶν διὰ μοχθηροὺς χυμοὺς συστάντων νοσημάτων, ὡς ἐπὶ τῇ τελευτῇ, τοῖς θερμαίνουσι καὶ ξηραίνουσι χρῆσθαι. τελέως γὰρ ἐκκόπτει ταῦτα τὸ καταλειπόμενον τοῦ χυμοῦ. γλῶτταν γε μὴν οὕτως ἐξαρθεῖσαν εἴδομεν, ὡς μὴ χωρεῖσθαι πρὸς τοῦ στόματος τοῦ ἀνθρώπου, μήτε πεφλεβοτομημένου ποτὲ καὶ τὴν ἡλικίαν ἑξηκοντούτου. δεκάτη δέ που σχεδὸν ὥρα τῆς ἡμέρας ἦν, ἡνίκα τὸ πρῶτον εἶδον αὐτόν. καί μοι καθαρτέος ἔδοξεν εἶναι τοῖς συνήθεσι καταποτίοις, ἃ διὰ τῆς ἀλόης καὶ σκαμμωνίας καὶ κολοκυνθίδος συντίθεμεν, εἰς ἑσπέραν δοθέντος τοῦ φαρμάκου. ἐπ᾽ αὐτὸ μέν τοι τὸ πεπονθὸς μέρος, ἐπιθεῖναί τι συνεβούλευσα τῶν ψυχόντων τήν γε πρώτην. ὕστερον γὰρ ἔφην ἁρμοσόμεθα πρὸς τὸ ἀποβαῖνον. ἀλλ᾽ ἐνί γε τινὶ τῶν ἰατρῶν οὐκ ἐδόκει. καὶ διὰ τοῦτο τῶν μὲν καταποτίων ἔλαβεν. ἀνεβλήθη δ᾽ ἡ περὶ τοῦ τοπικοῦ φαρμάκου σκέψις εἰς τὴν ὑστεραίαν, ἡνίκα καὶ μᾶλλον ἀνύσειν τι τὸ δοκιμασθὲν ἤλπιζον. προκεκενωμένου δὲ τοῦ παντὸς σώματος, ἀντισπάσεώς τε πρὸς τὰ κάτω γεγενημένης. ἀλλὰ διά γε τῆς νυκτὸς ἐναργέστατα ὄναρ αὐτῷ γενόμενον ἐπῄνεσέ τε τὴν ἐμὴν συμβουλήν, ἐδίδαξέ τε τοῦ φαρμάκου τὴν ὕλην, θριδακίνης χυλῷ διακλύζεσθαι κελεῦσαν. ᾧ δὴ καὶ μόνῳ χρησάμενος ὁ ἄνθρωπος ὤνητο τελέως, ὡς μηκέτ᾽ ἄλλου δεηθῆναι. τό γε μὴν ἐπὶ τοῦ πριαπισμοῦ μᾶλλον ἐμετικοῖς φαρμάκοις χρῆσθαι τῶν ὑπηλάτων. ἐπὶ δὲ τῆς γλώττης ἔμπαλιν, εὔδηλον ὡς ἐκ τῆς τοῦ μορίου θέσεως ἔχει τὴν ἔνδειξιν. ἡ γὰρ ὑφ᾽ Ἱπποκράτους ἀντίσπασις ὀνομαζομένη, τὴν εὕρεσιν, οὐκ ἀπὸ τῆς οὐσίας, ἀλλ᾽ ἀπὸ τῆς θέσεως τοῦ θεραπευομένου λαμβάνει μορίου. Καιρὸς οὖν ἤδη μεταβαίνειν ἐφ᾽ ἕτερον ὄγκου γένος, ἐκ τοῦ

ἀπὸ τοῦ πράγματος ἀρξαμένους μᾶλλον, ἢ τῆς προσηγορίας. αὕτη γὰρ ἀναμφισβήτητός τέ ἐστι, καὶ ὄντως ἐπιστημονικὴ διδασκαλία. τὸ μὲν οὖν ὑπάρχειν τινὰ χυμὸν ἅπασι τοῖς τοιούτοις ὄγκοις, ἐν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων ἀποδέδεικται γράμματι. τὸ δὲ μὴ τὸν αὐτὸν ἐν ἅπασιν εἶναι, διὰ τῆς αἰσθήσεως ἐναργῶς φαίνεται. διαφερόντων γε τῶν ὄγκων, οὐ τῇ χρόᾳ μόνον, ἀλλὰ καὶ ταῖς κατὰ θερμότητα, καὶ ψυχρότητα, καὶ σκληρότητα, καὶ μαλακότητα διαφοραῖς. ὁ μὲν οὖν ἐρυθρὸς ὄγκος, ἐναργῶς ἐνδείκνυται τὸν χυμὸν ὑπάρχειν αἷμα. καθάπερ γε καὶ ὁ ξανθὸς καὶ ὠχρὸς τὴν τοιαύτην χολήν. ὁ δ' ὑπόλευκός τε καὶ χαῦνος, τὸ φλέγμα. γίνονται δέ τινες ὄγκοι παρὰ τούσδε. τῇ μὲν χρόᾳ μεταξὺ τῶν ἐρυθρῶν τε καὶ μελάνων, οἷόν περ τὸ φαιόν ἐστι χρῶμα. καλοῦσι δ' αὐτὸ πολλάκις ἐν τοῖς τοῦ σώματος μέρεσι γινόμενον οἱ πλεῖστοι τῶν ἰατρῶν, πελιδνόν. ἡ δ' ἀντιτυπία, καὶ τούτοις τοῖς ὄγκοις ἱκανή. καὶ εἰ φλέβας ἀξιολόγους ἔχοι τὸ μόριον, ἐξαιρομένας ἰδεῖν ἐστιν αὐτὰς ὑπὸ πάχους τε καὶ μελαντέρου τοῦ αἵματος. οἷόν περ ἐνίοτε καὶ κατὰ γαστέρα πολλοῖς τῶν ἡπατικῶν ἐκκρίνεται. καί τινες τῶν ἰατρῶν οὐ κακῶς μοι δοκοῦσιν εἰκάζειν αὐτὸ τῇ τοῖς οἴνοις ὑφιζανούσῃ τρυγί. ἐπὶ πλέον δ' οὖν ὁ χυμὸς οὗτος ἐκθερμανθείς, ἤτοι διὰ σῆψιν ἢ πυρετὸν φλεγμονώδη, τὴν μέλαιναν ἐργάζεται χολήν, ἧς οὔτε ζῷόν τι γεύεται μέχρι καὶ τῶν μυῶν, ἥτε γῆ ζέεται πρὸς αὐτῆς. ἕκαστόν τε τῶν ἐκχυθέντων μερῶν εἰς ὕψος αἴρεται. καὶ καλεῖται τὸ γιγνόμενον ὥσπερ καὶ Πλάτων ἔφη, ζέσις τε καὶ ζύμωσις. ἔστι γὰρ ὁ τοιοῦτος χυμὸς οἷόν περ τὸ ὄξος ἐνδειξάμενον ὑπάρχειν, ὑφ' οὗ καὶ αὐτοῦ κατὰ γῆς ἐκχυθέντος, ταὐτὸ γίνεται σύμπτωμα. διὸ καὶ καλοῦσιν οἱ παλαιοὶ τὸν χυμὸν τὸν τοιοῦτον ὀξύν, καθάπερ τὸν τῆς ὠχρᾶς χολῆς, πικρόν. οὐχ ἥκιστα δὲ καὶ κατὰ τοὺς ἐμέτους φαίνεται τοιοῦτος. ὥσπερ δ' ὀλίγον ἔμπροσθεν ἔλεγον, ἓν μέν τοι πάθος ἀκριβῆ σκίρρον ὑπάρχειν, ᾧ πρὸς τοῖς ἄλλοις ἀναισθησία σύνεστι. τοὺς δ' ἄλλους ὄγκους ὅσοι μηδέ πω παντάπασιν εἰσὶν ἀναίσθητοι, διχῶς ὀνομάζεσθαι πρὸς τῶν ἰατρῶν ἤτοι σκίρρους, ἐπειδὴ τοῦ γένους εἰσὶ τῶν σκίρρων, ἢ σκιρρώδεις ὄγκους, οὕτω κἀπὶ τῶν χυμῶν. ἡ μὲν ἀναμφισβητήτως μέλαινα χολή, τοιαύτη τίς ἐστιν, οἵαν ἄρτι διῆλθον, ὀξεῖα καὶ ζυμοῦσα τὴν γῆν, ἀηδής τε πᾶσι τοῖς ζῴοις. ἡ δ' ἐπιτηδεία γενέσθαι τοιαύτη, καλεῖται διχῶς ἤτοι μελαγχολικὸς χυμός, ἢ μέλαινα χολή. τῶν οὕτως ὀνομαζόντων αὐτήν, ἐρούντων ἂν ἑτέραν μὲν εἶναι μέλαιναν ἐν τῷ κατὰ φύσιν ἔχειν τῷ ζῴῳ ἑκάστης ἡμέρας γινομένην, ἑτέραν δὲ τὴν ἐκ συγκαύσεως καὶ οἷον κατοπτήσεως ἀποτελουμένην. ὅπερ δ' ἀεὶ παρακελεύομαι καταφρονεῖν μὲν ὀνομάτων, ἐπιστήμην δ' ἀσκεῖν ἀκριβῆ τῆς τῶν πραγμάτων φύσεως, οὕτω καὶ νῦν ποιητέον. ὀνομάζοντας μὲν ὡς ἂν ἐθέλῃ. λόγῳ δ' ἑρμηνεύοντας, ὡς γίνονταί τινες ὄγκοι παρὰ φύσιν ὑπὸ τοῦ τοιούτου χυμοῦ τὴν φύσιν, οἷά περ ἐστὶν ἐν οἴνῳ μὲν ἡ τρύξ, ἐν ἐλαίῳ δ' ἀμόργη. καὶ ὡς οὗτοι τῷ χρόνῳ προϊόντι σηπομένου τοῦ χυμοῦ διὰ τὴν ἐν τοῖς ἀγγείοις σφήνωσιν ἑλκοῦνται. ὥσπερ οὖν τἆλλα πάθη πάντα παμπόλλην ἔχει διαφορὰν κατὰ τὸ μέρος ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, οὕτω καὶ τοῦτο. τῆς γάρ τοι φλεγμονῆς ἡ μέν, ἐξέρυθρός ἐστιν, ἡ δ' ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν ἐρυθροτέρα. τὸ δ' οὖν εἶδος ἢ γένος, ἢ ὅπως ἂν ἐθέλοις ὀνομάζειν, ἀμφοτέραις ταὐτόν. ἐρυθρότεραί τε γάρ εἰσι τοῦ κατὰ φύσιν. ὀδύνη τε πάντως αὐταῖς σύνεστι, παμπόλλην ἔχουσα καὶ ἥδε διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. οὕτω δὲ καὶ ἡ ἀντιτυπία καὶ ἡ τάσις τοῦ δέρματος, οὐκ ἴση πάσαις, ἀλλὰ κοινόν γε ἐπ' αὐτῶν ἀντιτυπώτερον εἶναι τὸ μέρος, ἢ πρόσθεν ἦν, ὅτ' εἶχε κατὰ φύσιν, ἐξήρθη τε εἰς ὄγκον τινὰ συνεκτεινομένου τε καὶ παρατεινομένου τοῦ δέρματος εἰς ὅσον ἂν ὁ ὄγκος αἴρηται. οὕτως οὖν καὶ τὸ νῦν ἡμῖν ἑρμηνευόμενον πάθος, ἐνίοτε μὲν ἀμυδρὰ καὶ σμικρὰ τὰ συμπτώματα, καὶ λαθεῖν πως δυνάμενα τοὺς πολλούς, ἐπιφέρει. πολλάκις δ' οὕτως ἰσχυρὰ καὶ μεγάλα καὶ σαφῆ πᾶσιν, ὡς μηδὲ παῖδα λαθεῖν. ἀλλὰ τό γε κοινὸν ἐν ἅπασι τοῖς κατὰ μέρος ἐφ' ἑαυτὸ καλοῦν τὴν νόησιν, ἕν γε νόσημα τὸ τοιοῦτον ἐνδείκνυται, καὶ προσηγορίαν μίαν ἐπ' αὐτῷ ἀναγκάζει τίθεσθαι. μεγάλων μὲν οὖν ἁπάντων ὄντων, οὐδεὶς ἀμφισβητεῖ τῆς προσηγορίας, ἀλλ' ὀνομάζουσι συμφώνως τὸ τοιοῦτον πάθημα καρκίνον. ἀρχόμενον δ' ἔτι λανθάνειν, εἰκός ἐστι τοὺς πολλούς ὥσπερ ἀμέλει καὶ τὰ τῆς γῆς ἀνίσχοντα φυτά. καὶ γὰρ καὶ ταῦτα μόνοις τοῖς ἀγαθοῖς γεωργοῖς διαγινώσκεται. τίς οὖν ἥτε κοινὴ καὶ ἰδία τῆς θεραπείας ἔνδειξις ἐπὶ καρκίνου, καιρὸς ἤδη λέγειν. ἡ μὲν κοινή, κενῶσαι μὲν ἐν τῷ παραχρῆμα τὸν γεννῶντα τὸ πάθος χυμόν, ὁμοίῳ γένει κενώσεως τῇ τῶν ἄλλων ὄγκων ἔμπροσθεν εἰρημένῃ. κωλῦσαι δὲ τοῦ λοιποῦ μάλιστα μὲν οἷόν τε μηδ' ἀθροίζεσθαι κατὰ τὰς φλέβας τοιοῦτον χυμόν. εἰ δὲ μή, ἀλλὰ κενοῦντι πάντως αὐτὸν ἐκ διαλειμμάτων ἅμα καὶ τῷ ῥωννύειν τὸ μόριον ἵνα μηδὲν φέρηται πρὸς αὐτὸ τῆς τῶν χυμῶν περιουσίας. ὥσπερ οὖν τὸν πικρόχολον χυμὸν ἐκκενοῦμεν καθαίροντι φαρμάκῳ τοιοῦτον ἕλκειν ἐπιτηδείῳ χυμόν, οὕτω καὶ τὸν μελαγχολικὸν ἐκκενώσομεν. ἢ διὰ τῶν ἁπλῶν τινὸς οἷόν ἐστι τὸ ἐπίθυμον, οὗ πλῆθος δραχμῶν τεττάρων ἐν ὀρρῷ γάλακτος, ἢ μελικράτῳ δίδομεν, ἢ τινὸς τῶν συνθέτων οἷόν περ ἐστὶ καὶ τὸ ἡμέτερον συγκείμενον ἐκ δυοῖν καὶ τριάκοντα ἁπλῶν φαρμάκων. ἀλλὰ τὴν μὲν τούτων ὕλην, ἐν ἑτέροις ἔχεις γεγραμμένην. ἐνταῦθα δέ, τὰ τῆς μεθόδου λεγέσθω. μετὰ γὰρ δὴ τὴν κάθαρσιν ἐπὶ πάντων τούτων ἐρρέθη πρόσθεν, ὡς ἤτοι γ' ὀπίσω χρὴ διώσασθαι τὸν κατασκήψαντα χυμὸν εἴς τι μόριον, ἢ διαφορῆσαι. καὶ ὡς κατ' ἀρχὰς μὲν ἔν τε τῷ τῆς καθάρσεως καιρῷ, καὶ πρὸ αὐτῆς ἀπωθεῖσθαι, διαφορεῖν δὲ προκαθάραντα ἀκριβῶς ὅλον τὸ σῶμα. μετρίας μὲν δή γε τῆς καθάρσεως γινομένης, μικτὸν εἶναι χρὴ τὸ προσφερόμενον φάρμακον, ἐκ διαφορούσης τε καὶ ἀποκρουομένης δυνάμεως. ἑκάτεραι δ' εἰσὶν ἄπρακτοι περὶ τὸν παχὺν χυμόν, αἱ μὲν γὰρ ἀσθενεῖς αὐτῷ, τῷ μηδὲν ἐργάζεσθαι μέγα. αἱ δ' ἰσχυραί, τῷ σφοδρῶς μὲν ἤτοι διαφορεῖν, ἢ ἀπωθεῖσθαι τὸ λεπτότερον ἐν τῷ κατὰ τὰς φλέβας αἵματι. τὸ δὲ παχὺ καὶ μελαγχολικόν, ὃ τῇ τρυγὶ προσεικάζομεν, οὔτ' ἐκκενοῦν, οὔτ' ἀποκρούεσθαι. τούτοις οὖν χρωμένῳ κατ' ἀρχὰς μὲν ἧττον ὁ ὄγκος ἐπίδηλος ἔσται. τὸ λείψανον δ' αὐτοῦ δύσλυτον ἀπεργασθήσεται. διὸ τῶν συμμέτρων ταῖς δυνάμεσι φαρμάκων ἐστὶ χρεία. μήτε νικωμένων διὰ τὴν ἀσθένειαν, μήτε παχυνόντων ἰσχυρῶς τὸ αἷμα, διὰ τὸ σφοδρὸν τῆς ἐνεργείας, ἔτι δὲ πρὸς τούτοις ἀδήκτων παντάπασιν. ἡ γὰρ κακοήθεια τοῦ πάθους, ὑπὸ τῶν δακνόντων παροξύνεται, καὶ ὥσπερ εἰώθασι λέγειν, ἀγριοῦται. διὰ τοῦτ' οὖν ὅσα σύμμετρα μέν ἐστι, ταῖς δυνά-

μέσιν. ἀδήκτοις δὲ ταῖς ποιότησιν, ἁρμόττει τοῖς τοιούτοις πάθεσιν. εὐπορία δὲ τῆς ὕλης αὐτῶν, ὡς ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἐδείχθη, διὰ τῶν κεκαυμένων καὶ πεπλυμένων μεταλλικῶν ἐστι. τὰ μὲν γὰρ διὰ τούτων συγκείμενα φάρμακα, μεγάλως τοὺς ἀρχομένους καρκίνους ἅμα ταῖς καθάρσεσιν ἰᾶσθαι δύναται. τοὺς μείζονας δ' ἱκανὸν αὐτοῖς ἐστι κωλύειν αὐξηθῆναι. τούς γε μὴν ἰαθέντας, ὅπως μηκέτι γεννηθῶσι προφυλάξασθαι, τῆς ὑγιεινῆς ἐστι πραγματείας ἔργον, ἧς μόριόν ἐστι καὶ ἡ περὶ τῶν ἐδεσμάτων. εἴ γε μὴν ἐγχειρήσεις ποτὲ διὰ χειρουργίας ἰᾶσθαι καρκίνον, ἄρξαι μὲν κἀνταῦθα ἀπὸ καθάρσεως τοῦ μελαγχολικοῦ χυμοῦ. περικόψας δὲ πᾶν ἀκριβῶς τὸ πεπονθὸς ὡς μηδὲ μίαν ἀπολείπεσθαι ῥίζαν, ἔασον ἐκχυθῆναι τὸ αἷμα, καὶ μὴ ταχέως ἐπίσχῃς, ἀλλὰ καὶ θλῖβε τὰς πέριξ φλέβας ἐκπιέζων αὐτῶν τὸ παχὺ τοῦ αἵματος. εἶτα θεράπευε τοῖς ἄλλοις ἕλκεσι παραπλησίως. ἔστι γε μὴν καὶ ἄλλο πάθος ὑπὸ χυμοῦ παχέος τε καὶ ζέοντος γινόμενον. ἄρχεται δὲ τὰ πολλὰ μὲν ἀπὸ φλυκταίνης. ἐνίοτε δὲ καὶ χωρὶς ταύτης. ἀλλὰ κνᾶταί γε πάντως ἐν ἀρχῇ τὸ μόριον. εἶτ' ἀνίσταται φλυκταινάτις, ἧς ῥηγνυμένης, ἕλκος ἐσχαρῶδες γίνεται. πολλάκις δ' οὐ μία φλύκταινα γεννᾶται κνησαμένων, ἀλλὰ πολλαὶ μικραί, καθάπερ τινὲς κέγχροι, καταπυκνοῦσαι τὸ μέρος. ὧν ἐκρηγνυμένων ὁμοίως, ἐσχαρῶδες ἕλκος γεννᾶται. κατὰ δὲ τοὺς ἐπιδημήσαντας ἄνθρακας ἐν Ἀσίᾳ, καὶ χωρὶς φλυκταινῶν ἐνίοις εὐθέως ἀπεδέρη τὸ δέρμα. ἅπασιν οὖν, ὡς ἔφην, ἕλκος ἐσχαρῶδες γίνεται. ποτὲ μὲν τεφρώδεις ἐσχάρας. ποτὲ δὲ μελαίνας. ἥ τε πέριξ ἅπασα αὐτοῖς σὰρξ εἰς ἐσχάτην ἀφικνεῖται φλόγωσιν. οὐ μὴν τῇ χρόᾳ γ' ἔοικεν ἐρυσιπέλασι, ἀλλ' ἔτι καὶ τῆς φλεγμονῆς ἐπ' αὐτῷ γίνεται τὸ χρῶμα μελάντερον. ὡς εἰ καὶ μίξαις ἐρυθρῷ πλέονι τοῦ μέλανος ἔλαττον. ὅτι δὲ πυρέττουσιν οἱ οὕτως ἔχοντες ἐξ ἀνάγκης, οὐδὲν ἧττον, ἀλλ' ἔτι καὶ μᾶλλον ἐκείνων οἷς ἐρυσιπελατώδης ἐστὶν ἡ φλεγμονή, πρόδηλον παντί. καὶ μὲν δὴ καὶ ὡς ἀπὸ φλεβοτομίας ἀρκτέον ἐστὶ τῆς ἰάσεως, εὔδηλον εἶναι νομίζω τοῖς μεμνημένοις ὅσα περὶ φλεβοτομίας εἴρηται κατὰ τὴν τῶν πυρετῶν θεραπείαν. οὐκ ἄδηλον δ' οὐδ' ὅτι μέχρι λειποθυμίας ἐπ' αὐτῶν ἡ κένωσις γινομένη, μειζόνως ὠφελήσειε, πλὴν εἰ μὴ τῶν ἄλλων τι παρείη τῶν κωλυόντων φλεβοτομεῖν. ἕνεκα δὲ τοῦ πεπονθότος μέρους ὅσον μὲν ἕνεκα τῆς φλογώσεως τῶν χυμῶν, τῶν ψυχόντων ἐστὶ χρεία. διὰ δὲ τὸ πάχος τοῦ χυμοῦ, καὶ μέντοι καὶ τὴν κακοήθειαν, οὔτ' ἀποτρέψεις ποτὲ τὸ ῥεῦμα. καὶ εἰ τοῦτο ποτὲ τύχοις, ἕτερόν τι ἐν τῷ βάθει βλάψεις. οὐ μὴν οὐδ' ἐπιρρεῖν αὐτῷ συγχωρητέον ἐστίν, ἀλλ' εὑρίσκειν φάρμακα μετὰ τοῦ μετρίως ἀποκρούεσθαι καὶ διαφορεῖν δυνάμενα. τοιοῦτον δ' ἐστὶ τό, τε δι' ἀρνογλώσσου κατάπλασμα, καὶ τὸ δι' ἑφθῆς φακῆς ἄρτου κλιβανίτου, μιγνυόντων ἡμῶν αὐτοῖς ὅσον ἁπαλόν. ἔστω δὲ μὴ πάνυ τι καθαρός, ὥσπερ οὐδὲ ῥυπαρός γε ἄγαν. ὁ μὲν γὰρ ἀκριβῶς καθαρός, ἐμπλαστικωτέρας οὐσίας ἐστίν. ὁ δὲ πιτυρίας, ἀδρομερεστέρας. κατ' αὐτοῦ δὲ τοῦ ἕλκους ἐπιτιθεμένους τινὸς τῶν ἰσχυρῶν φαρμάκων, οἷόν ἐστι τὸ Ἀνδρώνος, ἢ Πασίωνος, ἢ Πολυείδου, λύοντα μετά τινος τῶν γλυκέων οἴνων αὐτά, μέχρι γλοιώδους συστάσεως. κάλλιστοι δὲ οἴνων εἰς τοῦτο, Θηραῖός τε καὶ Σκυβελίτης ἐστίν. ὧν μὴ παρόντων, σιραίῳ χρηστέον, ὃ καλεῖται παρ' ἡμῖν, ἕψημα. τὰ δὲ τοῖς ἄλλοις ἕλκεσι προσφερόμενα φάρμακα, πέττοντά τε καὶ διαπυΐσκοντα, ταῦτα οὐ χρὴ νῦν προσφέρειν. αὐξήσεις γὰρ τὴν σηπεδόνα τοῦ μορίου. καὶ μὴν καὶ ἀποσχάζειν τοὺς τοιούτους ὄγκους, ὅταν γε προφλεβοτομήσῃς οὐκ ἀνεπιτήδειον. ἔστωσαν δὲ βαθύτεραι τῶν συμμέτρων αἱ ἀμυχαί, διὰ τὸ πάχος τοῦ λυποῦντος χυμοῦ. παυσαμένης δὲ τῆς φλογώσεως, ὁμοίως τοῖς ἄλλοις ἕλκεσιν εἰς οὐλὴν ἄξεις τὸ ἕλκος.

ἀρκεῖν ἡγοῦμαι καὶ περὶ τῶν ἀνθράκων εἰρῆσθαι τοσαῦτα. τῶν δ' ἄλλων ὄγκων ἐφεξῆς μνημονεύσω. καὶ πρῶτόν γε τῶν καλουμένων χοιράδων. γίνονται δ' αὗται, σκιρρουμένων ἀδένων. καὶ ἡ θεραπεία γ' αὐτῶν, ὅσον μὲν ἕνεκα τοῦ πάθους, κοινὴ τοῖς ἐν ἄλλῳ τινὶ μέρει γινομένοις σκίρροις. ὅσον δ' ἕνεκα τῇ φύσει τοῦ μορίου κατά τινας ἀδένας, ἑτέρους προσλαμβάνει σκοποὺς διττούς. ἄμεινον δ' ἴσως κἀνταῦθα διαστείλασθαί τι περὶ τῶν ὀνομάτων, ἕνεκα σαφοῦς διδασκαλίας. ὅσοι μὲν γὰρ ἀδένες ἀγγείων σχιζομένων ἀναπληροῦσι τὸ ἐν μέσῳ στήριγμα γινόμενοι τῆς σχίσεως αὐτῶν, οὐ μεγάλη τούτων ἡ χρεία τοῖς ζώοις ἐστίν, ἀλλ' ἐκ περιττῆς μὲν προνοίας, ὥσπερ ἄλλ' ἄττα, τοὺς τοιούτους ἀδένας ἡ φύσις ἐδημιούργησε. τῶν δ' ἤτοι σίελον ἢ γάλα παρασκευαζόντων, ἢ σπέρμα, καὶ μέντοι καὶ ὅσοι φλεγματώδη τινὰ γεννῶσιν ὑγρότητα, κατὰ μεσεντέριον ἢ φάρυγγα καὶ λάρυγγα μείζων ἡ χρεία. καί τινες οὐδὲ ἀδένας ὀνομάζουσι τοὺς τοιούτους, ἀλλ' ἀδενώδη σώματα, πολὺ τῶν ἄλλων ἀδένων ἀραιότερά τε καὶ σπογγοειδέστερα τὴν οὐσίαν ὄντα. καὶ μέντοι καὶ καθήκουσιν εἰς τοὺς τοιούτους ἀδένας, ἀρτηρίαι τε καὶ φλέβες αἰσθηταί. σκιρρωθέντας τε θεραπευτέον αὐτοὺς ὡσαύτως τοῖς ἄλλοις ἅπασι μορίοις. ὅσοι δ' ἐν ταῖς μεταξὺ χώραις τῶν ἀγγείων εἰσίν, ἕτερος ἐν τούτοις προσέρχεται σκοπὸς τῆς ἰάσεως. ἐν ᾧ συναιρεῖται τῷ πάθει τὸ μέρος. ἔστι δὲ καὶ αὐτὸς οὗτος, διττός. ἤτοι γ' ἐκκοπτόντων ἡμῶν σμίλῃ τὸ πεπονθὸς ὅλον, ὡς ἐπὶ τῶν καρκίνων. ἢ σηπόντων φαρμάκοις. ἥτις δ' ἐστὶν ἡ τῶν τοιούτων φαρμάκων ὕλη, κατὰ τὰς περὶ τῶν φαρμάκων πραγματείας ἔχεις.

Ἐμοὶ δ' ἤδη καιρὸς ὑπὲρ τῶν ἄλλων ὄγκων εἰπεῖν, ὧν πρῶτός ἐστι τὸ καλούμενον ἀπόστημα. διττὸν δὲ καὶ τοῦτο τὸ γένος. ἓν μὲν ὅταν ἐκπυησάσης φλεγμονῆς ἀθροισθῇ τὸ πῦον, οἷον ἐν κόλπῳ τινί. τὸ δ' ἕτερον ἄνευ φλεγμονῆς προηγησαμένης ὑγροῦ τινος εὐθὺς ἐξ ἀρχῆς, ἄλλοτε μὲν ἄλλου κατ' εἶδος. ἀλλὰ πάντως γε μὴν δριμέος ἀθροιζομένου κατά τι μόριον. ὑποδέρει δὲ τὰ περικείμενα σώματα. χώραν δὲ αὑτῷ παρασκευάζων ἤτοι μεταξὺ δυοῖν χιτώνων, ἢ ὑπό τισιν ὑμέσιν. ὑποδέρει δὲ πάντως μὲν τῷ πλήθει διατείνων. ἔστι δ' ὅτε ἐν τῷ χρόνῳ δριμύτητά τινα σηπεδονώδη προσλαμβάνων. εὑρίσκονται δὲ διαιρουμένων σμίλῃ τῶν τοιούτων ἀποστημάτων ἰδιότητες, οὐχ ὑγρῶν μόνων, ἀλλὰ καὶ στερεῶν τινων σωμάτων οὐκ ὀλίγαι. καὶ γὰρ ὀνύχων καὶ ὀστῶν καὶ ὀστράκων καὶ λίθων καὶ πώρων θραύσμασιν εὑρέθη τινὰ σώματα παραπλήσια. καὶ μέντοι καὶ τῶν ὑγρῶν αὐτῶν, τὸ μὲν οἷον βόρβορος. ἢ πηλὸς ἢ ἐλαίου τις ἰλύς, ἢ οἴνου τρύξ. τὸ δ' οὕτω δυσῶδες, ὡς δυσχεραίνειν ἅπαντας. ἀλλὰ ταῦτα μέν ἐστι σπανιώτερα. συνηθέστατα δὲ γιγνόμενα τοῦ γένους τοῦδε τῶν νοσημάτων εἴδη ἐστὶ τρία, προσηγορίας ἕκαστον αὐτῶν ἰδίας τετυχηκός, ἀθέρωμα καὶ μελικηρὶς καὶ στεάτωμα ἀπὸ τῆς ὁμοιότητος τῶν περιεχομένων οὐσι-

ῶν κατὰ

ὧν περὶ τοὺς ὄγκους. ἔστι γὰρ αὐτῶν ἡ μέν τις οἷον πὼρ τὸ στέαρ. ἡ δὲ οἷον μέλι. καί τις ἀθέρα παραπλήσιος.
οἱ σκοποὶ δὲ τῆς θεραπείας κοινοὶ διαφορῆσαι τὸ περιεχόμενον, ἢ σῆψαι πᾶν, ἢ ἐκτεμεῖν. ἔνιοι μὲν οὖν ὄγ-
κοι τοῖς τρισὶν ὑποπίπτουσι σκοποῖς, ὅσοι λεπτότερον ὑγρὸν ἔχουσιν ὡς ἡ μελικηρίς. ἔνιοι δὲ τοῖς δύο μόνοις,
ὥσπερ τὸ ἀθέρωμα. καὶ γὰρ ἐκτέμνειν, καὶ σῆψαι οἷόν τε τοῦτο. τὸ δὲ στεάτωμα διὰ χειρουργίας μόνης θεραπεύε-
ται, μήτε σαπῆναι μήτε διαφορηθῆναι δυνάμενον. ἐπὶ δὲ τῶν ἐν βάθει συνισταμένων ἀποστημάτων, καὶ μάλι-
στα περὶ τὰ σπλάγχνα, τὰ διὰ τῶν ἀρωμάτων φάρμακα λυσιτελέστατά ἐστιν, ὧν ἡ δύναμις, εἰς ἀτμούς τε λῦ-
σαι καὶ διαφορῆσαι τὸ συνιστάμενον ὑγρόν. ἔστι δὲ καὶ ἄλλα πολλὰ μὲν τοιαῦτα. μάλιστα δὲ αὐτῶν εὐδόκιμα,
τό, τε διὰ τῶν ἐχιδνῶν, ὅπερ ὀνομάζουσι θηριακὴν ἀντίδοτον ἥ τε ἀθανασία καλουμένη, καὶ ἀμβροσία. ταῦτα
μὲν οὖν πολυτελῆ. τῶν δ᾽ εὐτελῶν, ἄριστόν ἐστι τὸ ἡμέτερον, ὃ διὰ τῆς κρητικῆς καλαμίνθης σκευάζομεν. ἅπαν-
τα δὲ τὰ τοιαῦτα κατὰ τὴν περὶ τῶν φαρμάκων πραγματείαν ἀθροιζόμενα ἢ ὀλίγον ἔμπροσθεν ἔφην, ἐπὶ ταῖς
τρισὶ ταῖς ἔμπροσθεν, ἄμεινον εἶναι νομίζω προσθεῖναι, χάριν τοῦ λείπεσθαι μηδέν. ἐπεὶ δὲ τῶν κατὰ τὴν χειρουρ-
γίαν πραττομένων οἱ σκοποὶ τὸ μέν τοι κοινὸν ἔχουσι, τὸ δ᾽ ἴδιον, ἄμεινον εἶναί μοι δοκεῖ, μὴ διασπᾶν αὐτούς,
ἀλλ᾽ ἀθρόως ἅπαντας ἐν τοῖς τελευταίοις τῆς δὲ τῆς πραγματείας εἰπεῖν. νυνὶ δὲ τοσοῦτον ἔτι περὶ τῶν παρὰ
φύσιν ὄγκων ῥητέον ἐστίν, ὡς ὅσοι μὲν αὐτῶν ὅλῳ τῷ γένει παρὰ φύσιν εἰσί, ἐνδείκνυνται τὴν ἄρσιν ὑπαγόμενοι
κοινοτέρῳ σκοπῷ τῷ κατὰ πάντων ἐκτεταμένῳ τῶν τοιούτων ὅσα ταῖς οὐσίαις ὅλαις ἐξέστηκε τοῦ κατὰ φύσιν,
ὥσπερ ἐπὶ τῶν στεατωμάτων καὶ ἀθερωμάτων ἔχει. τούτου δὲ γένους ἐστί, καὶ ἡ καλουμένη μυρμηκία. καὶ ἡ ἀκρο-
χορδών. ὅ, τ᾽ ἐν τῇ κύστει λίθος, ὑπόχυμά τε, καὶ ἡ τῆς μύλης κύησις ἐπὶ γυναικῶν. ὀνομάζουσι δ᾽ οὕτω τὴν
ἀδιάπλαστον σάρκα. πάντα γὰρ τὰ τοιαῦτα τελέως ἐκκόψαι σπεύδομεν. ὧν καὶ ὁ πεπονθὼς τόπος, ἔν τι
κατὰ φύσιν ἐστὶ μορίων. ὁ μὲν πρῶτος σκοπὸς ἰᾶσθαι τὸ πάθος. ὁ δ᾽ ἐπ᾽ αὐτῷ δεύτερος, ὅταν ἀνίατον ἢ συνεκ-
κόψαι τῷ πάθει τὸ μέρος, ὡς ἐπὶ καρκίνου τε καὶ τῶν ἀθεραπεύτων ἁπάντων ἑλκῶν. ἔμπαλιν δ᾽ ὡς ἐπὶ τῶν ὑπο-
χυμάτων, ἀποπίπτοντες τοῦ πρώτου σκοποῦ. πρὸς ἕτερον ἄγομεν αὐτὰ τόπον ἀκυρώτερον. ἔνιοι δὲ καὶ ταῦτα
κενοῦν ἐπεχείρησαν, ὡς ἐν τοῖς χειρουργουμένοις ἐρῶ. νυνὶ δ᾽ ἀρκέσει τοσοῦτον εἰπεῖν, ὡς τὸ κατὰ τὰς ὑδροκήλας
ὑγρὸν ἀλλότριόν ἐστι τῆς τοῦ σώματος οὐσίας ὅλῃ τῇ φύσει. καὶ τὸ κατὰ τοὺς ἀσκίτας ὑδέρους ὕδωρ. ὧν ἡ κένω-
σις, ἤτοι διὰ φαρμάκων γίγνεται διαφορητικῶν, ἢ διὰ χειρουργίας. ἐπὶ μὲν τῆς ὑδροκήλης, διὰ καθέσεως σί-
φωνος. ἐπὶ δὲ τῶν ὑδέρων, διὰ παρακεντήσεως. συνεκτέμνεται δὲ τῷ πάθει τὸ πεπονθὸς μόριον, ὥσπερ ἐπὶ τῶν
ἔμπροσθεν εἰρημένων, οὕτω κἀπὶ τῶν κηλῶν τοῦ περιτοναίου τι μέρος. ὡσαύτως δὲ καὶ ὁ γαργαρεών, ἐνίοτε τῷ
πάθει συνεκτέμνεται. κατά τε τὰ σκέλη καὶ τοὺς ὄρχεις, αἱ φλέβες τοῖς κιρσοῖς. ὅ, τ᾽ ἐν τῇ ῥινὶ χιτών, τῷ πο-
λύπῳ, καὶ ὁ τετρημένος ὀδούς, τῷ τρήματι. ἀλλὰ τούτων μὲν οὐδὲν δυνατόν ἐστιν εἰς τὸ κατὰ φύσιν ἀγαγεῖν.
ἐπὶ δὲ τοῦ γαργαρεῶνος, ἐργάζεσθαι χρὴ τοὺς παντὶ τρόπῳ καὶ μὴ σπεύδειν ἐκτέμνειν. ὅταν δὲ ἰσχνὸς καὶ ἱμαν-
τώδης γένηταί ποτε, τηνικαῦτα ἀφαιρεῖν. τοιοῦτον μὲν οὖν αὐτὸν ἐργάζεται χρόνος μακρότερος. οἷον δ᾽
Ἱπποκράτης ἔγραψε κατὰ τὸ προγνωστικόν, ὀλίγων ἡμερῶν ἀριθμός. οὕτω δὲ καὶ τἄλλα τὰ κατὰ μέγεθος ἐξιστά-
μενα τοῦ κατὰ φύσιν. ἐν οἷς ἐστι καὶ τὰ ὑπερσαρκοῦντα πάντα, καὶ ἐγκανθίδες. οἵ τε κατὰ τὴν ἕδραν ὀνομαζόμενοι
θύμοι. τινὰ δὲ τῶν τοιούτων ἑλκῶν, ἐπαμφοτερίζει ταῖς ἰδέαις. ὥσπερ αἵ τε πολὺ τοῦ πέριξ δέρματος ἐξέχου-
σαι τῶν οὐλῶν, καὶ τὰ κατὰ τοὺς ὀφθαλμοὺς πτερύγια. τῆς γε μὴν ἰάσεως ἐπ᾽ αὐτῶν ὁ σκοπός, πρόδηλος. ἐγχειρεῖσθαι
γὰρ δεῖ τὰ τοιαῦτα πάντα. καὶ χρὴ σκοπούμενον ἀεὶ τοὺς τρόπους τῆς ἀναιρέσεως, ἐπὶ τὸν ἄριστον ἐξ αὐτῶν ἰέναι.
σκοποὶ δ᾽ εἰσὶ τῆς κρίσεως τῶν ἀρίστων, τρεῖς ἥ τε τοῦ χρόνου τῆς θεραπείας βραχύτης, τό, τ᾽ ἀνωδύνως αὐτὴν ἐργά-
ζεσθαι, καὶ τρίτος ἐπὶ τούτοις, ἡ ἀσφάλεια. καὶ αὐτῆς τῆς ἀσφαλείας, ἴδιοι σκοποὶ τρεῖς. εἷς μὲν καὶ πρῶτος, ὡς
τυχεῖν τοῦ τέλους πάντως. ἕτερος δέ, τὸ κἂν ἀποτυγχάνωμέν ποτε τοῦ τέλους, ἀλλὰ μηδέν γε βλάψαι τὸν κάμνον-
τα. καὶ τρίτος, ὡς μὴ ῥᾳδίως ὑποτροπιάσαι τὸ νόσημα. κατὰ ταῦτά σοι κρίνοντι τὴν ἀρίστην ὁδὸν τῆς ἰάσεως
ἐπὶ πάντων τῶν νῦν ἡμῖν προκειμένων, εὑρεθήσεται ποτὲ μὲν ἡ διὰ τῆς χειρουργίας αἱρετωτέρα. ποτὲ δέ, ἡ διὰ
τῶν φαρμάκων. ἡ μὲν οὖν διὰ τῆς χειρουργίας, ἔν γε τοῖς νῦν ἡμῖν προκειμένοις ἐπὶ τὴν ἀναίρεσιν αὐτῶν σπεύδει
τελέως ἐκκόψαι τοῦ ζώου τὸ παρὰ φύσιν ὅλῳ τῷ γένει προαιρουμένη. τούτου δ᾽ ἀποτυγχάνουσα τοῦ σκοποῦ, δεύ-
τερον ἔχει τὸν τῆς μεταθέσεως ἐπὶ τῶν ὑποχυμάτων. ἡ δὲ διὰ τῶν φαρμάκων, πρώτῳ μὲν χρῆται σκοπῷ κενῶσαί τε
καὶ διαφορῆσαι τὸ παρὰ φύσιν. εἰ δ᾽ οὗτος ἀδύνατος εἴη διὰ τὴν τοῦ μορίου φύσιν, ἢ καί τι τοῦ πάθους ἀνίατον ἐκπυῆ-
σαί τε καὶ διασῆψαι. δεύτερος δ᾽ ἐπ᾽ αὐτῶν σκοπὸς οὗτος. οὕτω γοῦν κἀπὶ τοῦ γαργαρεῶνος ποιοῦμεν, εἰς τὸ κατὰ
φύσιν μὲν πρῶτον ἐπανάγοντες αὐτόν. εἰ δ᾽ ἀποτύχοιμεν τούτου, τελέως ἐκκόπτοντες, ἤτοι διὰ χειρουργίας,
ἢ διὰ φαρμάκων καυστικῶν ἀλλὰ τὰ μὲν φάρμακα, κάλλιον εἰς τὴν περὶ τῶν φαρμάκων ἀναβάλλεσθαι πραγμα-
τείαν, ἐπειδὴ τετάρτην ἄλλην ἄμεινον ἔδοξεν ἐπὶ τρισὶ πραγματεύεσθαι. τὴν δὲ χειρουργίαν ἐπὶ τῇ τελευτῇ
τάξαι τῆς δὲ τῆς πραγματείας. οὐκοῦν ἔτι χρὴ διατρίβειν ἐν τοῖς δε. μεταβαίνειν δὲ πρὸς τὰ παραπλήσια ἰάσεως
δεόμενα τοῖς εἰρημένοις. ἔστι δὲ ταῦτα. τά θ᾽ ὑπερβάλλοντα τοῦ προσήκοντος ἐν ἀριθμῷ τε καὶ πηλικότητι, καὶ
τὰ κατ᾽ ἄμφω ταῦτα ἐνδέοντα. νυνὶ μὲν οὖν ὠνόμασα τοῦ προσήκοντος. εἰ δὲ καὶ τοῦ συμφέροντος, ἢ κατὰ φύ-
σιν, ἢ χρησίμου ποτ᾽ εἴποιμι, τὴν αὐτὴν ἕξει δύναμιν ὁ λόγος. εἴρηται μὲν ἑτέρωθι περὶ τῶνδε μακρότερον. ἀνα-
μνῆσαι δὲ καὶ νῦν ἐπὶ κεφαλαίων ἅπαντα, ἄμεινον εἶναί μοι δοκεῖ. πρῶτον τῶν κατὰ τὸ σῶμα πάντων ἐστὶν οὗ
μάλιστα χρῄζομεν, ἡ τῶν μορίων ἀόχλητος ἐνέργεια. ταύτην τε ἔχοντες φύσει, διὰ τοῦτο συνήθως λέγομεν ὀρέ-
γεσθαι τοῦ κατὰ φύσιν ἐνεργεῖν. ἐπεὶ δὲ τοῦτο αὐτὸ συνῆπται τῷ κατὰ φύσιν ἔχειν, εἰκότως οὐδὲν ἡγούμεθα
διαφέρειν, ἢ κατὰ φύσιν ἔχειν εἰπεῖν, ἢ κατὰ φύσιν ἐνεργεῖν. ἀλλὰ καὶ χωρὶς προσθήκης ἐνίοτε λέγομεν ἐφίεσθαι
τοῦ κατὰ φύσιν, ὑπακουομένου τῇ λέξει τοῦ ἔχειν, ἢ ἐνεργεῖν, ἢ ἀμφοτέρων. αὕτη μὲν ἡ αἰτία, τοῦ καλῶς εἰθίσθαι τοῖς ἰα-
τροῖς τῇ τοῦ κατὰ φύσιν χρῆσθαι φωνῇ περὶ πάντων ὧν αἱρούμεθα κατὰ τὸ σῶμα. μαθεῖν δ᾽ ἐστίν, ὅτι μὴ πρῶτον μὴ δὲ

αὐτὸ τὸ παρὰ φύσιν ἡμῖν ἐστιν αἱρετέον, ἀλλὰ δεύτερως τε καὶ κατὰ συμβεβηκός, ἐν οἷς ἡ φύσις ἀποτυγχάνει. καὶ γὰρ ἕκτος δάκτυλος, εὐθὺς ἐξ ἀρχῆς συνεγεννήθη τισί, καὶ λείπων πέμπτος ἐγένετο. καί τινα τοιαῦτα ἕτερα. τὰ μὲν ἀριθμῷ, τὰ δὲ, μεγέθει τοῦ προσήκοντος ὑφαλμένα. καὶ εἴπερ συνεχῶς μὲν ταῦτα, σπάνια δ' ἐγίνετο τὰ κατορθώματα, τοὐναντίον ἂν ἐπὶ τῶν τῆς φύσεως ἔργων ἐπράττομεν, οὐ φυλάττοντες ὥσπερ νῦν, ἀλλ' ἀναιροῦντες αὐτά. οὗτος ὁ λόγος ἀεί σοι μνημονευέσθω, διαφέρων εἰς τὴν τῶν ὀνομάτων χρῆσιν ἐξαπατῆσαι δυναμένων τοὺς ἀσκέπτους. ἐμποιῆσαί τε διαφωνίας φαντασίαν. ἐὰν ὁ μέν τις λέγῃ, τὸ παρὰ φύσιν ἅπαν ἐκκόπτειν δεῖν. ὁ δὲ, τὸ βλάπτον ἢ ἀσύμφορον ἢ λυμαινόμενον ταῖς ἐνεργείαις. αὖθις οὖν ἀναλαβόντες ὑπὲρ τῶν πραγμάτων λέγωμεν. ἐπειδὴ τὰ τῶν ὀνομάτων ἡμῖν διώρισται, τὴν ἀρχὴν τοῦ λόγου τήνδε ποιησάμενοι, παράκειται τοῖς εἰρημένοις νοσήμασι, τὰ κατ' ἀριθμὸν ἢ μέγεθος ἐξεστῶτα τοῦ προσήκοντος. ἐφ' ὧν ἐκκόπτειν μὲν χρὴ, τὸ περιττὸν, ἤτοι κατὰ μέγεθος, ἢ κατ' ἀριθμὸν, ἀνατρέφειν τε καὶ κατασκευάζειν τὸ λεῖπον, ὅταν γε δυνατὸν ᾖ τοῦτο πρᾶξαι. τὸν γάρ τοι πέμπτον δάκτυλον, ἢ τοιοῦτόν τι μόριον ἕτερον, οὐχ οἷόν τε γεννῆσαι τοῖς ἰατροῖς, ἀλλ' ἔστι μόνης τῆς φύσεως ἔργα τὰ τοιαῦτα πάντα. τὸ μέντοι τελέως ἀφαιρεῖν τὸ κατ' ἀριθμὸν ὑπερβάλλον, ἢ ἀποκόψαι τι τοῦ κατὰ τὸ μέγεθος ὑπεραυξηθέντος, οὐδ' ἡμῖν ἀδύνατον. ἓν γοῦν ἐστι τῶν ἰατρικῶν ἔργων οὐ τὸ φαυλότατον, ὅταν εἰς πολυσαρκίαν ἐκτραπῇ τὸ σῶμα τοσαύτην, ὥστε μηδὲ βαδίζειν ἀλύπως δύνασθαι, μηδ' ἅψασθαι τῆς ἕδρας, διὰ τὸν ὄγκον τῆς γαστρὸς, ἀλλὰ μηδ' ἀναπνεῖν ἀκολύτως, ἐκτήκειν αὐτὸ καὶ καθαίρειν. ὥσπερ γε κἀπειδὰν ἐν ἀτροφίᾳ γένηται παραπλησίᾳ τοῖς ἐχομένοις φθόῃ, τῆς ἀναθρέψεως αὐτοῦ προνοεῖσθαι. πολλάκις δ' οὐχ ὅλον, ἀλλ' ἕν τι μέρος ἐν ἀτροφίᾳ γίνεται, προηγησαμένης ἤτοι παραλύσεως, ἢ δυσκρασίας μορίου. καί σοι καιρὸς ἤδη περὶ τῆς τούτων θεραπείας ἐπισκέπτεσθαι, τὴν ἀρχὴν ἀπὸ τῶν εἰς τὴν πολυσαρκίαν ἄμετρον ἐκπεσόντων ποιησαμένων. δέδεικται δ' ἐν τοῖς περὶ κράσεων ἡ θερμοτέρα τε καὶ ξηροτέρα κρᾶσις, ἰσχνὸν ἐργαζομένη τὸ σῶμα. τοιαύτην οὖν σοι ποιητέον ἐστὶ τὴν τῶν παχέων σωμάτων, εἰ μέλλοι γενήσεσθαι σύμμετρος. μεμάθηκας δ' ἐν τῷ κατ' ἐκείνην μὲν τὴν πραγματείαν, ἀλλὰ καὶ κατὰ τὴν τῶν ὑγιεινῶν οὐδὲν ἧττον, ὀξέα γυμνάσια. καὶ ἡ λεπτύνουσα δίαιτα. καὶ φάρμακα τοιαῦτα. καὶ τῆς ψυχῆς αἱ φροντίδες, ἀπεργάζονται τήν τε κρᾶσιν ὅλην, θερμοτέραν καὶ ξηροτέραν, καὶ διὰ ταύτην τὸ σῶμα λεπτότερον. ἐν μὲν δὴ τοῖς γυμνασίοις, οἱ ὀξύτατοι δρόμοι μάλιστα ἁρμόζουσιν. ἡ δ' ὕλη τῆς λεπτυνούσης διαίτης, ἰδίᾳ γέγραπται καθ' ἓν ὅλον βιβλίον. εἰ δὲ καὶ φαρμάκων δέοιντο τῶν λεπτυνόντων, εἴρηται μὲν καὶ ταῦτα κατὰ τὰς περὶ τῶν φαρμάκων πραγματείας. εἰρήσεται δὲ καὶ νῦν ὅσα δραστικώτατα τῶν τοιούτων ἐστὶν, οἷς ἀξιῶ σε χρῆσθαι, καθαίρειν ἐθέλοντα πολυσαρκίαν ἄμετρον. οἷς οὖν εἰώθασιν ἕνεκα παθῶν ἀρθριτικῶν ἔνιοι χρῆσθαι τμητικοῖς τὴν δύναμιν ἱκανῶς οὖσι, τούτοις καὶ σὺ χρῶ θεραπεύειν ὑπερβάλλουσαν εὐσαρκίαν πειρώμενος. ἔστι δὲ τοιαῦτα, πηγάνου τὸ σπέρμα, καὶ μᾶλλον τοῦ ἀγρίου σὺν αὐτοῖς τοῖς κορύμβοις. ἀριστολοχία θ' ἡ στρογγύλη, καὶ τὸ λεπτὸν κενταύριον, ἥ τε γεντιανὴ, καὶ τὸ πόλιον. ὅσα τε τῶν οὐρητικῶν ὀνομαζομένων ἰσχυρὰ καθάπερ τὸ πετροσέλινον. ἕκαστον γὰρ τῶν τοιούτων καὶ αὐτὸ καθ' αὑτὸ καὶ σὺν ἄλλοις, λεπτῦναί τε τοὺς χυμοὺς ἱκανὰ, καὶ κενῶσαι. τὰ μέντοι δι' οὔρων αἰσθητῶς. τὰ δέ τοι καὶ κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν. ἀλλὰ καὶ οἱ διὰ τῶν κεκαυμένων ἐχιδνῶν ἅλες, ἱκανῶς λεπτύνουσι. καὶ πολλοὶ τῶν ἰσχνοτέρων ἢ μέσως εὐσάρκων, ὑπὸ τῶν τοιούτων φαρμάκων πόσεως ἀπώλοντο, κατοπτηθέντος αὐτοῖς τοῦ αἵματος. ὥρμησαν δ' ἐπ' αὐτὰ, θεασάμενοί τινας ἀπηλλαγμένους ἀρθριτικῶν παθῶν, οὐκ ἐπιλογισάμενοι τὴν κρᾶσιν τῶν ὠφεληθέντων, ὑγροτέραν τε καὶ φλεγματικωτέραν οὖσαν, οἵαπερ ἐστὶ καὶ ἡ τῶν παχέων, ἐφ' ὧν ἀκίνδυνος ἡ τῶν τοιούτων χρῆσις φαρμάκων. ἐγὼ γοῦν ἐθεράπευσά τινα νεανίσκον ἐτῶν ἐγγὺς τεσσαράκοντα, παχὺν ἱκανῶς γεγονότα, τῇ τε πρὸς τοὺς ἀρθριτικοὺς ἀντιδότῳ, καὶ τοῖς ἁλσὶ τῆς θηριακῆς, αὐτῇ τε τῇ θηριακῇ, μετὰ τοῦ καὶ τῇ ἄλλῃ διαίτῃ τῇ λεπτυνούσῃ χρῆσθαι. καὶ γυμνασίων δρόμοις ὠκέσι. παρεσκεύαζον δ' αὐτὸν ἐπὶ τὸν δρόμον ἀνατρίβων μὲν πρῶτον ὠμολίνοις τραχέσιν, ἄχρι τοῦ φοινίξαι τὸ δέρμα. τρίβων ἐφεξῆς τρίψει δι' ἐλαίου τῶν διαφορητικῶν τι φαρμάκων ἔχοντος, ᾧ καὶ μετὰ δρόμον ἐχρώμην αὖθις. ἔστι δὲ ταῦτα σικύου ῥίζα τοῦ ἀγρίου. καὶ ἡ ἀλθαία. καὶ ἡ γεντιανή. καὶ ἡ ἀριστολοχία. καὶ ἡ τοῦ πάνακος ῥίζα. καὶ τὸ πόλιον. καὶ τὸ κενταύριον. ἐν δὲ τῷ χειμῶνι, καὶ μετὰ τὸ λουτρὸν ἐπαλείφειν συμφέρει τῷ εἰρημένῳ ἐλαίῳ. οὐκ εὐθὺς δὲ τὴν τροφὴν ἐπὶ τοῖς λουτροῖς διδόναι προσήκει, ἀλλὰ κοιμᾶσθαι πρότερον. ἐπιτρέπειν δ' εἰ βούλοιντο καὶ αὖθις λούσασθαι πρὶν ἢ τραφῆναι. κάλλιον δ' ἐστὶ καὶ τὸ ὕδωρ τῶν διαφορητικῶν. εἰ μὲν οὖν αὐτοφυὲς ἔχοιμεν, ἐκείνῳ χρωμένους, ὁποῖόν ἐστι καὶ τὸ κατὰ τὴν Λέσβον ἀπὸ τεσσαράκοντα σταδίων τῆς Μιτυλήνης. εἰ δὲ μὴ, κατασκευάζοντας αὐτοὺς παραπλήσιον. ἔστι δὲ τὸ κατὰ τὴν Μιτυλήνην, καὶ χρόᾳ καὶ δυνάμει τοιοῦτον, ὁποῖον ἂν γένοιτο μιχθέντος ἁλὸς ἄνθους ὕδατι θαλάσσης. τουτὶ γὰρ τὸ ὕδωρ καὶ τοῖς ὑδεριῶσι, καὶ τοῖς ἄλλοις οἰδαλέοις ἐπιτήδειόν ἐστιν ἰσχυρῶς ξηραῖνον. ὡσαύτως δὲ δὴ καὶ τοῖς πολυσάρκοις, καὶ μάλιστα ὅταν αὐτοὺς ἀναγκάζοντες ἐν αὐτῷ κολυμβᾶν ὀξύτατα. καὶ λουσαμένους πλέον, μὴ παραχρῆμα πίνειν ἢ ἐσθίειν. ἀλλ' ἤτοι κοιμᾶσθαι πρότερον, ἢ πάντως γε ἡσυχάζειν. εἰδέναι δὲ χρὴ καὶ προλέγειν τῷ θεραπευομένῳ τὴν πολυσαρκίαν, ὡς ἔσθ' ὅτε διὰ κίνησιν ἀθροωτέραν, εἰκός ἐστι καὶ πυρέξαι αὐτόν. ὅτι τε μηδ' ὁ πυρετὸς ἀνάρμοστος εἰς τὰ παρόντα γενήσεται, τοῦ ἰατροῦ καλῶς ἅπαντα πράττοντος. εὔδηλον γὰρ ὡς ὅταν ἐπὶ κόπων πυρέξωσιν, καὶ οἱ οὕτω θεραπευόμενοι καταστήσαντες αὐτῶν τὸν πυρετὸν, αὖθις ἐπὶ τὴν αὐτὴν ἰδέαν τῆς ὅλης θεραπείας ἀφιξόμεθα. φεύγειν δ' ἐπ' αὐτῶν χρὴ καὶ τοὺς προτίμους οἴνους, οἷοί περ εἰσὶν οἱ παχεῖς. τοῖς δὲ ὑδατώδεσι χρῆσθαι, τουτέστι τοῖς λευκοῖς μὲν τῇ χρόᾳ. λεπτοῖς δὲ, κατὰ τὴν σύστασιν. ἢ τοῖς τε θαλαττωμένοις. ὅσους δ' ἀνατρέφειν βουλόμεθα καταλελεπτυσμένους, οἶνον μὲν δώσομεν τὸν παχύν. ἐδέσματα δὲ τὰ παχύχυμα, καὶ γυμνάσια τὰ βραχέα. καὶ τρίψιν τὴν μετρίαν. καὶ ἁπλῶς εἰπεῖν, ἅπαντα τοῖς εἰρημένοις ἐναντία πράξομεν. ἐπιτήδειον δ' αὖθις ἐστὶ, καὶ τὸ

πιττοῦσθαι

περιπλεῖσθαι διὰ ἡμερῶν ἤτοι τριῶν, ἢ τεττάρων. κάλλιστον γὰρ τοῦτο φάρμακον, εἰς σάρκωσιν. ὥστ' εἰ καί τι μόριον
ἐν ποτε πάθῃ, διὰ τούτου τοῦ βοηθήματος ἀνατρέφειν αὐτό. καὶ ἡμῖν ἤρκεσεν ἐπὶ πάντων σχεδὸν, μόνον τοῦτο.
καὶ γὰρ καὶ θερμαίνει, καὶ ὑγραίνει, πλῆθος αἵματος ἐπισπώμενον. οὔτ' οὖν συνεχῶς χρὴ προσφέρειν αὐτὸ τοῖς
κάμνουσι σώμασιν, οὔθ' ὅτε χρὴ καταχεῖν πολλάκις. ἀλλ' ἐν μὲν χειμῶνι, δίς. ἐν θέρει δ' ἅπαξ ἀρκεῖ. τοῖς δ'
ἐκ γενετῆς ἔχουσιν ἰσχνότερά τινα μόρια, καὶ οἱ ἀνδραποδοκάπηλοι βοηθοῦσι διὰ τοῦ βοηθήματος τοῦ δε, μετὰ
τῆς καλουμένης ἐπικρούσεως. ἔστι δὲ κἀκείνης συμμετρία τις ὡς μὴ μᾶλλον τοῦ δέοντος γίγνοιτο, μήτ' ἔλαττον,
οὔσης τοιᾶσδε. ναρθήκια λεῖα μετρίως ἀληλειμμένα, κατὰ τῶν ἰσχνῶν μορίων ἐπιρραπίζουσιν ἄχρι περ ἂν ἐξαρ-
θῇ μετρίως. ἐν τούτῳ γὰρ τὸ ὅλον ἐστὶν, ὡς καὶ Ἱπποκράτης ἔλεγεν, ἐπὶ καταντλήσεως ὕδατος σφοδροῦ. τὸ
μὲν πρῶτον, αἴρεται. ἔπειτα δ' ἰσχναίνεται. πάντ' οὖν εὐσαρκῶσαι βουλόμεθα μόρια, καὶ τρίβειν χρὴ καὶ κα-
ταντλεῖν καὶ παίειν καὶ πιττοῦν ἄχρι περ ἂν ἐξαρθῇ. γενομένου δὲ τούτου, παραχρῆμα παύεσθαι χρὴ πρὶν ἄρ-
ξασθαι διαφορεῖσθαι. τὰ γάρ τοι θερμαίνοντα πάντα, καθάπερ ἕλκειν πέφυκεν, οὕτω καὶ διαφορεῖν. ἐὰν οὖν
ἀναμείνῃς διαφορηθῆναι τὸ ἑλχθὲν, οὐδὲν ἕξεις πλέον. οὕτω καὶ πυγάς τις ἀνδραποδοκάπηλος ἔναγχος ηὔ-
ξησεν ἐν ὀλίγῳ χρόνῳ, παιδὸς ὑπολέπτου συμμέτρως μὲν τῇ κατακρούσει χρώμενος ἑκάστης ἡμέρας ἢ παρὰ
μίαν. συμμέτρως δὲ πιττῶν. ἀλλὰ τοῖς γε τὸ σύμπαν σῶμα λεπτοῖς, καὶ λοῦσθαι μετὰ τροφὴν ἐπιτήδειον.
ὥσπερ δὲ τοῖς λεπτύνουσι βοηθήμασι κίνδυνος ἦν ἀκολουθῆσαι πυρετὸν ὑπερθερμανθέντος ἀμέτρως τοῦ σώ-
ματος, οὕτω καὶ τοῖς λουομένοις ἐπὶ τροφαῖς κίνδυνός ἐστι κατὰ τὸ ἧπαρ ἔμφραξιν γενέσθαι, καὶ μάλιστα διὰ τὸ
τῶν ἐδεσμάτων εἶδος. ἐμφράττει γὰρ καὶ ἄλλως τὰ παχύχυμα χρωμένων ἐπὶ πλέον αὐτοῖς. ὅπου δὲ καὶ ἄλλως
τοῦτο δρᾶν πέφυκε, πολὺ δὴ μᾶλλον ἐπὶ βαλανείοις ἅμα τροφῇ τοῦτο δράσει. γίνεται γε μὴν καὶ λίθων ἐν νε-
φροῖς σύστασις ἐπὶ τῇ τοιαύτῃ διαίτῃ χρονιζούσῃ. διὰ τί δὲ οὐ πᾶσι γίνεται, πρόδηλον. ἐνίους μὲν γὰρ εἰκὸς
ἐστὶν ἤτοι πυκνοὺς ἔχειν τοὺς νεφροὺς, ἢ στενὰς τὰς ἀναστομώσεις τῶν ἐν ἥπατι φλεβῶν. ἐνίους δὲ τἀναντία. καὶ τού-
των διάγνωσις οὐδεμία σαφής ἐστιν. ἀλλ' ἐπερωτᾶν χρὴ τὸν διαιτώμενον, ὡς εἴρηται συνεχῶς, εἴ τις αὐτῷ βα-
ρους αἴσθησις ἐν ὑποχονδρίῳ δεξιῷ, καὶ κατὰ τὰς ψόας γίγνεται. κἂν αἴσθηταί ποτε τοιούτου τινὸς, αὐτίκα δὴ ὀ-
ξυμέλιτος διδόναι κἄπειτα ἐν ἀρχῇ τῆς τροφῆς, ἄχρι περ ἂν καταστῇ τὸ βάρος. ἐπὶ δὲ τῶν δυσκόλως ἀνα-
τρεφομένων μορίων, καὶ πλέον ἤδη κατεψυγμένων, ἐχρησάμην ἐνίοτε καὶ θαψίᾳ. ποτὲ μὲν μετὰ μέλιτος
ἐπιχρίων τὸ μόριον. ἔστι δ' ὅτε καὶ διὰ κηρωτῆς. ἐπισπᾶται γὰρ καὶ αὕτη τοῖς μορίοις οἷς ἂν ἐπιτεθῇ πλῆθος αἵ-
ματος. ἐφ' ὧν δὲ ὀλίγον ἐνδεῖ τῷ δέρματι τοῦ αἰδοίου πρὸς τὸ κατὰ φύσιν, ἐπὶ τούτων ἄνευ θαψίας πολλά-
κις μόνῃ τῇ τάσει τὸ δέον εἰργασάμην, ἵνα χάρτου μαλακὴν καὶ εὔτονον ἐν κύκλῳ περιελίττων ὑποκεχρισ-
μένῳ τῷ δέρματι κόμμεως. εὔδηλον δὲ δήπουθεν ὅτι καὶ τὸ τῆς ἰνὸς πέρας ἐπικολλᾶν χρὴ διὰ κόμμεως τῷ ὑπο-
βεβλημένῳ ἄνω μέρει τῆς ἰνός. ἐν τάχει τε γὰρ ξηραίνεται, καὶ ἀλύπως σφίγγει. προϋποτεθῆναι δὲ χρὴ τοῦ δέρμα-
τος τῆς πόσθης ἐκ τῶν ἔνδον μερῶν στρογγύλον τι σύμμετρον, ὃ καὶ μετὰ τὸ κολλῆσαι τὴν ἶνα, ῥᾳδίως ἐξαιρήσεις.
ἔνιοι δὲ τῶν διὰ θαψίας ἐπαγόντων τὴν πόσθην, τὸ στρογγύλον τοῦτο, μολύβδινον ἐποίησαν, ὥσπερ τι σωληνά-
ριον. εἶτ' ἔξωθεν αὐτὸ περιτείνοντες τὸ δέρμα τῆς πόσθης, καταδοῦσιν ἱμάντι μαλακῷ. καὶ γένοιτ' ἂν ποτε καὶ
τοῦτο χρήσιμον, ἐφ' ὧν ἐνδεῖ πολὺ τοῦ δέρματος. εἰ δ' ὀλίγον εἴη τὸ λεῖπον, ἀρκεῖ μόνον, ὡς εἴρηται, τὸ χαρτίον
ἐν κύκλῳ περιελιττόμενον. ἐν αὐτῷ δὲ τῷ περιβάλλειν τε τῷ δέρματι καὶ κατακολλᾶν αὐτὸ, προϋποκεῖσθαι χρὴ
τὸ σωληνάριον. ἐγὼ δὲ εἴωθα, εἰ καὶ μηδὲν τούτων παρῇ, τοῦ χάρτου σύμμετρον ἑλίττων, ἐνθεῖναι στήριγμα τοῦ
περιβλήματος. ἵν' ὕστερον ὅταν ἀκριβῶς παγῇ τὸ περιελιττόμενον ἔξωθεν ἐξαρθέντος τοῦ στηρίγματος, εὐκό-
λως οὐρεῖν ὑπάρχει τῷ θεραπευομένῳ. πρόδηλον δ' ὅτι καὶ τοῦτο τὸ πάθημα τοῦ γένους τῶν νοσημάτων ἐστὶν, ἃ
κατὰ πηλικότητα τοῦ κατὰ φύσιν ἐξέστηκεν. ἐνίοτε μὲν ἀποσπασθείσης τῆς πόσθης γινόμενον. ἐνίοτε δὲ ἐξ ἀρχῆς ἔ-
λαττον συγγεννώμενον. ὑπάγεται δὲ καὶ χειρουργίας τρόπῳ διττῷ. ποτὲ μὲν ἄνω κατὰ τὴν ἀρχὴν τοῦ αἰδοίου
τὸ δέρμα τεμνόντων κυκλοτερῶς, ἕνεκα τῆς λυθείσης αὐτοῦ τῆς συνεχείας, ἕλκεσθαι κάτω μέχρι τοῦ σκεπάσαι
τὴν καλουμένην βάλανον ὅλην. ἐνίοτε δὲ ὑποδερόντων σμίλῃ κατὰ τὰ ἔνδον, ἀπὸ τῆς κατὰ τὴν βάλανον ῥί-
ζης. εἶθ' ἑλκόντων κάτω. κἄπειτα δεσμευόντων, ὡς εἴρηται, μαλακῷ τινί. λεχθήσεται δὲ περὶ τῶν τοιούτων
τρόπων, ἐπὶ προσήκοντι λόγῳ. καθάπερ γε καὶ περὶ κολοβωμάτων. οὕτως γὰρ ὀνομάζουσι τὰ κατὰ χεῖλος ἢ
πτερύγιον ῥινὸς ἢ οὖς ἐλλείποντα. μεθοδεύεται γάρ πως καὶ ταῦτα. πρῶτον μὲν ὑποδερόντων ἑκατέρω-
θεν τὸ δέρμα. μετὰ δὲ τοῦτο, ἐπαγόντων καὶ συναγόντων ἀλλήλοις τὰ χείλη τῶν δερμάτων. ἀφαιρούντων τε
τὸ τετυλωμένον ἑκατέρου. κἄπειτα ῥαπτόντων τε καὶ κολλώντων. ἐκ ταὐτοῦ δὲ τοῦ γένους εἰσὶ καὶ αἱ κατὰ τὸν
μέγαν κανθὸν ῥυάδες, ἢ μειωθέντος ἐπὶ πλέον, ἢ τελέως ἀπολλυμένου τοῦ κανθοῦ. τελέως μὲν οὖν ἀπολλυμένου,
παντάπασιν ἀνίατον γίνεται τὸ νόσημα. μειωθέντος δὲ, διὰ τῶν μετρίως στυφόντων θεραπεύεται, μετὰ
τοῦ προκαθᾶραι πρῶτον μὲν ὅλον τὸ σῶμα. δεύτερον δὲ, τὴν κεφαλήν. ἔστι δὲ μετρίως στύφοντα φάρμακα τά
τε διὰ γλαυκίου, καὶ κρόκου, καὶ τὰ ναρδίνα καλούμενα, καὶ μάλιστα ὅσα διὰ οἴνου σκευάζεται. συνελόντι δὲ
εἰπεῖν ἐπὶ πάντων ἐν οἷς ἀπώλετό τις οὐσία, μάλιστα μὲν αὐτὴν ὁμοιοτάτην πειρᾶσθαι χρὴ κατασκευάζειν.
εἰ δ' ἀδύνατον εἴη τοῦτο, τῆς γε αὐτῆς χρείας ἐστοχασμένων ἡμῶν. ἔσται δὲ καὶ αὐτὴ κατὰ τοῦθ' ὁμοία. τοῦ γοῦν τῆς
κνήμης ὀστοῦ πολλάκις ἀναγκασθέντος ἐκκόψαι συχνὸν, εἰς τὴν χώραν αὐτοῦ φῦσαι τινὰ ἑτέραν οὐσίαν, τὴν
φύσιν προκαλούμεθα διὰ τῶν σαρκωτικῶν φαρμάκων. ἥτις ἐν ἀρχῇ μὲν, οἷά περ σκληρὰ σάρξ ἐστίν. ὕστερον δὲ
πώρου σκληροτέρου λαμβάνει σύστασιν. καὶ τῷ χρόνῳ κρατυνθεῖσα, πρὸς τὰς βαδίσεις αὐτοῦ γίνεται ἐπιτη-
δεία. καὶ σκυταλίδας δὲ δακτύλων ἐκκόπτοντας, ὁρῶμεν ἐν τῇ χώρᾳ τῶν ἐκκοπεισῶν ἑτέραν οὐσίαν, οἵαν
περ εἴρηκα, γεννωμένην. ὅτι δὲ καὶ φλέβας αἰσθητὰς ἐνίοτε γεννωμένας εἴδομεν, εἴρηται πρόσθεν. αὗ-
ται μὲν οὖν οὐχ ὅμοιαι ταῖς ἀπολωλυίαις, ἀλλ' αἱ αὐταὶ γίγνεσθαι λέγοιντ' ἄν, ὥσπερ γε καὶ ἡ ἐν τοῖς κοίλοις

ἕλκεσι σάρξ. ἡ δ' ἐν τῷ τυλωθῆναι ταύτην οὐλὴ γιγνομένη, δέρματι μὲν ἐστὶν ὁμοιοτάτη, δέρμα δ' οὐκ ἔστι, πυκνοτέρα γοῦν αὐτοῦ φαίνεται διά τε τῆς ὄψεως, καὶ τῆς ἁφῆς. καὶ μέντοι καὶ τῷ λογισμῷ τεκμαιρομένοις ἐκ τοῦ μὴ φύειν τρίχας. ταῦτ' οὖν ἔχων ἀεὶ πρόχειρα, πρὸς τὰς θεραπείας εὐπορήσεις ὧν σε χρὴ πράττειν. ἐμοὶ δ' ἤδη καιρὸς ἐπ' ἄλλα μεταβῆναι νοσημάτων εἴδη, κοινωνοῦντα τοῖς προειρημένοις. ὁ μὲν οὖν ἕρπης ὀνομαζόμενος, ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ τοῖς ἑλκουμένοις ἐρυσιπέλασιν. ἡ σαρκοκήλη δὲ, τοῖς σκίρροις. ὀφίασις δὲ καὶ ἀλωπεκία, καὶ ἡ μίλωσις, ἐκ τοῦ γένους ἐστὶ τῶν νοσημάτων ἐν οἷς ἀπόλωλέ τι τῶν κατὰ φύσιν. ὥσπερ γε καὶ ἡ μυρμηκία τῷ ὅλῳ γένει παρὰ φύσιν ἐστί. τρίτη δ' ἁπάντων αὐτῶν ἡ διαφορά. τινὰ μὲν γὰρ ἐκ μεταβολῆς γίνεται τῶν στερεῶν σωμάτων, ὡς ἡ μυρμηκία, καὶ ἡ λεύκη, καὶ ὁ ἀλφὸς, ἐλέφας τε, καὶ ψώρα, καὶ λέπρα. τινὰ δ' οὐδ' ὅλως ὄντα πρότερον, ὕστερα γίνεται. καθάπερ καὶ ἡ μελικηρίς. ἀθερώματά τε καὶ στεατώματα. καὶ καθ' ἕτερον τρόπον, ἕλμινθες. καὶ ἀσκαρίδες. καὶ κειρία. καλοῦσι γὰρ οὕτω μὲν μακρὰν καὶ πλατεῖαν ἕλμινθα. καὶ πάντα τὰ πρόσθεν εἰρημένα, ἃ κατά τινα τῶν ἀρθρημάτων εὑρίσκεται, πώροις, ἢ λίθοις, ἢ ὀστοῖς, ἢ θριξὶν, ἤ τισιν ἑτέροις τῶν τοιούτων ἐοικότα. προσέχειν οὖν ἀεὶ χρὴ τὸν νοῦν ἐπὶ πάντων τῶν παρὰ φύσιν ἀκριβῶς ἐπισκοπούμενον ἐκ τίνος γένους ἐστὶν, εἴπερ γε τὴν πρώτην ἔνδειξιν ὁρμητήριον ἐσομένην ἁπασῶν τῶν ἐφεξῆς ὀρθῶς εἴπομεν, ἐκ τοῦ γένους λαμβάνεσθαι. τὸν γοῦν ἕρπητα, χολώδης γεννᾷ χυμός. ὥστε κατά γε τοῦτο ταὐτοῦ γένους ὑπάρχειν ἐρυσιπέλατι. καὶ τοῦτό γ' αὐτοῦ μᾶλλον ἔτι τῷ ἡλκωμένῳ. διαφέρει δὲ τῇ λεπτότητι τοῦ χυμοῦ. πάνυ γάρ ἐστι λεπτὸς ὁ τὸν ἕρπητα γεννῶν, ὡς μὴ μόνον διὰ πάντων διέρχεσθαι τῶν ἔνδον μορίων, ὅποσα σαρκώδη τὴν οὐσίαν ἐστὶν, ἀλλὰ καὶ δι' αὐτοῦ τοῦ δέρματος ἄχρι τῆς ἐπιδερμίδος, ἣν μόνην ἀναβιβρώσκει τε καὶ διεσθίει τῷ στέγεσθαί τι πρὸς αὐτῆς. ὡς εἴγε καὶ ταύτην διεξῄει τοῖς ἱδρῶσιν ὁμοίως, οὐκ ἂν ἕλκος εἰργάσατο. κοινὸν γὰρ δὴ τοῦτο τοῖς γιγνομένοις ἐκ χυμοῦ δακνώδους ἕλκεσιν, ἅπερ αὐτόματα ἕλκη προσαγορεύουσιν, ἴσχεσθαί τε καὶ βραδύνειν ἐν τῇ διεξόδῳ τὸν ἐργαζόμενον αὐτὰ χυμόν. τῷ δ' ἧττον ἢ μᾶλλον ἕτερον ἑτέρου χυμὸν, ἤτοι λεπτὸν, ἢ παχὺν ὑπάρχειν, αἱ κατὰ τὸ βάθος ἐν τοῖς ἕλκεσιν γίνονται διαφοραί. τούτου τοῦ γένους ἐστὶ καὶ ἡ φαγέδαινα, καὶ οἱ ἑλκώμενοι τῶν καρκίνων. ἐφ' ὧν ἁπάντων, ἡ μὲν κοινὴ θεραπεία, κωλύσαντα τὸν ἐπιρρέοντα χυμὸν, ἰᾶσθαι τὸ ἕλκος. ἡ δ' ἰδία καθ' ἕκαστον, ἔκ τε τῆς τοῦ μορίου φύσεως εὑρίσκεται, καὶ τῆς ἰδέας τε καὶ ποσότητος τοῦ χυμοῦ. λεπτότατος μὲν οὖν ἐν τοῖς τοιούτοις χυμοῖς ἐστὶν, ὁ τὸν ἑλκώμενον ἕρπητα γεννῶν. παχύτατος δὲ, ὁ τὸν καρκῖνον. ἐφεξῆς δὲ τούτων, κατά γε τὸ πάχος, ὁ τὰς φαγεδαίνας ὀνομαζομένας. ὧν ἰδέαι τινές εἰσι, τά τε χειρώνια, καὶ τηλέφια καλούμενα. καὶ ἤδη τινὲς ἄλλαι τοιαίδε προσηγορίαι γεγόνασιν ἀχρεῖοί τε καὶ περίεργοι. πρὸς γάρ τοι τὴν θεραπείαν, ἐπίστασθαι χρὴ τό, τε πλῆθος τοῦ χυμοῦ, καὶ τὴν δύναμιν, καὶ τὴν σύστασιν. οἷον εὐθέως ἐπὶ τῶν ἑρπήτων, ἐπειδὴ λεπτός ἐστιν ὁ χυμὸς, ἐκ τοῦ γένους ὢν δηλονότι τῆς ξανθῆς χολῆς, ὅταν ἀναδέρῃ τὴν ἐπιδερμίδα, διαφορηθεὶς, ἐπιτρέπει συνουλωθῆναι τῷ ἕλκει. ἐὰν μὴ οὖν φθάσῃ τις ἐκκαθάρας τὸ σύμπαν σῶμα, μετὰ τοῦ τοῖς ἀναστέλλουσί τε καὶ ἀποκρουομένοις τοὺς ἐπιρρέοντας χυμοὺς, χρήσασθαι φαρμάκοις, ἰάσατο τὸν ἕρπητα. μηδέτερον δὲ ἐργασάμενος τούτων, ἀλλὰ μόνοις ἀρκεσθεὶς τοῖς ἐπουλοῦσι, τῇ ἑλκωμένῃ ἐπιδερμίδα ταύτην μὴ ἰάσατο. τὴν συνεχῆ δ' αὐτῆς παθεῖν οὐκ ἐκώλυσεν. εἶτ' αὖθις πάλιν ἐκείνης ἐπουλουμένης, ἡ συνεχὴς ἀναδέρεται. καὶ τοῦτ' ἐπὶ πλεῖστον γίγνεται, καθάπερ ἕρποντος τοῦ πάθους, ἄχρι περ ἂν ὁ ἐργαζόμενος αὐτὰ χυμὸς ἐκκενωθῇ. γυνὴ γοῦν τις ἐν Ῥώμῃ τῶν ἐπιφανῶν, ἕρπητα κατὰ τὸν σφυρὸν ἔχουσα, πρῶτον μὲν ἐχρήσατο τῷ διὰ φύκους φαρμάκῳ. τάχιστα δὲ ἐπουλωθέντος αὐτοῦ, τὸ συνεχὲς εὐθὺς ἐπιπολῆς ἀνεδάρει δέρμα, καθάπερ ἐξ ἀποσύρματος. ᾧ πάλιν ἐπιτεθέντος τοῦ φαρμάκου, τὸ συνεχὲς αὖθις ἡλκώθη. καὶ τοῦτ' οὐκ ἐπαύετο γιγνόμενον, ἀλλ' ἧκεν ὕστερον ἡ ἕλκωσις ἐπὶ τὸ γόνυ. πάντα μᾶλλον αὐτῆς παθεῖν ἑτοίμης οὔσης, ἢ καθαρθῆναι χολαγωγῷ φαρμάκῳ. καὶ τοίνυν ὅπερ εἴωθεν ἐν τοῖς τοιούτοις γίγνεσθαι, διὰ τὸ τοὺς πλείστους αἰτιᾶσθαι τὰ ἀναίτια, καταγνοῦσα τοῦ διὰ φύκους φαρμάκου, τῶν ἄλλων τι προσφέρειν ἐκέλευσεν. ἐχρώμεθα οὖν ἐφεξῆς τῷ διὰ σάνδυκος. ὡς δὲ καὶ τοῦτο τὸ μὲν ἡλκωμένον ἐπούλου, τὸ δ' ἑλκούμενον οὐκ ἐκώλυεν, ἀνεληλύθει δὲ τὸ πάθος ἐγγὺς ἤδη τοῦ βουβῶνος, ὑπὸ τῆς ἀνάγκης βιασθεῖσα, γάλακτος ὀρρὸν ὑπέσχετο λήψεσθαι. παρεμβαλόντες οὖν ἡμεῖς αὐτῷ λάθρα σκαμμωνίας ἐλάχιστον, ἄκουσαν αὐτὴν ἐκκαθάραντες, ἐθεραπεύσαμεν. οὗπερ οὖν ἕνεκα ταῦτα λέγεται, πάλιν ἀναμνήσω τὸν κοινὸν σκοπὸν ἐπὶ τῶν ὑπὸ ταὐτὸ γένος ἁπάντων νοσημάτων ἐπειδὰν λάβῃς, οὐκ ἀναιρήσεις μὲν αὐτὸν, ἐν τοῖς κατὰ μέρος. εἰς διαφορὰν δ' ἄξεις ἕκαστον πρέπουσαν ταῖς τε διαθέσεσι καὶ ταῖς ἐργαζομέναις αὐτὰς αἰτίαις, ὥσπερ ἐπὶ τῶν αὐτομάτων ἑλκῶν ἐδείχθη. κενώσεις γὰρ δηλονότι τὸν πλεονάζοντα χυμὸν, ἐνίοτε μὲν τῷ τὴν ὠχρὰν χολὴν ἐκκαθαίροντι φαρμάκῳ. πολλάκις δὲ τῷ τὴν μέλαιναν. ἔστι δ' ὅτε μικτῷ, χολήν τε ἅμα καὶ φλέγμα κενοῦντι, ὥσπερ ἐπὶ θατέρου τῶν ἑρπήτων, ὃν ἀπὸ τῆς πρὸς τὰς κέγχρους ὁμοιότητος, ὀνομάζουσι κεγχρίαν. οὗτος γὰρ οὐκ εὐθέως ἕλκος ἐργάζεται καθάπερ ὁ ἕτερος, ἀλλὰ μικρὰς πάνυ φλυκταίνας, ὥσπερ κέγχρους. αἳ καὶ αὗται τοῦ χρόνου προϊόντος, εἰς ἕλκος τελευτῶσι. καί τισιν οὐκ ἀλόγως ἔδοξεν ἐπιμεμῖχθαι τῇ χολῇ φλέγματος, ἐν τῷ τοιούτῳ πάθει. γίγνεται δέ ποτε καὶ χωρὶς τῆς τοῦ παντὸς σώματος ἰσχυρᾶς κακοχυμίας ἐν μέρει ἕλκη, ἃ θεραπεύομεν ῥᾳδίως ὑπὸ φαρμάκων, μικτὴν ἐχόντων δύναμιν, ἀποκρουστικήν τε καὶ διαφορητικήν. ἀποκρούεται μὲν οὖν τά τε στύφοντα, καὶ τὰ χωρὶς τοῦ στύφειν ψύχοντα. διαφορεῖ δὲ, τὰ θερμαίνοντα. καὶ δῆλον ὅτι κατὰ μὲν τὴν γένεσιν τῶν ἑλκῶν ἐπικρατεῖν χρὴ τὰ τὴν ἀποκρουστικὴν δύναμιν ἔχοντα. μηκέτι δ' ἐπιρρέοντος τοῦ χυμοῦ τοῦ μοχθηροῦ τῷ μορίῳ, τὴν διαφορητικήν. τὴν μὲν γὰρ ὀλίγην κακοχυμίαν κἂν ἀπώσηταί τις αὐτὴν, ἐπί τε τὰ σπλάγχνα καὶ τὰς μεγάλας φλέβας, οὐδὲν ἐργάσηται κακὸν αἰσθητόν. εἰ δὲ ἀξιόλογος ἦ, εἴς τι κύριον ἐνίοτε κατασκήπτει μόριον, ὅταν γε μὴ διὰ ῥώμην τῆς φύσεως ἐκκαθαιρούσης τὸ σῶμα, κενωθῆναι φθάσῃ διὰ τῶν διαχωρημάτων, ἢ τῶν οὔρων, ἢ καὶ διὰ τοῦ

περιέχον-

περιέχοντος ὅλον τὸ σῶμα δέρματος. ἐπὶ μὲν οὖν τῆς ὠχρᾶς χολῆς αἱ κενώσεις ἑτοιμότεραι. τὸ δὲ φλέγμα, καὶ μάλιστα ὅσον αὐτοῦ παχύτερόν τε καὶ γλίσχρον ἐστίν, ὡσαύτως δὲ καὶ ἡ μέλαινα χολὴ δυσκόλως ἐκκενοῦται. καὶ διὰ τοῦτο δεόμεθα καθαίροντος φαρμάκου. ἐπὶ δὲ τοὺς ἕρπητας, ἐπειδὴ λεπτός ἐστιν ὁ τὸ πάθος ἐργαζόμενος χυμός, ἀρκεῖ καὶ λαπάξαι γαστέρα διὰ τῶν ἐπιτυχόντων. ἢ οὖρα κινῆσαι διὰ τῶν μετρίως οὐρητικῶν. ἀλλ' ἐπειδὴ περὶ φαρμάκων μεθόδου γέγραπταί τι κἀν τοῖς ἔμπροσθεν, οὐκ ὀλίγα δὲ καὶ κατὰ τὰς ἰδίας αὐτῶν εἴρηται πραγματείας, ἄμεινον ἂν εἴη μηκέτι ἐκτείνειν τὸν λόγον. ἱκανὰ γὰρ καὶ ταῦτα τῷ γε προσέχοντι τὸν νοῦν. οὐδὲ γὰρ ἡμεῖς αὐτὰ παρὰ τῶν μουσῶν ἐμάθομεν, ἀλλ' ἡ τῶν πραγμάτων φύσις, ἀνδρὶ συνετῷ καὶ φιλοπόνῳ καὶ γεγυμνασμένῳ τὸν νοῦν, ὑπαγορεύει τὸ ποιητέον. ὅταν δὲ καὶ τὰς ὁδοὺς τῆς εὑρέσεως τις ὑφ' ἑτέρου διδαχθείσας ἔχῃ, ῥᾷστον αὐτῷ προσέρχεσθαι κατ' αὐτάς. ἱκανὸν δέ σοι μαρτύριον ἔστω τὸ τοὺς τοιούτους ἄνδρας ἔργοις μεγίστοις κοσμῆσαι τὴν τέχνην. ὅσοι δ' ἀσύνετοι, μηδὲν εὑρίσκεσθαι πλέον αὐτοῖς, εἰ καὶ δι' ὅλου τοῦ βίου μυρίων ἔργων ἰατρικῶν αὐτόπται γίγνοιντο. πάμπολλα γοῦν ἐπινοεῖται μέχρι τήμερον, οὐδέπω τοῖς ἔμπροσθεν εὑρημένα. καθάπερ νῦν ἐπὶ Ῥώμης ἐπενόησέ τις ἰᾶσθαι διὰ στόματος ἀκροχορδόνας τε καὶ μυρμηκίας. ἀλλ' ἐπὶ μὲν τῶν ἀκροχορδόνων, ὡς ἂν ἐξεχουσῶν τοῦ δέρματος, οὐδὲν θαυμαστόν. τὸ δὲ τῶν μυρμηκιῶν καὶ μάλιστα ὅσαι τελέως εἰσὶν ἰσόπεδοι τῷ δέρματι, θαυμαστὸν ἐδόκει. ἀλλ' ὅμως καὶ ταύτας πρῶτον μὲν τῇ θέσει τῶν χειλῶν ὥσπερ βδάλλων ἐπεσπᾶτό τε, κἀκ τῆς ῥίζης ἐμόχλευεν. εἶτα τοῖς προσθίοις ὀδοῦσι παραλαμβάνων, ἀθρόως ἐξέσπα. καὶ μὴν καὶ διὰ μυρσίνης σμίλης, καὶ διὰ τοῦ καλουμένου σκολοπομαχαιρίου γεγυμνασμένος ταῖς χερσί, ῥᾳδίως ἄν τις ἐκκόψειεν αὐτὰς ἰδίαν ἐχούσας περιγραφὴν ᾗ χωρίζονται τοῦ πέριξ δέρματος. ὡσαύτως δὲ καὶ διά τινος ἰσχυροῦ πτεροῦ περιτιθεμένου κυκλοτερῶς τῇ μυρμηκίᾳ, ποιούμεθα τὴν ἄρσιν αὐτῆς. χρὴ δὲ σύμμετρον ἔχειν δηλονότι τὴν ἑαυτοῦ κενὴν σύριγγα τὸ πτερὸν τῷ πάχει μυρμηκίας, ἵνα τε πανταχόθεν αὐτὴν ἀκριβῶς σφίγγῃ. κἄπειτα περιστρέψαι μετὰ τοῦ κάτω βιάζεσθαι. τάχιστά τε γὰρ ἂν οὕτω καὶ σὺν αὐτῇ τῇ ῥίζῃ τὴν μυρμηκίαν ὅλην ἐκβάλλοις. εὔδηλον δὲ καὶ ὅτι τὸ πέρας τοῦ περιγλύφοντος αὐτὴν πτεροῦ λεπτόν τε ἅμα καὶ ὀξὺ καὶ ἰσχυρὸν εἶναι χρή. διό τά τε τῶν παλαιῶν ἀλεκτρυόνων εἰς τοῦτο χρήσιμα. καὶ μᾶλλον ἔτι τὰ τῶν ἀετῶν. ἀποτέμνειν δ' αὐτῶν χρὴ πρὸ τῆς ῥίζης τοσοῦτον, ὡς περιλαβεῖν ἱκανῶς τὴν μυρμηκίαν. εὐθὺς δὲ ἀπὸ τῆς ἀποτομῆς, εἰ καλῶς γίγνοιτο, καὶ τὴν ὀξύτητα παρέξεις αὐτῷ. καὶ τοῦτ' οὖν ὁ λογισμὸς εὗρεν, οὐ περίπτωσις. ὅτι δὲ διὰ τῶν ἑλκόντων σφοδρῶς φαρμάκων ἀνασπασθήσεται, καὶ ὅτι διὰ τῶν σηπόντων νεκρωθήσεται, τῷ λογισμῷ μέν τις εὗρε. θαῤῥήσας δὲ χρῆσθαι πρὸς τῆς πείρας ἐμαρτυρήθη. τινὰ μὲν γὰρ ἄντικρύς ἐστι καὶ πρὸ τῆς πείρας πιστά, καθάπερ εἰ τύχοι τὸν ἀρτίως ἐμπεπηγμένον ἐξελεῖν σκόλοπα, καὶ τὸ βέλος, ὅσα τε τοῖς ὀφθαλμοῖς ἐμπίπτει ψαμμία. τινὰ δὲ ἐπινοεῖται μὲν ὑπὸ τοῦ λογισμοῦ, βεβαιοῦται δὲ ὑπὸ τῆς πείρας. ἕνεκα δὲ τοῦ ῥᾷον εὑρίσκειν σε καὶ ἐπὶ σαυτὸν ὁδοὺς τοιαύτας εἰς εὐπορίαν ἰαμάτων, οὐκ ὀκνήσω προσθεῖναί τι παράδειγμα τῶν ἐκ τοῦ προκειμένου γένους. ὀνομάζομεν δὲ αὐτὸ ἐπὶ τὸν ἀριθμὸν τῶν μορίων. ἐπειδὴ γὰρ ἔνια μὲν ἐλλείπει καθάπερ ὀδούς, ἢ δάκτυλος, ἢ ῥινὸς πτερύγιον, ἢ ὠτός τι μόριον, ἢ αἰδοίου δέρμα. τινὰ δὲ πλεονάζει, καθάπερ ἕκτος δάκτυλος, αἵ τ' ἐξοστώσεις καλούμεναι, καὶ τῶν ὀδόντων οἱ παραφυόμενοι τοῖς κατὰ φύσιν. ἐξελεῖν μέν τοι τὸ περιττόν, οὐδὲν χαλεπόν. ἕτερον δὲ γεννῆσαι τῷ μηκέτ' ὄντι παραπλήσιον, ἐπὶ τινῶν μὲν ῥᾷστον, ἐπὶ τινῶν δὲ χαλεπόν, ἐπὶ τινῶν, ἀδύνατον. ἐὰν μὲν δὴ σαρκῶδες ᾖ τὸ λεῖπον, οὐ χαλεπῶς ἄν τις αὐτὸ γεννήσειεν. εἴρηται δ' ἔμπροσθεν ἡ μέθοδος ἐπὶ τῶν κοίλων ἑλκῶν. ἐὰν δὲ ὀστοῦν ᾖ, αὐτὸ μὲν ἀδύνατον, ἀντ' αὐτοῦ δὲ ἕτερόν τι σκληρόν, οὐκ ἀδύνατον ἐργάζεσθαι. λέλεκται δέ τι καὶ περὶ τῆς τῶν φλεβῶν γενέσεως ἔμπροσθεν. ὡς ἐνίοτε μὲν αἰσθητῶς εἴδομεν ἑτέρας νέας γεννηθείσας. ἐνίοτε δ' ἅπαντα μηχανομένων οὐκ ἔφυσαν. εἰ δὲ δάκτυλος ὁ λείπων ἢ τι τοιοῦτον εἴη, παντάπασιν ἀδύνατος ἡ γένεσις αὐτοῦ. λέλεκται δέ τι καὶ περὶ ποσθῆς ἔμπροσθεν, ὅπως ἄν τις αὐτὴν ἐργάσηται. τὰ δ' ἐπὶ ῥινὸς ἢ ὠτὸς ἢ χείλους ἐλλείποντα, γεννῆσαι μὲν ἀδύνατον. εὐπρεπῆ δ' ἐργάσασθαι δυνατόν, ἐὰν ὑποδείρας τις ἑκατέρωθεν τὸ δέρμα, κἄπειτα συναγαγὼν κολλῆσαι δυνηθῇ. καθ' ἕτερον δὲ τρόπον, ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν νοσημάτων, ἀθερώματά τε καὶ στεατώματα. καὶ μελικηρίδες. ἀσκαρίδες τε, καὶ κειρία, καὶ ἕλμινθες. οἵ τε κατ' ἄρθρα καὶ πνεύμονα πῶροι. καὶ οἱ κατὰ νεφροὺς, καὶ κύστιν λίθοι. κοινὸν γὰρ ἐπὶ πάντων αὐτῶν, ἡ τῆς οὐσίας γένεσις, οὐκ οὔσης πρότερον. ἔμπαλιν δὲ κατὰ τὰς ἀλωπεκίας, καὶ τὰς ὀφιάσεις, καὶ τὰς πτιλώσεις, ἔτι τε τὴν φαλάκρωσιν, ἀπώλεια μορίου τινός ἐστι χρησίμως γεγονότος. ὥσπερ οὖν ἐπὶ πάντων τῶν ἄλλων ἐν οἷς γεννηθῆναί τι βουλόμεθα, τὰς κινήσεις τῆς φύσεως ἀκωλύτους ἐργαζόμεθα, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν ἀπολλυμένων τριχῶν. ἔργον γὰρ τῆς φύσεως ἐστίν, ὥσπερ ἡ τῆς σαρκὸς γένεσις ἐν τοῖς κοίλοις ἕλκεσιν, οὕτω καὶ ἡ τῶν τριχῶν ἐπί τε τῆς κεφαλῆς, καὶ τῶν βλεφάρων. ἀναμνησθεὶς οὖν ὧν ἔμαθες ἐν τοῖς φυσικοῖς λόγοις, περὶ τριχῶν γενέσεως, ἐξ ἐκείνων εὑρήσεις τὰς τῆς ἀπωλείας αὐτῶν αἰτίας. ἐδείχθη δ' ὅτι τῶν διαπνεομένων χυμῶν, ὅσον ἰλυῶδές ἐστιν, ἐξ ἀρχῆς τε εὐθέως, τὰς θρίχας ἐγέννησε, καὶ τοῦ λοιποῦ καθ' ὑπὸ φύσιν αὔξάνει. τοῦτ' οὖν ὅταν ἤτοι γ' ἀπόλλυται παντάπασιν, ἢ μοχθηρὸν γεννηθῇ, φθείρεσθαι τὰς τρίχας ἀναγκαῖον ἐστί. καὶ γὰρ οὖν καὶ τὰ φυτὰ κατὰ διττὴν αἰτίαν ἀπόλλυται. ποτὲ μὲν ἀποροῦντα τῆς πρεπούσης ὑγρότητος. ἔστι δ' ὅτε οὐκ οἰκείᾳ χρώμενα. τελέως μὲν ἀπολλυμένου τοῦ τρέφοντος χυμοῦ τὰς τρίχας, ἡ φαλάκρωσις γίνεται. μοχθηροῦ δ' ἀποτελεσθέντος, αἵ τ' ὀφιάσεις καλούμεναι, καὶ αἱ ἀλωπεκίαι. πρῶτον μὲν οὖν εὑρήσεις ἐκ τῆς κατὰ φύσιν αὐτῶν διοικήσεως, τὴν παρὰ φύσιν αἰτίαν. ἐφεξῆς δὲ τῆς θεραπείας εὐπορήσεις, ἐνδεικτικῶς ὑπὸ τῶν κοινῶν ἀγομένης σκοπῶν, ἅπασι τοῖς προειρημένοις. ἐφ' ὧν ἐκ κακοχυμίας, ἤτοι γ' ἄλλο τι πάθος ἢ ἕλκος γίνεται. κωλῦσαι μὲν γὰρ χρὴ, τὸ ἐπιῤῥέον. ἐκδαπανῆσαι δὲ, καὶ διαφορῆσαι τὸ φθάσαν ἐν τῷ πεπονθότι μορίῳ περιέχεσθαι. καθάπερ οὖν ἐπ' ἐκείνων ἑλκῶν καθάρσεις τοῦ λυποῦντος χυμοῦ πρότερον ἐγίγνοντό σοι, τὸν αὐτὸν τρόπον ἐπὶ τῶν τριχῶν αὐτῶν. ἀπ' αὐτῶν δ' ἄρξω τῆς

θεραπείας ἐπεσκεψάμενος ἀκριβῶς ὁποία τις ἡ χρόα γέγονε τοῦ δέρματος, ἐξ οὗ τὰς τρίχας ὁρᾷς ἀπολλυμένας. εἰ μὲν γὰρ λευκοτέρα τοῦ κατὰ φύσιν, ἐπὶ τὴν τῶν φλεγματωδῶν χυμῶν ἀφικνοῦ κάθαρσιν. εἰ δ' ὠχροτέρα πως, ἐπὶ τὴν τῆς τοιαύτης χολῆς, ὥσπερ γε καὶ εἰ μελαντέρα, τὰ τῶν μελάνων ἀγωγὰ δώσεις φάρμακα. πρὸς δὲ τὴν ἀκριβεστέραν τῆς κακοχυμίας διάγνωσιν, οὐ μικρὰ κἀκ τῆς προηγησαμένης διαίτης ὠφεληθήσῃ, μεμαθηκώς γε τίνα μὲν τῶν ἐδεσμάτων, τὸν μελαγχολικὸν ἀθροίζει χυμόν. τίνα δὲ, τὸν τῆς ὠχρᾶς χολῆς καὶ τοῦ φλέγματος. ὅταν οὖν ἤδη θεάσῃ καθαρώτατον ὅλον τὸ σῶμα ὃν, ὡς ἐπὶ καθαρωτάτῳ σώματι, τὸν ἐν τῷ πεπονθότι δέρματι περιεχόμενον χυμὸν ἐκδαπανήσεις τοῖς διαφορητικοῖς φαρμάκοις, φυλαττόμενος ἐν αὐτοῖς, οὕτω θερμὰ καὶ δριμέα προσάγειν φάρμακα ὡς ἑλκωθῆναι τὸ δέρμα. καὶ μέντοι καὶ τὰ ξηραίνοντα σφοδρῶς φυλάττεσθαι χρὴ, μή πως ἅμα τῷ μοχθηρῷ χυμῷ συνεκδαπανήσῃς καὶ τὸν ἐπιρρέοντα χρηστὸν, ὅπερ ἐπὶ τῇ φαλακρώσει γίνεται. ταῦτ' οὖν ἐννοήσας ἐγὼ, πρῶτον ἐχρώμην τοῖς τὰς ἀλωπεκίας θεραπεύουσι φαρμάκοις, βραχύ τι θαψίας. εἶτα προσέχων καθ' ἑκάστην ἡμέραν, ὅπως ἡ τοῦ κάμνοντος φύσις ὑπ' αὐτοῦ διατίθεται. κἄπειδαν ἤτοι γε οἰδισκόμενον ἐπὶ πλέον, ἢ ἀναδερόμενόν πως ἴδω, τοῦ φαρμάκου μὲν ἀφίσταμαι κατ' ἐκείνην τὴν ἡμέραν. ἐπαλείφω δὲ τετηκότι στέατι τὸ μόριον, ἤτοι γε ὄρνιθος, ἢ χηνὸς, ἐπειδὴ λεπτομερέστερα ταῦτα ἐστὶ, καὶ μετὰ βάθος εἰσδύεται. κἄπειτα κατὰ τὴν ὑστεραίαν, εἰ μὲν ἐπιμένοι τι τῶν εἰρημένων, ὁμοίως ἐπαλείφω. μὴ μενόντων δὲ, τῷ φαρμάκῳ χρῶμαι. ὅπως δ' εἰς βάθος δύναιτο, προσανατρίβω τὸ δέρμα τῇ σινδόνι μέχρι τοῦ σαφῶς ἐρυθρὸν γενέσθαι. εἰ γε μὴν μετὰ τὸ λουτρὸν χρῆσθαι βούλοιο τῷ τοιούτῳ φαρμάκῳ, παρὰ τοῦ βαλανείου, τοῦτ' ἐξῆς γινόμενον ἔσται πρόσθεν ὑπὸ τῆς ἀνατρίψεως. καὶ τὰς ἀπολλυούσας δὲ τὰς ἐκ τῶν βλεφάρων τρίχας, οὓς ὀνομάζουσι μίλους, ὁμοίοις μὲν τῷ γένει θεραπεύσεις φαρμάκοις. ἐκλέξῃ δ' ὕλην ἐπιτήδειον τοῖς ὀφθαλμοῖς, μετὰ τοῦ φροντίζειν δηλονότι καὶ τοῦ μὴ παραρρεῖν ἔσω τὸ φάρμακον εἰς τοὺς χιτῶνας αὐτῶν. ὅθεν ἄμεινον τὰ ξηρά. περὶ ὧν ὥσπερ καὶ τῶν ἄλλων ἐν ταῖς ἡμετέραις τῶν φαρμάκων πραγματείαις λέλεκται. νυνὶ γὰρ, ὅπερ ἔφην, ἀρκεῖ μόνα τὰ γένη διεξέρχεσθαι τῶν φαρμάκων, ἄνευ τῶν κατὰ μέρος ὑλῶν, ὅπως μὴ πολλάκις ἀναγκαζοίμην ὑπὲρ αὐτῶν λέγειν. ὅσα μὲν τοίνυν ἀλλότρια τῆς κατὰ φύσιν ἐστὶ διοικήσεως, ἐξαίρειν ὅλα αὐτὰ προσήκει. ὅσα δ' οἰκεῖα μὲν ἀλλὰ διέφθαρταί πως, ἀνασώζειν αὐτὰ καθόσον ἐνδέχεται. λέλεκται δ' ἔμπροσθεν ὡς ἐπαμφοτερίζειν τινά. λέλεκται δὲ ὡς καὶ τῶν ἀλλοτρίων ἔνια, ταῖς οὐσίαις ὅλαις ὄντα ἀλλότρια, ὑγιείας ζητούσης οὐκ ἔστι τὴν θεραπείαν χρησίμης οὔσης κατὰ τὸν τόπον ἐπ' ἐνίων παθῶν. τὸ γάρ τοι πτερύγιον, ὅτι μὲν ἀλλότριόν ἐστι τῆς ὑγιεινῆς καταστάσεως, εὔδηλον εἶναι νομίζω πᾶσιν. οὐ μὴν ἀλλότριόν γε κατὰ τὴν οὐσίαν ἐστὶν, ὥσπερ ἀθέρωμα καὶ μελικηρίς. ἴασις δὲ καὶ τούτου μικροῦ μὲν ὄντος ἔτι καὶ μαλακοῦ διὰ τῶν ῥυπτόντων φαρμάκων, οἷά περ ἐστὶ καὶ τὰ τραχωματικὰ καλούμενα. μεγάλου δὲ καὶ σκληροῦ γενομένου διὰ χειρουργίας. ὁμοίως δὲ καὶ τῶν ὑδατίδων τὰς μεγάλας θεραπευτέον. τὰς μικρὰς δὲ, τὰ ξηραντικὰ τῶν φαρμάκων ὀνίνησι. τὸ δὲ χαλάζιον, ἔστι γὰρ ἐν τι καὶ τοῦτο τῶν ἐν ὀφθαλμοῖς γινομένων ὅλῳ τῷ γένει παρὰ φύσιν ὑπάρχον, ἐκκόπτεσθαι δεῖται. οὕτω δὲ καὶ τὸ πῦον ὑπὸ τῶν ὑποπύων ὀνομαζομένων ὀφθαλμῶν. ἀλλὰ τοῦτο μὲν ὡς τὰ πολλὰ διαφορεῖται φαρμάκοις. ὑπόχυμα δὲ ἀρχόμενον μὲν διαφορεῖται. σύστασιν δ' ἱκανὴν λαβὸν, οὐκέτι. τῶν καθ' ἡμᾶς δέ τις ὀφθαλμικῶν Ἰοῦστος ὄνομα, καὶ διὰ κατασείσεως τῆς κεφαλῆς πολλοὺς τῶν ὑποπύων ἐθεράπευσε. καθίζων μὲν αὐτοὺς ὀρθίους ἐπὶ δίφρου. περιλαμβάνων δὲ τὴν κεφαλὴν ἑκατέρωθεν ἐκ τῶν πλαγίων. εἶτα διασείων οὕτως ὥσθ' ὁρᾶν ἡμᾶς ἐναργῶς κάτω χωροῦν τὸ πῦον. ἔμενε δὲ κάτω. καίτοι τῶν ὑποχυμάτων μὴ μενόντων, εἰ μὴ πάνυ τις ἀκριβῶς αὐτὰ σφηνώσειε, διὰ τὸ βαρὺ τῆς οὐσίας. κουφότερον γάρ ἐστιν ὡς ἂν εἴποι τις εἰκάζων, ἢ νεφελωδέστερον τὸ ὑπόχυμα τοῦ πύου. πλὴν ὅσα καὶ τούτων αὐτῶν ἔνια, λέγω δὴ τῶν ὑποχυμάτων, ὀρρωδεστέρας ὑγρότητος ἐστίν. ἃ δὴ καὶ περικεντούντων, διαλύεται μὲν ἐν τῷ παραυτίκα. χρόνῳ δ' ὕστερον οὐ μακρῷ, καθάπερ τις ἰλὺς ὑποχωρεῖ κάτω. τὸ δ' ἐν τοῖς ὀφθαλμοῖς πῦον ὅταν διαφορῆσαι βουλώμεθα, τοῖς διὰ σμύρνης μάλιστα κολλυρίοις χρηστέον. ἃ δὴ καὶ καλοῦσιν ἰδίως διάσμυρνα. τούτων δ' ἧττον, ἄμεινον δὲ τῶν ἄλλων ἐνεργεῖ τὰ διὰ λιβάνου. τὰ δὲ ἱκανῶς ξηραίνοντα, παραχρῆμα μὲν ἱκανῶς ἐκκενοῖ. τὸ ὑπόλοιπον πήγνυσι δυσλύτως, ὡς ἐπὶ τῶν σκιρρουμένων ἔμπροσθεν εἴρηται. πολλάκις δὲ πῦον ἀθρόως ἐκκενώσαμεν διελόντες τὸν κερατοειδῆ μικρὸν ὑποκάτω τοῦ χωρίου, καθ' ὃ συμφύονται πρὸς ἀλλήλους ἅπαντες οἱ χιτῶνες. ὀνομάζουσι δὲ ἔνιοι μὲν ἶριν, ἔνιοι δὲ στεφάνην τὸ χωρίον. ὥστε καὶ τοῦτο τὸ πάθημα τοῖς τρισὶν ὑποπίπτειν τρόποις τῆς κενώσεως. καὶ διὰ χειρουργίας ἀθρόως ἐκκενοῦσης, καὶ διὰ φαρμάκου κατὰ βραχὺ, καὶ πρὸς ἀκυρότερον ἀπαγόμενον τρόπον, ὡς ἐν ταῖς κατασείσεσι. τοῦ γένους δ' εἰσὶν, ὡς ἔφην, τῶν ὅλαις ταῖς οὐσίαις παρὰ φύσιν ἐχόντων, καὶ αἱ ἀσκαρίδες. αἵ θ' ἕλμινθες, εἴθ' οὖν στρογγύλαι τινὲς εἰσὶν, εἴτε καὶ πλατεῖαι. διὸ καὶ τελέως αὐτὰς ἐξαίρειν χρὴ τοῦ σώματος. ἐξαιρήσεις δὲ, ἀποκτείνας. ἀποκτενεῖς δὲ, τοῖς πικροῖς φαρμάκοις. ζῶσαι μὲν γὰρ, ἀντέχονται τῶν ἐντέρων. ἀποθανοῦσαι δὲ, συνεκκενοῦνται τῇ κόπρῳ. συνεκκενοῦνται δὲ μὲν ζῶσαι καὶ ἔτι σκοτωθεῖσαι, καὶ ὡς ἂν εἴποι τις ἡμιθνῆτες γινόμεναι. τὰς μὲν οὖν στρογγύλας ἕλμινθας, ἱκανὸν ἀποκτεῖναι ἀψίνθιον. ἡ πλατεῖα δὲ, ἰσχυροτέρων δεῖται φαρμάκων, ὁποῖόν ἐστι καὶ ἡ πτερίς. ἔτι δὲ καὶ ἡ καλουμένη ἀσκαρίς, ἀλλὰ περὶ μὲν τῆς τῶν φαρμάκων εὐπορίας, οὐ νῦν πρόκειται λέγειν. ἐνταῦθα οὖν ἤδη τελευτάτω καὶ οὗτος ὁ λόγος. Τέλος.

ΓΑΛΗΝΟΥ ΤΩΝ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΘΕΡΑΠΕΥΤΙΚΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΟΤι μὲν οὐ τὴν κοινὴν μόνον ἁπάντων ἀνθρώπων φύσιν ὦ Γλαύκων ἐπίστασθαι χρὴ τὸν ἰατρὸν, ἀλλὰ καὶ τὴν ἰδίαν ἑκάστου, πάλαι τε πρὸς Ἱπποκράτους ὀρθῶς εἴρηται, καὶ ἡμῖν δὲ ἐπ' αὐτῷ, ὡς οἶσθα τῶν ἔργων τῆς τέχνης ἱκανῶς ἐσπούδασται. οὐ μὴν γράφειν γε δυνατὸν ὥσπερ τὴν κοινὴν, οὕτω καὶ τὴν ἰδίαν ἑκάστου, ἀλλ' ὑπεναντίως ἔχει τὰ γράμματα πρὸς τὰς πράξεις, ἄλλοθί τε πολλαχόθι καὶ οὐχ ἥκιστα ἐν τοῖς νῦν ὑπ' ἐμοῦ προκειμένοις. ἠξίωσας μὲν γὰρ ἡμᾶς ἰαμάτων τινά σοι καθόλου μέθοδον ὑποτυπώσασθαι. περαίνεται δὲ αὕτη διά τε ποιότητος καὶ ποσότητος ἑκάστου τῶν βοηθημάτων, καὶ τοῦ τρόπου τῆς χρήσεως αὐτῶν, καὶ τοῦ πάντων τούτων χαλεπωτάτου διαγνωσθῆναι καιροῦ. περὶ ὃν ὀξὺν ἱκανῶς ὄντα, καθάπερ οὖν καὶ αὐτός φησιν ὁ πάντων ἡμῖν τῶν καλῶν ἡγεμὼν Ἱπποκράτης, σφαλλομένους πολλάκις
ρᾶς οὐ τοὺς τυχόντας μόνον, ἀλλὰ δὴ καὶ τοὺς ἀρίστους ἰατρούς. καὶ μὲν δὴ καὶ ὅτι μέγα τὸ ποσὸν οὐ εὐσόχως συναρ
ισθῆναι εἰς δύναμιν, ὁ αὐτὸς ἀνὴρ ἔγραψεν. ὅταν οὖν εἰς μὲν τὸ καλῶς ἰᾶσθαι μέγας συντελεῖν φαίνοιτο ὅ, τε
καιρὸς καὶ ἡ ποσότης τῶν βοηθημάτων, ἴδια δὲ ταῦτα καθ' ἕκαστον τῶν νοσούντων εὑρήσεις, καὶ μηδὲν ἴδιον
ρμηνεύεσθαι δύναται διὰ λόγου, τὸ κοινὸν οὕτως ἀναγκαζόμεθα γράφειν, κἂν τῇ χρείᾳ δεύτερον ᾖ. καὶ γὰρ οὖν
καὶ ἐπισκοπούμεθα τινὰς ἀρρώστους πολλάκις, οἷς ἔμπροσθεν ὑγιαίνουσιν, οὐκ ἐνετύχομεν. οὔκουν οὐδ' ὅπως εἶχον
ροιᾶς, ἢ χρέσεως ἢ τῆς κατὰ φύσιν θερμασίας, ἢ τῆς τῶν ἀρτηριῶν κινήσεως† γινώσκοντες, ἵν' εἰδότες ἱκανοὶ κριταὶ
γενοίμεθ' ἄν ποτε τῶν νοσημάτων τοῦ μεγέθους. εἰς ὅσον γὰρ ἐξίσταται τῆς φύσεως ἕκαστον, εἰς τοσοῦτον καὶ μεγέ-
θους ἥκει. τὸ δ' ὅσον ἐξίσταται, γνῶναι δυνατὸν μόνῳ τῷ τὴν κατὰ φύσιν ἀκριβῶς ἐπισταμένῳ. τοῦτ' οὖν ἀγνοοῦντες ἐπ'
αὐτῶν, ἵνα μὴ παντάπασιν ἀπορῶμεν, ἐπὶ τὸ κοινὸν ἀφικνούμεθα. πλέον δέ τι κἂν τούτῳ τῶν ἀτέχνων ὁ τεχνίτης
ἔχει. καὶ τί τὸ πλέον; Ἱπποκράτης μὲν καὶ αὐτὸς πρῶτος ἁπάντων ὧν ἴσμεν, γέγραφεν. † ὑπεμνήσαντο δὲ ἐπὶ πλέον
τῶν μετ' αὐτὸν ὅσοι τῶν ἐκείνου συνῆκαν γραμμάτων· ὧν εἷς ἦν καὶ Μνησίθεος ὁ Ἀθηναῖος, ἀνὴρ τά τε ἄλλα ἱκανὸς
τὰ πάντα τὰ τῆς τέχνης, καὶ εἰς ὅσον χρὴ μεθόδῳ τὴν ἰατρικὴν τέχνην ἀσκεῖν, οὐδενὸς ἐπιγνῶναι δεύτερος. οὗτος
ὁ Μνησίθεος, ἀπὸ τῶν πρώτων καὶ ἀνωτάτω γενῶν ἀρξάμενος, ἀξιοῖ τέμνειν αὐτὰ κατ' εἴδη τε καὶ γένη καὶ δια
φοράς. εἶτ' αὖθις τὰ τεμνόμενα τέμνειν ὁμοίως, τἀκεῖνα πάλιν ὡσαύτως, ἔστ' ἂν ἐπί τι τοιοῦτον εἶδος ἀφικώμε
θα μεθ' ὃ, τέμνοντες ἄχρις οὗ τὸ τεμνόμενον, εἰς ἐν τῷ ἀριθμῷ, καὶ ἄτομον ἤδη τελευτήσωμεν. ταῦτ' ἀρκεῖ μοι πρὸς
σὲ διὰ βραχέων, ἃ βούλομαι δεδηλῶσθαι. καὶ γὰρ ἂν εἴην γελοῖος, εἰ σὲ διδάσκοιμι τὰ σὰ, ὥσπερ οὐχὶ παρὰ
Πλάτωνος αὐτὰ πάλαι μεμαθηκότα. οὐ δὲ γὰρ ὥστε διδάξαι σέ τι πῶς περὶ τὴν κατὰ τὴν τοιαύτην διαίρεσιν μεθό
δον τὴν ὑπόμνησιν ἐποιησάμην, ἀλλ' ὅτι μοι πρὸς τὸν ἐφεξῆς λόγον ἅπαντα χρήσιμον αὐτὴν ἔσεσθαι νομίζω. καὶ
τὴν αἰτίαν ὧν ἑκάστοτε σφαλλομένους ὁρᾷς τοὺς πλείστους τῶν ἰατρῶν, ἀξιοῦν τί σοι μαθεῖν, οὐκ ἐνῆν ἄλλως ἐνδείξασθαι.
καὶ γὰρ καὶ τὰ κατὰ τὰς ἄλλας αἱρέσεις σφάλματα, καὶ ὅσα νῦν ἐπὶ τῶν νοσούντων οἱ πολλοὶ τῶν ἰατρῶν ἁμαρτάνουσι,
πρώτην καὶ μεγίστην αἰτίαν ἔχει, τὸ μοχθηρὸν τῆς διαιρέσεως. οἱ μὲν γὰρ ἐπὶ τῶν πρώτων καὶ ἀνωτάτω γενῶν μένου-
σιν, ἀρκούμενοι ταῖς ἀπὸ τούτων ἐνδείξεσιν. οἱ δὲ, μέχρι μέν τινος ἔτεμον, οὐ μὴν πρός γε τὸ τέλος ἐξίκοντο. πολ-
λοὶ δὲ καὶ μοχθηραῖς ἐχρήσαντο διαιρέσεσιν. ὅστις δὲ καὶ τὰ κατὰ φύσιν ἅπαντα καὶ τὰ παρὰ φύσιν εἰς τὴν τοιαύτην
ἐνάγων μέθοδον, ἐξ ἁπάντων τούτων τῶν κατὰ τὴν διαίρεσιν ἀνενδεῆ λαμβάνοι τὴν ἔνδειξιν μόνος ἂν οὗτος εἰς ἀν
θρωπίνην δύναμιν ἀναμάρτητος εἴη περὶ τὰς ἰάσεις. καὶ τούς τε γινωσκομένους ἄμεινον τῶν ἄλλων ἰῷτο, καὶ τοὺς ἀ-
γνοουμένους εἰς ὅσον οἷόν τε καὶ τούτους ἐγγυτάτω τῶν γινωσκομένων. εἰ γοῦν διορίσαιτό τις πρῶτον μὲν τὴν κατὰ τὰς ἡλι
κίας διαφορὰν, ἐφεξῆς δὲ τὴν κατὰ τὰς κράσεις, καὶ τὰς δυνάμεις, καὶ τἄλλα τὰ τοῖς ἀνθρώποις ὑπάρχοντα, χροιὰς λέ
γω καὶ θερμασίας, καὶ χρέσεις, καὶ σφυγμῶν κινήσεις καὶ ἔθη, καὶ ἐπιτηδεύματα. καὶ τὰ τῆς ψυχῆς ἤθη. προσθείη δὲ
τούτοις, καὶ τὴν ὡς ἄρρενος πρὸς θῆλυ διαφορὰν ὅσα τε κατὰ τὰς χώρας καὶ τὰς ὥρας τοῦ ἔτους, καὶ τὰς ἄλλας τοῦ
περιέχοντος ἡμᾶς ἀέρος καταστάσεις ὡς χρὴ διορίσασθαι, πλησίον ἂν ἥκοι τῆς ἰδίας τοῦ κάμνοντος φύσεως. ἀλλὰ
πάντων τούτων τὰ μὲν, ἐν τοῖς περὶ σφυγμῶν. τὰ δὲ, ἐν τοῖς περὶ κράσεων διώρισται, ὥσπερ γε καὶ τῶν παρὰ φύσιν
ἁπάντων ὅσαι κατ' εἴδη τε καὶ γένη διαφοραὶ τυγχάνουσιν οὖσαι, πάσας ἐν τῷ περὶ παθῶν διοριζόμεθα λόγῳ.
νυνὶ δὲ ὁ μὲν λόγος ἡμῖν ἅπας, ἔσται περὶ τῶν τοιούτων ἀρρώστων, ὧν τὴν φύσιν ἀκριβῶς ἐπιστάμεθα πρὸ τῆς νόσου. συνε
πινοηθήσονται δὲ αὐτοῖς καὶ οἱ λοιποὶ πάντες ὧν ἠγνοοῦμεν. οὐδὲν γοῦν ἦν χαλεπὸν ἀπὸ τῶν τελέως διωρισμένων, καὶ τὸ
μὴ τοιοῦτον ἐξευρίσκειν. Ἀρξώμεθα οὖν ἀπὸ τῶν πυρετῶν, ἐπειδὴ καὶ σὺ τῆς τούτων ἰάσεως μάλιστα ἠξίου σοι τὴν μέθο-
δον λεχθῆναι. καὶ πρῶτον εἴπωμεν περὶ τῶν ἁπλουστάτων, οὓς Ἱπποκράτης ἐφημέρους καλεῖ. οὗτοι δέ εἰσιν οἵ τε διὰ
κόπους γινόμενοι, καὶ μέθας, καὶ ὀργὰς, καὶ λύπας, καὶ θυμοὺς, καὶ τὰς ἄλλας φροντίδας τῆς ψυχῆς τὰς συντόνους.
καὶ οἱ ἐπὶ βουβῶσι δὲ πυρετοὶ τούτου τοῦ γένους εἰσὶ, πλὴν εἰ μὴ χωρὶς ἕλκους φανεροῦ γένοιτο. τηνικαῦτα γὰρ ὕποπτοί
τε εἰσὶ, καὶ οὐδαμῶς ἐπιεικεῖς. καὶ ἀγρυπνία δὲ πολλάκις ἤνεγκεν ἁπλοῦν πυρετὸν ὥσπερ οὖν, καὶ ψύξις ποτὲ, καὶ ἔγ
καυσις. οὗτοι πάντες οἱ πυρετοὶ ῥᾷστοι λυθῆναι δύνανται. χρὴ γοῦν ἐπί τε λουτρὰ ταχέως ἄγειν αὐτοὺς, καὶ τὴν ἄλλην
τὴν συνήθη δίαιταν. ὡς ὅσοι γε τὴν πολυθρύλλητον διάτριτον ἐπὶ πάντων τῶν τοιούτων ἐκδέχονται, δριμυτέρους
πολλάκις εἰργάσαντο τοὺς πυρετοὺς, καί τι καὶ ἄλλο προσεξαμαρτάνοντες. ὥσπερ οὖν ὁρᾷς τοὺς πολλοὺς αὐτῶν καθ'
ἑκάστην εἴσοδον ἁμαρτάνοντας, ὡς καὶ χειροποίητα ὄντως ἐργάζεσθαι νοσήματα. τὰ μὲν διὰ τῆς θεραπείας, τοῖς

†al. omittuntur

†al. ἐζητήσαντο

τοιούτοις πυρετοῖς πρόχειρα. τὰ δὲ τῆς διαγνώσεως, ἀκριβείας πλείονος δεῖται, καὶ οὐδεὶς πρό γε ἡμῶν ἔγραψεν αὐτὰ εἰς ὁδὸν ἐχρῆν. ὥστ' οὐδὲν θαυμαστὸν εἰς τοσοῦτον ἁμαρτάνειν τοὺς πολλοὺς ἐν ταῖς ἰάσεσιν, εἰς ὅσον καν ταῖς διαγνώσεσι σφάλλονται. πολλάκις γοῦν ἤρξαντο τινὲς νοσημάτων χαλεπῶν κατά τινα σύντυχίαν, οἷον οἰνωθέντες, ἢ ἐκκαυθέντες, ἢ ψυχθέντες, ἢ κοπωθέντες, ἢ ἀγρυπνήσαντες, ἢ θυμωθέντες, ἢ ὁπωσοῦν ἄλλως αἰτίᾳ τινὶ συσχεθέντες τῶν καθ' αὐτὰ βλάπτειν πεφυκότων. εἶτα οἰηθέντες τὸ πᾶν διὰ τὸ προηγησάμενον αἴτιον, οὐδ' ἄλλην τινὰ γεγονέναι διάθεσιν, ἀφυλακτότερον διαιτηθέντες, ἔλαθον ἑαυτοὺς εἰς ἀνίατον, ἢ καὶ δεινῶς δυσίατον ἐμβάλλοντες νόσημα. τοῦτ' οὖν χρὴ περὶ παντὸς πρόνοιαν πεποιῆσθαι καθόλου καὶ Ἱπποκράτης παραινεῖ προγινώσκειν, οὐ τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ τὰ προγεγονότα καὶ τὰ παρόντα. καὶ γὰρ οὖν καὶ τὸ νῦν προκείμενον, ἐκείνου τοῦ μέρους τῆς τέχνης ἐστὶ, καὶ ἡμεῖς αὐτὸ καθόσον οἷόν τε σαφῶς γράψομεν. οὐ σμικρὰ γὰρ ἡ διαφορὰ λούειν ἤδη τὸν κάμνοντα, καὶ θαρρεῖν κελεύειν, ἢ διὰ πάσης φυλακῆς τε καὶ ἀσφαλείας ἄγειν. εἰσελθόντας οὖν χρὴ πρὸς τὸν ἀσθενοῦντα, πρῶτον μὲν ἀπὸ τῶν μεγίστων σκοπεῖσθαι τὰ κατ' αὐτόν. ἔπειτα δὲ καὶ ἀπὸ τῶν ἄλλων, μὴ δὲ ὡς οἷόν τε μηδὲ τῶν ἐλαχίστων παραλείποντας. τὸ γὰρ μᾶλλον ἢ ἧττον, τῇ παρὰ τῶν μεγίστων ἐνδείξει πιστεύειν, ἐκ τῆς τῶν ἄλλων προσθήκης γίνεται. μέγιστα μὲν δὴ τοῖς πυρέττουσιν ἅπασιν, ἔν τε τοῖς σφυγμοῖς ἐστι καὶ τοῖς οὔροις γνωρίσματα. προστιθέναι δὲ χρὴ τούτοις, καὶ τἄλλα σύμπαντα τά τε περὶ τὸ πρόσωπον παρ' Ἱπποκράτους εἰρημένα, καὶ τὰ τῶν κατακλίσεών τε καὶ τὰ τῆς ἀναπνοῆς. καὶ ὅσα κάτω τε καὶ ἄνω κενοῦται. καὶ μὲν δὴ καὶ ἔτι σύμπτωμα περὶ ὁτιοῦν μόριον τοῦ σώματος ἢ ἐνέργειαν αὐτοῦ συνιστάμενον βλέποις, οἷα δὴ μυρία ἐπὶ μυρίοις ἐκεῖνος ἔγραψε, μὴ δὲ τούτων ῥαθύμως μηδὲν παρέρχεσθαι. ταῦτα μὲν δὴ ἐπὶ πάντων κοινὰ τῶν πυρετῶν. ὥς τε κἀν τοῖς ἁπλουστάτοις ὑπὲρ ὧν ὁ ἐνεστηκὼς λόγος, οὐδὲν οὐδὲ τούτων χρὴ παραλιπεῖν. ἀλλ' ἐπειδὰν σοι τά τε τῶν σφυγμῶν, καὶ τὰ τῶν οὔρων ἐνδείξηται τὸ ἦθος τοῦ πυρετοῦ, τῶν μὲν σφυγμῶν, μήτε τὸ τῆς φλεγμονῆς σημεῖον ἐχόντων, μήθ' ὅλως τὸ κατὰ μίαν προσβολὴν τῆς ἀρτηρίας ἀνώμαλον. εἰ δὲ καὶ ἔχοιεν, τούτων μὲν παντάπασιν ἀμυδρὸν ἐχόντων, τῶν οὔρων δὲ, ἢ πάντη τοῖς κατὰ φύσιν ἐοικότων ἢ μὴ πολὺ τῆς φύσεως ἐξισταμένων, τόθ' ἥκειν χρὴ καὶ ἐπὶ τἄλλα σύμπαντα τὰ πρόσθεν εἰρημένα. κἂν πάντα δι' ἑνὸς ὥσπερ χορὸς συμφώνως ἅπαντα φθέγγονται, θαρρεῖν τε ἤδη χρὴ, καὶ εἰ βούλοιο προσανερέσθαι, μή τι προηγήσατο φανερὸν αἴτιον. εἰ γοῦν τι καὶ τοιοῦτον ὁμολογήσει ὁ νοσῶν, ἀναμείνας τὴν πρώτην λύσιν τοῦ πυρετοῦ λούειν αὐτίκα, πιστοτέρας σοι τῆς διαγνώσεως καὶ κατ' αὐτὸ τὸ τῆς λύσεως εἶδος γινομένης, ἤτε γὰρ τῶν ἀρτηριῶν κίνησις, ἐν τῷδε κατὰ πᾶν ἐξομοιοῦται τῇ τῶν ὑγιαινόντων, οὐδενὸς τῶν ἄλλων πυρετῶν εἰς τὸ κατὰ φύσιν ἐπανιόντος, οὐδ' εἰ πάμπολυς ὁ μεταξὺ χρόνος τῆς τε προτέρας τελευτῆς, καὶ τῆς δευτέρας ἀρχῆς εἴη. καθάπερ ἐν τριταίοις τε καὶ τεταρταίοις. ἐν ἐκείνοις μὲν γὰρ ἀεὶ παραμένει τὸ τοῦ πυρετοῦ σημεῖον. ἐν δὲ τοῖς ἐφημέροις συνεξαλείφεται πᾶν τοῦ † παροξυσμοῦ παυομένου. τοῖς πλείστοις, δὲ αὐτῶν καὶ νοτίδες. ἔστι δ' οἷς καὶ ἱδρῶτες ἐπιφαίνονται χρηστοί. ἢ πάντως γε οἷον ἀτμός τις πολὺς ἐκ τοῦ βάθους ἀναφέρεται. ἀλλὰ καὶ τὰ οὖρα πολὺ βελτίω νῦν, ἢ κατὰ τὴν ἀρχὴν τοῦ πυρετοῦ φανεῖταί σοι. καὶ εἰ κεφαλῆς. ἢ τινὸς ἄλλου μέρους ἄλγημα συνεπέβαλεν, οὐδὲ τοῦτ' ἂν ἔτι μένοι. καὶ ἡ τοῦ κάμνοντος εὐφορία, μέγιστόν τι καὶ αὕτη σημεῖον οὖσα, καθάπερ τις σφραγὶς ἐπὶ πᾶσι τοῖς ἄλλοις, ἐνδείξεταί σοι τὴν ἐπιείκειαν τοῦ πυρετοῦ. καὶ εἰ λουομένοις δὲ αὐτοῖς μήτε φρίκη ἀήθης διοχλοίη, μήτ' ἄλλη τις ἀηδία καὶ εἰ μετὰ τὸ λουτρὸν ἐφεξῆς ἐν εὐφορίᾳ μένοι, θαρρῶν ἤδη τρέφοις ἂν αὐτούς. καὶ οἴνου παρέχοις ἀδεῶς πίνειν. ὅσον τοῖς παροῦσι μέτριον. ἡμεῖς δὲ, ὡς οἶσθα, πειρώμεθα λέγειν αὐτοῖς τὸ προηγησάμενον αἴτιον, οὐ περιμείναντες ἐρέσθαι τὸν κάμνοντα. καὶ ἔστι μέγιστον σημεῖον εἰς τὸ μηδὲν σφάλλεσθαι, τὸ τοιαύτην τινὰ πεπορίσθαι δύναμιν. εἰ μὲν τοι μενόντων ἔτι τῶν τῆς ψυχῆς παθῶν ἡ ἐπίσκεψις γίγνοιτο, διὰ τῶν σφυγμῶν μάλιστα πειρᾶσθαι διαγινώσκειν, ὡς ἐν τοῖς περὶ σφυγμῶν γέγραπται. μετὰ τούτοις δὲ καὶ τὴν ἀπὸ τῶν ἄλλων ἀπάγειν διάγνωσιν. εἰ δ' αὐτὰ μὲν εἴη πεπαυμένα μένοι δὲ ἡ διάθεσις ἀμυδρὸν μέν τι καὶ κατὰ τοὺς σφυγμοὺς εὑρήσεις γνώρισμα τῶν ποιησάντων τὸν πυρετὸν παθῶν, ἀρκέσει δέ σοι καὶ χωρὶς τῶν σφυγμῶν τὰ λοιπά. κοινῶς μὲν γὰρ ἅπασι τὰ οὖρα, πυρρά. πρόσεστι δὲ, τοῖς μὲν διὰ λύπην, δριμύτης μᾶλλον ἢ πλῆθος θερμασίας. ὡς τοῖς γε διὰ θυμὸν ἔμπαλιν. ἀλλὰ καὶ ἡ ἰσχνότης τοῦ σώματος ἐπιδηλοτέρα τοῖς λυπηθεῖσιν ἢ φροντίσασι. καὶ ἡ τῶν ὀφθαλμῶν κοιλότης. καί τις ἀήθης ἀχροία. ταῦτα μὲν δὴ καὶ τῶν ἄλλως ὁπωσοῦν φροντισάντων κοινά. μάλιστα δὲ τοῖς ὀφθαλμοῖς διορίζειν χρή. ἔνεστι γὰρ ἐκ τούτων τεκμαίρεσθαι, κἀν τοῖς ὑγιαίνουσι μὲν τὸ τῆς ψυχῆς ἦθος, καὶ νοσούντων δὲ, σαφέστερα τὰ σημεῖα τῷ γε δυναμένῳ συνορᾶν ἀκριβῶς. οὕτω μὲν οὖν τοὺς διὰ μαθήματα καὶ θεωρίαν τινὰ φροντίσαντας, τῶν λυπηθέντων διακρίνειν προσήκει. τοὺς δὲ ἐπ' ἀγρυπνίαις, διορίζειν μὲν καὶ τὸ τῆς ἀχροίας εἶδος. ὕποιδον γὰρ ἐστιν αὐτοῖς τὸ πρόσωπον. καὶ ἡ τῶν ὀφθαλμῶν δὲ κίνησις, δήλη. μόλις γοῦν ἐπαίρουσι τὰ βλέφαρα. καὶ ἡ ὑγρότης δὲ ἐν τοῖς βλεφάροις. ξηροὶ γὰρ γίνονται τοῖς λυπηθεῖσιν, ἢ φροντίσασιν. ἡ κοιλότης δὲ κοινὸν ἁπάντων σύμπτωμα, λύπης. ἀγρυπνίας. φροντίδος. οὐ μὴν ἤδη γε καὶ θυμοῦ. τούτων γὰρ οὔτε τὰ κοιλότητος τῶν ὀφθαλμῶν, οὔτε τὰ τῆς ἀχροίας ἐπίδηλα. καὶ ἡ θερμασία πλείων τε καὶ ὠκέως ἐκ τοῦ βάθους ἀναφερομένη, καὶ τὸ μέγεθος τῶν σφυγμῶν οὐ καθαιρεῖται, καθάπερ ἐπ' ἀγρυπνίας τε καὶ λύπης, καὶ φροντίδος. ὥς τε θυμοῦ μὲν, καὶ πάνυ σαφῶς αὐτὰ διορίζεις. ἀλλήλων δ' ἐκεῖνα καθότι προείρηται. τῶν δ' ἐπὶ κόποις † πυρεττῶν, τὸ δέρμα ξηρότερον, ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν. ἀλλὰ τοῦτο μὲν ἅπασι τοῖς ἐπὶ κόπῳ πυρέξασι κοινὸν, ἔν γε τῷ μέχρι τῆς ἀκμῆς τοῦ παροξυσμοῦ χρόνῳ. τὸ δ' ἀπὸ τοῦδε, τοῖς πλείστοις μὲν ὅσοι γε μὴ ὑπερεπόνησαν ἰκμάδες τινὲς ἢ ἀτμὸς θερμὸς ἐκ τοῦ βάθους ἀναφέρεται. τισὶ δὲ κἀν τοῖς μετὰ τὴν ἀκμὴν χρόνοις ἡ ξηρότης παραμένει. γίνεται δὲ τοῦτο μάλιστα τοῖς ὑπερπονήσασιν, ἢ ψυχθεῖσιν, ἢ ἐγκαυθεῖσιν ἅμα τῷ κόπῳ. καὶ μὲν δὴ καὶ τὰ τῶν σφυγμῶν, οὐχ ὡσαύτως ἐν ἀμφοτέροις ἔχει. μικροὶ μὲν γοῦν τοῖς ὑπερπονήσασι. μεγάλοι δ' εἰσὶ τοῖς ἄλλοις. οἱ δ' ἐπὶ πυκνώσει τοῦ δέρματος γινόμενοι πυρετοί, πυκνοῦται δὲ τοῦτο, ἢ ψυχόμενον, ἢ ποιότητος αὐτῷ στρυφνῆς ἀθρόως προσπεσούσης, οἷόν τι καὶ τῷ λουσαμένῳ ἐν ὕδατι τῷ στυπτηριώδει ἐγένετο. οὗτοι μόνοι πάντων τῶν πυρετῶν, στεγνόν εἰσι πάθος. ἔνεστι δὲ αὐτοὺς τῇ ἀφῇ διαγινώσκειν, ὥσπερ καὶ τοὺς αὐχμώδεις τῶν πυρετῶν, καὶ

τοὺς ἐπὶ

† al. τῶν παροξυσμῶν παυομένων

† al. πυρεττόντων

τοὺς ἐπὶ τοῖς κόποις, καὶ τοὺς ἐπ' ἐγκαύσεσιν. οὐδὲ γὰρ ἂν ἡ τούτων πύκνωσις ἀφὴν γεγυμνασμένην διαλάθοι. ἀτὰρ οὖν καὶ ἡ τῆς θερμασίας κίνησις, ἐπαναδιδοῦσα πως ἐστί. πραεῖα μὲν, κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς φαινομένη. δριμεῖα δὲ, εἰ χρονίσειας ἐπὶ πλεῖον γιγνομένη. οὐ μὴν οὐδὲ τὰ οὖρα πυῤῥὰ τοῖς τοιούτοις, οὐδὲ ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν. οὔκουν οὐδὲ οἱ ὀφθαλμοὶ κοῖλοι καὶ ξηροὶ γίνονται. ἀλλ' ἔστιν οἷς ὑγρότεροί τε καὶ προπετέστεροι δόξουσιν εἶναι τῶν κατὰ φύσιν. οὐδ' οἱ σφυγμοὶ μικρότεροι καθάπερ ἐπὶ λύπης, ἢ φροντίδος, ἢ ἀγρυπνίας, καὶ τοῖς ἄγαν ἀμέτροις γυμνασίοις χρωμένοις. Τοῖς δ' ἐπὶ βουβῶσι πυρετοῖς ἐφημέροις, οἱ σφυγμοὶ μέγιστοι γίνονται, καὶ πυκνοὶ, καὶ ὠκεῖς, καὶ ἡ θερμασία πολλή. καὶ μετὰ τὴν ἀκμὴν εὐθὺς ἐκ τοῦ βάθους ἀναφέρεταί τις ἰκμάς. θερμὴ μὲν, ἀλλ' ἡδεῖα. τὸ γὰρ δριμὺ, καὶ τὸ δάκνον ἥκιστα πυρετῶν πάντων τοῖς τοιούτοις ὑπάρχει. καὶ τὸ πρόσωπον ἐρυθρὸν αὐτοῖς γίνεται τοὐπίπαν, καὶ ἐν ὄγκῳ μείζονι, καὶ τὰ οὖρα ὑπόλευκα. κοινὸν δὲ τοῖς τοιούτοις ἅπασι πυρετοῖς τοῖς ἐφημέροις, ἡ ὁμαλότης τοῦ σφυγμοῦ. παντελῶς γὰρ ἐξ αὐτῶν, ὀλίγοι, τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν ἐμφαίνουσιν. ἀλλ' οὐδ' οὗτοι πάνυ σαφῶς, οὐδὲ ἐναργῶς. τοιαῦτα μὲν αὐτῶν τὰ γνωρίσματα. θεραπεύειν δὲ χρὴ λουτρῷ μὲν ἅπαντας. ἀλλὰ τοὺς μὲν ἐπὶ πυκνώσει τοῦ δέρματος, ἢ ἐπὶ βουβῶσιν, οὐδ' εἰ ἐν τῷ ἀέρι τοῦ βαλανείου χρονίσαι κελεύσειας, οὐδὲν βλάψεις. τοὺς δ' ἄλλους ἅπαντας, ὅτι τάχιστα τοῦ ἀέρος ἀπάγειν. ἐν δὲ τῷ ὕδατι κἂν ἐπὶ πλεῖστον ἐθέλοιεν διατρίβειν, ἐπιτρέπειν. ἐλαίῳ δὲ χλιαρῷ καὶ πολλῷ, καὶ μαλακαῖς χερσὶν ἀνατρίβειν ἐπιπλέον. μάλιστα μὲν τοὺς κοπωθέντας. ἐφεξῆς δ' αὐτῶν, τοὺς στεγνωθέντας. καὶ τρίτους τοὺς ἐπὶ βουβῶσι πυρέξαντας καὶ λούειν δὲ πολλάκις, εἰς ὅσον ἐγχωρεῖ τοὺς τοιούτους. ἐσθίειν δὲ, τοὺς μὲν ἐπὶ τοῖς κόποις ἐνδέχεται πολλάκις. οὐ μὴν οὔτε τοὺς στεγνωθέντας, οὔτε τοὺς ἐπὶ βουβῶσι πυρέξαντας. ἀλλὰ τούτοις ἀμφοτέροις, ἡ λεπτὴ δίαιτα χρηστή. τοὺς δ' ἐπὶ τοῖς κόποις ὅσα καλῶς πέψαι δύνανται κελεύειν ἐσθίειν ἀπεψίαν μόνον φυλαττομένους. ἀλλὰ καὶ οἴνου πίνειν, εἰς ὅσον ἂν καὶ τούτου κρατεῖν δύνανται. σκοποὶ δ' ἂν εἶεν τοῦ μέτρου, οἵπερ δὴ καὶ τῶν ἄλλων ἁπάντων, ἥτε δύναμις, καὶ ἡ ἡλικία τοῦ νοσοῦντος καὶ ἡ φυσικὴ κρᾶσις, ἔθη τε καὶ ὧραι, καὶ χῶραι, καὶ τὰ ἄλλα τὰ τοιαῦτα. τοὺς δ' ἐπὶ βουβῶσι πυρέξαντας, εἴργειν οἴνου, πρὶν τοὺς βουβῶνας λυθῆναι. τῶν δὲ στεγνωθέντων ἢ ψυχθέντων, τοὺς μὲν ἐπ' ὀλίγον τοῦτο παθόντας, ἥκιστά τε πληθωρικοὺς, οὐ χρὴ κωλύειν οἴνου προσφέρεσθαι, τοὺς δὲ ἐπὶ πλέον ψυχθέντας ἢ πληθωρικοὺς, κωλύειν συμφέρει. τοὺς, δ' ἐπ' ἀγρυπνίαις ἢ τινὶ πάθει ψυχῆς πυρέξαντας, ἐπὰν λύσῃς, ὑγρᾷ νοσῇ τε καὶ εὐχύμῳ τροφῇ διαιτᾶν. οἴνου δὲ μάλιστα μὲν τοῖς ἀγρυπνήσασιν ἀδεῶς διδόναι πᾶσι, πλὴν εἰ μὴ κεφαλὴν ἀλγοῖεν, ἢ οἱ κρόταφοι σφύζοιεν. ὃ δηλονότι καὶ ἐν τοῖς ἄλλοις φυλακτέον, ἀλλὰ καὶ τοῖς ὀργισθεῖσιν, ἢ λυπηθεῖσιν, ἢ φροντίσασιν οἴνου διδόναι. τοῖς θυμωθεῖσι δὲ ἡνίκα ἔξω παντελῶς τοῦ πάθους ὦσι, πρότερον δ' οὐκ ἀσφαλὲς οἴνῳ χρῆσθαι. πειρᾶσθαι δὲ καὶ τὸ ἐναντίον ἀντεισάγειν ἀεὶ τῷ λυπήσαντι. κόπῳ μὲν, ἀνάπαυσιν. ἀγρυπνίᾳ δὲ, ὕπνον. ὀργῇ δὲ καὶ λύπῃ καὶ θυμῷ, τὴν ἐν λόγοις τε καὶ πράξεσι, καὶ θεάμασι, καὶ διηγήμασι θυμηδίαν, οὕτω δὲ καὶ ὁ φροντίσας ἐπ' αὐτῷ τελέως ἀναπαυσάτω τὸν λογισμόν. καὶ ὁ διὰ βουβῶνα πυρέξας, αὐτόν τε τοῦτον ἐξιάσθω, καὶ πολὺ πρότερον αὐτοῦ τὸ ἕλκος ἐφ' ᾧ συνέστη. ταῦτά σοι πυρετῶν ἐφημέρων ἔστω γνωρίσματά τε ἱκανὰ καὶ ἰάματα. τῶν δ' ἄλλων πυρετῶν οἱ μὲν, ἐπὶ φλεγμοναῖς, οἱ δ' ἐπὶ χυμοῖς ἀνάπτονται. καὶ εἰσὶν οἱ μὲν ἐπὶ ταῖς φλεγμοναῖς, οἷον συμπτώματά τινα τῶν φλεγμαινόντων μορίων. καὶ τοὔνομά γε τῷ νοσήματι παρωνύμως τὰ πολλὰ ἀπὸ τοῦ πάσχοντος ὀργάνου, φρενῖτις, ἢ περιπνευμονία, ἢ πλευρῖτις, ἢ τι τοιοῦτον ἄλλο. περὶ μὲν δὴ τῶν τοιούτων ὕστερον ἐροῦμεν. οἱ δ' ἐπὶ χυμοῖς ἀναπτόμενοι πυρετοὶ καλοῦνται τὸ αὐτὸ τοῦτο πυρετοὶ, καὶ εἰσὶν οὐ συμπτώματα νοσημάτων, ἀλλ' αὐτοὶ νοσήματα. τούτων δὲ, τινὲς μὲν, ἄνευ συμπτωμάτων, οἵπερ δὴ καὶ ἐπιεικέστατοί εἰσι. τινὲς δ' ἅμα συμπτώμασιν ἐνοχλοῦσιν. εἰρήσεται δ' ἡμῖν περὶ προτέρων τῶν ἄνευ συμπτωμάτων πυρετῶν. ἐν οἷς μάλιστα μὲν εἰ οἷόν τε κατὰ τὴν πρώτην ἡμέραν διαγνωστέον, οἷός τίς ἐστιν ὁ πυρετὸς, ἆρά γε χρόνιος, ἢ ὀξύς. καὶ πότερον, τῶν διαλειπόντων, καλουμένων ἢ τῶν συνεχῶν. εἰ δὲ μὴ οἷόν τε περὶ τὴν ἡμέραν τὴν πρώτην. ἀλλὰ τῇ δευτέρᾳ γε πειρατέον ἐξευρεῖν τὴν ἰδέαν τοῦ πυρετοῦ. μηδενὸς δὲ μηδ' ἐν ταύτῃ βεβαίως διαγνωσθέντος, ἐν γοῦν τῇ τρίτῃ, πάντως φανήσεταί σοι σαφέστερόν τι. παντελῶς γὰρ ὀλίγοι πυρετοὶ τῆς τε τρίτης ἡμέρας δέονται πρὸς ἀκριβῆ διάγνωσιν. ἐρῶ δέ σοι καθόσον οἷόν τε διὰ βραχέων σημεῖα, δι' ὧν ἐπιγνώσῃ τὸ εἶδος τοῦ πυρετοῦ. μακρότερον δὲ καὶ σαφέστερον ἑτέρωθι πάντα λέλεκται. τοὺς μὲν οὖν μετὰ ῥίγους εἰσβάλλοντας, οὐκ ἂν ἀπὸ τρόπου τῶν κατὰ περίοδον ἐνοχλούντων ὑπολάβοις εἶναι. τριταῖοι γὰρ καὶ τεταρταῖοι μετὰ ῥίγους τοὐπίπαν παροξύνουσιν. ἀλλ' οἱ μὲν τριταῖοι, εὐθὺς ἐν τῇ πρώτῃ καταβολῇ πολλάκις μετὰ σφοδροῦ τοῦ ῥίγους ὑπήρξαντο. τεταρταῖον δ' οὐκ οἴδαμεν μετὰ σφοδροῦ ῥίγους ἀρξάμενον, ἀλλ' ἐν τῷ χρόνῳ τὸ μέγεθος αὐτῷ προσγίνεται σὺν τῷ μὴ δὲ εὐθὺς ἀπ' ἀρχῆς τὰ πολλὰ τὸν πυρετὸν τοῦτον εἰσβάλλειν, ἀλλ' ἑτέρων προηγησαμένων συμπίπτειν. ὁ μὲν οὖν τεταρταῖος τοῖς καλουμένοις πλάνησί τε καὶ πλανήταις ἐπιγίνεται πυρετοῖς διὰ φλέγμα. ὁ δ' ἀμφημερινὸς, οὐδὲ χωρὶς τοῦ τὸ στόμα τῆς γαστρὸς πεπονθέναι, τὰ πολλὰ συνίσταται καθάπερ ὁ τεταρταῖος περὶ σπλῆνι κακοπραγοῦντι. † ὁ δὲ τριταῖος περὶ ἥπατι. τὸν μὲν δὴ μετὰ σφοδροῦ τοῦ ῥίγους ἀρξάμενον εἰκὸς μᾶλλον τριταῖον, ἢ τῶν ἄλλων τινὰ εἶναι πυρετῶν. εἰ δὲ καὶ τἄλλα τὰ ἐφεξῆς εἰρησόμενα μαρτυροίη, τοῦτον μὲν ἂν ἐναργῶς εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν διαγινώσκοις εἶναι τριταῖον. εἰ δὲ μετὰ βραχέος ἄρξεται ῥίγους, τότε δεῖ καὶ μᾶλλον τοῖς ἄλλοις γνωρίσμασι τὸν νοῦν προσέχειν, ὡς οὐκ ἀμφημερινοῦ καὶ τεταρταίου μόνον, ἀλλὰ καὶ ἡμιτριταίου καὶ ἄλλου τινὸς τῶν συνεχῶν εἶναι δυναμένου. τὰ δ' ἄλλα γνωρίσματα τότε τῆς θερμασίας ἐστὶ ποιὸν καὶ ποσόν. καὶ ἡ τῶν ἀρτηριῶν κίνησις. αὐτό τε τοῦ ῥίγους τὸ εἶδος αἰσθανομένου. ὥρα τε καὶ χώρα καὶ κατάστασις. καὶ ἡ φύσις τοῦ νοσοῦντος, καὶ ἡ ἡλικία, καὶ τὰ προηγησάμενα, καὶ τὰ παρακολουθοῦντα. τὴν μὲν γὰρ θερμασίαν, πολλήν καὶ δριμεῖαν εἶναι χρὴ, τοὺς δὲ σφυγμοὺς. μεγάλους καὶ θερμοὺς, καὶ σφοδροὺς, καὶ ταχεῖς καὶ πυκνοὺς, καὶ χωρὶς πάσης ἀνωμαλίας, πλὴν τῆς πυρεκτικῆς. τὸ δὲ ῥῖγος οἷον νυττομένου τοῦ χρωτὸς, ὥς ὑπό τινος ὀξέος μᾶλλον ἢ ψυχροῦ, τῶν ἐν τεταρταίοις τε καὶ ἀμφημερινοῖς ψυχροῦ τοῦ ῥίγους αἰσθανομένων. τὴν δ' ὥραν

Febres ex bubonibus.

Putrida febres

† al, omittuntur

θερινήν. ὥσπερ οὖν καὶ τὸ χωρίον, θερμόν. καὶ τήν γε παροῦσαν κατάστασιν. ἔστω δὲ καὶ ἡ φύσις τοῦ κάμνοντος θερμοτέρα τε καὶ χολωδεστέρα. καὶ ἡ ἡλικία νεανίσκου. καὶ γυμνασία μᾶλλον, ἢ ἀργία προηγείσθω. καὶ ἔγκαυσις μᾶλλον, ἢ ψύξις. καὶ ἔνδεια μᾶλλον, ἢ πλησμονή. καὶ ἀγρυπνίαι δὲ, καὶ λῦπαι, καὶ κόποι, καὶ σύντονοι φροντίδες εἰς ταῦτα συντελοῦσιν. εἰ δὲ καὶ πολλοῖς ἄλλοις τῶν νοσούντων ἐν ἐκείνῳ τῷ χρόνῳ τριταίοις ἁλῶναι συμβαίη, καὶ τοῦτ' ἂν εἴη πρὸς τοῖς εἰρημένοις μέγιστον γνώρισμα. εἰ δὲ τούτων ἁπάντων ὑπαρχόντων, ἢ τῶν μεγίστων τε καὶ ἐπικαιροτάτων, δίψος τε αὐτὸς ἔχει σφοδρὸν, ἔμετός τε χολῆς, ἢ ἱδρὼς ἐπιγένηται, ἢ ἀμφότερα, νῦν μὲν ἂν καὶ σαφὲς εἴη δῆλος. εἰ δὲ καὶ παύσαιτο μὲν πυρέττων ἐπὶ τοῖσδε ὁ ἄνθρωπος, τοῦτον δὴ τὸν φανερὸν ἅπασι καὶ ἐν κινήσει πυρετὸν ὑπολείποιτο δὲ αὐτῷ κατὰ τὴν τῶν ἀρτηριῶν κίνησιν, ἡ ἴδιος ἀνωμαλία τῶν πυρετῶν, βεβαίως ἂν οὕτως ἀποφαίνοις τριταῖον ὑπάρχειν αὐτὸν ὡς εἰ καὶ διὰ τρίτης ἤδη παροξυνόμενον ἑώρας. ὁ δὲ τεταρταῖος, χρὴ γὰρ καὶ τούτου τὰ γνωρίσματά σοι γράψαι, τὸ μὲν ἐναργέστατον ἑαυτοῦ τεκμήριον ἐνδείκνυται κατὰ τὴν ἀρχὴν τῶν παροξυσμῶν, ἡνίκα ῥιγῶσιν ἔτι οἱ νοσοῦντες, ἱκανῶς γὰρ ἀραιοὶ καὶ βραδεῖς αὐτῶν οἱ σφυγμοὶ γίγνονται. κατὰ δὲ τὰς ἀκμὰς, ἢ καὶ αὐξανομένων ἔτι, ταχεῖς μὲν ἀνάγκη καὶ πυκνοὺς εἶναι. σώζεται δ' ὅμως καὶ τότε ἡ ἴδιος αὐτῶν βραδυτής τε καὶ ἀραιότης, εἰ τὸ προσγεγονὸς τάχος καὶ τῆς πυκνότητος τῶν παροξυσμῶν λογίσαιο. καὶ γὰρ οὖν καὶ εἰ παραβάλλοις τὴν ἀκμὴν τοῦ τεταρταίου πυρετοῦ τῇ τοῦ τριταίου ἀκμῇ, πολλῷ τινί σοι δόξουσι θᾶττόν τε καὶ πυκνότερον ἐν τοῖς τριταίοις αἱ ἀρτηρίαι σφύζειν. καὶ αὐτῆς δὲ τῆς μιᾶς κινήσεως, ἐν τῷ τεταρταίῳ πυρετῷ τὸ ἀνώμαλον ἐνδείκνυται τὴν ἰδέαν αὐτοῦ. τὴν γὰρ κοινὴν ἁπάντων τῶν πυρετῶν ἐν μιᾷ προσβολῇ τῆς ἀρτηρίας, ἀνωμαλίαν ἐνεργεστάτην ἐστὶν εὑρεῖν ἐν τούτῳ. πολλῷ γάρ τινι τήν τε ἀρχὴν τῆς κινήσεως, καὶ τὸ τέλος ὠκύτερον εὑρήσεις τῶν μέσων. οὐ μὴν τε ἐπὶ τῶν τριταίων ὧδε ἔχει. βραχεῖα γοῦν ἐν αὐτοῖς ἡ ὑπεροχὴ τοῦ τάχους ἐστὶ, καὶ μάλιστα κατὰ τὰς ἀκμάς. ἀλλὰ καὶ τὰ τῆς θερμασίας γνωρίσματα, διαφερόντως αὐτοῖς ἔχει. τὸ γοῦν θερμὸν, καὶ τὸ διακαὲς, καὶ τὸ οἷον ζέον τῶν τριταίων πυρετῶν, οὐκ ἂν εὕροις ἐν τεταρταίοις. ταυτὶ μὲν οὖν τὰ μέγιστα σημεῖα. τὰ δὲ ἄλλα τὰ ἔξωθεν, οὐδὲ γοῦν χρὴ ταῦτα παραλιπεῖν, ἀλλὰ τήν τε φύσιν ἐπισκοπεῖσθαι τοῦ νοσοῦντος εἰ μελαγχολικωτέρα. καὶ τὸν καιρὸν τοῦ ἔτους, εἰ φθινόπωρον. καὶ τὴν παροῦσαν κατάστασιν εἰ ἀνώμαλος. οὕτω δὲ καὶ τοῦ χωρίου τὴν φύσιν, καὶ τῶν ἐπιδημούντων νοσημάτων. καὶ εἰ σπλὴν μέγας εἴη, καὶ ἄτακτοι πυρετοὶ προηγήσαντο. καὶ ἡ ἡλικία τῆς ἀκμῆς ἐπέκεινα, καὶ εἰ μεθ' ἱδρῶτος παύοιντο. χολῆς δὲ ξανθῆς ἔμετον ἐν τούτοις τοῖς πυρετοῖς μὴ προσδόκα, ὥσπερ οὐδ' ἐν τοῖς ἀμφημερινοῖς. ἴδιον γὰρ τῶν τριταίων τοῦτο. παυσαμένων δὲ τοῦ πυρέττειν, εἰ τὸ τοῦ πυρετοῦ σημεῖον ἔτι παραμένοι, καὶ οἱ σφυγμοὶ τῶν κατὰ φύσιν ἀραιότεροί τε καὶ βραχύτεροι γίγνονται, τεταρταῖος ἂν εἴη σαφῶς ὁ τοιοῦτος πυρετός. Ἀμφημερινὸν δὲ πυρετὸν τοῖσδ' ἂν μάλιστα γνωρίσαις, ὑγροτέραν γὰρ εἶναι χρὴ τὴν θερμασίαν, αὐτοῦ μετά τινος δριμύτητος, οὐ κατὰ τὴν πρώτην ἐπιβολὴν εὐθὺς ὑποπιπτούσης, ἀλλ' ἐγχρονιζούσης τῆς χειρός. καπνώδη γάρ τινα θερμασίαν ἀτμῷ πολλῷ συμμιγῆ δόξαις ἀνιέναι. καταπνιγομένου μᾶλλον, ἐν ὑγρότητι τοῦ πυρὸς πολλῇ, ἢ αὐτοῦ τῆς ὕλης κρατοῦντος. ἀλλὰ καὶ οἱ σφυγμοὶ τούτοις μικρότεροι τῶν ἐν τεταρταίοις εἰσὶ πλέον, ἢ ἐκεῖνοι τῶν ἐν τριταίοις. ἀραιότεροι δ' αὖ πάλιν οἱ ἐν τοῖς ἀμφημερινοῖς τῶν ἐν τριταίοις τοσοῦτον, ὅσον τούτων οἱ ἐν τοῖς τεταρταίοις. βραδυτῆτος δ' ὡσαύτως ἐν ἀμφοῖν ἔχουσιν. ἧττον δὲ διψώδης ὁ πυρετὸς οὗτος. † λείπεται οὖν τεταρταίου τοσοῦτον, ὅσον ἐκεῖνος τριταίου. καὶ ἡ γλῶσσα, καὶ τὸ σύμπαν σῶμα ξηρότατον μὲν ἐν τριταίοις, ὑγρότατον δὲ ἐν τούτοις ἐστὶ τοῖς πυρετοῖς. καὶ οἱ ἔμετοι φλεγματώδεις. καὶ ὅσα διὰ γαστρὸς ἐκκρίνεται, ψυχρότερα καὶ ὑγρότερα, καὶ ὠμότερα, καὶ ὑδατωδέστερα, καὶ φλεγματωδέστερα. καὶ τὸ σύμπαν, ἀπέπτων χυμῶν ἀνάπλεων ἐν τούτοις τοῖς πυρετοῖς εὑρήσεις τὸ σῶμα. καὶ γοῦν οὖν καὶ ἡλικίαις καὶ φύσεσι, † καὶ χώραις, καὶ ὥραις ἔτους, καὶ κράσεσιν, ὑγροτέραις συμπίπτουσι. νεανίσκον μέν γε χολώδη καὶ ξηρὸν τῇ κράσει οὐκ εἶδον οὐδὲ πώποτε ἁλόντα τούτῳ τῷ πυρετῷ. παῖδες δὲ καὶ μάλιστα οἱ μικρότεροι, καὶ ὅσοι τῶν τελείων φλεγματικώτεροί τε εἰσὶ, καὶ τὴν ἕξιν τοῦ σώματος παχεῖς, καὶ ἀργὸν τὸν βίον ἔχοντες, ἐν πλησμοναῖς, καὶ μέθαις, καὶ λουτροῖς συνεχέσι, καὶ μάλιστα τοῖς ἐπὶ τροφῇ, ἀμφημερινοῖς εὐάλωτοι. ἀτὰρ οὖν καὶ χωρία τὰ ὑγρότερα καὶ τῶν ὡρῶν τοῦ ἔτους ὁ χειμὼν, καὶ τῶν καταστάσεων αἱ ὑγρότεραι μάλιστα φέρουσι τὸν πυρετὸν τοῦτον. εἰ δὲ καὶ ἐπιδημοίη τηνικαῦτα, καὶ τοῦτό σοι πρὸς τὴν διάγνωσιν ἐπὶ τοῖς εἰρημένοις, οὐ μικρὰ συντελέσει. οὐ μὴν οὐδὲ παύουσι τὰς † παρακμὰς τούτων τῶν πυρετῶν οἱ ἱδρῶτες, ὥσπερ ἐν τριταίοις καὶ τεταρταίοις, ὅθεν οὐδ' εἰς ἀπυρεξίαν ἔρχονται σαφῆ, πλὴν ὀλίγων δή τινων. τὰ δὲ οὖρα τὰ μὲν ἐπὶ προήκουσιν αὐτοῖς γιγνόμενα, τοὺς καιροὺς τῆς ὅλης νόσου διδάσκει. τὰ δ' ἐν ἀρχαῖς, ἐνδείξεταί σοι καὶ αὐτὸ τὸ εἶδος τοῦ πυρετοῦ. τοῖς μὲν γὰρ ἀμφημερινοῖς, ἢ λευκὰ, ἢ λεπτὰ, ἢ πάχεα καὶ θολερὰ, ἢ ἐρυθρά. τοῖς δὲ τριταίοις ἢ ὑπόπυῤῥα, ἢ ὑπόπυῤῥα. τοῖς δὲ τεταρταίοις, πολυειδῆ μὲν, ἀλλ' ἄπεπτα πάντα. καὶ ταῦτα. καὶ μὲν τῶν διαλειπόντων πυρετῶν ἐστὶ γνωρίσματα. Τοὺς συνεχεῖς δ' αὖ γνωρίζοις. μάλιστα μὲν ἐκ τοῦ μηδὲν αὐτοῖς παρεῖναι σημεῖον ὧν εἴπομεν ὑπάρχειν χρῆναι τοῖς διαλείπουσι. καὶ εἰ μὴ παύοιτο δὲ τῶν τεττάρων καὶ εἴκοσιν ὡρῶν ἐντὸς ὁ πυρετός. εἰ δὲ καὶ ἀνώμαλον ποιήσαιτο τὴν αὔξησιν, οὗτος μέν γε καὶ πρὸς τοῖς ἄλλοις γνωρίσμασι καὶ χρόνον ὑποσημαίνει πλείονα, καὶ μὲν δὴ καὶ εἰ τὸ ἴδιον τῶν πυρετῶν σημεῖον ἐν τοῖς σφυγμοῖς ἐναργὲς ἔχοιεν. εἰ δὲ καὶ ἀταξία τις ἢ ἀνωμαλία προσείη αὐτοῖς, ἢ ἀρυθμία, καὶ τοῦθ' ἂν εἴη σημεῖον τοῦ μεγέθους ἅμα καὶ ὡς οὐκ εἰσὶ τῶν διαλειπόντων. εἰ δὲ τοιοῦτοι μείναντες ἐν τῇ τρίτῃ τῶν ἡμερῶν, μείζονα τὸν παροξυσμὸν ἐνδείξαιντο. ἢ εἰ καὶ τὰ διαχωρήματα καὶ τὰ οὖρα παντάπασιν ἄπεπτα φαίνοιτο, τοὺς τοιούτους πυρετοὺς οὐκ ἐνδέχεται παρὰ τὴν ἑβδόμην κριθῆναι. εἰ δὲ καὶ ἡ τετάρτη τῶν ἡμερῶν ὁμοία φαίνοιτο τῇ τρίτῃ, καὶ ὁ πυρετὸς οἷον σμυχόμενος εἴη, καὶ τὸ πρόσωπον, ἥτε πᾶσα ἕξις τοῦ σώματος ἀσύμπτωτος, ὁ τοιοῦτος εἰς πλείονα χρόνον ἐκτείνεσθαι φιλεῖ. τοιαῦται μέν τινες αἱ διαφοραὶ τῶν ἄνευ συμπτωμάτων πυρετῶν. ἡ θεραπεία δὲ, καθ' ἕκαστον αὐτῶν ἐφεξῆς γεγράψεται. πρῶτον μὲν τῶν διαλειπόντων. δεύτερον δὲ, τῶν συνεχῶν λεγομένων. ἐπὶ μὲν οὖν τοῖς διαλείπουσιν, ὀξύτατός τε ἅμα καὶ ἐπιεικέστατος ὁ τριταῖος ἐστί. μακρότατος δὲ, καὶ ἀκινδυνώτατος, ὅσον ἐφ' ἑαυτῷ ὁ τεταρταῖος. ὁ δ' ἀμφημερινὸς, μακρὸς καὶ οὐκ

ἀκίν-

† al. omittuntur

† al. additur

† al. καταβολὰς

ἀκίνδυνος ὥστε καὶ τὴν δίαιταν εὐθὺς ἐξ ἀρχῆς καθίστασθαι προσήκει πρὸς τὸν ξύμπαντα χρόνον τοῦ νοσήματος
ἀποβλέποντα. τὰ μὲν γὰρ ὀξέα καὶ ταχέως ἀκμάζοντα. κἂν εἰ πάνυ λεπτῶς θέλοις τις διαιτᾶν, οὐκ ἄν τι μέγα
βλάψεις. ὅσα δὲ χρονιώτερα, ταῦτ᾽ εἰ μὴ κατ᾽ ἀρχὰς ἁδρότερον διαιτήσειας, ἢ συναναιρήσεις τῷ νοσήματι τὸν
ἄνθρωπον, ἢ οὐκ ἐν καιρῷ τὴν δίαιταν ὑπαλλάξεις. οὐ γὰρ χρὴ προσιούσης τῆς ἀκμῆς ἁδρότερον, ἢ πρόσθεν διαι-
τᾶν, ἀλλὰ τοὐναντίον τῆς ὅλης τοῦ πάθους διαίτης τὸ λεπτότατον, εἰς τὴν ἀκμὴν ἀποτίθεσθαι χρή. ταῦτα μὲν οὖν
κοινὸν ἁπάντων. πρὸς αὐτῷ δὲ δεῖ καὶ τὰ ἴδια τῶν διαλειπόντων ἐπισκοπεῖσθαι. οἷον εὐθὺς ἐν τοῖς τριταίοις,
οὐδὲν γὰρ χεῖρον ἐντεῦθεν ἄρξασθαι, διοριζέσθω σοι κατ᾽ ἀρχὰς εἰ ἀκριβής ἐστι, καὶ ὡς ἄν τις εἴποι γνήσιος, ἢ οὐκ ἀκρι-
βὴς, ἀλλ᾽ οἷον νόθος τίς. ὁ μὲν γὰρ ἀκριβὴς τριταῖος, τὸ μακρότατον ἐν ἑπτὰ περιόδοις κρίνεται πρὸς τῷ καὶ ἀκιν-
δυνότατος εἶναι. τὸν ἕτερον δὲ τὸν οὐκ ἀκριβῆ, οἶδά ποτε φθινοπώρου μὲν ἀρξάμενον, ἦρος δὲ παυσάμενον. εἶτα
οἷα εἰκὸς ἐν τοσούτῳ χρόνῳ, τὸ μέν τι καὶ αὐτοῦ τοῦ νοσοῦντος οὐ πάνυ τι πειθομένου τοῖς τῶν ἰατρῶν προστάγμασιν,
ἀλλὰ καὶ ἁμαρτάνοντός τι. τὸ δέ τι καὶ ὑπὸ τῆς αἰτίας τοῦ χειμῶνος βλαπτομένου, σπλήν τε μέγιστος ἐξήρθη,
καὶ ὑποχόνδρια διεφυσᾶτο, καί τις ἤδη καὶ ὕπoιδος ἦν ἄχροια περί τε τὸ πρόσωπον, καὶ οὐχ ἥκιστα τοῖς σκέλε-
σιν. ὥστε δεῖσαί τε ἡμᾶς ἀμφὶ τῷ μειρακίῳ, καὶ δεηθῆναι μειζόνων βοηθημάτων, οὕτως οὐδὲν ὅμοιον ἔχει ὁ τοιοῦ-
τος τριταῖος τῷ ἀκριβεῖ. διὰ τοῦτο οὖν φημὶ χρῆναι περὶ τὰς ἀρχὰς αὐτοὺς διορίζειν. εἰς ὅσον γὰρ τῇ φύσει διαφέ-
ρουσιν, εἰς τοσοῦτον εὔλογόν ἐστι καὶ τὸν τῆς διαίτης τρόπον ὑπαλλάττεσθαι. πῶς οὖν ἄριστα διορισθεῖεν; ἀρκεῖ μοι
τὰ τῷ μειρακίῳ συμπεσόντα γράψαι, παράδειγμά τε ἅμα τῶν οὐκ ἀκριβῶν τριταίων καὶ ὑπομνήματά σοι γενη-
σόμενα. ἦν μὲν δὴ τοῦ ἔτους τὸ μεταξὺ πλειάδων τε δύσεως, καὶ τῆς προγεγενημένης ἰσημερίας. ἤρξατο δὲ
μετὰ φρίκης ὁ πυρετὸς τῷ μειρακίῳ, περὶ αὐτὴν σχεδὸν τὴν ἕω. ὥστε μήτε τῇ θερμασίᾳ τριταίῳ τι δόξαι ἐοι-
κέναι, μήτε τοῖς σφυγμοῖς. ἀλλ᾽ οὐδὲ χολῆς ἔμετος ἠκολούθησεν, οὔτε ἱδρὼς ἱκανός. ἀλλὰ μόνον ἐν τῇ δευτέρᾳ
τῶν ἡμερῶν ὥρᾳ που τρίτῃ, βραχεῖαι νοτίδες † ἐγίγνοντο ἐφ᾽ αἷς διεπνεῖτο μὲν ὁ πυρετὸς, ἀτρέμα οὕτως, ὥστε
περὶ τὴν ἑσπέραν μόγις ἀπύρετον εἶναι δοκεῖν. ἔμενε δὲ δηλαδὴ ἐπὶ τοὺς σφυγμοὺς τό τε τοῦ πυρετοῦ σημεῖον
αὐτῷ σαφὲς ἱκανῶς. ἀλλὰ τἆλλά γε καὶ πάνυ εὐφόρως εἶχεν ἐπὶ τὴν ἑσπέραν, καὶ δι᾽ ὅλης τῆς νυκτός. αὖθις δὲ
περὶ τὴν ἕω τῆς τρίτης ἡμέρας, δευτέρα καταβολὴ γίνεται τὰ πάντα τῇ πρώτῃ παραπλησία, πλὴν τοῦ χρόνου.
τῆς γὰρ ἐπιούσης νυκτὸς ὀλίγον πρὸ τῆς ἡμέρας, νοτίδες ἐγίγνοντο, καὶ ὁ πυρετὸς ἐπαύετο περὶ τὴν ἕω τῆς τετάρ-
της ἡμέρας. καὶ τοῦ λοιποῦ δὲ παντὸς φθινοπώρου καὶ χειμῶνος, ἐν ᾧ διεγνώσθησε τἄτ᾽ ἄλλα πάντα, καὶ ὁ χρόνος τῆς
μεταβολῆς, καὶ τῆς λύσεως τοῦ πυρετοῦ ἐπὶ ταὐτὰ διέμενον. ἦν δὲ τὸ μειράκιον ἡλικίᾳ μὲν ἀμφὶ τὰ ὀκτωκαί-
δεκα ἔτη, λευκὸν δ᾽ ἰδέσθαι καὶ πῖον. ἀργότερον τῷ βίῳ. καὶ πολλάκις ἐμπροσθεν ἐν μέθαις τε καὶ λουτροῖς συνε-
χέσι καὶ πλησμοναῖς γε γενημένον. ὥστ᾽ οὐδὲ χρηστῶς ἔπεπτε τὰ σιτία. συνεισέβαλε δ᾽ αὐτῷ καὶ σκληρὸς σφυ-
γμός. ἐν μὲν τῇ πρώτῃ καὶ δευτέρᾳ τῶν ἡμερῶν, μετρίως. ἐν δὲ τῇ τρίτῃ καὶ τετάρτῃ καὶ ταῖς ἐφεξῆς μέχρι τῆς
ἑβδόμης, εἰς τοσοῦτον ἧκε σκληρότητος, ὡς ἄν τινα δόξαι τῷ σφυγμῷ μόνῳ πιστεύσαντα, πολλῶν εἶναι τὸ νόση-
μα μηνῶν. καὶ τοιοῦτος παρέμενεν, ἄχρι τῆς περὶ τὸ ἔαρ ἰσημερίας, ἐν ᾗ πρῶτον ἤρξατο μαλάττεσθαι. καὶ αὖ-
θις ὕστερον ἡμέρᾳ τεσσαρακοστῇ τελέως ἀπαλλάττεται τοῦ τριταίου. ἐπὶ βραχὺ τότε σφυγμοῦ μαλαχθέν-
τος, καὶ τοῦ παροξυσμοῦ μικροτέρου γιγνομένου, καὶ τῶν οὔρων ὑπόστασιν χρηστὴν ἐχόντων. καὶ γὰρ οὖν καὶ ταῦ-
τα κἂν τῷ πρόσθεν χρόνῳ, πάντα δεινῶς ἦν ἄπεπτα. τοιοῦτος μὲν δὴ ὁ ἐναντιώτατος τῷ ἀκριβεῖ τριταίῳ.
τοὺς δ᾽ ἄλλους τοὺς μεταξὺ παμπόλλους ὄντας, ἐκ τῶν ἄκρων ἀφωρισμένων, οὐ χαλεπῶς ἂν εὑρήσεις. ἃ γὰρ ἐν ἀρ-
χῇ τοῦ λόγου τριταίων πυρετῶν ἔγραψα γνωρίσματα, ταῦτα σύμπαντα εἰ παρείη, τὸν ἀκριβῆ τριταῖον ἐρ-
γάζεται, ᾧ πάντως καὶ ὁ τοῦ παροξυσμοῦ χρόνος βραχὺς ὡρῶν τεττάρων, ἢ πέντε, ἢ ἕξ, ἢ τὸ μήκιστον, ἐνδεκά-
του, ἢ δώδεκα. Καὶ μὲν δὴ καὶ τὰ οὖρα τῶν τοιούτων ἐν τῇ τρίτῃ τῶν ἡμερῶν, ἢ πάντως γε τῇ τετάρτῃ, φέρει τι
σημεῖον πέψεως. οὕτω μὲν οὖν ἀκριβῆ τε καὶ οὐκ ἀκριβῆ γνωρίζοις τριταῖον, ἀνάλογον δὲ καὶ τεταρταῖον καὶ
ἀμφημερινόν. ᾧ μὲν γὰρ ὑπάρχει πάντ᾽ ὅσα πρόσθεν ἔγραψα τεταρταίων πυρετῶν γνωρίσματα, γνήσιός τε
καὶ ἀκριβὴς τεταρταῖος. ᾧ δὲ μὴ, νόθος τις ἐκεῖνος καὶ οὐκ ἀκριβής. καὶ ἀμφημερινῶν δὲ, ὅτῳ μὲν πάνθ᾽ ὅσα γέ-
γραπται πάρεστιν ἀκριβής. ᾧ δὲ μὴ, ὁ τοιοῦτος οὐκ ἀκριβής. οὐκ ὄντων οὐδὲ χρόνιοι ὁμοίως τεταρταῖοι καὶ ἀμφημερινοὶ,
οἱ οὐκ ἀκριβεῖς. ἀλλ᾽ ὥσπερ τριταῖος ὀξὺς ὁ ἀκριβὴς, οὕτω τεταρταῖός τε καὶ ἀμφημερινὸς, χρόνιοι. ταῦτα μὲν
ἐν τοῖς ἐπὶ περίοδόν τινα πυρέττουσι σκοπεῖσθαι. τῶν δ᾽ ἄλλων πυρεττόντων, οὖρά τε καὶ διαχωρήματα, καὶ
τὴν ὅλην ἕξιν τοῦ σώματος ὁρᾶν. καὶ τὴν θερμασίαν, καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν. ὅσα τἆλλα πρὸς τούτοις ὁ Ἱπ-
ποκράτης τε καὶ ἡ μακρὰ πεῖρα κελεύει σκοπεῖσθαι χώρας, καὶ ὥρας, καὶ καταστάσεις καὶ ἡλικίας καὶ κράσεις
σωμάτων. ἔθη τε καὶ τὰ προηγησάμενα τῶν αἰτίων, καὶ τὰ συνεισβάλλοντα τοῖς νοσήμασι, καὶ ὅσα μεταξὺ ἐπι-
φαίνεται. παρῆκται μὲν οὖν ὡς ἄν τινι δόξῃ τὸ πᾶν, οὐ μὴν πρός γε τὴν ἀλήθειαν ὧδ᾽ ἔχει. τὸ γάρ τοι μέγι-
στον μὲν ἁπάντων τούτων, ῥηθῆναι δὲ μικρότατον, οὐδέπω γέγραπται. τί δ᾽ ἐστι τοῦτο; ποσότης νοσήματος, καὶ
δυνάμεως. πρᾶγμα πρὸς μὲν τὴν δήλωσιν, ἑνὸς ὀνόματος δεόμενον. εἰς δὲ τὴν χρείαν, μέγιστον. οὐδὲ γὰρ οἷόν
τε προγνῶναι καλῶς, ἄνευ τοῦ τὸ ποσὸν ἑκάστου τῶν εἰρημένων ἀκριβῶς ἐκλογίζεσθαι. καὶ γὰρ εἴτ᾽ ὀλέθριόν ἐστι τὸ νό-
σημα, εἴτε μὴ, καὶ ὁπηνίκα μᾶλλον δυνατὸν ἢ τεθνήξεσθαι τὸν ἄνθρωπον, ἢ ἀπαλλαγήσεσθαι τοῦ πάθους, εἰ μὴ πάν-
των τῶν προειρημένων τὸ ποσὸν ἀκριβῶς διασκεψάμενος ἀνάγοις εἰς δύο κεφάλαια, τήν τε νόσον αὐτὴν,
καὶ τοῦ νοσοῦντος τὴν δύναμιν, οὐκ ἂν οἷός τ᾽ εἴης προγνῶναι καλῶς. τῆς μὲν γὰρ δυνάμεως οὕτως ἰσχυρᾶς οὔσης
ὡς περιγίγνεσθαι τοῦ νοσήματος, ἀνάγκη σωθῆναι τὸν ἄνθρωπον. εἰ δὲ τοὔμπαλιν εἴη, πάντως τεθνήξεται. μή τοι
... ὁποίαν τινὰ τὴν ἰδέαν ἐστὶ τὸ νόσημα σκόπει μόνον, ἀλλὰ καὶ πηλίκον. οὐ μικρᾶς δὲ τοῦτο γε δεῖται τριβῆς, τἆτ᾽
ἄλλα καὶ τῷ μήτε γραφῆναι, μήθ᾽ ὅλως διδαχθῆναι, λόγῳ δύνασθαι τὸ ποσὸν ἑκάστου. καὶ ἔτι ἄρα τὸ ἡμέτε-
ρον ἐστὶν, οὐχ ὑπ᾽ ἄλλου τινὸς εἰς τοσοῦτον ἀκριβείας ἥκει, ἢ ἐκ τοῦ μάλιστα ἠσκῆσθαι περὶ τὸν τῆς ποσότητος στο-
χασμόν. τοῦτο μὲν δὴ καὶ ἐπ᾽ αὐτῶν τῶν ἔργων καὶ μαθεῖν, καὶ διδάξαι δυνατόν. ὅσα δ᾽ ἐν τῇ ποιότητι τὸν διορι-

† al. ἐφαίνον

σμὸν ἔχει, ταῦτα γράψωμεν ἀκριβῶς τε ἅμα καὶ σαφῶς εἰς ὅσον ἐγχωρεῖ διὰ βραχέων. τὸν μὲν οὖν ἀκρι-
βῆ τριταῖον, ὡς ἂν ὑπὸ τῆς ξανθῆς χολῆς κινουμένης δυναστευόμενον, ὑγραίνειν τε καὶ ψύχειν εἰς τοσοῦτον,
εἰς ὅσον ἂν οἷόν τε μάλιστα. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα δεῖ. κολάζοντα μὲν, τὸ ὑπερβάλλον. ἀντεισά-
γοντα δὲ, τὸ λεῖπον. ὁ δὲ τῆς ξανθῆς χολῆς χυμὸς, ἁπάντων τῶν ἐν τῷ σώματι χυμῶν θερμότατος καὶ ξηρότατος
ἐστι. προτρέπειν οὖν χρὴ τὸν μὲν εἰς τὴν γαστέρα συρρέοντα, κενοῦσθαι δι' ἐμέτων. τὸν δὲ κάτω ὑπιόντα, ὡσαύτως
διὰ τῆς κάτω ἐκκρίσεως. τοῦτο μὲν δὴ καὶ αὐτόματον ἐν τοῖς ἀκριβέσι γίνεται τριταίοις. καὶ τοῖς οὔροις δὲ καὶ
τοῖς ἱδρῶσι προσηγεῖν. ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν κάτω τῆς χολῆς κάθαρσις. ἀλλὰ τὴν μὲν γαστέρα, μαλακοῖς κλύ-
σμασι κενοῦν. τὰ οὖρα δὲ, προτρέπειν σελίνου τε καὶ ἀνήθου τοῖς πόμασιν ἐναποβρέχοντα. καὶ ἦν σοι πέψεως ση-
μεῖα προφαίνεται, θαρρῶν ἤδη καὶ τοῦ ἀψινθίου διδόναι. τοῦτο μὲν δὴ καὶ ἄλλως μέγιστον ἴαμα τοῦ στομάχου διὰ
χολῆς δῆξιν, καὶ μᾶλλον εἰ τῆς κόμης αὐτοῦ λαμβάνων ὅσον αὔταρκες ἐναποβρέχοις μελικράτῳ. λουτρὰ δὲ θερ-
μὰ, δι' ὕδατος ποτίμου. τὸ μέν τι κενοῖ τῆς χολῆς ἀπάγοντα. τὸ δέ τι καὶ τῇ ποιότητι μεγάλως ὀνίνησιν. ὑγραί-
νει γὰρ καὶ ψύχει τὴν δύναμιν, ὅσα τοιαῦτα λουτρά. τὰ δὲ θαλάττια, καὶ ἁλμώδη, καὶ νιτρώδη, καὶ θειώδη,
πλεῖον μὲν ἀπάγει τῆς χολῆς. πολὺ δ' ἧττον ὠφελεῖ τῶν ποτίμων. ἄμεινον δ' εἰπεῖν οὐδ' ὠφελεῖν αὐτὰ μειζό-
νως βλάπτοντα ταῖς ποιότησιν, ἢ βοηθοῦντα ταῖς κενώσεσιν. ἀτὰρ οὖν καὶ οἶδά τινα κιβδήλῳ λογισμῷ τοιοῖσ-
δε χρήσασθαι λουτροῖς ἀναπεισθέντα. εἶτα ξηρανθέντα τὴν ἕξιν τοῦ σώματος, εἰς τοσοῦτόν τε διαφθαρέντα, ὥστε
μαρανθεὶς ἀπέθανεν. ἐπέτεινε δ' αὐτῷ καὶ ἡ ἄλλη πᾶσα δίαιτα πρὸς τὴν κένωσιν τῆς χολῆς. ἀεὶ δὲ χρὴ ποιό-
τητας ἐναντίας τῇ κρατούσῃ παρὰ φύσιν ἀντεισάγειν. καὶ ὡς πολὺ τὸ βέλτιον τοῦτο τοῦ κενοῦν ὁπωσοῦν. ὅπερ
οὐδ' αὐτὸς ἐγίνωσκεν, οὐδ' ἑτέρων ἐμάνθανε λεγόντων. ἔν τε οὖν τοῖς λουτροῖς, οὗτος ὁ σκοπὸς γιγνέσθω, διαβρέ-
ξαι τε καὶ ὑγρᾶναι τὸ σῶμα. καὶ διὰ τοῦτο, μήτε νίτρου, μήθ' ἁλῶν, μήτε νάπυος προσάπτειν, οἷα δὴ τοὺς πλεί-
στους οὐκ ἰδεῖν, λυμαινομένους τοῖς ἀρρώστοις. ἀλλ' ὅτι μάλιστα θερμὸν ἔλαιον περιχέοντας, ἐμβιβάζειν τε τῷ
ὕδατι καὶ διαβρέχεσθαι, καὶ ἢν ἐθέλοιεν νήχεσθαι ἐν αὐτῷ συγχωρεῖν αὐτοῖς εἰς ὅσον δύνανται. τοὺς δὲ φι-
λολουτροῦντας, οὐδ' εἰ δὶς τῆς ἡμέρας λούειν ἐθέλοις ἁμαρτάνοις. ἀλλ' ἐν καιρῷ μάλιστά σοι τοῦτο μνημονευέσθω.
εἰ δὲ καὶ πέψεως τῆς νόσου σημεῖα φαίνοιτο, κἂν εἰ πλεονάκις λούοις, οὐκ ἂν ἁμάρτοις. οἴνου δὲ πρὶν μὲν πεφθῆναι τὸ
νόσημα παντάπασιν εἴργειν, ἀρξαμένου δὲ πέττεσθαι λεπτὸν, καὶ ὑδαρῆ, καὶ ὀλίγον τὴν πρώτην διδόναι. πλεί-
ονος δ' ἤδη τοῦ λύεσθαι γενομένου πλείονα. σιτία δὲ ὅσα ὑγραίνει τε καὶ ψύχει, πάντα χρήσιμα τριταίοις ἀκρι-
βέσι. τὸ δὲ ποσὸν ἐν αὐτοῖς τοσοῦτον, ὅσον πλεῖστον καλῶς πέψαι δύνανται. λαχάνων μὲν ἀνδράφαξίς τε, καὶ
βλίτον, καὶ λάπαθον, καὶ μαλάχη, καὶ θριδακίνη, καὶ κολοκύνθη. τῶν δ' ἄλλων, ὅ, τε τῆς πτισάνης χυλὸς, καὶ
τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. καὶ ἰχθύων οἱ πετραῖοι. καὶ τῶν πτηνῶν τὰ μαλακόσαρκα. καὶ τῶν μὴ τοιού-
των, τὰ πτερά. καὶ μὲν δὴ καὶ ἀλεκτρυόνων τοὺς ὄρχεις διδόναι. καὶ τῶν συῶν τοὺς πόδας τε καὶ τοὺς ἐγκεφά-
λους. τῶν μικροτέρων δὲ εἰ καὶ τῆς σαρκὸς δοίης τακεράς, οὐδὲν βλάψειας. ἀλλὰ καὶ ὠὰ συγχωρεῖν ῥοφεῖν. καὶ
μάλιστα τὰς λεκίθους. ῥᾷον γὰρ αὗται πέττονται τοῦ λευκοῦ. καὶ τῶν ὀπωρῶν δέ γε συγχωρεῖν γεύεσθαι, τῶν γε
μὴ παντάπασι δυσπέπτων. ἀπέχειν δὲ μέλιτός τε καὶ νάπυος, καὶ ταρίχου. καὶ τῶν δριμέων ἁπάντων. καὶ
οἴνων δὲ τῶν παλαιῶν ἱκανῶς, καὶ ὅσοι θερμοὶ φύσει. αὕτη μὲν οὖν ἡ δίαιτα τῶν πολλῶν, † ἐσόχασαι σοι. ὅσοι
δὲ μὴ τρυφῶσι, διαιτητέον οὐκ ὡς οἶδα κἀμὲ διαιτηθέντα ποτὲ ἐν ἀκριβεῖ τριταίῳ πυρετῷ, κατὰ τὸν ἱπποκρά-
τειον λόγον ἐν χυλῷ πτισάνης ἄχρι κρίσεως. ταῦτα μὲν ἐν τοῖς ἀκριβέσι τριταίοις. ἐν δὲ τοῖς μὴ ἀκριβέσι, προ-
νοεῖσθαι χρὴ μάλιστα καθ' ὅσον οἷόν τε μήτ' αὐξῆσαι τὸ νόσημα, μήτε καταβαλεῖν τοῦ νοσοῦντος τὴν δύναμιν, ἐν
χρόνῳ πλείονι ταλαιπωρεῖσθαι μέλλουσαν. οὐ μὲν οὖν χαλεπὸν ἀμφοῖν κρατεῖν, ὡς ἂν τῶν μὲν ἀσιτιῶν ὅσον
εἰς τὴν πέψιν τοῦ νοσήματος ὠφελουσῶν, τοσοῦτον ἢ καὶ ἔτι πλεῖον ἀδικουσῶν τὴν δύναμιν. τῶν δὲ τροφῶν ὅσον
εἰς ῥώμην συντελουσῶν τῷ νοσοῦντι, τοσοῦτον ἐμποδιζουσῶν τὰς πέψεις. ἀλλὰ κἀνταῦθά σοι γνωστέον εἰς ὅσον
μὲν ἥκει μεγέθους ἡ νόσος, εἰς ὅσον δὲ καὶ ἡ δύναμις αὐτοῦ τοῦ νοσοῦντος. ἵνα πρὸς τὰ μείζονος ἐπικουρίας δεό-
μενα ἀποβλέπων, ἀσιτίαις μὲν ἐν ἰσχυροτέρᾳ τῇ δυνάμει καὶ δυσπέπτῳ νοσήματι, θαρραλεώτερον χρήσῃ. τροφαῖς
δὲ πλείοσιν, ἐν ἀσθενεστέρᾳ μὲν τῇ δυνάμει, νοσήματι δὲ μὴ πάνυ δυσπέπτῳ. ταῦτα μὲν δὴ κἂν τοῖς ἄλλοις ἅπα-
σι νοσήμασι χρὴ σκοπεῖν. ἐν δὲ τοῖς οὐκ ἀκριβέσι τριταίοις, οὐδὲ λούειν εὐθὺς κατ' ἀρχὰς ἀγαθὸν, ἀλλ' ἡνίκα ἂν φαί-
νοιτο ἤδη τὰ σημεῖα τῆς πέψεως. οὐδὲ καθ' ἡμέραν τρέφειν, ἀλλ' ἀρκεῖ παρὰ μίαν. ἡσυχία δὲ καὶ θάλψις τῶν καθ'
ὑποχόνδριον αὐτοῖς συμφέρει. καὶ ῥοφήματα τὰ εὔπεπτα, καὶ κλύσματα τῆς κάτω γαστρὸς, μὴ πάνυ μαλακά.
καὶ εἰ αἵματος ἀφαιρέσεως δέοιντο, μὴ δὲ τοῦτο παραλείπειν, ἀλλ' εὐθὺς κατ' ἀρχὰς διορισάμενος ἐξ ὧν οἶσθα ἐκ-
χεῖν αἵματος ὅσον τοῖς παροῦσι μέτριον. ἡ δ' ὅλη τῆς διαίτης κατάστασις, οὐ ψύχουσα καὶ ὑγραίνουσα τὸ σύμ-
παν σῶμα, ὡς ἐπὶ τῶν ἀκριβῶν ἐστι τριταίων. ἀλλά τι καὶ τοῦ τμητικωτέρου καὶ τοῦ θερμοτέρου τρόπου προσεπι-
λαμβανέσθω. μάλιστ' οὖν ἁρμόσειεν αὐτοῖς ὁ τῆς πτισάνης χυλὸς, ἐμβαλλομένου πεπέρεως. ἢ καὶ ὑσσώπου
ποτὲ καὶ ὀριγάνου, ἢ στάχυος νάρδου ἐμβαλὼν μελικράτῳ καὶ συναφεψῶν, διδόναι πίνειν. καὶ τἄλλα δ' ὅσα
οὖρα κινεῖ. πλὴν τῶν ἄκρως θερμαινόντων τε καὶ ξηραινόντων. μάλιστα δὲ τοῦ ἀψινθίου διδόναι συντελέσαντα
μετὰ τὴν ἑβδόμην ἡμέραν. καὶ μὲν δὴ καὶ ὀξύμελι πολλοὺς ὤνησε πινόμενον, καί τι τῶν ἐπιεικῶν ὑπηλάτων.
οἷς οἶσθα καὶ ἡμᾶς χρωμένους συνεχῶς. ὁ δ' ἐπὶ τοῖς ἀσιτίοις ἔμετος, εἰς τοσοῦτον ἄρα τοῖς ἐν τῷδε τῷ πυρετῷ
χρονίζουσι χρήσιμος, ὥστε πολλοὺς οἶδα τελέως ἀπαλλαγέντας εὐθέως ἐπὶ τοῖς ἐμέτοις. ἑξῆς δὲ περὶ τῶν τε-
ταρταίων ἐροῦμεν, οὓς καὶ αὐτοὺς κατ' ἀρχὰς μετρίως τε καὶ πράως ἄγειν χρὴ, μήτε φάρμακόν τι τῶν ἰσχυ-
ρῶν μηδὲν προσφέροντας, μήτε κένωσιν, εἰ μή τι ἄρα πάνυ σφόδρα φαίνοιτο πλεονάζον αἷμα. καὶ εἰ διελόντι
φλέβα τὸ ῥέον εἴη μέλαν καὶ παχὺ, μάλιστα δ' ἐν τοῖς σπληνώδεσι, ὅπερ εὑρίσκεται, θαρρεῖν τῇ κενώσει. ξαν-
θοῦ δὲ καὶ λεπτοῦ φανέντος, ἐπέχειν αὐτίκα. τέμνειν δὲ φλέβα, ἤτοι τὴν ἐντὸς, ἢ τὴν μέσην ἀγκῶνος ἀριστε-
ροῦ, καὶ δίαιταν ἐφεξῆς ἄφυσόν τε καὶ χρηστὴν διαιτᾶσθαι μαλάττοντας τὴν γαστέρα, καθ' ὅσον οἷόν τε διὰ τῶν
συνήθων

γρ. ἐστοχάσθω

Tertiana exquisita cura

Tertiana notha cura

Quartana cura

συνήθων. εἰ δὲ μηδὲν ἀνύοι ταῦτα, κλύσμασι χρῆσθαι καθ' ἀρχὰς μὲν μαλακοῖς, ὕστερον δὲ καὶ δριμυτέροις. χοιρείων δ' εἴργειν αὐτοὺς κρεῶν. καὶ πάντων ὅσα γλίσχρα καὶ βραδύπορα, καὶ τῶν ψυχόντων καὶ τῶν ὑγραινόντων ἐδεσμάτων ἁπάντων, οἴνῳ δὲ χρῆσθαι λευκῷ τε καὶ λεπτῷ, καὶ συμμέτρως θερμῷ, καὶ πτηνῶν τοῖς εὐχύμοις καὶ οὐχ ἑλείοις, καὶ ἰχθύων τοῖς εὐπέπτοις τε καὶ μαλακοσάρκοις καὶ μηδὲν γλίσχρον ἔχουσι. καὶ ταρίχει δὲ χρῆσθαι, καὶ νάπυϊ, καὶ δι' ἡμερῶν τινῶν τοῦ διὰ τριῶν πεπέρεων προσλαμβάνειν, ἢ τοῦ διοσπολιτικοῦ φαρμάκου. καὶ εἰ πεπέρεως μόνου σὺν ὕδατι καθ' ἑκάστην ἡμέραν λαμβάνοιεν, ὀρθῶς ἂν ποιοῖεν. τρίψεων δὲ καὶ περιπάτων, καὶ λουτρῶν, καὶ τῶν ἄλλων τῶν συνήθων, μὴ παντελῶς εἴργειν. εἰ δὲ καὶ παντάπασιν ἀπέχεσθαι λουτρῶν δύναιντο, ταῖς τρίψεσιν ἀρκούμενοι, μάλιστ' ἂν ὀνίναιντο. καὶ εἰ βραχὺς εἴη καὶ μὴ πάνυ βίαιος ὁ τεταρταῖος πυρετὸς ἐν ταῖς μέσαις τῶν ἡμερῶν, οὐδὲν χεῖρον ἅπτεσθαι τῶν συνήθων γυμνασίων. ταῦτα μὲν δὴ ἐπὶ τὰς ἀρχὰς καὶ μέχρι τῆς ἀκμῆς πρακτέον. εἰ δ' ἐν ἀκμῇ μάλιστά που δοκοίη τοῦ νοσήματος εἶναι ὁ κάμνων, τότε χρὴ διαιτᾶν μὲν λεπτότερον, ἢ πρόσθεν τε καὶ ὄπισθεν. εὐθὺς δὲ καὶ ἡσυχάζειν εἰς μακρὸν κελεύειν. καὶ τῶν σπλάγχνων προνοεῖσθαι, καταιονοῦντά τε καὶ καταπλάττοντα, τοῖς μαλάττειν τε καὶ χαλᾶν δυναμένοις. ἐφεξῆς δὲ τοῖς διουρητικοῖς καλουμένοις χρῆσθαι φαρμάκοις. καὶ εἰ τὰ τῆς πέψεως τοῦ νοσήματος σημεῖα φαίνοιντο, καθαίρειν τηνικαῦτα τοῖς τοὺς μέλανας χυμοὺς κενοῦσι φαρμάκοις χρή, οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πολλάκις ἢν οὕτως δέῃ. χρῆσθαι δὲ καὶ τοῖς ἀπὸ τῶν σιτίων ἐμέτοις τηνικαῦτα συνεχῶς, καὶ μηδενὸς κωλύοντος, ἐλλέβορον λευκὸν διδόναι τὴν πρώτην ἐπιμιγνῦντα ῥαφανίσιν. εἰ δὲ μηδὲν ἀνύει, καὶ αὐτὸν τὸν ἐλλέβορον. οἷς δ' ἐμεῖν ἀδύνατον, τούτους σφοδρότερον καθήραντας κάτω, τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου πίνειν διδόναι, καὶ τῶν ἄλλων ὅσα πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετούς. ἐν οἷς ἐστι καὶ τὸ συνῆθες ἡμῖν ἁπάντων δοκιμώτατον, ὀπὸς τοῦ κυρηναϊκοῦ λαμβάνων. ὅσοι δὲ κατ' ἀρχὰς τῶν τοιούτων τι φαρμάκων ἔδοσαν, ἢ ὅλως πρὸ τῆς ἀκμῆς, ἁπλοῦν μὲν ὄντα τὸν τεταρταῖον, διπλοῦν πολλάκις † ἐπέφηναν, ἢ πάντως μείζονά τε καὶ χαλεπώτερον εἰργάσαντο. διπλοῦν δ' ὄντα, τριπλοῦν ἐποίησαν. ἢ πάντως γε τοὺς δύο χαλεπωτέρους τε καὶ μείζονας. οἶδα δέ τινα ἰατρὸν ὅστις ἐτόλμησεν ὑπὸ τριῶν ἐχομένῳ τεταρταίων δοῦναι τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου, οὔπω τοῦ νοσήματος ἀκμάζοντος· εἶτα οἷα εἰκὸς αὐξηθέντων ἁπάντων, συνεχὴς διαδεξάμενος πυρετὸς, ἀπέκτεινε τὸν ἄνθρωπον. ἀμφημερινὸν δὲ θεραπεύων, ὀξυμέλιτί τε χρῶ μετὰ τὰς πρώτας ἡμέρας, καὶ τοῖς οὖρα καλῶς προτρέπειν δυναμένοις, καὶ τὸ σύμπαν σοι τῆς διαίτης κεφάλαιον τμητικώτερον ἔσω. περὶ δὲ τὴν ἀκμὴν, προνοεῖσθαι χρὴ τῆς γαστρὸς, μάλιστα δὲ τοῦ στόματος αὐτῆς. κἄπειτ' ἐμεῖν ἀπό τε ῥαφανίδων καὶ σιτίων κελεύειν, καὶ τοῖς φλέγμα κενοῦσιν ὑποκλάτοις χρῆσθαι. τὰ δ' ἄλλα τῆς διαίτης, πρὸς τοὺς κοινοὺς ἀποβλέπων σκοποὺς ἐξευρήσεις. Τοὺς δὲ συνεχεῖς πυρετούς. οἷς μὲν ἡ ἀκμὴ τοῦ νοσήματος οὐ † πορρωτέρω τῆς ἑβδόμης ἔσεσθαι μέλλοι, καὶ ἔστιν ἡ δύναμις ἰσχυρὰ, καὶ τὰ τῆς ἡλικίας ὁμολογεῖ, τούτους μὲν ἀκριβῶς τε πάνυ διαιτᾶν, καὶ λεπτῶς. ὅσοις δ' ἤτοι πορρωτέρω τῆς ἑβδόμης ἡ ἀκμὴ τοῦ ὅλου νοσήματος, ἢ τὰ τῆς δυνάμεως οὐκ εὔρωστα, κατ' ἀρχὰς μὲν, ἁδρότερον. ἐγγὺς δὲ τῆς ἀκμῆς, λεπτότερον. ἀκμαζόντων δ' ἤδη, λεπτότατον διαιτᾶν. εἶτ' αὖθις ἁδρότερον ἀεί. καὶ μᾶλλον ὁμοίαν τὴν αὔξησιν ποιούμενον τῇ πρὸ τῆς ἀκμῆς μειώσει. αἵματος δὲ † ἀφαίρεσις, διά τε τὸ μέγεθος τοῦ νοσήματος, καὶ οἷς πολὺ πλέον ἔρευθος ἐστὶ τοῦ κατὰ φύσιν, καί τις ὄγκος ἀήθης ὅλου τοῦ σώματος. μετέωροί τε καὶ τεταμέναι φλέβες τούτων ἀφαιρεῖν, ἢν μή σε τὰ τῆς δυνάμεως, ἢ τὰ τῆς ἡλικίας, ἢ τι τῶν ἄλλων ὧν κατ' ἀρχὰς εἶπον, ἀπείργῃ. ὑγρὰ δὲ δίαιτα ὅτι τοῖς ὀξέσι πυρετοῖς ἅπασι συμφέρουσιν, ὀρθῶς εἴρηται πάλαι. πτισάνης τε οὖν χυλὸν, οἷς οὐκ ὀξύνεται διδόναι. καὶ μελίκρατον, οἷς οὐκ ἐκχολοῦται. καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα. καὶ ἄρτον δι' ὕδατος ὅσα τ' ἄλλα τῆς αὐτῆς, παραπλησίας ἐστὶ δυνάμεως, τοῖς δ' ἰσχυρῶς θερμοῖς καὶ καυσώδεσιν, ὅταν πρῶτον ἴδοις τὰ τῆς πέψεως σημεῖα, θαῤῥῶν ὕδατος ἤδη ψυχροῦ διδόναι πίνειν, τῆς δόσεως τὸ πλῆθος μετρῶν, ὥρᾳ τε καὶ χώρᾳ καὶ ἡλικίᾳ, καὶ φύσει, καὶ ἔθει. τοιαύτη μέν τις ἐν τῷ καθόλου φάναι τῶν ἄνευ συμπτωμάτων πυρετῶν ἐπιμέλεια. τῶν δὲ μετὰ συμπτωμάτων πυρετῶν, οὐκ ἔθ' ἁπλῶς οὕτως, ἀλλὰ μετρῆσαι χρὴ καθ' ὅσον οἷόν τε πηλίκος μὲν ὁ πυρετὸς, πηλίκον δὲ τὸ σύμπτωμα τὸν κίνδυνον ἐπιφέρον. καὶ πρὸς τὸ σφοδρότερον ἐν αὐτοῖς καὶ χαλεπώτερον ἵστασθαι, μὴ δὲ θατέρου παντάπασιν ἀμελοῦντας. φέρε γὰρ εἴ τις πυρέττοι μὴ τῆς καλουμένης πληθωρικῆς διαθέσεως παρούσης, ἀλλ' ἐξ ἀπεψιῶν τε προσφάτων εἴη, καὶ δάκνοιτο, καὶ θλίβοιτο τὸ στόμα τῆς γαστρὸς, ἢ καὶ χυμόν τινα μοχθηρὸν ἐμεμηκὼς εἴη, καὶ τῇ τούτου διόδῳ μεγάλως βεβλαμμένος, ὥστε καὶ δυσφορεῖν καὶ ἀλύειν. ἆρ' ἐνταῦθα πρὸς τὸν πυρετὸν ἀποβλέψαντες, μόνον κενοῦν ἐπιχειρήσομεν τὸ πλῆθος ὅπερ ἄλλως ἂν ἀλύπως ἐπράξαμεν, ἢ πρότερον τοῦ στόματος τῆς γαστρὸς προνοησόμεθα, κἄπειθ' οὕτως ἐπειδὰν ἡμῖν καλῶς ἔχῃ τοῦτο, τὴν ἐνδεχομένην τοῦ παντὸς σώματος κένωσιν ποιησώμεθα; ἐμοὶ μὲν οὖν οὕτω δοκεῖ. πολλάκις γοῦν εἶδον πολλοὺς τῶν τοιούτων. τοὺς μὲν, ἀπολλυμένους. τοὺς δ' εἰς ἔσχατον ἀφικομένους κινδύνου, ἐπιχειρησάντων αὐτοὺς κενοῦν τῶν ἰατρῶν πρὶν ῥῶσαι τὸν στόμαχον. ἀλλ' οὐδὲ εἰ μετὰ διαῤῥοίας ὁ πυρετὸς εἴη, χρῄζει τινὸς ἄλλης κενώσεως, ἀλλ' αὐτάρκης αὕτη, κἂν μὴ κατὰ λόγον ᾖ τοῦ πλήθους. οἱ γὰρ τῶν τοιούτων ὡς πλείονος χρῃζόντων ἀφαιρέσεως, ἢ διὰ τοῦ αἵματος ἀπάγειν ἐτόλμησαν, ἢ τὴν γαστέρα κινεῖν, ἔτι μᾶλλον ὀξεῖς κινδύνους ἐπήνεγκαν. ἀλλ' οὐδ' εἰ ἐπειγόμενός τις ἅμα καὶ κενώσεως αἵματος εἴη χρῄζων οὐδὲ τούτῳ τοσοῦτον ἀφαιρεῖν προσήκει εἰς ἅπαξ, ὅσου δεῖται τὸ πάθος. ἀλλά τι καὶ τῷ συμπτώματι καταλειπτέον, ἱδρῶτας τε πολλάκις † κινοῦντι, καὶ ἀγρυπνίας προσφέροντι, καὶ τὴν ἰσχὺν καταβάλλοντι τοῦ νοσοῦντος. οὕτω δὲ καὶ ἡ ἀγρυπνία σφοδρὰ, καὶ εἰ ἄλγημα σύντονον ἐνοχλοίη τὸν νοσοῦντα, φυλακτέον ἀθρόας τε καὶ πολλὰς κενώσεις. οἷον ἀεί τι σύμπτωμα, καὶ τὴν τοῦ περιέχοντος ἀέρος ὑπολογιστέον κρᾶσιν, ὅταν γε † ἀκριβῶς ᾖ θερμὴ καὶ ξηρά. καθάπερ ἐν τῷ μεταξὺ κυνὸς ἐπιτολῆς καὶ ἀρκτούρου. καὶ διὰ τοῦτο πάντες ἀπέθανον, ὧν οἱ μὴ δι' ὅλου ταῖς ὥραις προσέχοντες ἰατροὶ, τὰς φλέβας τεμεῖν ἐθάῤῥησαν. οὕτω δὲ καὶ εἰ ψυχρά τις εἴη πάνυ σφόδρα, καὶ γὰρ οὖν καὶ τότε φυλακτέον ἐκχεῖν τι τοῦ αἵματος, εἰδότας οὐ μικροὺς ἐν τοῖς κρύεσιν ἀκολουθεῖν κιν-

† al. ἐποίησαν

† al. πόῤῥω

† al. ἀφαιρέσεις

† al. πολλοῖς additur, & scribitur mox κινοῦντι

† al. ἄκρος

δυώδους. ἀπόλλυνται δ' οἱ μὲν ἐν ταῖς θερμαῖς πάνυ καταστάσεσιν οὐκ ὀρθῶς κενωθέντες, ὑπὸ τῆς καλου-
μένης συγκοπῆς τε καὶ διαφορήσεως. οἱ δ' ἐν ταῖς ψυχραῖς, ἐν ἀρχαῖς τῶν παροξυσμῶν καταψυχθέντες σφο-
δρῶς, οὐκέτ' ἀναφέρουσι. ταῦτ' ἄρα καὶ τῶν χωρίων, οὔτ' ἐν τοῖς θερμοῖς ἄγαν, οὔτ' ἐν τοῖς ψυχροῖς αἵματος ἀφαι-
ρέσεως θαῤῥοῦμεν. ἀλλ' ἐὰν μὲν ὁμολογῇ τὰ τῆς ὥρας τῷ χωρίῳ παντάπασιν ἀπεχόμεθα. μὴ ὁμολογούντων
δέ, κενοῦμεν μέν, ἀλλ' ἔλαττον πολύ, † ἢ ὡς εἰ μηδὲ ἕτερον ἐκώλυεν. οἷον δέ τι σύμπτωμα καὶ τὸ τοῦ νοσοῦντος οὐ πάν-
τως ὑφορᾶσθαι χρή. πολλοὶ γοῦν † οὔτ' ἐκκενώθησάν ποτε, οὔτε κένωσιν ἀθροωτέραν οὐδεμίαν, οὔτ' ἀσιτίαν μακροτέραν
φέρουσιν. ἀλλ' οἱ μὲν ἄῤῥωστοι τὴν πᾶσαν ἰσχὺν τοῦ σώματος, ἐπ' αὐτοῖς γίνονται ῥᾳδίως. οἱ δ' εὐθὺς τὸν στόμαχον
φαύλως ἔχουσιν, ὥστε ἀποστρέφεσθαι τὰ σιτία. καὶ εἰ βιασάμενοι λάβοιεν, ἢ μὴ κατέχειν, ἢ μὴ πέττειν καλῶς.
ἐν τούτῳ τῷ μέρει τῆς διαγνώσεως, καὶ τὴν κρᾶσιν τοῦ νοσοῦντος † θεωρητέον. ὅσοι γὰρ θερμοὶ καὶ ξηροὶ φύ-
σει τυγχάνουσιν ὄντες, οὗτοι πάντες ὑπὸ τῶν ἀθρόων κενώσεων ῥᾳδίως βλάπτονται, καὶ μὲν δὴ καὶ τὸ ἔθος, οὐ †
μικρὰ μοῖρα πρός τε τἄλλα σύμπαντα, καὶ οὐχ ἥκιστα πρὸς τὴν τῆς κενώσεως ἔνδειξιν. οἱ μὲν γὰρ, οὔτ' ἐκενώ-
θησαν ἔμπροσθεν, οὔτε ποτὲ κένωσιν ἀθρόαν ὑπήνεγκαν. παμπόλλοις τε σιτίοις ἐχρῶντο, τινὲς δ' ἔμπαλιν,
οὔτε πολλοῖς χρῶνται σιτίοις, καὶ κενώσεων ἐθάδες εἰσί. τούτους μὲν οὖν ἀδεῶς κενωτέον, ὅταν γε καὶ τἄλλα ὑπα-
γορεύῃ. τοὺς δ' ἑτέρους, τοὺς ἀήθεις, οὐδ' εἰ τἄλλα σύμπαντα προτρέποιτο. ἐπὶ ταῦτα δὲ καὶ τὰς ἕξεις τοῦ σώμα-
τος χρὴ σκοπεῖσθαι. τοῖς μὲν γὰρ πυκνὴν καὶ στερεὰν ἔχουσιν τὴν σάρκα, δυσπαθὴς ἡ ἕξις. ὥστ' οὐδὲν χρὴ δεδιέναι κε-
νοῦν αὐτοὺς εἰς ἅπαξ, ἤν γε καὶ τἄλλα κελεύῃ. τοῖς δὲ μαλακήν τε καὶ βρυώδη καὶ διαῤῥέουσαν ἑτοίμως, εὐπαθὴς
οὗτοι δεινῶς. ὥστε τῶν γε τοιούτων, οὐδ' εἰ πάντα τἄλλα κελεύει τοῦ αἵματος ἀποχεῖν, οὐδὲ τότε τολμητέον. ἀλλὰ
καὶ ταῖς ἄλλαις κενώσεσι καθ' ὅσον οἷόν τε μετρίως τε καὶ εὐλαβῶς χρηστέον. ὁμοίως δὲ καὶ ὅσοι παχεῖς ὑπερ-
βαλλόντως ἢ ἰσχνοί, καὶ γὰρ καὶ τούτων τάς τε φλέβας τέμνειν φυλακτέον, καὶ τὰς ἄλλας κενώσεις τὰς ἀθρόας
εὐλαβητέον. εἴη δ' ἂν ἐν τούτοις καὶ ἡ ἡλικία, καθάπερ τι σύμπτωμα κωλυτικὸν ἀθρόας κενώσεως. οὔτε γὰρ
οἱ παῖδες οὔθ' οἱ γέροντες ἀλύπως αὐτὰς φέρουσι. πάντας οὖν τοὺς εἰρημένους, ὅταν αἱ διαθέσεις κένωσιν
ὑπαγορεύωσιν, οὐχ ἅπαξ, οὐδ' ἀθρόως, ἀλλὰ κατὰ βραχὺ κενωτέον, ἀσιτίαις τε συμμέτροις, καὶ τρίψεσι, καὶ
κλύσμασι μαλακοῖς, καταιονήσεσί τε καὶ καταπλάσμασι, καὶ βαλανείοις. ἑκάστου πάλιν τούτων τὴν ἔν-
δειξιν ἀπὸ τῶν προειρημένων λαμβάνοντας. οὕτω δὲ καὶ εἰ δύο ποτὲ συμπτώματα ἐναντία παρακολουθείη,
σκέπτεσθαι χρὴ ὁπότερον αὐτῶν ἰσχυρότερόν ἐστιν. ὡσαύτως δὲ καὶ εἰ νοσήματα δύο, περὶ τὸν αὐτὸν ἄν-
θρωπον εἴη μαχομένας τὰς ἐνδείξεις ποιούμενα. καὶ γὰρ καὶ τότε πρὸς τὸ κατεπεῖγον † ἵστασθαι χρή, μὴ δὲ θα-
τέρου παντάπασιν ἀμελοῦντας. τὰς δ' ἀπὸ τῶν συμπτωμάτων τε καὶ νοσημάτων ἐνδείξεις, οὐχ ἁπλῶς, ἀλλὰ
κατὰ τὴν ἐργαζομένην ἕκαστον αἰτίαν χρὴ σκοπεῖν, οἷον ἐστὶν ἡ λειποθυμία καὶ ἡ ἔκλυσις. εἰώθασι γὰρ οἱ ἰατροὶ καθ'
ἑνὸς πράγματος ἄμφω ταῦτα τὰ ὀνόματα φέρειν. αὐτὸ μὲν οὖν τὸ πρᾶγμα, ἕν ἐστιν. αἰτίαι δ' αὐτοῦ πολλαί.
λειποθυμοῦσι γὰρ ἐπί τε χολέραις, καὶ διαῤῥοίαις, καὶ δυσεντερίαις, καὶ λειεντερίαις, καὶ γυναικείῳ ῥῷ, καὶ τραύ-
μασιν, αἱμοῤῥοΐσι τε, καὶ ἀναγωγαῖς αἵματος, καὶ ταῖς διὰ ῥινῶν αἱμοῤῥαγίαις, καὶ λοχείαις καθάρσεσιν ἀμέ-
τροις. ἤνεγκε δέ ποτε καὶ ἀπεψία μεγάλη λειποθυμίαν, καὶ μάλισθ' ὅταν ἀμετρότερον ὑπαγάγῃ τὴν γαστέρα.
καὶ ὁ βούλιμος δὲ καλούμενος οὐδὲν ἄλλο, ἢ λειποθυμία ἐστί. καὶ ὑστερικῆς πνίξεως ἁπάσης, λειποθυμία προηγεῖ-
ται. καὶ ταῖς ἀναδρομαῖς τῶν ὑστερῶν ἕπεται. καὶ ταῖς παρεγκλίσεσι δὲ καὶ ταῖς φλεγμοναῖς αὐτῶν πολλάκις
ἀκολουθεῖ. προηγεῖται δ' ἀποπληξίας τε καὶ κακοήθους ἐπιληψίας, καὶ διαφορήσεων, καὶ τῶν συγκοπῶν, καὶ
μαρασμῶν. ἀλλὰ καὶ συνεισβάλλει ποτὲ καταβολαῖς πυρετῶν οὐκ ὀλίγαις. καὶ μάλισθ' ὅταν ἄκρως ἢ ξηρὸν
καὶ αὐχμῶδες, ἢ πληθωρικὸν ἀμέτρως τὸ σῶμα. καὶ καυσώδει δὲ καὶ κακοήθει πυρετῷ. συνεισέβαλέ ποτε.
καὶ τοῖς μεγάλως καταψυχθεῖσι τὰ ἄκρα τοῦ σώματος ἐν ταῖς εἰσβολαῖς τῶν πυρετῶν. καὶ ὅσοι διὰ μέγεθος
φλεγμονῆς, ἢ ἥπατος, ἢ κοιλίας, ἢ στομάχου πυρέσσουσι, καὶ οὗτοι λειποθυμοῦσι κατὰ τὰς ἀρχὰς τῶν πα-
ροξυσμῶν. μάλιστα δ' οἷς πλῆθος χυμῶν ὠμῶν καὶ ἀπέπτων, καί τις ἔμφραξις ἐπικαίρου μορίου. λειποθυμοῦ-
σιν δὲ καὶ ὅσοις τὸ στόμα τῆς γαστρὸς ἄῤῥωστον, ἢ ὑπὸ μοχθηρίας χυμῶν δάκνεται, ἢ ὑπὸ παχέων, ἢ γλίσχρων,
ἢ ὑγρῶν, ἢ ψυχρῶν βαρύνεται. καὶ μὴν διὰ καὶ ψυχικῶν παθῶν ἰσχὺν λειποθυμοῦσι τινές. μάλιστα δὲ πρεσ-
βῦται πάσχουσιν αὐτό, καὶ οἱ ἄλλως ἀσθενεῖς. καὶ γὰρ λυπηθέντες αὐτῶν πολλοί, καὶ χαρέντες, καὶ θυμωθέντες
ἐλειποθύμησαν. ἀλλὰ καὶ νοτίδες ἔσθ' ὅτε μὴ κατὰ καιρὸν τοῖς οὕτως ἔχουσιν ἐπιφαινόμεναι, λειποθυμίας ἐπι-
φέρουσιν. ὥσπερ καὶ τοῖς ἰσχυροτέροις, ἱδρῶτες ἄμετροι. καὶ εἰ ἀπόστημά τι ῥαγείη, † βλάπτει τὴν δύναμιν
ἰσχυρῶς. καὶ μάλιστα εἰ ῥαγὲν ἀθρόως εἰς κοιλίαν, ἢ εἰς στόμαχον, ἢ εἰς θώρακα συῤῥέοι. καὶ ἡμεῖς αὐτοὶ τέμνοντες
ἀποστήματα, εἰ τὸ πῦον ἀθρόως ἐκκενώσομεν, ἀνάγκη λειποθυμῆσαι. καὶ εἰ καθαίροντες, ἢ κλύζοντες, ἢ ὁπω-
σοῦν κενοῦντες, ἀθροώτερον αὐτὸ δράσομεν. οὐδὲ γὰρ οὐδὲ τὸ ἐν τοῖς ὑδέροις ὑγρόν, καίτοι περιττὸν ὂν καὶ παρὰ
φύσιν, ἀλύπως ἀνέχεται τὴν ἀθρόαν κένωσιν, ἀλλ' ἀνάγκη καὶ τότε λειποθυμῆσαι τὸν ἄνθρωπον. ἀλλὰ καὶ
διὰ μέγεθος ὀδύνης ἐκλύσεις γίνονται δήξεων τινῶν, ἢ στρόφων, ἢ εἰλεῶν ἢ κωλικῆς διαθέσεως ἐξαίφνης ἐμ-
πεσούσης. ἀλλὰ καὶ νεύρου τρωθέν, καὶ μυὸς κεφαλή. λειποθυμίαν ἤνεγκε. καὶ τὰ ἐν τοῖς ἄρθροις ἕλκη τὰ κακοήθη,
καὶ τὰ γαγγραινώδη, καὶ νομώδη σύμπαντα. καί τις ἄμετρος ψύξις, ἢ θερμασία. καὶ ἡ τοῦ ζωτικοῦ τόνου λύ-
σις. αὗται μὲν αἱ τῆς λειποθυμίας αἰτίαι. καθ' ἕκαστον δὲ αὐτῶν, ἡ θεραπεία ἴδιος. καὶ γράψαι νῦν ὑπὲρ
πασῶν οὐκ ἐγχωρεῖ. τὰς γὰρ ἐν τοῖς πάθεσι συνεδρευούσας, οὐχ οἷόν τε χωρὶς ἐκείνων ἰᾶσθαι. τοσοῦτον οὖν
ἐν τῷ παρόντι λόγῳ ἐροῦμεν περὶ αὐτῶν, εἰς ὅσον ἄν τις μαθὼν, ἱκανὸς εἴη τοῖς ἐξαίφνης ἐμπίπτουσιν ἐνί-
στασθαι παροξυσμοῖς. οἷον ὅτι τοῖς μὲν ἐπὶ χολέραις καὶ διαῤῥοίαις, καὶ ταῖς ἄλλαις ταῖς πολλαῖς καὶ ἀθρό-
αις κενώσεσιν ἐκλυομένοις, ὕδωρ τε ψυχρὸν προσραίνειν, καὶ τοὺς μυκτῆρας ἐπιλαμβάνειν, καὶ ἀνατρίβειν
τὸ στόμα τῆς γαστρός, καὶ κελεύειν ἐμεῖν, ἢ παράπτειν τὸν στόμαχον, ἢ τοι δακτύλων, ἢ πτερῶν καθέσεσιν, ἀλ-
λὰ καὶ χεῖρας † πόδας διαδεῖν, † εἶναι δὲ χρὴ καὶ τοὺς δεσμούς, πλείονας μὲν καὶ σφοδροτέρους ἐν ταῖς χερ-
σίν,

† al. ὑπὲρ εἰ
† al. omittuntur
† al. θετέον
† al. οὐ μικρὸν συντελεῖ
† al. ἐνίστασθαι
† al. τῶν μὴ πάνυ τὴν δύναμιν ἰσχυρῶν
† al. σκέλη al. omittuntur

σιν, ὅταν διὰ τῶν κάτω μορίων αἱ κενώσεις γίγνωνται, καθάπερ ἐν ταῖς αἱμοῤῥοΐσι καὶ διαῤῥοίαις. ὅσας τε διὰ τῶν ὑστερῶν αἱ γυναῖκες κενοῦνται. τὸ γὰρ τὰ σκέλη τηνικαῦτα σφοδρῶς διαδεῖν, ἐπισπᾶταί τι κάτω πολλάκις. ἔμπαλιν δ' ἐν ταῖς διά τε ῥινῶν αἱμοῤῥαγίαις, καὶ τοῖς ἐμέτοις οἱ δεσμοὶ πλείονές τε καὶ σφοδρότεροι περὶ τὰ σκέλη γιγνέσθωσαν. καὶ μὲν δὴ καὶ ὅσοις ἐπὶ τραύμασιν αἱμοῤῥαγοῦσιν, ὡσαύτως ἄνω μὲν ἐπὶ τοῖς κάτω, κάτω δ' ἐπὶ τοῖς ἄνω τὰ δεσμὰ περιβάλλειν. συμβουλεύσειε δέ τι καὶ ἀνάῤῥοπον σχῆμα τῷ μέρει, μὴ μέντοι πάνυ σφόδρα. τεινόμενον γὰρ ἐν τῷδε καὶ πονοῦν, οὐδὲν ἧττον, ἢ εἰ κατάῤῥοπον ἦν, προξενεῖται. τὸ δὲ σύμπαν ἢ ἐπὶ τὰ κοινὰ ἀντισπᾶν τοῖς πεπονθόσιν, ἢ ἐπὶ τὰ τῆς κενώσεως κατάρξαντα. διὰ τοῦτο τὰς μὲν ἐκ τῶν ὑστερῶν ἀθρόας κενώσεις, αἱ παρὰ τοὺς τιτθοὺς προσβαλλόμεναι σικύαι, τάχιστα παύουσι. τὰς δὲ διὰ τῶν ῥινῶν, ἥπατί τε καὶ σπληνί, παρὰ τὴν αἱμοῤῥαγοῦσαν ῥῖνα. καὶ εἰ διὰ ἀμφοτέρων ἀθρόον καὶ πολὺ φέροιτο, τοῖς σπλάγχνοις ἀμφοτέροις προσβάλλειν. ἰᾶται δὲ καὶ οἶνος ὕδατι ψυχρῷ κεκραμένος, τὰς ἐπὶ ταῖς ἀθρόαις κενώσεσιν ἐκλύσεις, καὶ μάλιστα τῶν εἰς τὴν γαστέρα ῥεπόντων ῥευμάτων. ἐπισκοπεῖσθαι δέ, μή τι κωλύῃ τὴν τοιαύτην δόσιν, οἷον εἰ σπλάγχνον τι φλεγμαῖνον, ἢ κεφαλῆς ἄλγημα σφοδρότερον, ἢ παρακρουστικόν τι πάθος, ἢ πυρετὸς καυσώδης ἐν ἀπέπτῳ νοσήματι. μεγάλαι γὰρ ἐν τοῖς τοιούτοις καὶ σχεδὸν ἀνίατοι ταῖς τῶν οἴνων πόσεσιν ἕπονται βλάβαι. μηδενὸς δὲ κωλύοντος, ἐφεξῆς δεῖ διορίζεσθαι τήν τε φύσιν τοῦ νοσοῦντος, καὶ τὸ ἔθος, καὶ τὴν ἡλικίαν, καὶ τὴν τοῦ περιέχοντος ἀέρος κρᾶσιν. εἰς ταῦτα γὰρ ἀποβλέπων, ἢ θερμόν, ἢ ψυχρὸν δώσεις τὸ πόμα. τοὺς μὲν γὰρ ἀήθεις ψυχροῦ πόματος, ἢ καὶ φανερῶς ἢ βλαπτομένους ὑπ' αὐτοῦ, καὶ ὅσοι φύσει ψυχρότεροι, καὶ τοὺς ἐν ἐσχάτῳ γήρᾳ, ἢ καὶ χωρίῳ ψυχροτέρῳ φύσει, ἢ καὶ χειμῶνος εἴργειν τοῦ ψυχροῦ. τοῖς δ' ἐναντίως ἔχουσιν, ἀδεῶς διδόναι πίνειν. ἔστω δὲ καὶ οἶνος, ἐπὶ μὲν τοῖς εἰς τὴν γαστέρα ῥεύμασι, θερμός τε καὶ λεπτὸς οἷος ὁ λέσβιος. ἐπὶ δὲ ταῖς αἱμοῤῥαγίαις, παχύς τε καὶ μέλας, καὶ στρυφνός. ἐπὶ δὲ τοὺς τόπους αὐτούς, ἐπιτιθέναι γαστρὶ μὲν καὶ μήτρᾳ καὶ στομάχῳ καὶ θώρακι τὰ τονοῦν πεφυκότα. κεφαλῇ δὲ καὶ μετώπῳ, καὶ ταῦτα, καὶ τὰ ψύχοντα, καὶ ἐφ' ὧν ἐπὶ πολλῆς καὶ περὶ τοὺς μυκτῆρας φλεβῶν εἴη τις ἐῤῥωγυῖα τῶν ἐπεχόντων φαρμάκων τὸ αἷμα ἐπιτιθέναι. λουτρὰ δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν, ἐπιτηδειότατα. τὰς δ' αἱμοῤῥαγίας, δεινῶς παροξύνει. καὶ ὅσοι διὰ πλῆθος ἱδρώτων λειποθυμοῦσι, καὶ τούτοις ἐναντιώτατα. χρὴ γὰρ αὐτῶν στύφειν, τε καὶ ψύχειν, οὐ χαλᾶν τὸ δέρμα. καὶ τὸν οἶνον ψυχρὸν μάλιστα διδόναι τούτοις, καὶ μηδὲν ὅλως προσφέρειν θερμόν. ἀλλὰ μὴ δὲ διαδεῖν τὰ κῶλα, μηδ' ἀναγκάζειν ἐμεῖν, μὴ δὲ κινεῖν ὅλως. καὶ πνευμάτων εἰσόδους ψυχόντων ἐπιτεχνᾶσθαι. καὶ τὸν ἀέρα τοῦ οἴκου τρέπειν εἰς ψυχρότητά τε καὶ στρυφνὴν ποιότητα μυρσίνων τε καὶ ἀμπέλων ἕλιξι καὶ ῥόδοις καταστρωννῦντα τοὔδαφος. τούτων οὐδὲν χρήσιμον τοῖς εἰς τὴν γαστέρα ῥεύμασιν αὔξεται γὰρ εἰς ὅσον ἂν πυκνωθῇ τὸ δέρμα. τοῖς μὲν οὖν ἐπὶ ταῖς κενώσεσιν ἐκλυομένοις, οὕτω βοηθεῖν ἔν γε τῷ παραχρῆμα. τοῖς δ' ἐπὶ πλήθεσιν, οὐκ ἔθ' ὁμοίως, ἀλλὰ τρίβειν ἐπὶ πλεῖστον ἔσω ἐκείνων τὰ κῶλα, καὶ θερμαίνειν καὶ διαδεῖν. οἴνου δὲ καὶ τροφῆς ἀπέχειν, καὶ λουτρῶν εἰ πυρέττοιεν. ἀρκεῖ δ' αὐτοῖς μελικράτου τε διδόναι πόμα, ἢ θύμου, ἢ ὀριγάνου, ἢ γλήχωνος, ἢ ὑσσώπου ἔχοντος ἐναφεψημένον. ἐπιτήδειον δὲ καὶ ὀξύμελι. καὶ τὰς ἐφ' ὑστέραις δὲ πεπονθυίας ἐκλυομένας, ὡσαύτως ἰᾶσθαι, πλὴν ὀξυμέλιτος καὶ διαδεῖν καὶ τρίβειν σκέλη μᾶλλον, ἢ χεῖρας. καὶ ὥσπερ ἐπ' ἐκκρίσει πολλῇ παρὰ τοὺς τιτθοὺς σικύας ἐπιτίθεμεν, οὕτως ἂν ἀνεσπάσαι καὶ παρέσπασαι βουβῶσί τε καὶ μηροῖς προσάξομεν. καὶ ταῖς μὲν ῥισίν, ὀσφραντὰ δυσωδέστατα. ταῖς δὲ μήτραις, εὐώδη. καὶ τὰ χαλᾶν καὶ θερμαίνειν δυνάμενα [illegible] προσοίσομεν. εἰ δ' ἄῤῥωστος ὁ στόμαχος εἴη καὶ ταύτῃ λειποθυμοῖεν, ἐπιπλάττειν μὲν τοῖς τονοῦν [illegible]μένοις, οἷα τά τε διὰ τῶν φοινίκων ἐστί, καὶ οἴνου, καὶ ἀλφίτων, καὶ κρόκου, καὶ ἀλόης, καὶ μαστίχης. ἐπιβρέχειν δὲ τοῖς διὰ ἀψινθίου, καὶ μηλίνου, καὶ μαστιχίνου καὶ ναρδίνου, καὶ οἰνάνθης, καὶ οἴνου. καὶ εἰ ἐκκαίοιντο, μιγνύναι τι καὶ τῶν ψυχόντων. οἷον τῆς τε κολοκύνθης τὸν χυλόν, καὶ τῆς ἀνδράχνης, καὶ τοῦ στρύχνου, καὶ τῆς θριδακίνης, καὶ τῆς ἀνδράχνης, καὶ τοῦ στρύχνου, καὶ τῆς σέρεως, καὶ τοῦ ὄμφακος, οὗτος μέν γε οὐ ψύχει μόνον, ἀλλὰ καὶ στύφει. καὶ ψυχρὸν ὕδωρ τοῖς διακαιομένοις τὸν στόμαχον ὤνησε πολλάκις ἐν καιρῷ δοθέν. ἄλλως δέ, μεγάλως βλάπτει. καὶ χρὴ μᾶλλον οἴνου θερμοῦ διδόναι τοῖς ἀῤῥώστοις τὸν στόμαχον, εἰ μηδὲν ἄλλο κωλύοι. ὤνησε δὲ μεγάλως τοὺς τοιούτους στομάχους καὶ ἡ τῶν † ἀκρωτηρίων τρῖψις. εἰ δ' ἐπὶ τούτοις βελτίους μὴ γένοιντο, τοὺς μὲν ἐκκαιομένας, ἐπὶ λουτρὸν ἄγειν τὴν ταχίστην. ὅσοι δὲ ψύξεώς τινος αἴσθησιν ἔχουσι, τοῦ τε διὰ τριῶν πεπέρεων φαρμάκου, καὶ αὐτοῦ τοῦ πεπέρεως μόνου, καὶ ἀψινθίου πινόντων, ὅσοι δὲ μοχθηρῶν χυμῶν δακνόντων τὸ στόμα τῆς γαστρὸς ἐκλύονται, διδοὺς ὕδωρ θερμὸν ἢ ὑδρέλαιον, ἐμεῖν κελεύειν. εἰ δὲ δυσεμεῖς εἶεν, θάλπειν χρὴ † πρότερον αὐτά τε τὰ περὶ τὸν στόμαχον χωρία, καὶ πόδας, καὶ χεῖρας. εἰ δὲ μὴ δ' οὕτως δύναιντο, πτερὰ ἢ δακτύλους καθιέντας ἐρεθίζειν. εἰ δὲ μὴ δ' οὕτως, αὖθις αὐτοῖς ἔλαιον θερμὸν ὅτι κάλλιστον δοτέον. εἴωθε δὲ πολλάκις τοὔλαιον, οὐκ εἰς ἔμετον μόνον ὁρμᾶν, ἀλλὰ καὶ τὴν γαστέρα λαπάττειν. ἔστι δὲ καὶ τοῦτο οὐ μικρὸν ἀγαθὸν τοῖς παροῦσιν. ὥστ' εἰ μὴ γένοιτο αὐτόματον, ἐπιτεχνᾶσθαι χρή. μάλιστα δὲ τοῖς προσθέτοις αὐτὸ πειρᾶσθαι δρᾶν. εἰ δὲ ῥᾷον ἐπὶ τοῖσδε γένοιτο, καὶ ἀψινθίου κόμην ἐναφέψων, μελικράτῳ διδόναι πίνειν, καὶ οἶνον ἐφεξῆς. καὶ παντοίως ῥωννύναι τὰ μόρια διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων, καὶ τοῦ ἀψινθίου ταῖς πόσεσιν. οὐ μὴν κατ' ἀρχὰς κελεύω σε τοῦτο ποιεῖν οὕτως, ἀλλ' ὕστερον ἡνίκα μὲν ἤδη καθαρὰ τὰ περὶ τὴν κοιλίαν ᾖ. περιεχομένων δέ τι τῶν χυμῶν ἐν αὐτῇ, μηδέπω στύφειν, ἀλλ' ἀρκεῖ θάλπειν μόνον, ὡς ἔμπροσθεν εἴρηται. φλέγματος δὲ πολλοῦ καὶ ψυχροῦ περὶ τὸ στόμα τῆς γαστρὸς ἠθροισμένου, καταντλεῖν μὲν ἐπὶ πλεῖστον, ἐλαίῳ συνέψων ἀψίνθιον. ἐφεξῆς δὲ τοῦ μελικράτου διδόναι, ἢ ὑσσώπου, ἢ τι τῶν ὁμοίων ἀποβρέχων, ὀξυμέλιτός τε, καὶ πεπέρεως, καὶ τοῦ διὰ τριῶν πεπέρεων, καὶ τοῦ διοσπολιτικοῦ φαρμάκου. καὶ τὸ σύμπαν σοι τῆς διαίτης κεφάλαιον, τμητικὸν ἔστω. τὰς δ' ἐπὶ ταῖς ἰσχυραῖς ψύξεσιν ἐκλύσεις, ὁμοίως τοῖς βουλίμοις ἰᾶσθαι παντὶ τρόπῳ θερμαίνοντα. τόν τε οὖν οἶνον αὐτοῖς διδόναι θερμῷ κεκραμένον, καὶ ῥοφὰς τὰς θερμαίνειν πεφυκυίας. ἀναβιβάζειν τε καὶ θάλπειν παρὰ πυρί. τὰς δὲ ἐπὶ θερμασίᾳ πλείον, † γινομένας λειποθυμίας, τοῖς ἐμψύχειν τε καὶ τονοῦν δυναμένοις. ἐμπίπτει

† al. ἄκρων

† al. omittuntur

† al. additur

σι γὰρ αὗται μάλιστα τοῖς ἐν ἀέρι πνιγώδει ἢ βαλανείῳ χρονίζουσι. ῥώσεις οὖν αὐτοὺς ἐν μὲν τῷ παραχρῆμα, τό τε
ψυχρὸν ὕδωρ προσραίνων, καὶ ῥιπίζων, καὶ πρὸς ἄνεμον τρέπων, καὶ τρίβων τὸ στόμα τῆς κοιλίας, καὶ σπα-
ράττων, ἐφεξῆς δὲ ἤδη καὶ οἶνον διδοὺς καὶ τροφάς. τοὺς δὲ διὰ μέγεθος φλεγμονῆς, ἢ καὶ κακοήθειαν σφο-
δροῦ πυρετοῦ λειποθυμοῦντας ἐν ταῖς εἰσβολαῖς καὶ καταψυχομένους, τὰ κῶλα τρίβων ἰσχυρῶς καὶ θάλ-
πων, καὶ διαδῶν σκέλη τε καὶ χεῖρας, ἐγρηγορέναι τε κελεύων, καὶ σιτίου παντὸς ἀπέχεσθαι καὶ πόμα-
τος. ἄριστον δ' ἐπὶ τούτων προγνῶναι τὸ μέλλον ἔσεσθαι, καὶ φθάνειν αὐτὰ πράξαντα πρὸ τοῦ παροξυσ-
μοῦ. καὶ τοὺς διὰ ξηρότητα δὲ συγκοπτομένους ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς ἄριστον προγινώσκειν. εἰ γὰρ
ὥραις που δύο ἢ τρισὶν ἔμπροσθεν πρὸ τοῦ παροξυσμοῦ θρέψας, διακρατεῖσθαι, τε πόδας καὶ χεῖρας κελεύ-
σειας, οὐκ ἂν ἀπόλοιντο. εἶναι δὲ χρὴ τὰς τροφὰς εὐπέπτους τε καὶ εὐστομάχους. εἰ δὲ καὶ σφοδρὸν τὸν κίνδυ-
νον ὑπονοήσῃς ἔσεσθαι φθάνειν οἶνον διδόναι, καὶ μάλιστ' εἰς χόνδρον ἑφθὸν τὸν οἶον ἀπαλὰς προσφέρειν. εἰ δὲ
καὶ ἄρτον ἀντὶ χόνδρου δοίης ἴσον δύναται. μετρίας δὲ τῆς συγκοπῆς † προσδεχομένης, οὐδὲν οἴνου δεῖ, ἀλλ'
ἀρκεῖ τηνικαῦτα ῥοιῶν, ἢ ἀπίων, ἢ μήλων, ἢ τινὸς ἄλλης ὀπώρας στυφούσης, ταῖς τροφαῖς μιγνύναι. καὶ εἰ
ἐπὶ τοῖς δὲ μετρίως τὸν παροξυσμὸν ἐνεγκοῦσιν αὖθις τρέφοντας, οὐκ ἀναγκαῖον ὀπώραις χρῆσθαι. ταῦτα
μὲν πράττειν εἰ προγνοίης τὸ μέλλον ἔσεσθαι. τοῖς δ' ἐξαίφνης εἰς τὸν κίνδυνον ἐμπίπτουσιν, οἶνόν τε διδόναι
θερμοῦ, καὶ ἄρτου, καὶ χόνδρου σὺν αὐτῷ θερμοῦ παντελῶς ὀλίγον. εἰ γὰρ τούτοις πλεῖον δοίης, ἢ δυσπεπτό-
τερα σιτία τοῖς οὕτως ἔχουσιν, οὐ συγκοπήσονται μόνον, ἀλλὰ καὶ πνιγήσονται τελέως. τοῖς δὲ δι' ἔμφρα-
ξιν ἐπικαίρου μορίου λειποθυμοῦσιν, ὀξύμελί τε διδόναι, καὶ τὸ δι' ὑσσώπου, καὶ ὀριγάνου, καὶ γλήχωνος, καὶ
μέλιτος πόμα. καὶ τροφὰς τοῦ τμητικωτέρου τρόπου. τὰ γὰρ παχέα καὶ γλίσχρα, μεγάλας ἐν τοῖς τοιού-
τοις ἐργάζεται βλάβας. ἀλλὰ καὶ τὰ κῶλα τρίβειν τε καὶ διαδεῖν, οὐδὲν χεῖρον. ἀγαθὸν δὲ καὶ τοῖς οὐρη-
τικοῖς χρῆσθαι πόμασιν, οἷα τά τε δι' ἀνήθου, καὶ μαράθρου, καὶ σελίνου, καὶ πετροσελίνου, καὶ ἄμεως ἢ δαύ-
κου, καὶ νάρδου στάχυος. ἐφ' οἷς φανερᾶς οὔσης ἤδη τῆς ὠφελείας, οἴνῳ χρῆσθαι, λευκῷ καὶ λεπτῷ, μὴ πά-
νυ παλαιῷ. γνωριεῖς δὲ τὰς τοιαύτας ἐμφράξεις, ταῖς τ' ἄλλαις ἀνωμαλίαις τῶν σφυγμῶν, καὶ μάλιστα
ὅσαι κατὰ μέγεθός τε καὶ μικρότητα, καὶ σφοδρότητα καὶ ἀμυδρότητα γίνονται. μὴ παρούσης τῆς καλου-
μένης πληθωρικῆς συνδρομῆς, εἰσὶ γὰρ κἀκείνης κοιναί. γίγνονται δὲ καὶ διαλείποντες ἐπὶ ταῖς μεγά-
λαις τῶν τοιούτων διαθέσεων οἱ σφυγμοί. ταῦτα μὲν οὖν ἐπὶ πλέον ἐν τοῖς περὶ σφυγμῶν λέγεται. νυνὶ δὲ
μεταβῶμεν ἐπὶ τὸν περὶ τῶν ὑπολοίπων ἐκλύσεων λόγον. οἷον ὅσαι τε διὰ ῥῆξιν ἀγγείου ἀρτηρίας, ἢ τομὴν γί-
γνονται, καὶ ὅσαι διὰ κένωσιν ἀθρόαν ἐν ὕδροις. ἀπόχρη δὲ τούτοις ἐν μὲν τῷ παραυτίκα, τοῖς ὀσφραντι-
κοῖς ἀνακτήσασθαι. μικρὸν δ' ὕστερον, ῥοφήμασιν εὐπέπτοις χρῆσθαι. εἰ δὲ καὶ διὰ λύπην, ἢ χαράν, ἢ φόβον,
ἢ θυμόν, ἢ ἔκπληξιν ἐκλυθεῖεν, ὀσφραντικοῖς τε καὶ ταῖς τῶν ῥινῶν καταλήψεσιν ἀνακτησάμενον, ἐμεῖν ἀνα-
γκάζειν. ὡσαύτως δὲ καὶ τοὺς ἐπὶ τραύμασιν, ἢ καθάρσεσιν, ἢ ἀλγήμασι, τοῖς κατὰ τὰ ἄρθρα, καὶ νεῦρα, καὶ
τῶν μυῶν τοὺς τένοντας, ἐν γε τῷ παραχρῆμα δεῖ ἀνακτᾶσθαι. μετὰ δὲ ταῦτα, τὴν προσήκουσαν ποιεῖ-
σθαι τοῦ παθήματος θεραπείαν. αἱ δ' ἐπὶ τοῖς κωλικοῖς πάθεσιν, ἢ τοῖς εἰλεοῖς, ἢ τινὶ τῶν οὕτω μεγάλας
ἐπιφερόντων ὀδύνας ἑπόμεναι λειποθυμίαι, ταῖς τε τῶν πεπονθότων μορίων ἀλέαις μάλιστα καθίστανται,
καὶ ταῖς τῶν ἄκρων τρίψεσιν. τὰς δὲ δι' ἀρρωστίαν οἰκείαν τῶν διοικουσῶν τὸ σῶμα δυνάμεων ἐκλύσεις, ἐπὶ
δυσκρασίᾳ τῶν μορίων ἐκείνων γιγνομένας, ὅθεν αἱ δυνάμεις ὁρμῶνται, ταῖς ἐναντίαις δυσκρασίαις ἰᾶ-
σθαι προσήκει. θερμαίνοντας, μὲν τὰς ψυχράς, ψύχοντας δέ, τὰς θερμάς. ἐπί τε τῶν ἄλλων ἀνάλογον. ἡ μὲν
οὖν ζωτικὴ καλουμένη δύναμις, ἣν ἐκ καρδίας ὁρμωμένην ἐδείξαμεν, ἐκ τῶν ἀμυδρῶν σφυγμῶν γνωρίζε-
ται. ἡ δ' ἐξ ἥπατος μὲν ὁρμωμένη, θρεπτικὴ δ' ὀνομαζομένη, ταῖς αἱματώδεσι διαχωρήσεσι, κατ' ἀρ-
χὰς μὲν ὑδατώδεσί τε καὶ λεπταῖς γιγνομέναις. ὕστερον δὲ παχείαις, οἷάπερ ἡ ἀμοργή. τὴν δ' ἀπ' ἐγκε-
φάλου μὲν ὁρμωμένην δύναμιν, ἐξαιρέτως δ' ὑπό τινων ὀνομαζομένην ψυχικήν, τῇ ἐπὶ τὰς προαιρετικὰς
κινήσεις ἀρρωστίᾳ γνωρίζομεν. ἀλλὰ περὶ μὲν τῶν τοιούτων διαθέσεων ἰδίᾳ σοι γράψομεν ἐν ἑτέρῳ γράμ-
ματι. πάμπολλα γὰρ οὖν ἐν αὐτοῖς παρορώμενα τοῖς ἰατροῖς. ἐπεὶ δὲ τὸν περὶ τῶν συμπτωμάτων λό-
γον πεποιήμεθα μέχρι δεῦρο, πάλιν ἐπανίωμεν πρὸς τὰ ἐξ ἀρχῆς ἕνα κοινὸν ἐπὶ πάντων ἔχοντες σκοπόν,
ἐπισκέπτεσθαι τὴν ἐργαζομένην ἕκαστον αὐτῶν αἰτίαν. αὕτη γὰρ ἐνδείξεταί σοι τὴν προσήκουσαν ἴασιν.
οἷον εἴ τις ἀλγεῖ τὴν κεφαλήν, εἰ μὲν ἀσώδης εἴη καὶ καρδιώττοι, κελεύειν ἐμεῖν. ἐμεῖται γὰρ ἢ χολήν, ἢ φλέγ-
μα, ἢ ἄμφω. μηδενὸς δ' ἐπισήμου κατὰ τὴν γαστέρα παθήματος ὑποφαινομένου σκοπεῖσθαι, πότερον πλῆ-
θός ἐστιν, ἢ ἔμφραξις, ἢ φλεγμονή τινος τῶν ἐν τῇ κεφαλῇ μορίων. εὑρήσεις δὲ πρῶτον μέν, εἰ δι' ὅλης αὐ-
τῆς ἐκτέταται τὸ ἄλγημα πυνθανόμενος, ἢ κατά τινα τῶν μορίων ἐρείδει σφοδρότερον. ἔπειτα δὲ πότερον
μετὰ βάρους, ἢ τάσεως, ἢ δήξεως, ἢ σφυγμοῦ. τὰ γὰρ μετὰ βάρους ἀλγήματα, πλῆθος δηλοῖ. τὰ δὲ μετὰ
δήξεως, ἢ ἀτμῶν ἢ χυμῶν, δριμύτητα. τὰ δὲ μετὰ σφυγμοῦ, φλεγμονήν, τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ
βάρους, καὶ σφυγμοῦ, καὶ πνεύματος ἀπέπτου, καὶ φυσώδους, πλῆθος. εἰ δὲ μετὰ σφυγμοῦ, καὶ φλεγμονὴν
ὑμενώδους σώματος. εἰ δὲ μετὰ βάρους, πλῆθος ἐντὸς τῶν ὑμένων ἐνισχόμενον. ὅταν οὖν παντάπασι ταῦ-
τα διορισθείη τὴν ἐργαζομένην ἕκαστον αὐτῶν αἰτίαν σκοπεῖν χρή. ἐκείνη γὰρ ἐνδείξεταί σοι τὴν θεραπείαν,
οἷον εἰ πλῆθος εἴη περιεχόμενον ἀτμῶν, ἢ χυμῶν, ἐπισκοπεῖσθαι πότερον διὰ μέγεθος πυρετῶν οἱ χυμοὶ χυ-
θέντες τε καὶ οἱονεὶ ζέσαντες ἐπὶ τὴν κεφαλὴν ὥρμησαν, ἢ διὰ τὴν τοῦ μέρους ἀρρωστίαν, ἢ διὰ τὴν ἐν παντὶ
τῷ σώματι πλησμονήν. ταύτην μὲν γὰρ οὐκ ἂν χαλεπῶς ἰάσαιο, ταῖς τοῦ ὅλου κενώσεσι. τὴν δ' ἐπ' ἀσθενείᾳ
τοῦ μορίου, τὸ μὲν τι, πάντῃ τοῦ σώματος ἀντισπῶν. τὸ δέ τι, ταῖς τοῦ μέρους ἰάσεσιν. ἀντισπάσεις μὲν οὖν κλύσ-
μασί τε δριμέσι καὶ δεσμοῖς καὶ τρίψεσι τῶν κάτω πολλαῖς. καὶ ἣν οὕτω δέῃ καὶ τοῦ αἵματος ἀπάγων τι. τὸ
δὲ μόριον ἐξιάσῃ καθ' ὃν μὲν καιρὸν ἀντισπᾷς εἰς τὸ ὅλον σῶμα, ταῖς ἀπωθεῖσθαί τι τῆς κεφαλῆς δυναμέναις
ἐπιθερ-

† al. προσδοκωμένης

ἐπιβροχαῖς. μετὰ δὲ ταῦτα, ταῖς κηρωταῖς. εἰς ὕστερον δὲ ταῖς τονούσαις. ἀπωθεῖται μὲν οὖν ἔλαιον τὸ καλούμενον
ὠμοτριβές, ἢ ἄλλο τι τῶν τοιούτων παραπλήσιον, οἷον ὀξυρόδινόν τε καὶ ῥόδινον αὐτὸ καθ' αὑτό, καὶ ὅσα διὰ τῆς τοῦ
μήκωνος κωδιῶν καὶ θαλλῶν ἐλαίας τῶν ἁπαλῶν, καὶ κισσοῦ τῶν κορύμβων, ἢ ἡδυόσμου τε τοῦ χλωροῦ, καὶ σι-
συμβρίου σκευάζεται, χρῆσθαι δ' αὐτοῖς ἐπὶ μὲν ὠμοτέρων τε καὶ ψυχροτέρων πλήθους, χλιαροῖς. ἐπὶ δὲ θερμοτέ-
ρου καὶ χολωδεστέρου, ψυχροῖς. κενοῖ δὲ καὶ διαφορεῖ τὸ θερμὸν ἔλαιον, αὐτό τε καθ' αὑτό, καὶ μᾶλλον εἰ παλαιὸν
ἢ σικυώνιον εἴη, ἢ καὶ ἄνηθον ἐναφεψημένον ἔχοι. τὸ γὰρ μὴ πάνυ παχὺ, μήτε γλίσχρων χυμῶν πλῆθος ἱκανῶς
διὰ τῶν τοιούτων κενώσεις. ἀλλὰ καὶ ἢν σφονδύλιον ἢ ἑρπύλλιον ἐναφεψοις, ἢ γλήχωνος κόμην, ἢ καλαμίνθης, ἢ
ἡδυόσμου τε καὶ σισυμβρίου, κενώσεις οὕτω καὶ τὸ παχύτερον. αὐτὰ δὲ ταῦτα, καὶ τόνον τινὰ δίδωσι τοῖς
μορίοις καὶ ῥώννυσι τὰ ἠσθενηκότα. χρηστέον οὖν αὐτοῖς ἐφεξῆς, μέχρι παντελοῦς ἰάσεως. καὶ εἰ δεήσειε διά-
τε ῥινῶν καὶ ὑπερῴας καθαίρειν, καὶ πταρμοὺς κινεῖν. καὶ ἢν ἐπὶ λουτρὸν ἀγάγῃς τὸν ἄνθρωπον, ἀνατρίβειν
τε ξηραῖς σινδόσι τὴν κεφαλήν. καὶ χωρὶς ἐλαίου διαπλάττειν ἅλι τε καὶ, νίτρῳ, καὶ νάπυϊ. ταῦτα μὲν δὴ τῆς
ἐπ' ἀρρωστίας τοῦ μορίου κεφαλαλγίας ἰάματα. τῆς δ' ἐπὶ μεγέθους πυρετῶν, τῆς μὲν ἰαμάτων δεομένης, αἱ
ψυχραὶ ποιότητες καὶ δυνάμεις δι' ὑδρελαίου τε καὶ ὀξυροδίνου καὶ μήκωνος κωδιῶν ἐπιβροχαὶ συγκείμεναι
ἁρμόζουσι, τῆς δὲ κρίσιμον αἱμορραγίαν ἢ ἔμετον δηλούσης, ἰάματα μὲν οὐ χρὴ ζητεῖν. οὐδὲ γὰρ σύμπτωμά τι τὴν
γε τοιαύτην νομιστέον, ἀλλὰ μᾶλλον ἀγαθὸν σημεῖον, ὥσπερ καὶ τἆλλα τὰ πρὸ τῶν κρίσεων. ἃ τοὺς μὲν πολλοὺς
ἐκφοβεῖ, χρηστὸν δέ τι δηλοῖ. κάλλιστον δὲ δύνασθαι γνωρίζειν σῶμα ταραττόμενον ὑπὸ φύσεως παρασκευαζο-
μένης ἐπί τε τὰς ἄλλας ἐκκρίσεις, καὶ οὐχ ἥκιστα τὰς δι' ἐμέτων τε καὶ αἱμορραγίας ὧν ἀχώριστόν ἐστι σημεῖον ἡ κε-
φαλαλγία. λέγεται δ' ἐπὶ πλέον μὲν ἑτέρωθι πάντα. τὸ δὲ νῦν εἰδέναι καθ' ὅσον ἐγχωρεῖ, τὴν ἐξ ἀρχῆς φυλάτ-
τοντα προαίρεσιν, διὰ συντόμων εἰπεῖν τι περὶ αὐτῶν εἰρήσεται. Σκεπτέον οὖν πρῶτον μὲν τὸ τῶν πυρετῶν εἶδος
εἰ θερμοὶ καὶ διακαεῖς. ἐκκρίσεσι γὰρ οἱ τοιοῦτοι φιλοῦσι κρίνεσθαι. καθάπερ οἱ μαλακώτεροί τε καὶ οἷον σμυχόμενοι,
χρονίζουσί τε καὶ εἰς ἀποστάσεις ὁρμῶσι τὰ πολλά. δεύτερον δὲ εἰ σωτήριόν ἐστι τὸ νόσημα. τίς γὰρ ἀγαθὴ κρίσις
ἐν τῷ ὀλεθρίῳ νοσήματι ὁ ἐλπισθείη; τρίτον ἐπὶ τοῖσδε τὸν καιρὸν τῆς ὅλης νόσου σκοπεῖν. εἰ γὰρ ἀρχῆς ἢ ἐπιδό-
σεως ἐστὶ σημεῖον, μηδέπω δ' ἀκμῆς, μὴ δὲ πέψεως γνωρίσματα δι' οὔρων, ἢ πτυσμάτων, ἢ ἀχρεμμάτων,
οὐκ ἐνδέχεται κρίσιν ἀγαθὴν γενέσθαι. ταῦτα μὲν οὖν ἐστιν ἐξ ὧν ἄν τις ἐλπίσειε δι' ἐκκρίσεως κριθήσεσθαι τὸ νόση-
μα. τοῦ δὲ νῦν ἤδη καὶ μηκέτι μέλλοντος σημεῖα τάδε, δυσφορία προηγεῖται κρίσεως ἁπάσης. καὶ εἰ μὲν ἐν
ἡμέρᾳ μέλλοι κριθήσεσθαι τὸ νόσημα, νύκτωρ. εἰ δ' ἐν νυκτί, δι' ἡμέρας. εἰ οὖν τοιοῦτόν τι βλέποις, ἐπισκοπεῖσθαι
δεῖ πόστην ἄγει τὴν ἀπὸ τοῦ νοσεῖν ἡμέραν ὁ ἄνθρωπος. εἰσὶ γὰρ καὶ αἱ κρίνειν πεφύκασι κἂν βραχείας ὁρμῆς
τῆς φύσεως λάβωνται. πολλοὶ δ' ἐν μὲν ταῖς σφοδραῖς κινήσεσιν ὅλως οὐ δύνανται τὸ μέγεθος συνορᾶν, τῆς
ταραχῆς εἰ κατὰ φύσιν ἐστὶ τῆς ἡμέρας. ἡ μὲν γὰρ ἑβδόμη ἡμέρα, καὶ κατὰ τὰς βραχείας παρασκευὰς τῆς φύσεως
ἐξορμᾷ πρὸς τὴν διὰ κενώσεως κρίσιν. ἡ δ' ἕκτη, μεγάλης τε δεῖται τῆς παρασκευῆς. καὶ πολλάκις μὲν οὐδ'
ἐκείνῃ. εἰ δέ γε ἐκρίνοιεν οὔτε χωρὶς κινδύνου, οὔτε πιστῶς. οὕτω δὲ καὶ τῶν ἄλλων ἡμερῶν ἑκάστης ἐστὶ τις ἴδιος φύ-
σις. ἣν ἐν τοῖς περὶ κρισίμων διοριζόμεθα. φέρε δὴ καὶ τὴν ἡμέραν εἶναι κατὰ τὸ τῆς ταραχῆς μέγεθος. εἶτ' ἐφε-
ξῆς σκοπεῖν, ὁποία τις ἡ κρίσις ἔσται. περὶ μὲν οὖν τῶν ἄλλων, οὐδὲν δεόμεθα, λέγειν νῦν. εἰ δ' ἔμετος, ἢ αἵματος
ἔκκρισις διὰ ῥινῶν ἔσεσθαι μέλλοι, ταύταις γοῦν ἐλέγομεν ταῖς ἐκκρίσεσιν ἕν τι τῶν σημείων εἶναι τὴν κεφαλαλγί-
αν, ἐκ τῶν δὲ μάλιστα διορίζεσθαι. πρῶτον μέν, εἰ μὴ κατ' ἀρχὰς εὐθὺς εἰσέβαλεν, οἷον σύμπτωμά τι τοῦ νοσήμα-
τος, ἀλλ' ἐν τῇ πρὸ τῆς κρίσεως ταραχῇ. δεύτερον δ' εἰ καὶ ὁ τράχηλος συναλγοίη, καὶ ὑποχόνδριον ἀνασπώ-
μενον εἴη. καὶ εἰ δύσπνοιά τις αἰφνίδιος, οἱονεὶ στενοχωρουμένου τοῦ θώρακος. εἰ γὰρ ἐπὶ τούτοις ἅπασιν ἐξαίφνης
ὀγκώμενοι οἱ σφυγμοὶ μὴ καταπίπτοιεν εἰς μικρότητα, μὴ δ' ἀμυδροὶ γίνοιντο παραχρῆμα τὴν κρίσιν ἐλπί-
ζειν. εἰ δὲ πρὸς τῷ μὴ καταπίπτειν εἰς ὕψος ἀρθεῖεν. καὶ σφοδρότητα προσλάβοιεν. ἐπιβλέπειν ἤδη χρὴ τὸ πρό-
σωπον τοῦ νοσοῦντος. εἰ γὰρ καὶ πάλλοιτό τι τῶν ἐν αὐτῷ μορίων, ἢ σφύζοιεν, αἱ ἐν τοῖς κροτάφοις φλέβες, ἢ μῆ-
λον, ἢ ῥίς, ἢ ὀφθαλμός, ἐρυθρότερα γίγνοιντο, τὴν κρίσιν μᾶλλον ἐλπίζειν. εἰ δὲ καὶ δακρύουσιν ἄκοντες, ἢ μαρμα-
ρυγὰς ὁρᾶν φαντάζοιντο, καὶ τὰς χεῖρας ἐπὶ τὰς ῥῖνας φέροιεν ὡς κνώμενοι, τηνικαῦτα μέν, οὐκέτι μέλλον, ἀλλ'
ἤδη ῥέον ὄψει τὸ αἷμα. κνησαμένων γοῦν αὐτῶν ἅπαξ που καὶ δίς, εὐθὺς ἐκρήγνυται, μὴ καταπλαγῇς δ' ἐν τού-
τοις, ἢν παραφρονοῦντα τὸν ἄνθρωπον, καὶ ἀναπηδῶντα θεάσαιο. καὶ γοῦν καὶ ταῦτα τῆς ἄνω φορᾶς τῶν χυμῶν
γνωρίσματα, καθάπερ ἥ τε δύσπνοια, καὶ τὸ ὑποχόνδριον ἀνασπώμενον, ὅ, τε τράχηλος ἅμα τῇ κεφαλῇ βαρυνό-
μενος. ἀλλά σοι σὺν τούτοις ἕν τι σημεῖον ἔστω καὶ ἡ παραφροσύνη. καὶ ταῦτα μὲν οὖν ἱκανὰ γνωρίσματα. προ-
σέρχεται δ' αὐτοῖς πολλάκις, ἥ τε τοῦ νοσοῦντος ἡλικία τε καὶ φύσις βεβαιοῦσα τὴν ἐλπίδα. καὶ προσέτι † τού-
τοις ὁ καιρός, ἥ τε παροῦσα κατάστασις. εἰ γοῦν μειράκιον εἴη τὸ νοσοῦν, ἢ ἄλλως φύσει θερμόν, ἢ πολύαιμον ἔτι μᾶλ-
λον ἐλπίσεις. εἰ δὲ καὶ πρόσθεν αὐτῷ πολλάκις αἷμα διὰ ῥινῶν ἐπεφάνη νοσοῦντί τε καὶ ὑγιαίνοντι, τοῦτο μὲν καὶ μό-
νον ἱκανὸν αἱμορραγίας ἐλπίδα παρασχεῖν. εἰ δὲ καὶ τὸν καιρὸν τοῦ ἔτους ὁρῴης θέρος, ἢ οὐ θέρος μέν, ἄλλως
δὲ θερμὴν τὴν παροῦσαν κατάστασιν, ἄρ' οὐκ ἄλλην ἅμα καὶ παρὰ τούτων ἔνδειξιν λάβοις. εἰ δὲ καὶ πολλοὶ κατ' ἐκεῖ-
νον τὸν καιρὸν αἱμορραγίαις εἶεν κεχρημένοι, καὶ τοῦτ' ἂν αὐξήσειέ σου τὴν ἐλπίδα. καὶ εἰ πληθωρικὸν εἴη τὸ
σῶμα. καὶ εἰ συνήθων ἐκκρίσεων ἐπίσχεσις. ἐμοὶ μὲν οὐδ' ὅλως χαλεπὸν εἶναι δοκεῖ τοσαῦτα καὶ τοιαῦτα γνω-
ρίσματα μελλούσης αἱμορραγίας ἔχοντα δύνασθαι προγινώσκειν, ἀλλ' ἄτοπόν τε καὶ δεινῶς ἀμαθές, τὸ μὴ προ-
γνῶναι. τῇ δ' ὀλιγωρίᾳ τῶν νῦν ἰατρῶν, θαυμάζεται τὰ μὴ θαυμαστά. καὶ γοῦν εἴθ' ἐξ ἀριστεροῦ μυκτῆρος εἴτ' ἐκ δεξιοῦ
ῥυήσεται τὸ αἷμα, χαλεπὸν μὲν οὐδὲν ἐκ τῶν εἰρημένων προγινώσκειν. τοῖς πολλοῖς δὲ τῶν ἰατρῶν, οὐ μόνον χαλεπὸν ἀλλ'
οὐδὲ δυνατὸν ὅλως εἶναι δοκεῖ. καί τοι καὶ ταύτας καὶ τὰς ἄλλας ἐκκρίσεις ἁπάσας ἔνεστι προγνῶναι, δύο ταῦτα σκο-
πουμένῳ. τό, τε ὅθεν ἡ ὁρμὴ τῆς φύσεως, καὶ τὸ ποσόν. καὶ γὰρ συνοργήσομεν ταῖς ἐλλείψεσι, καὶ κωλύσομεν τὰς
ἀμέτρους γινομένας φοράς, εἰ ταῦτα γινώσκοιμεν. οἷον αὐτίκα τὰς ἀπὸ σπληνὸς αἱμορραγίας, αἳ κατὰ τὸ ἀρι-

†al. τοῦ ἔτους

στερρὸν ὑποχόνδριον ὑποτιθέμεναι μεγάλαι σικύαι ῥαδίως ἀντισπῶσι. τὰς δ' ἀπὸ τοῦ ἥπατος, αἱ κατὰ τὸ δεξιόν. κἀπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. ἐξ ἑνὸς γὰρ περὶ πάντων δυνήσῃ συλλογίζεσθαι τόγε καθόλου σκοπούμενος. ὥστε κἀγὼ τῇδε καταπαύσω τὸν παρόντα λόγον. ἐφεξῆς δὲ περί τε τῶν ἐπὶ ταῖς φλεγμοναῖς ἀναπτομένων πυρετῶν δίειμί σοι, καὶ τῶν ἄλλων παθῶν, ὅσα καθ' ἕκαστον τῶν τοῦ σώματος μορίων συνίσταται. φλεγμονὰς δ' οἱ μὲν παλαιοὶ, τὰς οἷον φλογώσεις ὠνόμαζον. οἱ δὲ νεώτεροι οὐ πάσας, οὔτε γοῦν τὸν ἕρπητα, οὔτε τὸ ἐρυσίπελας, οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων ταῖς φλεγμοναῖς συναριθμοῦσιν, ἀλλ' ἑνὶ μόνῳ τῶν θερμῶν παθημάτων ἐπιφέρουσι τοὔνομα, τῷ μετ' οἰδήματος σκληροῦ καὶ ὀδυνώδους φλεγματώδους. οὐ μὴν τούτῳ γε μόνῳ πυρετοὺς καὶ πόνους ἑπομένους ὁρῶμεν, ἀλλ' ἅπασιν ἁπλῶς τοῖς θερμοῖς, καὶ οἷον ζέουσι πάθεσι. περί τε οὖν τούτων καὶ τῶν ἄλλων ὅσα τοιαῦτα νοσήματα τὸν ἑξῆς ποιησόμεθα λόγον.

ΓΑΛΗΝΟΥ ΤΩΝ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ

ΘΕΡΑΠΕΥΤΙΚΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

Περὶ δὲ τῶν καθ' ἕκαστον μέρος τοῦ σώματος παθῶν ὦ Γλαύκων, ἑξῆς ἐροῦμεν ἀπὸ φλεγμονῆς ἀρξάμενοι. καὶ γὰρ πλειστάκις αὕτη γίνεται, καὶ πλείστας ἔχει διαφοράς. καὶ πάσαις αὐταῖς πυρετοὶ πεφύκασιν ἕπεσθαι. κοινὸν μὲν οὖν ἁπάσαις ἡ ἄμετρος ἐστὶ θερμασία, καὶ οἷον φλόγωσις, ὅθεν περ καὶ τὸ τῆς φλεγμονῆς ὄνομα, κατ' αὐτῶν ἐπιφέρειν ἔθος ἦν τοῖς παλαιοῖς. ἰδίαν δὲ καθ' ἑκάστην εὕροις ἄν τινα διαφορὰν, ἐξ ἧς τό, τε εἶδος αὐτῶν γνωριεῖς, καὶ τῆς προσηκούσης εὐπορήσεις ἰάσεως. ἑτέρως μὲν γὰρ ἕρπητας, ἑτέρως δ' ἐρυσιπέλατα, ἑτέρως δὲ φύγεθλα, καὶ τἄλλα τῶν φλεγμονῶν εἴδη θεραπεύσεις. ὥστε πάλιν ἡγεῖσθαι κἀνταῦθα διαγινώσκειν ὀρθῶς τὰ πάθη δύνασθαι. καί σοι πειράσομαι πρῶτον γράψαι διελόμενος ἐξ ἀρχῆς περὶ τῶν κατὰ τὰς φλεγμονὰς πάσας διαφορῶν. Πρώτη μὲν οὖν διαφορὰ φλεγμονῆς ἐστι, καθ' ἣν τὰς μὲν τῶν αὐτῶν, ὑγρὰν. τὰς δὲ ξηρὰν εἶναι συμβέβηκεν. ὑγρὰν μὲν, ἥτις ἂν ἐκ ῥεύματος θερμοῦ τὸ μόριον καταλαμβάνοντος, γίγνηται. ξηρὰν δ' ὅταν μηδενὸς ἐπιῤῥυέντος τὴν σύμφυτον θερμασίαν ἐκπυρωθῆναι συμβῇ. ἔστι δὲ μέχρι μέν τινος οἷον πυρετὸς ἐστὶ τοῦ μορίου. ἐπειδὰν δὲ εἰς ἄμετρον ἤδη θερμότητα καὶ ξηρότητα προήκῃ, φθορὰ καὶ νέκρωσις παντελὴς γίγνεται. ὅθεν οὐδ' εἰς πλείω τέμνεσθαι πέφυκεν, ὥσπερ ἡ ἑτέρα διαφορὰ, καθ' ἣν ἐπιῤῥεῖν τινὰς χυμοὺς ἐλέγομεν τῷ μέρει. πολλὰ γάρ τὰ ταύτης εἴδη. αἵματος μὲν γὰρ ἐπιῤῥυέντος ἕτερον. χολῆς δὲ ξανθῆς, ἕτερον. ἀμφοῖν δ' ἅμα, τρίτον ἄλλο. καὶ μὲν δὴ καὶ καθ' ἕκαστον αὐτῶν, ἢ σεσηπός ἐστιν ἤδη τὸ ἐπιῤῥέον, ἢ ἐν τῷ μορίῳ σφηνούμενον σήπεται. καὶ ἤτοι παχὺ τὴν σύστασιν, ἢ λεπτὸν, ἢ χρηστὸν, ἢ δριμύ. αἵματος μὲν οὖν χρηστοῦ καὶ συμμέτρου τῷ πάχει ῥυέντος εἴς τι μόριον ἀθρόως, καὶ διὰ τὸ πλῆθος σφηνωθέντος, ὀδύνη σφοδρὰ καταλαμβάνει τὸν ἄνθρωπον, ἤν γε μὴ παντελῶς δυσαίσθητον ᾖ τὸ μόριον. καὶ σφυγμὸς ἀνιαρὸς ἐν τῷ βάθει, καὶ τείνεσθαι πάντῃ νομίζει καὶ θλᾶσθαι τὸ μόριον. καὶ θερμασίας αἰσθάνεσθαι πλείονος, ὡς διακαίεσθαι δοκεῖν. καὶ ἀναψύχεσθαι ποθεῖν. καὶ ὄρθιος ἐπανθεῖ τοιοῦτον, οἷον τοῖς λελουμένοις, ἢ παρὰ τῷ πυρὶ θαλφθεῖσιν, ἢ πως ἄλλως θερμανθεῖσι. τοῦτο τὸ πάθος, τὴν τοῦ γένους ὅλου προσηγορίαν ἀπηνέγκατο, καὶ καλεῖται φλεγμονὴ ἄλλοις παραπλησίως πολλοῖς εἴδεσι λαμβάνουσι, τὸ τοῦ γένους ἐπιφερόμενον ὄνομα. καὶ γίνεται συνεχῶς ἐπὶ πάσῃ σχεδὸν προφάσει. καὶ γοῦν καὶ τρώσεσι, καὶ σπάσμασι, καὶ θλάσμασι, καὶ ῥήγμασι, καὶ τοῖς ἐκ τῶν γυμνασίων καμάτοις ἐξαρθρήμασί τε καὶ κατάγμασι, καὶ τοῖς αὐτομάτοις ἕλκεσιν ἐπιγίγνεται. καὶ χωρὶς δὲ τούτων, ἁπάντων, ὅταν εἰς ἄμετρον χυμῶν πλησμονὴν αἱ φλέβες ἀφίκωνται τό τε τὸ περιττὸν ἀποχέουσιν εἴς τι χωρίον, ὃ ἂν ἐπιτηδειότατον ᾖ τηνικαῦτα δέξασθαι. πάντως δὲ τοῦτο τῶν ἄλλων, ἢ ἀῤῥωστότερον ἐστὶν, ἢ μανώτερον, ἢ ἔλαττον ἐντιμότερον, ἢ ἀκινητότερον, ἐξ ἧστινοσοῦν αἰτίας εἰς ταύτας ἀχθὲν τὰς διαθέσεις. οὐ γὰρ τοῦτο γε νῦν πρόκειται λέγειν. χολὴ δὲ ξανθὴ, ἡνίκα μὲν τὴν ἑαυτῆς φύσιν σώζουσα σὺν τῷ αἵματι φέρεται πανταχόσε τοῦ σώματος, ἴκτερος τὸ πάθος καλεῖται. μόνης δ' ἀποκριθείσης, καὶ κατά τι μόριον ἱσταμένης, ἕρπης ὀνομάζεται. εἰ μὲν δὴ παχεῖα τὴν σύστασιν εἴη, πᾶν ἑλκοῖ μέχρι τῆς ὑποκειμένης σαρκὸς τὸ δέρμα, καὶ καλεῖ τούτους Ἱπποκράτης ἕρπητας ἐσθιομένους. εἰ δὲ λεπτοτέρα εἴη, τὸ ἐπιπολῆς μόνον ὥσπερ ἐπικαίει, καὶ τοῦτο τὸ εἶδος ἀπηνέγκατο τὴν τοῦ γένους προσηγορίαν, ἁπλῶς τε καὶ χωρὶς προσθήκης ἕρπης ὀνομασθέν. τῶν γὰρ ἄλλων δυοῖν εἰδῶν, τὸ μὲν ἤδη προειρημένον, ἐσθιόμενος ἕρπης ὀνομάζεται. θάτερον δὲ τὸ λοιπὸν, κεγχρίας, ὅτι καὶ τούτῳ συμβέβηκε φλυκταίνας μικρὰς καὶ πολλὰς ἐπιπολῆς τοῦ δέρματος ἐπεγείρειν κέγχροις ἐοικυίας. γίνεται δ' ὁ τοιοῦτος ἕρπης, ὑπὸ χολῆς μὲν καὶ αὐτὸς, ἀλλ' ἧττον δριμείας καὶ θερμῆς, ἢ οἱ προσθεν εἰρημένοι. ἐξ αἵματος καὶ ξανθῆς χολῆς θερμοτέρου τοῦ δέοντος μικτὸν εἴη τὸ ῥεῦμα, ἢ ἐξ αἵματος μὲν, ζέοντος δὲ καὶ λεπτοτάτου τὴν σύστασιν, ἐρυσίπελας τὸ πάθος καλεῖται, θερμότερον πολλῷ τῆς φλεγμονῆς τοῦτο καὶ ξανθότερον ἰδέσθαι. καὶ εἰ ἅψαιο, ῥαδίως ὑποτρέχει τὸ αἷμα. καὶ αὖθις ἐπιῤῥεῖ λεπτὸν ἀκριβῶς, καὶ ἐρυθρὸν φαινόμενον. οὐ μὴν οὐδ' ὀδυνᾶται ὁμοίως τῇ φλεγμονῇ τοῦτο. καὶ κατ' οὐδὲν δὲ τῶν τῆς φλεγμονῆς εἰδῶν, οὔτε σφυγμὸν, οὔτε θλίψιν οὔτε τάσιν ὁμοίαν ἐπιφέρει. ἀλλ' ἔσθ' ὅτε καὶ πάνυ μετρίως ἐνοχλεῖ καὶ μάλισθ' ὅταν κατὰ μόνου τοῦ δέρματος ἐκχυθῇ, μηδὲν ἀδικοῦν τὴν ὑποκειμένην σάρκα, καὶ μὲν δὴ καὶ γίνεται τοιοῦτον ὡς τὰ πολλά. καὶ τοῦτό ἐστι τὸ ἀκριβὲς ἐρυσίπελας. ὡς τό γε καὶ τῆς ὑποκειμένης ἁπτόμενον σαρκὸς, οὔτ' ἐξ ἀκριβῶς λεπτοῦ γίνεται τοῦ ῥεύματος, οὔτ' ἐρυσίπελας ἐστὶ μόνον, ἀλλ' ἤδη μικτὴ διάθεσις ἐξ ἐρυσιπέλατός τε καὶ φλεγμονῆς, ἐπικρατεῖ δ' ἐν αὐτῇ ποτὲ μὲν, τὰ τοῦ ἐρυσιπέλατος ἴδια συμπτώματα, καὶ καλεῖται τὸ τοιοῦτον πάθος ὑπὸ τῶν νεωτέρων ἰατρῶν, ἐρυσίπελας φλεγμονῶδες. ποτὲ δὲ τὰ τῆς φλεγμονῆς, καὶ ὀνομάζουσιν αὐτὸ τηνικαῦτα φλεγμονὴν ἐρυσιπελατώδη. εἰ δὲ τὰ μηδετέρου ἐπικρατοίη σαφῶς ἀλλ' ἴσα φαίνοιτο

φλε-

φλεγμονὴ καὶ ἐρυσίπελας, μεμῖχθαι λέγεται. τὸ μὲν οὖν ἀκριβὲς ἐρυσίπελας, αὐτοῦ τοῦ δέρματος μόνου πάθος ἐστίν. οὐ μὴν ἥ γε φλεγμονὴ μόνων τῶν ὑποκειμένων τῷ δέρματι μορίων, ἀλλὰ μάλιστα μὲν τούτων, ἐνίοτε δὲ καὶ τοῦ δέρματος. καὶ ἔστιν αὐτὴ τἄλλα μὲν, ὀδυνηρὰ, τοῦ ἑτέρας οὐδὲν ἧττον. ἄπεισι δ' αὐτῆς ὁ σφυγμός. ὅταν δὲ τὸ ἐπιῤῥέον αἷμα θερμὸν ἱκανῶς ᾖ καὶ παχὺ, καθ' ὅτι ἂν μόριον ἀθρόον ἐπιῤῥυῇ, τοῦτο καύσαν ἕλκος ἐσχάραν ἔχον εἰργάσατο. τὸ περιξ δ' αὐτοῦ πᾶν εἰς φλεγμονὴν ἐξαίρει, ζέουσάν τε καὶ δεινῶς ἐπώδυνον. ὀνομάζεται δὲ τὸ τοιοῦτον πάθος ἄνθραξ. ὅταν δὲ τὸ ἐπιῤῥέον αἷμα μέλαν ᾖ, καὶ παχὺ, καὶ ἰλυῶδες, καὶ ζέον, οἷόνπερ τὸ προειρημένον, ἅμα δὲ καὶ ἰχῶρας τινὰς λεπτοὺς μεμιγμένους ἔχῃ, φλυκταίνας ἐπιπολῆς τοῦ δέρματος ἀνίστησιν ὁμοίας ταῖς ἀπὸ πυρὸς, ὧν ἐκρηγνυμένων, τὸ ἐσχαρῶδες ὑπ' αὐταῖς ἕλκος εὑρίσκεται, καὶ ἐστὶν ἄνθραξ ἤδη καὶ τοῦτο. τὰ μὲν οὖν τῆς φλεγμονῆς εἴδη τοσαῦτα, κατά γε τὴν φύσιν αὐτὴν τοῦ πάθους διαιρούμενα. πολλὰ δ' ἂν ἴσως δόξειέ τις παραλελεῖφθαι τῷ πλήθει τῶν ὀνομάτων ἐξαπατώμενος, οἷον βουβῶνας τε καὶ φύματα, καὶ φύγεθλα, καὶ ὀφθαλμίας, καὶ περιπνευμονίας καὶ πλευρίτιδας, καὶ ἄλλα πολλὰ τῶν ὁμοίως ὀνομαζομένων. ἅπαντα γὰρ ταῦτα, φλεγμοναὶ μέν τινες εἰσὶν, ἐν οἷς πρόσθεν εἶπον εἴδεσι περιεχόμενα. διαφόρου δ' αὐτῶν ἕκαστον ἔτυχε προσηγορίας, τῶν πρώτως θεμένων αὐτὰς συνθέτου νόησιν, αὐτοῦ τε τοῦ πάθους, καὶ τοῦ δεδεγμένου ἅμα μέρους αὐτὸ, δι' ἑνὸς ἑρμηνεῦσαι βουληθέντων ὀνόματος. ἐστὶ γὰρ ὁ μὲν βουβὼν καὶ τὸ φῦμα, καὶ τὸ φύγεθλον, ἀδένων παθήματα. βουβὼν μὲν, ἡ φλεγμονή. φῦμα δὲ, τὸ ταχέως αὐξόμενον, καὶ πρὸς ἐκπύησιν ἐπειγόμενον. φύγεθλον δὲ, τὸ λεγόμενον φλεγμονῶδες ἐρυσίπελας ἢ ἐρυσιπελατώδης, φλεγμονή. οὕτω δὲ καὶ ὀφθαλμία μὲν, ἡ τοῦ περιφυκότος ὑμένος τῷ κερατοειδεῖ φλεγμονή. πλευρῖτις δ' ἡ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. συνάγχη δὲ, φάρυγγος. ἡ περιπνευμονία δὲ, τοῦ πνεύμονος. ἑκάστου τε τῶν ἄλλων ἀνάλογον. τὰς μὲν οὖν ἐν τοῖς φαινομένοις μέρεσι τοῦ σώματος φλεγμονὰς, ἕτοιμον γνωρίζειν. τὰς δ' ἐν τοῖς ἀφανέσιν, αἳ καὶ τοὺς πυρετοὺς ἐπιφέρουσι πάντως, οὐκέθ' ὁμοίως. ἀλλ' ἐμοὶ μὲν δοκεῖ γνώμης τε πάνυ λεπτῆς ἡ τοιαύτη δεῖσθαι διάγνωσις, ἐμπειρίας τε τῆς φύσεως τῶν μορίων, ἣν ἐξ ἀνατομῆς τε ἅμα καὶ ἀκριβοῦς ἐπιστήμης ἐνεργειῶν τε καὶ χρειῶν πορίζομεθα. περὶ μὲν δὴ τούτων, ἐν ἑτέραις εἴρηται πραγματείαις. νῦν δ' οὐκέτ' ἐγχωρεῖ προστιθέναι τὸν περὶ τούτων λόγον, ἐξαίφνης σοι προσπεσούσης ἀναγκαίας ἀποδημίας. ὅπως δ' ἄν τις τὰς ἐν τοῖς φαινομένοις μορίοις συνισταμένας φλεγμονὰς κάλλιστα ἰῷτο, τοῦτό σοι πρῶτον δίειμι τὴν ἀρχὴν ἀπὸ τοῦ πολλάκις τε γιγνομένου πάθους, καὶ δι' αὐτὸ τοῦτο ὅλου τοῦ γένους τὴν προσηγορίαν ἀπενεγκαμένου ποιησάμενος. ἐφ' οὗ τοῦτο πρῶτον ἁπάντων φημὶ χρῆναι σκοπεῖν, ὅπερ κἂν τοῖς ἄλλοις ἅπασι μεγίστην ἔχει δύναμιν, ἐξευρεῖν τὴν πρόφασιν τοῦ νοσήματος. ἐστὶ γοῦν μία τις πρόφασις τῶν φαινομένων φλεγμονῶν, οὐ πάνυ τι λανθάνουσα τὸ καλούμενον ῥεῦμα, πλὴν εἴποτε συνδράμοι ταῖς δι' ἄλλην τινὰ πρόδηλον αἰτίαν δοκούσαις γεγονέναι. ἡνίκα μὲν γὰρ οὐδεμιᾶς ἐκείνων προηγησαμένης ἐξαίφνης ἐφλέγμηνε τὸ μόριον, ἡ μὲν ἐργασαμένη τὸ πάθος αἰτία, ῥεῦμα καλεῖται. τὸ πάθος δ' αὐτὸ, ῥευματικὴ διάθεσις. καὶ χρὴ μάλιστ' ἐπὶ τῶν τοιούτων φλεγμονῶν τὰς ἀρχὰς τῶν ἰάσεων χρηστὰς εἶναι. τὰ γὰρ ἐν αὐταῖς ἁμαρτήματα, δυσιάτους ἢ καὶ παντάπασιν ἀνιάτους ἐργάζεται τὰς διαθέσεις. μέγιστα δ' ἁμαρτήματα δύο ταῦτα, τό, τε μηδεμίαν ὅλου τοῦ σώματος πρόνοιαν ποιεῖσθαι, καὶ τὸ θερμαίνειν μὲν καὶ ὑγραίνειν ἔτι τὸ μέρος. ἄμφω δ' οἱ πολλοὶ τῶν ἰατρῶν ἁμαρτάνουσι. τινὲς μὲν γὰρ ἐκ τῆς μεθοδικῆς αἱρέσεως ἀναπεπεισμένοι, καὶ τὰς φλεγμονὰς ἁπάσας, στεγνὰ πάθη νομίζοντες. καὶ χαλᾶν αὐτὰς ἡγούμενοι δεῖν. εἰσὶ δ' οἳ καὶ ἀλόγως τε καὶ ἀσκέπτως ἐκείνοις ἕπονται, μίαν ἀπολογίαν τοῦ κακῶς ποιεῖν ἔχοντες, τὸ σὺν πολλοῖς ἁμαρτάνειν. ἀλλ' οὔτε τῶν δογματικῶν ἰατρῶν τις, οὔτε τῶν ἐμπειρικῶν οὕτως ἐγίγνωσκεν. ἀλλ' ὅπερ ὅ, τε λόγος ὑπαγορεύει καὶ ἡ πεῖρα, τὸ μὲν ὅλον σῶμα κενοῦν ταῖς ἐνδεχομέναις κενώσεσι συμβουλεύουσιν αὐτὸ δὲ τὸ φλεγμαῖνον μέρος, ἐπιβρέχειν τε καὶ καταπλάττειν τοῖς ἀπωθεῖσθαι μὲν τὸ ἐπιῤῥέον δυναμένοις, κενοῦν δὲ τὸ ἤδη περιεχόμενον ἐν τῷ πεπονθότι τόπῳ. τόνον δὲ καὶ ῥώμην ἐντιθέναι τοῖς ἤδη πεπονηκόσι μορίοις. εἰς ἃ δὲ χρὴ βλέποντας κενοῦν, εἴρηται μὲν ἤδη καὶ πρόσθεν, ἀλλὰ καὶ νῦν ἔτι δι' ὀλίγων ὑπομνήσομεν. ὥστε κἂν τοῖς ἑξῆς ἅπασι μεμνημένον σε, μηκέτι δεῖσθαι καθ' ἕκαστον πάθος ἀκούειν τοὺς ἐνδεικνυμένους σκοποὺς τὰς κενώσεις. ἡλικίαν μὲν οὖν καὶ ὥραν, καὶ χώραν, καὶ τὴν παροῦσαν κατάστασιν, καὶ τὴν ῥώμην τοῦ κάμνοντος, καὶ τὴν ἕξιν, καὶ τὸ ἔθος, καὶ αὐτὴν τὴν τοῦ νοσήματος ὑπόθεσιν ἐπιβλέπειν ἐφάσκομεν δεῖν. ἐκ τούτων γὰρ, ὅτε χρὴ κενοῦν ἢ μὴ κενοῦν, καὶ ὅθεν, καὶ ὅπως εὑρεθήσεται, οἷον ἐπὶ τῆς προκειμένης διαθέσεως, εἰς γόνυ φερέσθω τὸ ῥεῦμα. καὶ τοῦτ' ἐπὶ πλεῖστον ἀθρόως ἐξαιρέσθω. φαινέσθω δέ σοι καὶ τὸ σύμπαν σῶμα, μεστὸν αἵματος, καὶ ἡ δύναμις τοῦ νοσοῦντος, ἰσχυρὰ, καὶ ὁ καιρὸς τοῦ ἔτους, ἔαρ ἔστω, καὶ τὸ χωρίον, εὔκρατον. καὶ ὁ νοσῶν, μειράκιον, ἢ νεανίσκος. οὗτος αἵματος κενώσεως τῆς ἐκ τῶν ἄνω χωρίων δεῖται. καὶ χρὴ τεμεῖν αὐτοῦ τῶν ἐν ἀγκῶνι φλεβῶν, ἤτοι τὴν ἐντὸς, ἢ τὴν μέσην. εἰ δὲ τῶν ἄνωθέν τι ἐπεπόνθει, κάτωθεν ἀπάγειν τοῦ αἵματος. ἀεὶ γὰρ εἰς τοὐναντίον τὴν τοῦ ῥεύματος ὁρμὴν ἀντισπᾶν ξυμφέρει. καταπλάττειν δὲ τῷ διὰ τοῦ ἀειζώου καὶ λεπισμάτων ῥοιᾶς ἑφθῶν ἐν οἴνῳ, καὶ ῥοῦ, καὶ ἀλφίτων συγκειμένῳ. κάλλιστον γὰρ τοῦτο γ' ἔν τε τοῖς τοιούτοις, καὶ πάνθ' ὅσων δεόμεθα δρᾶν δυνάμενον. ἀποκρούεται γὰρ τὸ ἐπιῤῥέον, καὶ ξηραίνει τὸ περιεχόμενον, καὶ ῥώννυσι τὰ πέριξ μόρια. καὶ ἄλλα δὲ μυρία φάρμακα. κατὰ τὸν αὐτὸν τρόπον ἔνεστί σοι συντιθέναι. ὧν τὴν μέθοδον τῆς συνθέσεως ἐν τοῖς περὶ φαρμάκων μεμάθηκας. ὅθεν κἀγὼ καθ' ἕκαστον ἕν τί σοι παραγράψω, καὶ ὑπόμνημά τε ἅμα καὶ παράδειγμα, τῶν ἄλλων δυνάμεων ἐσόμενον. εἰ μὲν δὴ μὴ σφοδρῶς ὀδυνῷντο τοῖς τοιούτοις χρῆσθαι, σὺν ὀδύνῃ δὲ μείζονι τοῦ ῥεύματος ἐμπεσόντος, οὐ χρὴ μὲν οὐδ' οὕτως, οὔθ' ὕδωρ θερμὸν, οὔθ' ἔλαιον, οὔτε τὰ διὰ τῶν πυρίνων ἀλεύρων προσφέρειν καταπλάσματα. πολέμια γὰρ ἅπαντα τὰ τοιαῦτα ταῖς ῥευματικαῖς διαθέσεσι, κἂν εἰ παραχρῆμα δόξει ῥᾳστώνην τινὰ φέρειν. ἀρκεῖ δὲ τῶν τοιούτων τινὶ παραμυθήσασθαι τὸ σφοδρὸν τῆς ὀδύνης, ὅσα διὰ γλυκέος τε καὶ ῥοδίνου, καὶ κηροῦ βραχέος ἐν ἀμφοῖν τετηκότος σύγκειται. χρὴ δὲ καὶ ταῦτ' ἀναλαμβάνειν ἐρίοις ῥυπαροῖς, οἷσυπον ὡς πλεῖστον ἔχουσι. καὶ θέρους μὲν, ψυχρά. χειμῶνος δὲ, χλιαρὰ προσφέρειν. οὕτω δὲ καὶ τὰ καταπλάσματα, διὰ ἀρνογλώσσου, καὶ φακῆς.

καὶ ἄρτου, καὶ ῥοδίνου. μικρὸν δ' ὑπεράνω τῶν πεπονθότων χωρίων ἐπιτιθέναι σπόγγον, οἴνῳ στρυφνῷ βεβρεγμένον, ἢ ὕδατι ψυχρῷ. κάλλιον δ' εἰ καὶ ὄξους ὀλίγον ἔχοι. καὶ εἰ μὲν ἐπὶ τούτοις ἀξιόλογός τις ὠφέλεια γένοιτο, καὶ μηδαμοῦ πύον ὑποφαίνοιτο, τοῖς πρὸς τὰ ῥεύματα μαλακοῖς ἐμπλάστροις δεῖ χρῆσθαι. κάλλιστα δ' αὐτῶν, ὅσα ξηραίνειν τε ἅμα καὶ ἀπωθεῖσθαι δύναται τὸ ἐπιρρέον αἷμα χωρὶς ὀδύνης. ὥστε τά γε συντείνοντα σφοδρῶς, καὶ διὰ τοῦτο ὀδυνῶντα πλεῖον ἀδικεῖ τοῖς ἀλγήμασιν, ἢ ὠφελεῖ ξηραίνοντα, τοιοῦτον οὖν εἶναι χρὴ τὸ φάρμακον, οἷόν ἐστι τὸ συνήθες ἡμῖν, τὸ διὰ τῆς χαλκίτεως ἀνιέμενον ῥοδίνῳ. εἰ δὲ καὶ καθαρὸν ἔριον οἴνῳ στρυφνῷ βρέχων ἔξωθεν ἐπιβάλλοις αὐτῷ, πλέον ὀνήσεις. ὑποφαινομένου δὲ περὶ τὸ μόριον πύου, καταπλάττειν μὲν ἀναγκαῖον ἅπαξ ἢ δίς που. καὶ ἄμεινον εἰς τὰ παρόντα τὸ ἐκ τῶν κριθῶν ἄλευρον. παραπλέκειν δ' ὁμοίως τι καὶ τούτοις, ἢ ὄξους, ἢ οἴνου. καὶ διελόντα καὶ κενώσαντα τὸ πύον, φυλάττεσθαι μὲν τοῦ λοιποῦ προσφέρειν ἔλαιον ἢ ὕδωρ. καὶ εἰ ἀπονίψαι ποτὲ δέοι τὸ τραῦμα, μελικράτῳ, τε ἢ ὀξυκράτῳ καὶ οἴνῳ, καὶ οἰνομέλιτι χρηστέον. ἐπιτιθέναι δ' εἰ μὲν ἔτι φλεγμαίνοι, τὸ διὰ τῆς φακῆς κατάπλασμα. μὴ φλεγμαίνοντος δέ, τῶν τ' ἄλλων φαρμάκων τι τῶν ἐμπλαστῶν, οἷς ἐπὶ ταῖς τοιαύταις τομαῖς χρώμεθα, καὶ οὐχ ἥκιστά γε τῷ διὰ τῆς χαλκίτεως. ἐπιτιθέναι δὲ κατ' αὐτῶν ἔξωθεν, σπόγγον, ἢ ἔριον οἴνῳ βρέχοντας στρυφνῷ. μὴ παρόντος δὲ τοῦ στρυφνοῦ, τῷ ὕδατι μίξαντας ὄξους τοσοῦτον, ὡς πίνειν δύνασθαι, τούτῳ βρέχειν. ἐπιτήδειοι δ' εἰς ταῦτα καὶ ὅσοι θαλάττης ἔχουσιν οἶνοι, καὶ αὐτὸς δ' ἂν ἐπὶ τοῦ καιροῦ τεχνήσαιο, μιγνύων ἁλῶν τῷ παρόντι. τῷδε τραύματι μηδὲν τῶν λιπαινόντων φαρμάκων προσφέρειν, οἷόν τό, τε μακεδονικόν ἐστι, καὶ τὸ τετραφάρμακον καλούμενον. ἀκριβῶς γὰρ δεῖται ξηραίνεσθαι. οὕτω μὲν ἰᾶσθαι δεῖ τὰς ἐπὶ ῥεύματι φλεγμονάς. τὰς δ' ἐπί τινι τῶν ἄλλων αἰτίων, ὑγραίνειν τε καὶ θερμαίνειν οὐδὲν κωλύει. καὶ εἰ ἐκπυῆσαι βουληθείης αὐτάς, καταπλάττειν ἀλεύρῳ πυρίνῳ, δι' ἐλαίου τε καὶ ὕδατος ἑψημένῳ. καὶ εἴποτε καὶ ἀποσχάζειν δεήσειεν, οὐδὲ τοῦτο χρὴ δεδιέναι. τὰς δ' ἐπὶ τοῖς ῥεύμασιν εἰ ἀποσχάσαις, μέγα τι κακὸν ἐργάσῃ, καὶ μάλιστα κατ' ἀρχάς. ὅσαι γὰρ αὐτῶν χρόνου πλείονος οὖσαι, μετά γε τὴν τοῦ παντὸς σώματος κένωσιν, καὶ τὴν ἄλλην τὴν προσήκουσαν ἴασιν, σκληρότητάς τινας ἢ μελανότητας ἐν τοῖς μέρεσιν ὑπολελειμμένας ἔχουσι. τούτων ἀπάγειν τοῦ αἵματος, οὐδὲν ἄτοπον. οὔτε γὰρ φλεγμονὰς τάς γε τοιαύτας ἔτι νομιστέον. ὥσπερ οὐδὲ ἐρυσίπελας ἔτι τὸ ἤδη πελιδνόν. καὶ γὰρ οὖν καὶ τούτου περὶ τὰς ἀρχὰς μὲν ψύχειν χρή. καὶ μάλιστα ὅταν ἄνευ φανερᾶς γένηται προφάσεως. ἡνίκα δ' ἤδη τὸ ζέον ἀπέστιν αὐτοῦ, καὶ σχάσαι συμφέρει, καὶ καταπλάσαι θερμῷ τῷ κριθίνῳ, καὶ κηρωτὴν, καὶ ἄλλο τι φάρμακον ἐντιθέναι τῶν διαφορούντων. οὐ μὴν ἀπό γε φλεβὸς αἷμα, τῶν γε τοιούτων κενοῦν ἀναγκαῖον, ἀλλ' αἱ διὰ τῆς κοιλίας ὑποκαθάρσεις ἀρκοῦσι. διδόναι δὲ φάρμακον, ὃ χολὴν ξανθὴν ἄγει. μικροῦ δ' ὄντος τοῦ παθήματος, οὐδὲ τοῦτ' ἀναγκαῖον, ἀλλ' ἀρκεῖ κλύσαι δριμεῖ. τὰ δ' ἐφ' ἕλκεσιν ἐρυσιπέλατα, καὶ ὅσα οὕτω φανερὰς ἔχει τὰς αἰτίας, οὐδ' εἰ παραχρῆμα βούλοιο καταπλάττειν ἀλεύρῳ κριθίνῳ. καὶ μάλιστα καὶ προαποσχάσας, οὐδὲν βλάψεις. τὰς δὲ φλεγμονὰς τὰς ἐρυσιπελατώδεις, καὶ τὰ φλεγμονώδη τῶν ἐρυσιπελάτων ἰᾶσθαι. μικτὴν μὲν ὡς οἷόν τε ποιούμενον τὴν ἐπιμέλειαν, ἐναντιούμενον δ' ἀεὶ τῷ μᾶλλον κρατοῦντι. καὶ βουβώνων δὲ καὶ φυμάτων καὶ φυγέθλων, παραπλησίαν ταῖς ἐν τοῖς ἄλλοις μέρεσι γιγνομέναις ὁμοίαις διαθέσεσι τὴν ἐπιμέλειαν ποιεῖσθαι, πλὴν ὅσα δριμυτέρων φαρμάκων ἐπὶ τοῖς αὐτοῖς παθήμασιν ἀνέχεσθαι πεφύκασιν, ὡς ἀδένες. τοὺς δ' ἕρπητας, τὰ μὲν περὶ τὴν τοῦ σώματος ὅλου κένωσιν ὁμοίως τοῖς ἐρυσιπέλασιν, ἰᾶσθαι προσήκει. τὰ δὲ περὶ τὴν αὐτοῦ τοῦ πεπονθότος μέρους, οὐκ ἔθ' ὁμοίως † ἅπαντας. οἱ γὰρ ἀναβιβρωσκόμενοι, ψύχεσθαι μὲν ἐθέλουσιν, ὡσαύτως τοῖς ἄλλοις ἕρπησί τε καὶ ἐρυσιπέλασιν. οὐ μὴν ὅσα γε σὺν τῷ ψύχειν καὶ ὑγραίνειν φάρμακα πέφυκε, ταῦτα γ' ἔτι φέρουσιν, ἀλλὰ μόνον τῶν ψυχόντων προσίενται, τὰ ξηραίνειν μάλιστα δυνάμενα. μὴ τοίνυν μήτε θριδακίνην αὐτοῖς, μήτε πολύγονον, μήτε τὸν ἀπὸ τῶν τελμάτων φακόν, ἢ τὸν ἕλειον λωτόν, ἢ ἀνθύλλιον, ἢ ψύλλιον, ἢ ἀνδράχνην, ἢ σέριν, ἢ ἀείζωον, ἢ τι τῶν οὕτως ὑγραίνειν τε καὶ ψύχειν δυναμένων προσφέρειν, ἃ τοῖς ἐρυσιπέλασιν ἦν οἰκεῖα. ἀλλὰ μήτε σπόγγῳ ποτὲ θαρρήσῃς ὕδατι ψυχρῷ βεβρεγμένῳ, μήτε στρύχνῳ. καίτοι καὶ τοῦτο ξηραίνειν τε καὶ ψύχειν πέφυκεν, ἀλλὰ μετρίως. οἱ δ' ἄρα σφοδροτέρας ἢ κατὰ τὸν στρύχνον δέονται ξηρότητος, ἐπιπλάττειν οὖν αὐτοῖς χρὴ κατ' ἀρχὰς μὲν, ἕλικας ἀμπέλου, καὶ βάτου, καὶ κυνοσβάτου, καὶ ἀρνογλώσσου. μετὰ δὲ ταῦτα, τήν τε φακῆν μιγνύειν δεῖ, καὶ μέλιτός ποτε καὶ ἀλφίτων, καὶ τὸ προγεγραμμένον πρὸς τὰς ἐκ ῥεύματος φλεγμονὰς κατάπλασμα, περιελὼν αὐτοῦ τὸ ἀείζωον. αὐτὰ δὲ τὰ ἡλκωμένα, κατάχριε φαρμάκοις τοῖς πρὸς ἕρπητας ἐπιγεγραμμένοις ἐν ταῖς φαρμακίτισι βίβλοις. πολλὰ δ' ἐστὶ ταῦτα παρὰ πᾶσι, καὶ εἰς κυκλίσκους ἀναπλάττεται τὰ πλεῖστα, καὶ δεῖται χρωμένους ἀνιέσθαι γλυκεῖ. μὴ παρόντος δὲ γλυκέος, οἴνῳ λεπτῷ τε, καὶ λευκῷ, καὶ ὑποστύφοντι. οἷος ὅ, τε φαλερῖνος, καὶ ὁ μασσαλιώτης, καὶ ὁ σαβῖνος, καὶ ἀδριανός, καὶ ἀρσύινος. μηδέπω μηδὲν ἐν τῇ γεύσει δριμὺ διὰ παλαιότητα κεκτημένοι. καὶ ὀξυκράτῳ δ' ὑδαρεῖ ποτε χρησάμενος ἀντὶ τούτων, οὐδὲν ἧττον ἂν ἔχοις. ἤδη δὲ καὶ χρονιζομένων τῶν ἑλκῶν, μήτε γλυκεῖ λύειν τοὺς κυκλίσκους, μήτε ὑδαρὲς ἔτι τὸ ὀξύκρατον ἔστω. καὶ τῶν οἴνων δ' ὅσοι στύφουσιν, ἱκανῶς ἀγαθοί. μάλιστα μὲν οἱ μέλανες. εἰ δ' ἀπορῶμεν αὐτῶν, λευκοί. φάρμακα δ' ἐν τῷδε τῷ καιρῷ μάλιστα μὲν ἁρμόσει αὐτοῖς, τό, τε τοῦ Πολυείδου, καὶ Πασίωνος, καὶ τὸ Μούσα, καὶ τὸ Ἄνδρωνος. ὅσα τ' ἄλλα τούτοις ἔοικε. τοὺς δὲ τὰ ἐπιπολῆς μόνον ἑλκοῦντας ἕρπητας, εἰ μὴ πάνυ τι κεχρονικότες εἶεν, οὐδὲν χρὴ καταχρίειν τούτων. καίει γὰρ ἰσχυρῶς, καὶ ξηραίνει σφοδρῶς. ἀλλ' ἀρκεῖ τοῖς τοιούτοις ἕρπησιν, ὅσα κατὰ γλαυκίου δύναμιν ἐστὶ φάρμακα. λύεσθαι δὲ μάλιστα μὲν ὕδατι, μηδὲν δ' ἀνύοντος αὐτοῦ, καὶ ὄξους παραπλέκειν. εἰ δὲ καὶ στρύχνου δεύσειας χυλῷ, ἢ ἀρνογλώσσου, μειζόνως ὠφελήσεις. ἐν δὲ τῷ καθόλου, τοῦτό σε γιγνώσκειν χρὴ παντὸς ἕλκους. εἴτ' αὐτομάτως, εἴτ' ἀπὸ συμπτώματος, εἴτε καὶ τρωθεῖσιν εἴη γεγενημένον, ὡς ξηραίνεσθαι μὲν ἀεὶ βούλεται. φαρμάκῳ δ' ὡς Ἱπποκράτης φησὶ μὴ περισκελεῖ τουτέστι μὴ δάκνοντι, μηδ' ἐρεθίζοντι σφοδρῶς. † πλὴν ἢ κακοήθης τε καὶ μετὰ σήψεως εἴη. τὰ γὰρ τοιαῦτα, δριμυτάτων δεῖται φαρμάκων, καὶ πυρὶ τὴν δύναμιν ἐοικότων,

οἷον

† al. ἅπαντες γὰρ οἱ

† al. πλὴν εἰ μὴ

εἶόν ἐστι τό, τε μίσυ, καὶ ἡ χαλκῖτις, καὶ ἀρσενικόν. καὶ τίτανος. καὶ σανδαράχη. καὶ γὰρ οὖν καὶ καίει παραπλησίως τῷ πυρὶ τὰ τοιαῦτα φάρμακα. πολλάκις δὲ καὶ τούτων νικωμένων, αὐτῷ τῷ πυρὶ χρώμεθα. τοῖς δ' ἄρα καὶ τοῖς καλουμένοις ἄνθραξι καθ' αὐτῆς τῆς ἐσχάρας, ἔνθα μάλιστα σήπεται τὸ μόριον, ἡ τῶν τοιούτων φαρμάκων ἰδέα πρόσφορος. οὐ μὴν τῷ πέριξ χωρίῳ, λύσεις γὰρ αὐτὸ ἑλκώσας αὐτὰ εἰς μηδὲν δέον, ἀλλὰ τοῖς προειρημένοις κυκλίσκοις χρηστέον, οἷος ὁ ἀνδρώνιος. εἰ δέ ποτε σφοδρὸς ὑπερκέρατοίη καὶ πολλὴ ἡ φλόγωσις, αἰγίναις χρὴ γλυκεῖ τὸ φάρμακον, ἢ ἀρνογλώσσου χυλῷ. εἰ δ' ὄγκου μέγεθος ὑπάρχει. οἴνῳ μὲν στρυφνῷ τὸ πρῶτον, ἔπειτα δὲ καὶ ὄξει. καταπλάττειν δὲ τῷ τῶν ὀρόβων ἀλεύρῳ διὰ ὀξυμέλιτος. καὶ πρὸ τούτων ἁπάντων εὐθύς, κατ' ἀρχὰς ἀφαιρεῖν αἵματος ἱκανόν, ἤν γε μηδὲν κωλύῃ. τοιαῦται μέν τινες αἱ τῶν τοιούτων παθῶν ἰάσεις κατὰ γένος. ἐξαλλάττονται δὲ παρὰ τὰς τῶν πεπονθότων ὀργάνων φύσεις. τέτταρες δὲ ἀπὸ τούτων ἐνδείξεις εἰσὶν ἐκ τῆς κράσεως αὐτῶν, ἐκ τῆς διαπλάσεως, ἐκ τῆς θέσεως, ἐκ τῆς δυνάμεως. ἐκ μὲν τῆς κράσεως, εἰ τὰ μὲν αὐτῶν, ξηρότερα φύσει. τὰ δ' ὑγρότερα. τὰ δέ, ψυχρότερα. τὰ δὲ θερμότερα γέγονε. καὶ κατὰ συζυγίαν ἢ ὑγρότερα καὶ θερμότερα, ἢ ὑγρότερα, καὶ ψυχρότερα. ἢ ξηρότερα καὶ θερμότερα, ἢ ξηρότερα καὶ ψυχρότερα, ἢ κατὰ πᾶν εὔκρατα. καὶ χρὴ σκοπὸν εἶναί σοι ἐν ταῖς θεραπείαις, τὴν φύσιν τοῦ μορίου. τὸ γοῦν μέχρι πόσου ψυκτέον, ἢ ξηραντέον, αὕτη διδάσκει. τὰ γοῦν σαρκώδη φλεγμαίνοντα, βραχέως δεῖται ξηραίνεσθαι. καὶ μὲν δή, καὶ ὅσα φλεβώδη, κἂν ἢ μᾶλλον τῶν σαρκωδῶν ξηρότερα, ἀλλ' οὐδ' αὐτά γε ἱκανῶς. ὅσα δ' ἀρτηριώδη τὴν φύσιν ἐστὶ μόρια, μᾶλλον ἔτι τῶν φλεβωδῶν. καὶ τούτων ἔτι μᾶλλον, τὰ νευρώδη. καὶ πολὺ δὴ μᾶλλον τούτων, ὅσα χονδρώδη καὶ ὀστώδη. πρὶν γὰρ εἰς τὴν οἰκείαν ἐπανέλθοι φύσιν τὸ μέρος, οὐδέπω τέλος ἡγητέον ἔχειν τὴν ἴασιν. ἐπαναγει δ' εἰς τὴν ξηροτέραν μὲν κρᾶσιν, ὅσα φύσει ξηρότατα. εἰς δὲ τὴν ψυχροτέραν, ὅσα φύσει ψυχρότατα. καὶ κατὰ τὰς ἄλλας δὲ δύο ποιότητας ὁμοίως, εἰς δὲ τὸ μέτριον, ἐν ἑκάστῃ τὰ μέτρια. οὕτω μὲν αἱ κράσεις τῶν μορίων ποικίλλουσι τὰς τῶν παθῶν θεραπείας. αἱ δὲ διαπλάσεις ὧδε. τὰ μὲν γὰρ ἔνδον αὐτῶν, εὐρύτητας ἔχει. τὰ δ' ἔξωθεν, τὰ δ' ἑκατέρωθεν. τὰ δ' οὐδετέρωθεν. οἷον τῶν μὲν ἁπλῶν, αἱ ἀρτηρίαι, καὶ αἱ φλέβες, καὶ νεῦρα. αἱ μὲν ἐν τοῖς κώλοις, ἔνδον αὐτῶν. αἱ δ' ἐντὸς περιτοναίου, καθ' ἑκάτερα. νεῦρα δὲ τὰ μέν, ἐν τοῖς κώλοις καθ' οὐδέτερον. ὅσα δ' ἐντὸς περιτοναίου κατὰ θάτερον. τοῖς δὲ σπλάγχνοις σχεδὸν ἅπασιν ἔνδοθέν τε καὶ ἔξωθεν εἰσὶν εὐρυχωρίαι μεγάλαι. καὶ προσέτι καὶ ἡ σὰρξ αὐτή. ἡ μὲν τοῦ πνεύμονος, μανή. ἔμπαλιν δ' ἡ τῶν φρενῶν, πυκνοτάτη, καὶ μετὰ ταύτην, ἡ τοῦ ἥπατος. ἡ δὲ τοῦ σπληνός, εἰς ὅσον πυκνοτέρα τῆς τοῦ πνεύμονος, εἰς τοσοῦτον μανοτέρα τῆς τοῦ ἥπατος. ἐν ἅπασιν οὖν τούτοις, ὅσα μὲν οὐδετέρωθεν ἔχει κοιλότητας ἐκδεχομένας τὸ περιττὸν τοῦ ῥεύματος, ἰσχυρῶς δεῖται ξηραίνεσθαι, κἂν μὴ πάνυ ξηρὰ τὴν φύσιν ᾖ, καθάπερ τὰ νεῦρα. καὶ μάλιστα τὰ ἐν τοῖς κώλοις. ὅσα δ' ἔξω τε καὶ εἴσω δύναται χαλάσαι τι τῆς φλεγμονῆς, οὐδὲν δεῖται τά γε τοιαῦτα τῶν ἱκανῶς ξηραινόντων. καὶ μάλιστ' εἰ χαύνην ἔχοι τὴν σάρκα, καθάπερ ὁ πνεύμων. ἡ δ' ἀπὸ τῆς θέσεως ἔνδειξις, οὐδ' αὐτὴ παρόπτεα. δι' ὧν τε γὰρ χρὴ κενοῦν, καὶ ὅπως† αὐτὴ μάλιστα διδάσκει. τῶν μὲν οὖν ἔτι ἐπιρρεόντων, ἡ ἀντίσπασις, οὕτω γὰρ ὁ Ἱπποκράτης ὀνομάζει. τῶν δ' ἤδη κατειληφότων τὸ μόριον ῥευμάτων, ἡ παροχέτευσις ἴαμα. ἄμφω δὲ τὰ εἴδη τῆς κενώσεως, διὰ τῶν κοινῶν ποιεῖσθαι κελεύει φλεβῶν. οἷον τὰς ἐπὶ μητρῶν ἀντισπάσεις, εἰ τὴν ἐν ἀγκῶνι τέμνοις φλέβα, ἢ παρὰ τοὺς τιτθοὺς σικύας προσβάλλοις. ἢ εἰ τὰς χεῖρας θερμαίνοις τε καὶ ἀνατρίψαις καὶ διαδήσαις. παροχετεύσεις δὲ τὰς ἐν ἰγνύαις ἢ σφυροῖς διαιρῶν. καὶ σικύας μηροῖς προσβάλλων, καὶ θερμαίνων, καὶ ἀνατρίβων, καὶ διαδῶν τὰ σκέλη. καὶ εἰ μὲν ἡ δεξιὰ μήτρα πεπόνθοι, ἐκ δεξιᾶς χειρὸς καὶ σκέλους ἀπάγων τὸ αἷμα. τῆς δ' ἀριστερᾶς πεπονθυίας, ἐκ τῶν ἐν ἐκείνῃ κατ' εὐθὺ κώλων. τὸ γὰρ καθ' ἴξιν ὑπ' αὐτοῦ λεγόμενον, αὐτὸ τοῦτ' ἐστὶ τὸ κατ' ἰσότητα. τέμνειν δὲ τὰς ἔνδον φλέβας,† τοῦ Ἱπποκράτους. αὗται γὰρ ἐγγυτέρω τε τῶν πεπονθότων μορίων, καὶ μᾶλλον κατ' εὐθύ. καὶ γὰρ εἰ σπληνὸς φλεγμαίνοντος κενοῦν αἵματος ἐθέλοις, τῆς ἀριστερᾶς χειρὸς τὰς ἔνδον φλέβας τέμνειν. καὶ εἰ ἥπατος, τῆς δεξιᾶς ὡσαύτως. εἰ δ' ἔτι τῶν ἄνωθεν εἴη φλεγμαῖνον, ὡς ἐν συνάγχαις τε καὶ ὀφθαλμίαις, καὶ ὅσα περὶ κεφαλήν, τὰς ἔξωθέν τε καὶ κατ' εὐθύ. τῶν κώλων δ' αὐτῶν πεπονθότων, ἀπὸ τῶν ὁμοζύγων ἡ κένωσις, εἴθ' ἀντισπᾶν, εἴτε παροχετεύειν ἐθέλοις. πλὴν εἰ μὴ χρόνιον εἴη τὸ πάθημα. τηνικαῦτα γὰρ ἀπ' αὐτοῦ τοῦ πεπονθότος. οὕτως οὖν κἀπὶ τῶν συναγχικῶν τὰς ὑπὸ τὴν γλῶτταν φλέβας τέμνομεν, ὅταν ἡμῖν τὸ μὲν ὅλον ἤδη σῶμα κενὸν ᾖ. χρονίζῃ δὲ τὸ πάθος. οὕτω δὲ καὶ σπληνὶ καὶ ἥπατι σικύας προσβάλλομεν. οὕτω δὲ καὶ ἄλλο τι καὶ ἄλλο μέρος πεπονθὸς ἀμυχάζομεν, οὐκ ἐπιρρεόντων ἔτι τῶν χυμῶν. ἐρεθιεῖς γὰρ αὐτοὺς ἐν τῷδε μᾶλλον, καὶ διπλάσιον ἐργάσῃ τὸ κακόν. ἀλλ' ὅταν ἤδη τὸ μὲν ὅλον ἀπέριττον ᾖ σῶμα, μηδὲν δ' ἐπιρρέῃ νῦν, ἴσχηται δ' ἔτι τοῦ παλαιοῦ ῥεύματος ἐν τῷ μορίῳ. καὶ μὴν καὶ ὅτι τὰ μὲν ἐν τοῖς κυρτοῖς τοῦ ἥπατος ἐπ' οὖρα χρὴ προτρέπειν. τὰ δ' ἐν τοῖς σιμοῖς, ἐπὶ τὴν κάτω διαχώρησιν, ἡ θέσις ἐδίδαξε τοῦ σπλάγχνου. καὶ ὅτι θώρακα μὲν καὶ πνεύμονα διὰ βηχῶν ἐκκαθαίρειν. γαστέρα δὲ καὶ στόμαχον, δι' ἐμέτων. ἔντερα δέ, ταῖς κάτω διαχωρήσεσιν, ὥσπερ οὖν καὶ σπλῆνα. καὶ νεφροὺς μέν, ταῖς δι' οὔρων. μήτραν δέ, ταῖς διὰ τῶν καταμηνίων. ἐγκέφαλον δὲ καὶ μήνιγγας, ταῖς δι' ὑπερῴας, καὶ γαργαρεῶνος, καὶ ῥινῶν, καὶ ὤτων. ἀλλὰ καὶ ὅτι τοῖς μὲν ἐπιπολῆς μορίοις τοιοῦτον εἶδος χρὴ φαρμάκων προσφέρειν, οἵου δεῖται τὸ πάθος. τοῖς δ' ἐν τῷ βάθει καὶ διὰ πολλῶν τῶν μεταξὺ μέλλουσιν ὁμιλήσειν ταῖς δυνάμεσιν αὐτῶν, οὐχ οἷον νῦν ἐστιν, ἀλλ' οἷον ἔσεσθαι μέλλει παρὰ τῆς θέσεως τῶν μορίων ἐμάθομεν. ὥστ' εἴτ' τῶν ἔξωθεν ἐπιτιθεμένων, εἴτε τῶν ἐσθιομένων ἢ πινομένων εἴη τὸ φάρμακον, οὐ τὴν παροῦσαν αὐτοῦ δύναμιν ἐπισκεπτέον, ἀλλ' οἵαν ἕξει πλησιάζον τῷ πεπονθότι μορίῳ. ταῦτ' ἄρα ταῖς τοῦ πνεύμονος φλεγμοναῖς ὅσα προσφέρουσιν ἔξωθεν ἐπιπλάσματα, τῷ θώρακι περιβάλλοντες, ἰσχυρότερα πολὺ καὶ δριμύτερα τὴν φύσιν ἐστίν. ἢ εἰ τῷ αὐτῷ τῷ σπλάγχνῳ προσεφέρετο. διὰ πολλῶν γὰρ τῶν μεταξὺ σωμάτων, τὸ ἐντυγχάνειν μέλλον τῷ πεπονθότι μορίῳ παροδεῦον, πάντως ἂν ἐκλυθείη τε, καὶ ἠμαυρώθη τὴν δύναμιν, εἰ ἐξ ἀρχῆς ἦν ἀσθενές. τοσοῦτον οὖν αὐτοῖς ἐπικτητοῦ ἰσχύος διδόναι προσήκει, ὁπόσον ἡ ὁδὸς ἀφαιρεῖται. ὥστε ἴσον καθίστασθαι τὸ λειπόμενον, τῷ διὰ τοῦ ψαύειν ἀφε

† al. additur καὶ ὅθεν

† al. omittuntur, sed turbatus uidetur uerborum ordo & sic legendus hic locus καθ' ἴξιν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους λεγόμ.

λεπτῇ. ταῦτ' ἄρα καὶ αὐτοῦ τοῦ θώρακος, τοῖς μὲν ἐπιπολῆς φλεγμαίνουσιν, ἱκανὰ τὰ χαλᾶν μόνον δυνάμενα. τοῖς δ' ἔνδον ὥσπερ καὶ τῷ ὑμένι τῷ ὑπεζωκότι, δριμυτέρων δεῖ. καὶ περὶ σπληνὸς δὲ καὶ ἥπατος, καὶ πάντων τῶν ἔνδον τοῦ περιτοναίου μορίων, ὁ αὐτὸς λόγος. ἑλκοῦται γὰρ πολλάκις ὑπὸ τῶν ἐπιτιθεμένων φαρμάκων τὸ δέρμα, καίτοι πολὺ σκληρότερόν τε καὶ δυσπαθέστερον ὑπάρχον τῶν σπλάγχνων. καὶ εἰ δυνατὸν ἦν αὐτοῖς τοῖς σπλάγχνοις ἐπιβάλλειν, ὧν ἑκάστοτε δέονται, τοσούτῳ μαλακωτέρων φαρμάκων ἂν ἐδεήθησαν, ὅσῳ καὶ ἡ φύσις αὐτῶν ἐστιν εὐπαθεστέρα. νυνὶ δὲ καὶ ὅσα κελεύουσιν ἐσθίειν καὶ πίνειν φάρμακα τοῖς τῶν σπλάγχνων παθήμασιν ἀρωγά, καὶ ταῦτα πολὺ δριμύτερά τε ἰσχυρότερά ἐστι ταῖς δυνάμεσιν, ἢ οἵων δεῖται τὰ πάσχοντα μόρια, πλὴν τῶν γαστρὶ καὶ στομάχῳ συμφερόντων. ταῦτα γὰρ μόνα τοιαῦτα δίδοασιν, οἵων χρήζει τὰ πάθη. τὰ δ' ἄλλα πάντα, δριμύτερα καὶ ἰσχυρότερα ταῖς δυνάμεσιν ἐστί. καὶ μάλισθ' ὅσα νεφρῶν ἢ πνεύμονος ἕνεκα δίδονται. σκοπεῖν οὖν ὅσον ἀριθμὸν μορίων διεξέρχεται τὸ μέλλον εἰς πνεύμονα φέρεσθαι. πρῶτον μὲν στόμα, καὶ φάρυγγα, καὶ στόμαχον. ἔπειτα δ' αὐτὴν τὴν γαστέρα, καὶ ἕνα τῶν λεπτῶν ἐντέρων. εἶτα τὰς ἐν τῷ μεσεντερίῳ φλέβας. εἶτα τὰς ἐν τοῖς σιμοῖς τοῦ ἥπατος. ἐξ ὧν εἰς τὰς ἐν τοῖς κυρτοῖς μεταληφθὲν ἐντεῦθεν εἰς τὴν κοίλην φλέβα ἔρχεται, μεθ' ἣν εἰς καρδίαν. ἔπειθ' οὕτως εἰς πνεύμονα. καὶ οὐκ ἔστιν εἰπεῖν ὡς οὐ καθ' ἕκαστον τούτων τῶν μορίων χυμοῖς τισὶν ἀναμίγνυται, καὶ τινὰ μεταβολὴν καὶ ἀλλοίωσιν οἰκείαν τῇ φύσει τοῦ σπλάγχνου δέχεται. ὥστε τὸ καταλειπόμενον αὐτοῦ τῆς δυνάμεως, παντελῶς ἐστι μικρὸν καὶ ἀμυδρόν, ἢ ὅσον αὔταρκες εἰς τὴν ὠφέλειαν τοῦ πεπονθότος. ἡ μὲν οὖν παρὰ τῆς θέσεως τῶν μορίων ἔνδειξις, εἰς τοσοῦτον ἄρα τὴν θεραπείαν ὑπαλλάττει. ἡ δὲ παρὰ τῆς δυνάμεως, εἰς ὅσον νῦν ἐρῶ. ἐπειδὴ τῶν μορίων τοῦ σώματος. τὰ μέν, ἐπιρρύτοις διοικεῖται δυνάμεσι. τὰ δέ, καὶ συμφύτοις. τούτων δ' αὐτῶν. τὰ μὲν ἑαυτοῖς μόνοις. τὰ δέ, καὶ ἄλλοις ἀρχαὶ δυνάμεών εἰσι, καὶ τῶν μέν, ἴδιον τοὔργον ἐστί, τῶν δέ, κοινόν, ἀναγκαῖον ὑπαλλάττεσθαι τὸ τῆς θεραπείας εἶδος ἐν ἑκάστῃ τῶν εἰρημένων διαφορῶν. πολλὰ γὰρ τῶν † προειρημένων βοηθημάτων, λύει μέν, τὰ πάθη, βλάπτει δέ, τὰς συμφύτους τῶν μορίων δυνάμεις. ὡς δὲ ἡ βλάβη παντὶ τῷ σώματι διαφέρει, διττῶς τούτου γιγνομένου, παρ' ὅσον ἤτοι δυνάμεώς ἐστιν ἀρχὴ τὸ σπλάγχνον ἅπασι τοῖς μέρεσι κοινή, ἢ τοὔργον αὐτοῦ παντὶ τῷ σώματι χρήσιμον. ἧπαρ μὲν γάρ, καὶ καρδία καὶ ἐγκέφαλος, καὶ ὄρχεις, ἀρχαὶ δυνάμεών εἰσι κοιναὶ ὅλῳ τῷ σώματι. γαστρὶ δὲ καὶ μήτρᾳ, ἔμφυτοι μὲν αἱ δυνάμεις, καὶ οὐδενὸς ἄλλου κοιναί. τό γε μὴν ἔργον, τὸ μὲν τῆς γαστρός, ἅπαντι τῷ σώματι χρήσιμον. τὸ δὲ τῶν μητρῶν, οὐκέτι. βλάπτει δὲ πολλάκις ἡ τοῦ πάθους ἴασις τὴν δύναμιν τοῦ μέρους. τά τε γὰρ ἀμέτρως χαλῶντα, λύει τὸν τόνον, ὥστε καὶ τὴν δύναμιν τοῦ μέρους. τὰ δ' ὑπερβαλλόντως ψύχοντα, σβεννύουσι τὸ ἔμφυτον θερμόν. ὃ τάχα μέν, ὥσπερ τισὶν ἔδοξε τῶν ἀρίστων ἰατρῶν τε καὶ φιλοσόφων, ἡ οὐσία τῶν δυνάμεών ἐστιν. εἰ δὲ μή, ἀλλὰ τό γε πρῶτον τε καὶ ἀναγκαιότατον αὐτῶν ὄργανον. ἤδη δὲ καὶ ποιότητές τινες ἄτοποι, καταλυτικαὶ τῶν δυνάμεών εἰσιν. ὅθεν οὖν τούτων χρὴ παρέρχεσθαι ἐπὶ τὰς ἰάσεις, ἵνα μή ποτε λάθωμεν ἡμᾶς αὐτοὺς εἰπόντας, τὸ μὲν πάθος, ἐθεραπεύθη, ὁ δὲ ἄνθρωπος, ἀπέθανεν. ὅπερ ὁσημέραι γιγνόμενον ὁρᾷς ὑπὸ τῶν πλείστων, ὅσοι τήν τε ἄλογον τριβὴν πρεσβεύουσι, καὶ τὴν ἅπασι τοῖς τῆς τέχνης καλοῖς λυμηναμένην αἵρεσιν μεθοδικήν, ἢ τινὰς λόγους μεταδιώκουσι, δογματικοὺς μέν, ἀλλὰ καὶ πολλῶν ἁμαρτημάτων ἀνάπλεως ἐν τῇ παρὰ τῆς δυνάμεως ἐνδείξει τῶν μορίων, εἴη δ' ἂν καὶ τὸ δυσαίσθητον, ἢ εὐαίσθητον ὑπάρχειν αὐτό. τὰ γὰρ εὐαίσθητα, δριμέων οὐκ ἀνέχεται φαρμάκων, ὥσπερ οὐδὲ χυμῶν. ἐν γοῦν τῷ στόματι τῆς κοιλίας, δριμέος τινὸς χυμοῦ περιεχομένου συγκόπτονται πολλάκις. εἰ δὲ τὰ μετριώτατα πάσχοιεν, ἀλύουσί τε καὶ ναυτιῶσι. ποτὲ μὲν ἐμοῦντες τὸν λυποῦντα χυμόν. ἔσθ' ὅτε δὲ μάτην σπαραττόμενοι. καὶ γίνεται τοῦτο κατ' ἐκείνας μάλιστα τὰς διαθέσεις, ἐν αἷς εἰς τὸ στόμα τῆς γαστρὸς ὁ μοχθηρὸς ἀναπίνεται χυμός. ὁμοίως δὲ καὶ τοῖς ὀφθαλμοῖς ἐπιρρέων ὁ τοιοῦτος χυμός, ὀδυνηρότατός ἐστι, καὶ φλυκταίνας ἑλκώδεις τε καὶ δυσιάτους ἐργάζεται. ὡσαύτως οὖν οὐδὲ τῆς τῶν δριμέων φαρμάκων ὁμιλίας ὀφθαλμὸς ἀνέχεται διὰ τὴν εὐαισθησίαν, ὥσπερ οὐδὲ τὸ στόμα τῆς γαστρός. οὐ μὴν οὐδ' ἐπικειμένου τινὸς ἔξωθεν βαρύνοντος ἀνέχεται ταῦτα τὰ μόρια. καὶ μᾶλλόν γε τῆς γαστρὸς ὁ ὀφθαλμός. ὅπου γε ἐνίοτε καὶ πρὸς τῶν ἐπιχριομένων φαρμάκων βαρύνεται. τὰ δ' ἀναισθητότερα μόρια, καὶ καταπλασμάτων ἀνέχεται βαρέων, καὶ φαρμάκων δακνόντων. εἰ γοῦν πέμπτην τις ἐθέλοι πρὸς ταῖς εἰρημέναις τέτταρσι τὴν ἀπὸ τῆς εὐαισθησίας ἔνδειξιν ἀριθμεῖν, ἔξεστιν οὖν προλαβεῖν τὴν ἐπὶ δύναμιν, οὐδὲν ὡς πρὸς τὸ καλῶς ἰᾶσθαι διαφέρει. τούτων οὖν ἀεὶ χρὴ μεμνῆσθαι τῶν ἐνδείξεων ἐπὶ παντὸς μορίου πάσχοντος ὁτιοῦν πάθος. εἴτε γὰρ κρᾶσις αὐτοῦ, καὶ ἡ διάπλασις, εἴτε θέσις, καὶ ἡ δύναμις, ὑπαλλάξει τὰς ἐπὶ μέρος ἡμῶν ἐνεργείας, φυλαττομένου τοῦ κοινοῦ σκοποῦ. τοῦτον γὰρ ἔφαμεν ἐκ τοῦ πάθους ἀεὶ δεῖν λαμβάνεσθαι. τὰ μὲν οὖν ἐπὶ ψιλὴν καὶ μόνην δυσκρασίαν γιγνόμενα νοσήματα, διὰ τῶν ἐναντίων ποιοτήτων θεραπεύεται. θερμὴ μὲν δυσκρασία, διὰ τῶν ψυχόντων, εἴθ' οὖν πρώτως, εἴτε καὶ κατὰ συμβεβηκὸς εἴη ταῦτα ψύχοντα. ψυχρὰ δέ, διὰ τῶν θερμαινόντων. οὕτω δὲ καὶ ξηρὰ μέν, διὰ τῶν ὑγραινόντων. ὑγρὰ δέ, διὰ τῶν ξηραινόντων. περὶ δὲ τοῦ πρώτως θερμαίνοντος, ἢ κατὰ συμβεβηκὸς ἐπὶ πλεῖστον, ὡς οἶσθα, ἐν τῇ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐπεσκεψάμεθα πραγματείᾳ, ἐπιδεικνύντες ἐνίοτε καὶ τὸ πρώτως ψῦχον, θερμαίνειν κατά τι συμβεβηκός. ὥσπερ καὶ τὴν τοῦ ψυχροῦ κατάχυσιν ὕδατος, ὅταν ἐπανάκλησιν θέρμης ποιῆται. καὶ τὴν τοῦ θερμοῦ ψύξιν, ὅταν ἀραιώσαν τὸ σῶμα, διαφορήσῃ τὴν ἐν αὐτῷ θερμασίαν. αἱ μὲν οὖν κατὰ μόνας τὰς δραστικὰς ποιότητας ἀλλοιώσεις τῶν σωμάτων, ὑπὸ μόνης τῆς διὰ τῶν θερμαινόντων τε καὶ ψυχόντων, ὑγραινόντων τε καὶ ξηραινόντων δυνάμεως, εἰς τὸ κατὰ φύσιν ἄγονται, μὴ δεόμεναι κενώσεως αἰσθητῆς. αἱ δὲ δι' ἐπιρροὴν ὕλης εὐκράτου μὲν οὔσης αὐτῆς, κενώσεως χρῄζουσι μόνης. δυσκράτου δέ, κενώσεώς τε ἅμα, καὶ τῆς διὰ τῶν ἐναντίων ποιοτήτων ἀλλοιώσεως. κενώσεως μέν, ὥσπερ αἱ ῥευματικαὶ καλούμεναι, περὶ ὧν ἐν ἤδη, ὡς οἶσθα, γέγραπται βιβλίον. ἐν ᾧ καὶ τοῦτ' εὐθέως κατ' ἀρχὰς ἐδείχθη, τὸ τῆς θρεπτικῆς δυνάμεως ὅλου τοῦ σώματος ἀρρωστούσης γίγνεσθαι τὰς διαθέσεις ταύτας, ῥεούσης τῆς ἀθροιζομένης † περιουσίας

† al. omittuntur

† al. κακοχυμίας

εἰς τὰ πάντων ἀτονώτατα μόρια. τοῦ μὲν τοι ῥέοντος, αἵματος εἰς τὰ τοιαῦτα μόρια καὶ τὰς ῥευματικὰς διαθέσεις ἔχοντος τινὰ κακοχυμίαν, ἡ διάθεσις γίνεται, μικτή. τοῦτο γίγνοιτ' ἂν ἴσως τῶν σπανιώτατα. διὰ παντὸς γὰρ ὤφθη μοι χωρὶς φλέγματος, ἢ ξανθῆς χολῆς, ἢ μελαίνης, αἷμα τῇ συστάσει λεπτὸν ἐπιῤῥέον. ἐξ ἄλλης δέ τινος αἰτίας εἰς ὄγκον ἀρθέντος τοῦ μορίου, σκοπεῖν εἴτε φλεγμονὴ τὸ πάθος ἐστὶν, εἴτε σκίῤῥος, εἴτε οἴδημα. φλεγμονὴν ὀνομαζόντων ἡμῶν ἅπασαν τὴν θερμὴν, καὶ οἷον φλογώδη διάθεσιν, ἧς τὰς διαφορὰς ὀλίγον ἔμπροσθεν εἴπομεν. ὥρα τοίνυν ἤδη περὶ τῶν οἰδημάτων ὑποθέσθαι σοι διὰ βραχέων, ἀναμνήσεως ἕνεκεν ὧν καὶ διεξόδου ἠκούσας ἡμῶν λεγόντων. ὀνομάζομεν οὖν οἴδημα, τὸν ἀνώδυνον μὲν καὶ χαῦνον ὄγκον. ἐπιδέδεικται δ' οὗτος ἐκ φλεγματώδους οὐσίας γιγνόμενος, ἢ πνεύματος ἀτμώδους, ὁποῖόν τι καὶ ἐπὶ τὰ νεκρὰ γίνεται σώματα, καὶ ἐπὶ τοὺς πόδας τε καὶ σκέλη πολλάκις ἐν ὑδερικαῖς διαθέσεσι, καὶ φθόαις, καὶ καχεξίαις ἑτέραις. ἀλλ' ἔστω ἐκείνων μὲν, σύμπτωμά ἐστι τὸ τοιοῦτον οἴδημα διαθέσεων ἐπισφαλῶν, οὐδὲ μιᾶς ἰδίας ἐξαιρέτου θεραπείας δεόμενον αὐτό. καὶ γὰρ ἀνάτριψις μόνη διὰ ὀξυῤῥοδίνου, καί ποτε διὰ ἁλῶν καὶ ἐλαίου, ἢ καὶ τῶν ἁλῶν ἐμβληθέντων τῷ ὀξυῤῥοδίνῳ κατέστησεν αὐτὸ, καὶ ἄλλα πολλὰ τοιαῦτα. διὰ δὲ τὸν φλεγματικὸν χυμὸν ἐπιῤῥυέντα, μορίῳ ἐπιγνωμένου τοῦ πάθους, ἐνίοτε μὲν σπόγγοις ὕδατι βεβρεγμένοις ὀλίγον ὄξους ἔχοντι κατέστησε τὸ πάθος. εἰ δὲ μὴ καταστήσειε, βραχὺ πλεῖον ἐπιβλητέον τοῦ ὄξους. ὥστε τὸ μὲν σύμμετρον τοιοῦτον εἶναι καὶ τὴν κρᾶσιν, ὡς δύνασθαί τινα καὶ πίνειν αὐτοῦ. τούτου δὲ τὸ μὲν ὑδαρέστερον, ἐν ἀρχῇ παραληπτέον ἐπὶ μαλακῶν μάλιστα σωμάτων. τὸ δ' ἰσχυρότερον, ἐπί τε γενναίων καὶ σκληρὸν ἐχόντων δέρμα, καὶ πρὸς τὰς πρώτας ἐπιθέσεις, τοῦ σπόγγου μηδὲν ὠφεληθέντων. εἶναι δὲ χρὴ τὸν σπόγγον πάντως καινόν. εἰ δὲ μὴ παρείη τοιοῦτος, ἔστω ἀκριβῶς ἐκπεπλυμένος, ἀφρονίτρῳ τε καὶ νίτρῳ, καὶ τῇ καλουμένῃ κονίᾳ στακτῇ. μὴ παυσαμένου δὲ μηδ' ἐπὶ τούτοις τοῦ οἰδήματος, ἐπεμβάλλειν χρὴ βραχὺ στυπτηρίας καὶ τὸν σπόγγον πάντως ἐπιτιθέναι καινόν. εἰ δὲ καὶ κατά τι τῶν κώλων τὸ τοιοῦτον οἴδημα γένοιτο, τῆς ἐπιδέσεως ἐκ τῶν κάτω μερῶν ἀρχόμενον ἄνω τελευτᾶν, τὴν ἐπιβολὴν καὶ τὴν πίεσιν, καὶ τὴν σύμπασαν νομὴν, ὡς ἐπὶ καταγμάτων ποιούμενον. ὁ γάρ τοι σκοπὸς τῆς θεραπείας, ἐπὶ τῶν τοιούτων παθῶν μικτός ἐστι. τὸ μέν τι διαφορεῖν τῆς οὐσίας αὐτῶν, τὸ δέ τι συνάγειν καὶ σφίγγειν. εἰ τοίνυν ἐπὶ τοῖς προειρημένοις μὴ καθίσταιτο, τότε τῶν ἰσχυροτέρων φαρμάκων, ἃ μικτὴν ἔχει τὴν κρᾶσιν, ἐκ τῶν εἰρημένων δυνάμεων ἐπιβάλλειν, ἐγὼ δ' ἐπὶ κεχρονικότος οἰδηματώδους ὄγκου προϋπαλείψας ἐλαίῳ τὸ μόριον, εἶτ' ἐπιθεὶς σπόγγον ἐκ κονίας, καὶ σφίγξας βιαιότερον, οἶδα τελέως ἐκθεραπευθὲν τὸ πάθος, οὐκέτι δηλονότι τῆς τοιαύτης ἀγωγῆς σκοπὸν ἐχούσης, τὸ μικτὸν τῶν δυνάμεων. ἀλλ' ἐπὶ τὸ διαφορητικόν τε καὶ τμητικὸν ἀποκλινάσης, ὅπερ ἐπὶ τῶν χρονιζόντων σχεδὸν ἁπάντων ἴσμεν εὐδοκιμοῦν. ἐπεὶ δὲ καὶ περὶ τῶν οἰδημάτων αὐτάρκως εἴρηται πρός γε σὲ, περὶ τῶν σκιῤῥωδῶν ὄγκων ἐφεξῆς. ἂν εἴη ῥητέον. ὁ μὲν οὖν ἀκριβὴς σκίῤῥος, ὄγκος ἐστὶ παρὰ φύσιν, ἀναίσθητός τε καὶ σκληρός. ὁ δ' οὐκ ἀκριβὴς, οὐκ ἀναίσθητος μὲν παντάπασι, δυσαίσθητος γε μὴν ἐστι πάντως. ὁ μὲν οὖν ἀναίσθητος σκίῤῥος, ἀνίατος. ὁ δὲ δυσαίσθητος, οὐκ ἀνίατος μὲν, οὐ μὴν εὐίατος. γίνεται γὰρ ἐκ γλίσχρου καὶ παχέος χυμοῦ, δυσλύτως ἐμπλαττομένου τοῖς σκιῤῥουμένοις μορίοις. ἐνίοτε μὲν οὖν εὐθὺς ἐξ ἀρχῆς κατὰ βραχὺ συνίσταταί τε καὶ αὐξάνεται. τὰ πολλὰ δ' ὑπὸ τῶν ἰατρῶν κατασκευάζεται, στυψάντων καὶ ψυξάντων σφοδρῶς, ἐρυσιπέλατά τε καὶ φλεγμονάς. ἐὰν μὲν οὖν τις τὰ ἰσχυρῶς διαφοροῦντα τοῖς σκιῤῥουμένοις σώμασι προσφέρῃ φάρμακα, καὶ σαφῆ μείωσιν ἐργασάμενος τοῦ σκίῤῥου, χρόνῳ βραχεῖ θαῤῥήσει περὶ τῆς παντελοῦς θεραπείας, οὐκ ἀληθῶς ἀγνοῶν ὅτι τῷ τοιούτῳ τρόπῳ τῆς θεραπείας, τὸ λείψανον τοῦ πάθους ἀνίατον γίνεται. διαφορηθείσης γὰρ ἐξ αὐτοῦ τῆς λεπτομεροῦς ὑγρότητος, ἡ λοιπὴ ξηρανθεῖσα, λιθώδης ἀποτελεῖται. οὔκουν χρὴ σφοδρῶς ξηραίνοντι τὰ σκιῤῥούμενα μόρια θεραπεύειν φαρμάκῳ, ἀλλὰ θερμασίαν μὲν ἔχειν χλιαρὰν, ὑγρότητα δ' οὔτε πολλὴν, οὔ παντάπασιν ἐλαχίστην, τὸ μὲν γὰρ ὑπερβαλλόντως ὑγρὸν, οὐδ' ὅλως διαφορεῖ. τὸ δ' ὀλιγίστην ἔχον ἰκμάδα, ξηραίνει σφοδρότερον, ἢ προσήκει. χρὴ τοίνυν ὑπὲρ τοῦ μέλλοντος ὀνήσειν φαρμάκου τὸ σκιῤῥούμενον σῶμα, τοῖς ἐν ἡλίῳ χεομένοις ὅμοιόν τι πάσχειν. ὀνομάζεται δὲ τὰ τοιαῦτα φάρμακα, μαλακτικά. καὶ λέλεκται περὶ αὐτῶν ἐπὶ πλέον, ἐν τῷ πέμπτῳ τῆς περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείας. καὶ τὰ παραδείγματα αὐτῶν εἴρηται τά γε ἁπλᾶ, μυελοί τε σύμπαντες καὶ στέατα. πρωτεύει δὲ τῶν μὲν μυελῶν πάντων ὁ ἐλάφειος. εἶτα ὁ μόσχειος. στεάτων δ' ἐν μὲν τοῖς πτηνοῖς ζώοις, τὸ χήνειον. ἐν δὲ τοῖς πεζοῖς, τὸ λεόντειον. ἐφεξῆς δὲ χηνείῳ μὲν, τὸ τῆς ἀλεκτορίδος. λεοντείῳ δὲ, τὸ τῶν παρδαλέων, καὶ τὸ τῶν ἄρκτων. εἶτα τὸ τῶν ταύρων. τὸ δὲ τῶν αἰγῶν, παχύτερόν τε τούτων ἐστὶ, καὶ ξηρότερον. ἔτι δὲ μᾶλλον αὐτοῦ, τὸ τῶν τράγων. ὅτι δ' οὐ δεῖται τῶν ἰσχυρῶς ξηραινόντων φαρμάκων τὸ πάθος τοῦτο, προείρηται. περὶ δὲ τῆς κατὰ λεπτομέρειάν τε καὶ παχυμέρειαν αὐτῶν διαφορᾶς, ἐνδεικτικῶς μὲν εἴρηται, σαφῶς δ' οὐδέπω. διὸ νῦν ἀναμνῆσαι σε προσήκει τῶν ῥηθέντων ἡμῖν πρὸς ἀλλήλους, ὅτε τὸ τοῦ Κερκυλλίου παιδάριον ἐθεράπευον, ἐξ ἐρυσιπέλατος σφοδρῶς στυφθέντος τε καὶ ψυχθέντος, ὄγκον σκιῤῥώδη ἔχοντος ἐν ὅλῳ τῷ μηρῷ. λεπτομερῆ γὰρ ἡμῖν ἐφαίνετο δεῖν εἶναι τὰ μέλλοντα θεραπεύειν αὐτὸ φάρμακα, διὸ κατήντλουν ἐλαίῳ τὸν μηρὸν, ἐν σκάφῃ καθίζον βαθείᾳ τὸ παιδάριον, ἐχούσῃ πλῆθος ἐλαίου τοῦ σαβίνου, διότι λεπτομερέστατον ἔλαιον ἴσμεν ἁπάντων αὐτό. λουτροῦ δ' ἀπεῖχον, ὅτι μὴ διὰ πλειόνων ἡμερῶν ἕνεκα τῆς τοῦ παντὸς ἐπιμελείας σώματος. μετὰ δὲ τὴν εἰρημένην κατάντλησιν, τὰ διὰ τῶν εἰρημένων μυελῶν τε καὶ στεάτων φάρμακα προσέφερον, ἐνίοτε δὲ καὶ βδελλίου τοῦ σκυθικοῦ μιγνὺς, καὶ μαστίχης αἰγυπτίας, καὶ ἀμμωνιακοῦ θυμιάματος τοῦ λιπαροῦ τε καὶ μὴ παλαιοῦ. καὶ χαλβάνης ὡσαύτως. καὶ ἐπειδὴ διὰ τούτων προπαρεσκεύαστο, λύσας ἀμμωνιακὸν τὸ λιπαρώτατον ὄξει δριμυτάτῳ κατέχρισα τὸν μηρὸν ὅλον ἐν κύκλῳ. κἄπειτα διὰ ἡμερῶν αὖθις, ὀποπάνακος ἔμιξα τὸ λιπαρώτατον, ὄξει δριμυτάτῳ ἐκλύων, καὶ τοῦτο δηλονότι τὸν πρόσφατον. οὐ γὰρ ἂν ἄλλως ἔτι διαμένοι λιπαρός. ὥσπερ οὐδὲ τὸ βδέλλιον, οὐδὲ τὸ ἀμμωνιακὸν, οὐδὲ ἡ χαλβάνη. καὶ ἀσκωλιάζειν δὲ κατὰ θατέρου σκέλους ἐποίουν τὸ παιδάριον

ὅπως ἐπ' ἐκεῖνο φέροιτο τὸ πλέον τῆς τροφῆς. ὕστερον δ' ὡς ἤδη προσέσταλτο μὲν ὁ σκιῤῥώδης ὄγκος, ἐδεδίειν δὲ μή τι λείψανον αὐτῷ μένοι, τοὐναντίον † ἐργαζόμην, ἐπιχρίων τινὶ τῶν πιττωτῶν φαρμάκων τὸν μηρόν. ἐφαίνετο δὲ σαφῶς, ἐπὶ μὲν τοῖς δι' ὄξους ἐπιχρίσμασιν, ἀξιολόγως καθαιρούμενος ὁ σκιῤῥώδης ὄγκος. ἐπὶ δὲ τοῖς χαλαστικοῖς, μαλακυνόμενος μὲν, ἐλάττων δ' οὐ γινόμενος. ἀλλ' ἡ μετὰ μέτρου τοῦ προσήκοντος ἐναλλὰξ αὐτῶν χρῆσις, ἐθεράπευσε τὸ παιδάριον. ὡς εἴγε διὰ θατέρου γένους μόνου τῶν φαρμάκων ἐποιεῖτό τις τὴν θεραπείαν αὐτοῦ, οὐκ ἂν ἔλυσε τὸν σκίῤῥον. ἐπὶ δὲ τῶν τενόντων, ὀνομάζω δ' οὕτω δηλονότι τὰς ἀπονευρώσεις τῶν μυῶν, ἐπὶ τῇ λεγομένῃ χρήσει τῶν φαρμάκων, ἐναργεστάτην ὠφέλειαν ἔστιν ἰδεῖν, εἴτις καλῶς χρήσαιτο τῇ διὰ τοῦ πυρίτου λίθου θεραπείᾳ. χρὴ δὲ διάπυρον αὐτὸν ἐργασάμενον, ὄξει δριμυτάτῳ καταῤῥαίνειν. εἶτα διακινεῖν τὸ πεπονθὸς μόριον ὑπὲρ τὸν λίθον, ὡς ἂν ὑπὸ τῆς ἀναφερομένης ἀτμίδος ὁ σκίῤῥος λύοιτο. πολλὰ γὰρ ἤδη τελέως ἠγκυλωμένα τε καὶ κεκυλλωμένα διὰ τούτου τοῦ τρόπου τῆς θεραπείας, ἐν αὐτῷ τῷ διακινεῖν ἐθεραπεύθη τελέως, ὡς τὸ πρᾶγμα παραπλήσιον εἶναι μαγείᾳ. χρὴ δὲ προπαρασκευάσθαι μεμαλαγμένον τὸ σκιῤῥῶδες μόριον, ὑφ' ὧν εἴρηκα βοηθημάτων. ἀλλὰ καὶ μετὰ ταύτην τὴν διὰ τοῦ πυρίτου λίθου θεραπείαν προκαταντλεῖσθαι πολλάκις ἐλαίῳ δαψιλῶς θερμῷ σὺν οἴνῳ, ἢ ἄλλῳ τινὶ τῶν λεπτομερῶν, οὐ χεῖρον δὲ καὶ ἀνήθου τὴν κόμην ἐναφεψῆσαι, καὶ μᾶλλον εἰ χλωρὸν εἴη καὶ πρόσφατον. εἰ δὲ μὴ παρείη πυρίτης, τῷ μυλίτῃ χρηστέον. ὀνομάζουσι δ' οὕτως ἐκεῖνον τὸν λίθον, ἐξ οὗ τὰς μύλας κατασκευάζουσιν, ἐφ' ὧν ἀλήθουσι τὸν σῖτον. σπλῆνα μέντοι σκιῤῥούμενον, οὐ μόνον ἔξωθεν ἰσχυροῖς φαρμάκοις θεραπευτέον προσήκει, ἀλλὰ καὶ διὰ πομάτων ἰσχυροτάτων. ἀνέχεται γὰρ καὶ τούτων ἀλύπως. ἄριστα δ' ἐξ αὐτῶν καππάρεως ῥίζης φλοιὸς, καὶ σκολοπενδρίου, καὶ μυρίκης. αἵ τε ῥίζαι, καὶ οἱ ἀκρέμονες, ἕψειν δὲ τὰ τοιαῦτα πάντα προσήκει, ἐν ὄξει τε καὶ ὀξυμέλιτι. πολλάκις δ' ἁπτομένῳ φαίνεται μὲν ἀντίτυπος ὁ σπλὴν, οὐ μὴν σκιῤῥώδης ἐστὶν ὁ ὄγκος, ἀλλὰ πνευματώδης μᾶλλον. ἐφ' οὗ προαποβρέξαντα διὰ ἀψινθίου φάρμακον, ἔμπλαστον ἐπιτιθέναι χρὴ μικτῆς δυνάμεως, ὁποῖόν ἐστι τὸ διὰ θείου τε καὶ συκαμινίων? ἐστὶ δ' ἀμέλει τὰ πλεῖστα τῶν ἐν τοῖς φαρμακίτισι βιβλίοις γεγραμμένων φαρμάκων τοιαῦτα. πρόσεχε δὲ οὐχ ἁπλῶς τῇ δυνάμει τῶν μεμιγμένων φαρμάκων, ἀλλὰ καὶ τῷ ποσῷ τῆς μίξεως. ἐπὶ γὰρ τῶν πνευματώδη τὸν ὄγκον ἐχόντων σπληνῶν, καὶ μᾶλλον ἐπὶ τῶν οἰδημάτων, κἂν πολὺ τῆς συκαμινίων? ἐμβάλλῃς, οὐδὲν βλάψεις. ἐπὶ δὲ τῶν σκιῤῥωδῶν, προσήκει ἐπικρατεῖν τὴν διαφορητικὴν δύναμιν, ὀλίγον δ' αὐτῇ μεμίχθαι τῆς στύψεως. ἐν γοῦν τῶν ἁπλῶν τε καὶ αὐτοφυῶν φαρμάκων τοιοῦτον ὑπάρχον, ἅλος ἄνθος, ἰᾶται σκιῤῥουμένους σπλῆνας ἐπιτιθὲν ἔξωθεν αὐτοῖς ἐν κύσει. ἥπατος δὲ σκίῤῥον ἀρχόμενον μὲν ἰασάμεθα πολλάκις. ἐκταθέντα δ' εἰς πλείους ἡμέρας, οὔτ' αὐτὸς ἠδυνήθην ἰάσασθαι, οὔτ' ἄλλον τινὰ εἶδον ἰάσασθαι δυνηθέντα. πᾶσι μὲν οὖν τοῖς οὕτω παθοῦσιν, † ἐξ ἅπαντος ὕδερος ἕπεται. διαφθείρονται δ' οἱ πλεῖστοι ἐν χρόνῳ μακροτέρῳ. τινὰς δ' ἴσμεν καὶ διὰ ταχέων ἀπολομένους, οἷς ἡ γαστὴρ διεχώρει πολλά. πρόδηλον οὖν ὅτι τούτοις ἱκανῶς ἐστένωτο τὰ στόματα τῶν μεταλαμβανόντων τὴν τροφὴν ἀγγείων, ἐκ τῶν σιμῶν τοῦ ἥπατος, εἰς τὰ κυρτά. τοὺς δ' οὖν θεραπευθέντας ἐξ αὐτῶν, ἡ προειρημένη τῶν ἐν τοῖς μυώδεσι σκίῤῥων ἀγωγὴ, διέσωσεν. οὐ γὰρ φέρει τὸ σπλάγχνον τοῦτο τὰ σφοδρὰ φάρμακα, καθάπερ ὁ σπλήν. ἐπιτείνειν οὖν χρὴ τὰ διὰ φλεγμονὴν αὐτῷ προσαγόμενα, τῇ μίξει τῶν μαλακτικῶν. ἦν δ' ἐκεῖνα τὰ δι' ἀψινθίου κόμης καὶ μυροβαλάνου πιέσματος. καὶ νάρδων ἀμφοτέρων, ἰνδικῆς τε καὶ κελτικῆς. ἔτι δὲ κρόκου, καὶ οἰνάνθης, καὶ μαστίχης χίας, καὶ μύρων, τῶν διὰ ναρδοστάχυος σκευαζομένων. ἔτι δὲ μαστιχίνου †, καὶ μηλίνου, καὶ οἰνανθίνου. τούτοις οὖν ἀμμωνιακόν τε θυμίαμα, καὶ βδέλλιον, οἵ τ' εἰρημένοι μυελοὶ, καὶ τὰ στέατα μιγνύμενα, καὶ τὰ τέμνειν δυνάμενα, τὸν γιγνόμενον ἐν ἥπατι σκίῤῥον ἰάσαντο μετὰ τῆς προσηκούσης δηλονότι διαίτης, καὶ τῶν ἅμα αὐτῇ πινομένων φαρμάκων, σκοπὸν ἐχόντων ἐκφράξαι τε καὶ διαῤῥύψαι τὸν χυμὸν τὸν ἐν τῷ σπλάγχνῳ. ἔστι δὲ ταῦτα πάντα καὶ τῶν ἐν νεφροῖς λίθων θρυπτικά. καὶ γέγραπται πολλοῖς ἰατροῖς περὶ τῆς ὕλης αὐτῶν. ἐπιμιγνύναι δὲ χρὴ τοῖς τοιούτοις, καὶ τῶν ὀρεκτικῶν τι. παμπόλλη δ' ἐστὶ καὶ τούτων ἡ ὕλη. γεγραμμένη μὲν ὑπὸ πολλῶν, εἰρημένη δὲ, καὶ πρὸς ἡμῶν ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις. διὸ καὶ νῦν ἀρκείτω καὶ πρὸς σὲ τὰ εἰρημένα. μεταβῆναι γὰρ ἤδη καιρὸς ἐφ' ἕτερον ὄγκου γένος, ᾧ τῆς γενέσεως ἡ ὕλη πνεῦμα φυσῶδές ἐστι, ὀνομάζεται δ' οὐ μόνον φυσῶδες, ἀλλὰ καὶ φῦσα τὸ τοιοῦτον πνεῦμα παχὺ καὶ ἀτμῶδες ὑπάρχον, οὐκ αἰθερῶδες τὴν οὐσίαν, οὐδὲ λεπτόν. ἐννόησον δ' αὐτοῦ τὴν φύσιν, ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ἀναμνησθεὶς, ὁποῖος μὲν ἐν νοτίοις καταστάσεσιν, ὁποῖος δ' ἐν βορείοις γίνεται. τῷ μὲν γὰρ ἐν νοτίοις καταστάσεσιν, ἔοικε τὸ φυσῶδες. τῷ δ' ἐν βορείοις, τὸ κατὰ φύσιν ἐν ἡμῖν πνεῦμα. συμβάλλεται δ' εἰς τὸ μὴ διαπνεῖσθαι τὸ τοιοῦτον πνεῦμα καὶ ἡ τῶν σωμάτων πύκνωσις. ὥστε καὶ ἡ ἴασις τοῦ πάθους τούτου, τὸν σκοπὸν ἕνα καὶ κοινὸν ἀμφοῖν ἕξει τὴν τῶν πεπυκνωμένων σωμάτων ἀραίωσιν, καὶ τὴν τῶν πεπαχυσμένων πνευμάτων λέπτυνσιν. θερμαίνων γὰρ ἱκανῶς ἄμφω δι' οὐσίας λεπτομεροῦς. ἀραιώσεις μὲν, τὸ πεπυκνωμένον. λεπτυνεῖς δὲ, τὸ πεπαχυσμένον. ἡ δὲ, τῶν πασχόντων μορίων φύσις, συνενδείξεταί σοι τὴν τ' ἐπιτήδειον ὕλην τῶν βοηθημάτων, καὶ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτῇ. τὸ γάρ τοι πνεῦμα τοῦτο τὸ παχὺ καὶ ἀτμῶδες, ἔσθ' ὅτε μὲν ὑπὸ τοῖς † περιτοναίοις ὑμέσιν ἀθροιζόμενον ἴσχεται. ποτὲ δ' ὑπὸ τῷ περιτοναίῳ. ποτὲ δ' ἐντὸς τῶν ἐντέρων, ἢ τῆς γαστρός. ἴσχεται δ' ἔστι τε καὶ ὑπὸ τῶν τοὺς μῦς περιεχόντων ὑμένων ἔνδον, ὥσπερ γε καὶ ὑπὸ τῶν ὑμενωδῶν τενόντων. ἴσχεται δὲ καὶ κατὰ τὰς λόγῳ θεωρητὰς χώρας, ἔν τε τοῖς μυσὶ καὶ τοῖς ἄλλοις σώμασιν. ὧν χωρίων τὴν φύσιν, ἐν ταῖς ἀνατομικαῖς ἔμαθες ἐγχειρήσεσιν. οὕτω γοῦν καὶ αὐτὸς ὁ μῦς ἐμφυσᾶται. καὶ κατὰ τὸ τῆς γαστρὸς ἢ τὸ τῶν ἐντέρων σῶμα, κατακλείεται πνεῦμα φυσῶδες. ὅτε δὲ καὶ ψυχρὸν ἱκανῶς ἦ τοῦτο, μεγίστην ὀδύνην παρέχει. θεραπεία δὲ κοινὴ μὲν ἁπάντων, ὡς εἴρηται, διὰ λεπτομεροῦς οὐσίας. καὶ ὅταν γε μετ' ὀδύνης ἦ τὸ πάθημα τοιαύτης τὴν φύσιν, ὡς πραΰνειν τὰ ἀλγήματα δύνασθαι. κατὰ δὲ τὰς τῶν πασχόντων μορίων διαφορὰς, ἥθ' ὕλη τῆς θεραπείας ὑπαλλάττεται, καὶ ἡ δύναμις ἐπιτείνεται καὶ ἀμβλύνεται. διὰ τοιοῦτον οὖν πνεῦμα τῆς ὀδύνης γιγνομένης ἐν τῇ κάτω γαστρὶ, τὸ

Marginal notes:

† al. additur ἅπαν

† al. omittuntur

† al. additur καὶ χοινίνου

† al. περιτοναίοις

ρεῖ, τὸ λεπτομερὲς ἔλαιον ἐνιεὶς ἅμα τοῖς ἐναφεψημένοις αὐτῷ φαρμάκοις, αὐτίκα παύσεις αὐτήν. τὰ δ' ἐναφεψημένα τῷ ἐλαίῳ φάρμακα θερμαίνοντα μετὰ λεπτομερείας, ἔστω κύμινόν τε τὸ παρ' ἡμῖν καὶ μᾶλλον αὐτοῦ τὸ καλούμενον αἰθιοπικόν. καὶ σελίνου καὶ πετροσελίνου σπέρμα, καὶ μαράθρου. καὶ σίνωνος. καὶ ἀνίσου τε καὶ λιβυστικοῦ καὶ σεσέλεως, καὶ δαύκου καὶ σπονδυλίου, καὶ εἰ τεκμαίροιο ψυχρὰν εἶναι τὴν διάθεσιν τῶν ὀδυνωμένων μορίων, καὶ πήγανον, καὶ μάραθρον, καὶ δαφνίδας ἀναφεψήσεις, καὶ μίξεις ἄσφαλτόν τε καὶ αὐτὸ τὸ δάφνινον, ὅσα τ' ἄλλα τῶν οὕτω θερμαινόντων ἐστίν. εἰ δὲ καὶ φλεγμονὴν μεμῖχθαι ταῖς τοιαύταις ὀδύναις ὑπολάβοις, ἀφαιρήσεις μὲν τὰ δριμέα πάνυ καὶ θερμαίνοντα σφοδρῶς. ἀντὶ δὲ τὰ μετρίως τοιαῦτα μεταβήσῃ, χαλαστικὴν ἔχοντα δύναμιν. ἐναφεψήσεις οὖν τῷ ἐλαίῳ τὸ ἄνηθον, οὐ τὸ πήγανον. καὶ μίξεις στέαρ χήνειον, ἢ ἀλεκτορίδος. ἀλλὰ ταῦτα μὲν ἐπὶ μεγάλοις ἀλγήμασι. τὰ δὲ μέτρια, καὶ ἡ ἔξωθεν ὤνησε πυρία. μάλιστα μὲν διὰ κέγχρων. ἡ γὰρ κουφότης αὐτῶν, ἀλυποτάτη τοῖς ὀδυνωμένοις ἐστί. τούτων δὲ μὴ παρουσῶν, ἢ δι' ἁλῶν θερμανθέντων ἢ δι' ὠμολίνου, ἢ ὁπωσοῦν ἄλλως. καὶ σικύα δὲ μεγάλη μετὰ φλογὸς δαψιλοῦς ἄνευ τοῦ χάσαι τὸ δέρμα, πολλάκις ἀνωδύνους διὰ ταχέων εἰργάσατο. χρὴ δὲ περιλαμβάνειν αὐτὴν τὸν ὀμφαλόν. εἰ δ' ἐπὶ τούτοις ἐπιμένοιεν αἱ ὀδύναι, τολμήσεις χρῆσθαι τοῖς δι' ὀπίου φαρμάκοις. ὁποῖον ἐστὶ καὶ τὸ τοῦ Ταρσέως Φίλωνος ἅπασι τοῖς ἰατροῖς γινωσκόμενον. εἰδὼς μὲν ἐξ ἀνάγκης τινὰ βλάβην τοῖς πεπονθόσι μορίοις ἐκ τῶν τοιούτων φαρμάκων ἐσομένην, ἀλλὰ πρὸς τὸ κατεπεῖγον ἐνιστάμενος, αἱρήσει μετὰ μικρᾶς βλάβης σῶσαι τὸν ἄνθρωπον, ὑπὸ τοῦ τῆς ὀδύνης μεγέθους συγκοπτόμενον. ἐξέσται γάρ σοι ταῖς ἑξῆς ἡμέραις ἐπανορθώσασθαι τὴν γεγενημένην βλάβην ὑπὸ τοῦ φαρμάκου. καλεῖται μὲν οὖν ἀνώδυνα φάρμακα τὰ τοιαῦτα, τῷ παύειν τὰς ὀδύνας. ἐργάζεται δὲ τὴν ἀνάπαυλαν αὐτῶν, οὐ τὰς διαθέσεις θεραπεύοντα τελέως, ἀλλὰ τὴν αἰσθητικὴν δύναμιν ναρκοῦντα. χρῆσθαι δὲ προσήκει τῷ φιλωνείῳ φαρμάκῳ, καὶ πᾶσι τοῖς δι' ὀπίου σκευαζομένοις οὐκ εὐθέως, ἀλλὰ μετὰ χρόνον τῆς συνθέσεως ἐνιαύσιον. ἢ πάντας γε μῆνας ἕξ. μάλιστα μὲν οὖν καὶ τάχιστα διὰ τῶν πινομένων φαρμάκων οἱ κάμνοντες ἀνώδυνοι γίγνονται, πεπονθότων αὐτοῖς τῶν λεπτῶν ἐντέρων. ὥσπερ γε καὶ διὰ τῶν ἐντιθεμένων τῇ ἕδρᾳ ταχέως ὠφελοῦνται τὰ τῶν παχέων ἐντέρων παθήματα. γίνεται δὲ οὐ σμικρὰ τῆς δυνάμεως διάδοσις κἀκ τῶν πινομένων τοῖς κάτω πεπονθόσι, κἀκ τῶν ἐντιθεμένων τῇ ἕδρᾳ τοῖς τὰ ἄνω πάσχουσιν. ἥγε μὴν ἐν τοῖς σαρκώδεσι μέρεσι τοῦ φυσώδους πνεύματος ἄθροισίς ἐστιν, ὅτε παντάπασιν ἀνώδυνος γίνεται, καὶ χρόνῳ παραμένει πλείονι, καὶ μάλιστα ὅταν ἐγγὺς ᾖ διαρθρώσεως. ἐνταῦθα γάρ τοι καὶ οἱ μύες αὐτοὶ νευρωδέστεροί τε, καὶ πυκνότεροι καὶ σαρκωδέστεροί τε καὶ ἀραιότεροι κατὰ τὰ μέσα σφῶν αὐτῶν. ἐθεράπευσα δέ, ὡς οἶσθα, τὰς τοιαύτας διαθέσεις, τοῖς διὰ πίττης, καὶ ῥητίνης, καὶ τερεβινθίνης, καὶ στέατος λεοντείου καὶ ταυρείου φαρμάκοις. ἁρμόζει δ' ἐπ' αὐτῶν καὶ τὸ διὰ γλοιοῦ καὶ ἰτέας, καὶ τὸ διὰ τοῦ συκομόρου. καὶ συνελόντι φάναι, τὰ λεπτομερῆ γενναίως, ἐπιμιγνυμένων αὐτοῖς τῶν μαλακτικῶν. ἐπειδὴ δὲ καὶ περὶ τούτων ἱκανῶς εἴρηται, μεταβαίνειν καιρὸς ἐπὶ τὸν περὶ τῶν ἀποστημάτων λόγον. ὀνομάζουσι δ' οὕτω τὰς διαθέσεις ἐκείνας, ἐν αἷς ἀλλήλων ἀφίσταται τὰ πρότερον ἀλλήλων ψαύοντα σώματα. χώραν οὖν ἀναγκαῖον ἐν τῷ μεταξὺ γενέσθαι κενήν ἥτις ἤτοι πνευματώδη τινὰ οὐσίαν, ὑγράν, ἢ ἐξ ἀμφοῖν σύνθετον περιέξει. μεθίστανται δ' εἰς ταῦτα, καὶ τῶν φλεγμονῶν ἔνιαι. καὶ τῶν ἐρυσιπελατωδῶν δὲ καὶ τῶν φλεγμονωδῶν οὐκ ὀλίγαι. συνίσταται δὲ καὶ χωρὶς τούτων, ἡ τῶν ἀποστημάτων διάθεσις ἐκ περιουσίας μέν τινων ὑγρῶν, ἢ πνευμάτων ἀτμωδῶν. ἤτοι δ' ἐν αὐτοῖς τοῖς πάσχουσι σώμασιν † ἐν μέσῳ γινομένων ἢ ἐξ ἑτέρων, ἐπιρρεόντων λόγῳ τῶν καλουμένων ἀποσκημμάτων. ὀνομάζουσι δ' οὕτω τὰς διαθέσεις ἐκείνας, ὅταν χυμοί τινες ἐνοχλοῦντες πρότερον ἑτέρῳ μορίῳ, καταλιπόντες ἐκεῖνο, εἰς ἕτερον μεταστῶσιν. ὅτῳ δ' ἂν τρόπῳ γένηται διάθεσις ἀποστήματος, ἡ μεταξὺ χώρα τῶν ἀφισταμένων σωμάτων πληροῦται τῶν ἐργαζομένων αὐτὴν ὑγρῶν. ἅπερ ἐνίοτε χρονίζοντα, πολυειδῶς ἀλλοιώσεις ἴσχει. καὶ γὰρ λίθοις καὶ ψάμμοις, καὶ ὀστράκοις τε καὶ ξύλοις, ἄνθραξί τε καὶ πηλῷ καὶ γλοιῷ, καὶ ἀμόργῃ, καὶ τρυγί, καὶ πολλοῖς ἄλλοις τοιούτοις εὕρηται πολλάκις ἐν ἀποστήμασιν ὅμοια περιεχόμενα σώματα. τῶν μὲν οὖν ἐπιπολῆς ὑπὸ τῷ δέρματι συνισταμένων, ἥτε διάγνωσις ῥᾴστη, καὶ ἡ ἴασις οὐ χαλεπή. διαγιγνώσκεται μὲν γὰρ ἑτοίμως, τῇ τῆς ἁφῆς ἰδιότητι. θεραπεύεται δέ, διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων, διὸ οὐ δεόμεθα τῶν πινομένων, ὥσπερ ὅσα διὰ βάθους, καὶ μάλιστα κατὰ σπλάγχνα συνίσταται. κατὰ μὲν οὖν τὰς διαγνώσεις, εἴκει τοῖς ἐπερειδομένοις δακτύλοις τὰ ἐκπυΐσκοντα τὴν ἀντιτυπίαν οὐκ ἔχοντα τῶν φλεγμαινόντων μορίων. τὴν διάγνωσιν οὖν παρέχει σαφῆ. ἰδιότης δὲ τῆς ἕξεως ἑτέρα μέν ἐστιν ἐπὶ λεπτοῖς ὑγροῖς. ἑτέρα δ' ἐπὶ παχέσι. καθάπερ γε καὶ ἐπὶ γλίσχρῳ καὶ μυξώδει χυμῷ. πολλάκις δ' ἡμῖν ὑποπίπτει μετὰ τάσεως πνευματώδους ἀφεστώς τι μόριον, οὗ διαιρεθέντος, εὑρέθη θρόμβος αἵματος. ὥστε καὶ ὅστις ἐθεάσατο δὶς ἢ τρίς που τοιαύτην διάθεσιν, ἐὰν φιλόπονος ᾖ καὶ μνήμων, ἱκανὸς ἔσται διαγινώσκειν ἐν τοῖς τοιούτοις ὄγκοις περιεχόμενον θρόμβον, ἐκ τοῦ παραθέσθαι τῇ μνήμῃ τὴν ἰδιότητα τῆς τάσεως καὶ † τῆς ἕξεως. ἴσως δ' ἄμεινον ἐστίν, οὐκ ἰδιότητα λέγειν, ἀλλὰ ποσότητα τάσεώς τε καὶ ἕξεως. ἡ θεραπεία δὲ τῶν ἐπιπολῆς φλεγμονῶν ἀφισταμένων, ἀρχομένης μὲν ἔτι τῆς ἀποστάσεως, διὰ τῆς ἀνωδύνου τε καὶ χαλαστικῆς ἀγωγῆς, ἤδη δὲ πεπονθυίας ἐπὶ τὴν πέψιν τε καὶ διαπυητικὴν ἰδίως ὀνομαζομένην, μεταβαινόντων γίνεται. λέλεκται δὲ περὶ αὐτῆς, ὥσπερ οὖν καὶ περὶ τῶν ἄλλων τοιούτων, ἐν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως συντάγματι. ὕδατί τε οὖν ἐπὶ πλεῖον καταντλεῖν προσήκει, καταχέοντας ἔλαιον θερμὸν τοῦ φλεγμαίνοντος μορίου, καὶ καταπλάττειν τῷ τῶν πυρῶν ἀλεύρῳ, δι' ὕδατος καὶ ἐλαίου συμμέτρως ἕψοντας. θᾶττον γὰρ ἄγει πρὸς διαπύησιν τοῦτο, τοῦ δι' ἄρτου καταπλάσματος. ἐκεῖνο μὲν γὰρ διαφορητικώτατόν ἐστιν, ὡς ἂν ἁλῶν τε καὶ ζύμης ἔχον ὠπτημένον τε καλῶς. οὐδὲν δ' ὑπάρχει τούτων τῷ δι' ἀλεύρου πυρίνου. καὶ ὅταν γε τὴν ἀρχομένην ἐκπυΐσκεσθαι φλεγμονὴν θεραπεύων ἐλπίσῃς κωλῦσαι τὴν ἐκπύησιν, ἐπὶ πλεῖον ἕψε τὸν ἄρτον ἐλαίῳ δηλονότι καὶ ὕδατι φυράσας. πολλαπλάσιον δ' ἔστω τὸ ὕδωρ τοῦ ἐλαίου. μᾶλλον δ' ἔτι τούτου κωλύει τὴν ἐκπύησιν, τὸ τῶν

† al. omittitur

† al. ἄξεως

κριθῶν ἄλευρον ὁμοίως σκευαζόμενον. τὸ δ' ἐν τῇ θεραπείᾳ ταύτῃ καταντλούμενον ὕδωρ, ἑψημένην ἐχέτω μετ' αὐτοῦ ῥίζαν ἀλθαίας. εἰ δὲ τάσις εἴη τοῦ περὶ τὸ φλεγμαῖνον μόριον δέρματος ἰσχυρά, χάζειν αὐτοῦ δεῖ πολλάκις ἐπιπολαίας ἀμυχάς. καὶ μετὰ ταῦτα τὸ κρίθινον ἄλευρον ἕψοντας, ὡς εἴρηται, καταπλάττειν. ἐπειρά-

† al. πολλῶν

θην δὲ πολλάκις ἐπιπολῆς τε καὶ πάνυ † λεπτῶν ἀμυχῶν. ἔμπαλιν δὲ ταύταις διὰ βάθους ἑτέρων μεγάλων. καὶ τρίτων ἄλλων μεταξὺ τῶν εἰρημένων, ἔν μήκει τε καὶ βάθει. αἱ μὲν οὖν ἐπιπολῆς, ἀσθενῆ τὴν βοήθειαν εἶχον. αἱ δὲ βαθεῖαι τε καὶ μακραί, πλεῖστον μὲν ἐκένουν τοῦ αἵματος, ὡς ἐγγὺς ἀφικνεῖσθαι λειποθυμίας. αὗται δὲ πάλιν ἰδίας ἐδέοντο θεραπείας, ὥσπερ τραύματα. τὰς δὲ μέσας δ' αὐτῶν ἀμφοτέρων, ἔξω τῶν εἰρημένων ἀτόπων καθεστηκυίας εὗρον ἀεί. καὶ διὰ τοῦτο χρῆσθαι μᾶλλον. εἱλόμην αὐταῖς πρὸ τῶν ἄλλων. ἐφ' ὧν μέντοι δυσεκπύητός τε καὶ δυσδιαφόρητος ὁ ὄγκος ἐστί, τοὺς ἐσφηνωμένους χυμοὺς ἡγητέον εἶναι παχυτέρους τε καὶ γλισχροτέρους. ἐν δὲ ταῖς τοιαύταις διαθέσεσι μόναις, ἐπιτηδειοτέρα ἐστὶν ἡ διὰ τῶν βαθέων ἀμυχῶν ἴασις, ἐπιτήδειον δὲ καὶ τὸ διὰ τῶν ἑψημένων ἰσχάδων κατάπλασμα. χρὴ δ' οὐκ αὐτὰς ἰσχάδας λαμβάνειν, ἀλλὰ τὸ ὕδωρ ἐν ᾧ διετάκησαν ἑψημέναι. προσήκει δὲ δηλονότι γλυκείας τε καὶ λιπαρὰς τὰς ἰσχάδας εἶναι, ὡς ἐν αὐταῖς ἔχειν ὑγρότητα παραπλησίαν μέλιτι. καὶ εἰ τοιαύτας λαβὼν ἑψήσειας, ἄχρι πλείστου τὸ ἀφέψημα μέλιτι λεπτῷ κατὰ τὴν σύστασιν ἔσται παραπλήσιον. τούτῳ τοιγαροῦν τῷ ὕδατι, ποτὲ μὲν κρίθινον ἄλευρον ἀναδεύειν προσήκει, ποτὲ δ' ἄρτον συγκομιστόν, ὀνομάζουσι δ' οὕτω τὸν μέσον τοῦ τε ἀκριβῶς καθαροῦ, καὶ τοῦ πιτυρίτου καλουμένου. προσαγορεύουσι δ' ἔνιοι τὸν τοιοῦτον ἄρτον, αὐτόπυρον. ἐπειδὴ τοῦ μὲν καθαροῦ τὸ ἄλευρον, οὐχ οἷόν περ ἐστὶ τῇ φύσει τοιοῦτον, εἰς τὴν ἀρτοποιΐαν λαμβάνουσιν, ἀλλὰ προδιαττῶντες, ἀποκρίνουσι τὸ πίτυρον. ἔμπαλιν δὲ τοῦ πιτυρίτου, προαφαιροῦσι τὸ καθαρώτατον. ὁ δ' αὐτόπυρος ἄρτος, οἷον περιεῖχε τὸ ἄλευρον ὁ πυρὸς αὐτοφυῶς, τοιοῦτον φυλάττει. χρὴ δὲ καὶ τὸν πυρὸν αὐτόν, ἐξ οὗπερ τὸ ἄλευρον λαμβάνεται τῶν εὐγενῶν ὀνομαζομένων εἶναι. τινὲς μὲν γὰρ πυροὶ πλεῖστον ἐν ἑαυτοῖς ἔχουσι τὸ πίτυρον, οὓς δὴ καὶ ἀγεννεῖς ὀνομάζουσιν. ἔνιοι δὲ τὴν σεμίδαλιν, οὓς, ὡς ἔφην, εὐγενεῖς προσαγορεύουσιν. οὔκουν χρὴ πιτυρίαν εἶναι τὸν πυρόν, ἐξ οὗπερ χρήσιμον εἰς τὸ κατάπλασμα λαμβάνωμεν ἄλευρον. ἀλλ' ὡς εἴρηται τῶν πολλὴν ἐχόντων σεμίδαλιν. εἰ δ' ἐξ ἀγεννοῦς σίτου λαμβάνοις τὸ ἄλευρον, ἀποκρίνειν αὐτοῦ χρὴ μέρος τι τοῦ πιτύρου, καὶ οὕτω τὸν μέσον ἄρτον ἐργάζεσθαι. τοῦ τοιούτου τοίνυν ἄρτου τὸ μέσον καὶ ἁπαλόν, εἰς τὰ καταπλάσματα μιγνύναι, ὅταν ὡς ἔφην ἐν τῷ μέσῳ κατὰ δύναμιν ἀλεύρου κριθίνου τε καὶ πυρίνου βουληθῇς ποιῆσαι τὸ κατάπλασμα. τὸ μὲν γὰρ πύρινον ἄλευρον, ἐκπυητικώτατόν ἐστι καὶ πεπτικώτατον. τὸ δὲ κρίθινον, διαφορητικώτατον. ὁ δ' εἰρημένος ἄρτος,

† al. omittitur

ἐν τῷ μεταξὺ τούτων. ὥσπερ γε καὶ τὸ ἄλευρον αὐτοῦ, τῶν εἰρημένων ἀλεύρων † πυρίνων μεταξύ. πρὸς ταῦτ' οὖν ἀποβλέπων, καὶ τῷ τῶν ἰσχάδων ἀφεψήματι μίγνυε ὅ, τι περ ἂν ἁρμόττειν σοι δοκῇ τῶν ἀλεύρων ἢ τῶν ἄρτων. εἰ δὲ διαφοροῖτο μὲν ὁ ὄγκος, ἐλλιπέστερον δ' ἢ προσῆκε, συνέψειν χρὴ ταῖς ἰσχάσιν ὕσσωπον, ἢ ὀρίγανον. εἰ δ' ἰσχυρότερόν ποτε ξηράναι βουληθείης τὸν ὄγκον, ἅλας ἐπιβάλλειν τῷ ἀφεψήματι. κἄπειθ' οὕτως ἀναδεύ-

† al. αὐτῷ additur

σαντας, † τὸ τῶν κριθῶν ἄλευρον. ἀφαιρήσαντας δὲ ἐκ τούτων τὸ πιτυρῶδες πᾶν, οὕτω καταπλάττειν ἐπὶ πλέον ἕψοντας. ἐπί γε μὴν τῶν δυσφορήτων ὄγκων, εὐλαβητέον ἐστὶ τὸ λείψανον αὐτῶν γενέσθαι σκιρρῶδες. ὥστε καὶ προσέχειν χρὴ τὸν νοῦν ἀκριβῶς ἐφ' ἑκάστης λύσεως, ἐφ' ὅτι μεθίσταται τῶν θεραπευομένων ὄγκων ἕκαστος. ἡ γὰρ διὰ τῶν ξηραινόντων ἰσχυρῶς ἀγωγή, σκιρρῶδες αὐτῶν τὸ κατάλοιπον ἐξεργάζεται. γνώσῃ δὲ τοῦτο καθ' ἑκάστην λύσιν, ἁπτόμενος τοῦ πεπονθότος μορίου, καὶ παραβάλλων τῷ πρόσθεν ὄντι, τὸ νῦν φαινόμενον. ἐὰν οὖν ποτε τοιαύτην ὑποψίαν ἔχοις ἐναφεψεῖν τῷ ὕδατι σικύου ἀγρίου ῥίζαν, ἢ βρυωνίας, ἢ ἀσάρου. πολλάκις μὲν καὶ αὐτῶν μόνων. ἐνίοτε δὲ καὶ τῶν λιπαρῶν ἰσχάδων ἐπεμβάλλων. εἶτα τῷ ὕδατι μιγνύειν τὸ ἄλευρον, ἀναμιγνύντα τι καὶ στέατος αὐτῷ χηνὸς μάλιστα, ἢ ἀλεκτορίδος. εἰ δ' οὐκ ἔχεις ταῦτα, τοῦ γε τῶν συῶν. καὶ αὗται δ' αἱ ῥίζαι τῶν προειρημένων βοτανῶν, καὶ πρὸς αὐταῖς, ἡ τῆς ἀλθαίας, μετὰ τὴν σύμμετρον ἀφέψησιν λειούμεναι σὺν ἄρτῳ τε καὶ στέατι, τοὺς τοιούτους ὄγκους διαφοροῦσιν. ἰσχυροτέρα δὲ τούτων ἐστὶν ἡ τοῦ δρακοντίου. καὶ εἴ ποτε βουληθείης χρῆσθαι αὐτῇ λεπτομερεστέρᾳ τε πολὺ τῶν εἰρημένων οὔσῃ καὶ διαφορητικωτέρᾳ, μίγνυε πάντως τὸ στέαρ. εἰ μὴ γὰρ ὑγραίνοις τε καὶ μαλάττοις τοὺς σκιρρουμένους ὄγκους, ἀλλὰ διαφοροίης μόνον, ἰσχυροτέροις φαρμάκοις, ἐν μὲν ταῖς πρώταις ἡμέραις ἀξιολόγως αὐτοὺς καθαιρήσεις, ἅμα δὲ σκληρυνεῖς τὸ καταλειπόμενον. αὐτὸ δὲ τοῦτο σκληρυνθέν, ἔσται δύσλυτον. ἄμεινον οὖν, ὡς ἔφην, τοῖς διαφοροῦσιν ἰσχυρῶς φαρμάκοις, ἀναμιγνύναι τὰ μαλάττοντα τὴν εἰς σκίρρον μετάπτωσιν αὐτῶν εὐλαβούμενον. καὶ αὐτῶν δὲ τῶν σκιρρουμένων, ἤδη τῆς θεραπείας τὸν τρόπον ἔμπροσθεν ἤκουσας. αὖθις οὖν ἐπὶ τοὺς ἐκπυϊσκομένους ὄγκους ἴωμεν. οὓς ὅταν ἀργῶς διαφορῆσαι, τοῖς διὰ τοῦ πυρίνου ἀλεύρου καταπλάσμασι χρῶ. συλλαμβάνουσι γὰρ ἱκανῶς, τῷ τάχει τῆς ἐκπυήσεως. ἔπειτα τεμὼν, ἐὰν μὲν ἀκριβῶς ᾖ τὰ πέριξ τῆς τομῆς ἀφλέγμαντα, τοῖς ἐμπλάστοις φαρμάκοις θεράπευε. ξηραντικὴ δ' αὐτῶν ἡ δύναμις καὶ ἄδηκτος ἔστω, μὴ διὰ τῶν στυφόντων συγκειμένη φαρμάκων, ἀλλ' ἤτοι τῶν ἀλύπως διαφορούντων μόνον, ἢ καί τι βραχὺ στύψεως ἐχόντων. ἐχρησάμην δ' ἐγὼ πολλάκις ἐπὶ τῶν τοιούτων, τῷ διὰ τῆς ζύμης καὶ τῶν κεκαυμένων ὀστρέων. εἰ δέ τι τῶν πέριξ τῆς τομῆς φλεγμαίνοι, τῷ διὰ τῆς χαλκίτεως, ἐλαίῳ τήξας, ὅταν ἀτρέμα ψυχθῇ, κατακρατῶν εἰς θυείαν, μαλάττων τε ταῖς χερσί, καὶ οἶνον παραχέων, ὡς οἶσθα, πολυχρηστότατον δ' ἐστὶ τοῦτό μοι τὸ φάρμακον, ὡς ἐν τοῖς περὶ συνθέσεως φαρμάκων ὑπομνήμασι λέλεκται. γενήσεται δ' ἂν θεὸς ἐθέλῃ, καὶ περὶ τῶν κατὰ τὰ μόρια παθῶν πραγματεία. καθ' ἣν τάς τε δυνάμεις ἁπάντων τῶν συνήθων μοι φαρμάκων ἀκριβῶς ἐξηγήσασθαι πειράσομαι, καὶ τὴν ἐπιτήδειον ὑφηγήσασθαι χρῆσιν. ἀλλὰ σύ γε τούτων ἤδη τῶν φαρμάκων ὧν ἐμνημόνευσα κατὰ τὸ βιβλίον τοῦτο, τὰς συμμετρίας τε καὶ σκευασίας ἔχεις παρ' ἡμῶν λαβών. ὅταν γε μὴν ἐπὶ πλέον ἐκτακῇ τὸ δέρμα κατὰ τὰς ἐκπυήσεις, ὡς ῥακῶδες γενέσθαι, δυσκόλλητον ἀποτελεῖται τοῖς ὑποκειμένοις σώμασιν, ὥστ' ἀναγκαῖον εἶναι τῇ καλουμένῃ καταπλάσματος ἀγωγῇ, θεραπεύεσθαι τὸ ἕλκος. Ὅταν δ' ἐπὶ πλέον ἀκόλ-

λητον

λητον ἢ τὸ δέρμα τοῖς ὑποκειμένοις σώμασι, κόλπον ὀνομάζουσι τὸ τοιοῦτον πάθος. ἐφεξῆς δ᾽ ἀναμνήσω σε καὶ τῆς τούτου θεραπείας, ἣν ἐθεάσω με πολλάκις ἐπὶ πολλῶν ποιησάμενον. οὔσης οὖν τοιαύτης διαθέσεως, βέλτιον μὲν αὐλίσκον εὐθύτρητον, ἢ ἐκ χαλκοῦ πεποιημένον, ἢ ἐκ κέρατος ἡτοιμάσθαι σοι. μὴ παρόντος δ᾽ ἐκείνου, τῶν καλουμένων πυουλκῶν, ὅστις ἂν εὐρύτατον ἔχοι τρῆμα. καὶ τό γε διὰ χάρτου κεκαυμένου συντιθέμενον ἀμέτρον φάρμακον, οἶδας με πολλάκις ὀλίγον πολλῷ ῥοδίνῳ μιγνύντα, καὶ διὰ τοῦ τοιούτου πυουλκοῦ τοῖς κόλποις ἐνιέντα. κἄπειτα μοτῷ πιλητῷ μύοντα τὸ στόμιον. ὅσα δ᾽ ἔμπλαστα φάρμακα τήκοντες ῥοδίνῳ τοῖς τοιούτοις ἐνίεμεν, οὐ διεξέρχεται τὸν πυουλκόν, ἀλλ᾽ ἐπὶ τούτων κύστιν προσήκει λαβόντα χοιρείαν, προσθεῖναι τὸν εὐθύτρητον αὐλίσκον. ἔστι δὲ χρὴ τὰ τηκόμενα φάρμακα, δριμύτερα τῶν ἐμμότων ὀνομαζομένων. ὁποῖα ταῦτ᾽ ἐστὶ τὰ συνήθη πᾶσι χλωρὰ τῇ χροιᾷ. προσήκει μὲν γὰρ αὐτὰ τοῦ ῥοδίνου ἐπὶ τὴν τῆξιν, οὐκ ὀλίγον ἔχειν, ὥστ᾽ ἐνίεσθαι τῷ κόλπῳ δύνασθαι. καταλύεται δὲ τῶν ἐμμότων ἡ δύναμις, ἐν ταῖς τοιαύταις μίξεσιν. ὅσα τοίνυν ἔμπλαστα φάρμακα τελέως ὄντα, καθάπερ τό, τε τοῦ Μαχαιρίωνος, τὸ καὶ τοῦ Ἐπιγόνου, καὶ τὸ προσαγορευόμενον Ἶσις, εἰς τὴν τῶν ἐμμότων χρῆσιν ἀγόμενα, κηρωτῆς μιγνυμένης δεῖται, ταῦτα γὰρ ἐπιτήδεια τοῖς κόλποις ἐστί. δι᾽ ὃ γὰρ αὐτοῖς ἡ κηρωτὴ μίγνυται, διὰ τοῦτο καὶ νῦν ἐστιν ἐπιτήδεια. μίγνυται δέ, διότι δακνώδη ταῖς δυνάμεσιν ἐστίν, εἰ τακείη μόνα αὐτὰ καθ᾽ αὐτά, μὴ μιχθείσης αὐτοῖς τῆς κηρωτῆς. ἀλλ᾽ ὅταν γε τὸ μὲν ἔλαιον ἢ ῥόδινον πολύ, τὸ δ᾽ ἐν αὐτῷ τηκόμενον φάρμακον ὀλίγον, οὐκ ἔτι μένει δριμέα. συμμέτρως δ᾽ ὑποσαρκωθέντος τοῦ κόλπου, τῶν κολλητικῶν τι φαρμάκων ἐπιθήσεις. ὡς εἰ καὶ πρόσφατον ἔναιμον ἐθεράπευες τραῦμα. πολλὰ δὲ τοιαῦτα ἐστί. τὰ μέν, δι᾽ ἀσφάλτου σκευαζόμενα. καὶ καλοῦσιν οὐκ οἶδ᾽ ὅπως αὐτὰ βαρβάρους ἐμπλάστρους. ἕτερα δὲ φάρμακα κιρρά, ἢ φαιά, τὰ διὰ λιθαργύρου τε καὶ ἰοῦ μέχρι πλείονος ἑψηθέντα. γίνεται γὰρ οὕτως ὁ ἰός, κιρρός. ὁ δ᾽ ἔτ᾽ ὀλίγον ἑψηθείς, τὰς μηλινὰς ὀνομαζομένας ἐμπλάστρους ἐργάζεται. γιγνώσκεις δ᾽ ὅτι πάντα τὰ μεταλλικὰ φάρμακα, λεπτομερέστερά τε, καὶ ξηραντικώτερα γίνεται μέχρι πλείονος ἑψόμενα. τοῖς γε μὴν ἐν τῷ παραυτίκα κιρροῖς φαρμάκοις ἀρτιτεθεῖσιν, ἐπίπαγός τις ἔξωθεν ἐπιπήγνυται φαιός, ὑφ᾽ οὗ τὸ βάθος τοῦ φαρμάκου κιρρότερον ἢ ἐξ ἀρχῆς φαίνεται. καὶ διὰ τοῦτο τινὲς μέν, διχρώμους ὀνομάζουσι τὰς τοιαύτας ἐμπλάστρους. τινὲς δὲ διπροσώπους. ὅσῳ δ᾽ ἂν ὦσι λεπτομερέστεραί τε καὶ ξηραντικώτεραι, τοσούτῳ μᾶλλον ἐνεργήσουσιν ἐπὶ τὸν κόλπον. εἰς βάθος γὰρ αὐτῶν χρὴ διϊκνεῖσθαι τὴν δύναμιν, εἰ τοῦ προκειμένου σκοποῦ τυγχάνειν μέλλοιεν. αἱ δὲ τὰ πρόσφατα καὶ ἔναιμα τραύματα κολλῶσαι, κἂν ἧττον τούτων ξηραίνωσι, κολλῶσι τὰ χείλη τῶν τραυμάτων. ἐὰν μὲν γὰρ ᾖ βραχέα τε καὶ ἀβαθῆ, δι᾽ αὐτὸ τοῦτο ῥᾷόν τε καὶ θᾶττον ἀνύουσι τὸ δέον. ἐὰν δὲ εἰς βάθος διήκῃ τὸ τραῦμα τὸ πρόσφατον, καὶ ῥαφαῖς καὶ ἀγκτῆρσιν εἰώθαμεν αὐτὰ συνάγειν. οἱ μὲν οὖν κόλποι πάντες, οὐχ ἁπλαῖ διαιρέσεις εἰσίν, ἀλλ᾽ ἀναδέδαρται συχνὸν ἐν αὐτοῖς ἄλλο τε κατ᾽ ἄλλο μέρος, ὅπερ οὐδ᾽ αὐτὸ χρὴ λανθάνειν σε. πρὸς μὲν γὰρ τὴν ἄνω χώραν ἀνατεταμένου τοῦ κόλπου, ῥᾳδίως ἐκρεῖ διὰ τοῦ στόματος ὁ ἰχώρ. κατάντους δ᾽ ὄντος αὐτοῦ, μένων ἔνδον, ἀναβιβρώσκει τι τῶν συνεχῶν. ἐπὶ μὲν δὴ τῶν τοιούτων κόλπων, εἰ μὴ πρότερον εἰς ὑπόρρυσιν τινὰ ποιήσῃς τομήν, οὐδὲν ἀνύσεις. οὔτ᾽ ἐν τῷ σαρκοῦν αὐτούς, οὔθ᾽ ἐν τῷ κολλᾶν. ἐπὶ δὲ τῶν ἄλλων, οὐ δεήσει διαιρέσεως. ἐάν γε μόνον φυλάττῃς τὸ προσῆκον σχῆμα τῷ πεπονθότι μορίῳ, δι᾽ ὃ σχῆμα δυνήσῃ ποτὲ καὶ τὸν ἀνάῤῥοπον κόλπον ἐργάσασθαι κατάῤῥοπον, καὶ τὸν κατάῤῥοπον, ἀνάῤῥοπον. εἶδες γοῦν ἐμέ ποτε τὸν ἐν τῷ πήχει κόλπον, οὗ τὸ στόμιον ἦν ἐγγὺς τοῦ ἀγκῶνος, ἀναῤῥόπῳ σχήματι θεραπεύσαντα χωρὶς ἀντιδιαιρέσεως. καὶ ἐπὶ μηρὸν δὲ ὁμοίως τοῦ καταῤῥόπου κόλπου πρὸς μὲν τῷ γόνατι τὸ πέρας ἔχοντος, ὑψηλὸν δὲ τὸ στόμα τῆς μέσης ἐπὶ τὸν μηρὸν χώρας ἀνωτέρω, χωρὶς ἀντιδιαιρέσεως ἐθεάσω τὴν θεραπείαν γενομένην, ὑποτιθέντος μου ἐπὶ τὴν ἰγνύαν ὑπαυχένιον μαλακόν, ὡς ταπεινοτέραν ἔχειν τὴν θέσιν τὸν βουβῶνα τοῦ γόνατος. ἤρκεσε δὲ καὶ ἐπὶ τούτου τοῦ κόλπου καὶ ἑτέρων μειζόνων μελίκρατον μόνον ἐνεθὲν ἐπιτήδειον εἰς κόλλησιν παρασχεῖν ἅπαν τὸ βάθος αὐτοῦ. τινὲς μὲν δὴ κονίαν στακτὴν προσενιᾶσιν ἐξελέγχοντες ἑαυτούς, ἐφ᾽ οἷς ἐνίεσαν ἔμπροσθεν φαρμάκοις, ὑποσαρκοῦντες τὸν κόλπον. οὐ γὰρ οἷόν τε σάρκα νεωτέραν ἐπιτραφῆναι τῇ πρότερον οὔσῃ, ῥύπου περικειμένου. πῶς οὖν αὐτάρκως σεσαρκωμένου τοῦ κόλπου, τὸ κολλητικὸν ἐπιφέρουσι φάρμακον, εἴπερ ὡς ἱκανῶς ὄντα ῥυπαρὸν ἐπιχειροῦσι διαῤῥύπτειν τῇ κονίᾳ τῆς καθαρᾶς σαρκός, οὐδὲ τὸ δριμὺ μελίκρατον φερούσης; ἐπὶ ταύτης μὲν οὖν ἀρκεῖ τὸ τοιοῦτον ἐνιέμενον, ὡς ἂν καὶ πίνοι τις ἡδέως αὐτό. καὶ μετά γε τὸ μελίκρατον, ἐφεξῆς εἴωθα πρὶν ἐπιθεῖναι τὸ κολλητικὸν φάρμακον ἐκκλύζειν τὸν κόλπον. ποτὲ μέν, οἴνῳ μόνῳ. ποτὲ δέ, οἰνομέλιτι. πρὸς μὲν γὰρ τὸ περιῤῥύψαι τε καὶ ἀποκαθῆραι τοὺς περὶ αὐτὸν ἰχῶρας, ἄμεινον τὸ μελίκρατον. εἰς δὲ τὴν μέλλουσαν κόλλησιν, ὁ οἶνος. ἔστω δὲ μέσος γλυκύτητός τε καὶ στύψεως. καὶ μήν τοι καὶ μετὰ τὴν ἐπίθεσιν τοῦ κολλήσοντος φαρμάκου, σπόγγος καινὸς ἐξ οἰνομέλιτος μόνου περιβαλλέσθω μαλακὸς ὡς ἔνι μάλιστα. καὶ ἡ ἐπίδεσις ἀπὸ μὲν τοῦ πυθμένος, ἀρχέσθω τοῦ κόλπου. τελευτάτω δέ, ἐπὶ τὸ στόμιον. αἱ δὲ περιβολαὶ τῶν ὀθονίων, σφιγγέτωσαν μὲν ἀνωδύνως τὸν πυθμένα τοῦ κόλπου. ἐπὶ βραχὺ δ᾽ ἐκλυέσθω ἄχρι τοῦ στομίου. καὶ διὰ τοῦτο δ᾽ αὐτὸ χαλαρὰν ἐπίδεσιν ἐχέτω τοῦ φαρμάκου τῆς περιβαλλομένης ἔξωθεν ἐμπλάστρου τῷ κόλπῳ διεψαλισμένης ἐπὶ τὸ τοῦ κόλπου στόμιον, ὡς ἐκρεῖν δύνασθαι εἴ τις ἰχὼρ ἐκκρίνοιτο διὰ τοῦ κόλπου, μικροῦ τινος ἄλλου κατ᾽ αὐτοῦ ἐπιτιθεμένου ἐμπλάστρου, μέχρι τῆς ἐπιλύσεως, ἣν διὰ τρίτης ποιησάμενος, ἀφαιρήσεις αὐτὸ τοῦτο τὸ οἷον ἐπίθεμα περικείμενον, ἐάσας τὸ καθόλου τοῦ κόλπου περιβεβλημένον φάρμακον. ἔστω δέ σοι διάγνωσις εἰ κεκόλληται τὸ βάθος τοῦ κόλπου καλῶς, ἐκ τοῦ ῥέοντος ἰχῶρος, εἰ πολὺς ἢ ὀλίγος ἐστίν, ἢ πεπεμμένος, ἢ ἄπεπτος. ἔτι δὲ καὶ κατ᾽ αὐτὸν τὸν κόλπον, εἰ μήτ᾽ ὀδύνη τις αἰσθητική, μήτ᾽ ὄγκος, ἀλλὰ προσέσταλται τὸ χωρίον ἅπαν, καὶ ξηρὸν καὶ ἀνώδυνόν ἐστιν. ἐὰν δὲ καὶ πύον † εὔπεπτον ἐπὶ τοῦ στόματος ἴδῃς ὀλίγον, ἔτι μᾶλλον τὰς ἐλπίδας ἀγαθὰς ἕξεις περὶ τοῦ κεκολλῆσθαι τὸν κόλπον. ἐπιθείς τε τὸν σπόγγον αὖθις, ἐπιδήσας τε πάλιν, ὡς εἴρηται, λῦε ἐπὶ τὴν ὑστεραίαν, ἢ διὰ τρίτης, ὑπαλλάττων ἀεὶ τὸ ἐπὶ τοῦ κόλπου στομίου ἐπικείμενον ὀθόνιον, ἐκ τῆς αὐτῆς ἐμπλάστρου κεχρισμένον, ὃ περιλήψεται σύμπαν ἐν κύκλῳ τὸ στόμι-

† al. ἐῤῥοφεῖ

ον. ἔστω δ' αὐτὸ χρή, μὴ πάνυ περιεστυπωμένον, ἀλλ' ὥστε δύνασθαι τὸν ἰχῶρα τοῦ κόλπου πάντα κενοῦσθαι δι' αὐτοῦ. κατὰ μὲν οὖν τὴν πρώτην τε καὶ δευτέραν ἡμέραν, ἐὰν ἐκκρίνηταί τις ἰχὼρ λεπτὸς ἐκ τοῦ κόλπου, μὴ πάνυ τῆς κολλήσεως ἀπέλπιζε. πολλάκις γὰρ ἡ τοῦ περιβαλλομένου φαρμάκου περὶ πεπονθότι μορίῳ δύναμις, ἐκθλίβει σφοδρῶς ἔκ τε τοῦ δέρματος αὐτοῦ, καὶ τῆς ὑποκειμένης σαρκὸς αὐτῷ ὑγρότητα λεπτήν, ὅταν γε οὕτως ἔχῃ διαθέσεως τὸ τοῦ θεραπευομένου σῶμα, διὰ φυσικὴν κρᾶσιν, ἢ μοχθηρὰν δίαιταν. ἧς ἐκθλιβείσης, συμμέτρως ξηραινόμενα τὰ χωρία κολλᾶται. κατὰ δὲ τὴν τρίτην ἡμέραν ἢ τετάρτην ἀπὸ τῆς ἀρχῆς, ἐὰν ἄπεπτος ἰχὼρ φαίνηται διὰ τοῦ στόματος, γίνωσκε μὴ κεκολλῆσθαι τὸν κόλπον. ἔστω δὲ πρὸ πάντων καὶ τὸ περιβαλλόμενον περὶ πεπονθότι μορίῳ φάρμακον, ἰσχυρῶς μὲν ξηραῖνον, οὔτε δὲ δάκνον, οὔτε συντεῖνον. οἷόν ἐστι τὸ ἡμέτερον κιρρόν, ὃ χωρὶς κηροῦ σκευάζεται διὰ μεταλλικῶν φαρμάκων ἑψημένων, καὶ ἐλαίου κικίνου, καὶ ὄξους, ἐναίμων τε τραυμάτων κολλητικόν, ἀλύπως καὶ ξηραντικὸν κόλπων. εἶδες δ' αὐτῷ καὶ σύριγγα θεραπευθεῖσαν, ἐφ' ἧς στενῆς τ' οὔσης ὀπῆς, † καὶ μηδέπω μοι φαινομένης ἔχειν ἔνδον ἐν αὐτῇ τύλον, ἀλλὰ μόνον ῥύπον, † ἐν ᾗ καὶ πρότερον ἔκλυσα τὴν κονίαν, εἶτ' ἐπισχὼν ἐν τῇ σύριγγι μεῖναι τοσοῦτον χρόνον, ἐν ὅσῳ τὸν ῥύπον ἤλπισα τελέως ἐκπεσεῖν ἅπαντα, μετὰ ταῦτ' ἐπέθηκα τὸ φάρμακον. οὕτω δὲ καὶ σὺ ὑπ' αὐτῷ περὶ δέρματι μόνῳ κόλπους σαρκώσεως μὲν οὐ δεομένους, ἀμαθῶς δὲ θεραπευομένους ὑπό τινων, ἅμα τῷ παραλαβεῖν ἐκόλλησα τῷ φαρμάκῳ τῷδε περικλύσας τῇ κονίᾳ, διὰ τὸ μηδενὶ τῶν καθαιρόντων ἕλκους φαρμάκων χρῆσθαι τοὺς θεραπεύοντας. ὅταν γε μὴν τῶν εἰς ἀπόστασιν ἀφικνουμένων ὄγκων ἡ τομὴ γένηται βραδέως, ἢ δι' ἀμαθίαν τῶν θεραπευόντων, ἢ διὰ δειλίαν τοῦ θεραπευομένου, οὐκ ἐπιτρεπόντων τεμεῖν, ἀλλὰ περιμεινάντων ἐν χρόνῳ πλείονι διαβρωθῆναι τὸ δέρμα πρὸς τοῦ πύου, συμβαίνει πολλάκις ἅπαν τὸ περὶ τῷ κατὰ τὴν ἀπόστασιν ἀθροισθέντι πύῳ δέρμα λεπτὸν ἱκανῶς γενέσθαι, καθάπερ τι ῥάκος. ὅθεν ἡγοῦμαι καὶ τοὔνομα αὐτῷ πρὸς τῶν ἰατρῶν τεθεῖσθαι τὸ ῥακῶδες. ἔστιν οὖν τὰ τοιαῦτα δέρματα δυσκόλλητα. καὶ μάλισθ' ὅτ' ἄν τις αὐτοῖς ἐπιβάλῃ ξηρὸν κατὰ τὴν σύστασιν φάρμακον. ὑπὸ τούτου γὰρ ἔτι μᾶλλον γίνεται ῥακῶδές τε καὶ ξηρὸν τὸ δέρμα, παραπλήσιον ταῖς τριβακαῖς διφθέραις. ἔδοξεν οὖν μοι προσηκόντως ἄν τις χρήσασθαι πρὸς τὴν κόλλησιν αὐτοῦ, τῇ συστάσει μὲν ὑγρῷ φαρμάκῳ, τῇ δυνάμει δὲ ξηρῷ. λέλεκται δ' ἐν τοῖς περὶ φαρμάκων, ὅτι δυνάμει ξηρὰ φάρμακα καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ὅσα ξηραίνειν πέφυκε. κάλλιστον δὲ πάντων τῶν ὑγρῶν μὲν τῇ συστάσει, ξηρῶν δὲ τῇ δυνάμει, τὸ συντεθὲν ὑπ' ἐμοῦ φάρμακόν ἐστι, τὸ διὰ λιθαργύρου, καὶ στέατος χοιρείου παλαιοῦ, καὶ χαλκίτεως ἔχον τὸν ἔλαιον παλαιότατον, ἄμεινον δ' ἐνοργοῦντος ἐπειράθην αὐτοῦ κατὰ τὰς τοιαύτας διαθέσεις, ὅταν μὴ πάνυ τι σκληρὸν ᾖ, μηδ' ἀκριβῶς ἀμόλυντον. ἀλλὰ κἂν τοιοῦτον σκευασθῇ, καὶ τῶν ἐναίμων μὲν ἐστὶ τραυμάτων κολλητικὸν καὶ πάντων δὲ τῶν ἑλκῶν ἐπουλωτικόν, ἀνιέμενόν τ' ἐλαίῳ, κἄπειτα μετ' οἴνου μετρίως παλαιοῦ φυρόμενον, εἶτ' ἐπιτιθέμενον ἐν κύκλῳ ταῖς τοιαύταις διαθέσεσιν, ἀλύπως αὐτὰς ἐκόλλησε πολλάκις. ἁρμόττει δ' ὡς εἴρηται ἐπὶ τῶν ῥακωδῶν δερμάτων, οὐχ ἥκιστα καὶ τὸ μέλι μέχρι συστάσεως ἐμπλαστρώδους ἑψηθέν. ἔστι δ' ἡ συμμετρία τῆς ἑψήσεως αὐτοῦ δυσκατόρθωτος, περὶ μὴ τεθεαμένῳ. χρὴ γὰρ αὐτό, μήθ' οὕτω γενέσθαι σκληρόν, ὡς δυσαπόσπαστον εἶναι, μήθ' οὕτως ὑγρόν, ὡς περιρρεῖν. τὸ μὲν γὰρ σκληρόν, εἰς τὴν τοιαύτην ἀτοπίαν ἀφικνεῖται ταῖς σκληραῖς ἐμπλάστροις. τὸ δ' ὑγρὸν ὡσανεὶ ἐπικείμενον θερμῷ σώματι, περιρρεῖ κύκλῳ, καὶ ξηρὰν ἀπολείπει τὴν ὀθόνην. ἥτις οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ πρὸς κακοῦ γίνεται περὶ κολληθησομένῳ δέρματι. συμμέτρως γε μὴν ἑψηθὲν τὸ μέλι, κάλλιστόν ἐστι φάρμακον ἐπὶ τῶν τοιούτων κόλπων. ἐπεὶ δ' ἡ συμμετρία τῆς ἑψήσεως αὐτοῦ δυσεκμαρτός ἐστιν, ἄμεινον ἔδοξέ μοι καταπλάττειν αὐτῷ χνοώδη σμύρναν, ἢ ἀλόην, ἢ λιβανωτόν, ἢ τινὰ τούτων, ἢ πάντα ὁμοῦ. καὶ μάλισθ' ὅταν ἐπὶ τῆς ὀθόνης ἐγχρισθέν, ὑγρότερον φαίνηται. καταπλάττειν δὲ αὐτὰ διὰ κοσκίνου μετέωρον κρατουμένου κατὰ τοῦ μέλιτος. ἀρκεῖ δ' ἅπαξ ἢ δὶς κροῦσαι αὐτὸ πρὸς τὴν συμμετρίαν τῆς διεκπτώσεως. ἐνίοτε δὲ καὶ κατ' αὐτὴν τὴν ἕψησιν ἐμπάττω τι τῷ μέλιτι τῶν εἰρημένων φαρμάκων. καὶ μάλισθ' ὅταν ὁ κόλπος ᾖ μείζων τε καὶ βαθύτερος. ἐπειράθην δὲ καὶ τοῦ λεπτοῦ κενταυρίου, θαυμαστοῦ φαρμάκου πρὸς τὴν τοιαύτην χρείαν. ἐφεξῆς δ' αὐτῷ σύμφυτον ἐπιτήδειόν ἐστι καὶ μετ' αὐτὸ τῆς ἰλλυρίδος ἴρεως ἡ ῥίζα, μεθ' ἣν καὶ τὸ τῶν ὀρόβων ἄλευρον. δῆλον ὅτι κεκόφθαι τε καὶ διηθῆσθαι λεπτῷ κοσκίνῳ, καὶ μετὰ ταῦτα γε λελειῶσθαι τὰ τοιαῦτα πάντα προσήκει. μιγνύσθω δὲ τῷ μέλιτι κατ' ἐκεῖνον τὸν καιρόν, ἡνίκ' ἂν ἀπὸ τοῦ πυρὸς ἐξαιρεῖσθαι μέλλῃ. τοσοῦτον ἡμῶν ἐπιδιαρριψάντων, ὡς ἑνωθῆναι καλῶς αὐτὰ τῷ προεψημένῳ μέλιτι. κάλλιον δὲ καὶ καθαιροῦντα τὴν κακάβην ἀπὸ τοῦ πυρός, ἐμπάττειν ἅπαντα τὰ τοιαῦτα, κἄπειτα κινεῖν ἐπιμελῶς ἄχρις ἂν οὕτω γένηται τὸ μέλι χλιαρόν, ὡς ἐπιτιθέναι δύνασθαι τῷ θεραπευομένῳ σώματι. Ἐφεξῆς δ' ἂν εἴη τοῖς εἰρημένοις εἰπεῖν τι, καὶ περὶ τῶν γαγγραινουμένων φλεγμονῶν. ὀνομάζουσι δ' ὡς οἶσθα γαγγραίνας τὰς διὰ μέγεθος φλεγμονῆς νεκρώσεις οὐκ ἤδη γεγενημένας ἀλλὰ γινομένας ἔτι. τελέως μὲν γὰρ νεκρωθὲν μόριον ὡς νυττόμενον, ἢ τεμνόμενον, ἢ καιόμενον ἀναίσθητον ὑπάρχειν, ὧν πάσχει, τάχιστα χρὴ περικόπτειν καθ' ὃ ψαύει τοῦ πλησιάζοντος ὑγιοῦς. ἀλλὰ τὸ μὲν οὕτω διατεθέν, μέλαν γίνεται. τὸ δ' ἐν τῷ μεταξὺ καθεστηκὸς ὡς ὁδοιπορεῖν ἐπὶ τὴν νέκρωσιν, γάγγραινα ὀνομάζεται. θεραπεία δ' αὐτοῦ γίνεται, κενωσάντων ἡμῶν ὅσον οἷόν τε πλεῖστον τοῦ κατὰ τὸ πάσχον μόριον αἵματος ἐσφηνωμένου, δι' ὃ καὶ ἡ νέκρωσις γίνεται, μὴ δυναμένων τῶν ἀρτηριῶν ὑπὸ στενοχωρίας διαστέλλεσθαι. τῷ δ' ὑπολοίπῳ διαπνοὰς παρεχόντων, ἢ ξαίνειν ὅλον τὸ δέρμα πολλαῖς βαθείαις τομαῖς διαιρεῖν χρὴ τέμνοντας ἅμα αὐτῷ τὴν ὑποκειμένην οὐσίαν, ἢ πολλαῖς ἀμυχαῖς βαθείαις ἀποσχάζειν, ἐάσαντα δ' ἀπορρυῆναι τὸ αἷμα, τῶν φαρμάκων ἐπιτιθέναι τι τῶν πρὸς τὰ σηπόμενα χρησίμων. ἔστι δὲ τοιαῦτα δι' ὀξυμέλιτος καὶ ἀλεύρου ὀρόβων, ἢ αἱρῶν. ἢ εἰ μὴ ταῦτα παρείη, τὸ τῶν κυάμων. αὐτό τε μόνον τὸ ὀξύμελι. σφοδροτέρῳ δὲ αὐτῷ χρῆσθαι βουλόμενος, ἅλας ἐπεμβάλλειν, ἢ τῶν κυλίσκων τινὰ λειοῦν ἀκριβῶς, οἷος ὁ Ἀνδρώνιός ἐστι, καὶ ὁ Πολυείδους, καὶ ὁ Πασίωνος. ἀλλὰ καὶ τὸ τοῦ Μούσα φάρμακον ἐπιτηδειότατόν ἐστιν εἰς ταῦτα, ὃ κατὰ τὸν Ἡρα γέγραπται τόμον. χρῶ δὲ τούτοις, καὶ οἷς προείρηκα προσέχων τὸν νοῦν περὶ σώματι τοῦ κάμνοντος. ἀγροίκου μὲν γὰρ ὄντος αὐτοῦ καὶ σκληροῦ φύσει, τῶν ἰσχυροτάτων δεῖται φαρμά-

† al. καὶ μακρᾶς additur

† al. sic ἐνῆκα πρότερον τὸν χοῦν.

Gangrena.

του φαρμάκου τὸ σῶμα. γυναῖκες δὲ ἁπαλοσάρκους, τῶν ἀσθενεστέρων. οὕτω δὲ καὶ τῶν ἀνδρῶν, ὅσοι λευκοί τε καὶ ἁπαλόσαρκοι, καὶ φιλόλουτροι, καὶ ἀγύμναστοι, μαλακῶν δέονται φαρμάκων. δῆλον δ' ὅτι καὶ τὰ παιδία. κἂν ἐκτέμοις δέ ποτε τὸ σεσηπὸς καὶ νενεκρωμένον μέρος ἀσφαλείας ἕνεκα, τοῖς εἰρημένοις ἄρτι χρῶ φαρμάκοις, ἀποβλέπων εἰς τὰς τῶν † νοσημάτων φύσεις, ἅμα δὲ καὶ τὴν αὐτοῦ τοῦ πεπονθότος μορίου φύσιν ἐπισκοπεῖν, ἵνα γὰρ τάχιστα σήπεται. καὶ βέλτιον ἀσφαλείας ἕνεκα, ὅταν ἐκτέμῃς ἢ περιτέμῃς τὸ σεσηπὸς, τὴν οἷον ῥίζαν αὐτοῦ συνημμένην τοῖς ἀπαθέσι καίειν, ὡς ἐπὶ τῶν αἰδοίων εἰώθαμεν ἐργάζεσθαι πολλάκις. ἐνίοτε μὲν αὐτοῖς τοῖς πεπονθόσι μορίοις τὰ καυτήρια προσφέροντες. ἐνίοτε δὲ καὶ προϋποβάλλοντες μοτόν. μετά γε μὴν τὴν καῦσιν, εἰώθαμεν, ὡς οἶσθα, χυλῷ πράσου χρῆσθαι. μὴ παρόντος δὲ τούτου, τοῖς προειρημένοις ὀλίγον ἔμπροσθεν. ὅταν δὲ φαίνηταί σοι τούτων γινομένων πεπαῦσθαι τὸ σηπόμενον ὅπως ἀποπέσῃ θᾶττον ἡ ἐσχάρα, τῷ κεφαλικῷ καλουμένῳ φαρμάκῳ μετὰ μέλιτος χρῶ. κάλλιον καὶ καταπλάττειν ἔξωθεν, ἢ δι' ὑδρελαίου τὸν ἄρτον ἕψοντας, ἢ κρίθινον ἄλευρον οὕτω σκευάζοντας, ἢ μετὰ αὐτοῦ μίξαι πύρινον. καὶ μὴν καὶ τὸ τετραφάρμακον ὀνομαζόμενον, ἔτι τε τὸ μακεδονικὸν, ἐπιτήδεια πρὸς τὰς διαπυήσεις τε καὶ ἀποπτώσεις τῶν ἐσχαρῶν, ὁμοίως δὲ καὶ πάντα ὅσα διαπυΐσκει. καὶ ἄρτος δὲ μετὰ σελίνου λειωθεὶς, ἢ ὠκίμου, περιρρήσσει καὶ χωρίζει τὰς ἐσχάρας ἀπὸ τῶν ὑγιαινόντων. τῶν δ' ἁπλῶν φαρμάκων μετὰ μέλιτος ἶρις, ἢ ῥίζα πάνακος, ἢ ἀριστολοχίας, ἢ ἀκόρου. ἐπὶ δὲ τῶν μαλακῶν σωμάτων, ἀρκεῖ καὶ τὸ τῶν ὀρόβων ἄλευρον μετὰ μέλιτος, ἢ λιβανωτοῦ. ὁμοίως δὲ ἀφαιρεῖ τὰς ἐσχάρας καὶ τὸ τοῦ Μαχαιρίωνος φάρμακον, καὶ ἡ Ἶσις † ἔμμοτα. ὅταν δὲ ἐκπέσωσιν αἱ ἐσχάραι, καὶ διὰ τῶν ἐπιτυχόντων φαρμάκων συνεργοῦνται τὰ τοιαῦτα τῶν ἑλκῶν. ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται μετρίως, περὶ τῶν καρκινωδῶν ἑξῆς ἂν εἴη ὄγκων εἰπεῖν, γινομένων ἐν ἅπασι τοῖς μορίοις, μάλιστα δὲ τοῖς τιτθοῖς τῶν γυναικῶν, ὅσαι μηκέτι καθαίρονται τὴν κατὰ φύσιν κάθαρσιν. ἥτις, ὅταν ὡς χρὴ γίνηται, τελέως ἄνοσος ἡ γυνὴ διατελεῖ. πάντες οὖν οἱ τοιοῦτοι παρὰ φύσιν ὄγκοι, τὴν γένεσιν ἐκ μελαγχολικοῦ περιττώματος ἴσχουσι, ὥσπερ ὃ λέλεκται καὶ ἐν τοῖς περὶ φυσικῶν δυνάμεων ὑπομνήμασι. γεννᾶσθαι μὲν ἡμῶν δειξάντων ἐν ἥπατι κατὰ τὴν ἐξαιμάτωσιν, ἀνάλογον τῇ κατὰ τὸν οἶνον τρυγί. καθαίρεσθαι δὲ διὰ τοῦ σπληνός. ἐκ γὰρ τοῦ τοιούτου χυμοῦ, τρέφεσθαι πέφυκεν. ὅταν οὖν ἡ φυσικὴ κρᾶσις τοῦ ζῴου τὸν χυμὸν τοῦτον ὀλίγον ᾖ γεννῶσα, καὶ ἡ δίαιτα συντελῇ, καὶ ὁ σπλὴν ἀξιολόγως ἕλκῃ τὸ γεννώμενον εἰς ἑαυτὸν, οὐδὲν ἀθροίζεται κατὰ τὰς φλέβας τοιοῦτον περίττωμα. ὅταν δὲ τἀναντία ᾖ, ἀθροίζεται πολὺ κατὰ τὰς φλέβας καὶ ἐργάζεται τὰ λεχθησόμενα νοσήματα. λέγω δ' ἐναντία τοῖς εἰρημένοις, τὸ μὲν ἧπαρ εἰς γένεσιν ἐπιτήδειον τοῦ τοιούτου περιττώματος. τὴν δίαιταν δὲ διὰ τῶν τοιούτων ἐδεσμάτων γινομένην, ἃ πέφυκε γεννᾶν αἷμα παχὺ καὶ ἰλυῶδες. ἀσθενέστερον δὲ τὸν σπλῆνα φύσει, καὶ ἀδυνατώτερον ἕλκειν ἐφ' ἑαυτὸν ἅπαν τὸ γεννώμενον. ἐν δὲ τῷ τοιούτῳ σώματι, θολοῦται καὶ παχύνεται τὸ κατὰ τὰς φλέβας αἷμα. καὶ ποτὲ μὲν ὑπ' αὐτῶν τῶν φλεβῶν ἐχουσῶν γε καὶ αὐτῶν ἀποκριτικὴν τῶν ἀλλοτρίων δύναμιν, ὥσπερ καὶ τἆλλα πάντα, δι' αἱμορροΐδος ἐκκρίνεται. πολλάκις δὲ εἰς κιρσοὺς κατασκήπτει, καί ποτε εἰς τὸ δέρμα πᾶν ὠθεῖται. καὶ τοῦτό ἐστι γένεσις τοῦ πάθους, ὃ καλοῦσιν ἐλέφαντα. γίνεται γε μὴν ἐνίοτε καὶ εἰς ἄλλα μόρια τοῦ σώματος, ἅπερ ἂν ᾖ πάντων ἀσθενέστατα, φορὰ τοῦ τοιούτου χυμοῦ. καὶ φαίνονταί γε σαφῶς αἱ κατὰ τὸ μόριον ἐκεῖνο φλέβες, μεσταὶ αἵματος μέλανός τε καὶ παχέος. καὶ ὅσον δ' ἂν ᾖ παχύτερον, τε καὶ μελάντερον, τοσούτῳ χεῖρον ἐστὶ τὸ πάθος. ἐπὶ δὲ τῶν τιτθῶν, εἴδομεν πολλάκις ἀκριβῶς ὄγκον ὅμοιον καρκίνῳ ζῴῳ. καθάπερ γὰρ ἐπ' ἐκείνου πόδες ἑκατέρωθέν εἰσι τοῦ σώματος, οὕτω καὶ ἐπὶ τοῦδε τοῦ πάθους αἱ φλέβες ἀποτεταμέναι τοῦ παρὰ φύσιν ὄγκου τὸ σχῆμα καρκίνῳ παραπλήσιον ἐργάζονται. τοῦτο τὸ πάθος ἀρχόμενον μὲν, ἰασάμεθα πολλάκις. εἰς μέγεθος δὲ ἀξιόλογον ἀρθὲν, ἄνευ χειρουργίας οὐδεὶς ἰάσατο. πάσης μὲν οὖν χειρουργίας ἐκκοπτούσης ὄγκον παρὰ φύσιν, ὁ σκοπός ἐστιν ἐν κύκλῳ πάντα τὸν ὄγκον περικόψαι, καθ' ἃ δὲ κατὰ φύσιν ἔχοντι πλησιάζει. διὰ δὲ τὸ μέγεθος τῶν ἀγγείων, καὶ μάλιστα ὅταν ἀρτηρίαι τύχωσιν οὖσαι, παραχρῆμά τε κίνδυνος αἱμορραγίας γίνεται, βρόχοις τε διαλαμβανόντων αὐτὰς, συμπάθειαι ἕπονται. ἐὰν δὲ καὶ καῦσαι τὰς ῥίζας αὐτοῦ πάθους πειρώμεθα, καὶ κατὰ τοῦτο κίνδυνος οὐ μικρὸς, ὅταν ἐγγὺς καιρίων μορίων ἡ καῦσις γίνηται. ἀλλ' ἀρχόμενον γεννᾶσθαι, καθάπερ ἔφην, ἰασάμεθα πολλάκις τὸ πάθος τοῦτο, καὶ μάλιστα ὅταν ὁ μελαγχολικὸς χυμὸς φαίνηται, μὴ πάνυ παχὺς ὑπάρχων. ὑπακούει γὰρ οὗτος τοῖς καθαίρουσι φαρμάκοις ἑτοίμως. δι' ὧν ἡ θεραπεία γίνεται. πρόδηλον δ' ὅτι μελάνων εἶναι χρὴ κενωτικὰ τὰ διδόμενα φάρμακα καὶ τοῦτο συνεχῶς ποιητέον, ἄχρις ἂν εἰς τὸ κατὰ φύσιν ἀκριβῶς ἐπανέλθοι τὸ μόριον, οὔσης καὶ τῆς διαίτης εὐχύμου. κατὰ γοῦν τὴν Ἀλεξάνδρειαν, ἐλεφαντιῶσι πάμπολλοι, διά τε τὴν δίαιταν καὶ τὴν θερμότητα τοῦ χωρίου. κατὰ δὲ τὰς Γερμανίας τε καὶ Μυσίας, σπανιώτατα τοῦτο τὸ πάθος ὦπται γινόμενον. καὶ παρά γε τοῖς γαλακτοπόταις Σκύθαις, σχεδὸν οὐδέποτε φαίνεται γινόμενον. ἀλλ' ἐν Ἀλεξανδρείᾳ παμπόλλη ἡ γένεσις αὐτοῦ διὰ τὴν δίαιταν ἐστίν. ἀθάρην γὰρ ἐσθίουσι, καὶ φακῆν, καὶ κοχλίας, καὶ ταρίχη πολλά. τινὲς δὲ καὶ ὄνεια κρέα, καὶ ἄλλα τοιαῦτα, παχὺν καὶ μελαγχολικὸν γεννῶντα χυμόν. ἅτε δὲ θερμοῦ τοῦ περιέχοντος ὄντος, καὶ ἡ ῥοπὴ τῆς φορᾶς αὐτῶν πρὸς τὸ δέρμα γίνεται. τούτῳ μὲν οὖν τῷ πάθει, συμφέρουσιν αἱ εἰρημέναι καθάρσεις. ἐὰν δὲ τὰ τῆς ἡλικίας καὶ τὰ τῆς δυνάμεως ἐπιτρέπῃ, φλεβοτομεῖν πρότερον (ἐπὶ δὲ τῶν καρκίνων, οὐκ ἄχρηστον μὲν οὐδ' ἐπὶ τούτων, ἢν μηδὲν κωλύῃ φλεβοτομεῖν) ἐφεξῆς δὲ καθαίρειν. καὶ εἰ μὲν γυναῖκες εἶεν, ἔμμηνα κινεῖν αὐταῖς. ἐάν γε δηλονότι μηδέπω πεντηκοστὸν ἔτος ἄγωσι. κατὰ δὲ τοῦ πεπονθότος μορίου, χυλὸς ἐπιτιθέσθω στρύχνου. κάλλιστον γὰρ τοῦτο φάρμακον εἰς τὰ τοιαῦτα. μὴ βουλομένου δὲ τοῦ θεραπευομένου φάρμακον οὕτως ὑγρὸν ἐπιβαλέσθαι, καὶ μάλιστα ὅταν προέρχεσθαί τε τῆς οἰκίας, καὶ τὰ συνήθη πράττειν ἀναγκάζηται, τὸ διὰ πομφόλυγος ἐπιθετέον. ᾧ καὶ πρὸς τοὺς ἡλκωμένους καρκίνους οἶσθα χρώμενόν με. καὶ τούτου μὴ παρόντος, τῷ διὰ χαλκίτεως ἡμετέρῳ φαρμάκῳ. κατὰ δὲ τὴν δίαιταν, ἐν χυλῷ πτισάνης πλεοναστέον. καὶ γάλακτος ὀῤῥῷ. καὶ λαχάνοις μαλάχῃ, καὶ ἀτραφάξυϊ, καὶ βλίτῳ. καὶ κατὰ καιρὸν ἐν ᾧ εἰσὶν αἱ κολοκύνθαι.

† al. σωμάτων

† al. μετὰ μολίβου

Cancer

Causa generationis Morborum Melanchol.

Cancer

καὶ ταύταις χρηστέον. ἰχθύων δὲ, τοῖς πετραίοις, καὶ ὄρνισι πᾶσι, πλὴν ἑλείων. Ἐπὶ δὲ τῶν ἐλεφαντιώντων,
ἡ τῶν ἐχιδνῶν ἐδωδὴ θαυμάσιόν ἐστι φάρμακον. χρὴ δὲ ἐσθίειν αὐτὰς οὕτω σκευάζοντας, ὡς τοὺς θηριοτρόφους
καὶ ἀσπιδοτρόφους Μάρσους ἐθεάσω. πρῶτον μὲν, ἀποκοπτομένης τῆς οὐρᾶς καὶ τῆς κεφαλῆς, ἄχρι δακτύλων τεττά-
ρων. εἶτα τῶν ἔνδον ἁπάντων ἀφαιρεθέντων, καὶ τοῦ δέρματος δηλονότι. εἶθ' ὕδατι τοῦ σώματος αὐτῶν
περιπλυθέντος. ἀλλὰ μέχρι μὲν τοῦδε, κἂν ἐπειδὰν τὴν θηριακὴν ἀντίδοτον καλουμένην σκευάζωμεν, οὕτω πράτ-
τομεν. ἐφεξῆς δὲ διαφερόντως ἕψομεν. ἐπὶ μὲν τῆς θηριακῆς ἐν ὕδατι προσεπεμβάλλοντες ἀνήθου καὶ βραχέων
ἁλῶν. ἐπὶ δὲ τῶν ἐλεφαντιώντων, ἐν λοπάσι παραπλησίως ταῖς ἐγχέλυσι σκευάζοντες, διὰ λευκοῦ ζωμοῦ. γίνε-
ται δὲ οὕτως. ὕδατος μὲν δαψιλοῦς ἐμβληθέντος, καὶ ἐλαίου βραχέος, καὶ σὺν αὐτῷ, πράσου καὶ ἀνήθου.
πρόδηλον δ' ὅτι μέχρι τοσούτου τὰς σάρκας τῶν ἐχιδνῶν ἀφεψεῖν προσήκει, μέχρις ἂν ἀκριβῶς γενηθῶσι μαλα-
καί. καὶ αὐτὸ δὲ τὸ δι' αὐτῶν σκευαζόμενον φάρμακον, ὃ καλοῦσι θηριακὴν ἀντίδοτον. ἐπιτήδειόν ἐστι πίνεσθαι
τοῖς οὕτω κάμνουσι. καὶ εἰ βούλοιτό τις αὐτοῦ καὶ τὸ δέρμα χρίεσθαι. ταῦτα γοῦν ἅπαντα ποιούντων, ἔσθ' ὅτε λεπὶς
ἀφίσταται τοῦ δέρματος, ὅμοιον ἐπὶ τῶν ὄφεων τὸ καλούμενον γῆρας. τῶν δ' ἄλλων ὄγκων τῶν παρὰ φύσιν, οὐδε-
νὸς μὲν ἠξίωσά σοι γράψαι χειρουργίαν. ἔλαβες γὰρ δοκιμώτατα τῶν παρ' ἡμῖν φαρμάκων. ἐπὶ μὲν χοιράδων,
τά τε προστέλλειν καὶ ξηραίνειν δυνάμενα καὶ διαπυΐσκειν. ἐπὶ δὲ μελικηρίδων, ὅσα καὶ ταῦτα διαφορεῖ, καὶ
πυοῦ διαφορητικὰ φάρμακα, καὶ ὕδατος ἐν ὄσχεῳ τε καὶ κατ' ἐπιγάστριον ἔλαβες, ὡς κἀπὶ τῶν ὑδερικῶν κεχρῆ-
σθαι. διττὸς γὰρ καὶ τούτων ὁ σκοπὸς, ἰᾶσθαί τε τοῦ σπλάγχνου τὸν σκίρρον καὶ διαφορῆσαι, τὸ συνειλεγμένον ὑγρόν.
ἄρχηται δ' ἔμπροσθεν ἡ τῶν σκιρρουμένων σπλάγχνων θεραπεία. ὥστε καὶ ἡ τῶν ὑδέρων ἴασις, εἰς τρεῖς τούτους
ἀνάγεται σκοποὺς, ἰᾶσθαι τοῦ σκιρρουμένου σπλάγχνου τὸν σκίρρον, ἐπιθέμασί τε καὶ διαφοροῦσι τὴν ὑγρότητα
χρῆσθαι. φάρμακά τε πίνειν διουρητικά. ταῦτα μὲν οὖν εἰς ἀποδημίαν σοι μακρὰν στελλομένῳ, νομίζω συμμέτρως
ἔχειν. ἐὰν δὲ ὡς προῄρηται καὶ τὴν ὑπὲρ τῶν κατὰ γένος καὶ τόπους πεπονθότας φαρμάκων πραγματείαν ποιήσω-
μαι, κἀκείνην ἕξεις ἐπανελθὼν ἐκ τῆς ἀποδημίας. ἔστι δὲ καὶ ἄλλη μεγάλη πραγματεία τῶν ἑταίρων ἀξιωσάντων
ἁπάσης τῆς θεραπευτικῆς μεθόδου. κατεχομένῳ δ' ἐπὶ πλέον ἔξω σοι, πέμπειν οὐκ ὀκνήσω τῶν γραφομένων
ἡμῖν ὑπομνημάτων ἕκαστον.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙΝΩΝ ΛΟΓΟΣ Α'.

ΤΗΣ περὶ τὸ σῶμα τἀνθρώπου τέχνης μιᾶς οὔσης, ὡς ἐν ἑτέρῳ δέδεικται γράμ-
ματι, δύο ἐστὸν τὰ πρῶτά τε καὶ μέγιστα μόρια. καλεῖται δὲ τὸ μὲν ἕτερον
αὐτῶν ὑγιεινὸν, τὸ δὲ ἕτερον θεραπευτικὸν, ἔμπαλιν ἔχοντα πρὸς ἄλληλα
τῆς ἐνεργείας. εἴ γε τῷ μὲν φυλάξαι, τῷ δὲ ἀλλοιῶσαι πρόκειται τὴν περὶ τὸ
σῶμα κατάστασιν. ἐπεὶ δὲ καὶ ἀξιώματι καὶ χρόνῳ πρότερον ἐστὶν ὑγεία νόσου,
χρὴ δήπου καὶ ἡμᾶς ὅπως ἄν τις ταύτην φυλάξειεν, ἐπισκέψαι πρότερον. ἐφε-
ξῆς δὲ καὶ ὡς ἄν τις ἄριστα τὰς νόσους ἐξιῷτο. κοινὴ δ' ἀμφοτέροις ὁδὸς τῆς εὑ-
ρέσεως, ἐγνοίημεν ὁποία τίς ἐστι διάθεσις τοῦ σώματος, ἣν ὑγείαν ὀνομάζο-
μεν. οὐ γὰρ δὴ οὔτε φυλάττειν αὐτὴν παροῦσαν, οὔτ' ἀνακτᾶσθαι διαφθειρομένην,
οἷοί τ' ἂν ὦμεν ἀγνοοῦντες τὸ παράπαν, ἥτις ποτ' ἐστί. γέγραπται δὲ ἡμῖν ἑτέ-
ρωθι καὶ περὶ τοῦδε, καὶ δέδεικται τῶν μὲν ὁμοιομερῶν ὀνομαζομένων ἡ ὑγεία, θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ συμμε-
τρία τις ὑπάρχουσα. τῶν δ' ὀργανικῶν ἐκ τῆς τῶν ὁμοιομερῶν συνθέσεώς τε καὶ ποσότητος καὶ πηλικότητος
καὶ διαπλάσεως ἀποτελουμένη. ὥστε καὶ ὅστις ἂν ἱκανὸς ᾖ φυλάττειν ταῦτα, φύλαξ οὗτος ἀγαθὸς ὑγείας ἔσται.
φυλάξει δὲ, πρότερον ἐξευρὼν ἅπαντας τοὺς τρόπους καθ' οὓς διαφθείρεται. ὥσπερ γοῦν εἰ καὶ παντάπασιν ἀπα-
θὲς ἦν ἡμῶν τὸ σῶμα, τῆς προηγουμένης αὐτοῦ τέχνης, οὐκ ἂν ἐδεήθημεν, οὕτω νῦν ἐπειδὴ πάσχει πολυειδῶς, ἀνα-
γκαῖον ἔσται προσκτήσασθαι τινὰ τέχνην, τὴν ἁπάσας αὐτοῦ τὰς βλάβας γινώσκουσάν τε καὶ φυλάττεσθαι δυναμένην.
εἰσὶ δὲ βλάβαι τε καὶ διαφθοραὶ τοῦ σώματος ἡμῶν διτταὶ κατὰ γένος. αἱ μὲν γὰρ αὐτῶν, ἀναγκαῖαι τέ εἰσι καὶ σύμ-
φυτοι, τὴν οἷον ῥίζαν ἔχουσαι τὰς ἀρχὰς τῆς γενέσεως. ἔνιαι δὲ οὐκ ἀναγκαῖαι μὲν, οὐδ' ἐξ ἡμῶν αὐτῶν ὁρμώμεναι,
διαφθείρουσι δ' οὐδὲν ἧττον ἐκείνων τὸ σῶμα. διαιρησόμεθα ἤδη χωρὶς ἑκατέρας. αἷμα καὶ σπέρμα τῆς γενέσεως
ἡμῶν εἰσὶν ἀρχαὶ, τὸ μὲν οἷον ὕλη τις εὔρυθμός τε καὶ εὐπειθὴς εἰς ἅπαν τῷ δημιουργῷ, τὸ σπέρμα δὲ τὸν τοῦ δημιουρ-
γοῦ λόγον ἔχει. κέκραται δὲ ἑκάτερον μὲν, ἐκ τῶν αὐτῶν στοιχείων κατὰ γένος ὑγροῦ καὶ ξηροῦ, καὶ ψυχροῦ καὶ θερμοῦ. ἢ εἴπερ
ἐθέλει τις οὐκ ἀπὸ τῶν ποιοτήτων, ἀλλὰ κατὰ τὰς οὐσίας ὀνομάζειν αὐτὰ, γῆς καὶ ὕδατος ἀέρος καὶ πυρός. οὕτως γὰρ
ἡμῖν ἐν τῷ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἀποδέδεικται. διαφέρουσι δὲ τῷ ποσῷ τῆς μίξεως, τῷ μὲν γὰρ σπέρμα-
τι, πλέον ὑπάρχει πυρώδους τε καὶ ἀερώδους οὐσίας, τῷ δὲ αἵματι, γεώδους τε καὶ ὑδατώδους. ἐπικρατεῖ μὴν ἔτι
καὶ τούτῳ, τὸ μὲν θερμὸν τοῦ ψυχροῦ, τὸ δὲ ὑγρὸν, τοῦ ξηροῦ. καὶ διὰ τὴν ἐπικράτειαν ταύτην, οὐ ξηρὸν ὥσπερ ὀστοῦν
καὶ θρὶξ, ἀλλ' ὑγρὸν εἶναι λέγεται. τὸ δὲ σπέρμα ξηρότερον μὲν ἐστὶν, ἢ κατὰ τὸ αἷμα, ὑγρὸν μὴν ἔτι καὶ ὑγρὸν ὑπάρ-
χει καὶ αὐτὸν, καὶ οὕτως ἑκατέρωθεν ἡμῖν ἡ ἀρχὴ τῆς γενέσεως, ἐξ ὑγρᾶς οὐσίας ἐστὶν, ἣν οὐχ ὑγρὰν δήπου φυλάττεσθαι
προσῆκεν μέλλουσάν γε νεῦρα καὶ φλέβας καὶ ἀρτηρίας γε καὶ ὀστᾶ καὶ χόνδρους, καὶ ὑμένας, καὶ ὅσα τ' ἄλλα τοιαῦ-
τα γεννήσεσθαι, συγκαταβεβλῆσθαι τοίνυν ἀναγκαῖον ἐστὶν εὐθὺς ἀπὸ τῆς πρώτης γενέσεως, ἰσχυρότερον ἐν τῇ κρά-
σει τὸ ξηραντικὸν στοιχεῖον. ἔστι δὲ τὸ τοιοῦτον τῇ φύσει, μάλιστα μὲν τὸ πῦρ. ἤδη δὲ καὶ ἡ γῆ. ξηρὸν γάρ τι χρῆμα καὶ
ἥδε. ἀλλὰ τῆς μὲν γῆς, οὐχ οἷόν τε ἦν μίγνυσθαι, πλειόνων ὑγρῶν εἶναι δεομένων τῶν ἀρχῶν. τοῦ πυρὸς δ' οὔτε κωλύει

πλέον μιχθῆναι, καὶ κέκραται τοσούτῳ πλέον ἐν ἀμφοῖν, ὡς μήτε φεύγειν ἤδη καὶ καίειν, αὐτάρκως τε ξηραί-
νειν. καὶ γὰρ αὖ καὶ τὴν πρὸς τὰς κινήσεις ἑτοιμότατον τοσοῦτον ὑπάρχον τὸ θερμὸν ἱκανὸν ἂν ἦν παρασχεῖν,
ὑπὸ τούτου δή, τὰ μὲν πρῶτα συνίσταταί τε καὶ βραχεῖαν πῆξιν λαμβάνει τὸ κύημα. μετὰ δὲ ταῦτα ἐπὶ μᾶλ-
λον ἤδη ξηραινόμενον, οἷον ὑπογραφάς τινας ἴσχει, καὶ τύπους ἀμυδροὺς ἑκάστου τῶν μορίων. εἶτ' ἐπὶ πλέον
ξηρανθέν, οὐχ ὑπογραφὰς μόνον, οὐδ' ἀμυδροὺς τοὺς τύπους, ἀλλ' ἀκριβὲς ἑκάστου τὸ εἶδος ἴσχει. καὶ δὴ καὶ ἀπο-
κυηθέν, ἀεὶ καὶ μᾶλλον ἑαυτοῦ γίνεται ξηρότερόν τε καὶ ῥωμαλεώτερον, ἄχρι περ ἂν εἰς ἀκμὴν ἀφίκηται. τηνικαῦτα
δὲ τά τε τῆς αὐξήσεως ἵσταται, μηκέτι ἐπιδιδόντων τῶν ὀστῶν διὰ σκληρότητα, καὶ τῶν ἀγγείων δὲ ἕκαστον, εἰς εὖρος
διαφυσᾶται, καὶ σύμπανθ' οὕτως τὰ μόρια κρατύνεταί τε, καὶ εἰς τὴν ἀκροτάτην αὐτῶν ἰσχὺν ἀφικνεῖται. τὸ δ'
ἀπὸ τοῦ δέ, περαιτέρω τοῦ προσήκοντος ἤδη ξηροτέρων ἁπάντων τῶν ὀργάνων γιγνομένων, αἵ τε ἐνέργειαι
χεῖρον ἐπιτελοῦνται, καὶ ἀσαρκότερόν τε καὶ ἰσχνότερον ἑαυτοῦ γίνεται τὸ ζῷον. ἐπὶ πλέον δὲ ἀναξηραινόμενον, οὐκ
ἀσαρκώτερόν τε μόνον, ἀλλὰ καὶ ῥυσσὸν ἀποτελεῖται. καὶ τὸ κῶλον ἀκρατὲς καὶ σφαλερὸν ἐν ταῖς κινήσεσι. καὶ
καλεῖται μὲν ἡ τοιαύτη διάθεσις, γῆρας. ἀνάλογον δ' ἐστὶ τῇ τῶν φυτῶν αὐάνσει. καὶ γὰρ αὖ κἀκείνη, γῆρας ἐστὶ
φυτοῦ, δι' ὑπερβάλλουσαν ξηρότητα γινομένη. μία μὲν οὖν ἥδε σύμφυτος ἀνάγκη φθορᾶς ἅπαντι τῷ γεννητῷ
σώματι, δευτέρα δὲ τοῖς ζῴοις μάλιστα ὑπάρχουσα, τῆς ὅλης αὐτῶν οὐσίας ἡ ῥύσις, ἐκ τῆς ἐμφύτου θερμότητος ἀπο-
τελουμένη. ταύτας μὲν οὖν τὰς βλάβας οὐδενὶ γεννητῷ σώματι φυγεῖν ἐγχωρεῖ, τὰς δ' ἄλλας βλάβας ὅσαι ταύ-
ταις ἕπονται, δυνατὸν φυλάξασθαι προμηθούμενον. ἡ γένεσις δὲ κἀκείνων, ἐκ τοῦ τὰς ἀναγκαίας βλάβας ἐπανορ-
θοῦσθαι πειρᾶσθαι. ῥεούσης γοῦν τῆς συστάσεως ἁπάντων τῶν ζῴων, εἰ μή τις ἑτέρας ὁμοίας ἀντεισάγοι ταῖς ἀπορρεούσαις,
διαφορηθήσεταί τε καὶ σκεδασθήσεται σύμπαν οὕτως τὸ σῶμα. καὶ διὰ τοῦτο οἶμαι τὴν φύσιν οὐ μόνον τοῖς ζῴοις, ἀλ-
λὰ καὶ φυτοῖς εὐθὺς ἐξ ἀρχῆς συμφύτους δοῦναι δυνάμεις ἐφιεμένας τῶν ἀεὶ ἐλλειπόντων, οὔτε γὰρ ἐσθίειν, οὔτε πί-
νειν οὔτε τὸ ἀναπνεῖν διδασκόμεθα πρός τινος, ἀλλ' ἐξ ἀρχῆς ἔχομεν τῶν ἁπάντων, τούτων ἐν ἡμῖν τὰς δυνάμεις
αὐτοδιδαχῆς ἐπιτελούσας ἅπαντα. διὰ μὲν οὖν τῆς ἐδωδῆς, ἀναπληροῦμεν ὅσον ἀπορρεῖ τῆς ξηροτέρας οὐσίας, διὰ
δὲ τοῦ πόματος, τῆς ὑγροτέρας ἀντεισάγομεν εἰς τὴν ἀρχαίαν ἐπανάγοντες ἄμφω συμμετρίαν. οὕτω δὲ καὶ τῆς
ἀερώδους τε καὶ πυρώδους οὐσίας τὴν συμμετρίαν, ἀναπνοαῖς τε καὶ σφυγμοῖς διασώζομεν. ἀποδέδεικται δὲ καὶ
περὶ τούτων ἁπάντων ἰδίᾳ καθ' ἕκαστον, ἐν ἑτέροις γράμμασι, καὶ προσήκειν ἡγοῦμαι τῷ λόγῳ τῷ νῦν ὅσα δέδει-
κται δι' ἐκείνων ὑποθέσεως ποιησαμένους πρὸς τὴν ὑγιεινὴν πραγματείαν οὕτως ἔχεσθαι τῶν ἑξῆς. ἐπειδὴ γὰρ ἀπορ-
ρεῖ μὲν ἁπάντων τῶν ζῴων ὁσημέραι πολὺ μέρος τῆς οὐσίας διὰ τὴν ἔμφυτον θερμότητα, δεόμεθα ὑπὲρ τοῦ τὴν
συμμετρίαν αὐτῆς διαφυλάττεσθαι, σιτίων τε καὶ πομάτων ἀναπνοῆς τε καὶ σφυγμῶν, ἐξ ἀνάγκης ἀκολου-
θήσει τοῖς δὲ περιττωμάτων γένεσις. εἰ μὲν γὰρ οἷόν περ ἦν τὸ κενωθὲν ἕτερον, ἀκριβῶς τοιοῦτον εἴχομεν αὐτῷ προ-
σφῦσαι δι' ὅλου, κάλλιστον ἂν ἦν τοῦτο καὶ ὑγιεινότατον. ἐπεὶ δὲ τὸ μὲν ἀπορρέον ἑκάστου τῶν μορίων, τοιοῦτον τὴν
φύσιν ἐστίν, οἷόν περ αὐτὸ τὸ μόριον, οὐδὲν δὲ τῶν ἐσθιομένων, ἢ πινομένων ἀκριβῶς ἐστὶ τοιοῦτον, ἀναγκαῖον ἐγέ-
νετο τῇ φύσει, προμεταβάλλειν τε καὶ πέττειν αὐτά. καὶ ὡς ἐνὶ μάλιστα προπαρασκευάζειν, ὅμοια τῷ θρεψαμένῳ
σώματι. κἂν τούτῳ τὸ μὴ κατεργασθὲν ἀκριβῶς μηδ' ἐξομοιωθέν, οὔτε προσφύεται τῷ σώματι, καὶ ὡς περιττὸν ἀλά-
ται κατὰ τὰς ἔνδον εὐρυχωρίας, ὅθεν περ αὐτῷ καὶ τοὔνομα πρὸς τῶν ἔμπροσθεν ὀρθῶς ἐτέθη περίττωμα. ἐπειδὴ
οὖν τὸ μὲν ἐσθίειν καὶ πίνειν ἀναγκαῖα τοῖς ζῴοις ὑπάρχει, ἠκολούθει δὲ τούτοις ἡ τῶν περιττωμάτων γένεσις, ὄργα-
νά τε πρὸς τὴν ἀπόκρισιν αὐτῶν ἡ φύσις παρεσκεύασεν, καὶ δυνάμεις αὐτοῖς ἐνέθηκε, δι' ὧν κινούμενα τὰ μὲν, ἕλ-
κει, τὰ δὲ ἐκ τῶν παραπέμπει, τὰ δὲ ἐκκρίνει τὰ περιττώματα. καὶ χρὴ δήπου καὶ ταῦτα, μήτ' ἐμφράττεσθαι κατά τι, μήτε ἀρ-
ρωστεῖν κατὰ τὰς ἐνεργείας, ὑπὲρ τοῦ καθαρὸν ἀεὶ καὶ ἀπέριττον φυλάττεσθαι τὸ σῶμα. καί σοι δύο μὲν ἤδη σκοποὺς τοὺς
περὶ δίαιταν ὑγιεινὴν ὁ λόγος ὑφηγήσατο. τὸν μὲν ἕτερον ἀναπλήρωσιν τῶν κενουμένων. τὸν δ' ἕτερον, ἀπόκρι-
σιν τῶν περιττωμάτων. ὁ γὰρ δὴ τρίτος ὁ περὶ τοῦ μὴ ταχύγηρον γίνεσθαι τὸ ζῷον, ἐξ ἀνάγκης ἕπεται τοῖς εἰρη-
μένοις. εἰ γὰρ μηδὲν ἁμαρτάνοιτο μήτε ἐν τῷ τὸ κενούμενον ἀναπληροῦσθαι, μήτε ἐν τῷ τὰ περιττώματα μένειν
ἔνδον, ὑγιαίνοιτ' ἂν ἐν τῷδε τὸ ζῷον, ἀκμάζοι τε μέχρι παμπόλλου. περὶ μὲν δὴ τοῦδε καὶ αὖθις εἰρήσεται τοῦ λόγου
προϊόντος. τὸ δ' ὑπόλοιπον, ὧν ἐξ ἀρχῆς διελέσθαι προὐθέμεθα, καταθῶμεν, ὑπὲρ τοῦ διωρίσθαι σαφῶς, ἤδη τοὺς
ὑγιεινοὺς σκοποὺς ὁποῖοί γέ εἰσι καὶ ὁπόσοι. ἔφαμεν γὰρ ὡς εἰ μὲν ἀπαθὲς ἦν ἡμῶν τὸ σῶμα καθάπερ ἀδάμας ἢ
τι τοιοῦτον, οὐδεμιᾶς ἂν ἐδέηθη τέχνης ἐπιστατούσης αὐτῷ. ἐπεὶ δὲ διττὰς ἔχει τῆς φθορᾶς αἰτίας. τὰς μὲν, ἔνδοθεν
τε καὶ ἐξ αὐτοῦ. τὰς δὲ ἐκ τῶν ἔξωθεν προσπιπτόντων. ἀναγκαῖον αὐτὸν δεῖσθαι προνοίας οὐ μικρᾶς. ἐξ ἑαυτοῦ μὲν ἐδεί-
χθη κατὰ διττὸν τὸν πρῶτον τρόπον φθειρόμενον, ἢ διὰ γήρως ἐπὶ θάνατον προϊόν, ἢ διὰ τὸ ῥεῖν ἀεὶ τὴν οὐσίαν αὐτοῦ.
καθ' ἕτερον δέ, τὸν ἑπόμενον οἷς ἐσθίει τε καὶ πίνει τὸν ἐκ τῆς τῶν περιττωμάτων γενέσεως. ἐξ αὐτοῦ μὲν οὖν ὧδε
τως φθείρεται, τῶν δὲ ἔξωθεν αὐτῷ προσπιπτόντων ἓν μὲν ἀχώριστόν τε ἐστί, καὶ διαπαντὸς ὑπάρχει αὐτῷ, καὶ ὡς
ἂν εἴποι τις σύμφυτον, ὁ περιέχων ἀήρ. τὰ δ' οὐκ ἀναγκαῖα καὶ κατὰ χρόνους τινὰς ἀτάκτως ὁμιλοῦντα. ὁ μὲν περιέ-
χων ἀήρ, ἢ τῷ θερμαίνειν ἀμέτρως, ἢ τῷ ψύχειν, ἢ τῷ ξηραίνειν, ἢ τῷ ὑγραίνειν βλάπτοντα. τὰ δὲ, τῷ θλᾶν, ἢ
διασπᾶν, ἢ τιτρώσκειν ἢ ἐξάρθρον τι ποιεῖν. ἐστὶ μὲν οὖν τις ἐνταῦθα λογικὴ ζήτησις εἰς ἑκάτερον ἐπιχειρεῖσθαι
δυναμένη, τινῶν μὲν, τῆς περὶ τὸ σῶμα τέχνης, ἁπάντων τὴν φυλακὴν εἶναι λεγόντων. τινῶν δὲ, τῶν θερμαινόντων
τε καὶ ψυχόντων, ὑγραινόντων καὶ ξηραινόντων μόνον. εἰ γάρ τι θλῶν, ἢ τιτρῶσκον, ἢ τι τοιοῦθ' ἕτερον ἐργαζόμενον
ἐξίστησι τῆς κατὰ φύσιν ἡμᾶς, οὐδεμιᾶς εἶναι τέχνης, οὔτε γινώσκειν, οὔτε φυλάττειν τὰ τοιαῦτα. ἐμοὶ δὲ περὶ μὲν τοιού-
των προβλημάτων οὐ πρόκειται νῦν διαιρεῖν. ὅπερ δ' ὁμολογούμενόν ἐστι παρ' ἀμφοῖν ἐξ ἑτοίμου λαβὼν, ἐπὶ τὸ
προκείμενον ἄπειμι. τὸ μὲν γὰρ ἅπαντα τοῖς ἀνθρώποις γινώσκεσθαι, τὰ τῷ τιτρώσκειν, ἢ θλᾶν, ἢ τι τοιοῦτον
ἕτερον ἐργάζεσθαι, βλάπτοντά τε καὶ διαφθείροντα τὴν ὑγείαν, οὐχ ἅπασι δὲ ὅσα τῷ θερμαίνειν, ἢ ψύχειν,
ξηραίνειν, ἢ ὑγραίνειν, ὁμολογεῖται παρ' ἀμφοῖν. οὐκοῦν οὐδ' ἡμεῖς αὐτοῖς παρὰ μέρος τι πράττειν δόξομεν,
τὰ γινωσκόμενα ἅπασι ὑπερβάντες, ἐπὶ τὰ μὴ γινωσκόμενα τὸν λόγον ἄγοιμεν. οὐ γάρ μοι πρόκειται τὸ γ-

νῦν ἐστὶ σοφιστικὰ ζητήματα διελθεῖν. ἀλλ' ὡς ἂν τις ἥκιστα νοσοίη ὑφηγεῖσθαι. πάλιν οὖν ἐπὶ τὴν οἰκείαν ἀρχὴν
ἐπαναγάγωμεν τὸν λόγον, ἀναμνήσαντες ἀκριβέστερον ἔτι τῶν ὑποθέσεων αὐτῶν. τό τε γὰρ εἶναι τὴν ὑγίειαν οὐχ
ἁπλῶς εὐκρασίαν ἢ συμμετρίαν τῶν στοιχείων, ἐξ ὧν ἐγενόμεθα, καθάπερ οἱ πρὸ ἡμῶν ὀλίγου δεῖν ἅπαντες φαμὲν
ζῷον, ἀλλὰ μόνην τὴν τῶν ὁμοιομερῶν σωμάτων, προδεδειγμένον ἡμῖν ἐν ἑτέροις, ὑπόθεσις ἔσω πρὸς τὰ παρόντα. τό,
τε τῶν ὀργανικῶν σωμάτων τὴν ὑγίειαν ἐν διαπλάσει, καὶ ἀριθμῷ, καὶ πηλικότητι, καὶ συνθέσει τῶν ὁμοιομερῶν
συνίστασθαι, καὶ τοῦθ' ὡσαύτως ὑποκείσθω προδεδειγμένον ἑτέρωθεν. καὶ μὴν καὶ ὅτι ταῖς κατὰ φύσιν ἐνεργείαις
ἡ ὑγιεινὴ κατασκευὴ κρίνεται, καὶ ὅτι τῆς ὑγιείας, ἡ μὲν, ἀρίστη τίς ἐστι. καὶ ὡς ἂν οὕτως τις εἴποι, τελεία τε καὶ ἄκρα. ἡ
δ' οἷον ἐλλιπής τε καὶ οὐκ ἀκριβὴς οὐδὲ τελεία, ἥν περ δὴ καὶ πλάτος ἔχειν πάμπολυ φαμὲν, ὑποκείσθω καὶ ταῦθ'
ἡμῖν, ἐν τῷ δὲ, δι' ἑτέρων τε ἤδη προαποδεδειγμένα. καὶ νῦν οὐχ ἥκιστα δειχθησόμενα. μάλιστα δ' ἀνεγνωκέναι βού
λομαι τὸν ὁμιλήσαντα τοῖσδε τοῖς γράμμασι, τὸ βιβλίον ἐν ᾧ σκέπτομαι. τίνος ἐστὶ τέχνης μέρος τὸ ὑγιεινόν,
ἐπιγράφεται δὲ θρασύβουλος, ἔτι δὲ καὶ τὸ περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος ἡμῶν. ἔτι δὲ τὸ περὶ τῆς εὐεξίας ἐστὶ
ἄμφω μικρὰ βιβλίδια, ἃ εἰ προαναγνοὺς τις ἐπὶ τόνδε τὸν λόγον ἀφίκοιτο, ῥᾷστα ἂν ἀκολουθήσειε τοῖς νῦν λεγο
μένοις. ὅτι δὲ καὶ τῶν περὶ τῶν καθ' Ἱπποκράτους στοιχείων ἀναγκαῖον ἐστὶν εἰς τὰ παρόντα, πρότερον εἴρηται. καὶ γὰρ
δὴ καὶ ἕπεται ἐκείνῳ τὸ περὶ τῆς ἀρίστης κατασκευῆς, καὶ τὸ περὶ τῆς εὐεξίας. ἐπὶ τούτοις ὑποκειμένοις ἐνθένδε
ποθὲν ἀρκτέον ἂν εἴη τῆς ὑγιεινῆς πραγματείας. ἐπειδὴ συμμετρία τίς ἐστιν ἡ ὑγεία, συμμετρία δὲ πᾶσα κατὰ
διττὸν τρόπον ἀποτελεῖταί τε καὶ λέγεται, ποτὲ μὲν εἰς ἄκρον ἥκουσα καὶ ὄντως οὖσα συμμετρία ποτὲ δὲ ἀπολειπο
μένη βραχύτι τῆς ἀκριβείας, εἴη ἂν καὶ ὑγιεινὴ συμμετρία διττή τις. ἡ μὲν γὰρ ἀκριβής τε καὶ ἀρίστη καὶ τελεία καὶ
ἄκρα. ἡ δὲ, ἀπολειπομένη μὲν ταύτης, οὐ μὴν ἤδη γέ πω τοσοῦτον, ὡς λυπεῖσθαι τὸ ζῷον. ἔτι δὲ κἀνταῦθα λογικὴ
τις μᾶλλον, ἢ κατὰ τὴν χρείαν τῆς τέχνης, ζήτησις. οὐ συγχωρούντων ἐνίων ἕτερον ἑτέρου μᾶλλον ὑγιαίνειν, οὐδ' εἶναι
πλάτος ἱκανὸν ἐν τῇ διαθέσει τοῦ σώματος, ἣν ὑγίειαν ὀνομάζομεν, ἀλλ' ἄν τι καὶ ἀπηκριβωμένον οὖσαν αὐτὴν
ἄτμητον εἰς τὸ μᾶλλόν τε καὶ ἧττον ὑπάρχειν. ἐμοὶ δὲ ὥσπερ τὸ λευκὸν σῶμα. τὸ μὲν, ἧττον λευκὸν εἶναι φαίνε
ται. τὸ δὲ, μᾶλλον, οὕτως καὶ τὸ ὑγιαῖνον, ἧττόν τε καὶ μᾶλλον εἶναι δοκεῖ τοιοῦτον. διττὴ δὲ ἀπόδειξις τοῦ λόγου.
μία μὲν, ἐκ τῆς κατὰ τὰς ἡλικίας μεταπτώσεως, ἀφ' οὗ γὰρ ἂν ἀποκυηθῇ τὸ ζῷον, ἀεὶ μεταβάλλειν ἀναγκαῖον αὐτοῦ
τὴν κρᾶσιν ὡς ἔμπροσθεν ἐδείκνυμεν. ὥστ' εἴπερ ἐν μὲν τῷ ποιῷ τῆς κράσεως ἡ ὑγίεια. τὸ ποιὸν δ' οὐ μένει ταὐ
τόν, οὐδὲ τὴν ὑγίειαν ἐγχωρεῖ τὴν αὐτὴν φυλάττεσθαι. δευτέρα δ' ἀπόδειξις ἐκ τῆς κατὰ τὰς ἐνεργείας διαφορᾶς.
οὔτε γὰρ τοῖς ὀφθαλμοῖς ὡσαύτως ἅπαντες οἱ ὑγιαίνοντες ὁρῶσιν, ἀλλ' οἱ μὲν, μᾶλλον. οἱ δ' ἧττον, οὔτε
τοῖς ὠσὶν ὁμοίως ἀκούουσιν, ἀλλὰ κἀνταῦθα πάμπολυ τὸ μᾶλλόν τε καὶ ἧττον. οὐ μὴν οὐδὲ τοῖς σκέλεσιν ὡσαύ
τως θέουσιν, οὐδὲ ἀντιλαμβάνονται ταῖς χερσίν. οὐδὲ τοῖς ἄλλοις ἅπασιν ὀργάνοις ὡσαύτως ἐνεργοῦσιν, ἀλλ' ὁ
μέν τις βέλτιον, ὁ δὲ, χεῖρον. εἴπερ οὖν αἱ διαφοραὶ τῶν ἐνεργειῶν ταῖς τῶν κράσεων διαφοραῖς ἀκολουθοῦ
σιν, ἀνάγκη τοσαύτας εἶναι τὰς τῶν κράσεων διαφορὰς, ὅσαι περ καὶ αἱ τῶν ἐνεργειῶν. εἰ δὲ μὴ κράσεων
ἐθέλει τις λέγειν, ἀλλὰ κατασκευῶν, ἵν' ἐπὶ πάσας ταῖς αἱρέσεσιν ὁ λόγος ἐκτείνοιτο, περαίνοιτ' ἂν ὡσαύ
τως. συμμετρία γὰρ δή τις ἡ ὑγίεια κατὰ πάσας ἐστὶ τὰς αἱρέσεις, ἀλλὰ καθ' ἡμᾶς μὲν ὑγροῦ καὶ ξηροῦ, καὶ
θερμοῦ καὶ ψυχροῦ. κατ' ἄλλους δὲ ὄγκων καὶ πόρων. κατ' ἄλλους δὲ ἀτόμων, ἢ ἀνάρμων, ἢ ἀμερῶν, ἢ ὁμοιο
μερῶν, ἢ ὁτουδὴ τῶν πρώτων στοιχείων. ἀλλὰ κατὰ πάντας γε διὰ τὴν συμμετρίαν αὐτῶν ἐνεργοῦμεν τοῖς μο
ρίοις. εἴπερ οὖν διαφόρως ἐνεργοῦμεν, διάφορός ἐστι καὶ ἡ καθ' ἕκαστον συμμετρία τῶν στοιχείων, ὅπερ ἦν ἡ ὑ
γίεια. καὶ μὴν καὶ χωρὶς τοῦ στοιχείου μνημονεύειν, ὧδ' ἂν ὁ λόγος ἐρωτηθείη. εἴπερ ταῖς κατασκευαῖς τῶν
μορίων ἀκολουθοῦσιν αἱ ἐνέργειαι, ὅσαι περ ἂν ὦσιν ἐν ταῖς ἐνεργείαις αἱ διαφοραὶ, τοσαῦται καὶ αἱ κατα
σκευαὶ ἔσονται. ἀλλὰ μὴν ἀκολουθοῦσιν ταῖς κατασκευαῖς αἱ ἐνέργειαι, ἀναγκαῖον ἄρα τοσαύτας εἶναι τῶν
κατασκευῶν διαφορὰς, ὅσαι περ καὶ αἱ τῶν ἐνεργειῶν. εἰσὶ δὲ τῶν ἐνεργειῶν πάμπολλαί τινες, ἄρα καὶ τῶν κα
τασκευῶν εἰσίν. εἴπερ οὖν ἐν ἅπασι τοῖς ὑγιαίνουσι αἱ κατασκευαὶ τῶν μορίων ὑπάρχουσι σύμμετροι, διάφο
ροι δὲ εἰσὶν αἱ κατασκευαὶ, διότι αἱ ἐνέργειαι διάφοροι, πάμπολλαί τινες συμμετρίαι τῶν κατασκευῶν
ἔσονται, ὥστε καὶ ὑγίειαι πάμπολλαι. καὶ μὴν εἰ διαφέρουσιν ἀλλήλων αἱ κατὰ μέρος ὑγίειαι, ἤτοι κατὰ τὸ
κοινὸν ἁπάσαις εἶδος ἀφ' οὗπερ ὑγίειαι λέγονται διοίσουσιν, ἢ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφέρου
σιν. ὥσπερ γὰρ ἡ ἐν τῇ χιόνι λευκότης τῆς ἐν τῷ γάλακτι λευκότητος, ᾗ μὲν λευκόν ἐστιν, οὐ διαφέρει, τῷ δὲ μᾶλ
λον δὲ διαφέρει, κατὰ τὸν αὐτὸν τρόπον, ἡ ἐν τῷ Ἀχιλλεῖ φέρε εἰπεῖν ὑγίεια τῆς ἐν τῷ Θερσίτῃ ὑγιείας, καθ' ὅσον
μὲν ὑγίεια, ταὐτόν ἐστιν, ἑτέρῳ δέ τινι διαφέρει. καὶ τοῦτο τὸ ἕτερον οὐδέν, ἄλλο ἐστὶν ἢ τὸ μᾶλλόν τε καὶ ἧττον.
οὔτε γὰρ ὡς οὐ διαφερόντως ἐνεργοῦμεν ἅπαντες ἔνεστιν εἰπεῖν, οὔθ' ὡς δι' ἄλλο τι τὴν ἀνισότητα ταύτην
ἔχομεν, ἢ τὴν κατασκευὴν ἐφ' ἧς ἐνεργοῦμεν. εἴ τις δὲ φήσει μόνους μὲν τοὺς ἅπασι τοῖς μορίοις ἄκρως ἐνερ
γοῦντας ὑγιαίνειν, ἡμᾶς δὲ τοὺς ἄλλους, ὅσοι χεῖρον ἐκείνων ἔχομεν οὐχ ὑγιαίνειν, ἴσω συμπάσης οὗτος τῆς ὑγιει
νῆς πραγματείας ἀνατρέπων τὴν ὑπόθεσιν. εἰ γὰρ δὴ τὸ φυλάττειν ἣν παρελάβομεν ὑγίειαν ὁ σκοπὸς αὐ
τῆς ἐστὶν, οὐδεὶς δὲ ἡμῶν ὑγιαίνει, πρόδηλον ὡς ἐπ' οὐδενὸς ἐνεργοῦσαν ἕξομεν, ἣν νῦν συστῆσαι βουλόμεθα τέ
χνην ὑγιεινήν, οὐκοῦν οὐδὲ ζητητέον αὐτὴν ἀλλὰ σιωπητέον, καὶ παυστέον ἤδη τὸν λόγον. ἁπάσας οὖν ἐκκό
πτει τὰς τοιαύτας ἀπορίας, ἡ τῆς ἀληθείας γνῶσις, οὐ γὰρ ἡ τελεία μόνον ἥτις ἐστὶν ἄτμητος ὑγίεια λέγεται
τε καί ἐστιν, ἀλλὰ καὶ ἡ τῆς δὲ μὲν ἀποδέουσα, μήδε πω δὲ τῆς χρείας ἐκπεπτωκυῖα. χρήζομεν γὰρ ἅπαντες ἄν
θρωποι τῆς ὑγιείας, εἴς τε τὰς κατὰ τὸν βίον ἐνεργείας, ἃς ἐμποδίζουσί τε ἢ διακόπτουσι καὶ καταπαύουσιν αἱ
νόσοι καὶ προσέτι τῆς ἀνοχλησίας ἕνεκεν. ὀχλούμεθα γὰρ ἐν ταῖς ὀδύναις οὐ σμικρά. τὴν δὲ τοιαύτην κατάστα
σιν ἐν ᾗ μήτε ὀδυνώμεθα, μήτε ἐν ταῖς κατὰ τὸν βίον ἐνεργείαις ἐμποδιζόμεθα, καλοῦμεν ὑγίειαν, ἣν εἴ τις
ἑτέρῳ προσαγορεύειν ὀνόματι βούλεται, πλέον οὐδὲν ἐκ τούτων χρήσεται. καθάπερ οὐδ' οἱ τὴν ἀπάθειαν εἰσάγον
τες. εἰ μὲν γὰρ διὰ τοῦτ' εἰσῆγον αὐτὴν ὅτι πᾶν σῶμα γεννητόν, ὥσπερ τὰς τῆς γενέσεως αἰτίας, οὕτω καὶ τὰς τῆς φθο

τῆς φθορᾶς ἔχει σύμφυτος ἐξ ἀρχῆς, ὡς ἡμεῖς ἔμπροσθεν ἐπεδείξαμεν, ἐπῃνοῦμεν ἂν αὐτοὺς ὡς ἀληθῆ τε καὶ ἀρ- καὶ παλαιὰ πρεσβεύοντες δόγματα. ἐπειδὴ δὲ ὁμοειδῆ τὴν τῶν ὑγιαινόντων σωμάτων κατάστασιν εἶναι βούλονται ταῖς τῶν νοσούντων, οὐκέτ' ἐπαινοῦμεν, οὐδὲ ἀποδεχόμεθα τὸ δόγμα. βέλτιον γὰρ ἦν μακρῷ, πλάτος ὑποθέσθαι † συνεχὸν ἔχειν τὴν ὑγίειαν, ἥπερ ἅπαντας ἡμᾶς ἀπαύστων νοσημάτων συνέχεσθαι. καὶ γὰρ τὰ σπέρματα πασῶν τῶν νόσων ἐνυπάρχειν ἡμῖν φασιν. ἀλλά τοι συγχωροῦσί τε καὶ αὐτοί, διὰ τὴν σμικρότητα, τὴν αἴσθησιν ἡμῶν ἐκφεύγειν αὐτά. ἔστω τοίνυν εἰ βούλονται ὀδυνηρά τις ἐν ἡμῖν διάθεσις, ἀλλ' οὕτω σμικρὰ καὶ ἀναίσθητος, ὡς μὴ λυπεῖν οὐδ' ἔχοντας. ἔστωσαν εἰ βούλονται καὶ πυρετοί, ἀλλ' οὕτω σμικροί, ὡς μήτ' αἴσθησιν ἡμῖν ἀπ' αὐτῶν γίνεσθαι μηδὲ μίαν. ἐξεῖναί τε καὶ πολιτεύεσθαι, καὶ λοῦσθαι καὶ πίνειν, ἐσθίειν τε καὶ τἆλλα πράττειν ὧν δεόμεθα. τὸ γὰρ τῆς χρείας ἀπαραπόδιστον, ὁρίζει μᾶλλον τὴν ὑγίειαν, οὐ γὰρ ἡ τῶν ἐνεργειῶν ἀσθένεια νόσου γνώρισμά ἐστιν, ἁπλῶς οὕτως εἰποῦσιν, ἀλλ' ἡ παρὰ τὴν ἑκάστου φύσιν. ὡς ἅπαντές τε κακῶς ὁρῶμεν, εἰ τοῖς ἀετοῖς τε καὶ λυγκεῖ παραβαλλοίμεθα. καὶ ἀκούομεν οὐκ ὀρθῶς, εἰ μελάμποδι, καὶ δὴ καὶ τοῖς ποσὶν ἀρρωστοῦμεν, εἴ τις ἡμᾶς ἰφίκλῳ παραβάλλοι. καὶ ταῖς χερσὶν εἰ μίλωνι. καὶ καθ' ἕκαστον δὴ μόριον, ἐγγὺς ἂν ἥκειν νοσθείημεν πηρώσεως, εἰ τοῖς πρωτεύουσι κατὰ τοῦτο παραβαλλοίμεθα. τίς γ' οὖν ἡμῶν φαύλως ἔχειν οἴεται τὸν ὀφθαλμόν, εἰ μὴ βλέποι τοὺς ἀπὸ δυοῖν σταδίων μύρμηκας, ἢ τις τῶν ὤτων εἰ μὴ κατακούοι τῶν ἀφ' ἑξήκοντα σταδίων. ἀλλ' εἰ ταῦτα τὰ γράμματα τὰ κατὰ τουτὶ τὸ βιβλίον ἐγγεγραμμένα μὴ βλέποι τις ὀρθῶς, οὕτως ἤδη μέμφεται τὰς ὄψεις, οὐ μὴν οὐδ' εἰ ταῦτα τέσσαρας πήχεις ἀφεστῶτα εἰ μὴ βλέποι, δικαίως ἂν μέμφοιτο. πλὴν εἰ τῶν οὕτως τις ὀξυωπεστάτων εἴη τὴν φύσιν, ὡς καὶ ταῦτα βλέπειν. οὕτως γὰρ οἶμαι καὶ μέμψεται, καὶ φήσει δικαίως, ὅνπερ ἅπαντες ἄνθρωποι λέγουσιν, ὡς τὸ δέ τι κατὰ τὸν ἔμπροσθεν χρόνον ἐνεργῶν, εἶτα νῦν οὐκ ἐνεργεῖ, τὸν μὲν γὰρ τοιοῦτον, εἰ νόσῳ τινὶ φήσομεν ὑπάρχειν. εἴπερ μὴ δὲ διὰ γῆρας τοῦτο πάσχει, καί τοι καὶ τοῦτο νόσον ἤδη λέγουσιν ἔνιοι, τοὺς δ' ἄλλους ἅπαντας οἷς φύσει μὴ δ' ὀξὺ βλέπειν, ἢ ἀκούειν ὑπάρχει, μή τε θέειν ὠκέως, ἤ τι τοιοῦτον ἕτερον ἐνεργεῖν ἰσχυρῶς, οὔτε νοσεῖν, οὔθ' ὅλως παρὰ φύσιν ἔχειν ὑπολαμβανόμεθα. πᾶσαι μὲν γὰρ αἱ νόσοι παρὰ φύσιν. οὐκ ἔχουσι δ' οἱ τοιοῦτοι παρὰ φύσιν, ὥσπερ οὐδ' οἱ γέροντες. οὐκοῦν ἁπλῶς τε τῶν ἐνεργειῶν εὐρωστία, τε καὶ ἀρρωστία κριτέον ἐστὶ τοὺς ὑγιαίνοντάς τε καὶ νοσοῦντας, ἀλλὰ τὸ κατὰ φύσιν μὲν, τοῖς ὑγιαίνουσι. τὸ παρὰ φύσιν δὲ, τοῖς νοσοῦσι προσθετέον. ὡς εἶναι τὴν μὲν ὑγίειαν, διάθεσιν κατὰ φύσιν ποιητικὴν ἐνεργείας. τὴν δὲ νόσον, διάθεσιν παρὰ φύσιν ἐνεργείας βλαπτικήν. οὔτε γὰρ εἰ κατὰ φύσιν ἡ διάθεσις ἤδη καὶ ὑγίεια. διάθεσις γάρ τις ἐστὶ κατὰ φύσιν. εἴτε τῶν αἰγυπτίων μελανότης, εἴτε τῶν κελτῶν λευκότης, εἴτε τῶν σκυθῶν πυῤῥότης. ἀλλ' οὐδὲν τῶν τοιούτων ὑγίεια. διό τι μὴ δ' ἐν χρώμασιν ὅλως ἡ ὑγίεια. οὔτ' εἰ παρὰ φύσιν ἤδη καὶ νόσος. ὡς εἴη τ' ἂν οὕτω, καὶ νόσος ἥ τ' ἐξ ἡλίου μελανότης, ἥ τ' ἐκ μακρᾶς σκιατροφίας λευκότης. ἀλλὰ προσθεῖναι χρὴ τῇ μὲν τῆς ὑγείας ἐννοίᾳ, τὸ, λόγον αἰτίας ἔχειν αὐτὴν πρὸς τὴν ἐνέργειαν. τῇ δὲ τῆς νόσου, τὸ καὶ ταύτην ἐνέργειαν βλάπτειν. ἀλλὰ περὶ μὲν τούτων, ἐν ἑτέροις εἴρηται διὰ πλειόνων. εἰς δὲ τὰ παρόντα τοσοῦτον ἀπαρκέσει μόνον ἐξ αὐτῶν εἰλῆφθαι, τὸ πλάτος ἱκανὸν εἶναι τῆς ὑγείας, καὶ μὴ πᾶσιν ἡμῖν ὑπάρχειν ἴσον ἀκριβῶς. εἰ δέ τῳ δοκεῖ βίαιον εἶναι καὶ τὴν μὴ παντάπασιν ἀπηκριβωμένην εὐκρασίαν ὅμως ἔτι καὶ αὐτὴν ὀνομάζεσθαι, οὗτος ἀναμνησθήτω τῶν κατὰ τὸν βίον ἁπάντων ὀνομάτων. εὔκρατον οὖν τι καὶ πόμα φαμὲν εἶναι καὶ βαλανεῖον οὐ μόνον ὅτι τὸ μὲν ἄλλῳ, τὸ δὲ, ἄλλῳ τοιοῦτον ἐστίν. ἀλλὰ καὶ ὅτι πρὸς τὸν αὐτὸν ἄνθρωπον ἐν πλάτει, τοιοῦτον ὑπάρχειν. ἀποστραφέντος οὖν τοῦ πίνοντος, ἐμβαλὼν εἰς τὸ ποτήριον ἢ θερμὸν, ἢ ψυχρὸν, βραχὺ, λάθοις ἂν εὔκρατον ποιήσας. καί τοι γ' εἴπερ ἦν οὕτως ἀπηκριβωμένον, τὸ εὔκρατον, ὡς ἓν εἶναι καὶ ἄτμητον οὐκ ἂν ἐπιβαλόντος θερμὸν ἢ ψυχρὸν, ἔτ' εὔκρατον ἐφαίνετο. κατὰ δὲ τὸν τρόπον, οὐδ' εἰ βραχύ τις εἰς τὴν εὔκρατον κολυμβήθραν ἐμβάλλει ψυχρὸν, διαφθερεῖ παραχρῆμα τὴν χρείαν αὐτῆς. οὕτω δὲ τὸ περιέχον εὔκρατον εἶναι φαμὲν, εἰ καὶ βραχείας ἐφ' ἑκάτερα τροπὰς λαμβάνει. καὶ τί θαυμαστὸν εἰ τὴν εὐκρασίαν εἰς ἱκανὸν ἐκτείνουσι πλάτος ἅπαντες, ὅπου γε καὶ ἐν αὐταῖς λύραις εὐαρμοστίαν, τὴν μὲν ἀκριβεστάτην δήπου μίαν καὶ ἄτμητον ὑπάρχειν εἰκός. ἡ μέν τοι γ' εἰς χρείαν ἥκουσα, πλάτος ἔχει. πολλάκις γ' οὖν ἡρμόσθαι δοκοῦσαν ἄριστα λύραν, ἕτερος μουσικὸς ἀκριβῶς ἐφηρμόσατο. πανταχοῦ γὰρ ἡ αἴσθησις ἡμῖν ἐστὶ κριτήριον, ὡς πρὸς τὰς ἐν τῷ βίῳ χρείας, ὥς τε καὶ τὴν εὐκρασίαν, καὶ τὴν δυσκρασίαν αἰσθήσει κρινοῦμεν, ὡσαύτως δὲ καὶ τὴν τῆς ἐνεργείας βλάβην ἑκάστου τῶν βεβλαμμένων παρὰ τὸ κατὰ φύσιν, ὅταν εἰς αἰσθητὸν ἥκῃ μέγεθος, ἤδη νόσον ἡμῖν εἶναι νομιστέον. οὐδὲν ὡς πρὸς τὰ παρόντα διαφέροντος, οὐδ' ἐνταῦθα, πότερον αὐτὰς τὰς βεβλαμμένας ἐνεργείας τὸ νόσημα εἶναι λέγει τις, ἢ τὰς διαθέσεις, ὑφ' ὧν βλάπτονται. ὥσπερ οὐδ' εἰ διαθέσεις τις ἢ κατασκευὰς ὀνομάζειν ἐθέλει. δείκνυται γὰρ ἡμῖν ἑτέρωθι καὶ περὶ τῶν δὲ, καὶ δέδεικται κατὰ τὰς διαθέσεις τε καὶ κατασκευὰς τοῦ σώματος ἥ θ' ὑγεία καὶ νόσος, οὐ κατὰ τὰς ἐνεργείας τε καὶ τὰς βλάβας αὐτῶν συνιστάμεναι, ἀλλά πρός γε τὸ φυλάττειν ὑγείαν, ἢ ἰᾶσθαι τὰς νόσους. οὐδὲν ἐκ τῆς τούτων ἀκριβείας ὀνινάμεθα. μόνον γὰρ ἀρκεῖ διαγινώσκειν, ὡς ἡ μὲν κατασκευὴ τοῦ σώματος, αἰτίας ἔχουσα λόγον ὡς πρὸς τὴν ἐνέργειαν, ὁ σκοπὸς τῆς ὑγιεινῆς τε καὶ θεραπευτικῆς τέχνης ἐστὶ, ταύτην γὰρ ἡμῖν φυλάττειν μὲν ὑπάρχουσαν πρόκειται, δημιουργεῖν δ' ἀπολλυμένην. αἱ δὲ ἐνέργειαι κατ' ἀνάγκην ἕπονται, ταῖς μὲν χρησταῖς κατασκευαῖς, ἄμεμπτοι, ταῖς δ' οὐ τοιαύταις, μοχθηραί. ὥστ' ἐπειδή περ ὃ φυλάττομεν καὶ δημιουργοῦμεν αὐτοὶ, διάθεσίς τις ἐστὶ, καὶ κατασκευὴ τοῦ σώματος, ἕπεται δ' ἐξ ἀνάγκης αὐτῇ ἡ τῶν ἐνεργειῶν, οὐδὲν ἔτι χρὴ πρὸς τὰ παρόντα, πότερον ἐν τῷ τῶν ἐνεργειῶν, ἢ τῷ τῶν κατασκευῶν γένει θετέα ἐστὶν ὑγίειαν τε καὶ νόσον, ἐπισκοπεῖσθαι. λαβόντας δ' ἐξ ὑποθέσεως δέον εἶναι φυλάττειν τῆς κατὰ φύσιν τοῦ σώματος ἡμῶν κατασκευῆς ἐκεῖνα δι' ὧν ἐνεργοῦμεν, ἀναμνήσαντάς τε πάλιν ὡς ἡ τῶν ὁμοιομερῶν εὐκρασία τε καὶ διάπλασις καὶ θέσις ἀριθμός τε καὶ πηλικότης, τὰ τῶν ἐνεργειῶν ἐστὶν αἴτια, καὶ ὡς ἐν πλάτει ταῦτα πάντα ἐστὶ, καὶ ὡς καθ' ἕκαστον ἄνθρωπον ἴδια, τῶν ἐφεξῆς ἔχεσθαι. μεγάλην δ' εἰς αὐτὰ χρείαν ἡ γνῶσις τοῦ πλάτους αὐτῶν παρέχεται. τῆς γὰρ εὐκρασίας διττῆς οὔσης, τῆς μὲν, ὡς πρὸς ἐπίνοιαν μάλι-

† αλ. συνεχὸν τὴν ὑγ. ἥπερ ἅπ. ἡμ. ὑπ' ἀπάσων.

λον ἢ μόνιμον ὕπαρξιν ὥς γ' ἐν ζώου σώματι, τῆς δὲ ὑπαρχούσης τε καὶ φαινομένης, ἐν ἅπασιν τοῖς ὑγιαίνουσιν,
αὐτὴν πάλιν ἡμᾶς χρὴ τέμνειν τὴν φαινομένην. εὑρεθήσεται γὰρ οὐ μικρὰ τῶν ἐν αὐτῇ διαφορά. Μάθοις δ' ἂν
ὡς ἐστὶν ἀληθὲς τὸ λεγόμενον, ἐκ τῶν ἡλικιῶν μάλιστα. τῆς γὰρ τῶν μειρακίων ἡλικίας ἀρίστης οὔσης ὡς πρὸς τὰς καθ'
ὁρμὴν ἐνεργείας. ἡ δὲ τῶν βρεφῶν διὰ ὑγρότητα χείρων ἐστίν, ἡ δὲ τῶν γερόντων, διὰ ξηρότητά τε καὶ ψύξιν, ἐν μέν τοι
ταῖς ἄλλαις ἐνεργείαις ταῖς φυσικαῖς ὀνομαζομέναις οἷον αὐξήσεσί τε, καὶ πέψεσι, καὶ ἀναδόσεσι καὶ θρέψεσι,
τὰ βρέφη τῶν ἐπὶ τὰς ἄλλας ἡλικίας ἁπάσας ἀμείνω. ἀλλ' ὅμως οὐδὲν κωλύονται πάντες οἱ ἐπὶ πάσας τὰς ἡλικίας,
ὑγιαίνειν, ὡς οὖν ἐπὶ τῶν ἡλικιῶν ἔχει, ἐπὶ τὸν αὐτὸν τρόπον εὑρήσεις, καὶ ἐπὶ τῶν φύσεων αὐτῶν, ἀμήχανον ὅσην
τὴν διαφορὰν ἐν ταῖς κράσεσιν. ὥστε εἰ οὕτως ἔτυχε δυοῖν παίδοιν τὴν αὐτὴν ἡλικίαν ἀγόντων, τὸν μὲν ὑγρό-
τερον εἶναι θατέρου πολλῷ, τὸν δὲ ξηρότερον, ὡσαύτως δὲ τὸν μὲν θερμότερον, τὸν δὲ ψυχρότερον. ἐν ὅσοις δὴ τοῖς
σώμασιν ὑπάρχει τὸ πολλῷ τοῦ προσήκοντος, ἤτοι θερμοτέροις, ἢ ψυχροτέροις, ἢ ξηροτέροις εἶναι, ἐν τούτοις οὐκ ἔστιν
ἄμεμπτος ἡ κρᾶσις. ἐν ὅσοις δὲ ὑπάρχει τις διαφορά, τὸ κάλλιστον κεκραμένον, οὐ μὴν αἰσθητὴ διὰ σμικρότητα,
τοῦθ' ὡς πρὸς τὴν χρείαν, ἐν ἴσῃ χώρᾳ τιθέμεθα τοῖς ἀρίστοις, ὥστ' εἶναι τι καὶ πλάτος ὑγιείας, τὴν μὲν εὔκρατόν
τε καὶ ἄμεμπτον, ὡς πρὸς αἴσθησιν, τὴν δ' οἷον δύσκρατόν τε καὶ μεμπτήν. ἐναργέστατα δὲ τῶν λεγομένων γνωρίσματα
τὰ παρέχουσιν, αἱ κατ' ἰσχνότητα καὶ πολυσαρκίαν διαφοραὶ τῶν σωμάτων. ἀναγκαῖον γάρ που τὰς ἐναντίας
ἕξεις, ἐναντίαις ἕπεσθαι κράσεσιν. ὥσπερ οὖν οὐκ ἐπαινοῦμεν. οὔτε τὸ ἄγαν ἰσχνόν, εἴτε τὸ πάνυ παχὺ σῶμα ἐπὶ τὸν
αὐτὸν τρόπον, οὔτε τὰς κράσεις αὐτῶν ἐπαινέσομεν. εἰ καὶ ὅτι μάλιστα βλέπομεν ἀμφοτέρους ὑγιαίνοντας. αἱ δὲ
ἐν τῷ μέσῳ τούτων ἕξεις τῶν εὐσάρκων ὀνομαζομένων, ὥσπερ αὗται σύμμετροί τε καὶ ἄμεμπτοι τὴν ἰδέαν εἰσί,
ἕπονται συμμέτροις τε καὶ ἀμέμπτοις κράσεσι. τὰς τοίνυν τοιαύτας φύσεις ὡς μὲν πρὸς τὴν ἀκριβεστάτην ἀλήθειαν,
οὐδ' αὐτὰς εὐκράτους ἂν τις εἴποι, κατά γε τὴν ἁπλῆν καὶ τελείαν εὐκρασίαν. ὡς μέντοι πρὸς τὴν αἴσθησίν τε καὶ
πρὸς τὴν χρείαν, ἀμέμπτους τε καὶ ἀρίστους χρὴ τίθεσθαι. τεκμήριον δὲ ἐναργέστατον ὅτι μηδ' αὐτὰ τὴν ἀκριβεστάτην
ἔχουσιν εὐκρασίαν, ἐκ τοῦ μηδέποτε μένειν αὐτὰς ὡσαύτως ἐχούσας. ἀλλὰ πρῶτον μὲν δέχεσθαι τὴν καθ' ἡλικίαν με-
ταβολήν, οὐδέποτε ἐν ταυτῷ μενούσης οὐδὲ μιᾶς ἡλικίας, ἀλλ' ἀεὶ πρὸς τὸ γηραιότερον ἰούσης. δευτέραν δὲ τὴν καθ'
ὕπνον τε καὶ ἐγρήγορσιν, ἡσυχίαν τε καὶ κίνησιν, αὐτῶν τε τῶν κινήσεων τὰς διαφοράς. ἔτι τε πρὸς ταύταις, τὴν
τοῦ πεινῆν, ἢ διψῆν, ἢ ἐσθίειν, ἢ πίνειν, ἢ ἐμπεπλῆσθαι σιτίων, ἢ πόματος προσδεῖσθαι. καὶ πρὸς τούτοις ἔτι καὶ λου-
τρὰ καὶ θυμοὶ καὶ φροντίδες καὶ λῦπαι καὶ πάνθ' ὅσα τοιαῦτα, μονονουχὶ καθ' ἑκάστην ῥοπὴν ὑπαλλάττοντα τὴν κρᾶ-
σιν. οὔκουν χρὴ ζητεῖν ἐν τοσαύτῃ μεταβολῇ, τὴν ἀκριβῶς ἀρίστην κρᾶσιν. εἰ γοῦν καὶ συνέπεσέ ποτε καθ' ἥν τινα
οὖν ἀρίστην φύσιν, ἀλλ' οὐκ ἔμεινέ γε οὐδ' ἀκαρῆ. ὥστε γέ μοι καὶ θαυμάζειν ἐπέρχεται τὴν δόξαν τῶν ἀνδρῶν, οἳ δὲ
τὴν ὑγίειαν τε καὶ εὐκρασίαν ἀπλατῆ τε καὶ μίαν εἶναι νομίζουσιν. εἰ δέ τι παρὰ ταύτην ἐστίν, οὐδ' ὑγίειαν εἶναι φασίν,
τήν τε ἀειπάθειαν εἰσφέροντες, οὐκ αἰσθάνονται, περὶ πράγματος ἢ μηδέ ποτε γεγονότος ἐν ζώου σώματι ποιού-
μενοι τὸν λόγον, ἢ μὴ δ' ἐλάχιστον ὑπομένοντος, εἰ καί ποτε γένοιτο. τούτοις μὲν οὖν τὴν ὀνειρώττουσιν ὑγίειαν, ἀπο-
λείπομεν φυλάττειν, ἡμεῖς δ' ἐπὶ τὰς φαινομένας ἀφικόμεθα. καὶ διττὴν θέμενοι τὴν οὐσίαν τὴν δὴ νῦν πέπαυ-
μαι λέγων, ἴδιον ἑκατέρας σκοπὸν ἀποδῶμεν. ἐπὶ μὲν τῆς ἀμέμπτου, τὴν ἀκριβῆ φυλακήν, ὡς πρὸς αἴσθησιν. ἐπὶ δὲ
τῆς μεμπτῆς, τὴν οὐκ ἀκριβῆ. πειρᾶσθαι γὰρ χρὴ τὰς ὑγιεινὰς δυσκρασίας, ἐπανορθοῦσθαι. τὰς μὲν ξηροτέρας τοῦ δέ-
οντος φύσεις, ὑγροτέρας ἐργαζομένους. ὅσαι δὲ ὑγρότεραι ξηραίνοντας, οὕτω δὲ καὶ τῶν μὲν θερμοτέρων, καθαιροῦν-
τας τὴν ὑπερβολήν, τῶν δὲ ψυχροτέρων καὶ τούτων κολάζοντας τὴν ἀμετρίαν. ὁποίοις δ' ἄν τις ὑγιεινοῖς διαι-
τήμασιν ἐργάζοιτο ταῦτα, προϊὼν ὁ λόγος δείξει. πρότερον γάρ με χρὴ διελθεῖν ὅπως ἄν τις τῆς ἀρίστης φύσεως
διαφυλάττῃ τὴν ὑγίειαν, ἔτι δὲ τούτου πρότερον, ἥτις ποτὲ ἐστὶν ἡ ἀρίστη κατασκευὴ τοῦ σώματος, ἀναμνήσωμεν.
ἐστὶ δὲ δή που κατὰ μὲν τὴν οὐσίαν αὐτὴν τοῦ πράγματος ἐξηγουμένοις, ἡ εὐκρατοτάτη τε ἅμα καὶ τὴν διάπλασιν
τῶν μορίων ἀκριβῶς ἁρμόττουσαν ταῖς ἐνεργείαις αὐτῶν ἔχουσα. καὶ πρὸς τούτοις ἔτι τὸν ἀριθμὸν ἅπαντα καὶ τὰ με-
γέθη καὶ τὴν πρὸς ἄλληλα σύνταξιν ἁπάντων αὐτῶν χρηστήν, ταῖς ἐνεργείαις παρεχομένη. ἐπὶ δὲ τὰ γνωρίσμα-
τα τὸ ἀκριβῶς εὔσαρκον σῶμα, τοιοῦτόν ἐστιν, ὃ μέσον ἔφην ὑπάρχειν, ἰσχνοῦ τε καὶ πολυσάρκου, πολύσαρκον, ἢ
παχὺ λέγειν οὐδ' οἷόν τε. οὕτω δὲ καὶ τῶν ἄλλων ὑπερβολῶν, ἀκριβῶς μέσον ἐστὶ τὸ τοιοῦτον. ὥστε μήτε λάσιον αὐτὸ
δύνασθαι εἰπεῖν τινά, μήτε ψιλὸν τριχῶν, ἀλλὰ μὴ δὲ μαλακὸν μήτε σκληρὸν ἢ λευκόν, ἢ μέλαν, ἢ ἄφλεβον, ἢ εὐ-
[...]μικόν, ἢ ἄθυμον ἢ ὑπνῶδες, ἢ ἀγρυπνητικόν, ἢ ἀμβλὺν τὴν διάνοιαν ὁ πανοῦργον, ἢ ἀφροδισιαστικόν, ἢ τοὐναντί-
ον. εἰ δὲ καὶ πᾶσιν, ἢ τοῖς μέρεσιν ἀκριβῶς μέσον τῶν ὑπερβολῶν ἁπασῶν, ἐστὶ μὲν δή που καὶ κάλλιστον ὀφθῆναι τὸ τοι-
οῦτον, ὡς ἂν σύμμετρον ὑπάρχον εἰς ἅπαντάς τε τοὺς πόνους ἐπιτήδειον. ἑξῆς δὲ καὶ τὰ ἄλλα πάντα γνωρίσματα, τῆς
καθ' ἕκαστον μόριον εὐκρασίας, ἅπερ ἐν τῷ δευτέρῳ περὶ κράσεων εἴρηται γράμμασι. πολλὰ γοῦν τῶν σωμάτων εὔ-
κρατα μὲν εἰ τύχῃ ταῖς κεφαλαῖς ἐστί, δύσκρατα δὲ θώραξι, ἢ τοῖς ἐπὶ γαστρός τε καὶ τὰ γεννητικὰ μόρια. τινῶν δὲ ἐν
τοῖς κώλοις ἐστὶν ἡ δυσκρασία, καὶ πολλοῖς καθ' ἕν τι τῶν σπλάγχνων, ἢ τι μόριον ἕτερον ἕν, ἢ πλείω, καθάπερ οὖν
καὶ περί τινα πλείω τῶν σπλάγχνων, ἐνίοις ἐστὶν ἡ δυσκρασία, πολλοῖς δὲ ἐφώρασα, καὶ κατά τι τῶν ὀργανικῶν μορίων
δύο κράσεις ὑπαρχούσας. ὥστε εἰ τύχῃ τὸ μὲν ἄλλο κύτος τῆς γαστρὸς ἅπαν, ἑτέρας εἶναι κράσεως ἢ τοι χρηστῆς. μο-
χθηρᾶς. ἑτέρας δέ, μόνον αὐτῆς τὸ στόμα. περὶ μὲν δὴ τούτων, ἐν ταῖς μοχθηραῖς τῶν σωμάτων κατασκευαῖς εἰρή-
σεται, περὶ δὲ τῆς ἀρίστης ἤδη λέγωμεν, ἧς ἕκαστον μόριον ἄμεμπτον ἔχει τὴν σύμπασαν οὐσίαν. ὁ δὴ τοιοῦτος ἄνθρω-
πος, ὑπὸ τὴν ὑγιεινὴν ἀγόμενος τέχνην, εὐτυχὴς μὲν ἂν εἴη τις, εἰ μετὰ τὴν πρώτην ἀποκύησιν ἐπιστατοῖτο
πρὸς αὐτῆς. οὕτω γὰρ ἄν τι καὶ εἰς τὴν ψυχικὴν ὀνίναι τὸ τῆς χρηστῆς διαίτης ἔθη χρηστὰ παρασκευαζούσης. οὐ μὴν ἀλλὰ
καὶ εἰ κατά τινα τῶν ἑξῆς ἡλικιῶν, εἰς χρείαν τῆς τέχνης ἀφίκοιτο, καὶ οὕτως ὀνήσεται τὰ μέγιστα. εἰρήσεται δὲ πρῶτον
μέν, ὡς ἄν τις ἐξ ἀρχῆς παραλαβὼν ἄνθρωπον τοιοῦτον, ὑγιαίνοντα διὰ παντὸς ἀποδείξειε τοῦ βίου. πλὴν εἰ μή
τι τῶν ἔξωθεν αὐτῷ συμπίπτει βίαιον. οὐδὲν γὰρ τοῦτό γε πρὸς τὸν τῆς ὑγιεινῆς τέχνης ἐπιστήμονα. δεύτερον δὲ
ὅπως ἄν τις εἰ καὶ μὴ νεογνὲς εἴη τὸ παιδίον, ἀλλ' ἤδη παιδεύεσθαι δυνάμενον, ἐπιστατήσειεν αὐτοῦ. καὶ οὕτως καθ'

καθ' ἑκάστην τῶν ἄλλων ἡλικιῶν. τὸ τοίνυν νεογενὲς παιδίον ὑπάρχον δὴ τὸ ἀμέμπτως ἅπασι τῇ κατασκευῇ πρῶτον μὲν σπαργανούσθω συμμέτροις ἁλσὶ περιπαττόμενον ὅπως αὐτῷ πυκνότερον καὶ στερρότερον εἴη τὸ δέρμα τῶν ἔνδον μορίων. ἐν γὰρ τῷ κυΐσκεσθαι, πάνθ' ὁμοίως ἦν μαλακά, μήτε ψαύσαντος αὐτοῦ τινὸς ἔξωθεν σκληροτέρου σώματος, μήτ' ἀέρος ψυχροῦ προσπεσόντος, ὑφ' ὧν συναγόμενόν τε καὶ πιλούμενον, γένοιτ' ἂν αὐτοῦ τε καὶ τῶν ἄλλων μορίων σκληρότερον τε καὶ πυκνότερον. ἐπειδὰν δ' ἀποκυηθῇ ἐξ ἀνάγκης ὁμιλεῖν μέλλει, καὶ κρύει καὶ θάλπει, καὶ πολλοῖς σκληροτέροις ἑαυτοῦ σώμασι, προσήκει διὰ ταῦτα, τὸ σύμφυτον ἑαυτῷ σκέπασμα παρασκευασθῆναι πως ὑφ' ἡμῶν ἄριστον εἰς δυσπάθειαν. ἱκανὴ δ' ἡ διὰ μόνων τῶν ἁλῶν παρασκευή, τοῖς γε κατὰ φύσιν ἔχουσι βρέφεσι. ὅσα γὰρ ἤτοι μυρσίνης φύλλων ξηρῶν περιπαττομένων, ἤ τινος ἑτέρου τοιούτου δεῖται, μοχθηρῶς δή που διάκειται. πρόκειται δ' ἡμῖν τό γε νῦν εἶναι, περὶ τῶν ἄριστα κατεσκευασμένων τὸν λόγον ποιεῖσθαι. ταῦθ' οὖν ὡς εἴρηται σπαργανωθέντα, γάλακτί τε χρήσθω τροφῇ, καὶ λουτροῖς ὑδάτων. ὑγρᾶς γὰρ χρήζει τῆς συμπάσης διαίτης, ἅτε καὶ τὴν κρᾶσιν ὑγροτέραν ἔχοντα, τῶν ἐν ταῖς ἄλλαις ἡλικίαις. ἔοικε δὲ τοῦτο πρῶτον εὐθὺς ἥκειν σκέμμα τῶν ἀναγκαίων, εἰς δίαιταν ὑγιεινήν. εἰσὶ γὰρ οἱ νομίζουσιν ἀεὶ δεῖσθαι ξηραίνεσθαι τὰς ὑγροτέρας φύσεις. ὥσπερ γε καὶ θερμαίνεσθαι μὲν, τὰς ψυχροτέρας. ὑγραίνεσθαι δὲ τὰς ξηροτέρας. ψύχεσθαι δὲ τὰς θερμοτέρας. ὑπὸ γὰρ τῶν ὁμοίων ἑκάστην τῶν ἀμετριῶν αὐξάνεσθαι, κολάζεσθαι δὲ καὶ καθαιρεῖσθαι πρὸς τῶν ἐναντίων. ἑνὶ δὲ λόγῳ τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. ἐχρῆν δὲ αὐτοὺς μὴ τοῦτο μόνον Ἱπποκράτους ἀνεγνωκέναι τε καὶ μνημονεύειν, ὡς τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα, ἀλλὰ κἀκεῖνα δι' ὧν φησιν αἱ ὑγραὶ πᾶσαι δίαιται τοῖς πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι. καὶ τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι. φαίνεται γὰρ ἐνταῦθα παράλληλα θεὶς ἐφεξῆς τρία, νόσημά τε, καὶ ἡλικίαν, καὶ ἔθος. ἀπὸ μὲν οὖν τοῦ νοσήματος ἔνδειξιν λαμβάνει τῶν ἐναντίων. ἀπὸ δὲ τῆς ἡλικίας τε καὶ τοῦ ἔθους, τῶν ὁμοίων. τοῦ μὲν γὰρ πυρετοῦ, νόσημα δ' ὄντος θερμὸν καὶ αὐχμῶδες, αἱ ὑγραὶ δίαιται χρησταί. τοῖς δὲ παιδίοις, οὐ γὰρ νόσημα τούτοις γε ἀλλὰ κατὰ φύσιν ἡ ἡλικίαν, τὸ ὁμοιότατον ὠφελιμώτατον. Οὕτω δὲ, καὶ τοῖς ἔθεσιν, ὡς ἂν καὶ αὐτοῖς ἐπικτήτους τινὰς ἐν τοῖς σώμασι φύσεις ἐργαζομένοις, ἡ τῶν ἐναντίων προσφορὰ βλαβερωτάτη. καὶ δεόντως τοῖς μὲν κατὰ φύσιν ἔχουσι σώμασι φυλάττεσθαι χρὴ τὴν οἰκείαν ἕξιν. τοῖς δὲ νοσοῦσιν, ἀλλοιοῦσθαί τε καὶ πρὸς τοὐναντίον ἐπάγεσθαι. φυλάττεται μὲν οὖν ἕκαστον, ὑπὸ τῶν ὁμοίων, ἀλλοιοῦται δὲ ὑπὸ τῶν ἐναντίων. οὔκουν ξηραίνειν χρὴ τοὺς παῖδας, ὅτι μὴ παρὰ φύσιν αὐτοῖς ἡ ὑγρότης, ὥσπερ ἐν βράγχοις τε καὶ κορύζαις καὶ καταρρόοις. ἀλλ' ἐν τοῖς φύσει διαιτᾶν ὑγραίνοντά τε λουτροῖς ποτίμων ὑδάτων. ὅσα γὰρ ἐμφαίνει τινὰ φαρμακώδη ποιότητα ξηραίνει πάντα, καθάπερ τὰ θειώδη καὶ ἀσφαλτώδη, καὶ στυπτηριώδη, καὶ τροφὴν καὶ ποτὰ παρέχοντα, ὅτι μάλιστα τὰ κράσεως ὑγροτάτης. οὕτω καὶ ἡ φύσις αὐτὴ προὐνοήσατο τῶν παίδων τροφὴν ὑγρὰν αὐτῶν παρασκευάσασα τὸ γάλα τῆς μητρός. ἄριστον μὲν οὖν ἴσως καὶ τοῖς ἄλλοις ἅπασι βρέφεσι τὸ τῆς μητρὸς ἐστὶ γάλα, πλὴν εἰ μὴ τύχῃ νοσῶδες. οὐχ ἥκιστα δὲ καὶ περὶ τῆς ἀρίστης κράσεως, ὑπὲρ οὗ νῦν ὁ λόγος ἐστί. εἰκὸς γάρ που τῆς τούτου μητρὸς, ἄμεμπτον εἶναι τό, τε σύμπαν σῶμα καὶ τὸ γάλα. ἐξ αἵματος μὲν οὖν, ἔτι κυουμένοις ἡμῖν ἡ τροφή. ἐξ αἵματος δὲ, καὶ ἡ τοῦ γάλακτος γένεσις, ὀλιγίστην μεταβολὴν ἐν μαστοῖς προσλαβόντος ὥσθ' ὅσα παιδία περὶ τῆς μητρὸς γάλακτι τρέφεται, συνηθεστάτῃ τε ἅμα καὶ οἰκειοτάτῃ χρῆται τροφῇ. φαίνεται δὲ οὐ μόνον παρασκευάσασα τὴν τοιαύτην τροφὴν ἡ φύσις τοῖς βρέφεσιν, ἀλλὰ καὶ δυνάμεις αὐτοῖς εὐθὺς ἐξ ἀρχῆς συμφύτους παρασχοῦσα τῆς χρήσεως αὐτοῦ. καὶ γὰρ καὶ γεννηθεῖσιν εἴ τις ἐνθείη παραχρῆμα περὶ στόματι τὴν θηλὴν τοῦ μαστοῦ, βδάλλει τε τὸ γάλα καὶ καταπίνει προθυμότατα. καὶ ἢν ἀνιώμενά τε καὶ κλαυθμυριζόμενα τύχῃ τῆς λύπης αὐτῷ, οὐκ ἐλάχιστον ἴαμα, ὁ τιτθὸς τῆς τρεφούσης ἐστὶν ἐντιθέμενος περὶ στόματι. Τρία γὰρ οὖν δὴ ταῦτα ταῖς τροφαῖς ἐξεύρηται, τοῖς παιδίοις τῆς λύπης ἰάματα τῇ πείρᾳ διδαχθείσαις. ἓν μὲν, τὸ νῦν δὴ λεγόμενον. ἕτερα δὲ δύο, κίνησίς τε μετρία, καὶ φωνῆς ἐμμέλειά τις οἷς χρώμεναι διαπαντὸς, οὐ κατὰ πραΰνουσι μόνον, ἀλλὰ καὶ εἰς ὕπνον αὐτὰ ἀπάγουσι. δηλοῦσαι κἂν τοῦτο τῆς φύσεως, ὅτι πρὸς μουσικὴν καὶ γυμναστικὴν, οἰκείως διάκειται. καὶ ὅς τις ἱκανός ἐστι καλῶς χρῆσθαι ταῖς τέχναις ταύταις, οὗτος καὶ σῶμα καὶ ψυχὴν παιδεύσει κάλλιστα. ταῖς γοῦν τροφοῖς αἱ τῶν παιδίων κινήσεις, ἔν τε λίκνοις, καὶ σκίμποσι, καὶ ταῖς σφῶν αὐτῶν ἀγκάλαις ἐξεύρηνται. καὶ πῶς τοῦθ' ἕτερον ἡμῖν ἥκει σκέμμα, πρὸς ὑγιείας τήρησιν ἀναγκαιότατον. Ἀσκληπιάδου μὲν ἄντικρυς κἀκ τοῦ φανερωτάτου κατεγνωκότος γυμνασίων. Ἐρασιστράτου δὲ μετ' ἀτολμοτέρου ἀποφηναμένου, τὴν δ' αὐτὴν Ἀσκληπιάδῃ γνώμην ἐνδεικνυμένου, τῶν δ' ἄλλων σχεδὸν ἁπάντων ἰατρῶν ἐπαινούντων οὐ πρὸς εὐεξίαν μόνον, ἀλλὰ καὶ πρὸς ὑγίειαν αὐτά. τριττὰ δ' ἐστὶ γένη τά γε πρῶτα τῶν γυμνασίων, ὅσαι περ καὶ αἱ τῶν κινήσεων διαφοραί, ἢ γὰρ ἐξ ἑαυτῶν, ἢ ὑφ' ἑτέρων, ἢ διὰ φαρμάκων κινούμεθα. τὸ μὲν δὴ τρίτον εἶδος τῆς κινήσεως οὐδαμῶς ὑγιαίνουσι πρέπον. ἡ δ' ὑφ' ἑτέρου κίνησις, ἐν τῷ πλεῖν, καὶ ἱππεύειν, καὶ ὀχεῖσθαι. καὶ ὡς ἀρτίως λέλεκται διά τε λίκνων, καὶ σκιμπόδων, καὶ ἀγκαλῶν γίνεται. τοῖς μὲν νεογενέσι παιδίοις οὕτω δὴ κινήσεως τηλικαύτης, ἡλίκη διά τε τῶν ὀχημάτων καὶ τῶν πλοίων, καὶ τοῖς ἱππαζομένοις γίνεται. τοῖς δ' ἤδη τὸ τρίτον ἢ τὸ τέταρτον ἔτος ἀπὸ τῆς πρώτης γενέσεως ἄγουσιν ἐγχωρεῖ καὶ δι' ὀχημάτων καὶ πλοίων κινεῖσθαι τὰ μέτρια. ἐπιτάσει δὲ γινόμενα τὰ παιδία, καὶ τῶν ἰσχυροτέρων ἀνέχεται κινήσεων, ὥστε καὶ ἱππεύειν ἐθίζεσθαι. δι' ἑαυτῶν δὲ κινεῖσθαι τὰ παιδία τηνικαῦτα δύναται πρῶτον, ὅταν ἕρπειν ἀπάρξεται, καὶ μᾶλλον ἐπειδὰν βαδίζειν μὴ βιάζεσθαι δὲ αὐτὰ πρὸ τοῦ δέοντος, ὅπως μὴ διαστραφείη τὰ κῶλα. δηλοῖ μὲν κἂν τῷδε τῆς ἡλικίας, εἰς ὅσον ἡ φύσις ἡμῖν ᾠκείωται γυμνασίοις. οὐ γὰρ ἂν οὐδ' εἰ κατακλείσαις παιδία, οἷός τε εἴης κωλύειν διαθεῖν τε καὶ σκιρτᾶν, ὡσαύτως γε τοῖς πώλοις τε καὶ τοῖς μόσχοις. ἱκανὴ γὰρ ἡ φύσις ἐν ἅπασι τοῖς ζώοις, ὁρμὰς οἰκείας ἐνθεῖναι, πρὸς ὑγίειάν τε καὶ σωτηρίαν. ἀλλ' οἱ περὶ τὸν Ἀσκληπιάδην οὐδὲν τούτων ἐννοήσαντες, ὑπὸ πολλῆς σχολῆς, σοφίσματα πλέκουσιν. ἐπιδεικνύναι πειρώμενοι, τὰ γυμνάσια μηδὲν εἰς ὑγίειαν συντελοῦντα. πρὸς ἐκείνους μὲν δὴ καὶ αὖθις εἰρήσεται τὰ εἰκότα, ὡς τῆς ἀδολεσχίας ἐπὶ τέλους εἰρημένης. πρόκειται γάρ μοι νῦν οὐ σοφιστῶν ἀδολε-

χίας ἐλέγχειν, ἀλλ' αὐτὸ τὸ χρήσιμον εἰς ὑγίειαν ἐκδιδάσκειν. περὶ δὲ τοὺς παῖδας ἐπάνειμι τοὺς ἄριστα κατα-
σκευασμένους τὰ σώματα. τούτους δὲ εἰκὸς εἶναί πως καὶ τὸ τῆς ψυχῆς ἦθος ἀμέμπτους. ὡς ὅσοι γε θυμικώτεροι τοῦ
δέοντός εἰσιν, ἢ ἀθυμότεροι ἢ δυσαισθητότεροι, ἢ ἀναισθητότεροί τινες, ἢ λιχνότεροι τοῦ προσήκοντος, ἀνάγκη
τούτους οὐκ ὀρθῶς κεκρᾶσθαι τοῖς μορίοις ἐκείνοις τοῦ σώματος, οἷς ἐνεργοῦμεν ἕκαστα τῶν εἰρημένων. γέγραπται δὲ ὑπὲρ
αὐτῶν ἐπὶ πλέον ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ὑπομνήμασιν. ἀλλ' ὅ γε νῦν ἡμῖν προ-
κείμενος ἐν τῷδε τῷ λόγῳ παῖς, ἄριστος ἐστὶ τὰ πάντα. τοῦτο τοίνυν ἐπανορθοῦσθαι μὲν οὐδὲν χρὴ τῶν ἠθῶν τῆς ψυχῆς, φυ-
λάττειν δ' ὅπως μὴ διαφθαρῇ. φυλάττεται δὲ ἅπαν ὑπὸ τῶν αὐτῶν κατὰ γένος, ὑφ' ὧν περ καὶ διαφθείρεται.
διαφθείρεται δέ, τὸ τῆς ψυχῆς ἦθος ὑπὸ μοχθηρῶν ἐθισμῶν, ἔν ἐδέσμασί τε καὶ πόμασι, καὶ γυμνασίοις,
καὶ θεάμασι, καὶ ἀκούσμασι, καὶ τῇ συμπάσῃ μουσικῇ. τούτων τοίνυν ἁπάντων ἔμπειρον εἶναι χρὴ τὸν τὴν ὑγιεινὴν
μετιόντα, καὶ μὴ νομίζειν, ὡς φιλοσόφῳ μόνῳ προσήκει πλάττειν ἦθος ψυχῆς. ἐκείνῳ μὲν γὰρ δι' ἕτερόν τι μεῖζον
τὴν αὐτῆς τῆς ψυχῆς ὑγίειαν. ἰατρῷ δὲ ὑπὲρ τοῦ μὴ ῥᾳδίως εἰς νόσους ὑποφέρεσθαι τὸ σῶμα. καὶ γὰρ θυμὸς καὶ
κλαυθμὸς, καὶ ὀργὴ, καὶ λύπη, καὶ πλεῖον τοῦ δέοντος φροντὶς, ἀγρυπνία τε πολλὴ ἐπ' αὐτοῖς γινομένη, πυρετοὺς
ἀνάπτουσι, καὶ νοσημάτων μεγάλων ἀρχαὶ καθίστανται. ὥσπερ καὶ τοὐναντίον ἀργία διανοίας καὶ ἄνοια, καὶ ψυχὴ
παντάπασι ῥάθυμος, ἀχροίας τε καὶ ἀτροφίας ἐργάζεται πολλὰς, ἀῤῥωστίᾳ τῆς ἐμφύτου θερμότητος. χρὴ μὲν γὰρ
φυλάττειν παντὸς μᾶλλον ἐν ὅροις ὑγιεινοῖς τὴν σύμφυτον ἡμῖν θερμότητα. φυλάττεται δὲ ὑπὸ τῶν συμμέτρων
γυμνασιῶν, οὐ κατὰ τὸ σῶμα μόνον, ἀλλὰ κατὰ τὴν ψυχὴν γιγνομένων. αἱ δ' ἄμετροι κινήσεις ἐν ἐπιθυμίαις τε
καὶ διαλογισμοῖς, καὶ θυμοῖς. αἱ μὲν ὑπερβάλλουσαι, χολωδέστερον ἀποφαίνουσι τὸ ζῶον. αἱ δ' ἐλλείπουσαι, φλε-
γματικώτερον καὶ ψυχρότερον. καὶ δὴ καὶ ταῖς μὲν προτέραις ἕπονται, οἵ τε πυρετοὶ καὶ ὅσα θερμότερα παθήμα-
τα. ταῖς δ' ἑτέραις, ἐμφράξεις καθ' ἧπάρ τε καὶ σπλάγχνα, ἐπιληψίαι τε καὶ ἀποπληξίαι, καὶ συνελόντι φά-
ναι, τὰ κατάῤῥοικά τε καὶ ῥευματικὰ νοσήματα, συμπίπτει πάντα. οὐκ ὀλίγους ἡμεῖς ἀνθρώπους νοσοῦντας
ὅσα ἔτη, διὰ τὸ τῆς ψυχῆς ἦθος, ὑγιεινοὺς ἀπεδείξαμεν, ἐπανορθωσάμενοι τὴν ἀμετρίαν τῶν κινήσεων. οὐ σμικρὸς
δὲ τοῦ λόγου μάρτυς, καὶ ὁ πάτριος θεὸς ἡμῶν Ἀσκληπιός. οὐκ ὀλίγας μὲν ᾠδάς τε γράφεσθαι, καὶ μίμους γελοί-
ων, καὶ μέλη τινὰ ποιεῖν ἐπιτάξας, οἷς αἱ τοῦ θυμοειδοῦς κινήσεις σφοδρότεραι γινόμεναι, θερμοτέραν τοῦ δέοντος
ἀπειργάζοντο τὴν κρᾶσιν τοῦ σώματος. ἑτέροις δέ τισιν οὐκ ὀλίγοις, οὐδὲ τούτοις κυνηγετεῖν καὶ ἱππάζεσθαι καὶ
ὁπλομαχεῖν, εὐθὺς δὲ τούτοις διωρίσατο, τό τε τῶν κινήσεων εἶδος, οἷς ταῦτα προσέταξε. καὶ τὸ τῆς ὁπλίσεως,
οἷς διὰ ὅπλων ἐκέλευσε τὰ γυμνάσια ποιεῖσθαι. οὐ γὰρ μόνον ἐπεγείρειν αὐτὸν τὸ θυμοειδὲς ἐβουλήθη ἀῤῥωστότερον
ὑπάρχον, ἀλλὰ καὶ μέτρον ὡρίσατο τῇ τῶν γυμνασίων ἰδέᾳ. οὐ γὰρ ὡσαύτως θήγεται τὸ θυμοειδὲς εἰς ἀγρίους σῦς,
ἢ ἄρκτους, ἢ ταύρους, ἢ τι τῶν οὕτως ἀλκίμων θηρίων, ἢ ἐπὶ λαγωοὺς, ἢ δορκάδας, ἢ τι τῶν οὕτως δειλῶν. οὐδ' ὡσαύ-
τως ἐπί τε τῆς κούφης ὁπλίσεως καὶ τῆς βαρείας. ὥσπερ οὐδὲ ἐν τῷ θεῖν ὠκέως, ἢ μετρίως κινεῖσθαι. καὶ με-
τὰ τοῦ φιλονεικεῖν ἑτέροις, ἢ καθ' ἑαυτὸν, οὕτως καὶ τὸ μὲν κεκραγότων τῶν ἐγκελευομένων τε καὶ παροξυνόντων
ἐπὶ τοὺς πόνους, ἢ σιωπώντων, οὐκ ὀλίγον διαφέρει. ἀλλὰ περὶ μὲν τούτων, ἐν τοῖς ἔπειτα λόγοις ἐπὶ πλέον εἰρή-
σεται. τὰ δὲ σμικρὰ παιδία τὰ τὴν ἀρίστην ἔχοντα κρᾶσιν, ὑπὲρ τούτων γὰρ ὁ λόγος ἦν, οὐκ ὀλίγης ἐπιμελείας
δεῖται πρὸς τὸ μηδὲ μίαν ἐν αὐτοῖς τῆς ψυχῆς ἄμετρον γίνεσθαι κίνησιν. ἅ τε γὰρ οὐδέπω λόγῳ χρώμενα, τῷ
κλαίειν τε καὶ κεκραγέναι, καὶ θυμοῦσθαι καὶ κινεῖν ἀτάκτως ἑαυτὰ, διασημαίνει τὴν ἀνίαν. ἡμᾶς οὖν χρὴ στοχα-
ζομένους ὅτου δεῖται, παρέχειν ἑκάστοτε τοῦτο, πρὶν αὐξηθῆναι αὐτῶν τὴν λύπην, εἰς σφοδροτέραν τε καὶ ἄτακ-
τον κίνησιν ὅλην ἐμβαλεῖν τὴν ψυχὴν ἅμα τῷ σώματι. ἤτοι γὰρ δακνόμενα, ἢ πρός τινος ἔξωθεν ἀνιώμενα,
ἢ ἀποπατεῖν, ἢ οὐρεῖν, ἢ ἐσθίειν, ἢ πίνειν ἐθέλοντα, καὶ εἴ τε καὶ κινεῖται πλημμελῶς, ὥσπερ σφαδάζοντα, γένοιτο δ'
ἄν ποτε καὶ θάλπους ἐπιθυμεῖν αὐτὰ κρύει ταλαιπωρούμενα, καὶ ἀναψύξεώς τινος, ὑπὸ θάλπους ἀμέτρου διοχλού-
μενα, καί ποτε μὴ φέροντα τὸ πλῆθος τῶν περιβεβλημένων ἱματίων, ἀνιᾷ γὰρ δὴ καὶ ταῦτα πολλὰ, οὐ σμικρά, καὶ μά-
λιστα, κατὰ τὰς ἐπιστροφὰς ὅλου τοῦ σώματος, ἢ τὰς τῶν κώλων κινήσεις, ἀλλὰ καὶ αὐτὸ τὸ ἡσυχάζειν ἐπὶ πλέον, οὐ σμι-
κρῶς λυπηρόν. οὐδενὸς γὰρ ἀμετρίᾳ χαίρει ζῶον οὐδέν. ἀλλ' ἀεὶ τοῦ συμμέτρου χρήζει. σύμμετρον δὲ οὐχ ἓν, ἅπασι.
ἀλλ' ἐν τῷ πρός τι πᾶσα συμμετρία. διὸ χρὴ τὸν ἐπιμελούμενον ἀνατροφῆς παιδίων στοχαστικὸν ἀκριβῶς ὑπάρ-
χοντα, τοῦ συμμέτρου τε καὶ οἰκείου, παρέχειν ἑκάστοτε τοῦτο, πρὶν αὐξηθεῖσαν αὐτῷ τὴν λύπην, εἰς ἀμετρίαν κινή-
σεως ἐμβαλεῖν τε τὸ σῶμα κατὰ τὴν ψυχήν. εἰ δ' ἄρα ποτὲ καὶ λάθοι τὸ λυποῦν αὐξηθὲν, ἐπανορθοῦσθαι πειρᾶσθαι τὴν
λύπην. αὐτῷ τε τῷ παρέχειν αὐτίκα τὸ ἐπιθυμηθὲν, ἢ ἐκκόπτειν τὸ ἀνιῶν. ἔτι τε τῇ κινήσει τῇ διὰ τῶν ἀγκαλῶν καὶ
τοῖς μέλεσι τῆς φωνῆς, οἷς εἰώθασιν αἱ σοφώτεραι τῶν τροφῶν χρῆσθαι. ἐγὼ γοῦν ποτε δι' ὅλης ἡμέρας παιδίου
κλαίοντός τε καὶ θυμουμένου, καὶ σφοδρῶς καὶ ἀτάκτως ἑαυτὸ μεταβάλλοντος, ἐξεῦρον τὸ λυποῦν ἀπορουμένης
τῆς τροφοῦ. ὡς γὰρ οὔτε πρὸς τὸν τιτθὸν ἐντεθειμένον, οὔτε περιϊσχομένης αὐτὸ τῆς τρεφούσης, ἢ ἀποπατεῖν, ἢ οὐρεῖν
ἐθέλει, καθίστατο, παρηγορεῖτο δ' οὐδὲν, οὐδ' ὁπόταν ἐν ταῖς ἀγκάλαις ἐντεθειμένην κατακλίνειν ἐπιχειρήσειεν,
ἐθεασάμην δὲ τὴν στρωμνὴν αὐτοῦ καὶ τὰ περιβλήματά τε καὶ ἀμφιάσματα ῥυπαρώτερα, καὶ αὐτὸ τὸ
παιδίον ἤδη ῥυπῶν τε καὶ ἄλουτον, ἐκέλευσα λοῦσαι τε καὶ ἀποῤῥύψαι, καὶ τὴν στρωμνὴν ὑπαλλάξαι, καὶ πᾶ-
σαν τὴν ἐσθῆτα τὴν καθαρωτέραν ἐργάζεσθαι, καὶ τούτων γινομένων, αὐτίκα μὲν ἐπαύσατο τῶν ἀμέτρων κι-
νήσεων, αὐτίκα δὲ καθύπνωσεν ἥδιστόν τε καὶ μακρότατον ὕπνον. εἰς δὲ τὸ καλῶς ἐστοχάσθαι πάντων τῶν
ἀνιώντων τὸ παιδίον οὐκ ἀγχινοίας μόνον, ἀλλὰ καὶ τῆς περὶ τὸ τρεφόμενον αὐτῷ συνεχοῦς ἐμπειρίας δεῖ χρεία.

Ταῦτ' οὖν ἅπαντα περὶ τὸ παιδίον εἰς τρίτον ἔτος ἀπὸ τῆς πρώτης γενέσεως ἀξιῶ πραγματεύεσθαι. καὶ πρὸ
τούτων ἔτι, τῆς τρεφούσης αὐτὸ οὐ σμικρὰν ποιεῖσθαι πρόνοιαν ἐδεσμάτων τε περὶ καὶ πομάτων, ὕπνων τε καὶ ἀφρο-
δισίων καὶ γυμνασιῶν, ὡς ἄριστον εἴη τὴν κρᾶσιν τὸ γάλα, γένοιτο δὲ τοιοῦτον, εἰ τὸ αἷμα χρηστότατον εἴη. ἔστι δὲ
χρηστότατον, τὸ μήτε πικρόχολον, μήτε μελαγχολικὸν, μήτε φλεγματῶδες, μήθ' ὀῤῥῶδει τινὶ μήθ' ὑδατώδει
συμμιγὲς ὑγρότητι. γεννᾶται δὲ τοιοῦτον, ἐπί τε τοῖς συμμέτροις γυμνασίοις καὶ τροφαῖς εὐχύμοις δὲ ἅμα καὶ κατὰ
καιρὸν

Optimus Sanguis

καιρὸν τὸν προσήκοντα καὶ κατὰ μέτρα τὰ δέοντα λαμβανομέναις, ὥσπερ οὖν καὶ ἐν πόμασιν οἴνων εὐκαίροις τε καὶ μετρίοις. ὑπὲρ ὧν ἁπάντων ἐν τοῖς ἔπειτα λόγοις ἀκριβῶς διορισθήσεται. ἀφροδισίων τε παντάπασιν ἀπέχεσθαι κελεύω τὰς θηλαζούσας παιδία γυναῖκας. αἵ τε γὰρ ἐπιμήνιοι καθάρσεις, ἐρεθίζονται μιγνυμέναις ἀνδράσι καὶ οὐκ εὐῶδες ἔτι μένει τὸ γάλα. καί τινες αὐτῶν ἐν γαστρὶ λαμβάνουσιν, οὗ βλαβερώτατον οὐδὲν ἂν εἴη παιδίῳ γάλακτι τρεφομένῳ. δαπανᾶται γὰρ ἐν τῷδε, τὸ χρηστότατον τοῦ αἵματος εἰς τὸ κυούμενον. ἅ τε γὰρ ἀρχὴν ζωῆς ἐν ἑαυτῷ ἰδίαν περιέχον, ὑπὸ ταύτης τε διοικεῖται καὶ διὰ παντὸς ἐπισπᾶται τὴν οἰκείαν τροφήν, ὡσανεὶ ἐρριζωμένον τε τῇ μήτρᾳ καὶ ἀχώριστον ὑπάρχον ἀεί, νύκτωρ τε ἅμα καὶ μεθ' ἡμέραν. ἔλαττόν τε εἰκότως ἐν τῷδε καὶ φαυλότερον ἀποτελεῖται τὸ τῆς κυούσης αἷμα. καὶ διὰ τοῦτο καὶ τὸ γάλα μοχθηρότερόν τε καὶ ὀλίγον ἐν τοῖς τιτθοῖς ἀθροίζεται. ὥστε ἔγωγε συμβουλεύσαιμι ἂν εἰς κυήσειν ἡ θηλάζουσα τὸ παιδίον, ἑτέραν ἐξευρίσκειν τροφόν, ἐπισκεπτομένους τε καὶ δοκιμάζοντας αὐτῆς ἀκριβῶς τὸ γάλα, γεύσει καὶ ὄψει καὶ ὀσφρήσει. καὶ γοῦν γευομένοις καὶ ὀσμωμένοις ἡδύ, λευκόν τε ὁμαλὸν καὶ μέσως ἔχον ὑγρότητός τε καὶ πάχους, ὀφθήσεται τὸ ἄριστον γάλα. τὸ δὲ μοχθηρὸν ἤτοι παχὺ καὶ τυρωδέστατον, ἢ ὑγρόν, καὶ ὀρρῶδες, καὶ πελιγνόν, καὶ ἀνώμαλον ἐν συστάσει καὶ χροιᾷ, καὶ γευομένοις πικρότατον, καὶ ἅλμης ἤ τινος ἑτέρας ἀλλοκότου ποιότητος ἔμφασιν ἔξει. τὸ δὲ τοιοῦτον, οὐδὲ πρὸς τὴν ὀσμὴν ἡδύ. ταῦτα μὲν ἔσω σοι γνωρίσματα, μοχθηροῦ τε καὶ χρηστοῦ γάλακτος, οἷς τεκμαιρόμενος ὅταν ἤτοι κύησις ἢ καὶ νόσημά τι δέῃ περὶ τὴν μητέρα γινόμενον, ἐφ' ἑτέραν τροφὸν ἰέναι τὴν κρίσιν τε καὶ τὴν αἵρεσιν ποιεῖσθαι. τρέφειν τε τὸ παιδίον γάλακτι μόνῳ. ἐπειδὰν δὲ φύσῃ τοὺς ἐμπροσθίους ὀδόντας, ἐθίζειν ἤδη πως αὐτὸ καὶ τῆς παχυτέρας ἀνέχεσθαι τροφῆς. ὥσπερ οὖν καὶ τοῦτο αὐτὸ τῇ πείρᾳ διδαχθεῖσαι ποιοῦσιν αἱ γυναῖκες. ἄρτου μέντοι πρῶτον. ἐφεξῆς δ' ὀσπρίων τε καὶ κρεῶν ὅσα τ' ἄλλα τοιαῦτα προμασώμεναι καὶ ἐντιθεῖσαι τοῖς στόμασι τῶν παιδίων. ἀνατρίβειν δὲ χρὴ τὸ σῶμα τῶν βρεφῶν, ἐλαίῳ γλυκεῖ, καθάπερ καὶ ποιοῦσιν ἐπιτηδείως αἱ πλεῖσται τῶν τροφῶν, εὐθὺς ῥυθμίζουσί τε καὶ διαπλάττουσι τὰ μόρια. ἀλλ' ἐπεί γε τοῦ νῦν κατὰ τὸν λόγον ὑποκειμένου παιδίου τὴν κατασκευὴν τοῦ σώματος ἀμέμπτως ἔχοντος, οὐδὲν χρὴ περιεργάζεσθαι τὴν τροφὸν εἴς γε τὴν τῶν μελῶν εὐρυθμίαν. ἀλλ' ἀνατρίβειν τε τὰ μέτρια καὶ λούειν ὁσημέραι καθ' ὅσον οἷόν τε. μὴ περιεχομένου γάλακτος ἀπέπτου κατὰ τὴν γαστέρα. κίνδυνος γὰρ ἀναληφθῆναι τοῦτο, πρὶν πεφθῆναι καλῶς εἰς ὅλον τὸ σῶμα τοῦ παιδίου. πολὺ δὲ δὴ μᾶλλον εἰ καὶ τὴν γαστέρα τις αὐτὴν ἀνατρίβει γάλακτος μεστήν, ἐμπλήσειεν τε τὸ σῶμα τροφῆς ἀπέπτου, πληρώσει τε τὴν κεφαλήν. διὸ χρὴ πολλὴν πρόνοιαν πεποιῆσθαι, τοῦ μὴ λαμβάνειν τὴν τροφὴν τὸ παιδίον, μήτε πρὸ λουτρῶν μήτε πρὸ ἀνατρίψεων. γίγνοιτο δ' ἂν τοῦτο παραφυλαττούσης τῆς τροφοῦ, τὸν ἐπὶ τοῖς μακροτέροις ὕπνοις καιρόν. ἐν τούτῳ γοῦν μάλιστα τὴν κοιλίαν ἤτοι παντάπασι κενὴν ἢ πεπεμμένην ἤδη τὴν τροφὴν περιέχουσαν, εὑρεῖν ἐστιν. εἰ δ' ὥσπερ νῦν ποιοῦσι βλάπτουσι. ἔνιαι μὲν τῶν τροφῶν, ἔνια τινὰ χρόνον ἀφορίζουσαι τῆς ἡμέρας, ἔνιαι δ' ὅταν σχολάσωσι τοῦ τηνικαῦτα πονούμεναι, διότι πολλάκις καὶ ἀναγκαῖόν ἐστι βλάπτεσθαι τὰ παιδία ἤπερ ὠφελεῖσθαι. ὁ γοῦν ὑφ' ἡμῶν ἀφοριζόμενος καιρός, ἄλλοτε εἰς ἄλλον ἐμπίπτει χρόνον, ἤτοι τῆς ἡμέρας, ἢ τῆς νυκτός. ἐπὶ μέντοι τῶν μειζόνων παιδίων, ὅσα καὶ πληγαῖς καὶ ἀπειλαῖς ἐπιπλήξεσί τε καὶ νουθετήσεσι πείθεται, καιρὸς ἂν εἴη διττός, εἰς ἀνάτριψίν τε καὶ λουτρόν. ὁ μὲν πρότερός τε καὶ ἄριστος ἐπειδὰν ἐξαναστάντα τῶν ἑωθινῶν ὕπνων, εἶτα παίξαντα, τροφὴν αἰτῇ. τότε γὰρ ἐπιτίθεσθαι μάλιστα αὐτοῖς χρὴ τὸ μὲν σῶμα, πρὸς ὑγίειαν τε ἅμα καὶ εὐεξίαν ἀσκοῦντα. τὴν δὲ ψυχὴν εἰς εὐπείθειάν τε καὶ σωφροσύνην, οὐκ ἄλλως παρέξειν αὐτοῖς τὴν τροφὴν φάσκοντά σε, εἰ μὴ προθύμως ἐπακούσαιεν εἰς ὅσα ἂν ἐθέλωμεν ἡμεῖς ἀνατρίψαι τε καὶ λουτροῖς. οὗτος μὲν οὖν ἄριστος καιρός. εἰ δέ τις ἀσχολία τὸν τρέφοντα τὸ παιδίον ἀπάγει, μέτριον ἄρτου δόντα, παίζειν ἐπιτρέπειν, εἰς ὅσον ἂν βούληται. κἄπειτ' αὖθις αἰτήσαν αὐτό, τηνικαῦτα τρίβειν τε αὐτό, καὶ λούειν. οὐ μὴν πίνειν γε ἐπιτρεπτέον ποτὲ αὐτούς, πρὸ τῶν λουτρῶν ἐπὶ τῆς σιτίας, ἀθροωτέρα γὰρ ἂν οὕτως ἡ ἀνάδοσις, εἰς τὸ σῶμα τῶν ἐν τῇ γαστρὶ περιεχομένων γίγνοιτο. χρὴ δὲ ἐπὶ τῶν ἀμέμπτως ὑγιαινόντων σωμάτων, φυλάττεσθαι τοῦτο. μεμπταὶ γὰρ αἱ τοιαῦται διαθέσεις τε καὶ κατασκευαὶ τῶν σωμάτων εἰσὶν ἐφ' ὧν ἄμεινόν ἐστι, πρὸ τῶν λουτρῶν διδόναι σιτία. καὶ διορισθήσεται περὶ αὐτῶν ἐν τοῖς ἔπειτα λόγοις. ἀλλὰ νῦν γε τῆς ὑποθέσεως μνημονευτέον ἐστίν, ὡς τὸν ἄριστα σώματος ἔχοντα παῖδα, διαιτῶμεν ὅπως ἡμῖν φυλάττοιτο τοιοῦτος. ἐφ' οὗ βέλτιόν ἐστιν ἡγεῖσθαι τὰ λουτρὰ τῶν σιτίων. καὶ διορισθήσεται περὶ αὐτῶν ἐν τοῖς ἔπειτα λόγοις. εἰ δ' ἐν τοιούτῳ χωρίῳ τρέφοιτο ὁ παῖς, ἐν ᾧ βαλανεῖον οὐκ ἔνεστιν, ἴσως μὲν οὖν, οὐδ' ὁμιλήσουσι τοῖσδε τοῖς γράμμασιν οἱ τοιοίδε. λούουσι μὲν ἐν σκάφαις αἱ τροφοὶ κἀνταῦθα τοὺς παῖδας. ἕως ἂν εἰς τὸ δεύτερον ἢ καὶ εἰς τὸ τρίτον ἔτος ἀπὸ γενετῆς ἵκωνται. μείζονας δὲ γενομένους εἰ καὶ μὴ καθ' ἑκάστην ἡμέραν, ἀλλὰ καὶ διὰ τριῶν γε που καὶ τεττάρων ἀλείφουσί τε καὶ ἀνατρίβουσιν, εἰ δὲ μὴ κωλύει τὰ τῆς ὥρας, αἱ λίμναι τε καὶ οἱ ποταμοί. λουτρὰ αὐτοῖς εἰσιν, οἷόν περ ἡμῖν τὸ βαλανεῖον. παρὰ μέν γε τοῖς γερμανοῖς οὐδαμῶς τρέφεται τὰ παιδία. ἀλλ' ἡμεῖς νῦν γε, οὔτε γερμανοῖς οὔτε ἄλλοις τισὶν ἀγρίοις, ἢ βαρβάροις ἀνθρώποις, ταῦτα γράφομεν, οὐ μᾶλλον, ἢ ἄρκτοις, ἢ κάπροις, ἢ λέουσι, ἢ τινὶ τῶν ἄλλων θηρίων, ἀλλ' Ἕλλησι. καὶ ὅσοι τῷ γένει μὲν ἔφυσαν βάρβαροι, ζηλοῦσι δὲ τὰ τῶν Ἑλλήνων ἐπιτηδεύματα. τίς γὰρ ἂν ἡμῶν ὑπομείνειε τῶν παρ' ἡμῖν ἀνθρώπων, εὐθὺς ἅμα τῷ γεννηθῆναι, ἔτι θερμὸν τὸ βρέφος, ἐπὶ τὰ τῶν ποταμῶν φέρειν ῥεύματα. κἀνταῦθα καθάπερ φασί, τοὺς γερμανοὺς ἅμα πειρᾶν αὐτοῦ τῆς φύσεως ἅμα τε καὶ κρατύνειν τὰ σώματα, βάπτοντας εἰς τὸ ψυχρὸν ὕδωρ, ὥσπερ τὸν διάπυρον σίδηρον. ὅτι μὲν γοῦν ἐὰν ὑπομείνῃ τε καὶ μὴ βλαβῇ, καὶ τὴν ἐκ τῆς οἰκείας φύσεως ἐπεδείξατο ῥώμην, καὶ τὴν ἐκ τῆς πρὸς τὸ ψυχρὸν ὁμιλίας ἐπεκτήσατο, πρόδηλον παντί, ὅτι δ' εἰ νικηθείη πρὸς τῆς ἔξωθεν ψύξεως, ἡ ἔμφυτος αὐτοῦ θερμότης, ἀναγκαῖον αὐτίκα τεθνάναι, καὶ τοῦτ' οὐδεὶς ἀγνοεῖ. τίς οὖν ἂν ἕλοιτο νοῦν ἔχων καὶ μὴ παντάπασιν ἄγριος ὢν καὶ σκύθης, εἰς τὴν τοιαύτην πεῖραν ἀγαγεῖν αὐτοῦ τὸ παιδίον, ἐν ᾗ θάνατός ἐστιν ἡ ἀτυχία. καὶ ταῦτα μηδὲν μέγα τι μέλλων ἐκ τῆς πείρας κερδανεῖν. ὄνῳ μὲν γοῦν ἴσως, ἤ τινι τῶν ἀλόγων ζώων, ἀγαθὸν ἂν εἴη μέγιστον οὕτω πυκνὸν καὶ σκληρὸν δέρμα ἔχειν, ὡς ἀλύπως φέρειν τὸ κρύος, ἀνθρώπῳ δὲ λογικῷ ζώῳ τί ἂν εἴη μέγα τὸ τοιοῦτον. οὐδὲ γὰρ εἰς ὑγίειαν ἁπλῶς

οὑτωσὶ λέγων ἄν τις, ἐπιτήδειον ὑπάρχειν τὸ πυκνότατον καὶ σκληρότατον δέρμα, δεόντως ἂν εἴποι. διττῆς γὰρ οὔσης βλάβης τοῖς τῶν ζώων σώμασιν, ἑτέρας μὲν, ἀπὸ τῶν ἔξωθεν αἰτίων, ἑτέρας δὲ ἀπὸ τῶν ἔνδοθεν, δυσάλωτον ἐστὶ τοῖς μὲν ἔξωθεν ἅπασιν, ὧν μὲν μαλακόν ἐστι καὶ ἀραιὸν τὸ δέρμα. τοῖς δ᾽ ἔνδοθεν, ὧν πυκνόν τε καὶ σκληρόν. καὶ διὰ τοῦθ᾽ Ἱπποκράτης περὶ τῶν ἀπὸ τροφῆς ἐν ἡμῖν ἐπ᾽ ὠφελείᾳ τε καὶ βλάβῃ γινομένων διδάσκων, ἐπ᾽ ἄλλοις πολλοῖς καὶ τοῦτ᾽ ἔγραψεν. ἀραιότης σώματος εἰς διαπνοὴν, οἷς πλεῖον ἀφαιρέεται, ὑγιεινότερον, οἷς δ᾽ ἔλασσον, νοσερώτερον. βέλτιον οὖν ἑκατέρας πεφυλάχθαι τὰς ὑπερβολάς. καὶ μήτ᾽ εἰς τοσοῦτον πυκνὸν τὸ δέρμα παρασκευάζειν, ὡς κωλύειν διαπνεῖσθαι καλῶς. μήθ᾽ οὕτως ἀραιὸν, ὡς ὑπὸ παντὸς τοῦ αἰτίου τοῦ ἔξωθεν αὐτῷ προσπιπτόντων, βλάπτεσθαι ἑτοίμως. τοιοῦτον δὲ καὶ φύσει ἐστὶ τὸ σῶμα, τοῦ νῦν ἡμῖν προκειμένου κατὰ λόγον παιδίου. μέσον ἁπασῶν τῶν ὑπερβολῶν. οὕτως οὖν αὐτὸ διαιτητέον, ὡς φυλάττειν ἀεὶ τῆς κατασκευῆς τὴν ἀρετήν. φυλαχθήσεται δὲ κατὰ μὲν τὴν πρώτην ἡλικίαν ἐν γάλακτι τρεφομένου, καὶ λουτροῖς γλυκέων ὑδάτων θερμῶν λουομένου, ὅπως ὅτι μάλιστα μέχρι πλείστου μαλακὸν αὐτῷ διαμένον τὸ σῶμα, πλείστην ἐπίδοσιν εἰς τὴν αὔξησιν ποιῆται. μετὰ δὲ ταῦτα καθ᾽ ὃν ἂν ἤδη χρόνον εἰς διδασκάλους δύναιτο φοιτᾶν, οὐκ ἀναγκαῖον ἔτι λουτροῖς χρῆσθαι συνεχέσι, ἀλλ᾽ ἀρκεῖ διαπαλαίειν μανθάνοντα σύμμετρά τε πονεῖν ἐν τούτῳ πρὸ τῶν σιτίων, ἀλουτεῖν τε ἤδη τὰ πλείω. τὸ δ᾽ ὑπερπονεῖν ὥσπερ ἔνιοι τῶν παιδοτριβῶν ἀναγκάζουσι τοὺς παῖδας, οὐδαμῶς ἀγαθὸν, ἀναυξῆ γὰρ ὑπὸ τῆς παρὰ καιρὸν σκληρότητος, ἀποτελεῖται τὰ σώματα, κἂν πλείστην ὁρμὴν ἐκ φύσεως εἰς τὴν αὔξησιν ἔχῃ.

Οἴνου δὲ τὸ οὕτω πεφυκότα παιδία, μέχρι πλείστου μηδ᾽ ὅλως γεύειν, ὑγραίνει τε γὰρ ἱκανῶς καὶ θερμαίνει τὸ σῶμα πινόμενος οἶνος. ἐμπίπλησί τε τὴν κεφαλὴν ἀτμῶν, ἐν ταῖς ὑγραῖς καὶ θερμαῖς κράσεσι, οἷά περ ἐστὶ καὶ ἡ τῶν τοιούτων παιδίων. ἀλλ᾽ οὔτε ἐμπίπλασθαι καλὸν αὐτοῖς τὴν κεφαλὴν, οὔτε ὑγραίνεσθαι καὶ θερμαίνεσθαι περαιτέρω τοῦ προσήκοντος. εἰς τοσοῦτον γὰρ ἥκουσιν ὑγρότητός τε καὶ θερμότητος, ὡς εἰ καὶ βραχὺ παραυξήσειέ τις ὁπότερον αὐτῶν, ἐν ἀμετρίᾳ καθίσταται. οὐσῶν δὲ πασῶν τῶν ἀμετριῶν φευκτῶν, ἡ τοιαύτη μάλιστ᾽ ἂν εἴη φευκτὴ, καθ᾽ ἣν οὐκ εἰς τὸ σῶμα μόνον ἀλλὰ καὶ εἰς τὴν ψυχὴν ἡ βλάβη διικνεῖται. διόπερ οὐδὲ τοῖς ἤδη τελείοις ἄνευ τοῦ προσήκοντος μέτρου πινόμενος οἶνος, ἀγαθός. εἰς θυμούς τε γὰρ ἐκκαλεῖται προπετεῖς, καὶ ὕβρεις ἀσελγεῖς, καὶ τὸ λογιζόμενον τῆς ψυχῆς ἀμβλύ τε καὶ τεθολωμένον ἐργάζεται. ἀλλὰ τούτοις μὲν, ἑτοίμως εἰς τὴν τῶν χολωδῶν περιττωμάτων, ἐπίκρασίν τε ἅμα καὶ κένωσιν ἐπιτήδειος. οὐχ ἥκιστα δὲ καὶ εἰς τὴν ἐν αὐτοῖς τοῖς στερεοῖς ὀργάνοις τοῦ ζώου γινομένην ξηρότητα διά τε πόνους ὑπερβάλλοντας, οὖσιν ὅτε καὶ διὰ τὴν οἰκείαν τῆς ἡλικίας κρᾶσιν, ἐπιτήδειος οἶνος. ὑγραίνων μὲν καὶ ἀνατρέφων, ὅσ᾽ ἀμέτρως ἐξήρανται, πραΰνων δὲ τὸ δριμὺ τοῦ πικροῦ χυμοῦ, καὶ δι᾽ ἱδρώτων τε καὶ οὔρων ἐκκενῶν. οἱ δὲ παῖδες ἅτε μήτε τὸν τοιοῦτον ἀθροίζοντες χυμὸν, οἰκείαν τε παμπόλλην ἔχοντες ὑγρότητα, τῶν μὲν ἐξ οἴνου γινομένων ἀγαθῶν, οὐδενὸς προσδέονται. μόνης δ᾽ ἀπολαύουσιν αὐτῷ τῆς βλάβης. οὔκουν νοῦν ἔχων οὐδεὶς, ἐπιτρέψει τοιούτῳ χρῆσθαι πόματι τοὺς παῖδας. ὃ πρὸς τῷ μηδὲν ἀγαθὸν ἐργάζεσθαι, βλάβην ἐξαίσιον ἐφεδρεύουσαν ἔχει. οὐ μὴν οὐδὲ ψυχροῦ πόματος εἰς τὸ παντελὲς εἴργειν κελεύω τοὺς τοιούτους παῖδας, ὥσπερ ἔνιοι ποιοῦσιν. ἀλλ᾽ ἐπί γε σιτίοις τὰ πολλὰ, καὶ κατὰ τὰς θερμοτάτας ὥρας, ὅτε ἥξουσιν αὐτοὶ πρὸς τὸ ψυχρὸν ἐπιτρέπω χρῆσθαι. μάλιστα μὲν εἰ οἷόν τε, πηγαίῳ προσφάτῳ, μηδὲ μίαν ἐπίκτητον ἔχοντι μοχθηρὰν ποιότητα. μὴ παρόντος δὲ τοῦ τοιούτου, τοῖς ἄλλοις. φυλάττεσθαι δὲ τὰ λιμναῖα καὶ θολερὰ καὶ δυσώδη καὶ ἁλικὰ, καὶ ἁπλῶς εἰπεῖν ὅσα τινὰ ποιότητα κατὰ τὴν γεῦσιν ἐνδείκνυται. χρὴ γὰρ αὐτοῖς ἀποιότατον φαίνεσθαι τὸ κάλλιστον ὕδωρ, οὐ πρὸς τὴν γεῦσιν μόνον, ἀλλὰ καὶ πρὸς τὴν ὀσμήν. εἴη δ᾽ ἂν τὸ τοιοῦτον ἥδιστόν τε ἅμα πινόντι καὶ ἀκριβῶς καθαρόν. εἰ δὲ καὶ ταχέως ὑποχωρεῖ τῶν ὑποχονδρίων, μηδὲν ζητεῖν ἕτερον τι βέλτιον. ὡς ὅσα γε καθαρὰ μέν ἐστι καὶ λαμπρὰ καὶ οὐκ ἀηδῆ πινόμενα, παραμένει δὲ ἐπὶ πλέον ἐν τοῖς ὑποχονδρίοις, ἡμιμόχθηρα νομιστέον. ἀπέχεσθαι δὲ τούτων κελεύω τῶν πάμπαν ψυχρῶν. οὐ μὴν θερμοῖς γε χρῆσθαι κωλύω. ἀσφαλέστατον μὲν οὖν κεκρίσθαι τῇ πείρᾳ τὸ τοιοῦτον ὕδωρ. εἰ δὲ καὶ διὰ γνωρισμάτων τις ἐθέλοι προγινώσκειν αὐτοῦ τὴν δύναμιν, ὅσον αἱ πηγαὶ πρὸς ἄρκτον ἐρρυήκασιν ἐκ πετρῶν θλιβόμεναι, τὸν ἥλιον ἀπεστραμμένον ἔχουσαι, ἀτεράμνα τε καὶ βραδύπορα τὰ τοιαῦτα χρὴ νομίζειν ἅπαντα. εὐθὺς δ᾽ αὐτοῖς ὑπάρχει καὶ τὸ θερμαίνεσθαί τε καὶ ψύχεσθαι βραδέως. ὡς ὅσων γε πρός τε τὰς ἀνατολὰς ἐρρώγασιν αἱ πηγαὶ, καὶ διὰ πόρου τινὸς ἢ γῆς διηθεῖται καθαρᾶς, θερμαίνεταί τε καὶ ψύχεται τάχιστα, ταῦτα ἐλπίζειν εἶναι κάλλιστα πάσαις ταῖς ἡλικίαις. οὐ γὰρ δὴ καθάπερ οἴνων τε καὶ σιτίων καὶ γυμνασίων ἐγρηγόρσεώς τε καὶ ὕπνων, καὶ ἀφροδισίων ἄλλος ἄλλων ἀπολαύειν προσήκει κατὰ τὰς διαφερούσας ἡλικίας, οὕτω καὶ ὕδατος. ἀλλ᾽ ὅπερ ἄριστον εὕρηται νῦν, τούτῳ χρῆσθαι καὶ παῖδα καὶ νεανίσκον καὶ πρεσβύτην. ὥσπερ γε ἀέρα τὸν ἄριστον, εἰσπνεῖν ἐν ἅπασιν ὁμοίως χρηστόν. ἄριστον δ᾽ ἀέρα λέγω, τὸν ἀκριβῶς καθαρόν. εἴη δ᾽ ἂν τοιοῦτος ὁ μήτε λιμνῶν μήτε ἑλῶν ἀναθυμιάσεως ἐπιθολούμενος, μήτε ἐκ βαράθρου δηλητήριον αὔραν ἀποπνέοντος. ὁποῖα περί τε Σάρδεις ἐστὶ, καὶ Ἱερὰν πόλιν, ἑτέρωθί τε πολλαχόθι τῆς γῆς. οὕτως δὲ καὶ ὅστις ἔκ τινος ὀχετοῦ τῶν καθαιρόντων, ἢ μεγάλην τινὰ πόλιν, ἢ πολυάνθρωπον στρατόπεδον ἐπιθολοῦται, μοχθηρὸς ἱκανῶς ἐστι. μοχθηρὸς δὲ καὶ ὅς ἂν ἔκ τινος σηπεδόνος, ἢ ζώων, ἢ λαχάνων, ἢ ὀσπρίων, ἢ κόπρου μιαίνηται. καὶ μὴν καὶ ὅστις ὁμιχλώδης ἐστὶ διὰ ποταμὸν ἢ λίμνην γειτνιῶσαν οὐκ ἀγαθός. ὥσπερ γε καὶ ὅστις ἂν ἐν κοίλῳ χωρίῳ πανταχόθι ὑψηλοῖς ὄρεσι περιεχόμενος, μηδὲ μίαν πνοὴν δέχεται, πνιγώδης γὰρ ὅδε, καὶ σηπεδονώδης ἐστί. ἀνάλογον τοῖς ἀποκεκλεισμένοις ἐν οἴκοις τισίν. ἐν οἷς εὐρὼς ὑπὸ σηπεδόνος τε καὶ ἀπνοίας ἀθροίζεται. οἱ μὲν δὴ τοιοῦτοι, ἁπάσαις ταῖς ἡλικίαις, λυμαίνονται. ὥσπερ γε καὶ ὁ καθαρὸς ἀκριβῶς, ἁπάσαις ταῖς ἡλικίαις, ἀγαθός. ἡ δὲ κατὰ θερμότητα καὶ ψυχρότητα, καὶ προσέτι ξηρότητα καὶ ὑγρότητα διαφορὰ τῶν ἀέρων οὐχ ὁμοίως ἔχει πρὸς ἅπαντας. ἀλλὰ τοῖς μὲν εὐκράτοις σώμασιν, ὁ εὔκρατος ἄριστος. ὅσα δ᾽ ἂν ὑπό τινος ἐξεχούσης ποιότητος δυναστεύηται, τούτοις ἄριστος ὁ ἐναντιώτατος τῇ κρατούσῃ. ψυχρὸς μὲν τῇ θερμῇ, θερμὸς δὲ τῇ ψυχρᾷ. καὶ δὴ καὶ τῇ μὲν ὑγροτέρᾳ, ξηρός. τῇ δ᾽ αὐχμηροτέρᾳ, τοῦ προσήκοντος, εἰς τοσοῦτον ὑγρότερος, εἰς ὅσον κἀκείνη τοῦ συμμέτρου ξηροτέρα. ταυτὶ μὲν ἐν τῷδε τῷ λόγῳ γινώσκειν ἱκανά.

ἱκανά. ὥσπερ δ' ἄν τις ἐπανορθοίη τὰς ἐκ τῶν μοχθηρῶν ὑδάτων τε καὶ ἀέρων βλάβας, ἐν ἑτέρῳ βιβλίῳ ῥηθήσεται. νυνὶ γὰρ οἷόν σκοπόν τινα καὶ κανόνα, τὴν ἀρίστην κατασκευὴν τοῦ σώματος ἐπὶ τοῖς ἀρίστοις διαιτήμασι διελθεῖν ἔγνωκα. τὰς δὲ τῶν ἡμαρτημένων κατά τι σωμάτων ἅμα καὶ διαιτημάτων ὑπαλλάξεις ἐν τοῖς μετὰ ταῦτα γράμμασιν ἁπάσας διαιρήσομεν. πάλιν οὖν ὁ λόγος ἐπὶ τὸν ἄριστα κατεσκευασμένον παῖδα ἐπανελθών, τὴν ἀπὸ τῆς πρώτης ἑβδομάδος ἡλικίαν αὐτοῦ, μέχρι τῆς δευτέρας ἐκδιηγείσθω. κατά τε τὴν κρᾶσιν, ὁποία τίς ἐστι καὶ ὧν τινων χρήζει διαιτημάτων. ἡ μὲν δὴ κρᾶσις, ὡς κἀν τοῖς περὶ κράσεων ὑπομνήμασι δέδεικται, θερμὴ μέν ἐστιν ὁμοίως, ὑγρὰ δὲ οὐχ ὁμοίως. ἀεὶ γὰρ ἀπὸ τῆς πρώτης γενέσεως ἅπαν ζῷον ὁσημέραι γίνεται ξηρότερον. οὐ μὴν θερμότερόν γε ἢ ψυχρότερον, ὡσαύτως ἐπὶ πάσας ἡλικίας ἀλλ' ὅσα μὲν ἄριστα κατεσκεύασται σώματα, παραπλησία πως ἡ θερμότης ἐπὶ τούτων, ἄχρι τῆς ἀκμῆς παραμένει. ὅσα δὲ ὑγρότερα καὶ ψυχρότερα τῶν ἀρίστων ἐστίν, αὐξάνεται τούτων ἡ θερμότης. ἀλλ' ὅγε νῦν λόγος οὐκ ὑπὲρ ἐκείνων ἐστίν. ὁ δὲ ἄριστα κατεσκευασμένος παῖς, ἄχρι τῆς τεσσαρεσκαιδεκαετίδος ἡλικίας, ἐν τῇ προειρημένῃ διαίτῃ φυλαττέσθω. γυμναζόμενός γε μήτε πάνυ πολλά, μήτε βίαια, μήπως αὐτοῦ τὴν αὔξησιν ἐπισχῶμεν. καὶ λουόμενος ἐν θερμοῖς μᾶλλον ἢ ψυχροῖς λουτροῖς, οὔπω γὰρ οὐδὲ τούτων ἀλύπως ἀνέχεσθαι δυνήσεται. πλαττέσθω δὲ καὶ τὴν ψυχὴν ἐν τῷδε τῆς ἡλικίας καὶ μάλιστα διὰ ἐθισμῶν, καὶ σεμνῶν, καὶ μαθημάτων, ὅσα μάλιστα ψυχὴν ἐργάσασθαι κοσμίαν ἱκανά, πρὸς γὰρ τὰ μέλλοντα, κατὰ τὴν ἑξῆς ἡλικίαν, αὐτῷ περὶ τὸ σῶμα πραχθήσεσθαι, μέγιστον ἐφόδιόν ἐστιν, ἡ εὐκοσμία τε καὶ εὐπείθεια. μετὰ δὲ τὴν δευτέραν ἑβδομάδα μέχρι τῆς τρίτης, εἰ μὲν εἰς τὴν ἄκραν εὐεξίαν ἄγειν αὐτὸν ἐθέλοις. ἤτοι στρατιώτην τινὰ γενναῖον, ἢ παλαιστικόν, ἢ ὁποσοῦν ἰσχυρὸν ἀπεργάσασθαι βουλόμενος, ἧττον τῶν τῆς ψυχῆς ἀγαθῶν, ὅσα γε εἰς ἐπιστήμην τινὰ καὶ σοφίαν ἄγει, προνοήσει. τὰ μὲν γὰρ εἰς ἦθος, ἐν τῷδε μάλιστα τῆς ἡλικίας ἀκριβωθῆναι προσήκει. εἰ δὲ τὰ μὲν κατὰ τὸ σῶμα μέχρι τοῦ κρατυνθῆναι τὰ μόρια, καὶ περιποιῆσαί τινα ἕξιν ὑγιεινήν, καὶ αὐξῆσαι προαιροῖο, τὸ δὲ λογικὸν τῆς ψυχῆς τοῦ μειρακίου κοσμῆσαι σπουδάσεις, ἀπὸ τῆς αὐτῆς ἐπ' ἀμφοῖν διαίτης δεήσει. καίτοι καὶ τρίτον καὶ τέταρτον εἶδος βίου εὑρεθείη ποτέ, τῶν μέν, ἐπί τινα βάναυσον ἀφιγμένων τέχνην, καὶ ταύτην ἤτοι γυμνάζουσαν ἢ ἀγύμναστον φυλάττουσαν τὸ σῶμα. τῶν δὲ ἐπὶ γεωργίας, ἢ ἐμπορείας, ἤ τι τοιοῦτον ἕτερον. ὥστε καὶ χαλεπὸν εἶναι δοκεῖ, ἀριθμῷ τινι περιλαβεῖν πάσας τῶν βίων τὰς ἰδέας. τῆς μὲν γὰρ ὑγιεινῆς τέχνης ἐπάγγελμά ἐστιν ἅπασιν αὐτοῖς, ὑποθήκας διδόναι πρὸς ὑγίειαν, ἤτοι καθ' ἕκαστον ἰδίας ἢ κοινῇ σύμπασιν ἁρμοττούσας, ἢ τὰς μέν τινας ἰδίας αὐτῶν, τὰς δὲ κοινάς. οὐ μὴν ἐγχωρεῖ περὶ πάντων ἅμα διελθεῖν. ἀλλὰ πρῶτον μέν, ὡς ἄν τις ἐπὶ μήκιστον ἐκτείνοι τὴν ζωήν, ὑγιαίνων τὰ πάντα. χρὴ δ' οἶμαι τὸν τοιοῦτον βίον, ἁπάσης ἀναγκαίας πράξεως ἀποκεχωρηκέναι, μόνῳ σχολάζοντα τῷ σώματι, δεύτερον δέ, μεθ' ὑποθέσεως, ἢ τέχνης, ἢ πράξεως, ἢ ἐπιτηδεύματος, ἢ ὑπηρεσίας τινός, ἤτοι πολιτικῆς, ἢ ἰδιωτικῆς, ἢ ὅλως ἀναγκαίας ἀσχολίας. οὐ δὴ γὰρ ἄλλως ἢ σαφὴς ὁ λόγος, οὔτε εὐμνημόνευτος, οὔτε μεθόδῳ περαινόμενος ἡμῖν γίνοιτο, χωρὶς τῆς εἰρημένης ἄρτι τάξεως. ἐπὶ δὲ τὴν πρώτην ἀνέλθωμεν ὑπόθεσιν.

Ἐπιδείξωμέν τε ὅπως ἄν τις ἀρίστης τυχὼν κατασκευῆς σώματος ἀποχωρήσας ἁπάντων τῶν κατὰ τὸν βίον εἰς τὸ κοινὸν συντελούντων, ἑαυτῷ μόνῳ ζήσειε. μήτε νοσήσας, μηδέ ποτε καθόλου οἷόν τε, μήτε ἀποθανὼν ἐμποδὼν τοῦ μηκίστου χρόνου τῆς ζωῆς. ἄφθαρτον μὲν γὰρ ποιῆσαι, τὸ γεννητόν, οὐχ οἷόν τε, κἂν ὅτι μάλιστα τῶν καθ' ἡμᾶς νῦν τις ἀνὴρ φιλόσοφος, ἐπειρᾶτο δεικνύναι τοῦτο διὰ τοῦ θαυμασίου τούτου συγγράμματος ἐν ᾧ διδάσκει τὴν ὁδὸν τῆς ἀθανασίας, ἐπὶ πλεῖστον δὲ χρόνον προσήκον ἐγχωρεῖ ποιῆσαι τὸ σῶμα, καὶ μάλιστα τοῦ κάλλιστα πεφυκότος. ἔνια γὰρ οὕτως εὐθὺς ἐξ ἀρχῆς κατεσκεύασται κακῶς, ὡς μηδ' εἰς ἑξηκοστὸν ἔτος ἀφικέσθαι δύνασθαι κἂν αὐτὸν αὐτοῖς ἐπιστήσῃς τὸν Ἀσκληπιόν, ἀλλ' οὐ νῦν περὶ ἐκείνων ὁ λόγος. ἐπὶ δὲ τὸν κατεσκευασμένον ἄριστα, πάλιν ἐπανελθεῖν ἀναμνήσωμεν ὧν ἐν ἀρχαῖς ἀπεδείξαμεν ὡς ἐσθίειν μὲν καὶ πίνειν ἀναγκαῖον ἡμῖν, ἐπειδὴ διαπαντὸς ἀπορρεῖ τι τοῦ σώματος. ἐπεὶ δὲ ἐσθίομέν τε καὶ πίνομεν, ἀναγκαῖον αὖθις ἐστίν, τῆς τῶν περιττωμάτων προνοεῖσθαι κενώσεως. ἐπεὶ δὲ τούτων ἐστὶν εἴδη πολλά, τὰ μέν, τῆς ἐν τῇ γαστρὶ πεττομένης τροφῆς. τὰ δέ, τῆς ἐν ἥπατι καὶ ἀρτηρίαις καὶ φλεψί. τὰ δέ, τῆς καθ' ἕκαστον μόριον ἐστὶ περιττώματα, χρὴ δή που καὶ τὴν κένωσιν αὐτῶν, ἰδίαν εἶναι, καθ' ἕκαστον. ὥσπερ γε καὶ ἡ φύσις αὐτή, φαίνεται τοῦτ' ἐξ ἀρχῆς ἐργαζομένη. παρεσκεύασεν γὰρ τοῖς ζῴοις ὄργανα πολλά. τὰ μέν, ἐκκαθαίροντά τε καὶ διακρίνοντα ταυτὶ τὰ περιττώματα, τὰ δέ, παράγοντα, τὰ δὲ ἀθροίζοντα, τὰ δὲ ἐκκρίνοντα. καὶ λέλεκται μὲν ὑπὲρ ἁπάντων ἐπὶ πλέον ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι. κἀν τοῖς περὶ χρείας μορίων. ἐν δὲ τῷ παρόντι ἔσται καὶ ταῦθ' ἡμῖν, ὑπόθεσις τῶν λόγων. τὸ μὲν γὰρ πρῶτον περίττωμα, διακρίνεται ἅμα καὶ προπέμπεται κατὰ βραχὺ διὰ πάντων τῶν ἐντέρων ἄχρι τοῦ κατὰ τὸ καλούμενον ἀπευθυσμένον ἀξιολόγου κοιλότητος, ἧς κατὰ τὸ πέρας ἐπίκεινται μύες εἴργοντές τε καὶ κατέχοντες ἔνδον αὐτό, καὶ κωλύοντες ἀκαίρως ἐκρεῖν. ἐπειδὰν δ' ἱκανῶς ἀθροισθὲν ἀνιαρὸν ᾖ τῷ ζῴῳ, τηνικαῦτα παρίασιν ἔξω φέρεσθαι συντελούντων πρὸς τὸ τάχος τῆς ἀφόδου, τῶν κατ' ἐπιγάστριον μυῶν ἅμα τῷ διαφράγματι. τὸ δ' ἐν ἥπατι περίττωμα. τὸ μέν, οἷόν περ τὸ καλούμενον ἄνθος ἐν τοῖς οἴνοις ἐστί, τὸ δ' οἷόν περ ἡ τρύξ. ἕλκεται δὲ τὸ μὲν ἕτερον ὑπὸ τῆς ὑποκειμένης τῷ σπλάγχνῳ κύστεως, τὸ δ' ἕτερον ὑπὸ τοῦ σπληνός. ἀθροισθέντα δὲ ἐν τούτοις, ἐκκρίνεται. τὸ μέν, εἰς τὴν ἀρχὴν τῶν λεπτῶν ἐντέρων. τὸ δ' εἰς αὐτὴν τὴν γαστέρα. καὶ ἀπὸ τούτων ἤδη διὰ πάντων τῶν ἐντέρων, ἅμα τῷ ξηροτέρῳ περιττώματι τῆς τροφῆς διεξέρχεται. τὸ δ' ἐν φλεψὶ καὶ ἀρτηρίαις περίττωμα, τοιοῦτόν ἐστιν, οἷον ὀρρὸς ἐν τῷ πηγνυμένῳ γάλακτι, καθαίροντες δὲ καὶ τοῦτο οἱ νεφροί, τῇ κύστει παραπέμπουσιν. ἡ δ' ἀθροίζει, τρόπον ὁμοιότατον τῷ πρόσθεν εἰρημένῳ περὶ τοῦ ξηροῦ περιττώματος (ἐπίκειται γάρ τις καὶ τῇδε κατὰ τὸν αὐχένα, ἐπικάρσιος μῦς, κλείων οὕτως ἀκριβῶς τὸ στόμιον, ὡς μηδὲν ἔξω παραρρεῖν) ἐπειδὰν δὴ καὶ τοῦθ' ἱκανῶς ἤδη γινόμενον ἀνιᾷ τὸ ζῷον, ἀφίσταται μὲν ὁ μῦς τῆς φρουρᾶς, ἀνιείς τε καὶ χαλῶν ἑαυτόν, ἐκκρίνει δὲ τὸ περιττὸν ἅπαν ἡ κύστις συμβοηθούντων αὖ καὶ τῇδε πρὸς τὸ τάχος τῆς τῶν ξηρῶν περιττωμάτων ἐξόδου μυῶν, τῶν κατὰ τὸ ἐπιγάστριον. τὸ δ' ὑπόλοιπον γένος τῶν περιττωμάτων, γίνεται μὲν ἐν ἑκάστῳ μορίῳ τοῦ τρέφοντος αὐτὰ χυμοῦ. τὸ μέν, οἷον ἡμίπεπτόν τι λείψανον ἀδυνατῆσαν ἐξομοιωθῆναι τῷ τρεφομένῳ. τὸ δ' ὅπερ ἦν ἐμποδὼν ἀναδόσεως ὄχημα, πληρῶσαν τὴν χρείαν, ὑγρὸν καὶ λεπτὸν ὄν, οἷόν περ τὸ

προειρημένον ὀῤῥῶδες ἐκ τῶν ἀγγείων εἰς τὴν κύστιν περιῤῥεῖ. τούτῳ γὰρ τῷ περιττώματι πόρος μὲν οὐδεὶς ἐστὶν ἀποτεταγμένος ὑπὸ τῆς φύσεως, ἐκκρίνεται δὲ διά τε τῶν μαλακῶν σωμάτων φερόμενον, εἰκόντων αὐτοῦ τῇ ῥύμῃ, καὶ μάλιστα ὅταν ὑπὸ πνεύματος ἀθροωτέρου ὁρμήσαντος ὠθῆται. καὶ μέν τοι, καὶ διὰ τῶν σμικρῶν ἁπάντων πόρων, ὧν ἐστὶ πλῆρες ὅλον τε τὸ σῶμα καὶ σύμπαν τὸ δέρμα. λέγεται δ᾽ ὑπὲρ τῆς γενέσεως αὐτῶν ἐν τῇ περὶ κράσεων. τὸ μὲν δὴ λεπτότατον περίττωμα ῥᾳδίως ἐκκρίνεται, πρός τε τῆς ἐμφύτου θερμότητος εἰς ἰδέαν ἀτμοῦ λυόμενον, ὑπό τε βιαίας κινήσεως ἀθρόως ἐκρηγνύμενον. ὀνομάζεται δὲ τὸ μὲν οὕτως ἐκκριθὲν, ἱδρώς. τὸ δὲ ἕτερον, οὐδὲν ἔχον ὄνομα, ὅτι οὐδὲ γινώσκεται τοῖς πολλοῖς, ἅτε τὴν ὄψιν ἐκφεῦγον ὑπὸ λεπτότητος ἄδηλος αἰσθήσει διαπνοὴ κεκλῆται πρὸς αὐτῶν τῶν φρασάντων αὐτὸ τῷ λογισμῷ. κατὰ τὴν δὲ τὴν ἄδηλον αἰσθήσει διαπνοὴν. ἐκκρίνεται καὶ τοῦ παχυτέρου περιττώματος. ἰσχυροτέρας δὲ δεῖ τῷδε καὶ τῆς ἀγούσης θερμότητος καὶ τῆς ὠθούσης ῥύμης, ἢ κίνδυνος αὐτῷ στῆναι κατά γε τὸ δέρμα πρὶν ἀφικέσθαι πρὸς τὸ πέρας. ἐκ τούτου τοῦ περιττώματος, ἥ τε τῶν τριχῶν ἐδείκνυτο γένεσις, οὐχ ἥκιστα δὲ καὶ ὁ περὶ τοῖς δέρμασιν ἀθροιζόμενος ἅπασι ῥύπος. Εἴρηταί μοι σχεδὸν τὰ ἀναγκαῖα ἅπαντα τοῦ λόγου κεφάλαια τῆς τῶν περιττωμάτων γενέσεώς τε ἅμα καὶ κενώσεως. ἀποδεδειγμένα μὲν ἐν ἑτέραις πραγματείαις, ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα, μελλήσοντα δ᾽ ὑποθέσεις ἀναγκαῖα γενήσεσθαι τοῖς νῦν ἐνεστηκόσι λόγοις. ἐπειδὴ γὰρ ἐκκενοῦσθαι χρὴ ταῦτα μοχθηρὰ ταῖς ποιότησιν ὑπάρχοντα, κἂν Ἀσκληπιάδης μὴ βούληται, χρὴ πρῶτον μὲν ἐπίστασθαι τὰς αἰτίας αὐτῶν τῆς ἐπισχέσεως. ἐφεξῆς δὲ πειρᾶσθαι μή τε περιπίπτειν αὐταῖς. εἰ δὲ καὶ περιπέσοιμέν ποτε, διὰ ταχέων ἐπανορθοῦσθαι τὸ σφάλμα πειρᾶσθαι. τὸ μὲν δὴ μὴ περιπίπτειν ἐκ τοῦ γινώσκειν πότερον αὐτάρκως ἀποκρίνεται, ἢ μὴ, περιγίνεται. τὸ δ᾽ ἐπανορθοῦσθαι μεθόδου τινὸς ἑτέρας προσδεῖται. λεγέσθω δὴ πρῶτον μὲν, ὑφ᾽ ὧν ἴσχεται τῶν εἰρημένων ἐκκρίσεων ἑκάστη. δεύτερον δὲ ὅπως ἄν τις ἐπεχομένην αὐτὴν, προτρέψει. ἡ μὲν δὴ τῶν περὶ τὴν γαστέρα περιττωμάτων ἐπίσχεσις, ἤτοι διὰ τὰ λαμβανόμενα σιτία τε καὶ ποτὰ γίγνοιτ᾽ ἂν, διὰ τὴν γαστέρα μετὰ τῶν ἐντέρων. διὰ τὰ μὲν σιτία καὶ ποτὰ, παρά τε τὴν ποιότητα καὶ ποσότητα τῶν ληφθέντων, ἔτι τε πρὸς τούτοις τάξιν τε καὶ τὸν τρόπον τῆς χρήσεως. περὶ μὲν τὴν ποιότητα, στρυφνῶν ἢ αὐστηρῶν ταῖς συστάσεσιν ὑπαρχόντων, περὶ δὲ τὴν ποσότητα τοῦ προσήκοντος πλειόνων ἢ ἐλαττόνων. παρὰ δὲ τὴν τάξιν, εἰ τὰ μὲν ξηρὰ καὶ στύφοντα πρότερον, τὰ δὲ ὑγρὰ καὶ λιπαρὰ καὶ γλυκέα, δεύτερα προσενέγκαιτο. παρὰ δὲ τὸν τρόπον τῆς χρήσεως, εἰ δέον δὶς σιτεῖσθαι, πᾶσαν εἰς ἅπαξ προσενέγκαιτο τὴν τροφήν. ἡ δὲ περὶ τὴν γαστέρα, τε καὶ τὰ ἔντερα τῆς ἐπισχέσεως τῶν περιττωμάτων αἰτία, διά τε τὴν φύσιν αὐτῶν, καὶ διὰ τὴν ἐπίκτητον γίνεται διάθεσιν. αἱ μὲν δὴ περὶ τὴν φύσιν αὐτῶν αἰτία, μοχθηρῶν εἰσὶ τοῦ σώματος κατασκευῶν, ὡς ἐν τῷ περὶ ἐκείνων εἰρήσεται λόγῳ. περὶ δὲ τῶν ἐπικτήτων ἐν τῷδε ῥητέον. ὀκτὼ διαφοραὶ τῆς γαστρὸς τῶν προσφάτων εἰσὶ διαθέσεων, ἅπασαι δυσκρασίαι κατὰ γένος ὑπάρχουσαι, τέσσαρες μὲν ἁπλαῖ θερμότης, ψυχρότης, ξηρότης, καὶ ὑγρότης. τέσσαρες δὲ ἄλλαι σύνθετοι. θερμότης τε ἅμα καὶ ξηρότης. καὶ θερμότης ἅμα ὑγρότητι. καὶ ψυχρότης ἅμα καὶ ξηρότης, καὶ ψυχρότης ἅμα ὑγρότητι. χρὴ δὲ εἰς τοσοῦτον ἥκειν μεγέθους ἑκάστην τῶν δυσκρασιῶν, ὡς ἀσθενῆ φανερῶς ἐργάζεσθαι τὴν προωστικὴν δύναμιν, ἤτοι τῆς γαστρὸς μόνης, ἢ τῶν λεπτῶν ἐντέρων, ἢ τῶν παχέων, ἢ καὶ συμπάντων ἅμα τῶν εἰρημένων, ἢ τινῶν ἐν αὐτοῖς. συνίστανται δ᾽ αἱ τοιαῦται δυσκρασίαι, ποτὲ μὲν ἀπὸ τῶν εἴσω τοῦ σώματος λαμβανομένων. ἐστὶ δ᾽ ὅταν καὶ ἀπὸ τῶν ἔξωθεν προσπιπτόντων. ἀπὸ μὲν εἴσω τοῦ σώματος, ὁπόθ᾽ ἐν ταῖς τροφαῖς, ἢ τοῖς σώμασι φαρμακωδεστέρα τις ἡ δύναμις, ἢ θερμαινόντων, ἢ ψυχόντων, ἢ ξηραινόντων, ἢ ὑγραινόντων, ἢ θερμαινόντων, τε ἅμα καὶ ξηραινόντων, ἢ καὶ κατ᾽ ἄλλην τινὰ συζυγίαν ἐνεργούντων. ἀπὸ δὲ τῶν ἔξωθεν προσπιπτόντων, ἤτοι τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἀμέτρως θερμαίνοντος, ἢ ξηραίνοντος ἢ ὑγραίνοντος, ἢ κατὰ συζυγίαν τινὰ τούτων ἐνεργοῦντος, ἢ ἀπό τινος ὕδατος ἐν ᾧ τις ἔτυχε λουσάμενος, ἢ ἀλείμματός τινος, ἢ ἁπλῶς ὅτου δή τινος ἑτέρου προσπεσόντος ἔξωθεν τῇ γαστρὶ θερμαίνειν ἢ ψύχειν ἢ ξηραίνειν, ἢ ὑγραίνειν ἀμέτρως δυναμένου, διὰ ταύτας μὲν δὴ τὰς αἰτίας, ἐπέχεται γαστήρ. τὸ δὲ πικρόχολον περίττωμα διά τε τὴν ἀῤῥωστίαν τῆς ἑλκούσης, ἢ ἐκκρινούσης αὐτὸ δυνάμεως, καὶ διὰ στενοχωρίαν τῶν παραγόντων τε καὶ ἐκκρινόντων ὀργάνων. ἀλλ᾽ ἡ μὲν ἀῤῥωστία τῆς τε κύστεως ὅλης τῆς ἐπὶ τῷ ἥπατι, καὶ τῶν ἀπ᾽ αὐτῆς εἰς τὸ σπλάγχνον ἀγόντων σωμάτων, καὶ τῶν εἰς τὸ ἔντερον ἐξερευγομένων πόρων, ἐπὶ προσφάτῳ δυσκρασίᾳ γίγνοιτ᾽ ἂν, ἐφ᾽ ἧς περ καὶ ἡ προωστικὴ δύναμις ἐλέγετο βλάπτεσθαι, τῶν ἐντέρων τε καὶ τῆς γαστρός, ἡ δὲ στενοχωρία, ἢ σκίῤῥον, ἢ ἔμφραξιν, ἢ τὴν ἐκ τῶν περιεχόντων αὐτὰ θλίψιν, ἢ μύσιν τῶν στομάτων. αὗται δ᾽ αἱ θλίψεις, ἐκ τῶν περιεχόντων, ἢ διὰ πλῆθος ἄμετρον τῶν ἐν αὐτοῖς περιεχομένων, ἢ διὰ φλεγμονὴν, ἢ σκίῤῥον, ὥσπερ γε καὶ ἡ μύσις, διά τι τούτων ἢ ξηρότητα. τῆς ξηρότητος, δ᾽ αὐτῆς αἰτίαι, τά τε στύφοντα σφοδρῶς ἐστὶ καὶ τὰ θερμαίνοντα μετὰ τοῦ ξηραίνειν, τὰ μὲν γὰρ ἐκθλίβοντά τε τὴν ὑγρότητα, καὶ αὐτὰ τὰ πεφυκότα συνάγοντά τε καὶ σφίγγοντα, καὶ πιλοῦντα. τὰ δὲ διαφοροῦντα τὰς ὑγρότητας τὴν ξηρότητα ἐργάζεται. φλεγμονὴ γὰρ καὶ σκίῤῥος, ἤδη γε νοσήματα φανερῶς ἐστίν. ὥστ᾽ ἐκπέπτωκεν τῆς ὑγιεινῆς πραγματείας. τὰ περὶ αὐτῶν εὐκαιρότερον εἰρήσεται, κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδὲ τὸ μελαγχολικὸν ἐκκαθαρήσεταί ποτε περίττωμα, τοῦ μὲν σπληνὸς ἀνάλογον ἔχοντος τῇ χοληδόχῳ κύστει. τῆς δ᾽ εἰς αὐτὸν τεταγμένης φλεβὸς, ἀπὸ πυλῶν τοῦ ἥπατος, τοῖς ἕλκουσιν ἀγγείοις τὸ χολῶδες περίττωμα. τῆς δ᾽ ἐκ τοῦ σπληνὸς εἰς τὴν γαστέρα φερομένης φλεβὸς, κατὰ τὴν χολὴν ἐξερευγομένῳ πόρῳ, τὸ δὲ καθ᾽ ἕκαστον τῶν τρεφομένων τοῦ ζώου μορίων περίττωμα, διά τε πλῆθος καὶ πάχος αὐτοῦ καὶ πρὸς ἔτι γλισχρότερον, ἢ δι᾽ ἀῤῥωστίαν τῆς λυούσης αὐτὸ θερμότητος, καὶ διὰ στενοχωρίαν τῆς διεξόδου κωλυθήσεται. πλῆθος μὲν δὴ καὶ πάχος καὶ γλισχρότης, ἤτοι γε ἐκ τῆς τῶν πομάτων τε καὶ ἐδεσμάτων γίνεται φύσεως, ἢ ἐκ προσφάτου τινὸς ἀῤῥωστίας τῆς ἀλλοιωτικῆς ἐν τῷ τρεφομένῳ δυνάμεως. ἡ δ᾽ ἀσθένεια τῆς λυούσης αὐτὸ θερμότητος, ἀγυμνασίας ἔκγονος ὑπάρχει. καὶ ἡ στενοχωρία δὲ τῆς διεξόδου διὰ σκίῤῥον καὶ φλεγμονὴν ἔμφραξίν τε καὶ θλίψιν καὶ μύσιν γίνεται. τούτων δὲ ἑκάστου τὴν γένεσιν, ὀλίγῳ πρόσθεν εἰρήκαμεν. Ἔνια δὲ μέν τοι μόρια πρὸς τοῖς ἀδήλοις τούτοις πόροις, ἑτέρους τινὰς

ὄντα τινὰς ἔχει σαφεῖς καὶ αἰσθητοὺς, ὥσπερ ἐγκέφαλός τε καὶ ὀφθαλμός. καὶ τοῦτο γίνεται πρὸς τῆς φύσεως, ἢ διὰ τὸ κύριον τοῦ μέρους, ἢ διὰ τὴν ἀκρίβειαν τῆς ἐνεργείας, ἢ διὰ πυκνότητα τῶν περιεχόντων σωμάτων. ὁ μὲν γὰρ ἐγκέφαλος, οἶκος τίς ὢν τῆς λογικῆς ψυχῆς, καὶ στεγανῷ περιλαμβανόμενος ὀστῷ, διὰ μεγίστων τε καὶ πλείστων ὀχετῶν ἐκκαθαίρεται. πρῶτον μὲν, τῶν κατὰ τὰς ῥῖνας τε καὶ τὴν ὑπερῴαν. δεύτερον δὲ τῶν καθ' ἑκάτερον οὖς. καὶ τρίτον, τῶν κατὰ τὰς τοῦ κρανίου ῥαφάς. οὐκ ἀπεικὸς δὲ καὶ εἰς τοὺς ὀφθαλμοὺς τι συρρεῖν, ἐξ αὐτοῦ. ὁ δὲ ὀφθαλμὸς οὐχ ὡς κύριος ἔτι οὗτός γε, ἀλλ' ὡς ἀκριβῶς καθαρὸς εἶναι δεόμενος, εἰς τὴν τῆς ἐνεργείας ἀκρίβειαν, αἰσθητοῖς τε ἐκκενοῦται πόροις, ἅπαν ὅσον ἐν αὐτῷ περίττωμα γεννᾶται, κατά τε τὴν ῥῖνα καὶ κατὰ βλέφαρα.

Τὰ μὲν οὖν τῶν περιττωμάτων αἴτιά τε καὶ ὄργανα λέλεκται. ὅπως δ' ἄν τις ταῦτα κατεχόμενα κενώσῃ, ἐφεξῆς λεκτέον, ἀρξαμένους αὖθις ἀπὸ τῶν κατὰ τὴν γαστέρα. κοινὸν μὲν οὖν ἐπὶ πάντων παράγγελμα, τὴν ἐναντίαν τῇ τὴν βλάβην ἐργασαμένῃ προσάγειν. ἴδιον δὲ καθ' ἑκάστην, εἰ μὲν ὀλιγώτερα καὶ ξηρότερα προσαράμενος ἐπισχεθῇ τὴν γαστέρα, πλείω τε ἅμα προσφέρειν καὶ ὑγρότερα. εἰ δὲ ξηρότερα, πλείω μὲν μὴ προσφέρειν ὑγρότερα δέ. εἰ δ' αὖ στεγνὰ καὶ στρυφνὰ, γλυκέσι τε καὶ λιπαροῖς εὐδιοικεῖν. εἰ δὲ τῇ τάξει πλημμελῶς, εἰς τὸ δέον ἐπανάγειν. εἰ δὲ ἅπαξ ἀντὶ τοῦ δὶς, οὐ μόνον δὶς, ἀλλὰ καὶ πολλάκις προσφέρειν. κατὰ δὲ τὸν αὐτὸν τρόπον τὰς προσφάτους δυσκρασίας ἐξιᾶσθαι τοῖς ἐναντίοις. ὑγραίνοντα μὲν, εἰ ξηρανθείη. θερμαίνοντα δὲ εἰ ψυχθείη κἀπὶ τῶν ἄλλων ποιοτήτων ἀναλόγως. αἱ δ' ὗλαι τούτων ἐν ταῖς περὶ τῶν φαρμάκων ἡμῖν γεγραμμέναις πραγματείαις εἴρηνται.

Ἐπισχεθείσης δὲ τῆς ξανθῆς χολῆς, ἐπὶ μὲν ἐμφράξει, τῇ λεπτυνούσῃ διαίτῃ χρηστέον. εἴρηται δ' ἡ ὕλη τῆς τοιαύτης διαίτης, ἑτέρωθι δι' ἑνὸς γράμματος. ἐπὶ δὲ θλίψεσι, ταῖς μὲν διὰ τὴν τῶν ὁμιλούντων τοῖς χοληδόχοις πόροις σωμάτων, ἄμετρον πλήρωσιν, εἰ μὲν διὰ πάχος χυμῶν, τῇ λεπτυνούσῃ διαίτῃ χρηστέον. εἰ δὲ διὰ πλῆθος, τῇ κενώσει. εἰ δὲ διὰ φλεγμονὴν ἢ σκίρρον, ἐκπέπτωκεν ἤδη τὰ τοιαῦτα τῆς ὑγιεινῆς πραγματείας. εἰ δὲ διὰ δυσκρασίαν ὑπόγυιον ἀντεισάγοντα τὴν ἡττημένην ποιότητα. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἰᾶσθαι χρὴ τὴν μύσιν τῶν στομίων, ἐπὶ μὲν τοῖς αὐστηροῖς γινομένην, τὰ λιπαρὰ καὶ γλυκέα κελεύοντα λαμβάνειν, ἐπὶ δὲ τοῖς θερμαίνουσι καὶ ξηραίνουσιν, ὅσα ψύχει καὶ ὑγραίνει. λεχθήσεται δ' ἡ τῶν τοιούτων ὕλη, ἐν τοῖς ἑξῆς ὑπομνήμασιν.

Ὁ αὐτὸς δὲ τρόπος ἐστὶ τῆς καθάρσεως, ἐπισχεθῆναι τῷ τρίτῳ γένει τῶν περιττωμάτων, ὃ καθ' ἕκαστον τοῦ ζώου μόριον ἔφαμεν συνίστασθαι. εἰ μὲν γὰρ μύσειε τὰ στόματα τῶν πόρων, ἐπανορθοῦσθαι χρὴ διὰ τῶν ἐναντίων τοῖς βλάψασι. τὰς μὲν ἐπὶ τοῖς ψύχουσιν αἰτίοις στεγνώσεις, ἐκθερμαίνοντα, καθάπερ ὅσαι πυκνωθέντων ἡμῶν ὑπὸ κρύους γίνονται. τὰς δὲ ἐπὶ θερμότητι καὶ ξηρότητι ἐμψύχοντά τε καὶ ἀνυγραίνοντα, καθάπερ ὅσαι δι' ἐκκαύσεις, οὕτω δὲ καὶ ὅσαι διά τε τῶν στυφόντων προσέπεσον, ὥσπερ ὅσα τῶν ὑδάτων ἐστὶ στυπτηριώδη, λιπαραῖς τε καὶ μαλακαῖς τρίψεσιν ἅμα τοῖς τῶν γλυκέων ὑδάτων λουτροῖς. εἰ δὲ ἐμφραχθεῖεν οἱ πόροι διὰ πάχος ἢ πλῆθος ἢ γλισχρότητα περιττωμάτων, ἡ λεπτύνουσα δίαιτα τούτοις ἁρμόσει, καὶ ὅσα τέμνει καὶ θερμαίνει φάρμακα, τὰ μὲν, εἴσω τοῦ σώματος λαμβανόμενα, τὰ δὲ, ἔξωθεν ἐπιτιθέμενα, καὶ πρὸ τούτων ἁπάντων γυμνάσια, καὶ γὰρ καὶ ταῦτα λύειν τε δύναται τὰ περιττώματα, καὶ διὰ τῶν πόρων ἐκκενοῦν. καὶ τοσούτῳ πλεονεκτεῖν τῶν λεπτυνόντων ἐδεσμάτων τε καὶ φαρμάκων, ὅσῳ βέλτιόν ἐστι μηδὲν βλαπτομένην εἰς τὴν τῶν σωμάτων ἕξιν ἐκκενοῦσθαι τὰ περιττὰ τοῦ σώματος, τοῦ σὺν τῷ τάς τε σάρκας συντήκεσθαι καὶ ἰσχνοῦσθαι τὰ στερεά. αὗται μὲν γὰρ αἱ βλάβαι τοῖς θερμοῖς τε καὶ λεπτύνουσιν ἐφεδρεύουσι φαρμάκοις. ἐπὶ δὲ τοῖς γυμνασίοις οὐ μόνον οὐδὲν τοιοῦτον, ἀλλὰ καὶ ῥώμη τοῖς ὀργάνοις ἐγγίνεται, τῆς θερμότητος ἀναζωπυρουμένης αὐτῆς, κἀκ τῆς πρὸς ἄλληλα τῶν σωμάτων παρατρίψεως, σκληρότητός τε τινὸς καὶ δυσπαθείας ἐγγινομένης. ὡς δ' ἄν τις ἐν καιρῷ γυμνάζοιτο, καὶ μέτρῳ τῷ προσήκοντι χρῷτο, καὶ τάξει καὶ ποιότητι τῶν κατὰ μέρος ἐνεργειῶν τῇ δεούσῃ, νυνὶ μὲν οὐ πρόκειται λέγειν. ὥσπερ οὐδὲ περὶ τροφῆς καὶ καιροῦ καὶ μέτρου καὶ τάξεως καὶ ποιότητος. οὐδὲ περὶ τῶν λεπτυνόντων ἐδεσμάτων, καὶ πομάτων, οὐδὲ περὶ τῶν ἀλλοιούντων κατὰ ποιότητα φαρμάκων. οὐδενὸς γὰρ αὐτῶν οὐδέπω, τὴν κατὰ μέρος εἴπομεν χρῆσιν. ἀλλ' ἠρκέσθημεν ἐπὶ κεφαλαίων μόνον διελθεῖν. ἐν δὲ τοῖς ἑξῆς ὑπομνήμασιν, ὑπὲρ ἁπάντων ἐπὶ πλέον εἰρήσεται. νυνὶ μὲν γὰρ εἰς σύνοψιν ἀγαγεῖν ἠβουλήθην ἅπασαν τὴν πραγματείαν. ὡς μηδὲ μίαν ὕλην λαθεῖν, ἧς ἔμπειρον εἶναι χρὴ τὸν ὑγιεινόν. οὐδὲν γὰρ χεῖρον, ὑγιεινὸν ὀνομάσαι τὸν ἐπιστήμονα τῆς ὑγιεινῆς ἁπάσης τέχνης, ὥσπερ τὸν μόνης τῆς περὶ τὰ γυμνάσια γυμναστήν. αὐτὰρ οὖν καὶ ὠνόμασεν Ἐρασίστρατος οὕτως αὐτόν. ἐν δὲ τοῖς ἑξῆς ὑπομνήμασιν, ἑκάστης τῶν εἰρημένων ὑλῶν ἐπισκεψόμεθα, τόν τε καιρὸν καὶ τὴν ποιότητα καὶ τὸν τρόπον τῆς χρήσεως. ὡς μηκέτι ὕλην μόνον, ἀλλ' ὑγιεινὸν αἴτιον γίνεσθαι. ἐν τρισὶ γὰρ τούτοις γένεσι πρώτοις, ἐστὶν ἡ ὑγιεινὴ πραγματεία, καθάπερ καὶ ἡ θεραπευτική. σώμασί τε καὶ αἰτίοις καὶ σημείοις. σώμασι μὲν, αὐτοῖς τοῖς ὑγιαίνουσι, ἃ χρὴ φυλάττεσθαι τοιαῦτα. σημείοις δὲ, τοῖς συμβεβηκόσιν αὐτοῖς, ἐξ ὧν διαγινώσκεται. αἰτίοις δὲ ὑφ' ὧν ἡ φυλακὴ τῆς ὑγιείας γίγνεται. τέτταρες δὲ τῆς τούτων ὕλης τὰς διαφορὰς, οἱ δοκιμώτατοι τῶν νεωτέρων ἰατρῶν ἔθεντο· προσφερόμενα, ποιούμενα, κενούμενα, καὶ ἔξωθεν προσπίπτοντα. προσφερόμενα μὲν ἐδέσματά τε καὶ πόματα καὶ εἴδη τινὰ τῶν φαρμάκων ἔσω τοῦ σώματος λαμβανόμενα, καὶ τὸν εἰσπνεόμενον ἀέρα. ποιούμενα δὲ, τρίψεις τε καὶ περιπάτους, καὶ ὀχήσεις, καὶ ἱππασίαν, καὶ κίνησιν σύμπασαν. εἰ δ' οὐ πᾶσα κίνησις ἐστὶ γυμνάσιον, ἀλλ' ἡ σφοδροτέρα μόνον, προσκείσθω ὧδε τῇ κινήσει, τὸ γυμνάσιον, ὡς εἶναι τὰ ποιούμενα, κινήσεις τε καὶ γυμνάσια. συγκαταριθμοῦνται δὲ τῷ γένει τῶν αἰτίων τῶνδε καὶ ἐγρηγόρσεις, καὶ ὕπνοι, καὶ ἀφροδίσια. τὰ δὲ ἔξωθεν προσπίπτοντα πρῶτον μὲν ὁ περιέχων ἀὴρ, ἔπειθ' ὅσα λουομένοις, ἢ ἀλειφομένοις προσπίπτει τῷ δέρματι, καὶ εἴ τι φαρμακόν ἐστιν, οὐκ ἐκβαῖνον ὅρους ὑγιεινοῦ, ὥσπερ ἅλες, ἢ μύρα. ἢ νίτρον, ἢ ἀφρόνιτρον, ἢ τι τῶν αὐτοφυῶν ὑδάτων θερμῶν. ἡ δὲ τῶν κενουμένων ὕλη, προείρηται μὲν ὀλίγον ἔμπροσθεν. εἰ δ' ὀρθῶς ἀντιδιῄρηται τοῖς προειρημένοις τρισὶ γένεσι τῶν αἰτίων, οὐ ῥᾴδιον ἀποφήνασθαι. τάχα γὰρ ἦν βέλτιον, ὑπὸ μὲν τῶν προσφερομένων καὶ ποιουμένων καὶ προσπιπτόντων ἔξωθεν, ἀλλοιοῦσθαί τε καὶ μετακοσμεῖσθαι φάναι, τὰ κατὰ τὸ σῶμα. τὸ μεταβολὴν δὲ αὐτῶν γίνεσθαι κατά τε τὸ ποιὸν, καὶ κατὰ τὸ ποσὸν, καὶ κατὰ μὲν τὸ ποιὸν, ἐν τῷ θερμαίνεσθαι

καὶ ψύχεσθαι, καὶ ξηραίνεσθαι, καὶ ὑγραίνεσθαι, ἐπὶ δὲ τὸ ποσὸν, ἐν τῷ τρέφεσθαι, καὶ κενοῦσθαι. καὶ αὐτήν γε τὴν κένωσιν εἶναι διττὴν, ἑτέραν μὲν, τῶν περιττωμάτων, ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν ἐλέγομεν, ἑτέραν δὲ, τὴν αὐτῆς οἰκείας οὐσίας ἡμῶν φύσεως ἀποῤῥεούσης, ἥτις ἀντίκειται τῇ θρέψει. ἐπισημήνασθαι δὲ κἀνταῦθα χρὴ, τὴν ὁμωνυμίαν ἣν Ἱπποκράτης ἐν τῷ περὶ τροφῆς συγγράμματι διείλετο φάμενος ὧδε. τροφὴ δὲ καὶ τρέφον, τροφὴ δὲ καὶ τὸ οἷον, τροφὴ καὶ τὸ μέλλον. τὸ μὲν γὰρ ἐπὶ τὸ πρῶτον σημαινόμενον, τροφῇ τε καὶ πέψει, τὴν ἀποῤῥοὴν τῆς οὐσίας ἀντιδιαιρεῖσθαι χρὴ, τῷ δ' ἐπὶ τὸ δεύτερον, αἱμοῤῥαγίαν τε καὶ ἁπλῶς εἰπεῖν αἵματος ἅπασαν κένωσιν, τῷ δὲ ἐπὶ τὸ τρίτον, ἔμετόν τε καὶ λειποσιτίαν. ἀλλὰ περὶ μὲν τῶν τοιούτων διαιρέσεων, ὅπως ἄν τις ἐθέλοι, τιθέσθω. τῶν δ' ὑλῶν ἁπασῶν τῶν ὑγιεινῶν ἐπίστασθαι ἀναγκαῖον τὰς δυνάμεις, τὸν τὴν ὑγιεινὴν τέχνην μετιόντα. καὶ γὰρ ἡ ἐπιδέξιος αὐτῶν χρῆσις ἐντεῦθεν ὥρμηται. γίνεται δ' ἡ ἐπιδέξιος αὐτῶν χρῆσις, ἐὰν τόν τε καιρὸν ἑκάστου καὶ τὸ μέτρον εὕρωμεν, ὥς τε περὶ ταύτην χρὴ προσέχειν μᾶλλον, οὐ τὰς μοχθηρὰς αἱρέσεις ἐξελέγχειν, ἀλλὰ καὶ ἐπειδὴ μέγεθος ἱκανὸν, ὁ πρῶτος ἤδη μοι λόγος ἔχει, τοῦτον μὲν ἐνταῦθα καταπαύσω, τὰ δ' ὑπόλοιπα τῆς πραγματείας, ἐν τοῖς ἑξῆς δίειμι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΥΓΙΕΙ ΝΩΝ ΛΟΓΟΣ Β'

Τὰ μὲν δὴ κεφάλαια, καὶ τὸν σκοπὸν τῆς ὑγιεινῆς τέχνης, ὁ πρόσθεν λόγος εἴρηκεν, τὰ δ' ἐπὶ μέρος ἅπαντα, πειρᾶσθαι χρὴ διελθεῖν. ἀρξαμένους αὖθις ἀπ' ἐκείνων, εἰς ἅπερ ἐτελεύτησε τὸ πρῶτον γράμμα. Ὑποκείσθω δή τις ἡμῶν τῷ λόγῳ παῖς ὑγιεινότατος φύσει, τῆς τρίτης ἑβδομάδος ἐτῶν ἀρχόμενος, ἐφ' οὗ πλάττειν τε καὶ κοσμεῖν τὸ σῶμα προκείσθω. καθ' ὅσον οἷόν τε κάλλιστα, καὶ πρῶτον τοῦτ' αὐτὸ διοριστέον, τί ποτε βούλεται τῷ λόγῳ. τὸ κάλλιστα προσκείμενον. βούλεται δὲ τόδε, ὥσπερ αὐτῶν τῶν σωμάτων ἐδείχθη παμπόλλη τις οὖσα διαφορὰ, κατὰ τὸν αὐτὸν τρόπον, καὶ τῶν βίων οὓς βιοῦμεν, εἴδη πάμπολλά ἐστιν. οὔκουν ἐγχωρεῖ τὴν ἀρίστην τοῦ σώματος ἐπιμέλειαν ἐν ἅπαντι τῷ προχειρισθέντι βίῳ συστήσασθαι, ἀλλὰ τὴν μὲν ἑκάστῳ βελτίστην, οἷόν τε, τὴν δ' ἁπλῶς ἀρίστην οὐκ ἐγχωρεῖ κατὰ πάντας τοὺς βίους ποιήσασθαι. πολλοῖς γὰρ τῶν ἀνθρώπων μετὰ περιστάσεως πραγμάτων, ὁ βίος ἐστί. καὶ βλάπτεσθαι μὲν ἀναγκαῖον ἐστὶν αὐτοῖς, ἐξ ὧν πράττουσιν. ἀπαλλάττεσθαι δ' ἀδύνατον. ἔνιοι μὲν γὰρ, ὑπὸ πτωχείας εἰς τοὺς τοιούτους ἐμπίπτουσι βίους, ἔνιοι δ' ὑπὸ δουλείας, ἤτοι πατρόθεν εἰς αὐτοὺς καθηκούσης, ἢ αἰχμαλώτοις ληφθεῖσιν, ἢ ἁρπαχθεῖσιν, ἅσπερ καὶ μόνας δουλείας ὀνομάζουσιν οἱ πολλοὶ τῶν ἀνθρώπων. ἐμοὶ δὲ δοκοῦσι, καὶ ὅσοι διὰ φιλοτιμίαν, ἢ δι' ἐπιθυμίαν ἡντιναοῦν, εἵλοντο βίον ἐν περιστάσεσι πραγμάτων, ὡς ὀλίγιστα δύνασθαι σχολάζειν, τῇ τοῦ σώματος ἐπιμελείᾳ, καὶ οὗτοι δουλεύειν ἑκόντες, οὐκ ἀγαθαῖς δεσποίναις. ὥστε τούτοις μὲν, οὐκ ἐγχωρεῖ γράψαι τὴν ἁπλῶς ἀρίστην ἐπιμέλειαν τοῦ σώματος. ὅστις δὲ ἀκριβῶς ἐλεύθερος ὑπάρχει καὶ τύχῃ καὶ προαιρέσει, δυνατὸν ὑποθέσθαι τῷδε, ὡς ἂν ὑγιαίνῃ μάλιστα καὶ ἥκιστα νοσήσειε καὶ γηράσειεν ἄριστα. καὶ μέν γε καὶ ἡ μέθοδος ὑγιεινὴ, καθάπερ οὖν καὶ ἄλλη πᾶσα μέθοδος, ἀρχὴν διδασκαλίας τοιαύτην ἐπιζητεῖ. τὸ γὰρ ἁπλοῦν καὶ ἄμεμπτον ἐν ἑκάστῳ γένει, καθάπερ τις κανὼν, ἁπάντων ἐθέλει προτετάχθαι τῶν οὐχ ἁπλῶν, οὐδ' ἀμέμπτων. ἁπλοῦν δὲ καὶ ἄμεμπτον ἐν μὲν τοῖς σώμασι, τὸ κατεσκευασμένον ἄριστά ἐστιν. ἐν δὲ τοῖς βίοις τὸ ἀκριβῶς ἐλεύθερον. ταῦτ' οὖν ἄμφω, πρῶτα συζευγνύσθαι, κατὰ τὸν δὲ τὸν λόγον εἶτ' ἐφεξῆς ἑκάστῃ κατασκευῇ σώματος μοχθηρᾷ, βίος ἐλεύθερος μιγνύσθω. κἄπειθ' ἑξῆς ἀρίστῃ κατασκευῇ σώματος, ἕκαστος τῶν ἐν δουλείᾳ τινὶ βίων. ἐπὶ δὲ τοῖσδε, τὰς μοχθηρὰς τῶν σωμάτων κατασκευὰς, ἐπαλλάξωμεν τοῖς μοχθηροῖς βίοις, εἰ μέλλει τέλεος ἡμῖν ὁ λόγος ἔσεσθαι. τίνα ποτ' οὖν ἀρχὴν τίθεσθαι προσήκει τῆς ὑγιεινῆς πραγματείας, τῷ κάλλιστά τε κατεσκευασμένῳ τὸ σῶμα, καὶ τρίτης ἑβδομάδος ἐτῶν ἀρχομένῳ καὶ μόνῃ σχολάζοντι τῇ τοῦ σώματος ἐπιμελείᾳ, τὰ δ' ἄλλα πάντα πάρεργα τεθειμένῳ; ἐμοὶ μὲν δοκεῖ τὴν ὑφ' Ἱπποκράτους εἰρημένην, ἔν τε τοῖς ἀφορισμοῖς ἔνθα γράφει. Πόνοι σιτίων ἡγείσθωσαν. ἔν τε τῷ ἐπιδημιῶν ἕκτῳ κατὰ τὴν δὲ τὴν ῥῆσιν. πόνοι, σιτία, ποτὰ, ὕπνοι, ἀφροδίσια πάντα μέτρια, καὶ γὰρ καὶ τὸ ποσὸν ἀφώρισεν ἅπασι, προσθεὶς τὸ κατὰ τὸ τέλος τῆς ῥήσεως ὄνομα, τὸ, μέτρια. καὶ τὸν καιρὸν ἐδίδαξε, τῇ τάξει τοῦ λόγου. εἰς γὰρ τὴν τῆς ὑγιείας φυλακὴν, ἄρχειν μὲν χρὴ, τοὺς πόνους. ἕπεσθαι δὲ σιτία καὶ ποτά. εἶθ' ἑξῆς ὕπνους. εἶτα ἀφροδίσια τοῖς γε μέλλουσιν ἀφροδισίοις χρῆσθαι, τὰ μὲν γὰρ ἄλλα πάντα, κοινὰ πάσης ἡλικίας ἐστὶ, τὰ δ' ἀφροδίσια, μόνης τῆς τῶν ἀκμαζόντων, ἡνίκα περ αὐτῶν ἡ χρεία, ὡς ταῖς γε πρόσθεν τε καὶ ὄπισθεν ἡλικίαις, ἢ οὐδ' ὅλως σπερμαίνειν, ἢ οὐ γόνιμον σπερμαίνειν, ἢ μοχθηρὸν γόνιμον ὑπάρχειν. ἀλλὰ γὰρ ὁ μὲν περὶ ἀφροδισίων λόγος, εἰς τὴν οἰκείαν ἀναβεβλήσθω τάξιν. Ἀπὸ δὲ τῶν πόνων ἀρκτέον, αὐτὸ τοῦτο πρῶτον ἐν αὐτοῖς διελομένοις, εἴτε ταυτόν ἐστι πόνος τε καὶ γυμνάσιον, εἴτε πόνος μὲν καὶ κίνησις ταυτὸν, ἕτερον δέ τι τὸ γυμνάσιον, εἴτε κίνησις μὲν ἕτερον. οὐδὲν δ' ὁ πόνος τοῦ γυμνασίου διαφέρει. ἐμοὶ μὲν δὴ δοκεῖ, μὴ πᾶσα κίνησις εἶναι γυμνάσιον, ἀλλ' ἡ σφοδροτέρα μόνη. ἐπεὶ δ' ἐν τῷ πρός τι τὸ σφοδρόν. εἴη ἂν ἡ αὐτὴ κίνησις, ἑτέρῳ μὲν γυμνάσιον, ἑτέρῳ δ' οὐ γυμνάσιον. ὅρος δὲ τῆς σφοδρότητος ἡ τῆς ἀναπνοῆς ἀλλοίωσις ὡς ὅσαι γε κινήσεις οὐκ ἀλλοιοῦσι τὴν ἀναπνοὴν, οὔπω ταύτας ὀνομάζουσι γυμνάσια. εἰ δ' ἤτοι μεῖζον, ἢ ἔλαττον, ἢ πυκνότερον ἀναγκασθείη τις ἀναπνεῖν ἐπὶ κινήσει τινὶ, γυμνάσιον, ἡ τοιαύτη κίνησις ἐκείνῳ γενήσεται. τοῦτο μὲν δὴ κοινὸν γυμνάσιον ὀνομάζεται, ἰδίᾳ δὲ, ἀφ' οὗπερ καὶ τὰ γυμνάσια προσαγορεύουσιν ἅπαντες, ἔν τινι κοινῷ τῆς πόλεως οἰκοδομησάμενοι χωρίῳ. εἰς ὅπερ καὶ ἀλειψόμενοί τε καὶ διατριψόμενοι καὶ διαπαλαίσοντες, ἢ δισκεύσοντες, ἤ τι τοιοῦτον ἄλλο πράξοντες, ἥκουσι. ἡ δὲ τοῦ πόνου προσηγορία, ταυτόν μοι δοκεῖ σημαίνειν θατέρῳ τῶν ὑπὸ τοῦ γυμνασίου ὀνόματος εἰρημένων δηλοῦσθαι τῷ κοινῷ. καὶ γὰρ οἱ σκάπτοντες, καὶ οἱ θερίζοντες, καὶ ἱππαζόμενοι, πονοῦσί τε καὶ γυμνάζονται κατὰ τὸ κοινὸν τοῦ γυμνασίου σημαινόμενον.

νόμενον. ἐμοὶ μὲν οὕτω διῃρείσθω περὶ τῶν ὀνομάτων, καὶ ἐπὶ ταῦτα τὰ σημαινόμενα, πᾶς ὁ ἐφεξῆς λόγος ἀ-
κουέσθω. εἰ δέ τις ἑτέρως βούλοιτο χρῆσθαι, συγχωρῶ. οὐδὲ γὰρ ὑπὲρ ὀνομάτων ὀρθότητος, ἥκω σκεψόμενος. ἀλλ'
ὡς ἄν τις ὑγιαίνῃ μάλιστα, καὶ πρὸς τοῦτ' αὐτὸ χρήσιμον ὑπάρχον μοι περί τε τῶν γυμνασίων καὶ πόνων καὶ ξυλλήβ-
δην εἰπεῖν ἁπάσης κινήσεως διελέσθαι, τὰ σημαινόμενα τῶν ὀνομάτων, ἠναγκάσθην ἀφορίσασθαι. αἱ μὲν δὴ τῶν γυμ-
νασίων χρεῖαι, καὶ διὰ τοῦ πρώτου μὲν εἴρηται λόγου. βέλτιον δ' ἂν εἴη καὶ νῦν ἐπανελθεῖν αὐτὰς διὰ βραχέων. ἐπειδὴ
σκοπός τε ἅμα καὶ κριτήριον αὗται τυγχάνουσιν οὖσαι, πάντων τῶν κατὰ μέρος ἐν τῇ περὶ τὰ γυμνάσια τέχνῃ
πραττομένων. εἰσὶ δὲ ὡς οἶμαι διτταὶ κατὰ γένος. αἱ μέν τινες, εἰς τὴν τῶν περιττωμάτων κένωσιν. αἱ δὲ, εἰς αὐτὴν
τῶν στερεῶν σωμάτων τὴν εὐεξίαν διαφέρουσαι. ἐπειδὴ γάρ ἐστι κίνησις σφοδρὰ τὸ γυμνάσιον, ἀνάγκη τρία μό-
νον ταῦτα γίνεσθαι πρὸς αὐτὴν κατὰ τὸ γυμναζόμενον σῶμα. τήν τε σκληρότητα τῶν ὀργάνων ἀλλήλοις παρατρι-
βομένων, τήν τε τῆς ἐμφύτου θερμότητος αὔξησιν, τήν τε τοῦ πνεύματος κίνησιν βιαιοτέραν. ἕπεται δὲ τούτοις
ἄλλα σύμπαντα κατὰ μέρος ἀγαθὰ τοῖς σώμασιν, ἐκ γυμνασίων γινόμενα. διὰ μὲν τὴν σκληρότητα τῶν ὀργά-
νων τήν τε δυσπάθειαν αὐτῶν, καὶ πρὸς ἐνεργείας εὐτονίαν. διὰ δὲ τὴν θερμότητα τήν τε τῶν ἀναδιδομένων
ὁλκὴν ἰσχυρὰν, καὶ τὴν ἀλλοίωσιν ἑτοιμοτέραν, καὶ τὴν θρέψιν βελτίονα, καὶ χύσιν ἁπάντων τῶν σω-
μάτων, ἐφ' ᾗ χύσει, τὰ μὲν στερεὰ μαλάττεσθαι, τὰ καὶ ὑγρὰ λεπτύνεσθαι, τοὺς πόρους δ' εὐρεῖς γίνεσθαι συμ-
βαίνει. διὰ δὲ τὴν τοῦ πνεύματος ἰσχυρὰν κίνησιν, ἐκκαθαίρεσθαι τοὺς πόρους ἀναγκαῖόν ἐστι, καὶ κενοῦσθαι τὰ περιττώ-
ματα. ἀλλ' ἐπειδὴ ταῦτα ποιεῖ τὸ γυμνάσιον, οὐ χαλεπὸν ἔτι τὸν καιρὸν τῆς χρήσεως ἐξευρεῖν. διότι μὲν γὰρ
ἀναδόσεσι συνεργεῖ, οὐ χρὴ πλῆθος ὠμῶν καὶ ἀπέπτων, οὔτε σιτίων, οὔτε χυμῶν, ἢ κατὰ τὴν κοιλίαν, ἢ ἐν τοῖς ἀγ-
γείοις περιέχεσθαι. κίνδυνος γὰρ αὐτοῖς ἑλχθῆναι πρὸς ἅπαντα τοῦ ζώου τὰ μόρια, πρὶν χρηστοῖς γενέσθαι πεφθεῖσι.
χολή. διότι δὲ ἐκκαθαίρει τοὺς πόρους καὶ κενοῖ τὰ περιττώματα, κάλλιον αὐτὸ πρὸ τῶν σιτίων ἀναλαμβάνεσθαι.

Τὰ μὲν γὰρ μὴ καθαρὰ σώματα, ὅσῳ ἂν θρέψῃς, μᾶλλον βλάψεις ὥστε ἐκ τῶν εἰρημένων εὔδηλον, ὡς οὗτος
ἄριστός ἐστι γυμνασίων καιρὸς, ἡνίκα ἡ μὲν χθιζινὴ τροφὴ τελέως ᾖ κατειργασμένη τε καὶ πεπεμμένη τὰς δύο πέ-
ψεις, τήν τε ἐν τῇ γαστρὶ, καὶ τὴν ἐν τοῖς ἀγγείοις. ἑτέρας δ' ἐφεδρεύει τροφῆς καιρός. εἰ δ' ἢ τῶν πρόσθεν ἢ ὄπισθεν
γυμνάζοις, ἢ χυμῶν ἀπέπτων ἐμπλήσεις τὸ ζῶον, ἢ τὴν ὠχρὰν χολὴν ἐπιθρέψεις γενηθῆναι πλέονα. Γνωρίσματα
τὰ δὲ τοῦ τοιούτου καιροῦ, τῶν οὔρων ἡ χροιά. τὸ μὲν οὖν ὑδατῶδες, ἄπεπτον ἔτι σημαίνει τὸ ἐκ τῆς γαστρὸς ἀναδιδόμενον
χυμὸν ἐν τοῖς ἀγγείοις περιέχεσθαι. τὸ δὲ πυῤῥὸν καὶ χολῶδες, ἐκ πολλοῦ κατειργάσθαι. τὸ δὲ μετρίως ὠχρὸν ἄρτι τῆς
δευτέρας πέψεως γενομένης ἐστὶ σημεῖον. ὅταν γὰρ μηδέ πω χρώζηται τῇ χολῇ τὸ οὖρον, ὑδατῶδές τε καὶ λευκὸν
φαίνεται. ὅταν δὲ πλέον ἀναδέξηται τοῦ προσήκοντος, πυῤῥόν. ἐπειδὰν γὰρ συμμέτρως ᾖ πυῤῥὸν, ἢ μετρίως ὠχρὸν, τηνι-
καῦτα ἄγειν ἐπὶ τὰ γυμνάσια, προαποθέμενον ὅσον ἂν ἐν τῇ κύστει καὶ τοῖς ἐντέροις τοῖς κάτω, περιεχόμενον ᾖ
περίττωμα, κίνδυνος γὰρ κἀκ τῶν τοιούτων εἰς τὴν ἕξιν τοῦ σώματος ἐνεχθῆναί τι, τῇ ῥώμῃ τῆς ἐν τοῖς γυμνασίοις
θερμότητος ἀναρπασθέν. εἰ μὲν οὖν εὐθέως ἀποδυσάμενός τις, ἐπὶ τὰς ἰσχυροτέρας ἔρχοιτο κινήσεις, πρὶν μαλά-
ξαι σύμπαν τὸ σῶμα καὶ λεπτῦναι τὰ περιττώματα, καὶ τοὺς πόρους εὐρῦναι, κίνδυνος μὲν καὶ ῥῆξαί τι καὶ σπά-
σαι τῶν στερεῶν σωμάτων. κίνδυνος δὲ καὶ τὰ περιττώματα τῇ τοῦ πνεύματος, ῥύμῃ κινήσαντος, τοὺς πόρους ἐμ-
φράξαι. εἰ δὲ κατὰ μικρὸν προθερμήνας, προμαλάξειε μὲν τὰ στερεὰ, προλεπτύνειε δὲ τὰ ὑγρὰ, καὶ τοὺς πόρους εὐ-
ρύνειε, κίνδυνος οὐδεὶς, οὔτε τοῦ ῥῆξαί τι μόριον, οὔτε τοῦ τοὺς πόρους ἐμφράξαι, καταλαβεῖν τὸν γυμναζόμενον. ὅ-
πως οὖν ταῦτα γένοιτο, χρὴ προθερμῆναί τε μετρίως ἀνατρίψαντά τε σινδόνι τὸ σύμπαν σῶμα, κἄπειτα
δι' ἐλαίου τρίβειν. οὐ γὰρ δὴ εὐθέως τὸ χρῆσθαι τῷ λίπει συμβουλεύω, πρὶν θερμανθῆναί τε τὸ δέρμα, καὶ τοὺς πόρους
εὐρυνθῆναι, καὶ συλλήβδην εἰπεῖν εὐτρεπισθῆναι τὸ σῶμα πρὸς τὸ καταδέξασθαι τὸ ἔλαιον, ἱκαναὶ δ' εἰς τοῦτο
παντάπασιν ὀλίγαι περιαγωγαὶ τῶν χειρῶν ἄλιποί τε καὶ μετρίως ταχεῖαι, σκοπὸν ἔχουσαι θερμῆναι τὸ σῶμα,
χωρὶς τοῦ θλίψαι, καὶ γὰρ ἂν καὶ φανεῖταί σοι τούτων γιγνομένων, ἔρευθος εὐανθὲς ἐπιτρέχον ἅπαντι τῷ δέρμα-
τι. τότ' οὖν ἤδη τὸ λίπος ἐπάγειν αὐτῷ. καὶ τρίβειν γυμναῖς ταῖς χερσὶ συμμέτρως ἐχούσαις σκληρότητός τε καὶ
μαλακότητος, ὅπως μήτε συνάγηται καὶ σφίγγηται τὸ σῶμα, μήτε ἐκλύηται, καὶ χαλᾶται, περαιτέρω τοῦ δέοντος,
ἀλλ' ἐν τῇ φύσει φυλάττηται. τρίβειν δὲ κατὰ μὲν τὰς πρώτας ἐπιβολὰς ἀτρέμα. τοὐντεῦθεν τε ἤδη κατὰ βραχὺ πα-
ραύξαντα, καὶ μέχρι γε τοσούτου τὴν τρίψιν ἐπὶ τὸ ῥωμαλεώτερον ἄγειν, ὡς θλίβεσθαι μὲν ἤδη σαφῶς τὴν σάρκα, μὴ
θλᾶσθαι δέ. μὴ πολλῷ δὲ χρόνῳ τὴν οὕτως ἰσχυρὰν τρίψιν ἐπάγειν, ἀλλ' ἅπαξ ἢ δὶς ἐφ' ἑκάστου μορίου. οὐ γὰρ ὥστε
σκληρῦναι τὸ σῶμα τοῦ παιδὸς οὕτω τριβόμενον, ἤδη τοῖς πόνοις προσάγομεν, ἀλλ' ὑπὲρ τοῦ προτρέψαι τε εἰς
τὰς ἐνεργείας καὶ συστρέψαι τὸν τόνον καὶ τὴν ἐκ μαλακῆς τρίψεως ἀραιότητα σφίγξαι. σύμμετρον γὰρ αὐτοῦ
τὸ σῶμα φυλάττεσθαι χρὴ καὶ οὐδαμῶς, οὔτε σκληρὸν οὔτε ξηρὸν ἀποτελεῖσθαι. μή πως ἐπισχῶμέν τι τῆς κατὰ φύ-
σιν αὐξήσεως. τοῦ δὲ χρόνου προϊόντος ὅταν ἤδη μειράκιον ἡμῖν γίγνηται, τότε καὶ τῇ σκληροτέρᾳ τρίψει χρησό-
μεθα, καὶ ταῖς μετὰ τὰ γυμνάσια ψυχρολουσίαις. ἀλλὰ περὶ μὲν τούτων αὖθις εἰρήσεται. τῇ δὲ παρασκευαζούσῃ
πρὸς τὰ γυμνάσια τρίψει, σκοπὸν ἐχούσῃ μαλάξαι τὰ σώματα, τὴν μέσην σκληρᾶς καὶ μαλακῆς ἐπικρατεῖν χρὴ
ποιότητα, καὶ κατ' ἐκείνην τυποῦσθαι τὸ σύμπαν. πολυειδεῖς δὲ ταῖς ἐπιβολαῖς τε καὶ περιαγωγαῖς τῶν χειρῶν
αἱ ἀνατρίψεις γιγνέσθωσαν, οὐκ ἄνωθεν κάτω μόνον ἢ κάτωθεν ἄνω φερομένων αὐτῶν, ἀλλὰ καὶ πλαγίων καὶ λο-
ξῶν, ἐγκαρσίων τε καὶ σιμῶν. καλῶ δὲ ἐγκάρσιον μὲν, τὸ ἐναντίον τῷ εὐθεῖ σιμὸν δὲ, τὸ βραχὺ τούτου παρεγκλί-
νον ἐφ' ἑκάτερα. καθάπερ γε καὶ τὸ τῆς εὐθύτητος ἑκατέρωσε πρὸς ὀλίγον ἐκτρεπόμενον, ὀνομάζω πλάγιον. ὅσον
δ' ἀκριβῶς μέσον ἐστὶν εὐθείας τε καὶ ἐγκαρσίας φορᾶς, λοξὸν τοῦτο προσαγορεύω. καὶ μὲν δὴ καὶ τρίψιν τε καὶ ἀνά-
τριψιν, οὐ διοίσει λέγειν, εἰδότας ὅτι τὸ τῆς ἀνατρίψεως ὄνομα, συνηθέστερον τοῖς παλαιοῖς ἐστί. τὸ δὲ τῆς τρίψεως,
τοῖς νέοις. πολυειδεῖς δὲ κελεύω γίνεσθαι τὰς ἐπιβολάς τε καὶ περιαγωγὰς τῶν χειρῶν ἕνεκα τοῦ συμπάσας ὡς
οἷόν τε τῶν μυῶν τὰς ἶνας, ἐκ παντὸς μέρους ἀνατρίβεσθαι. τὸ γὰρ οἴεσθαι τὴν μὲν ἐγκάρσιον ἀνάτριψιν, ἣν δὴ καὶ
στρογγύλην ὀνομάζουσιν ἔνιοι, σκληρύνειν καὶ πυκνοῦν καὶ σφίγγειν καὶ συνδεῖν τὰ σώματα, τὴν δὲ εὐθεῖαν

ἀραιοῦν τε καὶ χαλᾶν, καὶ μαλάττειν καὶ λύειν, ἐκ τῆς αὐτῆς ἐστὶν ἀγνοίας τοῖς ὥσπερ καὶ τὰ ἄλλα ἃ περὶ τῆς
τρίψεως εἴρηται τοῖς πλείστοις τῶν γυμναστῶν. πλέον γὰρ οὐδὲν οὐδεὶς ἔχει περὶ δυνάμεως τρίψεως εἰπεῖν, ὧν ἱπ-
ποκράτης ἔγραψεν ἐν τῷ κατ' ἰητρεῖον ὑπὸ μὲν τῆς σκληρᾶς, δεῖσθαι τὸ σῶμα λέγων, ὑπὸ δὲ τῆς μαλακῆς λύεσθαι,
καὶ ὑπὸ μὲν τῆς πολλῆς, ἰσχναίνεσθαι. σαρκοῦσθαι δὲ ὑπὸ τῆς μετρίας. ἔχει δὲ ἡ ῥῆσις ὧδε. ἀνάτριψις δύναται λῦ-
σαι, σαρκῶσαι, μινυθῆσαι, ἡ σκληρὰ, δῆσαι. ἡ μαλακὴ, λῦσαι, ἡ πολλὴ μινυθῆσαι, ἡ μετρίη σαρκῶσαι. τέττα-
ρες γὰρ αὗται διαφοραὶ κατὰ γένος, ἐπὶ τέσσαρσι δυνάμεσί τε καὶ χρείαις ἁπασῶν τρίψεων εἰσίν. εἰ δὲ καὶ τὰς
μέσας αὐτῶν προσλογιζοίμεθα συνεμφαινομένας ταῖς εἰρημέναις, ἐξ αἱ ἅπασαι διαφοραὶ γενήσονται. πόθεν οὖν
ἐπῆλθε τοῖς πλείστοις τῶν νεωτέρων γυμναστῶν οὕτω πολλὰς διαφορὰς γράψαι τρίψεων, ὡς μὴ δὲ ἀριθμῆσαι ῥᾳ-
δίως αὐτὰς δύνασθαι, πόθεν ἄλλοθεν; ἢ ὅτι λογικῆς θεωρίας παντάπασιν ἀγύμναστοι ὄντες, οὐ συνεῖδον, ἅμα ταῖς
οἰκείαις τῆς τρίψεως διαφοραῖς, ἐνίοτε μὲν, καὶ τῶν ἔξωθέν τινος μνημονεύοντες, ἐνίοτε δὲ καὶ τὰς ἀπεργαζομένας
ἑκάστην τρῖψιν αἰτίας ἀναγράφοντες, ἔστιν ὅτε δὲ καὶ πρὸς ἄλληλα ἐπιπλέκοντες αὐτάς τε τὰς γνησίας δια-
φορὰς καὶ ὅσας οὐκ ὀρθῶς αὐταῖς προσέθεσαν. ὅταν μὲν γὰρ λέγωσι τὰς τρίψεις ἀλλήλων διαφέρειν, τῷ τὰς
μὲν, ἐν ὑπαιθρίῳ γίγνεσθαι, τὰς δὲ ἐν καταστέγῳ, τὰς δὲ ἐν ὑποσυμμιγεῖ σκιᾷ, καὶ τὰς μὲν ἐν ἀνεμώδει χωρίῳ,
τὰς δὲ ἐν γαλήνῃ, καὶ τὰς μὲν ἐν θερμῷ, τὰς δὲ ἐν ψυχρῷ, τὰς μὲν ἐν ἡλίῳ, τὰς δὲ ἐν βαλανείῳ, τὰς δὲ πρὸ βαλα-
νείου, τὰς δὲ ἐν παλαίστρᾳ, καὶ τοιοῦτόν τινα ποιοῦντες κατάλογον, οὐκ οἰκείας διαφορὰς τρίψεων λέγουσιν, ἀλλ' ὧν
οὐκ ἄνευ τινὸς, ὁ τριβόμενος ἐστίν. ἀνάγκη γὰρ πάντως αὐτὸν ἔν τινι χωρίῳ τῶν κατὰ τὴν οἰκουμένην ὑπάρχειν, καὶ
πρός γε τῷ χωρίῳ, χειμῶνος, ἢ θέρους, ἢ κατά τινα τῶν ἄλλων ὡρῶν. ἐπειδὰν δὲ τὰς μὲν, τῷ μετὰ πλείονος ἐλαίου,
τὰς δὲ, τῷ μετὰ ἐλάττονος ἢ παντάπασιν ἐλαίου χωρὶς, ἤτοι διὰ τῶν χειρῶν μόνον, ἢ μετὰ κόνεως, ἢ διὰ σινδόνων,
καὶ τούτων ἤτοι σκληρῶν, ἢ μαλακῶν γίγνεσθαι, διαφέρειν ἀλλήλων λέγουσι τὰς τρίψεις, αἰτίων καταρίθμησιν
ποιοῦνται τῶν ἤτοι σκληρὰν ἢ μαλακὴν ἀπεργαζομένων τὴν τρῖψιν. τοῦ δ' αὐτοῦ γένους τῶν αἰτίων ἐστὶν, καὶ τὸ τὰς χεῖρας
τῶν τριβόντων ἤτοι σκληρὰς ἢ μαλακὰς εἶναι, καὶ ἤτοι πιέζειν σφοδρῶς ἢ πρᾴως ἐφάπτεσθαι. τὸ δὲ τρίτον εἶδος ἐστὶ,
τῶν πολλὰς τῆς τρίψεως οἰομένων εἶναι διαφορὰς ἐκ τοῦ κατὰ συζυγίας τινὰς ἐπιπλέκειν ἀλλήλοις ἅπαντα τὰ
νῦν εἰρημένα. ὅσοι μὲν οὖν αὐτῶν, ἢ τὰς ἔξω περιστάσεις τῶν πραγμάτων ἢ τὰς αἰτίας τῶν οἰκείων διαφορῶν ἀλλή-
λαις ἐπιπλέκουσιν, εὐφωρατώτεροι γίνονται, μὴ γινώσκοντες ὀρθῶς. ὅσοι δὲ κατὰ τὰς οἰκείας διαφορὰς ποιοῦνται
τὰς συζυγίας, ἧττον οὗτοι γνωρίζονται σφαλλόμενοι. εἰσὶ δὲ καὶ οἱ οἷον σοφίας δόξαν ἀπενηνέγκαντο, καὶ δοκοῦσιν
πλέον εὑρηκέναι τῶν ὑφ' ἱπποκράτους εἰρημένων. ὥσπερ οὖν καὶ θέων ὁ γυμναστής ἐστιν, ὅστις ἔδοξε βέλτιον ἱππο-
κράτους ἐγνωκέναι περὶ τρίψεως. ἀφορισάμενος γὰρ ἐκείνου κατὰ τὴν προγεγραμμένην ῥῆσιν, ἐν μὲν τῇ κατὰ ποιότητα
διαφορᾷ, τήν τε μαλακὴν καὶ σκληρὰν, ἐν δὲ τῇ κατὰ ποσότητα τήν τε πολλὴν καὶ τὴν μετρίαν, ὁ θέων οὐκ ἀξιοῖ
μνημονεύειν οὔτε ποιότητος οὔτε ποσότητος ἴδια γράφων ἐν ἄλλοις τέ τισι καὶ τῷ τρίτῳ τῶν γυμναστικῶν ὧδε

» Ἀρκέσει περὶ τρίψεως παραγγέλλοντας, δεῖν ἀεὶ συναρμόττειν ταῖς ποιότησι τὰς ποσότητας. καθ' ἑαυτὰς μὲν
» γὰρ ἀτελεῖς εἶναι πρὸς τὴν ἐν τοῖς ἔργοις κατόρθωσιν. τὴν γοῦν μαλακὴν τρῖψιν, παρὰ τὴν ποσότητα, τριῶν ἀποτε-
» λεσμάτων ποιητικὴν γίγνεσθαι. τὴν μὲν γὰρ ὀλίγην, ἀνιέναι πως τὴν σάρκα, καὶ εὐαφῆ ποιεῖν. τὴν δὲ πολλὴν δια-
» φορεῖν καὶ τήκειν. τὴν δ' αὐτάρκη, σαρκοῦν τὸ σῶμα πλαδαρᾷ καὶ κεχυμένῃ σαρκί. ὁμοίως δὲ καὶ τὴν σκληρὰν τρῖψιν
» παρὰ τὴν ποσότητα τὸν ἴσον ἀριθμὸν ἀποτελεσμάτων ποιεῖν. πολλὴν γὰρ προσαχθεῖσαν, σφίγγειν τὰ σώματα,
» καὶ συνδεῖν καὶ φλεγμονῇ τι παραπλήσιον ἀπεργάζεσθαι. τὴν δὲ αὐτάρκη σαρκοῦν μεμυωμένῃ καὶ εὐπεριγράπτῳ
» σαρκί. τὴν μέντοι γε ὀλίγην ἐνερευθῆ πρὸς ὀλίγον χρόνον τὴν ἐπιφάνειαν ποιεῖν. οὐκ ἀξιοῖ δὲ περὶ τῆς σκληρᾶς
τρίψεως ἴδια καθ' ἑαυτὴν οὐδὲν παραγγέλλειν τὸν γυμναστὴν ἀλλὰ συναρμόζειν αὐτῇ τὸ ποσόν. εἴπερ τι μέλλοι
τότε κατόρθωμα πλέον ἐν τοῖς ἔργοις τῆς τέχνης ἔσεσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδὲ περὶ τῆς μαλακῆς ἴδια καθ'
ἑαυτὴν οὐδὲν ἡγεῖται νῦν ὑποτίθεσθαι. μὴ γὰρ δύνασθαί ποτε γενέσθαι μαλακὴν τρῖψιν αὐτὴν καθ' ἑαυτὴν μόνην,
ἄνευ τοῦ πολλὴν ἢ ὀλίγην ἢ σύμμετρον ὑπάρχειν. εἶθ' ἑξῆς διηγεῖται κατὰ συζυγίαν ὅσα περὶ τοῖς σώμασιν ἡμῶν
ἐργάζεσθαι πεφύκασιν. τὴν μὲν ὀλίγην τε ἅμα, καὶ μαλακὴν ἀνιέναι πως τὴν σάρκα καὶ εὐαφῆ ποιεῖν. ἀποφαι-
νόμενος οὐδὲν, ἤτοι λῦσαι, πρὸς ἱπποκράτους εἰρημένον ἑτέροις ὀνόμασιν ἑρμηνεύων. τὸ γὰρ ἀνιέναι τὴν σάρκα
καὶ εὐαφῆ ποιεῖν, τί ἄλλο ἢ λύειν ἐστὶ τὰ συνδεδεμένα καὶ συνηγμένα. προσέθηκε δὲ τῷ λόγῳ τὸ πως, οὐ τὸ γένος
τῆς ἐνεργείας ὑπαλλάττων, ἀλλὰ τὸ ποσὸν ἐν αὐτῷ διορίζων. μαλάττει γὰρ ἐπ' ὀλίγον ἡ τοιαύτη τρῖψις, ὡς εἴγ' ἐπὶ
πλεῖον γένοιτο, μαλάξει μὲν ἔτι καὶ νῦν, ἀλλὰ μειζόνως, ἢ πρόσθεν ὅτι τοίνυν οὐ μεγάλως οὐδ' ἱκανῶς ἀλλὰ καὶ βρα-
χέως ἡ ὀλίγη καὶ μαλακὴ τρῖψις ἀνίησί τε καὶ μαλάττει τὰ σώματα, διὰ τῆς τοῦ πως προσθήκης ἐδήλωσεν. οὐδέ-
πω κατά γε τοῦτο τῶν ὑφ' ἱπποκράτους εἰρημένων, διδάσκων περιττότερον. ὥσπερ οὐδ' ἐν τῷ φάναι τὴν αὐτάρκη
καὶ μαλακὴν σαρκοῦν τὸ σῶμα πλαδαρᾷ καὶ κεχυμένῃ σαρκί. διότι μὲν γὰρ αὐτάρκης, σαρκώσει, διότι δὲ μαλακὴ, λύ-
σει, τοῦτ' ἐστὶ μαλάξει, ὅπερ ἴσον ἐστὶ, τῷ πλαδαρὰν καὶ κεχυμένην ἐργάσασθαι τὴν σάρκα. ἐχρῆν δ' αὐτὸν ὥσπερ
ὑπὲρ τούτων εἶπεν ὀρθῶς, οὕτως καὶ ὁπότε περὶ τῆς πολλῆς τε ἅμα καὶ μαλακῆς διαλέγεται, μὴ τοῦτο μόνον εἰπεῖν
ὅτι διαφορεῖν καὶ τήκειν πέφυκεν, ἀλλὰ καὶ ὁποίαν τινὰ τὴν ὑπόλοιπον ἐργάζεται σάρκα. οὐ γὰρ δὴ πᾶσαν
τὴν οὐσίαν διαφορεῖ καὶ τήκει καθάπερ τὸ πῦρ, ἀλλά τι καὶ καταλείπει. πάντως τοῦτο οὖν τὸ καταλειπόμενον ὁποῖόν
τι, τὴν ἰδέαν ἐστὶν, ἐχρῆν οἶμαι προσκεῖσθαι τῷ λόγῳ, καὶ μὴ μόνον τὸ τῆς πολλῆς τρίψεως ἴδιον ἔργον εἰπόντα, τὸ τῆς
μαλακῆς παραλιπεῖν. ὅτι μὲν ἡ πολλὴ διαφορεῖ, καὶ πρὸς ἱπποκράτους εἴρηται πρόσθεν, ἀλλ' οὐχ ἁπλῶς ὑπὲρ τῆς
πολλῆς ἐνεστήσατο τὸν λόγον ὁ θέων, ἀλλὰ κατὰ συζυγίαν ἠξίωσε διδάσκειν ἀπὸ τῆς πρώτης μὲν ἀρξάμενος τῆς τε
ὀλίγης τε ἅμα καὶ μαλακῆς. ἐπὶ δὲ δευτέραν δὲ μεταβὰς τὴν μαλακὴν τε ἅμα καὶ πολλήν. εἶθ' ἑξῆς τρίτης μνη-
μονεύσας τῆς μαλακῆς τε ἅμα καὶ συμμέτρου. ὥσπερ οὖν ἐπί τε τῆς πρώτης καὶ τρίτης συζυγίας οὐκ ἐσιώπησε
τὸ τῆς ποιότητος ἔργον, οὕτως ἐχρῆν αὐτὸν, οὐδὲ ἐπὶ τῆς δευτέρας παραλιπεῖν, ἀλλὰ κἀνταῦθα φάναι τὴν πολλὴν
τε ἅμα καὶ μαλακὴν τρῖψιν, διαφορεῖν τε ἅμα καὶ μαλακὴν ἀπεργάζεσθαι τὴν σάρκα πλὴν εἰ τὸ τήκειν αὐτ-

τοῦ μαλάττειν χρὴ δέξασθαι, καὶ οὕτως ἀληθὲς μένει τὸ εἰρημένον. οὐχ ὅπως δὲ διαβάλλει τὴν Ἱπποκράτους διδασκαλίαν, ἀλλὰ καὶ παντὸς μᾶλλον ὁμολογεῖ αὐτήν. εἴπερ γὰρ ἡ μαλακὴ τρῖψις ἀεὶ μὲν ἁπαλὸν ἐργάζεται τὸ σῶμα, κἂν ὀλίγη κἂν πολλὴ κἂν σύμμετρος ὑπάρχῃ, προσέρχεται δ' αὐτῇ τι παρὰ τῆς ποσότητος ἕτερον, ἀχώριστον ἔσται τῆς μαλακῆς τρίψεως τὸ μαλάττειν, ὥσπερ οἶμαι καὶ τῆς σκληρᾶς τὸ σκληρύνειν. ἢ συνάγειν ἢ σφίγγειν. ἢ δεῖν, ἢ πυκνοῦν, ἢ δυσαφῆ τὴν σάρκα ποιεῖν, ἢ ὡς ἄν τις ἑτέρως ἑρμηνεύειν ἐθέλοι ταὐτὸν πρᾶγμα. πρῶτον μὲν γὰρ καὶ κύριον ὄνομα, τῆς οὕτως διακειμένης σαρκὸς ἐστὶ τὸ σκληρόν, ὥσπερ καὶ τῆς ἐναντίας αὐτῆς τὸ μαλακόν. οὐ μὴν ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον, ὡς εἶπον, ἐγχωρεῖ λέγειν. καὶ διὰ τίνα μὲν τὴν αἰτίαν οὕτω πολλοῖς ὀνόμασιν οἷόν τε χρῆσθαι καθ' ἑνὸς πράγματος, ὀλίγον ὕστερον εἰρήσεται. νῦν δὲ ὡμολόγηται γοῦν, τὴν μὲν αἰτίαν αὐτοῦ λέγειν, ἐν γε τῷ παρόντι παραλίπωμεν. ὅτι δ' ἐξ ἀνάγκης ἕπεται τῇ μαλακῇ τρίψει, τὸ μαλακὰ ποιεῖν τὰ σώματα, πρόδηλον ἐκ τῶν εἰρημένων. εἰ γὰρ μὴ πολλήν, μήτ' ὀλίγην, μήτε σύμμετρον τὴν τοιαύτην τρῖψιν παραλαβὼν σκληρὸν ἐργάσασθαι ποτὲ δύναιτο τὸ σῶμα, δῆλον ὡς ἀχώριστον αὐτῆς ἐστὶ τὸ μαλάττειν, ὥσπερ γε καὶ τῆς σκληρᾶς τὸ συνδεῖν τε καὶ σκληρύνειν. καὶ γὰρ καὶ ταύτην ἄν τ' ὀλίγην, ἄν τε πολλήν, ἄν τε σύμμετρον παραλάβῃς, οὐδέ ποτε μαλάξεις τὸ σῶμα κατ' οὐδεμίαν ποσότητα. διὰ παντὸς δὲ σκληρὸν ἀπεργάσῃ μᾶλλον ἢ ἧττον. ἐπὶ πλέον τρίβων, μᾶλλον, ἐπ' ἔλαττον δέ, ἧττον. εἰ δὲ καὶ παντελῶς ὀλίγας τὰς σκληρὰς ἐπιβολὰς ποιησάμενος ἀρκεσθείης, ἀνάλογον τῇ τούτων βραχύτητι, καὶ σκληρότης ἀπαντήσεται. καθάπερ καὶ ὁ πυρὶ πλησιάζων, ἀεὶ μὲν θερμαίνεται, κἂν ἐπὶ πολλὴν χρόνον αὐτῷ τύχοι πλησιάζων, κἂν ἐπ' ὀλίγον, ἀλλὰ μᾶλλον μέν, τοῦθ' ὁ πολυχρονίως ὁμιλῶν, ἧττον δέ, ὁ μέχρι βραχέως, ἐπ' ἐλάχιστον δέ, ὁ ψαύσας μόνον, οὕτω κἂν ταῖς τρίψεσιν ὁμοιοῦται διαπαντὸς τὸ σῶμα. πρὸς μὲν τῆς μαλακῆς μαλαττόμενον. ὑπὸ δὲ τῆς σκληρᾶς, σκληρυνόμενον. οὐ μὴν ἴσῳ γε τῷ μέτρῳ διαπαντός, ἀλλ' ὑπὸ μὲν τῆς πλείονος, μᾶλλον, ὑπὸ δὲ τῆς ἐλάττονος ἧττον. ὥσπερ γε καὶ ὑπὸ μὲν τῆς πλείστης, μάλιστα, ὑπὸ δὲ τῆς ἐλαχίστης, ἥκιστα. τοίνυν ὁ Θέων ὁπότε περὶ τῆς μαλακῆς τε καὶ πολλῆς τρίψεως διαλεγόμενος, διαφορεῖν καὶ τήκειν εἶπεν αὐτήν, εἰ μὲν τὸ κενοῦν διὰ τὸ τήκειν δηλοῖ, πλέον οὐδὲν σημαίνει τοῦ διαφορεῖν. ὥστε δὶς μὲν ἂν εἴη ταὐτὸν εἰρηκώς, παραλελοιπὼς δὲ προσθήκην ἀναγκαίαν, τῆς γινομένης περὶ τὸ σῶμα διαθέσεως ἐκ τῆς μαλακῆς τρίψεως. εἰ δὲ τὸ μαλάττειν ἢ λύειν, ἢ χαλᾶν ἢ ὅπως ἂν ἑτέρως ὀνομάζειν ἐθέλῃ, παραλείπεται μὲν οὕτως οὐδὲν αὐτῷ. τὰ δ' Ἱπποκράτους λέγων, φωραθήσεται διὰ μοχθηροτέρου τρόπου διδασκαλίας. ὅτι μὲν ὁ τοιοῦτος τρόπος τῆς διδασκαλίας μοχθηρότερός ἐστιν ἧς Ἱπποκράτης ἔγραψεν, ὀλίγον ὕστερον ἐπιδείξομεν. ὅτι δὲ εἴπερ τὸ τήκειν ἀντὶ τοῦ μαλάττειν εἴρηκεν, οὐδὲν τῶν Ἱπποκράτους λέγει περιττότερον, ἄντικρυς δῆλον. εἰπόντος γὰρ ἐκείνου τὴν μὲν μαλακὴν λύειν, τὴν δὲ πολλὴν ἰσχναίνειν, εὔδηλον ἂν εἴη παντί γε τῷ νοῦν ἔχοντι συλλογίσασθαι, τὴν ἐκ τῆς μαλακῆς τε ἅμα καὶ πολλῆς συνθετόν, ἰσχναίνειν τε ἅμα καὶ μαλάττειν. ἀλλ' οὐχ ὁ Θέων ἔοικεν οὕτω γινώσκειν. ἀλλ' ὅπερ ἐν τῷ πρώτῳ τῶν γυμναστικῶν ἰσχναίνειν εἶπε δι' ἑνὸς ῥήματος, τοῦτ' ἐν τῷ τρίτῳ διὰ δυοῖν, τοῦ τε διαφορεῖν καὶ τήκειν. ἔχει γὰρ οὖν δὴ καὶ ἡ ἐν τῷ πρώτῳ ῥῆσις ὧδε. ἐκ δὲ τῶν ἐναντίων τὴν μαλακὴν τρῖψιν, πολλὴν μὲν γινομένην, ἰσχναίνειν τὰ σώματα. αὐτάρκη δέ, σαρκοῦν εὐφορίᾳ καὶ κεχυμένῃ σαρκί. φανερῶς γὰρ ἐνταῦθα τὴν μαλακήν τε ἅμα καὶ πολλὴν τρῖψιν. ἰσχναίνειν ἔφησε τὰ σώματα. ὅτι δ' ἀναγκαῖον ἦν οὐ μόνον τὸ τῆς πολλῆς ἴδιον, ἀλλὰ καὶ τὸ τῆς μαλακῆς εἰπεῖν, καὶ αὐτὸς ὁ Θέων ἐνεδείξατο διὰ τῆς ἑξῆς ῥήσεως. ἐν ᾗ περὶ τῆς σκληρᾶς τρίψεως διδάσκων, τὴν πολλὴν σφίγγειν τὰ σώματα καὶ συνδεῖν καὶ φλεγμονῇ τινι παραπλήσιον ἐργάζεσθαι φησίν. ὃ γὰρ εἶχε συμμέτρως ὑπάρχουσα τῇ ποσότητι, τοῦτο πλεονασθεῖσα, μᾶλλον ἐπεκτήσατο. πάντες οὖν ὁμολογοῦσι τὴν σύμμετρον σκληράν, σαρκοῦν τὸ σῶμα σκληρᾷ σαρκί, καθάπερ γε καὶ τὴν σύμμετρον μαλακήν, σαρκοῦν μὲν καὶ αὐτήν, ἀλλὰ μαλακῇ τῇ σαρκί. κινδυνεύει δὲ ὁ Θέων ἡνίκα ὑπὲρ τῆς μαλακῆς τε ἅμα καὶ πολλῆς τρίψεως ὁ λόγος ἦν αὐτῷ, μηδὲν τῆς μαλακῆς ἔργον εἰρηκέναι. ὁπότε δὲ περὶ τῆς σκληρᾶς τε ἅμα καὶ πολλῆς, μηδὲν τῆς πολλῆς. εἰ γοῦν τὸ τήκειν ταὐτὸν τῷ κενοῦν καὶ διαφορεῖν ὑπολάβοιμεν, ὑπὲρ μὲν τῆς πολλῆς, ἔσται τι λεγόμενον αὐτῷ, περὶ δὲ τῆς μαλακῆς οὐδέν. ὥσπερ γε κἂν τῷ περὶ τῆς σκληρᾶς τε καὶ πολλῆς, ὑπὲρ μὲν τῆς σκληρᾶς, εἴρηται τὸ σφίγγειν καὶ δεῖν καὶ φλεγμονῇ τι παραπλήσιον ἀπεργάζεσθαι. περὶ δὲ τοῦ πλήθους οὐδέν, καί τοι δίκαιον ἦν τι καὶ περὶ τῆς ποσότητος εἰπεῖν, ἀπεφήνατο γοῦν ὡς εἰ σύμμετρος εἴη τῇ ποσότητι παχύνει. τί ποτ' οὖν ἡ πολλὴ ποιήσει μετὰ τὴν σύμμετρον ὑπάρχουσα; πάντως γοῦν ἤτοι φυλάξει τὸ ταύτης ἔργον, ἢ ἀλλοιώσει. ἀλλ' εἰ μὲν φυλάξει, τὸ πλῆθος τῶν μετὰ τῆς συμμετρίας τῶν τρίψεων, οὐδὲν ἐργάζεται περιττότερον. εἰ δέ τι δράσει πλέον, ἤτοι καθαιρήσει τῆς σαρκώσεως, ἢ προσθήσει. καθαιροῦσα μὲν οὖν λεπτυνεῖ, προστιθεῖσα δὲ σαρκώσει. ἀλλὰ μὴν οὐ σαρκοῖ, λεπτύνειν γοῦν ἀναγκαῖον αὐτήν. οὐ μὴν εἶπέ γε ὁ Θέων οὐδὲν ὑπὲρ τῆς κατὰ τοῦτο διαφορᾶς, ἀλλ' ὅλως ἐσιώπησε, μήτ' εἰ λεπτυνεῖ, μήτ' εἰ παχυνεῖ, μήτ' εἰ φυλάττει τὴν ἐκ τῆς συμμέτρου τρίψεως σάρκωσιν ἡ σκληρὰ πλεονασθεῖσα, μηδὲν ὅλως ἀφορισάμενος. ἀλλὰ μόνον ὅτι σφίγγει καὶ συνδεῖ παραπλησίως φλεγμονῇ. ἐχρῆν δ' οὐ τοῦτο μόνον εἰπεῖν, ἀλλ' ὅτι καὶ λεπτυνεῖ. φαίνεται τοίνυν ἢ μὴ δυνηθεὶς συνιέναι τῆς Ἱπποκράτους ἐν τοῖς δὲ τέχνης, ἢ μὴ βουληθεὶς ἐπαινεῖν τὸν ἄνδρα διὰ βραχείας οὕτω ῥήσεως, ἁπάσας τε τὰς διαφορὰς τῶν τρίψεων εἰπόντα, καὶ πρὸς ταῖς διαφοραῖς, ἑκάστης αὐτῶν ἐνέργειάν τε καὶ δύναμιν. ὡς μὲν γὰρ ἄν τις οἰηθείη κατὰ τὴν πρόχειρον οὑτωσὶ φαντασίαν, ὑπὲρ τεττάρων εἴρηκε μόνων. ἔχει δὲ οὐχ οὕτω τἀληθές, ἀλλ' ἑτέρας ἐνεδείξατο δύο ταῖς εἰρημέναις ἐξ ἀνάγκης συνεπινοουμένας. ἐν μὲν τῇ κατὰ ποιότητα διαφορᾷ, τὴν μέσην τῆς σκληρᾶς τε καὶ μαλακῆς, ἥπερ δὴ καὶ σύμμετρός ἐστιν. ἐν δὲ τῇ κατὰ ποσότητα, τὴν ὀλίγην. ἀναγκαῖον γὰρ τὴν ὀλίγην ἐναντίαν εἶναι τινὰ τῇ πολλῇ. τὸ δὲ τῆς παλαιᾶς ἑρμηνείας εἶδος οὕτως ἐστὶ βραχυλόγον, ὡς πολλὰ πολλάκις ὑπερβαίνειν δοκεῖν, τῇ λέξει τῶν ἐξ ἀνάγκης ἑπομένων τοῖς λεγομένοις. καὶ διὰ τοῦτ' οἶμαι γράφομεν αὐτῶν ὑπομνήματα ποδηγοῦντα τοὺς δι' ἀγυμνασίαν ἀδυνάτους ἕπεσθαι τάχει λέξεως παλαιᾶς. καθάπερ κἂν τῷδε τῷ λόγῳ ποιοῦμεν. εἰ γὰρ ἡ μὲν σκληρά, δύναται δεῖν, ἡ δὲ μαλακή, λύειν, ὅσα μὲν ἐκλύεται πέρα τοῦ μετρίου σώματα, σκληρῶς ἀνατριπτέον, ὅσα δ' ἔσφιγκται, μαλακῶς. εἰ δέ τι συμμέτρως ἔχει, τοῦτ' εὔδηλον

ὡς οὔτε μαλακῶς, οὔτε σκληρῶς. ἀλλ᾽ ὅσον οἷόν τε μάλιστα κατὰ τὰς ὑπερβολὰς ἑκατέρας φυλαττόμενον. ὁ δὲ θαυ
μάσιος Θέων εὐθὺς τὸ πρῶτον ἔσφαλται, μήτε τὴν δύναμιν εἰπὼν ποτε τῆς συμμέτρου κατὰ ποιότητα τρίψε
ως, μήτε χρείαν. ἀλλ᾽ ἀεὶ παρερχόμενος αὐτήν, ὥσπερ οὐκ οὖσαν. περὶ μὲν δὴ τοῦ δέ, καὶ μικρὸν ὕστερον ἐροῦμεν,
ὥσπερ δὲ ἐν ταῖς κατὰ ποιότητα διαφοραῖς οὐ σκληρὰ καὶ μαλακὴ μόνον ἐστὶν ἀλλὰ καὶ σύμμετρος, οὕτω καὶ
ταῖς κατὰ τὸ ποσόν, οὐ πολλὴ καὶ ὀλίγη μόνον, ἀλλὰ καὶ μετρία. τί ποτ᾽ οὖν ἐν μὲν ταῖς κατὰ ποιότητα τὴν μέ-
σην παρέλιπεν ὁ ἱπποκράτης, ἐν δὲ ταῖς κατὰ ποσότητα τὴν ὀλίγην, ἴσως ἄν τινι δόξειεν ἀλόγως τοῦτο πρᾶξαι.
χρῆναι γὰρ ἐν ταῖς βραχυλόγοις διδασκαλίαις ἀφορίζεσθαι μὲν ταῖς ἄκραις ἐναντιότησι τὰ πράγματα, πα
ραλείπεσθαι δὲ τὸ μέσον τε καὶ σύμμετρον ἐν αὐταῖς, ὡς ἐξ ἀνάγκης τοῖς ἄκροις συνεπινοούμενον. ἐγὼ τοίνυν
καὶ τοῦτο πειράσομαι διελθεῖν, καὶ σαφηνίσαι τὴν τοῦ παλαιοῦ γνώμην. οὐκ ἀναγκαῖον μὲν ἐνταῦθα, τὰ γὰρ
τοιαῦτα ζητήματα, διὰ τῶν ἐξηγητικῶν ὑπομνημάτων εἰθίσμεθα λύειν, ἀλλ᾽ ἐπεὶ ἅπαξ ἐν τῷ δὲ τῷ λό-
γῳ κατέστην, ὡς ἀπολογεῖσθαι τοῖς ἀγυμνάστοις ὑπὲρ ἱπποκράτους. ἐν οἷς αὐτοὶ σφαλλόμενοι κατηγοροῦσι τοῦ
κατορθοῦντος, οὐκ ὀκνήσω προσθεῖναι καὶ τοῦτο. δυοῖν οὖν ὄντων πραγμάτων ὅλῳ τῷ γένει κεχωρισμένων, ἃ
γε δὴ τὸ ποιοῦν τοῦ ποιουμένου τῷ γένει διενήνοχεν, αἱ μὲν τρίψεις ἐκ τῶν ποιούντων εἰσίν. αἱ δ᾽ ὑπ᾽ αὐτῶν ἀπο-
τελούμεναι κατὰ τὰ σώματα ἡμῶν διαθέσεις, ἐκ τῶν ποιουμένων, ὥστε καὶ τὰς ἐναντιότητας ἀναγκαῖον, ἑτέρας
μὲν, ἐν τῷ τῶν τρίψεων, ἑτέρας δ᾽ ἐν τῷ διαθέσεων γένει ὑπάρχειν. ἐν μὲν τῷ τρίψεων, τήν τε μαλακὴν
καὶ τὴν σκληράν, καὶ τὴν πολλήν, καὶ τὴν ὀλίγην. ἐν δὲ τῷ τῶν διαθέσεων, τήν τ᾽ οἷον δέσιν τε καὶ λύσιν
τῶν σωμάτων. καὶ τὴν ἰσχνότητα, καὶ σάρκωσιν. ἡ μὲν οὖν προτέρα τῶν διαθέσεων ἐναντίωσις, ὑπὸ τῆς προ-
τέρας κατὰ τὰς τρίψεις ἐναντιώσεως γίγνεται, ἡ δὲ δευτέρα οὐκέτι. συμβαίνει γὰρ ἐπ᾽ αὐτῆς τὴν μὲν ἰσχνότη-
τα, πρὸς τῆς πολλῆς γίγνεσθαι τρίψεως, τὴν δ᾽ ἀνάθρεψιν ὑπὸ τῆς μετρίας. ἡ γὰρ ὀλίγη σαρκοῦν οὐδέπω δυνα-
τή, διότι δεῖται μὲν τὸ σαρκωθησόμενον, αἵματος παραθέσεως συμμέτρου καὶ δυνάμεως διερώσης. καὶ ταῦ-
τα ἄμφω καλῶς αὐτῷ πρὸς τῆς συμμέτρου γίνεται τρίψεως, οὐδέτερον δὲ ἱκανῶς, οὐδ᾽ αὐταρκὲς ὑπὸ τῆς ὀλίγης.
ἐπεὶ τοίνυν οὐ συνέβαινον εἰς ταὐτὸν αἱ τῶν τρίψεων ἐναντιώσεις ταῖς τῶν διαθέσεων, ἠνάγκαζε δ᾽ αὐτὸν ἡ τῆς
βραχυλόγου διδασκαλίας ἰδέα, δι᾽ ἐναντιώσεων ἀφορίσασθαι τὸν λόγον, ἐπὶ τὴν χρησιμωτέραν ἐναντίωσιν
ἀφικόμενος ὑπερεῖδε τῆς ἀχρηστοτέρας. χρησιμωτέρα δέ ἐστιν ἡ κατὰ τὰς διαθέσεις, τῆς κατὰ τὰς τρίψεις. ἑνὶ μὲν
τῷ πρώτῳ λόγῳ, τῷ κατὰ τὸ τέλος τῆς τέχνης. ἐστοχασμέναι γάρ εἰσιν τρίψεις, τῆς τοῦ σώματος αἱ διαθέσεως, ὡς
τέλους. ἀεὶ γὰρ τὸ τέλος τοῦ πρὸ αὐτοῦ κυριώτερον. ὅσῳ γὰρ τὸ διά τι γιγνομένου, τὸ δι᾽ ὃ γίγνεται. δευτέρῳ δὲ λό
γῳ ἕνεκεν τῆς σαφηνείας. ἐκ μὲν γὰρ τοῦ μαθεῖν ἡμᾶς τὰ τῆς πολλῆς καὶ τὰ τῆς μετρίας ἀνατρίψεως ἔργα, ῥᾷ-
στόν ἐστιν ἐπινοῆσαι τὰ τῆς ὀλίγης. οὐ μὴν θ᾽ ὁμοίως δ᾽ εὐσυνόπτος ἡ τῆς συμμέτρου τρίψεως δύναμις. οὐ μὴν ἀλλὰ
καὶ τρίτον τῷ δὲ τῷ λόγῳ κάλλιστ᾽ ἂν ὁ ἱπποκράτης εὑρίσκοιτο διδάσκων περὶ τρίψεως. ἡγεῖσθαι μὲν γὰρ
χρὴ τὴν τῶν ἐναργῶς ἀποτελουμένων διδασκαλίαν, ἕπεσθαι δὲ τὴν τῶν ἀμυδρῶς. εἴτε γράφει τις αὐτῶν ῥητῶς,
εἴτε τοῖς ἀναγινώσκουσιν ἐπινοεῖν ἀπολείποι. ἔστι δ᾽ ἐναργὲς μὲν τὸ τῆς μετρίας τρίψεως ἔργον, ἡ σάρκωσις τοῦ
σώματος. οὐκ ἐναργὲς —, τὸ τῆς ὀλίγης. οὔτε γὰρ σαρκοῦν οὔτ᾽ ἰσχναίνειν, οὐθ᾽ ὅλως οὐδὲν ἐναργὲς φαίνεται ποιεῖν, ὅτι
μὴ θερμαίνειν μόνον ἐπὶ βραχύ. κοινὸν δ᾽ ἦν ἁπάσης τρίψεως τὸ θερμαίνειν. ὥστ᾽ ἐπεὶ μήτ᾽ ἐναργὲς ἀποτελεῖ
μηδέν, ἢ ὅ, τι φαίνεται ποιεῖν, οὐ τὸ δὲ ἴδιον αὐτῆς ἐστιν, ἀλλὰ τὸ κοινὸν ἁπάσης τρίψεως, εὐλόγως παρελείφθη.
τὸ μὲν οὖν ὅτι κοινὸν ἁπάσης τρίψεως ἔργον ἐστὶ τὸ θερμαίνειν, οὐκ ἄξιον ἱπποκράτους συγγράμματος. ὁποῖον δὲ
τι πέφυκεν ἑκάστη τρίψις ἴδιον ἀποτελεῖν, ἱπποκράτει τε διδάσκειν ἀναγκαῖον ἦν, ἡμῖν τε μανθάνειν χρηστόν.
ἀναγαγὼν γὰρ ὥσπερ εἰς στοιχεῖα τινά, τὰς ἁπλᾶς διαφοράς, ἅπαντα τὸν περὶ τῆς τρίψεως λόγον ἐδίδαξεν.
ὅπως ἀναθρέψεις ἢ καθαιρέσεις ἢ μαλάξεις ἢ σφίγξεις τὸ σῶμα. τούτοις δ᾽ εὐθέως συνεμφαίνεται, τά τε μέ-
σα τῶν ἔργων, καὶ τὰ κατὰ συζυγίαν ἀποτελούμενα. μέσα μὲν, ὅταν ἤτοι μήτε δῆσαι τὸ σῶμα μήτε λῦσαι μήτε
σαρκῶσαι μήτε μινυθῆσαι, προελώμεθα. κατὰ συζυγίαν δὲ, ὅταν εἰ οὕτως ἔτυχε, ἅμα δῆσαι καὶ σαρκῶσαι. τίς
γὰρ οὐκ ἂν ἐπινοήσειεν, ὡς ἐπειδὰν σκληρᾷ σαρκὶ σαρκῶσαι σῶμα προαιρώμεθα, τὴν σκληρὰν ἡμῖν τρίψιν
ἅμα ποσότητι συμμέτρῳ παραληπτέον ἐστίν. ὥσπερ κἀπειδὰν μαλακῇ, τὴν μαλακήν τε ἅμα καὶ σύμμετρον
ἐν τῷ ποσῷ. καὶ κατὰ τὰς ἄλλας συζυγίας ἀνάλογον. ἃς ἔνιοι τῶν γυμναστῶν ὡς ἴδια γράφοντες εὑρήματα
μετὰ τοῦ προσεγκαλεῖν ἱπποκράτει, μεγάλως πλημμελοῦσιν. ὅτι τε τὸν πρῶτον ὑπὲρ αὐτῶν διδάξαντα, δι-
καίων ἐπαίνων ἀποστεροῦσι, καὶ τὸ τούτου χεῖρον, ὅτι τὴν ἐκείνου γνώμην οὐ συνιέντες καταφρονοῦντες, ἔτι καὶ διαβάλ
λειν αὐτὸν ἐπιχειροῦσιν. οὐ δ᾽ οὖν οὐ δὲ καλῶς ἐπαλλάττοντες ἀλλήλαις τὰς ἁπλᾶς διαφοράς. ἐχρῆν γὰρ οἶμαι
τό γε κατὰ τρόπον ἐπὶ τὰς ἐν μέρεσι συζυγίας ἔρχεσθαι βουλόμενον, οὔτε τὰς συμπάσας ἓξ ποιεῖν ὥσπερ ὁ θέων
οὔτε καταλιπεῖν τι κατὰ ταύτας ἔργον, ἢ ποιότητος ἢ ποσότητος ἴδιον. ὥσπερ ἐπὶ μὲν τῆς μαλακῆς τε ἅμα
καὶ πολλῆς, τὸ τῆς μαλακῆς. ἐπὶ δὲ τῆς σκληρᾶς τε ἅμα καὶ πολλῆς, τὸ τῆς πολλῆς ἴδιον ἐδείκνυτο παραλε-
λοιπώς. ἀλλὰ καὶ ταῦτα προσιθέναι καὶ τὰς κατὰ μέρος συζυγίας ἐννέα ποιεῖν. αἱ γὰρ τρεῖς διαφοραὶ τῶν κα
τὰ τὴν ποιότητα τρίψεων ἐπιπλεκόμεναι ταῖς τρισὶ διαφοραῖς τῶν κατὰ ποσότητα τρίψεων, συζυγίας ἀπο-
τελοῦσιν ἐννέα. ἐξ μὲν τὰς ὑπὸ θέωνος εἰρημένας, ἐν ᾗ παρεθέμην ὀλίγον ἔμπροσθεν ῥήσει, τρεῖς δ᾽ ἄλλας ἃς ἐκεῖ
νος παρέλειπε, τὴν μέσην σκληρᾶς τε καὶ μαλακῆς ὑπερβάς, καίτοι δ᾽ ἐπινοῆσαι δυνατόν ἐστιν, οὔτε σκλη-
ρὰν οὔτε μαλακὴν τρίψιν, ἄνευ τοῦ προσεπινοῆσαι τὸ σύμμετρον. ἢ τὰς τρεῖς διαφορὰς τῆς ποσότητος ἐπιπλέξαν
τες, ἐννέα τὰς πάσας ἂν οὕτως ἀπειργάσατο συζυγίας τρίψεων οὐκ ἕξ. ἐκθήσομαι δὲ αὐτὰς ἐπὶ διαγράμματος,
ἐν ᾧ τὸ μὲν πρότερον στοῖχον, ἄνωθεν κάτω, ποιοτήτων χρὴ νοεῖν. τὸ δὲ δεύτερον, ποσοτήτων. ποιότητες. ποσότητες
σκληρὰ ὀλίγη. σκληρὰ πολλή. σκληρὰ σύμμετρος μαλακὴ ὀλίγη. μαλακὴ πολλή. μαλακὴ σύμμετρος. σύμ
μετρος ὀλίγη. σύμμετρος πολλή. σύμμετρος σύμμετρος. τὸ ἐν τούτῳ τῷ διαγράμματι γεγραμμένων ἐννέα
συζυγιῶν, ἓξ τὰς πρώτας εἰπὼν ὁ Θέων, οὐκέτ᾽ ἐμνημόνευσεν τῶν ὑπολοίπων τριῶν αὐτὸς ἑαυτῷ περιφανῶς
μαχόμενος.

τὸ διάγραμμα.

ποιότητες	ποσότητες
σκληρὰ	ὀλίγη
σκληρὰ	πολλή
σκληρὰ	σύμμετρος
μαλακὴ	ὀλίγη
μαλακὴ	πολλή
μαλακὴ	σύμμετρος
σύμμετρος	ὀλίγη
σύμμετρος	πολλή
σύμμετρος	σύμμετρος

μαχόμενος. ἐπεὶ γὰρ ἐστὶν ἡ τῆς ὀλίγης καὶ πολλῆς μέση τρῖψις, ἣν μετρίαν τε καὶ σύμμετρον ὀνομάζομεν, εἴη ἂν δηλονότι καὶ σκληρᾶς καὶ μαλακῆς ἑτέρα τις μέση, σύμμετρός τε καὶ μετρία προσαγορευομένη. μεμνῆσθαι δὲ ἡμᾶς χρὴ παρὰ πάντα τὸν λόγον, ὡς πάντα ταῦτα περὶ τὸ πρός τι λέγεται. καὶ γὰρ ἡ σκληρὰ πρὸς δέ τινι μαλακὴ γένοιτ' ἂν ἑτέρῳ τινί, καὶ ἡ σύμμετρος ἀσύμμετρος, ἥ τ' ὀλίγη πολλή, καὶ ἡ πολλὴ πρὸς δέ τινι, τοῖς ἄλλως πως διακειμένοις, ὀλίγη. τοῦτο μὲν δὴ καὶ ὁ Θέων βούλεται. καὶ οὐκ ἔστιν ὅστις ὑπερβὰς τὴν σύμμετρον ἐν ποιότητι τρῖψιν, οὐ μικρῶς ἁμαρτάνει. καί μοι δοκεῖ περιπεσεῖν ὁ Θέων αὐτῷ. διότι παραλέλειπται περὶ τὴν Ἱπποκράτους ῥῆσιν. ὥστε κἂν τούτου καταφρονεῖν γίγνεσθαι τὸν ἄνδρα, μηδὲν μὲν ἴδιον ὑπὲρ τρίψεως ἐξευρηκότα, τὰ δ' Ἱπποκράτους οὐκ ὀρθῶς μεταχειριζόμενον. οὐ γὰρ ἀνέγνω τὰ συγγράμματα τοῦ παλαιοῦ, παρὰ διδασκάλοις εὐθὺς ἐκ παίδων ὁρμώμενος. ὁμολογεῖ γοῦν αὐτὸς ἀθλητὴς γενέσθαι τὰ πρῶτα, καταλύσας δὲ τὴν ἄσκησιν ἐπὶ τὴν γυμναστικὴν ἀφίκετο τέχνην. καὶ ταῦτα μὰ τοὺς θεοὺς, οὐχ ὑπὲρ τοῦ ψέξαι τὸν ἄνδρα προὐθέμην εἰπεῖν, ἀποδέχομαι γὰρ αὐτὸν οὐδενὸς ἧττον τῶν ἀρίστων γυμναστῶν, ἀλλ' ὑπὲρ τοῦ † τοὺς ἀναγνωσομένους τήνδε τὴν πραγματείαν, ἐνδείξασθαι τὸ μὴ ῥᾴδιον εἶναι παρακολουθεῖν βιβλίοις παλαιοῖς, ἄνευ τῶν ἐπιμελῶς ἐξηγουμένων αὐτά, διότι μὲν γοῦν ἔπρεπε βραχυλογία παλαιᾷ, τὴν μέσην σκληρᾶς τε καὶ μαλακῆς ὑπερβεβηκυῖαν τρῖψιν, ἐν γε τῇ τῆς λέξεως ἑρμηνείᾳ, ἔμπροσθεν εἴρηταί μοι. διότι δ' ἡμᾶς οὐ χρὴ παρορᾶν τά γε τοιαῦτα, καὶ πρόσθεν μὲν ἐπέδειξα, καὶ νῦν οὐδὲν ἧττον ἐπιδείξω. ἐπεὶ γοῦν ἡ μαλακὴ καὶ ἡ σκληρὰ τρῖψις ἐν τῷ πρός τι τὴν θ' ὕπαρξιν ἔχουσι καὶ τὴν νόησιν, ἀνάγκη καὶ τὴν σύμμετρον ἐν τῷ πρός τι συνίστασθαι. τίθεσο δή μοι σῶμα τοιοῦτον οἷον καὶ τὸ τοῦ παιδὸς ὑπεθέμεθα, τοῦ προκειμένου. κατά τι δὲ τὸν λόγον, ἀκριβῶς ὑγιαῖνον τε καὶ σύμμετρον πάντη, ὡς μήτε μαλακώτερον ἐθέλειν ἡμᾶς αὐτό, μήτε σκληρότερον ἐργάσασθαι, μήτε προσθεῖναί τι τῇ σαρκώσει, μήτ' ἀφελεῖν. ἆρ' οὖν ἐπὶ τοῦ τοιούτου σώματος ἢ τὴν σκληρὰν τρῖψιν, ἢ τὴν μαλακὴν προσάξομεν, ἢ τὴν πολλήν, ἢ τὴν μετρίαν ἐγὼ μὲν οὐδαμῶς ἡγοῦμαι συμφέρειν. ὑπὸ μὲν γὰρ τῆς σκληρᾶς, σκληρότερον. ὑπὸ δὲ τῆς μαλακῆς, μαλακώτερον. ὥσπερ γε καὶ ὑπὸ μὲν τῆς πολλῆς, ἰσχνότερον. ὑπὸ δὲ τῆς μετρίας παχύτερον ἀπεργασθήσεται τὸ τοιοῦτον σῶμα. χρὴ δ' οὐδὲν τούτων, ἀλλὰ τὴν ἀρχαίαν ἀκριβῶς αὐτῷ φυλάττεσθαι συμμετρίαν, ὥστε οὔτε σκληρῶς, οὔτε μαλακῶς αὐτὸ τρίψομεν, οὔτε πολλαῖς, οὔτε ὀλίγαις, ἀλλὰ μετρίαις ἀνατρίψεσιν αὐτὸ τρίψομεν. οὐδὲν πλέον ἐργαζόμενοι, τοῦ παρασκευάζειν τε πρὸς τὰ γυμνάσια καὶ αὖθις ἀποθεραπεύειν, ἐπειδὰν ἱκανῶς γυμνάσηται. καλείσθω γὰρ οὖν δὴ καὶ ἡμῖν ὥσπερ καὶ τοῖς νεωτέροις γυμνασταῖς ἀποθεραπεία, τὸ μετὰ τὰ γυμνάσια μέρος τῆς τρίψεως. ὁ δέ γε Θέων οὐδὲ μίαν ὧν εἶπε περὶ τὰς τρίψεις συζυγιῶν ἐφαρμόσαι δύναται τῇ τοιαύτῃ φύσει τοῦ σώματος. ἓξ εἰπὼν τὰς πάσας, τρεῖς μὲν τὰς πρώτας τῆς μαλακῆς, ἑτέρας δὲ τρεῖς, τῆς δευτέρας τῆς σκληρᾶς. οὔτε δὲ τῶν μαλακῶν οὐδὲ μιᾶς τὸ τοιοῦτον σῶμα φαίνεται δεόμενον, οὔτε τῶν σκληρῶν, ἀλλὰ τῆς τούτων ἀμφοτέρων μέσης, ἣν σύμμετρον ὀνομάζειν χρὴ κατὰ ποιότητα. καὶ δῆλον ἤδη γέγονεν ἡλίκα ὁ Θέων ἔσφαλται, τὴν μέσην σκληρᾶς καὶ μαλακῆς ὑπερβὰς τρῖψιν. ἐπὶ γοῦν τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος, οὐδὲ μίαν ὧν εἶπε συζυγιῶν ἐφαρμόσαι δυνατόν. οὔθ' ὑγιαίνοντος ἀκριβῶς, οὔτ' ἐπανορθώσεως δεομένου τοῦ τοιούτου σώματος. εἰ μὲν γοῦν ἀκριβῶς ὑγιαίνει, μόνης τῆς παρασκευαστικῆς δεῖται τρίψεως, ἣν ὀλίγην τε ἅμα καὶ μέσην σκληρᾶς καὶ μαλακῆς ἐδείξαμεν ὑπάρχειν. εἰ δ' ἤτοι τοῦ δέοντος ἰσχνότερον, ἢ παχύτερον γίγνοιτό ποτε, μὴ μέντοι κατὰ ποιότητα τῆς σαρκὸς ὑπαλλαγείη μηδέν, εἰς τὸ μέσον δ' ἀκριβῶς φυλάττοιτο μαλακοῦ τε καὶ σκληροῦ, τηνικαῦτα τὴν πολλὴν μὲν ἅμα καὶ σύμμετρον ἐν ποιότητι προσάξομεν, ἰσχναίνειν βουλόμενοι. τὴν σύμμετρον δὲ κατ' ἀμφότερα τό, τε ποιὸν λέγω καὶ τὸ ποσόν, ἀνατρέφειν προαιρούμενοι. ταύτας τὰς τρεῖς συζυγίας ὑστάτας ἐπὶ ταῖς ἐξ ὀλίγον ἔμπροσθεν ἐξεθέμην ἐν τῷ διαγράμματι, δεικνὺς ὡς ἁπάσας αὐτὰς ὁ Θέων παρέλιπεν. ἐπειδὴ τοίνυν οὐ μόνον ὅτι παρέλιπεν, ἀλλὰ καὶ ὅτι χρησιμωτάτας ὑπαρχούσας ὁ λόγος ἀπέδειξεν, ἑξῆς ἂν εἴη καιρὸς ἐπὶ τὸ ὀλίγον ἔμπροσθεν ἀναβληθέντα ἰέναι. καὶ πρῶτόν γε ὡς ἡ κατὰ τὰ στοιχεῖα τῶν πραγμάτων διδασκαλία, χρησιμωτέρα τῶν ἄλλων ἐστίν. εὐσύνοπτόν τε γὰρ ἐργάζεται τὸ πᾶν πρᾶγμα, καὶ τῇ μνήμῃ παρατιθέμενον, εἰς ἀνάμνησίν τε ῥᾳδίως ἐρχόμενον, ἁπάντων τε τῶν κατὰ μέρος ἐπιδέξιον χρῆσιν ἑτοίμως δεομένων, ὡς ἂν εἰς ὀλίγα καὶ ὡρισμένα στοιχεῖα τῆς ἀναφορᾶς γιγνομένης αὐτῶν. τίς γὰρ οὐκ ἂν ἐξεύροι ῥᾳδίως πάσας τὰς κατὰ μέρος ἐν ταῖς τρίψεσι διαφοράς τε καὶ χρείας καὶ δυνάμεις, εἰ μόνον ἅπαξ ἐκμαθὼν τὴν γνώμην τοῦ παλαιοῦ, μετὰ ταῦτα πρόχειρον ἔχει τῇ μνήμῃ, τὴν ῥῆσιν αὐτοῦ; δι' ἧς ἡμᾶς ἐδίδαξεν, ὡς δῆσαι μὲν ἡ σκληρά, λῦσαι δὲ ἡ μαλακή, μινυθῆσαι δὲ ἡ πολλή, σαρκῶσαι δ' ἡ μετρία δύναται τρῖψις. ἐκ γὰρ τοῦ ταῦτα νοῆσαί τε καὶ μνημονεῦσαι, πρώτας μὲν τὰς ἐν τῇ ῥήσει παραλειφθείσας διαφορὰς εὑρήσομεν. εἶθ' ἑξῆς ἐπιπλέκοντες ἀλλήλαις, ἁπάσας, ἐννέα συζυγίας ἀπεργασόμεθα. τὰς ὀλίγον ἔμπροσθεν ἐπὶ τοῦ διαγράμματος ἐγκειμένας, ἃς οὔθ' εὑρεῖν, οὔτε μνημονεῦσαι δυνατόν, ἄνευ τοῦ προηγήσασθαι τὴν στοιχειώδη διδασκαλίαν, ἣν Ἱπποκράτης ἐποιήσατο. σύμπαντα τὸν περὶ τῆς τρίψεως λόγον, εἰς τὰς πρώτας ἀρχὰς ἀναγαγών, ἐξ ὧν ἀκριβῶς εὑρημένων, οὐ μόνον τὰ νῦν εὑρημένα περιγίγνοιτο ἂν ἡμῖν, ἀλλὰ καὶ τὸ κρίνειν ἁπάσας τὰς μοχθηρὰς διδασκαλίας. ἴδιον γὰρ μάλιστα μεθόδου τοῦτο, τὸ διὰ βραχείας ἀρχῆς στοιχειώδους, ἐπὶ τὰ πάντα δύνασθαι τὰ κατὰ μέρος ἰέναι, καὶ κρίνειν ἅπαντα τὰ μοχθηρῶς εἰρημένα. καθάπερ κανόνι τινὶ τοῖς ἐπιστημονικοῖς θεωρήμασι τὰς οὐκ ὀρθὰς δόξας δοκιμάζοντα. περὶ μὲν δὴ τοῦ μήτ' ἄλλον τινὰ περὶ τρίψεως ὀρθῶς ἐγνωκέναι, μήτε τὸν γυμναστὴν Θέωνα, καί τοι τῶν ἄλλων κάλλιον ὑπὲρ αὐτῆς ἀποφηνάμενον, ἀλλ' Ἱπποκράτην τε καὶ ὅσοι τούτῳ κατηκολούθησαν, ἱκανὰ καὶ ταῦτα. λείποιτο δ' ἂν ἔτι τῶν ἀναβληθέντων ὑπὲρ τῶν ὀνομάτων εἰπεῖν ἵνα μή τις ὑπὸ τοῦ πλήθους αὐτῶν ἐξαπατώμενος, ἰσαρίθμους οἰηθῇ τὰς διαθέσεις ὑπάρχειν ταῖς προσηγορίαις. τὸ μὲν γὰρ σκληρὸν ὄνομα κυρίως ἐπιφέρεται, κατά τινος μιᾶς τοῦ σώματος διαθέσεως, ἣν οὐδ' ἐξηγεῖσθαι διὰ πολλῶν ὁποία τίς ἐστι δεόμεθα. πάντων ἀνθρώπων ὑπὸ τῆς φωνῆς προδηγουμένων ἐπὶ τὸ πρᾶγμα. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὸ μαλακόν. τὸ δ' ἀραιὸν καὶ τὸ πυκνόν, οὐκέθ' ὁμοίως ἐναργῶς σημαίνει τὰς διαθέσεις τοῦ

† αλ. τοῖς ἀναγνωσομένοις

σώματος. ὅτι διττὴ τις ἡ τῶν ὀνομάτων χρῆσις ἐγένετο, κυρίως μὲν ὀνομαζόντων ἑτέρα, καταχρωμένων δ' ἑτέρα. τὸ μὲν οὖν κυρίως ἀραιόν ἐστι, τὸ μεγάλοις διαλαμβανόμενον πόροις, ὥσπερ γε καὶ πυκνόν, τὸ μικροῖς. τὸ δ' ἐκ μεταφορᾶς, ἢ καταχρήσεως, ἢ ὅπως ἂν ἐθέλεις ὀνομάζειν, καὶ κατὰ τοῦ κεχυμένου τε καὶ πεπιλημένου λέγεται. κατὰ τοῦτο γοῦν ἐστιν ὅτε τὸν μὲν ἀέρα καὶ τὸ πῦρ ἀραιά, τὸ δ' ὕδωρ καὶ τὴν γῆν, πυκνὰ λέγομεν. ἐπ' αὐτὰ τὰ στοιχεῖα τὰς εἰρημένας προσηγορίας ἐπιφέροντες, ἡνωμένα τε καὶ ὁμοιομερῆ τὴν φύσιν ὑπάρχοντα, καὶ μηδενὶ διαλαμβανόμενα πόρῳ. πολὺ δὲ δὴ τούτων ἔτι μᾶλλον ἀποκεχώρηκε τοῦ κυρίως ὀνομάζεσθαι τό τε ἐσφιγμένον καὶ τὸ δεδεμένον, ἐκ μεταφορᾶς ἄμφω λεγόμενα, τὸ μὲν ἐσφιγμένον, ἐπί τε τοῦ πυκνοῦ καὶ τοῦ σκληροῦ, ποτὲ μέν, ἑκατέρου κατὰ μόνας ὑπάρχοντος. ἐστὶν ὅτε δ' εἰς ταυτὸν ἀφιγμένου. τὸ δ' αὖ δεδεμένον, ἐπὶ τῶν αὐτῶν μέν, ἀλλ' οὐκ ἐκ τῆς αὐτῆς μεταφορᾶς. ἐπειδὴ γοῦν ἅπαντα τὰ δεδεμένα, δυσκίνητα εἰσίν, οὕτως ὀνομάζουσι καὶ τὰ διὰ ξηρότητα τινὰ ἢ ψύξιν ἢ φλεγμονὴν ἢ σκίρρον ἢ τάσιν ἢ πλήρωσιν ἢ βάρος ἐν δυσκινησίᾳ καθεστῶτα, διὰ δὲ τὴν αὐτὴν αἰτίαν, καὶ τοῖς ἐναντίοις χρῶνται τῶν ὀνομάτων, ἐπὶ τῶν ἐναντίων διαθέσεων. ἀνεῖσθαι λέγοντες ἢ ἐκλελύσθαι ἢ κεχαλάσθαι. χρὴ δὲ μὴ τῷ πλήθει τῶν ὀνομάτων προσέχειν, ἀλλ' ἡγεῖσθαι διττὰ γένη διαθέσεων ὑπάρχειν τὰ πάντα. τὸ μέν, ἐν αὐτοῖς τοῖς ὁμοιομερέσι σώμασιν, ὅπερ ἤ τοι σκληρὸν ἢ μαλακόν ἐστι. τὸ δ' ἐν ταῖς τῶν ὀργάνων ποροποιΐαις συνιστάμενον, ὅπερ ἤ τοι πυκνὸν ἢ ἀραιόν. αὗται γὰρ ἴδιαι τῶν σωμάτων αὐτῶν εἰσὶν αἱ διαθέσεις, ἐπίκτητοι δὲ καὶ ὡς ἂν εἴποι τις πρόσκαιροι, ποτὲ μέν, ἐμπεπλησμένων τῶν πόρων ὑγρότητος περιττῆς, ἐστὶν ὅτε δὲ καθαρῶν ὑπαρχόντων. καὶ ποτὲ μέν, ἀναπεπταμένων, ἐστὶν ὅτε δὲ μεμυκότων. ἀλλὰ περὶ τῶν διαθέσεων τούτων, ἐν τοῖς ἑξῆς ὑπομνήμασιν ὁ λόγος ἔσται. νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπανιέναι χρή, καὶ πρότερον διορίσασθαι σαφέστερον ἔτι περὶ τρίψεως. ὡς ἐνίοτε μέν, αὐτὴ καθ' ἑαυτὴν ἐργάζεταί τι περὶ τοῖς σώμασιν ἡμῖν χρηστόν. ἐνίοτε δὲ τοῖς ἐργαζομένοις ὑπηρετεῖ. καθάπερ ἱπποκράτης ἔλεγε, περὶ ἐπιδέσεως. ὡς ἐπίδεσις τὸ μέν, αὐτὴ ἰῆται, τὸ δέ, τοῖς ἰωμένοις ὑπηρετεῖ. αὐτὴ μὲν οὖν ἡ τρίψις, ἐργάζεται τά τε ἀραιὰ πυκνὰ ποιοῦσα, καὶ τὰ μαλακὰ πυκνοῦσα. σκληρὰ δὲ ἂν πάντως, ἡ τοιάδε τρίψις. καὶ μὴν δὴ καὶ τὰ σκληρὰ μαλάττουσα, καὶ τὰ πυκνὰ διευρύνουσα. μαλακὴ δέ ἐστιν, ἡ τοιαύτη τρίψις. οὕτω δὲ καὶ ἡ τοῦ σαρκῶσαι χάριν ἢ τοῦ λεπτῦναι παραλαμβανόμενον, καθ' ἑαυτὰς ἐργάζονταί τι χρηστὸν ἐν τοῖς σώμασιν. ἡ μέντοι παρασκευάζουσα πρὸς τὰ γυμνάσια καὶ ἡ μετὰ ταῦτα παραλαμβανομένη τοῖς γυμνασίοις ὑπηρετοῦσιν, ἡ μὲν ἐκ τοῦ θερμῆναι μετρίως, τοὺς πόρους ἀναστομοῦσα, καὶ τὰ κατὰ τὴν σάρκα περιττώματα χέουσα καὶ τὰ στερεὰ μαλάττουσα. καλεῖται δὲ παρασκευαστικὴ τρίψις ἡ τοιαύτη. ἡ δὲ ἑτέρα, προσαγορεύεται μὲν ἀποθεραπευτική. γινομένη δὲ μετὰ ἐλαίου πλείονος, ἐπιτέγγει τε ἅμα τῷ λίπει καὶ μαλάττει τὰ στερεά, καὶ διαφορεῖ τὰ ἐν τοῖς πόροις περιεχόμενα. ἀλλὰ περὶ μὲν ταύτης δέ, καὶ αὖθις εἴπωμεν ἐφεξῆς τοῖς γυμνασίοις. ἡ μέντοι παρασκευαστικὴ τρίψις ἐπὶ τῆς ἀρίστης φύσεως, ἕνεκα τοῦ διαθερμῆναι τὰ σώματα παραλαμβανομένη, καθ' ὃν εἴρηται τρόπον ὀλίγον ἔμπροσθεν γιγνέσθω. μαλακὴ μὲν τὰ πρῶτα, προσαγόντων δὲ ἤδη τοῖς πόνοις, σκληρά. οὕτω γὰρ ἂν μάλιστα τό, τε μαλάττειν ἔχοι καὶ τὸ πρὸς τὰς ἐνεργείας ἐπεγείρειν, καὶ τὸ διαφυλάττειν ὁποίαν παρέλαβε τὴν φύσιν τοῦ σώματος. εἰ μέντοι διαμαρτάνοιτό κατά τι πρὸς τὸ σκληρὸν ἐκτρεπέσθω μᾶλλον. αἱ γὰρ ἐπ' ὀλίγον ὑπερβολαὶ τῆς συμμετρίας, ἐν τῷ δέρματι καταπαύονται, τῶν ἐντὸς οὐδὲν ἀλλοιοῦσαι. βλάπτοιεν δ' ἂν ἧττον, τὸ δέρμα, πρὸς τὸ σκληρόν τε καὶ πυκνὸν ἐκτρεπόμεναι. οὕτως γὰρ ἂν εἴη δυσπαθέστερον ὡς εἴ γε καὶ διαπνεῖσθαι τὸ τοιοῦτον καλῶς ἠδύνατο, σκληρότατον αὐτὸ καὶ πυκνότατον ἀπεργαζόμεθα. νυνὶ δὲ ἐπειδὴ πρὸς ἄμφω χρὴ παρασκευάσθηναι καλῶς αὐτό, καὶ πρὸς τὴν τῶν ἔνδοθεν περιττωμάτων διαπνοήν, καὶ τὴν τῶν ἔξωθεν ὁμιλούντων βίαν, ἄριστον ἂν εἴη τὸ μέσον ἑκατέρων τῶν ὑπερβολῶν. εἰ δ' ἄρα ποτὲ μὴ φυλάττοιτο τοῦτο, βέλτιον τὸ σκληρότερόν τε καὶ πυκνότερον, τοῦ μαλακωτέρου καὶ ἀραιοτέρου. τὸ μὲν γὰρ τῆς διαπνοῆς ἐλλιπές, ἐπανορθώσασθαι γυμνασίαις οἷόν τε. τὸ δὲ τῆς ἑτέρας διαθέσεως εὐεπηρέαστον ὑπὸ τῶν ἔξωθεν αἰτίων, οὔτε ἐπανόρθωσίν τινα ἑτέραν ἑτοίμην ἔχει, καὶ πρόσεστιν αὐτῷ βλάβη τις οὐ σμικρά, διαφορουμένων πολλάκις οὐ τῶν περιττωμάτων μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς τροφῆς. ἐν μὲν δὴ ταῖς κατὰ ποιότητα διαφοραῖς, ἐπὶ τὸ σκληρότερον ἁμαρτάνειν χρὴ μᾶλλον, ἤπερ ἐπὶ τὸ μαλακώτερον. ἐν μέντοι ταῖς κατὰ ποσότητα, πρὸς τὸ ἔλαττον ἐπὶ τῆς προκειμένης δηλονότι φύσεώς τε καὶ ἡλικίας. ἀεὶ γοῦν χρὴ τούτου μεμνῆσθαι κατὰ τὸν ἐνεστῶτα λόγον. αὐξάνεσθαί τε γὰρ ἔτι βουλόμεθα τὸ τοιοῦτον σῶμα καὶ ἥκιστα ξηραίνεσθαι. τίνας μέντοι χρὴ φύσεις σωμάτων κατά τινας διαθέσεις ἐπὶ πλέον τρίβειν, αὖθις εἰρήσεται. νυνὶ δὲ ἐπὶ τὴν ἐνεστῶσαν ὑπόθεσιν ἐπανελθόντες, ὑπὲρ τοῦ μέτρου τῆς τρίψεως ἐπισκεψόμεθα, τὸν αὐτὸν τρόπον, ὅνπερ ἀρτίως ἐπισκεψόμεθα περὶ τῆς ποιότητος. ἔοικε δὲ κἀνταῦθα πρὶν ὁρίζειν τὸ μέτρον, ἑτέρου τινὸς ἐπιμνησθήσεσθαι σκέμματος, οὗ χωρὶς οὐδὲ τὸ μέτρον ὀρθῶς οὔτε ὁρισθῆναι δυνατόν, οὔτε γνωρισθῆναι. τὸ δὲ δὴ σκέμμα τοῦ περιέχοντος ἀέρος τὸν τριψόμενον ἡ κρᾶσις ἐστίν, ἣν δεῖξαι μὲν ἐπὶ ἔργον ἐγχωρεῖ, διελθεῖν δὲ τῷ λόγῳ σαφῶς οὕτως, ὡς μηδὲν ἀπολείπεσθαι τὴν ἑρμηνείαν ἐναργοῦς ἐνδείξεως ἀμήχανόν ἐστι, καὶ ἀδύνατον παντάπασιν. ἀλλ' εἰ μὴ πολὺ λείποιτο δείξεως ἐναργοῦς ὁ λόγος, ἱκανὸν καὶ τοῦτο. προηγεῖται δὴ καὶ τῶνδε πάλιν ἑτέρα τις ὑπόθεσις, ἐν τίνι μὲν ὥρᾳ τοῦ ἔτους, ἐν τίνι δὲ χώρᾳ τῆς οἰκουμένης, ὁ γυμνασόμενος ἔσται. μόνα γὰρ ἐπ' αὐτῷ διώρισται, τό, τε τῆς κατασκευῆς τοῦ σώματος, καὶ τὸ τῆς ἡλικίας. οὔτε δὲ ἐν ᾧ τινι τέθραπται μέρει τῆς γῆς οὔτε ἐν ᾧ μέλλει γυμνάζεσθαι νῦν, οὔτε καθ' ἥντινα τοῦ ἔτους τὴν ὥραν ἢ καὶ τῆς ἡμέρας προσδιώρισται. καί τοι παρὰ ταῦτα τὸ μέτρον τῆς τρίψεως ὑπαλλάττεται. προσδιοριστέον οὖν αὐτὰ πάλιν, εἰρημένα μὲν ἤδη δυνάμει κατὰ τὴν ἀρχὴν τοῦ δὲ τοῦ γράμματος, οὐ μὴν τῇ ἑρμηνείᾳ σαφῶς δεδηλωμένα. λέγοντες γὰρ οἷον κανόνα τινὰ πρῶτον ἐκτίθεσθαι πάντων τῶν ἐφεξῆς εἰρησομένων τὸν ἀμεμπτότατον τῇ κατασκευῇ τοῦ σώματος ἄνθρωπον, εὐθέως ἐν τούτῳ καὶ τὴν χώραν αὐτοῦ διορισόμεθα δυνάμει. οὔτε γὰρ εὐκρατότατον οὔτε ἀμεμπτότατον τῇ κατασκευῇ γίνεσθαι σῶμα δυνατὸν ἐν τοῖς ἀμέτρως κεκραμένοις χωρίοις, ὥστε ὅ, τε λόγος ὑπαγορεύει καὶ ἡ πεῖρα δείκνυσι. ξηροὶ μὲν γὰρ καὶ ἰσχνοὶ καὶ οἷον ἐσκελετευμένοι γίνονται, κατὰ τὰς θερμὰς χώρας οἱ ἄνθρωποι. ἀνώμαλοι δὲ ταῖς κράσεσιν, ὡς τὰ μὲν ἔξω, ψυχρά, τὰ δὲ ἔνδον τε καὶ κατὰ τὰ σπλάγχνα θερμὰ

περαιτέρω τοῦ προσήκοντος ἔχειν, οἱ τῶν ψυχρῶν χωρίων οἰκήτορες. τὸ δ' ἄριστον σῶμα περὶ οὗ νῦν ὁ λόγος, ὥσπερ
ὁ Πολυκλείτου κανών ἐστιν. ὃ κατὰ μὲν τὴν ἡμετέραν χώραν ὡς ἂν εὔκρατον ὑπάρχουσαν, ὦπται πολλὰ παραπλήσια σώματα, παρὰ δὲ Κελτοῖς ἢ Σκύθαις ἢ Αἰγυπτίοις ἢ Ἄραψιν, οὐδ' ὄναρ ἰδεῖν ἐστι τοιοῦτον σῶμα. καὶ αὐτῆς δὲ
τῆς ἡμετέρας χώρας ἱκανὸν ἐχούσης πλάτος, εὐκρατότατόν ἐστι τὸ μεσαίτατον. οἷόν περ ὑπάρχει κατὰ τὴν Ἱππο
κράτους πατρίδα. καὶ γὰρ χειμῶνος αὕτη καὶ θέρους ἐστὶν εὔκρατος. ἔτι δὲ δὴ μᾶλλον ἦρος τε καὶ φθινοπώρου. τοιαύτην οὖν τινὰ χώραν ὑποθέμενοι τῷ προκειμένῳ σώματι, τὴν μὲν ὥραν τοῦ ἔτους αὐτῷ προσυποθώμεθα τὸ μεσαίτατον τοῦ ἦρος. ἔστω δὲ τῆς ἡμέρας ἐκείνης ἐν ᾗ μέλλει πρὸς ἡμῶν γυμνάζεσθαι τὸ πρῶτον, ὡς οἷόν τε τὸ μεσαίτατον. ἵνα κατὰ μηδὲν ὑπὸ τοῦ περιέχοντος ἐξαλλαχθῇ πως ἡ φυσικὴ δύναμις τῆς κράσεως αὐτοῦ. διὰ δὲ τὸν αὐτὸν λογισμόν, οὐδὲ τὸν οἶκον ἐν ᾧ γυμνάζεσθαι μέλλει, θερμότερον ἢ ψυχρότερον εἶναι προσήκει, κατά γε τὴν ἡμέραν ἐκείνην, τοῦ κοινοῦ τῆς πόλεως ὅλης ἀέρος. ἐν μέντοι χειμῶνι καὶ θέρει, τοιοῦτον αὐτῷ προσθετέον. ἐν μὲν χειμῶνι θερμότητα, ἐν δὲ τῷ θέρει ψυχρότητα. ὡς εὔκρατον ἀκριβῶς ἀποτελεσθῆναι τὸ σῶμα, κατὰ τὸν τῆς τρίψεως καιρόν. εἰ γὰρ ἤτοι θερμότερος ἢ ψυχρότερος εἴη περαιτέρω τοῦ προσήκοντος, ἐν μὲν τῷ θερμοτέρῳ, φθάσειεν ἂν ἱδρῶσαι, πρὶν αὐτάρκως μαλαχθῆναι. κατὰ δὲ τὸν ψυχρότερον, οὐδ' ἂν ἐκθερμανθείη τὴν ἀρχήν. οὐδὲ μαλαχθείη ποτὲ καλῶς. οὐδ' ἐπανθήσειεν ἔρευθος εὐανθές. οὐδ' εἰς ὄγκον ἀρθείη τὸ σῶμα. ταῦτα γὰρ δὴ τὰ γνωρίσματα συμμέτρου τρίψεώς ἐστιν ἐν ἀέρι συμμέτρῳ περὶ τὴν εὔκρατον ἕξιν τοῦ σώματος, ἔρευθός τε καὶ ὄγκος. ὥσπερ γὰρ ἐν τῷ καταχεῖν ὕδωρ θερμόν, εἰς ὄγκον μὲν πρῶτον ἐξαίρεται τὰ σώματα, πλεοναζόντων δὲ καθίσταται, καὶ διὰ τοῦθ' Ἱπποκράτης ἐπ' αὐτῶν εἶπε. τὸ μὲν γὰρ πρῶτον ἀείρεται, ἔπειτα δ' ἰσχναίνεται οὕτως καὶ ἡ τρῖψις, ἐξαίρει μὲν πρῶτον, αὖθις δὲ συστέλλει τε καὶ καθαίρει τὸ σῶμα. τοὺς μὲν δὴ σαρκώσεως ἕνεκα τριβομένους, τηνικαῦτα παύεσθαι προσήκει ὅταν τὸ σῶμα πλησίον ἥκει τοῦ καθίστασθαι. τοὺς δ' εἰς τὰ γυμνάσια παρασκευαζομένους οὐχὶ τοῦτον ἀναμένειν τὸν καιρόν, ἀλλὰ πολὺ πρόσθεν παύεσθαι. καὶ μάλισθ' ὅταν ἄριστοι τὴν κρᾶσιν ὦσι καὶ παῖδες ἔτι τὴν ἡλικίαν. ὑγρὰ γὰρ δὴ τούτων τὰ σώματα, καὶ μαλακά, καὶ βραχείαις τρίψεσι μαλαττόμενα, σκοπὸς δέ ἐστι καὶ τέλος τῆς παρασκευαστικῆς τρίψεως, τὸ μαλαχθῆναι μὲν τὰ στερεά, λυθῆναι δὲ τὰ ὑγρά. τοὺς πόρους δ' εὐρυνθῆναι. ὁ πόσον δέ τι τὸ πλῆθος ἔσται τῆς ἀνατρίψεως, οὐχ οἷόν τε λόγῳ δηλῶσαι. ἀλλὰ χρὴ τὸν ἐπιστατοῦντα τρίβωνα τοῦ τοιούτου ὑπάρχοντα, κατὰ μὲν τὴν πρώτην ἡμέραν, οὐκ ἀκριβεῖ στοχασμῷ χρήσασθαι, κατὰ δὲ τὴν ἑξῆς, ἐμπειρίαν ἤδη τινὰ τῆς τοῦ σώματος ἐκείνου φύσεως ἔχοντα, τὸν στοχασμὸν ἀεὶ καὶ μᾶλλον ἐξακριβοῦν. καὶ μὲν δὴ καὶ κατὰ τὰ γυμνάσια, τῇ μὲν πρώτῃ τῶν ἡμερῶν, οὐ δυνατὸν ἀκριβῶσαι τὸ μέτρον. ἐν δὲ ταῖς μετὰ ταύτην, καὶ πάνυ δυνατόν. ἔστω δὴ κἀνταῦθα γνωρίσματα κατὰ μὲν τὴν πρώτην ἡμέραν, ὅταν ἐγκελευομένῳ καὶ παρορμῶντι γυμνάσασθαι, μηκέτ' ὁμοίως ὑπακούῃ, ἀλλὰ βραδυτέρας τε καὶ ἀραιοτέρας καὶ ἀσθμονεστέρας καὶ τὸ σύμπαν εἰπεῖν, ἀτονωτέρας ποιῆται τάς τε λαβὰς τῶν προσπαλαιόντων καὶ τὰς κινήσεις. εἶναι δὲ δηλονότι χρὴ τὸν γυμναζόμενον, οὔτε θυμικὸν ὡς ἔτι προθυμεῖσθαι γυμνάζεσθαι κεκμηκυίας ἤδη τῆς δυνάμεως. οὔτ' ἄθυμον, ὡς ἀπαγορεύειν ἔτι πονεῖν δυνάμενον. ἔστι δὲ δή πως τοιοῦτος οὐ τὸ σῶμα μόνον ἀλλὰ καὶ τὴν ψυχήν, ὁ νῦν ἡμῖν ὑποκείμενος ἄνθρωπος. ὡς ὅσοι γε ψυχροὺς ἔχουσι χυμοὺς ἐν τῇ γαστρὶ περιεχομένους, ἢ κατὰ τὴν ὅλην ἕξιν ἠθροισμένους, ἀργότεροι πρὸς τὰς κινήσεις εἰσίν. ὡσαύτως δὲ καὶ οἱ πληθωρικῶς διακείμενοι. καὶ οἱ προσφάτως κρύει καταπονηθέντες, ἄθυμοί τε εἰσί, καὶ ὀκνηροὶ κινεῖσθαι. καὶ τούτων ἔτι μᾶλλον, ὅσοι φύσει ψυχρότεροι, καὶ πολὺ δὲ δὴ μᾶλλον, εἰ τῇ ψυχρότητι καὶ ὑγρότης προσείη. οὗτοι μὲν γὰρ νοθεύουσι τὰ τοῦ μέτρου τῶν γυμνασίων γνωρίσματα. καθάπερ γε καὶ οἱ θερμότεροι τὴν κρᾶσιν, ἢ διὰ τὴν οἰκείαν φύσιν, ἢ δι' ἐπίκτητόν τινα διάθεσιν, εὔθυμοί τ' εἰσὶ καὶ φιλόνεικοι. καὶ πρὸς τὰς ἐνεργείας ἕτοιμοι περαιτέρω τοῦ δέοντος. ὅσοι δὲ μήτε τὸ σῶμα θερμότερον ἢ ψυχρότερον ἔχουσι, μήτ' ἄθυμοι τὴν ψυχήν εἰσι τὸ πάμπαν ἢ φιλόνεικοί τε καὶ φιλότιμοι καὶ θυμικοί, τούτοις ἀκριβῶς διαφυλάττεται τοῦ μέτρου τῶν γυμνασίων τὰ γνωρίσματα. καὶ κατὰ τὴν πρώτην ἡμέραν εὐθύς, ἀτὰρ οὖν ἔτι δὴ καὶ μᾶλλον ἐπὶ προϊόντι τῷ χρόνῳ. εἰ γάρ τι καὶ παρέλαθεν κατὰ τὴν ἀρχήν, ἀκριβωθήσεται τοῦτο τῇ πείρᾳ διδαχθέν. οὕτως οὖν εἰς ἀκριβῆ στοχασμὸν ἔρχεται, καὶ τὸ τῶν σιτίων μέτρον, οὐδενὶ τρόπῳ κατ' ἀρχὰς γνωρισθῆναι δυνάμενον. ἀλλ' ἡ καθ' ἑκάστην πεῖρα καὶ μνήμη τοῦ τε ποσοῦ τῶν γυμνασίων καὶ τοῦ ποσοῦ τῶν σιτίων οὐδὲ ἀργῶς ὁρώντος καὶ τοῦ προεστῶτος, ἀλλ' ἀεὶ μεμνημένου πρὸς ἔπειτα ἐπὶ πόσοις δὴ γυμνασίοις τὰ τοσάδε σιτία, πλησίον ἀκριβοῦς ἐπιστήμης ἄγει τὴν διάγνωσιν ἐν τῷ χρόνῳ. ταυτὶ μὲν οὖν ἤδη πρὸς ἅπαντα κοινά, καὶ ταῖς μοχθηροτέραις ὑπάρχει κατασκευαῖς τοῦ σώματος, ὑπὲρ ὧν οὐδέπω πρόκειται λέγειν. ἡ δ' ἀρίστη φύσις ἡ νῦν ἡμῖν προκειμένη, μέτρα πάντων εὐφυλακτότατα, μήτε τοῖς τῆς ψυχῆς ἤθεσι μήτε ταῖς τοῦ σώματος δυσκρασίαις ἐπιβολεύουσά τε καὶ νοθεύουσα τῶν εἰρημένων μηδέν. ἀλλὰ καὶ τρίψεων καὶ γυμνασίων καὶ σιτίων καὶ ὕπνων ἐναργῶς ἐνδεικνυμένη τὰ μέτρα. καὶ τηνικαῦτα πρῶτον ἀπαγορεύουσα πρὸς ἕκαστον, ὅταν μηκέτι δέηται, ὥστε εἶναι καὶ τοῦτο τῷ προεστῶτι τοιούτου σώματος, οὐ μικρὸν γνώρισμα μετρίου. λέγω δὲ τὴν περὶ ἕκαστον ὧν ἂν πράττῃ προθυμίαν, αὐτῆς τῆς φύσεως ἑαυτῇ τὸ μέτρον εὑρισκούσης ἐν ταῖς ἀρίσταις κατασκευαῖς. καὶ γὰρ ἀνατριβόμενοι τηνικαῦτα πρῶτον ἐξιᾶσιν ἐπὶ τὸ γυμνάσιον οἱ ἄριστα πεφυκότες, ὅταν ἱκανῶς ἔχωσι μαλακότητός τε ἅμα καὶ θερμότητος ἅπαντι τῷ σώματι. καὶ γυμναζόμενοι τό τε πρῶτον ὀκνήσουσιν, ὅταν αὐτάρκως γυμνασθῶσιν. καὶ δὴ καὶ σιτίων καὶ πομάτων ἀφέξονται τό τε πρῶτον, ὅταν ἱκανῶς ἐμπλησθῶσιν, ὡς οὐδεὶς φόβος οὔτε ὑπερπονῆσαι τὸν τοιοῦτον ἄνθρωπον, οὔθ' ὑπερεμπλησθῆναι, ταῖς ὁρμαῖς τῆς φύσεως οἰακιζόμενον. οὔκουν οὐδὲ τοῦ προεστῶτος εἰς ἄκρον ἥκοντος ἐπιστήμης, ὁ τοιοῦτος ἄνθρωπος δεῖται. καθάπερ οἱ μετὰ ταῦτα λεχθησόμενοι πάντες, οἱ μοχθηρῶς κατεσκευασμένοι. αὐτὸ γὰρ ἑαυτῷ πάντ' ἐξευρίσκει τὸ ὑγιεινὸν σῶμα ταῖς τῆς φύσεως ὁρμαῖς ἐπιτροπευόμενον. καὶ μάλιστα εἰ καλῶς εἴη τὰ τῆς ψυχῆς αὐτῷ πεπαιδευμένα. πολλοὶ γὰρ ἔθεσι μοχθηροῖς ἐντραφέντες, ἀκολαστότερον ἢ ἀργότερον διαιτώμενοι, διαφθείρουσι φύσεις χρηστάς. ὥσπερ αὖ πάλιν ἔνιοι μοχθηρῶς φύντες τὸ σῶμα, βίῳ σώφρονι καὶ γυμνασίοις εὐκαίροις, ἐπηνορθώσαντο τὰ πολλὰ τῶν ἐ-

λαττωμάτων. ἀλλὰ τούτων μὲν, καὶ ὁ ἐφεξῆς ὁ μετὰ ταῦτα λόγος ἅπαξ σύγκειται. περὶ δὲ τῶν ἄριστα κατε-
σκευασμένων τὸ σῶμα καὶ τὸν νοῦν προσεχόντων ἐπὶ τοῖς ὑγιεινοῖς, ἐν τῷ δὲ τῷ γράμματι πρόκειται διελθεῖν.
ὁ μὲν οὖν ἔμπροσθεν λόγος ὑπὲρ αὐτῶν, εἰς τὸ μέτρον ἐτελεύτα τῶν γυμνασίων. ἐφεξῆς δ' ἂν εἴη καιρὸς, ὑπὲρ
τῶν εἰδῶν διελθεῖν. εἴδη δὲ γυμνασίων, ὀνομάζω πάλην. παγκράτιον. καὶ πυγμήν. καὶ δρόμον. ὅσα τ' ἄλλα τοιαῦτα.
τινὰ μὲν, αὐτὸ τοῦτο γυμνάσια μόνον ὑπάρχοντα. τινὰ δὲ οὐ γυμνάσια μόνον ἀλλὰ καὶ ἔργα. γυμνάσια μὲν αὐτά
γε δὴ ταῦτα τὰ εἰρημένα, καὶ προσέτι τὸ πιτυλίζειν. τὸ ἐκπλεθρίζειν. τὸ σκιαμαχεῖν. τὸ ἀκροχειρίζεσθαι. τὸ ἅλλε-
σθαι. τὸ δισκοβολεῖν. καὶ διὰ κωρύκου. καὶ διὰ σφαίρας ἢ μικρᾶς ἢ μεγάλης. καὶ διὰ ἀλτήρων ἐκπονῆσαι τὸ σῶμα.
γυμνάσια δ' ἅμα καὶ ἔργα. σκάπτειν, ἐρέττειν. κλᾶν ἀμπέλους, ἀχθοφορεῖν, ἀμᾶν, ἱππεύειν, ὁπλομαχεῖν, ὁδοι-
πορεῖν, κυνηγετεῖν, ἁλιεύειν, ὅσα τ' ἄλλα κατὰ μέρος πράττουσιν ἄνθρωποι τεχνῖται καὶ ἄτεχνοι, τῶν κατὰ τὸν βίον
ἕνεκα χρειῶν. ἢ οἰκοδομοῦντες ἢ χαλκεύοντες ἢ ναυπηγοῦντες. ἢ ἀροτριεύοντες. ἢ τι τοιοῦτον ἕτερον πολέμιον, ἢ
εἰρηνικὸν ἐργαζόμενοι. τοῖς πλείστοις δὲ τῶν τοιούτων ἔνεστί ποτε καὶ ὡς γυμνασίοις μόνον χρήσασθαι. τριττὴ γάρ τις αὐ-
τῶν ἡ σύμπασα χρεία. ποτὲ μὲν γὰρ, ὡς ἔργον μόνον αὐτὸ δὴ τοῦτο παραλαμβανόμενον. ἐνίοτε δὲ ὡς ἀσκημάτων
ἕνεκα τῆς τῶν μελλόντων ἔργων χρείας. ἔστιν ὅτε δὲ καὶ ὡς γυμνασίων. κατ' ἀγρὸν γοῦν ποθ' ἡμεῖς ληφθέντες ἐν χειμῶ-
νι, ξύλα τε σχίζειν ἠναγκάσθημεν ἕνεκα τοῦ γυμνάζεσθαι. καὶ κριθὰς ἐμβάλλοντες ὅλμῳ, κόπτειν τε καὶ ἐκλεπίζειν.
ἅπερ ἑκάστης ἡμέρας οἱ κατ' ἀγρὸν ἔπραττον ὡς ἔργα. περὶ μὲν δὴ τῆς ὡς ἔργων αὐτῶν χρήσεως, ἐν τῷ μετὰ τοῦ-
τον λόγῳ διαιρήσομαι. ἐν δὲ τῷ παρόντι, περὶ τῆς ὡς γυμνασίων, ἐροῦμεν. ἅπαντα γὰρ τὰ τοιαῦτα γυμνάσια γίγνον-
ται μήτε δι' ὅλης ἡμέρας αὐτὰ πραττόντων, μήτ' ἐν ἄλλῳ καιρῷ τοῦ πρὸ τῶν σιτίων. φυλάττεσθαι δὲ δή που προσ-
ήκει καὶ τὸ μέτρον ἐπ' αὐτοῖς τῶν γυμνασίων, καὶ τὴν καλουμένην ἀποθεραπείαν, εἰ δὲ καὶ προανατριψάμενός τις
αὐτάρκως ἐπ' αὐτὰ παραγίγνοιτο, νῦν μὲν ἂν ἀκριβῶς ἅπαντας ἔχοι τοὺς ἀριθμοὺς τῶν γυμνασίων. ὑπέρ τε
οὖν τούτων ἁπάντων ἃ δὴ καὶ γυμνασίων εἴδη καλοῦμεν ἐπίστασθαι χρὴ τὸν τῆς ὑγιεινῆς μετιόντα, καλεῖν δ' ἔξε-
στιν αὐτὸν ὡς ἔμπροσθεν εἶπον, ἢ ὑγιεινὸν ἢ γυμναστὴν ἢ ἰατρόν. κυριωτάτης μὲν ἐσομένης τῆς πρώτης προσηγο-
ρίας. ἐκ καταχρήσεως δὲ, τῶν ἄλλων. εἴπερ γὰρ ἅπαντες οἱ τεχνῖται παρωνύμως ὀνομάζονται τῶν τεχνῶν ἃς μεταχει-
ρίζονται, πρόδηλον ὡς ὁ τὴν ὑγιεινὴν τέχνην μεταχειριζόμενος, ὑγιεινὸς ἂν εὐλόγως προσαγορεύοιτο. καθάπερ καὶ ὁ
περὶ τὰ γυμνάσια μόνον γυμναστής. καὶ ὁ περὶ τὰς ἰάσεις ἰατρός. εἰ δέ τις ἢ γυμναστὴν ἰατρὸν ὀνομάζει τὸν ὑγιεινὸν
τοῦτον, ἀπὸ μέρους τε προσαγορεύει τὸ σύμπαν καὶ οὐ κυρίως, ἀλλ' ἐκ καταχρήσεως, ἢ ἐπιδιστάσεως, ἢ ὅπως ἄν τις ἐθέ-
λοι καλεῖν οὕτω ποιήσεται τὴν προσηγορίαν. αἴτιον δὲ τούτου, τὸ μιᾶς οὔσης τῆς περὶ τὸ σῶμα τέχνης, ἐφ' ὅλης αὐτῆς
ὄνομα μηδὲν τετάχθαι κύριον, ὑπὲρ ὧν ἐπὶ πλεῖον ἐν ἑνὶ βιβλίῳ τὸν λόγον ἐποιησάμην, ὃ Θρασύβουλος ἐπιγρά-
φεται. εἴδη μὲν γυμνασίων τὰ εἰρημένα. ποιότης δὲ ἡ διαφορά. καὶ γὰρ οὖν καὶ ταῦτ' ἔξεστιν ἑκατέρως ὀνομάζειν.
ὀξύτης τε κινήσεώς ἐστι καὶ βραδύτης. εὐτονία τε καὶ ὡς ἂν εἴποι τις ἀτονία καὶ πρὸς τούτοις ἔτι σφοδρότης ἔσται
καὶ ἀμυδρότης. τρόποι δὲ τῆς χρήσεως ἁπάντων τῶν εἰρημένων εἰδῶν ἅμα ταῖς οἰκείαις διαφοραῖς, οἱ τοιοίδε εἰσίν.
ἢ τοι συνεχὴς ἡ κίνησις ἐστὶν ἢ διαλείπουσα. καὶ εἰ μὲν συνεχὴς ἤτοι ὁμαλὴ ἢ ἀνώμαλος. εἰ δὲ διαλείπουσα, ἢ τετα-
γμένη ἢ ἄτακτος. οὗτοι μὲν οὖν οἱ κατ' αὐτὸ τὸ πρᾶγμα τρόποι τῆς χρήσεως. οἱ δ' ἀπὸ τῶν ἔξωθεν αὐτῷ προσιόντες
τοιοίδε. ἢ ἐν ὑπαίθρῳ χωρίῳ γίγνεται τὸ γυμνάσιον, ἢ ἐν κατεστέγῳ. ἢ ἐν ὑποσυμμιγεῖ σκιᾷ. κατὰ δὲ τὸν αὐτὸν τρό-
πον ἢ θερμόν ἐστι τὸ χωρίον ἢ ψυχρὸν ἢ εὔκρατον. καὶ ἤτοι ξηρὸν ἀκριβῶς ἢ ὑγρὸν ἢ μέτριον. οὕτω δὲ καὶ τὸ μετὰ κόνεως
ἤτοι πλέονος ἢ ἐλάττονος. ἐλαίου τε καὶ κατὰ τὸν αὐτὸν λόγον ἢ πλέονος ἢ ἐλάττονος, ἢ καὶ χωρὶς ἑκατέρου, τρόπος
ἐστὶ χρήσεως γυμνασίου. ἐπεὶ τοίνυν διώρισται πάνθ' ἡμῖν ὧν ἔμπειρον εἶναι χρὴ τὸν ὑγιεινὸν, περὶ τὰ τῶν γυμνασίων
εἴδη καιρὸς ἰέναι. καὶ πρῶτον μὲν διελέσθαι τί τὸ κοινὸν ἅπασιν ὑπάρχει, καὶ τί καθ' ἕκαστον ἴδιον. ἐφεξῆς δὲ τοὺς και-
ροὺς τῆς τρίψεως ἀφορίσασθαι. τὸ μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων ἐστὶ, θερμότητος αὔξησιν ἐξ αὐτῶν τοῖς ζώοις
ἐργάζεσθαι. θερμαίνεται γὰρ ἡμῶν τὰ σώματά τε τὰ τῶν βαλανείων, κατὰ θερμῶν ὑδάτων λουτρά. καὶ
τὰς θερμὰς ὥρας τοῦ ἔτους ἡλιοθερούντων τε, καὶ παρὰ πυρὶ θαλπομένων. καὶ θερμοῖς φαρμάκοις ἀνατριβο-
μένων. ἀλλ' ἔξωθεν αἱ τοιαῦται πᾶσαι θερμότητες οὐκ ἔνδοθεν. οὐ δ' ἐκ τῆς οἰκείας ἀρχῆς ἀνάπτονται καὶ αὐξάνον-
ται. κατὰ δὲ τὰ γυμνάσια τῆς ἐμφύτου θερμότητος τοῖς ζώοις αὔξησις ἐστὶν ἐξ αὐτῶν τῶν ἰδίων σωμάτων γιγνο-
μένη. καὶ τοῦτο κοινὸν μὲν, ἁπάντων τῶν γυμνασίων. οὐ μὴν ἴδιόν γε ἐστίν. εἴ γε δὴ καὶ τοῖς θυμωθεῖσι, καὶ τοῖς ἀγω-
νιῶσι καὶ τοῖς αἰδεσθεῖσιν, αὔξησις τῆς ἐμφύτου γίγνεται θερμότητος. ὁ μὲν γε θυμὸς, οὐδαμῶς αὔξησις, ἀλλ'
οἷον ζέσις κατὰ τὴν καρδίαν θερμοῦ, διὸ καὶ τὴν οὐσίαν αὐτοῦ τῶν φιλοσόφων οἱ δοκιμώτατοι, τοιαύτην εἶναί φασι. συμ-
βεβηκός γάρ τι καὶ οὐκ οὐσία τοῦ θυμοῦ ἐστὶν, ἡ τῆς ἀντιτιμωρήσεως ὄρεξις. αὐξάνεται δὲ καὶ τοῖς αἰδεσθεῖσιν ἡ
ἔμφυτος θερμότης, εἴσω μὲν τὰ πρῶτα δραμόντος ἅπαντος τοῦ θερμοῦ, μετὰ ταῦτα δὲ ἀθροισθέντος ἐν τῷ βά-
θει, κἄπειτα αὐξηθέντος, καὶ δι' ἄθροισιν μὲν τὴν ἐνταῦθα, καὶ διὰ τὴν κίνησιν δὲ τὴν συνεχῆ. οὐ γὰρ ἡ-
συχάζει τὸ πνεῦμα τῶν αἰδουμένων, ἀλλ' ἔνδοθέν τε καὶ περὶ αὐτὸ μετὰ τοῦ σύμπαντος αἵματος κυκᾶται
πολυειδῶς, ὥσπερ καὶ τὸ τῶν ἀγωνιώντων. εἰρήσεται δ' ἐπὶ πλέον ὑπὲρ τῶν τοιούτων ἁπάντων παθῶν τῆς
ψυχῆς, ἐπὶ προσήκοντι τῷ λόγῳ. νυνὶ μὲν γὰρ διὰ τὸ κοινὸν ἕπεσθαι σύμπτωμα τούτοις δὲ τοῖς πάθεσι καὶ τοῖς
γυμνασίοις, ἠναγκάσθην αὐτῶν μνημονεῦσαι, δεικνὺς ὡς ἁπάντων κοινὸν γυμνασίων ἐστὶν, ἡ τῆς ἐμφύτου θερμό-
τητος αὔξησις, ἔνδοθέν τε καὶ ἐξ αὐτῆς, οὐ μὴν ὅτι γε μόνοις ὑπάρχει τοῦτο γυμνασίοις, ἀλλὰ καὶ τοῖς εἰρημένοις
ἄρτι πάθεσιν. ἤδη δ' ἐπὶ τὰ καθ' ἕκαστα τῶν γυμνασίων ἴδια τὸν λόγον ἄγειν καιρός. ἐπισημηνάμενον γε πρό-
τερον, ὡς καὶ κατὰ ταῦτα, πλείους εἰσὶν αἱ διαφοραί. τὰ μὲν γὰρ ἄλλο τι ἄλλοτι μέρος ἕτερον ἑτέρου μᾶλλον
γυμνάζει. καὶ τὰ μὲν ἠλλιωμένων γίγνεται, τὰ δὲ ὀξύτατα κινουμένων, καὶ τὰ μὲν, εὐτόνως, τὰ δὲ ἀτόνως.
καὶ πρὸς τούτοις γ' ἔτι τὰ μὲν σφοδρῶς, τὰ δὲ ἀμυδρῶς, εὔτονον μὲν γυμνάσιον ὀνομάζω, τὸ βιαίως ἄνευ τά-
χους διαπονοῦν, σφοδρὸν δὲ, τὸ βιαίως τε καὶ σὺν τάχει. βιαίως δὲ, ἢ ῥωμαλέως λέγειν, οὐ διοίσει. τὸ μὲν οὖν
σκάπτειν, εὔτονόν τε καὶ ῥωμαλέον ἐστὶν, οὕτω δὲ καὶ τὸ τέτταρας ἵππους ἅμα κατέχειν ἡνίαις, εὔτονον μὲν ἱκα-
νῶς γυμ-

τῶς γυμνάσιον, οὐ μὴν ὠκύ γε. κατὰ τὸν αὐτὸν τρόπον εἴ τις ἀράμενος ὁτιοῦν μέγιστον φορτίον ἢ μένοι κατὰ χώραν ἢ προβαίνοι σμικρὰ, καὶ οἱ ἄναντες περίπατοι, τούτου τοῦ γένους εἰσίν. ἀναφέρεται γοῦν καὶ ἀναβαστάζεται κατ᾽ αὐτοὺς ὑπὸ τῶν πρώτων κινουμένων ὀργάνων ἅπαντα τὰ λοιπὰ μόρια τοῦ σώματος, ὥσπερ τι φορτίον. οὕτω δὲ καὶ ὅς τις ἀναρριχᾶται διὰ σχοινίου, καθάπερ ἐν παλαίστρᾳ γυμνάζουσι τοὺς παῖδας, εἰς εὐτονίαν παρασκευάζοντες. ὡσαύτως δὲ καὶ ὅς τις ἢ σχοινίου λαβόμενος, ἤ τινος ὑψηλοῦ μέχρι πλείστου κατέχει κρεμάμενος ἐξ αὐτοῦ, ῥωμαλέον μέν τοι καὶ ἰσχυρὸν γυμνάζεται γυμνάσιον, οὐ μὴν ὠκύ γε. καὶ ὅς τις προτείνας ἢ ἀνατείνας τὼ χεῖρε πὺξ ἔχων, ἀτρεμίζει μέχρι πλείστου. εἰ δὲ καὶ παραστήσας τινὰ κελεύει καθέλκειν κάτω τὼ χεῖρε μὴ ἐνδιδοὺς αὐτὸς, ἔτι δὴ μᾶλλον οὕτως, εἰς εὐρωστίαν παρασκευάζει, τούς τε μῦς καὶ τὰ νεῦρα. τούτων γὰρ ἴδια τὰ τοιαῦτα μάλιστα ἅπαντα γυμνάσια. πολὺ δὲ δὴ μᾶλλον εἴ τι βάρος ταῖς χερσὶν ἄκραις περιλαβὼν ἑκατέρᾳ καταμόνας, οἷάπερ οἱ κατὰ παλαίστραν εἰσὶν ἁλτῆρες, ἀτρέμας ἔχει προτείνας ἢ ἀνατείνας αὐτάς. εἰ δὲ δὴ καὶ κελεύσειέ τινι καθέλκειν τε καὶ κάμπτειν βιαίως αὐτὸν ἀκίνητόν τε καὶ ἄκαμπτον οὐ ταῖς χερσὶ μόνον, ἀλλὰ καὶ τοῖς σκέλεσι καὶ τῇ ῥάχει διαφυλάττων, οὐ σμικρὸν γυμνάσεται γυμνάσιον, εἰς εὐτονίαν ὀργάνων. οὕτω τοι λόγος ἔχει κἀκεῖνον τὸν Μίλωνα γυμνάζειν ἑαυτὸν, ἐνίοτε μὲν ἀπωθῆσαί τε καὶ μετακινῆσαι τῆς ἕδρας ἐπιτρέποντα τῷ βουλομένῳ, ἀλλὰ τοῦτο μὲν σκελῶν ἂν εἴη μάλιστα γυμνάσιον. ἐνίοτε δὲ, εἰ τὰς χεῖρας γυμνάζειν βούλοιτο, τὴν πυγμὴν διαλύσειν κελεύοντα. αὖθις δ᾽ αὖ ὥς φασιν ἐν ταῖς χερσὶν ἔχων ῥοιὰν ἤ τι τοιοῦτον ἕτερον, ἀφαιρεῖσθαι τῷ βουλομένῳ παρεῖχε. παντὶ μὲν οὖν τὰ γυμνάσια μεγίστης ἰσχύος ἐπίδειξίν τε ἅμα καὶ ἄσκησιν ἔχει. τόνον δὲ μορίων γυμνάζει τε καὶ ῥώννυσι, κἀπειδὰν ἤτοι διαλαβὼν ἕτερόν τινα μέσον, ἢ διαληφθεὶς αὐτὸς ἐπηλλαγμένων πρὸς ἀλλήλας τῶν χειρῶν τε καὶ τῶν δακτύλων ἤτοι τῷ κρατουμένῳ προστάξει διαλύειν, ἢ αὐτὸς λύει τοῦ κρατοῦντος. οὕτω δὲ κἀπειδὰν ἑτέρου προσνεύσαντος ἐκ πλαγίων αὐτῷ προσελθὼν ἐν κύκλῳ ταῖς λαγόσι περιλαβὼν τὰς χεῖρας ὥσπερ τι φορτίον ἀράμενος ἀναφέροι τε ἅμα καὶ περιφέροι τὸν ἀρθέντα. καὶ μᾶλλον εἰ ἐπινεύοι τε καὶ ἀνανεύοι βαστάζων, ὧδε γὰρ ἂν ἀκριβῶς τις ἅπασαν τὴν ῥάχιν εἰς ῥώμην παρασκευάσειεν. οὕτω δὲ καὶ ὅσοι τὰ στέρνα πρὸς ἀλλήλοις ἀπερεισάμενοι βιαίως ὠθοῦσιν, εἰς τοὐπίσω. καὶ ὅσοι τῶν αὐχένων ἐκκρεμάμενοι κατασπῶσιν, εἰς εὐτονίαν παρασκευάζουσιν. ἀλλὰ τὰ μὲν τοιαῦτα καὶ χωρὶς παλαίστρας ἢ βαθείας κόνεως δύναται γίγνεσθαι, καθ᾽ ὁτιοῦν χωρίον ἐπικυρτοῦν ὀρθῶν ἑστώτων. ὅσα δὲ παλαίοντες εἰς ἀλλήλους δρῶσιν ἀσκοῦντες τὸν τόνον ἤτοι κόνεως βαθείας ἢ παλαίστρας δεῖται. ἔστι δὲ τὰ τοιαῦτα, περιπλέξαντες τοῖς ἑαυτοῦ δυοῖν σκέλεσι τὸ ἕτερον σκέλος τοῦ προσπαλαίοντος, ἔπειθ᾽ ἅψαντες πρὸς ἀλλήλας τὼ χεῖρε, τὴν μὲν ἐπὶ τὸν αὐχένα βιαίως ἐρείδειν, ἥτις ἂν ᾖ κατ᾽ εὐθὺ τοῦ κατειλημμένου σκέλους. τὴν δ᾽ ἑτέραν ἐπὶ τὸν βραχίονα. δύναιτο δ᾽ ἂν καὶ περὶ τὴν κεφαλὴν ἄκραν τὸ ἅμμα περιθεὶς, ἀνακλᾶν εἰς τοὐπίσω βιαζόμενος. τὰ τοιαῦτα γοῦν παλαίσματα, πρὸς εὐτονίαν ἑκατέρου τῶν παλαιόντων ἀρκεῖ. καθάπερ γε καὶ ὅσα ζώσαντος τοῖς σκέλεσι θατέρου τὸ ἕτερον, ἢ κατ᾽ ἀμφοῖν ἄμφω καθέντος γίνεται, καὶ γὰρ καὶ ταῦτ᾽ ἀμφότερα εἰς ῥώμην παρασκευάζει. μυρία δὲ τοιαῦτα ἕτερα κατὰ παλαίστραν ἐστὶν εὔτονα γυμνάσια, περὶ ὧν ἁπάντων, τὴν ἐμπειρίαν τε ἅμα καὶ τριβὴν ὁ παιδοτρίβης ἔχει, ἕτερος δέ τις ὢν ὅδε τοῦ γυμναστοῦ, καθάπερ ὁ μάγειρος τοῦ ἰατροῦ. καί πως ἔοικεν ἂν καὶ τοῦθ᾽ ἡμῖν ἥκειν εἰς σκέμμα, περὶ οὗ λέλεκται μὲν ἤδη καὶ κατ᾽ ἐκεῖνο τὸ βιβλίον, ὃ Θρασύβουλον ἐπιγράφομεν, εἰρήσεται δὲ καὶ νῦν ὅσον αὐταρκὲς εἰς τὸν παρόντα, πρότερόν γε διελθόντων ἡμῶν τὰς διαφορὰς τῶν γυμνασίων. ὅσα μὲν οὖν εὔτονα, καὶ δὴ λέλεκται. καταβαίνειν δὲ καιρὸς ἐπὶ τὰ ταχέα, χωρὶς εὐτονίας καὶ βίας. δρόμοι δ᾽ εἰσὶ ταῦτα, καὶ σκιομαχίαι, καὶ ἀκροχειρισμοὶ, καὶ τὸ διὰ τοῦ κωρύκου τε καὶ τῆς σμικρᾶς σφαίρας γυμνάσιον, ὅταν ἐκ διεστώτων τε καὶ διαθεόντων γίγνεται. τοιοῦτον δέ τι καὶ τὸ ἐκπλεθρίζειν, καὶ τὸ πιτυλίζειν. τὸ δὲ ἐκπλεθρίζειν ἐστὶν, ἐπειδάν τις ἐν πλέθρῳ πρόσω τε ἅμα καὶ ὀπίσω διαθέων ἐν μέρει πολλάκις ἐφ᾽ ἑκάτερα χωρὶς καμπῆς, ἀφαιρῇ τοῦ μήκους ἑκάστοτε βραχὺ καὶ τελευτῶν εἰς ἓν καταστῇ βῆμα. τὸ δέ τι πιτυλίζειν, ἐπειδὰν ἐπ᾽ ἄκρων τῶν ποδῶν βεβηκὼς, ἀνατείνας τὼ χεῖρε, κινῇ τάχιστα, τὴν μὲν, ὀπίσω φέρων, τὴν δὲ, πρόσω. μάλιστα δὲ τοίχῳ παριστάμενοι, γυμνάζονται τοῦτο τὸ γυμνάσιον. ἵν᾽ εἰ καί ποτε σφάλλοιτο, προσαψάμενοι τοῦ τοίχου ῥᾳδίως ὀρθῶνται, καὶ οὕτω δὲ γυμναζομένων λανθάνει τε τὰ σφάλματα, καὶ ἀσθενέστερον γίνεται τὸ γυμνάσιον. ὠκεῖαι δὲ κινήσεις εἰσὶν, οὐ μὴν βίαιοί γε. καὶ ὅσαι κατὰ παλαίστραν ἐπιτελοῦνται κυλινδουμένων ὀξέως καθ᾽ ἑτέρων τε καὶ καταμόνας. ἐγχωρεῖ δὲ καὶ ὀρθοὺς ἐνειλουμένους τε ἅμα καὶ μεταβάλλοντας, ἐν τάχει τὸν πέλας, ὀξὺ γυμνάσασθαι γυμνάσιον. ἐγχωρεῖ δὲ καὶ διὰ τῶν σκελῶν μόνων ὀρθὸν ἐφ᾽ ἑνὸς χωρίου γυμνάσασθαι γυμνάσιον ὀξύ. πολλάκις μὲν εἰς τοὐπίσω μόνον ἀφαλλόμενον, ἔστιν ὅτε δὲ καὶ εἰς τοὔμπροσθεν ἀναφέροντα τῶν σκελῶν ἑκάτερον ἐν μέρει. καὶ μὴν δὴ καὶ διὰ τῶν χειρῶν ἔστιν ὀξὺ γυμνάσιον ὁμοιότροπον. γυμνάσασθαι, χωρὶς τοῦ κατέχειν ἁλτῆρας. ἐπισπεύδοντα τὰς κινήσεις αὐτῶν εἰς πυκνότητά τε ἅμα καὶ τάχος, εἴτε πὺξ ἐθέλοι τις, εἴτε χωρὶς πυγμῆς ἀνακινήσειεν ἁπλῶς. τοιοῦτον μὲν δὴ καὶ τὸ ταχὺ γυμνάσιον ἐστὶν, ἐν οἷς εἴπομεν εἴδεσιν ἀφωρισμένον. ἐπὶ δὲ τὸ σφοδρὸν ἰέναι καιρός. ἔστι δ᾽ ὡς εἴρηται τοῦτο σύνθετον ἐξ εὐτόνου τε καὶ τάχους. ὅσα γὰρ εὔτονα τῶν γυμνασίων εἴρηται, τούτοις ἅπασιν, ὡς σφοδροῖς ἄν τις χρῷτο, κινήσεις ταχείας προστιθείς. οὐχ ἥκιστα δὲ καὶ τὰ τοιαῦτα γυμνάσια σφοδρὰ σκάψαι, καὶ δισκεῦσαι καὶ κινῆσαι καὶ πηδῆσαι συνεχῶς, ἄνευ τοῦ διαναπαύσασθαι. οὕτω δὲ καὶ τὸ ἀκοντίζειν ὁτιοῦν τῶν βαρέων βελῶν συνείροντα τὴν ἐνέργειαν, ἢ βαρέσιν ὅπλοις ἐσκεπασμένον, ἐνεργεῖν ὀξέως. ἀμέλει καὶ εἰ γυμναζόμενοι διά τινος τῶν τοιούτων ἀναπαύονται κατὰ βραχύ. καί τι ἡ κατὰ τὸ συνεχές τε καὶ διαλεῖπον γυμνάσιον ἤδη πως γινωσκέσθω διαφορά. τὰ γὰρ εἰρημένα νῦν δὴ πάντα διαλείποντες μᾶλλον εἰς χρείαν ἄγουσι, καὶ μάλισθ᾽ ὅσα πόνοι τινὲς εἰσὶ καὶ ἔργα, μὴ μόνον γυμνάσια, καθάπερ τὸ ἐρέσσειν τε καὶ σκάπτειν. ὅσα δ᾽ ἀσθενέστερα τῶν γυμνασίων ἐστὶν ἄνευ τοῦ διαναπαύεσθαι γίνεται μᾶλλον, ὥσπερ δόλιχός τε καὶ αἱ ὁδοιπορίαι. ταῦτ᾽ οὖν ἅπαντα γυμνασίων ἐστὶν εἴδη, τάς τε νῦν εἰρημένας ἔχοντα διαφοράς. καὶ πρὸς τα-

τοῖς ἔτι, τὰ μὲν, ὀσφὺν μᾶλλον ἢ χεῖρας ἢ σκέλη διαπονεῖν. τὰ δὲ τὴν ῥάχιν ὅλην, ἢ τὸν θώρακα μόνον, ἢ τὸν πνεύμονα μόνον. βάδισις μὲν γε καὶ δρόμος ἴδια σκελῶν γυμνάσια. ἀκροχειρισμοὶ δὲ καὶ σκιομαχία, ἴδια χειρῶν. ὀσφύος δὲ, τὸ ἐπικύπτειν τε καὶ ἀνακύπτειν συνεχῶς, ἢ αἴροντά τι βάρος ἀπὸ τῆς γῆς, ἢ ἐν ταῖν χεροῖν βαστάζοντά τι διαπαντός. ἔνιοι μὲν καταθέντες ἁλτῆρας ἐν τῷ πρόσθεν διεστῶτας ἀλλήλων ὀργυιὰν, εἶτ' ἐν μέσῳ στάντες αὐτῶν, ἀναιροῦνται προκύπτοντες, τῇ μὲν δεξιᾷ χειρὶ, τὸν ἐν τοῖς ἀριστεροῖς, τῇ δὲ ἀριστερᾷ, τὸν ἐν τοῖς δεξιοῖς. καὶ αὖθις ἑκάτερον, εἰς τὴν οἰκείαν κατατίθενται χώραν. καὶ τοῦτο δρῶσιν ἐφεξῆς πολλάκις ἀτρεμίζοντες τῇ βάσει. τὰ δὲ πλάγια μέρη τῆς ῥάχεως, ἡ κίνησις ἥδε διαπονεῖ μᾶλλον, ὥσπερ ἡ προειρημένη τὰ κατ' εὐθύ. θώρακος δὲ καὶ πνεύμονος αἱ μέγισται τῶν ἀναπνοῶν οἰκεῖα γυμνάσια. καθάπερ καὶ αἱ μέγισται φωναὶ, πρὸς τοῖς εἰρημένοις ἁπάντων τῶν φωνητικῶν ὀργάνων. εἴρηται δ' ὁ κατάλογος αὐτῶν, ἐν τοῖς περὶ φωνῆς ὑπομνήμασιν. ἐπεὶ δ' ἐν τῷ δεῦρο τοῦ λόγου γεγόναμεν, οὐ χεῖρον ὑπὲρ ἁπάντων διελθεῖν τῶν ζώου τῶν μορίων, ὅσα τε κινήσεις τινὰς ἐναργεῖς ἔχει, καὶ ὅσα βραχείας τε καὶ ἀμαυράς. καὶ τίνα μὲν ἐξ ἑαυτῶν κινεῖται, τίνα δὲ ὑφ' ἑτέρων. ἡ γὰρ τοιαύτη διαίρεσις, οὐ σμικρὰν χρείαν παρέξει τῷ γυμναστῇ, πρὸς τὸ κινεῖν ἅπαντα τοῦ ζώου τὰ μόρια. ποτὲ μὲν ἐξ ἑαυτῶν τε καὶ κατὰ τὰς οἰκείας δυνάμεις. ἔστιν ὅτε δ' ὑφ' ἑτέρων τε καὶ δι' ἑτέρων. αἱ γοῦν κατὰ προαίρεσιν ἐνέργειαι πᾶσαι μυῶν τε καὶ νεύρων, καὶ τενόντων ἴδιαι κινήσεις εἰσίν. εἰ δὲ καὶ σφοδρότεραι γίγνοιντο, τὰ μὲν εἰρημένα μόρια πρῶτά τε καὶ μάλιστα γυμνάζουσι, κατὰ δέ τι συμβεβηκὸς, καὶ τὰς ἀρτηρίας. ὅσαι δὲ καὶ φλέβες καὶ σάρκες καὶ σύνδεσμοι, καὶ τὰ ἄλλα σύμπαντα τοῦ ζώου μόρια συγκινοῦνται τοῖς προειρημένοις. αἱ δ' ἄλλαι κινήσεις ἐν τοῖς τῶν ζώων σώμασιν, ὅσαι μὴ κατὰ κοινὴν προαίρεσιν, ἀλλ' ἤτοι φυσικαί τινες ἢ κατὰ τῆς ψυχῆς γίγνονται πάθη, διτταὶ μέν εἰσι κατὰ γένος. αἱ μὲν ἕτεραι, καρδίας καὶ ἀρτηριῶν. αἱ δ' ἕτεραι φλεβῶν τε καὶ ἥπατος ἐνέργειαι. πρῶτον μὲν τούτων καὶ μάλιστα, δεύτερον δὲ τῶν ἄλλων ἁπάντων μορίων. ἐπειδὴ πάντα τέτταρσι φυσικαῖς διοικεῖται δυνάμεσιν. ἡ μὲν δὴ τῶν ἀρτηριῶν τε καὶ τῆς καρδίας κίνησις οὐκ ἔστιν ὅτ' ἐκλείπει τὸ πάμπαν, ἐπιτείνεται μέντοι καὶ ἀνίεται κατὰ μέγεθος καὶ σμικρότητα, καὶ τάχος καὶ βραδύτητα καὶ σφοδρότητα, παρὰ πολλὰς αἰτίας, ἃς συμπάσας μὲν ἐν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτιῶν πραγματείᾳ διῆλθον. ἀρκεῖ δ' ἐν τῷ παρόντι τὰ κεφάλαια μόνον αὐτῶν εἰπεῖν τὰ πρῶτα. μία μὲν οὖν τῆς μεταβολῆς τῶν σφυγμῶν ἐστὶν, αὔξησίς τε καὶ μείωσις τῆς ἐμφύτου θερμότητος. ἑτέρα δὲ, ἡ κατὰ τὴν ποσότητα τοῦ ψυχικοῦ πνεύματος ἀλλοίωσις. τρίτη δὲ ἡ κατὰ τὴν τῆς δυνάμεως εὐρωστίαν τε καὶ ἀρρωστίαν. τετάρτη δὲ, ἡ κατὰ τὰ τῶν ὀργάνων πάθη. ἀλλὰ περὶ μὲν ταύτης, οὐ νῦν διδάσκειν καιρὸς, ἤδη γὰρ νοσεῖν ἀνάγκη τὸ ζῶον ἐν τοῖς τοιούτοις πάθεσιν. αἱ δὲ ἄλλαι πᾶσαι τῶν σφυγμῶν ἀλλοιώσεις καὶ ἐν τοῖς ὑγιαίνουσι γίγνονται. παρὰ μὲν τὴν αὔξησίν τε καὶ μείωσιν τῆς ἐμφύτου θερμότητος, ἥ τε παρὰ τὰς ὥρας, καὶ τροφὰς, καὶ πόματα καὶ λουτρὰ καὶ τρίψεις καὶ ὕπνους καὶ ἐγρηγόρσεις, ἔτι τε τὰ ψυχικὰ πάθη, καὶ τὰς κατὰ προαίρεσιν ἐνεργείας. ἡ δὲ παρὰ τὴν τοῦ ψυχικοῦ πνεύματος ἀλλοίωσιν, ἐν ταῖς τῶν καθ' ὁρμὴν κινήσεων διαφοραῖς. ἡ δὲ παρὰ τὴν τῆς δυνάμεως εὐρωστίαν τε καὶ ἀρρωστίαν ἐν ταῖς εὐκρασίαις τε καὶ δυσκρασίαις αὐτοῦ τοῦ σώματος τῆς τε καρδίας καὶ τῶν ἀρτηριῶν. αἱ δὲ τῶν φλεβῶν ἐνέργειαι σὺν καὶ τοῖς ἄλλοις ἅπασιν ὀργάνοις ὅσα περὶ τὴν τῆς τροφῆς οἰκονομίαν ὑπὸ τῆς φύσεως ἐγένετο κατὰ τὰς ἐδωδάς τε καὶ πόσεις, ἀναδόσεις τε καὶ πέψεις, καὶ θρέψεις ἀλλοιοῦνται, μέρος δέ τι ταύταις ἐστὶ κἂν ταῖς ἀρτηρίαις. ὅσαι δὲ τῶν κινήσεων οὐκ εἰσὶν ἐνέργειαι, τριττὴ τούτων ἡ διαφορά. τινὲς μὲν γὰρ ἐξ ἑαυτῶν τοῖς ζώοις ἐγγίγνονται. τινὲς δὲ ἔξωθεν προσέρχονται. τινὲς δὲ ὑπὸ φαρμάκων καταναγκάζονται, ἐξ ἑαυτῶν μὲν, ὡς ἔμπροσθεν εἶπον. ἔξωθεν δὲ κατὰ τοὺς πλοῦς, καὶ τὰς ἱππασίας, καὶ τὰς αἰωρήσεις, ὅσαι τ' ἐκ τῶν ὀχημάτων γίγνονται, καὶ ὅσαι διὰ σκιμπόδων ἐκκρεμαμένων, ἢ λίκνων σειομένων, ἢ ἐν ταῖς τροφῶν ἀγκάλαις τοῖς βρέφεσιν. ἐκ δὲ τῶν ἔξωθεν κινήσεων, εἴη ἂν καὶ ἡ ἀνάτριψις, εἴθ' οὕτως τις αὐτὴν ὀνομάζειν ὁμοίως τοῖς παλαιοῖς, εἴτε καὶ χωρὶς τῆς ἀνὰ προθέσεως ὡσαύτως τοῖς νεωτέροις, βούλοιτο. διαφέρει γὰρ οὐδὲν εἰς τὰ παρόντα. ἔνιαι μέντοι κινήσεις εἰσὶ μικταὶ, καθάπερ καὶ ἱππασίαι. οὐ γὰρ ὥσπερ ἐν τοῖς ὀχήμασι καὶ μάλιστα ἐν οἷς κατακλίναντες ἀτρεμίζομεν, οὕτω κἂν τοῖς τῶν ἵππων ὀχήμασι συμπίπτει, σείεσθαι μόνον ὑπὸ τοῦ φέροντος, ἐνεργοῦντα μηδέν. ἀλλὰ τὴν ῥάχιν ὀρθίαν ἀπευθύνειν χρὴ, καὶ τοῖς μηροῖς ἀμφοτέροις ἀκριβῶς ἔχεσθαι τῶν πλευρῶν τοῦ ἵππου, καὶ τετάσθαι τὰ σκέλη καὶ προορᾶσθαι τὰ πρόσθεν. ἐν τούτῳ γὰρ καὶ ἡ ὄψις γυμνάζεται, καὶ ὁ τράχηλος πονεῖ. μάλιστα δ' ἐν τῷ τοιούτῳ γυμνασίῳ, σείεται τὰ σπλάγχνα, σείεται μὴν οὐδὲν ἧττον τὰ σπλάγχνα, καὶ τοῖς ἀλλομένοις, ἐν μέντοι ταῖς τῶν ὀχημάτων αἰωρήσεσιν ἧττον. ὥστε εἴ τις ἐθέλοι τὰ κατὰ φρενῶν σπλάγχνα κινῆσαι βιαιότερον, ἐπί τε τοὺς εἰρημένους ἡκέτω πόνους, καὶ πρὸς τούτοις, ὅσα διὰ τῆς τῶν ἀμμάτων περιθέσεως τρίβουσι, χρὴ δ' ὄπισθεν εἶναι τὸν τρίβοντα. περιφέροντα τὼ χεῖρε, ποτὲ μὲν ἐπ' ἀριστερᾷ, ποτὲ δ' ἐπὶ δεξιᾷ, συνεπικλινόμενα, πρὸς ταῦτα καὶ τριβόμενα, συγκινοῦσι μέν πως τὰ κάτω τῶν φρενῶν σπλάγχνα, καὶ αἱ μέγισται τῶν ἀναπνοῶν τε καὶ φωνῶν, ὥσπερ γε καὶ αἱ ἐκφυσήσεις αἵ τε κατὰ μόνας γιγνόμεναι καὶ αἱ μετὰ καταλήψεως ἐν αὐλήσεσί τε καὶ φωναῖς, καὶ αὐτὴ δ' ἡ κατάληψις τοῦ πνεύματος, γυμνάσιόν ἐστιν, οὐχ ἧττον τῶν κατ' ἐπιγάστριον, ἢ τῶν κατὰ θώρακα μυῶν. ἀλλὰ περὶ μὲν ταύτης αὖθις εἰρήσεται. πρὸς γὰρ ταῖς εἰρημέναις ἄρτι, καὶ ἄλλην οὐ σμικρὰν χρείαν ἔχει, ἧς ἕνεκεν ἐπὶ τελευτῇ τῶν γυμνασίων αὐτὴν παραλαμβάνομεν. ἐπὶ δὲ τὸ προκείμενον ἐπανιτέον, ὡς πολλαὶ τῶν ἐγγινομένων κινήσεων τοῖς τοῦ ζώου μορίοις, οὔτ' ἐνέργειαι τῶν μορίων αὐτῶν εἰσὶν, οὔτ' ἐνεργείαις ἀκολουθοῦσιν, ἀλλ' ὑφ' ἑτέρων τε καὶ δι' ἑτέρων ἀποτελοῦνται. ὡς ἐπὶ τῶν ὀχουμένων γίγνονται καὶ πλεόντων ἢ τριβομένων καὶ καθαιρομένων ὑπὸ φαρμάκων, ἐμετηρίων τε καὶ ὑπηλάτων. ἀλλ' ἡ τοιαύτη κίνησις, οὐκ ἔστι τῆς ὑγιεινῆς πραγματείας. αἱ δ' ἄλλαι πᾶσαι καὶ μάλιστα ἡ διὰ τρίψεως ἀναγκαιοτάτη γινώσκεσθαι τοῖς ὑγιεινοῖς. τῆς γὰρ τούτων τέχνης ἐστὶν ἁπασῶν τῶν κινήσεων ἐπίστασθαι τὰς δυνάμεις, ὥσπερ οἶμαι τῶν τεχνικῶν αὐτῶν ἁπάσας τὰς κατὰ μέρος, ἐκεῖνοι μὲν γὰρ τῆς κατὰ τὴν ὕλην ποικιλίας, ὁ γυμναστὴς δὲ τῆς δυνάμεως αὐτῶν ἔχει τὴν γνῶσιν. εἰ γοῦν τις με κελεύσειεν ὁπλομαχικὰς κινήσεις ἢ ἕτερον διδάσκειν, ἢ αὐτὸν εὐρύθμως κινεῖσθαι, οὐκ ἂν δυναίμην καλῶς ἐνεργῆσαι, μίαν

ἐξ αὐτῶν

αὐτῶν τὴν ἐπιτυχοῦσαν. εἰ μὲν τοι πεῖραν τινὶ τῶν ὁπλομαχικῶν ἐνεργειῶν, καὶ τίνα δύναμιν ἑκάστη τῶν ἐνεργειῶν ἔχει καὶ τί μάλιστα μόριον ἐκπονεῖ, πάντων ἂν ἐκεῖνον ἀκριβέστερον εἰδείη. μᾶλλον δ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὁ μὲν ὁπλομαχικὸς, οὐδὲν ἂν εἴποι περὶ δυνάμεως αὐτῶν, ὁ δὲ περὶ τὰ γυμνάσια τέχνην ἐπιστάμενος ἀκριβῶς, ἁπάσας διαγνώσεται, πρὸς ὡρισμένους σκοποὺς ἀναφέρων, αἱ γάρ βίαιοι τινές εἰσι καὶ βαρεῖαι καὶ εὔτονοι, αἱ κοῦφαι καὶ ταχεῖαι, καὶ σύντονοι, αἱ βίαιοι τε ἅμα καὶ ὀξεῖαι. ταῦτα οὖν γνωρίσας ῥαδίως ἐν αὐτῷ τῷ θεάσασθαι γινόμενα, καὶ πρὸς τούτοις ἔτι τίνες μὲν ἐνέργειαι, σκέλη μᾶλλον ἢ χεῖρας ἢ θώρακα. τίνες δ' ὀσφὺν ἢ κεφαλὴν ἢ ῥάχιν, ἢ γαστέρα. τίνες δ' ὁτιοῦν ἄλλο μέρος ὑπὲρ τἆλλα διαπονοῦσιν. ὁ μὲν γὰρ ὁπλομαχικὸς εὐρύθμως μὲν, ἐνεργήσει κινήσεις, ταχείας, εἰ οὕτως ἔτυχεν εὐτόνους τε ἅμα καὶ βαρείας. οὐ μὴν ὅτι τε πυκνοῦσι καὶ ἰσχναίνουσιν αἱ τοιαῦται κινήσεις, οἶδεν. ὥσπερ οὐδ' ὅτι σαρκοῦσι τε καὶ ἀραιοῦσιν αἱ βραδύτεραι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐνεργήσει μὲν ποτε κινήσεις εὐτόνους τε ἅμα καὶ βραδείας, καὶ βαρείας, οὐ μὴν ὅτι γε ῥώμην αὗται καὶ βάρος σώματος κατασκευάζουσιν οἶδεν. οὕτω καὶ ἡνιοχικὸς ἐνεργήσει μὲν ἁπάσας τὰς κατὰ μέρους ἐνεργείας εὐρυθμότατά τε ἅμα καὶ τῇ χρείᾳ συμφορώτατα. ποῖαι δ' αὐτῶν ἤτοι λεπτύνουσιν ἢ σαρκοῦσιν ἢ ῥώμην ἢ συντονίαν ἀποτελοῦσιν, ἢ μαλακὸν ἢ σκληρὸν ἢ πυκνὸν ἢ ἀραιὸν ἐργάζονται τὸ σῶμα παντάπασιν ἀγνοεῖ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ὁ σφαιριστικὸς ἁπάσας μὲν ἐπίσταται τὰς τῆς σφαίρας βολάς τε καὶ λήψεις, οὐ μὴν ἥν τινά γε διάθεσιν ἑκάστη περὶ τὸ σῶμα ποιεῖ. οὕτω καὶ ὁ παιδοτρίβης ἁπασῶν μὲν τῶν κατὰ παλαίστραν ἐνεργειῶν ἐπιστήμων ἐστίν, ὅτι δὲ ἑκάστη πέφυκε δρᾷν, ἀγνοεῖ, καὶ συλλήβδην εἰπεῖν ἅπαντες ὅσοι τεχνῖται τε καὶ ἄτεχνοι, διὰ τῶν σωμάτων ἐνεργοῦντες, ἀγνοοῦσι τῶν ἐνεργειῶν τὰς δυνάμεις, ὀρχησταί, ναυτίλοι, τέκτονες, ἁλιεῖς, γεωργοί, χαλκεῖς, οἰκοδόμοι, σκυτοτόμοι, πάντες ἁπλῶς οἱ τί πράττοντες. ἀλλ' ὁ γυμναστικὸς ἀφ' ὧν εἶπον ὀλίγον ἔμπροσθεν ὁρμώμενος, εἰ καὶ νῦν πρῶτος εἴη θεώμενος ἡντινοῦν ἐνέργειαν, οὐκ ἀγνοήσει τὴν δύναμιν αὐτῆς. οἷον αὐτίκα τῶν ὀρχηστῶν αἱ σύντονοι κινήσεις, ἐν αἷς ἅλλονται μέγιστα, καὶ περιδινοῦνται στρεφόμενοι τάχιστα, καὶ ὀκλάσαντες ἐξανιστάντες, καὶ προσύρουσι καὶ διαχίζουσι ἐπὶ πλεῖστον τὰ σκέλη, καὶ ἁπλῶς εἰπεῖν ἐν αἷς ὀξύτατα κινοῦνται, λεπτόν καὶ μυῶδες καὶ σκληρὸν καὶ πυκνόν ἔτι τε σύντονον ἀποτελοῦσι τὸ σῶμα. κατὰ δὲ τὰς ἐκλύτους τε καὶ βραδείας καὶ μαλακὰς κινήσεις, οὐ μόνον οὐκ ἂν γένοιτο τὸ σῶμα τοιοῦτον, οἷον εἴρηται νῦν, ἀλλ' εἰ καὶ φύσει μυῶδές τε καὶ σύντονον ὑπάρχει, τὴν ἐναντίαν ἀμείψει διάθεσιν. ὅπερ οὖν ὀλίγον ἔμπροσθεν ἔλεγον, ὡς ὁ παιδοτρίβης ὑπηρέτης ἐστὶ τοῦ γυμναστοῦ τοιοῦτος οἷός περ ὁ μάγειρος ἰατροῦ ἐστι καὶ νῦν ἐπιδέδεικται. σκευάζει γὰρ ὁ μάγειρος ἢ τεῦτλον ἢ φακῆν ἢ πτισάνην, ἄλλοιως, οὔτε τὸ σκευαζόμενον ὁποῖόν τι τὴν δύναμιν ἐστὶν ἐπιστάμενος, οὔθ' ἥτις τῶν σκευασιῶν βελτίστη. ὁ δ' ἰατρὸς, οὐδὲν μὲν τούτων ὁμοίως τῷ μαγείρῳ παρασκευάσαι δυνατός ἐστιν, παντὸς δὲ τοῦ παρασκευασθέντος, ἐπίσταται τὴν δύναμιν. ὁ τοίνυν γυμναστὴς τοῦ προκειμένου ἐν τῷ λόγῳ μειρακίου, τοῦ τὴν ἀρίστην ἔχοντος κατασκευήν, ἐπίσταται μὲν ἁπάντων γυμνασίων τὰς δυνάμεις, ἐκλέγεται δὲ καθ' ἕκαστον εἶδος τὰ σύμμετρά τε καὶ μετὰ τῶν ἀμετρίων ἑκατέρων, οὔτε γὰρ ὀξέως, οὔτε βραδέως ἡ ἀρίστη κατασκευὴ τοῦ σώματος, ἀλλὰ τοῦ μέσου τε καὶ συμμέτρου δεῖται γυμνασίου. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὔτε βιαίου καὶ σφοδροῦ, οὔτ' ἐκλύτου καὶ ἀμυδροῦ, ἀλλὰ κἀντεῦθεν, τὸ σύμμετρον ἄριστον. οὐ γὰρ ὑπαλλάττειν προσήκει τὴν ἀρίστην κατασκευὴν τοῦ σώματος, ἀλλὰ φυλάττειν. εἴτ' οὖν ἐν ὅπλοις ἐθέλοι γυμνάζεσθαι τὸ τοιοῦτον μειράκιον, ὁ γυμναστὴς αὐτοῦ τὸν ἐμπειρότατον τῆς ὕλης τῶν ὁπλομαχικῶν ἐνεργειῶν παραλαβὼν ἁπάσας αὐτῷ, δειχθῆναι κελεύσει, κἄπειτ' αὐτὸς ἐκλέξεται καὶ διακρινεῖ καὶ προστάξει, κατὰ ποίας μὲν αὐτῶν ἐπὶ πλέον χρὴ γυμνάζεσθαι, καὶ κατὰ ποίας δ' ὀλιγάκις, ἢ συμμέτρως ἢ οὐδ' ὅλως, ἢ διαπαντός. οὐ γὰρ δύναται λαθεῖν αὐτὸν οὔτ' ὅτι μόριον ἑκάστη διαπονεῖ μᾶλλον, οὔθ' ἥτις αὐτῆς ἐστιν ἡ ποιότης τε καὶ ἡ δύναμις, εἴτε διὰ σφαίρας ἐπιθυμήσειε γυμνάζεσθαι, κἀνταῦθα πάλιν ἐξευρήσει τό, τε εἶδος τῶν ἐνεργειῶν καὶ τὴν ποιότητα καὶ τὸ μέτρον, ὑπηρέτην λαβὼν τὸν σφαιριστικόν, ὑπὲρ τοῦ τὴν ὕλην ἅπασαν θεάσασθαι τῶν ἐνεργειῶν. αὐτῆς μὲν γὰρ περὶ κατὰ μέρος ὕλης ἑκάστης τῶν τεχνῶν ἄπειρος ἐστιν ὁ γυμναστής, ᾗ γυμναστής ἐστιν. εἰ δὲ ἅπαξ αὐτὴν θεάσαιτο τήν τε ποιότητα καὶ τὴν δύναμιν, αὐτίκα γνωριεῖ. μυρίους γοῦν ἡμεῖς ἀσθενέστερα τινὰ μέρη τοῦ σώματος ἔχοντας, ὡς συνεχέστατα τοῖς κατὰ ταῦτα νοσήμασιν ἁλίσκεσθαι, διὰ μόνης γυμναστικῆς ἀνερρώσαμεν, οὐχ ἅπαντας ἀπὸ τῶν οἰκείων γυμνασίων, ἀλλ' εἴθ' ὀρχηστικὸς ἦν ὁ ἀνὴρ εἴθ' ὁπλομαχικὸς, εἴτε παγκρατιαστικὸς, εἴτε παλαιστρικὸς, εἴθ' ὁτιοῦν ἄλλο, τὰς ἐν ἐκείνῃ τῇ τέχνῃ κινήσεις ἁπάσας αὐτὸν ἐπιτάξαντες ἡμῶν παρόντων κινηθῆναι, κἀξ αὐτῶν ἐκλεξάμενοι τὰς ἐπιτηδειοτάτας ἅμα καιρῷ τε καὶ μέτρῳ. περὶ μὲν δὴ τῶν τοιούτων ἐπανορθώσεων ἐπὶ προήκοντι τῷ λόγῳ διαλέξομαι, κατ' ἐκεῖνο τὸ μέρος τῆς πραγματείας ἐν ᾧ περὶ τῶν μοχθηρῶν κατασκευῶν τοῦ σώματος δίειμι. νυνὶ δὲ τὸ μὲν ἄριστον σῶμα πρόκειται φυλάττειν ἄριστον, ἐξ ἁπάντων δ' ἐκλεκτέον αὐτῷ, τὸ σύμμετρον ἐκ τρίψεων, ἐκ γυμνασίων, ἐκ λουτρῶν ἐκ τροφῶν, ἐξ ὕπνων. μή τε μαλακωτέραν αὐτοῦ τὴν ἕξιν τοῦ σώματος ἐργαζομένους, μή τε σκληροτέραν. ἡ μὲν γὰρ εὐκίνητος ὑπὸ τῶν ἔξωθεν αἰτίων, ἡ δὲ τὴν αὔξησιν κωλύει, μή τε πυκνοτέραν ὡς ἴσχεσθαί τι τῶν κατὰ σάρκα περιττωμάτων, μή τε ἀραιοτέραν ὡς ἀπορρεῖν τι καὶ τῶν χρηστοῦ. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ' ἰσχνότερον ἑαυτοῦ, ποιητέον οὐδὲ παχύτερον εἴπερ ἄριστα διέκειτο. γινώσκοντας ὡς τὸ μὲν ἰσχνότερον, εὐεπηρέαστον ὑπὸ τῶν ἔξωθεν αἰτίων, τὸ δὲ παχύτερον ὑπὸ τῶν ἔνδοθεν ἐξ αὐτοῦ τοῦ σώματος ὁρμωμένων. ἢ τί δεῖ λέγειν, ὡς οὐδὲ θερμότερον αὐτὸ ἢ ψυχρότερον ἢ ξηρότερον ἢ ὑγρότερον ἀποφαντέον, εἴπερ ἀμέμπτως ἐκέκρατο. εἰς οὖν ἐπὶ τοῦ τοιούτου σώματος ὁ σκοπὸς ἐν ἁπάσαις ταῖς ὑγιειναῖς ὕλαις τὸ σύμμετρόν τε καὶ μέτριον, ὅπερ ἀκριβῶς ἐστὶ μέσον ἑκατέρων τῶν ἀμετριῶν. ὡς δ' ἄν τις μάλιστα τοῦ σκοποῦ τυγχάνει. λέλεκται μὲν ἤδη καὶ πρόσθεν, ἀλλ' οὐδὲν χεῖρον ὑπὲρ τῶν ἀναγκαιοτάτων ἀναμιμνήσκειν πολλάκις. ἡ μὲν πρώτη τῶν ἡμερῶν, πλατὺν ἔχει τὸν στοχασμόν, ἡ δὲ δευτέρα καὶ ἡ τρίτη καὶ ἡ τετάρτη καὶ τῶν λοιπῶν ἑκάστη, κατὰ τὸ ἑξῆς ἀκριβέστερον. ἐν γὰρ τῇ πρώτῃ διὰ τῶν εἰρημένων σκοπῶν ἅπαντά σοι πραττέσθω. ἀποδυέσθω μὲν ἐπὶ πεπεμμένοις ἀκριβῶς τοῖς οὔροις, ὡς ὁ αἰγίμιος ἐκέλευσεν. ἐφεξῆς δὲ τῆς μὲν ἀνατρίψεως ὁ σκοπὸς ὡς μαλαχθῆναι τὰ μόρια. δηλώσει δὲ τότε ἐπιτρέχον ἄνθος αὐτοῖς καὶ τὸ ῥᾳδίως ἐκμαλάττειν τὰ κῶλα, καὶ τὸ πρὸς τὰς κινήσεις ἁπάσας ἑτοίμως ἔχειν. μετὰ ταῦτα δὲ ἤδη γυμναζέσθω

μέχρις ἂν εἰς ὄγκον αἴρηται τὸ σῶμα, καὶ εὐανθὲς ὑπάρχῃ, καὶ αἱ κινήσεις ἕτοιμοί τε καὶ ὁμαλαὶ καὶ εὔρυθμοι γίγνονται. ἐν τούτῳ δὲ καὶ ἱδρῶτα θεάσῃ θερμῷ ἀτμῷ συμμιγῆ παύσασθαι τηνικαῦτα πρῶτον, ἐπειδὰν ἕν τι τῶν εἰρημένων ἀλλοιωθῇ. καὶ γὰρ εἰ φανείη τοι συστελλόμενος ὁ τοῦ σώματος ὄγκος, αὐτίκα παύειν τὸ μειράκιον, εἰ γὰρ ἐπὶ πλέον γυμνάζοις ἐκκενώσεις τι καὶ τῶν χρηστῶν. ὥστ' ἰσχνότερον ἀποδείξεις τὸ σῶμα, καὶ ξηρότερον καὶ ἀναυξέστερον. ὡσαύτως δὲ καὶ εἰ τὸ τῆς χροίας εὐανθὲς μαραίνοιτο, παύεσθαι, καὶ γὰρ καταψύξεις τὸ σῶμα καὶ διαφορήσεις ἐπὶ πλέον εἰ γυμνάζοις ἔτι. καὶ μὲν δὴ καὶ τὸ κινήσεων ἕτοιμον ἢ εὔρυθμον ἢ ὁμαλὲς, ἐπειδὰν ἐνδιδόναι προσφαίνηται καὶ ὀκλάζειν κατά τι, παύειν αὐτίκα, καὶ εἰ περὶ τὸν ἱδρῶτα γίγνοιτό τις, ἢ ἐπὶ τὸ πλῆθος ἢ ἐπὶ τὴν ποιότητα μεταβολή. πλείονα γὰρ ἀεὶ καὶ μᾶλλον αὐτὸν γίγνεσθαι χρὴ καὶ θερμότερον, εἰς ὅσον ἂν αἱ κινήσεις ἀνάγονται πρὸς τὸ σφοδρότερον. ὅταν οὖν ἢ ἐλάττων ἢ ψυχρότερος γίγνηται, διαφορεῖται ἤδη τὸ σῶμα καὶ ψύχεται καὶ ξηραίνεται πορρωτέρω τοῦ προσήκοντος. ἀκριβῶς οὖν προσέχειν τὸν νοῦν τῷ γυμναζομένῳ σώματι, καὶ διαπαύειν εὐθέως, ἐπειδὰν προσφαίνηταί τι τῶν εἰρημένων σημείων. οὐ μὴν αὐτίκα γε ἀπολύειν λουσόμενον, ἀλλὰ τῆς μὲν ἀκμῆς τῶν γυμνασίων ἀπέχειν, καὶ στῆναι κελεῦσαι. καὶ βουληθεὶς κατοχῇ πνεύματος πληρῶσαι τὸν λαγόνα, περιχέοντα τοὔλαιον ἀποθεραπεύειν τοὐντεῦθεν. οἷον δέ τι πρᾶγμά ἐστιν ἡ ἀποθεραπεία καὶ τίνες ἐν αὐτῇ σκοποὶ καὶ τί τὸ μέτρον ἐξ ὧν τε συμπληροῦται κινήσεών τε καὶ τρίψεων, ἐν τῷ μετὰ ταῦτα λόγῳ δηλωθήσεται. νυνὶ μὲν γάρ μοι δοκῶ καταπαύειν ἤδη τὸν ἐνεστῶτα αὐτάρκες ἔχοντα μέτρον. ἐκεῖνο μόνον ἔτι προσθεὶς, ὡς καὶ τὸ λουτρὸν τὸ ἀκριβῶς εὔκρατον ἐπὶ τῆς προκειμένης ἡλικίας τε καὶ φύσεως ἐκλέγεσθαι προσήκει. πρόκειται δ' ἔτι μεμνῆσθαι τρίτη τις ἑβδομὰς ἐτῶν ἀπὸ τῆς γενετῆς, τουτέστιν ἡ μετὰ τεσσαρεσκαιδέκατον ἔτος ἡλικία μέχρι πρώτου καὶ εἰκοστοῦ, καθ' ἣν οὐδέπω κελεύω ψυχρολουτεῖν τὸ μειράκιον, ἵν' ἐπὶ πλεῖστον αὔξοιτο. τελειωθέντος δὲ ἐπὶ μέγεθος, ἐπισκεψόμεθά τι καὶ περὶ τῆς ψυχρολουσίας. ὡσαύτως δὲ καὶ περὶ τῶν ἐν κόνει γυμνασίων ἀκριβέστερον ἐπισκεψόμεθα, ἐπὶ τὸν ἑξῆς λόγον. ἐν δέ γε τῷ παρόντι τοσοῦτον εἰπεῖν ἀρκέσει, τὸ μὴ δὲ κόνεως χρῄζειν τὸ μειράκιον, εἰ τὸν οἶκον ἐν ᾧ γυμνάζεται, καθ' ὃν ἐν ἀρχῇ τρόπον ἐκέλευσα παρασκευασόμενον ἔχοι. εἰ δέ γε θερμότερος εἴη, καὶ κόνει χρηστέον. εἰ μὲν δὴ κονίσεται πάντως λουστέον. εἰ δὲ μὴ κονίσαιτο δυνατὸν καὶ μὴ λούσασθαι καὶ μάλιστα χειμῶνος. ἐφεξῆς δὲ καὶ ὅσα περὶ τροφὴν ἢ ποτὸν ἢ ὕπνον ἢ περίπατον ἐστοχάσθαι χρὴ, τὸν ἐπιστάτην τοῦ μειρακίου, καὶ λεχθήσεται μὲν ἐν τοῖς ἑξῆς. ἀδύνατον δ' ἀκριβῶς ἐπιτυχεῖν αὐτῶν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἀλλὰ ἐπὶ τὴν δευτέραν ἐπὶ τοῖς γυμνασίοις ὅπως διετέθη γινώσκων, εἰ μὲν ἀκριβῶς φαίνοιτο διαφυλάττων τὴν ἑαυτοῦ φύσιν, ἐν τοῖς αὐτοῖς μέτροις διαιτήσει τε καὶ διαγυμνάσει. μὴ φυλάττοντα δὲ, καθότι ἂν ἐξίστηται τῶν ἀρχαίων ἐπανάγειν πειράσεται μεταβάλλων τὰ μέτρα. καὶ τότε παύσεται ποιῶν ἄχρι περ ἂν ἐπ' ἑκάστῳ τῶν πραττομένων ἀκριβὲς ὁρίσῃ τὸ μέτρον. ὁπόσαι δ' εἰσὶ καὶ τίνες αἱ εἰς τὸ παρὰ φύσιν ἐκτροπαὶ καὶ πῶς ἑκάστην χρὴ διαγινώσκειν τε καὶ θεραπεύειν, ὁ ἐφεξῆς λόγος ἐξηγήσεται.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙΝΩΝ
ΛΟΓΟΣ γ'

ΤΩΝ γραψάντων ὑγιεινὰς πραγματείας, ἰατρῶν τε καὶ γυμναστῶν, ἔνιοι μὲν, ἅπασιν αὐτοῖς κοινάς τινας ὑποθήκας ἐποιήσαντο, μηδὲν νοήσαντες ὅλως ὑπὲρ τῆς κατ' εἶδος ἐν τοῖς σώμασιν ἡμῶν διαφορᾶς. ἔνιοι δ' ὅτι μὲν οὐ μικρῷ τινι διαφερόμεθα ἀλλήλων, ἐδήλωσαν. ὡς δ' ἀδύνατον ἁπάσας ἐπελθεῖν τὰς διαφορὰς, ἑκόντες παρέλιπον, ὀλίγοι δέ τινες εἴδεσί τε καὶ γένεσιν ἐπιχειρήσαντες ἀφορίσασθαι, πλείονα διήμαρτον, ὧν κατώρθωσαν. ἡμεῖς δὲ ἐπὶ τὸ πρῶτον εὐθέως βιβλίον ἐδηλώσαμεν, ὁπόσα τὰ πάντα ἐστὶν εἴδη τῶν ἀνθρώπων σωμάτων. ἐπηγγειλάμεθά τε καθ' ἕκαστον ἰδίᾳ γράφειν ὑποθήκας ὑγιεινάς. ἠρξάμεθα δ' ἀπὸ τοῦ τὴν κατασκευὴν ἄμεμπτον ἔχοντος. ἐπεὶ δὲ καὶ ὁ τοιοῦτος ἀνὴρ ἐν περιστάσεσι πραγμάτων ἐνίοτε γινόμενος, ἢ ἑκὼν ἢ ἄκων ἐμποδίζεται ἐπὶ τὰ προστάγματα τῆς ὑγιεινῆς τέχνης διαιτᾶσθαι, κάλλιον ἔδοξεν ὑποθέσθαι πρῶτον αὐτὸν ἐλεύθερον ἀκριβῶς, αὐτῇ μόνον τῇ τοῦ σώματος ὑγείᾳ σχολάζοντα. ὅπως μὲν οὖν ἀνατρέφεσθαι χρὴ τὸν τοιοῦτον ἄνθρωπον, ὁ πρῶτος λόγος ἔδειξε, μέχρι τῆς τεσσαρεσκαιδεκάτης ἡλικίας ἐκτείνας αὐτοῦ τὴν ἐπιμέλειαν. ὅπως δ' ἀνδροῦσθαι διὰ τοῦ δευτέρου γράμματος ἐδηλώσαμεν, ἐμηκύνθη δ' ὁ λόγος εἰς κοινὰ κεφάλαια τῆς ὑγιεινῆς πραγματείας ἀφικνούμενος ὧν χωρὶς οὐχ οἷόν τ' ἦν οὐδὲ περὶ τῆς ὑποκειμένης ἡλικίας τε καὶ φύσεως ἀκριβῶς διελθεῖν. ἁπάσας γὰρ ἐξηριθμησάμεθα, τάς τε τῶν τρίψεων καὶ τῶν γυμνασίων διαφοράς. οὐ μὰ Δία τὰς ἐπὶ μέρος, ὅτι μὴ πάρεργον ἕνεκα παραδείγματος εἰς χρείαν ἐλθούσας, ἀλλὰ τὰς ἐν εἴδεσί τε καὶ γένεσιν ἀφωρισμένας. ἐν μὲν ταῖς τρίψεσι τήν τε σκληρὰν καὶ τὴν μαλακὴν, καὶ πρὸς τούτοις γε τὴν σύμμετρον, ἥν τινα δύναμιν ἔχουσιν ἐξηγησάμενοι. προσθέντες δ' αὐταῖς τὰς ἐπὶ τὸ ποσὸν διαφορὰς, τρεῖς οὔσας καὶ αὐτὰς, εἶτα ἐπὶ συζυγίαν ἐννέα τὰς πάσας ἐπιδείξαντες, ἑκάστης τε τὴν δύναμιν εἰπόντες. ἐν δὲ τοῖς γυμνασίοις, τίνα μὲν ὀξέα τε καὶ ταχέα προσαγορεύομεν, τίνα δ' ἀμβλέα τε καὶ βραδέα, καὶ τίνα τούτων μέσα τε καὶ πρῶτα, κατά γε τὴν φύσιν ὑπάρχοντα. καὶ περὶ τῶν εὐτόνων καὶ μαλακῶν καὶ βαρέων δὴ καὶ κούφων ὁμοίως, ὅσα τε τούτων ἐστὶν ἄμεσα διελθόντες, ἐδείξαμεν ὡς χρὴ τὴν ἀρίστην κατασκευὴν ἐν ἅπασι τοῖς μετρίοις, τε καὶ συμμέτροις, ἃ δὴ καὶ μέσα τῶν ἀμέτρων ἐστὶ διαιτᾶσθαι. κατά τε τρίψεις καὶ γυμνάσια καὶ λουτρὰ καὶ τροφάς. ὅσα τ' ἄλλα συμπληροῖ τὴν ὑγιεινὴν δίαιταν. ὑπεσχόμεθά περ ἐπὶ τρίψεών τε καὶ γυμνασίων ἐποιησάμεθα, εἰς εἴδη τινὰ κοινὰ τὴν θεωρίαν ἀναγαγόντες. ὥστε εὐμνημόνευτόν τε ἅμα καὶ μεθοδικὴν εἶναι τὴν διδασκαλίαν, οὕτω κἀπὶ τῶν ἄλλων ἁπάντων ποιῆσαι. καὶ πρῶτόν γε περὶ τῆς καλουμένης ἀποθεραπείας, ἐπειδὴ ἔμπροσθεν ἐφεξῆς ἐτέτακτο, δηλώσαντες

λώσαντες γὰρ εἰς ὅσον ἐπιτείνειν τε καὶ παραύξειν χρὴ τὰ γυμνάσια καὶ τὸ τέλος ὡς ἐν ὑγιείας λόγῳ, ἀκολουθεῖν ἔφαμεν αὐτοῖς τὴν καλουμένην ἀποθεραπείαν, ὑπὲρ ἧς ἤδη λέγωμεν ἓν μὲν καὶ πρῶτον, ὡς διττὸν τὸ γένος ἐστί. ἡ μέν τις ὡς μέρος, ἡ δ' ὡς εἶδος γυμνασίου. περὶ δὴ τῆς ὡς εἶδος ἐξῆς ἐροῦμεν. περὶ δὲ τῆς ὡς μέρος, ἤδη λέγομεν. ἅπαντος γυμνασίου καλῶς ἐπιτελουμένου, τὸ τελευταῖον μέρος ἀποθεραπεία καλεῖται. δύο δ' αὐτῆς οἱ σκοποί, κενῶσαί τε τὰ περιττώματα, καὶ ἄκοπον φυλάξαι τὸ σῶμα. κοινὸς μὲν ὁ πρότερος λόγος τοῦ γυμνασίου. καὶ γὰρ κἀκείνου δύο τοὺς πάντας ἐλέγομεν εἶναι σκοπούς. ἐπιρρῶσαί τε τὰ στερεὰ μόρια τοῦ ζώου, καὶ κενῶσαι τὰ περιττώματα. ὁ δ' ἴδιος τῆς ἀποθεραπείας σκοπός, ἐνστῆναί τε καὶ διακωλῦσαι τοὺς εἰωθότας ἐπιγίγνεσθαι τοῖς ἀμετροτέροις γυμνασίοις κόπους. ἐπὶ μὲν οὖν τῶν ἀθλητῶν οἷον ἤτοι σκαπτόντων ἢ ὁδοιπορούντων ἢ ἐρεσσόντων ἢ τι τοιοῦτον διαπραττομένων ὁτιοῦν ἔργον ἀναγκαῖον ἐν τῷ βίῳ, ἑτοιμότεροι οἱ κόποι συνίστανται. πλὴν εἴ τις ἀποθεραπείᾳ χρῷτο, περὶ τὸ προκείμενον ἐν τῷ νῦν λόγῳ σῶμα τὸ κάλλιστα κατεσκευασμένον ἀπηλλαγμένον τε δουλείας ἁπάσης ὡς μόνῃ σχολάζειν ὑγείᾳ, σπάνιος ἡ τοῦ κόπου γένεσις. ὥσπερ γὰρ οὐδ' οἱ πλεῖστα πονοῦντες ἀθληταὶ κατ' ἄλλο τι γυμνάσιον ἐφεδρεύοντα κόπον ἔχουσι, πλὴν τὸ καλούμενον ὑπ' αὐτῶν τέλειον, οὕτως οὐδ' οἱ βίον ἐλευθέριον ζῶντες ὑγείας μόνης ἕνεκα γυμναζόμενοι κοπιαθήσονταί ποτε, διὰ τὸ μηδ' εἰς ἀνάγκην ἀφικνεῖσθαι τοῦ τοιούτου γυμνασίου. τοῖς μὲν γὰρ ἀθληταῖς ἀναγκαῖόν ἐστιν, ἵν' ἂν προπαρασκευάζωσι τὰ σώματα πρὸς τοὺς ἐν τοῖς ἄθλοις πόνους ἀμέτρους, ἔσθ' ὅτε καὶ δι' ὅλης ἡμέρας γιγνόμενον γυμνάζεσθαί ποτε τὸ τελεώτατον ἐκεῖνο γυμνάσιον, ὃ δὴ καὶ κατασκευὴν ὀνομάζουσι. τοῖς δ' ὑγείας μόνης ἕνεκα γυμναζομένοις, οὔτ' ἀναγκαῖον οὔτε χρήσιμον ὅλως ἐστὶν, εἰς ὑπερβάλλοντας ἀφικέσθαι πόνους. ὥστ' οὐδεὶς φόβος ἁλῶναι κόποις. ἀλλ' ὅμως ἀποθεραπεύειν αὐτῶν χρὴ τὰ σώματα κἂν εἰ μὴ διὰ κόπου προσδοκίας, ἀλλά τοι τοῦ κενῶσαι ἕνεκα τὰ περιττώματα. προσγίνεται δ' ἐξ ἐπιμέτρου τῷδε, καὶ ἡ πρὸς τὸν κόπον ἀσφάλεια. εἰ γὰρ ὅτι μάλιστα τὸ μέτρον αὐτοῖς τῶν γυμνασίων ἄκοπόν ἐστιν, καὶ ὁ τῆς ἐνεργείας τρόπος ἀβίαστος, ἐνδέχεταί ποτε λαθεῖν τὸν γυμναστὴν ἐν ἑκατέρῳ τι σμικρὸν, ὃ προσφθὲν ἐργάζεταί τινα, καὶ εἰ μὴ μέγαν ἀλλὰ βραχύν γε τῷ γυμναζομένῳ τὸν κόπον. οὐ μὴν προσήκει τὸν ἑαυτῷ ζῶντα καὶ μόνῃ σχολάζοντα τῇ τοῦ σώματος ὑγείᾳ, βλάπτεσθαί ποτε οὐδὲ τὸ σμικρότατον. ἀσφαλέστερον οὖν ἀποθεραπείᾳ χρῆσθαι διαπαντός. ὁποίαν δέ τινα ποιητέον αὐτὴν, ἡ τῶν σκοπῶν φύσις ἐνδείξεται. ἐπεὶ δὴ γὰρ πρόκειται τῶν ἐν τοῖς στερεοῖς τοῦ ζώου μορίοις περιττωμάτων ὅσα θερμανθέντα καὶ λεπτυνθέντα πρὸς τῶν γυμνασίων ἔτι μένει κατὰ τὸ σῶμα, κένωσιν ἀκριβῆ ποιήσασθαι, χρὴ δήπου τάς τε δι' ἑτέρων ἀνατρίψεις παραλαμβάνεσθαι, μετὰ τοῦ συντείνειν τὰ τριβόμενα μόρια καὶ πρὸς τούτοις τι τὴν καλουμένην τοῦ πνεύματος κατάληψιν. ἐπεὶ δ' οὔτε τῶν τρίψεων ἐν ἁπασῶν ἐστὶν εἶδος οὔτε τῆς τοῦ πνεύματος καταλήψεως, ἄμεινον ἐκλέξασθαι τὸ χρησιμώτατον ἐξ ἑκατέρου. τῶν μὲν δὴ τρίψεων αἱ σκληραὶ συνδεῖν ἐδείκνυντο, τουτέστι πυκνότερόν τε ἅμα καὶ σκληρότερον ἀποφαίνειν τὸ σῶμα, ὥστ' οὐκ ἂν ἁρμόττοιεν αἱ τοιαῦται τοῖς παροῦσιν, εἴ γε δὴ τὸ μὲν πυκνούμενον ἐντὸς ἑαυτοῦ στέγει. τὸ δ' ἀραιούμενον ἐπιτρέπει διαρρεῖν τοῖς περιττοῖς. οὕτω δὲ καὶ τὸ μὲν σκληρύνεσθαι τοῖς συντεταμένοις ἐναντιώτατον. αὐξάνει γὰρ αὐτῶν τὴν διάθεσιν. τὸ δὲ μαλάττεσθαι, χρησιμώτατον. εἴπερ οὖν ἅμα τε διαφορεῖν χρὴ τὰ περιττώματα καὶ μαλάττειν τὰ συντεταμένα, τὰς σκληρὰς τῶν τρίψεων φευκτέον. οὐδὲν δ' ἧττον οἶμαι φυλακτέον ἐστὶ, καὶ τὰς βραδείας. ἐπειδὴ γὰρ οὐκέτ' ἐξ αὐτοῦ κινεῖται τὸ σῶμα, κίνδυνος αὐτῷ ψυχθῆναί τε καὶ πυκνωθῆναι, μηδὲν ἐπικούρημα θερμαῖνον ἔξωθεν προσλαβόμενον. διὰ τοῦτ' οὖν οὐ μόνον εἰς τάχος χρὴ τρίβειν, ἀλλὰ καὶ πολλαῖς χερσὶν ὡς οἷόν τ' ἐστὶ μάλιστα, ὡς μηδὲν εἶναι μέρος τοῦ τριβομένου γυμνόν. ἀλλ' εἴπερ μήτε βραδεῖαν εἶναι προσήκει τὴν τρίψιν μήτε σκληρὰν, ἔλαιον δαψιλὲς χρὴ περικεχύσθαι τῷ τριβομένῳ σώματι. καὶ γὰρ εἰς τάχος ὅλον καὶ εἰς μαλακότητα τῇ τρίψει συντελεῖ, καὶ πρόσεστιν αὐτῷ τι καὶ ἄλλο μέγιστον ἀγαθόν. ἐκλύει τὰς τάσεις καὶ μαλάττει τὰ πεπονηκότα κατὰ τὰς σφοδροτέρας ἐνεργείας. διὰ ταῦτα μὲν δὴ φευκτέον ἐστὶ τὴν σκληρὰν τρίψιν. δι' ἕτερα δὲ τὴν μαλακήν. οὔτε γὰρ ἐξικνεῖται πρὸς βάθος ἡ τοιαύτη τρίψις, ἀλλ' αὐτόθι που κατὰ τὸ δέρμα καὶ τὰς πλησίον αὐτοῦ σάρκας ἐκλύεται. οὔτ' ἐκθλίβει τὰ περιεχόμενα κατὰ τοὺς στενοὺς τῶν πόρων περιττώματα. διὸ δὴ τήν τε σύντασιν τῶν τριβομένων παραλαμβάνομεν καὶ τὴν τοῦ πνεύματος κατάληψιν. ἡ μέση τοίνυν μαλακῆς καὶ σκληρᾶς, ἥπερ δὴ καὶ σύμμετρός ἐστιν, ἐκπεφευγέναι φαίνεται τό τε τῆς μαλακῆς ἄπρακτον, καὶ τὸ τῆς σκληρᾶς βίαιον, καὶ βλαβερόν. ἐνεργηθήσεται δὲ, τῶν μὲν τοῦ τρίβοντος χειρῶν ἐρρωμένως ἐπιβαλλομένων ὡς ἐγγύς πη τὴν ἀπ' αὐτῶν θλίψιν εἶναι τῇ σκληρᾷ τρίψει. διὰ δὲ τὸ πλῆθος τοῦ λίπους, καὶ τὸ τάχος τῆς φορᾶς, ἐκλυομένου τοσοῦτον ὡς ἀκριβῶς γίνεσθαι σύμμετρον. τό, τε γὰρ λίπος οὐ σμικρὸν ἀλεξητήριόν ἐστι βιαίας ἐπιβολῆς. τό τε βραχὺ χρόνιον τῆς ὁμιλίας τοσοῦτον ἀφαιρεῖ τῆς βιαίας, ὅσον καὶ τοῦ χρόνου. τείνεσθαι δ' ἀξιοῦμεν ἐν τούτῳ τὰ τριβόμενα μόρια, χάριν τοῦ πᾶν ὅσον ἐστὶ μεταξὺ τοῦ δέρματος καὶ τῆς ὑποκειμένης σαρκὸς περίττωμα, διὰ τοῦ δέρματος ἐκκενοῦσθαι. χαλαρῶν γὰρ ἀμφοτέρων ὑπαρχόντων, οὐδὲν μᾶλλον εἴσω φέρεσθαι τοῖς περιττώμασιν, ἢ ἔξω συμβήσεται. ταθέντων δὲ τῶν ὑποκειμένων τῷ δέρματι, πάντ' ἐκτὸς ἐκκρίνεται καθάπερ ὑπὸ δυεῖν πιεζόμενα χεροῖν. μιᾶς μὲν αὐτῆς, τῆς ἔξωθεν ἐπιβεβλημένης τοῦ τρίβοντος, ἑτέρας δὲ τῶν τεταμένων ἔνδον μερῶν. δι' αὐτὰ δὲ ταῦτα καὶ ἡ τοῦ πνεύματος κατοχὴ καὶ κατάληψις, οὐ σμικρὸν μέρος ἀποθεραπείας ἐστίν. ὀνομάζεται δὲ οὕτως, ἐπειδὰν ἅπαντας ἐντείναντάς τε καὶ προστείλαντας τοὺς μῦς τοῦ θώρακος οἳ κατὰ τὰς πλευράς εἰσιν, ἐπέχωμεν τὴν ἐκπνοήν. συμβαίνει γὰρ τηνικαῦτα τὸ θλιβόμενον ὑπὸ τῶν πλευρῶν πνεῦμα κεκωλυμένον ἐκπνεῖσθαι διὰ τὸ κεκλεῖσθαι τὸν λάρυγγα, πᾶν ὠθεῖσθαι κάτω πνεῦμα πρὸς τὸ διάφραγμα. τούτῳ δὲ ὑποκειμένων ἥπατός τε καὶ σπληνὸς, καὶ γαστρὸς καὶ τινῶν ἑτέρων, συνεξαίρεσθαι ταῦτα σύμπαντα τῷ διαφράγματι. χρὴ δ' ἐν τούτῳ συντείνειν ἀτρέμα τοὺς κατ' ἐπιγάστριον μῦς. οἳ ὑπὸ τούτων τε ἅμα καὶ τοῦ διαφράγματος, ὥσπερ ὑπὸ δυοῖν θλιβόμενα χεροῖν, ὅσα μεταξὺ κεῖται μόρια, τὸ περιεχόμενον ἐν αὐτοῖς περίττωμα πρὸς τοὐκτὸς ὠθεῖ. τὰ μὲν οὖν μεταξὺ κείμενα τό, τε ἧπαρ ἐστὶ καὶ ὁ σπλὴν καὶ ἡ γαστὴρ, καὶ κῶλόν τε καὶ λεπτῶν ἐντέρων προὔχοντα χῶραι δ' εἰς ὑποδοχὴν ἕτοιμοι τοῖς ἐκθλιβομένοις περιττώμασιν, ἥ τε τῆς γαστρὸς εὐρυχωρία πᾶσα, καὶ τῶν ἐνταῦθα κειμένων

ἐντέρων αἱ κοιλότητες. εἰ δ᾽ ἀργοὺς ἀκριβῶς ἐάσαις τοὺς κατ᾽ ἐπιγάστριον μῦς, οὐδενὸς μὲν τῶν εἰρημένων ἐκκενωθῆς
τὰ περιττώματα. τὰ δ᾽ ἐν θώρακί τε καὶ πνεύμονι μεταστήσεις κάτω. προσήκει δ᾽ ἐνταῦθα μεθίστασθαι μᾶλλον αὐ
τοῖς, τῶν μενόντων ἐν ἐκείνοις, ὅσῳ καὶ ἡ κένωσις ἑτοιμοτέρα τῶν ἐν τῇ κοιλίᾳ περιεχομένων, ἤπερ τῶν ἐν πνεύμονί τε καὶ
θώρακι. τὰ μὲν γὰρ ἐμεῖται τε καὶ ἀποπατεῖται ῥᾳδίως. τὰ δὲ μετὰ συντονίας τε καὶ βίας ὑπὸ βηχὸς ἐκβάλλεται. εἰ-
μέντοι τις ὁμοίως ταῖς φρεσὶν ἐντείνει τοὺς κατ᾽ ἐπιγάστριον μῦς ἐν ταῖς τοῦ πνεύματος καταλήψεσιν, ἀκριβέ
στερον μὲν ἐκκαθαρθήσεται τὰ κάτω τῶν φρενῶν σπλάγχνα. μεταστήσεται δὲ οὐδὲν ἐκ τῶν τοῦ πνεύματος, ὀργάνων
εἰς τὰ τῆς τροφῆς. ἀλλ᾽ ἅπαν ἐν θώρακί τε καὶ πνεύμονι μένει τὸ περίττωμα. διὸ δὴ τὴν τοιαύτην κατάληψιν τοῦ
πνεύματος, οὐκ ἐπαινῶ νῦν. ἔτι δὲ μᾶλλον ὅταν ἤτοι μηδ᾽ ὅλως τις ἐντείνας τὰς φρένας ἰσχυρῶς καὶ βιαίως περὶ
στέλλῃ τοὺς κατ᾽ ἐπιγάστριον μῦς. ἀνάγκη γὰρ ἐν τῷδε ἐμπιπλᾶσθαι μὲν αἵματός τε καὶ πνεύματος ἅπαντα τὰ περὶ
τὸν τράχηλον ἀγγεῖα καὶ μόρια. φέρεσθαι δ᾽ ἄνω τε καὶ πρὸς τὴν κεφαλὴν οὐκ ἐπὶ τὴν γαστέρα καὶ κάτω τὰ περιτ
τώματα. θεάσασθαι γὰρ ἔστι τὸ αὐτὸ κἀπὶ τῶν αὐλούντων ἢ μέγιστον ἢ ὀξύτατα φωνούντων. εὐρύνεται γὰρ αὐτῶν
ἅπας ὁ τράχηλος. οἰδίσκεται δὲ τὸ πρόσωπον. ἥ τε κεφαλὴ πληροῦται σφοδρῶς. ὅτι καὶ περὶ τοῦτο τὸ ἔργον οἱ κατ᾽
ἐπιγάστριον ἐκτείνονται μύες, ἡσυχάζοντος τοῦ διαφράγματος, ἔστι γὰρ δὴ τὸ τοιοῦτον ἔργον ἅπαν, ὡς ἐν τοῖς πε
ρὶ φωνῆς ἀποδέδεικται, μικτὸν καὶ σύνθετον ἔκ τε μεγίστης ἐκπνοῆς, καὶ πνεύματος καταλήψεως. ἐν μὲν ταῖς ἀ
θρόαις ἐκφυσήσεσι, μεγίστης ἐκπνοῆς γινομένης. ἐπὶ σφοδροτάταις ἐντάσεσι τῶν περὶ τὰς πλευρὰς μυῶν ἅμα
τοῖς κατ᾽ ἐπιγάστριον. ἐν δὲ ταῖς τοῦ πνεύματος καταλήψεσι, τῆς μὲν αὐτῆς ἐντάσεως γινομένης ἑκατέρων τῶν μυῶν,
ἐκπνεομένου δ᾽ οὐδενός. ἐπὶ δὲ τῶν αὐλούντων τε καὶ φωνούντων ὀξύ, τῶν μὲν μυῶν, ὡσαύτως τεινομένων, οὔτε δ᾽
ἐπεχομένης ἀκριβῶς τῆς ἐκπνοῆς, οὔτ᾽ ἀθρόως ἐπιτελουμένης, ἀλλὰ μέσην ἐχούσης κατάστασιν. ὥστε ταῖς τρισὶν
ἐνεργείαις, κοινὴν μὲν εἶναι τὴν τάσιν τῶν μυῶν, ἰδίαν δὲ περὶ μὲν τὰς ἀθρόας ἐκφυσήσεις, τὴν ταχεῖαν ἔξω φορὰν
τοῦ πνεύματος. περὶ δὲ τὰς καταλήψεις, τὴν ἐπίσχεσιν. ἐν δὲ ταῖς αὐλήσεσί τε καὶ φωναῖς, σύμμετρον κένωσιν.
αἰτία δὲ τῶν τριῶν ἐνεργειῶν, ἡ φάρυγξ. ἀνοιγομένη μὲν ἐπὶ πλεῖστον ἐν ταῖς ἀθρόαις ἐκφυσήσεσιν. ἀκριβῶς δέ,
κλειομένη καταλαμβανόντων τὸ πνεῦμα. μέσην δ᾽ ἔχουσα κατάστασιν αὐλούντων τε καὶ φωνούντων, ὀξύ τε ἅμα
καὶ μέγα. περὶ μὲν δὴ τούτων ἀνάγκη ποτὲ καὶ αὖθις εἰπεῖν ἐν τοῖς περὶ ἀναφωνήσεως λόγοις. ἡ δὲ εἰς τὴν ἀ-
ποθεραπείαν ἐπιτήδειος, ἐξαίρετε τὴν γαστέρα, τεινομένων μὲν ἁπάντων τῶν τοῦ θώρακος μυῶν. ἀνιεμένων
δὲ τῶν κατ᾽ ἐπιγάστριόν τε καὶ τὰς φρένας. οὕτω γὰρ ἐνεχθήσεται κάτω τὰ περιττώματα. δευτέραν δὲ ἔχει τάξιν,
ἡ μετρίως ἐντείνουσα τοὺς κατ᾽ ἐπιγάστριον μῦς ὑπὲρ τοῦ τὰ κάτω τῶν φρενῶν ἀποθεραπεῦσαι σπλάγχνα τῶν δ᾽
αὐτῶν τούτων ἕνεκα, καὶ αἱ τῶν ἀμμάτων περιφοραὶ γιγνέσθωσαν, ἃς ἐξ ὄπισθεν τῶν τριβομένων, οἱ τρίβοντες ἱστά
μενοι ποιοῦνται περὶ τὴν γαστέρα σύμπασαν. ἄλλας δ᾽ ἐκ τῶν πρόσθεν ἱστάμενοι τὰς μεταφρένων περιβολὰς ἀμ-
μάτων ποιοῦνται, τὼ χεῖρε περιάγοντες. ἄλλας δὲ ταῖς πλευραῖς, καὶ τῇ ῥάχει καὶ τῷ στέρνῳ συνεκστρεφομένου πω
αὖθις τοῦ τριβομένου. περὶ τὴν ὀσφὺν δὲ γιγνέσθωσαν ἀμμάτων ὅμοιαι περιβολαί τε καὶ περιφοραί, συνεντειν
μένου μὲν ἁπάσαις αὐταῖς τοῦ τριβομένου. συνεπιστρεφομένου δὲ καὶ οὐχ ἁπάσαις. οὐδὲ γὰρ συνεχεῖς ἐπ᾽ αὐτὸν ἀπὸ
ἀποθεραπείας χρὴ ποιεῖσθαι τὰς κινήσεις, ὥσπερ οὐδὲ σφοδράς. ἀλλὰ ποιεῖσθαι μέν τινας, ἐκ διαλειμμάτων δ᾽ ἐχό
των τρίψεις. αἱ μὲν γὰρ συνεχεῖς τε καὶ σφοδραὶ τρίψεις, ἴδιαι τῶν κατασκευαστικῶν γυμνασίων εἰσίν. αἱ δὲ μήτε
συνεχεῖς μήτε σφοδραί, τῆς ἀποθεραπείας οἰκεῖαι. ὥστε πολλάκις μὲν ἐνανεχέσθω, πολλάκις δὲ καὶ ἀπωθείσθω,
πολλάκις δὲ καὶ μεταβαλλέτω τὸ σχῆμα ὁ γυμναζόμενος ἐν τούτῳ τῷ καιρῷ. πολλάκις δὲ καὶ περὶ νῶτον γιγνόμενος αὐ
τῆς ἑκάτερον ἐν μέρει τῶν σκελῶν περιπλέκων τοῦ γυμναστοῦ, μετ᾽ ἐντάσεως τινὸς οὐκ ἠπειγμένης ὑφ᾽ ἑτέρων δ᾽ εὐ
καίρως ἐπαφωμένων τριβέσθω. οὕτω γάρ, καὶ μάλιστα διαφυλάττοι τε τὴν ἐν τοῖς γυμνασίοις ηὐξημένην θερ
μότητα καὶ συνεκκενοῖτο ταῖς ἰδίαις ἐντάσεσί τε καὶ κινήσεσι τὰ περιττώματα. πρὸς ὃ δὲ καὶ ἡ τοῦ πνεύματος κα
τάληψις, οὐκ ὀλίγον μοι ἔοικεν συμβάλλεσθαι. ἐνθέμενοι γὰρ τοῦτο πανταχόθεν εἰς τοὺς λεπτοὺς πόρους, ἀναγκάζεται κα
ταδύεσθαι, καὶ ἣν ἐπὶ πλέον θλίβηταί τε προωθῆται πάντας αὐτοὺς διεξέρχεται. συναποφέρον αὐτῷ τι κα
τῶν λελεπτυσμένων περιττωμάτων. οὕτω γέ τοι καὶ τρίμματα πολλάκις ὀργάνων λεπτά, τοὺς δημιουργοὺς ἐστὶν ἰδεῖ
ἐκκαθαίροντας, ἐμφυσήσει σφοδροτέρου πνεύματος. εἰς ὅσον γὰρ τοῦτο φέρεται πρόσω βιαίως ἐπαναγκαζόμενο
εἰς τοσοῦτον τὰ μέν, ὠθεῖται παρ᾽ αὐτοῦ, τὰ δὲ παρασύρεται διεξελθεῖν ἐφιέμενα τὴν ὁδὸν ἅπασαν, ὠθεῖτο
μὲν τὰ πρόσω, παρασύρεται δὲ τὰ πλάγια τῇ ῥύμῃ τῆς φορᾶς ἄμφω βιαζόμενα. καὶ τοίνυν καὶ τῶν γυμνασίω
αὐτῶν μεταξύ, παραλαμβάνουσιν οἱ ἄριστοι γυμνασταὶ κατάληψιν πνεύματος. ὥσπερ γε καὶ τὴν προειρημένη
ἀποθεραπευτικὴν τρίψιν. ἅμα μὲν ἀναπαύοντες ὅτ᾽ ἂν ἄρχωνται κάμνειν, ἅμα δὲ διακαθαίροντες καταβρ
χὺ τοὺς πόρους, ἵν᾽ εὔπνουν τε ἅμα καὶ καθαρὸν ᾖ τὸ σῶμα πρὸς τοὺς ἐξῆς πόνους, ὡς κίνδυνός γε μηδενὸς τοιούτου πρ
νοηθέντος τοῦ γυμναστοῦ, ἐμφράξαι μᾶλλον ἢ καθᾶραι τοὺς πόρους. αἱ γὰρ τοι σφοδρόταται φοραὶ τῆς ὕλης τὰ ἐνα
τία πεφύκασιν ἐργάζεσθαι περὶ διαφέροντας καιροὺς καὶ τρόπους γιγνόμενα. ἐμφράξεις μέν, ὅτ᾽ ἂν ἀθρόον τε ἅμ
καὶ παχὺ καὶ πολὺ τὸ φερόμενον ᾖ. καθάρσεις δὲ ἐπειδὰν ὀλίγον τε καὶ λεπτομερὲς ὑπάρχον μὴ πάνυ κατεπεί
γηταί τε καὶ καταναγκάζηται, πᾶν ἀθρόως ἐκκενοῦσθαι. φαίνεται γὰρ οὕτω ταῦτα γινόμενα κατά τε τῶν ἐκτὸς ἁπάντω
ὀργάνων τε καὶ πλοκάμων.. ἀποπλύνεται γάρ τι καὶ ἀπορρύπτεται τὸ περιττὸν ἅπαν ἐξ αὐτῶν, οὐχ ὅταν ὑπεξι
των ἔτι τῶν προτέρων ἕτερα βιαίως ἐπιφέρηται. κίνδυνος γὰρ ἐν τῷδε σφηνωθέντα καὶ διαιρεθέντα πρὸς ἀλλ
λα τὰ διερχόμενα, φράξαι τὴν ὁδόν. ἀλλ᾽ ὅταν τῶν προτέρων ἤδη καὶ κενωμένων αὖθις ἕτερα κενωθῇ, καὶ τις
περὶ τῶν μικροτέρων πόρων θαυμάζειν, ὅπου γε καὶ τῶν θεάτρων ἀθρόως ἐξιόντες πολλοὶ περὶ τὰς διεξόδ
ἴσχονται. διὰ ταῦτα μὲν δὴ καὶ τοὺς ἐν μέσοις τοῖς πόνοις ἀποθεραπεία χρωμένους ἐπαινῶ, καὶ μάλιστα ἐπὶ τ
τοὺς βαρεῖς καλουμένους ἄθλους ἀσκούντων, ἀλλὰ περὶ μὲν τούτων αὖθις. ὁ δὲ νῦν ἡμῖν ὑποκείμενος ἄνθρωπ
οὐκ ἀθλητικὴν εὐεξίαν, ἀλλ᾽ ἁπλῶς ὑγίειαν ἔχει τὸν σκοπὸν οὔτ᾽ οὖν πολλῶν αὐτῷ χρεία γυμνασίων ἐστὶν, οὔ
πρὸς ἀνάγκην ἐδωδῆς, ἀλλ᾽ οὐδὲ πλῆθος κρεῶν χοιρείων, οὐδ᾽ ἄρτων τοιούτων οἵους ἐσθίουσιν οἱ βαρεῖς ἀθλητ

διὰ ταῦ

τοῦ πνεύματος κατάληψις.

διὰ ταῦτ' οὖν ἅπαντα, περὶ μὲν οὐδεὶς κίνδυνος ἐμφραχθῆναι τοὺς πόρους, εἰ καλῶς προκατασκευάζοιντο, τοῖσι ἐπιτηδείῳ τε τρίψει καὶ πόνοις, ἐξ ὀλίγου τε καὶ ἐπὶ βραχὺ προϊοῦσι. ἀθλητῇ δὲ βαρεῖ κίνδυνος ἐστὶ διά τε τὴν ποιότητα, καὶ τὸ πλῆθος τῶν ἐδεσμάτων, εἰ μὴ πάντα γίγνοιτο καλῶς, ἐμφραχθῆναι μᾶλλον ἐν τοῖς γυμνασίοις, ἢ καθαρθῆναι τοὺς πόρους. ἅλις μὲν ἤδη μοι τῶν περὶ τῆς ἀποθεραπείας λόγων. ἴωμεν δ' ἐξῆς ἐπὶ τὰ λουτρά. τοσοῦτον οὖν μόνον εἰπόντες ὑπὲρ τῶν προειρημένων, ὡς ὅστις ἂν ἐλάττοσιν ἔπεσιν ἑρμηνευθῆναι ταῦτα, μακρολογίαν ἡμῖν ἐγκαλείτω. εἰ δὲ τῶν ἀναγκαίων τι θεωρημάτων, ἢ τῶν ταῦτα πιστουμένων ἀποδείξεων ὑπερβάς τινας, βραχὺν ἡγεῖτο πεποιηκέναι τὸν λόγον, οὐκ ἀγάλλεσθαι προσήκειν, ἀλλ' αἰσχύνεσθαι μᾶλλον αὐτῷ ταῖς τοιαύταις βραχυλογίαις. ἐγὼ γοῦν καί τοι βιβλίον ὅλον ὑπὲρ τῆς καλουμένης ἀποθεραπείας γράψαι δυνάμενος, οὐκ ἐδικαίωσα ποιεῖν οὕτως, συντέμνειν ὅτι μάλιστα τὸ μῆκος τῆσδε τῆς πραγματείας προῃρημένος. εἰ γὰρ ἐπὶ τὸ διελέγχειν ὅσα κακῶς εἴρηται τοῖς πλείστοις ἐτραπόμην, οὐ μικράν, οὐδὲ φαύλην ὕλην εἰς μῆκος λόγου εἶχον ἄν. ἀλλ' ἐξ ὧν ἀπέδειξα, νομίζω τοῖς ἔχουσι νοῦν ἁπάσας τῆς ἀντιλογίας τὰς ἀφορμὰς παρέχεσθαι. λέγοντος γοῦν Ἀσκληπιάδου τὴν κατάληψιν τοῦ πνεύματος ἐμπιπλάναι τὴν κεφαλήν, ἐξ ὧν ἐγὼ διωρισάμην ὀλίγον ἔμπροσθεν ἐπιδεικνὺς αὐτοῖς τὰς διαφοράς, ἔνεστι τῷ βουλομένῳ τὴν πρὸς αὐτὸν ἀντιλογίαν ποιεῖσθαι. οὕτω δὲ καὶ ἐπὶ τὸ δεύτερον βιβλίον ἐξῆν δήπου κἀμοὶ τὰ κατὰ μέρος ἅπαντα γυμνάσια διηγουμένῳ, μηκῦναι τὸν λόγον, ὥσπερ ἄλλοι γέ τινες ἐποίησαν, ὅ, τε κάλλιστα μεταχειρισάμενος ὅλην τὴν πραγματείαν Θέων ὁ Ἀλεξανδρεύς. τέτταρα γὰρ οὗτος ἔγραψε βιβλία περὶ τῶν κατὰ μέρος γυμνασίων ἅπαντα, κἀμοὶ λέγειν ἐξῆν. ἄμεινον γὰρ ἑρμηνεύειν ἐκείνου δυναμένῳ, καὶ προσέτι καὶ ἄλλων πολλῶν μνημονεύειν γυμνασίων ἔργοις κοινῶν. ἐκεῖνος μὲν γὰρ ὡς ἂν ἀθλητὰς μάλιστα γυμνάζειν ἔργον πεποιημένος ἐν τοῖς ἐπ' ἐκείνων ἐπλεόνασε γυμνασίοις. ἔξεστι δὲ τῷ βουλομένῳ περὶ πάντων τῶν κατὰ πάσας τὰς τέχνας διεξέρχεσθαι. ταῦτα μὲν οὖν μοι λελέχθω πρὸς τοὺς ἀγανακτήσαντας περὶ μήκους τῆς πραγματείας. καιρὸς δ' ἤδη περὶ λουτρῶν διέρχεσθαι. πρῶτον μὲν ὁπόσα γλυκέων ὑδάτων ἐστὶ θερμαινόμενα. ἐπειδὰν τούτων ἡ χρεία πλείων, ἑξῆς δὲ τῶν ψυχρῶν, εἶθ' οὕτως τῶν αὐτοφυῶν ὀνομαζομένων, καὶ αὐτῶν δήπου τὰ μὲν εὔκρατα, τὰ δέ, ζέοντα, τὰ δέ, χλιαρά, τὰ δέ, ψυχρὰ παντάπασιν ὑπάρχει. ἐστὶ δὴ τῶν γλυκέων ὑδάτων θερμῶν ἡ δύναμις, εὐκράτων μὲν ὄντων, ὑγρὰ καὶ θερμά, χλιαρωτέρων δὲ γενομένων ὑγρὰ καὶ ψυχρά, θερμοτέρων δὲ τοῦ δέοντος ἀποτελεσθέντων, θερμὰ μέν, οὐκέτι δ' ὁμοίως ὑγρά. φρίττειν γὰρ ἀναγκάζει τὰ σώματα καὶ πυκνοῦσθαι τοὺς πόρους αὐτῶν, ὡς μήτ' ἀπολαύειν ἔτι τῆς ἔξωθεν ὑγρότητος, μήτ' ἐκκενοῦσθαι τι τῶν ἔνδον περιττωμάτων. ἀλλὰ γὰρ ἀπὸ τῶν εὐκράτων ἀρκτέον, ἃ διὰ παντὸς ὑγραίνει, καὶ θερμαίνει διὰ παντὸς καθ' ἑαυτά. συμβαίνει δ' αὐτοῖς ἐνίοτε κατά τι συμβεβηκὸς ἤτοι διαφορεῖν τὰς ὑγρότητας, ἢ πληροῦν ῥεύματος περιττοῦ τὰ μόρια τοῦ σώματος, ἢ μαλάττειν, ἢ πέττειν ἢ ῥωννύναι τὴν δύναμιν, ἢ καταλύειν. εἰς ταῦτα μέν γε καὶ ἡ ποσότης αὐτῶν, οὐκ ὀλίγα συντελεῖ. πολλὰ δὲ καὶ ἄλλα τῶν τοῖς εἰρημένοις ἑπομένων ἔνεστι καταλέγειν ἔργα τῶν εὐκράτων ποτίμων λουτρῶν, ὧν τὰ πρέποντα τῇ νῦν ἡμῖν ἐνεστώσῃ πραγματείᾳ, λεχθήσεται καθ' ὅσον ἐγχωρεῖ διὰ βραχέων. ἀναβεβλημένης ἐν τῷ παρόντι τῆς εἰς τὰ νοσήματα χρείας αὐτῶν. εἰς δὲ τὴν ὑγιεινὴν χρῆσιν ὁ προκείμενος ἐν τῷ λόγῳ νεανίσκος, ἡκέτω γεγυμνασμένος ὡς εἴρηται πρόσθεν. ἐπὶ τούτου τοίνυν ὀλίγη μὲν ἡ ἐξ αὐτοῦ ὠφέλεια. πάντα γὰρ ἔχει φθάνων ἐκεῖνος, ἔκ τε τῶν συμμέτρων γυμνασίων καὶ τῆς εἰρημένης ἀποθεραπείας, ὅμως δ' οὖν εἰ καλῶς παραλαμβάνοιντο τὰ λουτρὰ μέρος ἄν γε γένοιτο καὶ αὐτὸ τῆς ἀποθεραπείας. εἴ γε δὴ μαλάττει μὲν τὰ σκληρὰ καὶ τεταμένα μόρια, διαφορεῖ δ' εἴ τι περίττωμα καὶ σύντηγμα πρὸς τοῦ δέρματος ἐντὸς ἴσχοιτο. ἀλλὰ τούτων γε οὐδετέρων χρήζειν ἔοικεν ὁ ὑποκείμενος αὐτὸς ἐν τῷ λόγῳ. οὔτε σύντηγμα σαρκὸς ἁπαλῆς, ἢ πιμελῆς εἰκὸς αὐτῷ γεγονέναι τι κατὰ τὰ γυμνάσια. ταῖς γὰρ ἀμέτροις τε καὶ σφοδραῖς κινήσεσιν ἕπεται τὰ τοιαῦτα. κεκένωται δὴ πάντ' αὐτῶν τὰ περιττώματα, καὶ μεμάλακται τὰ στερεὰ μόρια κατὰ τὸν τῆς ἀποθεραπείας καιρόν, ὥστ' ἀποπλύνασθαι τὸν ἱδρῶτα καὶ τὴν κόνιν, εἰ καὶ ταύτῃ ποτὲ χρήσαιτο, δεῖται μᾶλλον ἢ θερμανθῆναι κατὰ τὸ βαλανεῖον. διαβαδίσαι τοι γὰρ οὖν χρῃζόμενον ἄχρι τῆς δεξαμενῆς, οὐκ ἐνδιατρίψαι τῷ βαλανείῳ, καθάπερ † οὖν χωρὶς τοῦ γυμνάσασθαι καθεψῶντες ἑαυτούς, οὐ μὴν οὐδ' ἐγχρονίζειν ἐν τῇ κολυμβήθρᾳ δεῖται. περιπλυνάμενος δ' ὡς εἴρηται, πρὸς τὸ ψυχρὸν ὕδωρ ἐπειγέσθω. σύμμετρον δ' ἔστω καὶ τοῦτο, τῇ συμμέτρῳ φύσει τοῦ σώματος. ἐφ' ὅσον γε ἡ καὶ σφόδρα ψυχροῦ χρεία τοῦ ὕδατος, ἢ μαλακοῦ τε καὶ οἷον εἰληθεροῦς αὖθις εἰρήσεται. τὸ δ' ἄριστα πεφυκὸς σῶμα μέχρι μὲν αὐξάνεται, λέλεκταί που καὶ πρόσθεν, ὡς οὐκ χρὴ ψυχρῷ λούειν, ἵνα μή τι τῆς αὐξήσεως αὐτοῦ κωλύσωμεν. ηὐξημένου δ' ἱκανῶς ἐθίζειν ἤδη καὶ τῷδε, κρατύνει τε σάρκας ἅπαν σῶμα, καὶ τὸ δέρμα πυκνὸν καὶ σκληρὸν ἀποτελεῖ. κράτιστον δὲ τοῦτο πρὸς τὴν ἀπὸ τῶν ἔξωθεν βλάβην. ὡς δ' ἄν τις ὑπάρξαιτο λούεσθαι ψυχρῷ, μηδενὸς ἀπὸ τῆς ἐξαιφνιδίας μεταβολῆς ἀπολαύσας βλαβεροῦ, παντὸς μᾶλλον ἐπίστασθαι χρή. πολλοὶ γὰρ κακῶς ἀρξάμενοι διεβλήθησαν οὕτω πρὸς ὅλον τὸ ἐπιτήδευμα τῆς ψυχρολουσίας, ὥστε μὴ δὲ τοῖς ἀσφαλῶς αὐτὸ μεταχειριζομένοις, ὑπομένειν ἑαυτοὺς ποτὲ παρασχεῖν. ἔστω τοιγαροῦν, ὁ μὲν τοῦ ἔτους καιρός, ἀρχομένου θέρους. ἵνα πρὸ τοῦ χειμῶνος ἐν ἅπαντι τῷ μεταξὺ χρόνῳ γένηταί τις ἐθισμὸς ἀξιόλογος. ἔστω δὲ δήπου καὶ ἡ ἡμέρα καθ' ἣν ἀρχόμεθα, νήνεμος ὡς ἔνι μάλιστα, καὶ εἰς ὅσον οἷόν τε κατ' ἐκεῖνον τὸν καιρὸν θερμοτάτη. δῆλον δ' ὡς καὶ τῆς ἡμέρας αὐτῆς ἐκλέγεσθαι χρή, τὸ θερμότατον, ὥσπερ γε καὶ τὸ γυμνάσιον εὐκρατότατον. ἡ μὲν ἔξωθεν αὕτη παρασκευή, σῶμα δ' αὐτὸ τὸ μέλλον χρῆσθαι τῷ ψυχρῷ παρασκευαζέσθω κατὰ τάδε. τῇ μὲν ἡλικίᾳ, ἔστω κατὰ τὴν τετάρτην ἑβδομάδα μεσοῦσαν μάλιστα, μηδὲν ὑπὸ μηδενὸς ἠλλοιωμένον αἰτίου προσφάτου κατ' ἐκείνην τὴν ἡμέραν ἢ τὴν πρὸ αὐτῆς νύκτα. τὴν δ' ὑγιεινὴν κατάστασιν ἣν εἶχεν ἔμπροσθεν ἀκριβῶς διαφυλάττων. ἔστω δὲ καὶ τὴν ψυχὴν εὔθυμός τε καὶ φαιδρὸς ὁ μέλλων χρήσασθαι τῷ ψυχρῷ νεανίσκος, εἴπερ ποτὲ ἄλλοτε καὶ τότε μάλιστα. πρότερον μὲν οὖν ἀνατριβέσθω σινδόσιν ἐπὶ πλέον. ἔστωσαν δὴ καὶ σφοδρότεραι νῦν μᾶλλον, ἢ πρόσθεν ῥίψεις, καὶ διὰ σκληροτέρων ὀθονίων, εἰ δὲ καὶ χειρίδας ῥαπτὰς περιθέμενοι ταῖς χερσὶν οἱ παραγυμνασταὶ τρίβοιεν, ὡς ὁμαλωτέραν γενέσθαι τὴν ἐνέργειαν, οὐδὲν ἂν εἴη χεῖρον. ἐφεξῆς δὲ δεῖ

† ἀλ. οἱ

ἐλαίου τριβέσθω, καθότι σύνηθες ἦν αὐτῷ. κἄπειτα γυμναζέσθω τῷ πλήθει μὲν ἴσα γυμνάσια, θᾶττον δὲ νῦν ἢ πρόσθεν, ἔπειθ' οὕτως εἰς τὸ ψυχρὸν ὕδωρ καταβαινέτω μὴ βλακεύων, ἀλλ' ἐπωκύων τῇ ἐνεργείᾳ, ἢ ἀθρόως ἐναλλέσθω. σκοπὸν ἐν ἀμφοῖν ἔχων, ὡς μάλιστα, καθ' ἕνα χρόνον ἅπασι τοῖς τοῦ σώματος μέλεσι περιχυθῆναι καὶ τὸ ὕδωρ. τὸ γὰρ κατὰ βραχὺ πλησιάζειν αὐτῷ, φρίκης ἐστὶ ποιητικόν. ἔστω δὲ μήτε χλιαρὸν τὸ ὕδωρ, μήτε ἀτέραμνόν τε καὶ παγετῶδες. τὸ μὲν γὰρ, ποιεῖται θερμασίας ἐπανάκλησιν. τὸ δὲ, πλήττει καὶ καταψύχει τοῦ δέοντος. ὡς ἔν γε τῷ χρόνῳ προϊόντι, καὶ τοιούτῳ ποτὲ χρήσαιτ' ἂν ἢ ἡμῖν ὁ νεανίσκος, ἀνάγκης καταλαβούσης. ἀλλὰ κατά γε τὴν πρώτην ἡμέραν ἀκριβῶς χρὴ φυλάττεσθαι τὸ λίαν ψυχρόν. ἐξελθόντι δὲ τοῦ ὕδατος, ὑπὸ πλειόνων ἀνατρίβεσθαι προσήκει δι' ἐλαίου, μέχρις ἂν ἐκθερμανθῇ τὸ δέρμα. καὶ μετὰ ταῦτα σιτία μὲν πλείω τῶν εἰωθότων, ἔλαττον τε προσφερέσθω τὸ πόμα. ταῦτα δ' εἰ καὶ σὺ μὴ κελεύσειας, αὐτὸς ἂν οὕτω ποιήσειεν ὀρθῶς ἁπάντων γινομένων. καὶ γὰρ ὀρέγονται πλειόνων ἐπὶ ταῖς ψυχρολουσίαις καὶ πέττουσιν ἄμεινον, καὶ διψῶσιν ἧττον. ἀφικνοῦνταί τε κατὰ τὴν ὑστεραίαν ἐπὶ τὰ γυμνάσια σαφῶς εὐεκτικώτεροι. τὸν μὲν τοῦ σώματος ὄγκον, ἴσον ἔχοντες τῷ πρόσθεν ἐσφιγμένον τε καὶ μυωδέστερον, καὶ συντονώτερον, καὶ τὸ δέρμα σκληρότερόν τε καὶ πυκνότερον. ὁμοίως οὖν ἐπ' αὐτοῦ κατὰ τὴν δευτέραν ἡμέραν πρακτέον ἅπαντα, καὶ κατὰ τὴν τρίτην τε καὶ τετάρτην. εἶθ' οὕτως ἤδη προϊόντι τῷ χρόνῳ, κελεύσομεν αὐτὸν ἐμβαίνειν τὸ δεύτερον τῷ ψυχρῷ. μετὰ τὴν ἐπὶ τῷ προτέρῳ τρῖψιν ὡς εἴρηται πρόσθεν. τὸ δὲ καὶ τρίτον ἔτι τοῦτο ποιεῖν, ὡς ἔνιοί τινες ἐκέλευσαν οὐκ ἐπαινῶ. καὶ γὰρ τὸ δεύτερον αὔταρκες εἶναί μοι δοκεῖ δυναμένων γε ἡμῶν εἰς ὅσον ἂν ἐθέλωμεν ἐν αὐτῷ κελεῦσαι διατρίβειν. ὁ δὲ σκοπὸς κἀνταῦθα τοῦ χρόνου τῆς διατριβῆς, ἐκ τῆς καθ' ἑκάστην ἡμέραν λαμβανέσθω πείρας. εἰ μὲν γὰρ ἀνελθὼν ἐκ τοῦ ὕδατος ἐπὶ ταῖς ἀνατρίψεσιν εὔχρους ἐν τάχει γίγνοιτο, μετρίως ἐν αὐτῷ διατρίψας, εἰ δὲ δυσεκθέρμαντός τε καὶ ἄχρους διαμένῃ μέχρι πλείονος, ἀμετροτέρῳ ἐχρήσατο τῷ ψυχρῷ. τοῖς χρωτὸς οὖν προσέχων, τοῖς γνωρίσμασιν ἐξευρήσεις ῥᾳδίως, εἴτε τὸν ἴσον χρόνον αὖθις ἐν τῷ ψυχρῷ διατρίβειν προσήκει, εἴτε καὶ μετακινῆσαί τι πρὸς τὸ ἔλαττον ἢ πλέον, καὶ περὶ μὲν ψυχρολουσίας ὡς πρὸς τὴν ἀρίστην φύσιν, ἱκανὰ καὶ ταῦτα. τὰς δὲ τῶν παρεμπιπτόντων ἁμαρτημάτων ἐπανορθώσεις, ὅπως ἄν τις κάλλιστα ποιοῖτο, διελθεῖν ἤδη καιρός. εἰ γὰρ ὅτι μάλιστα τὴν κατασκευὴν τοῦ σώματος ἄμεμπτον ἔχει τις, ἀπηλλαγμένος τε εἴη, τῶν κατὰ τὸν βίον ἁπάντων πραγμάτων καὶ ἑαυτῷ μόνῳ ζῶν, ἀλλὰ τό γε μὴ δέ ποτ' ἁμαρτάνειν μηδὲν, ἢ αὐτὸν ἢ τὸν ἐπιστάτην αὐτοῦ, παντάπασιν ἀδυνάτων. εἰκὸς τοίνυν ἐστὶ πρῶτόν τε καὶ μάλιστα καὶ συνεχέστατα περιπίπτειν ἁμαρτήμασι νεανίσκον γυμναστικὸν, ὁ κόπος ἐστίν. ὑπὲρ οὗ πολλάκις μὲν ἤδη πολλοῖς, οὐκ ἰατροῖς μόνον ἢ γυμνασταῖς, ἀλλὰ καὶ φιλοσόφοις εἴρηται. ὥσπερ καὶ Θεοφράστῳ βιβλίον ὅλον ὑπὲρ αὐτοῦ γράψαντι. ἐγὼ δὲ κἀνταῦθα μήκους φειδόμενος, ἃ μὲν εἴρηται κακῶς ὑπὲρ αὐτοῦ τισὶν, ὑπερβῆναι διέγνωκα. τὰ δ' ἀναγκαιότατα τοῖς ὑγιεινοῖς, ἅμα ταῖς οἰκείαις ἀποδείξεσι διελθεῖν, καὶ πρότερόν γε περὶ τῆς ἐννοίας αὐτοῦ. δίκαιον γὰρ ἀπὸ ταύτης ἀρξαμένους, οὕτως ἐπὶ τὴν οὐσίαν μεταβῆναι, ἔννοιαν δ' ἔχουσι κόπου τινὲς μὲν ἐν τῷ πεπρῆσθαί τε καὶ τετρῶσθαι δοκεῖν, ἤτοι πάντα τὰ μέλη τοῦ σώματος, ἢ τὰ πονήσαντα μόνον. τινὲς δ' ἐν τῷ δυσχερῆ τινὰ καὶ ἀνιαρὰν αἴσθησιν ἑαυτῶν κατὰ τὰς κινήσεις λαμβάνειν, ἣν τινὲς μὲν ἄρρητον, ἔφασαν. ἔνιοι δὲ ἑλκώδη προσηγόρευσαν. ἄλλοι δέ τινες ὅταν ὡς τεθλασμένων τε καὶ φλεγμαινομένων αἰσθανόμεθα τῶν μελῶν. εἰσὶ μὲν οἳ καὶ μιγνύουσιν ἀλλήλαις τὰς ἁπλᾶς ταύτας διαθέσεις, τήν τε τῆς τάσεως καὶ τὴν ἑλκώδη, καὶ τὴν φλεγμονώδη. τινὲς δὲ δύο μιγνύουσιν ἐξ αὐτῶν ἤτοι τὴν ἑλκώδη, τῇ μετὰ τάσεως, ἢ τῇ φλεγμονώδει, μεθ' ἑκατέρας αὐτῶν ἀνὰ μέρος. ὥσθ' ἑπτὰ τὰς πάσας γίγνεσθαι δόξας περὶ τῆς κατὰ τὸν κόπον ἐννοίας. ἐκ μέρους μὲν τινὸς ἁπάσας ἀληθεῖς, τὸ σύμπαν δὲ οὐχ ἁπλῶς. ἐάν τε γὰρ ἑλκώδης αἴσθησις γίγνεται κινουμένοις, ἐάν τε φλεγμονώδης, ἐάν τ' ἐμπιπρᾶσθαι καὶ τείνεσθαι δοκῶσιν, ἐάν τε κατὰ συζυγίαν τινὰ τούτων, ἂν θ' ὁμοῦ συνέλθῃ τὰ πάντα, κόπος ὀνομάζεται τῶν εἰρημένων διαθέσεων ἑκάστη. ὥστ' εἶναι διαφορὰς ἑπτὰ τὰς συμπάσας τῶν κόπων. ἁπλᾶς μὲν τρεῖς, συνθέτους δὲ, τέτταρας. ἐπανορθώσεις δὲ τῶν οὕτως ἐχόντων σωμάτων, αἱ μέν τινες ἴδιαι καθ' ἑκάστην εἰσὶ διάθεσιν. αἱ δέ τινες ἁπασῶν κοιναί. λεχθήσεται δ' ἑξῆς ὑπὲρ αὐτῶν, ἐὰν πρότερον ὑπὲρ τῆς παρακειμένης τοῖς κόποις διαθέσεως εἴπωμεν. ἣν ἐξαπατώμενοί τινες ὀνομάζουσι κόπον. ὁποία δ' ἐστὶν αὕτη, καὶ τίνα κέκτηται γνωρίσματα, δηλωθήσεται σαφέστερον, ἂν τὴν οὐσίαν ἑκάστης τῶν κοπωδῶν διαθέσεων εὕρωμεν. ἄχρι μὲν γὰρ τοῦδε, τὰ συμπτώματα μόνον εἴρηται, καὶ γὰρ τὸ πεπρῆσθαί τε καὶ τείνεσθαι δοκεῖν τὰ μόρια, καὶ τῷ κινουμένῳ ἤτοι φλεγμονώδη τινὰ ἢ ἑλκώδη γίγνεσθαι τὴν αἴσθησιν, οὐδὲ διαθέσεις εἰσὶν, ἀλλὰ συμπτώματα. διαθέσεις δέ γε τῶν σωμάτων αὐτῶν ἐφ' οἷς εἴωθε τὰ τοιαῦτα συμπίπτειν, ἁπλαῖ μὲν τρεῖς, σύνθετοι δὲ τέσσαρες. εἰ μὲν οὖν ἑλκώδης διάθεσις, ἐπὶ πλήθει γίνεται περιττωμάτων λεπτῶν τε ἅμα καὶ δριμέων, ἅπερ ἐν τῷ γυμνάζεσθαι γεννᾶται κατὰ διττὴν αἰτίαν, ἤτοι τῶν παχυτέρων περιττωμάτων χυθέντων τε καὶ λεπτυνθέντων, οὐχ ἁπάντων δὲ ἐκκριθέντων, ἢ τακείσης τινὸς ἤτοι πιμελῆς ἢ σαρκὸς ἁπαλῆς, ἀνάγκη γὰρ ὑπὸ τῶν τοιούτων ὑγρῶν λεπτῶν καὶ δριμέων ὑπαρχόντων κεντεῖσθαί τε καὶ οἷον τιτρώσκεσθαι τό, τε δέρμα καὶ τὰς σάρκας, ὥστε καὶ φρίκην ἐνίοτε γίνεσθαι, καὶ τι καὶ ῥῖγος ὅταν ἰσχυρῶς ᾖ δριμέα τε ἅμα καὶ πολλά. τοιοῦτος μὲν δή τις ὁ οἷον ἑλκώδης κόπος. ἐν ᾧ δὲ τείνεσθαι δοκεῖ τὰ μόρια μόνον, ἑλκώδης δ' οὐκ ἔστιν αἴσθησις ἐν τῷδε τῷ κόπῳ, περίττωμα μὲν οὐδὲν ὅ, τι καὶ ἄξιον λόγου περιέχεται τοῖς σώμασι, κατὰ δὲ τοὺς μῦς καὶ τὰ νεῦρα διάθεσίς τις ἐπὶ ταῖς σφοδροτέραις ἐντάσεσιν ἃς ἐποιήσαντο κατὰ τὰ γυμνάσια συνίσταται τοῦ ποιήσαντος αἰτίου τὴν δύναμιν ἐνδεικνυμένη. συμβαίνει γὰρ ταῖς σφοδροτέραις ἐντάσεσιν, ἁπάσας μὲν τῶν μυῶν τείνεσθαι τὰς ἶνας, οὐχ ὁμοίως δὲ ἁπάσας, κάμνειν. ἀλλ' ὅσαι μάλιστα κατὰ τὴν εὐθύτητα τῆς τάσεώς εἰσιν. ὡς ὅσαι γε λοξότεραί πως ὑπάρχουσιν ἧττον εὐθύνονται τεινόμεναι. ὥστε ταύταις μὲν οὐδεὶς ἐφεδρεύει κίνδυνος. ἐν ταῖς ἐπὶ πλέον ἐκτεινομέναις, ὡς ἐγγὺς ἥκειν τοῦ διασπασθῆναι, καταλείπεταί τις διάθεσις ὁμοία τῇ κατὰ τὰς ἐνεργείας ἐγγινομένῃ, τείνεσθαι γὰρ ἔτι δοκοῦσι, κἂν μηκέτι τείνωνται. ἡ δὲ δὴ τρίτη τοῦ κόπου διαφορὰ, καθ' ἣν ὥσπερ τεθλασμένων ἢ φλεγμαινόντων αἰσθανόμεθα τῶν μορίων, τηνικαῦτα μάλιστα συμπίπτειν εἴωθεν, ὅταν ἐκθερμανθέντες ἱκανῶς οἱ μύες ἐπισπάσωνταί τι τῶν

ταί τι τῶν

καί τι τῶν περιεχυμένων ἑαυτοῖς περιττωμάτων. εἰ δὲ καὶ τὰς περὶ τοὺς τένοντας τε καὶ νεῦρα, τὴν αὐτὴν γενέσθαι διάθεσιν συμβαίνει, ὃ σκόπτων ὀνομάζουσι τὸ πάθημα τῷ βυθίῳ τῆς αἰσθήσεως, ὑπὸ τὰ διὰ βάθους κείμενα μόρια τοὔνομα φέροντες. ὑπὸ πολλῆς μὲν γὰρ τὸ δέρμα, δευτέραν δὲ ἔχουσι θέσεως τάξιν οἱ μύες, ἐν κύκλῳ τοῖς ὀστοῖς περικείμενοι. συμφυεῖς δὲ ἀεὶ οἱ τένοντες ὑπάρχουσι τοῖς ὀστοῖς, ὥστ' εὐλόγως ὅταν οὗτοι τι τῶν εἰρημένων πάσχωσιν, ἐν τῷ βάθει τε καὶ περὶ τοῖς ὀστοῖς αὐτοῖς ἡ διάθεσις εἶναι δοκεῖ. αὗται μὲν αἱ μόναι τρεῖς ἁπλαῖ τῶν κόπων εἰσὶ διαφοραί. σύνθετοι δ' ἐξ αὐτῶν ὡς ἔμπροσθεν εἴρηται, τέτταρες ὑπὲρ ὧν ἐξῆς ἐροῦμεν, ἐὰν πρότερον τὸν περὶ τῶν ἁπλῶν διέλθωμεν λόγον. ἔστι γὰρ δή τις καὶ ἄλλη διάθεσις ἐξαπατῶσά τινας ὡς κόπος, ἡ μὲν γένεσις ἐν τῷ ξηρανθῆναι τοὺς μῦς περαιτέρω τοῦ προσήκοντος, ὥστε ἅπαν αὐχμηρὸν καὶ προσεσταλμένον φαίνεσθαι τὸ σῶμα, καὶ πρὸς τὰς κινήσεις ὀκνεῖ ἀτρέμα. ἀλλ' οὐδὲν ὑπάρχει αὐτῷ τῶν ἔμπροσθεν εἰρημένων, οὔτε τὴν οἷον ἕλκους αἴσθησιν ἢ τάσεως, οὔτε πολὺ μᾶλλον τὴν οἷον φλεγμονῆς. ἐναντιωτάτη γὰρ ἡ ὄψις τοῦ τε τοιούτου καὶ τῆς νῦν λεγομένης διαθέσεώς ἐστιν. αὕτη μὲν γὰρ αὐχμῶδες, καὶ προσεσταλμένον ἀπεργάζεται τὸ σῶμα, ὁ δὲ φλεγμονώδης κόπος, ἐν ὄγκῳ μείζονι καὶ αὐτοῦ τοῦ κατὰ φύσιν, ὡς εἶναι τὰς πάσας τέτταρας ἁπλᾶς διαθέσεις, ἰδίας ἑκάστην ἐπανορθώσεως δεομένην. ἀρκτέον δ' ἀπὸ τοῦ τὴν ἑλκώδη φέροντος αἴσθησιν, ὃν καὶ διὰ δριμύτητα περιττωμάτων ἐλέγομεν ἀνίστασθαι. οὗτος ὁ κόπος συμπίπτει μάλιστα τοῖς κακοχύμοις τε καὶ περιττωματικοῖς σώμασιν, ἐπιγίγνεται δὲ καὶ ταῖς ὑπογύοις ἀπεψίαις, ὅταν ἤτοι γυμνάσωνται προπετέστερον, ἢ ἐν ἡλίῳ διατρίψωσιν. οὐ μὴν ἀδύνατόν γε αὐτὸν συστῆναί ποτε χωρὶς ἀπεψίας ἐν εὐχύμῳ σώματι, δι' ὑπερβολὴν ἀμέτρων γυμνασίων. εἰώθασι δ' αὐτὸν ὀξεῖαι καὶ πολλαὶ φέρειν κινήσεις. πυκνὸν δὲ καὶ φρικῶδες φαίνεται τῶν ἐν τούτῳ κόπῳ, τὸ δέρμα, καὶ ὁμολογοῦσιν ἐν τῷ κινεῖσθαι καθάπερ ἕλκους ἀλγεῖν, οἱ μὲν τὸ δέρμα μόνον, οἱ δὲ καὶ τὰς ὑπ' αὐτῷ σάρκας. ἡ δ' ἴασις ἐξ ὑπεναντίου τῇ διαθέσει, διαφορῆσαι γὰρ χρὴ τὰ περιττώματα, καὶ πέπαυται τὸ πάθημα. διαφορηθήσεται δὲ, τρίψει πολλῇ καὶ μαλακῇ σὺν ἐλαίῳ μηδεμίαν ἔχοντι στύψιν, ὁποῖόν μάλιστ' ἐστὶ, τὸ σαβῖνον. ἐναντιώτατον δὲ τῇ διαθέσει τό τ' ἐκ τῆς ἱσπανίας καὶ τὸ ἐκ τῆς ἰβηρίας, ὅπερ ἱσπανὸν ὀνομάζουσι, τό τε καλούμενον ὀμφάκινον, ἢ ὠμοτριβὲς, ἐν ᾧ δὲ λόγῳ τὸ αὐστηρὸν ἅπαν οὐκ ἐπιτήδειον. ὡς ἔνεστί σοι γευομένῳ διαγινώσκειν τὴν δύναμιν αὐτῶν, κἂν μὴ πρότερον ἦς πεπειραμένος. οὕτω γοῦν καὶ ἡμεῖς ἐν μακεδονίᾳ ποτὲ γευσάμενοι τοῦ κατὰ τὸν αὐλῶνα τὸν περὶ τῷ στρυμόνι γινομένου ἐλαίου, τῆς αὐτῆς εἶναι δυνάμεως ἐγνωρίσαμεν αὐτὸ τῷ καλουμένῳ ἱσπανῷ. καὶ μὲν δὴ καὶ τῶν ἄλλων ἐλαίων ἁπάντων οὕτω γνωριεῖς τὴν δύναμιν. ὅσα τε κατασκευαστικὰ ὀνομάζεται, καὶ ὅσα σκευάζεται δι' ἀλῶν, ἢ ῥιζῶν, ἢ βοτανῶν, ἢ βλαστῶν, ἢ φύλλων, ἢ καρπῶν. εἴρηται δ' αὐτάρκως μὲν ὑπὲρ ἁπάντων αὐτῶν, ἐν ταῖς περὶ φαρμάκων πραγματείαις. λεχθήσεται δὲ καὶ κατὰ τὸν ἐνεστῶτα λόγον ἐν οἰκείῳ καιρῷ. νῦν δὲ τοῦτ' ἀρκεῖ μόνον εἰπεῖν ὡς ὅπερ ἂν ᾖ γλυκύτατον ἔλαιον, ἐπιτηδειότατόν ἐστιν εἰς τὰ παρόντα. τούτῳ τοίνυν χρῆσθαι διαψιλεῖ μετὰ τρίψεως πολλῆς. ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ὑπὲρ τοῦ μηδ' ὅλως γενέσθαι τὸν ὑποπτευόμενον ἔσεσθαι κόπον, ἐν τῇ δευτέρᾳ δὲ, χάριν τοῦ λῦσαι τὸν ἤδη γεγονότα. λύει δ' αὐτὸν, τὸ καλούμενον ἀποθεραπευτικὸν γυμνάσιον, ἐν ᾧ καὶ κινήσεις ἔνεστι ποιεῖσθαι συμμέτρους μὲν τῇ ποσότητι, βραδυτέρας δὲ τῇ ποιότητι μετὰ πολλῶν τῶν μεταξὺ διαναπαύσεων ἐν αἷς χρὴ τρίβειν τὸν ἄνδρα, ἐφαπτομένων ὁμοῦ πλειόνων, ὅπως μήτε καταψύχοιτό τι μέρος αὐτοῦ, καὶ τάχιστα διαφοροῖτο τὰ περιττώματα. πλεονάζειν δὲ χρὴ ταῖς μὲν τρίψεσι, κατὰ τὸν ἐν τῷ δέρματί τε καὶ ὑπὸ τῷ δέρματι τὸ πλῆθος τῶν περιττωμάτων ἔχοντα. ταῖς δ' ἐξ αὐτοῦ κινήσεσι, κατὰ τὸν ἕτερον κόπον ᾧ τὸ πλέον ἐν τοῖς μυσὶν ἤθροισται. τὰ γὰρ ἐν τούτοις περιττώματα, τρίψις μόνη διαφορεῖν οὐχ ἱκανή. δεῖται γὰρ οὐκ ἔξωθεν μόνον ἕλκεσθαι πρός τινος, ἀλλὰ καὶ συνωθεῖσθαι πρὸς ἑτέρου τινὸς ἔσωθεν. ἐπωθεῖ δ' αὐτὰ, τό τ' ἀναπτόμενον θερμὸν ἐν ταῖς κινήσεσι, καὶ τὸ συνεκκενούμενον πνεῦμα, καὶ ἡ αὐτῶν τῶν μυῶν ἔντασις. ἐξ ἐπιμέτρου δὲ, καὶ ἡ καθ' ἕκαστον μόριον ἀποκριτικὴ τῶν ἀλλοτρίων δύναμις. ὁ δὲ ἕτερος κόπος, ἐφ' οὗ συντάσεως αἰσθάνονται, τὸν σκοπὸν τῆς ἰάσεως ἔχει τὴν πρὸς ἱπποκράτους ὀνομαζομένην χάλασιν, ἐναντίων γὰρ τὸ τῇ συντάσει, καθάπερ τῇ σκληρότητι μάλαξις. ἔλεγε γοῦν ὧδε. δέρματος σκληροῦ, μάλαξις, συντεταμένου χάλασις. ὡς ἐναντίου ὑπάρχον, τῷ μὲν σκληρῷ τὸ μαλακὸν, τῷ δὲ συντεταμένῳ, τὸ χαλαρόν. χαλᾶται δὲ τὸ συντεταμένον ἐν μὲν ταῖς ἄλλαις διαθέσεσιν ἃς ἐν τῷ πέμπτῳ, περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως εἴπομεν ἑτέρως. ἐπὶ δὲ τῇ διὰ τὰ γυμνάσια, τρίψει μὲν ὀλίγῃ τε ἅμα καὶ μαλακῇ, δι' ἐλαίου γλυκέος ἐλευθέρως. ἀναπαύσει δὲ ὅλως, ἢ καὶ ἡσυχίᾳ, καὶ λουτροῖς εὐκράτοις, καὶ διατριβῇ πλέονι κατὰ τὸ θερμὸν ὕδωρ, ὥστε καὶ εἰ δὶς αὐτὸν ἢ τρὶς λούσαις ὀνήσεις μειζόνως. οὗτοι δὲ καὶ μετὰ τὰ βαλανεῖα ἀλείφεσθαι δέονται, πρὶν ἀμφιέννυσθαι, καὶ εἰ δι' ἱδρῶτά τινα τύχοιεν ἀπομάξασθαι τὸ λίπος, αὖθις ἀλείφεσθαι χρήζουσι. καὶ μέντοι καὶ κατὰ τὴν ἑξῆς ἡμέραν ἀναστάντες ἐκ τῆς κοίτης ἀλειφθῆναι δέονται. μηδὲ ποτ' ἄκρως ψυχρῷ, τῷ ἐλαίῳ, μηδὲ σκληρῶς ἀνατριβόμενοι. γίνεται δ' ὁ τοιοῦτος κόπος εὐχύμοις ἀνδράσι πονήσασιν εὔτονα μᾶλλον, ἢ ὀξέα γυμνάσια, καὶ δεινῶς ὀκνηρούς τε καὶ δυσκαμπεῖς ἐργάζεται τοὺς κοπωθέντας. οὐ μὴν πυκνοί τε καὶ φρικώδεις οἱ τοιοῦτοι φαίνονται, καθάπερ οἱ μικρῷ πρόσθεν εἰρημένοι. προσεσταλμένοι δ' οὐδὲν ἧττον ἐκείνων οὗτοι, καὶ αὐχμώδεις ὁρῶνται. καὶ θερμότερος τοῖς ἁπτομένοις εἶναι δοκοῦσιν. οὐ μόνον τῶν τὴν ἑλκώδη διάθεσιν ἐχόντων, ἀλλὰ καὶ σφῶν αὐτῶν ὅθ' ὑγίαινον. ὁ δὲ δὴ τρίτος τῶν κόπων ἐπὶ σφοδροτάταις γίνεται κινήσεσι, καὶ μόνος ἐξαίρει τοὺς μῦς ὑπὲρ τὸ κατὰ φύσιν, ὡς ἐοικέναι φλεγμονῇ τὴν διάθεσιν αὐτῶν. ταῦτά τοι καὶ ψαυόντων ὀδυνῶνται, καὶ θερμότεροι φαίνονται. ὀδυνῶνται δὲ καὶ ἢν αὐτοὶ καθ' ἑαυτοὺς ἐπιχειρήσωσι κινεῖσθαι. ἀήθεσι δὲ γυμνασίων αὐτοῖς ὁ τοιοῦτος κόπος ὡς τὰ πολλὰ συμπίπτει, γυμνάζεσθαι δ' εἰθισμένοις, ὀλιγάκις ἐγγίνεται κατὰ τὰς σφοδροτάτας τε ἅμα καὶ παμπόλλας κινήσεις. ἡ δὲ ἴασις αὐτοῦ τρεῖς ἔχει τοὺς σκοπούς. ὥσπερ σχεδόν τι καὶ τὰ φλεγμαίνοντα σύμπαντα, κένωσιν τοῦ περιττοῦ, καὶ ἀνάπαυσιν τοῦ συντεταμένου, καὶ ἀνάψυξιν τοῦ φλογώδους. ἔλαιόν τε οὖν πολὺ χλιαρὸν, αἵ τε τρίψεις μαλακώταται, καὶ ἡ ἐν τοῖς εὐκράτοις ὕδασι διατριβὴ πολυχρονιωτάτη, τοὺς τοιούτους ἰᾶται κόπους. εἰ δὲ καὶ βραχύ τι χλιαρώτερον εἴη τὸ ὕδωρ, ὀνήσει μᾶλλον. οὕτω δὲ καὶ ἡσυχία πολλὴ, καὶ ἀλείμματα συνεχῆ καὶ παύθ'

ὅλα, τὸ μὲν κεκμηκὸς ἀναπαύει τε ἅμα καὶ παρηγορεῖ, τὸ δὲ περιττὸν διαφορεῖ. τάχα δ' ἄν τις οἰηθείη, τὸν τοιοῦτον κόπον οὐχ ἁπλοῦν οὐδὲ τρίτον ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις δύο, σύνθετον δ' ὑπάρχειν ἐξ αὐτῶν οὐδὲν ἔχοντα πλέον τῆς τάσεως τῶν νευρωδῶν σωμάτων, καὶ τῆς ἑλκώδους αἰσθήσεως. τὴν γὰρ θερμότητα τοῖς τοιούτοις κόποις, ἄλλοις ἂν ὑπάρχειν φύσει, καθάπερ καὶ τῶν προειρημένων ἑκατέρων, οὐ μὴν συμπληρωτικήν γε τῆς ἐννοίας, ἢ τῆς οὐσίας εἶναι, ἀλλά τοι τό γε τοῦ παρὰ φύσιν ὄγκου τούτῳ τῷ κόπῳ μόνῳ παρὰ τοὺς ἄλλους ἐξαίρετον ὑπάρχει, καὶ τὸ τῆς ἀλγεινῆς αἰσθήσεως οὐχ ὅμοιον. ἔν τε τῷ τονώδει κόπῳ, καὶ τῷδε. τείνεσθαι μὲν γὰρ ἐν ἐκείνῳ, θλᾶσθαι δὲ τὰ νεῦρα σύμπαντα μέχρι καὶ τῶν ὀστῶν, οἱ τούτῳ τῷ κόπῳ κατεχόμενοι νομίζουσι. ὥστε κατά γε ταῦτα διαφοράν τινα ἐξαίρετον ἔχει παρὰ τοὺς ἄλλους δύο κόπους, οὐχὶ σύνθετος μόνον ἐστί. αὗται μὲν δὴ τρεῖς, εἴτε καταστάσεις σώματος εἴτε διαθέσεις, εἴθ' ὅτι βούλεταί τις ὀνομάζειν. ἄλλη δ' ἐπ' αὐταῖς τετάρτη παραπλησία μὲν ὑπάρχουσα κόπῳ, κόπος δ' οὐκ οὖσα τῷ μήτε τὴν ἑλκώδη, μήτε τὴν τονώδη, μήτε τὴν φλεγμονώδη διάθεσιν ἔχειν, ἀλλὰ μηδὲ φρίκην τινὰ μηδ' ἄλγημα, μηδὲ τὸν πρὸς τὰς κινήσεις ὄκνον ὅμοιον τοῖς κόποις ἐπιφέρειν, ἰσχνοτάτην δὲ μόνην, ἅμα ξηροτάτην. γίνεται μὲν οὖν ἐν εὐχύμοις τε ἅμα καὶ γυμναστικοῖς σώμασιν, ὅταν ἄμετρον γυμνασθέντα μὴ καλῶς ἀποθεραπευθῇ, διαφορεῖται γὰρ οὕτω τὰ περιττώματα, καὶ χαλᾶται τὰ τεταμένα, καὶ οὐδὲν ἄλλο ὑπολείπεται περὶ τὸ σῶμα, πλὴν ξηρότητος, ἣν ἐκ τῆς ἀμετροτέρας κινήσεως ἔσχον. δεῖται δὲ περὶ μὲν τὴν πρώτην ἡμέραν, οὐδενὸς ἐξηλλαγμένου παρὰ τὰ πρόσθεν. ὅτι μὴ θερμοτέρου τοῦ ὕδατος, ὡς συναγαγεῖν ἀτρέμα καὶ θερμᾶναι καὶ τονῶσαι τὸ δέρμα. περὶ δὲ τὴν δευτέραν, ἀποθεραπευτικοῦ γυμνασίου, βραχέος τε ἅμα καὶ μαλακοῦ, καὶ βραδέος. ἔν τε κινήσεσι καὶ τρίψεσι, καὶ τῆς δεξαμενῆς ὁμοίως θερμῆς. ἐκπηδάτωσαν δ' εὐθέως εἰς τὴν ψυχράν, ὑπὲρ τοῦ μένειν αὐτοῖς τὸν ἐν τῷ δέρματι τόνον ἅμα θερμότητι, καὶ γὰρ ἧττον ἐν τῷ μετὰ ταῦτα χρόνῳ διαφοροῦνται, καὶ ῥᾳδίως εἴς τε τὰς σάρκας καὶ τὸ δέρμα τὴν τροφὴν ἀναλαμβάνουσιν, οὗ μεῖζον ἀγαθὸν οὐδὲν εὕροις ἂν αὐτοῖς οὐ δὲ μίαν διάθεσιν ἐξαίρετον ἔχουσι παρὰ τὴν τῆς σαρκὸς ἰσχνότητα καὶ ξηρότητα. δεῖται γὰρ οἶμαι τό γε τοιοῦτον ἀνατραφῆναί τε ἅμα καὶ ὑγρανθῆναι, καὶ ταῦτ' ἄμφω κάλλιστ' αὐτῷ γίνεσθαι πέφυκεν ἐκ τῆς ὑγραινούσης τροφῆς. ἐπειδὴ δὲ ἅπαξ ἐμνημόνευσα τῆς ἐπὶ τοῖς λουτροῖς διαίτης, οὐ χεῖρον ἂν εἴη, καὶ τὰ περὶ τῶν κοπωδῶν διαθέσεων ἐπεξελθεῖν. ὁ μὲν οὖν ἑλκώδης κόπος εἰ μὴ ἱκανῶς ἀποθεραπευθείη, τῆς συνήθους δεῖται τροφῆς, ἤ τι βραχὺ μείονος. ἔτι δ' ὑγροτέρας τε ἅμα καὶ ἐλάττονος. εἰ δὲ περὶ τὴν ἀποθεραπείαν εἰς τὴν τετάρτην μεταπέσοι διάθεσιν, εἴωθε γὰρ οὕτω γίνεσθαι τὰ πολλά, κατ' ἐκείνην καὶ λουέσθω καὶ τρεφέσθω. ὁ δὲ τονώδης ἔτι δὴ καὶ μᾶλλον ὀλιγωτέρας δεῖται τῆς τροφῆς. ὁ δὲ φλεγμονώδης, ὑπὲρ ἅπαντας ὑγροτάτης τε καὶ βραχυτάτης, καίτοι καὶ ψυχρὸν ἐχούσης. εὐχύμου δ' ὁμοίως ἅπαντες οἱ κεκοπωμένοι δέονται τροφῆς. ὁποίᾳ δηλονότι καὶ ὑγιαίνων ὁ ὑποκείμενος ἐν τῷ λόγῳ νεανίσκος ἐχρῆτο. φυλάττεσθαι δὲ προσήκει τὸ γλίσχρον ἐν αὐτῇ κατά τε τὸν φλεγμονώδη καὶ τὸν ἑλκώδη κόπον, ὡς ἂν κωλῦον διαφορεῖσθαι τὰ περιττώματα. περὶ μέν τοι τὸν τονώδη, καὶ τὰ τοιαῦτα σιτία δοτέον ἀφαιροῦντα τοῦ πλήθους αὐτῶν. οὐδὲν οὖν θαυμαστὸν ἐναντιολογίαν εἶναι παμπόλλην οὐκ ἰδιώταις μόνον ἐν ἀλλήλοις, ἀλλὰ καὶ τεχνίταις πρὸς ἑαυτούς τε καὶ τοὺς ἰδιώτας. οὔτε περὶ γυμνασίων, οὔτε περὶ τρίψεων, οὔτε περὶ λουτρῶν, οὔτε περὶ διαιτημάτων ὁμολογοῦσιν ὑπὲρ τῶν κοπωθέντων. ἀκοῦσαι γοῦν ἐστι τῶν μὲν φασκόντων, ὡς κόπῳ χρὴ λύειν τὸν κόπον. ἑτέρων δὲ ὡς ἀνάπαυσις ἰᾶται τὸν κάματον, καὶ τῶν μέν, ὡς ἐνδεῶς χρὴ διαιτᾶσθαι τοὺς κοπωθέντας. ἄλλων δέ, ὡς οὐ μόνον ἀφαιρεῖν προσήκει τῶν εἰθισμένων, ἀλλὰ καὶ τοσούτῳ πλείω προσφέρειν, ὅσῳπερ ἔτυχε πλείω γυμνασάμενοι, ἀνάλογον γὰρ χρῆναι τοῖς πόνοις προσαίρεσθαι τὰς τροφάς. ἄλλων δ' ἔτι νῦν, ὡς οὔτε προστιθέναι χρὴ ταῖς τροφαῖς, οὔτ' ἀφαιρεῖν. οὕτω δὲ καὶ λούουσιν, οἱ μέν, εὐκράτοις ὕδασιν, οἱ δέ, θερμοτέροις, οἱ δὲ χλιαρωτέροις. ἥ τε γὰρ ἐμπειρία πρὸς ἐκεῖνο μόνον ἕκαστον ἀπάγει, πρὸς ὅπερ ἔτυχε θεασάμενος πολλάκις. ὅ, τε λόγος ὡς ἂν καὶ τέλειος ὑπάρχων ἑκάστῳ καθάπερ ἐδείκνυτο πρόσθεν. ἀλλὰ μίαν τινὰ διάθεσιν ἐκδιδάσκων κοπώδη, τὰς δ' ἄλλας ὥσπερ οὐκ οὔσας ὑπερβαίνων, ἐκείνης μόνης ἐκδιδάσκει τὴν ἐπανόρθωσιν, ἧς ἔγνω μόνης. ἀληθὲς γοῦν ἐστὶ καὶ τό, κόπῳ λύεσθαι τὸν κόπον, ὅταν γε δὴ φαίνηταί ποτε δέον εἶναι τοῖς ἐν τῇ προτεραίᾳ γυμνασίοις, ἴσα περὶ τὴν ὑστεραίαν γυμνάζεσθαι. καὶ τὸ τὴν ἴασιν κόπων, ἡσυχίαν ὑπάρχειν. τούτων γὰρ τὸ μέν, ἐν τοῖς περιττωματικοῖς κόποις, καὶ μάλισθ' ὅσοι περὶ τοὺς μῦς ἔχουσι τὰ περιττώματα. τὸ δ' ἐν τοῖς τονώδεσί τε καὶ φλεγμονώδεσι φαίνεται συμφέρον. ἀληθὲς δὲ καὶ τὸ χρῆναι τοὺς κοπωθέντας, ἐνδεῶς διαιτᾶσθαι. τοῦτο γοῦν ὁρᾶται τοὺς φλεγμονώδεις ὠφελοῦν. ἀληθὲς δὴ καὶ τὸ τὰ συνήθη διδόναι, τοῦτο γὰρ ἐπὶ τῶν ἑλκωδῶν ὅταν ἀποθεραπευθῶσιν ὀρθῶς τετήρηται γιγνόμενον. ὥσπερ γε καὶ τὸ πλείω λαμβάνειν, ἐπὶ τῆς ὁμοιουμένης τοῖς κόποις διαθέσεως, εἰς ἣν κἀκ τῆς ἑλκώδους ἔνιοι μεταπίπτουσιν οὕτω. δὲ καὶ τὸ λούειν εὐκράτοις ὕδασιν, ἀληθὲς ἐπὶ τοῖς περιττωματικοῖς κόποις. ἀληθὲς δὲ καὶ τὸ μὴ λούειν τοιούτοις ἐπί τε φλεγμονωδῶν, χλιαρωτέρων γὰρ οὗτοι δέονται, κἀπὶ τῆς ὁμοίας κόπῳ διαθέσεως, οὗτοι γὰρ οὐ χρῄζουσι θερμοτέρων. οἴονται δ' ἔνιοι καὶ τὴν τοιαύτην διάθεσιν εἶναι κόπον. ἕτεροι δέ τινες ὁποία μέν τις ἐστὶν ἡ διάθεσις οὐκ εἶπον, ὑφ' ὧν δ' ἂν ὑποψία τις ᾖ γεγενημένου κόπου, συμβουλεύουσι θερμοτέρῳ χρῆσθαι τῷ κατὰ τὸ λουτρὸν ὕδατι, καὶ προστιθέασι δὲ τὴν αἰτίαν, ὡς ἡμεῖς ἔμπροσθεν ἔφαμεν. οἱ μὲν ἀναδόσει φάσκοντες, οἱ δὲ θρέψει συντελεῖν τὸ τοιοῦτον λουτρόν, οὐ μὴν καθ' ὅν γέ τινα λόγον οἷά τε κωλύειν ἐστὶ κόπον, ἀναδόσεις καὶ θρέψεις ἐκδιδάσκουσιν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ὁποία τίς ἐστιν ἡ τοῦ κόπου διάθεσις, οὐδὲ τοῦτο γράφουσιν. οἱ γοῦν πλείους αὐτῶν οὐδὲν εἶπον. ἔνιοι δὲ τολμήσαντες εἰπεῖν, ἀπεφήναντο ξηρότητα. τὸ μὲν οὖν ὑπὸ τροφῆς θεραπεύεσθαι ξηρότητα. καὶ μάλιστα τῆς ὑγραινούσης, ὅπερ οὐ δι' αὐτὸ προστιθέασιν οἱ πλείους αὐτῶν, ἀληθέστατον. οὐ μὴν οὔτ' ἴαμα κόπων ἐστίν, οὔτε προφυλακὴ τὸ τοιοῦτον. ἀλλ' ὅταν ὡς εἴρηται ξηρότερα μὲν ἀπεργασθῇ τὰ μόρια, μήτε δὲ τάσις ᾖ κατ' αὐτὰ μηδεμία, μήτε περιττώματα λεπτὰ καὶ δριμέα, μήτε φλεγμονώδης διάθεσις, ἀνατρέφειν δήπου προσήκει τὰ διὰ τὴν κένωσιν ἐξηραμμένα, τροφαῖς ὑγραινούσαις. ὡς εἴ γε μὴ ἀναθρέψειας αὐτάρκως, ἰσχνότερον καὶ ξηρότερον ὄψει περὶ τὴν ἑξῆς ἡμέραν ἑαυτοῦ τὸ σῶμα, καὶ ταύτην τὴν διάθεσιν ἔνιοι κόπον ὑπο-

λαβόντες

λαβόντες ὑπάρχῃ, οἴονται θερμοτέρῳ λουτρῷ καὶ τροφῇ δαψιλεῖ κεκωλυκέναι τὴν γένεσιν αὐτῶν. ἀλλ' ἐκεῖνο
θαυμάζειν ἔνιον ἄξιον, ὥσπερ καὶ θέωνος, εἰ τὸν ἤδη γεγενημένον κόπον οὐκ ἀξιοῦσιν ὁμοίως ἰᾶσθαι. εἴτε γὰρ ἣν νῦν
εἴρηκα διάθεσιν ὑπολαμβάνει τις εἶναι κόπον, ἀναθρέψει χρὴ λύειν αὐτὸν καὶ κωλύειν γενέσθαι. εἴτε τῶν ἄλλων τινὰ
τῶν ὄντως κόπων. ἐνδέχεσθαι δ' ἐπὶ πάντων χρὴ τρέφεσθαι τὸν ἄνθρωπον, ἔτι τε προσδοκωμένων καὶ ἤδη γεγονό-
των. οὐ δὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν ὡς ἥ τε τοιαύτη διάθεσις ἡ παρακειμένη τοῖς κόποις, εἰ μὴ κατὰ τὴν πρώτην ἡμέραν
ἐπανορθωθείη δι' εὐτροφίας, εἰς ἕνα τῶν τριῶν μεταπίπτειν εἴωθεν. εἰ μὲν γὰρ αὐτὸ τοῦτο μόνον εἴη κατ' αὐτὴν ἡ
ξηρότης, ἰσχνότητος οὐδὲν ἀκολουθήσει πλέον. εἰ δὲ καὶ θερμότητός τι ξυνείη, πυρέξαι κίνδυνος. οὐ μὴν ταυτόν γ'
ἐστι κόπος καὶ πυρετὸς, εἰ καὶ ὅτι μάλιστα τῶν κοπωθέντων ἐπύρεξαν ἔνιοι. θαυμάζειν γοῦν ἐπέρχεταί μοι θέωνος, ἐν
τῷ τετάρτῳ τῶν κατὰ μέρος γυμνασίων, ἐν οἷς περὶ τοῦ τελείου γυμνασίου διεξέρχεται, τάδε γράφοντος. καὶ κό-
που τινὸς τοῖς οὕτω γυμνασθεῖσιν, ὡς τὸ πολὺ τῇ ἑξῆς ἡμέρᾳ παρακολουθοῦντος, ἡ ξηρολουσία παραιτεῖται τὴν
πρὸς τὸν κόπον ἐπιτηδειότητα, πυροῦσα τὴν ἐπιφάνειαν. ἵνα αὕτη σικύας τρόπον τὴν λαμβανομένην τροφὴν
ἐπισπωμένη, τοῖς κεκμηκόσι ἀντιδιέληται νεύροις. οὗτος μὲν γὰρ πρὸς τοῖς ἄλλοις ὥσπερ αἴνιγμά τι τὸ ἀντι-
διέληται ῥῆμα παρέλαβεν ἐν τῷ λόγῳ. δύναται μὲν γάρ τις ἀκούειν ἐπιφάνεια σικύας τρόπον ἐπισπωμένη τὴν τρο-
φὴν μέρος ἐξ αὐτῆς τι καὶ τοῖς νεύροις παρέχει. δύναται δὲ καὶ τοὐναντίον, ἵνα ἡ ἐπιφάνεια σικύας τρόπον, ἐφ'
ἑαυτὴν ἀντισπῶσα τὴν ἐπὶ τὰ νεῦρα φερομένην τροφὴν, μερίζηται. ὥς τε κατὰ μὲν τὸν πρότερον λόγον, εἰς
εὐτροφίαν τοῖς νεύροις ἐπιτηδεύεσθαι θερμανθὲν τὸ δέρμα. τοῦτο γὰρ ἡγοῦμαι λέγειν αὐτὸν ἐπιφάνειαν. κατὰ δὲ τὸν
δεύτερον, εἰς ὀλιγοτροφίαν. ὅσον μὲν οὖν ἐπ' αὐτῇ τῇ ῥήσει τὴν γνώμην τοῦ θέωνος, οὐκ ἄν τις ἐξεύροι. ἐξ ὧν
δ' ἐν ἄλλοις τε λέγει κἂν τῷ ιϛ. τῶν γυμναστικῶν ἐλάττονα τροφὴν βούλεται δίδοσθαι μετὰ τὸ τέλειον γυμνάσιον.
καίτοι γ' οὐδ' αὐτὸ τοῦτο διωρίσατο τινὶ ποτὲ λογισμῷ συμβουλεύει. δίδοται γὰρ ἐλάττων τροφὴ τῆς συνήθους ἢ
τῷ μὴ δεῖσθαι τῆς ἴσης, ἢ τῷ μὴ δύνασθαι πέψαι. τὸ μὲν οὖν πρότερον, οὐκ ἀληθὲς ἐπὶ τῶν πολλὰ γυμναζομένων.
τὸ δὲ δεύτερον ἐστὶν ὅτε μὲν ἀληθὲς ἐστὶν ὅτε δὲ ψευδὲς εἰ μὲν γάρ. ἀῤῥωστοτέραν ἔχει τὴν πεπτικὴν δύναμιν,
ἀληθὲς, εἰ δὲ μὴ ταύτην, ἀλλ' ἑτέραν τινα, ψευδές. ἀκούειν δὲ χρὴ πεπτικὴν δύναμιν οὐ τὴν ἐν γαστρὶ μόνον, ἢ
φλεψὶν, ἢ καθ' ἧπαρ, ἀλλὰ καὶ τὴν καθ' ἕκαστον μόριον, ὥσπερ ἐν τοῖς περὶ τούτων, τὴν ἐν τοῖς μυσίν. ἐν οἷς δὴ καὶ μάλιστα
ἐστὶν ἡ διάθεσις, ὑπὲρ ἧς διαλέγομαι, διαφορηθέντες γὰρ ἐπὶ πλέον ἐν τοῖς γυμνασίοις ἰσχνότερον τε καὶ ξηρότε-
ρον γίνονται. εἰ μὲν οὖν ἐπ' ὀλίγον αὐτοῖς ταῦτα συμβαίνει, κατεργάζεσθαι δύνανται τροφὴν ὥσπερ δέονται. εἰ δ' ἐ-
πὶ πολὺ τοῦ κατὰ φύσιν ἀποκεχωρήκασιν, ἀδυνατοῦσιν. ὧν οὐδὲν ὁ θέων ὅλως οὔτ' ἐγνωκὼς ἔοικεν, οὔτε διωρίσατο. τὴν ἀρ-
χὴν γὰρ, οὐδ' ἐκ λόγου τινος, ἀλλ' ἐξ ἐμπειρίας, ὡς καὶ αὐτὸς ὁμολογεῖ, τὸ θερμότερον ὕδωρ, ἐπὶ τοῦ τελείου γυμ-
νασίου χρήσιμον ὑπάρχον ἐτήρησεν. οὕτως οὖν ἐφεξῆς γράφει. τοῦτο δὲ εἰ μὲν καὶ τὸν λόγον ἔχει παρακείμενον,
εὐτυχήματος ἔργον. εἰ δὲ μή γε, τὸ πρὸς τῶν ἀποτελεσμάτων ἐπιμαρτυρούμενον οὐ παραδεκτέον, εἰ μὴ καὶ τὸν λό-
γον ἐξ ἄκρου ἔχει συμπροσπίπτοντα. εἰ μὲν οὖν ἀκριβῶς ἐξευρὼν τὴν διάθεσιν ἐφ' ἧς τὸ θερμὸν ὕδωρ ἐπαινεῖ, τὴν
αἰτίαν ἀγνοεῖν ὁμολογεῖ συγγνωστὸς ἂν ἦν εἰκότως. ἐπεὶ δ' ἁπλῶς εἶπεν ἐπὶ τῶν τελείων γυμνασίων ἁρμόττειν
τὰς ξηρολουσίας, οὕτω γὰρ αὐτὴν καὶ ὀνομάζει, δύνανται δὲ πολλαὶ διαθέσεις ἀκολουθῆσαι τῷ τοιούτῳ γυμνασίῳ, μέμ-
ψαιτ' ἄν τις αὐτῷ μὴ διορισαμένῳ περὶ πασῶν ἐφεξῆς. αὐτὸς γὰρ οἶδε καὶ τὸν φλεγμονώδη κόπον ἀκολουθοῦντα
τῷ τοιούτῳ γυμνασίῳ καθ' ὃν εἰς ὄγκον μείζονα τοῦ κατὰ φύσιν ἐξαίρεται τὰ πεπονηκότα. καὶ τὸν ἕτερον ὃν ἐνίᾳ γρά-
φει τῷ κοινῷ συμπτώματι προσέχων τὸν νοῦν, ὅπερ ἀντίκειται τῷ παρὰ φύσιν ὄγκῳ. λεπτότεροι μὲν γὰρ ἐν τοῖς
ἄλλοις δύο κόποις ἀποτελοῦνται, καὶ πρὸς ἔτι γε τῇ δὲ διαθέσει, περὶ ἧς ὁ λόγος συνέστηκεν. ἀλλ' οὐχ ὥσπερ ἐν κοι-
νὸν συμπτωμάτων τριῶν διαθέσεων ἐστὶν οὕτω καὶ ἡ διάθεσις μία. κατὰ μὲν οὖν τὴν ἐπὶ τῇ τάσει τῶν νευρωδῶν
σωμάτων, οὐ χρὴ λούειν θερμοτέρῳ τοῦ συνήθους. οὕτω δὲ, οὐ δὲ κατὰ τὴν ἐπὶ τοῖς περιττώμασι. κατὰ δὲ τὴν ἄνευ τούτων
ἰσχνότητα, συμφέρει λούειν θερμοτέρῳ, τοῦ συμμέτρου. γίνεται γὰρ ἡ διάθεσις αὕτη διαφορηθέντων ἐπὶ πλέον
ἐν τοῖς γυμνασίοις τῶν σωμάτων οὕτως, ὡς ἐν ταῖς μακροτέραις ἀσιτίαις εἴωθε συμβαίνειν, ὥστε καὶ ἡ ὑπανόρ-
θωσις αὐτῶν, προσθέσει τε καὶ ἀναπληρώσει τοῦ κινωθέντος ἐστίν. οὐ δύναται δ' αὕτη γενέσθαι, τοῦ δέρματος ἀραιοῦ
μένοντος, συναγαγεῖν οὖν αὐτὸν χρὴ καὶ πυκνῶσαι καὶ σφίγξαι πρότερον. εἰ μέλλοι τι τῆς δαψιλοῦς τροφῆς ὄφε-
λος ἔσεσθαι. συνάγει δὲ καὶ στέγει, τό, τε ψυχρὸν ὕδωρ καὶ τὸ ζέον. ἀλλ' ὑπὸ μὲν τοῦ ψυχροῦ, κίνδυνος βλαβῆναι
τὸν ἄνθρωπον, ἀραιότερόν τε ἅμα καὶ κενὸν ἐπὶ τῷ πλήθει τῶν γυμνασίων γεγενημένον. ὑπὸ δὲ τοῦ ζέοντος βλά-
βη μὲν οὐ δὲ μία, πυκνότης δ' ἀσφαλὴς ἐγγίνεται τῷ δέρματι, συνεπιλαμβάνουσά τι καὶ τῆς ἐγκαταλειπομένης αὐτῷ
θερμότητος. ὅθεν οὐ δὲ χρονίζειν ἐπὶ πλέον ἐν τῷ ψυχρῷ προσήκει τὸν οὕτως λουσάμενον. ἀλλ' ὥσπερ αὐτὸς ὁ θέων
τοῦτό γε παρετήρησεν ὀρθῶς, φυλακτέον ἐστὶ τὴν ἐν τῷ ψυχρῷ διατριβὴν, ὡς τὴν ἐκ τῆς ξηρολουσίας ἀναλύουσαν
ὠφέλειαν. ἡ δὲ αἰτία τοῦ σφαλῆναι τὸν θέωνα τὸ μιᾷ διαθέσει συμφέρον ὡς πάσαις ἁρμόττον γράφοντα, τῶν
γυμναζομένων ὑπ' αὐτῶν σωμάτων, ἡ ἕξις ἐστίν. ἀθλητὰς γὰρ ἐγύμναζε τοὺς μετὰ τὸ τέλειον γυμνάσιον εἰς μὲν
τὴν τετάρτην διάθεσιν ἑτοίμως ἐμπίπτοντας, εἰς δὲ τὴν τρίτην, σπανιάκις. ὥσπερ οὖν ἐθεάσατο πολλάκις,
ο]ὕς διηνεκὲς ἔγραψεν. εἰ δὲ καὶ κακοχύμους ἢ καχέκτους, ἢ ἀηθεῖς γυμνασίων, ἢ ἀσθενεῖς, ἢ μὴ νεανίσκους ἐγύμναζε,
σ]πανιάκις μὲν εἰς τὴν τοιαύτην διάθεσιν ἐμπίπτοντας ἐθεάσατο, μυριάκις δ' εἰς τὰς ἄλλας. ἢ τοῦτο μὲν καὶ λέγειν
[ἴ]σως περιττὸν, αὐτὸς γὰρ ὁμολογεῖ μετὰ τὰ κατασκευαστικὰ γυμνάσια χρῆσθαι τῇ ξηρολουσίᾳ, τὰ δὲ τοιαῦτα γυμ-
ν]άσια μόνοις ἀθληταῖς ἐπιτηδεύεται, καίτοι φησί τις ὡς ἐκείνοις μὲν ἔχουσι καὶ κατὰ περίοδον, ἄλλοις δὲ πολλοῖς,
δ]ιὰ ἀνάγκην, ἢ φιλονεικίαν, ἔτι τοιοῦτον ἕτερον. ἀλλ' ἐπί γε τῶν τοιούτων, ἐπὶ τοῖς ἀμέτροις γυμνασίοις, ἀνάγκη
π]ρότερον, ἢ καὶ μίαν, ἢ καὶ πλείους συστῆναι κόπων διαθέσεις. ὥς τε μόνοις τοῖς εὐεκτικοῖς σώμασιν ἡ τετάρ-
τ]η γίγνεται διάθεσις, οἷάπερ ἐστὶ τά τε τῶν καλῶς ἀγομένων ἀθλητῶν καὶ τοῦ νῦν ἡμῖν ἐν τῷ λόγῳ προκειμένου
ν]εανίσκου. εἴ τις ἁπλῶς ἀποφαίνοιτο μετὰ σφοδρότατα γυμνάσια τὴν τοῦ θερμοτέρου λουτροῦ χρῆσιν ἐπιτή-
δ]ειον ὑπάρχειν, ἐπὶ μιᾶς μὲν ἀληθεύσει καταστάσεως, ἐπὶ τριῶν δὲ ψεύσεται, πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα,

καθ' ὅλην τὴν ὑγιεινὴν πραγματείαν ἰατροῖς τε καὶ γυμνασταῖς γέγραπται ψευδῆ. κεφάλαιον δ' αὐτῶν ἐστι, τὸ τῆς τηρήσεως ἀδιόριστον, ὅταν ὅπερ ἐπὶ μιᾶς ἕκαστος ἐθεάσατο διαθέσεως, ἐπὶ πολλῶν ἀναγράφῃ. καὶ μὲν δὴ καὶ ἔτι τις ἐστὶ διάθεσις ἐγγύς τι ταῖς προειρημέναις. ἣν ὀνομάζω στέγνωσιν, ὑπὲρ ἧς ἐπειδὰν συμπεραίνωμεν τὸν ἐπὶ τοῖς κόποις λόγον ἐφεξῆς ἐρῶ. αἱ μὲν γὰρ ἁπλαῖ διαφοραί, τρεῖς αὐτῶν εἰσιν, ὑπὲρ ὧν ἤδη μοι λέλεκται. κατὰ συνδύο λαμβανομένων, ἄλλαι γίνονται τρεῖς. ἑβδόμη δ' ἐπὶ πάσαις ἐστίν, ἡ τῶν τριῶν ἅμα συνερχομένων. ἡ μὲν διάγνωσις αὐτῶν ἐστιν, ἐκ τοῦ συνδυάζεσθαι τὰ γνωρίσματα. σκοπὸς δὲ τῆς ἐπανορθώσεως, ὁ μὲν κοινὸς ἁπασῶν, ἀποβλέποντα πρὸς τὸ ἐπικρατοῦν, μὴ μὴν τοῦ λοιποῦ παντάπασιν ἀμελεῖν. ὁ δ' ἴδιος ἐπὶ τῷ κοινῷ κατὰ τὰς ἐν μέρει διαθέσεις λαμβάνεται. πάσας μὲν οὖν ἐπέρχεσθαι τὰς συζυγίας μακρόν, ἕνεκα δὲ σαφηνείας ἐπὶ μόνου παραδείγματος ὁ λόγος περανθήσεται. ἐὰν τοίνυν ὄγκος τε ἅμα περὶ τοὺς μῦς ὑπάρχῃ καὶ τεθλᾶσθαι δοκῶσιν αὐτούς, καὶ ἡ ἑλκώδης αἴσθησις ἢ τονώδης κόπος ἅμα τῷ περιττωματικῷ κατείληφε τὸν ἄνθρωπον, ἡ θεραπεία γενήσεται στοχαζομένη μὲν ἀμφοῖν, ἀλλὰ μᾶλλον τοῦ μείζονος. οὐχ ἁπλῆ δ' ἐν ἅπασι τοῖς οὖσιν ἡ τοῦ μείζονος φύσις ἀλλ' ἡ μέν, κατὰ δύναμίν τε καὶ τὸ οἷον ἀξίωμα τοῦ πράγματος. ἡ δέ, κατὰ τὴν οἰκείαν οὐσίαν. ἀξιώματι μὲν οὖν καὶ δυνάμει μείζων ἐστίν, ὁ φλεγμονώδης κόπος τοῦ περιττωματικοῦ. κατὰ δὲ τὴν οἰκείαν οὐσίαν ἑκάτερος αὐτῶν οὕτω δύναται γενέσθαι, μέγας τε καὶ μικρός, ὡς εἰ καὶ κατὰ μόνας ἑκάτερος ἦν. εἰ μὲν οὖν ἴσον ἐξέστηκε τοῦ κατὰ φύσιν ἑκάτερος, ὁ φλεγμονώδης, ἐφ' ἑαυτὸν ἐπισπάσεται τὸ κῦρος τῆς θεραπείας, ἐπικρατῶν γε κατὰ δύναμιν. ἂν δ' ὀλίγον μὲν ὁ φλεγμονώδης πλεῖστον δ' ὁ ἑλκώδης ἀποκεχώρηκε τοῦ κατὰ φύσιν, ἐπισκεπτέον εἴτε τοσοῦτον ὑπερέχει κατὰ τὸ μέγεθος ὁ ἑλκώδης, ὅσον ὁ φλεγμονώδης κατὰ δύναμιν. εἴτ' ἔλαττον, εἴτε μεῖζον, καὶ οὕτως ἐξευρίσκειν τὸν ἐπικρατοῦντα, κἂν ἰσοσθενεῖς δέ ποτε φαίνωνται, πρὸς ἀμφοτέρους ὁμοίως ἀποβλεπτέον. αὕτη μὲν οὖν ἡ μέθοδος ἔστω σοι κοινὴ πασῶν τῶν ἐπιπεπλεγμένων διαθέσεων. ὥσπερ δ' οἱ κόποι τρεῖς ὄντες εἶτ' ἀλλήλοις ἐπιπλεκόμενοι τέτταρας ποιοῦσι τὰς συζυγίας. οὕτως εἰ καὶ τὴν τετάρτην αὐτοῖς ἐπιπλέξειέ τις διάθεσιν, αἱ συζυγίαι πολλῷ πλείους γενήσονται. μάθοις δ' ἂν ἐναργῶς, ὃ λέγομεν ἐπὶ διαγράμματος. ἔστω δ' ἐν αὐτῷ πρώτη μὲν διάθεσις, ἡ ἑλκώδης. δευτέρα δέ, ἡ τονώδης. τρίτη, ἡ φλεγμονώδης. τετάρτη, ἡ τῆς ἰσχνότητος. ἡ τοίνυν ἡ πρώτη μετὰ τῆς δευτέρας συστήσεται διαθέσεως, ἢ μετὰ τῆς τρίτης, ἢ μετὰ τῆς τετάρτης. ἢ πάλιν ἡ δευτέρα μετὰ τῆς τρίτης, ἢ τῆς τετάρτης. ἢ πάλιν ἡ τρίτη μετὰ τῆς τετάρτης, ὥστ' εἶναι τὰς πάσας ἓξ συζυγίας, ἀνὰ συνδύο λαμβανομένων τῶν διαθέσεων. ἄλλας δ' αὖ τέτταρας, ὅταν ἅμα τρεῖς ἐπιπλέκωνται διαθέσεις ἀλλήλαις, ἤτοι γὰρ ἡ πρώτη μετὰ τῆς δευτέρας καὶ τρίτης, ἢ μετὰ τῆς δευτέρας καὶ τετάρτης, ἢ μετὰ τῆς τρίτης τε καὶ τετάρτης πάλιν. ὑστάτη δὲ πασῶν ἐπιπεπλεγμένη διάθεσις ἔσται τῶν τεττάρων ἅμα διαθέσεων ἀλλήλαις μιγνυμένων. ὥστ' εἶναι τὰς πάσας ἕνδεκα τὸν ἀριθμόν. ἦσαν δέ γε καὶ αἱ τῶν ἁπλῶν τέτταρες. γενήσονται τοίνυν αἱ σύμπασαι πεντεκαίδεκα, πρώτη ἑλκώδης, δευτέρα τονώδης, τρίτη φλεγμονώδης, τετάρτη ἰσχνότης. αβ. αγ. αδ. βγ. βδ. γδ. αβγ. αβδ. αγδ. βγδ. αβγδ. εἰ δὲ καὶ τὰς τῆς στεγνώσεως διαφορὰς ἐπιπλέκοις ἀλλήλαις τε καὶ ταῖς πεντεκαίδεκα, παμπληθεῖς ἑτέρας ἐργάσῃ συζυγίας. εἰ καὶ τὰς τῆς ἀπεψίας αὐτοῖς, ἢ τὰς ἐπὶ τοῖς ἀφροδισίοις, ἢ ταῖς ἐγκαύσεσιν, ἢ ταῖς ἀγρυπνίαις, ἢ ταῖς λύπαις ἐπιπλέξειας καταστάσεις τοῦ σώματος, οὐδ' ἀριθμηθῆναι ῥᾳδίως ἅπασαι δυνήσονται, καὶ οὔπω λέγω τὰς τῆς πληθώρας, ἢ κακοχυμίας, ἢ ἐπισχέσεως γαστρός, ἢ διαρροίας, ἢ ἐμέτων, ἢ βάρους κεφαλῆς, ἢ τινὸς ἄλλου μέρους, ἢ ὅλως ὅσαι κατά τι σύμπτωμα συνίστανται. λεχθήσεται μὲν αὖθις ὑπὲρ τῶν τοιούτων ἁπάντων, ἀλλὰ νῦν γε τούτου χάριν ἐπεμνήσθην αὐτῶν, ὑπὲρ τοῦ δεῖξαι τὸ πλῆθος τῶν ἐπιπλοκῶν ὁπόσον ἐστί. θαυμάσαι γὰρ οἷόν τινα τοὺς ἐπὶ τοῖς ἀθροίσμασιν αὐτῶν ἃς ὀνομάζουσι συνδρομήν, ἢ τοι θεραπείαν, ἢ πρόγνωσιν τῶν ἀποβησομένων ἐπαγγελλομένους τετηρηκέναι. καθ' ἕνα γὰρ τρόπον οἷόν τ' ἐστὶ καὶ προγνῶναι καὶ θεραπεῦσαι δεόντως ὡς Ἱπποκράτης ἐδίδαξεν ἑκάστου τῶν ἁπλῶν πραγμάτων. ἀξιῶν ἐπίστασθαι τὴν δύναμιν, ὡς ἐγὼ νῦν ἐπέδειξα περὶ τεττάρων διαθέσεων. εἰ μὲν γὰρ ἑκάστη καθ' ἑαυτὴν συσταίη, τὴν ἐπανόρθωσιν ἁπλῆν ἐνδείξεται. μιχθεῖσα δ' ἑτέρᾳ κατὰ τὴν ὀλίγον ἔμπροσθεν εἰρημένην μέθοδον, ὑπὲρ ἁπασῶν τῶν ἐπιπεπλεγμένων διαθέσεων. ἐὰν ποτ' οὖν οὕτω φαίνεται τότ' ἐστὶν ἰτέον ἐπὶ τὰς ἁπλᾶς διαθέσεις. ὧν ἐφεξῆς ταῖς εἰρημέναις ἦσαν αἱ κατὰ στέγνωσιν, οὕτω δ' ὀνομάζω τὴν βλάβην τῶν πόρων, ἐφ' ᾗ κωλύεται διαφορεῖσθαι τὰ περιττώματα. γίνεται δ' αὕτη δι' ἔμφραξιν ἢ πύκνωσιν, ἣν δὴ καὶ μύσιν ὀνομάζουσι τῶν πόρων. ἔμφραξις μὲν οὖν, ὑπὸ γλίσχρων ἢ παχέων γίνεται περιττωμάτων ἀθροώτερον ὁρμησάντων ἐπὶ τὸ δέρμα. πύκνωσις δέ, ὑπό τε τῶν στυφόντων καὶ ψυχόντων. ἀλλ' ἐμφράξει μὲν ἁλῶναι τὸ προκείμενον ἐν τῷ λόγῳ σῶμα κατὰ τὴν εἰρημένην ἐπιμέλειαν ἀγόμενον, οὐκ ἐγχωρεῖ. πυκνωθῆναι δὲ δύναταί ποτε διά τε κρύος καρτερὸν καὶ λουτρὸν στυπτηριῶδες. ἐγχωρεῖ δέ ποτε καὶ μετὰ βαλανεῖον, ἢ ἱδρῶτα, καὶ ἄλλως ἀραιοῦ τοῦ δέρματος ἔκ τινος ἑτέρας αἰτίας γενομένου καταπνεύσασαν αὔραν, ἔμφραξίν τινα καὶ πύκνωσιν ἀποτελέσαι. διαγινώσκεται μὲν οὖν ἡ εἰρημένη διάθεσις, εὐθὺς μὲν ἀποδυόντων ἀχροίᾳ τε λευκῇ, καὶ σκληρότητι, καὶ πυκνότητι τοῦ δέρματος. κατὰ δὲ τὸ γυμνάζεσθαι, τῷ δυσεκθερμάντω, οὔτε γὰρ ἱδροῦσιν ὁμοίως ὡς πρόσθεν, οὔτ' εὐχροοῦσιν. ἀλλ' εἰ καὶ βιάσαιτο τῇ εὐτονίᾳ τῶν γυμνασίων ἱδρῶτός τι προσκαλέσασθαι, καὶ μείων οὗτος γίνεται τοῦ συνήθους καὶ ψυχρότερος, καὶ ἧττον ἀτμώδης. ἡ δ' ἴασις τῆς τοιαύτης διαθέσεως, θέρμανσις ἐστίν. ἐναντίον γὰρ τοῦτο τῇ ψύξει. συντονωτέροις τε γυμνασίοις χρηστέον ἐστί, καὶ βαλανείοις θερμοτέροις, ἄμεινον δὲ καὶ καλινδεῖσθαι κατὰ τὸν πρῶτον οἶκον ἐπὶ ἐλαίου λιπαρῶς. ἔστω δὲ καὶ τὸ ἔλαιον τῶν χαλαστικῶν, οἷόν περ ἐστὶν ἐν Ἰταλίᾳ τὸ Σαβῖνον. ἄμεινον δ' ἐπὶ τῶν τοιούτων διαθέσεων ἐτῶν εἶναι δύο ἢ τριῶν αὐτό, καὶ γὰρ λεπτομερέστερον τοῦτο καὶ θερμότερον. ἡ δὲ ἐν τῇ ψυχρᾷ κολυμβήθρᾳ διατριβή, μὴ πολυχρόνιος γενέσθω, μηδ' αὐτὸ τὸ ὕδωρ ἔστω ψυχρόν. ἐνδύεσθαι δὲ μέλλοντες, ἀλειφέσθωσάν τινι τῶν μετρίως θαλπόντων, ἐλαίων μὲν ὅσα γε κατ' Αἴγυπτόν εἰσι. κικίνῳ τε καὶ ῥαφανίνῳ. κατὰ δὲ τὴν ἄλλην οἰκουμένην τῷ γλυκεῖ καὶ λεπτομερεῖ καὶ μετρίως παλαιῷ. μύροις δὲ σουσίνῳ τε καὶ γλευκίνῳ καὶ ἰρίνῳ, καὶ ἀμαρακίνῳ καὶ

ξηρίνῳ καὶ κομμακίνῳ. τὸ μὲν δὴ γλεύκινον ἀκριβῶς ἐστὶν ἄκοπον καὶ χαλαστικόν, ὥς τε καὶ τοῖς ἰσχυρῶς κοπωθεῖσιν ἐπιτήδειον ὑπάρχει. βραχὺ δὲ αὐτοῦ τὸ σούσινον θερμότερον ὄν, καὶ χαλαστικώτερον. ἴρινον δὲ καὶ ἀμαράκινον, καὶ κομμακινὸν ἱκανώτερον τούτου θερμαίνει. ὥς τε καὶ ταῖς καλουμέναις ἰδίως ψύξεσι χρήσιμα τετύχηκεν ὄντα. τὰς μέντοι πυκνώσεις τοῦ δέρματος αὐτάρκως ἰᾶται, καὶ τὸ ἀνήθινον ἔλαιον, καὶ μάλιστ' εἰ χλωρὸν εἴη τὸ ἄνηθον. ἁρμόττει δὲ ταῖς τοιαύταις διαθέσεσιν, ὥσπερ οὖν καὶ τοῖς ἰσχυροῖς κόποις. τὸ διὰ τοῦ σπέρματος τῆς ἐλάτης ἄκοπον. εἰρήσεται δὲ ἐν τοῖς ἑξῆς ὅπως χρὴ σκευάζειν αὐτό, νυνὶ μὲν γάρ μοι δοκῶ καὶ ταῦτα περαιτέρω τῆς ὑποθέσεως εἰρηκέναι. τῷ γὰρ ἄριστα κατεσκευασμένῳ, τὸ σῶμα καὶ βίον ἐλεύθερον ἐπανῃρημένῳ καὶ μηδὲν αὐτῷ πλημμελοῦντι καὶ τὸν ἐπὶ τὰ τοιαῦτα τῆς ὑγείας ἄριστον ἔχοντι, τὰς νοσωδεστέρας διαθέσεις οὐ πάνυ τι συμπίπτειν εἰκός. ἐπανέλθωμεν οὖν αὖθις ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, καὶ παραλείποντες ἐγκαύσεις καὶ ψύξεις καὶ ἀπεψίας καὶ διαρροίας ὅσα τ' ἄλλα τοιαῦτα, βέλτιον γὰρ εἰς ἕνα λόγον ἀναβάλλεσθαι σύμπαντα ταῦτα, τὸ περὶ τῶν νοσωδῶν συμπτωμάτων ἐπιγραφησόμενον, ἐν τῷ παρόντι περὶ τῶν ἐπ' ἀφροδισίοις γυμνασίων ἐπισκεψώμεθα. καὶ γὰρ διαπεφώνηταί πως ὑπὲρ αὐτῶν. ἐνίων μὲν οἰομένων οὕτω χρῆναι γυμνάζειν ἐπ' αὐτοῖς ὡς τὸ καλούμενον ἀποθεραπευτικόν, ἐνίων δὲ ὡς κατὰ τὸ παρασκευαστικόν, ἔστω δή που τὸ παρασκευαστικόν, γυμνάσιον οὐδὲ τῇ ποσότητι τῶν κινήσεων, ἔλαττον τοῦ συμμέτρου, κατὰ δὲ τὴν ποιότητα, συντονώτερόν τε καὶ ὀξύτερον. οἱ μὲν οὖν ἀποθεραπεύειν ἀξιοῦντες ὥσπερ τοὺς ἀπὸ καμάτου, τήν τε κατάλυσιν τῆς δυνάμεως ὑφορῶνται, καὶ τὴν ξηρότητα τοῦ σώματος. ἄμφω γὰρ ταῦτα πάσχομεν ἐπ' ἀφροδισίων τε καὶ πλήθει τῶν γυμνασίων. οἱ δὲ τῷ παρασκευαστικῷ χρῆσθαι γυμνασίῳ, τὴν ἀραιότητα καὶ τὸ εὐίδρωτον. ὥσπερ ἐπιτείνεσθαι μὲν ὑπὸ τῶν ἀποθεραπευτικῶν, ἐπανορθοῦσθαι δ' ὑπὸ τῶν παρασκευαστικῶν. ἐγὼ δ' ἑκατέρους ἐπαινέσας ὡς ἑωρακότας ἐκ μέρους τὸ ἀληθές. εἰς ταυτὸν συνθήσω τὰς δόξας αὐτῶν. ὅτι μὲν γὰρ ἀῤῥωστῆσαί τε χρὴ τὴν δύναμιν καὶ σφίγξαι τὴν ἀραιότητα, καὶ μὴ παραυξῆσαι τὴν ξηρότητα, συγχωροῦσιν ἑκάτεροι. λείπει δ' αὖ εἷς διορισμὸς ἀμφοτέροις. ὥσπερ ἐν ταῖς ἐπιπεπλεγμέναις ἁπάσαις διαθέσεσιν ὑφ' ἡμῶν ἔμπροσθεν εἴρηται, ῥηθήσεται δὲ καὶ νῦν οὐδὲν ἧττον. ἐπειδάν γε εἰς ταυτὸν συναχθῶσι πλείους διαθέσεις, εἰ μὲν ἕνα τρόπον ἐνδεικνύμεναι θεραπείας, ἐπιτείνεσθαι χρὴ τὸν τρόπον. εἴπερ εἰ κατὰ μόνας ἑκάστη τῶν διαθέσεων ἦν. εἰ δ' ἐναντιούμενα, τὰ κατὰ τὴν ἐπικρατοῦσαν διάθεσιν ἐπανορθωτέον ἐστὶ πρότερον, οὐ δὲ τῶν ἄλλων ἀμελοῦντας τὸ πάμπαν. ὅσοι μὲν οὖν ἤτοι δι' ἡλικίαν, ἢ καὶ ἄλλως ἀσθενεῖς ὑπάρχοντες ἀφροδισίοις ἐχρήσαντο, τούτοις μὲν ἀναγκαῖον ἐστὶν ἐπικρατεῖν τῇ ἀῤῥωστίᾳ τῆς δυνάμεως. ὅσοι δ' ἰσχυρότεροί τε καὶ νέοι, καθάπερ ὁ νῦν ἡμῖν ὑποκείμενος ἐν τῷ λόγῳ νεανίσκος, ἐν τούτοις ἡ τοῦ σώματος ἕξις εἰς ἀραιότητα πλέον ἤπερ ἡ δύναμις εἰς ἀῤῥωστίαν ἀναλλοιοῦται. καὶ τοίνυν ἡ ἐπανόρθωσις οὐ διὰ τῶν ἀραιούντων, οἷόν πέρ ἐστι καὶ τὸ ἀποθεραπευτικὸν γυμνάσιον, ἀλλὰ διὰ τῶν συναγόντων τε καὶ σφιγγόντων, ὁποῖόν ἐστι καὶ τὸ παρασκευαστικόν, ἐν τοῖς τοιούτοις γίνεται σώμασι, καὶ κατὰ τοῦτ' ἂν εἴη τῷ παρασκευαστικῷ γυμνασίῳ χρηστέον. ἐπεγείρει γὰρ ἐκεῖνο τὴν θερμότητα τῷ τε τῆς κινήσεως ὀξεῖ καὶ τῷ τόνῳ, καὶ τῷ συνάγειν καὶ σφίγγειν τὴν ἕξιν. ὅτι δὲ καὶ τὴν ἀραιότητα μόνον τοῦτο τῶν γυμνασίων ἰᾶται, πρὸς ἁπάντων ὁμολογεῖται τῶν γυμναστῶν ὑπὸ τῆς πείρας δεδιδαγμένων. ὥστ' οὐδὲν ἂν εἴη βέλτιον εἰς τὰ παρόντα, τοῦ τοιούτου γυμνασίου. τῆς δὲ ὥρας τοῦ ἔτους ἐπιτρεπούσης, οὐδὲ τῆς ψυχρολουσίας ἀφεκτέον ἐστίν. ἐδέσματα δ' ἔστω, πλῆθος μὲν ἐλάττω, τῇ ποιότητι δὲ ὑγρότερα δοτέον, ἵνα καὶ πεφθῇ καλῶς αὐτά, καὶ τὴν ἐκ τῶν ἀφροδισίων ἐπανορθώσηται ξηρότητα. χρὴ δ' οὐ δὲ ψυχρότερα τὴν κρᾶσιν, ἀλλ' ἤτοι τῆς μέσης ἰδέας, ἢ τῶν θερμοτέρων ὑπάρχειν αὐτά, διότι γοῦν ἐξ ἀφροδισίων ἀραιότερόν τε καὶ ψυχρότερον ἅμα καὶ ἀσθενέστερον καὶ ξηρότερον ἀποτελεῖται τὸ σῶμα. χρὴ δή που τὰ πυκνοῦντα καὶ θερμαίνοντα, καὶ τὴν δύναμιν ἀναῤῥωννύντα προσφέρεσθαι, καὶ τούτους εἶναι τοὺς σκοποὺς ἐπ' αὐτοῖς. ὅτι δὲ αὕτη δύναμις ἐστὶν ἀφροδισίων, οὐ τοῦ νῦν ἐνεστῶτος λόγου. προὔκειτο γὰρ ἐν αὐτῷ διελθεῖν, ὅπως ἂν κάλλιστα τὸ προκείμενον σῶμα γυμνάζοιτο μετὰ τὴν τῶν ἀφροδισίων χρῆσιν. ὅσπερ οὐκ ἠδύνατο περανθῆναι καλῶς ἄνευ τοῦ προλαβεῖν ἐξ ὑποθέσεως, ὁποία τίς ἐστιν ἡ ἐν τῷ σώματι γινομένη διάθεσις ἐπὶ τοῖς ἀφροδισίοις. ἀλλὰ νῦν μὲν ἐξ ὑποθέσεως, αὖθις δὲ μετὰ ἀποδείξεως εἰρήσεται, τίς τε ἡ δύναμις αὐτῶν ἐστι, καὶ εἰ χρηστέον ὅλως ἢ μή, καὶ τίνες αὐτῶν ὠφέλειαι καὶ βλάβαι, κατά τε τὰς τοῦ σώματος διαθέσεις εἰσί, καὶ τὰς ὥρας τοῦ ἔτους, καὶ τὰς χώρας, ὅσα τ' ἄλλα τοιαῦτα χρὴ προσδιορίζεσθαι. μετὰ μὲν δὴ τὴν τῶν ἀφροδισίων χρῆσιν, εἶδος ἔστω γυμνασίου τὸ παρασκευαστικὸν ὀνομαζόμενον. ἀγρυπνίας δὲ προσγενομένης ἢ λύπης ἢ ἀμφοτέρων, τὸ ἀποθεραπευτικόν. ὅταν τε χωρὶς ἀπεψίας γυμνασθῶσιν. ἐπὶ γὰρ ταῖς ἀπεψίαις οὐδόλως γυμναστέον. ὅ τε δὲ τὸ ἀποθεραπευτικὸν γυμνάσιον ἐπὶ λύπαις τε καὶ ἀγρυπνίαις ἁρμόττει, δηλοῖ μὲν καὶ ἡ πεῖρα. φαίνονται γὰρ ὑπὸ τῶν ἄλλων γυμνασίων βλαπτόμενοι, πρὸς τῷ μὴ δ' ἀνέχεσθαι τῶν ἐπιταττόντων εἰ τύχοι ἔτι λυπούμενοι. δηλοῖ δ' οὐχ ἧττον τῆς πείρας καὶ ὁ λόγος. ἐπειδὴ γὰρ ἐπ' ἀγρυπνίαις τε καὶ λύπαις ὁρῶνται λεπτότεροί τε καὶ αὐχμηρότεροι καὶ δυσήκοοι γινόμενοι, ξηρότερον ἡγητέον αὐτοῖς εἶναι τὸ σῶμα. τὰς δὲ τοιαύτας διαθέσεις, αἵ τε μαλακώτεραι τρίψεις ἐξιῶνται σὺν ἐλαίῳ πλείονι γιγνόμεναι, καὶ λουτροῖς εὐκράτοις. αἵ τε κινήσεις αἱ βραδύτεραί τε καὶ χωρὶς ἰσχυροτέρας τάσεως, ἀναπαύσεσι πλείοσι διειλημμέναι. τρόπος δ' οὗτος ἦν ἀποθεραπευτικοῦ γυμνασίου. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰς ἐπὶ θυμοῖς, ἢ δι' ἔνδειαν ποτοῦ ξηρότητας ἐπανορθωτέον ἐστίν. ἐναντίως δὲ τοῖς εἰρημένοις ἐπανορθοῦσθαι χρὴ τὰς κατὰ ταύτην ὑγρότητας. εἴτε διὰ πόμα πλέον, εἴτε δι' ἄλλην τινὰ πρόφασιν ἐγένοντο. σκοπὸς γοῦν δὴ καὶ τῶν τοιούτων διαθέσεων ἡ ξήρανσις. ἀλλὰ τοῦτο μὲν ἁπασῶν κοινόν, ἴδιον δ' ἑκάστης ἐν ταῖς κατὰ μέρος διαφοραῖς. εἰ μὲν οὖν ἐπ' ἀργίᾳ πλείονι καὶ ταῖς τῶν ὑγραινόντων ἐδεσμάτων ἀμέτροις τε καὶ ἀκαίροις χρήσεσιν ὑγρότης ἐγένετο, μακροτέρας δεῖται τῆς ἐπανορθώσεως. εἰ δ' ἐπὶ ποτῷ πλείονι κατὰ τὴν προτεραίαν ἡμέραν γεγονότι, χωρὶς τοῦ τε πονθῆναι τὴν κεφαλὴν ἢ τὸ στόμα τῆς κοιλίας, ἐν μιᾷ δυνατὸν ἡμέρᾳ τελέως ἐξιάσασθαι. πλεονάσαντας μὲν ἐν ταῖς ξηραῖς τρίψεσι, γυμνάσαντας δ' ὀξύτερον, ἐλάττονι δὲ ποτῷ χρησαμένους, ἐδέσμασί τε ξηραντικωτέροις. ὡς ὅσαι γε μετὰ τοῦ τὴν κεφαλὴν ἢ τὸν στόμαχον ἀπολαῦσαί τι, τῆς

δὲ οἴνου βλάβης ὑγρότητες εἰσὶ περιτταί, τοῦ νῦν ἐνεστῶτος οὐ δέονται λόγου. ῥηθήσεται γὰρ ὑπὲρ αὐτῶν, ἐν τοῖς τῶν νοσωδῶν συμπτωμάτων. αἱ δ' ἐπ' ἀργίᾳ πάνυ μακρότεραι. τὴν ἀρχὴν, οὐδ' ἂν γένοιντό ποτε κατὰ τὴν προκειμένην διάθεσιν, ὥσπερ οὐδ' αἱ διὰ πλῆθος ἐδεσμάτων ὑγρῶν τῇ φύσει. οἷαίπερ αἱ πλεῖσται τῶν ὀπωρῶν εἰσὶ, καὶ τῶν λαχάνων ὅσα μὴ δριμέα. γινομένας δ' αὐτὰς, ἀθρόως μὲν οὐχ οἷόν τε θεραπεύειν. εἰ γὰρ εἰς τοσοῦτον πονήσειεν ὁ ἄνθρωπος, ὡς αὐτάρκως ξηρᾶναι τὴν ἕξιν, ἁλώσεται κόπῳ, καὶ πυρέξει πυρετὸν μὲν ἐφήμερον πάντως. ἂν δὲ καὶ μοχθηραὶ τύχωσιν ὑγρότητες ὑπάρχουσαι πλειόνων ἡμερῶν. ἐν χρόνῳ δ' ἂν ἐπανορθεῖεν ὡς ὕστερον εἰρήσεται κατ' ἐκεῖνον τὸν λόγον, ἐν ᾧ τὰς μοχθηρὰς κράσεις ἐπὶ τὸ βέλτιον ἀλλοιοῦμεν. ὁμοία γὰρ ἡ πρόνοια τῶν ἐπικτήτων θέσεων ἐστὶ, καὶ τῶν φυσικῶν δυσκρασιῶν. ὥστ' οὐδὲν χρὴ τὸ νῦν ἔτι περὶ αὐτῶν διεξέρχεσθαι. λείπεται οὖν ἔτι περὶ τῶν ἑωθινῶν τε καὶ κατὰ τὴν ἑσπέραν τρίψεων διελθεῖν. οὐ μὰ δί' οὕτως φασὶν ἀρκεῖσθαι κόϊντον ἐρωμένῳ τινὶ γυμναστῇ τίνα δύναμιν ἔχει τὸ ἀποσυγχεῖσθαι φάμενον ἀφανίζειν τὰ ἱμάτια. τούτοις γὰρ τοῖς ὀνόμασιν οἷς ἐγὼ νῦν ἐχρησάμην ἔρεσθαί τε λέγουσι τὸν γυμναστὴν ἀρκεῖσθαί τε τὸν κόϊντον. ὅμοιόν τι τοῦ κοΐντου περιφέρουσι ἀπόφθεγμα, τό, τε περὶ τῶν οὔρων, ὡς γναφέως ἐστὶ καταμανθάνειν αὐτά, καὶ τὸ περὶ τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, δι' ὅτι βαλανείων ἐστὶ τὰ τοιαῦτα τῶν ὀνομάτων, ἃ ἐγὼ μὲν οὐκ ἂν δοίημι, μὴ ὅτι κόϊντον, ἀλλ' οὐδὲ τῶν ἀπὸ Θεσσαλοῦ τινὰ φθέγξασθαι. βωμολοχικὰ γὰρ ἅπαντ' ἐστὶ τὰ τοιαῦτα κομψεύματα, καὶ οὐδαμῶς ἀνδρὶ προσήκοντα σεμνῆς οὕτω τέχνης ἐπιστήμονι. βέλτιον οὖν ὑπὲρ μὲν τῆς ἑωθινῆς ἀνατρίψεως ὧδ' ἐπισκοπεῖσθαι, κατά γε τὸ προκείμενον ἐν τῷ νῦν ἐνεστῶτι λόγῳ σῶμα. τοῦτο γὰρ ἤτοι παντάπασιν ἄμεμπτόν ἐστι μετὰ τοὺς ὕπνους, ἢ τινὶ τῶν κοπωδῶν ἐνέχεται διαθέσεων, ἢ καὶ τῶν ἄλλων τινὶ περὶ ὧν ἐφεξῆς ἐν ταῖς κοπώδεσιν ὀλίγον ἔμπροσθεν ἄχρι τοῦ δεῦρο διῆλθον. εἰ μὲν οὖν ἄμεμπτον ὑπάρχει, περίεργον ἐστὶν ἀνατρίβειν, ἢ ἀλείφειν αὐτό, πλὴν εἴποτ' ἀναγκαῖον εἴη, συνεχεσθῆναι κρύει καρτερῷ. τηνικαῦτα γὰρ ὡς τοὺς μέλλοντας ψυχρολουτρεῖν, οὕτω καὶ τούτους τῇ τρίψει παρασκευάσομεν. εἰ δέ τις αἴσθησις εἴη κόπου, λέλεκται καὶ πρόσθεν ὡς ἀλείφειν τε χρὴ τηνικαῦτα καὶ ἀνατρίβειν μαλακῶς. οὕτω δὲ καὶ εἰ ξηρότερον τ' εἴη, πλέω τοῦ δέοντος, ἀλειπτέον μὲν ἐλαίῳ γλυκεῖ, τέγγει γὰρ οὗτος τὸν ξηρὸν χρῶτα, τριπτέον δ' ἐλάχιστα μὲν, ἀλλὰ μήτε σκληρᾷ τρίψει, μήτε μαλακῇ. προτρέψαι γὰρ μόνον δεόμεθα τὴν ἀνάδοσιν, οὔτε δ' ἀλλοιῶσαι τοῦ δέρματος, ἢ τῆς σαρκὸς τὴν ἕξιν, οὔτε διαφορῆσαί τι τῶν περιεχομένων ἐν αὐτοῖς. ἐργάζεται δ' ἄμφω μὲν ἡ μαλακὴ, θάτερον δὲ ἡ σκληρὰ τρίψις εἴ γε δὴ πυκνοῖ μὲν αὕτη καὶ σκληρύνει τὸ δέρμα. διαφορεῖ δ' ἡ μαλακὴ, καὶ ἀραιὸν, καὶ μαλακὸν ἀπεργάζεται τὸ σῶμα. πύκνωσιν μέν τοι τοῦ δέρματος ἐπανορθώσασθαι βουλόμενοι, τὴν μὲν ἐπὶ ταῖς σκληραῖς ἀνατρίψεσι, καὶ βλάβαις, καὶ σφοδρῷ γυμνασίῳ καὶ κόνει πολλῇ γεγενημένην, ἐλαίῳ δαψιλεῖ καὶ γλυκεῖ χρώμενοι μαλακῶς ἀνατρίψωμεν. τὴν δ' ἐπὶ τῇ ψύξει, πρῶτον μὲν, ταῖς ξηραῖς τε ἅμα καὶ ταχείαις ἀνατρίψεσι, δεύτερον δὲ ταῖς δι' ἐλαίου θερμαίνοντες, εἰς τὸ κατὰ φύσιν ἐπανάξομεν. ἀραιότητα δὲ, τὴν ἐπί τε λουτροῖς πλείοσι, καὶ τρίψεσι μαλακαῖς, ἀφροδισίων τε χρήσεσι γεγενημένην, ὀλίγαις μὲν, ταῖς ξηραῖς ἀνατρίψεσιν. ὀλίγαις δ' ἐφεξῆς αὐτῶν ταῖς σὺν ἐλαίῳ τινὶ τῶν στυφόντων ἰασόμεθα. τὰς δ' ἐπὶ πλείοσι ποτοῖς ὑγρότητας, αἱ ξηραὶ μόναι θεραπεύουσι, διά τε σινδόνων ἢ χειρίδων ἐπιτελούμεναι. καὶ αὐτῶν μόνων ἐνίοτε τῶν χειρῶν, ἢ χωρὶς λίπους παντὸς, ἢ σὺν ἐλαχίστῳ τινί. ἔστω δὲ τὸ ἔλαιον οὗτος γλυκὺ, ἵν' ᾖ διαφορητικὸν, ἁπάσης ἀπηλλαγμένον στυφούσης ποιότητος. ὧδε μὲν ἔχει περὶ τῆς ἑωθινῆς ἀνατρίψεως. ἡ δ' εἰς ἑσπέραν ἤτοι κοπώδεσιν ἱκανῶς ὑπάρχουσιν, ἢ κατεξηραμμένοις, ἢ ἀτροφοῦσιν ἐπιτήδειος. ἀλλὰ τὸ μὲν τῆς ἀτροφίας σύμπτωμα, τό γε νῦν ἐξαιρείσθω τοῦ λόγου, μετὰ τῶν ἄλλων ἁπάντων νοσωδῶν συμπτωμάτων ἑξῆς προχειρισθησόμενον, ἐπὶ δὲ τῆς ὑποκειμένης φύσεως, ὅταν, ἤ τι κόπος ἰσχυρὸς, ἢ ξηρότης τις ἄμετρος ὑπάρχει κατὰ τὸ σῶμα, τὸ μὲν ἄριστον, ἔλαττον γιγνέσθω. πλείων δ' ὁ μεταξὺ χρόνος ἄχρι τοῦ δείπνου. τὰ πολλὰ δ' ἐφ' ἡσυχίας, ὀλίγον δέ τι καὶ περιπατείτωσαν, ὡς ὑποκαταβῆναι τὰ σιτία ταῖς ὀρθίαις κινήσεσι κατασεισθέντα. βέλτιον δὲ καὶ εἰ ἀποπατῆσαι δυνηθεῖεν. τούτων γὰρ ἁπάντων καλῶς γινομένων ἀκίνδυνον ἀνατρίβειν ἐλαίῳ γλυκεῖ, μὴ πάνυ τῆς γαστρὸς ἐφαπτομένους. εἰ δὲ μὴ, κίνδυνος αὐτά τε τὰ σιτία πεφθῆναι χεῖρον ἀναδοθῆναί τέ τινα χυμὸν ἐξ αὐτῶν ἡμίπεπτον. ἐπιθολωθῆναί τε τὰς κεφαλὰς, ἀνατραπῆναί τε τὸν στόμαχον. ἄριστον μὲν οὖν ἐστι, τὸ μὴ δ' ὅλως ἅπτεσθαι τῆς γαστρὸς, ἢν δέ ποτε τῶν ἀμφ' αὐτὴν μυῶν ἤτοι κοπώδης τις αἴσθησις, ἢ πλείων φαίνοιτο ξηρότης, ἀλείφειν τὰ μέτρια πράως ἐφαπτομένην. εἰ καὶ δὲ τὰς αἰτίας τις ἀκοῦσαι ποθεῖ τῶν εἰρημένων, τὸν ἑξῆς ἀναμενοι λόγον, ἐν ᾧ περὶ τῶν νοσωδῶν συμπτωμάτων διερχόμεθα. νυνὶ μὲν γὰρ ἤδη μοι δοκῶ μέγεθος αὔταρκες ἔχειν τὸ ἐνεστῶτα.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙΝΩΝ

ΛΟΓΟΣ δ'

Οὐχ ὡς οἱ πλεῖστοι τῶν νεωτέρων ἰατρῶν ἐν τοῖς σοφιστικοῖς ζητήμασι κατατρίψαντες τὸν χρόνον, ἤτοι διὰ βραχέων ἐπιτρέχουσι τὸν περὶ τῶν ἀναγκαιοτάτων λόγον, ἢ καὶ παντάπασι παραλείπουσιν, οὕτω καὶ ἡμεῖς ποιήσομεν. ἀλλ' ὅπερ ἀπ' ἀρχῆς ἐνεστησάμεθα, τὸ χρήσιμον αὐτὸ διερχόμενοι, τὰ λογικωτέραν ἔχοντα τὴν ἐπίσκεψιν, εἰς ἕτερον ἀναβαλλόμεθα καιρόν. αὐτίκα γέ τοι περὶ τῶν νοσωδῶν συμπτωμάτων ὑπὲρ ὧν ἐν τῷδε τῷ λόγῳ πρόκειται διελθεῖν, οὐ μικρὰ ζήτησίς ἐστι πότερον ἐκ τῆς ὑγιεινῆς ὑπάρχει πραγματείας, ἢ ἐκ τῆς θεραπευτικῆς. ἢ τούτων μὲν οὐδετέρας, ἄλλης δέ τινος ἀμφοῖν τρίτης, ἣν οὖν καὶ μέσην ὑγείας τε καὶ νόσου τιθέντες τινὲς οὐδετέραν ὀνομάζοντες. ἐγὼ δ' ἐπιστάμενος μὲν ὡς ἐν τοῖς ὑγιεινοῖς τις εἴτ' ἐν τοῖς θεραπευτικοῖς αὐτῶν μνημονεύσειεν, ὁμοίως ὑπὸ τῶν σοφιστῶν ἐπηρεασθήσεται, γινώσκων δ' οὐδὲν ἧττον ὡς εἰ καὶ τρίτην τις αὐτοῖς ἀναθείη γενέσθαι πραγματείας. ὑπὲρ τῶν οὐδετέρων διαθέσεων ἐπιγράψας, ἔτι δὲ μᾶλλον ἐπιγελάσονται καὶ τωθάσουσι καὶ ἐρήσονται περὶ τῶν ἀρρενικῶν καὶ θηλυκῶν ἐν ποίᾳ πραγματείᾳ διδάσκομεν, εἱλόμην ἐν τῷδε νῦν ἐνεστῶτι λόγῳ διελθεῖν ὑπὲρ αὐτῶν. εἰ γὰρ ἀδύνατον μέν ἐστιν ἐκφυγεῖν τὴν τῶν σοφιστῶν γλωσσαλγίαν, ἔλαττον δ' ἐπηρεάσουσιν οὕτω πραξάντων, ἄμεινον ἴσως ἐστὶν οὕτω ποιεῖν. ἔτι δὲ μᾶλλον ἄν τις ἐξ αὐτῆς τῆς θεωρίας ἐπιγνώσῃ τὴν κοινωνίαν τῆς διδασκαλίας, εἰ προσέχοι τὸν νοῦν ἀκριβῶς τοῖς λεχθησομένοις, ὧν ἀρκτέον ἐνθένδε. τῆς ὑγιεινῆς ἐπιστήμης οὐ φαυλότατόν ἐστι μόριον ἡ περὶ τὰ γυμνάσια τέχνη, ταύτης δ' αὐτῆς οὐ σμικρὰ μοῖρα τὸ φυλάξασθαι κόπους. ἐδείχθη δ' ἐν τοῖς ἔμπροσθεν ὡς ὁμοία πώς ἐστιν ἥ τε προφυλακὴ τῶν ἐσομένων κόπων, καὶ ἡ ἐπανόρθωσις τῶν ἤδη γεγονότων. οὔκουν ἑτέρωθι μὲν ἐχρῆν ἐκδιδάσκειν ὅπως χρὴ φυλάττεσθαι κόπους, ἑτέρωθι δ' ὅπως εἰς τὸ κατὰ φύσιν ἐπανάγειν προσήκει τοὺς ἤδη γεγονότας. διὰ ταῦτα μὲν οὖν ἐν τῷ πρὸ τούτου γράμματι, τρίτῳ τῆς ὅλης πραγματείας ὄντι, περὶ τῶν ἐπὶ γυμνασίων κόπων ὁ λόγος ἡμῖν ἐγένετο. μετὰ καὶ τῶν ὁμοίων αὐτοῖς ἐπιμιχθῆναι διαθέσεων, ὧν ἔνιαί τινες ἐπὶ γυμνασίοις ἐγίγνοντο μάλιστα. νυνὶ δὲ πρῶτον μὲν ὑπὲρ αὐτῶν ἐροῦμεν, ἐπειδὰν ἄνευ γυμνασίων γίγνονται. δεύτερον δὲ, καὶ περὶ τῶν ὁμοειδῶν αὐτοῖς. ὁ μὲν οὖν ἐπὶ γυμνασίοις ἀμέτροις γιγνόμενος κόπος, ὑγιεινόν τε σύμπτωμά ἐστιν. ὁ δὲ τούτων χωρὶς, νοσῶδες. ὥς τε καὶ Ἱπποκράτην δοκεῖν κάλλιστα εἰρῆσθαι. κόποι αὐτόματοι φράζουσι νούσους. ἡ μὲν οὖν ἑλκώδης αἴσθησις, σύμπτωμά ἐστι κοπῶδες. ἡ δ' αἰτία δι' ἣν αὕτη γίγνεται, διάθεσίς ἐστι κοπώδης. ἡ δὲ καὶ ταύτης αὐτῆς αἰτία, διττὴν ἔχει τὴν διαφοράν. ἤτοι κατ' αὐτὸ τοῦ ζώου τὸ σῶμα περιεχόμενον, καὶ ὀνομάζεται τηνικαῦτα προηγούμενον αἴτιον, ἢ μὴ δι' ὅλως ἐνυπάρχουσα, καὶ καλεῖται προκαταρκτικὸν αἴτιον. ὡς εἶναι μὲν τρία τὰ σύμπαντα γένη περὶ ὧν ἡμῖν ἐνέστηκε λόγος. τό τε σύμπτωμα τὸ κοπῶδες, καὶ τὴν διάθεσιν τὴν κοπώδη, καὶ τὴν αἰτίαν αὐτῆς. ἑκάστου δ' αὐτῶν εἰδικάς τινας ὑπάρχειν διαφοράς. ἐν μὲν ταῖς αἰτίαις ὡς εἴρηται νῦν δὴ τὴν προηγουμένην καὶ τὴν προκατάρχουσαν. ἐν δὲ ταῖς διαθέσεσιν ὡς ἐν τῷ πρὸ τούτου λόγῳ δέδεικται, τὴν ἑλκώδη καὶ τὴν τονώδη καὶ τὴν φλεγμονώδη. καὶ μέν τοι κἂν τοῖς συμπτώμασι τρεῖς τὰς αὐτὰς, ὀνομάζειν ἔξεστιν, εἰ βούλοιτό τις ἑτέρως. οὔτε δὲ πλείω τῶν εἰρημένων λέγειν τε καὶ ποιεῖν ἔξεστιν, ἀληθεύειν γε βουλομένοις, οὔτε πλείους διαφορὰς τῶν λελεγμένων. ὁ μὲν οὖν ἑλκώδης κόπος, ἀρκτέον γὰρ ἀπὸ τοῦδε, κινουμένοις αἴσθησιν ἀνιαρὰν, ὡς ἑλκουμένου φέρει τοῦ σώματος, ἤτοι ἢ κατὰ τὸ δέρμα μόνον ὅταν ᾖ μετριώτερον, ἢ κατὰ τὰς ὑποκειμένας αὐτῷ σάρκας, ὅταν γένηται σφοδρότερον, ἢ κατὰ τὸ συναμφότερον, ἐπειδὰν ἰσχυρότερον ᾖ. καὶ τοῦτο μὲν ἐστὶ τὸ κοπῶδες σύμπτωμα. διάθεσις δὲ κοπώδης ἐφ' ᾗ γίνεται τὸ σύμπτωμα, δριμύτης ὑγρῶν ἐστι λεπτῶν καὶ θερμῶν, ὡς διαβιβρώσκειν τε καὶ κεντᾶν καὶ νύττειν τὰ σώματα. γίνεται δ' αὕτη ποτὲ μὲν, ἐπὶ ταῖς ἀμέτροις κινήσεσιν ὡς ἐν τῷ πρὸ τούτου δέδεικται λόγῳ. ποτὲ δ' ἐπὶ κακοχυμίᾳ τινὶ λεληθότος ὑποτραφείσῃ. καὶ τοὺς τοιούτους κόπους αὐτομάτους Ἱπποκράτης ὀνομάζει. τὸ δ' ἕτερον γένος τοῦ κόπου τὸ τονῶδες ὅταν αὐτόματον συνίσταται, ταῖς καλουμέναις πληθώραις ἕπεται. διατείνεται γὰρ ἐν ταύταις τὰ στερεὰ τοῦ ζώου μόρια, καὶ μάλιστα ἐν οἷς οἱ χυμοὶ περιέχονται. τὸ δὲ τρίτον τοῦ κόπου γένος τὸ φλεγμονῶδες ἐπὶ πληθώρᾳ τε ἅμα καὶ τῇ προειρημένῃ γίνεται κακοχυμίᾳ. οὐ γὰρ δὴ πᾶν εἶδος κακοχυμίας, ἀλλ' ἐκεῖνον μόνον ἐν ᾧ δριμύτης ἐστὶ δακνώδης, ἐργάζεται τὸν ἑλκώδη κόπον. οὐδ' οὖν οὐδ' αὐτὸ κατὰ τὰς φλέβας ἀναμεμιγμένη τῷ αἵματι. λανθάνει γὰρ αὐτῆς ἡ δύναμις τηνικαῦτα διαῤῥεούσης τε ἅμα καὶ νικωμένης ὑπὸ τῆς τοῦ αἵματος χρηστότητος. ἀλλ' ὅταν εἴς τε τὰς σάρκας καὶ τὸ δέρμα μεταληφθεῖσα μόνη στηριχθείη. τὴν ἑλκώδη διάθεσίν τε καὶ αἴσθησιν ἐπιφέρει. ὅσοι δὲ πλῆθος ἔκγονον ὑπάρχειν οἴονται τὸν κόπον τοῦτον, οὔτε γὰρ τοῦ τοιούτου πλήθους, ὃ δὴ καὶ πληθώδης ἄεραν ὀνομάζουσι, τὸν τονώδη γὰρ κόπον ἐκεῖνον ἐργάζεται, οὔτε τοῦ τὴν δύναμιν βαρύνοντος. οὐ γὰρ δῆξις οὐδὲ ἑλκώδης αἴσθησις, ἀλλ' ἤτοι βάρος τε καὶ δυσκινησία τοῦ τοιούτου πλήθους ἐστὶ συμπτώματα, τὴν ψυχικὴν βαρύνοντος δύναμιν, ὅταν ὡς πρὸς ταύτην ὑπάρχῃ πλέον. ἢ κακοσφυξίαι τινὲς, ὅταν πρὸς τὴν ζωτικήν. εἴρηται δ' ὑπὲρ αὐτῶν αὐτάρκως ἐν τῷ περὶ σφυγμῶν, ὥσπερ γε κἂν τῷ περὶ πλήθους βιβλίῳ τὰ γνωρίσματα τῆς φυσικῆς δυνάμεως εἴρηται βαρυνομένης ἅμα ταῖς τῶν ἄλλων ἀμφοτέρων. οὔκουν τὸ πλῆθος αἴτιον ἐστὶ τοῦ τὴν ἑλκώδη φέροντος αἴσθησιν κόπου, ἀλλ' ἡ τῶν ἐν τῷ δέρματι καὶ τῇ σαρκὶ περιεχομένων ὑγρῶν δριμύτης. αὕτη γοῦν ἐπειδὰν μὲν ἡσυχάζουσα περιέχηται διαλανθάνει τὴν αἴσθησιν, εἰς κίνησιν δ' ἀφικνουμένη, τραχὺ χρῆμα γνωρίζεται. κίνησις δ' αὐτῇ πρῶτον μὲν καὶ μάλιστ' ἐγγίνεται κατά τινας οἰκείους λόγους οὓς ἑξῆς ἐροῦμεν. ἑτέρα δὲ, κατὰ συμβεβηκός. ἐπειδὰν ἡμεῖς αὐτοὶ προελόμενοι κινῆσαι τι μέρος, ἢ καὶ σύμπαν τὸ σῶμα, σὺν ἐκείνῳ καὶ τὰς περιεχομένας ἐν αὐτῷ κινήσωμεν ὑγρότητας. ἀλλ' ἡ μὲν τοιαύτη κίνησις ἐλαχίστη ἐστὶ, καὶ τὴν κοπώδη μόνην αἴσθησιν ἐπιφέρει. ἡ δὲ σφοδροτέρα, ῥίγους ἐστὶν αἰτία. ἡ μέση δ' ἀμφοῖν φρίκης. ὅτι δ' οὐδὲν κωλύει κἂν θερμὸν ὑπάρχῃ τὸ αἴτιον, ῥῖγός τε καὶ φρίκην αὐτὸ ποιεῖν, ἐν

ταῖς τῶν συμπτωμάτων αἰτίαις ἀποδέδεικται. νῦν δ' ἀρκεῖ μόνον αὐτὰ τὰ κεφάλαια τῶν ἐν ἐκείνῳ τῷ λόγῳ δεδειγμένων, ὑπόθεσιν ποιήσασθαι τοῖς παροῦσιν. ὅτι ἐν τοῖς ἀθλητικοῖς σώμασιν ὑπογραφῇ περιττώματα δάκνοντα, κατὰ διττὸν τρόπον εἰς κίνησιν ἀφικνεῖται. καθ' ἕνα μὲν ὑπὸ αὐτῶν τῶν ἀθλητικῶν σωμάτων ὠθούμενα, δύναμιν ἐχόντων ἀποκριτικὴν τῶν ἀλλοτρίων. καθ' ἕτερον δὲ ὑπὸ κινήσεως σφοδροτέρας, ἣν ἔκ τε τῶν γυμνασίων ἐπικτᾶται. τὰ μὲν οὖν ὑπόθερμά τε καὶ σηπεδονώδη περιττώματα κινηθέντα σφοδρότερον, οὐ φρίκην μόνον ἢ ῥῖγος ἐπιφέρει, ἀλλὰ καὶ πυρετὸν ἐξάπτει. τὰ δὲ ψυχρά τε ἅμα καὶ λεπτομερῆ, φρίκην μὲν καὶ ῥῖγος ἐπιφέρει, πυρετὸν δὲ οὐκ ἐξάπτει. προσεῖναι δέ τι καὶ πλῆθος ἀξιόλογον ἑκατέροις ἀναγκαῖον, εἰ μέλλοι ταῦτα ποιῆσαι, ὅσα δ' ἤτοι παντάπασιν ὀλίγα περιττώματα δάκνοντα τοῖς ἀθλητικοῖς ἐγγίνεται σώμασιν, ἢ πλείω μέν ἐστιν, οὔπω δ' ἀκριβῶς δακνώδη, τὸν ἑλκώδη κόπον ἐργάζεται, καὶ δὴ καὶ λεκτέον ἡμῖν ὑπὲρ τούτων ἐστὶν ἐν τῷ παρόντι λόγῳ. τὰ γὰρ τοὺς πυρετοὺς ἐπιφέροντα, τῆς θεραπευτικῆς ἐστι πραγματείας. ἡ ἴασις δὲ ἡ μέν τις, εἰς κοινοὺς ἀμφοτέροις ἀνάγεται σκοπούς, ἡ δ' ἐστὶν ἑκατέρων ἴδιος, εἰρήσεται δὲ πρότερον ἡ κοινή. χρὴ τοίνυν εἴτε θερμὸν εἴτε ψυχρὸν εἴη τὸ περίττωμα, κινεῖν ἢ ἀλλοιοῦν αὐτό, δέχεται δ' οὐ πᾶν περίττωμα τὴν ἐκ τῆς φύσεως ἀλλοίωσιν, ὥσπερ οὐδὲ πᾶν ἔδεσμα πᾶσι τοῖς ζῴοις, τὴν ἐν τῇ γαστρὶ πέψιν, ἀλλ' εἶναι χρή τινα συγγένειαν τῷ πεττομένῳ πρὸς τὸ πέττον. ὅταν οὖν ἀλλότριον ᾖ παντάπασιν, οὐδεμία μηχανὴ τοῦτο τὸν ἐκ τῆς φύσεως ἐπιδέξασθαι κόσμον, ἀλλὰ χρὴ κενοῦν αὐτὸ πειρᾶσθαι διὰ ταχέων, ὥσπερ γε καὶ τὰ κατὰ τὴν γαστέρα διαφθαρέντα τελέως, ἢ ἐμέτοις ἢ διαχωρήσεσιν ἐκκενοῦσθαι κράτιστον. οὐ μὴν ἐνδέχεται τὴν ἐν τῇ σαρκὶ καὶ τοῖς ἄλλοις σώμασιν ἀναπεπομένην κακοχυμίαν ἑτοίμως οὕτως ἐκκενοῦν, ὡς τὴν ἐν ταῖς αἰσθηταῖς εὐρυχωρίαις περιεχομένην. ἐνίοτε δὲ καὶ ἡ φύσις αὐτὴ τοῦ κάμνοντος οὐ προσίεται βοήθημα ταχέως ἐκκενῶσαι δυνάμενον. οὕτω δὲ καὶ ἄλλη τίς ἐστιν ὅτε διάθεσις ἐνθίσταται καὶ ἀπαγορεύει τὸν τοιοῦτον τρόπον τῆς κενώσεως, ὑπὲρ ὧν ἐφεξῆς εἰρήσεται. πρότερόν γε τὸ λεῖπον ἐν τῇ πρώτῃ διαιρέσει, προσθέντων ἡμῶν. οἱ μὲν γὰρ κοινοὶ σκοποὶ τῆς τῶν περιττωμάτων ἰάσεως εἴρηνται, κένωσίς τε καὶ ἀλλοίωσις. ἰδίως δ' ἑκατέρων προσθέντων ἡμῶν. (οἱ μὲν γὰρ κοινοὶ σκοποὶ τῆς τῶν περιττωμάτων ἰάσεως εἴρηνται, κένωσίς τε καὶ ἀλλοίωσις. ἰδίως δ' ἑκατέρων προσθέντων ἡμῶν) οὐ γὰρ ἑνὶ τρόπῳ κενωτέον, οὐδὲ ἀλλοιωτέον, ἀλλὰ τὸν οἰκεῖον ἀεὶ τοῦ λοιποῦ ζητητέον. οἰκεῖος δὲ συλλήβδην εἰπεῖν ὁ διὰ τῶν ἐναντίων ἐστίν, ἐν μέρει δὲ καθ' ἕκαστον ἐναντίων. τὰ μὲν κεφάλαια τοῦ λόγου ταῦτα. χρὴ δ' ἐξηγήσασθαι πλατύτερον αὐτὰ καὶ τὴν οἰκείαν ἀπόδειξιν ἑκάστῳ προσθεῖναι, τὴν ἀρχὴν ἀπὸ τῆς ἑλκώδους διαθέσεως ποιησαμένους. ἐπεὶ τοίνυν διὰ κακοχυμίαν δριμέων περιττωμάτων ὁ τοιοῦτος ἐγίγνετο κόπος, ἐπισκεπτέον πρότερον, εἴτ' ἐν τοῖς στερεοῖς μόνοις σώμασιν, εἴτε κἂν ταῖς κοιλίαις τῶν φλεβῶν ἡ κακοχυμία περιέχεται. γνώρισμα δ' οὐδὲν ἔχομεν ἐναργές, οὐδὲ σαφὲς ὑπὲρ τῶν ἐν ταῖς φλεψὶ περιττωμάτων, ὅτι μὴ κατὰ τὰ οὖρα μόνον, ἀλλὰ στοχάζεσθαι χρὴ διὰ τῶνδε. πρῶτον μὲν ἐπισκεπτώμεθα, εἴ τινι κέχρηται διαίτῃ τὸ κάμνον σῶμα. δεύτερον δ' εἰ καὶ φύσει κακοχυμίαν ἣν ἔθος ἀθροίζειν αὐτό. καὶ πρὸς τούτοις, εἰ αἱ συνήθεις ἐκκρίσεις ἐπέχονται αἱ φυσικαί, τέταρτον ἐπὶ τούτοις, εἰ γυμνασίοις, ἢ καθάρσεσιν, ἢ ἐμέτοις, ἢ αἰωρήσεσιν, ἢ χρήσεσιν αὐτοφυῶν ὑδάτων εἰθισμένον ἐκκενοῦν τὰ περιττὰ ὠλιγώρησεν. ἐν μὲν οὖν τῇ διαίτῃ σκεπτέον εἰ ἀπεψίαι προηγήσαντο πολὺ πλείους τε, καὶ μείζους τῶν συνήθων, ἢ καὶ κακοχύμων ἐδεσμάτων ἐνεφορήσατο πλῆθος, ἢ οἶνον ἀντὶ μὲν παλαιοῦ γλεύκινον, ἀντὶ δὲ λεπτοῦ, παχύν, ἢ τεθαλαττωμένον ἔπιεν, ἢ καὶ παντάπασιν εἰς ὕδατος πόσιν ἐξ οἴνου μετῆλθεν, οὐχ ἅπαξ ἢ δὶς ἐφ' ἑκάστῳ τῶν εἰρημένων πλημμελήσας, ἀλλὰ συνεχῶς τε ἅμα καὶ χρόνῳ πολλῷ. δεύτερον ἐπισκεπτέον ὡς εἴρηται μή τις τῶν φύσει κακοχυμίαν ἑτοίμως ἀθροιζόντων ἐστὶν ὁ κάμνων ἄνθρωπος. ἐξευρήσεις δὲ τοῦτο πυνθανόμενος, εἰ ψωρώδης διάθεσίς ποτε, ἢ λεπρώδης, ἢ ἀλφώδης, ἢ κνισμώδης ἐπὶ πλέον αὐτῷ συνέπεσεν, ἢ ἐρυσίπελας, ἢ ἕρπης, ἢ ἐλέφας, ἢ ὀφίασις, ἢ ἀλωπεκίασις, ἢ φλύκταιναι πλείους, ἢ ἑλκώδεις ἐξ ἀνάγκης, ἢ ἐπινυκτίδες, ἢ ὅλως ὁτιοῦν τῶν ἐπὶ κακοχυμίᾳ γεννωμένων τε καὶ αὐξανομένων συμπτωμάτων. ἐπὶ δὲ τούτοις ἐλέγομεν χρῆναι σκοπεῖσθαι, μὴ συνήθης τις ἔκκρισις ἐπίσχηται δι' ἐμέτων, ἢ δι' αἱμορροΐδος, ἢ σύριγγός τινος, ἢ γυναικείων καταμηνίων. εἶθ' ἑξῆς δὲ αὐτὸς ἐπιτηδεύων ἐκκαθαίρειν ἑαυτὸν ἀεί, πέπαυται νῦν. ἔνιοι μὲν γὰρ ὑπηλάτοις φαρμάκοις. ἔνιοι δέ, ἐμετηρίοις, ἢ οὐρητικοῖς, ἢ ἱδρωτικοῖς, ἢ χρήσεσι ὑδάτων αὐτοφυῶν, ἤτοι θειωδῶν, ἢ ἀσφαλτωδῶν, ἢ νιτρωδῶν ἐκκενοῦντες ἑαυτῶν τὰ περιττώματα, καθ' ἕκαστον ἔαρ, ἢ φθινόπωρον ὀλιγωροῦσιν ἐνίοτε. πολλοὶ δὲ ὡς εἴρηται καὶ γυμνασίων ἔθους ἀπέστησαν. ἔνιοι δὲ καὶ τρίψεως ἁπάσης, ἢ λουτρῶν, ἢ τῶν μετὰ τὸ βαλανεῖον ἐμέτων ἐπ' οἴνῳ γλυκεῖ, πρόδηλον δ' ἐστὶν ὡς ὁ λόγος, οὐ μόνον τῶν τὴν ἀρίστην ἐχόντων κατασκευὴν ἐμνημόνευσεν, ἀλλ' ὑπὲρ τοῦ μηδὲν λείπειν τῷ καταλόγῳ τῶν τῆς κακοχυμίας αἰτιῶν, ἐφήψατο, καὶ τῶν ἀθροιζόντων φύσει κακοχυμίαν σωμάτων. ὑπὲρ ὧν ἐν ταῖς μοχθηραῖς κατασκευαῖς τοῦ σώματος ἐν τοῖς ἑξῆς ὑπομνήμασιν ἐπὶ πλέον ἐροῦμεν. ἐκ τούτων μὲν οὖν στοχάζεσθαι χρὴ τοῦ ποσοῦ τῆς κακοχυμίας. ἴασιν δὲ τῷ μέτρῳ τῆς ποσότητος ἐξευρίσκειν ἀνάλογον. εἰ μὲν ὀλίγη παντάπασιν ὑπάρχει, καὶ κατ' αὐτὸ μόνον ἠθροισμένη τὸ δέρμα, μετριωτέραν. εἰ δὲ μείζων καὶ διὰ βάθους, ἰσχυροτέραν. εἰρήσεται δὲ πρότερα μέν, ἡ τῆς ἐπιεικοῦς τε καὶ παρὰ τῷ δέρματι μόνον. ἑξῆς δὲ καὶ ἡ τῶν σαρκῶν ἐμπεπλησμένων, καὶ τρίτη πρὸς αὐταῖς, ὅταν ὅλον ἀκάθαρτόν τε καὶ περιττωματικὸν ὑπάρχῃ τὸ αἷμα. εἴτ' εἰδῆμαι πρότερον μετ' ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν ἀνελθών, εὔχυμόν τινα φύσει νεανίσκον, ἔμπροσθεν μὲν ὑγιεινῶς διαιτώμενον κατὰ πάντα, νῦν δὲ διά τινα χρείαν ἀναγκαίαν, ἐν ὁδοιπορίᾳ πλείονι χρόνῳ διατετριφότα, μή τε γυμνάσασθαι τὰ συνήθη, μή τε λούσασθαι, κεχρῆσθαι δὲ καὶ πόμασι μοχθηροῖς, καὶ μετὰ τὸ ἄριστον, ἢ τὸ δεῖπνον, ἢ καὶ δι' ὅλης τῆς ἡμέρας ἐπ' ὀχήματος ἐνηνέχθαι, μὴ δ' ὕπνου τὰ πολλὰ καλῶς ἀπολαύσαντα. προκείσθω δὲ μηδὲν αὐτῷ, πεπλημμελῆσθαι περὶ τὴν ποσότητα τῶν προσενηνεγμένων, καὶ διὰ τοῦτο μὴ δ' ἀπεψίᾳ τινὶ πεπτωκέναι τονδί. τὸν γὰρ τοιοῦτον ἄνθρωπον, οὐκ ἐνδέχεται κακοχυμίαν ἠθροικέναι πολλήν, οὔκουν οὐδὲ τῆς ἐπανορθώσεως δεῖται μακρᾶς, ἀλλὰ χρὴ γυμνάσιον ἀποθεραπευτικόν, οἷον ἐν τῷ πρὸ τούτου γράμματι δεδήλωται. εἴρηται δὲ καὶ περὶ τῆς ἀκολούθου διαίτης ἐν αὐτῷ. καὶ νῦν οὐδὲν ἔτι χρὴ μηκύνειν, ἀλλ' ἀναμνῆ-

κενῶσαι μόνον, ὡς ὁ σκοπὸς τῶν οὕτω διακειμένων σωμάτων κένωσίς ἐστι τῶν περὶ τὸ δέρμα περιττωμάτων, ὡς ἂν καὶ τῆς διαθέσεως ἐν τούτῳ μόνῳ γεγενημένης. ὑποκείσθω δὴ πάλιν ὁ αὐτὸς ἄνθρωπος ἐπὶ τοῖς ἄλλοις τοῖς αὐτοῖς, ἀπεψίαις πλείοσι περιπεπτωκώς. ὑποκείσθω δὲ καὶ ἡ ἑλκώδης αἴσθησις αὐτῷ μὴ περὶ τὸ δέρμα μόνον, ἀλλὰ καὶ διὰ βάθους, ὡς ὑπονοεῖν ὅλον ἐμπεπλῆσθαι τὸ σῶμα τῆς κακοχυμίας. οὐκέτι τὸν τοιοῦτον. οὔτ' ἐπὶ γυμνάσιον ἄξομεν, οὔτ' ἐπὶ κίνησιν ὅλως οὐδὲ μίαν. ἡσυχάσαι δὲ καὶ ὑπνῶσαι κελεύσαντες, ἐν ἀσιτίᾳ φυλάξομεν ὅλην τὴν ἡμέραν. εἶτ' εἰς ἑσπέραν ἀλείψαντές τε λιπαρῶς καὶ λούσαντες εὐκράτῳ θερμῷ τροφὴν εὔχυμον καὶ ῥοφηματώδη δώσομεν ὀλιγίστην. οὐκ ἀφέξομεν δ' αὐτὸν οὐδ' οἴνου, συμπέττει γὰρ καὶ τοὺς ἡμιπέπτους χυμοὺς ὁ οἶνος, εἴπερ τι καὶ ἄλλο, καὶ ἱδρῶτας καὶ οὖρα προτρέπει, καὶ ὕπνῳ συντελεῖ. δεόμεθα δ' ἐπὶ τῶν οὕτως ἐχόντων, ὅσον μὲν ἤδη ἀκριβῶς μοχθηρόν ἐστι τῆς κακοχυμίας πεφθῆναι μηκέτι δυναμένης, ἱδρῶσί τε καὶ οὔροις ἐκκενῶσαι, τὸ δ' οἷον ἡμίπεπτον ἔτι συμπέψαι τε καὶ χρηστὸν ἀπεργάσασθαι. τοῦτο δὲ κάλλιστα δι' ἡσυχίας καὶ ὕπνου ἀποτελεῖται. εἰ μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις καταστάιη τὸ σύμπτωμα, πρὸς τὰ συνήθη κατ' ὀλίγον ἐπανάγειν χρὴ τὸν ἄνθρωπον. εἰ δὲ καὶ περὶ τὴν ἑξῆς ἡμέραν ἔτι παραμένοι, σκεπτέον ἤδη περὶ βοηθήματος ἰσχυροτέρου. καὶ μάλιστα εἰ διὰ τῆς νυκτὸς ἤτοι κοπώδης ἐπὶ μᾶλλον, ἢ ἀσώδης, ἢ ἄγρυπνος, ἢ ἐν ὕπνοις καὶ φαντασιώδεσι καὶ ταραχώδεσι γένοιτο. τοὺς γὰρ τοιούτους, σὺν μὲν ἰσχυρᾷ τῇ δυνάμει, δυοῖν θάτερον, ἢ φλεβοτομεῖν, ἢ καθαίρειν προσήκει, διορισαμένους, ὁπότερον δεῖ μᾶλλον, ὡς ἐφεξῆς ἐρῶ. σὺν ἀσθενεῖ δὲ φλεβοτομεῖν μὲν οὐδαμῶς, ὑποκαθαίρειν δὲ μετρίως. ὁποῖαι δ' εἰσὶν αἱ μέτριαι καθάρσεις, ἐν τοῖς ἑξῆς εἰρήσεται. πρότερον γε διορισαμένων ἡμῶν τὰ πρότερον. τῆς γὰρ δυνάμεως ἰσχυρᾶς οὔσης καὶ τοῦ κόπου παραμένοντος, ἐπισκεπτέον εἴτε μετὰ πλήθους αἵματος, ἢ ὠμῶν καὶ ἀπέπτων χυμῶν, εἴτε αὐτὴ καθ' ἑαυτὴν μόνη γέγονεν ἡ τὸν κόπον ἐργαζομένη κακοχυμία. εἰ μὲν γὰρ μετὰ πλήθους αἵματος, ἤτοι φλεβοτομητέον, ἢ τι τῶν ἀναλόγων τούτῳ πρακτέον. ἀνάλογα δέ ἐστι τάδε, τοῖς μὲν αἱμορροΐδας ἐπεσχημένοις ἐκείνας ἀναστομῶσαι, ταῖς δὲ γυναιξὶ, τὴν διὰ μήτρας ἔκκρισιν κινῆσαι. ὥσπερ γε καὶ οἷς τούτων οὐδέν ἐστιν, ἀποσχάσαι τὰ σφυρά. κἄπειθ' οὕτως ὑποκαθαίρειν φαρμάκῳ, ὃ μάλιστα οἰκεῖον τῇ κακοχυμίᾳ. μόνης δὲ συστάσης τῆς κακοχυμίας ἄνευ πλήθους αἵματος, ἐπὶ τὴν οἰκείαν τῷ λυποῦντι περιττώματι κάθαρσιν ἔρχεσθαι χρή. λυπεῖ δὲ ποτὲ μὲν ἤτοι πικρόχολον, ἢ μελαγχολικὸν, ἔστι δ' ὅτε φλεγματῶδες, ἢ ἁλυκὸν, ἢ ὀξύ. καὶ τούτων ἕκαστον ἢ ὀῤῥωδέστερον, ἢ παχύτερον, ἢ μέσον πως κατὰ τὴν σύστασιν. ὑπὲρ ὧν τῆς διαγνώσεως ἤδη λέγωμεν. εἰ μὲν ἅμα τισὶν ἐξανθήμασιν ἡ κοπώδης γένοιτο διάθεσις, ἐξ ἐκείνων ἕτοιμον εὑρίσκειν, ὁποῖόν τι τὸ εἶδός ἐστι τοῦ περιττώματος. εἰ δὲ τούτων χωρὶς, ἐπὶ μὲν εὐχύμου φύσεως ἔκ τε τῶν προηγησαμένων ἐδεσμάτων καὶ τῶν ἄλλων ἁπάντων ὁπόσα συνέπεσεν αὐτῷ. κακοχύμου δ' ὄντος φύσει, κἀντεῦθέν τι ληπτέον. εἰρήσεται δ' ἐπὶ πλέον αὖθις ὑπὲρ τῶν τοιούτων κράσεων. νυνὶ δὲ περὶ τῶν ἄλλων λεκτέον. ἐξ ὧν καὶ αὐτῶν ἔνεστι τεκμήρασθαι τὸ τῆς κακοχυμίας εἶδος. ἀργότερον μὲν γὰρ διατιθέμενος φλεγματωδέστερος ἀθροίζεται χυμὸς ἐν πόνοις δὲ πλείοσιν, ἤτοι πικρόχολος ἢ μελαγχολικός, ἐν θέρει μὲν, πικρόχολος. ἐν φθινοπώρῳ δὲ, μελαγχολικός. ἀλλὰ καὶ τῶν πόνων τὸ μῆκος ἐπισκεπτέον. ὅσῳ γὰρ ἂν ὦσι πολυχρονιώτεροι, τοσούτῳ μᾶλλον ἐπὶ τὸ μελαγχολικὸν ἐκτρέπονται. καὶ χρὴ ὅσοι μὲν ἅμα πολλοῖς ἱδρῶσιν ἐγένοντο, παχύτερον ἐργάζονται τὸ περίττωμα. λεπτότερον δὲ οἱ χωρὶς ἱδρῶτος. ὥσπερ οἱ ἐν χειμῶνι, καὶ ὅλως ταῖς ψυχραῖς καταστάσεσι. συνεπισκεπτέον δ' ἐν τῷδε, καὶ περὶ τῶν οὔρων τι τοῦ πλήθους, ὥσπερ τε καὶ περὶ τῆς τῶν ἱδρώτων ποιότητος. οἱ μὲν γὰρ ὀξώδεις, οἱ δὲ, ἁλμυρόν, οἱ δὲ οἷον βορβόρου τινὸς ἢ βρόμου σαφῶς ὄζουσιν. ἔνεστι δὲ τοῦτο καὶ διὰ τῆς στλεγγίδος ὁπότε λούοιντο σκοπεῖσθαι, πολλάκις γοῦν ἐφάνη πικρόχολος ἀκριβῶς, οἷος ἐπὶ τῶν ἰκτεριώντων ἀποκρίνεται. διάγνωσις δ' αὐτὴ ἡ ῥᾳδία, καὶ πρὸ τῆς γεύσεως ἐστιν, ἐκ μόνης τῆς χροιᾶς. ὠχρὴ γὰρ ὁμοίως τῇ τοιαύτῃ χολῇ φαίνεται. πολλάκις γε μὴν ἐπὶ πόνοις ἰσχυροτάτοις καὶ καύμασι σφοδροτάτοις ἀκριβῶς ξανθὴ ὤφθη. καὶ μὲν δὴ καὶ μέσος ποτὲ καὶ μικτὸς ἐξ ἀμφοῖν. οἷον ὠχρόξανθός τις, ὥσπερ καὶ ὁ τῆς χολῆς χυμός. ἔστι γὰρ καὶ τοῦτον ἰδεῖν ἐμέτοις τε καὶ διαχωρήμασιν, ἢ τοι γ' ὠχρὸν, ἢ ξανθὸν, ἢ ἐξ ἀμφοῖν σύνθετον. ὁποῖος δ' ἂν οὗτος ἐν τῷ σώματι περιέχηται, τοιοῦτον ἀναγκαῖον αὐτοῦ φαίνεσθαι καὶ τὸν ὀῤῥόν. ὁ μὲν οὖν ἱδρὼς τῶν καθ' ὅλον τὸ σῶμα πλεοναζόντων χυμῶν ἐστι γνώρισμα. τὸ δ' οὖρον ἐκείνων μόνον, ὅσοιπερ ἂν ἐν τοῖς ἀγγείοις περιέχωνται. μηδὲν οὖν παραλείπειν ὅλως, ἀλλὰ καὶ τοὺς ἱδρῶτας ἐπισκεπτέον ὡς εἴρηται. νῦν δὲ καὶ ποτ' αὐτὸν τὸν κάμνοντα κελεύειν αὐτοῦ ἀπογεύεσθαι πρὸς ἀκριβεστέραν διάγνωσιν. ὅπερ εἴωθεν ἐστὶν ὅτε καὶ αὐτόματον γίνεσθαι παραῤῥυέντος εἰς τὸ στόμα τοῦ καταφερομένου πολλάκις, ἔκ τε τοῦ μετώπου καὶ τῶν τούτου μορίων. ἐπισκεπτέον δὲ καὶ τῶν οὔρων τήν τε σύστασιν ἅμα καὶ τὴν χρόαν. οὐ παραλειπτέον δὲ, οὐδὲ τὰ ἐναιωρήματα, οὐ δὲ τὰ ὑφιστάμενα ἀνεπίσκεπτα τὰ τοιαῦτα σύμπαντα. δηλοῖ γὰρ ἀκριβῶς ὁποῖόν τι ἐν τοῖς ἀγγείοις ἐστὶν αἷμα. χολώδους μὲν οὖν ὄντος, ἀναγκαῖον ἐστι καὶ τὸν ὀῤῥὸν αὐτοῦ χολώδη φαίνεσθαι καθ' ἑκατέραν τῆς χολῆς ἰδέαν. ὁμοίως δ' ἔτι καὶ φλεγματώδους ὑπάρχοντος. ὅταν μὲν οὖν ἀκριβῶς ἄπεπτον ὑπάρχῃ, λεπτὸν καὶ ὑδατῶδές ἐστι τὸ οὖρον, οὐθ' ὑπόστασιν ἴσχον, οὔτε ἐναιώρημά τι. πεπτομένου δὲ, ταῦτα φαίνεται. καὶ τινὲς ἐν ... νεφέλαι λεπταί. καθάπερ καὶ ἡ καλουμένη γραῦς, καὶ ἐπίπαγος ἐπὶ τῶν ἀποψυχομένων ζωμῶν. εἰ δὲ θολερὸν οἷον καὶ τὸ τῶν ὑποζυγίων φαίνοιτο, δηλώσει μὲν ἐμπεπλῆσθαι τῶν καλουμένων ὠμῶν χυμῶν τὰς φλέβας, οὐ μὴν ἡσυχάζειν γε περὶ αὐτοὺς τὴν φύσιν ἀλλὰ πέττειν ἐῤῥωμένως. εἰ δὲ καὶ διακρίνοιτο ταχέως, τὸ ὑφιστάμενον λευκόν τε εἴη, καὶ λεῖον καὶ ὁμαλὲς, ὅσον οὔπω φησὶ κρατήσειν ἁπάντων αὐτῶν τὴν φύσιν. εἰ δ' οὐρησάντων μὲν εἴη καθαρὸν, ἀναθολωθείη δ' εὐθέως, ἐπιχειρεῖν τῇ πέψει τῶν ὠμῶν χυμῶν ἐνδείκνυται τὴν φύσιν. εἰ δὲ μετὰ πλείονα χρόνον, οὐκ εὐθὺς, ἀλλ' ὕστερον ἐπιχειρῆσαι. κοινὸν δ' ἐπὶ πάντων οὔρων, θολερῶν ἔσω τὸ γνώρισμα, ἡ διάκρισις ἤτοι ταχέως ἢ βραδέως ἢ μηδόλως γιγνομένη. εἰ μὲν οὖν ταχέως γίγνοιτο, καὶ τὸ ὑφιστάμενον εἴη λευκὸν καὶ λεῖον καὶ ὁμαλὲς ἰσχυροτέραν ἐνδείκνυται μακρῷ τὴν φύσιν ὧν πέττει χυμῶν. εἰ δ' ἀγαθὴ μὲν ἡ ὑπόστασις, ἐν χρόνῳ δὲ γίγνοιτο πλείονι, καὶ τὴν φύσιν ἐν χρόνῳ πλείονι κρατήσειν τῶν χυμῶν ἐπαγγέλλεται. εἰ δ' ἤτοι μὴ διακρίνοιτο παντάπασιν, ἢ σὺν μοχθηραῖς ὑποστάσεσιν, ἀσθενὴς ἡ φύσις ἐστὶ, καὶ δεῖται βοηθείας τινὸς εἰς τὸ πέψαι τοὺς χυμούς.

ὥσπερ δὲ τὰ οὖρα τῶν ἐν τοῖς ἀγγείοις χυμῶν ἐνδείκνυται τὴν διάθεσιν, οὕτως οἱ ἱδρῶτες καὶ τὰ ἄλλα τὰ περὶ τὴν σύμπασαν ἕξιν τοῦ ζώου φαινόμενα τῶν κατ' ἐκείνην ἐστὶ δηλωτικά. θερμοτάτη μὲν γὰρ αἴσθησις συνήθως ἐν αὐτῇ γίνεται τῶν θερμῶν ἐπικρατούντων χυμῶν. ψυχροτάτη δέ, τῶν ψυχρῶν. καὶ λευκότεροι μέν, ἐπὶ ταῖς τοῦ φλέγματος. ὠχρότεροι δέ, ἐπὶ ταῖς τῆς χολῆς φαίνονται πλεονεξίαις. εἰ δὲ καὶ ἀκρατεστέρα ποτ' εἴη, ξανθότεροι. τὸ γὰρ χρῶμα τῶν χυμῶν ἐστίν, οὐ τῶν στερεῶν τοῦ ζώου μορίων, ὅταν γε μὴ ὑποχωρήσωσιν εἰς βάθος οἱ χυμοί, συμβαίνει δ' αὖ τοῖς ζώοις, διὰ κρύος ἢ ῥῖγος ἢ πάθος ψυχικόν, οἷον φόβον ἢ λύπην ἰσχυρὰν ἢ ἀρχομένην αἰδῶ. μηδενὸς δὲ τούτων παρόντος, οὐκ ἄν ποθ' ὑπονοστήσειεν εἰς τὸ βάθος οἱ χυμοί. ὥσπερ οὐδ' ἐπικαύσειεν ἄν ποτε τὸ δέρμα βιαιότερον ὁρμήσαντες ἐπ' αὐτὸ χωρὶς τοῦ παθεῖν τι τὴν ψυχήν, ἢ θάλπος ἄμετρον ἔξωθεν περιστῆναι τὸ ζῶον. ὀργισθέντων οὖν ποτ' ἰσχυρῶς ἢ θυμωθέντων ἢ τὴν ἐκ τῆς αἰδοῦς οἷον ἄμπωτιν τὴν τῶν χυμῶν ἀναφερομένην, μὴ προσέχειν τὸν νοῦν τῇ χροᾷ. χωρὶς δὲ τοῦ βιάζεσθαι τὸ περιιστάμενον ἔξωθεν ἤτοι ψυχρὸν ἢ θερμὸν ἤ τι πάθος, ὧν ἀρτίως εἴρηται γεγενημένου, ἀψευδής ἐστιν ἡ ἐκ τῆς χροιᾶς τοῦ ζώου διάγνωσις τῶν χυμῶν, ὡς οὖν τὸ μὲν λευκότερον ἑαυτοῦ γεγονὸς σῶμα τὸν φλεγματικὸν ἐπικρατεῖν ἐνδείκνυται χυμόν, τὸ δ' ὠχρότερον ἢ ξανθότερον τὸν χολώδη, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἐπὶ τὸ ἐρυθρότερον ἐκτροπὴ τοῦ κατὰ φύσιν, αἷμα πλεονάζειν. ἡ δὲ ἐπὶ τὸ μελάντερον τὴν μέλαιναν χολὴν δηλοῖ. δόξει δ' ἄν σοι ποτὲ καὶ οἷον μολιβδῆ τὴν χρόαν ἔχειν, καὶ αὖθις οἷον τῆς μίξεως ἐοικέναι, λευκοῦ τε ἅμα καὶ πελιδνοῦ, καί ποτε τὸ πελιδνὸν αὐτὸ μόνον ἐπικρατεῖν, ἄνευ τοῦ λευκοῦ. τὰ τοιαῦτα οὖν χρώματα, τὸν ὠμὸν ἐπικρατεῖν ἐνδείκνυται χυμόν. ἐν εἴδει μὲν ὑπάρχοντα φλέγματος, ἧττον δ' ὑγρὸν ὄντα τοῦ συνήθως ὀνομαζομένου φλέγματος, ὡς τὰ πολλὰ δέ, ὅτι γλισχρότης αὐτῷ πρόσεστιν, ὥς εἴ γε προσήκει. τὸν τοιοῦτον χυμὸν ὁ Πραξαγόρας ὑαλώδη καλεῖ, ψυχρὸν μὲν ἱκανῶς ὑπάρχοντα, παχύτερον δ' ἧττον ὄντα, τοῦ κατ' ἐξοχὴν ὠμοῦ προσαγορευομένου. κοινοὶ μὲν γὰρ οἱ τοιοῦτοι χυμοὶ λευκοί τε καὶ ὠμοὶ πάντες εἰσί, προσαγορεύεται δ' αὐτῶν ἄλλος ἄλλῃ προσηγορίᾳ. καὶ οὐ τοῦ νῦν ἐνεστῶτος καιροῦ διορίσασθαι πάντας αὐτούς. μόνου γὰρ εἰς τὰ παρόντα τοῦ κοινῇ πᾶσι συμβεβηκότος δεόμεθα, τοῦ μηδέπω κατειργάσθαι τελέως αὐτοὺς ὑπὸ τῆς φύσεως, ἀλλ' ἔτι ὑπάρχειν ὠμούς. ἐν μεθορίῳ γάρ ἐστι τὸ αἷμα τῶν γε χολωδῶν χυμῶν, καὶ τούτων, ὧν τὸ γένος ἑνὶ προσρήματι καλεῖν ἔξεστιν, ἢ ὠμὸν χυμὸν ἢ φλέγμα. ἐκεῖνοι μὲν γὰρ ὑπερκατεργασθέντος ἀποτελοῦνται τοῦ αἵματος, οὗτοι δ' οὐδέπω γεγονότος. ἔστι δ' ἑκατέρων ἄπειρος μὲν ἡ κατὰ μέρος διαφορά, διώρισται δέ πω ἤδη πρὸς τῶν πολλῶν τὰ τοιαῦτα δεινῶν, εἴδεσι † δυσαριθμήτοις, ὧν οὐδ' αὐτῶν ἀναγκαῖόν ἐστι μεμνῆσθαι νῦν ἁπάντων, ἀλλ' ἀρκεῖ μόνον εἰς ἓν ἀγαγεῖν τὸ κεφάλαιον ὅπερ οἷον σκοπόν τινα ποιήσασθαι προσήκει τῶν πρακτέων. ἐπειδὴ γὰρ οἱ μέν τινές εἰσι πρὶν ἀκριβῶς αἱματωθῆναι τὴν τροφὴν οἷον ἡμίπεπτοί τινες, οἱ δ' ἄπεπτοι παντάπασιν, οἱ δ' ὀλίγον ἀποδέοντες αἵματος ἰδέας, ἕτεροι δ' ἔσχατοι τῆς αἱματώσεως, ἀμετρίᾳ θερμότητος ἑπόμενοι, καὶ τούτων αὐτῶν οἱ μέν, ὀλίγον ἀποκεχωρηκότες αἵματος, οἱ δέ, πλέον, οἱ δέ, πλεῖστον. ἐπὶ μὲν τῶν ὀλίγον ἀπεχόντων, ἐφ' ἑκατέρων θαρροῦντι χρῆσθαι φλεβοτομίᾳ, ἐπὶ δὲ τῶν πλέον, εὐλαβέστερον, ἐπὶ δὲ τῶν πλεῖστον, οὐδ' ὅλως. συνεπισκοπεῖσθαι δὲ πειρᾶσθαι, καὶ τὸ ποσὸν ἐν αὐτοῖς οἷον εἰ οὕτως ἔτυχεν, ἂν μὲν ὀλίγον ὑπάρχῃ τὸ χρηστὸν αἷμα, πλεῖστος δ' ἄλλος τις χυμός, ἀφίστασθαι τῆς φλεβοτομίας. ἂν δ' οὗτος μὲν ὀλίγος ᾖ, δαψιλὲς δ' ὑπάρχῃ τὸ αἷμα θαρρούντως χρῆσθαι ταῖς φλεβοτομίαις. εἶθ' οὕτως ὡς εἴρηται πρόσθεν ὑπάγειν γαστέρα πρός τε τὸ πλῆθος ἀφορῶντα καὶ τὴν ἰδέαν τοῦ πλεονάζοντος χυμοῦ. εἰ δέ τις ἤτοι δι' ἡλικίαν ἢ διὰ δειλίαν οὐκ ἐθέλοι προσέχειν ἑαυτὸν τῷ ἰατρῷ πρὸς οὐδένα τρόπον αἵματος ἀφαιρέσεως, ἐπὶ κάθαρσιν ἰσχυροτέραν ἄγειν αὐτόν. εἰ δὲ καὶ ταῦτα ὑποπτεύοι, δι' ἑτέρων ἐκκενοῦν τὸ περιττόν, ἐπὶ μὲν οὖν τῆς ὑποκειμένης ἐν τῷ λόγῳ φύσεως οὐδὲν χαλεπὸν ἐξευρεῖν ἑτέρας κενώσεις, ἐπ' ἄλλων δέ, μετὰ διορισμῶν ἀκριβέστερον ἐξευρίσκειν αὐτὰς προσήκει, οὓς αὖθις ἐροῦμεν, ἐπειδὰν πρότερον ὑπὲρ τῆς εὐχύμου φύσεως εἴπωμεν. ὑποκείσθω γοῦν ὁ τοιοῦτος ἄνθρωπος ἐπὶ μοχθηρᾷ διαίτῃ κοπώδης γεγενημένος, εἴτε ἐξ ὧν εἰρήκαμεν σημείων, ἐν μὲν τῷ φλεβώδει γένει τῶν ἀγγείων ἐμφαινέσθω τὸ πλῆθος αὐτῷ χυμῶν ἡμιπέπτων, ἐν δὲ τῷ περὶ ὅλῳ σώματι τούτων διὰ τῶν δακνωδῶν οἷς ὁ κόπος ἕπεται, συνηυξήσθω δέ πως αὐτῷ, καὶ τὸ αἷμα. μάλιστα μὲν οὖν ὡς εἴρηται χρὴ τοῦ αἵματος ἀφελόντα, καθῆραι τοὐντεῦθεν ἐκεῖνον τὸν χυμόν, ὃς ἂν ἐπικρατεῖν φαίνηται. μὴ προσιεμένου δὲ τὴν τοῦ αἵματος ἀφαίρεσιν, αὐξῆσαι τὴν κάθαρσιν. εἰ δὲ μηδὲ ἕτερον ὑπομένοι σκοπεῖσθαι τὴν ἑτέραν ὁδόν, ἣ μάλιστα ἄν τις εἰ καὶ μὴ διὰ ταχέων, ἀλλ' ἐν χρόνῳ γε πλείονι πρὸς τὴν ἀρχαίαν τοῦ σώματος ἕξιν ἐπανάγοι τὸν ἄνθρωπον. ἐπεὶ οὖν οἱ πρῶτοι δύο σκοποὶ τῆς ἐπανορθώσεως ἐν ἁπάσαις ταῖς τοιαύταις διαθέσεσιν εἰσὶ πέψις μὲν τῶν ἀπέπτων, ἢ καὶ ἡμιπέπτων χυμῶν, ὁπόσοι πρὸ τοῦ αἵματος γεννῶνται. κένωσις δὲ τῶν δριμέων τε καὶ δακνωδῶν, ὁπόσοι δεύτεροί τ' εἰσὶ καὶ ὕστεροι τοῦ αἵματος, ἀπέχειν μὲν αὐτοὺς χρὴ κινήσεως ἁπάσης ἰσχυρᾶς, ἀτρέμας δ' ἀλείφοντας καὶ ἀνατρίβοντας ἐλαίῳ, λούειν ὅτι μάλιστα προσηνεστάτοις λουτροῖς. εἶτ' ἐφ' ἡσυχίας τε καὶ ἀσιτίας διάγειν. εἰ δ' οἷόν τε εἴη καὶ ὕπνου. εὖ εἰδότας ὡς οὐδὲν οὕτω πέττειν μὲν τὰ πεφθῆναι δυνάμενα, διαφορεῖν δὲ τοὺς μοχθηροὺς χυμούς, ὡς ὁ ὕπνος. μετὰ βαλανεῖον ὅταν οὖν ὡς ὀλίγον ἔμπροσθεν εἴρηται τῇ πρώτῃ τῶν ἡμερῶν ἀποθεραπευθέντες εἰ καθίσταται ὁ κόπος ῥᾳδίως ὁμοίως ἐνοχλούμενον ὁρῶμεν τὸν ἄνθρωπον, ἐπί τε λουτρὸν ἄγειν αὐτόν. καὶ τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἡσυχάζειν τε καὶ ἀσιτεῖν ἀναγκάζειν. ὡς εἰ καὶ τὸ δεύτερον ἔτι τε καὶ τρίτον γνῶντες, λοῦσαι νῆστιν, ἡσυχίᾳ τε καὶ ὕπνῳ τὰ μεταξὺ τῶν βαλανείων διαλαμβάνοντα. συντελεῖ δ' εἰς τὸν ὕπνον οὐχ ἥκιστα καὶ αὐτὸ τὸ βαλανεῖον αὐτοῖς. ὑπνωδέστεροι μὲν οἱ λουσάμενοι γίνονται πάντες, εἰ μηδὲν ἄλλο γε καὶ διακωλύσει μεῖζον. ὥστε σοὶ τὸν ὕπνον αἴτιόν τε καὶ σημεῖον ἀγαθὸν γίνεσθαι, τῆς ἐλπιζομένης ὠφελείας. ὥσπερ γε καὶ τὸ μὴ δυνηθῆναι καθευδῆσαι ἐπὶ τοῖς βαλανείοις, οὐκ ἀγαθὸν αἴτιον ἅμα καὶ σημεῖον. ὡς τὰ πολλὰ μέντοι καὶ τῶν πλεοναζόντων χυμῶν ἐξ ὕπνου τε καὶ ἀγρυπνίας ἔνεστι λαβεῖν διάγνωσιν. ἐπὶ μὲν γὰρ τοῖς ψυχροῖς τά τε κώματα καὶ οἱ μακρότεροι τῶν ὕπνων. ἐπὶ δὲ τοῖς θερμοῖς καὶ δακνώδεσιν ἀγρυπνία, καὶ εἰ καθυπνώσειέ γε ποτέ, φαντασιώδεις τε καὶ θορυβώδεις ὕπνοι ὑποπίπτουσιν, ὡς ἐξανίστασθαι ταχέως αὐτούς. ὥσπερ δὲ κατὰ τὴν πρώτην ἡμέραν, οὕτω καὶ κατὰ τὴν δευτέραν ἐλάχιστά τε καὶ ἁπλᾶ ῥοφήματα προσοίσομεν αὐτοῖς. τὸ μὲν γὰρ πλείω διδόναι τοῖς κενώσεως δεομένοις, ἄντικρυς ἐναντίον. τὸ δ' αὖ μηδόλως τρέφειν, ἀσῶδές ἐστι καὶ κακωτικὸν τοῦ στο-

† ἀλ. ἀναχεῖσθαι.

μάχου

μάχου, καὶ τῆς δυνάμεως καταβλητικόν, καὶ τῆς κακοχυμίας αὐξητικόν. ἐλάχιστον οὖν αὐτοῖς διδόναι, μάλιστα μὲν εἰ οἷόν τε, χυλὸν πτισάνης ἁπλῶς ἠρτυμένον. εἰ δὲ μή, ἀλλὰ τοῦ χόνδρου τὸν αὐτὸν τρόπον ἠρτυμένον τῇ πτισάνῃ, ὀλίγον ὄξους ἔχοντος, καὶ μάλισθ᾽ ὅταν ὠμῶν πλῆθος ὑποπτεύωμεν, ἢ ἐν ταῖς φλεψίν, ἢ καθ᾽ ὅλον ὑπάρχειν τὸν ὄγκον. εἰ γὰρ μηδὲν ὅλως ὄξους ὁ χόνδρος προσλάβοι, γλισχρότερός ἐστιν, ἢ πρέπει τοῖς πάσχουσιν, ὥστ᾽ ἐμφράξει μᾶλλον, οὐ διαῤῥύψει τοὺς πόρους, οὗ μάλιστα χρῄζουσιν ἐπὶ τοῖς παχέσι καὶ γλίσχροις χυμοῖς, οἷοί περ εἰσὶ τὸ πάμπαν οἱ φλεγματώδεις ἅπαντες. εὔχυμος μὲν οὖν ἐστι, καὶ διὰ τοῦτο κακοχυμίας ἐπικρατητικός. ἀλλ᾽ εἰ μὴ κολασθείη τὸ γλίσχρον ἐν αὐτῷ, προσλαβὼν ὄξους τε καὶ πράσου τὸ μέτριον, ἐμφράξει τε καὶ θρέψει μειζόνως, ἢ συμφέρει τοῖς οὕτω ἔχουσι. διὰ τοῦτ᾽ ἄρα καὶ ὁ τῆς πτισάνης χυλὸς ἀμείνων ἐστὶν εἰς τὰ τοιαῦτα, καὶ συμμέτρως τρέφων καὶ μηδαμόσε κατὰ τὰς στενωτέρας ὁδοὺς ἰσχόμενος· ἀλλ᾽ αὐτός τε διερχόμενος προσαποῤῥύπτων τε καὶ διαῤῥύπτων τοὺς πόρους ἅμα τῷ τέμνειν τε καὶ διαλύειν ὁπόσον ἂν ἐν τοῖς ἡμιπέπτοις τε καὶ ἀπέπτοις χυμοῖς ὑπάρχει παχύ. διὰ ταῦτα δὲ καὶ τὸ μελίκρατον ἐπιτήδειόν ἐστιν αὐτοῖς, ὀξύμελί τε καὶ ἀπόμελι, καὶ πέπερι, καὶ ζιγγίβερι, καὶ πάνθ᾽ ὅσα τέμνει τε καὶ διαλύει τὰ παχέα, χωρὶς τοῦ κακοχυμίαν ἐργάζεσθαι. λεχθήσεται δὲ ὑπὲρ τῆς ὕλης αὐτῶν ἐπὶ πλέον ἐν τοῖς ἑξῆς. εἰς δὲ τὸν ἐνεστῶτα λόγον ὥσπερ τινὰ παραδείγματα τά τε προειρημένα λελέχθω μοι, καὶ τὰ μέλλοντα λεχθήσεσθαι. ὀσπρίων μὲν γὰρ ἐπιτηδειοτάτη ἡ πτισάνη. λαχάνων δ᾽ ἡ θριδακίνη. τῶν δ᾽ ἰχθύων, οἱ πετραῖοι. καὶ τῶν ἄρτων οἱ κριβανῖται καὶ ζυμῖται, καὶ καθαροὶ συμμέτρως. τῶν δ᾽ ὀρνίθων οἱ ὄρειοι. τῶν δὲ ποτῶν, ὀξύμελι, μελίκρατον, οἶνος λεπτὸς καὶ λευκός. ἁπλῶς δ᾽ εἰπεῖν ὅσα περ εὔχυμά τ᾽ ἐστι, καὶ ῥυπτικά, καὶ μὴ γλίσχρα, μὴ δὲ παχύχυμα, μὴ δ᾽ ἱκανῶς πολύτροφα. τὰ δ᾽ οὐρητικὰ προσαγορευόμενα κατὰ τὸν ἐνεστῶτα καιρὸν οὐκ ἐπαινῶ, καὶ μάλισθ᾽ ὅσα σφοδρότερα ἐκθερμαίνει τε καὶ κατατήκει τὸ αἷμα. τῷ γὰρ μέλλοντι καλῶς πεφθήσεσθαι, τοσαύτης ταραχῆς οὐδέπω χρεία. ταῦτα τε οὖν ἅπαντα πρακτέον οὕτως ἐστὶ κατὰ τὴν δευτέραν ἡμέραν, οὐχ ἥκιστα δὲ κατὰ τὴν τρίτην τε καὶ τὴν τετάρτην. ἔτι τε πρὸς τούτοις, εἰ πραΰνοιτο μὲν ἡ κοπώδης αἴσθησις, εὔχρουν δὲ γίγνοιτο τὸ σῶμα, καὶ ὕπνοι χρηστοί, καὶ οὖρα πέπονα, τρίψαι μὲν ἐπὶ πλέον αὐτὸν ἀποτολμήσαντα, γυμνάσαι δ᾽ ὀλίγον. πράξαντος γὰρ οὕτως, εἰ μηκέτι μὴ δὲ μία κοπώδης αἴσθησις ἐπιγίγνοιτο πρὸς τὰ συνήθη γυμνάσια διὰ ταχέων ἐπανάγειν. εἰ δ᾽ ἐπιφανείη τι τῶν ἐμπροσθεν ἢ τοι συμπτωμάτων, ἢ σημείων, αὖθις οὖν καὶ σὺ πρὸς ἐκεῖνο βλέπων, ἐξαλλάττειν πειρῶ τὰ κατὰ μέρος. εἰ μὲν οὖν τῆς κοπώδους αἰσθήσεως ἀνάμνησις γένοιτο μόνης, ἐπὶ τοῖς ἄλλοις ἅπασι σημείοις ἀγαθοῖς διαμένουσιν, ἀποθεραπευτικοῖς ἐπανορθοῦμεν τὸν κόπον. εἰ δὲ ταραχθείη μὲν τὰ σημεῖα καὶ οἷον χυθείη, μὴ παρείη δ᾽ ὁ κόπος, ἐν ἡσυχίᾳ πλέονι διαφυλάττειν τὸν ἄνθρωπον. εἰ δ᾽ ἄμφω συνέλθῃ, διὰ τῆς αὐτῆς ἐπιμελείας ἄγων, ἢ χρώμενος ἔμπροσθεν εἰς τοσοῦτον προσήγαγες ὠφελείας αὐτόν, ὡς τολμῆσαί τι καὶ περὶ γυμνασίων. οὕτω μὲν ἐπανορθοῦσθαι προσήκει τὴν εἰρημένην διάθεσιν. εἰ δὲ τὰ ἄλλα μὲν ταῦτα εἴη, κατὰ τὸν αὐτὸν ἄνθρωπον, ὑπάρχει δ᾽ αὐτῷ κοπῶδες σῶμα, τὸ μὲν αἷμα τὸ χρηστὸν ὀλίγον, οἱ δ᾽ ὠμοὶ πάμπολλοι, μήτε φλεβοτομεῖν, μήτε καθαίρειν, μήτε γυμνάζειν, ἀλλὰ μὴ δὲ κινεῖν ὅλως, μὴ δὲ λούειν. αἱ μὲν γὰρ φλεβοτομίαι, τὸ μὲν χρηστὸν ἐκκενοῦσι, τὸ δὲ μοχθηρὸν ὅπερ ἐν ταῖς πρώταις μάλιστα φλεψὶ ταῖς καθ᾽ ἧπάρ τε καὶ μεσάραιον ἀθροίζεται πρὸς ὅλον ἐπισπῶνται τὸ σῶμα. κάθαρσις δὲ ἐπὶ τῶν τοιούτων, στρόφους τε καὶ δήξεις ἐργάζεται, καὶ λειποψυχίας σὺν τῷ μὴ κενοῦν ἀξιολόγως. οἱ γὰρ ὠμοὶ χυμοὶ πάντες ἀργοὶ καὶ δυσκίνητοι διὰ τὸ πάχος τε καὶ τὴν ψυχρότητα. προσεμφράττουσιν οὖν ἁπάσας τὰς στενὰς ὁδούς, δι᾽ ὧν χρὴ τὸ κενούμενον ἐν ταῖς καθάρσεσιν ἐπὶ τὴν γαστέρα παραγίνεσθαι, καὶ διὰ ταύτην τὴν αἰτίαν, οὔτ᾽ αὐτοὶ κενοῦνται, καὶ τοὺς ἄλλους ἐμποδίζουσι. τοῦτο μὲν οὖν ὑφ᾽ Ἱπποκράτους διὰ βραχυτάτου παραινεῖται ῥήματος εἰπόντος. πέπονα φαρμακεύειν μὴ ὠμά. διὰ δὲ τὴν αὐτὴν αἰτίαν οὐδὲ γυμνάζειν οὐδὲ κινεῖν ὅλως, ἀλλ᾽ οὐδὲ λούειν προσήκει, τοὺς ἐν ταῖς πρώταις φλεψὶ τὸ πλῆθος τῶν ὠμῶν χυμῶν ἔχοντας. ἅπασαι γὰρ αἱ τοιαῦται κινήσεις, εἰς ὅλον τὸ σῶμα παράγουσι τοὺς χυμούς. φυλακτέον οὖν αὐτοὺς ἐν ἡσυχίᾳ πάσῃ, καὶ δοτέον ἐδέσματά τε καὶ ποτὰ καὶ φάρμακα λεπτύνοντα, καὶ τέμνοντα, καὶ κατεργαζόμενα τὸ πάχος τῶν χυμῶν, ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς. οἱ γὰρ θερμανθέντες ἰσχυρότερον χυμοί, πανταχόσε τοῦ σώματος ἴασιν. διαιτᾶν οὖν αὐτοὺς ἐπ᾽ ὀξυμέλιτι μάλιστα βραχὺ τι καὶ πτισάνης ἐνίοτε καὶ μελίκρατον διδόντα, καὶ γὰρ φέρουσι τὴν λεπτὴν δίαιταν, εἴ πέρ τινες ἄλλοι, καταχρώμενοι τῷ πλήθει τῶν ὠμῶν χυμῶν εἰς τροφὴν τοῦ σώματος ἐν τῷ κατὰ βραχὺ πέττειν αὐτούς. ἐπεὶ δὲ καὶ τὸ ὑποχόνδριον ἅπασι τοῖς τοιούτοις ἐπαίρεται καὶ διαπεφύσηται, καὶ ῥᾳδίως ὅταν προσάρωνται, πνευματοῦται, βέλτιον ἂν εἴη διδόναι σὺν τῇ τροφῇ πεπέρεως μακροῦ, καὶ γὰρ διαλύει τὴν παχύτητα τοῦ φυσώδους πνεύματος. ἀπωθεῖται δὲ καὶ πρὸς τὴν κάτω γαστέρα τὰ καθ᾽ ὑποχόνδριον ἀργῶς συνεστῶτα, καὶ τῇ πέψει τῶν ληφθέντων συναίρεται κατὰ τὸν αὐτὸν λόγον ἁπάντων πεπέρεων. εἰ δὲ μὴ παρείη τοῦτο, τῷ λευκῷ χρηστέον, ἐστὶ γὰρ στομάχου τονικώτερον ἀμφοῖν τοῖν ἄλλοιν πεπέρεοιν. εἰ δὲ μὴ τοῦτο παρείη, χρῆσθαι τῷ καλλίστῳ μέλανι, τοῦτο δὲ, τὸ βαρύσταθμον. ἄμεινον δὲ καὶ τῷ διοσπολιτικῷ προσαγορευομένῳ χρῆσθαι φαρμάκῳ. συντίθεται δὲ διττῶς, ἐνίοτε μὲν ἐξ ἁπάντων ἴσων κυμίνου τε καὶ πεπέρεως, καὶ πηγάνου, καὶ νίτρου, καὶ ἔστιν οὕτω μᾶλλον ὑπακτικώτερον γαστρός. ἐνίοτε τῶν μὲν ἄλλων ἴσον ἐκ τούτου μίγνυται, τοῦ νίτρου δ᾽ ἥμισυ. κάλλιον, δὲ κύμινον μὲν ἐμβάλλεσθαι τὸ καλούμενον αἰθιοπικόν, πεπέρεως δὲ ἤτοι τὸ μακρόν, ἢ τὸ λευκόν. ἐμβρέχεσθαι δὲ τὸ κύμινον ὄξει δριμυτάτῳ. κἄπειτ᾽ εὐθέως φρυγέσθω, ἢ πρότερον φρυγέσθω μετρίως ἐν ἀγγείῳ κεραμέῳ, τελέως ὠπτημένῳ κατὰ τὴν κάμινον. ὅσα γὰρ ἐνδεῶς ἐξηράνθη, πηλώδη μᾶλλον ἐστὶν ἢ κεράμεια, καὶ τοῖς φαρμάκοις τι προστρίβεται τῆς ἑαυτῶν ποιότητος. ἔστω δὲ τὰ τοῦ πηγάνου φύλλα προανεξηραμμένα συμμέτρως, εἰ μὲν γὰρ ἐπὶ πλέον ἀναξηρανθείη, δριμέα τε γίνεται καὶ πικρά, καὶ περαίτερον τοῦ προσήκοντος θερμά, μηδόλως δὲ προξηρανθέντα, περιέχει τινὰ περιττωματικὴν ὑγρότητα, μηδέπω κατειργασμένην ἀκριβῶς, δι᾽ ἣν οὐ γίνεται παντάπασιν ἄριστα. τούτοις τέτταρσιν ἐνίοτε μὲν ἀναμίγνυται μέλι προαπηφρισμένον, ἐνίοτε δ᾽ οὐδέν, ἀλλὰ μόνα χωρὶς τοῦ μέλιτος ἀποτίθενται καὶ πτισάνης ἐμβάλλεται χυλῷ, καὶ οὕτω περ ἂν ἄλλῳ τῶν ἐδεσμάτων, μάλιστα πρέπειν δοκεῖ. λαμβάνεται δὲ καὶ καθ᾽ ἑαυτὸ τὸ φάρμακον τοῦτο, πρὸ τροφῆς τε καὶ μετὰ τροφήν. καὶ ἐστὶ κάλλιστον ἐν τῇ τοιαύτῃ χρήσει τὸ

μέλι μεμιγμένον ἀκριβῶς ἀπηφρισμένον, τοῦτο γὰρ ἀφυσότατόν ἐστιν. ἔστω δὲ δηλονότι καὶ αὐτὸ τὸ μέλι κάλλι-
στον, εἴπερ ἀφυσότατόν τε καὶ τμητικώτατον ἔσεσθαι μέλλοι τὸ φάρμακον. ἐπιτήδειον δὲ τοῖς οὕτω διακειμένοις
ἐστίν, καὶ τὸ διὰ τριῶν πεπέρεων, ὅταν μὴ πάνυ φαρμακῶδές τε καὶ ποικίλως σκευασθῇ. καθάπερ οἱ πολλοὶ
τῶν ἰατρῶν συντιθέασιν αὐτό, δίκην καρυκείας τινός, ἢ συὸς ἀγρίου πρὸς δὴ τούτων τῶν θαυμασίων ὀψοποιῶν
ἐσκευασμένον. ὥστ᾽ ἔργον οὐ σμικρὸν ὑπάρχει τοῖς ἰατροῖς ἢ τοῖς προαιρουμένοις αὐτὸ τὸ ἐπεμβεβλημένον φάρ-
μακον καταπέψαι τὸ ἄμι, καὶ τὸ σέσελι, καὶ τὸ λιβυστικόν, ὅσα τε ἄλλα τοιαῦτα. διαγινώσκεται γοῦν λαμβανόν-
των ὠμὰ καὶ ἀμετάβλητα μέχρι πλείστου κατὰ τὴν γαστέρα μένοντα. ταῦτά γε οὖν ἀφελεῖν χρὴ τοῦ φαρμάκου, καὶ
προσέτι τὸ ἑλένιόν τε, καὶ τὸν τῆς νάρδου στάχυν. ὡς δὲ ἔνιοι συντιθέασι καὶ τὴν κασίαν. ἔχειν δ᾽ ἐσκευασμένον
ἤτοι μὲν διττόν, ὡς ἡμεῖς εἰώθαμεν. ἁπλοῦν μὲν τὸ ἕτερον ὅπερ ἐπί τε τῶν ἀπεπτηκότων χρὴ διδόναι, καὶ τῶν πρό-
σφατον ψύξιν ἐχόντων κατὰ γαστέρα, καὶ φλεγματώδη χυμόν. ἕτερον δὲ φαρμακῶδες, ᾧ μάλιστα ἐπὶ τῶν ἀπὸ τῆς
κεφαλῆς εἰς τὸν θώρακα ῥευμάτων χρώμεθα. ἀλλὰ τοῦτο μέν, ὅπως χρὴ σκευάζειν αὖθις εἰρήσεται. τὸ δ᾽ ἁπλοῦν, ᾧ
καὶ πρὸς τὸ πλῆθος τῶν ὠμῶν τῶν κατὰ τὰς πρώτας φλέβας χρώμεθα, τοιόνδ᾽ ἐστίν. εἰς πεντήκοντα δραχμὰς ἑ-
κάστου τῶν τριῶν πεπέρεων, ἀρκεῖ μιγνύειν, ἀνίσου τε καὶ θύμου, καὶ ζιγγιβέρεως ἑκάστου δραχμὰς ὀκτώ. τὸ μὲν
ἁπλούστατον τοῦτο, καὶ τούτου μᾶλλον ἔτι τὸ χωρὶς ζιγγιβέρεως. ἕτερον δὲ τὸ διὰ τῶν αὐτῶν συγκείμενον, ἀλλ᾽ εἰς
τὰς πεντήκοντα δραχμὰς ἑκάστου τῶν τριῶν πεπέρεων ἑκκαίδεκα δραχμῶν ἐμβαλλομένων, ἑκάστου τριῶν ἀνίσου
τε καὶ θύμου, καὶ ζιγγιβέρεως, ᾧ καὶ μάλιστα χρώμεθα πρὸς τὰ προσόντα. χρὴ δ᾽ εἴπερ οἷόν τ᾽ εἴη, τὸ μὲν ἄνισον εἶναι
κρητικόν. ἀττικὰ δὲ τὰ θύμα, ἢ πάντως γε ἐκ χωρίων ὑψηλῶν τε καὶ ξηρῶν. ἐμβάλλειν δ᾽ αὐτῶν τὴν κόμην ἅ-
μα τοῖς ἄνθεσιν ἀποκρίνοντα τὸ ξυλῶδες. ἔστω δὲ καὶ τὸ πέπερι τὸ μὲν μακρὸν ἄτρητόν τε καὶ ὑγιές, ὥσπερ οὖν καὶ
τὸ ζιγγίβερι. τάχιστα γὰρ ἀμφότερα τιτρᾶται, καὶ πρὸς τοῦ μὴ τετρῆσθαι δηλονότι τὸ ἀληθινὸν αὐτὸ πέπερι τὸ ἀπὸ
τῆς βαρβάρου κομιζόμενον ἔστω. δῆλον γὰρ ἐνταῦθα πανουργοῦνται, σκευαζόμενον μὲν τὸ ἕτερον ἐπὶ τῆς ἀλεξανδρείας,
μάλιστα, βοτάνης δέ τινος ἐκβλάστημα θάτερον ὑπάρχει. ὡς δ᾽ ἄν τις μάλιστα γνωρίζοι τὸ πεπανουργημένον,
ἐγὼ διηγήσομαι τοσοῦτον πρότερον εἰπὼν ὑπὲρ τοῦ μὴ θαυμάζειν τινά, μηδὲ ζητεῖν τὴν αἰτίαν, δι᾽ ἣν ἤτοι συνθέ-
σεις φαρμάκων, ἢ δοκιμασίας ἐπῆλθέ μοι γράφειν ἐνταῦθα. μὴ πάνυ τι τοῦτο πράττειν εἰθισμένῳ κατὰ τὴν θερα-
πευτικὴν πραγματείαν, ἐν ἐκείνῃ μὲν γὰρ αὐτοῖς μόνοις διαλέγομαι τοῖς ἰατροῖς, ἐνταυθοῖ δὲ καὶ τοῖς ἄλλοις ἅπα-
σιν, οὓς ὀνόματι κοινῷ προσαγορεύουσιν ἔνιοι φιλιάτρους, ἐν τοῖς πρώτοις δηλονότι μαθήμασι γεγονότας, ὡς γε-
γυμνάσθαι τὴν διάνοιαν. οὔκουν ἀναγκαῖόν ἐστι τοῖς τοιούτοις οὔτ᾽ ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων, οὔτ᾽ ἐν τῇ περὶ
συνθέσεως αὐτῶν γεγυμνάσθαι πραγματείᾳ. πολὺ δὲ δὴ μᾶλλον οὐδ᾽ ὡς χρὴ δοκιμάζειν ἕκαστον ἐπίστασθαι. τούτοις
οὖν ἄμεινόν ἐστι γράφεσθαι τὰ τοιαῦτα πάντ᾽ ἀκριβῶς, ὥσπερ ἀρτίως τὰ περὶ τοῦ πεπέρεως μακροῦ ἐπεχείρησα
διηγεῖσθαι. χρὴ γὰρ ἀπογεύεσθαι μὲν αὐτοῦ πρῶτον ἀκριβῶς ἐπισκοπουμένους, εἰ πεπέρεως ἀποσώζει ποιότητα, μετὰ δὲ
τοῦτ᾽ ἐμβαλεῖν ὕδατι. τὸ γὰρ ἐσκευασμένον ἐν βραχέσι δι᾽ ὅλης ἡμέρας αὐτίκα διαλύεται τηκόμενον. εἴπερ οὖν
ἥτε ποιότης ἀκριβῶς αὐτῷ πεπέρεως ὑπάρχει, καὶ μὴ διαλύεται βρεχόμενον, ἢ δ᾽ ὡς εἴρηται καὶ ἄρρηκτον, ἐπιτή-
δειον εἶναι νόμιζε τὸ τοιοῦτον μακρὸν πέπερι. τὸ δέ γε μέλαν, μήτε μικρὸν ἔστω, μήτε ῥυσσόν, μήτε παχύφλοιον,
ἀλλ᾽ ἐκ τοῦ βαρυσταθμοῦ καλούμενον, τὸ μέγιστόν τε καὶ εὐτραφέστατον ἐκλεγέσθω. καὶ τοῦ λευκοῦ δ᾽ ὁμοίως ἐκλεγέ-
σθω, τὸ μέγιστόν τε καὶ εὐτραφέστατον. εἶτα πάντων ἅμα κοπέντων καὶ λεπτῷ κοσκίνῳ διαπιθέντων, ἀπηφρι-
σμένον ἐπιμελῶς μιγνύσθω μέλι τὸ κάλλιστον, εὐῶδες δή που τοῦτο καὶ ξανθὸν ὑπάρχον γλυκύτατόν τε ἅμα καὶ
δριμύτατον, καὶ τῇ συστάσει, μήτε παχύ, μήθ᾽ ὑγρὸν ὡς ἀποσπᾶσθαι αὐτοῦ τὸ συνεχές, ἀλλ᾽ ὥς τε καταθέντα τὸν
δάκτυλον εἰς αὐτό, κἄπειτα καταστήσαντα μετέωρον ἀπορρέειν ὁρᾶν αὐτοῦ τὸ μέλι μέχρι πλείστου συνεχὲς ὂν ἑαυ-
τῷ, ἄμεινον δ᾽ ἐπ᾽ ἀνθράκων ἑψεῖν, ἢ ξύλων ἀκριβῶς ξηρῶν, ἃ δὴ καὶ καλοῦσιν ἄκαπνα. τοῦτό τε οὖν διδόναι χρὴ
τὸ φάρμακον, οὐχ ἅπαξ μόνον, ἢ καὶ δίς, ἀλλὰ καὶ πλεονάκις ἑκάστης ἡμέρας, καὶ γὰρ ἕωθεν καὶ πρὸ τροφῆς καὶ μετὰ
τροφήν, καὶ καθυπνοῦν μελλόντων ἐπιτήδειον ὑπάρχει. τὸ δὲ πλῆθος ἑκάστης δόσεως ἔστω κοχλιαρίου μεστοῦ. μικροῦ
μέν, ἐπὶ τῶν μικρῶν σωμάτων. μεγίστου δὲ ἐπὶ τῶν μεγίστων, ἀνάλογον δ᾽ ἐπὶ τῶν μεταξύ. καὶ μέντοι καὶ τὸ ζιγγίβε-
ρι τὸ κομιζόμενον ἐκ τῆς βαρβάρου, διάβροχον ὄξει, συμφέρει λαμβάνειν. δεῖ δὲ τοῦτο ῥίζας χλωρὰς τῆς πόας ἐμβαλλο-
μένης τῷ ὄξει, μετὰ τὴν ἀναίρεσιν εὐθέως. κατασβέννυται γὰρ ἡ τῶν τοιούτων φαρμάκων θερμότης. αὐτόθι περὶ
τὰς πρώτας φλέβας, οὐκέτ᾽ ἀναφερομένη πρὸς ὅλον τὸ σῶμα καθάπερ ἑτέρων τινῶν οἷον καὶ τὸ διὰ τῆς καλαμίν-
θης, ὑπὲρ οὗ μετ᾽ ὀλίγον ἐπὶ πλέον εἰρήσεται. Ταῦτ᾽ ἄρα καὶ ὀξύμελι χρησιμώτατον αὐτοῖς ἐστιν, ὡς καὶ πρό-
τερον εἴρηται. σκευάζειν δὲ καὶ τοῦτο προσήκει κατὰ τάδε. μέλι τὸ κάλλιστον ἐπ᾽ ἀνθράκων ἀπαφρίζαντες, ἐπεμβάλ-
λειν αὐτῷ τοσοῦτον ὄξει, ὡς γευομένῳ μήτ᾽ ἄγαν ὀξὺ φαίνεσθαι, μήτε γλυκύ. καὶ τότ᾽ αὖθις ἕψειν ἐπ᾽ ἀνθράκων,
ὡς ἑνωθῆναί τε τὰς ποιότητας αὐτῶν ἀκριβῶς, καὶ μὴ φαίνεσθαι γευομένοις ὠμὸν τὸ ὄξος. εἶτ᾽ ἀποθεμένους τοῦ-
το μιγνύειν ὕδωρ ἐπὶ τῆς χρήσεως, οὕτως κεραννύντας ὡς οἶνον. εἰ μὲν οὖν ὁ πίνων αὐτὸ μήθ᾽ ὡς ὀξύ, μήθ᾽ ὡς
γλυκὺ μέμφοιτο, χρηστέον ἄχρι παντός. εἰ δὲ μή, τότε τὸ λεῖπον ἐπεμβάλλοντας ἀφεψεῖν αὖθις. οὐ γὰρ ἐπαινῶ τοὺς
κατὰ μίαν τινὰ συμμετρίαν σκευάζοντας αὐτό. παραπλήσια γάρ μοι δοκοῦσιν οἱ τοιοῦτοι ποιεῖν τοῖς ἀξιοῦσιν
ἅπαντας τοὺς πίνοντας ὡσαύτως κεραννύναι τὸν οἶνον τῷ ὕδατι, μὴ γινώσκοντες ὡς ἔνιοι μὲν ὑδαρέστερον εἰθι-
σμένοι πίνειν, εὐθέως πλήττονται τὴν κεφαλήν. εἰ καὶ βραχύ τις αὐτοῖς ἀκρατέστερον κεράσειεν. ἔνιοι δ᾽ ἀκρατε-
στέρῳ χαίροντες, ἀνατρέπονται τὸν στόμαχον ὑδαρέστερον πίοντες. ὁπότ᾽ οὖν ἐπὶ οἴνου ταῦτα συμπίπτει συνήθους
οὕτω ποτοῦ πολὺ δή που μᾶλλον ἐπ᾽ ὀξυμέλιτος, ὅσῳ καὶ ἀηδέστερον οἴνου καὶ ἰσχυρότερόν ἐστιν εἰκὸς ἀκολουθήσειν
αὐτά. βέλτιον οὖν ἐστι ταῖς τῶν λαμβανόντων αἰσθήσεσι κρίνειν τὸ σύμμετρον αὐταῖς ἢ ἡμετέραις. οἰκειότατον
μὲν τῇ φύσει τοῦ λαμβάνοντος εἶναι νομίζοντας τὸ ἥδιστον ὀξύμελι, καὶ διὰ τοῦτο καὶ ὠφέλιμον. ἐναντιώτατον δέ,
τὸ ἀηδέστερον. αὐτὴν δὲ τὴν πρώτην κρᾶσιν αὐτῶν, ὡς ἂν μάλιστα τοῖς πλείστοις ἁρμόσειε, κατὰ τόδε χρὴ ποιεῖσθαι.
ὄξους ἑνὶ μέρει διπλασίῳ μίγνυσθαι τοῦ τὸν ἀφρὸν ἀφῃρημένου μέλιτος. εἶθ᾽ οὕτως ἐπὶ μαλακοῦ πυρὸς ἑψέσθω,

μέχρις

μέχρις ἂν ἑνωθῶσιν αὐτῶν αἱ ποιότητες. οὕτω γοῦν ἄν, οὔτε τὸ ὄξος ὠμὸν ἔτι φαίνοιτο. διὰ ὕδατος δ' οὐδεὶς οὕτω σκευάζειν ὀξύμελι, τῷ μέλιτι μίγνυσθαι τετραπλασίου ὕδατος κάλλιστον. κἄπειθ' ἑψέσθω μετρίως μέχρις ἂν ὁ ἀφρὸς ἀφίστηται. τὸ μὲν οὖν φαῦλον μέλι πάμπολυ ἐξεργάζεται τὸν ἀφρόν, ὥστε καὶ ἡ ἕψησις αὐτοῦ πολυχρονιωτέρα γίνεται. τὸ δὲ ἄριστον ἐν ἐλαχίστῳ τε χρόνῳ, καὶ βραχύτατον ἀφίησιν, ὅθεν οὐδὲ ἴσον αὐτῷ δεῖται τῆς ἑψήσεως. ἀλλ' οὖν πλεῖστον τὸ τέταρτον ἀπολείπει μέρος τοῦ κραθέντος ἐξ ἀρχῆς. μίξαντος δ' ὄξους ἥμισυ πάλιν ἑψητέον, ἄχρι τοῦ τὰς ποιότητας ἑαυτῶν ἀκριβῶς ἑνωθῆναι, καὶ μηκέτ' ὠμὸν φαίνεσθαι τὸ ὄξος. σκευάζοντες γὰρ καὶ κατ' ἀρχὴν εὐθέως τῶν τριῶν μιχθέντων. ἔστω δὲ ἐν μὲν ὄξους μέρος. δύο δὲ μέλιτος. ὕδατος δὲ δ'. καὶ ταῦτ' ἑψέσθω μέχρι τοῦ τρίτου μέρους, ἤδη τὸν ἀφρὸν ἀφαιρούντων ἡμῶν. εἰ δὲ ἰσχυρότερον αὐτὸ ποιῆσαι βούλοιο, τοσοῦτον ἐμβαλεῖς ὄξους ὅσον καὶ μέλιτος. ἀπόμελι δὲ κάλλιστον ἐν ὕδατι σκευάζεται, καὶ πίνουσιν αὐτὸ διὰ ὅλου τοῦ θέρους ὡς ἔμψυχον. ἔστι δέ, τῷ βουλομένῳ καὶ πρὸς τὴν ὑποκειμένην ἐν τῷ παρόντι λόγῳ διάθεσιν ὠφελίμως χρῆσθαι, καὶ μάλιστα ὅταν ὀξυνθῇ. πάσχει δὲ τοῦτο πλειστάκις, τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον. ὡς ἂν διὰ ὕδατος σκευαζόμενον, οὐ τοῦ ὀμβρίου καθάπερ τὸ ὑδρόμελι, ἀλλὰ τοῦ ἐπιτυχόντος. ἔστι δ' εἰ βούλοιτό τις καὶ διὰ ὀμβρίου συντιθέναι, καὶ ἐγὼ γ' ἂν τοῦτο ποιεῖν συνεβούλευον, εἰ ἐπῄνουν τὸ ὄμβριον, ἀλλὰ γὰρ οὔτε τοῦτο ἐπαινῶ καὶ οὐδὲν χεῖρον ὀξυνόμενον ἀποτελεῖται, καὶ μάλιστα εἰς τὰ παρόντα. καὶ γὰρ οὖν καὶ μετρίως ὀξύνεται, τό τε μὴ παντάπασιν ἀμελῶς ἐσκευασμένον. ἡ δ' ἐπιμέλεια τῆς σκευασίας ἐστὶν ἐν τῷ τὸ κηρίον μὴ εἶναι πάνυ φαῦλον, ἑψεῖσθαί τ' ἐπὶ πλέον ἐν ὕδατι πηγαίῳ, καθαρῷ τε καὶ ἡδεῖ. χρὴ γὰρ ἐκπιέσαντα τῶν κηρίων τὸ μέλι, μέχρι τοσούτου καθεψεῖν ἐν ὕδατι, μέχρις ἂν μηκέτι μηδεὶς ἀφρὸς ἐπανίστηται. τούτῳ τε οὖν χρῆσθαι ποτῷ, καὶ τῶν οἴνων, τοῖς ὀξυσμένοις ἀτρέμα, καὶ τῶν ἐδεσμάτων τοῖς λεπτύνουσιν ἄνευ τοῦ θερμαίνειν, οἷάπερ ἐστὶ καὶ ἡ κάππαρις εἰ διὰ ὀξυμέλιτος, ἢ διὰ ὀξελαίου λαμβάνοιτο. μέχρι δ' ἤτοι δυοῖν ἢ τριῶν ἡμερῶν, ὡς εἴρηται διαιτᾶν, εἰ δ' ἐλπίζοις ἱκανῶς ἤδη λελεπτύνεσθαι τοὺς ὠμοὺς χυμούς, οἶνον προσφέρειν, λεπτὸν μὲν τῇ συστάσει, κιρρὸν δὲ ἢ λευκόν, τῇ χροιᾷ. ὁ μὲν γὰρ εἰς εὐχυμίαν τε καὶ πέψιν, ὁ δὲ εἰς οὔρησιν ἀγαθός ἐστι. δ' ἐπὶ μὲν τῆς ἰταλίας ὅ, τε φαλερῖνος καὶ ὁ σουρρεντῖνος ἐκ τοῦ προτέρου γένους. ὥσπερ οὖν ἐκ τοῦ δευτέρου ὁ σαβῖνος τε καὶ ὁ ἀλβανὸς καὶ ἀδριανός. ἐπὶ δὲ τῆς ἀσίας, ἐκ μὲν τοῦ προτέρου, λέσβιός τε καὶ ἀριούσιος, ἐκ δὲ τοῦ δευτέρου τιτακαζηνός τε καὶ ἀρσυῖνος. οὗτοι μὲν ὡς παραδείγματα εἴρηνται τοῦ λόγου. πολλοὶ δὲ καὶ ἄλλοι κατὰ τὴν ἰταλίαν εἰσὶ καὶ τὴν ἀσίαν. οὐχ ἥκιστα δὲ κἂν τοῖς ἄλλοις ἔθνεσιν, ὅμοιοι τοῖς εἰρημένοις, οὓς αὐτῶν ἐκλέγεσθαι, χρὴ πρὸς τοὺς εἰρημένους ἀποβλέποντας σκοπούς, τήν τε χρόαν, καὶ τὴν σύστασιν. ἀποδοκιμάζειν τε τούς τε παχεῖς καὶ τοὺς μέλανας ὡς κακοχύμους τε καὶ βραδυπόρους. εἰ δ' ἐπὶ τοῖσδε βέλτιον ὁ ἄνθρωπος γίγνοιτο, καὶ λούειν ἤδη προσήκει, καὶ ἀλείφειν, καὶ ἀνατρίβειν μαλακῶς. κἄπειδὰν πρῶτον ὑπόστασιν ἴσχῃ τὰ οὖρα, τάς τε τρίψεις αὐξῆσαι καὶ πρὸς τὰ συνήθη γυμνάσια κατ' ὀλίγον ἐπαναγαγεῖν. ἐν τούτῳ δὲ τῷ καιρῷ καὶ τοῖς διαφορητικοῖς ἀλείμμασι χρηστέον, ὧν καὶ πρόσθεν μὲν ἐμνημόνευσα, καὶ αὖθις δ' ὑπὲρ αὐτῶν ἐρῶ. οὐ μὴν ἐμέτοις χρῆσθαι συμβουλεύω, ἐπὶ τὰς τοιαύτας διαθέσεις, ὥσπερ ἐνίοις ἔδοξεν ἰατροῖς τε καὶ γυμνασταῖς, ἐξαπατηθεῖσιν ὡς οἶμαι πρὸς τῶν ὑπὸ φιλοτίμου τε καὶ πραξαγόρου γεγραμμένων, ἐπὶ ταῖς τῶν τοιούτων χυμῶν θεραπείαις. οὐ γὰρ ὅταν κοπώδεις διαθέσεις πλεονάζωσιν, ἀλλ' ἐπειδὰν μόνοι λυπῶσιν ἐμέτοις αὐτοὺς ἐκκενοῦσιν. οὐδεὶς γὰρ κίνδυνος ἀντισπασθῆναι τηνικαῦτα βιαιότερον ἔσω, τῶν κατὰ σάρκα περιττωμάτων. ὥσπερ ὅταν ἄμφω πλεονάζῃ, τὰ μὲν ὠμὰ κατὰ τὰς πρώτας φλέβας, ἐν δὲ τοῖς στερεοῖς, τὰ δακνώδη. φυλάττεσθαι γὰρ τῶν τοιούτων ἄμεινόν ἐστιν, ἑκατέρας τὰς ἀντισπάσεις, ἔξω μὲν τὴν τῶν ὠμῶν, ἔσωθεν δέ, τὴν τῶν δακνωδῶν. ὥσπερ οὖν ἐφυλαξάμεθα κατὰ τὸν ἔμπροσθεν λόγον ἔξω τοὺς ὠμοὺς ἐπισπᾶσθαι χυμούς, οὕτω χρὴ φυλάττεσθαι τοὺς δακνώδεις ἀντισπᾶν ἔσω. κεφάλαια δὲ τῆς μὲν ἔξω φορᾶς αὐτῶν εἰσι, γυμνάσια καὶ τρίψεις καὶ λουτρὰ καὶ θάλπος, ἀλείμματά τε θερμαίνοντα. καὶ τῶν ψυχικῶν παθῶν ἡ ὀξυθυμία, καὶ ἁπλῶς εἰπεῖν ἅπανθ' ὅσα τοὺς ἐν τῷ βάθει τοῦ ζώου χυμούς, εἰς τὴν πανταχόθεν κίνησιν ἐξορμᾷ. τῆς δ' ἔσω, τὰ ἀποτρέποντα τῆς ἔξωθεν φορᾶς. ἔστι δὲ δή που ταῦτα τῶν ὁμιλούντων τῷ δέρματι, τά τε ψύχοντα καὶ στύφοντα, καὶ ὅσα πρὸς τούτοις ἐπισπᾶται τοὺς χυμούς, ἢ ἄλλως ὁπωσοῦν ἐπεγείρει, τὴν ἔσω κίνησιν αὐτῶν, ἐξ ὧν ἐστι λύπη καὶ φρίκη, καθ' ἥντινοῦν αἰτίαν γιγνομένη. καὶ γοῦν καὶ ψυχρὸν αἴτιον καὶ θερμὸν ἐδείχθη, φρίκη τε καὶ ῥῖγος γιγνόμενον, καὶ διὰ τῶν ἐκπληττόντων τε καὶ φοβούντων τὴν ψυχήν, ἤτοι ἀκουσμάτων ἢ θεαμάτων. ἅπαντ' οὖν τὰ τοιαῦτα φυλακτέον ἐστίν, ἐπειδὰν ἅμα τε κοπώδης ὁ αὐτὸς ἄνθρωπος ᾖ, καὶ τὰς φλέβας ἔχῃ μεστὰς ἀπέπτων χυμῶν. οὔτε γὰρ τοὺς ἔξω χυμοὺς ἀντισπᾶν ἔσω καλόν, οὔτε τοὺς ἔνδον, ἔξω. ἀλλὰ τοὺς μὲν ἔξω διαφορεῖν ἀτρέμα. τὰ γὰρ ἰσχυρότερα τοῦτο δρῶντα, καὶ τῶν ἔνδοθεν ἐπισπᾶταί τι. τοὺς δ' ἔνδον λεπτύνειν τε καὶ συμπέττειν. εἰ δ' ἤτοι διὰ ἐμέτων ἢ διὰ γαστρὸς ὑπαγωγῆς ἐπιχειρήσαις αὐτοὺς ἐκκενῶσαι σφοδρότερον, ἐπισπάσῃ τινὰς ἐκ τῶν ἔξωθεν ἔσω. τοὺς δὲ περὶ τὸν φιλότιμον, οὐ χρὴ μέμφεσθαι τῇ τοιαύτῃ κενώσει χρωμένους. ὅταν ἐν ταῖς πρώταις φλεψὶ πλῆθος ὠμῶν παράκειται χωρὶς ἑτέρας διαθέσεως. ἀλλὰ μᾶλλον ἡμᾶς αὐτοὺς ἐθιστέον ἀκριβέστερον ἐπέχεσθαι παλαιοῖς γράμμασιν. εἰς αὐτὸ μὲν οὖν τὸ μελίκρατον ὕσσωπον ἀφεψῶντες, οὐκ εὐθέως μὲν οὐδ' ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἐν δὲ ταῖς ἐχομέναις δώσομεν, ἐφ' ὧν ἅμα τε τὸ πλῆθος τῶν ὠμῶν χυμῶν ἔνδον, ἥ τε κοπώδης αἴσθησις ἔξω. τοὺς δ' ἐμέτους παραιτησόμεθα δεδιότες ὡς εἴρηται τῶν ἔξωθέν τι περιττωμάτων ἔσω παλινδρομῆσαι. πραξαγόρας δὲ καὶ φιλότιμος εὐλόγως ἔμετον ἐπὶ τοιούτῳ μελικράτῳ παραλαμβάνουσιν, ὠμοὺς χυμοὺς θεραπεύοντες ἄνευ κοπώδους διαθέσεως. ἀλλ' ἐπεὶ καὶ περὶ τούτων, αὐτάρκως εἴρηται, καιρὸς ἂν εἴη τῆς ὑπολοίπου διαθέσεως ὑπάρξασθαι, καθ' ἣν ἅμα τῇ ἑλκώδει διαθέσει καὶ τὸ τῶν ὠμῶν πλῆθος, εἰς τὴν ἕξιν ἀνελήφθη. γίνεται δὲ ταῦτα, κατ' ἐκείνας μάλιστα τὰς περιστάσεις τῶν πραγμάτων, ἐν αἷς ἤτοι θάλπος ἢ γυμνάσιον ἄμετρον, ἐκ τῶν φλεβῶν εἰς τὰς σάρκας ἀναρπάζει τοὺς ὠμοὺς χυμούς, οὐδὲ μίαν ἐν τῷ παρόντι πρόσφατον ἀπεψίαν πεπονθότων, ὡς εἴ γε καὶ τοῦτο συνέλθοι, σύμπαν οὕτως ἐμπλησθήσεται τῶν ὠμῶν χυμῶν τὸ σῶμα, καὶ λεχθήσεται μὲν ὀλίγον ὕστερον, ὡς χρὴ καὶ τὴν τοιαύτην ἐπανορθοῦσθαι διάθεσιν. ἀλλ' ἐπεὶ τὸ σύνθετον ὕστερόν τε ἐστὶ καὶ δεύτερον τοῦ ἁπλῶν. ἄμεινον ἂν εἴη περὶ τῆς ὑπολοίπου

διαθέσεως ἁπλῆς διελθόντας, ἐπὶ τὰς συνθέτους αὖθις ἰέναι. καί τοι γε οὐδὲ ταύτην ἀκριβῶς ἁπλῆν χρὴ νομίζειν, ἀλλ᾽ ὡς ἐν αὐτομάτοις κόποις ἁπλῆν. ὑποκειμένης γὰρ τῆς τὸν κόπον ἐργαζομένης διαθέσεως ἐπιμιγνυμένων αὐτοῖς τὰς ἄλλας. ἀλλ᾽ ὅτι καὶ κατὰ τὴν μίξιν ἐνίοτε μὲν ἁπλῆ καὶ μία μίγνυται διάθεσις, ἐνίοτε δὲ σύνθετος, οὕτως ὠνομάζομεν ἁπλῆν, ὑπὲρ ἧς ὁ λόγος ἐνέστηκεν. ἔστω δὲ τὸ πλῆθος τῶν ὠμῶν χυμῶν ἐν τοῖς στερεοῖς τοῦ ζώου μέρεσιν, οὐκ ἐν ταῖς φλεψίν, ἅμα τῷ καὶ τὴν ἑλκώδη τοῦ κόπου διάθεσιν ἐν τοῖς αὐτοῖς ὑπάρχειν. ἡ γὰρ ἐξ ἀρχῆς τοῦ λόγου τοιαύτη τις ἦν. ὡς οὖν ἐφ᾽ οἷς κατὰ τὰς φλέβας ἦν καὶ μάλιστα κατὰ τὰς πρώτας τῶν ὠμῶν, ἐφυλαττόμεθα τὰ θερμαίνοντα, δεδιότες εἰς τὴν ἕξιν ἀναληφθῆναι τοὺς τοιούτους χυμούς, οὕτω νῦν οὐδὲν χρὴ δεδιέναι. δοτέον οὖν αὐτοῖς ὅσα μέχρι τοῦ δέρματος ἐκτείνει τὴν θερμότητα, καὶ ἀνατριπτέον ἐπὶ πολὺ ἐλαίῳ χαλαστικῷ, καὶ μάλιστα μετὰ τὸν ὕπνον ἕωθεν ἐξαναστάντας. ἡ γὰρ τοιαύτη τρῖψις, ἅμα τε πέττει τοὺς ὠμοὺς χυμούς, καὶ τρέφει τὸν ὄγκον τοῦ ζώου. χρὴ δ᾽ ἡσυχάσαι μετὰ ταῦτ᾽ ἄχρι πλείονος, εἰ μέλλοι καλῶς γενήσεσθαι ταῦτα. πολὺ δ᾽ ἐναργέστερον ἀνύσειν, οὗ χάριν γίνεται βραχέα τε σιτία προσενηνεγμένα κατὰ τὴν προτεραίαν τοῦ ἀνδρὸς καὶ μηδὲν ἐπὶ τῷ δείπνῳ πίνειν, πλὴν κιρροῦ καὶ λεπτοῦ οἴνου. γυμνάζεσθαι δὲ συνεχῶς καὶ σφοδρῶς αὐτίκα, μήπω λάβωμεν ἀπεπτῶν ἔτι χυμῶν ἀναγκάζοντες τρέφεσθαι τὸ σῶμα. βέλτιον οὖν ἕωθεν ἐπὶ πλεῖον ἀνατρῖψαί τε καὶ μετὰ ταῦτα ἡσυχάσαι περιπατῆσαί τε τὰ μέτρια, καὶ αὖθις χρήσασθαι τρίψει πολλῇ, καὶ λουτρῷ συμμέτρως θερμῷ, καὶ τροφαῖς εὐχύμοις τε ἅμα καὶ γλίσχροις. εἴρηται δ᾽ ἔμπροσθεν αὐτῶν ἡ ὕλη πλειστάκις ἐπαινούντων ἡμῶν εἰς τὰ τοιαῦτα, καὶ τοὺς πετραίους ἰχθύας, καὶ τῶν ὀρνίθων τοὺς ὀρείους. ἐπιτήδεια δὲ, καὶ τὰ λεπτύνοντα τῶν ἐδεσμάτων, ὑπὲρ ὧν ἐν ἰδίᾳ γέγραπται βιβλίον. εὐλαβεῖσθαι δὲ χρὴ μηδὲν, εἰ καὶ θερμαίνοι σφοδρῶς, ἀλλὰ καὶ τὸ διὰ τῆς καλαμίνθης φάρμακον ἀδεῶς λαμβάνειν. ἔστι δὲ ἡ σύνθεσις αὐτοῦ τοιαύτη.

Diacalaminthi compositio.

καλαμίνθης, καὶ γλήχωνος, καὶ πετροσελίνου, καὶ σεσέλεως ἑκάστου ἀνὰ ℥. β´. σελίνου σπέρμα, κορύμβων, θύμου ἀνὰ ℥. α´. ἑκατέρου καὶ πρὸς τούτοις ἔτι, λιβυστικοῦ μὲν ℥. ἑκκαίδεκα, πεπέρεως δὲ ὀκτὼ καὶ μ´. πεπέρεως μὲν οὖν ἔστω τὸ βαρύσταθμον ὀνομαζόμενον. σέσελι δὲ, τὸ μασσαλεωτικόν. πετροσέλινον δὲ, τὸ μακεδονικόν, καὶ τούτου μάλιστα τὸ ἀστεριωτικόν. ἡ καλαμίνθη δὲ καὶ ἡ γλήχων, μάλιστα μὲν ἐκ κρήτης, εἰ δὲ μή, ἀλλ᾽ ἐκ χωρίων ὑψηλῶν τε καὶ ξηρῶν. ὡσαύτως δὲ καὶ τὰ θύμα τὰ μὲν οὖν ξυλώδη καὶ σκληρὰ τῶν βοτανῶν, ἀπορρίπτειν, λαμβάνειν δ᾽ εἰς τὸ φάρμακον, τὰ φύλλα, καὶ τούτων μάλιστα τὰ λεπτότατά τε καὶ εὐθαλέστατα, καὶ ἐπ᾽ ἄκραις ταῖς βοτάναις, καὶ πρὸς αὐτοῖς, ἄνθη τε καὶ τὰ σὺν αὐτοῖς λεπτότατα κάρφη. κόπτειν δ᾽ ἅμα σύμπαντα καὶ διαττᾶν χρὴ διὰ λεπτοῦ κοσκίνου. μάλιστα γὰρ εἰς ὅλην τὴν ἕξιν τοῦ ζώου τὰ τοιαῦτα φάρμακα ἀναδίδοται, καθάπερ γε τὰ παχύτερα κατὰ τὴν γαστέρα μένει, τοῖς στενοῖς στόμασι τῶν φλεβῶν ἐναρμοσθῆναι μὴ δυνάμενα, καὶ διὰ τοῦτο καὶ τὸ διοσπολιτικὸν ὀνομαζόμενον φάρμακον, ὃ κατὰ τὸν ἐνεστῶτα λόγον ἔμπροσθεν ἐμνημόνευσα, παχυμερέστερον εἴωθα σκευάζειν, ἐπειδὰν ὑπαχθῆναι τὴν γαστέρα δι᾽ αὐτοῦ δεήσω, καί τις οὐκ εἰδὼς τοῦτο, λεπτότατόν τε καὶ χνοωδέστατον ἐργασάμενος αὐτό, τὴν μὲν ὑποχώρησιν οὐδέν τι προὔτρεψεν, οὖρα δ᾽ ἐκίνησεν οὐκ ὀλίγα, καὶ ἡμῖν ἐκινεῖτο θαυμάζων τε ἅμα καὶ ζητῶν τοῦ γεγονότος τὴν ἀληθινὴν αἰτίαν. αὐτὸς μὲν γὰρ ἔφη νομίζειν δι᾽ ἀκρασίαν τινὰ τοῦ ἀνδρός, καὶ γὰρ ἐκάλεσεν οὕτως αἰτίαν εἶναι τοῦ συμβεβηκότος, ὥστ᾽ ἔμαθεν ὅτι τὸ τῆς συνθέσεως εἶδος αἴτιον ἴδιον ὑπῆρχεν αὖθις ἑτέρως ἐσκεύασε τυχὼν τοῦ σκοποῦ. τούτου μὲν οὖν τοῦ παραγγέλματος ἐπὶ πάσης συνθέσεως φαρμάκου, ἄμεινον μεμνῆσθαι. τὸ δὲ προκείμενον ἐν τῷ παρόντι λόγῳ φάρμακον, ἀκριβῶς ἅπαντα λεπτὰ λαμβανέτω, χάριν τοῦ ῥᾳδίως ἀναδίδοσθαί τε καὶ φέρεσθαι πάντα. μιγνύσθω δὲ τοῖς οὕτω παρασκευασμένοις, μέλι τὸ κάλλιστον ἀκριβῶς ἀπηφρισμένον. ἡ δὲ χρῆσις αὐτοῦ γιγνέσθω κατὰ τὴν ἑωθινὴν ἀνάτριψιν καὶ πρὸ τῶν γυμνασίων δὲ καὶ λουτρῶν. ἔξεστι δὲ καὶ χωρὶς τοῦ μίξαι τὸ μέλι ξηρῷ τῷ φαρμάκῳ φυλάξαντα χρῆσθαι παραπλησίως ἁλσὶ τοῖς εἰς ὄψα παρεσκευασμένοις. ἔξεστι δὲ καὶ εἰς πτισάνην ἐμβαλεῖν οἷον ὄξος ἢ τοιοῦτον ἀντὶ πεπέρεως. οὐ μόνον δὲ τὸ ξηρὸν ἁλῶν δίκην ἐστὶ πολὺ χρηστόν, ἀλλὰ καὶ τὸ σὺν τῷ μέλιτι, καὶ γὰρ καὶ τοῦτο δυνατὸν ἀναμιγνύντα τοῖς ἐδέσμασιν, ἀρκεῖσθαι μετά τινος ἐξ αὐτῶν, ὡς ἡδὺ τῷ χρωμένῳ φαίνεσθαι. μηδὲν μέν τοι τὴν τροφὴν, μηδέ ποτε λαμβάνειν μήτε τοῦτο. μήτ᾽ ἄλλο τι φάρμακον, ἀνάδοσιν ἰσχυροτέραν ἐργαζόμενον. οὐ γὰρ ἀναδίδοσθαι τηνικαῦτα βέλτιον, ἀλλὰ πέττεσθαι τοῖς ληφθεῖσιν. ἄμεινον οὖν ἐστι τοῖς ἐπικουρίας τινὸς ἔξωθεν εἰς πέψιν δεομένοις, ἐν τούτῳ τῷ καιρῷ δίδοσθαι φάρμακον, οὗ τὴν σύνθεσιν ἔμπροσθεν ἐδήλωσα. λέγω δὲ τὸ διὰ τριῶν πεπέρεων ἁπλοῦν, καὶ αὐτὸ δὲ τὸ πέπερι μόνον ἐπιπαττόμενον τῷ ποτῷ, χρηστὸν εἰς τὰ παρόντα, καὶ εἴπερ ἄρα μείζων τις εἴη χρεία, καὶ τὸ διὰ χυλοῦ τῶν κυδωνίων μήλων, οὗ τὴν σύνθεσιν ἅπασαν ἐρῶ καὶ τὴν δύναμιν, ἀκριβῶς ἐξηγησάμενος κατὰ τὸν ἑξῆς λόγον, εἰς δὲ τὰ προκείμενα νῦν, ἁπάντων ἄριστον φάρμακον, ὧν ἐγὼ γινώσκω, τὸ διὰ τῆς καλαμίνθης ἐστί, καὶ γὰρ λεπτύνει τὰ παχέα καὶ γλίσχρα καὶ διαφορεῖ, καὶ οὔρησιν κινεῖ, καὶ καταμήνια γυναιξίν. ἔστι δὲ καὶ ἥδιστον ἐν τῇ χρήσει, καὶ μάλιστα ὅταν λάβῃ πλεῖον τοῦ μέλιτος. ἕψεσθαι δ᾽ ἐπὶ πλέον αὐτὸ χρὴ τηνικαῦτα τοῖς δ᾽ ἀπεστραμμένοις τὰ γλυκέα, καὶ φεύγουσι τὸ μέλι, καὶ γὰρ τοιαῦται μέν τινες εὑρίσκονται φύσεις, ὀλίγον ἐν τῇ συνθέσει μιγνύσθω τὸ μέλι. βέλτιον δὲ καὶ μᾶλλον ἕψεσθαι τούτοις, καὶ γὰρ ἧττον οὕτως ἐστὶ γλυκὺ καὶ ἧττον ἀνατρέπει τὸν στόμαχον, ἐπὶ τῶν ἀπεστραμμένων φύσει τὸ μέλι, τὰ μὲν δὴ τοιαῦτα πάντα, καὶ αὐτός τις ἐπινοείτω πρὸς τῆς ἡμετέρας συμβουλῆς, ἕνα κοινὸν ἐν ἅπασι διαφυλάττων σκοπόν, ἥδιστον γενέσθαι τὸ φάρμακον εἰς ὅσον ἐγχωρεῖ, φυλαττομένης αὐτῆς τῆς εἰς τὴν ὠφέλειαν δυνάμεως. οὐ γὰρ δὴ ταύτην γε ἐκλῦσαι κελεύω τῆς ἡδονῆς στοχασάμενος. ὅταν οὖν ἐπὶ δύο που τὰς πρώτας ἡμέρας ἢ τρεῖς οὕτως ἢ παρασκευασμένος ὁ ἄνθρωπος, οὐδὲν ἂν εἴη χεῖρον ἤδη καὶ γυμνάζεσθαι διὰ τῶν συνήθων αὐτῷ, ἀποπειρώμενον εὐχροίας τε καὶ τῶν ἄλλων σημείων, ἃ κατὰ τὸν ἔμπροσθεν εἴρηται λόγον. εἰ μὲν γὰρ ἅπαντά σοι χρηστὰ φαίνοιτο τελέως γυμνάζειν αὐτόν. εἰ δὲ μὴ προκαταπαύειν τε τῆς συμμέτρου, καὶ τοῖς εἰρημένοις πρὶν διαιτήμασί τε καὶ φαρμάκοις φυλάξαντα κατ᾽ ἐκείνην τὴν ἡμέραν, αὖθις ἐπιχειρεῖν τῷ γυμνασίῳ κατὰ τὴν ὑστεραίαν ἐπὶ τοῖς αὐτοῖς σημείοις τε καὶ σκοποῖς. ἵν᾽ ὅταν ἤδη πάντα ἄμεμπτα φαίνηται, πρὸς τὴν αὐτὴν δίαιταν ἐπαναγάγῃς αὐτόν, ἢ καὶ πρὶν ἁλῶναι τῷ κοπώδει συμπτώματι συνήθης ἦν. ἐπεὶ δὲ

καὶ τῷ

καὶ τῷ διὰ τῆς ἐλάτης ἀκόπῳ φαρμάκῳ χρῆσθαι συμφέρει, τοῖς κατὰ τὴν σάρκα τε καὶ τὸν ὄγκον ἅπαν τὰ τοῦ ζώου χυμοὺς ἠθροικόσιν, ἢ τι πεφθῆναι, δυνάμενον, ἢ διαφορηθῆναι, οὐδὲν ἂν εἴη χεῖρον εἰπεῖν τι καὶ περὶ τῆς ἐκείνου συνθέσεως. ἔστι μὲν οὖν ὡραιότατον αὐτῆς τὸ σπέρμα, περὶ τὴν ἐπιτολὴν τοῦ ἀρκτούρου. ὅστις καιρὸς ἐν ῥώμῃ μὲν ὁ καλούμενος μὴν ἐστὶ σεπτέμβριος. ἐν περγάμῳ δὲ παρ' ἡμῖν ὑπερβερεταῖος. ἀθήνησι δὲ μυστήρια. ἐλαίῳ δ' ἐμβάλλειν αὐτὸ χρὴ καθ' ἣν ἂν θέλῃ ὥραν τοῦ ἔτους, οὐδὲ μία γὰρ ὅσον ἐπὶ τούτῳ διαφορά. βέλτιον δὲ εἰ καὶ θλάσας ἐμβάλλει αὐτό. θᾶττον γὰρ οὕτω τὸ ἔλαιον ἐμπλησθῇ τῆς ἰδίας ποιότητός τε καὶ δυνάμεως. εἴη δ' ἂν ὁ χρόνος οὗτος ἐλάχιστος ἡμερῶν μ. πολλάκις δ' ἡμεῖς καὶ τρεῖς καὶ τέτταρας καὶ πολὺ πλείους μῆνας ἐπιτρέψαμεν ἐμβραχῆναι, κἄπειθ' οὕτως ἀπερρίψαμεν, τὸ σπέρμα, τὸ δ' ὑγρὸν ὀθονίῳ διηθήσαμεν. ἔστω δὲ τὸ μὲν ἔλαιον, ἕν τι τῶν χαλαστικῶν, οἷον περ ἐν ἰταλίᾳ τὸ σαβῖνον ἐμβαλλέσθω δ' εἰς τὰς εἴκοσι καὶ πέντε κοτύλας αὐτοῦ, μόδιος ἰταλικὸς τοῦ σπέρματος τῆς ἐλάτης. ὅσων δὲ καὶ τῶν κοτυλῶν ἰταλῶν ἃς δὴ καὶ λίτρας ὀνομάζουσι. βραχέντος δ' ἐν αὐτῷ τοῦ σπέρματος, πολλῷ δηλονότι μεῖον γίνεται, σύμμετρον δ' οὖν ἐστὶ τῷ καταλειφθέντι, κηροῦ μὲν λίτρας ἐμβαλεῖν τέσσαρας. ῥητίνης δὲ ἐλατίνης τὸ τρίτον τῆς λίτρας μέρος ὅ περ εἰσὶν ὁλκαὶ. ∠. β. καὶ λ. τὸ δ' ἴσον ἐμβαλλέσθω μὲν τῆς στροβιλίνης ῥητίνης, εἰ δ' αὗται μὴ παρεῖεν, ἀντ' αὐτῶν τῇ τερεβινθίνῃ χρῆσθαι. ἕψειν δ' ἄμεινον ἐπ' ἀγγείου διπλοῦ. ἢ πάντως γ' ἐπὶ πυρὸς ἀφλογοῦς, οἷον ἐστὶ τὸ τῶν ἀνθράκων, ἔστωσαν δ' οὖν μὴ δ' οὗτοι πολλοί. τοῦτο τὸ φάρμακον ἐπιτηδειότατον ἐστὶν εἰς ἅπαντας κόπους αὐτομάτους τε καὶ οὐκ αὐτομάτους. ἀγαθὸν δὲ καὶ τὸ διὰ τῆς αἰγείρου τῶν ἀνθῶν συντιθέμενον. ἔστι δὲ καὶ τοῦτο τοιόνδε. τῶν ἀνθῶν τῆς αἰγείρου μεμυκότων ἔτι, μόδιος ἰταλικὸς ἐμβάλλεται λίτραις ἐλαίου σαβίνου πεντεκαίδεκα ἢ εἴκοσι. μὴ παρόντος δὲ τοῦ σαβίνου, τῶν ὁμοίων τι παρασκευαστέον ἐλαίων. εἴρηται δ' ἐν τοῖς ἔμπροσθεν, ὡς ὅμοιά πάντ' ἐστὶ τὰ λεπτομερῆ θ' ἅμα καὶ μὴ στύφοντα. κάλλιον δ' εἰ καὶ μετρίως θλασθὲν, ἐμβληθείη τῷ ἐλαίῳ τὸ ἄνθος. εἰ δὲ καὶ καθ' ἑκάστην διακινοῖτο, καὶ μάλισθ' ὅταν ἥλιος ἢ θερμὸς ἐν οἰκήματι, τε θερμῷ, τὴν ἀπόθεσιν ἔχῃ, θᾶττον τε ἂν οὕτω μὲν μᾶλλον ἡ τῆς αἰγείρου ποιότης τε καὶ δύναμις εἰς τοὔλαιον μετέλθῃ. ὥστε σε μετὰ δύο που καὶ τρεῖς μῆνας δύνασθαι ἐκθλίψαντα τὸ ἄνθος αὐτὸ μὲν ἀπορρίψαι, τὸ δ' ἔλαιον ἔχειν ἀδήκτως διαφορητικόν. ὀλίγῳ τι μεῖον τοῦ ἐλατίνου. καὶ μέν τοι καὶ κηρὸν καὶ ῥητίνην ἔξεστιν ἐμβάλλειν αὐτῷ τοσοῦτον, ὅσον ἀρτίως ἐν τῇ συνθέσει τοῦ διὰ τῆς ἐλάτης εἴρηται φαρμάκου. παχύτι δ' εἴ ποτε γένοιτο τὸ ἐκθλιβόμενον ὑγρὸν, ἱκανὸν οὐ μόνον τὸ τέταρτον μέρος, ἀλλὰ καὶ τὸ πέμπτον μίγνυσθαι κηροῦ. ἐγὼ δ' οἶδα ποτὲ καὶ τὸ ἕκτον ἐμβαλὼν, παχυτέρου τε τοῦ ἐλαίου γινομένου, καὶ τοῦ μέλλοντος αὐτῷ χρῆσθαι χαίροντος ὑγροτέρῳ φαρμάκῳ. τινὲς δ' οὐκ ἀναμένοντες ἐν χρόνῳ πλέονι διαβρέχεσθαι τά τε ἄνθη καὶ τὰ σπέρματα, τοῦτο μὲν, ἕψειν αὐτὰ δέονται, τοῦτο δ' ὕδωρ ἐμβάλλειν, ὅσοι γε προμηθέστεροι, χάριν τοῦ μήτε φρυχθῆναι τὰ ἐμβληθέντα, μὴ δὲ κνισῶδες γενέσθαι τοὔλαιον. ὅσοι δ' ἔτι τούτων ἐπιμελέστεροι, τὴν ἕψησιν ἐν ἀγγείοις διπλοῖς ποιοῦνται. καλεῖται δ' οὕτως, ἐπειδὰν προ ὑποκειμένου λέβητος ὕδωρ ἔχοντος ζεστὸν, ἐνεστὶ τε τι τούτῳ μικρὸν ἀγγεῖον, εἰς ὃ μέλλει τὸ ἔλαιον ἐγχεῖσθαι. τοῦτο μέν γε καὶ ἡμεῖς ποιοῦμεν, ἀλλ' οὐκ εἰς τὴν τῶν σπερμάτων ἢ ἀνθῶν ἕψησιν. οὐδὲν γὰρ ταύτης δεόμεθα πολυχρονίως αὐτὰ ἀποβρέχοντες. ἀλλ' ὁπότ' ἂν διατήκειν ἐν τῷ λέβητι τὰς ῥητίνας καὶ τὸν κηρὸν ἐπιχειρῶμεν ἐν τῇ τοῦ φαρμάκου σκευασίᾳ. καταναγκαζόμενος δέ τις ἐν τάχει σκευάζειν αὐτὰ δεήσεταί τε προσαφεψεῖν ὡς εἴρηται, καὶ ὕδατος ἐγχεῖν ἢ οἴνου χάριν τοῦ μὴ φρύγεσθαι. τὸ μὲν οὖν ὕδωρ εἰς τὰ παρόντα, χρησιμώτερον. ὁ δ' οἶνος, εἴς τε τὰς ποδαγρικὰς διαθέσεις καὶ ὅλως ἀρθριτικάς. ἀρκεῖ δὲ μιγνύναι τοσοῦτον ὕδατος, ὡς ἑψόντων ἐκδαπανηθῆναι πᾶν. εἴη δ' ἂν οὕτως ὀλίγον, ὡς τετραπλάσιον ἢ πενταπλάσιον αὐτοῦ τὸ ἔλαιον ὑπάρχειν. ταῦτα τε οὖν τὰ φάρμακα διαφορεῖ τοὺς κατὰ τὰς σάρκας τε καὶ τὸ δέρμα, μὴ πάνυ παχεῖς, μὴ δὲ γλίσχρους χυμούς. καὶ πρὸς τούτοις ἔτι, τὸ ἐκ τοῦ χαμαιμήλου ἔλαιον, αὐτό τε καθ' ἑαυτὸ μόνον, ἐμβληθέντων τε κηροῦ καὶ ῥητίνης αὐτῷ. ἱκανὸν δὲ κἀνταῦθα, τοῦ μὲν κηροῦ τὸ τέταρτον μέρος τῆς δὲ ῥητίνης τὸ ιβ'. εἰ δὲ μηδενὸς τῶν εἰρημένων ἐλαίων εὐποροίη ἀνήθινον ἔλαιον ποιήσασθαι ῥᾷστον. ἔστι δὲ καὶ τοῦτο διαφορητικὸν φάρμακον, εἴτε κατὰ μόνας τις, εἴτε σὺν κηρῷ τε καὶ ῥητίνῃ χρῷτο. πειρᾶσθαι δ' ἐπ' ἀγγείου διπλοῦ τὸ ἀνήθινον ἕψειν. ἄμεινον δὲ καὶ χλωρὸν εἶναι τὸ ἄνηθον. ὅταν δὲ ἡ τοῦτο καθ' ὃν χρήζει καιρὸν, ὡραῖον ὑπαρχέτω, καὶ τὸ σαμψύχινον δ' ἔλαιον ἐπιτήδειον ἐν ὥρᾳ χειμερινῇ καὶ χωρίῳ ψυχρῷ, καὶ καταστάσει παραπλησίᾳ. λαμβανέτω δὲ καὶ τοῦτο κηροῦ τε καὶ ῥητίνης, εἰ παραμένειν ἔτι πλέον αὐτό γε βούλει τοῖς ἀλειφομένοις ὑπ' αὐτοῦ σώμασιν. ὁμοίως δὲ καὶ τὴν λιβανωτίδα πόαν ἐναφεψεῖν ἐλαίῳ. καὶ εἰ μὴ δὲ ταύτην ἔχοις, ῥίζαν τούτῳ λευκοῦ, καὶ ἡ τοῦ σικύου ἀγρίου ῥίζα, καὶ ἡ τῆς ἀλθαίας, καὶ ἡ τῆς βρυωνίας ἱκανῶς διαφοροῦσιν ἐναποτιθέμεναι καὶ αὐτοὶ τὴν ἑαυτῶν ποιότητά τε καὶ δύναμιν ἐλαίῳ τινὶ τῶν διαφορητικῶν. εἰς ὅ, τι δ' ἂν ἐθέλῃς ἔλαιον οὕτω παρασκευασθὲν ἐμβαλεῖν, ἤτοι κηρὸν μόνον, ἢ καὶ ῥητίνην τινὰ σὺν αὐτῷ, καλλίστην γε καὶ παραμόνιμον ἀλοιφὴν κατασκευάσεις. ἀρκεῖ δὲ τοὐπίπαν ἐμβάλλειν τοῦ μὲν κηροῦ, τὸ τέταρτον μέρος, τῆς δὲ ῥητίνης τὸ δωδέκατον. εἰ δὲ καὶ δύο ῥητίνας ἐμβάλλοις ἐλατίνην τε ἅμα καὶ στροβιλίνην, ἢ καὶ τρίτην ἐπ' αὐταῖς τὴν τερμινθίνην, ἢ καὶ μὴ παρουσῶν τούτων τὴν ὑγρὰν πιτυίνην, ἔσται σοι καὶ οὕτω διαφορητικὸν τὸ φάρμακον. ἀρκεῖ δὲ τούτων, ἤτοι τὴν ἐκ τῶν κεραμίων μιγνύναι πιτυίνην, ἢ καὶ τὴν φρυκτὴν ὀνομαζομένην, οὐδὲ μὲν ὡς ἀπολείπουσιν αὗται τῶν προειρημένων. οὐ μὴν παντάπασιν εἰσὶν ἀπόβλητοι.

λοιπῆς δ' οὔσης κοπώδους διαθέσεως ἐν ᾗ πρὸς τῷ τῆς αἰσθήσεως ἑλκώδους πλῆθος ὠμῶν ἐν ὅλῳ τῷ σώματι περιέχεται, λεκτέον ἂν εἴη καὶ περὶ τῆσδε. χαλεπὸν δ' οὐδὲν ἐξευρεῖν αὐτῆς τὴν ἐπανόρθωσιν ἀπὸ τῶν εἰρημένων ὁρμώμενον. εἰ γὰρ καὶ ποτὲ μὲν ἐν ταῖς πρώταις φλεψὶ τὸ πλῆθος τῶν ὠμῶν ἐστὶ τέμνειν αὐτὰ καὶ πέττειν ἔφαμεν χρῆναι φυλαττομένους τὴν εἰς τὸν ὄγκον ἀνάδοσιν. ὁ ποτ' ἐν ταῖς ἐσχάταις φλεψὶ καὶ κατὰ τὴν ἕξιν τοῦ ζώου, πέττειν τε ἅμα καὶ διαφορεῖν. ἄμφω μικτέον ἐστὶν ἐφ' ὧν ἄμφω συμβέβηκεν. εἰ μὲν ἰσοσθενῶς ἐνοχλεῖν σοι δόξειεν, ὁμοτίμως ἀμφοτέρων στοχαζόμενον. εἰ δὲ εἴη θάτερον ἐπικρατέστερον, εἰς ἐκεῖνο μὲν ἀναφέρων τῆς ὅλης θεραπείας τὸ κῦδος, ἀμελῶν μὴ δὲ θατέρου τοῦ μικροτέρου. μιχθήσεται μὲν οὖν, ἡ πρὸς ἀμφότερα θεραπεία, κατὰ τόνδε τὸν τρόπον. οὐδὲν γὰρ χεῖρον ἐπὶ παραδειγμάτων ὀλίγον εἰπεῖν τι καὶ περὶ τοῦδε. τῷ διὰ τριῶν πε-

πέρεων ἁπλῷ φαρμάκῳ χρῆσθαι συνεβούλευον, ἐφ' ὧν ὠμῶν χυμῶν πλῆθος ἐν ταῖς φλεψὶν ἐστὶ καὶ μάλιστα ταῖς πρώταις, εἰ τοίνυν μὴ μόνον ἐν αὐταῖς ἀλλ' ἐν πάσαις ταῖς φλεψὶν εἴη, καὶ ἤδη καὶ κατὰ τὰς σάρκας ἐν ἀρχῇ μὲν τῆς ἐπιμελείας, τῷ διὰ τριῶν πεπέρεων φαρμάκῳ χρηστέον, ἔχον τι καὶ πετροσελίνου τοσοῦτον, ὁπόσον ἂν ἔχῃ ἀνίσου τε καὶ θύμου, καὶ ζιγγιβέρεως. μετὰ δὲ τὴν πρώτην ἡμέραν, καὶ μᾶλλον ἔτι τὴν δευτέραν ἐπιμιγνύναι αὐτῷ τοῦ διὰ τῆς καλαμίνθης. εἶθ' ἑξῆς ἴσα μικτέον. εἶτ' ἐπὶ προσήκοντι τῷ χρόνῳ, πλέον τοῦ διὰ τῆς καλαμίνθης. εἶτ' ἐπὶ τελευτῇ καὶ μόνον. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ τῆς ἄλλης ἁπάσης διαίτης, ὅταν ἰσοκρατεῖς αἱ διαθέσεις ὑπάρχωσι, μιγνύναι καὶ αὐτῶν τῆς ἐπανορθώσεως τοὺς σκοπούς. ἀλλ' ἐν ἀρχῇ μὲν ἐπικρατείτω τὰ τῶν ἐν ταῖς πρώταις φλεψὶν ἰάματα. κατὰ δὲ τὴν τελευτὴν, τὰ τῶν ἐν σαρκί. μεσοῦντος δὲ τοῦ χρόνου μιγνύσθω καθ' ἴσον ἀμφότερον. ταῦτά τε οὖν εἴρηταί μοι καὶ ἤδη δῆλον ὅπως ἐπανορθοῦσθαι χρὴ τὰ κατὰ τοὺς χυμοὺς ἁμαρτήματα, πρὶν νοσῆσαι τὸν ἄνθρωπον. ἐξ ὧν γὰρ ἐπὶ τῆς κοπώδους διαθέσεως εἴπομεν, ὅταν ἐπιμίγνυταί τινι κακοχυμίᾳ, πάρεστι συλλογίζεσθαι, καὶ περὶ τῶν ἄλλων ἑκάστης, ἐπειδὰν μόνη ποτὲ συνίσταται. περὶ μὲν οὖν τοῦ τε πρώτου γένους τῶν κόπων, ἐφ' ὧν νυγματώδης ἐστὶ κατὰ πάντα τοῦ ζώου αἴσθησις, ὅσαι τ' ἄλλαι μοχθηρῶν χυμῶν ἐν τῷ σώματι γίγνονται πλεονεξίαι, καθ' ἑαυτάς τε καὶ σὺν κόποις, σχεδὸν ἤδη λέλεκται πάντα. περὶ δὲ τοῦ τονώδους ὑφ' ἡμῶν κληθέντος κόπου, λέγω ἐφεξῆς. ὅτι μὲν οὖν ὁ τοιοῦτος κόπος ὅταν ἄνευ γυμνασίων συνίσταται πλῆθος ἐνδείκνυται διατεῖνον τὰ στερεὰ μόρια τοῦ ζώου, καὶ ἄλλοις μέν τισι τῶν εὐδοκίμων ἰατρῶν ἔδοξεν, οὐχ ἥκιστα δὲ καὶ τοῖς περὶ τὸν ἐρασίστρατον, ὅτι δ' ὅταν αἱματῶδες ᾖ πλῆθος, ἄριστον ἤτοι φλέβα τέμνειν, ἢ ἀσχάζειν τὰ σφυρά, λέλεκται μέν που καὶ πρόσθεν. ἀναληπτέον δ' ἔτι καὶ νῦν τὸν λόγον, ἐρασιστράτου χάριν. ὃς οὔτ' ἐπ' ἄλλης ὅλως οὐδεμιᾶς, οὐδ' ἐπὶ τῆσδε τῆς διαθέσεως ἐχρήσατο φλεβοτομίᾳ. ὅτι μὲν οὖν ἐπὶ τῆς ὑγιεινοτάτης φύσεως ὑπὲρ ἧς ὁ λόγος ἐνέστηκεν, ἐγχωρεῖ καὶ κατ' ἄλλον τρόπον ἐκκενοῦν τὸ τοιοῦτον πλῆθος, ἔμπροσθεν εἴρηται. κατὰ μὲν γὰρ τὰς μοχθηράς, ἐφ' ὧν τὸ περιττὸν κατὰ τὸν ἐγκέφαλον ἢ τὰ τῆς ἀναπνοῆς ὄργανα φέρεται, πηλίκον ἐστὶ κακὸν ἑτέρῳ τρόπῳ κενοῦσθαι χρῆσθαι παραλείποντας φλεβοτομίαν, εἰρήσεται μέν που καὶ διὰ τῶν ἑξῆς ὑπομνημάτων, ὅταν ὑπὲρ τῶν μοχθηρῶν κατασκευῶν ὁ λόγος περαίνεται, λέλεκται δ' ἤδη κἀν τῷ περὶ φλεβοτομίας πρὸς ἐρασίστρατον. ὅθεν οὐδὲ δεῖ μηκύνειν ἐν τῷδε περὶ αὐτῶν ἀλλ' ἐπὶ τὸν λοιπὸν καὶ τρίτον τῶν κόπων ὅταν αὐτομάτως συνίσταται τὸν λόγον ἄγειν, ὃν ἐν τῷ πρόσθεν ἐκαλέσαμεν φλεγμονώδη. διά τε τὸ τῆς ὀδύνης μέγεθος, καὶ ὅτι μετὰ θερμότητος ἐπιφανοῦς συνίσταται συνεξαίρων εἰς ὄγκον τοὺς μῦς. οὗτος ὁ κόπος, οὐδ' ὀρθῶν ὀλίγον, μή τοι γε δυοῖν ἢ τριῶν ἔχεται ἡμερῶν ἴσον ὄγκον τοῦ ἐρασιστράτου βραδυτῆτος, ἀλλ' αὐτίκα πυρετὸν ἐπιφέρειν σφοδρότατον, ἢ μή τις φθάσας ἀσχάσῃ τοῦ αἵματος. καὶ γὰρ οὖν καὶ θερμότατόν ἐστι τὸ τῶν τοιούτων κόπων αἷμα, καὶ πλείστης αὐτοῦ δέονται τῆς κενώσεως ἅπαντες σχεδὸν οἱ καταληφθέντες τῷ κόπῳ, καὶ οἱ πολλοὶ δ' αὐτῶν πυρέττουσι κἂν ἀσχάσῃς τοῦ αἵματος. ὅθεν οὔτε βλακεύειν, οὔτε ὀλίγον ἀφελεῖν προσήκει, ἀλλὰ διὰ ταχέων ἐκκενοῦν, καὶ μέχρι λειποθυμίας ἄγειν, εἰ μηδὲν ἕτερον κωλύοι. κάλλιον δὲ εἰ ἐγχωρεῖ δὶς ἀφελεῖν ἐν ἡμέρᾳ μιᾷ, τὸ μὲν οὖν πρότερον οὕτω κενοῦντας, ὡς μὴ λειποθυμῆσαι τὸν ἄνθρωπον, τὸ δὲ δεύτερον οὐδὲ τὴν λειποψυχίαν φοβεῖσθαι προσήκει. τῇ μὲν γὰρ προτέρᾳ κενώσει καταλυθείς, οὐκ ἂν ὑπομείνῃ τὴν δευτέραν. ἐν ταύτῃ δ' ἔτι πάθοι τοιοῦτον εὐανακόμιστον γίνεται. μὴ φλεβοτομηθέντες δὲ οἱ οὕτως διακείμενοι, τύχης ἀγαθῆς εἰς τὸ σωθῆναι δέονται, καὶ οὐδὲ σώζονται εἰ μὴ καθ' ἕτερόν τινα τρόπον, ἢ αἱμορραγήσαντες ἐκ ῥινῶν, ἢ λάβρων ἱδρώτων αὐτοῖς ἐκχυθέντων. ἐπισκοπεῖσθαι δὲ χρὴ μάλιστα μέλλοντας τέμνειν φλέβα, πότερον κατὰ θώρακα καὶ νῶτα καὶ ὀσφὺν ἐρείδουσιν αἱ τάσεις τε καὶ αἱ νυγματώδεις ὀδύναι, ἢ κατὰ κεφαλὴν καὶ τράχηλον μᾶλλον. οὕτως μὲν γὰρ τὴν ὠμιαίαν διαιρήσεις, καὶ μᾶλλον εἰ πλῆρες αἰσθάνοιντο καὶ θερμῆς τῆς κεφαλῆς, ἐκείνους δὲ τὴν ἔνδον. εἰ δ' ὅλως ὁμαλῶς ὑπὸ τοῦ κόπου τὸ σῶμα κατέχοιτο, τὴν μέσην ἀμφοῖν. εἰ μὲν οὖν ἐπὶ τῇ φλεβοτομίᾳ πυρέσσειν ἄρξαιντο, τῆς θεραπευτικῆς ἔργον ἤδη μεθόδου προνοῆσαι τούτων. εἰ δ' ἀπύρετοι διαμένοιεν, ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ἐπὶ τῇ φλεβοτομίᾳ πτισάνης χυλὸν ἢ ἐκ χόνδρου ῥοφήματα διδόναι μόνον, ἐν δὲ τῇ δευτέρᾳ καὶ λούειν ἂν ἤδη δύναιο σὺν ἐλαίῳ δαψιλεῖ, διαιτᾶν δὲ, κἂν λούσῃς μετριώτατα, θριδακίνης εἰ βούλοιτο διδόναι καὶ εἴτε κολοκύνθης, εἰ παρείη, καὶ πτισάνης. ἀγαθὸς δὲ καὶ ὁ χόνδρος, εἶθ' ὡς πτισάνην τις αὐτὸν ἡδύνας ὄξει σκευάζειν, εἴτε χωρὶς ὄξους. εἰ δὲ μὴ παρείη κολοκύνθη μαλάχη καὶ τεῦτλον καὶ λαπάθῳ, καὶ ἀνδράφαξυ χρῆσθαι. εἰ δὲ σαρκὸς βούλοιτο γεύσασθαι, τὴν τῶν πετραίων ἰχθύων ἢ ὀνίσκων ἐν λευκῷ ζωμῷ καλῶς ἑψήσαντα διδόναι. προσαγορεύω δὲ λευκὸν ζωμόν, ὅταν ἄνευ σαρκός τε καὶ πολὺ δὴ μᾶλλον τῆς ἄλλης καρυκείας σκευασθῇ, ἀνήθου τε καὶ ἁλῶν ἐμβληθέντων εἰς ὕδωρ σὺν ἐλαίῳ καὶ πράσου βραχεῖ. κάλλιον εἰ δὲ καὶ τῇ δευτέρᾳ τῶν ἡμερῶν οἴνου φείσαιτο. τῇ τρίτῃ δέ, εἰ μὲν εὐπετῶς φέροι τὴν ὑδροποσίαν εἴργειν οἴνου καὶ τότε. μὴ φέροντος δέ, μάλιστα μὲν ἀπόμελι διδόναι, καὶ γὰρ ἐμψύχει τε πως ἠρέμα τοῦτο τὸ ποτόν, οὗ καὶ αὐτοῦ χρῄζουσι οἱ φλεγμονώδεις κόποι. μὴ παρόντος δὲ τούτου, λεπτὸν καὶ λευκὸν οἶνον διδόναι, καὶ τἆλλα κατὰ λόγον ἀνακομίζειν, εὐχύμῳ τε καὶ μηδαμῶς θερμαινούσῃ διαίτῃ χρώμενον. εὐλαβεῖσθαι καὶ μάλιστα πάντων ἀθρόως ἀνατρέφειν, ὅσοι γὰρ ἐπὶ τοιαύταις κενώσεσιν εἰς τὴν ἐξ ἀρχῆς δίαιταν εὐθέως ἐπανῆλθον, ἐμπίπλαται τούτοις ἕξις ἀπέπτων χυμῶν. οὓς ἀναρπάζει πρὶν πεφθῆναι καλῶς ἔν τε γαστρὶ καὶ κατὰ τὰς φλέβας ὁ τοῦ σώματος ὄγκος. αὕτη μὲν ὁ ἀρίστη πρόνοια τοῦ φλεγμονώδους κόπου. διατί δὲ ἐπαφαιρεῖν τε κελεύομεν αἵματος ἐπ' αὐτῶν καὶ μὴ πληροῦν ἀθρόως, ἀρκεῖ μὲν δή που καὶ τὴν ἐμπειρικὴν αἰτίαν εἰπεῖν, ὅτι καὶ μᾶλλον ὀνίνανται κενωθέντες οὕτω, καὶ ὑγιαίνουσιν εἰς μακρὸν ὡς εἴρηται διαγόμενοι. προσθεῖναι δ' οὐκ ἂν χεῖρον ἂν εἴη, καὶ τὴν ἀπὸ τῆς φύσεως τῶν πραγμάτων ἔνδειξιν. ἐπεὶ τοίνυν ἐν τῷ φλεγμονώδει κόπῳ πλῆθος αἵματος ἠθροισμένου θερμοῦ κατὰ τὸν ὄγκον ἐστίν, ἡ φλεβοτομία δέ, τοὺς ἐν τοῖς ἀγγείοις ἐκκενοῖ χυμούς, ἄμεινον ἐπὶ τῇ προτέρᾳ κενώσει τοσοῦτον χρόνον διαλιπεῖν, ὡς μεταληφθῆναί τι καὶ εἰς τὰς φλέβας ἐκ τῶν κατὰ τὸ σῶμα. τοῦτο δ' οὐκ ἐπιτρεπτέον ἐν αὐταῖς ἀσχημονεῖν, ἡμιμόχθηρον ὑπάρχον, ἀλλ' ἐκκενωτέον αὐτοῦ τὸ πλεῖστον. ταῦτά τοι καὶ κατὰ τὴν δευτέραν ἡμέραν ἐπαφαιροῦμεν αἵματος. ἐνίοτε δὲ καὶ κατὰ τὴν τρίτην, ἐπειδὰν

ἀντιπαράγωσι καὶ μετάγειν ἀπὸ ἑτέρων εἰς ἕτερα συμφέρειν δόξῃ. λέγεται δὲ καὶ περὶ τῶν τοιούτων ἁπάντων διορισμῶν ἀκριβέστερον ἐν τοῖς περὶ φλεβοτομίας, ὧν οὐκ ἐγχωρεῖ μεμνῆσθαι τανῦν, διὰ τὸ τῆς θεραπευτικῆς πραγματείας ἰδιωτέρους ὑπάρχειν αὐτούς, καὶ μέλλειν που καὶ αὖθις ἴσως ἡμᾶς ἐν τῇδε τῇ πραγματείᾳ περὶ φλεβοτομίας ἐντελέστερον διέρχεσθαι. λοιπὸν οὖν ὅτι ταχέως οὐ χρὴ πληροῦν ἐπὶ φλεβοτομίαις εἰπόντες, ἐνταῦθα καταπαύσομεν τὸν λόγον. ἕξει δὲ καὶ οὗτος εἰς πίστιν ὑπόθεσίν τινα τῶν ἤδη προαποδεδειγμένων, ἐν τῇ περὶ τῶν φυσικῶν δυνάμεων πραγματείᳯ. δέδεικται γὰρ ἐν ἐκείνῳ τῷ λόγῳ πᾶσι τοῖς ὑπὸ φύσεως διοικουμένοις ὑπάρχουσα δύναμις ἔμφυτος ἑλκτικὴ τῶν ὁμοίων χυμῶν ὑφ᾽ ὧν τρέφεσθαι μέλλει. δέδεικται δὲ καὶ ὡς ἐπειδὰν ἀπορῇ μὲν οἰκείας τε καὶ ἅμα καὶ χρηστῆς τροφῆς, ἐπάγεται καὶ τῶν οὐ χρηστῶν τι συναρπάσαι. τοιοῦτον δ᾽ ἐστί που τὸ μήπω πεφθὲν ἔν κοιλίᾳ τε καὶ φλεψίν. ἀναγκαῖον οὖν ἐπειδὰν πλείω λαμβάνῃ τὰ σιτία παρὰ τὸν καιρὸν τοῦτον ὁ ἄνθρωπος ἀναρπάζεσθαι πλεῖστον ὠμὸν χυμὸν εἰς τὸν ὄγκον τοῦ ζώου διὰ πολλὰς αἰτίας. ὅτι τε φαυλότερον ἐν τῇ γαστρὶ καὶ ταῖς φλεψὶ πέττεται τὸ πλέον, ὅτι τε πλέον εἰς τὸν ὄγκον ἀνέρχεται, διὰ τὸ πλέον ὑπάρχειν. ὅτι τε πρωϊαίτερον ἢ χρὴ, διὰ τὸ συγχωρεῖν μὲν τὴν γαστέρα ταῖς φλεψὶ, τὰς φλέβας δὲ, ἅπασι τοῖς ἄλλοις τοῦ ζώου μορίοις ἐπισπᾶσθαι τὸ μήπω κατεργασμένον. ὅπερ οὐκ ἂν συνεχώρησαν ὁμοίως, εἴπερ ὀλίγον ἦν. ἐπιδέδεικται γὰρ ὡς αὐτὰ πρότερον ἀπολαύει τὰ μόρια τῆς οἰκείας τροφῆς, εἶθ᾽ οὕτως ἑτέροις ἐπιπέμπει. τὸ δὲ δὴ τελευταῖον καὶ μέγιστον αἴτιον τῆς βλάβης τοῖς οὕτω διακειμένοις ἐστὶ, τὸ πολλὴν καὶ ἡμίπεπτον ἐπισπασάμενα τροφὴν τὰ καθ᾽ ὅλον τὸν ὄγκον τοῦ ζώου μόρια, πλῆθος οὐκ ὀλίγον ἐξ αὐτῆς ἀπογεννᾶν περιττωμάτων. οὐδὲ γὰρ πέττειν αὐτὴν ἅπασαν ὁμοίως τῇ χρηστῇ δυνατὸν αὐτοῖς, οὔτε προσφύειν, οὔθ᾽ ὁμοιοῦν, ἀλλ᾽ ἀτυχεῖν ἐν ἑκάστῳ τῶν οἰκείων ἔργων ἐπὶ τῇ μοχθηρᾷ τε ἅμα καὶ πολλῇ τροφῇ. ὅμοιον γάρ τι συμβαίνειν αὐτοῖς ἀναγκαῖον οἷόν τι καὶ αὐτῇ τῇ γαστρὶ προσενεγκαμένῃ σιτία πολλὰ, κακῶς παρεσκευασμένα. λέγω δὲ παρεσκευάσθαι κακῶς, ὅσα δεόμενά τινες ἑψήσεως ἢ ὀπτήσεως οὐκ ἀπέλαυσε τελέως αὐτῆς. ἄρτον οὖν ἐλλιπῶς ὠπτημένον ἢ κρέας ἢ ὄσπριον ἀτελῶς ἑψημένον, ἀδύνατον ἐστὶ πεφθῆναι χρηστῶς ἐν γαστρί. τὸν αὐτὸν δὲ λόγον ἔχει τὰ ἐπὶ τὴν γαστέρα μοχθηρῶς κατεργασθέντα πρὸς τὴν δευτέραν τὴν ἐν φλεψὶ πέψιν, δι᾽ ἣν τὰ φαῦλα παρασκευασθέντα σιτία πρὸς τὴν ἐν τῇ γαστρί. καὶ μήν τοι τὰ ἐπὶ τὰς φλέβας οὐκ ὀρθῶς πεφθέντα, τὸν αὐτὸν ἔχει λόγον ὡς πρὸς τὴν ἐν σαρκὶ πέψιν, ὃν εἶχεν τὰ μὲν σιτία πρὸς τὴν ἐν τῇ γαστρί. τὰ δ᾽ ἐκ ταύτης ἀναδιδόμενα, πρὸς τὴν ἐν ταῖς φλεψίν. οὔτ᾽ οὖν ἡ γαστὴρ ἀκριβῶς πέττει τὰ ἔξωθεν, οὔθ᾽ αἱ φλέβες τὰ ἐκ τῆς γαστρὸς, οὔτ᾽ αἱ σάρκες, τὰ ἐκ τῶν φλεβῶν, ὅταν μὴ καλῶς ᾖ προκατειργασμένον, κἂν τούτῳ πλῆθος ἀναγκαῖόν ἐστιν ἐν τῷ σώματι γεννᾶσθαι περιττωμάτων. ἐμοὶ μὲν οὖν εἴρηται τὸ σύμπαν, ὡς ἐν βραχυτάτῳ διελθεῖν, εἰ δέ τις ἑκάστου τῶν εἰρημένων εἰς τὴν ἀπόδειξιν ἐπιστήμην ἀκριβῆ λαβεῖν βούλεται τούτων, τὰ περὶ τῶν φυσικῶν δυνάμεων ἀναγνωστέον ἐστὶν, ἐν οἷς ἀποδέδεικται πρῶτον μὲν ὡς ἡ γαστὴρ ἑαυτῆς ἕνεκα λαμβάνει τὴν τροφὴν, ἵνα ἀπολαύσῃ τε καὶ ἀναπληρώσῃ τὸ ἐλλεῖπον ἑαυτῇ, καὶ διὰ τοῦτο περιστέλλεται πανταχόθεν αὐτῇ καὶ κατέχει σύμπασαν, ἄχρι περ ἂν ἱκανῶς κορεσθῇ. δεύτερον καὶ ὡς ἐπειδὰν μηκέτι δέηται τοῦ τρέφεσθαι, τότ᾽ ἀνοίγνυσι μὲν τὸν πυλωρὸν, ἐκθλίβει δὲ καὶ ὠθεῖ κάτω τὰ περιττὰ τῶν σιτίων, οἷον ἄχθος ἀλλότριον. εἶθ᾽ ὡς ἐν τῇ διὰ τῶν ἐντέρων ὁδῷ καὶ μάλιστα τῶν λεπτῶν ἀναρπάζουσιν αἱ καθήκουσαι φλέβες τὴν τροφὴν ἐκ τῆς πρὸς τὴν κοιλίαν ὁμιλίας ἠλλοιωμένην τε καὶ σφαλερωτέραν τῷ ζώῳ γεγενημένην. εἶτα καὶ ἐπὶ τὰς φλέβας ἐξ ἄλλης εἰς ἄλλην διαδίδονται τὸν ὅμοιον τρόπον, ὃν ἐκ τῆς γαστρὸς εἰς τὰς φλέβας, ἐντεῦθεν δ᾽ ἤδη κατειργασμένην τέλεον, εἰς ἕκαστον ἕλκεται τῶν τοῦ ζώου μορίων. ἵνα πέττεται τὴν τρίτην πέψιν ὁμοιοῦταί τε τῷ τρεφομένῳ. ταῦτ᾽ οὖν ὅστις ἐξ ἐκείνων ἀναλέξεται τῶν γραμμάτων, οὐκέτ᾽ ἀπορήσει τὴν αἰτίαν δι᾽ ἣν πολλοὶ κενωθέντες τὴν ἕξιν, εἰ μὴ μετρίως ἀνατρέφοιντο αὖ, πολλὰ περιττώματα καθ᾽ ὅλην αὐτὴν ἀθροίζουσι καὶ νοσοῦσι ἐξ αὐτῶν οὐκ εἰς μικρόν.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙΝΩΝ

ΛΟΓΟΣ Ε'

Πέμπτον ἐνιστάμενος λόγον ὑπὲρ τῆς ὑγιεινῆς πραγματείας, παραμυθήσασθαι βούλομαι πρότερον, εἴ τινες ἄρα δυσχεραίνουσι τῷ μήκει τῆς διδασκαλίας, οὐ γὰρ ἡμέτερον, ἔγκλημα τοῦτό ἐστιν ἀλλὰ τῆς φύσεως αὐτοῦ τοῦ προκειμένου πράγματος ἴδιον. εἰ μὲν γὰρ οἷόν τ᾽ ἐστὶ μακρὰν θεωρίαν ἐν βραχέσι διελθόντα μηδὲν τῶν χρησίμων παραλιπεῖν, ἡμεῖς ἁμαρτάνομεν, † οὐκ ἀνάγκην μηκύνοντες. εἰ δ᾽ οὐκ ἐγχωρεῖ σαφέστερόν τε ἅμα καὶ θᾶττον ὑπὲρ τῶν αὐτῶν εἰπεῖν, οὐχ ἡμῖν μέμφεσθαι προσήκει, ἀλλὰ τοῖς παραλιποῦσιν οὐκ ὀλίγα τῶν ἀναγκαίων, ἐστὶ δ᾽ ἐν τοῖς ἀναγκαιοτάτοις τε ἅμα καὶ οἷον στοιχεῖον ἁπάσης τῆς ὑγιεινῆς πραγματείας, ὡς πάμπολλαι φύσεις τῶν ἀνθρώπων εἰσίν, ὅπερ ὡμολόγηται μὲν ἅπασι ἰατροῖς τε καὶ γυμνασταῖς, οὕτω δὲ γράφουσιν οἱ πλείους αὐτῶν ὑπὲρ τῆς ὑγιεινῆς ἀγωγῆς, ὡς ὑπὲρ ἑνὸς ἀνθρώπου διαλεγόμενοι, καὶ ταῦτα μηδὲν ἐπιδειξάμενοι κἂν ἕνα τινὰ πρὸς αὐτῶν ὠφεληθέντα, καίτοι γ᾽ οὐδ᾽ ἕνα δίκαιον ἦν, ἀλλὰ παμπόλλους ἐπιδείξαντας ἔμπροσθεν μὲν νοσοῦντας συνεχῶς, ὕστερον δ᾽ ἀνόσους ἔτεσι παμπόλλοις ὑφ᾽ ἑαυτῶν διαφυλαχθέντας, οὕτως ἐπιχειρεῖν γράφειν. ἀλλ᾽ ἡμεῖς γε τοῖς ἔργοις αὐτοῖς ἐπεδείξαμεν τοῦτο. καὶ τοὺς ἔμπροσθεν συνεχῶς νοσοῦντας ἀνόσους φυλάξαντες, ἐκ τοῦ πεισθῆναι τοῖς ὑγιεινοῖς παραγγέλμασιν, οὕτως ἐπεχειρήσαμεν ὑπὲρ αὐτῶν γράφειν, ἐνίους μὲν γὰρ ὅλως ἐκωλύσαμεν γυμνάζεσθαι, ταῦτα δὴ τὰ ἐκ τῶν ἐπιτηδευμάτων γυμνάσια μόναις ταῖς κατὰ τὸν βίον ἐνεργείαις ἀρκεῖσθαι βουλεύσαντες. ἐνίους δὲ τοῦ πλήθους ἀφελεῖν τῶν γυμνασίων ἐκελεύσαμεν, ὡς εἰς ἐλάχιστον συστεῖλαι τὸ πᾶν. ἐνίους δὲ τὰς ποιότητας ὑπαλλάξαι μόνας, ἢ τὴν τάξιν, ἢ τὸν καιρόν. ἐνίους δὲ τὴν σύμπασαν αὐτῶν ἰδέαν μεταβαλεῖν, ὡσαύτως δὲ καὶ περὶ λουτρῶν ὑποθήκας δόντες, ὡς ἤτοι μὴ λούεσθαι παντάπασιν, ἢ πλείω τῶν ἔμπροσθεν, ἢ ἐλάττω καὶ πρὸ τροφῆς μόνον, ἢ καὶ μετὰ τροφὴν, ἢ θερμοτέροις τῶν πρόσθεν, ἢ χλιαρωτέροις ὕδασιν ἢ ψυχροτέροις, παντάπασιν ἀνόσους ἐφυλάξαμεν ἔτεσι παμπόλλοις, ἀλλ᾽ οὐκ ἂν τούτων οὐδὲν ἐποιήσαμεν, εἰ μὴ

† al. οὐ κατ᾽ ἀναγ.

τε δὴ τὰς φυσικὰς τῶν σωμάτων διαφορὰς ἐφιστάμεθα, μήτε τὴν ἑκάστῳ προσήκουσαν ὑγιεινὴν δίαιταν. ἔνιοι δὲ τῶν ὑγιεινὰ συγγράμματα γραφόντων, ἢ καὶ χωρὶς γραμμάτων ὑποθήκας διδόντων, οὐδὲ σφᾶς αὐτοὺς ἀνόσους ἠδυνήθησαν φυλάξαι, κἄπειθ᾽ ὅταν ἐπισκώπτωνται πρός τινων ἄλλα τέ τινα λεγόντων πρὸς αὐτοὺς καὶ προσφερομένων ἐκεῖνο τὸ ἔπος, ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων, οἱ μὲν, εἰς ἀσχολίας δή τινας ἀναφέρουσι τὴν αἰτίαν, οἱ δὲ, καὶ δι᾽ ἀκολασίαν ὁμολογοῦσι νοσεῖν, ἀλλὰ τούτοις μὲν, ἡ ἀπολογία, πολὺ χείρων ἐστὶ τῆς κατηγορίας, ἐμοὶ γοῦν κειτῃ. τοῖς δ᾽ εἰς τὰ κατὰ τὸν βίον αὐτοῖς συμπίπτοντα τὴν αἰτίαν ἀναφέρουσιν, εἰ μὴ ἐφήμερόν τινα πυρετὸν πυρέξειαν, ἐπ᾽ ἐγκαύσει καὶ ψύξει καὶ κόπῳ. καί τισιν ἑτέροις τοιούτοις, αἰτίοις ἀφίστασθαι χρὴ τῶν ἐγκλημάτων. εἰ δ᾽ τινα τῶν ἄλλων, οὐκ ἀφίστασθαι. οὐδὲ γὰρ ἡμεῖς, τὸ πάμπαν ἀπύρετοι διεμείναμεν, ἀλλὰ διὰ κόπους δή τινας ἐπυρέξαμεν, ἁπάντων τῶν ἄλλων νοσημάτων ἀπαθεῖς διατελοῦντες, ἐτῶν ἤδη παμπόλλων, καὶ μέντοι καὶ πληγέντες τινὰ μέρη τοῦ σώματος, ἐφ᾽ οἷς ἕτεροι φλεγμοναῖς τε ἅμα καὶ βουβῶσι ἁλόντες ἐπύρεξαν, οὔτε βουβῶνα ἔχομεν, οὔτε ἐπυρέξαμεν, οὐκ ἄλλοθέν ποθεν, ἢ ἐκ τῆς ὑγιεινῆς θεωρίας, τῶν τηλικούτων ἐπιτυχόντες. καὶ ταῦτα μήτε κατασκευῆς σώματος ὑγιεινῆς εὐτυχήσαντες ἐξ ἀρχῆς, μήτε βίον ἀκριβῶς ἐλεύθερον ἔχοντες, ἀλλὰ καὶ ταῖς τῆς τέχνης ὑπηρεσίαις δουλεύοντες, καὶ φίλοις, καὶ συγγενέσι, καὶ πολίταις ὑπουργοῦντες εἰς πολλὰ, καὶ τῶν νυκτῶν τὸ πλεῖστον ἀγρυπνοῦντες, ἐνίοτε μὲν ἀρρώστων ἕνεκα, διαπαντὸς δὲ τῶν ἐν παιδείᾳ καλῶν, ἀλλ᾽ ὅμως οὐκ ἐνοσήσαμεν οὐδὲν νόσημα τῶν ἐκ τοῦ σώματος ὁρμωμένων, ἐτῶν ἤδη παμπόλλων, ὅτι μὴ καθάπερ ἔφην ἐφήμερον ποτὲ πυρετὸν, ἐν τοῖς σπανιώτατα διὰ κόπον γινόμενον, καί τοι κατά γε τὴν τῶν παίδων ἡλικίαν, καὶ πρὸς ἔτι τῶν ἐφήβων τε καὶ μειρακίων, οὐκ ὀλίγαις οὐδὲ μικραῖς ἑαλώκαμεν νόσοις, ἀλλὰ μετά γε τὸ εἰκοστὸν ὄγδοον ἔτος ἀεὶ γνοὺς τῆς ἐμαυτὸν πείσας ὡς ἔστι τις ὑγιεινὴ τέχνη, τοῖς προστάγμασιν αὐτῆς ἠκολούθησα παρ᾽ ὅλον τὸν ἑξῆς βίον, ὡς μηκέτι νοσῆσαι νόσημα μηδὲν, ὅτι μὴ σπάνιόν που πυρετὸν ἐφήμερον. ἔστι δὲ δή που καὶ τοῦτον αὐτὸν φυλάξασθαι τελέως, ἐλεύθερον βίον ἑλόμενον, ὡς ἔν τε τοῖς ἔμπροσθεν ἤδη γέγονε δῆλον, ἔτι τε μᾶλλον ἔσται σαφὲς ἐν τοῖς ἐφεξῆς εἰρησομένοις, εἰ θέλει τις προσέχειν τὸν νοῦν, ἐγὼ γάρ φημι, μὴ δὲ βουβῶνα δύνασθαι γενέσθαι, τοῖς ἀκριβῶς παρεσκευασμένοις εἰς ὑγίειαν, ἔστ᾽ ἀπέριττον αὐτοῖς ἐστὶ τὸ σῶμα τοῦ γένους τῶν περιττωμάτων ἑκατέρου, τοῦ τε κατὰ τὸ ποσὸν, καὶ τοῦ κατὰ τὸ ποιὸν, πρὸς μὲν δὴ τοὺς νῦν ἐπαγγελλομένους, ἢ λέγειν, ἢ γράφειν ὑγιεινὰ παραγγέλματα, καὶ ταῦθ᾽ ἱκανά, πρὸς δὲ τοὺς ἔμπροσθεν ὑπὲρ ὧν οὔτε ἐκ τῆς τῶν ἄλλων ἱστορίας ἠκούσαμεν, ὡς ἤτοι σφᾶς αὐτοὺς ἀνόσους διεφύλαξαν, ἢ τοὺς πεισθησομένους αὐτοῖς. οὔτ᾽ ἐτόλμησαν ἐν τοῖς συγγράμμασιν ἀλαζονεύεσθαί τι τοιοῦτον. οὐ δ᾽ ἀντιλέγειν ἀνάγκη, ἀλλὰ θαυμάζειν μόνον, εἴ τινες αὐτῶν ἑνὶ βιβλίῳ τὴν ὑγιεινὴν ἅπασαν θεωρίαν ἐπηγγείλαντο περιλαβεῖν, οὐ μὰ δι᾽ οὕτω γράφοντες ὑπὲρ αὐτῆς ὡς Ἱπποκράτης ἐν τοῖς πρώτοις τε καὶ γενικωτάτοις κεφαλαίοις ἐνδεικνύμενος τὴν μέθοδον, ἀλλ᾽ ἐξεργαζόμενοι πᾶν ἀκριβῶς ὥσπερ ἡμεῖς, ἡ μὲν δὴ τοῦ μήκους τῶν λόγων αἰτία καὶ δὴ λέλεκται. χρὴ δ᾽ ὅς τι ἐστὶ φιλόκαλός τε ἅμα καὶ φιλόπονος ἐπὶ τοῖς ἀρίστοις, οὐ πρὸς τὸ μῆκος ἀπαγορεύειν τῆς ὑγιεινῆς τέχνης, ἀλλὰ τοῦ μεγέθους ἄγασθαι τῶν ἐπαγγελμάτων αὐτῆς. πῶς γὰρ οὐ μεγάλα καὶ θαυμαστὰ τῆς τέχνης ταῦτ᾽ ἐστὶν ἔργα. γηράσαντα μέχρι πλείστου, ταῖς αἰσθήσεσιν ἀπαθῶς ὑγιαίνοντα διὰ παντὸς φυλάξαι ἄνοσον, ἀνώδυνον, ὁλόκληρον; εἴ γε μὴν μὴ παντάπασιν ἐξ ἀρχῆς νοσῶδες εἴη τε τυχηκὼς σῶμα, ἀλλ᾽ ἐγὼ καὶ πάνυ μοι δοκῶ τινὰς ὑγιεινῆς φύσεως θεᾶσθαι παμπόλλοις νόσοις ἁλισκομένους, καὶ τελευτῶντας δὲ, κατά γε τὸ γῆρας ἀνιάτοις περιπεσεῖν πάθεσιν, οὓς ἐνῆν ὅσον ἐπὶ τῇ φυσικῇ τοῦ σώματος ἕξει ταῖς τ᾽ αἰσθήσεσιν ἁπάσαις ἀπηρώτους διατελέσαι, μέχρι γήρως ἐσχάτου, καὶ τοῖς ἄλλοις ἅπασι μορίοις τοῦ σώματος ὑγιαίνοντας. πῶς οὖν οὐκ αἰσχρόν ἐστιν ἀρίστης φύσεως ταῦτα, βαστάζεσθαι μὲν ὑπ᾽ ἄλλων διὰ ποδάγραν. κατατήκεσθαι δὲ ταῖς ὀδύναις λιθιῶντα, καὶ τὸ κῶλον ἀλγοῦντα, καὶ κατὰ κύστιν ἕλκος ἐκ κακοχυμίας ἔχοντα; πῶς δ᾽ οὐκ αἰσχρόν ἐστιν διὰ τὴν θαυμαστὴν ἀρθρῖτιν ἀδυνατοῦντα χρῆσθαι ταῖς ἑαυτοῦ χερσὶν, ἑτέρου δεῖσθαι τοῦ προσφέροντος τὴν τροφὴν τῷ στόματι καὶ τοῦ τὴν ἕδραν ἀπονίζοντος ἐν τοῖς ἀποπάτοις, ἄμεινον γὰρ ὅστις μὴ παντάπασιν εἴη μαλακὸς, ἑλέσθαι δὴ μυριάκις τεθνάναι, πρὶν τοιοῦτον ὑπομεῖναι βίον. εἰ δὲ δὴ καὶ τοῦ κατ᾽ αὐτὴν αἴσχους τις ὑποφορᾷ δι᾽ ἀναισχυντίαν τε καὶ μαλακίαν, ἀλλὰ τῶν γε πόνων οὐκ ἔχειν ὑποφορὰν, οὓς νύκτωρ τε καὶ μεθ᾽ ἡμέραν ἔχουσιν, ὥσπερ ὑπὸ δημίων στρεβλούμενοι τῶν παθῶν. καί τοι τούτων ἁπάντων, ἢ ἀκολασίαν, ἢ ἄγνοιαν, ἢ ἀμφοτέρας, ἢ ἀναγκαῖον αἰτιᾶσθαι. ἀλλὰ τὴν μὲν ἀκολασίαν, οὐκ ἦν καιρὸς ἐπανορθοῦσθαι. τὴν δ᾽ ἄγνοιαν ὧν χρὴ ποιεῖσθαι, ἐλπίζω διὰ τῆσδε τῆς πραγματείας ἰάσασθαι καθ᾽ ἑκάστην φύσιν σώματος, ἰδίαν ὑγιεινὴν ἀγωγὴν θέμενος. ἄρξασθαι δέ μοι που δεικνύειν αὖ ἦν, ἀπὸ τῆς ἀρίστης, ἧς ὁ σκοπὸς ἐστὶν οὐκ ἐπανόρθωσις, ἀλλὰ φυλακὴ τῶν ὑπαρχόντων, ὅπερ ἡμεῖς ἐποιησάμεθα, εἰπόντες ὑπὲρ αὐτῆς ἄχρι δεῦρο καθ᾽ ἑκάστην τῶν ἡλικιῶν, πλὴν τῆς παρακμαστικῆς καλουμένης, ἧς τὸ τελευταῖον μέρος ἰδίως ὀνομάζεται γῆρας. ἔχοντός τινα καὶ τούτου τομὴν ἰδίαν, ὡς ὕστερον εἰρήσεται κατ᾽ ἐκεῖνο τοῦ λόγου τὸ μέρος, ἔνθα τὸ καλούμενον τῆς τέχνης γηρωκομικὸν μέρος, εἰς διδασκαλίαν ἄξομεν. ἀλλὰ νῦν γε τὰ κυριώτατα τῶν εἰρημένων ἀναλαβόντες ἐπὶ τὰς μοχθηρὰς φύσεις τῶν σωμάτων μεταβησόμεθα, δεικνῦντες ὅπως ἑκάστην αὐτῶν ἐν ὑγείᾳ μάλιστα φυλακτέον ἐστίν. τὸ τοίνυν ἄριστον σῶμα σκοπὸς ἔχει κατὰ μὲν τὰς ποσότητας τε καὶ ποιότητας καὶ δυνάμεις. ἐν μὲν τοῖς γυμνασίοις, τὰ μέτριά τε καὶ σύμμετρα προσαγορευόμενα, μετὰ τοῦ πᾶσιν ὁμοτίμως τοῖς μορίοις τοῦ σώματος προσάγεσθαι, φυλαττομένων ἡμῶν ἅπασαν ὑπερβολήν. εἰ δέ ποθ᾽ ἁμαρτηθείη καθ᾽ ὁτιοῦν τῶν εἰρημένων ἐπανορθούντων τὸ σφάλμα. κατὰ δὲ τὴν τῶν ἐσθιομένων τε καὶ πινομένων φύσιν ἐν ποσότητι καὶ ποιότητι καὶ δυνάμει, σκοπὸς πάλιν ἐστὶν κἀνταῦθα τὸ σύμμετρον, ὡς μήτε πλείω μήτ᾽ ἐλάττω λαμβάνειν, ἀλλ᾽ ἢ ὅσα πεφθέντα καὶ ἀναδοθέντα καὶ θρέψαντα τὸ σῶμα καλῶς, εἰ δέοι καὶ τοῖς ἔτ᾽ αὐξομένοις τι προστεθεῖναι σύμμετρον, οὐδὲν ἐάσειν περιττὸν, οὐδ᾽ ἐνδεές. οὕτω δὲ καὶ κατὰ τοὺς ὕπνους τε καὶ τὰς ἐγρηγόρσεις, καὶ τὰ λουτρὰ, καὶ τὰς τῆς ψυχῆς ἐνεργείας, ὅσα τ᾽ ἄλλα τοιαῦτα τὴν συμμετρίαν δηλονότι προσήκει φυλάττειν. εἰ δέ ποθ᾽ ἁμάρτοι τις καθ᾽ ὁτιοῦν τῶν εἰρημένων, ἐπανορθοῦσθαι τὸ σφάλμα. κοινὸς δ᾽ ἔστω σοι σκοπὸς ἁπάσης ἐπανορθώσεως, ἡ τῆς ἐναντίας ἀμετρίας χρῆσις. εἰ μὲν ἐπὶ πλέον ἐπόνησε τὸ σῶμα τῇ προτεραίᾳ καθαιροῦντι τὸ πλῆθος τῶν γυμ-

νασίων

κεσίων. εἰ δ' ἐνδεέστερον, αὐξάνοντι. οὕτω δὲ εἰ καὶ ὀξυτέραις ἐχρήσατο ταῖς κινήσεσιν, ἀνιέντι μετρίως. εἰ δ' ἐκ
λελυμέναις, ἐπιτείνοντι. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ μὲν ταῖς εὐτονωτέραις, τὰ μαλακώτερα γυμνάσια παρα-
λαμβάνων, ἐπὶ δὲ ταῖς ἀτονωτέραις, ἰσχυρότερα, καὶ τὰ σφοδρὰ δὴ τοῖς ἀμυδροῖς ἀντεισάγων, καὶ τοῖς σφοδροῖς
τἀναντία. καὶ συλλήβδην εἰπεῖν ἁπάσας ἀμετρίας ἐπανορθούμενος, διὰ τῆς ἐναντίας, ἀμετρίας, ὑγιαίνοντα δια-
φυλάξαι τὸν ἄνθρωπον. εἰς δὲ τὸ μηδὲν ταῖς ἐπανορθώσεσι σφάλλεσθαι πρῶτον μὲν χρὴ γινώσκειν ἀκριβῶς τὰς
διαθέσεις τοῦ σώματος, εἶτα μεμνῆσθαι τῶν ἐν τῇ προτεραίᾳ προγεγυμνασμένων ἁπάντων. αἱ μὲν γὰρ διαθέσεις, ἐνδεί-
ξονται τὸ πλημμεληθέν, ἡ μνήμη δὲ τῶν προγεγυμνασμένων εἰς ὅσον χρὴ μετακινῆσαι τι τῶν συνήθων ὑπαγορεύσει.
ἐπεὶ μὲν δὴ τὰς διαθέσεις, αἳ τοιαίδε εἰσὶν ἀμετρίαι, ὡς ἰσχνότερον, ἢ εὐογκότερον, ἢ σκληρότερον, ἢ μαλακώ-
τερον, ἢ ξηρότερον, ἢ ὑγρότερον, ἢ ἀραιότερον, ἢ πυκνότερον ἑαυτοῦ φαίνεσθαι τὸ σῶμα, πρὸς τῷ μὴ κατὰ φύσιν ἀκρι-
βῶς ἀποσώζειν εὐχροιαν. ἡ μνήμη δὲ τῶν προγεγονότων, αὐτό τε τὸ ἁμαρτηθὲν ἐνδείξεταί σοι καὶ διδάξει τὴν ἐπα-
νόρθωσιν ἐκ τοῦ παραβάλλεσθαι τοῖς ἐνεστῶσιν. εἰ μὲν γὰρ ἰσχνότερον τὸ σῶμα φαίνοιτο, σκοπεῖσθαι χρὴ καὶ ἀναμιμνήσκε-
σθαι, πότερον πλείω τοῦ προσήκοντος ἐπόνησεν, ἢ ὀξυτέραις ἐχρήσατο ταῖς κινήσεσιν, ἢ περὶ τὴν τρῖψιν ἐπλεόνα-
σεν, ἢ τὰ λουτρά. καὶ μετὰ ταῦθ' ἑξῆς ἐπισκοπεῖσθαι πότερον ἐφρόντισεν, ἢ ἠγρύπνησεν, ἢ ἐξέκρινε κατὰ γαστέρα,
πολὺ πλείω τοῦ προσήκοντος. ἐπισκοπεῖσθαι δὲ καὶ εἰ ὁ οἶκος θερμότερος ἐν ᾧ διέτριψεν, ἢ ἔφαγεν ἔλαττον, ἢ ἔπιεν,
ἢ ἀφροδισίοις ἐχρήσατο πλείοσιν. εἰ δ' ἐν ὄγκῳ μείζονι τὸ σῶμα φαίνοιτο, μὴ ῥίψις μαλακή, ἢ γυμνάσιον ἔλατ-
τον, ἢ βραδύτερον, ἢ πλείων ὕπνος, ἢ ἐποχὴ γαστρός, ἢ σιτίων πλῆθος ἀμέμπτως πεφθέντων. εἰ δὲ σκληρότερον
ἑαυτοῦ φανείη τὸ σῶμα, τρίψεων ἀναμνησθῆναι χρὴ πρῶτον, εἶτα γυμνασίων εὐτόνων μετ' ἀνταγωνιστοῦ σκλη-
ροῦ πηλοῦντος, καὶ πρὸς τούτοις εἰ ἐν κόνει καὶ ταύτῃ σκληρᾷ καὶ ψυχρᾷ, καὶ εἰ χωρὶς τῆς καλουμένης ἀποθερα-
πείας. εἶθ' ἑξῆς λουτρῶν, εἰ ψυχρὰ παντάπασιν, ἢ λίαν θερμά, καὶ ὁ οἶκος ἐν ᾧ διέτριψεν ἐγρηγορώς τε καὶ κοιμώ-
μενος, ψυχρός, ἔτι δὲ σιτίων ξηρότητα καὶ πομάτων ἔνδειαν. εἰ δὲ μαλακώτερος ἑαυτοῦ γίνοιτο κατὰ τὴν ὑστεραίαν
τὸ σῶμα, πρῶτον μὲν ἀναμιμνήσκεσθαι χρὴ τῆς τρίψεως, εἰ μαλακή τε καὶ σὺν λίπει, καὶ λουτροῖς ἀτρέμα καὶ ἀραιο-
τέροις ἐχρήσατο. μετὰ δὲ τὴν τούτων ἐπίσκεψιν εἰ τὰ γυμνάσια βραδέα καὶ ὀλίγα καὶ μετὰ τοῦ συμπαλαίοντος
ἀμετρωτέρου ἁπαλοῦ, κἄπειτα περὶ πόματος εἰ πλέον, εἶθ' ἑξῆς ἐδεσμάτων ἢ πλειόνων ἢ ὑγροτέρων τὴν φύσιν,
εἶθ' ὕπνων, εἰ πλείους. ἐγγὺς δὲ τῆς μαλακῆς τοῦ σώματός ἐστι διαθέσεως, ἡ ὑγρὰ καλουμένη, πλὴν ὅσον ἡ μὲν μα-
λακή, τῶν σωμάτων αὐτῶν ἐστιν οἰκεία ποιότης ἡ δ' ὑγρά, τῶν ἐν αὐτοῖς ὑγρῶν, διακρίνεται δ' ἁπτομένων, ἡ μὲν γὰρ
ὑγρά, σὺν ἰκμάσιν ἐστίν, ἡ δὲ μαλακή, χωρὶς τούτων, ὄντος δὲ δηλονότι καὶ τοῦ μαλακοῦ σώματος ὑγροῦ, τοῖς οἰκείοις
μορίοις, ἀλλ' ἕνεκα σαφοῦς διδασκαλίας, μαλακὸν μὲν τοῦτο καλείσθω, τὸ δ' ἕτερον ὑγρόν, ἡ μὲν οὖν ἀμέτρως ξη-
ρὰ διάθεσις, εὐθὺς σκληρύνει τὴν ἕξιν, οὐκ ἐξ ἀνάγκης δὲ μετὰ μαλακότητος ἐστὶν ἡ ὑγρά, δύναται μὲν γὰρ ἐσκλη-
ρῶσθαι μὲν ἡ σάρξ, ἀναφέρεσθαι δ' ἐκ τοῦ σώματος ἰκμὰς ἢ ἱδρώς, τῶν μὲν οὖν τῶν ὑγροτήτων. ἢ τοι γ' ἀφροδισίων χρῆ-
σιν ἄκαιρον, ἢ ἀπό τινος ἑτέρας αἰτίας ἀρρωστίαν τῆς δυνάμεως, ὑποπτευτέον, ἢ ἀραιότητα τοῦ σώματος ἐπὶ μαλα-
καῖς ἀμέτρως τρίψεσιν, ἢ λουτροῖς πλείοσιν, ἢ ἀέρι τῷ κατὰ τὸν οἶκον ἐν ᾧ διέτριψε θερμοτέρῳ παρὰ τὸ δέον.
ἐπισκεπτέον δὲ καὶ περὶ πομάτων εἰ πλέον, ἢ ὕπνοι πολλῷ πλείους τῶν κατὰ φύσιν, ἢ εἰ τὸ περιέχον ἀθρόως μετέ-
βαλεν εἰς ὑγρότητά τε καὶ θερμότητα, καὶ περὶ τροφῶν δ' ὡσαύτως, ἐπὶ δὲ τῆς ἁπαλότητος, ἢ μαλακότητος, ἑκά-
τερον γὰρ ὀνομάζειν ἔθος ἐστίν, ὅταν ποτὲ χωρὶς ὑγρότητος ᾖ, πεπέφθαι μὲν τὴν τροφὴν ὀρθῶς καὶ τετράφθαι τὸ
σῶμα, γεγυμνάσθαι δὲ ἐνδεέστερον. ἔμπαλιν δὲ ἐπὶ τῆς σκληρότητος, ἢ τετρίφθαι σκληρῶς, ἢ γεγυμνάσθαι πλείω
μετὰ τοῦ σκληροῦ σώματος ἐν κόνει. ξηρότης δὲ τῆς ἕξεως, ἔνδειαν πόματος, ἢ τροφῆς, ἢ ἀγρυπνίαν, ἢ μέριμναν
βιωτικήν, ἢ πολλὴν τρῖψιν, ἢ γυμνάσιον ἄμετρον ἐνδείκνυται, ταῦτά τε οὖν βίον σκεπτόμενος, ἐπανορθοῦσθαι
συνηθείας καθ' ἑκάστην ἡμέραν τὸ σφάλμα, πρὶν αὐξηθὲν δυσίατον γενέσθαι. μέμνησο δ' ἀεὶ τὴν πᾶσαν ἀμετρίαν
εἰς ἐπανόρθωσιν ἄγεσθαι διὰ τῆς ἐναντίας ἀμετρίας, ὁ γάρ τοι σκοπὸς οὗτος, ἁπάντων ἐστὶ κοινὸς τῶν παρὰ φύσιν, ὥς τε
χρὴ προσέχοντα σε τῷ δὲ τήν τε τῶν σωμάτων αὐτῶν διάγνωσιν ὧν προνοεῖσθαι μέλλεις. ἑκάστου τε τῶν βοηθημάτων τὴν
δύναμιν, ἁπάσης ἐπιστήμονα τῆς περὶ τὸ σῶμα τέχνης γενέσθαι, καθ' ἣν οὐ μόνον τοὺς ὑγιαίνοντας ἐν ὑγείᾳ διαφυ-
λάξεις, ἀλλὰ καὶ τοῖς νοσοῦσιν ἀναλήψῃ τὴν ἀρχαίαν ἕξιν. ὁποῖον μὲν οὖν ἐστι τὸ ἄριστον σῶμα, πρότερον εἴρηται,
τὸ ἀπολειπόμενον τοῦ δὲ γινώσκειν μέν σε χρὴ διὰ τρεῖς αἰτίας ἀπολειπόμενον, ἢ ὅτι κακῶς ἐξ ἀρχῆς κατεσκευά-
σθη κυούμενον, ἢ ὅτι μετὰ ταῦτα πρός τινος αἰτίας εἰς τὴν παρὰ φύσιν ἤχθη διάθεσιν, ἢ τῷ τῆς ἡλικίας λόγῳ. πει-
ρᾶσθαι δ' ἐπανορθοῦσθαι πάντα, διὰ τῆς ἀντικειμένης ἀμετρίας. οἷον αὐτίκα περὶ γήρως, τὸ γῆρας ἐστὶ μὲν ψυχρὸν καὶ ξη-
ρόν, ὡς ἐν τοῖς περὶ κράσεων ἐπιδέδεικται λόγοις. ἐπανόρθωσις δ' αὐτοῦ, διὰ τῶν ὑγραινόντων τε καὶ θερμαινόντων
γίνεται. τοιαῦτα δ' ἐστὶ θερμὰ λουτρὰ γλυκέων ὑδάτων καὶ οἴνου πόσις ὅσαι τε τῶν τροφῶν ὑγραίνειν ἅμα τε καὶ θερ-
μαίνειν πεφύκασι. περὶ δὲ γυμνασίων ἢ ῥίψεων ἁπάσης τε κινήσεως, ἀπὸ τούτων γοῦν ἄρξασθαι βέλτιον, ἐπειδὴ κα-
λῶς εἴρηται τοὺς πόνους τῶν σιτίων ἡγεῖσθαι, τὰ δὲ χρὴ γινώσκειν, ὡς ἐκ μέρους μέν τινος ὀρθῶς εἶπεν ὁ ποιητής, ἐπὴν λού-
σαιτο φάγοι τε εὕδειν μὲν μαλακῶς, ἡ γοῦν δίκη, ἐστὶ γερόντων. οὐ μὴν τό γε σύμπαν ἐν τούτῳ τέτακται. δέονται γοῦν οἱ
γέροντες οὐδὲν ἧττον τῶν νέων εἰς κίνησιν ἄγειν τὸ σῶμα, κινδυνευούσης αὐτῆς σβεσθῆναι τῆς ἐμφύτου θερμασίας.
ἐπί γε τῶν ἀκμαζόντων σωμάτων, εὑρίσκονταί τινες φύσεις, ἡσυχίας δεόμεναι, περὶ ὧν εἴρηταί τε καὶ ἱπποκράτει,
γερόντων δ' οὐδεὶς χρήζει παντελοῦς ἡσυχίας, ὥσπερ οὐδὲ γυμνασίου σφοδροῦ, ῥιπίζεσθαι μὲν γὰρ αὐτῶν δεῖται τὸ θερ-
μόν, ἐξελέγχεται δὲ κατὰ τὰς σφοδροτέρας κινήσεις, αἱ μὲν οὖν μεγάλαι φλόγες οὐδὲν ἔτι χρήζουσι τοῦ ῥιπίζον-
τος, ἀλλ' ἑαυταῖς εἰσὶν ἱκαναί, πρὸς τὸ διασώζεσθαί τε καὶ κρατεῖν τῆς ὕλης. οὔκουν οὐδ' ἀνατρίβεσθαι μετὰ τοὺς
ὕπνους ἕωθεν ἅπαντες οἱ κάμνοντες δέονται, καθάπερ οἱ γέροντες, ὁ γάρ τοι σκοπὸς τῆς τοιαύτης ἀνατρίψεως
μα λίπει γινομένης, διττός ἐστιν, ἢ κοπώδη διάθεσιν ἰάσασθαι πρὶν αὐξηθεῖσαν ἀνάψαι πυρετόν, ἢ ἀρρωστοῦσαν
νάδοσιν ἐπεγεῖραι. πολλοὺς γὰρ ἀτροφοῦντας ἐκ μακροῦ χρόνου, ῥᾳδίως ἐν ὀλίγαις ἡμέραις ἐσαρκώσαμεν,
διὰ τῆς τοιαύτης ἀνάγοντες τρίψεως. ἀλλ' ὅπερ ἄλλοις κατὰ πάθος ἐν χρόνῳ τινὶ γίνεται, τοῦτ' ἀεὶ τοῖς γέρου-

Senis quomodo corrigendum.

σιν ὑπάρχει, καὶ ψυχρὸν γὰρ ὅλον αὐτῶν ἐστὶ τὸ σῶμα, καὶ ἀδύνατον ἕλκειν τὴν τροφὴν ἐφ' ἑαυτό, καὶ κατεργάζεσθαι
καλῶς καὶ τρέφεσθαι πρὸς αὐτῆς, ἀλλ' ἡ τρῖψις ἐπεγείρουσα τὸν ζωτικὸν τόνον αὐτῶν καὶ θερμαίνουσα τὰ μέτρια,
τήν τ' ἀνάδοσιν εὐπετεστέραν ἐργάζεται, καὶ τὴν θρέψιν ἑτοιμοτέραν. οὕτω τοι καὶ διαιτώμενοι, νέοι τε πολ-
λοὶ τῶν ἀτροφούντων ἐσαρκώθησαν, οἵ τε γέροντες ὠνίναντο πάντες. ἓν μὲν δή σοι τοῦτο καθάπερ τι γυμνάσιον
ἔστω τοῖς γέρουσιν ἕωθεν γιγνόμενον, ἡ μετ' ἐλαίου τρῖψις, ἐφεξῆς δὲ περίπατοί τε καὶ αἰωρήσεις ἄκοποι, στοχαζο-
μένου τῆς τοῦ γέροντος δυνάμεως, διόπερ ἡμῖν εἴρηται πρόσθεν, περὶ ἐδεσμάτων τε καὶ πομάτων, οὐκ ὀλίγα. πα-
ραδείγματος δ' ἕνεκεν, καὶ νῦν εἰρήσεται περὶ τῶν γυμνασίων, ὑπὲρ ὧν ἐμάθομεν ἔμπροσθεν, ὡς τὰ μὲν ὀξέα,
προσαγορεύουσιν δ' οὕτως, ὧν αἱ κινήσεις ταχεῖαι, λεπτύνει τὸ σῶμα, τὰ δ' ἐναντία, παχύνει, καὶ πολλὰ μὲν
ξηραίνει, τὰ δὲ μέτρια σαρκοῖ. λέλεκται δὲ καὶ περὶ τῶν ἄλλων ἐν αὐτοῖς διαφορῶν ἁπασῶν, ὥσπερ γε καὶ περὶ
τῶν τρίψεων, αἱ δὲ τῶν γυμνασίων ἰδέαι τοῖς γέρουσιν ὅσαι τ' ὠφέλιμοι καὶ ὅσαι βλαβεραί, κριθήσονται τῇ τε τοῦ
σώματος ὅλου διαθέσει, καὶ τοῖς ἔθεσι, καὶ τοῖς ἐνοχλοῦσι παθήμασι. τῇ μὲν ὅλου τοῦ σώματος διαθέσει, κατὰ τάδε.
τὸ μὲν γὰρ ἄριστον τῇ κατασκευῇ σῶμα περὶ οὗ μέχρι δεῦρο πεποίημαι τὸν λόγον ἐξ ἀρχῆς ὥσπερ ἐν νεότητι
πρὸς ἅπαντας τοὺς σφοδροτάτους πόνους ἐπιτηδειότατον ἐστὶν, οὕτως ἐν γήρᾳ, πρὸς ἅπαντας τοὺς μετρίους, τὸ δ' ἤ-
τοι παχυσκελὲς, ἢ εὐρύστερνον, ἢ περαιτέρω τοῦ προσήκοντος ἰσχνοσκελὲς, ἢ ὅσοις ὁ θώραξ μικρός ἐστιν, ἢ κομιδῇ
ἔσονται στενὸς, ἢ τὸ βλαισὸν, ἢ τὸ ῥαιβὸν, ἢ ὁπωσοῦν ἄλλως ἀσύμμετρον, εἰς τὰ πολλὰ τῶν γυμνασίων οὐκ ἂν ἐπι-
τήδειον. ἐν μὲν γὰρ τοῖς διὰ τῆς φωνῆς γιγνομένοις, ὁ κακῶς κατεσκευασμένος θώραξ, ἐν δὲ τοῖς διὰ τῶν περιπά-
των, τὰ σκέλη βλάπτεται, κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐπί τε χειρῶν εἰρῆσθαί μοι νόει, καὶ τραχήλου, καὶ νώτου, καὶ ὀ-
σφύος, ἰσχίων τε καὶ τῆς ῥάχεως ὅλης. ὅτι γὰρ ἂν αὐτῶν ᾖ κακῶς ἐξ ἀρχῆς κατεσκευασμένον, ἐξελέγχεται μᾶλ-
λον, ἢ ῥώννυται γυμναζόμενον, εἰ μὴ ἄρα τις τὰς ἀμέτρους κινήσεις ὀνομάζειν ἐθέλει γυμνάσια σύμμετρα, τοῖς
ἀσθενέσι μορίοις. ἀλλ' οὕτως περὶ ὀνόματος μᾶλλον, ἢ πράγματος ἡ ἀμφισβήτησις ἔσται. τὰ δ' εἰς ὑγείαν διαφέ-
ροντα τῷ γέροντι γυμνάσια, διὰ τῶν ἰσχυροτέρων χρὴ ποιεῖσθαι μορίων. συγκινεῖται γὰρ ἐκείνοις καὶ γυμνάζεται τὰ λοι-
πά, καὶ μὲν δὴ καὶ ἔθη μεγίστην ἔχει μοῖραν εἰς αἵρεσιν ἰδέας γυμνασίων. ἄκοποι τε γὰρ αὐτοῖς αἱ εἰθισμέναι γίνονται
κινήσεις, ἥδονταί τε κατ' αὐτὰς ἐνεργοῦντες. ὥσπερ αὖ πάλιν ἐν τοῖς ἀήθεσιν ἄχθονταί τε καὶ κοπώδεις γίνονται. τῶν
δὲ τεχνικῶν ἐνεργειῶν, οὐδ' ἅψασθαι δυνατόν ἐστι, ἢ αὐλεῖν ἢ σαλπίζειν, ἢ κιθαρίζειν, ὥσπερ γε τοῖς κατὰ παλαίστραν,
ὅσοι παλαισμάτων ἀμαθεῖς, ἕκαστον οὖν τῶν γερόντων, ἐν τοῖς συνήθεσι γυμνάζειν, ἀνιέντας αὐτῶν τῆς σφοδρότη-
τα. τρίτος δὲ σκοπὸς ἰδέας γυμνασίων ἀπὸ τῶν παθημάτων λαμβάνεται, κοινὸς μὲν ἁπάσης ἡλικίας ὑπάρχων, οὐ
μὴν ἴσην γε τὴν δύναμιν ἐν ἁπάσαις ἔχων, ὅτι μὴ δὲ τὴν βλάβην ἴσην ἐργάζεται προσφθείς. ὅσοι μὲν γὰρ ἑτοί-
μως ἁλίσκονται σκοτώμασιν, ἢ ἐπιληψίαις, ἢ ὀφθαλμίαις σφοδραῖς, ἢ ὠταλγίαις, οὐ χρὴ τούτους ἐπινεύοντας, ἢ
κατακύπτοντας, ἢ καλινδουμένους χαμαὶ γυμνάζεσθαι, περιπάτοις δὲ πολλάκις καὶ δρόμοις μετρίοις, αἰωρήσεσί τε
ἐπὶ τῶν ὀχημάτων ἀκόπως χρῆσθαι. παραπλησίῳ δὲ τρόπῳ, καὶ ὅσοις παρίσθμια ῥᾳδίως, ἢ ἀντιάδες, ἢ συνάγχαι γί-
νονται, καὶ ὅσοις γαργαρεὼν ἑτοίμως ῥευματίζεται, καὶ ὅσοις οὖλα, καὶ ὅσοις ὀδόντες, ἢ ὅλως τι τῶν κατὰ τὸν τράχηλόν
τε καὶ τὴν ὅλην κεφαλὴν μορίων, ἡμικρανίᾳ γοῦν ἐνοχλοῦνται πολλοί, καὶ τινὲς ἄλλοι συνεχῶς ἀλγοῦσιν, ἐπὶ
μικραῖς προφάσεσιν, ὧν οὐδεὶς ἀνέχεται γυμνασίου πληροῦντος κεφαλήν, ἀλλ' ἐστὶν ἅπασιν αὐτοῖς τὰ διὰ τῶν σκε-
λῶν ὠφέλιμα, καθάπερ γε τοῖς ἀσθενέσι φύσει τὰ σκέλη, βελτίω τὰ διὰ τῶν ἄνω μερῶν γυμνάσια, χειρονομίαι
καὶ ἀκροχειρισμοί, καὶ δίσκου βολαί, καὶ ἁλτήρων χρῆσις, ὅσα τε κατὰ τὴν παλαίστραν γυμνάζεται χαμαὶ πάντα. τοῖς
γε μὴν τὰ μέσον μόρια χειρῶν καὶ σκελῶν πάσχουσι ῥᾳδίως, ἅπαν μὲν εἶδος ἐπιτήδειον ἐστὶ γυμνασίων, ἐπεὶ τῶν
ἄλλων τις ἀπείργει σκοπῶν. ἤδη δὲ τὰ μὲν κατὰ θώρακα, τοῖς κάτω μᾶλλον χαίρει. τὰ δὲ κατὰ κύστιν ἢ νεφροὺς τοῖς
ἄνω. σπλὴν δὲ καὶ γαστὴρ καὶ ἧπαρ ἔντερά τε καὶ κῶλον ὥσπερ ἐν τῷ μέσῳ τῶν κάτω μερῶν ἐστὶν, οὕτω καὶ τοῖς γυμ-
νασίοις ὁμοίως χαίρει. τάς τε μὴν τρίψεις ἐπὶ τῶν ἀσθενῶν μορίων, ἐν οἷς μὲν χρόνοις νοσεῖ, φυλάττεσθαι προσήκει,
ἐν οἷς δὲ ὑγιαίνει, προσφέρεσθαι μᾶλλον, ἢ τοῖς ἄλλοις, καὶ μάλιστα τὰς ξηρὰς ἐπὶ πλεῖστον ἀνατρίβοντα διά τε τῶν ὀθο-
νίων καὶ μόναις ταῖς χερσί, καὶ μὴν δὴ καὶ ὅσαι κατὰ περίοδον ὀδύναι γίνονται μορίοις τισί, οὐ σμικρὸν γίνεται κώλυ-
μα τοῦ γίνεσθαι τοιαύτη ἡ τρῖψις ἐν τῷ μεταξὺ χρόνῳ παραλαμβανομένη, καὶ μάλιστα πρὸ δυοῖν ἢ τριῶν ὡρῶν τοῦ παρο-
ξυσμοῦ. ῥώννυται γὰρ ὑπ' αὐτῆς τὰ μόρια, καὶ ἧττον δέχεται τὰ συνήθη κατασκήπτοντα ῥεύματα. ταυτὶ μὲν οὖν
ἅπαντα κοινὰ γερόντων ἐστὶ καὶ τῶν ἄλλην ἡλικίαν ἐχόντων ἡντινοῦν, τὸ δὲ μὴ γυμνάζεσθαι τοῖς ἀσθενέσι μορίοις, ἐπὶ
γέροντας μόνον συμβουλεύω. τῶν δ' ἄλλων ὅσον τις ἂν ᾖ τοῦ γήρως ἀπωτέρω, τοσούτῳ μᾶλλον αὐτῷ γυμναστέον ἐστὶ
τὸ ἀσθενές, ὅπερ δὲ καὶ διὰ παραδείγματος ὁ λόγος ᾖ σαφής, οὐκ ὀκνήσω διελθεῖν. ὑποκείσθω τι σῶμα τῶν ἔτ' αὐξα-
νομένων ἰσχνὸν τοῖς σκέλεσι, τούτῳ συμφέρει, πιττοῦσθαι τε τὰ σκέλη καὶ τρίβεσθαι μετρίως, καὶ δρόμῳ χρῆσθαι μᾶλλον,
ἢ ἄλλῳ τινὶ γυμνασίῳ. χρὴ δ' ἐπιστατεῖν αὐτῷ τινὰ, τὸν σύμμετρον ὁρίζοντα τὴν κίνησιν, ὥστε μήτε τοῦ προσήκον-
τος ἐνδεέστερον γυμνάζοιτο, μήθ' ὑπερβάλλοι τοσοῦτον, ὡς ἁλῶναι κόπῳ, τοῦτο δὴ καὶ τοῖς δύσγνωστον εἶναι δοκοῦν, οὐκ
ἐν γυμνασίοις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἡμεῖς ἐπεδείξαμεν εὔγνωστον, ἐν γε τοῖς κατὰ τὴν ὑγιεινὴν δίαι-
ταν, οὐ γάρ ἐστιν ἐπ' αὐτοῖς ὀξὺς ὁ καιρὸς ὡς ἐν ταῖς νόσοις, ἀλλ' ἔξεστιν ἄρξασθαι μὲν ἀπὸ τῶν ἀσφαλεστάτων ἐν ἑκάστῳ
μέτρῳ, ἐπισκοπουμένους δὲ τὸ ἀποβαῖνον, ἤτοι γ' ἀφαιρεῖν, ἢ προσθεῖναί τι, καθ' ἑκάστην ἡμέραν ἐπανορθουμένους τὸ
πρόσθεν, οἷον εὐθέως ἐπὶ τοῦ ἰσχνοσκελοῦς. ἐγὼ ποτὲ παιδάριον ἐτῶν. ιγ. παραλαβὼν, εἶτα παντὶ τῷ μετὰ ταῦτα
χρόνῳ τῆς αὐξητικῆς ἡλικίας προνοησάμενος αὐτοῦ κατὰ τοὺς προγεγραμμένους σκοποὺς ἀπέφηνα νεανίσκον εὔρυθμόν
τε καὶ σύμμετρον. ἐν μὲν γὰρ τῇ πρώτῃ τῶν ἡμερῶν αὐτὸν κατέχρισα τῇ πίττῃ, δὶς ἐφεξῆς ὡς εἴωθα καὶ δραμεῖν ἐκέ-
λευσα μήτ' ὀξέως πολύ. κατὰ δὲ τὴν δευτέραν τρίψει συμμέτρῳ μὲν κατὰ σκληρότητά τε καὶ μαλακότητα, βραχείᾳ δὲ
κατὰ τὸ πλῆθος ἅμα λίπει προμαλάξας, ἐκέλευσα βραχεῖ πλείω δραμεῖν, οὐ μὴν ὀξύτερά γε τοῦ πρόσθεν. ἐπὶ δὲ τῷ
δρόμῳ δηλονότι ταῖς ἀποθεραπευτικαῖς ὀνομαζομέναις ἐχρώμην τρίψεσιν. ἐκέλευον δὲ περιπατεῖν αὐτῷ καθ' ἑ-
κάστην ἡμέραν ἀπὸ μετρίων ἀρξαμένῳ εἰς πλείω, κατασκεπτόμενος τά τ' ἄλλα τῶν σκελῶν, καὶ μάλιστα τὰς φλέβας

εἰ μὴ πρότερον ἐξιάσοιντο τὴν τῶν σκελῶν δυστροφίας. χαλεπὸν γὰρ τοῦτο, ῥευματικόν τε καὶ βλαισώδη τῷ χρόνῳ παρασκευάζον, οὐκ ἄτροφα τὰ κῶλα. τούτῳ τε οὖν προσέχειν σε χρὴ τῷ γνωρίσματι, καὶ εἰ θερμότερα περαιτέρω τοῦ προσήκοντος γίγνοιτο τὰ σκέλη, καὶ εἰ κοπώδη τινὰ αἴσθησιν ἔχοντα. μηδενὸς μὲν γὰρ τούτων τῶν σημείων φαινομένων, αὐξάνειν τε χρὴ τὸ πλῆθος τῶν περιπάτων τε καὶ τῶν δρόμων καὶ πηδῶν διὰ τρίτης. ὀφθέντος δὲ ἑνὸς αὐτῶν, ἀνάρροπά τε σχηματίζειν ἐν τῇ κοίτῃ τὰ κῶλα, καὶ τὸ πλῆθος ἁπάντων ὧν διῆλθον ἀφαιρεῖν. ἐλάττω μὲν περιπατεῖν, ἐλάττω δὲ τρέχειν κελεύοντα, καὶ τῇ τρίψει κάτωθεν ἄνω. ὅταν δέ σοι ταῦτα πράξαντι κατὰ φύσιν ἀκριβῶς ἔχῃ τὰ σκέλη, πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς χρὴ χρῆσιν τῶν βοηθημάτων ἰέναι βραχυτάταις αὐξήσεσι χρώμενον, ἢ διὰ παντὸς ἐπὶ τῶν αὐτῶν καταμένοντα. παρεμβάλλειν δὲ χρὴ καὶ τὰς στρογγύλας καλουμένας τρίψεις μεταξὺ σκληρότητός τε καὶ μαλακότητος. ἔσθ' ὅτε μὲν ἄνωθεν, ἐνίοτε δὲ ἐκ τῶν κάτω μερῶν ἀρχομένους. καί πως κεκονιμένοις τοῖς σκέλεσι περιχέοντας ἔλαιον, οὕτω τρίβειν. ἔστω δὲ κόνις ἡ καλουμένη λιπαρά, προσαγορεύουσι δ' οὕτως, ἐν ᾗ μήτε τραχύ, μήτε δριμύ, λεπτύνουσι γὰρ μᾶλλον, ἢ σαρκοῦσιν ὅσαι παχύτητος κισσηρώδους, ἢ δριμύτητος νιτρώδους, ἢ ἁλμώδους μετέχουσι. ὅτῳ δὲ παχύτερα μὲν τὰ σκέλη, βραχίονες δὲ καὶ πήχεις ἰσχνοί, τούτῳ τὰ μὲν διὰ χειρῶν γυμνάσια πάνθ' ἐπιτηδευτέον ἐστί, φυλακτέον δὲ τὰ διὰ τῶν σκελῶν. αἵ γε μὴν τρίψεις καὶ πηλώσεις ὁμοίως γινέσθωσαν. ὅσα τ' ἄλλα περὶ τῶν κατὰ τὰ σκέλη λέλεκται γυμνασίων. οὐ γὰρ μικρά τίς ἐστιν ἐν αὐτοῖς διαφορά, τινῶν μὲν ἐσχάτως ἀρρώστων εἰς τὰς κινήσεις ὄντων, εἰ καὶ μηδέπω τύχοιεν ἑβδομηκοστὸν εἰς τὴν ἡλικίαν ὄντες, ἐνίων δὲ πολὺ ῥωμαλεωτέρων ἢ κατὰ τοὺς δέ, γεγονότων ἔτη πλείω ἢ π. τοὺς μὲν ἀσθενεστέρους αἰωρεῖν μᾶλλον, ἢ περιπατεῖν † κελεύων κινήσεις. τοὺς δ' ἰσχυροτέρους, δι' ἀμφότερα γυμνάσαντας, ἄξαντάς τε πρὸς τὴν δευτέραν τρίψιν, οὐχ ὁμοίως ἀμφοτέρους, ἀλλ' ἀεὶ τὸν ἀρρωστότερον θᾶττον. ἔστω γάρ σοι τοῦτο τῶν κοινοτάτων παραγγελμάτων, ἐπὶ μὲν ἀσθενοῦς δυνάμεως, ἀνατρέφειν τὸ σῶμα πυκναῖς καὶ βραχείαις τροφαῖς. ἐπὶ δὲ ἰσχυρᾶς, ἀραιαῖς καὶ πολλαῖς. εἰπεῖν μὲν οὖν καὶ ταῦτα καὶ τἄλλα ῥᾷστον, ἐπιστῆσαι δὲ γέροντι διαφυλάττοντα τὴν ὑγείαν αὐτοῦ τῶν χαλεπωτάτων, ὥσπερ γε καὶ τῶν ἀνακομιζομένων ἐκ νόσου. καλεῖται δὲ ὑπὸ τῶν νεωτέρων ἰατρῶν τοῦτο μὲν τὸ μέρος τῆς τέχνης ἀναληπτικόν, τὸ δὲ ἐπὶ τῶν γερόντων, γηροκομικόν, καὶ δοκοῦσιν αἱ διαθέσεις ἀμφοῖν οὐ κατὰ τὴν ἀκριβεστάτην ὑπάρχειν ὑγείαν. ἀλλ' ἤτοι μέσαι τινὲς εἶναι νόσου τε καὶ ὑγείας, ἢ πάντως γε μὴ τῆς καθ' ἕξιν, ἀλλὰ τῆς κατὰ σχέσιν ὀνομαζομένης ὑπ' αὐτῶν ὑγείας. εἴτ' οὖν νόσον, εἴτ' οὖν νοσώδη διάθεσιν, εἴτε μέσην ὑγείας τε καὶ νόσου διάθεσιν, εἴτε κατὰ σχέσιν ὑγείαν ὀνομάζειν χρὴ τὸ γῆρας, οὐ πάνυ τι τῶν τοιούτων ζητήσεων φροντίζοντας βωμολόχων προσερχομένων. ἐπίστασθαι δὲ χρὴ τὴν κατάστασιν τοῦ τῶν γερόντων σώματος, ὅτι ἐπὶ μικροῖς αἰτίοις εἰς νόσον μεθισταμένη, ὁμοίως τοῖς ἀναλαμβάνουσιν ἐκ νόσου τὴν ἀρχαίαν ὑγείαν, διαιτᾶν χρή. διόπερ εἰπεῖν μὲν ῥᾴδιον, ἄμεινον εἶναι χρίεσθαι λίπει μετ' ἀνατρίψεως ἕωθεν τὸν γέροντα. προσηκόντως δὲ ἐργάσασθαι τοὔργον ἁπάντων χαλεπώτατον, ἥτε γὰρ σκληροτέρα βραχὺ τρίψις, κοπώδης, ἥτ' ἄγαν μαλακή, πλέον οὐδὲν ἐργάζεται, καθάπερ οὐδ' ἡ βραχεῖα παντάπασιν, ἡ δέ γε πολλή, διαφορεῖ μᾶλλον, ἢ ἀνατρέφει. καὶ μὴν καὶ τὸ χωρίον ἐν ᾧ γυμνοῦται τοῦ γέροντος σῶμα ψυχρότερον μὲν ὄν, μόνον οὐδὲν ἐργάζεται χρηστόν, ἀλλὰ καὶ πυκνώσει καὶ καταψύξει. θερμότερον δ' εἴπερ εἴη τοῦ δέοντος, ἐν μὲν χειμῶνι πλέον ἢ προσήκει, τὸ σῶμα τοῦ γέροντος ἀραιότερον ἀποτελέσαν, δύσψυκτον ἐργάσεται. θέρους δὲ διαφορήσει τε καὶ καταλύσει τὴν δύναμιν αὐτοῦ. τοῖς μὲν γὰρ καθ' ἕξιν ὑγιαίνουσιν οὐδὲ τῶν ἰσχυρῶν αἰτίων οὐδέν, ἀλλοιοῖ τὸ σῶμα. τοῖς γέρουσι δὲ, καὶ τὰ σμικρότατα, μεγίστην ἐργάζεται μεταβολήν. οὕτω τοίνυν ἔχει κἀπὶ τῆς τῶν σιτίων ποσότητος, τε καὶ ποιότητος, καὶ γὰρ κἂν τούτοις, ἂν βραχύ τι τοῦ προσήκοντος ὑπερβῶσιν οἱ γέροντες, οὐ σμικρὰ βλάπτονται. ν νεανίσκων ἐπὶ μεγίστοις ἁμαρτήμασι βραχέα βλαπτομένων. ἀσφαλέστερον οὖν ἐστι τοῖς ἀσθενέσι γέρουσιν ὀλίγα διδόναι τρὶς τῆς ἡμέρας. ὡς Ἀντίοχος ὁ ἰατρὸς ἑαυτὸν διῄτα, γεγονὼς γὰρ ἐτῶν πλείω τῶν π. προῄει δὲ καθ' ἑκάστην ἡμέραν εἰς τὴν ἀγορὰν ἐπὶ τὸ χωρίον, ἐν ᾧ τὸ συνέδριον ἦν αὐτῷ τῶν πολιτῶν. ἔστι δ' ὅτε μακρὰν ὁδὸν ἐπιὼν ἐπισκέψεως ἀρρώστων ἕνεκα. ἀλλ' εἰς μὲν τὴν ἀγορὰν ἀπὸ τῆς οἰκίας, ἐβάδιζεν ὁδὸν ὡς τριῶν σταδίων, οὕτως ὲ καὶ τοὺς πλησίον ἀρρώστους ἑώρα. πορρωτέρω δ' ἄν ποτ' ἦν ἀναγκασθῇ πορευθῆναι τὸ μὲν ἐν δίφρῳ βασταζόμενος κομίζετο. τὸ δ' ἐπ' ὀχήματι αἰωρούμενος. ἦν δ' αὐτῷ κατὰ τὴν οἰκίαν οἴκημα. ἐκ καμίνου θερμαινόμενον, ἐν γε τῷ χειμῶνι. θέρους δὲ εὔκρατον, ἔχον ἀέρα καὶ χωρὶς τοῦ πυρός, ἐν τούτῳ πάντως ἀνετρίβετο, καὶ χειμῶνος αὶ θέρους ἕωθεν, ἀποπατήσας δηλονότι πρότερον. ἐν δὲ τῷ κατὰ τὴν ἀγορὰν χωρίῳ περὶ τρίτην ὥραν, ἢ τὸ μαρότερον περὶ τετάρτην, ἤσθιεν ἄρτον μετὰ μέλιτος ἀττικοῦ πλειστάκις μὲν ἑφθοῦ, σπανιώτερον δ' ὠμοῦ, καὶ ετὰ ταῦτα, τὸ μέν τι συγγινόμενος ἑτέροις διὰ λόγων, τὸ δὲ, καθ' ἑαυτὸν ἀναγινώσκων, ἕκτην ὥραν περιδεν, μεθ' ἣν ἐτρίβετό τε κατὰ τὸ δημόσιον βαλανεῖον. ἐγυμνάζετό τε τὰ πρέποντα, γέρουσι γυμνάσια, περὶ ὧν ἰδέας ὀλίγον ὕστερον εἰρήσεται. κἄπειτα λουσάμενος, ἠρίστα σύμμετρον. πρῶτα μὲν, ὅσα λαπάττει τὴν γαέρα προσφερόμενος. ἐφεξῆς δὲ ἰχθύων τὸ πλεῖστον, ὅσοι πετραῖοί τε καὶ πελάγιοι. κἄπειτ' αὖθις ἐπὶ τοῦ δείπνου, μὲν τῶν ἰχθύων ἐδωδῆς ἀπείχετο. τῶν δ' εὐχυμοτάτων καὶ δυσφθάρτων ἐλάμβανεν, ἤτοι χόνδρον μετ' οἰνοέλιτος, ἢ ὄρνιν ἐξ ἁπλοῦ ζωμοῦ. τούτῳ μὲν οὖν τῷ τρόπῳ γηροκομῶν ἑαυτὸν Ἀντίοχος ἕως ἐσχάτου διετέλεσεν ήρωτος ταῖς αἰσθήσεσι καὶ τοῖς μέλεσιν ἄρτιος ἅπασι. Τήλεφος δὲ ὁ γραμματικὸς ἐπὶ πλείονας μὲν ἐξίκετο όνους Ἀντιόχου, σχεδὸν ἑκατὸν ἔτη βιούς, ἐλούετο δὲ τοῦ μηνὸς δὶς μὲν ἐν τῷ χειμῶνι. τετράκις δὲ ἐν τῷ θέρει. τρὶς ἐν ταῖς μεταξὺ τούτων ὥραις. ἐν αἷς δ' ἡμέραις οὐκ ἐλούετο περὶ τρίτην ὥραν ἠλείφετο μετὰ βραχείας ἀναψεως. εἶτα χόνδρον ἡψημένον ἐν ὕδατι, μέλιτι μιγνὺς ὠμὸν ὅτι κάλλιστον ἤσθιε, καὶ τοῦτ' ἤρκει μόνον αὐτῷ, τὴν πρώτην. ἠρίστα δὲ καὶ οὕτως. ἑβδόμης ὥρας, ἢ βραχύ τινι θᾶττον. λάχανα μὲν πρῶτον προσφερόμενος. εἶθ' ἑξῆς θύων, ἢ ὀρνίθων γευόμενος. εἰς ἑσπέραν δὲ μόνον ἄρτον ἤσθιε, διαβρέχων ἐν οἴνῳ κεκραμένῳ. ὥσπερ δὲ τοῖς παιοἶνος ἐναντιώτατόν ἐστιν, οὕτω τοῖς γέρουσι χρησιμώτατον. εἰσὶ δὲ τῆς φύσεως θερμοτέρων ὁποῖοι τῶν ἑλληνικῶν ούσιος ἐστι καὶ ὁ λέσβιος, καὶ ὁ καλούμενος μύσιος, οὐκ ἐκ τῆς περὶ ἴστρον μυσίας, ἀλλ' ἐκ τῆς ἑλλησποντίας ὀνομαζό-

† al. κελευσμῶν

μένος, ἢ τις ἄλλος κατὰ τὴν ἡμετέραν ἀσίαν, ὁ μορσῦνος περγάμου. τῶν δ᾽ ἐκ τῆς ἰταλίας, ὅ τε φαλερῖνος καὶ ὁ συρρεντῖ-
νος. ἐφεξῆς δ᾽ αὐτῶν εἰσί, κατὰ μὲν τὴν ἰταλίαν ὅ τε τιβουρτῖνος καὶ ὁ σιγνῖνος ἀμφότεροι παλαιωθέντες, ὡς νέοι
γε ὄντες, οὐδ᾽ εἰς ἀνάδοσιν ὁρμῶσιν, οὔτε οὖρα κινοῦσιν, ἀλλ᾽ ἐπὶ πολὺ κατὰ τὴν γαστέρα μένουσι κλύδωνας ἐργαζό-
μενοι. δεύτεροι δ᾽ ἐπ᾽ αὐτοῖς, ἀδριανός τε καὶ σαβῖνος καὶ ἀλβανὸς καὶ γαβειανὸς καὶ πριφυλῖνος, ὅσοι τε ἀμιναῖοι
κατὰ τὴν ἰταλίαν γίνονται, περί τε νεάπολιν καὶ κατὰ τὴν θούσκων γῆν. κατὰ μέν γε τὴν τοῦ συρρεντίνου δύναμιν, ὁ μύσιός
ἐστι, κατὰ δὲ τὴν τοῦ φαλερίνου, τῶν τμωλιτῶν οἱ κάλλιστοι. σαβίνῳ δὲ καὶ ἀδριανῷ, τιτακαζηνός τε καὶ ἀρούσιος ἐοίκα-
σι. τούτων οὖν μετρίως παλαιωθέντων, πίνειν χρὴ τοὺς πρεσβύτας, ὅσοι μὴ πάνυ γε κεφαλὴν ἰσχυρὰν ἔχουσιν. οἷς
δ᾽ ἰσχυρά, τούτοις φαλερῖνος τε καὶ συρρεντῖνος ἀρούσιός τε καὶ λέσβιος, καὶ μύσιος καὶ τμωλίτης ἐπιτήδειοι. δῆ-
λον οὖν ὡς καθ᾽ ἕκαστον ἔθνος, ἐκ τῶν εἰρημένων παραδειγμάτων, αἱρεῖσθαι τὸν ἐπιτηδειότατον ἕκαστος δυνήσεται. σκοπὸς
ἔχων ἐπὶ τῇ τῶν γερόντων ἡλικίᾳ ἐν τῇ τῶν οἴνων δοκιμασίᾳ κατὰ μὲν τὴν σύστασιν, ἀεὶ τὸν λεπτότατον αἱρεῖσθαι.
κατὰ δὲ τὴν χρόαν, ὃν ὁ ἱπποκράτης εἴωθε κιῤῥὸν καλεῖν, δύναιτο δ᾽ ἂν καὶ ξανθὸν ὀνομάζειν αὐτόν, ἀγαθὸς δὲ καὶ
ὁ ὠχρός, ἐν τῷ μέσῳ καθεστὼς ξανθοῦ τε καὶ λευκοῦ· καὶ γὰρ εἰ βουληθείης μίξαι τὸν ξανθὸν οἶνον τῷ λευκῷ, μικτὸν ἐξ ἀμ-
φοῖν ὠχρὸν ἐργάσῃ, καὶ κραθεὶς μεθ᾽ ὕδατος, ξανθὸς τοιοῦτος γίνεται. παρὰ δὲ τὸ πλέον ἢ ἔλαττον ὕδωρ ἐπεμβάλλειν,
ἐνίοτε μὲν ὠχρός, ἐνίοτε δὲ οἷον ὠχρόλευκος, ἢ ὠχρόξανθος φαίνεται. θερμότατος μὲν οὖν ἐπὶ τῇ χροιᾷ τῶν εἰρημένων
οἴνων, ὁ ξανθός, ἥκιστα δὲ θερμὸς ὁ λευκός. οἱ δ᾽ ἐν τῷ μεταξὺ καθ᾽ ὅσον ἂν ἑκατέρῳ πλησιάσωσι, τῆς ἐκείνου μετέ-
χουσι δυνάμεως. ἓν μὲν οὖν τοῦτο μέγιστον ἀγαθὸν ἐξ οἴνου τοῖς γέρουσι περιγίνεται, τὸ θερμαίνεσθαι πάντα αὐτῶν τὰ
μόρια. δεύτερον δὲ τὸ δι᾽ οὔρων καθαίρεσθαι τὸν ὀῤῥὸν τοῦ αἵματος. διὸ καὶ κάλλιστος ἐπὶ γερόντων οἶνος, ὃς ἂν ταῦτα
ἐργάζεται μάλιστα, τοιοῦτος δ᾽ ἐστὶν ὁ τῇ συστάσει μὲν λεπτός, οὖρα γὰρ οὗτοι κινοῦσι, τῇ χρόᾳ δὲ ξανθός, ἴδιον γὰρ τού-
των τῶν θερμῶν ἱκανῶς οἴνων τὸ χρῶμα. διὸ κἂν πάνυ λευκοὶ τὸ κατ᾽ ἀρχὰς ὦσι, παλαιούμενοι προσλαμβάνουσι
τινὰ ξανθότητα, δι᾽ ἣν ὕπωχροι μὲν τὸ πρῶτον. ὕστερον δὲ τελέως ὠχροὶ γίνονται. κἂν ἐπὶ πλεῖστον ἥκωσι χρόνου τε-
λευτῶντες, ὠχρόξανθοι φαίνονται. τελέως γὰρ οὐχ οἷόν τε τοῖς λευκοῖς οἴνοις γενέσθαι ξανθοῖς. ὅσοι δὲ τῶν ὠχρῶν ἢ
ξανθῶν οἴνων παχεῖς εἰσιν, αἷμά τε γεννῶσιν οὗτοι καὶ τρέφουσι τὸ σῶμα. διὸ γένοιντ᾽ ἂν ποτε καὶ αὐτοὶ χρήσι-
μοι τοῖς γέρουσι, καθ᾽ ὃν δηλονότι χρόνον οὐκ ὀῤῥῶδες ὑγρὸν ἔχουσιν ἐν ταῖς φλεψί, καὶ δέονται θρέψεως περιττο-
τέρας. ὡς ἐπὶ τὸ πολὺ δὲ τῶν οὐρητικῶν οἴνων χρῄζουσιν, οἱ τὴν ἡλικίαν ταύτην ἄγοντες, διὰ τὸ πλεονάζειν ἐν αὐ-
τοῖς τὸ ὑδατῶδες περίττωμα. τῶν δ᾽ ἐπὶ πλέον ἐν τῇ γαστρὶ μενόντων οἴνων, οὐδὲ ποτ᾽ οὐδεὶς οἰκεῖος γέρουσι. τοιοῦτοι
δ᾽ εἰσὶν οἱ ἀπὸ τῆς Βιθυνίας ἀμιναῖοι καὶ τῶν ἀπὸ τῆς ἰταλίας, ὁ μάρσος, καὶ σιγνῖνος, καὶ τιβουρτῖνος, ἔτι ἂν ὦσι
νέοι. ἀλλ᾽ οὗτοι μὲν πάντες λευκοί, μέλανες δὲ ἄλλοι, καὶ παχεῖς ὅσοι στύφουσιν, ἐν τῇ γαστρὶ μένουσι χρόνῳ πολλῷ,
καὶ κλύδωνας ἐργάζονται κατ᾽ αὐτήν. ὥσπερ ὁ ἐν κιλικίᾳ μὲν συβάτης. ἐν ἀσίᾳ δὲ αἰγαουσίης τε καὶ περπερίνιος.
ὅσοι δὲ χωρὶς τοῦ στύφειν μέλανές τε εἰσὶ καὶ παχεῖς οἷος καὶ ὁ σκυβελίτης καὶ ὁ θηραῖος, ἧττον μὲν ἐν τῇ γαστρὶ
μένουσιν. οὔρησιν δὲ οὐδ᾽ αὐτοὶ κινοῦσιν, ἀλλ᾽ ὑπέρχονται κάτω. διὸ καὶ προπίνουσιν αὐτούς, ἐδωδῆς σιτίων. ἀλλ᾽ οὐ-
δ᾽ οὗτοι χρήσιμοι τοῖς γέρουσιν οὔτε προπίνειν, οὔτε πολὺ μᾶλλον ἐν ἑτέρῳ καιρῷ προσφέρεσθαι, καθ᾽ ὅτι μηδ᾽ ἄλ-
λο μηδὲν τῷ γέροντι παχύχυμον. ἐμφράττεται γὰρ ἐξ αὐτῶν ἧπάρ τε καὶ σπλὴν καὶ νεφροί, κἀντεῦθεν οἱ μέν, ὑδε-
ριῶσιν. οἱ δέ, λιθιῶσι τὸ ἐπὶ πλέον αὐτοῖς χρωμένων γερόντων. εἴπερ οὖν ἐθέλοι μετὰ τὸ λουτρὸν οἴνῳ χρῆσθαι
γλυκεῖ τῶν πρεσβυτέρων τις, ἐδηδοκότι μὲν ἔωθεν αὐτῷ, καθότι τὸν ἀντίοχον ἔφην πράττειν, ἄριστος ὁ φαυστια-
νὸς φαλερῖνος. ἐκείνου δ᾽ ἀποροῦντι, τῶν ὁμοίων τις, ὅμοιοι δ᾽ ἂν εἶεν οἱ γλυκεῖς τε ἅμα καὶ ὠχροὶ κατὰ χρόαν. ἐφεξῆς
δὲ τούτοις ὅ, τε θηραῖος καὶ ὁ κρητικός. οὐ κωλύω δὲ οὐδὲ τοῖς ἐσκευασμένοις διὰ μέλιτος οἴνοις χρῆσθαι, καὶ μά-
λισθ᾽ ὅσοις τῶν γερόντων ὑποψία τίς ἐστιν ἐν νεφροῖς λίθων γενέσεως, ἢ καὶ ποδάγρα τις, ἢ ἀρθρῖτις ὡς ἐνοχλεῖν.
τὸν δ᾽ οἶνον ἐπὶ τῆς τοιαύτης συνθέσεως, ἄριστον εἶναι σαβῖνον ἢ τινὰ τῶν ὁμοίων. ἐπεμβάλλεται δὲ αὐτῷ πετροσέ-
λινον, καὶ μόνον ἀρκεῖ τοῦτο τοῖς ἀρθριτικοῖς. ἐπὶ δὲ τῶν λιθιώντων, καὶ τῆς βετονίκης τι πόας μίγνυται, καὶ κέστρου
τοῦ παρὰ τοῖς κελτοῖς γινομένου, καλοῦσι δὲ τὴν βοτάνην ταύτην, σαξίφραγον. ἔνιοι δὲ περιεργότερον σκευάζον-
τες τὸ φάρμακον, ἐπεμβάλλουσι καὶ ναρδοστάχυος. εἰσὶ δὲ καὶ ἄλλα τινά, οὔρησιν κινεῖν δυνάμενα. ἀλλὰ τό γ᾽ ἁπλοῦν
πόμα, δι᾽ οἴνου καὶ μέλιτος οἱ πολλοὶ συντιθέασι, πηγάνου τε καὶ πεπέρεως ἔχον ὀλίγον. εἰ δὲ καὶ προεδηδοκὼς
εἴη, πρὶν λούσασθαι καὶ ἡ γαστὴρ αὐτοῦ μηδὲ μιᾶς βοηθείας χρῄζει, τῶν λευκῶν καὶ ὀλιγοφόρων οἴνων πίνειν καὶ με-
τὰ τὸ λουτρόν. ὅσοι δὲ παχεῖς καὶ γλυκεῖς καὶ μέλανες, ὡς ἐμφράττοντας τὰ σπλάγχνα, τοὺς τοιούτους ἅπαντας,
φεύγειν προσήκει. ἀλλ᾽ αἱ μὲν ἀπὸ τῶν οἴνων ἐμφράξεις, μέτριαι, τὰ δ᾽ ἀπὸ τῶν ἐδεσμάτων ὅσα γλίσχρον ἢ παχὺν
ἐργάζεται χυμόν, οὐ ῥᾴδιον ἰᾶσθαι, διόπερ οὐ χρὴ πλεονάζειν τοὺς γέροντας οὔτε χόνδρων, ἢ πυρῶν, ἢ ᾠῶν, ἢ κοχλι-
ῶν, ἢ βολβῶν, ἢ φακῆς, ἢ χοιρείων κρεῶν ἐδωδῇ, πολὺ δὲ δὴ μᾶλλον ἐν ταῖς τῶν ἐγχελύων, ἢ ὀστρέων, ἢ ὅλως τῶν
σκληρὸν καὶ δυσκατέργαστον ἐχόντων τὴν σάρκα. διὰ τοῦτο οὖν οὐδὲ τῶν ὀστρακοδέρμων οὐδέν, ἢ σελαχίων ἢ θυν-
νῶν, ἢ ὅλως τῶν κητώδων, ἢ τῶν κρεῶν τῶν ἐλαφείων, ἢ αἰγείων, ἢ βοείων, ἢ ταῦτα μὲν οὐδ᾽ ἄλλῳ τινὶ χρήσιμα.
προβάτεια δὲ νέοις μὲν ἐστὶν οὐ φαῦλον ἔδεσμα, γέρουσι δὲ οὐ δὴ ταῦτα, καὶ πολὺ δὴ μᾶλλον τὰ ἐπὶ τῶν ἀρνῶν, ὑγρὰ
γὰρ ἐστι καὶ βλεννώδη καὶ γλίσχρα καὶ φλεγματώδη. τά γε μὴν τῶν ἐρίφων οὐκ ἂν ἐπιτήδεια γέροντι, καὶ τῶν πτη-
νῶν ὅσα μὴ καθ᾽ ἕλη καὶ ποταμοὺς ἢ λίμνας διαιτᾶται. τὰ δὲ ταριχευθέντα πάντα τῶν προσφάτων ἀμείνω.
χρὴ τοίνυν ὥσπερ εἴρηται μάλιστα μὲν ἀπέχεσθαι ἐμφραττόντων ἐδεσμάτων, εἰ δ᾽ ὑπ᾽ ἀνάγκης ποτὲ χρήσασθαι
συμβαίη πλείοσιν αὐτοῖς, αὐτίκα προσφέρεσθαι τὸ διὰ τῆς καλαμίνθης φάρμακον, ὑπὲρ οὗ τῆς συνθέσεως ἔμπρο-
σθεν εἴρηκα κατὰ τόδε δὲ τὸ τέταρτον γράμμα. μὴ παρόντος δὲ αὐτοῦ, τὸ διὰ τῶν τριῶν πεπέρεων χρηστόν. εἰ δὲ
μηδὲ τοῦτο παρείη, κόπτοντας δὲ καὶ διαττῶντας ἀκριβῶς ὡς χνοῶδες γενέσθαι πέπερι λευκόν, ἅμα τοῖς ὄψοις
ἐσθίειν, ἐπιπάττειν τε τῷ ποτῷ, καὶ κρόμμυα δὲ ἐσθίειν τηνικαῦτα συμφέρει, κἂν εἰ τούτῳ συνήθεις εἶεν, καὶ σκόρο-
δον, καὶ τὴν διὰ τῶν ἐχιδνῶν ἣν καλοῦσι θηριακὴν ἀντίδοτον, ἐπὶ τῶν γερόντων οὐ κακῶς χρῶτο, καὶ μάλισθ᾽ ὅταν ἐν
τοῖς ἐμφράττουσιν ἐδέσμασιν, αὖθις τῶν ἐμφραττόντων φθάσει προσενεχθῆναι. καλλίστη γὰρ ἡ ἀπὸ τῆς θηριακῆς φαρ-

μάκου

μάκου βοήθεια τηνικαῦτα γίνεται, καὶ γαστρὸς ὑπὸ τοῖς τοιούτοις ὑπαχθείσης, χρησιμώτατον ἂν εἴη διδόναι τῇ ὑστεραίᾳ τὸ διὰ τῆς ἐχίδνης. οὐδὲν δ' ἧττον αὐτοῦ τήν ἀμβροσίαν τε καὶ ἀθανασίαν ὀνομαζομένην, ὅσα τ' ἄλλα διὰ τῶν εἰρημένων ἀρωμάτων σύγκειται φάρμακα, περί γε μὴν ἀκριβῶς ἑαυτῷ προσέχοντι γέροντι, φαρμάκου οὐκ ἔστιν ἄν ποτε γένηται χρεία τοιούτου. δεηθέντι δὲ ἐνίοτε λεπτυνούσης διαίτης, ἀρκέσει τὰ λελεγμένα διὰ ἑτέρου γράμματος ἰδίᾳ, καθὸ περὶ τῆς λεπτυνούσης διαίτης ὁ λόγος ἡμῖν ἐγένετο. πρόδηλον δ' ὅτι καὶ τῶν ἄρτων, τοὺς μήτ' ἐνδεῶς ἔχοντας ἁλῶν ἢ ζύμης, ἢ φυράσεως, ἢ ὀπτήσεως ἐσθίειν χρή, μήτε τὴν ἐπαινουμένην ὑπὸ πάντων σεμίδαλιν, ἢ τὰ δι' αὐτῆς πέμματα, καὶ γὰρ δύσπεπτα πάντα, καὶ κακόχυμα, καὶ σπλάγχνων ἐμφρακτικά, καὶ εἴ γε μὴ διὰ τοῖς διὰ βουτύρου καὶ σεμιδάλεως σκευαζομένοις πλακοῦσιν, ἐμίγνυτο μέλιτος δαψιλές, οὐδὲν ἂν ἦν ἔδεσμα πολεμιώτερον ἀνθρώποις πᾶσιν, οὐ μόνοις τοῖς πρεσβύταις. ἀλλὰ τί δεῖ τοῖς βλαβεροῖς τὸ χρήσιμον μιγνύειν ἐν αὐτῷ μόνῳ χρῆσθαι τῷ μέλιτι, τοῦτο μὲν ἀφεψῶντα, τοῦτο δὲ σὺν ἄρτῳ λαμβάνοντα πρὶν ἑψηθῆναι. προνοητέον δὲ τῆς περὶ τὸν ἄρτον ἀρετῆς μᾶλλον, ἢ τῆς περὶ τὸ μέλι. βέλτιον μὲν γὰρ ἂν τὸ μέλι τοιοῦτον εἴη τὴν ἰδέαν καὶ τὴν δύναμιν, οἷον τὸ ἀττικόν, εἰ δὲ μὴ τοιοῦτον ἔχοι μέν, ἀλλὰ παντὶ μέλιτι χρηστέον ἐστί. πλὴν τῶν δυσωδῶν, ἢ ἐν ὅσοις αἰσθητῶς κηροῦ ποιότης ἐμφαίνεται καὶ πολὺ δὴ μᾶλλον εἴ τινος ἑτέρας ἀλλοκότου. τῶν δ' ἄρτων ὁ μὲν τοιοῦτος οἷον ἀρτίως εἶπον, οὐ μόνον οὐδὲν ἀγαθὸν ἐργάζεται περὶ τὸ σῶμα τοῦ γέροντος, ἀλλὰ καὶ βλαβερώτατός ἐστιν καὶ μάλιστα ὅταν ᾖ καθαρώτερος. ὁρῶ δὲ τοῖς ἀθληταῖς αὐτὸν ἐπιτηδείως σκευαζόμενον. ἀλλ' ἐκείνοις μὲν εἰς ὅπερ ἐπιτηδεύουσιν, ἁρμόττει. γέροντι δὲ εἰ μὴ πολὺ μὲν ἁλῶν ἔχοι, πολὺ δὲ ζύμης, ὠπτημένος δ' ἀκριβῶς εἴη παχὺν ἐργάζεται καὶ γλίσχρον χυμόν. ὅσον οὐδ' ἄλλῳ μὲν ἀγαθός ἐστιν ἐπὶ πλέον αὐξανόμενος. ἀτὰρ οὖν οὐ τὰς καθ' ἧπαρ τε καὶ σπλῆνα καὶ νεφροὺς ἐμφράξεις ἐργάζεται, καὶ μάλιστα ὅταν φύσει στενότερα τῶν ἐπὶ τούτοις τοῖς σπλάγχνοις ἀγγείων ἐστὶ τὰ πέρατα. καθάπερ γὰρ ἐπὶ τῶν ἐκτὸς τούτων φλεβῶν, ἃς ἐναργῶς ὁρῶμεν οὐ σμικρὰ διαφορὰ φαίνεται περὶ τὸ εὖρος, ἄλλου τε πρὸς ἄλλον ἄνθρωπον καὶ καθ' ἕκαστον ἐν τοῖς μορίοις, οὕτως εἰκὸς ἔχειν κἀπὶ τῶν ἔνδον. ἀλλ' οὐχ οἷόν τε γνῶναι τὴν διαφοράν, πρὸ τῆς πείρας. λέγω δὲ πεῖραν, ἣν ἐφ' ἑκάστῳ τῶν προσφερομένων ἔνεστι ποιεῖσθαι. γέροντα γοῦν τινὰ γεωργικὸν ἔγνωμεν, ἔτη πλείω ρ. βιώσαντα κατ' ἀγρόν, ᾧ τὸ πλεῖον τῆς τροφῆς αἴγειον ἦν γάλα. ποτὲ μὲν αὐτίκα λαμβανόμενος ἄρτου θρυμμάτων ἐν αὐτῷ διαβρεχομένων, ἔστιν ὅτε δὲ καὶ μέλιτος ἐμίγνυε. καί ποτε ἧψε, ἐμβάλλων ἀκρέμονας θύμου ἅμα τοῖς ἄρτοις. ἀλλὰ τοῦτόν γέ τις μιμησάμενος ᾤετο γὰρ αἴτιον αὐτῷ τὸ γάλα τῆς πολυχρονίου ζωῆς γεγονέναι, διὰ παντὸς ἐβλάβη καὶ περὶ πάντα τρόπον προσφορᾶς. ἐβαρύνετο γὰρ αὐτῷ, τὸ στόμα τῆς γαστρός, καὶ μετὰ ταῦτα, τὸ δεξιὸν ὑποχόνδριον ἐτείνετο. καί τις ἕτερος ὁμοίως ἐπιχειρήσας χρήσασθαι τῷ γάλακτι τῶν μὲν ἄλλων οὐδὲν ἐμέμφετο, καὶ γὰρ ἔπεττε καλῶς αὐτό, καὶ οὔτε ὀξυρεγμίας τις, ἢ ἐρυγὴ κνισώδης. ἢ πνευμάτωσις, ἢ βάρος ἐπεγίνετο καθ' ὑποχόνδριον, τῇ ἡμέρᾳ δ' ἑβδόμῃ μετὰ τὴν ἀρχὴν ἐναργῶς ἔφη τοῦ ἥπατος αἰσθάνεσθαι βαρυνομένου. δοκεῖν γὰρ ἑαυτῷ περὶ τὸ δεξιὸν ὑποχόνδριον ἐγκεῖσθαί τι, καθάπερ λίθον ὡς κατασπᾶσθαί τε τὰ ὑποκείμενα καὶ μέχρι κλειδὸς ἀνήκειν τὴν τάσιν. εὔδηλον οὖν ὅτι τούτῳ μὲν ἐνεφράττετο τὸ ἧπαρ, ἐπνευματοῦτο δὲ θατέρῳ. καὶ μὲν δὴ καὶ ἐπὶ γάλακτος χρήσει πολυχρονίᾳ λίθον γεννήσαντα περὶ τοὺς νεφροὺς οἶδα. κατά τινα ἕτερον, ἀπολέσαντα καὶ βλαβέντα ἅπαντας ὀδόντας. τοῦτο μὲν οὖν καὶ ἄλλοις ἐγένετο πολλοῖς τῶν ἐπὶ γάλακτι μικρῶς διαιτηθέντων. ἀλύπως δ' ἕτεροι διαπαντὸς ἐχρήσαντο τῷ γάλακτι, καὶ μετ' ὠφελείας μεγίστης, ἄλλοι δὲ παραπλησίως τῷ κατ' ἀγρὸν βιώσαντι πλείω τῶν ἑκατὸν ἐτῶν ὡς ἔφην. ὅταν γὰρ ἥ τε ποιότης αὐτοῦ τῇ τοῦ χρωμένου φύσει μηδὲν ὑπεναντίον ἔχῃ, τῶν τε σπλάγχνων εὐπετεῖς αἱ διέξοδοι, διὰ τὴν τῶν ἀγγείων εὐρύτητα ὦσι, τῶν μὲν ὠφελίμων ἀπολαύουσιν οὗτοι, μοχθηροῦ δ' οὐδενὸς πειρῶνται. τὰ δ' ἐκ τοῦ γάλακτος ἀγαθά, λέλεκται καὶ τοῖς ἔμπροσθεν ἰατροῖς. ὑπαγωγὴ μετρία γαστρὸς εὐχυμία τε καὶ θρέψις. οὐ βραχεῖα συντελούσης εἰς ταῦτα καὶ τῆς νομῆς τῶν ζώων, ὧν μέλλεις χρῆσθαι τῷ γάλακτι, καί τοι γ' ἀμελοῦσιν ἔνιοι παντάπασιν τῆς νομῆς. ὡς ἤτοι μηδέν, ἢ βραχύτατον εἰς ἀρετὴν γάλακτος συντελούσης. ἀλλ' ἐναργῶς γε θεώμεθα τὰ νεμηθέντα τῶν ζώων, ὧν μέλλομεν χρῆσθαι τῷ γάλακτι, ἢ σκαμμωνίαν ἢ τῶν τιθυμάλλων τινὸς καθαρτικὸν ἴσχοντα τὸ γάλα. δῆλον οὖν ὡς καὶ δριμὺ καὶ ὀξὺ καὶ αὐστηρὸν ἐπὶ ταῖς μοχθηραῖς ἔσται νομαῖς, ἐξομοιούμενον ἀεὶ τῇ φύσει τῆς πόας, καὶ διὰ τοῦτο καὶ τοῖς πρὸ ἡμῶν ἰατροῖς ἐκ τῆς πείρας διδαχθεῖσιν, εἴρηνταί τινες ἀγάλακτοι νομαί. προσαγορεύουσι γὰρ οὕτως αὐτάς, ὑπὲρ ὧν καὶ ἡμεῖς ἑτέρωθι διερχόμεθα. νῦν δ' ἀρκεῖ τό γε τοσοῦτον ἐπίστασθαι περὶ αὐτῶν, ὡς οὔτε δριμείας, οὔτ' ὀξείας, οὔτ' αὐστηρᾶς πάνυ χρὴ τὰς τροφὰς εἶναι τῶν ζώων, ὧν τῷ γάλακτι μέλλομεν εὐχυμοτάτῳ χρῆσθαι. καὶ μὴν καὶ ὅτι περὶ τὴν ἡλικίαν ἀκμάζον εἶναι χρὴ περὶ τὴν ἕξιν τοῦ σώματος ἄμεμπτον τὸ ζῷον, εὔδηλον δή που κἂν ἐγὼ μὴ λέγω. κάλλιόν γε τὸ μέν, αἶγα, τὸ δ' ὄνον εἶναι. χρῆσθαι δὲ τῷ γάλακτι παρὰ μέρος ἑκατέρου. λεπτότερον μὲν γάρ ἐστι καὶ ὀρρωδέστερον τὸ τῆς ὄνου. σύμμετρον δὲ τῷ πάχει τὸ τῆς αἰγός. ὥστε τοῦτο μὲν ἀνατρέφειν μᾶλλον εἰ τούτου χρεία. τὸ δ' ὄνειον ἀσφαλέστερον πάντη, καὶ γὰρ εἰ μόνον ποτὲ λαμβάνοιτο ξὺν ἄρτῳ, καὶ ὑποβρέχεται θᾶττον, καὶ ἥκιστά ἐστι φυσῶδες, οὐ τυροῦταί τε περὶ τὴν γαστέρα, καὶ μάλιστα ὅταν ἁλῶν καὶ μέλιτος προσλάβῃ. χρὴ δὲ καὶ τούτου καὶ τῆς ἄλλης ἁπάσης ὕλης τῶν βοηθημάτων τὰς δυνάμεις ἰδίᾳ προμεμαθηκέναι τὸν μέλλοντα χρήσασθαι καλῶς. ἵνα μὴ πολλάκις ἀναγκαζώμεθα περὶ αὐτῶν λέγειν τὰ αὐτά, καὶ νῦν γέ μοι δοκῶ μακρότερον. ἢ ὡς τοῖς ἐνεστῶσι προσῆκε διεληλυθέναι περί τε γάλακτος καὶ οἴνων. ἄμεινον γὰρ ἦν εἰπόντα τὴν ἐξ αὐτῶν ὠφέλειαν τοῖς γέρουσι γινομένην, ἐπὶ τὴν τῆς ὕλης ἐκλογὴν ἀποπέμψαι τὸν ἤδη μεμαθηκότα τάς τε κοινὰς δυνάμεις καθ' ἑκάτερον αὐτῶν, καὶ τὰς ἐν μέρει διαφοράς. ἐπὶ μὲν τῶν οἴνων εἰπόντα τὰς διαφοράς, τοὺς θερμοτέρους τε καὶ οὐρητικωτέρους ἀμείνους εἶναι τοῖς γέρουσι. ἐπὶ δὲ τοῦ γάλακτος, ὡς οὔτε πᾶσι δοτέον, ἀλλὰ μόνοις, ὅσοι γε πέττουσιν αὐτὸ καλῶς καὶ συμπτώματος οὐδενὸς αἰσθάνονται περὶ τὸ δεξιὸν ὑποχόνδριον. ἐπεὶ δ' ἐστὶν ὅτε διὰ τὴν τῶν πολλῶν ὀλιγωρίαν οὐχ ὑπομενόντων ἀναγινώσκειν τὰ βιβλία, δι' ὧν ἐπὶ πλέον ὑπὲρ τῆς τῶν βοηθημάτων ὕλης λέλεκται μηκύνειν ἀναγκαζόμεθα πολλάκις, εἰκότως ἄν ἡμῶν καὶ νῦν συγγνοίη, περὶ τρόπου τῆς διδασκαλίας οὐ περὶ τὴν ἀκριβῆ βραχυλογίαν ἐπὶ ταῖς καθόλου μεθόδοις προερχομένην.

ἴσειον γε μὴν, ὡς ἀδύνατόν ἐστιν, ἀμέμπτως χρῆσθαι ταῖς γραφομέναις ὕλαις ἐκ μόνων τῶν τοιούτων λόγων, οἵους καὶ νῦν εἶπον ὑπὲρ οἴνου τε καὶ γάλακτος. ἀλλὰ χρὴ τὸν ἄριστα μεταχειριούμενον αὐτὰς, ἰδίᾳ πρότερον ὑπὲρ ἑκάστης μεμαθηκέναι τὸν οἰκεῖον λόγον, ἐν ᾧ τήν τε κοινὴν τῆς ὕλης δύναμιν ἐπισκεπτόμεθα, καὶ τὰς κατὰ μέρος ἐν αὐτῇ διαφορὰς ἄχρι τῶν ἐσχάτων εἰδῶν. οὐδὲ περὶ τῶν ἄλλων ἁπάντων ὅσα χρὴ γινώσκεσθαι τῷ μέλλοντι προνοήσασθαι γέροντος, ἄμεινον ἐν τῇδε τῇ πραγματείᾳ διέρχεσθαι μακρῶς. ἀλλ᾽ ἀρκεῖ περὶ μὲν ἐνίων ὅσα μάλιστα ἐστὶ χρήσιμα τοῖς πρεσβύταις, οὕτως εἰπεῖν ὡς νῦν εἴρηται περὶ γάλακτος καὶ οἴνου. περὶ δὲ ἐνίων, ἔτι βραχύτερον ἢ κατὰ ταῦτα διελθεῖν. ὥσπερ γε καὶ περὶ ἄλλων ὅλως μηδὲν εἰπεῖν, καί τοι τῷ γε μηκύνειν βουλομένῳ δυνατόν ἐστι, ἁπάντων μνημονεῦσαι ὅσα πλεονάζει τοῖς γέρουσιν ὧδέ πως λέγοντι. κάλλιον δὲ καὶ περὶ τῶν ἄλλων διελθεῖν ὅσα τοῖς πλείστοις τῶν γερόντων γίνεται. βράγχοι, καὶ κόρυζαι, καὶ λίθων γενέσεις ἐν νεφροῖς, ἀρθρίτιδές τε καὶ ποδάγραι, καὶ ἄσθματα, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα. πρὸς μὲν οὖν τοὺς βράγχους τε καὶ τὰς κορύζας, δίαιταν μὲν τήνδε, φάρμακα δὲ τάδε προσφέρεσθαι χρή. πρὸς δὲ τὰς τῶν λίθων γενέσεις ταῦτα. καθ᾽ ἕκαστον, τῶν ἄλλων οὕτως ἐπερχόμενος, ἐπιμελὴς εἶναι τις δόξει, καὶ περιττὸς εἰς ἐπιστήμην γηροκομικήν. ἀλλ᾽ ὥσπερ οὐδὲν τούτων χρὴ γράφειν ἐν συγγράμματι γηροκομικῷ, μεταφέρειν γε δυναμένων αὐτὰ τῶν γεγυμνασμένων ἐν ταῖς τῶν νοσημάτων θεραπείαις, οὕτως αὖ πάλιν οὐδ᾽ ἐπὶ μόνοις τοῖς κοινοῖς παύεσθαι. προειπόντα δ᾽ αὐτὰ, προσθεῖναι τινὰ τῶν κατὰ μέρος, ἃ μάλιστ᾽ ἐστὶν οἰκεῖα τῷ προκειμένῳ σκέμματι, καθάπερ ἡμεῖς ἐποιήσαμεν. ἐπειδὴ γὰρ ἐδείχθη τὸ γῆρας ἐν τοῖς περὶ κράσεων ὑπομνήμασιν ὁμολογουμένως εἶναι ψυχρὸν, οὐχ ὁμολογουμένως δὲ ξηρὸν, ἐνίων ὑγρὸν αὐτὸ φάσκων εἶναι, προσήκει δή πού λαβόντας ὑπόθεσιν εἰς τὸ γηροκομικὸν μέρος τῆς τέχνης, ὃ νῦν ἡμῖν πρόκειται τὰ δειχθέντα περὶ τῆς κράσεως αὐτοῦ, τὸν μὲν σκοπὸν αὐτῶν τῶν πραγμάτων, ἀπ᾽ ἐκείνης λαβεῖν. ἐπελθεῖν δ᾽ ἔνια τῶν κατὰ μέρος. τὰ μὲν, ἕνεκα τοῦ γυμνάσαι τὸν μαθητήν. τὰ δ᾽ ὡς παραδείγματα πρὸς τὴν τῶν οὐκ εἰρημένων εὕρεσιν γενησόμενα. διὰ τὸ μὴ πάντως οὕτως εἶναι συνετοὺς, ὡς ἐκ μόνου τοῦ καθόλου γνωσθέντος, ἐξευρίσκειν τὰ κατὰ μέρος, ἀλλὰ τοῦ ποδηγήσαντος ἐπ᾽ αὐτὰ προσδεῖσθαι. γεγυμνασμένος γάρ τις τὸν λογισμὸν, ἀκούσας τὸ τοῦ γέροντος σῶμα κατὰ μὲν αὐτὰ τὰ μόρια ψυχρὸν καὶ ξηρὸν, ἐμπίπλασθαι δὲ ῥᾳδίως ὀρρωδῶν τε καὶ φλεγματωδῶν περιττωμάτων δι᾽ ἀρρωστίαν τῆς δυνάμεως, ἐξοχετεύειν μὲν ταῦτα πειράσεται. τὰ στερεὰ δ᾽ αὐτὰ τοῦ σώματος μόρια θερμαίνειν τε καὶ ὑγραίνειν. ὅσοι δ᾽ ἐκ τοῦ τῶν περιττωμάτων πλήθους ἀπατηθέντες ἀδιορίστως ἀπεφήναντο τὴν τῶν γερόντων κρᾶσιν ὑπάρχειν ὑγρὰν οὗτοι παρὰ τὸν πρῶτον εὐθέως ἐσφάλησαν σκοπόν. ἡγούμενοι χρῆναι ξηραίνειν τὰ πρεσβυτικὰ σώματα, τῶν τε οὖν ἐδεσμάτων ὅσα ξηραντικὰ διδόασι μᾶλλον. οἷον ἐν μὲν τοῖς λαχάνοις, τὴν κράμβην, παρὰ τῆς μαλάχης καὶ βλίτου καὶ τοῦ λαπάθου, καὶ τῆς ἀτραφάξυος, καὶ τῆς θριδακίνης. ἐν δὲ τοῖς ὀσπρίοις τὴν φακὴν παρὰ πτισάνης, καὶ τὸν κέγχρον, παρὰ τοῦ κυάμου, καὶ τὸν ἔλυμον παρὰ τῆς ζειᾶς. ἐν δὲ τοῖς καρποῖσιν ἀμύγδαλα καὶ τερμίνθου σπέρμα μᾶλλον, ἢ κολοκύνθης τε καὶ σικύων, πέπονα καὶ κοκκύμηλα, καὶ μόρια. κρεῶν δὲ, τὰ τῶν ἀγρίων ζώων μᾶλλον, ἢ τὰ τῶν ἡμέρων, καὶ τὰ ταριχηρὰ τῶν προσφάτων. ἐν ὅλῃ τε τῇ διαίτῃ φεύγουσι μὲν ὡς ἡ δύναμις ὑγρὰ, προαιροῦνται δὲ διδόναι, τὰ ξηραίνοντα. καί τοι γε τοὐναντίον ἅπαν ἐστὶ ἀληθὲς, ὠφελουμένων ἐναργῶς τῶν γερόντων, ὑπὸ τῶν ὑγραινόντων ἐδεσμάτων. ἐπεὶ δ᾽ ἐξ αὐτῶν ἔνια ψυχρὰ ταῖς κράσεσιν ἐστὶν, καὶ διὰ τοῦτο φλέγμα γεννῶσιν ἐν τῇ γαστρὶ, καὶ κατὰ τὰς πρώτας φλέβας, ἐντεῦθεν οὖν ἔδοξαν εἶναι, βλαβερὰ τοῖς μήτε τὴν ὅλην κρᾶσιν ἐπισταμένοις τῶν γερόντων, μήτε τὸ κεφάλαιον τῆς διαίτης ὁρῶσιν, ὅτε γὰρ ἔλαιον αὐτοὺς, ὅτε λουτρὰ θερμὰ ποτίμων, ὅτ᾽ οἴνου πόσις ὠφελεῖ, μὴ δεομένους ὑγραίνεσθαι, καὶ μὴν καὶ τὸ μέτρια κινεῖσθαι καὶ τὸ χρήζειν ὕπνων, ἱκανὰ μαρτύρια τοῦ σκοποῦ τῆς διαίτης. ὥστε καὶ εἴποτε φλέγματος γεννηθέντος ἐξ ἀνάγκης ἑλοίμεθά τι τῶν τεμνόντων αὐτὸ, μετιέναι χρὴ ταχέως ἐπὶ τὴν ὑγραίνουσαν δίαιταν. οὕτω δὲ κἂν δι᾽ ὑποψίαν ἐμφράξεως ἐπί τι τῶν ἐκφραττόντων ἐδεσμάτων ἢ φαρμάκων ἀφικώμεθα, τοῦτο τὰ θρέψαντα τῶν σιτίων ὑγρᾶς εἶναι κράσεως, οὐ χρὴ παντάπασιν οὐδὲ κατ᾽ ἐκείνην αὐτὴν ἀποστῆναι τὴν ἡμέραν. πολὺ δὲ δὴ μᾶλλον ἐπὶ τῆς ὑστεραίας ἔχεσθαι προσήκει τοῦ σκοποῦ τόν τε χόνδρον ἅμα τῷ μέλιτι διδόντας, ἢ ὄξους αὐτῷ μιγνύντας, ὅταν ὡς πτισάνην σκευάζωμεν διὰ οἰνομέλιτος ἢ οἴνου φαλερίνου προσφέρεσθαι κελεύοντας, ἢ τῷ γάλακτι χρωμένους ὡς προεῖπον, ἢ πτισάνην καλῶς ἑψημένην πεπέρεως ἀκριβῶς χνοῦν ἐπεμβάλλοντας. οὕτω δὲ καὶ πέπειρα σῦκα παρὰ τῆς ἄλλης ὀπώρας αἱρετέον ἐστὶν καὶ κατὰ τὸν χειμῶνα τὰς ἰσχάδας ἄρτον τε προεσκευασμένον ὡς εἶπον ἢ μετὰ μέλιτος, ἢ μετ᾽ οἰνομέλιτος, ἢ μετά τινος οἴνου τῶν ἐπιτηδείων. ὡς παραδείγματα γὰρ ἕνεκα σαφηνείας λέγεται αὐτὰ τάδε πρός τε καὶ τοὺς ἀναγνόντας αὐτὰ, δύνασθαι κρίνειν τὴν ὕλην ὁμοίως ἀποβλέποντας εἰς τὸν καθόλου σκοπὸν, ὃν ἐν τῷ θερμαίνειν τε καὶ ὑγραίνειν ἔφην κεῖσθαι. ὅτι δὲ τά τε φλεγματώδη καὶ ὀρρώδη περιττώματα, κατὰ τὸ τῶν πρεσβυτέρων ἀθροίζεται σῶμα, τήν τε οὔρησιν ἐφ᾽ ἡμέρᾳ προτρέπειν χρὴ, μὴ διὰ τῶν φαρμακωδῶν. ἀλλὰ σελίνῳ, καὶ μέλιτι, καὶ οἴνοις οὐρητικοῖς. ὑπάγειν τε τὴν γαστέρα, δι᾽ ἐλαίου μάλιστα καταρροφοῦντας αὐτὸ πρὸ τῶν σιτίων. εὔδηλον δὲ ὅτι καὶ τὰ λαχανώδη πάντα πρὸ τῶν ἄλλων σιτίων ἐσθίειν χρὴ δι᾽ ἐλαίου τε καὶ γάρου. τὸ μὲν οὖν ἐφ᾽ ἡμέρᾳ διά τε τούτων ἱκανῶς ἐνίοις ἡ γαστὴρ λαπάττεται, καὶ σύκων ὁπότ᾽ εἴη, † καὶ κοκκυμήλων, ὅσα τ᾽ ἄλλα κατὰ θέρος καὶ φθινόπωρον ἀκμάζει. χειμῶνος δὲ, διά τε τῶν ἰσχάδων καὶ τῶν δαμασκηνῶν κοκκυμήλων, ἤτοι γ᾽ ἑψημένων, ἢ ἁπλῶς διαβεβρεγμένων ἐν μελικράτῳ, τὸ πλέον ἔχοντι μέλιτος. ἔστι δὲ τούτων καλῶς ἐὰν ἀττικὸν ἢ τὸ μέλι. πολύ γε τῶν δαμασκηνῶν ὑπακτικώτερα τὰ ἀπὸ τῆς ἰσπανίας ἐστὶ, καὶ τῶν ἐλαιῶν δὲ τῶν ἐκ τῆς ἅλμης ἐγχωρεῖ ποτὲ προλαμβάνειν. οὐ μὴν ἀλόην γε συμβουλεύω προσφέρεσθαι καθάπερ ὁρῶ πολλοὺς τῶν γερόντων, ὅσοις ἡ γαστὴρ ξηρά. τινὰς μὲν ἀναπλάττοντας εἰς καταπότια, καὶ χυλῷ κράμβης. ἔνιοι δὲ καὶ μόνης αὐτῆς λείας ἐπιπάττοντες ὑγρῷ τινὶ, καὶ γὰρ καὶ τούτῳ τισὶ μὲν ὕδωρ ἐστὶ, τισὶ δὲ μελίκρατον. ὅσοι δ᾽ ἐξ αὐτῶν πλούσιοι τὴν μετὰ τοῦ κινναμώμου σκευαζομένην ἀλόην λαμβάνουσιν. ὀνομάζουσι δὲ τὸ φάρμακον, ἔνιοι μὲν, ἱερὰν τὴν δι᾽ ἀλόης. ἔνιοι δὲ πικράν. ἔχουσι δὲ τινες ξηρὸν ὡς ἐπιπάττειν τῷ ποτῷ. τινὲς δὲ μετὰ μέλιτος ἀνέφθου μετ

† al. πέπειρα

ἀνέφθου μετρίως ἀναληφθείς. ἀλλ' οὐδ' ὅλως τούτων ἐστὶ χρεία τοῖς γέρουσιν, ὅτι μὴ μεγάλης ἀνάγκης καταλαβούσης. ὑπακουούσης μὲν γὰρ τοῖς εἰρημένοις τῆς γαστρός, εἰ καὶ μὴ καθ' ἑκάστην ἡμέραν ἀλλὰ παρὰ μίαν, οὐδὲν ὅλως χρὴ φαρμακῶδες προσφέρειν. εἰ δὲ μὴ διὰ τρίτης ὑπέλθοι δυοῖν ἡμερῶν ἐπισχεθεῖσα, τηνικαῦτα καὶ λινοζώστεως αὐτάρκης ἐστὶ, καὶ ἡ καλουμένη θαλασσοκράμβη καὶ κνῆκος ἐπὶ πτισάνῃ διδόμενος, ὅσα τ' ἄλλα μετρίως φαρμακώδη, καθάπερ οὖν καὶ ἡ τερμινθίνη ῥητίνη, λαμβάνουσι δὲ αὐτῆς ἐνίοτε μὲν, καρύου ποντικοῦ μέγεθος, ἐνίοτε δὲ καὶ δυοῖν ἢ τριῶν, οὐ μόνον γὰρ ἀλύπως λαπάττειν πέφυκεν, ἀλλὰ καὶ τὰ σπλάγχνα πάντα διαῤῥύπτειν, ἧπαρ καὶ σπλῆνα καὶ νεφροὺς, καὶ πνεύμονα. ποικίλως δὲ χρῆσθαι δεῖ τοῖς εἰρημένοις, οὐχ ἓν ἐπιλεξαμένους ἐκεῖνο μόνον προσφέρεσθαι. συνήθης γὰρ ἐν τῷ χρόνῳ τοῦ λαμβάνοντος ἡ φύσις αὐτῶν γινομένη, καταφρονεῖ τῆς τοῦ φαρμάκου δυνάμεως. ὑπαλλάττειν οὖν χρὴ τοῖς εἰρημένοις, καὶ πρὸς αὐτοῖς τὸ διὰ τῶν ἰσχάδων σκευαζόμενον, ἔστωσαν δὲ λιπαραὶ, καὶ ἀφαιρείσθω τὸ περικείμενον αὐταῖς ἔξω δέρμα. ἐπὶ τὸν αὐτὸν δὲ τρόπον, καὶ τοῦ κνίκου εἶτ' ἄμφω μιγνύμενα κοπτέσθω. τῷ σταθμῷ δ' ἔστω διπλασία τοῦ κνίκου ἡ ἰσχάς. ἔξεστι δὲ κἀνταῦθα στοχαζομένους τοῦ φαρμάκου ὡς ἔχει πρὸς τὴν τοῦ λαμβάνοντος φύσιν. ἐνίοτε μὲν ἐλάττω, ἐνίοτε δὲ πλέον μιγνύναι, τοῦ κνίκου. λαμβάνειν δὲ τὸ μέγεθος ἰσχάδων δυοῖν ἢ τριῶν. ἐξ αὐτῆς δὲ ὡς εἶπον τῆς πείρας ἑαυτῷ τις εὑρήσει τὸ μέτρον ἐπὶ τῶν τοιούτων ἁπάντων. ἐνίοις μὲν γὰρ μᾶλλον, ἐνίοις δ' ἧττον ὑπακούσει τοῖς φαρμάκοις, ἡ γαστήρ. ἀλλ' ἱκανῶς γε δαψιλὲς οὐδέν ποτε χρὴ τῶν εἰρημένων φαρμάκων. ἐν μὲν γὰρ τῷ παραχρῆμα χαίρουσιν ἔνιοι σφοδρῶς κενωθέντες. ὅσῳ δ' ἂν μᾶλλον κενωθῶσι, τοσούτῳ μᾶλλον αὐτοῖς ἡ γαστὴρ ἴσχεται, ἐπὶ τὰς ἐφεξῆς ἡμέρας. διὰ τοῦτο δ' ἐγὼ καὶ τοὺς ἐν νόσοις χρονίοις τὴν κοιλίαν ἐπεχομένους, ὁποῖαι μάλιστα ἐπὶ χειμῶνα γίνονται πολλοῖς, καὶ μετὰ μακρὰν ἀῤῥωστίαν ἐν ταῖς ἀναλήψεσιν ὁμοίως ἐνοχλουμένους, οὐ κλύζω δριμέσι κλύσμασιν, ἀλλ' ἔλαιον ἐνίημι μόνον. ὅπερ οὐδὲν κωλύει καὶ τοῖς ὑγιαίνουσιν ἐγχεῖν ἐνίοτε τῆς γαστρὸς ἐπισχεθείσης, καὶ γὰρ διαβρέχεται τὰ σκληρὰ τῶν περιττωμάτων, καὶ λεῖος ὄλισθος ἐν τῇ διόδῳ γίγνεται, καὶ τὸ σῶμα τῶν γερόντων αὐτὸ μαλάττεται, ταῖς σκληραῖς ὁμοίως διφθέραις ἐσκληρυμμένον. ἀλλ' οὐδὲ ταῦτα τοῦ γέροντος ᾗ γέρων ἐστὶν ἴδια, καὶ γὰρ καὶ τοῖς ἐκ νοσημάτων μακρῶν ἀνακομιζομένοις συμφέρει. τί τοίνυν ἴδιον ἐστὶ τοῦ γέροντος ᾗ γέρων ἐστί; τὸ τῇ κράσει συμφέρον. αὕτη γάρ ἐστι δι' ἣν καὶ γηρῶμεν ἄλλος ἐν ἄλλῳ χρόνῳ πρωϊαίτερον, ἢ ὀψιαίτερον ὡς ἂν καὶ φύσεως ἔχωμεν ἐξ ἀρχῆς, ἢ ἐπιτηδεύμασι, ἢ δίαιταν, ἢ νόσους, ἢ φροντίδας, ἤ τι τοιοῦτον ξηρανθέντες ἀμετρότερον τύχωμεν. ἔστι μὲν γὰρ ὅ γε κυρίως ἅπαντες ἄνθρωποι γῆρας ὀνομάζουσι, ἡ ξηρὰ καὶ ψυχρὰ κρᾶσις τοῦ σώματος ἐκ πολυετείας γινομένη. συμβαίνει δέ ποτε καὶ διὰ πυρετῶδες νόσημα, καὶ καλοῦμεν αὐτὸ ἐκ νόσου γῆρας, ὡς ἐν τῷ περὶ μαρασμοῦ λέλεκται γράμματι. μαρασμὸς γάρ τοι καὶ ἡ τοιαύτη διάθεσις ἐστὶ, οὐκ ἐν ζώοις μόνον, ἀλλὰ καὶ φυτοῖς γιγνομένη. γέγραπται δὲ ἐπὶ τὸ πρῶτον βιβλίον τῆσδε τῆς πραγματείας, ἡ ἀναγκαία τοῦ γήρως γένεσις ἐκ τε οὖν ἐκείνων κἀξ ὧν ἐν τοῖς περὶ κράσεων εἴρηται καὶ περὶ δὲ τοῦ μαρασμοῦ γράμματος, οὐ πορρώτερος δῆλος εἰς τὸ γηροκομικὸν μέρος τῆς τέχνης γυμνασθείη. σύγκειται γὰρ ἅπασα πρόνοια σωματικῆς διαθέσεως, ἔκ τε τοῦ γινώσκειν αὐτῆς τὴν οἰκείαν οὐσίαν καὶ τὰς τῆς τῶν βοηθημάτων ὕλης τὰς δυνάμεις. οἷον εὐθέως ἐπὶ τοῦ προκειμένου νῦν ἡμῖν τοῦ γήρως ὄντος τὴν διάθεσιν ἐπιστημονικῶς, ὅτι ξηρότης ἐστὶ μετὰ ψύξεως, ἐὰν ἐκμάθῃ τὰς ὑγραινούσας ὕλας καὶ θερμασίας τῶν βοηθημάτων, ἀγαθὸς ἂν ἰατρὸς εἴη γερόντων. οὐσῶν δὲ τεττάρων ὑλῶν ἐπὶ γένος, ἃς ὀνομάζουσι προσφερομένων καὶ ποιουμένων καὶ κενουμένων καὶ προσπιπτόντων ἔξωθεν. ἐκλέγεσθαι προσήκει καθ' ἑκάστην αὐτῶν, τὰ θερμαίνειν τε καὶ ὑγραίνειν δυνάμενα. ἡ δὲ πρὸς τὴν οἰκείαν ἑκάστου χρῆσιν, ἡ ἐπὶ τῶν παραδειγμάτων ἄσκησις ὠφελιμωτάτη. οἶδα δέ ποτε θώρακα παιδὸς ἀπολειπόμενον οὐκ ὀλίγῳ τῆς τῶν ἄλλων συμμετρίας μορίων, αὐξήσας τὸ μέτρον ἐκ τοιαύτης ἰδέας βοηθημάτων. ἐζώννυον μὲν αὐτοῦ τὰ ἐπὶ τοῦ θώρακος ἅπαντα μέχρι τῶν ἰσχίων, ζώνῃ συμμέτρῳ πλατείᾳ, οὕτω περιβάλλων ὡς ἐρείδεσθαι μὲν ἀλύπως, μήτε δὲ χαλαρὸν ἀπολιπεῖν τι, μήτε πιέζεσθαι. γυμνάσια δὲ τά τε δι' ὅλων τῶν χειρῶν ἐπιτηδευόμενα, καὶ τὰς καλουμένας ὑπὸ τῶν φωνασκῶν ἀναφωνήσεις παρελάμβανον. ἐφ' ἑκατέροις δὲ κατάληψιν πνεύματος ἐκέλευον ποιεῖσθαι, γίγνεται δ' αὕτη σφοδρῶς μὲν θλιβόντων ἡμῶν ἐκ παντὸς μέρους τὸν θώρακα, τὴν δ' ἐκπνοὴν κατεχόντων, ὡς ἐπέχεσθαι πᾶν ἔνδον τὸ πνεῦμα, τὸ διὰ τῆς εἰσπνοῆς φθάνον ἑλκύσασθαι. διὸ καὶ πλεῖον εἰσπνευστέον ἐστὶ τῷ μέλλοντι καλῶς τοῦτο δρᾶσαι. ὅσῳ γὰρ ἂν εἴη πλείων ὁ θλιβόμενος ἀὴρ, τοσούτῳ μᾶλλον ὁ θώραξ εὐρύνεται διατεινόμενος. ὅτι δὲ καὶ τὰς ἀναφωνήσεις ἐν μεγέθει τε καὶ τῇ κατ' ὀξύτητα τάσει τῆς φωνῆς ποιητέον ἐστὶν ἐπὶ τούτων, οὐκ ἄδηλον εἴγε δὴ πρόκειται γυμνάζειν ἰσχυρῶς πάντα τοῦ θώρακος τὰ μόρια. ταῦτα μὲν οὖν ἐπὶ τῶν αὐξανομένων σωμάτων εἰς συμμετρίαν ἄγει τὰ φύσει κακῶς διαπεπλασμένα. μέτρια δὲ καὶ τοὺς ἤδη τελείους ὠφελήσει. οὐ μὴν ἐπί γε τῶν πρεσβυτῶν ἐπιχειρήσεις ἔργῳ τοιούτῳ. βέλτιον γὰρ ἐπ' ἐκείνων ἡσυχάζειν τοῖς ἀσθενέσι μορίοις ἔργων. βέλτιον δὲ καὶ τὸ διὰ τῶν συνήθων ἐπιτηδευμάτων γυμνάζειν. εἰ καὶ βλαβερὰ μετρίως εἴη τοῖς γε μὴν νέοις ὑπαλλάττειν πειρᾶσθαι τὰ βλάπτοντα, κἂν ἐκ παιδὸς ᾖ συνηθέστατα. δύναται γὰρ ἡ δύναμις αὐτῶν ὑπομεῖναι τὴν μεταβολὴν ἐν μέτρῳ γινομένην, ἐλπίς τ' ἐστὶ τῷ λοιπῷ χρόνῳ τῆς ζωῆς ὀνήσασθαί τι πρὸς τῶν ἀμεινόνων ἐπιτηδευμάτων. ὁ δὲ γέρων εἰ δυνηθείη χρόνῳ συχνῷ ἐπὶ βραχὺ μεταστῆναι τῶν φαύλων ἐθῶν, οὐδ' ἐν ᾧ χρόνῳ χρήσεται τοῖς βελτίοσιν, ἕξει. συμβήσεται δ' αὐτῷ πονῆσαι μάτην, ὥσπερ εἰ καὶ τέχνην ἄρχοιτο μανθάνειν ὀγδοηκοντούτης τις ὤν. ὥσπερ δὲ τῶν γερόντων αὐτῶν, οὐ σμικρά τις ἐστὶ διαφορὰ πρὸς ἀλλήλους εἴτε ἐπὶ τὴν ἡλικίαν αὐτὴν, εἴτε ἐπὶ τὴν διάθεσιν τοῦ σώματος, οὕτω καὶ τῶν φύσει ξηροτέρων τε ἅμα καὶ ψυχροτέρων ὡς πρὸς τὸν σύμμετρον παραβάλλειν, οὐκ ὀλίγον τοὐν μέσῳ τῆς δυσκρασίας ἐστὶ, πρὸς ἀλλήλους τε καὶ τοὺς γέροντας. ὑγραίνειν μὲν οὖν αὐτοὺς δηλονότι καὶ θερμαίνειν προσήκει. θαῤῥαλεωτέρων δὲ ταῦτα πράττειν διὰ τὴν ἡλικίαν ἀνεχομένους ἰσχυρῶν γυμνασίων ὡς ἂν ἐῤῥωμένους ἔτι τῆς δυνάμεως. ὁ γάρ τοι πρῶτος σκοπὸς ἀφ' οὗ τὴν ἔνδειξιν τῶν ἰαμάτων λαμβάνομεν, ἡ τοιάδε δυσκρασία τοῦ σώματός ἐστιν, τὸ γῆρας ἢ ὅλως ἡλικία τις. ἀλλ' ἐπειδὴ στοχαστικῶς ἡμῖν τὸ τῶν διαθέσεων μέτρον λαμβάνεται, διὰ τοῦτο καὶ τὴν ἡλικίαν ἐπισκοποῦμεν. ἡ δ' αὐτὴ χρεία καὶ τῆς τῶν ἐθῶν γνώσεώς ἐστι, καὶ τῆς τῶν προκαταρκτικῶν ὀνομαζομένων αἰτίων. εἰς γὰρ τὴν τῆς δια-

θέσεως ἀκριβεστέραν γνῶσιν, ἐκ τῶν τοιούτων ἁπάντων ὠφελούμεθα. τῶν δ' ἰαμάτων ἡ ἔνδειξις οὐκ ἐκ τούτων γί-
νεται. περί γε μὴν ἐμπειρικῷ μέρος τῆς ὅλης συνδρομῆς ἐστὶ καὶ τὰ τοιαῦτα τετηρημένης ἐπ' αὐτοῖς τῆς θεραπείας,
οὐκ ἐνδεικτικῶς εὑρισκομένης. εἰκότως τοιγαροῦν Ἱπποκράτης τὰ πλεῖστα περὶ διαγνώσεων καὶ προγνώσεων ἔγρα-
ψε, γυμνάζων ἡμᾶς ἐν τοῖς κατὰ μέρος. οἵ τ' ἄριστοι μετ' αὐτὸν ἰατροὶ ὡσαύτως ἔπραξαν. εὖ εἰδότες ὡς περὶ γνόν-
τι τὴν διάθεσιν ἀκριβῶς τοῦ σώματος ὃ μεταχειριζόμεθα ὑγιαῖνον, ἢ νοσοῦν, οὐ χαλεπῶς εὑρίσκεται τὰ βοηθήμα-
τα. χρὴ γὰρ ὡς εἴρηται πολλάκις, ἄρχεσθαι μὲν ἀπὸ θεραπευτικοῦ παραγγέλματος, τοῦ τὰ ἐναντίων ἰάματα. τῆς δ'
ὕλης τῶν βοηθημάτων ἐπιστήμονα γιγνόμενον ὡς ἐκμάθῃ αὐτῆς τὰς δυνάμεις ἀεὶ προσφέρειν ἅπαντι σώματι τῷ
μὴ φαύλως διακειμένῳ τἀναντία, τῷ δ' ἄριστα κατεσκευασμένῳ τὰ παραπλήσια ταῖς δυνάμεσι. καὶ τοίνυν καὶ
τὰς δυσκρασίας αὐτὰς ὅσαι κατὰ τὸ τῆς ὑγείας ἔτι πλάτος εἰσὶν ἐπανορθοῦσθαι μὴ βουλόμενος, ὑπεναντίως διαιτή-
σεις. ὅπερ ἐπὶ πολλῆς γίνεται χολῆς, ἐν ἀσχολίᾳ δ' οὖσι, διὰ τῶν ὁμοίων ὑπηρετήσεις, καὶ μάλιστα ὅταν οὕτως ὦσιν εἰθι-
σμένοι. συμβαίνει δ' ὡς τὰ πολλὰ θάτερον τούτων μᾶλλον, ὡς ἂν τῶν φύσεων ἀδιαλάκτως αἱρουμένων τὰ οἰκεῖα,
καὶ μέχρι γε τοσούτου προσφερόμεθα αὐτά, μέχριπερ ἂν εἰς τὴν ἀρχαίαν ἐπανέλθωσι κατάστασιν. ἡ δέ γ' ἐπανορ-
θουμένη τὴν δυσκρασίαν δίαιτα, περαιτέρω προέρχεται τὰ πολλά. διὸ καὶ τοῖς οἰκείοις νοσήμασιν ἁλισκόμεθα
πλείοσι. τοῦ μὲν φύσει θερμοτέρου ῥαδίως τὰ θερμὰ νοσήματα νοσοῦντος. τοῦ δὲ ψυχροτέρου, τὰ ψυχρά, καὶ τῶν ἄλλων
ὡσαύτως. ἐπανορθοῦται τοιγαροῦν θᾶττον εἰς τὴν ἰδίαν φύσιν ἕκαστον τῶν δυσκράτων σωμάτων ἤπερ ἐπὶ τὴν ἀρί-
στην κρᾶσιν. ἐν περὶ μεσαιτάτῳ γὰρ αὕτη πασῶν ἐστι τῶν δυσκρασιῶν, ἐὰν μὴ οἰκείῳ τις ἁλῷ τῇ φύσει νοσήματι,
πλέον ἀφεστηκυῖα. ἐὰν δ' οὐκ οἰκείῳ, βραχύτερον. οὔκουν οὐδὲ τὰ ἔθη μεταβλητέον ἐστί, κἂν τῇ μοχθηρᾷ δυσαρεστουμέ-
νων ἔτι τῶν σωμάτων. † ἀλλ' ἐν ταῖς ἀκριβεστέραις ὑγείαις, οὐκ ἀεὶ τοῦτο πρακτέον, ἀλλ' ὅταν ἀπὸ τῶν πολιτικῶν πρα-
γμάτων ἄγῃ σχολὴν ὁ μέλλων μεταχθήσεσθαι. ταῦτ' οὖν ὄντα κοινὰ παραγγέλματα πασῶν τῶν κράσεων ὑπαλ-
λάττεται κατὰ μέρος, εἰς ὅσον ἂν ἑκάστη δυσκρασία τῆς ἄκρας εὐκρασίας ἀπολείπηται, καὶ θαυμαστὸν οὐδὲν ἐστὶ τὰς
δυσκράτους φύσεις ἐν τῷ μέσῳ καθεστηκυίας ἀκριβῶς ὑγείας ἀναισθήτου τε νοσήματος ἐπαμφοτερίζειν καὶ περὶ τρό-
πον τῆς διαίτης. οὐ μὴν οὐδὲ τὸ φαίνεσθαι τοὺς ἀνθρώπους ὑπὸ τῶν αὐτῶν ὠφελουμένους τε καὶ βλαπτομένους, θαυμα-
στόν. εἰ μὲν γὰρ ἅπαντες ὁμοίαν ἀλλήλοις εἶχον κατασκευήν, τότ' ἂν ἦν θαυμαστὸν ὑπὸ τῶν ἐναντίων ἐνίους ὠφε-
λεῖσθαι βλαπτομένους ὑπὸ τῶν αὐτῶν. ἐπεὶ δ' ἐναντίαι πολλῶν τῶν ἀνθρώπων εἰσὶν κατασκευαὶ τοῦ σώματος, εὔλο-
γόν ἐστι καὶ τὴν ὠφέλειαν αὐτοῖς ὑπὸ τῶν ἐναντίων γίνεσθαι. διὸ καὶ θαυμάσειεν ἄν τις ἁπάντων τῶν ἰατρῶν, ὅσοι
γράφειν ἐπεχείρησαν ὑγιεινὰ συγγράμματα, μὴ διελομένων περὶ λόγῳ τὰς φύσεις. ὥσπερ γὰρ ἑνὶ καλοποδίῳ
πρὸς ἅπαντας ἀνθρώπους ἀδύνατον χρῆσθαι τοῖς σκυτοτόμοις, οὕτω τοῖς ἰατροῖς ἰδέα βίου συμφέρουσα μία. διὰ τοῦτο
οὖν ἐνίοις μὲν ὑγιεινότατον εἶναί φασι τὸ γυμνάζεσθαι καθ' ἑκάστην ἡμέραν ἱκανῶς, ἐνίοις δὲ μηδὲν κωλύειν, εἰ καὶ παν-
τάπασί τις ἐν ἡσυχίᾳ διατρίβει, καὶ λούεσθαι τοῖς μὲν ὑγιεινότατον εἶναι δοκεῖ, τοῖς δ' οὔ. καὶ πίνειν ὕδατος καὶ οἴνου,
καὶ περὶ τῶν ἄλλων ὡσαύτως. οὐ μόνον ὑγιεινῶν διαιτημάτων, ἀλλὰ καὶ τῶν τοῖς νοσοῦσι προσφερομένων ἰαμά-
των, ἐναντιώτατα γράφουσιν ἀλλήλοις. ὡς ἀδύνατον εὑρεῖν ὁμολογούμενον ἕν τι πᾶσι αὐτοῖς. ἥ γε μὴν πεῖρα δεί-
κνυσιν ὑπό τε τῶν αὐτῶν ἐνίους βλαπτομένους τε καὶ ὠφελουμένους ὑπό τε τῶν ἐναντίων ὡσαύτως. οἶδα γ' οὖν τινάς,
οἳ τρεῖς ἡμέρας ἀγύμναστοι μείναντες, εὐθέως νοσοῦσιν, ἀγυμνάστους δ' ἑτέρους ἀεὶ διατελοῦντας, ὑγιαίνοντας δέ.
καὶ τούτων ἐνίους μὲν ἀλούτους, ἐνίους δ' εἰ μὴ λούσαιντο, πυρέττοντας αὐτίκα. καθάπερ ὁ Μιτυληναῖος Πριμιγέ-
νης. ὅτι μὲν οὖν οὕτως φαίνεται ταῦτα γιγνόμενα, καὶ οἱ τῇ πείρᾳ μόνῃ τὴν τέχνην ἀθροίζοντες ἴσασιν. οὐ μὴν
ἔγραψέ γέ τις αὐτῶν γνωρίσματα καθάπερ ἐπὶ τῶν νοσημάτων οἷς προσέχοντες εὑρήσομεν ὁποίας ἕκαστος
δεῖται διαίτης. ὑπ' ὀλιγίστων γὰρ ἐστιν εὑρεῖν τὰς καλουμένας ὑπὸ τῶν ἐμπειρικῶν συνδρομὰς ἠκριβωμένας.
ὡς ἐν περιπνευμονίᾳ τε καὶ πλευρίτιδι. τὰ δὲ πλεῖστα νοσήματα, στοχαστικὴν ἔχει διάγνωσιν, ὡς οὐκ ἐξ ἀθροί-
σματος ὡρισμένων συμπτωμάτων γινωσκόμενα, ἀλλ' ἀνδρὸς δεόμενα ἀκριβῶς ἐπισταμένου τὴν διάθεσιν τοῦ σώμα-
τος, εὑρίσκειν δ' ἱκανοῦ τὰ κατὰ μέρος ἁπάντων τὰ τῇ τοιαύτῃ συμφωνοῦντα. τὸ γ' οὖν προκείμενον αἱ τῷ περὶ
λόγῳ προσηνεχθέντες ἡμεῖς εὕρομεν ἔτι νέοι τὴν ἡλικίαν ὄντες. ᾧ καὶ δῆλον ὡς ἡ μακρὰ πεῖρα χωρὶς λόγου τὰ
τοιαῦτα εὑρίσκειν ἀδύνατος. ἐπὶ γ' οὖν τοῦ Πριμιγένους ἀκούσας ὅτι πάντως πυρέττοι μὴ λουσάμενος, ἐλογισά-
μην αὐτῷ καπνώδη περιττώματα γεννᾶσθαι, διαπνεῖσθαι δεόμενα. πυκνοτέρου τοῦ δέρματος ὄντος καὶ ὡς ἐπιτρέ-
πειν αὐτοῖς κενοῦσθαι πᾶσιν ἀθροιζομένοις ὑπὸ περὶ δέρματι θερμασίαν γεννᾶν. διὸ καὶ τὰ λουτρὰ χρησιμώτατα
ταῖς τοιαύταις φύσεσιν, οὐ μόνον τῷ κενοῦν τὸ καπνῶδες, ἀλλὰ καὶ τῷ τέγγειν, ὑγρότητι γλυκείᾳ. καταμαθεῖν
οὖν ἔδοξέ μοι πλατεῖαν ἐπιβαλόντι τὴν χεῖρα τῷ θώρακι τοῦ Πριμιγένους, ὁποία τίς ἐστιν ἡ τῆς θερμασίας ποιό-
της, ὡς δὲ δριμεῖα καὶ δακνώδης εὑρέθη, παραπλησίως τοῖς κρόμμυα προσενηνεγμένοις δαψιλῆ, πολὺ δὴ
μᾶλλον ἔτι τὴν αἰτίαν τοῦ γιγνομένου καλῶς εἰρῆσθαι μοι πεισθείς, ἐπυθόμην εἴ τινες ἱδρῶτες αὐτοῦ γίγνοιντο
χωρὶς τοῦ λουτροῦ, καὶ φάντος μὴ γίγνεσθαι, βεβαιοτέραν γνῶσιν ἐπειράθην ἔχειν τῆς διαθέσεως αὐτοῦ, καὶ μὴν δή,
καὶ τοὺς ἄλλους τινὰς εἶδον ὁμοίως μὲν ἐκείνῳ δακνῶδες ἔχοντας τὸ θερμόν, οὐ μὴν ἐπ' ἀλουσίᾳ γε μιᾷ πυρέττον-
τας. ἐπειδὴ δι' ἱδρώτων αὐτοῖς ἐκενοῦτο τὰ περιττώματα. τῷ Πριμιγένει δὲ πρὸς τῇ φυσικῇ κατασκευῇ καὶ
ὁ τρόπος τῆς διαίτης αἴτιος ἦν τοῦ πυρέττειν ἐπ' ἀλουσίᾳ μιᾷ, διατρίβοντι τὸ πλεῖστον ἐπὶ τῆς οἰκείας, ἐν ᾗ γρά-
φων ἢ ἀναγινώσκων διετέλει, διὰ τὸ προσκεῖσθαι θεωρίᾳ περιπατητικῇ. καθ' ἣν οὐδενὸς ἦν δεύτερος τῶν κατ'
αὐτόν. ἴσμεν δ' ὅτι καὶ τοῖς μὴ κατὰ φύσιν τοιοῦτον γεννῶσι περίττωμα, φιλοπονία καὶ φροντὶς αἴτιαι γίνονται τῆς γενέ-
σεως αὐτοῦ, διόπερ ἕτερον ἄνθρωπον ὁμοίως ἐκείνῳ τὴν θερμασίαν ἔχοντα δακνώδη. συνέβαινε μὴ πυρέττειν
μετὰ μίαν ἡμέραν ἀλουσίας, ἐπειδὴ μήτε φροντιστὴς ἦν, αἵ τε πράξεις αὐτῷ κατὰ τὴν πόλιν ἐγίγνοντο περιπα-
τοῦντι πολλὰ καὶ ὠνουμένῳ, καὶ πιπράσκοντι, καὶ μαχομένῳ πολλάκις ἐν οἷς ἱδροῦν ἠναγκάζετο. διὰ τοῦτο ἕτερόν
τινα τῶν νοσούντων καθ' ἕκαστον θέρος ὀξύ, καὶ χολῶδες νόσημα παμπόλλων ἐτῶν ἤδη τελέως ἄνοσον ἐφύλα-
ξα γυμνάζεσθαι κωλύσας. θερμὸς γὰρ ὢν καὶ ξηρὸς τὴν κρᾶσιν ὁμοίως τῷ Πριμιγένει, γυμνασίοις τε συντόνοις
ἐχρῆτο

al. ἀλλ' οὐδὲν

ἐχρῆτο καὶ ἡλίῳ καὶ κόνει. συνέβαινεν οὖν αὐτῷ τὴν μὲν θερμασίαν ἀμετροτέραν αὐξάνεσθαι, πυκνοῦσθαι δὲ τὸ δέρμα, καὶ δυσδιάπνευστον γίνεσθαι. συνελθόντων δὲ εἰς ταυτὸν ἀμφοτέρων ἕτοιμον ἤδη πυρέξαι τῷ ταῦτα πάσχοντι σώματι. ὅπερ οὖν ἐπὶ τῆς ἰατρικῆς τέχνης εἴωθα λέγειν ἀεὶ, τοῦτο καὶ νῦν ἐρῶ. τάχιστα μὲν ὁ λογισμὸς ἐνδείκνυται τὰ ζητούμενα, βεβαιοῖ δὲ τὴν πίστιν αὐτῶν ἡ πεῖρα, καὶ τό γε θαυμασιώτερον Ἱπποκράτους εἰρηκότος. ὡς ταῖς θερμαῖς φύσεσιν ἄμεινον ἀργεῖν ἐστὶν ἢ γυμνάζεσθαι, παμπόλλους τῶν ἰατρῶν ἰδεῖν ἐστι, μὴ δὲ γινώσκοντας οἵτινές ποτε εἰσὶν οἱ τοιοῦτοι τῶν ἀνθρώπων, ἀλλ' ἑξῆς ἅπασι γυμνάσια προστάττοντας. ὥσπερ αὖ πάλιν ἄλλους οὐκ ὀλίγους ἰατροὺς οὐδὲν ἐκ γυμνασίων πλέον εἰς ὑγείαν ἡγουμένους γίνεσθαι. καὶ πρὸς τούτοις γε τρίτους ἄλλους, τοῖς μὲν εἰθισμένοις γυμνάζεσθαι συγχωροῦντας, εἴργοντας δὲ τοὺς ἀήθεις ἀπὸ τῶν γυμνασίων. ἅπαντες μὲν οὖν ἁμαρτάνουσιν, ἀλλ' οἱ τρίτοι ῥηθέντες, ἧττον. οἱ πλείους γὰρ τῶν ἐθιζόντων ὁποιονοῦν ἔθος οἰκεῖον αἱροῦνται τῇ φύσει, διὰ τὸ βλαπτόμενοι πολλάκις ὑπὸ τῶν οὐκ οἰκείων, ἀφίστασθαι. τινὲς δ' ἤτοι νικηθέντες ὑφ' ἡδονῆς, δι' ὑπερβάλλουσαν ἄνοιαν οὐκ αἰσθανόμενοι τῆς βλάβης ἐμμένουσι τοῖς κακοῖς ἔθεσιν, ἀλλ' οὗτοι μὲν ὀλίγοι, πλείους δέ εἰσιν οἱ μεθιστάμενοι. διὸ καὶ τοὺς ἰατροὺς ἧττον ἁμαρτάνειν εἰκός ἐστιν ὅσοι διαφυλάττειν ἀξιοῦσιν ἅπαν ἔθος. ὅσοι μέντοι νομίζουσι μηδὲν διαφέρειν εἰς ὑγείαν γυμνάσιον προσαιρεῖσθαι γυμνασθέντα σιτίον, καὶ ὅσοι πάντας ἀξιοῦσι γυμνάζεσθαι, πλείω βλάπτουσι τῶν προειρημένων. αὐτῶν δὲ τούτων ἀλλήλοις παραβαλλομένων, ἧττον βλάπτουσιν, οἱ πρὸ τῶν σιτίων, ἀεὶ γυμνάζεσθαι ἐθέλοντες. οἴονται δ' ἔνιοι καὶ Ἱπποκράτην παραινεῖν, πόνους γὰρ σιτίων ἡγεῖσθαι κατὰ τοὺς ἀφορισμοὺς, μὴ γινώσκοντας ὡς περὶ τάξεως νῦν ὁ λόγος αὐτῷ ἐστι τῶν γυμνασίων τε καὶ σιτίων, οὐ τοῦτο λέγοντι ὡς ἐπὶ πάντων ἀνθρώπων ἄμφω χρήσιμά ἐστιν, ἀλλ' ὡς ἐφ' ὧν συμφέρει γυμνάσια, προηγεῖσθαι χρὴ τῶν σιτίων. ὅτι δ' οὐ πᾶσι συμφέρει, διά τε τῶν ἐπιδημιῶν ἐδήλωσε σαφῶς. τὰς θερμὰς φύσεις ἀξιῶν ἐλινύειν. ἐν δὲ τοῖς ἀφορισμοῖς δυνάμει, διὰ τοῦ δηλῶσαι καθόλου, τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα. δύναται δέ ποτε καὶ διαφωνίας φαντασία γενέσθαι ἐπὶ τὰ τοιαῦτα παραγγέλματα. ἐνίων μὲν ἅπασαν κίνησιν σύμμετρον τοῦ κινουμένου σώματι, γυμνάσιον ὀνομαζόντων. ἐνίων δὲ τὴν σφοδροτέραν μόνην. ὥστε ἐπὶ μὲν τὸ πρότερον σημαινόμενον, ἅπαντας ἀνθρώπους δεῖσθαι γυμνασίων, καὶ τοῦτο δῆλον πάντη. ἐπὶ δὲ τὸ δεύτερον οὐκ ἀληθές. τῶν γὰρ ἐν ταῖς εἱρκταῖς ὑγιαινόντων οὐκ ὀρθῶς μοι δοκοῦσιν ἔνιοι μεμνῆσθαι. διαφθείρονται γοῦν οὗτοι πάντως ἐν τῷ χρόνῳ, κωλυόμενοι παντάπασιν ἀλείφεσθαί τε καὶ λούεσθαι. τὸ δὲ πρὸς ὀλίγας ἡμέρας ἀντέχειν αὐτοὺς τῇ νοσώδει διαίτῃ, θαυμαστὸν οὐδέν. εἴπερ οὖν ἅπασα κίνησις ὑπὸ τῶν τοῦ γυμνασίου προσηγορίαν ἄγοιτο, καὶ ὁ περιπατήσας καὶ ὁ τριψάμενος καὶ ὁ λουσάμενος γεγυμνάσθαι λέγοιτο, ἐὰν συμμέτρως κινηθῇ τῇ παρούσῃ τοῦ σώματος καταστάσει. ἐὰν δὲ καὶ τούτων εἴρξῃς τινὰ, νοσήσει πάντως. ὁρῶμεν γὰρ νῦν εἰργομένους οὐ μόνον νοσοῦντας, ἀλλὰ καὶ ἀποθνήσκοντας ἐν ταῖς εἱρκταῖς, ἐπειδὰν κατακλεισθῶσι πλέονα χρόνον. εἰ δὲ τὰς σφοδρὰς κινήσεις μόνας ὀνομάζοι τις γυμνάσια, γένοιτ' οὕτως ἂν ἀληθὲς, τὸ μὴ δεῖσθαι πάντας ἀνθρώπους γυμνασίων. αὐτίκα μέντοι ὁ Πριμιγένης ἐκεῖνος, οὐδὲ μιᾶς ἐδεῖτο βιαίας κινήσεως. οὐκ ὀλίγους δὲ πρὸ τοῦ λουτροῦ περιπάτους ἐπὶ τὰς πρὸ τοῦ βαλανείου στοάς. ἀλλὰ καὶ τρίψασθαι μετ' ἐλαίου, καὶ τὸ μετὰ λουτρὸν ἀπομάξασθαι τὸ ὕδωρ αὐτάρκεις εἰσὶ κινήσεις ἀνδρὸς τοιαύτης κράσεως. ὁ δὲ, καὶ πρὸ τοῦ δείπνου περιεπάτει τε καὶ διελέγετο τοῖς ἑταίροις, ὥσπερ οὖν καὶ ἐπὶ τὴν οἰκίαν ἕωθεν. οὐκοῦν ἐστί τις ὑπὸ παντελοῦς ἀργίας ὀνινάμενος, ἀλλ' ὅταν ἐλινύειν ταῖς θερμαῖς φύσεσιν ὁ Ἱπποκράτης συμβουλεύῃ, τῶν σφοδρῶν κινήσεων, ἀπέχεσθαι κελεύει. κἀγὼ πολλοὺς ὤνησα ἤδη νοσοῦντας ἐν ἀρχῇ φθινοπώρου, διὰ τὰς ἐπιτηδευομένας αὐτοῖς ἤδη κινήσεις ἐν ὅλῳ τῷ θέρει κωλύσας τοῦτο πράττειν, ὑγιαίνοντας ἀπέφηνα. καθάπερ οὖν ἄλλους εἶρξα τοῦ γυμνάζεσθαι σφοδρῶς, ἑτέρους δ' ἔμπαλιν ἐξ ἀργίας εἰς γυμνάσια μεταστήσας, ἀνόσους διεφύλαξα, νοσοῦντας ἔμπροσθεν οὐκ ὀλιγάκις. εἰσὶ δ' οὗτοι ψυχρότεροι τῶν εὐκράτων τε καὶ συμμέτρων ἐναντίως διακείμενοι τοῖς θερμοτέροις τε καὶ ξηροτέροις. εἴρηται δὲ οὐ μόνον ἐν τῇ περὶ κράσεων πραγματείᾳ τὰ γνωρίσματα τῶν κράσεων, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τῇ ἰατρικῇ, τοῦτο γάρ ἐστι τὸ ἐπίγραμμα τοῦ ἡμετέρου ἑνὶ βιβλίου. θαυμάσαι δ' ἐστὶ τῶν ἰατρῶν ὅσοι μηδὲ τὰ διὰ τῆς αἰσθήσεως ἐναργῶς φαινόμενα, γινώσκουσι. τίς γὰρ οὐχ ὁρᾷ τὴν διαφορὰν τῶν ἀνθρώπων ἐπὶ πλεῖστον ἐκτεταμένην; ὥστ' ὑπὸ τῶν αὐτῶν ἐπιτηδευμάτων τε καὶ σιτίων, ἐνίους μὲν ὠφελεῖσθαι, βλάπτεσθαι δ' ἑτέρους, ὥσπερ γε κἀν ταῖς νόσοις, ὥσθ' ὅτι μὲν οὐ χρήζουσι τῶν αὐτῶν, ἅπαντες ἐναργῶς φαινόμενον, ἐχρῆν αὐτοὺς εἰδέναι. γράφοντας δὲ συγγράμματα, διορίσασθαί τε καὶ διδάξαι, τίνες ὑπὸ τίνων ὠφελοῦνταί τε καὶ βλάπτονται. τίς οὖν ἡ αἰτία τοῦ παραλείπεσθαι τοὺς διορισμοὺς αὐτοῖς; καί τοι γ' ὑφ' Ἱπποκράτους εἰρημένους. ἡ ἐπίτριπτος ἐπιθυμία, τοῦ δόξαν ἔχειν ἐν ἀνθρώποις, αἱρεσιάρχας ὀνομασθέντας, διὰ ταῦτα μὲν γὰρ ἐκεῖνοι μὴ ἐπεχείρησαν αὐτοῖς ἐναργῶς φαινομένοις ἀκολουθεῖν, ἀλλὰ ταῖς δόξαις αἷς ὑπέθεντο. τῶν δὲ εἰς αὐτοὺς ἐμπεσόντων νεωτέρων ἐπείσθησαν οἱ πλεῖστοι, πρὶν μήτ' ἄλλο τι μεμαθηκέναι βέλτιον, ἀμαθεῖς τε ὄντες καὶ ἀγύμναστοι παντάπασιν ἀποδείξεως. εἰ γὰρ ἐποιοῦντο τὰς ἀποδείξει ῥᾷστα διακρινεῖ τῶν τ' ἀληθῶν δογμάτων τὰ ψευδῆ. τῶν τε μετὰ διορισμοῦ γεγραμμένων, τὰ μὴ τοιαῦτα. καταγνώσεταί τε πάντων ἀτεχνίας, ὅσοι χωρὶς διορισμοῦ ἔγραψάν τι. πρόσεχε οὖν μοι τὸν νοῦν, ἄνωθεν ἐπερχομένῳ διὰ βραχέων, ὁποίους εἶναι χρὴ τοὺς διορισμούς. ἐνίοις μὲν φύσει τὸ θερμὸν λιγνυῶδές ἐστιν, ὡς καπνώδη γεννᾶν περιττώματα. τούτοις λουτρὰ χρήσιμα, καὶ κινήσεις βραχεῖαί τε καὶ νωθραὶ, πολλαὶ δὲ καὶ ὀξεῖαι, βλαβερώτεραι. τούτοις οὖν οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δὶς λούεσθαι τῆς ἡμέρας συμφέρει. καὶ μάλιστα θέρους. ἐσθίειν τε τροφὰς εὐχύμους, μηδὲν ἐχούσας δριμύ. πολέμιον δ' αὐτῶν ἐστι, τὸ ἡλιοῦσθαι, καὶ τὸ θυμοῦσθαι, καὶ τὸ φροντίζειν πολλά. τοὺς δ' ἐναντίας ἤτοι τοὺς δὲ φύσεως, εἰσὶ δ' οὗτοι ψυχροὶ καὶ ὑγροὶ τὴν κρᾶσιν, ἰσχυροτέρων τε κινήσεων χρείαν ἔχεσθαι, καὶ διαίτης πλέον ἐχούσης τὸ λεπτόν. εἴρηται δ' ἥτις ἐστὶν ἡ τοιαύτη δι' ἑνὸς ὑπομνήματος. οὐ μὴν οὐδὲν ἡλίῳ γυμναζόμενοι βλάπτονται, καθάπερ οὐδ' ἀλουτοῦντες. μεγίστη μὲν οὖν διαφορὰ ταῖς εἰρημέναις ἐστὶ φύσεσι πρὸς ἀλλήλας. ἐναντιωτάτη γὰρ ἡ ὑγρὰ καὶ ψυχρὰ κρᾶσις τῇ θερμῇ καὶ ξηρᾷ. μεγίστη δὲ, ἡ ψυχρὰ τῇ θερμῇ, καὶ ὑγρὰ πρὸς καὶ τὴν ξηράν. ἔστι δὲ ἡ μὲν ψυχρὰ καὶ ξηρὰ τῇ τῶν γερόντων ὁμοία. διὸ καὶ ταχέως γηρᾷ τὰ τοιαῦτα σώματα, καὶ λέλεκται περὶ αὐτῶν

αὐτάρκως ἐμπεσεῖσθαι. ἡ δ᾽ ὑγρὰ καὶ θερμὰ τοῖς ῥευματικοῖς εὐάλωτος πάθεσι. τό γε μὴν κοινὸν ἐπὶ πασῶν τῶν δυσκράτων φύσεων ἄμεινον ἐστὶ κἀπὶ τῆσδε πράττειν, ἐστὶ δὲ τοῦτο κολάζειν μὲν αὐτὰ διὰ τῶν ἐναντίων, ὅταν πολλῷ χολῇ. φυλάττειν δὲ διὰ τῶν ὁμοίων, ἐπειδὰν ὑπὸ πλειόνων ἀσχολιῶν εἴργηται τοῦ ἑαυτῷ χολάζειν. περί γε μὴν τῶν ἐν τοῖς τοιούτοις σώμασιν γυμνασίων ὧδ᾽ ἔχει. πλείω μὲν χρὴ πονεῖν, διὰ τὴν ὑγρότητα τοῦ σώματος, σύντονα δὲ οὐ χρὴ, διὰ τὴν θερμότητα. προσέχειν δ᾽ ἀκριβῶς ὅταν ἐξ ἀργοτέρας διαίτης εἰς τὰ γυμνάσια μεταβάλλωσι, παραχρῆμα γὰρ ἁλίσκονται ῥευματικοῖς νοσήμασιν, εἰ μὴ προκενωθέντες ἅπτονται τῶν γυμνασίων. ὅταν γὰρ ἐν τοιούτῳ σώματι συνεστὸς ᾖ, καὶ παχὺ κατὰ τοὺς χυμοὺς, ἢ καὶ μετρίως ψυχρὸν, αὐτίκα τοῦτο πνευματοῦταί τε καὶ χεῖται. ταῦτ᾽ ἄρα καὶ κατὰ τὸ ἔαρ αἱ τοιαῦται φύσεις μάλιστα τοῖς ὑπὸ πλήθους γιγνομένοις ἁλίσκονται νοσήμασι, συνάγχαις, κυνάγχαις κατάῤῥοις, αἱμοῤῥοΐσιν, αἱμοῤῥαγίαις, ἀρθρίτισιν, ὀφθαλμίαις, περιπνευμονίαις, πλευρίτισι, τοῖς τ᾽ ἄλλοις ἅπασιν, ὧν τὸ γένος ἐστὶ φλεγμονή. διὸ καὶ φθάνειν χρὴ κατὰ τὴν ἀρχὴν τοῦ ἦρος αἵματος ἀφαιρεῖν αὐτῶν, ἢ φλέβα τέμνοντα, ἢ ἀμυχάζοντα τὰ σφυρά. μὴ βουλομένων δ᾽ οὕτως κενοῦσθαι, καθαρτέον ἐστὶ φαρμάκῳ ποικίλῳ. δυναμένῳ καὶ ξανθῆς χολῆς ἕλκειν τι, καὶ φλέγματος. καὶ τῶν ὀῤῥωδῶν περιττωμάτων. ἃ δ᾽ ἐπὶ τῶν γυμνασίων εἴρηται. ταῦτα κἀπὶ τῶν βαλανείων εἰρῆσθαι χρὴ δοκεῖν. καὶ γὰρ καὶ ταῦτα σφαλερὰ πρὶν κενωθῆναι, κενωθέντα δὲ ὠφελῆσαι, καὶ μάλιστα ὅσων λουτρῶν οὐκέτι πότιμον ὕδωρ, ἀλλ᾽ ἔχει τινὰ διαφορητικὴν δύναμιν. ὅ γε μὴν οἶνος, ὅτι μὲν ὠφελιμώτατος ταῖς ψυχραῖς καὶ ξηραῖς φύσεσιν, εἴρηται πρόσθεν. εἰ δέ γε ταῖς θερμαῖς ἁπάσαις οὐκ οἰκεῖος, ἀλλ᾽ ἄμεινον ἐπ᾽ αὐτῶν ἐστὶν ὕδωρ ποτὸν ὡς ἐν ταῖς ἐπιδημίαις γέγραπται, σκεπτέον ἐφεξῆς. ἴσως γάρ τινι δόξει παντάπασιν ἄτοπον εἶναι νεανίσκον ἤ τι στρατιωτικὸν, ἢ ἀθλητικὸν, ἤ τινα τῶν σκαπτόντων, ἢ θεριζόντων, ἢ ἀροτριώντων, ἢ ὅλως ὁτιοῦν ἰσχυρὸν ἔργον ἐργαζόμενον, ἐφ᾽ ὕδατος μόνου διαιτᾶσθαι, καὶ ταῦτα σφάλλεσθαι, τὸν Ἱπποκράτην περὶ τῶν θερμῶν κράσεων ἁπλῶς ἀποφηνάμενον, ὡς ὑδροποσίας δεομένων. ἐμοὶ δ᾽ οὐχ ἁπλῶς Ἱπποκράτης, ἀλλὰ περὶ τῆς ἄκρως θερμῆς φύσεως εἰρῆσθαι δοκεῖ τοῦτο κατὰ δυσκρασίαν δηλονότι τοιαύτης οὔσης, οὐ γὰρ πλεῖστον ἔχειν τὸ ἔμφυτον θερμὸν, ὅπερ αὐτὸς αὐξάνεσθαι φησὶν ἐν γὰρ τῶν ἀθλητῶν ἐπιτηδεύματι. ἀλλ᾽ ὅ γε δύσκρατος θερμὸς, οὔτ᾽ ἀθλητὴς, οὔτε στρατιώτης, οὔτε τῶν κατὰ γεωργίαν, ἢ πολιτείαν ἔργων ἀγαθὸς ἄν ποτε γένοιτο ἐργάτης, ἰσχυρῶν γάρ ἐστιν ἀνδρῶν τὰ τοιαῦτα ἐπιτηδεύματα. τοιοῦτοι δ᾽ οὐκ ἂν εἶεν ἄνευ τοῦ συμμέτρως κεκρᾶσθαι. συμμέτρως δ᾽ αὐτῶν κεκραμένων, πλεῖστον ἂν εἴη τὸ ἔμφυτον θερμὸν, τῇ μὲν οὖν τοιαύτῃ φύσει σύμμετρον δηλονότι δοτέον ἐστὶ τὸν οἶνον, ὥσπερ καὶ αὐτὴ σύμμετρός ἐστι, καὶ μέχρι τοσούτου γε σύμμετρον, ἄχρι περ ἂν ᾖ σύμμετρος. ἀνάγκη γάρ ἐστι καὶ ταύτας οὐκ ἐν τῷ γήρᾳ μόνον, ἀλλὰ καὶ τῷ τῆς παρακμῆς χρόνῳ, τοῦ συμμέτρου γενέσθαι ψυχροτέραν. εἴ τις δ᾽ ἄρα ὡς ἐν ὑγιεινῇ δυσκρασίᾳ θερμοτάτη κρᾶσις ᾖ, ταύτῃ συμφέρει μὴ δι᾽ ὅλως οἶνον διδόναι. τριῶν δ᾽ οὐσῶν κατὰ γένος διαφορῶν τῆς θερμῆς κράσεως. μιᾶς μὲν, καθ᾽ ἣν ἡ ἑτέρα τῶν ἀντιθέσεων ἡ κατὰ τὸ ξηρὸν καὶ ὑγρὸν εὔκρατός ἐστι. δευτέρα δὲ, ἣν συνέσιν ἀμετροτέρα τοῦ συμμέτρου ξηρότης. καὶ τρίτη, καθ᾽ ἣν ἅμα τῷ θερμῷ πλεονάζει τὸ ὑγρὸν, ἐν ᾗ μὲν ἡ ἑτέρα τῶν ἀντιθέσεων εὔκρατός ἐστι, οὐκ ἂν γένοιτό ποτε ἄκρως ἄμετρον, ἐπειδὴ γὰρ τοιούτῳ, ξηρότης ἐπιγίνεται διὰ ταχέων, αὕτη δὲ οὐχ ὑπόκειται, τῇ ξηρᾷ. ἐν δὲ ἐστὶ καὶ ξηρότης ἅμα τῇ θερμότητι, δυνατὸν ἐν αὐτῇ γενέσθαι ποτὲ τὴν παρὰ φύσιν θερμότητα πλείστην, ὡς ἐν ὑγιεινῇ δυσκρασίᾳ μέχρι πλείονος χρόνου. πλείστην δὲ ἐν ὀλίγῳ χρόνῳ, καὶ τὴν μεθ᾽ ὑγρότητος ἄκρως ἄμετρον θερμασίαν, ὡς ἐν ὑγιεινῇ δυσκρασίᾳ δυνατὸν γενέσθαι. τῇ μὲν οὖν πρώτην ῥηθείσῃ, τοσοῦτον ἐπιτρέψομεν ὑδατώδους οἴνου προσφέρειν, ὅσον ἀποκεχώρηκε τῆς ἄκρας δυσκρασίας. τῶν δ᾽ ἄλλων οὐδ᾽ ἑτέρᾳ συγχωρήσομεν ἄκρᾳ γε οὔσῃ, καθότι δέδεικται, ταῖς γε μὴν τοιαύταις δυσκρασίαις, οἶνον δώσομεν, ὀλίγον καὶ ὑδατώδη. τοιοῦτος δ᾽ ἐστὶν ὁ λευκὸς μὲν τῇ χροιᾷ, λεπτὸς δὲ τῇ συστάσει. καθάπερ γε καὶ ταῖς ψυχραῖς δυσκρασίαις τοὺς θερμοτέρους τῶν οἴνων προσοίσομεν. ὁ μὲν οὖν ἄκρως θερμὸς οἶνος, ταῖς ἄκρως ψυχραῖς δυσκρασίαις σύμφορος, ἐπὶ δὲ τῶν ἄλλων ὁ ἀνάλογος. οὐ γὰρ μόνον ἁπλῶς χρὴ μεμνῆσθαι τοῦ τἀναντία τῶν ἐναντίων ἰάματα ὑπάρχειν, ἀλλὰ καὶ τοῦ καθ᾽ ἑκάστην ἐναντίωσιν ποσοῦ. καθάπερ οὖν ἐπὶ τῶν φαρμάκων ἐδείξαμεν, ὡς οὐ μόνον χρὴ σκοπεῖν εἰ θερμὸν ἢ ψυχρόν ἐστιν, ἀλλὰ καὶ τίνος δι᾽ αὐτῶν τάξεως, οὕτω κἀπὶ τῶν οἴνων ἐστὶ ποιητέον. οὐ τὸν ὑδατώδη μόνον ἢ τὸν θερμὸν αἱρουμένους, ἀλλὰ καὶ τὸν τὴν ἀντιλογίαν ἔχοντα τῆς ἑαυτοῦ θερμότητος ἢ ψυχρότητος οἰκείαν, ὡς πρὸς τὸ τῆς δυσκρασίας εἶδος. ταῦτα δὲ, περὶ τῶν μέσην ἡλικίαν ἐχόντων τοῦ γήρως εἴρηται, γινωσκόντων ἡμῶν τὸ μὲν πρῶτον αὐτοῦ μέρος, ὃ τῶν ὠμογερόντων ὀνομάζουσι, δυναμένων ἔτι πράττειν τὰ πολιτικά. τὸ δὲ δεύτερον, ἐφ᾽ οὗ τὸ σύμφορον ὄνομα φέρουσιν αὐτὸ τοῦτο εἶναι, καθ᾽ ὃ λέγουσιν, ἐπὴν λούσαιτο φάγοι τε εὕδειμεναι μαλακῶς. οὐ μὴν ἐπί γε τῆς τρίτης, ἐν ᾗ τὸν γραμματικὸν ἔφην Τήλεφον ὄντα, ἐν τῷ μηνὶ δὶς ἢ τρὶς λούεσθαι, διὰ γὰρ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως οὐ φέρουσιν οὗτοι τὰ συνεχῆ λουτρά. πρόσεστι δ᾽ αὐτοῖς τὸ μὴ δ᾽ ἀθροίζειν δακνώδη περιττώματα, διὰ τὴν ψύξιν τῆς ἕξεως. ὀνομάζουσι δὲ τὸν κατὰ τὴν ἡλικίαν ταύτην, πέμπελον, ὡς οἱ ταῖς ἐτυμολογίαις χαίροντες φασὶ, παρὰ τὸ ἐκπέμπεσθαι τὴν εἰς ᾅδου δηλονότι πομπήν.

ΓΑΛΗΝΟΥ ΥΓΙΕΙΝΩΝ

ΛΟΓΟΣ ς'

Ἑτέρας ὑποθέσεως ὑγιεινῶν θεωρημάτων, ἀρχὴν ἐν τῷδε ποιούμενος, ἀναμνῆσαι δέον μετὰ κεφάλαια τῶν ἔμπροσθεν εἰρημένων, ἀναγκαῖα τοῖς λεχθησομένοις ὄντα. πρῶτον μὲν οὖν ἐρρέθη, τί ποτ' ἐστὶν ὑγίεια. δεύτερον δὲ ὑπ' αὐτῇ, καθόλου τις ὑπογραφή. τρίτον δὲ, πῶς ἂν φυλάττοιτο, καὶ πρὸς τούτῳ, ὅτι μεταβάλλει διαπαντὸς τὰ τῶν ζώων σώματα, καὶ διὰ τοῦτο ἀναγκαῖον εἴη, καὶ τὴν ὑγίειαν αὐτῶν κινδυνεύουσαν φθαρῆναι, ἐκ τῆς ἡμῶν ἐπικουρίας δεῖσθαι, πρὸ τῆς μεγάλης γενέσθαι μεταβολῆς, ὡς νοσεῖν ἤδη σαφῶς. ἐπικουρία δ' ἐστὶν ἐκ τῶν ἐδεσμάτων τε καὶ πομάτων ἀναπληρούντων τὸ οἷον ἀπορρέει τῆς τοῦ σώματος οὐσίας. ἑτέρα δ' ἀβοήθητος ἐδείχθη μεταβολὴ κατὰ τὸν τῶν ἡλικιῶν λόγον γιγνομένη. ξηραινομένου τοῦ παντὸς ζώου, μετὰ τὴν πρώτην γένεσιν ἄχρι τῆς τελευτῆς, ἐν τῷ μεταξὺ χρόνῳ παντί. τοὺς δ' ἀγνοοῦντας τὴν ὑγιεινὴν δίαιταν, εἰκός ἐστι θᾶττον, ἢ κατὰ τὸν τῆς φύσεως λόγον ἀποθνήσκειν. ἐπεὶ δ' ὡς ἔφην ἀναγκαῖον μέν ἐστι τρέφεσθαι ζῶον ἅπαν γεννητὸν, ἡ δ' οὐσία τῶν ἐδεσμάτων οὐκ ἔστιν ἅπασα θρέψιμος, καὶ διὰ τοῦτο τὸ περιττὸν αὐτῶν ὑπολείπεταί τι μοχθηρὸν, ὃ καλοῦσιν ἰδίως περίττωμα, παρεσκευάσθη τῇ φύσει μόρια τοῦ σώματος εἰς τὴν διάκρισίν τε καὶ κένωσιν αὐτοῦ. πολλῆς δὲ οὔσης ἐν τῇ τοῦ σώματος φύσει διαφορᾶς, εὔλογόν ἐστι καὶ τὴν ἑκάστου πρόνοιαν ὑγιεινὴν ἰδίαν ὑπάρχειν ἑκάστῳ. πρῶτον οὖν ὑποθέμενοι τῷ λόγῳ τὸν ἄριστα κατεσκευασμένον ἄνθρωπον, ὅπως ἄν τις τοῦτον ὑγιαίνοντα διαφυλάττοι, διελθεῖν προὐθέμεθα. πολλῶν δ' αἰτίων κατὰ πολλοὺς τρόπους διακωλυόντων τὴν ὑγιεινὴν ἀγωγὴν, ὑπεθέμεθα τὸν ἄριστα κατεσκευασμένον ἑαυτῷ φυλάττειν. ἐλεύθερον ὄντα πολιτικῆς ἀσχολίας ἁπάσης, καὶ τοῦτον ὅπερ ἄν τι ὑπὸ πρώτης ἡλικίας ἄχρι γήρως ἐσχάτου διαφυλάξειεν ὑγιαίνοντα, διελθόντες ἐν τοῖς πρόσθεν ὑπομνήμασι πέντε, μεταβησόμεθα νῦν ἐπί τε τοὺς κατὰ περίστασιν πραγμάτων ἀδυνατοῦντας ἐν τοῖς προσήκουσι καιροῖς ἐσθίειν τε καὶ πίνειν καὶ γυμνάζεσθαι, καὶ τοὺς εὐθὺς ἐξ ἀρχῆς νοσώδη κατασκευὴν σώματος ἔχοντας. συντομώτερος δὲ τοῦ πρόσθεν ὁ περὶ τούτων ἐστὶ λόγος, καίτοι γε ὢν ἐφ' ἑαυτῷ μακρότερος ὤν, διὰ τὸ προειρῆσθαι τῶν πλείστων ὑλῶν τὰς δυνάμεις, αἷς εἰς τὴν ὑγιεινὴν πρόνοιαν χρώμεθα, διά τε γοῦν τρίψεων καὶ λουτρῶν καὶ γυμνασίων ἐδεσμάτων τε καὶ πομάτων, θάλψεώς τε καὶ ψύξεως, ἀφροδισίων τε χρήσεως καὶ ἀργίας, εἴ τί τε τοιοῦτον ἐστὶν ἄλλο, τὰς μεταβολὰς τοῦ σώματος ὁρῶμεν γινομένας, ὧν ὡς ἔφην εἴρηνται πρόσθεν αἱ δυνάμεις. αἱ μοχθηραὶ δὲ τῶν σωμάτων κατασκευαὶ, διτταὶ κατὰ γένος εἰσίν, ἔνιαι μὲν γὰρ αὐτῶν ὁμαλῶς. ἔνιαι δὲ ἀνωμάλως ἔχουσι κεκραμέναι τὰ στοιχειώδη τε καὶ πρῶτα τοῦ σώματος μόρια καλούμενα δ' ὑπ' Ἀριστοτέλους ὁμοιομερῆ. λέγω δ' ὁμαλῶς μὲν, ὅταν ἐπί τινα δυσκρασίαν ἐκτραπῇ πάντα ὁμοίως τὰ τοῦ σώματος μόρια, ψυχρότερα τοῦ προσήκοντος ἢ θερμότερα γινόμενα ἢ ξηρότερα ἢ ὑγρότερα. καὶ κατὰ συζυγίαν, τινὰ μὲν ἅμα θερμότερά τε καὶ ξηρότερα, τινὰ δὲ, ὑγρότερα καὶ ψυχρότερα γινόμενα, καὶ τινὰ μὲν ὑγρότερα καὶ θερμότερα, τινὰ δὲ ψυχρότερα καὶ ξηρότερα, καὶ μέντοι καὶ κατὰ τὴν τῶν ὀργανικῶν μορίων σύνθεσιν, ἔνια μὲν, ὁμαλῶς, ἔνια δὲ, ἀνωμάλως συγκεῖται. πρῶτον μὲν οὖν ἐρῶ καὶ νῦν ὁποῖαι κατασκευαὶ σωμάτων εἰσὶν αἱ νοσωδέσταται, καθάπερ καὶ πρόσθεν ἐδήλωσα τὴν ὑγιεινήν. ἀλλ' αὕτη μὲν μία, τὸ γὰρ ἄριστον ἐν παντὶ γένει πράγματος, ἕν ἐστι. τὰ μοχθηρὰ δὲ δηλονότι, πάμπολλα. διττὴ δ' αὐτῶν ἐστιν ἡ γενικὴ διαφορὰ, καθάπερ ἀρτίως εἶπον. ἐνίων μὲν, ἐν ὁμοίᾳ δυσκρασίᾳ ἁπάντων ἐχόντων τὰ μόρια. τινῶν δ' ἐν διαφερούσῃ. τῶν μὲν οὖν ὁμοίαν ἐχόντων δυσκρασίαν, εὔδηλον ὡς χείριστά ἐστι, τὰ σφοδρὰς ἔχοντα ταύτας, καὶ μάλιστα τὰς ψυχρὰς ἅμα καὶ ξηράς. τῶν δ' ἀνωμάλως ἐχόντων κατασκευαὶ σωμάτων, οὐδ' ἀριθμῆσαι ῥᾴδιόν ἐστι τὰς ὑπαλλάξεις, ἀλλὰ κἀκεῖνα δὲ ὑπαλλάξειεν ἄν τις διτταῖς εἴδεσιν, ἢ γένεσιν, ἢ ὅπερ ἄν τις ὀνομάζειν ἐθέλοι. νοσωδέστατα μὲν γὰρ αὐτῶν ἐστιν, ὅσα ταῖς ἐναντίαις κράσεσι τὰ κυριώτατα τῶν μορίων ἔχει πλεονεκτούμενα. μετριώτερα δ' ἐν οἷς οὕτω διάκειται τὰ μὴ κύρια. τεθέαμαι γάρ τινας ἤδη ἔχοντας, κοιλίαν μὲν ψυχρὰν, κεφαλὴν δὲ θερμήν. ὥσπερ ἐνίους ἔμπαλιν κατὰ κεφαλὴν ψυχρὰν θερμὴν κοιλίαν. ἐθεασάμην δὲ καὶ κατὰ συμβεβηκὸς, οὐ πρῶτον οὐδὲ κατὰ τὸν ἴδιον λόγον τῆς κράσεως ἐγχολουμένην γαστέρα συνεχῶς, οὐκ οὖσαν φύσει θερμήν. ὥσπερ γε καὶ ψυχομένην ἑτέραν, καίτοι οὐκ οὖσαν ψυχράν. οὕτως δὲ καὶ κεφαλὴν ἧπάρ τε καὶ σπλῆνα, καὶ ἄλλο μόριον ὁτιοῦν ἐνίοτε ἐξ ἑτέρας δυσκρασίας. ἢ τῷ μηδὲν αὐτὸ φύσει βεβλαμμένον εἰς τὴν προσήκουσαν κρᾶσιν, ἢ διακειμένην ἐναντίως αὐτῷ. περὶ πρώτων οὖν ὁ λόγος ἔσται μοι τῶν ὁμαλὴν τὴν δυσκρασίαν ἐχόντων, ἀπὸ τῶν θερμοτέρων ἀρξαμένῳ. λέλεκται δὲ ἐν τοῖς περὶ κράσεων ἀδύνατον εἶναι διαμένειν κατὰ πολὺ δυσκρασίαν τινὰ μίαν, αὐτὴ γὰρ ἑαυτῇ προσκτᾶται τινὰ ἐξ ἀνάγκης ἑτέραν. διὸ καὶ τοῖς πλείστοις τῶν ἰατρῶν τέτταρες ἔδοξαν εἶναι μόναι δυσκρασίαι σύνθετοι, τὰς δὲ ἁπλᾶς οὐκ εἶναι. τήν τε γὰρ θερμὴν ἐξικμάζουσαν ἀεὶ τὰς ὑγρότητας κατὰ τάχος εἰς ξηρότητα, τήν τε ψυχρὰν ἅτε οὐκ ἐκδαπανῶσαν, ὑποτρέφειν ὑγρότητα. κατὰ ταῦτα δὲ καὶ τὴν ξηρὰν, ἐν μὲν τῷ χρόνῳ τῶν αὐξητικῶν ἡλικιῶν ἑαυτῇ θερμότερον ἀποφαίνειν τὸ ζῶον. ἐν δὲ τῷ τῶν παρακμαστικῶν, ἀποψύχειν. ξηραίνειν μὲν τὰ στερεὰ μόρια τοῦ σώματος. ἀθροίζειν δὲ περιττωμάτων πλῆθος. ὥσπερ γε καὶ τὴν ὑγρὰν ἅμα τε θερμοτάτῳ συμμέτρῳ συστῆ, γίνεσθαί ποτε κατ' ἀμφοτέρας τὰς ἀντιθέσεις εὔκρατον. ἀμφοτέρας δ' ἀντιθέσεις δηλονότι λέγω, τήν τε κατὰ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὴν κατὰ τὸ ξηρὸν καὶ ὑγρόν. ἔσται δ' εὔκρατον ἡ τοιαύτη κατὰ τὸν τῆς ἀκμῆς καιρὸν, οὐχ ἥκιστα δὲ κἀν τῷ κατὰ τὴν παρακμὴν, ὡς ἐκείνοις πρέπει. τὴν μὲν γὰρ ἀρίστην κρᾶσιν ἴσχει τὸ σῶμα κατὰ τὴν τῶν μειρακίων ἡλικίαν. αἱ δ' ἄλλαι πᾶσαι χείρους ταύτης εἰσὶν ὡς ἐδείχθη. καὶ μέντοι καὶ τοῦτ' ἀναμεμνῆσθω, ἕν τι οὖν αὐτὸ τῶν εἰρημένων διττῶν γὰρ οὐσῶν ἐνεργειῶν κατὰ τὰ ζῶα, τὰς μὲν σωματικὰς οἱ παῖδες ἀρίστας ἔχουσι. τὰς δὲ ψυχικὰς ἡ μετὰ τοὺς παῖδας ἡλικία μέχρι τῆς παρακμαστικῆς. οὐκ ἔστι δὲ καὶ ἐτῶν ἀριθμῷ περιορίσαι ταύτας, καθάπερ ἔνιοι πεποιήκασι, πλὴν, ἢ κατὰ πλάτος. ἡβάσκειν οὖν ἄρχονταί τινες, ἅμα τῷ πληρῶσαι τὸ ιδ'. ἔτος. ἔνιοι δὲ μετ' ἐνιαυτὸν ἢ καὶ πλέονα χρόνον. ἀρχήν τε ἐκ παρακμῆς ἴσχουσιν, ἔνιοι μὲν εὐθέως μετὰ τὸ λ'. ἔτος. ἔνιοι δὲ μετὰ τὸ ε'. καὶ λ'. τὴν μὲν οὖν ἰσχὺν ἅπαντες ἄνθρωποι καθαιροῦνται μετὰ τὴν ἀκμαστικὴν ἡλικίαν, οὐ μὴν τήν γε ὑγείαν ἀπολλύουσιν. ἀλλ' ἧττον μὲν ἐπαινετὴν, ἔχουσιν ἢ πρόσθεν. ἔχουσι δ' ὅμως οὐ μὴν ἄχρι γήρως ἀρχῆς, ἀλλὰ καὶ κατ' αὐτὸ τὸ γῆρας ὅλον, ὃ δὴ δοκεῖ τισιν εἶναι νόσημα φυσικὸν, ὁπότε μήτ' ὀδυνῶνταί τι, μήτε τινὰ τῶν ἐνεργειῶν, αἷς εἰς τὰς κατὰ τὸν βίον

πράξεις χρώμεθα, τελέως ἀπολέσωσιν, ἢ μὴ παντάπασιν ἄῤῥωστον ἔχωσιν, ὑγιαίνουσιν ὑγίειαν τὴν οἰκείαν γηρῶν. μεμνῆσθαι γοῦν δήπου καὶ τῶν περὶ τῆς ὑγιείας ἀποδεδειγμένων, ὡς πάμπολυ τὸ πλάτος αὐτῆς ἐστιν, εἰ δὲ καὶ ῥοπή τις ἐστὶ διάθεσις σώματος, ἣν οἱ περὶ τὸν Ἡρόφιλον οὐδετέραν ὀνομάζουσι, τοῖς ἐκ πυρετῶν χαλεπῶν διασωθεῖσιν ὑπάρχουσαν κατὰ τὸν τῆς ἀναλήψεως χρόνον. καὶ τῇ τοῦ γήρως ἡλικίᾳ, τὸ μὲν ἔξω νόσου τοῖς γέρουσιν εἶναι, πάντως ὑπάρξει. τὸ δὲ τὰς ἐνεργείας ἰσχυρὰς ἔχειν ὁμοίως τοῖς ἀκμάζουσιν, οὐχ ὑπάρχει, ἀλλ' ἐὰν εἰς ὅσον γέροντι χρεία βλέπειν τε καὶ ἀκούειν καὶ βαδίζειν καὶ τἄλλα πράττειν δύνασθαι, μηδὲν ἐλλιπὲς τὸ σῶμα, καὶ τοῦτ' ἄν τις εἰκότως ὀνομάζοι γέροντος ὑγίειαν ὅλον τοῦτο λέγων ὑγίειαν γέροντος, οὐχ ἁπλῶς ὑγίειαν. ἐκείνη μὲν γὰρ ἀμέμπτως ἐστὶ διὰ τὴν τῶν ἐνεργειῶν ἀρετήν. μεμπτὴ δὲ ἡ τῶν γερόντων. ἔχουσα γὰρ ἁπάσας τὰς ἐνεργείας, οὐδὲ μίαν ἐῤῥωμένην ἔχει. καὶ δὴ καὶ τὸ γηροκομικὸν ὀνομαζόμενον μέρος τῆς ἰατρικῆς σκοπὸν ἔχει τὴν ὑγίειαν εἰς ὅσον οἷόν τε διαφυλάττειν. ὅσα δὲ σώματα, νοσώδη κατασκευὴν ἔσχηκεν εὐθὺς ἐν τῇ πρώτῃ γενέσει, ταῦτα τὴν ἀρχὴν μὲν, οὐδ' ἀφικνεῖταί ποτε εἰς τὸ γῆρας. εἰ δ' ἀφίκοιτο, πάντα ἐν τέλει νόσημα χρόνιον ἴσχει. προὐθέμεθα δὲ ἐν τῷ νῦν λόγῳ περὶ τῶν μοχθηρὰν ἐχόντων κατασκευὴν διελθεῖν, σκοποῦντες, ὅπως ἄν τις αὐτὰ φυλάττοι κατὰ τὸ πλεῖστον ὑγιαίνοντα. τὴν ἀρχὴν οὖν ἀπὸ τῆς ὁμαλὴν τὴν δυσκρασίαν ἐν ἅπασι τοῖς μορίοις τοῦ σώματος ἐχόντων ποιησάμενοι, λεγόμενα ἤδη περὶ τῆς θερμοτέρας κράσεως. οὐ μὴν ἐν τῇ καθ' ὑγρότητα καὶ ξηρότητα συμμετρίᾳ μεμπτῆς. εὐθὺς μὲν οὖν ἀπ' ἀρχῆς ἡ τοιαύτη φύσις τοῦ σώματος ὑγιεινοτέρα φαίνεται τῆς κατ' ἀμφοτέρας τὰς ἀντιθέσεις δυσκράτου. λέγω δ' ἀμφοτέρας, τήν τε κατὰ θερμότητα καὶ ψυχρότητα, καὶ τὴν καθ' ὑγρότητα καὶ ξηρότητα. καὶ τούς τε ὀδόντας φύσει θᾶττον, καὶ φθέγξεται διηρθρωμένην φωνὴν, καὶ βαδιεῖται θᾶττον, αὐξήσεταί τε κατὰ τὴν ἀναλογίαν ἑκάστοτε τῶν ἐτῶν. ἐπειδὰν δὲ τὴν τῶν μειρακίων ἡλικίαν διεξέλθοι, τὸ μετὰ ξὺν παῦ ἄχρι τῆς παρακμῆς. σαφῶς πλέον ἤδη φανεῖται θερμὸν, ὡς τοῖς ἀπὸ ξανθῆς χολῆς νοσήμασί τε καὶ συμπτώμασιν εὐάλωτον ὑπάρχειν. ἡ γάρ τοι πολλὴ θερμότης ἐκδαπανῶσα τὴν ὑγρότητα ξηροτέραν ἐργάζεται τὴν κρᾶσιν. οὔσης δὲ καὶ τῆς τῶν ἀκμαζόντων ἡλικίας θερμῆς, ἡ συζυγία τῆς κράσεως αὐτῶν ἔσται θερμή τε ἅμα καὶ ξηρὰ, χολὴ δ' ἐν ταῖς τοιαύταις κράσεσιν, ἡ ὠχρά τε καὶ ξανθὴ καλουμένη πλεονάζει. τοὺς οὖν οὕτως πεφυκότας ἄχρι μὲν τῆς τῶν μειρακίων ἡλικίας ὁμοίως χρὴ τοῖς ἄριστα πεφυκόσι διαιτᾶν, ὑπὲρ ὧν εἴρηται κατὰ τὸν ἔμπροσθεν λόγον, ἐπειδὰν τέλειον αὐτῶν ᾖ τὸ σῶμα, διασκέψασθαι προσήκει πότερον ὑπέρχεται τὸ περιττὸν τῆς χολῆς αὐτοῖς ἅμα τοῖς διαχωρήμασιν, ἢ πρὸς τὴν ἄνω κοιλίαν ὁρμᾷ, κάτω μὲν ὑπιόντος αὐτοῦ, πρόδηλον ὡς χρὴ οὐδὲν περιεργάζεσθαι. πρὸς δὲ τὴν ἄνω γαστέρα φερομένου, δι' ἐμέτων ἐκκενοῦν. μακρὰν χαίρειν εἰπόντας ἐκείνοις τῶν φιλοσόφων, ὅσοι κωλύουσι μετὰ τὰ γυμνάσια πρὸ τῆς τροφῆς, ἀφ' ὕδατος χλιαροῦ ἐμεῖν. οἴνῳ γοῦν οὐδ' ἐγὼ συμβουλεύω τηνικαῦτα χρῆσθαι, πλὴν εἰ δυσχερῶς ἐμοῖεν ἀφ' ὕδατος. εἰσὶ γάρ τινες καὶ τοιαῦται φύσεις σωμάτων, αἷς συγχωρητέον οἴνου γλυκέος προσφέρεσθαι, εἰ προπίνονται αὐτῶν τὸ ὕδωρ. ἔτι δὲ καὶ μᾶλλον, ὅταν ἡ κρᾶσις ἐξ ἀρχῆς ἡ θερμοτέρα τε καὶ ξηροτέρα, πρὸς τοὺς ἐμέτους ὀρέγεσθαι. καὶ γοῦν καὶ μᾶλλον εἰσὶν οὗτοι χολώδεις, ἐπὶ τῆς ἀκμαστικῆς ἡλικίας. καὶ δὴ καὶ γυμνάζεσθαι βέλτιον αὐτοὺς, οὐκ ὀξὺ καὶ σύντονον γυμνάσιον, ἀλλὰ σχολαιότερόν τε καὶ μαλακώτερον, εἰσὶ γὰρ δὴ καὶ ἰσχνότεροι πάντες οἱ τοιοῦτοι. συμπεφώνηται δὲ τοῖς γυμνασταῖς ἅπασι, λεπτύνειν μὲν τὰ ὀξέα γυμνάσια, σαρκοῦν δὲ τὰ βραδέα. τινὲς δὲ καὶ τῶν σφόδρα θερμῶν τὴν κρᾶσιν, οὐδ' ὅλως χρῄζουσι γυμνασίων. ἀλλ' ἀρκεῖ περιπάτου τε καὶ λουτροῦ αὐτοῖς ἀνατριψαμένοις ἐλαίῳ μαλακαῖς ῥίψεσι. δριμὺ γοῦν καὶ θερμὸν δακνῶδες τὸ διαπνεόμενον ἀπ' αὐτῶν ἐστιν, οὐκ ἀτμῶδες οὐδ' ἡδὺ καὶ ἄδηκτον. οὗτοι δὲ καὶ τοῖς μετὰ τροφὴν χαίρουσι λουτροῖς. καί τινες αὐτῶν ἄπιστον ὅπως ἐπαχύνθησαν ἐπὶ τῇ τοιαύτῃ διαίτῃ. παλαιὸς δὲ οἶνος ἐναντίος αὐτοῖς ἐστι, οἰκεῖος δὲ ὁ λευκὸς καὶ λεπτός, ἐπιβλέπειν δὲ ἐπὶ πάντων τῶν μετὰ τροφὴν λουομένων, μή πως κατὰ τὸ δεξιὸν ὑποχόνδριον ἔνθα κεῖται τὸ ἧπαρ, αἰσθάνονται τινὸς ἀλγήματος, ἢ βάρους, ἢ τάσεως. αἱ γὰρ τοιαῦται κατασκευαὶ τῶν σωμάτων, ἡπατικαῖς ἁλίσκονται νόσοις, ἐὰν ἐδηδοκότες λούωνται καὶ αἰσθάνονταί ποτε τοιούτου τινὸς συμπτώματος αὐτίκα διδόναι τι τῶν ἐκφραττόντων τὸ ἧπαρ, ἀπέχειν τε καὶ τῶν παχυχύμων ἐδεσμάτων, καὶ μάλιστα ὅσα γλίσχρα. λέγεται δὲ περὶ αὐτῶν ἐπὶ πλέον ἐν τοῖς τρισὶν ὑπομνήμασιν, ἃ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων ἔγραψα, καὶ τῷ περὶ τῆς εὐχυμίας τε καὶ κακοχυμίας, ἔτι τε κἂν τῷ τῆς λεπτυνούσης διαίτης. καὶ γὰρ οὖν καὶ χρῆσθαι τοῖς ἀλγήμασι τοῖς καθ' ἧπαρ, ἀναγκαῖόν ἐστι λεπτυνούσῃ διαίτῃ, μέχρι περ ἂν αὐτοῖς ἀνώδυνόν τε καὶ κοῦφον γένηταί πως, τὸ δεξιὸν ὑποχόνδριον. ἀγαθὸν δὲ καὶ τῆς κόμης τῆς ἀψινθίου τὸ ἀπόβρεγμα προσφέρεσθαι, καὶ τὸ διά ταύτης τε καὶ ἀνίσου καὶ πικρῶν ἀμυγδάλων συντιθέμενον. ὃ δὴ ὀξυμέλιτος ἄμεινον πίνειν, ἐν τῷ μέσῳ χρόνῳ τῆς τε ἐκ τῶν ὕπνων ἀναστάσεως καὶ τοῦ λουτροῦ. προκατειργασμένων τε γοῦν τῶν ἀναδεδομένων εἰς ἧπαρ ἐκ τῆς γαστρὸς, ἄμεινον προσφέρεσθαι τὰ τοιαῦτα. τῇ τε ἐξ αὐτῶν ἐνεργείᾳ, χρόνον τινὰ δίδοσθαι περὶ τῆς τῶν σιτίων προσφορᾶς. ἀγαθὸν δὲ καὶ τὸ διὰ τῆς καλαμίνθου φάρμακον, οὗ τὴν σύνθεσιν ἐν τῷ δ΄. τῶν ὑπομνημάτων ἔγραψα. ἀλλ' ἐπεί γε τῶν χολωδῶν κράσεων φυλάττεσθαι προσήκει τὴν συνεχῆ τῶν δε χρῆσιν. καὶ μήν τοι καὶ ὁπότε τις αὐτῶν χρῆται αὐτῷ, τῆς καθ' ἧπαρ ἐμφράξεως ἕνεκεν, ἄμεινον διὰ ὀξυμέλιτος πίνεσθαι. τὸ δὲ τῶν τροφῶν εἶδος, εἰ μὲν ὑπαλλάττειν ἐπὶ τὸ βέλτιον ἐθέλει τὴν κρᾶσιν τῶν οὕτως ἐχόντων, ἐναντίον ἔστω τῇ δυσκρασίᾳ. κατὰ βραχὺ δὲ γίνεται τοῦτο χωρὶς βλάβης, ἐπιστατοῦντος μὲν ἰατροῦ, σχολὴν δ' ἄγοντος αὐτοῦ τοῦ βοηθουμένου τοσαύτην, ὡς ἅπαντα ποιεῖν ἐν τῷ προσήκοντι καιρῷ. πράττοντι δὲ ἀνθρώπῳ τὰ πολιτικὰ καὶ πολλαῖς ἀσχολίαις δουλεύοντι, κάλλιόν ἐστι, μὴ δ' ἐπιχειρεῖν ὑπαλλάττειν τὴν κρᾶσιν, ἀλλὰ τὰς οἰκείας τροφὰς αὐτοῦ δοτέον. οἰκεῖαι δ' εἰσὶν αἱ μὲν ὑγραὶ, ταῖς ὑγραῖς, αἱ δὲ ξηραὶ, ταῖς ξηραῖς. ἡ γάρ τοι θρέψις ὁμοιουμένου γίνεται τοῦ θρέψαντος ἐδέσματος τῷ τρεφομένῳ σώματι. θᾶττον δὲ ὁμοιοῦται τὰ μὲν ξηρὰ, ταῖς ξηραῖς, τὰ δ' ὑγρὰ ταῖς ὑγραῖς. ἐπὶ δὲ τῶν ὁμαλὴν τὴν κρᾶσιν ἐχόντων. ὅσον περ ἂν ἥδιον ᾖ τὸ βρῶμα, τοσοῦτον τροφιμώτερον γίγνεται, τῶν δ' ἀνώμαλον ἐχόντων τὴν κρᾶσιν σωμάτων, ὡς ἄλλην μὲν εἶναι τὴν τοῦ ἥπατος, ἄλλην δὲ τὴν τῆς γαστρὸς, ἤ τινος τῶν καθ' ἧπαρ, ἕτερον μέν ἐστι, τὸ κατὰ τὴν προσφορὰν ἴδιον, ἕτερον δὲ τὸ καθ' ἕκαστον μόριον οἰκεῖον. ἐπεὶ δὲ καὶ τὸ καθ' ἕκαστον οἰκεῖον ἐδείχθη διττὸν, ἕτερον μὲν τὸ κατὰ τὰς ἁπλᾶς ποιότητας, ἕτερον δὲ τὸ κατὰ τὴν ὅλην οὐσίαν, ἡ μὲν οὖν κατὰ τὰς ἁπλᾶς ποιότητας οἰκειοτάτη ὁποία τίς ἐστιν, ὀλίγῳ πρόσθεν εἴρηται, μεταβάλλειν τε αὐτὴν βουλομένοις, ἐπὶ χολῆς ὑπηρετεῖν τε ἀναγκαζομένοις, ἐν ἀσχολίᾳ, ἡ δὲ κατὰ τὴν ὅλην οὐσίαν τῇ πείρᾳ μόνῃ γινώσκεται, μεγίστην οὖσαν δύναμιν εἰς τὴν τῶν ἐσθιομένων τε καὶ πινομένων κατεργασίαν, οὐ κατὰ τὴν γαστέρα μό-

ξηρὰ μόνον, ἀλλὰ καὶ κατὰ τὸ σύμπαν τὸ σῶμα, ἢ κατὰ τὴν ὅλην οὐσίαν, οἰκειότητα ἔχει, δι' ἣν αἱ τροφαὶ τοῖς ζώοις
ὑπηλλαγμέναι τε καὶ πολὺ διαφέρουσαι ταῖς ἰδέαις εἰσίν, οὐδὲν ὅμοιον ἔχουσαι, αἱ ἐκ τῶν ἀχύρων τε καὶ πόας, ταῖς
ἐξ ὀστῶν τε καὶ σαρκῶν, ἢ αἱ ἐξ ἄρτων, ταῖς ἐκ κωνείου τε καὶ ἐλλεβόρου, καὶ γὰρ ταῦτα, ζώοις τισὶν εἰσὶ τροφαί, γίνονται
δὲ καὶ κατὰ τὴν ποιότητα, οἰκειόταται. εἰ μὲν φυλάττειν ἐθέλοις τὰς κράσεις, ταῖς μὲν ὑγραῖς, τῶν ὑγραινόντων ἐδεσμά-
των ἁρμοττόντων, ταῖς δὲ ξηραῖς τῶν ξηραινόντων, εἰ δὲ ὑπαλλάττειν, τῶν ἐναντίων. ἐπεὶ δὲ αἱ κατὰ τὸ θερμὸν καὶ ψυ-
χρὸν εἰς δυσκρασίαν ἐκτροπῆς, ἡ τῶν ἐναντίων προσφορὰ διαπαντὸς ἁρμόττει, δραστικώτεραι γάρ εἰσι, καὶ ὡς ἂν
εἴποι τις δυναστικώτεραι τῶν καθ' ὑγρότητα καὶ ξηρότητα δυσκρασιῶν αἱ τοιαῦται, ῥᾳδίως γοῦν ὑπὸ τῶν ὁμοίων τρο-
φῶν εἰς νοσώδη δυσκρασίαν ἀφικνοῦνται, ξηρότερον δ' ἐργασάμενον ὁτιοῦν τῶν μορίων, οὐδὲν τι βλάψαις σαφές, ὥσ-
περ οὐδ' εἰ φυλάττοις ὑγρότερον. ἐναργέστερον δέ σοι τεκμήριον, καὶ ἡλικίαι γινέσθωσαν, αἱ μὲν ἀπὸ τῆς πρώτης γενέ-
σεως ἄχρι τῶν μειρακίων ὑγροτάτην ἔχουσαι τὴν σάρκα, ξηραὶ δὲ ἱκανῶς αἱ πρεσβυτικαί, μεμνῆσθαι δ' ἐν τοῖς τοιούτοις
λόγοις χρὴ τῶν εἰρημένων ἐν τοῖς περὶ κράσεων, ὅπως μή τις ὑπολάβῃ, τοὺς ὑπὸ περιττῶν ὑγρῶν βαρυνομένους, ὑ-
γροὺς γίνεσθαι τὴν κρᾶσιν, ὃ καὶ τοὺς οἰηθέντας ὑγρὸν καὶ ψυχρὸν εἶναι τὸ γῆρας, ἐξηπάτησεν. οὐ γὰρ αὐτὰ τὰ μόρια τοῖς
γέρουσιν, ὑγρότερα ταῖς κράσεσιν ἐστίν, ἀλλὰ αἱ μεταξὺ τῶν σωμάτων χῶραι, τῆς περιττῆς ὑγρότητος ἐμπίπλανται
γερόντων τε καὶ νοσούντων νόσους ὑγράς, ὁποῖον δέ τι τὸ ξηρὸν νόσημά ἐστιν, ἐπιστημονικὴν ἕξει γνῶσιν, τὸ γεγραμ-
μένον μοι περὶ μαρασμοῦ βιβλίον ἐπιμελῶς ἀναγνούς, οὐχ ἅπαξ, ἢ δὶς οὐδὲ παρατρέχων, ἀλλ' ἐφιστὰς καὶ προσέ-
χων τὸν νοῦν, ἑκάστῳ τῶν λεγομένων, προγεγυμνάσθαι δὲ χρὴ τὸν μέλλοντα καλῶς ἀναλέξασθαι ταῦτα, τῷ δευτέρῳ
περὶ κράσεων ὑπομνήματι, καθ' ὃ δείκνυται τοῦ γέροντος ἡ κρᾶσις ξηρά, τὸ δὲ προκείμενον ἐν τῷ νῦν λόγῳ σῶμα θερ-
μότερον τοῦ δέοντος, ἐὰν μὲν ἐν τῇ πρώτῃ συστάσει μέσον ὑγρότητός τε καὶ ξηρότητος ᾖ. πάντως τοῦτο κατὰ τὴν ἀκμαστι-
κὴν ἡλικίαν γίνεται ξηρόν, ἔτι δὲ μᾶλλόν τε καὶ θᾶττον. εἰ καὶ φύσει ξηρότερον εἴη, καὶ δὴ καὶ γηράσει τοῦτο θᾶττον, ὥσπερ καὶ
θᾶττον εἰς ἀκμὴν ἀφίκοιτο. πάντων γὰρ ἐν τῇ παρακμῇ ξηραινομένων, εὔλογον ἐστι τὸ φύσει ξηρότερον εἰς τὴν ἐκ
γεροντικῆς ἀμετρίας, ξηρότητα ἀφικνεῖσθαι θᾶττον, δέονται τοίνυν οὗτοι μάλιστα κατὰ τὴν ἀκμαστικὴν ἡλικίαν ὑγρᾶς
διαίτης, ἧς τὸν τύπον ἄρτι ὑπέγραψα, διά τε τῶν ὑγραινόντων ἐδεσμάτων καὶ λουτρῶν, ἀρχῆς τε γυμνασίων συν-
τόνων, καὶ πολλῶν γινομένης, ὥστε θέρους ὥρᾳ καὶ θᾶττον λούεσθαι, καὶ μετὰ τροφὴν αὖθις τὸ δεύτερον, ὀνίνησι τούτους
καὶ ἡ τοῦ ψυχροῦ πόσις. ἐναντιώτατα δὲ ταῖς ξηραῖς κράσεσιν εἰσὶν ἀφροδίσια, φείδεσθαι δὲ χρὴ καὶ μάλιστα αὐτοῦ, ἐγ-
καύσεων καὶ κόπων, καὶ φροντίδων, καὶ ἀγρυπνιῶν, καὶ κινήσεων ἁπασῶν ὀξειῶν, καὶ οἱ θυμοὶ δὲ μάλιστα τὰς χολώ-
δεις φύσεις ἐκπυροῦντες, ὀξεῖς γεννῶσι πυρετούς, ἅπερ οὖν ἐπιτείνει διαιτήματα τοῖς θερμοῖς τὴν κρᾶσιν ἐπὶ τῆς ἀκ-
μῆς, καὶ σύμμετρον ἐξ ἀρχῆς ἔχουσιν ὑγρότητα, ταῦτα μᾶλλον ἁρμόττει τοῖς φύσει θερμοῖς καὶ ξηροῖς. δῆλον δ'
ὅτι τὴν ποσότητα τῆς ὑπεροχῆς τοῦ κρατοῦντος στοιχείου, σκεπτέον ἐστὶν ἐν τοῖς μάλιστα, τοσοῦτον γὰρ ἐπιτείνειν τε καὶ ἐκ-
λύειν, ἢ αὐξάνειν χρὴ τὸ τῆς διαίτης εἶδος, ὅσον ὑπὲρ τὸ κατὰ φύσιν ηὔξηταί τε καὶ μεμείωται τὰ τῆς κράσεως στοιχεῖα,
διὸ καὶ τοὺς ὑγροτέρους τε καὶ τοὺς φύσει θερμοτέρους, εἰ μὲν ὑπαλλάττειν αὐτῶν ἐθέλοις τὴν κρᾶσιν ἐπὶ τὸ ξηρότερόν τε
καὶ ψυχρότερον εἶδος, χρὴ διὰ τῆς ἐναντίας διαίτης ἄγειν. εἰ δὲ φυλάττειν, διὰ τῶν ὁμοίων. αἱ δὲ τοιαῦται φύσεις ἐν τῇ τῶν
παίδων ἡλικίᾳ, ῥευματικοῖς τε καὶ πληθωρικοῖς ἁλίσκονται νοσήμασι, καὶ πρὸ τούτοις γε, σηπεδονώδεσι. δέονται
τοίνυν γυμνασίων πλειόνων, ἀκριβῶς τε τῆς ἐν τῇ γαστρὶ πέψεως, ὅσα γὰρ ἐν ταύτῃ διαφθείρεται, νοσημάτων ση-
πεδονωδῶν ὑπόθεσις γίνεται παντὶ τῷ σώματι, διὸ καὶ πρὸ τροφῆς δὶς καὶ τρὶς οὗτοι λούμενοι καὶ τοῖς αὐτοφυέσι
θερμοῖς ὕδασιν οὗτοι χρώμενοι μάλιστα ὠφελοῦνται, σκοπὸς γὰρ ἐπ' αὐτῶν ἐστὶν αὐτὰ μὲν τὰ μόρια τοῦ ζώου, φυλάττειν
ὑγρά, κοινὸν ὂν τοῦτο πάσης κράσεως, εἴ γε καὶ τοὐναντίον αὐτῶν θᾶττον ἐπὶ τὸ γῆρας ἄγει τὰ σώματα τῶν ζώων ἁπάν-
των, αὐτό τε τὸ θνητὸν εἶναι τὸ γεννητοῦ σῶμα, τὴν αἰτίαν ἔχει, ὡς εἴ γε δυνατὸν ἦν ἀεὶ διαφυλάττειν ὑγρὰν τὴν κρᾶ-
σιν τοῦ σώματος, ὁ τοῦ Φιλίππου λόγος, ὃν ἐν ἀρχῇ διῆλθον ἀθάνατον ἐπαγγελλόμενος ποιήσειν τὸν αὐτῷ πειθόμενον, ἀλη-
θὴς ἦν. ἀλλ' ἐπεὶ τὴν φυσικὴν ὁδὸν τὴν ἐπὶ τὸ ξηραίνεσθαι τὸ σῶμα φυγεῖν οὐκ ἐστὶν ὡς ἐδείχθη, διὰ τοῦτο γηρᾶν ἀναγ-
καῖον ἡμῖν ἐστι καὶ φθείρεσθαι. πολυχρονιώτατος δ' ἂν ὁ ἥκιστα ξηραινόμενος γένοιτο, τῆς δ' ὑγρᾶς διαίτης περιττώμα-
τά τε καὶ πλῆθος χυμῶν γεννώσης, χαλεπὸν γίνεται κρατῆσαι τῆς συμμετρίας, ὡς μήτε νόσοις ἁλίσκεσθαι μήτε τα-
χέως γηρᾶν. ὅσον δ' αὖ ἐπὶ τῇ κράσει, πολυχρονιώτατοι πάντων εἰσὶν οἱ ὑγρότατοι, καὶ μέντοι καὶ ὑγιαίνουσιν, ἐπει-
δὰν κρατυνθῇ τὸ σῶμα τῶν ἄλλων μᾶλλον, ὥσπερ καὶ ἰσχυρότεροι μέχρι γήρως ἐσχάτου τῶν τὴν αὐτὴν ἡλικίαν ἐχόν-
των εἰσί, καὶ κατὰ τοῦτο ἐπαινεῖται σχεδὸν ὑπὸ πάντων ἰατρῶν τε καὶ φιλοσόφων, ὅσοι τὰ στοιχεῖα τοῦ σώματος ἀκριβῶς
ἔγνωσαν, ἡ κρᾶσις αὕτη, καὶ μέντοι καὶ διὰ τοῦτο μόνη τισὶν ἔδοξε κατὰ φύσιν εἶναι, κρείττων γὰρ ἐν τῷ χρόνῳ τῶν ἄλλων
γίνεται, τό γε κατ' ἀρχάς, οὖσα χείρων, ὥς τε καὶ τῶν ἐπισταντων τῷ τοιούτῳ σώματι, τῶν ἀρρωστιῶν προνοεῖσθαι χρή,
διά τε γυμνασίων ἧς ἔφην καὶ λουτρῶν καὶ τροφῶν πλειόνων, ἐκκρίσεώς τε τῆς δι' οὔρων καὶ γαστρὸς γιγνομένων.
οὐδὲν δὲ κωλύει καὶ ἀποφλεγματισμοῖς ποτὲ χρῆσθαι καὶ καθάρσεσιν. εὐχύμοις τε πρὸ πάντων ἐδέσμασιν, οἴνων
τε πόσει, τῶν οὔρησιν κινούντων. περὶ μὲν οὖν τῶν θερμῶν κράσεων, αὐτάρκως εἴρηται. περὶ δὲ τῶν ψυχρῶν, ἐφεξῆς ἂν
εἴη λεκτέον. εἰσὶ δὲ καὶ τούτων αἱ μέγισται διαφοραί, τρεῖς. ἢ τοι γὰρ εὔκρατοι κατὰ τὴν ἑτέραν ἀντίθεσιν, ὡς μη-
δὲν μᾶλλον ὑγρὸς ἢ ξηρὸς ὑπάρχειν, ἢ τὸ ὑγρόν, ἢ τὸ ψυχρὸν ἐν αὐτοῖς ἐπικρατεῖν. χειρίστη δὲ εἰκότως ἐστίν, ἡ ξη-
ρὰ κρᾶσις, ὃ γὰρ ἐν τῷ χρόνῳ τοῖς γηρῶσι γίνεται, τοῦτ' εὐθέως ἐξ ἀρχῆς ὑπάρχει τούτοις. ὑγραίνειν τε οὖν αὐ-
τοὺς χρὴ καὶ θερμαίνειν. ἐστὶ δὲ τοῦτο γυμνασίοις συμμέτροις καὶ τροφαῖς ὑγραῖς τε καὶ θερμαῖς, οἴνου τε πόσει
τῶν θερμοτέρων, ὕπνοις τε πλείοσι. προνοουμένων ἡμῶν, ὅπως τὰ καθ' ἑκάστην ἡμέραν ἐν τῷ σώματι γεννώ-
μενα περιττώματα τῆς τε τροφῆς καὶ τοῦ πόματος, ἐκκρίνοιτο πάντα. περὶ δὲ τῶν ἀφροδισίων εἴρηται μὲν καὶ
πρόσθεν, ὡς ἅπαντας μὲν τοὺς ξηροτέρους τῇ κράσει βλάπτει, νυνὶ δ' ὅτι τούτων αὐτῶν μάλιστα τοὺς πρὸς τῇ ξη-
ρότητι, καὶ ψυχρούς. ἀβλαβῆ γὰρ ἀφροδίσια μόνοις τοῖς ὑγροῖς καὶ θερμοῖς ἐστί, καὶ ὅσοι φύσει πολύσπερμοι. περὶ ὧν
ἐν ταῖς ἀνωμάλοις κράσεσιν αὐτίκα λεχθήσεται. μοχθηραὶ δὲ καὶ αἱ μεθ' ὑγρότητος ψυχραὶ κράσεις εἰσί,
καὶ μάλιστα αὐτοῖς τοῖς ῥευματικοῖς ἁλίσκονται νοσήμασιν, ὀνίνησι τε αὐτάς, ἀλουσία τε καὶ γυμνάσια, καὶ δίαιτα

λεπτότεραι, καὶ χρίσματα μετρίως θερμαίνοντα, περὶ ὧν τῆς ἰδέας ἔμπροσθεν εἴρηται κατὰ τὸν περὶ τῶν κόπων λόγον. ὅσοι δὲ ψυχρότεροι μέν εἰσι φύσει, συμμέτρως δ' ἔχουσι τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν κράσεως, ἥττον οὗτοι τῶν καὶ κατὰ ταῦτα δυσκράτων εἰσὶ μοχθηροί, πρὸς ὑγίειάν τε καὶ ῥώμην σώματος. ἐπεγείρειν οὖν αὐτῶν χρὴ καὶ ῥωννύναι τὴν θερμασίαν. ἐν δὲ τῇ καθ' ὑγρότητα καὶ ξηρότητα τῆς ὕλης διαίτης ἰδέᾳ τὸ μέσον. ταῦτά μοι σύμπαντα, περὶ τῶν ὁμαλὴν τὴν δυσκρασίαν ἐχόντων εἴρηται, τουτέστιν ὁμοίως ἅπαντα μόρια πρὸς τὸ θερμότερον, ἢ ψυχρότερον, ἢ ὑγρότερον, ἢ ξηρότερον ἐκτεταμένα. περὶ δὲ τῶν ἀνώμαλον ἐχόντων τὴν κατασκευὴν τοῦ σώματος, οὐκ ἐγχωρεῖ διὰ βραχέων εἰπεῖν. ἐπειδὴ πολλαὶ τῶν τοιούτων ὑπαλλάξεις εἰσίν, ἄλλων ἄλλο μόριον ἐχόντων δύσκρατον. ἀλλὰ καὶ κἂν δύο δύσκρατα ἔχωσί τινες, ὑπαλλάξεις καὶ τούτων γίνονται πολλαί, καὶ διὰ τοῦτο πρότερον εἰπόντες ὅσα περί τε τὴν ἀμεμπτον ἐχόντων κατασκευήν, βιοῦντι δὲ βίον δουλικόν, ἢ περιστατικόν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, ποιητέον ἐστίν, καὶ μετὰ ταῦτα, ὅσα τοῖς ὁμαλὴν τὴν δυσκρασίαν ἐν ὁμοίῳ βίῳ, μεταβησόμεθα τηνικαῦτα πρὸς τοὺς ἀνώμαλον ἔχοντας ἐν τοῖς τοῦ σώματος μέρεσι τὴν κατασκευήν. ἄμεμπτον δὲ κατασκευὴν σώματος, ὡς πολλάκις εἴρηται κατὰ πλάτος νοητέον ἐστίν, ὥσπερ καὶ αὐτὴν τὴν ὑγίειαν, ὅτι γὰρ ὑγιαίνειν τις ἡμῶν δόξει τὴν γ' ἀκριβῶς ἄμεμπτον ὑγίειαν οὐκ ἔχων, οὔτ' ἀμέμπτως κατεσκευάσθαι τὸ σῶμα. λέγουσι δ' ὑγιαίνοντας μὲν, ὅσοι μήτ' ὀδυνῶνταί τι μέρος σώματος, εἴς τε τὰς κατὰ τὸν βίον ἐνεργείας ἀπαραπόδιστοι τυγχάνουσιν ὄντες. οὕτω δὲ καὶ κατασκευὴν σώματος ἄμεμπτον ἔχειν, ὅταν μήθ' ὑπὸ τῶν ἔξωθεν αἰτίων ἑτοίμως εἰς νόσον ἄγηται, μήθ' ὑπὸ τῶν ἐξ αὐτῶν, διωρισμένου δηλονότι τοῦ νοσεῖν ἐνίους συνεχῶς, οὐ διὰ τὴν οἰκείαν κατασκευὴν τοῦ σώματος, ἀλλὰ καὶ διὰ μοχθηρὰν δίαιταν, ἤτοι γ' ἀργὸν βίον βιοῦντας, ἢ ὑπερπονοῦντας, ἢ περὶ τὰς τῶν σιτίων ποιότητας, ἢ ποσότητας, ἢ καιροὺς ἁμαρτάνοντας, ἤ τινα τῶν ἐπιτηδευμάτων βλαβερῶς ἐπιτηδεύοντας, ἢ περὶ τὴν τῶν ὕπνων ποσότητα σφαλλομένους, ἢ χρῆσιν ἀφροδισίων ἄμετρον, ἢ καὶ συντήκοντας ἑαυτοὺς, ἐν λύπαις καὶ φροντίσιν οὐκ ἀναγκαίαις. οἶδα γὰρ παμπόλλους διὰ τοιαύτας αἰτίας νοσοῦντας καθ' ἕκαστον ἐνιαυτόν, ἀλλ' οὐ φήσομεν αὐτοὺς κακῶς κατεσκευάσθαι τὸ σῶμα. καθάπερ ἐκείνους, ὅσοι μηδὲν ἁμαρτάνοντες ὧν κατέλεξα, συνεχῶς νοσοῦντας. ὑποκείσθω τοίνυν ἐν λόγῳ πρῶτος, ὁ τὴν κατὰ πλάτος ἄμεμπτον ἔχων κατασκευὴν σώματος, ἐν βίῳ δουλικῷ δι' ὅλης ἡμέρας ὑπηρετῶν ἤτοι τῶν μεγίστων δυναμένων τισίν, ἢ μονάρχων. χωριζόμενος δὲ τῆς δεσπότου περὶ τὰ πέρατα τῆς ἡμέρας. ὁρίσαι δὲ πάλιν ἐπὶ τούτου χρὴ τίνα λέγω πέρατα, παρακολουθεῖν γὰρ ὁ λόγος ἐργάσεται τοῖς ἀναλεγομένοις αὐτό, εἰ μὴ τύχοι διορισμοῦ προσήκοντος. ἐὰν γοῦν εἴπω χωρίζεσθαι τηνικαῦτα πρῶτον εἰς τὴν ἐπιμέλειαν τοῦ σώματος ἡνίκα ὁ ἥλιος δύνῃ μὴ προσθεὶς ὁποίας ἡμέρας λέγω, πότερον τὰς περὶ τὰς θερινὰς τροπὰς ἢ χειμερινὰς ἢ κατά τινα τῶν ἰσημερινῶν, ἢ χρόνον ἑκάτερον ἐν τῷ μεταξὺ τῶν εἰρημένων καιρῶν, ἀδύνατόν ἐστι συμφερούσας ὑποθήκας ποιήσασθαι. κατὰ γοῦν τὴν ῥωμαίων πόλιν αἱ μέγισται μὲν ἡμέραι καὶ νύκτες βραχὺ μείζους ὡρῶν ἰσημερινῶν. ιε. γίγνονται. καθάπερ γε πάλιν αἱ ἐλάχισται, μικρὸν ἀπολείπουσαι τῶν. θ. κατὰ δὲ τὴν μεγάλην ἀλεξάνδρειαν, ιδ. μὲν ὡρῶν, αἱ μέγισται. ι. δὲ, αἱ σμικρόταται. ὁ μὲν οὖν ἐν ταῖς σμικροτάταις μὲν ἡμέραις, μεγίσταις δὲ νυξὶν ἀφιστάμενος τῆς ὑπηρεσίας ἡλίου δυομένου, κατατρίψασθαι κατὰ σχολὴν, καὶ λούσασθαι δύναται, καὶ κοιμηθῆναι συμμέτρως. οὐδεὶς δ' ἐστὶν ὃς οὐδ' ἐν ταῖς μεγίσταις, οὐδ' ἐν ~~ταύταις~~ οἷός τ' ἐστὶ τι πρᾶξαι μετρίως, οὐ μὴν οὐδ' ἔγνω τινὰ τοιαύτῃ δυστυχίᾳ βίου χρησάμενον. ὁ γοῦν ὧν ἴσμεν αὐτοκρατόρων ἑτοιμότατα πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν ἀφικόμενος ἀντωνῖνος, ἐν μὲν ταῖς μακραῖς ἡμέραις ἡλίου δύνοντος εἰς τὴν παλαίστραν παρεγίγνετο. κατὰ δὲ τὰς μεγίστας ὥραν. θ. ἢ τὸ πλεῖστον. ι. ὡς ἔξεστι τοῖς παραμένουσιν αὐτῷ κατὰ τὰς ἡμερησίας πράξεις ἀπαλλαγεῖσι, προνοήσασθαι τοῦ σώματος ἐν τῷ λοιπῷ μέρει τῆς ἡμέρας, ὡς ἅμα τῷ δῦναι τὸν ἥλιον εἰς ὕπνον τρέπεσθαι. τῆς γάρ τοι σμικροτάτης νυκτὸς ἴσης οὔσης, θ. ταῖς ἰσημεριναῖς ὥραις, αὐτάρκης ὁ τοσοῦτος χρόνος αὐτοῖς ὕπνου τυχεῖν. ἐπισκεπτέον οὖν εἴτε γυμνάζεσθαι κατὰ τὸν ἔμπροσθεν βίον ὁ τοιοῦτος ὑπηρέτης ἔθος ἔχει, εἴτ' ἀγύμναστος λούεσθαι. τινὲς γὰρ, οὐδὲ ἄχρι τοῦ τρίψασθαι προνοοῦνται σφῶν αὐτῶν ἄντικρυς τ' εἰς τὸ βαλανεῖον εἰς ἴασιν παραχεόμενοι τὸ ἔλαιον. ἢ καὶ στλεγγίδα μόνον λαβόντες, ὡς κατ' αὐτὸ τὸ βαλανεῖον ἀποστλεγγίζεσθαι τὸν ἱδρῶτα. καὶ μέντοι καὶ μετρίως φέρουσι τὸ τοιοῦτον ἔθος ἔνιοι. ὥστε τινὰς αὐτῶν μήτε νοσεῖν συνεχῶς ὅταν ὦσιν εὐδιάπνευστοι, καὶ καλοῦσί γε αὐτοὺς, ἀραιοσυγκρίτους ἔνιοι τῶν ἰατρῶν τε καὶ γυμναστῶν. εἴρηται δὲ καὶ ὑφ' ἱπποκράτους ὑγιεινοτέρους μὲν εἶναι τοὺς τοιούτους. ἀραιότης γάρ φησι σώματος, ἐς διαπνοὴν οἷς πλέον φέρεται ὑγιεινότεροι, οἷσι δ' ἐλάσσων, νοσερώτεροι, τὴν μὲν δὴ τοιαύτην φύσιν σώματος, οὐ χρὴ μετάγειν, ἐφ' ἔθος, οὐδ' ὅλως οὐδὲ μίαν, ἀλλ' ὅσαι διὰ τοῦ πολλοῦ χρόνου νοσοῦσιν, εἰ δὲ συνεχῶς τις νοσοίη, σκεπτέον ἐπ' αὐτὴν τὴν αἰτίαν, εὑρεθήσεται δὲ τὴν ἀρχὴν τῆς ζητήσεως, ἡμῶν ἀπὸ τῶν τῶν νόσων εἰδοὺς ποιησαμένων, ὅσα γὰρ ἐκ τῆς ἐναντίας κακίας νοσεῖ τὸ σῶμα, διττὴν ἔχει τὴν πρόφασιν, ἢ τὸ πλῆθος, ἢ κακοχυμίαν. εἰ μὲν δὴ πληθωρικὰς νόσους νοσεῖν φαίνοιτο, σκοπὸς ἔστω καθόλου εἰς τὴν ὑγιεινὴν δίαιταν αὐτῷ, ὅπως συμμέτρους ἕξει τοὺς χυμούς. εἰ δὲ διὰ κακοχυμίαν, ὅπως ἀρίστους. ἡ δὲ κατὰ μέρος πρόνοια τῆς μὲν ἐν ποσότητι συμμετρίας εἰρήσεται πρότερον, τῆς δ' ἐν ποιότητι, δεύτερον, λέγωμεν οὖν ἤδη περὶ τῆς προτέρας, ἐπ' ἀρχῆς ἀναγαγόντες τὸν λόγον, ὅταν ἐλάττω τὰ διαπνεόμενα τοῦ σώματος ᾖ τῶν λαμβανομένων, αἱ πληθωρικαὶ νόσοι γίγνονται. φυλακτέον οὖν ἐστι τὴν συμμετρίαν τῶν ἐσθιομένων τε καὶ πινομένων πρὸς τὰ κενούμενα, σύμμετρα δὲ ἔσται σκεψαμένων ἡμῶν ἐν ἑκατέροις τὴν ποσότητα, τοὺς μὲν γὰρ ἄντικρυς εἰς τὸ βαλανεῖον εἰσιόντας ἐπεὶ τρίψει τε κεχρῆσθαι καί τι καὶ βραχὺ κινεῖσθαι πρότερον, ὅσοι δ' ἔφθανον ταῦτα ποιεῖν, ἐπ' ὀλίγον μὲν αὐξῆσαι καὶ αὐτὰ ταῦτα συμβουλεύσομεν. ἀφαιρεῖν δὲ χρὴ καὶ τῶν τροφῶν, ἤτοι τῆς ποιότητος ἢ τῆς ποσότητος, ἢ καὶ συναμφοτέρων, τοὺς μὲν γὰρ ταχέως ἀθροίζοντας ἀξιόλογον πλῆθος ἑκατέρων ὅσοι δ' οὐ ταχέως ἢ οὐκ ἀξιόλογον, ἀρκέσει θάτερον ὃ ἂν αὐτὸς ὁ ἄνθρωπος αἱρῆται, τὸ μὲν οὖν τῆς ποσότητος ἀφελεῖν γνώριμον, τὸ δὲ τῆς ποιότητος ἐν τῇ τῶν ὀλιγοτρόφων προσφορᾷ ἐδεσμάτων γίγνεται. πολλὰ γὰρ ἐπὶ χοιρείοις κρέασι διαιτώμενοι, πλῆθος ἀθροίζουσι τάχιστα, δεομένους τῆς τοιαύτης τροφῆς τρίψεών τε καὶ γυμνασίων ἰσχυρῶν. ἐπὶ λάχανα τοίνυν αὐτοὺς ἀκτέον ἐστὶ μὲν χεδροπὰ τὰ μὴ πολύτροφα, καὶ ἰχθῦς ὁμοίως καὶ ὄρνιθας, ὅσοι μὴ πολύτροφοι,

τῶν δὲ κα-

τῶν δὲ κακοχυμίαν ἀθροιζόντων οὐχ ὡσαύτως τοῖς τὸ πλῆθος ἀθροίζουσιν οὐχ εἷς ἐστὶν ὁ σκοπὸς, ὅτι μὴ δὲ τῆς κακοχυ-
μίας ἰδέα μία, τινὲς μὲν γὰρ ψυχροτέραν τε καὶ φλεγματικωτέραν ἀθροίζουσι κακοχυμίαν, τινὲς δὲ θερμοτέραν
τε καὶ χολωδεστέραν, ἔνιοι δὲ ὑδατωδεστέραν, ὥσπερ ἄλλοι μελαγχολικωτέραν, ἀφεκτέον οὖν ἐστὶν ἑκάστῳ σιτίων
τε καὶ ποτῶν, ὅσα πέφυκε γεννᾶν ἑτοίμως τὸν ἀθροιζόμενον αὐτοῖς χυμόν. εἴρηται δὲ περὶ αὐτῶν ἱκανῶς, ἐν τρισὶ
μὲν ὑπομνήμασιν, ἃ περὶ τῆς ἐν ταῖς τροφαῖς δυνάμεως ἐπιγέγραπται, καθ᾽ ἕτερον δὲ ἐν ᾧ περὶ εὐχυμίας καὶ κακο-
χυμίας, ἡ διάθεσις γίγνεται, καὶ τούτων δ᾽ ἔξωθεν ἐστὶ τὸ περὶ τῆς λεπτυνούσης διαίτης, ἡ τις ἐπιτήδειος τοῖς τὸν
καλούμενον ὠμὸν χυμὸν ἀθροίζουσι, γίγνεται, παχὺν μὲν ὑπάρχοντα πάντως, οὐκ ἀεὶ δὲ καὶ γλίσχρον. ἐπὶ πάντων
δὲ τούτων κοινὸν βοήθημα γαστρὸς ὑπαγωγὴ, καὶ μάλιστα ὅσοις ἐστὶ φύσει σκληροτέρα, κοινὸν δὲ καὶ τὸ τῶν ἀφροδισί-
ων σύμμετρον, ἐπὶ μὲν γὰρ τῶν ἀμέμπτων κατασκευῶν τοῦ σώματος, οὐ χρὴ παντάπασιν ἀφροδισίων ἀπέχεσθαι, κα-
θάπερ ἐπὶ τῶν ξηρῶν ἐμπροσθεν εἴρηται. σκεπτέον δ᾽ ἐν τοῖς μάλιστα πότερον ἅπαξ ἢ δὶς ἐσθίειν τοὺς ἐν τῷ τοιού-
τῳ βίῳ συμφέρει. τῆς σκέψεως δ᾽ ἐστὶ κεφάλαιον ἥ τε τοῦ σώματος αὐτῶν φύσις, ἥ τ᾽ ἐπὶ ταυτὸν συνήθεια τῆς διαί-
της, καὶ βέλτιον ἐπ᾽ αὐτοῖς ἐὰν ᾖ φανῇ, μετακινητέον ἐστὶν τὸ ἔθος, ὅπως αὐτοῦ φέρει τὴν ὑπαλλαγὴν ὁ ἄνθρωπος, ἀπὸ
μὲν οὖν τῆς φύσεως, ἡ τοῦ συμφέροντος ἔνδειξις γίνεται, τῶν μὲν ἐκχολουμένης τῆς γαστρὸς, εἴρηται μὲν ἤδη καὶ διὰ τοῦ
γράμματος, εἰρήσεται δὲ καὶ νῦν, ἔστω μὲν ἀεὶ τὰ πρῶτα τῶν ἐσθιομένων τε καὶ πινομένων, ὅσα λαπάττει τὴν γαστέρα,
τῶν μὲν οἴνων, οἱ γλυκεῖς, ἐδεσμάτων τε τὰ λάχανα, δι᾽ ἐλαίου τε καὶ γάρου τῶν ὑπακτικῶν, οὐ γὰρ ἅπαντες εἰσὶ τοιοῦτοι,
φυλακτέον τῶν οἴνων τοὺς αὐστηροὺς, ὥσπερ γε καὶ τῶν ἐδεσμάτων τὰ στύφοντα, πλὴν εἰ μετὰ τὴν ἐδωδὴν ἅπασαν
ἕνεκα τοῦ τονῶσαι τὸ στόμα τῆς γαστρὸς ἡ προσφορὰ γίγνοιτο. κεκτέον δὲ καὶ τοῦτο τῇ πείρᾳ, τισὶ γὰρ οὐ μόνον ἄλυπος
ἐστὶν ἡ τοιαύτη χρῆσις τῶν στυφόντων, ἀλλὰ καὶ συντελεῖ τι πρὸς ὑπαγωγὴν γαστρὸς, ἐκ τοῦ τονωθῆναι κατὰ τὸ στόμα
τὴν κοιλίαν. ἐναργέστατον δὲ ἐπὶ τῶν ἀσθενέστερον ἐχόντων αὐτὴν φαίνεται τοῦτο γιγνόμενον, ὅσοι δὲ τοῖς κατὰ παλαίστραν
γυμνασίοις ἐχρῶντο πρὸ τοῦ λουτροῦ, πρὶν ἐμπεσεῖν ἀσχόλῳ βίῳ, τούτοις ἀριστῆσαι μὲν αὐτῶν βλαβερώτατον, ὁμοί-
ως δὲ χρῆσθαι πρὸς τὸ βλαβερὸν καὶ ἀδύνατον. ὅπερ οὖν ἔφην ὀνομάζεσθαι γυμνασίων εἶδος ἀποθεραπευτικὸν, τού-
του χρηστέον αὐτοῖς ἅμα καὶ τοῦ πλήθους τῶν χοιρείων κρεῶν ἀφαιρῆς. ἐπεὶ δὲ ὡς ἔφην ἐνίοις ἐσθίειν ἄμεινον ἢ πρὸ τοῦ
λουτροῦ, περί τε τῆς ὥρας ἐν ᾗ τοῦτο πρακτέον αὐτοῖς ἐστὶ, καὶ περὶ τῆς ποιότητος τε καὶ ποσότητος ὧν χρὴ προσφέ-
ρεσθαι, λεκτέον ἐφεξῆς. ὅπερ οὖν εἴωθε ποιεῖν αὐτὸς ἐγὼ καθ᾽ ἣν ἂν ἡμέραν ὀψιαίτερον ἡγῶμαι λούσασθαι διαφ-
ρόντων ἐπισκέψεις, ἤ τινα πολιτικὴν πρᾶξιν, εἰπεῖν οὐκ ὀκνήσω. ὑποκείσθω μὲν ἡμέρα καθ᾽ ἣν τοῦτο γίγνεται, ιγ.
τῶν ἰσημερινῶν ὡρῶν, ἐλπίζεσθαι δὲ περὶ δεκάτην ὥραν ἡ τοῦ σώματος ἐπιμέλεια γενήσεσθαι, κατὰ ταύτην τὴν ὑπόθε-
σιν, ἔδοξέ μοι περὶ τετάρτην ὥραν προσφέρεσθαι τροφὴν ἁπλουστάτην, ἥ τις ἐστὶν ἄρτος μόνος, ἐγὼ μὲν οὕτω αὐτὸς
ἔπραξα, τινὲς δὲ οὐχ ὑπομένουσιν ἄρτον ἐσθίειν μόνον ὄψων χωρὶς, ἀλλ᾽ ἤτοι μετὰ βαλάνων φοινίκων, ἢ ἐλαιῶν,
ἢ μέλιτος, ἢ ἁλῶν ἐσθίουσιν, εἶτα καὶ πίνουσιν ἔνιοι τινὲς αὐτῶν, ἐγὼ δὲ οὐκ ἔπιον ποτὲ ἐπὶ τοιαύτῃ τροφῇ, καὶ μόνον
ἔφαγον τὸν ἄρτον. ἔστω δ᾽ αὐτῶν πλῆθος ἑκάστου τοσοῦτον, ὅσον ἄχρι τῆς δεκάτης ὥρας ἐν τῇ γαστρὶ πεφθῆναι δύνα-
ται, καὶ γὰρ εἰ γυμνάζεσθαι βούλοιντο, μάλιστα ἂν, οὕτως ἀβλαβῶς γυμνάσαιντο. βλάβη γὰρ ἐνίοις οὐ σμικρὰ γίγνεται
γυμναζομένοις ἐν τῷ πλήθει σιτίων, ἐνίοις δὲ καὶ ἡ κεφαλὴ πληροῦται, καὶ κατὰ τὸ ἧπαρ αἴσθησις γίγνεται τάσεως, ἢ βά-
ρους, ἢ ἀμφοῖν, ὅταν οὖν τι τοιοῦτον συμβαίνῃ, θεραπευτέον αὐτὸ τὸ πρᾶγμα, τὰς μὲν κατὰ τὸ ἧπαρ ἐμφράξεις, διὰ τῶν
ἐκφραττόντων, τὰς δὲ τῆς κεφαλῆς πληρώσεις, διὰ περιπάτων, μάλιστα μὲν πρὸ τροφῆς οὐδὲν μὴν κωλύει, καὶ μετὰ
τὴν τροφὴν, ἀλλὰ τούτοις μὲν ἐσχάτως βραδεῖς ποιεῖν προσήκει, τοὺς δὲ πρὸ τῆς τροφῆς, συντονωτέρους μὲν τούτων,
μὴν τοιούτους ὁποίους ἐπειγόμενοι πρός τινα πρᾶξιν ἐνεργοῦμεν, ὅσα δ᾽ ἐκφράττει τὸ ἧπαρ ἁρμόζειν ταῦτα ταῖς
βραδυπεψίαις, ἄριστα δ᾽ αὐτῶν ἐστὶν, ὀξύμελί τε, καὶ τὸ διὰ τριῶν πεπέρεων, ἐν ᾧ μηδὲν μέμικται τῶν ἀνθῶν φαρ-
μάκων, καὶ ἡ λεπτύνουσα δίαιτα, ταῦτα γὰρ βραδυπεψίας ἐπανορθοῦται, καὶ τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις ἰᾶται.
διαφθορᾶς δὲ τῶν ἐν τῇ γαστρὶ σιτίων γιγνομένης, οἷς μὲν ὑπέρχεται τὰ διεφθαρμένα μέγιστον ἐφόδιον εἰς ὑγίειαν
ἔχουσιν, οἷς δὲ οὐχ ὑπέρχεται διὰ τῶν ἀλύπως ὑπαγόντων, ἐρεθιστέον. ἐστὶ δὲ ταῦτα τό, τε διοσπολιτικὸν ὀνομα-
ζόμενον φάρμακον, ὅταν ἴσον τοῖς ἄλλοις λάβῃ τὸ νίτρον, τό τε διὰ τῶν ἰσχάδων τε καὶ τοῦ κνίκου, ὅσα τ᾽ ἄλλα διὰ
κνίκου ἢ ἐπιθύμου συντίθεται, τοῖς δ᾽ οὕτω διακειμένοις ἀνθρώποις, συμφέρουσι καὶ οἱ πρὸ τροφῆς ἔμετοι, ἔμετος
δὲ οἴνου πόσεως γλυκέος γινόμενος. συμβουλεύειν δὲ αὐτοῖς χρὴ μηδὲν κνισῶδες, ἢ βρομῶδες, ἢ ὅλως εὔφθαρ-
τον ἔδεσμα προσφέρεσθαι, τὰ καλούμενα δὲ ὑπὸ τῶν ἰατρῶν εὔχυμα ταῦτα ἐκλέγεσθαι. γέγραπται δὲ
περὶ αὐτῶν ἑτέρωθι, κατὰ τὸ περὶ τῆς εὐχυμίας τε καὶ κακοχυμίας ὑπόμνημα. γέγραπται δὲ ὡς ἔφην ἤδη κἀν τοῖς
τρισὶν ἐν ᾧ περὶ τῆς ἐν ταῖς τροφαῖς δυνάμεως, ὁ λόγος ἐστί. ἐπιτήδειον δὲ τοῖς οὕτως ἔχουσιν ἀνθρώποις ἐκ
διαλειμμάτων χρόνου συμμέτρου τῆς γαστρὸς ὑπαγωγὴ διὰ τῶν μετρίως καθαιρόντων, ὁποῖον ἐστὶ δι᾽ ἀλόης πικρὸν,
οὕτως γὰρ αὐτὸ καλοῦσι πολλοὶ τῶν ἰατρῶν, ὥσπερ ἔνιοι πικρὰν θηλυκῶς. ἐὰν δ᾽ ἐπιτρέψῃς πολλῷ χρόνῳ τὴν
κακοχυμίαν ἀθροίζεσθαι, νόσημά τι χαλεπὸν αὐτοῖς συμβήσεται, καὶ δύνανταί γε τὴν τοιαύτην ἑαυτῶν
πρόνοιαν ποιεῖσθαι κατὰ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ἑορτή τίς ἐστι δημοτελὴς ἐλευθεροῦσα τῆς δουλικῆς ὑπηρεσίας
αὐτούς. ἀλλὰ δι᾽ ἀκρασίαν οὐ μόνον οὐδὲν ποιοῦσιν εἰς ἐπανόρθωσιν τῶν κατὰ τὸ σῶμα μοχθηρῶς ἠθροισμένων, ἀλλὰ
καὶ προσεπιπληροῦσιν αὐτὰ, κακῶς διαιτώμενοι κατὰ τὰς ἑορτὰς, ἁλίσκονται τοιγαροῦν νοσήμασιν, ἔνιοι μὲν
αὐτῶν οὕτως χρονίοις, ὡς ἐν ἁπάσῃ τῇ ζωῇ παραμένειν, ὁποῖον ἐστι κακὸν, ἥτε ποδάγρα καὶ ἡ ἀρθρῖτις, καὶ ἡ νε-
φρῖτις, ἔνιοι δὲ ὀξέσι μὲν, ἀλλ᾽ ἐνοχλοῦσιν αὐτοῖς ἤτοι καθ᾽ ἕκαστον ἔτος, ἢ πάντως γε διὰ δυοῖν, τινὲς δὴ καὶ
τρίς, οὕτω νοσοῦσιν καθ᾽ ἓν ἔτος, ἡ δ᾽ ὑγιεινὴ τέχνη τοὺς πειθομένους αὐτῇ διαφυλάττειν ὑγιαίνοντας ἐπαγγέλ-
λεται, τοῖς δ᾽ ἀπειθοῦσιν, ἐν ἴσῳ καθέστηκεν, ὡς εἰ καὶ μηδόλως ἦν. ἀπειθοῦσι δ᾽ ἔνιοι μὲν ὑπὸ τῆς ἐν τῷ πα-
ραχρῆμα νικηθέντες ἡδονῆς, οὓς ἀκρατεῖς τε καὶ ἀκολάστους ὀνομάζομεν, ἔνιοι δὲ ὑπὸ φιλοτιμίας ἣν ὀνομά-
ζουσιν οἱ νῦν Ἕλληνες κενοδοξίαν, ὁποῖος ἦν καὶ ὁ πάντα μᾶλλον ὑπομένειν παθεῖν ἢ πιστεύεσθαι συνεχῶς
τὸ σῶμα, συμβουλευόντων αὐτῷ τῶν ἰατρῶν τὸ βοήθημα τοῦτο, διὰ τὴν ἰσχνότητα. γίγνεται δ᾽ αὕτη τισὶ

μὲν, ἐπὶ τῇ καθ' ὅλον τὸ σῶμα δυσκρασίᾳ κατὰ τὴν ἐπὶ τὸ ξηρότερον καὶ ψυχρὸν ὑπερβολήν. ἐνίοις δὲ διὰ τὴν ἀναδοτικὴν δύναμιν ἢ θρεπτικὴν, ἢ ἀμφοτέρας ἀῤῥωστοτέρας οὔσας φύσει. πάντας δὲ οὖν οὕτως ἔχοντας ὀνίνησιν, ὁ καλούμενος ὑπὸ τῶν νῦν ἑλλήνων, δρώπαξ, καὶ γὰρ ἀνάδοσιν συντελεῖ καὶ θρέψιν, καὶ πολλούς γε τῶν ἰσχνῶν ἐμπροσθεν ἔστιν ἰδεῖν παχυνθέντας ἐπὶ τῷ βοηθήματι, καὶ μάλιστα οἷς ἡ μὲν ἀναδοτικὴ δύναμις ἄῤῥωστός ἐστιν, ἡ θρεπτικὴ δὲ οὐκ ἄῤῥωστος ᾖ, ἀλλὰ δι' ἀπορίαν ὕλης ἐπιτηδείου, τρέφειν αὐτάρκως οὐκ ἐδύνατο, τούτου συμβαίνοντος αὐτῇ δι' ἔνδειαν τῆς ἀναδιδομένης τροφῆς. ἀλλ' ἔνιοι ὡς ἔφην ὑπὸ φιλοτιμίας, ἵνα μὴ δόξωσιν ὁμοίως τοῖς τρυφῶσιν ἢ καλλωπιζομένοις πείθεσθαι, φεύγουσι τὴν διὰ αὐτῶν βοήθειαν ἄλλοτι κελεύοντες ἡμᾶς ἐφευρεῖν αὐτοῖς βοήθημα τῆς ἰσχνότητος, ἔστι δὲ οὐδὲν μὲν τῷ δὲ δύναμιν ἔχον ἴσην, ὠφελεῖν μέντοι δύναται καὶ τὰ τοιαῦτα, πρὸ τοῦ λουτροῦ χερσὶ μὴ πάνυ μαλακαῖς, ὥσπερ αὖ μὴ δὲ τραχείαις ἀνατρίβειν τὸ σῶμα μέχρι περ ἂν ἐρυθρὸς χρῇ, κἄπειτα τρίψει σκληρᾷ, μὴ πολλῇ πιλοῦντας τὸ δέρμα, πυκνὸν καὶ σκληρὸν ἐργάζεσθαι, καὶ μετὰ ταῦτα, γυμνασίοις συμμέτροις χρησάμενον, εἶτα λουσάμενον, ἄνευ τοῦ κονίσασθαι κατὰ τὸ βαλανεῖον, ἐκμάττεσθαι παραπλησίως τῇ προειρημένῃ ξηροτριβίᾳ, καὶ μετὰ ταῦτα ἐπαλείφεσθαι ἐλαίῳ βραχεῖ, προσφέρεσθαι τὰ σιτία, σκοπὸς γὰρ τῶν τοιούτων ἐστὶν, εἰς τὸ σαρκῶδες γένος ἑλκύσαντες αἷμα χρηστὸν, ἐπεγείρεσθαι τὴν ἐν αὐτοῖς θρεπτικὴν δύναμιν, ὅπως μὴ διαφορηθείη τὸ ἑλχθέν. ῥώννυται μὲν οὖν ἡ θρεπτικὴ δύναμις. ἐκ τοῦ θερμανθῆναι τὰς σάρκας, οὐ διαφορεῖται δὲ τὸ παραγόμενον εἰς αὐτὰς αἷμα, χρισαμένων ἐλαίῳ, δύναμιν ἐμπλαστικὴν ἔχοντι φαρμάκῳ. εἰ δὲ τὰ τῆς ἡλικίας ἐπιτρέπει καὶ ψυχρολουσίαις ὁ αὐτὸς ἄνθρωπος χρώμενος ἅμα τοῖς εἰρημένοις, ὀνήσεται μεγάλως. ἔμπαλιν δὲ ἐπὶ τῶν ἀμέτρως παχυνθέντων, ἐκλύειν μὲν χρὴ τὴν ἀνάδοσιν, αὐξάνειν δὲ χρὴ τὰς ἀραιότητας τοῦ σώματος, ἡ μὲν οὖν ἀνάδοσις ἐκλύεται συνεχέσιν ὑπαγωγαῖς γαστρὸς, ἐθισάντων ἡμῶν τὰ τῆς τροφῆς ὄργανα κάτω ταχέως, ὠθεῖν ὅσα περιέχεται κατὰ ταῦτα, τὰς δὲ ἀραιότητας τοῦ σώματος αὐξάνομεν, ὀξέσι γυμνασίοις, ὧν ἐστὶ καὶ δρόμος, ἀλείμμασί τε διαφορητικοῖς τρίβοντες, ἐπὶ πλεῖστον, εἶναι δὲ χρὴ τὴν τρίψιν δηλονότι μαλακὴν τε καὶ ἀραιωτικήν. ἐγὼ γοῦν τινὰ παχὺν ἱκανῶς, ὀλίγῳ χρόνῳ συμμέτρως εὔσαρκον εἰργασάμην, ὀξεῖ δρόμῳ χρῆσθαι καταναγκάζων, εἶτ' ἀπομάττων μὲν τὸν ἱδρῶτα σινδόσιν ἤτοι λίαν μαλακαῖς ἢ λίαν τραχείαις ἐφεξῆς δὲ τρίβων ἐπὶ πλεῖστον, ἀλείμμασι διαφορητικοῖς, ἃ καλοῦσιν ἤδη συνήθως οἱ νεώτεροι τῶν ἰατρῶν, ἄκοπα, καὶ μετὰ τὴν τοιαύτην τρίψιν ἐπὶ τὸ λουτρὸν ἄγων, ἐφ' ᾧ λουτρῷ, τροφὴν μὲν εὐθέως οὐ προσέφερον, ἡσυχάζειν δὲ μεταξὺ κελεύων, ἢ καί τι τῶν συνήθων αὐτῷ πράττειν, αὖθις ἐπὶ τὸ δεύτερον ἦγον λουτρὸν, εἶτ' ὄγκους ἐδεσμάτων ὀλιγοτρόφους ἐδίδουν, ὡς ἐμπιπλᾶσθαι μὲν, ὀλίγον δὲ ἐξ αὐτῶν εἰς ὅλον ἀναδίδοσθαι τὸ σῶμα. καὶ τὰς ἄλλας δὲ δυσκρασίας ἐν ὅλῳ τῷ σώματι γινομένας, ὁμοίως ἐπανορθοῦσθαι χρὴ πρῶτον μὲν ὧν προσήκει πράττειν, εὑρίσκοντα τὸν σκοπὸν, εἶτα τὰς δυναμένας αὐτὰ δρᾶν ὕλας. διὸ καὶ σύντομος ὁ νῦν λόγος ἅπαξ γίγνεται, πρὸς οὖν μεμνημένους τῶν τε τρίψεων καὶ τῶν γυμνασίων καὶ τῶν λουτρῶν τὰς διαγωγὰς, ἔτι τε πρὸς τούτοις, ἐδεσμάτων τε καὶ φαρμάκων. περὶ μὲν οὖν τρίψεων τε καὶ γυμνασίων, ἐν τῇ δὲ τῇ πραγματείᾳ πρόσθεν εἴρηται, περὶ δὲ τῶν τροφῶν, ἑτέρωθι, καθάπερ γε καὶ περὶ τῶν φαρμάκων. ἡ γάρ τοι κατὰ μέθοδον διδασκαλία, τὰ κοινὰ καὶ καθόλου περιλαμβάνουσα, εἰς πολλὰ τῶν κατὰ μέρος, εὐμνημόνευτός τε καὶ σύντομος γίγνεται. ἐγὼ δὲ οὐ μόνα τὰ καθόλου λέγω, ἀλλὰ καὶ τὰ παραδείγματα τῶν κατὰ μέρος αὐτοῖς προστιθεὶς, τελειοτάτην ἡγοῦμαι ποιεῖσθαι τὴν διδασκαλίαν. καιρὸς οὖν ἤδη μεταβαίνειν ἐπὶ τὰς ἀνωμάλους κατασκευὰς τῶν σωμάτων, αἳ δὴ καὶ νοσώδεις πάντως εἰσίν. ἀνώμαλοι δὲ κατασκευαὶ γίγνονται τριττῶς, διὸ καὶ ἡ τοῦ σώματος ἡμῶν σύνθεσις ἐστὶ τριττὴ, μία μὲν ἡ ἐκ τῶν πρώτων στοιχείων, ἐξ ὧν γέγονε τὰ καλούμενα παρὰ ἀριστοτέλους ὁμοιομερῆ. δευτέρα δὲ, ἡ ἐκ τούτων αὐτῶν τῶν ὁμοιομερῶν, ἃ δὴ καὶ αὐτὰ στοιχεῖα πάλιν ἐστὶν αἰσθητὰ τῶν ὁμοιομερῶν, ὅθεν ἡ τῶν ὀργανικῶν γίγνεται σύνθεσις. ἐπ' αὐτοῖς ἡ τρίτη τοῦ παντὸς σώματος, ἐκ τῶν ὀργανικῶν. εὐκολωτέρα μὲν οὖν ἐστὶν ἡ τρίτη λεγομένη, καὶ διαγνωσθῆναι, καὶ προνοίας τυχεῖν, δυσκολωτέρα δὲ, ἡ δευτέρα, χαλεπωτέρα δὲ ἡ πρώτη. βέλτιον οὖν ἀπὸ τῆς τρίτης ἄρξασθαι, ῥᾴονα τήν τε διάγνωσιν ἐχούσης καὶ τὴν πρόνοιαν, οἷον εὐθέως ἐπὶ τῆς κεφαλῆς, οὐδὲν γὰρ χεῖρον ἐντεῦθεν ἄρξασθαι, δυσκράτου φύσει γινομένης, ὡς πολλὰ γεννᾶν περιττώματα, ἐξ ὧν αἱ βλάβαι γίνονται τοῖς ὑποκειμένοις ὀργάνοις, ἐφ' ὅτι ἂν αὐτῶν τράπηται τὸ περιττόν. ἐθιμωτάτη μὲν οὖν ἡ εἰς τὸ στόμα καὶ τὰς ῥῖνας φορὰ, παραγίγνεται δὲ καὶ εἰς ὀφθαλμοὺς, ἐνίοις δὲ καὶ εἰς ὦτα. τὴν εἰς δὲ τὸ στόμα φορὰν τῶν περιττωμάτων ὑποδέχεται, στόμαχός τε καὶ ἡ τραχεῖα ἀρτηρία. καλοῦσι δὲ αὐτὴν καὶ βρόγχον, ἧς τὸ συνάπτον τῷ στόματι πέρας ὑψηλὸν, ὀνομάζεται δὲ λάρυγξ ὄργανον φωνῆς ὑπάρχον, ὡς ἐν τῷ περὶ φωνῆς ὑπομνήματι δέδεικται. οὕτως τε οὖν αὐτὸς ὁ λάρυγξ ὑπὸ τῶν εἰς αὐτὸν ἐκ τῆς κεφαλῆς καταῤῥεόντων ὑγραινόμενος, ἐν ἀρχῇ μὲν, βραγχώδη τὴν φωνὴν ἐργάζεται, προϊόντος δὲ τοῦ χρόνου, μικρὰν. ἢν δ' ἐπὶ πλέον ἥκῃ τὸ κακὸν, ἀπόλλυται πᾶσα, συνδιαβρέχεται γὰρ τῷ λάρυγγι καὶ ἡ ἀρτηρία. δριμέος δὲ τοῦ ῥεύματος ὄντος, οὐκ εἰς φωνὴν μόνην ἡ βλάβη τοῖς εἰρημένοις μορίοις, ἀλλὰ καὶ χαλεπωτάτη τις ἀνάβρωσις προσέρχεται τοιαύτη τὴν φύσιν, οἵας καὶ κατὰ τὸ δέρμα βλέπομεν βλαπτόμενον γιγνομένας πολλάκις, ἄνευ τῆς ἔξωθεν αἰτίας. οὕτως δὲ καὶ πνεύμων αὐτοῖς ἑλκοῦται. καὶ φθόη καλεῖται τὸ πάθος. ἐὰν δὲ εἰς στόμαχόν τε καὶ γαστέρα τρέπηται τὸ ῥεῦμα, ψυχρὸν μὲν ὑπάρχον. εἰς δυσκρασίαν ψυχρὰν ἄγει τὰ σώματα, θερμὸν δὲ, εἰς θερμήν, ἑλκοῖ δὲ τοῦτον τῷ χρόνῳ. κατ' ἀρχὰς δὲ τάς τε ὀρέξεις βλάπτει καὶ τὰς πέψεις. ἐὰν μὲν οὖν ψυχρὸν ᾖ τὸ ῥεῦμα, βραδυπεψίας τε καὶ ἀπεψίας, καὶ ὀξυρεγμίας ἐργάζεται. ἐὰν δὲ καὶ διεφθαρμένον, εἰς διαφθορὰν ἄγει τὴν τροφὴν, ἤτοι κνισώδεις, ἢ ὀξώδεις ἐρυγὰς ἀναπέμπουσα, ἤ τινος ἑτέρας ἀῤῥήτου τε καὶ ῥυπαρᾶς ποιότητος. ὑποκαταβαίνουσα δὲ, ἡ βλάβη καὶ τὴν νῆστιν ἀδικεῖ, καὶ τὸ κῶλον. ἅπτεται δὲ καὶ τῶν κατὰ τὸ μεσεντέριον ἀγγείων, δι' ὧν εἰς ἧπαρ ἡ ἀνάδοσις γίγνεται, καὶ τισὶ μὲν ἀνορεξίαι παρακολουθοῦσιν. ἐνίοις δὲ, ὀρέξεις παρὰ φύσιν, ἃς ὀνομάζουσι κυνώδεις, ἢ καὶ μοχθηρῶν ἐδεσμάτων ἐπιθυμία, καθάπερ ταῖς κιττώσαις. εὔδηλον δὲ, ὅτι καὶ σταφυλὴ, καὶ παρίσθμια, καὶ παρουλίδες, ἀντιάδες τε καὶ βρώσεις ὀδόντων, ἑλκώσεις τε καὶ σηπεδόνες ἐν τῷ στόματι, τοῖς ἐκ τῆς κεφαλῆς εἰς αὐτὰ καταῤῥέουσιν ἰχῶρσιν ἕπονται. καὶ τό γε πολὺ πλῆθος τῶν ἰατρῶν, ἢ τὸν γαργαρεῶνα τέμνουσιν ἢ φάρμακα διδόασιν, ὅπως ἀναπτύῃ τὰ διὰ τῆς

τραχείας

τραχείας ἀρτηρίας εἰς τὸν πνεύμονα κατενεχθέντα. τῆς γαστρὸς δὲ ἄλλοι πονοῦνται, καθάπερ ἄλλοι, τῶν ὀδόντων τε καὶ τοῦ στόματος, ἢ καὶ τῶν ἐν τῇ ῥινὶ συνισταμένων. ἵνα τοὺς ὀφθαλμοὺς ἢ τὰ ὦτα παραλείπω, βλαπτομένων οὐκ ὀλίγων εἰς αὐτά. βέλτιον δὲ ἦν οἶμαι, τὴν οἷον πηγὴν τῶν κακῶν ἐκκόψαι, ῥώσαντα τὴν κεφαλήν, ἢ εἴπερ ἀδύνατον εἴη τοῦτο διὰ τὴν σφοδρότητα τῆς φυσικῆς δυσκρασίας, προνοεῖσθαι γοῦν αὐτῆς διὰ παντός, τὴν ἔνδειξιν τῆς προνοίας ἀεὶ τῆς κατ' αὐτὴν ἰδέας ποιουμένου, οὐχ ὡς ἔνιοι τῶν ἰατρῶν, ἁπάσαις ἀεὶ ταῖς κεφαλαῖς, τὰ διὰ θαψίας καὶ νάπυος προσφέρουσιν, οὕτως δὲ καὶ αὐτοὶ πράττοντες, εἰ γοῦν ὑπὸ θερμῆς δυσκρασίας ἡ κεφαλὴ κακὸν ἔχει, βλαβερὰ τὰ τοιαῦτα φάρμακα, χρὴ τοίνυν αὐτοὺς λουτροῖς πολλοῖς ποτίμων ὑδάτων παρηγορεῖν, διαφοροῦντάς τε ἅμα τοὺς ἐν τῇ κεφαλῇ γινομένους ἀτμοὺς θερμούς, καὶ τὴν κρᾶσιν ὅλην ἐργαζομένους βελτίω. βλαβερὰ δὲ τούτοις, ἡ τῶν αὐτοφυῶν θερμῶν ὑδάτων χρῆσις. ὅσα μὲν γὰρ αὐτῶν θειώδη τέ ἐστι καὶ ἀσφαλτώδη, ταῦτα θερμαίνειν ἐναντιώτατα ταῖς φύσει θερμαῖς κεφαλαῖς. ὅσα δὲ στυπτηριώδη, τῷ στεγνοῦν. μόνοις δ' ἄν, εἴπερ ἄρα, τοῖς γλυκέσι τῶν αὐτοφυῶν ὑδάτων, ἀβλαβῶς χρῷντο. τοῦτο γὰρ ἀσφαλὲς εἰπεῖν, ὡς τό γε καὶ ὠφελεῖσθαι πρὸς αὐτῶν, οὐχ ὁμοίως ἀσφαλές. οὐ γὰρ ἐὰν ἦν ἴσως θερμά, μὴ μετέχοντα τινὸς δυνάμεως φαρμακώδους θερμῆς. ἄμεινον δὲ τῇ πείρᾳ κρίνειν τὰ τοιαῦτα τῶν ὑδάτων, καὶ γὰρ καὶ σπανίως εὑρίσκεται, παρ' ἡμῖν ἀπὸ σταδίων τῆς πόλεως οὐ πολὺ πλειόνων ξ'. ἐν Προύσῃ δὲ ἐλαττόνων ἢ δέκα. τὸ μὲν οὖν παρ' ἡμῖν ἐν Ἀλλιανοῖς, οὕτως γὰρ ὀνομάζεται τὸ χωρίον, ἑνὸς εἴδους ἐστὶν ὅλον, ἐκ μιᾶς πηγῆς ἀνίσχον. ἐν δὲ τῷ τῆς Προύσης ἑτέρου, καὶ ἄλλη πηγὴ φαρμακώδους ὕδατος, ὥσπερ παρ' ἡμῖν ἐν Λυκέτοις. ὅσοι δὲ σφόδρα θερμὴν καὶ διακαῆ ἔχουσι κεφαλήν, ἄμεινον αὐτοῖς ὥρᾳ θέρους ἀλείφεσθαι ῥοδίνῳ, χωρὶς στυμμάτων ἐκ μόνων ῥόδων γεγονότι, καὶ τοῦ τό γε αὐτοῦ, βέλτιόν ἐστι τὸ καλούμενον ὀμφάκινόν τε καὶ ὠμοτριβὲς ἔλαιον ἐμβεβλημένων τῶν ῥόδων, καὶ πολύ γε βέλτιον εἰ καὶ χωρὶς ἁλῶν ἐσκευασμένον εἴη. τινὲς δὲ κεφαλαὶ διὰ τὴν τῶν ἀρτηριῶν κρᾶσιν ἐν συμπτώμασι γίγνονται, σκοτωματικοῖς τε καὶ κεφαλαλγικοῖς, ἐφ' ὧν καὶ ταῖς ἀρτηριοτομίαις χρώμεθα τῆς ὑγιεινῆς πραγματείας ἐκπεπτωκυίας. τὰς μὲν συνεχῶς ὀδυνωμένας διὰ τὴν τῶν νεύρων εὐαισθησίαν ὅσα τῆς κεφαλῆς ἐκφυόμενα, περὶ πλεῖστον μὲν ἑαυτῇ μέρει τὸ τῆς γαστρὸς στόμα διαπλέκει. φέρεται δέ τις αὐτῶν μοῖρα, καὶ πρὸς τὴν λοιπὴν γαστέρα, τῆς ὑγιεινῆς τέχνης ἔργον ἰᾶσθαι. μᾶλλον δ' ὅπως μηδ' ὅλως γίγνηται ταῦτα παρασκευάζειν ἄριστον προφυλακῇ προνοουμένων ἡμῶν τὸν χολώδη χυμόν. ἤτοι μηδ' ὅλως συρρεῖν εἰς τὴν κοιλίαν, ἢ ὅτι τάχιστα κενοῦσθαι. τοῦ μὲν οὖν μηδ' ὅλως συρρεῖν ἡ πρόνοια γίγνεται, διὰ τοῦ θᾶττον ἐσθίειν. ὅταν μὲν γοῦν, ἡ μὲν ὅλου τοῦ σώματος κρᾶσις ᾖ χολωδεστέρα, τὰ δὲ περὶ κοιλίαν ἀτονώτερα, στηρίζεσθαι δεῖται διὰ τροφῆς εὐστομάχου. μὴ γινομένου δὲ τούτου, καταρρέουσιν ἰχῶρες εἰς αὐτήν, οὓς ἀθροίζει τὸ σῶμα παντελῶς. ἐκ δὲ τῆς τούτων ἀναθυμιάσεως, οὐ μόνον αἱ κεφαλαλγίαι γίνονται ἤσιν, ἀλλὰ καὶ τὰ τῶν ὑποχεομένων συμπτώματα, καί τισιν αὐτῶν ἐπιληπτικοὶ σπασμοί. τούτοις οὖν ἅπασιν ἡ μὲν ὅλη δίαιτα πρὸς τὸ ψυχρότερον μᾶλλον καὶ ὑγρότερον ὑπαλλαχθείη. κενούσθω δὲ τὰ συρρέοντα δι' ἐμέτων τε καὶ γαστρὸς ὑπαγωγῆς. ῥωννύσθω δ' ὁ στόμαχος, ἐδέσμασι μετὰ ἑκάστης ἡμέρας πρὶν ἐκχολωθῆναι, φαρμάκοις δ' ἐκ διαλειμμάτων μακροτέρων, ἀψινθίου τε κόμης, καὶ διὰ τῆς ἀλόης, ἣν καλοῦσι πικράν. ἐκκαθαίρει γὰρ τοῦτο καὶ τὸ διὰ βάθους χολῶδες ἐν τοῖς χιτῶσι τῆς γαστρός, οὐ πάνυ τι τῆς ἀψινθίου δυναμένου ποιεῖν τοῦτο, ῥυπτικαί τε γὰρ αὐτῷ καὶ στυπτικαὶ δυνάμεις εἰσὶ μόναι, ὥστε τὸ μὲν ὡς ἂν εἴποι τις ῥύπτον τῶν χιτώνων τῆς γαστρὸς ἀποσπᾶν, οὐ μὴν ἔτι περὶ βάθους αὐτὸ ἐστίν, ἕλκειν ἔξω τοῦτο καὶ κενοῦν ὥσπερ ἡ ἀλόη. τὰ δ' ἔξωθεν τοῦ σώματος χρίσματα τῆς γαστρός, ἐπὶ ταύτην ἔστω, μετρίως στύφοντα. μήλινον δέ ἐστι, καὶ μαστίχινον, καὶ νάρδινον, καὶ τὰ τοιαῦτα θέρους μὲν τὸ μήλινον μᾶλλον. ἐν χειμῶνι δέ, ἡ νάρδος. ἦρος δέ, τὸ μαστίχινον, ἐν περὶ μέσῳ γοῦν τοῦτο ἐστί, μηλίνου τε καὶ ναρδίνου μύρου. θερμαίνοντος μὲν τοῦ ναρδίνου, καὶ μάλιστα ὅταν ἀμώμου πλέον ἔχει, ψύχοντος δὲ τοῦ μηλίνου. ταῖς δὲ πλουσίαις γυναιξὶν ὑπάρχει νάρδου κρεῖττον χρίσμα, φουλιάτον τε καὶ τὰ καλούμενα σπίκατα θερμαίνοντα καὶ ῥωννύντα τὴν γαστέρα, ἐὰν δὲ μὴ μόνον ἡ κεφαλὴ θερμοὺς ἰχῶρας ἐπιπέμπῃ τοῖς περὶ γαστέρα χωρίοις, ἀλλὰ καὶ αὐτὴ τύχῃ θερμὴν δυσκρασίαν ἔχειν, τοῖς ἐμψύχουσιν ἐδέσμασί τε καὶ πόμασιν ἀεὶ χρῆσθαι προσήκει τὸ μᾶλλόν τε καὶ ἧττον ἐν αὐτοῖς ὑπαλλάττοντα περὶ τὰς ὥρας τοῦ ἔτους οὐ πρὸς τοὐναντίον ἀφικνουμένους, ὥσπερ ἐπὶ τῶν εὐκράτων ἐργαζόμεθα. χειμῶνος μὲν θερμαίνοντες, θέρους δέ, ψύχοντες, ὡσαύτως δὲ εἰ καὶ ἀμφότερα τὰ μόρια τὴν ψυχρὰν ἔχει δυσκρασίαν. ἀεὶ μετὰ χρῆσθαι τοῖς θερμοῖς ἐδέσμασί τε καὶ πόμασι καὶ χρίσμασιν. ὑπαλλάττειν δὲ αὐτὰ περὶ τὴν ὥραν ἐπιτείνοντας καὶ ἀνιέντας. χαλεπὴ δὲ γίνεται μίξις, ὅταν ἤτοι γε εἰς θερμὴν γαστέρα καταρρέωσιν ἐκ τῆς κεφαλῆς οἱ ψυχροὶ καὶ φλεγματώδεις ἰχῶρες, εἰς τὴν ψυχρὰν δὲ οἱ θερμοί, καὶ τούτων γ' ἀμφοτέρων ἐπειράθην ἀεὶ δυσμεταχειροτέρας οὔσης τῆς ἑτέρας, καθ' ἣν εἰς ψυχρὰν δ' οἱ θερμοί, καὶ τούτων γ' ἀμφοτέρων ἐπειράθην ἀεὶ δυσμεταχειριστοτέρας οὔσης τῆς ἑτέρας, καθ' ἣν εἰς θερμὴν κοιλίαν αἱ φλεγματώδεις τε καὶ ψυχροὶ καταφέρονται χυμοί, χαλεπὴ δέ, ὅταν οὕτως ἔχῃ κατασκευῆς τε καὶ φύσεως ὁ ἄνθρωπος δ' μήτ' εὔλυτον ἔχειν γαστέρα, μήτ' ἐμεῖν ἑτοίμως. διαφθείρονται γοῦν οἱ φλεγματώδεις χυμοὶ περὶ τὴν γαστέρα χρονίζοντες, ὡς δάκνειν ταύτην ἀναπέμπειν τε πρὸς τὴν κεφαλὴν ἀτμοὺς ἔστιν ὅτε μοχθηρούς. ὡς ἐάν γε φλεγματώδεις χυμοὶ ἐκ τῆς κεφαλῆς εἰς ψυχρὰν φύσει γαστέρα καταρρέῃ, ῥᾴστη τοῖς τοιούτοις βοήθεια γίγνεται, λαμβάνουσιν ἕωθεν τοῦ διὰ τριῶν πεπέρεων ἁπλοῦ φαρμάκου, καὶ πέπερι δὲ μόνον ἀκριβῶς λεῖον ὕδατι μίξαντα πίνειν ἐγχωρεῖ. κάλλιον δ' ἐστὶ καὶ εὐστομαχώτερον εἰς αὐτὰ τὸ λευκόν. ἀψινθίου δὲ πόσις ἐναντιωτάτη τοῖς οὕτω διακειμένοις. ἐμπλάττει γοῦν αὐτῶν τῇ γαστρὶ τὸν φλεγματώδη χυμόν, ὡς ἂν οὐκ ἔχον ἀξιόλογον ἐν ἑαυτῷ δύναμιν ῥυπτικήν. οὐ μὴν οὐδ' ἀλόη τούτους ὀνίνησιν ἑλκτικὴν δύναμιν ἔχουσα χολώδους χυμοῦ. καὶ διὰ τοῦτ' ἐπενοήθη καλῶς ἡ καλουμένη πικρὰ τῇ τῶν μιγνυμένων δριμύτητι καὶ θερμότητι, τέμνουσα καὶ ῥύπτουσα τοὺς παχεῖς καὶ γλίσχρους χυμούς, ὁποῖόν ἐστι τὸ κινάμωμον, ἀλλ' οὐχ οἷόν τε τοιούτῳ φαρμάκῳ χρῆσθαι συνεχῶς, ὥσπερ τῷ διὰ τριῶν πεπέρεων, ἢ τῷ διὰ τῆς καλαμίνθης. εἰ γάρ καὶ καθ' ἑκάστην ἡμέραν χρῷτο τούτοις, ὁ τὴν ψυχρὰν ἔχων γαστέρα βλάβης οὐδὲ μιᾶς πειραθήσεται. τὸ πίπαν μὲν οὖν εἰς ς'. δραχμὰς τῆς ἀλόης, ἓξ ἑκάστου τῶν ἄλλων μίγνυνται, ὄντων καὶ αὐτῶν ἕξ. καὶ αὕτη γ' ἐστὶν ἣν

ἅπαντες ἐν Ῥώμῃ σκευάζουσι πικράν. ἐγὼ δὲ καὶ δύο ἄλλας συντίθημι. ἐπὶ μὲν τὴν ἑτέραν αὐτῶν πλείονα μιγνὺς
τὰ θερμαίνοντα, ἐπὶ δὲ τὴν ἑτέραν ἐλάττονα. πλείονα μὲν οὖν τἄλλα ἐμβληθήσεται, τῆς ἀλόης μόνης ἀφελόντων ἡ-
μῶν τοῦ πλήθους, ὡς εἰς π. ἀλόης δραχμὰς, ἐμβάλλεσθαι τῶν ἄλλων ἑκάστου τὰς ἕξ. ἐλάττονα δὲ, τῆς ἀλόης τὸ πλῆθος
αὐξησάντων, κ. δραχμαῖς, καὶ εἰς ρ καὶ κ. τῆς ἀλόης ἑκάστου τῶν ἄλλων ἐμβάλλειν ἕξ. δῆλον δὲ ὅτι κινναμώ-
μου τῆς ἀρίστης, ἐμβάλλεις κασίας τῆς ἀρίστης τὸ διπλάσιον. ἔνιοι γοῦν εἰς τοσοῦτον ἥκουσι τῆς κασίας τῆς ἀρετῆς, ὡς μη-
δὲν ἀποδεῖν ἀτόνου κινναμώμου. τῆς γὰρ εὐτόνου, καὶ ἡ τοιαύτη κασία, πολλῷ λείπεται. ἀλλ᾽ ὥσπερ ὅταν ἀποροῦμεν ἄρ-
του καλοῦ τὸν φαυλότατον ἐσθίομεν, οὕτω καὶ κασίας τῇ καλλίστῃ χρησόμεθα ἐπὶ τὴν ἀπορίαν τοῦ κινναμώμου. ἐφ᾽
ὧν μὲν οὖν σωμάτων ἥτε γαστήρ ἐστι ψυχρὰ, ἤτοι γ᾽ εὔκρατος μὲν, ἀλλ᾽ ἐπὶ τὸ ψυχρότερον ῥέπουσα, ἐπιτήδειόν ἐστι
τὸ διοσπολιτικὸν καλούμενον φάρμακον. ὃ καὶ αὐτὸ διττῶς εἴωθα συντιθέναι. τοῖς μὲν ἐπεχομένοις τὴν γαστέρα, νί-
τρου τοῦ βερνικαρίου καλουμένου μιγνὺς ἴσον τῷ τε κυμίνῳ καὶ τῷ πηγάνῳ, καὶ τῷ πεπέρει. τοῖς δ᾽ εὔλυτον ἔχουσιν,
ἥμισυ. συμπεφώνηται γὰρ ὑπὸ τούτου τοῦ φαρμάκου, λεπτύνεσθαι μὲν τὸ φλέγμα καὶ φυσώδη πνεύματα ἐκκενοῦσθαι,
χαλεπὴ δ᾽ ἐστὶ καὶ δυσμεταχειριστος ἡ ἐπιπλοκὴ τῆς δυσκράτου περὶ θερμοτάτης γαστρὸς τῇ ψυχρᾷ κεφαλῇ. τὸ
μὲν γὰρ φλέγμα τὸ καταῤῥέον εἰς τὴν γαστέρα, χρήζει τοῦ διὰ τῶν τριῶν πεπέρεων τε καὶ καλαμίνθης, ὥσπερ γε καὶ τοῦ
προειρημένου διοσπολιτικοῦ. τὸ δὲ στόμα τῆς γαστρὸς ὑπὸ τῶν ἐκπυρούντων βλάπτεται. τέμνειν οὖν τῶν οὕτω διακειμένων
καὶ ἀποῤῥύπτειν τὸ φλέγμα, πειρᾶσθαι χρὴ διὰ τῶν μὴ θερμαινόντων, ὁποῖόν ἐστι καὶ ὀξύμελι. χαλεπὴ δὲ καὶ δυσδιάθε-
τος ἐστὶν ἐπιπλοκὴ, καὶ ἡ τῶν τοιούτων κατασκευῶν τοῦ σώματος, ἐν αἷς ἄτονον μέν ἐστι καὶ ναυτιῶδες τὸ στόμα τῆς κοι-
λίας, ὃ δὴ καὶ στόμαχον ὀνομάζουσιν, ἰσχυρὸν δὲ, ὅσα γὰρ αὐτὴν προτρέπει, πάντα ἀνατρέπει τὸν στόμαχον, ὡς ἐπιπο-
λάζειν τε αὐτοῦ τὰ σιτία, καὶ ναυτίαν ἐργάζεσθαι πολλάκις, οἷς ἐξ ἀνάγκης ἕπεται τὸ μὴ πέττεσθαι καλῶς τὴν τροφήν.
ἐὰν δὲ πάλιν εὐστόμαχα διδῶς αὐτοῖς ἐδέσματα καὶ γ. καὶ δ. ἡμέρας ἡ γαστὴρ ἐπέχεται τοῖς τοιούτοις οὖν ἐν
εἶδος εὗρον διαίτης ἁρμόττειν, ἐν ἀρχῇ προσφερόμενα λάχανά τε δι᾽ ἐλαίου καὶ γάρου, καὶ τἄλλα ὅσα μαλάττειν
εἴωθε τὴν γαστέρα, μετὰ δὲ τὴν αὐτάρκη τροφὴν, ἐπιλαμβάνουσί τι τῶν τονούντων τὸν στόμαχον, ἔστι δὲ δὴ μῆλον τε καὶ
ἄπιον, καὶ ῥοιά. ἔνια γάρ ἐστι τοιαῦτα γένη χωρὶς ὀξύτητος στύφοντα. αὐτὸς δὲ ὁ ἄνθρωπος ἁπάντων αὐτῶν ἐν μέ-
ρει πειραθεὶς σαφῶς, ὅπερ ἂν ἀβλαβέστατόν τε καὶ ἥδιστον εὑρίσκει τούτῳ χρήσθω. μὴ † παχὺ δὲ μὴ δὲ τούτων ἑκάστου

† αλ. πάγχυ

λαμβάνειν, ἀλλ᾽ ὅσον ὡς ἔφην ἰᾶσθαι τὴν ἀτονίαν τοῦ στομάχου. τῆς γὰρ τοιαύτης αὐτῶν χρήσεως ἐπειράθην εὔλυτον
ἐργαζομένης τὴν κοιλίαν, καὶ μᾶλλον γε τοὔμπαλιν οἱ οὕτω διακείμενοι διαχωροῦσιν ἐπιφαγόντες τι τῶν στυφόντων ἢ
εἰ μηδὲ ὅλως ἐχρήσαντο. τονωθὲν γοῦν αὐτῶν τὸ στόμα τῆς κοιλίας, ὠθεῖ κάτω τὰ τ᾽ ἐπιπολάζοντα, καὶ σὺν αὐτοῖς, τὰ
καθ᾽ ὅλην τὴν ἄνω γαστέρα, καὶ τὴν γε φορὰν τῶν σιτίων ὑποδεχόμενα, τὰ ἔντερα, διαφυλάττει, προωθοῦντα καὶ
αὐτὰ, τὸ περιγινόμενον ἐκ τῶν ὑπερκειμένων εἰς αὐτά. φαίνεται γὰρ ἡ προωστική τε καὶ ἀποκριτικὴ δύναμις, κἂν
ἐκ τῶν περὶ τὴν ἕδραν χωρίων ὁρμήσῃ τι πρὸς τὴν ἄνω φορὰν, ἄχρι πλείστου διαφυλάττουσα, καί τοι παρὰ φύσιν οὔσης
ἐν ζώῳ τῆς τοιαύτης ὁδοῦ. ὅτι δὲ ἀληθές ἐστιν ὃ λέγω, πάρεστι μαθεῖν ἑκάστῳ τῶν πολλάκις ἡμῖν συμβαινόντων ἀνα-
μνησθέντι. δακνώδης γοῦν ἐνίοτε χυμὸς εἰς τὰ περὶ τὴν ἕδραν χωρία παραγενόμενος ἐρεθίζει μὲν ἡμᾶς ἐπὶ τὴν
ἔκκρισιν αὐτῶν, κατασχεῖν δὲ αὐτῶν ἀναγκασθέντες. ἐπειδὰν ἐν πολιτικαῖς ὦμεν πράξεσιν, ἀπαλλαγέντες αὐ-
τῶν, οὐκέτ᾽ ἀποκρινόμεθα αἰσθανόμεθά τε πολλάκις ἐκ τούτων τῆς κεφαλῆς ὀδυνηρᾶς γινομένης, ἀναφερομένοι. εὐ-
λόγως οὖν εἰ καὶ τοῖς ὑπακτικοῖς σιτίοις ἐπιπολαζομένου στομάχου, τὰ στύφοντα ληφθέντα τόνον, ἐποιήσαντα τοῖς
ἄνω μέρεσι τῆς γαστρὸς, ἀρχὴν τῆς κάτω φορᾶς ἐργάζεται τοῖς ἐν αὐτῷ περιεχομένοις, ἣν διαδεχόμενα τὰ ἔντερα
μέχρι τοῦ κάτω πέρατος εἴωθε φυλάττειν. αὐτάρκως οὖν εἰρημένων τούτων, ὥρα μεταβαίνειν ἐπ᾽ ἄλλην κατασκευὴν
ἀνώμαλον, οὐδὲν μιᾶς τῶν προσθεν ἀπολειπομένην τῇ κακίᾳ, καθ᾽ ἣν οἱ μὲν νεφροὶ, λίθους, ἢ πώρους. ἢ ὅπως ἂν ὀνο-
μάζειν ἐθέλῃς, γεννῶσιν. ἡ δὲ τοῦ σώματος ἅπαντος φύσις ἰσχνὴ τετύχηκεν οὖσα. χρήζουσι μὲν γὰρ οὗτοι φαρμά-
κων καὶ διαιτημάτων λεπτυνόντων, ἐναντιώτατα δ᾽ ἐστὶ ταῦτα, τοῖς ἰσχνοῖς σώμασιν. ὥστε τις τῶν χρωμένων αὐ-
τοῖς διὰ τοὺς νεφροὺς, δυσκινήτων τε καὶ δυσαισθήτων καὶ ὥσπερ ψοφούντων τι καπνηρὸν, ὡς αὐτὸς ὠνόμαζεν,
αἰσθανόμενος τῶν δακτύλων, ἐκοινώσατο μὲν τὰ πρῶτα τοῖς περὶ τὴν καμπανίαν ἰατροῖς ἔνθα διέτριβεν, οἱ δὲ ὡς κα-
ταχομένου αὐτοῦ ἐπὶ διαθέσει, παράλυσιν ἀπειλούσῃ, τοῖς διὰ εὐφορβίου καὶ λιμνήσεως, ἣν ἀδιάρκην τε καὶ ἀδάρκην
ὀνομάζουσιν, ἐχρῶντο φαρμάκοις. ὡς δὲ πολὺ χείρων ἡ διάθεσις ἐγένετο, καὶ προσανέβαινεν ἀεὶ τὰ συμπτώματα, τοῖς
ὑπερκειμένοις μέρεσι μετὰ τοῦ σφόδρα ὀδυνᾶσθαι, κατά τινα τύχην ἐπιδημήσαντί μοι τὴν καμπανίαν, δηλώσας
ὁ κάμνων τὰ συμβάντα παρεκάλει βοηθεῖν. ἐγὼ δὲ ὅτι μὲν ἐκ τῶν φαρμάκων ὧν εἶπον ὑπεξηρανθεὶς, εἰς τοιαύτην ἧκε
διάθεσιν, συνῆκα. ζητῶν δέ τινα αὖθις αὐτῷ δίαιταν εὕροι, καθ᾽ ἣν ἄνευ τοῦ βλάπτεσθαι τοὺς νεφροὺς, ἰᾶσθαι τῆς ξη-
ρότητος, πτισσάνης τε χυλὸν ἐπενόησα, καὶ τῶν ἰχθύων τοὺς πετραίους τε καὶ πελαγίους, ὅσοι δ᾽ ἄλλοι μηδὲν ἔχουσι
γλίσχρον. οὕτω δὲ καὶ τῶν πτηνῶν ζώων, ὅσα παραπλήσιον ἔχει τὴν σάρκα. πολλὰ δὲ ἐστι τῶν ὀρείων ὀνομαζομένων ὀρνίθων
τοιαῦτα ταῖς κράσεσιν. ὅσα γὰρ ἐν ταῖς πόλεσι κατακλείσαντες ὑγραῖς καὶ πολλαῖς τροφαῖς πιαίνουσιν οἱ τὰ
τοιαῦτα καπηλεύοντες, ἐναντιώτατα τούτοις ἐστί. ἀρίστη δὲ σὰρξ εἰς τὰς τοιαύτας διαθέσεις ἐστὶν ὡς τῶν ὀρνίθων περ-
δίκων. ἐπ᾽ αὐτὰ δὲ τῶν ἀτταγήνων, καὶ ψάρων, καὶ κοττύφων, καὶ κιχλῶν. ἐὰν δὲ ἀπορῶμεν ὀρείων ὀρνίθων, ἐκ τῶν ἐν τοῖς
ἀγροῖς τρεφομένων καὶ, τῶν περὶ τοὺς πύργους περιστερῶν νομάδων λαμβάνειν προσήκει. καθάπερ γε καὶ τῶν
ἐν τοῖς πύργοις νεοττευόντων στρουθίων, οὓς ὀνομάζουσι πυργίτας. ἔστωσαν δὲ ἐν ὑψηλοῖς χωρίοις οἱ τοιοῦτοι τῶν ὑ-
γρῶν, οὕτω γὰρ καὶ ταῖς ἀλεκτορίσι καὶ τοῖς ἀλεκτρυόσι τοῖς περὶ τὰς ἐπαύλεις τρεφομένοις ἔνεστι χρῆσθαι. γάλακτος
δὲ τοῦ μὲν τῶν ἄλλων ζώων, εἴργειν τοῖς οὕτω διακειμένοις, μόνῳ δ᾽ ἐπιτρέπειν χρῆσθαι τῷ τῶν ὄνων, ἐπειδὴ λεπτομε-
ρέστερόν ἐστι τοῦ τῶν ἄλλων. καὶ συνελόντι φάναι μεταξὺ, τῆς τε λεπτυνούσης διαίτης, καὶ τῆς παχυνούσης εἶναι χρὴ
τὴν δὲ τούτοις ἁρμόττουσαν τὴν περὶ μέρος ὕλην, ἐν τοῖς περὶ τῶν τροφῆς δυνάμεων ὑπομνήμασιν ἔγραψα, καὶ
προσέτι τῷ περὶ τῆς εὐχυμίας τε καὶ κακοχυμίας. διὸ καὶ μηκύνειν ἐν τῷ παρόντι περιττόν, ἀρκεῖ γὰρ τοσοῦτο
μόνον εἰπεῖν, ὡς κατὰ τῆς τοῦ ὅλου σώματος ἀνατρέψεως ἐπὶ τῶν τοιούτων προνοεῖσθαι χρὴ, δι᾽ ἧς ἐμπροσθεν

εἶπον

εἶπον ἀγωγῆς ἡνίκα ἐμνημόνευσα τοῦ πάντα μᾶλλον ὑπομένοντος παθεῖν, ἢ πιπώσασθαι. πάχεος δὲ ὄντος τοῦ λιθιῶντος ἀνθρώπου, θαῤῥῶν ἂν προσφέροιτο τῇ λεπτυνούσῃ διαίτῃ. τὰ δ' αὐτὰ νόμιζε καὶ περὶ τῶν ἀρθριτικῶν προεγνῶναι. πίνοντες γοῦν κἀκεῖνοι τὰς ἀρθριτικάς τε καὶ ποδαγρικὰς ἀντιδότους, οἱ μὲν εὔσαρκοι καὶ παχεῖς καὶ πιμελώδεις, οὐδὲν βλάπτονται. λεπτοὶ δὲ ὑπάρχοντες, ὅλον τε τὸ σῶμα ξηραίνοντες, καὶ πόδας αὐτοὺς, ἐνίοτε καὶ τὰς χεῖρας, εἰ πρότερον ἐπεπόνθεσαν, εἰς χαλεπωτάτην ἄγουσι διάθεσιν. εἰδέναι μέν τοι χρὴ τὰς ποδαγρικὰς ταύτας ἀντιδότους πολλῶν τῶν νεφριτικῶν διαλλάττειν. οὐ μόνον γὰρ λεπτύνειν τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς, ἀλλὰ καὶ γὰρ θερμαίνειν τε καὶ ξηραίνειν. ἐπὶ γάρ τοι τῶν νεφριτικῶν, οὐδὲ τὴν ἀρχὴν ὅσα θερμαίνει σφοδρῶς διδόναι χρή. λέλεκται δὲ τελέως δηλονότι περὶ τῶν τοιούτων, ἁπάντων ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ, καὶ ταῖς περὶ τῶν φαρμάκων, διτταῖς οὔσαις καὶ ταύταις, προτέρας μὲν τῇ τάξει τῆς τῶν ἁπλῶν, δευτέρας δὲ τῆς τῶν συνθέτων, ὥστε μηδ' ὅλως, οὔτ' ἐπὶ πλέον μεμνῆσθαι προσήκει, διὰ τὸ καὶ τὰ τοιαῦτα σώματα μεταξὺ τῶν τε ἀκριβῶς ὑγιαινόντων καὶ τῶν ἤδη νοσούντων εἶναι. τὸ γάρ τοι προφυλακτικὸν ὀνομαζόμενον μέρος τῆς ἰατρικῆς τῶν οὕτω διακειμένων προνοεῖται σωμάτων. οὐδένα γοῦν τῶν ἄμεμπτον ἐχόντων τὴν τοῦ σώματος ἕξιν, οὔτ' ἀξιοῦμεν φάρμακα πίνειν οὔτε λεπτυνούσῃ διαίτῃ χρῆσθαι. τοὺς δὲ διὰ φυσικὴν ἀσθένειαν, ἤ τι τοῦ σώματος ἅπαντος ἢ μορίων τινῶν ἑτοίμως βλαπτομένους, εἰς τὴν προφυλακτικὴν ὀνομαζομένην ἀγωγὴν ἀξιοῦμεν ἕλκεσθαι, τῆς ὑπόπτου διαίτης ἀφισταμένους, ὑφ' ἧς οὐδὲν ὁρῶμεν βλαπτομένους ὅσοι καλῶς κατεσκευασμένοι τὰ σώματα φύσει διαπονεῖν οὐκ ὀκνοῦσι τὰ μέτρια. τοῖς μέν τοι ῥᾳδίως πάσχουσιν, ὡς καὶ τοῖς μεγάλοις νοσήμασιν ἐμπίπτειν συνεχῶς, οἷον τοῖς ἐπιληπτικοῖς δὴ, καὶ σκοτωματικοῖς, καὶ κεφαλαλγικοῖς, ἔτι τε τοῖς ἄλλοις ἐφ' ὧν ἡ κεφαλὴ τοῖς ὑποκειμένοις μορίοις αἰτία γίγνεται τῶν συμπτωμάτων, ἐν οἷς εἰσιν ὀδόντες, οὖλά τε καὶ κίων, καὶ συλλήβδην εἰπεῖν, ἅπαντα τὰ περὶ τὸ στόμα, καὶ τὸν φάρυγγα μόρια, καὶ πρὸς αὐτοῖς ὦτα, καὶ ὀφθαλμοὶ, καὶ στόμαχος, καὶ κοιλία, καὶ τὰ πνευμονικὰ μόρια, λάρυγξ, καὶ ἀρτηρία τραχεῖα, καὶ πνεύμων, καὶ θώραξ, ὁ σκοπὸς τῶν διαιτημάτων κοινὸς, αὐτὴν μὲν καὶ πρώτην καὶ μάλιστα τὴν κεφαλὴν ἐργάζεσθαι δυσπαθῆ. μετὰ ταῦτα δὲ καὶ τῶν βλαπτομένων μορίων προνοεῖσθαι, γινώσκοντας ὡς καὶ τοῦτ' αὐτὸ πάλιν ἑτέρου δεῖται διορισμοῦ. λέγω δὲ γὰρ μὴ πάντα ῥωννύναι τὰ βλαπτόμενα μόρια. ἄριστος δὲ διορισμὸς ὁ εἰς τὴν χρείαν αὐτῶν ἀναγόμενος. ὀφθαλμῶν μὲν γὰρ καὶ ὤτων, ἡ χρεία μεγάλη, καὶ διὰ τοῦτο προσήκει τῶν ἐκ τῆς κεφαλῆς περιττωμάτων εἰς αὐτὰ φερομένων, τὴν ὑφ' Ἱπποκράτους ὀνομαζομένην παροχέτευσιν ἐργάζεσθαι. μάλιστα μὲν, ἐπὶ ῥῖνα περισπῶντα τὸ φερόμενον ἐπ' αὐτά. ταύτης δ' οὐχ ὑπακουούσης, εἰς τὸ στόμα διὰ τῶν ἀποφλεγματιζόντων φαρμάκων, ὥσπερ γε καὶ ἐπὶ τὴν ῥῖνα διὰ τῶν πταρμοὺς κινούντων, ὅσα τε πρὸς τὰς ἐμφράξεις αὐτῶν ἁρμόττει. ὀφθαλμοὺς τε τονώσεις, γὰρ διὰ τοῦ φρυγίου λίθου χρώμενος ξηρῷ κολλυρίῳ τοῖς βλεφάροις ἐπάγων τὴν μήλην, χωρὶς τοῦ προσάπτεσθαι τοῦ περὶ τὸν ὀφθαλμὸν ἔνδον ὑμένος. οὕτω γοῦν πράττουσιν ὁσημέραι καὶ στιμμιζόμεναι αἱ γυναῖκες. εἰς δὲ τὴν τῶν ὤτων ῥώμην, ἀρκεῖ μὲν καὶ τὸ γλαύκιον μόνον ἀποτριβόμενον ἐπ' ἀκόνης σὺν ὄξει, κἄπειτα διὰ μήλης ἐγχεόμενον ἀτρέμα χλιαρὸν, ἢ διὰ τούτου δὴ τοῦ συνήθους ὀργάνου, καλουμένου δὲ ὑπὸ πάντων ὠτεγχύτης. κἄπειδὰν ἤδη σοι δοκῇ τονοῦσθαι καλῶς, ὡς μηδὲν ἐπιῤῥεῖν αὐτοῖς, συνεχῶς ἐνστάζειν ναρδίνου μύρου τοῦ ἀρίστου. πρότερον μὲν ἐν Λαοδικείᾳ μόνῃ τῆς Ἀσίας σκευαζομένου κάλλιστα, νυνὶ δὲ καὶ κατ' ἄλλας πόλεις. ἔτι δὲ μᾶλλον, τὸ διὰ γλαυκίου καλούμενον κολλύριον ὀνήσει τε καὶ ῥώσει τὰ ὦτα, καὶ τὸ διὰ ῥόδων, καὶ τὸ κροκῶδες, καὶ τὸ νάρδινον, καὶ τὸ δι' οἴνου, καὶ τῶν μύρων τὰ ἐν Ῥώμῃ σκευαζόμενα ταῖς πλουσίαις γυναιξὶν, ἃ φουλιάτα τε καὶ σπικάτα προσαγορεύουσιν. εἰ δὲ πολὺ συνεχῶς ἐπὶ τὰ ὦτα φέροιτο τὸ ἀπὸ τῆς κεφαλῆς ῥεῦμα, καὶ πῦον, καὶ ἕλκωσις ἤδη γεγονυῖα τύχοι, τὴν μὲν ἕλκωσιν διά τε τοῦ ἀνδρωνίου φαρμάκου καὶ τῶν ὁμοίων ἐκθεραπευτέον. ἐν αὐτῷ ταῦτα πράττειν, ἀντισπαστέον ἐπὶ ῥῖνά τε καὶ στόμα, καὶ μετὰ ταῦτα τοῖς εἰρημένοις χρηστέον. ὥσπερ δὲ ὑπὸ τῶν ἐκ τῆς κεφαλῆς καταῤῥεόντων βλάπτεται πολλάκις πολλὰ τῶν ὑποκειμένων, οὕτως δὲ δι' ἧπαρ, ἢ νεφροὺς, ἢ σπλῆνα νόσοι συμβαίνουσιν ἑτέροις μορίοις ἀσθενεστέροις αὐτῶν. ἐδείχθη γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν, ἕκαστον μόριον ἑλκτικὴν τῶν οἰκείων αὐτοῦ χυμῶν ἔχον δύναμιν, ὅταν ἀλλοιοῦσαν, τε κἀξομοιοῦσαν εἰς τροφὴν καταχρῆται, καί τινι πάλιν ἑτέρᾳ δυνάμει τὸ περιττὸν ἀποκρίνειν ἐφιέμενον εἴς τι τοῦ πλησίον. ἂν μὲν οὖν αὐτὸ τὸ πεπονθὸς εὔῤῥωστον ἔχῃ τὴν ἕξιν τοῦ σώματος, οὐ δέχεται τὸ πεμπόμενον. ὥστ' ἐν τῷ πρώτῳ παθόντι μόνον ἐκείνῳ γὰρ μορίῳ συνεχῶς πάσχοντα τὸν ἄνθρωπον ἀπέδειξεν. ἐὰν δ' ἀσθενέστερον ἢ κατά τι τοῦ πέμποντος, ἐδέξατο μὲν, αὖθις δὲ ὠθεῖ πρός τι καὶ αὐτὸ τῶν ἀσθενεστέρων, κἀκεῖνο πάλιν εἰς ἄλλο, μέχρις ἂν εἴς τι τῶν οὐδὲν ἐχόντων ἀσθενέστερον ἑαυτοῦ κατασκήψει τὸ περιττόν. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον ἄλλῳ μέρει συνεχῶς ἐνοχλεῖται τῶν ἀμελῶς διαιτωμένων. τοῖς δὲ μὴ μηδὲν ἀθροίζουσι περιττὸν, ἀβλαβὲς ἀεὶ μένει τὸ ἀσθενές. ἀπόδειξις δὲ τούτου σαφεστάτη τὸ δι' ἑξαμήνων ἢ πλειόνων, ἐνίους ἐνοχλεῖσθαι τοῖς ἀσθενέσι μορίοις. εἰ γὰρ αὕτη μόνη ἦν ἀσθένεια τὴν βλάβην διὰ παντὸς ἂν ἔπασχε τὸ ἄῤῥωστον μόριον. ὡς ἄν γε διαπαντὸς ἔχον ἐν αὐτῷ ἐνυπάρχουσαν τοῦ τι πάσχειν αἰτίαν. ἐπεὶ τοίνυν οὐ πάσχει διὰ παντὸς, εὔδηλόν ἐστι, καὶ ἄλλο τι προσέρχεσθαι τὸ συμπληροῦν τοῦ παθήματος αὐτοῦ τὴν γένεσιν. ὅπερ οὐδὲν ἕτερόν ἐστι τοῦ περιττεύοντος, ἢ κατὰ τὸ πλῆθος, ἢ κατὰ ποιότητα, καὶ τοῦτό γε αὐτὸ τὸ περιττεῦον ἢ καθ' ὅλον ἀθροίζεται τὸ σῶμα καὶ καλοῦσι πληθώραν τὴν τοιαύτην διάθεσιν, ἢ ἔν τινι τῶν κυρίων μὲν, ἀσθενῶν δὲ φύσει μορίων. ὅπερ ἤτοι γε ἐν αὐτῷ μένον, ἢ πρός τι τῶν ἀσθενεστέρων φύσει μορίων ἀποχωροῦν, τὴν βλάβην ἐργάζεται. σκεπτέον οὖν ἐστὶ καὶ διοριστέον αὐτὸ τοῦτο πρῶτον εἴτε δι' ἑαυτὸ συνεχῶς νοσεῖ τὸ μόριον, εἴτε δι' ἄλλο τι πρότερον αὐτοῦ πάσχον. ἐνίοτε μὲν οὖν ἔξωθεν, ἡ βλάβη τοῖς ἀσθενέσι γίνεται μορίοις, ἤτοι ψυχθεῖσιν, ἢ θλασθεῖσιν, ἢ πληγεῖσιν, ἢ κοπωθεῖσιν, ὡς τὰ πολλὰ δὲ ἐπὶ τοῖς διαιτήμασι, πλῆθος ἢ κακοχυμίαν ἀθροίζουσι. προσέχειν οὖν χρὴ γὰρ μεγέθει τῆς φυσικῆς ἀσθενείας τοῦ μορίου διορισμῷ χρώμενον τοιῷδε. λεπτότερον χρὴ διαιτᾶσθαι τὸν ἄνθρωπον, ἢ πρόσθεν ἅμα γὰρ δηλονότι καὶ τὰ προσήκοντα γυμνάσια γυμνάζεσθαι. φυλάττεσθαι δὲ καὶ τὴν ἐκ τῶν ἔξωθεν αἰτίων βλάβην. εἶτ' ἐὰν μὲν ἐπὶ τούτοις, μήτ' ἰσχνὸς γίγνηται, μήτε ἐνοχλῆται τὸ ἄῤῥωστον αὐτοῦ

μόριον, ἐπιμένειν τοῖς διαιτήμασιν. ἐὰν δ' ἤτοι λεπτύνηται πᾶσι τοῖς μέρεσιν, ἢ καί τι πάσχῃ τὸ φαύλως κατεσκευασμένον, ὑπαλλάττειν τὴν τοιαύτην δίαιταν. ἐὰν μὴ πάσχῃ δυοῖν θάτερον ἐργαζομένους, ἢ τὴν δίαιταν ἐπὶ τὸ λεπτότερον ἄγοντας, ἢ κενώσεσιν ἀραιαῖς χρωμένους. ἐνίοις μὲν οὖν, ἦρος εἰσβάλλοντος αὐτάρκης κένωσις μία καθ' ἕκαστον ἔτος γιγνομένη, τισὶ δ' ἐπιτηδές καὶ δευτέρας φθινοπωρινῆς γίνεται χρεία. πλῆθος μὲν οὖν ἀθροίζοντος τοῦ σώματος αἵματος, ἀφαιρέσει κενοῦν. κακοχυμίαν δὲ διὰ καθαίροντος φαρμάκου τὸν ἐπικρατοῦντα χυμόν. ἐὰν δὲ ἐπὶ τῇ προσηκούσῃ διαίτῃ μηδὲν πάσχῃ τὸ μόριον, ἰσχναίνεται δὲ τὸ σῶμα, τῇ πιμελώσει χρηστέον ὡς ἔμπροσθεν εἴπομεν. εἰς ἀνάτρεψιν ἕξεως λεπτυνούσης μοχθηροτάτη δὲ σώματός ἐστι, καὶ ἥτις ἰδίᾳ σπέρμα πολὺ καὶ θερμὸν ἔνιοι γεννῶσιν, ἐπείγει γὰρ αὐτοὺς εἰς ἀπόκρισιν, οὐ μετὰ τὴν ἔκκρισιν, ἔκλυτοί τε γίγνονται περὶ σώματι τὸν στόμαχον καὶ τὸ στόμα τῆς κοιλίας, ὃ καὶ αὐτὸ καλεῖται στόμαχος, οὐ μόνον ὑπὸ τῶν ἰατρῶν, ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων ἀνθρώπων ὥσπερ ὑπὸ τῶν παλαιῶν ἐκαλεῖτο καρδία, καὶ περὶ σώματι δὲ παντὶ καταλύονταί τε, καὶ ἀσθενεῖς γίγνονται καὶ ξηροὶ καὶ λεπτοὶ καὶ ὠχροί, καὶ κοιλοφθαλμιῶντες, οἱ οὕτω διακείμενοι. εἰ δὲ ἐκ τοῦ ταῦτα πάσχειν ἐπὶ ταῖς συνουσίαις, ἀπέχοιντο μίξεως ἀφροδισίων, δύσφοροι μὲν τὴν κεφαλὴν δύσφοροι δὲ καὶ περὶ στόμαχον καὶ ἀσώδεις, οὐδὲν δὲ μέγα διὰ τῆς ἐγκρατείας ὠφελοῦνται. συμβαίνει γὰρ αὐτοῖς ἐξονειρώττουσι παραπλησίας γίνεσθαι βλάβας, ἃς ἔπασχον ἐπὶ ταῖς συνουσίαις. ὡς δέ τις ἐξ αὐτῶν ἔφη μοι δακνώδους τε καὶ θερμοῦ πάνυ τοῦ σπέρματος αἰσθάνεσθαι κατὰ τὴν ἀπόκρισιν. οὐ μόνον ἐὰν τὸν, ἀλλὰ καὶ τὰς γυναῖκας αἷς ἂν ὁμιλήσῃ. τούτῳ τοίνυν ἐγὼ συνεβούλευσα, βρωμάτων μὲν ἀπέχεσθαι τῶν γεννητικῶν σπέρματος, προσφέρεσθαι δὲ οὐ βρώματα μόνον, ἀλλὰ καὶ φάρμακα τὰ τούτου σβεστικά. λέλεκται δὲ αὐτῶν ἡ ὕλη, κατά τε τὰ περὶ τροφῶν καὶ τὰ τῶν ἁπλῶν φαρμάκων ὑπομνήματα. γυμνάζεσθαι δὲ γυμνάσια, τὰ διὰ τῶν ἄνω μορίων μᾶλλον ὁποῖόν ἐστι, τότε διὰ τῆς σμικρᾶς σφαίρας, καὶ τὸ διὰ τῆς μεγάλης, καὶ τὸ διὰ τῶν ἁλτήρων, μετὰ δὲ τὸ λουτρόν, ὅλην τὴν ὀσφὺν ἀλείφεσθαι τῶν ψυχόντων τινὶ χρισμάτων. ἔστι δὲ τὰ τοιαῦτα, τό, τε καλούμενον ὠμοτριβὲς καὶ ὀμφάκινον ἔλαιον. ῥόδινόν τε καὶ μήλινον ἐκ τούτου γεγονὸς ἐλαίου. συνέθηκα δ' αὐτοῖς ἐνίοις καὶ παχύτερα τῇ συστάσει χρίσματα, πρὸς τὸ μὴ ῥᾳδίως ἀπορρεῖν. ἡ δὲ σύνθεσις αὐτῶν ἐστι, διά τε κηροῦ καὶ τινὸς ἄλλου τῶν ψυχόντων γιγνομένη. τὸν πρῶτον δὲ τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν κηρέλαιον ποιήσας, εἶτ' ἐν θυίᾳ μαλάξας ταῖς χερσὶν ἱκανῶς, ἐπίχει τὸν ψύχοντα χυλὸν ἐπὶ πλεῖστον ὡς ἑνωθῆναι. τὴν δ' ὕλην τῶν τοιούτων χυλῶν, ἐν τῇ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ, γεγραμμένην ἔχετε. προχειρότατοι δὲ αὐτῶν εἰσὶ ῥᾷστοι πορισθῆναι, οἵ τε τῶν ἀειζώων, καὶ τοῦ στρύχνου, κοτυληδόνος τε καὶ ψυλλίου, καὶ πολυγόνου, καὶ τριβόλου, καὶ ἀνδράχνης. οὐκ ἀνίησι δὲ αὕτη χυλὸν ἐὰν μὴ κοπτομένης ἐν ὅλμῳ παρεγχέηταί τις ἄλλου ὑγροῦ καὶ λεπτοῦ καὶ ὑδατώδους τῆς συστάσεως, καὶ γλίσχρου καὶ πάχεος. ὥσπερ ὁ τῆς καὶ ὄμφακός τε καὶ τῶν ῥόδων, ἀλλ' οὗτοι μὲν ἐν τῷ θέρει. τῶν δ' ἄλλων πολλοὶ καὶ κατὰ τὰς ἄλλας ὥρας εἰσὶν ὥσπερ αἱ ὁ τῆς θριδακίνης τῶν ψυχόντων καὶ αὐτὸς ὑπάρχων, ἀλλὰ καὶ τὸ λινόσπερμον ἑψόμενον ἐν ὕδατι ψύχοντα χυλὸν ἐργάζεται. γυμναστῶν δέ τινα τῶν ἀθληταῖς ἐπιστατούντων ἐθεασάμην μολυβδίνην λεπίδα ταῖς ψόαις ὑποβάλλοντα τοῦ ἀθλητοῦ. πρὸς τὸ μὴ ἐξονειρώττειν αὐτόν, καί τινι τῶν οὕτω πασχόντων ἰδιωτῶν, ἐδήλωσα, καὶ χαίρειν ἔγνω τῇ χρήσει τοῦ δηλωθέντος. ἕτερος δέ τις ἀσθενεστέραν ἔχων τὴν φύσιν τῆς σαρκός, οὐκ ἠνείχετο τῆς τοῦ μολίβδου σκληρότητος, ᾧ συνεβούλευσα τῶν εἰρημένων ἄρτι βοτανῶν ὑποστρωννύσθαι τινάς. ἀναμιγνύναι δὲ αὐταῖς, καὶ ἄγνου κλῶνας ἁπαλούς, καὶ πηγάνου, ᾔσθετό τε παραχρῆμα τῆς ἐξ αὐτῶν ὠφελείας, ὡς χρῆσθαι τοῦ λοιποῦ διαπαντός. ἀλλὰ καὶ συνεχῶς ἐσθίειν τὸ σπέρμα τοῦ ἄγνου συμβουλεύσαντός μου καὶ τούτου χάριν εἴδει ἐμοί, καθάπερ καὶ τοῦ πηγάνου. τῶν μὲν οὖν τοιούτων ἡ ὕλη κατά γε τά τε τῶν ἁπλῶν φαρμάκων ὑπομνήματα, καὶ τὰ ἐν τῷ περὶ τῶν τροφῶν δυνάμεων εἴρηται. νυνὶ δ' ἀναγκαῖον εἶναί μοι δοκεῖ προσθεῖναι τῷ λόγῳ, φυλάττεσθαι τὰ σφοδρῶς ψύχοντα. καθάπερ ὅσα διὰ μήκωνός τε καὶ μανδραγόρου γίνεται χρίσματα. μήτε γὰρ τούτων τι προσφέρειν, μήτε ὅταν ἀκμάζει ὑποστρώννυσθαι τὰ φυτά. καθάπερ γε τοῖς προειρημένοις, οὕτω καὶ τούτοις ἐστὶν ὑποστρώμασι χρῆσθαι, καὶ ῥόδων ἠξίωσά τινα πειραθῆναι, καὶ ὀνήσατο δὲ οὕτως ὑποστρωννὺς αὐτά χωρὶς βλαβῆναί τι κατὰ τοὺς νεφρούς. ἐπενόησα δέ τι καὶ ἄλλο τοῖς οὕτω διακειμένοις χρήσιμον ὡς ἐκ τῆς πείρας ἐμαρτυρήθη. ταύτην γὰρ ἀεὶ κριτήριον ἔχειν τῶν ἐπινοηθέντων, καὶ μηδὲν γράφειν ὡς χρήσιμον ὅταν τις αὐτὸ οὐκ ἐπειράθη. πλὴν εἰ παραγράφοιτο περὶ αὐτό. πεπειρᾶσθαι † δὲ μή δέ πω. τί οὖν ἐστιν ὃ ἔφην ἐπινοήσαντός μου μεγάλης ὠφελείας φράσω, παραφυλάττειν ἔφην χρῆναι τοὺς τοιαύτῃ κατασκευῇ σώματος ἐνοχλουμένους, ἡνίκα μάλιστα φαίνονται πλῆθος ἠθροικέναι σπέρματος, ἀποκρίσεως δεόμενον, ἐν ἡμέρᾳ τινὶ διαιτηθέντας, εὐχύμως τε καὶ μετρίως χρῆσθαι μὲν ἐπὶ τῷ δείπνῳ τρεπομένους εἰς ὕπνον τῇ συνουσίᾳ. κατὰ δὲ τὴν ἑξῆς ἡμέραν, ὅταν αὐτάρκως ἔχωσιν ὕπνου, διαναστάντας ἀνατρίψασθαι σινδόνι, μέχρις ἂν ἐρυθρόν τι σχῇ τὸ δέρμα. κἄπειτά τινι δι' ἐλαίου τρίψει συμμέτρως χρησαμένους, εἶτα μὴ πολὺ διαλείποντας, ἄρτον ἔνζυμον κλιβανίτην καθαρόν, ἐξ οἴνου κεκραμένου προσενεγκαμένους, οὕτως ἐπὶ τὰς συνήθεις ἔρχεσθαι πράξεις. ἐν τῷ μεταξὺ τῆς τε δι' ἐλαίου τρίψεως, καὶ τῆς δι' ἄρτου προσφορᾶς, εἰ χωρίον ἔχει τι πλησίον ἐμπεριπατῆσαι περί, πλὴν εἰ κρύος εἴη χειμέριον, ἄμεινον γὰρ ἔνδον μένειν τηνικαῦτα. ταύτην μέντοι τὴν διὰ τῆς ἐδωδῆς ῥῶσιν τοῦ στομάχου, καὶ γραμματικῷ τινὶ συνεχῶς ἁλισκομένῳ σπασμοῖς ἐπιληπτικοῖς συνεβούλευσα, καὶ μεγάλως ὤνησε, μάλιστα δὲ αὐτὸν ὠφελῆσαι ἤλπισα, πυθόμενος παρ' αὐτοῦ τὸ τῶν σπασμῶν σύμπτωμα, τότε περιπίπτειν, ὅταν ἐπὶ πλεῖον ἄσιτος διαμένῃ, καὶ μᾶλλον ἐπανιόντων μεταξὺ λύπης ἢ θυμοῦ, καὶ μέντοι καὶ τὴν ἕξιν αὐτοῦ τοῦ σώματος ἑώρων, ἐρωτώμενός τε συνεχῶς, ἐκχολοῦσθαι τὸν στόμαχον ὡμολόγει. κοινὴν δέ τινα συμβουλὴν ἅπασι τοῖς ταῦτα ἀναγνωσομένοις, ἰδιώταις μὲν τῆς ἰατρικῆς οὐκ ἀγυμνάστοις δέ, τὸν λογισμὸν ὑποτίθεσθαι βούλομαι. μὴ καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων, ὡς ἄλογα ζῷα διαιτῶνται, καὶ αὐτοὺς οὕτως ἔχειν, ἀλλὰ καὶ διὰ τῆς πείρας κρίνειν, τινὰ μὲν αὐτοὺς ἐδέσματά τε καὶ πόματα βλάπτει. τίνες δὲ καὶ πόσαι κινήσεις. ὁμοίως δὲ καὶ περὶ χρήσεως ἀφροδισίων ἐπιτηρεῖν, εἴτε ἀβλαβής ἐστιν αὐτοῖς, εἴτε βλαβερά, καὶ διὰ πόσων ἡμερῶν χρωμένοις, ἀβλαβής τε καὶ βλαβερὰ γίγνεται. καθάπερ γὰρ ἱστόρησα μεγάλως βλαπτομένους ἐνίους, οὕτως ἑτέρους ἀβλαβεῖς διαμένοντας, μέχρι γήρως ἐπὶ ταῖς χρήσεσιν αὐτῶν. οὕτω

οὗτοι μὲν οὖν ἀπάνιοι καθ' ἕτερον τὸ γένος, οἵ τε μεγάλως βλαπτόμενοι, καὶ οἱ μηδὲν ἀδικούμενοι. τὸ δὲ μεταξὺ πᾶσιν, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον εἰς τὸ πολὺ τῶν ἀνθρώπων ἐκτέταται πλῆθος. ὧν τοῖς πεπαιδευμένοις. οὐ γὰρ οἱ τυχόντες γε ταῦτα γνώσονται, συμβουλεύω παραφυλάττειν ὑπό τινων ὠφελοῦνται, καὶ βλάπτονται. συμβήσεται γὰρ οὕτως αὐτοῖς εἰς ὀλίγα δεῖσθαι τῶν ἰατρῶν, μέχρι ἂν ὑγιαίνωσιν. τούτων ἤδη γεγραμμένων ἀναγνούς τις τῶν ἑταίρων ὅλον τὸ βιβλίον, ἐν τῇ τῶν πρόσθεν ἀναληφθέντων, ὕστερον δὲ ῥηθησομένων παραλελεῖφθαί μοι τελέως ἔφη τὸ διὰ χυλοῦ τῶν μήλων φάρμακον, ἐπιτήδειον εἴς τε τὰς ὀρέξεις τοῖς ἀνορέκτοις, καὶ τὰς πέψεις, τοῖς μὴ καλῶς πέττουσι, καὶ συνελόντι φάναι τὴν γαστέρα ῥωμαλεωτέραν ἐργαζόμενον. ἐπαινέσας οὖν αὐτὸν ἀναμνήσαντα, προσθήσω τῷ λόγῳ τὴν σκευασίαν αὐτοῦ, τοιαύτην οὖσαν. τῶν κυδωνίων μήλων τὰ μείζω τε καὶ ἡδίω, καὶ ἧττον στρυφνά, ἃ στρούθια καλοῦσιν οἱ κατὰ τὴν ἡμετέραν Ἀσίαν Ἕλληνες, ἐκ τούτων τοῦ χυλοῦ λαβόντας ξέστας ῥωμαικοὺς δύο, χρὴ μίξαι, μέλιτος ὅτι κάλλιστου τὸ ἴσον μέτρον. ὄξους δέ, ξέστην α. καὶ ταῦτα ἐπ' ἀνθράκων διακεκαυμένων προεψήσαντα μετρίως, καὶ προαφελόντα, μίξαι ζιγγιβέρεως. γο. γ'. πεπέρεως δὲ τοῦ λευκοῦ δύο, καὶ οὕτως πάλιν ἐπὶ τῶν ὁμοίως διακεκαυμένων ἀνθράκων, ἑψῆσαι μέχρι μελιτώδους συστάσεως, ἐν οἷα καὶ τὰ † στομαχικὰ τῶν φαρμάκων σκευάζεται. τοῦτο τὸ φάρμακον ἐν τοῖς ἄτονον ἔχουσι τὸ ἧπαρ ὠφελιμώτατόν ἐστιν. εὔδηλον δὲ ὅτι μάλιστα μὲν αὐτὸ νῆστιν ὄντα προσφέρεσθαι χρή, πλῆθος ὅσον ἂν ἡ μύστρου συμμέτρου τῷ μεγέθει. βλάπτει δὲ οὐδὲν οὐδὲ ἐὰν μετὰ τροφὴν τις αὐτὸ λαμβάνοι. καλῶς δ' ἂν προσφέροιτο, καὶ εἰ προηρετικῶς τις εἴη. εἶτα δειπνεῖν μέλλων, προσλάβοι. κάλλιστος δὲ καιρός, ἡ πρὸ δυοῖν ἢ τριῶν ὡρῶν τῆς τροφῆς. εἰ δὲ στυπτικώτερον αὐτὸ βούλοιο ποιῆσαι, καὶ διὰ τοῦ χυλοῦ τῶν κυδωνίων μήλων σκεύαζε. τοῖς μέν τοι δύσκρατον ἔχουσι κατὰ θερμότητα τὴν γαστέρα, καὶ τοῖς ὁπωσοῦν πληρουμένοις χολῆς, ἀφελὼν τό, τε ζιγγίβερι, καὶ τὸ πέπερι τὸν χυλὸν τῶν μήλων δίδου, μετ' ὄξους τε καὶ μέλιτος ἑψήσας μόνον ἐν τῇ προγεγραμμένῃ συμμετρίᾳ. ὅσαι δὲ μέσαι πέρ εἰσι κατὰ τὴν κρᾶσιν γαστέρες, ὡς μήτε χολῶδες ἀθροίζειν περίττωμα, μήτε φλεγματῶδες, ἥμισυ τῆς προειρημένης συμμετρίας. τοῦ τε ζιγγιβέρεως. ἐμβαλεῖν, καὶ τοῦ πεπέρεος μέν. γο. α. ζιγγιβέρεως δέ, μίαν καὶ ἡμίσειαν. ὅσαι δὲ δυσκρασίαι κατὰ ψυχρότητα, τέτταρας μὲν τοῦ ζιγγιβέρεως οὐγγίας. τοῦ πεπέρεως δέ, τρεῖς, ἢ δύο καὶ ἡμίσειαν. ἔξεστι δέ σοι καὶ κατὰ τὴν μέσην συμμετρίαν σκευάζοντι, προσβάλλειν ἐπὶ τῆς χρήσεως τοῦ πεπέρεως. οὕτω μὲν οὖν προνοητέον ἐστὶ τῶν ἐν διαφέρουσι μορίοις τοῦ σώματος, ἐναντίας ἐχόντων κράσεις. ὅσοι δὲ καθ' ἑνὸς ὁτιοῦν ἢ τοι γε ὁμοιομερὲς ἢ ὀργανικὸν ἀνώμαλον ἔχουσι κρᾶσιν, ἕτερος ἐπ' αὐτῶν εἰρήσεται λόγος.

ΓΑΛΗΝΟΥ ΠΡΟΣ
ΘΡΑΣΥΒΟΥΛΟΝ ΠΟΤΕΡΟΝ ΙΑΤΡΙΚΗΣ Η ΓΥΜΝΑΣΤΙΚΗΣ ΕΣΤΙ ΤΟ ΥΓΙΕΙΝΩΝ.

ΟΥΚ ἄλλα μὲν ὦ Θρασύβουλε περὶ χρῆμα περὶ τοῦ προβληθέντος ὑπὸ σοῦ ζητήματος εἶπον, ἄλλα δὲ συγγράψεσθαι τοῖς ὑπομνήμασιν ἔχω. πάντως γάρ που γινώσκεις, ὡς ἀεί τε τὰ αὐτὰ περὶ τῶν αὐτῶν διεξέρχομαι καὶ ὡς εἰς οὐδὲν ἐπιχειρῶ λέγειν, ὧν οὔτε μέθοδον ἔμαθον, οὔτ' ἐγυμνασάμην πω κατ' αὐτὴν ἀρχὴν τοίνυν εὑρέσεως, οὐ τούτω μόνῳ τῷ νῦν προκειμένῳ σκέμματι, τὸ γνῶναι τί ποτ' ἐστὶν τὸ ζητούμενον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν αὐτὸ δὲ δὴ τοῦτο τὸ γνῶναι, διττόν ἐστιν. ἢ γὰρ τὴν ἔννοιαν μόνην τοῦ πράγματος, ἢ καὶ τὴν οὐσίαν γινώσκομεν. ὅτῳ δ' ἀλλήλων ταῦτα διαφέρει, γέγραπται μὲν ἐπὶ πλέον ἐν τοῖς περὶ ἀποδείξεως, ἵνα περ καὶ τὰς ἄλλας ἁπάσας μεθόδους ἐκτιθέμεθα. γένοιτο δ' ἂν καὶ νῦν δῆλον ἐξ αὐτῆς τῆς χρήσεως. ὄντος γοῦν τοῦ προβλήματος τοῦ δέ, πότερον ἰατρικῆς ἢ γυμναστικῆς ἐστὶ τὸ καλούμενον ὑγιεινόν, καὶ σοῦ διὰ ταῦτα ἀξιώσαντος ἀκοῦσαι τὴν ἐμὴν ὑπὲρ αὐτοῦ δόξαν, ὅτι πολλάκις ἰατροῖς τε καὶ γυμνασταῖς ἔφησθα παραγεγονέναι διαμφισβητοῦσιν, ἀποκρίνεσθαί μοι πρότερον ἠξίωσά σε, τίνα ποτὲ τὴν ἔννοιαν ἑκάστου τῶν ὀνομάτων ἔχεις ἰατρικῆς τε καὶ γυμναστικῆς καὶ ὑγιεινοῦ, μή πού σὺ μὲν ὑπὲρ ἄλλων πραγμάτων ἀκούειν ποθεῖς, ἐγὼ δ' ὑπὲρ ἄλλων σοι διαλέγομαι, κἄπειτα πρὸς τοὔνομα μόνον ὁ λόγος ἡμῶν, οὐ πρὸς αὐτὸ γίγνεται τὸ πρᾶγμα. σὺ μὲν οὖν πρὸς τοῦτ' ἀπεσιώπησας, οἰόμενος ἐμὲ χρῆναι λέγειν ὑπὲρ ἁπάντων ἅπαντα. τὸ δ' ἀληθές, οὐχ ὧδ' ἔχει. πολλὰ γὰρ ἂν εἴς οὐκ ἐν προβεβληκώς. πρῶτον μὲν τί ποτ' ἐστὶν ἰατρική, δεύτερον δὲ τί ποτε γυμναστική, καὶ τρίτον ἐπὶ τούτοις τί ποτε τὸ ὑγιεινόν, ἢ τοῦτο δὴ τὸ μάλιστα προβεβλημένον, ὁποτέρας ἂν εἴη, καί σοι τοῦτ' αὐτὸ τὸ τέταρτον, οὐχ ἁπλῶς, ἔφασκον δεῖν οὕτως προβάλλειν, ὁποτέρας εἴη αὐτῶν τῶν τεχνῶν τὸ ὑγιεινὸν ἀλλ' εὐθὺς προστιθέντας, εἴτ' ἴδιον, εἴτ' οἰκεῖον, εἴτε μέρος εἴθ' ὁπωσοῦν ἄλλως ἐθέλοι τις. ἔσεσθαι γάρ τινα κἀνταῦθα ἀρχὴν τῆς εὑρέσεως τῷ ζητουμένῳ. προβληθέντος γοῦν αὐτοῦ τελέως ὧδέ πως, καὶ νὴ Δί' ἐρωτηθέντος, ἆρά γε τῆς ἰατρικῆς ἐστὶν ἢ τῆς γυμναστικῆς τὸ ὑγιεινόν, ἐπειδὰν δὲ ἑκάστῳ τῶν τριῶν ἐκείνων ὀνομάτων εἴπω μὲν τὸ σημαινόμενον, ἰατρικῆς τε καὶ γυμναστικῆς καὶ ὑγιεινοῦ, δεήσει τέταρτον ἐπ' αὐτοῖς ἐξηγήσασθαι τὸ οἰκεῖον ὅ, τι σημαίνει, καὶ τίς ὁ κανὼν αὐτῷ τῆς διαγνώσεως. ἀλλὰ τοῦτο μὲν ἴδιον αὐτοῦ τοῦ προβλήματος ὑπάρχει. τὸ δ' ἰατρικὴν ἐξηγήσασθαι τί ποτ' ἐστὶν καὶ γυμναστικὴν καὶ ὑγιεινόν, οὐκ ἴδιον μὲν τοῦ προβλήματος ὑπάρχει, ὁμολογεῖσθαι δ' ἀναγκαῖον. ὅθεν ἐπειδὴ τοῦθ' ἓν μόνον, ὃ καὶ προὔβαλες σὺ διελθεῖν, ἐβουλήθης τό τε, καί σε κινδυνεύειν ἐν ταῖς ἀποκρίσεσιν ἑώρων ὀκνοῦντα τινὰ τῶν γεγυμνασμένων ἐν λογικῇ θεωρίᾳ φιλοσόφων ἐπιφανέντα πως τοῖς λόγοις κατὰ τύχην ἠξίου ἀποκρίνασθαί μοι. προθύμως δ' ἐκείνου τοῦτο ποιήσαντος, καὶ πάντα ὀρθῶς ἀποκριναμένου, ῥᾳδίως ὡς οἶσθα διεπεράνθη τὸ πρόβλημα, καὶ

μὴν κατάδηλος οἶδα, καὶ τό τε μὴ εὐθὺς, ἱκανῶς χαίρων ἐπὶ τῇ τῶν λόγων μεθόδῳ, καὶ θᾶττον ἢ κατὰ τὴν προσ-
δοκίαν εὑρέθη τὸ ζητούμενον, ἐξ ὑστέρου τε προσκείμενος ἀεὶ λιπαρῶς ἐβιάσω τε καὶ κατηνάγκασας οὐ πάνυ μέ-
τοι πρόθυμον ὄντα γράψασθαι τοὺς λόγους. ὅτε γὰρ ἐν τουτὶ τὸ πρόβλημα μόνον ἀκριβῶς ἐξευρηκὼς ᾤμην χρῆναι
διασώζειν ἐν γράμμασιν, οὐχ ὁμοίως περὶ δὲ τὰ λοιπὰ πάντα διεξέρχεσθαι σχολὴν ἦγον. ὅθεν ὅπερ αὐτὸς ἐπ' ἐμαυ-
τοῦ πράξας ἔτυχον, ἱκανὸν ᾤμην ἔσεσθαι καὶ πρὸς ὑμᾶς τοὺς φίλους δεῖξαι, τὴν ὁδὸν ᾗ χρώμενος ἄν τις, οὐ
τοῦτο μόνον, ἀλλὰ καὶ τὰ ἄλλα πάντα διαιρεῖται προβλήματα. τὴν γὰρ λογικὴν ὀνομαζομένην παρὰ τοῖς
φιλοσόφοις θεωρίαν, ὅς τις ἂν ἱκανῶς ἀσκήσῃ, πᾶν οὗτος ὁμοίως δυνήσεται μεταχειρίζεσθαι ζήτημα. τὸ
δ' ἄνευ ἐκείνης ἀναγινώσκειν ὑπομνήματα προβλημάτων, οὐδὲν ἄλλο, ἢ χρόνον ἀπολύειν ἐστὶν, οὔτε κρίνειν
εἰδότα, τίνα μὲν ἐν αὐτοῖς ἀληθῶς εἴρηται, τίνα δὲ ψευδῆ, οὔτε πάντων τῶν γεγραμμένων μνημονεύειν δυνά-
μενον. ἀλλ' ἐπειδὴ κατέστην ἅπαξ εἰς τὸ λέγειν περὶ τοῦ προβλήματος, ὅπερ ὀλίγου ἔμπροσθεν ὁ λόγος ἐδεί-
ξεν, ἄρχεσθαι δεῖ, καὶ νὴ Δί' εἴ τις ἐρωτηθεὶς, ὅ, τι ποτ' ἐστὶν ἰατρική, φαίη τέχνην εἶναι θεραπευτικὴν μὲν,
νοσούντων, φυλακτικὴν δὲ, ὑγιαινόντων, ἄντικρυς ἂν οὗτος δοκοίη τὸ ζητούμενον εἰληφέναι, μέρος αὐτῆς, ἀπο-
φαίνων τὸ ὑγιεινόν, ὥσπερ αὖ καὶ ὅς τις ἰατρικὴν μὲν ἀρρωστούντων μόνον εἶναι λέγει τὴν ἰατρικήν, ἑτέρῳ
τρόπῳ καὶ οὗτος ἐξ ἑτοίμου λαμβάνει τὸ ζητούμενον, ἀφαιρῶν αὐτῆς τὸ ὑγιεινόν, οὕτω δὲ καὶ τὴν γυμνα-
στικὴν, εἴ τις ὑγείας φυλακτικὴν φήσειεν, ἐκ προχείρου τὸ ζητούμενον λήψεται, ὥσπερ γε καὶ ὃς ἂν εὐεξίας
αὐτὴν ἀποφαίνηται δημιουργόν, ἑτέρῳ τρόπῳ καὶ ὅδε τὸ ζητούμενον ὡς ὁμολογούμενον θήσεται. χρὴ γὰρ,
εἴθ' ὁρισμὸν τις τῆς τέχνης, εἴθ' ὑπογραφὴν ἐγχειρήσειεν ἀποδιδόναι, μήτε τὸ ζητούμενον ἀναποδείκτως
τοῦτον ἀναιρεῖν, ἢ τίθεσθαι, ἀλλ' ἑτέρωθέν ποθεν ἐξ ὁμολογουμένων ἀρξάμενον, ἀποδεικνύναι πειρᾶσθαι, ἆρ' οὖν
ἄμεινον ἰατρικὴν μὲν εἶναι λέγειν, ἧς τέλος ἡ ὑγίεια, γυμναστικὴν δὲ, ἧς τέλος εὐεξία, καὶ ταύτας τὰς ὑπο-
γραφὰς, ἀρχὰς τίθεσθαι τῆς ζητήσεως. ἀλλά τοι καὶ οὕτως, ἐκ προχείρου μὲν τῆς γυμναστικῆς ἀφαιρησόμεθα τὸ
ὑγιεινόν, ἐπὶ δὲ αὖ τῆς ἰατρικῆς, ἔτ' ἄδηλόν τε καὶ ζητούμενον ἀπολήψομεν. εἰ γὰρ δὴ τέλος ἡ ὑγεία τῆς τέ-
χνης ἐστὶ ταύτης, τάχ' ἂν ἔχοι λαβεῖν ὁ λόγος εἰς διορισμόν, οὐ φυλακὴν τῆς οὔσης, ἀλλὰ ποίησίν τε καὶ γένε-
σιν τῆς οὐκ οὔσης, τέλος εἶναι τιθέμενος αὐτῆς. εὐπορία γὰρ εἰς ἑκάτερον ἐντεῦθεν ἐπιχειρεῖν ἐπαγωγαῖς χρώ-
μενον, εἰ μὲν τῆς αὐτῆς τέχνης, τό, τε ποιῆσαί τι πρότερον οὐκ ὂν, καὶ τὸ φυλάξαι σῶον, ἐπειδὰν γένηται δεικνύ-
ναι βουληθείημεν, οἰκοδομικῆς τε καὶ ναυπηγικῆς καὶ τεκτονικῆς τε καὶ χαλκευτικῆς μνημονεύοντες. εἰ δ' ἄλλης
μὲν τὸ δημιουργεῖν, ἄλλης δὲ τὸ διαφυλάττειν σῶον, ὑφαντικῆς τε καὶ ῥαπτικῆς, καὶ πρὸς ταύταις, σκυτοτομίας
τε καὶ νευρορραφίας, οὕτω γὰρ ὀνομάζουσιν τὴν τὰ πεπονηκότα τῶν ὑποδημάτων ἐπανορθουμένην, ἄλλου μὲν
γὰρ εἶναι δοκεῖ τεχνίτου ποιεῖν ἱμάτιον, ἄλλου δὲ ἠπήσασθαι ῥαγέν, ὥσπερ αὖ καὶ ὑπόδημα δημιουργῆσαι μὲν
τοῦ σκυτοτόμου, πονῆσαν δὲ, ἐπανορθώσασθαι τοῦ νευρορράφου. δέδεικται δὲ ἡμῖν ἐν τοῖς περὶ ἀποδείξεως,
ὡς οὐ χρηστέον ἐπαγωγαῖς εἰς ἀποδείξεις ἐπιστημονικάς, ὥσθ' ὅς τις ἐν ἐκείνοις ἐγυμνάσατο καταφρονήσει μὲν τῆς
τοιαύτης ὁδοῦ, ζητήσει δ' ἑτέραν βελτίω. ὁ μὴ γυμνασάμενος δὲ, θάτερον τῶν μερῶν ἑλόμενος, ὁπότερον ἂν
βουληθῇ, δι' ὅλης ἡμέρας ἐρίζειν ἔχει, καὶ γὰρ αὖ καὶ ζήτημ' ἄλλο πρὸς τοῖς εἰρημένοις οὐ σμικρὸν ἀναφύσεται,
τῆς μὲν ἰατρικῆς ὑγείας ποίησιν οὐ σωτηρίαν τε καὶ φυλακὴν ὑποθεμένοις τὸ τέλος, τῆς γυμναστικῆς δὲ τὴν εὐεξ-
ίαν. ἀναγκασθήσεται γάρ τις οἶμαι, καθάπερ ἐπὶ τῆς ὑγείας, οὕτω κἀπὶ τῆς εὐεξίας, ἑτέραν μὲν τὴν φυλακτικὴν
αὐτῆς τέχνην ἀποφαίνειν, ἑτέραν δὲ τὴν δημιουργικήν, ἀλλ' εἰ τοῦτο, δύο ἄλλας τέχνας ἐξ ἀνάγκης ζητήσομεν
ἑτέραν μὲν τῆς ἰατρικῆς, τὴν τῆς ὑγείας φυλακτικήν, ἑτέραν δὲ τῆς γυμναστικῆς, τὴν τῆς εὐεξίας διασωστικήν, καὶ
μὴν δὴ καὶ διττῆς οὔσης τῆς εὐεξίας, ὡς ἐν ἄλλοις ἀποδέδεικται, ποτέρας αὐτῶν ἡ γυμναστικὴ δημιουργός ἐστιν, χα-
λεπὸν ἔσται διελεῖν, ἆρά γε τῆς κατὰ φύσιν, ἢ τῆς ἀθλητικῆς, ἢ δῆλον, καὶ δύο ἄλλας ἡμῖν τέχνας ἀναγκαῖον ἐστὶ
ζητεῖν, καὶ δὴ, καὶ σύμπασαι τὸν ἀριθμὸν ἓξ γενήσονται, τρεῖς μὲν αἱ δημιουργοῦσαι τὰ τέλη, τρεῖς δὲ αἱ φυλάττου-
σαι. τριῶν γὰρ ὑποκειμένων τελῶν ὑγείας, εὐεξίας τῆς κατὰ φύσιν, εὐεξίας τῆς τῶν ἀθλητῶν, εἰς τοσοῦτον ἀνάγκη
τὸν ἀριθμὸν ἐξήκειν τὰς τέχνας. καὶ μὴν εἴπερ γε διαφέρειν τὰς εὐεξίας ἀλλήλων τε καὶ τῆς ὑγείας διαφόρων
δεήσονται τῶν τεχνῶν, ἀνάγκη πᾶσα, καὶ τῆς ὑγείας οὔσης διττῆς, ἑτέρας μὲν τῆς καθ' ἕξιν, ἑτέρας δὲ τῆς
κατὰ σχέσιν ὀνομαζομένης, διττὰς εἶναι καὶ τὰς τέχνας. οὐ γὰρ δὴ πλέονι μὲν ἡ εὐεξία τῆς καθ' ἕξιν ὑγείας,
ἐλάττονι δὲ, τῆς κατὰ σχέσιν ὑπερέχει. γνοίης δ' ἂν ἐναργῶς ἑκάστης αὐτῶν ἐπιμελῶς ἀνασκεψάμενος τὴν
φύσιν. ἀνασκέψῃ δὲ τὸν δὲ τὸν τρόπον. ἡκέτω τις εἰς ἔννοιαν σοι νῦν ὧν ἐθεάσω πολλάκις ἀρρώστων, ἰσχυρῶς μὲν
διανοσησάντων, ἀπηλλαγμένων δὲ ἄρτι τοῦ νοσεῖν, οὗτος ἰσχνός τε καὶ ἀδύνατος εἰς τὰς κινήσεις ὡς ἑτέρων
δεῖσθαι τῶν μετακοσμιούντων, οὗτος ἰάσεως μὲν οὐκ ἔτι χρήσει, μηκέτι γε νοσῶν, ἀνατρέψεως δὲ τινὸς καὶ ῥώμης,
ἵν' ἰσχυρός τε ἅμα καὶ πρὸς τὰς κατὰ φύσιν ἐνεργείας γένηται, καὶ φέρειν ἱκανὸς τὰ προσπίπτοντα. δῆλον
γὰρ ὡς οὕτω διακείμενος, ὡς διάκειται νῦν ὁπότε πρότερον ἀπήλλακται τοῦ νοσεῖν, οὔτε θάλπος, οὔτε κρύος,
οὔτε ἀγρυπνίαν, οὔτ' ἀπεψίαν, οὔτε ἄλλο τῶν πάντων οὐδὲν ἐνεγκεῖν ἱκανός ἐστι, ἀλλ' ἐκ τοῦ ῥᾴστου νοσήσει πάλιν,
ὡς ἂν οὐκ ἀσφαλῆ τε καὶ μή πω πεπηγυῖαν κεκτημένος τὴν ὑγιεινὴν κατάστασιν. ἀλλ' εἴπερ δύσλυτος γένοιτο,
καὶ καθ' ἕξιν, οὔπω μὲν ἐστὶν εὐεξία. τὸ γὰρ εὖ προσλαβοῦσα, τότ' ἂν εὐεξία γένοιτο, τοῦ μέντοι μεμπτή τις εἶναι
καὶ ἄχρηστος διάθεσις ἀπήλλακται. τὸ γὰρ μή τε ἐνεργεῖν δύνασθαι κατὰ τὸν βίον ἱκανῶς, ἑτοίμως τε βλά-
πτεσθαι, μεμπτὴ καὶ ἄχρηστος διάθεσις. εἰ δὲ μή τε εἰς τὰς πράξεις ἐμποδίζοιτο, μήθ' ἑτοίμως βλάπτοιτο, τοιαύ-
τη δέ ἐστιν ἡ καθ' ἕξιν ὑγίεια, τοῦ μὲν μηκέτ' εἶναι μεμπτὴ καὶ ἄχρηστος, εἰς τὰς κατὰ τὸν βίον ἐνεργείας ἀπήλ-
λακται, τὸ δ' ἐπαινετὸν οὔπω κέκτηται, κτήσαιτο δ' ἄν, εἰ καὶ πρὸς τὸ μηκέτ' ἀσθενῶς ἐνεργεῖν ἔτι, καὶ ῥώμην
τινὰ ἀξιόλογον προσλάβοιτο. μέση γὰρ ἡ καθ' ἕξιν ὑγίεια ταῖς ἐνεργείαις ἐστὶ τῆς τε κατὰ σχέσιν ὑγιείας καὶ
† αἱ. ἡ, ἡ. ἡ. τῆς εὐεξίας † εἰ μὲν γὰρ κατὰ σχέσιν, ἀρρώστους ἔχει τὰς ἐνεργείας. † εἰ δὲ εὐεξία, ῥωμαλέας. † εἰ δ' αὖ καθ' ἕξιν, οὔπω
μὲν εὐρώστους, ἀρρώστους δ' οὐκ ἔτι. καὶ περὶ δὲ δῆλον, ὡς εἰ καὶ μέση τέτακται πλέον τῆς κατὰ σχέσιν ὑγείας,
χρήσιμος,

χρήσιμος εἰς τὰς πάσας τοῦ βίου τὰς πράξεις ἐστὶν ἡ καθ᾽ ἕξιν, οὐ μὴν ἤδη τὸ κατ᾽ ἀρετὴν ἔχουσα. μόνῃ γὰρ τοῦθ᾽ ὑπάρχει τῇ εὐεξίᾳ. καί μοι νόει κατὰ στίχον τινά, τὸ μὲν βλάβην ἐνεργείας, ὅπερ ἐν τῷ νοσεῖν γίγνεται, ἕτερον δὲ ἔξω μὲν τῆς βλάβης, ἄχρηστον δ᾽ ὑπὸ ἀσθενείας ὅπερ ἐν τῷ κατὰ σχέσιν ὑγιαίνειν, ἄλλο δὲ τρίτον ἀσθενείας μὲν ἀπηλλαγμένον, εὐρωστίας δὲ οὔπω κεκτημένον, ὅπερ ἐν τῷ καθ᾽ ἕξιν, ἐφ᾽ ᾧ τέταρτον, οἷον ἀρετή τίς ἐστι τῶν ἐνεργειῶν ἡ εὐεξία. καὶ ἡ ἀκρότης τε καὶ ἡ τελειότης αὐτῶν, ἡ ἐπ᾽ ἄκρον ἐστὶν αὐτῶν εὐεξία. εἰ τοίνυν εἰς ἕξιν ὑγιεινὴν ἄγουσα τέχνη τὸν ἄνθρωπον, ἑτέρα δηλονότι τῆς ἰασαμένης αὐτὸν ὑπάρξει, συγκεχωρημένου γε ἅπαξ τοῦ τε τὸ δεῖν ἐπὶ διαφόροις τέλεσιν, διαφόρους εἶναι τὰς τέχνας, τοῦ τε τὸ δύο καθ᾽ ἕκαστον, ἑτέραν μὲν τὴν δημιουργοῦσαν, ἑτέραν δὲ τὴν διαφυλάττουσαν, ὃ καὶ δῆλον ὡς ἡ περὶ τέλους ἔννοια περιείληφεν ἅπασαν τὴν νῦν ἡμῖν προκειμένην ζήτησιν, καὶ διὰ τοῦθ᾽ ὅσοι τῶν ὁρισμῶν ἀπὸ τοῦ τέλους τὴν σύστασιν ἔχουσιν, οὐ σμικρὰς γεννῶσιν χρείας. ἴσως οὖν ἄμεινον, ἐπ᾽ αὐτὴν ἀφικόμενον τὴν οὐσίαν τῆς τέχνης, ἀρχὴν τῆς ζητήσεως ἐκείνην ποιήσασθαι. τίς οὖν ἐστιν ἰατρική; εἴποι τις ἄν, ἐπιστήμην ὑγιεινῶν τε καὶ νοσερῶν. ἀλλὰ κἂν τούτῳ δόξῃ προχείρως εἰλῆφθαι τὸ ὑγιεινόν, ὡς μέρος δηλονότι τῆς ἰατρικῆς ὑπάρχον. ὅθεν οἶμαι τῶν τἀναντία τιθεμένων, ἔνιοι μόνων τῶν νοσερῶν ἐπιστήμην εἶναι συγχωρήσουσι τὴν ἰατρικήν, ἀλλ᾽ οὗτοί γε πρῶτον μὲν ἀγνοοῦσιν, ὡς ἔστι μία τῶν ἐναντίων ἁπάντων ἐπιστήμη, καὶ ὅς τις γινώσκει τὰ νοσερά, τοῦτον ἀνάγκη πᾶσα μὴ ἀγνοεῖν τὰ ὑγιεινά, τουτὶ μὲν ὡς μεῖζον ἢ κατ᾽ ἐκείνους παρείσθω. λεγέσθω δ᾽ ἤδη τὸ δεύτερον ὧν ἀγνοοῦσιν, ὡς τάχα ἴσως ἀκολουθήσειεν, ὅτι μὴ περιλαμβάνεται κατὰ τὸν ὅρον τῆς ἰατρικῆς ἐξ ἀνάγκης τὸ ζητούμενον. ἔνεστι γοῦν τινὶ διαστειλαμένῳ τὴν ὁμωνυμίαν, εἶτα δείξαντι σωμάτων μὲν τῶν ἐχόντων ὑγείαν, καὶ σημείων τῶν δηλούντων, καὶ αἰτίων τῶν ποιούντων, ἐπιστήμην εἶναι τὴν ἰατρικήν, οὐ μὴν τῶν γε φυλαττόντων αὐτὴν ἀντιλαμβάνεσθαι κατὰ τἀναντία τοῦ προβλήματος, ἐοίκασιν οὖν οἱ τὰ τοιαῦτα σοφιζόμενοι, μήτε τὸ ζητούμενον ἀκριβῶς ἐπίστασθαι, μήθ᾽ ὅτι καὶ σημεῖον ὑγιεινόν τι λέγομεν, ὃ τοῖς νοσοῦσιν ἐπιφαινόμενον, ὑγείας μελλούσης ἐστὶ γνώρισμα, μήτ᾽ αἴτιον, ὃ τοῖς νοσοῦσι προσαγόμενον ὑγείας ἐστὶ ποιητικόν, ὥσπερ ἀμέλει τὰ βοηθήματα σύμπαντα, μήθ᾽ ὡς καὶ τὸ δεδεγμένον ὑγίειαν σῶμα καλοῦμεν ὑγιεινόν, ὧν πάντων ἐπιστήμην ὁ ἰατρὸς ἔχει, μηδὲ κοινωνούντων τῷ προβλήματι, πλὴν ὀνόματι, καὶ γοῦν εἰ τῆς τῶν ὑγιαινόντων φυλακῆς, ὁ ἰατρὸς ἐπιστάτης ἐστίν, ἢ γυμναστοῦ τὸ τοιοῦτον ἴδιον, ἐξ ἀρχῆς ἡμῖν προὔκειτο ζητεῖν, ὥσπερ ὀλίγον ἔμπροσθεν ἐλέχθη, τὴν κρίσιν ἐν τῷ τοῦ τέλους ἔχειν ζητήσει. πότερον γὰρ ἁπλῶς ὑγίεια τὸ τέλος ἐστὶ τῆς ἰατρικῆς, οὐδὲν διαφέρει, εἴτε ποιοῦντός τινος αὐτὴν οὐκ οὖσαν εἴτε φυλάττοντος οὖσαν. ἢ τὸ ποιῆσαι μὲν μόνον ἰατρικῆς ἐστιν, τὸ φυλάξαι δὲ τῆς γυμναστικῆς αὐτῆς. οὕτω καὶ περὶ γυμναστικῆς, ἆρά γε εὐεξία τὸ τέλος ἐστίν, ἢ ὑγίεια, ἢ ποίησις ὁποτέρου τούτων, ἢ φυλακή, κινδυνεύομεν γοῦν, ὡς ὁ λόγος ἔδειξεν, ἐὰν ὑπερβῶμεν τὴν μίαν, ἑπτὰ ποιῆσαι περὶ τὸ σῶμα τὰς τέχνας, τὴν μὲν πρώτην καὶ σαφεστάτην καὶ σχεδὸν μόνην ἀναμφισβήτητον, ἰωμένην τὰ νοσήματα, δύο δ᾽ ἄλλας, τὴν μὲν ἐκ τῆς κατὰ σχέσιν ὑγιείας εἰς τὴν καθ᾽ ἕξιν ἄγουσαν, τὴν δὲ ἐν ταύτῃ φυλάττουσαν, καὶ δύο ἄλλας ὁμοίως περὶ τὴν εὐεξίαν, δημιουργικὴν μὲν τὴν ἑτέραν, φυλακτικὴν δὲ τὴν ἑτέραν, ἔτι τε πρὸς ταύτας, ἄλλας δύο περὶ τὴν ἀθλητικὴν εὐεξίαν. ἁπλῶς μὲν γοῦν τὴν ἑτέραν τὴν κατὰ φύσιν ὀνομαζομένην εὐεξίαν οὐχ ἁπλῶς δὲ τὴν οὐ φύσει τὴν ἀθλητικήν, ἀλλ᾽ ἀεὶ μετὰ προσθήκης, ὥσπερ καὶ Ἱπποκράτης, ὅτε μὲν ὧδέ πως λέγων, διαθέσιος ἀθλητικῆς οὐ φύσει, ἕξις ὑγιεινὴ κρείσσων. ὅτε δ᾽ αὖ πάλιν, ἐν τοῖς γυμναστικοῖς αἱ ἐπ᾽ ἄκρον εὐεξίαι, σφαλεραί, ἀλλ᾽ ἐν τοῖς ἀθλητικοῖς τε καὶ γυμναστικοῖς σώμασιν, ἀκούειν γάρ σε χρὴ γυμναστικὰ σώματα λέγεσθαι νῦν, οὐ τὰ τῶν ὁπωσοῦν γυμναζομένων, οἷον ἤτοι σκαπτόντων, ἢ ἐρεσσόντων, ἢ ἀμώντων, ἤ τι τῶν ἄλλων ὅσα κατὰ φύσιν ἀνθρώποις ἔργα, πραττόντων, ἀλλ᾽ οἷς αὐτὸ τοῦτ᾽ ἐστὶν ἀγώνισμα τὸ γυμνάζεσθαι κατ᾽ ἀθλητικὴν τῶν ἀντιπάλων ἰσχὺν ἐπασκοῦσιν. διατί μὲν οὖν ἡ τοιαύτη διάθεσις οὐ φύσει, δι᾽ ἑτέρων ἐξηγούμεθα. τὸ δ᾽ οὖν ἐκ τοῦ λόγου χρηστὸν εἰς τὰ παρόντα τοῦτ᾽ ἐστὶν αὐτό, τὸ νῦν εἰρημένον, ὡς ἑπτὰ γενήσονται περὶ τὸ σῶμα τέχναι, ἑτέρα μὲν τῆς ἄκρας εὐεξίας δημιουργός, ἑτέρα δὲ τῆς αὐτῆς ταύτης φυλακτική. περὶ μὲν γὰρ τῆς τῶν γυμναστικῶν εὐεξίας, ὅτι χρὴ φθάνειν τε καὶ διαλύειν τὴν ἀκρότητα πρὸς Ἱπποκράτους εἴρηται σαφέστατα. τῆς δ᾽ ἁπλῶς λεγομένης εὐεξίας τῆς κατὰ φύσιν, οὐχ ὅπως φυλάττεσθαι προσήκει τὸ ἄκρον, ἀλλὰ καὶ παντὶ τρόπῳ σπουδάζειν. οὕτως αἱ σύμπασαι γένοιντ᾽ ἂν ἐννέα περὶ τὸ σῶμα τέχναι, καὶ τούτων ἑπτὰ μέν, ἃς ἂν καὶ ἐπαινέσειέ τις. αἱ δύο δ᾽ αἱ λοιπαί, κακοτεχνίαι δηλονότι, καθάπερ καὶ ἡ κομμωτική. ταύτας μὲν οὖν εἰ βούλει παραλίπωμεν, ἐπέλθωμεν δ᾽ αὖθις τὰς ἑπτά, τὴν μὲν πρώτην ἁπασῶν ἣν ἰᾶσθαι τὰς νόσους ἐλέγομεν, ἄλλας δ᾽ ἐφεξῆς αὐτῇ, δύο μὲν περὶ τὴν κατ᾽ ἕξιν ὑγίειαν, δύο δὲ περὶ τὴν εὐεξίαν, καὶ δύο ἄλλας περὶ τὴν ἄκραν εὐεξίαν. ἤδη μὲν οὖν καὶ τοῦτο εὔδηλον, ὡς εἰ καί τις θείη περὶ τὸ σῶμα τέχνην ἐν ἔχουσαν δηλονότι, τὸ τέλος, ἀναγκαῖόν ἐστιν τοῦτον μέχρι τῶν ἑπτὰ προϊέναι, καὶ ὡς οὐδὲν ἄλλο τὸ τέλος τοῦτ᾽ ἐστὶν παρὰ τὴν ὑγίειαν. ἄμεινον δ᾽ ἴσως ἀκριβέστερον ἀπεξελθεῖν τῷ λόγῳ, πρῶτον μὲν τοῦτο ἀναμνήσαντας, ὃ μηδεὶς ἀγνοεῖ, τὰς μὲν κακοτεχνίας τὸ φαινόμενον ἀγαθὸν ἐκποριζομένας ἑκάστῳ τῶν ὄντων, τὰς τέχνας δὲ τὸ κατ᾽ ἀλήθειαν ἐν αὐτοῖς ὑπάρχον, ἐφεξῆς δὲ τούτῳ λέγοντας ὡς εἴπερ ἡ κομμωτικὴ κάλλους μὲν νόθου κάλλους ἐστὶ δημιουργός, αὕτη ἂν μὲν εἴη κακοτεχνία τε καὶ κολακεία, τέχνη δέ τις ἑτέρα συστήσεται περὶ τὸ γνήσιόν τε καὶ ὄντως ἀληθινὸν κάλλος, ὅπερ ἐστὶν εὔχροιά τε, καὶ εὐσαρκία, καὶ συμμετρία τῶν μορίων, ἃ τῇ κατὰ φύσιν εὐεξίᾳ συμβέβηκεν. καὶ νὴ Δία ἄλλον μὲν λόγον τῆς γυμναστικῆς διοριούμεθα, καὶ νῦν δ᾽ αὖ ἴσως ἐπὶ κεφαλαίων. οὐδὲν ἂν εἴη χεῖρον ὑπὲρ αὐτῶν εἰπεῖν, ἀρχὴν τῷ λόγῳ τήνδε ποιησαμένους. ἤτοι γοῦν τὸ κατὰ φύσιν ἐνεργεῖν ἑκάστου τῶν μορίων ὑγιαίνειν ἐστίν, ἢ τοῦτο μὲν ἐξ ἀνάγκης ἕπεται τῇ κατὰ φύσιν τοῦ σώματος κατασκευῇ, τὸ δ᾽ ὑγιαίνειν αὐτό, τοῦτ᾽ ἐστὶ τὸ κατὰ φύσιν κατασκευάσθαι, τούτων ὁπότερον ἂν ἐθελήσῃς ὑποθέμενος ὑγίειαν, οὐδὲν γὰρ εἰς τὰ παρόντα διαφέρει, τῶν ἑξῆς λόγων οὕτως ἄκουε προσέχων τὸν νοῦν. πότερα τοῦ κατασκευάσθαι κατὰ φύσιν ἕκαστον τῶν μορίων, ἢ τῆς ἐνεργείας αὐτοῦ χρήζομεν; ἐμοὶ μὲν πάντες δοκοῦσιν, οὐδ᾽ ἂν ὅλως θελῆσαι μόριον ἔχειν οὐδὲν ἀργὸν ἔργου τινός, οὔτ᾽ οὖν ὀφθαλμοὺς μὴ βλέποντας, οὔτε ῥῖνας ὀσμᾶσθαι μὴ δυναμένας, οὔτε σκέλη μὴ βαδίζοντας οὔτ᾽ ἄλλο τῶν πάντων οὐδέν, ἢ μὴ δ᾽ ὅλως ἐνεργοῦν, ἢ κακῶς ἐνεργοῦν. οὐδενὸς γὰρ ἁπάντων ὧν χρήζομεν ἀτελοῦς χρήζομεν, οὔτ᾽ οἰκίας, οὔθ᾽ ὑποδήματος, σκίμποδος, οὔθ᾽ ἱματίου, ἀλλ᾽ ἅμα τε χρήζομεν, καὶ τελείου χρήζο-

μεν, οὕτως οὖν οὐδὲ τοῦ περιπατεῖν ἀσθενῶς καὶ ἀρρώστως, οὐδὲ τοῦ βλέπειν, ἢ ἀκούειν ἀμβλέως, οὔτ᾽ ἄλλου τῶν πάντων οὐδενὸς ἐλλιποῦς ὀρεγόμεθα. τίς γὰρ εὐχροιαν, ἢ εὐσαρκίαν, ἢ κάλλος ἁπλῶς τοῦ σώματος, ἢ ῥώμην ἐλλιπῆ σχεῖν εὔχεται; καὶ μὴν ἐπεὶ οὐκ ἐλλιποῦς ἐνεργείας, ἀλλὰ τελέας χρῄζομεν, οὐδὲ τῆς κατασκευῆς τοῦ σώματος, ἀφ᾽ ἧς ἐνεργοῦμεν, ἐλλιποῦς δεησόμεθα, τούτων δ᾽ ἦν θάτερον ὑγίεια, δῆλον οὖν ὡς οὐδεὶς ἀτελοῦς ὑγιείας, ἀλλ᾽ ὡς ἔνι μάλιστα τελειοτάτης ἅπαντες χρῄζομεν. εἰ μὲν οὖν ἄλλο τι τὴν εὐεξίαν οἴεταί τις εἶναι παρὰ τὴν τελείαν ὑγίειαν, ἄλλην μὲν τέχνην ὑγιείας, ἄλλην δ᾽ εὐεξίας ζητείτω, εἰ δὲ ἓν καὶ ταυτόν ἐστιν ἄμφω, μίαν ἀνάγκη καὶ τέχνην εἶναι. πῶς οὖν ἓν καὶ ταυτόν ἐστιν εὐεξία τε καὶ ἡ παντελὴς ὑγίεια, ἐπειδὴ τὴν ταύτης αἰτίαν κατασκευὴν, τὴν αὐτὴν δήπου καὶ τῆς εὐεξίας εἶναι πεπείσμεθα, ἄμφω ταυτόν ἐστι. δεύτερον δὲ ἐξ αὐτῆς τῆς οὐσίας, εὐεξία μὲν γὰρ οὐδὲν ἄλλ᾽ ἐστὶν, ἢ εὖ ἔχουσα ἕξις, ἡ δὲ ἕξις, διάθεσις ἐστὶ μόνιμος, ὥστε οὐ περ ἕξις, τοῦτο καὶ εὐεξία. πρός τι δ᾽ ἄμφω. λέγεται δ᾽ οὖν τις ἕξιν ἔχειν ἐν γραμματικῇ, καὶ ἄλλος ἐν ἀριθμητικῇ, καὶ ἄλλος ἐν γεωμετρίᾳ, καὶ ἄλλος ἐν ἀστρονομίᾳ. καὶ καθ᾽ ἕκαστον τῶν ὄντων ὅταν ἡ διάθεσις δυσάλυτος ᾖ, ἕξις ὀνομάζεται. διαφερέτω δὲ μηδὲν ἔν γε τῷ παρόντι, διάθεσιν ὀνομάζειν ἢ σχέσιν, ἐπεὶ περ οὖν ὥσπερ ἕξις τοῦτο καὶ εὐεξία, τινὸς δὲ ἡ ἕξις δηλονότι, καὶ ἡ εὐεξία τινος, καὶ τοῦ αὐτοῦ γε οὗ καὶ ἡ ἕξις. ἀλλ᾽ ἡμῖν νῦν οὐ περὶ τῆς γεωμετρικῆς ἕξεως, ἢ μουσικῆς, ἢ γραμματικῆς, ἀλλὰ περὶ τῆς ὑγιεινῆς ὁ λόγος ἐστίν. οὐκ οὖν ὅταν εἴπωμεν εὐεξίαν, οὐ γραμματικὴν, ἢ μουσικὴν, ἢ γεωμετρικὴν, ἀλλ᾽ ὑγιεινὴν λέγομεν, εὐθὺς δὲ αὐτὸ τοῦτο παρορῶσιν οἱ πολλοὶ καὶ νομίζουσιν τὸ τῆς εὐεξίας ὄνομα, τῷ τῆς ὑγιείας ὁμοίως λέγεσθαι, καίτοι τὸ μὲν τῆς ὑγιείας ὄνομα, διαθέσεως τινός ἐστιν, τὸ δὲ τῆς εὐεξίας, οὐχ ἁπλῶς τὴν διάθεσιν, ἀλλὰ τὸ κατ᾽ αὐτὴν ἄριστόν τε καὶ μόνιμον ἐνδείκνυται, ἀρίστη ἐστὶ ἕξις ἐκείνης τῆς διαθέσεως, ἣν ὑγίειαν ὀνομάζομεν, ἢ εὐεξίαν. οὐκ οὖν αὖθις γὰρ τοῦ καὶ αὖθις ἀνάγκη ταυτὸν εἰπεῖν, εἰ μέλλει τις ἐξαιρήσεσθαι τῶν πολλῶν ἄγνοιαν παλαιὰν, οὔτε διαθέσεως, οὔτε κατασκευῆς, οὔτ᾽ ἐνεργείας ἐστὶ τὸ τῆς εὐεξίας ὄνομα δηλωτικὸν, ὥσπερ οὖν οὐδὲ τὸ τῆς ἕξεως, ἀλλὰ τούτου μὲν αὐτοῦ μόνου τοῦ δυσλύτου τε καὶ μονίμου τῆς διαθέσεως. ἡ δ᾽ εὐεξία πλέον οὐδὲν αὐτῷ προστίθησι, τοῦ εὖ. σύγκειται οὖν ἐκ τοῦ τῆς ἕξεως ὀνόματος, τὸ εὖ προσλαβόντος, ὅπερ εἰώθαμεν ἐπαινοῦντες ἅπασιν ἐπιφέρειν, ὅσα καλῶς καὶ κατὰ τὴν οἰκείαν ἀρετὴν διάκειται. τίνος οὖν ὀρεγόμεθα, καὶ τί τῷ σώματι διὰ παντὸς ὑπάρχειν βουλόμεθα, πότερον διάθεσιν ὑγιεινὴν αὐτὸ τοῦτο μόνον ἴσχειν, ἢ τοῦτό γε παραπλήσιον τὸ ζητεῖν. ἆρά γε οἰκίας μοχθηρᾶς, καὶ μελλούσης ὅσον οὔπω καταπεσεῖν χρῄζομεν, ἢ καὶ πρὸς τὴν χρείαν, ἧς ἕνεκα γέγονεν ἄριστα διακειμένην, καὶ ὡς ἔνι μάλιστα πολυχρονιωτάτην. οὐδεὶς γάρ ἐστιν, οὔτ᾽ ἐλλιπῶς, οὔτ᾽ ὀλιγοχρονίως ὑγιαίνειν βουλόμενος. ἀλλ᾽ οὐδ᾽ ἔστι τις ὅλως τέχνη σκοπὸν ἔχουσα τὸ χεῖρόν τε καὶ ὀλιγοχρονιώτερον, ἀλλ᾽ ὅπερ ἂν ἐκ τῆς αὐτῆς ὕλης ἄριστόν τε μέλλῃ καὶ πολυχρονιώτατον ἔσεσθαι, τοῦτο ταῖς ποιητικαῖς ἁπάσαις τέχναις ὁ σκοπός. οὐ μὴν οὐδὲ τέλος, ἄλλο τι παρὰ τὴν ἐπιτυχίαν ἐστὶ τοῦ σκοποῦ, καὶ δῆλον ἐκ τῶν εἰρημένων, ὡς καὶ τέλος ἕν ἐστιν τῆς περὶ τὸ σῶμα τέχνης, καὶ σκοπὸς εἷς. εἴτ᾽ οὖν ἀρτιότητα τις ἐθέλει τὸν σκοπὸν τοῦτον ὀνομάζειν, εἴτ᾽ εὐεξίαν, εἴθ᾽ ὑγείαν, εἴτε τὴν κατὰ φύσιν κατασκευὴν τοῦ σώματος εἴτε τὴν κατὰ φύσιν ἐνέργειαν, εἴτε διάθεσιν, ἢ κατασκευὴν ἀφ᾽ ἧς ἐνεργοῦμεν τελέως ταύτας τὰς κατὰ φύσιν ἐνεργείας οὐδὲν εἴς γε τὰ παρόντα δέομαι διαιρεῖν. ἓν γάρ μοι πρόκειται δεῖξαι τὸ πᾶσαν τέχνην, καὶ σκοποῦ καὶ τέλους ἐφίεσθαι. τέλος δ᾽ ἐν ἑκάστῳ τῶν ὄντων ἕν, ὅπερ οὐδ᾽ ἓν ἄλλ᾽ ἐστιν, ἢ κατ᾽ ἐκείνην τὴν οὐσίαν ἀγαθὸν, ἀμπέλου γοῦν οὐκ ἄλλο μὲν τελειότης, ἄλλο δὲ τὸ ἀγαθὸν, οὐ μὴν οὐδ᾽ ἄλλο τι παρὰ τοῦτο πρόκειται σκοπεῖσθαι τῇ περὶ τὰς ἀμπέλους τέχνῃ, καθάπερ οὐδὲ τῇ περὶ τὰς ἐλαίας, ἀλλὰ καὶ ἥδε τὴν τελειότητα τῆς ἐλαίας φύσεως ἔχει τὸν σκοπόν. ἓν δή τι τῶν ὄντων ἐστὶ τοὔτ᾽ ἀνθρώπου σῶμα, καὶ τίς ἐστιν, καὶ τούτου δὲ πάντη τελειότης, ἣν καὶ παροῦσαν φυλάττειν, καὶ ἀποῦσαν ἀνασώζεσθαι πρόκειται τινὶ τέχνῃ. ταύτης δ᾽ εἴπερ τι κατωτέρω ποιήσομεν ἕτερον τέλος, ὁ προειρημένος ἡμᾶς ἐκδέξεται λόγος. ἔσται γὰρ, ἡ μὲν τῆς εὐεξίας, ἡ δὲ ἄκρας εὐεξίας, ἑτέρα δὲ τῆς ὑγιεινῆς ἕξεως, καὶ τετάρτη τις ἄλλη τέχνη, σχέσεως ὑγιεινῆς δημιουργὸς, ἔξωθεν δὲ τούτων ἄλλη πέμπτη, τῆς ἀθλητικῆς εὐεξίας. εἰ δὲ καὶ δημιουργεῖν μὲν ἄλλαις τὰ τέλη, φυλάττειν δ᾽ ἄλλαις ἐπιτρέψομεν, οὐ ταύτας μόνον, ἀλλὰ καὶ σὺν αὐταῖς ἄλλας τοσαύτας ἐπιζητήσομέν τε καὶ συνουσόμεθα περὶ τὸ σῶμα τέχνας, ὧν καὶ δῆλον, ὡς οὔτε πολλὰ τὰ τοῦ σώματος ἀγαθὰ χρὴ ποιεῖν, οὔτ᾽ ἄλλην μέν τινα αὐτοῦ δημιουργὸν, ἄλλην δὲ φύλακα. τῷ μὲν δὴ σκοπεῖσθαι δυναμένῳ διὰ κεφαλαίων τὸ σύμπαν, οὐδὲν ἔτι προσδεῖ. τῷ δὲ τοῦτον μὴ δυναμένῳ ῥᾳδίως ἢ καὶ πάντ᾽ ἐξαλεῖψαι τῆς διανοίας, ὅσα τοῖς κακῶς ὑπειλημμένοις ἕπεται δεομένῳ, παμπόλλων ἔθ᾽ ἡγοῦμαι δεῖν. ὅτι τε γὰρ, οὐχ ἕν ἐστιν τὸ τοῦ σώματος ἀγαθὸν, ἀλλὰ καὶ ὑγίειά τε καὶ ῥώμη καὶ κάλλος. ὅ, τι τε δυνατὸν ἑτέραν μὲν εἶναι δημιουργὸν τούτου τέχνην, ἑτέραν δὲ φυλακτικὴν, ὅσα μ᾽ ἄλλα τούτοις ἑπόμενα κακῶς ἐγνώκασιν, ἔνιοι διελέγξαι χρή. καὶ πρῶτόν γε, ὅτι τοῦ σώματος ἓν ἀγαθόν ἐστιν διελθεῖν ἄμεινον πρώτως τε καὶ κυρίως λεγόμενον, ἐφ᾽ ὃ πάντα, τὴν ἀναφορὰν ἔχει. τὰ δ᾽ ἄλλα τὰ λεγόμενα σώματος ἀγαθὰ, τὰ μὲν ὡς μόρια ἐκείνου λέγεται, τὰ δ᾽ ὡς αἴτια, τὰ δ᾽ οἷον καρπός τις, ὥσπερ γὰρ τὸ κάλλος ἥτ᾽ εὐχροια, καὶ ἡ εὐσαρκία, καὶ ἡ συμμετρία, καθάπερ καὶ ἄλλα τινὰ συμπληροῖ, τί κωλύει καὶ τὸ τοῦ σώματος, ἐξ ὑγιείας, καὶ ῥώμης, καὶ κάλλους συμπληροῦσθαι; τί δὲ κωλύει πάλιν αὐτοῦ μὲν τοῦ σώματος ἀγαθὸν εἶναι τὴν ὑγίειαν, οἷον δὲ καρπόν τινα τὸ κάλλος αὐτοῦ, καὶ τὴν ἐνέργειαν ὑπάρχειν; τί δὲ κωλύει, τὴν μὲν ἐνέργειαν εἶναι τὸ πρῶτον ἀγαθὸν τοῦ σώματος, αἰτίαν δ᾽ αὐτῆς τὴν ὑγίειαν; οὐ γὰρ ἐξ ἄλλων μέν τινων ὑγιαῖνον ἀκριβῶς ἔσται σῶμα, δι᾽ ἄλλων δ᾽ ἰσχυρὸν, ἢ καλὸν αὐτὸ μέλλει ποιήσειν. εὐθὺς γὰρ τοῦτο, καὶ ἀκριβῶς ὑγιεινὸν, ὥστε καὶ διὰ τοῦτο μία τέχνη περὶ τὸ σῶμα. τὰ γὰρ αὐτὰ πράττοντες, ἰσχυροί τε ἅμα κατὰ τὰς ἐνεργείας ἐσόμεθα, καὶ καλλίους ὀφθῆναι, καὶ ὑγιεινότεροι, καὶ εὐεκτικώτεροι, καθάπερ εἰ καὶ σφαλείημέν τε περὶ τὸ σῶμα καὶ τῶν ἐνεργειῶν τὴν ῥώμην καταλύσομεν, καὶ τῷ κάλλει λυμαινούμεθα, καὶ τὴν εὐεξίαν καθαιρήσομεν, καὶ τὴν ὑγίειαν μειώσομεν. ἅπαντα γὰρ ταῦτα, συναυξάνεταί τε καὶ συμμειοῦται προσηκόντως. ἡ γάρ τοι κατὰ φύσιν ἐνέργεια δεῖται τῆς κατὰ φύσιν τοῦ σώματος κατασκευῆς, ὑφ᾽ ἧς γίνεται, λόγον αἰτίας ἐχούσης πρὸς αὐτήν. ὥστ᾽ οὐκ ἐνδέχεται πρότε-

ρον, τὸ

ρου, τὸ μὲν ἕτερον αὐτῶν εἶναι, τὸ δ' ἕτερον μὴ παρεῖναι, καὶ μὲν δὴ καὶ συναυξάνεται καὶ συμμειοῦται ἀμφότερα. βελτίω μὲν δὴ γινόμενα, τὸ μὲν, εὐεξία, τὸ δὲ ῥώμη, κέκληται. τὸν αὐτὸν γὰρ καὶ ἡ ῥώμη πρὸς τὴν ἐνέργειαν ἔχει λόγον, ὅνπερ ἡ εὐεξία πρὸς τὴν ὑγείαν. ἑκάτερον γὰρ ἑκατέρῳ γίνεται, καὶ ὥσπερ ἡ εὐεξία τινός ἐστιν, οὕτως καὶ ἡ ῥώμη, τῆς μὲν γὰρ κατὰ φύσιν, εἴτε κατασκευῆς, εἴτε διαθέσεως ὀνομάζειν ἐθέλοις, ἀρετή τις ἡ εὐεξία. τῆς δὲ ἐνεργείας ἡ ῥώμη. ταυτὸν δ' ἀρετή τε καὶ τελειότης ἐστὶν, καὶ τὸ καθ' ἕκαστον τῶν ὄντων ἀγαθὸν, ὅπερ ἂν αὐτοῦ πρώτως τε καὶ ἁπλῶς ἀγαθὸν ὀνομάζεται, καὶ μὲν δὴ καὶ χεῖρον γίγνεται διὰ τῶν αὐτῶν ἀμφότερα, καὶ ἡ μὲν ὑγιεινὴ διάθεσις, ὥσπερ ἔμπροσθεν εἴπομεν, εὐεξία προσαγορεύεται. εἰ δ' αὖ τις ἐνεργῶς ἀσθενὴς, ῥώμης ἀῤῥωστία τε καὶ ἀσθένεια, καὶ δὴ καὶ κάλλος μὲν τοῖς προτέροις, αἶσχος δὲ τοῖς δευτέροις, ἐξ ἀνάγκης ἕπεται. πάντα οὖν ταῦτα, καὶ συναύξεται, καὶ συμμειοῦται, καὶ τελειοῦται καὶ καθαιρεῖται πάνθ' ἅμα, καὶ τὸ βλάπτον ὁτιοῦν ἓν ἐξ αὐτῶν, εὐθὺς καὶ τἄλλα σύμπαντα βλάπτει, τό τε ὠφελοῦν ὡσαύτως ἅπαντα ὠφελεῖ, καὶ δῆλον ὡς καὶ διὰ τοῦτο μίαν ἀνάγκη τέχνην εἶναι περὶ σύμπαντα ταῦτα. τί δὴ τούτων ἐστὶ τὸ πρῶτόν τε καὶ ἁπλῶς ἀγαθὸν τοῦ σώματος, οὐδὲν μὲν ἐγείρει, τό γε νῦν εἶναι, λέγειν. ἵνα δὲ μὴ δὲ τοῦτ' ἐνδέῃ, σώματος ἀγαθὸν ἁπλῶς καὶ πρῶτον, οὗ μάλιστα δεόμεθα τελειότης τῆς ἐνεργείας ἐστὶν, ὅπερ δὴ ῥώμην τε καὶ ἰσχὺν ὀνομάζουσιν, ἐλλειπτικῶς ἑρμηνεύοντες. ἔχειν γὰρ αὐτὸν, οὐ ῥώμην ἁπλῶς, ἀλλ' ἐνεργείας ῥώμην, οὐδ' ἰσχὺν ἁπλῶς, ἀλλ' ἐνεργείας ἰσχὺν εἰπεῖν. ἐξῆς δὲ τούτων δεύτερον, οὐχ ἁπλῶς, οὐ δὲ καθ' ἑαυτὸ τοῦ σώματος ἀγαθὸν, ἀλλ' ὅτι γε τὸ πρῶτόν τε καὶ καθ' ἑαυτὸ τοιοῦτο δεῖται πάντως εἰς γένεσιν. οἷον ἡ τῆς ὑγιείας ἐστὶν εὐεξία, ἣν καὶ αὐτὴν πάλιν ἐλλειπτικῶς ὀνομάζοντες, ἀφορμὴν σφισμάτων παρέχουσιν, δέον γὰρ εὐεξίαν ὑγείας εἰπεῖν οὐχ οὕτως, ἀλλ' ἁπλῶς εὐεξίαν ὀνομάζουσιν. ἕπεται δ' ἐξ ἀνάγκης τῇ δὲ τὸ κάλλος, ἄλλο τι γένος ἕπεται ἐκείνοις, τρίτον ἀγαθὸν σώματος, ὥστε οὐχ ὁμογενῆ τὰ τοῦ σώματος ἀγαθὰ, καθάπερ οὐδὲ τὰ τῆς ψυχῆς, οὐθ' ὁμοίως λέγεται ἅπαντα. ἀλλὰ τὸ μὲν ὡς πρῶτόν τε καὶ καθ' ἑαυτὸν, τὸ δ' ὡς αἴτιον ἐκείνου, τὸ δ' ὡς ἐξ ἀνάγκης ἑπόμενον. τίνος οὖν τούτων τῶν τριῶν ἡ περὶ τὸ σῶμα τέχνη πρώτως ἐστὶ δημιουργός; ἆρά γε τῆς ὑγιείας, ἢ τῆς ἐνεργείας, ἢ τοῦ κάλλους. ὅτι μὲν γὰρ ἐξ ἀνάγκης ὠφελήσει τε καὶ ποιήσει τὰ τρία, κἂν ἓν ἐξ αὐτῶν ὁτιοῦν ὠφελεῖ, πρόδηλον ἤδη γέγονεν. εἴ τε γοῦν τὴν ἐνέργειαν, ἐξ ἀνάγκης καὶ τὴν ὑγίειαν τε καὶ τὸ κάλλος, ἡ μὲν γὰρ, οὐχ οἵα τε ἐστὶν χωρὶς τῆς ποιούσης αὐτὴν αἰτίας γενέσθαι, τὸ κάλλος δ' ἐξ ἀνάγκης ἕπεται. εἴ τε τὴν ὑγίειαν, εὐθὺς καὶ τὴν ἐνέργειαν καὶ τὸ κάλλος. ἄμφω γοῦν ἦν ταύτης ἔγγονα. καὶ μὴν εἰ τὸ κάλλος ποιεῖ, πάντως τοῦτο καὶ τὴν ὑγίειαν προπεποίηκεν. εἰ δὲ τοῦτο, καὶ τὴν ἐνέργειαν, ἀλλὰ τί τὸ πρώτως ἐστὶν ὑπὸ τοῦ τεχνίτου γιγνόμενον, ὁ λόγος ἐπόθει θηρᾶσαι, καὶ δὴ φαίνεται σαφῶς ἤδη διὰ τῶν εἰρημένων, ἡ μὲν τέχνη τὴν ὑγίειαν ἐργαζομένη, ταύτῃ δ' ἐξ ἀνάγκης ἐνέργειά τε καὶ τὸ φυσικὸν κάλλος ἀκολουθεῖ. ὅπου γὰρ πρὸ ὧν ἐνεργῶν ὁ τεχνίτης ἵσταται, τοῦτ' ἐστὶν αὐτοῦ τὸ τέλος, ἵσταται δὲ ἐν τῷ τὴν κατὰ φύσιν ἐργάσασθαι διάθεσιν, ἀφ' ἧς ἐνεργοῦμεν, ὅπερ ἦν ὑγίεια, ταύτην δ' ἐργασάμενος, οὐδὲν ἔτι πονεῖ περὶ τὴν ἐνέργειαν, ἢ τὸ κάλλος, ἕπεται γὰρ ἐξ ἀνάγκης ἐκεῖνα, κἂν ὁ τεχνίτης μὴ θέλει, καὶ κωλῦσαι γε αὐτὰ, τῷ τεχνίτῃ παντάπασιν ἀδύνατον, ἅπαξ γε τὴν ὑγίειαν ἐργασαμένῳ; αὐτὴν μέν τοι τὴν ὑγίειαν, ἐπ' αὐτῷ κωλύειν ἐστὶν. εἰ δὲ γέ πη διαφθείρειεν αὐτὴν, οὐκ ἔστιν ἐπ' αὐτῷ τὴν κατὰ φύσιν ἐνέργειαν, ἢ τὸ κάλλος ἐκπορίσαι τῷ σώματι. τὴν οὖν περὶ τὸ σῶμα τέχνην ἥτις ἂν ᾖ, περὶ μὲν τὴν ὑγίειαν ἁπάντων πρώτην τε καὶ καθ' ἑαυτὴν πραγματεύεσθαι φατέον, ἐφεξῆς δὲ κατά τι συμβεβηκὸς τήν τε ἐνέργειαν καὶ τὸ κάλλος. οὐ μὴν ἀτελές γέ τι τούτων οὐδὲν, οὐδ' ἐλλιπὲς, ἀλλὰ τέλεα, καὶ πλήρη, καὶ ἄκρα, ὅπως μὲν οὖν ἐστι πολλὰ τοῦ σώματος ἀγαθὰ, καὶ πῶς ἕν, ὅτι τε μὴ πάντων ὡσαύτως ἡ περὶ τὸ σῶμα τέχνη πεφρόντικεν, ἀλλὰ τοῦ μὲν καθ' αὑτὸ, τοῦ δὲ κατὰ συμβεβηκὸς, αὐτάρκως δέδεικται.

Διατί δ' οὐκ ἐνδέχεται κατ' οὐδεμίαν ὕλην, ἄλλην μὲν τέχνην τοῦ τέλους δημιουργὸν, ἑτέραν δ' εἶναι τὴν φυλάττουσαν, ἤδη καὶ ταῦτα πειράσομαι δεικνύναι, καὶ πρῶτον μὲν, ὡς οὐδὲ τὸ παράδειγμα αὐτοῖς ὁμολογεῖ τὸ σφέτερον, ἐπιδείξω, μετὰ ταῦτα δὲ, ὡς οὐδὲ ἡ τῶν πραγμάτων αὐτῶν φύσις, εἴπερ γὰρ ἄλλης μὲν ἐστι τέχνης ὑπόδημα ποιήσασθαι, τὸ δ' ἠπήσασθαι τοῦτο παθὸν, ἑτέρας, οὔπω τὴν τρίτην ἐνταῦθα τέχνην ἐπέδειξαν ἡμῖν τὴν φυλακτικήν. ὡσαύτως δὲ κἀπὶ τῶν ἱματίων, εἴπερ ἑτέρας μὲν ἐστι τέχνης ἠπήσασθαι, δημιουργῆσαι δ' ἑτέρας, ἡ τρίτη κἀνταῦθα τίς ἐστιν ἡ φυλακτικὴ, λέγειν οὐχ ἕξουσιν. ἐπὶ μὲν γὰρ τῶν ἡμετέρων σωμάτων, καὶ ὅλως τῶν ὑπὸ φύσεως διοικουμένων, ἡ μὲν, οἷον δημιουργικὴ, ἡ φύσις ἐστὶν, ἀνάλογον ὑφαντικῇ τε καὶ σκυτοτομικῇ. τὸ πονῆσαν δ' ἐπανορθοῦται, γεωργός τε καὶ ἰατρὸς, ἀνάλογον οὖν καὶ οἱ δὲ τῷ ῥάπτοντι τὰ ἱμάτια, καὶ τῷ τὰ παλαιὰ τῶν ὑποδημάτων ἐπανορθουμένῳ. τὸ δὲ φυλάττειν ἱμάτιον, ἢ ὑπόδημα καταθέμενον ἐπὶ τῆς οἰκείας, ὅπως μὴ κλαπείη πρός τινος, ὑπὸ μυῶν καταβρωθείη, τάχα μὲν, οὐδὲ τέχνης ἐστὶν οὐδεμιᾶς, ἀλλ' ἐπιμελείας μόνης. εἰ δ' ἄρα καὶ τέχνην τινὲς εἶναι βούλονται φυλακτικὴν αὐτῶν, αἱ τοιαῦται τέχναι τοῖς ἀνθρώποις, ἡ στρατηγική, τε εἰσὶ καὶ ἡ πολιτικὴ, καὶ πρὸς ταύταις, ἥ τε τῶν θυρωρῶν εἰ βούλει, καὶ τῶν ἄλλων φυλακῶν. ἵνα γὰρ μήτε ὑπὸ τοῖς πολεμικοῖς ὦμεν, ἢ ὅλως τοῖς πονηροῖς ἀνθρώποις, μήτε ὑπὸ τοῖς θηρίοις, οἰκίας τε καὶ πόλεις οἰκοδομησάμεθα, καὶ τείχη περιεβαλλόμεθα, καὶ στρατηγοὺς, καὶ ἄρχοντας ἀπεδείξαμεν, ἀλλ' οὐ τοιαύτην τινὰ ἐζητοῦμεν τέχνην ὑγιείας φυλακτικὴν, ἀλλ' ἥ τις οἶμαι περὶ τὸ σῶμα τοῦ ἀνθρώπου πραγματευομένη τι. μὴ κατὰ συμβεβηκὸς, ἀλλὰ καθ' αὑτὸ, σῶον αὐτὸ καὶ ὑγιαῖνον ἀποδείκνυσιν. ἑκάστη δὲ τῶν νῦν εἰρημένων οὐκ αὐτὴν καθ' αὑτὴν, ὑγιείας ἐστὶ φύλαξ, ἀλλ' ἐπειδὴ συμβέβηκεν τῷ μὴ σφαγέντι, μηθ' ὑπὸ θηρίου καταβρωθέντι φυλάττεσθαι τὴν ὑγίειαν, ὥσπερ οὖν καὶ ὅλην τὴν ζωὴν, διὰ τοῦτο κατά τι συμβεβηκὸς οὐ πρώτως, οὐδὲ κατὰ τὸν ἴδιον λόγον, ἑκάστη τῶν τοιούτων τεχνῶν ὑγιείας γίγνεται φύλαξ. ἡ πρώτη οὖν ὑγίειαν φυλάττουσα κατὰ τὸν ἑαυτῆς λόγον, ἐν τίσιν ἕξει τὴν πραγματείαν; ἐμοὶ μὲν δοκεῖ, μήτ' ἐν τοῖς οὐκ ἐξ ἀνάγκης ὁμιλοῦσι τῷ σώματι, μήτε ἐξ ἀνάγκης ἐν τοῖς οὐδὲν διατιθεῖσιν, ἀλλ' ἐν οἷς τε διατρίβει πάντως τὸ σῶμα, κἂν ἡμεῖς μὴ βουλώμεθα, καὶ τούτου τοῖς ὠφελεῖν ἢ βλάπτειν δυναμένοις, ἐν τούτοις τε καὶ περὶ ταῦτα πραγματεύεσθαι. ξίφεσι μὲν οὖν καὶ θηρίοις, καὶ κρημνοῖς καὶ βρόχοις οὐκ ἐξ ἀνάγκης περιπίπτει τὸ σῶμα, ἀλλὰ τῷ περιέχοντι

ἀέρι κατὰ διττὸν τρόπον ἐξ ἀνάγκης ὁμιλεῖ, καὶ πάντη περικεχυμένῳ, καὶ διὰ τῆς εἰσπνοῆς ἑλκομένῳ. καὶ μὴν
δὴ καὶ ὕπνος καὶ ἐγρήγορσις, ἡσυχία τε καὶ κίνησις ἐκ τῶν τοιούτων ἐστὶν, ἀνάγκη γὰρ ἢ ὑπνοῦν, ἢ ἐγρηγορέναι, καὶ
ἡσυχάζειν ἢ κινεῖσθαι, ὥσπερ οὖν καὶ λιμώττειν, καὶ ἐσθίειν, καὶ διψῆν, ἢ πίνειν, ἢ τινὰ μεταξὺ τούτων ἔχειν κα-
τάστασιν. αἱ δὲ τῆς κοίτης διαφοραὶ καὶ τῶν ἱματίων, οὐκ ἀναγκαῖαι πᾶσαι, κλίνη γὰρ ἐλεφαντόπους, οὐδὲν οὔτ᾽
ὠφελεῖ τὴν ὑγίειαν, οὔτε βλάπτει, κατὰ ταῦτα δὲ καὶ σκίμπους εὐτελής. καὶ ἱματίοις εὐτελέσιν, ἢ πολυτελέσιν
ἢ τοῖς σκεύεσιν ὑαλίνοις, ἢ χρυσοῖς, ἢ ἀργυροῖς, ἢ ξυλίνοις χρῆσθαι, καὶ παῖδας ἔχειν εὐμόρφους, ἢ αἰσχροὺς τοὺς ὑπη-
ρετουμένους, ἢ μηδ᾽ ὅλως ἔχειν, ἀλλ᾽ ἑαυτῷ διακονεῖσθαι. ταῦτα μὲν γὰρ οὐδὲν οὔτ᾽ ὠφελεῖν, οὔτε βλάπτειν ἡμᾶς
πέφυκεν, οὔτε καθ᾽ ἑαυτὸ καὶ πρώτως, οὔτε κατὰ συμβεβηκός, ἀὴρ δὲ θερμὸς ἢ ψυχρός, ἐδέσματά τε καὶ πόμα-
τα, καὶ ἠρεμία καὶ κίνησις, ἐγρήγορσίς τε καὶ ὕπνος, ἐξ ἀνάγκης ὠφελεῖ καὶ βλάπτει κατὰ τὴν ἑαυτῶν
δύναμιν, ἱμάτιον δὲ τρίχινον ἐν χειμῶνι, καὶ βαρὺ καὶ πνιγῶδες ἐν τῷ θέρει, βλάπτει μὲν ἐξ ἀνάγκης ἀλλ᾽ οὐ
κατὰ συμβεβηκός, τῷ τε κρύει καὶ θάλπει τιμωρεῖται. ταῦτ᾽ οὖν ὅσα καθ᾽ αὑτὰ δύναμιν ἔχει βλάβης τινός, ἢ τῆς
ὠφελείας, ὁ τῆς ὑγείας προνοούμενος, ἐπισκοπεῖται. πῶς καὶ τίνα τρόπον; ἐπειδὰν μὲν ἱκανῶς ἤδη τὸ σῶμα
κενώσεως ἔχῃ, καὶ κίνδυνος ἤτοι βλάβης αἰσθητῆς, τρέφεσθαι κελεύων. ἐπειδὰν δὲ ξηραίνηται μᾶλλον τοῦ με-
τρίου, καὶ κίνδυνος ᾖ, κἀντεῦθεν ἤδη βλαβῆναι, πίνειν ἀξιῶν. οὕτω δὲ καὶ γυμνάζων, ἐπειδὰν ῥῶσαι μὲν βού-
ληται τὴν διοικοῦσαν ἡμᾶς δύναμιν, ἐκκαθάραι τε τὰ κατὰ λεπτοὺς πόρους. ἡσυχάζειν δὲ προστάττων, ἐπειδὰν
ἤτοι κάμνειν πρὸς τῶν γυμνασίων αἴσθηται, ἢ διαφορεῖσθαι τὸ σῶμα πέρα τοῦ προσήκοντος, ἀλλὰ καὶ τὴν γα-
στέρα λαπάττων μὲν, ἢν ἴσχηται, κατέχων δὲ, ἢν ἐκταράττηται, καὶ τὰ ἄλλα δὴ πάντα κατὰ τὸν αὐτὸν τρόπον ἕκα-
στα πραγματευόμενος, ἑνὶ κεφαλαίῳ τῷδε προσέχων τὸν νοῦν. ἐπειδὰν μὲν ἀκριβῶς ἔχῃ καὶ ὑγιῶς τὸ σῶμα,
μηδὲν νεωτερίζειν, ἐπειδὰν δὲ κατά τι τῆς ἀκριβοῦς ἐξίστηται συμμετρίας, εὐθὺς ἀντεισάγειν τὸ λεῖπον πρὶν μεγά-
λην γενέσθαι τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπήν, ὥσπερ ἂν εἰ τὰς κρόκας ἐκρυείσας ἱματίου τινός, οὐχ ἅμα πάσας οὐ-
δ᾽ ἀθρόας, ἀλλὰ καθ᾽ ἑκάστην ἡμέραν, μίαν, ὁ τοῦτ᾽ ἔργον πεποιημένος ἰδίᾳ παρεδρεύων, ὡς λανθάνειν τοὺς πολ-
λοὺς τὴν ἐπανόρθωσιν ὑπὸ σμικρότητος. τοιοῦτον γάρ τινα χρὴ καὶ τὸν τοῖς ὑγιαίνουσιν ἐφεστῶτα τεχνίτην εἶναι, σμι-
κρᾶς διαφορᾶς καὶ βλάβης αἰσθητικόν τε ἅμα καὶ ἐπανορθωτικόν, εἰ δέ γ᾽ ἀπαθὲς ἔμενε πάντη τὸ σῶμα, καὶ
τοιοῦτον, οἷόν περ ὁ ποιήσας αὐτὸ τεχνίτης ἀπέλειπεν, οὐκ ἂν ἐδεῖτο τοῦ διαπαντὸς ἐπανορθουμένου. νυνὶ δ᾽ ἐπει-
δὴ διαρρεῖται, καὶ φθείρεται, δεῖται τινὸς ἐφεστῶτος παρεδρεύοντος, ὃς καὶ γνωριεῖ τὸ κενούμενον ὁποῖόν τ᾽ ἐστὶν,
καὶ ὁπόσον, ἰάσεταί τε παραχρῆμα, τοιοῦτόν τε καὶ τοσοῦτον ἕτερον ἀντεισάγων. ἀπέρρει τὸ κατὰ φύσιν ὑγρόν. ἐπάγ-
ειν χρὴ τὴν ἴσην ὑγρότητα. πόμα παρέχοντα. διαφορεῖται τὸ θερμόν, ἀντεισάγειν χρὴ τοσοῦτον ἕτερον. ἐκκε-
νοῦται τὸ ξηρόν, ἤδη καιρὸς τρέφειν. ἑνὶ λόγῳ τὸ διαφορούμενον καὶ ἀπολλύμενον, ἐπανορθοῦσθαι κατὰ βραχὺ, πρὸ
τοῦ τοῖς πολλοῖς γενέσθαι κατάφωρον. ὥσπερ οὖν οἱ δύο τινὲ πίθω ὄντε τετρημένω πολλαχόθι, μεστὼ μὲν ἄμφω
τὰ πρῶτα, κενουμένω δ᾽ ὁμοίως ὑπὸ τῶν ἐκροῶν, εἴη δὲ, τῷ μὲν ἐφεστώς τις ἀεὶ προσεδρεύων, ἐπαντλῶν ἴσον
ἑκάστοτε τῷ κενουμένῳ, θατέρῳ δὲ πρὶν ἱκανῶς ἐκκενωθῆναι μηδεὶς παρείη, τηνικαῦτα δ᾽ ἐξαίφνης ἐπιστάς τις
ἀθρόως πληρώσειεν, εὔδηλον ὡς τὸν μὲν ἕτερον τῶν πίθων, οὐδέποτε ἐκκενοῦσθαί τε καὶ πληροῦσθαι, τὸν δ᾽ ἕτερον
ἄμφω ταῦτα πάσχειν οἱ πολλοὶ τῶν θεωμένων ἐροῦσιν. οὕτως ἔχει κἀπὶ τῶν ὑγιαινόντων τε καὶ νοσούντων σωμά-
των. ἐπανορθοῦται μὲν, ἄμφω ταῦτα μιᾷ τέχνῃ καὶ καθ᾽ ἕνα τρόπον, ἀντεισαγούσῃ τὸ λεῖπον. ἡ διαφορὰ δὲ, ἐν
τῷ ποσῷ τῆς ἐπανορθώσεως, οὐκ ἐν τῷ ποιῷ, καὶ μὴν ἡ κατὰ τὸ ποσὸν ἐν τοῖς γιγνομένοις διαφορὰ, μιᾶς ἐστι τέ-
χνης. εἰ δέ γ᾽ ἄλλης ἔσεσθαι μέλλοι πάντως χρὴ παραλλάξαι τῷ ποιῷ. εἰ δ᾽ ὅτι τοῦ μὲν ἔφθασεν ἐκρυῆναι πολλὰ,
πρὶν ἀφικέσθαι τὸν τεχνίτην, ὁ δ᾽ ἕτερος, ἀεὶ παρεδρεύοντος ἐπιτυχὼν αὐτῷ, μεστὸς διαφυλάττεται, τούτου χάριν
ἡγῇ διττὸν εἶναι τὸν τρόπον τῆς ἐπανορθώσεως, οὐκ ὀρθῶς ἔγνωκας. οὐ γὰρ ἄλλη μὲν τέχνη μίαν ἀντεισάγειν κρόκην
ἐκρυεῖσαν, ἄλλη δὲ τρεῖς, ἢ τέτταρας, ἢ πεντακοσίας, οὐδ᾽ ἄλλη μὲν τέχνη σμικρόν τι τοῦ τοίχου πονῆσαν ἐπανορ-
θοῦται, μεῖζον δ᾽ αὐτοῦ πάθος ἑτέραν ἐπιζητεῖ τέχνην. ἐπεὶ γὰρ τῷ τρόπῳ γέγονεν ἕκαστον τῶν ὄντων, τούτῳ
καὶ φθειρόμενον ἐπανορθοῦται. κρόκαι στήμοσι διαπλακεῖσαι, ποιοῦσιν ἱμάτιον, ἆρ᾽ οὖν ἢ παθεῖν ἔξω τούτων ἱμάτι-
ον, ἢ ἰαθῆναι δυνατόν, δεῖ δὴ πάντως, εἴ γε πάσχει τι πάθος, ἤτοι στήμονα παθεῖν, ἢ κρόκην, ἢ συναμφότερα,
ἴασίν τε μίαν εἶναι τὴν κρόκην ἀεὶ διαπλεκομένην τῷ στήμονι, μιμήσει τῆς γενέσεως. ἀλλ᾽ αἱ κατὰ μέρος ἐνέργειαι τοὺς
πολλοὺς ἐξαπατῶσιν, οὐ δυναμένους θεάσασθαι τὸ καθόλου. μεθόδου γὰρ ἤδη λογικῆς τὸ τοιοῦτον, ἣν οὔτ᾽ ἔμαθον, οὔτ᾽
ἤσκησαν οἱ τολμῶντες ἑκάστης ἡμέρας εἰς τὰ προβλήματα λέγειν. ἄμεινον γὰρ ἦν εἴπερ ᾔδεσαν ἐκείνην, διδά-
ξαι τοὺς μαθητὰς ἅπαξ, οὐ μυρία προβλήματα διέρχεσθαι. ὁ μὲν γὰρ ἐκείνην μαθὼν, οὐδὲν ἔτι δεῖται τῶν μυρίων, ἑαυ-
τῷ γε πάντα καλῶς διαιρεῖσθαι δυνάμενος. ὁ δ᾽ ἀγνοῶν ἔτι τὴν μέθοδον πρὸς τῷ μὴ γιγνώσκειν εἰ καλῶς εἴρηται
τὰ μυρία, παμπόλλων ἔτι προβλημάτων, ὧν οὐκ ἀκήκοεν ἐπιδεής ἐστιν. ἀλλὰ τοῦτο μὲν ὁδοῦ τι πάρεργον ἡμῖν εἰ-
ρήσθω, πρός γε τοὺς ἑκάστης ἡμέρας εἰς τὰ προβλήματα λέγοντας τοῖς μαθηταῖς, οὔτε δι᾽ αὐτοὺς εἰδότας ὅτι λέγου-
σιν, ἐς ἀεὶ ἀμαθεῖς τε ἅμα καὶ ἀγύμναστοι τῆς κρίσεως. καὶ γὰρ οὖν κἀνταῦθα πότερον ταῖς κατὰ μέρος ἐνεργείαις ἢ
ταῖς καθόλου διακριτέον ἐστὶ τὰς τέχνας ἀπ᾽ ἀλλήλων, ἢ τοῦτο μὲν οὐχὶ, τοῖς σκοποῖς δὲ καὶ τοῖς τέλεσιν, ἢ μηδὲ τούτοις,
ἀλλὰ ταῖς ὕλαις τε καὶ τοῖς ὀργάνοις, καὶ ταῖς ἀρχαῖς, καὶ τῇ θεωρίᾳ μηδ᾽ ὅλως σκεψάμενοι, ληροῦσιν ὑπὲρ ὧν οὐκ
ἴσασιν. ἄμεινον οὖν ἴσως ἐστὶ καὶ ἡμᾶς ἐπειδήπερ ἅπαξ ὑπέστημεν τὸν ἆθλον τοῦτον ἐκτελέσαι, διελθεῖν τι καὶ
περὶ τῶν ἐνθένδε ἁπάντων, ὡς οἷόν τε διὰ βραχυτάτων, ἀρξαμένους αὖθις ἀπὸ τῶν κατὰ μέρος ἐνεργειῶν. ἔστιν οὖν τις
ἐνέργεια κατὰ μέρος, ᾗ χρώμενοι, τὰ βλέφαρα τῶν ὀφθαλμῶν ἀναρράπτομεν, ἑτέρα δὲ τῇδε μηδὲν ἐοικυῖα, δι᾽ ἧς
ὑποχύματα παράγομεν, ἄλλαι δὲ, τρίτη καὶ τετάρτη, μήτ᾽ ἀλλήλαις τι, μήτε ταῖσδε προσεοικυῖαι, καθ᾽ ἃς ὀ-
στοῦν κατεαγὸς, ἐκ μὲν τῆς κεφαλῆς ἐκκόπτομεν, ἐν ἄλλῳ δὲ μέρει τοῦ σώματος, οἷον βραχίονι καὶ πήχει, κατατεί-
ναντές τε καὶ διαπλάσαντες ἐπιδοῦμεν, ὧν ὡς ἁπασῶν ἐνεργειῶν ἀποκεχώρηκε πάμπολλα, κήλης χειρουργία
καὶ ταύτης ἡ τῶν κιρσῶν, καὶ πασῶν ὁμοῦ τῶν εἰρημένων, ἡ τοῦ κατὰ τὴν κύστιν λίθου, καὶ τούτων μὲν ἔτι τὰ πλεῖ-

μετὰ σμίλης ἐνεργοῦμεν. ὑπαλεῖψαι δ᾽ ὀφθαλμόν, ἢ ἄρθρον ἐμβαλεῖν, ἢ καταπλάσαι τι μέρος, ἢ καθετῆρι χρῆσθαι καλῶς ἢ σικύαν κολλῆσαι, γίνεται μὲν ἄνευ σμίλης, ἀποκεχώρηκε δὲ καὶ ἀλλήλων πάμπολλα καὶ τῶν προειρημένων. ὥσπερ γε καὶ τὸ φλέβα τεμεῖν, καὶ ἀρτηρίαν διελεῖν, καὶ ἀποχαράξαι τὸ δέρμα, καὶ παρακεντῆσαι τοὺς ὑδεριῶντας, ἀλλήλων διήνεγκε, καὶ συμπάντων τῶν προειρημένων. καὶ αὗται μὲν ἔτι, καὶ πρὸς ταύταις ἕτεραι μυρίαι χειρουργίαι, τινὲς ἐνεργοῦνται διὰ αὐτῶν. τὸ δὲ φαρμακευόντων ὅλως ἕτερον τὸ γένος ἀλλήλων τε καὶ πρὸς ἔτι τῶν κατὰ χειρουργίαν. οὐδὲν γὰρ ἔοικεν ἐλλεβόρου πόσις καὶ ἐδωδὴ σιτίων, οὐδ᾽ ἀσιτία κλυστῆρι, καὶ τρίψις λουτρῷ. τούτων δ᾽ ἐπὶ πλέον ἀποκεχώρηκεν ἕλκος πλῦναί τε καὶ καθῆραι, καὶ φάρμακον ὑγρὸν ἐπιθεῖναι, καὶ αὖθις ξηρὸν αἰωρηθῆναί τε καὶ περιπατῆσαι, καὶ παλαῖσαι, καὶ σκαμμωνίαν ἢ μελίκρατον πιεῖν, οἷς ἅπασιν οὐδὲν ἔοικεν ἡ τῶν σφυγμῶν τε καὶ τῆς θερμασίας διάγνωσις, καίτοι δι᾽ ἄκρων τῶν χειρῶν ἐνεργουμένη. καθάπερ οἶμαι καὶ ἡ τῶν ἐν τοῖς ἀφισταμένοις μέρεσιν περιεχομένων ὑγρῶν, ἢ τῶν ὄγκων τῶν ὑδερικῶν, ἢ γαγγλίων, ἢ ἀθερωμάτων, ἢ μελικηρίδων, ἢ στεατωμάτων. οὐ γὰρ ταῖς αὐταῖς ἐπιβολαῖς τε καὶ κινήσεσιν τῶν δακτύλων καὶ μεταγωγαῖς καὶ θλίψεσιν, ἀλλ᾽ ἐνίοτε πάμπολυ διαφερούσαις ἐπὶ τῶν εἰρημένων χρώμεθα. κινδυνεύομεν γοῦν ὅλης τῆς ἡμέρας οὐδὲν ἄλλο λέγειν, ἢ τῶν ἐνεργειῶν τὰς διαφοράς, οὕτω πάμπολυ τὸ πλῆθος αὐτῶν ἐστιν. ἀλλ᾽ ἤδη κἀκ τούτων ἱκανῶς ἄν τις γνωρίζοι πηλίκον ἁμαρτάνουσιν, ὅσοι ταῖς κατὰ μέρος ἐνεργείαις ἡγοῦνται χρῆναι διακρίνειν τὰς τέχνας. οὐδεὶς γοῦν οὕτως ἢ λίθινος, ἢ δ᾽ ἔμπληκτός ἐστιν, ὃς ἀφαιρήσεται μὲν τῆς ἰατρικῆς τὰς εἰρημένας ἐνεργείας, ἄλλην δέ τινα καθ᾽ ἑκάστην αὐτῶν ἐπιστήσεται τέχνην, ἤτοι κηλοτομικήν, ὡς νῦν ὀνομάζουσί τινες, ἢ λιθοτομικήν, ἢ παρακεντητικήν, εἰ γὰρ ὅτι μάλιστα τὸν δὲ μέν τινα κηλοτομικὸν εἶναι φασί, παρακεντητικὸν δὲ τὸν δε, λιθοτόμον δὲ τὸν δε, πάντας γοῦν ἰατροὺς αὐτοὺς ὀνομάζουσιν, ὥσπερ οἶμαι καὶ τοὺς ἀπὸ μορίων τινῶν ὀνομασμένους, ὧν ἐξαιρέτως προνοοῦνται, καὶ γὰρ οὖν καὶ τούτους ὀφθαλμικούς τε καὶ ὠτικούς, καὶ ὀδοντικοὺς ἰατροὺς ὀνομάζουσιν, ἑτέρους δ᾽ ἀπὸ τῆς ὕλης προσηγόρευσαν, ἤτοι διαιτητικούς, καὶ φαρμακευτικούς, ἢ καὶ νὴ Δία βοτανικούς, εἰσὶ δ᾽ οἳ καὶ οἰνοδότας, καὶ ἐλλεβοροδότας ἰατρούς τινας ἐκάλεσαν, ἐκ τοῦ πολλάκις αὐτοὺς θεάσασθαι τοιαύταις ὕλαις χρωμένους. ἔχουσι γὰρ οἶμαι λογικὰς ἀρχὰς ἅπαντες ἄνθρωποι φύσει, καὶ γιγνώσκουσιν, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον, ὡς ἔστιν ἕν τι καὶ ταὐτὸν ἐν ταῖς ἐνεργείαις. ἔστι δέ τι καὶ διάφορον, οὗ μὲν οὖν ἕνεκα γίγνονται, ταὐτὸν ὑγεία παρὰ πᾶσιν ὁ σκοπός, ὁ τρόπος δ᾽ οὐχ εἷς ἁπασῶν, ἀλλ᾽ εἰς ἀκριβὲς ἐξήκει πάμπολυ. εἰ μὲν δή τις ὥσπερ καὶ Πλάτων ἑκάστου τὸν τρόπον τε καὶ καθόλου σκοπὸν μίαν ἐπιστήσας τέχνην, εἶτ᾽ εἰς ἤδη τε διαφορὰς τέμνων αὐτήν, αὖθις ἐκείνων τῶν τμημάτων ἕκαστον ὀνομάζει τέχνην, οὕτως καὶ αὐτὸς ἐθελήσειε διαιτητικήν τινα καὶ φαρμακευτικήν, καὶ χειρουργικὴν ὀνομάζειν τέχνην, οὐκ ἂν ἔχοιμι τούτῳ γε οὐδὲν ἐγκαλεῖν. οὕτω δὲ κἂν τῶν εἰρημένων ἕκαστον τέμνων, οἷον τὴν δίαιταν, εἴς τε τὰ προσφερόμενα καὶ κενούμενα, καὶ ποιούμενα, καὶ ἔξωθεν προσπίπτοντα καθ᾽ ἕκαστον αὐτῶν ἰδίαν τινὰ τέχνην ἐπιστήσειεν, οὐδ᾽ ἂν τούτου τι μεμφαίμην, οὐδὲ γὰρ εἰ δὴ πάλιν αὐτὰ ταῦτα τέμνοι πολυειδῶς ἄχρι τῶν κατὰ μέρος, οὐκ ἂν κωλύσαιμι λέγειν αὐτόν, ὡς ἐν τοῖς προσφερομένοις, ἄλλη μέν ἐστι τέχνη φαρμάκων, ἄλλη ἐδεσμάτων, ἄλλη δὲ πομάτων, καὶ καθ᾽ ἕκαστον αὐτῶν ἐδέσματος τοῦδε καὶ τοῦδε, καὶ πόματος τοῦδε, καὶ φαρμάκου τοῦδε καὶ τοῦδε, συγχωρήσαιμ᾽ ἂν ἰδίαν εἶναι λέγειν τὴν τέχνην. εἰ δ᾽ οἴεται ταύτας ἀλλήλων διαφέρειν τὰς τέχνας, ὡς ἀριθμητικήν, εἰ τύχοι, ῥητορικῆς, ἢ ταύτην οἰκοδομικῆς τε καὶ τεκτονικῆς, οὐκ ἂν ἔτι συγχωρήσαιμι. ταύταις μὲν γὰρ οὐδείς ἐστι σκοπὸς κοινός, ἐκείναις δὲ ταῖς ὀλίγον ἔμπροσθεν εἰρημέναις, εἷς κοινὸς ἁπάσαις πρόκειται σκοπός, ὑγίεια. ὥσπερ οὖν ἐπὶ τῆς ῥητορικῆς μιᾶς οὔσης τέχνης, ἄλλην μέν τινα προοιμίου, διηγήσεως δ᾽ ἄλλην, καὶ πίστεών γε, καὶ τῶν καλουμένων ἐπιλόγων, ἄλλην εἶναι συγχωρήσω τέχνην, εἴ μοι μόνον ἕν γε τοῦτο φυλάττοιτο μιᾶς εἶναι τέχνης αὐτά, εἴτ᾽ εἴδη βούλει καλεῖν, εἴτε μέρη. κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ἔχει κἀπὶ τῆς ἰατρικῆς, ἄλλην μέν τινα τέχνην ἐρῶ χειρουργικήν, ἄλλην δὲ διαιτητικήν, ἄλλην δὲ φαρμακευτικήν, εἰ τοῦθ᾽ ἕν μοι φυλάττοιτο μόνον, ὡς εἷς ταύταις ἁπάσαις σκοπός, δι᾽ ὃν ἀναγκάζονται μιᾶς εἶναι τέχνης μόρια, τὰ γοῦν ἀνομοιότατα συνάγειν οὕτως, φαίνεται καὶ συνδεῖν καὶ ἀναγκάζειν εἰς μίαν ἅπαντα τέχνην συντελεῖν. ἐκκόπτει τις ἢ ἀποκόπτει τὸ σεσηπός, ἄλλος δ᾽ ἀνατρέφει τε καὶ σαρκοῖ τὸ κοῖλον, ἐναντίον μὲν οὕτως καὶ πάντα διαφέροντα δόξει τὰ πράγματα ὑπάρχειν, αἵ τε γὰρ ἐνέργειαι διαφέρουσι πολύ, καὶ τὸ γινόμενον ὑπ᾽ αὐτῶν ἐναντίον. ὁ μὲν γάρ, καὶ τῶν ὄντων ἀφαιρεῖ τι, τοῦ δ᾽ ἔργον, γεννῆσαί τινα οὐσίαν οὐκ οὖσαν. ἀλλ᾽ οὐδετέρῳ γε τοῦτ᾽ αὐτὸ πρόκειται καθ᾽ αὑτό, τοῦ μὴ ἐκκόψαι τι, τοῦ δὲ γεννῆσαι, ὥσπερ οὐδὲ καῦσαί τι καὶ τεμεῖν, οὐδ᾽ ἄλλο τῶν πάντων οὐδὲν αὐτὸ δι᾽ ἑαυτὸ μεταχειρίζεταί τις, ἀλλ᾽ ὡς ἄνευ τούτου τυχεῖν ὑγιείας οὐ δυνάμενος, ἐφ᾽ ἣν ἐπείγονται μὲν ἅπαντες, οὐ μὴν ταῖς αὐταῖς ὁδοῖς χρώμενοι. διὰ μὲν δὴ τὸ κοινὸν τοῦ σκοποῦ πάντες ἰατροὶ καλοῦνται, διὰ δὲ τὸ τῆς ἐνεργείας ἢ τῆς ὕλης ἢ τοῦ μορίου διάφορον, ἤτοι χειρουργός, ἢ φαρμακευτής, ἢ ὀφθαλμικός, χειρουργὸς μέν, ἀπὸ τῆς ἐνεργείας, φαρμακευτὴς δέ, ἀπὸ τῆς ὕλης, ὀφθαλμικὸς δ᾽ ἀπὸ τοῦ μορίου. τῷ γὰρ καὶ τὰ μόρια θεραπευόμενα διαφέρειν ἀλλήλων, οὐκ ὀλίγον αὐτούς τε καὶ τοὺς θεραπεύοντας ἐνεργείαις τε καὶ ὕλαις χρῆσθαι διαφόροις, οἱ μὲν ἀπὸ τῶν ἐνεργειῶν, οἱ δ᾽ ἀπὸ τῶν μορίων, οἱ δ᾽ ἀπὸ τῶν ὑλῶν ὠνομάσθησαν ὀφθαλμικοί τε καὶ χειρουργικοί τε καὶ φαρμακευταί, κοινῇ δ᾽ ἅπαντες ἀπὸ τοῦ τέλους ἰατροί. δέδεικται γὰρ ἔμπροσθεν, ὡς ἅπασα τέχνη περὶ τὸ τῆς ὑποβεβλημένης οὐσίας ἀγαθὸν ἐσπούδακεν, ἔνθ᾽ ἕν τι καθ᾽ ἑκάστην αὐτῶν ἐστιν τὸ πρῶτον ἀγαθόν, εἰ δ᾽ ὅτι καλῶς ἀναρράπτων δέ τις τὰ βλέφαρα, κακῶς εἰ τύχοι φαρμακεύει, καί τις ἄριστος ὢν ἐν φαρμακείᾳ, διαιτᾶν ὀρθῶς οὐκ ἐπίσταται καὶ τοῦτ᾽ ἄλλος ἠσκηκώς, οὐκ ἐγυμνάσατο τὰς χεῖρας, ἑτέρας ἀλλήλων πάντῃ τὰς τέχνας ὑποληψόμεθα, πρῶτον μὲν οὐ τρεῖς μόνον, ἀλλὰ καὶ τριακοσίας οὕτω γε ποιήσομεν, ὁ μὲν γάρ τις καθετῆρι χρῆται καλῶς, ὁ δὲ κλυστῆρι, φλεβοτομεῖ δ᾽ ἄλλος, ἀρτηριοτομεῖ δ᾽ ἕτερος. εἶθ᾽ ὅταν εὑρεθῇ τις ἅπαντα καλῶς ποιῶν, οὕτως αὖ πάλιν ἅπασαι μία γενήσονται. καὶ μὴν ἑκατέρως μοχθηρόν, ἢ διὰ τὴν εὐφυΐαν τῶν τεχνιτῶν εἰς πολλὰς κατακερματίζειν τὴν μίαν, ἢ διὰ τὴν εὐφυΐαν εἰς μίαν ἄγειν τὰς πολλάς, ὁ μὲν γὰρ πρό-

τερος λόγος, ὅτε τὴν ῥητορικὴν ἐάσει μίαν εἶναι τέχνην, ὅτε τὴν ἀριθμητικὴν, ἢ γεωμετρίαν, ἢ μουσικὴν, οὐδ' ἄλλην τινὰ τῶν ἀξιολόγων ἃς διὰ τὸ μέγεθος οἱ πολλοὶ τῶν μεταχειριζομένων ἀδυνατοῦσιν ὅλας ἐκμανθάνειν. ὁ δὲ δεύτερος, εἰς μίαν ἀνάξει τέχνην ἐνίοτε τὰς μηδαμῶς κοινωνούσας, εἰ γὰρ ὁ αὐτὸς ἄνθρωπος ἀριθμητικός τε ἅμα καὶ γραμματικὸς εἴη καὶ φιλόσοφος, δέξεταί τινι μιᾶς εἶναι νομίσειν ἁπάσας μόρια, μὴ τοίνυν μήτε τῷ πλήθει τῶν ἐργαζομένων τὰς τέχνας, ἀλλὰ τοῖς προκειμένοις σκοποῖς διαιρώμεθα, μήτε εἰς τὰς κατὰ μέρος ἐνεργείας ἀποβλέπωμεν, ἀλλ' εἰς τὰς καθόλου. κοινὸν γὰρ ἐν ταῖς πάσαις ταῖς κατὰ μέρος ἐνεργείαις ἑκάστης τῶν τεχνῶν εὑρήσεις τι, διὸ καί τι πάμπολυ δοκοῦσαι διαφέρειν, ὅμως οὐ κεκώλυνται μιᾶς εἶναι τέχνης μόρια. τὸ γοῦν ὑφαίνειν ἱμάτιον οὐδὲν ἄλλο ἐστὶν, ἢ κρόκας στήμοσι διαπλέκειν. ἆρ' οὖν ἕτερόν τι τοῦ ἤδη τὸ ῥάπτειν ἐστίν; οὐδαμῶς. ἀλλὰ κἀν τούτῳ διαπλέκονται κρόκαι στήμοσιν, ὡς εἴ γε καὶ κατ' ἀρχὰς εὐθὺς ἐβούλετό τις αὐτὸ τῆς ὑφαντικῆς ἐνεργείας ἑτέρῳ τρόπῳ διαπλέξαι τὰς κρόκας τοῖς στήμοσιν, ἤτοι καθὸ νῦν ἀπῶνται τὰ ῥαγέντα τῶν ἱματίων, ἢ καθὸ τὰς ταλάρους, ἢ τὰς σπυρίδας, ἢ τὰ δίκτυα πλέκουσι, ἐποίησεν ἂν οὐδὲν ἧττον ἱμάτιον, ἀλλ' ἐν χρόνῳ παμπόλλῳ. στοχαζόμενοι τοίνυν οὐχ ἁπλῶς τοῦ τέλους, ἀλλὰ θᾶττον ἐξικέσθαι πρὸς αὐτὸν, τὴν διὰ τῶν ἱστῶν ἐπενόησαν ὑφαντικὴν, οὐκ ἐν τῷ καθόλου τῶν εἰρημένων διαλλάττουσαν, ἀλλ' ἐν τῷ κατὰ μέρος, οὕτως δὲ κἀπὶ τῆς ἰατρικῆς. ἀνάριθμα μὲν οὖν ὡς οὕτως φάναι τὰ κατὰ μέρος. ἀλλὰ τό γε καθόλου πᾶσιν ἔργον κοινόν. ὅ, τε γὰρ ἀφαιρῶν τι τοῦ σώματος ὡς περιττὸν, ὅ, τε προστιθεὶς ὡς λεῖπον, ἐν ἄμφω ποιοῦσι καθόλου, τὴν κατὰ φύσιν ἐκπορίζοντες τῷ σώματι συμμετρίαν, ἥτις ἦν ὑγίεια. οὕτω δὲ καὶ ὁ θερμαίνων, καὶ ὁ ψύχων, καὶ ὁ ξηραίνων, καὶ ὁ ὑγραίνων. ὡς γὰρ εἰ καὶ κατ' ἀρχὰς εὐθὺς οἷόν τ' ἦν ἡμῖν γεννῆσαι ζῶον, οὐκ ἄλλῳ μὲν οὖν ἄν τινι λόγῳ τὴν γένεσιν αὐτοῦ τὴν πρώτην, ἄλλῳ δ' ἂν ἐποιούμεθα τὴν ἐπανόρθωσιν. οὕτως ἐπειδὴ μηδ' ἑτέρου τούτων αὐτὴν πρῶτοι ποιοῦμεν, ἀλλ' ἡ φύσις ἐστὶν, ἡ καὶ δημιουργοῦσα πρώτη τὸ ζῶον, καὶ νῦν ἰωμένη, νοσοῦν οὐκ ἄλλῳ μὲν τρόπῳ τὴν τροφὴν ὑπὸ τῶν κυουμένων, ἄλλῳ δὲ νῦν ἐπίσταται, ἀλλὰ καὶ ταῦθ' ὁμοίως ἐργάζεται, καὶ τρέφει καὶ διακρίνει καὶ ἀποκρίνει καὶ πάνθ' ἁπλῶς εἰπεῖν ὡσαύτως ἐργάζεται, νῦν τε καὶ τότε. ὅτι δ' ὁ ἰατρὸς τῆς φύσεως ἐστὶν ὑπηρέτης, ἡ δ' οὐδὲ πρώτη τέχνη τις ἐκείνης, καὶ ὅτι καλῶς εἴρηται, φύσις ἐξαρκεῖ παντάπασιν, ἀλλὰ καὶ ὡς τὰς νόσους αὐτῶν κρίνει, καὶ ὡς εἰσὶν αἱ φύσεις τῶν νόσων ἰατροὶ, παλαιοῖς ἀνδράσιν αὐτάρκως εἰρημένα, τί ἂν ἔτι δεοίμην ἐγὼ διέρχεσθαι. τὸ γὰρ εἰς τὰ παρόντα χρήσιμον, ἀναμιμνήσκω μόνον, ὡς οὐκ ἄλλης μὲν τέχνης τὸ ποιεῖν, ἄλλης δ' ἐπανορθοῦσθαι τὸ πεπονθὸς, ἀλλὰ τῆς αὐτῆς. εἰ δὲ καὶ μὴ τῆς αὐτῆς, ἀλλὰ τὴν ἰατρικὴν ἐκδέξασθαι μὲν ἐμπροσθεν, οὐχ ὥσπερ τὴν ἱματιουργικὴν εἰς οὐσίαν ἄγουσαν, ὃ πρότερον οὐκ ἦν, ἀλλὰ τῇ τὰ πεπονηκότα τῶν ἱματίων ἐπανορθουμένῃ προσεοικυῖαν. ἐδείξαμεν οὖν καὶ ὡς τὸ φυλάττειν ὁτιοῦν διττόν ἐστιν, καὶ ὡς θατέρου αὐτοῦ γένος ἐξ οὗ ἐστὶ καὶ τὸ προκείμενον ἡμῖν νῦν τὸ ὑγιεινὸν, ἐπανορθοῦται κατὰ βραχὺ τὰ πονοῦντα. καὶ ταῦτα λανθάνει τοὺς πολλοὺς, ὡς ἕτερον ὂν τῷ γένει τοῦ θεραπευτικοῦ. τὸ δ' οἴεσθαι τέλος εἶναί τινι τοῦθ' αὐτὸ τὸ ποιεῖν οἰκίαν, ἢ ἱμάτιον, ἢ σκεῦος, ἢ ὑγίειαν, ἀνθρώπων ἐστὶν μὴ δυναμένων ἀπὸ τοῦ τέλους αὐτοῦ διακρῖναι τὴν τοῦ τέλους ἐνέργειαν. οὐ γὰρ οἰκοδομεῖν οἰκίαν, αὐτὸ δὴ τοῦτο τέλος ἐστὶ τῆς οἰκοδομικῆς, ἀλλ' οἰκία, καθάπερ οὐδ' ὑφαίνειν ἐσθῆτα, καὶ ναῦν συμπηγνύειν, καὶ σκίμποδα, καὶ τῶν ἄλλων ἕκαστον, ἀλλ' αὐτὸ τὸ δημιουργηθὲν, ὃ δὴ καὶ παυσαμένης τῆς ἐνεργείας τῶν τεχνιτῶν, ἔτι διαμένει, καὶ ταύτῃ γε διήνεγκαν αἱ ποιητικαὶ τέχναι τῶν μόνων πρακτικῶν, ὅτι τῶν μὲν πρακτικῶν, ὅταν ἐνεργοῦσαι παύσωνται πέπαυται καὶ τὸ τέλος. οὐδὲν γοῦν ἐστι δεῖξαι τῆς ὀρχηστικῆς, παρ' αὐτὴν τὴν ἐνέργειαν, οἷον τῆς τεκτονικῆς, τὸν σκίμποδα, καὶ τῆς οἰκοδομικῆς τὴν οἰκίαν, καὶ τῆς ἰατρικῆς τὴν ὑγείαν. οὐκ οἰκοδόμησις οὖν ὥσπερ ὄρχησις ἐστὶ τὸ τέλος τῆς οἰκοδομικῆς, ἀλλ' οἰκία τῆς ἐνεργείας ἕτερόν τι. κατὰ ταυτὰ δὲ καὶ τῆς ὑφαντικῆς, οὐδ' ὕφανσις, οὐδ' ὑφαίνειν, οὔτ' ἐσθῆτος ποίησις, ἢ γένεσις, ἀλλ' ἐσθής. ὡσαύτως δὲ οὐδὲ ποίησις ἢ γένεσις, ἢ ἐπανόρθωσις ὑγιείας ἐστὶν τὸ τέλος τῆς ἰατρικῆς, ἀλλὰ ταῦτα μὲν ἐνέργειά τις ἥ γε καθόλου τῆς τέχνης, καθάπερ αἱ κατὰ μέρος ἦσαν ἐν τῷ τέμνειν καὶ καίειν καὶ κατατείνειν ἄρθρα καὶ κῶλα καὶ διαπλάττειν καὶ ἐπιδεῖν, καὶ τούτων ἔτι ἀνωτέρω, καὶ γενικώτεραι, χειρουργεῖν, καὶ φαρμακεύειν καὶ διαιτᾶν, ἀλλ' ὑγεία τέλος ἐστὶν, ὃ καὶ παυσαμένης τῆς ἐνεργείας τοῦ τεχνίτου δεικνύειν ἔχομεν. οὐδ' οὖν οὐδὲ τὸ φυλάττειν ὑγείαν, ἢ ἐπανορθοῦσθαι τέλος, οὐδ' ὅλως τὸ ὑγιάζειν, ἀλλὰ ταῦτα μὲν ἐνέργεια, τέλος δ' ὑγεία. τὴν δὲ κοινὴν καὶ γενικὴν ὑπὸ πάσαις ταῖς κατὰ μέρος ἐνεργείαις, ἄλλος ἄλλως ὀνομάζει, δηλοῦσι δ' ἅπαντες ἓν καὶ ταυτὸν, ὅ, τε ὑγιάζειν λέγων, ὅ, τε ὑγίειαν ποιεῖν, ὅ, τε ποίησιν ὑγείας, ὅ, τε ὑγίανσιν. ἑτέρῳ δὲ τρόπῳ καὶ οἱ δὲ ταυτὸν τοῦτο λέγουσιν, ὅ, τε τὴν ἴασιν τῶν νοσημάτων εἰπὼν ἢ, τὴν θεραπείαν, ἢ τὴν θεράπευσιν τῶν νοσούντων, ἢ τὸ ἰᾶσθαι νὴ Δία, ἢ τὸ τὰς νόσους ἐκκόπτειν, ἢ τὸ τὴν ὑγείαν ἀντεισάγειν. ὅ, τε πάντα τὰ δέοντα πράττειν, ὅ, τε τὰς νοσοποιοὺς αἰτίας ἐξάγειν. οὐδεὶς γὰρ τούτων τὸ τέλος, ἀλλὰ τὴν πρὸ τοῦ τέλους ἐνέργειαν λέγει. καθάπερ εἰ καὶ πρακτική τις ἦν ἡ τέχνη περὶ τὸ σῶμα παραπλησίως, ὀρχηστικῆς τε καὶ ὑποκριτικῆς. ἐπεὶ τοίνυν πολυειδῶς ἀποδέδεικται τὸ μὴ δεῖν κρίνειν τὰς τέχνας, ταῖς κατὰ μέρος ἐνεργείαις, ἀλλ' εἰς τὰς καθόλου τε καὶ πλησίον τοῦ τέλους ἀνάγειν, εἶτ' αὐτῶν ἐκείνων πειρᾶσθαι διορίζειν τὸ τέλος, ἑξῆς ἴδωμεν εἰ καὶ περὶ τὰς ὕλας αὐτῶν ὁμοίως ἔχει. φαίνεται γοῦν ὕλη τε μία πολλαῖς ὑποβεβλημένη τέχναις, καὶ τέχνη μία, παμπόλλαις ὕλαις χρωμένη, ξύλον μὲν γὰρ ὕλη, κοινὴ καὶ ναυπηγῷ, καὶ τέκτονι, καὶ μηχανοποιῷ, καὶ οἰκοδόμῳ, καὶ ἄλλοις μυρίοις. καὶ πηλὸς δὲ, πολλῶν τεχνῶν ἐστὶν ὕλη, καὶ λίθοι καὶ τἄλλα σύμπαντα. ἰατρικῆς δ' αὖ τέχνης μιᾶς οὔσης, ὕλαι μυρίαι, τό, τε σῶμα αὐτὸ τὸ τὴν ὑγείαν δεχόμενον, ἐδέσματά τε καὶ πόματα, καὶ φάρμακα σύμπαντα καὶ διαιτήματα. ταυτὶ μὲν οὖν ἀτεχνῶς ὕλαι. τὸ σῶμα δ' ὡς ἐξ οὗ τὸ τέλος, ἢ ἐν ᾧ. δῆλον οὖν ὡς οὐκ ἐκ τῶν ὑλῶν χρὴ κρίνειν τὰς τέχνας. οὐ δὲ γὰρ εἴ τις ἑτέρας μὲν τὰς κοινὰς ὕλας, καὶ ὡς ἂν εἴποι τις κατὰ συμβεβηκὸς, ἑτέρας δὲ τὰς οἰκείας τε καὶ προσεχεῖς ὑποθέμενος ἑκάστῃ τῶν τεχνῶν, ἣ μὲν ἐστι φυσικὸν σῶμα τὸ ἡμέτερον, ὕλην αὐτὸ φαίη τις φυσικῆς ἐπιστήμης ὑπάρχειν, ἡ δὲ ὑγεία ἐστιν,

Natura morborum medicatrix.

ὑγιεινὸν ἐστὶν, τῆς ἰατρικῆς, ἢ τὸ εὐεκτικὸν, ἢ εὐεξίας δεκτικὸν, τῆς γυμναστικῆς, ἢ δ' οὕτω ἑτέρῳ τινὶ, πλὴν περὶ τέλει διακρίνει τὰς τέχνας. τὸ γὰρ ὑγιεινὸν, τὸ δέ τι λέγειν σῶμα, γιγνώσκοντος ἐστὶν ἤδη τὸ τέλος, οὐ μὴν οὐδ' ἐν τοῖς θεωρήμασιν διακρίνει τις τὰς τέχνας, ἑτέρωθί ποθι ἄρχεται τῇ δυνάμει τοῦ τέλους. τὰ γοῦν οἰκεῖα τῶν τεχνῶν ἑκάστης θεωρήματα, τὸ τέλος ὁρίζει τε καὶ κρίνει. ταῦτα γοῦν οἰκεῖα τῆς τέχνης ἐστὶν, ἃ γιγνώσκων τις, εἰς τὸ τέλος ὠφελεῖται, καὶ γραμματικῆς τε καὶ μουσικῆς καὶ τεκτονικῆς καὶ τῶν ἄλλων ἑκάστης. ὅσα μὲν οὖν ἢ αὐτὸ τὸ τέλος ἄντικρυς, ἢ αὐτὸ τὸ βέλτιον, ἢ τὸ θᾶττον ἐν αὐτῷ δύνηται παρέχειν, οἰκεῖα τῆς τέχνης ἐστὶν, ὅσα δ' οὐδὲν ὠφελεῖ πρὸς τὴν τοῦ τέλους ποίησιν, οὐκ οἰκεῖα. πανταχόθεν οὖν ὁ λόγος ἐπὶ τὸ τέλος ἔρχεσθαι κελεύει, καὶ τούτῳ κρίνειν τὰς τέχνας, διὰ τοῦτο γὰρ † ἐν ταῖς ἐνεργείαις καθόλου, καὶ τοῖς οἰκείοις θεωρήμασι, καὶ ταῖς ἀρχαῖς. ἐξαλλάττονται γὰρ οὖν καὶ αὗται καὶ τὰ τέλη τῶν τεχνῶν. ἡ γὰρ ὑγεία τὸ τέλος ἐστὶν, ἐν θερμοῖς δ' αὐτὴ καὶ ψυχροῖς καὶ ὑγροῖς καὶ ξηροῖς. ἐν τούτοις δηλονότι καὶ ἡ τῆς ὕλης ἀρχὴ καὶ ἡ τῆς θεωρίας ἀρχὴ περὶ τὴν τούτου γνῶσιν. ἀλλ' οὐχ ὡσαύτως, ἰατρῷ τε καὶ φυσικῷ. καὶ τοῦτο δ' αὐτὸ, τὸ οὐχ ὡσαύτως, ἀπὸ τοῦ τέλους τῶν ἐπιστημῶν ἐγνώσθη τε καὶ διεκρίθη, καὶ προσηκόντως ἀεὶ τὸ τέλος ὁ λόγος ἐξευρίσκει, κανόνα τε καὶ κριτήριον ἁπάντων τῶν κατὰ τὰς τέχνας, ἡ γάρ τοι σύστασις ἁπάσης τέχνης, τὴν ἀρχὴν ἐντεῦθεν εἴληφεν. οὔτε γὰρ ἰατρικὴν ἄν τις ἐπενόησεν συστήσασθαι μὴ προεπινοηθείσης ὑγείας οὔτε οἰκοδομικὴν, εἰ μὴ κἀνταῦθα οἰκίας ὠρέχθη. οὐδ' ὑφαντικὴν, εἰ μὴ πρότερον ἐσθῆτος. ἀλλὰ μὴν καὶ ἡ τὰς τέχνας ἁπάσας συνιστᾶσα, τὴν ἀρχὴν ἐντεῦθεν εἴληφεν. ἐπιδέδεικται δ' ἑτέρωθι, πῶς ἄν τις ὑποκειμένου τοῦ τέλους, τὴν τέχνην αὐτοῦ κατὰ μέθοδον ἐξευρίσκοι, καὶ χρὴ πρότερον ἐν ἐκείνῳ γυμνάσασθαι περὶ λόγῳ, τὸν ἀκριβῶς θέλοντα τοῖς ἐνεστῶσιν ἀκολουθεῖν. ἔσεται γὰρ ἐναργῶς ὑπὸ μίαν τε καὶ τὴν αὐτὴν θεωρίαν ἄμφω πίπτοντα τὰ μόρια, τὸ ὑγιεινόν καὶ τὸ θεραπευτικόν. ἐγὼ δ' εἰ αὖ εἰς τόδε τὸ πρᾶγμα πάντα μεταφέρων τὰ δι' ἑτέρων ἐπὶ πλεῖστον ἠκριβωμένα, λάθοι μ' ἂν ἐμαυτὸν ὑπὲρ τὰς μνημονικὰς καὶ μεθοδικὰς βίβλους ἀποτείνας αὐτό. ἀλλ' ὅτι μὲν ἡ περὶ τὸ τοῦ σώματος ἀγαθὸν τέχνη μία πάντως ἐστὶν ἔκ τε τῶν εἰρημένων ἔμπροσθεν αὐτάρκως οἶμαι δεδεῖχθαι, κἀκ τῶν ἑξῆς ῥηθησομένων, οὐδὲν ἧττον δειχθήσεται. οὐ μὴν ὅτι γε προσῆκεν ὀνομάζειν αὐτὴν, ἤδη πω πέφανται. τάχα γὰρ οὔτ' ἰατρικὴν, οὔτε γυμναστικὴν, ἀλλ' ἕτερόν τι. τάχα δ' οὐκ ἔστιν ὅλως ὄνομα τῆς τέχνης ἐκείνης, ὥσπερ οὐδ' ἄλλων πολλῶν. ἀλλὰ τοῦτο μὲν ὀλίγον ὕστερον ἐπισκεψώμεθα. τὸ δ' οὖν, ἓν μὲν εἶναι, τὸ τοῦ σώματος ἡμῖν ἀγαθὸν, ὅτιπερ ἂν ᾖ, καθάπερ καὶ τῶν ἄλλων ἁπασῶν οὐσιῶν, εἶναι δὲ καὶ τέχνην αὐτοῦ μίαν, εἴπερ τι καὶ ἄλλο τῶν πάντων ἀληθὲς εἶναί φημι, καὶ τὴν αὐτήν γε μέθοδον ἀμφοῖν ὑπάρχει. μιᾶς οὖν οὔσης περὶ τὸ τοῦ σώματος ἀγαθὸν τέχνης, ἤδη σκοπούμεθα σύμπαντ' αὐτῆς τὰ μόρια. πάντως γάρ που κατοψόμεθα καὶ τὸ καλούμενον ὑγιεινὸν, ἥν τινα ἔχει τὴν δύναμιν, ἵνα κἀνταῦθα μεθόδῳ τινὶ ποιώμεθα τὴν τομὴν, ἐπισκεψόμενοι τὸ γένος τῆς περὶ τὸ σῶμα τέχνης. ὅτι μὲν οὖν οὐκ ἐν αὐτῷ μόνῳ περὶ θεωρῆσαι τὸ τέλος αὐτῆς ἐστὶν, ὥσπερ τῆς ἀριθμητικῆς τε καὶ ἀστρονομικῆς, καὶ φυσικῆς, ἀλλά τι καὶ πρᾶξαι περὶ τὸ σῶμα, παντὶ δῆλον. ὅτι δ' οὐδὲν αὐτῷ περὶ πρᾶξιν τελευτᾷ, καθάπερ ἡ ὀρχηστικὴ μηδὲν ὅταν ἐνεργοῦσα παύσηται δεῖξαι δυναμένη, καὶ τοῦτ' εὔδηλον εἶναι νομίζω. δῆλον οὖν, ὡς ἤτοι τῶν ποιητικῶν, ἢ τῶν κτητικῶν ἐστὶ τεχνῶν, ἐπειδὴ μήτε τῶν θεωρητικῶν εὑρέθη, μήτε τῶν πρακτικῶν, ἀλλ' οὐκ ἔστι τῶν κτητικῶν, ὥσπερ ἡ ἀσπαλιευτική τε καὶ ἡ ἀγκιστρευτική, καὶ τὸ σύμπαν εἰπεῖν, ἡ θηρευτική. χειροῦνται γὰρ αὗται τῶν ὄντων τι, καὶ κτῶνται. ποιοῦσι δ' οὐδὲν αὗται, πρότερον οὐκ ὂν ἐκ λοιπῶν οὖν τῶν ποιητικῶν, ἐστὶν ἡ περὶ τὸ σῶμα τἀνθρώπου τέχνη. δῆλον δὲ καὶ τούτων ἐστὶ τὸ ἔργον, ἢ γὰρ ὅλον τι ποιοῦσιν πρότερον οὐκ ὂν, ἢ κατὰ μέρος ἐπανορθοῦνται πεπονηκός. ἀλλ' ἡ ζητουμένη νῦν τέχνη ποιεῖν μὲν ἀδύνατος ὅλον ἀνθρώπου σῶμα, κατὰ μέρη δ' ἐπανορθοῦσθαι δύναται, παραπλησίως τῇ τῶν ἱματίων ἀκεστικῇ. καὶ οὐδ' ἐνταῦθα πάντα τὸν αὐτὸν ἐκείνῃ τρόπον. ἡ γὰρ φύσις οὕτω γε, καὶ ποιεῖ τὸ σῶμα, καὶ αὖθις ἐπανορθοῦται κάμνον ὡς ἡ περὶ τὴν ἐσθῆτα τέχνη. ταύτης δ' ὑπηρετική τίς ἐστιν ἡ νῦν ζητουμένη. συγχωρείσθω οὖν, ἵν' ὁ λόγος προΐῃ, καλεῖν ἡμᾶς αὐτὴν ἐπανορθωτικήν. ἀλλ' ἤτοι κατὰ μεγάλα τὴν ἐπανόρθωσιν ἢ κατὰ σμικρὰ ποιεῖται, τὸ μὲν δὴ κατὰ μεγάλα μόρια αὐτῆς ἰατρικόν τε καὶ θεραπευτικὸν ὀνομαζέσθω, τὸ δὲ κατὰ σμικρὰ, φυλακτικόν. ἔστι μὲν οὖν καὶ αὐτοῦ τοῦ κατὰ μεγάλα παμπόλλη, τίς ἡ διαφορά. πᾶν γὰρ ποσὸν, εἰς ἀνάριθμόν τε πλῆθος ἐγχωρεῖ τέμνειν. ἀλλ' ἐπειδὴ μὴ πρόκειται νῦν ὑπὲρ αὐτῶν λέγειν, ἀφείσθω μὲν τοῦτο, τεμνέσθω δὲ, τὸ κατὰ σμικρά. δοκεῖ δὲ καὶ τοῦτο τέμνεσθαι διαφοραῖς ἐπισήμοις τριχῶς. ἢ γὰρ τὸν ἄκρως τε καὶ τελέως ὑγιαίνοντα παραλαβὸν, ἐν τούτῳ φυλάττει, καὶ ταυτὶ μὲν αὐτὸ τὸ τμῆμα προσαγορεύουσιν, εὐεκτικόν. ἕτερον δ' ἀναθρεπτικὸν τῶν νενοσηκότων, ὃ δὴ καὶ καλοῦσιν ἔνιοι τῶν νεωτέρων ἰατρῶν ἀναληπτικόν. ἐν περὶ μέσῳ δ' ἀμφοῖν ἐστὶ τὸ καλούμενον ὑπ' αὐτῶν ἰδίως ὑγιεινόν. κοινῶς γὰρ καὶ τοῦτο φυλακτικὸν ἅμα καὶ ὑγιεινὸν, ὀνομάζεται. ταῦτ' οὖν τὰ τρία μόρια τοῦ φυλακτικοῦ τὰ νῦν εἰρημένα, τὸ ἀναληπτικόν, τὸ ὑγιεινὸν, τὸ εὐεκτικόν, ἔστι μὲν τοῦ κατὰ σμικρὰ ἐπανορθωτικοῦ μέρους τῆς τέχνης, ἀλλήλων δὲ διαφέρει, περὶ μᾶλλόν τε καὶ ἧττον, μᾶλλον μὲν κατὰ σμικρὰ τὸ εὐεκτικόν, ἧττον δὲ αὐτοῦ τὸ ὑγιεινὸν, ἐκείνου δ' ἧττον κατὰ σμικρὰ ἐπανόρθωσιν ποιεῖται τὸ ἀναληπτικόν. ἔνιοι δὲ καὶ τέταρτον ἐν τούτῳ τὸ φυλακτικὸν τμῆμα προστιθέασιν, τὸ καλούμενον ὑπ' αὐτῶν ἰδίως προφυλακτικόν, ἀντίστροφον ἔχον δύναμιν περὶ τοῦτο ἐκ νοσημάτων ἄρτι πεπαυμένους ἀνακομίζοντι. δῆλον ὡς ἄμφω ταῦτα ἐπαμφοτερίζει πῶς τοῖς ἐναντίοις μορίοις ὅλους τῆς τέχνης, λέγω δὲ τὸ κατὰ μεγάλα, καὶ τὸ κατὰ μικρὰ, τὸ μὲν γὰρ θεραπευτικὸν ὅτι κατὰ μεγάλα πρόδηλον παντὶ, τὸ δ' εὐεκτικόν τε καὶ ὑγιεινὸν, ὅτι κατὰ σμικρὰ, καὶ τοῦτ' εὔδηλον. ἐν περὶ μέσῳ δ' ἀμφοῖν ἐστὶν τὸ ἀναληπτικὸν ὀνομαζόμενον, καὶ τὸ προφυλακτικὸν, ὡς μὲν πρὸς τὸ ὑγιεινὸν οὐ κατὰ σμικρὰ τὴν ἐπανόρθωσιν ποιούμενον, ὡς δὲ πρὸς τὸ θεραπευτικὸν, οὐ κατὰ μεγάλα. καί μοι δοκοῦσιν οὐδ' ὅσοι ταῦτ' ἄμφω τὰ μόρια προσαγορεύουσιν, οὐδ' ἕτερα, κακῶς δοξάζειν. ἀλλὰ περὶ μὲν τούτων ἕτερος λόγος, ἐν δὲ περὶ νῦν προκειμένῳ σκέμματι τοῦ φυλακτικοῦ μέρους τῆς περὶ τὸ σῶμα τέχνης ὑποκείσθω τριττὰ τμήματα, τὸ μὲν ἐπὶ τῶν κατὰ

† al. ἐν

χέσιν ὑγιαινόντων σωμάτων τεταγμένων. τὸ δ' ἐπὶ τῶν κατ' ἕξιν, τὸ δ' ἐπὶ τῶν εὐεκτούντων, καὶ τὸ μὲν ἀναληπτικὸν ὀνομαζέσθω, μηδὲν γὰρ ὑπὲρ ὀνομάτων αὖθις νῦν διαφερόμεθα, τὸ δ' ὑγιεινόν, τὸ δ' εὐεκτικόν, ἐπεὶ μὲν τὸ βέλτιον ἄγοντα τὰ πρότερα δύο, φυλάττον δ' ἐν αὐτῷ, τὸ εὐεκτικόν. καὶ τούτων οὕτως ἐχόντων ἀναμνησθῶμεν τοῦ προκειμένου σκέμματος. ἦν δ' ὡς οἶμαι τοιόνδε. πότερον ἰατρικῆς ἐστιν ἢ γυμναστικῆς, μόριον τὸ καλούμενον ὑγιεινόν. εὐλόγως οὖν εὐθὺς ἀπ' ἀρχῆς ἔφαμεν ὡς εἰς ὁρισμὸν ἐμπίπτει τὸ σύμπαν ζήτημα. τί ποτε γάρ ἐστιν ἰατρική, καὶ τί ποτε γυμναστικὴ γνόντες, οὐκ ἂν ἔτι χαλεπῶς εὕροιμεν ὁποτέρας αὐτῶν ἐστὶ τὸ ὑγιεινόν. αὐτὸ μὲν γὰρ ὅτι ποτ' ἐστὶν τὸ ὑγιεινόν, ἤδη μοι δοκῶ πεφάνθαι σαφῶς, ἢ γὰρ τὸ φυλακτικὸν ἅπαν, ἢ τῶν τούτου τῶν μορίων τριῶν ὑπαρχόντων ἐν τῷ μέσῳ, ὃ περὶ τὴν καθ' ἕξιν ὑγίειαν ἀναστρέφεται. ἐμοὶ μὲν οὖν δοκεῖ λοιπὸν ὑπὲρ ὀνόματος ἡ ζήτησις εἶναι, τὸ δὲ πρᾶγμ' αὐτὸ μηκέτ' ἀμφισβήτησιν ἔχειν, ἔστ' ἂν ὁμολογῆταί τε καὶ μένῃ τὰ προδεδειγμένα. καὶ δὴ διελθὼν αὐτὰ διὰ κεφαλαίων, ἐπὶ τὴν τῶν ὀνομάτων ἐξήγησιν, οὕτω τρέψομαι. φημὶ δὴ καθάπερ ἀμφιεσμάτων ἀγαθῶν, καὶ οἰκίας τε καὶ ὑποδημάτων, οὕτω καὶ τοῦ σώματος εἶναί τινα τέχνην, ἧς μιᾶς οὔσης δύο ταῦθ' ὑπάρχειν μόρια, δημιουργοῦν μὲν τὸ ἕτερον, ἐπανορθούμενον δὲ θάτερον, καὶ ταῦθ' ὑπάρχειν ἄμφω τῇ φύσει πρότερον, συνεργάζεσθαι δ' εἰς τὸ ἕτερον αὐτῶν τὸ ἐπανορθωτικὸν ἀνθρωποτέραν τέχνην, ἧς εἶναι διττὰ μόρια, θεραπευτικὸν μὲν καὶ ἰατρικὸν τὸ ἕτερον, φυλακτικὸν δὲ θάτερον. ὀνομάζεσθαι δὲ τὸ φυλακτικὸν τοῦτο, καὶ ὑγιεινόν. εἶναι δ' αὐτοῦ τρία τμήματα, τὸ μὲν ἀναληπτικόν, τὸ δ' εὐεκτικόν τὸ δὲ ὁμωνύμως τῷ παντὶ προσαγορευόμενον, ὑγιεινόν. εἴτ' οὖν τὸ σύμπαν φυλακτικόν, εἴτε τὸ μόριον αὐτοῦ ζητεῖ τις, ὁποτέρας ἐστὶ τέχνης ἆρα ἰατρικῆς, ἢ γυμναστικῆς, ὅλον αὐτὸ χρὴ τὸ πρᾶγμα διελθόντα. καθάπερ ἐγὼ νῦν ἐποίησα, λέγειν οὕτως ἐφεξῆς. ὡς μιᾶς οὔσης τῆς περὶ τὸ σῶμα τέχνης, ἔξεστιν εἰ βούλει καλεῖν αὐτὴν ἰατρικήν, εἰ δ' οὐκ ἐθέλεις οὕτω, γυμναστικήν, εἰ δ' οὐδὲ τοῦτο, τὴν ὅλην ἀνώνυμον εἰπὼν εἶναι, τὸ μὲν ἕτερον αὐτῶν τμῆμα, κάλει ἰατρικήν, τὸ δ' ἕτερον γυμναστικήν. εἰ δὲ μηδ' οὕτως ἐθέλεις ὑγιεινήν τινα τέχνην τὴν ἀντιδιαιρουμένην τῇ θεραπευτικῇ, καὶ ταύτης εἰ βούλει μέρη διαιτητικὴν εἰπὲ καὶ γυμναστικήν. εἰ γὰρ καθ' ἕκαστον ἐξηγήσῃ τῶν ὀνομάτων, οὕτως ἀκολουθήσει τὸ σύμπαν. ἴσω φασί τινες ἐπὶ τούτοις, ἀλλ' οὐχ ὡς ἂν ἐγὼ φάναι βουληθῶ διαιρεῖσθαι χρὴ περὶ τῶν ὀνομάτων, ἀλλ' ὡς ὀρθῶς ἔχει διελθεῖν. αὖθις οὖν ἡμῖν ἐστὶ, καὶ τούτοις ἀποκριτέον ὡδί πως. εἰ μέλλεις μνημονεύειν ὦ οὗτος, ὡς οὐκ ἔτι περὶ πραγμάτων ἡ σκέψις, ἀλλ' ἐξήγησιν ὀνομάτων μοι προὐβέβληκεν, οὐδὲ τοῦτ' ἀναδύομαι, φημὶ δή σοι περὶ τῶν ὀνομάτων, οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, οὐδὲν ἔχειν εἰπεῖν σοφόν. ἀλλ' εἴτ' ἐκ τῆς τῶν Ἀσσυρίων ἡ φωνῆς τοὔνομα, παρὰ τῶν Ἀσσυρίων αὐτῶν μανθάνειν χρῆναι τὸ πρᾶγμα καθ' ὃ τὸ ὄνομα λέγουσιν, εἴτ' ἐκ τῆς τῶν Περσῶν, ἢ Ἰνδῶν, ἢ Ἀράβων, ἢ Αἰθιόπων, ἢ ὅλως ὧντινων, ἐκείνων πυνθάνεσθαι. τὸ γὰρ ὄνομα ῥηθὲν αὐτὸ καθ' αὑτὸ μόνον, οὐδὲν ἐνδείκνυται. τὸ μὲν οὖν ἐμὸν ἀκήκοας. εἰσὶ δὲ οἳ λέγουσιν ἐνδείκνυσθαι φύσιν τοὔνομα, καὶ τούτου ἐγὼ πάμπολλα συναθροίσας ὀνόματα Κελτῶν, καὶ Θρακῶν, καὶ Μυσῶν καὶ Φρυγῶν, ἐκέλευον ἐφ' ἑκάστου λέγειν τὸ δηλούμενον πρᾶγμα, τῶν δὲ ἐν τῇ τῶν Ἑλλήνων φωνῇ μόνῃ δύνασθαι τοῦτο ποιεῖν εἰπόντων ἐξῆς πρυτανεῖα, λιμένα, τῶν δ' εἰπόντων, ἵναπερ αἱ νῆες ὁρμῶσιν, ἀλλ' Θετταλούς γε ἔφην τὴν ὑφ' ἡμῶν προσαγορευομένην ἀγορὰν, οὕτως ὀνομάζειν· οἱ δὲ ἠρνοῦντο τὴν τῶν Θετταλῶν ἐπίστασθαι διάλεκτον, ὥσπερ οὐκ αὐτὸ δὴ τοῦτο ὁμολογοῦντες, ὅπερ ἐξ ἀρχῆς ἐλέγετο, μηδὲν τῶν ὀνομάτων ἐφ' οὗ κεῖται πράγματος ἄλλως δύνασθαι μαθεῖν, παρ' αὐτῶν τῶν θεμένων διδαχθέντα. πρὸς μὲν δὴ τοὺς οὕτως ἐμπλήκτους, ἕτερός μοι γέγραπται λόγος ἴδια, τῷ δὲ τὰ πράγματα αὐτὰ μαθεῖν θέλοντι μάλιστά τε καὶ πρῶτα καὶ τοῦθ' ὡς ἔργον χρηστὸν σπουδάζοντι, τῷ τε δ' ἐπ' αὐτοῖς ὀνόματα τῆς πρὸς ἀλλήλους ἕνεκα διαλέκτου μαθεῖν ἐπιποθοῦντι τὴν τῶν Ἑλλήνων ἐξηγήσασθαι χρῆσιν, οὐδ' οὖν τούτων ἁπάντων ἐπὶ πᾶσιν ὀνόμασιν, τοῦτο μὲν γὰρ ἑρμηνευτικῆς τινός ἐστιν ἢ γραμματικῆς ἐμπειρίας, ἀλλὰ τῶν Ἀττικῶν μὲν μάλιστα. δεύτερον δ' ἤδη καὶ τῶν Ἰώνων ἔχειν ἐμπειρίαν ὁμολογήσω τινὰ καὶ τῶν Δωρικῶν ὀνομάτων, ὥσπερ γε καὶ τῶν Αἰολικῶν, ἀλλ' ἐν ταύταις μὲν ταῖς διαλέκτοις ἀγνοεῖν μᾶλλον, ἢ γιγνώσκειν τὰ πλεῖστα. τῆς Ἀτθίδος δ' αὖ γινώσκειν τὰ πλείω, ἢ ἀγνοεῖν ὁμολογήσαι μ' ἄν, εἰ δὲ βούλει σοι καὶ περὶ τῶν ὀνομάτων εἰπεῖν, Ὅμηρος μὲν φησί. ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων. ἰούς τ' ἐκτάμνειν, ἐπί τ' ἤπια φάρμακα πάσσειν. πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων, ὡς τῆς ἰατρικῆς τέχνης ἰωμένης τὰ κάμνοντα σώματα, διά τε φαρμάκων καὶ χειρουργίας. εἰ δ' ἔτι καὶ τρίτον ἄλλο μόριον ἰάσεως ὑπῆρχεν τὸ διαιτητικὸν, ἐν τοῖς καθ' Ὅμηρον χρόνοις, ἐγὼ μὲν οὐκ ἔχω συμβαλεῖν, ὁ δ' ἐμοῦ πρεσβύτερός τε ἅμα καὶ τὰ τῶν Ἑλλήνων πράγματα πιθανώτερος ἐπίστασθαι, Πλάτων ὁ φιλόσοφος, οὐ πάνυ τι χρῆσθαι φησὶ τοὺς παλαιοὺς Ἀσκληπιάδας τούτῳ τῷ μέρει τῆς τέχνης. ἀλλ' ὅτι γε τῆς ἰατρικῆς ἐστὶν μέρη ταῦτα τὰ τρία, καὶ ὡς ἡ τὰ παρὰ φύσιν ἔχοντα σώματα θεραπεύουσα τέχνη πρὸς ἁπάντων Ἑλλήνων ἰατρικὴ καλεῖται, σχεδὸν οὐδεὶς ἀντιλέγει. γυμναστικῆς δὲ τέχνης, οὔπω μὲν ἦν τοὔνομα, καθ' Ὅμηρον, οὐδὲ καλεῖταί τις ὅλως γυμναστὴς ὥσπερ ἰατρός, ὅπου γε καὶ παρὰ Πλάτωνι, τὸ μὲν τῆς γυμναστικῆς ὄνομα οὐ πολλάκις εὑρεῖν ἐστιν, παιδοτρίβην μέν τοι καλεῖν μᾶλλον ἢ γυμναστὴν τὸν τεχνίτην αὐτῆς. ἤρξατο γὰρ ὀλίγου ἔμπροσθεν τῶν Πλάτωνος χρόνων ἡ τέχνη τῶν γυμναστῶν, ὅτε περ καὶ τὸ τῶν ἀθλητῶν ἐπιτήδευμα συνέστη, πάλαι μὲν γὰρ εἷς ἀνὴρ ἐργάτης τῶν κατὰ φύσιν ἔργων, ἀληθῶς εὐεκτικὸς εἰς ἀγῶνα καταβαίνων, οὐ πάλην μόνον, ἀλλὰ καὶ δρόμον ἠγωνίζετο, καί τις ἐνίκα πολλάκις εἰς ἄμφω τε ταῦτα καὶ ἀκοντίζων καὶ τοξεύων καὶ δισκοβολῶν, καὶ ἅρματος ἐπιστατῶν, ὕστερον δὲ διεκρίθη, καὶ οἷον περ ἐνίᾳ πεποίηκεν Ὅμηρος ἐπειδὴ εἰς μὲν πάντα τὰ κατὰ φύσιν ἔργα, πάντων ὕστατον, δὲ πυγμὴν, ἧς ἐν ἄθλοις μόνοις ἡ χρεία, τοιοῦτοι πάντες ἐγένοντο, μήτ' ἀρόσαι, μήτε σκάψαι, μήθ' ὁδὸν ἀνύσαι, μήδ' ἄλλο μηδὲν εἰρηναῖον ἔργον, ἔτι δὲ μᾶλλον πολέμιον ἐργάσασθαι καλῶς δυνάμενοι. τὴν τούτων τῶν ἀνθρώπων εὐεξίαν ἔμπροσθεν ἐμεμψάμεθα, καὶ τὴν ἐπιστατοῦσαν αὐτοῖς ὁμοίως γυμναστικήν, ἄλλην δ' εὐεξίαν ἐπῃνέσαμεν, ἀσφαλῆ τε ἅμα καὶ πρὸς τὰς κατὰ φύσιν ἁπάσας ἐνερ-

τὰς ἐνεργείας χρείαν, ἧς ὗλαι ποιητικαί τε ἅμα καὶ φυλακτικαὶ δύο ἐστὸν, ἥ θ' ὑγιεινὴ προσαγορευομένη δίαιτα, καὶ γυμνάσια. τεττάρων γὰρ οὐσῶν τῶν πασῶν ὑλῶν κατὰ γένος ὑφ' ὧν ἀλλοιοῦται τὸ σῶμα, χειρουργίας, καὶ φαρμακείας, καὶ διαίτης, καὶ γυμνασίων. ἡ μία μὲν ἄχρηστος τοῖς νοσοῦσιν, αἱ δύο δὲ τοῖς κατὰ φύσιν ἔχουσιν. ὁ μὲν γὰρ νοσῶν, εἰς πολλὰ καὶ φαρμάκων καὶ χειρουργίας, καὶ διαίτης δεόμενος, εἰς οὐδὲν δεῖται γυμνασίων. ὁ δ' ὑγιαίνων ἀκριβῶς, γυμνασίων μὲν χρῄζει, καὶ διαίτης τινὸς, οὔτε δὲ φαρμάκων, οὔτε χειρουργίας προσδεῖται. τῆς οὖν ὑγιεινῆς τέχνης, μέρος ἐστὶν ἡ γυμναστική. καὶ αὐτάρκως ὑπὲρ ἀμφοῖν ἡμᾶς ἐδίδαξεν Ἱπποκράτης. ὅσα τε χρὴ γινώσκειν ἀέρων τε πέρι καὶ χωρίων, καὶ ὑδάτων καὶ ἀνέμων καὶ ὡρῶν, ὡσαύτως ἐδεσμάτων, τε πέρι καὶ πομάτων καὶ ἐπιτηδευμάτων. ἀκριβέστατα γράψας ἅπαντα. συμπληροῦται γὰρ ἐκ τούτων ἡ δίαιτα, κατὰ δὲ τὸν αὐτὸν τρόπον, ὑπέρ τε καιροῦ, καὶ ποσότητος, καὶ ποιότητος, οὐ γυμνασίων μόνον, ἀλλὰ καὶ τρίψεως αὐτάρκως διεξῆλθεν. ἔοικε δὲ Πλάτων ἀπὸ μέρους ὀνομάζειν τὸ σύμπαν μόριον, οὐχ ὑγιεινὴν τέχνην, ἀλλὰ γυμναστικὴν προσαγορεύων, ὅτι τε ἐξαίρετον ἴδιον ὑπάρχει τοῖς ὑγιαίνουσιν, ὡς ἂν μηθ' ὅλως αὐτῷ χρωμένων τῶν νοσούντων, ὅτι τε τοῦτο μόνον ἐνόμιζεν, ἐπίστασθαι δεῖσθαι, τὸ μὲν γὰρ ὑγιαῖνον ἀκριβῶς σῶμα ταῖς κατὰ φύσιν ὀρέξεσιν χρώμενον, οὔτ' ἐν τοῖς ποιότησιν, οὔτ' ἐν τῷ καιρῷ τῆς χρήσεως ἐξαμάρτοι ἄν τι περὶ τὰ σιτία. περὶ μὲν δὴ τούτου λόγος ἕτερος. ἀλλ' ὅτι γε καὶ Πλάτων ἑτέραν μὲν οἶδε τὴν ὡς μέρος τῆς περὶ τὸ σῶμα τέχνης γυμναστικήν, ἑτέραν δὲ τὴν νῦν εὐδοκιμοῦσαν, ἐκ τῶν δ' ἂν μάλιστα μάθοις. ὑπογράψω γάρ σοι τὰς ῥήσεις αὐτοῦ. πρώτην μὲν τὴν ἐκ Γοργίου τόνδε τὸν τρόπον ἔχουσαν. δυοῖν ὄντοιν πραγμάτοιν, δύο λέγω τέχνας, τὴν μὲν ἐπὶ τῇ ψυχῇ, πολιτικὴν καλῶ, τὴν δὲ ἐπὶ τῷ σώματι, μίαν μὲν οὕτως ὀνομάσαι οὐκ ἔχω σοι μιᾶς δ' οὔσης τῆς τοῦ σώματος θεραπείας., δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν. ἐνταῦθα μὲν οὖν ὅτι τε μία τοῦ σώματος ἐστὶν ἡ θεραπευτικὴ τέχνη, δύο ἔχουσα τὰ πρῶτα μόρια, σαφῶς ἐδήλωσεν ὁ Πλάτων. ὅτι δὲ τῶν μὲν μορίων αὐτῆς ἐστιν ὀνόματα, τῆς δ' ὅλης οὐκ ἔστιν, ὅτι τε καὶ πρὸς τὸ βέλτιστον ἀποβλέπει, καὶ ὡς ἡ εὐεξία τοῦτ' ἐστὶν, ἐκ τῶν τοιῶνδε φανερῶν, ὧν ἕκαστα τοῦ βιβλίω διῆλθον, σῶμά που καλεῖς τι καὶ ψυχήν. πῶς γάρ, οὐκοῦν καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐεξίαν, ἔγω γε, τί δαὶ δοκοῦσαν μὲν εὐεξίαν, οὖσαν δ' οὔ. οἷον δὲ τοιόνδε λέγω. πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα, οὓς οὐκ ἂν ῥᾳδίως αἴσθοιτό τις, ὅτι οὐκ εὖ ἔχουσιν, ἀλλ' ὁ ἰατρός τε καὶ τῶν γυμναστικῶν τις, ἔν τε τοῖς ἑξῆς, ὅτι τε πρὸς τὸ βέλτιστον μὲν ἀποβλέπουσιν οἱ δέ. πρὸς δ' αὖ τὸ ἥδιστον; ὁ ὀψοποιός τε καὶ ὁ κομμωτής, αὐτός γε διεξέρχεται, τὴν μὲν γὰρ τῶν τοὺς ἀθλητὰς γυμναζόντων, γυμναστικήν, ὑποδυομένην μὲν ὀνόματι σεμνῷ, κακοτεχνίαν δὲ οὖσαν, ὅπω μὲν εἰς τοσοῦτον ἀποκεχωρηκυῖαν τοῦ κατὰ φύσιν, εἰς ὅσον αὐτὴν νῦν προαγηόχασιν. ἤδη δ' ἀρχομένης, οὐ πρὸς τὸ βέλτιστον ἀποβλέπειν, ἀλλ' ἁπλῶς ὡς ἰσχὺν τῶν ἀντιπάλων καταβλητικὴν ἐν τῷ τρίτῳ τῆς πολιτείας ἐμέμψατο, λέγων ὡδί, καὶ μὰ τὸν Δία ἦ δ' ὃς σχεδόν τι γε πάντων μάλιστα, εἴ γε περαιτέρω γυμναστικῆς ἡ περιττὴ αὕτη ἐπιμέλεια, τοῦ σώματος, καὶ γὰρ καὶ πρὸς οἰκονομίας, καὶ πρὸς στρατείας καὶ πρὸς ἑδραίους ἀρχὰς ἐν πόλει δύσκολος. τὸ δὲ δὴ μέγιστον, ὅτι καὶ πρὸς μαθήσεις ἁστινασοῦν καὶ ἐννοήσεις τε καὶ μελέτας πρὸς ἑαυτὸν χαλεπή, κεφαλῆς τινας, ἀεὶ διατάσεις καὶ ἰλίγγους ὑποπτεύουσα, καὶ αἰτιωμένη ἐκ φιλοσοφίας ἐγγίνεσθαι. ὥστε ὅπῃ αὕτη, ἀρετῇ ἀσκεῖσθαι καὶ δοκιμάζεσθαι πάντῃ ἐμπόδιος. κάμνειν γὰρ οἴεσθαι ποιεῖ ἀεὶ, καὶ ὠδίνοντα μή ποτε λήγειν περὶ τοῦ σώματος. ἔτι δὲ σαφέστερον ἐν τοῖς ἑξῆς, ὡς οὐκ ἰσχὺν καταβλητικὴν οἴεται τέλος εἶναι τῆς γυμναστικῆς, ἀλλὰ τὴν πρὸς τὰς κατὰ φύσιν ἐνεργείας χρείαν ἐνεδείξατο λέγων ὡδί. αὐτά γε μὴν τὰ γυμνάσια, καὶ τοὺς πόνους πρὸς τὸ θυμοειδὲς τῆς φύσεως βλέπων, κἀκεῖνο ἐπεγείρων πονήσει μᾶλλον ἢ πρὸς ἰσχύν. οὐχ ὥσπερ οἱ ἄλλοι ἀθληταὶ ῥώμης ἕνεκα σιτία καὶ πόνους μεταχειρίζονται. δῆλος οὖν ἐξ ἁπάντων ὁ Πλάτων ἐστὶν, τὴν Ἱπποκράτους ἀκριβῶς φυλάττων γνώμην ὑπὲρ τῆς γυμναστικῆς τέχνης ταύτης, ἧς τὸ τέλος ἐστὶν, ἡ τῶν ἀθλητῶν εὐεξία. μέμφεται γοῦν αὐτήν, ὡς ἄχρηστον εἰς τὰς πολιτικὰς πράξεις ἁπάσας, ὅπερ ἑνὶ λόγῳ περιλαβὼν ἐκεῖνος, ὧδέ πως ἀπεφήνατο διαθέσιος ἀθλητικῆς οὐ φύσει, ἕξις ὑγιεινὴ κρείσσων. ὅτι δὲ καὶ σφαλερὰ πρὸς ὑγίειαν ἡ μάλιστα κατορθωμένη διάθεσις αὐτῶν ἐστιν, ἐφ' ἣν σπεύδουσι, καὶ ὡς καὶ τοῦτ' ἐγίνωσκον Ἱπποκράτης τε καὶ Πλάτων, εἴρηται μὲν καὶ δι' ἄλλων, οὐ μὴν ἀλλ' ἐπειδήπερ ἅπαξ κατέστην εἰπεῖν τὸ περὶ τῆς μοχθηρᾶς εὐεξίας τε καὶ γυμναστικῆς, ὑπομνησθήσομαι καὶ τούτων, ὡς ἐνὶ μάλιστα διὰ βραχυτάτων. τῆς ὑγιείας ἐν συμμετρίᾳ τινὶ τεταγμένης, ἀμετρίας ἐστὶ δημιουργὸς ἡ τοιαύτη γυμναστική, πολλὴν καὶ πυκνὴν αὔξουσα σάρκα, καὶ πλῆθος αἵματος, ὡς ἐνὶ μάλιστα γλισχρότατον παρασκευάζουσα. βούλεται γὰρ οὐ τὴν ἰσχὺν αὐξῆσαι μόνον, ἀλλὰ καὶ τὸν ὄγκον τε καὶ τὸ βάρος τοῦ σώματος, ὥς τε καὶ ταύτῃ χειροῦσθαι τὸν ἀνταγωνιστήν. οὔκουν ἔτι χαλεπὸν οὐδὲν ἐξευρεῖν, ὡς διὰ τοῦτο ἄχρηστός τε πρὸς τὰς κατὰ φύσιν ἐνεργείας ἐστὶν, καὶ ἄλλως σφαλερά. ὅπερ γὰρ ἐν ἁπάσαις ταῖς ὄντως τέχναις, ἀγώνισμα ἐστὶ μέγιστον εἰς ἄκρον ἀφικέσθαι τοῦ σκοποῦ, τοῦτ' ἐν ταύτῃ μοχθηρότατόν ἐστιν, † καὶ ὡς φυσικήν τινα διάθεσιν, ἀλλ' ὡς Ἱπποκράτης ἔλεγεν, οὐ φύσει κατασκευαζούσης. τὰ μὲν γὰρ τῆς φύσεως ἀγαθὰ, προϊόντα τε καὶ ἐπιδιδόντα, καὶ αὐξανόμενα, γίνεται βελτίω. τὰ δ' οὐ φύσει πάντα, τοσούτῳ χαλεπώτερα, ὅσῳ καὶ μείζω. ὅθεν ἄφωνοι τινὲς αὐτῶν ἐξαίφνης, ἕτεροι δ' ἀναίσθητοι, καὶ ἀκίνητοι, καὶ τελέως ἀπόπληκτοι γίνονται, τοῦ παρὰ φύσιν ὄγκου τοῦ δὲ, καὶ τοῦ πλήθους ἀποσβέσαντός τε τὴν ἔμφυτον θερμασίαν, ἐμφράξαντός τε τὰς διεξόδους τοῦ πνεύματος. ὅσοι δ' ἂν αὐτῶν τὰ πρᾳότατα πάθωσιν, ἀγγεῖον ῥήξαντες ἐμοῦσιν, ἢ πτύουσιν αἷμα. τοὺς μὲν δὴ τῆς τοιαύτης εὐεξίας δημιουργοὺς, ὧν ἐστὶ τὰ θαυμαστὰ ταυτὶ συγγράμματα, νῦν ὑπὸ τῶν τὰ ὦτα κατεαγότων περιφερόμενα, τελέως ἤδη τοῦδε τοῦ γράμματος ἀποδιαπομπησόμεθα. γινώσκεις γὰρ δή που καὶ σὺ Θρασύβουλε φίλτατε, μηδ' ἀποκρίσεως αὐτοὺς ἀξιουμένους ὑπ' ἐμοῦ. τί γοῦν ἂν καὶ πλέον εἴη τοῖς χθὲς μὲν καὶ πρώην πεπαυμένοις τοῦ παρὰ φύσιν ἐμπίπλασθαί τε καὶ κοιμᾶσθαι, τόλμης δ' εἰς τοσοῦτον ἥκουσιν, ὥσθ' ὑπὲρ ὧν οὐδὲ τοὺς ἱκανῶς ἠσκηκότας ἀκολουθίας τε καὶ μαχομένων διάγνωσιν ἔχειν εὐπετῶς ἀποφήνασθαι, περὶ τούτων ἀναισχύντως διατείνεσθαι. τί μάθοιεν ἂν ἔτι βα-

† al. οὐχ ὡς

θὺ καὶ σοφὸν καὶ ἀκριβὲς ἀκούσαντες θεώρημα, θαυμαστὸν μὲν τ' ἂν ἦν, εἰ τοῖς μὲν ἐκ παίδων ἀσκουμένοις ἐν τοῖς ἀρίστοις μαθήμασιν οὐχ ἅπασιν ὑπάρχει κἂν ταῖς ἀγαθοῖς τῆς τοιαύτης θεωρίας, ὅσοι δ' ἀσκοῦνται μὲν ὥστε ἐν ἄθλοις νικᾶν, ἀφυεῖς δὲ ὄντες κἀκεῖ στεφάνων μὲν ἠτύχησαν, ἐξαίφνης δ' αὖ ἐφάνησαν γυμνασταί, τούτοις ἄρα μόνοις ὑπάρξει νοῦς περιττός. καὶ μὴν ἐγρήγορσις μᾶλλον καὶ φροντὶς οὐκ ἀμαθὴς, ἢ ὕπνος, ὀξὺν τὸν νοῦν ἀπεργάζονται, καὶ τοῦτο πρὸς ἁπάντων σχεδὸν ᾄδεται, διότι πάντων ἐστὶν ἀληθέστατον, ὡς γαστὴρ ἡ παχεῖα τὸν νοῦν οὐ τίκτει τὸν λεπτόν. ἴσως οὖν ἡ κόνις ἔτι μόνη σοφίαν αὐτοῖς ἐδωρήσατο. τὸν μὲν γὰρ πηλὸν, ἐν ᾧ πολλάκις ἐκυλινδοῦντο, τίς ὑπολαμβάνει σοφίας εἶναι δημιουργὸν, ὁρῶν γε καὶ τοὺς σῦς ἐν αὐτῷ διατρίβοντας, ἀλλ' οὐκ ἐν τοῖς ἀπάτοις εἰκὸς, ἐν οἷς διημέρευον, ἀγχίνοιαν φύεσθαι, καὶ μὴν παρὰ ταῦτα οὐδὲν ἄλλο πρότερον ἔπραττον. ὅλον γὰρ ἑωρῶμεν αὐτῶν τὸν βίον ἐν ταύτῃ τῇ περιόδῳ συστρεφόμενον, ἢ ἐσθιόντων, ἢ πινόντων, ἢ κοιμωμένων, ἢ ἀποπατούντων, ἢ κυλινδουμένων ἐν κόνει τε καὶ πηλῷ. τούτους οὖν ἀποπέμψαντες, οὐ γὰρ κακοτεχνίας ἀλλὰ τέχνας ἥκομεν ἐπισκεψόμενοι. τοὺς τῆς ὄντως γυμναστικῆς ἐπιστήμονας ἤδη καλῶμεν, Ἱπποκράτην τε καὶ Διοκλέα, καὶ Πραξαγόραν, καὶ Φιλότιμον, Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον. ὅσοι τ' ἄλλοι τὴν ὅλην περὶ τὸ σῶμα τέχνην ἐξέμαθον. ἤκουσας δή που ἀρτίως Πλάτωνος λέγοντος, ὡς οὐδέν ἐστιν ἴδιον ὄνομα. μὴ τοίνυν ζήτει ἓν ὄνομα κατὰ πάσης τῆς περὶ τὸ σῶμα τέχνης. οὐ γὰρ εὑρήσεις. ἀλλ' εἴπερ ποτὲ κατασταίης ὑπὲρ αὐτῆς εἰπεῖν, ἀρκείτω σοι Πλάτωνα μιμησαμένῳ διελθεῖν, ὡς μιᾶς οὔσης τῆς τοῦ σώματος θεραπείας, δύο μόρια λέγω, τὴν μὲν γυμναστικὴν, τὴν δὲ ἰατρικὴν, ὑγιαινόντων μὲν δηλονότι τὴν γυμναστικὴν νοσούντων δὲ τὴν ἰατρικήν, ἀλλ' ἐκεῖνο μᾶλλον ἐπισκέψεως ἄξιον. ὅτι μὴ τὴν ὑγιεινὴν τέχνην ὁ Πλάτων ἀντιδιεῖλε τῇ ἰατρικῇ, καθάπερ ἐποίησαν οἱ προειρημένοι πάντες ἄνδρες, ὧν εἰ βούλει μνημονεύσωμεν ἑνὸς, ἐπειδὴ καὶ πρόχειρα πᾶσίν ἐστιν αὐτῶν συγγράμματα. λέγει τοίνυν Ἐρασίστρατος ἐν τῷ πρώτῳ τῶν ὑγιεινῶν. οὔτε γὰρ ἰατρὸς εὑρεῖν ἐστὶν ὅστις δέδωκεν αὐτὸν εἰς τὴν περὶ τῶν ὑγιεινῶν πραγματείαν. εἶτ' ἐφεξῆς. αἱ μὲν γὰρ παρά τι πάθος γιγνόμεναι ἀπεψίαι, καὶ αἱ τούτων θεραπεῖαι εἰς ἰατρικῶν, καὶ οὐκ εἰς τὴν τῶν ὑγιεινῶν πραγματείαν πίπτουσιν. εἶτ' αὖθις, ἔτι προελθών. εἰ δέ τις εἴη φαυλότης περὶ τὸ σῶμα, δι' ἣν τὰ προσφερόμενα ἀεὶ διαφθαρήσεται, καὶ † οὐκ εἰς τὴν αὐτὴν κακοχυμίαν τοῖς προϋπάρχουσιν ἥξει, τὴν τοιαύτην διάθεσιν ἰατροῦ καὶ οὐχ ὑγιεινοῦ, λύειν. εἶτ' ἐφεξῆς, τὸ λέγειν περὶ τούτων ἢ λύειν ταύτας, ἰατροῖς καὶ οὐχ ὑγιεινοῖς ἐπιβάλλει. φαίνεται γὰρ οὗτος, οὐ μόνον ὑγιεινὴν τινὰ ὀνομάζων τέχνην ὁμοίως τοῖς ἄλλοις ἅπασιν, ἀλλὰ καὶ τὸν τεχνίτην αὐτῆς, ὑγιεινὸν, ὥσπερ οἶμαι καὶ τὸν τῆς ἰατρικῆς ἰατρόν. ἵνα τῆς περὶ τὸ σῶμα θεραπευτικῆς τέχνης, ἧς οὐδὲν ἦν ὄνομα τοῖς Ἕλλησιν ἴδιον εἰς δύο τὰ πρῶτα τμηθείσης, ὥσπερ αὐτὰς τὰς τέχνας ἰατρικήν τε καὶ ὑγιεινὴν, οὕτως καὶ τοὺς τεχνίτας αὐτῶν ὀνομάζομεν, ὑγιεινόν τε καὶ ἰατρόν. ὡσαύτως δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἰατρῶν ἐχρήσαντο τοῖς ὀνόμασιν, ἀλλ' ὡς ἔοικεν, οὔπω κατὰ Πλάτωνα συνηθὲς ἦν τοῖς Ἕλλησιν, οὔτε ὑγιεινὴν τὴν τέχνην οὔτε τὸν ἐπιστήμονα καλεῖν ὑγιεινόν. οὐδὲ γὰρ οὐδὲ τὸ τοῦ Ἱπποκράτους ὑγιεινὸν, ὑγιεινὸν, ἀλλὰ τὸ μέν τι περὶ διαίτης ἐπιγέγραπται, τὸ δέ τι περὶ ὑδάτων καὶ ἀέρων καὶ τόπων. τάχα δ' ὡς ἔφην, οὐδὲ χρείαν εἶναι διαίτης ὁ Πλάτων ἐνόμιζεν τοῖς ὑγιαίνουσιν, ἀλλ' ἀρκεῖν μόνην γυμναστικήν. οὐδὲ γὰρ τὸ ἀναληπτικὸν μόριον, ἢ τὸ προφυλακτικὸν ἴσως ἡγεῖται προσήκειν τῇ γυμναστικῇ. μετὰ γοῦν ὡς ἔφην αὐτὰ τεταγμένα, δυνατόν ἐστιν, ὁποτέρῳ τις βούλεται προσνέμειν. ἀλλ' εἰ καὶ ταῦτα τις ἰατροῖς ἐπιτρέψειεν, ὀλίγον ἐστὶ τὸ ὑγιεινὸν, ἀέρων τε πέρι, καὶ ὑδάτων καὶ χωρίων καὶ γυμνασίων καὶ σιτίων ἐπισκοπούμενον. καί τοι γε οὐδὲ περὶ σιτίων ἁπάντων, ἀλλ' ὅσα τοῖς ὑγιαίνουσιν ἁρμόττει μόνον. τάχα δ' ἐπειδὴ καὶ τὰ τῶν ἀέρων τε καὶ χωρίων καὶ ὑδάτων ἔφθανεν ἤδη γιγνώσκεσθαι τοῖς ἰατροῖς, ὡς ἂν καὶ πρότερον τοῦ θεραπευτικοῦ μορίου συστάντος, οὐδὲν ἔτι προσεπιμαθεῖν αὐτῶν ἐνέλειπεν, εἰς τὸ μὴ μόνον ἰατροῖς, ἀλλὰ καὶ ὑγιεινοῖς γενέσθαι, πλὴν τῆς περὶ τὰ γυμνάσια τέχνης. οὔκουν οὐδὲ ἀπεικὸς, οὐδ' ἀπὸ μόνου τοῦ προσαγορευθέντος ὀνομασθῆναι τὸ σύμπαν. ἀλλὰ τοῦτο μὲν ὑπὲρ ὀνόματός ἐστιν, οὐ περὶ πράγματος σκοπεῖσθαι. καὶ εἴ τις, ὅπερ καὶ πρόσθεν εἶπον, αὐτὸ δὴ τοῦτο γιγνώσκων, ὅτι μὴ καὶ περὶ πράγματος ὁ λόγος, ἀλλ' ὀνόματός ἐστιν, ἐμὲ κελεύσειεν ἀποφαίνεσθαί τι καὶ περὶ τοῦδε, βέλτιον ὀνομάζειν ἐρῶ τοὺς δύο τὰ πρῶτα μόρια φάσκοντας τῆς ὅλης τέχνης, ὑγιεινόν τε καὶ θεραπευτικὸν, εἴγ' ἐν ταῖς μεθόδοις ταῖς διαιρετικαῖς ἐμάθομεν ἀντιδιαιρεῖν ἀλλήλοις ὁμογενῆ πράγματα. τὸ γὰρ, εἰ τύχοι, τῶν ζώων εἰπόντι, τὰ μὲν ἀέρια, τὰ δ' ἔνυδρα, προσθεῖναι τούτων τὰ λογικὰ, περιφανῶς ἄτοπον. ἡ μὲν γὰρ προτέρα διαίρεσις ἔμπνευστά τε καὶ ἔγγεια προσκεῖσθαι ποθεῖ. ταῦτα γὰρ ἀνάλογόν ἐστι τοῖς ἐν ἀερίοις τε καὶ ἐνύδροις. ἡ δ' αὖ δευτέρα, τοῖς λογικοῖς ἀντιδιαιρεῖσθαι βούλεται τὰ ἄλογα. κατὰ ταὐτὰ δὲ, καὶ τῷ μὲν θνητῷ τὸ ἀθάνατον, ἀγρίῳ δὲ, τὸ ἥμερον, καὶ πεζῷ, τὸ πτηνὸν, καὶ τὸ νηκτόν. ἐσχάτη γὰρ ἀτοπία τῶν ζώων, εἰ τύχοι, τὰ μὲν ἀθάνατα λέγειν εἶναι, τὰ δὲ πεζὰ, τὰ δὲ δίποδα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐπὶ τῆς περὶ τὸ σῶμα τέχνης, εἴ τις ἐθέλοι τέμνων, ἐξευρίσκειν τὰ μόρια, τὸ μὲν τοὺς νοσοῦντας ἰώμενον, ἰατρικῆς τέχνης λεχθήσεται, τὸ δὲ τῶν ὑγιαινόντων, προνοούμενον ὑγιεινῆς. καὶ τοῦτο γ' ἔτι κάλλιον, ὡς ἡμεῖς ἔμπροσθεν ἐλέγομεν. τῆς περὶ τὸ σῶμα τέχνης ἐπανορθωτικῆς τινος οὔσης, τὸ μὲν κατὰ μεγάλα τὴν ἐπανόρθωσιν ποιούμενον, ἰατρικόν τε καὶ ἰατρικὸν ὀνομασθήσεται, τὸ δὲ κατὰ σμικρὰ, καὶ διὰ τοῦτο λανθάνον, εἰ τὴν ἀρχὴν ἐπανορθοῦται, φυλακτικόν. ἔτι δὲ κάλλιον ὀνομάσεις ἀπὸ τῶν ὑλῶν αὐτὰ, νοσερὸν μὲν τὸ ἕτερον, ὑγιεινὸν δὲ θάτερον. εἰσὶ δ' αὖ πάλιν ἐθέλοις τέμνειν τὸ ὑγιεινὸν, ἢ φυλακτικὸν, εἴρηται γὰρ ὡς ἑκατέρως ἐγχωρήσει προσαγορεύειν, ἀπὸ μὲν τῆς ὑποκειμένης ὕλης εἰς τρία τεμεῖς, ὡς ἔμπροσθεν εἴρηται, τό τ' ἀναληπτικὸν ὀνομαζόμενον, καὶ τὸ κατ' εἶδος ὑγιεινὸν, καὶ πρὸς τούτοις τὸ εὐεκτικόν. ὑποβέβληται γὰρ ἡ ἴδιος ἑκάστῳ τῶν εἰρημένων ὕλη, τῷ μὲν, τὸ κατὰ σχέσιν ὑγιαῖνον σῶμα, τῷ δὲ, τὸ καθ' ἕξιν, τῷ τρίτῳ δὲ, τὸ καλούμενον εὐεκτικόν. συμβέβηκε γοῦν ὁμωνύμως λέγεσθαι τοῖς μορίοις τῆς τέχνης αὐτὰ τὰ σώματα. κατὰ δὲ τὰς ὕλας τῶν βοηθημάτων, εἴπερ ἡ τομὴ ἥσσοι γένοιτο, τετραχῆ διαιρήσεις τὴν φυλακτικήν τε καὶ ὑγιεινὴν ταύτην τέχνην. ἔσται γὰρ αὐτῆς, ἡ μὲν, ἐν προσφερομένοις, ἡ δ' ἐν ποιουμένοις, ἡ δ' ἐν κενουμένοις, ἡ δὲ ἐν τοῖς ἔξωθεν προσπίπτουσιν ἀναστρεφομένη. διὰ τούτων γὰρ ἡ ὑγίεια φυλάττεται, τὸ μὲν ὂν ἐν

† αἱ. οὕτως

τοῖς προσφερομένοις, τῆς ὑγιεινῆς τέχνης μέρος, ἐδεσμάτων τ᾿ ἐστὶ καὶ πομάτων ἐπιστήμη τῶν εἰς ὑγιείας φυλακὴν ἀνηκόντων, τὸ δ᾿ ἐν τοῖς κενουμένοις, ἱδρώτων τε καὶ διαχωρημάτων, οὔρων τε καὶ ὅλως ἁπάντων τῶν ἐκ τοῦ σώματος ἡμῶν ἐκκενοῦσθαι δεομένων. τὸ δὲ τῶν ἔξωθεν προσπιπτόντων, ἀέρος, ὕδατος, ἅλμης, θαλάττης, ἐλαίου τῶν τε ἄλλων ἁπάντων τῶν τοιούτων. ἔτι δὲ τὸ τέταρτόν τε καὶ λοιπὸν, ὅπερ ἐν τοῖς ποιουμένοις ἐτέτακτο μέρος τῆς τέχνης. ἐν γυμνασίοις ἐστὶ καὶ τοῖς καλουμένοις ἐπιτηδεύμασιν. καὶ γὰρ ἐγρήγορσις, καὶ ἀγρυπνία, καὶ ὕπνος καὶ ἀφροδίσιά τε καὶ θυμὸς, καὶ φροντὶς καὶ λουτρὸν ἐκ τούτου τοῦ γένους ἐστὶν, καὶ χρὴ διαγινώσκειν τῶν ὑγιεινῶν ἑκάστου τῶν εἰρημένων, ποσότητά τε καὶ ποιότητα καὶ καιρόν. πολλοστὸν οὖν μέρος γίνεται τῆς ὑγιεινῆς τέχνης, ἡ περὶ τῶν γυμνασίων ἐπιστήμη. δικαιότερον γὰρ οἶμαι καλεῖν ἐστὶ γυμναστικὴν τέχνην ἥτις ἂν ἐπιστήμη τῆς ἐν ἅπασι τοῖς γυμνασίοις ἢ δυνάμεως, ὡς τό γε περὶ τῶν τὴν κατὰ παλαίστραν ἐπιστασθῆ μόνον, ἐσχάτως τε μικρόν ἐστι, καὶ πᾶσιν ἥκιστα χρήσιμον. ἐρέσσειν οὖν ἄμεινόν ἐστι καὶ σκάπτειν, καὶ θερίζειν, καὶ ἀκοντίζειν, καὶ τρέχειν, καὶ πηδᾶν καὶ ἱππάζεσθαι, καὶ κυνηγετεῖν, ὁπλομαχεῖν τε καὶ σχίζειν ξύλα, καὶ βαστάζειν καὶ γεωργεῖν, ἅπαντά τε τἄλλα κατὰ φύσιν ἐργάζεσθαι κρεῖττον, ἢ κατὰ παλαίστραν γυμνάζεσθαι. καὶ σοι πάρεστιν ἤδη σκοπεῖν, οὐ μόνον ὅτι πολλοστὸν ἐστὶ μόριον ὑγιεινῆς τέχνης ἡ γυμναστική, ἐλάχιστον δ᾿ αὖ πάλιν ἐστὶ τῆς γυμναστικῆς, τὸ περὶ τὴν κατὰ παλαίστραν μόριον, ὅτι τε τούτῳ παράκειται τὸ τῶν ἀθλητῶν ἐπιτήδευμα, καὶ διαθέσεώς τινος ἀπεργαστικὸν οὐ φύσει, καὶ κακοτεχνίαν ἐπισταμένην ἔχον ὑποδυομένην μὲν τέλει χρηστῷ τῆς εὐεξίας, ἄλλο δ᾿ ἔτι μᾶλλον, ἢ εὐεξίαν ἐργαζόμενον, ἀλλὰ ὅτι τῆς μὲν τοιαύτης κακοτεχνίας οἱ δυστυχῶς ἀθλήσαντες ἐξαίφνης ἐπιστήμονες ἀναφαίνονται. τῆς δ᾿ ὄντως γυμναστικῆς, Ἱπποκράτης καὶ ὁ προειρημένος ἀμφ᾿ αὐτῷ χορὸς, ἐπιστήμων ἐστίν. ὥσπερ δ᾿ ἐν τοῖς κατὰ ἰατρικὴν, οὐχ ἅπασιν ὀρθῶς ἅμα εἴρηται πάντα, κατὰ τὸν αὐτὸν τρόπον, οὐδὲ περὶ γυμνασίων. ἀλλὰ νῦν οὐ πρόκειται διελέγχειν τοὺς κακῶς ὑπὲρ αὐτῶν ἐγνωκότας, ἀλλ᾿ ἐξηγεῖσθαι τοὔνομα τῆς γυμναστικῆς. ὡς ἔστιν ἐπιστήμη τις ἤδε τῶν ἐν γυμνασίοις δυνάμεων, ὥσπερ ἡ φαρμακευτική, τῶν ἐν φαρμάκοις. ἄμφω γὰρ ταῦτα τὰ μόρια τὴν κλῆσιν ἀπὸ τῶν ὑλῶν ἔσχηκεν, ὁμοίως τοῖς ἄλλοις, οἷς ὀλίγον ἔμπροσθεν εἶπον. καὶ δῆλον ὡς ὅσοι τὴν γυμναστικὴν ἀντιδιαιροῦσι τῇ ἰατρικῇ κακῶς γινώσκουσιν. ἡ μὲν καὶ ἀπὸ τῆς ὕλης, ἡ δ᾿ ἀπὸ τῆς καθόλου τε καὶ γενικῆς ἐνεργείας ὠνόμασται. πρῶται μὲν γάρ εἰσιν αἱ κατὰ μέρος ἐνέργειαι, καθῆραι διὰ ἐλλεβόρου καὶ σκαμμωνίας, εἰ τύχοι, καὶ τεμεῖν φλέβας καὶ ὀστοῦν ἐκκόψαι, καὶ ἀσιτῆσαι προστάξαι, καὶ δοῦναι τροφήν. ἐπ᾿ αὐταῖς δ᾿ ἕτεραι γενικώτεραί τε, καὶ ἤδη καθόλου, φαρμακεῦσαι, καὶ χειρουργῆσαι, καὶ διαιτῆσαι, καὶ τούτων ἁπασῶν κοινὴ, τὸ ἰάσαι, καθάπερ οἶμαι πάλιν, ἐπὶ ταῖς περὶ τὰ ὑγιαίνοντα γιγνομέναις ἐνεργείαις ἁπάσαις, κοινὴ ἡ φυλακὴ, καὶ ὅστις ἀντιδιαιρεῖται τῷ ἰατρικῷ τὸ φυλακτικὸν, ὁμογενῶν ποιεῖται τὴν ἀντίθεσιν. ἄμφω γὰρ ἀπὸ τῆς ἐνεργείας ὠνόμασται, καθάπερ αὖ πάλιν ἀπὸ τῆς ὑποκειμένης ὕλης, τό γε νοσερὸν καὶ ὑγιεινόν. ἀπὸ δὲ τῆς τῶν βοηθημάτων ὕλης, τό τε φαρμακευτικὸν ὠνόμασται καὶ τὸ γυμναστικόν. τὸ μὲν γὰρ τοῦ νοσεροῦ τε καὶ ἰατρικοῦ, μέρος ὑπάρχει, τὸ δὲ τοῦ ὑγιεινοῦ τε καὶ φυλακτικοῦ. προσέχειν δ᾿ ἐνταῦθα τὸν νοῦν χρὴ, μὴ πλανηθῶμεν τὸν αὐτὸν ἀποδείξαντες τῷ γυμναστικῷ, τὸν ἐπιστάτην τοῦ παλαίσματος, καὶ μόριόν τι ποιήσαντες ὅλης τῆς γυμναστικῆς, τὴν ὡς ἂν εἴποι τις παλαιστρικήν. ὁ γὰρ ἐπιστάμενος τά τε παλαίσματα σύμπαν, καὶ τῶν τρίψεων ἁπάσας καλῶς ἐργάζεσθαι τὰς κατὰ μέρος ἐνεργείας, ἀνάλογόν ἐστιν σιτοποιῷ καὶ μαγείρῳ καὶ οἰκοδόμῳ, δημιουργεῖν μὲν ἐπισταμένοις, ἄρτους τε, καὶ ὄψα, καὶ οἰκίας, οὐ μὴν ἐπαΐουσί γ᾿ οὐδὲν, οὐδὲ γινώσκουσιν, ὅτι τε, χρηστὸν ἐν αὐτοῖς καὶ μὴ χρηστὸν ἤν τινά τε δύναμιν ἔχον ἕκαστον αὐτῶν ἐστὶ πρὸς ὑγίειαν. ἡ μὲν οὖν προνοουμένη τοῦ σώματος ἡμῶν τέχνη μία, καθάπερ εἴρηται πολλάκις. αἱ δ᾿ ἄλλαι τὰς ὕλας ταύτῃ παρασκευάζουσιν. οὔτε γὰρ οἷς ἄμεινόν ἐστιν ὑποδέδεσθαι μὲν καὶ ἀνυποδέτους εἶναι σκυτοτόμος οἶδεν, οὔτ᾿ οἷς ὑποδέδεσθαι μὲν, ἀλλὰ τοῖον ἢ τοῖον ὑπόδημα. ταῦτα μὲν γὰρ Ἱπποκράτης γιγνώσκει. καὶ κελεύει γε τῷ δέ τινι φορεῖν ἀρβύλας τὰς πηλοπατίδας, οὐ μὴν αὐτός γε δημιουργήσει τὰς ἀρβύλας, οὐ μᾶλλον ἢ ὁ στρατηγὸς τὸ κράνος καὶ τὸν θώρακα καὶ τὸ δόρυ, καὶ τὴν ἀσπίδα, καὶ τὴν μάχαιραν, καὶ τὰς κνημῖδας. οὐδὲ γὰρ ὁ οἰκοδόμος οἶδεν ὑψηλῆς πέρι καὶ ταπεινῆς οἰκήσεως, οὐδὲν ἔτι πρὸς ἀνατολὴν ἢ δύσιν ἐστραμμένης, οὐδέ γε τῆς πρὸς Βορρᾶν τε καὶ ψυχρᾶς ἢ νοτίου καὶ θερμῆς, οὐδὲ σκοτεινῆς ἢ φωτεινῆς, οὐδὲ κατὰ γαίου τε καὶ ὑπερῴου καὶ νοτερᾶς, καὶ ξηρᾶς, ἀλλ᾿ ὅλως ἀγνοεῖ, τίνα μὲν ὠφέλειαν ἑκάστη τούτων ἔχει, τίνα δὲ βλάβην, ὥσπερ γε καὶ ὁ σιτοποιὸς οὐκ οἶδεν, ὅτῳ χρὴ καθαρὸν ἄρτον διδόναι, καὶ ὅτῳ συγκομιστὸν, οὐδὲ ὅτῳ πολὺν, ἢ ὀλίγον, οὐδ᾿ ἐν ὅτῳ καιρῷ. κατασκευάζει μέντοι καλῶς αὐτούς. ὡσαύτως δὲ καὶ ὁ μάγειρος, ἢ φακῆν ἢ πτισάνην, ἢ χόνδρον, ἢ τεῦτλον, ἢ τι τῶν ἄλλων ἐπίσταται σκευάζειν, οὐκ εἰδὼς οὐδενὸς αὐτῶν τὴν δύναμιν, αἱ μὲν δὴ τοιαῦται τέχναι τὰς ἁπάσας ὕλας παρασκευάζουσι τῇ θεραπευτικῇ τοῦ σώματος, ὥσπερ αὐταῖς ταύταις ἕτεραι, τῷ μὲν σιτοποιῷ, τοὺς πυροὺς ὁ γεωργὸς καὶ κλίβανον ὁ ἰπνοπλάστης, καὶ ὁ ὑλοτόμος τὰ ξύλα καὶ ὁ τέκτων τὴν ἄβακα, τῷ τέκτονι δ᾿ αὐτῷ πάλιν ἄλλος μὲν ἀξίνην, ἄλλος δὲ σταθμὴν, ἄλλος δ᾿ αὖ τὰ ξύλα. καὶ σκυτοτόμῳ δὲ κατὰ ταῦτα τὴν μὲν σμίλην, ἡ χαλκευτική, τὰ σκῦτα δὲ βυρσοδεψική, τὸν καλόποδα ἡ τεκτονική. καὶ οἰκοδόμῳ δὲ λατύποι τε, καὶ λιθοτόμοι, καὶ πλινθουργοὶ, καὶ τέκτονες, οἱ μὲν λίθους, οἱ δὲ πλίνθους, οἱ δ᾿ ἐπιτήδεια ξύλα παρασκευάζουσιν. αἱ μὲν οὖν τοιαῦται τέχναι σύμπασαι, προσδέονταί τε ἀλλήλων καὶ παρασκευάζουσι ταῖς τελεωτέραις, τάς θ᾿ ὕλας αὐτὰς ἐξ ὧν ἐργάζονται τὸ τέλος, ὄργανά τε χρηστὰ, δι᾿ ὧν ἐκείνας κοσμοῦσιν. ἁπάσαις δ᾿ αὐταῖς ἐφέστηκεν, οἷον ἀρχιτεκτονική τις ἡ θεραπευτικὴ τοῦ σώματος, καὶ κελεύει τῇ μὲν οἰκοδομικῇ τοιάνδε τινὰ τὴν οἰκίαν, τῇ δὲ σκυτοτομικῇ τὸ ὑπόδημα, καὶ τῇ μὲν σιτοποιητικῇ τὸν ἄρτον, τῇ δ᾿ αὖ μαγειρικῇ τοὔψον, ἑκάστῃ τε τῶν ἄλλων ὡς ἑκάστη πέφυκεν. ἀλλὰ ταύτης τῆς περὶ τὸ σῶμα θεραπευτικῆς, ἡ ὑγιεινὴ μόριον ἦν, καὶ ταύτης τέτραχῆ τεμνομένης. ἑνὸς τῶν μορίων ἡ γυμναστικὸν μόριον. αὕτη τοίνυν οἷον ἀρχιτεκτονική τίς ἐστιν. τοσῶνδε τεχνῶν, ἱππευτικῆς μὲν ὅταν ἱππάζεσθαι δέῃ διδάσκουσα μέτρον καὶ καιρὸν καὶ ποιότητα, κυνηγετικῆς δὲ, καὶ συμπάσης θηρευτικῆς. ὅταν αὖ τούτων ἡ χρεία καλῇ, κατὰ ταυτὰ δὲ ταῦτα καὶ σκαπτόντων, καὶ θεριζόντων, καὶ ὑλοτομούντων, καὶ ἐρεσ-

† αἱ, ἐπιστατεῖτε

σόντων, καὶ ὀρχουμένων, καὶ πᾶν ὁτιοῦν ἐνεργούντων † ἐπιστατῶν τι καὶ ἄρχει καὶ προστάττει. μία τῶν τοιούτων ἐστὶ
τεχνῶν καὶ ἡ περὶ τὰ παλαίσματα, καλῶμεν δ' αὐτὴν εἰ βούλει, παιδοτριβικήν, αὕτη μὲν οὐδ' ἐπαΐουσα τῶν
πρὸς ὠφέλειάν τε καὶ βλάβην τοῦ σώματος, ἀσχήμονας δὲ καὶ πολυειδεῖς καὶ καταβλητικὰς καὶ ἀπόνους ἐξευ-
ρίσκουσα λαβάς τε ἅμα καὶ κινήσεις, οὐδὲν ἧττον τῆς ὀρχηστικῆς. ἀλλ' ἐκείνη μὲν οὐκ ἀντιποιεῖται τῆς περὶ τὸ σῶμα
θεραπείας, ἡ παιδοτριβικὴ οὐκ οἶδ' ὅπως ὑπ' ἀναισθησίας ἐσχάτης, οἷον ἔμπληκτός τις οἰκέτης ἐπανίσταται
δεσπότῃ χρηστῷ, τῇ γυμναστικῇ, καθάπερ οἰκέτης ὁπλίτης, ἢ ἱππεύς, ἢ τοξότης, ἢ σφενδονήτης, ἢ ἀκοντιστὴς
ἀντιλέγοι τῷ στρατηγῷ, παρατάττοντί τε καὶ ὁπλίζοντι, καὶ πρὸς τὸν πόλεμον ἐξάγοντι, καὶ αὖθις ἡσυχά-
ζειν κελεύοντι, μαίνοιτο γὰρ ἄν που κἀκεῖνος, εἰ τὸν στρατηγὸν εἰς τὰς τοῦ μέρους ἐνεργείας προσκαλούμε-
νος, εἶτα βελτίων εὑρισκόμενος, ἢ κοινωνεῖν ἀξιοῖ τῆς ἀρχῆς, ἢ μέρος ἀποφαίνοι τὴν αὐτοῦ τέχνην τῆς στρατηγι-
κῆς. μαίνοιτο δ' ἂν οὐδὲν ἧττον οἶμαι καὶ ὁ παιδοτρίβης, ἢ κοινωνεῖν γυμναστικῆς, ἢ μέρος ἔχειν αὐτῆς οἰόμε-
νος. ὑπηρέτης γάρ ἐστι μόνον. ὥσπερ γὰρ ὁ στρατιώτης τῆς στρατηγικῆς, οὕτως καὶ ὁ παιδοτρίβης. αὐτὸς γὰρ εἰ
μὲν γυμνάζει, τῆς γυμναστικῆς, εἰ δ' ἀσκεῖ τέχνην παλαισμάτων, ἑτέρας αὖ τινός ἐστιν ἐπιτηδεύσεως ὑπηρέ-
της, ἣν μὲν ἐγὼ ὀνομάζω καταβλητικήν. οὐ μόνον δ' αὐτοὺς οὕτως καλοῦσιν οἱ τοὺς ἀθλητὰς ἀσκοῦντες, ἀλλὰ γυμ-
ναστὰς ὀνομάζουσιν. καίτοι κατά γε τὴν ἀλήθειαν, ἕτερον μέν ἐστιν παιδοτριβική, καθάπερ ἡ τοξευτική. κα-
κὴ δὲ οἷον περ ἡ στρατηγική. γυμναστικὴ δὲ οἷον ἡ ἰατρική, καὶ δυεῖν ὑπηρετεῖ τέχναις ἐφεστώσαις ἑκάστῃ τῶν
τοιούτων. οὕτω γὰρ καὶ ἡ σκυτοτομική, τὸ μέν, ὡς στρατιώτῃ τινὶ χρηστὸν ὑπόδημα παρὰ τῆς στρατηγικῆς ἐκδι-
δάσκεται, τὸ δὲ ὡς εἰς ὑγίειαν ἐπιτήδειον, ὑπὸ τῆς περὶ τὸ σῶμα τέχνης, ἐργάζεσθαι κελεύεται. ὡσαύτως
δὲ καὶ ἡ μαγειρική, τὸ μὲν εἰς ὑγίειαν ὄψον, ἰατρῷ τινὶ καὶ ὑγιεινῷ παρασκευάζει, τὸ δ' εἰς ἡδονήν, τέχνη μὲν
οὐκ ἔτι οὖσα γε οὐδεμία, κολακείᾳ δέ τινι τὸ τέλος, οὐ τὴν ὑγείαν, ἀλλὰ τὴν ἡδονὴν πεποιημένη. καὶ δὴ οὖν
καὶ παλαιστική, τὸ μὲν εἰς ὑγείαν χρηστόν, ὑγιεινοῖς τε καὶ γυμνασταῖς παρασκευάζει, τὸ δὲ εἰς διάθεσιν ἀθλη-
τικήν, ἐκείνῃ τῇ κακοτεχνίᾳ τῇ πολλάκις εἰρημένῃ, τῇ καλούσῃ μὲν ἑαυτὴν γυμναστικήν. κάλλιον δ' ἂν ὀνομα-
σθείη, καταβλητική, καὶ γὰρ οὖν καὶ ὀνομάζουσιν αὐτὴν οἱ Λάκωνες καββαλικήν, καὶ καββαλικώτερον ἑαυτῶν
γε φασὶν εἶναι τὸν ἐν ταύτῃ τεθραμμένον, οὐκ ἰσχυρότερον. ὅπου γε καὶ ἡ ὑγιαίνουσα πολιτεία, μισεῖ τοῦτο τὸ ἐπι-
τήδευμα, καὶ βδελύττεται, πάσης μὲν τῆς εἰς τὸν βίον ἰσχύος, ἀνατρεπτικὸν ὑπάρχον, οὐκ εἰς ἀγαθὴν
δὲ τοῦ σώματος ἄγον διάθεσιν. ἐγὼ γοῦν ἐπειράθην ἐμαυτοῦ πολλάκις ἰσχυροτέρου τῶν ἀρίστων εἶναι δοκούντων,
καὶ πολλοὺς στεφανίτας ἀγῶνας ἀνῃρημένων ἀθλητῶν, ἔν τε γὰρ ὁδοιπορίαις ἁπάσαις ἄχρηστοι τελέως ἦσαν,
ἔν τε ταῖς πολεμικαῖς πράξεσιν, ἔτι δὲ μᾶλλον ἐν πολιτικαῖς τε καὶ γεωργικαῖς, εἰ δέ που καὶ φίλῳ νοσοῦν-
τι παραμεῖναι δέοι, πάντων ἀχρηστότατοι, συμβουλεῦσαί τε καὶ συσκέψασθαι, καὶ συμπρᾶξαι, ταῦτα
μέν, ὥσπερ γε καὶ οἱ σῦες, ἀλλ' ὅμως οἱ τούτων ἀτυχέστατοι, καὶ μηδεπώποτε νικήσαντες, ἐξαίφνης ἑαυτοὺς ὀνο-
μάζουσιν γυμναστάς, εἶτ' οἶμαι καὶ κεκράγασιν, οὐδὲν ἧττον τῶν συῶν ἐκμελεῖ, καὶ βαρβάρῳ φωνῇ. τινὲς δ' αὐτῶν
καὶ γράφειν ἐπιχειροῦσιν, ἢ περὶ τρίψεως, ἢ εὐεξίας, ἢ ὑγιείας, ἢ γυμνασίων εἶτα προσάπτεσθαι τολμῶσι καὶ αὐτῶν
λέγειν, οἷς οὐδ' ὅλως ἔμαθον, οἷος ὁ πρώην μὲν Ἱπποκράτει ἐγκαλῶν, ὡς οὐκ ὀρθῶς ἀποφηναμένῳ περὶ τρίψεως,
ἐπεὶ δ' ἡμᾶς ἀφικομένους ἠξίωσάν τινες τῶν παρόντων ἰατρῶν τε καὶ φιλοσόφων, ἅπαντα διελθεῖν αὐτοῖς τὸν
λόγον, εἶτ' ἐφαίνετο ἁπάντων πρῶτος ὑπὲρ αὐτῆς Ἱπποκράτης, ἀποφηνάμενος ἄριστα, παρελθὼν εἰς τὸ μέσον
ἐξαίφνης ὁ αὐτοδίδακτος ἐκεῖνος γυμναστής, ἐκδύσας παιδάριον, ἐκέλευσεν ἡμᾶς τρίβειν τε τοῦτο καὶ γυμ-
νάζειν, ἢ σιωπᾶν περὶ τρίψεως, καὶ γυμνασίων. εἶτ' ἐφεξῆς ἐβόα, ποῦ γὰρ Ἱπποκράτης εἰσῆλθεν εἰς σκάμμα;
ποῦ δ' εἰς παλαίστραν; ἴσως οὐδ' ἀναχέεσθαι καλῶς ἠπίστατο. οὗτος μὲν οὖν ἐκεκράγει τε καὶ ἄλλως οὐδὲ σιω-
πῶν ἀκούειν ἐδύνατο, καὶ μανθάνειν τὰ λεγόμενα, ἡμεῖς δὲ κατὰ σχολὴν τοῖς παροῦσιν διελέχθημεν, ὡς ὅμοιον
ὁ κακοδαίμων ἐκεῖνος ἐργάζοιτο μαγείρῳ τε καὶ σιτοποιῷ περὶ πτισάνης, ἢ ἄρτου διαλέγεσθαι τολμῶντι, κἄ-
πειτα φάσκοντι. ποῦ γὰρ Ἱπποκράτης ἐν μαγειρείῳ διέτριψεν, ἢ ἐν μύλωνι. σκευασάτω γοῦν μοι πλακοῦντα,
καὶ ἄρτον, καὶ ζωμόν, καὶ λοπάδα, ἔπειθ' οὕτως ὑπὲρ αὐτῶν διαλεγέσθω. τί ποτ' οὖν φήσεις ἰατροὺς ὀνομάζομεν
Ἱπποκράτην τε καὶ ἀπ' αὐτοῦ χορόν, εἴπερ οὐ κατὰ πάσης τῆς περὶ τὸ σῶμα τέχνης τοὔνομα φέρομεν, ἀλ-
λὰ τοῦ μόνου τοῦ μέρους αὐτῆς, ὃ τοὺς κάμνοντας ἰᾶται. φαίνεται μὲν γὰρ ὅλην μετακεχειρισάμενος τὴν τέ-
χνην, ὡς μηδὲ τὸ περὶ τὰ γυμνάσια μέρος αὐτῆς ἀπολιπεῖν, ὅτι πρῶτον συστάντος ὅλης τῆς τέχνης μέρους τοῦ
θεραπευτικοῦ διό τι καὶ μάλιστα κατήπειγεν, ὕστερον δὲ τῷ πολλὴν σχολὴν αὐτῷ προστεθέντος τοῦ φυλακ-
τικοῦ τε καὶ ὑγιεινοῦ προσαγορευομένου, τὴν ὅλην τέχνην ἀπὸ τοῦ μέρους ὀνομασθῆναι συνέβη, καθάπερ ἐπ'
ἄλλων πολλῶν ἐγένετο. καὶ γὰρ γεωμέτρας ὀνομάζομεν, οὐ τοὺς περὶ τῶν ἐπιπέδων σχημάτων μόνον, ἀλλὰ καὶ τοὺς
περὶ τῶν στερεῶν ἐπισταμένους, οὐδ' ἔστιν οὐδ' εἷς νῦν ὥσπερ γεωμέτρης, οὕτως καὶ στερεομέτρης ὀνομαζόμενος, ἀλλ'
ἐκλέλειπε τοὔνομα καθάπερ καὶ τὸ τῶν ὑγιεινῶν, οὐ τῶν σωμάτων, οὐδὲ τῶν διαιτημάτων, λέγω τῶν ὑγιεινῶν.
ἀλλὰ τῶν ἐπισταμένων ἀνδρῶν ταῦτα, τῶν ὑπὲρ Ἐρασιστράτου τοῖς ἰατροῖς ἀντιδιῃρημένων. ὡσαύτως δὲ καὶ
τριηράρχας μὲν ὠνόμαζον οἱ παλαιοί, τοὺς ἄρχοντας τῶν τριήρων, νῦν δ' ἤδη πάντας οὕτως καλοῦσιν τοὺς ὁπω-
σοῦν ἡγουμένους στόλου ναυτικοῦ, κἂν μὴ τριήρεις ὦσιν αἱ νῆες. ὅμοιον δὴ τούτῳ περὶ τὴν ἰατρικὴν ἐγένετο, καὶ τοὺς
ἰατρούς. ἀπὸ γὰρ τοῦ πρώτου συστάντος μέρους, ὅλην τε τὴν περὶ τὸ σῶμα τέχνην ὀνομασθῆναι συνέβη τοῦ χρόνου
προϊόντος ἰατρικήν, αὐτόν τε τὸν ἐπιστήμονα τῆς τέχνης, ἰατρόν. οὐκοῦν οὐδ' ἀπεικός ἐστιν ἐρωτηθέντα τινὰ νῦν
ἧς τινος ἐστὶ τέχνης μέρος τὸ ὑγιεινόν, ἀποκρίνασθαι τῆς ἰατρικῆς. ἐκταθείσης γὰρ ἐπὶ πλέον τῆς προσηγορίας,
καὶ μηκέτι τὸ μέρος ἀλλ' ὅλην τὴν περὶ τὸ σῶμα τέχνην σημαινούσης, Ἱπποκράτης τε δικαίως καὶ οἱ νῦν ἅ-
παντες, ἰατροὺς ὀνομάζουσιν, ἴσασί τε μόρια τῆς τέχνης αὐτῆς δύο τὰ μέγιστα, θεραπευτικόν τε καὶ ὑγιεινόν.
αὐτοῦ δ' αὖ πάλιν τοῦ ὑγιεινοῦ μέρους, ἴσασι τὸ γυμναστικόν, ὡς καὶ πρόσθεν ἐπιδέδεικται, καθάπερ οὖν Ἱπ-
ποκράτης καὶ Διοκλῆς καὶ Πραξαγόρας καὶ Φιλότιμος καὶ Ἡρόφιλος, ὅλης τῆς περὶ τὸ σῶμα τέχνης ἐπι-

στήμονες ἦσαν. ὡς δηλοῖ τὰ γράμματα αὐτῶν. οὕτως οὖν πάλιν οἱ περὶ Θέωνα καὶ Τρύφωνα τὴν περὶ τοὺς ἀθλητὰς κακοτεχνίαν μεταχειρίσαντες, καθάπερ αὖ καὶ τὰ τούτων δηλοῖ συγγράμματα, παρασκευήν τέ τινα γυμνάσιον ὀνομαζόντων, καὶ αὖθις ἕτερόν τε μερισμόν, ἔπειτα ἄλλο τι τέλειον, ἀποθεραπείαν δ' ἄλλο. καὶ ζητούντων εἴτε κατὰ τὴν τοιαύτην περίοδον ἀσκητέον ἐστὶ καὶ γυμναστέον τὸν ἀθλητήν, εἴτε ἀμφισβητούντων ἀκούσω μέρος εἶναι τῆς ἑαυτῶν τέχνης τὸ ὑγιεινόν. ὅπου γὰρ οὐδὲ τῆς ὄντως γυμναστικῆς μέρος ἐστίν, ἀλλ' ἔμπαλιν ἐκείνη μέρος ὑγιεινοῦ, τί χρὴ περὶ τῆς τούτων κακοτεχνίας ἀμφιβάλλειν, ἣ μήτε μέρος ἐστὶν ὅλως τῆς περὶ τὸ σῶμα τέχνης, ἐπιτηδεύματός τε προέστηκεν, οὐχ ὑπὸ Πλάτωνος μόνον ἢ Ἱπποκράτους, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἰατρῶν τε καὶ φιλοσόφων ἀτιμαζομένου.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΟΥ ΔΙΑ ΜΙΚΡΑΣ ΣΦΑΙΡΑΣ ΓΥΜΝΑΣΙΟΥ.

Ηλίκον ἀγαθόν ἐστιν εἰς ὑγείαν ὦ Ἐπίγενες γυμνάσια, καὶ ὡς χρὴ τῶν σιτίων ἡγεῖσθαι αὐτά, παλαιοῖς ἀνδράσιν αὐτάρκως εἴρηται, φιλοσόφων τε καὶ ἰατρῶν τοῖς ἀρίστοις, ὅσον δ' ὑπὲρ τὰ ἄλλα, τὰ διὰ τῆς μικρᾶς σφαίρας ἐστίν, οὔπω οὐδ' ἔπω τῶν πρόσθεν ἱκανῶς οὐδεὶς ἐξηγήσατο. δίκαιον οὖν ἡμᾶς, ἃ γινώσκομεν εἰπεῖν. ὑπὸ σοῦ δὲ κριθησόμεθα, τοῦ πάντων ἠσκηκότος ἄριστα τὴν ἐν αὐτοῖς τέχνην. χρήσιμα δ' ἱκανῶς εἰρῆσθαι δόξει καὶ τοῖς ἄλλοις, οἷς ἂν μεταδῶς τοῦ λόγου γενησόμενα. φημὶ γὰρ ἄριστα μὲν ἁπάντων γυμνάσια εἶναι τὰ μὴ μόνον τὸ σῶμα διαπονεῖν, ἀλλὰ καὶ τὴν ψυχὴν τέρπειν δυνάμενα, καὶ ὅσοι κυνηγεσίαν, καὶ τὴν ἄλλην θήραν ἐξεῦρον, ἡδονῇ καὶ τέρψει, καὶ φιλοτιμίᾳ τὸν ἐν αὐτοῖς πόνον κερασάμενοι, σοφοί τινες ἄνδρες ἦσαν καὶ φύσιν ἀνθρωπίνην ἀκριβῶς καταμεμαθηκότες. τοσοῦτον γὰρ ἐν αὐτῇ δύναται ψυχὴν κινῆσαι, ὥστε πολλοὶ μὲν ἀπηλλάγησαν νοσημάτων, ἡσθέντες μόνον, πολλοὶ δ' ἑάλωσαν ἀνιαθέντες. οὐκ ἔστι δ' οὕτως ἰσχυρόν τι τῶν κατὰ τὸ σῶμα παθημάτων, ὡς κρατεῖν τῶν περὶ τὴν ψυχήν. οὔκουν οὐδ' ἀμελεῖν χρὴ τῶν ταύτης κινήσεων, ὁποῖαί τινες ἔσονται, πολὺ δὲ μᾶλλον ἢ τῶν τοῦ σώματος ἐπιμελεῖσθαι τά τ' ἄλλα, καὶ ὅσῳ κυριώτερον σώματος ἡ ψυχή. τοῦτο μὲν δὴ κοινὸν ἁπάντων γυμνασίων τῶν † κατὰ τέρψεως, ἄλλα δ' ἐξαίρετα τῶν διὰ τῆς μικρᾶς σφαίρας, ἃ ἐγὼ νῦν ἐξηγήσομαι. πρῶτον μὲν ἡ εὐπορία. εἰ γοῦν ἐννοήσαις ὅσης δεῖται παρασκευῆς τε ἅμα καὶ σχολῆς, τά τ' ἄλλα πάντα τὰ περὶ θήραν ἐπιτηδεύματα, καὶ τὰ κυνηγέσια, σαφῶς ἂν μάθοις, ὡς οὔτε τῶν τὰ πολιτικὰ πραττόντων οὐδενί, οὔτε τῶν τὰς τέχνας ἐργαζομένων, δυνατὸν μεταχειρίζεσθαι τὰ τοιαῦτα γυμνάσια. καὶ γὰρ πολλῶν ταῦτα δεῖται καὶ σχολὴν ἄγοντος, οὐκ ὀλίγην ἀνθρώπου. τοῦτο δὲ μόνον οὕτω φιλάνθρωπον, ὡς μηδὲ τὸ πενέστατον ἀπορεῖν τῆς ἑαυτοῦ παρασκευῆς. οὐ γὰρ δικτύων, οὐδ' ὅπλων. οὐδὲ κυνῶν θηρευτικῶν, ἀλλὰ σφαίρας μόνης δεῖται, καὶ ταύτης μικρᾶς. οὕτω δ' εὔγνωμον εἰς τὰς ἄλλας πράξεις, ὥστ' οὐδεμιᾶς αὐτῶν ὀλιγωρεῖν ἀναγκάζει δι' αὐτό. καίτοι τί ἂν εὐπορώτερον γένοιτο, τοῦ καὶ τύχην ἀνθρωπίνην ἅπασαν καὶ πρᾶξιν περιειλημμένου. τῶν μὲν γὰρ ἀμφὶ τὰς θήρας γυμνασίων τῆς χρήσεως, οὐκ ἐφ' ἡμῖν ἡ εὐπορία. πολὺ τοῦτο γὰρ δεῖται τῆς παρασκευῆς τῶν ὀργάνων ἐκποριζόντος, καὶ ἀργίας σχολῆς, τοῦ καιρὸν ἐπιτηροῦσας, τούτου δὲ τῶν ὀργάνων παρασκευή, καὶ τοῖς πενεστάτοις ὡς εἴρηται εὔπορος, ὅ, τε καιρὸς τῆς χρήσεως, καὶ τοὺς ἱκανῶς ἀσχόλους ἀναμένει. τὸ μὲν δὴ τῆς εὐπορίας αὐτοῦ, τηλικοῦτον ἀγαθόν, ὅτι δὲ καὶ πολυαρκέστατον τῶν ἄλλων γυμνασίων, ὧδ' ἂν μάλιστα μάθοις, εἰ σκέψαιο καθ' ἕκαστον αὐτῶν, ὅτι τε δύναται, καὶ οἷόν τι τὴν φύσιν ἐστίν. εὑρήσεις γάρ, ἢ σφοδρόν, ἢ μαλακόν, ἢ τὰ κάτω μᾶλλον, ἢ τὰ ἄνω κινοῦν, ἢ μέρος τι πρὸ τῶν ἄλλων, οἷον ὀσφὺν, ἢ κεφαλήν, ἢ χεῖρας, ἢ θώρακα. πάντα δ' ἐξ ἴσου τὰ μέρη τοῦ σώματος κινοῦν, καὶ δυνάμενον ἐπί τε τὸ σφοδρότατον ἀνάγεσθαι, καὶ ἐπὶ τὸ μαλακώτατον ὑφίεσθαι, τῶν μὲν ἄλλων οὐδέν, τοῦτο δὲ μόνον τὸ διὰ τῆς σμικρᾶς σφαίρας γυμνάσιον, ὀξύτατον ἐν μέρει καὶ βραδύτατον γινόμενον, σφοδρότατόν τε καὶ πραότατον, ὡς ἂν αὐτός τε βουληθείης, καὶ τὸ σῶμα φαίνεται δεόμενον. οὕτω δὲ καὶ τὰ μέρη κινεῖν μὲν ἔστιν αὐτοῦ πάνθ' ὁμοῦ, εἰ τοῦτο συμφέρειν δόξειεν, ἔστι δὲ πρὸ ἄλλων ἄλλα, εἰ καὶ τοῦτό ποτε δόξειεν. ὅταν γὰρ συνιστάμενοι πρὸς ἀλλήλους, καὶ ἀποκωλύοντες, ὑφαρπάσαι † τοῦ μεταξὺ διαπονῶσι, μέγιστον αὐτὸ καὶ σφοδρότατον καθίσταται, πολλοῖς μὲν τραχηλισμοῖς, πολλοῖς δ' ἀντιλήψεσι παλαιστικαῖς ἀναμεμιγμένων, ὥστε κεφαλὴν μὲν καὶ αὐχένα πονεῖσθαι τοῖς τραχηλισμοῖς, πλευρὰς δὲ καὶ θώρακα, καὶ γαστέρα, ταῖς τε τῶν ὀμμάτων μεταρσιώσεσιν, καὶ θέσεσι, καὶ ἀπώσεσι, καὶ ἀποσυρρήξεσι, καὶ ταῖς ἄλλαις παλαιστικαῖς λαβαῖς. τούτῳ δὲ καὶ ὀσφὺς τείνεται σφοδρῶς, καὶ σκέλη ἑδραῖα τῆς βάσεως ἐν τῷ τοιούτῳ πόνῳ. τὸ δὲ καὶ προβαίνειν, καὶ εἰς τὰ πλάγια μεταπηδᾶν, οὐ μικρὸν σκελῶν γυμνάσιον. ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν μόνον ἐστὶ δικαιότατον κινοῦν πάντ' αὐτῶν τὰ μόρια. τοῖς μὲν γὰρ προσιοῦσιν, ἕτερα νεῦρα καὶ μύες, τοῖς δ' ὑποβαίνουσιν, ἕτερα διαπονεῖται, πλέον οὕτω δὲ καὶ τοῖς εἰς τὸ πλάγιον μεθισταμένοις ἄλλαι καὶ ὅς τις καθ' ἓν εἶδος κινήσεως κινεῖ τὰ σκέλη, καθάπερ οἱ θέοντες ἀνωμάλως, καὶ οὕτως ἀνίσως τὰ μέρη γυμνάζει τοῖς εἰς τὸ πλάγιον μεθισταμένοις. ἀλλὰ καὶ ὡς τοῖς σκέλεσιν οὕτω καὶ χερσὶ τὸ γυμνάσιον τοῦτο δικαιότατον, ἐν παντὶ σχήματι λαμβάνειν ἐθιζομένων τὴν σφαῖραν. ἀνάγκη γὰρ ἐνταῦθα τὴν ποικιλίαν τῶν σχημάτων, ἄλλο τ' ἄλλους τῶν μυῶν τείνειν σφοδρότερον ὥστε πάντας ἐν μέρει πονοῦντας. ἴσην ἔχειν ἀνάπαυλαν, τοῖς ἡσυχάζουσι τὸν χρόνον τῶν ἐνεργούντων, καὶ οὔτε ἐν μέρει πάντας ἐνεργοῦντάς τε καὶ ἀναπαυομένους, οὔτ' ἀργοὺς μένειν τὸ πάμπαν. οὔτε κόποις ἁλίσκεσθαι μόνους πονοῦντας. ὄψιν δὲ ὅτι γυμνάζειν δεῖ, μαθεῖν ἔνεστιν ὑπομνησθέντας, ὡς εἰ μή τις ἀκριβῶς τὴν ῥοπὴν τῆς σφαίρας ὅποι φέροιτο, προαισθάνοιτο, διαμαρτάνειν τῆς λαβῆς ἀναγκαῖον αὐτῷ. ἐν τούτῳ δὲ καὶ τὴν γνώμην ἴσην τῇ φροντίδι τοῦ τε μὴ καταβαλεῖν, καὶ τοῦ διακωλύσαι τὸν μέσον, ἢ αὐτὸν ὑφαρπάσαι ἐν τούτῳ

† αl. μετὰ

† αl. τῶ

κατασείειν. φροντὶς δὲ μόνη καταλεπτύνει. μιχθεῖσα δέ τινι γυμνασίῳ καὶ φιλοτιμία, εἰς ἡδονὴν τελευτήσασα
τὰ μέγιστα τὸ σῶμα πρὸς ὑγίειαν καὶ τὴν ψυχὴν εἰς σύνεσιν ὀνίνησιν. οὐ σμικρὸν δὲ καὶ τοῦτο ἀγαθόν, ὅταν ἀμφοτέρων
τε γυμνάσιον ὠφελεῖν δύνηται, καὶ σῶμα καὶ ψυχὴν εἰς τὴν ἰδίαν ἑκατέρου ἀρετήν, ὅτι δ' ἀσκεῖν ἄμφω δύναται τὰς
μεγίστας ἀσκήσεις, ἃς μάλιστα μετιέναι τοῖς στρατηγικοῖς οἱ πόλεως βασιλεῖς νόμοι κελεύουσιν, οὐ χαλεπὸν κατι-
δεῖν. ἐπιθέσθαι γὰρ ἐν καιρῷ, καὶ λαθεῖν ἐπιθέμενον, καὶ ὀξὺ λαβέσθαι τῆς πράξεως, καὶ σφετερίσασθαι τὰ τῶν ἐναν-
τίων, ἢ βιασάμενον ἢ ἐξ ἀδοκήτου ἐπιθέμενον, καὶ φυλάξαι τὰ κτηθέντα, τῶν ἀγαθῶν στρατηγῶν ἔργα. καὶ τὸ
σύμπαν φάναι, φύλακά τε καὶ φῶρα δεινὸν εἶναι χρὴ τὸν στρατηγόν, καὶ ταῦτα τῆς τέχνης αὐτοῦ ὅλης τὸ κεφά-
λαιον. ἆρ' οὖν ἄλλο τι γυμνάσιον οὕτω προεθίζειν ἱκανόν; ἢ φυλάττειν τὸ κτηθέν, ἢ ἀνασώζειν τὸ μεθιστάμενον,
ἢ τῶν ἐναντίων τὴν γνώμην προαισθάνεσθαι θαυμάζοιμ' ἄν, εἴ τις εἰπεῖν ἔχοι. τὰ πολλὰ γοῦν αὐτῶν αὐτὸ τοὐναν-
τίον, ἀργοὺς γὰρ καὶ ὑπνηλοὺς καὶ βραδεῖς τὴν γνώμην ἐργάζεται. καὶ γὰρ καὶ ὅσοι περὶ παλαίστραν πονοῦσιν, εἰς πο- 10
λυσαρκίαν μᾶλλον, ἢ ἀρετῆς ἄσκησιν φέρονται. πολλοὶ γοῦν οὕτως ἐπαχύνθησαν, ὡς δυσχερῶς ἀναπνεῖν. ἀγαθοὶ
οὐδ' ἂν οἱ τοιοῦτοι πολέμου γένοιντο στρατηγοί, ἢ βασιλικῶν, ἢ πολιτικῶν πραγμάτων ἐπίτροποι. θᾶττον ἂν τοῖς γ
εἰσίν, ἢ τούτοις τις ὁτιοῦν ἐπιτρέψειεν. ἴσως δὲ οἴεσθέ με δρόμον ἐπαινεῖν. καὶ τἆλλα ὅσα λεπτύνει τὸ σῶμα γυμνά-
σια. τὸ δ' οὐχ οὕτως ἔχει. τὴν γὰρ ἀμετρίαν ἐγὼ πανταχοῦ ψέγω καὶ πᾶσαν τέχνην ἀσκεῖν φημὶ χρῆναι τὸ σύμμε-
τρον, καὶ εἴ τι μέτρου στέρεται, τοῦτ' οὐκ εἶναι καλόν. οὐκοῦν οὐδὲ δρόμους ἐπαινῶ διὰ τὸ καταλεπτύνειν τὴν ἕξιν, καὶ διὰ τὸ μη-
δεμίαν ἄσκησιν ἀνδρείας ἔχειν. οὐ γὰρ δὴ τῶν ὠκέως φευγόντων τὸ νικᾶν, ἀλλὰ καὶ τῶν συστάδην κρατεῖν δυνα-
μένων. οὐδὲ διὰ τοῦτο Λακεδαιμόνιοι πλεῖστον ἐδύναντο διὰ τὸ τάχιστα θεῖν, ἀλλὰ τῷ μένοντας ἀναιρεῖν. εἰ δὲ πρὸς
ὑγίειαν ἐξετάζοις, ἐφ' ὅσον ἀνίσως γυμνάζει τὰ μέρη τοῦ σώματος, ἐπὶ τοσοῦτον οὐδ' ὑγιεινόν. ἀνάγκη γοῦν οὕτω, τὰ
μὲν ὑπερπονεῖν, τὰ δ' ἀργεῖν παντελῶς. οὐδέτερον δ' αὐτῶν ἀγαθόν. ἀλλ' ἄμφω καὶ νόσων ὑποτρέφει σπέρμα-
τα, καὶ δύναμιν ἄρρωστον ἐργάζεται. μάλιστα οὖν ἐπαινῶ γυμνάσιον, ὃ καὶ σώματος ὑγίειαν ἐκπορίζει, καὶ μερῶν εὐαρ-
μοστίαν, καὶ ψυχῆς ἀρετὴν παρὰ τούτοις. τοῦτο δὲ τῷ διὰ τῆς μικρᾶς σφαίρας ὑπάρχει, καὶ γὰρ εἰς πάντα ψυχὴν
δυνατὸν ὠφελεῖν, καὶ τοῦ σώματος τὰ μέρη δι' ἴσου μάλιστα γυμνάζει πάντα, ὃ καὶ μάλιστα εἰς ὑγίειαν συμφέρει, καὶ
συμμετρίαν ἕξεως ἐργάζεται, μήτ' ἄμετρον πολυσαρκίαν, μήθ' ὑπερβάλλουσαν ἰσχνότητα φέρον, ἀλλ' εἴς τε τὰς
ἰσχύος δεομένας πράξεις ἱκανόν, καὶ ὅσαι τάχους χρήζουσιν, ἐπιτήδειον. οὕτω μὲν οὖν ὅσον ἐν αὐτῷ σφοδρότατον
οὐδενὶ τῶν πάντων κατ' οὐδὲν ἐλλείπεται. τὸ δὲ πρᾳότατον, ἴδωμεν αὖθις. ἔστι γὰρ ὅτε καὶ τούτου δεόμεθα, διά τε
ἡλικίαν, ἢ μηδέπω φέρειν ἰσχυροὺς πόνους, ἢ μηκέτι δυναμένην καὶ κάματον ἔτη ὀνίναι βουληθέντες, ἢ ἐκ νόσων ἀνα-
κομιζόμενοι. δοκεῖ δέ μοι κἂν τούτῳ πλέον ἔχειν ἑτέρου παντός. οὐδὲν γὰρ οὕτω πρᾷον, εἰ πρᾴως αὐτὸ μεταχει-
ρίζοιο. δεῖ δὲ μέσως μένοντα. τηνικαῦτα χρῆσθαι, μηδενὶ συμμέτρου ἀποστάντα, τὰ μὲν ἠρέμα προβαίνοντα, τὰ δὲ
καὶ περὶ χώραν μένοντα, μὴ πολλὰ διαγυμνασάμενον, ἐπὶ τῷδε, τρίψεσι μαλακαῖς δι' ἐλαίου. καὶ λουτροῖς θερμοῖς
χρῆσθαι. τοῦτο μετὰ ἁπάντων οὖν ἐστὶ πρᾳότατον, ὥς τε καὶ ἀναπαύεσθαι δεομένοις συμφορώτατον εἶναι καὶ ἄρρωστον δύνα- 30
μιν ἀνακαλέσασθαι δυνατώτατον, καὶ γέροντι καὶ παιδὶ συμφερώτατον. ὅσα δὲ τούτου μετ' ἰσχυρότερα, τοῦ δ' ἄκρως
σφοδροῦ πρᾳότερα, διὰ τῆς μικρᾶς σφαίρας ἐνεργεῖται, χρὴ καὶ ταῦτα γινώσκειν, ὅς τις γε ὀρθῶς βούλεται δια-
παντὸς αὐτὰ μεταχειρίζεσθαι. καὶ γὰρ εἴποτε δι' ἀναγκαίων ἔργων, οἷα τὰ πολλὰ πολλάκις ἡμεῖς καταλαμ-
βάνει, πονήσειας ἀμέτρως, ἢ τοῖς ἄνω μέρεσιν ἢ τοῖς κάτω πᾶσιν, ἢ χερσὶ μόνοις ἢ ποσίν, ἔνεστί σοι ἐν τῷδε τοῦ γυμ-
νασίου, τὰ μετ' ἀναπαῦσαι τὰ πρότερον κεκμηκότα, τὰ δὲ εἰς τὴν ἴσην ἐκείνοις κίνησιν καταστῆσαι, τὰ πρότερον
ἀργὰ παντελῶς μεμενηκότα. τὸ μὲν γὰρ ἐκ διαστήματος ἱκανοῦ βάλλειν εὐτόνως, ἢ οὐδὲν τοῖς σκέλεσιν, ἢ παντά-
πασιν ὀλίγῳ χρώμενον ἀναπαύει μετ' τὰ κάτω, τὰ δ' ἄνω κινεῖ σφοδρότερον. τὸ δ' ἐπὶ πλέον διαθέοντα καὶ ὠκέ-
ως ἐκ πολλοῦ διαστήματος, ὀλιγάκις τε προσχρῆσθαι τῇ βολῇ, τὰ κάτω μᾶλλον διαπονεῖ. καὶ τὸ μὲν ἠπειγμένον ἐν
αὐτῷ καὶ ταχύ, χωρὶς συντονίας ἰσχυρᾶς, τὸ πνεῦμα μᾶλλον γυμνάζει, τὸ δ' ἕτερον, τὸ ἐν ταῖς ἀντιλήψεσι, καὶ
βολαῖς καὶ λαβαῖς, οὐ μὴν ταχύ γε, τὸ σῶμα μᾶλλον ἐντείνει τε καὶ ῥώννυσιν. εἰ δ' εὔτονόν τε ἅμα καὶ ἠπειγμένον 40
εἴη διαπονήσει τοῦτο μεγάλως καὶ τὸ σῶμα καὶ τὸ πνεῦμα, καὶ πάντων ἔσται γυμνασίων σφοδρότατον. ἐφ' ὅσον δὲ δεῖ
καθ' ἑκάστην χρείαν ἐπιτείνειν τε καὶ ἀνιέναι γράψαι μετ', οὐχ οἷόν τε. τὸ γὰρ ἐν ἑκάστῳ ποσὸν ἄρρητον. ἐπ' αὐτῶν δὲ τῶν
ἔργων εὑρεῖν τε καὶ δεῖξαι δυνατόν, ἐν ᾧ δὴ καὶ μάλιστα τὸ πᾶν κῦρος. οὐδὲ γοῦν ἡ ποιότης ἐστὶ χρήσιμος, εἰ τῷ ποσῷ
διαφθείροιτο, τοῦτο μετ' δὴ τῷ παιδοτρίβῃ μεθίστω, τῷ μέλλοντι τῶν γυμνασίων ὑφηγεῖσθαι. τὸ δ' ὑπόλοιπον τοῦ
λόγου περαινέσθω. βούλομαι γοῦν ἐφ' οἷς εἶπον ἀγαθοῖς προσιέναι τῷδε τῷ γυμνασίῳ, μηδ' ὡς ἐκτός ἐστι κινδύνων
παραλιπεῖν, οἷς τὰ πλεῖστα τῶν ἄλλων περιπίπτει. δρόμοι μὲν γὰρ ὠκεῖς πολλοὺς ἤδη διέφθειραν, ἀγγεῖον ἐπίκαι-
ρον ῥήξαντες. οὕτω δὲ καὶ φωναὶ μεγάλαι τε ἅμα καὶ σφοδραὶ καθ' ἕνα χρόνον ἀθρόως ἐκφωνηθεῖσαι, μεγίστων κα-
κῶν οὐκ ὀλίγοις αἴτια καὶ ἱππασίαι σύντονοι, τῶν τε περὶ νεφροὺς ἔρρηξάν τι καὶ περὶ θώρακα πολλάκις ἔβλαψαν.
ἔστι δ' ὅτε καὶ τοὺς σπερματικοὺς πόρους, ἵνα τὰ τῶν ἵππων ἁμαρτήματα παραλείπω, δι' ὧν πολλάκις ἐκπεσόντες,
τῆς ἕδρας οἱ ἱππεῖς παραχρῆμα διεφθάρησαν. οὕτω δὲ καὶ τὸ ἅλμα καὶ ὁ δίσκος, καὶ τὰ διὰ τοῦ κάμπτειν γυμνά- 50
σια. τοὺς δ' ἐκ τῆς παλαίστρας τί δεῖ καὶ λέγειν, ὡς ἅπαντα λελώβηνται, τῶν ὁμηρικῶν † οὐδὲν μεῖον. ὡς γὰρ ἐκεῖ-
νος φησὶ ὁ ποιητής. χωλάς τε ῥυσάς τε παραβλῶπάς τοῖς ὀφθαλμοῖς, οὕτω τοὺς ἐκ τῆς παλαίστρας, ἴδοις ἂν ἢ χω-
λοὺς ἢ διεστραμμένους, ἢ τεθλασμένους, ἢ πάντως γέ τι μέρος πεπηρωμένους. εἰ δὴ πρὸς οἷς εἶπον ἀγαθοῖς ἔτι καὶ
τοῦθ' ὑπάρχει τοῖς διὰ τῆς σμικρᾶς σφαίρας γυμνασίοις, ὡς μηδὲ κινδύνῳ πελάζειν, ἁπάντων ἂν εἴη πρὸς ὠφέ-
λειαν ἄριστα παρεσκευασμένα,

γαληνοῦ

† al. addendum λιτῶν

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΡΟΦΩΝ ΔΥΝΑΜΕΩΣ ΒΙΒΛΙΟΝ α.

ΠΕΡΙ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων, οὐκ ὀλίγοι τῶν ἀρίστων ἰατρῶν ἔγραψαν, ἐν πολλῇ σπουδῇ θέμενοι τὴν θεωρίαν, ἐπειδὴ χρησιμώτατον σχεδὸν ἁπασῶν τῶν κατὰ τὴν ἰατρικήν ἐστιν. τοῖς μὲν γὰρ ἄλλοις βοηθήμασιν, οὐκ ἐν παντὶ καιρῷ χρώμεθα, τροφῆς δὲ χωρίς, οὐκ οἷόν τε ζῆν, οὔθ' ὑγιαίνοντας, οὔτε νοσοῦντας. εἰκότως οὖν ἐσπούδασαν οἱ πλεῖστοι τῶν ἀρίστων ἰατρῶν ἀκριβῶς ἐπεσκέφθαι, τὰς ἐν αὐτῇ δυνάμεις. οἱ μὲν, ἐκ τῆς πείρας μόνης ἐγνῶσθαι φάσκοντες αὐτάς, οἱ δέ, καὶ λογισμοῖς προσχρῆσθαι βουλόμενοι, τινὲς δὲ καὶ τὸ πλεῖστον αὐτῷ νέμοντες. εἰ μὲν οὖν, ὥσπερ ἐν γεωμετρίᾳ καὶ ἀριθμητικῇ, συνεφώνει τῷ παντάπασι τοῖς γράψασι περὶ τροφῆς, οὐδὲν ἂν ἔδει νῦν ἡμᾶς ἔχειν πρᾶγμα γράφοντας, αὖθις ὑπὲρ τῶν αὐτῶν, ἐπὶ τοσούτοις καὶ τοιούτοις ἀνδράσι. ἐπεὶ δ' ὑπόπτους ἀλλήλους εἰργάσαντο διενεχθέντες, οὐ γὰρ ἐγχωρεῖ πάντας ἀληθεύειν, ἀναγκαῖόν ἐστιν βασανίσαι τὰ πρὸς αὐτῶν γεγραμμένα, δικαστὰς ἀδεκάστους γενομένους. ἄδικον γὰρ ἂν εἴη, ἑνὶ πρὸ τῶν ἄλλων πιστεῦσαι, χωρὶς ἀποδείξεως. ἐπεὶ δὲ τῶν ἀποδείξεων, ἀρχαὶ διτταὶ κατὰ γένος εἰσίν, ἢ γάρ, ἐξ αἰσθήσεως ἢ ἐκ νοήσεως ἐναργοῦς, ἀπόδειξίς τε καὶ πίστις ἄρχεται πᾶσα καὶ ἡμᾶς ἀναγκαῖόν ἐστιν, ἢ θατέρῳ τούτων, ἢ ἀμφοτέροις χρήσασθαι πρὸς τὴν τοῦ προκειμένου σκέμματος † ἄθροισιν. οὔσης δὲ, τῆς διὰ τοῦ λόγου κρίσεως οὐχ ἅπασιν ὁμοίως εὐπετοῦς, ἐπειδὴ καὶ συνετὸν εἶναι χρὴ φύσει, καὶ γεγυμνάσθαι, κατὰ τὴν παιδικὴν ἡλικίαν, τοῖς θήγουσι μαθήμασι τὸν λογισμόν, ἄμεινον ἀπὸ τῆς πείρας ἄρξασθαι. καὶ μάλισθ' ὅτι διὰ ταύτης μόνου εὑρῆσθαι τὰς δυνάμεις τῆς τροφῆς οὐκ ὀλίγοι τῶν ἰατρῶν ἀπεφήναντο. τῶν μὲν οὖν ἐμπειρικῶν, ἴσως ἄν τις καταφρονήσειεν, ἔργον καὶ σπούδασμα πεποιημένων φιλοτίμως ἀντιλέγειν τοῖς εὑρισκομένοις διὰ τοῦ λόγου. Διοκλῆς δέ, καί † τις δογματικὸς ὤν, οὕτως κατὰ λέξιν ἔγραψεν ἐν τῷ πρώτῳ τῶν πρὸς Πλείσταρχον ὑγιεινῶν. Οἱ μὲν οὖν ὑπολαμβάνοντες, τὰ τοὺς ὁμοίους ἔχοντα χυλοὺς ἢ ὀσμάς, ἢ θερμότητας, ἢ ἄλλο τι τῶν τοιούτων, πάντα τὰς αὐτὰς ἔχειν δυνάμεις, οὐ καλῶς οἴονται. πολλὰ γὰρ ἀπὸ τῶν τοιούτων ὁμοίων, ἀνόμοια δείξειεν ἄν τις γινόμενα. οὐ δὲ δὴ τῶν διαχωρητικῶν, ἢ οὐρητικῶν, ἢ ἄλλην τινὰ δύναμιν ἐχόντων ὑποληπτέον ἕκαστον εἶναι, διότι θερμόν, ἢ ψυχρόν, ἢ ἁλμυρόν ἐστιν, ἐπείπερ οὐ πάντα τὰ γλυκέα, καὶ δριμέα, καὶ ἁλμυρά, καὶ τὰ λοιπὰ τῶν τοιούτων τὰς αὐτὰς ἔχοντα δυνάμεις, ἀλλὰ τὴν ὅλην φύσιν αἰτίαν εἶναι νομιστέον. τοῦ περ δὴ ποτ' οὖν ἀπ' αὐτῶν ἑκάστῳ συμβαίνειν εἴωθεν. οὕτω γὰρ ἂν ἥκιστα διαμαρτάνοι τις τῆς ἀληθείας. αἰτίαν δέ, οἱ μέν, οἰόμενοι δεῖν ἐφ' ἑκάστῳ λέγειν, δι' ἣν τρόφιμον, ἢ διαχωρητικόν, ἢ διουρητικόν, ἢ ἄλλο τι τῶν τοιούτων ἕκαστόν ἐστιν, ἀγνοεῖν ἐοίκασιν. πρῶτον μὲν, ὅτι πρὸς τὰς χρείας, οὐ πολλάκις τὸ τοιοῦτον, ἀναγκαῖόν ἐστιν, ἔπειθ' ὅτι πολλὰ τῶν ὄντων τρόπον τινά, ἀρχαῖς τισὶν ἔοικε κατὰ φύσιν, ὥστε μὴ παραδέχεσθαι τὸν ὑπὲρ αἰτίου λόγον. πρὸς δὲ τούτοις διαμαρτάνουσιν ἐνίοτε, ὅτ' ἂν ἀγνοούμενα καὶ μὴ ὁμολογούμενα, καὶ ἀπίθανα λαμβάνοντες ἱκανῶς οἴωνται λέγειν τὴν αἰτίαν. τοῖς μὲν οὖν οὕτως αἰτιολογοῦσιν, καὶ τοῖς πάντων οἰομένοις δεῖν λέγειν αἰτίαν, οὐ δεῖ προσέχειν. πιστεύειν δὲ μᾶλλον, τοῖς ἐκ τῆς ἐμπειρίας ἐκ πολλοῦ τοῦ χρόνου κατανενοημένοις. αἰτίαν δέ, τῶν ἐνδεχομένων δεῖ ζητεῖν, ὅτ' ἂν μέλλει περὶ τούτου γνωριμώτερον, ἢ πιστότερον γίνεσθαι τὸ λεγόμενον. αὕτη μέν, ἡ τοῦ Διοκλέους ῥῆσίς ἐστιν, ἐκ πείρας μόνης ἐγνῶσθαι τὰς ἐν ταῖς τροφαῖς δυνάμεις ἡγουμένου. καὶ μήτε ἐκ τῆς κατὰ † κρᾶσιν ἐνδείξεως, μήτε ἐκ τῆς κατὰ χυμούς. ὅσους δὲ καὶ ἄλλους τῆς κατὰ τὰ μόρια τῶν φυτῶν, οὐκ ἐμνημόνευσαν αὐτῆς. λέγω δέ, κατὰ μόρια φυτῶν ἔνδειξιν, ᾗ πρὸς ταῖς ἄλλαις ἐχρήσατο Μνησίθεος. ἐν ταύτῃ γοῦν, ἑτέρας μὲν δυνάμεις ἐν ταῖς ῥίζαις εἶναι τῶν φυτῶν ἐπιδεικνύς, ἑτέρας δέ, ἐν τοῖς καυλοῖς, ὥσπερ γε κἂν τοῖς φύλλοις καὶ καρποῖς, καὶ σπέρμασιν ἄλλας. ὅτι μὲν οὖν ἡ πεῖρα, διδάσκαλός ἐστιν, ὥσπερ ἄλλων πολλῶν, οὕτω καὶ τῶν εὐπέπτων τε καὶ δυσπέπτων σιτίων, εὐστομάχων τε, καὶ κακοστομάχων, ὑπακτικῶν τε, καὶ λαπακτικῶν, καὶ σταλτικῶν γαστρός, ἅπαντες ἴσασι κἂν βραχύ τι συνέσεως αὐτοῖς μέτεστι. σφάλλονται δὲ ἐν αὐτοῖς τούτοις οὐκ ὀλίγοι, χωρὶς διορισμοῦ ποιούμενοι τὴν πεῖραν, ὡς κἂν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἐδείχθη, κἂν τῷ τρίτῳ περὶ κράσεως. καὶ παραπλήσιά γε τὰ σφάλματα ἐστιν ἑκατέρωθεν. διὸ καὶ γράφειν ἐνταῦθα τελέως, ὥσπερ ἐν ἐκείνοις τοὺς διορισμούς, οἷς προσέχων τις ἀσφαλῶς, εὑρήσει τὰς δυνάμεις, οὐ κατὰ τὴν ἐμὴν προαίρεσιν, ἅπαξ ὑπὲρ ἑκάστου πράγματος. εἰωθότος γράφειν, οὐκ ἐν πολλαῖς πραγματείαις διερχομένου, τὰ αὐτὰ περὶ τῶν αὐτῶν. ὅπερ οὖν εἴωθα ποιεῖν, οὐδὲ νῦν παραλείψω μόνοις χρησάμενος τοῖς διορισμοῖς τῶν κεφαλαίων, καθ' ὅτι ἂν ἐγχωρεῖ μάλιστα μιχθῆναι σαφηνείας συντομίᾳ. ἄρξομαι δὲ ἀφ' οὗ διὰ στόματος ἔχουσιν ἅπαντες οὐκ ὀρθῶς ὑπὸ Ἐρασιστράτου γεγραμμένου, μήτε τὸ μελίκρατον ὑπάγειν τὴν γαστέρα πάντων, μήτε τὴν φακῆν ἐπέχειν, ἀλλ' εἶναι τινάς, οἳ πρὸς τὸ μηδέτερον πάσχειν, ἔτι καὶ τοῖς ἐναντίοις περιπίπτουσιν ὡς ἵστασθαι μὲν ἐπὶ τῷ μελικράτῳ τὴν γαστέρα, λαπάττεσθαι δὲ ἐπὶ τῇ φακῇ. καὶ τινὰς εὑρίσκεσθαι τὰ βόεια κρέα ῥᾷον πέττοντας, ἢ τοὺς πετραίους ἰχθύας. ἐγὼ δ' ἀεί, τοὺς τοιούτοις εὑρὼν, ἄρξομαι γὰρ ἀπὸ τῶν ὑστάτων, ὁποῖόν τι σύμπτωμα γινόμενον αὐτοῖς δείκνυται, τὴν ἀπεψίαν τῶν πετραίων ἰχθύων. ἆρά γε βάρος τι κατὰ τὴν κοιλίαν; ὡς δοκεῖν ἐγκεῖσθαι μόλυβδον, ἢ λίθον, ἢ πηλόν, οὕτως γὰρ ἐξαγγέλλουσιν ἔνιοι, τὴν ἐπὶ ταῖς τοιαύταις ἀπεψίαις αἴσθησιν. ἢ δῆξίς τις ἐν αὐτῇ, φαίνεται γινομένη σαφὴς ἢ πνευμάτωσις. ἢ μοχθηρᾶς ἐρυγῆς αἴσθησις. εἶθ' οἱ μέν, ἐρυγὴν αὐτοῖς ἔφασαν γίνεσθαι κνισωδεστέραν. οἱ δέ, δῆξιν, οἱ δ' ἄμφω. τούτων οὖν ἐπισκεψάμενος ἀκριβῶς τὰ κατὰ τὸ σῶμα, πολλὴν εὗρον ἀθροιζομένην χολὴν ξανθὴν ἐν τῇ

† al. ἄθρησιν

al. εὕρεσιν

† al. τῷ

θὴν ἐν τῇ κοιλίᾳ κατά τινα δυσκρασίαν, ἢ κατασκευῆς ἰδιότητα. λέγω δὲ κατασκευῆς ἰδιότητα, διότι τῶν ἀνθρώπων ἐνίοις ἐξ ἥπατος εἰς ἔντερα καταρρέουσα χολή, εἰς τὴν κοιλίαν ἐπαναφέρεται. κρᾶσιν δὲ μοχθηράν, ὅτι αὐτοῖς ὑπάρχει φύσει τὸ θερμὸν δριμὺ καὶ δακνῶδες, καὶ ὡς ἂν εἴποι τις πυρετῶδες. Εἰκότως οὖν τὰ δύσφθαρτα σιτία τῶν εὐφθάρτων μᾶλλον οὗτοι πέττουσιν, ἐπειδὴ τὰ μὲν εὔπεπτα, ῥᾳδίως ἀλλοιοῦται μὲν καὶ διαφθείρεται, τὰ δὲ δύσπεπτα, δυσαλλοίωτά τέ ἐστι, καὶ δύσφθαρτα. ταῦτα γοῦν, ὅταν ὁμιλήσῃ πολλῇ θερμασίᾳ, πέττεται μᾶλλον, ἢ εἰς σύμμετρον ἥκουσι πλησιάζειν. κατὰ τοῦτον μὲν οὖν τὸν λόγον, ἔνιοι τὰ βόεια κρέα, ῥᾷον πέττουσι, τῶν πετραίων ἰχθύων. Η φακὴ δὲ ἐνίοις, ἐκταράττει μᾶλλον, ἢ ἐπέχει τὴν γαστέρα. κατὰ τοιόνδε τινὰ λόγον, ὡς ἤδη δέδεικταί μοι κατὰ τὰ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήματα, καθάπερ ἐν τοῖς ὑφ' ἡμῶν σκευαζομένοις ἐξ ἐναντίων οὐσιῶν τε καὶ δυνάμεων, ἔνια συντίθεται κατὰ τὸν αὐτὸν τρόπον ὑπὸ τῆς φύσεως οὐκ ὀλίγα τῶν ἁπλῶν εἶναι δοκούντων, σύγκειται. τοιοῦτο τι δὴ καὶ περὶ πολλῶν τῶν τροφῶν ἐστιν. οὐ γὰρ ἡ φακὴ μόνον, ἀλλὰ καὶ ἡ κράμβη, καὶ τῶν θαλασσίων, σχεδὸν ἁπάντων τὰ ὀστρακόδερμα καλούμενα, συνθέτου ἔχει τὴν φύσιν, ἐξ ἐναντίας δυνάμεως. αὐτὸ γὰρ μὲν τὸ στερεὸν ἕκαστον σῶμα, βραδύπορόν τέ ἐστι, καὶ σταλτικὸν τῆς γαστρός, ἡ δὲ ὑγρότης, ἐρεθίζει πρὸς ἔκκρισιν, ἀκριβὴς δὲ ἀπόδειξις, ἐκ τῆς ἑψήσεως γίνεται, τοῦ μὲν ὕδατος ἐν ᾧ πρὶν ἂν ἕκαστον τούτων ἑψηθῇ λαπάττοντος τὴν κοιλίαν, αὐτῶν δὲ τῶν σωμάτων ἐπεχόντων. καὶ κατὰ τοῦτο, τινῶν ἀκούσῃ λεγόντων. Εὰν πρότερον κράμβην φάγῃς τῶν ἄλλων σιτίων μὴ λίαν ἑφθὴν εἰς τὸ σκεῦος ἔχον ἔλαιον καὶ γάρον μετακομισθεῖσαν ἀθρόως ἐκ τοῦ λέβητος, ὑπαχθήσεται τὴν κοιλίαν. ἄλλων δέ τινων τὴν καλουμένην δίσεφθον κράμβην, σκευαζόντων εἰς ἐπίσχεσιν τῆς γαστρός. ἡ σκευασία δὲ τῆς τοιαύτης κράμβης ἐστὶ τοιάδε. προεψήσαντες αὐτὴν ὕδατι, τοῦτο δὲ ὅλον ἀκριβῶς ἐξαίρουσι τοῦ λέβητος, ἕτερον δέ, ἐπεμβάλλουσι καθαρὸν θερμόν, ἐν ᾧ πάλιν ἕψουσι τὸ δεύτερον, ἵνα εἴ τι μετὰ τὴν προτέραν ἕψησιν ἔτι λείψανον ἔχει τῆς οἰκείας ὑγρότητος, ὅλον ἐκκριθείη. πᾶσι γὰρ τοῖς ἑψομένοις ἐν ὑγρῷ συμβαίνει μεταλαμβάνειν τε ἅμα τῆς ἐκείνου δυνάμεως, καὶ μεταδιδόναι τῆς ἑαυτῶν. καὶ τοῦτο ὀσμυδραι γιγνόμενον ἤδη τῶν ἐν τοῖς ζωμοῖς ἑψομένων, ἔνεστι μαθεῖν. εἴτ' οὖν ὄσπρειόν τι τὸ ἑψόμενον, εἴτε ζώου μόριον, εἴτε λαχάνων εἴη. τὸ μὲν γὰρ ἑψηθὲν ἐνδείκνυται γευομένοις τε καὶ ὀσμωμένοις τὴν τοῦ ζωμοῦ ποιότητα καὶ δύναμιν. ὁ ζωμὸς δέ, τὴν τοῦ κατ' αὐτὸν ἑψηθέντος. ἔξεστι σοι παντὸς τοῦ δὲ τοῦ λόγου τοῦ νῦν ἡμῖν περαινομένου, τὴν ἀλήθειαν οὕτω βασανίσαι, καθεψήσαντα, ἢ φακῆν, ἢ κράμβην, ἢ τι τῶν θαλαττίων ζώων ὧν εἶπον εἶτα δ' ἡδύναντα τὸ ἀφέψημα, δι' ἐλαίου, καὶ γάρου, καὶ πεπέρεως, ἔπειτα, δοῦναι πίνειν, ᾧ ἂν ἐθέλῃ. καθάπερ γε, καὶ δὶς ἑψήσαντα τὴν κράμβην, θεάσῃ γάρ, ἤδη μὲν πόματι διαχωροῦσαν τὴν κοιλίαν, ἤδη δὲ τῷ στερεῷ σώματι, στεγνουμένην. οὐδὲν οὖν θαυμαστὸν ἐνίοτε, στρόφους τε γίνεσθαι, καὶ ἐμπνευματώσεις ἤδη τοῖς τοιούτοις ἐδέσμασιν, ὅταν ἅμα τοῖς ἑαυτῶν χυμοῖς ὅλα τὰ σώματα ληφθῇ. μάχη γάρ τις γίνεται πρὸς ἄλληλα, τοῦ μὲν στερεοῦ σώματος ἰσχομένου τε καὶ βραδύνοντος, ἐπειγομένης δὲ τῆς ὑγρότητος ἤδη τὴν ἔκκρισιν. ὡς ἐάν γε τὸ δάκνον ἐκκριθῇ, παύεται τὸ σύμπτωμα. μένοντος δὲ αὐτοῦ, καὶ στροφεῖσθαι, καὶ πνευματοῦσθαι τὴν κοιλίαν ἀναγκαῖον ἐστίν. καὶ πέρας γε τούτων ἐστίν, ἡ τῶν στασιαζόντων ἔκκρισις. ἐπεὶ τοίνυν, ἐνίοις μὲν αἱ γαστέρες ἕτοιμοι πρὸς ὑποχώρησιν εἰσίν, ἐνίοις δὲ ξηραὶ καὶ δυσέκκριτοι, κατὰ τὴν οἰκείαν ἑκατέραι φύσιν, ἤδη τις τοιούτοις ἐδέσμασι τὰ συμπτώματα ἴσχουσιν. ὡς ἂν ἐνίοτε μέν, τῇ τοῦ χυλοῦ δυνάμει, συνεργούσης τῆς γαστρός, ἐνίοτε δέ, τῇ τοῦ στερεοῦ. δυοῖν γὰρ αἰτίων ἀνθισταμένων, ἑνὶ μὲν τὴν νίκην ἀναγκαῖον ἐστὶν ἀκολουθῆσαι, τὴν δ' ἧτταν τῷ λοιπῷ, συμβαίνει δὲ τοῦτο, καὶ κατὰ διαθέσεις τινὰς τῆς γαστρός, οὐ φυσικάς, ἀλλ' ἐν καιρῷ τινὶ γινομένας. ἐσθ' ὅτε μὲν γάρ, ἀθροίζεται φλεγματώδης τις ἐν αὐτῇ χυμός. ἐσθ' ὅτε δέ, χολώδης. καὶ τοῦ φλεγματώδους αὐτοῦ, τὸ μέν, ὀξύ, τὸ δὲ ἁλυκόν ἐστιν, τὸ δέ, γλυκύ, τὸ δὲ οὐδεμίαν ἔχον αἰσθητὴν ποιότητα. καὶ τὸ μὲν ὑγρόν, τὸ δέ, παχύ, καὶ τὸ μέν, γλίσχρον, τὸ δέ, εὐσκέδαστον. καὶ τῆς χολῆς, ἡ μέν, ξανθή τις, ἡ δέ, ὠχρά. τὸ μᾶλλόν τε καὶ ἧττον, ἑκάτερα πάμπολλα κεκτημένη, ἵνα τὰς ἄλλας χολὰς παραλείπωμεν τὰς τοῖς ἤδη νοσοῦσιν σώμασιν ἐπιφερομένας. ἕκαστος οὖν τῶν εἰρημένων χυμῶν, ἤ τοι πρὸς ἔκκρισιν γαστρός, ἢ πρὸς ἐπίσχεσιν, ἑτοίμως διακείμενος, ὅταν ὅλα τὰ σώματος τῶν εἰρημένων ἐδεσμάτων ἅμα τοῖς ἰδίοις χυμοῖς εἰς τὴν κοιλίαν ἀφίκηται, συμμαχεῖ μέν, τοῖς τὴν αὐτὴν δύναμιν ἔχουσιν, ἀντιπράττει δέ, τοῖς τὴν ἐναντίαν. ἔμπροσθεν μὲν οὖν αἰτίαι διτταὶ κατὰ γένος εἴρηνται τοῦ διαφόρως ἤδη τοῖς αὐτοῖς σιτίοις τὰ κατὰ τὴν γαστέρα φαίνεσθαι διοικούμενα. νυνὶ δὲ καὶ τρίτη τις εὕρηται, πρός τε τῇ φυσικῇ διαθέσει, καὶ τοῖς ὑγροῖς τε καὶ στερεοῖς μέρεσιν τῶν ἐσθιομένων, ἐσθιόμενα γάρ, ἢ ἐδεστὰ καλεῖν, ἢ τροφάς, οὐ διοίσει. καὶ γὰρ οὕτως καὶ τούτων οὐδὲν ἧττον ὀνομάζουσιν αὐτά, καὶ σιτία, καὶ βρώματα, καθ' ὅτι καὶ Ιπποκράτους ἐν ἐπιδημίαις ἔγραψεν ὧδε. Τὰ βρώματα καὶ πόματα, πείρης δεῖται. εἰ ἤδη τὸ ἴσον μένει. καὶ πάλιν ἑτέρωθεν. πόνοι. σιτία. ποτά. ὕπνοι. ἀφροδίσια, πάντα μέτρια. τῶν μὲν οὖν ὀνομάτων, ὡς ἀεὶ λέγομεν, ἀμελεῖν χρὴ φροντίζοντες ὅπως τις ἂν αὐτοῖς, χρῆται συνήθων γε ὄντων ἁπάντων τοῖς Ἕλλησι. τῆς δὲ τῶν πραγμάτων ἐπιστήμης, ἀντιποιεῖσθαι προσήκει. φαίνεται δὲ ταῦτα ταχεῖαν, ἢ βραδεῖαν, ἴσχοντα τὴν διέξοδον. ἤ τοι διὰ τὴν ἐξ ἀρχῆς ἡμῶν φύσιν, ἢ διὰ τὴν ἐπίκτητον διάθεσιν τῆς γαστρός, ἢ διὰ τὴν οἰκείαν οὐσίαν. λέγω δέ, τῶν ἐσθιομένων. καὶ πινομένων ἐπειδὴ τινὰ μὲν αὐτῶν, εἰσὶν ὑγρά, τινὰ δὲ ξηρά. καὶ τινὰ μὲν γλίσχρα, τινὰ δέ, εὔθρυπτά τε, καὶ εὐδιαίρετα. καί τινα μὲν δριμύτητας ἐν αὐτοῖς ἔχοντα, τινὰ δέ, ὀξύτητας, ἢ πικρότητας, ἢ γλυκύτητας, ἢ ἁλυκότητας, ἢ αὐστηρότητας ἢ στρυφνότητας, ἢ τινὰς ἔξωθεν τούτων, φαρμακώδεις δυνάμεις, ὁμογενεῖς, ταῖς τῶν καθαιρόντων φαρμάκων. ἀνδράφαξυς μὲν γάρ, καὶ βλίτον, καὶ μαλάχη, καὶ κολόκυνθα, διὰ τὸ γλίσχρα τε εἶναι, καὶ δίυγρα, θᾶττον τῶν μὴ τοιούτων ὑπέρχεται, καὶ μάλιστα τοῖς περιπατοῦσιν ἡσύχως μετὰ τὴν προσφορὰν αὐτῶν ἐπ' ἐδάφους εἴκοντος μετρίως. ὀλισθαίνει γὰρ ἐν τῷ κατασείεσθαι μᾶλλον, ἢ εἴ τις ἀτρεμῶν κατακείμενος. ἐν τούτῳ δὲ τῷ γένει, καὶ τὰ μόρα, καὶ τὰ γλυκέα κεράσια θείη τις ἄν, ὥσπερ καὶ τῶν οἴνων, τοὺς γλυκεῖς καὶ παχεῖς. οἱ δὲ πέπονές τε, καὶ μηλοπέπονες ὀνομαζόμενοι, ὑγρότητά τε καὶ γλισχρότητα, πρὸς ὑποχώρησιν εἰσὶν ἐπιτήδειοι τε καὶ δύναμίν γε ἔχουσι μετρίως ῥυπτικήν. καὶ μᾶλλόν γε αὐτῶν, οἱ πέπονες, ἣν ἔνεστι σοι μαθεῖν ἀνατρίψαντι μόριον ῥυπαρόν,

ἀχρείψουσι

ἀποῤῥύψουσι γὰρ αὐτῶν τὸν ῥύπον αὐτίκα. ταῦτα δὴ καὶ τῶν οὔρησιν κινούντων εἰσίν. ἐκ δὲ τῶν ὑγρῶν καὶ ὑδατω-
δῶν σωμάτων ἐστὶ, καὶ τὰ Βρεκόκκια καλούμενα, καὶ τὰ περσικά. καὶ ὅλως ὅσα μηδεμίαν ἰσχυρὰν ἔχειν φαίνεται
ποιότητα τοῖς γευομένοις, ἢ ὀσμωμένοις αὐτῶν. ἅπερ, ἂν μὲν ἐπιτηδείως ἡ γαστὴρ ἔχῃ πρὸς τὴν κάτω διαχώρησιν
ὑπέρχεται ῥᾳδίως. εἰ δὲ μὴ, μένει καὶ αὐτὰ μετέωρα, μηδὲν εἰς ἔκκρισιν αὐτὴν ὠφελοῦντα. μέση γάρ πως, ἤτοι αὐ-
τη τῶν ἐδεσμάτων ὕλη, τῶν τε τῶν ἐπεχόντων τὴν γαστέρα, καὶ τῶν προτρεπόντων οὖσα, βραχύ τι ῥέπει πρὸς το
ἕτερον, ὅταν γε μὴ πάνυ τύχῃ νωθρᾶς γαστρὸς εἰς ἀπόκρισιν, ἢ ἰσχυρᾶς εἰς ἀνάδοσιν, ἐνίοτε γοῦν ἐπέχει γαστέρα καὶ
ταῦτα. καὶ τὸ μελίκρατον, οἷς ἀναδίδοσθαι φθάνει ταχέως, οὐ προτρέπει τὴν γαστέρα πρὸς ἔκκρισιν, ἀλλὰ καὶ τοῖς μι-
χθεῖσιν ἑαυτῷ σιτίοις, εἰς ἀνάδοσιν ὑφηγεῖται. εἰ δὲ μὴ φθάσειεν ἀναδοθῆναι ταχέως, ἐρεθίζει πρὸς ἔκκρισιν. ὥς
περ ἡ ξανθὴ χολὴ, διὰ τὴν δριμύτητα, καὶ δακνῶδες ἔχειν ἐν ἑαυτῇ. τὰ μὲν οὖν τοιαῦτα τῶν ἐσθιομένων τε καὶ πινο
μένων, δάκνοντα μόνον, ἐπὶ τὴν ἔκκρισιν ἐπεγείρει τὰ κατὰ τὴν κοιλίαν μόρια. πρόδηλον δὲ, ὅτι καὶ ἡ τῶν ἐντέρων
οὐσία παραλαμβάνεται κατὰ λόγον. οὕτως γέ τοι καὶ τοὺς προγάστορας, καὶ μεγαλοκοίλους ὀνομάζουσιν οἱ ἄνθρωποι. τινὰ
δὲ ὑπάγει τὴν γαστέρα μεμιγμένας ἐν ἑαυτοῖς, ἔχοντα φαρμακώδεις δυνάμεις, ὁμοίας τῇ κατὰ τὴν σκαμμωνίαν τε,
καὶ κολοκυνθίδα, καὶ τὸν ἐλλέβορον, ὅσα τ' ἄλλα τοιαῦτα. μικτὴ γὰρ τούτων ἐστὶν ἡ φύσις, ἐξ ἐδέσματός τε καὶ φαρ
μάκου. καθάπερ εἰ καὐτὸς ἐμβάλοις τῷ χυλῷ τῆς πτισάνης ὀλίγον τι τοῦ τῆς σκαμμωνίας ὀποῦ. λαμβάνων γοῦν οὕτω τὴν
αἴσθησιν, οὐ λήσεται κατὰ τὴν ἐνέργειαν, ἀλλ' ὑπάξει σαφῶς τὴν γαστέρα. καὶ τοῦτ' οὖν δοκεῖ τισὶ, τὸ ὑφ' Ἱπποκράτους εἰ-
ρημένον. ἐν τροφῇ, φαρμακείη. τοῖς δ' οὐχ οὕτω μόνον ἔδοξεν ἀκούειν, ἀλλὰ κἀπ' ἐκείνων ὁ λόγος εἰρῆσθαι δύναται,
τῶν οὔτε θρεπτικὴν τινὰ τοῦ ζώου δύναμιν ἐχόντων ἐδεσμάτων, οὔτε καθαρτικήν. καὶ γὰρ καὶ ταῦτα φασὶν, οὐχ ὡς
τροφὰς μόνον ἐνεργεῖν πολλάκις, ἀλλὰ καὶ ὡς φάρμακα, θερμαίνοντα, καὶ ὑγραίνοντα, καὶ ψύχοντα, καὶ ξηραί-
νοντα σαφῶς ἡμᾶς, ὡς ὅταν μηδέν τι τούτων ἐνεργῇ περὶ τὸ σῶμα τοῦ ἀνθρώπου, τρέφῃ δὲ μόνον αὐτὸ τηνικαῦτα
τοῦ φαρμάκου λόγον οὐκ ἔχει. ὀλίγιστα μὲν οὖν ἐδέσματα τοιαῦτά ἐστιν. ἅπαντα δ' ἂν ἢ ταῦτα, μόνον τὸν τῆς τροφῆς
ἔχει λόγον ἀκριβῶς, χωρὶς τοῦ μεταβάλλειν τὸ σῶμα τοῦ προσενεγκαμένου κατὰ ποιότητα. τὸ μὲν γὰρ θερμανθὲν, ἢ ψυ-
χρανθὲν, ἢ ξηρανθὲν, ἢ ὑγρανθὲν, ὑπαλλάττεται κατὰ ποιότητα. τὸ δ' ἐκ τῶν σιτίων, εἰς ὄγκον οὐσίαν περὶ διαφορηθέντα
προσλαβὸν, ὡς ὑπὸ τροφῶν μόνον αὐτῶν ὠφελεῖται. τὰ τοίνυν μέσα ταῖς κράσεσιν, οὐδεμίαν ἐπικρατοῦσαν ἔχον
τα ποιότητα, τροφαὶ μόνον εἰσὶν, οὐ φάρμακα. μήθ' ὑπάγοντα γαστέρα, μήτε ἐπέχοντα, μή τε ῥωννύοντα, μήτ' ἐκ
λύοντα στόμαχον. ὥσπερ γε μήθ' ἱδρῶτας, ἢ οὖρα κινοῦντα, ἢ καὶ κωλύοντα, μήτ' ἄλλην τινὰ διάθεσιν ἐν τῷ σώμα
τι ποιοῦντα, κατὰ ψυχρότητα, καὶ θερμότητα, καὶ ξηρότητα, καὶ ὑγρότητα, διαφυλάττοντα δὲ πάντῃ τὸ τοῦ τρεφομέ
νου ζώου σῶμα τοιοῦτον ὁποῖον παρέλαβεν. ἀλλὰ κἀνταῦθα διορισμός ἐστίν τις χρησιμώτατος, οὐδ' αὐτὸς ὑπὸ τοῦ
Διοκλέους εἰρημένος. ὥσπερ οὐδὲ τῶν ἄλλων τις, ὅσους ἄχρι τοῦδε διῆλθον. εἰ μὲν γὰρ ἀκριβῶς μέσον εἴη τῇ κράσει τὸ
σῶμα τοῦ ἀνθρώπου φυλάττοιτ' ἂν ὑπὸ τῆς μέσης τῇ κράσει τροφῆς ἐν τῇ προσούσῃ καταστάσει. εἰ δ' ἤτοι ψυχρότερον, ἢ
θερμότερον, ἢ ξηρότερον, ἢ ὑγρότερον εἴη τοῦ δέοντος, τὰ μέσα τῇ κράσει σιτία τε καὶ ποτὰ αὖθις κακῶς διδοίη. μεταβάλ
λεσθαι γοῦν χρὴ τῶν τοιούτων σωμάτων ἐπὶ τοὐναντίον εἰς ὅσον ὑπεχώρησε τῆς ἀκριβῶς μέσης καταστάσεως. ἔσται δὲ
τοῦτο διὰ τῶν ἐναντίων τῇ προσούσῃ δυσκρασίᾳ. τὰ δὲ ἐναντία τὴν ἴσην ἀφεστήκει τοῦ μέσου διάστασιν ἐφ' ἑκάτερα,
καθ' ἑκατέραν ἀντίθεσιν, ὥς τε ἂν μὲν, ἀριθμοῖς, εἰ τύχοι, τρισὶν ἀπὸ τῆς εὐκράτου μὲν καὶ μέσης καταστάσεως ἀποχω
ρήσῃ τὸ σῶμα πρὸς τὴν θερμοτέραν, τοσούτοις χρῆναι, καὶ τὸ σιτίον ἀφεστάναι τοῦ μέσου τῇ κράσει, πρὸς τὸ ψυχρό
τερον. ἐὰν δὲ, ἐφ' ὑγρότητα τέτταρσιν ἀριθμοῖς ἀποστῇ, τοῖς ἴσοις δεῖν εἶναι ξηρότερον τοῦ συμμέτρου. κατὰ τοῦτό γέ τι πά
λιν εὑρεῖν ἐστὶ πολλοὺς τῶν ἀνθρώπων, ἐναντιώτατα περὶ τῶν αὐτῶν τροφῶν ἀποφαινομένους. ἔναγχος γοῦν ἐφιλο
νείκουν ἀλλήλοις δύο τινὲς, ὁ μὲν, ὑγιεινὸν ἀποφαινόμενος, ὁ δὲ, νοσερὸν εἶναι τὸ μέλι, τεκμαιρόμενος ἑκάτερος ἐξ
ὧν αὐτὸς ὑπ' αὐτοῦ διετίθετο μηκέτι ἐννοοῦντες ὡς οὔτε μίαν ἅπαντες, ἄνθρωποι τὴν ἐξ ἀρχῆς ἔχουσι κρᾶσιν, οὔτ'
εἰ καὶ μίαν ἔχοιεν, ἀμετάβλητον αὐτὴν ἐν ταῖς ἡλικίαις φυλάττουσιν. ὥσπερ οὐδ' ἐν ταῖς κατὰ τὰς ὥρας τε, καὶ χώρας,
ὑπαλλαγαῖς. ἵνα παραλείπω γε καὶ τὸ παρὸν, ὡς καὶ τοῖς ἐπιτηδεύμασιν καὶ ταῖς διαίταις ὑπαλλάττουσιν, τὰς φυ
σικὰς τῶν σωμάτων διαθέσεις. αὐτίκα γοῦν αὐτῶν τῶν διαφερομένων ἀλλήλοις περὶ τοῦ μέλιτος, ὁ μὲν, πρεσβύτης τε
κατὰ τὴν ἡλικίαν ἦν, καὶ φύσει φλεγματωδέστερος, ἀργός τε περὶ βίον, καὶ πρὸς τὰς ἄλλας μὲν, ἁπάσας πράξεις, οὐχ
ἥκιστα δὲ, καὶ πρὸς τὰ τοῦ βαλανείου γυμνάσια. καὶ διὰ τοῦτ' αὐτὸ, τὸ μέλι χρήσιμον ἦν. ὁ δὲ ἕτερος, χολώδης τε φύσει,
καὶ τριακονταετὴς, κατὰ τὴν ἡλικίαν ἐτύγχανεν ὢν, ἐπὶ δὲ ταῖς ὁσημέραι πράξεσι, πολλὰ ταλαιπωρούμενος, εἰκότως
οὖν αὐτῷ τὸ μέλι ἐξεχολοῦτο ταχέως, καὶ ταύτῃ βλαβερώτερον ἦν. οἶδα δὲ κἀγὼ τινὰ, τὰ κατὰ τὸ στόμα τῆς κοιλίας
μεμφόμενον, λογισάμενον ὥστε, ἐξ ὧν διηγεῖτο, φλέγμα κατ' αὐτὴν ἠθροῖσθαι, συμβουλεύσαντας προσενεγκάσθαι με-
τὰ νάπεως πράσα τε καὶ σεῦτλα, τμηθέντος θ' ὑπ' αὐτῶν τοῦ φλέγματος, ἐκκρίνασάν τε πλείω τὴν γαστέρα,
καὶ τῶν συμπτωμάτων πάντων † ἐλευθερωθήσατο. αὖθις οὖν ποτ' ἀπεπτήσας ἐπὶ δριμέσιν ἐδέσμασιν, καὶ δια-
κείμενος τὴν γαστέρα, νάπυ μετὰ σεύτλου προσενεγκάμενος, οὐ μόνον οὐδὲν ὤνατο τὴν δῆξιν, ἀλλὰ καὶ χείρων
ἀπηλλάχθη συχνῶς. καὶ δὴ θαυμάζων, ὅπως ἐβλάβη συχνῶς ὑφ' ὧν ἔμπροσθεν ὠφελεῖτο μέγιστα, πρός με παρεγένε
το, τὴν αἰτίαν πυνθανόμενος. ἰδιώτας μὲν οὖν ἰατρικῆς τέχνης ἀνθρώπους, οὐκ ἀπεικὸς ἐστὶ ταῦτα σφάλλεσθαι. τοῖς δὲ
ἰατροῖς, οὐκ ἄν τις συγγνοίη, παραλείπουσιν ἀδιόριστα πολλὰ τῶν χρησιμωτάτων θεωρημάτων. οὐ γὰρ ἁπλῶς προσήκει
λέγειν γοῦν αὐτοὺς, εὐπέπτους μὲν εἶναι τοῖς πλείοσι τοὺς πετραίους ἰχθύας, εὑρίσκεσθαι δέ τινας, οἳ τὰ βόεια κρέα ῥᾷον
πέττουσιν, ἀλλ' ἑκατέρους διορίσαι. καθάπερ γε καὶ περὶ μέλιτος, οὐχ ἁπλῶς εἰπεῖν, ἀλλὰ μετὰ τοῦ προσθεῖναι, ταῖς
ἡλικίαις τε καὶ φύσεσιν, ὥραις, καὶ χώραις καὶ βίοις ὠφέλιμον ἐστὶν, ἢ βλαβερόν. οἷον ὅτι τοῖς μὲν θερμοῖς καὶ ξη
ροῖς ἐναντιώτατον. ὠφελιμώτατον δὲ, τοῖς ὑγροῖς τε καὶ ψυχροῖς. εἴτε δι' ἡλικίαν, ἢ διὰ φύσιν, ἢ χώραν, ἢ ὥραν, ἢ
ἐπιτηδεύματά τινα τοιοῦτοι τὴν κρᾶσιν εἶεν. ὥστ' ἀναγκαιότατον εἶναι ἔοικεν τὴν παροῦσαν θεωρίαν προεσκέφθαι, τάς τε
τῶν ἀνθρώπων, καὶ τῶν ἐδεσμάτων κράσεις. αἱ μὲν οὖν τῶν ἀνθρώπων, ὁποῖαί τε εἰσὶν, καὶ ὅπως χρὴ διαγιγνώ-
σκειν αὐτὰς, ἐν τοῖς περὶ κράσεων ὑπομνήμασι λέλεκται, καθάπερ γε καὶ περὶ τῶν φαρμάκων, ἐν τοῖς περὶ τῶν

δυνάμεων αὐτῶν. ἐν δὲ τοῖς νῦν ἐνεστῶσι καιρὸς ἂν εἴη, τὰς τῶν σιτίων εἰπεῖν κράσεις. ὡς ἐν τῷ περὶ διαίτης ἐγγρά
φθη βιβλίῳ, κατά τινας μὲν Ἱπποκράτους ὄντι συγγράμματι, κατά τινας δὲ Φιλιστίωνος, ἢ Ἀρίστωνος, ἢ Εὐρυφῶν
τος, ἢ Φιλήτα, παλαιῶν ἁπάντων ἀνδρῶν. ἀρχὴ δὲ ἐστὶν αὐτοῦ, κατὰ μὲν ἔνια τῶν ἀντιγράφων ἥδε. σιτίων τε καὶ
πομάτων δύναμιν ἑκάστου, καὶ τὴν κατὰ φύσιν, καὶ τὴν διὰ τῆς τέχνης, ὧδε χρὴ διαγινώσκειν. ἐν ἄλλοις δέ, ἥδε.
χωρίων δὲ θέσιν, καὶ φύσιν ἑκάστου, ὧδε χρὴ διαγινώσκειν. ὅταν μὲν οὖν αὐτὸ καθ' ἑαυτὸ φέρηται τὸ βιβλίον
τοῦτο, περὶ διαίτης ὑπογράφεται μέρος ὂν δευτέρου, εἰς τρία διῃρημένου τοῦ παντός. ὅταν δὲ τὸ συγκείμενον
ἐκ τῶν τριῶν ὅλον ἐν ἀδιαίρετον εὑρεθείη, περὶ φύσεως ἀνθρώπου καὶ διαίτης ὑπογράφεται. τὸ μὲν οὖν δεύ-
τερον, ἐν ᾧ περὶ τῶν σιτίων διέρχεται, τάχ' ἄν τις εὐλόγως Ἱπποκράτους ἄξιον ἡγήσαιτο. τὸ δὲ πρῶτον ἀφεστη-
κε πάμπολλα τῆς Ἱπποκράτους γνώμης. ἀλλὰ τοῦτο μέν, οἷον ὁδοῦ ἄν τι πάρεργον εἰρήσθω. ὅτου δ' ἂν ᾖ τῶν εἰρημέ
νων ἀνδρῶν, εἴς τινα καθόλου μέθοδον ἀναφέρειν φαίνεται. ὁ τὴν ἐπὶ τοῖς σιτίοις δίαιταν γὰρ γνούς, ὅτι κριθὴ
φύσει ψυχρὰ ἐστὶ καὶ ὑγρὰ ἐψηθεῖσα, ἐπιστάμενος καὶ τὰς τῶν σωμάτων γνωρίζειν κράσεις, ὅσαι τε φύσει ὑπάρχουσιν
καὶ ὅσαι κατὰ διάθεσιν ἐπίκτητον γίγνονται, χρήσαιτο προσηκόντως κριθαῖς εἰς ἐδωδήν, οὐ μόνον ἐπὶ τῶν ὑγιαι-
νόντων, ἀλλὰ καὶ τῶν νοσούντων σωμάτων, καὶ καταπλάσματι δ' ἄν τις, δι' ἀλεύρου κριθίνου χρήσεται καλῶς,
ὁ τὴν κρᾶσιν ἐπιστάμενος αὐτῶν. δεῖ δὲ μὴ μόνον ἐγνῶσθαι τὴν κυριωτάτην τε, καὶ πρώτην ἑκάστου σιτίου κρᾶ-
σιν, ἀλλ' ὡς ἐν τοῖς περὶ φαρμάκων ἐδείχθη, καὶ τὰς ἐξ ἐκείνων γιγνομένας. ὧν οὐχ ἥκιστα τυγχάνουσι χρήσιμοι
οὖσαι, πολλαὶ μὲν τῶν κατὰ τοὺς χυμούς, εἰ μὴ ἄρα καὶ πᾶσαι, τινὲς δέ, καὶ τῶν κατὰ τὰς ὀσμάς. ἐκ γὰρ τοῦ κεκρᾶσθαι
πῶς ἕκαστον ἐκ τοῦ τε θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, καὶ τὸ μὲν αὐτῶν, γλυκύ, τὸ δὲ πικρόν, ἢ ἁλμυρόν,
ἢ στρυφνόν, ἢ αὐστηρόν, ἢ δριμὺ φαίνεται. τὸ δὲ ἁλυκόν, οὐκ ἄλλο τι σημαίνει παρὰ τὸ ἁλμυρόν, ἀλλ' ὑπ' ἀμφοῖν
ἓν τι δηλοῦται, στρυφνοῦ δὲ καὶ αὐστηροῦ τὸ κοινὸν γένος ὀνομάζεται στύφον. ἐπὶ πλεῖστον δέ, περὶ τῶν χυμῶν ἁπάν-
των, ἐν τῷ τετάρτῳ, περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως εἴρηται. καὶ χρὴ πάντως ἐκεῖνο γοῦν ἀνεγνω-
κέναι τὸν μέλλοντα τοῖς νῦν λεγομένοις ἀκολουθήσειν, ὅπως μὴ πάλιν ἀναγκαζώμεθα λέγειν ἐν τοῖς δὲ περὶ τῶν
αὐτῶν τὰ αὐτά. τῶν γοῦν σιτίων, ὡς ὀλίγον ἔμπροσθεν ἔφην, ἔνια μέν, οὐδὲ μίαν ἐπίσημον, ἐμφαίνει ποιότητα καθ'
ὀσμήν, ἢ γεῦσιν. ἃ δὴ, καὶ ἄποια, καὶ ὑδατώδη προσαγορεύουσιν. ἔνια δὲ σύμψιν ἔχει σαφεστάτην, ἢ γλυκύτητα
σύμφυτον, ἢ δριμύτητα. καθάπερ γε καὶ ἁλμυρότερά τε ἔνια φαίνεται, καὶ πικρότητος ἔνια σαφῶς μετέχον-
τα. πρόδηλον οὖν ὅτι τὰ τοιαῦτα, τὴν αὐτὴν ἔχει δύναμιν ἐκείνοις τῶν φαρμάκων, οἷς ὁμοίωται κατὰ τὸν χυμόν.
εἴρηται δὲ ἐν τοῖς περὶ τῶν φαρμάκων ἡ αἰτία, δι' ἣν ἔνια τῶν στυφόντων, οὐ ταὐτὸ τοῖς ἄλλοις στύφουσιν ἐργάζε-
ται. καθάπερ ἀλόη τε καὶ χαλκὸς κεκαυμένος, καὶ χάλκανθος, καὶ ἄνθος χαλκοῦ, καὶ λεπίς, καὶ χαλκῖτις. ἐκ
τοῦ μεμίχθαι γάρ, καθ' ἕκαστον αὐτῶν, τῇ στυφούσῃ δυνάμει τε καὶ οὐσίᾳ τῶν ἄλλων τινά, τοῖς κατὰ μέρος ἔργοις
ἐξαλλάττεται ταῦτα. Καθάπερ εἰ καὐτὸς ἀναμίξεις κυδωνίῳ μήλῳ σκαμμωνίαν, ὥσπερ ἀμέλει ποιοῦμεν
ἐνίοτε, τοῦ μήλου μέν, γλύφοντες τὰ περὶ τὸ σπέρμα, τὸ δὲ κοιλανθὲν ἀναπληροῦντες τῇ σκαμμωνίᾳ, κἄπειτα
περιπλάττοντές τε καὶ ὀπτοῦντες, εἶτα διδόντες φαγεῖν τὸ μῆλον. ἄνευ γάρ, τοῦ τὸν στόμαχον ἀνατρέπειν ὑπάγ
† al. ἐν αὐτῷ
ει γαστέρα, τὸ οὕτως σκευασθέν, ἐπικρατούσης† μὲν αὐτοῦ, τῆς καθαρτικῆς δυνάμεως, ἣν ἐκ τῆς σκαμμωνίας
τὸ μῆλον ἐπεκτήσατο, διαμενούσης δέ, τῆς κατὰ τὸ μῆλον οἰκείας, οὐ γὰρ ἂν ἡδύ τε καὶ στύφον ἐφαίνετο, καὶ τῷ
στομάχῳ πρόσφορον. οὕτως οὖν ἔνια τῶν ἐσθιομένων ἔχει τινὰ μεμιγμένην ἐν ἑαυτοῖς δύναμιν, ἤτοι καθαρτικήν, ἢ
τι ποιεῖν ἄλλο πεφυκυῖαν. ἐφ' ὧν οὐ χρή, ταῖς τῶν χυμῶν δυνάμεσιν ἀπιστεῖν, ὡς κατεργαζομέναις, ἃ φύσιν ἔχουσιν
ἐνεργεῖν. ἐν ὅτῳ γοῦν ἂν ἡ στύφουσα ποιότης, ὅσον ἐφ' ἑαυτῇ, συνάγει τε καὶ σφίγγει, καὶ ψύχει τὰ πλησιάζοντα σώμα
τα. δύναται δὲ ἐνίοτε ταὐτὸ σῶμα, τινὰ μὲν θερμαίνοντα τῶν ἑαυτοῦ μορίων ἔχειν, ἔνια δέ, ψύχοντα, καθάπερ
ἐδείξαμεν ἐν τοῖς τῶν περὶ ἁπλῶν φαρμάκων δυνάμεων, τῆς φύσεως οὕτως αὐτὰ μιξάσης, ὡς καὶ τῶν ἰατρῶν
ἔνιοι μιγνύουσιν ἐνίοτε τῶν ψυχόντων τινὶ πύρεθρον, ἢ πέπερι. ταῦτ' οὖν ὡς ἔφην ἐν τοῖς περὶ φαρμάκων ὑπο-
μνήμασιν ἐπὶ πλεῖστον ἐξειργασμένα, χρησιμώτατα τοῖς νῦν διδασκομένοις ἐστίν. καὶ γὰρ αἱ κατὰ μέρος ἑκάστου
τῶν ἐσθιομένων σκευασίαι, τοῖς ταῦτα προεγνωκόσιν εὑρίσκεται. τεῦτλοφακῆν οὖν ἡμεῖς τε δίδομεν ἐνίοτε,
καὶ πρὸ ἡμῶν ὁ ταραντῖνος ἡρακλείδης ἐδίδου πολλοῖς πολλάκις, οὐ μόνον ὑγιαίνουσιν ἀμέμπτως, ἀλλὰ καὶ πά
σχουσι τι. πρῶτον μὲν οὖν ἐμβάλλωμεν αὐτῇ, πολλὰ σεῦτλα. δεύτερον δέ, κατὰ τὴν ἄρτυσιν, ἢ ἁλῶν βραχὺ πλεό
νων, ἢ γάρου γλυκαίου, ὑπακτικώτερον γὰρ οὕτως. εἰ δὲ μή, πτίσας τὴν φακῆν, ἑψήσας τε δίς, ὡς ἀποχεῖν τὸ πρό-
τερον ὕδωρ, εἶτ' ὀλίγον μὲν ἁλῶν, ἢ γάρου μίξας, ἐπεμβαλεῖς δέ τι βραχὺ τῶν ἐφεκτικῶν γαστρός, ἤτοι ὄξος,
ἄχρι τοῦ μὴ δὲ λυπῆσαι τὴν γεῦσιν, ἥδιστόν τε, καὶ ὠφελιμώτατον ἐργάσαι φάρμακον τε ἅμα, καὶ σιτίον οὐκ ὀ-
λίγοις, τῶν διαρροίᾳ χρονίᾳ ἐνοχλουμένων, οὐκ ὀλίγοις, δὲ εἶπον, ἅπασι φυλαξάμενος εἰπεῖν, ὅτι κἀνταῦθα διο-
ρισμῶν ἐστὶν χρεία, καθ' οὓς αἱ διαθέσεις εὑρεθήσονται τῶν διαρροιζομένων χρονίως. ὅλως γὰρ οὐδὲν οἷόν τε ἐστὶν τῇ
πείρᾳ βασανίσαι προσηκόντως, ἄνευ τοῦ τῷ λόγῳ πρότερον εὑρεῖν ἀκριβῶς τὴν διάθεσιν, ᾗ προσφέρεται τὸ
† al. αὐτὰ τὰ βοηθήματα
βασανιζόμενον, ἤτοι σιτίον, ἢ ποτόν, ἢ φάρμακον. ὕλη γάρ ἐστιν βοηθημάτων, ἡ τῶν τοιούτων γνῶσις, οὐκ† αὐ-
τῶν τῶν βοηθημάτων. ἐπεὶ δ' ἀδύνατον ἄνευ τοῦ γιγνώσκειν ἀκριβῶς τὰς δυνάμεις τῶν ὑλῶν, αἷς χρώμεθα, βοη
θεῖν τοῖς δεομένοις αὐτῶν, ἀναγκαῖόν ἐστιν, ὥσπερ ἔμπροσθεν περὶ τῶν ἐν τοῖς φαρμάκοις δυνάμεων, οὕτως ἐνταῦ
θα περὶ τῶν ἐν τῇ τροφῇ διελθεῖν. ἡ γνῶσις δὲ αὐτῶν ἐν χρόνῳ πολλῷ κατορθοῦται μόγις, ἔκ τε τῆς διωρισμένης πεί
ρας, καὶ τῆς τῶν ἀτμῶν τε, καὶ χυμῶν φύσεως, οὓς ἔχειν φαίνεται τὰ δοκιμαζόμενα, καὶ πρὸς ἔτι τῆς συστάσεως
ἣν κέκτηται, κατά γε γλισχρότητα, καὶ χαυνότητα, πίλησίν τε καὶ κουφότητα, καὶ βαρύτητα. ταῦτα γὰρ ἅ-
παντα, συντελεῖ πρὸς τὴν εὕρεσιν αὐτῶν οὕτως τε κἂν εἰς ξένην χώραν ἀφικόμενος, ἴδοις τι τῶν μὴ πρόσθεν
ἑωραμένων σοι βρωμάτων, ἕξεις ἀφορμὰς οὐκ ὀλίγας εἰς τὴν τῆς δυνάμεως αὐτῶν γνῶσιν. ἃ δὲ μνησίθεος ἔγρα-
ψε, περί τε ῥιζῶν, καὶ καυλῶν, καὶ φύλλων, καὶ καρπῶν, καὶ σπερμάτων, οὐ πάνυ τι βεβαίαν ἔχει τὴν διάγνω-
σιν, ἐὰν, τῇ διωρισμένῃ πείρᾳ κρίνῃς αὐτό. καθ' ὅτι καὶ διὰ τῶν ἐφεξῆς ἔσται δῆλον. ἔγνωκα γὰρ ὑπὲρ ἑκάστου
τῶν ἐδε-

τῶν ἐδεσμάτων ἰδίᾳ διελθεῖν, εἰ καὶ μακρότερος ὁ λόγος ἐστὶν, ἢ ἔσεσθαι μέλλει. δυνησώμεθα γοῦν αὖθις αὐτὸν ἐν βραχεῖ περιλαβεῖν ἑτέρῳ βιβλίῳ τινὶ μικροτέρῳ, χρησίμῳ τοῖς τεχνωθεῖσιν ἐσομένῳ. μόνη γὰρ ἡ κατὰ διέξοδον τε ἄσκησις καὶ διδασκαλία, τεχνίτας ἀπεργάζεται. καὶ διά τοῦτο μοι δοκοῦσιν καλῶς οἱ πολλοὶ λέγειν, ἀρίστην εἶναι διδασκαλίαν, τὴν παρὰ τῆς ζώσης φωνῆς γιγνομένην. ἐκ βιβλίου δὲ, μήτε κυβερνήτην † τινὰ γιγνόμενον γίνεσθαι, μήτε ἄλλης τέχνης ἐργάτην. ὑπομνήματα γάρ ἐστι ταῦτα τῶν προμεμαθηκότων, οὐ διδασκαλία τελεία τῶν ἀγνοούντων. εἴ γε μὴν ἐθέλοιεν τινὲς, καὶ τούτων ὅσοι διδασκάλων ἀποροῦσιν, ἐντυγχάνειν ἐπιμελῶς, τοῖς σαφῶς τε καὶ κατὰ διέξοδον, ὁποίαν ἡμεῖς ποιούμεθα, γεγραμμένοις, ὀνήσονται μεγάλως, καὶ μάλιστα, ἐὰν πολλάκις ἀναγινώσκειν αὐτὰ, μὴ ὀκνῶσιν.

† al. γιγνόμενον ἰδέσθαι

Περὶ πυρῶν, ἤτοι, σίτου.

Εἰκότως μοι δοκοῦσιν οἱ πλεῖστοι τῶν ἰατρῶν, ἀπὸ πυρῶν ἄρξασθαι τῆς προκειμένης διδασκαλίας, ἐπειδὴ πολυχρησιμότατον, καὶ πολυχρηστότατον ἐστὶ τοῦτο τὸ σπέρμα, τοῖς τε Ἕλλησιν ἅπασι, καὶ τῶν βαρβάρων τοῖς πλείστοις. εἰσὶ δὲ αὐτῶν, τροφιμώτατοι μὲν, οἱ πυκνοὶ καὶ πεπιλημένην ἔχοντες ὅλην τὴν οὐσίαν, ὡς μόγις ὑπὸ τῶν ὀδόντων διαιρεῖσθαι. πλείστην γὰρ οὗτοι τροφὴν διδόασιν τοῖς σώμασιν, ἐξ ὄγκου βραχέος. οἱ ἐναντίοι τούτοις, ῥαδίως μὲν ὑπὸ τῶν ὀδόντων θραυόμενοι, μετὰ δὲ τὴν θραῦσιν ἀραιοὶ καὶ χαῦνοι φαινόμενοι, βραχεῖαν διδόασι τροφὴν ἐξ ὄγκου πολλοῦ. εἰ δὲ καὶ στῆσαι βουληθείης ἑκατέρων ἴσον ὄγκον, εὑρήσεις βαρυτέρους πολλὰ τοὺς πυκνοὺς, οὗτοι δ᾽ εἰσίν, καὶ τῇ χρόᾳ τῶν χαύνων ξανθότεροι. βασανίζειν δὲ χρὴ, τὴν φύσιν αὐτῶν, οὐχ ἁπλῶς ἐπισκοποῦντες τὴν † ἔξοδον, ἢ μᾶλλον, τὴν ἔξωθεν ἐπιφάνειαν, ἀλλὰ καὶ διαιροῦντες, καὶ θραύοντες καθάπερ εἴρηται. πολλοὶ γὰρ ἔξωθεν ὑπόξανθοί τε καὶ πυκνοὶ φαινόμενοι, τὰ ἔνδον ἑαυτῶν ὤφθησαν ἀραιοί τε καὶ χαῦνοι, καὶ λευκοί. πλεῖστον οὖν οὗτοι πίτυρον ἔχουσιν, καὶ εἴ τις αὐτῶν ἀλεσθέντων ὑποσείσας τὸ ἐλάχιστον τοῦ ἀλεύρου, ἄρτους ἐκ τοῦ λοιποῦ ποιήσαιτο, τοὺς πιτυρίας ὀνομαζομένους, ὀλιγοτρόφων μετ᾽ αὐτῶν πειράσεται, περίττωμα δ᾽ ἐργαζομένων ἐν τῇ γαστρὶ πολὺ, καὶ διὰ τοῦθ᾽ ὑπερχομένων, ῥαδίως. ἅμα δὲ, καὶ διὰ τὸ ῥυπτικῆς μετέχειν οὐσίας τὸ πίτυρον, εἰκότως ἡ διαχώρησις αὐτῶν γίγνεται ταχεῖα πρὸς τὴν ἔκκρισιν ἐρεθιζομένων τῶν ἐντέρων. οἱ δὲ ἐναντίοι τούτοις εἰσὶ μὲν ἀκριβῶς καθαροὶ, πλεῖστον ἄγοντες σταθμὸν ἐπ᾽ ὄγκῳ βραχεῖ, διαχωροῦσι δὲ πάντων τῶν ἄρτων βραδύτερον. θεάσῃ γε μὴν, καὶ τὸ σταῖς αὐτῶν γλίσχρον ἱκανῶς, ὡς ἐπὶ πλεῖστον ἕλκεσθαι μὴ διασπώμενον, ὅπερ ἴδιον ἐστὶν γλίσχρου σώματος. εἰκότως τοίνυν οὗτοι μὲν, καὶ ζύμης πλείονος χρῄζουσιν, καὶ μαλαχθῆναι δέονται πάντων μᾶλλον, καὶ οὐκ εὐθὺς μετὰ τὴν ζύμην καὶ τὴν μάλαξιν ὀπτᾶσθαι. τοῖς πιτυρίαις δὲ ἀρκεῖ, καὶ ζύμη βραχεῖα, καὶ μάλαξις ἀσθενὴς, καὶ χρόνος ὀλίγος. οὕτως δὲ καὶ τῆς ὀπτήσεως, μακροτέρας μὲν οἱ καθαροὶ, βραχυτέρας δὲ οἱ πιτυρίαι δέονται. τὸ μεταξὺ δὲ τῶν καθαρωτάτων τε, καὶ ῥυπαρωτάτων, οὐκ ὀλίγον ἐστὶ πλάτος, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. ἐνίων μὲν καθαρῶν, ἐνίων δὲ, ῥυπαρῶν ὀνομαζομένων, καὶ κατὰ ἀλήθειαν ὄντων. ἐστὶ δέ τι, καὶ μέσον ἀκριβῶς αὐτῶν εἶδος ἄρτων, οἱ αὐτόπυροι προσαγορευόμενοι. συγκομιστοὺς δὲ αὐτοὺς ἐκάλουν οἱ παλαιοὶ τῶν ἰατρῶν. ὅτι μὲν οὖν ἐξ ἀδιακρίτων ἀλεύρων οὗτοι γίνονται, μὴ διαχωριζομένου τοῦ πιτυρώδους ἀπὸ τοῦ καθαροῦ, πρόδηλον, ἐντεῦθεν γοῦν αὐτοῖς ἔθεντο καὶ τὰς προσηγορίας. αὐτοπύρους μὲν, ἐπείπερ ὅλος αὐτὸς ὁ πυρὸς, ἀδιακρίτως ἀρτοποιεῖται. συγκομιστοὺς δὲ, ὅτι συγκομίζεται σκευαζομένων αὐτῶν, ἅπαν ἀδιάκριτον τὸ ἄλευρον. ἀλλὰ καὶ αὐτῶν τούτων ἐν τῷ μέσῳ δοκούντων, ἀκριβῶς τετάχθαι, τῶν τ᾽ ἐκ τοῦ πιτύρου, καὶ τῶν ἄκρως καθαρῶν ἄρτων, οὐ σμικρὰ διαφορὰ, παρὰ τὴν τοῦ πυροῦ φύσιν ἐστίν. ἐκ μὲν γὰρ τῶν πυκνῶν πυρῶν καὶ βαρέων, ἀμείνους, ἐκ δὲ τῶν χαύνων τε καὶ κούφων, ἄρτοι φαυλότεροι γίνονται. καὶ παρά γε τοῖς Ῥωμαίοις, ὥσπερ οὖν, καὶ παρὰ τοῖς ἄλλοις σχεδὸν ἅπασιν, ὧν ἄρχουσιν, ὁ μὲν καθαρώτατος ἄρτος, ὀνομάζεται σιλιγνίτης, ὁ δὲ ἐφεξῆς αὐτῶν, σεμιδαλίτης. ἀλλ᾽ ἡ μὲν σεμίδαλις, ἑλληνικόν τε καὶ παλαιὸν ὄνομα ἐστὶν. σιλίγνις δὲ, οὐχ ἑλληνικὸν μὲν, ἑτέρως δὲ αὐτὴν ὀνομάζειν οὐκ ἔχω. τροφιμώτατος μὲν οὖν, ὁ σιλιγνίτης αὐτῶν, ἐφεξῆς δὲ ὁ σεμιδαλίτης. καὶ τρίτος ὁ μέσος τε καὶ συγκομιστὸς, ὁ καὶ αὐτοπυρίτης, ἐφ᾽ ᾧ τέταρτος ἐστὶν, τὸ τῶν ῥυπαρῶν εἶδος, ὧν ἔσχατος ὁ πιτυρίας, ὃς δὴ, καὶ ἀτροφώτατος ἐστίν. καὶ μάλιστα τῶν ἄλλων ὑπέρχεται κατὰ γαστέρα. πεφθῆναι δὲ ἄριστοι, τῶν ἄρτων εἰσὶν, οἱ μάλιστα ἐζυμωμένοι, καὶ κάλλιστα τετριμμένοι, ἀπὸ συμμέτρου πυρὸς ἐν κλιβάνῳ τὴν ὄπτησιν ἐσχηκότες. τὸ μὲν γὰρ πλεῖον πῦρ, εὐθὺς ἐν τῇ πρώτῃ προσβολῇ, τὴν ἐκτὸς ἐπιφάνειαν παραχρῆμα, ἀποστρακίζει. καὶ συμβαίνει κατ᾽ ἄμφω, μοχθηρὸν τὸ γίνεσθαι τὸν ἄρτον, ὠμὸν μὲν, καὶ ἀκατέργαστον ἔχοντα τὸ ἔνδον, ὑπερωπτημένον δὲ καὶ ξηρὸν, καὶ ὀστρακώδες ἔχοντα τὸ ἔξω. τὸ δὲ ἔλαττον τοῦ συμμέτρου πῦρ οὐ κατεργάζεται καλῶς τὸν ἄρτον, ἀλλ᾽ ὠμότερον ἀπολείπει. καὶ μάλιστα, τὸ ἔνδον ἅπαν. ὅσοι δ᾽ ἂν ἐν συμμέτρῳ πυρὶ πλείονι χρόνῳ δι᾽ ὅλων ἑαυτῶν ὁμαλῶς ὀπτηθῶσιν, οὗτοι καὶ πέττονται κατὰ τὴν γαστέρα κάλλιστα, καὶ πρὸς τὰς ἐξῆς ἐνεργείας, ὅσαι μετὰ τὴν πέψιν εἰσὶν, ἐπιτηδειότατοι γίνονται. χείριστοι δὲ τῶν ἄρτων εἰσὶ δηλονότι, ὅσοις οὐδὲν τῶν προειρημένων ὑπάρχει. τῶν δ᾽ ἄκρων ἐν αὐτοῖς ἀρετῇ καὶ κακίᾳ διωρισμένων, οὐδὲν ἐστὶ χαλεπὸν αὐτῶν ἑνὶ, καὶ χωρὶς ἡμῶν ἐπινοεῖν, ἐνίους μὲν, τῶν ἄρτων, ἐγγὺς εἶναι τῶν ἀρίστων, ἢ χειρίστων. ἐνίους δὲ, ἀποκεχωρηκέναι πορρωτέρω, καί τινας ἄλλους ὡς εἴρηται κατὰ τὸ μέσον ἀμφοῖν τετάχθαι. Καθάπερ οὖν ἐπὶ τοῦ μέλιτος, ὡς ἔμπροσθεν εἰρήκαμεν, οὐχ ἁπλῶς ἀποφαίνεσθαι δεῖν ἀγαθὸν ἢ φαῦλον εἶναι πρὸς ὑγείαν, ἀλλὰ φλεγματικῇ μὲν φύσει, τουτέστιν, ὑγροτέρᾳ τε καὶ ψυχροτέρᾳ τοῦ εὐκράτου, χρήσιμον ὑπάρχειν αὐτὸ, κἂν εἰ ψυχροτέρα δὲ μόνον εἴη τις, ἄνευ πολλῆς ὑγρότητος, ἢ ὑγροτέρα ἄνευ πολλῆς ψύξεως, οὐ μὴν γε ταῖς θερμαῖς κράσεσιν, οὐδὲ τούτων ἔτι μᾶλλον, ταῖς θερμαῖς τε καὶ ξηραῖς ἁρμόττειν αὐτὸ, οὕτω καὶ τῶν ἄρτων, ἀθλητῇ μὲν, ἐπιτήδειος, ὁ μήτε πάνυ καλῶς ὠπτημένος, μήτε ζύμην ἔχων πολλὴν, ἰδιώτῃ δὲ καὶ πρεσβύτῃ, ὁ κάλλιστα μετ᾽ ἐν κλιβάνῳ, ζύμης δὲ, μετέχων πολλῆς. ὅ γε μὴν, τελέως ἄζυμος, οὐδ᾽ ἐνὶ χρήσιμος. εἰ δὲ καὶ τυροῦ προσλάβοι, καθάπερ ἐν τοῖς ἀγροῖς παρ᾽ ἡμῖν εἰώθασιν σκευάζειν ἑορτάζοντες, οὓς αὐτοὶ προσαγορεύουσιν ἀζύμους, ἔστι μὲν βλαβὴ πᾶσι, καν ἰσχυρότατοι τινὲς

† al. haec quatuor sequentia uerba non leguntur

ῶσιν τὴν ἕξιν τοῦ σώματος, οἷόν περ οἱ γυμναστικώτατοι τῶν θεριστῶν, καὶ τῶν σκαπανέων εἰσίν. οὗτοι γοῦν ὁρῶντες καὶ τῶν βαρέων ἀθλητῶν, μᾶλλον πέττοντες τοὺς ἀζύμους ἄρτους. ὥσπερ γε, καὶ κρέα βόεια, καὶ τράγεια. τί γοῦν ἔτι δεῖ μεμνῆσθαι προβατείων ἢ αἰγείων ἐπὶ τούτοις; ἐν Ἀλεξανδρείᾳ δὲ, καὶ τὰ τῶν ὄνων κρέα ἐσθίουσι. εἰσὶ δὲ οἱ καὶ τὰ τῶν καμήλων. εἰς γοῦν τὴν πέψιν αὐτῶν συντελεῖ μὲν οὖν καὶ τὸ ἔθος, οὐχ ἥκιστα δὲ καὶ ἡ βραχύτης τῶν προσφερομένων, καὶ ἡ τοῦ σώματος ὅλου † κένωσις ἐξ ἀνάγκης ἑπομένη τοῖς δι' ὅλης ἡμέρας ταλαιπωροῦσι κατὰ τὰς οἰκείας ἐνεργείας. ἀναρπάζουσιν γὰρ αἱ κεναὶ σάρκες ἐκ τῆς γαστρὸς οὐ μόνον ἡμίπεπτον, ἀλλὰ καὶ παντάπασιν ἄπεπτον ἐνίοτε χυμὸν, ὅταν ἐπὶ σιτίοις πονῶσι. καὶ διὰ τοῦτο, νόσους χαλεπωτάτας ὕστερον οὗτοι νοσοῦσιν, καὶ πρὸ γήρως ἀποθνήσκουσιν. καὶ ταῦτα ἀγνοοῦντες οἱ πολλοὶ, μακαρίζουσιν αὐτῶν τὴν ἰσχὺν τοῦ σώματος, ὁρῶντες ἐσθίοντας τέ καὶ πέττοντας, ἃ μηδεὶς ἡμῶν δύναται προσενέγκασθαι καὶ πέψαι. ἐπεὶ δὲ καὶ τοῖς πολλοῖς ταλαιπωρηθεῖσιν ὕπνοι βαθύτεροι γίγνονται, καὶ τοῦτ' αὐτοῖς μειζόνως πρὸς τὰς πέψεις συντελεῖ, διὰ τοῦθ' ἧττον ὑπὸ τῶν μοχθηρῶν ἐδεσμάτων βλάπτονται. εἰ δ' ἀναγκάσεις αὐτοὺς ἀγρυπνῆσαι πλείοσιν ἐφεξῆς νυξὶν, αὐτίκα νοσοῦσιν ἐκεῖνοι. μετὰ δὲ ἓν τοῦτο μόνον ἀγαθὸν ἔχουσιν εἰς πέψιν τῶν μοχθηρῶν ἐδεσμάτων. οἱ δὲ ἀθληταὶ, τροφὰς μὲν οὐκ εὐχυμοτάτας λαμβάνουσιν, ἀλλὰ παχεῖς καὶ γλίσχρους οἵ γε βαρεῖς αὐτῶν, ὀνομάζουσι δ' οὕτω μάλιστα μὲν, τοὺς παλαιστὰς ἤδη δὲ, καὶ τοὺς παγκρατιαστάς τε καὶ πύκτας. ἐπεὶ γοῦν, ἡ παρασκευὴ πᾶσα πρὸς τοὺς ἀγῶνας αὐτοῖς ἐστὶν, ἐν οἷς ἐνίοτε, δι' ὅλης ἡμέρας παλαίειν ἢ παγκρατιάζειν ἀναγκάζονται, διὰ τοῦτο δέονται, τροφῆς δυσφθάρτου τε, καὶ δυσδιαφορήτου. τοιαύτη δέ ἐστιν, ἡ τῶν παχέων, καὶ γλίσχρων χυμῶν. ὁποία μάλιστά ἐστιν, ἥτε ἐκ τῶν χοιρείων κρεῶν, καὶ τῶν, ὡς εἴρηται, σκευαστῶν ἄρτων. οὕσπερ οἱ νομίμως ἀθλοῦντες, ἐσθίουσιν μόνοι. καὶ εἴπερ ἰδιώτης ἀγύμναστος ἐν τῇ αὐτῇ τροφῇ διατρίψειεν, νοσήσει τάχιστα νόσημα πληθωρικόν. ὥσπερ γε καὶ εἰ γυμναζόμενος ἄνθρωπος, ἐπὶ λαχάνοις καὶ χυλοῦ πτισάνης διαιτῷτο, καταφθείρειεν ἂν ἐν τάχει, καὶ τρυχώσειεν τὸ πᾶν σῶμα. χυμὸς δὲ πλεονάζει, ἐκ τῶν τοιούτων ἄρτων, οἷς ἔφην χρῆσθαι τοὺς ἀθλητάς, εἴ τις ἡμῶν τῶν πολλῶν ἐσθίει, γίνεται παχὺς καὶ ψυχρὸς, ὁποῖον ἰδίως ὀνομάζειν εἰθίσμεθα τὸν ὠμὸν χυμόν. ἔστι μὲν οὖν καὶ ὁ τοῦ φλέγματος χυμὸς ὠμός τε καὶ ψυχρὸς, ἀλλ' οὐ παχὺς, ὡς ἂν ὑγρότητά τε πολλὴν ἔχων, καὶ πνεῦμα φυσῶδες. Ὁ δὲ ὠμὸς χυμὸς ἰδίως ὀνομαζόμενος, τοιοῦτός ἐστιν, ὁποῖον φαίνεται τὸ τοῖς οὔροις ὑφιστάμενον ἐνίοτε πύῳ παραπλήσιον, ἀλλὰ δυσῶδες μὲν ἐστὶν, καὶ γλίσχρον τὸ πῦον, ὁ δὲ ὠμὸς ἔοικεν αὐτῷ κατά τε τὸ πάχος καὶ τὴν χρόαν μόνον, οὔτε δυσώδης ὢν, οὔτε γλίσχρος. οὐ μὴν τοῖς γε πυρέττουσιν ἐξ ὠμῶν πλήθους μόνον ὑφίσταται τοῖς οὔροις ὁποῖον εἶπον, ἀλλὰ τοῖς ὑγιαίνουσιν, ὅσοι ταλαιπωρούμενοι, σιτία σκληρὰ καὶ δυσκατέργαστα προσφέρονται. περὶ μὲν οὖν τῶν ἄλλων, αὖθις εἰρήσεται, περὶ δὲ τῶν ἄρτων, ἐπειδὴ περὶ τούτων προὔκειτο πρῶτον ἡμᾶς διελθεῖν, εἴπωμεν ἤδη πρὸς τοῖς παρ' ἡμῶν εἰρημένοις, καὶ ταῦτα. Κάλλιστοι μὲν αὐτῶν εἰσὶν οἱ κλιβανῖται, καθ' ὃν εἴρηται τρόπον, ὠπτημένοι τε, καὶ προπαρεσκευασμένοι πρὸς τὴν ὄπτησιν. ἐφεξῆς δὲ αὐτῶν, οἱ ἰπνῖται, τὴν αὐτὴν ἐσχηκότες δηλονότι παρασκευήν. ἐπεὶ δ' οὐχ ὁμοίως ὀπτῶνται τὰ διὰ βάθος τοῖς κλιβανίταις, διὰ τοῦτ' αὐτῶν, ἀπολείπονται. οἱ δ' ἐπὶ τῆς ἐσχάρας ὀπτηθέντες, ἢ κατὰ θερμὴν τέφραν, ἢ ὑπὸ τῆς ἑστίας ὀστράκῳ, καθάπερ κλιβάνῳ κεχρημένοι, μοχθηροὶ πάντως εἰσὶν, ἀνωμάλως διακείμενοι. τὰ μὲν γὰρ ἐκτὸς αὐτῶν ὑπερόπτᾶται. τὰ δὲ, διὰ βάθους ἐστὶν ὠμά. τοῖς δὲ ἐγκρυφίαις ὀνομαζομένοις, ὡς ἀπὸ τοῦ κατὰ τὴν τέφραν ἐγκρυβέντας, ὀπτᾶσθαι, προσδίδωσί τι καὶ ἡ τέφρα μοχθηρὸν, ὥστε κινδυνεύουσιν οὗτοι ἁπάντων ἄρτων εἶναι χείριστοι, κατά γε τὴν τῆς ὀπτήσεως ἰδέαν, ἐπὶ πᾶσιν τοῖς ἄλλοις ὡσαύτως καὶ προϋπάρχουσιν. δεῖ γὰρ ἑκάστοτε περὶ τῶν προκειμένων ἀκούειν οὕτως, ὡς κατ' ἐκεῖνα μόνων ἐξηλλαγμένων, τῶν παραβαλλομένων ἀλλήλοις. ὡς εἴ γε κατὰ πολλοὺς τρόπους διαφέροντα παραβάλλοιτο, τὰ καθ' ἕκαστον αὐτῶν ἴδια λελεγμένα πάντα ἕξουσιν ἠθροισμένα. περὶ μὲν δὴ οὖν κατὰ ἄρτους διαφορᾶς, αὐτάρκως εἴρηται.

περὶ πεμμάτων, ἤτοι πυρίνου.

Περὶ δὲ τῶν ἄλλων πεμμάτων, ὅσα σκευάζουσιν ἐξ ἀλεύρου πυρίνου, καιρὸς ἂν εἴη λέγειν. οἱ μὲν οὖν τηγανῖται, παρὰ τοῖς ἀττικοῖς ὀνομαζόμενοι, παρ' ἡμῖν δὲ τοῖς κατὰ τὴν ἀσίαν ἕλλησι τηγανῖται, σκευάζονται δι' ἐλαίου μόνου. βάλλεται δὲ, τὸ μὲν ἔλαιον μόνον εἰς τήγανον ἐπικείμενον ἀκάπνῳ πυρὶ, καταχεῖται δὲ αὐτῷ † θερμανθέντι, τὸ τῶν πυρῶν ἄλευρον, ὕδατι δεδευμένον πολλῷ. διὰ ταχέων οὖν ἑψόμενον † αὐτῷ ἐλαίῳ συνίσταται. καὶ παχύνεται, παραπλησίως ἁπαλῷ τυρῷ, τῷ κατὰ τοὺς ταλάρους, πηγνυμένῳ. τηνικαῦτα δὲ ἤδη καὶ στρέφουσιν αὐτὸ οἱ σκευάζοντες, αὐτοῦ τὴν μὲν ἄνωθεν ἐπιφάνειαν ἐργαζόμενοι κάτωθεν, ὡς ὁμιλεῖν τῷ τηγάνῳ. τὸ, δ' αὐτάρκως ἑψημένον, ὃ κάτωθεν ἦν πρότερον, εἰς ὕψος ἀνάγοντες ὡς † ἐπὶ πολὺ εἶναι, κἀπειδ' ἂν ἤδη καὶ τὸ κάτω παγῇ, στρέφουσιν αὖθις αὐτὸ, δίς που καὶ τρίς, ἄχρι περ ἂν ὅλον ὁμαλῶς αὐτοῖς, ἑψῆσθαι δόξῃ. εὔδηλον οὖν ὅτι παχύχυμόν γε τοῦτ' ἐστι, καὶ σταλτικὸν γαστρὸς, καὶ χυμῶν ὠμῶν γεννητικόν. διὸ, καί τινες αὐτῷ μιγνύουσι μέλιτος. εἰσὶ δ' οἳ καὶ τῶν θαλασσίων ἁλῶν, εἴη δ' ἂν ἤδη τοῦτό γε πλακοῦντός τι γένος, ἢ εἶδος, ἢ ὅπως ἂν ὀνομάζειν ἐθέλεις, ὥσπερ καὶ ἄλλα τινὰ πλακούντων εἴδη συντιθέασιν αὐτὸ σχεδίως, οἵ τε κατ' ἀγρὸν ἄνθρωποι, καὶ τῶν κατὰ πόλιν οἱ πενέστατοι. τοιγαροῦν καὶ ὅσα διὰ κλιβάνου τῶν ἀζύμων πεμμάτων ὀπτῶσιν, εἶτ' ἀφελόντες ἐμβάλλουσιν εὐθέως εἰς μέλι θερμὸν, ὡς δέξασθαι δι' ὅλων ἑαυτῶν αὐτὸ, καὶ ταῦτα πλακοῦντός τι γένος ἐστὶν, καὶ τὰ διὰ τῶν ἰτρίων σκευαζόμενα μετὰ μέλιτος πάντα.

περὶ ἰτρίων διαφόρων, σκευαζομένων.

Δ ιττὸν δὲ τῶν ἰτρίων τὸ εἶδος. ἄμεινον, μὲν ὃ καλοῦσι ῥυήματα. φαυλότερα δὲ τὰ λάχανα. πάντα οὖν ὅσα διὰ τούτων τε καὶ σεμιδάλεως συντίθεται, παχύχυμά τε ἐστι, καὶ βραδύπορα. καὶ τῶν καθ' ἧπαρ διεξόδων τῆς τροφῆς ἐμφρακτικὰ, καὶ σπληνὸς ἀλγηδόνος αὐξητικὰ. καὶ λίθων ἐν νεφροῖς γεννητικά. τρόφιμα δὲ ἱκανῶς,

† αl. κίνησις

† αl. ἐν τῷ

† αl. ἐπιπολῆς

ἐπτεφθείη τε, καὶ καλῶς αἱματωθείη. τὰ δὲ σὺν μέλιτι σκευαζόμενα, μικτῆς γίνεται δυνάμεως. ὡς ἂν τοῦ μέλιτος αὐτοῦ λεπτὸν ἔχοντα χυμόν. ὅσοις τ' ἂν ὁμιλήσῃ, καὶ ταῦτα λεπτύνοντα. εἰκότως οὖν ὅσα μέλιτός τε πλεῖον ἐν τῇ σκευασίᾳ προσείληφε, καὶ τὴν ἕψησιν ἔσχηκε μακροτέραν, ἧττον τ' ἐστὶ βραδύπορα, καὶ μικτὸν χυμὸν γεννᾷ ἐκ λεπτοῦ τε, καὶ παχέος. ἥπατι δὲ καὶ νεφροῖς καὶ σπληνί, τοῖς μὲν ὑγιεινοῖς, ἀμείνω τῶν χωρὶς μέλιτος σκευασθέντων· ἐμφράξεως δὲ ἀρχὴν ἔχουσιν, ἢ φλεγμαίνουσιν, ἢ σκιρρουμένοις, οὐδὲν ἧττον ἐκείνων, ἀλλ' ἔστιν ὅτε καὶ μᾶλλον βλαβερὰ καὶ πολλῷ μάλιστα πάντων, ὧν γλίσχρον ἱκανῶς ἐστὶ τὸ ἄλευρον. ὁ γὰρ ἐξ αὐτῶν χυμός, οὐ μόνον ἰσχόμενος ἰέναι πρόσω διὰ πάχος κωλύεται, ἀλλὰ καὶ περιπλαττόμενος ἔνδοθεν τοῖς στενοῖς πέρασι τῶν ἀγγείων, ἐμφράττεται δυσαπολύτως. καὶ βάρους γε τὸ βλαβέν, οὕτω σπλάγχνον αἴσθησιν ἐργάζεται τοῖς πάσχουσι, τῆς ἐκ τῶν λεπτυνόντων ἐδεσμάτων τε καὶ πομάτων ἐπικουρίας δεόμενον. εἴρηται δὲ ἑτέρωθι, καθ' ἓν γράμμα, περὶ τῆς λεπτυνούσης διαίτης. θώρακα γε μὴν οὐδέν, οὐδὲ πνεύμονα βλάπτει τῶν οὕτως σκευασθέντων. ἀλλὰ περὶ μὲν τῶν τὸν παχὺν καὶ γλίσχρον χυμὸν γεννώντων ἐδεσμάτων, εἰρήσεται καὶ αὖθις. ὁ δὲ νῦν ἐνεστηκὼς λόγος ἀξιοῖ σε τ' ἄλλα διὰ μνήμης ἔχειν, ἃ μέχρις δεῦρο διῆλθον, καὶ μάλιστα πάντων αὐτῶν ὑπὲρ τῆς τῶν ἄρτων δυνάμεως, ἐπεὶ διὰ παντὸς αὐτοῖς χρώμεθα καὶ χεῖρον γε οὐδὲν ἀναλαβεῖν τὰ κεφάλαια τῶν ἐπ' αὐτοῖς ῥηθέντων. ἄριστος μὲν οὖν ἐστιν ἄρτος εἰς ὑγείαν ἀνθρώπου, μήτε νέου, μήτε γυμναζομένου, ὁ πλεῖστον μὲν ζύμης ἔχων, πλεῖστον δὲ ἁλῶν. ἐπὶ πλεῖστον δὲ ὑπὸ τοῦ τεχνίτου, πρὶν πλάττεσθαι καὶ ὀπτᾶσθαι κατειργασμένος. ὀπτημένος τε ἐν κλιβάνῳ συμμέτρως θερμῷ, καθ' ὅτι πρόσθεν εἴρηται. κρίσις μὲν οὖν τοῦ πλείστου κατὰ τὴν ζύμην καὶ τοὺς ἅλας ἡ γεῦσις ἔστω σοι, τὸ γὰρ ἤδη λυποῦν ἐν τῇ τούτων πλείονι μίξει, μοχθηρόν. εἰς ὅσον οὖν ἡ γεῦσις οὐδέπω γνωρίζει τὴν ἐκ τῆς μίξεως ἀηδίαν, εἰς τοσοῦτον βέλτιον ἐστὶν αὐξάνειν αὐτῶν τὸ πλῆθος.

περὶ πλυτοῦ ἄρτου ἑρμηνεία.

Ὅσοι δέ, τὸν πλυτὸν ἄρτον ἐπενόησαν σκευάζειν, ἀτροφώτερον μὲν εὗρον ἔδεσμα, πεφεύγασι δ' ὡς οἷόν τε μάλιστα, τὴν ἐκ τῆς ἐμφράξεως βλάβην. ἥκιστα γοῦν ὁ ἄρτος οὗτος ἔχει τὸ παχὺ καὶ γλίσχρον, ὡς ἀεροειδέστερος ἀντὶ γεωδεστέρου γεγονώς. ὁρᾶται δ' ἡ κουφότης αὐτοῦ, διά τε τοῦ σταθμοῦ, κἀκ τοῦ μὴ δύεσθαι καθ' ὕδατος, ἀλλ' ἐποχεῖσθαι τρόπῳ φελλοῦ. ἑψόντων δὲ παρ' ἡμῖν ἐν τοῖς ἀγροῖς πολὺ ἄλευρον πυροῦ μετὰ γάλακτος, ἴστον καὶ τοῦτο τὸ ἔδεσμα τῶν ἐμπλαττόντων ὑπάρχειν. Ὥσπερ οὖν εὔχυμά τε καὶ τρόφιμα πάντα ἐστί, τὰ τοιαῦτα τῶν ἐδεσμάτων, οὕτω βλάπτει τοὺς διηνεκῶς αὐτοῖς χρωμένους, ἐμφράξεις τε ποιούμενα καθ' ἧπαρ καὶ λίθους ἐν νεφροῖς γεννῶντα. τοῦ μὲν γὰρ ὠμοῦ χυμοῦ προσλαβόντος τὸ γλίσχρον, ὅταν αἱ κατὰ τοὺς νεφροὺς διέξοδοι στενότεραι εἰσί τισιν ὑπάρχουσαι φύσει, χρονίζον αὐτόθι τὸ παχύτατόν τε καὶ γλίσχρον ἕτοιμόν ἐστι γεννῆσαι πῶρον, ὁποῖος τοῖς ἀγγείοις, οἷς τὸ ὕδωρ θερμαινόμενον, ἐπιτρέφεται. καὶ τοῖς λίθοις πεπήγνυται κατὰ πολὺ τῶν αὐτοφυῶν ὑδάτων θερμῶν, συντελεῖ δὲ εἰς τοῦτο μάλιστα, καὶ ἡ τῶν νεφρῶν αὐτῶν κρᾶσις. ὅταν οἷον πυρῶδες τε καὶ δριμύ, τὸ κατ' αὐτοὺς ᾖ θερμόν. ἐκ τούτου δὲ τοῦ γένους εἰσὶ καὶ οἱ τοῖς ἀρθριτικοῖς γενόμενοι πῶροι. ῥεῖ γοῦν, ἀεὶ τὸ περιττεῦον ἐν τῷ σώματι πᾶν εἰς τοὺς ἀσθενεστάτους τόπους. ἐργάζεταί τε ἐν αὐτοῖς πάθος κατὰ τὴν αὐτοῦ φύσιν. εἰρήσεται δὲ αὖθις, ἐν τῷ περὶ γάλακτος λόγῳ περὶ πάσης αὐτοῦ τῆς χρήσεως, ὥσπερ γε, καὶ ἐπὶ τῶν παχυνόντων ἐδεσμάτων, ἐπειδὴ καὶ ἄλλα ἄττα τῆς τοιαύτης ἐστὶ δυνάμεως.

περὶ χόνδρου.

Τοῦ γένους τῶν πυρῶν ἐστὶν ὁ χόνδρος ἱκανῶς τρόφιμόν τε καὶ γλίσχρον ἔχων χυμόν, ἐάν τε ἐν ὕδατι μόνον ἑψηθὲν λαμβάνηται δι' οἰνομέλιτος, ἢ οἴνου γλυκέος, ἢ καὶ στύφοντος. ἴδιος γὰρ ἑκάστου καιρὸς τῆς χρήσεως, ἐάν τε τὸ ῥωνηθὲν μετ' ἐλαίου καὶ ἁλῶν. ἐμβάλλεται δέ ποτε καὶ ὄξος αὐτῷ. καὶ καλοῦσιν οἱ ἰατροί, τὸν κατασκευασθέντα οὕτω χόνδρον, πτισάνης γεγονέναι τὴν ἄρτυσιν. ἔνιοι δὲ ἐκ χόνδρου πτισάνης τετράφθαι φασὶ τὸν κάμνοντα. τῶν παλαιῶν δὲ ἔνιοι, καθάπερ Διοκλῆς καὶ Φιλότιμος ὀνομάζουσι, πτισάνην πυρίνην τὸν οὕτως ἐσκευασμένον χόνδρον, διὰ τοῦτο καὶ τὸ ὄνομα αὐτοῦ σπάνιόν ἐστι παρὰ τοῖς παλαιοῖς. ὥσπερ, καὶ τὸ τοῦ σιτανίου. τῇ γὰρ κοινῇ προσηγορίᾳ τὸν πυρὸν ὀνομάζουσιν αὐτόν. εἴρηται δὲ ἐν τῷ περὶ διαίτης Ἱπποκράτους, τοὺς ἐκ τοῦ χόνδρου κατασκευαζομένους ἄρτους, τροφιμωτάτους μὲν εἶναι, διαχωρεῖν δὲ ἧττον. εἴρηται δέ, ὅτι σεμίδαλις, καὶ χόνδρος ἑφθός, ἰσχυρὰ καὶ τρόφιμα. φυλάττεσθαι δὲ τοίνυν προσήκει καὶ τούτου τὴν πολλὴν χρῆσιν. καὶ τούτους, οἷς εὐέμφρακτόν ἐστι τὸ ἧπαρ, ἢ νεφροὶ πρὸς τὸ γεννῆσαι λίθους ἐπιτήδειοι. μάλιστα δὲ προσέχειν τὸν νοῦν τοῖς σκευαζομένοις ῥοφήμασιν ἐκ τοῦ καλουμένου πλυτοῦ χόνδρου. χυλὸς μὲν γάρ ἐστιν οὕτως αὐτοῦ μεμιγμένος ὕδατι, πλείστης δὲ ἑψήσεως δεόμενος. ἐξαπατᾷ μὲν τοὺς σκευάζοντας, ὡς αὐτάρκως ἑψημένος. οὐ μικρῶς δὲ βλάπτει τοὺς νοσοῦντας, οἷς περ δὴ καὶ παρασκευάζουσιν αὐτόν. ἐν τάχει γὰρ συνίσταται καὶ παχύνεται, διὰ τὸ κολλῶδες εἶναι. χρὴ τοίνυν ὕδατι πολλῷ μιγνύντας ἐπ' ἀνθράκων ἕψειν, τὸ πλεῖστον κινοῦντας, ἄχρις ἂν ἀκριβῶς ἑψηθῇ. τηνικαῦτα δὲ ἐπεμβάλλειν ἤδη καὶ τῶν ἁλῶν. τὸ δὲ ἔλαιον εἰ καὶ κατ' ἀρχὴν εὐθέως ἐπιμίξεις, οὐδὲν βλάπτει. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ λελέχθω θεραπευτικῇ προσῆκον, οὐ τῷ νῦν ἐνεστῶτι πράγματι. τοῖς δ' ὑγιαίνουσιν, ὅταν ποτὲ κατὰ δῆξιν σφοδρὰν γαστρὸς ἢ χολωδῶν πολλῶν διέξοδον, ἤ τι τοιοῦτο, δεηθῶσι ῥοφήματος. ἕψοντας ἄχρι πλείστου τὸν χόνδρον, ὡς γενέσθαι τακερόν, εἶτα ῥωνήσαντας εἶτα ταράξαντας. ὡς ὁμοιωθῆναι πτισάνης χυλῷ διηθημένῳ, τηνικαῦτα διδόναι ῥοφεῖν. ἡ δὲ ἄρτυσις ἡ αὐτή, τῷ πλυτῷ γίνεται χόνδρῳ.

περὶ πυρῶν ἑψομένων ἐν ὕδατι.

Εἰ μὴ καὶ αὐτὸς ἔφαγόν ποτε πυροὺς ἐν ὕδατι ἑψημένους, οὐκ ἂν ἤλπισα τινὰ χρείαν γενέσθαι τῆς ἐδωδῆς αὐτῶν. οὔτε γὰρ ἐν λιμῷ τις ἐπὶ τοιαύτην ἂν ἀφίκοιτο χρῆσιν, ἐνὸν εἴπερ εὐπορεῖ πυρῶν, ἄρτους ἐξ αὐτῶν ποιήσασθαι. παρὰ δεῖπνον δὲ καθάπερ ἐρεβίνθους ἑφθούς τε καὶ φρυκτοὺς ἐσθίουσιν, ἐν χρείᾳ τῶν καλουμένων τραγημάτων, ἄλλα τε ἄττα σπέρματα τὸν αὐτὸν τρόπον σκευάζοντες, οὕτως οὐδεὶς προσφέρεται πυρὸν ἑφθόν. διὰ ταῦ-

τα μὲν οὖν οὐδ' ἂν ἤλπισά τινα πυρὸν ἑφθὸν ἐδηδοκέναι. ἐπεὶ δὲ καὶ αὐτὸς ἐγὼ πορευθείς ποτε εἰς ἀγρὸν οὐκ ἐγγὺς τῆς πόλεως ὄντα μετὰ δυοῖν μειρακίοιν τὴν αὐτὴν ἡλικίαν ἀγόντων ἐμοί, κατέλαβον ἤδη δεδειπνηκότας τοὺς ἀγροίκους καὶ μελλούσας ἀρτοποιεῖσθαι τὰς γυναῖκας, ἠπόρουν γὰρ ἄρτου, παραχρῆμα τις αὐτῶν ἐμβαλὼν εἰς χύτραν πυροὺς ἥψησεν, εἶθ' ἡδύνας ἁλσὶ μετρίοις, ἐσθίειν ἡμᾶς ἠξίωσεν. ἐμέλλομεν δὲ, ὡς τὸ εἰκὸς, αὐτὸ ποιήσειν, ὡδοιπορηκότες τε καὶ πεινῶντες. ἐφάγομεν τε οὖν αὐτῶν δαψιλῶς, ᾐσθανόμεθά τε κατὰ τὴν γαστέρα βάρους, ὡς δοκεῖν ἐγκεῖσθαι πηλὸν αὐτῇ, καὶ κατὰ τὴν ὑστεραίαν ἀπεπτηκότες, ἀνόρεκτοι δι' ὅλης ἡμέρας ἦμεν, ὡς μηδὲν δύνασθαι προσενέγκασθαι, καὶ πνεύματος φυσώδους μεστοὶ, κεφαλαλγεῖς τε καὶ βλέποντες ἀχλυώδες, οὐδὲ γὰρ ὑπεχώρει τι κάτω, ὃ μόνον ἐστὶν ἄκος ἐπὶ ταῖς ἀπεψίαις. ἠρώτων οὖν τοὺς ἀγροίκους εἰ καὶ αὐτοί ποτε πυρὸν ἑφθὸν ἔφαγον, ὅπως διετέθεισαν. οἱ δὲ καὶ πολλάκις ἐδηδοκέναι κατὰ τὴν αὐτὴν ἀνάγκην ἔφασαν, ᾗ καὶ τόθ' ἡμεῖς συνηνέχθημεν, εἶναί τε βαρὺ καὶ δυσπεπτον ἔδεσμα τοὺς οὕτω σκευασθέντας πυρούς, ἣν δή γε τοῦτο καὶ μὴ πειρασθέντας λογίσασθαι πρόδηλον. ὅπου γὰρ οὐδὲ τὸ ἄλευρον αὐτῶν ἐσθιόμενον, ὡς εἴπομεν ἔμπροσθεν, εὔπεπτόν ἐστιν, εἰ μὴ κατεργασθείη δι' ἁλῶν καὶ ζύμης, καὶ φυράσεως, καὶ τρίψεως καὶ κλιβάνου, πῶς οὐκ ἄν τις ἐννοήσειε τοὺς ἀκατεργάστους ἰσχυροτάτους εἶναι. δύναμιν γε μὴν ἔχουσι μεγάλην, εἰ πεφθεῖεν οἱ οὕτω βρωθέντες πυροὶ, καὶ τρέφοντες ἰσχυρῶς τὸ σῶμα, καὶ ῥώμην ἐπίσημον παρεχόμενοι τοῖς προσενεγκαμένοις αὐτούς.

περὶ ἀμύλου.

Ἐκ πυρῶν τοῦτο σκευάζεται, δύναμιν ἔχον ὁμαλυντικὴν τῶν τετραχυσμένων. ὑπάρχει δὲ κοινὸν τοῦτο τοὔργον, ἁπάσαις ταῖς οὐσίαις ὅσαι ξηραὶ κατὰ τὴν σύστασιν οὖσαι, μήτε στῦψιν ἔχουσι μήτε δριμύτητα, μήτε ἄλλην τινὰ δύναμιν ἐπιφανῆ. καὶ καλοῦσιν ἀποίους εἰκότως οὐσίας τοιαύτας, ὡς πρὸς αἴσθησιν. ἔστι δὲ κἀν ταῖς ὑγραῖς οὐσίαις τὸ ὕδωρ τοιοῦτον. παραπλήσιον δ' ἐστὶ δυνάμει τοῖς πλυτοῖς ἄρτοις τὸ ἄμυλον, ἐλάττονα δὲ τροφὴν δίδωσι τῷ σώματι τῶν ἀπλύτων ἄρτων τούτων, καὶ μὴ θερμαίνουσαν, ὥσπερ οὐδὲ ἐκεῖνοι, τῶν ἄλλων ἄρτων θερμαινόντων. τοῖς μὲν γὰρ ἐξ ὕδατος ἑψημένοις πυροῖς, οὐδὲ παραβάλλειν αὐτὸ χρή, σαφῶς θερμαίνουσί τε καὶ τρέφουσιν εἰ πεφθεῖεν ἰσχυρῶς, οὖσί τε δυσπέπτοις ὡς εἴρηται.

περὶ κριθῶν.

Πολλὴ καὶ τούτου τοῦ σπέρματος ἡ χρεία τοῖς ἀνθρώποις ἐστὶν, οὐ τὴν αὐτὴν ἔχοντος δύναμιν τοῖς πυροῖς. ἐκεῖνοι μὲν γὰρ θερμαίνουσιν φανερῶς, τοῦτο δὲ οὐ μόνον ἀποκεχώρηκε τοῦ θερμαίνειν, ὥσπερ ἔνια μεταξὺ τοῦ θερμαίνειν καὶ ψύχειν ὄντα, καθάπερ ἄμυλόν τε καὶ ὁ πλυτὸς ἄρτος, ἀλλὰ καὶ ψυκτικὸν ἔχειν τι φαίνεται κατὰ πάντας τοὺς τρόπους τῆς χρήσεως, ἐάν τε ἄρτους ἐξ αὐτῶν τύχῃ τις σκευάσας, ἐάν τε πτισάνην ἑψήσας, ἐάν τε ἄλφιτα ποιησάμενος. ἀποκεχώρηκε δὲ τῆς τῶν πυρῶν φύσεως καὶ κατὰ τὴν ἰδέαν τῶν χυμῶν, ὃν ἑκάτερον αὐτῶν ἐργάζεσθαι πέφυκεν. οἱ μὲν γὰρ πυροὶ παχὺν ἡμῖν καὶ γλίσχρον, αἱ δὲ κριθαὶ λεπτὸν καὶ ῥυπτικὸν ἔχοντά τι γνωστὸν χυμόν, οὐδέ ποτε μὴν οὖν θερμαίνουσι τὸ σῶμα κατ' οὐδένα τρόπον σκευασίας. ὑγραίνουσι δὲ καὶ ξηραίνουσι διαφόρως σκευασθεῖσαι. τὸ μὲν γοῦν ἄλφιτον ἐκ τῆς φρυγείσης κριθῆς γινόμενον, ἐναργῶς φαίνεται ξηραῖνον. ἡ πτισάνη δὲ ὑγραίνει, ὅταν γε ὡς προσήκει σκευασθῇ, τουτέστιν ὅταν ἐπὶ πλεῖστον ἀνοιδήσασα τύχῃ κατὰ τὴν ἕψησιν, εἶτα μετὰ ταῦτα διὰ μαλακοῦ πυρὸς ἄχρι πολλοῦ χυλωθεῖσα. μίγνυται δὲ αὐτῇ κατ' ἐκεῖνον τὸν καιρὸν ὄξος, ὅταν ἀνοιδήσηται τελέως. ἐφθῆς δὲ ἀκριβῶς γενομένης ἐπεμβάλλειν χρὴ τοὺς ἅλας λεπτούς, οὐ πολὺ πρὸ τῆς ἐδωδῆς. ἔλαιον δὲ εἰ καὶ κατ' ἀρχὴν εὐθέως ἐμβάλλεις, οὐ βλάψεις τὴν ἕψησιν. οὐ μὴν ἄλλο τι γε χρὴ μιγνύειν, ὅτι μὴ πράσου βραχὺ καὶ ἀνήθου, καὶ ταῦτα εὐθὺς ἐν ἀρχῇ. κάκιστα δ' ὁρῶ σκευαζομένην τὴν πτισάνην ὑπὸ τῶν μαγείρων πάντων. ἐν τῇ θυίᾳ γὰρ τρίβοντες αὐτὴν ὠμὴν οὐκ ἐπὶ τοῦ πυρὸς ἕψοντες διαλύουσιν. ἐπεμβάλλουσι δέ τινες καὶ ἀμύλου, χάριν τοῦ δόξαι διὰ τῆς ἑψήσεως ἱκανῶς συγχυλῶσθαι. φυσωδεστάτη οὖν εἰκότως ἡ τοιαύτη γίνεται, καὶ δυσπεπτος ἱκανῶς. οὐδ' οὐκ εἶπον ἐν τῇ καλῶς γινομένῃ σκευασίᾳ, προσθεῖναι προσήκει, προδιαβρέξαντας, ὕδατι τὴν ὠμὴν πτισάνην ἔτι ὀλίγον, εἶτ' ἐμβαλόντας θυίᾳ, τρίβειν χρὴ διὰ τῶν χειρῶν ἐχουσῶν ἐν αὐταῖς τι τραχὺ καθάπερ ὁ σπάρτος ὀνομαζόμενος ἐστίν, ἐξ οὗ πλέκουσιν ὑποδήματα τοῖς ὑποζυγίοις. ὅρος δ' ἔστω τῆς τρίψεως ἀπορρίψαι τὸ περικείμενον λέμμα. πτισσομένης γὰρ τῆς κριθῆς, ὁ περικείμενος αὐτῆς χιτὼν λεπτὸς οὐκ ἀπορρίπτεται πᾶς. διὰ τοῦτο οὖν προβρέχεται καὶ τρίβεται κατὰ τὴν θυίαν. ἐὰν δὲ μὴ πᾶν ἀποπέσῃ τὸ ἀχυρῶδες, ἡ ἑψηθεῖσα πτισάνη ῥυπτικωτέρα μὲν γίνεται, βλάβην δὲ οὐδὲ μίαν ἑτέραν λαμβάνει. χειρίστη δὲ σκευασία πτισάνης ἐστὶν, ὅταν οἱ μάγειροι τρίψαντες αὐτὴν ὠμὴν ἐν θυίᾳ μεθ' ὕδατος, εἶτ' ἑψήσαντες ἔτι ὀλίγον, ἐμβάλλουσι τὸ καλούμενον ἕψημα τε καὶ σίραιον, ἔνιοι δὲ καὶ μέλι καὶ κύμινον ἅμα τούτοις ἐπεμβάλλουσιν, κυκεῶνά τινα μᾶλλον, ἢ πτισάνην παρασκευάζοντες. ἀλλ' ἥ γε καλῶς σκευασθεῖσα τὰς ὑφ' Ἱπποκράτους εἰρημένας παρέχεται χρείας ὑγιαίνουσί τε καὶ νοσοῦσιν ἀνθρώποις. τὸ γὰρ γλίσχρασμα φησὶν αὐτῆς, λεῖον καὶ συνεχὲς καὶ προσηνές ἐστιν, καὶ ὀλισθηρὸν καὶ πλαδαρὸν μετρίως καὶ ἄδιψον καὶ εὐέκκριτον, εἴ τι καὶ τούτου προσδέοι, καὶ οὔτε στῦψιν ἔχον, εἴτε ἄραδον κακὸν, καὶ οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίᾳ, ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει ὁπόσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι. ταῦτα τοίνυν ἀρκεῖ περὶ τῆς πτισάνης δυνάμεως εἰρῆσθαι κατὰ τὴν ἐνεστῶσαν πραγματείαν, οὐ θεραπευτικὴν οὖσαν, ἀλλὰ τὰς δυνάμεις μόνας τῶν τροφῶν ἐξηγουμένην. ἐν παραδρομῇ δὲ τοῦ λόγου καὶ χρεῖαι τινὲς αὐτῶν διδάσκονται.

περὶ κριθίνων ἄρτων.

Καιρὸς γοῦν μεταβαίνειν ἐπὶ τὸν περὶ τῶν κριθίνων ἄρτων λόγον, οὓς σκευάζουσιν οἱ ἄνθρωποι παραπλησίως τοῖς πυρίνοις. εἰσὶ δὲ οὐ μόνον τῶν πυρίνων, ἀλλὰ καὶ τῶν ὀλυρίνων, καὶ πολὺ μᾶλλον ἔτι τῶν τιφίνων ψαθυρώτεροι, μηδὲν ἐν αὐτοῖς ἔχοντες ὥσπερ ἐκεῖνοι γλίσχρον, εὔδηλον οὖν ὅτι τροφὴν ὀλίγην παρέχουσι τῷ σώματι καὶ μάλι-

καὶ μάλιστα ὅταν ἐκ φαυλοτέρων γίνωνται κριθῶν, ἐξ ὧν ὁ Ἱπποκράτης οὐδὲ τὴν πτισάνην ἐκέλευσε σκευά-
ζειν. οὐδὲ γὰρ ἀνίσχουσιν ἐξ αὐτῶν πολὺν χυλὸν ἑψόμεναι. κάλλισται δέ εἰσιν αἱ λευκαὶ μετὰ τὸ πτισθῆναι φαινόμε-
ναι, καί τι πυκνότητος ἔχουσαι καὶ βάρους, ὅσον οἷόν τε κριθὴν ἔχειν. ἀμείνους δὲ δηλονότι καὶ τῶν ἰσχνῶν τε καὶ
ῥυσσῶν αἱ πλήρη ὅλην καὶ τεταμένην ἔξωθεν ἔχουσαι τὴν περιγραφήν, ἀλλὰ τοῦτο μὲν ἁπάντων σπερμάτων
κοινὸν ἔστω σοι γνώρισμα, πλὴν εἰ μή τι πάνυ σφόδρα πλείονα ποτὲ τοῦ κατὰ φύσιν ὄγκον ἔχοιεν, ἅμα τῷ μαλα-
κώτερον καὶ χαυνότερον γενέσθαι. περιττωματικὴν γὰρ ὑγρότητα ταῦτα ἔχειν ἴσθι καὶ χείρω τῶν προειρημένων
εἶναι, καὶ διὰ τοῦτο μετὰ τὴν συγκομιδὴν οὐ προσήκειν αὐτοῖς χρῆσθαι, καταθεμένων δὲ ἐν τόποις ξηροῖς ἐᾶσαι ἐν χρόνῳ
πλείονι, τὸ μέν τι διαπνεῦσαι τῆς περιττῆς ὑγρότητος, τὸ δ᾽ ἔτι πεφθῆναι, μέχρις ἂν ξηραινόμενα προσσταλῇ με-
τρίως. ἀπορρεῖ γὰρ ἁπάντων φυτῶν τε καὶ σπερμάτων καὶ καρπῶν, ἐπειδὰν συγκομισθέντα κέηται, πρῶτον
μὲν ὅσον ἐν αὐτοῖς ὑδατῶδές τε καὶ λεπτὸν περίττωμα, μετὰ ταῦτα δὲ καὶ αὐτῆς τι τῆς κατὰ φύσιν ὑγρότη-
τος. ἡνίκα γὰρ ξηροτέραν μὲν ἢ προσῆκεν τὴν οὐσίαν ἴσχει, καὶ χείρω γίνεται τῶν εἰς ἄκρον εὐεξίας ἡκόντων, οὐ μὴν
ἤδη γ᾽ ἐστὶ μοχθηρὰ παντάπασιν, ἀλλὰ καὶ χρησιμώτερα πρὸς ἐνίας διαθέσεις, ὅσαι ξηραίνεσθαι δέονται. τὰ δὲ ἐπὶ
πλεῖστον ἀρκέσαντα χείρω γίνονται ταῖς δυνάμεσιν. ὅρος δὲ καὶ τούτων ὅταν διαιρούμενα, καθάπερ τινὰ κόνιν
λεπτὴν ἐκπίπτουσαν ἔχῃ. ταῦτα μὲν οὖν ἐπὶ πάντων ἔστω σοι διὰ μνήμης, ἅπαξ εἰρημένα νῦν. ἐμοὶ γὰρ οὐχ ἡδὺ
πολλάκις ὑπὲρ τῶν αὐτῶν λέγειν τὰ αὐτά, πλὴν εἴποτε ἀναγκαῖον ἀναμνῆσαι φαίνοιτο τῶν κεφαλαίων μόνων ψι-
λῶν. περὶ δὲ τῶν ἐκ κριθῆς ἄρτων ὑπὲρ ὧν ὁ λόγος ἦν, αὖθις ἀναλαβόντες εἴπωμεν, ὡς κἀν τούτοις εἰσὶ διαφοραί
τινες ἀνάλογον τοῖς ἐπὶ τῶν πυρίνων ὀλίγον ἔμπροσθεν εἰρημένοις. ἅπαντες μὲν γὰρ ἀτροφώτεροι τῶν πυρίνων
εἰσὶ πολλῷ, ἀλλ᾽ οἱ μὲν ἐκ τῶν ἀρίστων κριθῶν ἧττον τοῦτο πεπόνθασιν. οἱ δὲ ἐκ τῶν χαύνων τε καὶ κούφων ἀνάλο-
γόν εἰσι τοῖς πιτυρίαις ἄρτοις, ὑπέρχονται δὲ κάτω κατὰ γαστέρα, μάλιστα μὲν οἱ ἐκ τῶν χειρίστων κριθῶν, οὐχ ἥκι-
στα δὲ καὶ οἱ ἄλλοι παραβαλλόμενοι τοῖς πυρίνοις. ὅσαι δ᾽ ἄλλαι μεταξὺ τούτων γίνονται σκευασίαι τῶν κριθί-
νων ἄρτων, αἱ αὐταὶ ταῖς ἐπὶ τῶν πυρίνων εἰρημέναις εἰσίν.

περὶ ἀλφίτων.

Ἐκ τῶν νέων κριθῶν φρυγεισῶν συμμέτρως τὸ κάλλιστον ἄλφιτον γίνεται. τούτων δὲ ἀποροῦντες ἐνίοτε κἀκ τῶν ἄλ-
λων αὐτὰ σκευάζομεν. εὐωδῶν δὲ ὄντων ἁπάντων ὅσα καλῶς ἐσκευάσθη, μάλιστα ἐστὶν εὐώδη τὰ ἐκ τῶν ἀρί-
στων καὶ νέων κριθῶν γιγνόμενα, μὴ πάνυ ξηρὸν ἐχουσῶν τὸν στάχυν. ἐν ἔθει δ᾽ ἐστὶ πολλοῖς τῶν ὑγιαινόντων ἀνα-
πάττουσιν αὐτὴν σιραίῳ καὶ οἴνῳ γλυκεῖ καὶ οἰνομέλιτι κεκραμένοις, καὶ ποτὲ καὶ ὕδατι μόνῳ, πίνειν ἐν τῷ θέ-
ρει, πρὸ δυοῖν ἢ τριῶν ὡρῶν τοῦ λουτροῦ, καὶ φασὶν αἰσθάνεσθαι τοῦ πόματος ἀδίψου, δι᾽ οἴνου γε μὴν αὐστηροῦ πο-
θέντα, ξηραίνει γαστέρα. χρῶνται δὲ ἀλφίτοις ἔνιοι τῶν ἐθνῶν ἐν ἄρτου χρείᾳ, καθάπερ ἐπὶ τῶν ἀγρῶν
εἶδον ἐν Κύπρῳ, καίτοι πλεῖστον γεωργοῦσι σιτίον. οἱ παλαιοὶ δὲ καὶ τοῖς στρατευομένοις ἄλφιτα παρεσκεύα-
ζον. ἀλλ᾽ ἔτι γε νῦν τὸ Ῥωμαίων στρατιωτικὸν ἀλφίτοις χρῆται κατεγνωκὸς αὐτῶν ἀσθένειαν. ὀλίγην γὰρ
τροφὴν δίδωσι τῷ σώματι, τοῖς μὲν ἰδιωτικῶς διακειμένοις καὶ ἀγυμνάστοις αὐτάρκη. τοῖς δ᾽ ὁπωσοῦν γυ-
μναζομένοις ἐνδεῆ. γίγνονται δὲ ἐξ αὐτῶν ὑγρῶν φυραθέντων αἱ μᾶζαι. περὶ ὧν ἐφεξῆς ἐροῦμεν. ἐπει-
δὴ καὶ Φιλότιμος ἐπὶ πλέον ὑπὲρ αὐτῶν διῆλθεν ἐν τῷ πρώτῳ περὶ τροφῶν, ὅμως ἀδιόριστον εἴασεν τὸ
χρησιμώτατον ἐν αὐτοῖς.

περὶ μάζης.

Τὴν δύναμιν ἑκάστου τῶν ἐδεσμάτων ἔνεστί σοι καὶ πρὸ τῆς διωρισμένης πείρας ἐκ τῆς φύσεως αὐτῶν τεκ-
μαίρεσθαι. τίνι γὰρ ἀνδρὶ συνετῷ, τὸ μὲν ἀκριβῶς λεπτόν, καὶ λευκόν, καὶ καθαρὸν ἁπάσης πιτυρώδους
οὐσίας ἄλευρον, οὐκ ἐνδείξαιτο καὶ κατὰ τὴν γαστέρα θᾶττόν τε καὶ μᾶλλον ἀλλοιοῦσθαι, καὶ διὰ τοῦτο πέττε-
σθαί τε κάλλιον, ἀναδίδοσθαί τε ῥᾷον, ἑτοιμότερόν τε τρέφειν, ὡς ἂν ὅλον ἐξομοιούμενόν τε καὶ προστιθέμενον
τοῖς τρεφομένοις σώμασιν. ὅσον δ᾽ ἐν αὐτοῖς πιτυρῶδές ἐστι καὶ σκληρόν, ὥσπερ ἐκτὸς φαίνεται μὴ διαλυό-
μενον ἐν ὕδατι, κατὰ τὸν αὐτὸν λόγον οὐδ᾽ ἐν τῇ γαστρὶ διαλύεσθαι βρεχόμενον, ἀλλὰ διαμένειν ὅλον ἀδιαί-
ρετόν τε καὶ ἀκατέργαστον ὁποῖον ἐλήφθη; τοῦτ᾽ οὖν οὔτε πέττεσθαι καλῶς δύναται, οὔτε ἀναδίδοσθαι διὰ τὸ
μηδὲν ἁρμόττειν ὅλως τοῖς στόμασι τῶν εἰς τὴν γαστέρα τε καὶ ἔντερα καθηκουσῶν φλεβῶν, οἷς ἐξ ἀνάγκης ἕπε-
ται πλέον μὲν ἀπὸ αὐτοῦ γίνεσθαι τὸ κοπρῶδες, ὑπιέναι δὲ θᾶττον αὐτῷ τε τῷ διὰ πλῆθος βάρει, καὶ προ-
σέτι τῷ ῥυπτικὴν ἔχειν ποιότητα τὸ πιτυρῶδες ἅπαν. εὔδηλον οὖν ἐστὶ τῷ ταῦτ᾽ ἐννοήσαντι, τοσοῦτον ἀπο-
λείπεσθαι μᾶζαν εἰς τροφὴν σώματος ἄρτων κριθίνων, ὅσον οὗτοι πυρίνων. ἐχούσης γὰρ ἤδη τῆς κριθῆς φύσει
τὸ πιτυρῶδες οὐκ ὀλίγον, ἡ φρυγεῖσα ξηρότερον μὲν καὶ αὐτὸ τοῦτο, καὶ δυσθραυστότερον ἴσχει. ξηρότερον δὲ καὶ
τὸ τούτου κρεῖττον, ἐξ οὗ τὴν τροφὴν ἐλάμβανε σῶμα. κατὰ τοῦτ᾽ οὖν ἧττον πέττεται τῶν κριθίνων ἄρτων ἡ μᾶζα καὶ φύ-
σῃ μᾶλλον ἐμπίμπλησι τὴν γαστέρα, καὶ εἰ ἐπὶ πλέον ἐν αὐτῇ μένῃ ταραχὴν ἐργάζεται. μᾶλλον δὲ διαχωρεῖ
κάτω φυραθεῖσα καὶ τριφθεῖσα μέχρι πλείονος. εἰ δὲ καὶ μέλι προσλάβῃ, θᾶττον ἔτι καὶ διὰ τοῦτο παρορ-
μήσει τὴν γαστέρα πρὸς ἔκκρισιν. Φιλότιμος οὖν οἴεται παχὺν καὶ κολλώδη καὶ ψυχρὸν ἐξ ἁπάσης μάζης
γεννᾶσθαι χυμόν, ὃν αὐτός τε καὶ ὁ διδάσκαλος αὐτοῦ Πραξαγόρας ὑαλώδη καλοῦσιν. τὸ δ᾽, οὐχ οὕτως ἔχει,
μή τε τὸ γλίσχρον ἐχόντων τῶν ἀλφίτων, ὅπερ ἐν χόνδρῳ μάλιστα ἐστί, μή τε τὸ τρόφιμον. ἐξαπατᾷ δὲ αὐτὸν
ἡ ἐπὶ πλέον ἐν οἴνῳ γλυκεῖ καὶ σιραίῳ φυραθεῖσα χρόνῳ πολλῷ μᾶζα. τριπτὴν δ᾽ αὐτὴν ὀνομάζει καθάπερ Ἀ-
θηναῖοι. τὸ γὰρ ἐκ ταύτης ἀνάλογον τῷ πυρίνῳ σταιτὶ γιγνόμενον, ὁλκιμόν ἐστιν καὶ κολλῶδες, ἔκ τε τοῦ μεμαλά-
χθαι χρόνῳ πλείονι. καὶ τοῦ μιχθέντος τοῖς ἀλφίτοις ὑγροῦ παχέος ὄντος. ὥσπερ δὲ τρίψις πολλὴ μεθ᾽ ὑ-
γροῦ παχέος γινομένη, γλίσχρον τῇ φαντασίᾳ τὸ τριφθὲν ἄλευρον ἐργάζεται, κἂν ἐκ κέγχρων ᾖ, κατὰ τὸν αὐ-
τὸν λόγον ὁ χυλὸς τῆς πτισάνης φαίνεται γλίσχρος, οὐδὲν ἔχων ἐν αὐτῷ κολλῶδες, οὐδ᾽ ἐμπλαστικόν, ἀλλὰ ῥυ-
πτικόν τε καὶ τμητικόν, ὡς καὶ περὶ τοῦ δέρματος ἡμῶν φαίνεται τὸν ῥύπον καθαῖρον. εἰ δὲ καὶ ῥοφῆσαί τινι

† al. αὐτοὶ δοὺς αὐτὸν, ὀλίγον ὕστερον ἐμέσαι ποιήσειας, ἀποῤῥύψαι τε τὸ περιεχόμενον ἐν τῇ γαστρὶ φλέγμα καὶ συνεκβαλεῖ πάνθ' αὐτῷ κατὰ τὸν ἔμετον.

περὶ τυφῶν καὶ ὀλύρων καὶ ζειῶν.

Μνησίθεος μὲν ἐν τῇ τρίτῃ τάξει τίθησι τὰς τίφας ἐπὶ πυροῖς τε καὶ κριθαῖς. Διοκλῆς δὲ ἀμελέστερον ὑπὲρ αὐτῶν διῆλθε τὸ σύντομον ἐν τῇ γραφῇ προτιμήσας τοῦ κατὰ διέξοδον ἀκριβοῦς. οὕτω γοῦν καὶ περὶ πυρῶν καὶ κριθῶν, ἄλλων τε πολλῶν ἔγραψε συντεμὼν τὸν λόγον. ὀλίγῳ δὲ μακρότερος τοῦ Διοκλέους ὑπὲρ αὐτῶν ὅ, τε Πραξαγόρας καὶ ὁ Μνησίθεος ἔγραψαν, ἐλλιπῶς μέν τοι καὶ † αὐτός. Φιλότιμος δὲ περὶ τινῶν μακρῶς πάνυ, περὶ τινῶν ἐλλιπῶς, ἐνίων δὲ οὐδ' ὅλως ἐμνημόνευσεν, ὥσπερ οὐδὲ περὶ τῆς ζειᾶς. οὐδ' ἦλον δ' ὅτι μηδὲν ὁ Πραξαγόρας ὁ διδάσκαλος αὐτοῦ. παρέλιπε μὲν γὰρ οὐδὲν ὧν ἐκεῖνος εἶπεν ὁ Φιλότιμος, ἐξεργάζεται δὲ καὶ προστίθησι πολλά. θαυμάσαι δ' ἐστὶν ὅτι μηδὲ ὁ τὸ περὶ διαίτης ἐπιγεγραμμένον Ἱπποκράτει συνθεὶς, ὅστις ποτ' ἦν ἀνὴρ παλαιὸς, ἐμνημόνευσε τοῦ τῶν ζειῶν ὀνόματος. καὶ γὰρ εἰ τὰς τίφας ἡγεῖτο καλεῖσθαι ζειὰς ὑπό τινων, ἐχρῆν αὐτὸ τοῦτο δηλῶσαι. βέλτιον δ' ἴσως ἐστὶ καὶ τὰς ῥήσεις αὐτῶν παραγράψαι. Διοκλῆς μὲν οὖν οὕτως ἔγραψεν ἐν τῷ πρώτῳ τῶν πρὸς Πλείσταρχον ὑγιεινῶν, ἐν ᾧ διέρχεται τὰς τῶν σιτίων δυνάμεις. μετὰ δὲ τὰς κριθὰς καὶ τοὺς πυροὺς ἑπόμενα ταῖς ἀρεταῖς ἐστι, μάλιστα τῶν ἄλλων ὀλῦραι, τίφαι, ζειαὶ, μέλινος, κέγχρος. ἐν τισὶ δὲ τῶν ἀντιγράφων οὐδ' ὅλως αἱ ζειαὶ φέρονται, καὶ μέν τοι καὶ τὸ ταῖς ἀρεταῖς ἐν τισὶν οὐχ οὕτως, ἀλλὰ χρείαις γέγραπται κατὰ τὸν τοιοῦτον τρόπον. μετὰ δὲ τὰς κριθὰς καὶ τοὺς πυροὺς ἑπόμενα ταῖς χρείαις ἐστὶ μάλιστα τῶν ἄλλων, ὀλῦραι, τίφαι, μέλινος, κέγχρος. ὡς ἄλλου μέν τινος σπέρματος τῆς ὀλύρας οὔσης ἄλλου δὲ τῆς τίφης. ὁ δὲ Μνησίθεος ὑφ' ἑνὶ σπέρματι δύο φησὶν ὀνόματα κεῖσθαι γράφων οὕτως. τῶν δὲ σπερμάτων εὐφυέστατα μὲν ἐστὶν εἰς τροφὴν, πυροὶ καὶ κριθαί. πρὸς δὲ τούτοις ἐχομένως λέγεται μὲν διττῶς, ἔστι δὲ ταυτὸν, οἱ μὲν γὰρ τίφας, οἱ δὲ ὀλύρας καλοῦσι. τούτοις δ' ἐφεξῆς τόδε γράφει. μετὰ δὲ ταῦτα ζειαὶ καὶ κέγχροι καὶ μέλιναι. Διόκλει μὲν οὖν ἤρκεσεν ἐκεῖνα μόνα περί τε τιφῶν καὶ ὀλύρων εἰπεῖν ἃ παρεθέμην ἀρτίως. Μνησίθεος δὲ καὶ τὸν κατὰ μέρος ὑπὲρ αὐτῶν λόγον ἐφεξῆς διῆλθεν. πρῶτον μὲν γράψας περὶ πυρῶν τε καὶ κριθῶν, ἐφεξῆς δὲ περὶ τῶν τιφῶν ὧδέ πως αὐτοῖς ὀνόμασι. τῶν δ' ἄλλων σπερμάτων βέλτιστον μὲν ἡ τίφη, καὶ γὰρ ἱκανῶς τρέφει, καὶ οὐ μετὰ πολλοῦ πέττεται πόνου, τὸν δὲ τῶν ζειῶν ἄρτον, ἄδην μὲν ἐσθίειν, οὐδεὶς ἂν ὑγιαίνει, τῶν δ' ἀσυνήθων τῆς ἐδωδῆς ταύτης, οὐδ' εἰ παντάπασιν ὀλίγον, ἔστι γὰρ βαρὺ καὶ δυσαπόπεπτον. οἱ δὲ δυσχείμερον ἔχοντες χώραν ἀναγκάζονται τρέφεσθαι τούτῳ, διὰ τὸ σπείρειν αὐτὸ τὸ διὰ μάλιστα ἀντέχειν τοῖς ψύχεσιν. αὐτοὶ δὲ πρῶτον μὲν ὀλίγον ἐθίζονται προσφέρεσθαι, καὶ διὰ τὸ μὴ εὐῶδες εἶναι τὸ βρῶμα, καὶ διὰ τὴν σπάνιν τῆς εὐκαρπίας ἐν ταῖς τοιαύταις χώραις, εἶτα καὶ διὰ τὸ συνῆθες εἶναι τὸ βρῶμα, ποιεῖ ῥᾴστην τοῖς σώμασι τὴν κατεργασίαν. καθόλου δὲ βαρὺ μὲν καὶ δυσαπόπεπτον, ἰσχυρὸν δὲ καὶ ὑμενῶδες, τὴν ζεῖαν εἶναι λεκτέον. ἐν τούτοις ὁ Μνησίθεος σαφέστατα δεδήλωκεν ὁποῖόν τι σπέρμα βούλεται καλεῖσθαι ζεῖαν ἐν ψυχραῖς χώραις γεωργούμενον. ἐγὼ δὲ οὔτε αὐτὸς εἶδον πάσας μὲν δυσχειμέρους χώρας, οὔτε παρ' ἄλλου τινὸς ἤκουσα τῶν ἑωρακότων αὐτὰς, ὀνομαζόμενον τινὰ σιτηρὸν καρπὸν ὑπὸ τῶν ἐγχωρίων ζεῖαν, ἢ ζέαν. ἑκατέρως γὰρ εὑρίσκεται γεγραμμένον ἐν τισὶ μὲν εἰς ε. καὶ ι. τῆς προτέρας συλλαβῆς τελευτώσης, ἐν τισὶ δὲ μόνον εἰς ε. ἐννοῆσαι δὲ τοὺς μὲν Ἕλληνας δυνατὸς εἶναι οὕτως ὀνομάζειν τὸ σπέρμα τοῦτο, τοὺς δὲ βαρβάρους ἰδίαν ἐπ' αὐτῷ τίθεσθαι προσηγορίαν. ἰδὼν ἐν Θρᾴκῃ καὶ Μακεδονίᾳ πολλὰς ἀρούρας ὁμοιότατον ἐχούσας οὐ μόνον τὸν στάχυν ἀλλὰ καὶ τὸ φυτὸν ὅλον τῇ παρ' ἡμῖν ἐν Ἀσίᾳ τίφῃ, τὴν προσηγορίαν ἠρόμην ἥν τινα ἔχει παρ' ἐκείνοις τοῖς ἀνθρώποις, καὶ μοι πάντες ἔφασαν, αὐτό τε τὸ φυτὸν ὅλον, καὶ τὸ σπέρμα αὐτοῦ καλεῖσθαι βρίζαν, τῆς μὲν προτέρας συλλαβῆς διὰ τριῶν γραμμάτων γραφομένης τοῦ β. καὶ ρ. καὶ ι. τῆς δ' ἐφεξῆς αὐτῇ διὰ τοῦ ζ. καὶ α. κατά γε τὴν ὀρθὴν πτῶσιν, ἐπὶ δὲ τῆς αἰτιατικῆς μετὰ τοῦ ν. δηλονότι. γίνεται δὲ ἄρτος ἐκ τοῦ σπέρματος τούτου δυσώδης τε καὶ μέλας, ὑμενωδεστέραν ἔχοντος ὡς Μνησίθεος ἔγραψε τὴν οὐσίαν. εἰ δὲ καὶ μέλανα γίγνεσθαι τὸν ἄρτον ἐξ αὐτοῦ προσεγεγράφει, μᾶλλον ἂν ἐπίστευον αὐτῷ τοῦτ' εἶναι τὸ καλούμενον ὑπ' αὐτοῦ ζεῖαν. ἐν γε μὴν τοῖς χειμεριωτάτοις τῆς Βιθυνίας χωρίοις ὀνομάζεται τι σπέρμα ζεόπυρον οὐκ ἐχούσης τῆς πρώτης συλλαβῆς τὸ ι. καθάπερ ἔχει παρ' Ὁμήρῳ, πυροί τε ζειαί τε, ἠδ' εὐρυφυὲς κρῖ λευκόν. ἐξ αὐτοῦ δ' ἄρτος γίνεται πολὺ βελτίων τοῦ κατὰ τὴν Μακεδονίαν τε καὶ Θρᾴκην, καὶ σχεδὸν ὥσπερ τοὔνομα τὸ ζεόπυρον ἐξ ἀμφοτέρων σύγκειται τῶν ὀνομάτων, τουτέστι τῆς ζέας καὶ τοῦ πυροῦ, καὶ ἡ οὐσία μέση τις ἐστὶν ἀμφοῖν, ὥσπερ ἐξ αὐτῶν κεκραμένη. τοσοῦτον γοῦν ἐστὶ τοῦ πυροῦ χεῖρον, ὅσον τῆς θρᾳκίας βρίζης ἄμεινον. ὀνόματα

† al. ἰουλιόπολις δὲ ταῖς πόλεσιν ἐν αἷς γίγνεται τὸ σπέρμα τοῦτο, Νίκαια καὶ Προῦσα καὶ Κράσσου καὶ Κλαυδίου πόλις τε καὶ † Ἡλιούπολις, ἀλλὰ καὶ Δορύλαιον, ἣ ἐστὶ μὲν ἐσχάτη τῆς Ἀσιανῆς Φρυγίας πόλις, ἔχει δὲ καὶ αὐτὴ Φρυγία τοιοῦτον σπέρμα γεννώμενον ἐν τῇ χώρᾳ, καθάπερ καὶ ἄλλαι τινὲς ὅμοροι πόλεις αὐτῇ. θεάσασθαι δ' ἐστὶ τὸ γιγνόμενον ἄρτον ἐκ τοῦ σπέρματος τούτου, τοσοῦτον βελτίονα τοῦ κατὰ Θρᾴκην τε καὶ Μακεδονίαν ἐκ τῆς βρίζης, ὅσον τοῦ πυρίνου χείρονα. μέμνηται δὲ καὶ ζέας καὶ ὁ Θεόφραστος ἐν ἑβδόμῳ περὶ φυτῶν ὧδέ πως λέγων. τῶν δὲ ὁμοίων κριθῶν καὶ ὁμοίων πυρῶν οἷον ζειᾶς, τίφης, ὀλύρας, βρόμου, αἰγίλωπος, ἰσχυρότατον καὶ μάλιστα καρπιζόμενον ἡ ζειὰ καὶ βαθύριζον, καὶ πολύριζον, καὶ πολυκάλαμον, καὶ παχυκάλαμον. ὁ δὲ καρπὸς κουφότατος καὶ προσφιλὴς πᾶσι τοῖς ζώοις. καὶ πάλιν ἐφεξῆς. ἡ δὲ τίφη πάντων κουφοτάτη, καὶ γὰρ μονοκάλαμον καὶ λεπτοκάλαμον, διὸ καὶ χώραν ζητεῖ λεπτὴν, οὐχ ὥσπερ ἡ ζειὰ λιπαρὰν καὶ ἀγαθήν. εἶτα τούτοις ἐφεξῆς συνάπτων, τάδε γράφει. ἔστι δὲ ταῦτα δύο καὶ ὁμοιότατα τοῖς πυροῖς, ἥ τε ζειὰ καὶ ἡ τίφη. Θεόφραστος μὲν οὖν ταῦτα περὶ ζειᾶς ἔγραψεν. Ἡρόδοτος δὲ ἐν τῇ δευτέρᾳ κατὰ τήνδε τὴν λέξιν. ἀπὸ πυρῶν καὶ κριθῶν πολλοὶ ζώουσι. Αἰγυπτίων δὲ τῶν ποιουμένων ἀπὸ τούτων τὴν ζωὴν, ὄνειδος μέγιστόν ἐστιν, ἀλλ' ἀπ' ὀλυρῶν ποιοῦνται τὰ σιτία, ἃς ζέας μετὰ ζ. ἕτεροι καλοῦσιν. Διοσκουρίδης δὲ ἐν δευτέρῳ περὶ ὕλης ταῦτα γράφει. ζειὰ διοσσὴ, ἡ μὲν γὰρ ἁπλῆ, ἡ δὲ

κοκκος

κόκκος καλεῖται, ἐν δυσὶν ἐλύτροις συνεζευγμένον ἔχουσα τὸ σπέρμα. ἔστι δὲ τροφιμωτέρα μὲν κριθῆς, καὶ εὔ-
στομαχος, ἀτροφωτέρα δὲ πυρῶν ἀρτοποιουμένη. Κρίμνον δὲ ἀδρότερόν ἐστι τῇ κατεργασίᾳ τοῦ ἀλεύρου, γι-
νόμενον ἐκ τῆς ζειᾶς καὶ πυροῦ, ἐξ οὗ καὶ ὁ πόλτος γίνεται. ἔστι δὲ ἱκανῶς τρόφιμον καὶ εὐκατέργαστον, σταλ-
τικώτερον δὲ κοιλίας τὸ ἀπὸ τῆς ζειᾶς, μάλιστα μὲν προφρυγείσης. καὶ ὀλύρα δὲ ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ τῆς ζειᾶς,
ἀτροφωτέρα δὲ παρὰ τὸ ποσὸν ἐκείνης. ἀρτοποιεῖται δὲ καὶ αὕτη, καὶ κρίμνον ἐξ αὐτῆς ὡσαύτως γίνεται. Ἀθά-
ρα δὲ ἐκ τῆς ἀληλεσμένης εἰς λεπτὰ ζειᾶς, σκευάζεται. ἔστι δὲ ῥόφημα ὥσπερ πολτάριον ὑγρὸν, παιδίοις ἁρμό-
ζον, ποιεῖ δὲ καὶ εἰς κατάπλασμα. ὁ δὲ τράγος τὸ σπέρμα μὲν παραπλήσιον χόνδρῳ, ἀτροφώτερος δὲ πο-
λὺ ζειᾶς, διὰ τὸ πολὺ ἔχειν τὸ ἀχυρῶδες. διὸ καὶ δυσκατέργαστός ἐστι καὶ κοιλίας μαλακτικώτερος. περὶ μὲν
οὖν τῶν ζειῶν ἱκανὰ καὶ ταῦτα. θαυμάσαι δ' ἔστι τοῦ Μνησιθέου μὴ γινώσκοντος ὅπῃ διαφέρουσιν αἱ ὀλύραι τιφῶν.
ἔστι γὰρ ἑκάτερον ἐν ἀσίᾳ πολὺ, καὶ μάλιστα κατὰ τὴν ὑπερκειμένην περγάμου χώραν, ὡς τοὺς ἀγροίκους ἀεὶ χρῆ-
σθαι τοῖς ἐξ αὐτῶν ἄρτοις διὰ τὸ τοὺς πυροὺς εἰς τὰς πόλεις κατακομίζεσθαι. οἱ μὲν οὖν ὀλύρινοι κάλλιστοι,
μετὰ γὰρ τοὺς πυρίνους εἰσὶν, ὅταν γε εὐγενεῖς ὦσιν αἱ ὀλύραι. δεύτεροι δὲ αὐτῶν οἱ τίφινοι. μοχθηρῶν δὲ οὐ-
σῶν τῶν ὀλυρῶν, οὐδὲν ἐκείνων ἀπολείπονται, βελτίστων δὲ τῶν τιφῶν οὐσῶν. οἱ θερμοὶ τίφινοι πολὺ κρείττους εἰσὶν
τῶν ὀλυρίνων. ἐψυχθέντες δὲ χείρους αὐτῶν γίνονται. ὀλκιμώτερον γὰρ ἔχοντες τὸ σταῖς πυκνοῦνται πάνυ σφό-
δρα, καὶ μάλιστα ὅταν ἀμελῶς σκευασθῶσιν, ὥς τε καὶ μετὰ μίαν ἡμέραν, ἢ δύο, καὶ πολὺ μᾶλλον ἐν ταῖς
ἐφεξῆς, ὁ φαγὼν τὸν ἄρτον οἷον οἴεται πηλὸν ἐγκεῖσθαι τῇ κοιλίᾳ. θερμὸς δὲ ὢν ἔτι, καὶ τοῖς ἐκ τῶν πόλεων σπου-
δάζεται μετὰ τυροῦ τινος προσφερόμενος, ἐπιχωρίως δὲ ὀνομάζουσιν αὐτὸν ὀξυγαλάκτινον. εἶναι δὲ χρὴ καὶ τοῦ-
τον ἁπαλὸν, καὶ τὸν ἄρτον ἔτι διαφυλάττοντα τὴν ἐκ τοῦ κλιβάνου θερμασίαν. ὁ μὲν οὖν οὕτως ὠπτημένος
οὐ μόνον τοῖς κατ' ἀγρὸν, ἀλλὰ καὶ τοῖς ἐν ταῖς πόλεσι περισπούδαστός ἐστιν. ὁ δὲ τριῶν, ἢ τεττάρων ἡμερῶν, καὶ
τοῖς ἀγροίκοις αὐτοῖς ἀηδέστερος μὲν ἤδη βρωθῆναι, δυσχερέστερος δὲ πεφθῆναι, βραδυπορώτερος δὲ κατὰ γα-
στέρα, τοῦ θερμοῦ, μὴ δὲ τοῦτ' ἔχοντος τὸ σύμπτωμα. πολὺ μὲν γὰρ ἀπολείπεται, διαχωρήσεως ἕνεκα, τοῦ κρι-
θίνου. μεμπτὸς δ' οὐκ ἔστιν ὁμοίως τῷ κεγχρίνῳ, καὶ μέν τοι καὶ τρέφει τὸ σῶμα θερμὸς ὢν ἱκανῶς, ὡς μὴ
ἀπολείπεσθαι πολὺ τοῦ πυρίνου συγκομιστοῦ. τὸ δὲ σπέρμα τὸ τῆς τίφης ἔχει μὲν ἔξωθεν λέμμα, καθάπερ
καὶ ὀλύρα καὶ κριθή. πτισθὲν δὲ ἀρτοποιεῖται καὶ ὅλως εἰς χρῆσιν ἄγεται. καὶ γὰρ ἐξ ὕδατος ἑψηθὲν ἐσθίε-
ται, κατὰ τὸν ὑπὸ τῶν ἀγροίκων ὀνομαζομένων ἀπόθερμον, ἐμβαλλομένου τοῦ, πρὸς ἡμῶν μὲν ἑψήματος,
ὑπὸ ἐνίων δὲ σίρου καλουμένου, καὶ ποτὲ καὶ μεθ' ἁλῶν ἐσθίεται, καθάπερ ἔφην ἑωρακέναι τοὺς πυροὺς
αὐτὸς ἐγώ. τὴν δὲ εὐγενεστάτην ὀλύραν, ὅταν ὡς χρὴ πτίσωσιν, τὸ ὀνομαζόμενον τράγον ποιοῦσιν, ᾧ πολ-
λοὶ χρῶνται δι' ὕδατος ἕψοντες. εἶτα τὸ μὲν ὕδωρ ἀποχέοντες, ἐπιχέοντες δὲ σίραιον, ἢ οἶνον γλυκὺν, ἢ οἰνό-
μελι, παρεμβάλλουσι δὲ καὶ κώνους ἐν ὕδατι διαβεβρεγμένους ὡς ἐπὶ τὸ πλεῖστον ἐξῳδηκέναι. τινὲς δὲ ὁ μο-
γγὲς μὲν, οὐχ ὁμοειδὲς δὲ τὸ σπέρμα εἶναι ταῖς ὀλύραις εἶναι φασί. πολλὰ δὲ καὶ ἄλλα σπέρματα παρα-
πλήσια μὲν, οὐκ ἀκριβῶς δὲ ταυτὸν εἶδος ἔχοντα τοῖς εἰρημένοις ἐστὶ, τὰ μὲν ἐν τῷ μεταξὺ κριθῆς τε καὶ τί-
φης, τὰ δὲ ὀλύρας τε καὶ τίφης, ἢ μεταξὺ πυροῦ τε καὶ τῆς ὀλύρας. ἔνια δ' ἐγγυτάτω τῆς φύσεώς ἐστι, τὰ
μὲν ὀλύρας τὰ δὲ κριθῆς ἢ τίφης ἢ πυροῦ. καθάπερ ἄλλα, τὰ μὲν ἐλύμου, τὰ δὲ κέγχρου προσηγορίας ἔχον-
τα, τινὰ μὲν ἁπλῶς ὥσπερ ἐν Ἰταλίᾳ ἐξ οὗ τὸν χόνδρον ποιοῦσιν, ἔνια δὲ συνθέτους ὡς ἐν καππαδο-
κίᾳ μὲν τὸ καλούμενον Γυμνόκριθον, κατὰ δὲ τὴν Βιθυνίαν τὸ ζεόπυρον, ἄμεινον δ' ἐστὶν ἀρξάντα τῆς τοιαύτης
ἱστορίας οὐ μόνον τῶν ὀνομάτων, ἀλλὰ καὶ τῶν σπερμάτων, ἔνια τινὰ κοινὸν ὑπὲρ ἁπάντων λόγον διελθεῖν.
ὅσα μὲν γὰρ ὄγκῳ βραχεῖ πλείστην οὐσίαν ἔχει, καὶ ταύτην παχεῖαν καὶ γλίσχραν, εὔχυμότατα τε καὶ τροφιμώ-
τατα ταῦτ' ἐστὶν, οὐ μὴν ὑποχωρεῖ γε ῥᾳδίως. ὅσα δ' ἔμπαλιν τούτοις, χαύνην μὲν ἔχει καὶ μαλακὴν οὐσίαν,
τὰ μόρια δὲ αὐτῶν πιτυρώδη, διαχωρεῖται μὲν ἄμεινον, ἧττον δὲ τρέφει. τούτων δ' αὐτῶν ὅσα δυσώδη τε
ἐστὶ καὶ ἀηδίαν τινὰ ἔχοντα κατὰ τὴν γεῦσιν, εὔδηλον ὡς κακόχυμά τε καὶ δύσπεπτα πάντ' ἐστί. τοῦ δὲ ἐν ὄγ-
κῳ μικρῷ πλείστην οὐσίαν εἶναι, τό, τε βάρος ἱσταμένων αὐτῶν ἐπὶ ζυγοῦ σημεῖον ἔστω σοι, καὶ τὸ τῶν ἀλεύρων
πλῆθος. ἐξ ὀλίγου γὰρ ὄγκου πολὺ γίνεται τοῖς πεπιλημένην ἔχουσιν τὴν οὐσίαν σπέρμασιν. ἡ δὲ κατὰ θερ-
μότητα τε καὶ ψυχρότητα διαφορὰ, πρὸ μὲν τοῦ προσενέγκασθαι τε καὶ λαβεῖν ἔσω τοῦ σώματος, ἔκ τε τῆς
χροίας ἐπιλογιζέσθω σοι καὶ τῆς γεύσεως, καὶ τῆς ἔξωθεν ἐπιτιθεμένης αὐτῶν χρήσεως. ἐπὶ δὲ τῷ προσενέγκα-
σθαι καὶ λαβεῖν ἔσω τοῦ σώματος, διάγνωσις ἀκριβὴς καὶ συναίσθησις αὐτοῖς τοῖς φαγοῦσι γίνεται κατὰ τὴν
γαστέρα τοῦ θερμαίνειν τὸ ληφθὲν ἢ ψύχειν, ἢ μηδ' ἕτερον ἐπιφανῶς ἐργάζεσθαι. χροιὰ δὲ κατὰ φύσιν ἐν μὲν
κριθαῖς καὶ ὀλύραις ἡ λευκὴ, τῶν πυρῶν δὲ ὑπόξανθος. αἱ τίφαι δὲ καὶ τῶν πυρῶν εἰσὶ ξανθότεραι. καὶ μὲν
τοι καὶ πεπίληται τὸ σῶμα αὐτῶν εἰς πυκνότητα καὶ ἴσως καὶ τοῦτο συντελεῖ τι πρὸς τὴν σμικρότητα τοῦ
σπέρματος. ἀπολείπονται γὰρ οὐκ ὀλίγῳ κατὰ τὸ μέγεθος τῶν πυρῶν. ἔνιοι δὲ ἐν τῷ τῶν πυρῶν γένει καὶ τοῦτο
τίθενται τὸ σπέρμα. καὶ τό γε παρ' Ὁμήρῳ λεγόμενον ἐπὶ τῶν ἵππων ἔνθα φησὶν ὁ Ἕκτωρ πρὸς αὐτοὺς, Ὑμῖν
μὲν προτέροισι μελίφρονα πυρὸν ἔθηκεν, ἐπὶ τοῦ τῆς τίφης σπέρματος εἰρῆσθαι λέγουσι. μικρὸν γὰρ εἶναι πυρὸν
αὐτοῖς, καὶ τοὺς ἵππους ταύτας μὲν ἀβλαβῶς ἐσθίειν, τοὺς δὲ ὄντως πυροὺς οὐκ ἀβλαβῶς. οὐκ ἀπιθάνως δ' ἄν τις
ὀνομάζοι πυρὸν μικρὸν τὴν τίφην καὶ τῇ χροιᾷ καὶ τῇ πυκνότητι καὶ θερμότητι τῆς δυνάμεως ἐοικυῖαν αὐτοῖς.

Περὶ Βρόμου.

Ἔστι τὸ σπέρμα πλεῖστον ἐστὶν ἐν ἀσίᾳ καὶ μάλιστα κατὰ τὴν ὑπερκειμένην περγάμου μυσίαν, ἔνθα καὶ τίφαι καὶ ὀλύ-
ραι πάμπολλαι γίνονται. τροφὴ δ' ἐστὶν ὑποζυγίων, οὐκ ἀνθρώπων, εἰ μή ποτε ἄρα λιμώττοντες ἐσχάτως ἀναγ-
κασθεῖεν ἐκ τούτου τοῦ σπέρματος ἀρτοποιεῖσθαι. χωρὶς δὲ λιμοῦ δι' ὕδατος ἑψηθὲν, ἐσθίεται μετ' οἴνου γλυκέος, ἢ ἑψή-
ματος, ἢ οἰνομέλιτος ὁμοίως τῇ τίφῃ. θερμότητος δὲ ἱκανῶς μετέχει, παραπλησίως ἐκείνῃ, καί τοι οὐχ ὁμοίως
αὐτῇ σκληρὸν ὑπάρχον. διὸ καὶ τροφὴν ἐλάττονα παρέχει τῷ σώματι. καὶ ἄλλως δέ ἐστιν ἀηδὴς ὁ ἐξ αὐτοῦ γινόμε-

νος ἄρτος, οὐ μὴν ἐπιχειλής γαστρὸς ἢ προτρεπτικός, ἀλλ' ἐν τῷ μέσῳ κατά γε τοῦτο τεταγμένος.

περὶ κέγχρου καὶ ἐλύμου ὃν καὶ μελίνην ὀνομάζουσι.

Γίνεται μὲν ἄρτος ποτὲ κἀκ τούτων, ὅταν ἀπορία καταλάβῃ τῶν προγεγραμμένων σιτηρῶν ἐδεσμάτων. ὀλιγότροφος δ' ἐστὶ καὶ ψυχρός, καὶ δῆλον ὅτι κραῦρος ἐστὶ καὶ ψαθυρός, ὡς ἂν μηδὲν ἔχων ἐν αὐτῷ μήτε λιπαρὸν μήτε γλίσχρον. εἰκότως οὖν ὑγραινομένην γαστέρα ξηραίνει, τὸ δὲ ἄλευρον ἕψοντες αὐτῶν ἐν τοῖς ἀγροῖς, εἶτα πιμελὴν χοιρείαν ἢ ἔλαιον ἀναμιγνύοντες ἐσθίουσι. κρείττων δ' ἐστὶν ἐλύμου κέγχρος εἰς πάντα, καὶ ἥδιον ἐν ἐδωδῇ, καὶ εὐπεπτότερον ἐστὶ, καὶ ἧττον ἐπέχει γαστέρα, καὶ μᾶλλον τρέφει, καὶ μετὰ γάλακτος δ' ἐνίοτε τὸ ἄλευρον αὐτῶν ἑψήσαντες ἐσθίουσιν, ὥσπερ τὸ τῶν πυρῶν οἱ ἀγροικοι, καὶ δῆλον ὅτι τὸ ἔδεσμα τοῦτο, τοσοῦτον κρεῖττον ἐστὶ κατὰ μόνας αὐτὸ ἐσθιόμενον, ὅσῳ καὶ τὸ γάλα τῆς ἀμφοτέρων φύσεως εἰς εὐχυμίαν τε καὶ τἆλλα πάντα διενήνοχε. λέγω δὲ τἆλλα πάντα, πέψιν τε καὶ ὑπαγωγὴν γαστρὸς, ἀνάδοσίν τε καὶ τὴν ἐν τῷ προσφέρεσθαι γλυκύτητα καὶ ἡδονήν. οὐδὲν γὰρ ἡδὺ τοῖς σπέρμασι τούτοις ὑπάρχει καὶ μάλιστα τοῦ ἐλύμου κατά γε τὴν ἡμετέραν ἀσίαν. ἐν ἄλλοις γὰρ ἔθνεσιν ὥσπερ καὶ ἐν Ἰταλίᾳ πολὺ βελτίων τυγχάνει.

περὶ ὀσπρίων.

Ὀσπρία καλοῦσιν ἐκεῖνα τῶν δημητρίων σπερμάτων ἐξ ὧν ἄρτος οὐ γίνεται, κυάμους, πισοὺς, ἐρεβίνθους, φακοὺς, θέρμους, ὄρυζαν, ὀρόβους, λαθύρους, ἀράκους, ὤχρους, φασήλους, πίσσην, φάκην, εἴτε τι τοιοῦτον περὶ πάντων οὖν ἐξῆς ἐρῶ τῆς δυνάμεως, ὡς ἂν γινώσκων τις ἀβλαβέστερον αὐτοῖς χρῷτο.

περὶ ὀρύζης.

Τῷ σπέρματι πάντες εἰς ἐπίσχεσιν γαστρὸς χρῶνται, τὴν ἕψησιν αὐτοῦ παραπλησίαν ποιοῦντες χόνδρῳ, δυσπεπτότερον δ' ἐστὶν χόνδρου. καὶ τρέφει ἧττον, ὥσπερ γε καὶ εἰς ἐδωδὴν ἡδονῆς ἀπολειπόμενον αὐτοῦ πάμπολυ. οὐδ' ἐκ τούτων ἀρτοποιεῖταί τις, ἀλιπεῖς γάρ εἰσιν καὶ ψαθυροί, στυπτικὸν ἔχοντες τὸ λέμμα, τὴν δ' οἷον σάρκα παχύχυμόν τε καὶ γεώδη, καὶ βραχύ τι ἔχουσα αὐστηρᾶς ποιότητος, ἧς τὸ λέμμα πολλῆς μετέχει. χυμὸς δ' ἐν αὐτοῖς ἐστὶν ὡς καὶ πρόσθεν εἶπον ἐναντίος τοῦ στυπτικοῦ. διὸ κἂν ἑψήσας τις αὐτοὺς ἐν ὕδατι προσενέγκηται τὸ ὕδωρ, ἡδύνας ἁλσὶν ἢ γάρῳ, καὶ μετ' αὐτῶν ἐλαίῳ, διαχωρητικὸν γίνεται πόμα. δὶς δ' ἑψηθέντων, ὥσπερ εἴρηται τῶν φακῶν, ἡ ἐξ αὐτῶν σκευαζομένη φακὴ, καὶ τὴν ἐναντίαν ἔχει δύναμιν τοῦ χυλοῦ, ξηραίνουσα τὰ κατὰ γαστέρα ῥεύματα, καὶ τόνον ἐντιθεῖσα τοῦ στομάχου, καὶ τοῖς ἐντέροις, καὶ συμπάσῃ τῇ γαστρὶ, διὰ τοῦτο οὖν οἰκεῖον ἐστὶν ἔδεσμα κοιλιακῶν τε καὶ δυσεντερικῶν. ἡ δὲ ἀφῃρημένη τὸ λέμμα φακὴ, τὸ μὲν ἰσχυρὸν τῆς στύψεως ἀπόλλυσι, καὶ τὰ αὐτῇ συνεπόμενα δηλονότι. τροφιμωτέρα δὲ γίνεται τῆς ἀπτίσου, παχύχυμός τε οὖσα καὶ κακόχυμος καὶ βραδύπορος, οὐ μὴν ξηραντική γε τῶν κατ' αὐτὴν ῥευμάτων, ὥσπερ ἡ ἄπτισος. εἰκότως οὖν οἱ πλεονάζοντες ἐν τούτῳ τῷ ἐδέσματι, τούς τε καλουμένους ἐλέφαντας ἴσχουσι καὶ τοὺς καρκίνους. ἐπιτήδειον γὰρ ἐστὶ τὸ παχὺ καὶ ξηρὸν ἔδεσμα, μελαγχολικὸς γενέσθαι χυμὸς, οἷς οὖν ἐστὶν ὑδατώδης ἐν ταῖς σαρξὶ καχεξία, τούτοις μόνοις ὠφέλιμον ἔδεσμα φακὴ, καθάπερ τοῖς ξηροῖς καὶ αὐχμώδεσι βλαβερώτατον. ὡσαύτως δὲ καὶ τὴν ὄψιν ἀμβλύνει μὲν, τὴν ὑγιεινῶς διακειμένην ὑπερξηραίνουσα, τὴν δὲ ἐναντίως ἔχουσαν, ὀνίνησιν. οὐκ ἐπιτήδειος ἐστὶν οὐδ' εἰς τὰς ἐμμηνίους καθάρσεις, παχὺ καὶ δύσρουν ἐργαζομένη τὸ αἷμα. τοῦ δὲ κατεχομένου ῥοῦ γυναικείου χρησιμωτάτη. τὴν δ' ἐναντίαν αὐτῇ κατά γε τοῦτο δύναμιν ἐχούσης τῆς πτισάνης, ἐξ ἀμφοτέρων μιχθέντων, ἔδεσμα γίγνεσθαι κάλλιστον ὃ καλοῦσιν οἱ παρ' ἡμῖν ἄνθρωποι φακοπτισάνην, οὐκ ἴσον τοῦ μέτρου μιγνύντες, ἀλλ' ἔλαττον ἐμβαλόντες τῆς πτισάνης, ὡς ἂν χυλουμένης τε καὶ εἰς ὄγκον αἰρουμένης μεγάλον. οἱ φακοὶ δ' ἑψημένοι βραχύ τι προσαναδίδουσιν. ἥ γε μὴν ἄρτυσις ἡ αὐτὴ καὶ τούτῳ τῷ ἐδέσματι τῷ κατὰ τὴν πτισάνην ἐστὶ, πλὴν ὅτι θύμβρας, ἢ γλήχωνος ἐπεμβαλλομένης, ἡδεῖά τε ἅμα καὶ εὐπεπτοτέρα γίνεται, τῆς πτισάνης οὐ χαιρούσης τούτοις, ἀλλ' ἀρκουμένης ἀνήθῳ καὶ πράσῳ μόνῳ. μοχθηροτάτη δ' ἐστὶν σκευασία φακῆς ἡ διὰ τοῦ σιραίου τοῖς πλουσίοις παρασκευαζομένη ὑπὸ τῶν μαγείρων. δεῖται γὰρ οὐ παχυνόντων μίξεως, ἀλλ' ὑγρῶν καὶ τεμνόντων τὸ πάχος αὐτῆς μᾶλλον. ἡ δὲ τῷ σιραίῳ μιχθεῖσα τὰς κατ' ἧπαρ ἐμφράξεις ἐργάζεσθαι πέφυκεν. αὐξάνει δὲ καὶ τὰς φλεγμονὰς ἔν τε τούτῳ τῷ σπλάγχνῳ καὶ σπληνὶ, εἰ μὴ μέλιτος τι προσλάβοι βελτίων γιγνομένη. πρόδηλον δὲ ὅτι καὶ τὰς σκληρώδεις διαθέσεις, ἀμφοτέρων τῶν σπλάγχνων παροξύνει. κρέας δὲ χοίρειον εἰ βούλει συνεψεῖν, τῇ μὲν πτισάνῃ τὸ πρόσφατον, τῇ δὲ φακῇ τὸ ταριχηρὸν ἁρμοττον εὑρήσεις. ὥσπερ γε τὸ μεταξὺ τούτων, ὃ νεαλὲς ὀνομάζουσι, τῇ φακοπτισάνῃ χρήσιμον, εἰς ἡδονήν τε καὶ πέψιν ἐστὶν, ἥ γε μὴν εἰς τοὺς παχεῖς χυμοὺς ἐπίδοσις, τῇ φακῇ μετὰ τῶν ταριχηρῶν κρεῶν ἐσθιομένῃ μᾶλλον γίνεται. καὶ γὰρ καὶ ταῦτα παχύτερόν τε καὶ μελαγχολικώτερον αἷμα γεννᾷ. διόπερ οὐ χρὴ πλεονάζειν οὐδ' ἐν τούτοις, καὶ μάλιστα ὅταν ἤτοι μελαγχολικὸν, ἢ λίαν παχύχυμον, ἢ ὅλως κακόχυμον ᾖ τινι τὸ σῶμα. τὰ δ' αὐτὰ καὶ περὶ τῶν χωρῶν ὡρῶν τε καὶ καταστάσεων ἐπινοεῖν σε χρὴ καθ' ἕκαστον ἔδεσμα, φειδόμενον μὲν ἐν φθινοπώρῳ τῶν μελαγχολικῶν καὶ ξηραινόντων ἐδεσμάτων, ἐν χειμῶνι δὲ χρώμενον, ὥσπερ γε καὶ κατὰ τὸ θέρος τοῖς ὑγραίνουσι καὶ ψύχουσιν. ἐν ἦρι δὲ μέσης οὔσης κράσεως, τὰ μέσα ταῖς δυνάμεσιν σιτία προσενεκτέον. ἔστι δέ τι τῶν μέσων οὐκ ἐν εἶδος. ἔνια μὲν γὰρ τῷ μηδόλως μετέχειν τῶν ἄκρων ἐστὶ τοιαῦτα. τινὰ δὲ ἐκ τῆς ἀμφοῖν ἰσοκρατουσῶν μίξεως ἐπικτᾶται τὴν μεσότητα, καθάπερ ὀλίγον ἔμπροσθεν ἔλεγον, ὅταν τῇ πτισάνῃ μίξῃ τις τὴν φακῆν, οὕτω δὲ καὶ τὴν τευτλοφακῆν ὁ ταραντῖνος ἡρακλείδης οὐ μόνον ὑγιαίνουσιν, ἀλλὰ καὶ νοσοῦσιν ἐδίδου, μέσον γὰρ καὶ τοῦτ' ἐστὶν ἐξ ἐναντίων συγκείμενον ἔδεσμα. διὸ τεύτλου μὲν ἧττον ὑπέχεται, φακῆ δὲ διαχωρεῖται μᾶλλον. εὔδηλον δὲ ὅτι καὶ ὁ ἀναδιδόμενος ἐξ αὐτῆς χυμὸς εἰς τὸ σῶμα μικτὸς ἐκ τῆς ἀμφοτέρων ἐστὶ δυνάμεως τῆς τε φακῆς καὶ τοῦ τεύτλου.

περὶ κυάμων.

Πολλὴ καὶ τούτων ἐστὶν ἡ χρῆσις, ἔτνους ἐξ αὐτῶν σκευασμένου, ὅ τε ἐν ταῖς χύτραις ὑγροῦ, καὶ τοῦ παχέος ἐν ταῖς λοπάσι.

λοπάσι. καὶ τρίτη δ' ἐστί τις ἐξ αὐτοῦ σκευασία μετὰ πτισάνης γιγνομένη. καὶ πλείστῳ γε τούτῳ τῷ ἐδέσματι καθ' ἑκάστην ἡμέραν οἱ παρ' ἡμῖν μονομάχοι χρῶνται σαρκοῦντες τὴν τοῦ σώματος ἕξιν οὐκ ἐσφιγμένῃ τε καὶ πυκνῇ σαρκί, καθάπερ τὸ χοίρειον κρέας, ἀλλὰ χαυνοτέρᾳ πως μᾶλλον. φυσῶδες δ' ἐστὶν ἔδεσμα κἂν ἐπὶ πλεῖστον ἑψηθῇ, καὶ ὁπωσοῦν σκευασθῇ τῆς πτισάνης ἀποτιθεμένης πᾶν τὸ φυσῶδες ἐν τῷ τῆς ἑψήσεως χρόνῳ. τοῖς δὲ προσέχουσι τὸν νοῦν καὶ παρακολουθοῦσι ταῖς ἑπομέναις ἑκάστῳ τῶν ἐδεσμάτων διαθέσεσιν, αἴσθησις γίνεται καθ' ὅλον τὸ σῶμα τάσεώς τινος, ὑπὸ πνεύματος φυσώδους, καὶ μάλιστα ὅταν ἀήθης τις ᾖ τοῦδε τοῦ βρώματος, ἢ μὴ καλῶς ἑψόμενον προσφέρηται. τὴν δ' οὐσίαν οὐ πυκνὴν καὶ βαρεῖαν, ἀλλὰ χαύνην τε καὶ κούφην ἔχουσιν οἱ κύαμοι, καί τι ῥυπτικὸν ἔχουσαν ὁμοίως τῇ πτισάνῃ. φαίνεται γὰρ ἐναργῶς τὰ ἐξ αὐτῶν ἄλευρα τὸν ῥύπον ἀποσμῶντα τοῦ δέρματος, ὃ κατανοήσαντες οἵ τ' ἀνδραποδοκάπηλοι καὶ γυναῖκες ὁσημέραι χρῶνται τῷ τῶν κυάμων ἀλεύρῳ λουόμεναι, καθάπερ ἄλλοι νίτρῳ τε καὶ ἀφρονίτρῳ καὶ ὅλως τοῖς ῥυπτικοῖς. ἐπιχρίουσι δὲ καὶ τὸ πρόσωπον αὐτῷ παραπλησίως τῇ πτισάνῃ. καὶ γὰρ τοὺς ἐπιπολῆς φακοὺς αἴρει, καὶ τὴν ὀνομαζομένην ἔφηλιν. διὰ ταύτην οὖν τὴν δύναμιν οὐδὲν τὴν κατὰ γαστέρα διέξοδον βραδύνει, καθάπερ ὅσα παχύχυμα καὶ γλίσχρα καὶ μηδεμίαν ἔχοντα δύναμιν ῥυπτικήν, ὁποῖα ἔφαμεν εἶναι χόνδρον, καὶ τράγον, καὶ σεμίδαλιν, καὶ ἄμυλον. ὄντος δὲ τοῦ τῶν κυάμων ἔτνους φυσώδους, ἔτι καὶ μᾶλλον ὅταν ὁλοκλήρους τις αὐτοὺς ἑψήσας χρῆται, φυσώδεις γίνονται. φρυγέντες μέντοι, καὶ γὰρ καὶ οὕτως αὐτοὺς ἐσθίουσιν ἐν χώρᾳ τραγημάτων ἔνιοι, τὸ μὲν φυσῶδες ἀποτίθενται † δυσπεπτότατοι δὲ καὶ βραδύποροι γίγνονται, καὶ παχὺν χυμὸν εἰς τροφὴν ἀναδιδόασι τῷ σώματι. χλωροὶ δὲ ἐσθιόμενοι πρὶν πεπανθῆναι, καὶ ξηρανθῆναι τὸ κοινὸν ἁπάντων ἔχουσι τῶν καρπῶν, ὅσους πρὸ τοῦ τελειωθῆναι προσφερόμεθα, τροφὴν ὑγροτέραν διδόντες τῷ σώματι. καὶ διὰ τοῦτο περιττωματικωτέραν οὐ κατ' ἔντερον μόνον, ἀλλὰ καὶ καθ' ὅλην τὴν ἕξιν. εἰκότως οὖν οἱ τοιοῦτοι τρέφουσι μὲν ἧττον, ὑποχωροῦσι δὲ μᾶλλον, οὐ μόνον δὲ ὠμοὺς ἐσθίουσιν οἱ πολλοὶ τῶν ἀνθρώπων τοὺς χλωροὺς κυάμους, ἀλλὰ καὶ μετὰ κρεῶν χοιρείων ἕψοντες, ὥσπερ τὰ λάχανα. κατὰ δὲ τοὺς ἀγροὺς καὶ μετ' αἰγείων τε καὶ προβατείων. αἰσθημένοι δ' αὐτῶν τοῦ φυσώδους, οἱ ἄλλοι μιγνύουσι κρομμύων, ὅταν ἐν λοπάδι κατασκευάσωσιν αὐτῶν ἔτνος. ἔνιοι δὲ καὶ χωρὶς τοῦ συνεψήματος ὠμὰ τὰ κρόμμυα προσφέρονται μετ' αὐτοῦ. τὸ γάρ τοι φυσῶδες ἐν ἅπασι τοῖς ἐδέσμασιν ὑπὸ τῶν θερμαινόντων τε καὶ λεπτυνόντων ἐπανορθοῦνται.

† αλ. δυσπεπτότεροι

περὶ κυάμου αἰγυπτίου.

Αἰγύπτιος κύαμος ὥσπερ τῷ μεγέθει διενήνοχε πολὺ τοῦ παρ' ἡμῖν, οὕτω καὶ περιττωματικωτέραν ἔχει. εἴπερ τὴν φύσιν ὑγροτέραν τε ὢν μέμνησαι τὰ περὶ τῶν ὁμογενῶν μέν, ὑγροτέρων δὲ τῇ κράσει καὶ διὰ τοῦτο περιττωματικωτέρων τῶν εἰρημένων κατά τε τὴν πέψιν καὶ διαχώρησιν καὶ ἀνάδοσιν, καὶ θρέψιν, οὐκ ἔτι δέῃ περὶ τούτου τοῦ κυάμου νῦν ἀκούειν, ἐξ ὧν ἐπὶ τοῦ παρ' ἡμῖν ἀκήκοας ἐπ' ἐκεῖνον μεταβαίνειν δυνάμενος.

περὶ πισῶν.

Παραπλήσιόν τι κατὰ τὴν ὅλην οὐσίαν ἔχουσι κυάμοις ἐσθιόμενοί τε κατὰ τοὺς αὐτοὺς τρόπους αὐτοῖς ἐν δυοῖν τισὶ δὲ παραλλάττουσιν, ὅτι τε φυσώδεις ὁμοίως οὐκ εἰσὶν τοῖς κυάμοις, ὅτι τε τὴν ῥυπτικὴν δύναμιν οὐκ ἔχουσι. καὶ διὰ τοῦτο βραδυπορώτεροι τῶν κυάμων κατὰ γαστέρα εἰσίν.

περὶ ἐρεβίνθων.

Ἔτνος μὲν οὐ πάνυ τι δ' ἴθους ἐστὶ τοῖς κατὰ τὰς πόλεις ἀνθρώποις ἐξ ἐρεβίνθων ποιεῖσθαι. κατὰ τοὺς ἀγρούς δέ, καὶ τοῦτ' εἶδον ἐνίοτε γιγνόμενον, ὥσπερ καὶ μετὰ γάλακτος ἑψόμενον αὐτῶν τὸ ἄλευρον. οὐ δὲ γὰρ ἐπιδέχονται τὴν αὐτὴν τοῖς κυάμοις τε καὶ πισοῖς θραῦσιν, ὡς τὸν καλούμενον ἐρυγμὸν ἐξ αὐτῶν γενέσθαι. εἰθισμένοι δέ εἰσιν ἐν πολλοῖς ἔθνεσιν ἑψηθέντας ἐν ὕδασι τοὺς ἐρεβίνθους ἐσθίειν, ἔνιοι μὲν αὐτοὺς μόνους ψιλούς, ἔνιοι δὲ ἁλσὶ μετρίως ἡδύνοντες. οἱ παρ' ἡμῖν δὲ παραπλήσιον ἀλεύρῳ τι ποιοῦντες ἐκ τῶν ξηρῶν τυρῶν, ἐκείνῳ περιπάττουσιν αὐτούς. ἐστὶ δ' οὐχ ἧττον κυάμων ἔδεσμα φυσῶδες ἐρέβινθος, ἰσχυρότερον δὲ ἐκείνων τρέφων· ἐπεγείρει δὲ καὶ τὰς πρὸς συνουσίας ὁρμάς, πεπιστευμένος ἅμα τῷ καὶ σπέρματος εἶναι γεννητικός. ὥστε καὶ τοῖς ὀχευταῖς ἵπποις ἐσθίειν αὐτούς, ἕνεκα τούτου, διδόασιν. ὑπάρχει δὲ καὶ ῥυπτικὴ δύναμις αὐτοῖς ἐπὶ πλέον ἢ τοῖς κυάμοις. ὥστε τινὲς ἐξ αὐτῶν καὶ τοὺς ἐν νεφροῖς συνισταμένους λίθους ἐναργῶς θρύπτουσιν. μέλανες δ' εἰσὶν οὗτοι καὶ μικροὶ κατὰ Βιθυνίαν μάλιστα γενόμενοι καὶ καλούμενοι κριοί, βέλτιον δὲ τὸν χυλὸν αὐτῶν μόνον πίνειν ἕψοντας ἐν ὕδατι. χρῶνται δὲ καὶ ἐρεβίνθοις οἱ ἄνθρωποι καὶ πρὸ τοῦ πεπανθῆναι χλωροῖς ἔτι καθάπερ καὶ τοῖς κυάμοις. εἴρηται δ' ἀρτίως ὁ κοινὸς λόγος πάντων τῶν ἀτελῶν καρπῶν, ἔνθα περὶ τῶν κυάμων ὁ λόγος ἦν. ὡσαύτως καὶ περὶ τῶν φρυγομένων ἐρεβίνθων ἀκηκοέναι νόμιζε, σὺν τοῖς εἰρημένοις ἐπὶ τῶν κυάμων. ἅπαντα γὰρ τὰ φρυγόμενα, τὸ μὲν φυσῶδες ἀποτίθενται. δυσπεπτότερα δὲ καὶ σταλτικώτερα γίνεται, καὶ τροφὴν παχυτέραν δίδωσι τῷ σώματι.

περὶ θέρμων.

Ἴσμεν δήπου καὶ τοῦτο τὸ σπέρμα πολύχρηστον εἶναι κατὰ θάτερον σημαινόμενον τῆς πολυχρήστου φωνῆς. ὀνομάζεται γὰρ οὕτως τό, τε πολλαῖς τοῦ σώματος ἁρμόττον διαθέσεσιν, τό, τε πᾶσιν ἀνθρώποις ἢ τοῖς πλείστοις χρήσιμον, εἰ καὶ πρὸς μίαν ἰδέαν χρείας ἅπαντες αὐτοῦ δέοιντο. κατὰ τοῦτο γοῦν αὐτὸ τὸ δεύτερον σημαινόμενον, ὁ θέρμος ἐστὶ πολύχρηστον ὄσπριον. ἑψόμενος γάρ, εἶτα βρεχόμενος ἐν ὕδατι γλυκεῖ μέχρις ἂν ἀποθῆται πᾶσαν εἰς αὐτὸ τὴν σύμφυτον ἀηδίαν, οὕτως ἐσθίεται, διά γάρου τε καὶ ὀξυγάρου, καὶ χωρὶς τούτων, ἁλσὶ μετρίοις ἡδυνόμενος, οὐχ ὥσπερ ἥ τε κριθίς, καὶ ἄλλα τὰ πολυειδῶς σκευαζόμενα. ἔστι δὲ σκληρὸς καὶ γεώδης τὴν οὐσίαν. ὥστ' ἀνάγκη δύσπεπτον αὐτὸν εἶναι, καὶ παχὺν γεννᾶν χυμόν, ἐξ οὗ μὴ καλῶς ἐν ταῖς φλεψὶ κατεργασθέντος, ὁ καλούμενος ἰδίως ὠμὸς ἀθροίζεται χυμός. ἐπὶ δὲ τὴν σκευασίαν ἀποτιθέμενος ἅπαν ὅσον εἶχε πικρόν, ὅμοιος γίγνεται τοῖς ἀποίοις ὡς πρὸς αἴσθησιν. εὔλογον οὖν ἐστὶν μήτ' εἰς διαχώρησιν ἐπιτήδειον ὑπάρχειν αὐτόν, μήτ' εἰς ἐπίσχεσιν ῥεούσης γαστρός, ὡς τὰ στύφοντα, βραδύπορον δέ, καὶ δυσαναδίβαστον, καὶ δυσδιέξοδον εἰκότως γίνεσθαι.

καλοῦσι γὰρ οὕτως οἱ ἰατροὶ τὰ τοιαῦτα τῶν ἐδεσμάτων ὅσα μηδεμίαν ἐξέχουσαν ἔχει ποιότητα τοῦ προτρέπειν εἰς ἔκκρισιν τὴν κοιλίαν, ἢ κωλύειν ἐκκρίνειν δυναμένων. ἐκεῖνα μὲν οὖν οὐχ ὡς τροφὰς αὐτοῖς ὑπάρχουσιν, ἀλλ' ὡς φάρμακα. ὅσα δὲ καὶ οὐδεμίαν ἔχει σαφῆ τοιαύτην ποιότητα, καλεῖται μὲν εὐλόγως ὑπὸ τῶν ἰατρῶν ἄποια· κατὰ δὲ τὰς ἐν ὑγρότητι καὶ γλισχρότητι διαφοράς, ἢ ταχυπόροις αὐτοῖς ἢ βραδυπόροις, ἢ μέσοις τούτων εἶναι συμβέβηκεν, τοῖς μὲν ὑγροῖς καὶ ὀλισθηροῖς, ταχυπόροις, τοῖς σκληροῖς δὲ καὶ ξηροῖς, ὥσπερ ὁ θέρμος, ἔμπαλιν. ὅσα δὲ μεταξὺ τούτων ἐστὶ κατὰ τὰς εἰρημένας διαφοράς, οὔτε τάχος ἐπίσημον, οὔτε βραδύτητα διαχωρήσεως ἐργάζεται. καθάπερ οὖν ταῦτα περὶ πάντων ἐπίστασθαι προσήκει κοινῇ, κατὰ τὸν αὐτὸν τρόπον καὶ τάδε, τὰ μὲν ὑγρότερα ταῖς συστάσεσιν ἅπαντα βραχεῖαν τροφὴν δίδωσι τῷ σώματι, καὶ ταχέως ἐξατμιζομένην τε καὶ διαφορουμένην, ὡς ἑτέρας αὖθις οὐ διὰ μακροῦ δεῖσθαι. τὰ δὲ σκληρὰ καὶ γεώδη, μονίμην τε καὶ πολλὴν καὶ δυσδιαφόρητον. εἰ δὲ καὶ κολλῶδές ἔχει τι, πολὺ δὴ μᾶλλον ἅπαντα ταῦτα ἐναργῶς ἀποτελεῖ. πρόδηλον δ' ὅτι καὶ πεφθῆναι τοῖς τοιούτοις οὐκ εὐπετές, ὥσπερ γ' οὐδ' εἰς αἷμα μεταβαλεῖν, οὐδ' ἐξομοιωθῆναι τοῖς στερεοῖς τοῦ ζῴου μορίοις. εἰ δὲ τοῦτο, μηδὲ θρέψειν ταχέως, ἀλλ' ὅταν γε κρατηθῇ, τροφὴν πολλὴν δίδωσι τῷ σώματι.

περὶ τήλεως.

Οὐ μόνον τῆλιν, ἀλλὰ καὶ βούκερας, ἔνιοι δὲ αἰγίκερας ὀνομάζουσι τὸ σπέρμα τοῦτο. τῶν θερμαινόντων δ' ἐστὶν φανερῶς, τὴν αὐτὴν χρείαν παρέχον εἰς ἐδωδὴν τοῖς ἀνθρώποις, ἥνπερ οἱ θέρμοι. προσλαμβάνουσι γοῦν αὐτὸ διὰ γάρου, γαστρὸς ὑπαγωγῆς ἕνεκα, καὶ πολύ γε θέρμων εἰς τοῦτ' ἐστὶν ἐπιτηδειότερον, οὐδὲν ἐξ οἰκείας οὐσίας ἔχον δυσδιέξοδον. ἐσθίεται δὲ καὶ δι' ὄξους, καὶ γάρου, καθάπερ οἱ θέρμοι, καὶ δι' οἴνου δέ, καὶ γάρου καὶ ἐλαίου. πολλοὶ καὶ τῆλιν ἐσθίουσι καὶ θέρμους, ἔνιοι δὲ καὶ σὺν ἄρτῳ, καὶ γίγνεται τοῦτ' αὐτοῖς ὄψον αὐταρκές, ἧττον μὲν ὑπάγον τὴν γαστέρα, μήτε δὲ κεφαλῆς ἀπτόμενον, ὥσπερ γε ἡ διὰ τοῦ γάρου τῆλις ἐνίων ἅπτεται, μήτε τὸν στόμαχον ἀνατρέπον. ἐργάζεται γὰρ ἐπί τινων ἡ τῆλις τοῦτο. τῷ δ' αὐτῷ τρόπῳ πρὸς ἐδωδὴν ἔνιοι χρῶνται φασήλοις τε καὶ ὤχροις, ἐφ' ὧν αὐτίκα τὸν κοινὸν ἁπάντων τῶν τοιούτων παραγράψω λόγον. ἐσθίεται δὲ τῆλις ὑπό τινων καὶ πρὶν ἐκκαρπῆσαι τὸ φυτὸν αὐτῆς, ἀποβαπτομένων αὐτῶν εἰς ὄξος καὶ γάρον. ἔνιοι δὲ καὶ τοὔλαιον ἐπιχέοντες ὄψῳ χρῶνται σὺν ἄρτῳ προσφερόμενοι. τινὲς δὲ καὶ μετ' ὄξους καὶ γάρου. κεφαλῆς δὲ ἅπτεται, καὶ ἤδη, πλεῖον ληφθεῖσα, καὶ μᾶλλον εἰ καὶ χωρὶς ἄρτου προσενέγκοιτό τις αὐτήν. ἐνίοις δὲ καὶ τὸν στόμαχον ἀνατρέπει. χυλὸς δὲ ἑψηθείσης τῆς τήλεως μετὰ μέλιτος λαμβανόμενος ἐπιτήδειός ἐστιν ὑπάγειν ἅπαντας τοὺς ἐν τοῖς ἐντέροις μοχθηροὺς χυμούς, τῇ μὲν γλισχρότητι τὸ προσηνὲς ἔχων, τῇ δὲ θερμότητι τὸ παρηγορικόν. ὅτι δὲ καὶ ῥυπτικῆς μετέχει δυνάμεως, ἐπὶ τὴν ἔκκρισιν παρορμᾷ τὸ ἔντερον. ὀλίγον δ' εἶναι χρὴ τὸ μιγνύμενον αὐτῷ μέλι, μὴ περιγένηται τὸ δακνῶδες. ἐπὶ δὲ τῶν κατὰ τὸν θώρακα χρονιζόντων ἀλγημάτων ἄνευ πυρετοῦ, συνεψεῖν μὲν αὐτῇ χρὴ λιπαροὺς φοίνικας, ἐκθλίψαντας δὲ τὸν χυλόν, εἶτα μέλιτι μίξαντας δαψιλῶς, κἄπειτα ἑψήσαντας αὖθις ἐπ' ἀνθράκων ἄχρι πάχους συμμέτρου χρῆσθαι πρὸ πολλοῦ τῶν σιτίων.

περὶ φασήλων καὶ ὤχρων.

Καὶ ταῦτα τὰ σπέρματα καθάπερ καὶ τὴν τῆλιν ὕδατι προδιαβρέχοντες οἱ ἄνθρωποι μέχρι τοῦ φῦσαι ῥίζαν ἐσθίουσιν πρὸς τὰς ἄλλας τροφάς, ὑπαγωγῆς ἕνεκα γαστρός, ἐναποβάπτοντες γάρῳ. προτιμότερον δ' ἔχει τὸν χυμόν, ὅταν ἑψηθῇ, πεφθέντα μᾶλλον τήλεως. καί τινα νεανίσκον οἶδα κατὰ τὴν Ἀλεξάνδρειαν ἰατρικὴν τέχνην ἐξασκοῦντα, καθ' ἑκάστην ἡμέραν ὄψῳ χρώμενον ἐτῶν τεττάρων, μόνοις τούτοις, τήλει λέγω καὶ φασήλοις, καὶ ὤχροις καὶ θέρμοις (ἥψετο δέ ποτε καὶ τοῦ ἐκ τῆς Μέμφιδος ἐλαίου καὶ λαχάνων καὶ καρπῶν ὀλίγων ὅσοι χωρὶς ἑψήσεως ἐσθίονται). προύκειτο γὰρ αὐτῷ μηδὲ πῦρ ἀνάπτειν. ὑγίαινεν οὖν ἐν ἅπασιν ἐκείνοις τοῖς ἔτεσι, καὶ τὴν τοῦ σώματος ἕξιν κατ' οὐδὲν τι χείρονα τῆς ἐξ ἀρχῆς εἶχεν. ἤσθιεν δ' αὐτοὺς μετὰ γάρου δηλονότι, τῷ γάρῳ ποτὲ μὲν ἔλαιον ἐπεμβάλλων μόνον, ποτὲ δὲ καὶ οἶνον, ἔστι δ' ὅτε καὶ ὄξος, ἐνίοτε δὲ καὶ μεθ' ἁλῶν μόνον, ὥσπερ καὶ τοὺς θέρμους. περὶ μὲν οὖν διαίτης ὑγιεινῆς, εἴρηται μέν τι κἀν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ κατὰ διέξοδον, εἰρήσεται δὲ καὶ κατὰ τὸν δε τὸν λόγον αὖθις ἐν βραχέσι κεφαλαίοις. νυνὶ δὲ περὶ τῶν ὤχρων τε καὶ φασήλων οἷς εἶπον ἔτι καὶ τοῦτο προσκείσθω. μέσα πως ἐστὶν ἐδέσματα ταῦτα, εὐχύμων τε καὶ κακοχύμων, εὐπέπτων τε καὶ δυσπέπτων, βραδυπόρων τε καὶ ταχυπόρων, φυσωδῶν τε καὶ ἀφύσων, ὀλιγοτρόφων τε, πολυτρόφων. οὐδὲ γοῦν οὐδὲ ποιότητα δραστήριον ἔχει, καθάπερ ἔνια τῶν δριμεῖς, ἢ στρυφνούς, ἢ ἁλικούς, ἢ πικρούς, ἢ γλυκεῖς ἐχόντων χυμούς.

περὶ λαθύρων.

Παραπλήσιοι μέν εἰσιν τὴν οὐσίαν οἱ λάθυροι τοῖς ὤχροις τε καὶ φασήλοις. χρῶνται δ' αὖ καὶ τούτοις πλεῖστοι, οἱ κατὰ τὴν ἡμετέραν Ἀσίαν ἄγροικοι, καὶ μάλιστα κατὰ τὴν Μυσίαν τε καὶ Φρυγίαν, οὐ μόνον ὥσπερ ὤχροις τε καὶ φασήλοις, οἱ κατὰ τὴν Ἀλεξάνδρειάν τε καὶ πολλὰς ἄλλας πόλεις, ἀλλὰ καὶ σκευάζοντες ὁμοίως τῇ φακοπτισάνῃ. χυλὸν δὲ ἔχουσι τῇ μὲν δυνάμει παραπλήσιον † τοῖς ὤχροις τε καὶ φασήλοις, παχύτερον δὲ συστάσει, καὶ διὰ τοῦτο γ' αὐτὸ τροφιμώτεροι πως ἐκείνων εἰσίν

† al. πῶς

περὶ ἀράκων.

Τὴν ὑστάτην συλλαβὴν τοῦ τῶν ἀράκων ὀνόματος διὰ τοῦ .κ. γεγραμμένην εὑρίσκομεν ἐν ταῖς Ἀριστοφάνους ὁλκάσιν. ἔνθα φησί. ἀράκους, πυρούς, πτισάνην, χόνδρον, ζειάς, αἴρας, σεμίδαλιν. παραπλήσιον δ' ἐστὶ τὸ σπέρμα τῷ τῶν λαθύρων καί τινες γ' οὐχ ἕτερον εἶναι γένος ἐκείνων νομίζουσιν αὐτό. καὶ γὰρ καὶ ἡ χρῆσις ἅπασα καὶ ἡ δύναμις αὐτοῦ, παραπλησία τῇ τῶν λαθύρων ἐστίν, πλὴν ὅσον σκληρότεροι τε καὶ δυσεψητότεροι, καὶ διὰ τοῦτο καὶ δυσπεπτότεροι τῶν λαθύρων εἰσὶν οἱ ἄρακοι. παρ' ἡμῖν δὲ ἄγριόν τι καὶ στρογγύλον καὶ σκληρόν, ὀρόβου μικρότερον ἐν τοῖς δημητρίοις καρποῖς εὑρισκόμενον, ὃν ὀνομάζουσι ἄραχον, οὐ διὰ τοῦ .κ. τὴν ἐσχάτην συλλαβήν, ἀλλὰ διὰ τοῦ .χ. φθεγγόμενοι, καὶ ῥίπτουσιν αὐτὸν ἐκλέγοντες, ὥσπερ καὶ τὸν πελεκῖνον.

περὶ διο

περὶ δολιχῶν.

Τὸ τῶν δολιχῶν ὄνομα γέγραπται μὲν καὶ παρὰ τῷ Διοκλεῖ μετὰ τῶν ἄλλων, ὅσα τῶν τρεφόντων ἡμᾶς σπερμάτων εἰσὶν ὀνόματα. γέγραπται δὲ κἀν τῷ περὶ διαίτης Ἱπποκράτους, ὑπὲρ οὗ καὶ πρόσθεν ἤδη διῆλθον. ἡγοῦμαι δ' αὐτοὺς οὕτως ὀνομάζειν τὸ σπέρμα τοῦ κηπευομένου φυτοῦ, καλουμένου δὲ νῦν ὑπὸ τῶν πολλῶν κατὰ τὸν πληθυντικὸν ἀριθμὸν διχῶς. ἔνιοι μὲν γὰρ λοβοὺς, ἔνιοι δὲ φασηόλους ὀνομάζουσιν αὐτοὺς διὰ τεττάρων συλλαβῶν τὴν φωνὴν προφερόμενοι, καὶ διὰ τοῦτο ποιοῦντες ἕτερον ὄνομα τοῦ διὰ τριῶν συλλαβῶν λεγομένου φασήλου. τινὲς δὲ τὸν αὐτὸν εἶναι λέγουσι τὸν φάσηλον τῷ λαθύρῳ, τινὲς δὲ εἶδος αὐτοῦ, τούς γε μὴν δολίχους τεκμαίροιτο ἄν τις ὀνομάζεσθαι τὰ κηπευόμενα ταῦτα φυτὰ κἀξ ὧν Θεόφραστος περὶ αὐτῶν εἶπεν ἐν τῷ ὀγδόῳ περὶ φυτῶν ἱστορίας. ἔχει δ' ἡ λέξις ὧδε. Καὶ τὰ μὲν ἐστὶν ὀρθόκαυλα καθάπερ πυρὸς καὶ κριθὴ, καὶ ὅλως τὰ σιτώδη καὶ τὰ θερινά. τὰ δὲ πλαγιόκαυλα, οἷον ἐρέβινθος, ὄροβος, φακός. τὰ δὲ ἐπιγειόκαυλα, καθάπερ ὦχρος, πίσος, λάθυρος. ὁ δὲ δόλιχος ἐὰν παρακαταπήξῃ τις ξύλα μακρὰ, ἀναβαίνει καὶ γίνεται κάρπιμος, εἰ δὲ μὴ, φαῦλος καὶ ἐρυσιβώδης. ἐκ δὲ τοῦ παραπηγνύναι κελεύειν ξύλα μακρὰ, καὶ μὴ γινομένου τούτου φάσκειν, ἐρυσιβώδεις αὐτοὺς ἀποτελεῖσθαι, τεκμήραιτ' ἄν τις τὸν λόγον αὐτοῦ περὶ τῶν νῦν καλουμένων φασηόλων τε καὶ λοβῶν. αὐτὸς δὲ λοβοὺς ὀνομάζει, τὰ περιέχοντα τὸ σπέρμα τῶν τοιούτων ὀσπρείων ὁποῖόν ἐστι, φακὸς καὶ ὄροβος, πισὸς καὶ κύαμος, καὶ θέρμος. ὥσπερ γὰρ τὰ σιτηρὰ σπέρματα περιέχουσιν οἱ ἀστάχυες, οὕτω τὰ νῦν εἰρημένα οἱ λοβοὶ, καὶ τούς γε δολιχοὺς καὶ αὐτοὺς οἱ λοβοὶ περιέχουσι, καὶ διὰ τοῦτο, οἶμαι, τὸν ὅλον καρπὸν ὑπὸ τῶν νῦν ἀνθρώπων ὀνομάζεσθαι λοβοὺς, ὥσπερ ἀστάχυας ὅλους σιτηροὺς καρπούς. ἴσμεν δὲ καὶ ἄλλα πολλὰ τῶν ἐν πολλῇ χρήσει παρὰ τοῖς ἀνθρώποις ὄντων, ὅλου τοῦ γένους τοὔνομα σφετερισάμενα, καθάπερ τὸν κάλαμον ᾧ γράφομεν καὶ τὸ μέλαν. ἐν τῷ περὶ διαίτης Ἱπποκράτει οὕτως γέγραπται. Οἱ δὲ πισοὶ φυσῶσι μὲν ἧττον, διαχωροῦσι δὲ μᾶλλον, ὦχροι δὲ καὶ δόλιχοι διαχωρητικώτεροι τούτων, ἧσσον δὲ φυσώδεις, τροφιμώτεροι δέ. παραβάλλων γοῦν ἐν ταύτῃ τῇ ῥήσει τοὺς πισοὺς τοῖς κυάμοις, ὑπὲρ ὧν ὡς φυσώδους ἐδέσματος προείρηκε, τοὺς δ' ὤχρους καὶ δολιχοὺς, ἐφεξῆς γράφων, ἐνδείκνυται τῶν ὁμογενῶν τι τοῖς προειρημένοις σπερμάτων εἶναι τὸν δόλιχον καὶ μάλιστα τοῖς ὤχροις, ἀλλ' ἐκ τοῦ μηδόλως αὐτὸν μνημονεῦσαι λαθύρων καὶ φασήλων ὑποψία τίς ἐστιν, ὡς ἐκείνων τῶν σπερμάτων τι ἐνδεχόμενον εἴη κεκλῆσθαι δόλιχον. εἰ δὲ καὶ τοὺς φασήλους τις ἐν τῷ γένει τῶν λαθύρων περιλαμβάνει, τῷ γε τοὺς λαθύρους μὴ δύνασθαι λεχθῆναι δολιχοὺς ἐν τῇ προειρημένῃ ῥήσει, διαφυγεῖν οὐχ οἷόν τε. καὶ Διοκλῆς δ' ἐν τῷ ὀσπρείων κατὰ λόγῳ κυάμους πρῶτον εἰπὼν, εἶτα πισοὺς, ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως. Δόλιχοι δὲ τρέφουσι μὲν οὐχ ἧττον τῶν πισῶν, ἄφυσοι δ' εἰσὶν παραπλησίως. πρὸς ἡδονὴν δὲ καὶ διαχώρησιν χείρους. ἀλλὰ καὶ οὗτος ἐφεξῆς ὤχρων μὲν καὶ φακῶν, ἐρεβίνθων τε καὶ ὀρόβων μνημονεύσας, παραλιπὼν δὲ τὸ τῶν λαθύρων ὄνομα τὴν αὐτὴν ἀμφιβολίαν παρέχει. καὶ τίς δύναται λέγειν, ἓν εἶναι γένος ταῦτα πάντα λαθύρους, ὤχρους φασήλους ὀνόμασι πλείοσι κεχρημένα. τάχα μὲν ὡς κίονα καὶ στῦλον, τάχα δὲ καὶ κατά τινας ἐμφαινομένας αὐτοῖς διαφοράς. ἀλλὰ τό γε τοὺς δολιχοὺς οὐχ ἧττόν τε τῶν πισῶν τρέφειν, ἀφύσους τε εἶναι παραπλησίως ἐκείνοις, ἐνδεικτικόν ἐστι τοῦ κεκληκέναι τὸν Διοκλέα τοὺς νῦν ὀνομαζομένους φασηόλους οὕτως, ὁ γάρ τοι λάθυρος οὐκ ἔστιν ἀφυσότερος πισοῦ, καθάπερ οὐδὲ ὦχρος, οὐδὲ φάσηλος, εἴθ' ἓν γένος ἐστὶν ὡς ἔφην εἴτε καὶ διαφοραί τινες ἑνὸς γένους ταῦτα. Φιλότιμος δὲ καὶ Πραξαγόρας, οὐδενὸς τῶν τοιούτων ἐδεσμάτων ἐμνημόνευσαν, ὅτι μὴ κυάμων τε καὶ πισῶν μόνων, ὥστε παρά γε τούτων οὐδὲν ἔχομεν εὐπορῆσαι, περὶ τοῦ τῶν δολιχῶν ὀνόματος ἐφ' ὅτῳ πράγματι τέτακται. καὶ τοίνυν καλείτω μὲν ἕκαστος ὡς ἂν θέλῃ τοὺς νῦν ὑπὸ τῶν πολλῶν ὀνομαζομένους φασιόλους τε καὶ λοβοὺς, ἴστω δὲ τὴν δύναμιν αὐτῶν οὖσαν, οἵαν Διοκλῆς εἶπε περὶ τῶν δολιχῶν. ἐγγὺς δὲ τῆς γνώμης αὐτῶν καὶ ὁ ἐν τῷ περὶ διαίτης Ἱπποκράτης γράψας, ἥκει τοὺς ὤχρους καὶ τοὺς δολιχοὺς διαχωρητικωτέρους μὲν εἶναι τῶν πισῶν λέγων, ἧττον δὲ φυσώδεις, καὶ τροφίμους εἶναι αὐτοὺς μαρτυρεῖ καὶ γὰρ οὕτως ἔχει, πλὴν ὅτι σὺν τοῖς λοβοῖς, ὅλους ἐσθίουσιν ἔτι χλωροὺς ὄντας αὐτοὺς οἱ ἄνθρωποι δι' ἐλαίου καὶ γάρου τοὐπίπαν. ἔνιοι δὲ καὶ οἶνον ἐπιβάλλουσιν. εἰς ἀπόθεσιν δ' οὐ χρῶνται καθάπερ τοῖς πισοῖς. ὑγρότεροι γὰρ ὄντες τὴν φύσιν εἰώθασι διαφθείρεσθαι. τῷ βουλομένῳ δ' ἀσφαλῶς ἀποθέσθαι καὶ τούτους, ὥσπερ ὁ ἐμὸς πατὴρ ἐποίει, ξηραντέον ἐστὶν ἀκριβῶς αὐτούς. οὕτως γὰρ ἄσηπτοί τε καὶ ἀδιάφθοροι μένουσιν ὅλῳ χειμῶνι, τὴν χρείαν τῷ πισῷ παρεχόμενοι. τῶν φίλων δέ τις ἐν Ῥώμῃ διατρίβων ἔλεγεν ἐν Καρίᾳ κατὰ τὴν ἑαυτοῦ πατρίδα καλουμένην Κέραμον σπείρεσθαι τοῖς ἄλλοις ὀσπρείοις ὡσαύτως τοὺς δολιχοὺς ἐν ταῖς ἀρούραις, ἔχοντας τὸ σχῆμα προμηκέστερον λαθύρων.

περὶ ὀρόβων.

ἱ Βόες ἐσθίουσι τοὺς ὀρόβους παρ' ἡμᾶς τε καὶ τἄλλα πολλὰ τῶν ἐθνῶν ὕδατι προγλυκάναντες. οἱ δὲ ἄνθρωποι τελέως ἀπέχονται τοῦ σπέρματος τούτου, καὶ γὰρ ἀηδέστατόν ἐστι καὶ κακόχυμον. ἐν λιμῷ δέ ποτε μεγάλῳ καθὰ καὶ Ἱπποκράτης ἔγραψεν, ἐξ ἀνάγκης βιαίας ἐπ' αὐτὸ παραγίνονται. προπαρασκευάζοντες δ' ἡμεῖς ὥσπερ τοὺς θέρμους, χρώμεθα μετὰ μέλιτος τοῖς ὀρόβοις, ὡς φαρμάκοις τῶν κατὰ θώρακα καὶ πνεύμονα παχέων ὑγρῶν ἐκκαθαρτικοῖς. ἧττον δ' εἰσὶ φαρμακώδεις ἐν αὐτοῖς οἱ λευκοὶ, τῶν πρὸς τὸ ξανθὸν, ἢ ὠχρὸν ἀφισταμένων. οἱ δ' ἀφεψηθέντες δὶς, ἀπογλυκανθέντες τε δι' ὕδατος πολλάκις ἀποτίθενται μὲν τὴν ἀηδίαν, ἀποτίθενται δὲ σὺν αὐτῇ καὶ τὴν ῥυπτικήν τε καὶ τμητικὴν δύναμιν, ὥστε ὑπολείπεσθαι τὸ γεῶδες αὐτῶν τῆς οὐσίας, ὃ χωρὶς πικρότητος ἐπιφανοῦς ἔδεσμα ξηραντικὸν γίγνεται

περὶ Σησάμου καὶ Ἐρυσίμου.

ιπαρόν ἐστι τὸ τῶν σησάμων σπέρμα, διὸ καὶ τάχιστα κείμενον ἐλαιηρὸν γίνεται, διὰ τοῦτο οὖν ἐμπίμπλησί τε τοὺς ἐσθίοντας αὐτὸ ταχέως, ἀνατρέπει τε τὸν στόμαχον καὶ βραδέως πέττεται καὶ τροφὴν δίδωσι τῷ σώματι λιπαράν. εὔδηλον οὖν ὅτι τόνον καὶ ῥώμην ἐντιθέναι τοῖς κατὰ τὴν γαστέρα μορίοις οὐ δύναται, καθάπερ οὐδὲ ἄλλο τι τῶν λιπαρῶν. ἔστι δὲ παχύχυμον, καὶ διὰ τοῦτο οὐδὲ διεξέρχεται ταχέως, ἐσθίουσι δὲ αὐτὸ μόνον μὲν οὐ πάνυ τι,

σὺν μέλιτι δὲ ἀπεφθῶν, τὰς καλουμένας ὑπὸ τῶν πολλῶν σησαμίδας ἀναπλάττοντες. ἐπιπάττουσι δὲ καὶ τοῖς ἄρτοις αὐτό, ὥσπερ δὲ ἐν κέγχροις, καὶ ἔλυμος, ὃν καὶ μελίνην ἔφαμεν ὀνομάζεσθαι παραπλήσιον μέν πως ἐστίν, χεῖρον δὲ πάντῃ, κατὰ τὸν αὐτὸν τρόπον ἐρύσιμον σησάμῳ κατὰ τὴν τοῦ σώματος οὐσίαν ὁμογενές πως ὄν, ἀηδέστερον δ᾽ ἐστὶ βρωθῆναι, καὶ τροφὴν ἥττονα δίδωσι τῷ σώματι, καὶ πάντῃ χεῖρον ὑπάρχει. θερμὰ δὲ ἐστὶ ταῖς κράσεσιν ἄμφω, καὶ διὰ τοῦτο καὶ διψώδη.

περὶ μήκωνος σπέρματος.

Τῆς ἡμέρου μήκωνος σπέρμα χρήσιμον ἐστὶν ἐπιπαττόμενον ἄρτοις, ὡς ἥδυσμα, καθάπερ καὶ τὸ σήσαμον. βέλτιον δ᾽ ἐστὶ τὸ λευκότερον σπέρμα τοῦ μελαντέρου, δύναμιν δ᾽ ἔχει ψυκτικήν, καὶ διὰ τοῦτο καὶ ὑπνωτικόν ἐστιν. εἰ δὲ καὶ πλέον ληφθείη, καὶ καταφορικὸν καὶ δυσαπεπτον, ἔτι τε τὸν ἐκ θώρακος καὶ πνεύμονος ἀναβηττομένων ἐπίσχετικόν. ὠφελεῖ μέν τοι τοὺς ἐκ κεφαλῆς καταρροιζομένους λεπτῷ ῥεύματι. τροφὴν δὲ οὐκ ἀξιόλογον παρέχει τῷ σώματι.

περὶ λίνου σπέρματος, ὃ καὶ συνθέτως ὀνομάζουσι λινόσπερμον.

Χρῶνται μὲν αὐτῷ καὶ φρύγοντες ἔνιοι, καθάπερ τοῖς σκευαστοῖς ἁλσὶν ὡς ὄψῳ μετὰ γάρου. χρῶνται δὲ καὶ μέλιτι φυρῶντες. ἐπιπάττουσι δὲ ἔνιοι καὶ τοῖς ἄρτοις αὐτό, κακοστόμαχον δὲ καὶ δυσαπεπτον ὑπάρχον, καὶ τροφὴν ὀλίγην τῷ σώματι παρέχον. εἰς δὲ διαχώρησιν γαστρός, οὔτ᾽ ἂν ἐπαινέσαις, οὔτ᾽ ἂν ψέξοις αὐτό, μετέχει γε μὴν βραχύ τι καὶ τῆς οὐρητικῆς δυνάμεως, ὃ μᾶλλον γίνεται φανερόν, ἐπειδὰν φρυγὲν ἐσθίηται, τηνικαῦτα δ᾽ ἵστησι πως μᾶλλον τὴν γαστέρα. χρῶνται δ᾽ οἱ κατὰ τοὺς ἀγροὺς ἄνθρωποι πολλάκις αὐτῷ, μετὰ τὸ φρύξαι καὶ λειῶσαι, μέλι μιγνύντες.

περὶ ὁρμίνου.

Καὶ τούτῳ χρῶνται φρύγοντες, εἶτα λειοῦντες ὡς ἄλευρον γενέσθαι, μιγνύουσι δ᾽ αὐτῷ καὶ μέλιτος. ὀλίγον δ᾽ ἔχει τὸ τρόφιμον ἐν ἑαυτῷ, μεταξὺ τὴν φύσιν ὑπάρχον ἐρυσίμου τε καὶ κυμίνου.

περὶ καννάβεως σπέρματος.

Οὐχ ὥσπερ αὐτὸ τὸ φυτὸν τῆς καννάβεως ἔοικέ πως τῷ ἄγνῳ, καὶ τὸ σπέρμα τῷ σπέρματι, παραπλήσιόν πως ἐστὶ τὴν δύναμιν, ἀλλ᾽ ἀποκεχώρηκε πάμπολυ, δυσαπεπτόν τε καὶ κακοστόμαχον ὂν καὶ κεφαλαλγὲς καὶ κακόχυμον. ὅμως δ᾽ οὖν καὶ τοῦτό τινες ἐσθίουσι φρύττοντες ἅμα τοῖς ἄλλοις τραγήμασιν. ὀνομάζω δηλονότι τραγήματα τὰ περὶ τὸ δεῖπνον ἐσθιόμενα, τῆς ἐπὶ τὸ πίνειν ἡδονῆς ἕνεκα. θερμαίνει δ᾽ ἱκανῶς, καὶ διὰ τοῦτο καὶ κεφαλῆς ἅπτεται βραχεῖ πλεῖον ληφθέν, ἀτμὸν ἀναπέμπον ἐπ᾽ αὐτὴν θερμόν τε ἅμα καὶ φαρμακώδη.

περὶ ἄγνου σπέρματος.

Καὶ καθ᾽ αὐτὸ τοῦτο φρυγόμενον ἐσθίεται, πεπιστευμένον ἐπέχειν τὰς ἐπ᾽ ἀφροδισίοις ὁρμὰς γινομένας. τροφὴν δ᾽ ὀλίγην δίδωσι τῷ σώματι, καὶ ταύτην ξηραίνουσαν μὲν καὶ ψύχουσαν, ἄφυσον δ᾽ ἱκανῶς, καὶ κατὰ πάντ᾽ οὖν ταῦτα τοῖς ἁγνεύειν ἀφροδισίων βουλομένοις ἐπιτήδειόν ἐστι, διὸ καὶ τοὔνομα τῷ φυτῷ τεθεῖσθαι τοῦτο φασίν, κεφαλῆς δ᾽ οὐχ ἅπτεται καθάπερ ἡ κάνναβις.

περὶ ἀφάκης καὶ βικίου.

Τὸ σχῆμα τῶν σπερμάτων τούτων οὐ στρογγύλον ἐστίν, ὥσπερ τὸ τῶν κυάμων, ἀλλ᾽ ὑπόπλατυ μᾶλλον ὁμοίως τοῖς φακοῖς. ἀποτίθενται δὲ οἱ γεωργοὶ καὶ ταῦτα σὺν αὐτοῖς τοῖς λοβοῖς, ἅμα τοῖς φυτοῖς ὅλοις, ἕνεκα τῆς τῶν ἀλόγων θρεμμάτων τροφῆς. ἐν λιμῷ γε μὴν οἶδα καὶ τούτων ἐνίους φαγόντας, καὶ μάλιστα τοῦ ἦρος, ἔτι χλωρῶν ὄντων, ὥσπερ ἐρέβινθόν τε καὶ κύαμον ἐσθίουσι συνήθως. ἔστι δ᾽ οὐκ ἀηδῆ μόνον, ἀλλὰ καὶ δυσαπεπτα, καὶ σταλτικὰ γαστρός, εὔδηλον οὖν ὅτι τὰ τοιαῦτα δὲ τὴν φύσιν ὄντα, τὴν ἀναδιδομένην τροφὴν ἐξ ἑαυτῶν οὐκ εὔχυμον ἔχει, καὶ παχεῖαν εἰς αἵματος μελαγχολικοῦ γένεσιν ἐπιτήδειον, ὥσπερ καὶ πρόσθεν εἴρηται περὶ τῆς φακῆς. ἀλλ᾽ ἐκείνῃ μὲν πολλὰ ἀγαθὰ πάρεστι. τούτοις δὲ οὐδὲν τῶν ἐκείνοις ἀγαθῶν ὑπάρχει. τό γε μὴν ὄνομα τοῦ βικίου παρ᾽ ἡμῖν μὲν σύνηθες ἐστὶ καὶ μόνως γε οὕτως ὀνομάζεται. παρὰ δὲ τοῖς Ἀττικοῖς, † σάρακος ἢ κύαμος ἐκαλεῖτο.

† ἄλ. ἄρακος

περὶ τῶν ἐν ἑκάστῳ γένει σπερμάτων ἐμφερομένων ἑτερογενῶν τε καὶ μικτῶν.

Ἐν μὲν τοῖς πυροῖς αἶραι πολλάκις εὑρίσκονται πολλαί, κατὰ δὲ τὰς κριθὰς γίνονται μὲν ἀλλ᾽ ὀλίγαι, πολὺ δὲ ὁ καλούμενος αἰγίλωψ ἐν αὐταῖς, ὅταν δυστυχήσωσι κατὰ τὴν πρώτην αὔξησιν ἢ γένεσιν. ὁ δ᾽ ἐμὸς πατὴρ ἐν παρακμῇ τῆς ἡλικίας φιλογεωργὸς γενόμενος, ἔσπειρέ ποτε καὶ πυροὺς καὶ κριθάς, ἀκριβῶς ἐκλέξας αὐτῶν ἅπαν ὅσον ἑτερογενὲς ἐμέμικτο σπέρμα χάριν τοῦ γνῶναι σαφῶς εἰ κατὰ μεταβολὴν αὐτῶν ἡ γένεσις ταῖς αἴραις τε καὶ τοῖς αἰγίλωψι, ἢ φύσιν ἰδίαν ἔχει καὶ ταῦτα τὰ σπέρματα. γεννηθέντων δ᾽ ἅμα τοῖς καθαροῖς σπέρμασιν, αἰρῶν μὲν πολλῶν κατὰ τύχην ἐν τοῖς πυροῖς, ὀλίγων δ᾽ ἐν ταῖς κριθαῖς, ἀλλ᾽ αἰγίλωπος δαψιλοῦς ἐπεχείρει καὶ τῇ τῶν ἄλλων σπερμάτων βασάνῳ τὸν αὐτὸν τρόπον. εὗρεν οὖν καὶ τοῖς φακοῖς ἐκ μεταβολῆς αὐτῶν γενομένους ἀράκους τε τοὺς σκληρούς τε καὶ στρογγύλους καὶ πελεκίνους, ἄβρωτα σπέρματα, τὴν δὲ ἀπαρίνην οὐ μόνον ἄβρωτον, ἀλλὰ καὶ τῷ φύεσθαι περιπλεκομένην τοῖς φυτοῖς τῶν φακῶν ἄγχουσαν τε καὶ πνίγουσαν αὐτὰ καὶ κατασπῶσαν, ὥσπερ ἡ ὀροβάγχη τοὺς ὀρόβους. ταῦτα μὲν οὖν μοχθηρὰ πάνυ σπέρματα. τὸ μελάμπυρον δὲ καλούμενον ἐκ μεταβολῆς μὲν καὶ αὐτὸ γεννᾶται τῶν πυρῶν, ἀλλ᾽ ἀπολείπεται πάμπολυ τῆς ἐν ταῖς αἴραις κακίας. εὗρε δὲ καὶ κατὰ ἄλλα σπέρματα τοιαύτας τινὰς μεταβολὰς γενομένας, ὅθεν ἐκέλευσεν τοὺς χρωμένους αὐτοῖς ἐκλέγειν ἅπαν τὸ μοχθηρόν, ὅταν εἰς χρῆσιν ὑγιεινὴν ἄγηται τὰ σπέρματα, καὶ μὴ καταφρονεῖν, ὥσπερ οἱ τοῖς δήμοις ὑπηρετούμενοι σιτοποιοί. μοχθηρᾶς μὲν δή ποτε γενομένης ἀγωγῆς ἔτους, αἶραι πάμπολλαι κατὰ τοὺς πυροὺς ἐγεννήθησαν, ἃς οὐκ ἀκριβῶς οὔτε τῶν γεωργῶν ἐκκαθαράντων τοῖς εἰς ταῦτα ἐπιτηδείοις, κοσκίνοις, ὀλίγου γὰρ ὁ σύμπας ἐγεωργεῖτο πυρός, οὔτε τῶν σιτοποιῶν διὰ τὴν αἰτίαν, ἐν μὲν τῷ παραχρῆμα κεφαλαλγεῖς ἐγένοντο πολλοί, τοῦ θέρους δ᾽ ἐμβάλλοντος ἕλκη κατὰ τὸ δέρμα τῶν φαγόντων οὐκ ὀλίγοις, ἢ τι σύμπτωμα ἕτερον ἐγεγόνει κακοχυμίας ἐνδεικτικόν, οὐκ οὖν ἀμελεῖν προσήκει τοῦ καθαρὰ ποιεῖν τὰ πρὸς ἐδωδὴν παρασκευαζόμενα σπέρματα, γινώσκοντας εἰ καὶ τῆς καθ᾽ ἑκάστην ἡμέραν βλάβης οὐκ αἰσθανόμεθα διὰ βραχύτητα, τό γ᾽ οὖν ἀθροιζόμενον ἐξ αὐτῆς χρόνῳ πλείονι φανερὸν γενήσεταί ποτε.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΡΟΦΩΝ
ΔΥΝΑΜΕΩΣ ΒΙΒΛΙΟΝ β'.

Ἐπειδὴ τρεφόμεθα μὲν ἀπό τε φυτῶν καὶ ζώων, ἤρξαντο δὲ ἀπὸ τῶν δημητρίων ὀνομαζομένων σπερμάτων, οἱ πρὸ ἐμοῦ πάντες ἐν τῷ περὶ τῶν ἐδεσμάτων, διότι χρησιμώτατον ἐν αὐτοῖς ἦν τὸ τῶν ἄρτων ἔδεσμα, διὰ τοῦτο κἀγὼ περί τε πυρῶν καὶ κριθῶν καὶ τιφῶν ὀλύρων τε, καὶ πρὸς τούτοις τῶν ὀνομαζομένων ὀσπρίων καὶ χεδρόπων ἐν τῷ πρώτῳ λόγῳ διελθὼν ἐσκοπούμην. εἶτ' ἐπὶ τὰς ἄλλας ἐν τῷ δὲ τῷ λόγῳ μεταβῆναι προσήκει τροφὰς, ὅσας ἀπὸ φυτῶν ἔχομεν. εἶτα πρὸς τὰς ἀπὸ τῶν ζώων, ὅσαι χρησιμώτεραι τοῖς ἀνθρώποις εἰσίν, καὶ γὰρ καὶ τοῦτο λόγον ἔχειν ἐδόκει. καί τινες οὐ διὰ πάντων τῶν ὁμογενῶν διεξελθόντες, οὐδὲ τὰς ἀπὸ τῶν φυτῶν ἁπάσας, ἐφεξῆς τοῖς δημητρίοις σπέρμασι διδάξαντες, ὑπὲρ ἐκείνων ἀεὶ πρότερον ἐποιήσαντο τὸν λόγον, ὅσα χρησιμώτερα τοῖς ἀνθρώποις ἐστί, φαίνεται γοῦν τά τε χοίρεια κρέα, καὶ τὰ τῶν ἐρίφων τε καὶ αἰγῶν καὶ μόσχων καὶ βοῶν καὶ προβάτων, οὐδὲν δ' ἧττον αὐτῶν ὅσα θηρεύουσιν ἐν τοῖς ὄρεσιν οἱ κυνηγέται, πολλὴν χρείαν τοῖς ἀνθρώποις παρεχόμενα, καθάπερ γε καὶ τῶν πτηνῶν πολλὰ, καὶ τῶν ἐνύδρων. εἶτ' ἐννοήσας ἕκαστον γένος ἐνὶ βιβλίῳ περιληφθῆναι ἀδύνατον ὄν, οὐ μέγα τὸ διάφορον ὑπέλαβον, τῶν ὑπολειπομένων ἐδεσμάτων ἐπὶ τοῖς προειρημένοις, ἐν μὲν δευτέρῳ γράμματι τὰς ἀπὸ τῶν φυτῶν τροφὰς διελθεῖν, ἐν δὲ τῷ τρίτῳ τὰς ἀπὸ τῶν ζώων. ἔξεσται γὰρ τῷ βουλομένῳ, προχειριζόμενον τὸ βιβλίον, ἐν ᾧ γέγραπται τῶν τροφῶν αἱ δυνάμεις, αἷς μάλιστα χρῆσθαι βούλεται, ποτὲ μὲν ἐπὶ τὸ πρῶτον ἔρχεσθαι, ποτὲ δὲ ἐπὶ τὸ δεύτερον ἢ τρίτον. ὅπως οὖν ὁ περὶ τῶν φυτῶν λόγος ἅπας ἐν τοῖς δύο πρώτοις ᾖ τετελεσμένος, ἐπὶ τὰ κατάλοιπα τῶν προειρημένων ἀφίξομαι τὴν ἀρχὴν τῶν λόγων τήνδε θέμενος· τὰ μὲν ἐν τῷ πρώτῳ λόγῳ σιτία σπέρματα φυτῶν ἦν ἅπαντα. νυνὶ δὲ ἀπὸ καρπῶν ἄρξομαι, διορίσας πρότερον αὐτῶν τὰ σπέρματα, καὶ μάλιστα ὅτι πολλοῖς ἔδοξε διαφέρειν οὐδὲν, ἢ καρπὸν εἰπεῖν, ἢ σπέρμα. τὰ μὲν οὖν ἤδη λελεγμένα σπέρματα βραχύ τι καρπῶν διαφέρει. τῶν δὲ νῦν εἰρησομένων οὐκ ὀλίγον ἀφέστηκε. καρπὸς μὲν γάρ ἐστι συκῆς τὰ σῦκα, ἡ δ' ἐν αὐτῷ κεγχραμὶς σπέρμα συκῆς. ὥσπερ καὶ ἡ ῥαγὸς ὅλης οὔσης ἀμπέλου καρπὸς, μόνον ἐστὶ τὸ γίγαρτον, ἀμπέλου σπέρμα, κατὰ τὰ αὐτὰ δὲ ἀπίου καὶ μηλέας ὁ μὲν καρπὸς ἄπιόν τε καὶ μῆλόν ἐστι, τὸ δὲ σπέρμα, τρεῖς ἢ τέτταρες ἐν μέσοις αὐτῶν κόκκοι. τί δεῖ λέγειν ἔτι κολοκυνθῶν τε καὶ σικύων, ὅσοι γε πέπονες αὐτῶν εἰσί, καὶ ὅσοι μή, καὶ ὅσοι μηλοπέπονες, τῶν τ' ἄλλων ἁπάντων ὅσα τοιαῦτα. πάμπολυ γὰρ ὁ σύμπας καρπὸς τοῦ σπέρματος διαφέρει. κυάμου δὲ καὶ θέρμου καὶ δολιχοῦ καὶ φακῆς, ὅσα τ' ἄλλα τῶν σπερμάτων ἀμφίεσμα λοβὸν ἔχει, τὸ μὲν ἐξ ἀμφοῖν συγκείμενα καρπός ἐστιν, ἡ πλείστη δὲ μοῖρα τῆς οὐσίας ἐν τοῖς σπέρμασιν. ἐσθίεται δὲ τῶν μὲν ἄλλων σχεδὸν ἁπάντων ὅσα διῆλθον ἐν τῷ πρώτῳ λόγῳ, μόνον τὸ σπέρμα. δολίχων δὲ μόνον ὁ καρπὸς ὅλος, ἐς ἂν ὦσιν οἱ καρποὶ χλωροὶ ἔτι. ξηρανθέντων γὰρ ἄχρηστοι τοῖς ἀνθρώποις, οἱ περιέχοντες τὰ σπέρματα γίγνονται λοβοί, κυάμων δ' οὐκ ἔστιν χλωρῶν ὁ λοβὸς ἐδώδιμος, ὥσπερ οὐδὲ τῶν ἐρεβίνθων, οὐδὲ τῶν ἄλλων, ὅσα καλεῖν εἴωθεν ἔλλοβα ὁ Θεόφραστος. εἰκότως οὖν ἔφην ὀνομάζεσθαι ὑπὸ πολλῶν λοβοὺς, οὓς ἔνιοι φασήλους καλοῦσιν, ἐπειδὴ μόνον αὐτῶν ὁ λοβὸς ἐδώδιμός ἐστιν. ἀλλὰ περὶ μὲν τῆς τούτων δυνάμεως εἴρηται πρόσθεν. ὥσπερ γε καὶ ὅτι τὸ τῶν δολίχων ὄνομα κατὰ τούτων ἡγοῦμαι φέρειν ἐνίους τῶν παλαιῶν. οἱ δὲ καρποὶ τῶν φυτῶν ἀπό τε τῶν δένδρων εἰσὶ καὶ τῶν κηπευομένων λαχάνων, ἐν οἷς καταλέγουσιν ἔνιοι τῶν ἰατρῶν τούς τε πέπονας, καὶ τοὺς μηλοπέπονας, καὶ τὰς κολοκύνθας, ἀφ' ὧν καὶ πρῶτον ἄρξομαι τῆς ἐν τῷ δὲ τῷ γράμματι διδασκαλίας.

Περὶ τῶν ὡραίων ὀνομαζομένων καρπῶν.

Ὥραν ἔτους ὀνομάζουσιν οἱ Ἕλληνες ἐκεῖνον τὸν καιρὸν, ἐν ᾧ μεσοῦντι τὴν τοῦ κυνὸς ἐπιτολὴν γίγνεσθαι συμβαίνει. χρόνος δ' ἐστὶν οὗτος ἡμερῶν τεσσαράκοντα. κατὰ τοῦτον οὖν τὸν χρόνον ἅπαντες εἰσὶν οἱ ὡραῖοι καλούμενοι καρποί, τινὲς μὲν ἤδη παρακμάζοντες, ἔνιοι δὲ ἀρχόμενοι, τινὲς δὲ ἀκμάζοντες, ἢ μετὰ τὴν ἀκμὴν, ἢ πρὸ αὐτῆς. ὡραίους δὲ αὐτοὺς ὀνομάζουσιν οὐχ ὅτι μόνον κατὰ τὸν εἰρημένον γίγνονται χρόνον, ἀλλ' ὡς οἶμαι διορίζειν βουλόμενοι τῶν εἰς ἀπόθεσιν ἐπιτηδείων. ἐπεί τοι καὶ πυροὶ καὶ κριθαὶ καὶ πάνθ' ὅσα κατὰ τὸ πρῶτον γράμμα διῆλθον, ἐπέτειόν τε καὶ θερινὴν ἔχει τὴν γένεσιν, ἀλλ' οὐ διαφθείρεται ταχέως, ὥσπερ αἱ κολόκυνθαι, καὶ τὰ συκάμινα, πέπονές τε καὶ μηλοπέπονες, καὶ περσικὰ, καὶ ἄλλα ὅσα τοιαῦτα. καὶ γὰρ εἰ σκελλοῦντες αὐτὰ τινὲς ἀποτίθενται, φυλάττοντες εἰς τὸν χειμῶνα, καταβάλλει καὶ οὕτως τὴν ἀρχαίαν φύσιν ἅπαν πρὸς τὸ ἐναντίον. ἔνιοι γοῦν τῶν κολοκυνθῶν κενοῦντες τὸ σπέρμα, κἄπειτα τὴν οἷον σάρκα ξηραίνοντες ἀποτίθενται μὲν εἰς τὸν χειμῶνα, χρῶνται δὲ ἐν αὐτῷ πάντες μᾶλλον, ἤ τινι τῶν ἐδωδίμων. οὐ μὴν ἐπί τε πυρῶν καὶ κριθῶν, ὅσα τ' ἄλλα δημήτρια σπέρματα, πρὸς τοὐναντίον ἡ φύσις ἐν ταῖς ἀποθέσεσιν ἐξίσταται. μένει γὰρ ἅπαντα τοιαῦτα ταῖς οὐσίαις, ὁποῖα κατὰ τὸ θέρος εὐθὺς ἐξ ἀρχῆς ἦν τελειωθέντα. πρόδηλον δὲ ὅτι τὰ μὲν ξηρὰν ἔχοντα τὴν πῆξιν τοῦ σώματος, ὥσπερ μόνιμον ἔχει τὴν ἕξιν, οὕτω καὶ στερεὰν, καὶ γεώδη, καὶ διὰ τοῦτο τρόφιμον. ὅσα δ' ὑγρὰ ταῖς συστάσεσιν ἐστί, διαφθείρεταί τε καὶ τροφὴν ὀλίγην τε καὶ ῥᾳδίως ἐκκενουμένην ἐκ τοῦ σώματος ἔχει. διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ κατὰ τὴν γαστέρα διαχωρεῖται τὰ τοιαῦτα μᾶλλον τῶν στερεῶν, καὶ μάλισθ' ὅταν ἔχει λιτρῶδές τι καὶ ῥυπτικὸν, ὥσπερ ἐπιδείξομεν ἐνίους ὡραίων, ἀξιόλογον ἔχοντα τὴν τοιαύτην δύναμιν, ἃ καὶ κακοχυμότερα λέγομεν εἶναι τῶν οὐδεμίαν ἐχόντων αἰσθητὴν ποιότητα χυμοῦ καθάπερ οὐδὲ τὸ κάλλιστον ὕδωρ ἔχει, πάντ' οὖν τὰ τοιαῦτα καὶ πολὺ μᾶλλον ὅσα πρὶν ἀκριβῶς πεπανθῆναι προσφερόμεθα, φυσώδη μέν ἐστιν, ὑποχωρεῖ δὲ θᾶττον, ὥσπερ καὶ ἀναδίδοται θᾶττον ὅσα χυμὸν ἔχει λεπτὸν, ἐστὶ δὲ

καὶ κακοχύμων ταῦτα πάντα, καὶ μόνως ἂν τις αὐτὰ εἰς ὠφέλειαν χρήσαιτο τεταλαιπωρημένος ὁδοιπορίᾳ μακροτέρᾳ καὶ πνίγει σφοδρῷ. τηνικαῦτα γὰρ ὀνήνισιν τέγγοντα μὲν τὸν αὐχμὸν τοῦ σώματος, ψύχοντα δὲ μετρίως, ἤν γε τις αὐτὰ ψυχρὰ λαμβάνῃ. τὸ μὲν οὖν ὑγραίνειν διὰ παντὸς ἔχει, τὸ δ' ἐμψύχειν οὐχ ἕξει προσγενηθέντα θερμὰ τοῖς ὥσπερ εἴρηται διακειμένοις. οὐ γὰρ εἰς τοσοῦτον ψυχρὰ ταῖς οἰκείαις κράσεσιν ἐστὶν, ὥς τε κἂν θερμὰ προσενεχθῇ, ψύχειν τὴν γαστέρα. δεῖται τοίνυν ἐπικτήτου ψύξεως ἐναντιουμένης τῇ θερμότητι τῶν κατὰ γαστέρα τε καὶ τὸ ἧπαρ μορίων, οἷς πρώτοις ὁμιλεῖ. τούτων οὖν προεγνωσμένων κοινῇ, περὶ πάντων τῶν τοιούτων ἐδεσμάτων, ἐπὶ τὰς ἰδίας ἑκάστου δυνάμεις ἤδη μεταβαίνωμεν.

περὶ κολοκύνθης.

Ωμὴ μὲν ἀηδὴς ἐστὶ καὶ κακοστόμαχος καὶ ἄπεπτος ἐσχάτως. ὥς τε καὶ εἰ βιάσαιτό τις αὐτὴν ἀκρῶν ἑτέρου σιτίου προσενέγκασθαι κολοκύνθην, ὥσπερ ἤδη τις ἐτόλμησεν, βάρους ἐγκειμένου ψυχροῦ κατὰ τὴν κοιλίαν αἰσθήσεται. τόν τε στόμαχον ἀνατραπήσεται, καὶ πρὸς ἔμετον ὁρμήσει, ὃν μόνον αὐτὸν ἐλευθερῶσαι δυνάμενον τῶν κατεχόντων συμπτωμάτων. καὶ ταύτην γ' οὖν καὶ ἄλλα πολλὰ τῶν ὡραίων ἅπαντες ἄνθρωποι μετὰ τὴν ἕψησιν ἤτοι γ' εὐθέως, ἢ τηγανίσαντες, ἢ ὀπτήσαντες, εἰώθασι προσφέρεσθαι. καὶ σοὶ οὗτος ἐν τῇ μνήμῃ φυλαττέσθω ὁ λόγος κοινὸς, ἐπὶ πᾶσιν τοῖς δεομένοις ἀλλοιώσεως τυχεῖν τῆς διὰ πυρός. ἡ δὲ κολοκύνθη περὶ ἧς ὁ λόγος ἡνίκ' ἑψηθεῖσα σαφῆ ποιότητα χυμῶν οὐδεμίαν ἔχει. πλὴν εἴ τις λέγει τινὰ καὶ ταύτην εἶναι χυμὸν, ὃς οὔτε δριμὺς οὔτε ἁλυκὸς ἐστὶ χυμὸς, οὔτε στρυφνὸς, οὔτε πικρὸς, οὔτ' ἄλλο τοιοῦτον σαφῶς ἐμφαίνων οὐδὲν, ὥσπερ οὐδὲ τὸ ὕδωρ. ἀλλὰ τά γε τοιαῦτα καλεῖν εἰσὶν εἰθισμένοι κοινῇ πάντες ἄποια, καὶ ἡμῖν οὕτως καλείσθω σαφοῦς ἕνεκα διδασκαλίας. τοιαύτη γ' οὖν οὖσα καὶ ἡ κολοκύνθη, πολλοὺς εἰκότως ὑποδέχεται τρόπους σκευασίας, ὡς ἂν ἐν τῷ μέσῳ καθεστῶσα πασῶν τῶν ὑπερβολῶν, καὶ διὰ τοῦτο ὁμοτίμως τε καὶ ἐξ ἴσου πρὸς αὐτὰς ἄγεσθαι δυναμένη. τῶν γὰρ ἐχόντων ἥν τινα οὖν ὑπερβολὴν σύμφυτον, οὐδὲν εἰς τὴν ἐναντίαν αὐτῇ ῥᾳδίως ἄγεται κατασκευασίαν. αὕτη μὲν οὖν ὅσον ἐφ' ἑαυτῇ τροφὴν τῷ σώματι δίδωσιν ὑγρὰν καὶ ψυχρὰν, καὶ διὰ τοῦτο καὶ βραχεῖαν, ὡς ὀλίγον ἔμπροσθεν εἴρηται περὶ πάντων, ὅσα τοὺς χυμοὺς ὑδατώδεις τε καὶ λεπτοὺς ἔχει. ῥᾳδίως δὲ ὑπέρχεται κατὰ τὴν γαστέρα, διά τε τὸ ὀλισθηρὸν τῆς οὐσίας, καὶ διὰ τὸν κοινὸν λόγον πάντων τῶν ὑγρῶν σιτίων, ὅσα δηλονότι χωρὶς στύψεως ἐστὶ τοιαῦτα. πέττεται δὲ οὐ κακῶς, ὅταν γε μὴ φθάσῃ διαφθαρῆναι. πάσχει δὲ τοῦτο διά τε μοχθηρὰν σκευασίαν, κἀπειδὰν ἐν τῇ γαστρὶ μοχθηρὸς ἠθροισμένος ᾖ χυμὸς, ἔστι ὅτε δὲ καὶ διὰ τὸ βραδῦναι κατ' αὐτὴν, ὅσπερ κἂν τοῖς ἄλλοις ὡραίοις ἐδέσμασιν ἅπασιν, ὅσα ταῖς κράσεσιν ὑγρὰ, συμβαίνειν φιλεῖ. διαφθείρεται γὰρ ἐν τῇ γαστρὶ μὴ φθάσαντα ταχέως ὑπελθεῖν. ὥσπερ οὖν ὅσον ἐφ' ἑαυτῇ τὸν εἰς τροφὴν ἀναδιδόμενον ὅλῳ τῷ σώματι χυμὸν, ἄποιον ἔχει πρὸς αἴσθησιν ἡ κολοκύνθη, κατὰ τὸν αὐτὸν τρόπον, ἐπειδὰν μιχθείη τινὶ τῶν ἰσχυρὰν ἐχόντων δύναμιν, ὁμοιοῦται ῥᾳδίως αὐτῷ. μετὰ νάπυος μὲν εἰ ληφθείη, δριμέα ἐργαζομένη τὸν ἐξ ἀμφοῖν ἀναδιδόμενον χυμὸν ἅμα σαφεῖ θερμότητι, κατὰ δὲ τὸν αὐτὸν λόγον εἰ μετά τινος ἁλυκοῦ προσενεχθείη, καθάπερ ἐν λοπάδι μετὰ ταρίχου αὐτὴν ἔνιοι σκευάζουσι, ἁλυκὸν ἐν τῷ σώματι γεννήσει χυμόν. ἥδιστον δ' ἐστὶν ἔδεσμα τὸ οὕτως σκευασθὲν, εἰ τὸ τάριχον εἴη τῶν ποντικῶν ἐκείνων, ἃ καλοῦσι μύλλους. ἅμα δὲ μήλοις κυδωνίοις ἑψηθεῖσα, καὶ προσηκόντως ἀρτυθεῖσα τὸν αὐστηρὸν ἕξει χυμὸν ἐπικρατοῦντα κατὰ τὴν ἀνάδοσιν. ἡ δ' ὀπτηθεῖσα καὶ τηγανισθεῖσα, τῆς μὲν οἰκείας ὑγρότητος ἀποτίθεται πάμπολυ, τὸ δ' ὑπόλοιπον αὐτῆς οὐδεμίαν ἰσχυρὰν ἐπικτᾶται δύναμιν, ὥσπερ οὐδ' ὅταν ἐν ἁπλῷ ζωμῷ σκευασθῇ, χαίρει δ' εἰκότως ὀριγάνῳ διὰ τὴν ὑδατώδη ποιότητα σύμφυτον ὑπάρχουσαν αὐτῇ. πάντα γὰρ ὅσα τοιαῦτα, δριμέσιν ἢ ὀξέσιν ἢ αὐστηροῖς ἢ ἁλυκοῖς ἀναμίγνυσθαι δεῖται χυμοῖς, εἰ μέλλει μήτ' ἀηδῶς ληφθήσεσθαι, μήτε ναυτιώδεις ἐργάζεσθαι τοὺς λαμβάνοντας.

περὶ πεπόνων.

Η μὲν ὅλη φύσις αὐτῶν ἐστὶ ψυχροτέρα σὺν ὑγρότητι δαψιλεῖ, ῥυπτικὸν δὲ ἔχουσι τι, διὸ καὶ κινοῦσιν οὖρα, καὶ διεξέρχεται κάτω τῶν τε κολοκυνθῶν καὶ μηλοπεπόνων μᾶλλον. ὅτι δὲ ῥύπτουσι ἔνεστί σοι μαθεῖν ἀνατρίψαντι ῥυπαρὸν χρῶτα. διὸ κἂν ἔφηλιν τις ἔχῃ, κἂν φακοὺς ἐν τῷ προσώπῳ, κἂν ἀλφοὺς ἐπιπολεῖς, ἀπορρύπτουσι καὶ τούτους. τὸ δ' οἷον σαρκὸς αὐτῶν τὸ σπέρμα ῥύπτει μᾶλλον, ὥς τε καὶ πρὸς τοὺς λιθιῶντας ἁρμόττειν νεφρούς, μοχθηρὸν δ' ἐργάζεται χυμὸν ἐν τῷ σώματι, καὶ μᾶλλον ὅταν μὴ καλῶς πεφθῇ. τηνικαῦτα δὲ καὶ χολερικοὺς ἀποτελεῖν εἴωθεν. καὶ γὰρ καὶ πρὶν διαφθαρῆναι, πρὸς ἔμετον ἐπιτήδειος ἐστὶ, καὶ πλέον γε βρωθεὶς, ἐὰν μή τις αὐτῷ τι τῶν εὐχύμων ἐπιφάγῃ ἐδεσμάτων κινήσει πάντως ἔμετον. πρόδηλον δ' ὅτι κἀπὶ τούτου τοῦ καρποῦ τὴν προσηγορίαν οἱ ἄνθρωποι πεποίηνται, καθάπερ ἐπὶ τοῦ γραφικοῦ μέλανος. ἡ γάρ τοι πέπων φωνὴ, τὸ οἷον πέπανον ἐνδείκνυται, τουτέστι τὸ πεπεμμένον, ὅπερ ὑπάρχει καὶ τοῖς ἄλλοις ὅσα πεπαίνεται. καὶ γὰρ ὁ βότρυς δύναται λέγεσθαι πέπων ὅταν ἀκριβῶς γένηται πέπειρος. ὥσπερ γε καὶ ὁ μηδέπω τοιοῦτος οὐ πέπων ἂν ὀνομάζεται, ὠμός τε καὶ ἄωρος ὤν, αἵ τε ὀπῶραι πᾶσαι κατὰ τὸν αὐτὸν λόγον, αἵ τε ἄπιοι καὶ κολοκύνθη καλοῦνται συνήθως πέπειροι. καθάπερ ὁ μηλοπέπων, ἐν ἑαυτῷ περιλαβὼν τὸν πέπονα ἔχει. ὅθεν ἔνιοι τῶν ἰατρῶν οὐδὲ ἁπλῶς ἠξίωσαν ὀνομάζειν τοὺς πέπονας, ἀλλ' ὅλον τοῦτο φασὶν χρῆναι λέγεσθαι σικυοπέπων. ἡμεῖς δ' ἐν τῷ παρόντι λόγῳ τῶν τοιούτων οὐ φροντίζομεν, ὡς ἂν οὐδὲν εἰς ἰατρικὴν συντελούντων. ἄμεινον γὰρ μακρῷ τὸ σαφῶς ἑρμηνεύειν ἐστὶ, τοῦ μετὰ περιεργίας τοιαύτης ἀσαφῆ τὴν διδασκαλίαν ἐργάζεσθαι. σαφηνείας δὲ μάλιστα τυχεῖν ἐστὶ, τὰ συνηθέστατα τοῖς πολλοῖς ὀνόματα ἐκλέγοντα, μετὰ τοῦ φυλάττειν αὐτοῖς τὰ σημαινόμενα.

περὶ μηλοπεπόνων.

Οἱ μηλοπέπονες ἧττον τε τῶν πεπόνων εἰσὶν ὑγροί, καὶ ἧττον κακόχυμοι, καὶ ἧττον οὐρητικοί, καὶ ἧττον ὑπέρχονται κάτω. τὸ δ' εἰς ἔμετον ἐξορμᾶν ὁμοίως τοῖς πέποσιν οὐκ ἔχουσιν, ὥσπερ οὐδὲ τὸ διαφθείρεσθαι ταχέως ἐν τῇ κοιλίᾳ

κοιλία παραπλησίως τοῖς πέποσιν, ὅταν ἐν αὐτῇ ἤ τις χυμὸς ἠθροισμένος μοχθηρὸς, ἢ καί τις ἄλλη διαφθορᾶς αἰτία καταλάβῃ. πολὺ δὲ ἀπολειπόμενοι τῶν εὐστομάχων ὀπωρῶν, οὐκ ἔχουσι τὸ τῶν πεπόνων κακοστόμαχον. οὐδὲ γὰρ οὐδ᾽ εἰς ἔμετον ὁρμῶσιν ὡσαύτως ἐκείνοις. τῶν δὲ πεπόνων οὐκ ἐσθίοντες οἱ ἄνθρωποι τὸ τῆς σαρκὸς ἔνδον ἐν ᾧ τὸ σπέρμα, τὸ τῶν μηλοπεπόνων ἐσθίουσι. καὶ τοῦτ᾽ αὐτοῖς συντελεῖ πρὸς διαχώρησιν. οἱ δὲ τὴν οἷον σάρκα μόνον ἐσθίοντες αὐτῶν, ἧττον τῶν πεπόνων διαχωροῦσιν αὐτήν.

περὶ σικύων.

Οὐρητικὸν μὲν ἔχουσί τι καὶ αὐτοὶ καθάπερ οἱ πέπονες, ἀλλ᾽ ἧττον ἐκείνων, διὰ καὶ τὴν οὐσίαν αὐτῶν ἧττον ὑγρὰν εἶναι. διὰ τοῦτο οὐδὲ διαφθείρονται ῥᾳδίως ἐν τῇ γαστρὶ παραπλησίως τοῖς πέποσι. πέττουσι δ᾽ αὐτοὺς ἔνιοι, καθάπερ καὶ ἄλλα πολλὰ τῶν πολλοῖς ἀπεπτομένων, οἰκειότητι τῆς πρὸς αὐτῶν φύσεως, ἣν ἔν τε τοῖς περὶ κράσεων ὑπομνήμασι, καὶ μάλιστ᾽ ἔτι κατὰ τὴν περὶ τῶν φαρμάκων, δεικνῦντες ὅλαις τῶν οὐσιῶν ταῖς ἰδιότησιν οἰκείας εἶναι τροφὰς ἑκάστῳ γένει τῶν ζώων, ὄνοις μὲν καὶ ἵπποις ἄχυρον καὶ χόρτον καὶ κριθὰς, ὅσα τ᾽ ἄλλα τοιαῦτα, λέοντι δὲ σάρκας ζώων ὠμὰς, ἀνθρώπῳ δ᾽ ἐφθάς τε ταύτας πάσας καὶ ἄρτους ἐκ τῶν σιτηρῶν σπερμάτων κατειργασμένους ὥσπερ εἴρηται. καὶ μὴν καὶ τὸν ἐλλέβορον οἱ ὄρτυγες, ὥσπερ καὶ οἱ ψᾶρες τὸ κώνειον ἐσθίοντες, οὐδὲν βλάπτονται, καθάπερ οὐδ᾽ οἱ τοὺς ὀρόβους οἱ βόες. τὰς μὲν οὖν εὐπέπτους καὶ δυσπέπτους ἑκάστῳ τροφὰς, ἢ διὰ τὴν ἰδιότητα τῆς οὐσίας ἢ κατά τι σύμπτωμα τῇ πείρᾳ κριτέον. ὁποῖον δέ τι λέγω τὸ κατὰ τὸ σύμπτωμα, διὰ τοῦ πρώτου βιβλίου δεδήλωται. τοῖς γὰρ ἤτοι χολώδη χυμὸν ἔχουσιν ἢ ὅλως περίττωμα μοχθηρὸν ὁτιοῦν ἀθροίζουσι πολλάκις ἐν τῇ γαστρὶ, διαφθείρεται ταχέως, ὅσα τὴν φύσιν εὔπεπτον ἔχει, καθάπερ ἐνίοις τῶν ἀνθρώπων, ὅσοι τὸ σύμφυτον θερμὸν, οὐθ᾽ ὑγρὸν, οὔτ᾽ εὔκρατον, ἀλλ᾽ αὐχμώδες τε καὶ πυρῶδες ἔχουσι. καὶ γὰρ καὶ τούτοις διαφθείρεται ῥᾳδίως ἀλλοιούμενα, τὰ μάλιστα ὑπὸ τῶν ἄλλων εὔπεπτα. καὶ γίγνεται τούτοις ἡ ἐρυγὴ κνισώδης τοὐπίπαν. ἀλλ᾽ ἐκείνου μέμνησο διὰ παντὸς, ὡς κἂν πέττῃ τις ὁτιοῦν τῶν δυσπέπτων τοῖς πολλοῖς, ὅ γε ἐξ αὐτοῦ χυμὸς ἀναδιδόμενος εἰς τὸ σῶμα τὴν αὐτὴν ἔχει φύσιν. οὐ γὰρ οἷόν τε τὸν ἐκ τοῦ πέπονος χυμὸν, παχὺν καὶ γεώδη γενέσθαι, κἂν κάλλιστα πεφθῇ, καθάπερ οὐδὲ τὸν ἐκ τῆς φακῆς, ἢ τῶν βοείων κρεῶν, ὑδατώδη τε καὶ ὑγρὸν, ὃν περ καὶ λεπτὸν τῇ συστάσει καλοῦσιν. ἐν τούτῳ δ᾽ ἐστὶν μάλιστα τὸ χρήσιμον εἰς ὑγείας τε φυλακὴν καὶ νόσων τήρησιν, ὡς ἔμπροσθέν τε δέδεικται καὶ νῦν εἰρήσεται καὶ πάλιν ἐν κεφαλαίοις βραχέσι, προϊόντος τοῦ λόγου. τοῖς οὖν τοὺς σικύους καλῶς πέττουσι, ὅταν αὐτῷ τούτῳ θαρσήσαντες ἄδην αὐτῶν ἐμφορήσωνται, χρόνῳ πολλῷ ψυχρὸν καὶ μετρίως παχὺν ἀθροίζεσθαι συμβαίνει κατὰ τὰς φλέβας χυμὸν, οὐκ εὐπετῶς ὑποδέξασθαι δυνάμενον τὴν εἰς αἷμα χρηστὸν ἀλλοίωσιν ἐν τῇ κατὰ τὰς φλέβας πέψει. πάντων δὴ διὰ τοῦτο ἀπέχεσθαι συμβουλεύω τῶν κακοχύμων ἐδεσμάτων, κἂν εὔπεπτα τισὶν ᾖ. λανθάνει γὰρ ἐν χρόνῳ πλείονι μοχθηρὸς ἐν ταῖς φλεψὶ χυμὸς ἐξ αὐτῶν ἠθροιζόμενος, ὃς ἐπειδὰν ἀφορμῆς ὀλίγης εἰς σῆψιν ἐπιλάβηται πυρετοὺς κακοήθεις ἐργάζεται.

περὶ τῶν ἀπὸ δένδρων καρπῶν.

Ἄπιοι δηλονότι καὶ μῆλα καὶ σῦκα καὶ περσικά τε καὶ ῥοιαὶ καὶ πάνθ᾽ ὅσα τοιαῦτα καρποὶ δένδρων ὄντα, χρήσιμα τοῖς ἀνθρώποις εἰς ἐδωδήν ἐστιν, ὄντων καὶ ἄλλων καρπῶν, οὓς οὐκ ἐσθίουσιν ἄνθρωποι περὶ ὧν οὐ πρόκειται λέγειν ἐν τῷ παρόντι. καθόλου δὴ σὲ περὶ τῶν ἐδωδίμων ἀνθρώποις καρπῶν ἐπίστασθαι χρὴ λόγῳ κοινῷ, τοὺς μὲν ὑγροὺς, καὶ λεπτὴν, καὶ ὑγρὰν ἐργάζεσθαι τὴν ἐξ αὐτῶν διδομένην τῷ σώματι τροφὴν, ᾧ πάντως ἕπεται πόριμόν τε καὶ διεξερχομένην ἅπαν τὸ σῶμα ταχέως ἐκκρινομένην τε καὶ δι᾽ οὔρων καὶ κατὰ τὸ δέρμα τὴν τοιαύτην εἶναι. κατὰ τοῦτ᾽ οὖν ὀλιγότροφα πάντα τὰ τοιαῦτα ἐδέσματα λέγεται προσηκόντως ὑπὸ τῶν ἰατρῶν. ἔμπαλιν δὲ τῶν στερεῶν ταῖς συστάσεσι καρπῶν, ἥ τ᾽ εἰς τὸ σῶμα πρόσθεσις ἐν τροφῆς χρείᾳ πλείων ἐστὶν, αἵ τε διέξοδοι βραδύτεραι, καὶ μάλισθ᾽ ὅταν ἔχωσι χυμὸν ἐν ἑαυτοῖς ἢ παχὺν ἢ γλίσχρον, ἢ στυπτικόν.

περὶ σύκων.

Ὁ μὲν κοινὸν οὐ μόνον ὀπώραις ἁπάσαις, ἀλλὰ καὶ τοῖς ὡραίοις ὀνομαζομένοις καρποῖς, ἔχει καὶ τὰ σῦκα, φυγεῖν οὐ δυνηθέντα τὴν κακοχυμίαν οὐδ᾽ αὐτὰ, καίτοι τῶν ἄλλων ἁπάντων ὡραίων ἧττον αὐτῆς μετέχοντα. πρόσεστι δ᾽ αὐτοῖς ἀγαθὰ, τό, τε κατὰ γαστέρα πορίμοις εἶναι καὶ τὸ διεξέρχεσθαι ῥᾳδίως ὅλον τὸ σῶμα. καὶ γάρ τοι καὶ ῥυπτικὸν ἀξιόλογον ἔχει, κατ᾽ ὃ καὶ ψαμμώδη πολλὰ τοῖς νεφριτικοῖς ὑπὸ ταῖς ἐδωδαῖς αὐτῶν ἐκκρίνεται. τροφὴν δὲ τῶν ὀπωρῶν ὀλίγην τῷ σώματι διδουσῶν, ἧττον ἁπασῶν τοῦτο τὰ σῦκα πέπονθεν, οὐ μὴν ἐσφιγμένην τε καὶ ἰσχυρὰν ἐργάζεται τὴν σάρκα, καθάπερ ἄρτος τε καὶ κρέας χοίρειον, ἀλλ᾽ ὑπόσομφον, ὥσπερ κύαμος. ἐμπίπλησι γε μὴν φύσης καὶ ταῦτα τὴν γαστέρα, καὶ ἦν ἂν ἱκανῶς ταύτῃ λυπηρὰ, μὴ προσλαβόντα τὸ διαχωρεῖσθαι ταχέως, ἐπικτησάμενα δὲ τοῦτο, διὰ τὸ τάχει τῆς διεξόδου, τὴν φῦσαν ὀλιγοχρόνιον ἐργάζονται, καὶ κατὰ τοῦτο τῆς ἄλλης ὀπώρας ἧττον εἴωθε βλάπτειν, οὐ σμικρὰ δὲ ὑπεροχὴ τῶν πεπείρων ἐστὶ πρὸς τὰ μὴ τοιαῦτα καὶ κατὰ τοὺς ἄλλους μὲν ἅπαντας ἐμφαινομένη καρποὺς, οὐ μὴν τοσοῦτόν γε διαφέρουσι. τὸ γάρ τοι πέπειρον ἀκριβῶς σῦκον ἐγγὺς τοῦ μηδ᾽ ὅλως βλάπτειν ἥκει, παραπλήσιον ἤδη ταῖς ἰσχάσιν, πολλὰ μὲν ἐχούσαις τὰ χρήσιμα, μοχθηρὸν δ᾽ ἐστὶ τοῖς πλεονάζουσιν ἐν αὐταῖς. οὐ πάνυ γὰρ αἷμα γεννῶσι χρηστὸν, ὅθεν αὐταῖς καὶ τὸ τῶν φθειρῶν πλῆθος ἕπεται. δύναμιν δ᾽ ἔχει λεπτυντικὴν τε καὶ τμητικὴν, δι᾽ ἣν καὶ τὴν γαστέρα πρὸς ἔκκρισιν ἐξορμῶσι καὶ νεφροὺς ἐκκαθαίρουσιν. ἥπατι δὲ καὶ σπληνὶ φλεγμαίνουσι μὲν εἰσὶ βλαβεραὶ, καθάπερ καὶ τὰ σῦκα, διὰ κοινῷ λόγῳ τῶν γλυκέων ἁπάντων ἐδεσμάτων καὶ πομάτων, οὐ κατ᾽ ἰδίαν τινὰ δύναμιν ἐξαίρετον. ἐμπεφραγμένοις δὲ καὶ σκιρρουμένοις αὗται μὲν καθ᾽ ἑαυτὰς οὐδὲν οὔτ᾽ εἰς ὄφελος οὔτ᾽ εἰς βλάβην ἐργάζονται, μεμιγμέναι δὲ τοῖς τέμνουσι καὶ λεπτύνουσι καὶ ῥύπτουσι φαρμάκοις, οὐ σμικρὸν ὄφελός ἐστιν, καὶ διὰ τοῦτο ταύτας διδόασι μετὰ θύμου, ἢ πεπέρεως, ἢ ζιγγιβέρεως, ἢ γλήχωνος, ἢ θύμβρας, ἢ καλαμίνθης, ἢ ὀριγάνου, ἢ

ὑστέρα, περὶ πολλοῦ γε τῆς τροφῆς, ἔνιοι τῶν ἰατρῶν ἐπὶ τῶν εἰρημένων ἐν ἥπατι καὶ σπληνὶ διαθέσεων. ὡσαύτως δὲ κἂν μετά τινος τῶν ἄλλων, ὅσα δριμεῖαν, ἢ ὅλως λεπτυντικὴν τε καὶ τμητικὴν ἔχει δύναμιν ἡ προσφορὰ γίνεται τῶν ἰσχάδων, ὠφέλιμός ἐστιν, οὐ μόνον τοῖς οὕτω πάσχουσιν, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν. ἀνεωγμένας γὰρ εἶναι τὰς καθ' ἧπαρ διεξόδους τῆς τροφῆς, οὐ τοῖς κάμνουσι μόνοις, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν ἀσφαλέστατον. οὕτως οὖν καὶ τὰ σῦκα μετά τε τῶν λεπτυνόντων ἁλῶν σκευάζοντες καὶ ὄξους καὶ γάρου, προσφέρονται πολλοί, τῇ πείρᾳ τὸ χρήσιμον εὑρηκότες. εἰκὸς δὲ καὶ τῶν ἰατρῶν τινὸς ὑποτιθεμένου προσάγειν οὕτως, ἐνίους αὐτῶν, εἰς πολλοὺς ἐκταθῆναι τὴν γνῶσιν. ὅσοι δὲ μετά τινος τῶν παχυνόντων ἐδεσμάτων ἐσθίουσι τὰ σῦκα καὶ τὰς ἰσχάδας, οὐ σμικρὰ βλάπτονται.

περὶ σταφυλῶν.

Σῦκα καὶ σταφυλαὶ τῆς ὀπώρας ὥσπερ κεφάλαιόν εἰσι, καὶ τρέφουσι μᾶλλον ἁπάντων τῶν ὡραίων ταῦτα, καὶ ἥκιστα κακόχυμα, καὶ μάλιστα ὅταν ἀκριβῶς ἦ πέπειρα. τοῦ μὲν οὖν τρέφειν αὐτά, μέγιστον σημεῖον, οἱ φυλάττοντες τὸν καρπὸν τῶν ἀμπέλων, ἐσθίοντες μὲν ἐν δύο μησὶν οἷς φυλάττουσιν μόνα διαπαντὸς τὰ σῦκα μετὰ τῶν σταφυλῶν, ἤ που καὶ βραχύ τι παρεντιθέντες ἄρτου, πιαινόμενοι δὲ ἱκανῶς. οὐ μὴν ἰσχυρά γε καὶ πυκνὴ ἡ σὰρξ ἐστιν, ἡ ἐξ αὐτῶν γινομένη, καθάπερ ἡ ἐκ τῶν κρεῶν, ἀλλὰ καὶ χαύνη καὶ πλαδαρά, διὸ καὶ ταχέως προστέλλεται παυσαμένης τῆς ἐδωδῆς. ἧττον δὲ τῶν σύκων αἱ σταφυλαὶ τρέφουσιν, καὶ μέγιστον ἀγαθὸν αὐταῖς ὑπάρχει τὸ ταχέως ὑπέρχεσθαι. διὸ κἂν ἐπισχεθῶσι ποτὲ βλάπτουσιν ἱκανῶς, οὐκ ἐχόντων ὥσπερ τῶν πεπείρων σύκων. εἰ γὰρ καὶ μὴ διαχωροῦσιν ἀξιολόγως, πεφθέν δ' ἐν τῇ γαστρὶ καλῶς, ἀβλαβῆ διδόασι τροφὴν τῷ σώματι. ταῖς σταφυλαῖς δὲ οὐδέτερον ὑπάρχει τούτων, οὔτε γὰρ πέττονται καλῶς, ὅταν ἐπισχεθῶσιν, καὶ κατὰ τὴν εἰς ἧπάρ τε καὶ φλέβας ἀνάδοσιν, ὠμὸν γεννῶσι χυμόν, οὐ ῥαδίως εἰς αἷμα μεταβαλλόμενον. ἡ γάρ τοι τῶν ῥαγῶν οὐσία σύνθετος ἐστὶν ἔκ τε τῆς οἷον σαρκὸς αὐτῶν καὶ τῆς παρεσπαρμένης κατ' αὐτὴν ὑγρότητος, ἐξ ἧς ὁ οἶνος γίγνεται, καὶ πρὸς τούτοις ἔτι γιγάρτων τε καὶ τοῦ τ' αὐτοῦ πάντα περιέχοντος ἔξωθεν ὑμενώδους σκεπάσματος. ἀλλ' ἡ μὲν τῶν γιγάρτων οὐσία ξηρὰ καὶ στύφουσα πως ἐστί, διεξέρχεταί τε τὰ ἔντερα πάντα κατὰ μηδὲν ἑαυτῆς αἰσθητῶς ἀλλοιουμένη, παραπλησίως ταῖς ἐν τοῖς σύκοις κεγχραμίσιν. ἀνάλογον γὰρ ἑκάτερον ἑκατέρῳ τῶν καρπῶν ἐστί, σπέρμα μὲν ὑπάρχον ὅλου τοῦ φυτοῦ, δεξιὸν δὲ ἀναλλοίωτόν τε καὶ ἄχυλωτον καὶ ἀμετάβλητον. ἀναλογία δ' ἐστὶ καὶ τοῖς περιέχουσιν ἑκάτερον τὸν καρπὸν σκεπάσματι, τοιαύτην χρείαν παρεχομένοις αὐτοῖς, οἵαν τοῖς ζώοις τὸ δέρμα, βραχεῖα δὲ καὶ ἡ τούτου δὲ μεταβολὴ γίνεται κατὰ τὴν γαστέρα, καί τινες ὡς ἄχρηστον ἀποπτύουσιν μυσήσαντες αὐτὸ καὶ ἅπαν τὸ ἔνδον ἅμα τοῖς γιγάρτοις. ἔνιοι δὲ καὶ ταῦτ' ἐκπτύειν πειρῶνται. καὶ μάλιστα ὅταν αἱ ῥᾶγες ὦσι μεγάλαι. δύσκολον γὰρ ἐν ταῖς μικραῖς αὐτὸ πράττειν. δῆλον δὲ ὅτι μᾶλλον ἡ γαστὴρ ὑπέρχεται, μόνης τῆς σαρκὸς τῶν ῥαγῶν ἅμα τῷ χυλῷ καταποθείσης, ἄνευ τῶν γιγάρτων, καὶ τοῦ περικειμένου χιτῶνος ἔξωθεν, ἔτι δὲ μᾶλλον ὅταν αὐτὸς μόνος ὁ χυλὸς ἐκθλιβεὶς καταποθῇ, καλοῦσι δ' αὐτὸν οἱ ἄνθρωποι γλεῦκος, ἐμπιπλῶν τι φύσης τὴν κοιλίαν, εἰ μὴ διεξέλθοι ταχέως. γίγνεται μὲν οὖν τις κἀκ τούτου τροφὴ τῷ σώματι. πλείων δὲ ἐκ τῆς σαρκώδους οὐσίας, καὶ διὰ τοῦτο τινὲς μὲν σταφυλῶν τρέφουσι μᾶλλον, ἢ διαχωροῦνται, τινὲς δὲ διαχωροῦνται μᾶλλον ἢ τρέφουσιν. ὧν μὲν οὖν ὁ χυλὸς ὀλίγος ᾖ, τρέφουσι μᾶλλον, ὧν δὲ πλείων, ἧττον μὲν τρέφουσιν, ὑπέρχονται δὲ μᾶλλον. ὀνομάζουσι δὲ εὐσάρκους τὰς τοιαύτας σταφυλάς, ἐν αἷς αἱ ῥᾶγες ὀλίγον μὲν ἔχουσι τῆς ὑγρᾶς οὐσίας, οὐκ ὀλίγην δὲ τὴν στερεωτέραν, ἣν ὥσπερ σάρκα τῆς ῥαγὸς ἔφην εἶναι. καὶ χρῶνταί γε κατὰ τὸν τῆς ὀπώρας καιρὸν ἀποτιθέμενοι πολυειδῶς. καὶ γὰρ εἰς γλεῦκος ἐμβάλλουσιν αὐτάς, καὶ χύτρας καινὰς πληροῦντες ἐναποτίθενται τοῖς στεμφύλοις. καλεῖται δὲ στέμφυλα, τὰ στερεὰ λείψανα τῆς σταφυλῆς, ἐπειδὰν ἐν τοῖς ληνοῖς ἐκθλιβῇ πᾶς ὁ χυλὸς αὐτῶν. ἃ καὶ αὐτὰ συντιθέασιν ἐν πίθοις οἱ ἄνθρωποι, σφίγγοντές τε καὶ πιλοῦντες ἰσχυρῶς ὀνομάζοντές τε τρύγα αὐτὰ τοῦτο, ὅπερ ἐγὼ στέμφυλον ἐκάλεσα. τὴν δὲ τοῦ στεμφύλου προσηγορίαν ἐπιφέρουσιν αὐτῷ τῶν κλημάτων ἐκπεφυκότι ῥιζώματι τῶν ῥαγῶν. ὅπερ ἡμεῖς βότρυχον καλοῦμεν, ὅθεν ἐξήρτηνται αἱ ῥαγάδες. εἰς ταύτην οὖν τὴν τρύγα τὰς καινὰς χύτρας πλήρεις τῶν σταφυλῶν ἐντιθέασι, πώμασι στεγνοῦντες ἀκριβῶς, ὡς μηδαμόθι παραπνεῖσθαι, καὶ καθὸ συμβάλλει γε τὸ πῶμα τῇ χύτρᾳ, πίτταν ἐπαναλείφουσιν, ἁπάσας τὰς διαπνοὰς ἐμφράττοντες. εἶναι δὲ χρὴ καὶ τὴν χύτραν αὐτὴν ἐξ εὐώδους τε πηλοῦ καὶ τελέως ὠπτημένου. τονωτικὴ μὲν οὖν ἐκλύτου γαστρὸς ἡ τοιαύτη σταφυλή, καὶ τοὺς ἀνορέκτους ἐπεγείρει πρὸς ἐδωδὴν σιτίων, οὐ μὴν ὑπέρχεταί γε κατὰ γαστέρα, καὶ εἰ πλείων βρωθείη, κεφαλῆς ἅπτεται. ταύτης δ' ἔτι μᾶλλον ἐστὶ κεφαλαλγὴς ἣν ἀποτίθενται κατὰ τοῦ γλεύκους. ἡ μέν τοι κρεμασθεῖσα κεφαλὴν οὐδόλως βλάπτει, γαστέρα δὲ οὔτ' ἐπέχειν οὔτ' ἐπιτρέπειν εἰς διαχώρησιν πέφυκεν. ὡσαύτως δ' ἔχει καὶ πρὸς τὴν ὄρεξιν, οὔτ' ἐπεγείρουσα τὴν ἄρρωστον, οὔτ' ἐκλύουσα τὴν εὔρωστον. εὐπεπτοτέρα δ' ἐστὶ τῶν ἄλλων σταφυλῶν, ἣν ἂν ἐν γλεύκει καὶ στεμφύλοις ἔφην ἀποτίθεσθαι τοὺς ἀνθρώπους, ὅλον τὸν ἑξῆς ἐνιαυτόν, ἄχρι τοῦ δευτέρου τρυγητοῦ. αἱ κρεμασθεῖσαι δ' αὐτῶν ὅταν ξηρανθῶσιν ἄχρηστοι γίνονται, τινὲς μὲν κατὰ τὸ ἔαρ εὐθέως, ἐν γοῦν τῷ θέρει πάντως. οὐ σμικρὰ δὲ διαφορὰ τῶν σταφυλῶν ἐστί, καὶ κατὰ τὸ γλυκείας, ἢ ὀξείας, ἢ αὐστηρὰς εἶναι, ἢ μηδεμίαν ἐχούσας σφοδρὰν ποιότητα, καλοῦσι δ' αὐτὰς οἰνώδεις. αἱ μὲν οὖν γλυκεῖαι, θερμότερον ἔχουσι τὸν χυλόν, διὸ καὶ διψώδεις εἰσίν, αἱ δ' αὐστηραὶ καὶ ὀξεῖαι ψυχρότερον. αἱ δ' οἰνώδεις ἐν τῷ μέσῳ θερμοῦ καὶ ψυχροῦ. γαστέρα δ' ὑπάγουσιν αἱ γλυκεῖαι καὶ μάλιστα ὅταν εἰσὶν ὑγραί, μοχθηραὶ δ' οὐκ εἰς ταὐτὸ μόνον, ἀλλὰ καὶ πρὸς τὴν ἐν γαστρὶ πέψιν ἀνάδοσίν τε καὶ θρέψιν, αἵ τ' ὀξεῖαι καὶ αὐστηραὶ σταφυλαί. αἱ μὲν οὖν ὀξεῖαι κἂν ἀκριβῶς ἐπὶ τῆς ἀμπέλου πεπανθεῖσαι κρεμασθῶσιν, οὐδ' οὕτως γίγνονται γλυκεῖαι. τῶν δ' αὐστηρῶν ἔνιαι μεταβάλλουσιν εἰς τὸ γλυκύτερον, ἐπὶ πλέον κρεμασθεῖσαι. ταῖς στρυφναῖς δὲ καθάπερ καὶ ταῖς ὀξείαις, οὐδ' ἂν ἐπὶ πλεῖον κρεμασθῶσιν, τὴν εἰς γλυκύτητα μεταβολὴν οἷόν τε ἔχειν. διὸ καὶ φυλάττε-

σθαι τῆς

περὶ τὴν ἐδωδὴν αὐτῶν ἀεὶ προσήκει. πασῶν μὲν οὖν ἀσφαλεστάτη χρῆσίς ἐστιν ὅταν σαρκώδεις ὦσιν αἱ σταφυλαὶ φύσει, πέπειραί τε. τῶν δ' αὐτῶν τις ἐσθίει συμμέτρως, εἴτουν ἐπὶ τῶν ἀμπέλων ἐπὶ πλεῖστον πεπανθεισῶν, εἴτε καὶ τὸ λεῖπον ἐκ τοῦ κρεμᾶσθαι προσλαβουσῶν. ἐφεξῆς δὲ τῶν κρεμασθεισῶν τὰς ἄνευ ποιότητος αὐστηρᾶς ἢ ὀξείας, ἕνεκεν ὑπαγωγῆς γαστρός, ἐγχωρεῖ δαψιλῶς ἐσθίειν, ἔνιοι δὲ καὶ γλεῦκος πίνουσι τῆς αὐτῆς χρείας ἕνεκα, καὶ μάλιστα τὸ γλυκύτατον. ὑπακτικώτατον γάρ ἐστι. τὸ δ' ἐξ αὐστηρῶν ἢ ὀξειῶν σταφυλῶν, φαυλότατον εἰς πάντα. ἐγὼ μὲν οὖν τοῖς ὀνόμασιν οὕτως ἐχρησάμην, ὡς οἱ νῦν ἄνθρωποι χρῶνται, βέλτιον ἡγούμενος εἶναι διδάξαι σαφῶς τὰ πράγματα τοῦ παλαιῶς ἀττικίζειν. οἷς δὲ ἐστι τιμιώτερον ἐστι τῆς σαφοῦς διδασκαλίας, βρύτια μὲν ὀνομάζουσι τὰ τῶν στερεῶν σταφυλῶν στερεὰ μόρια, τοῦ γλεύκους ἐκθλιβέντος. στέμφυλα δὲ τὰ τῶν ἐλαιῶν, ὅταν ἐκθλιβῇ τοὔλαιον. τό γε μὴν ὑφιστάμενον τοῖς οἴνοις παχὺ, οἱ πολλοὶ τῶν ἀττικιζόντων ὀνομάζουσι τρύγα. ὡς οὐδ' ὁμωνυμία τίς ἐστιν παρ' αὐτοῖς, ὥσπερ παρὰ τοῖς ἄλλοις ἀνθρώποις, ὅσοι καὶ τὰ βρύτια τρύγα καλοῦσι. καὶ μὴν καὶ τρίτον τι σημαινόμενον ἐστὶ τοῦ τῆς τρυγὸς ὀνόματος ἐν ἔθει τοῖς νῦν ἕλλησι. τὸ γάρ τοι τῶν βρυτίων ἀπόβρεγμα τρύγα καλοῦσιν, ὅπερ αὖ πάλιν οἱ ἀττικίζοντες ὀνομάζουσι δευτερίαν. στεμφυλίτης οὗτος παρ' ἡμῖν καλεῖται. ἐμβάλλοντες γὰρ εἰς πιθάκνας μικρὰς τὰ βρύτια, περιεπιχέουσιν ὕδωρ, ὡς διαβρόχους ἁπάσας γενήσεσθαι, κἄπειδ' ἂν ἱκανῶς ἐστι πεπρᾶχθαι δοκεῖ, τὸ παρὰ τὸν πυθμένα τρῆμα τῆς πιθάκνης ἀνοιγνύουσιν, ὡς ἐκρυῆναι τὸ ἀπόβρεγμα, καὶ πίνουσιν ἀντὶ οἴνου ἐστι. πρόδηλον δὲ ὅτι κατὰ τὴν τῶν βοτρύων ποσότητα, καὶ τὸ ὕδωρ ἐπιχέουσιν ἐξ ἐμπειρίας, ὡς μήθ' ὑδαρῆ πάνυ, μήτε ἄκρατον γενέσθαι τὴν δευτερίαν. εἶτα πάλιν ἕτερον ὕδωρ ἐπιχέουσι τοῖς βρυτίοις, ἔλαττον τοῦ προτέρου, ὥστε καὶ ἐστι γενέσθαι σύμμετρον εἰς πόσιν, ὅπερ ἀξιοῦσιν ἔνιοι τῶν ἀττικιζόντων ὀνομάζεσθαι δευτερίαν ἰδίως, οὐκ ὡς τὸ πρότερον. ἐστὶ δὲ κεφαλαλγὲς μὲν ἑκάτερον εἰ μή τις ὑδατωδέστερον αὐτὸ πίνοι. μᾶλλον δὲ τὸ πρότερον ἅπτεται τῆς κεφαλῆς. ἀγαθὸν δ' ἐνυπάρχει τῷ τοιούτῳ πόματι τὸ ταχέως οὐρεῖσθαι, διαφορᾶς οὐκ ὀλίγης ἐν αὐτῷ γινομένης, παρὰ τὸ τῶν σταφυλῶν εἶδος, ἐξ ὧν ἐστι τὰ βρύτια. γλυκειῶν μὲν γὰρ οὐσῶν αὐτῶν, ἥδιόν τε πολλῷ γίνεται τὸ πόμα, καὶ θᾶττον οὐρεῖται. στρυφνῶν δὲ καὶ ὀξειῶν ἀηδέστερόν τε μακρῷ καὶ ἧττον οὐρητικόν, ἰσχυρότερον δὲ τὸ ἀπόβρεγμα ἐστι γίνεται, καὶ μᾶλλον οἰνῶδες, ὅταν εἰς τὸ ἔαρ, ἢ καὶ τὸ θέρος ἡ τρὺξ φυλαχθῇ. κατὰ δὲ τὸν χειμῶνα χρωμένων ὥσπερ ἧττον ἅπτεται κεφαλῆς, ὡσαύτως καὶ ἧττον οὐρεῖται.

περὶ σταφίδων.

Τὸν αὐτὸν λόγον ἔχουσιν αἱ σταφίδες πρὸς τὰς σταφυλὰς, οἷον αἱ ἰσχάδες πρὸς τὰ σῦκα. γίγνονται μὲν γὰρ γλυκεῖαι πολλαὶ, στρυφναὶ δὲ παντάπασιν ὀλίγαι. μικταὶ δὲ ἔκ τε αὐστηρᾶς καὶ γλυκείας ποιότητος αἱ πλεῖσται. μέτεστι γε μὴν καὶ ταῖς γλυκείαις ἀμυδρᾶς ποιότητος αὐστηρᾶς, καὶ ταῖς αὐστηραῖς τῆς γλυκείας. αἱ μὲν οὖν αὐστηραὶ ψυχρότεραι τὴν κρᾶσίν εἰσιν, ὥσπερ αἱ γλυκεῖαι θερμότεραι. καὶ τὸν μὲν στόμαχον ῥωννύουσι καὶ τὴν γαστέρα στεγνοῦσιν αἱ αὐστηραὶ, καὶ δηλονότι μᾶλλον αὐτῶν αἱ στρυφναί, μέσην δὲ πως κατάστασιν ἐν αὐταῖς αἱ γλυκεῖαι ποιοῦσιν, μήτ' ἐκλύουσαι σαφῶς τὸν στόμαχον, μήθ' ὑπάγουσαι τὴν γαστέρα. τό γε μὴν ἐπικρατητικὸν ὑπάρχει ταῖς γλυκείαις ἀεί, καθάπερ καὶ τὸ μετρίως ῥυπτικόν, ὡς ἐξ ἀμφοτέρων τῶν δυνάμεων τὰς μικρὰς περὶ τὸ στόμα τῆς κοιλίας, ὅπερ καὶ στόμαχον ὀνομάζομεν, ἀμβλύνουσιν δήξεις. ὡς αἵ γε μείζους τῶν δήξεων, δῆλον ὅτι γενναιοτέρων χρήζουσι βοηθημάτων. ἀμείνους δ' ἐν ταῖς σταφίσιν αἱ λιπαραί τε καὶ τὸ οἷον φλοιὸν ἔχουσαι λεπτόν, ἔνιοι δὲ καλῶς ποιοῦντες ἐκ τῶν γλυκειῶν τῶν μεγάλων, οἷαίπερ εἰσὶν αἱ σκυβελίτιδες, καὶ πρὶν ἐσθίειν, ἐξαιροῦσι τὰ γίγαρτα. χρονισθεῖσαι γοῦν καὶ αὗται σκληρὸν ἔχουσι καὶ παχὺ τὸ δέρμα καὶ χρὴ προδιαβρέχειν αὐτὰς ἐν ὕδατι. καὶ γάρ τοι καὶ τὸ γίγαρτον ἑτοιμότερον οὕτως ἐξαιρεῖται. ἔμπαλιν δὲ ταύταις ἕτεραι τινές εἰσι στερεαὶ καὶ † παχεῖαι, γίγαρτον ὅλως οὐδὲν ἔχουσαι. γεννῶνται δ' αὗται μὲν ἐν Κιλικίᾳ, τὴν χροιὰν ὑπόξανθοι. περὶ δὲ τὴν Παμφυλίαν, αἵ τε σκυβελίτιδες καὶ μέλαιναι τὸ χρῶμα. μέγισται μὲν οὖν ὡς ἔφην αὗται, μικρόταται δὲ αἱ κιρραὶ ἐν Κιλικίᾳ, γεννωμένων γε καὶ ἄλλων ἐν Κιλικίᾳ μελανῶν σταφίδων μέσων τὸ μέγεθος, ὥσπερ κατ' ἄλλα πολλὰ τῶν ἐθνῶν, καὶ μάλιστα ἐν τῇ Λιβύῃ. περὶ δὲ τὴν Ἀσίαν ποικίλον εἶδος ἀσταφίδων μέσων τὸ μέγεθος γεννᾶται. καὶ γὰρ ὑπόξανθοι καὶ μέλαιναι καὶ γλυκεῖαι καὶ ὑπαύστηροι φαίνονται. περὶ μέντοι τὰς ψυχρὰς χώρας οὐ δὲ σταφυλαὶ τελέως πεπαίνονται, μήτι γε τῶν ἀσταφίδων τινὲς, ὅθεν ἐπεμβάλλουσι τοῖς οἴνοις ῥητίνην, ὅπως μὴ ταχέως ὀξυνθῶσιν. ἡ μὲν οὖν περὶ χροιὰν διαφορὰ τῶν σταφίδων ὡς πρὸς τὴν δύναμιν αὐτῶν οὐδὲν συντελεῖ, καθάπερ οὐδὲ ἡ περὶ μέγεθος. ἡ δὲ περὶ τὴν γευστὴν ποιότητα τὸ σύμπαν δύναται, καὶ ταύτῃ μόνῃ προσέχων τὸν νοῦν, ἐπὶ τίνων δεῖ χρῆσθαι καὶ καθ' ὅν τινα καιρὸν, εὑρήσεις, ὡς προείρηται. τροφὴ δ' ἐκ τῶν ἀσταφίδων ἀναδίδοται τῷ σώματι παραπλησία κατὰ τὴν ποιότητα ταῖς ἀσταφίσιν αὐταῖς. γλυκεῖα μὲν οὖν ἐκ τῶν γλυκειῶν, αὐστηρὰ δ' ἐκ τῶν αὐστηρῶν, μικτὴ δ' ἐκ τῶν ἀμφοτέρας ἐχουσῶν τὰς ποιότητας. τῇ δὲ ποσότητι, πλείων μὲν ἐκ τῶν λιπαρῶν τε καὶ γλυκειῶν, ἐλάττων δ' ἐκ τῶν αὐστηρῶν τε καὶ ἀλίπων. εἰ δὲ τὸν ἴσον ὄγκον ἀσταφίδος λιπαρᾶς γλυκείας ἐκγεγαρτισμένης παραβάλλοις ὄγκῳ ῥαγῶν ἴσῳ, μᾶλλον τροφιμωτέρας εὑρήσεις τὰς σταφίδας. ἧττον μὲν οὖν ἰσχάδων αἱ τοιαῦται τὸ ὑπακτικὸν ἔχουσι καὶ τὸ ῥυπτικόν, εὐστομαχώτεραι δ' εἰσὶν τῶν ἰσχάδων.

περὶ συκαμίνων ἃ καὶ μόρα καλοῦσι.

Οὐ τοῖς ἀττικίζειν ἐν τῇ φωνῇ προῃρημένοις γράφεται ταῦτα. τάχα γὰρ οὐδὲ ἀναγνῶναι τις αὐτὰ βουλήσεται καταφρονῶν ὑγιείας σώματος, ὥσπερ καὶ ψυχῆς, ἀλλ' ἰατροῖς μὲν μάλιστα μὴ πάνυ τι φροντίζουσιν ἀττικῇ, ἤδη δὲ καὶ τοῖς ἄλλοις, ὅσοι ζῶσιν ὡς λογικὰ ζῷα πρὸ τῆς τιμῆς καὶ δόξης καὶ πλούτου καὶ δυνάμεως πολιτικῆς, ἐπιμελεῖσθαι προῃρημένοις σώματος καὶ ψυχῆς. οὗτοι γὰρ οἶδ' ὅτι τὴν μὲν ἀθηναίων φωνὴν οὐδὲν ἡγοῦνται τιμιωτέραν τῆς τῶν ἄλλων ἀνθρώπων. ὑγείαν δὲ σώματος ἀξιολογώτερον τι εἶναι νομίζουσι πρᾶγμα τῷ κατὰ φύσιν βιοῦν ἐσπουδακότι. τούτοις οὖν εἰδὼς ὠφελιμώτερον ἔσεσθαι τὸν λόγον τὸν ἀσφαλέστερον, ἃ γιγνώσκουσιν ὀνόματα γράψω, κἂν μὴ τοῖς παλαιοῖς ἕλλησιν ἦ συνήθη. τὸ μὲν οὖν τῶν μόρων ὄνομα γνώριμον πᾶσιν ἐστὶ τοῖς πολλοῖς, εἰ καὶ διὰ μηδὲν ἄλλο, ἀλλὰ γοῦν διὰ τὸ

† al. βραχεῖαι

στομαχικὸν φάρμακον, ὃ διὰ μόρων ὀνομάζεται, χυλὸν ἔχον αὐτῶν. ἔνια δὲ τῶν ἐφεξῆς εἰρημένων ὀπωρῶν ἀγνοοῦσιν οἱ πολλοὶ τῶν ἀνθρώπων ὅπως ὠνόμαζον οἱ πρὸ ἑξακοσίων ἐτῶν Ἀθηναῖοι. τοὺς μὲν γὰρ νῦν ὁρῶσιν οὐδὲν τι διαφορώτερον τῶν ἄλλων Ἑλλήνων ἕκαστον τῶν καρπῶν ὀνομάζοντας, ἀλλὰ καὶ τὰ μόρα συκάμινα καλοῦντας οὐδὲν ἧττον ἢ τὰ μόρα, καὶ τὰ περσικά, καὶ κάρυα, καὶ τὰ πραικόκκια, καὶ τὰ ἄλλα ἁπλῶς, ὡς ἔθος ἐστὶ τοῖς ἄλλοις Ἕλλησιν. οὐδὲ γὰρ βλάπτονταί τι τὰς παλαιὰς προσηγορίας ἀγνοοῦντες, ἂν γιγνώσκουσι τὰς δυνάμεις αὐτῶν. ἄμεινον γάρ ἐστιν ἐπίστασθαι τῶν ἐπὶ τὴν διαχώρησιν ὁρμώντων τῶν ἐδεσμάτων, ὕστερα μὲν χρῆναι τὰ βραδύπορα λαμβάνειν, ἁπάντων δὲ πρῶτα τὰ διεξερχόμενα μὲν ταχέως, διαφθειρόμενα δὲ εἰ χρονίσειεν ἐν τῇ γαστρί, τοῦ τὰς προσηγορίας αὐτῶν ἐγνωκέναι. οὐ μὴν οὐδ᾽ ἀγνοεῖν μοι δοκοῦσι παντάπασιν οἱ ἄνθρωποι τὴν τάξιν τῶν ἐσθιομένων αὐτοῖς. θεώμεθα γὰρ αὐτοὺς ἐπὶ τῶν πλείστων ἐδεσμάτων φυλάττοντας αὐτήν, προλαμβάνουσι μὲν τοί γε ῥαφανῖδας ἐλαίας τε καὶ τῆλιν ἐκ γάρου, καὶ μετὰ ταῦτα, μαλάχας τε καὶ τεῦτλα καὶ ἄλλα τοιαῦτα λάχανα μετ᾽ ἐλαίου τε καὶ γάρου. τῶν μὲν γὰρ ὁσημέραι παρασκευαζομένων αὐτοῖς εἰς ἐδωδήν, ἡ μακρὰ πεῖρα διδάσκαλος γίγνεται τῆς δυνάμεως, εἰ καὶ μικρὸν ἔχοιεν φρενῶν. ὅσα δὲ διὰ χρόνου πολλοῦ εἰς πεῖραν ἔρχεται, μόνοις τοῖς ἐπιμελέσιν παραφυλάττεται καὶ μνημονεύεται. τὰ τοίνυν συκάμινα καθαρᾷ μὲν ἐμπεσόντα τῇ γαστρί, καὶ πρῶτα ληφθέντα, διεξέρχεται τάχιστα, καὶ τοῖς ἄλλοις σιτίοις ὑφηγεῖται. δεύτερα δὲ ἐφ᾽ ἑτέροις, ἢ καὶ χυμὸν εὑρόντα μοχθηρὸν ἐν αὐτῇ συνδιαφθείρεται τάχιστα καὶ τοῖς ἄλλοις σιτίοις, διαφθορὰν ἀλλόκοτόν τινα καὶ ἄρρητον ἔχοντα ταῖς κολοκύνθαις ὁμοίως. ἀβλαβέστερα γὰρ πάντα ταῦτα τῶν ὡραίων ἐδεσμάτων, ὅταν μὴ διαφθαρέντα ταχέως ὑποχωρήσῃ, μοχθηρὰν ἴσχει διαφθορὰν ὁμοίως τοῖς πέποσι. καί τοι κἀκεῖνοι ταχέως ὑπελθόντες οὐδὲν μέγα βλάπτουσιν. καιρὸς δὲ τῆς χρήσεως, ὥσπερ τοῖς πέποσιν, οὕτω καὶ τοῖς μόροις, ὅταν αὐχμηρὸν καὶ θερμὸν γένηται τὸ τῆς γαστρὸς σῶμα. τοιοῦτον γὰρ πῶς ἀναγκαῖον ἐστὶ τηνικαῦτα καὶ τὸ ἧπαρ εἶναι. τῇ μὲν οὖν κολοκύνθῃ καὶ τῷ σικύῳ τῷ ἤδη πέπονι καὶ πρὶν πεπανθῆναι, σὺν αὐτοῖς δὲ καὶ μηλοπέπονι στύψεως οὐ μέτεστι ποιότητος. ἐν δὲ τοῖς συκαμίνοις, καὶ μάλιστα ὅταν ᾖ μὴ πάνυ πέπειρα, σαφής ἐστιν ἡ τοιαύτη ποιότης, ἀωροτέροις δὲ οὖσιν καὶ ἡ ὀξεῖα. καὶ τινὲς αὐτὰ καθαιροῦντες ἀπὸ τοῦ δένδρου καὶ ξηραίνοντες, ἀποτίθενται φάρμακον ἐσόμενον αὐτοῖς ἀγαθὸν εἰς δυσεντερίας τε καὶ διαρροίας χρονίας ἴασιν. ἀλλ᾽ οὐ πρόκειται νῦν ἡμῖν περὶ δυνάμεως φαρμάκων διεξέρχεσθαι. πάλιν οὖν ὅσα τοῖς συκαμίνοις, ὡς τροφῇ, δρᾶν ὑπάρχει λέγομεν, ὅτι μὲν ὑπέρχεται ῥᾳδίως, εἴρηται, τάχα μὲν διά τε οὐσίαν ὑγράν τε καὶ ὀλισθηρὰν μόνον, τάχα δὲ καί τινος ἐπιμιξίᾳ ποιότητος δριμυτέρας ἐρεθίζειν εἰς ἔκκρισιν ἱκανῆς. ὡς ἥ γε στύφουσα ποιότης οὐ μόνον οὐδὲν ὀνίνησιν εἰς ὑποχώρησιν, ἀλλὰ καὶ στεγνοῦν πέφυκεν. ὅτι δὲ ἐναντίων δυνάμεων οὐκ ὀλίγα μετέχηκεν σώματα μεμάθηκας ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασι. τεκμαίρομαι τοίνυν τὰ μόρα δύναμιν ἔχειν ἐν ἑαυτοῖς τοιαύτην βραχεῖαν, ὁποία τοῖς καθαρτικοῖς μεγάλη ὑπάρχει, δι᾽ ἣν οὐ μόνον ὑποχωρεῖ ῥᾳδίως, ἀλλὰ καὶ διαφθείρεται χρονίσαντα κατὰ τὴν γαστέρα. καὶ μὴ διαφθαρέντα, ὡς ἔφην, ὑγραίνει μὲν πάντως, ψύχει δὲ οὐ πάντως, εἰ μὴ ψυχρὰ ληφθείη. τροφὴν δ᾽ ἐλαχίστην δίδωσι τῷ σώματι παραπλησίως τοῖς πέποσιν, οὐ μὴν ἐμετικόν γέ τι πρόσεστιν αὐτοῖς οὐδὲ κακοστόμαχον ὡς ἐκείνοις.

περὶ κερασίων.

Τὰ τῶν κερασίων ἔνια μὲν ἔοικε τοῖς μόροις, ἐλαχίστην ἔχοντα στύψιν, ἔνια τοῖς βατίνοις σφοδρότερον στύφοντα, τινὰ δὲ καὶ τούτων ἐστὶ στυπτικώτερα. ὥστε καὶ περὶ τῆς δυνάμεως ἑκάστου τῶν εἰρημένων εἰδῶν ἐκ τῶν λεγομένων ἐπὶ συκαμίνοις τε καὶ βατίνοις ἔνεστί σοι τεκμήρασθαι.

περὶ τῶν τοῦ βάτου καρπῶν.

Τὸν τῶν βάτων καρπὸν ὀνομάζουσιν οἱ παρ᾽ ἡμῖν ἄνθρωποι βάτινον καθάπερ μόρα τε καὶ συκάμινα. καλοῦσι γὰρ ἑκατέρως αὐτά, ἔστι δὲ στυπτικώτερα τὰ βάτινα τῶν μόρων, κἂν πολλά τις αὐτὰ προσενέγκηται κεφαλαλγεῖ. τινὲς δὲ καὶ στόμαχον ἀνιῶνται. διὸ χρὴ καλῶς ἐκπλύνειν πρὶν ἐπιχειρεῖν προσφέρεσθαι τὸν καρπὸν τοῦτον ὅπερ οὐχ ἥκιστα κἀπὶ τῶν συκαμίνων ἐστὶ ποιητέον. οὐ μὴν ὑπάγει γε τὰ κατὰ τὴν κοιλίαν, ἀλλὰ μᾶλλον ἐπέχει, κἂν ἀωρότερα τις αὐτὰ ξηράνας ἀποθῆται, πολὺ μᾶλλον ἐφεκτικὰ γίνονται. πάντα γε μὴν ὅσα διὰ τοῦ χυλοῦ τῶν μόρων σκευάζεται φάρμακα, καὶ διὰ τούτων γινόμενα, δραστικωτέραν ἔχει τὴν δύναμιν.

περὶ τῶν τοῦ κυνοσβάτου καρπῶν.

Ὁ τῶν κυνοσβάτων καρπὸς μακρῷ στυπτικώτερός ἐστι τοῦ τῶν βάτων. καὶ διὰ τοῦτο καὶ τῆς γαστρός ἐστιν ἐφεκτικώτερος. ἐσθίουσι δ᾽ οὖν αὐτὸν οἱ ἄγροικοι πολλάκις ὀλίγην τροφὴν διδόντα τῷ σώματι καὶ καλοῦσι κυνόσβατον.

περὶ τῶν τοῦ ἀρκεύθου καρπῶν.

Τὸν τῆς ἀρκεύθου καρπὸν ἀρκευθίδας ὀνομάζουσι, δριμέα ἱκανῶς ὄντα μετὰ βραχείας γλυκύτητος, ἔτι τε βραχυτέρας στύψεως. ἔχει δέ τι καὶ ἀρωματίζον. εὔδηλον οὖν ὅτι θερμαίνει μὲν καὶ διὰ τὴν δριμύτητα. πᾶν γὰρ ἐνδέχεται τὸ δριμὺ θερμαῖνον, οὐχ ἥκιστα δὲ καὶ διὰ τὴν ὀσμὴν καὶ γεῦσιν ἀρωματίζουσας. πᾶν γὰρ ἄρωμα θερμόν, ἐκκαθαίρει δὲ καὶ τὰ κατ᾽ ἧπάρ τε καὶ νεφρούς, καὶ δηλονότι λεπτύνει τοὺς παχεῖς καὶ γλίσχρους χυμούς. καὶ διὰ τοῦτο τοῖς ὑγιεινοῖς φαρμάκοις μίγνυται. τροφὴ δὲ ἐξ αὐτοῦ βραχεῖα τῷ τῶν ἀνθρώπων σώματι προστίθεται. πολλὰς δὲ ἔτι αὐτὰς προσενέγκοιτο δάκνουσί τε τὸν στόμαχον καὶ τὴν κεφαλὴν θερμαίνουσι, καὶ διὰ τοῦτο καὶ πληροῦσιν ἐνίοτε, καὶ ὀδυνώδη ποιοῦσι. διαχώρησιν δὲ κατὰ τὴν κοιλίαν, οὔτ᾽ ἐπέχουσιν, οὔτε προτρέπουσιν, οὖρα μὲν δὲ κινοῦσι μετρίως.

περὶ τῶν τοῦ κέδρου καρπῶν.

Κεδρίδας ὀνομάζουσι τὸν τοῦ κέδρου καρπόν, ὁμοίας μὲν οὔσας ταῖς ἀρκευθίσιν, κατά τε χρόαν καὶ σχῆμα, καὶ γὰρ ὑπόξανθοι καὶ στρογγύλαι, διαφέρουσι δὲ τῇ δριμύτητι. κινδυνεύει γὰρ ἤδη τοῦ γένους τῶν φαρμάκων ὁ καρπὸς

καρπὸς οὗτος ὑπάρχειν, οὐ δὲ μίαν τροφὴν τῷ σώματι διδοὺς, πλὴν εἴ τις αὐτὰς ἀποβρέξει ἐν ὕδατι. κοινὸν γὰρ τοῦτο πάντων τῶν δριμέων, ὥς τε βραχεῖαν τροφὴν διδόναι τῷ σώματι, ἐν δριμύτητος αὐτῶν ἐκλυθείσης. καὶ μέν τοι καὶ σκληρότερός τε καὶ ξηρότερός ἐστιν ὁ τῶν κέδρων καρπὸς τοῦ τῶν ἀρκεύθων. ὥσπερ ἀμέλει καὶ μικρότερος οὐδὲν τὸ ἀρωματίζον ὁμοίως ἔχων. δῆλον οὖν ὅτι δακνώδης τέ ἐστιν ἱκανῶς τοῦ στομάχου καὶ κεφαλγὴς, εἰ καὶ πάνυ τις ὀλίγον αὐτὸν προσενέγκοιτο.

περὶ τοῦ τῶν κώνων καρποῦ.

Εὔχυμος καὶ παχύχυμος καὶ τρόφιμός ἐστιν ὁ τοῦ κώνου καρπὸς, οὐ μὴν εὔπεπτος. καλοῦσι δὲ οἱ νῦν Ἕλληνες, οὐ κώνους, ἀλλὰ στροβίλους αὐτούς.

περὶ τοῦ τῶν μυρσινῶν καρποῦ.

Μύρτα καλοῦσι τὸν καρπὸν τοῦτον οἱ Ἕλληνες, ὁμοίως τε ἄτροφον ὄντα τῷ τῶν ἀρκεύθων, ἐναντίαν δὲ δύναμιν ἔχοντα. στύφει γὰρ ἱκανῶς, καὶ διὰ τοῦτο καὶ τὴν κοιλίαν ἐπέχει, οὐ μὴν ἀνάλογόν τε τῇ στύψει, ψυχρός ἐστι τὴν δύναμιν, ὅτι μηδὲ μόνην ἔχει τὴν στύψιν, ἀλλά τι καὶ δριμύτητος αὐτῇ μέμικται. κοινὸν δ' ἐπὶ πᾶσιν ἐδέσμασιν ὅσα φαρμακώδη ἔχει τινὰ ποιότητα σφοδρὰν, ὅταν ἀφεθῇ ταύτην ἑψήσεσιν ἢ ὀπτήσεσιν ἢ τέγξεσιν, ὀλίγην τροφὴν διδόναι τῷ σώματι, πρότερον οὐδ' ὅλως διδόντα, ταὐτὸ γὰρ τοῦτο καὶ κρομμύοις καὶ πράσοις συμβέβηκεν.

περὶ περσικῶν.

Εἴτε μῆλα καλεῖν ἐθέλοις περσικὰ, τὸν καρπὸν τοῦτον, εἴθ' ἁπλῶς περσικὰ, τοῖς νῦν Ἕλλησιν ὡσαύτως, εἴτ' ἄλλο τι βούλει παλαιὸν ὄνομα ζητεῖν ἐπ' αὐτοῖς, ἔξεστί σοι τοῦτο πράττειν μετὰ πολλῆς σχολῆς, ἤδη δὲ ἴσθι τὸ τῶν ὀνομάτων χρησιμώτερον, ὡς καὶ τούτων ὁ χυλός τε καὶ οἷον σὰρξ εὔφθαρτός τε ἐστὶ καὶ πάντη μοχθηρός. ὥς τε οὐ χρὴ καθάπερ ἔνιοι τελευταῖαν ἐν ἄλλης τροφῆς αὐτὰ προσφέρεσθαι. διαφθείρεται γὰρ ἐπιπολάζοντα. μεμνῆσθαι δὲ χρὴ τοῦ δὲ, κοινοῦ πάντων ὄντος. ὅσα κακόχυμα μὲν, ὑγρὰ δὲ καὶ ὀλισθηρὰ καὶ ῥαδίως ὑπιέναι δυνάμενα, διὰ τοῦτο ἐσθίειν αὐτὰ πρότερον τῶν ἄλλων. οὕτω γὰρ αὐτά τε ταχέως ὑπέρχεται, κἀκείνοις ποδηγεῖ. τὰ δ' ὕστατα ληφθέντα, συνδιαφθείρει καὶ τὰ ἄλλα.

περὶ ἀρμενιακῶν καὶ πρεκοκκίων.

Ἐν τῷ περσικῶν γένει καὶ ταῦτ' ἐστὶ διαφορά τινα αὐτῶν ἔχοντα πρὸς τὸ βέλτιον. οὔτε γὰρ ὁμοίως διαφθείρεται κατὰ τὴν κοιλίαν, οὔτ' ὀξύνεται. φαίνεται δὲ τοῖς πολλοῖς ἥδιω, καὶ διὰ τοῦτο καὶ εὐστομαχώτερα. τοῖς γὰρ τἄλλα ὁμοίως, ἡδέσι δὲ τοῦτ' ὑπάρχει πᾶσιν, ὥσπερ τοῖς ἀηδέσιν ὑπτιάζειν τε καὶ ἀνατρέπειν τὴν γαστέρα καὶ πρὸς ἔμετον ἐρεθίζειν, ὀρεγομένην ὅτι τάχιστα τὸ λυποῦν ἀπορρίψαι. καὶ τοίνυν καὶ ποιεῖ τοῦτο κατὰ τὴν ῥοπὴν τῶν λυπούντων. ὅσα μὲν γὰρ κάτω ῥέπει, ταύτῃ διωθεῖται, τὰ δ' ἐπιπολάζοντα, διὰ ἐμέτων ἐκβάλλει, ταὐτὸ τοῦτο κἀπὶ τῶν ἐξ ὅλου τοῦ σώματος εἰς αὐτὴν καταρρεόντων μοχθηρῶν χυμῶν ἐργαζομένη. καὶ γὰρ καὶ τούτων ὅσοι μὲν εἰς τὴν ἄνω κοιλίαν συρρέουσιν, ἐκκενοῦνται διὰ ἐμέτων. ὅσοι δ' εἰς τὴν κάτω, διαρροίας ἐργάζονται. τροφὴ δὲ ὅτι βραχεῖα ταῖς ὀπώραις ἁπάσαις ὑπάρχει, λέλεκται πρόσθεν. ἔστι μὲν οὖν ἀμείνω τὰ πρεκόκκια καλούμενα τῶν ἀρμενίων. ὅσοι δὲ φεύγουσι τὴν τῶν πρεκοκκίων προσηγορίαν, ἀρμενιακὰ μῆλα καλοῦσιν ἀμφότερα. τινὲς δὲ ἀρμένια διὰ τεσσάρων συλλαβῶν, οὐ διὰ πέντε.

περὶ μήλων.

Ἔστι μὲν οὐχ ἓν αὐτῶν γένος, ὥσπερ οὐδὲ τῶν ἀπίων τε καὶ ῥοιῶν. ἔνια μὲν γὰρ αὐστηρὸν ἔχει χυμὸν, ἔνια δὲ ὀξὺν ἢ γλυκὺν, ἔστι δ' ἃ καὶ μικτὸν ἐκ τούτων, ὡς ἅμα τε γλυκέα φαίνεται καὶ στύφοντα, καί τινα ἕτερα μετὰ γλυκύτητος ὀξέα σαφῶς γίνεται, καὶ πρὸς τούτοις ἄλλα στρυφνὰ μετ' ὀξύτητος. εὕροις δ' αὖ ποτε καὶ τῶν τριῶν χυμῶν ἔνια μετέχοντα σαφῶς, ὡς ὀξέα τε φαίνεσθαι, καὶ γλυκέα, καί τι καὶ στρυφνότητος ἔχειν. ὅτι δὲ μίαν ἑρμηνεύει ποιότητα τὰ τρία ταῦτα ὀνόματα χυμοῦ, τὸ στῦφον καὶ αὐστηρὸν καὶ στρυφνὸν πρόδηλον, ὅτι δὲ τὰ μὲν στρυφνὰ τῷ μᾶλλον στύφειν διαφέρει τῶν αὐστηρῶν, κοινὸν δ' αὐτῶν γένος ἐστὶ τὸ στῦφον, ἐν τῷ περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἔμαθες, ἐν ᾧ περὶ τῶν χυμῶν οὐσίας τε καὶ δυνάμεως ὁ λόγος ἐστίν. ἀναμνησθεὶς οὖν ἐκείνων, ὅσα μὲν στύφει μῆλα, ψυχρὸν ἴσθι ἔχειν καὶ γεώδη χυμόν. ὅσα δ' ὀξέα φαίνεται, ψυχρὸν μὲν, ἀλλὰ λεπτομερῆ. μέσης δ' εἶναι κράσεως, τὰ γλυκέα πρὸς τὸ θερμότερον ῥέποντα, καθάπερ τὰ τελέως ἄποια, καὶ οἷον ὑδατώδη πρὸς τὸ ψυχρότερον ἐγκεκλιμένα. χρῆσις τοιγαροῦν κατὰ τὰς τῶν ἐπικρατούντων δυνάμεις χυμῶν, τοῖς μὲν αὐστηροῖς μήλοις, ὅταν ἤτοι διὰ δυσκρασίαν θερμὴν ἢ ὑγρότητα πολλὴν ἄτονος ἡ γαστὴρ ὑπάρχει. τοῖς στρυφνοῖς δὲ ὅταν ἱκανῶς αὐξηθῇ ταῦτα. τοῖς δ' ὀξέσιν ὅταν ὑπολάβοις ἐν αὐτῇ παχὺν ἠθροῖσθαι χυμὸν, οὐ πάνυ τι ψυχρόν. ὡς ὅ γε ψυχρὸς οὐ τῶν ὀξέων, ἀλλὰ τῶν δριμέων δεῖται. τέμνει μὲν γὰρ ἄμφω πάχος χυμῶν τά τ' ὀξέα καὶ τὰ δριμέα, διαφέρει δὲ τῷ τὰ μὲν μετὰ ψύξεως, τὰ δὲ μετὰ θερμασίας τοῦτο δρᾶν. εὔδηλον δὲ ἐκ τῶν ἤδη πολλάκις εἰρημένων, ὡς τὰ μὲν στύφοντα τὰς κάτω διαχωρήσεις ἐπέχει διαπαντὸς ὄντα ἐφ' ἑαυτοῖς. τὰ δ' ὀξέα χυμὸν μὲν εὑρόντα παχὺν ἐν τῇ γαστρὶ τέμνει τε τοῦτον, ὑπάγει τε κάτω, καὶ διὰ τοῦτο ὑγραίνει τὰ διαχωρήματα. καθαρὰν δ' εὑρόντα τὴν κοιλίαν, ἐπέχει μᾶλλον αὐτήν. ὁ δὲ γλυκὺς ἄνευ δριμύτητός τε καὶ πάχους, τουτέστιν ἐὰν ἀκριβὴς ᾖ μόνος, ἀναδίδοται μᾶλλον ὢν ἐφ' ἑαυτοῦ. δριμύτητα δ' ἔχων ἢ πάχος ὑπέρχεται μᾶλλον. ἔστι δέ τι καὶ ἄλλο χυμοῦ γένος οὐκ ἐν μήλοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ὃ καλοῦσι ὑδατῶδές τε καὶ ἄποιον, ὡς καὶ πρόσθεν εἶπον, ἥκιστα μὲν εὐστόμαχον, ἐν τῷ μέσῳ δὲ ὂν δηλαδὴ δυνάμεων, ὥσπερ καὶ τὸ ὕδωρ αὐτό. κακία δ' ἐστὶν ἐν μήλοις τὸ χείριστον, τὸ, ἐπὶ τῇ ἐδωδῇ αὐτῶν πα-ραγινομένων, ἢ δι' ἡδονὴν τούτων πραττόντων, ἢ δι' ὠφέλειαν. ὅταν οὖν μήθ' ἡδέα φαγεῖν ᾖ τοιαῦτα, μήτε ῥώμην ἐντίθεσθαι γαστέρι καθάπερ τὰ στύφοντα, μήτ' ἴσχει ῥεομένην εἰκότως ἀτιμάζεται, καθάπερ καὶ παρ' ἡμῖν γε ἐν οὐσίας πολλαχόθι τοῖς ὗσιν αὐτὰ ῥιπτοῦμεν πλατανίσινα καλοῦντες ἐπειδὴ παραπλήσιά πως ἐστὶ γινόμενα.

τοῖς ἁπαλοῖς φύλλοις τῶν πλατάνων. φυλάττεσθαι δὲ χρὴ καὶ τὰ κάλλιστα τῷ γένει μῆλα, πρὶν ἐπὶ τῶν δένδρων πεπανθῆναι. δυσπεπτα γὰρ ἐστὶ καὶ ψυχρὰ καὶ βραδύπορα καὶ κακόχυμα, μετὰ τοῦ καὶ ψυχρὸν καὶ παχὺν ἀτρέμα τὸν χυμὸν ἔχειν. ὅσα δὲ καλῶς πεπανθέντα φυλάττουσιν εἰς τε τὸν χειμῶνα καὶ τὸ μετ᾽ αὐτὸν ἔαρ, ὠφελιμώτατα γίνονται πολλάκις ἐν νόσοις, ἤτοι περιπλασθέντα σταιτὶ, ἢ καὶ περὶ θερμὴν σποδιὰν ὀπτηθέντα συμμέτρως ἢ ἐφ᾽ ὕδατος ζέοντος ἀτμῷ καλῶς ἑψηθέντα. διδόναι δ᾽ αὐτὰ χρὴ μετὰ τὴν τροφὴν εὐθέως, ἐνίοτε δὲ καὶ μετ᾽ ἀφροδίσια ῥώμης τε γαστρὸς ἕνεκα καὶ στομάχου τοῖς ἀνορέκτοις τε καὶ βραδυπεπτοῦσιν, ἐμετικοῖς τε καὶ διαρροιζομένοις, καὶ δυσεντερικοῖς. ἐπιτήδεια δὲ εἰς τοιάνδε χρείαν ἐστὶ τὰ στρυφνά. συμμετρίαν γὰρ ἴσχει τῆς στύψεως, ὡς εἴπου ἄγαν στρυφνὰ ... παρασκευασθέντα, τῶν μετρίως αὐστηρῶν ἅπασαν ἀποτιθεμένων τὴν στύψιν ἐν τῇ τοιαύτῃ παρασκευῇ, καὶ διὰ τοῦτο παραπλησίων γιγνομένων τοῖς ἐξ ἀρχῆς ὑδατώδεσιν.

περὶ δὴ τινα λόγον ἐνίοις ἡ τῶν στυφόντων μήλων, ἢ ἀπίων ἐδωδὴ λαπάττει τὴν γαστέρα.

Ἐπειδὴ δὲ τινῶν ἤκουσα λεγόντων ὑπέρχεσθαι τὴν κοιλίαν αὐτοῖς ἐπὶ τῇ τῶν στυφόντων ἐδωδῇ, βέλτιον ἐνόμισα καὶ περὶ τούτου διελθεῖν ἐπὶ πλέον ἅπαξ ἐν τῷ δὲ, τά τε διὰ τοῦ λόγου καὶ τῆς πείρας ἡμῖν ἐγνωσμένα πολλάκις. ἐπειδὴ τινὸς πρώτως, ῥήτορος ἡμετέρου πολίτου λέγοντος ἐπὶ τῇ τῶν αὐστηρῶν ἀπίων τε καὶ μήλων ἐδωδῇ λαπάττεσθαι τὴν κοιλίαν, ἐνόησα τὸ γενόμενον, ἐπαγαγών τε τὴν ἐκ τῆς πείρας βάσανον αὐτῷ, μετὰ ταῦτα δὴ ἤδη θαῤῥαλεώτερον ἐπ᾽ ἄλλων ἐπὶ τὴν αὐτὴν πεῖραν ἧκον. ἠξίωσα γὰρ ὁ μοδιαιτόν μοι γενέσθαι τὸν ἄνδρα κἂν μιᾶς ἡμέρας, ὅπως εἰδείην πηνίκα τε καὶ πόσα προσφέρεται τὰ στύφοντα, καὶ κατά γε τὴν πρώτην εὐθέως, ὡς εἴθιστο, διαιτηθῆναι παρεκάλουν αὐτὸν, ὑπαλλάξαντα μηδὲν ὅλως τῶν περὶ τὴν δίαιταν. ὁ δὲ μετὰ τὸ λουτρὸν, ὕδατος οὐ πολὺ προπιὼν, εἶτα τεῦτλόν τε καὶ ῥαφανίδα καὶ ὅσα τοιαῦτα τοῖς πλείστοις εἴθισται προσφέρεσθαι πρὶν ἄλλου τινὸς γεύσασθαι, καὶ αὐτὸς ὁμοίως προσενηνεγμένος, ἐπιπιὼν δὲ σύμμετρον οἴνου γλυκέος, ἐφεξῆς ἔφαγεν δι᾽ ἐλαίου καὶ γάρου μαλάχας, μικρὸν ἐχούσας οἴνου, καὶ μετὰ ταῦτα ἰχθύος τι καὶ χοιρείου κρέατος καὶ ὄρνιθος. εἶτα πιὼν πάλιν καὶ δεύτερον, ὀλίγον δὲ διαλιπὼν ἐπέφαγεν ἀπίους τε αὐστηρούς. κἄπειτα προελθόντων ἡμῶν ἐπὶ τὸ περιπατεῖν, ὀλίγα τε περιπατησάντων ὑπῆλθεν ἀξιολόγως ἡ γαστὴρ αὐτῷ. θεασάμενος οὖν ταῦτα ἐγὼ, συνεθέμην τῷ φίλῳ, κατὰ τὴν ὑστεραίαν ἐμοὶ πάλιν ἐπιτρέψαι τὰ κατὰ τὴν δίαιταν. ἑτοίμως δὲ πεισθέντι, πρώτους ἁπάντων ἔδωκα μετὰ βαλανείων ἀπίους φαγεῖν. εἶτα τἄλλα ἐφεξῆς ὡς εἰώθει, καὶ τούτων οὕτω γιγνομένων, οὐχ ὅπως ἀξιολόγως, ἀλλ᾽ οὐδὲ μετρίως ἀπέκρινεν ἡ γαστήρ. ἐθαύμαζεν οὖν εἰκότως τὸ γιγνόμενον. ἤρετό τε ἐμὲ τὴν αἰτίαν αὐτοῦ, κἀγὼ διῆλθεν αὐτῷ ταῦτα τὰ νῦν εἰρησόμενα. τοῦ γάρου γὰρ ἔφην σὺν τοῖς ἅμ᾽ αὐτῷ ληφθεῖσιν ὑπάγειν πεφυκότος τὴν γαστέρα, καὶ τοῦτ᾽ ἤδη προειργασμένου, τὰ στύφοντα τελευταῖα ληφθέντα καὶ μάλιστα τοῖς ἀτόνοις τὸν στόμαχον, αἴτια γίγνονται τῆς ὑπαγωγῆς, ῥωννῦντά τε τὴν γαστέρα καὶ προτρέποντα διωθεῖσθαι κάτω τὰ περιεχόμενα κατ᾽ αὐτήν. μᾶλλον δ᾽ ἂν ἔφην πεισθείης τούτῳ, λαβὼν ἐπὶ τῆς ὑστεραίας ἁπάντων μὲν πρῶτα τὰ στύφοντα. δεύτερα δ᾽ ἐπ᾽ αὐτοῖς τὰ κρεώδη, καὶ πάντων τελευταῖα, τὰ δι᾽ ἐλαίου τε καὶ γάρου προσφερόμενα. κάλλιστα ἔφην εἶπες, μηδαμῶς εἶπεν, ἐμέσαιμι γὰρ ἂν αὐτίκα μαλάχας ὑστάτας ἐπιφαγὼν μετ᾽ ἐλαίου καὶ γάρου. κάλλιστα ἔφην εἶπες, ἀνατρέπει γὰρ ταῦτα τὴν γαστέρα καὶ μάλιστα αὐτῆς τὸ στόμα τὸ πρὸς ἁπάντων ἤδη συνήθως στόμαχος ὀνομαζόμενον. ἐπιῤῥωννύουσι δὲ καὶ τονοῦσι τὰ στύφοντα, διὸ κἂν ἄλλος τις χυμὸς αὐτὴν ἀναδεύῃ, καθάπερ εἴωθεν ἐνίοις ὠχρὰ χολὴ, πλείων ἀθροισθεῖσα τοῦτο ποιεῖν, γευσάμενος τινὸς τῶν στυφόντων ὁ οὕτως διακείμενος εὐθέως ἐκκρίνει κάτω τὸν ἀνιῶντα χυμόν. εἶτα ἔδειξα τινὰ τῶν νεανίσκων αὐτῷ πρὸ ἡμερῶν ὀλίγων εἰληφότα μὲν ἕνεκα τοῦ καθαρθῆναι σκαμμωνίας ὀπὸν, ἤδη δὲ ὡρῶν γεγονυιῶν ἐπὶ τῇ προσφορᾷ πέντε, καὶ μηδεμιᾶς ἐκκρίσεως ἀκολουθηκυίας, θλίβεσθαι μὲν λέγοντα τὸν στόμαχον, ἐπαίρεσθαι δὲ καὶ βαρύνεσθαι τὴν γαστέρα, καὶ διὰ τοῦτο ὀχλεῖν τε καὶ ἀπορεῖσθαι, καί μοι κοινώσασθαι τὰ κατέχοντα συμπτώματα αὐτὸν, ὅπως οὖν ἰασαίμην τὸν ἄνθρωπον, ἄκουσον ἔφην αὐτὸν τὸν νεανίσκον. καὶ δὴ, καὶ παρέχον αὐτῷ παρόντα τε καὶ διηγούμενον. ὡς ἐγὼ μὲν ἐκέλευσα μήλου στύφοντος ἢ ῥοᾶς ἢ ἀπίου βραχύ τι φαγεῖν. ὁ δ᾽ ἅμα τῷ καταπιεῖν, εὐθέως ἀπηλλάγη τῶν ὀχληρῶν, ἐκκρινάσης ἀθρόως αὐτοῦ πάμπολλα τῆς γαστρός. ἴδε τοίνυν ἔφην τῷ ῥήτορι, καὶ σοὶ τοῦτο συμβαῖνον ὅταν ἐπιφάγῃς τὰ στύφοντα διὰ τὴν ἀτονίαν τῆς γαστρὸς ὅλης, καὶ τοῦ στομάχου. ὁ δὲ καὶ μᾶλλον εἶπε τοῦτο ἀληθὲς εἶπες. ἔστι τε γάρ μοι φύσει τοιοῦτος ὁ στόμαχος, ἀνατρέπεταί τε ῥᾳδίως ἐπὶ τοῖς τυχοῦσιν, ἐγώ τε τότε μᾶλλον, προσφέρομαι τῶν αὐστηρῶν τι μετὰ τὴν τροφὴν, ὅταν αἴσθωμαι ποθ᾽ ὕπτιον ἱκανῶς αὐτὸν γεγονότα, ἤδη πλησίον ἔρχοντα ναυτίας, αὕτη σοι ἡ περὶ τὸν ῥήτορα διήγησις αὐτάρκης εἰς γνῶσιν ἔστω, τοῦ λαπάττεσθαι τὴν γαστέρα, τοῖς ἄτονον ἔχουσι τὸν στόμαχον, ὅταν ἐπιφαγῶσι τι τῶν στυφόντων.

περὶ κυδωνίων καὶ στρουθομήλων.

Ἐξαίρετόν τι παρὰ τὰ ἄλλα μῆλα τούτοις ὑπάρχει, στύψιν τε πλείονα κεκτημένοις, καὶ τὸν χυλὸν ἔχουσι μόνιμον, εἴ τις ἑψήσας αὐτὸν σὺν μέλιτι φυλάττειν ἐθέλοι, τῶν δ᾽ ἄλλων μήλων ὁ χυλὸς, ὀξωδὴς κείμενος, ὑγρότητα πολλὴν ἔχων ψυχράν, ἡμεῖς δὲ καὶ τὸ διὰ τοῦ χυλοῦ τῶν στρουθομήλων φάρμακον ἐπιτηδειότατον τοῖς ἀνορέκτοις, οὐκ ἐν φανερῷ κατὰ τύχην κείμενον, ὕστερον ποτ᾽ εὕρομεν ἐτῶν ἑπτὰ μεταξὺ γεγονότων οὐδὲ μίαν ἐσχηκότος μεταλλαγὴν τῆς ποιότητος. ἐπεποιήκει δὲ περὶ τὸ στόμα τοῦ ἀγγείου πυκνὸν ἐπίπαγον, οἷον καὶ μέλιτι πολλάκις ἐπιπήγνυται καὶ ἄλλοις τισὶ, καὶ χρὴ φυλάττειν αὐτὸν ἐπικείμενον, ὅταν ἐθέλῃς ἀμετάβλητον ἐπὶ πλεῖστον διαμεῖναι τὸ φάρμακον, ἢ τὸ μέλι. τοῦτο μὲν οὖν εἰρήσθω μοι κατὰ τὸ πάρεργον οὗ δ᾽ ἕνεκα ἐμνημόνευσα τοῦ μὴ διαφθαρέντος ἐν χρόνῳ πλείονι φαρμάκου, πάλιν ἀναλήψομαι. μόνιμος ὁ τῶν στρουθίων μήλων χυλός ἐστιν, ὅταν καλῶς σκευασθῇ, καθάπερ καὶ ὁ τῶν κυδωνίων, ἀλλ᾽ ἧττον οὗτος ἡδὺς ὑπάρχει, καὶ μάλιστα στύφων ὥστε εἴη ἄν ποτε καὶ τούτου χρεία πρὸς ῥῶσιν ἱκανῶς ἐκλύτου γαστρός. ἐν Ἰβηρίᾳ δὲ τὸν καλούμενον μηλοπλακοῦντα συντιθέασιν ἔδεσμα μόνιμον οὕτως ὡς εἰς Ῥώμην κομίζεσθαι μεστὰς αὐτοῦ λοπάδας καινάς. σύγκειται δὲ ἐκ μέλιτός τε καὶ σαρκὸς λελεπισμένης ἑφθῆς ἅμα τῷ μέλιτι. τὸ δ᾽ ἡμέτερον φάρμακον τὸ τοῖς ἀνορέκτοις σκευαζόμενον, οὐκ ἐκ

μένον, οὐκ ἐκ μόνου μέλιτος καὶ χυλοῦ μήλων ἐστὶν, ἀλλὰ καὶ πεπέρεως ἔχει τι λευκοῦ, καὶ ζιγγιβέρεως, καὶ ὄξους. οὐ μὴν νῦν γε καιρὸς αὐτοῦ τῆς διδασκαλίας ἐστὶν, ἑτέρωθι τελέως εἰρημένης.

περὶ ἀπίων καὶ ῥοιῶν.

Α περὶ μήλων εἶπον, ἅπαντα μεταφέρων ἐπὶ τὰς ἀπίους τε καὶ ῥοιὰς, οὐδενὸς ἔτι νεωτέρου περὶ αὐτῶν ἑτέρου δεή-σει λόγου. καὶ γὰρ ἐν ταύταις ἔνιαι μὲν αὐστηραὶ μόνον, ἢ στρυφναὶ φαίνονται, καθάπερ γε τινὲς μὲν ὀξεῖαι, τινὲς δὲ γλυκεῖαι, τινὲς δ' ἐκ τῆς τούτων μίξεως συγκείμεναι, καί τινες ὅλως οὐδεμίαν ἔχουσαι τοιαύτην ἐπικρατοῦσαν ποιότητα, καὶ διὰ τοῦτο ὑδατώδεις τε καὶ ἀμβλεῖαι οὖσαι, ῥωστικὸν οὐδὲν ἔχουσι. ἡ μὲν οὖν ἀπίων ἡ χρῆσις ὁμοία κατὰ πᾶν ἐστὶ τῇ τῶν μήλων. αἱ ῥοιαὶ δὲ τὰ μὲν ἄλλα παραπλησίως, οὐδέποτε δὲ οὐδ' ὀπτῶνται μετὰ σταιτὸς, οὐδ' ἕψονται δι' ὕδατος, ἢ ἐν ἀτμῷ. χυλὸν δὲ ἔχουσι πλείονα μήλων τε καὶ ἀπίων, ἔτι δὲ πρὸς τούτῳ, τὴν γεῦσιν ἡδίω ὄντα μᾶλλον τοῦ κατ' ἐκεῖνα χυλοῦ. γίνονται δὲ ποτὲ χρησιμώτεραι τῶν καρπῶν ἐκείνων εἰς ἄλλα τε τινὰ, καὶ τὸ πρὸς Ἱπποκράτους εἰρημένον ἐν ἐπιδημιῶν δευτέρῳ, κατὰ τήνδε τὴν ῥῆσιν. γυνὴ ἐκαρδιάλγει, καὶ οὐδὲν † καθίση † πρὶν ἐς ῥοιᾶς χυλὸν ἄλφιτον ἐπιπάσσειν, καὶ μονοσιτίῃ ἤρκεσε, καὶ οὐκ ἀνήμεσεν οἷα τὰ Χαρίωνος. δῆλον οὖν ὅτι μοχθηρῶν χυμῶν τὰ κατὰ τὸ στόμα τῆς γαστρὸς, ὃ δὴ καὶ καρδίαν ὀνομάζουσι, διαβρεξάντων, ἡ γυνὴ ναυτιώδης τε, καὶ καρδιαλγὴς ἦν, οὐδὲν γὰρ οὐδ' ἄλλο τι τὸ καρδιώσσειν ὄνομα, σημαίνει τοῦ γινομένου συμπτώματος ἐπὶ τοῦ στομάχου δακνομένου. τοῦτον οὖν τὸν χυμὸν ἐξήρανε μὲν τὸ ἄλφιτον, ὁ δὲ τῆς ῥοιᾶς χυλὸς ἅμα αὐτῷ λαμβανόμενος ἐρρώννυε τὴν κοιλίαν ὡς ἀποτρίψασθαι δύνασθαι τὸν ἐν τοῖς χιτῶσιν αὐτοῖς περιεχόμενον χυμόν. τροφὴν δὲ τῷ σώματι παρέχουσιν αἱ μὲν ῥοιαὶ παντάπασιν ἐλαχίστην, ὡς οὐδέποτ' αὐτῶν ὡς τροφῆς χρήζομεν. ἀλλ' ἐν φαρμάκου μοίρᾳ μόνον. αἱ δ' ἄπιοι καὶ μάλιστα αἱ μεγάλαι, καλοῦσι δ' αὐτὰς μνάτας οἱ παρ' ἡμῖν, ἔχουσί τι καὶ τρόφιμον, ὥστε καὶ τέμνοντές τε αὐτὰς εἰς κυκλίσκους λεπτοὺς, καὶ ξηραίνοντες ἀποτίθενται. προσφέρονται δὲ κατὰ τὸν χειμῶνα καὶ τὸ ἔαρ ἕψοντες, ὅταν ἢ λιμὸς ἢ χρεία σιτίων ὀλιγοτρόφων. οἱ δ' ἀττικοὶ μὲν ἄνευ τοῦ ἰῶτα, τὴν πρώτην τῶν ῥοιῶν ἔχουσι συλλαβὴν μᾶλλον. οἱ ἴωνες δὲ μετὰ τοῦ ἰῶτα. χρήσιμον δὲ οὐδὲν ἔχει τῷ βίῳ τῶν ἀνθρώπων, ὥσπερ οὐδ' ἐπὶ τῶν οὔων, ἃ νῦν μὲν οὕτως ὀνομάζουσι πάντες ἕλληνες, οὐ συγχωροῦσι δὲ οἱ ἀττικίζοντες, μετὰ τοῦ υ λέγειν αὐτά. καταλιπὼν οὖν ἐκείνους ὑπὲρ τῶν ὀνομάτων σκοπεῖσθαι, περὶ τῆς δυνάμεως καρποῦ διαλέξομαι.

† al. καθίστω
† al. πάλιν

περὶ μεσπίλων καὶ οὔων.

Κ αἱ τούτων ὁ αὐτὸς λόγος ἐστὶ τῷ προειρημένῳ. στύφει μὲν γὰρ ἄμφω. πολὺ δὲ μᾶλλον οὔων τὰ μέσπιλα. διὸ καὶ συμφορώτατον ἔδεσμα ἐστὶ ῥευστικῇ γαστρί. ἡδεῖα δὲ αὐτῶν πρὸς ἐδωδὴν τὰ οὖα. τὴν ἀρχὴν γὰρ οὐδὲν τι στρυφνὸν ἔχει τοῖς μεσπίλοις ὁμοίως, ἀλλ' ἔστιν ὁ κατ' αὐτὰς χυμὸς αὐστηρὸς ἄνευ τοῦ στρυφνὸς εἶναι. πρόδηλον δ' ὅτι τῶν τοιούτων ἁπάντων ὀλίγον ἐσθίειν προσήκει, οὐχ ὡς σύκων ἢ σταφυλῶν δαψιλῶς. οὐδὲν γοῦν ὡς τροφῆς αὐτῶν, ἀλλ' ὡς φαρμάκων μᾶλλον δεόμεθα. ταῦτα σοι χρησιμώτερα τοῦ γνῶναι, τὴν προτέραν συλλαβὴν τοῦ τῶν οὔων ὀνόματος, ὑπὸ τῶν παλαιῶν ἀθηναίων, διὰ μόνου τοῦ ο γράμματος γράφεσθαί τε καὶ λέγεσθαι.

περὶ τοῦ τῶν φοινίκων καρποῦ.

Ε ἴτε βαλάνους φοινίκων ἐθέλεις ὀνομάζειν τὸν καρπὸν αὐτῶν, εἴτ' ὁμωνύμως ὅλῳ τῷ δένδρῳ φοίνικας, ὥσπερ ἔθος ἐστὶν ἤδη πᾶσι τοῖς ἕλλησιν, οὐδὲν οὔτε βλαβήσῃ κατ' οὐδέτερον, οὔτ' ὠφεληθήσῃ, πρὸς τὴν τῆς δυνάμεως γνῶσιν. ἔστι δ' ἐν αὐτοῖς οὐ μικρὰ διαφορά. τινὲς μὲν γὰρ ξηροί τε εἰσὶ καὶ στύφοντες, ὥσπερ οἱ αἰγύπτιοι, τινὲς δὲ μαλακοὶ καὶ ὑγροὶ καὶ γλυκεῖς, ὥσπερ οἱ καρυωτοὶ καλούμενοι, κάλλιστοι δ' οὗτοι γεννῶνται κατὰ τὴν παλαιστίνην συρίαν ἐν ἱεριχοῦντι. μεταξὺ δὲ ἀμφοτέρων τῶν εἰρημένων γενῶν, οἱ ἄλλοι πάντες εἰσὶ φοίνικες. δύσπεπτοι δέ εἰσι καὶ κεφαλαλγεῖς, οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον ὄντες ὑγροί τε καὶ γλυκεῖς καὶ ξηροὶ καὶ στύφοντες, ἀλλὰ τῶν ἄκρων ἀφαιρεθέντων, εὐφορώτατον ἤδη σοι τὸ μέσον ἔσται πᾶν. οὐδεὶς γοῦν αὐτῶν ἐστὶν ὃς οὐ γλυκύτητά τινα καὶ στύψιν ἔχει, καὶ γὰρ τῷ καρυωτῷ μέτεστι βραχείας στύψεως, καὶ τῷ θηβαϊκῷ γλυκύτητος ἀμυδρᾶς. ἀλλ' ὁ μὲν γλυκὺς χυμὸς ἐδείχθη τρόφιμος, ὁ δ' αὐστηρὸς εὐστόμαχός τε καὶ γαστρὸς ἐφεκτικός. ἅπαντες δὲ οἱ φοίνικες, δύσπεπτοί τε εἰσὶ καὶ κεφαλαλγεῖς, πλείονες βρωθέντες. ἔνιοι δὲ καὶ δήξεώς τινος αἴσθησιν ἐμποιοῦσι τῷ στόματι τῆς κοιλίας, ὃ στόμαχον ὀνομάζουσιν οἱ ἰατροί. ὁ δ' ἀπ' αὐτῶν εἰς τὸ σῶμα ἀναδιδόμενος χυμὸς, παχὺς μὲν πάντως ἐστὶν, ἔχει δέ τι καὶ γλίσχρον ὅταν ἢ ὁ φοῖνιξ λιπαρὸς, ὥσπερ ὁ καρυωτός. ὅταν δὲ τῷ τοιούτῳ χυμῷ γλυκύτης μιχθῇ, τάχιστα μὲν ὑπ' αὐτοῦ τὸ ἧπαρ ἐμφράττεται. βλάπτεται δὲ καὶ φλεγμαῖνον καὶ σκιρρούμενον ἐσχάτως ὑπὸ τῆς ἐδωδῆς αὐτῶν. ἐφεξῆς δὲ τῷ ἥπατι, καὶ ὁ σπλὴν ἐμφράττεται καὶ βλάπτεται. πολὺ δὲ δὴ μάλιστα βλάπτουσιν οἱ χλωροὶ φοίνικες εἰς ἅπαντα, βραχὺ πλεονες ἐδεσθέντες. εὔδηλον δ' ὅτι θερμότερον μὲν ἔχουσι τὸν χυμὸν οἱ γλυκεῖς, ψυχρότερον δὲ οἱ στύφοντες, ἀλλὰ καὶ φύσης ἐμπίπλησιν οἱ χλωροὶ φοίνικες ὥσπερ καὶ τὰ σῦκα· τὴν αὐτὴν γὰρ ἀναλογίαν ἔχει τὰ σῦκα πρὸς τὰς ἰσχάδας, ἣν οἱ χλωροὶ φοίνικες πρὸς τοὺς ἄλλους. ἐν δὲ μὴ τοῖς πάνυ θερμοῖς χωρίοις, οὐ πεπαίνονται τελέως οἱ φοίνικες, ὡς εἰς ἀπόθεσιν γίνεσθαι χρήσιμοι, καὶ διὰ τοῦτο χλωροὺς ἀναγκαζόμενοι δαπανᾶν αὐτοὺς, ὠμῶν τε χυμῶν ἐμπίμπλανται, καὶ ῥίγεσι δυσεκθερμάντοις ἁλίσκονται, καὶ καθ' ἧπαρ ἐμφράξεις ἔχουσι.

περὶ ἐλαιῶν.

λίγην μὲν πάνυ καὶ αὗται τροφὴν διδόασι τῷ σώματι καὶ μάλιστα αἱ δρυπεπεῖς. ἐσθίουσι δὲ οἱ ἄνθρωποι. ταύτας μὲν σὺν ἄρτῳ μᾶλλον, ἄνευ δὲ ἄρτου τὰς ἁλμάδας τε καὶ κολυμβάδας ὀνομαζομένας, ἕνεκα γαστρὸς ὑπαγωγῆς, μετὰ γάρου πρὸ τῶν σιτίων, ὥσπερ δὲ αἱ δρυπεπεῖς πλεῖστον λιπαρὸν, οὕτως αὗται τὸ στύφοντα χυμὸν ἔχουσι. διὸ καὶ ῥωννύουσί τε τὸν στόμαχον, ἐπεγείρουσί τε τὴν ὄρεξιν. ἐπιτήδειοι δέ εἰσιν εἰς τοῦτο αἱ μετ' ὄξους ἀποτιθέμεναι. πολυειδῶς δ' αὐτὰς σκευάζουσιν, οἱ τὴν ὀψαρτυτικὴν ἐμπειρίαν ἀσκήσαντες, ἧς οὐδ' αὐτῆς παντάπασιν ἀμαθῶς ἔχειν ἀξιῶ τὸν ἰατρόν. ἄμεινον γοῦν εἰς τὴν πέψιν ἐστὶ τὸ ἐξ ἴσως ὑγιεινὸν τὸ ἥδιον, ἀλλ' οὐ νῦν καιρὸς, οὔτε τῆς ἐμπειρίας τῆς κατὰ τὴν ὀψαρτυτικὴν θεωρίαν οὔτε τῆς τέχνης ἐστίν. ἴδιος γὰρ λόγος ἀνάκειται αὐταῖς.

περὶ καρύων.

Βασιλικὰ τινὲς ὀνομάζουσι κάρυα, ταῦτα τὰ νῦν ὑπὸ πάντων ὀνομαζόμενα κάρυα. καλεῖται δὲ καὶ ἄλλα τινὰ λεπτοκάρυα, πολλῷ μικρότερα τούτων, ἃ προσαγορεύουσιν ἔνιοι ποντικά. πολλὴ δὲ ἀμφοτέρων ἡ χρῆσις ἐστὶν οὐ πολλὴν τροφὴν διδόντων τῷ σώματι. πλείων δ' ὅμως ἐστὶν, ἐν τῷ ποντικῷ λεγομένῳ, τῆς ἐν τῷ βασιλικῷ καρύῳ, καὶ γὰρ καὶ πεπίλητι μᾶλλον ἡ οὐσία αὐτοῦ, καὶ ἧττον ἐλαιώδης ἐστίν. ἡ δὲ τοῦ καρύου χαυνοτέρα ἐστί, καὶ πλέον ἔχουσα τὸ λιπαρὸν ἐν ἑαυτῇ. μετέχει δὲ καὶ τῆς στρυφνῆς ποιότητος οὐκ ὀλίγον, ἥτις ἐν τῷ χρόνῳ προϊόντι μαραίνεται, μεταπιπτούσης ὅλης αὐτοῦ τῆς οὐσίας, εἰς τὸν λιπαρὸν χυμόν, ὥς τε καὶ τελέως ἄβρωτον γίνεσθαι, διὰ τὸ παραπλήσιον ἐλαίῳ παλαιῷ τῇ κατ' αὐτὸ λιπαρότητι φαίνεσθαι. τὸ δὲ χλωρὸν ἔτι καὶ ὑγρόν, οὔτε τῆς στρυφνῆς σαφῶς μετέχει ποιότητος, οὔτε τῆς ἐλαιώδους. ἀλλ' ἔστιν ἄποιον πως μᾶλλον, ὅπερ ὑδατῶδες καλεῖν, ὡς ἔφην, ἐθιζόμεθα. πέττεται γε μὴν μᾶλλον τὸ κάρυον, τοῦ λεπτοκαρύου, καὶ μᾶλλον εὐστομαχώτερόν ἐστι, καὶ πολὺ μᾶλλον ὅταν σὺν ἰσχάσιν ἐσθίεται. γέγραπται δὲ ὑπὸ πολλῶν ἰατρῶν ὡς ἐὰν ἄμφω ταῦτα πρὸ τῶν ἄλλων σιτίων λαμβάνονται μετὰ πηγάνου, μηδὲν ὑπὸ τῶν θανασίμων φαρμάκων μεγάλα βλαβήσεσθαι τὸν ἄνθρωπον. δῆλον δ' ὅτι καὶ τὸ μὲν ὑγρόν, πρὸς διαχώρησιν ἐστὶν ἐπιτήδειον, τὸ δὲ ξηρὸν ἧττον ἐπιτήδειον. οὐκ ὀλίγοι δὲ καὶ μετὰ γάρου προσλαμβάνουσιν αὐτό, γαστρὸς ὑπαγωγῆς ἕνεκεν. εἰς τοῦτο δ' ἐπιτήδειόν ἐστι τὸ χλωρόν, ὡς ἧττον τῆς στρυφνῆς μετέχον ποιότητος, ἀλλὰ καὶ τῶν ἤδη ξηρῶν προαποβρεχομένων ἐν ὕδατι, καθάπερ ἔνιοι ποιοῦσιν, ἡ δύναμις παραπλησία τοῖς χλωροῖς ἐστί.

περὶ ἀμυγδάλων.

Οὐδ' ὅλως μετέχει ταῦτα τῆς στρυφνῆς ποιότητος, ἐπικρατεῖ γὰρ ἐν αὐτοῖς ἡ λεπτυντική τε καὶ ῥυπτικὴ μόνη, δι' ἣν ἐκκαθαίρει τὰ σπλάγχνα, καὶ τὰς ἐκ πνεύμονός τε καὶ θώρακος ἀναπτύσεις τῶν ὑγρῶν ἐργάζεται. τινὰ δ' αὐτῶν οὕτως ἐπικρατοῦσαν ἔχει τὴν τμητικὴν τῶν παχέων τε καὶ γλίσχρων ὑγρῶν δύναμιν, ὡς μηδὲν βρωθῆναι δύνασθαι, διὰ πικρότητα, τῆς γε μὴν ἐλαιώδους τε καὶ λιπαρᾶς μετέχει ποιότητος, ὥσπερ καὶ τὰ κάρυα δι' ἣν καὶ αὐτὰ τοῦ χρόνου προϊόντος, ἐλαιηρὰ γίνεται, καθάπερ ἐκεῖνα, βραχυτέρα δ' αὐτοῖς ἐστὶν ἡ ποιότης ἥδε τῆς ἐν τοῖς καρύοις. διὸ καὶ μετὰ χρόνον πλείονα τῶν καρύων ἐλαιηρὰ φαίνεται γινόμενα. δῆλον οὖν ἐκ τούτων ἐστίν, ὡς οὔτε πρὸς ὑπαγωγὴν γαστρὸς ὑπάρχει χρήσιμα, τροφήν τε τῷ σώματι δίδωσιν ὀλίγην. ὅσα δ' ἐπικρατοῦσαν ἱκανὴν ἔχει τὴν πικρὰν ποιότητα, τὰς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναπτύσεις πύου τε καὶ τῶν παχέων καὶ γλίσχρων χυμῶν ἐστὶ χρησιμώτατα. τῶν δὲ μηδεμίαν μὲν τέχνην ἠσκηκότων τῷ βίῳ χρήσιμον, ἀττικίζοντας δὲ καλούντων ἑαυτούς, ἔνιοι μὲν ἀμυγδάλας θηλυκῶς ἀξιοῦσι λέγεσθαι τὸν καρπὸν τοῦτον, ἔνιοι δὲ οὐδετέρως ἀμύγδαλα, μηδ' αὐτὸ τοῦτο γινώσκοντες, ὃ σπουδάζουσιν, ὡς ἄμφω τὰ ὀνόματα παρὰ τοῖς ἀττικοῖς ἀνδράσι γέγραπται.

περὶ πιστακίων.

Γεννᾶται μὲν κατὰ τὴν μεγάλην Ἀλεξάνδρειαν ταῦτα. πολὺ πλείω δ' ἐν Βεῤῥοίᾳ τῆς συρίας τροφὴν μὲν ὀλίγην ἔχοντα, χρήσιμα δὲ εἰς ἥπατος εὐρωστίαν ἅμα, καὶ κάθαρσιν τῶν ἐμπεφραγμένων κατὰ τὰς διεξόδους αὐτοῦ χυμῶν, μετέχει γὰρ ὑποπίκρου, καὶ ὑποστρυφνῆς ποιότητος ἀρωματιζούσης. ἴσμεν δὲ καὶ ἄλλα πολλὰ τῶν τοιούτων, ἥπατι χρησιμώτατα. καθάπερ ἐν τῇ τῶν ἁπλῶν φαρμάκων ἐδείχθη πραγματείᾳ. στομάχῳ δέ, οὔτε ὠφέλειαν, οὔτε βλάβην ἀξιόλογον ἐξ αὐτῶν ἔχω μαρτυρεῖν, ὥσπερ οὐδὲ ὑπαγωγὴν γαστρός, ἢ στάσιν.

περὶ κοκκυμήλων.

Σπανίως ἂν εὕροις αὐστηρόν, ἢ ὀξύν, ἢ ὅλως τινὰ ἀηδίαν ἔχοντα, τὸν καρπὸν τοῦτον, ὅταν ἀκριβῶς πεπανθῇ. πρὶν γὰρ οὖν τοῦτ' ἀφικέσθαι σχεδὸν ἅπαντες, οἱ μὲν ὀξύτητος, οἱ δὲ στρυφνότητος, ἔνιοι δὲ καὶ πικρότητος ἐμφαίνουσι, τροφὴν μὲν οὖν ἐλαχίστην ἐκ τοῦ καρποῦ τούτου τὸ σῶμα λαμβάνει, χρήσιμος δέ ἐστι τοῖς ὑγρᾶναί τε καὶ ψῦξαι τὰ μέτρια τὴν γαστέρα προαιρουμένοις. ὑπάγει δ' αὐτὴν καὶ ταῦτα, διά τε τὴν ὑγρότητα καὶ γλισχρότητα, καθάπερ καὶ ἄλλα τινὰ τῶν προειρημένων. ὑπάρχει δ' αὐτοῖς καὶ ξηρανθεῖσιν, εἶναι χρησίμοις, ὥσπερ καὶ τοῖς σύκοις καὶ δόξαν ἔχει πολλήν, ἄριστα τῶν ἄλλων εἶναι τὰ κατὰ συρίαν ἐν δαμασκῷ γινόμενα, δεύτερα δ' ἐπὶ τούτοις τὰ κατὰ τὴν ἰβηρίαν τε καὶ σπανίαν ὀνομαζομένην. ἀλλὰ ταῦτα μὲν οὐκ ἐμφαίνει τινὸς στύψεως, τὰ δαμασκηνὰ δὲ καὶ πάνυ πολλῆς ἔνια. κάλλιστα δ' αὐτῶν εἰσὶν ὅσα μετρίως στύφοντα μεγάλα τέ ἐστι καὶ χαῦνα, τὰ δὲ σμικρά, καὶ σκληρὰ καὶ στρυφνὰ μοχθηρὰ πρός τε τὴν ἐδωδήν ἐστι, καὶ πρὸς τὴν τῆς γαστρὸς ὑπαγωγήν, ἥτις ἀκολουθεῖ μάλιστα τοῖς ἀπὸ τῆς ἰβηρίας. ἑψόμενα δ' ἐν μελικράτῳ πλέον ἔχοντι μέλιτος, ἱκανῶς λαπάττει τὴν γαστέρα, κἂν μόνα τις αὐτὰ φάγῃ καὶ πολὺ μᾶλλον, ἐὰν ἐπιρροφήσῃ τοῦ μελικράτου. πρόδηλον δὲ ὅτι συντελεῖ γαστρὸς ὑπαγωγῇ, μετὰ τὴν προσφορὰν αὐτῶν ἐπιπίνοντι γλυκέος οἴνου, καὶ διαλιπεῖν τινὰ χρόνον, οὐκ εὐθέως ἀριστᾶν ἐν αὐτοῖς. ἀλλὰ καὶ τοῦτο κοινὸν ἁπάντων, ὅσα λαπάττει γαστέρα μνημονευέσθω σοι, καθάπερ τἆλλα ὅσα κοινὰ πλειόνων εἰδῶν ἐστί, μὴ δεομένῳ πολλάκις ἀκούειν περὶ αὐτῶν.

περὶ τῶν καλουμένων σηρικῶν.

Οὐδὲ τούτοις ἔχω τι μαρτυρῆσαι, πρὸς ὑγείας φυλακήν, ἢ νόσων ἴασιν, ἔδεσμα γάρ ἐστι γυναικῶν τε καὶ παιδίων † ἀβρώντων, ὀλιγότροφόν τε καὶ δύσπεπτον ὑπάρχον, ἅμα τῷ μηδ' εὐστόμαχον εἶναι. τροφὴν δηλονότι καὶ αὐτὰ δίδωσιν ὀλίγην τῷ σώματι.

ἄλ. ἀθυρόντων

περὶ κερατίων.

Τὰ κεράτια διὰ τοῦ τ̄. γράμματος λεγομένης τε καὶ γραφομένης τῆς τρίτης συλλαβῆς, οὐδὲν ἔοικε τῇ διὰ τοῦ σίγμα κερασίοις. ἔστι δὲ ἔδεσμα κακόχυμόν τε καὶ ξυλῶδες, ἐξ ἀνάγκης δὲ καὶ δύσπεπτον· οὐδὲν γὰρ ξυλῶδες, εὔπεπτον. ἀλλὰ καὶ τῷ μὴ διαχωρεῖσθαι ταχέως, οὐ σμικρὸν αὐτοῖς ὑπάρχει κακόν. ὥστ' ἄμεινον ἦν αὐτὰ μηδὲ κομίζεσθαι πρὸς ἡμᾶς, ἐκ τῶν ἀνατολικῶν χωρίων ἐν οἷς γεννᾶται.

περὶ καππάρεως.

Θαμνῶδες ἐστὶ φυτὸν ἡ κάππαρις ἐν κύπρῳ πλείστη φυομένη. δύναμις δ' αὐτῆς ἐστὶ λεπτομερὴς ἱκανῶς, καὶ διὰ

τοῦτο τρο-

τὴν τροφὴν ἐλαχίστην ἀναδίδωσιν, εἰς τὸ τῶν ἐσθιόντων αὐτὴν σῶμα, καθάπερ καὶ τἄλλα πάντα ὅσα λεπτομερῆ. χρώμεθα δὲ ὡς φαρμάκῳ μᾶλλον, ἢ ὡς τροφῇ τῷ τοῦ φυτοῦ καρπῷ, κομίζεται καὶ πρὸς ἡμᾶς ἁλσὶ διαπασθεῖσα, διὰ τὸ σώζεσθαι μόνη ἀποτιθεμένη. δῆλον οὖν ὅτι χλωρὰ μὲν ἔτι πρὶν ταριχευθῆναι, πλέον ἔχει τροφῆς. ἐκ δὲ τῆς ταριχείας, ἀπόλλυσι πάμπολυ, καὶ γίνεται χωρὶς μὲν τοῦ τοὺς ἅλας ἀποπλυθῆναι, παντάπασιν ἄτροφος, ὑπακτικὴ δὲ τῆς γαστρός. ἀποπλυθεῖσα δὲ καὶ διαβραχεῖσα μέχρι τοῦ τελέως ἀποθέσθαι τὴν ἐκ τῶν ἁλῶν δύναμιν, ὡς ἔδεσμα μὲν ὀλιγοτροφώτατόν ἐστιν, ὡς ὄψον δὲ καὶ φάρμακον, ἐπιτήδειον ἐπεγεῖραι καταπεπτωκυῖαν ὄρεξιν, ἀποῤῥύψαι τε καὶ ὑπαγαγεῖν τὸ κατὰ τὴν γαστέρα φλέγμα, καὶ τὰς κατὰ σπλῆνα καὶ ἧπαρ ἐμφράξεις, ἐκκαθᾶραι. χρῆσθαι δὲ πρὸς ταῦτα προσήκει, δι᾽ ὀξυμέλιτος, ἢ ὀξελαίου πρὸ τῶν ἄλλων σιτίων ἁπάντων. τοὺς δ᾽ ἁπαλοὺς ἀκρέμονας καὶ τούτου τοῦ φυτοῦ παραπλησίως ἐσθίουσι τοῖς τῆς τερμίνθου, καὶ χλωροὺς ἔτι συντιθέντες, ὡς ἐκείνους ἐν ὀξάλμῃ τε καὶ ὄξει.

περὶ συκομόρων.

Ἐν Ἀλεξανδρείᾳ τὸ τῆς συκομόρου φυτὸν εἶδον ἅμα τῷ καρπῷ, παραπλησίως σύκῳ μικρῷ λευκῷ. δριμύτητα δὲ οὐδὲ μίαν ὁ καρπὸς οὗτος ἔχει, βραχείας μετέχων γλυκύτητος, ὑγρότερός πως καὶ ψυκτικώτερος ὢν κατὰ τὴν δύναμιν, ὥσπερ τὰ μόρα. μᾶλλον δὲ ἐν τῷ μεταξὺ μόρων τε καὶ σύκων, αὐτὸν εἰκότως ἄν τις θείη. καί μοι δοκεῖ τοὔνομα ἐντεῦθεν αὐτῷ κεῖσθαι. γελοῖοι γάρ εἰσι διὰ τοῦτο φασὶν ὀνομάσθαι τὸν καρπὸν τοῦτον συκόμορα, διότι σύκοις ἐοίκασι μωροῖς. ἡ γένεσις δ᾽ αὐτοῦ διαφορωτέρα πώς ἐστι παρὰ τοὺς ἄλλους καρποὺς τῶν δένδρων. οὐδὲ γὰρ ἐκ τῶν ἀκρεμόνων καὶ βλαστημάτων, ἀλλ᾽ ἐξ αὐτῶν τῶν κλάδων καὶ τῶν ἀκρεμόνων ἐκφύεται.

περὶ περσίου.

Εἶδον καὶ τοῦτο τὸ φυτὸν ἐν Ἀλεξανδρείᾳ, τῶν μεγάλων ὂν καὶ αὐτὸ δένδρων. ἱστοροῦσι δὲ τὸν καρπὸν αὐτοῦ μοχθηρὸν οὕτως ὑπάρχειν ἐν Πέρσαις, ὡς ἀναιρεῖν τοὺς φαγόντας, εἰς Αἴγυπτον δὲ κομισθέντα, ἐδώδιμόν τε γενέσθαι παραπλησίως ἐσθιόμενον ἀπίοις τε καὶ μήλοις ὧν καὶ κατὰ τὸ μέγεθός ἐστι.

περὶ κιτρίου.

Καὶ τοῦτο τὸ μηδικὸν ὀνομάζουσι μῆλον, οἱ μηδὲν ἃ νοεῖν ἃ φθέγγονται προῃρημένοι, καίτοι τήν γε σαφήνειαν ἐν ταῖς ἀρεταῖς τοῦ λόγου τιθέμενοι, βέλτιον δ᾽ ἦν τοῦ τὰ τοιαῦτα περιεργάζεσθαι, τίνα δύναμιν ἔχειν τὰ μόρια τοῦ κιτρίου, καί τι χρήσιμον ἐξ αὐτοῦ τοῖς ἀνθρώποις ἐστὶν ἐζητηκέναι. τοῦτο οὖν ἐγὼ πράξω, τρία μὲν εἶναι εἰπὼν τοῦ καρποῦ τούτου τὰ μόρια, τό τε ὀξὺ κατὰ τὸ μέσον αὐτοῦ, καὶ τὸ περιέχον τοῦτο τὸ οἷον σάρκα αὐτοῦ τοῦ καρποῦ, καὶ τρίτον ἐπ᾽ αὐτοῖς τὸ περικείμενον σκέπασμα ἔξωθεν. τοῦτο μὲν εὐῶδές τέ ἐστι καὶ ἀρωματίζον, οὐ κατὰ τὴν ὀσμὴν μόνον, ἀλλὰ καὶ κατὰ τὴν γεῦσιν. εἰκότως οὖν δύσπεπτόν ἐστιν, ὡς ἂν σκληρόν τι καὶ τετυλωμένον. εἰ δ᾽ ὡς φαρμάκῳ τις αὐτῷ χρῷτο, συντελέσει πρὸς πέψιν, ὥσπερ καὶ ἄλλα πολλὰ τὴν δριμεῖαν ἐχόντων τὴν ποιότητα. τῷ δ᾽ αὐτῷ λόγῳ, καὶ στόμαχον ῥώννυσιν ὀλίγον ληφθέν, ὥστε καὶ κόπτοντες αὐτό, καὶ τὸν χυλὸν ἐκθλίβοντες, εἰώθασι μιγνύναι τοῖς καταποτίοις φαρμάκοις, ὅσα λαπακτικὰ γαστρός ἐστιν, ἢ καθαρτικὰ τοῦ σώματος ὅλου. τῷ δ᾽ ὀξεῖ καὶ ἀβρώτῳ μέρει τοῦ καρποῦ, καθ᾽ ὃ καὶ τὸ σπέρμα περιέχεται, πρὸς ἄλλα τινὰ χρῶνται, καὶ πολλάκις εἰς ὄξος ἐμβάλλουσιν ἀμβλύ, χάριν τοῦ δριμύτερον ἐργάσασθαι. τὸ μέσον δ᾽ ἀμφοῖν, ὃ δὴ καὶ τροφὴν τῷ σώματι δίδωσιν, οὔτ᾽ ὀξεῖαν, οὔτε δριμεῖαν ἔχον ποιότητα, δύσπεπτόν ἐστι διὰ σκληρότητα. διὸ καὶ μετ᾽ ὄξους καὶ γάρου προσφέρονται πάντες αὐτὸ τὴν ἀμβλύτητα τῆς γεύσεως ἐπεγεῖραι βουλόμενοι. τάχα δ᾽ ὅτι καὶ πέττεται μᾶλλον οὕτω βρωθέν, ἐπίσανται, τῇ πείρᾳ διδαχθέντες, ἢ παρὰ ἰατροῦ ἀκούσαντες.

περὶ τῶν ἐν τοῖς ἀγρίοις φυτοῖς καρπῶν, ἐν οἷς εἰσὶ καὶ αἱ τῶν δρυῶν βάλανοι.

Ἄγρια καλεῖν εἰώθασιν πάντες ἄνθρωποι φυτὰ τὰ κατὰ τὴν χώραν φυόμενα χωρὶς ἐπιμελείας γεωργικῆς ἀμέλει καὶ ἀμπέλους ἀγρίας ὀνομάζουσιν, ὧν οὐδεὶς ἀμπελουργὸς προνοεῖται, περισκάπτων, ἢ περισκάλλων ἢ βλαστολογῶν, ἤ τι τοιοῦτον διαπραττόμενος. ἐκ τούτων τῶν φυτῶν ἐστὶ καὶ φηγός, καὶ δρῦς καὶ πρῖνος καὶ κρανία καὶ κόμαρος, ἕτερά τε δένδρα τοιαῦτα, καθάπερ γε καὶ θάμνοι τινές, οἷόν ὅ, τε τῆς βάτου καὶ τῆς κυνοσβάτου, καὶ ὁ τῆς ἀχέρδου τε καὶ ἀχράδος, ὅ, τε τῶν ἀγριοκοκκυμήλων, ἃ προῦμνα παρ᾽ ἡμῖν καλοῦσι. καὶ ὁ τοῦ τὰς ἐπιμηλίδας φέροντος, καλεῖται δὲ κατὰ τὴν Ἰταλίαν οὐνέδων ὁ καρπὸς τοῦ θάμνου τούτου, κακοστόμαχός τε καὶ κεφαλαλγὴς ὑπάρχων. καὶ στρυφνὸς ἱκανῶς μετά τινος βραχείας γλυκύτητος. τὰ μὲν οὖν κράνα, καὶ τὰ βάτινα, καὶ τοὺς βαλάνους, καὶ τὰ μιμήκυλα, καλεῖται δὲ οὕτως ὁ τοῦ κομάρου καρπός, ἐσθίουσι συνήθως οἱ κατὰ τοὺς ἀγρούς. τοὺς δὲ τῶν ἄλλων δένδρων τε καὶ θάμνων οὐ πάνυ τι. λιμοῦ μὴν κατασχόντος ποτὲ τὴν ἡμετέραν χώραν, ἐμφορίας δὲ γενομένης τῶν τε βαλάνων καὶ τῶν μεσπίλων ἐν σειροῖς αὐτὰ οἱ ἄγροικοι θησαυρίσαντες ἀντὶ τῶν σιτηρῶν ἐδεσμάτων, εἶχον ἔν τε τῷ χειμῶνι παντί, καὶ τοῖς πρώτοις τοῦ ἦρος. ἔμπροσθεν δὲ βορὰ συῶν ἦσαν αἱ τοιαῦται βάλανοι, ἀλλὰ τότε ἀποτρεπόμενοι τοῦ διαθρέψαι τούτους ἐν τῷ χειμῶνι, καθάπερ ἔμπροσθεν εἰώθασιν, ἐν ἀρχῇ μὲν τούτους σφάξαντες, ἐχρήσαντο τούτοις εἰς ἐδωδήν, ὕστερον δὲ τοὺς ξηροὺς ἀνοίξαντες ἤσθιον τὰς βαλάνους, παρασκευάζοντες ἐπιτηδείους εἰς βρῶσιν ἄλλοτε ἄλλως. ἐν ὕδατι γὰρ ἕψοντες ἐνίοτε καὶ κατὰ τὴν θερμὴν σποδιὰν ἐγκρύβοντες ὤπτων συμμέτρως. αὖθις δ᾽ ἄν ποτε καταπλάσαντες, ἔτνος ἐξ αὐτῶν ἐποίουν, ἐνίοτε μὲν ὕδατι μόνῳ δεύοντες, ἐπεμβάλλοντες δέ τι τῶν ἐδεσμάτων, ἐνίοτε δὲ καὶ μέλιτος ἐπιχέοντες, ἢ μετὰ γάλακτος ἕψοντες, ἡ δ᾽ ἀπ᾽ αὐτῶν τροφή, δαψιλής ἐστι οὐδὲν ὁμοίως τοῖς εἰρημένοις ἄχρι δεῦρο τοῦ λόγου κατὰ τόδε τὸ γράμμα. πολλοῖς γὰρ τῶν σιτηρῶν ἐδεσμάτων ὁμοίως τρέφουσιν αἱ βάλανοι, καὶ τό γε παλαιόν, ὥς φασιν, ἀπὸ τούτων μόνων διέζων οἱ ἄνθρωποι, ἀρκάδες δὲ καὶ μέχρι πολλοῦ χρόνου, τῶν ἄλλων ἁπάντων Ἑλλήνων τοῖς δημητρίοις καρποῖς χρωμένων. ἔστι δὲ βραδύπορος ἡ ἀπ᾽ αὐτῶν τροφὴ καὶ παχύχυμος, οἷς ἀκόλουθόν ἐστι καὶ δύσπεπτον ὑπάρχειν αὐτήν. εἰς ἅπαντα δὲ χείρων ἐστίν, ἡ μιμήκυλος τῆς ἀπὸ τῶν δρυῶν βαλάνου, καθάπερ αὕτη τῆς τῶν κασταvῶν ὀνομαζομένων. ἄρισται γὰρ ἐκεῖναι τῶν βαλάνων εἰσίν, ἔνιοι δὲ λοπίμους αὐτὰς ὀνομάζουσιν. οὗτοι καὶ μόνοι

τῶν ἀγρίων καρπῶν ἀξιόλογον τροφὴν δίδωσι τῷ σώματι. κράνια γὰρ καὶ πρῖνα, καὶ βάτινα, καὶ κυνόσβατα καὶ βράβυλα, καὶ μιμαίκυλα, καὶ ζίζυφα, καὶ διόσφυρα, καὶ ἀλυκάκαβα, καὶ ὁ τῆς τερμίνθου, καὶ ὁ τῆς ἀχέρδου καρπὸς, ὅσα τ᾽ ἄλλα τοιαῦτα βραχὺ μέν τι τρόφιμον ἔχει, κακόχυμα δὲ πάντ᾽ ἐστὶ καί τινα γ᾽ αὐτῶν καὶ κακοστόμαχα, καὶ ἀηδῆ, συῶν ὄντα βρώματα, καὶ τούτων οὐχ ἡμέρων, ἀλλὰ τοῖς ὄρεσι διαιτωμένων, ἀπ᾽ αὐτῶν οὖν ἐκεῖνοι πλεῖστον ἔχουσι τροφήν.

περὶ τῆς δι᾽ αὐτῶν τῶν φυτῶν τροφῆς.

Οὐ μόνον σπέρματα καὶ καρποὺς τῶν φυτῶν ἐσθίομεν ἀλλὰ, καὶ αὐτὰ πολλάκις μὲν ὅλα, πολλάκις δὲ ῥίζας μόνον, ἢ ἀκρέμονας, ἢ τὰ νέα βλαστήματα κατὰ τὴν ἐπείγουσαν ἑκάστοτε χρείαν. ἀκριβέστερον γοῦν εἰωθότες οἱ παρ᾽ ἡμῖν ἄνθρωποι τόν τε καυλὸν καὶ τὰ φύλλα τῶν γογγυλίδων, ἃς καὶ βουνιάδας ὀνομάζουσιν, ἐσθίουσιν ἐνίοτε. καὶ ταῦτ᾽ ἐν ἀπορίᾳ καταστάντες ἀμεινόνων ἐδεσμάτων. οὕτω τε καὶ τὰ τῶν ῥαφανίδων καὶ τὰ τῶν καλουμένων ἐπιχωρίῳ φωνῇ παρ᾽ ἡμῖν ῥαπίων. ἔστι δὲ ὡς ἂν τις εἴποι, ῥαφανὶς ἀγρία, τὸ φυτὸν τοῦτο, καὶ πύρεθρον δὲ καὶ σία καὶ ἱπποσέλινα καὶ μάραθρα, σκάνδικα καὶ κιχώρια καὶ χονδρίλας, καὶ γιγγίδια, καὶ δαύκους, καὶ πλείστων δένδρων τε καὶ θάμνων τὰς ἁπαλὰς βλαστὰς ἕψοντες ἐσθίουσιν οἱ ἄνθρωποι, πολλάκις ὑπὸ λιμοῦ βιαζόμενοι. τινὰ δὲ καὶ χωρὶς λιμοῦ, καθάπερ ἔνιοι τὴν κορυφὴν τοῦ φοίνικος, ἣν ὀνομάζουσιν ἐγκέφαλον αὐτοῦ. τί δεῖ λέγειν ἔτι περὶ τῶν ἁπαλῶν ἀκανθῶν. εἰσὶ γὰρ αὗταί γε καὶ χωρὶς λιμοῦ δι᾽ ὄξους ἐσθιόμεναι, καὶ γάρου μέτριον ἔδεσμα. προσεπιβάλλουσι δὲ ἔνιοι, καὶ τοῦ ἐλαίου αὐταῖς, μάλιστα ὅταν ἐν ὕδατι προαποζεσθῶσι, δηλῶς γὰρ αὐταῖς χρῶνται, πολλάκις μὲν ὠμαῖς, ἔνιοί τε καὶ ἑψημέναις. ἀκανθώδη δὲ λέγω φυτὰ, σκολύμους, ἀτρακτυλίδας ἠρύγγιόν τε καὶ κνῆκον καὶ ἀραγίδα, καὶ καλουμένην λευκάκανθον, ἔτι τε τὸ ἕτερον εἶδος τοῦ χαμαιλέοντος, ὧν ἔνια, τινὲς τῶν κατὰ τοὺς ἀγροὺς ἐμβαλόντες εἰς ὄξος, ἢ ἅλμην ἀποτίθενται αὐτὰ, καθάπερ καὶ τὰς γογγυλίδας καὶ τὰ κρόμμυα καὶ τὰ ἀμπελόπρασα καλούμενα, καὶ πύρεθρα, ἕτερά τε τοιαῦτα. τούτου δέ πως τοῦ γένους ἐστὶ καὶ κιχώρια καὶ κολοκάσια, καὶ τὸ καλούμενον ἄβαζον. πρόδηλον ὅτι πρὸς δὲ τῷ βραχεῖαν τροφὴν διδόναι τῷ σώματι, κακόχυμα πάντ᾽ ἐστὶ ταῦτα. καί τινα γ᾽ αὐτῶν ἐστι κακοστόμαχα, πλὴν ὡς ἔφην, τῶν ἀκανθῶν ἄρτι τῆς γῆς ἀνισχόντων. ὅσα δ᾽ αὐτῶν ἐμβάλλοντες εἰς ἅλμην ἢ ὄξος, ἀποτίθενται, καὶ φυλάσσουσιν εἰς ὅλον τὸν ἑξῆς ἐνιαυτὸν, ἐπιτήδειά τι παρὰ τῆς σκευασίας προσκλητικὸν εἰς ἐδωδὴν, εἰ μετρίως αὐτῶν τις γεύοιτο, καθάπερ οἵ τε τῆς ἄγνου βλαστοὶ, καὶ οἱ τῆς τερμίνθου. ταῦτα μὲν οὖν ἐν τοῖς ἀγρίοις φυτοῖς ἀριθμοῦσι, καὶ κοινῇ περὶ αὐτῶν αὐταρκὲς ἐγνωκέναι, κακόχυμα πάντ᾽ εἶναι. περὶ δὲ τῶν ἡμέρων, οὐ κατὰ κοινὸν λόγον, ἀλλ᾽ ἰδίᾳ τὴν ἑκάστου δύναμιν ἐπίστασθαι πολὺ κάλλιστόν ἐστι, καὶ μάλιστα, τῶν συνεχῆ τὴν χρῆσιν ἐσχηκότων, ἃ καὶ δι᾽ αὐτὸ τοῦτο σπουδάζεται τοῖς ἀνθρώποις ὑπὸ μακρᾶς πείρας βασανισθέντα τῶν ἄλλων εἶναι βελτίω, καὶ τίνων ἤδη περὶ αὐτῶν ἐφεξῆς ἐρῶ τὴν ἀρχὴν ἀπὸ τῶν λαχάνων ποιησάμενος.

περὶ θριδακίνης.

Γεγράφασι πολλοὶ τῶν ἰατρῶν τὸ λάχανον τοῦτο τῶν ἄλλων ἁπάντων, ὥσπερ τὰ σῦκα τῆς ὀπώρας, εὐχυμότερον γὰρ ἐστὶ αὐτῶν. ὃ δὲ μέμφονταί τινες αὐτοῦ, μέγιστον ἔπαινον ἔχει. καὶ εἴπερ αὖτ᾽ ὡς ἀληθὲς ἦν, οὐ μόνον λαχάνων, ἀλλὰ καὶ τῶν εὐχυμωτάτων τε καὶ τροφιμωτάτων ἐδεσμάτων οὐδὲν ἂν ἦν δεύτερον, αἷμα γοῦν αὐτὴν φασὶ γεννᾶν. ἔνιοι δὲ οὐχ ἁπλῶς αἷμα λέγουσιν, ἀλλὰ πολὺ προστιθέασι, πολὺ γεννᾶν αἷμα λέγοντες τὴν θριδακίνην, ἀλλ᾽ οὗτοι κἂν εἰ φρονιμώτερον ἐγκαλοῦσι, μείζονά γε ψεύδονται τῶν ἑτέρων, καίτοι καὶ αὐτὸ, τὸ πολὺ γεννᾶν αἷμα λεγόμενον, οὐκ ἄν τις εὐλόγως μέμψαιτο. δῆλον γὰρ ὅτι τὸ τοιοῦτον πάντων ἂν εἴη τῶν ἐδεσμάτων εὐχυμότατον, εἴ γε πλεῖστον μὲν αἷμα, τῶν δ᾽ ἄλλων χυμῶν, οὐδένα γεννᾶν πέφυκεν. εἰ δὲ πλεῖστον ἀθροίζεσθαι φήσουσιν ἐκ τῆς θριδακίνης, καὶ διὰ τοῦτο μέμφοιτο, ῥᾷστον ἐπανορθώσασθαι τὸ ἔγκλημα, δυναμένων γε τῶν ἐσθιόντων αὐτὰς, διαπονεῖσθαι μὲν πλείω, προσφέρεσθαι δὲ ὀλίγας. ταῦτα μὲν οὖν ἀπόχρη λέγεσθαι πρὸς τοὺς ψέγοντας οὐκ ὀρθῶς τὸ λάχανον τοῦτο. γινώσκειν δὲ χρὴ πάντων τῶν λαχάνων ὀλίγιστόν τε καὶ κακόχυμον αἷμα γεννώντων ἐκ τῆς θριδακίνης, οὐ πολὺ μὲν οὐδὲ κακόχυμον οὐ μὴν εὔχυμόν γε τελέως, αἷμα γίνεσθαι. ἐσθίουσι δὲ αὐτὴν ὡς τὰ πολλὰ μὲν ὠμήν. ὅταν δὲ εἰς σπέρματος γένεσιν ἐξορμᾶν ὑπάρξηται θέρους ὥρᾳ προαπεψήσαντες ἐν ὕδατι γλυκεῖ, προσφέρονται δι᾽ ἐλαίου καὶ γάρου, καὶ ὄξους, ἢ διά τινος τῶν ὑποτριμμάτων, καὶ μάλιστα ὅσα διὰ τυροῦ σκευάζονται. χρῶνται δ᾽ αὐτῇ καὶ πρὶν εἰς καυλὸν ὁρμῆσαι πολλοὶ δι᾽ ὕδατος ἕψοντες, ὥσπερ κἀγὼ νῦν ἠρξάμην ἀφ᾽ οὗ τῶν ὀδόντων φαύλως ἔχω. εἰδὼς γάρ τις τῶν ἑταίρων ἐν ἔθει μὲν ὄν μοι ἐκ πολλοῦ τὸ λάχανον, ἐπίπονον δὲ νῦν ἴσχοντα τὴν μάσησιν, εἰσηγήσατο τὴν ἕψησιν. ἐχρώμην δὲ θριδακίναις ἐν νεότητι μὲν, ἐκχολουμένης μοι συνεχῶς τῆς ἄνω γαστρὸς, ἐμψύξεως ἕνεκεν, ὁπότε δὲ εἰς τὴν καθεστηκυῖαν ἡλικίαν ἧκον, ἄκος ἦν μοι τὸ λάχανον τοῦτο τῆς ἀγρυπνίας, ἔμπαλιν ἢ ὡς ὅτε μειράκιον ἦν, ἐσπουδακότι περὶ τὸν ὕπνον. εἰθισμένως τε γὰρ ἑκουσίως ἀγρυπνεῖν ὑπὸ νεότητος, ἅμα τε καὶ τῆς τῶν παρακμαζόντων ἡλικίας ἀγρυπνητικῆς οὔσης, ἀκουσίως ἀγρυπνῶν ἐδυσφόρουν, καί μοι μόνον ἀλεξιφάρμακον ἀγρυπνίας ἦν, ἑσπέρας ἐσθιομένη θριδακίνη. λέγω δὲ οὐκ ἄλλο τι θριδακίνην, ἢ ὃ πάντες οἱ νῦν ἄνθρωποι καλοῦσιν θρίδακα, ἐπεί τι παρ᾽ ἡμῖν, ἕτερόν τι λάχανον ἄγριον ὀνομάζεται θριδακίνη, παρά τε τὰς ὁδοὺς φυόμενον, ἐπί τε τοῖς ὑψηλοῖς τῶν τάφρων, ἔτι τε κατὰ τὰς καλουμένας λιβάδας, καὶ πολλὰς τῶν ἀσπόρων χώρων. ἔστι δὲ μικρὸν ἐκεῖνο τὸ λάχανον, οἷόν περ ἡ ἄρτι φυομένη θρίδαξ ἡ κηπευομένη, καίτοι καὶ βραχὺ πικρότητος ἐμφαίνει, καὶ μᾶλλον ἔτι κατὰ τὴν αὔξησιν, ἐκκαυλῆσαν δὲ καὶ πάνυ σαφῆ τὸν πικρὸν ἔχει χυμόν. ὅμοιον δέ τι λάχανον τῇ θριδακίνῃ τῇδε, καὶ ἣν ὀνομάζουσι χονδρίλην, ἐστὶ, καὶ θᾶττον εἰς καυλὸν ἐξορμᾷ, πικρότητα σαφεστέραν ἔχον, καί τινα γλίσχρον τε καὶ λευκὸν ὀπὸν, οἷός περ ὁ τῶν τιθυμάλλων ἐστὶν, ἀλλ᾽ οὐ δριμὺς ὡς ἐκείνοις, ᾧ πρὸς ἀνακόλλησιν ἐνίοτε χρώμεθα τῶν ἐν τοῖς βλεφάροις τριχῶν, ταῦτα μὲν οὖν ἄγρια καλεῖται λάχανα, πρὸς διορισμὸν τῶν κηπαίων. εἴρηται δὲ μικρὸν ἔμπροσθεν περὶ αὐτῶν κοινῇ. περὶ δὲ τῆς κηπευομένης θριδακίνης τῆς ἅπασι συνήθως ἐσθιομένης, τε καὶ καλουμένης θρίδακος, ἐν κεφαλαίῳ πάλιν ἀναλαβὼν, ἐρῶ μνήμης ἕνεκεν, ὡς ὑγρὸν μὲν ἔχει τὸν χυμὸν καὶ ψυχρὸν, οὐ μὴν γε καὶ

κακόχυμος

κακόχυμος ἐστί. διὰ τοῦτο οὖν οὐδ' ἀπεπτεῖται, τοῖς ἄλλοις λαχάνοις ὁμοίως, οὐδ' ἐπέχει τὴν γαστέρα, ὥσπερ οὐδὲ προτρέπει, καὶ ταῦτ' εἰκότως αὐτῇ συμβέβηκε, μήτ' αὐστηρόν τι ἐχούσῃ μήτε στρυφνόν, ἐφ' ὧν ἴσχεται τὸ πίπαν ἡ γαστὴρ, ὥσπερ ὑπὸ τῶν ἁλυκῶν τε καὶ δριμέων καὶ ὅλως ῥυπτικόν ἐχόντων τι προτρέπεται πρὸς ἔκκρισιν, ὧν οὐδ' αὐτῶν ὑπάρχει τι τῇ θριδακίνῃ.

περὶ σέρεως.

Εἴτε τοὺς παρὰ ῥωμαίοις ἰντίβους προσαγορευομένους μόνους ὠνόμαζον οἱ πρόσθεν ἀθηναῖοι σέρεις, ἤ τινα καὶ ἄλλα τῶν ἀγρίων λαχάνων φυτῶν, οὐκ ἀκριβῶς ἔχω φάναι. οἱ δ' ἴντιβοι, ταῖς θρίδαξι παραπλησίαν ἔχουσι τὴν δύναμιν, ἀπολειπόμενοι καθ' ἡδονὴν αὐτῶν, καὶ τἄλλα τὰ πρόσθεν εἰρημένα, περὶ θριδακίνης.

περὶ μαλάχης.

Ἔστι καὶ ταύτης ἑτέρα τῆς κηπευομένης ἡ ἀγρία μαλάχη, καθάπερ τοῦ θρίδακος ἡ θριδακίνη. διαφέρει δὲ τῶν ὁμοειδῶν φυτῶν, ξηρότητι μὲν τὸ ἄγριον, ὑγρότητι δὲ τὸ κηπευόμενον. ἔχει δέ τι καὶ γλίσχρον κατὰ τὸν χυλὸν ἡ μαλάχη τοῦ θρίδακος οὐκ ἐχούσης. ἀποκεχώρηκέ τε σαφῶς, τοῦ ψύχειν, ὡς καὶ πρὸ τοῦ ἐδωδῆς ἔνεστι γνῶναι καταπλάσαντα τῶν θερμῶν παθῶν, οἷόν περ ἐστὶ τὸ ἐρυσίπελας, ἀμφοτέροις ἐν μέρει τοῖς λαχάνοις, ὥσπερ καὶ ποιοῦσιν οἱ ἄνθρωποι, τρίβοντες ἐπιμελῶς τὰ μαλακὰ τῶν φύλλων, ἄχρι τοῦ λειότατα γενέσθαι. γνώσεται γὰρ ἐν τῷδε, τὴν μὲν θριδακίνην ψύχουσαν φανερῶς, μετρίαν δέ τινα καὶ οἷον χλιαρὰν θερμασίαν ἔχουσαν τὴν μαλάχην. ὑπέρχεται δὲ τὸ λάχανον ῥαδίως τοῦτο, οὐ διὰ τὴν ὑγρότητα μόνον, ἀλλὰ καὶ διὰ τὴν γλισχρότητα, καὶ μάλιστα ὅταν ἐλαίου τε καὶ γάρου δαψιλῶς τις οὕτως συγκαταπίῃ. μετρίως δὲ ἔχει καὶ κατὰ τὴν θρέψιν αὐτῆς. τῶν τριῶν δὲ λαχάνων τούτων εἰ παραβάλλοις τὸν χυλὸν ὁ μὲν τοῦ τεύτλου λεπτομερής τε καὶ ῥυπτικός ἐστιν, ὁ δὲ τῆς μαλάχης, παχύτερός τε καὶ γλισχρότερος, ὁ δὲ τῆς θριδακίνης, μέσος ἀμφοῖν.

περὶ τεύτλου.

Μαλάχην μὲν ἔφην, οὐ μόνον ἥμερον, ἀλλὰ καὶ ἀγρίαν εἶναί τινα, καθάπερ γε καὶ θριδακίνην. ἄγριον δὲ τεῦτλον οὐκ ἔστιν, εἰ μή τις ἄρα τὸ λάπαθον, οὕτως ὀνομάζειν βούλοιτο. χυλὸς δ' ἐν τοῖς τεύτλοις εἶναι φαίνεται ῥυπτικός, ὃς καὶ τὴν γαστέρα πρὸς ἔκκρισιν ἐπεγείρει, καὶ τὸν στόμαχον ἐνίοτε δάκνει, καὶ μάλιστ' ἐκείνων ὅσοι περ ἂν εὐαίσθητον αὐτὸν ἔχουσι φύσει, καὶ διὰ τοῦτο κακοστόμαχον ἐστὶν ἔδεσμα πλείω βρωθέν. ἡ τροφὴ δὲ ἡ ἀπ' αὐτοῦ βραχεῖα, καθάπερ ἡ ἀπὸ τῶν ἄλλων λαχάνων. ἐπιτηδειότερον δὲ ἂν ἐστὶ μαλάχης εἰς τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις. ἔτι δὲ μᾶλλον ὅταν μετὰ νάπυος, ἢ πάντως γε μετ' ὄξους ἐσθίεται καὶ τοῖς ὑποσπληνίοις δὲ τὸν αὐτὸν τρόπον, ἐσθιόμενον, ἀγαθὸν γίνεται φάρμακον. εἰκότως γὰρ ἄν τις αὐτὸ φάρμακον εἴποι μᾶλλον, ἢ τροφὴν, ὅταν οὕτως ἐσθίηται, καὶ τοῖς ἀνθρώποις δὲ ὁρῶ σχεδόν, ἅπαντα τὰ τοιαῦτα δίκην ὄψων, οὐ τροφῶν ἐσθιόμενα, καθάπερ ἐνίοτε καὶ πράσον, καὶ γλήχωνα, καὶ θύμβρα, καὶ ὀρίγανον, ἔτι τε καὶ κρόμμυον, καὶ σκόροδον, καὶ κάρδαμον, ὅσα τε ἄλλα τοιαῦτα.

περὶ κράμβης.

Καὶ ταύτην οἱ πολλοὶ μὲν ὡς ὄψον ἐσθίουσιν, ἰατροὶ δὲ, ὡς φαρμάκῳ ξηραίνοντι χρῶνται. λέλεκται δὲ περὶ αὐτῆς ἤδη μέν τινα κἀν ταῖς τῶν φαρμάκων δυνάμεσι, κἀν τῷ πρὸ τοῦδε συγγράμματι, καὶ νῦν δὲ καὶ ἐν κεφαλαίῳ εἰρήσεται, τὸν μὲν χυλὸν αὐτῆς, ἔχειν τι καθαρτικόν. αὐτὸ δὲ τὸ σῶμα, κατὰ τὸν τοῦ ξηραίνοντος λόγον, ἐπέχειν μᾶλλον, ἢ προτρέπειν εἰς ὑποχώρησιν. ὅταν μὲν οὖν ἐκκρίνεσθαι βουλώμεθα τὰ κατὰ τὴν γαστέρα, πλησίον κειμένης τῆς κακκάβης ἐν ᾗπερ ἂν ἑψημένη τύχῃ μετὰ ὕδατος ἀνασπῶντας αὐτὴν εὐθέως, ἐμβάλλειν χρὴ τοῖς ἀγγείοις ἐν οἷσπερ ἐσκεύασται τοὔλαιον ἅμα τῷ γάρῳ. διαφέρει δ' οὐδὲν εἰ ἁλῶν ἀντὶ γάρου λαμβάνοιτο. ξηράναι δὲ ὑγρὰν γαστέρα βουληθέντες, ὅταν ἤδη μετρίως ἑψῆσθαι δοκεῖ τὸ πρότερον ὕδωρ ἀποχέοντες, ἐμβάλλομεν εὐθέως ἑτέρῳ θερμῷ, κἄπειτα πάλιν ἐκείνῳ καθεψήσωμεν, ὡς τακερὰν γενέσθαι, μὴ καθεψῶντες ὅταν ὑπαγωγῆς ἕνεκα λαμβάνηται. βουλόμεθα γὰρ οὐκ ἀφαιρεῖσθαι πάντα τὸν ἴδιον αὐτῆς χυλὸν ἐπὶ τῆς τοιαύτης χρείας, ἀλλὰ φυλάττειν ὅσον οἷόν τε μάλιστα. τελέως μὲν οὖν φυλάττειν τὸν ἴδιον χυλὸν οὐδὲν ἑψομένων δύναται, μᾶλλον δὲ ἀποβάλλει τὰ μέχρι πλείονος ἑψηθέντα. καὶ μέν τοι καὶ φακὴν ἔφαμεν ὁμοίως κράμβης χρῆναι σκευάζειν, ἀμφότερα καὶ αὐτὴν ἐργάζεσθαι δυναμένην ὑπαγωγήν τε καὶ στάσιν γαστρός. ὀνομάζεται δὲ ἡ οὕτως σκευασθεῖσα, δίσεφθος καὶ κράμβη καὶ φακὴ, καὶ κρόμμυον δὲ καὶ πράσον, καὶ πολὺ μᾶλλον, ἀμπελόπρασον τε καὶ σκόροδον, ὅτι τ' ἂν ἄλλο βουληθεὶς ἐπὶ τοὐναντίον ἀποστῆσαι τῆς ἀρχαίας φύσεως οὕτως σκεύαζε, μεμνημένος ἐκείνου πρὸ πάντων, ὡς οὐ χρὴ ψαύειν, οὔτ' ἀέρος, οὔθ' ὕδατος ψυχροῦ τὸ δὲ ἑψόμενον, οὐκέτι γὰρ ἀκριβῶς γίνεται τακερὸν, οὐδ' ἂν ἐπὶ πλεῖστον ἑψῇς, ἀλλὰ χρὴ, καθάπερ εἶπον ἀρτίως, ἕτοιμον ἔχοντας ὕδωρ θερμὸν, ἀνελκύσαντας ἐκ τοῦ προτέρου μεταβάλλειν εὐθέως εἰς ἐκεῖνο. ξηραίνει μὲν οὖν ἀλλήλοις παραπλησίως, φακή τε καὶ κράμβη, καὶ διὰ τοῦτο τὴν ὄψιν ἀμβλύνει, πλὴν εἰ τύχοι που ὑγρότερος ὢν παρὰ φύσιν σύμπας ὁ ὀφθαλμός. ἀλλ' ἡ μὲν φακὴ τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι, καὶ ταύτην παχεῖάν τε καὶ μελαγχολικὴν, ἡ δὲ κράμβη βραχεῖαν τὴν τροφὴν ἔχει, καὶ ταύτην ὑγροτέραν τῆς φακῆς, ὡς ἂν εἰ στερεὸν οὐκ οὖσα σιτίον, ἀλλὰ χαῦνον, οὐ μὴν εὔχυμόν ἐστιν ἔδεσμα κράμβη, καθάπερ ἡ θριδακίνη, ἀλλὰ καὶ μοχθηρὸν ἔχει καὶ δυσώδη τὸν χυλόν. ἐπιφανὲς δ' εἰς οὔρησιν οὔτ' ἀγαθὸν, οὔτε κακὸν ἐξ αὐτῆς ἀποβαῖνον εἰπεῖν ἔχω. τοῦτο τὸ λάχανον οἱ τὴν ἐπίτριπτον ψευδοπαιδείαν ἀσκοῦντες ὀνομάζειν ἀξιοῦσι ῥάφανον, ὥσπερ τοῖς πρὸ ἑξακοσίων ἐτῶν ἀθηναίοις διαλεγομένων ἡμῶν, ἀλλ' οὐχὶ τοῖς νῦν ἕλλησιν, οἷς ἅπασιν ἔθος ἐστὶν ἑτέρου ἄλλου φυτοῦ τὸ τῆς κράμβης ὄνομα φορεῖν.

περὶ ἀτραφάξυος καὶ βλίτου.

Ὑδατωδέστερα λαχάνων ἐστὶ ταῦτα, καὶ ὡς ἂν εἴποι τις, ἄποια τῆς κολοκύνθης ἤτοι μᾶλλον, ἢ πάντως οὐχ ἧττον ὅταν ἑψηθέντα τύχῃ δηλονότι. μόνη γὰρ ἐν τοῖς τοιούτοις ἡ θρίδαξ ἑκατέρως ἐσθίεται. κατανοήσας δέ τις

ἀτραφάξιος τε βελτίων τῇ διὰ τῆς γεύσεως ποιότητα, κἄπειτα ἀναμνησθεὶς κράμβης, ἐν τῷ μέσῳ συγχωρήσει τὴν θρίδακα τῶν λαχάνων τούτων εἶναι καὶ τῆς κράμβης, ἐπειδὴ ξηραίνει μὲν ἱκανῶς ἐκείνη, ταῦτα δὲ ὑδατώδη τελέως ἐστὶ, καὶ διὰ τοῦτο ἐμβάλλοντες ὄξος, οὐκ ἐκ μόνου ἐλαίου τε καὶ γάρου προσφέρονται μᾶλλον αὐτά, κακοστόμαχα γὰρ ἄλλως λαμβανόμενα. λέλεκται δ' ὡς τὰ τοιαῦτα λάχανα, ῥέπει μὲν πρὸς τὸ ῥᾳδίως ὑπιέναι. καὶ μάλιστα ἂν ἔχει μετὰ τῆς ὑγρότητος ὀλισθηρόν, οὐ μὴν ἰσχυράν γε τὴν κάτω ῥοπήν, ἀλλὰ βραχεῖαν ἔχει, διὰ τὸ μηδεμίαν ὑπάρχειν αὐτοῖς, ἢ δριμεῖαν, ἢ νιτρώδη ποιότητα, πρὸς ἔκκρισιν ἐπεγείρουσαν τὴν γαστέρα. πρόδηλον δ' ὅτι καὶ τὴν ἀφ' ἑαυτῶν τροφὴν ἐλαχίστην δίδωσι τῷ σώματι.

περὶ ἀνδράχνης.

Ὡς ἐδέσματι μὲν χρῶνταί τινες, ὀλίγην δὲ τροφὴν ἔχει, καὶ ταύτην ὑγρὰν, καὶ ψυχρὰν, καὶ γλίσχραν, ὡς φάρμακον δ' αἱμωδίαν ἰᾶται, διὰ τὴν ἄδηκτον γλισχρότητα, περὶ ἧς ἐπὶ πλέον ἐν τῇ τῶν εὐπορίστων φαρμάκων πραγματείᾳ λέγεται.

περὶ λαπάθου.

Δύναταί τις, ὡς πρόσθεν ἔφην, ἄγριον εἶναι φάναι τεῦτλον αὐτό, παραπλήσιον ὑπάρχον οὐ τῇ γεύσει μόνον, ἀλλὰ καὶ τῇ δυνάμει τῷ κηπευομένῳ τεύτλῳ. ἐπεὶ δὲ τὸ τεῦτλον ἥδιόν ἐστι τοῦ λαπάθου, διὰ τοῦτο μᾶλλον ἐσθίουσιν αὐτὸ πάντες οἱ ἄνθρωποι. διὰ τοῦτο οὖν οὐδὲ ἐγὼ δέομαι λόγου τινὸς, περὶ λαπάθου, περὶ τοῦ τεύτλου πάνθ', ὅσα προσήκει εἰρηκώς.

περὶ ὀξυλαπάθου.

Καὶ τοὔνομα ἐμφαίνει τοῦ φυτοῦ τοῦδε τὴν ποιότητα καὶ τὴν δύναμιν, ἔστι γὰρ λάπαθον ὀξύ. τὸ μὲν οὖν λάπαθον οὐκ ἄν τις ὠμὸν φάγοι, καθάπερ οὐδὲ τὸ τεῦτλον. ὀξυλάπαθον δὲ ἐσθίουσιν ὠμὸν, ὑπὸ τῆς ἀγροικίας αἱ κιττῶσαι γυναῖκες, ἐνίοτε καί τινα τῶν περιέργων παιδίων. εὔδηλον δ' ὅτι καὶ τοῦτο τῶν ἀτρόφων λαχάνων ἐστὶ πολὺ μᾶλλον, ἢ τὸ λάπαθον.

περὶ στρύχνου.

Τῶν ἐσθιομένων λαχάνων οὐδὲν οἶδα τοσαύτην ἔχοντα στύψιν, ὅσην ὁ στρύχνος. εἰκότως οὖν ὡς τροφῇ μὲν αὐτῷ σπανιάκις, ὡς φαρμάκῳ δὲ συνεχῶς χρώμεθα. δραστήριον μὲν γάρ ἐστιν, εἰς ὅσα ψύξεως στυφούσης ἐστὶ χρεία, τροφὴν δ' ἐλαχίστην ἔχει.

περὶ ἀκανθωδῶν φυτῶν.

Ἀνίσχοντα τῆς γῆς ἄρτι τὰ τοιαῦτα φυτὰ πρὶν εἰς ἀκάνθας αὐτῶν τελευτῆσαι τὰ φύλλα, πολλοὶ τῶν ἀγροίκων ἐσθίουσιν, ὠμὰ μόνον, ἀλλὰ καὶ δι' ὕδατος ἕψοντες, ἐναποβάπτοντες δὲ τὰ μὲν ὠμὰ, γάρῳ καὶ ὄξει, τὰ δὲ ἑφθὰ τούτοις αὐτοῖς ἐπιχέοντες ἔλαιον. ὅτι δὲ ἐλαχίστην τροφὴν ἔχει πάντα τὰ λάχανα καὶ ταύτην ὑδατώδη καὶ λεπτὴν, ἔμπροσθεν εἴρηται. τὰ δ' οὖν ἀκανθώδη μετρίως ἐστὶν εὐστόμαχα τούτων τῶν φυτῶν καὶ σκόλυμός ἐστι, καὶ ἀτρακτυλὶς, ἢ καὶ ἡ καλουμένη λευκάκανθα, δίψακός τε καὶ κνῆκος. καὶ τραγάκανθα, καὶ ἀτραγὶς, ἥτε τετιμημένη μειζόνως ἢ προσήκει, κινάρα,

περὶ κινάρας.

Καλοῦσι δ' αὐτὴν οἱ πάντες φεύγοντες τὸ συνηθές, οὐ διὰ τοῦ κ. καὶ τοῦ ι. τὴν πρώτην συλλαβὴν ὀνομάζοντες. ἀλλὰ διὰ τοῦ κ. καὶ υ. κακόχυμον δὲ ἐστὶν ἔδεσμα, καὶ μάλιστα ὅταν ἤδη σκληροτέρα γένηται, καὶ γὰρ τὸν χολώδη χυμὸν ἐν ἑαυτῇ πλείονα τηνικαῦτα ἴσχει, καὶ τὴν ὅλην οὐσίαν † σκληρωδεστέραν. ὥστ' ἐκ μὲν ταύτης μελαγχολικὸν γεννᾶσθαι χυμὸν, ἐκ δὲ τοῦ χυλοῦ τοῦ κατ' αὐτὴν, λεπτὸν καὶ πικρόχολον. ἄμεινον οὖν ἀφεψόντας αὐτὴν οὕτως ἐσθίειν, εἰ μὲν δι' ἐλαίου καὶ γάρου καὶ οἴνου προσφέροιτό τις, ἐπεμβάλλοντα κορίαννον, εἰ δὲ ἐν λοπάδι σκευάζων, ἢ τηγανίζων, ἄνευ τούτων πολλοὶ γὰρ οὕτως ἐσθίουσι τὰς οἷον κεφαλὰς αὐτῶν, ἃς ὀνομάζουσι σπονδύλους.

† ἀλ. ξυλωδεστέραν

περὶ σελίνων καὶ ἱπποσελίνων καὶ σίων καὶ σμυρνίου.

Ἅπαντα ταῦτα ἐστὶν οὐρητικά. συνηθέστατα δ' αὐτῶν ἔτι καὶ ἡδίω καὶ εὐστομαχώτερα τὰ σέλινα, τὸ δ' ἱπποσέλινον καὶ σίον ἀηδέστερα. τὸ μὲν οὖν σμύρνιον, οὐκ ἀηθές. ἐν γοῦν τῇ Ῥώμῃ, πάμπολυ πιπράσκεται. δριμύτερον δ' ἐστὶ καὶ θερμότερον πολλῷ τοῦ σελίνου. καί τι καὶ ἀρωματῶδες ἔχει. μᾶλλον τε οὖν οὐρητικόν ἐστι σελίνου, καὶ ἱπποσελίνου καὶ σίου, καὶ γυναιξὶ κινεῖ τὰ καταμήνια. ποιεῖ δὲ καὶ καυλὸν ἦρος ὥρᾳ, δυνάμενον ὠμὸν ἐσθίεσθαι παραπλησίως τοῖς φύλλοις, ἃ διὰ τοῦ χειμῶνος ἦν μόνα τῷ φυτῷ, μὴ δέ πω καυλὸν ἔχοντι. καθάπερ οὐδὲ τὸ σέλινον, ὕστερον δὲ προγενομένου τοῦ καυλοῦ, τὸ σύμπαν ἥδιον γίνεται, κἂν ὠμὸν ἐσθίῃ τις αὐτὸ, κἂν ἑφθὸν, εἴτ' οὖν ἐλαίου, καὶ γάρου τύχοι βουληθεὶς, εἴτ' οἴνου προσεπεμβάλλων, εἴτε ὄξους. ἔνιοι δὲ καὶ δι' ὄξους καὶ γάρου μόνου ἐσθίουσι, καθάπερ τὰ σέλινα. τινὲς δὲ τούτοις ἐπεμβάλλουσιν ἐλαίου βραχύ. τὸ δὲ ἱπποσέλινόν τε καὶ σίον, ἕψοντες ἐσθίουσιν, ὠμὸν γὰρ ἑκάτερον αὐτῶν ἀηδὲς φαίνεται. τά γε μὴν σέλινα, καὶ τὰ σμύρνια, καὶ τῆς θρίδακος φύλλοις μιγνῦντες προσφέρονταί τινες, ἄποιον γὰρ οὖσα λάχανον ἡ θρίδαξ, ἔτι τε ψυχρὸν ἔχουσα χυμὸν, ἡδίων τε ἅμα καὶ ὠφελιμωτέρα γίνεται, τῶν δριμέων τι προσλαμβάνουσα. διὰ τοῦτο γοῦν ἔνιοι, καὶ τὰ τῶν εὐζώμων καὶ τὰ τῶν πράσων φύλλα μιγνύουσιν αὐταῖς, εἰσὶ δὲ οἳ καὶ τῶν ὠκίμων. ὀνομάζουσι δ' ἐν Ῥώμῃ συνήθως ἤδη πάντες οὐ σμύρνιον, ἀλλ' ὀλυσατρον τὸ λάχανον τοῦτο. καί τις ἴσως αὐτὸ τὴν ἀρχὴν οὐδὲ ἀριθμεῖν ἐν ταῖς τροφαῖς ἀξιώσει, καθάπερ οὐδὲ τὸ σίον, οὐδὲ τὸ ἱπποσέλινον. εἶναι γὰρ ἅπαντα τὰ τοιαῦτα τῶν σιτίων ὄψα, καθάπερ καὶ τὰ κρόμμυα καὶ τὰ σκόροδα, πράσα τε καὶ ἀμπελόπρασα, καὶ πάντα ἁπλῶς τὰ δριμέα. τούτου δὲ τοῦ γένους ἐστὶ καὶ πήγανον, καὶ ὕσσωπον, ὀρίγανόν τε καὶ μάραθρον, καὶ κορίανον, περὶ ὧν ἐν τοῖς ὀψαρτυτικοῖς συγγράμμασι λέγεται, κοινοῖς μὲν πῶς οὖσιν ἰατροῖς τε καὶ μαγείροις, ἔχουσι δὲ τέλος καὶ σκοπὸν ἴδιον. ὠφελείας γὰρ ἡμεῖς στοχαζόμεθα τῆς τῶν ἐδεσμάτων οὐχ ἡδονῆς, ἐπεὶ δ' ἐνίων, ἡ διὰ τὴν ἡδονὴν ἀηδία μέγα μέρος

γὰ μέρος εἰς ἀπεψίαν συμβάλλεται. ἐπὶ τοῦτ' ἂν μετρίως ἡδύνειν αὐτὰ βέλτιον ἐστίν. ἡ δὲ τῶν μαγείρων ἡδυνὴ μοχθηροῖς οὕτως ἀρτύμασιν ὡς τὸ πολὺ χρῆται συνήθως, ὡς ἀπεψίαν μᾶλλον, ἢ εὐπεψίαν αὐτοῖς ἕπεσθαι.

περὶ εὐζώμων.

Θερμαίνει σαφῶς πάνυ τοῦτο τὸ λάχανον, ὥστε οὐδὲ μόνον ἐσθίειν αὐτὸ ῥᾴδιον, ἄνευ τοῦ μῖξαι τοῖς φύλλοις τῆς θριδακίνης, ἀλλὰ καὶ σπέρμα γεννᾶν πεπίστευται, καὶ τὰς πρὸς τὴν συνουσίαν ὁρμὰς ἐπεγείρει, κεφαλαλγὲς δ' ἐστὶ καὶ μᾶλλον ἐάν τις αὐτὸ μόνον ἐσθίῃ.

περὶ ἀκαλύφης, ἣν καὶ κνίδην ὀνομάζουσι.

Τῶν ἀγρίων βοτανῶν ἕν τι καὶ τοῦτο ἐστί, λεπτομερῆ δύναμιν ἔχον. εἰκότως οὖν, ὡς τροφῇ μὲν οὐδεὶς αὐτῷ χρῆται χωρὶς τοῦ μεγίστου πιεσθῆναι λιμοῦ. χρήσιμον δ' ἐστίν, ὡς ὄψον τε καὶ φάρμακον ὑπακτικὸν γαστρός.

περὶ γιγγιδίου καὶ σκάνδικος.

Πλεῖστον ἐν Συρίᾳ τὸ γιγγίδιον φύεται, καὶ βιβρώσκεται παραπλήσιον τῷ παρ' ἡμῖν σκάνδικι. πάνυ δ' ἐστὶν εὐστόμαχον, ἐάν τε ὠμὸν, ἐάν τε καὶ ζέσας αὐτὸ βούλῃ προσφέρεσθαι. μακροτέρας δ' ἑψήσεως οὐκ ἀνέχονται. προσφέρονται δ' αὐτὸ τινὲς δι' ἐλαίου καὶ γάρου, τινὲς δὲ καὶ οἶνον ἢ ὄξος ἐπεμβάλλοντες, καὶ πολύ γε μᾶλλον εὐστόμαχόν ἐστι, καὶ τοὺς ἀκρίτους προτρέπει μετ' ὄξους ἐσθιόμενον. εὔδηλον δ' ὅτι, καὶ τοῦτο τὸ βοτάνιον, φάρμακόν ἐστι μᾶλλον ἢ τροφή, καὶ γάρ τοι καὶ στύψεως, καὶ πικρότητος σαφοῦς οὐκ ὀλίγης μετέχει.

περὶ ὠκίμου.

Ὄψῳ μὲν καὶ τούτῳ χρῶνται πολλοί, δι' ἐλαίου καὶ γάρου προσφερόμενοι. κακοχυμότερον δέ ἐστι καὶ διὰ τοῦτο προσεπιψεύδονται τινὲς αὐτοῦ, φάσκοντες εἰ τριφθὲν ἐμβληθείη χύτρᾳ καινῇ, τάχιστα γεννᾶν ἐν ὀλίγαις ἡμέραις σκορπίους, καὶ μάλιστα ὅταν ἐν ἡλίῳ τις ἑκάστης ἡμέρας θερμαίνει τὴν χύτραν, ἀλλὰ τοῦτο μὲν ψεῦδός ἐστι. κακόχυμον δὲ καὶ κακοστόμαχον, καὶ δύσπεπτον εἶναι λάχανον, ἀληθῶς ἂν εἴποις αὐτό.

περὶ μαράθρου.

Καὶ αὐτόματον μὲν ἐνίοτε φύεται τοῦτο, καθάπερ καὶ τὸ ἄνηθον. ἀλλὰ καὶ σπείρουσιν αὐτὸ ἐπὶ τοὺς κήπους, καὶ χρῶνται συνεχέστατα μὲν εἰς τὰς ἀρτύσεις ἀνήθῳ. μαράθρῳ δὲ ὡς ὄψῳ. καὶ γὰρ ἀποτίθενται παρ' ἡμῖν αὐτὸ παραπλησίως πυρέθρῳ καὶ τερμίνθῳ συντιθέντες, ὡς εἰς ὅλον εἶναι ἐνιαυτὸν χρήσιμον, ὥσπερ καὶ τὰ κρόμμυα καὶ τὰς γογγυλίδας, καὶ ἕτερά τε τοιαῦτα, τὰ μὲν δι' ὄξους μόνου, τὰ δὲ δι' ὀξάλμης συντιθέμενοι.

περὶ ἀσπαράγων.

Εἴτε διὰ τοῦ φ. λέγειν ἐθέλοις, εἴτε διὰ τοῦ π. τὴν δευτέραν συλλαβὴν τῶν ἀσπαράγων, καθάπερ ἅπαντες, οὐ νῦν πρόκειται σκοπεῖν οὐδὲ γὰρ τοῖς ἀττικίζειν τῇ φωνῇ σπουδάζουσιν, ἀλλὰ τοῖς ὑγιαίνειν ἐθέλουσι γράφεται ταῦτα, κἂν τοῦτο διὰ τοῦ Πλάτωνος, μήτε γράμματα, μήτε νεῖν ἐπίστανται. καλοῦντων οὖν τῶν Ἑλλήνων σχεδὸν ἁπάντων, τοὺς ἁπαλοὺς καυλοὺς, ὅταν αὐξάνονται πρὸς τὴν τοῦ καρποῦ τε καὶ σπέρματος ἐκβολὴν ἀσπαράγους διὰ τοῦ π. τὴν δύναμιν αὐτῶν ἐροῦμεν, ἐπιτρέψοντες ὅπως ἂν ὀνομάζειν ἐθέλουσιν οἱ χρώμενοι. πολλὰ μὲν οὖν τῶν λαχάνων τε καὶ ὅλως τῶν φυτῶν, γεννᾶν πέφυκεν ἐκβλαστήματα τοιαῦτα, πάντα δὲ οὐκ ἐσθίουσιν αὐτά. καὶ διὰ τοῦτο περὶ τῶν συνηθεστέρων ὁ λόγος ἡμῖν ἔσται, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν ἐποιησάμεθα. ὁ μὲν οὖν τῆς κράμβης ὃ καὶ κύμα καλοῦσιν ἔνιοι, κατὰ συναίρεσιν ἐμοὶ δοκεῖν, τοῦ διὰ τριῶν συλλαβῶν ὀνόματος, λεγομένου τοῦ κυήματος, τῆς κράμβης αὐτῆς ἧττον ξηραίνει. καί τοι τῶν ἄλλων λαχάνων ξηρότερος τὴν κρᾶσιν ὁ καυλὸς, τῶν φύλλων ἐστὶν ἀσπαράγου, ὡς ἐπί τε πολὺ καὶ μάλιστα, ὅταν ἐγγὺς ἤδη τοῦ τὸν καρπὸν ἀρχεῖν. λέγω δὲ ἄλλα λάχανα τοιαῦτα εἶναι, θριδακίνην, ἀτράφαξιν, βλίτον, τεῦτλον, μαλάχην ἔμπαλίν τε ῥαφανῖδός τε καὶ γογγυλίδος καὶ νάπυος καὶ καρδάμου καὶ πυρέθρου, καὶ πάντων σχεδὸν ὅσα δριμέα καὶ θερμὰ, τὸν ἀσπάραγον ὑγρότερον εἶναι συμβέβηκε. ποιεῖ δὲ καὶ βολβὸς καὶ σέλινον, καὶ σίον εὔζωμόν τε καὶ ὤκιμον, ὀξυλάπαθόν τε καὶ λάπαθον, ἅπασαί τε λαχανώδεις πόαι τοιοῦτον τινὰ πρὶν ἐκκαρπεῖν καυλόν. ἐκκαρπησάντων δὲ, ξηραίνεταί τε καὶ ἄχρηστον εἰς ἐδωδὴν ἀνθρώπων γίνεται. πάντα δὲ τὰ τοιαῦτα, δι' ὕδατος ἑψηθέντα μετ' ἐλαίου καὶ γάρου προσφέρονται, βραχὺ ὄξους ἐπεμβάλλοντες. ἡδύτερα γὰρ οὕτως καὶ εὐστομαχώτερα γίνονται τροφὴν μέν τοι τῷ σώματι δίδωσιν ὀλίγην τε καὶ οὐκ εὔχυμον.

περὶ ἑτέρου γένους ἀσπαράγων.

Ἕτερον δὲ γένος ἀσπαράγων ἐπὶ τοῖς θαμνώδεσι φυτοῖς γιγνόμενον, ὀξυμυρσίνῃ τε καὶ χαμαιδάφνῃ, καὶ ὀξυάκανθα, καὶ τούτων ἕτεροι τινὲς, ὁ μὲν βασιλικὸς, ὁ δὲ ἕλειος ὀνομαζόμενος, ὥσπερ γε καὶ ὁ τῆς βρυωνίας, ἕτερος τῆς δε-. πάντες δέ εἰσιν εὐστόμαχοί τε καὶ διουρητικοί, καὶ βραχὺ τὸ τρόφιμον ἔχοντες. εἰ μὲν τοι πεφθεῖεν καλῶς οἱ τοιοῦτοι, τροφιμώτεροι τῶν ἐπὶ τοῖς λαχάνοις ἀσπαράγων εἰσίν, ὅσῳ καὶ ξηρότεροι. ὁμοιότης δέ τις ἐστὶ τοῖς τε τῶν θάμνων καὶ τοῖς τῶν δένδρων βλαστήμασιν, οὐκ ἀκριβὴς ταυτότης. καὶ γὰρ ξυλωδέστερα, τὰ τῶν δένδρων, διὸ καὶ ῥητέον ἐφεξῆς ὑπὲρ αὐτῶν ἰδίᾳ.

περὶ βλαστῶν.

Οἱ βλαστοὶ τῶν δένδρων τε καὶ θάμνων, ἀναλογίαν ἔχουσι τοῖς ἐπὶ τῶν λαχάνων ἀσπαράγοις. ἐκβλαστήματα γάρ εἰσι κἀκεῖνοι πρὸς καρποῦ γένεσιν ἐξορμῶντος τοῦ φυτοῦ. διαφέρουσι δὲ τῷ τῶν δένδρων μὲν τὸ στέλεχος ἀεὶ διαμένειν, ἀνάλογον ὑπάρχον τῷ ἐπὶ τὰ λαχανώδη τε καὶ ποώδη καυλῷ, τὸν δ' ἐπὶ τούτων καυλὸν, ἐπέτειον εἶναι. πάντες οὖν οἱ βλαστοὶ τῶν δένδρων τε καὶ θάμνων, ἑψηθέντες ἐν ὕδατι βιβρώσκεσθαι δύνανται, πλὴν εἴ τινες ἤ τοι ἀηδεῖς, ἢ φαρμακώδεις εἰσί, οὐ μὴν ἐσθίουσιν αὐτοὺς οἱ ἄνθρωποι, διὰ τὴν τῶν ἄλλων ἐδεσμάτων, ὅσα βελτίω τούτων, ἀφθονίαν. ἐν λιμῷ δὲ ὑπὸ τῆς ἀνάγκης, ἐπὶ τὴν ἐδωδὴν αὐτῶν ἔρχονται. τρέφουσι γάρ πως, ἐὰν καὶ αὐτοὶ καλῶς πεφθῶσι. κάλλιους δ' αὐτῶν εἰσίν, οἱ τῆς τερμίνθου τε καὶ ἄγνου, καὶ ἀμπέλου, καὶ σχοίνου, καὶ βάτου, καὶ κυνοσβάτου, παρ' ἡμῖν δὲ καὶ συντιθέντες εἰς ὄξος, ἢ ὀξάλμην τοὺς τῆς τερμίνθου βλαστοὺς ἀποτίθενται.

περὶ τῆς ἐν τοῖς μορίοις τῶν ἐσθιομένων φυτῶν διαφορᾶς.

Ἐβουλόμην ἂν ἀληθῆ τὸν Μνησιθέου λόγον ὑπάρχειν, ὃν ἐν τῷ περὶ τῶν ἐδεσμάτων ἔγραψεν. οἱ γὰρ καθόλου λόγοι, διὰ βραχείας λέξεως πολλὰ διδάσκουσιν, ὅταν τε ἀληθεῖς ὦσιν, ὥσπερ γε μεγάλα βλάπτουσιν, οὐκ ἀληθεύοντες. ἔστι δὲ ἃ λέγει καθόλου περὶ τῶν ἐν τοῖς φυτοῖς μορίων, ὁ Μνησίθεος ταῦτα. Πρῶτον μὲν οὖν αἱ ῥίζαι πᾶσαι, δύσπεπτοί τε εἰσὶ καὶ ταρακτικαὶ, λέγω δὲ οἷον ῥαφανίδες, σκόροδα, κρόμμυα, γογγυλίδες, καὶ πᾶν τὸ τοιοῦτον γένος, ὅσων γὰρ ἡ ῥίζα καὶ τὸ ὑπὲρ τῆς γῆς πεφυκὸς, ἐδώδιμόν ἐστι, πάντα τὰ τοιαῦτα εἰς τὴν δύσπεπτον ἰδέαν καταχωρίζεται. συμβαίνει γοῦν τὰς τροφὰς ἐκ τῶν ῥιζῶν ἅπασι τοῖς μέρεσι τῶν φυομένων ἀναπέμπεσθαι. συνάγουσιν οὖν εἰς αὐτὰς ὑγρότητα πολλὴν αἱ ῥίζαι, καὶ ταύτην δύσπεπτον ἔχουσι τὴν πλείστην. οὐ δὲ γὰρ ἐνδέχεται πεπεμμένην αὐτὴν εἶναι πᾶσαν. τὸ γὰρ πεπεμμένον δοκεῖ τελειοῦσθαι, τὸ δ' ἐν ταῖς ῥίζαις ὑγρὸν ἐντεῦθεν δεῖ λαβεῖν τὸ τέλος τῆς πέψεως, διαδοθὲν ἐπὶ τὰ μόρια τοῦ φυομένου. πάντα γὰρ ἀπὸ τῆς ῥίζης τρέφεται, διόπερ ἀναγκαῖον ἀπέπτους αὐτόθι τὰς ὑγρότητας εἶναι. συνειλεγμέναι γὰρ ἐνταῦθα, προσμένουσι τὸ τέλος τῆς ἄνω πέψεως. ὥστ' ἐν ταῖς ῥίζαις εὔλογον ἀκατεργάστους εἶναι τὰς πλείστας ὑγρότητας. εἰκότως οὖν καὶ τοῖς ἡμετέροις, σώμασιν, ἀπὸ τούτων τὴν τροφὴν ὑγρὰν καταλείπεσθαι καὶ ταραχώδη. αὕτη μὲν ἡ τοῦ Μνησιθέου ῥῆσις, ἄχρι μὲν τοῦ λόγου πιθανὴ, τῇ πείρᾳ δὲ κρινομένη ψευδής, αἱ γοῦν ῥαφανίδες τὴν ῥίζαν ἔχουσι πολὺ δριμυτέραν τοῦ τε καυλοῦ, καὶ τῶν φύλλων. ὡσαύτως δὲ καὶ τὸ κρόμμυον, ἀμπελόπρασόν τε καὶ πράσον, καὶ σκόροδον. εἰ δὲ καὶ τεύτλου καὶ μαλάχης καὶ γογγυλίδος ἐθέλοις παραβάλλειν τὴν ῥίζαν τοῖς φύλλοις, ἰσχυροτέραν εὑρήσεις τὴν δύναμιν. ὥσπερ γε καὶ τῆς ἀλθαίας, ἥπερ ἀγρία τις εἶναι δοκεῖ μαλάχη. δηλοῖ γοῦν καὶ αὐτῆς ἡ ῥίζα τὴν δύναμιν, ὥσπερ καὶ ἡ τοῦ τεύτλου, διαφοροῦσα πολλοὺς τῶν φλεγμαινόντων ὄγκων. οὐ μὴν τά τε φύλλα αὐτῶν ἱκανὰ δρᾶσαι τοῦτο. καὶ μήν τοι καὶ τῶν φαρμακωδῶν φυτῶν, ὅσα τὰς ῥίζας ὁμοίας τοῖς εἰρημένοις ἔχει, καὶ τούτων ἀσθενέστερα τὰ φύλλα, κυκλαμίνου, καὶ σκίλλης, καὶ ἄρου, καὶ δρακοντίου καὶ ἄλλων πάνυ πολλῶν. ὥσπερ γὰρ ἐπ' ἄλλων φυτῶν τὸ πλεῖστον τῆς οὐσίας ἔν τε τοῖς καυλοῖς καὶ τοῖς στελέχεσιν, οὕτως ἤδη τούτων ἐν τῇ ῥίζῃ, καὶ ταύτην ἡ φύσις αὐτῶν μάλιστα αὐξάνει τε καὶ τρέφει, καὶ τὸ μὴ καλῶς ἐν αὐταῖς κατεργασθὲν, εἴς τε τὰ φύλλα καὶ τοὺς καυλοὺς ἀποκρίνει. τὴν μὲν οὖν ῥίζαν ἔχει ταῦτα, καὶ διὰ τοῦ χειμῶνος μεγάλην, τὸν καυλὸν δὲ φύει περὶ τὸ ἔαρ, ἡνίκα πρὸς τὸν καρπὸν ἐξορμᾷ. φαίνεται δὲ κἀπὶ τῶν ζώων, ἡ φύσις ἐνίοτε τὸ περίττωμα τῆς ὅλης οὐσίας τοῦ ζώου, καθάπερ καὶ Ἀριστοτέλης ἔλεγεν, εἰς τινῶν μορίων οὐκ ἀναγκαίων καταχρῆσθαι γένεσιν, ὡς ἤδη τῶν ἐλάφων μὲν, εἰς τὰ κέρατα, κατ' ἄλλα δὲ τῶν ζώων, εἰς πλῆθος καὶ μέγεθος ἀκανθῶν, ἢ τριχῶν. ἤδη σκοπεῖσθαι τοίνυν ἀσφαλέστερόν ἐστιν, ἕκαστον τῶν ἐν τοῖς φυτοῖς μορίων, αὐτὸ καθ' αὑτὸ γευόμενον μὲν καὶ ὀσμώμενον πρότερον, εἶτα καὶ διὰ τῆς ἐδωδῆς πειρώμενον, ἡ μὲν γὰρ ὄσφρησίς τε καὶ ἡ γεῦσις, ὁποῖόν τινα τὸν χυμόν τε καὶ τὸν ἀτμὸν ἔχει τὸ μόριον τοῦ φυτοῦ διδάσκουσαι, συνενδείκνυνται τούτοις εὐθέως καὶ τὴν ὅλην κρᾶσιν αὐτοῦ. διὰ δὲ τῆς πείρας ἐάν γε τις αὐτὴν ποιῆται μετὰ τῶν οἰκείων διορισμῶν, ἀκριβῶς ἡ δύναμις εὑρίσκεται, συνενδεικνυμένης αὐτοῖς ἐνίοτε καὶ τῆς συστάσεως τοῦ φυτοῦ, μετὰ καὶ τοῦ κατ' αὐτὸ χυλοῦ. τινὰ μὲν γὰρ ὑγρὸν καὶ ὑδατώδη, τινὰ δὲ παχὺν ἢ γλίσχρον ἔχει τὸν χυμὸν, ὧν καὶ αὐτῶν ἴδια πάλιν γνωσθῆναι προσήκει. ἔνιοι μὲν γὰρ αὐτῶν εἰσὶ δριμεῖς, ἢ ὀξεῖς, ἢ πικροὶ, ἔνιοι δὲ ἁλυκοί τε καὶ ἁλμυροὶ, καθάπερ γε τινὲς μὲν αὐτῶν αὐστηροὶ, τινὲς στρυφνοὶ, τινὲς δὲ ὑδατώδεις, ἢ γλυκεῖς, οὐκ οὖν χρὴ πεισθέντας τῷ Μνησιθέῳ πιστεύειν, ὡς ὑγιεῖ καθόλου τῷ λόγῳ, πειρᾶσθαι δὲ μᾶλλον ἑκάστου τῶν ἐν τοῖς φυτοῖς μορίων αὐτὸ καθ' ἑαυτό.

περὶ γογγυλίδων.

Εἴτε γογγυλίδα καλεῖν, εἴτε βουνιάδα βούλοιο τὸ φυτὸν τοῦτο, λαχανῶδες μὲν αὐτοῦ, τὸ τῆς γῆς ἐξέχον, ἡ δ' ἐν αὐτῇ περιεχομένη ῥίζα πρὶν μὲν ἑψηθῆναι, σκληρὰ καὶ ἄβρωτος ὑπάρχει, δι' ὕδατος δ' ἑψηθεῖσα, θαυμάσαι μ' ἂν εἴ τινος τῶν ὁμογενῶν φυτῶν, ἔλαττον τρέφει. πολυειδῶς δὲ καὶ ταύτην σκευάζουσιν ἄνθρωποι, ἄχρι τοῦ συντεθεῖναι δι' ἅλμης ἢ ὄξους, ὡς ἔχειν εἰς ὅλον ἐνιαυτὸν χρῆσθαι. χυμὸν δ' ἀναδίδωσιν εἰς τὸ σῶμα παχύτερον τοῦ συμμέτρου, διὸ κἂν καὶ πλεονάσῃ τις ἤδη τῆς ἐδωδῆς αὐτοῦ, καὶ μάλιστα, ἐάν τις ἐνδεῶς ἐν τῇ γαστρὶ πέττῃ αὐτὴν, ἀθροίσει τὸν καλούμενον ὠμὸν, εἰς ὑποχώρησιν δὲ γαστρὸς, οὔτ' ἐναντιοῦσθαι αὐτὴν τις, οὔτε συντελεῖν φαίη, καὶ μάλιστα ὅταν ἑψηθῇ καλῶς. χρῄζει γὰρ αὐτὴ πλείονος ἑψήσεως, καὶ γίνεται καλλίστη δὶς ἑψηθεῖσα, καθότι λέλεκται πρόσθεν ὑπὲρ τῆς τοιαύτης σκευασίας. εἰ δ' ὠμοτέρα ληφθείη, δυσπεπτοτέρα ἐστὶ, καὶ φυσώδης, καὶ κακοστόμαχος. ἐνίοτε δὲ καὶ δῆξιν ἐργάζεται περὶ τὴν γαστέρα.

περὶ ἄρου.

Ἐστὶ μὲν ἡ ῥίζα καὶ τούτου τοῦ φυτοῦ παραπλησίως ἐσθιομένη τῇ τῆς γογγυλίδος. ἐν χώραις δὲ τισὶ φύεται δριμυτέρα πως ὡς ἐγγὺς εἶναι τῇ τοῦ δρακοντίου. καὶ χρὴ τὸ πρότερον αὐτῆς ὕδωρ ἀποχέοντα περὶ τὴν ἕψησιν, εἰς ἕτερον ἐπεμβάλλειν θερμὸν, ὡς ἤδη κράμβης τε καὶ φακῆς εἴρηται περὶ δὲ κυρήνην, ἔμπαλιν ἔχει τὸ φυτὸν πρὸς τὴν παρ' ἡμῖν χώραν. ἥκιστα γὰρ ἔχει φαρμακῶδές τε καὶ δριμὺ τὸ ἄρον ἐν ἐκείνοις τοῖς τόποις, ὡς καὶ τῶν γογγυλίδων εἶναι χρησιμώτερον. καὶ διὰ τοῦτο καὶ εἰς ἰταλίαν κομίζουσι τὴν ῥίζαν, ὡς ἂν καὶ διαμένειν δυναμένην χρόνῳ πλείονι χωρὶς τοῦ σαπῆναί τε καὶ βλαστῆσαι. πρόδηλον δ' ὅτι πρὸς μὲν τροφὴν, ἡ τοιαύτη κρείττων ἐστὶν, εἰ δέ τις ἀναβήττειν ἐκ θώρακός τε καὶ πνεύμονος βούλοιτό τι τῶν ἀθροιζομένων ἐν αὐτοῖς παχέων, ἢ γλίσχρων ὑγρῶν, ἡ δριμυτέρα καὶ φαρμακωδεστέρα βελτίων. ἐσθίεται δὲ δι' ὕδατος ἑψηθεῖσα, μετὰ νάπυος, ἢ μετ' ὄξους, σὺν ἐλαίῳ καὶ γάρῳ, καὶ μήν τοι καὶ μεθ' ὑποτριμμάτων, ἄλλων τε, καὶ τῶν διὰ τοῦ τυροῦ σκευαζομένων. οὐκ ἄδηλον δ' ὅτι καὶ ὁ ἐξ αὐτῆς ἀναδιδόμενος εἰς ἧπάρ τε καὶ ὅλον τὸ σῶμα χυμὸς, ἐξ οὗ τρέφεται τὰ ζῶα, παχύτερός πως ἐστὶν ὡς ἤδη τῶν γογγυλίδων εἴρηται, καὶ μάλιστα ὅταν ὦσιν αἱ ῥίζαι, καθάπερ αἱ ἀπὸ τῆς κυρήνης ἀφάρμακοι. παρ' ἡμῖν γὰρ ἐν ἀσίᾳ, πολλὰ τῶν ἄρων δριμυτέρα ἐστὶ καὶ ἥδη φαρμακώδη τὴν δύναμιν ἔχει.

περὶ δρακοντίου.

αἱ τούτου τὴν ῥίζαν ἕψοντες δίς που καὶ τρίς, ὡς ἀποθέσθαι τὸ φαρμακῶδες, ἐσθίειν ἐνίοτε δίδομεν, ὥσπερ καὶ τὰς τῶν ἄρων, ὅταν ἰσχυροτέρας δέηται δυνάμεως τὰ κατὰ θώρακα καὶ πνεύμονα περιεχόμενα γλίσχρα καὶ παχέα. κοινὸν δὲ περὶ πάντων ἐδεσμάτων μεμνῆσθαί σε χρή, τὰ μὲν δριμέα καὶ πικρά, κατὰ τὴν ἐδωδὴν ἐλάττονα τροφὴν διδόναι τῷ σώματι, τὰ δ' ἄποια, καὶ μᾶλλον αὐτῶν τὰ γλυκέα, πολλήν, ἔτι δὲ μᾶλλον, ἐὰν ἐσφιγμένην ἔχωσι τὴν οὐσίαν, ὡς μήτε ὑγρά, μήτε παχέα, μήτε χαῦνα ταῖς συστάσεσιν ὄντα. τούτων οὖν ἀεὶ μεμνημένος, ἔτι δὲ καὶ προσέχων εἰ κατὰ τὰς ἑψήσεις ἢ ὀπτήσεις, ἢ τὰς διὰ τηγάνου σκευασίας ἀποτίθεται τὰς ἰσχυρὰς ποιότητας, ἕκαστα τῶν εἰς πεῖραν ἀγομένων, οὐ δεήσει παρ' ἐμοῦ περὶ πάντων ἀκοῦσαι κατ' εἶδος. ἀλλ' ὥσπερ ἐπὶ τῶν ἄλλων ἐποίησα, τὰ συνεχῶς ἐσθιόμενα μάλιστα ἐξηγήσομαι.

περὶ ἀσφοδέλου.

τῇ τῆς σκίλλης ῥίζῃ, παραπλησία πώς ἐστιν ἡ τοῦ ἀσφοδέλου μεγέθει καὶ σχήματι καὶ πικρότητι. σκευαζομένη μέντοι καθάπερ οἱ θέρμοι, τὸ πλεῖστον τῆς πικρότητος ἀποτίθεται. καὶ ταύτῃ σκίλλης διαφέρει. δυσεκνίπτος γάρ ἐστιν ἱκανῶς ἡ ἐκείνης ποιότης. Ἡσίοδος μὲν οὖν ἔοικεν, ἐπαινεῖν τὸν ἀσφόδελον ἐν οἷς φησιν, οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ. ἐγὼ δ' οἶδα διὰ λιμὸν ἀγροίκους τινὰς ἑψήσεσί τε πλείοσι καὶ ἀποβρέξεσιν ἐν ὕδατι γλυκεῖ, μόλις αὐτὴν ἐδώδιμον ἐργασαμένους. ἡ γε μὴν δύναμις καὶ ταύτης τῆς ῥίζης ἐστὶν ἐκφρακτική τε καὶ λεπτυντική, καθάπερ καὶ ἡ τοῦ δρακοντίου. διὸ καὶ τὸν ἀσπάραγον αὐτοῦ τοῖς ἰκτεριώδεσι διδόασί τινες ὡς μέγιστον ἴαμα.

περὶ βολβῶν.

κατ' αὐτὸ τὸ γένος εἰσὶ καὶ οἱ βολβοί, τοῖς προειρημένοις. ἐσθίεται γὰρ αὐτῶν ἡ ῥίζα χωρὶς τῶν φύλλων. ἐν ἦρι δὲ ποτε καὶ ὁ ἀσπάραγος. ἔχει δ' ἐν αὐτῷ, πικράν τε καὶ αὐστηρὰν δύναμιν ἐπιφανῆ. διὸ καὶ τὸν στόμαχον ἐκλελυμένον, ἐπεγείρει πως εἰς ὄρεξιν. οὐκ ἐναντιοῦται, οὐδὲ δὲ τοῖς ἀναπτύειν τι δεομένοις ἐκ θώρακός τε καὶ πνεύμονος, καίτοι τὴν οὐσίαν τοῦ σώματος παχυτέραν τε καὶ γλισχροτέραν ἔχοιεν. ἀλλ' ἡ πικρότης, ἀντιπράττει τῷ παχεῖ, τέμνειν τὰ γλίσχρα καὶ παχέα πεφυκυῖα. καθάπερ ἐν τοῖς περὶ τῶν φαρμάκων εἴρηται, διὸ κἂν δίσεφθοι γένωνται, θρεπτικώτεροι μέν εἰσι, ἐναντιοῦνται δὲ ἤδη τοῖς ἀναπτύεσθαι δεομένοις, ὡς ἂν ἀποτιθέμενοι τὸ πικρὸν ἅπαν. ἐσθίειν δ' αὐτοὺς ἄμεινον τηνικαῦτα δι' ὄξους ἅμα ἐλαίῳ, καὶ γάρῳ, καὶ ἰδίους οὕτω γε καὶ θρεπτικώτεροι καὶ ἀφυσότεροι, καὶ πεφθῆναι ῥᾷους γίγνονται. πλεονάσαντες δὲ κατὰ τὴν ἐδωδὴν αὐτῶν ἔνιοι, προδήλως ᾔσθοντο καὶ σπέρμα πλεῖον ἴσχοντες, καὶ προθυμότεροι γιγνόμενοι πρὸς ἀφροδίσια. σκευάζουσι δὲ καὶ τούτους οἱ ἄνθρωποι πολυειδῶς. οὐ γὰρ μόνον ἑφθούς, ὡς ἔφην, δι' ὕδατος, ἀλλὰ καὶ λοπάδας ἐξ αὐτῶν ποικίλως ἠρτυμένας συντιθέασιν, ἐκ ταγήνου τε τινὲς ἄλλοι προσφέρονται, πολλοὶ δ' ὀπτῶντες ἐπ' ἐσχάρας. ἀλλ' οὗτοι γε τὴν πολλὴν ἕψησιν οὐκ ἀναμένουσιν, ἀρκοῦνται δὲ πάνυ βραχείᾳ. τινὲς δὲ οὐδ' ὅλως προεψοῦσι χαίροντες αὐτῶν τῷ πικρῷ τε καὶ αὐστηρῷ διασωζομένῳ. προτρέπει γὰρ αὐτοὺς μᾶλλον ἐπὶ τὴν ἐδωδήν, ἀλλ' εἰ μὴ ὡς προτρέποντι χρήσαιντο, μέχρι δυοῖν, ἢ καὶ βίαν προσελθόντες, εἴη ἄν τι πλέον αὐτοῖς, εἰ δὲ πλεονάσαιεν ἐπὶ τῶν οὕτω σκευασθέντων, καὶ μάλιστα ὅταν, ὡς εἰώθασιν, ὠμοτέρους αὐτοὺς λαβόντες, αὐτοὶ πάλιν ἀπεπτήσουσι. καὶ τινές γε καὶ φῦσαν, καὶ στρόφον, ὑποφέρουσι μὴ πεφθέντες καλῶς. ἐκ μὲν δὴ τῶν οὕτως ἐσθιομένων, οὐκ εὔχυμος ἡ τροφὴ γίνεται. τῶν δ' ἐπὶ πλεῖστον ἑψηθέντων, ἢ καὶ δίς, ὡς εἴρηται, παχύτερος μὲν ὁ χυμός, ἀμείνων δὲ τ' ἄλλα, καὶ τροφιμώτερος γίνεται.

περὶ σταφυλίνου καὶ δαύκου καὶ κάρου.

αἱ ῥίζαι καὶ τούτων ἐσθίονται. τροφὴν δ' ἥττονα γογγυλίδων ἔχουσι, καθάπερ γε καὶ τῶν κυρηναίων ἄρων. θερμαίνουσι δὲ σαφῶς, καί τι καὶ ἀρωματίζον ἐμφαίνουσι. τὸ μὲν οὖν δυσπεπτον αὐταῖς ὁμοίως ὑπάρχει, ταῖς ἄλλαις ῥίζαις. οὐρητικὰ δ' εἰσί, καὶ εἰ πλεονάζοι τις αὐτῶν ἐν τῇ χρήσει, κακόχυμα μετρίως. εὐχυμωτέρα γε μὴν ἐστίν, ἡ κάρου τοῦ σταφυλίνου. τινὲς δὲ τὸν ἄγριον σταφυλῖνον, ὀνομάζουσι δαῦκον, οὐρητικώτερον μὲν ὄντα, φαρμακωδέστερον δ' ἤδη, καὶ πολλῆς ἑψήσεως δεόμενον, εἰ μέλλοι τις ἐσθίειν αὐτόν.

περὶ ὕδνου.

ἐν ῥίζαις ἢ βολβοῖς ἀριθμεῖν ἀναγκαῖον ἐστὶ καὶ ταῦτα, μηδεμίαν ἔχοντα σαφῆ ποιότητα. χρῶνται τοιγαροῦν αὐτοῖς οἱ χρώμενοι, πρὸς ὑποδοχὴν ἀρτυμάτων, ὥσπερ καὶ τοῖς ἄλλοις, ὅσα καλοῦσιν ἄποια καὶ ἀβλαβῆ καὶ ὑδατώδη κατὰ τὴν γεῦσιν. ἔστι δ' ἁπάντων αὐτῶν κοινόν, ὡς μηδὲ τὴν ἀναδιδομένην εἰς τὸ σῶμα τροφήν, ἐξαίρετον τινὰ δύναμιν ἔχειν, ἀλλ' ὑπόψυχρον μὲν εἶναι, τῷ πάχει δ' ὁποῖον ἄν, τι καὶ αὐτὸ τὸ ἐδεσμένον ᾖ, παχύτερον μὲν τὸ ἐξ ὕδνων, ὑγρότερον δὲ καὶ λεπτότερον ἐκ κολοκύνθης, ἐπί τε τῶν ἄλλων ἀνάλογον.

περὶ μυκήτων.

αἱ μυκήτων οἱ βωλῖται καλῶς ἑψηθέντες ἐν ὕδατι πλησίον ἥκουσι τῶν ἀποίων ἐδεσμάτων. οὐ μὴν οὕτω γε μόνοις αὐτοῖς ἄνθρωποι χρῶνται. σκευάζουσι δὲ καὶ ἀρτύουσι πολυειδῶς, ὥσπερ καὶ τ' ἄλλα ὅσα μηδεμίαν ἐξαίρετον ἔχει ποιότητα. φλεγματώδης δ' ἐστίν, ἡ ἐξ αὐτῶν τροφή, καὶ δῆλον ὅτι καὶ ψυχρά, κἂν πλεονάζει τις ἐν αὐτοῖς, κακόχυμος. ἀβλαβέστατοι μὲν οὖν τῶν ἄλλων μυκήτων εἰσὶν οὗτοι. δεύτεροι δὲ μετ' αὐτῶν οἱ ἀμανῖται. τῶν δ' ἄλλων, ἀσφαλέστερον ἐστὶ μηδ' ὅλως ἅπτεσθαι. πολλοὶ γὰρ ἐξ αὐτῶν ἀπέθανον. ἐγὼ δ' οἶδά τινα καὶ τῶν βωλιτῶν αὐτῶν, ἅπερ ἀβλαβέστατοι δοκοῦσιν εἶναι, πλείονας οὐκ ἀκριβῶς ἑφθοὺς φαγόντα, θλιβέντα τὸ στόμα τῆς κοιλίας, καὶ βαρυνθέντα, καὶ στενοχωρηθέντα, καὶ δυσπνοήσαντα, καὶ λειποψυχήσαντα, καὶ ψυχρὸν ἱδρώσαντα, καὶ μόλις σωθέντα διὰ τῶν τεμνόντων τοὺς παχεῖς χυμοὺς προσφορᾶς, ὁποῖον ἐστὶν ὀξύμελι καθ' ἑαυτό τε καὶ μετὰ ὑσσώπου καὶ ὀριγάνου μετρίως ἑψηθέντων ἐν αὐτῷ. καὶ γὰρ ἐκ τινὸς ἐκεῖνος ἔλαβε καὶ τοῦτο, καὶ νίτρου τὸν ἀφρὸν ἐπιπασθέντα αὐτοῖς, ἐφ' οἷς ἤμεσε τοὺς ἐδηδεσμένους μυκήτας, ἤδη πως εἰς φλεγματώδη χυμὸν ἱκανῶς ψυχρὸν καὶ παχὺν ὑπηλλαγμένους.

περὶ ῥαφανίδος.

Ωμὴν μὲν ἐσθίουσιν αὐτὴν μόνην τοὐπίπαν οἱ κατὰ τὰς πόλεις ἄνθρωποι, πρὸ τῶν ἄλλων ἁπάντων μετὰ γάρου, γαστρὸς ὑπαγωγῆς ἕνεκα, ὀλίγοι δὲ καὶ ὄξους ἐπιχέουσιν. οἱ δ᾽ ἄγροικοι καὶ μετ᾽ ἄρτου πολλάκις προσφέρονται παραπλησίως τοῖς ἄλλοις αὐτοφυέσιν ὄψοις, ἐξ ὧν ἐστὶ καὶ ὀρίγανος ἡ χλωρὰ, καὶ κάρδαμον, καὶ θύμα, καὶ θύμβρα, καὶ γλήχων, καὶ ἕρπυλλος, ἡ δύοσμός τε καὶ καλαμίνθη, καὶ πύρεθρον, καὶ σίζωμον. ἅπαντα γὰρ ταῦτα τῶν ἐδωδίμων ἐστὶν ὄψα χλωρὰ, μετὰ τῶν προφθῶν ἐσθιόμενα, τῶν ποωδῶν φυτῶν ὄντα. τῆς ῥαφανίδος καὶ τὸν καυλὸν ἐσθίουσι, καὶ τὰ φύλλα κατ᾽ ἀνάγκην μᾶλλον, ἢ ἑκόντες. ἡ μέν τοι ῥίζα τῶν συνεχῶς ἐσθιομένων ἐστὶν, ὡς ὄψον μᾶλλον ἢ τροφὴ, τῆς λεπτυντικῆς δυνάμεως οὖσα καὶ αὐτὴ δηλονότι, μετὰ τοῦ θερμαίνειν σαφῶς. ἐπικρατεῖ γὰρ ἡ δριμεῖα ποιότης ἐν αὐτῇ. κατὰ δὲ τὸ ἔαρ εἴωθεν καυλόν τινα γεννᾶν, εἰς ὕψος ἀνερχόμενον, ὥσπερ τ᾽ ἄλλα τὰ μέλλοντα καυλοφορήσειν, ὅν τινα καυλὸν ἑψόντες, ἐσθίουσι δι᾽ ἐλαίου τε καὶ γάρου, καὶ ὄξους, ὥσπερ καὶ τὸν τῆς γογγυλίδος, καὶ τὸν τοῦ νάπυος, καὶ τὸν τῆς θριδακίνης, καὶ τρέφει μὲν δηλονότι μᾶλλον ὁ καυλὸς οὗτος τῆς ὠμῆς ῥαφανίδος, ὡς ἀποτιθέμενος ἐν τῷ ὕδατι τὴν δριμύτητα, βραχυτάτην δ᾽ ὅμως καὶ αὐτὸς ἔχει τροφὴν, ἔνιοι δὲ οὐ μόνον τὸν καυλὸν, ἀλλὰ καὶ αὐτὰς ἑψόντες ἐσθίουσι τὰς ῥαφανίδας, ὁμοίως ταῖς γογγυλίσι. θαυμάσαι δ᾽ ἐστὶ καὶ τῶν ἰατρῶν καὶ τῶν ἰδιωτῶν ἐκείνους, ὅσοι μετὰ δεῖπνον ὠμὰς ἐσθίουσιν αὐτὰς εὐπεψίας ἕνεκεν. αὐτοὶ μὲν γὰρ ἱκανὴν ἐσχηκέναι φασὶ τούτου πεῖραν, οἱ μιμησάμενοι δὲ αὐτοὺς, πάντες ἐβλάβησαν.

περὶ κρομμύων καὶ σκορόδων καὶ πράσων καὶ ἀμπελοπράσων.

Καὶ τούτων φυτῶν τὰς μὲν ῥίζας ἐσθίουσιν οἱ ἄνθρωποι πλειστάκις, ὀλιγάκις δὲ τὸν καυλὸν, καὶ τὰ φύλλα δριμεῖαν ἱκανῶς ἔχοντα δύναμιν ἀνάλογον αὐταῖς, θερμαίνει τε τὸ σῶμα καὶ λεπτύνει τοὺς ἐν αὐτῷ παχεῖς χυμοὺς, καὶ τέμνει τοὺς γλίσχρους. ἑψηθέντα μέν τοι δὶς, ἢ καὶ τρὶς, ἀποτίθεται μὲν τὴν δριμύτητα, λεπτύνει δ᾽ ὅμως ἔτι, καὶ τροφὴν βραχυτάτην δίδωσι τῷ σώματι. τέως γὰρ οὐδ᾽ ὅλως ἐδίδου, πρὶν ἑψηθῆναι. τό γε μὴν σκόροδον οὐ μόνον ὡς ὄψον, ἀλλὰ καὶ ὡς φάρμακον ὑγιεινὸν ἐσθίουσιν, ὑγιεινὸν ἐκφρακτικῆς τε καὶ διαφορητικῆς ὑπάρχον δυνάμεως. ἑψηθὲν δ᾽ ἐπ᾽ ὀλίγον, ὡς ἀποθέσθαι τὴν δριμύτητα, τῇ μὲν δυνάμει καταδέεστερον, τὴν κακοχυμίαν δ᾽ οὐκ ἔτι διασώζει, καθάπερ οὐδ᾽ ὅταν ἑψήσῃ δὶς τὰ πράσα καὶ τὰ κρόμμυα. τὰ δ᾽ ἀμπελόπρασα διαφέρει τῶν πράσων τοσοῦτον ὅσον καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ὁμογενέσι τὰ ἄγρια τῶν ἡμέρων. ἀποτίθενται δ᾽ εἰς τὸ ἐφεξῆς ἔτος ὅλον ἔνιοι, καθάπερ καὶ τὰ κρόμμυα μετ᾽ ὄξους συντιθέντες, οὕτως καὶ τὰ ἀμπελόπρασα, καὶ γίνεται πρός τε τὴν ἐδωδὴν ἀμείνω, καὶ ἧττον κακόχυμα. φείδεσθαι δὲ τῆς συνεχοῦς ἐδωδῆς ἁπάντων τῶν δριμέων, καὶ μάλιστα ὅταν ὁ προσφερόμενος αὐτῶν χολωδέστερος ᾖ φύσει. μόνοις γὰρ τοῖς ἤτοι τὸν φλεγματώδη χυμὸν, ἢ τὸν ὠμὸν, καὶ παχὺ καὶ γλίσχρον ἠθροικόσιν, ἐπιτήδεια τὰ τοιαῦτα τῶν ἐδεσμάτων ἐστίν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΡΟΦΩΝ

ΔΥΝΑΜΕΩΣ ΒΙΒΛΙΟΝ. γ'

Υπόλοιπον δ᾽ ἂν εἴη περὶ τῆς τῶν ἀπὸ τῶν ζώων τροφῆς διελθεῖν, οὐκ ὀλίγας ἐχούσης διαφορὰς δυνάμεων κατά τε τὰ μόρια, καὶ κατά τινα τῶν ἐν αὐτοῖς περιεχομένων, ἢ γεννωμένων, ὧν ἐστὶ καὶ τὰ ὠὰ, καὶ τὸ γάλα, τυρός τε καὶ τὸ βούτυρον, καὶ τὸ αἷμα.

περὶ τῆς ἀπὸ τῶν πεζῶν ζώων τροφῆς.

Οὐ τὴν αὐτὴν ἅπαντα δύναμιν ἔχει τὰ μόρια τῶν ζώων, ἀλλ᾽ αἱ μὲν σάρκες, ὅταν καλῶς πεφθῶσιν, αἵματος εἰσὶν ἀρίστου γεννητικαὶ, καὶ μάλιστα ἐπὶ τῶν εὐχύμων ζώων, ὁποῖόν ἐστι τὸ γένος τῶν ὑῶν. φλεγματικώτερα γὰρ τὰ νευρώδη μόρια, πάντων μὲν οὖν ἐδεσμάτων, ἡ σὰρξ τῶν ὑῶν ἐστι τροφιμωτάτη, καὶ τούτου πεῖραν ἐναργεστάτην οἱ ἀθλοῦντες ἔχουσιν. ἐπὶ γὰρ τοῖς ἴσοις γυμνασίοις, ἑτέρας τροφῆς ἴσον ὄγκον ἐν ἡμέρᾳ μιᾷ προσενεγκάμενοι, κατὰ τὴν ὑστεραίαν εὐθέως ἀσθενέστεροι γίνονται. πλείοσι δ᾽ ἐφεξῆς ἡμέραις τοῦτο πράξαντες, οὐκ ἀσθενέστεροι μόνον, ἀλλὰ καὶ ἀτροφώτεροι σαφῶς φαίνονται. τὴν δ᾽ αὐτὴν τοῦ λόγου βάσανον ἔνεστιν καὶ ἐπὶ τῶν ἐν παλαίστρᾳ διαπονουμένων παίδων ποιήσασθαι, καὶ τῶν ἄλλων ἡντινοῦν ἐνέργειαν ἰσχυρὰν σφοδρὰν ἐνεργούντων, ὁποία καὶ ἡ τῶν σκαπτόντων ἐστί, τὰ δὲ βόεια κρέα τροφὴν μὲν καὶ αὐτὰ δίδωσιν οὐκ ὀλίγην, οὐδ᾽ εὐδιαφόρητον, αἷμα μέντοι παχύτερον, ἢ προσήκει γεννᾷ. εἰ δὲ καὶ φύσει τις εἴη μελαγχολικώτερος τὴν κρᾶσιν, ἁλώσεται τινὶ παθήματι τῶν μελαγχολικῶν, ἐν τῇ τούτων ἐδωδῇ πλεονάσας. τοιαῦτα δ᾽ ἐστὶ πάθη, καρκῖνος, ἐλέφας, ψώρα, λέπρα, πυρετὸς τεταρταῖος, ἥ τ᾽ ἰδίως ὀνομαζομένη μελαγχολία, καὶ σπλὴν δ᾽ ἐνίοις εἰς ὄγκον ἤρθη διὰ τοῦτον τὸν χυμὸν, ᾧ καχεξία τε καὶ ὕδεροι πολλάκις ἠκολούθησαν. ὅσον δ᾽ ἐν τῷ πάχει τῆς ὅλης οὐσίας ἑαυτῶν, τὰ βόεια κρέα τῶν ὑῶν πλεονεκτεῖ, τοσοῦτον τῇ γλισχρότητι, τὰ ὕεια τῶν βοείων. εἰς πέψιν δὲ πολὺ βελτίω τὰ τῶν ὑῶν ἐστι, τοῖς μὲν ἀκμάζουσι καὶ ἰσχυροῖς, καὶ διαπονουμένοις τὰ τῶν ἀκμαζόντων, τοῖς δ᾽ ἄλλοις τὰ τῶν ἔτ᾽ αὐξανομένων. ὥσπερ δ᾽ ἐν τοῖς ὑσὶν, οἱ κατὰ τὴν ἀκμαστικὴν ἡλικίαν ἐπιτήδειοι τοῖς εὐεκτικοῖς νεανίσκοις εἰσὶν, οὕτω τῶν βοείων οἱ πρὸ τῆς ἀκμῆς. ξηρότερον γὰρ πολλῷ τὴν κρᾶσιν βοῦς, ὑὸς, ὥσπερ γε καὶ ἀκμάζων ἀνὴρ, παιδὸς, εἰκότως οὖν ὅσα μὲν φύσει ζῶα ξηροτέραν ἔχει τὴν κρᾶσιν, ὑπὸ τῆς νεότητος, εἰς συμμετρίαν αὐτὴν ὠφελεῖται. τῶν δ᾽ ὑγροτέρων ἡ φύσις ὑπὸ τῆς ἀκμαστικῆς ἡλικίας προσλαμβάνει τὸ λεῖπον εἰς τὴν προσήκουσαν εὐκρασίαν. οὐ μόνον οὖν οἱ μόσχοι τῶν τελείων βοῶν ἀμείνους εἰς πέψιν ἔχουσι τὰς σάρκας, ἀλλὰ καὶ ἔριφοι τῶν αἰγῶν. ἧττον μὲν γὰρ βοὸς ἡ αἲξ ξηρὰ τὴν κρᾶσιν ἐστὶν, ἀλλ᾽ ἀνθρώπῳ καὶ συὶ παραβαλλομένη, πολὺ διαφέρει τῆς ὑὸς σαρκὸς, πρὸς τὴν ἀνθρώπου ὁμοιότητα. καταμαθεῖν δ᾽ ἔνεστι κἀκ τοῦ τινὰς ἐδηδοκότας ἀνθρώπων κρεῶν ὡς χοιρείων, οὐδεμίαν ὑπόνοιαν ἐσχηκέναι. κατά γε τὴν γεῦσιν αὐτῶν, καὶ τὴν ὀσμὴν,

ἐφωράθη

ἐφωράθη γὰρ ἤδη πολλάκις γεγονὸς, ὑπὸ πονηρῶν πανδοχέων καὶ ἄλλων τινῶν. εἰκότως οὖν οἱ χοῖροι περιττωματικωτέραν ἡμῖν εἰς τοσοῦτον παρέχουσι τὴν τροφὴν, εἰς ὅσον τῶν μεγάλων ὑῶν εἰσιν ὑγρότεροι. εἰκότως δὲ καὶ ἧττον τρέφει· ἡ γὰρ ὑγροτέρα τροφὴ, καὶ ἀναδίδοται καὶ διαφορεῖται θᾶττον. ὑγροτάτην δὲ ἔχουσι καὶ φλεγματώδη σάρκα καὶ οἱ ἄρνες. ἀλλὰ καὶ ἡ τῶν προβάτων σὰρξ, καὶ περιττωματικωτέρα τέ ἐστι καὶ κακοχυμωτέρα. κακόχυμος δὲ καὶ ἡ τῶν αἰγῶν μετὰ δριμύτητος. ἡ δὲ τῶν τράγων χειρίστη καὶ πρὸς εὐχυμίαν καὶ πρὸς πέψιν, ἐφεξῆς δὲ τῶν κριῶν, εἶθ' ἡ τῶν ταύρων. ἐν ἅπασι δὲ τούτοις, τὰ τῶν εὐνουχισθέντων ἀμείνω. τὰ δὲ πρεσβυτικὰ χείριστα πρὸς πέψιν, καὶ πρὸς εὐχυμίαν καὶ πρὸς θρέψιν. ὥσπερ καὶ τῶν ὑῶν αὐτῶν, καὶ τῶν ὑγρῶν ὄντων τὴν κρᾶσιν οἱ γηράσαντες, ἔνια δὴ καὶ ξηρὰν καὶ δυσπεπτον ἔχουσι τὴν σάρκα. καὶ ἡ τῶν λαγωῶν δὲ σὰρξ αἵματος μέν ἐστι παχυτέρου γεννητικὴ, βέλτιον δὲ εἰς εὐχυμίαν ἢ κατὰ βοῦς καὶ πρόβατα. κακόχυμος δὲ τούτων οὐχ ἧττόν ἐστι, καὶ ἡ τῶν ἐλάφων καὶ δύσπεπτος, ἡ δὲ τῶν ἀγρίων ὄνων, ὅσοι γ' εὔσαρκοι καὶ νέοι, πλησίον ἥκει ταῖς δε. καί τοι καὶ τῶν ἡμέρων ὄνων γηρασάντων, ἔνιοι τὰ κρέα προσφέρονται κακοχυμώτατα, καὶ δυσπεπτότατα, καὶ κακοστόμαχα, καὶ προσέτι καὶ ἀηδῆ κατ' ἐδωδὴν ὄντα, καθάπερ καὶ τὰ τῶν ἵππων τε καὶ καμήλων, ὧν καὶ αὐτῶν ἐσθίουσιν οἱ ὀνώδεις τε καὶ καμηλώδεις ἄνθρωποι τὴν ψυχὴν καὶ τὸ σῶμα. καὶ τῶν ἄρκτων δ' ἔνιοι προσφέρονται, καὶ τὰ τούτων ἔτι χείρω, λεόντων τε καὶ παρδάλεων, ἤτοι γ' ἅπαξ ἑψῶντες, ἢ δίς. εἴρηται δ' ἔμπροσθεν ὁποῖόν τι τὸ δὶς ἑψεῖν ἐστι, περὶ δὲ τῶν κυνῶν τί δεῖ καὶ λέγειν; ὡς τοὺς νέους τε καὶ λιπαροὺς αὐτῶν καὶ μάλιστα ὅταν εὐνουχισθῶσι, κατ' ἔνια τῶν ἐθνῶν ἐσθίουσι πάμπολλα. καὶ πρὸς τούτοις, τά τε τῶν πανθήρων οὐκ ὀλίγοι, καθάπερ γε καὶ τὰ τῶν ὄνων ὅταν εὐεκτοῦντες τύχωσιν, ὥσπερ οἱ ἄγριοι. ταῦτα μὲν οὐ μόνον ἐσθίουσιν, ἀλλὰ καὶ ἐπαινοῦσιν ἔνιοι τῶν ἰατρῶν. τὰ δὲ τῶν ἀλωπέκων ἐν φθινοπώρῳ, καὶ οἱ παρ' ἡμῖν κυνηγέται, προσφέρονται, πιαίνονται γὰρ ὑπὸ τῶν σταφυλῶν. καὶ τῶν ἄλλων δὲ ζώων, ὅσα τὰς οἰκείας ἀφθόνως τροφὰς ἔχουσι, ταῦτα πολὺ βελτίω σφῶν αὐτῶν εἰς ἐδωδὴν γίνονται, καθάπερ γε καὶ χείρω, τἀναντία. καὶ ὅσα γε τὰς ἐκ τῆς γῆς ἀνιούσας πόας, ἢ τῶν δένδρων ἀκρέμονας, ἢ βλαστὰς ἐσθίει, καθ' ὃν ἂν καιρὸν εὐπορεῖ δαψιλῶς, τούτων εὐχυμότερα γίνεται καὶ πιαίνεται, καὶ πρὸς τροφὴν ἡμῖν, ἡδίω τε καὶ ἡδυσμάτων χρήζοντα ἧττον, ἐπιτηδειότερα πάντα καθίσταται. καὶ διὰ τοῦτο τὰ μὲν τὴν βαθεῖαν πόαν νέμεσθαι δεόμενα, λεπτὰ καὶ κακόχυμα γίνεται, κατά τε τὸν χειμῶνα, καὶ τὰ πρῶτα καὶ μέσα τοῦ ἦρος, ὥσπερ οἱ βόες. εὐχυμότεροι τε καὶ παχύτεροι σαφῶς γινόμενοι τοῦ χρόνου προϊόντος, ὅταν αὐξάνηται καὶ παχύνηται, καὶ εἰς συνάρπησιν ἡ πόα προέρχηται. τὰ δ' ὑπὸ τῆς μικρᾶς τρέφεσθαι δυνάμενα, βελτίω κατά τε τὰ πρῶτα καὶ τὰ μέσα τοῦ ἦρός ἐστιν, ὥσπερ τὰ πρόβατα. κατὰ δὲ τὴν ἀρχὴν καὶ τὰ μέσα τοῦ θέρους, αἱ αἶγες, ἡνίκα βλαστοὶ πλεῖστοι θάμνων εἰσὶν, ἃς ἔθος αὐταῖς ἐσθίειν. ὅταν οὖν ἀκούσῃς μου παραβάλλοντος ἀλλήλοις εἴδη ζώων, ἐξέταζε καὶ κρίνε καὶ βασάνιζε, καὶ τῇ πείρᾳ τὸν λόγον, οὐ τὸ καλῶς τεθραμμένον τε καὶ πῖον ἰσχνῷ καὶ ἀτρόφῳ παραβάλλων, οὐδὲ τὸ νέον τῷ γεγηρακότι, μοχθηρὰ γὰρ ἡ δε καὶ ἄδικος ἡ κρίσις, ἀλλὰ τὸ καθ' ἕκαστον εἶδος καὶ γένος, ἢ ὅπως ἂν θέλοις ὀνομάζειν, ἄριστα διακείμενον, ἑτέρῳ τοιούτῳ. οὐκοῦν ἔτι δέομαι λόγων μακρῶν, εἰς τὸ, τὰ καθ' ἕκαστον ἔθνος ἐπιχώρια τῶν ζώων ἅπαντα διέρχεσθαι, καθάπερ ἐν ἰβηρίᾳ τὸ τοῖς λαγωοῖς ὅμοιον ζωΐδιον, ὃ καλοῦσι κυνικούλ. ἐν λευκανίᾳ δὲ τῆς ἰταλίας, τὸ μεταξύ πως ἄρκτου τε καὶ συὸς, ὥσπερ γε καὶ τὸ τῶν ἀρουραίων μυῶν καὶ μυοξῶν καὶ τῶν καλουμένων ἐλειῶν ἐν μέσῳ, κατά τε τὴν αὐτὴν χώραν τῆς ἰταλίας ἐν ἄλλοις τε πολλοῖς τόποις ἐσθιόμενον. ὅσα γοῦν εὔτροφα τῶν τοιούτων ζώων ἐστὶ καὶ σαφῶς πίονα, ταῦτα τῇ πείρᾳ βασάνιζε, τοὺς τρόπους τῆς σκευασίας αὐτῶν, οὓς ἐξ ἐμπειρίας ἔμαθεν ἕκαστος τῶν ἐπιχωρίων, ἀκούων τε καὶ μανθάνων παρ' ἐκείνων. ὁποία δ' ἐστὶν ἡ δύναμις αὐτῶν ἑκάστου, ἤδη σοι πάρεστι καὶ παρ' ἐμοῦ μανθάνειν, ὅσα μὲν γὰρ ὀπτῶντες, ἢ τηγανίζοντες ἐσθίουσι, ξηροτέραν τροφὴν διδόασι τῷ σώματι, ὅσα δὲ ἐν ὕδατι προαφεψοῦσιν, ὑγροτέραν. ὅσα δ' ἐν ταῖς λοπάσιν ἀρτύοντες, ἐν τῷ μεταξὺ τούτων ἐστὶ, καὶ τούτων δ' αὐτῶν, οὐ σμικρὰ διαφορὰ γίνεται παρὰ τὸν τρόπον τῆς ἀρτύσεως. ὅσα μὲν γὰρ δαψιλῶς οἴνου ἔχει καὶ γάρου, ξηρότερα τῶν μὴ ἐχόντων ἐστὶ, τὰ δὲ τούτων μὲν ἐνδεέστερα, ἤτοι δὴ σίραιον ἔχοντα πλέον, ὃ τινὲς ἕψημα καλοῦσιν, ἢ κατὰ τὸν ὀνομαζόμενον ἁπλοῦν, καὶ λιτὸν, καὶ λευκὸν ζωμὸν ἥψηται, πολλῷ τῶν προειρημένων ἐστὶν ὑγρότερα. τὰ δὲ ἀφ' ὕδατος μόνου, καὶ τούτων ἐστὶν ἔθ' ὑγρότερα. μεγίστη δὲ τῇ σκευασίᾳ διαφορὰ γίνεται, καὶ κατὰ τὴν τῶν ἐπεμβαλλομένων αὐτοῖς δύναμιν, ἁπάντων μὲν ξηραινόντων, ἀλλ' ἤτοι μᾶλλον ἢ ἧττον. ἔστι δὲ ταῦτα, σπέρματα μὲν ἀνήθου, καὶ σελίνου, καὶ κάρου, καὶ λιβυστικοῦ, καὶ κυμίνου, καί τινα τοιαῦθ' ἕτερα. τῶν φυτῶν δ' αὐτῶν, πράσα, καὶ κρόμμυα, καὶ ἄνηθα, καὶ θύμα, καὶ θύμβρα, καὶ γλήχων, καὶ ἡ εὐώδης μίνθη, καὶ ὀρίγανος, ὅσα τε ἄλλα τοιαῦτα, τῆς ὀψαρτυτικῆς ὄντα πραγματείας, ἣν νῦν οὐ πρόκειται διέρχεσθαι τὴν παραβολὴν δὲ τῆς διαφορᾶς τῶν ζώων, ὥσπερ ἔμπροσθεν ἔφαμεν χρῆναι ποιεῖσθαι τῶν ἄριστα ταῖς ἕξεσιν ἐχόντων, οὕτω καὶ νῦν τῶν ἐσκευασμένων κάλλιστα γινέσθω. ταῦτα μὲν οὖν αὐτάρκη σοι περὶ τῆς τῶν πεζῶν ζώων σαρκὸς ἀκηκοέναι. περὶ δὲ τῶν ἄλλων μορίων ὡς ἔχει τῆς δυνάμεως, ἐφεξῆς ἀκούσῃ μετὰ τὸν περὶ τῶν κοχλιῶν λόγον.

περὶ κοχλιῶν.

Ὅτι μὲν οὖν οὔτε ἐν τοῖς πτηνοῖς, οὔτε ἐν τοῖς ἐνύδροις, ἀριθμεῖσθαι δεῖ τοῦτο τὸ ζῶον, εὔδηλον δήπου. εἰ δὲ μηδ' ἐν τοῖς πεζοῖς αὐτοῦ μνημονεύσομεν, οὐδ' ὅλως ἐροῦμέν τι περὶ τῆς ἐκ κοχλιοῦ τροφῆς, οὐ μὴν οὐδὲ παραλιπεῖν εὔλογον, ὥσπερ τοὺς ἐκ τῶν ξύλων σκώληκας, ἐχίδνας τε καὶ τοὺς ἄλλους ὄφεις, ὅσα τε κατ' αἴγυπτον, καὶ ἄλλα τινὰ τῶν ἐθνῶν ἐσθίουσιν. οὔτε γὰρ ἐκείνων τις ἀναγνώσεται ταῦτα, καὶ ἡμεῖς οὐκ ἄν ποτε φάγοιμεν τῶν ἐκείνοις ἐδωδίμων. κοχλίας δὲ ὁσημέραι πάντες ἕλληνες ἐσθίουσιν, ἔχοντας μὲν σκληρὰν τὴν σάρκα, καὶ διὰ τοῦτο δύσπεπτον, εἰ δὲ πεφθείη, τροφιμωτάτην. ὑπάρχει δ' αὐτοῖς, ὥσπερ τοῖς ὀστρακοδέρμοις, χυλὸς ὑπακτικὸς γαστρὸς, καὶ διὰ τοῦτο τινὲς ἀρτύοντες αὐτοὺς δι' ἐλαίου, καὶ γάρου, καὶ οἴνου, τῷ γινομένῳ ζωμῷ χρῶνται πρὸς διαχώρησιν τῶν κατὰ τὴν κοιλίαν. εἰ δὲ θελήσεις ὡς τροφίμῳ μόνῳ ἐδέσματι χρήσασθαι τῇ σαρκὶ τοῦ ζώου τούτου, προαφεψήσας ἐν ὕδατι, μεταθήσεις εἰς ἕτερον ὕδωρ, εἶτα ἐν ἐκείνῳ πάλιν ἑψήσας, οὕτως ἀρτύσεις τε καὶ τὸ τρίτον ἑψήσεις, ἄχρι τοῦ κατατάκερον ἀκριβῶς γενέσθαι τὴν σάρκα. σκευασθεῖσα γοῦν οὕτως, ἐφέξει μὲν τὴν γαστέρα, τροφὴν δὲ ἱκανὴν, παρέξει τῷ σώματι.

περὶ τῶν ἐν τοῖς πεζοῖς ἀκρέων μορίων.

Ἄκρεα μόρια τῶν πεζῶν ζώων, ἐσθίουσι οἱ ἄνθρωποι, πόδας, καὶ ῥύγχη, καὶ ὦτα καὶ τοὐπίπαν δὲ δι᾽ ὕδατος ἑψόντες αὐτά, προσφέρονται μετ᾽ ὄξους καὶ γάρου, ποτὲ δέ, καὶ νάπυος, ἔνιοι δὲ καὶ δι᾽ ἐλαίου καὶ γάρου, περιεπιχέοντες οἶνον εἰσὶν δ᾽ οἳ καὶ μετὰ λαχάνων, ἤτοι γε ἐξ ὕδατος ἑψημένων, ἢ ἐπὶ τὰς λοπάδας ἠρτυμένων. οἱ δὲ πόδες ἐπιτηδειότατοι τῶν χοίρων εἰσὶν ἐπεμβληθέντες ἑψημένη πτισάνη κἀκείνην ἐργάζεσθαι κρείττονα, καὶ αὐτοὶ μαλακώτεροι γίνεσθαι, καὶ διὰ τοῦτο βελτίους εἴς τε τὴν ἐν τῷ σώματι, καὶ τῇ γαστρὶ κατεργασίαν. διαφορὰ μὲν οὖν ἐστιν οὐκ ὀλίγη, καὶ παρὰ τὸν τρόπον τῆς σκευασίας οὐ μόνον ἐν τοῖς ἀκρέοις μέρεσι τῶν ζώων, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, ἣν ἐπὶ πλέον ἐν τοῖς ὀψαρτυτικοῖς ἐροῦμεν. ὅθεν δ᾽ ἐν αὐτοῖς τοῖς μορίοις αἱ καθ᾽ ὅλου διαφοραὶ κατὰ τὴν δε τὴν πραγματείαν δηλοῦνται μόναι, παραβαλλομένων αὐτῶν ἀλλήλοις, ὡς εἰ καὶ κατὰ τὸν αὐτὸν τρόπον ἐσκεύαστο, ὡς καὶ πρόσθεν εἴρηται. δικαία γὰρ ἡ τοιαύτη παραβολή, τὰ τοίνυν ἄκρεα μόρια τοῦ σώματος, ἥκιστα μὲν ἔχει πιμελήν, ἥκιστα δὲ καὶ τῆς σαρκώδους φύσιν. ἐπικρατεῖ δ᾽ ἐν αὐτοῖς, τό, τε νευρῶδες, καὶ τὸ δερματῶδες, τοῦ τοιούτου νεύρου καὶ δέρματος, οἷον τὸ καθ᾽ ὅλον σῶμα. γεγύμνασται γὰρ ἐν τοῖς ἀκρέοις μᾶλλον. ἔστι δὲ καὶ διὰ τοῦτο καὶ γλισχρότερα. καὶ γὰρ καὶ νεῦρον καὶ δέρμα πᾶν ἑψόμενον, εἰς τοιαύτην ἀφικνεῖται φύσιν εἰκότως οὖν ἐλάττονα μὲν τροφὴν δίδωσι τῷ σώματι, ῥᾷον δὲ ὑπέρχεται κατὰ τὴν γαστέρα, διὰ τὴν γλισχρότητα. βελτίους δὲ οἱ πόδες τῶν ὑῶν εἰσὶ τοῦ ῥύγχους, ὥσπερ καὶ τοῦτο τῶν ὤτων. ἐκεῖνα γὰρ ἐκ μόνου συνέστηκε χόνδρου καὶ δέρματος. ἔστι δὲ ὁ χόνδρος ἐν μὲν τοῖς τελείοις ζώοις, ἄπεπτος παντάπασιν. ἐν δ᾽ ἔτι αὐξανομένοις, ὅταν καλῶς ἐν τῷ σώματι λειωθεὶς πεπτόμενός τε, καὶ τροφὴν ὀλίγην δίδωσι τῷ σώματι. κατὰ δὲ τὴν αὐτὴν ἀναλογίαν ἐπὶ τῶν ἄλλων ζώων ἄκουε τοῦ νῦν εἰρημένου ἡμῖν λόγου. καθ᾽ ὅσον γὰρ αὐτῶν αἱ σάρκες εἰς ἀρετὴν ἀπολείπονται τροφῆς τῶν ὑῶν, κατὰ τοσοῦτον καὶ τῶν ἀκρέων ἐν αὐτοῖς μορίων ἐστὶ χείρω τὰ κατ᾽ ἐκεῖνα τὰ ζῶα. εὔδηλον δ᾽ ὅτι νευρώδη μόρια τὰ κατὰ τοὺς πόδας ὀνομάζω, καθ᾽ ὁμοιότητα τὴν πρὸς τὸ κυρίως καλούμενον νεῦρον, ὃ τὴν γένεσιν ἐξ ἐγκεφάλου, καὶ νωτιαίου λαμβάνει. τὰ δ᾽ ἐν τοῖς ἀκρέοις νευρώδη σώματα, καθ᾽ ὁμοιότητα μὲν οὕτως ὀνομάζεται, σύνδεσμοι δ᾽ εἰσὶ τῶν ὀστῶν ἀναίσθητοι καί τινες ἐπ᾽ αὐτοῖς τένοντες,

περὶ τῆς ἐν τοῖς πεζοῖς ζώοις γλώττης.

Ἰδιότης τῆς οὐσίας ἐστὶν ἐν τῷ δὲ τῷ μορίῳ, χαυνοτέρας τε καὶ ἐναιμοτέρας σαρκός. αἱ γὰρ ἀκριβεῖς σάρκες, οἱ μύες εἰσί, καὶ τούτων αὐτῶν τὰ μέσα μάλιστα. πολλοὶ γὰρ ἐν τοῖς πέρασιν ἑαυτῶν εἰς τένοντας ἀξιολόγους τελευτῶσιν, οὓς ἀπονευρώσεις μυῶν, οἱ πολλοὶ τῶν ἰατρῶν ὀνομάζουσιν. οὐ μέγιστοι δὲ τούτους γεννῶσιν εἰς τὰ τῶν κώλων πέρατα καθήκοντες μύες, ἀλλὰ καὶ τὰς κεφαλὰς ἔχουσιν ἔνιοι τῶν μυῶν νευρώδεις. καὶ τῆς γλώττης δ᾽ αὐτῆς, ἣν ἐξαιροῦντες τῶν ὑῶν ἕψουσιν οἱ μάγειροι, τὸ μὲν ἴδιον σῶμα, χαύνη τίς ἐστιν ὡς εἴρηται σάρξ, οὐ μὴν μόνην ταύτην ἐξαίρουσιν, οὐδ᾽ ἕψουσι μόνον, ἀλλὰ μετά τε τῶν ἐμφυομένων μυῶν. ὡς τὰ πολλὰ δὲ καὶ σὺν ἐπιγλωττίδι, καὶ λάρυγγι, καὶ τῶν ἐνταῦθα ἀδένων, τῶν τε τῆς γλώττης ἰδίων, οἳ τὸ σίαλον γεννῶσι, καὶ τῶν κατὰ τὰ παρίσθμια καὶ τὸν λάρυγγα. τὸ μὲν γὰρ τῶν ἀρτηριῶν, καὶ φλεβῶν, καὶ νεύρων κοινὸν τῆς γλώττης, καὶ πρὸς τὰς ἄλλας σάρκας ἐστί, καὶ γὰρ ἐκεῖνα σὺν τούτοις ἐσθίεται, πλὴν ὅτι μείζω τε καὶ πλείω τοῦ κατὰ τὴν ἀναλογίαν μεγέθους ὑπάρχειν τῷ μορίῳ τῷ δὲ τὰ τρία γένη τῶν ἀγγείων. ἥτις δὲ δύναμις ἐστὶ τῆς ἐκ τῶν ἀδενωδῶν σωμάτων τροφῆς ἐξῆς ἄκουε.

περὶ ἀδένων.

Τοσοῦτον ἀποκεχώρηκεν, ἡ τῶν ἀδένων οὐσία τῆς κατὰ τὴν γλῶτταν, ὅσον ἐκείνη τῶν σαρκῶν, οὐ μὴν ἴσον γε πάντες ἀκριβῶς διεστήκασιν, ἀλλ᾽ οἱ μὲν παρακείμενοι, καὶ ψαύοντες αὐτῆς, ὅμοιοί πως εἰσὶ τοῖς κατὰ τοὺς τιτθούς, ὅταν γε μήπω μεστοὶ γάλακτος ὦσιν. οὐ γὰρ διὰ παντὸς ἐργάζονται τὸ σφέτερον ἔργον οἱ κατὰ τοὺς τιτθοὺς ἀδένες, ὥσπερ οἵ τ᾽ ἄλλοι σχεδὸν ἅπαντες, οἵ τε τῆς γλώττης. οἱ μὲν γὰρ ταύτης εἰς σιάλου γένεσιν ὑπὸ τῆς φύσεως παρεσκευάσθησαν, οἱ δὲ ἐν τοῖς τιτθοῖς ἀραιοὶ μὲν γίνονται καὶ χαῦνοι, καὶ γάλακτος πλήρεις ἐπὶ ταῖς κυήσεσιν, ἐν ᾧ δὲ οὐκ ἔχουσι χρόνῳ τὸ γάλα, συστέλλονταί τε καὶ πυκνοῦνται, διαφέροντες ἀλλήλων τοιαύτην διαφοράν, οἵαν οἱ διάβροχοι σπόγγοι τῶν σκελετευομένων, οὕτω γὰρ ὀνομάζουσιν, ὧν ἂν ἐκθλίψαντες ἅπασαν τὴν ὑγρότητα σφίγγωσί τε καὶ συνάγωσιν ὅλον τὸ σῶμα, δεσμοὺς περιβάλλοντες, εἰσὶ δὲ καὶ κατὰ τὴν φάρυγγα καὶ λάρυγγα, τοιοῦτοί τινες ἀδένες, ὥσπερ κἀν τῷ μεσεντερίῳ, ἀλλ᾽ οὗτοι μὲν σμικροί, καὶ διὰ τοῦτο τοὺς πολλοὺς λανθάνουσιν, οἱ δὲ κατὰ τὰ παρίσθμια καὶ τὸν λάρυγγα, σαφεῖς τε εἰσὶ καὶ μεγάλοι. καὶ ἄλλοι δὲ κατὰ πολλὰ μέρη τοῦ σώματος ἀδένες εἰσὶ σμικροί, σχίσεις ἀγγείων στηρίζοντες. οὐ σμικρὸς δ᾽ ἀδήν ἐστιν, ὃ δ᾽ ὁ καλούμενος θύμος, ἀλλὰ καὶ πάνυ μέγιστος ἐπὶ τῶν νεογνῶν ζώων, αὐξανομένων δὲ μικρότερος γίνεται. πάντων δ᾽ οὖν αὐτῶν κοινόν, ἡδεῖς τε καὶ ψαθυροὺς φαίνεσθαι κατὰ τὴν ἐδωδήν, οἱ δ᾽ ἐν τοῖς τιτθοῖς, ὅταν ἔχωσι γάλα, καὶ τὴν ἐκείνου τι γλυκύτητος ἐμφαίνουσι. καὶ διὰ τοῦτο περισπούδαστον ἐστὶ τοῖς λίχνοις ἔδεσμα πλήρεις γάλακτος οἱ ἀδένες οὗτοι γινόμενοι, καὶ μάλιστα ἐπὶ τῶν ὑῶν. ἡ δ᾽ ἐξ αὐτῶν τροφή, καλῶς μὲν πεφθέντων ἐν γαστρί, ἐγγὺς μὲν τῇ κατὰ τὰς σάρκας ἐστίν, ἐλλιπέστερον δὲ κατεργασθέντας, τὸν ὠμόν, ἢ τὸν φλεγματώδη χυμὸν γεννᾷ, τῶν μὲν ὑγροτέρων ἀδένων, τὸν φλεγματώδη, τῶν δὲ σκληροτέρων, τὸν ὠμόν, ὑπὲρ οὗ ἔμπροσθεν εἴρηται. ὄντες δ᾽ ἐκ τοῦ γένους τῶν ἀδένων οἱ ὄρχεις, οὐχ ὁμοίως εἰσὶν εὔχυμοι, τοῖς κατὰ τοὺς τιτθούς, ἀλλά τι καὶ βρωμῶδες ἔχουσιν, ἐνδεικνύμενοι τοῦ σπέρματος, ὃ γεννῶσι φύσιν, ὥσπερ οἱ νεφροὶ τὴν τοῦ οὔρου. καὶ μέντοι καὶ πεφθῆναι, πολὺ χείρους εἰσίν, οἵ γε τῶν πεζῶν ζώων οἱ γὰρ τῶν σιτευθέντων ἀλεκτρυόνων ἥδιστοί τε ὑπάρχουσι καὶ τὴν τροφὴν χρηστὴν τῷ σώματι διδόασι. καὶ οἱ παρακείμενοι δὲ τῷ τραχήλῳ τῆς κύστεως ἀδένες, ἐγγύς τι τῶν ὄρχεων εἰσὶ τὴν φύσιν. ἔνιοι δ᾽ ἐν τοῖς ἀδέσι, καὶ τοὺς νεφροὺς ἀριθμοῦσιν. ἔχειν γὰρ ἀδενῶδές τι καὶ οὗτοι δοκοῦσιν αὐτοῖς. κακόχυμοι δ᾽ εἰσὶν ἱκανῶς, καὶ δύσπεπτοι, καθάπερ οἱ τῶν ἐπὶ πλέον ηὐξημένων ζώων ὄρχεις, ὅταν ἐκτέμνοντες αὐτοὺς ἐσθίουσιν. ἀμείνους γὰρ οἱ τῶν νεωτέρων, εἰσίν, οἱ δὲ τῶν ταύρων καὶ τράγων καὶ κριῶν, ἀηδεῖς καὶ δύσπεπτοι καὶ κακόχυμοι.

περὶ ὄρχεων.

Τοὺς ὄρχεις τῶν νέων ὑῶν καὶ βοῶν, ἐκτέμνουσι παρ᾽ ἡμῖν, οὐ τῆς αὐτῆς ἕνεκα χρείας, ἀλλὰ τῶν μὲν ὑῶν, τῆς ἐδωδῆς, καὶ γὰρ ἡδίων καὶ τροφιμωτέρα γίνεται, καὶ πεφθῆναι βελτίων ἡ σὰρξ τῶν ἐκτμηθέντων ὑῶν, τῶν δὲ βοῶν ἕνεκα τῆς εἰς τὴν γεωργίαν χρείας. δυσπειθεῖς γὰρ αὐτοῖς εἰσιν οἱ ταῦροι, τῶν δ᾽ αἰγῶν καὶ τῶν προβάτων κατ᾽ ἀμφοτέρας τὰς χρείας ἐκτέμνουσι τοὺς ὄρχεις. εἰσὶ δ᾽ ἅπαντες οἱ τῶν εἰρημένων ζώων ὄρχεις δύσπεπτοι, καὶ κακόχυμοι, πεφθέντες δὲ καλῶς τρόφιμοι. τὸ δ᾽ ἧττον καὶ μᾶλλον ἐν αὐτοῖς, ἀνάλογόν ἐστι τῷ ἐπὶ τὰς σάρκας εἰρημένῳ. εἰς ὅσον γὰρ τῶν ὑῶν σὰρξ τῆς τῶν ἄλλων ἐστὶ βελτίων, εἰς τοσοῦτον καὶ ὄρχεις τῶν ὄρχεων. μόνοι δ᾽ οἱ τῶν ἀλεκτρυόνων ἄριστοι ἐπὶ πάντα, καὶ μάλιστα τῶν σιτευθέντων.

περὶ ἐγκεφάλου.

Φλεγματικώτερόν ἐστι, καὶ παχύχυμον ἔδεσμα, καὶ βραδύπορον, καὶ δύσπεπτον, οὐχ ἥκιστα δὲ καὶ κακοστόμαχον ἅπας ἐγκέφαλος. ἐξαπατώμενοι δὲ ὑπὸ τῆς μαλακότητος αὐτοῦ, διδόασιν ἔνιοι τοῖς κάμνουσιν, ὄντα πρὸς τοῖς ἄλλοις καὶ ναυτιώδη. μᾶλλον οὖν ὅταν ἐμέσαι τινὰ βουληθῇς ἀπὸ τροφῆς, καὶ διὰ τοῦτο τὸ μόριον αὐτῷ δίδου λιπαρῶς ἠρτυμένον, ἐν τοῖς τελευταίοις προσενέγκασθαι, φυλάττου δὲ ἀπὸ τῶν ἀνορέκτων, οὓς ἀποσίτους ἐκάλουν οἱ παλαιοί. εἰκότως οὖν οὐδ᾽ ἐσθίει τις ὕστερον αὐτὸ τῶν ἄλλων ἐδεσμάτων, τῇ πείρᾳ δεδιδαγμένων ἁπάντων, ὅπως ἐστὶ ναυτιώδης. εὐλόγως δὲ καὶ σὺν ὀριγάνῳ πολλοὶ προσφέρονται, καθάπερ ἔνιοι μετὰ τῶν ποικίλως ἠρτυμένων ἁλῶν. ἅτε γὰρ παχύχυμος ὢν καὶ περιττωματικὸς, ἀμείνων ἐμοῦ γίνεται τὰ πάντα μετὰ τῶν τεμνόντων καὶ θερμαινόντων σκευασθεὶς, εἰ μέν τοι καλῶς πεφθῇ, τροφὴν ἀξιόλογον δίδωσι τῷ σώματι.

περὶ τοῦ ἐν τοῖς ὀστοῖς μυελοῦ.

Γλυκύτερος καὶ ἡδίων ἐστὶ, καὶ λιπαρώτερος ὁ ἐν τοῖς ὀστοῖς εὑρισκόμενος μυελὸς τοῦ ἐγκεφάλου, ὡς εἴ τις ἐκ παραβολῆς αὐτῶν γεύσοιτο, δόξει τι καὶ αὐστηρὸν ἔχειν τὸν ἐγκέφαλον. ἔστι δὲ καὶ ναυτιῶδες ἔδεσμα, πλείων προσενεχθεὶς ὁ μυελὸς, ὥσπερ καὶ ὁ ἐγκέφαλος, εἴ γε μὴν καλῶς πεφθείη, τρόφιμός ἐστι καὶ αὐτός.

περὶ νωτιαίου μυελοῦ.

Ὁ νωτιαῖος μυελὸς, ὁμογενὴς μέν ἐστιν ἐγκεφάλῳ. κακῶς δὲ ὀνομάζεται μυελὸς, ἔστι γὰρ μυελὸς ὑγρότερός τε καὶ μαλακώτερος, καὶ λιπαρώτερος, οὐ μόνον τοῦ νωτιαίου, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐγκεφάλου. ἐπεὶ δ᾽ ὑπὸ τῶν ἐπὶ τὴν ῥάχιν ὀστῶν περιέχεται, παραπλήσιος ὢν ἐπὶ τῇ χρόᾳ μυελῷ, διὰ τοῦτο μυελὸν ὀνομάζουσιν αὐτὸν, ὥσπερ γε καὶ αὐτὸν τὸν ἐγκέφαλον, ἔνιοι προσηγόρευσαν ὡσαύτως. ἔστι δ᾽ ὁ νωτιαῖος μυελὸς, συνεχὴς μὲν τῷ ἐγκεφάλῳ, καὶ τῆς αὐτῆς φύσεως αὐτῷ, σκληρότερος δ᾽ οὐκ ὀλίγῳ, καὶ μάλιστα ἐν τοῖς κάτω τῆς ῥάχεως πέρασιν. εἰς ὅσον γὰρ ἀφίσταται τοῦ ἐγκεφάλου, τοσοῦτον μᾶλλον σκληρύνεται. λιπαρότητός τε οὖν ἥκιστα μετέχει, καὶ διὰ τοῦτο καὶ ναυτιῶδες ἐκπέφυγε, κἂν πεφθῇ καλῶς τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι.

περὶ πιμελῆς καὶ στέατος.

Ἐλαιώδη μὲν ἄμφω ταῦτα, διαφέρει δὲ ἀλλήλων ὑγρότητι καὶ ξηρότητι, πιμελὴ μὲν γὰρ ὑγρόν τι χρῆμά ἐστι παραπλήσιον ἐλαίῳ, διὰ μακρὰν παλαιότητα πεπαχυμένῳ. τὸ στέαρ δὲ ξηρότερον, ἐστὶ πιμελῆς πολλῷ, καὶ διὰ τοῦτο κἂν θερμήνας αὐτὸ καταχέῃς, συνίσταται καὶ πήγνυται ῥᾳδίως ὀλιγότροφα δὲ ἄμφω, καὶ μᾶλλον ἡδύσματά ἐστι τῶν τρεφουσῶν ἡμᾶς σαρκῶν, ἢ αὐταὶ τροφαί.

περὶ τῶν ἐν τοῖς πεζοῖς ζώοις σπλάγχνων.

Τὸ μὲν ἧπαρ ἁπάντων τῶν ζώων, παχύχυμόν τέ ἐστι καὶ δύσπεπτον καὶ βραδύπορον ὑπάρχον. ἄμεινον ἐν αὐτοῖς, οὐκ εἰς ἡδονὴν μόνον, ἀλλὰ καὶ εἰς τἄλλα, τὸ συκωτὸν ὀνομαζόμενόν ἐστι, τῆς προσηγορίας ταύτης τυχὸν, ἐπειδὴ πολλῶν σύκων ξηρῶν ἐδωδῇ, τοῦ μέλλοντος σφάττεσθαι ζώου, τοιοῦτον παρασκευάζουσιν αὐτὸ, ὃ πράττουσιν οὕτως ἐπὶ τῶν ὑῶν μάλιστα, διὰ τὸ φύσει τὰ τούτου τοῦ ζώου σπλάγχνα, πολὺ τῶν ἐν τοῖς ἄλλοις ὑπάρχειν ἡδίω. γίνεται δὲ κἀκεῖνα σφῶν αὐτῶν ἀμείνω φαγόντος τοῦ ζώου πολλὰς ἰσχάδας, ἀλλ᾽ οὐκ εὔλογον ἐστὶν δοκεῖ τοῖς ἀνθρώποις ὑπερβάσθαι τὸ φύσει κάλλιον, ὥστε τὰ χείρω παραγίνεσθαι. τῶν δὲ ἄλλων σπλάγχνων ὁ μὲν σπλὴν, οὐδὲ πρὸς τὴν γεῦσιν ἀκριβῶς ἡδύς ἐστιν, ἔχει γάρ τι στρυφνὸν ἐμφαινόμενον. εἰκότως δὲ καὶ κακόχυμος εἶναι πεπίστευται, μελαγχολικοῦ γεννητικὸς αἵματος ὑπάρχων. ἀμφοῖν δ᾽ εὐπεπτότερος ὅσῳ καὶ ἀραιότερος, ὁ πνεύμων ἐστὶ, παμπόλλῳ γε μὴν ἥπατος εἰς θρέψιν ἥττων, ἣν δὲ δίδωσι τροφὴν τῷ σώματι, φλεγματικωτέρα μᾶλλόν ἐστιν. ἡ δὲ καρδία, κατὰ μὲν τὴν οὐσίαν, ἰνώδης σὰρξ ἐστὶ καὶ σκληρὰ, καὶ διὰ τοῦτο δύσπεπτός ἐστι καὶ βραδύπορος, εἰ δὲ πεφθείη καλῶς, τροφὴν οὐκ ὀλίγην, οὐδὲ κακόχυμον δίδωσι τῷ σώματι. περὶ δὲ νεφρῶν, καὶ γὰρ καὶ τούτους τινὲς ἐν τοῖς σπλάγχνοις ἀριθμοῦσιν, ἔμπροσθεν εἴρηται.

περὶ κοιλίας καὶ μήτρας καὶ ἐντέρων τῶν ἐν τοῖς τετράποσι ζώοις.

Σκληρότερα τὰ μόρια ταῦτα ἐστὶ τῶν σαρκῶν, διὸ κἂν καλῶς πεφθῇ, τὸν χυμὸν, οὐκ ἀκριβῶς αἱματικὸν τε καὶ ἄμεμπτον, ἀλλὰ ψυχρότερόν τε καὶ ὠμότερον ἐργάζεται. πρότερον οὖν χρόνου πλείονος δεῖται πρὸς τὸ καλῶς κατεργασθῆναι, καὶ αἷμα χρηστὸν γενέσθαι

περὶ τῆς τῶν ἡμέρων καὶ ἀγρίων ζώων διαφορᾶς.

Τῶν ἡμέρων ζώων ἡ κρᾶσις, ὑγροτέρα τῆς τῶν ἀγρίων ἐστὶ, διά τε τὴν ὑγρότητα τοῦ ἀέρος, ἐν ᾧ διαιτῶνται καὶ τὸ ῥᾴθυμον τοῦ βίου. τὰ δὲ ἐν τοῖς ὄρεσι ταλαιπωρεῖται τε καὶ κάμνει πολλὰ, καὶ ἐπὶ ξηρότερον ἀέρα διαζῇ. διὰ τοῦτο οὖν ἥ τε σὰρξ αὐτῶν ἐστὶ σκληροτέρα, καὶ πιμελῆς ἢ οὐδόλως, ἢ ὀλιγοστόν τι μετέχει. ταύτῃ τοι καὶ ἀσηπτότερα πλείοσιν ἡμέραις διαμένει τῶν ἡμέρων τε καὶ ἀργῶς διαιτωμένων ζώων. πρόδηλον δ᾽ ὅτι καὶ ἀπέριττός ἐστιν ἡ ἐξ αὐτῶν τροφὴ μᾶλλον, ὥσπερ ἡ ἐπὶ τῶν ἡμέρων τε καὶ ἀργῶν περιττωματική, τρέφειν τε οὖν ἀναγκαῖόν ἐστι τὴν τοιαύτην τροφὴν μᾶλλον, εὐχυμωτέραν τε πολλῷ τῆς ἑτέρας ὑπάρχειν.

περὶ γάλακτος.

Καὶ τοῦτο τῆς ἀπὸ τῶν ζώων ἐστὶ τροφῆς ἕν τι, διαφέρον μὲν καὶ ἐπὶ τὰς ὥρας τοῦ ἔτους οὐ σμικρὰν διαφοράν,

ἔτι δὲ μείζονα, τὴν κατ' αὐτὰ τὰ ζῶα. τὸ μὲν γὰρ τῶν βοῶν παχύτατόν ἐστι καὶ λιπαρώτατον, ὑγρότατον δὲ καὶ ἥκιστα λιπαρώτατον, τὸ τῆς καμήλου. καὶ μετὰ ταῦθ' ἵππου. μετὰ δὲ ταῦθ' ὄνου. σύμμετρον δὲ τῇ συστάσει, τὸ τῆς αἰγός ἐστι γάλα. τὸ δὲ τοῦ προβάτου, παχύτερον τούτου. κατὰ δὲ τὰς ὥρας τοῦ ἔτους, ὑγρότατον μέν ἐστι τὸ μετὰ τὴν ἀποκύησιν, ἀεὶ δὲ μᾶλλον ἐν τῷ προϊέναι, παχύνεται. καὶ κατὰ μέσον τὸ θέρος ἐν τῷ μέσῳ καὶ αὐτὸ τῆς αὐτοῦ φύσεως καθίσταται. μετὰ δὲ τὸν καιρὸν τοῦτον, ἤδη παχύνεται κατὰ βραχὺ, μέχρις ἂν παύσηται τελέως. ἔστι δ' ὥσπερ ὑγρότατον ἦρος, οὕτω καὶ πλεῖστον. ὅτι δ' ὡς προείρηται καὶ κατὰ τῶν ζώων εἴδη τὸ γάλα διαφέρει, καὶ θεασαμένῳ μὲν αὐτίκα φαίνεται, σαφέστερον δὲ γίνεται, κἀκ τοῦ σκευαζομένου καθ' ἕκαστον αὐτοῦ τυροῦ. πλεῖστον μὲν γὰρ ὀῤῥὸν ἴσχει τὸ ὑγρότατον γάλα, πλεῖστον δὲ τυρὸν τὸ παχύτατον. ὑπάγει τοίνυν εἰκότως τὴν γαστέρα τὸ μὲν ὑγρότερον μᾶλλον, ἧττον δὲ τὸ παχύτερον. ἔμπαλιν δὲ τὸ παχύτερον μὲν τρέφει μᾶλλον, τὸ λεπτότερον δὲ ἧττον. εἰ δὲ προαφεψήσας τις τὸ γάλα, τὸν ὀῤῥὸν ἐκδαπανήσειεν, οὐδ' ὅλως ὑπάγει. κοχλάκων δὲ διαπύρων ἐμβληθέντων τοσοῦτον ὡς ἐκδαπανῆσαι τὸν ὀῤῥὸν ἅπαντα, πρὸς τῷ μηκέτι ὑπάγειν τὴν γαστέρα τὸ οὕτως σκευασθὲν, ἔτι καὶ τοὐναντίον ἐργάζεται, καὶ δίδομέν αὐτὸ τοῖς ὑπὸ τῶν δριμέων περιττωμάτων δακνομένοις κατὰ τὴν γαστέρα. τῶν κοχλάκων δὲ οὐκ ἧττον, ἀλλὰ μᾶλλον ἐμβαλλόμενοι κυκλίσκοι σιδήρου διάπυροι, ταυτὸν ἐργάζονται. τυροῦται γε μὴν ἐν τῇ γαστρὶ ῥᾳδίως τὸ οὕτως σκευασθὲν γάλα. διὸ καὶ μιγνύμεν αὐτῷ μέλιτός τε καὶ ἁλῶν, ἀσφαλέστερον δὲ καὶ ὕδατος ἐπιχεῖν, ὥσπερ καὶ ποιοῦσι τῶν ἰατρῶν οὐκ ὀλίγοι. καὶ μὴ θαυμάσῃς, εἰ τὸ ὀῤῥὸν ἐκδαπανήσαντες, αὖθις ὕδατος ἐπιχέουσιν. οὐ γὰρ τὴν ὑγρότητα τοῦ ὀῤῥοῦ φεύγουσιν, ἀλλὰ τὴν δριμύτητα καθ' ἣν ὑπάγει τὴν γαστέρα τὸ σύμπαν γάλα, μικτὸν ἐξ ἐναντίων οὐσιῶν ὑπάρχον, ὀῤῥοῦ τε καὶ τυροῦ. μετέχει δὲ πρὸς τοῖσδε, καὶ τρίτου τοῦ λιπαροῦ χυμοῦ, πλεῖστου μὲν, ὡς εἴρηται, τὸ τῶν βοῶν γάλα, διὸ καὶ σκευάζουσιν ἐξ αὐτοῦ τὸ καλούμενον βούτυρον, ὃ καὶ γευσάμενος καὶ θεασάμενος μόνον, ἐναργῶς γνώσῃ πόσον αὐτῷ λιπαρότητος μέτεστιν. εἰ δὲ καὶ χρίσας τι μέρος τοῦ σώματος, ἀνατρίψας αὐτὸ, λιπαινόμενον, ὡς ἐξ ἐλαίου θεάσῃ τὸ δέρμα. κἂν εἰ νεκροῦ δὲ ζώου δέρμα ξηρὸν ἀλείψαις αὐτῷ, τὴν αὐτὴν ἐνέργειαν ὄψει. καὶ μέντοι καὶ ἄνθρωποι κατὰ πολλὰ τῶν ψυχρῶν χωρίων, ἐν οἷς ἀποροῦσιν ἐλαίου, χρῶνται λουόμενοι τῷ βουτύρῳ. φαίνεται δὲ κἂν ἐπ' ἀνθράκων διαπύρων ἐκχέοις αὐτὸ, φλόγα ποιοῦν, ὥσπερ ἡ πιμελή, καὶ μέντοι καὶ χρώμεθα αὐτῷ πολλάκις εἰς ὅσα καὶ τῷ στέατι, καταπλάσμασί τε καὶ ἄλλοις φαρμάκοις μιγνῦντες. τὸ μὲν οὖν βόειον, ὡς ἔφην, γάλα λιπαρώτατόν ἐστι, τὸ δὲ τῶν προβάτων τε καὶ τῶν αἰγῶν, ἔχει μέντοι καὶ αὐτὸ λίπους, ἀλλ' ἧττον πολὺ, τὸ δὲ τῶν ὄνων, ἥκιστα μετέχει τοιούτου χυμοῦ. διὸ καὶ σπανίως ἐτυρώθη τινὶ κατὰ τὴν γαστέρα, πινόμενον αὐτίκα θερμὸν ἅμα τῷ τῶν τιτθῶν ἐκπεσεῖν. εἰ δ' ἁλῶν λάβοι καὶ μέλιτος, ἀδύνατον παγῆναί τε αὐτὸ καὶ τυρωθῆναι κατὰ τὴν γαστέρα. διὰ δὲ τὴν αὐτὴν αἰτίαν, ἡ κάτω διαχώρησις αὐτῷ γίνεται πλείων, ὡς ἂν καὶ τὸν ὀῤῥὸν ἔχοντος πολὺν, ὑφ' οὗ τὸ σύμπαν γάλα τὴν ὑπακτικὴν λαμβάνει δύναμιν, ὅσον ἐπὶ τῷ τυρώδει τὴν σταλτικὴν ἔχον. ὁπόσον δ' ἀπολείπεται τῆς ἄλλης τοῦ γάλακτος φύσεως εἰς εὐχυμίαν ὁ ὀῤῥὸς, τοσοῦτον πλεονεκτεῖ τῶν ἄλλων ἁπάντων ὅσα λαπάττει τὴν γαστέρα. διό μοι δοκοῦσι καὶ οἱ παλαιοὶ πλεῖστῳ χρῆσθαι τούτῳ τῷ πόματι, πρὸς ὑπαγωγὴν γαστρὸς, ἐμβαλεῖν δ' αὐτῷ χρὴ μέλιτος ἀρίστου τοσοῦ ὅσον ἡδῦναι, χωρὶς ἀνατροπῆς στομάχου. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τῶν ἁλῶν, ἄχρι τοῦ μὴ λυπῆσαι τὴν γεῦσιν. εἰ γε μὴν ὑπάγειν αὐτὸ μᾶλλον ἐθέλοις, ὡς πλεῖστον ἔμβαλε τῶν ἁλῶν. ταῦτα μὲν οὖν ἐπὶ πλέον, ἢ κατὰ τὴν ἐνεστῶσαν εἴρηται πραγματείαν, ὅσα γὰρ ὡς τροφὴ τῷ γάλακτι συμβεβηκὸς ἔχει ἀγαθὰ, ταῦτα προὔκειτο διέρχεσθαι, μεμιγμένου δ' αὐτοῖς τοῦ κατὰ τὴν ὑπαγωγὴν τῆς γαστρὸς, ἐκ τῆς κοινωνίας τῆσδε, τὴν ἐκτροπὴν ὁ λόγος ἔσχε. πάλιν οὖν αὐτὸν ἐπαναγάγωμεν ἐπὶ τὸ προκείμενον, εἴπωμέν τε τὰ μήπω λελεγμένα περὶ τῆς ἐν τῷ γάλακτι δυνάμεως, ὃ ἐν τοῖς μάλιστα καὶ τοῦτ' ἐστὶν, εὐχυμώτατον εἶναι τὸ ἄριστον γάλα σχεδὸν ἁπάντων, ὅσα προσφερόμεθα. μὴ παρακούσῃς δὲ τοῦ προκειμένου κατὰ τὸν λόγον. οὐ γὰρ ἁπλῶς εἶπον εὐχυμώτατον εἶναι γάλα πᾶν, ἀλλὰ προσέθηκα τὸ ἄριστον. ὡς τό γε κακόχυμον γάλα, τοσοῦτον οὐ συντελεῖ εἰς εὐχυμίαν, ὥστε καὶ τοὺς ἐκείνους χρωμένους αὐτῷ, κακοχύμους ἐργάζεται καὶ φανερὸν ὥς γε παιδίον ἀποθανούσης τῆς προτέρας τιτθῆς, ἑτέρας κακοχύμου παρασχούσης αὐτῷ γάλα, πολλῶν ἑλκῶν ἐνεπλήσθη τὸ σύμπαν σῶμα. διῃτεῖτο δ' ἐπὶ λαχάνοις ἀγρίοις ἡ δευτέρα τιτθὴ κατ' ἄγρον ἦρος ὥρᾳ, λιμοῦ κατασχόντος. αὐτή τε οὖν ἐπληρώθη τοιούτων ἑλκῶν, ἕτεροί τέ τινες τῶν κατὰ τὴν αὐτὴν χώραν, ὁμοίως διαιτηθέντες. εἴδομεν δὲ τοῦτο κἀπὶ πολλῶν ἄλλων γυναικῶν παιδία τρεφουσῶν, κατὰ τὸν αὐτὸν ἐκεῖνον χρόνον. ἀλλὰ κἂν αἰγὸς, ἤ τινος ἄλλου ζώου νεμηθέντος σκαμμωνίαν, ἢ τιθύμαλλον, ἐν τροφῆς μέρει προσενέγκηταί τις γάλα, ῥυήσεται πάντως ἡ γαστὴρ αὐτῷ. καθάπερ οὖν ἐπὶ τῶν ἄλλων ἁπάντων, οὕτω κἀπὶ τοῦ γάλακτος ἀκούειν σε χρὴ, τῶν δυνάμεων οὐχ ἁπλῶς λεγομένων ἐπὶ τοῦ τυχόντος ἀλλ' ἐπὶ τοῦ καλλίστου μόνου. τὸ δὲ ἀπολειπόμενον ἐν ἑκάστῳ γένει τοῦ πρωτεύοντος, ἀπολείπεσθαι τοσοῦτον καὶ τῆς εἰς ἡμᾶς ὠφελείας. τὸ μὲν οὖν ὀῤῥοῦ πλεῖστον ἔχον, ἀκινδυνώτατόν ἐστιν, εἰ καὶ διαπαντὸς αὐτῷ τις χρῷτο, τὸ δ' ὀλίγον μὲν ἔχον ὑγρότητος τοιαύτης, οὐκ ὀλίγον δὲ παχύτητος τυρώδους, οὐκ ἀσφαλές ἐστιν ἅπασι τοῖς ἐν αὐτῷ πλεονάζουσι. βλάπτει μὲν γὰρ νεφροὺς, ὅσοι γ' ἐπιτηδείως ἔχουσιν εἰς λίθων γένεσιν, ἐμφράξεις δὲ καὶ καθ' ἧπαρ ἐργάζεται τοῖς ἑτοίμως παθεῖν δυναμένοις τοῦτο. τοιοῦτοι δ' εἰσὶν, οἷς στενὰ τὰ πέρατα τῶν μεταλαμβανομένων ἀγγείων, τὴν ἐκ τῶν σιμῶν τοῦ σπλάγχνου τροφὴν εἰς τὰ κυρτὰ, τοῖς δὲ κατὰ θώρακα καὶ πνεύμονα χωρίοις ἀγαθὸν ἅπαν ἐστὶ γάλα. κεφαλῇ δ' οὐκ ἐπιτήδειον, εἰ μή τις ἰσχυρὰν ἔχει πάνυ, καθάπερ οὐδ' ὑποχονδρίοις, ὅσα ῥᾳδίως ἐμφυσᾶται. πνευματοῦται γὰρ ἐν τῇ γαστρὶ παμπόλλοις, ὡς ὀλιγοστοὺς εἶναι, τοὺς μὴ πάσχοντας τοῦτο. μετὰ δέ τινος τῶν παχὺν ἐχόντων χυμὸν ἐδεσμάτων ἐπὶ πλέον ἑψηθέν. ἀποτίθεται μὲν τὸ φυσῶδες, ἐμφρακτικώτερον δὲ ἥπατος γίνεται καὶ τῶν ἐν νεφροῖς λίθων γεννητικώτερον. ἐδέσματα δ' ἐστὶ τοιαῦτα, κατὰ τὸν πρῶτον εἴρηται λόγον, ἄμυλός τε καὶ σεμίδαλις, καὶ χόνδρος, καὶ τράγος, καὶ ὄρυζα, λάγανά τε καὶ ῥυήματα καὶ

ἄρτοι

ἄρτοι μή τε καλῶς ὠπτημένοι, μή τε προπαρασκευασμένοι διὰ τρίψεως πολλῆς, ἅμα δαψιλέσιν ἅλσι, μή τε ζύμης ἔχοντες σύμμετρον. ὥσπερ δὲ ἐπὶ τούτων, οὕτως κἀπὶ τῶν ἄλλων, ὅσα μιγνῦντες γάλακτι προσφέρονταί τινες, ἡ τῶν μιγνυμένων δύναμις ἤτοι γ᾽ αὐξήσει τινὰ τῶν τοῦ γάλακτος δυνάμεων, ἢ μειώσει. νυνὶ δ᾽ ἡμεῖς αὐτοῦ τὴν δύναμιν ἀφοριζόμενοι λέγομεν, εὔχυμόν τε καὶ τρόφιμον εἶναι, συγκείμενον ἐξ ἐναντίων οὐσιῶν τε καὶ δυνάμεων, ὑπακτικῆς τε καὶ σταλτικῆς, ἐμφρακτικῆς τε καὶ λεπτυντικῆς. τὸ μὲν γὰρ ὀῤῥῶδες αὐτοῦ λεπτύνει τὸ πάχος τῶν χυμῶν, ὑπάγει τε γαστέρα, τὸ δὲ τυρῶδες ἐπέχει τὴν γαστέρα, καὶ παχεῖς ἐργάζεται τοὺς χυμοὺς, δι᾽ οὓς, ὡς ἔφην, ἐμφράξεις τε καθ᾽ ἧπαρ, ἐν νεφροῖς τε λίθοι γεννῶνται. βλάπτει δ᾽ ἡ συνεχὴς χρῆσις αὐτοῦ καὶ τοὺς ὀδόντας, ἅμα ταῖς περικειμέναις σαρξὶν ἃς ὀνομάζουσιν οὖλα, ταύτας μὲν γὰρ πλαδαρὰς, τοὺς δὲ ὀδόντας εὐσήπτους τε καὶ ῥᾳδίως διαβιβρωσκομένους ἐργάζεται. χρὴ τοίνυν ἐπὶ τῇ προσφορᾷ τοῦ γάλακτος, οἴνῳ κεκραμένῳ διακλύζεσθαι. βέλτιον τε εἰ καὶ μέλιτος ἐπεμβάλλεις αὐτῷ. πᾶν γὰρ οὕτως ἀποῤῥύπτεται τὸ περιπλασμένον τοῖς ὀδοῦσι, καὶ τοῖς οὔλοις, ἐκ τοῦ γάλακτος τυρῶδες, εἰ δὲ καὶ χωρὶς τοῦ προσεμβάλλειν ὕδατος τῷ οἴνῳ, μὴ βλάπτοιτό τις τὴν κεφαλὴν. διακλυζόμενος αὐτῷ, βελτίων ἡ τοιαύτη χρῆσις, ὡς πρὸς τοὺς ὀδόντας τε καὶ τὰ οὖλα. τό γε μὴν μέλι καὶ τούτῳ μιγνύμενον, ἄμεινον ἐργάζεται τὸ μικτὸν ἐξ ἀμφοῖν. ἀρίστη δὲ χρῆσις εἰς ἀσφάλειαν ὀδόντων, ὡς μηδὲν ὑπὸ γάλακτος βλάπτεσθαι μετὰ τὸ προσενέγκεσθαι μελικράτῳ μὲν πρότερον διακλύζεσθαι, δεύτερον δ᾽ οἴνῳ εὐφόρῳ.

περὶ ὀξυγάλακτος.

Τὸ δὲ ὀξύγαλα καλούμενον οὐ βλάπτει μὲν τοὺς ὀδόντας, ὅσοι γε κατὰ φύσιν ἔχουσιν, ὅσοι γ᾽ ἔτι διὰ φυσικὴν δυσκρασίαν, ἤ τινα ἐπίκτητον διάθεσιν εἰσὶ ψυχρότεροι τοῦ δέοντος, οὗτοι μόνοι βλάπτονται. καθάπερ ὑπὸ τῶν ἄλλων ψυχρῶν, οὕτω καὶ ὑπὸ τοῦ δε, καὶ τὸ σύμπτωμα τούτοις ἐνίοτε γίνεται, τὸ καλούμενον αἱμωδία τοιοῦτον, οἷον ἐπὶ τοῖς ἀώροις συκαμίνοις, ὅσα τ᾽ ἄλλα στρυφνὰ καὶ ὀξέα συμβαίνειν εἴωθε. πρόδηλον δ᾽ ὅτι καὶ ἡ γαστὴρ, ἡ μὲν ψυχροτέρα καθ᾽ ἥντινοῦν αἰτίαν, οὐ πέττει καλῶς ὀξύγαλα. τῇ συμμέτρως δὲ ἐχούσῃ, δυσπεπτότερον μὲν, οὐ μὴν ἄπεπτόν γε παντάπασιν. ὅσαι δὲ θερμότεραι εἰσὶ τῆς προσηκούσης γαστέρες, εἴτε ἐξ ἀρχῆς, εἴτε ἔκ τινος ὕστερον αἰτίας εἰς τοιαύτην κρᾶσιν ἀχθεῖσαι, πρὸς τῷ μηδὲν βλάπτεσθαι, καὶ χρηστοῦ τινὸς ἀπολαύουσιν ἐκ τῶν τοιούτων ἐδεσμάτων. αὗται καὶ προψυχθὲν αὐτὸ διὰ χιόνος περιπλάσεως, ἀλύπως φέρουσιν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν τοιούτων ἐδεσμάτων, καὶ δηλονότι καὶ τὸ ὕδωρ αὐτὸ παρασκευασθὲν ὁμοίως, ἐφ᾽ ᾧ καὶ θαυμάζειν ἐπῆλθέ μοι πολλοὺς τῶν ἰατρῶν ἀποφηναμένους, ὑπὲρ ἑκάστης τροφῆς, τὰς μὲν ὡς ὠφελούσης ἡμᾶς, τὰς δὲ ὡς βλαπτούσης, εὐπέπτου τε καὶ δυσπέπτου, κακοχύμου τε καὶ εὐχύμου, τροφίμου τε καὶ ἀτρόφου, κακοστομάχου τε καὶ εὐστομάχου, καὶ κοιλίαν ὑπαγούσης, ἢ ἱστώσης, ἤ τινα ἄλλην ἀρετὴν, ἢ κακίαν ἐχούσης. ἐπὶ τινῶν μὲν γὰρ ἐγχωρεῖ φάναι, πᾶσιν ἀνθρώποις εἶναι κακόχυμον, ἢ δύσπεπτον, ἢ κακοστόμαχον ἔδεσμα τὸ δέ τι, περὶ δὲ τῶν πλείστων, οὐχ οἷόν τε χωρὶς διορισμοῦ διὰ προφάσεως μιᾶς ἀληθεῦσαι. μακροῦ δ᾽ ἐξ ἀνάγκης ἐσομένου τοῦ παντὸς λόγου, γραφόντων ἡμῶν, ἐφ᾽ ἑκάστου τῶν ἐδεσμάτων, τοὺς ἀπὸ τῶν φυσικῶν κράσεων διορισμοὺς, ἐπικτήτων τε διαθέσεων, ἄμεινον εἶναι δόξειεν, καθόλου μὲν ἐξ ἀρχῆς τῆς διδασκαλίας ἐπιδεῖξαι τὴν μέθοδον. ὡς ἐποιησάμην ἐν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων, ἀναμιμνήσκειν δ᾽ ἐπὶ τῶν κατὰ μέρος ἐνίοτε, καὶ μάλιστα ἐφ᾽ ὧν ἡ φύσις οὐχ ἁπλῆ, καθάπερ ἀμέλει κἀπὶ τοῦ γάλακτός ἐστι, συγκειμένου μὲν ἐξ ἐναντίων οὐσιῶν τε καὶ δυνάμεων, ὁμοιομεροῦς δὲ φαινομένου, πρός γε τὴν αἴσθησιν. οὕτω γὰρ αὐτῷ συμβαίνει, κἂν κάλλιστον ᾖ, παρὰ τὴν τῶν κοιλιῶν διαφορὰν, ἐνίοτε μὲν ὀξύνεσθαι, κνισσώδη δ᾽ αὖθις ἐφ᾽ ἑτέρου τὴν ἐρυγὴν ἀναπέμπειν. καί τοι γ᾽ ἐναντίων διαθέσεων οὐσῶν, καθ᾽ ἃς ὀξώδεις, ἢ κνισσώδεις γίνονται, τὸ κατὰ τὴν κοιλίαν ἀπεπτηθέν. ἡ μὲν γὰρ ἔνδεια τῆς θερμασίας, ὀξύνειν αὐτὸ πέφυκεν, ἡ δ᾽ ὑπερβολὴ κνισσοῦν. γίγνεται δὲ ἄμφω ταῦτα τῷ γάλακτι, διὰ τὸ μὴ μόνον ἔχειν ἐν ἑαυτῷ τὴν ὀῤῥώδη φύσιν, ἀλλὰ καὶ τὴν λιπαρὰν, καὶ τὴν τυρώδη. τὸ γοῦν ὀξύγαλα διὰ τὴν αἰτίαν ταύτην, οὐδέ ποτε κνισσῶδες ἀπεπτηθὲν γίνεται, καὶ μάλιστα εἰς χολωδεστάτην, ἢ πυρωδεστάτην ἐμπέσῃ κοιλίαν. οὔτε γὰρ ἔτι τὴν θερμὴν καὶ δριμεῖαν ἔχει ποιότητα καὶ δύναμιν, ἧς μετεῖχε τὸ γάλα διὰ τὸν ὀῤῥὸν, οὔτε τὴν λιπαράν τε καὶ μετρίως θερμὴν ἐκέκτητο διὰ τὸ λιπαρὸν τὸ ἐν ἑαυτῷ, μόνον γὰρ ὑπολείπεται κατὰ τὴν τοιαύτην σκευασίαν τὸ τυρῶδες, οὐδὲ τοῦτο τοιοῦτον φύσει, ὁποῖον ἐξ ἀρχῆς ὑπῆρχεν ἀλλ᾽ ἐπὶ τὸ ψυχρότερον ἐκτετραμμένον. ἀρκεῖ τοιγαροῦν ἐπ᾽ ὀξυγάλακτος εἰπεῖν, ὅτι ψυχρόν ἐστι καὶ παχύχυμον· ἕπεται γὰρ τούτοις, τὸ μή τε ῥᾳδίως πέττεσθαι πρὸς τῆς συμμέτρως ἐχούσης κράσεως σώματος, ἐπ᾽ ἐκείνην γὰρ ἀναφέρεσθαι τὸν λόγον ἠξίωσα πολλάκις ἤδη κατὰ πάσας τὰς ἐμὰς πραγματείας, ὅταν ἁπλῶς ἀποφαίνομαί τι, καὶ μέν τοι καὶ τὸν ὠμὸν ὀνομαζόμενον χυμὸν, οὗ τὴν φύσιν ἔμπροσθέν τε δεδήλωκα, ἑτέρωθί τε κατὰ τὸν προηγούμενον λόγον ἐξηγησάμην, εὔλογον ἐστὶν ἐκ τῶν τοιούτων ἐδεσμάτων πλεῖστον γεννᾶσθαι. χρήσιμον δὲ εἶναι τὸ ἔδεσμα τοῦτο ταῖς πυρωδεστέραις κοιλίαις, οὐδὲν ἄλογον. ὥσπερ ταῖς ψυχροτέραις ἐναντιώτατον. οὐ μὴν οὐδὲ τοῦτο δεῖ καθ᾽ ἕκαστον τῶν ἐδεσμάτων γράφειν, ἀλλὰ μιμνήσκειν ἐπί τινων μόνον, ὡς ὁποῖός δε χυμὸς ὁποῖος ἐξ ὀξυγάλακτός τε καὶ τυροῦ, καὶ τῶν παχυχύμων ἁπάντων γίγνεται, λίθους ἐν νεφροῖς πέφυκε γεννᾶν, ὅταν ὦσι θερμότεροι τοῦ δέοντος, ἤτοι κατὰ φυσικὴν δυσκρασίαν, ἢ κατά τινα ἄλλην ὕστερον ἐγγινομένην αὐτοῖς διάθεσιν οὐ μὴν ἀνάλογόν τε τῆς θερμασίας, τὰς διεξόδους εὐρείας ἔχουσιν. αἱ γάρ τοι νοσωδέσταται κατασκευαὶ τῶν σωμάτων ἐξ ἐναντίων τῇ κράσει σύγκεινται μορίων, ὡς εἶναι γαστέρα μὲν, εἰ τύχοι θερμὴν ἱκανῶς, ἐγκέφαλον δὲ ψυχρὸν οὕτως δὲ καὶ πνεύμονα, ἐνίοτε καὶ θώραξ ὅλος ψυχρός ἐστιν ἐπὶ γαστρὶ θερμῇ. πολλάκις δὲ καὶ τοὐναντίον, ἑκάστου μὲν τῶν ἄλλων θερμότερον ὑπάρχει τοῦ δέοντος, ἡ γαστὴρ δὲ μόνη ψυχροτέρα, θερμότερον δὲ τὸ ἧπαρ ἐπί τε τῶν ἄλλων μορίων ὡσαύτως. διὸ καὶ κατ᾽ ἀρχὰς ἐδείκνυον ὠφελιμωτάτην εἶναι τὴν περὶ τῶν ἐν τροφαῖς δυνάμεων διδασκαλίαν, ὅταν ἐξηγῶνται τὴν καθ᾽ ὑγρότητα, καὶ ξηρότητα, καὶ θερμότητα, καὶ ψυχρότητα διαφορὰν, ἔτι τε τὸ γλίσχρον ἢ παχὺ τῆς οὐσίας αὐτῶν, καὶ πρὸς τούτοις ὡς ὁμοιομερές ἐστιν, ἤτ᾽ ἐξ ἐναντίων ταῖς

κράσεσι σύγκειται, καθάπερ τὸ γάλα. πρὸς δὲ τὴν τούτων διάγνωσιν, ἐκ τῆς ὀσμῆς καὶ τῆς γεύσεως, ἔτι τε τῶν ἄλλων συμπτωμάτων ἔφην ἡμᾶς ποδηγεῖσθαι, περὶ ὧν ἐν ἀρχῇ τῆσδε τῆς πραγματείας, διῆλθον, ὥσπερ καὶ νῦν ἐπὶ τοῦ γάλακτος ἐπιδεικνὺς αὐτοῦ τὴν φύσιν, ἐξ ὧν ἴσχει συμπτωμάτων, ἤτοι θερμαινομένου, ἢ διὰ πιτύας πηγνυμένου, ἢ ὁπωσοῦν ἄλλως διακρινομένων τῶν μορίων αὐτοῦ, καὶ γὰρ ἡ σχίσις καλουμένη τοῦτο ἐργάζεται χωρὶς τῆς πιτύας, ὅταν ἱκανῶς θερμήναντες τὸ γάλα καταῤῥαίνωμεν ὀξυμέλιτι ψυχρῷ. ταὐτὸ δ' ἐργαζόμεθα καὶ δι' οἰνομέλιτος. ἐνίοτε δὲ καὶ χωρὶς τοῦ καταῤῥᾶναι τὴν οὐσίαν αὐτοῦ, καθιέντες ἀγγεῖον ὕδωρ ἔχον ψυχρότατον, ἐργαζόμεθα τὴν σχίσιν. ἄνευ δὲ πιτύας, καὶ τὸ μετὰ τὴν ἀποκύησιν ἀμελχθὲν αὐτίκα πήγνυται, πυρωθὲν ἐπὶ θερμῆς σποδιᾶς ὀλίγῳ χρόνῳ. καλεῖν δὲ ἐοίκασιν οἱ παλαιοὶ κωμικοὶ τὸ οὕτω παγὲν γάλα πυριάτην, οἱ δὲ παρ' ἡμῖν ἐν Ἀσίᾳ, πυρίεφθον ὀνομάζουσιν αὐτό. τοῦτο μὲν ἀκριβῶς ἐστὶ γάλα, χωρὶς οὐσίας ἑτέρας. ὅταν δὲ μέλι μίξαντες αὐτῷ διὰ πιτύας πήξωσι, χωρίζεται μὲν ἐν τῷ ἔργῳ, τὸ λεπτὸν καὶ ὑδατῶδες αὐτοῦ. προσφέρονται δ' ἔνιοι τὸ πεπηγὸς αὐτοῦ μόνον, σύνθετον ὑπάρχον ἔκ τε τοῦ τυρώδους ἐν τῷ γάλακτι, καὶ τοῦ θερμοῦ καὶ τοῦ πυρώδους ἐν τῇ τῆς πιτύας δυνάμει, καὶ τοῦ μιχθέντος αὐτοῖς μέλιτος. ἔνιοι δὲ καὶ τῷ παγέντι, τὸν ὀῤῥὸν συγκαταπίνουσιν, ἤτοι γε ὡσαύτως, πάντα μετὰ παντὸς, ἢ θατέρου αὐτοῦ πλέον θατέρου. συμβήσεται δὲ δηλονότι, τοῖς μὲν μᾶλλον ὑπαχθῆναι τὴν γαστέρα, τοῖς δὲ ἧττον ἀνάλογον τῇ ποσότητι τῆς ὀῤῥώδους ὑγρότητος. εὔδηλον δὲ ὅτι, καὶ τρέφεσθαι τὸ σύμπαν σῶμα μᾶλλον μὲν ὑπάρξει τοῖς τὸ πεπηγὸς μόνον ἐδηδοκόσιν, ἧττον δὲ τοῖς συγκαταπίνουσιν αὐτῷ τι καὶ τῆς ὀῤῥώδους ὑγρότητος. ἔτι δὲ ἧττον, ὅσοι τὸ μὲν πεπηγὸς ὀλίγον προσενηνόχασι, τὸ δ' ὀῤῥῶδες πλεῖστον. οὕτω δὲ κἀπὶ τοῦ μετὰ τὴν ἀποκύησιν παγέντος, ἤτοι χωρὶς μέλιτος, ἢ σὺν αὐτῷ, διαφορά τις οὐ σμικρὰ γενήσεται. δυσπεπτότερον γὰρ ἔσται καὶ παχυχυμότερον, ἔτι τε βραδύτερον εἰς τὴν κάτω διέξοδον, ὅταν μὴ προσλάβῃ μέλιτος. ἥ γε μὴν ὅλου τοῦ σώματος ἡ θρέψις ἐξ ἀμφοτέρων γίνεται δαψιλής. ταῦτ' ἀρκεῖ περὶ δυνάμεως γάλακτος ἐπίστασθαι, κατὰ τὴν νῦν ἐνεστῶσαν πραγματείαν, ὅσα γὰρ εἰς νόσους χρήσιμα, ἢ τοῖς φθίνουσιν ὁπωσοῦν, ἢ τοῖς ἕλκος ἔχουσιν ἐν πνεύμονι, ταῦτ' ἴδια τῆς θεραπευτικῆς ἐστὶ μεθόδου.

περὶ τυροῦ.

Ἐλέχθη μὲν ἤδη περὶ τῆς τοῦ τυροῦ δυνάμεως ἐν τῷ περὶ γάλακτος λόγῳ, βέλτιον δὲ καὶ νῦν αὖθις ἀπονεῖμαι ἴδιον λόγον αὐτῷ. προσλαμβάνει γὰρ ἐν τῇ σκευασίᾳ, παρὰ τῆς ἐμβαλλομένης πιτύας δριμύτητα, τήνδ' ὑγρότητα πᾶσαν ἀποτίθεται, καὶ μάλιστα χρονίζας, ἡνίκα δριμύτερος γίνεται καὶ σαφῶς ἑαυτοῦ θερμότερός τε καὶ καυσωδέστερος. καὶ διὰ τοῦτο καὶ δυσπεπτότερος καὶ κακοχυμώτερος ἀποτελεῖται, διὰ ταῦτα γοῦν οὐδ' ὅπερ ἀγαθὸν ἐπικτᾶται τὰ παχύτερα τῶν ἐδεσμάτων δριμέσι καὶ λεπτυντικαῖς μιγνύμενα δυνάμεσιν, οὐδὲ τοῦτ' ἔχει βλάβης χωρίς. μείζων γὰρ ἡ ἐκ τῆς κακοχυμίας αὐτῷ καὶ τῆς καυσώδους θερμότητος ἐγγίνεται βλάβη, τῆς ἐκ τοῦ λεπτυνθῆναι τὸ πάχος ὠφελείας, ὅπου πρὸς τὴν τῶν ἐν νεφροῖς λίθων γένεσιν, ἧττον ἐστὶ βλαβερὸς ὁ τοιοῦτος χυμός. ἐδείχθησαν γὰρ οὗτοι γενόμενοι κατ' ἐκεῖνα τῶν σωμάτων, ἐν οἷς ἂν συνέλθῃ πάχος χυμῶν, πυρώδει θερμότητι. φευκτέον οὖν μάλιστα τὸν τοιοῦτον τυρὸν, ὡς μηδὲν ἀγαθὸν ἔχοντα, μήτ' εἰς πέψιν, μήτ' εἰς ἀνάδοσιν, μήτ' εἰς οὔρησιν, μήτ' εἰς ὑπαγωγὴν γαστρὸς, ὥσπερ γε μηδ' εἰς εὐχυμίαν. ἐφεξῆς δὲ μοχθηρὸν μὲν, ἧττον δὲ τούτου νομίζειν χρὴ, τὸν μήτε παλαιὸν, μήτε δριμύν. τῶν δὲ νέων ἁπάντων τυρῶν ἐστὶ κάλλιστον ὁποῖος ὁ παρ' ἡμῖν ἐν Περγάμῳ, καὶ κατὰ τὴν ὑπερκειμένην αὐτῆς Μυσίαν γίνεται, καλούμενος ὑπὸ τῶν ἐγχωρίων ὀξυγαλάκτινος, ἥδιστος μὲν εἰς ἐδωδὴν, ἀβλαβέστατος δὲ στομάχῳ, καὶ πάντων τῶν ἄλλων τυρῶν ἧττον δύσπεπτος, καὶ δυσδιέξοδος, οὐ μὴν οὐδὲ κακόχυμός ἐστιν, οὐδὲ πάνυ σφόδρα παχύχυμος, ὅπερ ἁπάντων τυρῶν ἐστὶ κοινὸν ἔγκλημα, κάλλιστα δ' ἐστὶ καὶ ὁ παρὰ τοῖς πλουσίοις εὐδοκιμῶν ἐν Ῥώμῃ, Βαθὺς τοὔνομα, καί τινες ἄλλοι κατ' ἄλλα χωρία, παμπόλλης δ' οὔσης κατὰ μέρος ἐν αὐτοῖς διαφορᾶς κατά τε τὰς φύσεις τῶν ζώων, καὶ τοὺς τρόπους τῆς σκευασίας, καὶ προσέτι τὰς ἡλικίας αὐτῶν τῶν τυρῶν, ἐγὼ πειράσομαι κἀνταῦθα περιορίσαι τὴν δύναμιν αὐτῶν ὀλίγοις σκοποῖς οἷς προσέχων τις ἐκ τοῦ ῥᾴστου διαγνώσεται τόν τ' ἀμείνονα τε καὶ χείρω. κατὰ γένος μὲν οὖν οἱ σκοποὶ διττοὶ τυγχάνουσιν ὄντες, ὁ μὲν ἕτερος ἐν τῇ ποιᾷ συστάσει τῆς οὐσίας τοῦ τυροῦ, καθ' ἣν μαλακώτερος, ἢ σκληρότερος γίνεται, καὶ πυκνότερος, ἢ χαυνότερος, καὶ κολλωδέστερος, ἢ ψαθυρότερος, ὁ δ' ἐν τῇ γευστῇ ποιότητι, καθ' ἣν ἐνίοις μὲν αὐτῶν ὀξύτης ἐπικρατεῖ, κατ' ἄλλους δὲ δριμύτης, ἢ λιπαρότης, ἢ γλυκύτης, ἢ τινὰ τούτων, ἢ οἷον ἰσομοιρία πάντων. κατὰ δὲ τὰς ἐν εἴδει διαφορὰς τῶν εἰρημένων γενῶν, ὁ μὲν μαλακώτερος, τοῦ σκληροτέρου βελτίων, ὁ δ' ἀραιὸς καὶ χαῦνος, τοῦ πάνυ πυκνοῦ καὶ πεπιλημένου. μοχθηρῶν δ' ὄντων τοῦ τε κολλώδους ἱκανῶς καὶ ψαθυροῦ μέχρι τραχύτητος, ὁ μέσος ἐστὶν αὐτῶν βελτίων. κατὰ δὲ τὴν ἐν τῇ γεύσει διάγνωσιν, ἁπάντων μὲν ἄριστος, ὁ μηδεμίαν ἰσχυρὰν ἔχων ποιότητα, βραχὺ δ' ἔτι τῶν ἄλλων, ὑπερέχουσαν τὴν γλυκύτητα. βελτίων δὲ καὶ ἡδίων τοῦ ἀνάλου, καὶ ὁ σύμμετρον ἁλῶν ἔχων τοῦ παμπόλλους, καὶ μηδόλως ἔχοντος. μετά γε μὴν τὸ προσενήνεχθαι, τὸν οὕτω κριθέντα, καὶ διὰ τῆς ἐρυγῆς ἔνεστι γνωρίζειν, ὁποῖος αὐτοῖς ἐστὶν ἀμείνων τε καὶ χείρων. ὁ μὲν γὰρ κατὰ βραχὺ μαραινομένην ἴσχων τὴν ποιότητα βελτίων, ὁ δὲ παραμένουσαν, οὐκ ἀγαθός. εὔδηλος γὰρ οὗτός ἐστι, δυσμετάβλητός τε καὶ δυσαλλοίωτος, ὥστε καὶ δύσπεπτος. ἀλλοίωσις γὰρ ἐξ ἀνάγκης ἕπεται πεττομέναις ταῖς τροφαῖς ἁπασῶν, ὧν ἔμπροσθεν εἶπον ποιοτήτων.

περὶ τοῦ τῶν πεζῶν ζώων αἵματος.

Αἷμα δύσπεπτον ἐστὶ, μάλιστα δὲ τὸ παχὺ, καὶ μελαγχολικὸν, οἷόνπερ ὑπάρχει τὸ τῶν βοῶν. τὸ δὲ τῶν λαγωῶν, ὡς ἥδιστον τε τιμᾶται, καὶ πολλοῖς δι' ἔθους ἐστὶν ἕψειν αὐτὸ σὺν τῷ ἥπατι, τισὶ δὲ καὶ μετὰ τῶν ἄλλων σπλάγχνων. ἔνιοι δὲ καὶ τὸ τῶν νέων ὑῶν ἐσθίουσιν, ὥσπερ ἄλλοι καὶ τὸ τῶν μειζόνων, ὅταν εὐωχῶνται. τὸ μὲν γὰρ τῶν κάπρων, οὐδ' ἐπιχειροῦσιν, ὡς ἀηδές τε ἅμα καὶ δύσπεπτον. τὸ δὲ τῶν αἰγῶν αἷμα, καὶ Ὅμηρος οἶδεν ἐσθιόμενον ὡς ἡδύ.

περὶ τῆς ἀπὸ τῶν πτηνῶν ζώων τροφῆς.

Ὄρνιθας ὀνομαζόντων τῶν παλαιῶν ἁπάντων τὰ πτηνὰ ζῶα, καὶ διὰ τοῦτο τοῖς νῦν Ἕλλησιν ἔθος ἤδη γέγονε τὰς

ὑπ' ἐκείνων

Optimus caseus.

ὑπ' ἐκείνων ἀλεκτορίδας καλουμένας μόνας οὕτως προσαγορεύειν, ὥσπερ γε καὶ τοὺς ἄῤῥενας, ἀλεκτρυόνας. ἔστι δὲ τὸ γένος ἁπάντων τῶν πτηνῶν ὀρνίθων ὀλιγοτροφώτατον, εἰ παραβάλλοιτο τῷ γένει τῶν πεζῶν, καὶ μάλιστα τῶν ὑῶν, ὧν τῶν σαρκῶν, οὐδὲν ἄλλο τροφιμώτερον ἔχοις εὑρεῖν. εὐπεπτοτέρα γε μὴν ἡ σὰρξ ἐστὶ τῶν πτηνῶν, καὶ μάλιστα πέρδικος, ἀτταγῆνός τε καὶ περιστερᾶς, ἀλεκτορίδος τε καὶ ἀλεκτρυόνος. ἡ δὲ τῶν κιχλῶν, καὶ κοττύφων, καὶ τῶν μικρῶν στρουθῶν, ἐν οἷς εἰσὶ καὶ οἱ πυργῖται καλούμενοι, σκληροτέρα τούτων ἐστὶ, καὶ μάλιστα δ' ἔτι καὶ τούτων αὐτῶν ἥτε τῆς τρυγόνος καὶ ἡ τῆς φάττης, ἡ τῆς νήττης. ὁμοία δὲ τῶν ἀλεκτορίδων ἐστὶν, ἡ τῶν φασιανῶν εἰς πέψιν, καὶ τροφὴν ὑπερέχουσα τῇ κατὰ τὴν ἡδονὴν ἐδωδῇ. σκληροτέρα δὲ καὶ δυσπεπτοτέρα, καὶ ἰνωδεστέρα, τούτων ἡ τοῦ ταῶνος. κοινὸν δὲ ἐπὶ πᾶσι τοῖς πτηνοῖς ζώοις, ὥσπερ καὶ τοῖς τετράποσι γινώσκειν χρὴ, τὴν τῶν αὐξανομένων σάρκα πολὺ βελτίονα τῆς τῶν παρακμαζόντων εἶναι, μέσην δὲ ἀμφοῖν τὴν τῶν ἀκμαζόντων, μοχθηρὰν δὲ καὶ τὴν τῶν πάνυ νηπίων, ἀλλ' ὑπεναντίως τῇ τῶν γεγηρακότων. ἡ μὲν γὰρ τούτων, σκληρὰ καὶ ξηρὰ καὶ νευρώδης ἐστὶ, καὶ διὰ τοῦτο καὶ πεφθῆναι μοχθηρὰ καὶ τροφὴν ὀλίγην δίδωσι τῷ σώματι. τὰ δὲ παντάπασι νέων ζώων τὰ σώματα, βλεννώδη τ' εἰσὶ καὶ ὑγρὰ καὶ δι' αὐτό γε τοῦτο περιττωματικὰ, ῥᾷον δὲ ὑπέρχεται κατὰ γαστέρα. ταῦτα μοι μέμνησο περὶ πάντων ζώων κοινῇ. καὶ γὰρ ὑπάρχει πᾶσιν αὐτοῖς ὁμοίως, ἐν ταῖς κατὰ τὴν ἡλικίαν διαφοραῖς. κοινὸς δὲ ὁ τῆς σκευασίας τρόπος, ὡς πρὸς ὑγείαν, ὃν ἔμπροσθέν τε δῆλον, ἤδη καὶ αὖθις ὡς ἐπὶ κεφαλαίων ἐρῶ, νυνὶ δὲ τὰς δυνάμεις μόνον ἀναμνήσω. ξηρότερα μὲν γὰρ εἶναι, τάτ' ὀπτηθέντα καὶ τὰ γλιωθέντα, τὰ δὲ δι' ὕδατος ἑψηθέντα γλυκέος, ὑγροτέραν διδόναι τροφὴν τῷ σώματι. λέλεκται δὲ καὶ περὶ τῶν ἐν λευκῷ ζωμῷ, καὶ ποικίλαις ἀρτύσεσι λοπάδων ἔμπροσθεν αὐτάρκως, ὥσπερ γε καὶ περὶ τῶν ἡμέρων τε καὶ ἀγρίων. οὐ σμικρὰ δὲ διαφορὰ καὶ τῶν ἐν λίμναις, ἢ ἕλεσιν, ἢ τελματώδεσι χωρίοις διαιτηθέντων ἐστὶ πρὸς τὰ ἐν τοῖς ὄρεσιν ἢ ξηροῖς χωρίοις. ἀνάλογον γὰρ τοῖς χωρίοις, αἱ σάρκες τῶν ζώων, ἤτοι ξηραὶ καὶ ἀπέριττοι, καὶ πεφθῆναι ῥᾴους, ἢ ὑγραὶ καὶ περιττωματικαὶ καὶ δυσπεπτότεροι γίνονται.

περὶ χηνῶν καὶ στρουθοκαμήλων.

Τὸ μὲν τῶν χηνῶν ὄνομα, σύνηθες ἐστὶ καὶ τοῖς παλαιοῖς. τὸ δὲ τῶν στρουθοκαμήλων, ἄηθες. ὀνομάζουσι γὰρ αὐτὰς μεγάλας στρουθούς. ἤκουσα δέ ποτε σοφιστοῦ τοῦ εἰς τὰ τοιαῦτα προβλήματα λέγοντος, ἔτι μειράκιον, ἐπιχειροῦντος, εἰς ἑκάτερα καὶ δεικνύοντος, ἐνίοτε μὲν ὄρνιθας, ἐνίοτε δὲ οὐκ ὄρνιθας εἶναι τὰ τοιαῦτα ζῶα. βέλτιον δὲ μὴ τοῦτο ζητεῖν, ἀλλ' ὁποίαν ἔχει δύναμιν ἡ ἐξ αὐτῶν τροφή. τοῦτ' οὖν ἀκούσας παρ' ἐμοῦ, παρ' ἄλλου μαθήσῃ κατὰ σχολὴν, εἴτ' ὄρνιθας ὀνομάζειν χρὴ τὰ τοιαῦτα τῶν ζώων, εἴτε μή. περιττωματικὴ τοίνυν ἡ σὰρξ αὐτῶν ἐστὶ καὶ πολὺ δυσπεπτοτέρα, τῶν προειρημένων πτηνῶν ζώων, οὐ μὴν τά γε πτερὰ χείρω τῶν ἄλλων ἔχει. πολλοῖς γοῦν τῶν πτηνῶν ζώων καὶ μάλισθ' ὅσα μικρὰ καὶ σκληρόσαρκα, καὶ ἡ τῶν πτερῶν φύσις ἐστὶν ἰνώδης τε καὶ σκληρὰ, τινῶν δὲ καὶ ἡ σὰρξ ὅλη τοιαύτη, καθάπερ γε καὶ ἡ τῶν γεράνων, ἃς καὶ αὐτὰς ἐσθίουσιν ἑωλήσαντες πρότερον ἡμέραις πλείοσι. μεταξὺ δέ πως τῶν τῶν γεράνων τε καὶ τῶν χηνῶν ἡ τῶν καλουμένων ὠτίδων, ἢ ὠτίδων ἐστὶν, ἑκατέρως γοῦν ὀνομάζουσί τε καὶ γράφουσι τὴν πρώτην συλλαβὴν, διά τε τοῦ ου. στοιχείου καὶ τοῦ. ω.

περὶ τῶν κατὰ τὰ μόρια τῶν πτηνῶν ζώων διαφορᾶς.

Τὰ μὲν σπλάγχνα, τὴν αὐτὴν ἀναλογίαν ἔχει πρὸς τὰς ἐν πτηνοῖς ζώοις σάρκας, ἣν κἂν τοῖς πεζοῖς ζώοις ἔχειν εἴρηται. τὰ δ' ἔντερα παντάπασιν ἄβρωτα πάντων ἐστὶν αὐτῶν, οὐ μὴν ἀνάλογόν γε τούτων αἱ γαστέρες. ἐδώδιμοί τε γάρ εἰσι καὶ τρόφιμοι. τινὲς δ' αὐτῶν καὶ ἥδιαι πάνυ, καθάπερ καὶ ἡ τῶν χηνῶν, ἐφεξῆς δὲ ἡ τῶν σιτευθέντων ἀλεκτορίδων. ὥσπερ δὲ καὶ ἐπὶ τῶν ὑῶν τὸ συκωτὸν ἧπαρ ἐν τοῖς ζῶσι ζώοις προπαρασκευάζουσιν ἡδὺ, διὰ τῆς τῶν ἰσχάδων ἐδωδῆς, οὕτως ἐπὶ τῶν χηνῶν ὀρρῷ γάλακτος ἀναδεύοντες τὰς τροφὰς, ὡς γίνεσθαι μὴ μόνον ἥδιστον, ἀλλὰ καὶ τροφιμώτατον εὐχυμώτατόν τε καὶ διαχωροῦν οὐ χαλεπῶς, ὡσαύτως δὲ καὶ πρὸς τὴν ἐν τῇ γαστρὶ πέψιν. καὶ τὰ πτερὰ δὲ τῶν χηνῶν ἐπιτήδεια πεφθῆναί τε καὶ τρέψαι. μᾶλλον δ' αὐτῶν τὰ τῶν ἀλεκτορίδων. οὔσης δὲ οὐκ ὀλίγης ἐν ταῖς σαρξὶ διαφορᾶς τοῖς γεγηρακόσι ζώοις πρὸς τὰ νέα, σαφεστέρα πολλῷ καὶ ἡ τῶν πτερῶν φύσις ἐστίν. ὡσαύτως δὲ καὶ τοῖς ἰσχνοῖς πρὸς τὰ πίονα, κάλλιστα μὲν τὰ τῶν εὐτρόφων τε καὶ νέων, χείριστα δὲ τὰ τῶν ἰσχνῶν καὶ γεγηρακότων. οἱ πόδες δ' ἁπάντων, ὀλίγου δεῖν, ἄβρωτοι. λόφους δὲ καὶ κάλλαια τῶν ἀλεκτρυόνων, οὔτ' ἐπαινέσειεν ἄν τις, οὔτε ψέξειεν. οἱ δ' ὄρχεις ἄριστοι καὶ μάλιστα τῶν σιτευθέντων ἀλεκτρυόνων. ἔτι δὲ μᾶλλον ὅσοι διὰ γάλακτος ὀῤῥώδους τὰς τροφὰς προσενήνεγκονται. καὶ γὰρ εὔχυμοι καὶ τρόφιμοι καὶ πεφθῆναι ῥᾷστοι. διαχώρησιν δὲ οὔτε προτρέπουσιν, οὔτ' ἐπέχουσιν. ἐγκεφάλους δὲ μικροὺς μὲν ἔχει τὰ πτηνὰ ζῶα, βελτίους μέντοι πολὺ τῶν ἐν τοῖς πεζοῖς ζώοις, ὅσῳ καὶ σκληροτέρους. αὐτῶν δὲ τῶν πτηνῶν τὰ ὄρεια τῶν ἑλείων ἀμείνους ἔχειν τοὺς ἐγκεφάλους, ἀνάλογον τοῖς ἄλλοις ἅπασι μορίοις. ἐπαινοῦσι δὲ ἔνιοι ψευδῶς τὴν τῆς στρουθοκαμήλου κοιλίαν, ὥστι φάρμακον πεπτικόν. ἔνιοι δὲ πολὺ μᾶλλον τῆς δὲ τὴν τῆς αἰθυίας, ἀλλ' οὔτ' αὐτὰ πέττονται ῥᾳδίως, οὔτε τῶν ἄλλων ἐστὶ πεπτικὸν φάρμακον, ὥσπερ ζιγγίβερι καὶ πέπερι, καὶ καθ' ἕτερον τρόπον, οἶνός τε καὶ ὄξος. εἰ δὲ περὶ γλώττης ἢ ῥάμφους τῶν πτηνῶν ζώων ἐπιχειρήσαιμι λέγειν, ἃ μηδεὶς ἀγνοεῖ, φλυαρεῖν εἰκότως ὑποληφθήσομαι.

περὶ ὠῶν.

Τῆς ἀπὸ τῶν πτηνῶν ζώων τροφῆς ἐστὶ καὶ ταῦτα, διαφέροντα τρισὶ διαφοραῖς ἀλλήλων, μία μὲν τῇ κατὰ τὴν οἰκείαν οὐσίαν. ἄμεινον γὰρ τά τε ἀλεκτορίδων ἐστὶ καὶ τὰ τῶν φασιανῶν, φαυλότερα δὲ τὰ τῶν χηνῶν τε καὶ στρουθοκαμήλων. ἑτέρα δὲ καθ' ἣν τὰ μὲν ἤδη χρόνου πλείονος ἐστὶ, τὰ δὲ, οὐ πρὸ πολλοῦ γεγένηται. καὶ τρίτη καθ' ἣν τὰ μὲν ἐπιπλέον ἕψηται, τὰ δὲ ἄχρι τοῦ μετρίως συστῆναι, τὰ δὲ μόνον τεθέρμανται. καθ' ἃς διαφορὰς, τὰ μὲν ἑφθὰ καλεῖται, τὰ δὲ τρομητὰ. τὰ δὲ ῥοφητά. κάλλιστα μὲν οὖν ἐστὶν εἰς τροφὴν τὰ τρομητὰ, τὰ δὲ ῥοφητὰ, ἧττον μὲν τρέφει, ῥᾷον δ' ὑποχωρεῖ, καὶ τὰς ἐν τῇ φάρυγγι τραχύτητας λεαίνει. τὰ δ' ἑφθὰ καὶ ὀπτὰ καὶ δύσπεπτα, καὶ βραδύπορα, καὶ τροφὴν παχεῖαν ἀναδίδωσι τῷ σώματι. τούτου δ' ἔτι μᾶλλον ἐστὶ βραδυπορώτερά τε καὶ κακοχυμώ-

τερα, τὰ μὲν θερμὴν σποδιὰν ὀπτηθέντα, τὰ δ' ὑπὸ τῶν ταγηνίων παχυνθέντα, καὶ καλούμενα δι' αὐτὸ ταῦτα ταγηνιστὰ, χειρίστην ἔχει τροφὴν εἰς ἅπαντα. καὶ γὰρ ἐν τῷ πέττεσθαι κνισσοῦται, καὶ πρὸς τῷ παχὺν γεννᾶν χυμὸν, ἔτι καὶ μοχθηρὸν ἔχει τι καὶ περιττωματικὸν αὐτόν. ἀμείνω δὲ τῶν ἑφθῶν τε καὶ ὀπτῶν ἐστὶ τὰ καλούμενα πνικτά. σκευάζεται δὲ τὸν τρόπον τοῦτον, ἀναδεύσαντες αὐτὰ μετ' ἐλαίου, καὶ γάρου, καὶ οἴνου βραχέος, ἐντιθέασι τὸ ἀγγεῖον ὕδωρ ἐχούσῃ κακκάβῃ θερμόν· εἶτα πωμάσαντες ἄνωθεν ὅλην αὐτὴν, ὑποκαίουσι μέχρις ἂν συστάσεως μετρίας. τὰ γὰρ ὑπὲρ πλέον παχυνθέντα, παραπλήσια τοῖς ἑψηθεῖσί τε καὶ ὀπτηθεῖσι γίνεται, τὰ δ' ἐν τῷ συμμέτρῳ τῆς παχύνσεως ἀρθέντα καὶ πεφθῆναι τῶν σκληρῶν ἐστὶν ἀμείνω, καὶ τροφὴν τῷ σώματι βελτίονα δίδωσι. τῆς αὐτῆς οὖν συμμετρίας περὶ τὴν σύστασιν χρὴ στοχάζεσθαι, κἀπὶ τῶν ἐπιχεομένων ἄνωθεν ταῖς λοπάσιν ὠῶν, οὐκ ἐπιτρέποντας, οὐδὲ ταῦτα παχυνθῆναι τελέως, ἀλλ' ἔτ' ἐγχύλων ὄντων ἀπὸ τοῦ πυρὸς αἴροντας τὸ ἀγγεῖον. οὐ σμικρὰ δ' ἐν αὐτοῖς ἐστὶν ὑπεροχὴ καὶ τῶν νέων πρὸς τὰ παλαιά. κάλλιστα μὲν γὰρ τὰ νεώτατα, χείριστα δὲ τὰ παλαιότατα, τὰ δ' ἐν τῷ μεταξὺ τούτων ἀνάλογον τῇ ἀποστάσει ἢ ἀφεστήκει τῶν ἄκρων, ἀρετῇ τε καὶ κακίᾳ διενήνοχεν ἀλλήλων.

περὶ τοῦ τῶν πτηνῶν ζώων αἵματος.

Λ επτοειδῶν καὶ περιστερίδων ἐσθίουσιν ἔνιοι τὸ αἷμα, καὶ μάλιστα τῶν σιτευθέντων, οὐ χεῖρον ὂν τοῦ τῶν ὑῶν, οὔτ' εἰς ἡδονὴν, οὔτ' εἰς τὸ πεφθῆναι, τοῦ μέντοι τῶν λαγωῶν ἀπολειπόμενον πάμπολυ. δύσπεπτον δ' ἐστὶ καὶ περιττωματικὸν ἅπαν αἷμα, καθ' ὃν ἂν αὐτὸ τρόπον σκευάσῃ τις.

περὶ τῆς ἀπὸ τῶν ἐνύδρων ζώων τροφῆς.

Τ ῶν ἐν ὕδατι διαιτωμένων ζώων, καὶ γένη πάμπολλα, καὶ διαφοραὶ τούτων εἰσὶ, καὶ εἴδη. λεχθήσονται δὲ νῦν, ὥσπερ ἐπὶ τῶν ἔμπροσθεν, αἱ πρὸς τὴν ἰατρικὴν χρείαν ὁμοιότητες ἐν αὐτοῖς. ἰατρικὴν δὲ λέγω ἢ ὑγιεινὴν, οὐ διοίσει πρός γε τὰ παρόντα. περὶ πάντων οὖν εἰρήσεται καθάπερ ἐπὶ τῶν ἄλλων ὅσα συνεχῶς ἐσθίουσιν οἱ ἄνθρωποι.

περὶ κεφάλου.

Τ οῦ γένους τῶν λεπιδωτῶν ἰχθύων, ἐστὶν ὁ κέφαλος οὐκ ἐν θαλάττῃ μόνον, ἀλλὰ καὶ λίμναις καὶ ἐν ποταμοῖς γεννώμενος. διὸ καὶ μεγάλην ἔχουσιν οἱ κατὰ μέρος κέφαλοι πρὸς ἀλλήλους διαφορὰν, ὡς δοκεῖν ἕτερον εἶναι γένος τοῦ πελαγίου κεφάλου, πρὸς τὸν ἐν λίμναις, ἢ ποταμοῖς, ἢ τέλμασιν, ἢ ὀχετοῖς, οἷς ἐκκαθαίρουσι τοὺς ἐν ταῖς πόλεσι κοπρῶνας. περιττωματικὴ μὲν γοῦν ἡ σὰρξ ἐστὶ καὶ βλεννώδης ἱκανῶς τῶν ἐν ἰλυώδει καὶ ῥυπαρῷ διαιτωμένων ὕδατι, καλλίστη δὲ τῶν ἐν καθαρᾷ θαλάττῃ, καὶ μᾶλλον ὅταν ὑπ' ἀνέμων καταιγίζηται, κατὰ γὰρ τὴν σκεπηνὴν καὶ ἀκύμονα, χείρων ἡ σὰρξ γίνεται τῶν ἰχθύων, ὅσῳ καὶ ἀγυμναστοτέρα, ἐν δὲ ταῖς καλουμέναις λιμνοθαλάσσαις ἔτι χείρων ἐστὶ, καὶ ταύτης ἔτι μᾶλλον, ἡ κατὰ τὰς λίμνας. εἰ δὲ καὶ σμικραί τινες αὗται τύχοιεν οὖσαι, καὶ μήτε ποταμοὺς μεγάλους δεχόμεναι, μήτε πηγὰς ἔχουσαι, μήτ' ἀπόῤῥοιαν δαψιλῆ, πολὺ δή τι χείρους. εἰ δὲ καὶ μηδὲν ὅλως ἀποῤῥέοιτο τι τοῦ ὕδατος, ἀλλ' εἴη στάσιμον ἱκανῶς μοχθηραί. περὶ δὲ τῶν ἐν ἕλεσι, καὶ τέλμασι, καὶ ὅσα τοιαῦτα χωρία λέλεκται κατ' ἀρχάς. ἐσχάτως γοῦν οἱ κατὰ τοιούτους τόπους διαιτώμενοι μοχθηρὰν ἔχουσι τὴν σάρκα. τῶν δ' ἐν τοῖς ποταμοῖς γεννωμένων, ἀμείνους, ὅσοι κατὰ τοὺς τοιούτους, ἐν οἷς ὀξὺ καὶ πολὺ τὸ ῥεῦμα, κατὰ δὲ τοὺς λιμνάζοντας οὐκ ἀγαθοί, καὶ παρὰ τὰς τροφὰς δὲ βελτίους, γίνονται καὶ χείρους. ἔνιοι μὲν γὰρ εὐποροῦσι καὶ πόας, καὶ ῥιζῶν χρηστῶν, καὶ διὰ τοῦτο κρείττους εἰσίν. ἔνιοι δὲ ἰλυώδη τε πόαν ἐσθίουσι καὶ ῥίζας κακοχύμους. καί τινες αὐτῶν ὅσοι κατὰ ποταμοὺς διαιτῶνται, μεγάλην διαῤῥέοντας πόλιν, ἀποπατήματ' ἀνθρώπων. καὶ μοχθηρὰς τροφὰς τοιαύτας προσφερόμενοι, χείριστοι πάντων, ὡς ἔφην, εἰσίν, ὥστε κἂν βραχὺ πλείονι χρόνῳ διαμένωσι νεκροί, σήπονταί τε παραχρῆμα, καὶ μοχθηρότατον ὄζουσιν. ἀηδεῖς δὲ καὶ βρωθῆναι πάντως οὗτοι, καὶ πεφθῆναι, καὶ τὴν μὴ χρηστὴν τροφὴν ὀλίγην ἔχουσιν, περίττωμα δ' οὐκ ὀλίγον. οὐκ οὖν θαυμαστόν ἐστιν οὐδ' εἰ κακοχυμίαν ἀθροίζουσιν ἐν τοῖς σώμασι τῶν ὁσημέραι προσφερομένων αὐτούς. ὄντων δὲ χειρίστων τούτων, ἐξ ὑπεναντίου κάλλιστοι πάντων εἰσίν, ὡς ἔφην, οἱ ἐν τῇ καθαρωτάτῃ θαλάττῃ, καὶ μάλισθ' ὅπου μήτε γεώδεις αἰγιαλοί, μήτε περιλαμβάνουσι τὸ ὕδωρ, ἀλλ' ἢ οἱ ψαμμώδεις, ἢ τραχεῖς. εἰ δὲ καὶ πρὸς τὰ βόῤῥεια τοῦ πνεύματος τετραμμένοι, πολὺ βελτίους. οὐ σμικρὸν γὰρ εἰς εὐχυμίαν συντελοῦντος ἅπαντι ζώῳ τῶν οἰκείων γυμνασίων, ἔτι καὶ τὸ καθαρὸν τοῦ καταμιγνυμένου τῷ ὕδατι πνεύματος, αὐξάνει τὴν ἀρετὴν τῆς οὐσίας αὐτῶν. πρόδηλον δ' ἐκ τῶν εἰρημένων, ἀμείνω καὶ κατὰ τοῦτο εἶναι θάλατταν θαλάττης, καθὼς ἤτοι καθαρὰ τελέως ἐστὶν, ἢ δέχεται ποταμοὺς μεγάλους, καὶ πολλοὺς ὥσπερ ὁ πόντος. οἱ γοῦν ἐν τῇ τοιαύτῃ, καθ' ὅσον πλεονεκτοῦσι τῶν λιμναίων, κατὰ τοσοῦτον ἀπολείπονται τῶν ἐν καθαρᾷ θαλάττῃ διαιτωμένων. εἰσὶ δὲ καὶ λίμναι τινὲς τοιαῦται, καὶ καλοῦσιν ἐνίας αὐτῶν λιμνοθαλάττας, ἔνθα ποταμὸς μέγας ἐργάζεται λίμνην συνάπτουσαν θαλάττῃ. καὶ χωρὶς δὲ τοῦ λιμνάζειν τὸν ποταμὸν, ὅπου περ ἂν τῇ θαλάττῃ μίγνυται, πρῶτον ἐπίμικτόν τε τὸ ὕδωρ ἐστὶν ἐξ ἁλμυροῦ τε καὶ γλυκέος, ἥ τε σὰρξ τῶν ἐν αὐτῷ διαιτωμένων ἰχθύων ἐν τῷ μεταξὺ τῶν τε ποταμίων, καὶ τῶν θαλαττίων ἰχθύων γίνεται. κοινὸς δ' ὁ λόγος οὗτος ἔστω οἷς καὶ τῶν ἄλλων, ὅσοι γε κατὰ ποταμοὺς καὶ λίμνας καὶ θάλατταν, ἰχθύες γίνονται. τὸ γὰρ πολὺ πλῆθος αὐτῶν, οὐκ ἐπαμφοτερίζει, τῶν μὲν θαλαττίων φευγόντων τὸ ποτάμιον ὕδωρ, τῶν δὲ ποταμίων, ἢ λιμναίων τὸ θαλάττιον. ἀλλ' ὅ γε κέφαλος ἁπάντων μάλιστα τοῖς ὕδασιν ἀμφοτέροις χρῆται, καὶ φύσιν ἔχει πρὸς ἄναντες τὸ ῥεῦμα τοῦ ποταμοῦ χωρεῖν, ἐπὶ πλεῖστον ἀφιστάμενος τῆς θαλάττης. οὗτος μὲν ὁ κέφαλος τὰς πολλὰς καὶ μικρὰς ἀκάνθας οὐκ ἔχει, καθάπερ οὐδ' ἄλλος τις τῶν θαλαττίων. ὁ δ' ἐκ ποταμῶν, ἢ λιμνῶν ἐπεμβαίνων θαλάττῃ, παραπλησίως τοῖς ὁμογενέσι, μεστὸς τῶν τοιούτων ἀκανθῶν ἐστί. σχεδὸν γοῦν ἅπασι τοῖς ἐν λίμναις καὶ ποταμοῖς γεννωμένοις ἰχθύσιν ἡ σὰρξ λεπτῶν μεστὴ ἀκανθῶν εὑρίσκεται, τῶν θαλαττίων οὐκ ἐχόντων αὐτάς. καθ' ὃν γὰρ ἂν τόπον, ἢ μεγάλου ποταμοῦ στόμα συνάπτον θαλάττῃ, τινὲς μὲν ποταμίων ἰχθύων ἐν τῇ θαλάττῃ, τινὲς δὲ τῶν θαλαττίων ἐν τῷ ποταμῷ θηρεύονται, γνωριζόμενοι, τῷ τὰς εἰρημένας ἀκάνθας, ἤτοι πολλὰς ἔχειν, ἢ οὐδ' ὅλως. ὀλίγοι μὲν οὖν τῶν ποταμίων ἐπεμβαίνουσιν τῇ θαλάττῃ, πάντες δὲ οἱ θαλάττιοι χαίρουσιν τοῖς ποταμοῖς. εὐθὺς δὲ καὶ ἡ γεῦσις ἐσθίοντί σοι γνωρίσει τὸν ἀμείνω κέφαλον.

κέφαλον. δριμυτέρα γάρ ἐστιν αὐτοῦ καὶ ἡδίων καὶ ἀλιπὴς ἡ σάρξ. οἱ δὲ λιπαροὶ, καὶ κατὰ τὴν γεῦσιν ἔκλυτοι, χείρους μέν εἰσι, καὶ εἰς αὐτὴν τὴν ἐδωδὴν, χείρους δὲ καὶ πεφθῆναι, καὶ κακοστόμαχοι, καὶ κακόχυμοι. διὸ καὶ σὺν ὀριγάνῳ σκευάζουσιν αὐτούς. ἔνιοι δὲ τῶν παρ' ἡμῖν ἀνθρώπων τοὺς ἐν τοῖς ποταμοῖς γεννωμένους ἰχθύας, λευκίσκους καλοῦσιν, ἕτερον εἶναι νομίζοντες αὐτοὺς εἶδος τῶν κεφάλων. ἔστι δὲ τἄλλα μὲν ὅμοιον πάντῃ τὸ ζῶον τῷ ζώῳ, λευκότερον δὲ βραχεῖ, καὶ τὴν κεφαλὴν ἔχον μικροτέραν, καὶ τὴν γεῦσιν ὀξυτέραν. ἡ δὲ δύναμις τῆς ἀπ' αὐτοῦ τροφῆς, οἵαν ἔμπροσθεν εἶπον εἶναι τῶν ποταμίων κεφάλων, ὥσθ' ὑπὲρ ὀνόματος, οὐ πράγματος ἡ ἀμφισβήτησις. ὃ δὲ τούτου χρησιμώτερόν ἐστιν ἐπίστασθαι, καὶ δὴ φράσω. τῶν ταριχευομένων ἐστὶν οὗτος ἰχθὺς, καὶ γίνεται πολὺ κρείττων ἑαυτοῦ σκευασθεὶς οὕτως ὁ λιμναῖος. ἀποτίθενται γὰρ ἅπαν τὸ βλεννῶδές τε καὶ βρωμῶδες ἐν τῇ γεύσει. καλλίων δὲ πλείονι τῷ χρόνῳ ταριχευθέντος ὁ νεαλής. ἀλλὰ περί γε τῶν ταριχευομένων ἰχθύων ὀλίγον ὕστερον εἰρήσεται κοινῇ, καθάπερ γε καὶ περὶ τῶν ἐωλιζομένων ἐν χειμῶνι.

περὶ λάβρακος.

Τοῦτον ἰχθὺν, οὐ τεθέαμαι γεννώμενον ἐν γλυκέσιν ὕδασιν. ἐκ μέντοι τῆς θαλάσσης ἐπαναβαίνοντα ποταμοῖς, ἢ λίμναις ἑώρακα. διὸ καὶ μικρὸς ὀλιγάκις εὑρίσκεται, καθάπερ ὁ κέφαλος πολλάκις. οὐ φεύγει δὲ οὐδὲ τὰς λιμνοθαλάσσας καὶ τὰ στόματα τῶν ποταμῶν, καίτοι πελάγιος ὤν. τούτοις γοῦν τοὔνομα τίθενται, τοῖς εἰς τὸ βάθος ἀποχωροῦσιν. ἥ γε μὴν τροφὴ ἐκ τούτου τε κἀκ τῶν ἄλλων ἰχθύων αἵματός ἐστι γεννητικὴ, λεπτοτέρου τῇ συστάσει τοῦ ἐκ τῶν πεζῶν ζώων, ὡς μήτε τρέφειν δαψιλῶς, καὶ διαφορεῖσθαι θᾶττον. εἴρηται δὲ τὸ λεπτότερον ὄνομα, ποτὲ μὲν ἐπὶ δύο πράγμασι παραβαλλομένοις λέγωμεν, ἐνίοτε δ' ἄνευ παραβολῆς, ἴσμεν ὅτι πρὸς τὸ μέσον αἷμα τῶν ἄκρων παραβολὴ γίνεται, τοῖς ἁπλῶς λεγομένοις. ἄκρα δὲ τῇ κακίᾳ κατὰ τὴν σύστασίν ἐστι, τό, τε παχὺ, καθάπερ ἡ ὑγρὰ πίττα, τό, τε ὀῤῥῶδες οὕτως, ὡς ἐκχυθὲν τῆς φλεβὸς, ἐν τῷ πήγνυσθαι πλεῖστον ἔχειν ὑγρὸν ἐποχούμενον ὑδατῶδες. ἄριστον δὲ τὸ τούτων ἀκριβῶς μεταξὺ γενόμενον, ἐξ ἄρτου τε τοῦ καλλίστου κατασκευασμένου, περὶ οὗ κατὰ τὸ πρῶτον εἴρηται γράμμα, καὶ τῶν πτηνῶν, ὧν εἴρηται ζώων, ἐκ πέρδικός τε καὶ τῶν ἄλλων παραπλησίων. ἐγγὺς δὲ τούτων εἰσὶν καὶ τῶν θαλαττίων οἱ πελάγιοι τῶν ἰχθύων.

περὶ τρίγλης.

Ἔστι μὲν καὶ ἥγε τῶν πελαγίων ἰχθύων. τετίμηται δ' ὑπὸ τῶν ἀνθρώπων, ὡς τῶν ἄλλων ὑπερέχουσα τῇ κατὰ τὴν ἡδονὴν ἐδωδῇ. σκληροτέραν δὲ σχεδὸν ἁπάντων αὐτῶν ἔχει τὴν σάρκα, καὶ ψαθυρὰν ἱκανῶς, ὅπερ σημαίνει ταὐτὸν, τῷ, μήτε γλίσχρον εἶναι τι, μήτε λιπαρὸν ἐν αὐτῇ. τρέφει τοιγαροῦν, ὅταν πεφθῇ καλῶς, τῶν ἄλλων ἁπάντων ἰχθύων μᾶλλον. ἐῤῥέθη δὲ καὶ πρόσθεν, ὡς τὸ σκληρότερον ἔδεσμα, παχυμερέστερόν τε καὶ ὡς ἂν εἴποι τις μᾶλλον γεῶδες ὑπάρχον ἀξιολογώτερον τρέφει ὑγροτέρων τε καὶ μαλακωτέρων, ὅταν γε πρὸ τῶν ἄλλων δηλονότι καὶ τὴν οὐσίαν οἰκείαν ἔχει τῷ τρεφομένῳ σώματι. κρίνεται δ' αὐτὴ διὰ τῆς ἡδονῆς. ὅσαι γοῦν ἀλλότριαι τροφαὶ ταῖς ὅλαις φύσεσίν εἰσι τῶν τρεφομένων ζώων, ταύτας ἢ οὐδ' ὅλως, ἢ ἀηδῶς ἐσθίει. τὸ γε μὴν οἰκεῖον ὥσπερ τὸ ὑγρότερον ἧττον τρέφει, οὕτω πέττεται καὶ ἀναδίδοται ῥᾷον. ἡ τοίνυν τῆς τρίγλης σὰρξ, ἡδεῖα μέν ἐστι, ὡς ἂν οἰκεία τροφὴ τῇ φύσει τῶν ἀνθρώπων, σκληροτέρα δὲ οὖσα τῶν ἄλλων ἰχθύων, ὅμως ἑκάστης ἡμέρας ἐσθίεσθαι δύναται, διότι ψαθυρὰ, καὶ ἀλιπής ἐστι καί τι δριμύτητος ἔχει. τὰ γὰρ λιπαρὰ καὶ γλίσχρα καὶ κατὰ τὴν πρώτην μὲν εὐθέως ἐδωδὴν, ἐμπίπλησί τε ταχέως, ἀνατρέπει τε τὴν ὄρεξιν, ἔτι δὲ μᾶλλον οὐχ ὑπομένομεν αὐτῶν τὴν ἐδωδὴν, ἐφεξῆς ἡμέραις πλείοσι. τὸ γε μὴν ἧπαρ τῆς τρίγλης οἱ λίχνοι τεθαυμάκασιν ἡδονῆς ἕνεκεν, ἔνιοι δ' οὐδὲ καθ' ἑαυτὸ δικαιοῦσιν ἐσθίειν αὐτό. παρασκευάσαντες δ' ἐν ἀγγείῳ τὸ καλούμενον παρέλαιον, ἔχον οἴνου βραχύτι, καταθρύπτουσιν ἐν αὐτῷ τὸ σπλάγχνον, ὡς γενέσθαι τὸ σύμπαν ἐξ αὐτοῦ τε καὶ τῶν προπαρεσκευασμένων ὑγρῶν ἕνα χυμὸν ὁμοιομερῆ πρός γε τὴν αἴσθησιν, ἐν ᾧ τὰς τῆς τρίγλης σάρκας ἀποβάπτοντες, ἐσθίουσιν. ἐμοὶ δὲ μὴν οὐδ' ἡδονὴν ἔδοξεν ἔχειν ἀξίαν τῆς τοιαύτης τιμῆς, οὔτ' ὠφέλειαν τῷ σώματι, καθάπερ οὐδὲ ἡ κεφαλὴ, καίτοι καὶ ταύτην ἐπαινοῦσιν οἱ λίχνοι, καί φασι τὰ δεύτερα φέρεσθαι μετὰ τὸ ἧπαρ. οὐ μὴν οὐδὲ διότι τὰς μεγίστας τρίγλας ὠνοῦνται πάμπολλοι, δύναμαι γνῶναι, μήθ' ἡδεῖαν ὁμοίως ταῖς μικροτέραις ἐχούσας τὴν σάρκα, μήτ' εὔπεπτον, ὡς ἂν ἱκανῶς σκληράν. ὥστε διὰ τοῦτο τινὰ τῶν ἀργυρίου παμπόλλου τὰς μεγάλας τρίγλας ὠνουμένων, ἠρόμην τίς ποτε ἐστὶν ἡ αἰτία τῆς ἀφ' ἑαυτῶν σπουδῆς, ὁ δ' ἀπεκρίνατό μοι, μάλιστα μὲν διὰ τὸ ἧπαρ ὠνεῖσθαι τὰς τηλικαύτας, ἤδη δὲ καὶ διὰ τὴν κεφαλήν. ἀλλὰ γὰρ ἀρκεῖ μέχρι τοσούτου, περὶ τῶν τριγλῶν εἰρῆσθαι, τῇ πρὸς τὸ χρήσιμον οἰκειότητι τοῦ λόγου. γίγνονται δ' ἄρισται τρίγλαι κατὰ τὴν καθαρὰν θάλασσαν, ὥσπερ καὶ οἱ ἄλλοι πάντες ἰχθύες, οὐχ ἥκιστα δὲ καὶ διὰ τὰς τροφάς. αἱ γοῦν τὰς καρκινάδας ἐσθίουσαι, καὶ δυσώδεις εἰσὶ, καὶ ἀηδεῖς καὶ δύσπεπτοι, καὶ κακόχυμοι. διάγνωσις δ' αὐτῶν, πρὶν μὲν ἐσθίειν ἀναπτύξαντι τὴν κοιλίαν. ἐσθίοντι δὲ κατὰ τὴν πρώτην εὐθέως ὀσμήν τε καὶ γεῦσιν.

περὶ τῶν πετραίων ἰχθύων.

Σκάρους, κοττύφους, κίχλας, ἰουλίδας, φυκίδας, πέρκας, πετραίους ὀνομάζουσιν ἰχθύας, ἀπὸ τῶν χωρίων, ἐν οἷς εὑρίσκονται διατρίβοντες, οὐ γὰρ ἐν τοῖς λείοις, ἢ ψαμμώδεσιν, ἢ γεώδεσιν αἰγιαλοῖς, ἀλλ' ἔνθα πέτραι τινές εἰσι, καὶ ἀκταὶ, φωλεύουσί τε καὶ τεκνοῦσιν. ἄριστος δ' ἐν αὐτοῖς ἡδονῆς ἕνεκεν ὁ σκάρος εἶναι πεπίστευται, μετ' αὐτὸν δὲ κόττυφοί τε καὶ κίχλαι, καὶ μετὰ τούτους ἰουλίδες τε καὶ φυκίδες καὶ πέρκαι. τροφὴ δ' ἐξ αὐτῶν οὐ μόνον εὔπεπτος, ἀλλὰ καὶ ὑγιεινοτάτη τοῖς τῶν ἀνθρώπων σώμασίν ἐστιν, αἷμα γεννώντων μέσον τῇ συστάσει. καλῶ δὲ μέσον, ὃ μήτε πάνυ λεπτόν ἐστι καὶ ὑδατῶδες, ἀλλὰ μηθ' ἱκανῶς παχύ. πλάτος δ' ἀξιόλογον ἔχοντος τοῦ μέσου, περὶ τῶν ἐν αὐτῷ διαφορῶν. ἐπὶ προήκοντι τῷ λόγῳ λεχθήσεται.

περὶ κωβιοῦ.

Αἰγιάλιος δὲ ἰχθύς ἐστιν οὗτος. τῶν σμικρῶν ἀεὶ διαμενόντων εἷς τίς ὢν καὶ οὗτος. ἄριστος δ' εἰς ἡδονὴν καὶ πέψιν ἅμα, ἀνάδοσίν τε καὶ εὐχυμίαν ἐστὶν ὁ κατὰ τοὺς ψαμμώδεις αἰγιαλοὺς, ἢ τὰς πετρώδεις ἀκτὰς, ὁ δ' ἐν τοῖς στόμασι τῶν πο

ταμῶν, ἢ λίμναις, ἢ λιμνοθαλάσσαις, οὔθ' ἡδὺς ὁμοίως, οὔτ' εὔχυμος, οὔτ' εὔπεπτος. εἰ δὲ καὶ ἰλυῶδες ὑπάρχει τὸ ὕδωρ, ἢ πόλιν ἐκκαθαίρων ὁ ποταμός, οὕτω μὲν ἂν εἴη χείριστος ὁ κατ' αὐτῶν κωβιὸς, ὥσπερ οἱ ἄλλοι πάντες ἰχθύες, οἱ ἐν τοῖς ὕδασι διατρίβοντες, εἰκότως οὖν ἐν μὲν τοῖς πετραίοις ἰχθύσιν, οὐδὲ μία σαφής ἐστι διαφορὰ τῶν ὁμοειδῶν πρὸς ἀλλήλους, ὡς ἂν ἐν καθαρωτάτῃ θαλάττῃ διαιτωμένοις ἀεί, φεύγουσί τε τὸ γλυκύτατον ὕδωρ, τό τε συμμιγὲς ἐκ τοῦ τοιούτου τε καὶ θαλαττίου, δευτέροις δὲ μετὰ τούτους δὲ τοῖς πελαγίοις ὑπάρχει ταυτόν. οὐδὲ γὰρ οὐδ' οὗτοι διαφορὰν ἀλλήλοις ἔχουσιν μεγάλην, ὁποίαν οἱ διατρίβοντες ἐν ἀμφοτέροις τοῖς ὕδασι. τούτων γὰρ οἱ μὲν ἐν τῇ καθαρωτάτῃ θαλάττῃ, κάλλιστοι τῶν ὁμοειδῶν εἰσιν. οἱ δ' ἐν τοῖς ἐκκαθαίρουσι τὰς πόλεις ποταμοῖς ἁπάντων χείριστοι. μέσοι δ' αὐτῶν οἱ μεταξύ. λέλεκται δὲ ταῦτα καὶ διὰ τῶν ἔμπροσθεν, ἡνίκα περὶ κεφάλου τὸν λόγον ἐποιούμην. ἥγε μὴν σὰρξ τῶν κωβιῶν, ὥσπερ σκληροτέρα τῆς τῶν πετραίων ἐστίν, οὕτω μαλακωτέρα τῆς τῶν τριγλῶν, ἀνάλογον οὖν αὐτῇ καὶ τὸ τῶν ἐσθιόντων σῶμα τρέφεται.

περὶ τῶν μαλακοσάρκων ἰχθύων.

Φιλότιμος ἐν τῷ τρίτῳ περὶ τροφῆς, περὶ τῶν μαλακοσάρκων ἰχθύων οὕτως ἔγραψεν αὐτοῖς ὀνόμασι. κώβιοι δὲ καὶ φυκίδες, καὶ ἰουλίδες, καὶ πέρκαι, καὶ σμύραιναι, καὶ κίχλαι, καὶ κόσσυφοι, καὶ σαυροί, καὶ πάλιν ὄνοι καὶ πρὸς τούτοις ἀμίαι, καὶ ψῆτται, καὶ ἧπατοι, καὶ κίθαροι, καὶ σκινίδες, καὶ πᾶν τὸ τῶν ἁπαλοσάρκων γένος, εὐκατεργαστότερόν ἐστι τῶν ἄλλων ἰχθύων. ἄξιον οὖν ἐστι θαυμάσαι πῶς τοὺς σκάρους παρέλιπε πρωτεύοντας ἐν τῷ γένει τῶν πετραίων ἰχθύων, οἷς πᾶσιν ὑπάρχει ψαθυρωτάτην τε καὶ μαλακωτάτην ἔχειν τὴν σάρκα τῶν ἄλλων ἰχθύων. ἔνιοι μὲν γὰρ αὐτῶν, ἁπαλόσαρκοι μέν εἰσιν, ἀλλ' οὐκ ἔχουσι τὸ ψαθυρόν, ἐμφερομένης τινὸς αὐτοῖς γλισχρότητος καὶ λιπαροῦ χυμοῦ, ἀνόμοιοί τε κατὰ τοῦτο τοῖς πετραίοις ὄντες, ἐν τῇ σκληρότητι τῆς σαρκὸς αὐτῶν διαλλάττουσι. τοιοῦτοι μὲν οὖν οἱ πελάγιοι σχεδὸν ἅπαντές εἰσι, πλὴν εἴτινες αὐτῶν ὑπὸ μοχθηρᾶς τροφῆς διαφθείρουσι τὴν σάρκα, καθάπερ αἱ τὰς καρκινάδας ἐσθίουσαι τρίγλαι. ζωΰφια δ' ἐστι ταῦτα, πάνυ σμικροῖς καρκίνοις ἐοικότα, ξανθὰ τὴν χρόαν. οἱ πετραῖοι δ' ἰχθύες, οὔτε ποικίλαις τροφαῖς χρῶνται, οὔτε χωρίοις διαφέρουσιν, οὔθ' ὕδασι γλυκέσι, καὶ διὰ ταῦτ' ἄμεμπτοι πάντες εἰσὶ διαπαντός. οὓς δ' ὄνους μὲν ἐκάλεσεν ὁ Φιλότιμος, ὀνίσκους δ' ὀνομάζουσιν ἄλλοι, τροφῇ μὲν ἀγαθῇ χρώμενοι, καὶ θαλάττῃ καθαρᾷ τοῖς πετραίοις γ' ἐνάμιλλον ἔχουσι τὴν σάρκα. μοχθηρᾷ δὲ τροφῇ χρησάμενοι, καὶ κατά τι τῶν ἐπιμίκτων ὑδάτων, καὶ μάλισθ' ὅσα μοχθηρὰ διατρίψαντες οὐκ ἀποβάλλουσι μὲν τὴν μαλακότητα τῆς σαρκός, ἐπικτῶνται δὲ λιπαρότητα καὶ γλισχρότητα, καθ' ἣν οὔτε ἡδεῖς ὁμοίως ἔτι διαμένουσι, περιττωματικὴν δὲ τὴν ἐξ αὐτῶν ἀναδιδόασι τροφήν. ἐπὶ πάντων δὲ ἰχθύων, ὡς ἔφην, κοινὸν τοῦτο μεμνῆσθαι προσήκει, ὡς χείριστοι γίνονται κατὰ τὰς ἐμβολὰς τῶν ποταμῶν, ὅσοι κοπρῶνας καθαίρουσιν, ἢ μαγειρεῖα καὶ βαλανεῖα, ἢ τῶν ἐσθῆτός τε καὶ τῶν ὀθονίων ῥύπον, ὅσα τ' ἄλλα τῆς πόλεως ἐστὶν ἣν διαρρέουσι, καθάρσεως δεόμενα, καὶ μάλισθ' ὅταν ἡ πολυάνθρωπος ἡ πόλις. μοχθηροτάτη δ' εὑρίσκεται καὶ τῆς μυραίνης ἡ σὰρξ ἐν ὕδατι τοιούτῳ διατριβούσης. καίτοι γ' οὔτε ποταμοῖς ἐπεμβαίνουσαν ἔστιν εὑρεῖν αὐτήν, οὔτ' ἐν λίμνῃ γεννωμένην, ἀλλ' ὅμως καὶ αὐτὴ χείρων γίνεται, κατὰ τὰς ἐμβολὰς τῶν τοιούτων ποταμῶν, ὁποῖός ἐστιν ὁ διὰ Ῥώμης ῥέων, καὶ διὰ τοῦτο εὐωνοτάτη πιπράσκεται κατὰ τὴν πόλιν τὴν δὲ σχεδὸν ἁπάντων μόνη τῶν ἐκ θαλάττης. ὥσπερ γε καὶ οἱ κατὰ τὸν ποταμὸν αὐτὸν ἰχθύες γεννώμενοι. καλοῦσι δ' αὐτοὺς ἔνιοι τιβερίνους, ὡς ἰδίαν ἔχοντας ἰδέαν, οὐδενὶ τῶν θαλαττίων ὁμοίαν: ὅτι δὲ ἡ τῶν ἐκ τῆς πόλεως ὑπερρεόντων ἐπιμιξία μοχθηροτάτους αὐτοὺς ἐργάζεται, μαθεῖν ἐστὶ ἐκ τοῦ βελτίους εἶναι τοὺς ἐν αὐτῷ τῷ ποταμῷ γεννωμένους, πρὶν εἰς τὴν πόλιν ἀφικέσθαι, καὶ μέν τοι καὶ ἄλλος τις ποταμὸς ὀνομαζόμενος Νὰρ παρεμβάλλων εἰς τὸν τίβεριν, ὡς ἀπὸ πεντήκοντα καὶ τριακοσίων σταδίων, ἰχθῦν ἔχει πολὺ βελτίω αὐτοῦ κατὰ τὸν τίβεριν ἐπειδὴ καὶ μέγας ἐστὶν εὐθὺς ἀπὸ τῶν πηγῶν καὶ καθαρὸς διαμένει κάταντες τὸ ῥεῦμα ἔχων, καὶ ὀξὺ μέχρι τοῦ τίβερεως, ὡς μηδαμόθεν μηδ' ἐπὶ βραχὺ λιμνάζειν. ὅσοι μὲν οὖν ἐκ συνηθείας ἐμπειρίαν ἔχουσι τῶν ἐπιχωρίων ἰχθύων, οὐ δέονται τῶν εἰρημένων ἄρτι γνωρισμάτων, εἰς τὴν διάγνωσιν αὐτῶν. ὅσοι δ' ἀήθεις εἰσίν, εἴτ' οὖν ἐξ ἄλλης πόλεως ἥκοντες, εἴτ' ἐπιχώριοι, τὰ τοιαῦτα προσεξεταζέτωσαν, εὐθέως ἀπ' ἀρχῆς πρὶν διὰ τῆς οἰκείας πείρας, εἰς γνῶσιν ἀφικέσθαι τῆς φύσεως ἑκάστου τῶν ἰχθύων. ἐχρῆν οὖν οὐχ ἁπλῶς μεμνημονευκέναι τῶν ἁπαλοσάρκων ἰχθύων ἁπάντων ἅμα τὸν Φιλότιμον, οὐδ' ἀναμίξαι τοῖς ἄλλοις τοὺς πετραίους ἀδιορίστως. οὗτοι μὲν γὰρ ἄριστοι διαπαντὸς ὑπάρχουσιν, οὔτε δ' ὀνίσκος, οὔτε σμύραινα, καθάπερ οὐδ' οἱ κωβιοί, καὶ γὰρ τούτων ἔνιοι μὲν ἐν ποταμοῖς, καὶ λίμναις, ἔνιοι δὲ ἐν θαλάττῃ γίγνονται, τινὲς δ' ἐν λιμνοθαλάσσαις καλουμέναις, ἢ ὅλως ἐν ἐπιμίκτοις ὕδασιν, ἔνθα ποταμοῦ μεγάλου στόμα συνάπτεται θαλάττῃ. πάμπολυ τοίνυν ἀλλήλων διαφέρουσιν, οἱ κατὰ μέρος, ὥσπερ γε καὶ οἱ κέφαλοι, καὶ αἱ σμύραιναι, καὶ οἱ ὀνίσκοι δέ, τούτων μὲν ἧττον, οὐ σμικρῷ δ' ἀλλήλων οὐδ' οὗτοι παραλλάττουσιν. οὐ μὴν ὁμοίως δὲ μαλακὴν ἔχουσι σάρκα τούτοις καὶ τοῖς πετραίοις ἰχθύσιν οἱ κωβιοί. καθάπερ οὐδὲ σκινίδες, ἢ σκιαίναι, διττῶς γὰρ ὀνομάζονται. περὶ δὲ τῶν κιθάρων, καὶ πάνυ θαυμάζω τοῦ Φιλοτίμου. παραπλήσιος γὰρ ὢν ὁ ῥόμβος, αὐτῶν μαλακωτέραν ἔχει τὴν σάρκα, τῶν ὀνίσκων ἀπολειπόμενος οὐκ ὀλίγῳ, καὶ τούτους οὖν καὶ τοὺς ἥπατους καλουμένους, καὶ τοὺς ἄλλους ὅσους ἔμιξε τοῖς πετραίοις τε καὶ τοῖς ὀνίσκοις ὁ Φιλότιμος ἐν τῷ μέσῳ καθεστηκέναι γίνωσκε τῶν β' ἁπαλοσάρκων καὶ τῶν σκληροσάρκων. οὔπω μὲν γάρ εἰσι σκληρόσαρκοι, τῶν ἀκριβῶς δὲ ἁπαλοσάρκων ἀπολείπονται. παρέλιπε δ' ἐν τούτοις ὁ Φιλότιμος καὶ τὸ βούγλωττον, ὥσπερ ἐν τοῖς πετραίοις τὸν σκάρον, εἰ μή τι ἄρα τῷ τῆς ψήττης ὀνόματι καὶ ἐπὶ τῶν βουγλώττων ἐχρήσατο, παραπλήσια μὲν γάρ πως ἐστὶν, οὐ μὴν ἀκριβῶς ὁμοειδῆ βούγλωττόν τε καὶ ψῆττα. μαλακώτερον γάρ ἐστι καὶ ἥδιον εἰς ἐδωδήν, καὶ παντὶ βέλτιον, τὸ βούγλωττον τῆς ψήττης. ἀλλὰ καὶ οἱ σαυροὶ μέσοι πως εἰσὶ τῶν ἁπαλοσάρκων τε καὶ σκληροσάρκων, οὐ μὴν δεῖταί γέ τις τῶν εἰρημένων ἰχθύων, οὔτ' ὄξους, οὔτε νάπυος, οὔτ' ὀριγάνου, καθάπερ οἱ λιπαροὶ καὶ γλίσχροι, καὶ σκληροί, καὶ μέν τοι καὶ χρῶνται τινὲς μὲν ταγηνίζοντες αὐτούς, τινὲς δὲ ὀπτῶντες, ἢ δὲ ἐν ταῖς λοπάσι σκευάζοντες ὥσπερ τοὺς ῥόμβους τε καὶ κιθάρους. ἀλλ' αἱ μὲν τῶν μα-

γεωργικῶν λεπτίδων σκευασίαι τὸ πάμπαν ἀπεψίας εἰσὶν αἴτιαι. κάλλισται δ' εἰσὶν εἰς πέψιν, αἱ διὰ τοῦ λευκοῦ ζωμοῦ. γίγνεται δὲ οὕτως, ὅταν ὕδατος δαψιλοῦς ἐμβληθέντος ἐλαίου τις αὐτάρκες ἐπιχέας ἀνήθου τε καὶ πράσου μικρὸν, εἶθ' ἡμιέφθους ποιήσας ἐπιβάλλοι τοσοῦτον ἁλῶν, ὡς μηδέπω φαίνεσθαι τὸν ὅλον ζωμὸν ἁλμυρόν. αὕτη καὶ τοῖς νοσηλευομένοις ἐπιτήδειος ἡ σκευασία. τοῖς δ' ἀμέμπτως ὑγιαίνουσι, καὶ ἡ διὰ τοῦ ταγήνου, καὶ μετ' αὐτὴν, ἡ τῶν ἐπὶ τῆς ἐσχάρας ὀπτηθέντων. ἀλλ' αὕτη μὲν ἐλαίου καὶ γάρου δεῖται, μετὰ βραχέος οἴνου. τοῖς δὲ ταγηνισθεῖσιν ἁρμόττει πλέον ἔχειν, ἢ κατὰ τούτους οἴνου τε καὶ γάρου, βραχέος ἐπιχυθέντος ἐλαίου. τοῖς δ' ἀνατρεπομένοις ἐπὶ τῷδε τὸ στόμαχον, ἕτοιμον ἔστω περικείμενον ὄξος ὀλίγον ἔχον ἐν ἑαυτῷ γάρου τε καὶ πεπέρεως. μεταβαίνοντες γὰρ ἐπὶ τὴν διὰ τούτων ἐδωδὴν ἄμεινόν τε πέττουσι, καὶ πρὸς τὴν διαχώρησιν οὐδὲν βλάπτονται, δι' ἣν μάλιστα τινὲς ἐξ οἴνου καὶ γάρου, ταγηνισθέντα προσφέρονται, πεπέρεως μὲν, ἐπεμβάλλοντες οἱ πλείους, ὀλίγοι δ' ἐλαίου. τινὲς δ' ἐκ τῶν εἰρημένων ἰχθύων, ἐπειδὰν ταγηνισθῶσιν ὀλίγοις ἁλσὶ περιπασθέντες ἥδιστοί τε ἅμα βρωθῆναι, καὶ πεφθῆναι γίνονται βελτίους, εὐστομαχώτεροί τε πάσης ἄλλης σκευασίας. ἁπάντων δὲ τῶν εἰρημένων ἰχθύων ἡ τροφὴ καλλίστη, τοῖς τε μὴ γυμναζομένοις ἐστὶ, καὶ † γέρουσι, καὶ ἀσθενέσι, καὶ τοῖς νοσηλευομένοις. οἱ γυμναζόμενοι δὲ, τροφιμωτέρων ἐδεσμάτων δέονται, περὶ ὧν ἔμπροσθεν εἴρηται. λέλεκται δ' ἤδη πολλάκις ἡ μαλακὴ καὶ ψαθυρὰ τροφὴ πρὸς ὑγείαν ὑπάρχειν ἀρίστη, διότι καὶ εὐχυμοτάτη πασῶν ἐστιν. οὐδὲν δ' εὐχυμίας εἰς ὑγείαν ἀσφαλὲς μεῖζον ἐφόδιον.

† ἄλ. ἀγροῖς

περὶ τῶν σκληροσάρκων ἰχθύων.

Καὶ περὶ τούτων ἔγραψεν ὁ Φιλότιμος κατὰ λέξιν οὕτως ἐν τῷ δευτέρῳ περὶ τροφῆς. δράκοντές τε καὶ κόκκυγες, καὶ γαλεώνυμοι, καὶ σκορπίοι, καὶ φάγγροι, καὶ πρὸς τούτοις ἔτι καὶ τράχουροι καὶ τρίγλαι, καὶ πάλιν ὀρφοί τε καὶ γλαῦκοι, καὶ σκάροι, καὶ κύνες, καὶ γόγγροι, καὶ ἀμίαι, καὶ ζύγαιναι, καὶ πάντες οἱ σκληρόσαρκοι, δυσκατεργαστοί τ' εἰσὶ καὶ παχεῖς καὶ ἁλυκοὺς ἀναδιδόασι χυμούς. αὕτη μὲν ἡ τοῦ Φιλοτίμου ῥῆσις. ἐπισκεψώμεθα δ' ἕκαστον τῶν κατ' αὐτὴν εἰρημένων ἀπὸ τῆς ἀρχῆς. οἱ μὲν οὖν δράκοντες καὶ οἱ κόκκυγες ἐναργῶς ἅπασι φαίνονται τοῖς προσενηνεγμένοις αὐτοὺς, σκληρὰν ἔχοντες τὴν σάρκα. τῶν γαλεῶν δ' οὐχ ἓν εἶδός ἐστι, ὁ γάρ τοι παρὰ Ῥωμαίοις ἐντιμότατος ἰχθὺς, ὃν ὀνομάζουσι γαλαξίαν, ἐκ τοῦ τῶν γαλεῶν ἐστι γένους, ὃς οὐδὲν γεννᾶσθαι δοκεῖ κατὰ τὴν ἑλληνικὴν θάλασσαν, καὶ κατὰ τοῦτό γε καὶ ὁ Φιλότιμος αὐτὸν ἠγνοηκέναι φαίνεται. γέγραπται μέν τοι διττῶς ἐν τοῖς ἀντιγράφοις τοὔνομα, γαλεοὶ μὲν ἐν τρισὶ συλλαβαῖς κατ' ἔνια, γαλεώνυμοι δὲ ἐν πέντε κατ' ἄλλα, καὶ δῆλον ὅτι τῶν ἁπαλοσάρκων ἐστὶν, ὁ παρὰ τοῖς Ῥωμαίοις ἔνδοξος γαλεξίας, οἱ δ' ἄλλοι γαλεοὶ, σκληρόσαρκοι μᾶλλόν εἰσι. σκορπιοὺς δ' ἐφεξῆς, καὶ τραχούρους, καὶ τρίγλας, ὀρφούς τε καὶ γλαύκους, ὁ Φιλότιμος ἐν τοῖς σκληροσάρκοις ὀρθῶς καταλέγει. σκάρους δ' αὐτοῖς συγκαταριθμῶν ἁμαρτάνει, τῶν πετραίων ἰχθύων ὄντας. ἐφεξῆς δὲ κύνας ἔγραψεν, οὓς ἐν τοῖς κητώδεσιν ἐχρῆν καταριθμεῖσθαι, σκληρὰν καὶ περιττωματικὴν ἔχοντας τὴν σάρκα, καὶ διὰ τοῦτό τε ταριχευομένους τε καὶ ταριχευομένους, ἐδωδήν τε ὄντας ἀνθρώπων τῶν ἐπιτυχόντων, καὶ γὰρ ἀηδεῖς εἰσὶ καὶ βλεννώδεις, καὶ διὰ τοῦτο καὶ διὰ νάπυός τε καὶ ὀξελαίου, καὶ τῶν οὕτω δριμέων ὑποτριμμάτων αὐτοὺς ἐσθίουσιν. ἐκ τούτου δὲ τοῦ γένους εἰσὶ καὶ φάλαιναι καὶ δελφῖνες, καὶ φῶκαι. πλησίον δ' αὐτῶν ἥκουσι καὶ οἱ μεγάλοι θύννοι, καίτοι τῇ γ' ἡδονῇ τῆς ἐδωδῆς οὐχ ὅμοιοι τοῖς προειρημένοις ὄντες. ἀηδεῖς γὰρ ἐκεῖνοι καὶ μάλιστα πρόσφατοι. ταριχευθέντες δ' ἀμείνους γίνονται τῶν ἐλαττόνων θύννων, κατά τε τὴν ἡλικίαν καὶ τὸ μέγεθος, οὐθ' ἡ σὰρξ ὁμοίως σκληρὰ, καὶ πεφθῆναι δηλονότι βελτίους εἰσὶ, καὶ τούτων ἔτι μᾶλλον αἱ πηλαμίδες, αἳ καὶ ταριχευθεῖσαι τοῖς ἀρίστοις ταρίχοις ἐνάμιλλοι γίγνονται. πλεῖσται δ' ἐκ τοῦ πόντου κομίζονται τῶν ἐκ τῆς Σαρδοῦς τῶν ἐκ τῆς Ἰβηρίας μόνων ἀπολειπόμεναι. ἐντιμότατον γοῦν δὴ τοῦτο τὸ τάριχον εἰκότως ἐστὶν, ἡδονῆς τε καὶ μαλακότητος ἕνεκα τῆς σαρκὸς ὀνομάζεται δὲ συνήθως, ὑπὸ τῶν πάντων ἤδη τὰ τοιαῦτα τάριχη σάρδα. μετὰ δὲ σάρδας τε καὶ πηλαμίδας οἱ ἐκ τοῦ πόντου κομιζόμενοι μῦλοι μᾶλλον τετίμηνται, καὶ μετ' αὐτοὺς οἱ κορακῖνοι. ταῦτα μὲν οὖν ὡς ἐν παρέργῳ περὶ τῶν ταριχευθέντων ἰχθύων εἰρήσθω. ζυγαίνων δὲ καλῶς, ἐμνημόνευσεν ὁ Φιλότιμος ἐν τοῖς σκληροσάρκοις. ἐχρῆν δὲ καὶ τῆς ἀνθίας αὐτὸν μεμνῆσθαι, καθάπερ γε καὶ τῶν ἄλλων, οὓς ὅλως παρέλιπε. γόγγρους δὲ καὶ φάγγρους καὶ ἀμίας, καὶ ἀετοὺς ὀρθῶς εἶπε σκληροσάρκους εἶναι καὶ ἄλλοι δέ τινες, ὡς αὐτὸς ἔφη, τῶν σκληροσάρκων, ἰχθύων εἰσὶν, ὧν οὐκ εἶπε τὰς προσηγορίας, ὅτι μηδ' ἐν πολλῇ χρήσει τοῖς ἀνθρώποις εἰσὶν ὅθεν ἄμεινον ἐστὶ ἐπισκέψασθαι περὶ τῆς δυνάμεως αὐτῶν, ἐάσαντες τὰς προσηγορίας. ὅτι μὲν οὖν οἱ σκληρόσαρκοι δυσκατεργαστότεροι τῶν μαλακοσάρκων εἰσὶν, ὀρθῶς εἶπεν ὁ Φιλότιμος. εἴτε γὰρ ἐν τῇ γαστρὶ πέψις, εἴτε καθ' ἕκαστον τῶν τρεφομένων μορίων ἐξομοίωσις, ἐπὶ μὲν τοῖς μαλακωτέροις, ῥᾴων ἐστὶν ἐπὶ δὲ τοῖς σκληροτέροις χαλεπωτέρα. γίγνεται γὰρ ἀλλοιουμένων αὐτῶν ταῦτα, ῥᾷον δ' ἀλλοιοῦνται τὰ μαλακώτερα, διότι καὶ πάσχειν ἑτοιμότερα. πάθος δ' ἐστὶ τῶν ἀλλοιουμένων ἡ ἀλλοίωσις. ὀρθῶς οὖν εἶπεν αὐτοὺς δυσκατεργάστους εἶναι, ὀρθῶς δὲ καὶ παχέος χυμοῦ γεννητικούς. ἡ μὲν γὰρ σκληροτέρα τροφὴ παχυτέραν ἔχει τὴν οὐσίαν. ἡ δὲ μαλακωτέρα, λεπτοτέραν. εἰ δὲ καὶ ἁλυκοὺς ἡ σκληρὰ τροφὴ τοὺς χυμοὺς ἐργάζεται, σκεπτέον ἐφεξῆς. ὁ μὲν γοῦν Φιλότιμος, ὥσπερ γε καὶ ὁ διδάσκαλος αὐτοῦ Πραξαγόρας τὸν ἁλυκὸν χυμὸν, ἐκ τῶν ἐπὶ πλέον θερμαινομένων γίγνεσθαί φησιν. ἐμοὶ δ' οὐχ ἁπλῶς δοκεῖ δεῖν, ἀλλὰ μετὰ διορισμοῦ ποιεῖσθαι τὴν ἀπόφασιν, ἐπεὶ δὲ κοινὸς ὁ λόγος ἐστὶν ἁπάντων τῶν σκληρῶν ἐδεσμάτων, ἴδιον αὐτῶν κεφάλαιον προθέντες, ἐφεξῆς σκεψόμεθα.

περὶ τοῦ εἰ κατὰ τὰ σκληρὰ πάντα κατὰ τὴν ἕψησιν, ἁλυκὸς γεννᾶται χυμός.

Οὐ μόνον ἐπὶ τῶν ἰχθύων τῶν σκληροσάρκων, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἐδεσμάτων ὅσα σκληρὰ, Πραξαγόρας καὶ Φιλότιμος οἴονται τὸν ἁλυκὸν γεννᾶσθαι χυμὸν ἐν ταῖς ἐπὶ πλέον ἑψήσεσιν, ὀνομάζουσι δ' αὐτὸν οὐχ ἁλυκὸν μόνον, ἢ ἁλμυρὸν, ἀλλὰ καὶ νιτρώδη. ἐγὼ δ' ὁρῶ τὸ μὲν ἀφέψημα τῶν πλείστων, εἰ δὲ βούλει καὶ πάντων ἐφ' ὅσον ἂν ἕψηται χρόνον ἁλυκότερον ἀεὶ γινόμενον, ὕστερον δέ ποτε καὶ πικρὸν ὡς αὐτοὶ βούλονται, τὸ μέν τοι στερεὸν σῶμα, τὸ κατὰ τὸ ὕδωρ ἑψηθὲν ἀποτιθέμενον ἐν ἐκείνῳ τὰς ἐξ ἀρχῆς ὑπαρχούσας αὐτῷ ποιότητας,

ὡς ἐν τῷ χρόνῳ τὸ καλούμενον ἄποιόν τε καὶ ὑδατῶδες γίνεσθαι, μήθ᾽ ἁλυκότητος ἔχοντι, μήτε πικρότητος, ἢ
δριμύτητος, ἢ στύψεως. ἐναργέστερον δ᾽ εἴσῃ τοῦ λεγομένου τὴν ἀλήθειαν, ἐάν ποτε εἰς ἄλλο μεταβάλλων ὕδωρ,
ἕψῃς ὅπερ ἂν θέλῃς. εὑρήσεις μὲν γὰρ αὐτὸ τὸ ἑψόμενον ἀποβαλὸν τὴν οἰκείαν ποιότητα, τὸ δ᾽ ὕδωρ ὑποδεχόμενον
αὐτήν. θέρμοι μὲν οὖν τῶν δημητρίων ἐδεσμάτων ὄντες πικρὸν ἐργάζονται τὸ ὕδωρ, ὅτι καὶ αὐτοὶ τὴν πικρὰν
ποιότητα σύμφυτον ἔχουσιν. οὕτω δὲ καὶ ὄροβοι, καὶ ἀψίνθιον καὶ ἀβρότονόν τε καὶ πόλιον, ὅσα τἆλλα πικρά.
τὸ σῶμα δ᾽ αὐτὸ τὸ ἀφεψηθὲν ἧττον φαίνεται πικρόν. εἰ δὲ καὶ μεταβάλλων εἰς ἕτερον ὕδωρ, αὐτὰ πάλιν ἑψή-
σαις, ὡς ἀρτίως εἶπον, ἔτι καὶ μᾶλλον ἢ πρόσθεν, εὑρήσεις ἀποβεβληκότα τὴν πικρότητα, κἂν εἰ τρίτον, ἢ τέταρ-
τον εἰς ὕδωρ ἕτερον μεταβάλλοις, ἔτι μᾶλλον ἢ πρόσθεν, ὡς ἐν τῷ χρόνῳ πᾶσαν ἀποθέσθαι τὴν πικρότητα. κατὰ
δὲ τὸν αὐτὸν τρόπον, ὅσα δριμέα, καθάπερ σκόροδα, καὶ κρόμμυα, καὶ πράσα, τὸ μὲν ὕδωρ ἐφ᾽ ᾧπερ ἑψη-
θέντα τύχῃ, σαφῶς δριμὺ ἐργάζεται, τὴν δ᾽ αὐτῶν οὐσίαν, ἧττον ἴσχει δριμεῖαν. εἰ δ᾽ ἄλλοτε εἰς ἄλλο μεταβάλλοις ὕ-
δωρ αὐτὰ παντάπασιν ἀποτίθεται τὴν δριμύτητα. καὶ μὴν καὶ τὰ μῆλα τὰ στρυφνὰ μέσπιλά τε καὶ ἀχράδες,
εἰς ὅσον ἂν ἕψωνται, γλυκύτερα μὲν αὐτὰ γίνονται, τὸ ἀφέψημα στρυφνὸν ἀπεργάζεται, οἱ χυλοὶ δ᾽ αὐτῶν μόνοι ἂν
ἑψήσαις, ἁλυκότεροι μὲν τὸ πρῶτον, ὕστερον δὲ καὶ πικροὶ γίνονται. διὸ περὶ μὲν τῶν χυλῶν, συγχωρητέον ἐστὶ, τῷ
τε Πραξαγόρᾳ καὶ τῷ Φιλοτίμῳ γινώσκουσιν, ὡς εἴρηται. περὶ δὲ τῶν στερεῶν σωμάτων ἔμπαλιν ἔχειν ἡγητέον. εἰ
γὰρ ὡς ὀλίγον ἔμπροσθεν εἶπον, ἐκ τοῦ πρώτου μεταβάλλοι τις εἰς δεύτερον ὕδωρ αὐτὰ, καὶ μετ᾽ ἐκεῖνο πάλιν εἰς
τρίτον, ἢ καὶ τέταρτον, ἀποβάλλοντα τελέως εὑρήσει τὸν ἐξ ἀρχῆς χυμὸν, ὡς γινομένοις ὑδατώδη τε καὶ ἄποια
φαίνεσθαι. μὴ μεταβληθέντων δ᾽ εἰς ἕτερον, ἀναγκαῖόν ἐστιν ἁλυκότερον μὲν πρῶτον, ὕστερον δὲ, καὶ πικρὸν γίνε-
σθαι τὸ ἀφέψημα. μάλιστα δ᾽ ὁ ζωμὸς ἐξηπατηκέναι μοι τοὺς περὶ τὸν Πραξαγόραν φαίνεται, ἁλυκότερος ἐν τῷ
τῆς ἑψήσεως χρόνῳ γινόμενος, οὐκ ἐννοοῦντας, ὡς ἁλῶν, ἢ γάρου κατὰ τὴν ἐξ ἀρχῆς ἄρτυσιν ἐμβεβλημένων εἰς τὸ ὕ-
δωρ, ἀναγκαῖόν ἐστι προερχομένης τῆς ἑψήσεως, ἁλυκότερον ἑαυτοῦ γίνεσθαι τὸν χυμὸν, ὥσπερ εἰ καὶ χωρὶς τοῦ
ἑτέρου ἐμβαλεῖν τι σῶμα βραχύτατον ἁλῶν ἀναμίξαις ὕδατι καθαρῷ τε καὶ γλυκυτάτῳ, καὶ γὰρ καὶ τοῦτο θερ-
μαινόμενον, ἁλυκότερον γίνεται. καὶ τί θαυμαστόν; αὐτὸ γὰρ ἤδη πλέον ἑψόμενον ὕδωρ τὸ κάλλιστον, ἁλυκὴν
ἐν τῷ χρόνῳ ποιότητα προσλαμβάνει.

περὶ τῶν ὀστρακοδέρμων ζώων.

Ε πειδὴ τὸ περιέχον ὅλον τὸ σῶμα, καθάπερ ἀμφίεσμά τι σύμφυτον ἑκάστῳ καλεῖται δέρμα, κατ᾽ ἀναλογίαν δ᾽
αὐτῷ τὸ κατὰ τοὺς κήρυκας ἐστὶ καὶ τὰς πορφύρας, ὄστρεά τε καὶ χήμας, ὅσα τ᾽ ἄλλα τοιαῦτα, διὰ τοῦτο καλοῦσιν
ὀστρακόδερμα ταῦτα τὰ ζῶα. σαφῶς οὖν ὀστράκῳ παραπλήσιον, ἢ λίθῳ τὸ ἔξωθεν αὐτοῖς περικείμενον σκέ-
πασμα ἐστί. κοινὸν μὲν οὖν ἁπάντων τῶν τοιούτων, ἁλυκὸν χυμὸν ἔχειν ἐν τῇ σαρκὶ, λαπακτικὸν τῆς γαστρός. ἴδιον
δ᾽ ἑκάστῳ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τούτῳ κατά γε ποιότητα καὶ ποσότητα. τὰ μὲν γὰρ ὄστρεα, μαλακωτάτην
ἔχει τῶν ἄλλων ὀστρακοδέρμων, τὴν σάρκα. τὰ δὲ σμικρὰ χήμια, καὶ οἱ σφόνδυλοι, καὶ οἱ σωλῆνες, καὶ αἱ πορφύ-
ραι, καὶ οἱ κήρυκες, ὅσα τἆλλα τοιαῦτ᾽ ἐστὶ, σκληράν. εἰκότως οὖν ὑπάγει μὲν ἐκεῖνα τὴν γαστέρα μᾶλλον, ἥττονα τρο-
φὴν διδόντα τῷ σώματι. τὰ δὲ σκληρότερα, δυσπεπτότερα μέν ἐστι, τρέφει δὲ μᾶλλον. ἀλλὰ ταῦτα μὲν, ἑψεῖται
πάντα, τὰ δ᾽ ὄστρεα χωρὶς ἑψήσεως ἐσθίουσιν, ἔνιοι δὲ καὶ ταγηνίζουσιν. ὥσπερ δὲ δύσπεπτον ἔχει τὴν σάρκα τὰ
ὀστρακοδέρμων ζώων, οὕτως καὶ δυσδιάφθαρτον, αἱρούμεθά τε, καὶ διὰ τοῦτο διδόναι πολλάκις αὐτὰ τοῖς διαφθεί-
ρουσιν ἐν τῇ κοιλίᾳ τὴν τροφὴν ὑπὸ κακοχυμίας, ἤτοι γ᾽ ἐξ ἥπατος εἰς αὐτὴν καταῤῥεούσης, ἢ περιεχομένης
ἐν τοῖς χιτῶσιν αὐτῆς. ἔχει δὲ πάντα μὲν, ὡς εἶπον, ἁλυκὸν χυμὸν ὑπακτικὸν τῆς γαστρός. ἥττονα μέντοι τῶν ὀστρέ-
ων τὰ σκληρόσαρκα, διὸ καὶ δίδαμεν αὐτὰ τοῖς διαφθείρουσι τὴν τροφὴν, ἑψόντες δὶς καὶ τρὶς ἐν ὕδατι καλ-
λίστῳ, μεταθέντες εἰς τὸ καθαρὸν, ὅταν ἤδη τὸ πρότερον ἁλμυρὸν φαίνεται. γίνεται δ᾽ ἐξ αὐτῶν ὁ καλούμενος
ὠμὸς χυμὸς πάμπολυς, ἐκ δὲ τῶν μαλακοσάρκων τὸ φλέγμα. καθάπερ οὖν ἀποθεμένων αὐτῶν τὸν ἁλυκὸν
χυμὸν, ὥσπερ ἡ σὰρξ δύσφθαρτος, οὕτω καὶ σταλτικὴ γίνεται τῆς γαστρός, ὡσαύτως εἰ ἐναρτύσας δι᾽ ἁλῶν, ἢ γά-
ρου, καθάπερ εἰώθασι τὰς χήμας ἐκπίει τις τὸν γενόμενον χυλὸν, ὑπαχθήσεται μὲν ἡ γαστὴρ ἱκανῶς, οὐδεμίαν δὲ
τροφὴν ἐξ αὐτοῦ τὸ σῶμα τοῦ ἀνθρώπου λήψεται.

περὶ τῶν μαλακοστράκων

Α στακοὶ, καὶ πάγουροι, καὶ καρκίνοι τε καὶ κάραβοι, καὶ καρίδες, καὶ καμμαρίδες, ὅσα τἆλλα, λεπτὸν ἔχει τὸ περιέ-
χον ὄστρακον, ὅμοια δὲ τῇ σκληρότητι τοῖς ὀστρακοδέρμοις, ἧττον μὲν ἐκείνων ἔχει τὸν ἁλικὸν χυμὸν, ἔχει δ᾽ οὖν ὅμως
οὐκ ὀλίγον. ἐστὶ δὲ σκληρόσαρκα κατὰ πάντα, καὶ διὰ τοῦτο δύσπεπτά τε καὶ τρόφιμα, προεψηθέντα δηλονότι κατὰ τὸ
πότιμον ὕδωρ. ἔστι δὲ καὶ τούτων ἡ σὰρξ, ὥσπερ καὶ τῶν ὀστρέων, ἐπισχετικὴ τῶν κατὰ τὴν γαστέρα, ὅταν ἐναποθῆται
τῷ ὕδατι τὸν ἁλυκὸν χυμὸν, ὡς εἴρηται, προεψηθέντα, καὶ κοινὰ καὶ ταῦτα, δύσφθαρτα, τοῖς σκληροῖς τῶν
ὀστρακοδέρμων ὡσαύτως ἐστί.

περὶ μαλακίων.

Μ αλάκια καλεῖται, τὰ μήτε λεπίδας ἔχοντα, μήτε τραχὺ, μήτε ὀστρακῶδες τὸ δέρμα, μαλακὸν δ᾽ οὕτως ὡς ἀν-
θρώποις. ἔστι δὲ ταῦτα, πολύποδές τε καὶ σηπίαι, καὶ τευθίδες, ὅσα τἆλλα τούτοις ἔοικεν. ἁπτομένῳ μὲν οὖν μα-
λακὸν φαίνεται, διὰ τὸ μήτε λεπιδωτὸν ἔχειν, μήτε τραχὺ, μήτε ὀστρακῶδες τὸ σκέπασμα. σκληρόσαρκα
δ᾽ ἐστὶ καὶ δύσπεπτα, καὶ βραχὺν ἐν ἑαυτοῖς περιέχοντα τὸν ἁλυκὸν χυμόν. εἰ μέντοι πεφθείη, τροφὴν οὐκ ὀλί-
γην δίδωσι τῷ σώματι, πλεῖστον δ᾽ οὖν καὶ ταῦτα τὸν ὠμὸν ἐργάζεται χυμόν.

περὶ σελαχίων.

Τ ραχὺ καὶ λαμπρὸν ἐν τῇ νυκτὶ τὸ δέρμα τῶν τοιούτων ἐστὶ ζώων. διὸ καί τινες ἀπὸ τοῦ σέλας ἔχειν, ὠνομάσθαί φα-
σιν αὐτὰ σελάχια. μαλακὴν δ᾽ ἐν αὐτοῖς ἔχει τὴν σάρκα νάρκη τε καὶ τρυγών. ὥσπερ οὖν καὶ ἡδεῖαν, ὑπάγουσαν
τε κατὰ γαστέρα μετρίως καὶ πεττομένην οὐ χαλεπῶς, ἀλλὰ καὶ τρέφει μετρίως, ὥσπερ γε καὶ τὰ ἄλλα πάν-
τα τὰ

τα τὰ † μαλακόσαρκα. κοινὸν δ' ἐν αὐτοῖς ἅπασίν ἐστι, πολυσαρκότερα τῶν μέσων μορίων περὶ τὰς οὐρὰς εἶναι. μάλιστα δὲ τοῦθ' ὑπάρχει ταῖς νάρκαις, ἔοικε γάρ τοι τὰ μέσα τῶν ζώων τούτων οἷόνπερ χόνδρον, τακερὸν ἐν αὐτοῖς ἔχειν. βάτοι δὲ καὶ λειόβατοι, καὶ ῥῖναι, καὶ πάνθ' ὅσα τοιαῦτα σκληρότερα καὶ δυσπεπτότερα, καὶ τροφὴν πλείονα τῷ σώματι παρέχοντα νάρκης τε καὶ τρυγόνος ἐστί.

† αλ. μαλακόστρακα

περὶ τῶν κητωδῶν ζώων

Εἴρηται μὲν ἤδη καὶ πρόσθεν ὑπὲρ τῶν ἐν τῇ θαλάττῃ κητωδῶν ζώων, ἐξ ὧν ἐστιν αἵ τε φῶκαι, καὶ φάλαιναι, δελφῖνές τε καὶ ζύγαιναι, καὶ τῶν θύννων οἱ μεγάλοι, καὶ πρὸς αὐτοῖς οἱ κύνες, ὅσα τ' ἄλλα τοιαῦτα καὶ νῦν δὲ αὐτῶν ἐν κεφαλαίῳ λεκτέον, ὡς ἅπαντα τὰ τοιαῦτα καὶ σκληρὰν καὶ κακόχυμον ἔχει καὶ περιττωματικὴν τὴν σάρκα. καὶ διὰ τοῦτο προταριχεύοντες αὐτὰ τὸ πλέον εἰς χρῆσιν ἄγουσι, λεπτομερεστέραν ἐργαζόμενοι τὴν ἐξ αὐτῶν ἀναδιδομένην τροφὴν εἰς τὸ σῶμα, καὶ διὰ τοῦτο πεφθῆναί τε δυναμένην θᾶττον, αἱματωθῆναί τε μᾶλλον. ἡ γάρ τοι πρόσφατος, ὅταν μὴ πάνυ καλῶς πεφθῇ, πλεῖστον ἐν ταῖς φλεψὶν ἀθροίζει τὸν ὠμὸν χυμόν.

περὶ θαλαττίων ἐχίνων.

Καὶ δι' οἰνομέλιτος αὐτοὺς ἐσθίουσι καὶ διὰ γάρου, γαστρὸς ὑπαγωγῆς ἕνεκεν, καὶ λοπάδας ἐξ αὐτῶν σκευάζουσιν, ἐπεμβάλλοντες ᾠόν τε καὶ πεπέρεως καὶ μέλιτος. ἔστι δὲ τῶν ὀλιγοτρόφων ἐδεσμάτων, καὶ μέσων τῆς κατὰ τὸ λεπτύνειν καὶ παχύνειν χυμοὺς δυνάμεως.

περὶ μέλιτος.

Ἡ τῶν τροφῶν ὕλη πᾶσα, μέχρι δεῦρο διττοῖς γένεσι περιληφθεῖσα, τὸ μὲν ἕτερον αὐτῶν ἐκ φυτῶν ἔχει, τὸ δὲ ἕτερον ἐκ ζώων. ἑκατέρας δ' αὐτῶν ὑφαίρεται τὸ μέλι. γίνεται μὲν γὰρ ἐπὶ τοῖς φύλλοις τῶν φυτῶν, ἔστι δὲ οὔτε χυλὸς αὐτῶν, οὔτε καρπὸς, οὔτε μόριον, ἀλλ' ὁμογενὲς μὲν ταῖς δρόσοις, οὐ μὴν οὔτε συνεχῶς, οὔθ' ὁμοίως ἐκείναις γίνεται δαψιλές. οἶδα δέ ποτε θέρους ὥρᾳ πλεῖστον ὅσον ἐπὶ τοῖς τῶν δένδρων, καὶ θάμνων, καί τινων βοτανῶν φύλλοις εὑρεθὲν, ὡς ὑπὸ τῶν γεωργῶν λέγεσθαι παιζόντων, ὁ Ζεὺς ἔβρεξε μέλι. προηγεῖτο δὲ νὺξ μὲν εὔψυχρος, ὡς ἐν θέρει. θέρους γὰρ ἦν ὥρα τηνικαῦτα, θερμὴ δὲ καὶ ξηρὰ κρᾶσις ἀέρος ἐπὶ τῆς προτεραίας. ἐδόκει τοίνυν τοῖς δεινοῖς περὶ φύσιν, ἐκ τῆς γῆς τε καὶ τῶν ὑδάτων ἀτμὸν ἀκριβῶς λεπτυνθέντα καὶ πεφθέντα πρὸς τῆς ἡλιακῆς θερμότητος, ὑπὸ τῆς ἐπιγιγνομένης ἐπὶ τῆς νυκτὸς ψύξεως ἀθροισθῆναι πιληθέντα. παρ' ἡμῖν μὲν οὖν σπανίως φαίνεται τοῦτο γινόμενον, ἐν δὲ τῷ ὄρει τῷ Λιβάνῳ καθ' ἕκαστον ἔτος οὐκ ὀλίγον. ὥστε ἐκπετανῦντες ἐπὶ γῆς δέρματα καὶ σείοντες τὰ δένδρα, δέχονται τὸ ἀπορρέον ἀπ' αὐτῶν, καὶ χύτρας καὶ κεράμια πληροῦσι τοῦ μέλιτος. ὀνομάζουσι δ' αὐτὸ δροσόμελί τε καὶ ἀερόμελι. πρόδηλος μὲν οὖν, ἡ ὕλη τῆς γενέσεως τοῦ μέλιτος ὁμογενὴς τις οὖσα ταῖς δρόσοις, εἰς ἀρετὴν δὲ καὶ κακίαν αὐτῷ φαίνεταί τι προσέρχεσθαι παρὰ τῶν φυτῶν ἐφ' ὧν τοῖς φύλλοις ἀθροίζεται, καὶ διὰ τοῦτο γίνεται κάλλιστον, ἔνθα πλεῖστοι θύμοι, καί τινες ἄλλαι θερμαὶ καὶ ξηραὶ τῇ κράσει βοτάναι τε καὶ θάμνοι. λεπτομερέστερον τοιγαροῦν ἐστι μέλι τὸ γεννώμενον ἐν τοῖς τοιούτοις φυτοῖς, καὶ διὰ τοῦτο ῥᾳδίως ἐκχολοῦται, κατὰ τὰ θερμὰ σώματα. τοῖς ψυχροῖς δ' ἐπιτηδειότατόν ἐστιν, εἴτε δι' ἡλικίαν, εἴτε διὰ νόσον, εἴτε φύσει τοιαῦθ' ὑπάρχει. ταῦτα τοίνυν ὑπ' αὐτοῦ τρέφεσθαι πέφυκεν αἱματωθέντος, ὡς ἔγγυς τοῖς θερμοῖς ἐκχολοῦσθαι φθάνει, πρὶν αἱματωθῆναι. λεπτομερὲς δ' ὑπάρχον, ἐξ ἀνάγκης ἔχει τι καὶ δριμύ. διὸ πρὸς ἔκκρισιν ἐπεγείρει τὴν γαστέρα. τοῦτ' οὖν ἀφαιροῦντες αὐτῷ, πρὸς ἀνάδοσίν τε καὶ πέψιν, ἐπιτηδειότερον ἐργαζόμεθα. καλλίστη δ' ἀφαίρεσις γίνεται, μιχθέντος πρότερον ὕδατι πολλῷ, μετὰ τοῦτο δ' ἑψηθέντος ἄχρι περ ἂν ἀφρίζον παύσηται. προσήκει δ' αἴρειν ἀπ' αὐτοῦ συνεχῶς δηλονότι τὸν ἀφρὸν εὐθὺς ἅμα τῷ γενέσθαι. διὰ γάρ τοι τῆς τοιαύτης παρασκευῆς, ἀποθέμενον τὴν δριμύτητα, καὶ μηκέτ' ἐρεθίζον εἰς ἔκκρισιν τὴν κοιλίαν, ἀναδίδοται οὐ βραδέως. τὸ δ' ἐπ' ὀλίγον, ἢ οὐδ' ὅλως ἑψηθὲν μελίκρατον ὑπέρχεσθαι φθάνει πρὸ τοῦ πεφθῆναι ἀναδοθῆναί τε καὶ θρέψαι τὸ σῶμα. διαφορὰ δ' αὐτοῖς ἐστι καὶ τῷ φῦσαν μέν τινα γεννᾶν ἐν τῇ κοιλίᾳ, καὶ τοῖς ἐντέροις, τὸ μὴ τελέως ἑψηθὲν, ἄφυσον δὲ καὶ διουρητικὸν γίνεσθαι τὸ κατὰ τὴν ἕψησιν ἀποθέμενον ἅπαντα τὸν ἀφρόν. εἰ δὲ χωρὶς ὕδατος μίξεως ἐκλείχοι τις τὸ μέλι μόνον, ἧττον μὲν τρέφει, μᾶλλον ὑπάγει τὰ κατὰ τὴν γαστέρα. πλέον δ' εἴ τις αὐτοῦ προσενέγκοι, τὴν ἄνω κοιλίαν εἴωθεν εἰς ἔμετον ἐξορμᾶν. ἑψηθὲν δὲ χωρὶς ὕδατος, οὔτ' ἐμετικόν ἐστιν ὁμοίως, οὔθ' ὑπακτικὸν τῶν κατὰ τὴν κοιλίαν, ἀλλ' ἀναδίδοταί τε καὶ τρέφει μᾶλλον. οὖρα δ' ἧττον κινεῖ τοῦ μεθ' ὕδατος ἑψηθέντος. οὐ μὴν οὐδ' ὁπότε τρέφει, τροφὴν ἀξιόλογον δίδωσι τῷ σώματι, ὡς τισὶν ἔδοξεν, οὐδὲ τρέφειν ὅλως. ἀλλὰ πρὸς μὲν τούτους αὐτάρκως εἴρηται διὰ τοῦ τρίτου τῶν εἰς τὸ περὶ διαίτης ὀξέων νοσημάτων Ἱπποκράτους ὑπομνήματος, ὅ τινες μὲν ἐπιγράφουσι πρὸς τὰς Κνιδίας γνώμας, ἔνιοι δὲ περὶ πτισάνης, ἁμαρτάνοντες ἀμφότεροι, καθότι δέδεικται διὰ τῶν εἰς αὐτὰ γεγονότων ἡμῖν ὑπομνημάτων. ἐν δὲ τῷ παρόντι λόγῳ, τοσαῦτ' εἰπεῖν ὑπὲρ αὐτοῦ βέλτιον ἦν ὅσα λέλεκται. κεφάλαιον δ' αὐτῶν ἐστιν, γέρουσι μὲν, καὶ ὅλως ταῖς ψυχραῖς τοῦ σώματος κράσεσιν, ἐπιτήδειον εἶναι, τοῖς δ' ἀκμάζουσι καὶ θερμοῖς ἐκχολοῦσθαι. τροφὴν δ' ὀλίγην ἡμῖν ἐξ αὐτοῦ γίνεσθαι μὴ φθάσαντος εἰς χολὴν μεταβαλεῖν. ὡς ἐάν γ' αὐτῷ τοῦτο συμβαίνῃ, τρέφειν οὐδ' ὅλως τηνικαῦτα δύνασθαι. πρόδηλον δὲ ὅτι τὴν ὠχρὰν καὶ ξανθὴν χολὴν, ὑπ' αὐτοῦ γεννᾶσθαι λέγομεν οὐ τὴν μέλαιναν. εἴρηται γὰρ ἤδη πολλάκις ἐν πολλοῖς ἔθος εἶναι τοῖς ἰατροῖς τὴν τοιαύτην χολὴν ἁπλῶς ὀνομάζειν ἄνευ τῆς κατὰ τὴν χρόαν προσθήκης. τὰς δ' ἄλλας ἁπάσας, σὺν τῷ τῆς χρόας ἑρμηνεύειν ὀνόματι. φαίνονται δὲ κενούμεναι πλὴν τῆς πρασιζούσης αἱ ἄλλαι πᾶσαι χαλεπῶς νοσοῦντος τοῦ σώματος, ἡ ξανθὴ δὲ καὶ ὠχρὰ, καὶ πρασοειδὴς, καὶ χωρὶς νοσημάτων ἐμεῖταί τε καὶ διαχωρεῖται πολλάκις.

περὶ οἴνου.

Ὅτι μὲν ἐκ τῶν τρεφόντων ἐστὶν ὁ οἶνος ἅπαντες ὁμολογοῦσι. καὶ εἴ γε τὸ τρέφον ἅπαν τροφή ἐστι, ῥητέον εἴη ἐκ τοῦ γένους τῶν τροφῶν καὶ ὁ οἶνος, ἀλλ' ἔνιοί γε τῶν ἰατρῶν, οὔ φασι δεῖν ὀνομάζειν τροφὴν αὐτὸν, ἀντιδιαιρεῖσθαι νομίζοντες κατὰ τοὺς λόγους τῇ τροφῇ τὸ ποτὸν, ὅπερ καὶ πόμα προσαγορεύεται, καθάπερ γε καὶ ἡ τροφὴ σιτίον τε

καὶ ἐδεστὸν ἔδεσμα. τροφὴν μὲν οὖν διὰ ταῦτα καλεῖν, οὐκ ἀξιοῦσι τὸν οἶνον, ὁμολογοῦσι μὴν τρέφειν αὐτὸν, οὗ νῦν εἰς τὰ παρόντα δεόμεθα. καὶ εἴπερ καὶ ἄλλας τινὰς ὕλας τρέφειν μὲν συνεχώρουν, ἐκώλυον δὲ τροφὰς ὀνομάζειν, καί τοι τρέφοντα, συγχωρήσουσιν ἡμῖν τῷ περὶ τῶν τροφῶν λόγῳ, βραχὺν ὄντα τὸν περὶ τῶν οἴνων προσθεῖναι. ἃς γὰρ Ἱπποκράτης δυνάμεις εἶπεν ἐν τῷ περὶ διαίτης ὀξέων, οὐχ ὡς τροφῆς εἰσὶν, ἀλλ᾽ ὡς φαρμάκου μᾶλλον. ἐκείνας μὲν οὖν ἐν τῷ τρίτῳ εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων ἐξηγήμεθα, κἀν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ, καὶ τῇ τῶν ὑγιεινῶν. ἐν δὲ τῷ νῦν ἐνεστῶτι λόγῳ, τὰς ἐν τῷ τρέφειν αὐτοῦ διαφορὰς ἐροῦμεν, ἐντεῦθεν ἀρξάμενοι. Ἁπάντων οὖν τῶν οἴνων οἱ ἐρυθροί τε ἅμα καὶ παχεῖς εἰς αἵματος γένεσιν ἐπιτηδειότατοι, βραχυτάτης δεόμενοι τῆς εἰς αὐτὸ μεταβολῆς. ἐφεξῆς δὲ αὐτῶν, οἱ μέλανές τε καὶ γλυκεῖς καὶ παχεῖς, εἶτ᾽ οἱ κατὰ τὴν χρόαν ἐρυθροὶ καὶ μέλανες, ἐν δὲ τῇ συστάσει παχεῖς, ἔχοντες ἅμα τούτοις, καὶ τῆς στρυφνῆς ποιότητος. τούτων δὲ ἧττον οἱ λευκοί τε ἅμα καὶ παχεῖς καὶ στρυφνοὶ τρέφειν πεφύκασιν. ἁπάντων δ᾽ ἥκιστα τρέφουσιν οἱ λευκοὶ μὲν τὴν χρόαν, λεπτοὶ δὲ τὴν σύστασιν, παραπλήσιοι πως ὄντες ὕδασι, τοῖς εἰς τὸ καλούμενον ὑδρόμελι ἐπιτηδείοις. ὅτι μὲν οὖν οἱ παχεῖς οἶνοι, τροφιμώτεροι τῶν λεπτῶν εἰσὶν, ἥ τε φύσις αὐτῶν ἐνδείκνυται, καὶ ἡ πεῖρα μαρτυρεῖ. πέττονται δὲ κατὰ τὴν γαστέρα, καὶ ἀναδίδονται μᾶλλον οἱ γλυκεῖς τῶν αὐστηρῶν, ὡς ἂν καὶ θερμότεροι ὄντες τὴν δύναμιν. οἱ δὲ παχεῖς πάνυ, πέττονται μὲν, βραδύτερον, ὥσπερ γε καὶ ἀναδίδονται, γαστρὸς δ᾽ ἰσχυροτέρας ἐπιτυχόντες, ὡς πεφθῆναι καλῶς, πλείονα τροφὴν διδόασι τῷ σώματι, πρόδηλον δ᾽ ὅτι καθάπερ εἰς τὸ τρέφειν εἰσὶ βελτίους τῶν λεπτοτέρων, οὕτως εἰς οὔρησιν χείρους.

περὶ τῶν ταριχευομένων ἐν τῷ πρόσθεν λόγῳ ἀναβληθέντων.

Ἀνεβαλλόμην ἐρεῖν ἐπὶ τῇ τελευτῇ τοῦ λόγου περὶ τῶν ταριχευομένων καὶ τῶν μέσων ἐδεσμάτων. ὅπως οὖν μηδὲ ταῦτα λείποι, καιρὸς ἤδη διελθεῖν ἑκατέρων τὰς δυνάμεις. ἐπιτήδεια πρὸς ταριχείαν ἐστὶ σώματα ζώων, ὅσα σκληράς τε ἅμα καὶ περιττωματικὰς ἔχει τὰς σάρκας. ὀνομάζω δὲ περιττωματικὰς, ὡς κἀν τῷ πρόσθεν λόγῳ τὰς ἐχούσας ἐν ἑαυταῖς ὑγρότητα παρεσπαρμένην φλεγματικωτέραν. καὶ ὅσῳ κἂν ᾖ δὲ πλείων ἢ καὶ παχυτέρα, τοσῷδε μᾶλλον ἀμείνων ἡ σὰρξ γίνεται ταριχευομένη. τὰ δ᾽ ἤτοι πάνυ μαλακὴν ἢ πάνυ ξηρὰν, καὶ ἀπέριττον ἔχοντα τὴν ἕξιν τοῦ σώματος, οὐκ ἐπιτήδεια ταριχεύεσθαι. δύναμις γάρ ἐστι τῶν ἁλῶν ὡς ἐν τῇ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ δέδεικται σύνθετος, ἔκ τε τοῦ διαφορεῖν τὰς περιττὰς ὑγρότητας, οἷς ἂν ὁμιλεῖ σώμασι, καὶ λεπτύνειν αὐτὰ, καὶ συνάγειν εἰς ἑαυτὰ, τοῦ τῶν λίτρων ἀφροῦ, καὶ τοῦ τῶν χαύνων ἀφονίτρων, τὸ μὲν λεπτύνειν καὶ διαφορεῖν ἐχόντων, τὸ δὲ συνάγειν, ἢ σφίγγειν οὐκ ἐχόντων. ὅσα τοίνυν ἐστὶ φύσει ξηρὰ σώματα διαπαττόμενα τοῖς ἁλσὶν, ἄβρωτα γίνεται σκελετευόμενα. καί τις ἐπιχειρήσας ταριχεῦσαι λαγωὸν, ὅμοιον εἰργάσατο, ταῖς σκελετευθείσαις γαλαῖς. αἱ δὲ τῶν ἀκμαζόντων τε καὶ πιόνων ὑῶν σάρκες, ἐπιτήδειοι ταριχεύεσθαι, τὴν ἀτοπίαν ἑκατέραν ἐκπεφευγυῖαι, ξηρότητα μὲν τῶν γεγηρακότων, ὑγρότητα δ᾽ ἄμετρον τῶν νέων χοίρων. ὥσπερ γὰρ τὰ ξηρὰ σώματα βύρσαις ὅμοια γίνεται ταριχευθέντα, κατὰ τὸν ἐναντίον τρόπον ὅσα λίαν ὑγρὰ διαρρεῖ, κατατήκεται τοῖς ἁλσὶν ὁμιλοῦντα. διὰ τοῦτ᾽ οὖν οὐδὲ τῶν ἰχθύων ὅσοι μαλακόσαρκοι εἰσὶ, καὶ ἀπέριττοι, καθάπερ οἱ πετραῖοι καλούμενοι, καὶ τῶν ὀνίσκων οἱ ἐκ καθαρᾶς θαλάττης, εἰς ταριχείαν εἰσὶν ἐπιτήδειοι. κορακῖνοι δὲ, καὶ μύλοι καὶ πελαμίδες, ἔτι τε σάρδαι καὶ σαρδῆναι, καὶ τὰ σαξά τινα καλούμενα, καὶ τάριχη, πρὸς ταριχείαν, εἰσὶν ἐπιτήδεια. καὶ τὰ κητώδη δὲ τῶν θαλαττίων ζώων ταριχευόμενα βελτίω γίνονται. περιττωματικὴν ἔχοντα καὶ ταῦτα τὴν σάρκα. μοχθηραὶ δὲ τρίγλαι πρὸς ταριχείαν εἰσὶ, διὰ τὸ ξηρὰν καὶ ἀπέριττον ἔχειν τὴν σάρκα. πρόδηλον δ᾽ ἐκ τούτων ὅσα μὲν σκληρὰ καὶ νευρώδη, καὶ οἱονεὶ δερματώδη τε καὶ βυρσώδη γίνεται, ταριχευθέντα δυσπεπτότατα πάνυ ἐστίν. τὰ δ᾽ ἐναντίως διατιθέμενα, λεπτομερῆ μὲν αὐτὰ γίνονται, λεπτύνει δ᾽ ἐσθιόμενα, τοὺς παχεῖς καὶ κολλώδεις χυμοὺς, ἄριστα δ᾽ ἐστὶ τῶν εἰς ἐμὴν πεῖραν ἐλθόντων. τά τε σαρδικὰ πρὸς τῶν ἔμπροσθεν ἰατρῶν ὀνομαζόμενα τάριχη, σάρδας δ᾽ αὐτὰς καλοῦσιν. οἵ τε νῦν ἐκ τοῦ πόντου νομιζόμενοι μύλοι, δευτέραν δ᾽ ἐπ᾽ αὐτοῖς ἔχουσι τάξιν. οἵ τε κορακῖνοι, καὶ αἱ πηλαμίδες καὶ τὰ σαξά τινα καλούμενα.

περὶ τῶν μέσων ἐδεσμάτων.

Καθ᾽ ἑκάστην διαφορὰν, ὧν εἶπον ὑπάρχειν, ἐν ταῖς τροφαῖς ἐστί τινα μέσα. καὶ γὰρ τῶν σκληροσάρκων, καὶ μαλακοσάρκων εὕροις ἄν τι μέσον, ὡς μήτ᾽ ἁπαλόσαρκον ἔτι, μήτε σκληρόσαρκον εἶναι, καὶ τῶν λεπτυνόντων τε καὶ παχυνόντων, ἢ θερμαινόντων, ἢ ψυχόντων, ἢ ξηραινόντων, ἢ ὑγραινόντων. ἐπιτήδεια δ᾽ ἐσθίεσθαι, τοῖς μὲν ἄμεμπτον φυλάττουσι τὴν φυσικὴν κρᾶσιν ζώοις, ὅσα ταῖς φύσεσιν αὐτῶν ἐστὶν ὅμοια, τοῖς δὲ μοχθηρὰν ἢ ἐξ ἀρχῆς ἔχουσιν, ἢ ὕστερον ἐπικτησαμένοις, οὐχ ἡ τῶν ὁμοίων ἑαυτοῖς, ἀλλ᾽ ἡ τῶν ἐναντίων ἐδωδὴ χρήσιμος. ὑπὸ μὲν γὰρ τῶν ὁμοίων φυλάττεσθαι τὸ κατὰ φύσιν ἀμέμπτως ἔχον, ὑπὸ δὲ τῶν ἐναντίων, εἰς τὴν οἰκείαν κρᾶσιν ἄγεται, τὰ μοχθηρῶς κεκραμένα. τοιγαροῦν ἴδιον ἑκάστῃ φύσει ζώου γενήσεται τὸ μέσον, οἷον ἀνθρώπῳ μὲν τοιόνδε, κυνὶ δὲ τοιόνδε καὶ τῶν ἄλλων δὲ ἑκάστῳ. καὶ κατὰ μέρος ἀνθρώπῳ τόδε, κατὰ τήνδε τὴν ἡλικίαν καὶ τήνδε, καὶ προσέτι κατὰ τὰς τῶν ἐπιτηδευμάτων διαφορὰς, ἐθῶν τε καὶ χωρίων ἐν οἷς ἐκ πολλοῦ διατρίβουσι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΕΥΧΥΜΙΑΣ ΚΑΙ ΚΑΚΟΧΥΜΙΑΣ.

Οἱ συνεχῶς ἐτῶν οὐκ ὀλίγων ἐφεξῆς γενόμενοι λιμοὶ, κατὰ πολλὰ τῶν ῥωμαίοις ὑπακουόντων ἐθνῶν, ἐναργῶς ἐπεδείξαντο, τοῖς γε μὴ παντάπασιν ἀνοήτοις, ἡλίκην ἔχει κακοχυμία δύναμιν εἰς νόσων γένεσιν. οἱ μὲν γὰρ τὰς πόλεις οἰκοῦντες, ὥσπερ ἦν ἔθος αὐτοῖς παρασκευάζεσθαι κατὰ τὸ θέρος εὐθέως, σῖτον αὐτάρκη πρὸς ὅλον τὸν ἐφεξῆς ἐνιαυτὸν, ἐκ τῶν ἀγρῶν πάντα τὸν πυρὸν αἴροντες ἅμα ταῖς κριθαῖς τε καὶ τοῖς κυάμοις καὶ φακοῖς, ἀπέλιπον τοῖς ἀγροίκοις τοὺς ἄλλους δημητρίους καρποὺς, οὓς ὀνομάζουσιν ὄσπρια τε καὶ χέδροπα, μετὰ τοῦ καὶ τούτων αὐτῶν οὐκ ὀλίγα κομίζειν εἰς ἄστυ. τὰ γοῦν ὑπολειφθέντα διὰ τοῦ χειμῶνος ἐκδαπανῶντες οἱ κατὰ τὴν χώραν ἄνθρωποι, τροφαῖς κακοχύμοις ἠναγκάζοντο χρῆσθαι δι' ὅλου τοῦ ἦρος, ἐσθίοντες ἀκρέμονάς τε καὶ βλαστοὺς δένδρων καὶ θάμνων, καὶ βολβοὺς, καὶ ῥίζας κακοχύμων φυτῶν. ἐμφορούμενοι δὲ καὶ τῶν ἀγρίων ὀνομαζομένων λαχάνων, ὅτου τις ἔτυχεν εὐπορήσας ἀφειδῶς ἄχρι κόρου, καθάπερ καὶ πόας χλωρὰς ὅλας ἑψῶντες ἤσθιον, ὧν πρότερον οὐδ' ἄχρι πείρας ἐγεύσαντο πώποτε. παρὼν οὖν ὁρᾶν ἐνίους μὲν αὐτῶν ἐν τοῖς ἐσχάτοις τοῦ ἦρος, ἅπαντας δ' ὀλίγου δεῖν ἐν ἀρχῇ τοῦ θέρους ἁλισκομένους ἕλκεσι παμπόλλοις κατὰ τὸ δέρμα συνισταμένοις, οὐ τὴν αὐτὴν ἰδέαν ἅπασιν ἴσχουσι. τὰ μὲν γὰρ αὐτῶν ἦν ἐρυσιπελατώδη. τὰ δὲ φλεγμονώδη. τὰ δ' ἑρπυστικά. τὰ δὲ λειχηνώδη, καὶ ψωρώδη, καὶ λεπρώδη. ταῦτα μὲν ὅσα πρᾳότατα διὰ τοῦ δέρματος ἐξανθήσαντα, τὴν κακοχυμίαν ἐκ τῶν σπλάγχνων τε καὶ τοῦ βάθους ἐκένωσεν. ἐνίοις δέ τισι ἀνθρακώδη τε καὶ φαγεδαινικὰ γενόμενα μετὰ τῶν πυρετῶν, ἀπέκτεινε πολλοὺς ἐν χρόνῳ μακρῷ, μόγις ὀλιγίστων σωθέντων. ἄνευ δὲ τῶν κατὰ τὸ δέρμα παθημάτων, πυρετοὶ πάμπολλοι ἐγένοντο, διαχωρήσεις γαστρὸς ἐπιφέροντες δυσώδεις καὶ δακνώδεις, εἰς τεινεσμοὺς καὶ δυσεντερίας τελευτώσας, οὖρά τε δριμέα, καὶ αὐτὰ δυσώδη τὴν κύστιν ἐνίων ἑλκώσαντα. τινὲς δ' αὐτῶν ἐκρίθησαν ἱδρῶσι, καὶ τούτοις δυσώδεσιν, ἢ ἀποστήμασι σηπεδονώδεσιν. οἷς δ' οὐδὲν τούτων ἐγένετο, πάντες ἀπέθανον, ἢ μετὰ φανερᾶς φλεγμονῆς ἑνός γέ τινος τῶν σπλάγχνων, ἢ διὰ τὸ μέγεθός τε καὶ τὴν κακοήθειαν τῶν πυρετῶν. ὀλιγίστων δὲ φλέβα τεμεῖν ἐν ἀρχῇ τῆς νόσου τολμησάντων ἐνίων ἰατρῶν ἐδεδίεσαν γὰρ εἰκότως χρῆσθαι τῷ βοηθήματι, διὰ τὸ προκαταλελύσθαι τὴν δύναμιν, οὐδενὸς εἶδον αἷμα χρηστὸν ἐκκριθὲν ὁποῖον ἐκ τῶν ὑγιεινῶν σωμάτων ὁρᾶται κενούμενον, ἀλλ' ἤτοι πυῤῥότερον, ἢ μελάντερον, ἢ ὀῤῥωδέστερον, ἢ δριμὺ καὶ δάκνον αὐτὴν τὴν διαιρεθεῖσαν φλέβα κατὰ τὴν ἔκροιαν, ὡς δυσεπούλωτον γενέσθαι τὸ ἕλκος. ἐνίοις δὲ καὶ συμπτώματα μετὰ τῶν πυρετῶν, καὶ μάλιστα τοῖς ἀποθανοῦσιν ἐγένοντο, βλάβην τῆς διανοίας ἐπιφέροντα σὺν ἀγρυπνίαις, καὶ καταφοραῖς, οὐδὲν δὲ θαυμαστὸν ἐναντίοις ἁλῶναι νοσήμασί τε καὶ συμπτώμασι τούς τε νοσήσαντας, αὐτούς τε διαφέροντας ἀλλήλοις, οὐ ταῖς φύσεσι μόνον, ἢ ταῖς ἡλικίαις, ἀλλὰ καὶ ταῖς ἔμπροσθεν διαίταις, ἐναντίαν τε δύναμιν ἐχούσας ἐδηδοκότας ἐν τῷ λιμῷ τροφάς. ἤσθιον μὲν γὰρ ἅπαντες, ὧν ἂν ηὐπόρουν. ἀνομοίου δὲ τῆς εὐπορίας οὔσης, ἔνιοι μὲν, ὀξεῖς, ἢ δριμεῖς, ἢ ἁλυκοὺς, ἢ πικροὺς ἔχοντα χυμοὺς, ἐδέσματα προσηνέγκαντο. τινὲς δ' αὐστηροὺς, ἢ στρυφνοὺς, ἢ ψύχοντας σαφῶς, ἢ ὑγροὺς ἱκανῶς, ἢ γλισχροὺς, ἢ φαρμακώδεις. οἶδα γοῦν ἐνίους μὲν αὐτίκα διὰ μυκήτων ἐδωδὴν ἀποθανόντας. ἐνίους δὲ διὰ κωνείου, ἢ ναρθήκων, οὐκ ὀλίγους δ' ἐξ αὐτῶν μόλις διασωθέντας. Ἅπασι μὲν οὖν τοῖς ἄλλοις ἀνθρώποις ἐναργῶς ἐφαίνετο τῷ λογισμῷ σκοπουμένοις ὥσπερ ἐκτὸς πολυειδεῖς μὲν ἑλκώσεις ἐγένοντο, ποικίλα δὲ ὄγκων εἴδη φλεγμονωδῶν τε, καὶ οἰδηματωδῶν, ἐρυσιπελατωδῶν, τε καὶ σκιῤῥωδῶν, οὕτω καὶ κατὰ ἕνα τῶν ἐν βάθει μορίων, διὰ κυριώτερα, τοσαύτας διαθέσεις ἐγχωρεῖν γεγονέναι. μόνοις δὲ τοῖς ἀπαρέσασι τῆς κατὰ τοὺς χυμοὺς Ἱπποκράτους διδασκαλίας ὁ λογισμὸς ἐπεπήρωτο, πάντα μᾶλλον, ἢ τοὺς χυμοὺς αἰτιᾶσθαι τολμῶσιν. ἔνιοι δ' αὐτῶν ὡμολογησάν μοι λαθραίως, ὁρῶν μὲν ἐναργῶς τὴν πρὸς Ἱπποκράτην φιλονεικίαν, τῶν οὐδὲν, οὔτε εἰς ὑγείαν, οὔτε εἰς νόσον ἡγουμένων ἀγαθὸν ἢ κακὸν ἐκ χυμῶν γίνεσθαι, μεταστῆναι δ' αἰδεῖσθαι πρὸς Ἱπποκράτην μετὰ πεντήκοντα τῆς ἡλικίας ἔτη. δόξειν μὲν γὰρ οὕτως, ἔφασαν, οὐ τοὺς μαθητὰς μόνους, ἀλλὰ καὶ τοὺς χρωμένους ἡμῖν ἐν ἅπαντι τῷ πρόσθεν χρόνῳ βεβλαφέναι. καὶ μέν τοι καὶ τιμᾶσθαι μὲν ἔλεγον ἤδη πρὸς πολλῶν ἀνθρώπων, ὡς ἐπ' ἀληθέσιν οἷς ἔπρεσβευον δόγμασιν. ἐὰν δὲ καὶ ταῦθ' ὁμολογήσωσιν εἶναι μοχθηρὰ, καὶ τῶν ἄλλων ἀμαθέστεροι φανοῦνται καὶ μηδένα τῶν ἔμπροσθεν αὐτοῖς χρωμένων αὖθις ἔτι χρήσεσθαι. τούτοις μὲν οὖν πολλὴν συγγνώμην νέμειν εὔλογον ἡμᾶς, οὐ τὴν προαίρεσιν μεμφομένους, ἀλλὰ τῇ δυστυχίᾳ συναλγοῦντας αὐτοῖς, οἳ πρὸ τοῦ κρίναι δύνασθαι τὰ διδασκόμενα περιέπεσον οὐκ ἀγαθοῖς διδασκάλοις. ἄξιοι δὲ μίσους εἰσὶν οἱ πρῶτοι διὰ φιλοτιμίαν αἱρέσεις δογμάτων συστησάμενοι. φαίνονται γὰρ ἑκόντες ἐξαπατᾶν ἐπιχειρῆσαι τοὺς πέλας, οὐκ ἄκοντες σφαλῆναι, μηδενὸς ἀνθρώπου εἰς τοσαύτην ἄνοιαν ἥκοντος, ὡς ἀγνοῆσαι πηλίκον ἐστὶ κακὸν ἐκτραπῆναι τοὺς ἐν τῷ σώματι χυμοὺς εἰς φαρμακώδεις ποιότητας. αὐτοὶ γοῦν ἤτοι πρὸς οὓς ὁ λόγος ἐστὶ, δύσκολον, ἢ καὶ τελέως ἀδύνατον εἶναι φασὶ, διακεῖναι τοὺς ἐκ φαρμάκων ὀλεθρίων προσφορᾶς ἀπολλυμένους, τῶν ἐξ αὐτοῦ τοῦ σώματος τῆς νοσώδους διαθέσεως. οὐ μὴν οὐδ' ὅτι τοὺς τῶν ἰοβόλων ὀνομαζομένων θηρίων χυμοὺς οὓς ἐνιᾶσι διὰ τοῦ δήγματος. ἐνίους μὲν νεκροῦντας ἐν τάχει τὸ δηχθὲν μόριον, ἐνίους δὲ καὶ σήποντας, ἢ φλεγμονὰς, ἢ ὀδύνας μεγίστας ἐπιφέροντας ἐναργῶς ὁρῶμεν, ἔνεστιν ἀρνήσασθαι οὐδενί, καθάπερ οὐδ' ὅτι σκορπίου τις ἐπιπτύσας δὶς ἢ τρὶς νήστης, εὐθέως ἀναιρεῖ τὸ ζῶον. ὥσπερ γὰρ οἰκεῖαι φύσεις φύσεσιν εἰσὶν, οὕτως ἕτεραι πολέμιαί τε ἑτέραις καὶ φθαρτικαί. τρέφεσθαι μὲν οὖν ἡμῖν ὑπὸ τῶν οἰκείων, ἀπόλλυσθαι δὲ ὑπὸ τῶν ἐναντίων συμβαίνει. καὶ λέλεκται περὶ τούτων ἐπὶ πλεῖστον ἔν τε τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι, καὶ τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων. εἰς δὲ τὸν ἐνεστῶτα λόγον, ἱκανὴ καὶ τῶν ἐν τοῖς λιμοῖς ὀφθέντων ἡ διήγησις, εἰ δέ μοι πιστεύειν ἐθέλοις, οὐδεμίαν μὲν αἰτίαν

ἔχοντι ψεύδεσθαι, δυσχεραίνοντι δὲ ἐπὶ τῷ πολλοὺς ἐν βιβλίοις ἄνδρας ἐψεῦσθαι μεγάλως, διηγήσομαί σοι τὰ διὰ μακρᾶς πείρας ἐν ὅλῳ μου τῷ βίῳ γνωσθέντα, μετὰ τοῦ καὶ τοὺς θεοὺς ἐπικαλέσασθαι μάρτυρας. Ἐμοὶ γὰρ πατὴρ ἐγένετο γεωμετρίας μὲν καὶ ἀρχιτεκτονίας καὶ λογιστικῆς, ἀριθμητικῆς τε καὶ ἀστρονομίας εἰς ἄκρον ἥκων, ὑπὸ πάντων δὲ τῶν γνόντων αὐτὸν, ἐπὶ δικαιοσύνῃ καὶ χρηστότητι καὶ σωφροσύνῃ θαυμασθεὶς, ὡς οὐδεὶς τῶν φιλοσόφων, οὗτος οὖν παῖδα μὲν ὄντα με διὰ τῶν αὐτὸς ἄνοσον ἐφύλαξεν. ἐπεὶ δὲ μειράκιον ἐγενόμην, ὅ, τε πατὴρ ὑπεχώρησεν εἰς ἀγρὸν ὢν φιλογέωργος, ἐχόμην δὲ ὧν ἐμάνθανον ὑπὲρ ἅπαντας τοὺς συμφοιτῶντας, οὐ δι᾽ ἡμέρας μόνον, ἀλλὰ καὶ νύκτωρ. ἐμπλησθεὶς δὲ μετὰ τῶν ἡλικιωτῶν ἐν παντὶ τῷ χρόνῳ τῆς ὀπώρας ἁπάντων τῶν ὡραίων, ἐνόσησα τοῦ φθινοπώρου νόσον ὀξεῖαν, ὡς φλεβοτομίας δεηθῆναι, παραγενόμενος οὖν εἰς τὴν πόλιν ὁ πατὴρ, ἐπετίμησέ τ᾽ ἐμοὶ, καὶ τῆς ἔμπροσθεν διαίτης ἀνέμνησεν, ἣν ὑπ᾽ αὐτῷ διῃτώμην. ἐκέλευσε τὸ λοιπὸν φυλάττειν αὐτὴν, ἀρξάντα τῆς τῶν ἡλικιωτῶν ἀκρασίας καὶ μέν τοι καὶ ἐπὶ τὸν ἑξῆς ἐνιαυτὸν ἔργον ἐποιήσατο παραφυλάξαι μου τὴν δίαιταν, ὡς μετρίως ἅψασθαι τῶν ὡραίων, ἦγον δὲ τηνικαῦτα τῆς ἡλικίας ἔτη ιθ. ἄνοσος οὖν ἐν αὐτῷ μείνας, εἶτ᾽ ἐν τῷ μετ᾽ αὐτὸν ἐνιαυτῷ τοῦ πατρὸς ἀποθανόντος, ἅμα τοῖς ἡλικιώταις διαιτηθεὶς ἐπὶ δαψιλέσι τοῖς κατὰ τὴν ὀπώραν, ἐνόσησα νόσον παραπλησίαν τῇ πρόσθεν, ὡς καὶ τό τε φλεβοτομίας δεηθῆναι, τοὐντεῦθεν ποτὲ μὲν ἐφεξῆς καθ᾽ ἕκαστον ἐνιαυτὸν, ἐνίοτε δὲ διαλιπὼν ἐν ἔτος ἐνόσουν, μέχρι τῶν ὀκτὼ καὶ εἴκοσι ἐτῶν. ἐν τούτῳ δὲ κινδυνεύσας ἀπόστημα σχεῖν καθ᾽ ὃ μέρος συνάπτει τὸ ἧπαρ τῷ διαφράγματι, τῶν ὡραίων ἁπάντων ἀπέχεσθαι ἐμαυτὸν ἔπεισα, πλὴν τῶν πεπείρων ἀκριβῶς σύκων τε καὶ σταφυλῶν, οὐδὲ τούτων ἀμέτρως, ὡς ἔμπροσθεν, ἀλλὰ συμμέτρως προσφερόμενος. ἔχων δὲ καὶ ἄλλον τινὰ τοῦ ἐμαυτοῦ πρεσβύτερον ἔτεσι δυοῖν, τὴν αὐτὴν γνώμην ἔχοντα ἐμοί. φροντίζοντας οὖν τῶν γυμνασίων, καὶ τοῦ μηδέ ποτ᾽ ἀπεπτῆσαι ἄνοσοι διεμείναμεν ἄχρι δεῦρο πολλῶν ἐτῶν. καὶ τῶν ἄλλων δὲ φίλων, ὅσους ἔπεισα γυμνάζεσθαί τε καὶ τεταγμένως διαιτᾶσθαί πως, πάντας ὁρῶ διαπαντὸς ὑγιαίνοντας, ἐνίους μὲν ἐξ ἐτῶν πέντε καὶ εἴκοσι, τοὺς δ᾽ ἐξ ἐλαττόνων μὲν, ἤδη δ᾽ ἱκανῶν, ὡς ἕκαστοι πεισθέντες ἔτυχον ἀπέχεσθαί τε τῶν ὡραίων καὶ τῶν ἄλλων κακοχύμων ἐδεσμάτων, ἃ πρόκειται διελθεῖν ἐν τῷδε τῷ γράμματι. Τοῖς μὲν οὖν δυναμένοις γυμνάζεσθαι πρὸ τῶν σιτίων οὐ δεῖ τῆς ἀκριβοῦς πάνυ διαίτης ἐδέησε, τοῖς δὲ διὰ περιστάσεις πραγμάτων κωλυομένοις οὐ μόνον ἀβλαβεστέρας διαίτης, ἀλλὰ καὶ φαρμάκων ὑγιεινῶν ἐστι χρεία. πολλοὶ μέν τοι τῶν ἀνθρώπων ἐν τοιαύτῃ καταστάσει διατρίβουσιν, ὡς τε μὴ δυνατὸν αὐτοῖς εἶναι, μήτε γυμνάζεσθαι καλῶς πρὸ τῶν σιτίων, μήτ᾽ ἐσθίειν ἱκανῶς ἐν καιρῷ, μήτε πέττειν καλῶς τὰς τροφὰς, τοὺς μὲν δὴ τοιούτους ἀδύνατον ἀνόσους διαμένειν, ἄνευ τοῦ προνοεῖσθαι τῆς γαστρὸς ὑπαγωγῆς † ἐκ διαλειμμάτων. ἐνίοτε δὲ καὶ καθάρσεως ἰσχυροτέρας, ὡραίας τε κενώσεως αἵματος, ὑγιεινῶν τέ τινων φαρμάκων ἐν τοῖς προσήκουσι καιροῖς πινομένων. ὅσοι δὲ βίον ἡσύχιον εἵλοντο, μήτε πρὸ ἡμέρας ἀνάγκην ἔχοντες ἐπὶ τὰς τῶν πολὺ δυναμένων ἐπιέναι θύρας, μήτε πολλάκις ἱδροῦντες ἐν ἀναγκαίαις πράξεσι καταψύχεσθαι, μήτε λουόμενοι τισὶ παρεστάναι, μήτ᾽ εἰς οἶκον ἐπανερχομένους αὐτοὺς, παραπέμπειν, εἶτα μετὰ πολλῆς αὐτοὶ λουσάμενοι πρὸς τὸ δεῖπνον ἐπείγεσθαι, τούτοις πρώτοις ὑποθήσομαι δίαιταν, ἐξ ἧς ἂν μάλιστα χρηστότατον ἔχουσιν αἷμα, μετὰ δὲ τούτους πειράσομαι τινὰς ὑποθήκας δοῦναι, καὶ τοῖς ἐν ἀσχολίᾳ ζῶσι. δεήσεται δ᾽ ὁ λόγος ἀναμνῆσαι τῶν γεγραμμένων ἐν τοῖς τρισὶν ὑπομνήμασιν, ἐν οἷς ὁ λόγος μοι γέγονε περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων.

Εὔχυμα τοίνυν ἐδέσματα τῶν μὲν σιτηρῶν, ἄρτοι τ᾽ εἰσὶν οἱ καθαροὶ, κατειργασμένοι καλῶς, ὀπτήσει τε τῇ διὰ κριβάνου, καὶ τῇ πρὸ αὐτοῦ φυράσει, καὶ ζύμῃ συμμέτρῳ, καὶ ἁλῶν μίξει. πρὸς τούτοις δὲ δεύτεροι κατ᾽ ἀρετὴν, οἵ τ᾽ ἰπνῖται. καὶ χόνδρος δὲ τῶν εὐχυμωτάτων ἐστὶν, ὥσπερ καὶ τὸ χοίρειον κρέας, ἐὰν ἀκριβῶς ἥ τε γαστὴρ αὐτὰ πέψῃ, καὶ τὸ ἧπαρ αἱματώσῃ. γλίσχρον δ᾽ ἔχει τι, καὶ διὰ τοῦτ᾽ ἐμφρακτικὸν ἥπατός τε καὶ νεφρῶν, οἷς στενόπορα φύσει ταῦτα. πλεοναζόντων γοῦν ταῖς ἐδωδαῖς αὐτῶν, βάρους τέ τις αἴσθησις ἐν τοῖς εἰρημένοις μορίοις γίνεται, καί ποτε καὶ πόνος. ἕπεται δὲ ταῖς καθ᾽ ἧπαρ ἐμφράξεσι, κωλύεσθαι μὲν τὴν ἀνάδοσιν, ἀθροίζεσθαι δὲ πλῆθος ἐν ταῖς κατὰ τὸ μεσάραιόν τε καὶ τὰ σιμὰ τοῦ σπλάγχνου φλεψὶν, ὧ πάλιν φλεγμονὰς ἀκολουθῆσαι τῶν μορίων, ἐν οἷς ἠθροίσται, κίνδυνος, ἢ αὐτῶν τῶν πλεοναζόντων χυμῶν σηπεδόνα, δυοῖν γάρ σοι θάτερον ἀναγκαῖον ἐστι τοῖς ὠμοῖς καὶ παχέσι χυμοῖς ἀκολουθεῖν, ἢ μεταβάλλεσθαι εἰς αἷμα πεττομένοις, ἢ σήπεσθαι. καθάπερ καὶ τἄλλα πάντα τὰ ἐν τοῖς θερμοῖς χωρίοις χρόνῳ πλείονι μένοντα. καὶ διὰ τοῦτο τοῖς ἰατροῖς εὑρέθη τὰ κληθέντα πρὸς αὐτῶν ὑγιεινὰ φάρμακα, τῆς λεπτυνούσης ἅπαντα δυνάμεως ὄντα. τούτοις γοῦν ἔργον ἐστὶν, ἐκφράττειν μὲν τὰς στενὰς διεξόδους, ἀπορρύπτειν δὲ τὸ προσπλαττόμενον γλίσχρον ἐκ τῶν χυμῶν τοῖς ἀγγείοις, τέμνειν δὲ καὶ λεπτύνειν τὰ παχέα τῶν ὑγρῶν. ἀλλ᾽ ἐὰν πλεονάσῃ τι ἐν αὐτοῖς, ὀρρῶδες, ἢ πικρόχολον ἐν τῷ χρόνῳ, ἢ μελαγχολικὸν ἐργάζεται τὸ αἷμα. πέφυκε γοῦν ὀλίγου δεῖν ἅπαντα τὰ τοιαῦτα φάρμακα σὺν τῷ λεπτύνειν τε καὶ τέμνειν, ἔτι καὶ θερμαίνειν ἀμετρότερον, ὑπὸ δὲ τῶν οὕτως θερμαινόντων ξηραίνεται μὲν τὰ στερεὰ, παχύνονται δὲ οἱ χυμοὶ, καὶ διὰ τοῦτο κατὰ τοὺς νεφροὺς οἱ πωρώδεις λίθοι συνίστανται. καλλίστης οὖν κατασκευῆς σώματος ὑπαρχούσης, ἢ τις ἂν εὐκρατοτάτη μὲν ᾖ, τὰς δὲ τῶν χυμῶν διεξόδους εὐρείας ἔχῃ δυνατόν ἐστιν ὑγιαίνειν ἀεὶ τὸν οὕτω πεφυκότα, γυμναζόμενον αὐτάρκη πρὸ τῶν σιτίων. ἐὰν δὲ πλεονάζει ποτὲ κατὰ τὰ παχύχυμα τῶν ἐδεσμάτων, ὁποῖον ἐστὶν, ὡς ἔφην, ὅ, τε χόνδρος καὶ τὸ χοίρειον κρέας, οἵ τ᾽ ἰπνῖται τῶν ἄρτων, ἢ κριβανῖται, οὐ πάνυ δ᾽ ἀκριβῶς ὄντες προπαρασκευασμένοι τῇ λελεγμένῃ μικρὸν ἔμπροσθεν κατασκευῇ, κατά τε τὸν κρίβανον ἐνδεῶς ὀπτημένοι. τὴν δ᾽ αὐτὴν ἔχει τῷ χόνδρῳ φύσιν, ὁ καλούμενος τράγος, ἐκ τῶν σιτηρῶν τροφῶν καὶ αὐτὸς ὑπάρχων, δυσκατεργαστότερός γε μὴν ἐν τῇ κατὰ τὴν γαστέρα πέψει ἐστὶ τοῦ χόνδρου. παραπλησίαν δὲ τούτοις δύναμιν ἔχει, καὶ ἡ τῶν ᾠῶν φύσις, ἀλλὰ διορισμῶν πολλῶν δεομένη, καθάπερ καὶ τὸ γάλα, προϊόντος δὲ τοῦ λόγου, διδαχθήσεται μετ᾽ ὀλίγον ἀκριβῶς πάσα, πρότερον γὰρ, ὥσπερ τούτων ἐμνημόνευσα, τὸν οἷον τύπον ὑπογράφων τῶν εὐχύμων τε καὶ κακοχύμων ἅμα γλισχρότητι τροφῶν, οὕτως καὶ τῶν συμμέτρως ἐχουσῶν, βούλομαι μνημονεῦσαι, μετὰ τοσῶν τῇ φύσει τῶν παχυνόντων ἐδεσμάτων καὶ τῶν λεπτυνόντων,

† al. καὶ ἀλεῖμμαι

λεπτυνόντων, ὑπὲρ ὧν ἑτέρωθι δι᾽ ὅλου ἐν ἑνὶ γράμματι, περὶ τῆς λεπτυνούσης διαίτης. ἀλλὰ τῶν μὲν τούτων τὰ πλεῖστα φάρμακα μᾶλλον ἄν τις, ἢ τροφὴν εἴποι. τὰ δὲ τοὺς παχεῖς καὶ γλίσχρους γεννῶντα χυμοὺς ἐδέσματα τροφιμώτατα τά τε πάντ᾽ ἐστὶ, κἂν πεφθῇ καλῶς ἔν τε τῇ γαστρὶ, καὶ περὶ ἥπατι, χρηστὸν αἷμα γεννᾶν πέφυκεν, ἀμεμπτότατα δὲ τῶν ἐδεσμάτων ὑπάρχει, τὰ μεταξὺ τῶν λεπτυνόντων τε καὶ παχυνόντων, ὡς ἂν, ἐν συμμετρίᾳ, καὶ μεσότητι τῶν ὑπερβολῶν καθεστῶτα. τοιαῦτα δ᾽ ἐστὶν οἵ τε κάλλιστοι τῶν ἄρτων ὑπὲρ ὧν τῆς κατασκευῆς ἐπὶ πλέον ἐν πρώτῳ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων εἴρηται. καὶ πρὸς τούτοις αἱ σάρκες ἀλεκτορίδων τε καὶ ἀλεκτρυόνων, ὀρνίθων τε καὶ φασιανῶν, καὶ περδίκων, καὶ περιστερῶν, ἀτταγήνων τε, καὶ τρυγόνων, καὶ κιχλῶν, καὶ κοσσύφων, καὶ τῶν μικρῶν στρουθῶν ἁπάντων, ἔτι τε πετραίων ἰχθύων, αἰγιαλίων τε καὶ πελαγίων; κωβιῶν τε καὶ σμυραίνων καὶ βουγλώσσων, ὀνίσκων τε καὶ πάντων ἁπλῶς ἰχθύων, ὅσοι μήτε γλισχρότητά τινα, μήτε δυσωδίαν ἢ ἀηδίαν ἔχουσι κατὰ τὴν ἐδωδὴν. οὐκ ὀλίγου δὲ χρεία διορισμοῦ ἐστὶ, καὶ περὶ τῆς τούτων ἁπάντων φύσεως, ἣν ἐφεξῆς ἐρῶ ἐν τῷ περὶ τῶν κακοχύμων ἐδεσμάτων λόγῳ, προσθεὶς δὲ τὰ λείποντα πρότερον. ὅσοις μὲν γὰρ ἀνθρώποις οἷόν τ᾽ ἐστὶ γυμνασίοις τε πλείοσι χρῆσθαι καὶ κοιμᾶσθαι μέχρις περ ἂν ἐθέλωσι, καὶ βίον ἔξω τῶν πολιτικῶν ἀσχολιῶν ᾕρηνται τούτοις ἐγχωρεῖ, καὶ τὰ παχύχυμα καὶ γλίσχρα τῶν ἐδεσμάτων ἐσθίειν. καὶ μάλισθ᾽ ὅταν ἐπὶ τῷ πλήθει τῆς ἐδωδῆς μηδέποτε αὐτῶν, μηδεμίαν αἴσθησιν ἐν ὑποχονδρίῳ δεξιῷ ἴσχουσιν, ἢ βάρους, ἢ τάσεως. ὅσοις δ᾽ ἤτοι διὰ τὴν ἡλικίαν, ἢ διά τινα συνήθειαν οὐχ οἷόν τε γυμνάζεσθαι πρὸ τῶν σιτίων, οὗτοι πάντων ἀπεχέσθωσαν ἐδεσμάτων, ὅσα τοιαῦτα. τελέως δ᾽ ἀργοὶ, μηδ᾽ αὐτοὶ προσιγγανέσθωσαν ἐπὶ τὰς τοιαύτας τροφὰς, ἀλλ᾽ αἰωρήσεσιν, ἢ περιπάτοις, ἀντὶ τῶν ἰσχυροτέρων γυμνασίων χρήσθωσαν. μέγιστον γὰρ κακὸν εἰς ὑγείας φυλακήν ἐστιν, ἡσυχία παντελὴς τοῦ σώματος, ὥσπερ καὶ μέγιστον ἀγαθὸν, ἡ σύμμετρος κίνησις. οὐδὲ γὰρ οὐδὲ νοσήσαι τις ὅλως, ἣν ἐπιτηδὲς προνοῆται τοῦ μηδέ ποτ᾽ ἀπεπτῆσαι, μετὰ τοῦ μὴ δὲ κινεῖσθαι τινὰ ἰσχυρὰν ἐπὶ σιτίοις κίνησιν. ὥσπερ γὰρ ἀγαθὸν μέγιστόν ἐστιν εἰς ὑγείαν τὸ πρὸ τῶν σιτίων προγυμνάσιον, οὕτω βλαβερώτατον ἅπασα κίνησις ἐπὶ σιτίοις. ἀναδίδοται γὰρ ἐκ τῆς κοιλίας ἡ τροφὴ, πρὶν πεφθῆναι, κἀκ τοῦδε πλῆθος ὠμῶν χυμῶν ἀθροίζεται κατὰ τὰς φλέβας, ἐξ ὧν εἴωθε νοσήματα παντοῖα γίγνεσθαι, μὴ φθασάντων αὐτῶν ἤτοι διαφορηθῆναι πόνοις πλέοσιν, ἢ πεφθῆναι καὶ μεταβαλεῖν εἰς αἷμα ὑπὸ τῆς κατ᾽ ἧπάρ τε καὶ φλέβας δυνάμεως. ἀσφαλέστατον οὖν φείδεσθαι τῶν κακοχύμων τε καὶ γλίσχρων ἐδεσμάτων. ὅσοις γε μόνοις ὑγείας ἐστὶν ἡ φροντὶς, οὐκ εὐεξίας σώματος, ὁποίαν οἱ γυμναστικοὶ σπουδάζουσιν. ἐφεξῆς γοῦν ἐγὼ καταλέξω, καὶ τὰ μὴ λελεγμένα κατὰ τὸν ἄχρι δεῦρο λόγον ἐδέσματα παχύχυμα πάλιν ἀπὸ τῶν ἄρτων ἀρξάμενος. ὅσοι τοίνυν τούτων οὔτε ζύμης, οὔθ᾽ ἁλῶν ἱκανῶς ἔχουσιν, οὔτε πλεῖστον ἐφυράθησαν, οὔθ᾽ ἐν κριβάνῳ καλῶς ὠπτήθησαν, οὗτοι παχύχυμοι πάντως εἰσὶ, μετὰ τοῦ καὶ γλισχρότητος ὀλίγον μετέχειν, ὅν τινα χυμὸν οἱ περὶ Πραξαγόραν τε καὶ Φιλότιμον ὀνομάζειν εἰώθασι κολλώδη. παχύχυμοι δὲ, οἱ τυροὶ πάντες, ἀλλ᾽ οἱ μὲν νέοι χωρὶς κακοχυμίας, οἱ παλαιοὶ δὲ καὶ σὺν ταύτῃ. γλισχρότης δὲ πρὸς πάχει, τισὶν αὐτῶν, οὐχ ἅπασιν, ὑπάρχει, διὰ τὴν τοῦ γάλακτος φύσιν, ἐξ οὗ γεγόνασιν, οὐ σμικρὰς ἔχοντος διαφορὰς ἔν τε τοῖς γένεσι τῶν ζώων, καὶ ταῖς τροφαῖς, ἃς ἐσθίουσιν ἄλλας ἐν ἄλλοις τόποις. αἰγείῳ μὲν οὖν γάλακτι πλείστῳ χρῶνται παρ᾽ ἡμῖν, ὥσπερ ἐν ἄλλοις ἔθνεσι βοείῳ. χρῶνται δὲ καὶ τῷ προβατείῳ πολλάκις. ἀλλὰ τοῦτο μὲν ἐστὶ παχὺ, τὸ δὲ τῶν ὄνων ὑπεναντίως ἔχον ἐν τῷδε. λιπαρὸν δὲ τὸ τῶν βοῶν. ἁπάντων δ᾽ ἔχει συμμέτρως τὸ τῶν αἰγῶν. οὔτε γὰρ ἱκανῶς ἐστὶν οὔτε λιπαρὸν, οὔτε παχὺ, καὶ διὰ τοῦτο μέσον τι τῶν ἄλλων ὑπάρχει κατὰ τὰς ἐνεργείας, ἃς ἐνεργεῖ κατὰ τὸ τῶν ἀνθρώπων σῶμα. τοῦ μὲν ὀρρώδους καὶ λεπτοῦ γάλακτος, ὑπάγοντος μὲν τὴν γαστέρα μᾶλλον, ἧττον δὲ τρέφοντος τὸ σῶμα. τοῦ δὲ παχέος ἔμπαλιν ἧττον μὲν ὑπάγοντος, τρέφοντος δὲ μᾶλλον. σύγκειται γὰρ ἐκ τριῶν οὐσιῶν ἀνομοιομερῶν ἅπαν γάλα, μιᾶς μὲν τῆς ὀρρώδους τε καὶ λεπτῆς. ἑτέρας δὲ τῆς παχείας τε καὶ τυρώδους. καὶ τρίτης τῆς ἐλαιώδους τε καὶ λιπαρᾶς. οὐ μὴν ἐν ἅπασί γε τοῖς ζώοις τὸ μέτρον αὐτῶν ἴσον. ἀλλ᾽ ἐν μὲν τῷ καμήλων τε καὶ ὄνων γάλακτι, ἡ ὀρρώδης ὑγρότης πλείστη, τὸ τυρῶδες δ᾽ ἐν τοῖς προβάτοις. ὥσπερ τὸ λιπαρὸν ἐν τῷ τῶν βοῶν γάλακτι. μεσότητα δ᾽ ἔχει τῶν ὑπερβολῶν ἡ αἲξ πρὸς τ᾽ ἄλλα γένη τῶν ζώων, ἐπεί τοι πάλιν αὗται πρὸς ἀλλήλας παραβαλλόμεναι ταῖς εἰρημέναις ὑπεπτώκασι διαφοραῖς, οὔσαις οὐ σμικραῖς οὐδὲ τῆς κατὰ τὴν ἡλικίαν, ὥσπερ γε καὶ τῆς κατὰ τὰς νομὰς, καὶ τὰς ὥρας τοῦ ἔτους, ἔτι τε τὸν χρόνον ὃν ἀφεστήκασι τῆς ἀποκυήσεως, ὑπὲρ ὧν καὶ αὐτῶν ἐπὶ πλέον ἐν τῷ τρίτῳ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων εἴρηται. νυνὶ δ᾽ ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν, ὡς οὐκ ἀσφαλὲς ἄνευ μέλιτος προσφέρεσθαι τὸ τῶν αἰγῶν γάλα. πολλοῖς γὰρ τῶν μόνον αὐτὸ πιόντων, ἐτυρώθη κατὰ τὴν γαστέρα, καὶ θαυμαστὸν ὅπως βαρύνει τε καὶ πνίγει τὸν ἄνθρωπον, ἐπειδὰν τοῦτο συμβῇ. θαυμαστότερον δ᾽ ἔτι τὸ περὶ τοῦ θρομβωθέντος, ἐστὶν αἵματος, ἐάν τ᾽ εἰς τραῦμά τι, ἐάν τ᾽ εἰς κοιλίαν, ἤ τι, τῶν ἐντέρων συῤῥυῇ. καὶ γὰρ ἐκλύονται, καὶ καταψύχονται, καὶ μικρόσφυκτοι, καὶ κακόσφυκτοι γίνονται. καὶ μέν τοι καὶ σηπεδὼν ἐπιγιγνομένης ἐν τάχει τὰ πλησιάζοντα τῶν ὑγιεινῶν μορίων, αἴτιον γίνεται τὸ θρομβωθὲν ἐν τραύμασιν αἷμα. διὰ τίνα μὲν οὖν αἰτίαν ὁ πάντων ἡμῶν τῶν χυμῶν οἰκειότατος, ὅταν ψυχθῇ τηλικούτων ἡμῖν παθημάτων αἴτιον γίνεται, ζητήσεως οὐ σμικρᾶς ἄξιον, ἐναργῶς γε μὴν ἐστὶ κἀκ τούτου γνῶναι πηλίκην ἔχωσι δύναμιν αἱ τῶν μοχθηρῶν χυμῶν ποιότητες, ὧν ὥσπερ τινὸς μικροῦ καταφρονοῦσιν ἔνιοι τῶν νῦν ἰατρῶν, ἑπόμενοι τοῖς πρώτοις πλασαμένοις οὕτω γινώσκειν. τὸ γοῦν γάλα πίνουσι τινὲς ἐπεμβάλλοντες ἕνεκα τοῦ μὴ τυρωθῆναι κατὰ τὴν γαστέρα μέλιτός τε, καὶ ὕδατος, καὶ τρίτου, τῶν ἁλῶν. ἄριστον δ᾽ εἰς εὐχυμίαν γάλα, τὸ τῶν εὐεκτικῶν ζώων ἐστὶν, ὅταν ἀμελχθὲν πινόμενον εὐθέως. τὸ δὲ ἑψηθὲν ἐπὶ πλέον, παχύχυμον ἱκανῶς γίγνεται. καὶ μᾶλλον ὅταν ἄλευρον πύρινον, ἢ κέγχρον, ἢ ἄμυλον ἑψήσῃς μετ᾽ αὐτοῦ. τυροὶ δὲ παχύχυμοι ἅπαντές εἰσιν, οἱ παλαιοὶ δὲ, καὶ κακόχυμοι. τοὺς νεοπαγεῖς δ᾽ ἐγχωρεῖν μετὰ μέλιτος ἐσθίειν πρὸ τῶν σιτίων ὑπαγωγῆς ἕνεκα γαστρὸς, ἧττον τε γάρ εἰσι παχύχυμοι τῶν παλαιῶν, οὐδόλως δὲ κακόχυμοι. ὁ δ᾽ ἐξ αὐτῶν πηγνυμένων ἀῤῥέτων ὀῤῥὸς, ἱκανῶς ὑπάγει γαστέρα. παχύχυμον δ᾽ ἐστὶν ἔδεσμα, καὶ διὰ τοῦτο καὶ τὰς καθ᾽ ἧπαρ παρεμφράττει διεξόδους, ὁ διὰ γάλακτος ἢ τυροῦ σκευαζόμενος πλακοῦς, ὁμοίως δ᾽ αὐτῷ, καὶ ὁ διὰ σεμιδάλεως καὶ γάλακτος, ἢ καὶ λαγάνων τι καὶ

ῥυμμάτων προσλαμβάνων, οὐδὲν δ' ἧττον ὅσα σκευάζουσι διὰ γλεύκους καὶ σεμιδάλεως, ἢ ὅλως ἀλεύρου πυρίνου, κακόχυμα πάντ' ἐστὶ, καὶ αὐτὰ δὲ καθ' αὑτὰ, λάγανά τε, καὶ ῥύμματα, καὶ πᾶν ἄζυμον ἐκ πυροῦ πέμμα καὶ μᾶλλον ὅταν καὶ τοῦ τυροῦ τι προσλάβῃ, παχύχυμον ἱκανῶς ἐστιν. ὀνομάζειν δέ μοι δοκοῦσι ταυτὶ τὰ νῦν ὑφ' ἡμῶν καλούμενα λάγανά τε καὶ ῥύμματα, κοινῇ προσηγορίᾳ τῇ τῶν ἰτρίων οἱ παλαιοί. Παχύχυμοι δέ εἰσι καὶ οἱ κοχλίαι καὶ τῶν ὠῶν ὅσα μέχρι τελείας πήξεως ἕψουσί τε καὶ ὀπτῶσι. τὰ μὲν γὰρ ταγηνιζόμενα, καὶ κακόχυμα γίνεται, καὶ τὴν ἐν τῇ γαστρὶ πέψιν ἔχει κνισσώδη, συνδιαφθείρουσαν ἑαυτῇ καὶ τ' ἄλλα σιτία. καὶ διὰ τοῦτο τῶν ἀπεπτουμένων ἐν τοῖς χείριστα πέφυκεν εἶναι. τὰ δὲ μετρίως ἑψημένα καὶ διὰ τοῦτο καλούμενα τρομητὰ, βελτίω καὶ πρὸς πέψιν εἰσὶ, καὶ πρὸς ἀνάδοσιν, καὶ πρὸς θρέψιν, καὶ πρὸς εὐχυμίαν. ὥσπερ γε καὶ τὰ ῥοφητὰ καλούμενα μετρίως ἑψημένα, καὶ διὰ τοῦτο καὶ τὰς τῆς φάρυγγος ἐκλεαίνοντα τραχύτητας, ὅτι μή πω πεπάχυνταί τε καὶ συνῆκται τὸ ἐν αὐτοῖς ὑγρόν. Ἀλλὰ καὶ τῶν ἐνύδρων ζώων τά τε μαλάκια καλούμενα, τευθίδες, καὶ σηπίαι, καὶ πολύποδες, ὅσα τ' ἄλλα τὰ τοιαῦτα παχὺν καὶ γλίσχρον ἔχουσι τὸν χυμὸν, ὥσπερ καὶ οἱ κητώδεις τῶν ἰχθύων, ἐξ ὧν εἰσιν καὶ οἱ θύννοι. μετριώτεραι δ' αὐτῶν αἱ πηλαμίδες. ἱκανῶς δὲ παχύχυμα, τὰ ὄστρεα, τῶν οἱ κήρυκες, αἵ τε πορφύραι, καὶ πάνθ' ἁπλῶς τὰ καλούμενα πρὸς Ἀριστοτέλους ὀστρακόδερμα, χῆμαι, λοπάδες, κτένες, πῖναι, καὶ τὰ παραπλήσια. πορφύραι μὲν οὖν καὶ κήρυκες. σκληροτέραν ἔχουσι τῶν ἄλλων τὴν σάρκα, καὶ παχυχυμοτέραν ὑγροτέραν δὲ καὶ γλισχροτέραν τἄλλα, καὶ μάλιστα πάντων τὰ ὄστρεα. χρὴ δὲ γινώσκειν ἁπάντων αὐτῶν τὸν μὲν χυλὸν ὑπακτικὸν τῆς γαστρὸς, ὥσπερ ἐν τῷ γάλακτι τὸν ὀῤῥὸν, αὐτὸ δὲ τὸ στερεὸν σῶμα βραδυπεπτότερόν τε καὶ παχύχυμον, ὠμοῦ χυμοῦ καὶ παχέος, καὶ ψυχροῦ γεννητικόν. ὑπάρχει δὲ τοῦτο καὶ τῇ κράμβῃ, καὶ τοῖς φακοῖς ἐναργῶς, ὥσπερ ἑτέροις πολλοῖς ἀμυδρῶς, ὑπὲρ ὧν ἤδη πλέον ἐν τοῖς τρισὶν ὑπομνήμασι διῆλθον, ἃ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων ὑπογέγραπται. τὰ μὲν οὖν ἄλλα τῶν εἰρημένων παχυχύμων πάντων, ἐστὶ κολλώδη τε καὶ γλίσχρα, πλὴν ὧν εἶπον ὀστρακοδέρμων. ἡ κράμβη δὲ καὶ ἡ φακὴ τῆς αὐτῆς τοῦ χυλοῦ φύσεως οὐ μετειλήφασιν, ἀλλὰ τὸ νιτρῶδές τε καὶ ὑπακτικὸν ἔχουσι, καθάπερ τὸ δρακόντιον μὲν τὸ δριμύ τε καὶ πικρὸν ἰσχυρῶς, ἄρον δ' ἀμφότερα μὲν, ἀλλ' ἀμυδρῶς. οἱ βολβοὶ δὲ τὸν αὐστηρόν τε καὶ πικρὸν οὓς ἐὰν ἐκνίψῃς ἑψήσεσι πλείοσι, τὸ στερεὸν αὐτῶν ἀπολειφθήσεται παχύχυμον ὑπάρχον. ἁπάντων δὲ τῶν τοιούτων ἐδεσμάτων οἱ μύκητες ἔχουσι ψυχρότατόν τε καὶ γλισχρότατον ἅμα καὶ παχὺν χυμὸν, ἐν οἷς, ὑπὸ τῶν βωλητῶν μόνων, οὐδεὶς ἱστόρηται τεθνεὼς, χολέραν μέν τοι καὶ οὗτοι ἴσως ἰσχυρὰν ἀπεπληθυνθέντες· ὑπὸ δὲ τῶν ἄλλων μυκήτων ἐδωδῆς, ἔνιοι μὲν ἀπέθανον, ἔνιοι δὲ, ἐγγὺς ἧκον θανάτου, διαῤῥοίαις, ἢ χολέραις ἁλόντες, ἢ πνιγμῷ κινδυνεύσαντες. ἠρέμα δὲ παχύχυμόν ἐστι τὸ καλούμενον ὕδνον, οὐ μὴν κακόχυμόν γε. τῆς δ' αὐτῆς ἰδέας ἐστὶ, καὶ τὸ ἄμυλον. ἔτι πλέον δ' αὐτῶν ἐστὶ παχύχυμον, οὐκ δ' αὐτὸ κακόχυμον, ὁ κῶνος καλούμενος. ὀνομάζουσι δ' οἱ παλαιοὶ καὶ στροβίλους αὐτό. ἐκ δὲ τῶν παχυχύμων ἐστὶ καὶ ἧπαρ, καὶ νεφροὶ, καὶ ὄρχεις, ἀλλὰ τὸ μὲν ἧπαρ οὐκ ἔστι κακόχυμον. οἱ νεφροὶ δὲ καὶ ὄρχεις οὐκ εὔχυμοι. πλὴν τῶν ἐν τοῖς ἀλεκτρυόσι, καὶ μᾶλλον ὅταν σιτισθῶσιν, ὥσπερ γε καὶ τὸ ἧπαρ τῶν ὑῶν, ὅταν ἰσχάδας ἐσθίωσιν, ὃ καλοῦσι συκωτὸν, ὁ δὲ σπλὴν ἤδη μὲν τῶν ἄλλων ζώων ἱκανῶς κακόχυμός τε καὶ μελαγχολικὸς, ἤδη δὲ τῶν ὑῶν ἧττον ἐστὶ τοιοῦτος. ἡ γε μὴν καρδία σκληροτέραν τε καὶ ἰνωδεστέραν ἔχει τὴν οὐσίαν τῶν ἄλλων σπλάγχνων. φαίνεται γὰρ ἐπ' ἐκείνων μὲν ἐν τῷ μεταξὺ τῶν ἀγγείων οὐσία τις αἵματος πεπηγότος. ἤδη δὲ τῆς καρδίας, ἶνες φαίνονται στερεαὶ, πολλαὶ, μακραὶ, καθάπερ ἐν τοῖς μυσὶν, οἷς περιπέπηγεν ἡ σαρκώδης οὐσία, διὸ τινὲς αὐτὴν ἐν τῷ γένει τῶν μυῶν τάττουσιν, ὧν ἡ οὐσία τὸν ὄγκον ἐργάζεται τοῦ σώματος ἡμῶν ἅπαντα, καὶ τὴν ὀνομαζομένην κυρίως σάρκα, τὴν ἤδη τῶν ἱερείων ἐσθιομένην. ἀλλ' αἱ μὲν ἀρχαὶ τῶν μυῶν, ἃς δὴ καὶ κεφαλὰς αὐτῶν ὀνομάζουσι, νευρωδέστεραί πως εἰσὶν, ἐκ τῶν ὀστῶν, ὅθεν ἄρχονται, συνδέσμους ἐκπεφυκότας ἐνδιασπειρομένους αὐταῖς ἔχουσαι. κατὰ δὲ τὰς τελευτὰς, οἱ καλούμενοι τένοντες ἀποφύονται. καὶ κατὰ τοῦτο νευρωδέστερα τὰ πέρατα τῶν μυῶν εἰσὶν ἑκάτερα. καθάπερ τὸ μέσον ἅπαν σαρκῶδες, ὃ δὴ καὶ τροφιμώτατόν ἐστι, καὶ καλεῖται σὰρξ ὑπὸ τῶν ἀνθρώπων οὐχ ὁρώντων αὐτῶν τὰς ἶνας ὑπὸ λεπτότητος, αἳ ἐκ τῶν συνδέσμων καὶ τῶν νεύρων εἰς αὐτὴν διασπειρομένων ἐγένοντο. κἀπειδὴ τοῦτο σάρκα καλεῖν ἔφθασαν, εἰκότως ὀνομάζουσι μῦν, τὴν τ' ἀρχὴν καὶ τὴν τελευτὴν αὐτοῦ μόνας. ἔχει δὲ οὐχ οὕτως, ἀλλ' ὅλως μὲν ὁ μῦς κατὰ μίαν ἰδίαν περιγραφὴν ὁρᾶται χωριζόμενος ἀπὸ τῶν ἄλλων, ἐνεργεῖ δέ τινα μίαν ἐνέργειαν ἐκ τῶν προαιρετικῶν κινήσεων, οὕτως γὰρ ὀνομάζουσιν αὐτὰς ἀπὸ τῶν ἀπροαιρέτων τε καὶ φυσικῶν διοριζόμενοι. τὰ μέρη δ' αὐτοῦ τὰς εἰρημένας ἔχει διαφορὰς, ἐν δὲ τοῖς ἄκροις τῶν ζώων ὀλιγίστη μέν ἐστι σὰρξ, τὸ πλεῖστον δ' ὀστῶδές τε καὶ νευρῶδες οὐχ ἕνεκα τοῦ προαιρετικοῦ καλουμένου νεύρου, μικρὸν γὰρ τοῦτ' αὐτοῦ, ἀλλὰ τοῦ συνδετικοῦ καὶ μετ' αὐτὸ τοῦ τένοντος μὲν ὑπὸ τῶν παλαιῶν ἑλλήνων, ἀπονευρώσεως δὲ, ὑπὸ τῶν νεωτέρων ἰατρῶν ὀνομαζομένου. γλίσχρα δὲ ἱκανῶς εἰσὶ καὶ κολλώδη, ταῦτ' ἑψηθέντα, καὶ διὰ τοῦτο καὶ ἡ ἐξ αὐτῶν τροφή. τῆς δ' αὐτῆς φύσεως, καὶ τὰ περὶ τὰ χείλη μόρια τῶν πεζῶν ζώων, γλίσχρον μὲν γὰρ, οὐ μὴν παχύν γε τὸν χυμὸν ἐργάζεται. δηλοῖ δὲ καὶ ἡ ἕψησις, ἤδη πλεῖστον ἐξοιδίσκουσά τε, καὶ διαλύουσα τὰ τοιαῦτα σώματα. πεφθῆναι γε μὴν ἤδη τῆδε, καὶ ταῦτα. καὶ τὰ πτερὰ τῶν πτηνῶν ζώων τῷ κοινῷ λόγῳ τῶν γυμναζομένων σωμάτων. εὔπεπτα γοῦν πάντα ταῦτα, καθάπερ τὰ τῶν ἀργούντων περιττωματικά. τό γε μὴν δέρμα τῶν λιπαρῶν ὑῶν, ὅταν ἑψηθῇ καλῶς, κολλώδη μὲν ἔχει καὶ λιπαρὸν χυμὸν, οὐ μὴν ἱκανῶς γε παχὺν, οὐδὲ πεττόμενον ὡσαύτως τοῖς ἄκροις, ὥσπερ οὐδ' εὔχυμον ὁμοίως ἐκείνοις, ἀλλὰ περιττωματικώτερον. παχύχυμον δὲ μόριόν ἐστι τοῦ ζώου, καὶ ὁ ἐγκέφαλός τε καὶ ὁ νωτιαῖος μυελός. οἱ δ' ἀδένες μετρίως τοιοῦτοι, καὶ διὰ τοῦτο καὶ οἱ τῶν νέων ἱερείων ὄρχεις. κοινὸν γοῦν δὴ καὶ τοῦτο περὶ πάντων τῶν ἐν τοῖς ζώοις μορίων μεμνῆσθαί σε χρὴ, σκληρὰ μὲν καὶ ξηρὰ καὶ δύσπεπτα γίνεσθαι τὰ τῶν πρεσβυτέρων, ὑγρὰ δὲ καὶ μαλακὰ, καὶ διὰ τοῦτ' εὐπεπτότερα, τὰ τῶν νεωτέρων. πλὴν εἰ μὴ μετὰ τὴν ἀποκύησιν εὐθὺς ἐσθίοιτο. βλεννώδη γὰρ ἅπαντα ταῦτα, καὶ μάλιστα τῶν ὑγροτέραν ἐχόντων φύσει τὴν σάρκα, καθάπερ ἀρνῶν τε, χοίρων. τὰ δὲ τῶν ἐρίφων τε καὶ μόσχων, ἐπειδὴ ξηρότερα φύσει τὰ ζῶα, πολὺ βελτίω καὶ πρὸς πέψιν ἐστὶ, καὶ πρὸς τροφήν. οὕτως οὖν ἔχει καὶ κατὰ τοὺς ὄρχεις τε καὶ τοὺς ἀδένας, οὐχ ἥκιστα δὲ καὶ τὴν γλῶτταν. ἔστι γάρ πως καὶ ἡ ταύτης φύσις ἀδενώδης.

ἀδενώδης. οἱ δ' ἐν τοῖς τιτθοῖς ἀδένες ὅταν ἐν αὐτοῖς ἔχωσι τὸ γάλα καλοῦνται μὲν οὔθατα, παχύχυμον δ' ἐστὶν
ἔδεσμα. καὶ εἰ τὸ ζῶον εὐεκτοῦν εἴη καὶ ἡ δι' αὐτῶν τροφὴ, πολλή τε ἅμα καὶ εὔχυμος γίνεται. καὶ γάρ τοι καὶ τοῦτο
τῶν κοινῶν ὂν, ἄμεινον ἅπαξ ἀκούσαντα σὲ πρόχειρον ἔχειν τῇ μνήμῃ. γέγραπται γοῦν ὑπὸ πάντων ἰατρῶν περὶ
γάλακτος, ὡς εὐχυμότατον εἴη, καὶ διὰ τοῦτο τινὲς ἡγοῦνται τῶν τοὺς ἐν πνεύμονι ἔχοντας ἕλκος ὑπὸ μόνου τούτου
θεραπεύεσθαι, πρὸ τοῦ μέγα δηλονότι καὶ τυλῶδες αὐτὸ γενέσθαι. τὸ δὲ τῆς γυναικὸς ὡς ἂν οἰκεῖόν τε καὶ ἐκ τῆς αὐ-
τῆς φύσεως ἡμῖν ὑπάρχον, ἐπαινοῦσι πρὸ τῶν ἄλλων εἰς τὰ φθινώδη πάθη, καὶ ἄλλοι μέν τινες ἰατροὶ, καὶ μάλι-
στα Εὐρυφῶν τε καὶ Ἡρόδοτος, ἀξιοῦσί τε θηλάζειν, ὥσπερ τὰ παιδία τὴν γυναῖκα, τοὺς οὕτως ἔχοντας, ἐκπεσὸν γὰρ
τῶν τιτθῶν, εὐθέως ἀποβάλλει τι τῆς οἰκείας ἀρετῆς, εὔδηλον οὖν, ὅτι πάντων ἐδεσμάτων, ὡς εὐχυμότατον προκέ-
κριται, μάλιστα μὲν ὑπὸ τούτων, οὐχ ἥκιστα δὲ καὶ τῶν ἄλλων ἰατρῶν. ὃ δὲ κοινὸν ἔφην, οὐκ ἐπὶ τῶνδε μόνον, ἀλλὰ καὶ πολ-
λοῖς ἄλλοις ἐδέσμασι γινώσκειν χρὴ ὑμᾶς, τοῦτο δὴ καὶ λέξω. τῶν μὲν εὐεκτικῶν ζώων εὔχυμον ἐστὶ τὸ γάλα. τῶν δὲ
τῶν καχεκτικῶν, ὡσαύτως τῷ κατὰ τὸ ζῶον αἵματι, κακόχυμον. οὐ γὰρ ἐνδέχεται κακοχύμου τοῦ παντὸς σώματος ὄν-
τος, εὔχυμον εἶναι τὸ γάλα. διὰ τοῦτ' ἔφην ἐπὶ τῶν εὐεκτούντων ζώων ἄριστον μὲν εἶναι τὸ γάλα πρὸς εὐχυμίαν. οὔ-
τως δὲ καὶ τοὺς ἀδένας, αὐτούς τε τούτους ἐν οἷς τὸ γάλα περιέχεται, καὶ τοὺς ἄλλους ἐν τοῖς ὑγιαίνουσι ζώοις εὐχύμους εἶναι.
κατὰ δὲ τὸν αὐτὸν λόγον, ἧπάρ τε καὶ ὄρχεις. οὐ δὲ γὰρ ταῦτα τοῖς κακοχύμοις ἐστὶ ζώοις εὔχυμα. διὰ τοῦτο δ' οὐδὲ τοῖς γε-
γηρακόσιν, οὐδὲν γὰρ τούτων εὔχυμον. ὅσα δ' ἔτι θηλάζει ζῶα, τῆς μητρὸς αὐτῶν, ἐχούσης εὔχυμον γάλα ταῦτα καὶ
τοῖς ἄλλοις μὲν ἅπασι μορίοις ἄριστα διάκειται σφῶν αὐτῶν, εὔχυμον δ' ἔχει καὶ τὸ ἧπαρ. ὁποῖον δέ τινα χυμὸν
γεννᾷ τὰ ἄλλα μόρια τῶν ζώων, ὀλίγον ὕστερον εἰρήσεται. νυνὶ γὰρ ἐπειδὴ περὶ τῶν παχυχύμων ἠρξάμην διέρχεσθαι
πρότερον εὔλογόν ἐστιν ἐπὶ τὴν τελευτὴν αὐτῶν ἀγαγόντα τὸν λόγον, οὕτως ἐπὶ τὰ ἄλλα μεταβαίνειν. ὀλίγων οὖν
ἔτι ὄντων τοιούτων, ἐπ' αὐτὰ βαδιοῦμαι διορίζων ἐν αὐτοῖς τὰ κακόχυμα τῶν εὐχύμων, αὕτη γὰρ ἡ χρεία τοῦ νῦν
ἡμῖν ἐνισταμένου λόγου σκοπὸν ἔχοντος, εὐχυμίαν μὲν ἐργάζεσθαι, φεύγειν δὲ κακοχυμίαν. ἐπεὶ δὲ ὡς κατ' ἀρχὰς εἶπον
ἡ τῶν παχυχύμων ἐδεσμάτων οὐσία, δυσδιάπνευστόν τε τὸ σῶμα κατασκευάζει, καὶ τινὰς ἐμφράξεις ἐργάζεται,
καὶ μάλιστα καθ' ἧπάρ τε καὶ νεφρούς, διὰ τοῦτο συνεβούλευον ἀφίστασθαι τῆς διηνεκοῦς χρήσεως αὐτῶν, εἰ καὶ τῶν εὐχύμων
εἴη, τὰ μὲν γὰρ κακόχυμα, παντὶ τρόπῳ φευκτέον, ἐάν τε παχεῖς, ἐάν τε λεπτοὺς ἐργάζηται τοὺς ἐν ἡμῖν χυμούς.
εἴρηται δὲ καὶ ὅτι μόνοις τοῖς σφοδρῶς γυμναζομένοις, ἐὰν καὶ τὰ σπλάγχνα μὴ κακῶς ᾖ φύσει κατεσκευασμέ-
να, δυνατόν ἐστιν ἐν τοῖς παχυχύμοις τε καὶ γλίσχροις ἐδέσμασι διατρίβουσι, μὴ βλάπτεσθαι, τῶν δ' ἄλλων οὐδενί.
τῶν ὄντως παχυχύμων ἐδεσμάτων ἐστὶ, καὶ τὸ τῶν βαλάνων γένος ἑκατέρων, ὅσαι τ' ἐπὶ ταῖς δρυσὶ γίνονται,
καὶ ὅσαι τῶν φοινίκων εἰσὶ ὁ καρπὸς, ὀνομάζουσι δ' οἱ ἄνθρωποι, τὰς μὲν τῶν φοινίκων, ὁμωνύμως αὐτῷ τῷ φυτῷ,
φοίνικας. ὅσαι δ' ἐπὶ ταῖς δρυσὶ, τὰς μὲν καὶ τοῖς ἀνθρώποις ἡδέως ἐσθιομένας, καστανέας, ἔνιοι δὲ καστάνια κατὰ
τὸ καλούμενον εὐλέπτερον γένος, οἵ γε μὴν πολῖται, καθάπερ οὖν καὶ ἄλλοι τῶν ἐν Ἀσίᾳ, Σαρδιανάς τε καὶ λευκηνὰς
ὀνομάζουσιν αὐτὰς ἀπὸ τῶν χωρίων, ἐν οἷς πλεῖσται γίνονται. τὸ μὲν οὖν ἕτερον τῶν ὀνομάτων τούτων εὔδηλόν ἐστιν ἀ-
πό τινος γέγονε. λευκηναὶ δὲ ἀπὸ χωρίου τινὸς ἐν τῷ ὄρει τῇ Ἴδῃ τὴν προσωνυμίαν ἐσχήκασιν, ὃ πληθυντικῶς ὀ-
νομάζουσι παραπλησίως ταῖς Θήβαις. ταύτας μὲν οὖν τὰς βαλάνους, ὡς ἔφην, ἐσθίουσιν οἱ ἄνθρωποι ποτὲ ὠμὰς, ἐνίοτε
δὲ ὀπτῶντες, ἢ ἕψοντες. αἱ δ' ἄλλαι προμήκεις μέν εἰσι κατὰ τὸ σχῆμα παραπλησίως ταῖς τῶν φοινίκων, ἔδεσμα
ὑσὶ μᾶλλον ἢ ἀνθρώποις οἰκεῖον, ἄχρις ἂν μή τις ἀνάγκη μεγάλη καταλάβῃ τῆς ἐδωδῆς αὐτῶν. ἐν γὰρ τοῖς μεγά-
λοις λιμοῖς, καὶ τοῦτο συμβαίνει. τὰς δὲ τῶν πρίνων βαλάνους, ἃς ἀκύλους ὀνομάζουσιν ἕλληνες εἰσὶ δὲ στρυφναὶ, καὶ
σκληραὶ, καὶ διὰ τοῦτ' ἀηδεῖς, κἂν ἐφθὰς τις προσφέρηται, δυσπέπτους καὶ παχυχύμους οὔσας φυλάττεσθαι χρή. πρό-
δηλον δ' ὅτι τοῦ στύφοντος χυμοῦ διαφοραί τινές εἰσι κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ὁ αὐστηρός τε καὶ στρυφνός, ἐκλελυ-
μένης μὲν ἐν τοῖς αὐστηροῖς, ἐπιτεταμένης δ' ἐν τοῖς στρυφνοῖς τῆς στυφούσης ποιότητος. ἀλλ' ὅσον γε τῶν βαλάνων αἱ
ἀκύλοι στρυφνότεραι, τοσοῦτον τῶν καστανεῶν αἱ βάλανοι. πάνυ γὰρ ἀσθενῆ ταῦτα τὴν στύφουσαν ἔχει ποιότητα,
τῶν παχυχύμων ἐδεσμάτων ὄντα ταῖς ἄλλαις βαλάνοις ὡσαύτως. ἀλλ' ἧττόν τε στεγνοῖ τὴν γαστέρα, καὶ μᾶλλον
ἐκείνων πέττεται, καὶ οὐδόλως ἐστὶ κακόχυμα. φυλάττεσθαι δὲ δηλονότι χρὴ καὶ τούτων τὸ πλῆθος, οὐ μόνον ὅτι πα-
χύχυμόν ἐστι πολλοῖς τῶν εἰρημένων ὡσαύτως, ἀλλ' ὅτι καὶ στεγνωτικὰ τῆς κοιλίας καὶ δύσπεπτα καὶ φυσώδη. τῶν
δὲ φοινίκων ὁ καρπὸς, ὃν ἔφην ἅπαντας ἕλληνας ὀνομάζειν φοίνικας ὁμωνύμως τῷ δένδρῳ στύφοντός τε ἅμα καὶ
γλυκέος χυμοῦ μετέχει. τινὲς δὲ τῶν νεωτέρων ἰατρῶν ἐν συνθέτῳ προσηγορίᾳ φοινικοβαλάνους ὀνομάζουσιν αὐτοὺς,
οὐ μὴν παρά γε τοῖς παλαιοῖς ἕλλησιν εὗρον τοὔνομα. φοινίκων γὰρ ἐκεῖνοι βαλάνους τὸν καρπὸν τοῦτον, οὐ φοίνικας,
οὐδὲ φοινικοβαλάνους ὀνομάζουσιν. ἀλλ' οὐ πρόκειται νῦν ἡμῖν ὀνόματα διαστέλλεσθαι, σχολὴν ἀγόντων ἀνθρώπων ἀπό-
δασμα, καὶ τούτων οὐ πάντων, ἀλλ' ὅσοι τῇ παλαιᾷ τῶν ἀττικῶν ἐγνώκασι χρῆσθαι φωνῇ. τοῦ δ' ὑγιαίνειν ἅπαντες μὲν
ἄνθρωποι δέονται, δύνανται δ' οὐ πάντες ὡς χρὴ, διαιτᾶσθαι, δι' ἀκρασίαν, ἢ ἀσχολίαν, ἢ ἄγνοιαν ὧν χρὴ ποιεῖν ἀλλ' ὅσοι
καὶ γνῶναι δύνανται δίαιταν ὑγιεινὴν καὶ ζῆν κατ' αὐτὴν προῄρηνται, τούτοις τόδε τὸ γράμμα σύγκειται. κατὰ μὲν τὰς
ἀκύλους τε, καὶ τὰς τῶν δρυῶν βαλάνους, καὶ τὰ καστάνια τοῖς κατὰ μέρος δένδροις, οὐ μεγάλη τις διαφορὰ τοῦ καρ-
ποῦ. κατὰ δὲ τοὺς φοίνικας, ἀξιόλογος. εἰ γὰρ παραβάλλοις τὸν αἰγύπτιον φοίνικα σκληρὸν καὶ αὐστηρὸν καὶ ξη-
ρὸν ὄντα, τῷ καλουμένῳ πατητῷ, γλυκεῖ μὲν ἱκανῶς ὄντι, βραχείας δὲ μετέχοντι στύψεως, ἐναντίαν ἔχειν σοι δό-
ξουσι τὴν φύσιν. οἱ δ' ἄλλοι μεταξὺ τούτων εἰσὶν οἱ μὲν μᾶλλον, οἱ δ' ἧττον αὐστηρότητός τε καὶ γλυκύτητος μετέ-
χοντες. ὁ δ' ἐξ αὐτῶν χυμὸς, παχύς τε ἐστι, καὶ ῥᾳδίως ἐμφραττόμενος ἥπατι. καὶ γάρ τι καὶ τοῦτο, περὶ τῶν παχυχύ-
μων τε καὶ γλυκέων ἐδεσμάτων ἐπίστασθαί τε καὶ μεμνῆσθαι καλὸν, ὡς ἥπατός τε καὶ σπληνὸς ἐμφρακτικὸς ὁ ἐξ
αὐτῶν ἐστὶ χυμός. εἰ δὲ καὶ βραχεῖα τις ἀρχὴ φλεγμονῆς εἴη κατὰ τὰ σπλάγχνα, ταύτην αὐξάνουσιν ἱκανῶς, ὥσπερ
γε καὶ τὰς πνευματώδεις καὶ τὰς σκιρρώδεις διαθέσεις προξενοῦσι, καὶ δηλονότι καὶ τὰς τῶν ἀποστημάτων γενέ-
σεις, ἀλλ' ἴσως ταῦτα πορρωτέρω καὶ τῆς ὑγιεινῆς διαίτης ἐστὶν, ἧς μόριον ὁ προκείμενος ἐκδιδάσκει λόγος.
ἐπ' αὐτὰ οὖν αὖθις ἴωμεν, ὅσα τῶν παχυχύμων ἐστὶ, καὶ γλυκέων ἐδεσμάτων προσιόντες. ἔνια μὲν γὰρ αὐτῶν

αὖθις ἴωμεν, ὅσα τῶν παχυχύμων ἐστὶ, καὶ γλυκέων ἐδεσμάτων προειθέντες. ἔνια μὲν γοῦν αὐτῶν παχύχυμα μόνον ἐστὶν, ὥσπερ ἡ φακή. γλίσχρα δ' ἄλλα, καθάπερ ἡ μαλάχη. ἔνια δ' ἄμφω πέπονθεν, ὥσπερ τά θ' ὑπὸ Ἀριστοτέλους ὀστρακόδερμα καλούμενα, καὶ τὰ μαλάκια. καλλίστη δὲ τροφὴ τοῖς σώμασιν ἡμῶν, ἀπὸ τῶν μήτε παχυχύμων, μήτε γλίσχρων, ἐξ ὧν αἷμα σύμμετρον τῇ συστάσει γεννᾶται. μοχθηρὸν γοῦν ἐστὶ, καὶ τὸ λίαν λεπτόν. βραχείας γὰρ οὔσης τῆς ἐξ αὐτοῦ τροφῆς, ἀσθενῆ καὶ ἰσχνὰ γίνεται τὰ οὕτω διαιτώμενα σώματα. κάλλιστα τοίνυν εἰς ὑγείαν ἐστὶν ἐδέσματα, τὰ μέσην ἔχοντα τῶν εἰρημένων τὴν φύσιν, ὡς μηδὲν ἐπικρατεῖν ἐν αὐτοῖς ἰσχυρῶς γλίσχρον, μήτ' αὖ τὸ κολλῶδες, ἀλλὰ καὶ τὸ τελέως ψαθυρὸν, ὡς μηδὲ τοὐλάχιστον ἔχειν χυμοῦ κολλώδους, μοχθηρόν. οἱ γοῦν ἐξ ἐλύμου τε καὶ κέγχρου σκευαζόμενοι τῶν ἄρτων, ἐγγὺς ἥκουσι τοῦ δόξαι ἵνα ψάμμον, ἢ τέφραν ἐσθίειν, διὸ καὶ δεῖται τὸ γινόμενον ἐξ αὐτῶν ἔτνος, ὥσπερ γε καὶ ἡ λέκιθος ἅπασι τοῖς λιπαροῖς τε καὶ γλίσχροις μεμίχθαι, λίπος τε οὖν συῶν, καὶ στέαρ αἰγῶν, ἔλαιον, καὶ γάλα προβάτων, ἢ βοῶν, ἐπιβάλλοντες αὐτοῖς οἱ κατὰ τοὺς ἀγροὺς, ἐσθίουσιν. ἔτνος δὲ ὀνομάζω, τὸ ἐκ τῶν ἑψηθέντων ὀσπρίων τε καὶ χεδρόπων σκευαζόμενον. λέκιθον δὲ τὸ ἐκ τῶν ἀλεσθέντων ἀλεύρων ἑψόμενον ἐν ὕδατι, προσεμβαλλομένου τινὸς λίπους. ἔνια δὲ τῶν ἐδεσμάτων, αὐτὰ μὲν ἐφ' ἑαυτῶν ὁρῶμεν, πρὸ τοῦ τῆς οἰκείας τυχεῖν παρασκευῆς, εἴτ' οὖν δι' ἑψήσεως, εἴτε καὶ δι' ὀπτήσεως, ἢ τηγανίσεως, ἢ καὶ διὰ μόνης βρέξεως, σκληρὰ καὶ γεώδη φαίνεται. βρεχόμενα δὲ, ἢ ἑψόμενα, μαλακὰ, καθάπερ, ἐν μὲν τοῖς σιτηροῖς σπέρμασι, κριθαὶ καὶ πυροί, τῶν δ' ἐπὶ δένδροις γεννωμένων καρπῶν οἱ κῶνοι, προσέχειν οὖν σε χρὴ καὶ τούτῳ τὸν νοῦν, οὐ μόνον ὅταν εἰς ξένην ἀφικόμενος χώραν ἐσθίειν τι μέλλεις ἄηθες, ἀλλὰ καὶ παρ' ἡμῖν αὐτοῖς, πεπειρώμενον ἑκάστου τῆς φύσεως ἐν τῷ διαβρέχειν ὕδατι μόνῳ χωρὶς ἑψήσεως, ἢ σὺν ἑψήσει τε καὶ ὀπτήσει. τὰ μὲν γοῦν εἰς ὄγκον ἐξαιρόμενα τῶν σπερμάτων, ἢ ὅλως τῶν καρπῶν, ἀποβάλλοντα ταχέως τὴν ἀρχαίαν σκληρότητα καὶ ξηρότητα, μεθιστάμενά τε πρὸς τὸ μαλακώτερον καὶ ὑγρότερον, ἀμείνω πάντ' ἐστί. τὰ δὲ φυλάττοντα τὸν ἔμπροσθεν ὄγκον ἅμα τῇ σκληρότητι, χείρω. καὶ γοῦν δύσπεπτα τὰ τοιαῦτα καὶ γεώδη ταῖς οὐσίαις ἐστὶν, ὡς μόγις αἱματοῦσθαι, δεόμενα ῥωμαλέας δυνάμεως εἰς τὴν ἐν τῷ σώματι κατεργασίαν, ἔν τε τῷ πέττεσθαι κατὰ γαστέρα, καὶ καθ' ἧπάρ τε καὶ φλέβας αἱματοῦσθαι ἀποτυγχάνεται μὲν οὖν ἑκατέρων τῶν ἐνεργειῶν ἐν τοῖς ἀσθενέσι σώμασι, καὶ γοῦν χυμὸς ἐκ τῶν τοιούτων ἐδεσμάτων ὁ καλούμενος ὠμὸς γίνεται, ἐφ' ὧν νόσοι παντοῖαι συνίστανται. ἐπὶ δὲ καθ' ἕκαστον εἶδος καρποῦ, πολλάκις ἐστὶν ἡ διαφορὰ, προβρέχειν ἀξιῶ σε, καὶ προεψεῖν ἐνίοτε τῶν μελλόντων ἐσθίεσθαι ἵνα, πεῖραν ἀσφαλῆ λαμβάνοντα τῆς φύσεως αὐτῶν, ὁ γοῦν ἐμὸς πατὴρ ἐπιμελὴς ὢν περὶ τὰ τοιαῦτα, καὶ ἀμύγδαλα οὕτως ἐδοκίμασε, καὶ κάρυα τὰ μεγάλα, καὶ τὰ σμικρὰ ποντικά τε καὶ λεπτοκάρυα. τὴν αὐτὴν δὲ βάσανον ἐποιεῖτο, καὶ τῶν λαχάνων, ὡσαύτως δὲ καὶ τῶν κυάμων, καὶ πισῶν, καὶ λαθύρων, καὶ θέρμων, ὤχρων τε, καὶ δολίχων, ἁπάντων τε τῶν τοιούτων, ἢ βρέχων, ἢ προεψῶν, εἶθ' ὁρῶν εἰς ὅσον ἐξοιδίσκεται. περὶ δὲ τῆς πτισάνης τί δεῖ καὶ λέγειν; ἤδη γὰρ τοῦτο καὶ οἱ παῖδες ἴσασιν, ὡς ἡ μὲν ὀγκουμένη ταχέως ἀρίστη, μοχθηρὰ δ' ἡ χρόνῳ πολλῷ βραχὺν ὄγκον ἴσχουσα. τήκεται γὰρ ἡ προτέρα ῥηθεῖσα καὶ γίνεται χυλὸς, ἡ δ' ἑτέρα δύστηκτός τ' ἐστὶ καὶ σκληρὰ διαμένει βραχύτατον ἀνιεῖσα χυλόν. ἔνια δὲ τῶν δημητρίων σπερμάτων, οὐδ' ὅλως ὀγκοῦσθαι πέφυκεν ἑψόμενα. κεκλήκασι δ' ἀτέραμνα τὰ τοιαῦτα τῶν παλαιῶν ἑλλήνων ἔνιοι. οὕτως οὖν καὶ τοὺς πυροὺς ὁ ἐμὸς πατὴρ ἐδοκίμαζε, καὶ προσέτι τῷ πλήθει τῶν ἀλεύρων. οἱ μὲν γοῦν ἀγαθοὶ πλεῖστον ἄλευρον ἐργάζονται, οἱ μοχθηροὶ δ' ὀλίγον. μὴ τοίνυν μηδὲ σὺ κατὰ τὸ πάρεργον ἀκούσῃς ὧν λέγω. κοινὸς τε γοῦν ὁ λόγος ἐστὶν, ἁπάντων μὲν σπερμάτων, ἁπάντων δὲ καρπῶν, ὅσους ἀποτίθεσθαι δυνατὸν ἐστὶν ἐξηρασμένους τε καὶ κεκριμένους ὑπὸ ἐμοῦ τε καὶ τοῦ πατρὸς ἐν χρόνῳ πολλῷ, καὶ πείρᾳ μακρᾷ. δῆλον δ' ὅτι καὶ τοὺς καρποὺς εἰς ἀπόθεσιν ἐπιτηδείους λέγω, τοὺς πρὶν σαπῆναι ξηραινομένους. ἔνιοι μὲν γὰρ οὐκ ἀναμένουσι τοῦτο, καθάπερ τὰ μῶρα, καὶ οἱ καλούμενοι πέπονές τε, καὶ οἱ μηλοπέπονες. ἔτι τε περσικὰ, καὶ ὅσα τούτοις ἐστὶ παραπλήσια, φθάνει γὰρ σαπῆναι πρὶν ξηρανθῆναι. κολοκύνθας μὴν εἰς λεπτὰ μόρια τέμνοντες, ξηραίνουσιν ἔνιοι, καθάπερ γε καὶ τὰς κοιλίας ἄλλοι. καὶ γνώρισμα δὲ τοῦ μοχθηρὸν εἶναι τὸν μύκητα μέγιστον νομίζουσι, τὸ ξηρανθῆναι μὴ δύνασθαι. περὶ δὲ τῶν κοκκυμήλων, τί δεῖ καὶ λέγειν; οὐδεὶς γὰρ ἀγνοεῖ τὴν ἀπόθεσιν αὐτῶν, οὐκ ἐν δαμασκῷ μόνον, ἢ κατὰ τὴν ἰβηρίαν, ἀλλὰ καὶ παρ' ἡμῖν γιγνομένην. ὥστ' ὀλίγιστοι τῶν καρπῶν εἰσὶν, οἱ μὴ δυνάμενοι ξηρανθῆναι, πλὴν πέπονες, ὡς ἔφην, καὶ μηλοπέπονες, τάτ' ἀρμενιακὰ, καὶ τὰ περσικὰ, καὶ πρεκόκκια παρὰ ῥωμαίοις ὀνομαζόμενα. καὶ γὰρ τὰ σῦκα ξηρανθέντα διαμένει, καὶ οἱ σικυοὶ ταῖς κολοκύνθαις ὡσαύτως, ἀλλὰ καὶ ταῦτα τοῦ χειμῶνος εἰς χρείαν ἀγόμενα τὴν αὐτὴν ἐξέτασιν δέχεται. τὰ μὲν γοῦν †τελέως ἐν ὕδατι τεγγόμενα, καὶ χωρὶς ἑψήσεως, καὶ σὺν ἐκείνῃ, κάλλιστα τῶν ὁμοειδῶν ἐστὶ, τὰ δ' ἐν πολλῷ χρόνῳ τοῦτο πάσχοντα, καὶ μικρὸν ἐπιδιδόντα τοῖς ὄγκοις, μοχθηρά. γίγνωσκε τοίνυν οὐ μόνον εἰς πέψιν ἀμείνω ταχέως οἰδισκόμενα τῶν ἐδεσμάτων, ἀλλὰ καὶ πρὸς εὐχυμίαν, ἧς ἕνεκα τὰ κατὰ τουτὶ τὸ γράμμα λέγεται πάντα, καὶ γὰρ βελτίω φύσει τὰ ταχέως ἐξογκούμενα, διότι πέττεσθαι μᾶλλον καὶ ἀμείνους γεννᾶ χυμούς. οὐδὲν γὰρ οὕτως εἰς εὐχυμίαν συντελεῖ πᾶσιν ἐδέσμασιν, ὡς τὸ πεφθῆναι καλῶς ἐν τῇ γαστρί. καὶ γὰρ τὴν δευτέραν καὶ τρίτην πέψιν ἐπιδέχεται μᾶλλον ταῦτα. ἔμαθες δὲ, ὅτι δευτέρα μὲν πέψις ἐν ἥπατί τε καὶ φλεψὶ γίνεται, τρίτη δὲ καθ' ἕκαστον τῶν τρεφομένων μορίων, ἧς ἕνεκα τῶν προτέρων δυοῖν δεόμεθα. τρέφεται μὲν γὰρ ὅσα τρέφεται τῶν τρεφόντων αὐτὰ μεταβαλλομένων κατὰ ποιότητα, κἀξομοιουμένων τοῖς τρεφομένοις. μεταβάλλεται δὲ τὰ προπαρασκευασθέντα καὶ προπεφθέντα, τῶν ἀπέπτων μᾶλλον. ἀλλήλας γὰρ αἱ πέψεις διαδέχονται. τὴν μὲν τῆς γαστρὸς τὸ ἧπαρ. τὴν δὲ τούτου, τὰ τρεφόμενα μόρια. καὶ τοίνυν καὶ προπαρασκευάζει τοῖς μὲν ἐν τῷ σώματι μορίοις ἅπασι τὴν τροφὴν τὸ ἧπαρ, ἐκείνῳ δ' ἡ γαστὴρ, ἐκείνῃ δὲ τὸ στόμα. καὶ τούτῳ τινὰ μὲν ὄπτησις, τινὰ δὲ ἕψησις, ἢ ταγήνισις, ἢ τις ἁπλῆ βρέξις. ἅπασι δὲ τούτοις, ἡ δηκοῦσα φύσις τὰ τοὺς καρποὺς φέροντα φυτὰ παρασκευάζει, καί τινα γε τῶν ἐξ αὐτῆς γεγονότων, οὔτ' ἑψήσεως, οὔτ' ὀπτήσεως, οὔτε βρέξεως, οὔτ' ἄλλης δεῖται παρασκευῆς. ταῦτα μὲν ἐν τῷ καθόλου χρὴ μεμνῆσθαι. κοινὴ γὰρ ἁπάντων ἐστὶ τῶν ἐσθιομένων. ἐπὶ δὲ τὰ κατὰ μέρος ἴωμεν ὅσα λέγοντες ἀπελίπομεν. ἐν μὲν τοῖς τῶν ζώων μορίοις, ἔντερά τε καὶ γαστέρα, καὶ μήτραν, καὶ ὦτα, καὶ ὀφθαλμοὺς, καὶ οὐράς.

Marginal printed note: τα. ταχέως

ἐν δὲ τοῖς

ἐν δὲ τοῖς δημητρίοις σπέρμασι τὰ πλεῖστα, καθάπερ γε καὶ λαχάνων καὶ φυτῶν καλουμένων ὡραίων. ἐν τούτοις μὲν οὖν
ἡ γαστὴρ μικρὰ καὶ σκληροτέραν τῆς σαρκῶν ἔχει τὴν οὐσίαν. ἀπεπτοτέραν τε τοσοῦτον, ὅσον καὶ σκληροτέρα ἧττον τε
τῆς σαρκῶν τρέφει, καὶ ἧττον εὔχυμα εἰσίν. αἱ δ' οὐραί, καὶ τούτων ἔτι σκληρότεραι. καὶ τἄλλα ἀνάλογον τῇ σκληρό-
τητι κατ' αὐτάς ἐστι περί τε πέψιν καὶ θρέψιν πλὴν οὐ περιττωματικὰ διὰ τὴν κίνησιν. ὅμοιοι δ' αὐταῖς εἰσὶν αἱ
τῶν πτηνῶν ζώων, οἱ τράχηλοι. κοιλίαι δ' οὐδὲν ὅμοιαι, τοῖς πτηνοῖς τε καὶ πεζοῖς ζώοις εἰσί. καὶ γὰρ παχεῖαι καὶ σκλη-
ραί, καὶ διὰ τοῦτο δύσπεπτοι, καὶ πολύτροφοι πεφθεῖσαι τοῖς πτηνοῖς εἰσὶν αἱ κοιλίαι. κάλλισται δ' ἀλεκτορίδων, καὶ
χηνῶν, καί τοι τὰ ἄλλα τῆς χηνὸς μόρια, σκληρά τ' ἐστὶ καὶ δύσπεπτα καὶ περιττωματικά, πλὴν τῶν πτερῶν, ἐν δὲ τοῖς
μεγάλοις στρουθοῖς, ἃς νῦν ὀνομάζουσι στρουθοκαμήλους, ἅπαντα τὰ μέρη, σκληρά, καὶ δύσπεπτα, καὶ περιττωματικά.
τῶν δ' ὤτων ὁ μὲν χόνδρος, ἄτροφόν τ' ἐστὶ καὶ ξηρὸν σῶμα. τὸ δὲ ἔξωθεν δέρμα, λεπτὸν καὶ ξηρόν, ὀλιγότροφόν τε καὶ
δύσπεπτον. ὀφθαλμοὺς δ' ὀλίγοι μὲν ἐσθίουσι, σύγκεινται δ' ἐξ ἀνομοίων οὐσιῶν. ἑτέρας μὲν γὰρ φύσεως οἱ χιτῶνες
αὐτῶν, ἑτέρας δέ, οἱ μύες. ἄλλης δὲ τὸ κρυσταλλοειδὲς καὶ τὸ ὑαλοειδές, ἐξ αὐτῶν δὲ οἱ μύες εὐπεπτότατοι μόνοι. τῶν δ'
ἐπιτήδειον εἰς εὐχυμίαν τὴν φύσιν ἐχόντων ζώων, οἷοί περ οἱ σύμμετροι κατὰ τὴν ἡλικίαν ὑῶν. εἶεν δ' ἂν οὗτοι τοῖς
μὲν ἀκμάζουσιν ἀνθρώποις καὶ γυμναζομένοις οἱ τέλειοι, τοῖς δὲ παρακμάζουσιν, οἱ ἔτ' αὐξανόμενοι, τῶν δὲ πάνυ σμι-
κρῶν χοίρων ἡ σὰρξ περιττωματική. ἀρίστης δὲ οὔσης τῆς τῶν ὑῶν οὔσης ἐδωδῆς ἐν τοῖς πεζοῖς ζώοις, ἐφεξῆς ἐστὶν ἡ τῶν ἐρί-
φων, καὶ μετὰ ταύτην ἡ τῶν μόσχων. ἡ δὲ τῶν ἀρνῶν σὰρξ ὑγρὰ καὶ γλίσχρα καὶ βλεννώδης ἐστί, τῶν δ' ἄλλων πεζῶν
ζώων τῆς ἐδωδῆς ἀπέχεσθαι κελεύω, τοὺς εὐχυμίας προνοουμένους. ἡ δὲ κατ' εἶδος ἐν αὐτοῖς διαφορά, κατὰ τὸ τρίτον εἴρηται
περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων. ἐν δὲ τοῖς δημητρίοις σπέρμασιν, ἄριστον εἰς εὐχυμίαν ἔδεσμα, καλῶς ἑψημένη
πτισάνη, συνενδείκνυται δ' ὁ λόγος οὗτος, ἀρίστην εἶναι χρῆναι καὶ τὴν κριθήν. οὐ γὰρ ἕψεται καλῶς ἡ πτισάνη μὴ τοιαύτης
οὔσης αὐτῆς, διὰ τὸ μηδὲ πλεῖον ἐξοιδίσκεσθαι διαβρεχομένην, μήτε χυλοῦσθαι τηκομένην. ἀλλὰ περὶ πτισάνης, ἐν-
τε τῷ περὶ τῶν ἐν τροφαῖς δυνάμεων, καὶ τοῖς τῆς θεραπευτικῆς μεθόδου. καὶ τοῖς εἰς τὸ περὶ διαίτης ὀξέων ἱππο-
κράτους ὑπομνήμασιν, ἐπὶ πλέον εἴρηται. νυνὶ δ' ἀρκεῖ δεδηλῶσθαι τὸ κεφάλαιον, οὗ χρήζομεν εἰς τὸν ἐνεστῶτα λό-
γον, ὡς ἀμεμπτότατον εἴη ἂν πάντων ἐδεσμάτων εἰς εὐχυμίαν τε καὶ φυλακὴν ὑγείας πτισάνη καλῶς ἐσκευασ-
μένη. τρέφει γε μὴν ἄρτου ἧττον καλλίστη. περὶ οὗ καὶ αὐτοῦ λέλεκται κατὰ τὸ β'. γράμμα περὶ τῶν ἐν ταῖς τροφαῖς δυνά-
μεων. τῖλις μὲν οὐκ εὔχυμος, ἂν πλεονάζῃ τις ἐν αὐτῇ, πτισάνην δὲ κἂν καθ' ἑκάστην ἡμέραν εἰς κόρον ἐσθίῃς, οὐδὲ
εἰς εὐχυμίαν βλαβήσῃ. περὶ κυάμου δ' ἂν ἔλεγον ταὐτόν, εἰ μὴ φυσώδης ἦν, οὔτε γὰρ κακόχυμος, οὔτ' ἐμφρακτικός,
ἅπερ ἐστὶ κεφάλαια τῶν ὑγιεινῶν ἐδεσμάτων, ὑπάρχει δ' αὐτῷ ταῦτα διὰ τὸ ῥυπτικὴν ἔχειν ποιότητα, καὶ δύναμιν
ἐν αὐτῷ, καθάπερ ἡ κριθή. τῷ πισῷ δέ. τὸ μὲν ἄφυσον ὑπάρχει, τὸ ῥυπτικὸν δ' οὐκ ἴσον τῷ κυάμῳ. περὶ δὲ τοῦ φακοῦ
ὅτι κακόχυμός ἐστι καὶ μελαγχολικός, σχεδὸν οὐδεὶς ἀγνοεῖ, ὡς φαρμάκῳ δ' αὐτῇ χρώμεθα πολλάκις ἐπὶ πολλῶν
παθημάτων, ἀλλ' οὐ νῦν ἐκείνων ὁ καιρός. ὦχροι δέ, καὶ δόλιχοι τῶν μὲν εἰρημένων, χείρους, ἀμείνους δὲ λαθύρων, ὄλυραι
δὲ μετὰ τὴν κριθὴν τίθεται, καὶ μετ' ἐκείνην τίφην. ἔλυμος δὲ τε φευκτέος ἀεί. καλοῦσι δ' αὐτὸν ἔνιοι μελίνην τῶν πα-
λαιῶν. ἡ δὲ κέγχρος, ὁμογενὴς μὲν ἐστὶ τῷ σπέρματι τούτῳ, μοχθηρὰ δ' ἧττον. ὅ γε μὴν ἐρέβινθος, εἰ καὶ τρόφιμος,
ἀλλ' οὐκ εὔχυμος. φυσώδης δέ, οὐδὲν ἧττον ἐστὶ κυάμου, παροξύνει δὲ καὶ πρὸς συνουσίαν, ἅμα τῷ πολὺ σπέρμα γεννᾶν.
ὁ δὲ θέρμος, ἱκανῶς παχύχυμος, δῆλον δ' ὅτι καὶ τρόφιμος, εἴπερ παχύχυμος, οὐ μὴν κακόχυμος. τῶν δ' ἄλλων
ὀσπρίων, οὐδὲ μεμνῆσθαι καλὸν εἰς εὐχυμίας λόγον. ὧν γε μὴ δ' ἐσθίουσιν ἄνθρωποι, πρὶν ὑπὸ λιμοῦ βιασθῆναι. περὶ
μὲν οὖν ὀσπρίων, αὐτάρκως εἴρηται. περὶ δὲ καρπῶν ἐφεξῆς ἂν εἴη ῥητέον. εἰσὶ δ' οἱ μὲν ἀπὸ δένδρων ὀλίγου δεῖν
ἅπαντες κακόχυμοι πλὴν τῶν κασταναίων ὀνομαζομένων βαλάνων. αὗται δὲ πεφθεῖσαι καλῶς ἐν τῇ γαστρὶ τρό-
φιμοι μέν εἰσι καὶ παχύχυμοι, κακόχυμοι δ' οὐδαμῶς. τῶν δ' ἄλλων οἱ μὲν ὡραῖοι καλούμενοι καρποί, κακόχυμοι
πάντες. ἐὰν δὲ διαφθαρῶσιν ἐν τῇ γαστρὶ φαρμάκου δηλητηρίου πλησίον ἥκουσιν, ὥσπερ καὶ τὰ μῶρα καί τι μετριώ-
τερα τῶν περσικῶν ὀνομαζομένων ὄντα, καὶ τῶν κοκκυμήλων, ὅμως τὴν διαφθορὰν οὐδὲν ἧττον ἐκείνων ἔχει μοχθηράν.
ἣν δ' ὀνομάζουσιν ἰδίως οἱ ἕλληνες ὀπώραν ἐν σύκοις καὶ σταφυλαῖς οὖσαν, ἀμείνων μὲν ἐστὶ τῶν εἰρημένων, οὐ σμι-
κρὰν δ' ἔχει τὴν διαφοράν, ἢ πέπειρον ἀκριβῶς εἶναι τὸν καρπόν, ἢ μηδέπω τοιοῦτον. ἐγγὺς γὰρ τῶν ἀβλαβῶν τὰ πέ-
πειρα σῦκα καὶ μετὰ ταῦτα ἡ πέπειρος σταφυλή. κρεμασθεῖσα δὲ καὶ ἤδη τὸ φυσῶδες ἀποτίθεται, καὶ γίνεται τελέ-
ως ἄμεμπτον. περὶ ἰσχάδων δὲ δόξειεν ἄν τις ἐναντία λέγων ἀληθεύειν, εἰ κακοχύμους γε ἅμα καὶ εὐχύμους αὐτὰς
εἴπῃ, νοσώδεις τε καὶ ὑγιεινὸν ἐχούσας. ἐὰν γὰρ αὗται διεξέρχονται κατὰ τὴν γαστέρα καὶ ἡ ἀπ' αὐτῶν ἀναδοθεῖσα τροφὴ
διά τε τοῦ δέρματος καὶ τῶν νεφρῶν, ὑγιειναί τε εἰσὶ καὶ εὔχυμοι. βραδύνουσαι δέ, κακοχυμότεραι πως γίνονται καὶ
φθειρῶν πολλῶν γεννητικαί, μετὰ δὲ καρύων ἐσθιόμεναι, κάλλιστον εἰσὶν ἔδεσμα, καθάπερ γε καὶ ἀμυγδάλων. ἀλ-
λὰ μετὰ τούτων μὲν ὡς ἐκφρακτικῶν καὶ ῥυπτικῶν, οὐ μὴν εὐχύμων γε, τοῖς καρύοις ὡσαύτως, οὐδὲ τροφίμων. ἅμα δὲ
τοῖς καρύοις βελτίους εἰς ἅπαντα. καί τινες τῶν γραψάντων συνθέσεις φαρμάκων θανασίμων, ἀλεξητήριον αὐτῶν
ἁπάντων εἶναι φασί, προλαμβανομένας ἰσχάδας ἅμα καρύοις τε καὶ πηγάνῳ. τὰ δ' ἄλλα τῶν ἀκροδρύων εἴδη κα-
κόχυμά ἐστι, καὶ μάλισθ' ὅσα τῶν ἀγρίων αὐτῶν καὶ θάμνων εἰσὶ καρποί, περὶ ὧν ἐπὶ πλέον εἴρηται κατὰ τὸ β'. τῶν ἐν ταῖς
τροφαῖς δυνάμεων. μήλων δὲ καὶ ῥοῶν, ἀπίων τε καὶ μεσπίλων, οὐχ ὡς τροφῆς, ἀλλ' ὡς φαρμάκων χρήζομεν εἰς τόνον στο-
μάχου τε καὶ γαστρός. καρποὶ δ' εἰσὶ καὶ σικυοὶ καὶ πέπονες καὶ μηλοπέπονες, ἀλλ' οὐδὲν οὐδὲ τούτων εὔχυμον. εἰ δὲ μὴ
ταχέως ὑπέλθῃ, διαφθείρεται κατὰ τὴν γαστέρα καὶ τῶν ἐκ τῆς διαφθορᾶς γινομένων χυμῶν ἐγγὺς τοῖς θανασίμοις γιγνομένων φαρ-
μάκοις ἐργάζεται. κολόκυνθα δ' ἄμεμπτος μόνη τῶν τοιούτων καρπῶν, ἀλλὰ καὶ αὕτη διαφθαρεῖσα κατὰ τὴν γαστέ-
ρα κακόχυμος ἱκανῶς γίνεται. καθάπερ καὶ τὰ συκάμινα, καὶ γὰρ καὶ ταῦτα πρὶν διαφθαρῆναι, φθάσαντα
ταχέως ὑπελθεῖν, οὐδὲν ἐργάζεται φαῦλον, εἴγε μή τις ἐν αὐτοῖς πλεονάζοι. κοινὸν γὰρ τοῦτο περὶ ἁπάντων ὡραίων
ἐπίστασθαι γε χρὴ καὶ μεμνῆσθαι. τῶν δὲ λαχάνων, οὐδὲν μὲν εὔχυμον, ἐν μέσῳ δ' εὐχύμου τε καὶ κακοχύμου θρίδαξ
ἐστίν, εἶτα μαλάχη, καὶ μετ' αὐτὴν ἀτράφαξύς τε, καὶ ἀνδράχνη καὶ βλίτον, καὶ λάπαθον. ἐσχάτως δὲ κακόχυ-
μα πάντ' ἐστίν, ἃ καλοῦσιν ἄγρια λάχανα, θριδακίνη, χονδρίλη, σκάνδιξ, γιγγίδιον, σέρις, κιχώριον. αἱ δὲ ῥίζαι

τῶν λαχανωδῶν φυτῶν κακόχυμοι μὲν, ὅσαι δριμεῖαι, καθάπερ αἱ τῶν κρομμύων, καὶ πράσων, καὶ σκορόδων, καὶ ῥαφανίδων, καὶ δαύκου. μέσαι δ' εὐχύμων τε καὶ κακοχύμων, αἵ τε τῶν ἀγρίων εἰσὶ, καὶ τῶν γογγυλίδων, ἃς καὶ βουνιάδας ὀνομάζουσι, καὶ τῆς καλουμένης καρώου. ὄρνιθες δὲ καὶ ἰχθύες, ὀλίγου δεῖν ἅπαντες εὔχυμοι πλὴν τῶν ἐν ἕλεσι καὶ λίμναις, καὶ ποταμοῖς ἰλυώδεσι, καὶ βορβόροις διαιτωμένων. ἀεὶ γὰρ χείρονι χρῶνται, καὶ νήξεσιν ἐλάττοσι, καὶ τροφαῖς μοχθηροτέραις, καὶ μάλιστα ὅταν ἐκ πόλεως μεγάλης ῥέῃ τὸ ὕδωρ, ἐκκαθαῖρον ἀποπάτους τε καὶ βαλανεῖα, καὶ μαγειρεῖα, καὶ τὰ τῶν πλυνόντων τὰς ἐσθῆτας, καὶ τὰς ὀθόνας ῥύμματα. χείριστη γὰρ ἡ σὰρξ γίνεται τῶν ἐν ὕδατι τοιούτῳ διαιτωμένων ζώων, μάλιστα μὲν, ὅταν ἐν αὐτῷ μόνῳ διατρίβωσι, κἂν ἐπιμίγνυνται δὲ βελτίονι, μοχθηρότεραι πολλῷ καὶ οὗτοι τῶν ἐν καθαρᾷ θαλάττῃ διαιτωμένων εἰσίν. ἄμεμπτοι γὰρ ὀλίγου δεῖν ἅπαντες ὑπάρχουσιν, ὅσοι καὶ κατὰ τὴν ἄμικτον ὕδατι γλυκεῖ διατρίβουσιν, ὥσπερ οἵ τε πελάγιοι καλούμενοι, καὶ οἱ πετραῖοι. καὶ γὰρ εἰς εὐχυμίαν, καὶ τὴν ἐν αὐτῇ τῇ κατὰ τὴν ἐδωδὴν ἡδονῇ προὔχουσι πολὺ τῶν ἄλλων. ἀσφαλέστατον μὲν οὖν ἀεὶ προσφέρεσθαι τῶν τοιούτων. εἰ δ' ἔτι ζῷον εἴη τῶν ἑκατέροις τοῖς ὕδασι διαιτωμένων, ὥσπερ ὁ κέφαλος, καὶ ὁ λάβραξ, ὅ τε κωβιός. καὶ ἡ σμύραινα, καρκῖνοί τε, καὶ ἐγχέλυες, ἀναπυνθάνεσθαι μὲν πρότερον, ὅθεν εἴη τε θηρευόμενον, μετὰ δὲ ταῦτα, τῇ ὀσμῇ, καὶ τῇ γεύσει τὴν διάγνωσιν αὐτῶν ποιεῖσθαι, καὶ γὰρ δυσώδεις καὶ ἀηδεῖς, καὶ βλεννώδεις, ὅσοι τὴν δίαιταν ἔχουσιν ἐν ὕδατι μοχθηρῷ. καὶ μέντοι καὶ λίπος αὐτοῖς ὑπάρχει πολὺ πλέον, ἤπερ τοῖς ἄλλοις, καὶ σήπονται ταχέως. οἱ δ' ἐν θαλάττῃ καθαρᾷ διαιτώμενοι, τήν τε ὀδμὴν ἄμεμπτον ἔχουσι, καὶ τὴν γεῦσιν ἡδεῖαν, τό, τε λίπος ὀλίγιστον, ἢ οὐδ' ὅλως, ἐξαρκοῦσί τε πλείονι χρόνῳ σηπόμενοι. καὶ μάλιστα ὅταν αὐτοῖς τις περιβάλλῃ χιόνος. κατὰ ταῦτα μὲν οὖν καὶ κρείττους οἱ σκληρότεροι γίνονται ψαθυρωτέραν ἔχοντες τὴν σάρκα τοῖς πετραίοις τε, καὶ τοῖς ὀνίσκοις ὁμοίως. ὃ γὰρ τούτοις ὑπάρχει φύσει, τοῦτο τοῖς σκληροσάρκοις ἐκ τῆς χιόνος προσγίνεται. διὰ τοῦτ' οὖν ἐναντιωτάτην ἔχουσιν οὐσίαν τὴν σαρκὸς, οἵ τ' ἐκ θαλάττης καθαρᾶς κέφαλοι, καὶ οἱ κατὰ τὸ μοχθηρὸν ὕδωρ διαιτώμενοι. παραπλησίως δ' αὐτοῖς καὶ οἱ κωβιοί. καὶ οἱ λάβρακες. ἔτι τε τούτων μᾶλλον οἱ ἄλλοι. καὶ σμύραιναι δὲ φαυλόταται γίνονται κατὰ τὰ τοιαῦτα τῶν ὑδάτων ἡ δ' ἔγχελυς, οὐδ' ὅλως εὔχυμον ἔδεσμα κἂν ἐξ ὕδατος ᾖ καθαροῦ. μή τοι γε δὴ τοῦ πόλιν ἐκκαθαίροντος, ὡς εἴρηται καὶ. † περὶ τὰς ἐπιχωρίους δὲ τροφὰς, ἀμείνους τε καὶ χείρους ἑαυτῶν ἰχθύες γίνονται, διαγινωσκόμενοι ῥᾳδίως ὀσμῇ τε καὶ γεύσει. καθάπερ αἱ τρίγλαι μοχθηρότεραι γὰρ αὐτῶν, αἱ τὴν καρκινάδα σιτούμεναι. τῶν δ' ἄλλων ἡ σὰρξ, σκληροτέρας ἐστὶν ὕλης. οὐ μόνον τῶν πετραίων τε, καὶ ὀνίσκων, ἀλλὰ καὶ κεφάλων, καὶ λαυράκων καὶ τῶν ἄλλων πελαγίων, καὶ κατὰ τοῦτο δυσπεπτοτέρα τε, καὶ τροφιμωτέρα, κακόχυμον οὐδὲν ἔχουσα. λέλεκται καὶ τελεώτερον ὑπὲρ ἁπάσης τροφῆς ἐν τρισὶν ὑπομνήμασιν, ἃ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων ἐπιγέγραπται, καὶ χρὴ τῶν ὑγιεινῆς τροφῆς φροντίζοντα, μήτε τῆς ἐκείνων ἀναμνήσεως ἀμελῆσαι, μήθ' ὅλως τῆς ὑγιεινῆς πραγματείας, ἧς μέρος ἐστὶ καὶ τὸ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων, ἀλλὰ καὶ περὶ τῆς λεπτυνούσης διαίτης, ἐναντίας οὔσης τῇ παχυνούσῃ διαίτῃ, γέγραπται βιβλίον ἕτερον ἱκανῶς χρήσιμον, οἷς ὑγεία, σπουδάζεται, μεμνῆσθαι δέ σε περὶ πάντων βούλομαι κατὰ τὰς τοιαύτας πραγματείας, ὡς οὔτε βοηθήματος, οὔθ' ὑγιεινῶν διαιτημάτων ἐπιστήμων ἐστὶ τελέως, ὁ τὰς τῶν ὑλῶν δυνάμεις ἀκριβῶς ἐκμαθὼν, ἐὰν μὴ γινώσκῃ τὰς τῶν σωμάτων φύσεις, οἷς ταῦτα προσάγεται. τινὰ μὲν γὰρ αὐτῶν ἐστὶ πυκνὰ, καὶ ἀδιάπνευστα. τινὰ δ' ἀραιὰ, καὶ ῥᾳδίως ἐκκενούμενα. καὶ δεῖται δηλονότι τροφῆς ὑγροτέρας τὰ πρότερα, ξηροτέρας δὲ τὰ δεύτερα. καὶ τὰ μὲν κολλωδεστέρας, τὰ δὲ λεπτοτέρας. καὶ τὰ μὲν ἐλάττονος, τὰ δὲ πλείονος. οὕτως δὲ καὶ ὅσοι μελαγχολικώτερον ἔχουσι τὸ αἷμα, τῶν ὑγρῶν καὶ θερμῶν τῇ κράσει δέονται τροφῶν, ὥσπερ γε καὶ ὅσοι † χολωδέστερον ὑγρῶν καὶ ψυχρῶν. ὡσαύτως δ' οἱ φλεγματώδεις, θερμαινουσῶν τε καὶ ξηραινουσῶν. ὅσοι δ' αἷμα χρηστὸν ἀθροίζουσι πλέον, ὀλιγοτέρων μὲν ἐδεσμάτων χρήζουσιν. ἐπιφανῆ δ' οὐδεμίαν ἐχόντων δύναμιν, ἀλλ' ἐν τῷ μέσῳ καθεστηκότων, ὡς μήτε θερμαίνειν ἀξιολόγως, μήτε ψύχειν, ὥσπερ γε καὶ μήθ' ὑγραίνειν, ἢ ξηραίνειν. οὕτω δὲ καὶ πάχους καὶ λεπτότητος ἐν τῷ μέσῳ καθεστηκότων, ὡσαύτως δὲ γλισχρότητός τε καὶ τῶν ἐναντίων αὐτῇ, κραυρότητα δὲ λέγω καὶ ψαθυρότητα. ὑπάρχει δὲ κραυρότης μὲν, τοῖς σκληροῖς τε καὶ ξηροῖς ἱκανῶς. ψαθυρότης δὲ, τοῖς μαλακοῖς τε καὶ μετρίοις, καθ' ὑγρότητα τε καὶ ξηρότητα. κοινὸν δ' ἀμφοῖν, τὸ μηδὲν ἔχειν γλίσχρον. διαγνωστικὸν οὖν εἶναι προσήκει, τὸν ὀρθῶς χρησόμενον ταῖς τροφαῖς, πρῶτον μὲν τῆς κατ' ἀραιότητά τε καὶ πυκνότητα τοῦ δέρματος ἐν τοῖς ἀνθρώποις διαφορᾶς, ἐφεξῆς δ' αὐτῇ, τῆς ὅλης τοῦ σώματος κράσεως. εἶθ' ἑξῆς εἰ σώζει πάντα τὰ μόρια τοῦ σώματος τὴν οἰκείαν κρᾶσιν. ἐνίοτε μὲν γὰρ, ἡ κεφαλὴ ἐστὶ θερμοτέρα τοῦ προσήκοντος, ἡ γαστὴρ δὲ ψυχροτέρα. πολλάκις δὲ τοὐναντίον. ἡ γαστὴρ μὲν, θερμοτέρα, ψυχροτέρα δ' ἡ κεφαλή. καὶ τἆλλα μόρια πάνθ' ὡσαύτως. ἡ μὲν οὖν ἄλλη πᾶσα θεραπευτική τε καὶ ὑγιεινὴ μέθοδος, ἁπάντων ὁμοτίμως ἐστόχασται, τὰ δὲ κατὰ τὰς τροφὰς, ἐξαίρετον μὲν ἔχει, καὶ πρῶτον σκοπὸν, ὅπως ἄριστα πεφθήσεται, δεύτερον δὲ ἐπὶ τῷδε τὸν ἀναδοθησόμενον ἐκ τῆς πεφθείσης τροφῆς χυμὸν, ἐπιτήδειον εἶναι τῇ κράσει τῶν ἄλλων μορίων. ἀναγκαία τοιγαροῦν ἐκ τῶνδε φαίνεται τοῖς ὀρθῶς μέλλουσι χρῆσθαι τροφαῖς, ἡ περὶ κράσεως πραγματεία καὶ τοίνυν ὡς γεγυμνασμένῳ σοι κατ' αὐτὴν ὅσον ἔθ' ὑπόλοιπόν ἐστιν εἰς εὐχυμίαν τε καὶ κακοχυμίαν ἀναγκαῖον ἐγνῶσθαι, προσθήσω, τὴν ἀρχὴν ἀπὸ τῶν οἴνων ποιησάμενος. ὅσοι μὲν οὖν αὐτῶν ὑδατώδεις εἰσὶ καὶ λεπτοὶ κατὰ σύστασιν, οὔρησίν τε κινοῦντες, ὀλιγίστην παρέχουσι τῷ σώματι τροφήν. ὅσοι δὲ παχεῖς, ὥσπερ ὁ θηραῖος τε καὶ ὁ σκυβελίτης, ἀξιολόγως τρέφουσι. διαφέρουσι δ' ἀλλήλων τῷ μᾶλλόν τε καὶ ἧττον, ἀνάλογον τῷ πάχει. τοιοῦτος δέ ἐστιν οἶνος παρ' ἡμῖν ἐν αἰγαῖς καὶ περπερίνῃ. τῇ μὲν ὁμόρῳ, μυρίνῃ, τῇ δὲ περγάμῳ. τελέως μὲν οὖν εἰσὶ γλυκεῖς, ὅ τε κυβελίτης, καὶ ὁ θηραῖος, αὐστηρὸς δὲ ἅμα καὶ γλυκὺς ὁ κιλίκιος ὁ ἀβάτης ἀπὸ χωρίου τὴν προσηγορίαν ἔχων. ὁ δ' ἐν αἰγαῖς καὶ περπερίνῃ, μέσοι τούτων εἰσίν. οὔτε γλυκεῖς ἀκριβῶς ὄντες, οὔτε στύψιν ἔχοντες ἀξιόλογον, ὁμοίως τῷ κιλικίῳ. μέλανες δὲ πάντες οὗτοι τυγχάνουσιν ὄντες. οὐδὲ γὰρ ἂν εὕροις οὐδένα παχὺν ἅμα καὶ γλυκὺν οἶνον ὃς οὐκ ἔστι μέλας. ἐὰν οὖν τῶν λευκοτάτων οἴνων ἑψήσῃς τὸ γλεῦκος, ὡς τὸ καλούμενον ἐργάσασθαι σίραιον, ὅπερ ἕψημα παρ' ἡμῖν ὀνομάζεται, μέλαν ἴσχει τὸ χρῶμα πα-

† ἀλ. παρὰ

† ἀλ. πικρόχολον

ραπλησίως

ςαπλησίως τῷ θηραίῳ. μέλαν δὲ, καὶ τὸ τοῦ καρυίνου χρῶμα ἐστὶ γλυκέως ὄντος αὐτοῦ. τὸ δὲ τοῦ θηραίου μέλαν μὲν, ἀλλ' οὐκ ἴσον τῷ καρυίνῳ. ἀπολείπεται γάρ τι καὶ τῇ γλυκύτητι τοῦ καρυίνου. λευκὸς δὲ οἶνος οὐδεὶς, γλυκύς ἐστι. ἀλλὰ τινὲς μὲν, αὐστηροί τε καὶ παχεῖς. τινὲς δ' ὑδατώδεις τε καὶ λεπτοί. ξανθοὶ δὲ καὶ κιῤῥοί, τινὲς μὲν γλυκεῖς εἰσὶ μετρίως, ὥσπερ ἱπποδαμάντιός τε καὶ φαυστινιανὸς φαλερῖνος, ἔνιοι δ' ὅλως γλυκεῖς. οἱ δ' ἐρυθροί, παχύτεροι τούτων, ὥσπερ γε τούτων ἕτεροι πλησιάζοντες ἤδη κατὰ τὸ χρῶμα τοῖς μέλασιν. ἡ τροφὴ δ' ἐξ ἁπάντων ἐστὶν αὐτῶν, ἀνάλογος τῷ πάχει, καὶ διὰ τοῦτο τοῖς μὲν ἀναθρέψεως δεομένοις, ἐπιτηδειότερον χρὴ πίνειν τοὺς γλυκεῖς, καὶ μάλιστα ὅταν ἀμέμπτως ἔχωσι τὰ καθ' ἧπάρ τε καὶ σπλῆνα καὶ νεφρούς. τοῖς δ' ἤδη παχὺν ἠθροικόσι χυμὸν ἐν ταῖς φλεψὶν, οἱ λεπτοὶ κατὰ τὴν σύστασιν χρήσιμοι. ψυχρῶν μὲν ἠθροισμένων ἐν ταῖς φλεψὶ χυμῶν, οἱ δριμεῖς καὶ παλαιοί, μὴ ψυχρῶν δὲ, ὅσοις τούτων οὐδέτερον ὑπάρχει. βελτίους μὲν οὖν εἰς εὐχυμίαν, οἱ εὐώδεις. ἀλλὰ καὶ κεφαλὴν πλήττουσι. κρείττους δ' εἰς οὔρησιν οἱ λεπτοί, κεφαλῆς δ' οὐδ' ὅλως ἅπτονται. φεύγειν δὲ τοὺς παχεῖς ἅμα καὶ δυσώδεις καὶ ἀηδεῖς καὶ αὐστηρούς. οἷός ἐστιν ὁ φαῦλος βικῦνος ἐν τοῖς μεγάλοις κεραμίοις. ὁ δ' ἐν τοῖς μικροῖς, οὔτ' ἀηδὴς, οὔτε δυσώδης, οὔτε παχὺς ἄγαν ἐστίν. ἀλλ' οὐδὲ τὴν σύψιν ἔχει στρυφνήν. εὔχυμος δ' οὐδ' οὗτος, ὥσπερ οὐδὲ κακόχυμος, ἀλλ' ἐν τῷ μεταξὺ τῶν εὐχύμων τε καὶ κακοχύμων ἐστί. τῶν γε μὴν εὐχυμοτάτων οἴνων, καὶ ὁ φαλερῖνος ἐστὶ καὶ μᾶλλον ὁ γλυκύτερος. ἐκ τοῦ αὐτοῦ δὲ γένους τῷδε, καὶ ὁ κιῤῥὸς τμωλίτης ὁ γλυκύς. ἔστι γοῦν καὶ τούτου τὸ ἕτερον εἶδος, αὐστηρὸς οὐχ ὁμοίως εὔχυμος, ὥσπερ οὐδ' ἄλλος οὐδεὶς αὐστηρὸς ἱκανῶς, εἰ καὶ ῥώμην ἐντίθησιν ἐκλύτῳ στομάχῳ καὶ γαστρὶ, καὶ μάλιστα ἐπὶ δυσκρασίαν θερμὴν πεπονθόσιν. ἕνεκα γὰρ τούτου καὶ τοῦ στῆσαι ῥεουμένην γαστέρα χρώμεθα τοῖς αὐστηροῖς οἴνοις, ἄλλως οὐκ ἂν χρησάμενοι, διὰ τὸ μήτ' ἀναδόσεως τροφῆς, μήθ' αἱματώσεως, μήτ' εὐχυμίας, μήτ' οὔρων εὐροίας, μήθ' ἱδρώτων ἐκκρίσεως, μήτε γαστρὸς ὑπαγωγῇ συντελεῖν αὐτούς. ἀλλ' οὐ πρόκειται νῦν οὔτ' ἀρετὰς οὔτε κακίας οἴνων πάσας διέρχεσθαι, καὶ μάλιστα ὅσοι διαφέρουσι νόσοις. ὅπερ οὖν προὔκειται, πάλιν ἀναληφθὲν ἐν κεφαλαίοις βραχέσιν εἰρήσεται. τοῖς χολωδεστέροις σώμασιν, εἴτε διὰ φυσικὴν δυσκρασίαν, εἴτε δι' ἐπίκτητον ὁπωσοῦν γεγονυῖαν, οὔτε φαλερῖνος, οὔτε τμωλίτης κιῤῥὸς γλυκύς, οὔτ' ἀριούσιος, οὔθ' ὁ λέσβιος ὁ εὐώδης τε καὶ κιῤῥὸς, ὅμοιος τοῖς προειρημένοις ὤν, ἐπιτήδειος πίνεσθαι. θερμοὶ γοῦν ἅπαντες οἱ τοιοῦτοι. μήτ' οὖν χολώδεσι, μήτε τοῖς ἐξ ἐγκαύσεως, ἢ καμάτων πολλῶν, ἢ ἐνδείας, ἢ λύπης, ἢ ὥρᾳ, ἢ χώρᾳ, καὶ καταστάσει θερμῇ διδόναι τοιοῦτον οἶνον. ἐξ ὑπεναντίου μὲν οὖν ἀγαθὸς ἅπασι τοῖς θερμαίνεσθαι δεομένοις, φλεγματώδεσι καὶ ψυχραῖς κράσεσι, καὶ χυμῶν πλῆθος ὠμῶν ἠθροικόσιν, ἀργῶς βιοῦσιν ἐν χωρίῳ ψυχρῷ, καὶ χειμῶνι, καὶ καταστάσει ψυχρᾷ, καὶ ὑγρᾷ. τούτοις μὲν ἅπασιν ἀγαθὸς ὁ κιῤῥὸς οἶνος καὶ γλυκύς, ἐναντίος δὲ τοῖς ἐναντίως ἔχουσιν, οὐχ ὡς κακοχυμίαν ἐργαζόμενος, ἀλλ' ὡς θερμαίνων τοὺς ψύχεσθαι δεομένους. ἕτοιμον γοῦν αὐτοῖς ἐστὶ τοῦτον πίνουσιν, καὶ κεφαλὴν ἀλγῆσαι, καὶ πυρέξαι, καί τι τοῖς νεύροις παθεῖν. οἱ δὲ τῶν κιῤῥῶν, τε καὶ μετρίως γλυκέων, οὐδεὶς γὰρ κιῤῥὸς ἄκρως ἐστὶ γλυκύς, ἐπὶ τὸ μελάντερον δὲ καὶ γλυκύτερον ῥέποντες, οὐχ ὁμοίως θερμοὶ τοῖς κιῤῥοῖς εἰσιν, εἰκότερον οὖν οὔτε κεφαλὴν, οὔτε νεῦρα βλάπτουσιν, οὔτε πυρετοὺς ἐξάπτουσιν ὡσαύτως ἐκείνοις. ὅτι δὲ γαστρὸς οἱ γλυκεῖς οἶνοι καὶ παχεῖς εἰσὶν ὑπακτικοί, σχεδὸν οὐδεὶς ἀγνοεῖ. καθάπερ γε καὶ τὸ γλεῦκος ὅπως ἐστὶ φυσῶδες τὸ δύσπεπτον καὶ παχύχυμον, καὶ μόνον ἀγαθὸν ἔχον, ὑπάγειν γαστέρα, κἂν ἀτυχήσῃ ποτὲ τούτου, βλαβερώτερος γίνεται. πάντων δ' οἴνων κοινόν ἐστιν, ὅσοι γε μὴ πάνυ παχεῖς εἰσι καὶ λίαν γλυκεῖς, ὥσπερ ὁ θηραῖός τι καὶ ὁ σκυβελίτης, ἐπειδὰν εἰς χρόνου μῆκος ἐκταθῶσι, ξανθὴν τὴν χρόαν γίνεσθαι, καί τι καὶ στίλβον ἔχειν, ὁμοίως πυρί, καὶ γοῦν οἱ μέλανες, οἷός περ ἐστὶν ὁ παρ' ἡμῖν ἐν περπερίνῃ γινόμενος, εἰ χρονίσαιεν, εἰς ἐρυθρὰν μὲν ἢ κιῤῥὰν πρότερον ἀφικνοῦνται ποιότητα, μετὰ ταῦτα δ' εἰς ξανθότητα. καὶ ὁ λευκὸς, ὁποῖος ὁ βιθυνὸς ἀμιναῖος. ὀνομάζουσι δὲ ῥωμαῖοι τὸν οὕτως παλαιωθέντα κεκοῦβον, ὃν οὐκ ἂν ἔτι γνωρίσαις ἐξ ὁποίου γένους ἦν. ἤδη δ' ὁ τοιοῦτος ἐστὶ καὶ πικρὸς, καὶ διὰ τοῦτ' ἂν μὴ ἐπιτήδειος εἰς πόσιν. ἀλλ' οἵ γε καπηλεύοντες τοὺς οἴνους μιγνύντες τοῖς νέοις τοὺς τοιούτους, ὡς παλαιοὺς πιπράσκουσιν, ἐξαπατῶντες τῇ πικρότητι τοὺς ἀγνοοῦντας ἀκριβῶς οἴνων γεύεσθαι. φεύγειν οὖν χρὴ τῶν οὕτω παλαιῶν τὴν πόσιν, ὥσπερ καὶ τῶν πάνυ νέων. οἱ μὲν γὰρ, ὑπερθερμαίνουσιν οἱ δ' οὐδ' ὅλως θερμαίνουσιν ἔστ' ἂν ὦσιν νέοι. τοσοῦτον γὰρ δέουσιν συντελεῖν ταῖς τῶν σιτίων πέψεσιν, ὥστ' αὐτοὶ μόλις πέττονται. πρὸς τούτοις δ' οὐδ' ὑπέρχονται κατὰ τὴν κοιλίαν, οὔτ' ἀναδίδονται ῥᾳδίως, οὔτ' οὖρα προτρέπουσιν, οὔθ' αἱματώσει συντελοῦσιν, οὐδὲ θρέψει. διαμένουσι δ' ἐπὶ πλεῖστον ἐν τῇ γαστρὶ μετέωροι, παραπλησίως ὕδατι. κἂν βραχύ τις αὐτῶν πίῃ, ῥᾳδίως ὀξύνονται. μόνους δ' ἄν τις τοὺς νέους ἐν ἀγαθῷ πίνοι, τοὺς λεπτοὺς τῇ συστάσει. καθάπερ ἐν ἰταλίᾳ ὅ, τε γαυρίας ὀνομαζόμενος ἐστὶ, καὶ ὁ ἀλβανὸς, ἔνιοί τε τῶν ἐν τοῖς σαβίνοις τε καὶ τούσκοις γεννωμένων. οὐ γοῦν δὴ πάντες εἰσὶ τοιοῦτοι. καὶ περὶ †   δὲ πόλιν ὁ κατὰ τὸν ὑπερκείμενον αὐτῇ λόφον ἀμιναῖος, ἐν τάχει πότιμος γίνεται. κατὰ δὲ τὴν ἀσίαν παρ' ἡμῖν, ὅτε τιβηνός ἐστι τοιοῦτος, καὶ ὁ ἀρσύινος, καὶ μετ' αὐτοὺς ὁ, τιτακαζηνός, ἀλλὰ τούτους μὲν ὡς παραδείγματος προὐχειρισάμην, ἐθεασάμην δὲ τοιούτους οἴνους ἐν ἅπασι σχεδὸν τοῖς ἔθνεσιν, ἀλλ' ἀγνοοῦσιν αὐτοὺς οἱ ξένοι, καὶ κατὰ διττὴν αἰτίαν, ὅτι τε παντάπασιν ὀλίγοι γεννῶνται, καὶ διότι μακρὸν πλοῦν οὐ φέρουσιν, ὡς ὑπὸ τῶν ἐμπόρων μὴ δύνασθαι εἰς ἄλλην χώραν μετακομίζεσθαι. διορίσαις δὲ ῥᾳδίως τοὺς τοιούτους οἴνους, πρῶτον μὲν καὶ μάλιστα τῇ λεπτότητι πλησίον ἥκοντας ὕδατος. εἶτα καὶ λευκότητι, καὶ γευομένῳ δ' ἂν σοι φανεῖεν ὑδατώδεις, οὐδεμίαν ἔχοντες ἰσχυρὰν σύψιν. ἔν τε τῷ κεράννυσθαι μὴ φέροντες ὕδατος μίξιν πολλήν, διὸ καὶ πρὸς τῶν παλαιῶν ἰατρῶν, ὀλιγοφόροι κέκληνται, καὶ μέντοι καὶ καθάπερ οἱ κιῤῥοὶ θερμοὶ τὴν δύναμιν ὄντες, αὐτίκα πληροῦσι τὴν κεφαλήν. οὕτως οἱ τοιοῦτοι πρὸς τῷ μηδέ ποτε βλάπτειν αὐτήν, ὠφελοῦσιν, ἐνίοτε παύοντες ὀδύνας μικράς τινας, ὅσαι διὰ τοὺς ἐν τῇ κοιλίᾳ χυμοὺς εἰώθασι γίγνεσθαι. ἡ γάρ τοι κεφαλῆς, οὐ μόνον ὅταν αὐτὴ πάσχῃ τι πάθος ἴδιον ὀδυνωμένη, ἀλλὰ καὶ διὰ τὴν κοιλίαν ἀναπεμπούσαν ἀτμοὺς χυμῶν μοχθηρῶν, ἡ τοιαύτη κεφαλαλγία, δι' οἴνου πόσεως ὀλιγοφόρου, ἰᾶται βραχεῖαν ἔχοντος σύψιν. ὅσοι γὰρ ἔκλυτοι παντάπασιν εἰσίν, ὥσπερ ὁ παρ' ἡμῖν τιβηνός, ἐν ἰταλίᾳ δὲ τῶν σαβίνων ἔνιοι τοσούτῳ χείρους ὑπάρχουσι τῶν ἠρέμα στυφόντων, ὅσῳ βελτίους εἰσὶν ὕδατος, εὕροις γὰρ ἄν ποτε καὶ δι' ὕδατος πόσιν, ἀλγοῦντας ἐνίους τὴν

† al. νέαν aliqui

κεφαλὴν, καὶ μάλιστα ὅταν ἢ μοχθηρὰν, ὡς αὐτῆς τε διαφθειρομένης, καὶ τὸν φυσικὸν τόνον ἐκλύοντος. τῆς δὲ γαστρὸς ἀτονησάσης ἰσχυρῶς χολώδεις εἰώθασιν συρρεῖν ἐκ τοῦ σώματος εἰς τὸ κύτος αὐτῆς, ὥσπερ τοῖς νησεύσασιν, ὧν τῆς κακίας τε καὶ βλάβης, ὁ προειρημένος οἶνος ἐλευθεροῖ τὸν ἄνθρωπον, ἐκ μὲν τοῦ παραχρῆμα διὰ τὸν τῆς ἐπικράσεως λόγον, μετὰ βραχὺ δὲ, καὶ διὰ ῥωσθεῖσαι τὴν κοιλίαν, ὠθεῖν ἀφ' ἑαυτῆς κάτω τὰ λυποῦντα. ταῖς μέν τοι θερμαῖς πάνυ κράσεσι τῶν ἀνθρώπων, ἢ διὰ φύσιν, ἢ διὰ ἡλικίαν, † ὠφελιμώτατον οἴνου, ποτὸν ὕδωρ ἐστὶν, εἰ δέ ποτε καὶ δέοιτο οἴνου, τό τε λεπτὸν, καὶ μετρίως αὐστηρὸν αὐτοῖς διδόναι. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐπὶ πάντων ἐδεσμάτων τε καὶ πομάτων οὐχ ἁπλῶς ἑκάστῳ χρῆσθαι βέλτιον, ἀλλὰ μετὰ τοῦ διορίζεσθαι τὰς φύσεις τῶν χρωμένων. ἔστι δὲ μεγίστη μὲν ἐν τοῖς οἴνοις διαφορὰ, κατ' εἰ δὴ σκοπουμένων ἡμῶν ὡς δίῃρηται. βραχεῖα δ' ἐν τοῖς ἄλλοις. οὐ γὰρ ἂν εὕροις ποτὲ φακὴν ἢ κράμβην ὑγραίνουσαν, ἀλλ' ἧττον μὲν ἑτέραν ξηραίνουσαν, ὑγραίνουσαν δ' οὐδεμίαν. ἔτι δὲ μᾶλλον οὐκ ἂν εὕροις τι γένος κρομμύων, ἢ πράσων, ἢ σκορόδων ψῦχον, ἀλλ' ἧττόν τε καὶ μᾶλλον θερμαῖνον. οὐκ οὖν οὐδὲ θερ- 10 δακίνην θερμαίνουσαν, οὐδ' ἀτράφαξυν, ἢ βλίτον, ἢ ἀνδράχνην, οὐ μὴν οὐδὲ τὸ μᾶλλον καὶ ἧττον ἐν αὐτοῖς μεγάλην ἔχει διαφοράν. ἐπὶ δὲ τῶν οἴνων, ὁ παλαιότατος, ὃν ἔφην ὑπὸ ῥωμαίων ὀνομάζεσθαι κεκοῦβον, εἰς τοσοῦτον τοῦ λευκοῦ τε ἅμα καὶ αὐστηροῦ καὶ νέου διήνεγκε καὶ παχέος οἴνου, ὡς τὸν μὲν, ἱκανώτατα θερμαίνειν, τὸν δὲ ψύχειν αἰσθητῶς. οὐκ ὀλίγη δ' ἐστὶ καὶ κατὰ τὸ μέλι διαφορὰ, τό γε μὴν μοχθηρὸν ὡς ἤτοι δυσῶδες ὑπάρχον, ἢ γευόμενον ἄλλην τινὰ ἐμφαίνειν ποιότητα μεμιγμένην οὐ μέλι τὸ τοιοῦτο. τοῦ δ' ἀμέμπτου μέλιτος αἱ διαφοραὶ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ἐν γλυκύτητι καὶ δριμύτητι τυγχάνουσιν οὖσαι, τοῦ γλυκυτάτου † μετὰ δριμυτάτου, εἰς ἄκρον ἥκοντος ἀρετῆς. ἀλλὰ τό γε θερμὸν, ἐστὶν τῇ δυνάμει πᾶν, εἰς χολὴν μεταβάλλειν ἑτοίμως ἐν τοῖς θερμοῖς σώμασι κοινὸν αὐτῷ ἐστι. καὶ διὰ τοῦτο χρήσιμον ἔδεσμα φύσεσι μὲν φλεγματικωτέραις, ἡλικίαις δὲ πρεσβυτικαῖς, ὥσπερ γε καὶ νοσήμασι ψυχροῖς. ὀξύμελι γε μὴν, χρησιμώτατον ἁπάσαις ταῖς ἡλικίαις τε καὶ φύσεσιν εἰς ὑγιεινὴν ἀσφάλειαν ἐκφράττον ἁπάσας τὰς στενὰς διεξόδους, ὡς μηδαμόθεν παχὺν, ἢ κολλώδη χυμὸν ἴσχεσθαι. διὰ τοῦτο γὰρ ἔτι καὶ τὰ κα- 20 λούμενα πρὸς τῶν ἰατρῶν ὑγιεινὰ φάρμακα, τῆς λεπτυνούσης ἅπαντα ἐστὶ δυνάμεως, ἀσφαλέστερα μὲν εἰς ὑγείας φυλακὴν ἡ διαίτη τῆς παχυνούσης, εὐεξίαν δὲ καὶ ῥώμην ἀδύνατος ἐργάζεσθαι. βούλονται δ' ἔνιοι σφαλερῶς ὑγιαίνειν, μᾶλλον εὐεκτοῦντες, ἢ βεβαίαν ὑγείαν κεκτῆσθαι, διαπαντὸς ἰσχνοὶ καὶ ἀσθενεῖς ὄντες. ἀλλὰ τούτων δ' αὐτῶν ὅσοι σὺν εὐεξίᾳ καὶ ῥώμῃ τὴν ὑγίειαν ἔχειν ἐθέλουσιν, ἔνιοι μὲν ἑαυτοῖς σχολάζουσιν, ἔνιοι δὲ στρατιωτικὸν ἐπανῄρηνται βίον, ἀναγκαζόμενοι καὶ νυκτὸς ἀνίστασθαι, καὶ δι' ὅλης ἡμέρας ἀναγκαίαις πράξεσι κάμνειν δουλεύοντες, ὧν τὸ περὶ τοῦ βαλανείου γυμνάσιον, οἷς γε δὴ δυνατὸν ἴσχειν, κἂν τούτῳ τὸ καλούμενον ὑπὸ τῶν γυμναστικῶν ἀποθεραπεύειν, οἱ πολλοὶ δὲ δι' ἀσχολίαν, οὐδὲ τούτῳ χρῆσθαι δύνανται. τούτοις οὖν ὑγιαίνειν ἀδύνατον διαπαντός. κἂν σωφρόνως διαιτῶνται. οἱ δὲ ἐφ' ὅσον ἐγχωρεῖ τὰ δέοντα πράττοντες, ὀλιγάκις νοσήσουσιν. ἀπέχεσθαι μὲν οὖν αὐτοῖς ἀναγκαῖον ἐστὶ τῶν πολυτρόφων ἐδεσμάτων. ἃ παχεῖς γεννᾷ χυμούς. ἀλλὰ μετρίως γε τοῦτο πρακτέον. ἐν ἐκείνοις τε τοῖς καιροῖς ὁ πότε σαφῶς ἐνδείας αἰσθάνονται. τὸν δὲ ἄλλον χρόνον ἅπαντα, τοῖς μέσοις ἐδέσμασι, τῶν ὀλιγοτρόφων καὶ πολυτρόφων 30 χρηστέον. ἀφεκτέον μὲν ἀεὶ τῶν κακοχύμων, πλὴν εἴποτε δέοι κάμνοντας ὥρᾳ θέρους θεραπεύεσθαι τήν γε ξηρότητα καὶ τὴν θερμασίαν ὅλου τοῦ σώματος, ἐπιτήδεια γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ, καὶ μῆλα, καὶ κοκκύμηλα, καὶ μόρα, καὶ κεράσια προσληφθέντα. καὶ σικύου δὲ καὶ πέπονος, οὐ πολὺ προσενέγκασθαι τηνικαῦτα, καὶ μηλοπέπονος. ἔτι τε τῶν πραικοκκίων ὀνομαζομένων, ἢ περσικῶν ἐγχωρεῖ, καθάπερ γε καὶ τοῦ καλουμένης παρὰ ῥωμαίοις μέλκης ἐψυχρισμένης, ἀφρογάλακτός τε, καὶ τῶν διὰ γάλακτος ἐδεσμάτων. ὁποῖον ἐστὶ καὶ τὸ καλούμενον ἀργιτρόφημα, καὶ σῦκα δὲ ὁμοίως ψυχρὰ, καὶ κολόκυνθαι τοῖς οὕτω διακειμένοις ἐπιτήδειοι. σωφροσύνην δ' ἀσκῶν ἄνθρωπος ἑτέρῳ τρόπῳ τὸν περὶ τοῖς εἰρημένοις καμάτοις αὐχμὸν τοῦ σώματος, ὑγραίνειν τε καὶ ψύχειν δύναται. παραγινόμενος γὰρ ἀπὸ τοῦ βαλανείου, καὶ προπιὼν ὕδατος μὲν πρῶτον, εἶτ' οἴνου μετρίως ὑδαροῦς. ἐμέσας τε πᾶν ὃ ἔπιε, θριδακίνης μὲν πρῶτον ἀβλαβοῦς τε ἅμα καὶ ψύχοντος λαχάνου προσενέγκασθαι δύναται. μετὰ ταῦτα δὲ δι' ὄξους τε καὶ γάρου, ποδὸς ὑείου καλῶς ἑψημένου, καὶ πτερύγων ἀλεκτορίδος, ἢ χηνὸς, ἢ καὶ τῆς γαστρὸς αὐτῆς, καὶ τινος ἰχθύος τυγχάνοντος τῶν ἀπαλοσάρ- 40 κων. εἰ δὲ βούλοιτο καὶ λαχανώδους τινὸς ἅψασθαι, τῶν μὴ κακοχύμων, ὁποῖον ἐστὶ μαλάχη τε καὶ κολόκυνθα, μετὰ ταῦτα δὲ πιεῖν οἶνον, ὕδατι ψυχρῷ πάνυ κεκραμένον. ἅπτεσθαι δὲ καὶ ταρίχου πρὸ τούτου καὶ τῶν ὀνομαζομένων τρωκτῶν ὠῶν, ἰχθύων δὲ δι' ἐλαίου καὶ γάρου λαμβανομένων ἐγχωρεῖ. βέλτιον γὰρ ὡς ἔφην ὕδατι ψυχρῷ τὴν ξηρὰν θερμότητα τοῦ σώματος ἰᾶσθαι, φεύγοντας ἀεὶ τὰ κακόχυμα τῶν ἐδεσμάτων. καὶ χόνδρος δὲ ψυχρὸς ἐξ οἰνομέλιτος καὶ οἴνου ψυχροῦ τὴν αὐτὴν τοῦ σώματος ἰᾶται διάθεσιν, ἄνευ κακοχυμίας. ἐμοὶ δ' ἤρκεσε πολλάκις ἐν τοιαύτῃ διαθέσει γενομένῳ, πτισάνης χυλοῦ χρήσασθαι καλῶς ἐψυχρισμένῳ, κατ' ἐκεῖνον τὸν καιρὸν ἐν ᾧ μικρὸν ἔμπροσθεν ἔφην, ἐπιτηδείως ἅντινα πιεῖν ψυχρὸν ἄλλο δ' ἄλλῳ τὸ μέτρον ἔστω τοῦ ψύχοντος ἐδέσματός τε καὶ πόματος. οἷς μὲν χρῆσθαι χιόνι συνήθες, ἐκείνῃ προσψύχουσιν. οἷς δ' ἀπὸ πηγῆς, ὕδατι προσφάτῳ, μηδὲν χιόνος δεομένοις. ἔστω δὲ ὁ κεραννύμενος οἶνος, ὡσαύτως προεψυχρισμένος. οὕτως γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, τὸν ἐν ὕδατι ψυχροτάτῳ προεψυγμένους, ἀγγείου δηλονότι τὸν οἶνον ἔχοντος ἐνισταμένου διὰ ὕδατι, ταῦτα μὲν οὖν ὑποτίθεμαι τοῖς ᾑρημένοις 50 βίον ἐν ἀσχολίᾳ, καθάπερ οἱ διοικοῦντες ἔθνη καὶ πόλεις, ἔτι τε μᾶλλον οἱ τούτων ὑπηρέται, καὶ τούτων οὐδὲν ἧττον, ὅσοι κατὰ πόλεμον, ἢ ἐν ὁδοιπορίαις μακραῖς διατρίβουσιν. ὅσοι δὲ ἐλεύθεροι τῆς τοιαύτης ἀσχολίας, εἰ μὲν ἔθος ἔχοιεν γυμνάζεσθαι, σπανιώτατα δέονται πόσεως ψυχρᾶς. μὴ γυμναζόμενοι δὲ θέρους ὥρᾳ ἀκμαίας θερμότητος αἰσθανόμενοι πολλῆς, ἀβλαβῶς ἂν ἀπὸ πηγῆς πίνοιεν, ἀπεχόμενοι χιόνος. εἰ γὰρ καὶ παραχρῆμα τὰ νέα τῶν σωμάτων οὐδὲν αἰσθητὸν ἡ χιὼν φαίνοιτο βλάπτουσα, λεληθότως οὖν ἐπὶ βραχὺ τῆς βλάβης αὐξανομένης, ἐπὶ προήκοντι τῷ χρόνῳ παρακμαζούσης γε τῆς ἡλικίας, ἀνίατά τε καὶ δυσίατα αὖθις νοσήματα γίνεται, κατ' ἄρθρα, καὶ νεῦρα, καὶ σπλάγχνα. πάσχει δὲ ἑκάστου τοῦ βλάπτοντος ἐκεῖνο τὸ μέρος τοῦ σώματος, ὅπερ ἀσθενέστατον ἢ φύσει. μέγιστον δ' εἴς τε κακοχυμίαν καὶ νόσων ἐστὶν ἀπεψία συνεχής. ἐάν τε ἐπ' εὐχύμοις, ἐάν τε ἐπὶ κακοχύμοις ἐδέσμασι γίνεται. πρόδηλον δ' ὅτι πολὺ χεῖρον, ἢ ἐπὶ τοῖς κακοχύμοις. διῆλθον δ' ἀντὶ αὐτοῦ, ἐπὶ μὲν τοῖς τὸν λεπτὸν γεννῶσι χυμὸν, ὀξέα νοσήματα γίνεται μετὰ

κακοήθων

† αἱ. ὠφελιμώτερον

† αἱ. καὶ δριμυτάτου αἱ. μετὰ δριμύτητος

κακοήθων πυρετῶν. εἰ δ᾽ εἰς ἓν μόριον ἀποσκήψειεν ἡ κακοχυμία, τά τ᾽ ἐρυσιπέλατα, καὶ οἱ ἕρπητες, εἴ τέ τι ἕτερον οὕτω πάθος ἄλλο. περὶ δὲ τοῖς τὸν παχὺν, ἀρθρίτιδες, καὶ ποδάγραι, καὶ νεφρίτιδες, ἄσθματά τε καὶ σπληνὸς, καὶ ἥπατος σκιῤῥώδεις διαθέσεις. οἷς δ᾽ ἡ κακοχυμία μελαγχολικὴ, καρκῖνοι, καὶ λέπραι, καὶ ψῶραι, καὶ πυρετοὶ τεταρταῖοι, καὶ μελαγχολίαι, κακόχροιαί τε μέλαιναι, μετὰ σπληνὸς ὄγκου παραπλησίου συμπίπτουσι, καὶ κιρσοὶ, καὶ μέλανες αἱμοῤῥοΐδες τε πολλοῖς ἐγένοντο, διὰ τοιοῦτον χυμόν. αἱ δ᾽ ἐπίμικτοι διὰ πλειόνων χυμῶν διαθέσεις, ἕρπητάς τε καὶ τὰ καλούμενα φαγεδαινικὰ τῶν ἑλκῶν, εἴτε τὰ κακοήθη πάντα καὶ πυρετοὺς ὀξεῖς ὑποστροφὰς ἐπιφέροντας, ὡς εἰς χρόνον αὖθις ἐμπίπτειν, ἀπεργάζονται.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΙΔΙΩΝ ΒΙΒΛΙΩΝ.

Ἔργῳ φανερὰ γέγονεν ἡ συμβουλή σου κράτιστε Βάσσε περὶ τῆς γραφῆς τῶν ὑπ᾽ ἐμοῦ γεγονότων βιβλίων. ἐν γάρ τοι τῷ σανδαλαρίῳ, καθ᾽ ὃ δὴ πλεῖστα τῶν ἐν Ῥώμῃ βιβλιοπωλείων ἐστὶν ἐθεασάμεθα τινὰς ἀμφισβητοῦντας, εἴτ᾽ ἐμὸν εἴη τὸ πιπρασκόμενον αὐτὸ βιβλίον, εἴτ᾽ ἄλλου τινὸς, ἐπεγέγραπτο δὲ γοῦν Γαληνὸς ἰατρός. ὠνουμένου δέ τινος ὡς ἐμὸν, ὑπὸ τοῦ ξένου τῆς ἐπιγραφῆς, κινηθείς τις ἀνὴρ τῶν φιλολόγων, ἐβουλήθη γνῶναι τὴν ἐπαγγελίαν αὐτοῦ. καὶ δύο τοὺς πρώτους στίχους ἀναγνοὺς, εὐθέως ἀπέῤῥιψε τὸ γράμμα. τοῦτο μόνον ἐπιφθεγξάμενος. ὡς οὐκ ἔστιν λέξις αὕτη Γαληνοῦ, καὶ ψευδῶς ἐπιγέγραπται τουτὶ τὸ βιβλίον. ὁ μὲν οὖν τοῦτ᾽ εἰπὼν ἐπεπαίδευτο τὴν πρώτην παιδείαν, ἣν οἱ παρ᾽ Ἕλλησι παῖδες ἐξ ἀρχῆς ἐπαιδεύοντο παρά τε γραμματικοῖς καὶ ῥήτορσιν. οἱ πολλοὶ δὲ τῶν νῦν ἰατρικὴν ἢ φιλοσοφίαν μετιόντων, οὐδ᾽ ἀναγνῶναι καλῶς δυνάμενοι, φοιτῶσι παρὰ τοὺς διδάξαντας τά τε μέγιστα καὶ κάλλιστα τῶν ἐν ἀνθρώποις, τὰ θεωρήματα, ἃ φιλοσοφία τε καὶ ἰατρικὴ διδάσκουσιν. ἤρκτο μὲν οὖν ἡ τοιαύτη ῥᾳδιουργία πρὸ πολλῶν ἐτῶν, ἡνίκ᾽ ἔτι μειράκιον ἦν ἐγώ. οὐ μὴν εἰς τοσοῦτόν γε εἰς ὅσον νῦν ηὔξηται, προεληλύθει τὸ κατ᾽ ἐκεῖνον τὸν χρόνον. διά τε οὖν αὐτὸ τοῦτο, καὶ διότι πολυειδῶς ἐλωβήσαντο πολλοὶ τοῖς ἐμοῖς, βιβλίοις ἄλλοι κατ᾽ ἄλλα τῶν ἐθνῶν ἀναγινώσκοντες ὡς ἴδια, μετὰ τοῦ τὰ μὲν, ἀφαιρεῖν, τὰ δὲ προστιθέναι, τὰ δὲ, ὑπαλλάττειν, ἄμεινον ἡγοῦμαι δηλῶσαι πρῶτον αὐτοῦ τὸ λελωβῆσθαι τὴν αἰτίαν. εἶτα περὶ τῶν ὄντως ὑπ᾽ ἐμοῦ γεγραμμένων, ἥ τίς γε καθ᾽ ἕκαστον αὐτῶν ἐστιν ἐπαγγελία. τοῦ μὲν δὴ πολλοὺς ἀναγινώσκειν, ὡς ἴδια τὰ ἐμὰ τὴν αἰτίαν αὐτὸς οἶσθα κράτιστε Βάσσε. φίλοις γὰρ ἢ μαθηταῖς ἐδίδοτο χωρὶς ἐπιγραφῆς ὡς ἂν οὐδὲν πρὸς ἔκδοσιν, ἀλλ᾽ αὐτοῖς ἐκείνοις γεγονότα δεηθεῖσιν ὧν ἤκουσαν ἔχειν ὑπομνήματα. τινῶν μὲν οὖν ἀποθανόντων, οἱ μετ᾽ ἐκείνους ἔχοντες ἀρεσθέντες, αὐτοῖς, ἀνεγίνωσκον ὡς ἴδιοις παρὰ τῶν ἐχόντων κοινωνησάντων αὐτοῖς εἰς τὴν ἑαυτῶν πατρίδα πορευθέντες ὑποδιατρίψαντες ἄλλος ἄλλως αὐτὰ τὰς ἐπιδείξεις ἐποιοῦντο. φωραθέντων δ᾽ ἁπάντων τῷ χρόνῳ, πολλοὶ τῶν αὖθις κτησαμένων ἐπεγράψαντ᾽ ἐμοῦ τοὔνομα. καὶ διαφωνοῦντα τοῖς παρ᾽ ἄλλοις οὖσιν εὑρόντες, ἐκόμισαν πρός με παρακαλέσαντες ἐπανορθώσασθαι. γεγραμμένων οὖν, ὡς ἔφην, οὐ πρὸς ἔκδοσιν αὐτῶν, ἀλλὰ κατὰ τὴν τῶν δεηθέντων ἕξιν τε καὶ χρείαν, εἰκὸς δήπου, τὰ μὲν, ἐκτετάσθαι, τὰ δὲ, συνεστάλθαι καὶ τὴν ἑρμηνείαν αὐτήν τε τῶν θεωρημάτων τὴν διδασκαλίαν, ἢ τελείαν ὑπάρχειν, ἢ ἐλλιπῆ. τὰ γοῦν τοῖς εἰρημένοις γεγραμμένα πρόδηλον δήπου, μή τε τὸ τέλειον τῆς διδασκαλίας ἔχειν, μή τε τὸ διηκριβωμένον. ὡς ἂν οὔτε δεομένων αὐτῶν οὔτε δυναμένων ἀκριβῶς μανθάνειν πάντα, πρὶν ἕξιν τινὰ σχεῖν ἐν τοῖς ἀναγκαίοις. ὑποτυπώσεις γοῦν ἔγραψαν ἔνιοι τῶν πρὸ ἐμοῦ τὰ τοιαῦτα βιβλία, καθάπερ τινὲς, ὑπογραφάς. ἕτεροι δ᾽ εἰσαγωγὰς, ἢ συνόψεις, ἢ ὑφηγήσεις. ἐγὼ δ᾽ ἁπλῶς δοὺς τοῖς μαθηταῖς οὐδὲν ἐπέγραψα. καὶ διὰ τοῦτ᾽ ὕστερον εἰς πολλοὺς ἀφικομένων, ἄλλος ἄλλην ἐπιγραφὴν ἐποιήσατο. τὰ δ᾽ οὖν εἰς ἐμὲ κομισθέντα πρός τινων ἐπανορθώσεως ἕνεκεν, ἠξίωσα τοῖς εἰσαγομένοις ἐπιγεγράφθαι. περὶ πρώτων οὖν τούτων ποιήσομαι τὸν λόγον.

περὶ τῶν γεγονότων ὑπομνημάτων ἐν Ῥώμῃ κατὰ τὴν πρώτην ἐπιδημίαν.

Ἐγὼ μὲν οὖν οὐδ᾽ ἔχον ἁπάντων αὐτῶν ἀντίγραφα μειρακίοις ὑπαγορευθέντων ἀρχομένοις μανθάνειν, εἰ καί τισι φίλοις ἀξιώσασι δοθέντων, ὕστερον δ᾽ ὅ ποτε τὸ δεύτερον ἧκον ἐν Ῥώμῃ κομισθέντων ὡς εἴρηται πρός με διορθώσεως ἕνεκεν ἐκτησάμην τε καὶ τὴν ἐπιγραφὴν περὶ αἱρέσεων τοῖς εἰσαγομένοις. ὃ πρῶτον ἂν εἴη πάντων ἀναγνωστέον τοῖς μανθάνουσι τὴν ἰατρικὴν τέχνην. ἐν αὐτῷ γὰρ αἱ κατὰ γένος ἀλλήλων διαιρέσεις διαφέρουσαι διδάσκονται. κατὰ γένος δ᾽ εἶπον, ἐπειδὴ καὶ διαφοραί τινες ἐν αὐταῖς εἰσὶ, καθ᾽ ἃς ὕστερον οἱ εἰσαχθέντες ἐπεκδιδάσκονται. τὰ δὲ τῶν τριῶν αἱρέσεων ὀνόματα σχεδὸν ἅπαντες ἤδη γινώσκουσιν. τὴν μέν τινα δογματικήν τε καὶ λογικὴν ὀνομάζεσθαι. τὴν δὲ δευτέραν ἐμπειρικήν. τὴν τρίτην δὲ μεθοδικήν. ὅσα τοίνυν ἐστὶν ἑκάστης ἴδια, ἢ καθ᾽ ἃ διαφέρουσιν ἀλλήλων ἐν ἐκείνῳ τῷ βιβλίῳ γέγραπται. τοῖς δ᾽ εἰσαγομένοις ὑπηγορεύθη τὸ περὶ τῶν ὀστῶν. καὶ τὸ περὶ τῶν σφυγμῶν. ἐδόθη δὲ καὶ φίλῳ πλατωνικῷ κατὰ τὴν ἐπιδημίαν ταύτην εἰσαγωγικὰ δύο βιβλία, τὸ μὲν, ἀρτηριῶν καὶ φλεβῶν, τὸ δὲ νεύρων ἔχον ἀνατομήν. καί τινι ἑτέρῳ τῆς ἐμπειρικῆς ἀγωγῆς ὑποτύπωσις. ὧν οὐδὲν ἔχον ἐγὼ, παρὰ τῶν ἐχόντων ἔλαβον, ἡνίκα τὸ δεύτερον ἧκον εἰς Ῥώμην. ἄλλων δέ τινων τό τε γραφέντων φίλοις, ἔμεινεν ἀντίγραφα παρ᾽ ἐμοὶ, διὰ τὸ τελέως ἐξειργάσθαι. ὧν ἐστι, καὶ τὰ περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων δύο. καὶ τὰ περὶ φωνῆς δ᾽. προσφωνηθέντα τινὶ τῶν ὑπατικῶν ἀνδρῶν, Βοηθὸς τοὔνομα, κατὰ

τὴν ἀριστοτέλους αἵρεσιν φιλοσοφοῦντι. τούτῳ καὶ τὰ περὶ τῆς ἀνατομῆς ἱπποκράτους, καὶ μετὰ ταῦτα περὶ τῆς ἐρασιστράτου προσπεφώνηται. φιλοτιμότερον γεγραμμένα διὰ μαρτιάλιον, οὗ δύο βιβλία διασώζεται τῶν ἀνατομικῶν, ἔτι καὶ νῦν ὄντα παρὰ πολλοῖς. ἃ κατ᾽ ἐκεῖνον τὸν χρόνον εὐδοκιμεῖ μεγάλως. βάσκανος δὲ καὶ φιλόνεικος ἱκανῶς ἦν ὁ ἀνὴρ οὗτος, καίτοι πλείω γεγονὼς ἐτῶν ο. πυθόμενος οὖν εἰς ἀνατομικὸν πρόβλημα, τούς τε λόγους καὶ τὰ διαλεχθέντα μοι δημοσίᾳ πρὸς ἁπάντων τῶν ἀκολουθησάντων ἐπαινεῖσθαι μεγάλως, ἤρετό τινα τῶν ἐμῶν φίλων ἀπὸ ποίας εἴην αἱρέσεως. ἀκούσας δ᾽ ὅτι δούλους ὀνομάζω, τοὺς ἑαυτοὺς ἀναγορεύσαντας ἱπποκρατείους, ἢ πραξαγορείους, ἢ ὅλως ἀπό τινος ἀνδρός, ἐκλέγοιμι δὲ τὰ παρ᾽ ἑκάστου καλά, δεύτερον ἤρετο, τίνα μάλιστα τῶν παλαιῶν ἐπαινοίην. θαυμάσιον δὲ τὸν ἐρασίστρατον ἀποφαίνεται τὰ ἄλλα τῆς τέχνης καὶ ταῦτα. δι᾽ ἐκεῖνον οὖν ἔγραψα φιλοτιμότερον τὰ περὶ τῆς ἱπποκράτους ἀνατομῆς ϛ΄. βιβλία. καὶ τὰ περὶ τῆς ἐρασιστράτου γ΄. καὶ λέγων γε ποτὲ εἰς τὰ τῶν ἰατρῶν τῶν παλαιῶν βιβλία δημοσίᾳ προβλη- 10

τὰ περὶ τῆς ἐρασιστράτου γ. καὶ λέγων γε ποτὲ εἰς τὰ τῶν ἰατρῶν τῶν παλαιῶν βιβλία δημοσίᾳ προβληθέντος μοι τοῦ περὶ αἵματος ἀναγωγῆς ἐρασιστράτου καὶ γραφείου καταπαγέντος εἰς αὐτὸ κατὰ τὸ ἔθος. εἶτα διαλεχθέντος ἐπ᾽ ἐκεῖνο τὸ μέρος τοῦ βιβλίου καθὸ τὴν φλεβοτομίαν παραιτεῖται πλείω πρὸς αὐτὸν εἶπον, ὅπως λυπήσαιμι τὸν μαρτιάλιον, ἐρασιστράτειον εἶναι προσποιούμενον. ἐπεὶ δ᾽ ἱκανῶς ὁ λόγος ηὐδοκίμησεν ἐδεήθη μου τις φίλος ἀπεχθῶς ἔχων πρὸς αὐτόν, ὑπαγορεῦσαι τὰ ῥηθέντα τῷ πεμφθησομένῳ παρ᾽ αὐτοῦ πρὸς με, διὰ σημείων εἰς τάχος ἠσκημένῳ γράφειν ὅπως ἂν ἐξορμήσῃ τῆς πόλεως οἴκαδε, δύναιτο λέγειν αὐτὰ πρὸς τὸν μαρτιάλιον ἐν ταῖς τῶν νοσούντων ἐπισκέψεσιν. ἔπειτ᾽ οὐκ οἶδ᾽ ὅπως ὅτε τὸ δεύτερον ἧκον εἰς ῥώμην ὑπὸ τῶν αὐτοκρατόρων μετακληθείς, ὁ μὲν λαβὼν ἐτεθνήκει, τὸ βιβλίον δ᾽ εἶχον οὐκ ὀλίγοι κατὰ τὴν ἐν τῷ τότε καιρῷ φιλοτιμίαν συγκείμενον. ἡνίκα ἔλεγχον δημοσίᾳ. καὶ γὰρ δὴ καὶ νέος ὢν ἔτι τοῦτ᾽ ἔπραξα, τέταρτον ἔτος ἄγων καὶ τριακοστόν. ἐξ ἐκείνου δ᾽ ὥρισα μήτε διδάσκειν ἔτι δημοσίᾳ, μήτ᾽ ἐπιδείκνυσθαι προσδεξάμενος μετὰ τῆς ἐπὶ τοὺς θεραπευομένους εὐτυχίας μεῖζον εὐχῆς. εἰδὼς γὰρ τοὺς ἀντιτέχνους, ὅταν ἐπαινεῖταί τις ἰατρὸς ὡς φθονοῦσιν, αὐτὸν λογιατρὸν ἀποκαλοῦντες, ἀπορράψαι τὴν βάσκανον γλῶτταν αὐτῶν ἐβουλήθην. οὔτ᾽ ἐπὶ τῶν θεραπευομένων φθεγγόμενός τι περαιτέρω τῶν ἀναγκαίων, οὔτε διδάσκων ἐν πλήθει, καθάπερ ἔμπροσθεν, οὐδ᾽ ἐπιδεικνύμενος, ἀλλὰ διὰ τῶν ἔργων τῆς τέχνης μόνον ἐνδεικνύμενος ἣν εἶχον ἕξιν ἐν τοῖς θεωρήμασιν αὐτοῖς. ἔτεσι δὲ τρισὶν ἄλλοις ἐν ῥώμῃ διατρίψας ἀρξαμένου τοῦ μεγάλου λοιμοῦ, παραχρῆμα τῆς πόλεως ἐξῆλθον ἐπειγόμενος εἰς τὴν πατρίδα. μηδενὶ

ἐν τῷ χρόνῳ τούτῳ περὶ μὲν τῶν ἱπποκράτους καὶ πλάτωνος δογμάτων ϛ΄. βιβλία προτρεψαμένου με τοῦ βοηθοῦ. περὶ δὲ μορίων χρείας, ἐν τὸ πρῶτον. ἃ λαβὼν ὁ βοηθὸς ἐξῆλθε τῆς πόλεως πρὸ ἐμοῦ πρότερος ἄρξοντος τῆς παλαιστίνης συρίας, ἐν ᾗ καὶ ἀπέθανεν καὶ διὰ τοῦτο μετὰ πολὺν χρόνον, ἑκατέραν τὴν πραγματείαν συνετέλεσα προσγενομένων μοι κωλυμάτων μετὰ τὴν εἰς οἶκον ἐπάνοδον, ὧν ἐφεξῆς μνημονεύσω 30

Τίνα μοι μετὰ τὴν ἐκ ῥώμης ἐπάνοδον οἴκαδε πραγματευομένῳ βιβλία παρά τινων ἐδόθη τῶν ὑπ᾽ ἐμοῦ γεγραμμένων.

Ἐπανῆλθον μὲν οὖν ἐκ ῥώμης εἰς τὴν πατρίδα πεπληρωμένων μοι τῶν ἐκ γενετῆς ἐτῶν ζ΄. καὶ λ΄. τρία δέ μοι βιβλία παρά τινων ἐδόθη γεγραμμένα, πρὶν εἰς σμύρναν ἐκ περγάμου μεταβῆναι πέλοπός τε τοῦ ἰατροῦ καὶ ἀλβίνου τοῦ πλατωνικοῦ χάριν. ἦν δὲ τὸ μέν τι μήτρας ἀνατομὴ μικρὸν βιβλίδιον. τὸ δὲ περὶ τῶν ἐν ὀφθαλμοῖς παθῶν διάγνωσις. μικρὸν καὶ αὐτό τρίτον δ᾽ ἀξιόλογον τῷ μεγέθει, τῆς ἰατρικῆς ἐμπειρίας. ἐδόθη δὲ τὸ μὲν ἀειρημένον μαίᾳ τινί. τὸ δὲ δεύτερον ὀφθαλμοὺς θεραπεύοντι νεανίσκῳ. τὸ δὲ τρίτον ἡνίκα πέλοψ μετὰ φιλίππου τοῦ ἐμπειρικοῦ διελέχθη δυοῖν ἡμερῶν. τοῦ μὲν πέλοπος ὡς μὴ δυναμένης τῆς ἰατρικῆς δι᾽ ἐμπειρίας μόνης συστῆναι, τοῦ φιλίππου δ᾽ ἐπιδεικνυοῦντος, δύνασθαι. τοὺς οὖν ὑφ᾽ ἑκατέρου λόγους ῥηθέντας εἰς τάξιν καταστήσας, ἔγραψα τι γυμνάσιον ἐμαυτῷ καὶ τοῦτον οὐκ οἶδα πῶς ἐξέπεσεν ἐμοῦ μηδὲν εἰδότος αὐτό. ἕτερα δ᾽ ἄλ- 40 λα περὶ πνεύμονος καὶ θώρακος κινήσεως ἡνίκα ἐν σμύρνῃ διέτριβον ἔγραψα, συμφοιτητῇ χαρισάμενος μέλλοντι κατὰ τὴν ἀποδημίαν εἰς τὴν πατρίδα πορεύεσθαι. χάριν τοῦ μελετήσαντα κατ᾽ αὐτὸ ποιήσασθαι τινὰ ἐπίδειξιν ἀνατομικήν. ἀποθανόντος οὖν ἐν τῷ μεταξὺ τοῦ νεανίσκου, τὰ βιβλία παρά τισιν ἦν, ὑπονοούμενα τῆς ἐμῆς ἕξεως εἶναι. καί τις ἠλέγχθη προοίμιον τι τεθεικὼς αὐτοῖς, εἶτ᾽ ἀναγινώσκων ὡς ἴδια. τούτων τῶν βιβλίων τῷ τρίτῳ ἐπὶ τὸ τέλος προσέγραψα τινὰ τῶν ὑπ᾽ ἐμοῦ προσεξευρισκομένων ἐπαγγελίαν ἔχοντα. τὰ γὰρ ἐν τοῖς τρισὶ γεγραμμένα πέλοπος ἦν τοῦ διδασκάλου δόγματα. παρ᾽ ᾧ διατρίβων σμύρναν ἔγραψα. ταῦτα καθιδρύσας ἐμαυτὸν ἐν τῇ πατρίδι μετὰ τὴν ἐκ ῥώμης ἐπάνοδον, εἰχόμην τῶν συνήθων. ἀφίκετο δ᾽ εὐθέως ἐξ ἀκυλίας τὰ παρὰ τῶν αὐτοκρατόρων γράμματα καλούντων με. προῄρηντο γὰρ αὐτοὶ χειμάσαντες ἐπὶ τοὺς γερμανοὺς ἐξελαύνειν. ἐπορεύθην μὲν οὖν ἐξ ἀνάγκης. ἐλπίζων δὲ τεύξεσθαι παραιτήσεως, ἤκουον γὰρ εἶναι τὸν ἕτερον αὐτῶν 50 τὸν πρεσβύτερον, εὐγνώμονά τε καὶ μέτριον, ἥμερόν τε καὶ πρᾷον, ὃς ἐκαλεῖτο μὲν ἐξ ἀρχῆς βῆρος, ἐπεὶ δ᾽ ἀντωνῖνος ὁ μετὰ τὸν ἀδριανὸν ἄρξας διάδοχον αὐτὸν ἔθετο τῆς ἀρχῆς, τὸν μὲν ἔμπροσθεν ὀνομαζόμενον λούκιον, κοινωνὸν ἐποιήσατο καλέσας βῆρον, ἑαυτὸν δὲ μετωνόμασεν ἀντωνῖνον. ἐπιβάντος οὖν μου τῆς ἀκυλίας, κατέσκηψεν ὁ λοιμὸς ὡς οὔπω πρότερον. ὥστε τοὺς μὲν αὐτοκράτορας αὐτίκα φεύγειν εἰς ῥώμην, ἅμα στρατιώταις ὀλίγοις. ἡμᾶς δὲ τοὺς πολλοὺς μόλις ἐν χρόνῳ πολλῷ διασωθῆναι, πλείστων ἀπολλυμένων. οὐ μόνον διὰ τὸν λοιμόν, ἀλλὰ καὶ τὸ διὰ μέσου χειμῶνος εἶναι τὰ πραττόμενα. μεταστάντος δ᾽ ἐξ ἀνθρώπων τοῦ λουκίου κατὰ τὴν ὁδόν, εἰς ῥώμην αὐτοῦ κομίσας τὸ σῶμα, τὴν ἀποθέωσιν ἀντωνῖνος ἐποιήσατο. καὶ μετὰ ταῦτα τῆς ἐπὶ τοὺς γερμανοὺς στρατείας εἴχετο, περὶ παντὸς ποιούμενος ἀπάγειν με. πεισθεὶς δ᾽ ἀφεῖναι λέγοντος ἀκούσας τἀναντία κελεύειν τὸν πάτριον θεὸν ἀσκληπιόν, οὗ καὶ θεραπευτὴν ἀπέφαινον ἐμαυτὸν ἐξότου με θανατι-

μὴ θανατικὴν διάθεσιν ἀρρωστήματος ἔχοντα διέσωσε, προσκυνήσας τὸν θεὸν καὶ προσμεῖναι με τὴν ἐπάνοδον αὐτοῦ κελεύσας, ἤλπιζε γὰρ ἐν τάχει κατορθώσειν τὸν πόλεμον, αὐτὸς μὲν ἐξῆλθε, καταλιπὼν δὲ τὸν υἱὸν κόμμοδον παιδίον ἔτι ὄντα κομιδῇ νέον, ἐνετείλατο τοῖς τρέφουσιν αὐτὸ πειρᾶσθαι μὲν ὑγιαῖνον φυλάττειν, εἰ δέ ποτε νοσήσειε, καλεῖν ἐπὶ τὴν θεραπείαν ἐμέ. κατὰ τοῦτον οὖν τὸν χρόνον, συνελεξάμην τε καὶ εἰς ἕξιν ἤγαγον μόνιμον, ἅ τε παρὰ τῶν διδασκάλων ἐμεμαθήκειν, ἅ τ᾽ αὐτὸς εὑρήκειν. ἔτι τε ζητῶν ἔνια περὶ τὴν εὕρεσιν αὐτῶν εἶχον ἔγραψα πολλὰ γυμνάζων ἐμαυτὸν ἐν πολλοῖς προβλήμασιν ἰατρικοῖς τε καὶ φιλοσόφοις. ὧν τὰ πλεῖστα διεφθάρη κατὰ τὴν μεγάλην πυρκαϊὰν, ἐν ᾗ τὸ τῆς εἰρήνης τέμενος ἅμα καὶ πολλοῖς ἄλλοις ἐκαύθη. καὶ χρονίσαντός γε κατὰ τὴν ἀποδημίαν παρὰ πᾶσαν ἐλπίδα τοῦ ἀντωνίνου, σύμπας ἐκεῖνος ὁ χρόνος ἀξιολογωτάτην τὴν ἄσκησίν μοι παρέσχεν. ὥς τήν τε περὶ χρείας μορίων πραγματείαν ἐν ἑπτὰ καὶ δέκα πληρῶσαι βιβλίοις προσθεῖναί τε τὰ λείποντα τῇ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. ἔτι δὲ ζητῶν τινὰ τῶν ἀνατομικῶν θεωρημάτων ἃ ἐδεδώκειν τῷ Βοηθῷ τὸ περὶ χρείας μορίων πρῶτον, ἐν τῷ δευτέρῳ δεδήλωται, τοὺς κινοῦντας τὸ ἄρθρον ἑκάστου δακτύλου μῦς προσεξευρῆσθαί μοι, ἅπαντας ἀγνοηθέντας ἄχρι πολλοῦ. καθάπερ ἅπασι τοῖς πρὸ ἐμοῦ. ἀνεβαλόμην δ᾽ ἐν ἐκείνῃ τῇ πραγματείᾳ, καὶ περὶ τῆς κινήσεως τῶν ἄνω βλεφάρων ἐρεῖν αὖθις ἐπιδείξας ἐν αὐτῇ τοῦτο μόνον, ὡς αἱ λεγόμεναι πρός τινων οὐκ εἰσὶν ἀληθεῖς. ὁπότε δ᾽ ἐμαυτόν τε ἔπεισα καὶ τοὺς ἄλλους οἷς ἔδειξα, καὶ ταύτην εὑρῆσθαί μοι, καὶ θ᾽ ἄλλα ὅσα κατὰ τὰς ἀνατομὰς ἢ κακῶς εἴρηται τοῖς ἔμπροσθεν, ἢ ὅλως παραλέλειπτο, τηνικαῦτα ἤδη καὶ τὰς ἀνατομικὰς ἐγχειρήσεις ἔγραψα. φθασάντων δὲ τῶν περὶ χρείας μορίων εἰς πολλοὺς ἀφῖχθαι, σπουδαζομένων δὲ τοῖς ἰατροῖς σχεδὸν ἅπασιν ὅσοι τὴν παλαιὰν ἰατρικὴν μεταχειρίζοντο, καὶ τῶν φιλοσόφων τοῖς ἀπ᾽ Ἀριστοτέλους, ἐπειδὴ κἀκείνῳ τοιαύτη τις ἐγεγόνει πραγματεία, τῶν βασκάνων τινὲς ὑπὸ φθόνου τὴν πόλιν ἐπλήρωσαν εἰς μοχθηρὰς φήμας, ὡς ἕνεκα τοῦ δόξαι πάμπολυ τοὺς ἔμπροσθεν ὑπερβεβλῆσθαι, πολλὰ τῶν οὐδ᾽ ὅλως φαινομένων ἐν ταῖς ἀνατομικαῖς γράψαιμι. μὴ γὰρ ἂν ἅπαντας αὐτὰ λαθεῖν. ἐγὼ μὲν οὖν ἐγέλων τε καὶ κατεφρόνουν αὐτῶν. ἀγανακτοῦντες δ᾽ οἱ φίλοι, παρεκάλουν με δημοσίᾳ δεῖξαι κατά τι τῶν μεγάλων ἀκροατηρίων τὴν ἀλήθειαν τῶν ὑπ᾽ ἐμοῦ γεγραμμένων ἀνατομικῶν θεωρημάτων. ἐπεὶ δ᾽ οὐκ ἐπειθόμην, ἤδη γὰρ οὕτως εἶχον ὡς μὴ πεφροντικέναι τῆς δόξης, οἰηθέντες οἱ βάσκανοι ἔχειν ἐξελεγχθῆναι με φοβούμενον, οὐ καταφρονοῦντα τῆς φλυαρίας αὐτῶν προσποιεῖσθαι μεγαλοφροσύνην, οὐ δὲ τοῦ σκώπτειν ἀπείχοντο. καθ᾽ ἑκάστην ἡμέραν εἰς τὸ τῆς εἰρήνης τέμενος ἀφικνούμενοι. καθότι καὶ πρὸ τοῦ καυθῆναι, πᾶσιν ἦν ἔθος ἀθροίζεσθαι τοῖς τὰς λογικὰς τέχνας μεταχειριζομένοις. ἀναγκασθεὶς οὖν ὑπὸ τῶν φίλων, καὶ δείξας δημοσίᾳ πολλαῖς ἡμέραις, ἐμαυτὸν μὲν οὐδὲν ἐψευσμένον, ἠγνοηκότας δὲ πολλὰ τοὺς ἔμπροσθεν, ἔγραψα παρακληθεὶς ὑπ᾽ αὐτῶν ὑπομνήματα τῶν δειχθέντων τε καὶ λεχθέντων. ἐπιγέγραπται δὲ ταῦτα, τῶν τῷ ἀγνοηθέντων λύκῳ κατὰ τὰς ἀνατομάς. διὰ τὴν δὲ τὴν αἰτίαν ὁ ποτὲ προῆλθον ἐπιδείξων ἐμαυτὸν οὐδὲν ἐψευσμένον ἐν τοῖς ἀνατομικοῖς ὑπομνήμασιν, εἰς τὸ μέσον ἀνέθει κατὰ τῶν ἀνατομικῶν ἁπάντων βιβλία τὴν ἐξουσίαν δοὺς ἑκάστῳ τῶν παρόντων ὃ βούλεται μόριον ἀνατμηθῆναι προβάλλειν, ἐπαγγειλάμενος δείξειν ὅσα διεφώνησαν τοῖς ἔμπροσθεν ἀληθῶς ὑπ᾽ ἐμοῦ γεγραμμένα. προβληθέντος δὲ θώρακος, ἐμοῦ τε τὴν ἀρχὴν ἀπὸ τῶν παλαιοτάτων ποιουμένου προχειριζομένου τε βίβλους αὐτῶν ἠξίουν τινὲς τῶν ἀξιολόγων ἰατρῶν ἐν προεδρείᾳ καθεζόμενοι μὴ κατατρίβειν με τὸν χρόνον, ἀλλ᾽ ἐπειδὴ λύκος ὁ μακεδὼν κοΐντου μαθητὴς γεγονὼς, ἀνδρὸς ἀνατομικωτάτου, τὰ μέχρι τῶν καθ᾽ ἑαυτὸν εὑρημένα πάντα ἔγραψεν, ἐάσαντα τοὺς ἄλλους μόνα τὰ πρὸς ἐκείνου γεγραμμένα τοῖς ἐμοῖς ἀντεξετάσαι. πειθόμενος οὖν αὐτῶν τὴν ἀξίωσιν, οὕτως ἐπὶ πάντων τῶν κατ᾽ ἑκάστην ἡμέραν προβαλλομένων ἐποίησα. πάντα δὲ ταῦτα διὰ τοῦτ᾽ ἠναγκάσθην εἰπεῖν ὅπως ἴδωσιν οἱ μέλλοντες ἀναγνώσεσθαί τι τῶν ἐμῶν κατὰ τίνα τὴν ἡλικίαν ἕκαστον ἔγραψα, καὶ κατὰ τίνα τὴν αἰτίαν. ἐκ τούτων γὰρ εἴσονται τά τε ἐλλιπῶς γεγραμμένα διορίζειν ἀπὸ τῶν τελέως ἐξειργασμένων, τά τε κατὰ τὸν πρὸς τοὺς ἀλαζονευομένους ἔλεγχον, ἀπὸ τῶν διδασκαλείων. ἐπισημανοῦμαι δὲ ταῦτα, καὶ διὰ τῶν ἑξῆς ἐάν που γένηται χρεία. νυνὶ δὲ τὰ διασωζόμενα τῶν ὑπ᾽ ἐμοῦ γραφέντων δηλώσω τὴν ἀρχὴν ἀπὸ τῶν ἀνατομικῶν ποιησάμενος.

περὶ τῶν κατὰ τὴν ἀνατομικὴν θεωρίαν.

Πρῶτον μὲν ἐν τούτοις ὅ, τι † ποτὲ τῶν ὀστῶν τοῖς εἰσαγομένοις γεγραμμένον. μετὰ τοῦτο δὲ ἐστὶν ἄλλα τοῖς εἰσαγομένοις βιβλία. τὸ μὲν ἕτερον αὐτῶν φλεβῶν τε καὶ ἀρτηριῶν ἀνατομὴν περιέχον. τὸ δ᾽ ἕτερον νεύρων. ἔστι δέ τι καὶ ἄλλο μυῶν ἀνατομὴ ἐν συντόμῳ διδάσκων ἅπαντα ἀκριβῶς ὅσα κατὰ τὰς ἀνατομικὰς ἐγχειρήσεις γέγραπται περὶ μυῶν. εἰ δέ τις βούλοιτο μετὰ τὴν τῶν ὀστῶν ἀνατομὴν ἐπὶ τὰς ἀνατομικὰς ἐγχειρήσεις εὐθέως ἔρχεσθαι, δυνατόν ἐστιν αὐτῷ παρελθεῖν τὰς περὶ τῶν ἀγγείων τε καὶ νεύρων ἀνατομὰς, ὥσπερ γε καὶ τὴν τῶν μυῶν. ἅπαντα γὰρ τὰ τῆς ἀνατομῆς ἐν ταῖς ἐγχειρήσεσι γέγραπται. τὸ μὲν οὖν πρῶτον ἐν αὐταῖς περὶ τῶν κατὰ τὰς χεῖράς ἐστι μυῶν καὶ συνδέσμων. τὸ δὲ δεύτερον περὶ τῶν κατὰ τὰ σκέλη μυῶν καὶ συνδέσμων. τὸ δὲ τρίτον, περὶ τῶν ἐν τοῖς κώλοις νεύρων καὶ ἀγγείων. τὸ δὲ τέταρτον, περί τε τῶν τὰς γνάθους καὶ τὰ χείλη κινούντων μυῶν, καὶ περὶ τὴν κάτω γένυν. ἔτι τε τῶν τὴν κεφαλὴν καὶ τράχηλον καὶ ὠμοπλάταις. τὸ δὲ πέμπτον, περὶ τῶν τοῦ θώρακος μυῶν. καὶ τῶν κατ᾽ ἐπιγάστριον καὶ τῶν ψοῶν, καὶ τῶν ῥάχιν. τὸ δὲ ἕκτον περὶ τῶν τροφῆς ὀργάνων. ὅπερ ἐστὶν ἔντερα καὶ γαστὴρ, ἧπάρ τε καὶ σπλὴν, καὶ νεφροὶ καὶ κύστις, ὅσα τ᾽ ἄλλα σὺν τούτοις. τὸ δὲ ἕβδομον καὶ ὄγδοον, τῶν πνευματικῶν μορίων ἀνατομὴν περιέχει. τὸ μὲν ἕβδομον, τῶν κατὰ τὴν καρδίαν καὶ τὸν πνεύμονα καὶ τὰς ἀρτηρίας τεθνεῶτος ἔτι τε καὶ ζῶντος ἔτι τοῦ ζώου. τὸ δὲ ὄγδοον, τὸν καθ᾽ ὅλον τὸν θώρακα. τὸ δὲ ἔνατον, ἐγκεφάλου τε καὶ νωτιαίου ἀνατομὴν ἔχει. τὸ δὲ δέκατον ὀφθαλμῶν καὶ γλώττης καὶ στομάχου, καὶ τῶν τούτοις συνεχῶν. τὸ δ᾽ ἑνδέκατον, τῶν κατὰ τὸν λάρυγγα καὶ τὸ καλούμενον ὑοειδὲς ὀστοῦν, καὶ τῶν συνεχῶν αὐτοῖς, ἔτι τῶν εἰς αὐτὰ παραγινομένων νεύρων. τὸ δὲ δωδέκατον, ἀρτηριῶν καὶ φλεβῶν. τὸ δὲ τρισκαιδέκατον, τῶν ἀπ᾽ ἐγκεφάλου νεύρων. τὸ ιδ΄. τῶν ἀπὸ νωτιαίου. τὸ δὲ ιε΄. τῶν γεννητικῶν μορίων. τὰ μὲν οὖν ἀναγκαῖα τῆς ἀνατομικῆς θεωρίας ταῦτ᾽ ἐστίν. ἐπὶ δὲ τοῖς ἀναγκαίοις ἄλλα χρήσιμα καὶ ταυτὶ γέγραπται

Marini Anatomici libri 20.

τῶν μαρίνου βιβλίων ἀνατομικῶν εἴκοσιν ὄντων, ἐν τέτταρσιν ἡμετέροις ἐπιτομή. καθάπερ καὶ τῶν λύκου πάντων ἐν δυοῖν. ὑπογράψω δ' αὐτῶν ἑκάστου τὰ κεφάλαια κατὰ τὴν πρώτην ἐπιτομήν. τῶν τοῦ μαρίνου βιβλίων ἀνατομικῶν ἓξ αὕτη τὰ πρῶτα περιέχεται. γράφει δ' ἐν μὲν τῷ πρώτῳ τῶν ἕξ, τὸ προοίμιον τῆς ὅλης θεωρίας. εἶτα περὶ δέρματος. εἶθ' ἑξῆς περὶ τριχῶν. εἶτα περὶ ὀνύχων, καὶ σαρκῶν. καὶ πιμελῆς. καὶ στέατος. ἐν τῷ δευτέρῳ, περὶ ἀδένων. καὶ ὑμένων. καὶ ὑμενωδῶν χιτώνων περιτοναίου τε καὶ ὑπεζωκότος καὶ διαφράγματος. ἐν δὲ τῷ τρίτῳ, περὶ τῶν λόγῳ θεωρητῶν ἀγγείων καὶ φλεβῶν καὶ ἀρτηριῶν ἀνατομὴ καὶ εἰ κατὰ φύσιν ἐν ἀρτηρίαις αἷμα περιέχεται. κατὰ δὲ τὸ τέταρτον, τίς ἐνέργεια ἀρτηρίας, καὶ τίς χρεία. καὶ πόθεν ἄρχονται. καὶ τὰ ἄλλα ζητούμενα περὶ αὐτῶν. εἶθ' ἑξῆς. περὶ οὐρητήρων. περὶ οὐρητικῶν πόρων. καὶ οὐράχου, καὶ σπερματικῶν ἀγγείων. καὶ χολωδῶν ἀγγείων καὶ πόρων καὶ ἀδένων. καὶ περὶ τοῦ ἀπὸ τῶν ἀδένων ἀγγείου. καὶ περὶ βρόγχου. καὶ περὶ τῶν κατὰ τοὺς μαστοὺς ἀγγείων, ἐν οἷς τὸ γάλα. καὶ περὶ τῶν ἐν τῷ σώματι κεχυμένων καὶ ἀγγείοις περιεχομένων. καὶ τίνα ἐν τισὶ περιέχεται τῶν ὑγρῶν. καὶ τῶν κεχυμένων. καὶ περὶ τροφῆς. ἐν δὲ τῷ ε΄. περὶ τῶν κατὰ τὴν κεφαλὴν τῶν τ' ἄλλων καὶ τῶν ῥαφῶν. καὶ μέντοι καὶ τῶν κατὰ τὸ πρόσωπον ῥαφῶν τε καὶ συμφύσεων. καὶ πάντων τῶν τῆς κεφαλῆς ὀστῶν. καὶ περὶ τῶν κατ' αὐτήν τε καὶ τὸ πρόσωπον τρημάτων καὶ περὶ τῆς κάτω γνάθου, καὶ τῶν κατ' αὐτὴν τρημάτων, καὶ εἰ ἔστι σύμφυτος ἑαυτῇ. περί τε τῶν ὀδόντων καὶ τοῦ προσκειμένου τῇ κεφαλῇ τοῦ βρόγχου ὀστοῦ. καὶ τῶν συνεχῶν αὐτῶν τῶν κατὰ τὰ παρίσθμια τεταγμένων. ἐν δὲ τῷ ἕκτῳ, περί τε ῥάχεως γράφει, καὶ ἑτέρου ὀστοῦ. καὶ ἰσχίου. καὶ πλευροῦ. καὶ στέρνου καὶ ὠμοπλάτου. καὶ ἀκρωμίου καὶ περὶ κλειδῶν. καὶ βραχίονος. καὶ πήχεος, καὶ κερκίδος. ὀστῶν τε τοῦ καρποῦ καὶ τῶν δακτύλων. καὶ περὶ μηροῦ καὶ τῶν ἑκατέρωθεν τοῦ γόνατος χονδρωδῶν ὀστῶν. ἐν δὲ τῷ δευτέρῳ τῶν ἡμετέρων ὑπομνημάτων, ἃ τῆς ἀνατομικῆς μαρίνου θεωρίας ἐστὶν ἐπιτομή. τὸ ζ΄. καὶ η΄. καὶ θ΄. καὶ ι΄. περιέχεται τῶν μαρίνου βιβλίων. κεφάλαιον δὲ, κατὰ μὲν τὸ ζ΄. ἔτι περὶ τῆς τοῦ κρανίου κοινωνίας πρός τε τὰς μήνιγγας καὶ τοὺς ἄλλους ὑμένας περί τε τῶν καθ' ὅλον τὸ πρόσωπον νεύρων. περί τε κροταφίτων μυῶν καὶ μασητήρων. καὶ τῶν ἐπὶ τὰς γνάθους καὶ τὰ χείλη μυῶν ἀπὸ τῶν φατνίων καὶ τῶν κατὰ τὰς γνάθους μυῶν. εἶτα τῶν ἐντὸς τῆς κάτω γνάθου μυῶν. τῶν τε περὶ αὐτὴν χωρίς, καὶ τῶν μυκτήρων, καὶ τῶν περὶ ἐκφύσεις. καὶ τῶν κατὰ τὴν γλῶτταν. εἶτα περὶ γλώττης καὶ τῶν κατ' αὐτὴν μυῶν ἔτι τε περὶ τῶν κατὰ τὸν ὀφθαλμὸν μυῶν. ἐν δὲ τῷ ὀγδόῳ τῶν τοῦ μαρίνου βιβλίων. κεφάλ. ταῦτ' ἐστι. περὶ στόματος. καὶ περὶ χειλῶν καὶ ὀδόντων. καὶ οὔλων, καὶ κίονος, καὶ φάρυγγος ἐπιγλωττίδος τε καὶ παρισθμίων καὶ ἀντιάδων, καὶ ῥινός, καὶ μυκτήρων, ὤτων τε καὶ τραχήλου, καὶ τῶν κατὰ μυῶν, καὶ τοῦ ὑπὸ τὴν πλευρὰν μυὸς τοῦ ὑπὸ τὴν κοιλίαν, καὶ περὶ τραχήλου φύσεως. ἐν δὲ τῷ θ΄. περὶ μυῶν τῶν κατὰ τὰς φρένας καὶ τὴν ῥάχιν κατὰ τὰ μεσοπλεύρια, καὶ τὸ ἐπιγάστριον. ἔτι τε περὶ τῶν τοῦ βραχίονος καὶ τῆς ὠμοπλάτης. πῆχύν τε καὶ χεῖρα, ἄκρας ἐν δὲ τῷ δεκάτῳ, πήχεος καὶ τῶν περὶ αὐτὴν μυῶν καὶ σκελῶν καὶ τῶν κατ' αὐτὰ μυῶν καὶ ἄρθρου τοῦ κατὰ γόνυ. ἡ δὲ τρίτη τῶν ἐπιτομῶν ια΄. τε καὶ ιβ΄. καὶ ιε. τῶν τοῦ μαρίνου βιβλίων ἐστίν. ἔγραψε δὲ μαρῖνος ἐν μὲν τῷ ια΄. ἃ μὲν κεφάλ. εἰ φέρεταί τι ἀπὸ νώτων ὑγρὸν εἰς πνεύμονα κατά τε τὰς † εἰσόδους εἰς γαστέρα πνεύματα. δεύτερον δὲ περὶ στομάχου καὶ μετ' αὐτὸ περὶ βρόγχου. καὶ περὶ πνεύμονος καὶ καρδίας. καὶ περικαρδίου θυμοῦ κατὰ δὲ τὸ ιβ΄. τῆς ἑαυτοῦ πραγματείας ὁ μαρῖνος ἔγραψε περὶ ἥπατος. καὶ τῆς ἐν αὐτῷ χολῆς. καὶ περὶ σπληνὸς καὶ κοιλίας. καὶ μεσεντερίου. κατὰ δὲ τὸ ιγ΄. περὶ πρώτων ἐντέρων. εἶτα περὶ νεφρῶν καὶ οὐρητῆρος. καὶ κύστεως. καὶ οὐράχου. καὶ πόρου τοῦ οὐρητικοῦ. καὶ μετὰ ταῦτα περὶ καυλῆς ἄρρενος, καὶ αἰδοίου τοῦ ἄρρενος. καὶ θηλείας καὶ περὶ μήτρας καὶ τῶν λυομένων καὶ περὶ τῶν ὄρχεων. οὓς διδύμους ὀνομάζει. καὶ μετ' αὐτοὺς περὶ ἀδενοειδῶν. ἐν δὲ τῷ ιδ΄. τὴν ἀνατομὴν τῶν ἄνω τοῦ ἥπατος ἁπασῶν φλεβῶν ἐποιήσατο. κατὰ δὲ τὸ ιε. περί τε τῆς ἀπὸ καρδίας ἐπὶ ἧπαρ φερομένης φλεβός. καὶ τῶν κάτω τοῦ διαφράγματος ἁπασῶν. καὶ μετὰ ταῦτα περὶ τῶν καθ' ὅλον τὸ ζῶον ἀρτηριῶν. ἡ δὲ τετάρτη τῶν ἐπιτομῶν κατὰ τὰ λοιπὰ τοῦ μαρίνου ε΄. βιβλία. μετὰ τὸ ε΄. καὶ ι΄. ἄχρι τοῦ κ΄. περιέχων. γέγραπται δὲ ἐν τῷ ἑκκαιδεκάτῳ τὰ περὶ τοῦ ἐγκεφάλου ζητούμενα καὶ φαινόμενα, οἷον εἰ σφυγμώδης ἐν αὐτῷ κίνησις. καὶ εἰ ἀναπνέομεν εἰς αὐτόν. εἶθ' ἑξῆς περὶ νωτιαίου καὶ μηνίγγων. ἐν δὲ τῷ ιζ΄. περὶ κοιλότητος ἐγκεφάλου τὸν λόγον ἐποιήσατο. κατὰ δὲ τὸ η΄. καὶ ι΄. περὶ τῶν κατὰ προαίρεσιν ἐνεργειῶν. καὶ περὶ τὰς κατὰ μέρος διαφορὰς τῶν νεύρων. καὶ πόθεν τινὰ ἐκπέφυκεν αὐτῶν ἐν δὲ τῷ θ΄. καὶ ι. περὶ ἀπ' ἐγκεφάλου πεφυκότων νεύρων καὶ περὶ τῶν ῥύσεων. καὶ πόθεν ἄρχεται τὸ αἰσθητήριον αὐτῆς. καὶ περὶ τῶν ἐπὶ τοὺς ὀφθαλμοὺς νεύρων. ἃ καλοῦσιν ἡρόφιλός τε καὶ εὔδημος πόρους εἶτα.

† αἱ. ἐκπνοάς

περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, καὶ τὸ περὶ τῆς τῶν συμπτωμάτων. ἐφεξῆς δὲ τὸ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς τὸ τὰς αἰτίας τούτων διδάσκον ἐν βιβλίον. τὸ δὲ περὶ τῆς τῶν συμπτωμάτων διαφορᾶς τὰ περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτιῶν τρία. καὶ τούτοις τὰ περὶ τῶν πεπονθότων τόπων. τὸ περὶ τῶν ἐν ταῖς νόσοις καιρῶν ἐκ τῶν προειρημένων τῆς θεραπευτικῆς πραγματείας ἐστι. καὶ τὸ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς. τό τε περὶ πλήθους καὶ τὸ περὶ τῶν παρὰ φύσιν ὄγκων. ἔτι τε τὸ περὶ τῶν προκαταρκτικῶν αἰτιῶν καὶ πρὸς τούτοις τὸ περὶ τῶν συνεκτικῶν. καὶ τὸ περὶ τρόμου, καὶ ῥίγους, καὶ παλμοῦ, καὶ σπασμοῦ. καὶ τὸ ἐπιγεγραμμένον τέχνη ἰατρική.

Τὰ θεραπευτικά.

τεσσαρεσκαίδεκα, εἰσὶ μεθόδου θεραπευτικῆς. δύο τε τῶν πρὸς Γλαύκωνα θεραπευτικῶν, καὶ τρία περὶ φλεβοτομίας. τὸ μὲν πρῶτον πρὸς Ἐρασίστρατον, τὸ δὲ δεύτερον, πρὸς τοὺς ἐν Ῥώμῃ Ἐρασιστρατείους. τρίτον δ' ἐπ' αὐτοῖς ἄλλο κατὰ τὴν ἡμετέραν γνώμην συγκείμενον θεραπευτικόν. ἔστι δὲ καὶ τὸ περὶ μαρασμοῦ τῶν θεραπευτικῶν. ἐδόθη δέ τινι φίλων βιβλίδιον μικρόν, ὃ νῦν εἰς πολλοὺς ἐκπεσόντος, ἔλαβον τὸ ἀντίγραφον, ἔχον ἐπιγραφὴν, ὑποθήκη παιδίων ἐπιλήπτων, τῆς θεραπευτικῆς πραγματείας. θείη δ' ἄν τις καὶ τὸ περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων τρία, καὶ τὸ περὶ τῆς λεπτυνούσης διαίτης, καὶ τὸ περὶ εὐχυμίας καὶ κακοχυμίας. οὐδὲν ἧττον τῶν προειρημένων τῆς θεραπευτικῆς πραγματείας εἴη ἂν καὶ τὰ περὶ τῶν Ἐρασιστράτου θεραπευτικῶν λογισμῶν, καὶ τῷ Γλαύκωνι τῷ φιλοσόφῳ δοθέντα δύο. τὸ δὲ περὶ τῆς Ἱπποκράτους διαίτης ἐπὶ τῶν ὀξέων νοσημάτων ταχθείη μὲν ἂν καὶ μετὰ τούτων, ταχθείη δ' ἂν καὶ μετὰ τῶν εἰς Ἱπποκράτους γεγονότα ὑπομνήματα. ἐν οἷς πάμπολλα περιέχεται θεραπευτικὰ θεωρήματα. καθάπερ γε καὶ διαπρογνωστικὰ καὶ προγνωστικά.

Ποῖα τῆς προγνωστικῆς θεωρίας βιβλία.

πρῶτα μὲν ἐστι τρία περὶ κρισίμων ἡμερῶν. δεύτερον δ' ἐπ' αὐτοῖς τρία περὶ κρίσεων. εἶτα ἡ περὶ τῶν σφυγμῶν πραγματεία. καθ' ἣν πρῶτα μὲν ἐστι δ'. περὶ τῆς διαφορᾶς αὐτῶν. δεύτερον δ' ἄλλα τοσαῦτα, περὶ τῆς διαγνώσεως. καὶ τρίτον πρὸς αὐτοῖς ἴσα τὸν ἀριθμόν, περὶ τῶν ἐν αὐτοῖς αἰτιῶν. καὶ τέταρτον περὶ τῆς δι' αὐτῶν προγνώσεως. ἑκκαίδεκα τὰ πάντα. καὶ χωρὶς αὐτῶν ἔξωθεν τὸ περὶ χρείας σφυγμῶν τοῖς εἰσαγομένοις γεγραμμένον. ἐν ᾧ τινὲς ἐζήτησαν διὰ τί τῶν πυρεττόντων ὁ ἴδιος οὐκ εἴρηται σφυγμός, οἷς ἀπεκρινάμεθα μεῖζον ἢ κατὰ τοὺς εἰσαγομένους εἶναι τὸ σκέμμα μεγάλης ζητήσεως τετυχηκός. ἀλλὰ τό γε τοσοῦτον εἴρηται κατὰ τὴν ἀρχὴν τοῦ βιβλίου τούτου. δύο δόξας γεγονέναι τοῖς ἰατροῖς. τὴν μὲν ἑτέραν τῶν ἡγουμένων αἰσθάνεσθαι καὶ τῆς συστολῆς τῶν ἀρτηριῶν. τὴν δὲ δευτέραν, τῶν ἀναίσθητον αὐτὴν εἶναι λεγόντων. ἠξιοῦμεν τε τὸν εἰσαγόμενον ἐπὶ τῆς ῥᾴονος πρότερον γυμνάζεσθαι, καθ' ἣν ἀναίσθητος ἡ συστολὴ γίνεται. κατὰ ταύτην δὲ τὴν αἵρεσιν ἡμεῖς ἐπεπείσμεθα πυρετοῦ σημεῖον ἴδιον ἐν σφυγμοῖς οὐδὲν εἶναι. κατὰ δὲ τὴν ἑτέραν ἣν ἐν τῇ μεγάλῃ πραγματείᾳ τῶν ἑκκαίδεκα βιβλίων ἔγραψα, λέλεκται τὸ σημεῖον. ἀλλ' οἱ μὴ μαθόντες παρὰ διδασκάλοις, ἐοικότες δὲ κατὰ τὴν παροιμίαν τοῖς ἐκ βιβλίου κυβερνήταις τοιαῦτα ζητοῦσιν. ἐμοὶ δὲ καὶ κατ' εἴρηται. τὴν μὲν

τῶν εἰσαγομένων διδασκαλίαν, ἑτέραν εἶναι. τὴν δὲ τῶν ἐκδιδασκομένων ἅπαντα τελέως ἑτέραν. γέγονε δ' οὖν μοι καὶ ἄλλο τι βιβλίον ἕν, ἐν ᾧ τὴν σύνοψιν ἐποιησάμην τῶν ἑκκαίδεκα βιβλίων. ἔξωθεν δὲ τούτων ἁπάντων ἐστὶν, ὀκτὼ βιβλία τῆς ἀρχομένης περὶ σφυγμῶν πραγματείας, ἐξήγησίν τε καὶ χρῆσιν ἔχοντα. ἐκ τούτου τοῦ μέρους τῆς τέχνης ἄν τις θείη καὶ τὰ περὶ δυσπνοίας τρία.

περὶ τῶν Ἱπποκρατείων ὑπομνημάτων.

Οὔτ' ἄλλο τι τῶν ὑπ' ἐμοῦ δοθέντων φίλοις ἤλπισα πολλοὺς ἕξειν, οὔτε τὰ τῶν Ἱπποκράτους συγγράμματα ἐξηγητικά. τὴν ἀρχὴν γὰρ αὐτὴν οὐδὲν γυμνάζων ἐγραφὴν εἰς αὐτὰ ποθ' ὑπομνήματα καθάπερ ἐποίησα τῆς ἰατρικῆς θεωρίας ἁπάσης. καθ' ἕκαστον μέρος ἐμαυτῷ παρασκευάσας οἷς ἅπαντα τὰ κατὰ τὴν ἰατρικὴν τέχνην ὑφ' Ἱπποκράτους εἰρημένα περιέχεται, διδασκαλίαν ἔχοντα σαφῆ τε ἅμα καὶ παντοίως ἐξειργασμένην. ἰδίᾳ μὲν γὰρ περὶ κρισίμων ἡμερῶν ἔγραψα, κατὰ τὴν Ἱπποκράτους γνώμην. ἰδίᾳ δὲ περὶ κρίσεων. ἰδίᾳ δὲ περὶ δυσπνοίας. ἑκάστου τε τῶν ἄλλων. ὅλην τε τὴν θεραπευτικὴν μέθοδον ὡσαύτως ἐν τέσσαρσι καὶ δέκα βιβλίοις ἐποιησάμην ἅπαντα τὰ θεραπευτικὰ, καὶ πρὸς αὐτοῖς ταύτην † ἃ κατὰ τὴν ἐκείνου γνώμην. ἐξηγήσεις δὲ καθ' ἑκάστην αὐτοῦ λέξιν ἤδη πολλοῖς τῶν πρὸ ἐμοῦ γεγραμμένας οὐ φαύλως εἰδὼς, εἴ τι μοι μὴ καλῶς ἔδοξαν εἰρηκέναι, περιττὸν ἡγούμην ἐλέγχειν. ἐνεδειξάμην δὲ τοῦτο, δι' ὧν πρώην ἔδωκα τοῖς παρακαλέσασι. σπανιάκις ἐν αὐτοῖς εἰπὼν τι πρὸς τοὺς ἐξηγουμένους αὐτά. τὴν ἀρχὴν γὰρ οὐδ' εἶχον αὐτῶν ἐν Ῥώμῃ τὰ ὑπομνήματα, πάντων ὧν ἐκεκτήμην βιβλίων ἐν Ἀσίᾳ μενόντων. εἴπου τοίνυν ἐμεμνήμην ὑπό τινος αὐτῶν πάνυ τι μοχθηρῶς εἰρημένον, ὡς μεγάλως βλάπτεσθαι περὶ τὰ τῆς τέχνης ἔργα τοὺς πιστεύσαντας αὐτοῖς, ἐπεσημηνάμην τοῦτο. τὰ δ' ἄλλα πάντα κατὰ τὴν ἐμαυτοῦ γνώμην εἰπὼν ἄνευ τοῦ μνημονεῦσαι τῶν ἄλλως ἐξηγουμένων. καὶ τά γε εἰς τοὺς ἀφορισμοὺς ὑπομνήματα. καὶ τὸ περὶ ἀγμῶν. καὶ τὸ περὶ ἄρθρων. ἔτι τε τὸ προγνωστικόν. καὶ τὸ περὶ διαίτης ὀξέων. τό, τε περὶ ἑλκῶν. καὶ τῶν ἐν κεφαλῇ τρωμάτων. τό, τε ά τῶν ἐπιδημιῶν οὕτως ἐγράφη. μετὰ ταῦτα δέ τινος ἀκούσας ἐξήγησιν ἀφορισμοῦ μοχθηρὰν ἐπαινοῦντος, ὅσα τοῦ λοιποῦ τισὶν ἔδωκα πρὸς κοινὴν ἔκδοσιν ἀποβλέπων, οὐκ ἰδίαν ἕξιν ἐκείνων μόνων τῶν λαβόντων οὕτως συνέθηκα. ταῦτα δ' ἐστὶν ἐπιδημιῶν μὲν τὰ εἰς τὸ δεύτερον καὶ τρίτον καὶ ἕκτον ὑπομνήματα γεγραμμένα. πρὸς τούτοις δὲ καὶ τοῦ περὶ χυμῶν, καὶ περὶ τροφῆς, καὶ προρρητικοῦ. περί τε φύσεως ἀνθρώπου καὶ τοῦ κατ' ἰητρεῖον. ὥσπερ καὶ τοῦ περὶ τόπων ἀέρων ὑδάτων, ὃ ἐγὼ περὶ οἰκήσεων καὶ ὑδάτων καὶ ὡρῶν καὶ χωρῶν ἐπιγεγράφθαι φημὶ δεῖν. ἔστι δὲ τὰ μὲν εἰς τοὺς ἀφορισμοὺς ἑπτά. τὰ δὲ εἰς τὰ περὶ ἀγμῶν γ'. τὰ δὲ εἰς τὰ περὶ ἄρθρων δ'. τὰ δ' εἰς τὸ προγνωστικὸν γ'. τὰ δ' εἰς τὸ περὶ διαίτης ὀξέων, γ'. μὲν εἰς τὸ γνήσιον αὐτοῦ μέρος, δύο δ' εἰς τὰ προσκείμενα. τὸ δὲ περὶ ἑλκῶν, καὶ τὸ περὶ ἐγκεφάλου τρωμάτων ἑκάτερον ἐξηγησάμην δι' ἑνὸς βιβλίου. τὸ δὲ ά. τῶν ἐπιδημιῶν. ὥσπερ γε καὶ τὸ γ'. διὰ γ'. ἑκάτερον. τὸ δὲ δεύτερον, δι' ὀκτὼ δὲ τὸ ἕκτον. εἰς δὲ τὸ περὶ χυμῶν ὑπομνήματα μοι τρία γέγονεν. ὥσπερ γε καὶ εἰς τὸ προγνωστικὸν καὶ εἰς τὸ κατ' ἰητρεῖον. καὶ εἰς τὸ περὶ τόπων καὶ ἀέρων καὶ ὑδάτων, ὅ φημι ἐγὼ περὶ οἰκήσεων καὶ ὑδάτων καὶ ὡρῶν καὶ χωρῶν ἐπιγεγράφθαι δεῖν. εἰς δὲ τὸ περὶ τροφῆς ὑπομνήματα μοι δ'. γέγονεν. εἰς δὲ τὸ περὶ φύσιος ἀνθρώπου δύο. ὧν ἤδη γεγονότων, ἀκούσας ὑπό τινων διαβάλλεσθαι τὸ βιβλίον ὡς οὐ γνήσιον, ἔγραψα τρία. τὴν ἐπιγραφὴν ἔχοντα τήνδε. ὅτι καὶ κατὰ τὰ ἄλλα συγγράμματα τὴν αὐτὴν δόξαν ἔχων ὁ Ἱπποκράτης φαίνεται τῷ κατὰ τὸ φύσιος ἀνθρώπου. τῶν δ' Ἱπποκράτει προσήκοντα ἐστὶ καὶ ταῦτα. περὶ τῆς καθ' Ἱπποκράτους διαίτης ἐπὶ τῶν ὀξέων νοσημάτων. ὥσπερ γε καὶ ἡ τῶν παρ' αὐτοῦ γλωττῶν ἐξήγησις. καὶ τὸ πρὸς Λύκον περὶ τοῦ ἀφορισμοῦ. οὗ ἡ ἀρχή. τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. ὥσπερ γε καὶ πρὸς Ἰουλιανὸν τὸν μεθοδικὸν, ὑπὲρ ὧν ἐνεκάλεσεν τοῖς Ἱπποκρατείοις ἀφορισμοῖς. Ἱπποκράτης δὲ προσήκει καὶ ἄλλο τι βιβλίον σμικρὸν, ἐν ᾧ δείκνυμι καὶ τὸν ἄριστον ἰατρὸν πάντως εἶναι καὶ φιλόσοφον. ἐπιγράφεται δὲ τὸ βιβλίον καὶ διὰ συντομωτέρας ἐπιγραφῆς οὕτως.

περὶ τῶν εἰς Ἐρασίστρατον διαφερόντων.

Εἰς μὲν τὸ πρῶτον τῶν περὶ πυρετῶν ὑπομνήματα γέγραπται γ'. τοῦ γ'. δὲ περὶ πυρετῶν τὰ πρῶτα τῆς Ἐρασιστράτου θεραπευτικῆς πραγματείας ἐστὶν ὑπομνήματα. αὕτη δὲ ἡ θεραπευτικὴ πραγματεία, τὴν μὲν ἐπιγραφὴν ἔχει περὶ τῶν Ἐρασιστράτου θεραπευτικῶν λογισμῶν. γέγονε δὲ ἐν ὑπομνήμασιν έ. ἔστι δὲ καὶ τὰ περὶ Ἐρασιστράτου ἀνατομῆς γ'. βιβλία. καὶ περὶ φλεβοτομίας δύο. τό τε πρὸς Ἐρασίστρατον αὐτὸν γεγραμμένον καὶ τὸ πρὸς ἐν Ῥώμῃ Ἐρασιστρατείους. προσήκει δὲ Ἐρασιστράτῳ κἀκεῖνο τὸ βιβλίον, ἐν ᾧ ζητούμενον εἰ κατὰ φύσιν ἐν ἀρτηρίαις αἷμα περιέχεται. καθάπερ γε καὶ τὸ περὶ χρείας ἀναπνοῆς, καὶ τὰ περὶ φυσικῶν δυνάμεων τρία ἃ περιέχει κρίσιν ἁπάντων ὧν ἔγραψεν Ἐρασίστρατος ἐν τοῖς καθόλου λόγοις ὑπὲρ τῶν φυσικῶν ἐνεργειῶν.

περὶ τῶν Ἀσκληπιάδου προσηκόντων.

Ὀκτὼ μὲν περὶ τῶν Ἀσκληπιάδου δογμάτων ἐπιγεγραμμένα. μικρὸν δὲ ἄλλο τὴν ἐπιγραφὴν ἔχον περὶ οὐσίας τῆς ψυχῆς κατὰ Ἀσκληπιάδην.

περὶ τῶν τοῖς ἐμπειρικοῖς ἰατροῖς διαφερόντων.

Τῆς Θεοδᾶ εἰσαγωγῆς ὑπομνήματα έ. περὶ τῶν Μηνοδότου Σεβήρῳ ἕνδεκα. τῶν Σεραπίωνος πρὸς τὰς αἱρέσεις δύο. ὑποτυπώσεις ἐμπειρικαί. περὶ τῆς ἰατρικῆς ἐμπειρίας. περὶ τῆς τῶν ἐμπειρικῶν διαφωνίας γ'. πρὸς τὰ ἀντειρημένα τῆς διαφωνίας τῶν ἐμπειρικῶν, τοῦ τε Θεοδᾶ κεφάλ. ὑπομνήματα γ'. εἰς τὸ Μηνοδότου Σεβήρῳ προτρεπτικὸς ἐπὶ ἰατρικὴν σύνοψιν τῶν Ἡρακλείδου. περὶ τῆς ἐμπειρικῆς αἱρέσεως ζ'. περὶ τῶν τοῖς μεθοδικοῖς διαφερόντων. μεθοδικῆς αἱρέσεως ς'. πρὸς τὰ ὑπὸ Ἰουλιανοῦ ἀντειρημένα τοῖς Ἱπποκράτους ἀφορισμοῖς.

περὶ

περὶ τῶν εἰς τὰς ἀποδείξεις χρησίμων βιβλίων.

Πάντας ἀνθρώπους ὁρῶν ἐν οἷς ἀμφισβητοῦσιν ἑαυτούς τε ἀποδεικνύειν ἐπαγγελλομένους, ἐλέγχειν τε τοὺς πέλας ἐπιχειροῦντας, οὐδὲν οὕτως ἐσπούδασα μαθεῖν ἁπάντων πρῶτον, ὡς τὴν ἀποδεικτικὴν θεωρίαν. ἠξίωσά τε παρὰ τῶν φιλοσόφων, ἐκείνους γὰρ ἤκουον αὐτὴν διδάσκειν, εἰ μέν τι καὶ ἄλλο κατὰ τὸ λογικὸν μέρος τῆς φιλοσοφίας διδάσκεται φυλάττειν εἰς αὖθις τὴν ὠδῖνα, τῆς περὶ τὰς ἀποδείξεις ἐπιθυμίας παῦσαι διδάξαντας, ἥτις ἄρα μέθοδός ἐστιν, ἣν ὁ μαθὼν ἑτέρου τε λέγοντος λόγον ἀποδεικτικὸν ἀκριβῶς γνωριεῖ, πότερον ὄντως ἐστὶ τοιοῦτος, ἢ καθάπερ τι νόμισμα κίβδηλον, ἔοικε μὲν τῷ δοκίμῳ, μοχθηρὸς δὲ κατ' ἀλήθειαν ἐστὶν, αὐτός τε δυνήσεται καθ' ἕκαστον τῶν ζητουμένων ὁδῷ τινὶ χρώμενος, ἐπὶ τὴν εὕρεσιν αὐτοῦ παραγίγνεσθαι. πᾶσιν οὖν τοῖς κατ' ἐκεῖνον τὸν χρόνον ἐνδόξοις, στωϊκοῖς τε καὶ περιπατητικοῖς ἐμαυτὸν ἐγχειρίσας, πολλὰ μὲν ἔμαθον ἄλλα τῶν λογικῶν θεωρημάτων, ἃ τῷ μετὰ ταῦτα χρόνῳ σκοπούμενος, ἄχρηστα πρὸς τὰς ἀποδείξεις εὗρον. ὀλίγιστα δὲ χρησίμως μὲν αὐτοῖς ἐζητημένα, καὶ τοῦ προκειμένου σκοποῦ τυχεῖν ἐφιέμενα διαπεφωνημένα δὲ καὶ ταῦτα παρὰ τοῖς ἐκείνοις, ἔνια δὲ καὶ ταῖς φυσικαῖς ἐννοίαις ἐναντία. καὶ νὴ τοὺς θεοὺς ὅσον ἐπὶ τοῖς διδασκάλοις εἰς τὴν πυῤῥωνίων ἀπορίαν ἐνεπεπτώκειν ἂν καὶ αὐτὸς, εἰ μὴ καὶ τὰ κατὰ γεωμετρίαν ἀριθμητικήν τε καὶ λογιστικὴν κατεῖχον ἐν αἷς ἐπὶ πλεῖστον ὑπὸ τῷ πατρὶ παιδευόμενος ἐξ ἀρχῆς προεληλύθειν, ἀπὸ πάππου τε καὶ προπάππου διαδεδεγμένῳ τὴν θεωρίαν. ὁρῶν οὖν οὐ μόνον ἐναργῶς ἀληθῆ φαινόμενά μοι τὰ κατὰ τὰς ἐκλείψεων προῤῥήσεις, ὡρολογίων τε καὶ κλεψύδρων κατασκευὰς, ὅσα τ' ἄλλα τὰ κατὰ τὴν ἀρχιτεκτονίαν ἐπινενόηται, βέλτιον ᾠήθην εἶναι τὸν τύπον τὸν γεωμετρικὸν ἀποδείξει χρῆσθαι. καὶ γὰρ καὶ αὐτοὺς τοὺς διαλεκτικωτάτους καὶ φιλοσόφους, οὐ μόνον ἀλλήλοις, ἀλλὰ καὶ αὑτοῖς ηὕρισκον διαφερομένους, ἐπαινοῦντας ὁμοίως ἅπαντας ὡσαύτως τὰς γεωμετρικὰς ἀποδείξεις. κατὰ τοῦτο τοίνυν ἔτι καὶ μᾶλλον ἔγνων δεῖν ἀποστῆναι μὲν ὧν ἐκεῖνοι λέγουσιν, ἀκολουθῆσαι δὲ τῷ χαρακτῆρι τῶν γραμμικῶν ἀποδείξεων. ἀλλήλοις μὲν λέγω διαφέρεσθαι τοὺς φιλοσόφους ἐν τῇ λογικῇ θεωρίᾳ τοὺς δὲ, περιπατητικούς τε καὶ στωϊκοὺς καὶ πλατωνικούς. ἑαυτοῖς δὲ πάλιν ἰδίᾳ τοὺς καθ' ἑκάστην αὐτῶν. μικρὰ μὲν δήπως ἐστὶν ἡ παρὰ τοῖς περιπατητικοῖς διαφωνία. μεγάλη δὲ παρὰ τοῖς στωϊκοῖς καὶ πλατωνικοῖς. ὅσοι τοίνυν ἐθέλουσι κατὰ τὰς γραμμικὰς ἀποδείξεις ἀσκηθῆναι, παιδευθῆναι μέν τι ἑαυτοὺς ἐν ἐκείναις συμβουλεύω. μετ' ἐκείνας δὲ, τὴν ἡμετέραν ἀναλέξασθαι περὶ τῆς ἀποδείξεως πραγματείαν. ἣν ἐν πεντεκαίδεκα βιβλίοις ἐποιησάμην. ἔγραψα δὲ ἄλλα πολλὰ γυμνάζων ἐμαυτόν. ὧν ἔνια μὲν ἀπώλετο κατὰ τὴν γενομένην πυρκαϊὰν. ἡνίκα τὸ τῆς εἰρήνης τέμενος ἐκαύθη. τινὰ δὲ φίλοις δεδόμενα διασωθέντα παρὰ πολλοῖς ἐστὶ νῦν. ὥσπερ καὶ τ' ἄλλα τὰ ἡμέτερα. καὶ μέν τοι καὶ τῶν ὑπομνημάτων ὧν ἔγραψα. τὰ μὲν, ὑπ' ἐμοῦ δοθέντα φίλοις, τὰ δ' ὑπὸ τῶν οἰκετῶν κλεψάντων ἐκδοθέντα, παρ' ἄλλων ἔλαβον ὕστερον. ἔστι δ' ἐν αὐτοῖς γ'. μὲν εἰς τὸ περὶ ἑρμηνείας ἀριστοτέλους. τέτταρα δ' εἰς τὸ πρότερον τῶν περὶ συλλογισμῶν. καθάπερ γε καὶ εἰς τὸ δεύτερον ἴσα τὸν ἀριθμόν. ἐπιγράφουσι δ' αὐτὰ σχεδὸν ἅπαντες οἱ νῦν, ἀναλυτικῶν προτέρων, ὥσπερ δὴ καὶ δευτέρων. τὰ δὲ περὶ τῆς ἀποδείξεως αὐτὸς ὁ ἀριστοτέλης τῶν μὲν προτέρων ὡς περὶ συλλογισμοῦ γεγραμμένων αὐτῷ μέμνηται, τῶν δὲ δευτέρων ὡς περὶ ἀποδείξεως. ὧν ἐστὶ καὶ αὐτῶν ὑπομνήματα διασωζόμενα τῶν ἐμῶν. εἰς μὲν τὸ πρότερον ς'. εἰς δὲ τὸ δεύτερον ε'. τούτων τῶν ὑπομνημάτων ἁπάντων, οὐδὲν ὡς πρὸς ἔκδοσιν ἐγράφη. καθάπερ οὐδὲ τὰ ς'. τὰ εἰς τοῦ θεοφράστου βιβλίον, ὃ περὶ καταφάσεως καὶ ἀποφάσεως ἔγραψα. τὰ δ' εἰς, τὸ πρότερον λέξεως εὐδήμου πρότερον ἑτέροις ἀξιώσασιν ἐποίησα. τοῦ δὲ τῶν δέκα κατηγοριῶν οὐκ ἐποιησάμην. οὔτ' ἐμαυτῷ τι τοιοῦτον ὑπόμνημα πρότερον οὔθ' ἑτέροις ἔδωκα. καὶ διὰ τοῦθ' ὕστερον ποτὲ τῶν ἑταίρων τινὶ δεηθέντι, ὑπομνήματα ἔχειν ὅσα κατὰ τὸ βιβλίον ἤκουσιν εἰς τὰς τῶν ἐν αὐτῷ ζητουμένων λύσεις, κοινωνεῖν ἐκέλευσα τῶν ὑπομνημάτων ἐκείνοις μόνοις τοῖς ἀνεγνωκόσι παρὰ διδασκάλῳ τὸ βιβλίον. ἢ πάντως γε προεισηγμένοις δι' ἑτέρων ἐξηγητικῶν, ὁποῖα τά τε ἀδράστου καὶ ἀσπασίου ἐστίν. ἔτι δὲ παῖς ὢν ἡνίκα πρῶτον ὁ πατὴρ μετὰ τὴν λογικὴν θεωρίαν, χρυσίππου καὶ τῶν ἐνδόξων στωϊκῶν διδάξαντι παρέδωκεν, ἐποιησάμην ἐν αὐτῷ τῶν χρυσίππου συλλογιστικῶν βιβλίων ὑπομνήματα. καὶ ταῦθ' ὕστερον ἐφάνησαν ἔχοντές τινες, ἐν περγάμῳ καταληφθέντα μετὰ πολλῶν ὑπομνημάτων, ἃ μειράκιον ὢν ἐποιησάμην, ἐκδοθέντα δὲ ὑπὸ οἰκέτου τισὶ τῶν αἰτησάντων. ἃ δ' ἐγὼ μετὰ τὴν περὶ τῆς ἀποδείξεως πραγματείαν ἔγραψα πλατύτερον ἐξειργασμένα, τῶν ἐν ἐκείνοις συντόμως εἰρημένων, ταῦτ' ἐστί. περὶ τῶν ἀναγκαίων εἰς τὰς ἀποδείξεις ἕν. περὶ τῶν παραλειπομένων προτάσεων ἐν τῇ λέξει τῶν ἀποδείξεων, ἕν. περὶ τῶν ἰσοδυναμουσῶν προτάσεων ἕν. περὶ τῶν κατὰ διότι ἀποδείξεων ἕν. περὶ τοῦ τῶν συλλογισμῶν ἀριθμοῦ ἕν. περὶ παραδείγματος δύο. περὶ ἐπαγωγῆς ἕν. περὶ εἰκόνος ἕν. περὶ ὁμοιότητος γ'. περὶ ἐξ ὑποθέσεως ἀρχῶν ἕν. περὶ κατὰ τὸ γένος καὶ τὸ εἶδος, καὶ τῶν συζυγούντων αὐτοῖς σημαινομένων ἡμῖν κατὰ τὴν αὐτόματον φωνὴν ἕν. περὶ τοῦ δυνατοῦ. περὶ τῶν πολλαχῶς λεγομένων γ'. περὶ τῶν ἐν ταῖς τέχναις κοινῶν καὶ ἰδίων ἕν. περὶ τῶν ἑαυτοὺς περιτρεπόντων λόγων ἕν. περὶ τῶν ἐνδεχομένων προτάσεων ἕν. περὶ τῶν μικτῶν προτάσεων καὶ συλλογισμῶν ἕν. Ὅπως χρὴ διακρίνειν τὴν πραγματικὴν ζήτησιν τῆς κατ' ὄνομα καὶ τὸ σημαινόμενον ἕν. περὶ κλειτομάχου καὶ τὰς τῆς ἀποδείξεως αὐτῶν λύσεις. περὶ τοῦ κοινοῦ λόγου β'. περὶ τῆς ἀρίστης διδασκαλίας πρὸς φαβωρῖνον ὑπὲρ ἐπικτήτου πρὸς φαβωρῖνον ἕν. περὶ χρείας συλλογισμῶν. περὶ χρείας εἰς τοὺς συλλογισμοὺς θεωρήματα α'. καὶ β'. περὶ τῆς ἀρίστης αἱρέσεως ἕν. περὶ ὀνομάτων ὀρθότητος γ'. περὶ τοῦ τῶν ὄντων ἕκαστον ἕν τε εἶναι καὶ πολλά. περὶ τοῦ ὅτι τοῖς ἀντικειμένοις ἓν καὶ ταυτὸν ἐξ ἀνάγκης ἀκολουθεῖν ἀδύνατόν ἐστιν ἕν. περὶ τῆς ἀποδεικτικῆς αἱρέσεως ἕν. περὶ τῆς λογικῆς δυνάμεως καὶ θεωρίας ἕν. Διάλογοι πρὸς φιλόσοφον ἰδίως τοῦ κατὰ τὰς κοινὰς ἐννοίας. Πρὸς τοὺς ἐπηρεαστικῶς ἀκούοντας τῶν ὀνομάτων ἕν. περὶ τῶν ἰδίων καὶ κοινῶν ἐν ταῖς τέχναις. περὶ τῆς τῶν τεχνῶν συστάσεως γ'. περὶ τῶν σημαινομένων ἐκ τῆς εἶδος καὶ γένος φωνῆς καὶ τῶν παρακειμένων αὐτοῖς. σύνοψις τῆς ἀποδεικτικῆς θεω-

είας α'. περὶ τῆς κρίσεως τῶν διαφωνούντων ἐν τοῖς δόγμασι. Ὅτι τῆς πρώτης οὐσίας ἀχώριστος ἡ ποσότης α'. περὶ τοῦ περιέχοντος. περὶ τῆς δι' ἀδυνάτου ἀποδείξεως α'. περὶ τῶν ἐξ αὐτοῦ γινομένων α'. περὶ τῶν πολλαχῶς λεγομένων β'. περὶ τῶν κατ' ὄνομα καὶ σημαινομένων ζητήσεως. περὶ τῆς ἠθικῆς φιλοσοφίας ἐζητημένων ὅσα μοι δοκεῖ διὰ τῶν ὑπογεγραμμένων βιβλίων, ἀπεφηνάμην. περὶ τῶν ἰδίων ἑκάστῳ παθῶν καὶ ἁμαρτημάτων τῆς διαγνώσεως β'. περὶ ἠθῶν δ'. πρὸς τὸν φαβωρῖνον περὶ Σωκράτους. περὶ ἀλυπίας α'. περὶ τοῦ κατὰ φιλοσοφίαν τέλους α'. περὶ τῶν ἐπιδεικνυμένων τοὺς ἀκούοντας συνουσίας α'. περὶ τῶν ἀναγινωσκόντων λάθρα α'. περὶ ἁμαρτημάτων καὶ κολάσεως ἰσότητος α'. περὶ παραμυθίας α'. περὶ τῆς ἐν αὐλῇ μονάρχου διατριβῆς πρὸς Βακχίδαν καὶ κῦρον α'. περὶ τῆς ἐν τοῖς διαλόγοις, συνουσίας α'. πρὸς τοὺς ἀγοραίους ῥήτορας α'.

περὶ ἡδονῆς καὶ πόνου, α'. περὶ τῶν ἀκολούθων ἑκάστου τῶν βιβλίων, α'. περὶ τῶν δημοσίᾳ ῥηθέντων. πρὸς τοὺς ἀπὸ τῶν αἱρέσεων, α'. περὶ ὁμονοίας α'. περὶ αἰδοῦς, β'. περὶ τῶν δημοσίᾳ ῥηθέντων κατὰ κολάκων β'. περὶ τῆς διαβολῆς ἐν ᾧ καὶ περὶ τοῦ ἰδίου βίου. †κρονίσκοι ζ'. ἐν ἑνί. πρὸς τοὺς ἀπὸ τῶν αἱρέσεων. τῶν ἐπὶ Περτίνακος δημοσίᾳ ῥηθέντων α'. Μέχρι πόσου τῆς παρὰ τοῖς πολλοῖς τιμῆς καὶ δόξης φροντιστέον. περὶ διαθηκῶν ποιήσεως. Τὰ πρὸς τὴν πλάτωνος φιλοσοφίαν ἀνήκοντα. περὶ τῆς πλάτωνος αἱρέσεως, α'. περὶ τῶν ἐν τῷ πλάτωνος τιμαίῳ ἰατρικῶς εἰρημένων ὑπομνήματα δ'. πρὸς τοὺς ἑτέρως ἢ πλάτων περὶ τῶν ἰδίων δόξαντας, γ'. περὶ τῆς κατὰ πλάτωνα λογικῆς θεωρίας. πλατωνικῶν διαλόγων συνόψεως η'. περὶ τῶν ἐν φιλήβῳ μεταβάσεων, α'. περὶ τῶν τῆς ψυχῆς μερῶν καὶ δυνάμεων γ'. Ὅτι ταῖς τοῦ σώματος κράσεσι αἱ τῆς ψυχῆς ἕπονται δυνάμεις, β'. καὶ ἄλλο καθ' ἑτέραν ἔκδοσιν. περὶ τῶν Ἱπποκράτους καὶ πλάτωνος δογμάτων. Τῶν πρὸς τὴν Ἀριστοτέλους φιλοσοφίαν ἡκόντων. Εἰς τὸ περὶ ἑρμηνείας ὑπομνήματα γ'. Προτέρων ἀναλυτικῶν τοῦ προτέρου περὶ ς'. Τοῦ δευτέρου ὑπομνήματα ε'. Εἰς τὰς ι. κατηγορίας ὑπομνήματα δ'. Εἰς τὸ περὶ καταφάσεως καὶ ἀποφάσεως θεοφράστου ὑπομνήματα ς'. Εἰς τὸ περὶ τοῦ ποσαχῶς τὰ ὑπομνήματα γ'. Εἰς τὸ πρῶτον κινοῦν ἀκίνητον. Εἰς τὸ περὶ λέξεως εὐδήμου ὑπομνήματα γ'. περὶ τῶν κατὰ τὸ διότι ἀποδείξεων α'. περὶ τῶν ἐνδεχομένων προτάσεων καὶ συλλογισμῶν α'. περὶ τῶν ἐκ μικτῶν προτάσεων συλλογισμῶν, α'. περὶ τῶν κατὰ τὴν λέξιν σοφισμάτων. τὰ πρὸς τὴν τῶν στωϊκῶν φιλοσόφων διαφέροντα. περὶ τῆς κατὰ χρύσιππον λογικῆς θεωρίας γ'. Τῆς χρυσίππου συλλογιστικῆς πρώτης ὑπομνήματα, γ'. Δευτέρας α'. περὶ τῆς λογικῆς δυνάμεως καὶ θεωρίας ζ'. περὶ τῆς χρείας τῆς εἰς τοὺς συλλογισμοὺς θεωρημάτων α'. Ὅτι ἡ γεωμετρικὴ ἀναλυτικὴ ἀμείνων τῆς τῶν στωϊκῶν α'. περὶ τῆς χρείας τῆς εἰς τοὺς συλλογισμοὺς θεωρημάτων, β'. Τὰ πρὸς τὴν ἐπικούρου φιλοσοφίαν ἀνήκοντα. περὶ τοῦ κατ' ἐπίκουρον εὐδαίμονος καὶ μακαρίου βίου β'. περὶ τοῦ κατ' ἐπίκουρον †ἀμυροῦ ἡδονῆς, β'. Ὅτι τὰ ποιητικὰ τῆς ἡδονῆς ἐλλιπῶς ἐπικούρῳ λέλεκται, α'. περὶ τῆς ἡδονικῆς αἱρέσεως. Εἰ ἡ φιλολογία χρήσιμος, εἰς τὴν ἠθικὴν φιλοσοφίαν α'. περὶ τῶν πρὸς τοὺς σοφιστὰς α'. Μητροδώρου ἐπιστολὴ πρὸς κελσὸν ἐπικούρειον. Ἐπιστολὴ πουδεντιανοῦ ἐπικουρείου τὰ τοῖς γραμματικοῖς καὶ ῥήτορσι κοινάν. Τῶν παρὰ τοῖς ἀττικοῖς συγγραφεῦσιν ὀνομάτων μη'. Τῶν παρ' εὐπόλιδι πολιτικῶν ὀνομάτων γ'. Τῶν παρὰ Ἀριστοφάνη πολιτικῶν ὀνομάτων ε'. Τῶν παρὰ κρατίνῳ πολιτικῶν ὀνομάτων β'. Τῶν ἰδίως κωμικῶν ὀνομάτων παραδείγματα α'. Εἰ χρήσιμον ἀνάγνωσμα τοῖς παιδευομένοις ἡ παλαιὰ κωμῳδία. πρὸς τοὺς ἐπιτιμῶντας τοῖς σολοικίζουσι τῇ φωνῇ ς'. Ἐν ἄλλοις ζ'. ἀττικῶν παράσημος α'. περὶ σαφηνείας καὶ ἀσαφείας. Εἰ δύναταί τις εἶναι κριτικὸς καὶ γραμματικὸς α'.

† al. χρονικοί

† al. forte ἀμαυροῦ aut ἀλμυροῦ

Περὶ τῆς τάξεως τῶν ἰδίων βιβλίων.

Καλῶς μοι δοκεῖς ὦ Εὐγενιανὲ γενέσθαι τι βιβλίον ἠξιωκέναι τὴν τάξιν τῶν ὑπ' ἐμοῦ γεγραμμένων ἐξηγούμενον. οὔτε γὰρ εἷς αὐτῶν ἁπάντων ὁ σκοπὸς, οὔτε δύναμις, οὔθ' ἐπαγγελία. τὰ μὲν γὰρ φίλων ὡς οἶσθα δεηθέντων ἐγράφη, τῆς ἐκείνων μόνον ἕξεως στοχαζόμενα. τινὰ δὲ μειρακίοις εἰσαγομένοις ὑπηγορεύθη. σκοπὸν ἔχων οὐδετέρων ἔχοντος μὲν διαδοθῆναι τοῖς ἀνθρώποις αὐτὰ φυλαχθῆναί τε παρὰ μεθ' ἐμὲ χρόνῳ. διὰ τὸ θεάσασθαί με καὶ τῶν ἐν τοῖς ἔμπροσθεν γεγραμμένων βιβλίων ὀλίγους πάνυ τῶν ἀνθρώπων αἰσθανομένους. θαυμάζει γοῦν ἄλλος ἄλλον ἰατρῶν τε καὶ φιλοσόφων οὔτε τὰ ἑαυτῶν μεμαθηκότες, οὔτε ἐπιστήμην ἀσκήσαντες ἀποδεικτικὴν, ᾗ διακρίναι δυνήσονται τοὺς ψευδεῖς λόγους τῶν ἀληθῶν, ἀλλ' ἔνιοι μὲν ὅτι πατέρας ἔχον, ἤτοι γ' ἐμπειρικοὺς, ἢ δογματικοὺς, ἢ μεθοδικοὺς, ἔνιοι δὲ ὅτι διδασκάλοι, ἄλλοι δ' ὅτι φίλους, ἢ διότι κατὰ τὴν πόλιν αὐτῶν ἐθαυμάσθη, τῆς ἀπὸ τῆς δὲ τῆς αἱρέσεως, οὕτω δὲ καὶ κατὰ τὴν φιλοσοφίαν αἱρέσεων ἄλλοι κατ' ἄλλην αἰτίαν. ἤτοι πλατωνικὸς. ἢ περιπατητικός. ἢ στωϊκὸς, ἢ ἐπικούρειος ἐγένετο. νυνὶ δὲ ἀφ' οὗ καὶ διαδοχὴ αἱρέσεων εἰσὶν οὐκ ὀλίγοι κατὰ τὴν δὲ τὴν πρόφασιν. ἀναγορεύουσί τε ἑαυτοὺς ἀπὸ τῆς αἱρέσεως ὅθεν ἀνατρέφονται. μάλισθ' ὅταν ἀπορῶσιν ἀφορμῆς ἑτέρας βίου. ἐγὼ μὲν δή μοι πέπεικα ἐμαυτὸν, ὡς οὐδ' ἂν ὑπὸ τῶν μουσῶν αὐτῶν γραφῇ τι βιβλίον, ἐντιμότερον ἔσται τοῦτο τῶν τοῖς ἀμαθεστάτοις γεγραμμένων, οὐκ ὠρέχθην οὐδεπώποτε τῶν ἐμῶν ὑπομνημάτων οὐδὲν ἐν ἀνθρώποις εἶναι διαδοθέντα δὲ εἰς πολλοὺς αὐτῶν ἄκοντος ἐμοῦ, καθάπερ οἶσθα, πρὸς τὸ διδόναι τι τοῦ λοιποῦς τοῖς φίλοις ὑπόμνημα λίαν ὀκνηρῶς ἔχον. ἠναγκάσθην δὲ διὰ τοῦτο καὶ βιβλίον τι γράψαι περὶ τῆς ἀρίστης αἱρέσεως, οὐ τοιοῦτον οἷον πολλοὶ τῶν ἔμπροσθεν ἔγραψαν ἰατρῶν τε καὶ φιλοσόφων, ὀνομαστὶ τὴν ἑαυτῶν αἵρεσιν ἐπαινοῦντες, ἀλλὰ τὴν ὁδὸν αὐτὴν μόνην ἐνδεικνύμενος, ᾗ τις ἂν χρώμενος, ἀρίστην αἵρεσιν συστήσαιτο, ἢ κατ' ἰατρικὴν ἢ φιλοσοφίαν, ἢ τινὰ ἄλλην τέχνην. εἴρηται δ' ἐν αὐτῷ καὶ δέδεικται τὸ λεγόμενον ὀλίγον ἔμπροσθεν, ὡς ἀποδείξεως ἐπιστήμονα χρὴ γεγονέναι πρότερον ὅς τις ἂν μέλλῃ κριτὴς ὀρθὸς ἔσεσθαι τῶν αἱρέσεων. οὐκ ἀρκεῖ δὲ οὐδὲ τοῦτο μόνον, ἀλλὰ καὶ πάθους ἀπηλλάχθαι καθὸ φιλοῦντες, ἢ μισοῦντες τὰς αἱρέσεις. οὐχ ὡς οἱ πολλοὶ τυφλώττουσιν ἀμφ' αὐτάς. εἰ γὰρ μὴ τοῦτ' ἔχων ἐθελήσειεν ἤτοι κατὰ μέθοδον ἐπιστημονικὴν, αὐτὸ ζητῆσαι τὸ ἀληθὲς, ἢ τὰ τοῖς ἄλλοις εἰρημένα κρῖναι, μόνος ἂν οὗτος ἐξεύροι τὴν ἀρίστην αἵρεσιν. ἐπίστασαι δὲ καὶ σὺ τοὺς πολλοὺς τῶν ἰατρῶν τε καὶ φιλοσόφων ὅταν ἐξελέγχονται ὡς μηδὲ

ἀποδεικτικὴν

ἀποδεικτικὴν μέθοδον ἠσκηκότας ἐπὶ τἀναντίας ὁδοὺς ἐκτρεπομένους. καὶ τοὺς μὲν αὐτῶν μηδ᾽ εἶναι φάσκοντας ἀπόδειξιν. ἐνίους δ᾽ οὐ μόνον ὑπάρχειν ἀπόδειξιν, ἀλλὰ καὶ γινώσκεσθαι φύσει πᾶσιν, ὡς μηδὲν εἰς τοῦτο μήτε μαθήσεως δεῖσθαί τινα, μήτ᾽ ἀσκήσεως. οἷς πῶς ἂν ἔτι διαλέγοιτό τις; εἰς τοσοῦτον ἐμπληξίας ἥκουσιν. ἀλλά τις ἴσως αὐτῶν ἐρεῖ, καὶ γὰρ τολμηρότατοί πως εἰσὶ, περὶ ὧν οὐκ ἴσασιν ἀποφαίνεσθαι, τὴν τόλμαν ἐν ἐμοὶ μᾶλλον εἶναι, ἵνα οὖν μήθ᾽ αὐτὸς ἀκούω ταῦτα, μήτε πρὸς ἑτέρους ἀναγκάζομαι λέγειν, ἐγνώκειν μηδὲν ἐκδιδόναι βιβλίον. ἀλλὰ τῶν γε τοῖς φίλοις δοθέντων ἐκπεσόντα εἰς πολλοὺς ἐγράφη μὲν ἐξ ἀνάγκης δι᾽ ἐκεῖνα καὶ τὸ περὶ τῆς ἀρίστης αἱρέσεως. εἴρηται δ᾽ ἐν αὐτῷ καὶ ἡ τῆς γραφῆς αἰτία. ταῦτα τε οὖν ἤ τις ἀναγινώσκειν ἐθέλοι πρῶτα πάντων ὀρθῶς ποιήσει, καὶ εἰ πεισθεὶς αὐτοῖς ἀποδεικτικὸς γενέσθαι βουληθείη, πρὶν ἐπὶ τὴν μάθησίν τε καὶ κρίσιν ἥκειν ἁπάντων τῶν αἱρέσεων, ἔχει πραγματείαν τὴν ὑφ᾽ ἡμῶν γεγραμμένην τὴν περὶ ἀποδείξεως. ἧς ἐὰν μὴ μόνας μάθῃ τὰς μεθόδους, ἀλλὰ κἂν γυμνάσηται κατ᾽ αὐτὰς ἐπὶ πάσης ὕλης πραγμάτων ἐξευρήσει τὴν ἀλήθειαν. ἐάν γε ἐραστὴς ὑπάρχει καὶ μὴ ὑπὸ πάθους ἀλόγου αἱρήσηταί τις, καθάπερ οἱ περὶ τὰς διαφορὰς τῶν χρωμάτων ἐν ταῖς ἱπποδρομίαις ἐσπουδακότες. ὁ δ᾽ αὐτὸς οὗτος ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις, παραγενόμενος, ἐξευρήσει τὰ ἀληθῶς αὐτοῖς ἐγνωσμένα καὶ ψευδῶς ὑπειλημμένα. μία μὲν οὖν ἥδε τῶν ἡμετέρων ὑπομνημάτων ἐστὶν ἀρχὴ τῆς ἀναγνώσεως, ἐκείνοις τῶν ἀνδρῶν, ὅσοι καὶ φύσει συνετοὶ, καὶ ἀληθείας ἑταῖροι. χωρὶς δὲ ταύτης ἐάν τις ἡμῶν αὐτῶν ᾖ πεπειραμένος ἐπί τε τοῦ βίου παντὸς καὶ ἐπὶ τῆς τέχνης ἔργα, τάχα ἐπ᾽ αὐτῶν τῶν τοιούτων ὥς τε πεπεῖσθαι περὶ μὲν τοῦ τρόπου τῆς ψυχῆς ὅτι χωρὶς ἔχθρας, ἢ φιλονεικίας ἢ φιλίας ἀλόγου πρὸς αἵρεσίν τινα πάντα πραττόμεθα. ἢ περὶ τῶν ἔργων τῶν κατὰ τὴν τέχνην, ὅπως μαρτυρεῖ τῇ τῶν δογμάτων ἀληθείᾳ, καὶ χωρὶς τῆς ἀποδεικτικῆς θεωρίας οὗτος ὠφελεῖσθαι δυνήσεται πρὸς τῶν ἡμετέρων ὑπομνημάτων. οὐ κατ᾽ ἐπιστήμην ἀκριβῆ τῶν πραγμάτων, τοῦτο γὰρ ὑπάρχει μόνοις τοῖς ἀποδεικτικοῖς, ἀλλὰ κατὰ δόξαν ὀρθήν. ὑπὲρ ἧς εἰκότως εἴρηται τοῖς παλαιοῖς. ὧν εἰς μὲν τὰς πράξεις, οὐδὲν ἐπιστήμην ἀπολείπεται, τὸ νόμιμον δ᾽ αὐτῇ καὶ βέβαιον οὐ πρόσεστιν. ἀναγνώσεται τοιγαροῦν οὗτος ἁπάντων πρῶτα τοῖς εἰσαγομένοις γεγραμμένα. τό, τε περὶ τῶν αἱρέσεων ὃ δὴ καὶ ἐπιγέγραπται τὴν δὲ τὴν λέξιν ἐπιγέγραπται περὶ αἱρέσεως τοῖς εἰσαγομένοις. καὶ τὸ περὶ σφυγμῶν. ὃ δὴ καὶ αὐτὸ παραπλησίως ἐπιγέγραπται περὶ σφυγμῶν τοῖς εἰσαγομένοις. καὶ τρίτον ὃ περὶ τῶν ὀστῶν τοῖς εἰσαγομένοις ἐπιγέγραπται, τῆς ἀνατομικῆς πραγματείας ὑπάρχον πρῶτον. ἣν δὴ καὶ πᾶσαν εἴ τις βούλοιτο διελθεῖν ἐπὶ τὴν τῶν ἀνατομικῶν ἐγχείρησιν ἡκέτω πρὸ τῶν ἄλλων, αὕτη γὰρ διδάσκει τὰ φαινόμενα μόρια κατὰ τὰς ἀνατομάς. ὡς ἔχει μεγέθους τε καὶ θέσεως καὶ διαπλάσεως, καὶ πλοκῆς, καὶ χροιᾶς καὶ τῆς πρὸς ἄλληλα κοινωνίας. οὐδὲν τῇ τούτων θέᾳ κατὰ τὰς ἀνατομὰς γυμνασάμενος, ἑξῆς αὐτῶν τὰς ἐνεργείας μαθήσεται. τὰς μὲν φυσικὰς, ἐν τρισὶν ὑπομνήμασι γεγραμμένας, ἃ περὶ φυσικῶν δυνάμεων ἐπιγέγραπται. τὰς ψυχικὰς δ᾽ ὀνομαζομένας ἐν ἄλλοις πλείοσιν ὧν προηγεῖται τό, τε περὶ τῆς ἐπὶ τῶν τεθνεώτων ἀνατομῆς. καὶ δύο ἐφεξῆς τῷ δὲ, τὰ τῆς ἐπὶ τῶν ζώντων. καὶ δύο ἐπ᾽ αὐτοῖς ἄλλα τὰ περὶ τῆς ἀνατομικῆς διαφωνίας. ἐφεξῆς δὲ τούτοις ἐστὶ τρία μὲν περὶ θώρακος καὶ πνεύμονος. δύο δὲ περὶ τῶν τῆς ἀναπνοῆς αἰτίων. καὶ τούτων ἐφεξῆς περὶ φωνῆς. ἐκ ταυτοῦ δὲ γένους ἐστὶ. καὶ τὰ περὶ μυῶν κινήσεως, καὶ τοῦ περὶ τῶν ὀνομάτων ἐπιδέδεικτο. καὶ αὐτὰ δὲ τὰ περὶ τῆς ἀποδείξεως τῶν στοιχείων, οὐ πάντα εἴρηται κατὰ τὸ βιβλίον, ἀλλ᾽ ὅσοις αὐτὸς Ἱπποκράτης ἐχρήσατο, πρὸς δὲ τὸ τελεώτατον τῆς ἐπιστήμης τῶν τοῦ σώματος στοιχείων ἀναλέξαι προσήκει, ἐν τὰ δ᾽ ἐκ τοῦ τρισκαιδεκάτω περὶ ἀποδείξεως εἰρημένα καὶ τὰ τὸ κατὰ πέμπτον καὶ ἕκτον περὶ τῶν Ἀσκληπιάδου δογμάτων. ἀλλὰ καὶ τὰ περὶ τῆς τῶν καθαιρόντων φαρμάκων δυνάμεως. εἴρηται μέν τινα κἂν τῷ περὶ καθ᾽ Ἱπποκράτους στοιχείων. γέγραπται δὲ καὶ κατὰ μόνας ἐν ἑτέρῳ βιβλίῳ. τῷ δὲ περὶ τῶν καθ᾽ Ἱπποκράτους στοιχείων, ἔπειτα τὰ περὶ κράσεως ὑπομνήματα γʹ. καὶ τούτοις, ἡ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως πραγματεία. κἀκείνῃ πάλιν ἡ περὶ συνθέσεως φαρμάκων. ἐν μὲν οὖν τοῖς πρώτοις ζώοις λέγοντες μετὰ τῶν ἰδίων ἑκάστης γνωρισμάτων. ἐν δὲ τῷ περὶ τῆς τῶν φαρμάκων κράσεως ὁ λόγος ἐστὶν. ἐάν τε μετὰ οὖν δύο βουληθείη τις, ἐάν τε μετὰ τρία, τότε περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος ἀναγνῶναι καὶ τὸ περὶ τῆς εὐεξίας. καὶ τὸ περὶ τῆς ἀνωμάλου δυσκρασίας, ἐν τῇ προσηκούσῃ τάξει πράξει τοῦτο. μικρὰ δέ ἐστι πάνυ τὰ τρία ταῦτα βιβλία, φίλοις ἀξιώσασιν ὑπαγορευθέντα κἄπειτ᾽ ἐκδοθέντα πρὸς ἐκείνων. ἐπεί τοι καὶ τούτων ἡ δύναμις ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ περιέχεται. καθ᾽ ἣν αἱ διαφοραὶ τῆς τοῦ σώματος ἡμῶν κατασκευῆς.

τῶν ἐξηγήσεων. ὅσα τ' ὀρθῶς λέγονται. καὶ ὅσα μὴ προγεγυμνασμένῳ περὶ τὰς ἡμετέρας πραγματείας. ἕξεις δ' εἰς ἔνια τῶν Ἱπποκράτους καὶ τὰ ἡμέτερα. καὶ ἐπειδὴ ταῦτ' ἤδη γέγραπται, προσθεῖναι πειράσομαι τὰ λοιπά. τοῦτο δὲ ἐὰν ζήσωμεν ἔσται. φθάσαντος δ' ἀποθανεῖν ἐμοῦ πρὶν ἐξηγήσασθαι τὰ καιριώτατα τῶν Ἱπποκράτους συγγραμμάτων, ἕξουσιν οἱ βουλόμενοι τὴν γνώμην αὐτοῦ. καὶ τὰς ἡμετέρας μὲν ὡς εἴρηται πραγματείας, ἅμα τοῖς ἤδη γεγονόσιν ὑπομνήμασι. καὶ τῶν ἐξηγησαμένων γε τὸν ἄνδρα τά τε τοῦ διδασκάλου πέλοπος εἴπου τι καὶ τῶν νουμισιανοῦ ἔχοιεν. ἔστι δ' ὀλίγα τὰ διασωζόμενα. καὶ πρὸς τούτοις, τά τε σαβίνου καὶ ῥούφου τοῦ ἐφεσίου, κοΐντος δὲ καὶ οἱ κοΐντου μαθηταὶ, τὴν Ἱπποκράτους γνώμην οὐκ ἀκριβῶς ἐγνώκασι. διὸ καὶ πολλαχόθι τὰς ἐξηγήσεις οὐκ ὀρθῶς ποιοῦνται. λύκος δ' ἐνίοτε καὶ προσεγκαλεῖ τῷ Ἱπποκράτει, καὶ φησὶ ψεύδεσθαι τὸν ἄνδρα μὴ γινώσκων αὐτοῦ τὰ δόγματα καί τοι τά γε τοῦ λύκου βιβλία φανερῶς πάντα γέγονεν. ὁ δ' ἡμέτερος διδάσκαλος σάτυρος, τούτῳ γὰρ πρώτῳ συγγινόμενοι, μετὰ ταῦτ' ἠκούσαμεν πέλοπος, οὐ τὰς αὐτὰς ἐξηγήσεις ἐποιεῖτο τῷ λύκῳ τῶν Ἱπποκρατείων βιβλίων. ὁμολογεῖται δὲ σάτυρος ἀκριβέστατα διασώζειν τὰ κοΐντου δόγματα. μήτε προσθεὶς αὐτοῖς τι, μήτ' ἀφελών. αἰφικιανὸς μὲν γάρ τι καὶ μετερρύθμισεν ἐπὶ τὸ στωϊκώτερον. ἡμεῖς οὖν ἑτέρως μὲν ἔμπροσθεν ἀκηκοότες σατύρου τὰς ἐξηγήσεις κοΐντου, μετὰ χρόνον δ' ὕστερον ἀναγνόντες τινὰ τῶν τοῦ λύκου κατέγνωμεν ἀμφοτέρων, ὡς οὐκ ἀκριβῶς ἐγνωκότων τὴν Ἱπποκράτους γνώμην. ἄμεινον γὰρ ἔγνωσαν οἱ περὶ σαβῖνόν τε καὶ ῥοῦφον. ὁ δ' ἐν ταῖς ἡμετέραις πραγματείαις προγεγυμνασμένος, ἱκανὸς καὶ τὰ τούτων κρίνειν, καὶ φωράσαι τά τε καλῶς ὑπ' αὐτῶν εἰρημένα, καὶ εἴπου τύχοιεν ἐσφαλμένοι. ἀλλ' ἐπεὶ καὶ περὶ τῶν Ἱπποκράτους ἐξηγήσεων αὐτάρκως εἴρηται μεταβῶμεν ἐπὶ τὰ λοιπὰ τῶν ἡμετέρων ὑπομνήματα, ὅσα τῆς λογικῆς ἐστὶ πράγματα. ἔστι δ' ἐξ αὐτῶν. σοὶ μὲν ὦ εὐγενιανὲ καὶ ὅσοι τὴν ἰατρικὴν μόνην ἐσπουδάκατε περὶ τῆς ἀποδείξεως αὐτάρκη. τοῖς δ' ἄλλοις ὅσοι φιλοσοφίᾳ σχολάζουσι, καὶ τ' ἄλλα. πλὴν εἴ τις ἀμφοτέρας δύναιτο καλῶς μετέρχεσθαι τὰς θεωρίας ἰατρικῆς τε καὶ φιλοσοφίας. εἶναι δὲ χρὴ τοῦτον ἀγχίνουν τε ἅμα καὶ μνήμονα, καὶ φιλόπονον. ἔτι δὲ πρὸς τούτοις εὐτυχηκότα τοιαύτην εὐτυχίαν, οἵαν ἡμεῖς εὐτυχήσαμεν ὑπὸ πατρὶ παιδευθέντες, ὃς ἀριθμητικῆς τε καὶ λογικῆς καὶ γραμματικῆς θεωρίας ἐπιστήμονας ἡμᾶς. ἐν τούτοις τε καὶ ἐν τοῖς ἄλλοις, ὅσα παιδείας μαθήματα θρέψας ἡνίκα πεντεκαιδέκατον ἔτος ἤγομεν, ἐπὶ τὴν διαλεκτικὴν θεωρίαν ἦγεν. ὡς μόνῃ φιλοσοφίᾳ προσέξοντα τὸν νοῦν. εἶτ' ἐξ ὀνειράτων ἐναργῶν προτραπεὶς, ἑπτακαιδέκατον ἔτος ἄγοντα, καὶ τὴν ἰατρικὴν ἐποίησεν ἐμὲ ἀσκεῖν ἅμα τῇ φιλοσοφίᾳ. ἀλλὰ καὶ τοιαύτην ἐγὼ τὴν εὐτυχίαν εὐτυχήσας ἐκμανθάνων τε καὶ θᾶττον ἁπάντων τῶν ἄλλων, ὅτι περ ἂν ἐδιδασκόμην, εἰ μὴ τὸν ὅλον μου βίον εἰς τὰ τῆς ἰατρικῆς τε καὶ φιλοσοφίας θεωρήματα ἄσκη

τα ἄσκησιν καθεστήκειν, οὐδὲν ἂν ἔγνων μέγα. μηδὲ ξένον μηδὲ τοῦτο θαῦμα. διότι πολὺ πλῆθος ἀνθρώπων ἀσκούντων ἰατρικήν τε καὶ φιλοσοφίαν, ἐν οὐδετέρᾳ κατορθοῦσιν, ἢ γὰρ οὐκ ἔφυσαν καλῶς, ἢ οὐκ ἐπαιδεύθησαν ὡς προσῆκεν, ἢ οὐ κατέμειναν ἐν ταῖς ἀσκήσεσιν, ἀλλ' ἐπὶ τὰς πολιτικὰς πράξεις ἀπετράποντο. ταῦτα μὲν οὖν μοι περὶ τὸ πάρεργον εἰρήσθω. καί τοι οὐκ ὄντα πάρεργα. Τὰ γοῦν τῆς φιλοσόφου θεωρίας ἡμέτερα βιβλία μετὰ τὴν περὶ τῆς ἀποδείξεως πραγματείαν, ἀναγινώσκειν χρή. τίνες δ' αὐτῶν εἰσὶν αἱ ὑποθέσεις, καὶ πόσαι, καθ' ἑκάστην αὐτῶν γέγραπται. δι' ἐκείνου δὲ δειχθήσεται τοῦ γράμματος, ἐν ᾧ τὴν γραφὴν ποιήσομαι ἁπάντων τῶν ἐμῶν βιβλίων. ἐπεὶ δ' ἐπύθου μου καὶ περὶ τῆς πραγματείας ἐν ᾗ τὰ παρὰ τοῖς ἀττικοῖς γραφεῦσιν ὀνόματα κατὰ τὴν τῶν πρώτων ἐν αὐτοῖς γραμμάτων ἤθροισται τάξιν ἅπερ ἀπεκρινάμην σοι βέλτιον ἡγοῦμαι κἀνταῦθα γράψαι σοι. πρόδηλον γὰρ ὅτι καὶ ἄλλοι πολλοὶ ζητοῦσιν, ἥτις ποτ' ἐστὶν αὐτῶν ἡ ὑπόθεσις οὐ γὰρ δὴ τοῦτο ἀξιοῦμεν ἡμεῖς

ὅπερ ἔνιοι τῶν νῦν κελεύουσιν ἅπαντας ἀττικίζειν τῇ φωνῇ, κἂν ἰατροὶ τυγχάνουσιν ὄντες, ἢ φιλόσοφοι καὶ γεωμετρικοὶ καὶ μουσικοὶ καὶ νομικοί, κἂν μηδὲν τούτων, ἀλλ' ἁπλῶς ἤτοι πλουτοῦσί τινες, ἢ μόνον εὔποροι. τοὐναντίον γὰρ ἀπαξιῶ μηδένα μέμφεσθαι τῶν σολοικιζόντων τῇ φωνῇ, μηδ' ἐπιτιμᾶν. ἄμεινον γάρ ἐστι τῇ φωνῇ μᾶλλον, ἢ τῷ βίῳ σολοικίζειν τε καὶ βαρβαρίζειν. ἐγράφη δέ μοι ποτὲ καὶ πραγματεία πρὸς τοὺς ἐπιτιμῶντας τοῖς σολοικίζουσι τῇ φωνῇ, τοσοῦτον δέω παιδείας τι μόριον ὑπολαμβάνειν τὸ ἀττικίζειν. ἀλλὰ διὰ τὸ πολλοὺς ἰατροὺς καὶ φιλοσόφους ἐν οἷς αὐτοὶ νομοθετοῦσι καινὰ σημαινόμενα τῶν ἑλληνικῶν, ἐν τούτοις ἑτέροις διὰ τούτων καὶ τῶν ὀνομάτων τὴν ἐξήγησιν ἐποιησάμην ἐν ὀκτὼ καὶ τεσσαράκοντα βιβλίοις. ἀθροισαμένων ἀττικῶν συγγραφέων αὐτὰ. καθάπερ ἐκ τῶν κωμικῶν ἄλλα. γέγραπται μὲν οὖν ὡς ἔφην ἡ πραγματεία διὰ τὰ σημαινόμενα. σὺν τούτῳ δ' εὐθέως ὑπάρχει τοῖς ἀναγνωσομένοις αὐτά, καὶ ἡ τῶν ἀττικῶν ὀνομάτων γνῶσις. οὐδὲν αὐτὴ καθ' ἑαυτὴν ἄξιον ἔχουσα μεγάλης σπουδῆς. ἀλλά γε διὰ τοὺς κακῶς χρωμένους τοῖς ὀνόμασιν, ἄλλη μοι γέγραπται πραγματεία περὶ τῆς ὀρθότητος αὐτῶν, ἣν δὴ καὶ πρώτην ἁπασῶν ἄμεινον ἀναγινώσκειν.

ΓΑΛΗΝΟΥ ΕΙΣΑΓΩΓΗ Η ΙΑΤΡΟΣ. ΠΩΣ ΕΥΡΗΤΑΙ Η ΙΑΤΡΙΚΗ.

ΕΛΛΗΝΕΣ τῶν τεχνῶν τὰς εὑρέσεις ἢ θεῶν παισὶν ἀνατιθέασιν, ἢ τισὶν ἐγγὺς αὐτῶν οἷς πρῶτοι οἱ θεοὶ πάσης τέχνης ἐκοινώνησαν. οὕτως οὖν καὶ τὴν ἰατρικὴν πρῶτον μὲν Ἀσκληπιὸν παρ' Ἀπόλλωνος τοῦ πατρὸς φασὶν ἐκμαθεῖν, καὶ ἀνθρώποις μεταδοῦναι. διὸ καὶ δοκεῖ εὑρετὴς γεγονέναι αὐτῆς. πρὸ δὲ Ἀσκληπιοῦ τέχνη μὲν ἡ ἰατρικὴ οὔπω ἦν ἐν ἀνθρώποις, ἐμπειρίαν δέ τινα οἱ παλαιοὶ εἶχον φαρμάκων, καὶ βοτανῶν, οἷα παρ' Ἕλλησι Χείρων ὁ κένταυρος ἠπίστατο, καὶ οἱ ὑπὸ τούτου παιδευθέντες ἥρωες, ὥσπερ τε εἰς Ἀρισταῖα, καὶ Μελάμποδα, καὶ Πολύειδον ἀναφέρεται. παρὰ δὲ Αἰγυπτίοις ἦν μὲν καὶ ἡ τῶν βοτανῶν χρῆσις, καὶ ἡ ἄλλη φαρμακεία, ὡς καὶ Ὅμηρος μαρτυρεῖ λέγων. Αἰγυπτίη τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. ἐκ δὲ τῆς ἐν ταῖς ταριχείαις ἀνατμήσεως τῶν νεκρῶν, πολλὰ καὶ τῶν ἐν χειρουργίᾳ παρὰ τοῖς πρώτοις ἰατροῖς εὑρῆσθαι δοκεῖ. ἔνια δὲ ἐκ περιπτώσεως φασὶ ἐπιγνωσθῆναι. ὡς τὸ παρακεντεῖν τοὺς ὑποκεχυμένους ἐκ τοῦ περιπεσεῖν αἶγα, ἥτις περιχυθεῖσα ἀνέβλεψεν, ὀξυσχοίνου ἐμπαγείσης εἰς τὸν ὀφθαλμόν. καὶ τὸ κλύζειν δὲ ἀπὸ τῆς ἴβεως φασὶ εὑρεθῆναι πληρούσης τὸ περὶ τὸν τράχηλον δέρμα ὡς κλυστῆρος ἄσκωμα θαλασσίου ὕδατος καὶ νειλαίου, καὶ διὰ τοῦ ῥάμφους ἐνιείσης ἑαυτῇ ὄπισθεν. φασὶ δὲ καὶ Ἡρόδοτος ὁ ἱστοριογράφος τὸ παλαιὸν ἐν ταῖς περιόδοις προτίθεσθαι τοὺς νοσοῦντας, τοὺς δὲ περιπεσόντας τοῖς αὐτοῖς νοσήμασιν ὑφηγεῖσθαι, οἷς χρησάμενος ἕκαστος ἐθεραπεύθη, καὶ οὕτως ἐκ τῆς τῶν πολλῶν πείρας συνωφανίζεσθαι τὰ τῆς ἰατρικῆς. ἀλλ' αὐτὴ μὲν ἄλογος ἡ πεῖρα, καὶ οὔπω λογική. τελείαν δὲ ἰατρικὴν καὶ τοῖς ἑαυτῆς μέρεσι συμπληρουμένην, τὴν μὲν ὡς ἀληθῶς θείαν, Ἀσκληπιὸν μόνον εὑρεῖν, τὴν δ' ἐν ἀνθρώποις τοὺς Ἀσκληπιάδας παρὰ τούτου διαδεξαμένους τοῖς ἔπειτα παραδοῦναι. μάλιστα δὲ Ἱπποκράτης ὃς πάντων ὑπερήνεγκε καὶ πρῶτος εἰς φῶς ἐξήνεγκε τὴν τελείαν παρὰ Ἕλλησιν ἰατρικήν.

Τίνες ἀρχαὶ ἰατρικῆς.

Ἀρχαὶ οὖν τῆς ἰατρικῆς, τρεῖς. ἡ μὲν εὑρέσεως, ἡ δὲ ἐκ τοῦ συστήσασθαι τὴν τέχνην, ἡ δὲ ὑφηγήσεως. εὑρέσεως μὲν οὖν ἁπλῶς τῆς ἐν τῇ ἰατρικῇ ἡ παλαιοτάτη, καὶ ἄνευ λόγου ἀρχή, καὶ πεῖρα, ἧς παρὰ Αἰγυπτίοις, καὶ πᾶσι βαρβάροις. τοῦ δὲ εἰς σύστημα τέχνης ἀγαγεῖν, ὡς τὴν τῶν Ἀσκληπιαδῶν ἰατρικήν. ταύτης δὲ ἀρχὴ λόγος, καὶ πεῖρα. ὑφηγήσεως δὲ ὥς φησὶ Ἀθήναιος, ἢ παραδόσεως καθὼς τινὲς λέγουσιν, ἀρχὴ ἡ φυσικὴ θεωρία. ἁπλῶς δὲ καὶ Ἱπποκράτης ἔφη ἀρχὴ τοῦ ἐν ἰατρικῇ λόγου ἡ φύσις πρώτη. ἀπὸ γὰρ τοῦ φυσιολογεῖν ἄρχονται οἱ δογματικοί, ἐπειδὴ ἐκ τῶν κατὰ φύσιν, καὶ τὰ παρὰ φύσιν δύνανται εἰδέναι, ἄνευ δὲ τοῦ γνῶναι τὸ κατὰ φύσιν, τὸ παρὰ τοῦτο ἔχον, οὐχ οἷόν τε ἐπίστασθαι. καὶ ἐν τῷ θεραπεύειν ὁμοίως δέονται τῆς φυσιολογίας, ἐπειδὴ ἀπὸ τῆς φυσικῆς δυνάμεως τῶν προσφερομένων βοηθημάτων, τὸ κατάλληλον αὐτῶν πρὸς τὰ πάθη λαμβάνουσιν. οἱ δὲ κατὰ τὰς ἄλλας αἱρέσεις παραιτησάμενοι τὸ φυσιολογεῖν, ἄρχονται ἑκάτεροι ἀφ' ὧν τὴν ἕξιν τοῦ προσφέρειν τὰ βοηθήματα περιεποιήσαντο, οἱ μὲν μεθοδικοὶ ἐκ τῆς τῶν κοινοτήτων ἐνδείξεως, οἱ δ' ἐμπειρικοὶ ἐκ τῆς κατὰ τὴν πεῖραν τηρήσεως. ὥσπερ γὰρ τοῖς δογματικοῖς ἀρχὴ τοῦ ἐν ἰατρικῇ λόγου ἡ φύσις, οὕτω τοῖς ἐμπειρικοῖς ἀρχὴ ἡ πεῖρα, ἡ πλειστάκις, καὶ ἀεὶ κατὰ τὰ αὐτά, καὶ ὡσαύτως ἔχουσα. ἀπὸ ταύτης γὰρ καὶ ἡ ἱστορία

ἄρχεται, καὶ ἐπὶ ταῦτα ἡ τοῦ ὁμοίου μετάβασις. τοῖς δὲ μεθοδικοῖς ἀρχὴ, ἡ ἐπὶ τὰ φαινόμενα τοῦ ὁμοίου θεωρία, ἡ γνῶσις φαινομένων κοινοτήτων.

Πόσαι αἱ αἱρέσεις ἐν ἰατρικῇ, καὶ τίνα χαρακτηρίζομενα αὐτάς.

Αἱρέσεις δὲ ἐν ἰατρικῇ τρεῖς· λογικὴ, ἐμπειρικὴ, μεθοδικὴ. λογικὴ μὲν, ἡ φυσιολογίαν παρέχουσα, καὶ τὰς αἰτίας τῶν νόσων ἐξετάζουσα, καὶ σημειώσει πρὸς εὕρεσιν τῶν αἰτίων χρωμένη. τήν τε θεραπείαν ἐξ ὧν ὑπαγορεύουσιν αἱ αἰτίαι παραλαμβάνουσα καθ' ὑπεναντίωσιν. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα. τέσσαρα οὖν ἐστὶ τὰ χαρακτηρίζοντα τὴν λογικὴν αἵρεσιν. φυσιολογία, αἰτιολογία, σημείωσις, καὶ τέταρτον, τὸ ὑπαγορεύειν αὐτῶν τὰ αἴτια τῆς θεραπείας. Ἐμπειρικὴ δέ ἐστιν ἡ εἰς τὰς συνδρομὰς τῶν συμπτωμάτων τῶν συντρεχόντων ἐπὶ τῶν νοσούντων ἀφορῶσα, καὶ τὴν κατάλληλον πρὸς τὰ συμπτώματα θεραπείαν τετηρηκυῖα, οὔτε δὲ πάθος εἰδυῖα, οὔτε αἰτίας ἐξετάζουσα, ἀρκουμένη δὲ τῇ ἐπὶ τῶν συμπτωμάτων κατὰ πεῖραν τῶν προσφερομένων τηρήσει, χρωμένη δὲ καὶ ἱστορίᾳ τῇ τῶν προσεπιφερομένων, καὶ τῇ τοῦ ὁμοίου μεταβάσει ἀπὸ τοῦ πεπειραμένου ἐπὶ τὸ ἀπείρατον, ὅμοιον δὲ κατὰ τὸ φαινόμενον εἶδος. ὅσων τε γὰρ αὐτοὶ διὰ τῆς τῶν αὐτῶν πείρας τῆς ἐπὶ πολλῶν καὶ πλειστάκις ἀεὶ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἐχούσης ἐπειράθησαν, ἢ περιπεσόντες κατὰ τύχην παρεφύλαξαν, καὶ ταῦτα ἀεὶ καὶ ὡσαύτως ἔχοντα, θαῤῥοῦντες τούτοις χρῶνται, οὐ πολυπραγμονοῦντες τὰς ἐκ τῶν ποιοτήτων δυνάμεις αὐτῶν, προσπιστεύκασι δὲ καὶ τοῖς παλαιοτάτοις ἀναγεγραμμένοις τὰ διὰ πείρας αὐτοῖς τετηρημένα, ἣν καλοῦσιν ἱστορίαν. χρῶνται δὲ καὶ τῇ τοῦ ὁμοίου μεταβάσει, μεταβαίνοντες ἐπὶ τὰ μήπω εἰς πεῖραν αὐτοῖς ἐλθόντα, ὁπόταν ὅμοια φαίνηται τῇ κατὰ τὸ πρόχειρον ἰδέᾳ. ὡς μαλάχη, καὶ βλῖτον, καὶ τεῦτλον, καὶ λάπαθον. ἐπί τε τῶν ἐναντίων, ὡς χόνδρος, καὶ ὄρυζα, καὶ πάλιν ἐν τοῖς ἀκροδρύοις ὡς ἄπιος, καὶ μῆλον κυδώνιον. χαρακτηρίζει οὖν καὶ τὴν ἐμπειρικὴν αἵρεσιν ταῦτα, τὸ εἰς τὰς συνδρομὰς ἀφορᾶν τῶν συμπτωμάτων, μήτε εἰς πάθος, μήτε εἰς αἴτια. δεύτερον ἡ ἐπὶ ταῖς συνδρομαῖς τήρησις τῶν διὰ πείρας ἁρμοζόντων. τρίτον, ἱστορία τῶν πεπειραμένων. τέταρτον, ἡ τοῦ ὁμοίου μετάβασις. Μεθοδικὴ δέ ἐστιν ἡ κοινότησι προσέχουσα, καὶ τῇ τοῦ ὁμοίου θεωρίᾳ. πάντα γὰρ τὰ ἐπὶ μέρους πάθη εἰς δύο καθολικὰ ἀνάγουσιν, εἴς τε τὸ στεγνὸν, καὶ τὸ ῥοῶδες, ἃ καλοῦσι κοινότητας. γνωρίζουσι δὲ αὐτὰς ἀπὸ τῶν περὶ τὸ σῶμα γινομένων διαθέσεων καθ' ἑκάτερον φαινομένων, καὶ οὐκ ἀδήλων. διὸ οὐ δέονται σημειώσεως. οἷον τὸ μὲν στεγνὸν ἐκ τοῦ πεπυκνῶσθαι τὸ σῶμα, καὶ ἐπέχεσθαι αὐτοῦ τὴν διάῤῥοιαν, καὶ πᾶσαν φαινομένην ἔκκρισιν παραδείκνυσθαι. τὸ δὲ ῥοῶδες ἐκ τοῦ τήν τε ἐπιφάνειαν τοῦ σώματος ἠραιῶσθαι, καὶ τὰς αἰσθητὰς ἐκκρίσεις ἐπιτετάσθαι, καθ' ὁποιονοῦν μέρος τοῦ σώματος. διττὸν οὖν θεραπείας εἶδος ἐνδείκνυνται αὐτοῖς τὰ γενικὰ δύο πάθη, χαλᾶν μὲν τὰ στεγνὰ, στέλλειν δὲ τὰ ῥοώδη. ὅταν δὲ ἐπιπεπλεγμένα ᾖ, πρὸς τὸ κατεπεῖγον ἵστασθαι. κοινότητας δὲ πάσας μὲν φαινομένας λέγουσι. τούτων δὲ τὰς μὲν παθητικὰς, ὡς τὸ στεγνὸν, καὶ ῥοῶδες. τὰς δὲ θεραπευτικὰς ὡς τὸ χαλᾶν, καὶ στέλλειν. τὰς δὲ καιρικὰς, ἀρχὴν, ἐπίδοσιν, ἀκμὴν, παρακμήν. αἱ δὲ ἐν χειρουργίαις κοινότητες, κατὰ τὴν τοῦ ἀλλοτρίου ὑπεξαίρεσιν. διττὸν γὰρ τὸ ἀλλότριον, ἤτοι ἔξωθέν ἐστιν ἢ τῶν ἐν σώματι. τὸ μὲν ἔξωθεν ἁπλοῦν. τρία δὲ εἴδη τῶν ἐν σώματι. ἀλλὰ τὸ μὲν ἔξωθεν ὡς σκόλοψ, καὶ βέλος, καὶ πᾶν ὅπερ ἀλλότριον, ἐνδείκνυται τὴν τελείαν ἐξαίρεσιν. τῶν δὲ ἐν τῷ σώματι, τὸ μὲν τῷ τόπῳ ἀλλότριον ὡς ὑπόχυμα, καὶ ἐξάρθρημα, καὶ κάταγμα, ἅπερ ἐνδείκνυται τὴν μετάθεσιν, ἢ ἀποκατάστασιν εἰς τὸν ἴδιον τόπον. τὸ δὲ, τῷ μεγέθει ἀλλότριον, ὡς τὰ ἀποστήματα πάντα, καὶ οἱ ὄγκοι οἱ περὶ ὄσχεον, ἀκροχορδόνες τε καὶ φύματα, καὶ κονδυλώματα, ἅπερ ἐνδείκνυται, τὰ μὲν διαιρέσει μόνῃ χρῆσθαι, τὰ δὲ περιαιρέσει τελείᾳ τῶν περιττῶν. τὸ δὲ τῇ ἐλλείψει ἀλλότριον, οὐχ ὡς περιττὸν, ἀλλ' ὡς ἐνδέον, οἷον τὰ κολοβώματα πάντα, ὡς ἐπὶ τῶν χειλῶν, καὶ ὀφθαλμῶν, διὸ καλοῦνταί τινες λαγόφθαλμοι, καὶ λαγόχειλοι. ὁμοίως δὲ καὶ αἱ σύριγγες, καὶ ὅσα ὑπόφορα, καὶ κόλποι, καὶ ἕλκη, καὶ πάντα τὰ τοιαῦτα, ὅσα κατ' ἔνδειαν, τὸ ἀναπληροῦσθαι ἐπιζητεῖ, καὶ ἐνδείκνυται. ἔστι δὲ παρὰ τὰς ἐν χειρουργίαις τέσσαρας κοινότητας, καὶ τὸ λεγόμενον προφυλακτικὸν εἶδος, ὃ καὶ αὐτὸ εἰς κοινότητα τάττεται ἐπὶ τῶν δηλητηρίων, καὶ τοξικῶν, καὶ ἰοβόλων πάντων καὶ δακέτων πτηνῶν τε, καὶ χερσαίων, καὶ ἐνύδρων. κοινὸν γὰρ πάντων γένος, τὸ εἶναι τὰ φθοροποιὰ, οὐχ ὑπαγόμενα τῷ στεγνῷ, ἢ ῥοώδει, ἀλλὰ ἕτερον παρὰ ταῦτα τὸ γένος. διὸ καὶ ἡ θεραπευτικὴ αὐτῶν κοινότης ἑτέρα παρ' ἐκείνην ἡ προφυλακτικὴ λεγομένη. χαρακτηρίζει οὖν καὶ τὴν μεθοδικὴν αἵρεσιν πρῶτον μὲν ἡ τοῦ ὁμοίου θεωρία ἐπὶ τῶν φαινομένων, ἀλλ' οὐκ ἐπὶ τῶν ἀδήλων, ὡς ἐν τῇ λογικῇ αἱρέσει. ταύτῃ γὰρ καὶ διορίζεται, ἐπεὶ καὶ ἐν ἐκείνῃ ἐστὶν ἡ τοῦ ὁμοίου θεωρία, ἀλλὰ ἐπὶ τῶν ἀδήλων. δεύτερον ὅτι ἐκ τοῦ ἐν τοῖς φαινομένοις ὁμοίου ἀνάγει εἰς τὰ καθόλου πάντα τὰ ἐπὶ μέρους, τά τε πάθη καὶ τὰ βοηθήματα, καὶ τοὺς καιρούς. ἀλλ' οὐχ ὡς ἐμπειρικοὶ τοῖς φαινομένοις μόνον προσέχουσιν. ἵστανται δὲ ἐν τοῖς ἐπὶ μέρους, καὶ οὐδὲν καθολικὸν ἴσασι. τρίτον τὸ ἐκ τῆς τῶν κοινοτήτων ἐνδείξεως τὴν θεραπείαν λαμβάνειν καὶ μήτε τὰ αἴτια αὐτοὺς ὑπαγορεύειν ὡς τοὺς λογικοὺς, μήτε τῇ ἐπὶ ταῖς συνδρομαῖς τηρήσει διὰ πείρας ἁρμοζόντων ἀρκεῖσθαι, ὡς τοὺς ἐμπειρικούς.

Τίνες προέστησαν τῶν τριῶν αἱρέσεων.

Προέστησαν δὲ τῆς μὲν λογικῆς αἱρέσεως, Ἱπποκράτης κῷος, ὃς καὶ αἱρεσιάρχης ἐγένετο, καὶ πρῶτος συνέστησε τὴν λογικὴν αἵρεσιν. μετὰ δὲ τοῦτον Διοκλῆς ὁ καρύσιος, Πραξαγόρας κῷος, Ἡρόφιλος χαλκιδόνιος, Ἐρασίστρατος χῖος, Μνησίθεος ἀθηναῖος, Ἀσκληπιάδης βιθυνὸς, κινὸς, ὃς καὶ προυσίας ἐκαλεῖτο. Τῆς δὲ ἐμπειρικῆς προέστησεν Φιλῖνος κῷος. ὁ πρῶτος αὐτὴν ἀποτεμνόμενος ἀπὸ τῆς λογικῆς αἱρέσεως, τὰς ἀφορμὰς λαβὼν παρὰ Ἡροφίλου, οὗ καὶ ἀκουστὴς ἐγένετο. θέλοντες δὲ ἀπαρχαΐζειν ἑαυτῶν τὴν αἵρεσιν, ἵνα ᾖ πρεσβυτέρα τῆς λογικῆς, Ἄκρωνα τὸν ἀκραγαντῖνον φασὶ ἄρξασθαι αὐτῆς. μετὰ Φιλῖνον ἐγένετο Σεραπίων ἀλεξανδρεὺς, εἶτα Ἀπολλώνιοι δύο πατήρ τε καὶ υἱὸς ἀντιοχεῖς. μεθ' οὓς Μηνόδοτος καὶ Σέξτος, οἳ καὶ ἀκριβῶς ἐκράτυναν αὐτήν. Μεθοδικῆς δὲ ἦρξε μὲν Θεμίσων ὁ λαοδικεὺς τῆς συρίας, παρ' Ἀσκληπιάδου τοῦ λογικοῦ ἐφοδιασθεὶς εἰς τὴν εὕρεσιν τῆς μεθοδικῆς

μεθοδικῆς αἱρέσεως. ἐτελείωσε δὲ αὐτὴν, Θεσσαλὸς ὁ Τραλλιανός. οἱ δὲ μετὰ τούτους, Μνασέας, Διονύσιος, Πρόκλος, Ἀντίπατρος, διεστασίασαν δὲ περὶ τίνων ἐν αὐτῇ, Ὀλυμπιακὸς ὁ Μιλήσιος, καὶ Μηνέμαχος ὁ ἀφροδισιεὺς, καὶ Σωρανὸς ὁ ἐφέσιος. ἐγένοντο δέ τινες καὶ ἐπισυνθετικοὶ ὡς Λεωνίδης ὁ Ἀλεξανδρεύς. καὶ ἐκλεκτικοὶ ὡς Ἀρχιγένης ὁ ἀπαμεὺς τῆς συρίας.

Εἰ ἐπιστήμη ἡ ἰατρική, ἢ τέχνη.

Τινὲς τῶν λογικῶν, ὧν ἐστὶν καὶ Ἐρασίστρατος, ὑπέλαβον τὸ μέν τι ἐπιστημονικὸν ἔχειν τῆς ἰατρικῆς, οἷον τὸ αἰτιολογικὸν, καὶ φυσιολογικόν, τὸ δὲ στοχαστικὸν, οἷον τὸ θεραπευτικὸν, καὶ τὸ σημειωτικόν. οἱ δὲ μεθοδικοὶ, καὶ δι' ὅλου ἐπιστήμην αὐτὴν ἀποκαλοῦσιν. διήμαρτον δὲ ἄμφω τοῦ ἀληθοῦς, καὶ μάλιστα οἱ μεθοδικοί. ἐπιστήμη γάρ ἐστι γνῶσις ἀραρυῖα, καὶ βεβαία, καὶ ἀμετάπτωτος ὑπὸ λόγου. αὕτη δὲ οὐδὲ παρὰ τοῖς φιλοσόφοις ἐστὶ, μάλιστα ἐν τῷ φυσιολογεῖν. πολὺ δὲ δὴ μᾶλλον οὐκ ἂν εἴη ἐν ἰατρικῇ, ἀλλ' οὐδ' ὅλως εἰς ἀνθρώπους ἔρχεται. διὸ τέχνη εἰκότως ἂν λέγοιτο ἡ ἰατρική. τέχνη γάρ ἐστι σύστημα ἐγκαταλήψεων, καὶ διανοιῶν, ποιόν τε καὶ ποσὸν συγγεγυμνασμένον, πρός τι τέλος νεύουσῶν χρήσιμον τῷ βίῳ. καταλήψεις οὖν καὶ αὕτη ἔχουσα ἀνθρωπίνας, καὶ ταύτας ἱκανὰς τῷ πλήθει, ὡς σύστημα αὐτῶν εἶναι. ἄλλως τε καὶ συγγεγυμνασμένας, τουτέστι προσεχεῖς ἀλλήλαις, καὶ συναφθείσας, οὐχὶ ἀσυναρτήτους, ἰδιότατον ἂν τέχνην ὀνομάζοιτο, ἐφαρμόζοντος αὐτῇ τοῦ ὅρου τῆς τέχνης, καὶ εἴς τι χρήσιμον τῷ βίῳ νεύουσιν αἱ ἐν αὐτῇ καταλήψεις. ἐπὶ γοῦν τὸ σώζειν, καὶ ὑγιαίνειν τοὺς ἀνθρώπους παρῆλθεν εἰς τὸν βίον. διττῆς δὲ οὔσης τεχνῶν διαφορᾶς, αἱ μὲν γὰρ τοῦ καθ' ἑαυτὰς τέλους ἀεὶ τυγχάνουσιν, ὡς τεκτονική, καὶ ναυπηγική, καὶ οἰκοδομική. αἱ δὲ ἐφίενται μὲν τοῦ ἑαυτῶν τέλους, ὡς σκοποῦ, οὐκ ἀεὶ δὲ αὐτοῦ τυγχάνουσιν. ἀλλ' ὡς ἐπὶ τὸ πολὺ, διὸ καὶ στοχαστικαὶ λέγονται. τούτων ἂν εἴη καὶ ἰατρική, ὡς ῥητορική, καὶ κυβερνητική, καὶ τοξική. ἔστι δὲ καὶ ἑτέρα διαφορὰ τῶν τεχνῶν, διττὴ καὶ αὐτή. αἱ μὲν γὰρ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσιν, μετὰ δὲ τὸ παύσασθαι τῆς ἐνεργείας οὐδὲν αὐτῶν ἀποτέλεσμα δείκνυται, ὡς ὀρχηστική, καὶ κιθαριστική, καὶ παλαιστρική, καὶ πᾶσα μουσικὴ τέχνη. αἱ δὲ ἐν τῷ ἐνεργεῖν οὐδὲν ἔχουσιν ὅλως φαινόμενον ἔργον, ἀλλ' ὡς ἄν τινος μέλλοντος ἔσεσθαι παρασκευαστικαί, μετὰ δὲ τὸ ἀποστῆναι τῆς ἐνεργείας, τότε αὐτῶν τὸ ἀποτέλεσμα φαίνεται, ὡς ἀγαλματοποιητική, καὶ ζωγραφία, καὶ τεκτονική, καὶ τῶν ἄλλων ὧν ὕστερον ἐπιμένει τὰ ἔργα. τούτων δ' ἂν εἴη καὶ ἡ ἰατρική. ἐν γοῦν τῷ θεραπεύειν, οὐδέπω αὐτῆς διαδείκνυται τὸ τέλος, ἐνισταμένης ἀεὶ πρὸς τὰς νόσους. ὅταν δὲ συντελέσῃ τὰ τῆς θεραπείας, τότε ὑγιῆ τὸν ἄνθρωπον ἀπέφηνεν.

Τί ἐστιν ἰατρική.

Ὅροις μὲν ἐχρήσαντο οἱ λογικοί. ὑπογραφαῖς δὲ οἱ ἐμπειρικοί. τὸ δὲ περὶ τούτων ζητεῖν φιλοσόφοις μόνοις ἁρμόζει. ἁπλῶς δὲ καὶ οὕτως ὡρίσαντο οἱ παλαιοὶ ἰατροὶ τὴν ἰατρικὴν, ἢ ὑπέγραψαν. ἰατρική ἐστι κατὰ μὲν Ἱπποκράτην, πρόσθεσις, καὶ ἀφαίρεσις. πρόσθεσις μὲν τῶν ἐλλειπόντων, ἀφαίρεσις δὲ τῶν πλεοναζόντων, ἐπὶ ἀνθρωπίνων σωμάτων. ὃν γάρ τινες ὅρον ἰατρικὸν ᾠήθησαν, οὐκ ἔστιν ὅρος. τό, τε μὴ πράσσειν ἀπαλλάσσειν τῶν νόσων τοὺς κάμνοντας καὶ τὸ τὰς σφοδρότητας ἀμβλύνειν καὶ τὸ τοῖς κεκρατημένοις μὴ ἐγχειρεῖν. οὐ γοῦν ἐξ ὧν μὴ δύνανται αἱ τέχναι, ἀλλ' ἐξ ὧν δύνανται οἱ ὅροι αὐτῶν εἰσίν. ἐρεῖ γὰρ αὐτῶν ὅσα μὴ δύνανται, οὐ τὰ μὴ ὑπάρχοντα αὐτῶν ὁρίζει. οἱ δὲ νεώτεροι οὕτως ὡρίσαντο. ἰατρική ἐστιν ἐπιστήμη ὑγιείας μὲν τηρητική, νόσων δὲ ἀπαλλακτική, οὐκ ὀρθῶς. οὐ γὰρ αὐτὴ ταῦτα ἐνεργεῖ, ἀλλ' ὧν ἐνεργεῖ, ταῦτα ἀποτελεῖται, καὶ οὐκ ἀεί. διὸ οὐκ ἐκ τούτων συνέστηκεν, ἀλλ' ἐκ τῶν ὑφ' αὐτῆς ἀεὶ παραλαμβανομένων. ταῦτα δέ ἐστι πρόσθεσις, καὶ ἀφαίρεσις. ὧν δ' ἅπερ λαμβάνει, ἡ ἰατρική, ταῦτα εἶπεν αὐτὴν εἶναι ὁ Ἱπποκράτης, οἷς ἐπί τε τῶν ὑγιαινόντων χρῆται, ὅταν τὴν ὑγείαν αὐτῶν συντηρεῖ, καὶ ἐπὶ τῶν νοσούντων, ἵνα τῶν νόσων ἀπαλλάττωνται, ἃ τοίνυν ἀεὶ ἐνεργεῖ, ταῦτα ἐστὶ τὰ συνιστάντα αὐτὴν, οὐ τὰ ἀπὸ τούτων ἀποτελούμενα. ἕτερον γάρ τι ἐστὶν ἡ τέχνη, καὶ ἕτερον τὸ τέλος αὐτῆς. † οὐ γὰρ ἐφίεται τούτου, ἀλλ' ὅτι ἐστὶ περὶ ταύτην, ἀμέλει καὶ οὐ ἀεὶ τοῦτο σὺν αὐτῇ ἔχει. διὸ μέχρις μὴ τυγχάνει αὐτοῦ, οὐδὲ τὸ τέλος αὐτῆς λέγεται, ἀλλὰ σκοπὸς, ὅταν δὲ τύχῃ, τέλος. οὕτως οὖν καὶ κυβερνητική, καὶ τοξικὴ οὐκ ἀπὸ τῶν τελῶν ὁρίζονται. οὐ γὰρ ἀεὶ τούτου τυγχάνουσιν, ἀλλ' ἐξ ὧν συνεστήκασιν, καὶ δι' ὧν ἐνεργοῦσιν ἵνα τῶν τελῶν περιγίνονται. δοκεῖ δὲ τοῖς μετὰ Ἱπποκράτην σχεδὸν ἅπασιν, οὗτος ὁ ὅρος ὀρθῶς ἔχειν. Ἡροφίλῳ, ὅτι ἰατρική ἐστιν ἐπιστήμη ὑγιεινῶν καὶ νοσωδῶν, καὶ οὐδετέρων. τριῶν γὰρ τούτων γνῶσιν ἔχειν, ὑγιεινῶν μὲν ὅσα τῶν κατασκευαζόντων τὰ ἐν ἀνθρώπῳ οὕτως ἔχει, ἐξ ὧν εὖ ἡρμοσμένων πρὸς ἄλληλα τὸ ὑγιαίνειν συνίσταται. νοσωδῶν δὲ τῶν τὴν ὑγιεινὴν ἁρμονίαν διαλυόντων. οὐδετέρων δὲ ἐστὶν ἅπαντα τὰ προσφερόμενα ἐν ταῖς νόσοις βοηθήματα, καὶ ἡ ὕλη αὐτῶν. ταῦτα γὰρ πρὶν ἢ παραληφθῆναι ὑπὸ τοῦ ἰατροῦ οὐδέτερα εἰσίν, οὐδὲ ὑγιεινὰ, οὐδὲ νοσώδη.

† al. οὐ γὰρ ἐφίετον τοῦτο ἄλλο τί ἐστι παρὰ ταῦτ.

Πόσα μέρη ἰατρικῆς.

Μέρη ἰατρικῆς τὰ μὲν πρῶτα ἐστὶ, τό, τε φυσιολογικὸν, καὶ τὸ αἰτιολογικὸν, ἢ παθολογικὸν, καὶ τὸ ὑγιεινὸν, καὶ τὸ σημειωτικὸν, καὶ τὸ θεραπευτικόν. Ἀθήναιος δὲ ἀντὶ τοῦ σημειωτικοῦ τὸ ὑλικὸν τάττει, ὃ ἐστὶ ἐν τῷ θεραπευτικῷ. ἄνευ γὰρ τοῦ ὑλικοῦ τὸ θεραπευτικὸν οὐκ ἂν εἴη. σημείωσις δὲ καὶ εἰς θεραπείαν μὲν ἀναγκαία, ἀλλ' οὐκ ἐστὶν αὐτὴ ἡ θεραπεία. διὰ γὰρ τῆς ὕλης, ἡ θεραπεία συντελεῖται, καὶ τὸ μὲν ὑλικὸν ἄνευ θεραπείας οὐδὲν ἕτερον συμβάλλεται. τὸ δὲ σημειωτικὸν, καὶ ἄνευ θεραπείας ἀναγκαῖον, πρὸς τὸ εἰδέναι τίνα θεραπευτικὰ, καὶ τίνα ἀθεράπευτα, καὶ περιΐστασθαι αὐτὰ, ὅπως μὴ ἐπιβαλλόμενοι ἀδυνάτοις σφαλλώμεθα. ἔστι δὲ καὶ τῶν πέντε μερῶν τῆς ἰατρικῆς ὑποδιαίρεσις ἑκάστου. φυσιολογικὸν μὲν οὖν ἐστὶν αὐτῆς μέρος, ἐν ᾧ περὶ τῆς φύσεως τοῦ ἀνθρώπου διαλαμβάνομεν. διαιρεῖται δὲ εἰς τὸν περὶ τῶν στοιχείων λόγον, ἐξ ὧν συνέστηκεν ὁ ἄνθρωπος, καὶ εἰς τὸν περὶ γενέσεως, καὶ διαπλάσεως ἐμβρύου, καὶ τρίτον εἰς τὴν τῶν ἐντὸς θεωρίαν, καὶ εἰς τὴν τῶν ἐκτὸς μερῶν τοῦ σώματος ἐπίσκεψιν, ὅτε ἀνατέμνομεν, ἢ ὀστεολογοῦμεν. Αἰτιολογικὸν δέ ἐστιν ὃ καὶ παθολογικόν, ἐν ᾧ τὰ παρὰ φύσιν ἐξετάζομεν, καὶ τὰς αἰτίας τῶν νόσων ἐρευνῶμεν, καὶ τὰς συνδρομὰς τῶν συμπτωμάτων, καὶ τὰς

καταστάσεις

καταστάσεις τῶν παθῶν πολυπραγμονοῦμεν. ἄνευ γὰρ τούτων, οὐκ ἔστιν ὀρθῶς ἐφίστασθαι πρὸς αὐτὰ τὴν θεραπείαν.
διαιρεῖται δὲ καὶ τὸ ὑγιεινὸν μέρος τῆς ἰατρικῆς εἴς τε τὸ συντηρητικὸν ὑγείας, καὶ εἰς τὸ προφυλακτικὸν
τῶν νόσων, καὶ εἰς τὸ ἀναληπτικὸν ἐκ τῶν νόσων. διαιρεῖται δὲ καὶ τὸ σημειωτικὸν εἰς τρία, εἴς τε ἐπίγνωσιν τῶν
παραλελυθότων, καὶ εἰς τὴν ἐπίσκεψιν τῶν συνεδρευόντων, καὶ εἰς πρόγνωσιν τῶν μελλόντων. τὸ δὲ θεραπευ
τικὸν ὁμοίως, καὶ αὐτὸ εἰς τρία διαιρεῖται, εἴς τε δίαιταν, καὶ χειρουργίαν, καὶ φαρμακείαν.

Εἰ ἀναγκαία ἡ εἰς τὰ. ε. μέρη τῆς ἰατρικῆς διαίρεσις.

Τὸ μὲν οὖν φυσιολογεῖν ἀναγκαῖον ἐστίν, ὅτι οὐχ οἷόν τε τὰ παρὰ φύσιν εἰδέναι μὴ πρότερον ἐπιστάμενον τὰ κατὰ
φύσιν. παρὰ γὰρ τὴν τούτων φύσιν συνίσταται τὰ νοσήματα. τὸ δὲ αἰτιολογεῖν, καὶ παθολογεῖν, καὶ αὐτὰ ἀναγ
καῖα. τὸ μὲν ἵνα τὰς αἰτίας τῶν παθῶν ἴδωμεν, πρὸς ἃς δεῖ ἐφίστασθαι. τὸ δὲ ἵνα καὶ αὐτὰ πάθη γνωρίζωμεν τὰ
κατωνομασμένα τοῖς παλαιοῖς, καὶ τὰς καταστάσεις αὐτῶν. εὔχρηστος δὲ καὶ ἡ τῶν συμπτωμάτων συνεδρευόν-
των τοῖς πάθεσιν ἐπίγνωσις. ἐκ γὰρ τῆς τούτων συνελεύσεως, ἣν συνδρομὴν καλοῦσιν οἱ ἐμπειρικοί, τὰ πάθη
εἰδοποιοῦνται. ἀλλ' οἱ μὲν ἐμπειρικοὶ ἐπὶ ταῖς συνδρομαῖς ἐτήρησαν τὰ πρὸς ἕκαστον συμπτώματα ἁρμόζον-
τα, τοῖς δὲ μεθοδικοῖς, τὰ πάθη ἐνδείκνυται τὴν θεραπείαν, ὡς τοῖς λογικοῖς τὰ αἴτια. ἐξετάζουσι δὲ οὐδὲν ἧττον οἱ
λογικοί, καὶ τὰ πάθη, καὶ τὰς συνδρομάς. τὸ δὲ πᾶν, τοῖς αἰτίοις προσέχουσιν. αἰτίων δὲ τὰ μὲν προκαταρκτικά,
τὰ δὲ συνεκτικά, τὰ δὲ σύνεργα, τὰ δὲ συναίτια, τὰ δὲ προηγούμενα. προκαταρκτικὰ μὲν οὖν ἐστιν, ὅσα προκα-
τάρχει, καὶ ποιήσαντα ἀπαλλάσσεται, ὡς ψύξις, κόπος, ἔγκαυσις, ἀπεψία. συνεκτικὸν δὲ αἴτιόν ἐστιν, οὗ πα-
ρόντος, πάρεστι καὶ τὸ νόσημα, καὶ ἐξαιρουμένου, λύεται, ὡς σκόλοψ, καὶ βέλος. συναίτιον δὲ τὸ καθ' αὑτὸ μὲν
δυνάμενον ποιεῖν τὸ πάθος, ποιοῦν δὲ καὶ σὺν ἑτέρῳ, ὡς λίθος ἐν κύστει, καὶ φλεγμονή. ἀμφότερα γὰρ ἰσχου-
ρίας αἴτια. δύναται δὲ καὶ καθ' ἑαυτὸ ἑκάτερον τὴν ἐποχὴν τῶν οὔρων ἐπιφέρειν. σύνεργον δὲ ἐστι μέρος
αἰτίου, καθ' ἑαυτὸ μὲν οὐ δυνάμενον ἐπιτελέσαι τὸ πάθος, συνεργαζόμενον δὲ ἑτέρῳ. ὡς συνεργεῖ λαγνεία
πρὸς ἀρθρῖτιν, καὶ εἰρεσία πρὸς αἵματος ἀναγωγήν. προηγούμενον δὲ ἐστι αἴτιον τὸ ὑπὸ τοῦ προκαταρκτικοῦ,
ἢ κατασκευαζόμενον, ἢ συνεργούμενον, οἷον πλεονασμὸς αἵματος γίνεται μετὰ ὑπὸ πλήθους τροφῆς, προηγεῖται
δὲ τῆς κατ' Ἐρασίστρατον παρεμπτώσεως, ἥ τις ἐστι συνεκτικὴ αἰτία τῶν νοσημάτων πάντων, ἄνευ δὲ τοῦ προηγου
μένου οὐ γίνεται. τὸ δ' ὑγιεινὸν οὐ μόνον ὡς μέρος ἰατρικῆς, ἀλλὰ ὡς κάλλιον τοῦ θεραπευτικοῦ προτάττεται αὐ-
τοῦ. πολὺ γὰρ ἄμεινον τοῦ ἀπαλλάξαι τῆς νόσου, τὸ μηδὲ τὴν ἀρχὴν ἐᾶσαι νοσῆσαι. ὥσπερ καὶ κυβερνήτῃ αἱρε-
τώτερον τὸ πρὶν εἰς χειμῶνα ἐμπεσεῖν, διαπεραιώσασθαι, ἢ χειμασθέντα, καὶ κινδυνεύσαντα ἐκφυγεῖν. διαφέ
ρει δὲ ἐν τῷ ὑγιεινῷ πάλιν τὸ ἐν ὑγείᾳ διατηρῆσαι, τοῦ προφυλάξαι νόσους ἐπιούσας. τὸ μὲν γὰρ διὰ τῆς συ-
νήθους διαίτης περιγίνεται. τὸ δὲ ἤδη δεῖται θεραπευτικῶν βοηθημάτων εἰς τὸ ὑποκαταλαμβάνεσθαι καὶ
προδιαλύσαι μέλλουσαν συνίστασθαι νόσον. ὅσα γὰρ ἤδη γινόμενα πάθη ἰᾶται, ταῦτα καὶ πρὶν ἢ γενέσθαι
κωλύει συστῆναι. ὁμοίως δὲ καὶ τὸ ἀναληπτικὸν τούτων διαφέρει. ὁ γὰρ ἀναλαμβάνων οὐκέτι μετὰ παρὰ φύσιν ἔχει,
οὔπω δὲ κατὰ φύσιν, ἀλλ' ὁδεύει, ἄρτι ἀπαλλαγεὶς τοῦ παρὰ φύσιν, εἰς τὸ κατὰ φύσιν, διόπερ ἑτέρας ἀγωγῆς δεῖ
ται, οὔτε θεραπευτικῆς, οὐ γὰρ νοσεῖ οὔτε τῆς ἐπὶ τῶν ὑγιαινόντων, οὔπω γὰρ τελείως ὑγιαίνει. διὸ οὐ δύνανται
ἐπ' αὐτῶν παραλαμβάνεσθαι, οἷα καὶ ὅσα περὶ τῶν ὑγιαινόντων. τὸ δὲ σημειωτικὸν μέρος τῆς ἰατρικῆς, ἀναγ
καιότατον ἐστὶ εἰς θεραπείαν τὴν κατὰ δίαιταν. τά τε γὰρ προγεγονότα συμπτώματα, καὶ τὰ παρόντα πολυ-
πραγμονοῦμεν εἰς τὸ εὑρεῖν τὴν αἰτίαν τῆς νόσου. ἀναγκαιότατον δὲ καὶ εἰς τὸ προγνῶναι εἴτε ὀλέθριον, εἴτε
περιεστηκὸς εἴη τὸ νόσημα. ὁμοίως δὲ καὶ κατὰ χειρουργίαν, καὶ τὰ διὰ φαρμάκων θεραπευόμενα οὔτε ἄνευ ση-
μειώσεως συντελεῖται, καὶ τὰ ἐπ' αὐτῶν ὁμοίως δεῖται τῆς προγνωστικῆς σημειώσεως, πρὸς τὸ εἰδέναι τίνα
αὐτῶν ἀθεράπευτα ἐστί, καὶ τίνα θεραπευτὰ μέν, βλάπτοντα δὲ μεγάλως, ἢ ἀναιροῦντα ἐὰν θεραπευθῇ. τοῦ θε
ραπευτικοῦ δὲ διαιρουμένου εἴς τε δίαιταν, καὶ φαρμακείαν, καὶ χειρουργίαν. δίαιτα μέν ἐστιν ἀγωγὴ διαφορητι
κῶν, καὶ προσθετικῶν, καὶ συμπεπτικῶν βοηθημάτων, παραλαμβανομένη μὲν ἐπὶ τῶν νοσούντων πάντων,
τὸ δὲ κῦρος ἔχουσα ἐπὶ τῶν πυρεττόντων. χειρουργία δὲ ἐστὶ μόριον τοῦ θεραπευτικοῦ διὰ τομῶν, καὶ καύσεων,
καὶ τῆς περὶ τὰ ὀστᾶ διορθώσεως ὑγιάζουσα τοὺς ἀνθρώπους. φαρμακεία δὲ ἐστὶν εἶδος θεραπείας διὰ ψιλῶν φαρ-
μάκων τά τε ἐντὸς πάθη, καὶ τὰ ἐκτὸς ἰωμένη. δεῖ μὲν γὰρ καταλλήλου διαίτης, ποτὲ δὲ καὶ χειρουργίας
προσδεομένη, ὥσπερ γε ἡ χειρουργία, καὶ δίαιτα προσχρῶνται φαρμακείᾳ. ἄνωθεν οὖν ἐκ φυσιολογίας ἀρ-
κτέον, ἐπειδήπερ οὔτε ἐν ὑγιείᾳ συντηρεῖν, οὐδὲ ἐπὶ τῶν νοσούντων, αἰτιολογεῖν, οὐδὲ σημειοῦσθαι, οὐδὲ θεραπεύειν
ὀρθῶς δύναιτ' ἄν τις, μηδὲ ἐπεσκεμμένος ἐκ τίνων στοιχείων ὁ ἄνθρωπος συνέστηκεν, καὶ πῶς τρεπομένων τού-
των παρὰ τὴν ἐξ ἀρχῆς φύσιν αἱ νόσοι γίνονται.

Περὶ στοιχείων ἐξ ὧν ὁ ἄνθρωπος συνέστηκεν.

Συνέστηκε τοίνυν ὁ ἄνθρωπος ἀκολούθως τοῖς φυσικοῖς καθ' Ἱπποκράτην ἐκ τῶν κοσμικῶν τῶν πρώτων στοιχείων, ἐκ
πυρός, καὶ ἀέρος καὶ ὕδατος, καὶ γῆς. οὐχ ὡς ἐκ τούτων αὐτῶν, ἀλλὰ ἐκ τῶν ἀναλόγων αὐτοῖς συνεστῶτος τοῦ ἀν
» θρώπου. ἐν δὲ τῷ διαλύεσθαι, εἰς ταῦτα τὰ πρῶτα ἀναλύεται, καθὼς αὐτὸς ὁ Ἱπποκράτης ἔφη. καὶ πάλιν ἀναγ
» κη ἀποχωρέειν εἰς τὴν ἑωυτοῦ φύσιν ἕκαστον τελευτῶντος τοῦ ἀνθρώπου, τό, τε ξηρὸν πρὸς τὸ ξηρόν, καὶ τὸ ψυ-
» χρὸν πρὸς τὸ ψυχρόν, καὶ τὸ ὑγρόν, πρὸς τὸ ὑγρόν, καὶ τὸ θερμὸν πρὸς τὸ θερμόν. τοιαύτη δὲ καὶ τῶν ζώων ἐστὶ
ἡ φύσις καὶ τῶν ἄλλων ἁπάντων. γίνεταί τε ὁμοίως πάντα καὶ τελευτᾷ ὁμοίως. συνίσταται γὰρ αὐτῶν ἡ φύ-
» σις ἐκ τούτων τῶν εἰρημένων καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα, εἰς τὸ αὐτό, ὅθενπερ συνέστηκεν ἕκαστον, ἐνταῦ-
θα καὶ ἀπεχώρησεν. ἀλλὰ καὶ Ὅμηρος ἔφη. ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ, καὶ γαῖα γένοισθε. δηλῶν τὴν εἰς ταῦ
τα διάλυσιν. ὡς δὲ ἐκ τῶν δευτέρων καὶ ἐγγὺς ὄντων τῇ ἀνθρωπίνῃ φύσει, ἐκ τῶν τεσσάρων χυμῶν, αἵματος καὶ
φλέγματος, καὶ χολῆς ξανθῆς τε καὶ μελαίνης συνεστάναι φασὶ τὸν ἄνθρωπον. διότι ἐν τῇ πρώτῃ διαπλάσει
τοῦ ἐμβρύου, ἐκ τε τοῦ γόνου καὶ τοῦ παρὰ τῆς μητρὸς ἐπιρρέοντος αἵματος διὰ τοῦ οὐραχοῦ, ἡ σύστασις γίνεται τοῦ
τικτομένου.

πληρούμενα. ἐν δὲ τούτοις ἦσαν οἱ τέσσαρες χυμοί. ὡς δὲ ἐκ τῶν τριῶν καὶ συνθέτων, τὸν ἤδη γινόμενον ἄνθρωπον, ἐκ τῶν δέ φασι συγκεῖσθαι, ἔκ τε τῶν ὑγρῶν καὶ ξηρῶν, καὶ πνευμάτων. καλεῖ δὲ αὐτὰ Ἱπποκράτης ἴσχοντα, ἰσχόμενα, καὶ ἐνορμῶντα. ἴσχοντα μὲν οὖν ἐστὶ ὅσα στερεὰ, ὀστᾶ καὶ νεῦρα, καὶ φλέβες, καὶ ἀρτηρίαι, ἐξ ὧν οἵ τε μύες, καὶ αἱ σάρκες, καὶ πᾶς ὁ τοῦ σώματος ὄγκος πέπλεκται, τῶν τε ἐντὸς, καὶ τῶν ἐκτὸς τὰ συγκείμενα. ἰσχόμενα δὲ ἐστὶ τὰ ὑγρὰ τὰ ἐν τοῖς ἀγγείοις ἐμφερόμενα, καὶ κατὰ πᾶν τὸ σῶμα διεσπαρμένα, ἅπερ καλεῖ Ἱπποκράτης χυμοὺς τέσσαρας τοὺς προειρημένους. ἐνορμῶντα δὲ ἐστὶ τὰ πνεύματα. πνεύματα δὲ κατὰ τοὺς παλαιοὺς δύο ἐστὶ, τό, τε ψυχικὸν, καὶ τὸ φυσικόν. οἱ δὲ στωϊκοὶ, καὶ τρίτον εἰσάγουσι τὸ ἑκτικόν, ὃ καλοῦσιν ἕξιν. καὶ Ἐρασίστρατος δὲ ὡς ἀρχὰς, καὶ στοιχεῖα ὅλου σώματος ὑποτιθέμενος τὴν τριπλοκίαν τῶν ἀγγείων, νεῦρα, καὶ φλέβας, καὶ ἀρτηρίας, παραλείπει τά τε ὑγρὰ, καὶ τὰ πνεύματα. δυσὶ γὰρ ἄλλαις ταῦτα διοικεῖσθαι λέγει τὸ ζῶον, τῷ μὲν αἵματι ὡς τροφῇ, τῷ δὲ πνεύματι ὡς συνεργῷ εἰς τὰς φυσικὰς ἐνεργείας. οὐ παραλαμβάνει δὲ αὐτὰς ὡς ἀρχάς. πολλὰ δὲ καὶ ἄλλα τῶν σωμάτων εἴδη εὑρίσκεται οὐκ ἐκ τῆς τριπλοκίας συγκείμενα, οἷον εὐθὺς ὁ ἐγκέφαλος, καὶ ὁ μυελὸς, καὶ πάντα τὰ ὀστᾶ. τὸν μὲν οὖν ἐγκέφαλον, ἢ τὸν μυελὸν παρέγχυμα τροφῆς τολμᾷ λέγειν, ὡς τὴν πιμελὴν, καὶ τοῦ ἥπατος, καὶ σπληνὸς, καὶ πνεύμονος τὴν σύστασιν. τὰ δὲ ὀστέα οὐδὲ παρέγχυμα τῆς τροφῆς δύναιτ' ἂν λέγειν, οὐδὲ ἐκ τῶν προειρημένων τριγενῶν ἀγγείων πεπλέχθαι. κατὰ δὲ Ἀσκληπιάδην στοιχεῖα ἀνθρώπου ὄγκοι, θραυστοὶ, καὶ πόροι. κατὰ δὲ τὸν Ἀθήναιον στοιχεῖα ἀνθρώπου οὐ τὰ τέσσαρα πρῶτα σώματα πῦρ, καὶ ἀὴρ, καὶ ὕδωρ, καὶ γῆ, ἀλλ' αἱ ποιότητες αὐτῶν, τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ ξηρὸν, καὶ τὸ ὑγρὸν, ὧν δύο μὲν τὰ ποιητικὰ αἴτια ὑποτίθεται, τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, δύο δὲ τὰ ὑλικὰ τὸ ξηρὸν, καὶ τὸ ὑγρὸν, καὶ πέμπτον παρεισάγει κατὰ τοὺς στωϊκοὺς, τὸ διῆκον διὰ πάντων πνεῦμα, ὑφ' οὗ τὰ πάντα συνέχεσθαι, καὶ διοικεῖσθαι. Ἱπποκράτης μὲν οὖν διὰ τριῶν κεχώρηκεν, εἰπὼν στοιχεῖα ἀνθρώπου ἴσχοντα, ἰσχόμενα, ἐνορμῶντα, δι' ὧν τὰ πάντα τῶν μετ' αὐτὸν περιείληφε στοιχείων, καὶ τὴν κατὰ στοιχείων φυσιολογίαν τε καὶ αἰτιολογίαν τῶν παρὰ φύσιν. οἱ δὲ μετ' αὐτὸν, οὐκ οἶδ' ὅπως μίαν οὖσαν τὴν θείαν ταύτην καὶ ἀληθῶς Ἀσκληπιοῦ ἰατρικὴν, τριχῇ διανειμάμενοι, καὶ διασπάσαντες τὰ ἐν αὐτῇ συμφυῆ μέρη, οἱ μὲν μόνοις τοῖς χυμοῖς τῶν τε κατὰ φύσιν τὴν σύστασιν, καὶ τῶν παρὰ φύσιν τὴν αἰτίαν ἀνέθεσαν, ὡς Πραξαγόρας, καὶ Ἡρόφιλος. οἱ δὲ τὰ στερεὰ σώματα, τὰ ἀρχικὰ, καὶ στοιχειώδη ὑποθέμενοι, τά τε φύσει συνεστῶτα, ἐκ τούτων καὶ τῶν νόσων τὰς αἰτίας ἐντεῦθεν λαμβάνουσιν, ὡς Ἐρασίστρατος, καὶ Ἀσκληπιάδης. οἱ δὲ περὶ Ἀθήναιον, καὶ Ἀρχιγένην μόνῳ τῷ διήκοντι δι' αὐτῶν πνεύματι, καὶ τὰ φυσικὰ συνεστάναι τε καὶ διοικεῖσθαι, καὶ τὰ νοσήματα πάντα, τούτου πρωτοπαθοῦντος γίνεσθαι ἀπεφήναντο, ὅθεν καὶ πνευματικοὶ χρηματίζουσι.

Ὀνομασίαι τῶν ἐκτὸς μερῶν τοῦ σώματος.

Περὶ δὲ τῶν ἐκτὸς μερῶν τοῦ σώματος ἢ μορίων, καὶ τίνες αἱ ὀνομασίαι αὐτῶν πρῶτος μὲν ὁ Ἀριστοτέλης ὑπέλαβε τὸ διδάξαι τε καὶ συγγράψαι. ἀναγκαῖον δὲ καὶ τοῖς μεταγενεστέροις ἰατροῖς ἔδοξε, καὶ αὐτοῖς τὰ αὐτὰ πραγματεύεσθαι, ὅπως μὴ τὴν χεῖρα ἐπιφέροντες δεικνύουσιν ἕκαστον τῶν μερῶν ἢ τῶν μορίων, ἀλλ' ἐκ τῆς ὀνομασίας αὐτάρκη ἔχωσι τὴν δήλωσιν αὐτῶν. μάλιστα δὲ τούτων, οἱ περὶ Ἐρασίστρατον ἐζήλωσαν, ὡς Ἀπολλώνιος ὁ Μεμφίτης, καὶ Ξενοφῶν ὁ περὶ αὐτοῦ. διαιροῦσι τοίνυν τὸ ὅλον σῶμα, οἱ μὲν αἰγύπτιοι ἰατροὶ εἰς τέσσαρα, κεφαλὴν, χεῖρας, θώρακα, καὶ σκέλη. οἱ δὲ ἄλλοι εἰς πλείονα καταδιαιροῦντες τὰ προειρημένα τέσσαρα, εἰς ἕτερα μέρη τοῦ ὅλου οὐχ ὡς ἐκείνων μόρια. κεφαλῆς γοῦν τὸ μὲν πᾶν κύτος. μέρος ἂν λέγοιτο τοῦ ὅλου σώματος. ταύτης δὲ μόρια, τὸ μὲν ἔμπροσθεν ὑπὲρ τὰς ὀφρῦς ψιλὸν τριχῶν ἀπὸ ὠτὸς ἐπὶ οὖς μέτωπον καλεῖται. τὸ δὲ ἐπάνω τούτου τετριχωμένον, βρέγμα. τὰ δὲ παρ' ἑκάτερα τούτου ἐπάνω τῶν ὤτων κρόταφοι. τὸ δὲ ὑπὲρ τὸ βρέγμα κατὰ μέσον τῆς κεφαλῆς κορυφὴ, ἀφ' ἧς καὶ δοκεῖ ἄρχεσθαι, ἡ ἔκφυσις τῶν τριχῶν, ὡς ἀπὸ κέντρου κύκλος. τὸ δὲ μετὰ τὴν κορυφὴν ἐκ τῶν ὄπισθεν ὡς ἐπὶ τοὺς τένοντας καταβαῖνον, ἰνίον. ἐκ δὲ τῶν ἔμπροσθεν, πρόσωπον μὲν, τὸ ὑπὸ μέτωπον πᾶν λέγεται, περιοριζόμενον ὠσὶ καὶ ὀφθαλμοῖς, καὶ ῥινὶ, καὶ στόματι μέχρι γενείου. ἄρχεται δὲ ἀπὸ ὀφρύων, καθ' ἃ γὰρ λήγει τὸ μέτωπον ἀπὸ τῶν ἄνω κατιὸν αἱ ὀφρύες διαδέχονται, οἷον πέρατα αὐτοῦ ὑπερέχοντα, καὶ τετριχωμένα. καθ' ἃ δὲ παρατείνει τὸ μέτωπον ἐπὶ τοὺς κροτάφους, ἐπὶ τοῖς πέρασιν † αὐτοῦ τὰ ὦτα τέτακται. τούτων δὲ τὰ μὲν ἀναπεπταμένα, πτερυγώματα. τὰ δὲ ἀνακεκλασμένα εἰς τὸ ὀπίσω ἐκ τῶν ἔμπροσθεν αὐτοῖς τοῖς ἄκροις περικαμπτόμενα, κυβοειδῆ, ὑφ' ἃ τὸ μὲν ἡμικύκλιον ἐμπεριφερὲς εἰς ὀξὺ ἐπανεστηκὸς, ξυστὴρ ὀνομάζεται. τὸ δὲ ὑπὸ τὴν τούτων ὀξύτητα κοῖλον, κογχίον. τὸ δὲ κατὰ μέσον, στρογγύλον τρύπημα, ἀκουστικὸς πόρος, ὑφ' οὗ λοβίον μὲν ἐστὶν τὸ ἀπηρτημένον τοῦ ὠτὸς πιμελῶδες. τὸ δὲ ὑπερκείμενον ἀντιλόβιον. ὑπὸ δὲ τὰς ὀφρῦς οἱ ὀφθαλμοί εἰσιν, ἃ καὶ ὄμματα καλεῖται, τὸ πᾶν σχῆμα μετὰ τῶν μορίων αὐτῶν. τούτων δὲ τὰ μὲν σκέποντα τὴν ἔνδον τῶν χιτώνων σύστασιν, βλέφαρα καλεῖται, τὸ μὲν ἄνω, τὸ δὲ κάτω, συμβάλλοντα ἀλλήλοις πυκνῶς, καὶ ἀκρονυχῶς εἰς ἀνάληψιν τῆς ὄψεως, καὶ εἰς τὸ ἀπορύκειν τὰ πληκτικῶς προσπίπτοντα τοῖς ὀφθαλμοῖς, ἔτι ἀκριβὲς δὲ, ὥσπερ ἐν τοῖς ὕπνοις, εἰς ἀποστροφὴν τῆς ὁρατικῆς δυνάμεως, πρὸς τὸ κατησυχάσαι τὸν ἄνθρωπον. βλεφάρων δὲ τὰ μὲν πρὸς τοῖς ὀφθαλμοῖς ὅλοις καθὰ ἡ συμβολὴ αὐτῶν πρὸς ἄλληλα γίνεται, ταρσοὶ ὀνομάζονται, ἐξ ὧν ἐκπεφύκασι τρίχες, αἳ βλεφαρίδες λέγονται, ἀφ' ὧν πεφύκασι τὰ ὀνόματα ἀπενηνεγμέναι. γεγόνασι δὲ πρὸς τὸ ἀπευθύνειν τὸ ὁρατικὸν πνεῦμα, ἢ, ὥς τινες λέγουσιν, τὰς ἔνδοθεν ἐκχεομένας ἀκτῖνας εἰς τὸ διορᾶν. ἀμέλει τούτων ἐκπεσουσῶν, κατακεκλωμένων, οὐκέτι ὁμοίως ἐπ' εὐθὺ, οὐ δὲ ἐπὶ μακρὸν δύναται βλέπειν τὸ ζῶον. τὰ δὲ ἐντὸς τοῦ ὀφθαλμοῦ πέρατα, καθ' ἃ αἱ συμφύσεις τῶν βλεφάρων, κανθοὶ καλοῦνται, ὁ μὲν πρὸς τὴν ῥῖνα, ὁ μέγας, μικρὸς δὲ, ὁ πρὸς τὸ οὖς. τὸ δὲ μεταξὺ αὐτῶν, τὸ λευκὸν τοῦ ὀφθαλμοῦ, οὗ ἐν μέσῳ ἡ ἶρις κύκλος ποικίλος τοῖς χρώμασιν, διὸ καὶ ἶρις ἐκλήθη, ἀπὸ τῆς πρὸς τὴν οὐράνιον ἶριν ἐμφερείας. ταύτης δὲ πάλιν τὸ μεσαίτατον, κόρη, δι' ἧς τὸ ὁρᾶν συντελεῖται. ἡ δὲ ῥὶς μεταξὺ τῶν ὀφθαλμῶν τέτακται, ταύτης δὲ τὰ μὲν ἑκα

† al. αὐτῶν κυρτοειδῆ.

τέρωθεν μυκτῆρες, ἢ μυξωτῆρες καλοῦνται, δι' ὧν ἀναπνεῖ, τε καὶ ὀσφραίνεται τὰ ζῶα. μυκτήρων δὲ τὰ μὲν
ἔξωθεν πτερύγια. τὸ δὲ διορίζον αὐτὰ, κίων. ἑκατέρωθεν δὲ τῆς ῥινὸς, τὰ μὲν κοῖλα ἰδίως, τὰ ὑπὸ τοῖς ὀφθαλ-
μοῖς, κοῖλα καλεῖται, ἐξ ὧν λέγονται τινὲς κοῖλοι. διὰ νόσους δὲ ταῦτα ἐπαίρεται ἐξ ἀπεψίας ἢ δυσαρεστήματος.
τὰ δὲ τούτοις ἐπανεστῶτα μεταξὺ ῥινὸς καὶ ὤτων, μῆλα ὀνομάζεται, ἃ τοῖς εὐχροωτέροις καὶ ἐλευθεριωτέροις
ἐν τῷ αἰδεῖσθαι ἐρυθραίνεται. σιαγόνες δὲ, τὰ ὑπὸ τούτων κατιόντα, ὡς ἐπὶ τὸ γένυν, καὶ ταύτῃ εἰς τὸ ὀξὺ αὐτοῦ ἀπο-
λήγοντα. γένειον δὲ, πᾶν τὸ ὑποκάτω τοῦ χείλους ἐν περιφερεῖ παραμήκει σχήματι. μύσταξ δὲ τὸ ὑπεράνω τοῦ χεί-
λους, ὑπὸ τοὺς μυξωτῆρας, ὅπερ Ὅμηρος ὑπήνην ἐκάλεσε. στόμα δὲ τὸ ἀνὰ μέσον τῶν χειλῶν, ὑπ' αὐτῶν συνιστά-
μενον, καὶ συνεχόμενον. ἔοικε γὰρ ταῦτα οἷον συμπεφυκότα, εἶτα ἀποσχισθέντα τὸ στόμα ποιεῖν, διὸ καὶ φαίνε-
ται οἷον εἰ ἄρτι διῃρημένα. τὸ δὲ ἐκδεχόμενον τὴν κεφαλὴν μέχρι τῶν ὤμων, τὸ μὲν πᾶν τράχηλος λέγεται. τούτου
δὲ τὰ μὲν ὄπισθεν ἰδίως τένοντες ὀνομάζονται. ὑπὸ δὲ τὸν τράχηλον ἑκατέρωθεν, οἱ ὦμοι εἰσὶν ἐπανεστῶτες, ὧν
τὸ μὲν ἀνώτατον, ἀκρώμιον καλεῖται. τὸ δὲ ἀπὸ τούτου εἰς τὸ ἔμπροσθεν, † κατακλεῖδες. μεταξὺ τούτων αἱ σφαγαί.
ἀπὸ δὲ τῶν ὤμων αἱ χεῖρες ἔρχονται ἀπηρτημέναι, ἑκατέρα τῇ καθ' αὑτὴν πλευρᾷ. τούτων δὲ τὸ μὲν ἀπὸ τοῦ ὤμου μέ-
χρι ἀγκῶνος, βραχίων καλεῖται. ἀγκὼν δὲ καθὰ συγκάμπτεται ἡ χεὶρ ὅλη, οὗ τὸ ἔξω μέρος κορωνὸν, καὶ ὠλέκρα-
νον ὀνομάζεται. τὸ δὲ μετὰ τοῦτον πῆχυς, ᾧ καὶ μετροῦσιν οἱ ἄνθρωποι. καθ' ὃ δὲ τελευτᾷ ὁ πῆχυς, καὶ ἄρθρον
ποιεῖ πρὸς ἄκραν χεῖρα, καρπὸς καλεῖται. καὶ τὸ μετὰ τοῦτον μετακάρπιον. εἶτα κόνδυλοι, ὅθεν ἄρχονται οἱ
δάκτυλοι. δακτύλων δὲ ὁ μὲν μέγιστος ἀντίχειρ καλεῖται, διὰ τὸ ὅλῃ τῇ χειρὶ ἅμα συνεργοῦντα, ἴσον αὐτῷ
δύνασθαι. ὁ δὲ μετὰ τοῦτον λιχανὸς, ὡς ἔοικεν ἀπὸ τῆς χρείας τοὔνομα ἔχων. ἐφεξῆς ὁ μέσος, καὶ μετὰ τοῦτον ὁ παράμε-
σος, ὁ τοῖς † ἰατρικοῖς ἀνακείμενος, καὶ ἀπ' αὐτῶν τοὔνομα κεκληρωμένος. ὁ δὲ ἐπὶ πᾶσι, μικρὸς, καθ' ὃ πάντων
ἠλάττωται. τὸ μὲν οὖν ἀπὸ τοῦ καρποῦ, ἄκρα χεὶρ λέγεται. ὑπτιαζούσης δὲ, τὸ μὲν κατὰ τὸν ἀντίχειρα ἐπανεστηκὸς,
θέναρ καλεῖται, τὸ δὲ ἀντικείμενον αὐτῷ, ὑποθέναρ. τὸ δὲ ὑπὸ τὰς ἐκφύσεις τῶν δακτύλων, στῆθος χειρός.
τὸ δὲ μεταξὺ τούτων ἁπάντων κοῖλον χειρός. ἄνωθεν, δὲ τὸ ὑπὸ τὸν τράχηλον πᾶν, ἐκ τῶν ἔμπροσθεν μέχρι λα-
γόνων, θώραξ καλεῖται. τούτου δὲ τὸ μὲν ὑπὸ τὰς κλεῖδας ἀμφοτέρωθεν, καὶ τὰς χεῖρας, αἱ πλευραὶ, ἐξ ὧν καὶ
πλευρὸν ἑκάτερον λέγεται. τὸ δὲ μεταξὺ τούτων, στῆθος. καὶ τὸ μεσαίτατον αὐτοῦ, στέρνον, μέχρι τοῦ χόνδρου, ὑφ'
ὃν τὸ στόμα τῆς κοιλίας. ὁ δὲ τόπος οὗτος καὶ ἔξωθεν λέγεται, ἐντεῦθεν δὲ τὸ ἐπιγάστριον ἀνέχεται. τὰ δὲ ὑπὸ
στόμα τῆς κοιλίας κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν, εἰκότως ὑποχόνδρια καλεῖται, ἐπεὶ κατὰ τὴν εὐθύτητα ὑπὸ τὸν
χόνδρον ἐστὶ, ὡσανεὶ μετὰ τοῦτον. εἰσὶ δὲ μὲν ἡπλωμένοι, καὶ ὑπεστρωμένοι τῷ περιτοναίῳ, ἔξωθεν δὲ σκεπό-
μενοι τῷ δέρματι. ὁμωνύμως δὲ τούτοις, καὶ τὰ ἔνδοθεν σπλάγχνα ὑποχόνδρια καλεῖται, ἐπειδὴ καὶ αὐτὰ
ὑπὸ τοὺς χόνδρους ἐστὶ, τῶν νόθων πλευρῶν καὶ οἷον ἐντὸς αὐτῶν. τὰ δὲ ἐκτὸς μέσα, τὰ κυρίως λεγόμενα ὑπο-
χόνδρια, τὸ μὲν ἔμπροσθεν τῶν λαγόνων περιέχον τὸ ὑποχόνδριον, ἐπιγάστριον. τὰ δὲ ἑκατέρωθεν, κενεών. τὸ δὲ
μεσαίτατον τῆς λαγόνος, ὀμφαλός. τὸ δὲ ὑπὸ τοῦτον ἦτρον. εἶτα τὸ ἐφήβαιον, ὃ καὶ ἐπίσειον καλεῖται, εἰς ὃ τελευ-
τᾷ ὁ θώραξ, ἔνθα καὶ τὰ αἰδοῖα τῶν ἀρρένων τέτακται, καὶ τῶν θηλειῶν, κατὰ τὴν διάφυσιν τῶν μηρῶν, ὅπως κρύ-
πτηται ὑπὸ τούτων. τοῦ μὲν οὖν ἀρσενικοῦ τὸ προῦχον, καυλός. τὸ δὲ ἄκρον αὐτοῦ βάλανος. καθ' ὃ δὲ τετρύπη-
ται πρὸς ἔκκρισιν, ἀπὸ τῆς χρείας οὐρήθρα ὀνομάζεται, τὸ δὲ σκέπον τὸ ἄκρον, πόσθη. τὸ δὲ κάτω μέρος τοῦ καυλοῦ
κατὰ μῆκος αὐτοῦ, ῥαφή. τὸ δὲ διατεῖνον μέχρι τῆς ἕδρας ταῦρος καλεῖται. δίδυμοι δὲ καὶ ὄρχεις ἔνδοθέν τε καὶ
ἔξωθεν ὀνομάζονται. καὶ ὄσχεον, τὸ περὶ τοὺς διδύμους. τοῦ δὲ γυναικείου αἰδοίου, οὕτω γὰρ αὐτὸ ὠνόμαζον, αὐτὸς μὲν
ὁ κόλπος κτεὶς καλεῖται. τὰ δὲ περιέχοντα τὸν κόλπον πτερυγώματα. τὸ δὲ μέσον τούτων κατὰ τὴν διαχίδα
ἐκπεφυκὸς σαρκίδιον, νυμφὴ, ὃ καὶ διὰ τὸ προκύπτειν ἐπὶ πολὺ, ἐκτομῆς ἀξιοῦται παρ' Αἰγυπτίοις ἐπὶ τῶν παρ-
θένων. κοινῶς δὲ διὰ τῆς ἕδρας, πρὸς τὸ ἐπέχειν ὁπότε βουλόμεθα τὰς ἐκκρίσεις, συγχωρεῖ. δακτύλιος δὲ, ἀπὸ
τοῦ σχήματος, καὶ σφιγκτὴρ, ἀπὸ τῆς ἐνεργείας κέκληνται. τὸ δὲ ὑπὸ τὸν τράχηλον ἐκ τῶν ὄπισθεν οὕτως ἔχει † διαθέ-
σεως τε καὶ ὀνομασίας. τὸ μὲν πᾶν νῶτα καλεῖται. ἐντεῦθεν δὲ τὰ μὲν ἑκατέρωθεν, ὠμοπλάται, τὸ δὲ μεταξὺ αὐ-
τῶν μετάφρενον, ᾧ καὶ στόμαχος ἔνδοθεν ὑπόκειται. τὸ δὲ μεσαίτατον τοῦ νώτου παντὸς ἄνωθεν μέχρι γλουτῶν, ῥά-
χις. ταύτης δὲ τὸ μὲν εὐθὺ ὑπὸ τὸ μετάφρενον ἄκνηστιν εἶπεν Ὅμηρος, ὃ διὰ σαφῶν προσέθηκεν, κατ' ἄκνηστιν μέ-
σα νῶτα. ἐπεὶ καὶ κατὰ εὐθεῖαν τοῦ μήκους μέσα εἰσὶν τὰ νῶτα, καὶ τὸ μέσον ἐστὶ τοῦ μεταφρένου, καὶ ὀσφύος. διαδέχε-
ται οὖν ἡ ὀσφὺς ἥ τις ἰξὺς ὠνόμασται, κατ' ὃ ζωννύμεθα. λήγει δὲ αὕτη εἰς τὸ ἱερὸν ὀστοῦν. παρ' ἑκάτερα δὲ τούτου,
τὰ ἰσχία ἐστὶ, ἐφ' οἷς οἱ γλουτοί. διὰ τὸ ὀστᾶ εἶναι τὰ ὑποκείμενα μέγιστα, ἔνθεν ὑπεστρώθη αὐτοῖς σώματα σαρκώδη.
ὧν τὰ κυρτώματα ἐκ τοῦ περιφερῆ εἶναι, σφαιρώματα προσαγορεύεται. ἐντεῦθεν δὲ ἡνωμένως τὸ σῶμα διχοφυὲς
γίνεται. διαμερίζεται γὰρ εἰς δύο, ἃ καλεῖται σκέλη, ὧν τὴν διαχίδα, διχάλαν οἱ παλαιοὶ λέγουσιν. ταῦτα
δὲ ὅλα μὲν μέχρι περάτων σκέλη λέγεται. τούτων δὲ τὰ μὲν ἀπὸ τῶν ἰσχίων εὐθὺς ἐρχόμενα, μηροί. καθὸ δὲ μετὰ
ταῦτα συμβάλλει τὰ κῶλα τοῖς ὑποκάτω, καὶ ἄρθρον ποιεῖ, γόνυ καλεῖται, οὗ τὰ κατόπιν, ἰγνύα ἢ ἀγκύλη. τὰ
δὲ ἐντεῦθεν ἐπὶ τὰ κάτω μέγιστα κῶλα, κνῆμαι. ὧν τὸ μὲν ἔμπροσθεν, ἀντικνήμιον, τὸ δὲ ὄπισθεν γαστροκνημία. τὰ
δὲ πέρατα τῶν τῆς κνήμης ὀστῶν εἴς τε τὸ ἔνδον μέρος, καὶ εἰς τὸ ἔξω ἐξέχοντα, σφυρὰ προσαγορεύεται. τὰ δὲ ἀπὸ
τῶν σφυρῶν κυρίως πόδες λέγονται. ἀφ' ὧν καὶ ἕτερον μέτρον ἑαυτοῖς οἱ ἄνθρωποι εὕραντο, τὸν πόδα ἄραν-
τες. τῶν δὲ ποδῶν, τὸ μὲν ὄπισθεν, πτέρνα ὀνομάζεται. τὸ δὲ ἔμπροσθεν ἀπὸ τῶν σφυρῶν μέχρι δακτύλων, ταρ-
σὸς καλεῖται. τούτου δὲ τὸ μὲν ἔνδοθεν πρὸς ἀλλήλους ἀφορῶν τῶν ποδῶν, ὡς ἐπὶ τὸν μέγαν δάκτυλον, ἀρχόμενον
ἀπὸ τοῦ σφυροῦ, πέδιον. τὸ δὲ ὑπὸ τούτου εὐθὺς ἐν μέσῳ κατωτάτω τοῦ ποδὸς κοῖλον. τὸ δὲ κατώτατον, ἐφ' ᾧ πα-
τοῦμεν καὶ ᾧ ἐπιβαίνομεν πέλμα. οὗ τὸ μὲν πρὸς τοὺς δακτύλους μετὰ τὸ κοῖλον ἐπανεστηκὸς, στῆθος ποδός. εἶτα
οἱ δάκτυλοι, ἰσάριθμοι μὲν τοῖς τῶν χειρῶν, οὐ τυχόντες δὲ τῶν αὐτῶν ὀνομάτων, διὰ τὸ μηδὲ τὰς αὐτὰς χρείας ἐπι-
τελεῖν, πλὴν ὅσα ἐκ τῆς κατὰ τὸ μέγεθος διαφορᾶς, ἢ ἐκ τῆς κατὰ τὴν θέσιν τάξεως.

† al. κάτω κλεῖ

† al. ἰατροῖς

† al. uel διὰ θέσεως

Ἀνατομὴ

Ἀνατομὴ τῶν ἐντός.

Ἀνατομὴ καταχρηστικῶς μὲν λέγεται καὶ ἡ τῶν ἐκτὸς μερῶν τε καὶ μορίων τοῦ σώματος διέξοδος, ἥτις ἐστὶ διὰ λόγου διήγησις ἑκάστου, μετὰ τῆς κατὰ φύσιν θέσεως αὐτῶν, καὶ τάξεως, καὶ χρείας, ἣν παρέχεται τῷ ζώῳ, καὶ τῆς οἰκείας ἑκάστου ὀνομασίας, περὶ ὧν ἤδη διεξήλθομεν, κυρίως δὲ λέγεται ἡ ἀνατομὴ ἡ τῶν ἐντὸς μετὰ λόγου ἀνάπτυξις. οὐ γὰρ τὸ τῇ ὄψει αὐτὰ δειχθῆναι ἀνατομή ἐστιν, ἀλλὰ τὸ μετὰ λόγου ἑκάστου αὐτῶν γνῶσιν λαβεῖν, τάς τε κατὰ φύσιν ἐνεργείας ὅπως δι' αὐτῶν ἀποτελοῦνται ἐκμαθεῖν, καὶ τὰς κοινωνίας ἃς ἔχει πρὸς ἄλληλα τὰ σπλάγχνα, καὶ τὰ ἄλλα μέρη τοῦ σώματος διὰ φλεβῶν. ὁ μὲν οὖν ἐγκέφαλος ἐξ οὐδενὸς τῶν προειρημένων κατ' Ἐρασίστρατον ἀρχικῶν ἀγγείων φαίνεται πεπλέχθαι, διὸ καὶ παρέγχυμα τροφῆς δοκεῖ αὐτῷ εἶναι. ἔστι δ' ἁπλοῦν σῶμα, καὶ διὰ τοῦτο ἀρχικόν, καὶ κυριώτατον τῶν ἐν ἡμῖν. διὸ καὶ τὸ ἡγεμονικὸν τῆς ψυχῆς αὐτῷ πιστεύουσιν, ὡς Πλάτων καὶ Ἱπποκράτης. περιέχεται δὲ ὑπὸ μηνίγγων δύο, τῆς μὲν προσεχοῦς, καὶ προσυποῦς αὐτῷ, ἣ καλεῖται χοροειδής, καὶ ἐστὶ φλεβωδεστέρα. ἡ δὲ ἑτέρα ἐπὶ ταύτης οὖσα προσήρτηται μᾶλλον τῷ κρανίῳ κατά τινα μέρη, καὶ ἐστὶ νευρωδεστέρα. ἐκ μὲν οὖν τῶν ἄνω φλεβῶν ἀπὸ καρδίας εἰς αὐτὴν ὀχετεύουσιν τὴν τροφήν, κατὰ τὸ λεγόμενον ληνωεῖον, ἐκ τῶν πρὸς τῇ βάσει ἀρτηριῶν. ἐντεῦθεν δὲ καὶ νεῦρα ἄρχεται ἐκφύεσθαι αὐτοῦ, ὅθεν καὶ εἰς πᾶν τὸ σῶμα ἀναδιδόασιν τὰς ψυχικὰς ἐνεργείας. νεύρων δὲ εἴδη δύο, τὸ μὲν τῶν συνδετικῶν τῶν συνεχόντων τὰ ὀστᾶ πρὸς ἄλληλα. τὸ δὲ τῶν αἰσθητικῶν, καὶ κινητικῶν, ἃ τὴν αἴσθησιν ἐμποιεῖ τῷ σώματι, καὶ τὴν προαιρετικὴν κίνησιν εἰς πᾶν διαπέμπει, ἐξ ὧν καὶ τῶν μυῶν ἡ γένεσις. τῶν δὲ ὀφθαλμῶν οἱ πόροι ἐκπεφύκασι, καὶ αὐτοὶ ἀπὸ τῆς βάσεως τοῦ ἐγκεφάλου, δι' ὧν τὸ ὁρατικὸν πνεῦμα εἰς τοὺς ὀφθαλμοὺς διαδίδοται. ἐντεῦθεν δὲ καὶ εἰς τοὺς μυκτῆρας ἀποφύσεις ἤρτηνται, δι' ὧν τε ὀσφραινόμεθα, καὶ δι' ὧν ἐκκαθαίρεται ὁ ἐγκέφαλος. εἰς δὲ τὰ ὦτα ἀποφύσεις μὲν οὐκ εἰσί. τέτρηται δὲ αὕτη ἡ μῆνιγξ ἐκ τῶν ὄπισθεν, καὶ σκωληκοειδῆ ἀπόφυσιν ποιεῖται, δι' ἧς καὶ αὐτὰ ἀποκαθαίρεται, καὶ ἐν ἀρχῇ ταύτης, τὸ λεγόμενον κωνοειδές. ἐντεῦθεν δὲ καὶ ὁ ῥαχίτης μυελὸς ἄρχεται. κοιλίας δὲ ἔχει ὁ ἐγκέφαλος δύο. κατ' ἐνίους δὲ μίαν, ἔνθα τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἵδρυται. περιέχεται δὲ καὶ τὰ τοῦ κρανίου ὀστᾶ, ἄνωθεν ὑπὸ τῷ δέρματι τῷ περικρανίῳ λεγομένῳ ὑμένι, ἐκπεφυκότι μὲν διὰ τῶν ῥαφῶν ἐκ τῶν μηνίγγων. ἀρχὴ δὲ οὗτος γίνεται τοῦ τε ὑπεζωκότος τὰς πλευρὰς ὑμένος, καὶ τοῦ διαφράγματος, καὶ τοῦ περιτοναίου, καὶ παντὸς ὑμένος νευρώδους. ὁ δὲ ὀφθαλμὸς συνέστηκεν μὲν καθ' Ἱπποκράτην ἐκ χιτώνων δύο, οὓς μήνιγγας ὁ Ἱπποκράτης καλεῖ, ἐπειδὴ ἐκ τῶν μηνίγγων ἐκπεφύκασιν. κατὰ δὲ τοὺς νεωτέρους ἐκ τριῶν, κατ' ἐνίους δὲ ἐκ τεσσάρων. πρῶτος μὲν οὖν ἔξωθεν ἐστὶν ὁ κερατοειδής, λευκὸς μὲν κατὰ τὰ ἄλλα, κατὰ δὲ τὴν ἶριν λεπτυνόμενος διαφαίνει τὸ ὑποκείμενον χρῶμα, καθ' ὃ μέλας, ἢ γλαυκότερος, ἢ χαροπὸς φαίνεται, δεύτερος δὲ ἐστὶ ὁ ῥαγοειδής ῥαγὶ σταφυλῆς ἐοικὼς τὰ ἔνδοθεν, τετρημένος κατὰ τὴν κόρην. τρίτος δὲ ὁ ἀμφιβληστροειδὴς ἐγκολπούμενος, ὥσπερ καὶ δεχόμενος ἐπ' ἄκρῳ τὸν ὑπό τινων εἰσαγόμενον τέταρτον χιτῶνα, ὃν καὶ ἄδηλον προσαγορεύουσιν. ἐστὶ μὲν γὰρ ὑμὴν σμικρότατός τε καὶ ἰσχνότατος. ἀλλ' ὁ μὲν πρῶτος, καὶ ὁ δεύτερος στερεοὶ ὑμένες, καὶ χιτῶνες παχεῖς εἰσίν. ὁ δὲ τρίτος καὶ τέταρτος ἰσχνότατοι. διὸ καὶ Ἱπποκράτης τοὺς πρώτους μόνους οἶδε λέγων. ὁ δὲ ὀφθαλμὸς μήνιγγας ἔχει δύο. ὑγρὰ δὲ περιέχουσι οἱ ὑμένες ἔτι τρισσά, τό τε ὑδατοειδές, καὶ τὸ ὑαλοειδές, καὶ τὸ κρυσταλλοειδές. Βλεφάρων δὲ τὰ μὲν ἔσωθεν σαρκώδη, τὰ δὲ μεταξὺ χονδρώδη. ἔξωθεν δὲ δέρματι σκέπεται. διὰ δὲ τὸ σκληρὸν τοῦ μεταξὺ χόνδρου πιμελὴ ὑπέστρωται αὐτῷ οἷον μάλαγμα, ἥτις ἐπὶ τὸ πολὺ πλεονάζουσα τὰς ὑδατίδας ποιεῖ. ἡ δὲ γλῶσσα σαρκώδης μὲν τὰ πλεῖστα. διττὸν δὲ νεύρων εἶδος ἐμπέφυκεν εἰς αὐτὴν ἐκ τῆς τοῦ ἐγκεφάλου βάσεως, τὸ μὲν τῶν καλουμένων μαλακῶν νεύρων, δι' ὧν τὴν αἴσθησιν τὴν γευστικὴν ἐπὶ τὴν ἀρχὴν ἀναδίδωσι. τὸ δὲ τῶν σκληρῶν, δι' ὧν καὶ ἡ κίνησις, ἡ προαιρετικὴ ἐπ' αὐτὴν ἀναφέρεται. πρὸς δὲ τῇ ῥίζῃ αὐτῆς ἐμπέφυκεν, ἡ ἐπιγλωττίς, ἥτις ἐν τῷ καταπίνειν ἀνατρέχουσα ἐπιπωματίζει τὸν βρόγχον, ἵνα μή τι τῶν στερεῶν ἢ ὑγρῶν ἐμπέσῃ εἰς αὐτόν. τῆς δὲ αὐτῆς αἰτίας ἕνεκα, καὶ αἱ ἀντιάδες γεγόνασι, τέσσαρες οὖσαι τὸν ἀριθμόν, δύο μὲν προφανεῖς πρὸς τῇ ῥίζῃ τῆς γλώττης ἑκατέρωθεν, δύο δὲ ἐχόμεναι τούτων ἐνδότεραι. λέγονται δὲ αὗται, καὶ παρίσθμια, διὰ τὸ ἐοικέναι τὸ χωρίον ἰσθμῷ εἰς ὃ πεπτώκασι, μάλιστα δὲ ὅταν φλεγμαίνωσιν. διότι στενοῦσι ἄγαν τὴν δίοδον ταύτην. ἐπεὶ δὲ δύο ὕλαις διοικεῖται τὸ ζῶον, τροφῇ καὶ πνεύματι, πνεύματος μὲν ὁδοί τε καὶ καταδοχαί, τὰ δὲ, ῥῖνες, στόμα † βρόγχος, τραχεῖα ἀρτηρία, πνεύμων. ῥὶς μὲν καὶ στόμα πρὸς τὸ ἀναπνεῖν, ὁ δὲ γαργαρεών, ἵνα μὴ ἀθρόως εἰς τὸν βρόγχον προσεμπίπτῃ ψυχρὸς ἀήρ. ἀρτηρία δὲ τραχεῖα πάροδος ἐστὶ αὐτῷ εἰς τὸν πνεύμονα ἐν τῷ στήθει κείμενον, δι' οὗ καὶ ἡ πᾶσα ἀναπνοὴ γίνεται, διαστελλομένου μὲν, ἵνα δέξηται, συστελλομένου δὲ ἵνα ἐκπέμψῃ. διὸ καὶ ἔοικε τῇ μὲν ἐνεργείᾳ ταῖς χαλκευτικαῖς φύσαις, τῷ δὲ σχήματι βοὸς ὁπλῇ. ἐν πνεύμονι δὲ κατεργασθέντος τοῦ πνεύματος, τὸ μὲν ἀναγκαιότατον, εἰς τὴν ἀριστερὰν κοιλίαν τῆς καρδίας φέρεται, τὸ δὲ ἄχρηστον ἐκπνεῖται δι' ὧνπερ εἰσεπνεύσθη. τροφῆς δὲ ἀγγεῖα τὰ πρὸς ὑποδοχήν, καὶ ὄργανα πρὸς κατεργασίαν, τὰ δὲ, στόμα μὲν καὶ ὀδόντες, στόμαχος κοιλία, νῆστις καὶ λεπτὰ ἔντερα. στόμα μὲν καὶ ὀδόντες πρὸς λέανσιν. στόμαχος δὲ πρὸς ὄρεξιν, καὶ κατάποσιν. παρατέταται δὲ τῇ τραχείᾳ ἀρτηρίᾳ, καὶ διατείνει μέχρι διαφράγματος. κοινὴ δὲ πρὸς πέψιν ἡ γαστήρ. ἄρχεται δὲ ὡς ἀπὸ μέσου τοῦ χόνδρου, ἔνθα στόμα κοιλίας λέγεται, ὑπιοῦσα δὲ τὸ ἧπαρ, τῷ κύτει σιγματοειδὴς οὖσα, ἐπὶ τὰ ἀριστερὰ νεύει τῷ ἑτέρῳ ἄκρῳ, ἔνθα καὶ ὁ πυλωρὸς ἐστὶ ἵνα μὴ ἀθρόως διεκπίπτῃ αὐτῆς ἡ τροφή. νῆστις δὲ καὶ λεπτὸν ἔντερον πρὸς ἀνάδοσιν, πολλοὺς δὲ ἑλιγμοὺς ἡ νῆστις ἔχει, καὶ συνέχεται τῷ μεσαραίῳ ἢ μεσεντερίῳ, ὃ ἐξυφαίνουσιν αἱ εἰς αὐτὸν καθήκουσαι φλέβες δι' ὧν ἡ πλείστη ἀνάδοσις γίνεται ἐπὶ πύλας ἥπατος. συνάπτεται δὲ αὐτῇ τὸ λεπτὸν ἔντερον, ὡς μέρος αὐτῆς δοκεῖν εἶναι. ἔοικε γὰρ νήστει ἡπλωμένῃ. οὐκ ἐπὶ πολὺ δὲ, δι' ὧν ἡ πλείστη ἀνάδοσις γίνεται ἐπὶ πύλας ἥπατος. ἑξῆς δὲ τὸ τυφλὸν ἔντερον πρὸς ὑποδοχὴν τῆς τροφῆς. ἐπὶ δὲ τούτῳ τὸ κῶλον πρὸς ὑποδοχὴν τῶν διακεκριμένων περιττωμάτων ἐκ τῆς ἀναδόσεως, δια-

† uidetur deesse hoc loco γαργαρεών.

ϐαῖνον δὲ ἐπὶ τὰ δεξιὰ ὑπὲρ ὀμφαλὸν ἐντὸς τοῦ ἥπατος, καὶ τοῦ σπληνὸς εἰς τὰ κάτω πάλιν φέρεται διαζῶσαν τὸ ὑπογάστριον ὅλον, καὶ τελευτᾷ ἐπὶ τὸ ἀπευθυσμένον. δύο τοίνυν πόροι ἀρχόμενοι ἀπὸ τῆς τοῦ στόματος εὐρυχωρίας, ὁ μὲν ἐπὶ τὸ ἔμπροσθεν τοῦ τραχήλου τέτακται, καὶ καλεῖται βρόγχος, ἢ τραχεῖα ἀρτηρία. ὅθεν δὲ ἄρχεται, καὶ καθὰ ἀνεστόμωται φάρυγξ λέγεται, ἢ λάρυγξ. συνέστηκε δὲ ὁ πᾶς πόρος, ἐκ χόνδρων οἷον κρικοειδῶν, ἢ κυκλοτερῶν, ἵνα ἀσύμπτωτος μένῃ πρὸς τὸ ἀδιαλείπτως εἰσπνεῖν τὸ ζῶον, διὸ καὶ ἀεὶ ἀναπέπταται αὐτοῦ τὸ στόμα. τροφῆς μὲν γὰρ ἀπέχεσθαι ἐπὶ πλεῖστον δεῖ ὑπομένειν μὴ εἰσπνεῖσθαι δὲ οὐδὲ τὸ ἀκαριαῖον, διὰ τοῦτο δὲ καὶ καθαρὰν τῷ πνεύματι τὴν δίοδον ταύτην παρέχει, ὅπως μηδέποτε ἐμποδίζῃ τὴν ὁδὸν τῷ πνεύματι. ἀμέλει εἴπου ἐν τῷ τρέφεσθαι λαθὸν παρεμπέσοι τι εἰς αὐτὸν, εὐθὺς βὴξ καὶ πνιγμὸς ἐπακολουθεῖ, ἄχρις οὗ ἐξωθούμενον ὑπὸ τοῦ πνεύματος ἀνενεχθῇ. διαπέμπει δὲ τὸ πνεῦμα ἡ τραχεῖα ἀρτηρία εἰς τὸν πνεύμονα, καὶ περαιοῦται εἰς τὰς ἐν αὐτῷ τραχείας ἀρτηρίας, αἳ καὶ αὐταὶ, καὶ βρόγχια καλοῦνται. ὁ δὲ στόμαχος ἐνδοτέρω τοῦ βρόγχου ὢν, πρὸς τοῖς σπονδύλοις τοῦ τραχήλου, συμπαρεκτείνεται μὲν τῇ τραχείᾳ ἀρτηρίᾳ ἐπὶ πολὺ, ἀλλ' ὁ μὲν βρόγχος προκείμενος, ἐν τῷ καταπίνεσθαι τὴν τροφὴν προσανατρέχων, ἐπιπωματίζεται ἀκριβῶς τῇ ἐπιγλωττίδι, ἥτις πέφυκεν ἐκ τῆς ῥίζης τῆς γλώττης. ἡ δὲ ἐπιγλωττὶς οὐ μόνον τὸ στόμα ἐπιπωματίζει, ἀλλὰ καὶ τὴν τροφὴν τὴν ὑπὸ τῆς γλώττης οἷον ὑπὸ πτύου ἀναλιχμωμένην διαπορθμεύει, ὥσπερ γέφυρα, ἐπὶ τὸν στόμαχον ὑπὲρ τὸ στόμα τοῦ βρόγχου ὑποβληθεῖσα αὐτήν. ὁ δὲ στόμαχος φυσικὴν ἐνέργειαν ἔχων τὴν ὀρεκτικὴν δύναμιν, διαστέλλεται μὲν ὑπὸ τῆς ὀρέξεως, καὶ καταπίνει τὰ εἰσφερόμενα. ἡ δὲ τῷ ὑποκειμένῳ στελλομένη οἷον ἐκθλίβει, καὶ ἀπωθεῖται αὐτὰ ἐπὶ τὰ ὑποκείμενα † μέχρι ἐκβαλὼν διὰ τοῦ διαφράγματος συμφυεῖ τῷ στόματι τῆς κοιλίας, δι' οὗ στενοῦ πόρου ὄντος εἰς τὴν γαστέρα τροφὴ παρέχεται. γαστρὸς δὲ, ἡ μὲν φυσικὴ ἐνέργεια πέττει τὴν προσενεχθεῖσαν αὐτῇ τροφήν. πεφθεῖσα δὲ αὕτη πρῶτον μὲν ἔοικεν χυλῷ πτισάνης. διά τε τοῦ λεγομένου πυλωροῦ ὄντος ἔτι στενοτέρου, διηθεῖται εἰς τὴν νῆστιν ἡ τροφὴ, ἥτις λεπτὸν ἔντερον οὖσα, διὰ τοῦτο ὑπὸ τῆς φύσεως εἰς ἕλικας πλείστας συνετέθη, ὅπως μὴ ῥᾳδίως διακόπτηται, ἢ διασπᾶται. συνέχονται δὲ αἱ ἕλικες αὐτῆς καὶ ὑποβαστάζονται τῷ λεγομένῳ μεσαραίῳ, ἢ μεσεντερίῳ. οὐ μόνον δὲ τὴν χρείαν ταύτην παρέχει τὸ μεσάραιον, ἀλλὰ καὶ τὰς ὑπὸ τοῦ ἥπατος ἐκπεφυκυίας δύο φλέβας, ἔπειτα εἰς πολλὰς ἀποσχίδας διαιρουμένας, αἳ ἐμβάλλουσιν εἰς τὸ μεσάραιον, ὅπως καὶ αὗται μὴ διαρρήγνυνται, ἰσχναὶ οὖσαι. ἀλλ' ἀνέχονται ὑπὸ τοῦ ἐνυφασμένου αὐτῷ ὑπερείσματι συγχρώμεναι τούτῳ καὶ οἷον διαβάθρᾳ κουφιζόμεναι περαιοῦνται, καὶ οὕτως ἐπὶ πάσας τὰς ἕλικας τῆς νήστεως ἐοικυίας βδέλλαις, ἀναστομούμεναι εἰς τὴν νῆστιν, πᾶσαν δέχονται τὴν ἐν αὐτῷ κεχυλωμένην τροφήν. ἅμα δὲ τῷ δέξασθαι, εὐθὺς ἐξαιματοῦσιν αὐτὴν χυλὸν ὄντα τὸ πρόσθεν, μέχρις ὅτε ἐν τῇ νήστει ἐστί. οὐδὲ γὰρ ἑτέρωθεν αἵματος ἀγγεῖον, οὔτε φλέγματος, ἢ ἄλλου τινὸς ἐστὶν περιεκτικὸν, ἢ αἵματος, ὡς ὁ τῆς φύσεως νόμος διαγορεύει. πάλιν οὖν διὰ τοῦ μεσαραίου αἱ φλέβες αὗται ἐδέξαντο, δύο γινόμεναι ἐκ πολλῶν ἐμβάλλουσιν εἰς τὸ ἧπαρ κατὰ τὰς λεγομένας αὐτοῦ πύλας. ἐν δὲ τῷ ἥπατι ἐξαιματουμένης τῆς τροφῆς ὁμοῦ διακρίνεται ἕκαστον τῶν περιττωμάτων. καὶ ἡ μὲν ξανθὴ χολὴ ἐπὶ κύστιν τὴν ἐν τῷ ἥπατι φέρεται. ἡ δὲ μέλαινα ἐπὶ σπλῆνα. ἀπὸ δὲ ἥπατος ἐξαιματωθεῖσα ἡ τροφὴ, εἰς τὴν δεξιὰν ἀναδίδοται τῆς καρδίας κοιλίαν. ἀπὸ δὲ τῆς καρδίας, διὰ μὲν τῶν σφαγιτίδων ἐπὶ τὰ ἄνω τὸ αἷμα ἀναδίδοται. διὰ δὲ τῆς κοίλης φλεβὸς ἐπὶ πάντα τοῦ σώματος τὰ μέρη. ἀπὸ γοῦν τῆς κοίλης φλεβὸς διακρινομένου τοῦ ὀρρώδους ἀπὸ τοῦ αἵματος, ἀποσχίδες ἐπὶ νεφροὺς φέρουσιν, οἳ κεῖνται κατὰ τὴν ὀσφὺν ὑπὸ τὰς ψόας δι' ὧν διηθεῖται τὸ οὖρον, ἐπὶ τὴν κύστιν δὲ παραγίνεται διὰ τῶν λεγομένων οὐρητήρων. ἡ δὲ κύστις δέχεται μὲν κατὰ τοῦ σώματος αὐτῆς τὸ οὖρον. ἐκκρίνει δὲ διὰ τοῦ καυλοῦ εἰς τὰ ἐκτός. δίδυμοι δὲ τὴν μὲν σύστασιν ἀδενώδεις, δοχεῖα δὲ εἰσὶν, καὶ ἐργαστήρια τοῦ γόνου, ὃς φέρεται ἐπ' αὐτοὺς διὰ τῶν κρεμαστήρων. καθήκουσι δὲ εἰς αὐτοὺς, καὶ ἕτερα ἀγγεῖα τὰ τρέφοντα αὐτούς. περιέχεται δὲ ὑπὸ δύο χιτώνων, τοῦ τε ἐρυθροειδοῦς, καὶ τοῦ δαρτοῦ λεγομένου. ἐπὶ δὲ τούτοις ἡ ὄσχη. ταῖς δὲ γυναιξὶν ἡ ὑστέρα ἔοικεν ὄσχῃ ἀνεστραμμένῃ. ἀνεστόμωνται εἰς τὸ ἔνδον αὐτῆς φλέβες ὡς ὅτι πλεῖσται, δι' ὧν τὸ αἷμα ἀποκαθαίρεται, ὃ ἐν ταῖς συλλήψεσιν ἐπέχεται, καὶ χωρεῖ εἰς τροφὴν, καὶ διάπλασιν τοῦ ἐμβρύου, ἀπὸ γὰρ τῶν φλεβῶν τῶν πληρουσῶν τὸ χωρίον γινόμεναι δύο φλέβες, καὶ ἀπὸ τῶν καθ' αὐτὸ ἀρτηριῶν δύο ἀρτηρίαι, καὶ ἀπὸ τῶν νεύρων, νεῦρον ἓν, συνελθόντα ἀποτελεῖ τὸν οὐραχὸν, ὃς ἐμβάλλει εἰς τοῦ ἐμβρύου τὸν ὀμφαλὸν, ἐξ οὗ καὶ ἐκφύεται καὶ ἀποκρέμαται. ἀπὸ δὲ ὀμφαλοῦ, αἱ μὲν φλέβες ἐπὶ ἥπατος πύλας τὸ αἷμα διδόασιν ἐπὶ τῶν ἐμβρύων. αἱ δὲ ἀρτηρίαι ἐπὶ τὴν κύστιν εἰς τὴν παχεῖαν ἀρτηρίαν ἐμβάλλουσι. τὸ δὲ νεῦρον τοῦτο, εἰς τὴν ῥάχιν.

† al. μέρη

Ὀστεολογία.

Τῶν δὲ ὀστῶν διττὴ ἡ σύνθεσις, ἡ μὲν πρὸς τὸ κινεῖσθαι καὶ καλεῖται ἄρθρον, ἡ δὲ πρὸς τὸ ἀκίνητον, καὶ καλεῖται συνάρθρωσις. εἴδη δὲ ταύτης τρία, ῥαφὴ, σύμφυσις, γόμφωσις, κατὰ ῥαφὴν μὲν οὖν σύγκειται τὰ ἐκ τῆς κεφαλῆς ὀστᾶ. ῥαφαὶ δὲ εὑρίσκονται ἐπὶ τῶν πλείστων, πέντε· στεφανιαία, ἡ διὰ τοῦ βρέγματος. ὀβελιαία, ἡ διὰ τῆς κορυφῆς. λαβδοειδὴς, ἡ διὰ ἰνίου. κροταφίαι δύο, καθ' ἑκάτερον κρόταφον. μία. ὀστᾶ δὲ κρανίου ἑπτά. ἰνίου ἕν. κορυφῆς δύο, κροτάφων δύο. μετώπου ἕν. πολυμόρφου ἕν. ἐκφύσεις δὲ ἔχει ὁ ἐγκέφαλος δύο, ἑκατέρωθεν τῆς παρεγκεφαλίδος αἳ καλοῦνται κορῶναι. ἐναρμόζονται δὲ εἰς τὰς τοῦ πρώτου σπονδύλου κοιλότητας, ἐν ᾧ καθάπερ ἐπὶ κνώδακος τῆς τοῦ δευτέρου σπονδύλου ἀποφύσεως ἡ κεφαλὴ εἴς τε τὰ πλάγια ἐπιστρέφεται, ἀνανεύει τε καὶ ἐπινεύει. μετὰ δὲ ταῦτα αἱ ὀστοειδεῖ ἀποφύσεις καλούμεναι δύο μικρὸν διεστῶσαι, δι' ὧν τένοντες καὶ νεῦρα καταφέρονται, εἶτα ἄλλα δύο ἐπάνω τῶν ἀκουστικῶν πόρων, τὰ ζυγοειδῆ καλούμενα ὀστᾶ, ὑπὸ δὲ ταῦτα λιθοειδῆ ὀστᾶ, δύο καὶ ταῦτα. ἔμπροσθεν δὲ αἱ βελονοειδεῖς ἐκφύσεις. ἐγγὺς δὲ εἰς διάστασιν τῆς φαρυγέθρου. καὶ λέγεται ὑοειδὲς ὀστοῦν καθ' ὃ χόνδρος συνδεῖται αὐτῶν τὰ ἄκρα. ἐπάνω δὲ τούτων τὰ ἀνώνυμα, ὧν κατὰ τὸ ἔμπροσθεν μέρος κεῖται, τὸ πολύμορφον. κατὰ δὲ σύμφυσιν τὰ τῆς ἄνω γνάθου ὀστᾶ σύγκειται. συμφύσεις δὲ ἔχει τὸ πρόσωπον ἐννέα, μίαν μὲν κατ' εὐρυ

χωρίαν

χώραν ἑκατέραν τῶν ὀφθαλμῶν πεπηγμένην. δύο δὲ ἐκ πλαγίων τῆς ῥινός. καὶ ἄλλην μέσην τὴν ῥῖνα ἐπ' εὐθείας τέμνουσαν. δύο δὲ ἐπὶ μῆλα, καὶ δύο ἐπὶ τῆς ὑπερῴας πλαγίας. μίαν δὲ ἐπ' εὐθείας διαιροῦσαν καὶ τέμνουσαν τὴν ὑπερῴαν. κοιναὶ δὲ προσώπου καὶ κεφαλῆς αἱ ἐπὶ τῶν ζυγωμάτων. ὀστᾶ δὲ προσώπου δώδεκα, ῥινὸς δύο. ὀφθαλμῶν δύο. μήλων δύο, ὑπερῴας τέσσαρα. τὰ τῶν φατνίων δύο, τὰ τοῖς πτερυγίοις ὅμοια. ἡ δὲ κάτω γνάθος κατ' ἐνίους μὲν, δύο ἐστὶν ὀστᾶ συμπεφυκότα ἐπὶ τὸ γένειον. κατ' ἐνίους δὲ, ἕν. ἐπὶ γόμφωσιν δὲ σύγκεινται οἱ ὀδόντες, ἐγγεγόμφωνται γὰρ τοῖς φατνίοις. εἰσὶ δὲ τὸν ἀριθμὸν λβ΄. ἐν τε τῇ ἄνω καὶ κάτω γνάθῳ. τομεῖς ὀκτώ. κυνόδοντες τέσσαρες. μυλῖται εἴκοσι. τῶν δὲ ἄλλων ὀστῶν αἱ μὲν κλεῖδες, πρὸς μὲν τὸ ἀκρώμιον συμφυεῖς δέδενται, πρὸς δὲ τὸ στέρνον, μίγμα ἄρθρου καὶ συμφύσεως δοκοῦσιν ποιεῖσθαι. ἐοίκασι δὲ τῷ σχήματι τῷ ῥωμαϊκῷ σίγμα. S. καὶ αὐτῷ ἡπλωμένῳ. ἑξῆς δὲ πλευραί. δώδεκα γὰρ αἱ πᾶσαι καθ' ἑκάτερον πλευρόν. ἑπτὰ δὲ αὐτῶν πρός τε τοὺς τῆς ῥάχεως σπονδύλους καὶ πρὸς τὸ στέρνον συνάπτουσιν ἑκατέρωθεν. αἱ δὲ λοιπαὶ πέντε, τῇ μὲν ῥάχει συμβάλλουσιν ἐκ τῶν ὄπισθεν, ἐπὶ δὲ τὰ ἔμπροσθεν εἰς ἀλλήλας ἀνανεύουσαι χόνδρῳ συνδέονται. οἱ δὲ σπόνδυλοι εἴκοσι τέσσαρές εἰσιν οἱ πάντες. διαιροῦνται δὲ, τραχήλου μὲν ἑπτά. νωτιαίου δώδεκα. ὀσφύος δὲ πέντε. ἐπὶ πᾶσι δὲ τὸ ἱερὸν ὀστοῦν, δοκοῦν ἐκ σπονδύλων συγκεῖσθαι συμπεφυκότων ἀλλήλοις. τὸ δὲ στέρνον ὁμοίως καὶ αὐτὸ δοκεῖ, ἐκ τῶν ἑπτὰ ὀστῶν συγκεῖσθαι συμπεφυκότων ἀλλήλοις ἐν τῷ ξιφοειδεῖ σχήματι. βραχίων δὲ ἑκάτερος ἐπὶ ἄρθρον διήρμοσται τῷ τοῦ ὤμου. ἐμβάλλεται δὲ τῇ ἑαυτοῦ κεφαλῇ πλαγίως εἰς τὴν κοιλότητα τῆς ὠμοπλάτης, ἐπίκεινται δὲ αἱ ὠμοπλάται μυσὶν τοῖς ὑπεστρωμένοις ταῖς πλευραῖς ἐκ τῶν ὄπισθεν. πῆχυς δὲ καὶ κερκὶς παράκεινται μὲν ἀλλήλοις ἐπὶ σύμφυσιν, συμβάλλουσιν δὲ καὶ τῷ βραχίονι τῇ ἑτέρᾳ κεφαλῇ κατ' ἄρθρον. ἔστι μὲν γὰρ ἑαυτοῦ κονδύλοις εἰς τὴν σιγματοειδῆ τοῦ πήχεως ἀναγλυφὴν ἐναρμόζεται ὁ βραχίων. τῷ δὲ τετάρτῳ κονδύλῳ ὡς περὶ κνώδακα ἡ κερκὶς περιστρέφεται. καρποῦ δὲ τὰ ὀστᾶ, τρία μὲν ὄντα πρὸς μὲν ἄλληλα συμφύσει δέδεται. πρὸς δὲ πῆχυν καὶ κερκίδα κατ' ἄρθρον διήρμοσται. τὰ δὲ τοῦ μετακαρπίου πέντε ἐστὶ, ἄρθρον δὲ καὶ αὐτὰ ποιεῖ πρὸς τὰ τοῦ καρποῦ, πρὸς ταῦτα γὰρ συμπέφυκε. τὰ δὲ τοῦ ταρσοῦ, πρὸς μὲν αὐτὰ καὶ πρὸς τὰ τοῦ μετακαρπίου συμφύσει συνέχεται, πρὸς δὲ τὰς πρώτας τῶν δακτύλων σκυταλίδας κατ' ἄρθρον συμβάλλονται. δακτύλων δὲ σκυταλίδες μὲν κατ' ἕκαστον τρεῖς, κατ' ἄρθρον δὲ ἡ σύνθεσις αὐτῶν. μηροῦ δὲ, ἓν μὲν ὀστοῦν. συμβάλλεται δὲ ἐπικεκαμμένῃ μετρίως τῇ κεφαλῇ αὐτοῦ εἰς βαθεῖαν κοτύλην τοῦ ἰσχίου, καὶ νεύρῳ ἀπήρτηται ἐκφυομένῳ ἐκ μέσης τῆς κοτύλης, καὶ ἐμφυομένῳ εἰς μέσην τὴν κεφαλὴν τοῦ μηροῦ. τὰ δὲ ἰσχία, δύο ὄντα ὀστᾶ, ἐκ μὲν τῶν ὄπισθεν ἐπὶ σύμφυσιν παράκεινται τῷ ἱερῷ ὀστῷ. ἐκ δὲ τῶν ἔμπροσθεν ἀλλήλοις, ἔνθα καὶ ἥβης ὀστᾶ καλεῖται. κνήμης δὲ ἑκατέρας. δύο μὲν τὰ ὀστᾶ, τό, τε τῆς κνήμης καὶ τὸ τῆς περόνης. οὐκ ἐξικνεῖται δὲ ἡ περόνη πρὸς τὸ ἐπὶ γόνυ ἄρθρον, ἀλλὰ μόνον τὸ τῆς κνήμης ἄκρον, τέσσαρας ἔχον ἐν αὐτῷ ἐπιπολαίους τύπους, εἰς οὓς ὑποδέχεται τοὺς τοῦ μηροῦ κονδύλους δύο ὄντας. ἐπίκειται δὲ αὐτοῖς ἡ ἐπιγονατὶς, ἐκ τῶν ἔμπροσθεν ὀστάριον στρογγύλον, ὑποπλατὺ οἷον ἀσπιδίσκιον συνέχον αὐτῶν τὴν συμβολὴν διὰ τὸ ἐπιπολαίως συνηρθρῶσθαι. τῆς δὲ περόνης, τὸ μὲν ἄνω ἄκρον συμπέφυκε ἐπὶ τοῦ ἀντικνημίου ὑπὸ τὴν ἐπίφυσιν. κατὰ δὲ τὰ σφυρὰ ἐπὶ πέρατα τοῦ ἀντικνημίου καὶ τῆς περόνης, πρὸς μὲν ἄλληλα συνδεῖται νευροχονδρώδει δεσμῷ. ἐπιβέβηκε δὲ τῷ ἀστραγάλῳ, ἐντὸς αὐτοῦ συνέχον τὰ ὀστᾶ. ὁ δὲ ἀστράγαλος ἐπὶ μῆκος τοῦ ποδὸς κείμενος τῇ μὲν περόνῃ ἐπιβέβηκε καὶ συνήρμοσται ἀκινήτως. τοῖς δὲ τῆς κνήμης ὀστοῖς καὶ τῷ σκαφοειδεῖ ἐπὶ τὰ ἐμπρόσθια αὐτοῦ μέρη συμβάλλεται ἐπὶ ἄρθρον. τὸ δὲ σκαφοειδὲς καθὰ μὲν συμβάλλεται τῷ ἀστραγάλῳ κεκοίλωται, ὡς σκαφοειδὲς δοκεῖν εἶναι. ἐκ δὲ τοῦ ἀντικειμένου κυρτὸν ὂν, ἔχει τρίβους τρεῖς, αἷς δέχεται τὰ χαλκοειδῆ ὀστᾶ τρία ὄντα. τὸ κυβοειδὲς ἔξωθεν μὲν τὴν θέσιν ἔχει. συνήρθρωται δὲ πρὸς τὸ σκαφοειδὲς καὶ τὴν πτέρναν. ἔχει δὲ καὶ ἔκφυσιν ἐκ τῶν κάτω εἰς τὸ ἔμπροσθεν, ὑφ' ἣν ὑπελήλυθε τοῦ ταρσοῦ τὸ ὀστοῦν πρὸς τὸ ἀνέχειν αὐτό. εἶτα καλούμενον πεδίον ἐκ πέντε καὶ αὐτὸ συγκείμενον ὀστῶν, εἶτα ἐφεξῆς εἰσὶν οἱ πέντε δάκτυλοι τοῦ ποδὸς, ἐκ τριῶν ἅπαντες φαλάγγων ὁμοίως τοῖς ἐπὶ τὰς χεῖρας συγκείμενοι, πλὴν τοῦ μεγάλου, μόνος γὰρ αὐτὸς ἐκ δύο ἐγένετο. συνάγουσι δὲ τὰς μὲν τούτων διαρθρώσεις ὑμενώδεις τινὲς σύνδεσμοι. τοὺς δὲ ἐπὶ τὸν ἀστράγαλόν τε καὶ τὴν πτέρναν ἰσχυροί τε πάνυ. καὶ τινὲς ἐξ αὐτῶν στρογγύλοι τε ἅμα καὶ νευροχονδρώδεις.

περὶ χυμῶν.

Οἱ δὲ ἐν τῷ σώματι χυμοὶ ἐκ πρώτης γενέσεως τέσσαρες ὄντες, συμμιγεῖς μὲν εἰσὶν ἀλλήλοις καὶ ἀνακεκραμμένοι τῷ σώματι. πλεονάζει δὲ ἄλλος ἐν ἄλλῳ μᾶλλον τόπῳ, τὸ μὲν αἷμα ἐν καρδίᾳ. τὸ δὲ φλέγμα ἐν τῇ κεφαλῇ. ἡ ξανθὴ δὲ χολὴ ἐν ἥπατι. καὶ ἡ μέλαινα ἐν σπληνί. τοῦ δὲ ἐμφύτου πνεύματος διττὸν εἶδος. τὸ μὲν φυσικὸν, τὸ δὲ ψυχικόν. εἰσὶ δὲ οἳ καὶ τρίτον εἰσάγουσιν τὸ ἑκτικόν. ἑκτικὸν μὲν οὖν ἐστὶ πνεῦμα, τὸ συνέχον τοὺς λίθους. φυσικὸν δὲ τὸ τρέφον τὰ ζῷα καὶ τὰ φυτά. ψυχικὸν δὲ τὸ ἐπὶ τῶν ἐμψύχων αἰσθητικά τε ποιοῦν τὰ ζῷα καὶ κινούμενα πᾶσαν κίνησιν. ἵδρυται δὲ, ἐν τοῖς ζῴοις. ἐκ γὰρ τῶν τριῶν συνέστηκε τὰ ζῷα, τὸ μὲν οὖν ψυχικὸν, ἐν τῇ κεφαλῇ κατῴκισται, τὸ δὲ φυσικὸν ἐν καρδίᾳ. τὸ δὲ ἑκτικὸν ἐν παντὶ τῷ σώματι. φυσικαὶ μὲν οὖν εἰσὶν ἐνέργειαι ἀπὸ πρώτης γενέσεως κύησις, καὶ διάπλασις. ἐπὶ δὲ τῶν ἀποτεχθέντων ὄρεξις, καὶ κατάποσις, ἡ ἐν τῷ στομάχῳ πέψις, ἀνάδοσις, ἐξαιμάτωσις, διάκρισις, θρέψις, αὔξησις. διακρίνεται δὲ ἐν τῷ σώματι σκύβαλον, φλέγμα. χολαὶ, οὖρον, ἱδρῶτες, μύξαι, σίαλον, γάλα. ψυχικαὶ δὲ δυνάμεις, αἴσθησίς τε καὶ προαίρεσις. αἰσθήσεις μὲν οὖν εἰσὶ πέντε, ἃς τὰ ζῷα παρέχει διὰ τῶν τοῦ σώματος ὀργάνων, ὅρασις, ἀκοὴ, γεῦσις ὄσφρησις, καὶ ἁφή. προαιρεῖται δὲ ἡ ψυχὴ τὰ μὲν ἄνευ τοῦ σώματος λογιζομένη, ἢ ἐνθυμουμένη. μετὰ δὲ τοῦ σώματος προαιρεῖται κινοῦσα αὐτὸ πρὸς ὑποδοχὴν τινῶν, ἢ ἔκκρισιν, ἢ τὴν μετὰ τόπους κίνησιν, ἡ δὲ ἀναπνοὴ σύνθετός τις ἐνέργεια δοκεῖ εἶναι, πῆ μὲν κατὰ προαίρεσιν, πῆ δὲ ἀπροαιρέτως, καὶ φυσικῶς γενομένη ὡς ἐν τοῖς ὕπνοις. ὑγιαίνει τοίνυν ὁ ἄνθρωπος τῶν μὲν πρώτων ἐξ ὧν συνέστηκεν τῶν στοιχείων, καὶ τῶν δευτέρων ἐξ ὧν διεπλάσθη τῶν τεσσάρων χυμῶν, ποσότητός τε συμμέτρους ἐχόντων πρὸς ἄλληλα καὶ ταῖς ποιότησι εὐαρμόστως. τῶν δὲ στερεῶν σωμάτων ἐξ ὧν σύγκειται

Spiritus Naturalis, vitalis & Animalis.

Actiones naturales

Animales actiones

Respiratio composita actio

μή τε διαιρουμένων μή τε καταπυκνουμένων μή τε ἐξισταμένων ἐκ τῆς αὐτῶν χώρας. τῶν δὲ πνευμάτων μή τε ἐπιτεινομένων ἄγαν, ὡς ἐπὶ τῶν φρενιτικῶν, μή τε ἐκλυομένων ὡς ἐπὶ τῶν ληθαργικῶν, ἢ ἐπὶ τῶν ἐν καρδιακῇ διαθέσει ὄντων, τούτοις γὰρ τὸ ἑκτικὸν πνεῦμα ἔοικεν ἐκλύεσθαι. ἐν ὑγείᾳ δὲ συντηρητέον τὸν ἄνθρωπον τοῖς τε συνήθεσι γυμνασίοις χρώμενον, καὶ τροφαῖς ταῖς κατὰ χώραν ἐν ἑκάστῃ ὥρᾳ τετηρημέναις, τὸ πλῆθος αὐτῶν μόνον φυλαττόμενον, ἐξ οὗ ἀπεψίαι γίνονται, ἀφ᾽ ὧν αἱ νόσοι συνίστανται. προφυλακτέον δὲ τὰς νόσους μελλούσας γίνεσθαι, ἢ ἔσεσθαι. εἰ μὲν ἐκ πλήθους, ἀσιτίαν παραλαμβάνων, ἢ κάθαρσιν, ἢ φλεβοτομίαν, εἰ δὲ ἀπὸ καμάτου καὶ ἐνδείας, ἀναπαῦσαι καὶ ὑποθρέψαι σύμφορον. αἱ δὲ νόσοι γίνονται πᾶσαι καθ᾽ Ἱπποκράτην, αἱ μὲν ἔξωθεν, ἐκ τοῦ περιέχοντος, αἱ δὲ ἔσωθεν ἐκ τῶν διαιτημάτων ἃ προσφερόμεθα ὑφ᾽ ὧν, ἢ πλεονάζει τις τῶν τεσσάρων χυμῶν, ἢ ἐλλείπει, ἢ τὴν ποιότητα μεταβάλλει. ὑπὸ δὲ τούτων καὶ τὰ ἔμφυτα πνεύματα, ἃ μὲν ἐπιτείνεται ἄγαν, ἃ δὲ χαλᾶται εἰς ὑπερβολήν. τὰ δὲ στερεὰ σώματα καὶ ἔνδοθεν καὶ ἔξωθεν πολλὰς αἰτίας ἔχει τοῦ ὑπομένειν πλείονα πάθη. κατὰ δὲ Ἐρασίστρατον καὶ Ἀσκληπιάδην ὡς ἐπίπαν μίαν αἰτίαν ἐπὶ πάσης νόσου, καθ᾽ ὃν μὲν ἡ παρέμπτωσις εἰς τὰς ἀρτηρίας τοῦ αἵματος. καθ᾽ ὃν δὲ ἡ ἔνστασις τῶν ὄγκων ἐν τοῖς ἀραιώμασιν. σημεῖα δὲ πλήθους νοσοποιοῦντος κύρτωσις ἀγγείων καὶ ἔρευθος ἐπὶ τὸ πρόσωπον καὶ ὄγκος ὅλου τοῦ σώματος καὶ τῶν σφυγμῶν τὸ μέγεθος μετὰ εὐτονίας. ἐνδείας δὲ οὔσης, σύμπτωσις τοῦ ὄγκου καὶ ἰσχνότης περὶ τὸ πρόσωπον καὶ μικροσφυξία μετ᾽ ἀτονίας. τὸν μὲν οὖν πυρετὸν οἱ παλαιοὶ πάθος αὐτὸν καθ᾽ αὑτὸν ἡγοῦνται. Ἐρασίστρατος δὲ καὶ τῶν νεωτέρων τινὲς, ἐπιγέννημα. πυρετὸς δέ ἐστι τροπὴ ἐμφύτου θερμοῦ ἐπὶ τὸ καυσωδέστερον διὰ τὸ ἔνδον ἀναστρέφεσθαι καὶ ἐμποδίζεσθαι διαπνεῖν. σημειούμεθα δὲ τοὺς πυρέττοντας ἐκ τῆς θέρμης τῆς ἐπιτεταμένης καὶ ἀπροΐτου οὔσης καὶ τῶν σφυγμῶν ἐν ἀρχῇ μὲν εἰσβολῆς ἀμυδρᾶς καὶ ἀνωμάλου κινήσεως μετὰ πυκνότητος, ἐν ἀκμῇ δὲ σφοδροτάτης μετὰ ἐπάρσεως καὶ τάχους ὑπερβάλλοντος. κατὰ δὲ τοὺς νεωτέρους, ἡ ἐκ βάθους ἀναφερομένη θερμασία πλείων τῆς κατὰ φύσιν, δακνώδης καὶ δριμεῖα καὶ ἐπίμονος, μετὰ τῆς τῶν σφυγμῶν πυκνότητός τε καὶ σκληρότητος οὔσα, τὸν πυρετὸν ἀφορίζει. εἴδη δὲ πυρετῶν κατὰ πάντας δύο. ὅ, τε συνεχὴς καὶ διαλείπων. συνεχὴς μὲν οὖν ἐστὶν ὁ εἰς ἀπυρεξίαν πρὶν τελέως λυθῆναι τὸ νόσημα μὴ παυόμενος. πάλιν δὲ τοῦ διαλείποντος εἴδη εἰσὶν ἓξ κατὰ τοὺς ἀρχαίους, ἀμφημερινὸς, τριταῖος, τεταρταῖος, πεμπταῖος. ἑβδομαῖος, ἐνναταῖος. ἀμφημερινὸς μὲν οὖν ἐστὶν ὁ καθ᾽ ἑκάστην ἢ νύκτα ἢ ἡμέραν ἐπισημαίνων ἢ ἀνιέμενος. τριταῖος δὲ ὁ παρὰ μίαν. τεταρταῖος δὲ ὁ παρὰ δύο. πεμπταῖος δὲ ὁ περὶ τρεῖς. ἑβδομαῖος ὁ παρὰ πέντε. ἐνναταῖος ὁ παρὰ ἑπτά. ὁ ἡμιτριταῖος γὰρ, ὅτε μὲν ἐν συνεχείᾳ ἐπιφαίνεται, ὅτε δὲ ἐν τοῖς διαλείπουσι τάττεται. τῶν δὲ ἄλλων νοσημάτων εἴδη δύο. εἴτε σὺν πυρετοῖς εἴη, εἴτε ἄνευ πυρετοῦ. τὰ μὲν γάρ ἐστι ὀξέα, τὰ δὲ χρόνια. ὀξέα μὲν οὖν ἐστὶ τά δε. φρενῖτις καῦσος, συνάγχη, πλευρῖτις, περιπνευμονία, καρδιακὴ διάθεσις, ἴκτερος, χολέρα, εἰλεὸς, κωλικὴ διάθεσις, ἀποπληξία, τέτανος, ὀπισθότονος, ἐμπροσθότονος. τὰ μὲν οὖν ὀξέα ὡς ἐπίπαν, ὑπό τε αἵματος καὶ χολῆς ξανθῆς συνίσταται, πλεοναζόντων ἔν τισι μέρεσι τοῦ σώματος, ἐν οἷς νοσοποιοῦσιν ἐκτρεπομένων ἐπὶ τὸ κάκιον. τὰ δὲ χρόνια ὑπὸ φλέγματος καὶ μελαίνης χολῆς ὁμοίως, ἢ πληθυνόντων πολὺ παρὰ τὸ κατὰ φύσιν, ἢ μεταβαλλόντων ἐπὶ τὸ δριμύτατον. θεραπευτέον δὲ τοὺς ἐκ πλήθους νοσοῦντας, κατὰ μὲν δίαιταν ἀφαιροῦντα τε τὸ ἐκ πλήθους νοσοῦντα ἢ δι᾽ ἀσιτίας, ἢ διὰ καθάρσεως, ἢ διὰ φλεβοτομίας. προσιθέντα δὲ καὶ προσφέροντα τοῖς ἐξ ἐνδείας εἰς τὴν νόσον ἐμπεσοῦσιν, οἷς δὲ ἀπεψία καὶ δριμύτης ὑγρῶν, αἰτία ἐστὶ, συμπέττειν δεῖ ταῖς ἐπιβροχαῖς καὶ τοῖς καταπλάσμασι. κατακεραννύναι δὲ τὰ δριμέα καὶ εὐχύλοις καὶ ὑγραινούσαις τροφαῖς χρῆσθαι. οἱ δὲ καιροὶ τῶν βοηθημάτων ἔν τε ὅλῳ τῷ νοσήματι καὶ ταῖς μερικαῖς ἐπισημασίαις, εἰσὶ τέσσαρες, ἀρχὴ ἀνάβασις, ἀκμὴ, παρακμή. ἐν ἀρχῇ μὲν ὅλου τοῦ νοσήματος, ἀσιτία ἁρμόζει μέχρι τῆς διὰ τρίτης. ἐφ᾽ ὧν δὲ καὶ ἀρχὴ παντὸς μέχρι τῆς διὰ τρίτης. φλεβοτομίαν δὲ ἐν ἀρχῇ μὲν κρίνουσιν οἱ νεώτεροι μέχρι τῆς διὰ τρίτης, οἱ δὲ παλαιοὶ καὶ μετὰ τὴν τρίτην παραλαμβάνουσιν, ἐὰν τὰ τῆς δυνάμεως ὑφεστήκῃ καὶ τὸ νόσημα ἀπαιτεῖ. τροφῆς δὲ καιρὸς μετὰ τὴν διάτριτον κατὰ τοὺς νεωτέρους, κατὰ δὲ τοὺς παλαιοὺς οὐκ ἐπὶ πάντων, ἀλλ᾽ ἐπὶ τῶν ἐκ πλήθους νοσούντων καὶ ἐπὶ νέων καὶ ἐπὶ πρεσβυτέρων. ἐπὶ δὲ παιδίων ἀπ᾽ ἀρχῆς τρέφουσιν, καὶ ἐφ᾽ ὧν ἔθος τοιοῦτον ἢ διὰ χώραν ἢ διὰ τὸ περιέχον. πρὸ δὲ τῆς τροφῆς τῶν μετὰ τὴν πρώτην διάτριτον ἐπιβροχαῖς χρηστέον τῆς κεφαλῆς καὶ τῶν μέσων. ταῖς δὲ ἑξῆς καταπλάσμασι καὶ κλύσμασι. τὰς δὲ οὖν ἐμβροχὰς ἀεὶ καὶ τὰς ἐπὶ τῶν μέσων θερμὰς παραληπτέον καὶ ἁπλᾶς ἑψοῦντας κύμινον ἢ ξυλάνηθον, τὰς δὲ ἐπὶ κεφαλὴν θερμὰς μὲν ἐπὶ ληθάργου καὶ πάσης καταφορᾶς, ἐμψυχούσας δὲ ἐπὶ φρενιτίδων καὶ ἐπὶ παντὸς πυρετοῦ ὀξέος, τῶν δὲ καταπλασμάτων τὰ μὲν διὰ μόνου μέλιτος καὶ ἐλαίου κατασκευάζεται, καὶ καλεῖται μαλακτικά. τὰ δὲ δι᾽ ὑδρελαίου ἄρτου ὀνομάζουσιν ὠμὴν λύσιν. τὰ δὲ ἐμπασσόμενα τούτοις, οἷά ἐστι γύρεις καὶ λινόσπερμον καὶ τῆλις. οἱ δὲ κλυσμοὶ δι᾽ ὑδρελαίου καὶ μέλιτος καὶ ἁλῶν καὶ νίτρου βραχέος. καιρὸς δὲ τούτων, ὁ πρὸ τῆς τροφῆς ἐν ἀνέσει τῶν ἐπισημασιῶν καὶ παρακμῇ. ἐπὶ δὲ τῶν συνεχῶν ὁ ὄρθρος. φρενῖτις μὲν οὖν ἐστὶν ἔκστασις διανοίας μετὰ παρακοπῆς σφοδρᾶς καὶ χειρῶν ἀλόγως περιφορᾶς, καὶ κροκυδισμοῦ, καὶ καρφολογίας, καὶ πυρετοῦ ὀξέος. γίνεται δὲ ἐξ αἰτίας, ὡς ἐπὶ πολὺ, χολῆς. συνίσταται δὲ περὶ ἐγκέφαλον, ἢ μήνιγγας, ἢ ὥς τινες λέγουσι περὶ φρένας, ὃ διάφραγμα καλεῖται. θεραπεία δὲ ἁρμόδιος ἥ δε. εἰ μὲν προγνοίητις ἐν ἀρχῇ διὰ φλεβοτομίας καὶ συκίας. ἀφαίρεσις δὲ καὶ κλυσμὸς καὶ ἀσιτία ἁρμόδιος. ἐνστάντος δὲ τοῦ πάθους ἐπιβροχαὶ καρωτικαί τε καὶ ὑπνωτικὰ ἐπιχρίσματα καὶ τροφαὶ ὑγραίνουσαι. ὁ δὲ καῦσος εἶδος μὲν ἐστὶ πυρετοῦ. τέτακται δὲ ὑπὸ μὲν Ἱπποκράτους ἐν τοῖς ὀξέσιν, ὡς τεταρταῖος ἐν τοῖς χρονίοις. ὑπὸ δὲ τῶν νεωτέρων οὐκ ἔτι. συνίσταται δὲ ἐκ χολῆς, τῆς ἄγαν ξηρᾶς περὶ τὰ φλέβια τὰ κατὰ τὸ ἧπαρ. θεραπεύεται δὲ φλεβοτομίᾳ ἐν ἀρχῇ καὶ ψυχροῦ δόσει ἐν ἀκμῇ, ἢ πόμασιν ἐμψύχουσιν, ἢ ἐπιθέσεσιν, οἷόν ἐστι τὸ δι᾽ ὑδρελαίου ζεστοῦ. κυνάγχη δὲ καὶ συνάγχη, φλεγμοναί εἰσιν περὶ τὸν τράχηλον, ἡ μὲν περὶ τὸ ἐντὸς αὐτοῦ ὀξέως πνίγουσα, ἡ κυνάγχη. ἡ δὲ συνάγχη, εἰς τὰ ἐκτὸς μᾶλλον νεύουσα, καὶ διὰ τοῦτο ἧττον πνίγουσα, καὶ ἧττον κινδυνώδης ἐστί. γίνεται δὲ ἑκάτερον πάθος, ἢ ὑπὸ

χολῆς

χολῆς, ἢ ὑπὸ φλέγματος ἁλμυροῦ. συνίσταται δὲ ὅτε μὲν σὺν πυρετῷ ὀξεῖ, ὅτε δὲ χωρὶς πυρετοῦ. θεραπεία δὲ ἡ μὲν γενναιοτάτη καὶ ὀξυτάτη εὐθὺς ἐν ἀρχῇ διὰ φλεβοτομίας, μετὰ δὲ ταῦτα διὰ τῶν ἀποφλεγματιζόντων φαρμάκων, καὶ τῶν ἔξωθεν ἐπιτιθεμένων κηρωτῶν. Ἀσκληπιάδης δὲ ἐπὶ τῶν ἄκρως πνιγομένων, καὶ λαρυγγοτομεῖ. πλευρῖτις δέ ἐστι φλεγμονὴ περὶ τὸ πλευρὸν ἐκ τῶν ἔνδον μετὰ πυρετοῦ ὀξέος, καὶ ἀλγημάτων σφοδρῶν, καὶ βηχός. γίνεται δὲ ὑπὸ χολῆς μάλιστα. θεραπεία δὲ ἐν ἀρχῇ μὲν φλεβοτομία, εἶτα ἡ διὰ τῶν καταπλασμάτων καὶ ξηρῶν πυριῶν, οἷον κέγχρων καὶ ἁλῶν. τρίτη ἡ διὰ τῶν ἀνακαθαιρόντων ἔνδοθεν φαρμάκων πλευριτικῶν ἐπιγεγραμμένων. φυλάττεσθαι δὲ ἐπὶ τούτων τὰς τῆς κοιλίας ῥύσεις. ἡ δὲ περιπνευμονία περὶ τοῖς μὲν δοκεῖ φλεγμονὴ βαρεῖα εἶναι περὶ πνεύμονα, καὶ † περὶ βάρει τούτου διαδείκνυται. τοῖς δὲ οὐ δοκεῖ ὁ πνεύμων δύνασθαι φλεγμαίνειν, τὰ πλησίον δὲ αὐτοῦ φασὶ ἐν τοιαύτῃ διαθέσει γινόμενα, οὕτως ὀνομάζεσθαι αὐτὴν ποιεῖ. συνίσταται δὲ τὸ πάθος τοῦτο μετὰ πυρετοῦ ὀξέος, καὶ ὑπὸ τῶν αὐτῶν αἰτιῶν, ὧν ἡ πλευρῖτις, ἔτι δὲ τινὰς ὑπὸ φλέγματος. θεραπεία δὲ τὰ πολλὰ ὁμοία τῇ πλευρίτιδι. ἡ δὲ καρδιακὴ διάθεσις οὐκ ἀπὸ τοῦ περὶ καρδίαν εἶναι τὸ πάθος οὕτως ὠνομάσθη, ἀλλ' ἐπεὶ καρδίαν οἱ παλαιοὶ τὸν στόμαχον ἐκάλουν. τούτου δὲ ἀναλυομένου ἐν πυρετῷ ὀξεῖ, συμβαίνει τοὺς κάμνοντας διαφορεῖσθαι. γίνεται δὲ τὸ πάθος ὡς ἐπὶ τὸ πολὺ μὲν, ἐκ τῶν ἀμέτρων ἀποσιτιῶν, ἢ ἐκ φλεβοτομίας ἀκαίρου, ἢ τινος ἀφαιρέσεως ἀλόγου παραληφθείσης. διὸ τροφῆς δέονται τῆς εὐαναδότου καὶ ἀναθερμαινούσης, ὥσπερ δι' οἴνου καὶ χιόνος, καὶ τῶν στρεῶν ὅσα τροφιμώτερα, καὶ τὸν στόμαχον τονοῦν δυνάμενα. ἔστι δὲ ὅτε καὶ φλεγμαινόντων τῶν ἔνδον, μάλιστα δὲ τοῦ ἥπατος, τοῦτο γίνεται. ὅτε τοὐναντίον ἀφαιρέσεως δεῖται καὶ καταπλάσεως τῆς ἐπὶ τῶν φλεγμαινόντων. ἴκτερος δέ ἐστιν ἀνάχυσις χολῆς εἰς τὴν ἐπιφάνειαν, ὅτε μὲν σὺν πυρετῷ ὀξεῖ, ὅτε δὲ καὶ ἄνευ πυρετοῦ, μετὰ ἐγκαύσεως τῶν ἔνδον, καὶ κακοστομαχίας. δεῖται δὲ εἰ μὲν τὰ μέσα φλεγμαίνει καταπλασμάτων, πρῶτον, καὶ εἰ πλῆθος ὑποκέοιτο φλεβοτομίας· εἰ δὲ μή, τῶν τὴν χολὴν ἀγόντων, ἢ διὰ κοιλίας, καὶ ἐντέρων, ἢ δι' οὔρων, ἢ διὰ ῥινῶν, ἢ δι' ἱδρώτων.

ἡ δὲ χολέρα διττή ἐστι καθ' Ἱπποκράτην, ἡ μὲν ὑγρά, ἣν καὶ πολλοὶ ἴσασι μετ' ἐκκρίσεως σφοδρᾶς καὶ χολώδους, καὶ κάτωθεν τε καὶ ἄνωθεν, καὶ στροφῶν χαλεπῶν μετὰ τῶν ἐπιγινομένων σπασμῶν καὶ συνολκῶν περὶ τὰς γαστροκνημίας μάλιστα. ἐπιμέλεια δὲ, ἐπιβροχῶν μὲν θερμῶν περὶ τῶν συνελκομένων. καὶ λουτροῦ μετὰ τὴν ἀποκάθαρσιν, καὶ τροφῆς εὐδιοικήτου τε καὶ εὐαναδότου καὶ εὐστομάχου. τὸ δὲ ἕτερον εἶδος ξηρὰν χολέραν καλεῖ ὁ Ἱπποκράτης, ὑπὸ μὲν τοῦ αὐτοῦ αἰτίου γινομένην, καὶ περὶ τὰ αὐτὰ συνισταμένην, ἄνευ μέντοι ῥύσεως κοιλίας καὶ ἐμέτων. διὸ καὶ δεῖται προσανέσεως τε καὶ διὰ καταπλασμάτων, καὶ οὐ προσφορᾶς. ἀλλὰ τοὐναντίον, ἐνδείας. εἰλεὸς δὲ καὶ κωλικὴ διάθεσις, φλεγμοναί εἰσιν ἐντέρων. ἡ μὲν τοῦ λεπτοῦ ἡ δὲ τοῦ κώλου. διὸ καὶ ἀποκλείεται τά τε διαχωρήματα, καὶ αἱ φῦσαι ἐνειλούμεναι τοῖς ἐντέροις, παρὰ μὴ ἔχειν τὴν ἔξοδον, ἀλγήματα σφοδρὰ παρέχουσι καὶ στρόφους. ὀξύτερον δὲ καὶ τῇ διαθέσει καὶ τοῖς συμπτώμασιν ὁ εἰλεὸς καὶ κινδυνωδέστερος, ἔμετοί τε γίνονται τῶν εἰλεωδῶν τοῖς ἐσχάτως ἔχουσιν ἑκάτερον τὸ πάθος. ἐν ἀρχῇ μὲν φλεβοτομία ὁ εἰλεὸς μάλιστα, τὰ πολλὰ δὲ ἀσιτίαις καὶ καταπλάσμασι τοῖς ἀνιεῖσι καὶ λύουσι τὰς φλεγμονάς. ἐνεργέστερον δὲ βοηθεῖ τὰ ἔνδοθεν ἐνιέμενα κωλικὰ φάρμακα. τῶν τε γὰρ ἀλγημάτων ῥύεται, καὶ ὕπνον ἐπάγει, καὶ τὴν διαχώρησιν κινεῖ. ἀποπληξία δὲ γίνεται μὲν διὰ πλῆθος ὑγρῶν παχέων ἐμφραττόντων τὰ ἀπὸ τῆς κεφαλῆς ἀγγεῖα, τὰ διαδιδόντα εἰς πᾶν τὸ σῶμα τὴν αἴσθησιν καὶ τὴν κίνησιν, διὸ καὶ ἀναίσθητοι καὶ ἄφωνοι καὶ ἀκίνητοι γίνονται ἀπόπληκτοι. λέγει δὲ Ἱπποκράτης περὶ τοῦ δὲ τοῦ πάθους, ἀποπληξίην ἰσχυρὰν μὲν λύειν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον. φλεβοτομεῖν δὲ εὐθὺς τοὺς κεκρατημένους, ἐὰν καὶ τὰ τῆς ἡλικίας συνᾴδῃ καὶ ἡ δύναμις ὑπακούῃ. τέτανος δὲ καὶ ὀπισθότονος καὶ ἐμπροσθότονος περὶ τὰ νεῦρα πάθη. εἶδος δέ ἐστι ἑκάτερον σπασμοῦ, τῶν ἀπὸ τῆς κεφαλῆς νεύρων, δι' ὧν τὴν κίνησιν διαδιδόασιν εἰς τὸ σῶμα. γίνεται δὲ δι' ἔμφραξιν ὑγρῶν παχέων τῶν νεύρων. ὅ τε μὲν εἰς τοὔπισθεν, ὥστε μὴ συννεύειν, καὶ καλεῖται ὀπισθότονος. ὅ τε δὲ τῶν εἰς τὸ ἔμπροσθεν, ὥστε μὴ ἀνανεύειν, καὶ καλεῖται ἐμπροσθότονος. ὅ τε δὲ ἐπ' εὐθείας, ὥστε μὴ συγκάμπτεσθαι, καὶ τέτανος προσονόμασται. θεραπεύεται δὲ ὑπὸ φλεβοτομίας εἰ πλῆθος ὑπόκειται, ὡς ὁ παρὰ Ἱπποκράτην καταπεσὼν καὶ τὴν κεφαλὴν τραυματισθείς. ἰᾶται δὲ αὐτοὺς καὶ ψυχροῦ πολλοῦ κατάχυσις θέρους ὥρᾳ, μάλιστα εἰ μὴ ἰσχνὸς ἀλλ' εὔσαρκος εἴη ὁ πάσχων. θέρμης γὰρ ἐπανάκλησιν ποιεῖται. ὡς δὲ οἱ πολλοὶ χρῶνται πυριάμασι τοῖς ἠρέμα θερμαίνουσι καὶ χαλῶσι καὶ ἀλείμμασι τοῖς ὁμοίοις καὶ ἐρίων ἠλαιωμένων ἐπιθέσει καὶ πυρίαις καὶ καταπλάσμασι θερμοῖς. χρόνια δὲ πάθη περὶ τὰ ἐντὸς συνίσταται τάδε. κεφαλαία, ἐπιληψία, ἴλιγγοι, σκοτώματα, μανία, μελαγχολία, λήθαργος, κόρυζα, βράγχος, κατάρρους, αἵματος ἀναγωγή, ἐμπύημα ἐν θώρακι, φθίσις, ἀπόστημα ἐν μεσοπλευρίῳ, ἀπόστημα ἐν κατακλεῖσι, ἡ ἡπατικὴ διάθεσις, τεινεσμός, δυσεντερία, ἕλμινθες αἱ πλατεῖαι, ἕλμινθες αἱ στρογγύλαι, ἀσκαρίδες, ἰσχιάς, ἀρθρῖτις, ποδάγρα, ἐλεφαντίασις δοκεῖ τῶν ἐκτὸς εἶναι. τῶν οὖν χρονίων κεφαλαία ἐστὶ κεφαλῆς ἄλγημα ἐνδιάθετον περιοδικῶς ἐνίοτε τὰ πολλὰ κινούμενον ὑπὸ φλέγματος γινόμενον, ὅ τε δὲ εἰς ἓν μέρος τῆς κεφαλῆς τὸ ἄλγημα ἐστὶ, καὶ καλεῖται ἑτεροκρανία, ἴασις δὲ ἀμφοτέρων δι' ἀφαιρέσεως αἵματος, ἢ διὰ σικύας ἐπὶ τὸ ἰνίον, καὶ ἀποφλεγματισμῶν, καὶ διὰ κοιλίας κάθαρσιν, καὶ ἐπιθεμάτων, ὅσα ἀναγράφεται ἐν καταπλάσματος τρόπῳ, ἢ ἐν μαλάγμασιν, ἢ ἐπιχρίσμασιν, τὸ δὲ τελευταῖον, σιναπισμῷ ἀναξηραίνεται τὸ αἴτιον. ἐπιληψία δέ, ἣν καὶ ἱερὰν νόσον καλοῦσι. συνίσταται μὲν περὶ τὰς ἀρχὰς τῶν ἀπὸ κεφαλῆς νεύρων, δι' ὧν ἡ αἴσθησις καὶ ἡ κίνησις εἰς πᾶν τὸ σῶμα ἀναδίδοται. αἰτία δὲ τοῦ πάθους ὡς ὁ Πλάτων καὶ Ἱπποκράτης φασὶ φλέγμα καὶ χολὴ μέλαινα, διὸ καταπίπτουσιν οἱ περὶ πάθει ἐχόμενοι, ἐμφραττομένων αὐτοῖς τῶν ὁδῶν τῆς τε αἰσθήσεως καὶ τῆς κινήσεως, ἀφρίζουσι δὲ διὰ τὸ κλόνον τῶν ὑγρῶν, ὃς γίνεται ἀπὸ τοῦ σπασμοῦ τῶν νεύρων, διὸ ἐστὶν ὅτε καὶ οὖρον ἐκκρίνουσιν ἀπροαιρέτως. ἰᾶται δὲ τὸ πάθος ἐπὶ μὲν τῶν πρὸ ἥβης παίδων ἡ φύσις ἐκλάμψασα περὶ ἥβην, καὶ κρίσιν τοῦ νοσήματος ἐργασαμένη παρὰ ἐμφύτῳ θερμῷ ἀναξηράνασα τὰ αἴτια. τοῖς δὲ μετὰ τὴν ἥβην, δυσίατον, ἢ καὶ ἀνίατον τὸ πάθημα. τὰ δὲ σκοτώματα καὶ οἱ ἴλιγγοι συγ-

† al. τῇ βάρει

γενῆ ἐστὶν τῆς ἐπιληψίας καὶ ὑπὸ τῶν αὐτῶν αἰτίων γινόμενα, καὶ περὶ τὰ αὐτὰ χωρία συνιστάμενα. ἐπὶ πο-
λαιᾶς μὲν ἔτι ἡ κατασκευὴ αὐτῶν καὶ οὐκ ἐνδιάθετος, καὶ διὸ εὐιατώτερα καθάρσεσι ταῖς ἀπὸ κοιλίας μάλιστα τῇ
ἱερᾷ, ἔπειτα ἀποφλεγματισμοῖς καὶ ἐμέτοις ἐν κύκλῳ παραλαμβανομένοις, τοῖς μὲν ἀπὸ δείπνου, τοῖς δὲ νή-
στεσιν. ἐπὶ πᾶσι δὲ κατορθοῦνται ἐλλεβόρῳ. Τῆς δὲ περὶ τὴν διάνοιαν ἐκστάσεως, δύο μὲν τὰ ἀνέχοντα εἴδη
μανία τε καὶ μελαγχολία. πολλαὶ δὲ καὶ ἐν τούτοις αἱ διαφοραί, ἀκατονόμαστοι οὖσαι. συνίσταται μὲν οὖν περὶ
κεφαλὴν πᾶσαν ἔκστασις διανοίας. αἰτία δὲ τῆς μὲν μανίας ξανθὴ χολή. διὰ τοῦτο ταραχώδεις καὶ ἔκφοροι
καὶ πρόχειροι ὑβρισταί τε οἱ τούτῳ ἐχόμενοι τῷ πάθει. τῆς δὲ μελαγχολίας αἰτία μέλαινα χολή, ψυχρότερος
χυμὸς καὶ ζοφώδης. διὸ ζοφοειδεῖς τε εἰσὶ καὶ δύσθυμοι οἱ τοιοῦτοι. ὕποπτοι δὲ εἰς πάντα καὶ μισάνθρωποί τε
καὶ ἐρημίαις χαίροντες, οἷος ὁ Βελλεροφόντης ἱστορεῖται. ἢ ἔτι ὁ κὰπ πεδίον τὸ Ἀλήιον οἶος ἀλᾶτο, ὃν θυμὸν κατέδων πά-
τον ἀνθρώπων ἀλεείνων. ἴασις δὲ διὰ καθάρσεως τῶν ἀπὸ κοιλίας, καὶ μάλιστα ἡ δι' ἐμέτων. ἐπὶ πᾶσι δὲ ἐλλέβο-
ρος ἑκάτερος λύσις. Ὁ δὲ λήθαργος ἐναντίον πάθος ἐστὶ τῇ φρενίτιδι. καταφορὰ γάρ ἐστι βαθεῖα καὶ δυσανά-
κλητος. οἱ κάμνοντες ἐπιλανθανόμενοι πάντων ὅσα λέγουσι. ταῦτα δὲ ἐν πυρετῷ αὐτοῖς συνεδρεύει. τόπος μὲν οὖν
τοῦ πάθους ἡ κεφαλή. περὶ γὰρ μήνιγγας αὐτοῖς συνίσταται. αἴτιον δὲ τούτου, φλέγμα, χυμὸς ψυχρὸς καὶ
τῇ ψύξει καὶ τῇ ὑγρότητι εἰς ὕπνους αὐτοὺς κατάγον. θεραπεία δὲ ἁρμόδιος, ἡ ὑπεναντία τῇ φρενίτιδι, ἀνάτρι-
ψις τῶν ἄκρων διά τινων δριμέων καὶ νυσσόντων, ὀσφραντῶν τε προσαγωγαὶ ἀνεγειρόντων. τροφαί τε ὁμοίως
διαχέουσαι καὶ τέμνουσαι τὸ φλέγμα, ἐπιβροχαί τε τῆς κεφαλῆς τῶν ἀναξηραινόντων, καὶ καταπλάσμα-
τα ἔστιν ὅπου κατὰ τῶν μέσων. πολλάκις γὰρ ταῦτα φλεγμαίνοντα πιέζει καὶ τὴν ἐν τῇ κεφαλῇ ἀρχὴν τῶν
νεύρων. Κόρυζα δὲ καὶ βράγχος καὶ κατάρρους ἀπὸ κεφαλῆς μὲν ἄρχεται τὰ πάθη πληρουμένης εἶτα κατα-
σταζούσης, ὅτε μὲν ῥίνας, εἰς καὶ καλεῖται κόρυζα. ὅτε δὲ εἰς βράγχον, καὶ βράγχος ὀνομάζεται τὸ πάθος. ὅτε δὲ
εἰς θώρακα καὶ κατάρρους λέγεται. εὐίατον μὲν οὖν καὶ πρόσκαιρον ἡ κόρυζα. δεύτερον ὁ βράγχος. ὀλιγοσιτίαι
μὲν καὶ θερμαὶ τροφαὶ καὶ σιτώδεις, ἐρρύσαντο πολλάκις τῶν παθῶν. δυσίατον δὲ ὁ κατάρρους, καὶ πολλάκις ἀ-
νίατος. ἐκ γὰρ κατάρρου δριμέος καὶ ἁλμυροῦ διεσθιομένων τῶν σωμάτων αἵματος ἐναγωγὴ γίνεται. Αἰτίαι δὲ
αἵματος ἀναγωγῆς τρεῖς, ἢ γὰρ κατ' ἀνάβρωσιν τῶν ἀγγείων παραρρέοντος τοῦ αἵματος εἰς τὴν † ἀρτηρίαν, ἀνάγε-
ται διὰ τοῦ στόματος, ἢ διὰ δύναμιν ῥήξεως † γινομένης, ἢ δι' ἀσθένειαν καὶ ἀτονίαν τῶν ἀγγείων οὐ στεγόντων, ἀλλὰ
ἀναστομουμένων διαπηδῶντος τοῦ αἵματος. διαφέρει δὲ αἵματος ἔκκρισις καὶ αἵματος ἀναγωγή. ἡ μὲν γὰρ ἢ
ἀπὸ πνεύμονος, ἢ ἀπὸ τῆς τραχείας ἀρτηρίας γίνεται. ἡ δὲ ἀπὸ στομάχου, καὶ τὸ αἷμα μελάντερον φαίνεται. τὸ δὲ ἀπὸ
θώρακος ξανθότερον καὶ ἀφρίζον. ἔπειτα τὸ μὲν μετὰ βηχὸς ἀνάγεσθαι. τὸ δὲ ἄνευ βηχός. πολλάκις δὲ
καὶ ἀπὸ κεφαλῆς διὰ τῶν τῆς ὑπερῴας τρημάτων εἰς τὸ στόμα καταφερόμενον τὸ αἷμα, ἀναγωγῆς φαντασίαν
παρέχει οὐκ οὖσαν. τόποι δὲ ἐξ ὧν κυρίως τὸ αἷμα ἀνάγεται, τρεῖς. πρῶτος μὲν τὸ φαρύγεθρον, καὶ ἀκινδυνο-
τέρα καὶ εὐιατωτέρα ἐντεῦθεν ἡ τοῦ αἵματος ἀναγωγή. δεύτερος ἀπὸ τῆς τραχείας ἀρτηρίας, καὶ δυσίατος αὕ-
τη ἡ διαφορά, καὶ κινδυνώδης. τρίτος ἡ ἀπὸ τοῦ πνεύμονος, πασῶν δυσιατωτέρα καὶ κινδυνωδεστέρα, ἐφ' ἧς μάλι-
στα καὶ τὸ ἐμπύημα καὶ ἡ φθίσις, ὥς φησιν Ἱπποκράτης. ἐφ' αἵματος πτύσει πύου πτύσις. ἐπὶ πύου πτύσει, φθίσις.
ἐπὶ φθίσει, θάνατος. δοκεῖ δέ τισι καὶ ἀπὸ πλευροῦ αἷμα ἀνάγεσθαι. ἀμφίβολος δὲ οὗτος ὁ τρόπος. ἴασις δὲ αἵμα-
τος ἀναγωγῆς, ἐπισχεθῆναι τὸ αἷμα, ἢ διὰ φλεβοτομίας μεταχετεύσαντα, καὶ μάλιστα ἐπὶ τῶν νέων, ἢ δι' ὀξυκρά-
του στήσαντα, ἢ ἀποσιτίᾳ μειώσαντα τὸ πλῆθος. ἢ διά τινος τῶν ἁπλῶν φαρμάκων, οἷον ἀκακίας, ὑποκυστί-
δος, βαλαυστίου, ἀρνογλώσσου χυλοῦ, καὶ τῶν ὁμοίων. ἐμπυήματος δὲ ἴασις ἡ μὲν παλαιὰ διὰ καυστηρίων, ἀνα-
ξηραινόντων τὸν θώρακα, καὶ εἰς τὰ ἐκτὸς μεταρρευματίσαι. ἡ δὲ νεωτέρα, συμπεπᾶναι τοῖς τε καταπλάσμασι
καὶ τοῖς ἐκλεικτοῖς, ἔπειτα ἀνακαθᾶραι ταχέως τοῖς διὰ στόματος διδομένοις φαρμάκοις, πρὶν ἢ καθαιρεθῆναι
τὰ σώματα. ἐπιγράφεται δὲ τὰ φάρμακα ἰδίως πρὸς ἐμπυικούς. τά τε ἐν μεσοπλευρίοις συνιστάμενα ἐμπυήμα-
τα τεμνόμενα ἰδίως πρὸς μόνον ἔχει τὴν ἔκκρισιν τοῦ ὑγροῦ. ἡ γὰρ ἀθρόα, ἀναιρεῖ. γίνεται δὲ ἐμπυήματα καὶ
ὑπὸ τὸ διάφραγμα, ἃ λέγουσιν ἐν κατακαλύψει ἀποστήματα, οὐχ ὁμοίως κινδυνώδη, οὐ δὲ δυσίατα, τὰ πολλὰ
ἐντὸς ῥηγνύμενα ταύτῃ ἐκκρίνεται. ἢ διαιρουμένων τῶν ἐκτὸς σωμάτων. ἱστορεῖ δὲ Διοκλῆς καὶ τὰ ἐν θώρακι
ἐμπυήματα, ἔστιν ὅτε συρρηγνύμενα εἰς τὴν ἐπὶ νεφροὺς καὶ κύστιν φέρουσαν ἀρτηρίαν, ταύτῃ ἀποκρίνεσθαι
σὺν τοῖς οὔροις. Φθίσις μὲν κυρίως λέγεται ἡ ἐν πνεύμονι, ἢ εἰς τὸν θώρακα ἐπὶ τῶν ἐμπυημάτων σύντηξις τοῦ σώ-
ματος. δυσίατον δὲ τὸ πάθος, ἢ καὶ ἀνίατον. γαλακτοποσία τε ἐν αὐτῇ τῇ ἀκμῇ καὶ τόποι ξηρότεροι καὶ τῆς Αἰγύπτου
τὰ ἄνω καὶ ἡ Λιβύα ἰῶνται μάλιστα τὸ πάθος. λέγεται δὲ καὶ ἰσχιαδικὴ τις φθίσις ὑπὸ Ἱπποκράτει, ἡ ἐπὶ τοῖς
περὶ τὸ ἱερὸν ὀστοῦν ἐμπυήμασι σύντηξις τοῦ σώματος. ὁμοίως δὲ καὶ ἡ νεφριτική. Αἱ δὲ περὶ ἧπαρ καὶ
σπλῆνα, φλεγμοναί, εἰ μὲν εἰς ἐμπύημα μεταβάλλοιεν, συντήκουσι καὶ αὗται μετρίως τὸ σῶμα. εὐιατώτερα δὲ
ταῦτα τὰ ἐμπυήματα τῶν ἐν πνεύμονι καὶ ἀκινδυνώτερα. εἰ δὲ μὴ μεταβάλλοιεν, ἀλλ' ἄπεπτοι μένοιεν αἱ φλε-
γμοναὶ καὶ σκιρρώδεις, καχεξίας ἐπιφέρουσαι τῷ σώματι, καὶ τελευτῶσαι ὕδρωπας ἐπιφέρουσι. μέχρι δὲ
ἁπλαῖ φλεγμοναί εἰσιν, ἡ μὲν περὶ ἧπαρ, πυρετὸς ἐπιφέρει συνεχεῖς. ἡ δὲ περὶ σπλῆνα, τεταρταίους, ὡς
ἐπὶ τὸ πολύ. αἰτία γὰρ τοῦ τύπου τούτου, μέλαινα χολή, ἧς ἀγγεῖον ὁ σπλήν, ὅθεν ἴαμα τεταρταίου, πρὸ μὲν τοῦ
ῥίγους, πυριῶντα τὰ ἄκρα διὰ τὴν ψυχρότητα τοῦ χυμοῦ. ἐν δὲ τοῖς διαλείμμασιν ἡ δι' ἐμέτων ἀγωγή. Ὑδρώ-
πων δὲ τριττὸν εἶδος κατὰ τοὺς νεωτέρους, ὁ μὲν ἀσκίτης, ὁ δὲ τυμπανίτης, ὁ δὲ ὑποσαρκίδιος. κατὰ δὲ Ἱπποκράτην
δύο φύσεις. ὁ γὰρ ἀσκίτης καὶ ὁ τυμπανίτης τῆς αὐτῆς ἰδέας ἐστί. ἐφ' ἑκατέρᾳ γὰρ παρέγχυσίς ἐστι τῆς ἐξυδα-
ρουμένης τροφῆς εἰς τὸν μεταξὺ τόπον, τῶν τε ἐντέρων καὶ τοῦ περιτοναίου, ἀλλ' ἐπὶ μὲν τοῦ ἀσκίτου, πλεῖον τὸ ὕ-
δωρ. ἔλαττον τὸ πνεῦμα. ἐπὶ δὲ τοῦ τυμπανίτου, πλεῖον τὸ πνεῦμα. ἔλαττον τὸ ὑγρόν. ὁ δὲ ὑποσαρκίδιος κατὰ
πᾶν ἐστι τὸ σῶμα ἀνάλυσις τῶν στερεῶν σωμάτων εἰς ὕδατος φύσιν. διὸ καὶ Ἱπποκράτης ἀνίατον φησιν. καλεῖται
δὲ καὶ λευκοφλεγματίας. αἰτία δὲ παντὸς ὕδερου, ὡς μὲν Ἐρασίστρατός φησιν, φλεγμονὴ ἥπατος, ἢ σπληνὸς

† αλ. τραχεῖαν
† αλ. φλέβος

χρονισθεῖσα καὶ σκιῤῥωθεῖσα. ἐμποδίζουσα γὰρ τῆς τροφῆς τὴν ἐν τοῖς σπλάγχνοις τούτοις κατεργασίαν τε καὶ ἀνάδοσιν εἰς πᾶν τὸ σῶμα, ἐξυδαροῖ αὐτήν, καταψυχθεῖσα δὲ παρεγχεῖται μεταξὺ ἐντέρων καὶ περιτοναίου. ἐπὶ δὲ ἱπποκράτην καὶ αὐτὴ μὲν ἀνίατος, εἰ δὲ καὶ ἄνευ φλεγμονῆς γινόμενον ὕδρωπα καὶ μάλιστα τὸν ὑποσαρκίδιον τοῦ ἐμφύτου θερμοῦ καταψυχομένου, καὶ οὐκέτι κρατοῦντος τὴν ἐν τοῖς ἀγγείοις τροφήν. διὸ καταψυχόμενον τὸ αἷμα ἐξυδαροῦται καὶ παραῤῥεῖ διὰ τῶν φλεβῶν, ὡς ἐκ τῶν ἀσκῶν τὸ ἔλαιον, διαπηδήσει. μέχρι μὲν γὰρ ἐν ταῖς φλεψὶν αἷμα ἐστὶν ἀκριβῶς, ὑπὸ τοῦ σώματος τῶν φλεβῶν συνέχεται. ὅταν δὲ ἡ ἐν αὐτῷ λιπαρότης πλεονάσῃ, ὡς ἐπὶ τῶν πιμελῶν, παρεγχεόμενον ταύτην πιμελὴν ποιεῖ. ἢ ἐξυδατούμενον τὸ αἷμα, ἢ μὴ στεγνούμενον διαῤῥεῖ, ἢ εἰς τὸν μεταξὺ τόπον τῶν ἐντέρων καὶ τοῦ περιτοναίου, ἢ ἐπὶ πᾶν τὸ σῶμα. ἴασις δὲ τῶν δύο ἑτέρων ὑδρώπων, ἢ διὰ μαλαγμάτων ἀναξηραινόντων, ἢ διὰ φαρμάκων διουρητικῶν, ἢ διὰ καθαρτικῶν ὑπηλάτων. Νεφροὶ δὲ πεπονθότες ἀλγήματα μὴ σφοδρὰ ἐπιφέρουσιν, δυσδιάκριτος δὲ ἐστὶν αὐτῶν ὁ πεπονθὼς τόπος, διὰ τὸ συμπεφυκέναι αὐτὸν τοῖς ἔξωθεν σώμασι, καὶ ἐπικεῖσθαι τὸ κῶλον αὐτοῖς. διὸ ἐν συνόδῳ γινόμενοι, φαντασίαν παρέχουσι φλεγμονῆς ἤτοι περὶ τὰ ἐκτὸς, ἢ κωλικῆς διαθέσεως. πολλάκις δὲ καὶ κώλῳ συμπάσχουσιν οἱ νεφροί. πάθη δὲ συνίστανται περὶ νεφροὺς ταῦτα, φλεγμονή, ἕλκωσις, λιθίασις, πάρεσις. φλεγμονῆς μὲν οὔσης, οὐδὲν διασημαίνει διὰ οὔρων. ἀλλὰ μᾶλλον ἀλγήματα ἐπιφέρει, οὐκ ἀκριβῶς ἐπιφαίνοντα τὸν προπεπονθότα τόπον δι' ἃ ἔφαμεν. δυσπαραμύθητοι δὲ αἱ ὀδύναι, οὔτε καταπλάσμασιν εἴκουσαι, οὔτε τῇ διὰ σικύας ἀφαιρέσει ἐνδιδοῦσαι, μόνον δὲ εἴπερ ἄρα τοῖς ἔνδοθεν διδομένοις τισὶ νεφριτικοῖς φαρμάκοις. εἰ δὲ ἕλκωσις εἴη, ὅτε μὲν πυώδη διὰ τῶν οὔρων ἀποκρίνεται, ὅτε δὲ αἱματώδη. λιθιάσεως δὲ οὔσης ὅτε μὲν αἱματώδη ἀποκρίνεται, τραχυνομένων τῶν σωμάτων ὑπὸ τοῦ λίθου. ὅτε δὲ ψαμμία ὑφίστανται τοῖς οὔροις, εἰ εὔθρυπτος εἴη ὁ λίθος, ἢ καὶ γενέσεως ἀρχὴν ἔχει. ἐπὶ δὲ παρέσεως αἱματῶδες τὸ οὖρον ἀποδίδοται, ὥσανεὶ διακρινόμενον. περὶ δὲ τὴν κύστιν ταῦτα συνίσταται τὰ πάθη. πάρεσις, ψωρίασις, λιθίασις, ἕλκωσις, περὶ τὸν τράχηλον μάλιστα. ἐπισυμβαίνει δὲ τούτοις, ἰσχουρία, στραγγουρία, δυσουρία, ἀπό τε τούτων καὶ ἐξ ἄλλων αἰτιῶν. φλεγμονὴν μὲν οὖν δηλοῖ τὰ περὶ τὸ ἐφήβαιον ἀλγήματα καὶ δυσχέρεια περὶ τὴν τοῦ οὔρου ἔκκρισιν. λύει δὲ φλεγμονὴν κύστεως κατάπλασμα καὶ ἐπιβροχαὶ καὶ ἔνδεια τροφῆς. εἰ δὲ ὑπερβάλλει, καὶ ἀφαίρεσις αἵματος διὰ φλεβοτομίας. ἕλκωσιν δὲ σημαίνει, ποτὲ μὲν αἱματώδη ἐκκρινόμενα, ποτὲ δὲ πυώδη, ἔστι δὲ ὅτε μυξώδη, καὶ τὰ περὶ τὸ ἐφήβαιον ἀλγήματα. ἴασις δὲ διὰ τῶν ἐπιθεμάτων, καὶ μάλιστα γλυκυχυμία καὶ εὔχυμος τροφὴ προσφερομένη. καὶ τὰ ἔνδοθεν διδόμενα πρὸς ἕλκωσιν κύστεως, καὶ τὸ βιοσίνου φάρμακον. πάρεσιν δὲ κύστεως δηλοῖ μὲν καὶ ἡ τῶν οὔρων ἀπροαίρετος ἔκκρισις. δυσίατον δὲ, ἢ καὶ ἀνίατον τὸ πάθος. λίθον δὲ ἐν κύστει ὄντα σημειοῦνται μὲν ἀκριβέστατα οἱ δάκτυλοι καθιέμενοι εἰς τὸ ἀπολυσμένον τῆς ἕδρας, ὥστε ἐπικάμπτεσθαι τὸν λιχανὸν δάκτυλον ἐπὶ τὸν μέσον τοῖς ἄκροις, καὶ ἀπὸ τὸ ἔμπροσθεν ἐπὶ τὴν κύστιν ἔνθα καὶ ἐντυγχάνουσι τῷ λίθῳ ἐμπλέοντι, καὶ ἀναφέρουσιν αὐτὸν εἰς τὸν τράχηλον τῆς κύστεως. λίθων δὲ διαφοραὶ πλείονες. οἱ μὲν γὰρ αὐτῶν προσφυεῖς, οἱ δὲ ἀπόλυτοι. καὶ οἱ μὲν εὔθραυστοι, οἱ δὲ δύσθραυστοι. δυσίατοι μὲν οὖν, ὡς ἐπὶ τὸ πολὺ, οἱ προσφυεῖς. τῶν δὲ ἄλλων τοὺς μὲν εὐθραύστους τὰ φάρμακα δύνανται διαλύοντα ἐκκρίνειν. τοὺς δὲ στερεοὺς καὶ δυσλύτους οἱ χειρουργοὶ κομίζονται, διαιροῦντες τῆς κύστεως τὸ σαρκοειδὲς τοῦ τραχήλου. ἰσχουρία μὲν οὖν ἐστὶν ἡ τελεία ἐποχὴ τῶν οὔρων. στραγγουρία δὲ ἡ κατὰ στράγγα οὔρησις. καὶ δυσουρία τὸ αὐτὸ ταύτην μόνον ποιοῦσα, δυσχέρειαν τοῦ ἀπουρεῖν. γίνεται δὲ ταῦτα διὰ πολλὰς αἰτίας, ὅτε μὲν διὰ τῶν λίθων ἐσφηνωμένων τῷ τραχήλῳ τῆς κύστεως καὶ τελέως ἐμφραττόντων τὸν πόρον, ἢ ἔνδον τι καταλειπόντων, ἢ ἐνεχομένων τῇ κύστει. γίνεται δὲ ἰσχουρία διὰ φλεγμονὴν κύστεως ὑπερβάλλουσαν, καὶ διὰ πλήρωσιν ἄμετρον, οὐ δυναμένης περιστέλλεσθαι τῆς κύστεως, καὶ διὰ δριμύτητα τῶν οὔρων τοῦ τραχήλου ἀκριβῶς συστελλομένου τῇ δήξει, καὶ διὰ θρόμβον αἵματος ἀποκλείοντα τὴν δίοδον, καὶ διὰ παχύτητα οὔρων προσισχομένων   αὐτὴν παχύτητα   σκευάζομεν θρόμβον διαλύειν τοῖς δυναμένοις πίνειν. τὴν δὲ πλήρωσιν κινοῦν τῷ ἐρασιστρατείῳ καθετῆρι. ἔστι δὲ οὗτος προσεοικὼς τῷ ῥωμαϊκῷ σίγμα.   ἡ δὲ περὶ κοιλίαν καὶ γαστέρα ἀρχὴ ὁ στόμαχος ἐστὶ καὶ κατὰ φύσιν ἐχόντων καὶ παρὰ φύσιν διατιθεμένων. στομάχου τοίνυν παθήματα, φλεγμονή, ἕλκωσις, αἵματος ἀναγωγή, ἐμπνευμάτωσις, πλάδος, ἀνορεξία, ἀκράτεια τῶν προσφερομένων. φλεγμονὴν μὲν οὖν σημαίνει, τὸ ἄλγημα ἐγκείμενον. ἐπιμέλεια δὲ δι' ἐπιβροχῶν καὶ καταπλασμάτων, καὶ τροφῶν σιτωδῶν καὶ εὐδιοικήτων. ἕλκωσιν δὲ ἐν στομάχῳ δηλοῖ ἰδίως σῆψις καὶ δῆξις καὶ δύσκρατα ποσία. ἴασις δὲ διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων, καὶ διὰ τροφῶν εὐχύλων, αἷμα δὲ ἀπὸ στομάχου ἀναγόμενον ἐπέχει διδόμενα, τὰ πρὸς αἵματος ἀναγωγὴν τὴν ἀπὸ θώρακος, τὰ προγεγραμμένα. ἐμπνευμάτωσιν δὲ διαλύουσι στομάχου αἱ εὔποροι καὶ ὅσα ἐρυγὴν κινεῖ. πλάδον δὲ ἀναξηραίνει, ξηροφαγία τε καὶ ἀψινθίου πόσις. ἀνορεξία δὲ ἡ μὲν τις γίνεται διὰ φλέγμα περικείμενον, καὶ δεῖ ἀναξηραίνειν τὸ αἴτιον, ἢ διὰ χολὴν ἐπιπολάζουσαν καὶ δεῖ ἀνακαθαίρειν τὸν στόμαχον, ἢ ἀδυνατοῦντα τὴν φύσιν, ἐνέργειαν ἀποδιδόναι τὴν ὀρεκτικὴν, ὡς καὶ ὀφθαλμοὺς ἀμβλυωπεῖν δι' ἀτονίαν τοῦ ὁρατικοῦ πνεύματος. πρὸς δὲ τὴν τοιαύτην ἀνορεξίαν χρὴ τὰ προκλητικὰ καὶ ὑπομνηστικὰ τῆς ὀρέξεως προσφέρειν. ἀκρατὴς δὲ γίνεται ὁ στόμαχος τῶν προσφερομένων καὶ διὰ πλάδον, μάλιστα δὲ δι' ἀτονίαν καὶ ἀσθένειαν, ὡς καὶ χεὶρ παρειμένη οὐκ ἴσχει, ὧν ἂν ἐφάπτηται. χρὴ οὖν τονοῦν αὐτὸν καὶ ἰσχυροποιεῖν, τό, τε ὅλον τὸ σῶμα ἀνατρέφειν.   περὶ δὲ κοιλίαν γίνεται μὲν πολλὰ τὰ περὶ τὸν στόμαχον, πλὴν τῆς ἀνορεξίας. τὸ δὲ μὴ πέπτειν τὰ σιτία ἴδιον αὐτῆς, καὶ τὰ πλεῖστα περὶ αὐτὴν γίνεται, ᾧ πάθος ἕπεται ἡ διάῤῥοια. τὰ μὲν οὖν ἄλλα ὁμοίως ἰατέον τοῖς περὶ τὸν στόμαχον. τὴν δὲ διάῤῥοιαν ἀκριβῶς ἐξεταστέον δι' ἣν αἰτίαν ἀπεφθείσης τῆς τροφῆς γίνεται. καὶ εἰ μὲν διὰ φλεγμονὴν καταπλάττειν καὶ ἐπιβρέχειν. εἰ δὲ διὰ φλέγμα περικείμενον ποιοῦν τὸν πλάδον, ἀναξηραίνειν τῇ διαίτῃ τὴν ὑγρότητα. εἰ δὲ παρὰ χολῆς πλῆθος, τὴν χολὴν καθαίρειν. εἰ δὲ δι' ἀτονίαν ὡς τοῖς ἀτονοῦσι, τόνον ἐμποιεῖν τῷ σώματι. εἰ δὲ παρ' αὐτὴν τὴν ποιότητα τῶν προσενεχθέντων δυσαπέπτων ὄντων, ἢ † ἀφθάρτων ἢ τοι ἐχόντων ἀλλοί-

τριον, ἀθεράπευσα ταῦτα παραιτεῖσθαι τὰ τοιαῦτα. δυσεντερία δέ ἐστι πάθος περὶ τὰ ἔντερα. γίνεται δὲ ἐπὶ διαῤῥοίᾳ χρονιζόντων τῶν διεφθαρμένων, καὶ διαδιδόντων, καὶ ἑλκούντων τὰ ἔντερα. γίνεται δὲ καὶ ἄνευ διαῤῥοίας ἐξ ἀρχῆς ὑπὸ χυμοῦ τινὸς δριμέος διαφάγοντος τὸ ἔντερον. ἔστι δὲ ὅτε καὶ ἐπὶ λύσει νοσήματος γίνεται ἡ δυσεντερία, ἣν ἀπαγορεύει ὁ Ἱπποκράτης ἰᾶσθαι μὴ εἰ τῆς ἐποχῆς ἕτερόν τι μεῖζον ἐπιγίνεται νόσημα. τὴν μὲν οὖν ἐκ διαῤῥοίας γινομένην ἰᾶται τοῖς στέλλουσι καὶ ἱστᾶσι τὸ ῥεῦμα. τὴν δὲ ἐκ τινὸς δήξεως χυμοῦ δριμέος ἰᾶται τοῖς καταγλυκαίνουσι καὶ καταπραΰνουσι δυναμένοις, † ἐκλύζοντα τὰ αὐτὰ τὰ ἡλκωμένα τοῖς ὁμοίοις. χρονιζοντος μέν τοι τοῦ πάθους νομώδη καὶ σεσηπότα ἔσωθεν διαχωρεῖν, ὅτε ἁρμόζουσιν, οἱ ἐνιέμενοι τροχίσκοι οἱ διὰ σανδαράκης, καὶ τιτάνου, καὶ ἀρσενικοῦ, καὶ τῶν τοιούτων συντιθέμενοι. μὴ ὄντων δὲ νομωδῶν τῶν διαχωρουμένων, μὴ χρῆσθαι τούτοις, ἐπεὶ σπασμὸν ἐπιφέρουσιν. εἰ δὲ καὶ ἀνωτέρω ἡ τοιαύτη ἕλκωσις τῶν ἐντέρων εἴη οὐ δὲ οὕτως χρηστέον τοῖς τροχίσκοις. οὐ γὰρ φθάνουσιν ἐπὶ τὰ πεπονθότα ἐξικνεῖσθαι. τῶν γὰρ ὑγιαινῶν καθαπτόμενοι, ὄλεθρον ἐργάζονται, ἀνωτερικοῖς δὲ φαρμάκοις χρῆσθαι, τοῖς πρὸς δυσεντερίαν ἀναγεγραμμένοις.

† αλ. ἐκκλύζων τε

λειεντερία δὲ γίνεται μὲν ἀπὸ τῆς δυσεντερίας, ὅταν πολλῆς ἑλκώσεως οὔσης ἐπὶ τὰ ἔντερα οὐλαὶ πολλαὶ ἐπιγίνονται, δι' ἃς οὐ κρατεῖ τὰ ἔντερα τῆς τροφῆς ὅταν λειεντερία εἴρηται ἐκ τῆς περὶ τὰ ἔντερα λειότητος. διὸ καὶ ἀνίατος ἡ τοιαύτη λειεντερία. οὐλὰς γὰρ οὐκ ἔστιν ἰᾶν. χαλεπὴ δὲ καὶ δυσίατος ἡ δι' ἀτονίαν ἐντέρου γινομένη. ἐγχειρεῖν δὲ τῇ θεραπείᾳ, τόνον ἐντιθέντα τῷ τε ὅλῳ τῷ σώματι καὶ τοῖς ἐντέροις. γίνεται δὲ καὶ λειεντερία καὶ διὰ φλέγμα ἐπικλύσαν τὰ ἔντερα, καὶ ὄλισθον ἐμποιοῦν αὐτοῖς. καὶ δεῖ ἀναξηραίνειν ἀκρατίᾳ τε καὶ τροφῇ τῇ πρὸς φλέγμα ἀντιτασσομένῃ. τεινεσμὸς δὲ ἰδίως περὶ τὸ ἀπευθυσμένον γίνεται. φλεγμαῖνον γὰρ τοῦτο συνεχεῖς ἐντάσεις καὶ προθυμίας πρὸς διαχώρησιν ἐμποιεῖ, καὶ τοῦτο ἐστὶν ὁ τεινεσμός. ἴασις δὲ διὰ πυριαμάτων κάτωθεν τῶν συφόντων καὶ τροφὴ σιτώδης καὶ στατική. εἰ δὲ ἐπιμένει καὶ ἐνέματα διὰ πτισάνης χυλοῦ καὶ στέατος τραγείου χρηστέον. ἑλμινθες δὲ πάθος ἐντέρων. τριττὸν δὲ εἶδος ἑλμίνθων. αἱ μὲν γὰρ στρογγύλαι ἀριθμιαῖαι τὸ μῆκος, ἢ καὶ μείζους αἳ καὶ μέχρι στομάχου νέμονται. αἱ δὲ βραχεῖαι, καὶ ἐμφερεῖς σκώληξι μακροτέροις, καλοῦνται δὲ ἀσκαρίδες, συνίστανται δὲ περὶ τὸ ἀπευθυσμένον. αἱ δὲ πλατεῖαι καὶ ἐπὶ μῆκος, ὥστε τῷ ὅλῳ τῷ ἐντέρῳ παρατείνονται. λέγονται δὲ καὶ κειρίαι ἐκ τοῦ ἐμφορεῖς εἶναι κειρίαις. ὁμοίως δὲ καὶ ταινίαι, εὐίατοι μὲν οὖν στρογγύλαι. πληθύνουσι γὰρ ἐπὶ παιδίων. αἱ δὲ ἀσκαρίδες πλεονάζουσιν ἐπὶ τῶν πρεσβευόντων, δυσίατοι δὲ καὶ δυσέκκειτοι, μόνον ὑπὸ τῶν δριμυφαγιῶν, καὶ φαρμάκων τῶν διὰ πικρᾶς συντεθειμένων καὶ ἐλαΐνου ὡς ἐπὶ τὸ πλεῖστον ἐμβαλλομένων. ἰσχιὰς δὲ καὶ ἀρθρῖτις καὶ ποδάγρα, μεγέθει μόνον ἀλλήλων διαφέρουσιν, ταῖς δὲ αἰτίαις καὶ τοῖς τόποις τοῖς πρωτοπαθοῦσι τὰ αὐτὰ ἐστίν. ὑπό τε γὰρ φλέγματος, ὡς ἐπὶ πολὺ γίνονται καὶ περὶ τὰ νεῦρα συνίσταται, τὰ συνέχοντα τὰ ἄρθρα, καὶ τὴν κίνησιν αὐτοῖς παρέχοντα. ἀλλ' ἡ μὲν ἰσχιὰς περὶ τὸ ἄρθρον τὸ κατὰ ἰσχίον, γίνεται. διατείνεται δὲ πολλάκις μέχρι σφυρῶν. ἴασις δὲ διὰ φλεβοτομίας ἀπὸ σφυροῦ. καὶ διὰ σικύας ἀπὸ τοῦ ἰσχίου, καὶ διὰ κλυσμῶν δριμέων, καὶ δι' ἃ δυσεντερίας τρόπον τινὰ ποιοῦσι, καὶ τὰ ἔξωθεν καταπλάσματα ἄκοπα καὶ μαλάγματα. ποδάγρα δὲ περὶ μόνους τοὺς πόδας συνίσταται, καὶ ἐπισημαίνει ἐν ἀκμῇ μὲν πυρετῶδες ἄλγημα, διὸ τῶν ἐμψυχόντων δεῖται, παρακμῇ δὲ ναρκῶδες, καὶ μετὰ ψύξεως, ὅθεν τῶν θερμαινόντων δεῖται. ἀρθρῖτις δὲ ταυτὸν πάθος τοῖς προειρημένοις περὶ πάντα τὰ ἄρθρα συνιστάμενον. φαρμάκων δὲ δεῖται θεραπευτικῶν τῶν ἀλιαινόντων κηρωμάτων, καὶ τῆς καταλλήλου διαίτης. ἡ δὲ ἐλεφαντίασις, τὸ πάθος, ἔχει τὸ ὄνομα ἀπὸ ὁμοιότητος τῆς πρὸς τὸν ἐλέφαντα. τὸ γὰρ δέρμα τῶν ἐν τῷ πάθει τούτῳ κατεχομένων παχύτερόν τε καὶ σκληρότερον ἐστίν, ἐμφέρειαν ἔχον πρὸς τὸ τοῦ ἐλέφαντος δέρμα. αἴτιον δὲ τοῦ πάθους, φλέγμα παχὺ καὶ χολὴ μέλαινα, ἢ βλεννώδης μάλιστα ἐνσπειρομένη. οἱ γὰρ χυμοὶ οὗτοι θηριώδες αὐτὸ ἀποφαίνουσιν. διὸ καὶ μόνη θεραπεία ἀνύσιμος ἐπὶ τῶν ἐλεφαντιώντων, ἡ δι' ἑλλεβόρου λευκοῦ καὶ μέλανος. ὁ δὲ λειχὴν, πάθος μὲν καὶ αὐτὸς δέρματος. διττὸν δὲ εἶδος λειχῆνος, ὁ μὲν ἥμερος καὶ πρᾳότερος, ὁ δὲ ἄγριος καὶ χαλεπώτερος. ἀφίστανται δὲ ἐπὶ τούτων καὶ λεπίδες τοῦ δέρματος καὶ ὁ ὑπὸ τὰς λεπίδας τόπος ἐνερευθέστερος καὶ ἐγγὺς ἡλκωμένου φαίνεται. γίνεται δὲ τὸ πάθος ὑπὸ φλέγματος ἁλμυροῦ καὶ χολῆς τῆς ξανθῆς, ἔνθεν ὡς ἐπὶ τῶν ἁλμῶν τῶν κεραμίων ἀφίστανται τοῦ δέρματος αἱ λεπίδες. ἴασις δὲ ἥτε διὰ φαρμάκων φλεγμαγωγῶν, καὶ τῶν ἔξωθεν ἐπιχριστῶν. λέπρα δὲ πάθος μέν καὶ αὐτὴ δέρματος ἐπὶ τὸ λευκότερον καὶ τραχύτερον τρεπόμενον. ἡ δὲ τραχύτης οἷον ψιδρακίων ἐπανεστώτων. ἡ δὲ ψώρα ἐστὶν ἑλκωδεστέρα. γίνεται δὲ ἑκάτερον ἰδίως ὑπὸ φλέγματος ἁλμυροῦ. ἴασις δὲ ἥδε διὰ φλεγμαγωγῶν φαρμάκων, καὶ τῶν ἔξωθεν ἐπιχρισμάτων, ὅσα πρὸς λέπραν καὶ ψώραν ἀναγέγραπται. ὁ δὲ ἀλφὸς διττὸν ἐστὶ πάθος, ὁ μὲν λευκὸς ὁ δὲ μέλας. γίνεται δὲ ὁ μὲν μέλας ὑπὸ μελαίνης χολῆς. διὸ καὶ μελαγχολικὰ τὰ πολλὰ ῥύεται. ὁ λευκὸς δὲ ὑπὸ φλέγματος γίνεται οὐχ ἁλυκοῦ. ἡ δὲ λεύκη ὅμοιον μὲν τὸ πάθος ἀλφῷ λευκῷ, μᾶλλον δὲ ἐπισημαίνει γῆν λευκοτάτην. λέπρας δὲ διαφέρει τῷ λεῖον εἶναι, καὶ μὴ τραχύνεσθαι τὸ δέρμα ὡς ἐπὶ λέπρας. ῥύεται δὲ τούτων ἁπάντων τὰ φλεγμαγωγὰ φάρμακα, καὶ τὰ ἔξωθεν σμήγματα.

Περὶ διαιρέσεως τῆς διὰ φαρμάκων θεραπείας.

Η δὲ φαρμακεία διττή ἐστιν, ἡ μὲν πρὸς τὰ ἐντὸς πάθη ᾗ μάλιστα χρῆται ὁ διαιτητικός. ἡ δὲ πρὸς τὰ ἐκτὸς, ἧς οὐκ ἄνευ συντελεῖται τὰ κατὰ χειρουργίαν. τῆς μὲν οὖν πρὸς τὰ ἐντὸς φαρμακείας εἴδη ἐστὶ δεκαδύο. τὸ μὲν τῶν ἐν τῇ κεφαλῇ παθῶν. τὸ δὲ τῶν στοματικῶν. τὸ δὲ τῶν πεπτικῶν. τὸ δὲ τῶν βηχικῶν. τὸ δὲ τῶν ἀνωδύνων, τὸ δὲ ἀλεξιφαρμάκων. τὸ δὲ τῶν καθαιρόντων. τὰ μὲν ἡπατικὰ ἰδίως. τὰ δὲ σπληνικά. τὰ δὲ νεφριτικά. τὰ δὲ πρὸς τοὺς ἐν τῇ κύστει λίθους καὶ ἕλκη. τὰ δὲ πρὸς ὕδρωπα. τὰ μὲν δὴ στοματικὰ ἐστὶ τὰ δὲ, πρὸς οὖλα αἱμασσόμενα, σηπόμενα, βεβρωμένα, καὶ ὀδόντας καὶ ὅσα πρὸς ἄφθας καὶ ἐσχάρας, ὅσα τε πρὸς σταφυλὴν κεχαλασμένην. τῶν δὲ πεπτικῶν. τὰ μέν ἐστιν πρὸς ἀτονίαν στομάχου ἢ κοιλίας. τὰ δὲ πρὸς ἐμπνευματώσεις τούτων. † τὰ δὲ πρὸς πλευριτικοὺς, ἢ περιπνευμονικούς. τὰ δὲ πρὸς φθισικούς. τὰ δὲ πρὸς ἀσθματικούς, ἢ ὀρθοπνοϊκούς. τὰ δὲ πρὸς τραχύτητα τε

† τὰ δὲ πρὸς αἵματος ἀναγωγήν

τυπτὰ τὰ ἀρτηρίας, καὶ φωνῆς ἐκκοπήν. τῶν δὲ ἀνωδύνων τὰ μὲν πρὸς κεφαλικούς, τὰ δὲ πρὸς κοιλίας ῥύσεις καὶ
δυσεντερίας, καὶ πρὸς κωλικούς, καὶ εἰλεώδεις. κοινῶς δὲ πάντα πρὸς πᾶσαν ὀδύνην. τὰ δὲ ἀλεξιφάρμακα, τὰ
μὲν ἁπλᾶ, ἄλλα πρὸς ἄλλο δηλητήριον. ἡ δὲ θηριακὴ πρὸς πάντα καὶ προλαμβανομένη καὶ ἐπιδιδομένη. τῶν δὲ κα-
θαιρόντων. τὰ μὲν ἄνωθεν καθαίρει, ὡς τὰ δι' ἐλλεβόρου, καὶ ἐμετικὰ πάντα. τὰ δὲ κάτωθεν παραλαμβάνεται, ὡς
τὰ διὰ σκαμμωνίας καὶ ἀλόης καὶ ἐλατηρίου καὶ κολοκυνθίδος καὶ εὐφορβίου καὶ κόκκου κνιδίου καὶ τῶν τοιούτων.
τρίτα δὲ τούτοις τετάχθω καὶ τὰ πρὸς ἕλμινθας πλατείας, οἷα ἐστὶ τὸ διὰ κέρατος ἐλαφείου, καὶ ἡδυόσμου, καὶ
πεπέρεως. ἔστι δὲ καὶ τέταρτον εἶδος τῶν κεφαλὴν μόνην καθαιρόντων διὰ στόματος καὶ ῥινῶν ἃ παραλαμβάνεται
ἰδίως ἐπί τε τῶν ἐν τῇ κεφαλῇ καὶ τοῖς ὀφθαλμοῖς παθῶν, καὶ τὰ πλεῖστα τῶν ἰκτέρων. ἁρμόζουσι δὲ αἱ μὲν διὰ τῶν
ἄνω καθάρσεις πρὸς ἀνασκευὴν τῶν χρονίων. καιρὸς δὲ αὐτῶν τὰ διαλείμματα. αἱ δὲ κάτωθεν πρὸς τὰ ὀξέα νοσήμα-
10 τα κατάλληλοι, πλευρίτιδας καὶ περιπνευμονίας. καιρὸς δὲ αὐτῶν πάντων ἡ ἄνεσις τῶν ἐπὶ μέρους παροξυσμῶν.

τῶν δὲ πρὸς τὰ ἐκτὸς φαρμακείας, εἴδη ἐστὶν ἕνδεκα. τὰ μὲν γὰρ αὐτῶν διαφορητικά, τὰ δὲ συμπεπτικά, τὰ δὲ ἔναι-
μα, τὰ δὲ πυοποιὰ τὰ δὲ ἀνακαθαρτικά, τὰ δὲ ἀναπληρωτικά, τὰ δὲ κατασταλτικά, τὰ δὲ ἐπουλωτικὰ τὰ δὲ
ὀφθαλμικά, τὰ δὲ ἐν ὅλῳ τῷ σώματι, τὰ δὲ καυστικά, ἐπὶ ἐρυσιπέλατα, καὶ ἕρπητας καὶ ἄνθρακας, τὰ δὲ εἰσὶν
ἀλείμματα ἄκοπά τε καὶ θερμαντικά, πρὸς παραλύσεις ποιοῦντα, καὶ ἀρθριτικοὺς καὶ ποδαγρικοὺς καὶ πᾶ-
σαν νεύρων † πῆξιν, καὶ τετανικοὺς καὶ ὀπισθοτονικούς. τὰ δὲ σμηκτικὰ τῶν εἰς τὴν ἐπιφάνειαν ἐξανθούντων, † al. τῆξιν
λεύκης, ἀλφοῦ, λειχῆνος, καὶ λέπρας. τὰ οὖν διαφορητικὰ καὶ συμπεπτικὰ ἐπὶ φυμάτων καὶ παντὸς ἀπο-
στήματος τοιούτου ἁρμόζει. διαφορητικαὶ δέ εἰσιν αἱ διὰ ἁλῶν πᾶσαι, καὶ ὅσαι διὰ νίτρου, ὡς τὸ Κτησιφῶντος.
συμπεπτικὰ δὲ τὰ διὰ ῥητίνης καὶ χαλβάνης καὶ ἀμμωνιακοῦ θυμιάματος, τῶν δὲ ἐναίμων φαρμάκων, αἱ μὲν
φαιαὶ ἐπὶ τῶν κατὰ τὸ σώματος προσφάτων τραυμάτων ἁρμόζουσιν. αἱ δὲ ἰδίως χλωραὶ καὶ μέλαιναι, ὡς ἡ
20 Βάρβαρος πρός τε τὰ ἐν τῇ κεφαλῇ καὶ πρὸς τὰ κυνόδηκτα. ἐπὶ δὲ ἑλκῶν, τοῖς μὲν πυοποιοῖς ἐπὶ τῶν
φλεγμαινόντων χρηστέον, ὡς τῇ τετραφαρμάκῳ. τοῖς δὲ ἀνακαθαίρουσιν, ἐπὶ τῶν ῥυπαρῶν, ὡς τῇ χλωρῇ ἀνειμένῃ.
τοῖς δὲ ἀναπληροῦσιν, ἐπὶ τῶν κοίλων. τοῖς δὲ καταστέλλουσιν ὡς ἐπὶ τῶν ὑπερσαρκούντων, ὡς τοῖς διὰ μίσυος καὶ
λεπίδος, ἃ καὶ ἐπὶ τῶν δυσεπισχέτων αἱμορραγιῶν ἁρμόζει. τοῖς δὲ καυστικοῖς ὁ, τὲ μὲν πρὸς τὸ διελεῖν καὶ ἀναπτύ-
ξαι σώματα χρώμεθα, ὡς ἐπὶ τῶν ἀποστημάτων τὴν περιοχήν, ὅ τε δὲ ἐπὶ τῶν κεχαλασμένων βλεφάρων ἀντὶ
ἀναρραφῆς, ἀφαιροῦντες τὸ σύμμετρον τῆς ὅλης ἀνασπῶμεν τὸ κεχαλασμένον. ὅ τε δὲ ἐπὶ κεφαλαίας δυσιά-
του παραλαμβάνομεν διὰ βαθείας ἐσχάρας μεταβάλλοντες εἰς τὰ ἐκτὸς ῥεύματα. ὕλη δὲ τῶν καυστικῶν κονία, ἄσ-
βεστος ζῶσα, καὶ ἀρσενικόν, καὶ σανδαράχη, καὶ φέκλα, καὶ τὰ τοιαῦτα. τῶν δὲ κεφαλικῶν, τὸ μὲν πρὸς ἀχῶρας
καὶ πίτυρα καὶ ἐκβράσματα ἁρμόζει. τὰ δὲ πρὸς κεφαλαλγίαν, καὶ ἑτεροκρανίαν. τῶν δὲ ὠτικῶν τὰ μὲν πρὸς
φλεγμονὴν ὤτων. τὰ δὲ πρὸς ἕλκωσιν. τὰ δὲ πρὸς ἐπιρρέοντα. τὰ δὲ πρὸς δυσηκοΐαν. δὲ πρὸς ὦτα τε-
30 θλασμένα. τῶν δὲ ὀφθαλμικῶν φαρμάκων εἴδη εἰσὶν ἑπτά. τὰ μὲν γὰρ πρὸς ἀρχομένας ὀφθαλμίας ἁρμό-
ζει, ὡς διὰ τὰ γλαυκίου καὶ τὰ διὰ κρόκου, καὶ τὰ κυκνάρια. τὰ δὲ πρὸς τὰς διαθέσεις ὡς τὰ νάρδινα καὶ τὰ
θεοδότια καλούμενα. τὰ δὲ πρὸς ῥεύματα, ὡς τὰ διὰ λιβάνου καὶ ἀκακίας καὶ ἑλίκης καρποῦ. τὰ δὲ πρὸς
τραχώματα ὡς τὰ διὰ τῶν μεταλλικῶν, οἷον κεκαυμένου χαλκοῦ καὶ χαλκίτεως καὶ λεπίδος χαλκοῦ. πέμπτον
δὲ ἐστὶ, τὸ πρὸς ξηροφθαλμίας καὶ ψωροφθαλμίας, εἶδος τῶν κολλυρίων καὶ ξηρῶν ὀξυδορκικῶν, ἃ τῆς αὐ-
τῆς ὕλης ἐστὶν τοῖς προγεγραμμένοις. ἕκτον δὲ τῶν ὑγρῶν εἶδος τῶν πρὸς ὑποχύσεις ἀναγεγραμμένων, ἃ διὰ
χολῶν σκευάζονται, καὶ μάλιστα δι' ὑαίνης. ἕβδομον δὲ τὸ τῶν καταπλασμάτων εἶδος, ἃ παραλαμβάνεται
ἐπὶ τῶν ἄκρως φλεγμαινόντων ὀφθαλμῶν καὶ περιωδυνώντων. ἔστι δὲ τὰ δὲ διὰ μελιλώτων καὶ γλυκέος καὶ
τήλεως καὶ τὰ τοιαύτης ὕλης. περιχρίομεν δὲ τὰ βλέφαρα ἐν ἀρχῇ μὲν τοῖς ἀκρουστικοῖς οἷα ἐστὶ τὰ διὰ
γλαυκίου, καὶ τοῖς διὰ κρόκου, καὶ αὐτῷ μόνῳ γλαυκίῳ. ἐπὶ δὲ τῶν ἐνδιαθέντων τοῖς ἀναξηραίνουσι καὶ παραμυ-
40 θουμένοις οἷον ναρδίνοις καὶ θεοδοτίοις. ὅσα δὲ πρὸς εὐμορφίαν ἐπιχρίεται, ὡς τὰ διὰ σάνδυκος καὶ μολύβδου ἡδυχρόου, οὐκ
ἰατρικῆς ἀλλὰ καλλωπιστικῆς ἐστὶν ἴδια.

περὶ τῶν ἐν ὀφθαλμοῖς συνισταμένων παθῶν.

Πάθη περὶ μὲν τὸν ὅλον ὀφθαλμὸν συνίσταται τάδε. τάραξις, ὀφθαλμία, ἐπιφορά, φλεγμονή, οἴδημα, ἐμφύση-
μα, σκίρρωσις, χύμωσις, ἄνθραξ, στραβισμός, σπασμός, παλμός, μυωπίασις, γάγγραινα, σηπεδών, ἔλ-
κος, σύριγξ, ξηροφθαλμία, ψωροφθαλμία, σκληροφθαλμία, πρόπτωσις, ἀτροφία. περὶ δὲ τοὺς
ὑμένας τάδε. ῥῆξις, διάβρωσις, διάτασις, ἀναστόμωσις, παχύτης, πυκνότης, ῥύσσωσις, ἔκτασις, ἀραιό-
της. περὶ δὲ τὰ ἐντὸς τῶν βλεφάρων, τραχύτης, παχύτης, σύκωσις, τύλωσις, σκληρία, χαλάζωσις, πλα-
δαρότης, μύδησις, σάρκωσις, πωρίασις. περὶ δὲ τὰ ἐκτὸς τῶν βλεφάρων ὑδατίδες, λιθίασις, φθειρίασις,
μελικηρίς, γάγγραινα, φύματα, κολοβώματα. περὶ δὲ τὴν στεφάνην, κριθὴ καὶ ποσθία. τριχίασις, δυστιχία,
50 τριστιχία φαλάγγωσις, πύρωσις, πτίλωσις, ψωρίασις, μαδαρότης, παράλυσις. κοινῶς δὲ πρὸς ὅλα τὰ βλέ-
φαρα, παράλυσις πρόπτωσις, ἐκτροπή. περὶ δὲ τοὺς κανθούς, ἐγκανθίς, ἀγκύλη, πτερύγιον, ῥοιάς πρόσφυσις.
ἔξωθεν δὲ αἰγίλωψ, ἀγχίλωψ. περὶ δὲ τὸ λευκὸν ψυδράκιον, ἕλκος, ὑπόσφαγμα, ἀπόστασις, χήμωσις, κοίλω-
μα πτερύγιον, φάκωσις, ἴκτερος, πῶρος. περὶ δὲ τὴν ἶριν, ἄργεμον, νεφέλιον, ἀχλύς, ἐπίκαυμα, ἕλκος, βόθριον.
φλυκτίς, μυοκέφαλον. σταφύλωμα, ὑπόπυον, ῥῆξις, οὐλή, λεύκωμα, κοίλωμα, πρόπτωμα, ὄνυξ, πύωσις, ἕλκω-
σις περὶ δὲ τὴν κόρην ὑπόχυσις, γλαύκωσις, μυδρίασις, φθίσις, σύγχυσις, πλατυκορίασις, ἀμαύρωσις, ῥυτίδω-
σις, νυκτάλωψ, ἡμεράλωψ, μυωπύασις, διαπύησις. περὶ δὲ τοὺς πόρους, ἀπόρρηξις. παρέμπλασις. σύμπτωσις.
ἀνθράκωσις. τάραξις μὲν οὖν ἐστὶν ὅταν † συγκινηθεὶς ὁ ὀφθαλμὸς ὑπὸ πολαίως καὶ μετρίας ἐπὶ τὸ ἐρυθρότερον κατα- † al. συστραφείς
στῇ τελέως. Ὀφθαλμία δέ ἐστιν, ὅταν τὸ λευκὸν ἐνερευθὲς ᾖ καὶ τὰ βλέφαρα ἐπηρμένα μετὰ τοῦ τήν τε μύσιν
τῶν βλεφάρων ἀπαλγῆ εἶναι καὶ τὴν τῶν χειρῶν ἐπαφὴν ἐπώδυνον. φλεγμονὴ δέ ἐστιν ἐπίτασις τοῦ

τε ἐρυθήματος καὶ τῆς ἐπάρσεως τῶν βλεφάρων, ὡς ἐπιπόνως ἀναβλέπειν. ὑποφορὰ δὲ κοινὸν ὄνομα ἐπὶ παντὸς τοῦ σώματος καὶ φλεγμονῆς σφοδρᾶς ὑποφερομένης, καὶ ῥευμάτων λάβρων ὑποῤῥεόντων. ἰδίως δὲ ἐπὶ ὀφθαλμῶν λέγεται ἐπειδὰν μετὰ φλεγμονῆς μεγίστης καὶ ῥεύματος πλῆθος ἐπιῤῥυῇ. Οἴδημα δέ ἐστιν ὅταν ἐπηρμένος καὶ ἀχρούστερος, ἢ καὶ δυσκίνητος ἐπιφαίνηται. ἐνίοτε δὲ καὶ λευκὸν ὑπὲρ τὸ μέλαν ἐπαίρεται. Ἐμφύσημα δέ ἐστιν ὅταν ἄφνω οἰδήσας ὁ ὀφθαλμὸς ἀχρούστερος καὶ φλεγματωδέστερος γένηται. γίνεται δὲ ὡς ἐπίπαν πρεσβύταις μάλιστα θέρους. Σκίῤῥωσις δὲ γίνεται κατ' ἐπίτασιν φλεγμονῆς χρονίου, τῆς σαρκὸς αὐξανομένης καὶ ὑποπελιαζούσης. Ῥευματίζεται δὲ ὁ ὀφθαλμὸς ὅταν μὴ μόνον ἐρυθρὸς ᾖ, ἀλλὰ καὶ ὅταν πολὺ δάκρυον ἐκκρίνει. Ξηροφθαλμία δέ ἐστιν, ὅταν οἱ κανθοὶ ἑλκώδεις καὶ τραχύτεροι καὶ κνησμώδεις εἰσίν, καὶ τὰ βλέφαρα ἐρυθρά, καὶ δάκρυον ἁλμυρὸν καὶ νιτρῶδες διαστάζει. Σκληροφθαλμία δέ ἐστιν ὅταν τὰ βλέφαρα σκληρότερα ᾖ, καὶ αὐτὸς ὁ ὀφθαλμὸς δυσκίνητος καὶ ἐνερευθής. Πρόπτωσις δέ ἐστιν ὅταν ὁ ὀφθαλμὸς κινητὸς μετὰ φλεγμονῆς προπέσῃ. Ἀτροφίαν δὲ λέγουσιν ὀφθαλμοῦ, ὅταν διὰ ἀῤῥωστίας μακρᾶς, ἢ ἔκ τινος ἀδήλου αἰτίας, ὡς παρ' ὀλίγον ἐξωθούμενος, εἶτα κοιλαινόμενος κατὰ τὰς ῥίζας ἀλγῶν μικρότερος γίνεται καὶ ἀμυδρῶς ἢ μηδόλως βλέπῃ. Τραχέα δὲ τὰ βλέφαρα λέγεται ὅταν ἐκστραφέντα ἐναιμότερα φαίνηται καὶ τραχύτερα καὶ σαρκωδέστερα καὶ κεγχραμίσιν ὅμοια, παχέα δὲ βλέφαρα, τὰ ἐκστραφέντα τῶν κατὰ φύσιν καὶ σκληρότερα καὶ σαρκωδέστερα τῶν τραχέων φαινόμενα. Σύκωσις δέ ἐστιν ὅταν τὸ ἐντὸς τῶν βλεφάρων σαρκωθείη σαρκὶ παραπλήσιον μετὰ ὑπεροχῆς, καὶ ὁ ὀφθαλμὸς ἅπας δυσκίνητος ᾖ. Τύλωσις δέ ἐστιν ὅταν τὰ ἐν τοῖς βλεφάροις τραχώματα διὰ παλαιότητα παχύτερα καὶ λευκότερα καὶ δυσαίσθητα ᾖ. καὶ διὰ τοῦτο δυσαπότριπτα γένηται.

Σκληρίασις δέ ἐστι ἔπαρμα μετ' ἐρυθήματος ἐπὶ τὸ βλέφαρον καὶ ὀδύνης, δυσαπότριπτον καὶ χρονιώτερον φλεγμονῆς. χαλάζωσις δέ ἐστι περιφερῆ τινα ἔνδοθεν τοῦ βλεφάρου ἐπάρματα περιγεγραμμένα ἐοικότα τῇ χαλάζῃ. πλαδαρότης δέ ἐστιν μαλακὰ οἷον σώματα παλαιά γε καὶ ἀκροσύστατα κατὰ τὰ ἐντὸς τῶν βλεφάρων ὕπω τὸ τραχὺ ἔχοντα, διὸ πλαδαρότης καλεῖται. Μύδησις δὲ κοινὸν ὄνομα ἐστὶ σωμάτων ἐκ σήψεως ἀπολλυμένων. γίνεται δὲ τὸ αὐτὸ τοῦτο καὶ περὶ τὰ βλέφαρα καὶ ὀγκωδέστερα φαίνεται καὶ συνεχῶς ῥευματίζεται, πλείονος πιμελῆς περὶ αὐτὰ γινομένης. Κριθὴ δὲ ἡ καὶ ποσθία, λέγεται ὅταν τὸ ἐντὸς τῶν βλεφάρων πρὸς ταῖς στεφαναίαις ὑπόπυον παράμηκες ὅμοιον κριθῇ κατὰ τὸ σχῆμα γένηται. γίνεται δὲ καὶ ἄλλα μείζονα κατὰ μέσα βλέφαρα κριθαὶ λεγόμενα. Λιθίασις δέ ἐστιν ὅταν ἐκστραφέντων τῶν βλεφάρων ὅμοια πώροις περὶ τὰ βλέφαρα ὑπάρχει λευκὰ καὶ παχέα καὶ οἷον λίθοις ἐμφερῆ νύσσοντα τὸν ὀφθαλμόν. Φθειρίαν δέ φαμεν τὰ βλέφαρα ὅταν περὶ τὰ τετριχωμένα πλατεῖς πολλαὶ φθεῖρες σμικραὶ γίνωνται. διστιχίαν δὲ λέγεται ὁ ὀφθαλμὸς ὅταν ὑπὸ τὰς κατὰ φύσιν τρίχας ἄλλαι ὑποφυεῖσαι νύσσωσι τὸν ὀφθαλμὸν καὶ ῥευματίζωσι.

Πτίλωσις δέ ἐστιν, ὅταν ἄλλαι μὲν ὑποφύουσιν, αὗται δὲ αἱ κατὰ φύσιν συμπεσοῦσαι καὶ κατακλασθεῖσαι νυγμοὺς παρέχουσι. Φαλάγγωσις δέ ἐστι, ὅταν διστιχία, ἢ τριστιχία τῶν ὑποφυομένων τριχῶν ᾖ, ἐν τῷ ἄνω, ἢ ἐν τῷ κάτω βλεφάρῳ. Παραλελύσθαι δὲ λέγεται ὁ ὀφθαλμὸς, ὅταν αὐτὸν ἐπιλείπωσιν αἱ φυσικαὶ κινήσεις, καὶ μὴ δύνηται ἀναβλέπειν ἢ κάτω βλέπειν, ἀναίσθητος δὲ ᾖ. πολλάκις δὲ καὶ περὶ μέρη τινὰ τοῦ ὀφθαλμοῦ τοῦτο συμβαίνει. Ἐκτετράφθαι δὲ λέγουσι τὰ βλέφαρα, ὅταν ἐπὶ πλέον ἐκτραπῇ ἑλκωθέντων τῶν ὀφθαλμῶν. ἐγκανθίδα δὲ λέγουσιν ὅταν διὰ ἑλκώσεως ὑπερσαρκώσῃ ὁ κανθὸς πρὸς τὴν ῥῖνα. πάσχουσι δὲ τοῦτο μάλιστα οἱ θαλασσουργοί. Πτερύγιον δὲ λέγουσιν ὅταν ἐπὶ πλέον ἑλκωθέντος καὶ ὑπερσαρκώσαντος τοῦ λευκοῦ ὑμὴν λεπτὸς καὶ νευρώδης ἐπιδράμῃ τὸν ὀφθαλμὸν, ἀρξάμενος ἀπό τινος τῶν κανθῶν ἕως τοῦ μέλανος καὶ τῆς κορυφῆς ἐφά[...]. Ῥοιὰς δέ ἐστιν ἐπὶ ὀφθαλμῶν, ὅταν ἔκ τινος αἰτίας ἀδήλου ὁ κανθὸς περιέλθῃ, ἢ ἐκ χειρουργίας ἀρθῇ κ[αὶ μη]κέτι στέγειν τὸ δάκρυον οἷός τε ᾖ, ἀλλὰ ῥευματίζεται. Προσφύεται δὲ τὰ βλέφαρα ἢ τῷ λευκῷ ἢ [τῷ] μέλανι διὰ ἑλκώσεως. καὶ ἐὰν μὲν τῷ μέλανι προσφυῇ τελέως κωλύει τὴν ὅρασιν, ἐὰν δὲ τῷ λευκῷ, ἧττον. καλεῖται δὲ ἀγκύλωσις. Αἰγίλωπα δὲ λέγουσι ἢ ἀγχίλωπα ὅταν ἀπόστημά τι γένηται πρὸς τῷ κανθῷ τῷ παρὰ τῇ ῥινὶ πύον περιέχον, ἢ λίπαινον τὸ ὀστέον συῤῥηγνύμενον, ἢ εἰς κανθὸν, ἢ εἰς ῥῖνα περιέχει τὸ ὑγρόν. Ψυδράκιον δ' ἐστὶ κοινῶς λεγόμενον περὶ πᾶν τὸ σῶμα, καὶ περὶ τὸ λευκὸν τοῦ ὀφθαλμοῦ γίνεται, οἷον ἐξάνθημα δι' ἄκρου ἐρυθές. ἕλκος δὲ γίνεται περὶ τὸ μέλαν ἢ τὸ λευκὸν, ὅταν ἡ ἐπιδερμὶς διαιρεθῇ μυωειδὴς, ἢ στρογγύλη τὸ σχῆμα, κοιλότερον, ὁμόχρουν ἢ ὑπόλευκον. Ὑποσφάγμα δὲ λέγουσιν ὅταν ὑπὸ πληγῆς ῥαγέντων τῶν ἐν τῷ πρώτῳ χιτῶνι ἀγγείων, μεταξὺ τῆς κτιδόνος τοῦ λευκοῦ καὶ τοῦ ἐντὸς χιτῶνος αἷμα ὑπέλθῃ. καὶ παραχρῆμα μὲν ἔναιμον ᾖ τὸ χρῶμα τοῦ ὀφθαλμοῦ, ὕστερον δὲ πελιδνόν. Χήμωσις δέ ἐστιν ὅταν ἐκ φλεγμονῆς σφοδροτέρας ἀμφότερα τὰ βλέφαρα ἐκτραπῇ, καὶ μὴ ὅλον σκέπῃ τὸν ὀφθαλμόν. κυρίως δὲ χύμωσις λέγεται, ὅταν τὸ λευκὸν ἑκατέρωθεν τῆς ἴριδος φλεγμαίνῃ, κατὰ δὲ τὴν ἶριν κοιλαινόμενον ὅμοιον τοῖς χήμασι τῇ καλουμένῃ χήμῃ. Κοιλώματα δὲ λέγεται ἐπὶ ὀφθαλμοῦ ὅσα στρογγύλα καὶ κοῖλα ἕλκη πλατύτερα τῶν βοθρίων γίνεται ἐν αὐτῷ περὶ τὴν ἶριν. Ἄργεμον δέ ἐστιν ὅταν κατὰ τὸν τῆς ἴριδος κύκλον καὶ τὸ λευκὸν, ἐνίοτε δὲ καὶ τὸ μέλαν ἕλκος γίνεται στρογγύλον καὶ ὑπόλευκον. Νεφέλιον δέ ἐστι ἕλκος ἐπιπόλαιον καὶ μικρῷ μεῖζον ἀργέμου καὶ λευκόν. Ἀχλὺς δέ ἐστι περὶ ὅλον τὸ μέλαν ἀπὸ ἑλκώσεως ἐπιπολαίου οὐλὴ λεπτοτάτη ἀέρι ἀχλυώδει παραπλησία. Ἐπίκαυμα δέ ἐστιν ὅταν διὰ ἐπιπολῆς ἡ ἐπιδερμὶς ὑποκαυθεῖσα ἑλκωθῇ, ἢ καὶ βραχὺ βαθύτερα γένηται ἐπιφορᾶς μεγάλης ἐγγινομένης. Βόθριον δέ ἐστι ἕλκος κοῖλον, καθαρὸν, στενὸν, κεντήμασι στρογγύλοις ὅμοιον, βαθύτερον ἑλκυδρίου. Φλύκταιναν δὲ λέγουσιν, ὅταν διὰ ἑλκώσεως ἢ καὶ ἄνευ ἑλκώσεως, διὰ ἐπιπολῆς τοῦ κερατοειδοῦς χιτῶνος ὑμὴν λεπτότατός τε καὶ μετέωρος ἀρθεὶς παραδέξηται μεταξὺ αὐτοῦ ὑγρασίαν, ἢ καὶ ὑπὸ τὴν κτιδόνα τοῦ χιτῶνος παχυτέρα ὑποδραμοῦσα ὑγρασία καὶ τὴν φλύκταιναν ἀποτελέσασα. Μυοκέφαλον δέ ἐστι ὅταν διὰ ἑλκώσεως διαβρωθέντος τοῦ πρώτου χιτῶνος κατὰ τὴν ἶριν, προκύψῃ ὁ δεύτερος χιτὼν ὡς οἷον † μυὸς κεφαλῇ ἐοικέναι. Σταφύλωμα δὲ λέγεται, ὅταν ἡ

ἄλ. μιᾶς

κόρη τοῦ

κόρη τοῦ ὀφθαλμοῦ μετεωροειδὴς μετὰ φλεγμονῆς καὶ πόνου, καὶ γίνεται ὅμοιον ῥαγὶ σταφυλῆς, λευκὸν τῇ χροιᾷ.
Ὑπόπυον δέ ἐστιν ὅταν πύον ὅλην τὴν ἶριν περιλάβῃ, ἢ τὸ ἥμισυ. Ῥῆξις δέ ἐστιν ἕλκωσις ἀπὸ πληγῆς, ἢ ἄλλης
τινὸς αἰτίας κατὰ βάθος, ἐπιφέρουσα, ὡς ἐπὶ τὸ πολὺ, τὴν διαίρεσιν τῶν ὑμένων ὅλων, ὥστε ἐκχεῖν καὶ τὰ ὑγρὰ
οἷς βλέπομεν. Οὐλὴ δέ ἐστιν ὅταν ἐπὶ τῷ μέλανι τοῦ ὀφθαλμοῦ ἐξ ἕλκους βαθέος ὄντος παχύτης ὑμένος ἐπιγέ-
νηται καὶ ἡ χροιὰ λευκοτέρα φαίνεται. συνίσταται δὲ καὶ ἐπὶ τοῦ λευκοῦ ὑμένος καλουμένου ἀλλ' οὐ διαδείκνυ-
ται. Λεύκωμα δὲ ταυτὸν μὲν καλουμένῃ τῇ οὐλῇ ἐστι. διαφέρει δὲ τῷ ἐξ ἑλκώσεως μεγάλην οὐλὴν μείζονα καὶ
παχυτέραν ἐπιγίνεσθαι ἐπὶ τῆς ἴρεως, ἣν καλοῦσιν λεύκωμα. Ἧλος δέ ἐστιν ἡ μετὰ λείας καὶ λευκῆς, οἷον
οὐλὴ σαρκώδης, ὑπεροχὴ τοῦ μέλανος στερεά. πολλάκις δὲ καὶ ἐπὶ τῷ λευκῷ τῷ μέλανι συνάπτοντι ἐπα-
νισταμένη. Ὑποκεχύσθαι δὲ λέγουσί τινες ὅταν συμβῇ παρέγχυσιν ὑγροῦ τινος γίνεσθαι κατὰ τὴν κόρην καὶ
10 πῆξιν πολλάκις, ὥστε κωλῦσαι τὸ ὁρᾶν, ἢ καὶ ἀμαυροῦσθαι ἐν τῷ φαίνειν. Γλαύκωσις δέ ἐστι τοῦ κρυσταλ-
λοειδοῦς ὑγροῦ εἰς λευκὸν καὶ ὑδατώδη χροιὰν μεταβολή, δι' ἣν τὸ βλέπειν κωλύεται. Μυδρίασις δὲ λέ-
γεται ὅταν ἡ κόρη τῷ μὲν χρώματι μηδὲν παραλλάττῃ, πλατυτέρα δὲ ᾖ πολλῷ τοῦ κατὰ φύσιν ὥστε ἐγγύζειν
τῷ κύκλῳ τῆς ἴρεως καὶ ἐμποδίζειν τὸ βλέπειν. Φθίσις δὲ λέγεται στενουμένης τῆς κόρης, ὡς κεντήματι ἐοι-
κέναι καὶ ἀμαυροτέρας καὶ ῥυσοτέρας γινομένης, ἢ ἐξ ἀσθενειῶν ἐπικινδύνων ἢ κεφαλαλγιῶν ἐπιτεταμέ-
νων. Σύγχυσις δέ ἐστιν ὅταν τὰ ἐν τοῖς ὀφθαλμοῖς ὑγρὰ μὴ κατὰ χώραν μένῃ, τὴν ἰδίαν τάξιν σώζοντα, ἀλλὰ τε-
ταραγμένα ᾖ. Ἀμαύρωσις δέ ἐστιν ὅταν παντελὴς παρεμποδισμὸς ᾖ τοῦ ὁρᾶν χωρὶς φανερᾶς αἰτίας. Νυκ-
τάλωπας δὲ λέγουσιν ὅταν ἡμέρας μὲν βλέπωσιν ἀμαυρότερον, δυομένου δὲ ἡλίου λαμπρότερον. νυκτὸς δὲ ἔτι
μᾶλλον, ἢ ὑπεναντίως, ἡμέρας μὲν ὀλίγα, ἑσπέρας δὲ ἢ νυκτὸς οὐδόλως. Μύωπας δὲ λέγουσιν τοὺς τὰ μὲν σύ-
νεγγυς βλέποντας, τὰ δὲ πόρρωθεν μὴ ὁρῶντας. Διαπύησις δέ ἐστι βραχυτέρου ὑγροῦ σύστασις περὶ αὐτὴν
20 τὴν κόρην δυσεξάτμιστος καὶ δυσδιαφόρητος, ὑποχύματος ξηροτέρα. Ἀπόρρηξις δὲ γίνεται τοῦ πόρου πε-
ρὶ ὀφθαλμὸν, ὅταν ὁ διατείνων ἀπὸ τοῦ ἐγκεφάλου καὶ μήνιγγος πόρος ἐπὶ τὸν ὀφθαλμὸν ἀπορραγῇ, ὡς ἀ-
βλεψίαν τελείαν γίνεσθαι, προηγησαμένης πληγῆς περὶ τὴν κεφαλὴν, ἢ ἀφ' ὕψους πτώματος, ἀφ' οὗ γίνε-
ται ἡ τοῦ πόρου ἀπόρρηξις. Παρέμπτωσις δέ ἐστιν, ὅταν εἰς τὸν πόρον κατ' ἀναστόμωσιν, ἢ ῥῆξιν ἀγγείου, τὸ
ὑγρὸν παρεμπέσῃ καὶ ἐμφράξῃ τὸν πόρον ἀπ' αὐτῆς τῆς βάσεως τοῦ ἐγκεφάλου, ὅθεν καὶ τοῖς ὀφθαλμοῖς ἡ
τοῦ ὁρᾶν δύναμις, ὥστε μετ' ἀλγημάτων καὶ τὸ ὁρᾶν ἐμποδίζεσθαι. Σύμπτωμασις δὲ γίνεται μὲν ὑπὸ τοῦ
πόρου στενουμένου καὶ συμπίπτοντος δι' ἀτροφίαν καὶ πάρεσιν. σπάνιον δὲ ἐστὶ τὸ πάθος καὶ δυσίατον. Ἀνθρά-
κωσις δέ ἐστιν ἕλκος ἐσχαρῶδες μετὰ νομῆς καὶ ῥεύματος καὶ βουβῶνος, ἐνίοτε καὶ πυρετῶν γινομένων περὶ τὸ
ἄλλο πᾶν σῶμα, ἔστι δὲ ὅτε καὶ περὶ ὀφθαλμούς.

περὶ τῶν ἐκτὸς τῆς κεφαλῆς παθῶν.

30. Περὶ δὲ τὰ ἐκτὸς τῆς κεφαλῆς συνίσταται τάδε ἃ οὐκ ἀναγέγραπται ἐν τοῖς χρονίοις, περὶ τῶν ἐν τῇ κεφαλῇ
καταγμάτων τοῦ κρανίου. διαφοραὶ δὲ αὐτῶν εἰσι πέντε, ῥωγμή, ἐγγείσωμα, ἐκπίεσμα, ἀπήχημα, κα-
μάρωσις, διάτασις ῥαφῶν, ὑδροκέφαλον, ἀχῶρες, πιτυρίασις, μελικηρίς, ἀθέρωμα, κηρίον. περὶ δὲ τὸ τετρι-
χωμένον τῆς κεφαλῆς καὶ τοῦ γενείου, ἀλωπεκία, ὀφίασις, μαδαρότης, φαλάκρωσις. τρίχες δὲ πᾶσι ῥέουσι,
λεπτύνονται, θραύονται, σχίζονται, αὐχμῶσι, χνοΐζονται, ὑποξανθοὶ γίνονται, πολιοῦνται. τὰ δὲ περὶ ὀφθαλ-
μοὺς κατὰ ἰδίαν ἀναγέγραπται. τὰ δὲ περὶ τὰ ὦτα, περίθλασις, πτερυγώματα, κάταγμα, χόνδρου, κυψελί-
δος πλεονασμὸς ἢ ἔκλειψις, βαρυηκοΐα, κώφωσις, πύου ῥύσις, ῥεῦμα δυσῶδες. περὶ δὲ ῥῖνα τὰ δὲ συνί-
στανται, ὄζαινα, πολύπους, ἕλκος, κάταγμα, διαστροφή, ἔνθλασις, σίμωσις. περὶ δὲ στόμα, σῆψις οὔλων,
βρῶσις ὀδόντων, ὀδονταλγία, φατνιωμάτων ἔκπτωσις, † ἀπόστημα, ἐπιγλωττίς, ἐπουλίς, παρουλίς, ἄφθαι,
ἐσχάρωσις, παρίσθμια, σταφυλή, σύκωμα. περὶ δὲ τὸ πρόσωπον, ἐφηλὶς ἴονθοι. φακός. κάταγμα ὀστέων. διάτα-
40 σις τῶν συμφύσεων. ἐξαρθρήματα τῆς κάτω γένυος ἀπὸ τῆς ἄνω. περὶ δὲ τράχηλον, συνάγχη, κυνάγχη, ἀγχόνη, ἔ-
ξωσις σπονδύλων, χοιράδες, στεατώματα. περὶ δὲ ὤμους, τοῦ ἀκρωμίου κάταγμα, διάστασις. περὶ δὲ ἀγκῶνα μελι-
κηρίς, ἀθέρωμα, στεάτωμα, ὑγρὸν ὑδατῶδες. περὶ δὲ καρποὺς γάγγλια. περὶ δὲ δακτύλους χειρὸς καὶ ποδὸς,
χύμεθλα, παρωνυχία. τοπικὰ δὲ ὅπου ἂν τύχῃ τοῦ σώματος, φλεγμονή, οἴδημα, ἐμφύσημα, σκλήρωμα,
ἀπόστημα, ἕλκος καθαρὸν, ἕλκος ῥυπαρὸν, κοῖλον ἕλκος, ὑπερσαρκοῦν, ἐσχαρῶδες, ἕλκος ξηρὸν ῥευματιζό-
μενον, ὑπόνομον, τετυλωμένον, σεσυριγγωμένον, μύδησις, φῦμα, δοθιὴν, τέρμινθος, φύγεθλον, χάλαζα, φα-
γέδαινα, φλυκτίδες, ἄνθρακες, ἐπινυκτίδες ἐρυσίπελας, ἕρπητες. περὶ δὲ τοὺς μαστοὺς ἰδίως καὶ περὶ τὰ αἰδοῖα γυ-
ναικὸς καὶ ἀνδρὸς καρκινώματα. συνίστανται δὲ καὶ ὅπου ἂν τύχῃ τοῦ σώματος, καρκίνωμα κρυπτὸν, καρκίνωμα
ἡλκωμένον, θηρίωμα. περὶ δὲ βουβῶνας, βουβῶνες ἁπλοῖ, φύματα ἐκπυΐσκοντα. περὶ δὲ γόνατα, γονυαλγίαι,
ῥευματισμοί, πῶροι. περὶ δὲ ἰγνύν, στεατώματα, ἀγκύλη. περὶ δὲ κνήμην κιρσοί. ἐν γαστροκνημίᾳ, σκίρρωμα,
50 χειρώνεια ἕλκη. περὶ δὲ ἄκρα ποδὸς μελανίαι, νεκρώσεις, ποδάγρα, σύριγγες. περὶ δὲ πτέρνας. περὶ δὲ τὸ
πεδίον

περὶ δὲ τὸ δέρμα καὶ τόπους καθ' ὅλου τοῦ σώματος, λέπρα, ψώρα, ἀλ-

φὸς λευκὸς, ἀλφὸς μέλας, λεύκη, λειχὴν ἁπλοῦς, λειχὴν ἄγριος, δρακοντίασις, ἀκροχορδόνες, θύμοι, μυρ-
μηκίαι, ἧλοι, πῶροι. οἱ μὲν ἐκ ποδάγρας καὶ ἀρθρίτιδος, οἱ δὲ καὶ καθ' ἑαυτούς. περὶ δὲ ἕδραν αἱμορροΐδες τυ-
φλαὶ, ῥαγάδες, πρόπτωσις, κονδυλώματα πτιλίδες. γίνεται δὲ καὶ μήτρας ὅλης πρόπτωσις εἰς τὰ ἐκτός. περὶ
δὲ ὄσχεον, ἐντεροκήλη, κιρσοκήλη, ἐπιπλοκήλη, σαρκοκήλη, πωροκήλη, στεατοκήλη. περὶ δὲ τὰ ἐν ὅλῳ τῷ σώμα-
τι ὀστᾶ, τερηδὼν, σφάκελος, κάταγμα ἄνευ τραύματος, ἢ σὺν τραύματι, ἐκβύρσωσις. διαφοραὶ δὲ καταγμάτων
πέντε, σχιδακηδὸν, καυληδὸν, ῥαφανηδὸν, καρυηδὸν, ἀλφιτηδόν. μελαίνεται δὲ ὀστᾶ ποτὲ μὲν ἐν κατάγμασι,
ποτὲ δὲ ἄνευ τούτων. περὶ δὲ τὰ ἄρθρα πάντα παραγωγαὶ, παρακινήματα, ἐξαρθρήματα, παραρθρήματα, σύν-
δεσις, πώρωσις, ῥευματισμοὶ, διάστασις συμφύσεων.

† al. ἀπόστημα περὶ γλώττης

περὶ χειρουργίας.

Χειρουργία ἐστὶν ἄρσις ἐμμέθοδος τοῦ ἰδίως λεγομένου ἀλλοτρίου, διὰ τομῶν καὶ καταρτισμῶν μετὰ τῶν τραυ-
μάτων καὶ ἑλκῶν θεραπείας, ἐπ' ἀνθρώπου σώματι παραλαμβανομένη. χειρουργίας δὲ καθολικὴ μὲν ἐνέρ-
γειαι δύο, σύνθεσις καὶ διαίρεσις. ἔστι δὲ τούτων εἴδη πολλά, καὶ συνθέσεως μὲν εἴδη συνθετισμὸς τῶν κατεαγό-
των ὀστέων καὶ ἐπίδεσις, καὶ ἀρθρέμβολον τῶν ἐξηρθρηκότων, καὶ τάξις τῶν προπεπτωκότων ἐντέρων καὶ μήτρας καὶ
ἀπολελυμένης, καὶ γαστρορραφία καὶ ἐπαγωγὴ τῶν κολοβωμάτων, ὡς ἐπὶ ῥινῶν καὶ χειλῶν καὶ ὤτων. διαιρέσεως δὲ
εἴδη ἁπλοτομία, καὶ περιαίρεσις, ὑποσπαθισμός, περισκυθισμός, ἀγγειολογία, ἐκκοπή, καῦσις, ξύσις, ῥίνησις, ἐκ-
πρισις. ἁπλοτομίᾳ οὖν χρώμεθα ἐπὶ τῶν ἀποστημάτων πάντων. χρὴ δὲ διαιρεῖν ἐπ' εὐθείας τοῦ κώλου καὶ μὴ ἐγ-
καρσίως. περιαιρέσεως δὲ ἐπὶ τῶν ἐν μασχάλαις καὶ βουβῶσι καὶ γλουτοῖς καὶ ἕδρᾳ μυρσινοειδῶς περιαι-
ροῦντες. ὑποσπαθισμῷ δὲ κατὰ τὸ μέτωπον, ἐπὶ τῶν ῥευματιζομένων ὀφθαλμῶν. καὶ περισκυθισμῷ ἐπὶ τῶν
κατὰ τοῦ βρέγματος, καὶ ἐπὶ ποδῆς μελανθείσης. ἐκκοπῇ δὲ ἐπὶ τῶν κώλων μελαινομένων, καὶ ἐπὶ τῶν ἐν
τῇ κεφαλῇ καταγμάτων. ἐπὶ δὲ πάντων περὶ τὰ ὀστᾶ, ἥ τε καῦσις καὶ ξύσις καὶ ἡ ῥίνησις καὶ ἡ πρίσις αὐ-
χρῆσοι καὶ ἐπ' ἄλλων. πολλῶν καύσει δὲ τῇ διὰ καυτήρων χρώμεθα, ἰδίως μὲν ἐπὶ τῶν νεμομένων ἤδη πάντων καὶ
ἐπὶ τῶν ῥευματιζομένων ὀφθαλμῶν, ἰσχίων, ἢ καὶ τῶν ἐντός. καὶ γὰρ ἐπὶ φθισικῶν παραλαμβάνονται καυ-
τῆρες καὶ ἐπὶ σπληνικῶν καὶ ἐπὶ τῶν εἰς μασχάλην μελετησάντων ἐκπίπτειν βραχιόνων, καὶ ἐπὶ αἰγιλω-
πος, καὶ ἐπὶ τῶν μελαινομένων, ἢ † πριζομένων διὰ τὰ ἀναστομούμενα ἀγγεῖα, καὶ ἐπὶ τῶν ἄλλως αἱμορραγούντων.

† al. ῥοιζομένων.

περὶ μὲν οὖν κεφαλὴν ταῦτα συνίσταται τῶν ὑπαγομένων χειρουργίαις. Καταγμάτων δὲ περὶ κεφαλὴν
εἴδη πέντε, ῥωγμή, ἐγγείσωμα, ἐκπίεσμα, ἀπήχημα, καμάρωσις. κατὰ δέ τινας, ἕξ, καὶ τριχίασις, ἡ ἐπὶ πόλεος τῶν
ὀστῶν ἐγχάραξις. Ὑδροκεφάλων δὲ εἴδη τέσσαρα. τὸ μὲν μεταξὺ ἐγκεφάλου καὶ μήνιγγος. τὸ δὲ μεταξὺ μήνιγ-
γος καὶ ὀστοῦ. τὸ δὲ μεταξὺ ὀστοῦ καὶ περικρανίου. τὸ δὲ μεταξὺ ὀστοῦ καὶ δέρματος. Συνίσταται δὲ περὶ τὸ δέρ-
μα μελικηρίς, ἀθέρωμα, καὶ ἔξωθεν ἀλωπεκίασις. τὰς μὲν οὖν ἀλωπεκίας ἀμύσσομεν. τὰς δὲ μελικηρίδας καὶ
τὰ ἀθερώματα, μυρσινοειδῶς, ἢ καὶ ἁπλῶς διαιροῦντες τὴν ἐπιφάνειαν, εἶτα ἀποδέροντες τοῖς δακτύλοις τοὺς χι-
τῶνας σὺν τοῖς ἐνοῦσιν ὑγροῖς κομιζόμεθα. Τὰ δὲ ὑδροκέφαλα, τὰ μὲν ὑπὸ τὸ δέρμα καὶ τὸ περικράνιον, διο-
που ἢ τρισὶν εὐθείαις διαιρέσεσι κενοῦμεν. τὰ δὲ ὑπὸ τὰ ὀστᾶ ἐκκόπτοντες. τὰ δὲ μεταξὺ μήνιγγος καὶ ἐγκεφάλου
ἀθεράπευτα. Πᾶν δὲ εἶδος τῶν ἐν κεφαλῇ καταγμάτων τῇ ἐκκοπῇ ὑπάγεται διὰ ἐκκοπέων περιαιρου-
μένων τὸ κατεαγὸς τῶν ὀστῶν. οἱ μὲν οὖν παλαιοὶ χοινικίσι πρίοντες ταῖς διὰ τῆς περιστρεφομένης ἐξεκο-
πτον αὐτά. οἱ δὲ μετὰ ταῦτα κεφαλοτρυπάνοις, ἕδρας παρέχοντες τοῖς ἐκκοπεῦσιν. οἱ δὲ νῦν μόνοις τοῖς ἐκκο-
πεῦσιν ἀρκοῦνται. Τῶν δὲ περὶ ὀφθαλμοὺς παθῶν, ταῦτα χειρουργίαις ὑπάγεται, τριχίασις, ὑδατίδες, ἐγ-
κανθίδες, πτερύγια, σταφυλώματα, ὑποχύματα, ῥεύματα χρόνια καὶ ὑπερβάλλοντα, λιθίασις περὶ τὰ βλέ-
φαρα, σύμφυσις εἰς αὐτὸ τῶν περὶ τοὺς ὀφθαλμοὺς αἰγίλωψ. τὰ μὲν οὖν κεχαλασμένα βλέφαρα ἀναράπτομεν,
καὶ ἀφαιροῦντες αὐτῶν τρωίδιον τὸ σύμμετρον καὶ κατὰ τὸ σχῆμα τῶν βλεφάρων. ἐπὶ δὲ τῶν μὴ κεχαλασμένων ἀνα-
βροχίζοντες τὰς τρίχας διὰ βελόνης. τὰς δὲ ὑδατίδας κομιζόμεθα κατ' ἰδίαν βάλλοντες. τὰς δὲ ἐγκανθίδας καὶ
πτερύγια καὶ τὰ σταφυλώματα περιαιροῦμεν. τὰ μὲν σταφυλώματα λίνον διείραντες καὶ ἀποβροχίζοντες. τὰ δὲ
πτερύγια καὶ τὰς ἐγκανθίδας ἢ λίνῳ ἀνατείναντες, ἢ ἀγκίστρῳ. τὰ δὲ ὑποχύματα κατάγομεν παρακεντοῦντες
περὶ τὴν ἶριν, ἐκ τοῦ πρὸς τῷ μικρῷ κανθῷ μέρους μέχρι κενεμβατήσει καὶ παρακεντήσει. εἶτα πλαγιάζοντες
ἐπὶ τὴν ἶριν τῷ ἄκρῳ αὐτοῦ τὸ † συνετὸν κατὰ τῆς κόρης ὑγρὸν κατάγμασι ξύοντες καὶ σφίγγοντες ὥς τε μὴ ἀνα-
βλέψαι. τὸ δὲ ῥεῦμα ἵστησιν ὑποσπαθισμός τε καὶ περισκυθισμὸς καὶ ἀγγειολογία. ὁ μὲν οὖν ὑποσπαθισμὸς γίνε-
ται τριῶν διαιρέσεων ὑπὲρ μετώπου διδομένων. εἶτα τῶν σπαθομήλης διεκβαλλομένης διὰ τῶν μεταξὺ σωμά-
των. ὁ δὲ περισκυθισμὸς τοιοῦτός ἐστι, διαιρεῖται ἐπὶ ἐγκαρσίαις διαιρέσεσι τὸ μέτωπον, οἷον στεφαναία. καθ' ἑ-
τερον δὲ μέρος αὐτῆς μικρὸν ἀνωτέρω τῶν κροτάφων ἀφαιρεῖται τινὰ τρίγωνα, ἐοικότα τὸ σχῆμα τῷ δέλτα στοι-
χείῳ. ἡ δὲ ἀγγειολογία ἐπιτελεῖται τῶν κεκρυμμένων ἀγγείων ἀπὸ κροτάφου ἐπὶ κρόταφον διαιρουμένων εἰς
βάθος. τὴν δὲ τῶν βλεφάρων λιθίασιν, ἰώμεθα διαιροῦντες τὸ βλέφαρον ἐπὶ πολύ, καὶ κομιζόμενοι τὸν λίθον
ἀσκύλτως. τὰ δὲ συμπεφυκότα βλέφαρα ἀναπτύξαντες σμίλῃ, διαστέλλομεν † τοῖς ξηροῖς. τοὺς δὲ αἰγίλωπας

† al. συνεστὸς

† al. τιλτοῖς

περιαιροῦντες μέχρι ὀστοῦ καυτῆρσι διακαίομεν. εἰσὶ δὲ οἳ ἀντὶ καυστηρίου κεφαλοτρυπάνῳ τιτρῶσι τὸ ὀστοῦν ὡς ἐπὶ
τὴν ῥῖνα. τὰ δὲ ἐν ῥινὶ συνιστάμενα πολύποδας μὲν περιαιροῦμεν στενῷ σμιλαρίῳ, καὶ ξυστῆρι ὕστερον ἀποξύο-
μεν τὰς ῥίζας. αἱ δὲ ὀζαιναι ὡς ἐπὶ τὸ πολὺ ἀθεράπευται. ἡ δὲ αὐτὴ ἐγχείρησις καὶ ἐπὶ τούτων. τῶν δὲ ἐν τῷ στόματι,
ἐπουλίδας μετὰ καὶ παρουλίδας διαιροῦμεν ὅταν πυοποιήσωμεν. τὰς δὲ κεχαλασμένας σταφυλὰς ἀμέτρως ἐκτέμνο-
μεν μυδίῳ λαβόμενοι, τοὺς δὲ ὀδόντας ἐξαιροῦμεν περιχαράσσοντες. τοὺς δὲ ἐν παρισθμίοις ὑπεραίροντας τὸ κατὰ
φύσιν ἀδένας, περιαιροῦμεν τοῖς ἀντιοσμοῖς. τὰ δὲ ἐν τῷ τραχήλῳ στεατώματα καὶ χοιράδας διαιροῦντες τὴν ἐπι-
φάνειαν καὶ ἀποδέροντες τοῖς δακτύλοις, κύοντες τὴν πλοκὴν τῶν ἀγγείων κομιζόμεθα. τὰ δὲ γάγγλια ἐν τοῖς με-
τακαρπίοις μάλιστα ὡς ἐπὶ τὸ πολὺ γίνεται, καὶ γυναιξὶν ἐριούργοις τὰ πλεῖστα ἐκλῶμεν, ἄλλα καὶ κηρώμασι ἐκμαλασ-
σόμενα καθίσταται. τὰ δὲ ἐν μασχάλαις φύματα καὶ χοιράδας μετὰ περιαιρέσεως τέμνομεν. ὁμοίως δὲ καὶ τὰς
ἐν βουβῶσι. τὰ δὲ ἐν μεσοπλευρίῳ ἀποστήματα διαιροῦντες οὐκ ἀθρόως ποιούμεθα τοῦ πύου τὴν ἔκκρισιν, ἀλ-
λὰ πρὸς μέτρον. εἰσὶ δὲ οἳ καὶ διακαίουσιν αὐτά. καρκινώματα γίνεται μὲν ἐν πολλοῖς μέρεσι τοῦ σώματος, μά-
λιστα δὲ περὶ τοὺς μαστούς. περιαιρεῖται δὲ ἐνίοτε ἂν ᾖ καὶ καυστηρίοις διακαίεται. οὐ σφόδρα πεπυρωμένοις. εἰσὶ δὲ οἳ ξυ-
ραφίοις πεπυρωμένοις ὁμοῦ τέμνουσι καὶ διακαίουσιν. ἐξόμφαλοι δὲ πάντες μὲν οἱ ἔχοντες ἐν ὑπεροχῇ τὸν ὀμφαλὸν
λέγονται. διαφορὰς δὲ ἔχουσι τρεῖς. οἱ μὲν γὰρ αὐτῶν πνευματόμφαλοι, οἱ δὲ ἐντερόμφαλοι οἱ δὲ ὑδρόμφαλοι.
πᾶσαι δὲ αἱ διαφοραὶ ὑπάγονται χειρουργίαις, λίνου διπλοῦ διὰ βελόνης διεμβαλλομένου καὶ περισφιγγομέ-
νου τοῦ ὀμφαλοῦ. τοὺς δὲ ὑδρωπιῶντας παρακεντοῦμεν μικρὸν ὑπὸ τὸν ὀμφαλὸν ἐκ τῶν εὐωνύμων σιδηρῷ μυρ-

σίνῃ μέχρι

σίνη μέχρι κνημβατήσῃ. τῶν δὲ λειποδέρμων διττὴ ἡ χειρουργία, τῶν μὲν ἔνδοθεν ὑποδαιρομένων, τῶν δὲ ἔξωθεν ἐπιπολῆς διαιρουμένων ἐν κύκλῳ, ἵνα ἔνδον ἡ ποσθὴ ἐπισπασθῇ. οἱ δὲ περιτμημένοι τὴν ἀκροποσθίαν χειρίζονται, ἐπαναγομένης τῆς ἀκροποσθίας ἐφ᾽ ὅσον δύναται. εἶτα τῶν προφαινομένων τύλων, ἀπολυομένων φλεβοτόμῳ ἐξ ἐπιπολῆς. † Υποσπάδιαι δ᾽ εἰσὶν οἱ ἐκ γενετῆς ἔχοντες τὴν οὐρήθραν κάτωθεν ὑπὸ τὸ λεγόμενον κύνα. θεραπευτέον δὲ τετρημμένης τῆς βαλάνου ἄκρας, καὶ σωληνιδίου ἐντιθεμένου. Οἱ δὲ λεγόμενοι ἄτρητοι, εἴτε τρῆμα ἔχοιεν λεπτόν, εἴτε μηδόλως † συγχειρίζονται. τὸ ὀξὺ τοῦ φλεβοτόμου καθιέντες προσαναπτύσσομεν, εἶτα τὸν δάκτυλον ὑποβάλλοντες πανταχόθεν ἀπολύομεν. τοὺς δὲ λίθον ἔχοντας ἐν κύστει τέμνομεν σφηνώσαντες μὲν τὸν λίθον ἐν τῷ τῆς κύστεως τραχήλῳ, † ἐπικοπίῳ δὲ τῷ λίθῳ χρώμενοι διαιροῦμεν, ἀθρόως τὰ ἐπικείμενα σώματα καὶ λιθολάβῳ τὸν λίθον κομιζόμεθα. τοὺς δὲ ῥυαδικοὺς τοὺς ὁπωσοῦν γεγονότας ἐὰν μέγας λίαν ὁ τύλος ᾖ περιαιροῦντες ἀνασκευάζομεν. Οἷς δὲ ἐποχὴ οὔρου διὰ τὸ πλῆθος ἐνοχλεῖ περιτεινομένης τῆς κύστεως καὶ συστέλλεσθαι μὴ δυναμένης, διὰ καθετῆρος κομιζόμεθα τὸ οὖρον. ἔοικε δὲ ὁ καθετὴρ τῷ ῥωμαϊκῷ σίγμα. καθίεται δὲ εἰς τὸν † κύκλον διὰ τῆς οὐρήθρας μέχρι τῆς κύστεως, ἔχοντες ἐν αὐτῷ ῥάμμα ἐπ᾽ ἄκρου ἔχον ἔριον βραχὺ περικύπτον περιβρεχόμενον τῷ οὔρῳ, ἔπειτα ἑλκόμενον εἰς τὰ ἐκτὸς συνέπεται δ᾽ αὐτῷ τὸ οὖρον εἰς ἔκκρισιν οἷον ὁδηγοῦν αὐτῷ. Τῶν δὲ περὶ ὄσχεον συνισταμένων ὄγκων, εἴδη εἰσὶν ἑπτά, ὑδροκήλη, πωροκήλη, στεατοκήλη, σαρκοκήλη, ἐπιπλοκήλη, κιρσοκήλη, ἐντεροκήλη. εἰσὶ δ᾽ ἐφ᾽ ὧν καὶ ἐπιπλέκεται. ταῦτα οἷον ὑδρεντεροκήλη, σαρκοεπιπλοκήλη. περὶ μὲν οὖν τῶν ὑδροκηλικῶν διελόντα δεῖ τὸ ὄσχεον καὶ τὸ φλεβοδέστατον ἐντυχόντα τῷ χιτῶνι τῷ τὸ ὑγρὸν περιέχοντι κενῶσαι, καὶ τὰ περισσὰ τοῦ χιτῶνος ἐπαφαιρεῖν. ἐφ᾽ ὧν δ᾽ ἄνευ τοῦ χιτῶνος ἐστί, ἐκκενώσαντες τὸ ὑγρόν, ἀρκούμεθα. τὰς δὲ στεατοκήλας καὶ πωροκήλας τέμνειν χρὴ ὁμοίως ὑποβάλλοντας τῇ ἀριστερᾷ χειρὶ τὸ ὄσχεον ἔπειτα διαιρεῖν ἐξ ἐπιπολῆς ἕως ἐντύχωμεν τῷ στέατι, ἢ πώρῳ, ἢ ὅτι ἂν ᾖ, καὶ τοῦτο κομιζόμεθα. καὶ οἱ σαρκοκηλικοὶ δ᾽ ὁμοίως χειρίζονται. δεῖ μόνην τὴν περὶ τὴν ὑποπίπτουσαν σάρκα λευκανθίζουσαν περιαιρεῖν. τὴν δ᾽ ἐρυθρὰν ἀποδέροντα καὶ ἀπαλλοτριοῦντα τό τε ἀφαιρεῖν τὰ ἐγκατα λείμματα. ἐπὶ δὲ τῶν κιρσοκήλων ἀνατείνας ἀγκίστρῳ ἐξ ἐπιπολῆς διαιρῶν καὶ ἀναλαβὼν τὸν κιρσὸν καὶ ἀποδείρας ἀπολιπὼν ὡσεὶ μικροῦ δακτύλου τὸ πλάτος, τὸ δὲ λοιπὸν ἀνατείνων ἀποκόπτε. φυλακτέον δ᾽ ἀκριβῶς ἐπὶ τῶν συμπεπλεγμένων κρεμαστήρων ἢ διδύμων. τοὺς δ᾽ ἐντεροκηλικοὺς καὶ ἐπιπλοκηλικοὺς οὕτω τέμνομεν, ἀναπιέσαντες τὸ ἔντερον ἢ τὸ ἐπίπλουν ἀκριβῶς, εἶτα τὸν σπερματικὸν πόρον ἀφαιροῦμεν ὅσον δυνάμεθα. εἰ δὲ μὴ τὸ περιτόναιον ἐπισπώμενοι καὶ ἐπιβροχήσαντες περιαιροῦμεν. τὰς δ᾽ αἱμορροΐδας λίνον λεπτὸν διπλοῦν διὰ τῶν βάσεων αὐτῶν διείροντες ἀποσφίγγοντες μετὰ δύο ὥρας ἀποτέμνομεν. τῶν μὲν συρίγγων αἱ μὲν εἰσὶν ἀσυντρήτοι, μόνον τὸ στόμα ἔχουσαι. αἱ δὲ συντετρημέναι, ἢ ἔνδον εἰς τὸν δακτύλιον ἢ ἔξωθεν. ἐπὶ μὲν οὖν τῶν συντετρημένων εἰς τὸν δακτύλιον διαβάλλων τὴν μηλωτίδα, εἶτα τὸν δάκτυλον καθεὶς εἰς τὴν ἕδραν ἐπισπάσαι τὸ † ἔντερον ἄκρον τῆς μηλωτίδος καὶ περιαιρεῖ κάτωθεν ἀρχόμενος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐκτὸς τῆς ἕδρας. ἐπὶ δὲ τῶν μὴ συντετρημένων τῷ ὀξεῖ τῆς μηλωτίδος διαπείρων ἅπαντα τὰ ὑγιῆ σώματα. εἰσὶ δ᾽ οἱ ἀντὶ τοῦ ἀνακείρειν ἢ περιαιρεῖν τὰ μεταξὺ τῶν συντρήσεων λίνον βύσσινον συνεστραμμένον ἐν ἄκρῳ τῆς μηλωτίδος ἔχοντα τὰ διηρημένα, τούτῳ ἀποσφίγγοντες τὰ μεταξὺ σώματα ἑκάστης ἡμέρας περιτείναντες τὰ ῥάμματα διακόπτουσι τὰ μεταξύ. καὶ ἐκτυλώσαντες τῇ ἀκυπτίᾳ ἐπουλοῦσιν. ἀναγέγραπται δὲ καὶ παρ᾽ Ἱπποκράτους πρώτου ὁ τρόπος οὗτος. τοὺς δ᾽ ἐν τοῖς σκέλεσι κιρσοὺς πρῶτον ἔξωθεν ἐπισημαινάμενοι δι᾽ ὅλου ἐγχαράξεσιν, εἶτα κλίναντες ἐξ ἐπιπολῆς λαβόμενοι τοῦ δέρματος αὐτὸν πρῶτον διαιροῦμεν, εἶτα ἀγκίστρῳ ἐπισπώμενοι τὸν κιρσὸν διαδέομεν καὶ μετὰ πάσας τὰς διαιρέσεις τοῦτο ποιήσαντες, ἢ κιρσούλκῳ ἐξαιροῦμεν διακόπτοντες τὰ ἄκρα ἢ διπυρήνῳ διαλαβόντες λίνῳ διὰ τῆς κοιλίας τοῦ κιρσοῦ κατ᾽ ἀναστροφὴν ἐξέλκομεν. τά τε λεγόμενα δρακόντια ὅμοια ὄντα τοῖς κιρσοῖς. μεγάλην δ᾽ ἀλγηδόνα ἐπιφέρει κινούμενα μικρὸν προκύπτοντα. δεῖ οὖν διελόντα ὡς ἐπὶ τῶν κιρσῶν † ἀποδέρειν καὶ οὕτως ἐξαιρεῖν. τοὺς δὲ ἥλους καὶ τύλους καὶ ἀκροχορδόνας καὶ θύμους καὶ μυρμηκίας ἐκτέμνοντες ἐπικαίομεν ἢ τῷ ψωρικῷ ἐπιπάσσομεν. τὰ δὲ κολοβώματα τὰ περὶ μυκτῆρας ἢ ὦτα ἢ τὰ χείλη οὕτως εἰς τὸ κατὰ φύσιν ἀποκαθίσταται, τὰ μὲν χείλη σμιλαρίῳ πανταχόθεν ἀναδέροντες αἱμάσσομεν, εἶτα προσάγοντες ῥάπτομεν πυκνότερον. πρὸς δὲ τὰς σιαγόνας ἐξ ἑκατέρου πέρατος τῶν χειλῶν καθ᾽ ἃ συμπέφυκεν ἀλλήλοις ἔνδοθέν τε καὶ ἔξωθεν διαιροῦμεν, καὶ τίλμασι διαστέλλομεν, πρὸς τὸ μὴ τὴν σαρκοφυεῖσαν χάλασμα παρέχειν. τὰ δ᾽ ἐν τοῖς ὠσὶν ἢ μυκτῆρσιν κολοβώματα, ὅταν ὁ χόνδρος ᾖ διῃρημένος, ἐκχονδρίζειν δεῖ καὶ οὕτως διαρράπτειν ἐρέῳ ῥάμματι.

περὶ καταγνυμένων κώλων, καὶ ἐξαρθρουμένων μορίων.

Τὰ δὲ καταγνύμενα κῶλα ἐκ διατάσεως μὲν εὐθετίζεται. ἐξ ἐπιδέσεως δὲ πωροῦται. τὰ μὲν οὖν περὶ κεφαλὴν κατάγματα, ποσαχῶς τε γίνεται καὶ ὅπως θεραπεύεται, εἴρηται. κἂν ἐν προσώπῳ κάταγμα γένηται, ὡς τὰ ἐν τῇ κεφαλῇ θεραπεύειν ἐκκόπτοντα τὸ πεπονθὸς ὀστοῦν. εἰδέναι δὲ χρὴ καὶ ὅσα τῶν καταγνυμένων ὀστῶν ἀθεράπευτα. ἐὰν μὲν οὖν ῥὶς καταγῇ, οὐκ ὀρθοῦται. καὶ οὓς δὲ κατάγνυσθαι φησὶν Ἱπποκράτης, ὅτι καὶ ὁ χόνδρος ὀστοῦν μιμεῖται, καὶ δυσαποκατάστατος εἶναι δοκεῖ εἰς τὸ ἀρχαῖον σχῆμα. ἀλλὰ κἂν ἐξ ὑποβρώσεως μειωθῇ ἡ ῥίς, ὡς φυσιοῦται, ἀθεράπευτος. ἐὰν δὲ κλεὶς καταγῇ ἢ κατακλεὶς ἢ τις πλευρά, καὶ ταῦτα ὡς ἐπὶ τὸ πολὺ δυσαποκατάστατα. ἐπιτιθέναι δὲ χρὴ ἐπὶ τῶν κατακλείδων μάλιστα καὶ ἐπιδεῖν ἀπὸ μασχάλης ἐπὶ μασχάλην. ἐὰν δέ τι τῶν μειζόνων κώλων καταγῇ, ἢ τῶν μικροτέρων μορίων, οἷον δακτύλων σκυταλίδες ἢ καρποῦ ὀστᾶ ἢ μετακαρπίου ἢ ταρσοῦ, πάντα μεγαλομερῶς μὲν κατάγνυται καυληδὸν ἢ ῥαφανηδὸν ἢ σχιδακηδόν. ἐπὶ λεπτὸν δὲ καρυηδὸν ἢ ἀλφιτηδόν. πρότερον μὲν οὖν χρὴ ἐπιδέοντας πάντα καταγνύμενα καὶ διατείναντας πάνυ ἰσχυρῶς καὶ βεβαίως διαστῆσαι καὶ πολὺ ἀποστῆσαι ἀλλήλων, ἵνα εὐθετισθῇ καὶ ἀποκατασταθῇ εἰς τὸ ἀρχαῖον σχῆμα. εὐθετίζειν δὲ χρὴ τὰ ὀστᾶ οὐκ ἐπὶ εὐθὺ πάντα, ἀλλὰ πρὸς σχῆμα τοῦ ὁμοζύγου κώλου. ἐὰν δ᾽ εὐθὺ ᾖ, ἐπ᾽ εὐθείας. ἐὰν δὲ καμπύλον ἢ ἄλλως πως σκαμβὸν ὁμοίως. τρόπος δὲ παρασκευῆς τῆς ἐπιδέσεως εἰς πάντα ἐπίδεσμον ποιεῖν ἐξ ὀθονίων παλαιῶν,

† αλ. ἀποσπάδαι

† αλ. οὕτω

† αλ. ἐπικόπῳ

† αλ. καυλὸν

αλ. τῆξιν

† αλ. ἔντερον

† αλ. ἀποδέρειν

πρὸς τε τὸ πλάτος καὶ τὸ μέγεθος τοῦ κώλου. πλάτος μὲν, ἐπὶ τῶν μεγίστων, δακτύλων τεσσάρων ἢ πέντε. ἐπὶ δὲ τῶν ἰσχνοτέρων, μὴ ἔλασσον δακτύλων τριῶν. ἐπιδέσεως δὲ νόμος τοιοῦτος. ἡ πρώτη ἐπίδεσις ἀπὸ τοῦ κατάγματος ἐπὶ τρεῖς ἐπιδέσεις ἄνω νέμεται, ὡς ἐπὶ τὸ πλεῖστον. ἡ δὲ δευτέρα ἀπὸ τοῦ αὐτοῦ τόπου ἄρχεται, ἀλλασσομένων τῶν ἐπιδέσεων, κάτω μὲν νέμεται, ἐπὶ τὰ ἄνω δὲ ἀνάγεται. ὥστε εἶναι διπλῆν τῆς πρώτης. διάβροχον δὲ εἶναι ὑδρελαίῳ ἢ οἰνελαίῳ ἢ γλυκελαίῳ μέχρι πρώτης διὰ τρίτης, ἔπειτα κηρωτῇ λελυμένῃ καὶ ὑγρᾷ ὡς παχὺ ἔλαιον εἶναι. πιέζειν δὲ μηδὲ πάνυ ἄγαν ἵνα μὴ νεκρωθῇ, ἀλλ' ὥς τε προκεῖσθαι καὶ προσερηρεῖσθαι, μή τε κεχαλασμένως ἵνα συνέχῃ καὶ ἀπερύκῃ τὰ ἐπιρρέοντα, πρὸς τὸ μὴ φλεγμαίνειν. ἔπειτα σπλῆνας τριπτύχους ἢ τετραπτύχους ποιοῦντας ἐπιθεῖναι πληροῦντας τοῦ κώλου τὸ πάχος, ὥς τε μή τε ἐπιπίπτειν ἀλλήλοις, μή τε ἀφεστῶτας διαλείμματα ποιεῖν. ἐπὶ δὲ τούτοις ἐπιδεσμίδα τρίτην ἐπιβάλλειν τὰ ἀπὸ τοῦ κατάγματος κάτω νέμεσθαι ἐπὶ τὰ ἄνω χωρεῖν, καὶ ἐκεῖ τερματίζεσθαι. αἱ δὲ ἐπιλύσεις. αἱ μὲν πρῶται διὰ τρίτης. αἱ δὲ μετὰ τὴν ἑβδόμην διὰ πλειόνων πρὸς τὰς ἐπειγούσας χρείας. ναρθηκίζουσαι δὲ ἀπὸ νάρθηκος ἀληθινοῦ ἐπὶ τῆς ἐσχάτης ἐπιδεσμίδος ἐρίου, προστιθεμένου ἐκ διαστημάτων τασσομένων τῶν ναρθήκων. ὅταν ἀκριβῶς ἀφλέγμαντον ᾖ. τῶν μὲν κυρτῶν αὐτοῦ ἔξωθεν αἰρουμένων. τοῦ δὲ λείου ἐπιβάλλοντος ἔνδοθεν ἱματίου, ἔπειτ' αὐτοῖς ἀμματιζομένων ἢ ταινιδίων ἢ ναυτικοῦ ῥάμματος. ἐπὶ δὲ τῶν μετὰ τραύματος καταγμάτων, ἀντὶ τούτων πάντων σπλῆνας διπτύχους ἢ τριπτύχους ποιοῦντας ἕκαστον πληροῦντα τὸ πάχος ἐν κύκλῳ τοῦ κώλου, ὡς χωρίζεσθαι τὰ πέρατα αὐτοῦ ἐπιπίπτοντα ἀλλήλοις, ἅπαν τε καθόλου τούτοις ἐπίδεσμον συγκείμενον ἔχοντες, πρώτως μὲν τοῖς σοῖς περιβάλλουσιν τῷ σώματι διαβρόχους εἶναι τῶν προειρημένων. ἐπὶ δὲ τούτοις προϋποκείμενα ἔχουσιν ἔρια καὶ ἀποδεσμίδας ἁπλῶς ἐπὶ τοῖς ἐρίοις κατὰ τῆς ὑποτιθεμένης ἕδρας τοῦ ἀνοίκτου σωλῆνος. μάλιστα δὲ οὗτος ὁ τρόπος τῆς ἐπιδέσεως ἁρμόδιος ἐπὶ τῶν ἀλφιτηδὸν καταγνυμένων, μετὰ τραυμάτων καὶ πολλῆς περιθλάσεως τῶν μυῶν, ἐφ' ὧν καὶ μοτὰ χρὴ προϋποτιθέναι διάβροχα τοῖς ἁρμόζουσι. Μότων δὲ εἴδη πέντε. στρεπτὸς, ξυστὸς, τιλτὸς, ἐλλυχνιωτὸς πειαπισκωτός. ἐπὶ δὲ τῶν περὶ ἐξαρθρούντων δεῖ μὲν καὶ τῆς διατάσεως προηγουμένης. ἡ δὲ ἐμβολὴ καθ' ἕκαστον οἰκεία μετὰ τὴν διάτασιν παραλαμβάνεται. πάντα δὲ ἐπὶ τοῦ Ἱπποκρατείου βάθρου καταρτίζεται, ὁμοῦ τε διατεινόμενα καὶ συμβαλλόμενα. ἐξαρθρεῖ δὲ κεφαλὴ μὲν, ἐνήρθρωται γὰρ τῷ πρώτῳ σπονδύλῳ τοῦ τραχήλου πρὸς τὸν δεύτερον. ἡ δὲ κάτω γνάθος ἐξίσταται μὲν τοῦ † κατ' ἄλληλα ζυγώματος, ἐμβάλλεται δὲ μόναις ταῖς χερσὶν παραγομένη ἔνθεν κἀκεῖθεν ἐπὶ τὰ συνηρθρωμένα πρὸς τῇ ἄνω. τοῦ δὲ ὤμου εἰς μασχάλην μόνην ὀλισθάνοντος, ἡ διὰ ἄμβης ἐμβολὴ μετὰ διατάσεως. εἰσὶ δὲ καὶ ἄλλαι παλαιστρικαὶ λεγόμεναι ἀγκῶνος δὲ ἐξαρθρημάτων διαφοραὶ τέσσαρες. ἡ μὲν ἔσω, ἡ δὲ ἔξω. ἡ δὲ εἰς τὰ ἔμπροσθεν, ἡ δὲ εἰς τὰ ὄπισθεν. τὰς μὲν εἰς τὰ ἐκτὸς, ἢ εἰς τὰ ἐντὸς μετὰ διατάσεως ἀντιπαράγοντες τὰ ἐξεστῶτα ὀστέα, οὕτως καθιστῶμεν. τὰς δὲ εἰς τοὔπισω, ἢ εἰς τὸ ἔμπροσθεν, ἄνευ διατάσεως. ἡ μὲν γὰρ ἐκ συγκάμψεως ἀθρόας ἐντιθεμένου τινὸς τῇ συγκάμψει τοῦ ἀγκῶνος καθίσταται. ἡ δὲ ἐκ τάσεως σφοδροτέρας. καρποῦ δὲ καὶ μετακαρπίου καὶ δακτύλων ἐξαρθρήματα, ἐκ βραχείας διατάσεως τῶν χειρῶν εὐθετίζεται. ῥάχεως δὲ πᾶσα διαστροφὴ, ἥ τε ὕβωσις καὶ εἴσκωσις καὶ σκολίωσις, ἀδιόρθωτα. μηροῦ δὲ ἡ πρὸς τὰ ἰσχία κεφαλὴ, ἢ ἔσω τε εἰς περιτόναιον ἐμπίπτει, ἢ ἔξωθεν εἰς τὸ ἀντικείμενον, ὀπίσω τε εἰς γλουτὸν, καὶ ἔμπροσθεν εἰς βουβῶνα. ὥστε εἰσὶ δὲ τέσσαρες διαφοραί. περὶ δὲ τὸ γόνυ συνεχὴς μὲν εἰς τὸ ἔξω ἐξάρθρησις καὶ ῥᾳδία ἡ ἀποκατάστασις διὰ συγκάμψεως. ἔλαττον δὲ εἰς τὰ ἐκτὸς καὶ γίνεται καὶ ἀποκαθίσταται. ἔτι δὲ σπανιώτερον, ἡ δὲ εἰς τοὔπισω. ἡ δὲ εἰς τοὔμπροσθεν οὐ δὲ ὅλως γίνεται. οὐδέποτε γὰρ ἐξίσταται τὰ ὀστᾶ διὰ τὴν συνέχουσαν ἐπιγονατίδα, πλὴν εἰ μὴ καὶ αὕτη κατεαγῇ. περὶ δὲ τὰ σφυρὰ βραχεῖα μὲν παραλλαγὴ γινομένη, δυσαποκατάστατος. πολλὴ δὲ καὶ βίαιος οὐ δὲ ἀνέχεται τὴν διόρθωσιν. ἐπικίνδυνος γὰρ σφόδρα, καὶ εἰ μετὰ τραύματος γένηται. δάκτυλοι δὲ ποδὸς ἐξαρθρήσαντες, ὡς τῶν χειρῶν ἀπευθύνονται. αἱ δὲ τῶν συμφύσεων αὐτῶν πᾶσαι διαστάσεις, ὡς ἐπὶ προσώπου, καὶ πήχεως, καὶ κορκίδος, κνήμης, τε καὶ περόνης, μετακαρπίου τε καὶ ταρσοῦ καὶ ἔτι εἰς τὸ ἀρχαῖον ἀποκαθίστανται. τὰ δὲ μελαινόμενα καὶ νεμόμενα, εἴτε ἐκ καταγμάτων εἴτε βιαίου σφίγξεως, ἐκπρίζομεν ὅλα τὰ κῶλα πολλάκις. ὁμοίως δὲ καὶ τὰ ὑπὸ τῶν ἰοβόλων ἤδη προκατειλημμένα. ἔπειτα καυτῆρσιν ἄγαν πεπυρωμένοις ἱστῶμεν τὴν νομήν. μετὰ δὲ τοὺς καυτῆρας πράσῳ τῷ χλωρῷ καταπλάσσομεν μετ' ἁλῶν, εἶτα ὅταν καθαρθῶσιν αἱ ἐσχάραι, ὡς ἕλκη θεραπεύομεν. τὰ δὲ τῶν ἰοβόλων δήγματα, οὐ δὲ ταχὺ ἐπουλοῦσθαι βουλόμεθα, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον ῥευματίζεσθαι τὰ ἕλκη σπουδάζομεν.

ἴσ. περὶ μῆλα

ΓΑΛΗΝΟΥ ΟΡΟΙ
ΙΑΤΡΙΚΟΙ.

ΤΗΝ τῶν ὅρων πραγματείαν πολυωφελεστάτην ὑπάρχουσαν πᾶσι τοῖς ἰατροῖς, μάλιστα δὲ τοῖς εἰσαγομένοις τῶν νέων ἐκεῖνα καθὼς ἠξίωσας καὶ συναγαγεῖν καὶ ἀναγράψαι ἰατρῶν ἄριστε Τεῦθραν. τῆς γὰρ ἰατρικῆς τέχνης βιωφελοῦς οὔσης, καὶ ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων εὑρημένης ἐχούσης πολλὰ καλὰ θεωρήματα καὶ δυσεφίκτου δοκούσης τυγχάνειν, χρησιμώτατοι γίνονται οἱ ὅροι δι' ὀλίγων τὰ πολλὰ διδάσκειν δυνάμενοι, ἐν πάσαις γὰρ ταῖς τέχναις καὶ ἐπιστήμαις ἀρίστη διδασκαλία, οὐχὶ διὰ πολλῶν καὶ ἀπείρων, ἀλλὰ δι' ὀλίγων καλῶς διαγινωσκομένη. οἱ μὲν οὖν ἀρχαῖοι καὶ οἱ πρὸ Ἱπποκράτους γενόμενοι, ὧν ἡμεῖς τοῖς βιβλίοις ἐντυγχάνομεν, οὔτε ὡρίσαντό τινα τῶν περὶ τὴν τέχνην, οὔτε πολλὰ συγγράμματα ἀπέλιπον ἀλλὰ πάνυ ὀλίγα. τούτους

μὲν οὖν

μὲν οὖν ἐπαινεῖν ἄξιον ὅτι πρῶτοι ταῖς ἐπιβολαῖς ἐχρήσαντο, καὶ ἐσπούδασαν εὑρεῖν τι χρήσιμον τῷ βίῳ. ἐπιγενόμενος δὲ τούτοις Ἱπποκράτης τὴν ἰατρικὴν συνέγραψεν, καὶ ὡρίσατο αὐτὴν ἐν τῷ περὶ τέχνης, ἀρχηγὸς ἀεὶ τῶν καλῶν γενόμενος, περὶ οὗ πάντες οἱ Ἕλληνες μεμνήσονται εἰς αἰῶνα, ἐπειδήπερ κοινὸς εὐεργέτης ἁπάντων ἐγένετο. μετὰ δὲ τούτους τοὺς χρόνους οἱ γενόμενοι συνέγραψαν ὅρους. καὶ οὗτοι δὲ οὐ πάνυ τι. δοκοῦσι δὲ ἐπιμελεῖς γεγονέναι ἐν τῇ τοιαύτῃ θεωρίᾳ οἵ τε ἀπὸ Ἡροφίλου αἱρέσεως καὶ Ἀπολλώνιος ὁ Μεμφίτης, ἔτι δὲ καὶ Ἀθήναιος ὁ Ἀτταλεύς, ἀλλὰ καὶ οὗτοι οὔτε τῇ τάξει τῇ δεούσῃ ἐχρήσαντο, οὔτε συνήγαγον τὴν πραγματείαν, ἀλλὰ διεσπασμένως ἐν τοῖς βιβλίοις συνέγραψαν. ἔτι δὲ ἐνδεῶς ἀνεγράφησαν. οὐ γὰρ πάντα ὡρίσαντο τὰ κατὰ τὴν ἰατρικήν. ὅτι δὲ ἀληθῶς λέγομεν δυνατὸν μανθάνειν ἐντυγχάνουσι τοῖς τῶν εἰρημένων ἀνδρῶν συγγράμμασιν. ἡμεῖς δὲ πολὺν λόγον εἰσενεγκάμενοι καὶ τοὺς εἰρημένους μὲν ὑπὸ τῶν πρεσβυτέρων ὅρους αὐταῖς λέξεσιν ἀναγραψάμενοι, τὴν τάξιν τε δέουσαν αὐτοῖς ἐπιθέμενοι, καὶ εἴ τινες δὲ μὴ εἰσὶν εἰρημένοι ὑπὸ τῶν παλαιοτέρων, αὐτοὶ ποιήσαντες καὶ συντάξαντες, καὶ ὡς ἠξίωσας καὶ σύ, τὴν συναγωγὴν ποιησόμεθα τελείαν. ταύτης ἐγὼ πείθομαι ἀγαθὲ Τεῦθρα μὴ γεγονέναι μή τε ἔσεσθαι χρησιμωτέραν τοῖς εἰσαγομένοις τῶν νέων. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. Ἀναγκαῖον δὲ πρῶτον εἰπεῖν τι χρησιμώτατον καὶ τῇ τάξει τῆς διδασκαλίας ἁρμοδιώτατον, καὶ διασαφῆσαι τί ἐστιν αὐτὸς ὁ ὅρος, εἶτα ἑξῆς τοὺς ὅρους ὑποδεῖξαι. Ὅρος τοίνυν κατ' ἐνίους ἐστὶ λόγος δηλῶν ποῖόν ἐστιν ἐκεῖνο καθ' οὗ ἐστιν ὁ λόγος. δυνατὸν δὲ καὶ οὕτως ὁρίσασθαι. ὅρος ἐστὶν λόγος ἐννοίας. τινὲς καὶ οὕτως ὡρίσαντο. Ὅρος ἐστὶ λόγος κατ' ἀνάλυσιν ἀπαρτίζων. Ὅρος ἐστὶ διὰ βραχείας ὑπομνήσεως εἰς ἔννοιαν ἡμᾶς ἄγων τῶν ὑποτεταγμένων ταῖς φωναῖς πραγμάτων. ἢ. Ὅρος ἐστὶ λόγος τὸ εἶναι δηλῶν. ἢ λόγος τὴν ἔννοιαν ἡμῖν τοῦ πράγματος δεικνύς τε καὶ σαφηνίζων. διορισμὸς δέ ἐστι πράγματος ὡς καθόλου λεγομένου, μὴ ὄντος δὲ καθόλου κατὰ πρόσθεσιν εἰς τὸ καθόλου περιαγωγή. Ὑπογραφή ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὴν τοῦ δηλουμένου πράγματος γνῶσιν. οἱ δὲ οὕτως. ὑπογραφή ἐστι λόγος τυπωδῶς ἐμφανίζων τὰ πράγματα. Ἐπιστήμη δ' ἐστὶ κατάληψις ἀσφαλὴς καὶ ἀμετάπτωτος ὑπὸ λόγου, δύναται δὲ καὶ οὕτως ὁρίσασθαι. ἐπιστήμη ἐστὶν ἕξις ἐκ φαντασιῶν δόξαν ἀμετάπτωτον ὑπὸ λόγου παρεχομένη. Τέχνη ἐστὶ σύστημα ἐγκαταλήψεων συγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. ἢ οὕτως. τέχνη ἐστὶ σύστημα ἐγκαταλήψεων συγγεγυμνασμένων ἐπὶ ἓν τέλος τὴν ἀναφορὰν ἐχόντων. Ἱπποκράτης ἐν τῷ περὶ τέχνης ὡρίσατο τὴν ἰατρικὴν οὕτως, καὶ πρῶτον μὲν αὐτὴν ὀνομάζων ἰατρικὴν εἶναι. † γὰρ πάμπαν ἀπαλλάσσειν τῶν νοσημάτων τοὺς κάμνοντας, καὶ τὸ τὰς σφοδρότητας τῶν νοσημάτων ἀμβλύνειν, καὶ τὸ μὴ ἐγχειρεῖν τοῖσι κεκρατημένοισι ὑπὸ τῶν νοσημάτων, εἰδότας ὅτι πάντα ταῦτα δύναται ἡ ἰατρική. οἱ δὲ πλείους οὕτως ὡρίσαντο. ἰατρική ἐστι τέχνη ἡ διαιτητικὴ ὑγιαινόντων, καὶ θεραπευτικὴ νοσούντων. Αἵρεσίς ἐστι πλήθους δογμάτων πρόσκλισις τεχνικῶς συντεταγμένων, καὶ ἐφ' ἓν τέλος ἐχόντων τὴν ἀναφοράν. ἢ οὕτως. Αἵρεσίς ἐστι σύστημα δογμάτων ἀκολουθούντων ἀλλήλοις τε καὶ τῶν φαινομένων ἢ νομιζομένων ἀκολουθεῖν. δύναιτο δὲ ἄν τις καὶ οὕτως εἰπεῖν. Αἵρεσίς ἐστι συγκατάθεσις πλήθους δογμάτων ἀλλήλοις καὶ τοῖς φαινομένοις ἀκολουθούντων ἢ νομιζομένων ἀκολουθεῖν. εὑρίσκεται δὲ τοιοῦτός τις ὅρος. Αἵρεσίς ἐστι πρόσκλισις πλήθους δογμάτων ἀκολουθίαν ἐχόντων ἑαυτοῖς καὶ τοῖς φαινομένοις. ἢ οὕτως. Αἵρεσίς ἐστι πρόσκλισις ἐπὶ πλήθει δογμάτων ἀκολουθίαν ἐχόντων πρὸς ἄλληλα ἐπὶ ἓν τέλος. Δόγμα ἐστὶ τὸ μὲν ἰδίως, τὸ δὲ κοινῶς λεγόμενον. κοινῶς μὲν ἡ ἐνεργεία πράγματος συγκατάθεσις. ἰδίως δὲ μᾶλλον ἡ λογικὴ αἵρεσις δογματικὴ κέκληται. ἰατρικῆς αἱρέσεις αἱ πρῶται, δύο. Ἐμπειρικὴ καὶ λογικὴ καὶ τρίτη μεθοδική. δοκεῖ δὲ τετάρτην αἵρεσιν ἐξευρεῖν Ἀγάθινος ὁ Λακεδαιμόνιος, ἣν ὠνόμασεν ἐπισυνθετικήν. ἔνιοι δὲ ἐκλεκτικήν. ἔστι δὲ ἡ μὲν ἐμπειρικὴ αἵρεσις τῶν πλειστάκις καὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως πως ἑωραμένων. ἡ δὲ λογικὴ αἵρεσις, ἐστὶν ἐπιστήμη περὶ ἀδήλων καὶ ἔργα τὰ ἐν τῷ ἰατρεύειν ταύτῃ ἑπόμενα. Μεθοδική ἐστι λόγος ἀπὸ φαινομένου ὁρμώμενος καὶ ἀδήλου κατάληψιν ποιούμενος. οἷον εἰ ἱδρῶτές εἰσιν, πόροι εἰσί. οἱ μὲν γὰρ ἱδρῶτες πρᾶγμα φαινόμενόν ἐστι. τὸ δὲ πόρους εἶναι ἄδηλόν ἐστι. Συλλογισμός ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν τεθέντων κατ' ἀνάγκην συνάγεται, πρότερον ἀγνοούμενον. Ἐπιλογισμός ἐστι λόγος, ὁ παρεκφερόμενος τῆς διανοίας εἰς ἐπίστασιν ἄγων. Θεώρημά ἐστι πρᾶγμα καθολικὸν ἀκολούθως τιθέμενον τῷ τῆς ἰατρικῆς τέλει. ἢ ἀξίωμα καθολικὸν συμπληρωτικὸν τῆς ἰατρικῆς. ἢ θεώρημά ἐστιν ὃ τὸ ἐναντίον σπανίως ἐκβατόν. Ἀμφίδοξόν ἐστιν οὗ τὸ ἐναντίον ἐπίσης ἐκβατόν. Τέλος ἐστὶν οὗ ἕνεκα τὸ κατ' ἰατρικὴν πράσσεται. ἢ οὕτως. τέλος ἐστὶν ἐφ' ὃ πάντα ἀναφέρεται τῶν κατ' ἰατρικήν. δύναται καὶ οὕτως ὁρίζεσθαι. τέλος ἐστὶ κατ' ἰατρικήν, οὗ τυχόντες οὐδενὸς ἔτι δεόμεθα. Τέλειος ἐστὶν ἰατρὸς ὁ ἐν θεωρίᾳ καὶ πράξει ἀπηρτισμένος. Ἄριστος ἐστὶν ὁ πάντα πράττων ἐν ἰατρικῇ κατὰ τὸν ὀρθὸν λόγον. Ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. Ζῶον ἐστὶν οὐσία ἔμψυχος, αἰσθητική, καθ' ὁρμὴν καὶ προαίρεσιν κινουμένη. Ψυχή ἐστιν οὐσία ἀσώματος, αὐτοκίνητος κατὰ Πλάτωνα. κατὰ δὲ Στωικοὺς σῶμα λεπτομερὲς ἐξ ἑαυτοῦ κινούμενον κατὰ σπερματικοὺς λόγους. κατὰ δὲ τὸν Ἀριστοτέλη, ἐντελέχεια σώματος ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. Σῶμά ἐστι μέγεθος τριχῆ διαστατόν, ἔχον ἐν ἑαυτῷ μῆκος, βάθος, πλάτος. ἢ μέγεθος ἐκ τριῶν διαστημάτων συνεστηκός. Στοιχεῖόν ἐστιν ἐξ οὗ πρώτου καὶ ἁπλουστάτου τὰ πάντα γέγονε, καὶ εἰς ὃ ἁπλούστατον τὰ πάντα ἀναλυθήσεται. Ἀθήναιος δὲ ὁ Ἀτταλεὺς ἐν τῷ γ. βιβλίῳ φησὶν οὕτως. στοιχεῖα τῆς ἰατρικῆς καθάπερ τινὲς τῶν ἀρχαίων ὑπέλαβον, τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρόν, ἐξ ὧν πρώτων φαινομένων καὶ ἁπλουστάτων καὶ ἐλαχίστων ὁ ἄνθρωπος συνέστηκε, καὶ εἰς ἔσχατα φαινόμενα καὶ ἁπλούστατα καὶ ἐλάχιστα τὴν ἀνάλυσιν λαμβάνει. Στοιχείωσίς ἐστιν ἡ τῶν αὐτῶν κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως διδασκαλία. οἱ δὲ οὕτως. στοιχείωσίς ἐστιν

† al. μὴ

ἀπὸ στοιχείων ἐπὶ τὸ τέλος εἶδος. συνέστηκεν, ἡμῶν τὰ σώματα ἐκ στερεῶν καὶ ὑγρῶν καὶ πνευμάτων. στερεὰ μὲν οὖν ἐστὶν ὀστᾶ, χόνδροι, νεῦρα, μύες, φλέβες, ἀρτηρίαι, καὶ τὰ ἐν καταπαλύψει σπλάγχνα. ὑγρὰ δὲ οἱ χυμοὶ καὶ τὰ περιττώματα. τὸ δὲ πνεῦμα, τὸ ἔμφυτον ἐστὶ θερμὸν τὸ ἐν τῇ καρδίᾳ. Ανατομὴ ἐστὶ θεωρία τῶν ἐν καταπαλύψει τῆς ἀνατομῆς εἴδη δύο. τὸ μὲν κατ' ἐπιτήδευσιν, τὸ δὲ κατὰ περίπτωσιν. κατ' ἐπιτήδευσιν μὲν οὖν ἐστὶν, ἡ ἀπὸ τῶν δογματικῶν παραλαμβανομένη, ἕνεκα τῶν ἐν καταπαλύψει, ἤτοι ἐπὶ ζώντων, ἢ ἐπί τε τελευτηκότων καὶ ἤτοι ὅλων ἢ μερῶν, κατὰ δὲ περίπτωσιν ἐκ συντυχίας ἢ ὑπὸ μεγάλης τρώσεως γινομένη. προσχρῶνται δὲ αὐτῇ μόνοι οἱ ἐμπειρικοί. Χειρουργία ἐστὶν χειρῶν ἀτρόμων ὀξεῖα κίνησις μετ' ἐμπειρίας. ἢ ἔντεχνος πρᾶξις ἐν ἰατρικῇ διὰ χειρῶν περιγινομένη τοῦ προσήκοντος τέλους. Περικράνιος ὑμὴν ἐστὶ νευρώδεις, περιέχων φῶς πᾶν τὸ κρανίον. Μήνιγγες εἰσὶν αἱ περιέχουσαι τὸν ἐγκέφαλον, σώματα νευρώδη καὶ ἀρτηριώδη. Εγκέφαλος ἐστὶ λευκὸς, μαλακὸς, ὥσπερ ἐξ ἀφροῦ τινος πεπηγὼς, ὑγρὸς καὶ θερμός. Παρεγκεφαλὶς ἐστὶν ὄπισθεν τοῦ ἐγκεφάλου τεταγμένη, ὁμοιοφυὴς ἐγκεφάλῳ, καὶ ὁμόχροος. Νωτιαῖος μυελός ἐστὶν ὁμοφυὴς ἐγκεφάλῳ, λιπαρώτερος δὲ καὶ λευκότερος. Οφθαλμοί εἰσὶν οἱ συνεστῶτες ἐκ τεσσάρων χιτώνων, νευρώδεις, αἰσθητικοὶ τῶν ὑποκειμένων χρωμάτων καὶ μεγέθων καὶ σχημάτων. Ωτα δὲ νευρώδη καὶ χονδρώδη, αἰσθητικὰ φωνῶν καὶ τῶν ἐν αὐτοῖς διαφορῶν. Ρῖνες εἰσὶν νευρώδεις καὶ χονδρώδεις ἀντιληπτικαὶ ὀσμῶν. Γλῶσσα ἐστὶ φλεβώδης καὶ σαρκώδης ὑποπίμελος, αἰσθητικὴ χυμῶν, συνεργὸς τῇ καταπόσει τῆς τροφῆς. Λάρυγξ ἐστὶ χονδρώδης δι' οὗ τὸ πνεῦμα εἰσπνέομεν, συνεργῶν καὶ πρὸς τὴν φωνήν. Πνεύμων ἐστὶν ἀρτηριώδης ἐκ τῶν λείων καὶ τραχειῶν ἀρτηριῶν συμφόρησις, ὄργανον ἀναπνευστικόν. Θώραξ ἐστὶν ἐκ φλεβῶν καὶ ἀρτηριῶν καὶ νεύρων κατεσκευασμένος ὑπὸ τῆς φύσεως πρὸς τὸ τῆς ἀναπνοῆς ὅρμημα. Καρδία ἐστὶ νευρώδης καὶ μυώδης καὶ φλεβώδης, ἔχουσα καὶ ἀρτηρίας. κωνοειδὴς τῷ σχήματι, ὑποπίμελος, ἐξ ἧς ἐκπεφύκασιν ἀρτηρίαι καὶ φλέβες, δι' ὧν ἐπιπέμπεται αἷμα καὶ πνεῦμα. Διάφραγμα ἐστὶ νευρῶδες, διεῖργον καὶ χωρίζον τά τε ἐν τῷ θώρακι, καὶ τὰ ὑπὸ τὸν θώρακα σπλάγχνα.

Ηπαρ ἐστὶ φλεβῶδες καὶ θερμὸν καὶ πολύαιμον, καὶ τὴν πρώτην ἐξαιμάτωσιν πλείστην ποιούμενον, συνεργοῦν καὶ τῇ κοιλίᾳ πρὸς τὴν πέψιν τῇ παραθέσει συνθάλπον αὐτήν. Σπλὴν ἐστὶ φλεβώδης, καὶ ἀρτηριώδης, λεπτὰ ἀγγεῖα ἔχων, καὶ πολλὰς μεταξὺ κοιλότητας τῶν ἀγγείων, διὰ τοῦτο ἀραιὸς καὶ σομφός.

Στόμαχος ἐστὶ νευρώδης, καὶ ἀρτηριώδης, ἐργαλεῖον ὀρέξεως καὶ καταπόσεως. ἢ καὶ πόρος ὑγρᾶς καὶ ξηρᾶς τροφῆς. Κοιλία ἐστὶ νευρώδης ὑποδοχεῖον τροφῆς ὑγρᾶς καὶ ξηρᾶς πρὸς τὸ πέττεσθαι τὴν τροφὴν κατεσκευασμένη. Εντερα ἐστὶ νευρώδη, τὰ μὲν πρὸς ὑποδοχὴν, τὰ δὲ πρὸς ἀπόκρισιν τοῦ περιττώματος γεγονότα. Νεφροί εἰσὶν σαρκώδεις ἐκ ψαφαρωτέρας σαρκὸς συγκείμενοι, ἰσθμοὶ τοῦ ὑγροῦ περιττώματος, καὶ ὥσπερ προσλάκια ὑπὸ τῆς φύσεως γεγενημένοι. Κύστις ἐστὶ νευρώδης, ὑποδοχεῖον καὶ ἐργαλεῖον ἐκκριτικὸν ὑγροῦ περιττώματος. Δίδυμοι εἰσὶ σαρκοειδεῖς καὶ εὔθρυπτοι, ὑγροὶ καὶ θερμοὶ, συνεργοὶ, τῇ πέψει ἐν τοῖς παραστάταις σπέρματος. Παραστάται εἰσὶν οἱ συγκείμενοι ἐκ φλεβὸς καὶ ἀρτηρίας εἰς τὸ αὐτὸ συμπεφυκυιῶν, πεπτικοὶ σπέρματος. Μήτρα ἐστὶν ἔξωθεν μὲν νευρώδης, ἐν δὲ τῷ ἔνδοθεν σαρκωδεστέρα, ἀγγεῖον κυητήριον. Εκκρισις ἐστὶ φορὰ τῶν παρακειμένων τοῖς σώμασι περιττωμάτων.

Κόπρος ἐστὶ ἀποκάθαρμα τροφῆς κατὰ συντυχίαν πέψεως καὶ ἀναδόσεως διακεκριμένων. Οὖρον ἐστὶ περίηθημα τοῦ αἵματος ἐν τῇ μεγάλῃ φλεβὶ, καταφερόμενον διὰ νεφρῶν καὶ οὐρητήρων ἐν τῇ κύστει. τέσσαρες δὲ εἰσὶ χυμοὶ, ἐξ ὧν τὸ ζῶον συνέστηκεν, αἷμα, φλέγμα, χολαὶ δύο. ξανθή τε καὶ μέλαινα. ταῦτα γὰρ στοιχεῖα τοῦ σώματος παῖδες ἰατρῶν καλοῦσιν. ἐπεὶ τὸ μὲν αἷμα θερμόν ἐστὶ καὶ ὑγρὸν καὶ γλυκύ. τὸ δὲ φλέγμα ψυχρὸν καὶ ὑγρὸν καὶ ἁλυκὸν καὶ γλίσχρον. ἡ δὲ ξανθὴ χολὴ θερμὴ καὶ ξηρὰ, καὶ δριμεῖα καὶ δακνώδης. ἡ δὲ μέλαινα ξηρὰ καὶ ψυχρὰ καὶ ὀξεῖα καὶ βαρυτάτη. Αἷμα ἐστὶ

Φλέγμα ἐστὶ ψυχρὸν καὶ ὑγρὸν πρὸς τὴν κατάποσιν τῶν σιτίων καὶ πρὸς τὰς κινήσεις τῶν ἄρθρων ὑπὸ τῆς φύσεως ὑποκεβλημένον. Χολὴ ξανθὴ ἐστὶ θερμὴ καὶ ξηρὰ καὶ ἐπιτόνιον μὲν τοῦ στομάχου, καὶ πρὸς τὰς ἐκκρίσεις τῆς κοιλίας γεγενημένη. Χολὴ μέλαινα ἐστὶ ψυχροτέρα τῆς ξανθῆς, παρακειμένη μὲν τῷ αἵματι ὥς τε σχίζεσθαι καὶ μὴ παχὺ καὶ ἀραιὸν καὶ δυσανάδοτον ἀποτελεῖσθαι. Μύξα ἐστὶ ἀποκάθαρμα τοῦ ἐγκεφάλου, ὥς τε κουφίζεσθαι τὸ ἡγούμενον τῆς ψυχῆς μέρος. ἱδρὼς ἐστὶ περίηθημα τῆς ἐν τῷ αἵματι λεπτῆς καὶ ὀρρώδους ὑγρασίας. φλὲψ ἐστὶν ἀγγεῖον αἵματος καὶ τοῦ συγκεκραμένου τῷ αἵματι φυσικοῦ πνεύματος νευρώδης, ὑγρὰ καὶ θερμὴ αἴσθησιν ἔχουσα. Αρτηρία ἐστὶν ἀγγεῖον αἵματος ἐλάττονος καὶ καθαρωτέρου καὶ τοῦ συγκεκραμένου φυσικοῦ πνεύματος πλείονος καὶ λεπτομερεστέρου, θερμοτέρα καὶ ξηροτέρα καὶ αἰσθητικωτέρα τῆς φλεβὸς, σφυγματωδῶς κινουμένη. νεύρων τρεῖς εἰσὶν αἱ διαφοραὶ, τὰ μὲν ἐξ ἐγκεφάλου καὶ νωτιαίου πεφυκότα νεῦρα ταῦτα κυρίως προσαγορεύεται. τὰ δὲ ἐκ μυῶν, τένοντες. τὰ δὲ ἐξ ὀστῶν, σύνδεσμοι. Νεῦρα τὰ ἀπ' ἐγκεφάλου καὶ μηνίγγων πεφυκότα, κοινὰ, ξηρότερα καὶ ἧττον θερμότερα φλεβῶν καὶ ἀρτηριῶν αἰσθητικώτερα τὰς προαιρετικὰς κινήσεις ἐκτελοῦντα. Νεῦρα τὰ ἐξ ὀστῶν ἐκφυόμενα συνδετικὰ καὶ συνεκτικὰ τῶν ἄρθρων καὶ τῶν μελῶν τοῦ σώματος. Μύες εἰσὶ σώματα νευρώδη ἀναμεμιγμένης αὐτοῖς καὶ σαρκὸς, πρὸς κίνησιν τῶν σώματος μερῶν γεγονότες. Περιόστεοι ὑμένες εἰσὶν εἰλύματα λεπτὰ ἰνώδη, ὥσπερ ἐνδύματα τῶν ὀστῶν ὑπὸ τῆς φύσεως γενόμενοι. Πιμελὴ ἐστὶν παρέγχυμα τροφῆς περὶ τοὺς ὑμένας μάλιστα πηγνυμένη ἀναίσθητος. Σὰρξ ἐστὶν ἐξ αἵματος πεπηγυῖα ὑγρὰ καὶ θερμὴ καὶ τὴν μαλακότητα παρεχομένη τῷ σώματι. Εν τοῖς ὀστέοις μυελὸς ἐστὶ περιεχόμενος ταῖς κοιλότησιν τῶν ὀστῶν λιπαρὸς καὶ ἀναίσθητος. χόνδροι εἰσὶ σώματα γεωδέστερα, καὶ ἀναίσθητα. Οστᾶ εἰσὶ σώματα ξηρὰ, καὶ γεώδη, καὶ ψυχρὰ καὶ ἀναίσθητα. Οδόντες εἰσὶν οἱ διαιροῦντες τὴν τροφὴν καὶ κατεργαζόμενοι, καὶ συνεργοῦντές τι καὶ πρὸς τὴν

Quatuor humores

τῇ τῆς φωνῆς διαρθρώσει. Ὄνυχές εἰσιν ἀποτελεύτησις νεύρων εὐπρεπείας χάριν γεγονότες καὶ ὡς ἐπιλαμ-
βάνειν τι τοῖς δακτύλοις εὐκολώτερον. οἱ δὲ οὕτως. ὄνυχές εἰσι δέρματος ἔκφυσις ξηρὰ καὶ ψυχρὰ καὶ ἀναίσθητος.
Θρὶξ σῶμά ἐστι ξηρὸν καὶ ψυχρὸν καὶ ἀναίσθητον πρὸς σκέπην καὶ κόσμον γεγενημένη. Δέρμα ἐστὶ σῶμα
νευρῶδες σκεπάζον ὅλην τὴν περιοχὴν τοῦ σώματος εὐπρεπείας χάριν καὶ ὥς τε ἀπορύκειν τὰ αἴτια γεγενη-
μένον. Σπέρμα ἐστὶ συνεσπαρμένη δύναμις ἐν ὑγρῷ περιέχουσα τούτου τὸν λόγον, ἢ ἡ δύναμις τυγχάνουσα
τῶν προσηκόντων λόγων καὶ ὑλῶν ἐξαπλοῦται εἰς γένεσιν ἀνθρώπου. ἢ οὕτως ἑτέρως. Σπέρμα ἐστὶν ὑγρὸν ἐν παρα-
στάταις περιεχόμενον ἐκ θερμοῦ πνεύματος, ἐξ οὗ οἷόν τε φῦναι ἄνθρωπον. ἢ σπέρμα ἐστὶ πνεῦμα ἔνθερμον ἐν ὑ-
γρῷ, ἐξ ἑαυτοῦ κινούμενον καὶ δυνάμενον τοιοῦτον γεννᾶν, οἷον ἀφ' οὗ καὶ ἀφέθη. ὁ δὲ Κιτιεὺς Ζήνων οὕτως ὡρίσατο.
σπέρμα ἐστὶν ἀνθρώπου ὃ μεθίησιν ἄνθρωπος μεθ' ὑγροῦ ψυχῆς μέρους ἅρπαγμα, καὶ σύμμιγμα τοῦ τῶν προγό-
νων γένους, οἷόν τε αὐτὸ ἦν καὶ αὐτὸ συμμιχθὲν, ἀπεκρίθη. Φύσις ἐστὶ πῦρ τεχνικὸν ὁδῷ βαδίζον εἰς γένε-
σιν. ἑτέρως κατὰ Πλάτωνα. φύσις ἐστὶν οἷα τεχνικὴ δύναμις. ἑτέρως. φύσις ἐστὶ πνεῦμα ἔνθερμον ἐξ ἑαυτοῦ κινού-
μενον καὶ κατὰ τὰς σπερματικὰς δυνάμεις γεννῶν τε καὶ τελειοῦν καὶ διατηροῦν τὸν ἄνθρωπον. ἢ οὕτως. φύσις ἐστὶ
δύναμις ἐξ ἑαυτῆς κινουμένη αἰτία γενέσεώς τε καὶ διαπλάσεως, γεννῆσαί τε καὶ διαφυλάττειν τὸν ἄνθρωπον.
δύναται δὲ καὶ οὕτως ὁρίσασθαι. φύσις ἐστὶ πνεῦμα ἔνθερμον ἐξ ἑαυτοῦ κινούμενον κατὰ σπερματικοὺς λόγους, γεννῶν
τε καὶ τελειοῦν καὶ διατηροῦν τὸν ἄνθρωπον ἐν χρόνοις καὶ μεγέθεσιν ὡρισμένοις. Ἕξις ἐστὶ πνεῦμα συνέχον
καὶ συγκρατοῦν τὰ μέρη. Ὄρεξίς ἐστι πόθος καὶ ἐπιζήτησις. Κατάποσίς ἐστιν ὁλκὴ στερεοῦ καὶ ὑγροῦ ἀπὸ
στομάχου εἰς κοιλίαν γινομένη, ἢ οὕτως. κατάποσίς ἐστιν εἰσφορὰ τροφῆς τῆς ὑγρᾶς καὶ στερεᾶς ἐκ στόματος διὰ στομά-
χου εἰς κοιλίαν γινομένη. Πέψις ἐστὶ μίξις καὶ χύλωσις ὥσπερ ἕψησις τροφῆς ἐν κοιλίᾳ καὶ ἐν ἐντέροις κα-
τὰ μεταβολὴν εἰς ἀνάδοσιν τετελεσμένη. ἑτέρως. πέψις ἐστὶ κατεργασία τροφῆς κατὰ μεταβολὴν ἐν κοιλίᾳ
καὶ ἐν ἐντέροις. ἢ οὕτως. ἀλλοίωσις ἑτοίμη πρὸς ἐξαιμάτωσιν ἥτις γίνεται ὑπὸ τῆς φύσεως διὰ θερμασίας ἑ-
ψήσει παραπλήσιος. τὰς πέψεις τῆς τροφῆς Ἱπποκράτης μὲν ὑπὸ τοῦ ἐμφύτου θερμοῦ φησὶ γίνεσθαι. Ἐρα-
σίστρατος δὲ τρίψει καὶ λειώσει καὶ περιστολῇ τῆς γαστρὸς καὶ ἐπικτήτου πνεύματος ἰδιότητι. Ἐμπεδοκλῆς δὲ σήψει.
οἱ δὲ ἐξ ὠμῶν ἔφασαν τὰς ἀναδόσεις γίνεσθαι. ὥσπερ καὶ Ἀσκληπιάδης ὁ Βιθυνός. ὁ αὐτὸ καὶ τὴν γυμνασίαν τῶν
πέντε αἰσθήσεων ἀπεφήνατο εἶναι τὴν ψυχήν. Ἐξαιμάτωσίς ἐστιν ἡ εἰς αἷμα τῆς τροφῆς μεταβολή. Ἀνά-
δοσίς ἐστιν ὁλκὴ τῆς πεφθείσης καὶ οἰκονομηθείσης καὶ ἐξαιματωθείσης τροφῆς εἰς πάντα τὰ τοῦ σώματος μόρια καὶ
τὰ μέρη ὑπὸ τοῦ ἐμφύτου θερμοῦ. οἱ δὲ οὕτως. Ἀνάδοσίς ἐστιν ὁλκὴ τῆς πεφθείσης τροφῆς ὑπὸ τοῦ κατὰ φύσιν θερμοῦ εἰς
ὅλον τὸ σῶμα μετὰ τῆς οἰκείας μεταβολῆς καὶ κατεργασίας. Αὔξησίς ἐστιν ἡ εἰς μῆκος καὶ ὕψος καὶ βάθος
πρόβασις τῶν σωμάτων. Θρέψις ἐστὶν ἡ εἰς τὴν περιοχὴν καὶ τὸ πλάτος γινομένη πρόσθεσις τοῖς σώμασιν. Τέσ-
σαρές εἰσιν ἡλικίαι. α. μὲν ἡ τῶν νέων. β. δὲ ἡ τῶν ἀκμαζόντων καὶ. γ. ἡ τῶν μέσων καὶ. δ. ἡ τῶν γερόντων.
Οἱ νέοι οὖν θερμοὶ τὴν κρᾶσιν καὶ ὑγροὶ καὶ τῷ ἔαρι παραπλήσιοι. Οἱ δὲ ἀκμάζοντες θερμοὶ καὶ ξηροὶ
καὶ τὴν αὐτὴν κρᾶσιν τῷ θέρει κεκτημένοι. Οἱ μέσοι ψυχροὶ καὶ ξηροὶ ὅμοιοι τῷ φθινοπώρῳ. Οἱ γέρον-
τες ψυχροὶ καὶ ὑγροὶ καὶ τῷ χειμῶνι παραπλήσιοι. πλεονάζει δὲ τοῖς μὲν νέοις τὸ αἷμα. τοῖς δὲ ἀκμάζουσι
ξανθὴ χολή. τοῖς δὲ μέσοις ἡ μέλαινα, τοῖς δὲ γέρουσι τὸ φλέγμα, ὅτι τὸ ἔμφυτον θερμὸν πολὺ μὲν τοῖς νέοις,
ἀκμάζον δὲ ἐν τοῖς ἀκμάζουσι. μέσον δὲ ἐν τοῖς μέσοις. ὀλίγιστον δὲ ἐν τοῖς γέρουσιν. Νεότης ἐστὶ καθ' ἣν αὔξε-
ται τὸ ζῶον, ἐπίδοσιν λαμβάνοντος ἐν αὐτῷ τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ, καὶ ἴσων ὄντων τῶν ἀπερχομένων τοῖς
προσφερομένοις ἢ πλείονος ὄντος τοῦ προσγινομένου ἢ τοῦ ἀπογινομένου. Ἀκμή ἐστιν ἡλικία καθ' ἣν ηὔξηται καὶ
τετελείωται τὸ ζῶον, τελείων ἐν αὐτῷ τοῦ θερμοῦ καὶ τοῦ ὑγροῦ, καὶ ἴσων ὄντων τῶν ἀπερχομένων τοῖς προσφε-
ρομένοις. Γῆράς ἐστιν ἡλικία καθ' ἣν ὑπομειοῦται καὶ ὑπολείπεται τὸ ζῶον, ἐλαττόνων ἐν αὐτῷ γινομένων τοῦ
θερμοῦ καὶ τοῦ ὑγροῦ, πλειόνων ἐν αὐτῷ γινομένων τοῦ ψυχροῦ καὶ τοῦ ξηροῦ. Ἀναπνοή ἐστι κίνησις θώρακος καὶ πνεύμο-
νος. μέρη δὲ αὐτῆς εἰσπνοὴ καὶ ἐκπνοή. ἢ οὕτως. Ἀναπνοή ἐστιν ὁλκὴ ἀέρος διὰ στόματος καὶ μυξωτήρων ἐξ ἐγκεφάλου διὰ
φάρυγγος καὶ πνεύμονος εἰς καρδίαν. πάρεισι δέ τοι καὶ εἰς τὴν κοιλίαν, καὶ ἐκ τοῦ ληφθέντος πάλιν ὀλίγου ἀνταπό-
δοσις εἰς τὸ περιέχον γίνεται. Διαπνοή ἐστιν ὁλκὴ ἀέρος ἀπροαίρετος ὑπὸ τοῦ φυσικοῦ θερμοῦ διὰ τῆς ἐπιφανείας
ἅμα τοῖς συναπερχομένοις γινομένη. ἑτέρως. διαπνοή ἐστιν ἐκ τοῦ σώματος ὁλκὴ ἀέρος μετ' ὀρέξεως φυσικῆς δι'
ὅλου τοῦ σώματος καὶ πάλιν ἐξόδων ἀπόκρισις.. Σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν φυ-
σική. μέρη δὲ τοῦ σφυγμοῦ διαστολὴ καὶ συστολή. ἢ οὕτως. σφυγμός ἐστι κίνησις κατὰ διαστολὴν καὶ συστολὴν καρδίας καὶ
ἀρτηριῶν καὶ ἐγκεφάλου καὶ μηνίγγων φυσικὴ καὶ ἀπροαίρετος. δύναται καὶ οὕτως ὁρίσασθαι. Σφυγμός ἐστι κίνησις φυ-
σικὴ καὶ ἀπροαίρετος τοῦ ἐν καρδίᾳ καὶ ἀρτηρίαις θερμοῦ. Ἡγεμονικόν ἐστι ψυχῆς, τὸ ἄρχον τοῦ μέρους ψυχῆς, τὸ
βασιλεῦον καὶ ἐπιτάσσον. καθιδρυμένον ἐν τῇ βάσει τοῦ ἐγκεφάλου.* οἱ δὲ οὕτως. ὑπηρετικόν μέρος τῆς ψυχῆς, τὸ ὑποτε-
ταγμένον καὶ ὑπηρετοῦν τῷ ἡγεμονικῷ, τεταγμένον δὲ ἐν τῷ ἄλλῳ σώματι. Αἴσθησίς ἐστι πάθος ψυχῆς διὰ
σώματος ἀγγελτικὸν τοῦ κινητικοῦ. αἴσθησις μὲν γάρ ἐστιν ἡ ἐνεργοῦσα δύναμις. Αἰσθητήριον δὲ τὸ αἴσθησιν ἦνα ἐμπε-
πιστευμένον ὄργανον. Αἰσθητὸν δὲ τὸ τῇ αἰσθήσει ὑποπῖπτον. Αἰσθητικὸν δὲ αὐτὸ τὸ αἰσθανόμενον. οἷον αἴσθησις
μὲν ὅρασις, γεῦσις, ὄσφρησις καὶ αἱ λοιπαὶ αἰσθήσεις. Αἰσθητήριον ἤτοι ὀφθαλμὸς ἢ ῥὶς ἢ γλῶττα, ἃ καὶ ὄργανα αἰ-
σθητικὰ προσαγορεύεται. Αἰσθητὸν δὲ τὸ ξύλον ἢ λίθος ἢ τεῖχος ἢ κύων καὶ πάντα τὰ ὑποπίπτοντα ταῖς αἰσθήσε-
σιν. Αἰσθητικὸν δὲ ὁ Θέων καὶ ὁ Δίων, καὶ τἄλλα, ὅσα αἰσθάνεται ζῶα. Αἰσθήσεις εἰσὶ πέντε, ὅρασις, ἀκοή, γεῦσις,
ὄσφρησις, ἁφή. διακονοῦνται δὲ αὗται καὶ ὑπηρετοῦνται τῇ ψυχῇ ὥσπερ Ἀσκληπιάδης ὁ Βιθυνός φησιν. τὴν οὖν γυμνα-
σίαν τῶν πέντε αἰσθήσεων τὴν ψυχὴν εἶναι. Ὅρασίς ἐστιν ἡ γινομένη διὰ τῶν ὀφθαλμῶν τῷ συγκεκραμένῳ ἐν αὐτοῖς
πνεύματι λεπτῷ μάλιστα κατὰ τὸν τῆς κόρης τόπον τυγχάνοντι, δι' οὗ αἱ ὁρατικαὶ ἀντιλήψεις γίνονται.
Ἀκοή ἐστιν ἡ γινομένη διὰ τοῦ ἐγκεκραμένου τοῖς ὠσὶ πνεύματος ξηροτέρου μᾶλλον ὄντος, ἤπερ λεπτομερεστέρου,
δι' οὗ αἱ ἀκουστικαὶ ἀντιλήψεις γίνονται. Ὄσφρησίς ἐστιν ἡ ἀποτελουμένη διὰ τοῦ ἐν ταῖς ῥισὶ πνεύματος ὄντος

ἐνικμοῦ καὶ αὐχμωδεστέρου, δι᾽ οὗ αἱ τῆς ὀσφρήσεως ἀντιλήψεις γίνονται. Γεῦσίς ἐστιν ἡ γινομένη περὶ ἐν τῇ γλώσσῃ
πνεύματι οὐκ ὑγροτέρῳ μᾶλλον. Ἁφὴ ἐστὶν ἡ ἀποτελουμένη διὰ τοῦ ἐληλυθότος διὰ τοῦ σώματος, δι᾽ οὗ αἱ πνεῦμα
τικαὶ ἀντιλήψεις γίνονται. Μεταβατικὴ κίνησίς ἐστι τῶν ὅλων καθ᾽ ὁρμὴν γινομένη. κατάρχοντος μὲν τοῦ
ἡγεμονικοῦ, ὑπηρετοῦντος δὲ τοῦ ἐν τοῖς νεύροις πνεύματος συνεκτεινομένου καὶ παραφέροντος τὰ μέλη. Φωνὴ
ἐστὶν ἡ γινομένη καθ᾽ ὁρμὴν τοῦ ἡγεμονικοῦ ἐκτεινομένου καὶ συνεκτείνοντος τὸ πνεῦμα, τὸ διὰ φάρυγγος μέχρι τοῦ
πνεύμονος καὶ τῆς γλώσσης, τούτων διατυπόντων τὸν πλησιάζοντα ἀέρα. Μνήμη ἐστὶ κατοχὴ καὶ συντήρησις
τῶν προκειμένων ἐν τῇ ψυχῇ. οἱ δὲ οὕτως. μνήμη ἐστὶ κατάληψις παρεληλυθότος, οὗ τὸ πρὶν διὰ αἰσθήσεως κα
τελαμβάνετο. Ἀνάμνησις ἐστὶ πλείονος ἐντεινομένου μεταξὺ χρόνου πρὸς ἄλλοις γινομένης τῆς διανοίας πάλιν,
ὥστε ἀναμνήσασθαι τὰ προκεκινηκότα τὴν ψυχήν. Ἐπίνοια ἐστὶν ἄνεσις ψυχῆς κατὰ φύσιν ἀπὸ τῶν περάτων
ἐπὶ τὸ ἡγεμονικόν. Ὕπνος ἐστὶ ψυχῆς καταφορὰ κατὰ φύσιν ἀπὸ τῶν περάτων ἐπὶ τὴν ἀρχήν. Ἐγρήγορσις ἐστὶν
ἔντασις ψυχῆς ἀπὸ τῆς ἀρχῆς εἰς πάντα τὰ μέρη καὶ τὰ μόρια τοῦ σώματος. Ὑγεία ἐστὶν τῶν πρώτων κατὰ φύσιν ἡ
εὐκρασία τῶν ἐν ἡμῖν χυμῶν, ἢ τῶν φυσικῶν δυνάμεων ἀπαραπόδιστος ἐνέργεια. ἢ, ὑγεία ἐστὶν εὐκρασία τῶν τεσσά
ρων στοιχείων. τὸ γὰρ ζῶον συνέστηκεν ἐκ θερμοῦ, ψυχροῦ, ὑγροῦ, ξηροῦ, οἱ δὲ οὕτως. ἁρμονία τῶν συνεστώτων τὸν ἄνθρω
πον θερμῶν τε καὶ ψυχρῶν, ὑγρῶν, τε καὶ ξηρῶν. παρέπεται δὲ τῇ ὑγείᾳ κάλλος, εὐεξία, ἀρτιότης. κάλλος μὲν οὐχ
ὁποῖον κομμωτικῆς διὰ ἐπιχρισμάτων προσώπου καὶ βαφῆς τριχῶν καὶ τῶν τούτοις ἐοικότων, περιγινόμενον. εὐε
ξία δὲ ἡ οὐχὶ ἀπὸ γυμναστικῆς, ἀλλ᾽ ἡ κατ᾽ ἐπακολούθησιν τῆς ὑγείας συνισταμένη. Ἀρτιότης δὲ ἡ τῶν μορίων ἀπηρτι
σμένων ῥῶσίς τε καὶ συμμετρία. Εὐχροία καὶ μελῶν ἀναλογία τε καὶ εὐρυθμία, οἷς ἔνι τὸ κάλλος. ἔστι γοῦν κάλλος
ἀναλογία μελῶν μετ᾽ εὐχροίας. ὑγεία εὐεξία τούτῳ διαφέρει. ὑγεία μὲν καὶ ἐστὶ εὐεξία σύμμετρος. ἡ δὲ εὐεξία ὑγεία
ἐπιτεταγμένη. ἡ δὲ ἐπὶ τῆς γυμναστικῆς εὐεξία, οὐ δὲ ὑγεία ἄν τις εἴη. Ἀρεταὶ σώματος μὲν ὑγεία, ῥώμη, κάλλος, ἀρ
τιότης. ψυχῆς δὲ ἀρεταὶ, φρόνησις, σωφροσύνη, ἀνδρεία, δικαιοσύνη. ἀναλογεῖ δὲ ὑγεία μὲν πρὸς σωφροσύνην. ἡ μὲν
γὰρ ὑγεία εὐκρασία τῶν πρώτων καὶ σύστασίς ἐστι. ἡ δὲ σωφροσύνη τὸ καθαρεύειν παντὸς πάθους τὴν ψυχὴν, ἡδονῆς,
φόβου, λύπης, ἐπιθυμίας, διὰ ἣν αἰτίαν τὰς ὁρμὰς τῆς ψυχῆς ἀταράχους παρέχεται. καὶ σύστασις αὕτη ψυχῆς ἐστὶ καὶ ὑ
γεία. πάλιν ἀναλογεῖ ῥώμη σώματος πρὸς ἀνδρείαν ψυχῆς. ἡ μὲν γὰρ ῥώμη εὐτονία ἐστὶ σώματος, καὶ ἰσχὺς ἀκαταγώ
νιστος τοῖς νομίζουσι τὸ σῶμα φθείρειν. ἡ δὲ ἀνδρεία ῥώμη ψυχῆς καὶ ἰσχὺς πρὸς τὰς ὑπομονὰς τῶν ἰσχυρῶν φαντασιῶν
θανάτου, πόνου, ταλαιπωρίας, καὶ καθόλου παντὸς τοῦ δοκοῦντος εἶναι δεινοῦ τε καὶ φοβεροῦ. προσέοικε δὲ περὶ κάλλει πάλιν
ἡ δικαιοσύνη. τὸ μὲν γὰρ κάλλος ἐν συμμετρίᾳ μελῶν μετ᾽ εὐχροίας νοεῖται. ἡ δὲ δικαιοσύνη ἐν συμμετρίᾳ τοῦ ὑποβάλ
λοντος ἑκάστου. ἀπονεμητικὴ γὰρ ἐστὶν ἑκάστῳ τοῦ πρὸς ἀξίαν, οἷον θεοῖς, γονεῦσι, συγγενέσι, φίλοις, οἰκείοις, πολίταις.
τῇ δὲ φρονήσει ἡ ἀρτιότης. † ἡ μὲν γὰρ ἀρτιότης συμπλήρωσίς ἐστι τῶν τῆς ψυχῆς ὀρθῶν καταλήψεων, ὥσπερ καὶ τῶν μελῶν.
οὕτω δὲ καὶ ἡ φρόνησις. κατὰ φύσιν μὲν οὖν ἐστὶν ἡ ὑγεία. παρὰ φύσιν δὲ ἡ νόσος. φύσει δὲ ὁ παχύς, ὁ πιμελώδης, ὁ χρυ
πός, οὗτοι γὰρ κατὰ φύσιν μὲν οὐ διάκεινται, παραβεβήκασι γὰρ τὴν συμμετρίαν, ἀλλ᾽ οὐ δὲ παρὰ φύσιν πάλιν, οὐ γὰρ ἐμπο
δίζονται εἰς τὰς ἐνεργείας. τὸ δὲ οὐ φύσει τοιοῦτόν ἐστιν ὃ μήτε κατὰ φύσιν, μήτε παρὰ φύσιν μήτε φύσει ἐστὶ ὥσπερ οἱ
τὰς λευκὰς ἔχοντες καὶ τοὺς ἀκροχορδόνας καὶ μυρμηκίας καὶ τὰ ὅμοια. ταῦτα, γὰρ οὔτε κατὰ φύσιν ἐστὶν, ἔξω γὰρ ἐστὶ
τῶν κατὰ φύσιν. οὔτε μὴν παρὰ φύσιν, οὐ γὰρ ἐνεργείας ἐστὶν βλαπτικά. ἀλλὰ οὐ δὲ φύσει, οὐ γὰρ ἐξ ἀρχῆς γέγονεν, οὐ δὲ ἐκ
τῆς γενέσεως. λείπεται ἄρα οὐ φύσει εἶναι. ἐγγίζει δὲ περὶ λόγῳ κατὰ φύσιν, τὸ φύσει. καὶ παρὰ φύσιν, τὸ οὐ φύσει. τὰ μὲν οὖν
πρὸς τὸ ζῆν γεγονότα κύρια τυγχάνει. οἷον ἐγκέφαλος καὶ καρδία καὶ πνεύμων καὶ ἧπαρ καὶ γαστὴρ ὧν παθόντων τι ἐξ
ἀνάγκης ἤτοι παραυτίκα ὕστερον τὸ ζῶον τελευτᾷ. τὰ δὲ πρὸς τὸ εὖ ζῆν ὀφθαλμοί. πόδες, χεῖρες καὶ τὰ ἄλλα μό
ρια. Νόσος ἐστὶ δυσκρασία τῶν πρώτων κατὰ φύσιν. ἢ δυσκρασία τῶν ἐν ἡμῖν χυμῶν, ἢ τῶν φυσικῶν δυνάμεων παραποδι
σμός, ἢ τροπὴ σώματός τις ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν. ἢ νόσος ἐστὶ δυσκρασία τῶν πρώτων καθ᾽ ἣν ἐπικρα
τεῖ τὸ ξηρὸν ἢ τὸ ψυχρὸν ἢ τὸ θερμὸν ἢ τὸ ὑγρόν. Αἱ νοσωδέσταται κατασκευαὶ τῶν σωμάτων ἐξ ἐναντίων τῇ κρά
σει σύγκεινται μορίων, ὥσπερ αἱ ἄρισται κατασκευαὶ τῶν σωμάτων συνεστήκασιν, ἐκ συμμετρίας μὲν τῶν ὀργανικῶν, ἐξ
εὐκρασίας δὲ τῶν ὁμοιομερῶν. Πάθος ἐστὶ παραποδισμὸς κατὰ φύσιν ἐνεργείας τινὸς ἢ τινῶν. οἱ δὲ ἠροφίλειοι οὕτως.
Πάθος ἐστὶ τὸ μὴ διὰ παντὸς ἐν περὶ αὐτῷ χρόνῳ λυόμενον καὶ ἐν ἐλάττονι δὲ ποτὲ, καὶ ἐν πλείονι. Νόσημα ἐστὶν ἕξις
νοσώδης ὅλου τοῦ σώματος ἢ μέρους. Τῶν νοσημάτων, τὰ μὲν ἐστὶ συνεχῆ, τὰ δὲ διαλείποντα, τὰ δὲ ὀξέα, τὰ δὲ χρό
νια, τὰ δὲ κατόξεα. Διαλείποντα μὲν ἐστὶ ταῦτα, τριταῖος. ἀμφημερινός. τεταρταῖος. πεμπταῖος. καὶ τὰ τούτοις
ὅμοια. Συνεχῆ δὲ ὁ ἡμιτριταῖος καὶ ὁ τυφώδης οὕτως καλούμενος πυρετὸς, καὶ ὁ καῦσος. Ὀξέα δὲ φρενῖτις.
λήθαργος. πλευρῖτις. περιπνευμονία. Χρόνια δὲ ἐπίληψις, ἀρθρῖτις, νεφρῖτις. Κατόξεα δὲ συνάγχη,
κυνάγχη, ἀποπληξία, χολέρα, καὶ τὰ τούτοις ὅμοια. Ἔτι τῶν νοσημάτων τὰ μὲν ἐστὶν ὀξέα, καὶ συνεχῆ ὡς οἱ καῦσοι, καὶ
φρενίτιδες, πλευρίτιδες, καὶ γὰρ ὀξέα ταῦτα, καὶ συνεχῆ τυγχάνει. τὰ δὲ οὔτε ὀξέα οὔτε συνεχῆ ὡς τὰ χρόνια νο
σήματα. Τῶν πυρετῶν τέσσαρές εἰσιν καιροὶ, οὓς καὶ χρόνους προσαγορεύομεν. εἰσβολὴ, αὔξησις, ἀκμὴ, πα
ρακμή. Τῶν νοσημάτων διαφορὰς Ἱπποκράτης οἶδεν ἐννέα, ὀξὺ, κατοξὺ, κακόηθες, χρόνιον, μέσον, ὀλέθριον, πε
ριεστηκὸς, κινδυνῶδες, ἀκίνδυνον. Κάτοξυ, πάθος ἐστὶ τὸ δυνάμει καὶ φαντασίᾳ μεῖζον, καὶ χαλεπώτερον
τοῦ ὀξέος τοὔπιπαν κρινόμενον ἐν ἡμέραις ἑπτά. ὅπερ καὶ ὀξύτατον προσαγορεύειν εἰώθεν. Κακόηθες νό
σημα ἐστὶ τὸ δυνάμει μὲν μέγα καὶ χαλεπὸν, φαντασίᾳ δὲ ἀσθενὲς οὐκ ἔχον κρίσεως χρόνους ὡρισμένους.
Χρόνιον νόσημα ἐστὶ τὸ μεταβάλλον ἐπὶ τὸ χεῖρον καὶ ἐπὶ τὸ κρεῖττον κρινόμενον ἐν μησὶ, καὶ ἐνιαυτοῖς, ἢ καὶ συ
ναποθνήσκον περὶ ἀνθρώπῳ. Μέσον νόσημα ἐστὶ τὸ μεταξὺ χρονίου, καὶ ὀξέος μεταβάλλον, καὶ αὐτὸ ἐπὶ τὸ
κρεῖττον, καὶ ἐπὶ τὸ χεῖρον, κρινόμενον τοὔπιπαν ἐν ἡμέραις ἑξήκοντα, ἢ ὀγδοήκοντα. Ὀλέθριον νόσημα ἐστὶ
τὸ πάντη πάντως ὄλεθρον ἐπιφέρον ἤτοι ἐν ὀλίγῳ χρόνῳ, ἢ ἐν πλείστῳ. Περιεστηκὸς νόσημα ἐστὶ ὅπερ οὐδέπο
τε ἀναιρετικὸν γίνεται. Κινδυνῶδες νόσημα ἐστὶ τὸ ῥοπὴν ἴσην ἔχον καὶ πρὸς ὄλεθρον, καὶ πρὸς σωτηρίαν. λέ
γοιτο δ᾽ ἂν ὅπερ, καὶ ἀμφίβολον. Ἀκίνδυνον νόσημα ἐστὶ τὸ ἀεὶ ῥέπον εἰς σωτηρίαν, ὅθεν ἐφ᾽ αὐτῷ, τῇ δυνάμει

ταυτὸν

al. Perturbatus est uerborum ordo, ut tale aliquid accipiendum esse uideatur. ἡ μὲν γὰρ ἀρτιότης ὥσπερ συμπλήρωσίς ἐστι τῶν μελῶν οὕτω καὶ ἡ φρόνησις τῆς ψυχῆς τῶν ὀρθῶν καταλήψεων.

ταυτὸν ὑπάρχον τῷ πεπονθότι. Μέγα κατὰ φαντασίαν νόσημά ἐστιν ὡς τὸ ἐν σαρκώδεσι τόποις τραῦ-
μα πολλὴν ἔχον τόπον. τὸ δὲ κατ' ἀποτέλεσμα μέγα νόσημα. ὡς τὸ κατὰ νεῦρον, ἢ μυὸς νύγμα, πρὸς τὴν ὄψιν
μικρὸν φαινόμενον, δυνάμει δὲ μέγα. Αῤῥώστημα ἐστὶ νόσημα ἐγκεχρονισμένον μετ' ἀσθενείας πλείονος.
Νόσημά ἐστιν ἔμμονος κατασκευὴ περὶ τὰ μετέχοντα τοῦ ζῆν σώματα. οἱ Ἡροφίλειοι πάθος λέγουσιν εἶναι τὸ
δύσλυτον, καὶ δυσκίνητον, οὗ τὴν αἰτίαν ἐν ὑγροῖς εἶναι. Αῤῥώστημα ἐστὶ νόσημα ἀσθενὲς ἐλαττοῦν τὴν δύναμιν.
Ὀξὺ πάθος ἐστὶ τὸ σύντομον τὴν λύσιν ἢ ἀναίρεσιν, ὅσον ἐφ' ἑαυτῷ, ἔχον. Σποραδικὰ νοσήματά ἐστιν τὰ
ἐν παντὶ χρόνῳ, καὶ τόπῳ γινόμενα. Ἐνδήμια ἐστὶ τὰ ἔν τισι πλεονάζοντα τόποις. Ἐπιδήμια ἐστὶ τὰ κατὰ
τινὰς χρόνους περὶ πλείονας ἐν τῷ αὐτῷ τόπῳ γινόμενα. Λοιμὸς ἐστὶ νόσημα ἐπὶ πάντας ἢ τοὺς πλείους ἥκον
γινόμενον ὑπὸ διαφθορᾶς ἀέρος, ὥστε τοὺς πλείστους ἀπόλλυσθαι. φέρεται δὲ καὶ τοιοῦτος τις ὅρος. Λοιμός

10 ἐστὶ κοινὸν πάθος πλείστων ὑπὸ τὸν αὐτὸν καιρὸν κατὰ πόλεις καὶ ἔθνη, ὀξεῖς κινδύνους καὶ θανάτους ἐπιφέρον.
δυνατὸν καὶ οὕτως ὁρίζεσθαι. Λοιμὸς ἐστὶ τροπὴ ἀέρος, ὥστε μὴ τετηρηκέναι τὰς ὥρας τὴν ἰδίαν τά-
ξιν μετὰ τοῦ καὶ πολλοὺς ἀποθνήσκειν ὑπὸ τοῦ αὐτοῦ νοσήματος. Αἴτιόν ἐστι ὃ ποιεῖ τι ἐν τῷ σώματι καὶ αὐ-
τὸ ἀσώματόν ἐστιν. ἔστι δὲ τὸ μὲν προκαταρκτικόν, τὸ δὲ συνεκτικόν, τὸ δὲ προηγούμενον. Προκαταρκτικὸν
μὲν οὖν ἐστιν, ὃ ποιῆσαν τὸ ἀποτέλεσμα κεχώρισται, ὡς ὁ δακὼν κύων, καὶ ὁ πλήξας σκορπίος, καὶ ἡ ἀπὸ τοῦ ἡλίου
ἔγκαυσις, ἡ τὸν πυρετὸν ἐργαζομένη. Συνεκτικὸν δέ, ὃ παρὸν μὲν παροῦσαν φυλάττει τὴν νόσον. ἀναιρού-
μενον δὲ συναναιρεῖ, ὡς ὁ ἐν κύστει λίθος. ὡς ὕδατίς. ὡς πτερύγια. ὡς ἐγκανθίς. ὡς ἄλλα τοιαῦτα τῶν ἰατρῶν οὐκ
ἐν αἰτίων μόνον λόγῳ, ἀλλὰ καὶ ἐν παθημάτων τιθέντων ταῦτα. Ἀθήναιος δὲ ὁ Ἀτταλεὺς οὕτω φησί. αἴτιόν
ἐστι τὸ ποιοῦν. τοῦτο δὲ ἐστὶ τὸ προκαταρκτικόν. ἄλλως. τὰ προκαταρκτικὰ αἴτιά ἐστιν ὅσα προκατάρχει τῆς ὅλης
συντελείας τοῦ ἀποτελέσματος, καὶ ὧν οὐδὲν προηγεῖται. Προηγούμενον αἴτιόν ἐστι τὸ ὑπὸ τοῦ προκαταρκτι-

20 κοῦ κατασκευαζόμενον. ἤτοι *συνεκτικοῦ. οἱ δὲ οὕτως. προηγούμενον αἴτιόν ἐστιν οὗ παρόντος πάρεστι τὸ ἀπο-
τέλεσμα καὶ αὐξομένου αὔξεται, καὶ μειουμένου μειοῦται, καὶ αἰρομένου αἴρεται. Αὐτοτελὲς αἴτιόν ἐστι τὸ
αὐτὸ καθ' αὑτὸ τὸ ποιοῦν τέλος. Συναίτιόν ἐστιν ὃ σὺν ἑτέρῳ δύναμιν ἴσην ποιοῦν τὸ ἀποτέλεσμα, αὐτὸ δὲ
κατ' ἰδίαν μόνον οὐ δυνάμενον ποιῆσαι. συνεργόν ἐστιν αἴτιον ὃ ποιοῦν ἀποτέλεσμα, δυσχερῶς δὲ συλλαμβάνον
πρὸς τὸ ῥᾷον αὐτὸ γίνεσθαι κατ' ἰδίαν ποιεῖν οὐ δυνάμενον. Πρόδηλα ἐστὶν αἴτια ὅσα ἐξ ἑαυτῶν καταλαμ-
βάνεται δι' αἰσθήσεως ποιοῦντά τε καὶ ἐνεργοῦντα. οἱ δὲ οὕτως. πρόδηλα ἐστὶν αἴτια ἃ καὶ αὐτὰ φαίνεται, καὶ
ἀποφαίνει τὸ ἀποτέλεσμα συμφώνως αὐτῷ γινόμενον. Οὐ πρόδηλα αἴτιά ἐστιν ὅσα οὐκ ἐξ ἑαυτῶν, διὰ δὲ
σημείων καταλαμβάνεται, καθάπερ ἄδηλα, ὅσα οὐδὲ ἐξ ἑαυτῶν οὐδὲ ἐξ ἄλλων καταλαμβάνεται. Πρὸς
καιρὸν ἄδηλα, ἐστὶν ὅσα ἀποκαλυφθέντα μέντοι ἐξ αὐτῶν φαίνεται, καὶ παρακείμενα δὲ τοῖς σώμασι διὰ ση-
μείων γνωρίζεται, ἢ οὕτως. πρὸς καιρὸν ἄδηλα ἐστὶ τὰ μέχρι μὲν τινὸς ἀπόντα, αὖθις δὲ ὑπὸ τὴν αἴσθησιν

30 ἐλθεῖν δυνάμενα. Σημείωσις ἐστὶν ἡ διὰ σημείου, ἢ διὰ σημείων κατάληψις. Σημεῖόν ἐστι τοῦ μέλλοντος συμ-
βήσεσθαι διάγνωσις. τινὲς δὲ οὕτως Σημεῖόν ἐστιν οὗ γνωσθέντος ἑτέρου ἀγνοουμένου ἡμῖν γινώσκεται καταλαμ-
βανόμενον Παθογνωμονικόν ἐστιν τῶν τε ἐντὸς καὶ τῶν ἐκτὸς σημείωσις. Προγνωστικὸν δὲ ἐπίσημον τῶν ἀπο-
βήσεσθαι μελλόντων. Σημείωσις σημεῖον ἐστὶ τὸ τινὸς ἀδήλου δηλωτικόν. Πρόγνωσις ἐστὶ τὸ προεπίστασθαι
τὰ μέλλοντα συμβήσεσθαι τῷ σώματι. Προγνωστικὸν σημεῖόν ἐστιν ἐξ οὗ γινώσκεται τὸ μέλλον. Πρόῤῥησις ἐστὶ
πρόγνωσις καὶ προαγόρευσις τοῦ μέλλοντος. Καταγνωμικὸν ἐστὶ σημεῖον ἐξ οὗ γινώσκεται τὸ πάθος.
Συνδρομὴ ἐστὶ σύνοδος τῶν συμπτωμάτων. Σύμπτωμα ἐστὶ πάθους ἐπιγέννημα. Βοηθηματικὰ σημεῖά ἐστιν
ἐξ ὧν ὑπομιμνησκόμεθα τῆς ἐπ' αὐτῆς τετηρημένης θεραπείας. Βοήθημά ἐστι τὸ ἐπ' ὠφελείᾳ προσαγόμενον
ἀνθρώποις, σύνθετον ἐκ ποιότητος, ποσότητος, τάξεως, καιροῦ. Θεραπεία ἐστὶ τάξις βοηθημάτων ἀκολου-
θίαν ἐχόντων, ἢ καιρὸς καὶ χρόνος κατορθώματος, ἢ ἐπιτηδειότης χρόνου ἐν ᾧ βοηθοῦμεν κάμνουσιν. Ἐνδεικ-

40 τικὸν σημεῖόν ἐστι τὸ ἀρχικὸν ἐν καταλήψει ἀδήλου τινὸς ἀκολουθοῦντος τὸ αὐτὸ ἀγαθόν. Ὑπομνηστικὸν ση-
μεῖόν ἐστιν ὡς οἱ ἐμπειρικοὶ λέγουσι πρᾶγμα φαινόμενον, καὶ γινωσκόμενον ἐκ προπαρατηρήσεως χρησιμεῦον
εἰς ὑπόμνησιν γινωσκομένου πράγματος. παρόντων παρόντα σημεῖά ἐστιν πάντα τὰ παθογνωμονικά. τούτων
γὰρ γιγνομένων, καὶ παρόντων μὲν, τὰ πάθη, παυομένων δὲ λύεται, καὶ τὰ νοσήματα. Παρόντα προ-
γεγονότων σημεῖα ὡς ἡ οὐλὴ τοῦ προγεγενημένου ἕλκους. παρόντα δὲ μελλόντων ὡς τὸ νεκρῶδες πρόσωπον
τοῦ θανάτου. προγεγονότα δὲ τῶν προγεγονότων σημεῖα. ὡς ἡ μετὰ τὴν παρακμὴν ἄνεσις, τοῦ παρηκμα-
κέναι. προγεγονότα παρόντων ὡς τὸ δεδῆχθαι ὑπὸ ἀσπίδος, τοῦ ἐν ὀλεθρίοις εἶναι τοῦτον. οἱ δὲ οὕτως. προγεγο-
νότα παρόντων ὡς τὸ τιτρώσκεσθαι τὸ λεπτὸν ἔντερον, τοῦ ἐν ὀλεθρίοις εἶναι τοῦτον. προγεγονότων ἐσόμενα ὡς
τοῦ συντριβέντος ὀστοῦ πώρωσιν ἐπιδεχομένου. πωρωθῆναι γὰρ δεῖ τοῦτο κατὰ τὴν ἀποκατάστασιν. οἱ δὲ οὕτως.
προγεγονότα δὲ ἐσομένων, ὡς τοῦ ἀναιρεθέντος ἐκ τῆς κεφαλῆς ὀστοῦ, τὴν οὐλὴν ἔσεσθαι. Ἐπιγεγο-

50 νότα δὲ παρόντων ὡς ἐπὶ τραύματι κινδυνεύειν τρωθέντα ἐπιγενομένων. προγεγονότα τῶν ἐπιγεγονότων ὡς
ἐπὶ τραύματι σπασμός. οὐκέτι γὰρ ζῇ ὁ σπασθείς. Πυρετός ἐστι πλεονασμὸς θερμασίας νοσώδους ἀναφερο-
μένης μετὰ παραλλαγῆς σφυγμῶν ἐπὶ τὸ πυκνότερον καὶ σφοδρότερον. οἱ δὲ οὕτως πυρετός ἐστι δυσκρασία
τοῦ φυσικοῦ πνεύματος ἐπὶ τὸ θερμότερον καὶ ξηρότερον. πυρετὸς σύνοχός ἐστιν ὁ μὴ διαλείπων μήτε νυκτὸς
μήτε ἡμέρας, ἀνέσεις δὲ καὶ ἐνδόματα, καὶ παροξυσμοὺς ἐπιφέρων. Καῦσός ἐστιν ὁ μετὰ πυρώσεως πολ-
λῆς γινόμενος ἀναστολὴν μηδεμίαν τῷ σώματι παρέχων. γλῶσσαν ἐπιξηραίνων, μελαίνων, ἐπιθυμίαν ψυ-
χροῦ παρέχων. Ἐμφυσώδης ἐστὶ πυρετὸς ὁ διὰ τὴν ἐπίτασιν τῆς θερμασίας φλυκτίδας ἀνὰ τὸ σῶμα παρα-
σκευάζων. Λιπυρίας δὲ πυρετὸς ἐφ' οὗ τὰ ἄκρα καὶ ἡ ἐπιφάνεια ψύχεται. καίεται δὲ τὸ βάθος, ἐπέχον-
ται δὲ αἱ ἀποκρίσεις δίψωσι, γλῶσσα τραχεῖα, σφυγμὸς μικρός, καὶ ἀμυδρός. ἅτε ἔσω νενευκότος τοῦ θερμοῦ.
Ῥοώδης πυρετὸς ὁ μετὰ ῥύσεως κοιλίας πολλάκις δὲ καὶ ἐμέτων, περιψύξεις ἐπιφέρων καὶ ταχεῖαν καθαίρε-

σιν τῆς δυνάμεως μετὰ δίψους, καὶ ἀγρυπνίας, καὶ μικρότητος σφυγμῶν. Στεγνὸς πυρετός ἐστιν ὁ ἐναντίος τῷ ῥοώδει οὐκ ἐπιφέρων ἐκκρίσεις, τοὺς σφυγμοὺς μεγάλους διαφυλάττων. ἰσχναίνων βραδύτερον κατὰ τὸν χρόνον τὸ νόσημα. Ἰκτεριώδης δέ ἐστι πυρετὸς ὁ τὴν χρόαν ὁμοίαν ἰκτέρῳ παρασκευάζων, ἧπαρ μετεωρίζων, γλῶσσαν ἐπιξηραίνων, τὴν ἐπιφάνειαν δεινὴν παρασκευάζων. Λοιμώδης δέ ἐστιν ὁ μετὰ πολλῆς θερμασίας δίψος ἀθεράπευτον ἐπιφέρων, δυσώδεις κοιλίας ἐκκρίσεις βρομώδεις φέρων. ὥς τε ἐμφορῇ ἐστὶν ἀρκεινόμενα παρὰ τῶν ἐλαδῶν βρόμῳ, οὖρα πολλὰ καὶ δυσώδη. σφυγμοὺς μικροὺς, καὶ ἀμυδροὺς ἐπιφέρων. Νώθης δέ ἐστιν ὁ μετὰ καρυβαρείας γινόμενος ἢ διὰ μυξωτήρων αἱμοῤῥαγίας ἐπάγων, ἢ ἀρχὴν ἀρκείσεως, ἢ πρὸς ἀνάγκας δυσσυμπτωσίαν τοῦ σώματος. Φρικώδης δέ ἐστιν ὁ ἀναμεμιγμένην ἔχων παρὰ ῥίγει τὴν θερμασίαν, σφυγμοὺς ἄγαν ἀσθενεῖς ἔχων, ὥς τε μήτε τῆς ἁφῆς ἀφικέσθαι, ἀλλ' ὡς ἀπεγνωκότας, γαστὴρ ὠγκωμένη βορβορύζουσα. γλῶσσα ὑγρὰ πάνυ, ὀξίζοντι ὅμοιον καὶ ὥσπερ σιέλῳ περικλυζομένη. Τύπος ἐστὶν ἐπιτάσεως, καὶ ἀνέσεως τεταγμένη ἀνταπόδοσις. ἢ οὕτως τύπος ἐστὶ χρόνος πάθους, ᾧ καὶ παροξυσμὸς, καὶ διάλειμμα τεταγμένον συμβαίνει. Περίοδός ἐστιν ἐξ ἐπιτάσεως καὶ ἀνέσεως ἐν νοσήμασι χρόνος. Ἀμφημερινός ἐστιν, ὁ καθ' ἑκάστην ἡμέραν καὶ νύκτα κατὰ τὸ πλεῖστον τῆς αὐτῆς ὥρας ἐπισημαίνων. Τριταῖος ἐστὶν ὁμοίαν εἴτε ἡμέραν εἴτε νύκτα ἐπισημαίνων· τῇ δὲ ἑξῆς διαλείπων καὶ διὰ τρίτης πάλιν γινόμενος. Τεταρταῖος ἐστὶν ὁ μίαν μὲν ἡμέραν ἤτοι νύκτα ἐπισημαίνων, τῇ δὲ ἑξῆς διαλείπων ἡμέρας ἢ νύκτας δύο. τῇ δὲ τετάρτῃ πάλιν γινόμενος. Ἡμιτριταῖος ἐστὶν ὃν ἡμεῖς λέγομεν κατὰ τὸν παλαιὸν τὸν εἰρημένον ἐν τῷ α. τῶν ἐπιδημιῶν πυρετὸν ὀξὺν, τὸ μὲν ὅλον οὐ διαλείποντα. μίαν δὲ κουφοτέραν, μίαν δὲ βαρυτέραν ἐπιφέροντα. οἱ δὲ ἀπὸ τῆς μεθόδου, ἡμιτριταῖον μικρὸν τῶν δύο διαλειμμάτων ἔφησαν. Πλανῆται πυρετοὶ καλοῦνται οἱ μὴ ὡρισμένως μηδὲ εὐτάκτως, ἀλλ' ἀκαταστάτως γινόμενοι. Διαστολή ἐστι ἄρσις καὶ οἷον ἐπανάστασις καρδίας, καὶ ἀρτηριῶν, καὶ ἐγκεφάλου, καὶ μήνιγγος κατὰ μῆκος, καὶ πλάτος, καὶ βάθος, αἰσθητὴ πρὸς τὴν ἔπαρσιν τῆς ἁφῆς. Συστολή ἐστιν συναγωγὴ καὶ σύμπτωσις τὴν μὲν αἴσθησιν οὐ κινοῦσα, παρὰ δὲ εὐλόγῳ, καὶ ἀκολούθῳ καταλαμβανομένη. οἱ δὲ οὕτως. Συστολὴ δέ ἐστι διαίρεσις οἷον ἐπανάστασις καρδίας, καὶ ἀρτηριῶν κατὰ μῆκος, καὶ κατὰ πλάτος αἰσθητὴ πρὸς τὴν ἄρσιν τῆς ἁφῆς. Συστολὴ δέ ἐστι συναγωγὴ, καὶ σύμπτωσις τούτων, τὴν μὲν αἴσθησιν οὐ κινοῦσα, παρὰ δὲ εὐλόγῳ, καὶ ἀκολούθῳ καταλαμβανομένη. Παλμός ἐστιν ἔπαρσις καὶ ὕφεσις σώματος εἴκοντος καὶ μὴ ἀντιτυποῦντος ὑπὸ πνεύματος γινόμενος, οὐκ ἀεὶ παρακολουθῶν ἀλλὰ κατὰ χρόνους τινὰς γινόμενος. οἱ δὲ οὕτως. παλμός ἐστιν ἔπαρσις, καὶ ὕφεσις σωμάτων μυωδῶν ὑπὸ πνεύματος ἀποτελούμενος, οὐκ ἀεὶ γινόμενος, ἀλλὰ κατὰ τινὰς χρόνους. Μέγας ἐστὶ σφυγμὸς ὁ κατὰ μῆκος καὶ βάθος, καὶ πλάτος τῆς ἀρτηρίας ἐπὶ πολὺ διϊσταμένης γινόμενος. Μικρὸς σφυγμός ἐστιν ὁ τοὐναντίον ἐπὶ ἐλάχιστον κατὰ μῆκος, καὶ βάθος, καὶ πλάτος ἐπαιρομένης τῆς ἀρτηρίας ἐπιτελούμενος.

Μέσος ἐστὶν ὁ μεταξὺ τούτων ἀμφοτέρων κατὰ τὸ μῆκος καὶ κατὰ τὸ κύκλον ἀναλογοῦντι, καὶ τῆς περιφερείας ὑποπιπτούσης. Πλήρης ἐστὶ σφυγμὸς ὁ διάμεσος πρὸς τὴν ἁφὴν ὑποπίπτων. ὥστε αὐτὸν μετὰ τὸν χιτῶνα τῆς ἀρτηρίας ἐπισημότερον δοκεῖ γεγονέναι. μάλιστα δὲ τὸ ἐντὸς αὐτῆς ἅπαν ὑγρότερόν τε καὶ σωματωδέστερον καταλαμβάνεσθαι. Κενὸς δέ ἐστι σφυγμὸς καθ' ὃν αὐτοῦ τε τῆς ἀρτηρίας ἡ περιοχὴ παντάπασιν ἰσχνὴ, καὶ πομφολυγώδης ἐστὶ, καὶ τὸ ἔγχυμα ἀμαυρὸν, καὶ ἐξίτηλον οἷον καὶ ἐάν τις πιέσῃ τοὺς δακτύλους κενεμβατήσεως ἀντίληψιν ὑποπίπτειν. Σκληρὸς δέ ἐστι σφυγμὸς ἐφ' οὗ νευρώδης ὡς ἂν εἴποι τις καὶ ἀπόκειτος ἡ ἀρτηρία φαίνεται. τότε καὶ τὸ ἐντὸν πνεῦμα τεταμένον, ὥς τε καὶ τὴν πληγὴν ἔχειν τι ἀντιπληκτικόν. Ἁπαλὸς δὲ ὁ ὑπεναντίος τῷ σκληρῷ, ἀνειμένην καὶ ἁπαλὴν ἔχων τὴν ἀρτηρίαν, καὶ οὐ ἐντὸν τὸ πνεῦμα ἐκλελυμένον, καὶ τὴν πληγὴν προσηνεστέραν. Ὑγρὸς δέ ἐστι ὁ ἁπαλὸς οὔσης τε καὶ τῆς ἐν αὐτῷ οὐσίας προσηνοῦς, ὑγρασίᾳ δὲ καὶ τινὶ προσβάλλων. Αὐχμηρὸς δέ ἐστι σφυγμὸς, ὥς τε ἐκδεδαπανῆσθαι μὲν τὴν ὑγρότητα, ξηρᾷ δὲ καὶ ἀερώδει ἀναθυμιάσει ἀναμεμίχθαι. Σφοδρὸς δέ ἐστι ὁ τὴν κίνησιν εὔτονον καὶ βιαίαν ποιούμενος τὴν πληγήν. Ἀμυδρὸς δέ ἐστιν, ὁ ἔκλυτον ἔχων τὸν τόνον. καὶ τὴν πληγὴν ποιούμενος ἀσθενῆ. Μέσος ἐστὶ σφυγμὸς ὁ ἀναλογίαν τινὰ σώζων πρὸς ἑκάτερον τούτων. Ταχὺς ὁ σύντομον ἔχων τὴν διαστολὴν, καὶ συστολήν. Τάξις σφυγμοῦ ἐστὶ σχέσις κατὰ μέγεθος ἢ σφοδρότητα, ἢ ῥυθμὸν, ἢ ἄλλην τινὰ διαφοράν. Ἀταξία ἐστὶ ἀκαταστασία κατὰ τοὺς σφυγμοὺς διάφορος. οἱ δὲ οὕτως. ἄτακτος σφυγμός ἐστιν ὁ ποτὲ μὲν πυκνότερος γινόμενος κατά τινας πληγὰς, ποτὲ δὲ ἀραιότερος. Ὁμαλότης ἐστὶν ἰσότης κατὰ τινὰς τῶν σφυγμῶν διαφοράς. Ἀνωμαλία ἐστὶν ἀνισότης σφυγμῶν κατὰ τινὰς τῶν παρεπομένων αὐτοῖς διαφορῶν. οἱ δὲ οὕτως. Ἀνώμαλος σφυγμός ἐστιν ἐφ' οὗ ποτὲ μὲν σφοδρότεραι αἱ πληγαὶ γίνονται, ποτὲ δὲ ἀμυδρότεραι. Βακχεῖος Ἡρόφιλος εἶπε. Ῥυθμός ἐστι κίνησις ἐν χρόνοις τάξιν ἔχουσα ὡρισμένην. Ζήνων δὲ Ἡροφίλειος εἶπε. ῥυθμός ἐστι τάξις τῶν ἐν οἷς διΐστανται αἱ ἀρτηρίαι πρὸς τοὺς ἐν οἷς συστέλλονται. Βέλτιον οὕτως ὁρίζεσθαι. ῥυθμός ἐστιν ἀναλογία χρονικὴ τῶν πρὸς τοὺς σφυγμοὺς μερῶν ποίαν σχέσιν ἐχόντων πρὸς ἀλλήλους. ἕτερος δὲ ὡρίσατο οὕτως. ῥυθμός ἐστι σχέσις τῶν ἐν οἷς διΐστανται αἱ ἀρτηρίαι πρὸς τοὺς ἐν οἷς συστέλλονται. Ἑτερόρυθμον λέγομεν τὸν ἑτέρας ἡλικίας ῥυθμὸν ἔχοντα. παράρυθμον φαμὲν τὸν πως προσεγγίζοντα τῇ ἡλικίᾳ ἐφ' ἧς θεωρεῖται ῥυθμὸν μὲν ἔχοντα, μὴ παντάπασι δὲ ὄντα κατ' ἐκεῖνον. Τρομώδης ἐστὶ σφυγμὸς ὁ μὴ ὁμαλὴν μηδὲ ἄσαλον τὴν πληγὴν ἀναφέρων, ἀλλ' οἷον κινούμενός τις. Ἐσκολιωμένος ἐστὶν ὁ μὴ ἐπ' εὐθείας τεταγμένης τῆς ἀρτηρίας ἐπιτελούμενος παρὰ τὴν θέσιν.

Ἀνώμαλος σφυγμός ἐστιν ὁ κατὰ μέν τι μέρος ὑψηλότερος ὑποπίπτων, καὶ ἐπὶ πλεῖον διαφυσωμένης τῆς ἀρτηρίας, καὶ ἀνευρυσμένης, κατὰ δέ τι ἐπὶ ποσὸν, καὶ ὥσπερ ἀποστενοχωρουμένης κατὰ σφοδρότητα ἀνώμαλος, ὥσπερ κατὰ μέν τι μέρος τῆς ἀρτηρίας βιαιοτέραν τὴν ἐξαίρεσιν ποιούμενος. κατὰ δέ τι ὑποσυμβεβηκυῖαν, καὶ ἀσθενεστέραν. Μείουρος ἐστὶν ὁ παρὰ τὴν θέσιν, ὅταν τὰ μὲν ἐπάνω μέρη τῆς ἀρτηρίας συνάγηται, καὶ κάτω τοὐναντίον, ἐν ταῦθα μὲν ἐπὶ πλεῖον ἀνευρύνηται, ἐν δὲ τοῖς ἐπάνω μέρεσιν συναιρεῖται. οἱ δὲ πλείους μειουρίζοντα καλοῦσιν, ὅταν ἀπὸ μείζονος τῆς προαγούσης πληγῆς, αἱ ἑξῆς καθ' ὑφαίρεσιν ἀεὶ

σιν ἀεὶ καὶ μᾶλλον μικρότεραι συντελοῦνται. ὀνομάζονται δὲ μείουροι, καὶ οὕτως. ὅταν ἀπὸ τοῦ πυκνοῦ σφυγμοῦ ἀραιό-
τεροι σφυγμοὶ ἀποτελοῦνται. καλεῖται δὲ μείουρος καὶ ὅταν ἀπὸ τοῦ τάχεος βραδύτερος ὁ σφυγμὸς μεταγίνε-
ται. Δίκροτος δέ ἐστιν ὅταν ἡ δευτέρα ἀποχώρησις τῆς ἀρτηρίας μὴ τελεία γίγνεται, ἀλλὰ μελισμὸς καὶ ἐπί-
ποσον ὑπαγωγῆς, ἢ τοῦ ἀνακοπέντος πνεύματος, εἶτα ἀπόθεσις τελεία τῆς ὀφειλομένης συστολῆς. Ἀραχνοει-
δὴς δέ ἐστιν ὁ μικρὸς ὑπὸ βραχείας αὔρας σαλευομένης κινούμενος. Διαλείπων δέ ἐστιν, ὅταν τῶν συστολῶν
καὶ τῶν διαστολῶν ἐπιτελουμένων, ἑνὸς σφυγμοῦ χρόνον ἡ ἀρτηρία διαλείπει. οἱ δὲ οὕτως. Διαλείπων δέ ἐστι
σφυγμὸς ἐφ᾽ οὗ οὐκ ἐπὶ δύο μόνον, ἀλλ᾽ ἐπὶ τρεῖς, ἢ καὶ ἐπὶ πλείους πληγὰς ἐκλείπει διαστολὴν μίαν, ἢ καὶ
δύο ἢ καὶ πλείους. Παρεμπίπτων ἐστὶ ὅταν μετὰ δυοῖν πληγῶν κατὰ τὴν ἰδίαν τάξιν κινουμένων ἐκ τούτου τις
μέση παρεμπίπτῃ πληγή. Ἐκλείπων λέγεται σφυγμὸς, ἐφ᾽ οὗ οὐκ ἐπὶ δύο μόνον, ἀλλ᾽ ἐπὶ τρεῖς καὶ ἐπὶ πλεί-
ους πληγὰς ἀκίνητος ἡ ἀρτηρία διαμένει. οἱ δὲ οὕτως. ἐκλείπων ἐστὶ ὁ ἀπὸ μεγέθους ἀρχόμενος καὶ σφοδρό-
τητος ἀεὶ μᾶλλον ὑφιέμενος. καὶ μέχρι μὲν ἔχει τι μέγεθος, καλεῖται μειουρίζων ὁ τοιοῦτος, ὅταν δὲ ὑφιῇ καὶ μι-
κρότερος ἐπὶ τὸ μικρότερον ῥέπῃ, ἐκλείπων καλεῖται. Δορκαδίζων ἐστὶ σφυγμὸς, ὅταν ἡ ἀρτηρία δό-
ξασα διεστάλθαι μὴ παντελῶς διεσταλμένη ἐφ᾽ ἑτέραν ἐπιπήδησιν ἀθροώτερον, πρὶν ἔμφασιν συστολῆς πα-
ρέχειν, βιαιοτέρα δὲ ἡ δευτέρα γίνηται πληγή. Παλινδρομῶν ἐστὶ ὁ ἐπὶ ποσὸν ἐκβαίνων τὸ μέγεθος ἢ τῇ
σφοδρότητι, καὶ ἐπὶ τῶν ἄλλων ἔπειτα, εἰς τοσοῦτο πάλιν ἀποκαθιστάμενος. Μυρμηκίζων ἐστὶ μικρὸς,
πυκνὸς, ἀμυδρὸς, πάντων ἐπὶ τὸ ἔσχατον κατηγμένος, ἢ οὕτως. μυρμηκίζων ἐστὶ ἐφ᾽ οὗ γίνεται φαντα-
σία περὶ τοὺς προσειδομένους τῇ ἀρτηρίᾳ δακτύλους, οἱονεὶ μύρμηκος περιπατοῦντος, ὥστε καὶ μικρὸν εἶναι
αὐτὸν, καὶ ἀμυδρόν. Φρενῖτίς ἐστι παρακοπὴ διανοίας μετὰ ὀξέος πυρετοῦ, καὶ κροκυδισμοῦ, καὶ διανοίας
ἔκστασις, καὶ τῶν κατὰ σφυγμὸν, ταύτης ἐμποδισμὸς, καὶ λήθη τοῦ φρονεῖν, ἢ παρακοπὴ φρενῶν σύντομος
μετὰ τρόμου, καὶ φωνῆς ἀσαφείας, καὶ ψηλαφήσεως γινομένης τοὐπίπαν ὑπὸ κακοήθους πυρετοῦ. Λή-
θαργός ἐστι καταφορὰ δυσδιέγερτος μετὰ ἀγροίας, καὶ οἰδήματος φυσώδους σὺν ἀτονίᾳ τῶν στερεῶν αὐτῶν
καὶ τοῦ σφυγμικοῦ πνεύματος γινομένη, τοὐπίπαν ἐπὶ βληχροῦ καὶ κακοήθους πυρετοῦ. Γίνονται δὲ οἱ
λήθαργοι οἱ μὲν παθούσης τῆς ἀρχῆς, οἱ δὲ ἐπὶ ἀποστάσει. Συνάγχη ἐστὶ πάθος περὶ τράχηλον ὀξὺ, χαλε-
πὸν, πνιγμῷ τὸν παθόντα διάγον, ἢ οὕτως. συνάγχη ἐστὶ φλεγμονὴ τοῖς μὲν ἔξωθεν τοῦ τραχήλου, ὥστε διοι-
κεῖσθαι τὰ μέρη, τοῖς δὲ ἔνδοθεν τῶν παρισθμίων, ὥστε συμπάσχειν καὶ τὰ ἀναπνευστικὰ ὄργανα, καὶ δυσπνεῖν.
Σπασμὸς δέ ἐστι περὶ νεύροις καὶ μυσὶ γινόμενον πάθος, μετὰ τοῦ ἄνευ προαιρέσεως ἕλκεσθαι, ποτὲ μὲν ὅλον
τὸ σῶμα, ποτὲ δὲ μέρος. Τέτανός ἐστι ἀπότασις, καὶ πῆξις ἡ ἐν τῷ σώματι πάντων νεύρων τε καὶ μυῶν, ἢ οὕ-
τως. τέτανός ἐστι σπασμὸς ἐπ᾽ εὐθείας μετὰ τοῦ τὸν τράχηλον ἕλκεσθαι, καὶ τὰς σιαγόνας συνερείδειν τε τοὺς
ὀδόντας, καὶ μήτε ἐπινεύειν τὸν τράχηλον δύνασθαι, μήτε ἀνανεύειν. Ἐμπροσθότονός ἐστιν ὅταν ἕλκηται ὁ
τράχηλος, καὶ εἰς τοὐπίσω ἀνακλᾶσθαι μὴ δύνηται. Ὀπισθότονός ἐστιν ὅταν ὄπισθεν ἕλκηται, καὶ εἰς τοὔμπρο-
σθεν ἀνακλᾶσθαι μὴ δύνηται. Ἐπιληψία ἐστὶ ἐπίληψις διανοίας, καὶ τῶν αἰσθητηρίων, μετὰ τοῦ πίπτειν ἐξαί-
φνης. ἐπισυμβαίνει δὲ αὐτοῖς, καὶ ἀφρὸν φέρεσθαι διὰ τοῦ στόματος. Κάτοχός ἐστιν ἀναισθησία ψυχῆς μετὰ πή-
ξεως τοῦ παντὸς σώματος. εἴδη κατόχου τρία. ὁ μὲν γὰρ ὑπνώδης ὃς παράκειται ληθάργῳ. ὁ δὲ ἕτερος ἐγρη-
γορὼς ὃ παράκειται τετάνῳ, καὶ ἡ ἐφ᾽ ὑστέρᾳ καλουμένη πνίξ. τρίτον εἶδος κατόχου, ὃν οὐκ ἄν τις ἀσυνέτως κάτο-
χον ὀνομάζοι φρενιτικόν. γίνεται γὰρ ἐκ μίγματος ἀρρωστημάτων κατόχου τε καὶ φρενίτιδος, ὥσπερ καὶ ἡ τυφωνία
ὅπερ ἐστὶ λήθαργος, παρακοπτικὸς ἢ παρακοπὴ ληθαργική. Ἀποπληξία ἐστὶ κατοχὴ διανοίας μετὰ ἀναισθησίας,
καὶ παρέσεως τοῦ σώματος. Διαφέρει δὲ ἀποπληξία παραπληξίας, ὡς μέρος ὅλου. οἱ μὲν γὰρ ἀποπλη-
κτικοὶ πάντως, καὶ ἡμιπληκτικοὶ, οἱ δὲ ἡμιπληκτικοὶ οὐ πάντως, καὶ ἀποπληκτικοί. καὶ ὅτι οἱ μὲν ὑγιαί-
νοντες τὴν διάνοιαν παρειμένοι εἰσὶν τοῦ σώματος μέρος μέρη. οἱ δὲ ἀποπληκτικοὶ, καὶ ταῦτα καὶ τὴν διά-
νοιαν, καὶ τὸ ὅλον. Παραπληκτικοὶ λέγονται, οἷς μόνα τὰ δεξιὰ, ἢ τὰ ἀριστερὰ αἱ παρέσεις γίνονται. Περι-
πνευμονία ἐστὶ φλεγμονὴ πνεύμονος μετὰ πυρετοῦ ὀξέος, καὶ δυσπνοίας. γίνεται δὲ ἐπ᾽ αὐτῶν καὶ ἐνερευθῆ
τὰ μῆλα. Πλευρῖτίς ἐστιν ὀδύνη πλευροῦ, καὶ ὑπεζωκότος διατείνουσα μέχρι κλειδὸς, καὶ ἀκρωμίου, καὶ ὠμο-
πλάτης σὺν ὀξεῖ, καὶ ἀδιαλείπτῳ πυρετῷ μετ᾽ ὀδύνης νυγματώδους ὁμοῦ, καὶ φρίκης, καὶ δυσπνοίας, καὶ
βηχός. Καρδιακὴ διάθεσίς ἐστι πῆξις τοῦ ἐμφύτου τόνου, καὶ πάρεσις. γίνεται δὲ τοὐπίπαν ἐπὶ στόματι
γαστρὸς κακοπραγοῦντι, καὶ στομάχῳ μεθ᾽ ἱδρώτων ἀκατασχέτων. τινὲς δὲ ᾠήθησαν ἐπὶ καρδίᾳ φλεγμαι-
νούσῃ γίνεσθαι τὸ πάθημα, καὶ διὰ ταύτην τοῦ τόνου τὴν ἔκλυσιν, καρδιακὴν, ἤτοι διάθεσιν, ἢ συγκοπὴν ἐκά-
λεσαν τὸ συμβαῖνον. Ἐμπνευμάτωσίς ἐστιν ὅταν πλεῖον πνεῦμα γινόμενον κατέχηται ἐν στομάχῳ, καὶ δια-
τείνῃ αὐτὸν καὶ τὴν κοιλίαν μεθ᾽ αὐτοῦ, ὥστε καὶ ἐμποδίζεσθαι τὴν τῆς τροφῆς οἰκονομίαν. Χολέρα ἐστὶ πάθος, καὶ
κάτοξυ, καὶ χαλεπὸν, ἢ παραυτίκα τὸν ἄνθρωπον εἰς κατάρρουν ἀπήνεγκεν δι᾽ ἐμέτων, ἢ καὶ ἐκ διαρροίας, καὶ
πολλῆς ἐκκρίσεως εἰς στρόφον, καὶ μικρὸν ὕστερον εἰς πυρετὸν ἄνεσιν δυσεντεριώδεις. ἢ οὕτως, χολέρα δέ ἐστι πά-
θος ὀξὺ μετ᾽ ἐμέτων πολλῶν χολωδῶν, καὶ ὑποχωρήσεων τῆς κοιλίας μετὰ τὸ συνέλκεσθαι τὰς γαστρο-
κνημίας, καὶ καταψύχεσθαι τὰ ἄκρα. Γίγνονται δὲ ἐπὶ αὐτῶν οἱ σφυγμοὶ μικρότεροι καὶ ἀμυδρότεροι.
Εἰλεὸς δέ ἐστι φλεγμονὴ ἐντέρων, ὥστε μήτε φύσας μήτε διαχωρήματα διεξιέναι, στρόφους δὲ ἰσχυροὺς παρακολου-
θεῖν, καὶ ἐμέσματα ὑπερβεβηκότα. Ἴκτερος δέ ἐστιν ἀνάχυσις χολῆς εἰς τὸ δέρμα, ὥστε βάπτεσθαι τὴν ἐπι-
φάνειαν, καὶ χλωρὰν ἀποτελεῖσθαι, καὶ κακοῦσθαι τὸ δέρμα, καὶ λευκαὶ αὐτοῖς αἱ κατὰ κοιλίαν διαχωρήσεις
γίγνονται. Μανία δέ ἐστιν ἔκστασις τῆς διανοίας, καὶ παραλλαγὴ τῶν νομίμων, καὶ τῶν ἐν τῷ ὑγιαίνειν
ἐθῶν ἄνευ πυρετοῦ. Μελαγχολία δέ ἐστι πάθος βλάπτον τὴν γνώμην μετὰ δυσθυμίας ἰσχυρᾶς, καὶ ἀποστρο-
φῆς τῶν φιλτάτων, γιγνόμενον ἄνευ τοῦ πυρετοῦ. τισὶ δὲ αὐτῶν καὶ χολὴ προσγινομένη πολλὴ μέλαινα βλά-
πτει στόμαχον, ὥστε καὶ ἀπεμεῖσθαι, καὶ οὕτως τὴν γνώμην συγκακοῦσθαι. Κεφαλαία δέ ἐστι πάθος πόνον κεφα-

λῆς ἐπιφέρων ἀνυπόστατον κατὰ περιόδους τινάς, ὥστε καὶ ἦχον εἶναι ἐν τοῖς ὠσὶ, καὶ τοὺς ὀφθαλμοὺς ἐρυ-
θροὺς, καὶ προπετεῖς ὑπάρχειν. συνδιατείνονται δὲ αὐτοῖς, καὶ αἱ ἐν τῷ μετώπῳ φλέβες, καὶ ἔρευθος ἀμ-
φὶ τὸ πρόσωπον ἴσχουσι. Ἑτεροκρανία ἐστὶν ὁπόταν περὶ τὸ ἀριστερὸν μέρος, ἢ τὸ δεξιὸν τῆς κεφαλῆς πόνος
παρέπεται, καὶ ποτὲ μὲν ἐπιτάσεις, ποτὲ δὲ ἀνέσεις ἐπιφέρει. Σκοτωματικοὶ καλοῦνται οἷς παρακο-
λουθοῦσι σκοτώσεις, καὶ δοκοῦσι περιφέρεσθαι αὐτοῖς τὴν κεφαλὴν μετὰ τοῦ καὶ μαρμαρυγὰς αὐτοῖς παρέ-
πεσθαι. Κατάῤῥους ἐστὶν ὑγρῶν πολλῶν καταφορὰ διὰ τῶν τρημάτων τῆς ὑπερῴας πολλὴ διὰ τῶν μυκτή-
ρων. ὥς τε σὺν τῇ ἀποκρίσει τῶν ὑγρῶν, καὶ πνεῦμα συνεκκρινόμενον ἦχον τινὰ ἐκτελεῖν. Ὑδροφό-
βος ἐστὶ πάθους ἐπὶ δήγματι κυνὸς μαινομένου γιγνόμενον μετὰ τοῦ ἀποστρέφεσθαι τὸ ποτὸν, καὶ σπᾶσθαι,
καὶ συντείνεσθαι. γίγνεται δὲ αὐτοῖς, καὶ παρακοπή. Βούλιμος ἐστὶ διάθεσις καθ' ἣν ἐπιζήτησις ἐκ μι-
κρῶν διαλειμμάτων γίνεται τροφῆς. ἐκλύονται δὲ καὶ καταπίπτουσι, καὶ ἀχροοῦσι, καὶ καταψύχονται
τὰ ἄκρα, θλίβονταί τε τὸν στόμαχον, καὶ σφυγμὸς ἐπ' αὐτῶν ἀμυδρὸς γίνεται. Φαγέδαινα ἐστὶ κατα-
σκευὴ καθ' ἣν ὀρεγόμενοι πολλῆς τροφῆς, καὶ λαμβάνοντες ἄμετρον οὐ κρατοῦσιν αὐτῆς, ἀλλ' ἐξεράσαντες πά-
λιν ὀρέγονται. Φθίσις ἐστὶν ἕλκωσις τοῦ πνεύμονος, ἢ θώρακος, ἢ φάρυγγος, ὥστε βῆχα παρακολουθεῖν, καὶ
πυρετοὺς βληχροὺς, καὶ συντήκεσθαι τὸ σῶμα. Φθίσις μὲν γάρ ἐστιν ἡ λεγομένη κοινῶς πᾶσα σώματος
μείωσις τε καὶ σύντηξις. Φθόη δὲ ἡ ἰδίως ἐφ' ἕλκει σύντηξίς τε καὶ μείωσις τοῦ σώματος. εἴρηται δὲ
φθίσις ἀπὸ τοῦ φθίνειν ὅπερ ἐστὶ μειοῦσθαι. Δυσπνοϊκοί εἰσιν ἐφ' ὧν οἱονεὶ στενοχωρούμενον ἐκπνεῖται τὸ πνεῦ-
μα. Ἆσθμα ἐστὶ πάθος ἔπειξιν ἰσχυρὰν περὶ τὴν ἀναπνοὴν, καὶ δύσπνοιαν ἐπιφέρον, μετὰ τοῦ καὶ ἐνίοτε
ἀνακαθίζειν, καὶ ἐξανίστασθαι. Ἡπατικοί εἰσιν οἷς ἥπατος πόνος παρακολουθεῖ χρόνιος μετ' ἐπάρμα-
τος, καὶ σκληρίας, καὶ ἀχροίας τοῦ σώματος. ἐπιπυρέττουσι δὲ ποικιλῶ πυρετὸν, καὶ ἡ γλῶσσα αὐτοῖς ἐπι-
ξηραίνεται. Σκιῤῥούμενον ἧπαρ ἐστὶ ὅταν ὄγκος ἢ περὶ αὐτὸ σκληρὸς, καὶ ἀντίτυπος πρὸς τὴν ἁφὴν, καὶ
ἀνώδυνος. Σπληνικοί εἰσιν οἷς φλεγμήναντες οἱ σπλῆνες εἰς τὸ κατὰ φύσιν οὐκ ἀποκαθίστανται, οὐ δὲ ἀπο-
φλεγμαίνουσιν, ἀλλ' αὐτοῖς παραμένει ἡ σκληρία, ὥσπερ καὶ κατὰ τὰς νόσους ῥευματίζεται. ἀλλάσσεται δὲ
καὶ αὐτοῖς, καὶ ἡ κατὰ φύσιν χρόα τοῦ σώματος. Σκίῤῥος ἐστὶ τοῦ σπληνὸς ὅταν μείζων ὁ σπλὴν ὑπο-
πίπτῃ, καὶ λίαν σκληρὸς, καὶ διωγκωμένος. Διάῤῥοια ἐστὶ ῥευματισμὸς, πλείων κοιλίας ἄνευ φλε-
γμονῆς, καὶ ἑλκώσεως πολυχρόνιος. Κοιλιακὴ διάθεσις ἐστὶ ῥευματισμὸς κοιλίας οὐ πρόσφατος ἀλλὰ
χρόνιος μετὰ στροφῶν, καὶ πολλῶν ἀποχωρήσεων μετὰ τοῦ ἰσχναίνεσθαι τὸ σῶμα. Δυσεντερία ἐστὶν ἕλκω-
σις ἐντέρων μετὰ φλεγμονῆς καὶ ἀποκρίσεως αἱματωδῶν, ἢ τρυγωδῶν, ἢ δὲ καὶ ἀποξυσμάτων μετὰ τοῦ δά-
κνεσθαι, καὶ ἀλγεῖν τὴν κοιλίαν, καὶ τὰ ἔντερα. Τεινεσμὸς ἐστὶ διάθεσις πρὸς τοῖς κάτω μέρεσι, καὶ
αὐτῷ τῷ ἀπευθυσμένῳ ὥστε πολλὰς μὲν τὰς ἐξαναστάσεις, καὶ προθυμίας γίνεσθαι, ὀλίγας δὲ τὰς ἀπο-
κρίσεις. Λειεντερία ἐστὶ πάθος ἐπὶ δυσεντερίᾳ τὰ πολλὰ γινόμενον ὥστε διὰ τὰς οὐλὰς τὰς ἐπὶ ταῖς ἑλ-
κώσεσι γεγενημένας πυκνοτέρων, καὶ λειοτέρων, καὶ ἀπονωτέρων γινομένων, ἀνάγκη πρὸ τοῦ πεφθῆναι δια-
τρέχειν τὰ λαμβανόμενα σιτία ὀξέως ἐπὶ τὰς ἐκκρίσεις ἀμιγῆ, ἄπεπτα οἷα κατεπόθη. Κωλικὴ διάθεσις
ἐστὶ κατασκευὴ χρόνιος περὶ τὸ κῶλον μετὰ τοῦ εἰς διαλείμματα ἀλγήματα ἐπιγίγνεσθαι ἀνυπόστατα, καὶ δυσ-
νοεῖν, καὶ ἐφιδροῦν, καὶ περιψύχεσθαι. Ὕδρωψ ἐστὶν ὁ ἀνασάρκα, ἐφ' οὗ τὸ σῶμα ὅλον ἐξοίδηκε, καὶ περικλύ-
ζεται τῷ ὑγρῷ. διαστρέφεται δὲ αὐτῶν καὶ τὰ αἰδοῖα, καὶ ἀνορεκτοῦσι. παρέπεται δὲ αὐτοῖς καὶ πυρετός. ὕ-
δρωψ ἀσκίτης ἐστὶν ἐφ' οὗ κοιλία, καὶ ὄσχεον, καὶ σκέλη ἐξοιδίσκεται. τὰ δὲ ἄνω ἰσχνὰ γίνεται ἀπολεπτυνό-
μενα. ὕδρωψ τυμπανίας ἐστὶν ἐφ' οὗ πλέον μὲν τὸ πνεῦμα, ὀλιγότερον δὲ τὸ ὑγρὸν εὑρίσκεται, καὶ εἴ
τις ἅψεται, ἦχος ἀποτελεῖται. Νεφρῖτις ἐστὶ φλεγμονὴ νεφρῶν μετ' ἀλγήματος σφοδροῦ, ποτὲ δὲ
καὶ δυσουρίας, καὶ ἰνωδῶν ἀποκρίσεων, ἢ ψαμμωδῶν μετὰ αἵματος ὀλίγου. Λιθίασις ἐστὶ γένεσις ἐν κύστει
λίθου, δι' οὗ κωλύεται ἡ τοῦ οὔρου ἔκκρισις. ἑτέρως. Λιθίασις ἐστὶ πάθος, διατάσεις τῆς κύστεως ἐπιφέρων.
συνδιατείνεται δὲ αὐτοῖς καὶ ἦτρον, καὶ τῆς πόσθης ἅπτονται θαμινά. ἐπιγίνονται δὲ αὐτοῖς, καὶ ἰσχουρίαι.
ὅταν περαιωθεὶς ὁ λίθος ἀποφράξῃ τὰς ὁδοὺς τοῦ περιττώματος. Στραγγουρία ἐστὶν ἡ κατὰ στράγγα τοῦ οὔρου ἔκκρι-
σις. Ἰσχουρία ἐστὶν παντελὴς τοῦ οὔρου ἐπίσχεσις, κίνδυνον ἐπιφέρουσα. ἐπέχεται δὲ τὸ οὖρον κατὰ τρόπους
ὀκτὼ, διὰ φλεγμονὴν, διὰ σκίῤῥον, δι' αἵματος θρόμβωσιν, διὰ παράλυσιν, διὰ πρόπτωσιν τοῦ λίθου, διὰ νευρι-
κὴν συμπάθειαν, δι' ἕλκωσιν, διὰ λιθίασιν. ἐν νεφροῖς γίνονται λίθοι ἔνθα κατ' ἐκείνων τῶν σωμάτων πλῆ-
θος συνελθὸν χυμῶν παχέων ἅμα πυρετώδει θερμότητι. Γονόῤῥοια ἐστὶ ἀπόκρισις ἐπιφέρουσα σπέρματος νό-
σημα, μετὰ τοῦ τήκεσθαι τὸ σῶμα, καὶ ἀχρούστερον ἀποτελεῖσθαι. γίνεται δὲ ἀτονησάντων τῶν σπερματικῶν ἀγγεί-
ων, ὥστε τρόπῳ τινὶ παρειμένων αὐτῶν μὴ κρατεῖσθαι τὸ σπέρμα. Σατυρίασις ἐστὶ, πάθος μετὰ ἐντάσεως αἰ-
δοίου γιγνόμενον μετὰ τοῦ τείνεσθαι αὐτοῖς τὰ μόρια. ἐστὶ δὲ οἷς καὶ σπέρματος ἐξακοντισμὸς μεθ' ἡδονῆς γίγνεται.
παραφέρονται δὲ τὴν γνώμην, καὶ νεύρων τάσις, καὶ σπέρματος γίνεται. Ἰσχιὰς ἐστὶ πολυχρόνιον καὶ δύσλυτον
τοῦ ἰσχίου ἄλγημα. ἢ οὕτως ἰσχιὰς ἐστὶν νόσος πόνον ἰσχυρὸν ἐπιφέρουσα ἰσχίου, κατὰ περίοδον, ὥστε αὐτοῖς τὸν τό-
πον, καὶ μέχρι ἰγνύας καὶ γαστροκνημίας παρακολουθεῖν. Ἀρθρῖτις ἐστὶν φλεγμονὴ συνισταμένη περὶ τοῖς
ἄρθροις ἔμμονος, πόνον ἰσχυρὸν ἐπιφέρουσα παθόντων νεύρων. Ποδάγρα ἐστὶ πάθος περὶ τοῖς ποσὶ γιγνό-
μενον, πόνον ἐπιφέρον παθόντων τῶν νεύρων, οἷς μὲν μετὰ πυρώσεως, οἷς δὲ μετὰ ψύξεως. Παράλυσις ἐστὶ πά-
θος βλάπτον τὴν προαιρετικὴν κίνησιν, περὶ μέρεσιν, ἢ μέρει τινὶ γινόμενον. ἀποτελεῖται δὲ παθόντων τῶν
νεύρων, καὶ τῶν μυῶν. Σκελοτύρβη ἐστὶν εἶδος παραλύσεως, ὥστε περιπατεῖν ἐπ' εὐθείας μὴ δύνασθαι,
καὶ ποτὲ μὲν κατ' εὐθὺ, ποτὲ δὲ εὐώνυμον εἰς τὰ δεξιὰ περιφέρειν, ἢ τὸ δεξιὸν εἰς τὰ ἀριστερὰ, καὶ ποτὲ μὲν ἐ-
πισύρειν τὸ σκέλος, ὥσπερ οἱ ἀναβαίνοντες τι μέγα. Πήρωσις ἐστὶ στέρησις, ἢ ἐμποδισμὸς ἐνεργείας φυσι-
κῆς ἢ ἀφαίρεσις τινὸς μορίου. Λέπρα ἐστὶν μεταβολὴ τοῦ χρωτὸς ἐπὶ παρὰ φύσιν μετὰ τραχύτητος καὶ κνισμῶν,

καὶ πόνον, καὶ λεπίδας ἀποπίπτειν. ἔστι ὅτε μὲν οὐκ ἔστι ὅτε δὲ καὶ ἐπινέμεται πλείονα μέρη τοῦ σώματος. Ἐλέφας ἐστὶ πάθος παχὺ τὸ δέρμα, καὶ ἀνώμαλον παρασκευάζον, καὶ πελιδνὸν τὸ χρῶμα, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν. ἀναβιβρώσκεται δὲ χειρῶν, καὶ ποδῶν τὰ ἄκρα, καὶ ἰχῶρα ἀφίησι πελιδνὸν, καὶ δυσώδη. Λειχὴν ἐστὶ τραχύτης ἐπιφανείας μετὰ πολλοῦ κνησμοῦ. τὰ ἀνωτάτω μέρη τῆς ἰατρικῆς ἐστὶ δύο, θεωρία καὶ πρᾶξις. προηγεῖται δὲ τῆς πράξεως, ἡ θεωρία. θεωρῆσαι γάρ τι πρότερον χρὴ, ἔπειτα οὕτως πρᾶξαι. ἀρχὴ γὰρ τῆς ἐπὶ τῶν ἔργων τριβῆς ἡ διὰ τοῦ λόγου διδασκαλία. μέρη τῆς ἰατρικῆς, ἃ καὶ εἴδη τινὲς ἐκάλεσαν ἐστὶ πέντε, φυσιολογικὸν, παθογνωμονικὸν, διαιτητικὸν, ὑλικὸν, θεραπευτικόν. Φυσιολογικὸν μὲν οὖν ἐστὶ, τὸ περὶ τὴν θεωρίαν τῆς διοικούσης ἡμᾶς, καὶ οἰκονομούσης φύσεως γιγνόμενον. παθογνωμονικὸν δὲ τὸ περὶ τὴν διάγνωσιν τοῦ παρὰ φύσιν, ὄν. Διαιτητικὸν δὲ τὸ περὶ τὴν δίαιταν τῶν τε ὑγιαινόντων, καὶ τῶν νοσούντων. Ὑλικὸν δὲ τὸ περὶ τὴν ἰωμένην τὸ σῶμα ἡμῶν ὕλην ἔχον. Θεραπευτικὸν δὲ τὸ περὶ τὴν ἴασιν καὶ ἀποκατάστασιν αὐτῆς πραγματευόμενον. Φλεγμονή ἐστιν ἐν μήτρᾳ, ἡ μετὰ πόνου γιγνομένη ἐπιγαστρίου, καὶ βουβώνων, καὶ πυρετῶν, ἐφ᾽ ἧς καὶ βρέγματος πόνος, καὶ τενόντων συντολὴ, καὶ ὀφθαλμῶν ὀδύνη. Απόστημα ἐν μήτρᾳ ἐστὶν ὅταν ὁ πόνος ἐπιτεταμένος, καὶ σφύζει, καὶ διατείνει τὸ ἄλγημα ἕως ἤτρου, καὶ βουβώνων, καὶ ὀσφύος, καὶ πυρετοὶ προσγίνονται. Ὑστερικὴ πνὶξ ἐστὶ πάθος διὰ ἀναδρομὴν ὑστέρας γιγνόμενον ἢ κατάπτωσιν, καὶ ἀφωνίαν ἐπιφέρει, ὥστε καὶ τὴν ἀναπνοὴν αὐταῖς οὐκέτι δῆλον γίγνεσθαι, μετεωρίζεσθαί τε τὰ ὑποχόνδρια, καὶ τὸν σφυγμὸν ἔχειν ἀμυδρὸν, καὶ βραδύν. Γυναικεῖος ῥοῦς ἐστὶ φορὰ ὑγρῶν διὰ μήτρας ἐπὶ πλείονα χρόνον ὑπὸ ἀρρωστίας αὐτῇ γιγνόμενος. Ῥοῦς λευκός ἐστιν ὅταν λευκὰ ᾖ τὰ ἀποκρινόμενα, καὶ ἐν τῷ προσώπῳ οἰδήματα, καὶ τὰ ὑποφθάλμια ἐποιδίσκεται. ἐνίοις δὲ καὶ ἡ γαστὴρ, καὶ τὰ σκέλη. Ῥοῦς πυῤῥός ἐστιν, ὅταν ὑπόπυῤῥος ἡ ἀπόκρισις, καὶ ὀδύναι ἐν τῷ ὀσφύϊ καὶ ἐν τοῖς βουβῶσι γίγνονται. Ῥοῦς ἐρυθρός ἐστιν, ὁπόταν τὸ ἀποκρινόμενον μὲν ᾖ τοιοῦτον, οἷον ἀπὸ νεοσφαγοῦς ἱερείου αἷμα καὶ θρόμβοι ἐμπίπτουσιν. καὶ ὀδύνην ἔχει, καὶ πῦρ, καὶ βρυγμὸς, καὶ πόνος εἰς αὐτὰ τὰ αἰδοῖα, καὶ τὸ ὑπογάστριον. Ῥοῦς μέλας ἐστὶν, ὅταν μέλαιναι αἱ ἀποκρίσεις, καὶ δυσπνοία τοῦ σώματος, καὶ ὀδύνη ἡ εἰς τὰ αἰδοῖα, καὶ ἰσχναίνονται.

Ἐρυσίπελας ἐν μήτρᾳ ἐστὶν ἐπειδὰν ὀδυνωμένη ἡ ὑστέρα ὁμοία ᾖ τοῖς ἀπὸ πυρὸς καιομένοις δυσυποίστοις, καὶ ἡ πύρωσις ἔσθ᾽ ὅτε ἐνίων μεταβαίνουσα ἄλλοτε ἐπὶ ἄλλους τόπους τῆς ὑστέρας. Σκλήρωμα ἐστὶν ὄγκος ὑπόσκληρος περὶ τι μέρος τῆς μήτρας γιγνόμενος, τὰ πολλὰ ἐπὶ φλεγμοναῖς μεινάσαις ἐπιτελούμενος. Σκίῤῥος ἐν μήτρᾳ ἐστὶ διάθεσις περί τι μέρος αὐτῆς, ὥστε εἶναι σκληρίαν ἀντίτυπον, ὀχθώδη, ἀνώμαλον, ἄπονον τὰ πολλά. Καρκίνωμα ἐν μήτρᾳ ἐστὶν ἄνευ ἑλκώσεως ὄγκος ἀνώμαλος, ὀχθώδης. Πάθη τριχῶν ἐστὶν ἐννέα, ῥοπάλωσις, διχοφυΐα, θραῦσις, ἀτροφία, ξηρασία, πολίωσις, ῥύσις, ἀλωπεκία, ὀφίασις. Ῥοπάλωσις ἐστὶ περὶ τὸ ἄκρον τῶν τριχῶν ἀμυδρὴς σχέσις, μετὰ τοῦ μηκέτι συναύξεσθαι. Θραῦσις δὲ ἀνώμαλος θριχῶν ἀπόπτωσις παραπλησία τοῖς ἀπὸ ταλίδος κεκαρμένοις. Ἀτροφία δὲ τριχῶν ἐστὶν ὑποβάλλουσα ἰσχνότης μετὰ τοῦ μηκέτι συναύξεσθαι. Ξηρασία δέ ἐστιν χνοώδης τριχῶν ἐπιφάνεια, παραπλησία τοῖς ὑπὸ κονιορτοῦ μολυνομένοις. Πολίωσις δὲ ἐστὶ μεταβολὴ τριχῶν ἐπὶ τὸ λευκὸν πρὸ τῆς καθηκούσης ἡλικίας. Ῥύσις τριχῶν ἐστὶν ἀπόπτωσις ἀκολουθοῦσα ὡς ἐπίπαν μὲν τοῖς φθίνουσι, καὶ τοῖς ἀνακομιζομένοις δὲ ἐκ νόσου μακρᾶς.

Ἀλωπεκία δὲ ἐστὶ μεταβολὴ τοῦ χρώματος ἐπὶ λευκότερον διὰ τὴν χνοΐζουσαν αἱ τρίχες ῥιζόθεν ἀποπίπτουσιν. Ὀφίασις δὲ ἐστὶ μεταβολὴ τοῦ χρώματος ὁμοία τοῖς προειρημένοις ἐπὶ τὸ μᾶλλον πυκνότερον μετὰ τοῦ σκολιοῦσθαι τὴν ψίλωσιν. Διαφοραὶ τῶν ἐν κεφαλῇ καταγμάτων ὀκτὼ, ῥωγμὴ, ἐγκοπὴ, ἐγγίσωμα, ἐκπίασμα, καμάρωσις, ἀποσκεπαρνισμὸς, ἄπαγμα, θλάσμα, ἀπήχημα. ἔνιοι δὲ τὸ μὲν θλάσμα εἶναι οὐ θέλουσι. τὸ δὲ ἀπήχημα τῇ ῥωγμῇ ὑπάγουσι. ῥωγμὴ ἐστὶν ὀστοῦ διακοπὴ ἐπιπολαίως οὐ βαθεῖα, καὶ ἤτοι στενὴ, ἢ πλατεῖα.

Ἐγκοπὴ ἐστὶν ὀστοῦ διακοπὴ μετὰ τοῦ ἄκλαστον εἶναι τὸ πεπονθὸς ὀστοῦν. Ἐγγείσωμα ἐστὶν ὀστοῦ διακοπὴ μετὰ τοῦ τὸ διακείμενον εἰς τὸ βάθος ὑποκεχωρηκέναι, καὶ ἐπιληλυθέναι τῷ ἀπαθεῖ ὀστῷ. Ἐκπίασμα ἐστὶν ὀστοῦ πολυμερὴς διακοπὴ μετὰ τοῦ τάσιν δρᾶν τῶν ὀστῶν εἰς τὸ βάθος ὑποκεχωρηκέναι, καὶ θλίβειν τὴν μήνιγγα. Ἀποσκεπαρνισμός ἐστιν ὀστοῦ ἀποκοπὴ μετὰ τοῦ διακεκομμένου ὀστοῦ τετρῶσθαι. Καμάρωσις ἐστὶν ὀστοῦ διακοπὴ μετὰ τοῦ τὸ ὀστοῦν ἅμα κεκλᾶσθαι ἐξ ἀμφοτέρων, καὶ παραπλησίως καμάραις ἐσχηματίσθαι. Ἄπαγμα ἐστὶν ὀστοῦ διακοπὴ ἐπιπόλαιος, ἢ καὶ βαθεῖα κατ᾽ ἀντικείμενα μέρη τοῦ τραύματος. Θλάσμα ἐστὶν ὑποχώρησις τοῦ κρανίου εἰς τὸ βάθος δίχα κατάγματος, γίνεται δὲ ἐπὶ τῆς παιδικῆς μάλιστα ἡλικίας. νοήσεις δὲ σαφέστερον τὸ εἰρημένον ἐπὶ τῶν κασσιτερίνων σκευῶν τοῦτο συμβαῖνον θεασάμενος.

περὶ τοὺς ὀφθαλμοὺς γίνεται πάθη, φλεγμοναὶ, ῥεύματα, ἕλκωσις. ἑλκώσεων τῶν περὶ τοὺς ὀφθαλμοὺς διαφοραὶ, ἄργεμον, νεφέλιον, ἐπίκαυμα, βόθριον, φλυκτὶς, λεύκωμα, ἄνθραξ, μυοκέφαλον, πύωσις, ὄνυξ, σταφύλωμα. ταῦτα μετὰ πληγῆς. τὰ δὲ ἄνευ πληγῆς, ἑλκώσεως πάθη, μυδρίασις, φθίσις, ἀτροφία, νυκτάλωψ, ὑπόχυσις, γλαύκωμα, παράλυσις, μυωπίασις, στραβισμὸς, πτερύγιον, ἐγκανθὶς, πρόπτωσις, χήμωσις, σύγχυσις. Φλεγμονὴ μὲν οὖν ἐστὶν οἴδημα τοὺς περὶ ὀφθαλμοὺς μετ᾽ ἐρευθήματος καὶ πολλῆς θερμασίας, καὶ δυσκινησίας, καὶ νυγμῶν γινόμενον. Ῥεῦμα ἐστὶν ὑγρῶν λεπτῶν φορὰ ἀκατάσχετος, καὶ ἀπροαίρετος. Ἕλκωσις ἐστὶ ῥῆξις περὶ τὸν κερατοειδῆ, ἤτοι ἐκ πληγῆς, ἢ γενναίας φλεγμονῆς γινομένη. Ἄργεμον ἐστὶν ἕλκωσις κατὰ μὲν τὸ μέλαν λευκὴ φαινομένη, κατὰ δὲ τὸ λευκὸν ὑπέρυθρος. Νεφέλιον ἐστὶν ἀχλὺς, ἢ ἕλκωσις ἐπιπόλαιος ἐπὶ τοῦ μέλανος. Ἐπίκαυμα ἐστὶν ἕλκωσις ἐσχαρώδης κατὰ τὸ μέλαν ἐπιγιγνομένη, καὶ μὴ μένουσα. Βόθριον δὲ κοῖλον ἕλκος, ἢ καθαρὸν ἐπὶ τοῦ μέλανος. Φλυκτὶς ἐστὶν ἀπόστασις κατὰ τὸ μέλαν περιέχουσα ὑγρασίαν μετὰ φλεγμονῆς, καὶ ῥεύματος. Λεύκωμα ἐστὶν ἀφ᾽ ἑλκώσεως οὐλὴ παχεῖα, καὶ βαθεῖα. μυοκέφαλον ἐστὶν ἀφ᾽ ἑλκώσεως μικροτάτη ἐπέκτασις τοῦ ῥαγοειδοῦς κατὰ τὸ μέλαν παραπλησία μυίας κεφαλῇ. Ἄνθραξ ἐστὶν ἐσχαρώδης ἕλκωσις μετὰ νομῆς, καὶ ῥεύματος, ἐνίοτε, καὶ βουβώνων καὶ πυρετοῦ.

πύωσις ἢ ὄνυξ δ᾽ ἐστὶ συλλογὴ πύου ἐπὶ τὸ μέλαν μετὰ φλεγμονῆς πρὸς τῇ ἴριδι παραπλησία ὄνυχι. Σύγ-
χυσις δ᾽ ἐστὶ ποτὲ μὲν ἐκ πληγῆς, ποτὲ δὲ ἐξ αὐτομάτου ῥῆξις τῶν ἐν βάθει χιτώνων μετὰ προχύσεως τῶν ὑγρῶν,
καὶ ἀλλοιώσεως τῆς κόρης. Μυδρίασις δ᾽ ἐστὶν ἀμαύρωσις τοῦ ὁρατικοῦ ταραχθέντων τῶν ὑγρῶν. Φθίσις δ᾽ ἐστὶ
μείωσις τῆς κόρης μετὰ ἀμυδρώσεως. Ἀτροφία δ᾽ ἐστὶ μικρότης ὅλου τοῦ ὀφθαλμοῦ, καὶ τῆς κόρης μετ᾽ ἀμαυ-
ρώσεως. Νυκτάλωψ δ᾽ ἐστὶ πάθος, καὶ διάθεσις ὀφθαλμῶν δίχα φανερᾶς αἰτίας. συμβαίνει δὲ τοῖς οὕτω δια-
κειμένοις ἡμέρας μὲν μὴ ὁρᾶν, νυκτὸς δὲ βλέπειν. Γλαύκωμα δ᾽ ἐστὶ τῶν κατὰ φύσιν ὑγρῶν εἰς τὸ γλαυκὸν
χρῶμα μεταβολή. Σταφύλωμα δ᾽ ἐστὶν ἔπαρμα κατὰ τὸ τῆς κόρης τόπον ἐμφερὲς ῥαγὶ σταφυλῆς. Πρό-
πτωσις δ᾽ ἐστὶν ὅταν ὑπό τινος βιαίας πληγῆς ἀγχονισμοῦ μετὰ συνεχοῦς πυρετοῦ, ἢ κεφαλαλγίας ὀφθαλμὸς προ-
πέσῃ. Μυωπίασις δ᾽ ἐστὶ διάθεσις ἐκ γενετῆς δι᾽ ἣν τὰ μὲν πλήσια ὁρῶμεν, τὰ δὲ πόρρωθεν, ἢ ἐπὶ βραχὺ, ἢ οὐ-
δὲ ὅλως. Στραβισμός δ᾽ ἐστὶν παράλυσις τῶν περὶ τὸν ὀφθαλμὸν μυῶν, οὐχ ὅλων ἀλλ᾽ ἐνίων δι᾽ ἣν αἰτίαν ἢ ἄνω, 10
ἢ κάτω, ἢ εἰς τὰ πλάγια νεύουσιν οἱ ὀφθαλμοί. Ἵππος δ᾽ ἐστὶ διάθεσις ἐκ γενετῆς καθ᾽ ἣν ἀστατοῦσι, καὶ ἀεὶ κινοῦ-
σιν οἱ ὀφθαλμοὶ κίνησιν ὑπομένοντες ἐν κλόνῳ, ἢ τρόμῳ ἀδιαλείπτῳ καθεστηκυῖαν. ταύτην τὴν διάθεσιν Ἱππο-
κράτης ἐκάλεσεν ἵππον. τὸ δὲ πάθος τοῦ στηρίζοντος δ᾽ ἐστὶ τὸν ὀφθαλμὸν μυὸς, ὃς περιείληφε τὴν βάσιν τοῦ βλε-
πτικοῦ ὀργάνου. Χήμωσις δ᾽ ἐστὶν ἔπαρμα τοῦ περιοφθαλμίου ὑμένος ὃ καὶ λευκὸν προσαγορεύουσιν, πάθος
ὅμοιον λευκῇ σαρκί. περὶ τὰ βλέφαρα, καὶ τοὺς κανθοὺς συνίσταται πάθη ταῦτα. ψώρα, φθειρίασις, κρί-
θη, χάλαζα, λιθίασις, τριχίασις, τράχωμα, λαγόφθαλμον, ἐκτρόπιον, ῥοιάς, αἰγίλωψ, σταφύλωμα. Ψώρα
δ᾽ ἐστὶ δριμυτάτου ῥεύματος γιγνομένη ἀνάβρωσις ταρσῶν, ἢ κανθῶν μετὰ κνησμοῦ. Φθειρίασις δ᾽ ἐστὶ περὶ τὰς
ῥίζας τῶν βλεφαρίδων ψώρα λεπίδας πιτυρώδεις ἀποβάλλουσα. Χάλαζα δ᾽ ἐστὶ κεγχρώδης συστροφὴ κα-
τὰ τοῦ βλεφάρου, καὶ λιθίασις δ᾽ ἐστὶ τὸ αὐτό. Κριθὴ δ᾽ ἐστὶν ὑγροῦ συλλογὴ περὶ τὸ βλέφαρον ἐπιμήκης κριθῇ
ὅμοια. Τράχωμα δ᾽ ἐστὶ σκληρία καὶ τραχύτης ἀνώμαλος κατὰ τὰ ἔνδον τῶν βλεφάρων γινομένη. Ῥοιάς δ᾽ ἐστὶ 20
τῆς ἐγκανθίδος σαρκὸς δαπάνησις ἢ τὸ δάκρυον ἀπορρεῖ. Τριχίασις δ᾽ ἐστὶ βλεφάρων πτῶσις, καὶ τῶν ἐν αὐτοῖς
τριχῶν γένεσις παρὰ φύσιν. διαφοραὶ τριχιάσεως τρεῖς, φαλάγγωσις, πτῶσις, ὑπόφυσις, τινὲς δὲ καὶ τὴν δι-
στιχίαν ἐπεισάγουσιν. Διστιχία δ᾽ ἐστὶν ἑτέρου στίχου παρὰ φύσιν κατὰ τοῦ ταρσοῦ ἔκφυσις. Ἐγκανθίς ἐστιν
ὑπεροχὴ σαρκὸς ἐν τῷ μεγάλῳ κανθῷ. Αἰγίλωψ ἐστὶν ἐπανάστασις τοῦ μεγάλου κανθοῦ ὑγροῦ συλλογὴν ἔ-
χουσα σύντρητος, ἢ συντετρημένη. εἴρηται δὲ αἰγίλωψ ἀπὸ τοῦ ἐγγὺς εἶναι τοῦ ὀφθαλμοῦ. λὼψ μὲν γάρ ἐστιν ὀ-
φθαλμός, τὸ δὲ ἀγχὶ ἐγγύς. Ὑπόχυμα ἐστὶν ὑγροῦ πῆξις τοῦ ὑδατώδους μᾶλλον ἤπερ ἐμποδίζουσα τὸ ὁρᾶν.
διαφέρει δὲ ὑπόχυμα γλαυκώματος, ὅτι τὸ μὲν ὑπόχυμα πῆξις ἐστὶ τοῦ ὑδατώδους ὑγροῦ, τὸ δὲ γλαύκωμα με-
ταβολὴ τῶν κατὰ φύσιν ὑγρῶν ἐπὶ τὸ γλαυκὸν, καὶ ὅτι ἐπὶ μὲν τοῦ γλαυκώματος οὐδὲ ὅλως ὁρῶσιν, ἐπὶ δὲ τοῦ ὑπο-
χύματος κατ᾽ ὀλίγον. Ὑδατὶς δ᾽ ἐστὶ τῆς ὑπερωμένης τοῦ ἄνω βλεφάρου πιμελῆς αὔξησις δι᾽ ἣν ῥευματί-
ζονται παρὰ φύσιν οἱ ὀφθαλμοί. Λαγόφθαλμον δ᾽ ἐστὶν ἀνάσπασις τοῦ ἄνω βλεφάρου, ὥστε μὴ καλύπτειν ἐν 30
τῷ καμμύειν ὅλον τὸν ὀφθαλμόν. Πτερύγιον ἐστὶν ἔκφυσις σώματος ἐπιφυομένη τῷ κερατοειδεῖ. Ἐκ-
τρόπιον ἐστὶν ὑπόφυσις σαρκὸς ἐν τῷ βλεφάρῳ ἥτις βαροῦσα ἐκτρέπει τὸ βλέφαρον. αἰτία δὲ ἐκτροπῆς βλεφά-
ρου, ἢ σαρκὸς ἐπίφυσις, ἢ παράλυσις, ἢ οὐλῆς σύστασις. Πτίλωσις ἐστὶν ἀπὸ δριμυτάτου ῥεύματος ἀπόπτωσις
τῶν βλεφάρων. Σταφύλωμα ἐστὶν ἔκτασις τοῦ μέλανος χιτῶνος μετὰ πυρώσεως. ὅμοια ῥαγὶ σταφυλῆς.

Σάρκωμα ἐστὶ σαρκὸς ἐν τοῖς μυκτῆρσι παρὰ φύσιν αὔξησις. ἔστι δὲ σάρκωμά τι, καὶ ὁ πολύπους. εἴρηται δὲ
πολύπους ἀπὸ τῶν πολυπόδων. ὡς γὰρ ἐκεῖνοι πολλὰς ἔχουσιν ἀρχίδιας πλαδαροί τε εἰσὶν, καὶ αὐξανόμε-
νοι, οὕτω καὶ τοῦτο τὸ πάθος. διαφέρει σάρκωμα πολύπου μεγέθει, καὶ κατασκευῇ. Ὄζαινα ἐστὶν ἕλκωσις
ἐν μυκτῆρσιν διὰ βάθους δυσώδης, τὴν ἀποφορὰν ἔχουσα. Παρωτίδες εἰσὶ παρὰ τοῖς ὠσὶν ἀποστήματα. ταύ-
τας ἔνιοι Διοσκούρους ἐκάλεσαν, ἐπὶ πυρετοῖς γινόμεναι τὰ πολλὰ τῶν πυρετῶν ἀπαλλάσσουσαι. Λευκή ἐστιν
ἡ ἐπὶ λευκὸν χρῶμα τοῦ σώματος περὶ φύσιν μεταβολή. Ἕρπης ἐστὶν ἕλκος ἐπὶ πλεονεξίᾳ χολῆς γιγνό- 40
μενον, καὶ ἐπινέμησιν ποιούμενον. Ἀθέρωμα ἐστὶ χιτὼν νευρώδης ἀθερῶδες ὑγρὸν περιέχων. Στεά-
τωμα δ᾽ ἐστὶ παρὰ φύσιν πιμελῆς συναύξησις. Προσάρτησις ἐστὶν ὑμένων μακροτέρων ἀνοχὴ πρὸς τὰ παρακεί-
μενα σώματα. Ἀνεύρυσμα ἐστὶ φλεβώδους ἀγγείου ἀνευρυσμὸς, ἢ πνευματικῆς ὕλης παρασπορὰ ὑπὸ τῆς
σαρκὸς κατὰ διαπήδησιν ἀναδιδομένης. Ὑπόσφυγμα ἐστὶν ἔξωθεν τῆς ἐπιφανείας ὠμόλυντι περὶ πλήσιον.

Γαγγλίον ἐστὶ νεύρου παρὰ φύσιν συστροφὴ σωματοπεποιημένη. Ἄφθα ἐστὶν ἕλκωσις ἐπιπόλαιος ἐν στό-
ματι γιγνομένη. ἐπιπολάζει δὲ αὕτη ἡ ἕλκωσις μάλιστα παιδίοις. Φλεγμονή δ᾽ ἐστὶν ὄγκος μετὰ ἐρυθήματος
καὶ σκληρίας πόνους ἐπιφέρων σφυγματώδεις. εἴρηται δὲ φλεγμονὴ ἀπὸ τοῦ οἷον φλέγεσθαι τὸν τόπον. ἢ ὄγκος
ὀδυνηρὸς καὶ ἀντίτυπος μετ᾽ ἐρυθήματος χωρὶς πυρετοῦ. Ἐρυσίπελας δ᾽ ἐστὶν ὄγκος μετὰ διαπύρου φλογώσε-
ως, ἔσθ᾽ ὅτε πυρετὸν, καὶ φρίκας ἐπιφέρων. Κενοῦμεν δὲ ἢ διὰ φλεβοτομίας, ἢ σικύας, ἢ βδέλλης, καὶ τῶν τοιού-
των. ἀφαιροῦμεν δὲ αἷμα διὰ πλῆθος πολὺ, καὶ μάλιστα ὅταν τὸ αἷμα αἴτιον τοῦ πάθους ὑπονοῶμεν. προκριτέον 50
ἑκάστης ἀφαιρέσεως τὴν ἀμείνονα, τὴν δὲ δευτέραν ἐκκλίναντας διὰ φαρμάκου. Τὴν σικύαν διὰ περίθλασιν το-
πικήν. τὴν δὲ βδέλλαν ἐφ᾽ ὧν λεπτῶς ἀναστομῶσαι τὸν πεπονθότα δεόμεθα τόπον. Σκίρρος δ᾽ ἐστὶν ὄγκος σωμά-
των μετὰ σκληρίας, καὶ βάρους, καὶ δυσκινησίας τε καὶ δυσαισθησίας. Ἀπόστημα δ᾽ ἐστὶ μεταβολὴ σωμάτων ἐκ
φλεγμονῆς εἰς πῦον. Κολόβωμα δ᾽ ἐστὶν ἔλλειψις μορίου κατά τι μέρος τοῦ σώματος. Πῶρος δ᾽ ἐστὶν οὐσία λιθώδης, καὶ
ἀπόκροτος. Ὑδροκέφαλον δ᾽ ἐστὶν ὑδατώδους ὑγροῦ, ἢ αἵματος τοῦ τρυγώδους συλλογὴ κατά τι μέρος τῶν τῆς
κεφαλῆς πλεκόντων σωμάτων. Σύριγξ δ᾽ ἐστὶν ὑποφορὰ τυλώδης στενή τε καὶ ἐπιμήκης, ἔσθ᾽ ὅτε καὶ σκο-
λιωμένη ἀναπόλωτον ἔχουσα τὸ στόμιον, δι᾽ οὗ ὑγρὸν κατά τινας καιροὺς ἐκκρίνεται λεπτόν. Κηρίον δ᾽ ἐστὶ ἕλκος συν-
εχὲς ἔχον καταβρώσεις ἐξ ὧν μελιτῶδες ὑγρὸν ἐκκρίνεται. Φαγέδαινα δ᾽ ἐστὶν ἕλκος ἀναβιβρῶσκον τὰ ὑ-
γιῆ καὶ παρακείμενα. Καρκίνωμα δ᾽ ἐστὶν ὄγκος κακοήθης, καὶ περίσκληρος, ἀνέλκωτος, ἢ ἡλκωμένος. εἴρηται δὲ
ἀπὸ τοῦ

ἀπὸ τοῦ ζώου καρκίνου. Διονυσίσκοι εἰσὶν ὀστώδεις ὑπεροχαὶ ἐγγὺς κροτάφων γιγνόμεναι. λέγονται δὲ κέρατα ἀπὸ τῶν κερασφορούντων ζώων κεκλημένα. Τερηδὼν δέ ἐστιν ὀστοῦ κατάχρησις ἀπὸ φθορᾶς. τὸ δὲ ὄνομα τῷ πάθει ἀπὸ τῶν συμβεβηκότων τρημάτων, οἱονεὶ τις τρηδὼν οὖσα. Αδὴν δέ ἐστι συστροφή τις ξηρά, καὶ σαρκώδης. ἢ συστροφὴ σαρκώδης. Χοιρὰς δέ ἐστι σὰρξ ξηρὰ καὶ δύσλυτος. Βρογχοκήλη δέ ἐστιν ὄγκος παρὰ τῷ βρόγχῳ, διαφορὰν ἔχων παρὰ τὴν ἐν τῷ ὀσχέῳ κατασκευήν. Αγκύλη δέ ἐστι πίεσις περὶ τὸν τράχηλον, ἢ τὰ ἄρθρα τεινόντων, δι᾽ ἣν ἐμποδίζεται ἡ ἐνέργεια. Εξόμφαλος δέ ἐστιν ὑπεροχὴ ὀμφάλου ὑπὸ διαφόρους αἰτίας γινομένη. Γυναικόμαστον δέ ἐστι παρὰ φύσιν αὔξησις τῆς ὑποκειμένης τοῖς μαστοῖς πιμελῆς. Εγκατάληψις δέ ἐστιν ἀπόστημα τῶν ἐν βάθει σωμάτων, ἢ σπλάγχνων εἰς πύον τῆς μεταβολῆς γινομένης. Ακροχορδὼν δέ ἐστιν ἔκφυσις περιφερής, καὶ διάστενον ἔχουσα βάσιν. Φύγεθλον δέ ἐστι κατὰ βουβῶνα γινόμενον ἀπόστημα. Επιπλοόμφαλον δέ ἐστιν ὑποδρομὴ ἐπιπλόου κατὰ τὸν ὀμφαλόν. Υδρόμφαλον δέ ἐστιν ἀργοῦ ὑγροῦ σύστασις κατὰ τὸν ὀμφαλόν, ποτὲ δὲ καὶ ὑπὸ χιτῶνος συνεχόμενον. Πωρόμφαλον δέ ἐστι πώρου σύστασις κατὰ τὸν ὀμφαλόν. Σαρκόμφαλον δὲ δέ ἐστι σαρκὸς παρὰ φύσιν αὔξησις κατ᾽ ὀμφαλὸν ἤτοι ἠπίου ἤτοι κακοήθους. Πνευματόμφαλον δὲ δέ ἐστι τὸ ἀνεύρυσμα τοῦ ὀμφαλοῦ.

Υπασπιδιὰς δέ ἐστι πάθος ἐφ᾽ οὗ ἡ βάλανος ἐφέλκυσται. Θύμος δέ ἐστιν ἔκφυσις σαρκὸς τραχείας, ὁμοία περὶ αἰδοῖον, καὶ ἕδραν γινομένη. Λιπόδερμος δέ ἐστιν ἔλλειψις τοῦ σκέποντος τὴν βάλανον δέρματος, ὡς μηκέτι ἀκροσύρειν δύνασθαι. Διαφοραὶ δὲ τοῦ φύματος δύο. ἢ γὰρ ἐκ φύσεως. ἢ διὰ ἐπιγεννήματος ἑλκώσεως προηγησαμένης γίνεται. Ραγὰς δέ ἐστι διαίρεσις τετυλωμένα ἔχουσα τὰ χείλη. Προεπιφύμωσις δέ ἐστιν ἀποσυρέντος τοῦ τῆς βαλάνου νεύρου, ὡς μηκέτι ἐπισύραι τὴν ποσθὴν δύνασθαι. Περιτομὴ ἢ περιαίρεσις δέ ἐστιν ἀφαίρεσις τοῦ σκέποντος τὴν βάλανον δέρματος. Αἱμοῤῥοῒς δέ ἐστιν ἀνεύρυσμα τῶν καταπλεκόντων τὴν ἕδραν ἀγγείων. ἔρχεται δὲ ἀπὸ τοῦ αἵματος δι᾽ αὐτῶν.

Διαφοραὶ δὲ αἱ μοῤῥοΐδων πέντε. περὶ τὸ μέγεθος. περὶ τὸ πλῆθος. περὶ τὸ σχῆμα. περὶ τὸν τόπον. ἢ περὶ τὴν κατασκευήν. περὶ μὲν τὸ μέγεθος ὅτι αἱ μὲν αὐτῶν εἰσὶ μικραί, αἱ δὲ μεγάλαι. αἱ δὲ μέσαι. περὶ δὲ τὸ πλῆθος, ὅτι ἐφ᾽ ὧν μὲν πλείονες συνίστανται, ἐπί τινων δὲ ἐλάττονες. παρὰ δὲ τὸ σχῆμα, ὅτι αἱ μὲν στενὴν τὴν βάσιν ἔχουσιν, αἱ δὲ πλατεῖαν. περὶ δὲ τὸν τόπον, ὅτι αἱ μὲν ἐν δακτυλίῳ γίγνονται, αἱ δὲ ἐν σφυγκτῆρι αἱ δὲ ἐν τῷ ἀπευθυσμένῳ. περὶ δὲ τὴν κατασκευήν, ὅτι αἱ μέν εἰσιν ἤπιοι, αἱ δὲ κακοήθεις. Κονδύλωμα δέ ἐστι δακτυλίου στολίδος ἐπανάστασις μετὰ φλεγμονῆς. Σύριγξ δέ ἐστιν ὑποφορὰ τυλώδης στενή, καὶ ἐπὶ μήκους ἀναπέπλωτον ἔχουσα τὸ στόμιον, δι᾽ οὗ ὑγρὸν κατά τινας τόπους ἐκκρίνεται. τῶν συρίγγων διαφοραὶ δύο. αἱ μὲν γὰρ αὐτῶν εἰσι τυφλαί, αἱ δὲ κρυπταί. τυφλαὶ μὲν αἱ τὸ στόμιον ἐν τῷ βάθει ἔχουσαι, τὸν μέντοι κόλπον πρὸς τὴν ἐπιφάνειαν. Κρυπταὶ δὲ ὅσαι καὶ τὸ στόμιον, καὶ τὸν κόλπον ἐν τῷ βάθει ἔχουσιν. Περὶ τὸν ὄσχεον γίνεται πάθη τρία κίρσος, ψώρα, ῥάκωσις. Ογκοὶ ἐν ὀσχέῳ συνίστανται, ὑδροκήλη, ἐντεροκήλη, ὑδροεντεροκήλη, κιρσοκήλη, ψωροκήλη, ἐπιπλοκήλη, ἐντεροεπιπλοκήλη. Υδροκήλη δέ ἐστιν ἀργοῦ ὑγροῦ σύστασις κατὰ μέρος τοῦ ὀσχέου. Εντεροκήλη δέ ἐστιν ἐντέρου καθολισθήσαντος εἰς ἕτερον τόπον κατὰ βραχύ, ἢ ἀθρόως. αἰτίαι δὲ ἐντεροκήλης ἡ προκαταρκτικὴ ἔντασις, ἡ πληγή. συνεκτικὴ δὲ ἐπέκτασις ἢ ῥῆξις τούτου.

Υδροεντεροκήλη δέ ἐστιν ἐντέρου καθολίσθησις, καὶ ἀργοῦ ὑγροῦ συλλογὴ κατὰ τὸν ὄσχεον. Κιρσοκήλη δέ ἐστιν ἀνευρυσμός, καὶ μεγεθοποίησις τινῶν ἢ πάντων τῶν τρεφόντων τὸν δίδυμον ἀγγείων. Υδροκιρσοκήλη δέ ἐστιν ἀνευρυσμὸς τῶν τρεφόντων τὸν δίδυμον ἀγγείων καὶ ἀργοῦ ὑγροῦ συλλογὴ κατὰ τὸ μέρος τοῦ ὀσχέου. Επιπλοκήλη δέ ἐστιν ὀλίσθησις ἐπίπλου κατὰ τὸ μέρος τοῦ ὀσχέου. Εντεροεπιπλοκήλη δέ ἐστιν ὀλίσθησις ἐντέρου τε καὶ ἐπίπλου κατὰ τὸ μέρος τοῦ ὀσχέου. Κρύψορχις δέ ἐστιν ἀναχώρησις διδύμου, ἢ διδύμων. Ράκωσις δέ ἐστιν ἐπέκτασις πολλὴ τοῦ ὀσχέου. Ψωρίασις δέ ἐστι σκληρότης τοῦ ὀσχέου μετὰ ἐπιτεταγμένου κνησμοῦ, ἔσθ᾽ ὅτε δὲ καὶ ἑλκώσεως. Κήλη δέ ἐστιν ὄγκος περιεκτικὸς τινὸς τῶν προειρημένων. πᾶς γὰρ ὄγκος ἐν ὀσχέῳ κήλη λέγεται. Γάγγραινα ἐστὶ μεταβολὴ τοῦ χρωτὸς τοῦ κατὰ φύσιν ἑκάστου ἐπὶ τὸ ἀλλόφιον καὶ νέκρωσις μεθ᾽ ἑλκώσεως, καὶ δίχα ἑλκώσεως. γίνεται δὲ γάγγραινα, ἢ διὰ πληθώρας προηγησαμένης, ἢ νεκρώσεως γιγνομένης, ἢ φλεγμονῆς ἐπιχειρουργείας. Οστοῦν ἐστι κατὰ μὲν Πλάτωνα μυελὸς ὑπὸ θερμοῦ πηγνύμενος, κατὰ δὲ ἐνίους τῶν ἰατρῶν σύγκρισις γεώδης, καὶ στερεά, καὶ ἀναίσθητος, καὶ ἄναιμος. κοινὰ δὲ ἡ ἀναισθησία, καὶ ἡ ἀνωμαλία χόνδρου, καὶ ὄνυχος. ἀλλ᾽ ὁ μὲν χόνδρος εἰκὼν ἐστὶν ὀστοῦ. παράκειται γὰρ ἐν τοῖς ἄρθροις πλειστάκις. ὄνυξ δὲ ὀστέου εἴη ἂν ἐπιφάνεια, ἢ δέρματος ἄψαυσις σκληρὰ καὶ ξηρά. Ερμαφρόδιτος ἐστὶ συμπλοκὴ τοῦ τε ἀρσενικοῦ, καὶ τοῦ θηλυκοῦ χαρακτῆρος μετὰ τοῦ καὶ ἐν ἀμφοτέροις γεγενῆσθαι αἰδοῖον ἔχειν. Δρακόντιον ἐστὶν ἕλκος φορὰν ἐπ᾽ αὐτὸ ἔχον νεύρου ἀπὸ τοῦ πλησίον μέρους. εἴρηται δὲ δρακόντιον ἐπεὶ ἐν ταῖς κινήσεσιν ἀναχωρεῖ τὸ νεῦρον ἐπὶ τὸ ἕλκος, καὶ κρύπτεται ἐν αὐτῷ. Ηλος ἐστὶν ἕλκος ἐν πέλματι περιφερές, καὶ τετυλωμένον. Εκκρίνεται τὸ σπέρμα, ὥσπερ Πλάτων φησὶ καὶ Διοκλῆς, ἀπὸ ἐγκεφάλου, καὶ νωτιαίου, Πραξαγόρας δὲ καὶ Δημόκριτος ἔτι τε Ιπποκράτης διὰ ὅλου τοῦ σώματος. ὁ μὲν Δημόκριτος λέγων. Ανθρωποι εἷς ἔσται καὶ ἄνθρωπος πάντες. ὁ δὲ Ιπποκράτης φησί. ἡ γὰρ ἡδονὴ πανταχόθεν ἔρχεται τοῦ σώματος ἀπὸ μὲν τῶν ὑγιῶν, ὑγιής, ἀπὸ δὲ τῶν νοσερῶν νοσερά. τὸ Σπέρμα ἐστὶν κατὰ μὲν τοὺς Στωϊκούς, ὃ μεθίησι τὸ ζῶον ὑγρὸν μετὰ πνεύματος καὶ ψυχῆς ὡς † δεῦ μέρος. κατὰ δὲ Ασκληπιάδην, τὸ ἐν ταῖς ἀφροδισίοις συνουσίαις ἐκκεκριμένον γεννητικὸν ὑγρόν. Ζητεῖται εἰ σπερμαίνει τὸ θῆλυ, ὥσπερ τὸ ἄῤῥεν σπερμαίνει, καὶ γὰρ τὸ θῆλυ τὴν αὐτὴν ὄρεξιν ἔχει καὶ κοινωνεῖ τῶν αὐτῶν νοσημάτων, καὶ φανερῶς διὰ τῆς ἀνατομῆς δείκνυνται τοὺς σπερματικοὺς ἔχον πόρους, καὶ τὸ μέγιστον τοῦ σπερμαίνειν μαρτύριον αἱ ὁμοιότητες τῶν γεννωμένων πρὸς τὰς τεκούσας. ὅτι δὲ συμβάλλεται μαρτυρεῖ Ιπποκράτης λέγων ἐν τῷ περὶ παιδίου φύσεως. ἢν γονὴ μείνει ἀπ᾽ ἀμφοῖν ἐν τῇσι μήτρῃσι τῆς γυναικός, πρότερον μὲν μίσγεται ὁμοῦ, ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμεούσης, ἀθροίζεται τε καὶ παχύνεται θερμαινόμενον. ἔπειτα πνεῦμα ἴσχει. διαφέρει σπέρμα γόνου, ὅτι σπέρμα μὲν ἐστὶ τὸ ἐν σπερματικοῖς πόροις ὄν. τινὲς δὲ τὸ ἤδη ἐκκριθέν, καὶ ὡς Ασκληπιάδης λέγει, ὅτι τὸ σπέρμα μὲν καὶ τοῖς μηδέπω γεννᾶν δυναμένοις ὠρισάμεθα. γόνον δὲ τὸ μηδέπω πεπεμμένον σπέρμα. Αἰτίαι ἀγονίας διτταί, ἢ περὶ τὸν ἄνδρα, ἢ παρὰ τὸ θῆλυ, καὶ ἑκάτεραι πλεοναχῶς. περὶ μὲν οὖν τὸ θῆλυ ἤτοι κατάψυχρον ἐχούσης, ἢ

† αἱ αὐτοῦ

καταπίμελον τῆς γυναικὸς τὴν μήτραν. περὶ δὲ τὸ ἄῤῥεν, ἤτοι ὅταν ὑποσπαδιάσῃ ἐστερημένος διδύμων, ἢ ἄλλον τινὰ τρόπον ἔχων νοσήματος. οὐκ ἔστι μέρος τῆς κυούσης τὸ κυόμενον, ἢ πάντως φθειρομένου μετ' αὐτοῦ ἀποθνήσκειν ἐχρῆν ἐξ ἀνάγκης τὴν κυοῦσαν, ἢ ἀποκυισκομένου βλάπτεσθαι πρὸς τὰς ὁλοκλήρους ἐνεργείας ὡς λείποντος μέρους καὶ ἀπεστερημένου τοῦ σώματος αὐτῆς. τρέφεται δὲ τὸ ἔμβρυον διὰ τοῦ χορίου λαμβάνον, καὶ ἐπισπώμενον. τρέφεται δὲ οὐ διὰ στόματος, ἀλλὰ δι' ὀμφαλοῦ. τινὲς μὲν εἶπον ζῶον, τινὲς δὲ οὔ. ὅσοι μὲν οὖν εἶπον ζῶον ὑπάρχειν αὐτό, τῇ κινήσει ἐτεκμήραντο ζῶον ὑπάρχειν αὐτό. ἐπειδὴ γὰρ κινεῖται, καὶ τὸ ἔμβρυον, καὶ ὅτι ἥδεται μὲν ἡδομένης τῆς μητρός, καὶ ἐμφαίνεται, ἀνιωμένης δὲ συστέλλεται, καὶ συνάγεται αἰσθανόμενον ὡς ζῶον. ἡ γὰρ αἴσθησις οὐκ ἄλλῳ τινὶ ἢ ζώῳ προσφυής. οἱ δὲ μὴ εἶναι ζῶον λέγοντες, τρέφεσθαι μὲν αὐτὸ καὶ αὔξεσθαι, ὡς περ καὶ τὰ δένδρα, ὁρμὴν δὲ καὶ ἀφορμὴν οὐκ ἔχειν, ὡς περ τὰ ζῶα. οὐ γὰρ αὐτὸ προαιρετῶς οὐ μόνον κινεῖται, ἀλλ' οὔτε μετὰ προαιρέσεως, ἀλλ' ὡς τὰ δένδρα καὶ φυτά. τοῖς μὲν γὰρ αἴτιος κινήσεως ἄνεμος, ἐμβρύοις δὲ ἡ περὶ αὐτὰ ὑγρότης, καὶ ὄλισθος, καὶ τὸ σχῆμα τῆς μήτρας. πληρουμένη γὰρ σφαιροποιεῖται. σχῆμα δὲ ἡ σφαῖρα εἰς πᾶσαν κίνησιν εὐφυής, ἅτε βάσεως ἁπάσης ἄμοιρος. Ἀσκληπιάδης δὲ οὔτε ζῶον οὔτε μὴ ζῶον εἶπεν τὸ ἔμβρυον, ἀλλ' ὅμοιον ἔφησεν αὐτὸ τοῖς κοιμωμένοις. ὃν περ γὰρ τρόπον ἐκεῖνοι μὲν ἔχουσι τὰς αἰσθήσεις, οὐ χρῶνται δὲ αὐταῖς, οὑτωσὶ καὶ τὸ κατὰ γαστρός. γίνεται δὲ τὸ ἄῤῥεν κατὰ μέν τινας ἐπειδὰν τὸ ἐκ τῶν δεξιῶν ἀποσπασθὲν σπέρμα καταβληθῇ εἰς τὴν μήτραν. θῆλυ δὲ ἐκ τῶν ἀριστερῶν. ἄλλοι δὲ ἔφασαν κατὰ τὴν τοῦ σπέρματος ἰδιοσυγκρασίαν ἤτοι παρὰ τὴν θερμότητα, ἢ τὴν ψυχρότητα γίνεσθαι. τὸ μὲν γὰρ θερμότερον σπέρμα ποιεῖ τὸ ἄῤῥεν, τὸ δὲ ψυχρότερον τὸ θῆλυ. τὰ δὲ δίδυμα καὶ τρίδυμα γίνεται κατὰ μέν τινας διὰ τὸ εἰς θερμὴν τὴν μήτραν καθελκόμενον σπέρμα θραύεσθαι, καὶ ποιεῖν οὕτως τὰ δίδυμα, καὶ τρίδυμα. ἄλλοι δὲ τὰς ἐπισυλλήψεις ᾐτιάσαντο. ἡμεῖς δέ φαμεν ὅτι ἐὰν εὑρεθῇ τὸ σπέρμα εἰς ἄμφω ταῦτα, γίνεσθαι τὰ δίδυμα. Τέρατα γίνεται, ὡς μέν τινες λέγουσι κατὰ παρέγκλισιν τῆς μήτρας. τὸ γὰρ σπέρμα παρεγχεόμενον ἀνωμάλως ποιεῖ τὰ τέρατα, ὃν τρόπον καὶ τὸν μόλιβδον θερμὸν ὄντα ἐπειδὰν καταχυθῇ ἀνωμάλως ἀνώμαλον ποιεῖ τὸ δημιούργημα. τὰ δὲ τέρατα ἤτοι κατ' ἔλλειψιν, ἢ κατὰ πλεονασμὸν γίνεται. καὶ τὰ μὲν κατὰ μέγεθος ὡς τὰ μεγαλοκέφαλα. τὰ δὲ κατὰ σμικρότητα ὡς τὰ στρουθοκέφαλα. τὰ δὲ κατὰ πλεονασμὸν ὥσπερ τὰ ἑξαδάκτυλα, ἔσθ' ὅτε δὲ καὶ πλεονοδάκτυλα. Διὰ ποίαν αἰτίαν, τῶν ἑπταμήνων γονίμων ὄντων τὰ ὀκτάμηνα ἄγονά ἐστιν; λέγεται οὕτως, ὅτι ὁ ὀκτὼ ἀριθμὸς ἄρτιός ἐστι, καὶ συνεζυγμένος, μὴ κρίσιμος ὤν. ὁ δὲ ἑπτὰ ἀριθμὸς περιττός, καὶ οὐ δὲ συνεζυγμένος, καὶ διὰ τοῦτο κρίσιμος. Αἰτία συλλήψεως, ἡ τῆς μήτρας σύμμετρος θερμασία, καὶ ἡ πρόσφατος τῶν ἐμμήνων κάθαρσις, καὶ ὄρεξις. ταῦτα γὰρ ὁμοῦ συνελθόντα κατέχει τὸ σπέρμα. πρῶτον συνίσταται τοῦ ἐμβρύου τὸ χόριον. εἶτα τὰ λοιπά. τὸ χόριον μὲν συνέστηκεν ἐκ δύο φλεβῶν, καὶ δύο ἀρτηριῶν, καὶ πέμπτου τοῦ καλουμένου οὐράχου, ἤτοι ἐπειδὴ χώρημα ἐστὶ τοῦ ἐμβρύου οἱονεὶ χωρίον, ἢ ἐπειδὴ χορηγεῖ τὴν τροφὴν αὐτῷ. Ὠδῖνές εἰσι πνεύματος ἀθρόου καταφορὰ πρὸς τὴν ἐκδρομὴν τοῦ ἐμβρύου. τὰ καταμήνια παρέχεται τῇ γυναικὶ πρὸς ὑγείαν ἐκκρινόμενα, ἐπισχεθέντα δὲ διὰ τὴν σύλληψιν τῷ ἐμβρύῳ τὴν τροφὴν παρέχει. γέγονε γὰρ καὶ πρὸς σύλληψιν, καὶ πρὸς τὴν τοῦ γάλακτος γένεσιν. ταῖς κυούσαις ἡ κίσσησις αἰτία γίνεται μετὰ δύο που, ἢ τρεῖς τῆς συλλήψεως μῆνας στομάχου παθόντος. τὸ γὰρ ἔμβρυον οὐδέπω δύναται καταναλίσκειν τὴν τροφήν. κίσσης αἰτία γίνεται τὸ πλεονάζειν τὴν ὕλην, καὶ ταραχὴν ἐγγίνεσθαι τῷ στομάχῳ, ἀμέλει ἐπειδὰν αὔξησιν λάβῃ τὸ ἔμβρυον κάτω φερομένου τοῦ αἵματος ἐπ' αὐτὸν ὁ στόμαχος ἀκραδίσταται. Σχήματα ἐμβρύων τέσσαρα. ἓν μὲν τὸ κατὰ φύσιν ὅ ἐστιν ἐπὶ κεφαλήν. τὰ δὲ λοιπὰ τρία, ἅτινα παρὰ φύσιν ἐστί. τὸ ἐπὶ πόδας, τὸ πλάγιον, καὶ τὸ διπλοῦν. Αἱ δυστοκίαι κατὰ τρεῖς γίνονται τρόπους, κατὰ τὴν κύουσαν. κατὰ τὸ κυόμενον. κατὰ τὰ ἔξωθεν. κατὰ τὴν κύουσαν διχῶς. ψυχικῶς μὲν ζηλοτυπίαις ἐχομένην, ἢ λύπαις, ἢ ἄλλῳ τινὶ πάθει. σωματικῶς δὲ ἢ στενόπορον οὖσαν, ἢ καταπίμελον, ἢ πρώτως κύουσαν ἢ ἄτροφον ἔχουσαν τὴν μήτραν. παρὰ δὲ τὸ κυόμενον ἤτοι ὅταν ἐναποθάνῃ, ἢ δίδυμον ἢ τερατῶδες. παρὰ δὲ τὸ ἔξωθεν χειμῶνος ἐπιτεταμένου, ἢ καύματος σφοδροῦ. Αἰτίαι τῶν ἐν μήτρᾳ ἑλκῶν, ὅτε μὲν ἀπόστημα. ὅτε δὲ τοκετὸς φθόριος. ὅτε δὲ ἐν μήτρᾳ σκίῤῥος. ἔστι δὲ χρόνιος οὗτος μετ' ἄλλων. ἡ ἐν μήτρᾳ σάρκωσις ἐστὶ σαρκὸς ἠθροισμένης ἔκφυσις. ἣν χρὴ διὰ μέρος ἀποσφάξαντα, εἰ μεγάλη εἴη, περικατακνίζειν, ἵνα τάχιον νεκρωθῇ. εἰ δὲ εἴη βραχεῖα, παραχρῆμα βαστάζειν. Αἱμοῤῥαγία ἐστὶν αἵματος λάβρου ἔκχυσις, κατὰ περίῤῥυσιν μὲν μεγάλης οὔσης διακείσεως. κατ' ἀκοντισμὸν δὲ εἰς στενότητα τυγχανούσα*. ὡς ἐπὶ τῶν φλεβοτομιῶν. διαφέρει αἱμοῤῥαγία αἱμοῤῥοΐδος ὅτι ἡ μὲν αἱμοῤῥαγία, ὡς ἔφην, λάβρος ἐστὶν αἵματος ἔκχυσις. ἡ δὲ αἱμοῤῥοῒς κατὰ περιπήδησιν καὶ κατ' ὀλίγον αἵματος φορά. τρόποι αἱμοῤῥαγίας δύο, ἢ κατὰ διαπήδησιν ἢ κατὰ ῥῆξιν. ἔστι δὲ ἡ κατὰ διαπήδησιν καὶ ἡ κατὰ διάβρωσιν ἐν ἡμῖν ἀγγείων, δυσβοήθητος. ἀρτηρίαι μᾶλλον ἢ φλέβες, καὶ τὰ ἐν βάθει τῶν περὶ τὴν ἐπιφάνειαν, καὶ τὰ γειτνιῶντα τοῖς τόποις. εὐαιμοῤῥάγητοι τόποι καὶ δυσεπίσχετοι, κροταφῖται μύες, μήνιγγες, ὑποφῶα, κιονίς, τράχηλος, μασχάλαι, βουβῶνες, καὶ τὰ τοιουτότροπα. τῶν δὲ ἀνθρώπων παρ' ἡλικίαν μὲν οἱ νέοι. παρ' ἕξιν δὲ οἱ κακόχυμοι. περὶ δὲ τὴν ὥραν ἐν τῷ θέρει. Χυμὸς παρὰ μὲν Ἱπποκράτει διὰ παντὸς ἐπὶ τῶν κατὰ τὸ σῶμα τέτακται χυμῶν, ἐξ ὧν ἐστὶν ἡμῖν ἡ σύστασις αἵματος, φλέγματος, χολῶν δύο, ξανθῆς τε καὶ μελαίνης. παρὰ δὲ Πλάτωνι καὶ Ἀριστοτέλει ἡ γευστὴ ποιότης καὶ ἑκάστη τῶν ὄντων ἐν ἡμῖν, χυμὸς ὀνομάζεται. εἰσὶ δὲ ποιότητες, ὀξύτης, αὐστηρότης, στρυφνότης, δριμύτης, ἁλυκότης, γλυκύτης, οὕτω καὶ Μνησίθεος βούλεται. ἐν τῷ παθολογικῷ τῆς ἰατρικῆς μέρει περιέχεται τί τε καὶ ὁποῖόν ἐστι καθόλου, καὶ τί τὸ κατὰ μέρος πάθος καὶ νόσημα, καὶ τί τε αἴτιον, καὶ τί σημεῖον, καὶ τίνες αἱ τούτου διαφοραί, πολυειδεῖς δὲ αὗται, οὐ τὸ πάθος τῶν νοσοποιῶν αἰτιῶν καὶ οἱ τόποι περὶ οὓς ἐστὶν αὐτὰ τὰ πάθη, ζητοῦμεν γὰρ τί τὸ πάθος φρενῖτις, ἐπιληψία, λήθαργος, πλευρῖτις, περιπνευμονία, παράλυσις καὶ τὰ ἑξῆς. ἔστι δὲ τούτων τὰ αἴτια πρόδηλα καὶ οὐ πρόδηλα. καὶ προκαταρκτικὰ καὶ προηγούμενα, καὶ συνεκτικά, καὶ καθόλου τίς ἡ κατασκευὴ τοῦ πάθους, καὶ περὶ τίνα τοῦ σώματος ταῦτα εἴρηται. Κρίσις ἐστὶν ἡ ἀξία καὶ ὀξύῤῥοπος ἐν χρόνῳ διάλυσις. Περίοδός ἐστι τεταγμένου χρόνου ἀνταπόδοσις, ἅτε ὁ ἐγκέφαλος τὴν

ψυχικὴν

ψυχικὴν ἔχει δύναμιν, καὶ ταύτης τὸ ἡγεμονικὸν ὅπερ ἐστὶ λογιστικὸν καὶ ὁ νοῦς. ἡ δὲ καρδία τὸ θυμικόν. διοικεῖται δὲ τὸ μὲν σῶμα ὑπὸ τῆς καρδίας καὶ τοῦ ἥπατος ὁμοίως. δύναμις δὲ φυσική, ἥτε αὐξητική τε καὶ θρεπτική. λαμβάνει δὲ καρδία εἰς τὸ τρέφειν καὶ αὔξειν τὸ σῶμα, αἷμα μὲν, παρὰ τοῦ ἥπατος, πνεῦμα δὲ παρὰ τοῦ πνεύμονος, ἃς ὕλας δεξαμένη παρὰ τῶν εἰρημένων μορίων ἡ καρδία, οἰκονομήσασα δὲ καὶ ἐργασαμένη οὕτως εἰς ἅπαν διαπέμπει τὸ σῶμα. Ὀργανικὴ ἐστὶ μέρος χειρουργίας περιποιοῦν διὰ καταρτισμοῦ, καὶ τῆς ἀκολούθου θεραπείας τοῖς παρὰ φύσιν διατεθεῖσιν ἀνθρωπίνοις ὀστοῖς τὸ ὑγιαίνειν. κατὰ δύο τρόπους σύγκειται ἐν ἡμῖν ὀστᾶ κατὰ ἄρθρον καὶ κατὰ ἁρμογήν. Ἄρθρον ἐστὶν ὀστῶν κατὰ φύσιν κινουμένων συμβολή. Ἁρμογὴ ἐστὶν ὀστῶν ἀκινητούντων κατὰ φύσιν συμβολή. Ὀλίσθημα ἐστὶ τῶν κατ᾽ ἄρθρον ἢ κατὰ ἁρμογὴν κινουμένων ὀστῶν φορὰ εἰς τὸ παρὰ φύσιν. Ἐξάρθρημα ἐστὶν ὀστοῦ κινουμένου κατὰ φύσιν ἐκ κοιλότητος βαθείας ἔκβασις εἰς τὸν τόπον, τὸν παρὰ φύσιν. Παράρθρημα ἐστὶ παραλλαγὴ ἢ

10 φθορὰ ὀστοῦ κατὰ φύσιν εἰς τὸν παρὰ φύσιν τόπον. Κίνημα ἐστὶ τὸ κατὰ γόμφωσιν ἢ καθ᾽ ἁρμονίαν συγκειμένων ὀστῶν ἐν τῷ αὐτῷ τόπῳ, εἰς τὸν παρὰ φύσιν τόπον ἔκστασις. ὥσπερ ἐκ ταρσοῦ ὀστείων ῥαγέντων ἢ σπονδύλων εἴωθε γίνεσθαι. Διάστασις ἐστὶ τῶν κατὰ ῥαφὴν ἢ κατὰ σύμφυσιν συγκειμένων ὀστῶν χωρισμὸς ἢ διάστασις ἀπ᾽ ἀλλήλων. Καταρτισμὸς ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τοῦ παρὰ φύσιν τόπου, εἰς τὸν κατὰ φύσιν. Τάσις ἐστὶν ὁλκὴ σωμάτων. Μοχλία ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τοῦ παρὰ φύσιν τόπου, εἰς τὸν κατὰ φύσιν. Κατάστασις ἐστὶν ὁλκὴ σωμάτων, εἰς τοὺς κάτω τόπους. ταύτης δὲ ἡ μέν τις ἐστὶν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους τῶν ἀρχῶν κατ᾽ εὐθὺ ἀποδιδομένων τῶν τῆς τάσεως αἰτίων, ἡ δὲ κατ᾽ ἀντιμετάληψιν ἐστὶν ὁλκὴ σωμάτων εἰς τοὺς κάτω τόπους μεταλαμβανομένων τῶν ἀρχῶν διὰ τροχιλίων, ἄνω προσδεδημένων τῶν τῆς τάσεως αἰτίων. ἡ δὲ κατὰ μετάληψιν ἀνάστασις νοεῖσθαι δύναται ἀπὸ τῶν ὑπὸ τῆς καταστάσεως εἰρημένων. Διάτασις ἐστὶν ὁλκὴ σωμάτων εἰς τοὺς ἄνω καὶ κάτω τόπους. Ἐξελκυσμὸς ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τῆς ἐπιφανείας εἰς τὸ βάθος. Ῥῆγμα ἐστὶ μεταγωγὴ ὀστοῦ ἢ

20 ὀστῶν ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν. Μεταγωγὴ ἐστὶ διεστραμμένου ὀστοῦ ἀντανάκλασις εἰς τὸν τόπον τὸν κατὰ φύσιν. Ἔκστασις ἐστὶν ὀλιγοχρόνιος μανία. Ἔκπληξις ἐστὶ διανοίας ἔκστασις διά τινα ταραχὴν αἰφνίδιον ἔξωθεν. Ἐνθουσιασμὸς ἐστὶ καθάπερ ἐξίστανται τινὲς ὑπὸ τῶν ὑποθυμιωμένων ἐν τοῖς ἱεροῖς ὁρῶντες ἢ τυμπάνων ἢ αὐλῶν ἢ συμβόλων ἀκούσαντες.

ΓΑΛΗΝΟΥ ΟΤΙ ΑΙ ΠΟΙΟΤΗΤΕΣ ΑΣΩΜΑΤΟΙ.

30 Οὐδὲν τῶν ἐμῶν ἀγνοεῖν βουλόμενος, οὐδ᾽ ἂν πάνυ τι σμικρὸν εἶναι δοκῇ, αὐτὸ γὰρ τὸ λανθάνειν τι τὸν φίλον, οὐ σμικρὸν ἐστίν, ὁμιλίαν μοι γενομένην πρός τινα δηλῶσαί σοι βούλομαι μετὰ τῆς ἐνδεχομένης ἀκριβείας ἐργασάμενος. ὁ γὰρ ἐξ ὑπογύου λόγος περαινόμενος, τῆς ἀκριβείας λείπεται, ἄλλως τε, καὶ εἰ τύχοιεν κοινωνοῦντες τοῦ λόγου ἀντιφιλοτιμούμενοι τε φιλόνεικοι. ἦν δὲ ὁ περὶ τῶν ποιοτήτων λόγος, καὶ τῶν συμβεβηκότων ἁπάντων ἅ φασιν εἶναι στωϊκῶν παῖδες σώματα. πρὸς οὓς χρὴ τάδε λέγειν. ἆρ᾽ οὐχὶ σῶμα τινὸς φήσαντος, εὐθὺς νοεῖν ἡμῖν συμβέβηκεν τριχῇ τινὰ διαστᾶν τὴν οὐσίαν ἀντίτυπον. αὐτὸ δὲ μόνον εἰ φαίη τὴν τριχῇ διαστατόν, οὐ μᾶλλον σῶμα νοῆσαι τὸ λεγόμενον, ἢ καὶ τὸ κενὸν καὶ τὸν τόπον, χρὴ δὲ τοὺς ὅρους καὶ τὰς ὑπογραφάς, καὶ τὰς λογικὰς δηλώσεις, τινῶν αὐτῶν

40 εἶναι καὶ μόνων ἐκείνων δηλωτικάς, ἃ δηλοῦν βουλόμεθα, καὶ μὴ κοινὰς πρὸς ἑτέρας. ὅτε γε μὴν τὸν περὶ τῶν κοινῶν λόγον ἀπαιτούμεθα. ὅτι δὲ κοινὸν ἐστιν, ὥσπερ δῆλον. λέγω δὲ τὸ τριχῇ διαστατόν, σώματός τε καὶ κενοῦ καὶ τόπου, στωϊκοὺς μὲν ὁμολογεῖν ἀναγκαῖον, ἅτε κενὸν ἀπολειπόντας ἐν τῇ τῶν ὄντων πραγματείᾳ φύσει, κἂν ἐν τῷ κόσμῳ τοῦθ᾽ ὑπάρχειν μὴ λέγωσι τοὺς ἄλλους φιλοσόφους, νοεῖν γε πάντως ἀναγκαῖον, πῶς γὰρ ἀπέφασκον τοῦ κενοῦ τὴν φύσιν, εἰ μηδὲ ἐν ἐννοίᾳ τὸ σύνολον; εἰ δὲ νοοῦσιν, οὐκ ἄλλο τι νοεῖν φήσουσιν, τἀληθὲς ὁμολογεῖν βουλόμενοι † πάντες σῶμα. καθάπερ οὐ δίχα χρόνου. δῆλον ὡς οὐδὲ δίχα τόπου, καὶ τούτου, καὶ οἱ τοῦ τριχῇ διαστατοῦ ἵνα δέξηται τὸ τριχῇ διαστατὸν εἰς ἑαυτὸ μαρτύριον, τούτων τῶν αἰσθητῶν σωμάτων ἕκαστον. πηχαῖον γάρ τι φέρε τῷ μήκει, σπιθαμιαῖον δὲ τῷ πλάτει, καὶ βάθει τετραδάκτυλον σῶμα, ἀναλόγου δεῖται τόπου. τοῦ χωρήσαντος αὐτό. τοῦτ᾽ ἡμῖν ἔστω διάταγμα καὶ περὶ τοῦ λόγου θεωρητοῦ παντὸς σώματος. τοιαύτης δὲ οὔσης τῆς τοῦ σώματος νοήσεως, καὶ τοῦ κατ᾽ αὐτὴν ὁριστικοῦ λόγου, πᾶς ὁμολογήσει δῆλον, ὡς οὐκ ἂν δυσχερὲς μὴ τὸν αὐ-

50 τὸν ἐπιδέχεσθαι λόγον, καὶ νοεῖται, ὡς οὐχὶ τούτων ἑκάστη, λέγω δὲ τῶν τριῶν διαστάσεων, τὴν ἴσην ἔχει φύσιν, οὐ δὲ τὸν αὐτὸν ἐπιδέχεται λόγον, οὐδ᾽ ὅλον ἐστὶ λέγειν σῶμα τοῦ σώματος τὸ μῆκος, πλὴν εἰ μὴ ἄρα κατὰ συμπλοκήν, συμβεβηκὸς δὲ τῷ σώματι. οὐδ᾽ ὅμοιος ὑπὸ τοῦ πλάτους καὶ βάθους καὶ βάρους, καὶ τοῦ σχήματος λόγος, καὶ τῶν λοιπῶν ἅπαξ ἁπλῶς ποιοτήτων τε καὶ συμβεβηκότων. ἀλλὰ κατά τινας τὸ μὴ δίχα σώματος ταῦτ᾽ εἶναι μὴ δὲ νοεῖσθαι, ὅπερ εἰ σκοπείημεν ὥραν μίαν πάντα ποιεῖν, μηκ[illegible]νειν καὶ μηδὲν ἕτερον εἶναι λέγειν, ἀλλ᾽ ἓν μόνον τὸ σῶμα. εἰ δὲ τοῦτ᾽ ἄτοπον, ἀναρίθμητοι γάρ εἰσιν οὐσιῶν τε κατ᾽ ἰδιότητα φύσεις, καὶ ποιοτήτων, καὶ συμβεβηκότων, διαφόρων τε καὶ ποικίλων, καὶ ἐναντίων. μὴ δ᾽ οὖν ἕτερον ἑτέρῳ τούτων, ταυτόν, λέγωμεν, ἔνθα τίς ἐστιν ἡμῖν λόγος περὶ διαφορᾶς, ἔτι καὶ τὸ συμβεβηκὸς τῷ σώματι σχῆμα φήσωμεν † σῶμα σώματι συμβεβηκέναι, δῆλον ὡς ἐροῦμεν, ὅπερ ἄτοπον τί γὰρ μᾶλλον αὐτῶν οὐσίαν; τί δὲ συμβεβηκὸς φήσομεν; ἔτι μίαν ἔχομεν νόησιν σώματος ὡς σώματος, ὁ τὸ σχῆμα σῶμα λέγων, ἢ κενὸν νοήματος ὄνομα προσφέρεται τοῦ συμβεβηκότος, ἢ

† al. περὶ τὸ

† al. σῶμα deesse.

συνωνύμως ὀνομάζει τῷ σώματι. εἰ δὲ ἔστιν ἄπειρον ἑκάτερον, καὶ γὰρ καὶ σημαίνει τι, καὶ διὰ τοῦτ' ἔστιν ὄνομα, καὶ δηλοῖ τι νόημα τοῦ σώματος ἕτερον, εἰ καὶ μὴ χωριστικῶς, οὐκ ἔστι σχῆμα τὸ σῶμα. ἔστι δ' ὅμοιος ἐπὶ τῶν λοιπῶν συμβεβηκότων λόγος, χρωμάτων τε καὶ χυμῶν καὶ τῶν πρὸς ὄσφρησιν, καὶ τῶν πρὸς ἀκοὴν φωνῶν, λόγων, συριγμῶν, νυγμῶν, ποππυσμῶν, στεναγμῶν, ῥυγμῶν, ῥογχασμῶν, βόμβων, ἤχων, ψόφων. εἰ δὲ λέγοι τις ταῦτά τε καὶ τὰ τοιαῦτα πάντα ὑπάρχειν ἀέρα πεπληγμένον πως, καλὸν ἐπειπεῖν αὐτῷ τὸ Μενάνδρειον, ταῦτά τε ἀπολώλεκεν ὦ πονηρέ. τὸ μὴ δίχα σώματος νοεῖσθαί τι τοιοῦτον, ὅπερ ὁμολογῶ καὶ αὐτός, οὔ φημι δὲ δεῖν γε, καὶ ταὐτὸν εἶναι νομίζειν, τὸ ἔχον τῷ ἐχομένῳ. οὔτε γὰρ Κλεάνθης, ᾧ φῦμα ἐπισυμβέβηκε ποτ' αὐτῷ, κατ' αὐτὸ νόσημα, οὔτε Χρύσιππος, ἔτι δ' Ἐπίκουρος στραγγουρία, ἐπειδὴ ἐκ τούτου τοῦ πάθους αὐτοῖς συνέβη καταστρέψαι τὸν βίον. οὔκουν οὐδὲ πληγὴ τοῦ ἀέρος ἀήρ ἐστιν. ἀλλὰ διαφέρει καὶ τῇ φύσει καὶ τῇ νοήσει, καὶ τῷ δηλοῦντι λόγῳ, τί ποτ' ἐστὶ τούτων ἑκάτερον. ὅτι δὲ ἐστὶν ἀλλήλων τε καὶ τοῦ σώματος ἕτερα τὰ σχήματα, αὐτὴν σου γοῦν ἐπὶ τούτων νῦν τὸν λόγον μάρτυρας. γεωμέτραι ἕτερον κύκλου τε καὶ τῶν ἄλλων σχημάτων ὅρον ἀποδιδόντες, καὶ ἕτερον τοῦ σώματος, ὧν οἱ λόγοι τε τυγχάνουσιν ἕτεροι ὄντες, καὶ τὰ σημαινόμενα, καὶ πολὺ πρότερον αἱ νοήσεις. ταῦτα πάντα πῶς ἂν γε εἶεν λέγοι τις σωφρονῶν, εἴτε καὶ τὰ συμβεβηκότα φήσομεν τῷ σώματι σώματα, ὧν ἐροῦμεν τίνι συμβεβηκέναι, πότερα ταῦτα τῶν συνήθως ὑφ' ἁπάντων καλουμένων, σώματ' εἴη, τούτοις ἅπασι κοινωνήσει, καὶ κατ' ἰδίαν ἑκάστῳ τῷ σώματι. ἑκάτερον γὰρ ἄτοπον, εἴτε γοῦν ταῦτα σωματικὴν οὐσίαν ἔχει, ἢ λεγόμενα, συμβέβηκε τῷ σώματι. εἰ μὲν οὖν σώματά ἐστι συμβεβηκότα, καλοῦμεν πάντα γε ὄντα σώματα, καὶ οὐχὶ τὰ μὲν συμβεβηκότα, τὰ δὲ σώματα. εἰ δ' οὐχὶ σώματα, ἀλλὰ ἄλλα τινά, οὐκ ἄρα τὸ συμβεβηκὸς σῶμά ἐστιν, εἴτε τούτοις ἅπασι σώμασιν οὖσι σῶμα ὄντως συνήθως ὑφ' ἁπάντων καλούμενον συμβέβηκεν, τὸ δὲ παραπλήσιον ἐστὶ λέγειν, κἀκεῖνο πυνθάνεσθαι ἐμμένειν ἀδιαίρετον πᾶσιν αὐτοῖς συμβεβηκέναι λέγοιτο μὴ μεριζόμενον ἰσαρίθμοις αὐτοῖς. τοῦτο γὰρ οὐδὲ τι τοῦ χρόνου μεμένηκεν ἀναμφισβήτητον, οὐχ ἔτι σμικρότατον. ἀνάπαλιν φασί τινες τοῖς οὖσι συμβεβηκέναι πράγμασιν. εἰ δέ τις τουτὶ φεύγων, ὡς ἄτοπον, ἰσαρίθμως ἐρεῖ τοῖς καλουμένοις συμβεβηκόσιν, ἃ καὶ αὐτὰ καλεῖ σώματα συμβεβηκέναι τὴν οὐσίαν πολλά τε ὧν ἀγνοεῖ, ἐπεὶ καταπλάττει τῶν πραγμάτων τὴν φύσιν καὶ τὴν νόησιν, οὐ τὸ σῶμα. εἰ τὰ συμβεβηκότα λέγων συμβεβηκέναι. τὸ δὲ σῶμα τοῖς συμβεβηκόσι, καὶ εἰ σῶμα σώμασι ποιεῖ συμβεβηκός, ὥστε καὶ ἀπορεῖν εἰκότως τίνι χρῆναι λέγειν φημὶ συμβεβηκέναι. εἴτε ἰσαρίθμως τοῖς συμβεβηκόσι. μεριζόμενον τὸ συνήθως λεγόμενον σῶμα ἑκάστῳ τούτων ἴδιόν τι συμβέβηκεν ἄλλο μέρος τοῦ σώματος, ἄλλῳ περὶ τοῦ συμβεβηκότος συμβήσεται. εἴτε καὶ συμβεβηκότα σώματά ἐστι, πᾶν δὲ σῶμα, ἐπ' ἄπειρον τέμνεται, ἕκαστον τῶν ἀπείρων τούτων σωμάτων πᾶσι τοῖς ἄλλοις συμβεβηκόσι σωματικοῖς οὖσι καὶ αὐτοῖς συμβέβηκεν. σκόπει τὸ πλῆθος τῶν ἀτόπων. τὸ δὲ σῶμα σώματι συμβέβηκεν ἄν, καὶ τὸ γε εἶναι νομιζόμενον τοῖς ἀπείροις, καὶ τὸ ἅμα τε ὅλον καὶ μὴ ὅλον. ὅλον μὲν, εἰ παμφερὲς τὸ σχῆμα, καὶ τὸ ποσὸν τῆς τοῦ μήλου στρογγυλότητος, πᾶσι τοῖς ἄλλοις συμβεβηκόσι τῷ μήλῳ συμβέβηκεν. οὐχ ὅλον δὲ, ἢ ἕκαστον τῶν ἀπείρων τμημάτων οὐκ ἔστι ταὐτὸν τῷ ἀφ' οὗ τέτμηται, εἴτε καὶ τὸ σῶμα τοῦ μήλου σῶμά ἐστι, καὶ τὸ σχῆμα καὶ ἡ χρόα καὶ ἡ ὀσμή, καὶ ὁ πρὸς γεῦσιν χυμός, καὶ ἕκαστον τούτων ἐπ' ἄπειρον τέμνεται μόνον, οὐκ ἐξ ἀπείρων μήλων ἐστὶ συνεστηκός, ὧν ἕκαστον καὶ στρογγύλον ἔσται παραπλησίως ὅλῳ τῷ μήλῳ. εἴ γε τοῦ κεκοινώνηκε σχήματος, καὶ ὠχρὸν καὶ γλυκὺ φέρε, ἢ αὐστηρόν, καὶ τοιοῦτον ἢ πρὸς ὄσφρησιν, καὶ πάλιν ἕκαστον τῶν ἀπείρων τμημάτων μῆλον ἔσται, εἰ πάντα ταῦτα ἔχει. ἐξ ἀπείρων οὖν σωμάτων, μᾶλλον δὲ μήλων, τὸ ὀφθαλμοφανὲς μῆλον ἔσται συνεστηκός, ὅπερ γελοῖόν γε πολλαχῶς. ἀτὰρ δὴ καὶ τὸ τῶν τμημάτων ἕκαστον οὐκ ἔχον τὴν στρογγυλότητα, μηκέτι εἶναι μῆλον, μήλου δὲ μέρος. μετά γε στρογγύλον, φέρε, σχήματος ἦν τὸ μῆλον μόνον. ἔσται μὲν ἐκ μιᾶς οὐσίας σωματικῆς. πολλῶν δὲ καὶ διαφόρων συμβεβηκότων συνεστηκός, οὐκ ἔστι τοῦτο δῆλον, ὡς οὐδὲν σῶμα. πότερόν τε τούτων ἕκαστον ἴδιον ἐπέχει τόπον, ἢ πάντα τὸν αὐτόν. εἰ μὲν γὰρ ἴδιον οὔτε συμμεταλαμβάνειν δῆλον, ὡς τῆς ἀλλήλων ἰδιότητος καὶ ποιότητος, οὐδὲ μῆλον ἔσται ἐσχηματισμένον στρογγύλον, καὶ κεχρωσμένον ὠχρότητι, καὶ πεποιημένον πρὸς γεῦσιν ὧδέ πως, καὶ κατ' ὄσφρησιν οὕτως. εἰ δ' ἅμα πάντ' ἐστὶ καὶ ἕνα κατέχειν τόπον, σύγχυσίς ἐστι τῶν ἰδιωμάτων, καθάπερ ἐπὶ τῶν συνθέτων καὶ ἐκ πλειόνων καὶ διαφόρων εἰδῶν μεμιγμένων φαρμάκων, ἐφ' ὧν ἡ ἑκάστου τῶν μεμιγμένων ὑλῶν ἰδιότης καὶ ποιότης εἰλικρινὴς οὐ σώζεται. γε δὲ τι γίνεται παρ' ἑκάτερον. οὐκοῦν εἰλικρινὴς ἐστὶ γνῶσις ἑκάστου, ὡς εἰπεῖν, εἴδους. τουτὶ τὸ στρογγύλον σχῆμα τοῦ μήλου, καὶ τουτὶ τὸ χρῶμα, καὶ τῶν ἄλλων συμβεβηκότων ἕκαστον. ἔτι δὲ μᾶλλον, εἰ μὴ παρατεθεικὼς ἀλλήλων ἅπτεται ταῦτα τὰ μόρια, ἀλλ' ὅλα δι' ὅλων μέμικται, ἡ ἑκάστου ἰδία ποιότης ἀπόλλυται. ἀλλ' οὐδὲ μίξιν ἔστιν εἰπεῖν ταύτην κυρίως. πῶς γὰρ ἂν κατ' ἑαυτάς τινες ἰδιότητες οὐκ εἰσὶν ἡνωμέναι καὶ κατειλημμέναι; τοῦτ' ἔστι φάναι μεμίχθαι. ἐπιτείνεται δὲ τὸ ἄπειρον τοῦ λόγου, εἰ καὶ τὸ μῆκος τοῦ σώματος σῶμά ἐστι, καὶ τὸ πλάτος, καὶ τὸ βάθος. ἅμα γὰρ ἄπειροι φημὶ σωμάτων ἀπειρίαι γενήσονται ἐν βραχεῖ, κατὰ περιγραφὴν πρὸς αἴσθησιν τόπου. τό τε τῶν πολλῶν τούτων μᾶλλον δὲ ἀπείρων σωμάτων πλῆθος, ἆρά γε ἓν ἀΐδιον, καὶ πῶς ἔτι φήσουσιν ἄποιον τὴν πρώτην οὐσίαν; ἐξ ἧς φασὶ τόν τε κόσμον, καὶ τῶν ἐπὶ μέρους εἰδῶν ἕκαστον γεγονέναι, ἢ γέγονεν ἔκ τινος χρόνου, καὶ συνῆλθεν εἰς ταὐτὸν ἅπαντα ἵνα ἐκ συνεργείας γένηται τὰ συγκείματα. ἀλλὰ καὶ τοῦτ' ἀτοπώτατον εἶναι λέγομεν, καὶ κατὰ πλείους τρόπους. πρῶτον μὲν, ὅτι μὴ μιᾶς ἦν ὕλης φύσεως ἔοικεν ἀποσωματική. πολλαὶ δὲ καὶ ἄπειροι καὶ διάφοροι ἡμῖν σχήματος τῆς κοινῆς οὐσίας. ἡ μὲν τῶν ἐπ' εἶδους μυρίων σχημάτων, ἡ δὲ χροιᾶς, καὶ ταύτης ἀριθμοῦ κατ' εἶδος. ἡ δὲ χυμοῦ, ἐπὶ πρὸς γεῦσιν, οὐ πάλιν ἀτέρμαστος τίς ἐστιν διαφορά. ἡ δὲ τοῦ πρὸς ὄσφρησιν, καὶ τούτου πολύχρουν ἔχοντος ἐξαλλαγήν. ἄπειροι τοιγαροῦν ἔσονται κατ' αὐτοὺς χρεῖαι καὶ διαφοραὶ ποιοτήτων σωματικῶν. μία δὲ ἦν ἡ πεποιημένη. ἐπιμεριθῆναι χρὴ τοῖς ἀδήλοις δηλαδή, καὶ τοι τινὰ ποτέ τι χρείαν ταύτην ἔχουσιν ἵνα σωματικαὶ γένωνται, φθάνουσί γε καὶ σῶμα εἶναι, καὶ πεποιημέναι τινὲς οὐσίαι. ἕκαστόν τε τῶν ἀπείρων τούτων σωμάτων εἰ ἐπ' ἄπειρον τέμνεται, ἄπειροι χρεῖαι πῶς συνέλθουσι, καὶ πότε, τὸ γὰρ ἄπειρον ἀδιεξίτητον,

καὶ τὸ

καὶ τὸ φῶς ἐστὶ σῶμα, καὶ ἡ λευκότης, καὶ ἡ θερμότης. πᾶν δὲ σῶμα ποσόν ἐστι καὶ πηλίκον, καὶ συναυξητικὴν φύσιν ἔχειν κατ' αὐτὸ θεώμεθα, καὶ θερμανθὲν ὕδωρ ὑπὸ ἡλίου πλεῖόν τε καὶ μεῖζον γίνεται, καὶ διὰ τοῦτο μείζονος δεῖται τόπου. πῶς δὲ καὶ εἰς βραχὺν τόπον καὶ κεγχραῖον ἂν οὕτω τύχοι, συνίασιν ἥτε σχηματότης, καὶ τῶν λοιπῶν συμβεβηκότων ἕκαστον, ἅμα τε πνεῖ, καὶ ἔτι ἀΐδιον. οὔτε μεταβάλλειν ὤφειλε τὸ σύνολον, οὔτε φθείρεσθαι. τὸ γὰρ ἀΐδιον, ἀμετάβλητον, καθάπερ τῶν θεῶν αἱ φύσεις. εἰ δὲ τοῦτ' ἐστὶν ἀληθές, πῶς τινὰ μετασχηματίσομεν, φέρε εἰπεῖν, τὸν κηρόν, καὶ τί ποτε γίνεται; ἐὰν τετράγωνον ὄντα τε, ἐὰν ποιήσωμεν στρογγύλον. ἆρά τε ἦν τετράγωνον τῇ οὐσίᾳ; εἰ γὰρ ἦν τῇ τοῦ κηροῦ, τέως νῦν ἐστὶν ἡ στρογγυλότης πόθεν ἐλήλυθεν, καὶ μετὰ ποίας αἰτίας τό τε ἄγου σιν, καὶ εἴτε διὰ σώματος ἄτοπον. σῶμα γὰρ διὰ σώματος χωρεῖν, ἀδιανόητον. εἰ ἐπιστήσειέ τις τῇ ἀντιτυπίᾳ, ἔστιν ἴδιον σώματος, ὡς ὁ περὶ αὐτοῦ διδάσκει λόγος προηγουμένως. εἴτε διὰ κενοῦ, ὅτι τε μηδὲν εἶναι φασὶν ἐν τῷ κόσμῳ κενὸν οἱ στωϊκοί, καὶ διότι δὲ σῶμα οὖσαν τὴν στρογγυλότητα, καὶ τὰ λοιπὰ δὲ ἔχειν συμβεβηκότα, καὶ σχῆμα ὃ καὶ αὐτὸ πάλιν ἐξ ἑτέρου δῆλον. ὡς εἰς σωματικοῦ συνεστὸς ἔσται σχήματος. κἀκεῖνο ἐξ ἄλλου, καὶ τοῦτ' εἰς ἄπειρον, καὶ εἴτε ἐκ στρογγύλων τῶν ἐπ' ἄπειρον τεμνομένων σχημάτων τὸ ἄθροον ὑπὸ ἤδη ὄψιν τὴν ἡμετέραν ἀποτετελεσμένον στρογγύλον συνέστηκε. σκόπει τὸν μῦθον, καὶ πόσα περὶ δὲ περὶ πλάσματα παρακολουθεῖ τὰ ἄπειρα. εἴτε μὴ ἐκ στρογγύλων, πῶς ἐξ αὐτῶν γένηται τὸ στρογγύλον; γελοῖον δὲ καὶ τὸ λέγειν, εἰς στρογγύλα σχήματα, τὸ στρογγύλον σχῆμα τέμνεσθαι αὐτῆς μαρτυρούσης τέμνεται οὔτε τὸ τετράγωνον εἰς τετράγωνα. τί δαὶ ἐπὶ τοῦ παρακαλέσαι μετασχηματισμοῦ κηροῦ φύσεως; πότερον ἀντιπαραχωροῦσιν ἀλλήλοις, ἅμα νοήματι, αἱ τῶν διαφόρων σωμάτων σχηματότητες; καὶ πῶς οὐ γελοῖον, καθάπερ ἐμψύχους καὶ λογικὰς οὐσίας ἐξίστασθαι καὶ παραχωρεῖν ἀλλήλαις, ὡς ἐκ συνθήματος; καὶ μᾶλλον ἄπειρον ἐπιγίνεται τὸ λεγόμενον, εἰ ἐκτείνομεν μετὰ ἅμα νοήματος τοὺς δακτύλους καὶ συστέλλοιμεν. εἰ γὰρ μὴ συμβεβηκός ἐστὶν ἡ πυγμή, μηδὲ ἡ ἔκτασις, ἀλλὰ ἀσώματα, ἀπείρους ἅμα σχηματικὰς σχηματότητας χρὴ λέγειν ἀφίστασθαι καὶ παραγίνεσθαι, κἂν δύο δὲ μόνας εἶναι φήσεις, καὶ μὴ ἰσαρίθμους ταῖς ἐκτάσεσιν, καὶ συστολαῖς, ἔτι ποικίλως ἐστὶν ἄπορον τὸ λεγόμενον, ἔτι δὲ μᾶλλον ἀπορώτερον, εἰ μὴ δὲ παραγίνονται αἱ τῆς συστολῆς καὶ ἐκτάσεως σχηματότητες, ἀλλ' ἑτέρα ἐπ' ἑτέρας τῆς χειρὸς ἀπορρέουσιν. ἐχρῆν γὰρ ἐν ἀκαρεῖ χρόνῳ τὸν ὀρχηστὴν διαπεφορεῖσθαι, ἀλλήλων ἐπ' ἄλλοις ἀδήκτως ἀπ' αὐτοῦ σωμάτων ἀποχωρούντων. ἐπὶ δὲ τούτου φήσουσιν, εἴτε μὲν αἴτια τῆς κοινότητος ἀποτελεσματικὰ σώματα, ὅπως ὄξος γίνεται. πῶς δὲ ἀπεπτεῖ; ποῖ δὲ οἴχεται; καὶ πόθεν ἥκει τὰ τῆς τοῦ ὄξους ποιότητος, ἀποτελεσματικὰ σώματα; εἰ δὲ ἐν ὑπῆρχε τῷ οἴνῳ, καὶ τέως πᾶς ἦν οἶνος, ἀλλ' οὐκ ὄξος; σημεῖον τὶς ἐξ ἀμφοῖν τρίτη ποιότης, οὔτε οἶνος οὖσα, οὔτε ὄξος. εἴγε ἤδη τὰ μίξιν ἐστὶν ἡ κρᾶσις. εἴτε κατὰ παράθεσιν. πρὸς οἷς ἔφην ἀτόποις, οὐδὲν ὧν μένειν ἔτι χρὴ λέγειν ὑπάρχειν τὴν οὐσίαν, ἐκ πολλῶν τε καὶ ποικίλων καὶ διαφόρων, καὶ ἐναντίων, καὶ ἀπείρων ἢ μόνον οὐκ ἀπείρων κατ' ἀριθμὸν συγκειμένων συνεστηκυῖαν, καὶ εἰς ἀπείρους πάλιν συγκεῖσθαι τεμνομένην τὴν μίαν τὴν δὲ τινὰ τὴν ὁρωμένην, φέρε τοῦ μήλου φύσιν, ἥν τε λέγουσιν οἱ στωϊκοὶ πρώτην ὕλην καὶ πρώτην οὐσίαν, ἐξ ἧς φασὶ τόν τε κόσμον, καὶ τῶν ἐν αὐτῷ πραγμάτων ἕκαστον πεποιημένον ἀεὶ καθάπερ αἱ ποιότητες σῶμα ἦν, πῶς οὐκ ἦν καὶ αὕτη ποιότης, εἰ εἶχέ γε ποιότητα. εἴτε τὰς ἄλλας ποιότητας οὐκ εἶχε δηλαδή, πάντως ὑπῆρχε βάρος, ὅπερ φασὶν εἶναι σώματος. πῶς ἁπλῆν ἔτι φασὶ τὴν πρώτην οὐσίαν, ἀλλ' οὐχὶ σύγκειμα. εἰ δὲ πεπερασμένην εἶναι φασὶ καὶ πέρασι κεχρημένην. καὶ σχῆμα δῆλον ὡς ἐκέκτητο. ἄτοπον γὰρ ἐστὶν ἰδίοις περικλινόμενον σῶμα πέρασι μὴ ἤδη σχῆμα πάντως ὑπάρχειν, εἰ καὶ μὴ συννοοῖτο τοῦτ' αὐτὸ κατ' ὑπόθεσιν. ὥσπερ εἴπερ εἶδεν ἐνταῦθα ἅπαντα, ταῦτα δαὶ ἐστὶ καθάπερ αὐτοί φασι σώματα. οὔτε ἄποιος ἦν δηλαδή, οὔτε ἁπλῆ. πολλῶν δὲ καὶ διαφόρων σύνοδος ἦν σωμάτων καὶ σύγκειμα. ταύτῃ δὲ οὐδὲν ἀμιγὲς ἦν κατ' αὐτούς. εἰ δὲ μηδὲν εἶχεν πώποτε. πρῶτον μὲν ἀδιανόητον καὶ πλὴν ὀνόματος οὐδέν, εἴτε γὰρ μὴ δεῖ ποῖον εἶναι, ὅτι οὐδέν ἐστιν. εἴτε ποιόν, οὐχὶ δὲ καὶ τὰς τρεῖς διαστάσεις ἔχειν, καὶ σχήματα, πάντως αὐτῷ συμβεβηκὸς ἴδιον ἀδιανόητόν τε καὶ τὸ μή τε βαρὺ τοῦτ' ὑπάρχειν, μήτε κοῦφον. οὐχ ἧττον ἄτοπον εἰ λέγοι τις ἅμα τοῦτ' ἔχειν ἀμφότερα, καὶ ἤδη τὰ αὐτά, καὶ μὴ πρὸς ἄλλο καὶ ἄλλο κεινόμενον. ὑπὸ μηδὲ ἐκείνης ἐχούσης οὐσίαν τῆς ἐξ αὐτῶν, ὥς φασι, γεγονότων. πρότερον τεττάρων ἕκαστον ἔχειν ποιότητα. εὐλογώτερον γὰρ ἐστὶν εἴπερ ἦν ἄποιος, καὶ τὰ δαὶ αὐτῆς ἔχειν γιγνόμενα καὶ πλαττόμενα. εἰ δὲ μὴ δι' αὐτὸς εἶχε τοῦτον μὴ δὲ ἐν καθ' ὑπόθεσιν. τὸ αἰθέριον δ' ἦν ἐκεῖνο πῦρ, ὑφ' οὗ πᾶσι τά τε στοιχεῖα καὶ τὸν κόσμον γεγονέναι. πῶς ταῦτ' ἔχει τὰ γεννήματα καὶ ποιήματα καὶ πλάσματα οὐ μᾶλλον χυθοῦ περιθήσει, ποτ' ὁ κεραμεὺς ποιότητα οὐσίς ἐκ πηλοῦ πλαττομένοις ὑπ' αὐτοῦ. ὁ μὲν οὖν ἰατρὸς αἴτιος εἷς ἐκ πολλῶν φαρμάκων, ἕτερον φάρμακον, ἴσην ποιότητα πάντων ἐχόντων, ποῖον ἕτερον ἐκ τῆς μίξεως ποιεῖ. τὸν δία δ' οὔ φασι μῖξαι τῇ πρώτῃ οὐσίᾳ καὶ σχηματότητα, οὐδὲ μηκότητα, οὐδὲ τῶν ἄλλων τι συμβεβηκότων. εἰ δὲ μιγνύειν ὄντα καὶ αὐτά, δῆλον ὡς ἴδια τοῦτ' ἐστίν. πῶς ἔτι λέγουσιν μόνην τὴν πρώτην ὕλην ἀΐδιον, τὴν ἄποιον; οὐχὶ δὲ καὶ τὰς ἄλλας ποιότητας, καὶ πάντα τὰ συμβαίνοντα. οὔτε γὰρ ποιητὴν εἶναι φασίν, καθάπερ τινὰ χειροτέχνην, τὸν Δία ἀλλ' ὅλον δι' ὅλης τῆς ὕλης διεληλυθότα πάντων δημιουργὸν γεγονέναι. τήν τε πηλικότητα τοῦ θείου πυρός, καὶ τὰ ἐπὶ μέρους τῇ πηλικότητι συμβεβηκότα, τό, τε μῆκος, καὶ πλάτος, καὶ βάθος, καὶ πρὸς τούτοις τὸ λογικὸν αὐτοῦ καὶ τὴν μακαριότητα, εἰ μὲν οὐσίας εἶναι φήσουσιν, καὶ σωματικὰς αὐτὰς ἐροῦσιν, ἐκ σωμάτων, ὡς δῆλον ἦν ὁ ζεὺς συνεστηκώς, καὶ οὐχ ἁπλοῦν, ἀλλὰ καὶ σύγκειμα. εἰ δὲ ἀνουσίως αὐτὰς τοῖς συμβεβηκόσι φύσεις ἐροῦσι, τὸ λεγόμενον ὑφ' ἡμῶν, κρατύνεται, τὸ μὴ σωματικὴν ἔχειν φύσιν τὰ συμβεβηκότα, μηδὲ τὰς ποιότητας. εἰ δὲ μεταποιήσας αὑτὸν ὁ ζεὺς ἰσαρίθμως οἷς ἔφην συμβεβηκόσι, τροπὰς ἔχει ποιοτήτων μυρίας, χείρων ἐστὶ τοῦ μυθολογουμένου Πρωτέως. ὁ μὲν γὰρ εἰς ὀλίγας φύσεις ἑαυτὸν μετεποίει, καὶ μετεμόρφου, καὶ ταύτας οὐκ ἀπρεπεῖς. Ἀλλ' ἤτοι πρώτιστα λέων γένετ' ἠϋγένειος. Αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις, ἠδὲ μέγας σῦς. Γίγνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεον ὑψιπέτηλον. ὁ δὲ οὐκ ἔστιν, ὅτι μὴ δὲ τῶν αἰσχίστων γίγνεται. διὰ μὲν ἀνδρὸς ἄφρονος, ἄφρων ἐστὶν δηλαδή. διὰ δὲ αἰσχροῦ γνώμης, αἰσχροποιός. διὰ δὲ ζώων ἀλόγων, ἀποθηριούμενος. διὰ δὲ λίθων καὶ ξύλων, ἄψυχος γινόμενος. διὰ δὲ κοπρίου, βδελυρὰ φύσις. ἔτι δ' ἀρχαῖον εἰ δι' αὐτὸν μὲν οὖν ἅτε τὴν ὕλην

μεταπλάττειν καὶ χρηματίζειν καὶ ποιεῖν ζητῶν περὶ ὧν ἐστὶν οἷός τε ταῦτα ποιεῖν, οὐ μᾶλλον ἢ πλάστης ποτὲ ἀνδριάντα ποιεῖν χρυσοῦν ἐκ μολύβδου. κἀκεῖνα φιλεῖν τοῖς φιλονείκοις ἀνδράσιν, οὐκ ἄτοπον. καὶ γάρ τοι κίνησις εἰ προσγίγνεται τοῖς σώμασι, καὶ πάλιν ἀπογίγνεται, σώματ' εἶναι φασί. ὥρα λέγειν προϊόντων ἡμῖν σωμάτων κινεῖσθαι, καὶ πάλιν ἀπ' αὐτῶν ἠρεμεῖν, εἶτα πάθη προσγίγνεται, καὶ πάλιν ἀπογίγνεται, καὶ φασὶ ταῦτ' ὑπάρχειν σώματα. πῶς οὐ γελοῖον τὸ κνίσμα λέγειν σῶμα, καὶ μὴ μόνον τὸ κνίζαν, ἀλλὰ καὶ τὸ κνιζόμενον; ἀλλ' ἐπεὶ δίχα σώματος, τοῦ τε δρῶντος καὶ τοῦ πάσχοντος οὐδὲν πάθος προσγίνεται, τοῦτ' αὐτοὺς ἠπάτησε, πρὸς τὸ καὶ τὰ πάθη καλεῖν σώματα. ἀλλ' εἰ μὲν τῷ κατὰ ἀναφορὰν τρόπῳ τῆς κλίσεως οὕτως ἐκάλουν, οὐδ' ἂν οὐδ' αὐτὸς ἐχαλέπαινον αὐτοῖς, οἶδα γοῦν οὕτω καὶ ἄμπελον λεγομένην λευκὴν κατὰ τὴν ἐπὶ τοὺς γιγνομένους ἀπ' αὐτῆς λευκοὺς βότρυας ἀναφορὰν, καὶ χρόνον κακὸν, διὰ τὰς ἐν αὐτῷ γιγνομένας συμφορὰς, καὶ νύκτα ἀβοήθητον, ἐν ᾗ τῆς ἐπικουρίας οὐκ ἔτυχον. εἰ δὲ καὶ πρώτως καὶ κυρίως ἁμαρτάνουσιν, ἐσχηματισμένον γοῦν σῶμα λέγομεν καὶ πεπονθὸς καὶ κινούμενον, οὐ τὸ σχῆμα σῶμα, καὶ τὸ πάθος, καὶ τὴν κίνησιν. οὐ δὲ τὴν πυγμὴν σῶμα, ἀλλὰ χεῖρας πῶς ἐσχηματισμένας. ἔτι δέ ποι ἡσσοῦσιν πρὸς τὸ μὴ δὲ ποιεῖν φάσκοντας τὰ σώματα, μόνα δὲ τὰ ἀσώματα. τί δεῖ πρὸς Ἀριστοτέλην, ὡς καὶ αὐτὸς γενικὴν τῶν ὄντων διαίρεσιν ποιούμενος, τὰ μὲν εἶναι φησὶν οὐσίας, τὰ δὲ συμβεβηκότα. τί δὲ καὶ αὖθι βουλόμενοι λέγουσιν οὐσίας τε καὶ συμβεβηκότα, εἰ καὶ αὐτὰ φησὶ σώματα, καὶ ταῦτα μήθ' ὡς τὰ μέρη τοῦ σώματος ὀνομάζονται σώματα, καθάπερ χεῖρα καὶ δάκτυλον, μήθ' ὡς ἡ μνᾶ ἐν τῷ ταλάντῳ. ἄγε τὸ σχῆμα τοῦ ἀνθρώπου σῶμα φασίν, ὥρα καὶ τὴν ζωότητα σῶμα λέγειν, καὶ τὸ γεννητὸν εἶναι καὶ φθαρτὸν, καὶ τὴν λογικότητα καὶ φρονιμότητα, καὶ τὴν ἀθηναιότητα, καὶ τὸ φιλοσοφεῖν, καὶ σωφρονίσκου παῖδας εἶναι, καὶ τὸ σιμὸν, καὶ τὸ φαλακρὸν, καὶ προγάστορα, καὶ τοῖς ἄλλοις συμβεβηκόσιν ἰσαρίθμους λέγειν σωματότητας, ὑπὲρ τὸν βριάρεά τε καὶ τύφωνα λέγειν αὐτὸν, πολυπλοκώτερον, καὶ πολυσωματότερον εἶναι ζῷον. εἶτε ζωότης, σῶμα ἐστὶ, πῶς πᾶσι τοῖς ζῴοις συμβέβηκεν; πῶς δὲ τὸ εἶναι; πῶς δὲ τὸ ἐν τόπῳ εἶναι; καὶ εἰ καθάπερ ἴδιον ἐπέχει τόπον. πᾶς ὀφθαλμὸς διαφανὲς σῶμα, οὕτω καὶ τῶν συμβεβηκότων ἕκαστον. ἄτοπον. οὕτω γοῦν ἥτε τούτων ἐπιμιξία, οὐδεμία τις αὐτῶν ἀποτελεσθήσεται φύσις. ἄπορον δὲ καθάπερ ἔφην, καὶ τὸν ἕνα τόπον ἐπέχειν ἅπαντα φάναι. συγχυθέντα γοῦν εἰς μισγαγγίαν, τὴν ἑτερότητα οὐ φυλάξειεν, οὐ δὲ τὴν ἑαυτοῦ φύσιν ἕκαστον. καθάπερ ἤδη τῶν μιγνυμένων φαρμάκων ἔφην μίγνυσθαι. πότερον ὅλον φημὶ τὸ σῶμα τῆς ζωότητος ἑκάστῳ τῶν τοσούτων συμβεβηκότων συμβέβηκεν, ἢ κατὰ διαιρούμενον ἰσαρίθμως; ἑκάτερον γὰρ ἄτοπον ὁ προηνυσμένος λόγος ἔδειξε. τί δὲ δεῖται φημὶ σωματότητος ἕκαστον αὐτῶν εἰ φανεῖ καὶ αὐτὸ σῶμα ὄν; ὅτι δὲ οὐκ ἔστι τῶν συμβεβηκότων ἕκαστον σῶμα κἀκ τούτου τις ἂν μάθοι. μύοντες γοῦν σῶμα μὲν τῇ θίξει χρόνῳ καταλαμβάνομεν. χρόαν δὲ ἢ χυμὸν, οὐ συγκαταλαμβάνομεν, οὐ δὲ σχῆμα κατὰ τὴν θίξιν τοῦ σώματος. ἐχρῆν δὲ καὶ τούτων ἕκαστον ὑπὸ τῆς ὕλης, καὶ μὴ κατὰ περίληψιν θίξεως καταλαμβάνεσθαι. οὐ δὲ γὰρ ἔστι λόγῳ θεωρητή. φέρ' ἔστι τοῦ μήλου στρογγυλότης. οὐδ' ὅμοιος περὶ τοῦ χυμοῦ λόγος. εἶτε καὶ τῶν συμβεβηκότων ἕκαστον σῶμα ἐστί. τί βουλόμενοι; τὸ σῶμα μόνον φασὶν ἐπ' ἄπειρον τέμνεσθαι, οὐχὶ δὲ καὶ τὸ σχῆμα. φέρε καὶ τὴν γλυκύτητα, καὶ τῶν ἄλλων ἕκαστον. οὕτω κατὰ συμπλοκὴν τρόπῳ φημι, οὐ δὲ κατὰ ἀναφορὰν, ἤδη τὸ συνήθως καλούμενον σῶμα, ἀλλ' ἀπ' εὐθείας. διὰ τί δὲ μόνου, καθάπερ ἔφην, τοῦ σώματος, τὸν ὅρον φασὶν εἶναι, τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας, οὐχὶ δὲ καὶ χρόαν, καὶ χυλὸν, καὶ χυμὸν, καὶ τῶν λοιπῶν συμβεβηκότων ἕκαστον, οὕτως ὁρίζονται. εἰ δὲ σώματα πάντα ταῦτ' εἶναι φασί, κἂν γὰρ ἐπ' εἴδους διαφέρῃ κοινῶς γε καὶ πάντα σώματα εἶναι φασίν, ὥσπερ οὖν κἂν ἄνθρωπον ὁρίζομαι, κἂν ἵππον, κἂν βοῦν, ζῷον γεννητὸν καὶ θνητὸν ἐρῶ. ἅπερ ἐστὶ κοινά. προσαποδώσω δὲ τὴν ἑκάστου ἰδιότητα. οὕτω καὶ τῶν συμβεβηκότων ἕκαστον ὁριζόμενοι, λεγέτωσαν οὐσίαν διαστατὴν σωματικὴν τριχῇ μετὰ ἀντιτυπίας. ταῦτα τοὺς στωϊκοὺς φίλε Πίνδαρε λύειν ἄξιον, μὴ συγκατασπᾶν ἑαυτοῖς ἄλλους, ὡς τοῖς αὐτοῖς ἐνεχομένους πταίσμασιν. ἀλλ' ἀποσκευαζομένους τὰ ἐγκλήματα. οὐ γάρ ἐστιν ἡ ἀντιλογία τῶν ψευδοδόξων ἡ κοινωνία πρὸς ἑτέρους ἀλλ' ἡ λύσις.

ΓΑΛΗΝΟΥ ΕΙ ΖΩΟΝ ΤΟ ΚΑΤΑ ΓΑΣΤΡΟΣ.

Ὅπερ φυσικοῖς καὶ πᾶσι φιλοσόφοις περίεστι μέχρι τῆς τήμερον περὶ τῆς τοῦ παντὸς φύσεως ζήτησιν, τοῦτο τοῖς Ἀσκληπιάδου, καὶ τοῖς τούτων ἐγγόνοις ἡ τοῦ γινομένου καὶ συνισταμένου βρέφους ἐν μήτρᾳ ἀμφίβολος ἔννοια. ὡς γοῦν οἱ τοῦ ὅλου ἔρευναν ποιούμενοι, οὐδὲν σαφῶς ὡρίσαντο πότερον ζῷον ἢ μὴ, τὸν αὐτὸν τρόπον καὶ οἱ τῆς τέχνης τῆς ἰατρικῆς προϊστάμενοι, ἀόριστον τὸν ὑπὲρ τοῦ φυομένου παιδίου περιέδωσαν λόγον. ὡς οὖν δυσκόλου καὶ δυσκαταλήπτου καὶ μήπω στάσιν εἰληφότος πράγματος, τῶν εἰς αὐτὸ ῥηθέντων ποιήσασθαι χρὴ κοινὴν ἀκρόασιν. ὅ, τε γὰρ λέγων ἐγὼ, ὑμεῖς τε οἱ κριταὶ, φύσεως ἀνθρωπίνης κατὰ τὸν Σωκράτην λελόγχαμεν, διόπερ μᾶλλον ἀγαπᾶν χρὴ τὰ λεγόμενα, ἢ πέρα τοῦ προσήκοντος ἐπιζητεῖν. τὰ γὰρ ὑπεράνω τῶν προκειμένων, καὶ πρῶτος θεὸς οἶδε, καὶ ὁ τούτου συνοπαδὸς, καὶ ἀνδρῶν, ὃς ἂν ἐκείνῳ φίλος ἢ κατὰ Πλάτωνα, ἔστω δὴ φιλία τε ἅμα καὶ μὴ φθόνος ἢ ὕβρις ὑπὸ τῶν τὰ τοιαῦτα περωμένων, οὕτω γὰρ ἂν ἡμεῖς τε φιλικώτερον προΐοιμεν εἰς τὰ τοιαῦτα χωρία, ὑμεῖς δ' ἕξετε τὴν διὰ παντὸς εἰς πάντα αἰώνιον εὔνοιαν, καὶ τὴν πρὸς τὸ ὁμόφυλον ἀνεπίφθονον ἀρετήν. ἀλλὰ γὰρ ὥσπερ περὶ σμικροῦ κόσμου τοῦ ἀνθρώπου μέλλοντες λέγειν τὴν ἀρχὴν ἀπὸ τοῦ μεγάλου ποιησόμεθα, ὅπερ οἷον δάνεισμα καὶ μόρια ὑπάρχομεν. προκατασκευασθείσης δὲ παρ' ἡμῖν τῆς περὶ τούτου φύσεως, εὐδηλοτέρα ἡ ἀνθρωπεία γνωσθήσεται σύστασις. περὶ αὐτοῦ δὴ πρότερον τοῦ,

τέρου τοῦ, ὅτι ποτ' ἐστὶν ὁ κόσμος, ὁριούμεθα. συστήσεται γὰρ ῥᾷστα ἡ οὐσία τοῦ ὅλου ὅρου τὸ πᾶν σημάναντος. περὶ δὲ τῆς ὑπάρξεως αὐτοῦ τί ἐστι ζῷον εἴπωμεν, ἵνα τοῦ ὅρου τοῦ προκειμένου ἐπαγγελλομένου, φανῇ τὰ τῆς φύσεως τοῦ παντὸς σπέρματος. ζῷον τοίνυν ἐστὶν οὐσία ἔμψυχος αἰσθητική ἐπὶ γένει πάντων τῶν ὑπ' αὐτοῦ κατηγορουμένων. μόνη μὲν οὖν ἁπλῶς τοιοῦτον λέγηται ἄν, πάντα περιλαβὼν ἐν ἑαυτῷ ἔχει. ἐπειδὰν δὲ τὸ εἰδοποιὸν ἑκάστῳ προστεθῇ, τὸ διαφέρον ἐδέχθη γένος, εἰς εἴδη μεριζόμενον. εἴδωμεν οὖν εἰ ζῷον ἐστὶν ὁ κόσμος, καὶ εἴ γε τὴν ἀρχὴν ἐγγόνου ὂν εἶτ' αὖ πάλιν τὴν ὁλόκληρον ἐπεῖχε φύσιν. κόσμος τοίνυν ἐστὶ, σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν μεταξὺ φύσεων καὶ ὕδατος καὶ ἀέρος, καὶ τὸ διῆκον ἔχον διὰ πάντων αὐτῶν ἀρχηγὸν καὶ πρωτόγονον πνεῦμα, ὅπερ καλοῦσι παῖδες φιλοσόφων, ἢ ψυχήν, ἢ μονάδα, ἢ ἄτομον, ἢ πῦρ, ἢ ὁμωνύμως ἐπὶ γένει πνεῦμα τὸ πρῶτον. ταῦτα δὲ ἦν μὲν καὶ πρὸ τούτων ταύτην ἔχειν τὴν ἐπωνυμίαν, ἀλλὰ τό τε μετ' ἄκοσμα ἦν ἀδιάλλακτα, καὶ ὥς φασί τινες ὕλην εἶχε τοὔνομα, κόσμον δὲ νῦν, διὰ τὸ ποιεῖν εὐμελῶς καὶ εὐτάκτως, καὶ ὡς ἂν ἐν ῥυθμῷ καὶ κόσμῳ ποιεῖσθαι τὴν κίνησιν. ἀκινήτοις γὰρ ἡγοῦμαι εἶναι καὶ λίθοις παραπλησίους, τοὺς ἀκίνητον εἶναι λέγοντας τὸ πᾶν. ἐξ ὅλων μὲν οὖν ὁ κόσμος ὅλος ἥρμοσται. καὶ ἐκ τελείων τέλειος. καὶ ἐξ αὐτοτελῶν, ἀνενδεής. καὶ ἦν καὶ ἔσται κινούμενον ζῷον. ἀλλὰ τότε μὲν ἐσπαρμένην καὶ τὴν τοῦ παντὸς ἔχουσαν λόγου δύναμιν ἐκέκτητο. διακριθεὶς δὲ, καὶ τοῦ σκότους προελθὼν, τὴν οἰκείαν τῶν σπερμάτων ἀρετὴν ἔδειξεν. ἔνθα μὲν, γῆ φαινόμενος. δι' ὕδωρ. ὅπου δὲ πῦρ σὺν ἀέρι ἐκτεινόμενος, πανταχοῦ ἐπὶ τῆς αὐξήσεως τρόπῳ, τῇ τῶν στοιχείων φύσει φωτίζων τὸ ὅλον, οἷον ὀφθαλμοῖς, ἡλίῳ καὶ σελήνῃ, καὶ τῇ τούτων διαυγείᾳ, καὶ λαμπρᾷ στιλπνότητι, κινήσει πάσῃ ὁδηγὸς γενόμενος. συγκέκραται γὰρ αὐτῷ, καὶ οὕτως ἐξ ἀρχῆς ἐπιγινομένῳ, καὶ τὴν πρώτην συνισταμένῳ φύσιν. ζῷον τε γὰρ πρῶτον καὶ ἔμπνουν τε καὶ ἔννουν ὅδε ὁ κόσμος, καὶ τό τε ἦν καὶ νῦν φαίνεται. ὥσπερ οὖν οὐκ ἄν τις τολμήσας εἴποι μὴ ζῷον αὐτὸν ἡνίκα ἐκύσκετο, ἀπεδείξαμεν γὰρ ὡς ἐξ ὅλων, ὅλος, καὶ ὡς ἐκ τελείων, τέλειος. πῶς γὰρ ἂν ὁλοτελῆ περιέχων μὴ ὢν ὅλως; οὕτω καὶ τὸ κατὰ γαστρὸς μὴ ζῷον εἴποι τις ἄν, ὅνπερ τρόπον ὁ χαλκουργός, ἢ ὁ σιδηρεύς, ἢ ὁ ἀνδριαντουργός, ἢ ὁ ναυπηγός, ἢ τις τῶν ὁμοίων οὐκ ἂν λέγοιτο τέλειον τι τῶν ἐξ αὐτοῦ, καὶ ὁλόκληρον παρεσχηκέναι, ἐλλείποντός τινος, ἢ ἐπὶ ἀνδριάντι χειρός, ἢ ποδός, ἢ τῇ μαχαίρᾳ τῆς ἀκμῆς, ἢ ἐπὶ σκάφει τοῦ πηδαλίου· τὸ δ' ἀνελλιπὲς καὶ τοῖς ἅπασιν ἀπηρτισμένον, ἡνίκα λείπει μηδέν, τέλειον ἐστίν, κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ κόσμος καὶ τὸ κατὰ γαστρός, οὐκ ἄν ποτε τὸν τέλειον ἐπεῖχε λόγον, εἰ μὴ τό τε, ὅτε πρῶτον τοῦ εἶναι μεταλαμβάνων τὴν τοῦ παντὸς ἀνεδέξατο οὐσίαν. ἀλλὰ καὶ ὅτι ἦν ὁ κόσμος ζῷον, καὶ διὰ τοῦτο καὶ νῦν ἐστιν εἰρηκότες, ἐπὶ τὸν περὶ ἀνθρώπου, τοῦ μετ' αὐτὸν κόσμον δευτέρου, μετέλθωμεν λόγον. προδιωρισμένον ἡμῖν ἐστι ζῷον, καὶ ἐξ ὧν μὲν, ὅτι τὴν τοῦ ζῴου περιέχον χρείαν, ὅτε ἦν καὶ ἐν τῇ μήτρᾳ τὸ παιδίον. εἰρηκότος γε δὴ καὶ προθεσπίζοντος καὶ προκηρύττοντος, οἷον ἐκ δελφικοῦ τρίποδος τοῦ τῶν ἀσκληπιαδῶν ἱπποκράτους. τὴν γὰρ πρώτην καταβολὴν αὐτοῦ, καὶ οἱονεὶ ζωότητα σύστασιν ἀπὸ τῶν ὅλων. εἰδὼς μὴ ἄλλως δυνήσεσθαι τὸ αὐτοτελὲς παρασχεῖν, εἰ μὴ τὴν ἀπὸ τῶν τελείων ζωογονίαν λάβοι. ἔρχεται μὲν ὁ γόνος φησὶν ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ μὲν τῶν ὑγιεινῶν, ὑγιεινός. ἀπὸ δὲ τῶν νοσερῶν, νοσερός. ἀπὸ παντὸς εἶπε μέρος, καὶ ὅλον ἐξ ὅλου. καὶ τοσοῦτον ἐνεδέησε τοῦ μὴ ζῷον εἰπεῖν, ὥστε καὶ ἀπελύσατο τὰ ἐγκλήματα τοῦ φήσαντος ἂν πρὸς αὐτὸν τὰ ἀνάπηρα μὴ εἶναι τέλειον. βουλόμενος γὰρ μὴ ἀμφιβάλλειν, ζῷον ἔφη. τοὺς μὲν ὑγιεινοὺς ἔχοντας τὸ πᾶν ἀνενδεές, εἰς ἀρτιότητα τὸ σπέρμα καταβάλλεσθαι. τοὺς κεκωλυμένους δὲ ἐλλείψει τοῦτο. οὗ τὴν ἀρτείαν οὐκ ἔχει. πῶς γὰρ αὐτὸ μὴ ὄν, ἐν γενέσει ὑγιὲς ἂν γένοιτο. μόνου γοῦν τοῦ ὄντος μετ', οὐδέπω δὲ γενομένου. ὑγιοῦς δὲ δυνάμει ὄντος, καὶ διὰ τοῦτο γένεσιν ἐπιδεχομένου. τῶν γοῦν οὐκ ὄντων ἐμφανῶς, τὰ μὲν οὕτω γέγονεν, τὰ δὲ δύναται. ὥσπερ καὶ τὸ *οὐδέτερον σπέρμα. τὸ μὲν δύνασθαι ζῷον γενέσθαι, ἔχει δὲ τό τε καὶ ἐνέργειαν, ἡνίκα ἀντ' ἀνθρώπου παρέχηται. τὰ δὲ οὔτ' ἐστὶν, οὔτε δύναται γενέσθαι, οὔτε λόγον ἔχει. ὥσπερ αὐτὸ φύσει μὴ ὄν. τοῦτο γὰρ οὔτε τὸν τοῦ ὄντος, οὔτε τὸν τοῦ γενησομένου δέχεται λόγον. ὀρθῶς ἄρα τοίνυν κατὰ τὸν Ἱπποκράτην ζῷον αὐτὸ κατὰ γαστρὸς λέγοιτο, καὶ τοῦ σπείραντος αὐτὸ ἐξ ὅλων, καὶ τὴν ὅλου περιέχοντος δύναμιν. οὐ μόνον δὲ ὅτι ἀπὸ παντὸς, καὶ ὅτι ζῷον ἐδήλωσεν, ἀλλ' ἔδειξεν ἐπὶ ποσότητος, ὅτι τὰς τοῦ παντὸς ἀρχὰς ἔχει, καὶ δύναται τὰ ὅμοια τῶν ἀφ' ὧν τὴν ῥίζαν ἔσχεν. λέγων δίδυμα, γίνεται μὲν ὑφ' ἑνὸς λαγνεύματος. ἔχουσι δὲ κόλπους καὶ γόμφους αἱ μῆτραι, ἐνταῦθα γὰρ σαφῶς νοεῖν ἔνεστι δύνασθαι τοῦτο τὸ καταβληθὲν εἰς τὴν μήτραν σπέρμα, ὅπερ ἦν ζῴου φύσις. ὀλίγον γὰρ ὂν ἐπὶ πλήθει πολὺ τῇ δυνάμει γίνεται. καὶ δείκνυσι τὴν ἀρχηγὸν αἴτιον, καὶ τὴν τοῦ ζωότητος οὐσίαν. καὶ ὥσπερ τὸ ἐν ταῖς πυρίταις πῦρ, καὶ τὸ ἐν τιτάνῳ συνεσπαρμένον, οὐκ ἄν τις φήσει μὴ εἶναι πῦρ, ὅτι μὴ καίει. γίνεται γὰρ ἐνεργείᾳ τό τε καὶ τὸ πῦρ, ἡνίκα ἂν ὕλης λάβηται, καὶ τῆς ἔξωθεν ἀπὸ τοῦ παντὸς εἰσπνοῆς. οὕτω καὶ τὸ καταβληθὲν εἰς τὰς γυναῖκας σπέρμα, ἀληθεύσει τις ζῷον εἶναι λέγων. καὶ γὰρ τοῦτο δυνάμει μέν ἐστι ζῷον ἤδη. γίνεται δὲ καὶ ἐνεργείᾳ, ἡνίκα προελθὸν ἔξω τῆς μήτρας ἑαυτῷ συνάψει ἐπὶ τὴν ἀρχὴν παρεσχηκότι. μόριον γὰρ καὶ ἀπόσπασμα ὂν τοῦ μεγάλου ζῴου τοῦ κόσμου, μένον μὲν ἐν μυχοῖς καὶ φωλεῦον, συγκρίσεως ἐπέχει λόγον, διακριθὲν δὲ καὶ γενόμενον ἔξω τούτου τοῦ βάθους οἷον χάους, ἀσπάζεται τὴν ὁμόφυλον καὶ ὁμοίαν φύσιν ταῖς τῆς ἐνεργείας πράξεσιν. κινεῖσθαι γὰρ ταῖς ἐξ αὐτοῦ κινήσεσιν ἄρχεται. καὶ τὰ φωσφόρα ὄμματα τείνει διὰ παντὸς τοῦ ἡλίου καὶ σελήνης, μιμούμενον φύσιν καὶ τοῦ νοῦ ἵστησι τῇ πρὸς τὸ ὅμοιον ἀπεικαζομένου φορᾷ. ὡς μὲν οὖν ἀπεικότως τινὲς εἶπον οὐ ζῷον, τὸ κατὰ γαστρὸς, ἐκ τῶν εἰρημένων τεκμαίρεσθαι. ὅσα δὲ καὶ ποῖα ζῷον ποιεῖ, νῦν φράσω. τοῦ γοῦν ζῴου διοικουμένου ὑπὸ ψυχῆς καὶ φύσεως καὶ τροφῆς καὶ πνεύματος. τρέφεται μὲν γὰρ ψυχὴ πνεύμονι. τροφαῖς δὲ ὑγραῖς καὶ ξηραῖς ἡ φύσις. εὑρεθήσεται δὲ καὶ τὸ ἐν τῇ μήτρᾳ πάσαις ταῖς οἰκονομίαις χρώμενον. καὶ ταῖς πρὸς τὴν τῆς ψυχῆς κινήσεσι, καὶ ταῖς πρὸς τὴν τῆς φύσεως αὔξησιν. καταπίνει τε γὰρ, καὶ ὡς Ἱπποκράτει δοκεῖ ἐπὶ τε γοῦν στόματι καὶ τῇ ῥινὶ τὴν πνοὴν ἄνωθεν ποιεῖσθαι φησί. τινὲς δὲ καὶ τῶν ἀσκληπιαδῶν, καὶ θηλάζειν αὐτὸ τὰς ἐν τῇ μήτρᾳ κοτυληδόνας λέγουσί τε καὶ πέττειν, ἐπειδὴ γὰρ ἀνάγκη τοῖς καταποθεῖσι καὶ πέψις, κἂν ὅτι μάλιστα κατειργασμένην ἤδη παρὰ τῆς μητρὸς λαμβάνει τὴν τροφήν. προστεθὲν δὲ χωρὶς τῆς δεξαμένης αὐτὸ φύσεως, οὐκ ἂν δυνατὸν οὐδὲ ὁμοιωθῆναι πρότερον. εἰ μὴ ἐξ ἀνάγκης ἐπὶ τρεφομένῳ τὸ τρέφον τῆς τοῦ παιδὸς φύσεως τὴν ὁμοίωσιν ἐργαζομένης, καὶ τό τε τὰ ἔργα τῆς

φύσεως παραχεῖν, καὶ ἀναλαμβάνειν. καὶ ἕτοιμον πρὸς διάκρισιν, καὶ διακρίνειν τὸ ἀλλότριον. ὥσπερ γὰρ καὶ χολαὶ καὶ
οἱ σύμπαντες χυμοὶ διακριθείσης τῆς τροφῆς γίνονται. μὴ γὰρ δὴ μόνον τὴν διὰ πυλῶν εἰς ἧπαρ διʼ ὀμφαλοῦ φερο-
μένην ἐκ τῶν ἐμβρύων ὕλην τρέφειν νομιζέτω. τρέφεται μὲν γὰρ καὶ διὰ τούτων τῶν ὁδῶν, μάλιστα δὲ καὶ διὰ τῶν τελειο-
τέρων, καὶ διʼ ὃ ἂν καταχυθείη, ἀπολαύει τροφῆς. μὴ γὰρ δὴ δόξης τοῦ Ἱπποκράτους εἰπόντος, ἡ δὲ ἀρχαιοτέρη τρο-
φὴ διʼ ἐπιγαστρίου ὀμφαλοῦ, ἀγνοεῖν αὐτὸν μὴ καὶ διὰ στόματος τρέφεσθαι. εἶπε γὰρ καὶ περὶ ταύτης τῆς ὁδοῦ ὡς ἐπάνω
προείρηται. μαρτύριον δὲ, τὸ καὶ ἐν μήτρᾳ διὰ στόματος τὴν τροφὴν λαμβάνειν τὸ ἅμα τῷ τεχθῆναι τὴν ὁρμὴν πρὸς
τὸν μαστὸν ἔχειν. οὐ γὰρ μὴ προεθισθὲν, χρῆσθαι τῇ ὁδῷ ταχεῖαν οὕτω τὴν πρὸς αὐτὸ ὁρμᾶν ὁδόν. ἀτμίζει δὲ καὶ πνευ-
τοῖ τὴν διακριθεῖσαν τροφὴν, καὶ προστίθησιν ἑκάστῳ μορίῳ ῥᾳδίως. μεταβάλλει δὲ καὶ τὸ ἐκ σπέρματος εἰς χυμοὺς,
καὶ τὴν ἐκ χυμῶν εἰς σάρκας, καὶ φλέβας, καὶ νεῦρα, καὶ ἀρτηρίας, καὶ ὀστέα, καὶ σπλάγχνα, καὶ πιμελήν. καὶ τὸ ἐξ
ὀλίγου εἰς πολὺ, καὶ τὸ ἐκ μικροῦ γίνεται μέγα, τῆς αὐξητικῆς δυνάμεως μέχρι τῶν οἰκείων ὅρων τῆς αὐξήσεως ἐκτει-
νούσης αὐτὸ καὶ περατούσης. ἃ μὲν οὖν τῆς φύσεως ἔργα ἱκανῶς ἡμῖν ἐδείχθη λογοποιοῦντι τὰ περὶ γαστρός. ὡς δὲ καὶ
ψυχῆς μετέχει καὶ λογισμοῦ, διὰ τῶν ἑξῆς πειράσομαι δεῖξαι. τῶν γὰρ αἰσθητηρίων ὑπὸ τῆς φύσεως μηχανωμένων,
εἰς τὸ διαπορθμεύειν τὰς ψυχικὰς δυνάμεις, διʼ ὀφθαλμῶν μὲν τὴν ὁρατικὴν, διʼ ὤτων δὲ, τὴν ἀκουστικὴν, γευστικὴν
δὲ καὶ ὀσφρητικὴν διὰ γλώττης καὶ ῥινός, καὶ τὴν ἁφὴν δὲ διὰ τῶν χειρῶν, καὶ τῆς λοιπῆς τοῦ σώματος ἐπαφῆς, φανε-
ρὸν ὅτι κενὸς οὐ λείπεται τόπος, ἀλλʼ ἕξει τὰ προειρημένα χωρία, καὶ κατὰ γαστρὸς ὄντος τοῦ βρέφους, τὴν τῆς ψυχῆς οὐσίαν.
καὶ τὸν ἐγκέφαλον δὲ ὄντα ταύτης οἰκητήριον, ἐξ ἀρχῆς ἔτι συνιστάμενον ἐν αὐτῷ τῷ κύτει τῆς κεφαλῆς ἐγγι-
νόμενον ἔχει. δῆλον οὖν κἂν τούτῳ ὡς ἅμα τῇ τοῦ σπέρματος εἰς τὴν μήτραν ἐξακοντίσει, συγκατέσπειρεν ὁ τῶν
ὅλων δημιουργὸς καὶ τὴν ψυχὴν, ἵνα τῷ σώματι καὶ τὴν διοικοῦσαν αὐτῷ δύναμιν ἔχῃ. ἢ γὰρ οὐκ ἴσμεν τοὺς
ἔξωθεν δημιουργοῦντας τινῶν ὀργάνων κατασκευὴν ποιουμένους, πρός τινων ἐνεργειῶν πράξεις. τρόπιν μὲν τὸν
ναυπηγὸν ὑποβάραθρον τῆς νεὼς ἕνεκα γινομένην. χαράκωμα δὲ τῶν κυμάτων. καὶ τεῖχος ἀσφαλές. καὶ ἔρκος τῶν
ὑφάλων πετρῶν. κοιλαίνοντα δὲ μακραῖς σύριγξι τὸν αὐλοποιὸν τὴν ὕλην τοῦ χαλκοῦ πρὸς ὑποδοχὴν τῶν ἐνιε-
μένων πνευμάτων. τὸν δὲ μουσικὸν ἐκτείνοντα τὰς χορδὰς, πρὸς φθόγγων μελῳδίαν. καὶ τὸν ἑτοιμάζοντα ἤγουν
παιωνικὰ φάρμακα, πρὸς ἄμυναν τῶν παθῶν. καὶ τὸν στρατηγὸν πρὸς τῆς παρατάξεως τακτικὰ προδιδάσκοντα
πρὸς ὑπομονὴν τῶν πολεμίων. ὥσπερ οὖν οἱ τὰ τοιαῦτα μηχανώμενοι, τινὸς ἕνεκα τὴν παρασκευὴν ἐργάζονται,
οὕτω καὶ ἡ φύσις διαπλάττει τῶν ἐν ἡμῖν ἕκαστον, ὡς ἐσομένου τινὸς ὀργάνου. οὕτως τε καὶ ἡ τῶν νεύρων φύσις οὖσα
ψυχῆς οἰκητήριον ἐξ ἀρχῆς ἅμα τῷ πνεύματι συμβλαστάνουσα, δηλοῖ τὴν ψυχὴν, ἅμα τῷ σώματι συνισταμένῳ
συνίστασθαι. καὶ γὰρ εἰ μήπω ὀφθαλμὸς ὁρᾷ. γλῶττα δὲ γεύεται. οὖς δὲ φωνῶν ἀντιλαμβάνεται. καὶ θερμῶν, ἢ ψυχρῶν,
ἢ ὑγρῶν, ἢ ξηρῶν, ἀναίσθητος ἡ ἁφὴ γίνεται κατʼ ἐνέργειαν, ἀλλʼ οὖν γε ὑπόκειται φωλεύειν, καὶ δύναται ταῦτα μετʼ
ὀλίγον τεχθέντος τοῦ βρέφους ἐργάζεσθαι. τολμήσας δʼ ἂν εἴποιμι τὴν ἡσυχίαν ἐνέργειαν. τὸ γὰρ ἔτι ἐν μήτρᾳ ὄν-
τος τοῦ παιδίου, μύειν τοῖς βλεφάροις, καὶ τῇ ῥινὶ συνεστάλθαι, καὶ τοῖς ὠσὶν ἀνηκουστεῖν, ἔργον ἐστὶ προστατού-
σης ψυχῆς. τὴν γλῶτταν δὲ, οὐκ ἄν τις φήσει μὴ γεύεσθαι ἤδη τῶν κυουμένων, ἔτι καὶ τῆς ποιότητος ἀντιλαμβάνεσθαι, φανε-
ροῦ τοῦ πράγματος γινομένου διά τι πάθος. πολλάκις γὰρ ἴσμεν ἐναποθνήσκοντα ἐν ταῖς μήτραις παιδία, φαυλό-
τητι τῶν προσφερομένων διὰ στόματος, τὴν τροφὴν ἀποστραφέντα καὶ ἀπαγορεύσαντα. ἐπεὶ παυούσης διὰ τῆς ἐν τῇ γλώτ-
τῃ γευστικῆς δυνάμεως τῆς φύσεως πρὸς τὴν τοῦ παιδὸς διαμονήν. καὶ τὸ ἀναπνεῖν δὲ ὂν ἔργον τῆς ψυχῆς παρεχό-
μενα τὰ ἔμβρυα. ἀναπνεῖ γὰρ διὰ στόματος, ὡς καὶ μικρὸν πρόσθεν εἴπομεν. δῆλον ἐκ τοῦ συμπαρεῖναι καὶ τῷ
σπέρματι καὶ τὴν ψυχὴν ἅμα τῇ φύσει. ψυχικὸν γὰρ ἐνέργημα, καὶ οὐ φυτικὸν, ἰατρῶν παῖδες οἱ πλεῖστοι τὴν ἀνα-
πνοὴν ᾠήσαντο. παιδαριῶδες γὰρ οἴεσθαι παραγραφὴν εἶναι τοῦ μὴ ψυχῆς ἔργον ὑπάρχειν αὐτὴν, τῷ φάναι τοὺς κα-
θεύδοντα ἀναπνεῖν ἀπροαιρέτως, οὔσης τῆς ἀναπνευστικῆς καὶ προαιρετικῆς. ὥσπερ γὰρ ἐγρηγορότος τοῦ ζῴου τὰς πά-
σας ὑπάρχειν τὰς ἐνεργείας ἡ ψυχὴ, ὁρᾷ τε γὰρ καὶ ἀκούει, καὶ διὰ τῶν λοιπῶν αἰσθητηρίων ἐπιτελεῖ, κινεῖται, δὲ καὶ τού-
των διʼ αἰσθήσεως ἀντιλαμβάνεται, καὶ πᾶσαν ὑφίσταται πραγματείαν, τείνασα ἑαυτὴν ἀκλινοειδῶς καὶ παραπείρα-
σα τοῖς ὀργάνοις, διʼ ὧν τὰ χρειώδη συντελεῖ. τὸν αὐτὸν τρόπον καὶ νύκτωρ συσταλεῖσα, καὶ σωρευθεῖσα μήτε ὑπὸ
τῶν ὁρατῶν ἐνοχλουμένη, μήτε ὑπὸ τῶν ἀκουστῶν θορυβουμένη, μήτε ὑπὸ τῶν γευστῶν διακρινομένη, μήθʼ ὑπὸ τῶν
ὀσφραντῶν ἀναστρεπομένη, μήτε ὑπὸ τῆς ἁφῆς προσπιπτόντων ἀλλοιουμένη, μήτε δρόμοις, ἢ περιπάτοις, ἢ ἄλλοις
γυμνασίοις διαπονουμένη, μηδὲ ἐν αὐτοῖς γινομένη, τὴν περὶ ἀναπνοὴν ἐνέργειαν ἀπεργάζεται. ἢ τὴν μὲν φύσιν ἑκοῦ-
σαν, καὶ οὐ παθοῦσαν τὰ δέοντα ποιεῖν πεπιστεύκαμεν, ψυχὴν δὲ τῆς θειοτέρας μοίρας λαχοῦσαν, οὐ παρακολουθεῖν
τοῖς ἰδίοις ἐνεργήμασιν. θνητὸν καὶ γεῶδες ἡ φύσις, καὶ διανοίας ἐκτός ἐστιν, ἣ οὔτε λογισμὸν ἔχει, τήν τε θνητὴν
μόνην οἶδε περίοδον, τήν τε φθαρτὴν πρᾶξιν εἴληφεν. ἡ ψυχὴ δὲ ἀπόρροια μὲν τῆς πάσης ψυχῆς, καὶ τῆς οὐρανίου
χορείας, ἐπιστήμης ἀντιλαμβάνεται. ἀεὶ δὲ ἐπὶ τὴν πρὸς τὸ ὅμοιον ἐπιγινομένην ὁδὸν ὑπερβαίνει μὲν γῆν. τὴν
ἐν ὕδατι πλάνην ἀποστρέφεται. καὶ ὑπεραναβαίνει τὸν ἀέρα. καὶ πυρὸς ἀνωτέρα γίνεται. καὶ τῆς οὐρανίου θεό-
τητος τυγχάνει. καὶ τὸν ὑπερουράνιον πολλάκις βλέπει τόπον. συμπαραστατεῖ τῷ τῶν ὅλων δεσπότῃ περὶ ἕδος τῶν
ἄνω γίνεται. πολλάκις τοῖς αὐτοῖς ὁμοιοειδέσι τυγχάνει οἶδε κἂν ἐν σώματι γίνηται, πόθεν ἐστὶ, καὶ ὅθεν. καὶ ἔτι
συνέσει τοῖς ὅλοις ὁ τῶν πάντων πατὴρ, τούτοις τοῖς ὄμμασιν, ἐν οἷς ἂν καθιδρύσηται αὐτήν, χωρουμένη μὴ τοίνυν
ἀγνοούσης φασκέτωσαν τῆς ψυχῆς γίγνεσθαι τὴν ἀναπνοὴν, ὕπνῳ σχολάζοντος τοῦ σώματος. ἱκανώτερον γὰρ
πρὸς πάντα φύσεως ἡ ψυχή. καὶ δυνατωτέρα ἐστί. καὶ μὲν φύσιν ὁμοίως τὴν ἐγρηγορότων καὶ καθευδόντων,
ἐνεργεῖν δύνασθαι. πέττει γὰρ καὶ ἀναδίδωσι. καὶ διακρίνει. καὶ προστίθησι καὶ αὐξάνει, ἐν ἑκατέρῳ χρόνῳ.
ψυχὴν δὲ μόνην ἐγρηγορότων πράττειν, ἃ προσήκει τῷ σώματι. κοιμωμένων δὲ τὰ ὅμοια μὴ δύνασθαι ἐστί. ἄτοπον
δὲ καὶ τὸ ἱκανῶς δεδειγμένου τοῦ ζῴου εἶναι τὸ κατὰ γαστρὸς, μὴ καὶ ἀπὸ τῶν ἔξωθεν πιστώσασθαι τὰ προειρημένα.
μύας τε καὶ σκώληκας οἷον ἐν μήτρᾳ τῇ ὕλῃ ὁρῶντες γινόμενα ὀνομάζομεν ζῷα, ἀποβλέποντες ἰλυσπώ-
μενα, κἀκεῖνα δὲ οἶμαι τῆς περινοούσης αὐτῶν δυνάμεως ἐπιστατούσης. ἀμφισβητοῦμεν δὲ αὐτήν, περὶ τῶν

ἐν μήτρᾳ

ἐν μήτρᾳ ζωουμένων, εἰ δεῖ σαφῶς ζῷον καλεῖν. καὶ ταῦτα κηρύττοντος Ἱπποκράτους. ζωοῦται τὰ μὴ ζῷα
ἐκ τῶν ζώων, φύσιες πάντων ἀδίδακτοι. δέον γοῦν εἰπεῖν, μὴ ζῷα, ἢ εἰπεῖν, γίνεται τὰ μέρεα. τοῦτο μὲν γὰρ πα-
ρέλειπε, τὸ δὲ τοῦ τελείου ὀνόματος κατεχρήσατο, ἵνα ἅμα συνίστασθαι, καὶ ζῷα εἶναι νοῶμεν. φιλοτιμότε-
ρον δὲ καὶ ἀμαχέστατον καὶ τὸ φύσιες δὲ πάντων ἀδίδακτοι προσθεὶς ἐπιστομίζει. ἵν' εἴ τις τρόπῳ ἢ λόγῳ ἀπαιτοίη
τῆς ζωώσεως αἰτίαν τὴν πάντα γεννῶσαν αὐτὴν. ἀδιδάκτως ἀναφέρεται φύσιν. καὶ τὸ φύσιες δ' ἐξαρκεῖ παν-
τάπασι περιγράφεσθαι τῶν ἀπίστων τὰς γνώμας, καὶ τῶν μὴ ζῴων φασκόντων. εἰ γὰρ ἑκάστῳ τῶν ὄντων τὰ
τέλη πρὸς τὸ εἶναι παρεχομένην δίδωσι καὶ περὶ κυοφορουμένῳ τὴν τοῦ ζῴου εἶναι τελείωσιν. πῶς δ' οὐκ εὐή-
θες, ψυχὴν μὲν καὶ σῶμα, ζῷον εἶναι φάσκειν, ἀφαιρεῖν δὲ τοῦ ὄντος τοὔνομα. ὅμοιον γὰρ εἰ καὶ τοῦ τὸ πῦρ εἰδο-
ποιοῦντος. ὅπερ ἐστὶν τὸ καῖον ἔχοντος τοῦ πυρὸς, τὸ μὲν ἔργον τις ὁμολογοίη, τὸ δ' ὄνομα μὴ λέγοι. ἢ πάλιν τοῦ
10 ἡλίου φωτίζοντος τὸ σκότος, τὸ μὲν γινόμενον τις ὁμολογοίη. τὸ δ' ἡμέραν εἶναι τοῦτο, ἀρνοῖτο τοὔνομα. ἢ εἴ τις τῆς
ἐξ ὑγρῶν καὶ στερεῶν εἰς τοῦτο σύνοδον τρέφειν λέγει, τὸ δὲ τροφὴν λέγεσθαι μὴ συντίθοιτο. ἢ τὸ μὲν τέμνον
τὸν χαλκὸν ἢ σίδηρον, φεύγειν δὲ τὸ ὄνομα τῆς μαχαίρας. ἢ τὸ τμῆμα τοῦ τέμνοντος. ἀλλ' οὐδὲ τοῦ ζοφώδους
ἀέρος ὑπὸ ἡλίου φωτιζομένου τὸ ἔργον βλέπων εἴποι τις ἂν τὸ τοιοῦτον, μὴ εἶναι ἡμέραν. οὔτε τοῦ πυρὸς τὴν χρείαν
τὸ πῦρ μὴ λέγεσθαι. οὔτε τοῦ τέμνοντος τὴν ἐνέργειαν, τὸ μὴ μάχαιραν εἶναι τοῦτο τὸ ὄνομα. οὔτε τὸ σπέρμα ζωούμενον.
καὶ καταλαμβάνον τῆς ζωώσεως ἀφαιρήσεταί τις τὴν προσηγορίαν. ὡς μὲν οὖν καὶ φύσεως καὶ ψυχῆς μετέχει
τὸ ἔμβρυον, καὶ τῆς ἐφ' ἑκατέρας ἐνεργειῶν, καὶ πῶς ἐστὶ ζῷον, ἀποχρώντως ἐδείξαμεν. λοιπὸν δὲ δείξομεν ζῷον εἶναι
τὸ τοῖς μυχοῖς τῆς μήτρας ἔτι ἐγκείμενον. εἰ δέ τις ἡμᾶς ἀπαιτοίη φύσεως λογισμοὺς, ἴστω πάντα πράττουσαν
αὐτὴν, αὐτοδιδάκτως τε καὶ αὐτομαθῶς. οὐδὲ γὰρ ὅπως ἐν φυτοῖς σκώληκες γίνονται, ἢ ἀφ' ἵππων καὶ
βοῶν οἱ σφῆκες, καὶ μέλιτται, ῥᾴδιον ἡμῖν λέγειν, ἀλλ' ὑπὸ τῆς φύσεως ἁπλῶς γίνεται. οὐδὲ γὰρ τοὺς ὄρνεις
20 πέτεσθαι διδάσκει τις. οὐ δὲ τὸ νοεῖν ἡμᾶς ἢ ἀκούειν ἢ βλέπειν. ἀλλ' ὅμως καὶ τοὺς ὄρνιθας ὁρῶμεν πετομένους,
καὶ ἡμᾶς αὐτοὺς, χωρὶς μαθήσεως νοεῖν τε καὶ βλέπειν. ἀπόρρητος γάρ τις καὶ κεκρυμμένη καὶ πολὺ τῆς ἡμε-
τέρας διανοίας βυθιωτέρα, ἡ περὶ τὴν φύσιν αὐτουργία. μὴ τοίνυν μηδὲ περὶ τὴν τὰ ἔμβρυα ζωογονίαν ἀ-
πιστῶμεν εἶναι ζώωσιν. οὐδὲ γὰρ ἐκεῖνα μανθάνει πρός τινος μετὰ τὸ τεχθῆναι τι τῶν οἰκείων ἔργων, ἀλλ' ἐνόν-
τα ταῖς μήτραις καταπίνει καὶ πέττει καὶ διακρίνει τὴν ἀναδοθεῖσαν, καὶ προστίθησι τὴν καθαρθεῖσαν, καὶ τὴν
περιττὴν ἀπωθεῖται. ἵν' ἐπειδὰν πρὸς φῶς προέλθῃ, τὴν περιττεύσασαν ἐκκρίνῃ. τό τε γὰρ μηκώνιον καλούμενον
περίττωμα ὂν, ἐξ ὅλης τῆς τοῦ ἐμβρύου τροφῆς ἐστιν. καὶ τὸ ἐν τῷ οὐραχῷ ὑγρόν. ἥ τε γὰρ κοιλίη, φυσᾶται, φησὶν
ὁ παλαιὸς, ἀπὸ τῆς διὰ στόματος εἰσπνοῆς, καὶ τὰ ἔντερα, καὶ εἰς τὸν κύσταρον ὁδός τις αὐτῷ γίνεται. περὶ μικρὸν γοῦν,
ἐμπίπτον τὸ περιττὸν εἰς τὸν ἀρχὸν παραγίνεται. κύσταρον γὰρ τὸν ἀρχὸν εἴρηκε. καὶ μηδεὶς ἡμᾶς παραγέτω διὰ
τὴν τοῦ ἀμνίου ὑμένος παράθεσιν, μὴ δύνασθαι διὰ στόματος τρέφεσθαι τὰ ἔμβρυα, ἱκανὴ γὰρ ἡ φύσις διὰ τῶν πό-
30 ρων εὐπορίαν παρέχειν, καὶ ὁδὸν οὖν εὐπρέπειαν οὖσαν αὐτάρκη. φησὶ δὲ Δημόκριτος ἄνθρωπον ἐξ ἀνθρώπου ἐξε-
σεῖσθαι. καὶ κύνα ἐκ κυνὸς. καὶ βοῦν ἐκ βοός. ἀνὴρ εἰδὼς μὲν καὶ τὴν οὐράνιον θεωρίαν. θεωρίας δὲ καὶ τὴν ἐν ἡμῖν
φύσιν, οὐχ οἷόν τε ἀγνωμονεῖν χρήζει λέγειν, μὴ ζῷον τὸ περὶ γαστρὸς, ὅλον ἐξ ὅλου συνιστάντος αὐτὸ δράσαν-
τος νή   καὶ γὰρ οὐδ' ἂν ἔχειν ἀνθρώπου λόγον τὸ γινόμενον. εἰ μὴ πάντας μὲν ἐν ἑαυτῷ περιεῖχε,
τοὺς τελείους λόγους. ἔμελλε δὲ ποιήσειν, οἷα ταῦτα ἀφ' ὧν τὸ σπέρμα κατεσπάρη. ὥσπερ γοῦν ἢ τὰ περὶ ποσῷ. ἢ
τὰ τῇ ποιότητι καταβληθέντα σπέρματα ἀναδέχεται τόπους. ἤπερ τε τὰ ὁλομελοῦντα, ἢ μὴ τοῖς πᾶσιν
ἀπηρτισμένα, ἢ μορφὰς ἄλλων ζῴων ἔχοντα, τὸν αὐτὸν τρόπον καὶ ὅσα ἐκκαθῆ καὶ διακεκριμένα σπέρματα
τυγχάνει, τὸν ἐν τέλει τῶν ζῴων ἐπέχει λόγον. τὸ γὰρ λεῖπον παραποδισμὸν τῆς ὅλης φύσεως εἴληφε, καὶ
ἐκλείποντα τὰ ἔμβρυα, καὶ διὰ τὸ αὐτὸ τοῦτο μὴ παραποδισθὲν ζῷα ποιεῖται ἐκ σπέρματος. μήτ' οὖν φιλόσο-
φός τις ὡς ἀμύητος τοῖς ἄνω, μήτε ἰατρὸς τῶν ἀπὸ Ἀσκληπιάδου, ὡς ἀθεώρητος, τοῦ ἀνθρώπου τῆς φύσεως ἀπο-
40 κηρυττέτω, καὶ ἀπαρνείσθω τὰ ἔμβρυα, ἀλλ' αὐτὸς πολὺ πρότερον ἀναθεωρησάτω ἐπ' ἑαυτὸν. καὶ ἢ παρὰ
πρεσβυτέρων μαθέτω. ἢ ὑπὸ τῶν γεννησάντων ἀναμνησθήτω, ὡς ἦν ποτε καὶ αὐτὸς ἔμβρυον. καὶ τοίνυν αὐτοῦ
ἤ τό τε ὡς ὑπὸ μήτρας πρότερον τελέως ἐν μήτρᾳ ἐσχηματούργηται, καὶ ὡς ἐκ σπέρματος τοῦ εἶναι γέγονεν ἢ εἰ-
ζα αὐτῷ. καὶ ὡς οὐκ ὀφείλει παρανοίᾳ ἄγειν τὴν φύσιν. ῥᾳδιουργῆσαι γὰρ ἐστὶ τὰ ἐκείνης θέσμια, καὶ τοὺς τῆς γῆς
δημιουργουμένους ὑπ' αὐτῆς φάναι ζῷον μὲν ὑπάρχειν τὴν αὐτὴν τῆς γεννήσεως, καὶ πάντα ἐσχηκότα, τοῖς αὐ-
τοῖς μυχοῖς ἐν τεθραμμένον. φάσκειν δὲ μὴ ζῷα τοὺς ἐν μήτρᾳ τεθραμμένους. ἢ ἐκ μὲν πυρῶν, οἱ πυροὶ γεννήσονται.
καὶ ἐκ τῶν ἄλλων σπερμάτων τὰ ὅμοια. καὶ ἐκ φυτοῦ, φυτὰ, τὴν αὐτὴν τοῖς γιγνομένοις φύσιν εἰληφότα. αὐτὸς δὲ τὸ
θειότερον τῶν ἄλλων καὶ τῶν ὅλων κρεῖττον, τὸ ὅμοιον κατὰ δύναμιν θεῷ, μὴ τὴν αὐτὴν τοῖς σπείρασιν ἀναδέξασθαι θειό-
τητα. ἀλλὰ γὰρ ἤδη καὶ νόμῳ καὶ τοῖς συμβεβηκόσι δείξομεν ζῷα τὰ ἔμβρυα. ἢ τοῦ μὲν ζῆν τῇ φύσει τὴν αἰ-
τίαν προστιθέντες. τοῦ δ' εὖ ζῆν μετὰ τῆς ψυχῆς αὐτοὶ τὴν πρόσβασιν ἀναδεξάμενοι νομοθετοῦσι. τοῦτο γὰρ εἰσὶν
50 οἱ νόμοι, κωλύειν μὲν τὰ κακὰ πράττεσθαι. φυλάττειν δὲ τὰ ἤδη ὄντα καλά. ἢ τὰ μέλλοντα ἢ τὰ παρόντα προ-
ποιεῖν, τιθέμενοι τοὺς νόμους δύο τοῖς μεγίστοις ἀπεδείξαμεν εἶναι τὰ ἐν τῇ γαστρὶ ζῷα. ἑνὶ μὲν περὶ προσθεῖναι
τιμωρίαν τῷ αἰτίῳ τῆς ἐξαμβλώσεως γενομένῳ. ἑτέρῳ δὲ καὶ δι' ἑτέρου, περὶ δύνασθαι καὶ κλήρου μεταλαμ-
βάνειν, καὶ τοὺς μήπω γεγεννημένους. εἰδότες γὰρ ἀκριβέστερον τῶν πλειόνων, ὡς ἂν καὶ θεῶν ἔργα μιμούμενοι.
θεῶν γὰρ τὸ νομοθετεῖν πρῶτον, ἔπειθ' ὁ μὲν τῶν ὅλων πατὴρ ἐν θεοῖς πάντα διέταξε νόμῳ, κινεῖται γὰρ
καὶ ὁ κόσμος ταῖς ἐκείνου προστάξεσι. καὶ οἱ πλανῆται δὲ τὴν οἰκείαν ἕκαστος σφαῖραν ἐν νενομοθετημένῳ χρό-
νῳ, καὶ ἥλιος καὶ σελήνη τοὺς ὡρισμένους δρόμους. ἑδράζεται δὲ ἡ γῆ, τοῖς τοῦ δημιουργοῦ κελεύσμασιν. κέχυ-
ται ὕδωρ. καὶ ἀὴρ ἥπλωται. καὶ πῦρ ἵεται. καὶ τὴν ἰδίαν ἐνέργειαν ἕκαστον τηρεῖ. φοβούμενον ὑπερβῆ-
ναι τὸν ἴδιον νόμον. ἐνομοθέτησε μὲν καὶ κρησὶν ὁ Ζεύς. καὶ λακεδαιμονίοις ὁ Πύθιος. καὶ ἀθηναίοις ἡ Παλλάς.
οἱ οὖν τούτων μαθηταὶ νομοθέται Λυκοῦργος καὶ Σόλων. βεβαίως ἡμῖν δι' ὧν προείπομεν κεφαλαίων δύο,

τὴν ὑπὲρ τῶν ἐμβρύων ἀναμφισβήτητον παρέχον ὑπόθεσιν. εἰ γὰρ ὅπερ μὴ ζῶα ἦν, οὐκ ἂν ἐκόλαζον τοῖς νόμοις φανερῶς τιμωρησάμενοι τοὺς αἰτίους τῆς ἐξαμβλώσεως. ἐπειδὴ δὲ ἔφησαν ζῶα εἶναι, τὴν τιμωρίαν ἐπήγαγον. τίς γὰρ τὸν ἤδη τέλειον καὶ ὡμολογημένον ἄνθρωπον εἰσπράττεται δίκην, ὑπὲρ τοῦ μή τε περὶ τὴν μήτραν ὄντος ἀνθρώπου, μή τε τὴν ἀρχὴν ἐζωουμένου ποτὲ κλήρου ἀφίησιν, οὐ γινώσκων, εἰ ζῶον τὸ ἔμβρυον; πῶς οὖν ἐπισκήπτεις τὸ περὶ γαστρός, μὴ ζῶον εἶναι λέγων; τίς χρῆται διαδόχῳ τὸ μήπω εἶναι πεπιστευμένῳ; τίς ἐρεῖ τὸν αὐτὸν κύριον τὸν ἀμφισβητούμενον, ὅτε Περικλῆς ἐγένετο ὀλύμπιος, καὶ πᾶσιν ἤδη φοβερὸς τοῖς ἕλλησι διὰ τὸ ἐνύπνιον ἦν. οὔπω Πεισίστρατος, καὶ τύραννος ἦν. οὔπω Ὀλυμπιὰς Ἀλέξανδρον ἐκύει, καὶ πάντες ἄμμωνος ἔλεγον ἤδη παῖδα, καὶ βασιλείας ἦρχε καὶ Κύψελος ἔτι ζωογονούμενος, καὶ ἐν τοῖς Βακχιάδαις οὐκ ἐδόκει, φοβοῦντος αὐτοὺς ἰνδάλματος. λέγεται δὲ ὡς καὶ Ἑκάβη τὸν Ἀλέξανδρον ἐδεδοίκει πρὶν τεκεῖν, ἐκπλήξαντα αὐτὴν γυναικοτέρου θεάματος, ἀλλὰ καὶ πάντες φρύγες ἐκ τοῦ μήπω γεγεννημένου πόρρωθεν δεχόμενοι τὰς συμφοράς. καὶ Ἀλκμήνη δὲ γεννήσασα τὸν Ἡρακλέα, φοβερὰ τοῖς ἀντιστρατιώταις ἐγίνετο. καὶ τοὺς ἐχθροὺς μὴ θαρρεῖν ἐποίει, τὸν παῖδα περὶ γαστρὸς ἔχουσα. τοσοῦτον οὖν ἀπέχει τοῦ μὴ ζῶα λέγειν τὰ ἔμβρυα, παρ' ὅσον καὶ τοῦ μὴ μόνον ὡς ζῶα, ἀλλὰ καὶ τῆς ἀνθρώπου φύσεως ἀλκιμώτερα, κἂν ἔτι ταῖς μήτραις ᾖ προσερριζωμένα. ἀλλὰ γὰρ ἤδη καὶ πρὸς αὐτά μοι τὰ ἔμβρυα γινέσθω ὁ λόγος, ὡς ἤδη τὴν ἀνθρώπου ἐντελῆ ζωότητα μεμορφωμένα. προΐετέ μοι τῶν μυχῶν μηδὲν πεφοβημένα μή τε γονέως πάρεσιν, μή τε φιλτάτων ἀπαλλοτρίωσιν, μήτε κτημάτων ἀφαίρεσιν, οὐδὲν ὑμᾶς ἡ τῶν πολλῶν συκοφαντία, καὶ τῶν αὐτὰ ἀδικούντων τὴν φύσιν πανουργία παραγράψεται, ὅθεν αὐτῶν ὑμεῖς τιμωροὶ κατεστήσεσθε, ὡς Περικλῆς. ὡς Πεισίστρατος. ὡς Πάρις. ὡς ὁ Μακεδὼν Ἀλέξανδρος. καὶ ὡς Ἡρακλῆς.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΟΥΡΩΝ.

ΤΩΝ οὔρων αἱ διαφοραί, πολλαὶ μὲν κατὰ μέρος. αἱ δὲ πρῶται δύο, χύμα τε καὶ τὸ συνιστάμενον. καλῶ δὲ χύμα, αὐτὸ τὸ οὖρον παρὰ τὸ κεχύσθαι. συνιστάμενον δὲ τὸ ἐν αὐτῷ ἑτεροίως ἐμφαινόμενον. ἀλλὰ τοῦ χύματος πάλιν ἰσάριθμοι τυγχάνουσιν αἱ διαφοραί. δύο γάρ εἰσι τούτου. τὸ μέν, σύστασις. τὸ δέ, χροία. ἑκάτερον δὲ τούτων, εἰς ἕτερα διαιρεῖται. ἡ μὲν οὖν σύστασις, εἰς λεπτότητα, παχύτητα καὶ τὸ ἐξ ἀμφοτέρων σύμμετρον. ἀλλὰ τὸ μὲν σύμμετρον ἐπειδὴ κατὰ φύσιν ἐστὶν ἀδιαίρετον ὑπάρχει. τὸ δὲ λεπτὸν καὶ τέμνεται διχῆ. τὸ μὲν λεπτὸν ἢ οὐρεῖται λεπτόν, καὶ μένει λεπτόν, ἢ ἀναθολοῦται καὶ παχὺ γίνεται παχύ.

Τί δηλοῖ τὸ οὐρούμενον λεπτὸν καὶ μένον καὶ τὸ ἀναθολούμενον.

τούτων τὸ μὲν πρότερον, ἐσχάτην ἀπεψίαν δηλοῖ. οὐ γὰρ ἐνεχείρησεν ὅλως ἡ φύσις ἐπὶ τούτου πρὸς τὴν πέψιν. τὸ δὲ δεύτερον ὃ ἐστὶν λεπτόν, ἀναθολούμενον δέ, δηλοῖ τὴν φύσιν ἄρχεσθαι πέττειν. τὸ μὲν λεπτὸν οὕτως διαιρεῖται καὶ ταῦτα σημαίνει.

Τί σημαίνει τὸ οὐρούμενον παχὺ καὶ μένον παχὺ καὶ τὸ καθιστάμενον.

Τὸ δὲ παχὺ καὶ αὐτὸ παραπλησίως τῷ λεπτῷ, ἢ οὐρεῖται παχὺ καὶ μένει παχύ. καθίσταται δὲ καὶ γίνεται λεπτόν. καὶ δηλοῖ τὸ μὲν πρότερον, ἀκμάζειν. τὸ δὲ δεύτερον, τὴν τῶν παχέων χυμῶν ζύμωσιν, ἄρχεσθαι δὲ τὴν διάκρισιν. καὶ αὗται μὲν αἱ τοῦ χύματος ἐν συστάσει διαφοραί. ἀλλ' ἐπειδὴ τούτου ποιούμενοι τὴν διαίρεσιν, ἐλέγομεν οὖν καὶ ἐν χρώματι διαφορὰς αὐτῶν, φέρε δὴ καὶ ταύτας ἐφεξῆς ἐκθώμεθα. ἔστιν οὖν πρῶτον τὸ λευκόν. εἶτα τὸ ὠχρόν. ἐφεξῆς δὲ τούτων, τὸ πυρρόν. τέταρτον δὲ τὸ ξανθόν. μετὰ δὲ τούτων ἐστὶ τὸ ἐρυθρόν. ὕστατον δὲ τὸ μέλαν. καὶ ἔστιν ἄκρα μὲν δύο, τὸ λευκὸν καὶ τὸ μέλαν, τὰ δὲ λοιπὰ τούτων μεταξὺ τέτακται. ἔστιν μὲν οὖν τὸ ὠχρόν, ἐγγὺς τοῦ λευκοῦ. τὸ δὲ πυρρὸν τοῦ μὲν λευκοῦ, πόρρωθεν, τοῦ δὲ ὠχροῦ, σύνεγγυς. πάλιν δὲ τὸ ἐρυθρόν, σύνεγγυς μὲν τοῦ μέλανος, τοῦ δὲ πυρροῦ καὶ ὠχροῦ πορρωτάτω. τὸ δὲ ξανθόν, ἴδιον ἔχει ἐξαίρετον τὸ μίγμα, ὡς εἶναι δύο χρωμάτων τοῦ τε πυρροῦ καὶ τοῦ ἐρυθροῦ, ὅθεν καὶ στίλβον αὐτὸ κέκληκεν ὁ Γαληνός, ἐν τῷ περὶ κρίσεων, εἰκότως γὰρ καὶ στίλβει. καταλαμπόμενον γὰρ ὑπὸ τοῦ πυρροῦ. φαιδρύνεται δὲ ὑπὸ τοῦ ἐρυθροῦ. ἐφεξῆς οὖν ἐστὶν ἀλλήλων ἐν χρώματι, οὖρα ταῦτα. λευκόν. ὠχρόν. πυρρόν. ξανθόν. ἐρυθρόν. μέλαν. γίνεται μὲν τὸ ὠχρόν, ὅταν ὀλίγη χολὴ τὸ ὑδατῶδες ἐπιχρώσῃ. τὸ δὲ πυρρόν, ὅταν πλείων. τὸ δὲ ἐρυθρὸν ἐξ αἵματος. τὸ δὲ μέλαν, ἐξ ὑπεροπτήσεως καὶ ἑτέρων τινῶν, καθὰ μετ' ὀλίγον εἰρήσεται. τὸ δὲ λευκόν, ἔσχατον ἀπεψίαν δηλοῖ. αὗται μὲν οὖν εἰσὶν αἱ ἁπλαῖ τοῦ ὑποχύματος διαφοραί, ἔν τε συστάσει καὶ χροιᾷ. λοιπὸν δ' ἂν εἴη καὶ τὰς τούτων συμπλοκὰς εἰπεῖν καὶ θεάσασθαι, ποῖαι μὲν δύνανται συναφθῆναι, τίνες δὲ οὔ. καὶ συμπλεκόμεναι, τί σημαίνουσιν.

Περὶ λεπτοῦ καὶ λευκοῦ οὔρου.

Ἔστω οὖν πρότερον ἐν τῇ συστάσει ἄπεπτον, καὶ γινέσθω λεπτόν, καὶ τούτου μένοντος λεπτοῦ, ἀμειφθείτω τὸ χρῶμα καὶ ἔστω τελέως λευκόν, ὡς εἶναι αὐτό. λεπτὸν καὶ λευκόν. τὸ τοιοῦτον οὖρον, πολλὰ σημαίνει, ἢ γὰρ ἀσθένειαν δυνάμεως, καθάπερ καὶ ἐπὶ τῶν γερόντων ἐπιφαινόμενον δηλοῖ. καὶ ἐπὶ τῶν χρονίων δὲ νοσημάτων, ὡς ἐπὶ τὸ πλεῖστον, φαίνεται λεπτόν, καὶ λευκὸν διὰ τὴν ἀσθένειαν, ὁμοίως καὶ ἐπὶ τούτων τῆς φύσεως. σημαίνει δὲ καὶ ἔμφραξιν ὡς ἐπὶ τοῖς φρενιτικοῖς ἐπιφαινόμενον ἐνδείκνυται. καὶ ἐπὶ τῶν τεταρταίων πάλιν ἐν ταῖς ἀρχαῖς τοιοῦτον οὐρούμενον, ἔμφραξιν σημαίνει. τὸ γὰρ τῶν μελαγχολικῶν τῇ παχύτητι τὰς ὁδοὺς σφηνοῦν

ὥσπερ

ὥσπερ διηθισμένον τὸ οὖρον, φαίνεται λεπτὸν καὶ λευκόν. ἕτερον δὲ μέγιστον σημαίνει κακὸν καὶ τὸ τοιοῦτον οὖρον. κἂν γὰρ ἐπὶ διακαεῖ καὶ καυσώδει πυρετῷ ἐπιφανῇ λευκόν, καὶ λεπτόν, σημαίνει φρενῖτιν. εἰ γὰρ ὁ πυρετὸς πλῆθος δηλοῖ χολῆς, οὐκ ἐπιχρώννυται δὲ τὸ οὖρον, εὔδηλον ὡς ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις χολή, ἀλλ᾽ ὅτι οἰκείᾳ κουφότητι περὶ τὸν ἐγκέφαλον ἀνέδραμεν. εἰ μὲν οὖν μὴ πάρεστιν ἡ φρενῖτις τοῦ οὔρου τυγχάνοντος λεπτοῦ καὶ λευκοῦ, ἀλλ᾽ ἐν πυρετὸς καυσώδης, μαντευόμεθα φρενῖτιν. εἰ δὲ τοιοῦτον ᾖ ἐν τὸ οὖρον, πάρεστι δὲ ἡ φρενῖτις προαγγέλλει θάνατον ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ὑπομένει ἡ δύναμις ἡ ἐγκεφάλου σώζεσθαι ὑπὸ τῆς χολῆς ἀνιώσης καὶ δακνούσης τῇ δριμύτητι. τοσαῦτα μὲν δηλοῖ τὸ λεπτὸν καὶ λευκὸν οὖρον.

Τί δηλοῖ τὸ λεπτὸν καὶ ὠχρόν.

Ἔστω πάλιν τῇ συστάσει ἄπεπτον, τουτέστι τὸ λεπτόν, ἐν δὲ τῷ χρώματι μετρίως πεπεμμένον ὡς εἶναι αὐτὸ ὠχρόν. τὸ τοιοῦτον ἀσθένειαν δηλοῖ. τῷ μὲν γὰρ χρώματι τῶν οὔρων ἐπέψεν ὡς ἂν ῥᾷδιον ὑπάρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον.

Τί δηλοῖ λεπτὸν καὶ πυῤῥόν.

Πάλιν δὲ λεπτὸν ἔστω, ἀλλ᾽ ἀμειβέσθω τῷ χρώματι καὶ ὑπαρχέτω πυῤῥόν, βέλτιον ᾖ τοῦ προτέρου τὸ τοιοῦτον τυγχάνει, ἔστι δὲ ἄπεπτον διὰ τὴν σύστασιν.

Τί δηλοῖ τὸ λεπτὸν καὶ ξανθὸν οὖρον.

Ἀλλ᾽ ἔστω λεπτὸν ὡς ὑπόκειται, ἀλλ᾽ ξανθόν. τοῦτο σημαίνει οὐ μόνον ἀπεψίαν, ἀλλὰ καὶ ὕλης ἔνδειαν δηλοῖ, ὡς νεωτέρους ἀσιτήσας. ἐκδιδάσκει δὲ καὶ θερμότητα πολλὴν ἐν τῷ βάθει τίκτειν χολήν, ὡς ὁ τριταῖος. δηλοῖ καὶ ἀγρυπνίαν καὶ φροντίδα. ἅπαντα ταῦτα ξανθὰ τὰ οὖρα ποιεῖ.

Τί δηλοῖ λεπτὸν καὶ ἐρυθρόν.

Ἔστω δὲ πάλιν ἄπεπτον τῇ συστάσει λεπτόν, ἀλλ᾽ ἐρυθρόν. τὸ τοιοῦτον, οὐ συνίσταται. εἰ γοῦν τὸ ἐρυθρὸν ἀφ᾽ αἵματος γίνεται, τὸ δ᾽ αἷμα πάλιν ἀπὸ πέψεως γίνεται. ἡ δὲ πέψις παχύνει τὴν σύστασιν εὔδηλον, ὅτι τὸ ἐρυθρὸν οὐ συνίσταται μετὰ τοῦ λεπτοῦ. εἰ γὰρ καὶ ποτὲ μιγῇ μετὰ τοῦ ἐρυθροῦ χρώματος τὸ λεπτόν, ἀλλ᾽ οὐκ ἀπ᾽ ἀκριβῶς ἐρυθροῦ, ἀλλὰ καὶ ἰχωροειδοῦς.

Λεπτὸν μέλαν.

Ἡ δὲ τελευταία ἐστὶ συμπλοκή, ἡ τοῦ λεπτοῦ καὶ μέλανος, οὐδ᾽ αὐτὴ δυναμένη συστῆναι. ἔστι γὰρ τὸ μέλαν χρῶμα ἢ διὰ τὸ ἐκκαθαίρεσθαι τὸν μελαγχολικὸν χυμόν. ἢ διὰ ψύξιν. ἢ δι᾽ ὑπερόπτησιν τοῦ αἵματος. ἔστι δὲ καὶ τὰ τρία παχέα.

Πῶς τὸ λεπτὸν μετὰ τούτου συνίσταται.

Αἱ δὲ τοῦ μέλανος αἱ τρεῖς εἰρημέναι διαφοραί, παχυτάτης κέκτηνται συστάσεως, ἐντεῦθεν κατάδηλον. ἐπὶ τῇ παρακμῇ γὰρ τοῦ τεταρταίου καὶ τῇ λύσει τῆς μελαγχολίας οὖρα φαίνεται μέλανα γινόμενα. γίνονται δὲ μέλανα διὰ τὸ ἐκκαθαίρεσθαι τὸν μελαγχολικὸν χυμόν. οὗτος δὲ γεώδης τῇ οὐσίᾳ καὶ παχὺς κατὰ τὴν σύστασιν. οὐκοῦν καὶ τὰ οὖρα ποιεῖ παχέα. ὁμοίως δὲ καὶ τὰ διὰ ὑπεροπτήσεως αἵματος μέλανα γινόμενα οὖρα παχέα τυγχάνει. εἰ γοῦν ὄπτησις ἀνικμᾶται τὴν ὑγρότητα τοῦ αἵματος, εὔδηλον ὡς παχύνει τὴν σύστασιν. καὶ φανερὸν ὅτι καὶ τὰ οὖρα παχέα γίνεται. ἢ γὰρ τοῦ χρώματος μεταλαμβάνει καὶ γίνεται μέλανα, καὶ τῇ συστάσει ὡς ἀποκαύσει τοῦ αἵματος. καὶ ἡ ψύξις δὲ φανερῶς τῇ πήξει παχύνει τὴν ὕλην, καὶ τὴν σύστασιν τοῦ οὔρου, ὁμοίαν ἀπεργάζεται τῇ τοῦ χύματος συστάσει, καὶ πάλιν τὰ οὖρα γίνονται παχέα ὥσπερ ἐδίδαξα.

Παχὺ λευκόν.

Καὶ περὶ μὲν τὸ πλοκὸν τοῦ λεπτοῦ πρὸς τὰ χρώματα τοῦ οὔρου τὰ προειρημένα ἀρκείτω, νῦν δὲ λοιπὸν τὴν σύστασιν ἀμείψωμεν, καὶ ἔστω τὸ οὖρον παχύ, καὶ τούτου μένοντος παχέος, ἀναλλαττέσθω τὸ χρῶμα, καὶ ἔστω λευκόν. τὸ τοιοῦτον δηλοῖ τὸ ὠμὸν χυμὸν πολὺν συνάγεσθαι κατὰ τὸ σῶμα.

Παχὺ πυῤῥόν. παχὺ ξανθόν. παχὺ ὠχρόν.

Ἀλλὰ δὴ ἔστω παχὺ καὶ ὠχρόν, αὕτη οὐ δύναται συνελθεῖν εἰς συμπλοκήν, οὔτε γοῦν παχὺ καὶ πυῤῥόν, οὔτε παχὺ καὶ ξανθὸν συνελθεῖν δύνανται. τὰ τοιαῦτα γὰρ χρώματα, δι᾽ ἔνδειαν ὕλης γίνεται, καὶ δυνάμεως ἀσθένειαν. τὸ δὲ παχύ, διὰ τὰ ἐναντία. φανερὸν ὅτι καὶ πυῤῥὸν ἢ ὠχρὸν καὶ ξανθὸν οὐ δύνανται ἅμα συστῆναι.

Παχὺ ἐρυθρόν

Ἀλλὰ δὴ ἔστω παχὺ καὶ ἐρυθρόν. τὸ τοιοῦτον οὖρον συνίσταται. καὶ σημαίνει πλῆθος αἵματος, ὡς ἐν συνόχοις πυρετοῖς.

Παχὺ μέλαν.

Ἔστω δὴ παχὺ καὶ μέλαν λοιπόν. καὶ αὐτὴ δὲ συνίσταται καὶ σημαίνει τὸν μελαγχολικὸν χυμὸν ἐκκενοῦσθαι, πολὺν ὡς ἐπὶ τῇ παρακμῇ τοῦ τεταρταίου καὶ ἐπὶ τῇ λύσει τῆς μελαγχολίας. περὶ δὲ τῶν διὰ ψύξιν καὶ ὄπτησιν γινομένων μελάνων ὕστερον ἐροῦμεν, καὶ αὗται μὲν τοῦ παχέος μετὰ τῶν ἐνδεχομένων χρωμάτων αἱ συμπλοκαί.

Ἀρξόμεθα δὴ τῶν ἐμπλοκῶν ὧδέ πως, λευκὸν ὑποστάσει λεῖον ἀνώμαλον.

Ἔστω δὴ πρότερον λευκόν, καὶ τὴν ἄνω χώραν ἔχον, καὶ λεῖον, μηκέτι δὲ ὁμαλὸν ἀλλὰ σήμερον ᾖ πεπεμμένον, αὔριον δὲ οὔ. τὸ τοιοῦτον ἀσθένειαν δηλοῖ, καὶ μὴ δύνασθαι διὰ παντὸς ὁμοτίμως πέττειν τὴν ὕλην.

Λευκὸν ὑποστάσει οὐ λεῖον ἀνώμαλον.

Ἀλλὰ δὴ ἔστω λευκὸν ᾖ καὶ τὸν κάτω κεκτημένον τόπον, μηκέτι δὲ λεῖον, ἀλλὰ διεσπασμένον. τοῦτο χεῖρον τοῦ προτέρου ὑπάρχον. ἐκεῖνο μὲν γὰρ δείκνυε τὴν φύσιν διὰ πολλῶν, τὴν ἀνωμαλίαν ὑπομένειν, τοῦτο δὲ ἐν μιᾷ πέψει, ὅπερ ἐστὶ μοχθηρότατον, ὥσπερ καὶ τὸ φθινόπωρον κακόν, ὅτι ἀνώμαλον. ἀλλ᾽ ἐὰν μὲν διὰ τεττάρων ἢ πέντε ἡμερῶν γίνοιτο, ἔλαττον τὸ κακόν. ἐὰν δὲ ἐν μιᾷ ἡμέρᾳ, χεῖρον ὑπάρχει. τὸν αὐτὸν τρόπον καὶ τὰ διεσπασμένα τῶν πρώτων, χείρονα, εἴ γε ἐν μιᾷ πέψει διακοπὴν φύσεως δηλοῖ. διακόπτει δὲ τὴν φύσιν, πνεῦμα παρεμπεσόν,

ἢ διασπᾷ τὴν συνέχειαν τοῦ πεμπομένου χυμοῦ. ἐπεὶ οὖν ὑποθέμεθα κατὰ φύσιν τὸ παρυφιστάμενον ἐν τῇ χροιᾷ ἢ ἐν
τόπῳ, παρὰ φύσιν δὲ ἐν τῇ συστάσει, δῆλον ὅτι τοῦ ταῦτ᾽ ἔχοντος, οὕτως, ἐν τῇ συστάσει ἡ ὁμαλότης ἐστὶν ἡ ἀνωμαλία.

Οὐ λεῖον ὁμαλόν.

Τὸ οὖν πρότερον ὁμαλὸν διεσπασμένον, κακόν. πλῆθος γὰρ ἐνδείκνυται πνεύματος παχέος ἐν τῷ βάθει μὴ δυναμένου λεπτυνθῆναι ὑπὸ φύσεως.

Οὐ λεῖον ἀνώμαλον.

Ἀλλὰ δὴ ἔστω διεσπασμένον ἀνώμαλον. τουτέστι ποτὲ μὲν φαινόμενον τοιοῦτον, ποτὲ δὲ τοιοῦτον, τοῦ προτέρου τυγχάνειν ἄμεινον. ὀλίγον γὰρ δηλοῖ πνεῦμα, καὶ τοῦτο λεπτὸν ἔσεσθαι ταχέως. καὶ θαυμαστὸν ὑπὸ τῆς φύσεως ἀκολουθεῖ, τὸ τὴν μὲν ὁμαλότητα εἶναι κακόν, τὴν ἀνωμαλίαν δὲ ἀγαθόν. καὶ μάλιστα δὲ εἰκότως τὸ τοιοῦτον, συμβαίνει. τὰ γὰρ κατὰ τὴν αὐτὴν ἔχοντα δύναμιν, μοχθηρὰ τυγχάνει. οὕτως οὖν καὶ ὁ διαλείπων σφυγμός, ἀεὶ μὲν ὁ αὐτὸς φαινόμενος, μοχθηρότατός ἐστι. ποτὲ δὲ φαινόμενος τοιοῦτος, ἄλλο τε δέ, οὐκ ἔλαττον κακὸν τοῦ προτέρου δηλοῖ. οὕτως οὖν καὶ τὸ διεσπασμένον ἀνώμαλον τοῦ διεσπασμένου μέν, ὁμαλῶς δὲ φαινομένου, μετριώτερόν ἐστι κακόν. καὶ περὶ μὲν ταύτης τῆς συμπλοκῆς, ἱκανὰ τὰ προειρημένα.

Εναιώρημα λευκόν, ὁμαλόν, λεῖον.

Ἔστω δὲ ἑτέρα ἤδη. τὸ παρυφιστάμενον πεπεμμένον ἔστω τῷ χρώματι, καὶ ὑπαρχέτω λευκόν, μηκέτι δὲ τὴν κάτω χώραν ἐχέτω, ἀλλὰ τὴν μέσην. καὶ τὸ ἔχον τὴν μέσην χώραν, ἔστω πρότερον καὶ λεῖον ἐν συστάσει, καὶ ὁμαλὸν ἐν χρόνῳ. τὸ τοιοῦτον πέψιν σημαίνει. ἀλλ᾽ οὐ τελείαν· οὐ γὰρ ὑπόστασίς ἐστι, ἀλλὰ μέση πέψις. ἤτοι σαφῆ δηλοῦσα, τὸ γὰρ ἐν μέσῳ ἐποχούμενον, ὑπόστασις ἐστὶ τῇ φύσει, τῷ τόπῳ δὲ διαφέρουσα. τὸν δὲ τόπον ἀμείβουσα διὰ πνεύματος περιουσίαν. ἐὰν γὰρ μή τε τελείως ἐν τῇ πέψει λεπτυνθῇ τὸ πνεῦμα, ἀλλὰ τοῦ παρεσπαρμένου ὄντος ἀποκλυσθῇ διὰ παχύτητα, ὠθεῖ τοῦτο καὶ φέρει μετέωρον πρὸς ἄκραν ἐπιφάνειαν, καὶ καλεῖται νεφέλη. ἢ πρὸς μέσην χώραν, καὶ καλεῖται ἐναιώρημα. ἢ οὐδ᾽ ὅλως ἐστὶ πνεῦμα, καὶ τῷ βάθει φαίνεται κάτω, καὶ ὀνομάζεται ὑπόστασις. περὶ μὲν ἐναιωρήματος εἴρηται τοσαῦτα.

περὶ τῆς ὑποστάσεως καὶ τῆς νεφέλης εἰρῆσθαι νομίζομεν.

Τὰ γὰρ τοιαῦτα εἰρημένα τῇ θέσει μὲν διαλλάττουσι, τὴν δὲ χροιὰν ἀμείβει ἡ τοῦ πνεύματος παρεμπτωσις. ἀλλὰ τὸ πνεῦμα ἀπὸ τῆς πέψεως γίνεται, κἂν ἡ μὴ τελεία πέψις εἴη, καὶ ἡ φύσις τὸ πνεῦμα λεπτύνει. διὸ ἡ ὑπόστασις τελείαν δηλοῖ τὴν πέψιν. εἰ δὲ μὴ δυνηθείη τὸ πνεῦμα λεπτυνθῆναι, ἀλλὰ τῇ παχύτητι ἢ μὴ διαφορούμενον ἐκ τοῦ χυμοῦ, διὸ ἡ ἀκατέργαστον ἔχει τὸν χυμὸν ὅθεν καὶ οὐ τελείαν πέψιν δηλοῖ, ἀλλὰ † σαφῆ ἢ μέσην, διὸ καὶ τὴν μέσην καταλαμβάνει χώραν, οὐ γάρ ἐστι πολύ, εἰ γοῦν τὴν ἄνω πέψιν κατεῖχε καὶ ἐγίνετο νεφέλη, πέψιν μὲν σημαίνει, ὅτι ἐγγυνήθη. ἀμυδρὰν δέ, ὅτι πολὺ καὶ παχύ ἐστι τὸ τοιοῦτον. καὶ δῆλον ὅτι ἐκ τοῦ τόπου οὐδὲν πλέον μανθάνομεν, ἢ μέτρα τῶν δηλουμένων. εἰ μὲν γοῦν μέλαν εἴη τὸ παρυφιστάμενον, κακόν. ἀλλ᾽ ἐὰν μέν τι εἴη νεφέλη, ἀμυδρὸν τὸ κακόν. ἐὰν δὲ ὑπόστασις εἴη, τέλειον. περὶ μὲν τῆς θέσεως, ἱκανὰ τὰ εἰρημένα. δεδήλωται γοῦν ὅτε ἀγαθὸν ὅτε κακόν, ἀλλὰ μὲ τρία ἀγαθοῦ τε καὶ κακοῦ. ἀλλ᾽ ἐπειδὴ τέσσαρα ζητοῦμεν, ἐν τῷ παρυφισταμένῳ, χρῶμα τε καὶ τόπον, σύστασίν τε καὶ χρόνον, εἴρηται δὲ περὶ τοῦ χρόνου καὶ τῆς συστάσεως, τὸ λοιπὸν προσθήσωμεν, ὅ ἐστι περὶ τοῦ χρώματος ἀλλ᾽ ἐπειδὴ λευκὸν ἦν τὸ κατὰ φύσιν, τοῦτο μὴ ἔστω λευκόν, μέλαν δέ, ἢ πελιδνόν, ἢ ὠχρόν, ἢ ἐρυθρόν.

† al. ἀσαφῆ

Τί δηλοῖ τὸ ἐρυθρόν.

Τὸ μὲν οὖν ἐρυθρόν, ἀπὸ ἰχωροειδοῦς αἵματος γίνεται καὶ ἀπεψίαν σημαίνει, ἀλλ᾽ οὐ θάνατον, ὅτι μὲν οὖν κίνδυνον οὐκ ἐπάγει τὸ χρῶμα καὶ οἰκεῖον τῆς ὕλης ἐνδείκνυται. εἰ δὲ ἀπεψίαν σημαίνει καὶ διὰ τοῦτο καὶ χρόνιον. ἐκ τοῦ δὲ φανερὸν τῶν χυμῶν, οἱ μὲν ἐκ τοῦ φλέγματος γίνονται, ὡς τὸ φλέγμα καὶ ἰχώρ. οἱ δὲ μετὰ τοῦ αἵματος ὡς ἡ ξανθὴ χολὴ καὶ ὁ μέλας χυμός. ὅταν οὖν τὸ οὖρον ἐρυθρὸν φανῇ, σημαίνει ἀπὸ ἰχῶρος ἔχειν τὸ χρῶμα, ὁ δὲ ἰχώρ ἐστι πρὸ τοῦ αἵματος, οὐ γὰρ ἡ φύσις τελείαν ἐπέθηκε τῷ αἵματι τὴν βαφήν, εὔδηλον ὡς οὐδέπω ἐπέφθη. εἰς δὲ τοῦτο τοῦ χρόνου χρήζει ἡ φύσις, πρὸς τὴν πέψιν τοῦ αἵματος. τί μὲν οὖν σημαίνει τὸ ἐρυθρὸν οὖρον, εἰρήκαμεν.

Τί δηλοῖ τὸ μέλαν.

Τὸ δὲ μέλαν, ποτὲ μὲν ἐνδείκνυται ψύξιν, ποτὲ δὲ θερμότητα. διωρίσθη δ᾽ αὖ οὕτως. εἰ μὲν οὖν προηγήσατο πελιδνόν, εἶθ᾽ οὕτως ἐγένετο μέλαν, ψύξιν ἔχει τὴν πρόφασιν. εἰ δὲ τὸ χλωρὸν προεγένετο, ἠκολούθησε δὲ τὸ μέλαν, φανερὸν ὅτι ἀπὸ θερμότητος ἐγένετο. ἢ τέτταρα μὲν ἤδη τοῦ παρυφισταμένου ἐζητοῦμεν χρώματι καὶ τόπον καὶ σύστασιν καὶ χρόνον. ἁπάντων δὲ τούτων πεποιήμεθα τὴν σύγκρισιν.

Τί δηλοῖ τὸ πελιδνόν.

Τὸ δὲ πελιδνόν, ψύξιν καὶ νέκρωσιν ἐμφαίνει τῆς δυνάμεως.

Διαφοραὶ τῶν ἐλαιωδῶν οὔρων.

Τῶν ἐλαιωδῶν οὔρων, τὰ μέν ἐστιν ἐλαιόχροα, τὰ δὲ ἐλαιοφανῆ, τὰ δὲ ἐλαιώδη. ταῦτα δὲ σημαίνει ἀρχὴν τῆς συντήξεως. τὰ δὲ ἐλαιοφανῆ, ἀκριβεστέραν μὲν ἔχει τὴν μίξιν τοῦ ἐλαίου πρὸ τοῦ οὔρου, σημαίνει δὲ τοῦ πάθους ἐπίδοσιν. τὰ δὲ ἐλαιώδη ὅλα δι᾽ ὅλων τὰ οὖρα καὶ ἐν χρώματι καὶ ἐν συστάσει οἷον ἔλαιον ἐστί, καὶ σημαίνει ταῦτα ἀκμὴν τῆς ἐπιδόσεως. ἀλλ᾽ ἤδη καὶ τὰ τῶν νεφρῶν πιμελῆς ἀναλυομένης γίνεται, τὰ δὲ ἐλαιώδη διωρίσωμεν, διά τινων γνωρισμάτων. μέμνηται δὲ καὶ Ἱπποκράτης ἐν ἀφορισμῷ περὶ τῆς τῶν νεφρῶν πιμελῆς ἀναλυομένης ἐν τῷ φάναι. ὁκόσοισι λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ σημαίνει. αὐτὸς δὲ καὶ τοὺς διορισμοὺς ἐχαρίσατο προσθεὶς τὸ ἀθρόη. ἤδη μὲν γὰρ τῶν νεφρῶν, ταχέως ἐκκρίνεται. ἤδη δὲ τῆς ἐν ὅλῳ τῷ σώματι πιμελῆς, οὐκ ἔτι ταχέως, ἀλλὰ καὶ βραδέως. τὸ γὰρ διαδίδοσθαι αὐτὴν ἀπὸ τῶν δὲ τῶν φλεβῶν ὑπὸ τὰ σύνεγγυς κἀκεῖθεν, ὑπὸ τὰ πλησίον, καὶ μετὰ χρόνον ὑπὸ τοὺς νεφροὺς καὶ τὴν κύστιν, εὔδηλον ὅτι μετὰ πολὺν ἐκκρίνεται χρόνον. ἤδη δὲ τῶν

νεφρῶν

νεφρῶν διὰ τὸ σύνεγγυς τῆς διεξόδου, ταχέως ἐκκρίνεται, τὸ γὰρ ἀθρόον παρὰ τῷ Ἱπποκράτει, νῦν ἀντὶ τοῦ ταχέως εἴρηται. καὶ περὶ μὲν ἐλαιωδῶν οὔρων ἱκανῶς εἴρηται.

Τί σημαίνουσιν αἱ ὀροβοειδεῖς ὑποστάσεις.

Ὅταν δ' ἡ σὰρξ τήκηται ὀροβοειδεῖς ὑποστάσεις γίνονται, δείζονται δὲ ταῦτα πέψει τε καὶ ἀπεψίᾳ, καὶ τὸ παρεῖναι ὀξὺν πυρετόν, εἰ μὲν γάρ ἐστι πυρετός, ὅλου τοῦ σώματός ἐστι τὸ πάθος. εἰ δὲ μή, τῶν νεφρῶν καὶ πάλιν εἰ μὲν ἐστιν ἀπεψία τῶν οὔρων, τοῦ ὅλου σώματος κακόν. εἰ δὲ πέψις μὲν ἦ, ὀροβοειδεῖς δὲ ὑποστάσεις, τῶν νεφρῶν δηλοῖ πάθος. εἰκότως δὲ ἀπεψία κρατεῖ, ὅταν ὅλου τοῦ σώματος πάθος ἐστί. τὰ γὰρ ποιοῦντα τὴν πέψιν ἀγγεῖα νενόσηκεν. ἐπὶ δὲ τῶν νεφρῶν οὐκ ἔστιν ἀπεψία, οὐ γὰρ ὁ νεφρὸς πέττει τὸ οὖρον. καὶ περὶ μὲν τῆς πιμελῆς καὶ τῆς σαρκὸς ἱκανὰ τὰ εἰρημένα.

Τί δηλοῖ τὰ πεταλώδη.

Ὅταν δ' αὖ πάθωσι τὰ στερεά, πρῶτον μὲν ἐπὶ πολὺ διαζέονται καὶ γίνονται πεταλώδη τὰ οὖρα. ἀλλὰ καὶ τῆς κύστεως τοιαῦτα δηλωτικά. τοῖς δὲ προειρημένοις ἐπὶ τῶν νεφρῶν, διορίζεται. εἰ μὲν εἴη πυρετός, ὅλον κεκάκωται. εἰ δὲ μὴ ἦ πυρετός, τῆς κύστεως τὸ πάθος. καὶ ἡ μὲν ἀπεψία τοῦ ὅλου. ἡ δὲ πέψις, τῆς κύστεως.

Τί δηλοῖ τὰ πιτυρώδη.

Ὅταν δὲ ὁ πυρετὸς ἐν τῷ βάθει τῶν ἀγγείων καταδῇ, γίνονται πιτυρώδεις αἱ ὑποστάσεις, στενώτεραι μὲν τῶν πεταλωδῶν, ἀλλὰ παχύτεραι. καὶ τὰ τοιαῦτα δὲ πάλιν τῆς κύστεως σημαντικά. ἀλλὰ καὶ τοῖς εἰρημένοις, τὸ πάθος διακρίνεται. εἰ μὲν γὰρ παρῇ πυρετός, τοῦ ὅλου τὸ πάθος, εἰ δὲ μή, τῆς κύστεως.

Ποῖα σημαίνει τὰ κριμνώδη.

Ἐπειδὰν δὲ ὁ πυρετὸς μετὰ τοῦ καταληφθῆναι τὸ πάθος, μεῖζον ἐπιλάβῃ μῆκος καὶ πλάτος, ἁδρομερέστερα δὲ γίνονται τὰ τοιαῦτα τῶν πιτύρων, καὶ καλεῖται κριμνώδη. ἀλλὰ καὶ τὰ κριμνώδη, δύο σημαίνει. εἰ μὲν σῆψιν αἵματος ἢ σύντηξιν ἰσχυράν, τῶν στερεῶν ὑπάρχει τὸ πάθος. εἰ δ' ἐρυθρά, τοῦ αἵματος.

Περὶ δυσώδους.

Τὸ δυσῶδες οὖρον τὴν σῆψιν δηλοῖ καὶ τῆς φύσεως νέκρωσιν. λείπει δὲ τῷ λόγῳ λοιπὸν θεωρῆσαι, τὰς τοῦ χύματος καὶ τοῦ παρυφισταμένου συμπλοκάς, καὶ τί σημαίνουσιν. αἱ γὰρ ἔμπροσθεν συζυγίαι, αἱ μὲν πρότερον, τοῦ χύματός ἐστι μόνου. αἱ δὲ ἕτεραι, παρυφισταμένου. νυνὶ δὲ τὰς τοῦ χύματος, καὶ τὰς τοῦ παρυφισταμένου συμπλέξωμεν. καὶ τί σημαίνει τούτων ἑκάστη διαφορὰ παραθώμεθα.

Περὶ λεπτοῦ καὶ λευκοῦ.

Ἔστω οὖν πρῶτον ἐν τῇ συστάσει τοῦ χύματος, ἄπεπτον τουτέστι λεπτόν, καὶ ἐν τῇ χροιᾷ, λευκόν. ἐπὶ τοῦ τοιούτου οὔρου, οὐ δύναται ἐνστῆναι παρυφιστάμενον. ἡ γὰρ λεπτότης, ἔνδειαν ὕλης σημαίνει, πῶς ἀπὸ τούτων ἔχομεν ὑποθέσθαι γινόμενον ὑπόστασιν; ἀλλ' ἐὰν ὠχρὸν γένηται ἢ πυῤῥὸν ἢ ξανθόν, †μένον δὲ λεπτόν, ὑφίσταταί τι. ἐπὶ τούτων γὰρ ἡ φύσις ἀποροῦσα ὕλης, εἰς χρῶμα μεταβάλλει τὸ οὖρον, ὥστε θέλοντας ἐργάσασθαι συμπλοκὰς ὁμοῦ τε τοῦ χύματος καὶ τοῦ παρυφισταμένου, τὸ λεπτὸν ἐκβάλλωμεν καὶ ὑποθώμεθα, τὸ παχύ.

Περὶ παχέος καὶ λευκοῦ. παχὺ λευκὸν οὐ λεῖον.

Ἔστω δὲ τῇ χροιᾷ λευκόν. ἐπὶ τούτου ὑφίσταται, καὶ τὸ ὑφιστάμενον ἔστω λευκόν, ἀλλ' οὐ λεῖον. ὁ γὰρ ὠμὸς χυμὸς ἐπὶ τῶν τοιούτων ἀθροίζεται πολύς, ὡς τῇ μὲν χροιᾷ, πέπτεται. τῇ δὲ συστάσει, ἄπεπτον ὑπάρχει.

Παχὺ ἐρυθρὸν οὐ λεῖον.

Ἀλλ' ἔστω πάλιν παχύ, καὶ συναπτέσθω τῷ ἐρυθρῷ τῷ ὠχρῷ καὶ πυῤῥῷ καὶ ξανθῷ τὸ παχὺ οὐ μίγνυται διὰ τὰς ἔμπροσθεν εἰρημένας αἰτίας. ἐὰν τοίνυν τῷ ἐρυθρῷ μιγῇ τὸ παχὺ καθάπερ ἐπὶ τῶν συνόχων, ἔσται σημεῖον ἀπεψίας καὶ ἐν τῷ χύματι καὶ ἐν τῷ παρυφισταμένῳ καὶ κατὰ τὴν σύστασιν καὶ τὴν χροιὰν ἀμφοτέρων τοῦ τε χύματος καὶ τοῦ παρυφισταμένου.

Παχὺ μέλαν οὐ λεῖον.

Ἀλλὰ δὴ ἔστω παχὺ μὲν ἀλλὰ μέλαν. ἐνταῦθα δὲ καὶ αὐτὸ πέπονθεν ἀπεψίαν καὶ ἐν τῷ χρώματι καὶ ἐν τῇ συστάσει τοῦ τε χύματος καὶ τοῦ παρυφισταμένου. καὶ αὗται μὲν αἱ συμπλοκαὶ τοῦ οὔρου μένοντος παχέος. ἔστω δὲ σύμμετρον ἐν συστάσει, ἀμειβέσθω δὲ τοῖς χρώμασιν. ἀλλὰ λευκὸν τὸ τοιοῦτον οὐ δύναται εἶναι. εἰ γὰρ λευκόν ἐστιν ἄπεπτον ὑπάρχει. εἰ δὲ τοῦτο φαίνεται, καὶ τὸ χρῶμα πέψαι φύσις οὐ δεδύνηται, πῶς τὴν σύστασιν ἐπάχυνε, μείζονος καμάτου δεομένου; οὐκοῦν τὸ σύμμετρον μετὰ λευκοῦ συστῆναι οὐ δύναται. σπανίως δὲ μετὰ ὠχροῦ, εἰ μὴ πλείων ἡ δεδωκὼς καὶ τῇ πλεονουσίᾳ τῆς ὑγρότητος ἡ χολή, τὸ μὲν χρῶμα μὴ λάβοι πυῤῥὸν ἢ ξανθόν, τὴν δὲ σύστασιν σχοίη σύμμετρον. ἀλλ' ὅμως κἂν συστοιχῇ, οὐδὲ ἐπὶ τούτων ὑφίσταται, ὥστε καὶ ταύτην ἐκβαλλομεν τὴν συμπλοκὴν μιγνυμένην μετὰ ὑποστάσεως.

Τί δηλοῖ τὸ λεπτὸν καὶ ὠχρόν.

Τὸ δὲ λεπτὸν καὶ ὠχρὸν οὖρον, ἄπεπτον μέν ἐστι τῇ συστάσει. πεπεμμένον δὲ μετρίως τῇ χροιᾷ. ἀσθένειαν δὲ καὶ τοῦτο δηλοῖ τῆς φύσεως, τῷ μὲν χρώματι γὰρ ἐπέψεν ὡς ῥᾴδιον ὑπάρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον.

Τί σημαίνει τὸ λεπτόν.

Τὸ δὲ λεπτὸν τῇ συστάσει καὶ πυῤῥὸν τῷ χρώματι βέλτιον τοῦ ὠχροῦ, ὅμως ἄπεπτον διὰ τὴν σύστασιν.

Τί δηλοῖ τὸ ἐρυθρόν.

Ἀπεψίαν σημαίνει, οὐ θάνατον, ἀλλὰ χρόνου δεῖται εἰς πέψιν. ἔστι δὲ ἐξ αἵματος ἰχωροειδοῦς μήποτε λείαν πέψιν λαβόντος, μηδὲ τὴν ἰδίαν χροιάν, καὶ διὰ τοῦτο χρονιώτερον σημαίνει τὸ νόσημα. ἐπὶ δὲ τῶν συνεχῶν πυρετῶν ἐπὶ πλήθει αἵματος συνισταμένων ἐκκρίνεται οὖρον καὶ παχύ. δηλονότι τοιοῦτόν ἐστι καὶ τῷ χρώματι καὶ τῇ συστάσει τοῦ χρώματος καὶ τὸ παρυφιστάμενον ἅπτεται.

Τί δηλοῖ τὸ λεπτὸν οὐρούμενον, καὶ ἔξω ἀναβολούμενον.

Τὸ δὲ λεπτὸν οὐρούμενον, καὶ μετὰ ταῦτα ἔξω ἀναβολούμενον, ἄπεπτόν ἐστι διὰ περιουσίαν αἵματος παχέος. δηλοῖ δὲ τὴν φύσιν ἄρχεσθαι πέπτειν.

Τί δηλοῖ τὸ παχὺ οὐρούμενον, καὶ μένον παχύ.

Τὸ δὲ παχὺ οὐρούμενον καὶ μὴ καθιστάμενον, οἷον ἀκμάζειν δηλοῖ τὴν τῶν παχέων πνευμάτων τε καὶ χυμῶν ζύμωσιν. ἐπὶ τούτων, κεφαλαλγίαι πάρεισιν, ἢ παρέσονται, διὰ τὴν ἐν τοῖς χυμοῖς ταραχὴν καὶ τὰς ἀναθυμιάσεις.

Τί δηλοῖ τὸ οὐρούμενον παχὺ, καὶ μετὰ ταῦτα ἀποκαθιστάνεσθαι.

Παύεσθαι μὲν τὴν ἐν τοῖς χυμοῖς ζύμωσιν, καὶ δηλοῖ πως ἄρχεσθαι τὴν διάκρισιν.

Τί δηλοῖ τὸ λεπτὸν καὶ λευκόν.

Ἔχατην ἀπεψίαν. οὐ γὰρ ἐνεχείρησεν ἐπὶ τούτων οὐχ ὡς πρὸς τὴν πέψιν. γίνεται δὲ τοῦτο ἢ δι' ἀσθένειαν τῆς δυνάμεως, ἢ δι' ἔμφαξιν, ἢ διὰ τὸ χρόνιον εἶναι τὸ νόσημα. ἐπὶ γοῦν τῶν τεταρταίων χρονιωτάτων ὄντων ἐν ἀρχαῖς διὰ τὸ πλῆθος καὶ δυσπαθὲς τῆς ὕλης διορθούμενον τὸ οὖρον, γίνεται λεπτὸν καὶ δι' ἔμφαξιν ἥπατος ἢ νεφρῶν, ἀλλὰ διαγινώσκεται ἐκ τῆς τοπικῆς ὀδύνης. οὐρεῖται δ' ἐνίοτε λεπτὸν καὶ λευκὸν καὶ ἐπὶ τῶν διακαῶν πυρετῶν καὶ σημαίνει φρενῖτιν. καὶ γὰρ ὁ καυσώδης πυρετὸς, πλῆθος δηλοῖ χολῆς. οὐ χρώννυται δὲ τὸ οὖρον, εὔδηλον ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις ἡ χολὴ, ἀλλὰ τῇ κουφότητι, εἰς τὸν ἐγκέφαλον ἀνέδραμεν, εἰ μὲν οὐ πάρεστι φρενῖτις, ἐπὶ τούτων γίνωσκε αὐτὴν ἤδη ἔσεσθαι. εἰ δὲ καὶ παρούσης φρενίτιδος οὐρεῖται λεπτὸν καὶ λευκὸν ἐπὶ διακαεστάτου πυρετοῦ, προσαγγέλει θάνατον ὡς ἐπὶ πολύ. οὐ γὰρ ὑπομένει ἡ ἐγκεφάλου δύναμις ἤδη προκαταβεβλημένη. τοῦ διακαεῖ πυρετῷ ἐνέγκαι δριμύτητα καὶ δῆξιν χολῆς ἤδη σεσηπυίας.

Οὖρα δὲ πονηρά εἰσι ταῦτα.

Χλωρὰ ἢ πελιδνὰ μέλαινα αἱματώδη καὶ λίαν παχέα τὰ πυρρὰ λίαν ἄκρατα τὰ πυρρὰ καὶ λεπτὰ καὶ μηδεμίαν ὑπόστασιν ἔχοντα, μοχθηρὰ δὲ τὰ δυσώδη. κακὰ δὲ τὰ λιπαρὰ καὶ ἐλαιώδη καὶ ὑπερβάλλοντα τὸ πλῆθος τοῦ πινομένου.

Νεφέλαι δὲ καὶ ὑποστάσεις πονηραί.

Πελιδναὶ καὶ μέλαιναι καὶ ζοφώδεις. ποικίλαι, διεσπασμέναι. κριμνώδεις. δίαιμοι. πυρετώδεις καὶ χολεραὶ φλεγματώδεις καὶ δυσώδεις. τὰ δὲ ἀνυπόστατα οὖρα, πονηρὰ πάντως. καὶ ταῦτα μὲν τὰ εἴδη τῶν οὔρων σημαίνουσι πλῆθος αἰτιῶν διαφόρων νοσημάτων. καὶ αὔξησιν τούτων καὶ μείωσιν. διάκρισίν τε καὶ σύγκρισιν. πέψιν τε καὶ ἀπεψίαν. καὶ τρόπους κινδύνων γενησομένων. σκοπεῖν δὲ δεῖ τὸν ἰατρὸν ἐπὶ τούτων ἁπάντων τὸ πλῆθος καὶ τὴν δύναμιν τῶν αἰτίων καὶ τὴν ὑπεροχὴν ὑπὲρ τὸ ἀδιαμάρτητον φυλαχθῆναι.

Τί δηλοῦσιν αἱ πεταλώδεις ὑποστάσεις.

Ὅταν αὐτὰ πάθωσι τὰ στερεὰ, πρῶτον μὲν ἐπὶ πολὺ διαξέονται καὶ γίνονται πεταλώδη τὰ ἐν τοῖς οὔροις, ἀλλὰ καὶ ἐκ τῆς κύστεως μόνης, τοιαῦτα ἐκκρίνεται. εἰ μὲν οὖν ἡ πυρετὸς, τὸ ὅλον σῶμα κεκάκωται. εἰ δὲ μὴ, τῆς κύστεως τὸ πάθος. καὶ εἰ μὲν ἄπεπτα τὰ οὖρα, τοῦ ὅλου σώματος τὸ πάθος. εἰ δὲ μὴ, τῆς κύστεως μόνης.

Τί δηλοῦσιν αἱ κριμνώδεις.

Ἐπειδὰν δὲ ὁ πυρετὸς μετὰ τὸ καταληφθὲν τὸ πάθος καὶ μεῖζον πάθος ἐπιλάβοι καὶ μῆκος, ἀμφότερα γίνονται τὰ τοιαῦτα τῶν πιτύρων, καὶ καλεῖται κριμνώδη, ἀλλὰ καὶ τὰ κριμνώδη, δύο σημαίνουσιν, ἢ γοῦν ὄπτησιν αἵματος ἢ σύντηξιν ἰσχυρὰν τῶν στερεῶν. εἰ μὲν οὖν λευκὰ ἦ, τῶν στερεῶν σωμάτων ἐστὶ τὸ πάθος. εἰ δ' ἐρυθρὰ τοῦ αἵματος.

Τί δηλοῖ τὰ δυσώδη.

Σῆψιν, καὶ τῷ σώματι νέκρωσιν μέλλουσαν.

Τί δηλοῖ τὰ ἰχωρώδη καὶ σανδαραχίζοντα.

Ἧπαρ ἡλκωμένον καὶ αὐτὴν τὴν οὐσίαν ἀναλύεσθαι, καὶ τὸ μὲν λεπτομερὲς αὐτῶν, τὴν ἰχωρώδη χροιάν. τὸ δὲ παχυμερὲς, τὴν σανδαραχίζουσαν, καὶ ὡς ἐπὶ τὸ πολὺ, θάνατον μηνύουσαν. εἰ δὲ περιιστάζοιντο, ὕδρωπα.

Ἕτερον περὶ διαφορᾶς οὔρων.

Ἐπὶ τῶν πυρετικῶν μάλιστα νοσημάτων ἡ ἐκ τῶν οὔρων σημείωσις, χρησιμωτάτη καθέστηκεν. ἐπειδὴ δὲ πᾶν τὸ παρὰ φύσιν ἀπὸ τοῦ κατὰ φύσιν εὑρίσκεται ἀπὸ τῶν κατὰ φύσιν ἀρξώμεθα. οὖρον οὖν ἄριστον ἐστὶν ἐπὶ τῶν ἐν ὑγιείᾳ καὶ εὐεξίᾳ τε λούντων ἀνθρώπων ὑπόπυρρόν τε καὶ ξανθὸν ἢ ὑπόξανθον καὶ τῷ πάχει σύμμετρον καὶ μένον τοιοῦτον τῇ χροιᾷ οἷον ἀπουρηθῇ. λείαν δὲ καὶ ὁμαλὴν καὶ λευκὴν ἔχον ὑπόστασιν παρὰ πάντα τὸν χρόνον. πλῆθος δὲ πρὸς λόγον τοῦ πινομένου. ἐπὶ δὲ τῶν γυναικῶν τὸ κατὰ φύσιν οὖρον τῇ χροιᾷ λευκότερον τοῦ ἀνδρείου εἶναι χρὴ καὶ ὑπόστασιν ἔχειν πλείονα. ἐπὶ δὲ τῆς παιδικῆς ἡλικίας. ἱκανῶς παχεῖαν ἔχειν αὐτὰ ὑπόστασιν χρὴ διὰ τὰς τῶν παίδων ἀδηφαγίας καὶ ἀτάκτους καὶ ἀκαίρους κινήσεις. λείαν δὲ ὑπόστασιν Ἱπποκράτης καλεῖ, τὸ συνεχὲς καὶ ἀδιάσπαστον δηλῶσαι βουλόμενος, ὁμαλὴν δέ φησιν εἶναι. ὃ διὰ ὅλου ἀεὶ ὅμοιον οὐρεῖται, καὶ μὴ σήμερον πεπεμμένον τῇ δ' ἑξῆς ἄπεπτον. καὶ ὃ μὴ τὴν ὑπόστασιν ἢ τὸ χρῶμα ἔχει ὅλον ἀνώμαλον, ζητοῦμεν οὖν ἐπὶ τοῦ κατὰ φύσιν οὔρου, χρῶμα, καὶ σύστασιν τοῦ σώματος, καὶ τὰ παρεμφαινόμενα τῷ χύματι, οἷον νεφέλην, ἐναιώρημα, καὶ τὴν ἐν τῷ πυθμένι ὑπόστασιν. εὔδηλον οὖν ὅτι κατά τι τούτων τρεπόμενον τὸ οὖρον, ἀπεψίαν τὴν ἐν ταῖς φλεψὶν ἐνδείκνυται.

Ὁ ποῖον οὖρον ἄριστόν ἐστι ἐπὶ τῶν νοσούντων.

Ἄριστον μὲν οὖν οὖρον ἐστὶν ἐπὶ τῶν νοσούντων, τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον ὑπόχλωρον, ἢ ὑπόξανθον. λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ἔχον ὑπόστασιν. ὑποδεέστερον δὲ, τὸ ἔχον ἐναιώρημα, λευκὸν καὶ λεῖον καὶ ὁμαλόν. ἕτερον δὲ τούτου ἀπεπτότερον, τὸ νεφέλην τοιαύτην ἔχον. ἐφ' ὧν γὰρ τὸ πνεῦμα ἐστὶν ἐν τῷ βάθει παχὺ καὶ ἄπεπτον, εἰ μὲν ὀλίγον εἴη, συγχωρεῖ μὲν τὴν ὕλην ἐπὶ τὸν πυθμένα τοῦ ἀγγείου καταφέρεσθαι. εἰ δέ τι πλεονάσαν, τὸ ἄπεπτον ἐν

τῷ βάθει πνεῦμα πρὸς τὴν ἄνω ἐπιφάνειαν τοῦ χύματος φέρει τὴν ὑπόστασιν, καὶ ποιεῖ τὴν καλουμένην νεφέλην. ἐφ' ὅσον οὖν ἰσχύει τὸ πνεῦμα μετεωρίζει καὶ μετεωρίζει τὴν ὑπόστασιν, ἐπὶ τοσοῦτον ἀπεπτότερον γίνεται τὸ οὖρον. ἐπὶ δὲ τῶν ἀκριβῶν τριταίων καὶ τῶν ἐφημέρων πυρετῶν, ἡ νεφέλη μόνη ἢ ἐναιώρημα πολλάκις ἤρκεσε πρὸς λύσιν τοῦ νοσήματος. ἐνίοτε καὶ τὸ εὔχρουν γίνεσθαι τὸ οὖρον μόνον.

Ὅτι οὐ πᾶσα ὑπόστασις λευκὴ, ἀγαθόν τι σημαίνει.

Πολλάκις δὲ καὶ τὸ λευκὸν χρῶμα τοῦ παρεμφαινομένου ἐν τῷ χύματι, ἀπατᾷ τοὺς ἰδιώτας, ὡς ὑπόστασιν χρηστὴν νομίζεσθαι, οὐκ οὖσαν χρηστήν. συμβαίνει γὰρ ὠμὸν καὶ λευκὸν χυμὸν συνεκκρινόμενον τὸ οὖρον ὑφίστασθαι καὶ φαντασίαν ὑποστάσεως χρηστῆς παρέχειν. ἐνίοτε δὲ καὶ ἥπατος ἢ νεφρῶν πεπονθότων, πύον ἐκκρίνεται σὺν τῷ οὔρῳ ὑφιστάμενον, καὶ ἀπατᾷ τὸν τεχνίτην, ἀλλὰ τοῦτο μὲν πρῶτον διορίζεται προπεπονηκέναι τὸν ἄνθρωπον τοὺς νεφροὺς, ἢ τὸ ἧπαρ, ἢ τι ἕτερον μόριον τῶν εἰωθότων ἐκκαθαίρεσθαι διὰ τῶν οὔρων. ἔπειτα δὲ καὶ δυσῶδες εὑρίσκεται τὸ μετέχον πύου. ὁ δὲ ὠμὸς χυμὸς διορίζεται τῆς χρηστῆς ὑποστάσεως, τῇ ἀνωμάλῳ συστάσει τοῦ ὑφισταμένου· οὐ γὰρ συνεχὲς ἑαυτῷ μένει, ἀλλὰ διορίζεται εἰς μικρὰ οἷον ψαμμία, καὶ οὐδ' ὅλως λεῖον ἐστὶ καθὼς ἡ ἀληθὴς ὑπόστασις. ἐπὶ μὲν τῶν χρηστῶν οὔρων, πρῶτα μὲν ἐπιφαίνεται νεφέλη. ἔπειτα ὑποκαταβαίνουσα, ποιεῖ τὸ ἐναιώρημα. ἐπὶ τέλει δὲ ὑφιζάνουσα ἐν τῷ πυθμένι τοῦ ἀγγείου ποιεῖ τὴν ὑπόστασιν, δηλονότι ὅταν τελείως πεφθῇ. ἐπὶ δὲ τῶν ὠμῶν χυμῶν εὐθὺς ἐξ ἀρχῆς εἰς τὸν πυθμένα τοῦ ἀγγείου ὑποχωρεῖ πλῆθος πολὺ, μετὰ τοῦ εἶναι κάκωχρον καὶ τὸ χῦμα ὅλον. ἔπειτα ἐπὶ βραχὺ πεττόμενον καὶ λεπτυνόμενον, αἰωρεῖται ἐπὶ τὸ μέσον τοῦ χύματος καὶ ποιεῖ τὸ ἐναιώρημα. ὅταν δ' ἐπὶ πλεῖστον λεπτυνθῇ καὶ πεφθῇ, ἐφίσταται ἐπὶ πολὺ τοῦ χύματος καὶ ποιεῖ τὴν νεφέλην, καὶ πλανᾷ τοὺς ἰδιώτας, ὡς ὑπολαμβάνειν ἐπὶ τὸ χεῖρον προβαίνειν τὴν νόσον.

ΓΑΛΗΝΟΥ ΔΙΑΓΝΩΣΙΣ ΤΩΝ ΕΝ ΝΕΦΡΟΙΣ ΠΑΘΩΝ ΚΑΙ ΘΕΡΑΠΕΙΑ.

Περὶ οὐσίας νεφρῶν

Ἡ οὐσία τῶν νεφρῶν ἰδία, καὶ οὐδενὶ ἄλλῳ μορίῳ κοινὴ, ἐξ ἰνῶν καὶ σαρκῶν συνεστηκυῖα, σαρκῶν δὲ πυκνῶν. γέγονε δὲ τοιαύτη, ἵνα μὴ ῥᾳδίως τὸ αἷμα φερόμενον, ἀπορρέῃ καὶ ἐκχῆται, καὶ φέρηται μετὰ τοῦ οὔρου. ἡ σαρκοειδὴς αὕτη οὐσία πολλὰς ἔχει ἐν αὐτῇ περιγραφὰς, καὶ ἐπειδὴ καθ' ἑκάστην περιγραφὴν τῆς οὐσίας λίθοι γίνονται, ὡς ἐπὶ τὸ πολὺ, διὰ τοῦτο καὶ χαλεπαὶ γίνονται ὀδύναι ἐν αὐτοῖς καὶ ταῦτα μὲν περὶ οὐσίας.

Περὶ σχήματος νεφρῶν.

Σχῆμα δὲ ἔχουσι σιγμοειδὲς, ἐν μέσῳ δὲ κοιλότης ἐστὶν ἡ ὑποδέχεται διὰ φλεβῶν καὶ ἀρτηριῶν τὸ ὀρρῶδες περίττωμα. ἔρχονται δὲ εἰς τοὺς νεφροὺς οὐ μόναι αἱ μείζους φλέβες, ὧν αἱ μὲν, εἰς τὴν κοιλότητα βάλλουσιν. ἕτεραι δὲ, εἰς τὸν περιαλείφοντα αὐτοὺς ὑμένα, ἀλλὰ καὶ ἕτερα ἀγγεῖα τριχοειδῆ.

Διὰ τί ὁ μὲν δεξιὸς νεφρὸς ὑψηλότερος. ὁ δ' ἀριστερὸς ταπεινότερος.

Ἵνα μὴ ἐν τῇ ἐνεργείᾳ, ὁ μὲν, ἕλκῃ. ὁ δὲ, ἀνθέλκῃ.

Ἐν ποίῳ κεῖνται τῶν μερῶν τοῦ σώματος

Κεῖνται οἱ νεφροὶ ἐπὶ τῆς ῥάχεως ἀνωτέρω βραχὺ τῶν λαγόνων. ἀπ' αὐτῶν δ' ἐκφύονται οἱ οὐρητῆρες διάγοντες τὸ οὖρον ἐπὶ κύστιν. ἡ οὐσία τῶν οὐρητήρων, ἰδία καὶ οὐδενὶ ἑτέρῳ μορίῳ κοινή.

Διὰ τί δύο νεφροὶ γεγόνασιν ὑπὸ τῆς φύσεως ἀνθ' ἑνός.

Ἐπειδὴ ὑπεραίρει τὸ ὀρρῶδες περίττωμα τῶν ἄλλων περιττωμάτων. χρεία δ' αὐτοῖς τὸ ἕλκειν τὸ ὀρρῶδες περίττωμα. δεῖ γὰρ εἰδέναι ὅτι ἀπὸ τῆς κοίλης φέρεται φλὲψ ἐπὶ τὰ κάτω. διχῆ δ' αὕτη τεμνομένη. τὸ μὲν, ἄνω φέρεται. τὸ δ' ἕτερον, κάτω. ὅπερ πάλιν διχῆ τεμνόμενον δηλονότι τὸ κάτω, τὸ μὲν, εἰς τοὺς μηρούς. τὸ δ' εἰς τοὺς ὄρχεις. ἄλλο δ' εἰς τοὺς νεφροὺς φέρεται. φέρονται δὲ καὶ ἀπὸ τῆς καρδίας ἀρτηρίαι ἐμβάλλουσαι καὶ αὗται ὀρρῶδες περίττωμα καὶ θερμότητα, ἵνα θερμαίνωνται ὑπ' αὐτῶν. ἐπειδὴ οἱ νεφροί εἰσιν ἐκ τοῦ ὀρρώδους περιττώματος, ὥσπερ καὶ ὁ σπλὴν ἐκ τοῦ μελαγχολικοῦ χυμοῦ, διὰ τοῦτ' οὖν παρὰ τῶν εἰρημένων ἀρτηριῶν χορηγοῦνται θερμότητα, ἵνα ὑπερνικήσωσι τὴν ψῦξιν αὐτῶν. μετὰ δὲ τὸ ἕλξαι τὸ ὀρρῶδες περίττωμα, τὸ χρηστὸν τοῦ αἵματος κατέχουσι καὶ τρέφονται ἐξ αὐτοῦ. τὸ δὲ ὀρρῶδες περίττωμα ἀποτρίβεται διὰ τῆς ἀποκριτικῆς, ὡς ἄχρηστον. ἐν ὅσῳ δὲ ἐστὶν ἐν ταῖς φλεψὶ καὶ ταῖς ἀρτηρίαις σὺν τῷ αἵματι, ὀρρῶδες περίττωμα λέγεται. ὅταν δ' ἀποδιωχθῇ, λέγεται οὖρον. ὥστε οὖν τὸ χρηστὸν τοῦ αἵματος κατέχουσιν οὗτοι καὶ τρέφονται ἐξ αὐτοῦ. τὸ δ' ἄχρηστον ἀποτρίβονται. καὶ ὥσπερ ἡ χοληδόχος κύστις χαίρει τῇ χολῇ, καὶ ὁ σπλὴν τῷ μελαγχολικῷ χυμῷ, οὕτω καὶ οὗτοι τῷ ὀρρώδει περιττώματι.

Περὶ ἐνεργείας νεφρῶν.

Ἐνέργεια δ' αὐτοῖς, τὸ διακρίνειν καὶ διηθεῖν τὸ ὀρρῶδες ὑγρὸν ἀπὸ τοῦ αἵματος. ἐνταῦθα δὲ τίς ἡ χρεία τῆς ἐνεργείας αὐτῶν. ζητεῖται δὲ, οὐ μόνον νεφροῦ, ἀλλ' ἑκάστου μορίου ἐνέργεια, ὁπηνίκα γὰρ αὕτη βλάπτεται, ἀποφαίνει ὁποῖον ἐστὶ τὸ πάσχον μόριον. Πᾶν πάθος περὶ αὐτοῦ λέγεται νεφρῖτις. εἴτε ὁμοιομερές ἐστιν εἴτε ὀργανικὸν, ἢ ἐπίκοινον. κυρίως δὲ νεφρῖτις ἡ λιθίασις λέγεται.

Αἰτίαι τοῦ λίθου.

A Αἱ δὲ τοῦ λίθου αἰτίαι, τέσσαρες. ποιητικόν, ὑλικόν. ὀργανικόν. καὶ τελικόν. τοῦτο ἐκ τῶν ἔξωθεν μανθάνεις ὅτι ποιεῖ ἔξωθεν λίθου σύστασιν, ἢ ψύξις, ἢ θερμότης. ὥσπερ ἐν ὑπονόμοις καὶ σωλῆσι τῆς θερμότητος ἐγγινομένης ἀπὸ ὕλης ἀδιαπνευσούσης. οἷον ὕδατος ὄντος ἐν τῷ σωλῆνι γίνεται θερμότης παρὰ φύσιν. ταύτης δὲ διαφορούσης τὸ λεπτομερὲς ἐκείνου ἰλιώδους ὕδατος, τὸ παχυμερὲς ἀπογαιοῦται, καὶ μένον ἐν τῷ σωλῆνι προσίθεται τῇ οὐσίᾳ τοῦ λίθου καὶ οὕτως γίνεται λίθος. καὶ ἄλλο σαφὲς παράδειγμα. πολλάκις ἐν λέβητι ὁρῶμεν λίθους γινομένους, τοῦ ὕδατος τὸ λεπτομερὲς διαφθειρομένου, καὶ μένοντος τοῦ γεώδους καὶ παχυμεροῦς καὶ οὕτως προσίθεται τῇ οὐσίᾳ τοῦ λέβητος ἢ ἄλλου χαλκοῦ, καὶ γίνεται λίθος. ἐν ἡμῖν δὲ ψύξις λίθον οὐ ποιεῖ, οὐδὲ γὰρ ἐν ζῶντι σώματι δυνατὸν ὑποθέσθαι τοσαύτην ψύξιν, ὡς δυνηθῆναι τὴν ψύξιν ποιῆσαι λίθον ἡμῖν, ὡς ἐπὶ τῶν ἐκτὸς ὁρῶμεν γινόμενον. ἀλλὰ ἀπὸ θερμότητος ἐν ἡμῖν γίνεται λίθος, ἢ σφοδρᾶς, ἢ χλιαρᾶς. ἀλλ᾽ εἰ μὲν παχεῖα ἐστὶν ἡ ὕλη, τότε ἀρκοῦσα ἐστὶ καὶ ἡ χλιαρὰ καὶ μετρία καὶ κατὰ φύσιν θερμότης, πρὸς τὸ ἰσχῦσαι καὶ ἀπογαιῶσαι τὴν παχεῖαν ὕλην, ἑτοίμη γὰρ ὡς παχεῖα πρὸς τὴν γένεσιν τοῦ λίθου. εἰ δὲ λεπτοτέρα ἐστὶ, τότε πάνυ σφοδροτέρας δεῖται τῆς κατὰ φύσιν, καὶ παρὰ φύσιν θερμότητος, ἵνα ἀπογαιώσῃ αὐτήν. θέλει γὰρ διαφορῆσαι τὸ λεπτομερὲς αὐτῆς, καὶ οὕτως ἵνα ἰσχύσῃ ποιῆσαι λίθον. ἁπλῶς γοῦν ἀπὸ θερμότητος γίνεται ἐν ἡμῖν λίθος. ὑλικὸν δὲ αἴτιον, ἢ παχὺς, ἢ γλίσχρος χυμὸς, ἢ ἀμφότεροι. ὀργανικὸν δὲ αἴτιον, νεφρὸς, ἢ κύστις, ἢ ἕτερον ἐπιτήδειον μόριον. τελικὸν δὲ, οὐκ ἔστιν ἐνταῦθα εἰπεῖν, εἰ μὴ αὐτὸν τὸν λίθον.

Τὸ φερόμενον αἷμα ἐν αὐτοῖς, ἢ παχύτερόν ἐστιν ἑαυτοῦ, ἢ φλεγματικώτερον, ἢ μελαγχολικώτερον, ἢ ξανθοχολικώτερον. φέρεται δὲ ἐν αὐτοῖς διὰ φλεβῶν καὶ ἀρτηριῶν, ἢ ἐν τῇ κοιλότητι, ἢ ἐν τῇ οὐσίᾳ καὶ ἐκεῖ φερόμενον ὑπερβάλλον τῇ ποσότητι, ἢ τῇ ποιότητι, ἢ τῇ συστάσει σφηνοῦται, καὶ ἵσταται καὶ ἴσχει θερμότητα παρὰ φύσιν. αὕτη δὲ ἡ παρὰ φύσιν θερμότης πλεῖον παχύνει, καὶ καταγλισχραίνει, καὶ ἐξυπερόπτᾳ, καὶ ἀπογαιοῖ τὸν χυμὸν ἐκεῖνον, καὶ ποιεῖ τὸν λίθον. ὅσοι μὲν ἡγοῦνται κατὰ τὴν κοιλίαν τῶν νεφρῶν συνίστασθαι τοὺς λίθους, ἐν τῇ διεξόδῳ μόνῃ τῇ περὶ τοὺς οὐρητῆρας ὀδυνᾶσθαι φασὶ τοὺς πάσχοντας. ὅσοι δὲ ἐν αὐτῇ αὐτῶν τῇ (σαρκὶ ἀνάλογ) τοῖς ἐπὶ τῶν ἀρθριτικῶν πώροις, οὐκ ἐν μόναις ταῖς διεξόδοις, ἀλλὰ καὶ καθ᾽ ὃν γίνονται χρόνον ἐνταῦθα καὶ καθ᾽ ὃν εἰς τὴν κοιλίαν διεξέρχονται τῶν νεφρῶν. οὐκ ἀδύνατον δὲ ἑκατέρως γίνεσθαι, γλίσχρου χυμοῦ, καὶ παχέος ἐν τῷ χρόνῳ κατοπτωμένου τε καὶ ξηραινομένου κατ᾽ αὐτούς. δέδεικται γὰρ ἐν τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἕλκων ἐφ᾽ ἑαυτὸν ὁ νεφρὸς, ὅσονπερ ἐν ταῖς φλεψὶν ὀρρῶδές τε καὶ λεπτὸν ἀναμέμικται τῷ αἵματι. τῶν οὖν εἰς τὴν κοιλίαν αὐτῶν διηκόντων τοιούτων πόρων, ἐπὶ πλέον ἀναστομωθέντων συνηθεῖται τι καὶ παχύτερον, ὅπερ θερμαινόμενον καὶ ξηραινόμενον ἐν τῇ κοιλίᾳ τοῦ νεφροῦ, πωροειδῆ λαμβάνει σύστασιν. ἐὰν μὲν οὖν ἡ τοῦ νεφροῦ δύναμις ἀποκριτικὴ διώσηται πᾶν αὐτὸ ἐν τοῖς οὔροις, ἡ ψαμμώδης ὑπόστασις ἐν αὐτοῖς γίνεται. ἐὰν δὲ ἐμπεπλησμένον τε καὶ δυσαπόλυτον ἡ τῆς κοιλίας τοῦ νεφροῦ τὸ δεχόμενον, ἐν αὐτῷ ἔτι παραπλήσιον ἕτερον ἐκ τῆς κοίλης φλεβὸς ἐπὶ πλέον αὐξάνεται. περιπλάττεται γὰρ ἀεὶ τὸ ἐπιρρέον, τῷ ὑπάρχοντι, καὶ οὕτως ὁ πῶρος ἀξιόλογος τῷ μεγέθει συνίσταται. συντελεῖ καὶ εἰς τοῦτο μάλιστα, καὶ ἡ τῶν νεφρῶν αὐτῶν κρᾶσις, ὅταν οἷον πυρώδες τε καὶ δριμὺ τὸ κατὰ φύσιν ἦ θερμόν. ἐὰν δὲ ἀραιωθῇ μὲν ἡ εἰς τὸν νεφρὸν ἐκ τῆς κοίλης φλεβὸς εἴσοδος. ὑγρὸν δ᾽ ἦ τὸ αἷμα καὶ μήτε παχὺ, μήτε γλίσχρον, αἱματῶδες οὕτως γίνεται τὸ οὖρον. ἐὰν μὲν οὖν ἐκ φλέγματος μόνου γλίσχρου καὶ παχέος σύστασις γένηται, τῶν ἐν τοῖς νεφροῖς πωροειδῶν τε καὶ λιθωδῶν σωμάτων ἡ καλουμένη τεφρώδης ἔσται χροιά. παραπλησίως τοῖς αὐτοφυέσιν ὕδασι κἂν χλιαρώτερον τῶν συμμέτρων ἦ, φαίνονται συνιστάμενοι πῶροι. τὰ μὲν οὖν παιδία τοὺς ἐν κύστει γεννῶντα λίθους φαίνεται. τοὺς δ᾽ ἐν τοῖς νεφροῖς οἱ ἀκμάζοντες. ἐπὶ μὲν γὰρ τῶν παιδίων ἰσχυρῶν ἁπασῶν τῶν φυσικῶν ἐνεργειῶν οὐσῶν, κέχυται καὶ διαλέλυται τὸ πάχος τῶν χυμῶν. ἐπὶ δὲ τῶν προηκόντων κατὰ τὴν ἡλικίαν, τοὐναντίον, ἀσθενῶν οὐσῶν, συνῆκται. φαίνεται δὲ κἀπὶ τῶν ἐκτὸς ὅσα παχέα φύσει διά τινων λεπτῶν ἠθεῖν βουλόμεθα. τὰ μὲν ὑπὸ θερμασίας χυθέντα, διερχόμενα ῥᾳδίως ταχύ. τὰ δὲ ἄτηκτα, μὴ διϊόντα παραδείγματά τε τῶν τοιούτων ὑλῶν, πίσσα, ῥητίνη, στέαρ. κηρός τε, καὶ μέλι. καὶ τῶν παίδων οὖν ἐχόντων πολὺ τὸ ἔμφυτον θερμὸν καὶ τὰς ἐνεργείας ἰσχυρὰς τὸ πάχος τῆς ὕλης κεχυμένον εἰς τοὺς νεφροὺς ἀφικνεῖται, καὶ διὰ τοῦτο διηθεῖται ῥᾳδίως εἰς τὴν κύστιν, οὐ σμικρὸν. οὐδὲ τῆς τῶν ἐνεργειῶν ῥώμης εἰς τὸ τάχος τῆς διεξόδου συντελούσης. ἅτε δὴ τῆς κύστεως οὔσης ψυχρᾶς, ὅτι τε ὑμενώδης ἐστὶ, καὶ ὀλίγαιμος, ὅτι τε πλείστην εὐρυχωρίαν ἐντὸς ἑαυτῆς ἔχει, συνίσταται πάλιν ἐνταῦθα καὶ πήγνυται τὸ διεξελθὸν εἰς ταύτην πάχος, ὡς ἔμπροσθεν εἶπον, ἀρχὴν λαμβάνον τῆς τοιαύτης συστάσεως, ὅταν ἐπὶ πλέον ἐν τῇ κύστει χρονίσῃ. καὶ μὴν καὶ γλίσχρον αὐτὸ εἰκὸς μᾶλλον ἦν τοῖς παιδίοις κατεργάζεσθαι ὑπὸ τῆς ἐμφύτου θερμασίας, καὶ διὰ τοῦτο δὴ μᾶλλον ἑνοῦται καὶ συνίσταται, καὶ πήγνυται, καὶ προσθετέον ἔτι τὴν περὶ τοῦ πάχους τῶν οὔρων ἐν τοῖς παιδίοις, αἰτίαν, ἔστι δὲ, τό, τε ἀδδηφάγον αὐτῶν, καὶ τὸ μετὰ τὴν τροφὴν ἀτάκτως κινεῖσθαι, παίζοντα καὶ σκιρτῶντα. τοῖς δ᾽ ἔτι θηλάζουσι, καὶ ἡ ὕλη συντελεῖ. καὶ τῶν τελείων τοῖς πλεονάζουσιν ἐν τυρῶν ἐδωδῇ καὶ ὁμοίων, λίθους ἐν κύστει καὶ νεφροῖς γινομένους ἔγνωμεν. ἔστιν οὖν πάθημα τῆς κύστεως ἡ λιθίασις, παιδικόν. οὐ γὰρ δύναται στενὸς οὕτως ὁ τράχηλος τῆς κύστεως ἐπὶ τῶν μειζόνων σωμάτων γενέσθαι, ὡς κατέχειν τὸ παχύτερον ὑγρόν. οὐ μὴν τοῦτό γε μόνον ἱκανὸν εἶναι νομίζειν πρὸς τὴν τῶν λίθων γένεσιν, ἀλλὰ καὶ δυσκρασίαν θερμὴν, ὡς πυρῶδες ἔχειν τὸ θερμὸν, οὐκ εὔκρατον, οὐδὲ μέτριον. ἐπὶ δὲ τῶν θηλέων παιδίων, ὁ τῆς κύστεως αὐχὴν, εἰς τὸ αἰδοῖον συντέτρηται αὐτὸ, βραχὺς ὢν ἅμα καὶ εὐρὺς, ὥστε ῥᾳδίως αὐτοῦ διεξουρεῖσθαι τὰ παχέα τῶν οὔρων, ἃ τοῖς ἄρρεσι παιδίοις ἰσχόμενα, διά τε τὸ μῆκος καὶ τὴν στενότητα τοῦ τῆς κύστεως αὐχένος, ὕλην παρέχει τῇ πυρώδει κύστει πρὸς τὴν τῶν λίθων γένεσιν. Τῶν σημείων τὰ μὲν, εἰσιν ἐπιστημονικὰ. τὰ δὲ τεχνικὰ. τὰ δὲ ἴδια. σημεῖον ἴδιον ἀπαράβατον δηλοῦν ἀμέσως τὸ πάθος ἤγουν λίθον τὸν ἐν τοῖς νεφροῖς ἐὰν κατενεχθῶσιν ἐν τῷ ποτηρίῳ ψάμμια, τότε ἀκριβῶς διαγινώσκεται, ὅτι λίθος ἐστὶν ἐν τοῖς νεφροῖς.

καὶ ἰδοὺ τὸ ἴδιον καὶ βεβαιότατον σημεῖον. ἐπεὶ δὲ ἐπιπλέκονται αἱ διαθέσεις, εἴπομεν καὶ τὰ κοινὰ σημεῖα, τὰ δὲ κοινὰ σημεῖα, ταῦτα ἐστίν. ἐὰν αἱματώδη εἰσὶ τὰ οὖρα τὰ φερόμενα, τοῦτο κοινὸν δύναται εἶναι σημεῖον, ἢ ὅτι ἀναστόμωσις γέγονεν ἀγγείων, ἢ ῥῆξις, ἢ ἀνάβρωσις, ἢ ἀτονία, ἢ εὐρύτης, ἢ ἕτερόν τι. ὅτι ἡ μὲν ῥῆξις ἀκριβῶς καὶ ἀθρόαν αἵματος ἐργάζεται κένωσιν, ἡ δὲ ἀναστόμωσις, καὶ κατ᾽ ὀλίγον φέρεται, καὶ τὸ λεπτότατον διηθοῦσα, τὸ οὖρον ὕφαιμον ἀπεργάζεται. εἰ δὲ καθ᾽ ἑκάστην ὥραν καὶ ῥοπὴν φέρεται, ἀτονία ἐστίν. εἰ δὲ σὺν τῷ αἵματι καὶ ἕτεραι παχύτητες ἐκκρίνονται, εὐρύτης ἐστίν. εἰ δὲ ὑδατῶδες ἐστὶ τὸ αἷμα, δῆλον καὶ πιστὸν, λίθον συστῆναι. εἰ δὲ παχὺ τὸ αἷμα ἢ τὸ φερόμενον, δῆλον ὅτι ἡ παχύτης τοῦ αἵματος εἰς λίθον τῇ βιαίᾳ σφηνώσει μεταληφθήσεται. ἐπὶ γοῦν τῇ τοῦ αἵματος κενώσει δίδομεν ψυχρά, ἵνα στενωθῇ ἡ φλὲψ, καὶ ἡ ἀρτηρία, καὶ μηκέτι ἄλλο ἐγχέῃ αἷμα εἰς τοὺς νεφρούς. ἵνα ἀποσφηνωθῇ. ἀμέλει καὶ ἐπὶ τούτων ἀπάτη γίνεται εἰς θεραπείαν. στενοῖ γοῦν τὴν φλέβα, καὶ οὐκ ἐᾷ ἄλλο ἐγχυθῆναι. αἴτιον δὲ τοῦ αἵματος μένοντος ἐν τοῖς νεφροῖς γίνεται. ὥστε εἰ δώσεις ψυχρὸν τὴν φλέβα στενοῖς καὶ οὐκέτι φέρεται. τὸ δὲ ἐγχυθὲν ἐν αὐτοῖς αἷμα, ταχέως ἀγγαιοῖς.

Ἐκ τῆς νάρκης τοῦ κατ᾽ ἴξιν μηροῦ δύνασαι μαθεῖν εἰ πάσχει ὁ νεφρός. ἐὰν γὰρ γίνεται τοῦ δεξιοῦ μηροῦ νάρκη, ὁ δεξιὸς πάσχει νεφρός. εἰ δὲ τοῦ ἀριστεροῦ, ὁ ἀριστερός. Νάρκη δὲ ἐστὶ δυσαισθησία καὶ δυσκινησία τοῦ μορίου. γίνεται δὲ, ὅτι ἡ φλὲψ ἡ φερομένη ἐπὶ τὰ κάτω, τριχῇ τέμνεται. καὶ τὸ μὲν, μετὰ ἀρτηριῶν ἔρχεται ἐπὶ τοὺς ὄρχεις, καὶ εἰς τὰ σπερματικὰ ἀγγεῖα. τὸ δὲ ἄλλο ἐμβάλλει εἰς τοὺς νεφρούς. τὸ δὲ ἐπὶ τοὺς μηρούς. ὅταν οὖν γένηται λίθος ἐν τοῖς νεφροῖς, ταύτῃ συνδιατίθεται καὶ ἡ φερομένη εἰς τοὺς μηρούς. ἀπ᾽ αὐτῆς γάρ εἰσι τῆς μιᾶς ἀρχῆς ἀμφότεραι. οὐκοῦν πληροῦται φερομένη εἰς μηρούς, αὕτη δὲ οὖσα πεπληρωμένη, ἔστιν ὅτε θλίβει νεῦρον, ἢ μῦν. τὸ δὲ νεῦρον θλιβόμενον, οὐ πέμπει ψυχικὸν πνεῦμα ἐπὶ τοὺς μηρούς, καὶ ἀναισθητεῖ, καὶ γίνεται νάρκη. Ἐκ τοῦ ἀνασπᾶσθαι τὴν κατ᾽ ἴξιν ὄρχιν δύνασαι μαθεῖν, ὅτι νεφρὸς πάσχει. εἰ μὲν γὰρ δεξιὸς ὄρχις ἀνασπᾶται. ὁ δεξιὸς πάσχει νεφρός. εἰ δὲ ἀριστερὸς ὁ ἀριστερός.

Ὅτι ἀπὸ τοῦ ἥπατος καὶ τῆς καρδίας φέρεται φλὲψ καὶ ἀρτηρία ἐπὶ τοὺς νεφρούς, καὶ ἐμβάλλουσιν εἰς αὐτὴν τὴν κοιλότητα αὐτῶν.

Τὰ δὲ σπερματικὰ ἀγγεῖα φέρονται ἐπὶ τοὺς ὄρχεις. ὅταν οὖν γένηται λίθος ἐν τοῖς νεφροῖς, ἀνατείνεται ἡ φλὲψ ἐκείνη καὶ ἡ ἀρτηρία, καὶ τὰ σπερματικὰ ἀγγεῖα φερόμενα ἐπὶ τοὺς ὄρχεις. καὶ οὕτως κατὰ συμπάθειαν ἀνασπῶνται, οἱ ὄρχεις. Τινὲς μὲν λέγουσιν ὅτι διὰ λόγον τῆς ὀδύνης βιαία ἐστίν, ὡς ἀγρυπνίαν ἐργάζεσθαι. οὐκοῦν ὀφείλουσι καὶ οἱ ποδαγριῶντες καὶ ὀφθαλμιῶντες, καὶ πάντες οἱ σφοδρῶς ὀδυνώμενοι καὶ ἀγρυπνοῦντες ἐμεῖν, ἀλλ᾽ οὐ διὰ ταῦτα ἐμοῦσιν, ἀλλὰ διὰ τὴν θέσιν αὐτῶν. οἱ γὰρ νεφροὶ κεῖνται κατὰ τὴν ῥάχιν ὀπίσω τῶν ἐντέρων καὶ τῆς γαστρός. ἐὰν οὖν γένηται βιαία τάσις αὐτῶν, διὰ μέσων τῶν συνδέσμων διέρχεται ἡ διάθεσις ἐπὶ ἔντερα καὶ γαστέρα, καὶ ἐντεῦθεν ποιότητος ἀνιούσης ἀκολουθεῖ ἀνατροπή.

Ὅτι ἐκ τῆς παρατρίψεως τοῦ λίθου πνεύματα διὰ μέσα ἐπιτρέχουσι καὶ ἐρεθίζουσι καὶ ποιοῦσι κνησμὸν, ὥσπερ τῆς φύσεως ἐπιδεικνυούσης τὸν πεπονθότα τόπον.

Ἐπειδὴ τοῦ λίθου ἐγκειμένου οἷον γαργαλισμός τις γίνεται, καὶ ἐπεγειρομένης τῆς φύσεως πρὸς τὸ κενῶσαι τὸ λυποῦν, πνεύματα ἐπιτρέχουσιν, ἅ τινα εἰς τὸ σηραγγῶδες τοῦ αἰδοίου ἐμπίπτοντα παραλόγως αὐτὸ ἐντείνουσιν. ἐπὶ πάσῃ γὰρ κινήσει φυσικῇ, συντρέχει τὸ αἷμα καὶ τὸ πνεῦμα, τὰ ὀχήματα αὐτῆς.

Οἱ μὲν ἰδιῶται ὀδύνην βαρεῖαν λέγουσι, τὴν συναίσθησιν τὴν ἀνιαράν, οἱ δὲ ἰατροί, τὴν σφοδροτάτην.

Δέδεικται μὲν ὅτι καρδία καὶ ἧπαρ καὶ νεφροί, οὐκ αἰσθάνονται κατὰ τὴν κοιλότητα. κατὰ δὲ τὴν ἐπιφάνειαν ἕκαστος αἰσθάνεται. ἐπειδὴ ἐκεῖ νεῦρα αἰσθητικὰ φέρονται. ἐν δὲ ταῖς κοιλότησιν, οὐ φέρονται, πῶς οὖν ταῦτα ὑπομένουσιν ὀδύνην; διὰ βαρεῖσθαι τὴν κοιλότητα, γίνεται ὀδύνη. περιτείνεται γὰρ ὁ ὑμὴν ὁ ἔξω ἐκ τοῦ πληροῦσθαι τὴν κοιλότητα, καὶ περιτεινόμενος ὁ ὑμὴν, ποιεῖ τὴν ὀδύνην. ἐπὶ δὲ τῆς οὐσίας τῶν νεφρῶν πάλιν ὡσαύτως γίνεται ὀδύνη διὰ βαρεῖσθαι τὴν κοιλότητα ἐκ τοῦ λίθου, καὶ περιτείνεσθαι, καὶ γίνεσθαι τὴν συναίσθησιν τῆς ὀδύνης, ἐπὶ τὴν ἐπιφάνειαν ὡς ἐχούσαν νεῦρα αἰσθητικὰ καὶ ὑμένα. ἐπὶ δὲ τῆς οὐρήθρας, ὡς νευρώδους οὔσης καὶ αἰσθητικῆς, διὰ τοῦτο γίνεται ὀδύνη σφοδροτάτη. πρὸς τούτοις δὲ γίνεται ὀδύνη σφοδροτάτη ἐν τοῖς νεφροῖς, διότι οὐκ εἰσὶν αἱ κοιλίαι τῶν νεφρῶν εὐρεῖαι, ἀλλὰ στεναί. καὶ οἱ νεφροὶ ὑπὸ στερρότητος οὐκ ἂν διαστέοιντο, ὥσπερ ἡ κύστις. Διότι οἱ ἐν τοῖς νεφροῖς λίθοι ὡς ἐπὶ τὸ πλεῖστον καὶ μικρότεροι, καὶ ἶσοι, καὶ μαλθακώτεροι, ἅτε οὐ πολυχρόνιοι ὄντες. Εἰσὶ δὲ τὰ οὖρα τοῖς λιθιῶσι κατ᾽ ἀρχὰς μὲν ὑδατώδη. ἐμφράξεως γὰρ οὔσης, κατὰ διήθησιν φέρονται. μετὰ δὲ ταῦτα ψαμμώδη. ἐν ὑστέρῳ δὲ, καὶ λίθος κενοῦται, ὅταν ἡ ὀδύνη παύηται.

Ἐκ τοῦ ἀθρόως φέρεσθαι λίθον περὶ τῆς ὀσφὺν γίνεται βάρους συναίσθησιν.

Ὥσπερ ἐπὶ τῶν τικτουσῶν γυναικῶν εὐρύνονται τὰ μόρια πρὸς διέξοδον τοῦ ἐμβρύου, οὕτω κἀνταῦθα τῇ βίᾳ εὐρύνεται ἡ οὐσία τῶν νεφρῶν καὶ ἐξέρχεται ὁ λίθος καὶ ἐρχόμενος εἰς τὴν κοιλότητα αὐτῶν, περὶ τῶν ἐκεῖσε ὑμένα δυσαίσθητον ὄντα, ὀδύνην ἐργάζεται σφοδρὰν καὶ πολλῷ μᾶλλον εἰς τοὺς οὐρητῆρας ἐρχόμενος ὀδυνᾷ, διὰ τὴν στενότητα καὶ δυσαισθησίαν τούτων. ἡνίκα γὰρ ἐν τῇ οὐσίᾳ τῶν νεφρῶν ἐστίν, οὐ ποιεῖ πολλὴν ὀδύνην ἐπειδὴ ἡ οὐσία αὐτῶν, ὡς εἴρηται, δυσαίσθητος ἐστί. πολλάκις γὰρ εἰς τὸν τράχηλον ὑπὸ μεγέθους ἐνισχόμενοι, εἰς ἔσχατον κίνδυνον ἄγουσι τῇ τῶν πόνων ὀξύτητι, καὶ οὐκ ἐῶσι τὸ οὖρον, διαχωρεῖν. οἶδα δέ τινα, τὰ μὲν ἄλλα διεξελθόντα τὸν λίθον, κατὰ δὲ τὸ ἄκρον τοῦ αἰδοίου ἐμφραγέντα, ὀλίγα ἐδέησαν ἀπολέσθαι τὸν ἄνθρωπον ταῖς δυσουρίαις, καὶ διὰ ὀξυτάτῳ πόνῳ. ἀλλὰ τῇ στενῇ λαβίδι οἷοί τε ἐγενόμεθα ἐξελκῦσαι αὐτὸ, τομὴν παραμήκη ἄνωθεν διελογιζόμεθα. τὸν γὰρ οὐρητῆρα, εἰ μὴ μεγάλη ἀνάγκη, οὐ χρὴ τέμνειν. συρριγνοῦνται γὰρ τοὔπιπαν, καὶ τὸ οὖρον ταύτῃ ὑποπτύουσιν. οἱ δὲ, οὔτε τινὰ ὀδύνην ἔσχον, οὔτε αἷμα οὔρησαν. οἷς πάροι μὲν, οὐ συνίσαντο.

ψαμμία δὲ λεπτά, οὐδὲν μέγα πρᾶγμα οὐρηθῆναι. οὗτοι δὲ νοσεῖν οἴονται, ἅτε οὐκ ὀδυνώμενοι. χρὴ δὲ μηδενὸς ἀμελεῖν, ἐν γὰρ τῷ χρόνῳ ἀποτελεῖται πάντα δεινότερα. Ὁ δὲ λίθος καὶ τὰ ψαμμία διάφορον ἔχουσι χροιὰν παρὰ τὴν θερμασίαν καὶ τὴν ὕλην. τὸ γὰρ μᾶλλον τοῦ χρόνου κατέχεσθαι πυῤῥὸν, ἢ ξανθὸν, ἢ ἐρυθρὸν, ἢ μέλαν αὐτὸν ποιεῖ, καὶ ἡ πολλὴ θερμασία. ὡσαύτως καὶ ἀπὸ τῶν χυμῶν γίνονται οἱ λίθοι, καὶ ψαμμία, ἢ σανδαραχώδη, ἢ μέλανα, ἢ ὠχρόλευκα, ἢ ἑτέραν χρόαν ἔχοντα ἐκ τῆς ποικιλίας τῶν χυμῶν. Συνίστανται δὲ ἐν τοῖς νεφροῖς οἱ λίθοι κατὰ τὴν κοιλίαν αὐτῶν καὶ κατὰ τὰς οὐσίας. καὶ ὅπου ἐπιτηδειότητα ἔχουσι γίνεσθαι ἢ μικροὶ ἢ μείζονες. καὶ ποτὲ μὲν ἐλάττονες, ποτὲ δὲ, πλείονες. διαφέροντες τῷ μεγέθει, τῷ σχήματι, τῇ χροιᾷ, τῇ τραχύτητι, καὶ τῷ πλήθει. καὶ γὰρ μέλανες εὑρίσκονται καὶ ὑπόλευκοι. καὶ ὠχροί. καὶ οἱ μὲν περιφερεῖς καὶ λεῖοι καὶ μικροὶ, εὐέκκριτοι. οἱ δὲ, μείζονες ἢ ἄλλως πῶς ἐσχηματισμένοι, καὶ μάλιστα οἱ ἐπιμήκεις καὶ τραχεῖς, δυσέκκριτοι, φέρονται δὲ ψαμμία καὶ ἐξουροῦνται ἐν τῇ γενέσει τούτων. μετὰ δὲ τὸ γενέσθαι λίθον. ἀδύνατον ἐξενεχθῆναι αὐτὸν, διὰ τὸ πωρωθῆναι, εἰ μὴ ἡ φύσις αὐτὴ καθ' ἑαυτὴν, θρύψῃ αὐτὸν καὶ ἐκκρίνει. ἢ ἡ τέχνη διὰ φαρμάκου θρυπτικοῦ συνεργοῦσα τῇ φύσει θρύψει καὶ κενώσει ταῦτα. ὡς ἐπὶ τὸ πλεῖστον ἅμα εἰσβάλλουσιν ἥτε κωλικὴ ὀδύνη καὶ ἡ νεφριτική. καταλαμβάνονται δὲ, διὰ τῶν ἰδίων σημείων. ἡ γὰρ τῆς γαστρὸς κένωσις, θεραπεύει μὲν τοὺς κωλικούς. παραμυθεῖται δὲ ἐν ταῖς ἀρχαῖς καὶ τοὺς νεφριτικούς. καὶ ἤδη τινὲς ἔδωκαν ὑπαγωγὸν γαστρὸς καὶ ἀνωδυνίαν ἐποίησαν, τῇ α. καὶ β. καὶ γ. ἡμέρᾳ καὶ τῇ δ᾽. ἐξηνέχθη ὁ λίθος. ὁπόταν δὲ ἅμα εἰσβάλλωσιν αἱ νεφριτικαὶ καὶ κωλικαὶ διαθέσεις, τότε μεταδιδόασιν ἀλλήλων τὰ μόρια τάσεως καὶ ἀνέσεως. τείνονται γὰρ κατὰ τὸ συνεχὲς δίκην σχοινίου. καὶ οὔτε ἐρυγὴ ἄνω, οὔτε φῦσα κάτω.

Θεραπεία τοῦ λίθου.

Εἰ μὲν ἐξαίφνης εἰσβάλλῃ ἡ νεφριτικὴ διάθεσις, καὶ ὁ κάμνων νεωστὶ βεβρωκὼς εἴη, καὶ τὰ σιτία παντελῶς ἄπεπτα, καθὼς προσελήφθησαν, ἢ ἡμίπεπτα, ἢ πλῆθος χυμῶν προϋπάρχει, δεῖ πρὸ τῆς ἄλλης θεραπείας, ἢ μᾶλλον εἰπεῖν παρηγορίας, εἰ μηδὲν ἐστὶν ἐμποδὼν ἐμετὸν ἐπιτηδεύσασθαι. εἰ δὲ περιττώματα εἰσὶν ἐν τοῖς ἐντέροις, δεῖ ταῦτα δι' ἐπιτηδείων κενῶσαι κλυστήρων, εἰ μηδὲν ἐστὶ τὸ ἐναντιούμενον. εἶτα εἰ μὲν πεπλήρωται τὸ πᾶν σῶμα, σκοπεῖν τί ἐστι τὸ πληρῶσαν αὐτό. καὶ εἰ μὲν αἷμα, ποιεῖν ἀφαίρεσιν μηδενὸς ἀντιπράττοντος. κένωσιν δὲ, ἐλάττονα πολλῷ, ἤπερ ἣν ἀπαιτεῖ τὸ πλῆθος, διά τι; ἐπεὶ οὐ πάντως ἐκ τοῦ παραχρῆμα προσῆκόν ἐστιν ἐκπεσεῖν τὸν λίθον, καὶ μάλιστα εἰ μέγας ἦ, διὰ τοῦτο τηρεῖν χρὴ τοῦ αἵματος τὴν πλείονα κένωσιν εἰς τὴν μέλλουσαν γίνεσθαι ἐν τῷ σώματι τῷ χρόνῳ δαπάνην. εἰ δὲ αἱ τέσσαρες χυμοὶ πλεονάζουσι, πρότερον φλέβα τέμνειν πρὸ τῆς καθάρσεως, ἢ καθαίρειν πρὸ τῆς φλεβοτομίας.

Διάτι φλεβοτομοῦμεν πρὸ τῆς καθάρσεως.

Ἐπειδὴ εἰ προκενώσομεν διὰ φλεβοτομίας τὸ σῶμα, τὸ καθάρσιον διδόμενον, εὑρίσκει τὰς φλέβας καὶ τὰς ἀρτηρίας καὶ τὰς κενὰς χώρας μὴ πεπληρωμένας, καὶ διέρχεται ἀκωλύτως ἐπὶ ὅλον σῶμα, καὶ ἕλκει τοὺς χυμοὺς καὶ ῥάστη γίνεται ἡ κένωσις αὐτῶν διὰ τὴν εὐρύτητα τῶν ἀγγείων καὶ τὴν χύσιν καὶ λεπτότητα τῶν χυμῶν, εἰ δὲ πεπλήρωται ἀπὸ τοῦ αἵματος τὰ ἀγγεῖα καὶ δώσεις καθάρσιον, οὐ δύναται διελθεῖν διὰ τὴν πλήρωσιν, ἀλλ' ἵσταται, καὶ οὐδὲν ποιεῖ, ἢ κακῶς ποιεῖ, ὃ ποιεῖ. ἰδοὺ παρὰ τοῦ ἰατροῦ, τὸ καθάρσιον. τῆς δὲ φύσεως, τὸ πᾶν. αὕτη γὰρ κεντρωθεῖσα παρὰ τοῦ καθαρσίου, χρῆται τῇ διακριτικῇ δυνάμει καὶ διακρίνει ἀπὸ τῶν ἀχρήστων τὰ χρηστά. καὶ τὰ μὲν χρηστά, κατέχει ἡ καθεκτικὴ δύναμις. τὰ δ' ἄχρηστα, ἀποτρίβεται ἡ ἀποκριτική, οὐ δεῖ δὲ ἅμα φλεβοτομεῖν καὶ καθαίρειν, ἀλλὰ πρῶτον φλεβοτομεῖν. εἶτ' ἀνακτᾶσθαι τὴν δύναμιν καλῶς. ἐπεὶ ταύτῃ διοικεῖ ἡμᾶς καὶ ὑπουργεῖ τοῖς φαρμάκοις. οὐ γὰρ ἐνεργοῦσιν καθ' ἑαυτὰ τὰ φάρμακα, καὶ διὰ ταῦτα δεῖ ῥωννύειν ταύτην. ἵνα προσφερομένων τῶν καθαρσίων δυνηθῇ χρῆσθαι αὐτοῖς, ὡς ὀργάνῳ, ἡ φύσις, καὶ ἐργάσηται τὸ δέον. ἐνόσῳ τὸ αἷμα τῷ αἵματι πολὺ συνεκκρίνεται καὶ ζωτικὸν πνεῦμα, τούτου δὲ ἐκκρινομένου, τό, τε ὅλον σῶμα καταψύχεται, καὶ πάντα τὰ φυσικὰ ἔργα χεῖρω γίνεται, διὰ τοῦτο δεῖ πρότερον ἀνακτᾶσθαι τὴν δύναμιν, καὶ οὕτω διδόναι τὸ καθάρσιον.

Ἀπ' ἀγκῶνος μὲν, ἐὰν ἔτι ἐπιῤῥευματίζηται ὁ νεφρὸς χρὴ ἀφαιρεῖν τὸ αἷμα. ἀπὸ τῆς ἰγνύος δὲ, ἐὰν στῇ τὸ ἐπιῤῥέον. Τήν τε φλέβα τὴν ὑποκάτω τοῦ γόνατος, αὕτη γὰρ ἰσοδυναμεῖ τῇ καθόλου φλεβί, εἰδ' ἀφανεῖς αὐτῇ, ἀπὸ σχίδας αὐτῆς χρὴ τέμνειν.

Ἐπειδὴ νεφριτική ἐστιν ἡ διάθεσις καὶ παχεῖα ἡ ὕλη ἡ ποιοῦσα τὸν λίθον, οὐ δυνατὸν ἀντισπᾶν τὴν παχεῖαν ὕλην ἐπὶ τὰ ἄνω, ἀλλὰ πρὸς τὴν φορὰν αὐτῆς σκοπεῖν, καὶ κάτω κενοῦν. ἀλλ' εἰ μὲν ἰσχυρά ἐστιν ἡ δύναμις, τέμνειν τὴν ἐν ἰγνύϊ, ἢ τὴν ἐν σφυρῷ. εἰ δὲ ἀσθενής, τὴν ἐν ἀγκῶνι. ἐὰν γὰρ κενώσωμεν ἐπὶ τῆς ἀσθενοῦς δυνάμεως κάτω διὰ τὴν ἀσθένειαν οὐ κατέχει ἡ καθεκτική, ἀλλ' ὅλη φέρεται ἐπὶ τὰ κάτω, καὶ ῥευματίζεται συνεχῶς τὸ μέρος ἐπιτρέχοντος τοῦ χυμοῦ ἐπὶ τὸ ἀσθενές. ὥστε εἰ μὲν ἰσχύει ἡ δύναμις, δεῖ τὴν ἐν ἰγνύϊ. εἰδ' ἀσθενεῖ, ἀντισπᾶν ἐπὶ τὰ ἄνω. Διάτι; ἵνα μὴ χορηγῆται πλείων ὕλη ἐπ' αὐτοῦ, εἰ γὰρ κενώσεις σιτία, καὶ φλέγμα, καὶ χυμὸν δι' ἐμέτων, ῥαστώνη γίνεται. κενοῦται γὰρ τὸ σιτίον καὶ τὸ φλέγμα τὸ βαρῦνον τὴν γαστέρα, καὶ διὰ τὴν γαστέρα θλίβονται οἵ τε νεφροὶ καὶ οἱ οὐρητῆρες καὶ πλεῖον ὀδυνῶνται καὶ τὰ πρῶτα ἀναλυόμενα, ἃ δεχόμενος ὁ στόμαχος ὡς ἀσθενέστερος διετείνετο, καὶ ἐθλίβετο, τούτων κενουμένων, ῥαστώνη γίνεται. ἀλλ' οὐ τελεία ἀπαλλαγή, κενοῦμεν καὶ τὴν κόπρον διὰ κλυστῆρος, ἵνα μὴ τοῦ κώλου καὶ τῶν λοιπῶν ἐντέρων θλιβομένων καὶ βαρυνομένων θλίβηται, καὶ πιλοῦται ὁ νεφρὸς, καὶ πλεῖον ὀδυνᾶται. δῆλον δὲ ὅτι ἐπ' ἐμφράξει κόπρου πολλάκις παροξύνεται ὁ νεφρὸς, ἐδήλωσεν ἐνέμα ὀδύνην παραμυθεῖσαν νεφριτικήν. ἢ ὅτι ἐπὶ τῇ κενώσει, οὐκέτι ἐθλίβη νεφρὸς, ἢ ὅτι οὐ γεννᾶται πνεύματα ἐκ τῆς κόπρου, ἃ ὀφείλοντα τρέχειν ἐπὶ τὸν νεφρὸν, ὡς ἀσθενῆ θλίβουσι καὶ διατείνουσιν αὐτόν. ἀλλὰ μὴ δὲ αἷμα, ἢ ἕτερον χυμὸν πλεῖον τοῦ δέοντος ἐὰν ἐν τῷ σώματι εἶεν, ἵνα μὴ τὰ πολλὰ ἀγγεῖα τοῦ νεφροῦ τεινόμενα, ὀδυνήσωσι πλεῖον. τὸ γὰρ ὀδυνώμενον καὶ θερμαινόμενον καὶ τεινόμενον προσ-

καλεῖται

καλεῖται τὰς ὕλας, διὰ τὰς σφοδρὰς καὶ ὀξείας ὀδύνας. ἀλγηδόνων μὲν ἐξαίφνης εἰς νεφρὸν, ἢ κατ᾽ ὀλίγον, εἰσβαλλουσῶν διὰ τὰς εἰρημένας πρώην αἰτίας, εἰ μηδὲν ἐστὶ τὸ κωλῦον, κλύζειν αὐτίκα τὴν κοιλίαν, δι᾽ ἀφεψήματος, ἰσχάδος, τήλεως, ἀριστολοχίας, καὶ τῶν ὁμοίων. καὶ εἰ μὲν κενωθείη δεόντως ἔστω οὕτως. εἰ δὲ μὴ, δὶς καὶ τρὶς καὶ πολλάκις χρὴ κενοῦν ἐνέματι, καὶ διὰ τῶν προσφόρων καὶ οἰκείων τῇ τοῦ κάμνοντος φύσει, ἵνα μὴ πιέζωνται οἱ νεφροὶ, καὶ οἱ οὐρητῆρες. μετὰ δὲ τὸ ἱκανὸν ἐκκενῶσαι τὴν κοιλίαν, ἐνιέναι χρή τι τῶν πραΰνειν καὶ εὐρύνειν τοὺς οὐρητῆρας, καὶ τοὺς νεφροὺς, καὶ χαλᾶν τὸν λίθον, καὶ τὰς δήξεις δυναμένων. ἡ δὲ πρόσφορος ὕλη, αὕτη, ἀνηθέλαιον ἐντακὲν αὐτῷ, στέαρ ὄρνιθος, ὡς πρόσφατον, καὶ μάλιστα φασιανοῦ. ἢ βουτύρου νέου, καὶ τῶν ὁμοίων, μὴ παρόντος τούτου, τῆλιν καὶ τῆς ἀλθαίας τὴν ῥίζαν, ἢ τὸ σπέρμα, καὶ τῶν ὁμοίων ἑψήσαντες, τῷ ἐλαίῳ ἐνιέναι. ταῦτα γὰρ πάντα εὐρύνει τοὺς πόρους, καὶ τοὺς λίθους χαλᾷ, καὶ παραμυθεῖται τὰς σφοδρὰς ὀδύ-
10 νας. τὴν δὲ χρῆσιν τούτων, μὴ πυκνότερον ἐπιτελεῖν, ἄμεινον, ἐστοχασμένος καὶ τῆς τῶν φυσικῶν δυνάμεων εὐτονίας. ἡ γὰρ ἄμετρος θάλψις καὶ χάλασις, ἐκλυτικὴ τῆς ἰσχύος γίνεται, δι᾽ ἧς παραμυθεῖται πᾶσα ὀδύνη, καὶ θεραπεύεται τελέως. μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰ ἐνέματα, πυριᾶν τὸ πάσχον μόριον διὰ τῶν ὑγραινόντων, καὶ χαλώντων, ἕως ἂν ὁ λίθος ἐν τῷ νεφρῷ παρέσι. μὴ δὲ τούτοις καταχρῆσθαι, ὡς εἴρηται. καὶ συκίαι δὲ ἐπὶ τῶν τοιούτων χρήσιμοι. μετακινοῦσι πολλάκις οὕτως ἀθρόως τὸν λίθον, ὡς ἀπρόπτως ἀφνίδιον φέρειν τοῦ λίθου εἰς στενότερον μετενεχθέντος χωρίον. διὸ καὶ τὴν ἀρχὴν ἄνωθεν ἀπὸ νεφρῶν ποιητέον ἐπί τε βουβῶνα προχωρητέον ἐν λοξῇ τῇ τοῦ κενεῶνος θέσει, καθ᾽ ὃν ὑφηγοῦνται τόπον αἱ ἀλγηδόνες ἑκάστοτε. βέλτιον δὲ, προθερμαίνειν τὰ μέρη τοῖς εἰρημένοις. εἶθ᾽ οὕτως ποιεῖσθαι τὴν τῶν συκιῶν θέσιν. ἐπεὶ ἐνίοτε μέγας εὑρεθεὶς ὁ λίθος σφηνοῦται σφοδρῶς. ἑλκόμενος δὲ βίᾳ καὶ κινδυνῶδες ἔστιν ὅτε ἐξ ἀλγηδόνων προσφέρει. εἶθ᾽ οὕτως πυριᾶν ἐν τοῖς ὀνομαζομένοις ἐγκαθίσμασιν, εἰ μέχρι τῶν αἰδοίων ἡ συμπάθεια
20 προέρχεται, διὰ τήλεως, ἀλθαίας, λινοσπέρμου, ἀνήθου, χαμαιμήλου, καὶ τῶν ὁμοίων, ὕδατι καλῶς ἑψημένων, καὶ ἐλαίῳ τῷ γλυκεῖ ἐπιχεομένων. καταπλάττειν δὲ δι᾽ ἀλεύρου πυρίνου, ἢ κριθίνου μετὰ λινοσπέρμου καὶ τήλεως, καὶ μέλιτος, καὶ ἐλαίου ἀνηθίνου, ἢ γλευκίνου. ἑψεῖν δὲ ταῦτα μετὰ ἑψήματος, ἐπιπάσσοντες ἐν τῇ ἑψήσει τοῦ καταπλάσματος, καὶ ἀλθαίας ῥίζαν, καλῶς κεκομμένην, καὶ σεσησμένην καλῶς. ἐπὶ τέλει δὲ τῆς ἑψήσεως καὶ τερέβινθον ἐμβάλλειν, καί τινα τῶν ἀφύσων σπερμάτων, ἐὰν ἐμπνευματώσεις ἐστὶν, οἷον ἀνήθου, καὶ σελίνου σπέρματα. μάλαθρον, λυβιστικὸν, καί τινα τούτοις ὅμοια πρὸς τὴν κρᾶσιν τοῦ νοσοῦντος. κάλλιστον δὲ γίνεται κατάπλασμα καὶ ἐξ ἀλεύρων θερμίνων ἑψημένων μετὰ γλυκέος. μετὰ δὲ τὴν ἕψησιν μιγνύειν πολυκνήμου ῥίζαν λειοτάτην, καὶ χαμαίμηλον. ἀγαθὸν δὲ καὶ ἄρτον ἑψεῖν μετὰ γλυκέος, καὶ οὕτω καταπλάττειν ὀσφὺν καὶ κενεῶνας. οὐ μὴν οὐ δὲ κύστιν καὶ ἦτρον καταπλάσσειν ἄθετον. πυκνὰ δὲ ἄλλα καὶ ἄλλα ἐπιφέρειν πρὶν ψυχρὸν γενέσθαι τὸ πρότερον. εἰ δὲ μὴ, θερμάσματι ἔξωθεν ἑτέρῳ σκέπειν, ὡς μὴ καταψύ-
30 χεσθαι. τοῦτο δὲ γενήσεται ἐπιτιθεμένων ἐν τῷ καταπλάσματι πυριῶν, ἢ θερμοῦ ὕδατος ἐν ὀστρακίνῳ ἀγγείῳ, ἢ χαλκῷ. μετὰ δὲ τὴν κένωσιν τῆς γαστρὸς τὴν ἄνω καὶ κάτω, ὡς εἴρηται, τὴν φλεβοτομίαν, τὴν κάθαρσιν, τὰς πυρίας, τὰ ἐγκαθίσματα. εἰ δὲ ἔτι μένουσιν αἱ ὀδύναι, χρῆσθαι λουτροῖς τῶν γλυκέων ὑδάτων. τινὲς γὰρ καὶ πρὸ τῆς φλεβοτομίας, καὶ τῆς λοιπῆς ἐπιμελείας παραλαμβάνουσι τὰ βαλανεῖα, διὰ τὴν τῆς ὀδύνης σφοδρότητα. ἕτεροι δὲ, ἐὰν οὐδὲν ἐστὶ τὸ κατεπεῖγον μετὰ τὴν φλεβοτομίαν, καὶ τὴν λοιπὴν ἐπιμέλειαν. βαλανεῖα μὲν ὑγραίνει καὶ θερμαίνει αὐτίκα. τὸ γὰρ θερμὸν ὕδωρ ῥαστώνην φέρει σὺν τῇ θερμασίᾳ. εἰ δέ τις ἐπὶ πλέον εἰς αὐτὰ παραβάλλοι δελεαζόμενος τῆς ἐν αὐτοῖς αὐτοῖς ἀνωδυνίας ἐκλύει τὰς δυνάμεις τοῦ σώματος. ἀεὶ διωθοῦνται πάντα τὰ λυπηρὰ αἴτια. καθ᾽ ὃν οὖν χρόνον ἀνωδυνία γίνεται, ἀφαιρεῖν μὲν, τῶν βαλανείων, πυριᾶν δὲ, τὰ μέρη, τοῖς προσφόροις τῇ τοῦ κάμνοντος φύσει φαρμάκοις. εἰ δὲ δι᾽ ὑπερβολὴν πόνων κινδυνεύει ὁ ἄνθρωπος, ἄμεινον τοῖς ναρκωτικοῖς χρῆσθαι, ἄλλως γὰρ οὐκ ἂν χρήσαιο αὐτοῖς. ταῦτα γὰρ οὐ λυτικὰ τῶν ὀδυ-
40 νῶν, ἀλλὰ διὰ τὴν οἰκείαν κρᾶσιν, ἀναισθησίαν καὶ ἀπάτην ἐμποιοῦσιν, ἥτις μετὰ ταῦτα, πολλῆς ἐπιμελείας δεῖται. εἰ δὲ καὶ πνεῦμά τι παχὺ ὑπονοήσομεν δοχλοῦν ἅμα τῷ λίθῳ, περιπλέκειν ταῖς προειρημέναις πυρίαις καὶ καταπλάσμασιν, ὅσα τε ἀφύσου δυνάμεώς ἐστιν. οἷον τὸ πήγανον, ἄνηθον, μελάνθιον, καὶ τὰ ὅμοια, λελειωμένα μετὰ τὴν τελείαν ἕψησιν, καὶ δίχα λειώσεως ἐναφεψεῖν τῷ ὕδατι ἔν τε ταῖς πυρίαις καὶ τοῖς ἐνέμασιν. εἰ δὲ ἐστηριγμένοι εἶεν ἔτι καὶ μετὰ ταῦτα πάντα οἱ λίθοι, φυλάττειν δεῖ τὰ πλείονα, καὶ ἀνεπιτήδεια τῇ τοῦ κάμνοντος φύσει βρώματα τε καὶ πόματα ἵνα μὴ ἡ γαστὴρ διὰ τούτων πληρωθῇ καὶ βαρυνθῇ καὶ ἐμπνευματωθῇ, ὑπὸ τροφῶν, ἢ χυμῶν, ἢ πνευμάτων καὶ τῇ πληρώσει θλίψῃ τούτους, καὶ σφοδρότητα ἐργάσηται. ἔστωσαν δ᾽ ἅπαντα μέτρια καὶ κατάλληλα κατά τε ποιότητα, καὶ ποσότητα τῇ τοῦ κάμνοντος φύσει. θερμοτέρας δὲ οὔσης τῆς τοῦ κάμνοντος φύσεως, καὶ δίψους σφοδροῦ, προκεκενωμένου τοῦ παντὸς σώματος, καὶ ἀπειράστου γινομένου εἴ γε ἔθος ἔχει ψυχροποτεῖν, σπλάγχνων μηδενὸς φλεγμαίνοντος, ἢ ἀσθενῶν ὄντων, δεδώκαμεν πολ-
50 λάκις ὕδωρ ψυχρὸν ἀθρόως τῷ κάμνοντι, μηδενὸς κωλύοντος, καὶ παραχρῆμα ῥωσθέντων τῶν νεφρῶν, ἐξώθησαν τὸν ἐσφηνωμένον λίθον. ἐπὶ δὲ τῶν πληθωρικῶν καὶ περιττωματικῶν σωμάτων, καὶ ἐφ᾽ ἧς σπλάγχνων ἀσθενὲς ὑπόκειται, καὶ τὰ λοιπὰ σύστοιχα, † κωλύουσι παραφυλάττεσθαι τὴν τοῦ ψυχροῦ πόσιν. εἰ δὲ μετὰ ταῦτα πάντα τὰ προειρημένα ἔτι ἐστηριγμένος ὁ λίθος ἐστὶ, τοῖς θρυπτικοῖς χρῆσθαι, καὶ τοῖς χλιαρὰν ἔχουσι τὴν ἰσχύν. τὰ γὰρ θερμὰ καὶ διουρητικὰ ἀπαγαιοῦσι τὸν λίθον. τὰ δὲ χλιαρᾶς ὄντα δυνάμεως κατὰ μέρος θρύπτουσι, καὶ οὐκ ἀπαγαιοῦσιν. εἰσὶ δὲ ταῦτα δαμασώνιον πετροσέλινον, πολύτριχον, καὶ τὰ ὅμοια κατὰ δύναμιν τούτοις. καὶ ἴσως τις ἀπορήσειεν πῶς, εἰ χλιαρᾶς εἰσὶ δυνάμεως, ἰσχύουσι θρύψαι τὸν λίθον. πρὸς ὃν εἴπωμεν. ἐπειδὴ ὁ λίθος ἀπὸ δυσκρασίας καὶ ἄγαν θερμότητος ἀπαγαιοῦται, εἰκότως παρέχομεν τὰ χλιαρᾶς ὄντα δυνάμεως, ὡς ἐναντία τῇ δυσκρασίᾳ τῇ ποιούσῃ τὸν λίθον, ἵνα τῷ πολλῷ χρόνῳ λεπτύνωμεν, καὶ θρύψωμεν, καὶ περιγενώμεθα αὐτοῦ. τὰ γὰρ χλιαρὰ, ὡς ἧττον θερμὰ, ἐναντία ἐστὶ τοῖς ἄγαν θερμοῖς. τοῖς γὰρ δυσκρατικοῖς καὶ ἄγαν θερμοῖς, οὐ δυνή-

† al. κωλύουσι

σῃ χρῆσθαι, ἐπὶ πλέον γὰρ ἀγριαιώσεις τὴν παχεῖαν ὕλην, καὶ ταχέως πειώσεις αὐτοῦ. εἰ δὲ μήπω συνέ-
στη ὁ λίθος, καὶ μέγας ἐγένετο, ἀλλὰ μόνον ἔμφραξις παρὰ τῶν ψαμμίων καὶ παχέων καὶ γλίσχρων χυ-
μῶν, τότε διδόσθω τὰ θερμὰ καὶ ἐκφρακτικά, οὔτε δεδιέναι χρὴ ἵνα μὴ ἀγριαιώσῃς αὐτοῦ. ψαμμία γὰρ
εἰσὶ καὶ ἔμφραξιν ἐποίησαν, καὶ ἐὰν δώσεις ἐκφρακτικὰ καὶ θερμά, οἷον τὰ διὰ ἀνίσου, διὰ πεπέρεως. σε-
λίνου, φοῦ, καὶ τῶν παραπλησίων, κενοῖς καὶ ἐκφράξεις αὐτά. Πρὸς τοῖς ἄλλοις ἤδη καὶ περὶ προ-
φυλακῆς βραχέα διαλαβεῖν, ἵνα μὴ πρὸς τοὺς δυνατῶς ἔχοντας θεραπευθῆναι πάλιν γένεσις τῶν λίθων γίνη-
ται. ἐπεὶ δὲ τῶν λιθιώντων, οἱ μὲν ἐθεραπεύοντο, οἱ δὲ οὔ. μέγιστόν ἐστιν ἐν τῇ προφυλακῇ, μετριότης
σιτίων καὶ πέψεις χρησταί. αἱ γὰρ πλησμοναὶ καὶ ἀπεψίαι, οὐ μόνον παροξύνουσι τὴν νόσον, ἀλλὰ καὶ τὴν
μὴ οὖσαν γεννῶσι. διὸ μὴ δὲ πυρώδεις προσφερέσθωσαν, ὃ μέλλει τοὺς νεφροὺς ἢ τὴν κύστιν θερμαίνειν.
φυλάττεσθαι δὲ προσήκει, τά τε σκληρὰ ταῖς οὐσίαις καὶ δυσδιαίρετα τῶν βρωμάτων, τά τε πολυού-
σια, καὶ πολύτροφα, καὶ τὰ ἀθρόως ἀναδιδόμενα, πρὸ τῆς τελείας πέψεως. τά τε ὑποπολάζοντα. καὶ δυ-
σκόλως ὑποχωροῦντα καὶ ἐμπνευματοῦντα καὶ παρεμπλαστικά, ἢ ἄλλως ἐγκαθίζοντα τοῖς σώμασιν ὑπὸ μό-
νως. πονέσασα γὰρ ἡ γαστὴρ ὑπὸ τῶν τοιούτων σιτίων, μεταδίδωσιν αὐτὰ ἄπεπτα ἥπατι καὶ νεφροῖς. καὶ
τὸ ἀθρόως δὲ ἄπεπτον ἀπενεχθέν, ἀφυῶς διυλίζεται, καὶ σὺν θορύβῳ διεξελθὸν ἅπαξ καὶ δὶς εἰς τοὺς νεφροὺς
λίθους ὑφίσταται, διὰ τὴν τοῦ νεφροῦ χρονίαν μάστιξιν. οἶνος δὲ ἔστω πάνυ λεπτός, καὶ λευκὸς καὶ μὴ πάνυ πα-
λαιός. οἱ δὲ γλυκεῖς τῶν οἴνων καὶ οἱ μέλανες, ἄθετοι τοῖς λιθιῶσι, χρὴ δὲ καὶ τὸ ὕδωρ παρὰ πᾶσαν τὴν
δίαιταν καθαρώτατον εἶναι καὶ διυλισμένον. τὰ γὰρ ποταμιαῖα, καὶ λιμναῖα, καὶ πάντα τὰ στάσιμα, καὶ
βραδύπορα, οὐ ἰσχνοῦντα, τοὺς λίθους ποιήσειαν ἄν. συντόμως δὲ εἰπεῖν, πᾶσα ἡ δίαιτα, ἐπὶ μὲν τῶν ψυχροτέ-
ρων τὴν κρᾶσιν καὶ πολυσάρκων, ἀκριβῶς λεπτύνουσα ἔστω. ἐπὶ δὲ τῶν θερμοτέρων, καὶ κατίσχνων ἢ μέσων
τῶν λεπτυνόντων καὶ παχυνόντων. τὸ δὲ κατακορὲς τῶν ἄλλων ἁπάντων φυλάττεσθαι χρή, καὶ μάλιστα τῶν
γλυκέων, καὶ τυρωδῶν τροφῶν, καὶ παχέων, καὶ γλισχρῶν, καὶ πιμελωδῶν. ὅθεν καὶ ἀπεψίαν πολεμιωτά-
την νομιστέον εἶναι, καὶ εἴποτε περιπέσῃ ἐν τῷ ὕπνῳ μενέτωσαν, ἡ ἡσυχία παντελῶς, καὶ θαλπέτω τῶν ὑπο-
χονδρίων διὰ τῶν οἰκείων χειρῶν, ἕως οὗ πάντα καλῶς πεφθῶσι, καὶ κάτω ὑπέλθωσιν. ἐν εὐκράτοις δὲ τόποις
καὶ ἀέρι καθαρῷ αἱ διατριβαὶ ἔστωσαν. ἐν οἷς αἱ ὧραι ἀθραυστοι. παραλαμβανέσθωσαν δὲ καὶ χολαί. περίπατοι
καὶ γυμνάσια πρὸς τὴν τοῦ κάμνοντος φύσιν ἔστωσαν σύμμετρα. ἡ γὰρ ἀργία βλαβερά. τὴν δὲ γαστέρα εὔλυτον
ἔχειν ἀεί, εἰ μὴ ἕτερόν τι προσιστάμενον ᾖ. ταύτης γὰρ καλῶς ὑπιούσης, ἀκωλύτως οὐρήσεις γίνονται. ἀλείμ-
μασι δὲ χρῆσθαι ἐὰν δέῃ, καὶ ὅτε δεῖ, τοῖς δυναμένοις ἀνάθεσιν τοῖς τόποις περιποιεῖν δυναμένοις, ὡς εἰσὶ τὰ φοινιγμοὶ-
τα καὶ δρώπακες. καὶ σιναπισμοί. καὶ ἡ τῶν αὐτοφυῶν δὲ ὑδάτων χρῆσις, ὠφέλιμος. ἐὰν μηδὲν ἐστὶ τὸ κωλύον
πεφροντισμένως δὲ ἔχειν τοῦ κατὰ καιρὸν ἐπιτηδείως φλεβοτομεῖν, εἰ δοκεῖ πλεονάζειν αἷμα. πλεονάσαν γάρ,
εἰ μὴ κενώσειας, πάντως συρρεύσει εἰς τὸ ἀσθενέστερον. ἐπιτήδειον δὲ καθαρσίαις τοῖς κακοχύμοις χρῆσθαι. ἐπὶ
δὲ τῶν ποσῶς ἀτακτούντων, καὶ χυμὸν ἄπεπτον ἐν τῇ ἄνω γαστρὶ ἀθροιζόντων πολύν, συνεχῶς ἀπὸ δείπνου
ἐμέτωσαν, εἰ μηδέν ἐστιν αὐτοῖς τι προσιστάμενον. μετὰ δὲ τὴν τοῦ ὅλου σώματος πρόνοιαν, δεῖ τοπικῶς καθαί-
ροντα φάρμακα προσφέρειν οἷον τὰ ἐκφρακτικά, καὶ οὖρα παχύτατα, καὶ γλίσχρα, καὶ δυσώδη, καὶ πολλὰ
ἀπό τε φλεβῶν, νεφρῶν, οὐρητήρων, καὶ κύστεως ἄγοντα, ὡς σκολύμου ῥίζης ἀφέψημα, καὶ τὰ προειρημέ-
να. πολλάκις δὲ καὶ διουρητικὰ χρήσιμα. ταῦτα μὲν οὖν κοινῶς εἰς ὑπόμνησιν, πᾶσιν ἀνθρώποις, καὶ οὐ εἰς
τελείαν διδασκαλίαν ἐκτέθειται. σοὶ δὲ καὶ τούτου ἕνεκα χάρις, ἐπεὶ καὶ τὸ πᾶν διὰ σέ. Ἐπεὶ δὲ οὐκ ἀρ-
κούμεθα ἐκ μόνης τῆς διαθέσεως τελείαν ἀπαλλαγὴν καὶ ἀκριβῆ καταλαβέσθαι, ἀλλὰ καὶ τῶν συστοίχων ἔτι δεόμε-
θα, χρὴ καὶ τούτων ἔτι μνημονεῦσαι. ἐξαλλάττεται γὰρ ἡ θεραπεία κατὰ τὰς διαφόρους αἰτίας, ἡλικίας, χώ-
ρας, ὥρας, ἕξεις τε καὶ διαθέσεις, ἤθη, ἔθη, κράσεις, εὐαισθησίας, δυσαισθησίας, μορίων ἐναλλαγάς, θέσεις, καὶ
ἕτερά τινα. ὥστε χρὴ τὸν ἄριστον ἰατρὸν ἀκριβῶς εἰδέναι τὸ κατὰ φύσιν. ὃς γὰρ ἀκριβῶς οἶδε τὸ κατὰ φύσιν, τα-
χέως εἴσεται καὶ τὸ παρὰ φύσιν. ἐπεὶ οὐ μόνον τὰ προειρημένα αἴτια ἐξαλλάττουσι τὴν θεραπείαν, ἀλλὰ καὶ
αἱ ἰδιότροποι φύσεις, ἐφ' ὧν οὐκ ἁρμόζει τὰ ἐπὶ πλεῖστον δοκιμασθέντα φάρμακα, πολλάκις γὰρ ἀποτυγχάνου-
σι. τούτου ἕνεκα παρατηρεῖν χρή, κἂν μὴ ὑπακούοι τῆς θεραπείας, διὰ τὴν ἰδιότητα τῆς φύσεως, ἢ τὴν τοῦ
πάθους κατασκευήν, ἤ τι ἄλλο τούτων ἀφιέμενοι, μεταβαίνειν ἀναγκαῖον ἐπὶ τὰ πάντως ὠφέλιμα. τοῦτο δὲ
μηδὲ μόνον ἐπὶ φαρμάκων, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων βοηθημάτων τε καὶ διαιτημάτων ποιητέον.
τῶν δὲ προρρηθέντων ἰδιοτήτων τε καὶ ἑτέρων τινῶν ἀρρήτων οὐ πάντες οἱ τὴν τέχνην κατορθούμενοι, εἰ καὶ
ἴσως ἐλλογιμώτεροι τῶν ἄλλων, ἀλλ' οἱ ἀεὶ προσκαθήμενοι καὶ τὰ κινήματα τῆς φύσεως ἀνιχνεύοντες. εἰ δὲ
καὶ τὰ ἀπὸ τοῦ τεχνικοῦ στοχασμοῦ ἀποτυγχάνουσι φάρμακα δι' ἄρρητόν τι καὶ ἴδιον, δεῖ διὰ τὴν τοῦ κατεπεί-
γοντος σφοδρότητα ἐπὶ τὰ τῶν παλαιῶν ἄρρητα, καὶ καθ' ὅλην τὴν οὐσίαν ἐνεργοῦντα χωρεῖν, ἃ ἐκ πεί-
ρας καὶ ἀλόγου τριβῆς εὑρημένα εἰσίν, ὡς τρωγλοδύτου καὶ λαγωοῦ δέρμα κεκαυμένον, καὶ αἷμα τράγειον, ἢ ἕτε-
ρα ἄπειρα ἁπλᾶ τε καὶ σύνθετα. ὧν καὶ τὰ πλείω βδελυρά, ἃ ἡ ἄλογος τριβὴ ἐφεῦρεν, ἢ ἐκ φύσεως, ἢ ἐκ
τύχης, ἢ αὐτοσχεδίου. ἢ ἐκ τοῦ μιμητικοῦ. ἢ ἐξ ὀνειράτων ὡς ὁ τρωγλοδύτης. ἢ ἐκ χρησμῶν. ἢ ἐκ μαθήσεως. ἢ
ἐξ ἑτέρων τινῶν, ἐξ ὧν συνέστηκεν ἡ ἐμπειρική. ἐπεὶ δὲ ἄρρητα πάντα ταῦτα καθ' ἡμᾶς, οὐ δεῖ ἐπὶ τούτοις μέγα
θαρρεῖν, διὰ τὸ ἀγνοεῖν τὸν τρόπον τῆς αὐτῶν ὠφελείας εἰδέ ποτε προσφέρομεν διά τινα βίαν, οὐ δεῖ κατα-
χρῆσθαι τούτοις, ἵνα μὴ ὡς ἀρρήτως ἡμᾶς ὠφελοῦντα, καὶ ἀρρήτως βλάψωσι. δεῖ δὲ τὸν μέλλοντα κατὰ λόγον
πράττειν ἰατρὸν κατὰ τὰς δραστικὰς ποιότητας δυνάμεις τε καὶ ἐνεργείας στοχάζεσθαι καὶ θαρρεῖν, ὡς εἰδό-
τα διὰ τῆς μεθόδου τὴν δύναμιν θερμοῦ, τε καὶ ψυχροῦ, ξηροῦ τε καὶ ὑγροῦ τῶν τε στρυφνῶν, αὐστηρῶν, ὀξέων,
γλυκέων, ἁλυκῶν, πικρῶν, δριμέων, ἀποίων, παχυμερῶν τε καὶ λεπτομερῶν, τήν τε ἐνέργειαν τῶν ἐκφρακ-
τικῶν, ὑποπαστικῶν, ἐμπλαστικῶν, καὶ τῶν λοιπῶν κατὰ μέρος. ἐπεὶ δὲ ὡς ἐπὶ τὸ πολὺ ῥυτὴ ἡ τῶν θρυπτόν-
των τοὺς

των τοὺς λίθους ὕλη, μᾶλλον τούτοις δεῖσθαί γε δέον, ἢ τοῖς ἀῤῥήτοις. οἷον λαμψάνῃ, πετροσελίνῳ, πολυτρίχῳ, καὶ τοῖς ὁμοίοις κατὰ δύναμιν τούτοις. ἀλλὰ καὶ τὰ χλιαρὰν ἔχοντα δύναμιν, οὐκ ἄθετα εἶδος. καὶ ταῦτα δὲ διὰ τὸ, ὡς ἐπὶ τὸ πολὺ ἀτυγχάνειν, δεῖ καὶ ἡμᾶς τοὺς Χριστιανοὺς ἐπὶ τὰ καθ᾽ ἡμᾶς μέγιστα καὶ κυρίως μυστήρια εἰώθει χωρεῖν. τούτοις γὰρ ἐγὼ πιστεύω καὶ ὁμολογῶ μὴ μόνον τὰ σωματικὰ πάθη καὶ ἀπηγορευμένα παρὰ πάντων τῶν ἰατρῶν φυγαδεύεσθαι, ἀλλὰ καὶ ψυχικὰ τελείως ἀφανίζεσθαι. λοιπὸν τὸν λόγον ὡς τὴν ὑπόθεσιν ἰδικῶς πρὸς σὲ τρεπόμενοι. πολλῶν ὄντων τῶν τῆς ὑγείας περιποιητικῶν, ἀπὸ τροφῆς ἀναγκαίας ἀρκτέον. τοῖς μὲν γὰρ ἄλλοις βοηθήμασιν, οὐκ ἐν παντὶ καιρῷ χρώμεθα, τροφῆς δὲ χωρὶς, οὐχ οἷόν τε ζῆν, οὔτε ὑγιαίνοντας, οὔτε νοσοῦντας. ἐπεὶ δὲ μία οὐδὲν ἀσφαλεστέρα ἢ ἐπὶ τομωτάτη ὁδὸς, εἰς ἀπαλλαγὴν τοῦ πάθους ἡ δίαιτα. ἡ δὲ τῶν ἄλλων φαρμάκων κατάχρησις καὶ ἐπαλληλία πολλοῖς πολλάκις οἶδα ἐπιτρίβεσθαι νόσοις. τοίνυν ἐπειδὴ θερμοτέρας καὶ ὑγροτέρας κράσεως μετείληφας, ἥλιε τῆς ἐμῆς ψυχῆς, καὶ ἡλικίας παιδικῆς, καὶ δυνάμεως ἀσθενοῦς, καὶ ἕξεως ἰσχνῆς, καὶ σχέσεως ἀραιᾶς, καὶ πρὸς τούτοις εὐαισθησίας, δεῖσε διὰ μὲν τὴν κρᾶσιν καὶ τὴν ἡλικίαν τὴν ἕξιν τε καὶ σχέσιν, λαμβάνειν τὰ ὅμοια κατὰ ποιότητα ἐν τροφαῖς καὶ πόμασι καὶ ὅσα πέψαι δυνῇ. διὰ δὲ τὴν ἀσθένειαν τῆς δυνάμεως, ὀλίγα καὶ πολλάκις. ὀλίγα μὲν, διὰ τὴν ἀσθένειαν. πρὸς γὰρ τὴν ἐργάτην δεῖ εἶναι καὶ τὸ φορτίον. πολλάκις δὲ διὰ τὴν κατεπείγουσαν χρείαν. τοὺς γὰρ γυμναστὰς καὶ ὁδοιπόρους πολεμιστάς τε καὶ πάντας τοὺς τὰ σφοδρὰ γυμνάσια μετιόντας καὶ ἀμέμπτως ὑγιαίνοντας οὐκ ἐγχωρεῖ διακείνειν, ἃ δεῖ προσφέρεσθαί τε καὶ σιτία καὶ ποτὰ, χρῆσθαι γὰρ ἀναγκαῖον αὐτοῖς οἷς ἂν εὐπορήσωσιν. οὐ μόνον δὲ τούτοις δεῖ οὕτως διαιτᾶσθαι, ἀλλὰ καὶ τοὺς ἐν ἀσχολίαις πολιτικαῖς ὄντας, ἢ περὶ καλουμένῳ περιστατικῷ βίῳ. ἐπεὶ δὲ σήμερον ἰδιοπραγεῖ, τὸ μετὰ χειμῶνος ἐσθίειν ὡς πλεῖστα. πλεῖστα δὲ λέγω, οὐ πρὸς τὴν δύναμιν σου. ἀλλὰ πρὸς τὰς λοιπὰς ὥρας. διὸ καὶ Ἱπποκράτης ὁ τῆς ἡμετέρας τέχνης καθηγητὴς φησί. θέρους καὶ φθινοπώρου σιτία, δυσφορώτατα φέρουσι. χειμῶνος ῥᾷστα. ἦρος δεύτερον. ὁ αὐτὸς πάλιν ἐν ἑτέρῳ λέγει. αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύταις οὖν ταῖς ὥραις καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολὺ, τροφῆς οὖν πλείονος δέονται. σημεῖον αἱ ἡλικίαι καὶ οἱ ἀθληταί. πίνειν δὲ καὶ ἐλάχιστα πρὸς τὰς λοιπὰς ὥρας. ἔστω δὲ τὸ πόμα, οἶνος λευκὸν καὶ λεπτὸν, καὶ μὴ ἄγαν παλαιόν. τὰ δὲ ὄψα ἐν ταύτῃ τῇ ὥρᾳ, ὡς ἐπὶ τὸ πλεῖστον ὀπτά. τῶν δὲ λαχάνων καὶ τῶν ὀσπρείων ὀλίγον χρῆσθαι. ταῦτα δὲ τὰ ὡς ἐπὶ τὸ πλεῖστον θερμὰ καὶ ξηρὰ, οὐ διὰ τὴν κρᾶσιν καὶ τὴν ἡλικίαν δεῖ σε λαμβάνειν, ἀλλὰ διὰ τὴν ἀμετρίαν τῆς κατὰ τὴν ὥραν κράσεως. ὅταν δὲ τὸ ἔαρ ἐπιλαμβάνῃ, χρὴ τὸ πόμα πλεῖον καὶ ὑδαρέστερον κατ᾽ ὀλίγον προσίεσθαι, καὶ τὰ σιτία μαλακώτερα καὶ ὀλιγώτερα εἶναι. καὶ τὰ ὄψα ἐκ τῶν ὀπτῶν ἑφθὰ ποιεῖσθαι. καὶ λάχανα κατάλληλα. ἐπὶ δὲ τὴν τούτων μετάληψιν, οὐκ ἀθρόως, ἀλλὰ κατὰ μέρος δεῖσε προσέρχεσθαι, ἵνα μὴ ἐκ τῆς ἀθρόας μεταβολῆς βλαβήσῃ, ὡς Ἱπποκράτης φησι, τὸ κατὰ πολλὰ καὶ ἐξ ἀτόνου κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁπωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν. καὶ πάντη περιττὸν τῇ φύσει πολέμιον. τὸ δὲ κατ᾽ ὀλίγον, ἀσφαλές. καὶ ἄλλως τὸ ἐξ ἑτέρου μεταβαίνειν ἐφ᾽ ἕτερον. πλεῖον λέγω καὶ ὑδαρέστερον τὸ πόμα εἶναι, οὐ πλεῖστον δὲ, οὐ δὲ ὑδαρέστατον. τὸ γὰρ πλεῖστον καὶ ὑδαρέστατον, περὶ θέρει κελεύω πίνειν γε, ὡς ἐναντίου τούτου. τὸ γὰρ ἔαρ ὥσπερ ἐν περὶ μεταξὺ τῶν ἄκρων ἔχει, οὕτως καὶ διαίτης μέσης δεῖται. αὕτη γὰρ ἡ δίαιτα πρόσφορός σοι, μὴ μόνον τῇ ὥρᾳ, ἀλλὰ καὶ τῇ κράσει, καὶ τῇ ἡλικίᾳ πρόσεισι, καὶ ἐν περὶ ἔαρι ταύτης ἔχεσθαι δεῖσε. ἐν δὲ τοῖς λοιποῖς καιροῖς ὀλίγον τῶν ἐναντίων οὐ διὰ τὴν ἡλικίαν καὶ κρᾶσιν, ἀλλὰ διὰ τὴν τῶν ὡρῶν δυσκρασίαν. ὥσπερ αἱ διαφοραὶ τῶν ὡρῶν διάφορον ἐνδείκνυνται δίαιταν, οὕτως καὶ αἱ τοῦ σώματος ἕξεις. τοὺς μὲν πολυσάρκους καὶ μαλακοὺς, καὶ ψυχροὺς καὶ ὑγροὺς, ὡς ἐπὶ τὸ πλεῖστον, ξηροτέρας δεῖσθαι τροφῆς. τοὺς δ᾽ ἐναντίον ἔχοντας, τῆς ἐναντίας. ἐπεὶ δὲ σὺ ὡς ἐπὶ τὸ πλεῖστον μέσον καὶ εὔκρατον, εὔκρατον δεῖσε τὸ πλεῖστον τοῦ χρόνου διαιτᾶσθαι δίαιταν. τὰ γὰρ κατὰ φύσιν, ὡς ἐπὶ τὸ πλεῖστον, τῶν ὁμοίων δεῖται. τὰ δὲ παρὰ φύσιν, τῶν ἐναντίων. ἡ γὰρ τῶν παίδων κρᾶσις θερμὴ ἐστὶ καὶ ὑγρὰ καὶ δυναμένης τῆς αὐξήσεως καὶ διαπλάσεως ἐν ἑτέρᾳ κράσει γίνεσθαι, ἢ ἐν τῇ παιδικῇ, διὰ τοῦτο οὖν χρὴ λαμβάνειν σε ὁμοίας τροφὰς καὶ πολλὰς, ἵν᾽ ἐθίσῃς πολλὰ καὶ παντοδαπὰ πέττειν. οὕτω γὰρ εὐρύχωρον τὴν γαστέρα καὶ τὸ ἧπαρ ἀπεργάσεται ἡ φύσις, καὶ πάντα τὰ μόρια. εἰ καὶ πλεῖον πρὸς ὑγιεινὴν ἕξεις ποτὲ τὸ ὑγρὸν, ὅμως οὐ χρὴ σε ξηραίνεσθαι, καθάπερ ἐπὶ τῶν ἄλλων. ἡ γὰρ ξηρότης, ἐναντιοῦται τῇ αὐξήσει, τούτου χάριν τὰ ξηραίνοντα καὶ θερμαίνοντα καὶ λεπτύνοντα φευκτέον ἐπὶ σέ. ὥς τε ἀβλαβῶς φέρῃ ἡ κατὰ σε φύσις ταῦτα. οἱ δὲ γέροντες διὰ τὸ τὰ στερεὰ μόρια εἶσι ψυχροὶ καὶ ξηροί. διὰ δὲ τὰ περιττώματα, ψυχροὶ καὶ ὑγροί. καὶ χρὴ διὰ τὴν ψυχρότητα τῶν στερεῶν, τὰ ἐναντία τῶν ἐναντίων ἔχεσθαι, ἔν τε σιτίοις, καὶ πόμασι, καὶ τοῖς λοιποῖς. κένωσιν δὲ τῶν κατ᾽ ἀλλήλων διὰ τὰ αὐτὰ περιττώματα. ἡ δὲ τροφὴ ἔστω αὐτῶν ὀλίγη ἔσω διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, ὡς Ἱπποκράτης εἶπε. τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. πλείστης οὖν δεῖται τροφῆς. ἢν δὲ μὴ τὸ σῶμα ἀναλίσκηται, γέρουσι δὲ ὀλίγον θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται. ὁ αὐτὸς πάλιν. γέροντες εὐφορώτατα νηστείην φέρουσι.

Διαφέρουσιν οἱ ἄρτοι, τῇ ὕλῃ, τῇ ζυμώσει, καὶ τῇ ὀπτήσει. καὶ ὁ μὲν πρῶτος αὐτῶν, ὀνομάζεται, σιλιγνίτης. ὁ δὲ ἐφεξῆς αὐτῷ σεμιδαλίτης. τρίτος δὲ ὁ αὐτόπυρος, ὅς καὶ συγκομιστός. καὶ τέταρτος, ὁ πιτυρίας. ἐγὼ δὲ καὶ τὰς τούτων βλάβας καὶ ἐνεργείας λέξω. προτιμότατος μὲν αὐτῶν ἐστὶ πάντων, ὁ σιλιγνίτης καὶ ἐπιμονώτατος, καὶ [illegible] ἀμώτατος. δεύτερος δὲ κατὰ πάντα, ὁ σεμιδαλίτης. ἧττον δὲ τούτων ὁ μέσος καὶ συγκομιστός. πάντων δ᾽ ἀσθενέστερος, ὁ πιτυρίας. σὺ δὲ, τῶς τε μία μοι κεφαλὴ, ὑγιαίνων μὲν, χρῶ τῷ σιλιγνίτῃ. εἰ δὲ καὶ νεφρίτις γίνηταί σοι, ὅπερ ἀπεύχομαι ἐν νόσῳ, ὑπὸ ταύτης κατέχῃ, ἐὰν ὄρεξις νύττῃσε, ἀβλαβῶς χρῶ τοῖς πιτυρίαις καὶ τοῖς μέσοις αὐτῶν. εἰ μηδὲν τι προσιστάμενον εἴη, πρόσφορος οὗτος σοι πλέον. ὀλιγότροφος ὢν καὶ περίττωμα ἐν τῇ γαστρὶ ποιεῖν εἰωθὼς, διὰ τοῦτο καὶ ῥᾳδίως ὑποχωρούμενος. τῆς γὰρ ῥυπτικῆς δυνάμεως τὸ πίτυρον μετέχει. καὶ διὸ ταχέως διαχωρεῖ, πρὸς τὴν ἔκκρισιν ἐρεθιζομένων τῶν ἐντέρων, τὴν γαστέρα γὰρ εὔλυτον ἔχειν ἀεὶ καλόν. ταύτης γὰρ καλῶς ὑπιούσης,

καθαρώτεραι αἱ οὐρήσεις γένοιντο ἄν. οἱ δὲ ἕτεροι ὅτε σιλιγνίτης καὶ ὁ σεμιδαλίτης, τοὐναντίον ἐφεκτικοί, δυσέκκριτοι, καὶ ἐμφρακτικοὶ ἥπατός τε καὶ νεφρῶν, εἰ καὶ πολύτροφοι, καὶ δυναμικώτεροι. ἐκ δὲ τῶν πτηνῶν, τὰ μέσα τῶν λεπτυνόντων καὶ παχυνόντων. εἰσὶ δὲ ταῦτα, πέρδικες, ἀτταγῆνες, ἀλεκτρυόνες, ἀλεκτορίδες περιστεραί, καὶ τῶν φασιανῶν ζώων πλῆθος, καὶ τῶν στρουθῶν, καὶ μᾶλλον τῶν ἄλλων, οἱ πυργῖται καλούμενοι. φυσικὴν γὰρ ἐνέργειαν κέκτηνται. ἐκ δὲ τῶν πεζῶν, τὸ χοίρειον κρέας εὐχυμώτατον, καὶ πάντων μάλιστα ἀνθρώποις οἰκειότατον καὶ τροφιμώτατον, διὰ τοῦτο καὶ δυναμικώτατον. γλίσχρον δέ τι καὶ παχὺ ἔχει πλεονάζοντος γοῦν ἐν ταῖς ἐδωδαῖς αὐτοῦ, ἐμφρακτικὸν ἥπατός τε καὶ νεφρῶν, καὶ χρὴ ἐκ μακρῶν διαλειμμάτων τούτου ἀπέχεσθαι. τῶν δὲ μικρῶν χοιρείων κρεῶν ἐὰν ὀλίγα καὶ συχνῶς, οὐδὲν βλαβήσει. φευκτέον δὲ καὶ τὸ τῆς ἐλάφου, ὡς σκληρὸν καὶ δυσπεπτον καὶ μελαγχολικόν. καὶ τὸ τῶν προβάτων, ἐκ διαλειμμάτων, ὡς περιττωματικώτερον καὶ κακόχυμον. τὸ δ' ἀρνῶν καὶ ἐρίφων, ὁσάκις ἂν βουληθείης. ἐκ δὲ τῶν ἐνύδρων ζώων, οἱ πετραῖοι καλούμενοι ἰχθύες λυσιτελεῖς σοι γενήσονται προσφερόμενοι αὐτοί. εἰσὶ δὲ ταῦτα κωβιοί, τρίγλαι, σελάχια, καὶ τὰ λοιπὰ εὔχυμα καί τινα τῶν πελαγίων. καὶ τὰ μαλακόστρακα ἀστακοί, πάγουροι, καρκίνοι, κάραβοι, καραβίδες, καί τινα τῶν ὀστρακοδέρμων. περὶ δὲ τῶν ὀπωρῶν, τί χρὴ καὶ λέγειν; οὐ δὲ γὰρ ὡς τροφὴ τὰ πλεῖστα μυστὰ ἡμῖν αὐτῶν ἐστιν. ἀλλ' ὡς φάρμακα ἐρωτικὰ στομάχου τε καὶ γαστρὸς παραλαμβάνεται. καὶ περὶ μὲν βρώσεως, τοσοῦτον. περὶ δὲ πομάτων, νῦν ἤδη λεκτέον. καὶ πρῶτόν γε περὶ οἴνου. τὰ μὲν γὰρ ἄλλα ὑγρά, ἢ οὐδὲν πρὸς ἀνάθρεψιν συντελοῦσιν, ἢ καὶ ἐναντιοῦνται τὰ πλείω. μόνος δὲ ὁ οἶνος δύναται τρέφειν. ἐπειδὴ πάντων ὑγρῶν πλείστην οἰκειότητα ἔχει πρὸς τὰ ἡμέτερα σώματα. ἔχει γάρ τινα καὶ τὸ ἔλαιον καὶ μέλι, ἀλλ' οὐ τοσαύτην, ὅσην ὁ οἶνος. διαφοραῖς δὲ κρίνεται. καὶ πρώτη μὲν αὐτοῦ διαφορά, ἡ κατὰ χρόαν. δευτέρα δὲ ἡ κατὰ τὴν γευστικὴν ποιότητα. τρίτη, ἡ κατὰ τὴν σύστασιν. τετάρτη, ἡ κατὰ τὴν ὀσμήν. πέμπτη, ἡ κατὰ τὴν δύναμιν. ἀλλὰ περὶ τούτων κατὰ μέρος διεξιέναι, περιττόν. ῥητέον τε ἰδικώτερον, ποῖος τῶν οἴνων σοι πρόσφορος. ἄλλος γὰρ ἄλλοις λυσιτελεῖ, καὶ ἑτέρῳ πάλιν οὐχ ὁ αὐτός. σοὶ δὲ φημὶ συμφέρει τὸ λεπτὸν καὶ λευκόν, καὶ ὀλιγοφόρον. ὁ γὰρ τοιοῦτος τῶν οἴνων, εὐανάδοτός τέ ἐστι καὶ λεπτύνει τοὺς ἐν ἡμῖν χυμούς, καὶ δι' οὔρων ἐκκρίνει, καὶ τὴν δύναμιν ῥώννυσιν. ἀσύμφοροι δὲ οἱ λοιποί, ὥσπερ ἐπὶ ἄλλων ὠφέλιμοι. χρὴ δὲ καὶ περὶ ὕδατος βραχέα προσδιατρῖψαι τοῖς λόγοις. κοινὸν γὰρ τοῦτο καὶ ὑγιαίνουσι καὶ νοσοῦσι παραμύθιον, καὶ ἀναγκαῖον ἐστὶ μάλιστα. ἐπειδὴ τῶν κοσμικῶν τε καὶ μοναχῶν στοιχείων ἐξ ὧν ἁπάντων σῶμα τὴν σύστασιν ὅλην ὂν καὶ αὐτό. διὰ τοῦτο οὖν οὐ παρέργως ῥηθήσεται ἡμῖν. τρισὶν αἰσθήσεσι κρίνεται τὸ καθαρώτατον ὕδωρ, γεύσει, ὄψει, καὶ ὀσφρήσει, γεύσει, εἰ μηδεμίαν προσλάβοι ποιότητα, ἀλλ' ἀκριβῶς ἄποιον φαίνοιτο. ὄψει εἰ καθαρὸν καὶ εἰλικρινὲς ἢ διαυγὲς ἀκριβῶς. ὀσφρήσει, εἰ μηδὲν αὐτῷ ἐνέσοι ὅσα τοῖς μοχθηροῖς ἐνυπάρχει. ταῦτα γὰρ ὀξύτητος, ἢ στυπτηρίου, ἢ δριμύτητος, ἢ ἅλμης, ἤτινος ἄλλης κακίας μετέχει ἀρρήτου. χρὴ δέ σοι τὸ ὕδωρ παρὰ πᾶσαν τὴν δίαιταν, καθαρώτατον εἶναι, καὶ διυλισμένον, καὶ κοῦφον, καὶ πηγαῖον, τοῦτο δὲ καὶ ψυχρὸν ἐστὶ κατὰ τὴν αὐτοῦ φύσιν εἰ δὲ δὴ καὶ ταχέως ὑποχωροίη τῶν ὑποχονδρίων, μηδὲν ζήτει ἕτερον βέλτιον. καὶ οὐχὶ καθάπερ οἴνων τε καὶ σιτίων καὶ γυμνασίων, καὶ ἐγρηγόρσεως, καὶ ὕπνων ἄλλων ἄλλους ἀπολαύειν προσήκει κατὰ τὰς διαφορούσας ἡλικίας τε καὶ κράσεις, οὕτω καὶ ὕδατος. ἀλλ' ὅπερ ἄριστον εἴρηται νῦν, τοῦτο πειρᾶσθαι χρῆσθαι καὶ παῖδα καὶ νεανίσκον καὶ πρεσβύτην, κἂν ὁποιασοῦν φύσεως ἔτυχον. ἐπεὶ δὲ ψυχρὸν ἕτερον μᾶλλον ἑτέρου εὑρίσκεται, διὰ τοῦτο οὐ πᾶσιν ἀδιαφόρως χρῆσθαι τοῖς ψυχροπόταις λυσιτελές. ἀλλὰ τοῖς μὲν, ἀμέτρως θερμοῖς, καὶ πιμελώδεσι, καὶ πολυσάρκοις, ἢ διὰ τὴν φυσικὴν κρᾶσιν, ἢ δι' ἐπίκτητον, καὶ σφοδρῶς γυμναζομένοις, καὶ ἔθος ἔχουσιν, ἀβλαβές, εἰ τοῦ ψυχροῦ πίνοιεν, εἰ δ' ἄλλως ἔχοντι, ἧττον ἐμφορεῖν τοῦ ψυχροῦ. οἱ δέ γε νέοι τὴν ἡλικίαν καὶ πράγμασιν ἀσχολούμενοι πολιτικοῖς, ὡς μὴ τεταγμένως γυμνάζεσθαί τε καὶ διαιτᾶσθαι, εἰ τοῦ πηγιαίου λαμβάνοιεν ἀπεχόμενοι χιόνος. αὕτη γὰρ κἂν μηδὲν ἐκ τοῦ παραυτίκα τὰ νέα τῶν σωμάτων φαίνοιτο βλάπτουσα, λεληθότως γοῦν κατὰ βραχὺ τῆς βλάβης αὐξανομένης, ἐπὶ προήκοντι τῷ χρόνῳ παρακμαζούσης τε τῆς ἡλικίας δυσίατα ἢ καὶ παντελῶς ἀνίατα νοσήματα ἐμποιεῖν πέφυκε, κατά τε νεῦρα καὶ ἄρθρα καὶ σπλάγχνα, καὶ μάλιστα βλαπτόμενον ἐκεῖνο τὸ μέρος τοῦ σώματος, ὅπερ ἀσθενέστατόν ἐστι φύσει, ὥστε διὰ ταῦτα δεῖ χρῆσθαι σε τοῖς πηγιαίοις, καὶ τούτοις διυλισμένοις, καὶ πλείω τούτων μεταλαμβάνειν ἢ οἴνου καὶ περὶ μὲν ὕδατος διὰ βραχέων εἰς τοσοῦτον, καιρὸς δήπου λοιπὸν καὶ περὶ γυμνασίων ἐρεῖν. χρὴ τοίνυν μὴ ὑπὲρ ἀγνωσίας γυμνάζειν τὸ σῶμα, ἕως ἂν δηλαδὴ ἡ δύναμις καταβληθῇ. μὴ μὴν πάλιν ἀτελὲς περιλαμβάνειν γυμνάσιον, ὅπερ οὐχ ἱκανὸν διαφορῆσαι τὰ μόρια, ἀλλὰ τὸ ἀναλογοῦν τῇ ἑκάστου δυνάμει. ἐπειδὴ γὰρ ἐν τῷ πρός τι τὸ σφοδρόν, ὡς εἴη ἂν ἡ αὐτὴ κίνησις ἑτέρῳ μὲν γυμνάσιον, ἑτέρῳ δέ, οὐ γυμνάσιον, συμφέρον δὲ ἑκάστῳ τὸ εἰθισμένον αἱρεῖσθαι, καὶ μὴ τὸ πυκτικὸν ἢ δρομικόν, ἢ τὸ διὰ πάλης ὑπέρχεσθαι. χρήσιμα δὲ περὶ τοῦ γυμνασίου, τρία τὰ πρῶτα, ἐργάζεται μὲν γὰρ σκληρότητα τῶν ὀργάνων, ἀλλήλοις παρατριβομένων, αὔξησίν τε τῆς ἐμφύτου θερμότητος, καὶ βιαιοτέραν τὴν τοῦ πνεύματος κίνησιν. τούτοις δ' ἕπεται τὰ ἄλλα σύμπαντα κατὰ μέρος ἀγαθά, τοῖς σώμασι δι' αὐτῶν ἐγγιγνόμενα. τῇ μὲν γὰρ σκληρότητι τῶν ὀργάνων, ἡ δὲ δυσπάθεια αὐτῶν, καὶ ἡ πρὸς τὰς ἐνεργείας εὐτονία. τῇ δὲ αὐξήσει τῆς θερμότητος, ἡ τῶν ἀναδιδομένων ὁλκὴ ἰσχυρά, καὶ ἡ ἑτοιμοτέρα ἀλλοίωσις, καὶ ἡ βελτίων θρέψις, καὶ ἡ τῶν περιττωμάτων χύσις, ἐφ' ἣ χύσει τὰ μὲν στερεὰ τῶν σωμάτων μαλάττεσθαι συμβαίνει. τὰ δὲ ὑγρά, λεπτύνεσθαι καὶ διαφορεῖσθαι, καὶ τοὺς πόρους εὐρεῖς γίνεσθαι. τῇ δὲ τοῦ πνεύματος ἰσχυρᾷ κινήσει ἐκκαθαίρεσθαί τε τοὺς πόρους ἀναγκαῖον ἔσται, καὶ κενοῦσθαι τὰ περιττώματα. ἐπεὶ δὲ ταῦτα ποιεῖ τὰ γυμνάσια, οὐ χαλεπόν ἐστι τὸν καιρὸν τῆς χρήσεως ἐξευρεῖν. διότι μὲν γὰρ ἀναδόσεσι συνεργεῖ, οὐ χρὴ πλῆθος ὠμῶν καὶ ἀπέπτων οὔτε σιτίων, οὔτε χυμῶν, ἢ κατὰ τὴν κοιλίαν, ἢ τὰς μεσαραϊκὰς φλέβας, ἢ καθ' ἧπαρ, ἢ τὰ λοιπὰ ἀγγεῖα περιέχεσθαι, ἐπεὶ κίνδυνος αὐτὰ ἐκχυθῆναι πρὸς

ἅπαντα τοῦ ζώου τὰ μόρια, πρὶν χρησὰ γίνεσθαι πεφθέντα. διότι δὲ ἐκκαθαίρει τοὺς πόρους καὶ κενοῖ τὰ περιττώματα, κάλλιον αὐτὰ πρὸ τῶν σίτων παραλαμβάνειν. τὰ γὰρ μὴ καθαρὰ τῶν σωμάτων, ὁπόσῳ ἂν θρέψῃς, Ἱπποκράτης ἔφη, μᾶλλον βλάψεις, ὥς τε ἐκ τῶν εἰρημένων εὔδηλον ὡς οὗτος ἄριστος ἐστὶ γυμνασίων καιρός. χρὴ δὲ μάλιστα φροντίδα τίθεσθαι ἐπὶ παντὸς γυμνασίου ἐν ὑγιεινῷ χωρίῳ ἐπιτελεῖσθαι καὶ ἀέρι καθαρῷ. ἀρκείτω οὖν καὶ περὶ γυμνασίων ταῦτα. λουτροῖς δὲ χρῆσθαι συχνοῖς, εὐκράτοις, καὶ ἐπιτόμοις, οὐ διὰ τὸ νόσημα, ἀλλὰ διὰ τὸ συνεισβάλλεσθαι ταῦτα τῇ αὐξήσει σου, καὶ θρέψει, καὶ διαπλάσει. ἄριστος δὲ καιρὸς βαλανείων, ἡνίκα ἡ μὲν χθεσινὴ τροφὴ τελέως ἢ κατηργασμένη, ὑποβεβηκυῖα. ἑτέρας δ' ἐφεδρεύει τροφῆς καιρός. καὶ ἐν ἥπατι καὶ φλεψὶν ὡσαύτως. ταῦτα δ' εἴσεται ὁ προσκαθήμενος, καὶ ὁ ἀεί σου φροντίζων ἰατρός. τὴν μὲν τῆς γαστρὸς τὴν τελείαν πέψιν, ἐκ τῶν διαχωρημάτων. τὴν δὲ τοῦ ἥπατος καὶ τῶν φλεβῶν, ἐκ τῶν κατὰ φύσιν οὔρων. οὐ δεῖ οὖν οὐδὲ μετὰ

10 τὴν τροφὴν λούεσθαί σε, ἵνα μὴ ἐμφράξεις περὶ νεφροὺς καὶ ἧπαρ γίνηται. φευκτέον δὲ καὶ τὴν ἀπὸ τοῦ βαλανείου εὐθέως τοῦ οἴνου μετάληψιν, κεφαλῆς γὰρ ἅπτεται οἶνος, ὕδατος εὐκράτου πρότερον μεταλαμβάνων ὑγρῶς οὐ· ἡ δὲ τοῦ ψυχροῦ ὕδατος, ἢ οἴνου, ἢ ζύθου, ἢ ἑτέρου σικεροῦ πόσις ἀβλαβὴς ἐστὶ. βλάπτουσι γὰρ καὶ αὐτὰ σαφῶς, τήν τε γαστέρα καὶ τὸ ἧπαρ καὶ τὰ νεῦρα. οὐ τῇ κράσει, ἀλλὰ τῇ θίξει. συμφέρον δέ σοι καὶ τὸ μὴ εὐθέως τῇ ἐκ τοῦ ὕπνου ἐξαναστάσει λούεσθαι. χρῆσθαι δὲ πρότερον κινήσει, ἔστιν ὅτε καὶ γυμνασίῳ, συμμέτρῳ· τὰ γὰρ σύμμετρα γυμνάσια καὶ κατ' ἄλληλα καὶ πρόσφορα τῇ φύσει σου, καὶ τὴν πέψιν, καὶ αἱμάτωσιν καὶ θρέψιν ἐργάζεται βελτίονα, διὰ τοῦτο οὖν καὶ συνεργὰ εἰς τὴν εὐτροφίαν καὶ δύναμιν καὶ εἰς τελείαν ἐνέργειαν τῆς τρίτης πέψεως. ἀρκείτω οὖν καὶ περὶ τούτων ταῦτα. εἰ δ' αἰφνιδίως ἐπιγίνηταί σοι ἡ νεφρῖτις, εἰ μὲν νεωστὶ βεβρωκὼς εἴης, καὶ ναυτίας ὑφιστάμενος, ἐξέμει πάντα, ἢ φυσικῶς, ἢ τεχνικῶς, ὡς τῷ ἰατρῷ σου δοκεῖ, καὶ εἰς ὕπνον ἑαυτὸν ἐπίτρεπε. εἰ δὲ σκύβαλα παλαιὰ ὑποπτεύεις εἶναι εἰς τὴν κάτω γαστέρα, κενώσεις ταῦτα διὰ κλυ-

20 στῆρος, εἰ μή τι κωλύει. εἰ δ' ἀκαρτερήτως ὀδυνῆς, εἰς θερμὸν σαυτὸν ἐμβίβαζε ὕδωρ. πλὴν μὴ καταχρῶ τούτῳ, ὡς ἀνώτερον εἰρήκαμεν. ἡ γὰρ τοῦ θερμοῦ κατάχυσις παρηγορεῖ μὲν πως τὰς ὀδύνας, ἐκλύει δὲ τὰς ἐν ἡμῖν δυνάμεις δι' ὧν ἀποτρίβεται πᾶν νοσοποιὸν καὶ ἄχρηστον. μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰ ἐνέματα, δεῖ πυριᾶν καὶ καταπλάττειν τὰ πάσχοντα μόρια, τοῖς προσφόροις τῇ φύσει φαρμάκοις. εἰ δέ τι ἐστήρικται ἐν τῷ νεφρῷ ὁ λίθος, λαμβάνειν ὄξος, σάκχαρ, καὶ ὄξος σκιλλητικὸν, καὶ τὰ ἁπλῶς θρυπτικὰ τῶν λίθων, οἷον ἀγρώστεως ῥίζης ἀφεψήματα, δαμασωνίου, ἀδιάντου, τριχομανοῦς, καὶ τῶν ὁμοίων. εἰ δὲ καὶ ταῦτα ἀπρακτήσουσι, χρῶ τοῖς διαιρετικοῖς τῶν λίθων ὡς τῶν ἀσπαράγων τῶν βασιλικῶν αἱ ῥίζαι, βδέλλιον τὸ ἀπὸ τῆς ἀραβίας, ἀλθαίας σπέρμα, λιθόσπερμον, βετονίκη, σαξίφραγος, γλήχων καππάρεως ῥίζα τοῦ αἰγυπτίου. καὶ τῶν σικύων τῶν ἡμέρων τὰ σπέρματα, καὶ τὰ τούτοις παραπλήσια. εἰ δὲ διά τι καὶ ταῦτα ἀποτύχωσι, χρῶ τοῖς κατὰ κράτος διαιροῦσι. κατὰ κράτος δὲ διαιρεῖ, λίθος ἰουδαϊκὸς. καὶ εἰ μὲν ἐν τῷ νεφρῷ ἐστήρικται, χρῶ τῷ ἀρρενικῷ. εἰ δὲ ἐν τῇ κύστει, καὶ διὰ μέγεθος οὐκ ἐκκρί-

30 νεται, χρῶ τῷ θηλυκῷ. ὁ γὰρ ἄρρην, τοὺς ἐν νεφροῖς θρύπτει. ὁ δὲ θῆλυς, τοὺς ἐν κύστει. καὶ ὕελος κεκαυμένη. καὶ ὁ καππαδοκικὸς λίθος. καὶ τὸ τῶν παλιούρων σπέρμα, καὶ ταῦτα κατὰ κράτος διαιροῦσιν. εἰ δὲ χυμὸς παχὺς ἐν τῷ σώματι ἐνεστι καὶ χρεία ἐστὶ κενώσεως οὔρων παχέων, οὖρα παχέα ἄγουσι σκολύμου ῥίζαι, ἐρυθρόδανον, καὶ τὰ παραπλήσια. εἰ δὲ καὶ συχνῶν οὔρων χρεία. συχνὰ μὲν οὖν κενοῦσιν οὖρα, ἄκορον, σταφυλῖνος, σέσελι, ἄμμι, καὶ ὅμοια. εἰ δὲ ἡ φύσις περί τι ὀκλάσει εἰς τὴν τῶν οὔρων ἀπόθεσιν, διεγερτικὰ τῆς φύσεως ἐστὶ, σκόρδιον, χαμαιδάφνη, ἀσπάραγοι τῆς βρυωνίας, καὶ τὰ τούτοις ἰσοδυνάμα. τὰ δὲ διουρητικὰ, ὡς ἀγῶνα ἄθετον τοῖς λιθιῶσιν ἔχουσιν. ἐπεὶ εἰ μὲν κρᾶσις τῶν διουρητικῶν δριμεῖα, καὶ διὰ τοῦτο, θερμὴ καὶ ξηρὰ, καὶ προσέτι συνακτική τε καὶ διακριτικὴ συναγομένου τοῦ ὀῤῥώδους. ὅσα δὲ τὰς ἐν αὐτοῖς πυρώδεις συστάσεις οὐκ ἔχει ἐπιτήδεια, τμητικὰ μὲν γὰρ ἱκανῶς ὑπάρχει, θερμότητος δὲ ἥκιστα μετέχει. συνίστησι γὰρ ἀποξηραίνουσα τὸν πόρον ἡ θερμότης, οὐ τέμνει καὶ διαιρεῖ. τὰ δὲ ἧττον θερμὰ μετὰ τοῦ τέμνειν δύνασθαι βελτίω, καθάπερ τὰ προῤῥηθέντα. τὰ δὲ διουρη-

40 τικὰ ἐστὶ θερμὰ καὶ ξηρὰ καὶ δριμέα, καὶ διὰ τοῦτο διακριτικὰ μὲν τοῦ ὀῤῥώδους αἵματος, συνακτικὰ δὲ τοῦ πάχεος. καὶ διὰ τοῦτο ἄθετα τοῖς λιθιῶσιν. εἰ δὲ ὡς παρηγορητικοῖς καὶ ὀχιματικοῖς χρησόμεθά ποτε, ὀνήνασι. μετὰ δὲ τὴν τοῦ λίθου ἔκκρισιν, χρῶ τοῖς καταλλήλοις κατακεραστικοῖς διὰ τὴν ἐκ τῆς παρ' ὅλην τοῦ λίθου δίοδον καὶ τραχύτητα καὶ ξέσιν, καὶ μᾶλλον εἰ μέγας εἴη καὶ γωνιώδης. μετὰ δὲ τὸ ἀκρατώτατον εἶναι τὸ σῶμά σου, διὰ τῶν προειρημένων κατακεραστικῶν, χρῶ τοῖς προφυλακτικοῖς ἔνδοθέν τε καὶ ἔξωθεν. ταῦτα δὲ μὴ μόνον τὸ τέλεον ἀξιῶσιν, ἐν ὅσῳ δὲ προφυλάττῃ, χρῶ τοῖς καταλλήλοις καὶ προσφόροις ἐν τροφαῖς καὶ πόμασι, καὶ ὅσα πέψαι δύνῃ. ἐκ γὰρ τῶν καταλλήλων τῇ φύσει σου τροφῶν καὶ πόσεων καὶ βαλανείων καὶ γυμνασίων, καὶ τῶν ὁμοίων, ῥωννύονται αἱ δυνάμεις. ὥσπερ ἐκ τῶν ἐναντίων, καταβάλλονται. διὰ δὲ τὸ ἀξίωμα τῶν δυνάμεων χρεία τῶν ὁμοίων. τούτων γὰρ ἐῤῥωμένων οὐσῶν, ἀποτρίβεται πᾶν νοσοποιὸν καὶ ἄχρηστον. ταῦτα δὲ τὰ βραχέα, οὐκ εἰς διδασκαλίαν, ἀλλ' εἰς μικρὰν ὑπόμνησιν ὁ δοῦλός σου προσφέρω. τὴν γὰρ τελείαν πάντων κατάληψιν, οἱ

50 παλαιότατοι τῶν σοφῶν, ἤσκησάν τε καὶ ἐξέθεντο. ὁ δὲ προσκαθήμενος καὶ ἄριστος φροντίζων ἰατρὸς καὶ σύνδουλός μου, καὶ ταῦτα καὶ τὰ τῶν παλαιῶν καὶ τὰ τῆς φύσεώς σου πλεῖον ἐμοῦ τε καὶ ἄλλων, ὅσον εἰς ἀνθρωπίνην δύναμιν, εὗρεν, ἐξ ὧν ἐδιδάχθη, καὶ ἐξευρεῖν δυνηθείη, διὰ τὴν ἀκρίβειαν τῆς φύσεώς σου κατάληψιν. ὥστε μόνῳ τούτῳ καὶ σεαυτὸν ἀνάθου. φροντιεῖ γάρ σου ἐπὶ θεῷ μάρτυρι, εἴπερ τις ἄλλος. ὁ γὰρ εἰδὼς τὸ κυρίως κατὰ φύσιν, ταχύτερον τῶν ἄλλων εἴσεται καὶ τὸ παρὰ φύσιν. ἐβουλόμην λογικὰ περὶ ὀλίγων γράφειν, ἀλλ' ἐν ἑτέρῳ τὰ μὲν ῥηθήσεται. οὐ γὰρ τοῦ νῦν καιροῦ ταῦτα, οἷον τινὲς τῶν λιθιώντων θεραπεύονται, καὶ τινὲς οὔ. καὶ ἆρα αἴτιος ὁ λίθος, ἢ νόσος, ἢ σύμπτωμα. καὶ εἰ αἴτιον ἢ προκαταρκτικὸν, ἢ προηγούμενον, ἢ συνεκτικὸν. καὶ ὁμοιομεροῦς, ἢ ὀργανικῶν, ἢ κοινοῦ. εἰ νόσημα ὁμοιομερὲς, ἢ ὀργανικὸν, ἢ κοινὸν. εἰ δὲ σύμπτωμα βλάβη ἐστὶν ἐνεργείας ἢ ἐκκρινόμενον, ἢ ἐπεχόμενον, ἢ διάθεσίς τις, ἢ ἄμφω αὐτῷ συμβέβηκεν, ὡς καὶ αἴτιον καὶ νόσον καὶ σύμπτωμα εἶναι.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΦΙΛΟΣΟΦΟΥ ΙΣΤΟΡΙΑΣ.

Τῶν δὲ ἐξ ἀρχῆς φιλοσοφησάντων, φυσιολογεῖν μόνον προελομένων, καὶ τοῦτο τέλος τῆς κατ' αὐτοὺς φιλοσοφίας πεποιημένων, ἐπιγεγονὼς πολλοῖς ὕστερον χρόνοις Σωκράτης, οὗτος τὸ μὲν ἀνέφικτον φησὶν ἀνθρώποις ὑπάρχειν. τῶν γὰρ ἀδήλων κατάληψιν βεβαίαν εἰς ἂν λαβεῖν, τῶν χαλεπωτάτων ἐνόμισε, τὸ δὲ ζητεῖν ὅπως ἄμεινον διάγοι τις, καὶ τῶν μὲν κακῶν ἀποτρέποι, τῶν δὲ καλῶν ὡς πλεῖστα μετάσχοι, τοῦτο μᾶλλον συνοίσειν. καὶ τοῦτο νομίσας χρησιμώτερον, τῆς μὲν φυσιολογίας ἠμέληκεν, οὐ πάνυ τι πρὸς τὸν χρήσιμον βίον συμβαλλομένης, ἠθικὴν δέ τινα διάθεσιν ἐπιγνωστικῶς ἀγαθῶν τε καὶ κακῶν, αἰσχρῶν τε καὶ καλῶν, τιμίων τε καὶ τῶν ἐναντίων, τοῖς προνοουμένοις ταῦτα πάντως ἀπηλλάχθαι τῶν ἀλυσιτελῶν ἡγεῖτο ῥᾳδίως, διὸ προσεπάγεται τῇ φιλοσοφίᾳ τὸ ἠθικὸν, καθ' ὃ συνέστησε τὴν προαίρεσιν τῶν κάλλιστα ζῆν πειθηζομένων. κατιδὼν δὲ ὅτι δεήσει τὸν τούτων προεστησόμενον καὶ ἀληθείας μετέχειν. τοῦτο δὲ ἂν ὑπάρξειεν, εἰ λόγοις διαλεκτικοῖς φαίνοιτο πρὸς τοὺς προσιόντας καλῶς κεχρημένος καὶ τὴν διαλεκτικὴν δύναμιν, δι' ἧς πείθονται τελέως ἐπιγνωστικῶς, ἀπαλλαξόμεθα τῶν βλαβερῶν, ἐπελευσόμεθα δὲ ἐπὶ τὰ πάντως ὠφελεῖν πεφυκότα, ὥστε διὰ τὸν Σωκράτην γενέσθαι τριμερῆ τὴν φιλοσοφίαν, πρότερον ἐπὶ τοῖς φυσικοῖς μόνοις ὁρίζεσθαι δοκοῦσαν. ταῦτα μὲν οὖν ἐχρῆν προειπεῖν, ἵνα ἐκ τινὸς ἀρχῆς ποιησώμεθα τὸν περὶ φιλοσοφίας λόγον. προὐθέμεθα δὲ διαλεχθῆναι περὶ τούτου, οὐδὲν μὲν ἴδιον εὑρηκότες, τὰ δὲ † περὶ τῆς προτέρας εἰρημένα συνάγοντες σαφῶς τε καὶ συντόμως σπουδάσαντες περὶ τούτου διαλεχθῆναι, ἵνα οἱ φιλομαθεῖς τούτοις προσεντυγχάνοντες, μὴ δέονται τῶν ἐξηγουμένων, ἀλλὰ δι' ἑαυτῶν γιγνώσκοιεν τὰ καθ' ἕκαστα τῶν εἰρημένων σαφέστερον. ἀσφαλέστερον δὲ πειρώμεθα περὶ τούτου εἰπεῖν, τὰ σοφιστικὰ καὶ πάνυ κεκοσμημένα τῶν διαλεκτικῶν παρεληλυθότες. οὐ γὰρ ἐπιδείξεως ἕνεκα προυστησάμεθα τὴν περὶ τούτου σπουδὴν, ἀλλὰ χρηστόηθυ ποιῆσαι βουληθέντες, τοῖς ἐκ φιλοσοφίας λαβεῖν τι χρήσιμον προεγνωκόσιν. οἱ νομίσαντες φιλοσοφεῖν, οὐ μόνον τοὺς τὰ τριβώνια περιημμένους, ἀλλὰ καὶ τοὺς πρόσοδον μὲν τοῖς πολλοῖς ὁμοίαν ἐνστησαμένους, τὴν δὲ διάνοιαν φιλοσοφωτάτην ἔχειν σπουδάσαντας. ἁπλούστερον δὲ ὅσα παρὰ τῶν πεπαιδευκότων ἡμᾶς ἀκηκόαμεν καὶ δι' ἀναγνωσμάτων ἐμάθομεν, νῦν συνάγειν ἐπεχειρήσαμεν ἵνα ἐξ ἁπάντων ἔχῃ τις γινώσκειν πόθεν τε φιλοσοφία πρῶτον μὲν εἰς τοὺς Ἕλληνας παρεληλυθέναι. καὶ τίνες οἱ ταύτην εἰσαγαγόντες. καὶ τοὺς δοκοῦντας περὶ τὴν παιδείαν διεγνωκέναι τῶν ἐπὶ ταῦτα τετραμμένων. Ἔστι τοίνυν ὁ πρῶτος ὑπὸ τῶν πλείστων ὑπειλημμένος τὸν φιλόσοφον βίον εἰς τοὺς Ἴωνας εἰσηγμένος, Θαλῆς ὁ Μιλήσιος. δι' ὃν καὶ τὴν κατ' ἐκεῖνον σοφίαν ἰωνικὴν ἅπαντες ὀνομάζουσιν. τούτου δὲ γνώριμος Ἀναξίμανδρος γεγονὼς ὅμοιος φιλοσοφῶν γέγονε. καὶ τὸν Ἀναξιμένην μετὰ ταῦτα ζηλωτὴν εἶναι τῆς αὐτοῦ προαιρέσεως πεποιηκὼς, Ἀναξαγόρου καθηγητὴν γενέσθαι παρεσκεύασεν. οὗτος δὲ τὴν Μίλητον ἀπολελοιπὼς ἧκεν εἰς τὰς Ἀθήνας, καὶ τὸν Ἀρχέλαον Ἀθηναῖον πρῶτον εἰς φιλοσοφίαν παρώρμησεν. οὗπερ Σωκράτης ἀκροατὴς, περὶ τὰ πολλὰ, καὶ τῶν ὕστερον γεγονότων, καὶ τῶν κατ' αὐτὸν αἴτιος τοῦ φιλοσοφεῖν εἰλικρινῶς γέγονε. καὶ τοὺς ἐπιγινομένους σχεδὸν ἅπαντας, ὡς εἰπεῖν, φιλοσοφίας ἐπιθυμητὰς ἀπέφηνε. τῶν δὲ Σωκρατικῶν πολλῶν γεγονότων, ἀναγκαῖον ἐστὶ νῦν μόνον ποιήσασθαι μνήμην τῶν περὶ διαδοχὴν λελοιπότων. Πλάτων τοίνυν μάλιστα διεγνωκέναι τῶν ἄλλων ἐπὶ φιλοσοφίαν ἐλθὼν, ὡς ἄν φαίη τις ἀνεπίφθονον Σωκρατικὴν μαρτυρίαν παρεσχηκὼς τῆς ἀρχαίας λεγομένης Ἀκαδημίας κατῆρξε διαβεβοημένος. Σπεύσιππος μὲν οὖν χρόνον τινὰ βραχὺν ἐπὶ τῆς αὐτῆς αἱρέσεως διαμεμενηκὼς, ἀρθριτικοῖς δὲ νοσήμασι περιπεσὼν, Ξενοκράτην ἀντ' αὐτοῦ κατέστησε τῶν Πλατωνικῶν δογμάτων ἐξηγητήν. μετὰ δὲ τοῦτον Πολέμων. ἐπεὶ καὶ ἦν αὐτὸς ἐπὶ τοὺς λόγους τοῦ Πλάτωνος. καὶ Κράντης γέγονε καθηγητικός. εἰς ὃν κατέληξεν ἡ ἀρχαία Ἀκαδημία. τοῦ δὲ Κράντωρος ἀκουστὴς ἦν Ἀρκεσίλαος καὶ τὴν μέσην Ἀκαδημίαν ἐπινενόηκεν, ὥς τις μέχρι σιγῆς ἐπινενόηκε. τούτου δὲ Καρνεάδης κατέστη διάδοχος, τῆς νέας Ἀκαδημίας τὰς ἀρχὰς συνεώρακεν. οὐκ λυτομάχος μετέχων. εἰσὶ δὲ πρὸς ταύτας ταύτας Ἀκαδημίαι δύο νεώταται. ὧν τῆς μὲν προτέρας προέστη Φίλων. Ἀντίοχος δὲ τῆς ἐφεξῆς. ἡγοῦμαι δὲ τῶν Σωκρατικῶν πάνυ πολλῶν γενομένων οὐδενὸς ἧττον ἦν, καταδεέστερος δὲ, ὃς τὴν κυνικὴν εἰς τὸν βίον παρήγαγε. οὗ Διογένης γέγονε ζηλωτὴς καὶ προσωμοιώθη κατὰ τὰ ἐπιτηδεύματα. τούτου δὲ Ζήνων ὁ Κιτιεὺς ἀκήκοεν. ὃς τινὰ στωϊκὴν φιλοσοφίαν ἐξεῦρεν. οὗ μετείληφε τῶν λόγων Κλεάνθης. καὶ τούτου Χρύσιππος ἀκροώμενος. τὴν ὁμοίαν ἀγωγὸν μετελήλυθε. τοῦ δὲ Διογένης ὁ Βαβυλώνιος ἀκροατὴς γεγονὼς. Ἀντιπάτρου καθηγητικὸς γέγονε. τούτου δὲ Ποσειδώνιος ἠκροᾶτο. Ἀρίστιππος δὲ Κυρηναῖος ὢν, τῆς Σωκρατικῆς ἀκροάσεως μετέχων. ἀφ' οὗ τὴν Κυρηναϊκὴν φιλοσοφίαν ἔγνωμεν, ἀλλ' οὐ δὲ τῶν Μεγαρικῶν ἐρετρικὴν δίκαιον παριδεῖν. ὡς τῶν Σωκρατικῶν, οὐδενὸς δεύτερος τὴν διάνοιαν γεγονὼς. ἧς Στίλπων Μεγαρικὸς τῶν αὐτῶν δογμάτων εὑρετὴς ἦν. τούτου δὲ † Παρμενίδης ὁ Ἐρετριεὺς διεδέξατο. ἀφ' οὗ Ἐρετρικὴ φιλοσοφία ἐπικέκληται. Φαίδωνα τὸν Ἠλεῖον οὐδεὶς ἠγνόησε τῶν Σωκρατικῶν εἰς πρώτους ἥκειν ὑπειλημμένον. ὥσπερ Ἀναξαγόρας ὁ Ἀβδηρίτης τῶν λόγων εἰς μίμησιν ἀφικόμενος τῷ Πύρρωνι καθηγήσατο, σκεπτικῆς ὢν φιλοσοφίας. Ἀριστοτέλης δὲ Πλάτωνος πάνυ πολὺν χρόνον συνδιαγεγονὼς δόγμασιν, ἑτέροις ἑαυτὸν προσνενέμηκεν. ὥσπερ Θεόφραστος προεστήσατο τῆς κατ' αὐτὸν αἱρέσεως, καὶ τὸν Στράτωνα προσήγαγεν εἰς ἴδιον τινὰ χαρακτῆρα φυσιολόγως. Ἐπίκουρος δὲ κατολιγωρήσας ὥς τινες ὑπειλήφασι, τῆς κατὰ φιλοσοφίαν σεμνότητος, ἐπί τινα τρόπον μετελήλυθεν οὐ πάνυ παρὰ τοῖς ἀκριβέσι τῶν φιλοσόφων

† al. περὶ τοῖς προτέροις.

† al. Μενέδημος.

σόφων δοκιμώτατον. τούτου δὲ Μητρόδωρος ἠκροᾶτο. εἰσὶ δὲ τῶν γενικωτέρων φιλοσόφων εἴδη δύο. τινὲς μὲν, ἰταλιῶται, ὧν Πυθαγόρας εὑρετὴς γεγένηται. καὶ ὁ κατὰ τὴν ἐλαίαν ἀκμάσας. ταύτης δὲ λέγεται κατάρξαι Ξενοφάνης ὁ κολοφώνιος ἀπορητικῆς μᾶλλον ἢ δογματικῆς τοῖς πολλοῖς εἶναι δοκῶν. μετὰ δὲ τοῦτον τοῖς αὐτοῦ βουλήμασιν ἐπαρεδρεύσας καὶ Παρμενίδης οὐ τῶν ἀφανεστέρων ἀποβεβηκέναι δοκεῖ. Ζήνων δὲ ὁ ἐλεάτης τῆς ἐριστικῆς φιλοσοφίας ἀρχηγὸς μνημονεύεται γεγονώς. τούτου δὲ Λεύκιππος ἀβδηρίτης ἀκούσας, τὴν τῶν ἀτόμων εὕρεσιν ἐπενενόηκε πρῶτος. Δημόκριτος δὲ παρ᾽ αὐτοῦ τὸ δόγμα παρειληφὼς μᾶλλον ἐκράτυνεν, οὗ Πρωταγόρας ὁ ἀβδηρίτης ζηλωτής. ὃς καὶ συνέστη τῆς κατὰ φιλοσοφίαν τέχνης. ὠνομάσθη δὲ τῶν φιλοσοφιῶν, ἡ μὲν ἐξ ἀνδρὸς ὥσπερ ἡ κατ᾽ ἐπίκουρον συμβέβηκεν. ἐκ τέλους καὶ δόγματος, ὥσπερ ἡ εὐδαιμονική. ὁ γὰρ Ἀνάξαρχος, τέλος τῆς κατ᾽ αὐτὸν ἀγωγῆς τὴν εὐδαιμονίαν ἔλεγεν. ἡ δὲ ἐξ ἐνεργείας, ὡς ἡ περιπατητική. τὸν γὰρ Ἀριστοτέλη κατὰ τοὺς περιπάτους συνουσίας πρὸς ὁμιλητὰς ποιούμενον τῆς ἐπωνυμίας ταύτης κατηξίωκε τὴν κατ᾽ αὐτὸν φιλοσοφίαν. ἡ δὲ διὰ θέσιν. ὡς ἰωνική, διαλεκτική. ἡ δ᾽ ἀπὸ τόπου, ὡς στωϊκή, καὶ ἀκαδημαϊκή. ἡ δὲ ἀπὸ διαθέσεως, ὡς σκεπτική, ἡ δὲ ἐξ ἀνδρὸς καὶ δόγματος, ὡς ἡ κατὰ Ἀρίστιππον μὲν ἀπὸ τοῦ εὑρηκότος. κυρηναϊκὴ δὲ ἀπὸ τῆς πόλεως ἧς ἐκεῖνος μετεῖχεν. ἡδονικὴ δὲ ἀπὸ τοῦ τέλους τῆς κατ᾽ αὐτὸν φιλοσοφίας. τὸν γὰρ Ἀρίστιππον τὴν ἡδονὴν προσκεκλεῖσθαι μᾶλλόν τινες ὑπενόησαν.

Περὶ τοῦ λογικοῦ μέρους τῆς φιλοσοφίας.

Τὸ λογικὸν μέρος τῆς φιλοσοφίας, τῶν ὕστερον γεγονότων προτετάχθαι, ἡγούμενοι δεῖν τοὺς μέλλοντας ἀκριβῶς φιλοσοφεῖν, μὴ πρότερον τοῖς ἄλλοις μέρεσιν ἐπιχειρεῖν, πρὶν ὅ,τι τούτων ἕκαστόν ἐστι γιγνώσκειν. οἱ μὲν γὰρ ἔφασαν τὴν φιλοσοφίαν εἶναι δύναμιν γνωστικὴν καὶ περιποιητικὴν ἀρίστου βίου. ἄριστον βίον εἰπόντες, τὸ ζῆν ἕκαστον κατ᾽ ἀρετήν. οἱ δὲ ἄσκησιν ἀνθρώποις ἀρίστης ζωῆς ἐπιτηδείου τέχνης ὡρίσαντο, ἄσκησιν μὲν, τὴν φιλοσοφίαν πάντες ἐπιτήδειον τέχνην, τὴν σοφίαν νομίσαντες, ἥτις ἐστὶ κατάληψις θείων καὶ ἀνθρωπίνων πραγμάτων. εἰς δὲ θεωρητικὴν ἕξιν αἱρετὴν καὶ φευκτὴν ὑπέλαβον χρῆναι μᾶλλον. ὀνόμασαν δὲ αὐτὴν αἱρετὰ μὲν, καὶ τὰ ἀγαθὰ φήσαντες εἶναι, φευκτὰ δὲ τὰ κακά. τὸ ἀγαθὸν τὸ δι᾽ ἑαυτοῦ αἱρετὸν, ὠφελείας τῷ μετόν τι γιγνόμενον αἴτιον. κακὸν δὲ τὸ δι᾽ ἑαυτοῦ ἐκκλινόμενον, βλάβης καθιστάμενον αἴτιον. μέρη δὲ τῆς φιλοσοφίας κατὰ τοὺς πλείστους ἀριβέστατα εἶναι δοκοῦντα τρία παρειλήφαμεν. τό, τε λογικὸν, δι᾽ οὗ καταμανθάνομεν. τῶν τῶν ὄντων ἕκαστον κατ᾽ οὐσίαν, κατὰ συμβεβηκὸς καὶ τὰς διαφορὰς τούτων πρὸς ἄλληλα, καὶ τὰ τοιαῦτα γιγνώσκομεν. τὸ φυσικὸν δι᾽ οὗ πάρεστι καθορᾶν, τίς ἡ τοιαύτη αἰτία τοῦ τάξει περιάγειν τῶν οὐρανίων τὴν κίνησιν, ὅσα φαίνεσθαι δοκεῖ. καὶ τίνες αὐτῶν ταχυτῆτες ἢ βραδυτῆτες πρὸς ἄλληλα, καὶ ὅσα τούτων ἐστὶν ὅμοια. καὶ τρίτον τὸ πάντων ἀναγκαιότατον καὶ τοῖς ἐπιτηδεύμασι χρησιμώτατον, τὸ ἠθικὸν, δι᾽ οὗ μανθάνομεν ἀλλήλοις ὁμιλεῖν, καὶ συμβάλλειν προσηνῶς. καὶ τοὺς μὲν θρασυτάτους ὑφορᾶν. οὐ μισοῦντες, ἀλλὰ γελῶντες καὶ ἐλεοῦντες. τοὺς δὲ ἀπραγμονεστάτους καὶ ἐπιεικεστάτους στέργοντες. τούτων μὲν τὸν βίον ῥᾷον ἀσκεῖν, βέλτιον τὰς πρὸς ἀλλήλους ἐντεύξεις ἀγαθὰς ποιουμένων. ἐκείνων δὲ τὸ ἦθος δυσπρόσοδον καὶ παντάπασιν ἀνομίλητον τὸν βίον ἀπεργαζομένων.

Περὶ αἱρέσεως.

Τὴν αἵρεσιν ὑπολαμβάνουσί τινες εἰρῆσθαι τριχῶς, κοινῶς, καὶ ἰδίως, καὶ ἰδιαίτατα. κοινῶς μὲν τὴν ἔν τινι πράγματι τῶν κατὰ τὸν βίον σύνθεσιν. ἰδίως δὲ τὴν ἐν τέχνῃ. ἰδιαίτατα δὲ τὴν φιλοσοφίαν κατ᾽ ἔννοιαν δὲ τὴν αἵρεσιν εἶναι πρόσκλησιν δογμάτων πολλῶν πρὸς ἄλληλα συμφώνων καὶ εἶναι πρὸς ἓν τέλος ἀναφερόντων. τέσσαρες δὲ εἰσὶν ἃς γενικωτάτας νομίζουσιν οἱ περὶ τούτων διειληφότες. μίαν μὲν τὴν δογματικὴν τοῖς πολλοῖς κατατιθεμένην, καὶ βεβαιοτέραν. τὴν σκεπτικὴν, τὴν περὶ πάντων ζητητικήν. πρὸς δὲ τούτοις εἶναι τρίτην τὴν ἐριστικὴν, τὴν διὰ σοφισμάτων νικᾶν ἐν ταῖς νικήσεσιν ἐπαγγελλομένην. σοφίσματα δὲ τοιαῦτα νομίζουσιν, οἷον. ὅπερ εἰμὶ ἐγὼ, οὐκ εἶ σὺ, ἄνθρωπος δὲ εἰμί. σὺ ἄρα οὐκ ἄνθρωπος. καὶ τοὺς τοιούτους μειρακιώδεις λόγους καὶ ἐριστικούς. μικτὴν δ᾽ αἵρεσιν προσειρήκασι, τὴν τισὶ μὲν δόγμασι κατατιθεμένην, περὶ πολλῶν δ᾽ ἠπορηκυῖαν, καὶ μὴ πάντα διεξιοῦσαν συγκαταθετικῶς. εἶναι δὲ δογματικῶς* καὶ τοῖς ἐπιεικέστερον προωρισμένοις. σκεπτικὸς δὲ Ζήνωνα τὸν ἐλεάτην, καὶ Ἀνάξαρχον τὸν ἀβδηρίτην, καὶ τὸν ἄγαν ἠκριβωκέναι τὴν ἀπορητικὴν ἀπολειφθέντα. Πύρρωνα ἐριστικοὺς δὲ, κεκλήκασιν, Εὐκλείδην καὶ Μενέδημον. καὶ Κλειτόμαχον. τοὺς δὲ καταμικτὴν αἵρεσιν μετεληλυθότας ὑπάρχειν, Ξενοφάνη μὲν περὶ πάντων ἠπορηκότα, δογματίσαντα δὲ μόνον τὸ εἶναι πάντα ἕν. καὶ τοῦτον ὑπάρχειν θεὸν πεπερασμένον, λογικὸν ἀμετάβλητον. τὸν δὲ Δημόκριτον ὁμοίως, περὶ μὲν τῶν ἄλλων μηδενὸς ἀποφηνάμενον, ἐνδειγμα δὲ καταλέλοιπε τὸ περὶ τῶν ἀτόμων καὶ τοῦ κενοῦ καὶ τοῦ ἀπείρου.

Τίς ἀρχὴ φιλοσοφίας.

Ἀρχὴ δὲ λέγεται τριχῶς. ἡ μὲν ὡς αἰτιώδης. ἡ δὲ ὡς ἐν τρόπῳ συστάσεως. ἡ δὲ ἀποδείξεως. αἰτιώδης μὲν οὖν ἐστιν ἀρχὴ, ὅταν ζητήσωμεν τί ποτ᾽ ἐστὶ τὸ πεποιηκὸς εἰς ἐπίνοιαν τοὺς πρώτους ἐλθεῖν φιλοσοφίας. ἐν τρόπῳ δὲ συστάσεως, ὅταν ζητήσωμεν ποῖον μέρος ἐστὶ πρῶτον, ὃ ἐκ τῆς τέχνης συνέστηκεν. ἀποδείξεως δὲ, ὅταν τὰ ὑφ᾽ ἡμῶν κατασκευαζόμενα ἀποδείκνυμεν, αἰτία δὲ φιλοσοφίας εὑρέσεώς ἐστι κατὰ μὲν Ἰσοκράτη, τὸ ταραχῶδες ἐν τῷ βίῳ καταπαύσαι τῶν πραγμάτων.

Περὶ Σημείου.

Σημεῖον εἶναι, οἱ μὲν διαλεκτικοί φασιν ἀξίωμα ἐν ὑγιεῖ συνημμένον. καὶ ὑπάρχον ἐγκαταληπτικὸν τοῦ λήγοντος. τῶν δὲ σημείων τὰ μέν ἐστιν ἐνδεικτικὰ, τὰ δὲ ὑπομνηστικά. ὑπομνηστικὸν μὲν οὖν ἐστιν, ὅπερ παρατέθεικε τὸ σημεῖον τῷ ἅμα φανῆναι τὸ σημεῖον. καὶ τοῦ σημείου τοῦ εἰς γνῶσιν ἡμᾶς ἀγαγεῖν. ὁποῖόν ἐστιν ἐπὶ τοῦ καπνοῦ. τοῦτον γὰρ ἰδόντες, εὐθὺς γινώσκομεν ὅτι ἐκ πυρός γεγονώς ἐστιν. ἐνδεικτικὸν δέ ἐστι σημεῖον, ὃ μὴ πρότερον παρατηρηθέντος τοῦ σημείου τοῦ διαφανέντος εἰς γνῶσιν οὐκ ἀφικόμεθα τοῦ σημείου, ὥσπερ ἐπὶ τῶν γάλα ἐχουσῶν, εὐθὺς γινώσκομεν, ὅτι τετοκυῖά ἐστι.

Περὶ συλλογισμοῦ.

Συλλογισμὸς δέ ἐστι λόγος διδομένων ἀκριβείᾳ τῶν περὶ τῶν διαλεγομένων συναγωγῶν, συμπέρασμα ἀπροσδόκητον, ὡς ἐν τῇ πολιτείᾳ παρὰ Πλάτωνι. τοῦ γὰρ Θρασυμάχου εἰρηκότος ὅτι τὸ δίκαιόν ἐστι τοῦ κρείττονος συμφέρον αὐτοῦ προστάττουσι ποιεῖν.

Περὶ ὅρου.

Ὅρος δέ ἐστι λόγος σύντομος εἰς γνῶσιν ἡμᾶς ἄγων ἑκάστου πράγματος. ἢ λόγος διὰ βραχείας ὑπομνήσεως ἐμφανὲς ἡμῖν ἀπεργαζόμενος τὸ ὑποκείμενον πρᾶγμα. τῶν δὲ ὅρων, οἱ μὲν, εἰσὶν οὐσιώδεις, οἱ δὲ, ἐννοηματικοί.

Περὶ κριτηρίου.

Κριτήριόν ἐστι πράγματος διαγνωστικὴ κατανόησις. κριτήριον δέ ἐστι διττόν. τό, τε ᾧ χρώμενοι βιοῦμεν. καὶ τὸ περὶ ὑπάρξεως καὶ ἀνυπαρξίας. λέγεται δὲ τὸ κριτήριον τριχῶς. κοινῶς. ἰδίως. ἰδιαιτάτως.

Περὶ ἀληθοῦς.

Ἀληθές ἐστι, τὸ ἀντικείμενον τινί. διηλλαγμένον δὲ τὸ ἀληθὲς τῆς ἀληθείας τριχῶς. οὐσίᾳ. συστάσει. δυνάμει. οὐσίᾳ μὲν, ἐπειδὴ τὸ ἀληθὲς ἀσώματόν ἐστιν. ἀξίωμα γάρ ἐστι καὶ λεκτόν. ἡ δὲ ἀλήθεια σῶμά ἐστιν. ἐπιστήμη γὰρ πάντων ἐστίν. ἀληθῶν δ᾽ ἐπιστήμη.

Πῶς ἡγεμονικόν ἐστι.

Τὸ δὲ ἡγεμονικὸν, πνεῦμα εἶναι δοκεῖ. ὅπερ σωματοφυὴ μάλιστα ἂν εἰκότως δοκῇ, ἡ σύστασις δὲ διήλλακται ταῦτα. τῷ, τὸ μὲν ἀληθὲς δῆλον εἶναι. οἷον ἐγὼ διαλέγομαι τὴν ἀλήθειαν ἡμῖν εὑρῆσθαι, περιληπτικὴν οὖσαν πάντων ἀγαθῶν. δυνάμει δὲ διήλλακται περὶ τὸ μὲν ἀληθὲς καὶ φαύλῳ τινὶ ἐπιγίνεσθαι. λέγει γάρ ποτε ἀληθῶς, καὶ ὁ μὴ πάνυ ἐσπουδασμένος. τὴν δὲ ἀλήθειαν μόνην ἔντροφον εἶναι τοῖς τρόπον εἶναι σπουδαίοις.

Περὶ διαιρέσεως.

Τὴν διαίρεσιν ὑπολαμβάνουσι, χωρισμὸν εἶναι τῶν συνεληλυθότων εἰς ἕν. διαιρεῖσθαι δὲ νομίζουσιν ὀνόματα εἰς σημαινόμενα. καὶ ὅλον εἰς μερικὰ μέρη. καὶ τὰ γένη ἰδικά. διαφορὰς εἰς τὸ καθ᾽ ἕκαστον καὶ εἰς συμβεβηκότα.

Περὶ φύσεως.

Φύσιν τινὲς εἶναι λέγουσι, πνεῦμα ἔντεχνον, ὁδοποιητικόν. ἄλλοι δὲ τὴν τῶν σωμάτων σύγκρισιν εἶναι καὶ διάκρισιν τὴν φύσιν ὑπολαμβάνουσιν. Ἀριστοτέλης δὲ ἀρχὴν τε κινήσεως εἴρηκεν, ὡς πρῶτόν ἐστι καὶ οὐ κατὰ συμβεβηκὸς γεγενῆσθαι νομίζων. φυσικὰ δὲ εἶναι λέγει τὰ περὶ τὸν ἀέρα, φυτά, ζῶα, καὶ τὰ τοιαῦτα.

Περὶ διαφορᾶς στοιχείων καὶ ἀρχῆς.

Τῶν ἀπὸ ἰωνίας φιλοσόφων οὐδὲν διαλλάττειν αὐτὰ νομιζόντων, Πλάτων πλεῖστον διηνέχθη. ἀλλὰ ταῦτα κέκληκε τῆς μὲν ἀρχῆς. καὶ γὰρ οὐδὲν εἶναι πρότερον ἀφ᾽ ἧς γεννᾶσθαι ταῦτα. συμβέβηκε δὲ στοιχείων πρότερα εἶναι τὴν ἀειδῆ καὶ ἄμορφον οὐσίαν. ἣν οἱ μὲν ἄποιον ὕλην εἶναι. οἱ δὲ ἐντελέχειαν καὶ στέρησιν ὀνομάζουσιν. ἔτι δὲ τὰ μὲν στοιχεῖα. οἱ μὲν σύνθετα καὶ ἀποτελέσματα. τὴν δ᾽ ἀρχὴν οὐδετέραν τούτων ὑπάρχει. ὥστ᾽ εἰκότως ὁ Πλάτων τὴν ἐν τούτοις παραλλαγὴν κατειληφὼς ἀποφαίνεται.

Περὶ κινήσεως.

Τὴν κίνησιν, σχεδὸν τῶν φιλοσόφων πάντες οἱ ἀκριβέστατοι γίνεσθαι νομίζουσιν. τὴν μὲν γὰρ τοπικὴν μετάβασιν, ὅταν ἀπὸ τόπου εἰς τόπον ἕτερον φαίνεται μεταβαῖνον. τὴν δὲ φυσικήν. ὅταν εἰς ἕτερον ἐξ ἑτέρου γινόμενα ἀποφαίνωνταί τινες. τρίτον δὲ τὴν γένεσιν ὅταν ἐξ οὐκ ὄντων γένηταί τις. τὴν διαφθορὰν, ὅταν ἐξ ὄντος πρὸς τὸ μὴ εἶναι καθίσταται. καθάπερ ἐπὶ τῶν ἀπογινομένων ζώων. τὴν δ᾽ αὐξητικὴν ἀπὸ βραχέος πρὸς τὸ μεῖζον προϊέναι. τὴν δὲ μειωτικὴν ὅταν ἐκ μείζονος βραχύνηταί τι καὶ πρὸς ἔλαττον μεθαρμόζηται.

Περὶ σωμάτων.

Σῶμα τινῶν ὑπολαβόντων τὸ εἴτε ποιεῖν εἴτε πάσχειν, ἕτεροι τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας τὸ σῶμα καθεστάναι φασίν. εἶναι μὲν γὰρ σημεῖον οὗ μέρος οὐδέν. ἐπιφάνειαν δὲ, τὸ μήκους καὶ πλάτους μετέχον. τοῦτο δὲ ὁπόταν μεγέθους προσλάβῃ σῶμα νομίζουσιν εἶναι. τινὲς δὲ τὰ πέρατα σώματα εἶναι ὑπειλήφασιν.

Περὶ ψυχῆς.

Πολλὴν μὲν ἐστιν εὑρεῖν παρὰ τοῖς προτέροις ἀντείρησιν περὶ τῆς ψυχῆς γενομένην. ἀλλ᾽ ὅμως μὴ τὸν τῆς εἰσαγωγῆς τρόπον ὑπερβαίνειν δοκοῖμεν τὰ πᾶσιν εἰρημένα περὶ ταύτης διεξιόντες, ὅσα τοῖς ὀνομαστοτάτοις εἰρῆσθαι περὶ ταύτης νομίζομεν, ὡς ἐν βραχέσι πειρώμεθα λέγειν. ψυχὴν τοίνυν οἱ μὲν πνεῦμα παντὶ τῷ σώματι παρακείμενον, ὅπου μὲν μᾶλλον, ὅπου δὲ ἧττον νομίζουσιν εἶναι. οὗτοι δὲ οἱ περὶ τὸν Ἀσκληπιάδην εἰσίν. ἄλλοι δὲ δύναμιν δι᾽ ἣν ζῶμεν. οἱ δὲ κινήσεως ἀρχὴν πάντων γινομένων τε καὶ ὄντων. Ἐπίκουρος δὲ τὸν ἐφελκόμενον ἔξωθεν ἀέρα διὰ τῆς εἰσπνοῆς τὴν ψυχὴν ὑπέλαβεν. τὴν δὲ οὐσίαν ταύτην, οἱ μὲν ἀσώματον ἔφασαν, ὡς Πλάτων. οἱ δὲ σώματα κινεῖν, ὡς Ζήνων καὶ οἱ ἐξ αὐτοῦ. πνεῦμα γὰρ εἶναι ταύτην ὑπενόησαν. καὶ οὗτοι θνητὴν μὲν ψυχὴν ὡς Ἐπίκουρος καὶ Δικαίαρχος ᾠήθησαν. ἀθάνατον δὲ Πλάτων καὶ οἱ στωϊκοί. ἀλλ᾽ ὁ Πλάτων ἀεικίνητον καὶ οὐδέ ποτε διαφθαρησομένην. οἱ στωϊκοὶ δὲ καθ᾽ ἑκάστην τοῦ κόσμου μεταβολὴν διαμένειν ἀθάνατον, ἕως ἂν ἡ τοῦ κόσμου μεταβολὴ συστᾶσα, καὶ ταύτην τυχεῖν διαφθαρῆναι. τοῖς δὲ σώμασι σπένδεσθαι νομίζουσιν οἱ μὲν αὐτοφυεῖς ἥκουσιν ἐγκρατεῖς οὔσας, ὥστε ταῦτα παρεχούσας περὶ ἐπιθυμεῖν ἡδονῶν τῶν διὰ τῶν σωμάτων αὐταῖς προσγινομένων. οἱ δὲ κατὰ θεὸν ἐγγίνεσθαι τοῖς σώμασι βουλόμενοι. μηδ᾽ ἐν τῶν στοιχείων ἀρχὴν μὴ δὲ ἔξω ὂν ἄμοιρον εἶναι διὰ τέλους, ἐξαμαρτάνειν δὲ τὰς ψυχάς. οἱ μὲν αὐτεξουσίας οὔσας καὶ διὰ τὰς σφετέρας ἐπιθυμίας ἐπὶ τὸ πλημμελὲς τρεπομένας. τῶν ἡδέων γὰρ οὔσας ὀρεκτικὰς διὰ τὴν τούτου κάθεξιν μηδὲν διωθεῖσθαι τὰς φαυλοτάτας τῶν ἀτοπωτάτων εἶναι νομιζομένων. οἱ δὲ κατ᾽ εἱμαρμένην πάντα συμβαίνειν νομίσαντες, καὶ τὴν ψυχὴν ἀπροαιρέτως τοῖς πλημμελήμασι περιπίπτειν ὑπολαμβάνουσι. διδόναι δὲ δίκην τὰς

πονηροτάτας

πονηροτάτας τῶν σωμάτων ἀπαλλαττομένας, ὁ Πλάτων οἴεται, καὶ τὰς ἄμεινον βεβιωκυίας εἰς θεὸν ἀναπέμπεσθαι, καὶ τοῖς ἄστροις ἐγκαταλέγεσθαι. στωϊκοὶ δὲ τούτων οὐδὲν προΐενται. ἀλλ᾽ ἐπειδὰν ἀρχωρεισθῶσι τῶν σωμάτων φασὶ τὰς ἀκρατεστέρας, καὶ τῶν ἡδέων ἐπιθυμητικὰς αὖθις ἠμφιεσμένας τῶν διὰ σωμάτων ἡδονῶν προσγιγνομένων, ἐγκαταδύεσθαι πάλιν τοῖς σώμασιν ἐξ ἀρχῆς. καὶ μηδέποτε παύεσθαι τούτου περιιπτάσας, ἕως ἂν παιδεύσεως τῆς προσηκούσης τύχωσι καὶ τῶν καλῶν εἰς γνῶσιν ἀφικόμεναι, χρυσὸν ἕλωνται βίον. καὶ μετὰ τὴν διάλυσιν καὶ τὴν ἀπαλλαγὴν τοῦ σώματος κατ᾽ αὐτὰς διαφανεῖς ἀιδίων δεομένων ἰδέας μετελθούσας τὰς ἀγαθὰς, καὶ μετὰ ταῦτα διὰ παντὸς οὔσας, τὰς πάλιν οὕτω διακειμένας. ἔστι δὲ τὰ μέρη τῆς ψυχῆς. Πλάτων μὲν, τρία νενόμικε. λογικόν. θυμικόν. ἐπιθυμητικόν. Ἀριστοτέλης δὲ προσήγαγε καὶ τὸ φυσικόν τε καὶ τὸ ζωτικόν. στωϊκοὶ δὲ τέσσαρα μέρη τῆς ψυχῆς εἶναί φασι, λογικόν. αἰσθητικόν. φωνητικόν

10 σπερματικόν. τινὲς δὲ τὴν ψυχὴν ἀπλῆν καὶ ἀμερῆ τυγχάνειν. οὐδὲν γὰρ ἄλλο τὴν ψυχὴν ὑπολαμβάνουσιν, ἢ φρόνησιν ὑπάρχειν. ἣν καὶ νοῦν καὶ νόησιν προειρήκασι. μνήμαχος δὲ τῶν στωϊκῶν ὑπόληψιν ἐπεκείνων, τὸ φωνητικὸν τὸ σωματικὸν περιεῖλεν. οἰηθεὶς τῆς αἰσθητικῆς δυνάμεως ταῦτα μετέχειν. μέρη δὲ τῆς ψυχῆς ὡρίσθη κεν, τὸ λογικὸν καὶ τὸ αἰσθητικόν. ὧν καὶ μᾶλλον ἄν τις συγχωρήσειεν εὐλόγως.

Περὶ ἰδέας

Ἰδέα ἐστὶν οὐσία ἀσώματος αὐτὴ μὲν ὑφεστῶσα κατ᾽ αὐτήν. εἰκονίζουσα δὲ τὰς ἀμόρφους ὕλας καὶ αἰτία γιγνομένη. Πλάτων δὲ συγχωρεῖ εἶναι δυνατὸν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις ζητεῖν περὶ τοῦ θεοῦ. Ἀριστοτέλης δὲ εἴδη μὲν καὶ ἰδέας ἀπέλειπεν, οὐ μὴν κεχωρισμένας τῆς ὕλης. οἱ δὲ στωϊκοὶ ἐννοήματα ἡμέτερα τὰς ἰδέας εἶναι νομίζουσι.

Περὶ ἐλαχίστων.

Τῶν τεσσάρων στοιχείων πράγματα βραχύτατα οἷον στοιχεῖα ἀπὸ στοιχείων ἢ ψήγματα νομίζουσιν, εἶναί τινες τὸ

20 λεγόμενον ἐλάχιστα. ἡράκλειτος εἰσάγει ταῦτα νοήσει μόνον ληπτά.

Περὶ χρωμάτων.

Χρῶμά ἐστιν ποιότης σώματος ὁρατόν. οἱ πυθαγόρειοι δὲ χροίαν καὶ χρῶμα ἐκάλουν τὴν ἐπιφάνειαν τοῦ σώματος. Ἐμπεδοκλῆς δὲ † τῆς ὄψεως ἀπ᾽ αὐτῶν. σύμμετρα μόρια ἔχοντα πρὸς τὴν ὄψιν. Ζήνων δὲ ὁ στωϊκὸς τὰ χρώματα ἐπιχρῶσιν τῆς ὕλης ὑπολαβών. οἱ δὲ ἀπὸ Πυθαγόρου τὰ γένη τῶν χρωμάτων λευκόν τε καὶ μέλαν καὶ ἐρυθρὸν νομίζουσι. τὰς δ᾽ ἄλλας διαφορὰς περὶ τὰς ποιὰς μίξεις τῶν στοιχείων. τὰς δὲ τῶν ζώων περὶ τὰς τῶν τόπων καὶ τῶν ἀέρων.

Περὶ σχήματος.

Σχῆμά ἐστιν ἐπιφάνεια καὶ περιγραφὴ καὶ πέρας σώματος.

Περὶ μίξεως.

30 Οἱ μὲν παλαιότεροι τὰς τῶν στοιχείων κατ᾽ ἀλλοίωσιν ἤτοι κρᾶσιν ᾤηθησαν γίνεσθαι. οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Δημόκριτον κατὰ παράθεσιν. Ἐμπεδοκλῆς δὲ ἐκ μικροτάτων οἴεται τὰ στοιχεῖα συγκεῖσθαι. Πλάτων δὲ τὰ ποιὰ μὲν εἶναι εἰς ἄλληλα λέγει, τὴν δὲ ὕλην ἀμετάβλητον μόνην.

Περὶ κενοῦ.

Οἱ ἀπὸ Πυθαγόρου καὶ οἱ φυσικοὶ πάντες μέχρι Πλάτωνος ἐν τῷ κόσμῳ κενὸν εἶναι λέγουσι. Λεύκιππος δὲ καὶ Δημόκριτος καὶ Ἐπίκουρος τὰ μὲν ἄτομα ἀπέραντα πλήθει. τὸ δὲ κενὸν, ἄπειρον τῷ μεγέθει. οἱ στωϊκοὶ δὲ ἐντὸς μὲν τοῦ κόσμου κενὸν οὐδὲν εἶναι νομίζουσιν, ἔξωθεν δ᾽ αὐτοῦ ἄπειρον. Ἀριστοτέλης δὲ τοσοῦτον εἶναι κενὸν ἔξω τοῦ οὐρανοῦ, ὥστ᾽ ἀναπνεῖν εἰς αὐτὸν τὸν οὐρανόν. ἔνδοθεν γὰρ εἶναι † τόπον πύρινον.

Περὶ χώρας.

Οἱ στωϊκοὶ καὶ ἐπικούρειοι διαλλάττειν τὸν τόπον τῆς χώρας ἐνόμισαν. τὸν μὲν τόπον ὑπὸ σώματος καὶ μέν τι κα-

40 τέχεσθαι. κατὰ δέ τι οὐδαμῶς εἶναι τὸ πᾶν.

Περὶ κόσμου.

Οἱ μὲν ἀπὸ τῆς στοᾶς ἕνα κόσμον εἰρήκασι καὶ τοῦτον σωματικόν. Ἐμπεδοκλῆς δὲ κόσμον ἕνα, οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον † ἕνα φησί, καὶ ἐν τῷ παντὶ εἶναι γεννητὸν ἐὰν μὴ πάντα περιέχῃ, τοῦ μὴ ἔσεσθαι ὁμοῦ ὄντων παράδειγμα τα. τουτέστι τῷ θνητῷ κόσμῳ. ἐὰν μὴ μόνῳ γεννήσῃ τοῦ μὴ ἔσεσθαι ἄνω ἢ τὸ ἐλλιπές τι ἔχει.

Πῶς συνέστηκεν ὁ κόσμος.

Συνέστηκε τοίνυν ὁ κόσμος περικεκλεισμένος. ἐσχηματισμένος τὸν τρόπον τοῦτον τῶν βαρυτάτων σωμάτων φερομένων εἰς τὸ κάτω. τῶν δὲ κούφων εἰς τὸ ἄνω, φερομένων δὲ πέριξ ἐκ τούτων συνηρμοσμένων.

Πόθεν ἔχομεν ἔννοιαν θεῶν.

Ὁρίζονται τὸν θεὸν οἱ στωϊκοὶ, πνεῦμα νοητὸν οὐκ ἔχον μορφὴν, μεταβαλλόμενον δὲ εἰς ὃ βούλεται. ἔχομεν δὲ

50 ἔννοιαν τούτου ἐκ τοῦ κάλλους καὶ μεγέθους τῶν ὁρωμένων αὐτοῦ δημιουργημάτων. οὐδὲν γὰρ τῶν καλῶν εἰκῆ γεγένηται, ἀλλ᾽ ὑπὸ δημιουργοῦ σοφοῦ. ὅθεν Εὐριπίδης εἶπεν. ἀστέρες δ᾽ ἐν οὐρανῷ ποίκιλμα τέκτονος σοφοῦ, ἐλάβομεν δὲ ἔννοιαν ἐκ τοῦ τὸν ἥλιον καὶ τὴν σελήνην σὺν τοῖς λοιποῖς τῶν ἄστρων τὴν † ὑποφθορὰν ἐνεχθέντες ὁμοίως ἀνατέλλειν τοῖς σώμασι καὶ τοῖς σχήμασιν. ἴσα δὲ καὶ τοῖς μεγέθεσι καὶ κατὰ τόπους τοὺς αὐτοὺς καὶ χρόνους.

Περὶ θεοῦ

Ὅσα κατ᾽ ἀρχὰς περὶ θεοῦ λέγοντες παρελίπομεν, ταῦτα νῦν ἐροῦμεν. τοὺς μὲν τῶν προτέρων φιλοσοφισάντων εὕρημα θεοὺς ἠγνοηκότας ὡς Πρωταγόραν τὸν ἠλεῖον. καὶ Θεόδωρον τὸν κυρηναῖον. καὶ Εὐήμερον τὸν τεγεάτην. οὐ γὰρ εἶναι θεοὺς εἰπεῖν τε τετολμήκασιν. ἔοικε δὲ ταύτης τῆς ὑπολήψεως Εὐριπίδης, ἐπὶ θεοῖς δ᾽ ἴδε τῶν ἀρεοπαγιτῶν. ἐκκαλούμενος τοῦτο δὴ ἔξιν ὑφίστασθαι. ἀγορὰν δὲ τῶν θεῶν ἐπὶ τὸ διατετακέναι τὸν κόσμον παρειληφότα ἐστί,

al. τὸ τοῖς πόροις τῆς ὄψεως ἐναρμόττον πλάτων φλόγα ἀπὸ τῶν σωμάτων σύμμετρα μόρια ἔχουσαν &c. ex Plutarcho.

al. τρία

al. τοῦτον

† al. πλάτων δὲ ἕνα φησὶ καὶ ἓν τὸ πᾶν εἶναι ἐκ τοῦ μὴ εἶναι τέλειον, ἐὰν μὴ πάντα περιέχῃ, ἐκ τοῦ μὴ ἔσεσθαι ὅμοιον τῷ παραδείγματι, τουτέστι τῷ θνητῷ κόσμῳ ἐὰν μὴ μονογενὴς ᾖ, ἐκ τοῦ μὴ ἔσεσθαι αἰώνιον) etc. ex Plutar.

† al. ὑπόγειον φορὰν

κατὰ τὰ σώματα κατ' ἀρχὰς διακεκοσμηκέναι φησίν. οὐδ' εἶναι τὸν πεποιηκότα ταῦτα ὑπέλαβε. Πλάτων δὲ οὐκ ἑστηκότα ταῦτα ὑπέθετο, ἀτάκτως δὲ κινούμενα ὑπὸ τοῦ θεοῦ εἰς τάξιν ἦχθαι, καὶ τῆς προσηκούσης μετειληφέναι. Θαλῆς δὲ νοῦν τοῦ κόσμου τὸν θεὸν ἡγήσατο. Ἀναξίμανδρος δὲ τοὺς ἀπείρους νοῦς, θεοὺς εἶναι νομίζει. Δημόκριτος δὲ νοῦν ἐν πυρὶ σφαιροειδεῖ τὴν τοῦ κόσμου ψυχὴν ὑπολαμβάνει. Πυθαγόρας δὲ τῶν ἀρχόντων μονάδα θεὸν καὶ τὸ ἀγαθὸν ᾤηθη. εἴ τις ἐστὶν τοῦ ἑνὸς φύσις αὐτὸς ὁ νοῦς. τὴν δὲ ἀόριστον δυάδα δαίμονα καὶ τὸ κακὸν περὶ ἥν ἐστιν ὁ ὁρατὸς κόσμος. καὶ Πλάτωνι γὰρ δοκεῖ τὸν θεὸν ἀμιγῆ πάσης ὕλης καὶ μηδενὶ πάθει συμπεπλεγμένον. Ἀριστοτέλης δὲ τὸν ἀνωτάτω θεὸν, εἶδος χωριστὸν ἐπιβεβηκὸς τῇ σφαίρᾳ τοῦ παντὸς. ὅθεν ἐστὶν αἰθέριον σῶμα τὸ μέγιστον ὑπ' αὐτοῦ νομιζόμενον. διῃρημένον κατὰ τὰς σφετέρας διαιρέσεις, τῇ μὲν φύσει ἡμῶν συναφθὲν, τῷ δὲ λόγῳ κεχωρισμένον. ὥστ' εἶναι ζῶον σύνθετον ἐκ σώματος καὶ θεότητος καὶ τὸ μὲν αἰθέριον κινούμενον κυκλοφορητικόν. τὴν δὲ ψυχὴν, λόγον ἀκίνητον. αἴτιον τῆς κινήσεως κατ' ἐνέργειαν. στωϊκοὶ τὸν θεὸν πῦρ ἔντεχνον ἢ πνεῦμα νομίζουσιν. ὁδῷ βαδίζον ἐπὶ κόσμου γένεσιν, ἐμπεριειληφὸς πάντας τοὺς σωματικοὺς λόγους καθ' οὓς ἕκαστα καθ' εἱμαρμένην γίνεσθαι. καὶ διήκειν δι' ὅλου τοῦ κόσμου τὰς προσηγορίας μεταλαμβάνων τε κατὰ τὰς τῆς ὕλης δι' ἧς κεχώρηκε παραλλάξεις. θεὸς δὲ καὶ τὸν κόσμον καὶ τοὺς ἀστέρας, καὶ τὴν γῆν εἶναι νομίζουσι. τὸ δὲ ἀνώτατον πάντων τὸν νοῦν εἶναι τὸν θεόν. Ἐπίκουρος δὲ ἀνθρωποειδεῖς εἶναι τοὺς θεοὺς, λόγῳ δὲ πάνυ θεωρητοὺς διὰ τὴν λεπτομέρειαν τῆς τῶν εἰδώλων φύσεως. ὁ δὲ οὕτω τέτταρας φύσεις κατὰ γένος ἀφθάρτους ὁμοιοτάτας αὐτῷ λέγοντα καὶ ὁμοιομερεῖς καὶ στοιχείων καὶ περὶ αὐτῷ.

Περὶ τοῦ φυσικοῦ.

Ὅσα μὲν εἰκὸς ἦν περὶ τῶν συντελούντων εἰς τὸ λογικὸν μέρος τῆς φιλοσοφίας εἰπεῖν, ἐν ἑτέροις διήλθομεν διὰ πλειόνων. ἡμεῖς δὲ συντομώτατα περὶ τούτων διαλεχθέντος συμμετρία μὲν ἐπὶ τὰ φυσικώτερα καὶ περὶ τούτων εἰ λέγοι τοῖς πᾶσι ῥᾳδίως ἐπιτιμῶντες μὴ πάνυ δυσχεραίνειν. καὶ περὶ τούτου δυνατὸν εἶναι νομίζομεν ἐμφανῆ καθεστάναι. καὶ τοῖς πρῶτα μαθοῦσιν οὕτως ἂν ὑπολάβωμεν διὰ ῥᾳστώνην ὑπάρχειν ἀπὸ τούτων τὰ περὶ τέλεια τῶν κατὰ φιλοσοφίαν. λαμβανόντων τοίνυν πρότερον ἀπὸ τῶν ἀρχῶν τε καὶ τῶν δραστικῶν καὶ τῶν ὑλικῶν ἡγεμόνων τῆς φυσικῆς πραγματείας. τούτοις ἡμῖν εἰκότως διανοηθέντος ἁρμόττειν νομίζομεν αἱ περὶ τούτου ἀρχαὶ ποιεῖσθαι τὸν λόγον. εἰρηκότων τοίνυν ἐκείνων πρὸς τὸ πάντα δραστικώτατον αἴτιον τῶν ὄντων καὶ γινομένων ἐστὶ θεὸς, καὶ νῦν μοι ὡς ἡμῖν ποιητής. Πλάτων μὲν οὖν, καὶ Ζήνων ὁ στωϊκὸς περὶ τῆς οὐσίας τοῦ θεοῦ διεληλυθότες οὐ κόσμον παρὰ ταῦτα διενοήθησαν. ἀλλ' ὁ μὲν Πλάτων, θεὸν ἀσώματον. Ζήνων δὲ σῶμα. περὶ δὲ μορφῆς, μηδὲν εἰρηκότος. Ἐπίκουρος δὲ ἀνθρωπόμορφον γὰρ ὑπέλαβεν. οἱ στωϊκοὶ δὲ ἰδίαν μὲν ἰδέαν οὐκ ἔχειν διηνεκῶς, πνεῦμα δὲ πυρῶδες ὁμοιούμενον πᾶσι ῥᾳδίως, οἷς ἂν προσέρχηται. τόπον δὲ κρατεῖν ὡρισμένον. καὶ κινεῖσθαι μεταβατικῶς μὲν Ἐπίκουρος αὐτὸν εἰπεῖν ἐπεχείρησεν. οἱ δὲ στωϊκοὶ ἔμφυτον μὲν ἐπὶ πάντων διήκειν. ὁμοιούμενον δὲ ἑκάστῳ. κινούμενον καὶ μεταλλάττειν προνοεῖν τε τῶν ἀρχομένων κατ' ἀρετήν. οἱ στωϊκοὶ τὸν θεὸν δικαστικὸν εἰρήκασι. μηδενὸς δὲ τῶν ἁπάντων ἐπιμέλειαν ἔχειν. Ἐπίκουρος δὲ ἰσχυρίζεται λέγων τὸ μακάριον καὶ ἀδιάφθαρτον οὔτ' αὐτὸ πραγματείας ἔχειν. οὔθ' ἑτέροις παρέχειν. ἀγαθὸν δὲ πᾶσιν ἀνθρώποις τὸν θεὸν διατελεῖν. Πλάτων δ' ὑπείληφε καὶ πάντων συλλήβδην τῶν κατὰ τὸν βίον καθηγητικὸν. οὐκ ἄλλον νενόμικε. Τὸν κόσμον, οἱ μὲν, γεννητὸν εἶναι νομίσαντες, τὸν θεὸν ἔφασαν γεγονέναι τούτου δημιουργόν. ἄλλοι δὲ γεννητὸν εἶναι συγκεχωρηκότος οὐχ ὁμοίως περὶ τοῦ τέλους κεκρίκασιν. ἀλλὰ Πλάτων μὲν ἀνόλεθρον εἶναι νομίζει καὶ ἀθάνατον διὰ τὴν εὐτυχίαν τοῦ πεποιηκότος. στωϊκοὶ δὲ φθορᾶς ἐπιδεκτικὸν εἶναι. καὶ διὰ πυρὸς γίνεσθαι τούτου τὴν μεταβολὴν εἰς τὸ ἄπειρον χεομένου. καί τινα χρόνον τῆς ὕλης ἀναπαυομένης. καὶ τὴν ἐπὶ λῆξιν λαμβανούσης. αὖθις δὲ τῶν ὄντων ἀνανεουμένων ἐκ πυρὸς καὶ μεταβάλλων κατ' ἀρχάς· εἰς τὴν τῶν ἄλλων στοιχείων φύσιν καὶ πάλιν συγκρινόμενον καὶ σωματοποιούμενον ὑπὸ τοῦ θεοῦ καὶ τὰ πάντα ἐκ νέας κοσμοποιούμενον. οἱ μὲν ἄλλοι πάντες ὑπολαμβάνοντες εἶναι τὸν θεὸν ἁπάντων δημιουργὸν, αὐτῷ μόνῳ τὴν αἰτίαν τῶν γενομένων προσάπτειν ἐπικεχειρήκασι. Πλάτων δὲ καὶ τὰς ἰδέας εἰσηγαγεν. εἰς ὅσα μὲν ἀπεργάσασθαι δύναται. εἰσάγουσι δὲ καὶ τὴν ἄποιον ὕλην ὡς οὐκ ἄνισα τὰ καθ' ἕκαστα συντελεῖσθαι, δεδώκασιν. ἀλλὰ ταύτης τε ὑπ' αὐτῆς τὰ ἀποτελέσματα γίγνεσθαι. καὶ περὶ μὲν τῆς δραστικῆς διεξελθεῖν ἂν εἴη καιρός. οἱ Κυνικοὶ δὲ περὶ ταύτης εἰπόντες εἶναι μὲν ἀρχὴν ὑλικὴν ἅπαντες ὁμοίως δεδώκασιν. οὐ μὴν ἅπαντες εἶναι τὴν αὐτήν. ἀλλὰ Φερεκύδης μὲν ὁ Σύριος γῆν εἶναι ταῦτα νενόμισε. Θαλῆς δὲ ὕδωρ. Ἀναξίμανδρος δὲ αἰθέρα. Ἀναξιμένης δὲ καὶ Διογένης ὁ Ἀπολλωνιάτης, ἀέρα. πῦρ δὲ Ἱππασος ὁ Μεταποντῖνος. Ξενοφάνης δ' ὁ Κολοφώνιος, γῆν καὶ ὕδωρ. Ἵππων δὲ ὁ Ῥηγῖνος πῦρ καὶ ὕδωρ. Οἰνοπίδης δὲ ὁ Χῖος, πῦρ καὶ ἀέρα. Δημόκριτος δὲ ἐν τοῖς σοφιστικοῖς, γῆν καὶ πῦρ καὶ ὕδωρ. οἱ στωϊκοὶ δὲ τέσσαρα στοιχεῖα. γῆν καὶ πῦρ, καὶ ὕδωρ καὶ ἀέρα. Ἀριστοτέλης δὲ τούτοις προσέθηκε καὶ τὸ κυκλοφορικὸν σῶμα. Ἐμπεδοκλῆς δὲ τέτρασι στοιχείοις προσήγαγε, τῶν μὲν τεσσάρων στοιχείων ὑλικῶν ὄντων τῆς φιλίας ταῦτα συγκρινούσης, τοῦ δὲ νείκους διαλυοντος καὶ διακρίνοντος. Δημόκριτος δὲ καὶ Ἐπίκουρος τὰς ἀτόμους ἀρχὰς πάντα νομίζουσιν. Ἡρακλείδης δὲ ὁ Ποντικὸς καὶ Ἀσκληπιάδης ὁ Βιθυνὸς ἀνάρμους ὄγκους τὰς ἀρχὰς ὑποτιθέντες τῶν ὅλων. Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος τὰς ὁμοιομερείας. Διόδωρος δὲ ὁ Κρόνος ἐπικεκλημένος ἀμερῆ καὶ ἐλάχιστα σώματα. Πυθαγόρας δὲ τὸν ἀριθμὸν, μαθηματικοὶ δὲ τὰ πέρατα τῶν σωμάτων. Στράτων δὲ ὁ φυσικὸς προωνομασμένας τὰς ποιότητας. Ἀρχὴν δὲ καὶ αἰτίαν, τινὲς μὲν ᾠήθησαν μηδὲν ἀλλήλων διαφέρειν. τινὲς δὲ τὴν ἀρχὴν καθηγητικὴν πάντων εἶναι νομίζουσιν, οὐκ αἰτίαν οὖσαν τοῦ παντὸς ἀποτελέσματος, τοῦ δὲ ἐν ἑκάστῳ τρόπῳ εἶναι δοκοῦν τὸ αἴτιον ἡγήσατο καθεστάναι, δι' ὃ γίγνεται τὰ ἀποτελέσματα, αἰτίας δὲ ὑπέθεντο τέσσαρας. εἰ καταρκτικὸς ὁ πεποιηκὼς παραμεμένηκεν, καὶ τοῦ παρόντος τὸ ἀποτέλεσμα πάρεστι. καὶ πεπαυμένου παρήλλακται, καὶ αὐξομένου εἰς ἐπίδοσιν πρόεισι. καὶ μειουμένου ἡ ἐλάττω τὰ συναίτια. ὑπάρχειν ἔφασαν ὑπὸ τῆς ἰσῆς δύναμιν συμβάλλεσθαι πρὸς τὸ ἀποτέλεσμα. ὡς ἐπὶ τῶν ἀροτικῶν.

σιν ὀργάνων

συνεργεῖν δὲ δοκεῖ τὸ μικρὰν ῥοπὴν πρὸς τὸ ἀποτέλεσμα εἰσάγον ὡς ῥᾷον δοκεῖν ἀμφοτέροιν ὁ δύσκολος καὶ ῥᾷον οἰσόντων. ἡ τρίτη ἐπέγετο συνδιακουφίζων.

περὶ ἀποδεικτικῆς.

Ε παιδὴ δοκεῖ τῷ λογικῷ μέρει τῆς φιλοσοφίας προσήκειν ὁ περὶ τῶν ἀναποδείκτων λόγος, εὔλογόν ἐστι καὶ περὶ τούτου εἰπεῖν ἀναποδείκτους καλῶ συλλογισμοὺς τοὺς διὰ τὰς τὴν ἀπόδειξιν, ἢ οὐ δεομένους ἑτέρου μηνύματος. εἰσὶ δὲ οἵδε. οὐκ ἐκ συνημμένου τοῦ ἡγουμένου τὸ λογικὸν ὁ ἐπιφέρων οἷον, ἡμέρα ἐστι, φῶς ἐστι, δεύτερος δὲ ὁ ἐξ ἡγουμένου καὶ τοῦ ἀντικειμένου τοῦ λήγοντος, τὸν ἀντικείμενον τοῦ ἡγουμένου ἐπιφέρων οἷον ἡμέρα ἐστι, φῶς ἐστι. τρίτος δὲ ὁ ἐξ ἀποφαντικῆς συμπλοκῆς καὶ ἑνὸς τῶν ἐν τῇ συμπλοκῇ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἐπιφέρων. οὐχὶ καὶ ἡμέρα ἐστὶ καὶ νὺξ ἐστι. τέταρτος δὲ ἐκ διεζευγμένου καὶ ἑνὸς τῶν ἀντικειμένων τοῦ λοιποῦ ἐπιφέρων. εἰ τοίνυν ἡμέρα ἐστι, νὺξ οὐκ ἔστι. ἀλλὰ μὴν ἡμέρα οὐκ ἔστι, νὺξ ἄρα ἐστί. πέμπτος ὁ διεζευγμένος καὶ τοῦ ἀντικειμένου ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ τοῦ ἀντικειμένου τοῦ λοιποῦ ἐπιφέρων. οἷον ἡμέρα ἐστι, νὺξ ἐστιν. ἀλλὰ μὴν ἡ νὺξ οὐκ ἔστιν, ἡμέρα οὐκ ἔστιν.

περὶ ἡρώων καὶ δαιμόνων.

Θ αλῆς μὲν καὶ Πλάτων καὶ Πυθαγόρας, καὶ πρὸς τούτοις οἱ στωϊκοὶ γιγνώσκουσιν ὁμοίους εἶναι, καὶ τούτοις οὐσίαις φυσικαῖς. τοὺς δὲ ἥρωας, ψυχὴν κεχωρισμένην τῶν σωμάτων. τὰς μὲν ἀγαθὰς, τῶν τὸν βίον διαγόντων ἄριστα ἀνθρώπων. κακὰς δὲ τῶν πονηρῶν. Ἐπίκουρος δὲ οὐδὲ τούτους τούτων εἶναι συγκεχώρηκε.

περὶ χρόνου.

Τ ὸν χρόνον εἶναι Πυθαγόρας ὑπείληφε τὴν σφαῖραν τοῦ περιέχοντος. Πλάτων δὲ διάστημα τῆς τοῦ κόσμου κινήσεως. Ἐρατοσθένης δὲ τὴν τοῦ κόσμου πορείαν.

περὶ οὐσίας χρόνου.

Τοῦ δὲ χρόνου τὴν οὐσίαν οἱ στωϊκοὶ ἡλίου τὴν κίνησιν νομίζουσι. Πλάτων δέ, τὴν πορείαν ταύτην. καὶ τινὲς μὲν ἀγέννητον τὸν χρόνον εἶναι. πλάτων δὲ γεννητόν.

περὶ γενέσεως καὶ φθορᾶς.

Ο ἱ περὶ Μέλισσον καὶ Ζήνωνα τὸν ἐλεάτην καὶ Παρμενίδην, γένεσιν καὶ φθορὰν εἰρήκασιν, ἀκίνητον εἶναι τὸ πᾶν ὑπολαβόντες, Ἐμπεδοκλῆς δὲ καὶ Ἐπίκουρος, καὶ ὅσοι κατὰ συναθροισμὸν τῶν λεπτῶν σωμάτων κοσμοποιοῦσι, σύγκρισιν μὲν καὶ διάκρισιν εἰσάγουσι. γενέσεις δὲ καὶ διακρίσεις καὶ φθορὰς οὐκ οἰκείως, οὐ γὰρ κατὰ ποιὰν ἀλλοίωσιν, ἀλλὰ κατὰ πρόσθεσιν καὶ συναθροισμὸν γίνεσθαι τὰ πάντα νομίζουσι. Πυθαγόρας δέ, καὶ ὅσοι παθητὴν ὕλην ὑποτίθενται κυρίως, γένεσιν καὶ φθορὰν λέγουσι γίνεσθαι, καὶ ἀλλοιώσεις καὶ τροπὰς στοιχείων καὶ διαλύσεις.

περὶ ἀνάγκης.

Τὴν ἀνάγκην Θαλῆς ἰσχυροτάτην εἶναί φησι. κρατεῖν γὰρ αὐτὴν τοῦ παντός. Πυθαγόρας δὲ τῷ κόσμῳ τὴν ἀνάγκην περικεῖσθαι ὑπολαμβάνει. Παρμενίδης δὲ καὶ Δημόκριτος πάντα κατὰ ἀνάγκην συμβαίνειν εἰρήκασιν. εἶναι δὲ τὴν αὐτὴν εἱμαρμένην καὶ δίκην καὶ πρόνοιαν. Πλάτων δὲ τὰ μὲν εἰς πρόνοιαν. τὰ δὲ εἰς ἀνάγκην ἀνάγεσθαι.

Τίς οὐσία ἀνάγκης.

Τ ῶν ἀρχῶν καὶ τῶν στοιχείων αἰτίαν χρηστικὴν τὴν ἀνάγκην. Ἐμπεδοκλῆς δὲ ἡγεῖται. Δημόκριτος δὲ, τὴν ἀντιτυπίαν καὶ φορὰν καὶ πληγὴν τῆς ὕλης. Πλάτων δὲ ὅτε μὲν τὴν ὕλην, ὅτε δὲ τὴν τοῦ ποιοῦντος πρὸς αὐτὴν σχέσιν.

περὶ εἱμαρμένης.

Η ράκλειτος οὐσίαν εἱμαρμένης λόγον διὰ παντὸς διήκοντα. ἡ δὲ εἱμαρμένη ἐστὶν αἰθέριον σῶμα. σπέρμα τῆς τῶν πάντων γενέσεως, Πλάτων λόγον ἀΐδιον καὶ νόμον ἀΐδιον τῆς τοῦ παντὸς φύσεως. Χρύσιππος δύναμιν πνευματικὴν καὶ τάξιν τοῦ παντὸς διοικητικήν. καὶ πάλιν ἐν τοῖς ὅροις λέγει τὴν εἱμαρμένην, καθ᾽ ἣν τὰ μὲν γεγονότα γέγονε, τὰ δὲ γινόμενα, γίνεται, τὰ δὲ γενήσεται. οἱ δὲ ἄλλοι στωϊκοὶ εἱρμόν. Ποσειδώνιος δὲ τρίτην ἀπὸ διός. πρῶτον γὰρ εἶναι τὸν δία, εἶτα τὴν φύσιν, εἶτα τὴν εἱμαρμένην.

περὶ τύχης.

Π λάτων αἰτίαν ἐν προαιρετικοῖς κατὰ συμβεβηκὸς παρακολούθημα. Ἀναξαγόρας δὲ καὶ στωϊκοί, αἰτίαν ἄδηλον ἀνθρωπίνων λογισμῶν καὶ τὰ μὲν εἶναι κατὰ ἀνάγκην. τὰ δὲ κατὰ τύχην. τὰ κατὰ αὐτόματον.

περὶ κόσμου.

Π υθαγόρας πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχήν, κόσμον, ἐκ τῆς ἐν αὐτῷ τάξεως. Θαλῆς ἕνα τὸν κόσμον. Δημόκριτος καὶ Ἐπίκουρος καὶ ὁ τούτου καθηγητὴς Λεύκιππος, ἀπείρους κόσμους ἐν τῷ ἀπείρῳ κενῷ. Ἐμπεδοκλῆς δὲ τοῦ ἡλίου δρόμον εἶναι περιγραφὴν τοῦ πέρατος τοῦ κόσμου. οἱ στωϊκοὶ διαφέρειν τὸ πᾶν καὶ τὸ ὅλον. τὸ μὲν γὰρ ἅπαν εἶναι σὺν τῷ κενῷ ἀπείρῳ. ὅλον δὲ χωρὶς τοῦ κενοῦ εἶναι πολὺ καὶ κόσμους.

περὶ σχήματος.

Ο ἱ μὲν στωϊκοὶ τὸν κόσμον σφαιροειδῆ. ἄλλοι κωνοειδῆ. ἄλλοι κυκλοειδῆ ἐπίκουρος ἐνδέχεσθαι τούτου ἕκαστον.

Εἰ ἔμψυχος ὁ κόσμος.

Ο ἱ μὲν ἄλλοι πάντες ἔμψυχόν τε τὸν κόσμον καὶ προνοίᾳ διοικούμενον. Δημόκριτος δὲ καὶ Ἐπίκουρος καὶ ὅσοι εἰσάγουσιν, οὐδέτερον τούτου συγχωροῦσι, φύσει δὲ τὸ ἄτομον τινὶ ἀλόγῳ διοικεῖσθαι. Ἀριστοτέλης οὔτε ἔμψυχον εἶναι ὅλον δι᾽ ὅλου αἰσθητὸν οὔτε προνοίᾳ διοικούμενον, τὰ μὲν γὰρ οὐράνια, τούτου πάντα μετέχειν. σφαίρας γὰρ περιέχειν ἔμψυχον καὶ ζωτικόν. τὰ δὲ περὶ γῆν μηδενὸς τούτου μετειληφέναι. μήτε προηγουμένως, μήτε συμβεβηκός.

Εἰ ἄφθαρτος ὁ κόσμος.

Τ ὸν Πυθαγόραν τε καὶ Πλάτωνα ὑπὸ θεοῦ γεγονέναι τὸν κόσμον, καὶ πάντας τοὺς διαδεδεγμένους τούτους ὑπο-

λαμβάνειν εἰρήκασι. καὶ εἶναι μὲν ὅσον ἐπὶ τῇ φύσει φθαρτὸν, αἰσθητὸν ὑπάρχειν, οὐ μὴν φθαρησόμενον προνοίᾳ τοῦ πεποιηκότος. Ἐπίκουρος δὲ καὶ οἱ στωϊκοὶ, φθαρτὸν νομίζουσιν, ὅτι γεννητόν. Ἀριστοτέλης δὲ τὸ ὑπὸ τὴν σελήνην μέρος παθητὸν καὶ φθαρτὸν ἐν ᾧ τὰ περίγεια κηραίνεται.

Πόθεν τρέφεται ὁ κόσμος.

Ἀριστοτέλης εἰ τρέφεται, φθαρήσεσθαι νενόμικεν, οὐδέτερον δὲ τούτῳ περὶ κόσμου συμβεβηκέναι. Πλάτων ἐκ τοῦ φθίνοντος κατὰ μεταβολὴν τρέφεσθαι τοῦτόν φησι. Φιλόλαος ὁ Πυθαγόρειος διττὴν εἶναι τροφὴν ὑπέλαβεν. τὸ μὲν, ἐξ οὐρανοῦ πυρὸς ῥυέντος. τὸ δ' ἐξ ὕδατος σεληνιακοῦ, περὶ τοὺς ἀστέρας ὑπερχόμενον.

Ἀπὸ ποίου στοιχείου ἤρκται ὁ θεὸς κοσμοποιεῖν.

Οἱ φυσικοὶ ἀπὸ γῆς ἄρχεσθαι λέγουσιν αὐτὸν, καθάπερ ἀπὸ κέντρου. Πυθαγόρας δὲ ἀπὸ πυρός. Ἐμπεδοκλῆς τὸν μὲν αἰθέρα πρῶτον διακεκρίσθαι φησι. δεύτερον δὲ πῦρ. ἐφ' ᾧ γῆν ἐξ ἧς ἐκθλιβείσης εἶτα ὕδωρ. ἐξ οὗ ἀναθυμιαθῆναι τὸν ἀέρα. γενέσθαι δὲ τὸν μὲν οὐρανὸν ἐκ τοῦ † ἀέρος. τὸν δὲ † πλεῖστον ἐκ τοῦ πυρός. Πλάτων δὲ γεγονέναι τὸν κόσμον, ἣν γίγνεται πρὸς παράδειγμα τοῦ νοηματος. τοῦ δὲ ὁρατοῦ, πρότερον μὲν τὴν ψυχὴν. μετὰ δὲ τοῦ σώματος τὸ εἶδος γεγονέναι ἐκ τοῦ πυρὸς μὲν καὶ γῆς πρῶτον, ὕδατος δὲ καὶ ἀέρος δεύτερον. Πυθαγόρας σώματα τῶν στερεῶν ὄντων ἅπερ καλεῖ μαθηματικά. ἐκ μὲν γὰρ τοῦ κύβου γεγονέναι τὴν γῆν φησι. ἐκ δὲ τῆς πυραμίδος, τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα. ἐκ δὲ τοῦ εἰκοσαέδρου τὸ ὕδωρ. ἐκ δὲ τοῦ δωδεκαέδρου, τὴν τοῦ παντὸς σφαῖραν, Πλάτων δὲ συμφέρεται καὶ ἐν τούτῳ, περὶ Πυθαγόρα.

† al. αἰθέρος
† al. ἥλιον

Περὶ † ἕξεως.

† al. τάξεως

Παρμενίδης στεφάνους εἶναι πεπλεγμένους περὶ ἀλλήλους. τὴν μὲν ἐκ τοῦ ἀραιοῦ, τὴν δὲ ἐκ τοῦ πυκνοῦ. καὶ τὸ περιέχον δὲ τὸ πᾶν στοιχεῖον δίκην στεφάνου στερεὸν εἶναι πρῶτον πυρί. μεθ' ὃ αἰθέρα, εἶτ' ἀέρα, μεθ' ὃ ὕδωρ. Ἐμπεδοκλῆς δὲ μὴ διὰ παντὸς ἑστῶτα εἶναι, μὴ δὲ ὡρισμένους τόπους τῶν στοιχείων ὑπείληφεν, ἀλλὰ πάντα ἄλλων ἀντιλαμβάνειν.

Τίς αἰτία τοῦ τὸν κόσμον κλιθῆναι.

Διογένης καὶ Ἀναξαγόρας, μετὰ τὸ συστῆναι τὸν κόσμον καὶ τὰ ζῶα ἐκ τῆς γῆς συμφῦναι τὸν κόσμον ἐκ τοῦ αὐτομάτου εἰς τὸ μεσημβρινὸν κλιθῆναι πῶς ὑπὸ προνοίας, ἵνα τινὰ μὲν, ἀοίκητα γένηται, τινὰ δὲ οἰκητὰ κατὰ ψύξιν καὶ ἐκπύρωσιν. Ἐμπεδοκλῆς τοῦ πυρὸς εἴξαντος τῇ τοῦ † πλείστου ὁρμῇ ἀποκλῖναι τὰς ἄρκτους. καὶ τὰ μὲν βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι.

† al. ἥλιος

Περὶ τοῦ ἐκτός.

Ἐκτὸς εἶναι τοῦ κόσμου † εἶθ' ἀναπνεῖν τὸν κόσμον καὶ ἐξ οὗ. οἱ δὲ στωϊκοὶ † εἰς ὃ ἀναπνεῖν μόνον. Πλάτων δὲ μήτε ἐκτὸς εἶναι τοῦ κόσμου, μήτ' ἐντὸς κενόν. † ἐκτὸς δὲ μικρόν τι † εἶθ' ἀναπνεῖν.

† al. εἰς ὃ
al. εἰς ὃ

Τίνα δεξιὰ τοῦ κόσμου.

Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης δεξιὰ τοῦ κόσμου ἔφασαν εἶναι τὰ ἑῷα, ἀφ' ὧν ἀρχὴν εἶναι τῆς κινήσεως ἀριστερὰ δὲ, τὰ ἑσπέρια. Ἐμπεδοκλῆς δὲ δεξιὰ εἶναι τὰ κατὰ τῶν θερινῶν τροπικῶν. ἀριστερὰ δὲ τὰ κατὰ τῶν χειμερινῶν.

† al. Ἀριστοτέλ.
al. εἰς ὃ

Περὶ οὐρανοῦ.

Ἀναξιμένης τὴν περιφορὰν τὴν ἐξωτάτην γηΐνην εἶναι. Ἐμπεδοκλῆς δὲ στερέμνιον τὸν οὐρανὸν ὑπάρχειν οἴεται, ἐξ ἀέρος παγέντος ὑπὸ πυρὸς κρυσταλλοειδοῦς, τό, τε πυρῶδες ἑκάτερα τὰ ἡμισφαίρια περιέχον. Ἀριστοτέλης ἐκ πέμπτου σώματος πύρινον εἶναι τὸν οὐρανὸν ἐκ θερμοῦ καὶ ψυχροῦ συνεστῶτα.

Περὶ διαιρέσεως οὐρανοῦ.

Θαλῆς τὸν οὐρανὸν, μεμερίσθαι τὰς τοῦ παντὸς σφαίρας εἰς κυκλοειδεῖς πέντε προσαγορευομένας ζώνας. καλεῖσθαι δὲ αὐτῶν τὸν μὲν ἀρκτικὸν, καὶ ἐμφανῆ. τὸν δὲ τροπικὸν θερινόν. τὸν δὲ χειμερινὸν τροπικόν, τὸν δὲ ἰσημερινόν. τὸν δὲ ἀνταρκτικὸν ἀφανῆ. λοξὸν δὲ τοῖς τρισὶ μέσον τὸν καλούμενον ζωδιακὸν ὑποβεβλῆσθαι. Πυθαγόρας δὲ πρῶτος ἐπινενοηκέναι. † λέγεται τὴν λόξωσιν τοῦ ζωδιακοῦ κύκλου, ἣν Οἰνοπίδης ὁ Χῖος ὡς ἐπίνοιαν ἰδίαν σφετερίζεται.

† al. λέγεται δὲ τὸ λόξωσιν

Τίς ἐπίνοια οὐσίας τῶν πλανητῶν καὶ ἀπλανῶν.

Θαλῆς μὲν ὑπολαμβάνει γεώδη εἶναι τὰ ἄστρα, ἔμπυρα δέ. Ἐμπεδοκλῆς δὲ πύρινα μόνα. Ἀναξαγόρας δὲ τὸν περικείμενον αἰθέρα, ἀέρα πύρινον ὄντα. τῇ δὲ εὐτονίᾳ τῆς περιδινήσεως ἀναρπάσαντα πέτρους ἀπὸ τῆς γῆς καὶ καταφλέξαντα τούτους ἠστερικέναι. Διογένης δὲ κισσηροειδῆ τὰ ἄστρα λέγει. διάπνοιαν αὐτὰ νοεῖ τοῦ κόσμου. Πλάτων δὲ ἐκ μὲν τοῦ πλείστου μέρους, πυρίνους εἶναι ἀστέρας ὑπολαμβάνει, μετέχοντας δὲ τῶν ἄλλων στοιχείων † κόμης τρόπον. Ξενοφάνης δὲ ἐκ νεφῶν πυρωμένων συνεστάναι τοὺς ἀστέρας ἡγεῖται. σβεννυμένους δὲ καθ' ἑκάστην ἡμέραν, ἡγεῖται ἀναζωπυρεῖσθαι νύκτωρ, καθάπερ τοὺς ἄνθρακας. τὰς γὰρ ἀνατολὰς καὶ δύσεις ἐξάψεις εἶναι καὶ σβέσεις. Ἡρακλείδης δὲ καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν ἀστέρων κοινὸν εἶναι νομίζουσι, γῆν περιέχοντα καὶ αἰθέρα ἐν τῷ ἀπείρῳ ἀέρι. ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς ὀρφικοῖς φέρεσθαι λέγουσι κοσμοποιοῦσι τῶν ἀστέρων ἕκαστον. οὐδ' ἐν ἀπογιγνώσκει Ἐπίκουρος τούτων ἐχόμενος τοῦ ἐνδεχομένου. οἱ στωϊκοὶ σφαιρικοὺς τοὺς ἀστέρας καθάπερ τὸν κόσμον οἴονται καὶ ἥλιον καὶ σελήνην. Κλεάνθης κωνοειδεῖς, Ἀναξιμένης ἥλων δίκην καταπεπηγέναι περὶ κρυσταλλοειδεῖ. ἔνιοι πέταλον πύρινον νομίζουσιν εἶναι ὥσπερ ζωγραφήματα τοὺς ἀστέρας.

† al. κόλλης

Περὶ τάξεως.

† al. μετὰ τὴν ἀπλανεῖς λέγει πρῶτον φαίνοντα

Ξενοφάνης κατ' ἐπιφάνειαν οἴεται κινεῖσθαι τοὺς ἀστέρας. Δημόκριτος τὰ μὲν ἀφανῆ πρῶτα. μετὰ δὲ ταῦτα τοὺς πλανήτας, ἐφ' οἷς ἥλιος καὶ σελήνη. Πλάτων † τοὺς ἀφανεῖς λέγων φαίνεσθαι τοῦ Κρόνου. δεύτερον φαέθοντα τοῦ Διός. τρίτον πυρόεντα τὸν τοῦ Ἄρεως. τέταρτον φωσφόρον τὸν τῆς Ἀφροδίτης. πέμπτον στίλβοντα τὸν τοῦ Ἑρμοῦ. ἕκτον ἡλίου. ἕβδομον σελήνης. τῶν μαθηματικῶν τινες μὲν ὡς Πλάτων. τινὲς δὲ μέσον πάντων τὸν ἥλιον. † μετὰ δ' αὐτὸν τὴν σελήνην.

† al. deest aliquātū ex Plu.

περὶ τῆς τῶν ἀστέρων κινήσεως.

Ἀναξαγόρας καὶ Δημόκριτος καὶ Κλεάνθης ἀπὸ ἀνατολῆς εἰς δυσμὰς φέρεσθαι τοὺς ἀστέρας νομίζουσιν. Ἀλκμαίων καὶ οἱ μαθηματικοὶ τοὺς ἀστέρας τοὺς πλανήτας ἀπὸ δυσμῶν εἰς ἀνατολὴν ἀνταναφέρεσθαι τὸν ἥλιον πρῶτον, καὶ οἱ μαθηματικοὶ ἰσοδρόμον εἶναι τὸν ἥλιον, τὸν φωσφόρον, τὸν στίλβοντα.

Πόθεν φωτίζονται οἱ ἀστέρες.

Μητρόδωρος ἅπαντας τοὺς ἀστέρας τοὺς ἀφανεῖς ὑπὸ τοῦ ἡλίου προσλάμπεσθαι.

περὶ διοσκούρων.

Ξενοφάνης τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας, νεφέλην εἶναι κατὰ τὴν ποιὰν κίνησιν περιλάμπουσαν. Μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους στιλβηδόνα εἶναι.

περὶ ἐπισημασίας.

Πλάτων τὰς ἐπισημασίας τὰς χειμερινὰς καὶ τὰς θερινὰς κατὰ τὰς τῶν ἀστέρων ἐπιτολὰς γίνεσθαι.

περὶ ἡλίου.

Ἀναξίμανδρος τὸν κύκλον αὐτοῦ εἶναι ὀκτὼ καὶ εἰκοσαπλάσιον τῆς γῆς ἁρματείῳ τροχῷ τὴν ἁψῖδα παραπλησίως ἔχοντα κοίλην καὶ πλήρη πυρὸς κατὰ μέρος διὰ στόμου τὸ πῦρ ὡς δι' αὐλοῦ πρὸς ἡμᾶς ἐκπέμπεσθαι. οἱ στωϊκοὶ † νάμα νοερὸν ἐκ θαλάσσης. Πλάτων ἐκ πλείστου πυρός. Ἀναξαγόρας καὶ Δημόκριτος καὶ Μητρόδωρος πέτρον ἢ μύδρον διάπυρον. Φιλόλαος ὁ Πυθαγόρειος ὑαλοειδῆ δεχόμενον τοῦ ἐν κόσμῳ πυρὸς τὴν † αὐγὴν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τὸ φῶς. ὥστε τρεῖς εἶναι ἐν τῷ ἡλίῳ διαφοράς. τὸ ἐν τῷ οὐρανῷ πυρῶδες τὸ ἀπὸ τοῦ πυροειδοῦς. τρίτον ἀπὸ τοῦ τὴν ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς. Ἐμπεδοκλῆς δύο ἡλίους τὸν μὲν * ἀρχέτυπον ἡμισφαίριον. τὸν δὲ φαινόμενον ἐν ταὐτῷ ἐν τῷ ἑτέρῳ ἡμισφαιρίῳ. Ἐπίκουρος γῆς ἴδιον. κύκλῳ μὲν κισσηροειδῆ καὶ σπογγοειδῆ ταῖς κατατρήσεσιν ἐνημμένον. Ἡράκλειτος ἄναμμα ἐν μὲν ταῖς ἀνατολαῖς τὴν ἔξαψιν ἔχοντα. τὴν δὲ σβέσιν ἐν ταῖς δυσμαῖς.

† ἄλ. ἀνάμμα
† ἄλ. ἀνταύγειαν.

περὶ μεγέθους ἡλίου.

Ἀναξίμανδρος τὸν μὲν ἥλιον ἴσον εἶναι τῇ γῇ. τὸν δὲ κύκλον ἀφ' οὗ τὴν ἐκπνοὴν ἔχει ἑπτάκις καὶ εἰκοσαπλασίως τῆς γῆς. Ἀναξαγόρας πολυπλάσιον τῆς γῆς. Ἐπίκουρος τοιοῦτος οἷος φαίνεται, ἢ μικρῷ μείζων, ἢ ἐλάττων.

περὶ σχήματος ἡλίου.

Ἀναξιμένης πλατὺν εἶναι τὸν ἥλιον οἴεται ὥσπερ οἷον πέταλον, καὶ τὰ ἄστρα. Ἐπίκουρος δέχεσθαι τὰ προειρημένα πάντα.

περὶ τροπῶν ἡλίου.

Ἀναξιμένης ὑπὸ πεπυκνωμένου ἀέρος καὶ ἀντιτύπου ἐξωθεῖσθαι τὰ ἄστρα. Ἀναξαγόρας ἀπὸ τοῦ πρὸς ταῖς ἄρκτοις ἀέρος τῆς πυκνώσεως ἰσχυρότερον ποιεῖν. Ἐμπεδοκλῆς ὑπὸ τῆς περιεχούσης αὐτὰ σφαίρας κωλυόμενον μέχρι παντὰ εὐθυπορεῖν. καὶ ὑπὸ τὸν τροπικὸν κύκλον εἰργόμενον. Διογένης ὑπὸ τοῦ ἀντιπίπτοντος τῇ θερμότητι ψυχροῦ σβέννυσθαι. οἱ στωϊκοὶ κατὰ τὸ διάστημα τῆς ὑποκειμένης τροφῆς διιέναι τὸν ἥλιον. ὠκεανὸν δὲ καὶ τὴν θάλασσαν παρέχειν τῷ ἡλίῳ τροφὴν τὴν αὐτοῦ ὑγρότητα ἔχουσαν ἐν αὐτῷ καὶ τὴν γεώδη ἀναθυμίασιν.

περὶ ἐκλείψεως ἡλίου.

Θαλῆς πρῶτον εἶπεν ἐκλείπειν τὸν ἥλιον τῆς σελήνης αὐτὸν ὑπερχομένης κατὰ κάθετον οὔσης φύσει γεώδους. Ἀναξίμανδρος τοῦ στόματος τῆς τοῦ πυρὸς διεκπνοῆς ἀποκλινομένου. Ξενοφάνης κατὰ σβέσιν τὴν ἔκλειψιν γίνεσθαι, ἕτερον δὲ πάλιν πρὸς ταῖς ἀνατολαῖς ἐξάπτεσθαι. παρεισήγαγε δὲ καὶ ἔκλειψιν ἐντελῆ, ὥστε τὴν ἡμέραν ἀφανῆ εἶναι. Ἀρίσταρχος κατὰ τῆς γῆς σκιάζεσθαι τὸν δίσκον τοῦ ἡλίου.

περὶ σελήνης.

Ἀναξίμανδρος, κύκλον εἶναι ἑκκαιδεκαπλασίονα τῆς γῆς. Ξενοφάνης δὲ εἶναι νέφος πεπυρωμένον οἱ στωϊκοὶ μικτὴν εἶναι τὴν σελήνην ἐκ πυρὸς καὶ γεώδους ὑπέθεσαν. Πλάτων ἐκ πλείονος πυρός. Ἀναξαγόρας καὶ Δημόκριτος στερέωμα διάπυρον, ἔχον ἐν ἑαυτῷ πεδία, καὶ ὄρη καὶ φάραγγας. οἱ στωϊκοὶ μείζονα τῆς γῆς νομίζουσι τὴν σελήνην, ὡς καὶ τὸν ἥλιον. Παρμενίδης ἴσην τῷ ἡλίῳ καὶ ἐξ αὐτοῦ φωτίζεσθαι.

περὶ σχήματος.

Οἱ στωϊκοὶ τὴν σελήνην σφαιροειδῆ ὡς καὶ τὸν ἥλιον νομίζουσιν. Ἡράκλειτος δὲ σφαιροειδῆ. Ἐμπεδοκλῆς δὲ δισκοειδῆ. ἄλλοι δὲ κυλινδροειδῆ. σχηματίζεται δὲ ἡ σελήνη ἑπταχῶς. ὅτε γὰρ τίκτεται, δοκεῖ φαίνεσθαι μηνοειδής. διχότομος. εἶτ' ἀμφίκυρτος. εἶτα πανσέληνος. εἶτα πάλιν ἐπαναχωροῦσα αὖθις γίνεται ἀμφίκυρτος. εἶτα διχότομος. καὶ τὸ ὕστερον μηνοειδής. εἶτ' ἀφανὴς κατὰ τὴν καινήν. πλεῖστος γίνεται περὶ αὐτῆς λόγος. λέγεται τοῦτον σχηματίζεσθαι τὸν τρόπον σκιαζούσης ἑκάστοτε τῆς γῆς, πρῶτον μὲν κατὰ τὸ μόριον ἑαυτοῦ. ποτὲ δὲ κατὰ τὸ παντελὲς ὑπορρεούσης τῆς σελήνης εἰς τὸ κοῖλον τῆς γῆς.

περὶ φωτισμοῦ σελήνης.

Ἀναξίμανδρος ἴδιον ἔχειν αὐτὴν φῶς εἴρηκεν. ἀραιότερον δὲ πως. Θαλῆς δὲ ἀπὸ τοῦ ἡλίου φωτίζεσθαι τὴν σελήνην.

περὶ ἐκλείψεως.

Ἀναξίμανδρος μὲν ὑπέλαβε τοῦ στομίου περὶ τὸν τροχὸν ἐμφραττομένου, καὶ τὴν σελήνην ἐκλείπειν. τῶν Πυθαγορείων δέ τινες κατὰ ἀπαύγειαν καὶ ἀντίφραξιν τῆς τε γῆς καὶ ἀντίχθονος. Πλάτων δὲ καὶ Ἀριστοτέλης καὶ οἱ στωϊκοί, ἔτι δὲ καὶ οἱ μαθηματικοὶ τὰς μὲν μηνιαίους συνοδεύουσαν τῷ ἡλίῳ καὶ περιλαμπομένην ποιεῖσθαι. τὰς δὲ ἐκλείψεις σκιαζομένην ὑπὸ τὴν γῆν.

Διὰ τί γεώδης φαίνεται ἡ σελήνη.

Οἱ Πυθαγόρειοι γεώδη φαίνεσθαι τὴν σελήνην οἴονται, διὰ τὸ περιοικεῖσθαι ταύτην ὑπὸ μειζόνων ζώων καὶ

φυτῶν καὶ καλλιόνων. εἶναι γὰρ πεντεκαιδεκαπλάσια τὰ ἐφ' αὐτῷ ζῶα τῇ δυνάμει μηδὲν περιττώματος κοινὸν ἀποκρίνοντα. καὶ τὴν ἡμέραν τοσαύτην εἶναι τῷ μήκει. Ἀναξαγόρας ἀνωμαλότητα τοῦ συγκρίματος, διὰ τὸ ψυχρομιγὲς ἅμα καὶ γεῶδες. περιμεμίχθαι δὲ τῷ πυρώδει τὸ ζοφῶδες.

περὶ τῶν διαστημάτων τῆς σελήνης.

Ἐμπεδοκλῆς διπλάσιον ἀπέχειν τὴν σελήνην ἀπὸ τοῦ ἡλίου ἤπερ ἀπὸ τῆς γῆς. οἱ μαθηματικοὶ ὀκτωκαιδεκαπλάσιον. Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν τῆς γῆς σταδίων μυριάδας, τρεῖς καὶ ὀκτάκις μυριάδας. τὴν δὲ σελήνην τῆς γῆς ἀπέχειν σταδίων μυριάδων ἑβδομηκονταοκτώ.

περὶ ἐνιαυτοῦ.

Ἐνιαυτὸς μὲν ἐστὶ κρόνου ἐτῶν τριάκοντα. διὸς δώδεκα. ἄρεως † δεκαπέντε μηνῶν. σελήνης ἡμέραι λ. τοῦτο γὰρ τέλειος. τὸν δὲ μέγαν ἐνιαυτόν. οἱ μὲν ὀκταετηρίδι τίθενται. οἱ δὲ ἐννεακαίδεκα. ἕτεροι δὲ, ἐν τοῖς ἑξήκοντα. καὶ τῶν κέντρων καὶ τῆς σφαίρας τὴν γῆν νομίζουσι.

† al. δυεῖν. διὸς δὲ ιβ'.

περὶ γαλαξίου.

Ὁ γαλαξίας κύκλος ἐστὶ νεφελοειδὴς, ἐν μὲν τῷ ἀέρι διὰ παντὸς φαινόμενος, διὰ τὴν λευκόχροιαν ὀνομαζόμενος γαλαξίας. καὶ τῶν πυθαγορείων τινὲς ἀστέρος εἶναι διάκαυσιν ἐκπεσόντος ἐκ τῆς ἰδίας ἕδρας δι' οὗ περιέδραμε χωρίου γλαφυρώτερον αὐτῶν περικαύσαντα ἐπὶ τοῦ κατὰ φαέθοντα ἐμπρησμοῦ διὰ τῆς ἐκείνου παρόδου. οἱ δὲ ἡλιακὴν ταῦτά φασι κατ' ἀρχὰς γεγονέναι δίοδον. τινὲς δὲ τοῦτο μικρὰν εἶναι φαντασίαν τοῦ πλείονος οὐρανίου πυρὸς πρὸς τὸν οὐρανὸν τὰς αὐγὰς ἀνακλῶντα. ὥσπερ ἐπὶ τῶν τῆς ἴριδος νεφῶν συμβαίνειν εἴωθεν. Μητρόδωρος διὰ τὴν πάροδον τοῦ ἡλίου καὶ τὸ τῆς δρόσου μίγμα γαλακτοειδὲς ἀποτελεῖ χρῶμα. Ἀναξαγόρας τὴν σκιὰν τῆς γῆς, κατὰ δὲ τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ ὅταν τὰ ὑπὸ τὴν γῆν ὁ ἥλιος μὴ πάντη περιφωτίζῃ. Δημόκριτος περὶ πολλῶν μικρῶν καὶ συνεχῶν ἑτέρων συμφωτιζομένων εἶναι. Ἀριστοτέλης ὡς περὶ κόμην πυρὸς ὑπὸ τὸν ἀέρα καὶ τρόπον πλανήτων φαίνεσθαι. οἱ στωϊκοὶ τοῦ αἰθερίου πυρὸς ἀραιότητα ἀνώτερον τῶν πλανήτων. Ποσειδώνιος πυρὸς στάσιν.

περὶ κομητῶν καὶ διαττόντων ἀστέρων.

Τῶν Πυθαγορείων τινὲς μὲν ἀστέρα φασὶν εἶναι τῶν κομήτων τῶν οὐκ ἀεὶ μενόντων, διά τινος δὲ ὡρισμένου χρόνου περιοδικῶς ἀνατέλλειν. ἄλλοι δὲ ἀνάκλασιν τῆς ἡμετέρας ὄψεως πρὸς τὸν ἥλιον παραπλησίαν ταῖς κατοπτρικαῖς ἐμφάσεσιν. Ἀναξαγόρας καὶ Δημόκριτος σύνοδος ἀστέρων δυοῖν ἢ καὶ πλειόνων κατὰ συναυγασμόν. Ἀριστοτέλης δὲ τῆς ξηρᾶς ἐκ τῆς γῆς ἀναθυμιάσεως διὰ τὴν ἔμπυρον ἐπίτασιν. Στράτων ἄστρου φῶς περιληφθὲν ψυχῇ τινι. Διογένης σημεῖον ἐπὶ τοῦ σημείων ἀσφαλῶν τινὸς εἶναι τοὺς κομήτας. Ἀναξαγόρας τοὺς καλουμένους ἅπτοντας ἀπὸ τοῦ αἰθερίου πυρὸς σπινθῆρος δίκην καταφέρεσθαι καὶ παραυτίκα σβέννυσθαι. Μητρόδωρος τὴν εἰς τὰ νέφη τοῦ ἡλίου ἔμπρησιν ὡς βέλος πολλάκις σπινθηρίζει. Ξενοφάνης τὰ τοιαῦτα νεφῶν πεπυρωμένων σύστημα ἢ κίνημα εἶναι.

περὶ βροντῶν καὶ ἀστραπῶν.

Ἀναξίμανδρος ἐκ τοῦ πνεύματος ὑπιόντος ὅταν περιληφθὲν νέφει παχεῖ βιαζόμενον ἐμπέσῃ τῇ λεπτομερείᾳ καὶ κουφότητι, τότε ἡ μὲν ῥῆξις τὸν ψόφον ἀποτελεῖ, ἡ δὲ διαστολὴ μελανίαν τοῦ νέφους. Μητρόδωρος ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπέσῃ πνεῦμα, τῇ μὲν θραύσει τὸν κτύπον ποιεῖ, τῇ δὲ πληγῇ καὶ τῷ σχισμῷ διαυγάζει, τῇ δὲ ὀξύτητι τῆς φορᾶς προσλαμβάνον τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα κεραυνοβολεῖ. τοῦ δὲ κεραυνοῦ τὴν ἀσθένειαν εἰς πρηστῆρα περιΐστησι. Ἀναξαγόρας δὲ ὅταν τὸ θερμὸν ἢ ψυχρὸν ἐμπέσῃ, τοῦτο δὲ ἐστὶν αἰθέριον μέρος ἀερῶδες τῷ μὲν ζόφῳ μελανίαν ἀποτελεῖ. τῷ δὲ χρώματι τοῦ νεφώδους, τὴν ἀστραπήν. τῷ δὲ πλήθει τοῦ φωτὸς τὸν κεραυνόν. τῷ δὲ πολυσωματωτέρῳ πυρὶ τὸν τυφῶνα. τῷ δὲ νεφώδει τὸν πρηστῆρα. βροντὴ μὲν κρουσμὸν νεφῶν. τὴν δὲ ἀστραπὴν ἔξαψιν. πρηστῆρα τὸ νωχελέστερον. Ἀριστοτέλης δὲ ἐξ ἀναθυμιάσεως πάντα τὰ τοιαῦτα φησὶ συμβαίνειν. ὅταν οὖν ἐντύχῃ τῇ ὑγρᾷ παραβιάζεσθαι τὴν ἔξοδον, καὶ τῇ μὲν παρατρίψει καὶ τῇ ῥήξει τὸν ψόφον τῆς βροντῆς γίνεσθαι. τῇ δὲ ἐξάψει τῆς ξηρότητος, τὴν ἀστραπήν. πρηστῆρα δὲ καὶ τυφῶνα πλεονασμὸν τῆς ὕλης ἣν ἑκάτερος αὐτῶν ἐφέλκεται. θερμότερος μὲν ὁ πρηστήρ. παχύτερος δὲ ὁ τυφών.

περὶ νεφελῶν καὶ χιόνος.

Ἀναξιμένης ἔφη συμβαίνειν παχυνθέντος ἐπὶ πλεῖστον τοῦ ἀέρος, μᾶλλον δὲ ἐπισυναχθέντος ἐκθλίβεσθαι καὶ τοὺς ὄμβρους γίγνεσθαι. χιόνα δ' ἐπειδὰν τὸ καταφερόμενον ὕδωρ παγῇ ὑπὸ ψύξεως. χάλαζαν δὲ ὅταν περισυλληφθῇ τῷ ὑγρῷ πνεύματι. καὶ Μητρόδωρος ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς συνίστασθαι τὰ νέφη. Ἐπίκουρος ἀπὸ τῶν ἀτόμων στρογγύλεσθαι τὴν χάλαζαν, καὶ τὸν ὑετὸν γίγνεσθαι ἀπὸ τῆς μακροτέρας φορᾶς διὰ τοῦ ἀέρος συμβαινούσης ἀποπληττομένην.

περὶ ἴριδος.

Τῶν μεταρσίων παθῶν τὰ μὲν καθ' ὑπόστασιν γίγνεται, οἷον ὄμβρος, χάλαζα. τὰ δὲ κατ' ἔμφασιν, οὐκ ἔχοντα σύστασιν ἰδίαν. ὥσπερ ὅταν καμπύλας γραμμὰς ὁρῶμεν*. τὰ δὲ κατὰ τῶν λίθων τῶν δι' αὐγῆς καὶ κεράτων. λεπτομερῆ γὰρ ταῦτα πάντα, καὶ καμπύλας δὲ τὰς γραμμὰς ὥσπερ τὰ καθ' ὕδατος ὁρᾶται. κάμπτεται γὰρ πρὸς τὴν πυκνοτέραν τοῦ ὕδατος ὕλην ἡ ὄψις. διὸ τὴν κώπην ἐν τῇ θαλάττῃ ὁρῶμεν κεκλασμένην. τρίτος δὲ τρόπος τοῦ βλέπειν τὰ ἀνακλώμενα, ὥσπερ τὰ κάτοπτρα. ἔστιν οὖν τῆς ἴριδος εἶδος τοιοῦτον. δεῖ γὰρ ἐπινοῆσαι τὴν ἀναθυμίασιν τὴν ὑγρὰν εἰς νέφος μεταβάλλουσαν εἶτα ἐκ τούτου κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας δροσιζούσας μετιοῦσαν, ὅταν ἥλιος γένηται ἐν δυσμῇ. ἀνάγκη γὰρ πᾶσαν ἶριν ἀντικρὺς τοῦ ἡλίου γίγνεσθαι, ὅτε ἡ ὄψις προσπεσοῦσα ταῖς ῥανίσιν ἀνακλᾶται, ὥστε συμβαίνειν τὴν ἶριν. εἰσὶ δὲ αἱ ῥανίδες οὐ σχήματος μορφαὶ, ἀλλὰ χρώματα φαίνεται. τὸ μὲν γὰρ πρῶτον ἔχει φοινικοῦν, τὸ δὲ δεύτερον ἁλουργὲς καὶ πορφυρίζον. τὸ δὲ

τρίτον

τρίτον κυανοῦν, καὶ πράσιον. μή ποτε τὸ μὲν φοινικοῦν, ὅταν ἡ λαμπρότης τοῦ πυρὸς περιαυγάζῃ, ἀνακλᾷ τὸ χρῶμα, τὸ δὲ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκλυόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας ἁλουργὲς δοκεῖ. ἔτι δὲ μᾶλλον ἐπιθολούμενον τὸ πρασίζον μεταβάλλεται. ἔστι γὰρ ταῦτα δοκιμάσαι διὰ ἔργων. εἰ γάρ τις εἰς τὸ ἄντικρυς τοῦ ἡλίου λάβῃ ὕδωρ καὶ πτύσῃ, αἱ δὲ ῥανίδες ἀνάκλασιν λάβοιεν πρὸς τὸν ἥλιον, εὑρήσειεν γιγνομένην ἶριν. καὶ οἱ ὀφθαλμιῶντες δὲ ταῦτα πάσχουσιν, ὡς ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν. Ἀναξιμένης δὲ ἶριν γίνεσθαι νομίζει κατὰ ἀνταυγασμὸν ἡλίου πρὸς νέφη πυκνῷ καὶ παχεῖ καὶ μέλανι παρὰ τὸ μὴ δύνασθαι τὰς ἀκτῖνας εἰς τὸ πέρας διακόπτειν ἐπισυνισταμένας ἐκεῖ. Μητρόδωρος δὲ ὅταν διὰ νεφῶν ὁ ἥλιος διαλάμψῃ, τὸ μὲν νέφος κυανίζει, τὴν δὲ αὐγὴν ἐρυθραίνεσθαί φησι.

Περὶ ἀνέμων.

Ἀναξίμανδρον οἴεται ἄνεμον εἶναι λύσιν ἀέρος τῶν λεπτοτάτων ἐν αὐτῷ καὶ ὑγροτάτων ὑπὸ τοῦ ἡλίου † τικτομένων ἢ κινουμένων. Στωϊκοὶ δὲ πνεῦμα ἀέρος εἶναι λέγουσιν. ἡγοῦνται τε τὸν τρόπον παραλλαγὰς τὰς ἐπωνυμίας παραλλάττειν. οἷον ἀπὸ ζόφου καὶ τῆς δύσεως, ζέφυρον ὠνόμαζον. τὸν ἀπὸ τῆς ἀνατολῆς καὶ τοῦ ἡλίου ἀπηλιώτην. τὸν ἀπὸ ἄρκτων Βορέαν. τὸν ἀπὸ τῆς μεσημβρίας, νότον. Μητρόδωρος δὲ ὑδάτων ἀναθυμίασιν διὰ τὴν ἡλιακὴν ἔκλυσιν γίγνεσθαι ὁρμὴν πνευμάτων. τοὺς δὲ ἐτησίας πνεῖν τοὺς πρὸς ταῖς ἄρκτοις παχυνθέντος τοῦ ἡλίου κατὰ τὴν θερινὴν τροπήν.

† αλ. τηκομένου

Περὶ χειμῶνος καὶ θέρους.

Ἐμπεδοκλῆς καὶ οἱ στωϊκοὶ χειμῶνα μὲν γίνεσθαι τοῦ ἀέρος ἐπικρατοῦντος τῇ πυκνώσει, καὶ εἰς τὸ ἀνώτερον βιαζομένου. θέρους δὲ τοῦ πυρός, ὅταν εἰς τὸ κάτω βιάζεται.

Περὶ γῆς.

Θαλῆς καὶ οἱ περὶ αὐτοῦ μίαν εἶναι τὴν γῆν ὑπολαμβάνουσιν. τῶν δὲ Πυθαγορείων τινὲς καὶ ταύτην εἶναι καὶ τὴν ἀντίχθονά φασιν. οἱ στωϊκοὶ δὲ γῆν εἶναι μίαν πεπερασμένην. Μητρόδωρος δὲ τὴν γῆν ὑπόστασιν εἶναι καὶ οἱονεὶ τρύγα τοῦ ὕδατος νομίζει, ὡς τὸν ἥλιον τοῦ πυρός.

Περὶ σχημάτων γῆς.

Θαλῆς καὶ οἱ ἀπ' αὐτοῦ, σφαιροειδῆ τὴν γῆν νομίζουσιν. Ἀναξίμανδρος δὲ λίθῳ κίονι τῇ περιφερείᾳ ἐκ τῶν ἐπιπέδων. Ἀναξιμένης τραπεζοειδῆ. Λεύκιππος τυμπανοειδῆ κατὰ πλάτει, κοίλην δὲ κατὰ μεγέθει.

Περὶ θέσεως

Οἱ ἀπὸ Θαλοῦ μέσην τὴν γῆν οἴονται εἶναι. Ξενοφάνης πρῶτος τὴν γῆν εἰς ἄπειρον ἐρρίζῶσθαι. Φιλόλαος ὁ Πυθαγόρειος, τὸ μὲν πῦρ μέσον. τοῦτο γὰρ εἶναι τοῦ παντὸς αἴτιον. ἑτέραν δὲ τὴν ἀντίχθονα. τρίτην δὲ τὴν οἰκουμένην, ἐξ ἐναντίας κειμένην καὶ περιφερομένην τῇ ἀντίχθονι. Παρμενίδης ὁ πρῶτος ὁρίσας τοὺς οἰκουμένους τόπους ὑπὸ τὰς δύο ζώνας τροπικὰς εἶναι τὴν γῆν.

Περὶ κινήσεως γῆς.

Οἱ μὲν ἄλλοι μένειν τὴν γῆν ὑπολαμβάνουσι. Φιλόλαος δὲ ὁ Πυθαγόρειος κύκλῳ περιφέρεσθαι. Ἡρακλείδης δὲ ὁ Ποντικὸς κινεῖ τὴν γῆν ὡρισμένην ἀπὸ δυσμὰς ἐπ' ἀνατολὴν περὶ τὸ ἴδιον αὐτῆς † κίνημα.

† αλ. κέντρον

Περὶ διαιρέσεως γῆς.

Τῶν Πυθαγορείων τινὲς τὴν γῆν ἀναλόγως διῃρῆσθαι τοῦ παντὸς σφαίρας εἰς πέντε ζώνας. ἀρκτικὴν, ἀνταρκτικὴν, θερινὴν, χειμερινὴν, ἰσημερινήν. ὧν ἡ μέση τὸ μέσον τῆς ὁρίζεται διακεκαυμένης. ἡ δὲ οἰκητή ἐστιν μέση, τῆς θερινῆς καὶ τῆς χειμερινῆς εὔκρατος οὖσα.

Περὶ σεισμοῦ γῆς.

Θαλῆς καὶ Δημόκριτος ὕδατι τὴν αἰτίαν τῶν σεισμῶν προσάπτουσιν. οἱ στωϊκοὶ, σεισμὸν εἶναι λέγουσι τὸ ἐκ τῆς γῆς ὑγρὸν εἰς ἀέρα διακρινόμενον καὶ ἐκπίπτον. Ἀριστοτέλης δὲ διὰ τὴν τοῦ ψυχροῦ πανταχόθεν ἀντιπερίστασιν κάτωθεν καὶ ἄνωθεν αὐτοῦ περιστάντος. τὸ γὰρ θερμὸν ἀνωτέρω γενέσθαι σπεύδει, ἅτε δὲ κοῦφον, καὶ διὰ τοῦτο ἐν ἀπολείψει γινόμενον τῆς ὑγρᾶς ἀναθυμιάσεως τῇ ἀντιπεριστάσει καὶ τοῖς ἀντιλογισμοῖς, τὸν σεισμὸν ποιεῖ. Πλάτων ἀκίνητον μὲν εἶναι τὴν γῆν ὑποτίθεται, κατὰ δέ τινας τόπους αὐτῆς τοὺς σεισμοὺς συμβαίνειν τοῦ πνεύματος ἀναποκλεισθέντος.

Περὶ θαλάττης διὰ τί ἁλμυρά ἐστιν.

Ἀναξίμανδρος εἶναί φησι τὴν θάλασσαν τῆς πρώτης ὑγρασίας τὸ λείψανον. ἧς τὸ μὲν πλεῖστον ἀνεξηραμένον γλυγλυκύ. τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἔκκαυσιν μετέβαλλε. Ἐμπεδοκλῆς ἱδρῶτα γῆς καιομένης ὑπὸ τοῦ ἡλίου. οἱ ἀπὸ Πλάτωνος τοῦ στοιχειώδους ὕδατος, τὸ μὲν ἐξ ἀέρος κατὰ περίψυξιν ὑποσυνιστάμενον γλυκὺ γίγνεσθαι. τὸ δὲ κατὰ περίθραυσιν καὶ ἔμπυρον ἀναθυμίασιν, ἁλμυρὸν εἶναι.

Πῶς ἀμπώτιδες γίνονται καὶ πλημμυρίαι.

Ἀριστοτέλης ὑπὸ τοῦ ἡλίου τὰ πλεῖστα τῶν πνευμάτων κινεῖσθαι καὶ περιφέρεσθαι ὧν ἐμβαλόντων ἐνοιδεῖν τὴν ἀτλαντικὴν θάλασσαν καὶ κατασκευάζειν τὰς πλημμυρίας. ληγόντων δὲ αὐτῇ περιεσπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν. † Εὐθυμένης ὁ Μασσαλιώτης, τῇ πληρώσει τῆς σελήνης τὰς πλημμυρίας, τῇ δὲ ἐκλείψει τὰς ἀμπώτιδας. Τίμαιος τοὺς ἐμβάλλοντας ποταμοὺς εἰς τὴν ἀτλαντικὴν διὰ τῆς κελτικῆς ὀρεινῆς αἰτιᾶται. προωθοῦντας μὲν τὰς ἐφόδους καὶ πλημμυρίαν ποιοῦντας. ληγόντων δὲ τὰς ἀμπώτιδας γίνεσθαι.

† αλ. Πυθέας

Περὶ ἀναβάσεως τοῦ Νείλου.

Θαλῆς τοὺς ἐτησίους ἀνέμους αἰτιᾶται πνέοντας ἐν τῇ Αἰγύπτῳ. καὶ τῇ παροιδήσει τοῦ ἀντιπαρήκοντος πελάγους ἀντικόπτεσθαι καὶ πληροῦσθαι τὸν Νεῖλον. Εὐθυμένης ὁ Μασσαλιώτης ἐκ τοῦ ὠκεανοῦ καὶ τῆς ἔξωθεν θαλάττης πλημμυρεῖν τὸν ποταμὸν οἴεται. Ἀναξαγόρας ἐκ τῆς χιόνος τῆς ἐν τῇ Αἰθιοπίᾳ τηκομένης μὲν κατὰ θέρει.

ψυχομένης δὲ ἐν τῷ χειμῶνι. Δημόκριτος χιόνος τῆς πρὸς τοῖς ἄρκτοις μερεσὶν ὑπὸ θερινὰς τροπὰς ἀναλυομένης, νέφη ἐκ τῶν ἀτμῶν πληροῦσθαι, καὶ συνελαυνόμενα πρὸς τὴν μεσημβρίαν καὶ τὴν αἴγυπτον ὑπὸ τῶν ἐτησίων ἀνέμων ἀποτελεῖν ῥαγδαίους ὄμβρους, ὑφ' ὧν ἐγείρεσθαι τὸν ὄμβρον. Ἡρόδοτος ἴσον μὲν φέρεσθαι καὶ χειμῶνος ἐκ τῶν πηγῶν. φαίνεσθαι δὲ ἐλάττονα τοῦ χειμῶνος, διὰ τὸ ἐν τούτῳ τῷ καιρῷ πλησίον ὄντα τὸν ἥλιον τῆς αἰγύπτου ἐξατμίζειν τὰ νάματα.

Περὶ αἰσθήσεως καὶ αἰσθητοῦ

Κατὰ τοὺς στωϊκοὺς αἴσθησίς ἐστιν ἀντίληψις αἰσθητοῦ. ἀντίληψις δὲ πολλαχῶς λέγεται. ἥ, τε γὰρ ἕξις καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια. καὶ ἡ φαντασία καταληπτικὴ καὶ αἰσθητή. καὶ αὐτὸ τὸ ἡγεμονικὸν ἀφ' οὗ πάλιν αἰσθητὰ διὰ γίγνεται τὰ πνεύματα νοερὰ ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ τοιαῦτα ἀνατεταμένα. Πλάτων τὴν αἴσθησιν ἀναφαίνεται τῆς ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός. ἡ μὲν γὰρ δύναμις, ψυχῆς, τὰ δὲ ὄργανα, σώματος, ἄμφω δὲ συνελθόντα ἀντιλαμβάνεσθαι τῶν ἔξωθεν. Λεύκιππος καὶ Δημόκριτος τὴν αἴσθησιν εἰδώλων, ἔξωθεν προσιόντων.

Εἰ ἀληθὴς ἡ αἴσθησις καὶ ἡ φαντασία.

Οἱ στωϊκοὶ τὰς αἰσθήσεις μὲν ἀληθεῖς. τῶν δὲ φαντασιῶν, τὰς μὲν, ἀληθεῖς, τὰς δὲ, ψευδεῖς. καὶ αἱ μὲν αἰσθήσεις μοναχῶς ψευδοποιοῦνται. καὶ τὰ νοήματα διττῶς, καὶ παρ' αἰσθητῶν ἐστι φαντασίας καὶ νοητῶν.

Πῶς γίνεται ἡ αἴσθησις καὶ ἡ νόησις καὶ ὁ κατὰ διάθεσιν λογισμός.

Οἱ στωϊκοί φασιν ὅταν ἄνθρωπος γεννηθῇ, ἔχει τὸ ἡγεμονικὸν μέρος τῆς ψυχῆς αὐτοῦ ὥσπερ χάρτην ἐνεργοῦντα εἰς ἀπογραφὴν εἰς τοῦτο μία ἑκάστη τῶν ἐννοιῶν ἐναπογράφεται. πρῶτος δὲ ὁ τῆς ἀναγραφῆς τρόπος ὁ διὰ τῶν αἰσθήσεων, αἰσθανόμενοι γάρ τινος οἷον λευκοῦ, ἀπελθόντος αὐτοῦ μνήμην ἔχομεν, ὅταν δὲ ὁμοειδεῖς πολλαὶ μνῆμαι γένωνται τότε φαμὲν ἔχειν ἐμπειρίαν. ἐμπειρία γάρ ἐστιν, ὁμοειδῶν φαντασιῶν πλῆθος. τῶν δὲ ἐννοιῶν φυσικῶς γίγνονται κατὰ τοὺς εἰρημένους τρόπους, καὶ οὐ τεχνικῶς. αἱ δὲ δι' ἡμετέρας ἐπιμελείας καὶ διδασκαλίας, αὗται δὲ καὶ ἔννοιαι καλοῦνται μόναι. ἐκεῖναι δὲ καὶ προλήψεις. ὁ δὲ λόγος καθ' ὃν προσαγορευόμεθα λογικοὶ ἐκ τῶν πληρώσεων. συμπληροῦσθαι μὲν λέγεται κατὰ τὴν πρώτην ἑβδομάδα. ἔστι γάρ ἐστι νόημα φαντασίας διάνοια λογικοῦ ζώου. τὸ γὰρ φάντασμα, ἐπειδὰν λογικῇ προσπίπτῃ ψυχῇ, ἐννοήματος δεῖται εἰληφότος τοὔνομα παρὰ τοῦ νοῦ. διόπερ ὅσα τοῖς ἀλόγοις ζώοις προσπίπτει, φαντάσματα μόνα ἐστιν. ὅσα δὲ ἡμῖν καὶ τοῖς θεοῖς καὶ τοῖς κατὰ γένος καὶ κατ' εἶδος, νοήματα.

Περὶ φαντασιῶν.

Χρύσιππός φησι διαφέρειν ἀλλήλων τέτταρα ταῦτα. φαντασίαν, φανταστόν. φανταστικόν. φάντασμα. φαντασία μὲν οὖν ἐστι, πάθος ἐν ψυχῇ γινόμενον καὶ ἐνδεικνύμενον αὐτό τε καὶ τὸ πεποιηκός. οἷον ἐπειδὰν ἴδωμεν τὸ λευκόν. ὅ ἐστι πάθος, ἐγγέγονε τῇ ψυχῇ ἐναλλακτικὸν τοῦ πεπονθότος. εἴρηται δὲ φαντασία ἐκ τοῦ φαίνεσθαι αὐτήν τε καὶ τὸ πεποιηκός. ὅπερ ἐστι φανταστόν. οἷον τὸ λευκὸν καὶ εἴτ' ἄλλο διὰ τῶν αἰσθήσεων δύναται κινεῖν τὴν ψυχὴν φανταστόν ἐστι. φανταστικὸν δὲ κενοῦ ἑλκύσματος πάθος ἐν ψυχῇ ἀπ' οὐδενὸς φανταστοῦ σκιομαχοῦντος. φάντασμα δέ ἐστιν, ἐφ' ὃ ἑλκόμεθα κατὰ τὸν φανταστικὸν διελκυσμόν. ταῦτα δὲ γίνεται ἐπὶ τῶν μελαγχολικῶν. ὥσπερ ἐπὶ Ὀρέστου καὶ τοῦ παρ' ὁμήρῳ Θεοκλυμένου.

Περὶ τοῦ πῶς ὁρῶμεν.

Δημόκριτος καὶ Ἐπίκουρος κατ' εἰδώλων εἴσκρισιν οἴονται τὸ ὁρᾶν συμβαίνειν. ἕτεροι κατ' ἀκτίνων ἔκχυσιν μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστραφείσης τῆς ὄψεως. Ἐμπεδοκλῆς τοῖς εἰδώλοις τὰς ἀκτῖνας φησὶν ἐφ' ἑκατέρου τῶν ὀφθαλμῶν ἀποτεινομένου τοῖς πέρασιν αὐτῶν, οἷον χειρῶν ἐπαφαῖς περικαθαπτούσαις τοῖς ἐκτὸς σώμασι τὴν αἴσθησιν πρὸς τὸ ὁρᾶν προσάγει. Πλάτων κατὰ συναυγασμὸν τοῦ ἐκ τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀπορρέοντος εἰς τὸν ὅμοιον ἀέρα.

Περὶ κατόπτρου.

Δημόκριτος καὶ Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ' εἰδώλων ὑποστάσεις. ἅ τινα φέρεσθαι μὲν ὑφ' ἡμῶν. συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατὰ ἀντιστροφήν, οἷον ἐπὶ ἡμᾶς. Πυθαγόρειοι κατὰ τὰς ἀντανακλάσεις τῆς ὄψεως. φέρεσθαι μὲν γὰρ τὴν ὄψιν τεταμένην ὡς ἐπὶ τὸν χαλκόν, ἐντυχοῦσαν δὲ πυκνῷ καὶ πάλιν πληγεῖσαν ὑποστρέφειν.

Εἰ ὁρατὸν τὸ σκότος

Οἱ στωϊκοὶ ὁρατὸν εἶναι τὸ σκότος ὑπολαμβάνουσιν. ἐκ γὰρ τῆς ὄψεως ἐξικνεῖσθαι εἰς αὐγήν. καὶ οὐ ψεύδεται ἡ ὅρασις. βλέπεται γὰρ ὑπ' αὐτῆς τὸ σκότος. προέρχονται δὲ ἐκ τῆς ὄψεως ἀκτῖνες ὁμιχλώδεις. τὸ μὲν σκότος, συνάγει καὶ συγκινεῖ τὴν ὅρασιν, καὶ ἀμβλύνει. τὸ δὲ φῶς διακρίνει καὶ προάγει τὴν ὅρασιν ἡμῶν ἐπὶ τὰ ὁρατὰ διὰ τοῦ μεταξὺ ἀέρος. διὰ τὸ μὴ ὁρᾶν ἡμᾶς ἐν τῷ σκότῳ, ἀλλ' αὐτὸ μόνον τὸ σκότος.

Περὶ ἀκοῆς.

Ἐμπεδοκλῆς τὴν ἀκοὴν γίγνεσθαι κατὰ ἔμπτωσιν τῶν πνευμάτων τῷ † χόνδρῳ ὅπερ φησὶν ἐξηρτῆσθαι ἐκ τοῦ ὠτός, κώδωνος τρόπον αἰωρούμενον καὶ τυπτόμενον. Ἀλκμαίων ἀκούειν ἡμᾶς φησὶ τῷ κενῷ τοῦ ὠτός. τοῦτο γὰρ εἶναι τὸ περιηχοῦν κατὰ τὴν τοῦ πνεύματος εἰσβολήν. πάντα γὰρ τὰ κοῖλα ἠχεῖν. Διογένης τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ φωνῆς τυπτομένου. Πλάτων πλήσσεσθαι τὸν ἐν τῇ κεφαλῇ ἀέρα. τοῦτον δ' ἀνακλᾶσθαι εἰς τὸ ἡγεμονικὸν καὶ γίνεσθαι τῆς ἀκοῆς τὴν αἴσθησιν.

† al. κοχλιοειδεῖ

Περὶ ὀσφρήσεως.

Ἀλκμαίων ἐν τῷ ἐγκεφάλῳ φησὶ εἶναι τὸ ἡγεμονικόν, τούτου οὖν ὀσφραίνεσθαι ἕλκοντος διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς. Ἐμπεδοκλῆς ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύμονος συνεκκρίνεσθαι, ὥσπερ ἐπὶ τῶν ῥευματιζομένων.

Περὶ γεύσεως.

Ἀλκμαίων οἴεται τῷ ὑγρῷ τῷ ἐν τῇ γλώττῃ κρίνεσθαι τοὺς χυμούς. Διογένης, τῇ ἀραιότητι, καὶ διὰ τὸ συνάπτειν

τὰς διὰ τοῦ σώματος εἰς αὐτὴν φλέβας, καὶ διαχεῖσθαι τοὺς χυμοὺς ἐληλαμένους εἰς τὴν αἴσθησιν καὶ τὸ ἡγεμονικὸν καθάπερ ὑπὸ ἀσφυξίας.

Περὶ φωνῆς.

Πλάτων φωνὴν ὁρίζεται πνεῦμα διὰ στόματος ἀπὸ διανοίας ἠγμένον καὶ πληγὴν ὑπὸ ἀέρος διὰ τῶν ὤτων καὶ ἐγκεφάλου καὶ αἵματος μέχρι ψυχῆς διαδιδομένων. οἱ δὲ στωϊκοί φασι τὸν ἀέρα μὴ συγκεῖσθαι ἀπὸ θραυμάτων, ἀλλὰ συνεχῆ δι᾽ ὅλου μηδὲ κενὸν ἔχοντα, δι᾽ ἐπειδὰν πλήξει τοῦ πνεύματος κυματοῦται κατὰ κύκλους εἰς ἄπειρον, ἕως πληρώσει τὸν περικείμενον ἀέρα, ὡς τῆς κολυμβήθρας τῆς πλήξεως λίθου, καὶ κινουμένης κυκλοειδῶς καὶ σφαιροειδῶς. Ἀναξίμανδρος τὴν φωνὴν γίνεσθαι πνεύματος ἐμπεσόντος στερεμνίῳ ἀέρι, τῇ δὲ ὑποστροφῇ τῆς πλήξεως μέχρι τῶν ἀκοῶν προσενεχθέντων, κατὰ τὴν λεγομένην ἠχὼ γίνεσθαι.

Εἰ ἀσώματος ἡ φωνή, καὶ πῶς ἦχος γίνεται.

Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης ἀσώματον εἶναι τὴν φωνὴν ὑπολαμβάνουσιν. οὐ γὰρ τὸν ἀέρα τοῦ δὲ περὶ τὸν ἀέρα καὶ τὴν ἐπιφάνειαν κατὰ ποιὰν πληγὴν γίνεσθαι φωνήν. οἱ δὲ στωϊκοὶ σῶμα εἶναι τὴν φωνήν. πᾶν γὰρ τὸ ποιοῦν καὶ δρῶν, σῶμα εἶναι. καὶ γὰρ ἡ φωνὴ καὶ δρᾷ καὶ ποιεῖ. ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθανόμεθα προσπιπτούσης. πᾶν τὸ κινοῦν καὶ ἐνοχλοῦν σῶμά ἐστι, κινεῖ δὲ ἡμᾶς εὐμουσία, ἐνοχλεῖ δὲ ἀμουσία.

Πόθεν αἰσθητικὴ γίνεται ἡ φωνή.

Οἱ στωϊκοί φασιν εἶναι τῆς ψυχῆς μέρος τὸ ἀνώτατον τὸ ἡγεμονικόν. ἀπὸ δὲ τοῦ ἡγεμονικοῦ ἐστὶν ἵνα τείνοντα ἐπὶ τὰ ἄλλα μέρη τῆς ψυχῆς, ἃ ποιεῖ τὴν αἴσθησιν ἐνεργεῖν. διόπερ ὅρασιν λέγουσι πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῶν ὀφθαλμῶν, τῶν δὲ λοιπῶν, τὸ μὲν σπερματικὸν ὅπερ καὶ αὐτὸ πνεῦμά ἐστι. τὸ δὲ φωνητικὸν διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι φάρυγγος καὶ γλώττης. αὐτὸ δὲ τὸ ἡγεμονικὸν εἶναι ἐν τῇ σφαιροειδεῖ κεφαλῇ.

Περὶ ἀναπνοῆς.

Ἀσκληπιάδης αἰτίαν τῆς ἀναπνοῆς εἶναί φησι, τὴν ἐν τῷ θώρακι λεπτομέρειαν, πρὸς ἣν τὸν ἔξωθεν ἀέρα ῥεῖν τε καὶ καθαίρεσθαι παχυμερῆ ὄντα. πάλιν δὲ ἀπωθεῖσθαι μηκέτι τοῦ θώρακος τοιοῦτόν τι ὑπέχοντος. ὑπολειπομένου δέ τινος ἐν τῷ σώματι ὑπὸ λεπτομεροῦς ἀεὶ βραχέος. οὐ γὰρ ἅπαν ἐκκρίνεσθαι. καὶ πρὸς τοῦτο πάλιν τὸ ὑποκείμενον ἡ βαρύτης τοῦ ἐκτὸς ἀντεπιφέρεται. ταῦτα δὲ ταῖς σικύαις ἀπεικάζει, τὴν δὲ κατὰ προαίρεσιν ἀναπνοὴν γίνεσθαι συναγομένων τῶν ἐν τῷ πνεύμονι πόρων. ταῦτα γοῦν τῇ ἡμετέρᾳ προαιρέσει ὑπακούειν. Ἡρόφιλος δὲ, δύναμιν ἀπολείπει περὶ τὰ σώματα κινητικὴν ἐν νεύροις καὶ ἀρτηρίαις καὶ μυσί. τὸν οὖν πνεύμονα νομίζει προσορέγεσθαι διαστολῆς τε καὶ συστολῆς φυσικῶς, εἶτα δὲ καὶ τἆλλα ἐνέργειαν μὲν εἶναι τοῦ πνεύμονος τὴν ἔξωθεν τοῦ πνεύματος ὁλκὴν, ὑπὸ δὲ τῆς πληρώσεως τῆς † ἔξωθεν γιγνόμενον ἐφέλκεσθαι μὴ δυνάμενον εἰς τὸν θώρακα τὸ περιττὸν ἀναπέμπειν τὸν δὲ εἰς τὸν ἔξωθεν ἀέρα ἀπωθεῖν. † ἄλ. θύραθεν

Περὶ παθῶν.

Ἐπίκουρος τὰ μὲν πάθη καὶ τὰς αἰσθήσεις ἐν τοῖς πεπονθόσι τόποις, τὸ δὲ ἡγεμονικὸν ἀπαθὲς νομίζει. Στράτων δὲ καὶ τὰ πάθη τῆς ψυχῆς καὶ τὰς αἰσθήσεις ἐν τῷ ἡγεμονικῷ, οὐκ ἐν τοῖς πεπονθόσι τόποις συνίστασθαι, τῶν δεινῶν καὶ τῶν ἀλγεινῶν τὴν ἐνέργειαν

Περὶ μαντικῆς

Πλάτων καὶ οἱ στωϊκοὶ καὶ τὴν μαντικὴν εἰσάγουσι. καὶ γὰρ θεόπεμπτον εἶναι ὅπερ ἐστὶν ἐνθεαστικόν, καὶ κατὰ τὸ θειότατον τῆς ψυχῆς, ὅπερ ἐστὶν ἐνθουσιαστικόν. καὶ τὸ ὀνειροπολικόν, καὶ τὸ ἀστρονομικόν. καὶ τὸ ὀρνεοσκοπικόν. Ξενοφάνης καὶ Ἐπίκουρος ἀναιροῦσι τὴν μαντικήν. Πυθαγόρας μόνον τὸ † θυτικὸν οὐκ ἐγκρίνει. Ἀριστοτέλης δὲ καὶ Δίκαιαρχος τοὺς ὀνείρους εἰσάγουσιν. ἀθάνατον μὲν τὴν ψυχὴν οὐ νομίζοντες, θείου δέ τινος μετέχειν. † ἄλ. θυτικόν

Πῶς οἱ ὄνειροι γίνονται.

Δημόκριτος ὀνείρους γίνεσθαι κατὰ τὰς τῶν εἰδώλων παρατηρήσεις. Στράτων ἀλόγῳ τινὶ φύσει τῆς διανοίας ἐν τοῖς ὕπνοις αἰσθητικωτέρας μὲν τῆς ψυχῆς γιγνομένης, δι᾽ αὐτὸ δὲ τοῦτο γνωστικῆς γινομένης. Ἡρόφιλος τῶν ὀνείρων τοὺς μὲν θεοπέμπτους κατ᾽ ἀνάγκην γίγνεσθαι τοὺς δὲ φυσικούς, εἰδωλοποιουμένους τῆς ψυχῆς τὸ συμφέρον αὐτῇ, καὶ τὸ πρὸς τούτοις ἐσόμενον, τὴν δὲ συγκρατικὴν ἐκ τοῦ αὐτομάτου, ὅταν ἃ βουλόμεθα βλέπωμεν, ὡς ἐπὶ φιλούντων γίγνεται τὰς ἐρωμένας ἐρώντων εἰς ὕπνους.

Περὶ οὐσίας σπέρματος.

Ἀριστοτέλης σπέρμα εἶναί φησι, κινεῖν δι᾽ αὐτὸ πρὸς τὸ ἀποτελέσαι τὸ τοιοῦτον, οἷον ἐστὶν, ἐξ οὗ συνεκκρίθη. Πυθαγόρας ἀφρὸν τοῦ χρηστοτάτου αἵματος ἢ περίττωμα τῆς τροφῆς. Ἀλκμαίων ἐγκεφάλου μέρος. Πλάτων τοῦ νωτιαίου μυελοῦ ἀπόρροιαν. Ἐπίκουρος ψυχῆς γὰρ σώματος ἀπόσπασμα. Δημόκριτος ἀφ᾽ ὅλων τῶν σωμάτων καὶ τῶν κυριωτάτων μερῶν οἷον τῶν σαρκίνων ὀστῶν καὶ ἰνῶν.

Εἰ σῶμα τὸ σπέρμα.

Λεύκιππος καὶ Ζήνων σῶμα εἶναι. ψυχῆς γὰρ εἶναι ἀπόσπασμα. Πυθαγόρας καὶ Πλάτων καὶ Ἀριστοτέλης, ἀσώματον μὲν εἶναι τὴν δύναμιν τοῦ σπέρματος σωματικήν.

Εἰ καὶ αἱ θήλειαι προΐενται σπέρμα.

Πυθαγόρας καὶ Δημόκριτος καὶ Ἐπίκουρος καὶ τὸ θῆλυ προΐεσθαι σπέρμα. ἔχει γοῦν παραστάτας ἀπεστραμμένους, διὰ τοῦτο ὀρεκτικῶς ἔχει περὶ τὰς χρήσεις. Ἀριστοτέλης δὲ καὶ Ζήνων καὶ ὕλην μὲν ὑγρὰν προΐεσθαι, καὶ ἀπὸ τῆς γυμνασίας ἱδρῶτα, οὐ μὴν σπέρμα πεπτικόν.

Πῶς αἱ συλλήψεις γίνονται.

Ἀριστοτέλης ὑπολαμβάνει τὰς συλλήψεις γιγνέσθαι τὰς κινήσεις περὶ καθαρσίαν μήτρας ἢ ἐμπνευματώσιν ἢ φόβον ἢ λύπην ἢ ἀσθένειαν τῶν γυναικῶν ἢ δι᾽ ἀγονίαν τῶν ἀνδρῶν.

Πῶς ἄῤῥενα καὶ θήλεα γίνονται.

Ε μπεδοκλῆς οἴεται καὶ Ἀσκληπιάδης ἄῤῥεν καὶ θῆλυ γίνεσθαι, παρὰ θερμότητος καὶ ψυχρότητος. ὅθεν ἱστορεῖται τοὺς μὲν πρώτους τοὺς ἄῤῥενας ἀπὸ ἀνατολῆς καὶ μεσημβρίας γίγνεσθαι ἐκ τῆς γῆς. τὰς δὲ θηλείας, πρὸς ταῖς ἄρκτοις. Παρμενίδης δ' ἀντιστρέφει. πρὸς ταῖς ἄρκτοις ἄῤῥενα γίγνεσθαι, τοῦ πλείστου μετέχειν πλεῖον. τὰς δὲ πρὸς τὴν μεσημβρίαν διὰ ἀραιότητα. Ἱππῶναξ δέ, εἰ μὲν ἡ γονὴ κρατήσειεν, ἄῤῥεν. εἰ δὲ ἡ ὕλη, θῆλυ.

Πῶς τέρατα γίνονται.

Ε μπεδοκλῆς νομίζει σπέρματος ἔλλειμμα περὶ τὴν τῆς κινήσεως ταραχήν. ἢ περὶ τὴν εἰς πλείω διαίρεσιν. ἢ περὶ ἀπόπνευσιν τέρατα γίγνεσθαι. Στράτων, πρόσθεσιν ἢ ἐμπνευμάτωσιν. τῶν ἰατρῶν τινὲς δὲ παρὰ τὸ διεστράφθαι τὴν μήτραν ἐμπνευματωμένην.

Διὰ τί πολλάκις γυνὴ συνουσιάζουσα οὐ συλλαμβάνει.

Δ ιοκλῆς ὁ ἰατρὸς περὶ θερμασίαν ἢ ὑγρασίαν ἢ ξηρότητα ἢ πλεονασμὸν ἢ ἔνδειαν ἢ παράλυσιν τῶν μορίων. οἱ στωϊκοὶ περὶ λοξότητα τοῦ μορίου μὴ δυναμένου εὐθὺ βάλλειν τὸν γόνον. ἢ διὰ τὸ ἀσύμμετρον τῶν μορίων. Ἐρασίστρατος περὶ τὴν μήτραν. ὅταν τύχῃ ἔχουσα σάρκας, ἢ εὐρυτέρα ἢ μικροτέρα τυγχάνει οὖσα.

Πῶς δίδυμα γίνονται.

Ε μπεδοκλῆς οἴεται δίδυμα καὶ τρίδυμα γίνεσθαι κατὰ πλεονασμὸν καὶ περὶ σχισμὸν τοῦ σπέρματος. Ἀσκληπιάδης περὶ τὴν τῶν σπερμάτων διαφοράν, ὥσπερ τὰς κριθὰς τὰς διστίχους, καὶ τριστίχους. Ἐρασίστρατος διὰ τὰς ἐπισυλλήψεις γίνεσθαι. οἱ στωϊκοὶ περὶ τοὺς ἐν τῇ μήτρᾳ τόπους. ὅταν γὰρ πρῶτον καὶ δεύτερον ἐμπέσῃ τὸ σπέρμα, τότε γίνεσθαι τὰς ἐπισυλλήψεις καὶ διδύμους καὶ τριδύμους.

Πόθεν γίνεται τῶν γονέων ὁμοίωσις καὶ τῶν προγόνων.

Ε μπεδοκλῆς ὁμοιότητα οἴεται γίγνεσθαι κατ' ἐπικράτειαν τῶν σπερμάτων. ἀνομοιότητα δὲ ὅτε μὲν ἀπὸ τῶν δεξιῶν μερῶν τῆς μήτρας τὸ σπέρμα προσειδὲς τοῖς πατράσιν. ὅτε δὲ ἀπὸ ἀριστερῶν ταῖς μητράσιν. οἱ στωϊκοὶ ἀπὸ τοῦ σώματος ὅλου καὶ τῆς ψυχῆς φέρεσθαι τὸ σπέρμα, καὶ τὰς ὁμοιομερείας ἀναπλάττεσθαι ἐξ αὐτοῦ τοὺς τύπους καὶ χαρακτηρίζειν. ὡς ζωγραφίαν ἀπὸ τῶν ὁμοίων χρωμάτων ὁμοιότητα τοῦ τικτομένου. προΐεσθαι δὲ καὶ τὴν γυναῖκα σπέρμα, κἂν ἐπικρατῇ τὸ γυναικός, ὅμοιον εἶναι τῇ μητρί.

Πῶς ἄλλοις ὅμοια γίνεται τὰ γεννώμενα.

Ο ἱ μὲν πλεῖστοι τῶν ἰατρῶν τυχικῶς καὶ ἐκ τοῦ αὐτομάτου ὅταν διαψυγῇ τὸ σπέρμα καὶ τὸ τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικὸς ἀνόμοια γίνεσθαι. Ἐμπεδοκλῆς τῇ κατὰ σύλληψιν ὄψει τε καὶ φαντασίᾳ τῆς γυναικὸς μορφοῦσθαι τὰ βρέφη. πολλάκις οὖν ἀνδριάντων καὶ εἰκόνων ἠράσθησαν καὶ ὅμοια τούτοις τετόκασι. οἱ στωϊκοὶ κατὰ συμπάθειαν τῆς διανοίας καὶ ῥεύματος καὶ ἀκτίνων εἰς κρίσιν γίγνεσθαι τὰς ὁμοιότητας.

Πῶς στεῖραι γίνονται γυναῖκες καὶ ἄνδρες ἄγονοι.

Ο ἱ ἰατροὶ στεῖραν φασὶ γίγνεσθαι παρὰ τὸ τὴν μήτραν στενωτέραν εἶναι ἢ ἀραιοτέραν ἢ διάστροφον ἔχουσαν τὸν σχηματισμόν. ἢ παρὰ τὸ περιέπεσθαι δυσκρασίαν μοχθηράν. Διοκλῆς δὲ ἀτονίαν τῶν ἀνδρῶν. ἢ διὰ τὸ μὴ δ' ὅλως προΐεσθαι γονήν. ἢ παρὰ τὸ ἔλαττον εἶναι τοῦ δέοντος. ἢ παρὰ τὸ ἄγονον εἶναι καὶ καθάπερ ἔκλυσιν τῶν μορίων. οἱ στωϊκοὶ αἰτιῶνται τὰς συμφύτους εἰς ἑκάτερα τῶν πλησιαζόντων δυνάμεις τε καὶ ποιότητας.

Διατί ἡμίονοι στεῖραι.

Α λκμαίων τῶν ἡμιόνων τοὺς ἄῤῥενας ἀγόνους παρὰ τὴν λεπτότητα τῆς σαρκὸς καὶ ψυχρότητα. τὰς δὲ θηλείας, παρὰ τὸ ἄνω μὴ ἀνακύπτειν τὰς μήτρας.* ἀπεστραμμένην προσπεφυκυῖα τῇ ῥάχει. Διοκλῆς δὲ μαρτυρεῖ λέγων πολλάκις ἑωρακέναι τοιαύτην μήτραν ἐν ταῖς ἀνατομαῖς τῶν ἡμιόνων, καὶ ἐνδέχεσθαι διὰ τὰς αἰτίας ταύτας καὶ τὰς γυναῖκας στεῖρας εἶναι.

Εἰ τὸ ἔμβρυον ζῶον.

Π λάτων ζῶον εἶναι τὸ ἔμβρυον ὑπείληφε. καὶ γὰρ καὶ κινεῖσθαι ἐν τῇ γαστρὶ καὶ τρέφεσθαι καὶ αὔξεσθαι. οἱ στωϊκοὶ μέρος εἶναι γαστρὸς τὸ ἔμβρυον καὶ ἄπνουν εἶναι ἐν τῇ γαστρί. πρῶτον δὲ ἀναπνοὴν τοῦ ζῴου γίγνεσθαι κατὰ τὴν ἀποκύησιν, τῆς μὲν περὶ τοῖς βρέφεσιν ὑγρασίας ἀποχωρούσης, τῇ δ' ἐπεισόδῳ τοῦ ἐκτὸς ἀέρος γινομένου εἰς τὰ παραχθέντα τῶν αἰτίων. διὸ τίκτεσθαι μὲν τὰ βρέφη ἐκθερμανθέντος τοῦ ἐμφύτου θερμοῦ, εὐθὺ περιχυθέντος τοῦ βρέφους τὸ ψυχρὸν εἰς τὸν πνεύμονα ἐφέλκεσθαι. Ἡρόφιλος κίνησις ἀπολείπεται φυσικὴ ἐν τοῖς ἐμβρύοις τοῦ πνευματικοῦ. τῆς δὲ κινήσεως αἰτιᾶται τὰ νεῦρα τοῦ ζῴου γίγνεσθαι ὅταν περιχυθέντος προσβῇ τοῦ ἀέρος.

Πῶς τρέφεται τὰ ἔμβρυα.

Δ ημόκριτος καὶ Ἐπίκουρος διὰ τοῦ στόματος τρέφεσθαι, εὐθὺς γοῦν ἐπὶ τὸν μαζὸν φέρεσθαι τῷ στόματι. εἶναι γὰρ καὶ ἐν τῷ σώματι θηλὰς ἐπιγινομένας καὶ στόμα δι' ὧν τρέφεσθαι. οἱ στωϊκοὶ διὰ τοῦ χορίου καὶ ὀμφαλοῦ, ὅθεν τούτων εὐθὺς ἀποδεῖν ἵνα διὰ τοῦ στόματος αἰσθητῶς τρέφεσθαι.

Τί πρῶτον τελεσιοῦται τοῦ βρέφους.

Ο ἱ στωϊκοὶ ἅμα ὅλον γίνεσθαι νομίζουσιν. Ἀριστοτέλης πρῶτον τὴν ὀσφύν, ὥσπερ τρόπιν νεώς. Ἀλκμαίων τὴν κεφαλὴν ἐν ᾗ ἐστὶ τὸ ἡγεμονικόν. οἱ ἰατροὶ τὴν καρδίαν ἐν ᾗ καὶ φλέβες καὶ ἀρτηρίαι. οἱ δὲ τὸν μέγαν δάκτυλον τοῦ ποδός. οἱ δὲ τὸν ὀμφαλόν.

Διατί τὰ ἑπτάμηνα γόνιμα.

Α ριστοτέλης καὶ Ἱπποκράτης οἴεται ἐὰν πληρωθῇ ἡ μήτρα ἐν τοῖς ἑπτὰ μησὶ τότε προκύπτει, καὶ τὸ γόνιμον γίνεται. ἐὰν δὲ προκύψῃ μὲν μὴ τραφῇ δὲ ἀσθενήσαντος τοῦ ὀμφαλοῦ διὰ τὸ ἐπίπονον αὐτὰ ἄτροφα γίνεσθαι, ἐὰν δὲ μένῃ, ποιεῖ ἐννέα μῆνας ἐν τῇ μήτρᾳ προκύψαν τότε ὁλόκληρόν ἐστι. † ὁ λύκιος ἐν . ς π . ἡμέρας γίγνεσθαι

ἄλ. πόλυβος

γόνιμα

γόνιμα τὰ ἔμβρυα. τὰ δὲ ὀκτάμηνα μὴ ζῆν οἷον προκύψαι μὲν τὸ βρέφος τῆς μήτρας ἐπὶ πλεῖον τε ὁ ὀμφαλὸς ἐβασανίσθη διατεινόμενος. ἄτροφον γὰρ γίνεται τὸ ἔμβρυον. τοῦ τρέφοντος αἴτιος ὁ ὀμφαλός. οἱ δὲ μαθηματικοὶ τοὺς η, μῆνας φασὶ ἐστερῆσθαι πάσης γενέσεως. τοὺς δὲ ἑπτὰ συνδετικούς. τὰ δὲ ἀσύνδετα ζῶα ἔχειν τοὺς οἰκοδεσποτοῦντας φαύλους τῶν ἀστέρων. ἂν γάρ τις τούτων τῇ ζωῇ καὶ τὸν βίον κληρώσῃ δυστυχῆ ἔσεσθαι σημαίνει. ἀσύνδετα δὲ ἐστὶ ζώδια ὀκτὼ ἀριθμούμενα.* κριός, παρθένος. ἀσύνδετοι δὲ δίδυμοι πρὸς σκορπίον καὶ καρκῖνος πρὸς ὑδροχόον. ζυγὸς πρὸς ἰχθύν. Διοκλῆς δὲ καὶ Ἐπίκουρος καὶ τὸν ὄγδοον μῆνα εἶναι γόνιμον, ἀτονώτερον δὲ τίμων καὶ δωδεκάμηνον φασί τινα κύεσθαι, περί τε ἐπίσχεσιν τῶν καταμηνίων τὰ πρὸ τῆς συλλήψεως, οὕτω καὶ ἑπτάμηνα νομίζεσθαι, οὐκ ὄντα προγεγενημένης τῆς συλλήψεως. δυναμένης δὲ τῆς μήτρας εἰς καταμήνια καὶ μετὰ σύλληψιν.

10

Πῶς ἐγένετο τὰ ζῶα, καὶ ἡ φθορά.

Ἐπίκουρος, εἰ ἐγένετο ὁ κόσμος καὶ τὰ ζῶα γεννητὰ καὶ ἡ φθορά, γεννητὸς ἐκ μεταβολῆς τῆς ἀλλήλων γίγνεσθαι. μέρη γὰρ εἶναι τοῦ κόσμου ταῦτα, ὡς Ἀναξαγόρας καὶ Εὐριπίδης. ἶλις δὲ οὐδὲν τῶν γιγνομένων. διακρινόμενα δὲ ἄλλο πρὸς ἄλλων μορφὰς ἑτέρας ἐπέδειξε. Δημόκριτος γεγενημένα εἶναι τὰ ζῶα συστάσει. εἰ δὲ ἐν ἄστροις πρῶτον τοῦ ὑγροῦ ζωογονοῦντα.

Πόσα γένη ζώων.

Πλάτων καὶ Ἀριστοτέλης δ' εἶναι, ζώων γένη λέγουσι καὶ αὐτὸς ὁ κόσμος ζῶον χερσαῖα. πτηνὰ οὐράνια. καὶ γὰρ τὰ ἄστρα ζῶα εἶναι, καὶ αὐτὸς κόσμος ζῶον λογικὸν ἀθάνατον. Πυθαγόρας καὶ Πλάτων λογικὰς μὲν εἶναι καὶ τὰς τῶν ἄλλων ζώων ἀλόγων τὰς λεγομένας ψυχάς, οὐ μὴν λέγω ἐνεργῶς διὰ τὴν δυσκρασίαν τῶν σωμάτων. καὶ διὰ τὸ μὴ μετέχειν τοῦ φραστικοῦ λόγου ὥσπερ ἐπὶ τῶν πιθήκων καὶ κυνῶν. νοοῦσι μὲν οὐ δυνάνται δὲ φράζειν νοοῦσι.

10

Ἐν πόσῳ χρόνῳ μορφοῦνται τὰ βρέφη.

Ἐμπεδοκλῆς ἐπὶ τῶν ἀνθρώπων ἄρχεσθαι τῆς διαρθρώσεως ἀπὸ τοῦ † ἐκ τῆς τριακοστῆς ἡμέρας. τελειοῦσθαι δὲ τοῖς μορίοις ἀπὸ † πεντηκονταμίας. Ἀσκληπιάδης δὲ ἐπὶ μὲν τῶν ἀῤῥένων, διὰ τὸ θερμότερον εἶναι τὴν κρᾶσιν τὴν διάρθρωσιν γίγνεσθαι ἀπὸ ἕκτης καὶ εἰκοστῆς. πληροῦσθαι δὲ ἀπὸ τῆς πεντηκοστῆς. τῶν δὲ θηλέων ἐν. δ. μησὶ γίνεσθαι τὴν διάρθρωσιν διὰ τὸ ἐνδεὲς τοῦ θερμοῦ.

† αλ' ἐκ τῆς
† αλ' πεντηκοστῆς μιᾶς δεούσης

Ἐκ ποίων στοιχείων συνίσταται ἕκαστον τῶν ἐν ἡμῖν μερῶν.

Ἐμπεδοκλῆς τὰς μὲν σάρκας γίγνεσθαι τῆς ἰσοκρατείας τῶν δ΄. στοιχείων. τὰ δὲ νεῦρα ἐκ τοῦ πυρὸς καὶ γῆς. ὕδατος διπλασίου μιχθέντος. τοὺς δ' ὄνυχας, γίγνεσθαι τοῖς ζώοις ἐκ τῶν νεύρων καθὰ τοῖς ζώοις συνέτυχε περὶ μέρει ψυχθέντων τῶν λοιπῶν στοιχείων. ἱδρῶτα καὶ δάκρυον γίνεσθαι τηκομένου τοῦ αἵματος, καὶ παρὰ τὸ λεπτύνεσθαι διαχεομένου.

30

Πότε ἄρχεται τῆς τελειότητος ὁ ἄνθρωπος.

Ἡράκλειτος καὶ οἱ στωϊκοὶ ἄρχεσθαι ἡμᾶς τῆς τελειότητος περὶ τὴν. β΄. ἑβδομάδα περὶ ἣν ὁ σπερματικὸς κινεῖται ὀπός. καὶ γὰρ τὰ δένδρα τελειοῦται ὅταν ἄρχηται καρπὸν φέρειν. Ἀριστοτέλης κατὰ τὴν. α΄. ἑβδομάδα καθ' ἣν ἔννοια γίγνεται καλῶν τε καὶ αἰσχρῶν διδασκαλίας ἀρχή. ἕτεροι δὲ νομίζουσι τελειοῦσθαι ἡμᾶς τῇ τρίτῃ ἑβδομάδι. ὅταν καὶ γένεια ἔχωμεν καὶ τῇ ἰσχύϊ χρώμεθα.

Πῶς ὕπνος γίγνεται καὶ θάνατος.

Ἀλκμαίων ἀναχωρήσει τοῦ αἵματος, εἰς τὰς † μοῤῥυούσας φλέβας, ὕπνον γίγνεσθαι. τὴν δὲ παντελῶς ἀναχώρησιν διὰ τῆς ψύξεως θάνατον φέρειν. Ἐμπεδοκλῆς τὸν μὲν ὕπνον κατάψυξιν τοῦ ἐν τῷ αἵματι θερμοῦ σύμμετρον. ἀσύμμετρον δὲ τὴν ἐπαγγελίαν θάνατον. Πλάτων καὶ οἱ στωϊκοὶ τὸν μὲν ὕπνον γίγνεσθαι ἀνέσει τοῦ αἰσθητικοῦ πνεύματος. ὅταν δὲ παντελῶς γίγνηται ἀναισθησία τοῦ αἰσθητικοῦ πνεύματος θάνατον συμβαίνειν.

† αλ' ὁμόῤῥους

40

Πότερον τοῦ σώματος ὁ ὕπνος ἢ τῆς ψυχῆς.

Ἀριστοτέλης τὸν ὕπνον σώματος εἶναι καὶ ψυχῆς. αἴτιον δὲ αὐτοῦ τὸ ἀναθυμιᾶσθαι ἀπὸ τοῦ θώρακος ὑγρὸν εἰς τοὺς περὶ κεφαλὴν τόπους ἐκ τῆς ὑποκειμένης τροφῆς. θάνατον δὲ γίνεσθαι, διὰ τῆς παντελοῦς καταψύξεως. Ἀναξαγόρας κατὰ τόπον τῆς σωματικῆς ἐνεργείας γίνεσθαι τὸν ὕπνον. σωματικὸν γὰρ εἶναι τὸ πάθος, εἶναι δὲ καὶ τῆς ψυχῆς θάνατον, κατὰ χωρισμόν.

Πῶς αὐξάνεται τὰ φυτὰ καὶ εἰ ζῶα.

Θαλῆς καὶ Πλάτων τὰ φυτὰ ἔμψυχα ζῶα. φανερὸν δὲ ἐκ τοῦ σαλεύεσθαι, καὶ ἐν ταῖς συναγωγαῖς ἥκειν μετὰ βίας, καὶ πάλιν σφοδρῶς ἀναχαλᾶσθαι, ὥς τε καὶ συνέλκειν βαρεῖ. Ἀριστοτέλης ἔμψυχα μὲν ζῶα ὁρμητικὰ εἶναι καὶ αἰσθητικά. ἔνια δὲ ἔμψυχα. πᾶσαν γὰρ ψυχὴν ὁρμητικὴν εἶναι αὐτόματον γεγενῆσθαι δίχα ψυχῆς. Ἐμπεδοκλῆς τὰ δένδρα πρῶτα τῶν ζώων ἐκ τῆς γῆς ἀναφῦναι ὀλίγον περὶ πολύ. διὰ δὲ ἀμετρίαν τῆς κράσεως τοῦ τε ἄῤῥενος καὶ θήλεως περιέχειν λόγον. ἅψασθαι δὲ ὑπὸ τῆς ἐν τῇ γῇ θέρμης διαιρούμενα. ὥς τε γῆς εἶναι μέρη. καὶ γὰρ τὰ ἔμβρυα τὰ ἐν τῇ γαστρὶ τῆς μήτρας εἶναι μέρη. τοὺς δὲ καρποὺς περιττώματα εἶναι τοῦ ἐν τοῖς φυτοῖς ὕδατος καὶ πυρός. καὶ τὰ μὲν ἐλλιπὲς ἔχοντα τὸ ὑγρὸν ἐξικμαζομένου τούτου περὶ θέρει φυλλοῤῥοεῖ. τὰ δὲ τέλεια παραμένει ἀεὶ φύλλοις τεθηλότα. ὥσπερ ἐπὶ τῆς δάφνης καὶ τῆς ἐλαίας, τὰς διαφορὰς τῶν χυμῶν παραλλαγὰς γίνεσθαι τῆς πολυμερείας. καὶ τῶν φυτῶν διαφόρων ἑλκόντων τὰς ἀπὸ τῶν τρεφόντων ὁμοιομερείας, ὥσπερ ἐπὶ τῶν ἀμπέλων. οὐ γὰρ αἱ διαφοραὶ τούτων ποιοῦσι τὸν οἶνον διαλλάττοντα, ἀλλὰ τοῦ τρέφοντος ἐδάφους.

50

Πῶς γίνεται πυρετὸς καὶ εἰ ἐπιγίνεται.

Ἐρασίστρατος ὁρίζεται τὸν πυρετὸν κίνημα αἵματος παρεμπεπτωκότος εἰς τὰ τοῦ πνεύματος ἀγγεῖα ἀπροαι-

γινόμενον, καθάπερ ἐπὶ τῆς θαλάττης ὅταν μηδὲν κινῇ αὐτὴν πνεῦμα ἠρεμοῦν. Διοκλῆς ἐπιγέννημα εἶναι τὸν πυρετόν. ἐπιγίνεται δὲ τραύματι, καὶ βουβῶνι. Ἡρόδοτός φησι μηδεμίας αἰτίας προηγησαμένης ἐνίοτε πυρέττειν τινάς.

Περὶ νόσου.

Διοκλῆς αἰτίας πλείστας τῶν νόσων διὰ ἀνωμαλίαν γίνεσθαι τῶν ἐν τοῖς σώμασι στοιχείων, καὶ τοῦ καταστήματος ἀέρος. Στράτων διὰ πλῆθος τροφῆς γίνεσθαι τὰς νόσους.

Περὶ γήρως.

Οἱ στωϊκοὶ καὶ οἱ ἰατροὶ παρὰ τὴν τοῦ θερμοῦ ὑπονόστησιν. Ἀσκληπιάδης δέ φησι τοὺς αἰθίοπας λ. ἔτη γηρᾶν καὶ διὰ τὸ ψύχεσθαι τὰ σώματα ὑπὸ τοῦ ἡλίου διαφλεγομένους. τοὺς δὲ ἐν τῇ Βρετανίᾳ, ρ. κ. ἐτῶν γηρᾶν. διὰ τὸ στέλλειν ἐν αὐτοῖς τὸ πυρῶδες. τὰ μὲν γὰρ τῶν αἰθιόπων σώματα ἀραιότερα, διὰ τὸ κεχαλᾶσθαι ὑπὸ τοῦ ἡλίου. τὰ δ' ὑπὸ τὴν ἄρκτον πεπυκνῶσθαι καὶ διὰ τοῦτο πολυχρόνια.

ΓΑΛΗΝΟΣ ΣΩΛΟΝΙ ΑΡΧΙΑΤΡΩ ΠΕΡΙ ΕΥΠΟΡΙΣΤΩΝ.

Λείπει.

ἄλλο. Σπυράθους τουτέστιν ἀφοδεύματα αἰγὸς λειοτριβήσας κατάχριε τὸ μέτωπον καὶ κατάδησον φασκίᾳ. ποίει δὲ πρωῒ καὶ δείλης. καὶ ἰάσῃ τὸν κεφαλαλγοῦντα. ἄλλο. εὐφόρβιον καὶ μέλαν γραφικὸν λειώσας μετ' ὄξους κατάχριε τὸ μέτωπον. ἄλλο. παῖς ἄφθορος οὐρησάτω ἐπὶ τὴν οὐδὸν τῆς θύρας τοῦ πάσχοντος. σὺ δ' ἐπιβάλλων ὄξος τρίβε ἀμφότερα εἰς ἓν ἐπὶ τὴν οὐδόν, ὡς γλοιοῦ γίνεσθαι πάχος. καὶ καταχρίε τὸ μέτωπον αὐθωρόν.* ἄλλο. ἐάν τις τίκτουσα κεφαλὴν πονῇ σποδὸν ὄξει φυράσας κατάχριε. ἄλλο δάκρυον κισσοῦ μετὰ ὄξους καὶ ῥοδίνου λειώσας κατάχριε τὸ μέτωπον. ἐπίθεμα πρὸς ταῦτα. κάρδαμον φυράσας ὄξει καὶ ῥοδίνῳ καὶ ποιήσας κηρωτῆς τὸ πάχος ἐπιτίθει ἀπὸ κροτάφου ἐπὶ κρόταφον, παραχρῆμα τῆς ὀδύνης παύει.

Πρὸς ἑτεροκράνιον.

Ἀκακίαν λαβὼν μίξας κηρωτῇ ῥοδίνῃ χρῶ. ἄλλο. μιχώειον ἐπιτιθέμενον καὶ πόνους κεφαλῆς καὶ τὰς ἐγκαύσεις τὰς γινομένας ἀφ' ἡλίου παύει.

Πρὸς ἐπιληπτικοὺς πότιμα.

Ἰκτῖνον καύσας ζῶντα ἐν χύτρᾳ δίδου πίνειν τὴν τέφραν καὶ ὑγιάσεις. ἄλλο. ἧπαρ αὐτοῦ καύσας καὶ τρίψας δίδου δι' ὕδατος. ἄλλο. κόπρον ὀνείαν φρύξον, καὶ λάμβανε ἀπ' αὐτῆς ὅσον κοχλιάρια β. καὶ πότιζε καθ' ἡμέραν καὶ ἀπαλλαγήσεται τοῦ πάθους. τοῦτο τῶν λίαν πεπειραμένων ἐστίν. ἄλλο. ὄρον κάπρου ἐν καπνῷ ξηρὸν ποιεῖ ποτιζόμενον δι' ὀξυμέλιτος. ἔστω δὲ τοῦ ὄρου τὸ μέγεθος κυάμου αἰγυπτίου, μάλιστα δὲ συάγρου. ἄλλο. κόπρος τράγειος ποιεῖ διδομένη, ἕως πεντεκαίδεκα πυράθων. ἄλλο. μαλάχης ἀγρίας χυλὸν δίδου ἐπὶ ἡμέρας. λ. πίνειν νῆστιν, καὶ ἰάσῃ. ἄλλο. γαλῆς αἷμα περίχριε, καὶ τὴν γαλῆν δίδου φαγεῖν, ἀποκόπτων αὐτῆς τοὺς πόδας, καὶ τὴν κεφαλήν. ποιεῖ ὁμοίως καὶ πρὸς χοιράδας διδομένη γαλῆ. ἄλλο. μῦν ἀνατεμὼν ἐν λυχνοσελήνῳ, δέξαι αὐτοῦ τὸ ἧπαρ, καὶ ὀπτήσας, δὸς φαγεῖν τῷ πάσχοντι. ἄλλο ὀσφραντικὸν πρὸς ἐπιληπτικούς. τιθύμαλλον τρίψας μετὰ ὄξους καὶ ἀλφίτων μάζια ποιήσας δίδου ὀσφραίνεσθαι τῷ ἐπιληπτικῷ καὶ οὐ πεσεῖται. ἐπιθυμίαμα τῷ γνῶναι εἰ ἔστιν ἐπιληπτικός. λίθον ἐπιθυμίασον τὸν ἀγάτην, αὐτῷ συμπεριβαλών, ὡς μὴ διασκίδνασθαι τὴν ὀσμήν, καὶ καταπεσεῖται εἴπερ ἑάλω τῷ πάθει. πότιμα πρὸς τὸ γνῶναι εἰ θεράπευτοί εἰσιν οἱ ἐπιληπτικοί. ἀκακίας δραχμὴν ὕδατι δοὺς πότιζε. ἐὰν ἐμέσῃ, ἀνίατον ἐστίν. ἐὰν δὲ πυρέξῃ, πότερον συμφέρει αὐτῷ. ἀστροπλήκτων θεραπεία. ὄνου οὖρον κατάχεε αὐτοῖς, καὶ θεραπεύονται. ἐὰν πεπτωκότα ἐπιληπτικὸν θέλῃς ἐγεῖραι παραχρῆμα. θύμον ἢ γλήχωνα τρίψας προσένεγκε αὐτοῖς τοῖς μυκτῆρσι.

Καθαρτικὸν διὰ μυκτήρων.

Ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης τὸν χυλὸν εἰς τοὺς μυκτῆρας ἐνθείς, κέλευε ὕπτιον ἀνανεύσαντα. τοῦτο δὲ βοηθεῖ πᾶσι τοῖς περὶ κεφαλὴν ὀχλουμένοις. ἄλλο. μελάνθιον χυλίσας μετὰ ὑδρομέλιτος ἢ ἴρεως, οὕτως χρῶ, ἔλαιον παλαιὸν μίξας. ἄλλο. σεύτλου ῥίζαν χυλίσας ἔγχει εἰς μυκτῆρας καὶ καθαίρει.

Περὶ ὤτων. καὶ πρῶτον πρὸς τὰς διαθέσεις τὰς ἐν τοῖς ἀκουστικοῖς πόροις,

Ἐγκλύζας οἴνῳ κεκραμένῳ ἢ ὑδρομέλιτι τὸ οὖς ἔνσταζε λύκιον λειάνας ἐν λεπυρίαις. πρὸς φλεγμονὰς καὶ πόνους. σκορόδου τὸ ἐντὸς ἀμυγδαλοειδὲς θλάσας μετὰ ἐλαίου εἰς ξύστραν θερμάνας ἔγχει τὸ ἔλαιον εἰς οὖς καὶ ἄπονος ἔσται. πρὸς περιωδυνίαν. ἧπαρ χήνειον τεταριχευμένον τήξας μετὰ νάρδου καὶ ἀρμάξας εἰς τὸ οὖς ἐντίθει. πρὸς ὦτα πυορροοῦντα. στυπτηρίαν ὑγρὰν ἀνείς, ὕδατι ἔμβαλον εἰς ὑέλινον ἀγγεῖον, καὶ λειάνας ἔνσταζε. πρὸς τὰ πυορροοῦντα καὶ περιωδυνοῦντα. πράσου χυλὸν μέλιτι δεὶς χρῶ. ἄλλο. ὄπιον ἀνεὶς γλυκεῖ εἰς τὸ οὖς ἔνσταζε χλιαίνων. ἄλλο. κεδρίαν ἐν ὀλίγῳ ναρδίῳ ἔνσταζε. ἄλλο. μέλι καὶ ἔλαιον ἐν κελύφεσι ῥοῶν χλιάνας ἔνσταζε. πρὸς τερηδόνας καὶ πυορροοῦντας. στυπτηρίαν σχιστὴν μετ' ὄξους καὶ γλυκέος ἑψήσας ἔνσταζε ποιῶν μέλιτος πάχος. ἐνεργὲς ἐπὶ προσφάτου, καὶ ἐπὶ χρονίου. πρὸς ἤχους καὶ περιωδυνίας. κεδρίαν μέλιτι μίξας ἔνσταζε. ἄλλο. ἀλόην ἡπατικὴν μετὰ οἰνομέλιτος ποιῶν γλοιοῦ πάχος ἔνσταζε. ἄλλο. ἀλώπεκος στέαρ ἀνειμένον ἔνσταζε. ἄλλο. νάρδιον χλιαρὸν ἔνσταζε. ἄλλο κασίαν μετὰ

σίαν μετὰ ῥοδίνου ἔνσταζε. ἄλλο. σιλφὰς τὰς κατοικιδίους μετὰ ῥοδίνου θερμαίνων ἔνσταζε. πρὸς τὰς κατὰ μικρὸν παρακουσίας. θρία οἰσυπηρὰ προβρέξας ὄξει ἐκχυμάτιζε, καὶ ἐξ αὐτοῦ τοῦ θρίου ἐντίθει εἰς τὸ οὖς. ἄλλο. ῥοᾶς ἀώρου τοῦ χυλῷ μετὰ μέλιτος χρῶ. ἢ χίνου τοῦ χυλῷ, ἢ περδικίου βοτάνης ἢ κύπρου ἢ βάτου. τούτων τὸν χυλὸν κατ' ἰδίαν ἑκάστου, ἢ καὶ μετὰ μέλιτος σμήγων, καὶ ἑψῶν χρῶ. ἢ ἀρνογλώσσου, ἢ θειδακίνης ἢ πολυγόνου χυλοῦ ὁμοίως χρῶ. πρὸς πόνους χωρὶς ἑλκώσεως. θεῖον ἄπυρον ἐμφύσα διὰ συριγγίου. ἄλλο. ὄπιον ἀνιεὶς γυναικείῳ γάλακτι ἔνσταζε. πρὸς δυσηκοοῦντας. ἀψίνθιον ἀφέψων διὰ ὕδατος. κλύζε τὸ οὖς τῷ ἀφεψήματι. πρὸς τοὺς ἐκ γενετῆς κωφούς. αἰγὸς νεωστὶ ἐσφαγμένης τὸ κέρας πλῆσον οὔρου αἰγός, καὶ κρέμασον εἰς καπνὸν ἐπὶ ἡμέρας θ. καὶ χρῶ. πρὸς τοὺς ἐκ βάθους ἤχους. ὄξος καὶ ῥόδινον. πήγανον. κύμινον λεάνας μετὰ μέλιτος χρῶ. πρὸς βόμβους καὶ ἤχους ἐξαπίνης γινομένους. ὄξος δριμὺ χλιαίνων ἔνσταζε. ἄλλο. βετονίας μέλιτος, καὶ ἐλλεβόρου λευκοῦ, καὶ ῥοδίνου λεάνας ἔνσταζε. πρὸς ἀλγοῦντα καὶ πυορροοῦντα. ὄξος καὶ μέλι καὶ ῥόδινον μίξας, καὶ χλιάνας χρῶ. πρὸς παρακουσίας. εὐθύπαστον ἐλαίου* στέαρ ἔνσταζε, καὶ σπόγγῳ τὸν τόπον ἐπέχει. ποιεῖ καὶ πρὸς τὰ νευρώδη σμιγόμενον καὶ μετὰ ἀλωπεκίου στέατος. καὶ ἰουλίσι ἴσοις. πρὸς ἀλγηδόνας καὶ φλεγμονάς. ἀσφοδέλου ῥίζαν καθάρας βάλλε εἰς ἔλαιον ἐν ἀγγείῳ ὑελίνῳ καὶ ἡλίαζε ταῖς ὑπὸ κυνὸς καύμασιν ἡμέραις μ. καὶ χρῶ. πρὸς τὰ ἡλκωμένα καὶ πυορροοῦντα σαύρας τὰς μικρὰς λαβὼν τῆξον ἐλαίῳ καθαρῷ, καὶ οὕτως ἐγχυμάτιζε, καὶ ἐὰν σκώληκας ἔχῃ ἰᾶται. πρὸς τὰ ἐν ὠσὶ σκωλήκια, καὶ τὰ παρεισδυόμενα εἰς τὰς ἀκοάς. κρόμμυα καὶ ὕσσωπον τρίψας οὔρῳ παλαιῷ ἐγχυμάτιζε. κολοκυνθίδος τῆς ἐντεριώνης τοῦ σπέρματος, στυπτηρίας αἰγυπτίας ἴσα μετὰ κεδρίνου ἐλαίου λειώσας ἐγχυμάτιζε. πρὸς τὸ ῥύπον ἐξελεῖν κροκίδα βρέξας μυροβαλάνῳ ἔνθες, καὶ εὑρήσεις τὴν κροκίδα πλήρη τοῦ ῥύπου. ἄλλο. νίτρον μετὰ ὄξους ἔμβαλλε εἰς τὸ οὖς, καὶ ἐπίσταξον ὄξος καὶ πρόσθες θρίον ἔασον ἐννυκτερεῦσαι τῇ δὲ ἐπιούσῃ κλύσον ὑδρελαίῳ θερμῷ. πρὸς ὠταλγίαν. ἁλὸς ἄνθος μετὰ ῥοδίνου καὶ ὄξους ἔνσταζε. πρὸς τὰ πυορροοῦντα. καὶ παρωδηκότα νίτρον μετὰ ῥοδίνου διεὶς ἐγχυμάτιζε τὸ οὖς. ἄλλο. ἐλλέβορον λευκὸν μετὰ οἴνου, ἢ ὄξους ἔνσταζε σὺν στυπτηρίᾳ. καὶ χυλὸν καλαμίνθης ῥίζας συλλειοτριβήσας μετ' ὄξους ἐγχυμάτιζε. ἄλλο πρὸς τὰ χρόνια. λύκιον καὶ μέλισσα μίξας χρῶ. πρὸς φλεγμαίνοντα. † κωδίων κελύφη κόψας εἰς ὠμὴν λύσιν, ἕως τρίτου μέρους, καὶ ἑψήσας ἐν γλυκεῖ κεκραμένῳ κατάπλασσε.

Πρὸς μυκτῆρας ἡλκωμένας καὶ πολύποδας καὶ ὀζαίνας.

Ἀφρυγιλλίῳ παραστάτῃ διαστέλλων τοὺς μυκτῆρας, καὶ πρὸς δυσωδίαν λευκοῖου ἄνθους μήπως ἐκπεπτωκότος τοῦ βλαστοῦ ἐπιτιμώων τρίβων τε μεθ' ὕδατος, πάχος ποιῶν μέλιτος, ἐφάπτου. τῶν ἡλκωμένων. ἄλλο. ἴον ἑφθὸν μετὰ μέλιτος περίαπτου. πρὸς τὰς ἐνδοτέρω φλεγμονάς. στέαρ χήνειον χυλῷ πράσου καὶ στρύχνου διεὶς ἴσον διάχριε ἐπὶ ἡμέρας. πρὸς τὰ ἐν μυκτῆρσιν ἕλη σκληρώδη. μόλιβδον λεάνας ἐπίχεε οἶνον ἀπαράχυτον καὶ μύρσινελαίου τὸ ἀρκοῦν, ἵνα ἔχῃ μέλιτος πάχος. ἄλλο. λεπίδα ἑψήσας μετὰ μέλιτος χρῶ.

Αἷμα ἀπὸ μυκτήρων ἐπισχεῖν.

Ἡδύοσμον ἀναλαβὼν μέλιτι καὶ κολλύρια ποιήσας, θὲς εἰς τοὺς μυκτῆρας. πρὸς τοὺς ἀπὸ μυκτήρων αἱμορραγοῦντας. πήγανον τρίψας ἀναλάμβανε ἐλαίῳ καὶ εἰς τοὺς μυκτῆρας ἐπιτίθει. ἄλλο. κόμμι καὶ λιβανωτὸν λεάνας καὶ διεὶς ἐν ὄξει τίθει. ἄλλο. σποδὸν κυπρίαν μετὰ πράσου χυλοῦ διαλύσας χρῶ. ἄλλο. σπόγγον κεκαυμένον μετὰ πίσσης, ξηρῷ χρῶ ἐν μότῳ. ὀξυσχοίνου ἄνθος ἐντίθει τοῖς μυκτῆρσιν. πρὸς τὰς ἀκατασχέτους αἱμορραγίας, καὶ μάλιστα ὅταν χρονίως πυρέξαντες αἱμορραγῶσιν. πυρεῖον ἐντίθει. ὅτε μὴ ξηρόν. ὅτε δὲ κολλύριον ποιῶν ἰσομέγεθες τοῖς μυκτῆρσι. καὶ οὕτως ἐπιτίθει. κατάπλασσε τούτοις καὶ τοὺς μυκτῆρας καὶ τὰς παρειὰς καὶ τὸ μέτωπον. ἄλλο. διφρυγὲς καύσας, καὶ λειοτριβήσας μετὰ ὄξους κατάπλασσε. ἄλλο. ἔριον βρέξας εἰς τὸ λευκὸν τοῦ ᾠοῦ ἐντίθει. ἄλλο, πολυγόνου χυλῷ βρέχων ἔριον ἐπιτίθει. ἢ στρύχνου χυλῷ.

Ἄλλο. πήγανον τρίψας λεῖον μετ' ὄξους κατάπλασσε, καὶ ἐπιθυμία. δεῖ δὲ χρῆσθαι τοῖς δυναμένοις ἐπισχεῖν, καὶ ἐπουλεῖν τὴν φορὰν τοῦ αἵματος, τοιούτοις οὖσιν, οἷον κώνειον ὑποθυμία τοῖς μυκτῆρσι, καὶ τῇ ἀπὸ φορᾶς ἕλκει. τὸ περιεσφίγγειν δὲ καὶ τοῖς δακτύλοις τοὺς μυκτῆρας. μύει δὲ τὰς ἀκοὰς κηρωτῇ, ἢ ἄλλῳ τινὶ ἐπιμελῶς. ἢ καὶ τὴν ἀκροποδίαν ἐπιδεσμεῖν παπύρῳ, ἐπὶ δὲ γυναικῶν θηλὴν τοῦ μαζοῦ ὁμοίως. χρῆσθαι δὲ καὶ τοῖς ψύχειν δυναμένοις κατὰ τοῦ μετώπου καὶ τῆς κεφαλῆς. εὔθετον δὲ σικύαν τῇ κεφαλῇ προσάγειν, ἢ καὶ τὴν ἐν μετώπῳ φλέβα λύειν. ποιοῦσι δὲ καὶ οἱ πταρμοὶ πολλάκις στῆσαι. ἢ βούγλωσσον τὴν βοτάνην ὁμοίως, ἢ ὀνίδα διαλύσας ἐν ὄξει προστίθει τοῖς μυκτῆρσιν.

Πρὸς τοὺς ῥέγχοντας.

Ἄνηθον ὑποτίθει ὑπὸ τὴν κεφαλὴν μὴ γινώσκοντος. ποιεῖ δὲ τοῦτο καὶ πρὸς τοὺς ἐκ σκιμπόδων ἐξαλλομένους.

Πρὸς στίγμα, καὶ αἴραν χωρὶς οὐλῆς καὶ ἕλκους.

Ἀποσμήξας τὸν τόπον νίτρῳ, ῥητίνῃ τερεβινθίνῃ κατάπλασσε. καὶ ἔασον ἡμέρας ε. καὶ οὕτως λύσας κατακέντησον τὰ στίγματα γραφείῳ, ἔπειτα λιβάνῳ χρῶ μετὰ νίτρου καὶ μετὰ μέλιτος ἴσον ἑκάστου κατάπλασσε, ὡς πάχος κηρωτῆς ὑγρᾶς, λύε δὲ καὶ καταντλεῖ. ἄλλο. ἐλλέβορον λεῖον μετ' ἄρτου κατάπλασσε, ἢ ὀξύγαλα καθ' ἑαυτὸ κατάπλασσε. ἄλλο. συκῆς φλοιὸν λεῖον κατάπλασσε. ἄλλο. σταφίδα ἀγρίαν κατάπλασσε.

Πρὸς ἀλφοὺς καὶ ἔφηλιν καὶ φακοὺς καὶ τὰ τοιαῦτα.

Σικύου ἀγρίου ῥίζης χυλοῦ κεκομμένου, καὶ σεσησμένου σμῆχε τὸ πρόσωπον. ἄλλο. ἀλκυόνιον μετὰ οἴνου τρίψας κατάπλασσε. ἄλλο. ἀγρίαν ἄμπελον κόψας μετὰ οἴνου αἰγυπτίου κατάχριε λειοτριβήσας. ἄλλο, εὐζώμου ἀγρίου ῥίζαν τρίψας καὶ ἀναλαβὼν χολῇ προβατείᾳ, κατάχριε τὸ πρόσωπον νίτρῳ. ἄλλο. ἐλατήριον λειοτριβήσας μετὰ ὄξους, καὶ ποιήσας μέλιτος πάχος κατάχριε μετὰ κηρωτῆς μίξας

ἄλλο. κινάβαρι μετὰ μέλιτος χρῖε τὸ πρόσωπον. ἄλλο. κάχρυος σπέρμα λειώσας, αὐτοὺς τοὺς φακοὺς κατάχριε. καὶ ὅταν ξηρανθῇ ἔκπλυζε. ἄλλο. Σικύου ἀγρίου τὴν ῥίζαν καὶ συκῆς τοὺς ἀκρέμονας ἕψει ἐν ὄξει καὶ λείοις κατάπλασσε. ἄλλο. κοτυληδόνος ῥίζας λειώσας μετὰ μέλιτος κατάχριε τὸ πρόσωπον. ἄλλο. ἐρυθρόδανον ποιεῖ πρὸς ἔφηλιν καὶ ἀλφούς, ἤγουν κόψας μετὰ ἐλαίου κατάχριε, ζόγχον πικρὸν λειώσας μετὰ μέλιτος κατάχριε. ἄλλο. ἀνήθου σπέρμα τρίψας μετὰ οἴνου παλαιοῦ καὶ ποιῶν μέλιτος πάχος ἐπίχριε τὸ πρόσωπον, καὶ ἐννυκτερευέτω. πρωῒ δὲ ἐκτρίβων, μεμασημένου δὲ αὐτοῦ. πρὸς ἔφηλιν καὶ φακούς. σὺν λευκῷ ἴῳ μετὰ ὕδατος κατάχριε. ἄλλο. ἀφρόνιτρον λειώσας μετὰ κηρωτῆς ἐσκευασμένης διὰ κηροῦ τυῤῥηνικοῦ κατάχριε τὸ πρόσωπον. πρὸς ἀλφοὺς καὶ χρῶμα λευκόν. ἀλκυόνιον καύσας μίξον μέλιτι καὶ κατάχριε, καὶ ἀλεύρῳ μίξας ὀροβίνῳ καὶ σιτίνῳ σμηχέσθω θερμῷ ὡς τὰ μάλιστα. ἄλλο. ἀμύγδαλα πικρὰ λελεπισμένα ὄξει δριμεῖ ἀναλαβὼν κατάπλασσε. ἄλλο. ὠκίμου σπέρμα τρίψας μετ' ὀρνιθείου στέατος, ἢ χηνείου κατάχριε. ἄλλο. τῆλιν μετ' ὄξους λίαν κατάχριε ἀφίστησι λεπίδας. πρὸς ἔφηλιν καὶ φακούς. σμύρναν καὶ κρόκον μεθ' ὕδατος λεάνας κατάχριε. ἄλλο. πορφύρας, ἢ κήρυκας λαβὼν εἰς πολταείδιον(?) δὸς εἰς κάμινον ὀπτηθῆναι, καὶ λεάνας μετὰ μέλιτος χρῶ.

Ποιοῦν λευκὸν καὶ τεταμένον τὸ πρόσωπον.

Σικύου ἀγρίου τὰς ῥίζας τέμνων ψύχον, καὶ ἑψήσας δι' ὕδατος τρίψον λεῖον κατάπλασσε. στίλβον ποιοῦν τὸ πρόσωπον. ὀρόβους οἴνῳ εὐώδει λειώσας κατάπλασσε. ἄλλο. σεμιδάλεως χυλὸν καταστήσας ἀπόχεε τὸ ὑγρόν, καὶ τῇ ὑποστάθμῃ πρόσμιξον ᾠοῦ τὸ λευκὸν ποιῶν μέλιτος πάχος, καὶ τούτῳ χρίων τὸ πρόσωπον ἐλαίῳ διατρίβε, ἀπὸ δὲ τοῦ ἡλίου γινόμενος ψυχρῷ πρόσκλυζε πολλῷ. ὥς τε εὔχρουν ποιεῖν εἰς μίαν ἡμέραν † ὕκος ἑψήσας ἔμβαλλε στυπτηρίαν ὀλίγην. εἶτα κονίαν προσμίξας τρίψας χρῶ πολλῷ χριόμενος ἐλαίῳ ὥστε εὔχρουν τὸ πρόσωπον καὶ τὸ χρῶμα ποιῆσαι ἡδὺ ὅλον. πελεκήματι κυπαρίσσου καὶ πρίνου ἐν ὕδατι αὐτῷ ζέσας, ἄλειφε ὅλον τὸ σῶμα. ἄλλο. λιβανωτὸν καὶ παιδέρωτα ἴσα μίξας μετὰ μέλιτος τρίψας χρῖε τὸ πρόσωπον, καὶ ἔα δι' ὅλης ἡμέρας. εἶτα ἀπόκλυζε. ἄλλο. λίνου μίξας τρύγα σύγχριε εἰς τὸν ἥλιον μέλλων πορεύεσθαι προεκνιτρώσας τὸ σῶμα.

† αλ. φῦκος

Πρὸς τὸ μὴ ὑπὸ ἡλίου ὑποκαίεσθαι ἀλλὰ καὶ τὴν ἐκκαυθεῖσαν ὄψιν ἰᾶσθαι.

Βολβὸν λευκὸν λεῖον μετὰ μέλιτος κατάχριε. ἐὰν οἰδῇ τὸ πρόσωπον χωρὶς φλεγμονῆς γῆν μέλαιναν τρίψας δι' ὕδατος κατάχριε. ἄλλο. ἀλκυόνιον μετὰ νάρδου κελτικῆς λείοις ἅμα.

Πρὸς χείλη κατεῤῥωγότα.

Κηκῖδα ὀμφακίνῃ λείαν ἀναλάμβανε, ἢ ῥητίνῃ τερεβινθίνῃ σὺν ὑσσώπῳ καὶ μέλιτι, καὶ ἐπίχριε. πρὸς τὰς βαθυτέρας διαῤῥήξεις ἐνάλειφε αἰγείῳ θεραπευομένῳ λίπει.

Πρὸς τὸ εὐωδεῖν τὸ στόμα.

Ἐὰν ἀποβρέξας οἴνῳ παλαιῷ εὐώδει τὸ διακλύζῃ συνεχῶς κατέχων ὀλίγον ἐν τῷ στόματι χρόνον. ἄλλο ἕρπυλλον ἀποβρέχων οἴνῳ διακλύζου ἐπ' ὀλίγον. Πρὸς δυσφόρους ὀσμὰς χωρὶς ἑλκῶν γινομένας. τινὲς ἀκράτῳ διακλύζονται μετὰ σμύρνης. καὶ τοῦ σχοίνου δὲ ἄνθος λεάναντες παρατρίβουσι τὰ αὐτά, καὶ κιμωλίαν ποιήσαντες μεθ' ἁλὸς παρατρίβουσιν, ὁμοίως καὶ μαρμάρῳ ὀπτῷ μετ' ἀνίσου. ὁμοίως δὲ καὶ κειβὰς μετὰ ἁλὸς καὶ μέλιτος. τινὲς δὲ καὶ ὀθόνιον καίουσι καὶ ἐμβάλλουσι, καὶ οὕτω λείῳ χρῶνται, καὶ κισσήρει καὶ νάρδῳ, καὶ σμύρνῃ μετὰ μέλιτος. καὶ σεμίδαλιν καὶ ἶριν μέλιτι μίξαντες καίουσι καὶ τούτῳ χρῶνται. καὶ τῶν ὀστρέων τῇ πορφύρᾳ καὶ κήρυκι καὶ σμύρνῃ, καὶ ὅταν πρὸς κοίτην ἀπέρχονται ὄξει δριμεῖ διακλύζονται. διαμασῶνται δέ τινες καὶ τὰ τῆς πίτυος φύλλα, ὅταν ἐκπορεύονται, καὶ ὕδατι διακλύζονται. τινὲς δὲ καὶ ἄνισον διαμασσῶνται. ἢ γλυκύῤῥιζον. ἢ ἶριν. ἤ τι τοιοῦτον ἐκπορευόμενοι.

Πρὸς τὸ λευκαίνειν ὀδόντας, καὶ τὰ πάθη αὐτῶν.

Χρῶνται δὲ καὶ ὀδοντοτρίμμασι τοιούτοις τισὶ ποιοῦσιν ἅμα πρὸς τὰ οὖλα, καὶ ὀδόντας λευκαίνουσι καὶ στερεοῦσι, γῆν ἐρετριάδα καύσαντες καὶ λειώσαντες χρῶνται, λευκαίνει γὰρ τοὺς ὀδόντας σφόδρα καλῶς ὀροβίνῳ βρέχων ἐν οὔρῳ λεῖον κατάχριε. ἄλλο. δασύποδος κεφαλὴν καύσας μίξον τῷ μαράθρῳ, ὡς λευκότατα καὶ σηπίας ὀστράκοις λείοις χρῶ. ἄλλο. ἐλάφειον ὀστοῦν καύσας καὶ λειώσας χρῶ. γὰρ καὶ τοὺς πόνους τῶν ὀδόντων ἰᾶται καὶ μετὰ ῥοδίνου χριόμενον κεφαλαλγίας παύει. ἄλλο. γλήχωνα καὶ ἁλὸς πεφρυγμένου μίξας εἰς τὰ αὐτὰ λείοις χρῶ. ἄλλο. ἀστράγαλον προβάτειον καύσας ὁμοίως χρῶ. ἄλλο. κειβὰς ὀπτήσας μεθ' ἁλὸς λείοις χρῶ. διάκλυσμα πρὸς ἕλκη καὶ ὀδόντας σειομένους † ὀζασοῦντας. ἀλικακάβου ῥίζαν καθεψήσας μετὰ σιδίων λιπαρῶν κατάχριε. ἄλλο. λευκῆς ῥίζαν καὶ περιστερεῶνος βοτάνης τὴν ῥίζαν, ἢ ἠρυγγίου ῥίζαν, ἢ αὐτὸ τὸ ἤρυγγι) ἢ πολίου ῥίζαν λειώσας κατάχριε. πρὸς κινουμένους ὀδόντας. ὄνου χηλὴν καύσας τρίψον ὄξει ἀναλάμβανε. καὶ ποιῶν κυκλίσκια ἀπόθου καὶ χρῶ ἀνιῶν ὄξει. ἕνα κυκλίσκον δίδου διακλύζεσθαι, παύει παραχρῆμα τοὺς πόνους καὶ ἵστησι. ἄλλο. χαμαιλέων μέλας διακλυζόμενος παύει ὀδονταλγίας. γὰρ καὶ μῦς κτείνει. ἄλλο. σεύτλου διακλυζόμενος χυλὸς ὀδονταλγίας παύει παραχρῆμα. ἄλλο. ὑοσκυάμου ῥίζαν διάκλυζε θερμοτέρως, καὶ ἄπονος ἔσται. ἄλλο. πήγανον καὶ ὕσσωπον καὶ σμύρναν μετ' οἴνου λεάνας διακρατείτω. ἄλλο. φλόμου ῥίζαν ἑψήσας μετὰ ὄξους. ἢ οἴνου ὀξυκράτου δίδου διακλύζεσθαι. ἄλλο. νίτρον σὺν ἐλαίῳ δίδου διακλύζεσθαι καὶ ἄπονον ποιεῖ. ἄλλο. σφαιρία κυπαρίσσου ἑψηθέντα διὰ οἴνου καὶ ῥόδου διακλυζέσθω. ἐὰν δὲ ὅλοι πονῶσιν οἱ ὀδόντες, κεδρίαν διακλύζοντες ἄπονον ποιεῖ παραχρῆμα. ἄλλο. μύλη ἐὰν ἀλγοῦσα ᾖ, μονοκλώνου μολόχης ῥίζαν ἐφάπτου καὶ ἄπονος ἔσται. δίδου διαμασήσασθαι τοῖς ἀλγοῦσι τοὺς ὀδόντας περδικίου τῆς βοτάνης ῥίζαν εἰσερχομένοις εἰς τὸ βαλανεῖον καὶ διακρατείτω τὴν μύλην μέχρις ἂν ἐξέλθῃ καὶ ἄπονος ἔσται. ἄλλο. πυρέθρου ῥίζα διαμασηθεῖσα

† αλ. καὶ ἀσατοῦντας.

αὐθημερὸν τὸν πόνον παύει. ἄλλο. Βοτάνης ποντίτιδος ῥίζα διαμασηθεῖσα παύει τὸν πόνον. ὑποθυμίαμα τοῖς ἀλγοῦσιν ὀδοῦσιν. ἀλκυόνιον ὑποθυμία καὶ εὐθέως ἄπονος ἔσται. ἄλλο. ὑοσκυάμου σπέρμα ὑποθυμιαθὲν, ἄπονον ποιεῖ. πρὸς δυσωδίαν ὀδόντων. κιμωλίαν μεθ' ἁλὸς διάτριβε χρίων τοὺς ὀδόντας. ἄλλο. ὀδόντα κυνὸς λαβὼν ἐπὶ πῦρ ἐπίθου καὶ ὑποθυμία, ἅμα γὰρ τῷ καίεσθαι στερεοῦνται. πρὸς βεβρωμένους ὀδόντας. πρὸς τοὺς δὲ βεβρωμένους ὀδόντας ἔμβαλε πέπερι λευκὸν, λεῖον ἀνιεμένον χαλκάνθῳ. ἢ κηκίδα. ἢ μετὰ μέλιτος πίσσαν ἐντίθει εἰς τὸ βρῶμα, καὶ ἄπονον ποιήσει. ἄλλο. τὸν τοῦ λίμακος λίθον θραύσας εἰς σησαμοειδῆ μεγέθη, καὶ ἐπίθου εἰς τὸ βρῶμα τοῦ ὀδόντος καὶ παραχρῆμα ἄπονον ποιεῖ. ἐπιπωμάτιζε δὲ κηρῷ. ἄλλο. ἧπαρ ταύρου, ἡσυχῶς, πεφρυγμένον καὶ ἐντιθέμενον εἰς τὸν ὀδόντα, ἅμα τῇ τήξει ἄπονον ποιεῖ. ἄλλο. ὄνυξ χελώνης ἐντιθέμενος τῇ βεβρωμένῃ μύλῃ ποιεῖ καλῶς. ἄλλο. χολὴ ἄρκτου ἐντεθεῖσα αὐτίκα ἀπόνους ποιεῖ, θεραπεύει δὲ καὶ πάντα τρόπον ἐπιχριομένη. πρὸς κινουμένους ὀδόντας. τὸ τῆς χελώνης αἷμα διακρατούμενον ἐν τῷ στόματι στερεοῖ. ἄλλο. ἀλκυόνιον ἰνδικὸν ἐν οἴνῳ τριπτὸν διακλύζεσθαι καὶ ἵστησι τὴν κίνησιν. πρὸς τοὺς ἐκ πληγῆς κινουμένους ὀδόντας. κοράλλιον ἐπιτίθει καὶ κράτει ἐπὶ ἱκανὸν χρόνον. χωρὶς σιδήρου ἀπόνως ἆραι ὀδόντας. περιπλάσας ζύμῃ ἔασον αὐτὸν ὀλίγον. εἶτα περίχυσον αὐτὸν σαύρας αἵματι, καὶ ἐκπεσεῖται. ὥστε αὐτόματον ἐκπεσεῖν. πύρεθρον ἐν ὄξει φυράσας καὶ ταριχεύσας ἐπὶ ἡμέρας λ΄. ἐν τούτῳ περίπλασσε τὸν ὀδόντα καθάρας. ἄλλο. ἀρτεμισίαν τὴν βοτάνην ἐν ὄξει τρίψας περίπλασσε. ἄλλο. περιχαράξας τὸν ὀδόντα κάμπαις ταῖς εὑρισκομέναις ἐπὶ ταῖς ἀκρέμοσι τῶν βοτανῶν καὶ κράμβων κατάχριε φυλασσόμενος τοὺς ἄλλους ὀδόντας. εἰ δὲ τοὺς κάτω ἆραι θέλεις ταῖς εὑρισκομέναις ὑποκάτω χρῶ. ἄλλο. σανδαράχην ἐν ὄξει τρίψας χρησίμως ἔασον ξηρανθῆναι καὶ χρῶ ξηρῷ ἀμάξας τὴν μύλην, ἐάσας γὰρ βραχὺ ἑλκύσεις τοῖς δακτύλοις αὐτήν, ἢ κολοκυνθίδος ἀγρίας ἐντίθει ῥίζαν τῷ ὀδόντι. ἄλλο. Μοίδου* ὀμφακίτου ῥίζαν ξηράνας ἐν σκιᾷ καὶ κόψας καὶ σήσας, περίπασσε τὰς ῥίζας καὶ μετ' ὀλίγον ἐπιλαμβάνου τοῖς δακτύλοις καὶ ἀκολουθεῖ, ἢ τῷ τῆς αἰθιοπικῆς ἐλαίας δακρύῳ παράπτου τοῦ πεπονθότος ὀδόντος. ἄλλο. σαύραν ἀγρίαν ξηράνας, καὶ ἀναχίσας καὶ κόψας ἀπόθου ὅταν περικαθάρῃς τὸν ὀδόντα ἐντίθει. καὶ μετ' ὀλίγον ἕλκε καὶ ἀκολουθήσει. ἄλλο. κόκκους κνίδης μίξας μετὰ χαλβάνης περίπλασσε τῷ πάσχοντι καὶ παραχρῆμα πεσεῖται. ἀπόνως ἆραι ὀδόντας. Ἡ τῆς ξανθοῦ βοτάνης ῥίζα θερμαινομένη καὶ πρὸς τῷ ὀδόντι εὐθέως. αἴρει τοῖς δακτύλοις. ὥστε τοῖς δακτύλοις αἴρειν. κολοκυνθίδας ἀγρίας κόψον. καὶ ὄξει ἀπόβρεξον, ὥστε πάχος χεῖν μέλιτος. καὶ ἀπόβαπτε εἰς τὸ φάρμακον τὸ περιχαρακτήριον περιχάρασσε. καὶ κέλευε συμμύσαι τὸ στόμα ἐπ' ὀλίγον. εἶτα ἐπιλαμβανόμενος τοῖς δακτύλοις ἕλκε τὸν ὀδόντα, ἀπόνως ἀκολουθεῖ.

Πρὸς τὰ ἐν τῷ στόματι ἕλκη καὶ σηπεδόνας.

Μελαντηρία κεκομμένη. ποιεῖ δὲ πρὸς ταῦτα καὶ τὸ ὀμφάκινον κατ' ἰδίαν καὶ μετὰ μέλιτος πινόμενον. ποιεῖ δὲ καὶ ἡ γλαύκου ῥὶς θλασθεῖσα μετὰ μέλιτος, καὶ ὕδατος ἴσου διδομένου τοῦ χυλοῦ ἀναγαργαρίζεσθαι.

Πρὸς κιονίδας.

Κνίδα λείαν καθ' αὐτὴν προσάπτου βρέχων τὸν δάκτυλον εἰς ἔλαιον, ἢ εἰς κοχλιάριον βαλὼν παράπτου. ἄλλο. ἀκάνθης αἰγυπτίας τὸ σπέρμα λειώσας ξηρῷ παράπτου. ἰσχάδας νήστει μετὰ φύλλων ἐλαΐνων δὶς φαγεῖν. ὀπὸν κυρηναϊκὸν μετὰ ἁλὸς λειάνας ξηρῷ προσάπτου πρότερον ἀναγαργαρίσας ὕδατι θερμῷ. ἢ χηλὴν καύσας ἐπιμελῶς παράπτου, ἢ ἀσπάλαθον ἐπ' ἀμπελίνοις ξύλοις παράπτου, ποιεῖ καλῶς. ἄλλο. βάτου τοὺς καυλοὺς μετὰ μέλιτος καὶ πίσσης ὑγρᾶς λειώσας κατάπλασσε. ἄλλο. λίθου ἀγηράτου ἄνθος μίξας, δίδου ἀναγαργαρίζειν, ἢ κράμβης χυλῷ μίξας στυπτηρίαν σχιστὴν ἀναγαργαριζέτω, ὠφελεῖ καλῶς. καυστικὸν κιονίδος. μίσυ καὶ ἄσβεστον ἀναλαβὼν ἴσα ῥητίνῃ τερεβινθίνῃ ὑποτίθει καὶ ἔα ὑποκρατεῖν. αἴρει ἐντὸς ὡρῶν τριῶν. ποιεῖ δὲ καὶ πρὸς σταφυλὰς καλῶς τὸ ἀπόῤῥυμα τῆς πίσσης τὸ φερόμενον ἀπὸ κιλικίας λαμβανόμενον εἰς κοχλιάριον καὶ ὑποτιθέμενον. καὶ ὀμφάκιον μετὰ μέλιτος ἢ γλυκέος λίαν, λέγεται δὲ ἀπαθῆ φυλάσσειν τὴν κιονίδα, ἐάν τις φάγας σταφυλῆς καταπίνῃ νῆστις ἑκάστου ἔτους, καὶ οὐδέποτε ἕξει τὸ πάθος. καὶ τοῖς ἐπὶ τῶν παρισθμίων τεχθησομένοις ἀναγαργαρίσμασι χρηστέον ἐπὶ σταφυλῆς παχούσης. πρῶτον καὶ ἐν ἀρχῇ κέλευε ὕδωρ θερμὸν διακρατεῖν, καὶ ἀναγαργαρίζεσθαι ψυχρῷ, ἢ ὀξυκράτῳ, ἢ ῥοιᾶς γλυκείας χυλῷ καθεψημένῳ, μέχρις ἂν σχῇ πάχος μέλιτος, ἀνεθέντι μετ' ὀξυμέλιτος, ἢ ὀξυκράτου, ἢ δρακοντίου χυλῷ καὶ ποιοῦσι καλῶς.

Πρὸς φλεγμονὰς καὶ συνάγχας.

Ποιεῖ δὲ τοῦτο καλῶς ἐπὶ παρισθμίων. οἱ τὰ μύρα κατασκευάζοντες εἰώθασιν ἐν μέλιτι χεῖν, καὶ ἀψινθίῳ. τοῦτο οὖν διαχειρόμενον, ἢ μετά τινος ἀναγαργαριζόμενον θαυμαστῶς ποιεῖ. ἐὰν ἐπιμένῃ τι τῆς φλεγμονῆς μετὰ τοῦ τετραχῶσθαι τὰ παρίσθμια χρηστέον γάλακτι πάντῃ θερμῷ καθ' ἑαυτὸ καὶ μετά τινος τῶν εἰρημένων. ἢ πιτύροις ἀφεψημένοις δι' ὕδατος, ἢ ὑδρομέλιτος, ἢ πιτύρων ἀποβρέγματι, ἢ τραγορίγανος βρέξας ἐν ὕδατι θερμῷ ἄλευρον δὶς, ἢ τρὶς χρῶ τῷ χυλῷ. ἢ ζωμῷ ὀρνιθείῳ, ἢ ἐριφείῳ, ἢ πτισάνην ἕψει μετὰ σταφίδος καὶ τῷ χυλῷ. ἢ μολόχης ἀφεψήματι καθ' αὐτό. ἢ καὶ μετὰ μέλιτος ἕψει τὴν μολόχην. ἢ καὶ μετὰ θερμῶν καὶ μετὰ γλυκέος χρῶ. πρὸς παρίσθμια καὶ συναγχικούς. γλυκυῤῥίζης χυλὸν ἀνεὶς χρῶ, ἐὰν δὲ ἐσχάραι γένωνται πρὸς τὸ ταύτας χαλάσαι, ὑδρομέλιτι ἀναγαργαρίζεσθαι δεῖ. ἢ φακῆς ἀφεψήματι καθ' αὑτὸ καὶ μετὰ ὑσσώπου. ἢ ἴρεως, ἢ κολυμβάδων ἐλαιῶν ὕδατι ἀναγαργαριζέσθω, ἢ κρόκου βραχὺ καὶ σμύρνης μετὰ βραχέος γλυκέος ἀναζεσθέντα. ἢ σῦκα παρεψήσας περίεμπλασσον αὐτοῖς* ὠμηλύσι, καὶ χυλώσας δίηθησον, καὶ τῷ χυλῷ χρῶ. ἢ τῷ τῶν σύκων ἀφεψήματι μίξας νάπυ ὀλίγον δίδου ἀναγαργαρίζεσθαι, φλέγμα γὰρ ἄγει, καὶ λύει τὴν φλεγμονήν. πρὸς δὲ τὰς ἀποστάσεις τὰς ἐν παρισθμίοις συμφέρει τι τῶν εἰρημένων ἀφρονίτρῳ λεῖα πα

ῥάπτου ἐνίοτε δὲ καὶ ἄνθος νίτρου μίσγε. ἀναχύνει γὰρ τὰς ἐσχάρας καὶ τήκει τὰς ἀποστάσεις ἐν διακλύσματι διδόμενον. καὶ στακτῇ κονίᾳ πρασίου τε χυλὸς διηθεὶς, ἢ αὐτὸ τὸ πράσιον τὴν βοτάνην ἐν ὑδρομέλιτι ἑψηθεῖσαν ἢ πηγάνου ἀφεψήματος μετὰ πρασίου, ἢ καθ᾽ ἑαυτό. ἢ ἐν ὑδρομέλιτι καθεψηθὲν ποιεῖ. καὶ ὁ χυλὸς ἀναγαργαριζόμενος. καὶ ὀρόβων ἀφεψήματι ἀναγαργάριζε, ἢ μίσυ σμήγων μετὰ κηκῖδος ὀμφακίνης, καὶ μυρσίνης ἐξ ἴσου λειοτριβήσας μετὰ συνηθείας ὑγρᾶς, καὶ μέλιτος ἴσου σμήγων διάχριε. τοῦτο οὐ μόνον ἐσχάρας ἐκβάλλει ἀλλὰ καὶ τὰς ἀντιάδας τήκει θαυμαστῶς. ἢ δέλφακος αἵματι χρίσας τὰς χεῖρας καθάψου τοῦ τραχήλου δίς. ἄλλο. κοχλίους γυμνοὺς βάλε εἰς πολτάριον καὶ καῦσον, καὶ λειώσας τὴν τέφραν ἀναλάμβανε μέλιτι λείῳ διάχριε ἀπαράβατόν ἐστιν.

Πρὸς περικοπὰς καὶ ἐλαττώσεις τῆς φωνῆς.

Βολβοὺς δύο μετὰ μέλιτος δίδου φαγεῖν ὠμούς. ὠφελεῖ δὲ καὶ τὸ σῦκον ἑψόμενον καὶ ἀναγαργαριζόμενον μετὰ λιβάνου καὶ σμύρνης. ποιεῖ δὲ καὶ τὸ θεῖον ἄπυρον μετὰ ᾠῶν λαμβανόμενον κοχλιάρια. β΄. ἢ γ΄.

Πρὸς τοὺς ἤδη πνιγομένους.

Ἀνθρωπείαν κόπρον εἰς ῥάκος ἐνδήσας καὶ καύσας δίδου πιεῖν. τοῦτο τοῖς ἤδη πνιγομένοις βοηθεῖ. ἄλλο. ποιεῖ δὲ καὶ κόπρος αἰγεία σὺν μέλιτι καὶ πίσσῃ ὑγρᾷ διαχριομένη ἐπὶ τῆς συναγχικῆς ἄκρως, ἢ πηγάνου χυλῷ καὶ γάλακτι κλύζε διὰ κλυστῆρος τὸν φάρυγγα τοῦ συναγχικοῦ, κατασπᾷ γὰρ δάκρυον πολὺ καὶ καθαίρει. ἄλλο. οὖρον συνεχῶς ἀναγαργαριζόμενον ὑγιάζει. δεῖ δὲ συναναγαργαρίζεσθαι καὶ χυλὸν κράμβης. ἄλλο. πρὸς δὲ τὰς τῶν παίδων ἐσχάρας, τὰς ἐν τῷ φάρυγγι γιγνομένας διάχριε. εἶτα δίδου ἀριστολοχίαν ἐν οἴνῳ ἑψήσας ἀναγαργαρίζεσθαι. τάχιστα θεραπεύει.

Πρὸς ὀστᾶ ἄνω καὶ πάντα ἐκ τοῦ βρόγχου ἐκβαλεῖν.

Ὕδατος καὶ ἐλαίου τὸ ἴσον εἰς τὸ στόμα ἐγχέας κατεχέτω ἕως ἐκβάλῃ τὸ καταποθέν. ἐάν τις ἐσθίων καὶ καταπίνῃ καὶ πνίγηται. ἐκ τῆς αὐτοῦ οὖν ῥωγὸς εἰς ἑκάτερον ὠτίον ἐπάνω ἐπιτιθέτω καὶ ἐπὶ τῇ κεφαλῇ καὶ ὑποβιβάζεται γὰρ τὸ καταποθὲν καὶ πνῖγον. βδέλλας ἐκ βρόγχου ἐκβαλεῖν. ἀναγαργαριζέσθω θαλασσίαν ἅλμην. ἄλλο. ἐλαίου, ἢ ὀποῦ κυρηναϊκοῦ τὸ μέγεθος ὀρόβου τρίψας μετὰ ἀκράτου δίδου πιεῖν θερμόν. ἢ χυλὸν ἀναγαλλίδος πότιζε, ἢ ὄξος μετὰ θύμου δριμύ. μετὰ δὲ ταῦτα ἀναγαργαριζέσθω θερμῷ ὕδατι.

Πρὸς κατάρρους.

Τυρὸς παλαιὸς λαμβανόμενος ὠφελεῖ, ἀναξηραίνει γὰρ αὐτούς. ἐν ἐλαίῳ παλαιῷ διάχριε τοὺς μυκτῆρας συνεχῶς, ἢ θείῳ καὶ σμύρνῃ τετριμμένῃ μετ᾽ οἴνου καὶ μέλιτος καὶ ἐλαίου.

Πρὸς βῆχας.

Σῦκα βαπτόμενα εἰς ἄκρατον, καὶ λαμβανόμενα ὠφελεῖ. ἄλλο. ῥητίνην τερεβινθίνην σὺν μέλιτι ἑψῶν δίδου ἐκλείχειν. καὶ οἶνον κεκραμένον γλυκεῖ δίδου ἐπιρροφεῖν. ἄλλο. παιδίοις μᾶλλον ἁρμόζον. πυτίαν καθαρὰν ἀναλάμβανε μέλιτι ἑψηθέντι καὶ δίδου. ἄλλο. λυκοῦργον τὸν λεγόμενον κύμινον ψυλὸν δίδου φαγεῖν. ἄλλο. σκόροδα ἑφθὰ μετὰ μέλιτος ὠφελεῖ. ἄλλο. σκύλλαν λαβὼν περιόρυξον αὐτῆς τὴν κεφαλὴν, καὶ βαλὼν ἐκεῖ ᾠὸν, περιπήλωσον τὸν τόπον καὶ ὀπτήσας δὸς φαγεῖν. πρὸς τοὺς διηνεκῶς πυρέσσοντας. ὑσσώπου δεσμίδιον μετὰ ὕδατος εἰς τρίτον ἑψήσας δὸς πιεῖν νήστει ἐπὶ ἡμέρας λ΄. εἰς θερμὸν, παιδίοις δὲ μετὰ ἰσχάδων. ἄλλο. πτέρνην κόψας καὶ σήσας ἐπιπάσσων ὡς ἄλφιτα εἰς τὸν τόπον. ποιεῖ δὲ τοῦτο καὶ πρὸς αἱμοπτοϊκοὺς καλῶς. ἄλλο. σίνηπι κόψας καὶ λειοτριβήσας δίδου κοχλιάριον α΄. μετὰ οἴνου κυάθων β΄. πίνειν ἑξῆς ἐπὶ ἡμέρας γ΄. πρὸς τοὺς νυκτερινοὺς βῆχας. ἡδύοσμον τρίψας βάλε εἰς ὄξος καὶ δίδου ῥοφεῖν.

Πρὸς ἀσθματικούς.

Σκύλλαν ἑψήσας ἐν οἴνῳ ἢ μελικράτῳ πίνειν δίδου. ποιεῖ καὶ πνεύμων ἀλώπεκος ξηρὸς καταξυόμενος εἰς οἶνον μέλανα, καὶ πινόμενος. ἄλλο. κάρδαμον λεπτὸν κόψας καὶ μίξας μέλιτι δὸς ἐκλείχειν.

Πρὸς δυσπνοοῦντας.

Λαβὼν προβάτων τὰς ἐπὶ τῶν δακτύλων κοτύλας λεγομένας, καὶ καύσας καὶ τρίψας ἐν γλυκεῖ δὸς πιεῖν. ἄλλο. θεῖον ἄπυρον δὸς πιεῖν μετὰ οἴνου κο. δ΄.

Πρὸς ὀρθοπνοϊκούς.

Στρουθίον ἐν ὕδατι θερμῷ δὸς πιεῖν. ἄλλο. ἀείζωον μετὰ μέλιτος δίδου λεῖον ἐκλείχειν, ἢ βολβὸν, ἢ ἀβρότονον, ὡς χόνδρον δίδου μετ᾽ ὑδρομέλιτος, ἢ ὑσσώπου ἑφθὸν δίδου σὺν ὑδρομέλιτι, ἢ στοιχάδα τὴν βοτάνην, ἢ καὶ στόρειον μετὰ γλυκέος πινόμενον, ἢ σκύλλης τὸ ἐντὸς μετὰ ὀξυμέλιτος.

Πρὸς αἱμοπτοϊκούς.

Συμφύτου ῥίζαν δὸς φαγεῖν ὅσον δύναται, καὶ τῇ αὐτῇ ἡμέρᾳ ὄξος μὴ ἁπτέσθω. ἄλλο. σαμίας γῆς ἀστέρα δίδου, ὅτε μὲν μετὰ πολυγόνου χυλοῦ. ὅτε δὲ καθ᾽ ἑαυτὸ ἔλεγε δὲ ἱππίων ὁ κενταύρειος πρὸς αἱμοπτοϊκοὺς καλῶς ποιεῖ, κνίδης χυλὸς διδόμενος σὺν οἴνῳ κυάθων γ΄. ποιεῖ δ᾽ ἐπὶ τούτῳ καὶ ὄξος ῥοφούμενον, καὶ μάλιστα ὁ σκιλλίτης. ἔτι δὲ χυλὸς ἡδυόσμου καὶ τραγακάνθης ὑπὸ τὴν γλῶσσαν κατεχόμενος.

Πρὸς τοὺς ἐκ τινος βίας εἰς τὰ ἔνδον αἱμορραγοῦντας.

Λαβὼν ἀμπελίνην σποδὸν ὄξει κατάσβεσον καὶ ἐπιχέας πλεῖον ὄξος δίδου σὺν καὶ διήθησον διὰ ῥάκους, καὶ μίξας ὕδατι ὀλίγον, δὸς πιεῖν ὅσον κοχλιάρια ς΄. τοῦτο καὶ στύφει τὸν αἱμορραγήσαντα τόπον, καὶ τὸ παχυνθὲν αἷμα καὶ βρωθὲν ἐκκρίνει, καὶ ἵστησι τὴν αἱμορραγίαν. ἴσχαιμον γάρ ἐστι τῶν ἐντὸς αἱμορραγιῶν. πρὸς πᾶσαν αἱμορραγίαν. συμφύτῳ μετ᾽ ὄξους κατάπλασσε τὸ πρόσωπον, ἐὰν ᾖ ἀπὸ μυκτῆρος ἢ. ἐὰν δὲ ἀπὸ θώρακος τὸ στέρνον ἐὰν δὲ ἀπὸ κύστεως, ἢ μήτρας, ἢ νεφρῶν καὶ τὰ ἰσχία κατάπλασσε.

πρὸς ἀνα-

πρὸς ἀναφορικοὺς καὶ φθισικούς.

Κ ομίδιον τὸ μέλαν καθεψήσας διὰ γλυκέως δίδου ὑπὸ γλῶσσαν κατέχειν καὶ κατὰ πίνειν, ποιεῖ γὰρ πρὸς ἀναφορικοὺς τὸ κομίδιον τὸ μέλαν. καὶ πρὸς βῆχα καλῶς. φθίσιν μὴ τελείαν παῦσαι. πνεύμονα ἐλάφου καλάμῳ ὀξελῶν καὶ ξηράνας, λειοτριβήσας δίδου κοχλιάρια γ. μετὰ μέλιτος κυάθων γ. εἶτα διαστήσας ὀλίγας ἡμέρας δὸς πάλιν πιεῖν. ἐπὶ τῶν φθισικῶν καὶ τῶν ἀγόντων αἱμόπτυα. χρώμεθα τῶν ταρίχων μετ' ἄρτου διδόντες ἐσθίειν οὕτως βρέχοντες αὐτὸ εἰς ὕδωρ τρὶς ἢ τετράκις, ἕως οὗ πλυνόμενον τὸ ὕδωρ μὴ ἐν διδοῖ ἅλμην εἰς αὐτὸ, ἐνδεσμεύοντες αὐτὸν εἰς χάρτην, ὀπτοῦμεν καὶ δίδομεν χωρὶς, οἰνομέλιτος ὀλίγον ἐπιχέοντες. Ηροφίλος δὲ ἐπ' αὐτῷ χωρὶς τινὸς δίδωσι ταρίχους σὺν ἄρτῳ καὶ ἐπιπίνειν ὕδωρ κελεύει λέγων ὅτι ἐπεὶ πρὸ ἅλας ἐπὶ ταρίχῳ συστρέφουσι τὴν κοιλίαν, οἶνος δὲ οὐδεὶς λύει. χρώμεθα δὲ καὶ σκίλλῃ ὀπτῇ. καὶ μετὰ ταρίχου ἐν αὐτῇ καὶ ἀνακαθαίρονται ἰσχυρῶς. καὶ πράσοις δὲ μετὰ ἄρτου, εἶτα ὅταν δόξωσιν ἀνακεκάρθαι ἐπιμελῶς, καὶ ἔτι ἀσθενέστεροι ὦσιν, ἀνατρέφομεν αὐτοὺς κρέασι καὶ τοῖς ὁμοίοις. τῇ αὐτῇ δ' ἀγωγῇ χρώμεθα καὶ ἐπὶ τῶν συρραγέντων ἀγγείων ἀρρωστημάτων ἐν τοῖς πρὸς κάθαρσιν. καὶ ἰχθὺς δὲ ἡ βοτάνη μετὰ ἀξουγγίου ἀνάλου διδομένη τρώγειν τοὺς ἀναφορικοὺς καὶ βήσσοντας ποιεῖ καλῶς.

πρὸς πλευριτικούς.

Φ λοιοῦ ῥίζης δίδου πίνειν. κυμίνου ἐπὶ τὰ ὄψα ἐπίπασσον ὕδατι καὶ δὸς πιεῖν. ἄλλο. πηγάνου κλωνία ε. δίδου λειάνας καθημέραν. ἢ συχάδος βοτάνης τρισὶ δακτύλοις δίδου. τριφύλλου σπέρμα πότιζε, πάνακος ῥίζαν πότιζε. χαμαιπίτυν ὁμοίως.

πρὸς τοὺς μαστοὺς κεκλιμένους ὀρθῶσαι.

Λ αβὼν γῆν κρατευτικὴν μετὰ μέλιτος ἑψήσας, εἰς ῥάκος ἐπιτίθει ἀπὸ ὄρθρου ἕως ἑσπέρας. εἶτα σπόγγον ἐκ χύτρας ἐπιτίθει, ἕως ἀποσπάσῃς τὸ κατάπλασμα. ποιεῖ δὲ τούτους, καὶ ὀρθοὺς, καὶ τεταμένους. κατάπλασσε δ' ἐπὶ πάχος ἐὰν θέλῃς ἐνεργότερον αὐτὸ ποιῆσαι κηκῖδος ὀμφακίτιδος γο. ι. Μαστοὺς μένειν ἀπαλοὺς ἐπὶ πολλὰ ἔτη.

20 Κονίᾳ κατάπλασσε καρυινίῳ. Μαστοὺς μείζονας μὴ γίνεσθαι. Χοίρου ἐκτεμὼν τῷ αἵματι κατάχριε τοὺς μαστοὺς, καὶ οὐκ αὔξονται. Πρὸς δυσωδίας ἱδρῶτας ἐν μασχάλαις. Ασάρῳ χρίε τὰς μασχάλας ἀπὸ βαλανείου καὶ πρωῒ καθημέραν. ἢ στυπτηρίαν ὑγρὰν κατάχριε καθημέραν. ἢ ὠκίμου σπέρμα διὰ οἴνου καὶ μέλιτος κατάχριε, τοῦτο αἴρει τὰς δυσωδίας τῶν μασχαλῶν, ἢ κονίαν πρόσπλασσε λεπτήν. Γάλα ἱστῆσιν.

Κ ρηταίαν λειωθὲν ὄξει καὶ καταχρισθὲν καὶ ἐπιτιθέμενον.

πρὸς στομαχικούς.

Κ εδραίας κοχλιάρια δύο, ἐλαίου ὠμοτριβοῦς κύαθον ἴσα μίξας δὸς ῥοφῆσαι. τοῦτο πάντα πόνον παντελῶς ἀποθεραπεύει. ἔστι δὲ τῷ στόματι ἀπαράβατον. ἄλλο. ἄνισον εἰς ὀθόνιον ἐνδήσας κάθυγρον καὶ ἀποβρέξας εἰς ὕδωρ θερμὸν δίδου καταρροφεῖν. Πρὸς ἀποίνους καὶ ναυτιῶντας. ἡδυόσμου κλῶνας δύο ἢ γ'. ῥοᾶς γλυκείας χυλῷ καὶ ὄξει ἀναζέσας δὸς καταρροφεῖν. ἄλλο. ἀκτέας τὰ ἁπαλὰ φύλλα καθαρείως διὰ ὕδατος δίδου

30 πιεῖν, ἀπαράβατόν ἐστι. Πρὸς δηγμοὺς ἀνοῦ τῷ ἀναχεῖσθαι τι χολῶδες. τραγορίγανον λειάνας ἐν ὕδατι ἴσα δίδου καταρροφεῖν, γαλακτῶδες ποιῶν τὸ κρᾶμα. Πρὸς τὰς τοῦ στομάχου ἀτονίας. σίνηπι πεφρυγμένον λεῖον μετὰ ὕδατος δίδου πίνειν. Επίθεμα πρὸς στομαχικοὺς καὶ ὑποχονδριακούς. τρύγα ξηρὰν ἀναλάμβανε κηρωτῇ ἢ μυρσίνῃ, ἢ ῥοδίνῃ καὶ χρῶ. Πρὸς λυγμὸν ἐὰν ἅπαξ ἐπαίσθῃ τοῦ λυγμοῦ. Τὸν δάκτυλον σοῦ τῆς ἀριστερᾶς χειρὸς τὸν παρασιτικὸν τρὶς κρατείτω, ἢ ὄξος ἐπιρροφησάτω, ὥστε ἐν κυμίνου χόνδρον. ἢ ἐμεσάτω καὶ παύσεται. ἢ πνεύματος κατοχὴν ποιείτω. ἢ πταρμοῖς χρήσθω, ἢ πήγανον μετὰ οἴνου πινέτω ἢ ψωμὸν ἐν ὄξει δεύσας καταπινέτω ἢ ὀστέον χοίρειον τῇ χειρὶ ἀνατριβέτω. παύει δὲ τοὺς λυγμοὺς, καὶ ἔκπληξις.

πρὸς χολέρας.

Ο λβίνος οἶνος ἐπὶ τῶν χολερικῶν σύνθετος ἐστι, καὶ γὰρ εὐστόμαχος ἐστι πρὸς κοιλίαν ποιῶν. Εμετον παῦσαι. Πολυγόνου χυλῷ χρίε τὰ ἐσθιόμενα. ἄλλο. ἀψίνθιον ἑψήσας ἐν ὕδατι ἐπὶ τρίτον μέρος, δὸς πιεῖν πρὸς τὴν ἕξιν

40 ἀποβλέπων. κενταύρειον, ἢ θύμον, ἢ μυρτίδας μελαίνας. ὥστε ἐμέσαι ἀλύπως. Σαμψύχου φύλλα δὸς φαγεῖν. Εμετον παῦσαι. Πολυγόνου χυλὸν χρίε τὰ ἐσθιόμενα. ἄλλο. ἀψίνθιον ἑψήσας ἐν ὕδατι εἰς τρίτον μέρος καθεψηθέντος πιεῖν πρὸς τὴν ἕξιν βλέπων. ἢ κενταύρειον, ἢ θύμον, ἢ μυρτίδας μελαίνας. Εμέσαι ἀλύπως. Σαμψύχου φύλλα δὸς φαγεῖν. ἄλλο. Στακτὴν κονίαν χρίε τὸ ἔσχατον ποτήριον.

πρὸς ἔλεον θαυμαστὸν καὶ κόπρον ἐμοῦσι, ποίησον οὕτω.

Ε ψήσας ἔλαιον μετ' ἀνήθου δὸς πιεῖν. ἕως δὲ τοῦτο ἑψηθῇ, αὐτὸν εἰς θερμὸν καχλάζον ἔμβαλε καὶ μετὰ τὸ πιεῖν τὸ ἔλαιον θερμοὺς τοὺς ψωμοὺς δὸς φαγεῖν. σωθήσεται καὶ ἐὰν ἤδη πνίγεται, τούτῳ ἔσωσα ἡγεμόνα κατὰ τὴν ἡμετέραν Ἀσίαν. Πρὸς τοὺς πυκνὰ ἐμοῦντας. Ροῦν καὶ κύμινον τρίψας ἐν τῷ αὐτῷ δὸς πίνειν ὀξυμέλιτος κυάθων ς', οὐγγίαν α. Πρὸς χολερικοὺς λίαν καλόν. ἡδύοσμον ἐν οἴνῳ δὸς πιεῖν, ἐὰν ἀπύρετος ᾖ. καὶ βοτάνην πενταδάκτυλον ξηράνας δὸς πιεῖν. λειάνας ἐν οἴνῳ διὰ κυάθων ζ. ἢ διὰ ὕδατος θερμοῦ κυάθων β'. εὐ-

50 θέως ἄπονος ἔσται. ἄλλο. κοχλίον τρίψας σὺν τῷ κελύφῳ δίδου πιεῖν. Πρὸς τὴν τῶν ἐμέτων ἐποχήν. ἀμπέλων φύλλα καὶ ἕλικας χυλίσας μετὰ ἀλφίτων δίδου πιεῖν νήστει ἐν ὕδατι κοχλιάριον ἕν. ἄλλο. πάνακος ὀβολὸν ἐν οἴνῳ καὶ ἐλαίῳ θερμῷ πότιζε.

πρὸς ἡπατικούς.

Π ετροσελίνου σπέρματος κοχλιάριον α. ἡδύοσμον πασσόμενον καὶ πινόμενον ὠφελεῖ. ἄλλο. ἡ καλουμένη ἄκαπνος βοτάνη λυθεῖσα, καὶ εἰς τροχίσκους ἀναπλασθεῖσα καὶ ξηρανθεῖσα ἀρκείαν παρέχει. τρίτον δὲ ποθεῖσα μεθ' ὕδατος ἀπαλλάσσει. ἄλλο. λύκου ἧπαρ διδόμενον ὠφελεῖ ὁλκῆς δηναρίου διὰ γλυκέος ξέστου. καὶ πεπέρεως λευκοῦ κόκκους θ'. καὶ σμύρνης μέγεθος καρύου ποντικοῦ, τρίψας πάντα ὁμοῦ, αἰθρίου ὄν-

τος παρὰ μίαν ποιήσας ἡμέραν, ἢ τρεῖς. ἄλλο. ἧπαρ ἵππου ἄγριου ἐν κεδρίνῳ γλωσσοκόμῳ. καὶ ἀπὸ τούτου δίδου μετὰ οἴνου χίου καὶ ὕδατος. οἷς τὸ ἧπαρ ἥλκωται, καὶ νομὴν ἴσχει. ἄλλο. μολόχης χύλισμα πινόμενον μετὰ μέλιτος, ἡπατικοὺς ἰᾶται. ἄλλο. ἀσφοδέλου ῥίζα πινομένη ἰᾶται πόνους ἥπατος. ἄλλο. λευκόϊον πινόμενον ἐπὶ ἡπατικῶν ἔξεστιν εὐθὺς ἀπόνους ποιεῖν. ἐπίθεμα πρὸς ἡπατικούς. σίλφιον κόψας ἀναλάμβανε ὀξυγγίῳ παλαιῷ. καὶ ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει. ἄλλο. σῦκον ἐν μελικράτῳ ἑψήσας καὶ λειάνας σμῆγε. ἀψίνθιον λεῖον εἰς πλεῖστον καὶ χρῶ. ἄλλο. Κράμβη ὠμὴ καταπλασσομένη ὠφελεῖ ἡπατικοὺς ἐν τάχει.

Πρὸς ἰκτερικοὺς καὶ νεφριτικοὺς καὶ λιθιῶντας μικρὰ οὐροῦντας.

A κάνθου ῥίζας ὃ καλεῖται ῥωμαϊστὶ τρικάρδουμαίας χλωρὰς γ΄. ἐὰν δὲ μή, ξηρὰς δ΄. μεθ᾽ ὕδατος ἕψει ἕως ἥμισυ λειφθῇ. καὶ τὴν ῥίζαν ἐκθλίψας δίδου τὸ ὕδωρ πιεῖν. πρὸς ἴκτερον καλὸν λίαν καὶ ἐπὶ πολλῶν πεπειραμένον. ῥαφάνους χλωροὺς, σὺν τοῖς φύλλοις λειώσας τοῦ χυλοῦ μετὰ οἴνου κυάθου α΄. ἢ δύο πότιζε δὲ πρὸ τοῦ βαλανείου, ἐὰν νήστης ᾖ. καὶ εἰς τὸ θερμὸν ἐμβαίνειν ποίει. ὄψει γὰρ τὸν ἴκτερον εἰς τὸ ὕδωρ ἐπιπλέοντα. ἐὰν δὲ πλείονα πόνον, τοῦ χυλοῦ δίδου πιεῖν ἢ ἀγχούσης τῆς ῥίζης ξηρᾶς κοτύλεια β΄. λαβὼν μεθ᾽ ὕδατος κυάθων γ΄. δίδου πίνειν, ἢ θείου ἀπύρου κοχλιάρια δ΄. δίδου ἐν οἴνῳ. ἢ βράθυος 𐅻. α΄. μετὰ οἰνομέλιτος δίδου πίνειν. ἐγὼ μέν τοι καὶ τοιούτῳ χρῶμαι ἐναργῶς ποιοῦντι. ἀφρονίτρου 𐅻. β΄. βρέχων ἐν οἴνῳ ἀμμιναίῳ κυάθων β΄. καὶ ἐξαιθριάσας τὴν νύκτα ὅλην, δίδωμι νήστει πιεῖν, ποιῶ δὲ ἐπὶ τριῶν ἡμερῶν ἢ δ΄. ἐφεξῆς, καὶ ἰῶμαι. ἄλλο. Βοτάνην ὑπερικὸν, καὶ ἀδίαντον ἑψήσας δὸς πιεῖν. ἄλλο. μυρσίνην μετ᾽ ὄξους τρίψας, δὸς πιεῖν, ἰᾶται ἰκτερικούς, ἀπάγων εἰς βαλανεῖον τὸν ἰκτερικόν. καὶ ἐμβιβάσας εἰς τὴν ἐμβατὴν δίδου χίονος ἄνθος 𐅻. ιβ. μετ᾽ οἰνομέλιτος κυάθων γ΄. πιεῖν, βάψει τὴν μακρὰν, καὶ ἀπαλλαγήσεται. ἄλλο. Βοτάνη ῥοβεία χρώμενος τῇ καθημερινῇ διαίτῃ χωρὶς χοιρείου κρέως, κόψας ταύτην καὶ σήσας δίδου ἐπὶ ἡμέρας ς΄. τῇ α΄. κοχλιάριον μετὰ κοχλιαρίων δ΄. οἴνου. εἶτα προσαφαιρῶν τοῦ οἴνου δὸς κοχλιάρια θ΄. εἶτα ζ΄. εἶτα ε΄. εἶτα δ΄. εἶτα γ΄. ἐὰν δὲ τῇ λ΄. ᾖ κατάλειμμα δίδου τὰ αὐτὰ ὁμοίως ποιῶν. ἄλλο. Παρθένιος σὺν ὕδατι πινομένη ἴκτερον ἀποκαθίστησι, καὶ ἡπατικοῖς ἄκρως ποιεῖ. ἄλλο. στρουθίον μετὰ μέλιτος καὶ γάλακτος ἰᾶται πινόμενον. ἄλλο. Ονίσκοι οἱ ὑπὸ τῆς ὑδρίας γινόμενοι λεῖοι δι᾽ οἰνομέλιτος πινόμενοι ἰῶνται ἴκτερον. ἄλλο. ἕρπυλλον ἑφθὸν σὺν ὕδατι πινόμενον, ἀποκαθίστησιν ἰκτερικούς. ἄλλο. θεῖον ἄπυρον δι᾽ οἴνου πινόμενον θεραπεύει ἴκτερον, ὅσον κοχλιάριον α΄. καὶ β΄. λαμβανόμενον τοῦ σιδήρου ἰὸς καταστήσει ἐν τάχει. ἄλλο. αἰγὸς βοσκάδος ἄφοδον ξηράνας, κόψας σήσον, δὸς νήστει λυσαμένῳ οἴνου εὐώδους κυάθους δ΄. κοχλιάριον. μὴ δειπνήσαντος. πυρέσσουσι δὲ δι᾽ ὕδατος τὸ αὐτὸ πλῆθος. ἄλλο. χολῆς ἀρκείας ὅσον κύαμον ἑλληνικὸν δίδου. εἶτα ὕδωρ ἐπιπινέτω. ἄλλο. βράθυος κύαθον α΄. μετ᾽ οἰνομέλιτος πινόμενον ἰᾶται ἴκτερον. ἄλλο. λίβανον ἀφεψῶν μεθ᾽ ὕδατι πότιζε. ἄλλο. γῆς ἔντερον λειοτριβήσας δίδου πιεῖν. ἄλλο. Αριστολοχίας δι᾽ ὑδρομέλιτος πότιζε. ἄλλο. κιχωρίου χυλοῦ κυάθους δ΄. δὸς πιεῖν. καὶ ἰαθήσεται. ἄλλο. εἰς τὸν μέσον οἶκον τοῦ βαλανείου ἱδρώσειν ἐμβίβασον, καὶ ἐξελθὼν ἀρθήσει. ἄλλο. κωνίας λευκῆς τῆς καλουμένης γηρουβεως κοχλιάριον α΄. μετ᾽ οἴνου καλοῦ κυάθων γ΄. δίδου πιεῖν ἐπὶ ἡμέρας ι΄. ποιεῖ δὲ καὶ πρὸς κωλικοὺς καὶ πνευματώσεις ὁμοίως. Ερρινον πρὸς ἰκτερικούς. Ελατήριον, ὅσον κύαμον ἑλληνικὸν διεὶς γάλακτι γυναικείῳ εἰς τοὺς μυκτῆρας ἔγχει. ἄλλο. μελάνθιον ἑψήσας ἐγχυμάτιζε τοὺς μυκτῆρας ἐν βαλανείῳ ἐκχεῖ τὸν ἴκτερον.

πρὸς σπληνικούς.

A σπάθου ἀγρίου ῥίζαν κόψας ἐν ὅλμῳ καὶ τρίψας τὸν χυλὸν δίδου πιεῖν ἐπὶ ἡμέρας γ΄, ἀνὰ κύαθον α΄. ἄλλο. Πάνακος ῥίζαν κόψας δὸς νήστει ἐν ὕδατι θερμοῦ κυάθων γ΄. κοχλιάριον α΄. Πρὸς σπληνικοὺς κἂν ὦσιν ἐσκιρρωμένοι. Καππάρεως ῥίζης τοῦ φλοιοῦ 𐅻. β΄. ὄξους ξ. τὸ ἥμισυ, ὕδατος ξ. α΄. ἕψει ἕως εἰς τρίτον κατέλθῃ μέρος, καὶ δίδου εὐπέπτῳ ὄντι κύαθον α΄. ἢ β΄. τοῦτο ποίει ἐκ διαστημάτων. ἄλλο. Κισσοῦ φύλλα ἑψήσας ἐν ὄξει, καὶ κόψας, ἔκθλιψον τὸ ὑγρὸν, κἂν ἰσχυρὸς ᾖ. ἄκρατον αὐτῷ δίδου πιεῖν, τοῖς δὲ τῶν τρυφερωτέρων, ὕδωρ ἐπιμίσγων τῷ χυλῷ, δεῖ μὲν πρῶτον πίνειν αὐτοὺς ἀναγκάζειν συχνῶς περιπατεῖν. ἄλλο. Κενταυρίου λεπτοῦ γεγηρακότος κοπτομένου ἐν ὅλμῳ δίδου κοχλιαρίου τὸ πλῆθος ἀπυρέτοις. ἄλλο. λαγωοῦ σπλὴν πρόσφατος καταπινόμενος, ὥστε τοῖς ὀδοῦσι μὴ ἅπτεσθαι ὑγιάζει τοὺς σπληνικούς. ἀγνοείτω δὲ ὁ πάσχων ὅτι κατέπιεν ἐνδεδεμένος τοὺς ὀφθαλμούς, ποιεῖ δὲ καὶ ὁ τῶν μήπω βλεπόντων κυνιδίων σπλήν. ὡσαύτως καταπινόμενος. ἄλλο. Κυνηγετικοῦ κυνὸς σκυλάκιον λεῖον ξηρὸν δίδου νήστει προσβαλὼν νάρδου ὀλίγους. ἔλεγε δὲ Μάρκελλος ποιεῖν καλῶς πρὸς σπληνικοὺς καρδαμώμου κοχλιάριον α΄. ἢ β΄. μετὰ ὄξους σκιλλητικοῦ κυάθου α΄. ἢ β΄. διδόμενος πιεῖν ἐπὶ ἡμέρας β΄. νήστει δίδου. ἄλλο. κισσοῦ ῥίζας ἁπαλὰς ἑψήσας δι᾽ οἴνου πότιζε. ἢ ὠμὰς κόψας πότιζε δι᾽ οἴνου. ἄλλο. ὀνίδας ξηρὰς διάλυσον ὄξει καὶ διηθήσας δι᾽ ὀθόνης δίδου πιεῖν. ἄλλο. ῥαφάνου χυλὸν λειοτριβήσας δι᾽ ὀξυμέλιτος δὸς ἐπὶ ἡμέρας γ΄. τῆς ἡμέρας ἀνὰ κυάθους β΄. πιεῖν τήκει τὸν σπλῆνα. ἄλλο. Σκωρίαν σιδήρου δίδου πιεῖν, ὅσον κοχλιάριον μετὰ ὀξυκράτου. ἄλλο. ἴτεαν μακρὰν ἑψήσας διὰ ὄξους δίδου πιεῖν τὸ ὄξους ἀπόζεμα. ἄλλο. Ελκοροδίου καρδίαν δίδου πιεῖν καὶ ἐσθίειν. ἄλλο. μοῦξιν καθεψήσας δι᾽ ὕδατος ἐὰν ᾖ ξηρὸς δὸς πιεῖν τὸν χυλόν. μοῦξιν δὲ λέγεται καππαδοκιστί. ἄλλο. Στιχάδος κοχλιάριον μετὰ οἴνου χοινίνου κυαθὸν α΄. λειοτριβήσας δὸς πιεῖν. ἄλλο. ἀμμωνιακοῦ θυμιάματος λειοτριβήσας μετ᾽ ὄξους δίδου πιεῖν κύαθον νήστει. ἄλλο. Μυὸς σπλῆνα καὶ πεπέρεως κόκκους ζ΄. εἰς σῦκον ὀπτήσας, δὸς λεληθότως φαγεῖν. Επίθεμα πρὸς σπληνικούς. Λίθον † ἄδιον ἐμβαλὼν εἰς κύστιν βοείαν, τὸ ὄξος δριμὺ ἀρδήσας ἐπιτίθει κατὰ τοῦ σπληνὸς, καὶ καταδέλλυς. ἄλλο. μυροβάλανον μετ᾽ ὄξους λειοτριβήσας καὶ ποιήσας κηρωτῆς πάχος ἐπιτίθει. ἄλλο. ἀλώπεκος σπλὴν ἐπιδεσμούμενος ἰᾶται σπληνικούς. ἐρίφου σπλὴν ἐπιτιθέμενος τήκει σπλῆνα. ἄλλο. ἀγρία κράμβη καταπλασσομένη ἰᾶται σπληνικούς. ἄλλο.

† αl. ἄσιον

κοῦς. ἄλλο. Περσικῆς φύλλα καταπλασσόμενα ποιεῖ καλῶς. ἄλλο. Μυρίκης καρπὸν ἐν ὄξει καθεψήσας λεῖον ἑλκύσας ἐπιτίθει. ἄλλο. Αμμωνιακὸν θυμίαμα λειοτριβήσας μετ᾽ ὄξους ἐν ἕλκει. καὶ ἐπιτίθει. ἄλλο. Κρονόμαγμα ἐν ὄξει λειοτριβήσας, καὶ ποιήσας κηρωτῆς πάχος ἐπίθες, οὐκ ἀφίσταται μέχρις οὗ ἀποθεραπεύσεται. ἄλλο. Καππάρεως ῥίζαν, κόψας ἐπιμελῶς εἰς ὀθόνην ἐπιτίθει. αὐθημερὸν ἐπιτιθέμενον ὠφελήσει. Πρὸς σπληνικούς. Καππάρεως ῥίζης φλοιοῦ μεθ᾽ ὕδατος λι. α. καὶ ὄξους λι. S. ἕψει ἕως ἂν ἀποτριτωθῇ καὶ δίδου. Γο. α.S. ἄλλο. φύλλα κισσοῦ ἑψήσας σὺν ὄξει καὶ κοπανίσας ἐκπίασον τὸ ὑγρὸν καὶ δὶς ἢ ἰσχυροτέροις δίδου ἐξ αὐτοῦ. τοῖς δὲ τρυφεροῖς, ὕδωρ μιγνύων περιπατείτω δὲ καὶ οὕτως ποτιζέ. ἄλλο. Καππάρεως ῥίζαν κοπανήσας καὶ ζέσας μετ᾽ ὄξους καὶ μέλιτος δίδου πιεῖν νήστει. Πρὸς σπλῆνα. Λαβὼν κυπαρίσσου κόνυς κόψον εὐτόνως, καὶ ἄλευρον ὀρόβινον λεπτότατον βάλε εἰς ὄξος καὶ ἕψε ἕως γένηται ὡς ἔμπλαστρον. ἐπιτίθει εἰς τὸν σπλῆνα ἕως ἡμερῶν γ΄. καὶ μετὰ γ΄. ἡμέρας λύσον, καὶ εὑρήσεις τὸ ἔμπλαστρον πεπληρωμένον ἄλλο. Αμμωνιακοῦ θυμιάματος ἐναποβρέξας ὄξει σκιλλητικῷ ἐπὶ ἡμέρας γ΄. καὶ λειώσας εἰς ῥάκος ἐπίθες, καὶ μὴ λύσῃς, ἕως τὸ ἔμπλαστρον ἀποπέσῃ. ἄλλο. Φύλλα συκαμίνου χλωρὰ ψύξας ἐν σκιᾷ καὶ τρίψας ποίησον ξηρίον, γραμμάτια δ΄. καὶ μετὰ ὀλίγου πεπέρεως καὶ καρυοφύλλων μετὰ οἴνου ἀκράτου θερμοῦ εἰς ἔμβασιν δίδους πιεῖν.

Πόμα πρὸς ὑδρωπικοὺς ὥστε ἐξουρεῖν τὸ παρακείμενον ὑγρόν.

Χαλκοῦ κεκαυμένου ὅσον κυάμου αἰγυπτίου, κόπρου περιστερᾶς Γο. α. οἴνου κυάθους γ΄. δίδου. ἔστω δὲ μία πόσις. Αλλὰ πεπειραμένον ἡμῖν ἐπὶ πολλῶν. Τιθυμάλλου χαρακτικοῦ τὴν ῥίζαν δίδου ἐσθίειν πρὸς δύναμιν καὶ παραχρῆμα κενοῖ. ἄλλο. Κόκκον κνίδιον κεκομμένον καὶ σεσησμένον ἀναλάμβανε μέλιτι ποιῶν πάχος γλοιοῦ, καὶ δίδου κοχλιάριον α. πλῆρες δ᾽ οἰνομέλιτος κυάθων γ΄. καὶ ὀλίγου θερμοῦ ὕδατος. ὡς εἶναι γαλακτῶδες, ἢ διὰ ὠοῦ ῥοφυτοῦ. ὑδραγωγὸν κάλλιστον πάνυ. Χαμαιάκτης τὸν χυλὸν τὸν ἐκ τῆς ῥίζης κυάθων Β΄. καὶ οἴνου κυάθους Β΄. ἀπαλλάσσει δίχα τοῦ τὸ στόμαχον ἀνατρέπειν. ἄλλο. Αγρώστεως ἀφέψημα πινόμενον ἐστι διουρητικόν. ἄλλο. στρύχνου χυλοῦ κυάθους δ΄. μέλιτος κυάθους ις. δὸς πιεῖν. ἄλλο. ὕσσωπον, καὶ γλυκεῖ τράγου οὖρον ποτιζόμενον, διουρητικόν ἐστιν. ὁμοίως ἐὰν αἴγειον ἔχῃς. Επίθεμα πρὸς ὑδρωπικούς. Ητρέαν κεκαυμένην ἐπίμελῶς κατάπλασσε. ἄλλο. ῥαφάνους καθεψήσας δι᾽ ὕδατος ἕως τακεραὶ γένωνται κομισάμενος κρίθινον ἄλευρον μίξας ἕψε καὶ κατάπλασσε.

πρὸς στρόφον καὶ ὀδύνην γαστρός.

Αριστολοχίας ῥίζαν ἐν οἴνῳ δὸς πιεῖν. Πρὸς στρόφον καὶ λυγμὸν καὶ κεφαλαλγίαν καὶ δυσοκίας. Αρμόζει πταρμὸς πρὸς στρόφον καὶ πάντα τὰ ἐντὸς πάθη. ἄλλο. Τῆς λυχνίτιδος ἡ ῥίζα πλυθεῖσα, καὶ ἑψηθεῖσα μετὰ γλυκέος εἶτα διυλισθεῖσα καὶ ποθεῖσα ποιεῖ καλῶς. εἰ δὲ μή, βρώματι σεαυτοῦ πρόσβαλλε ὀλίγην κασίαν καὶ ὀλυρίδα μὴ κόψας. Πρὸς στρόφον ἐντέρων καὶ κοιλίας. Κυμίνου πεφρυγμένου, καὶ κεκομμένου κοχλιάριον α. ἢ Β΄. μεθ᾽ ὕδατος κυάθων τριῶν δίδου πιεῖν. καὶ πρὸς ἐμπνευματώσεις ὄξος ζέσας καὶ ψύξας. ἔπειτα σελίνου σπέρματος τρίβε παραζέων τὸ ὄξος. καὶ ἐκ τοῦ αὐτοῦ δίδου πιεῖν. ἄλλο. Ερέσιμον βοτάνην μετὰ ὕδατος τρίψας δίδου πίνειν. ἄλλο. ἐκ τοῦ λαμπροῦ τὸ ἄρκουν τρίψας μετ᾽ ὄξους δίδου πίνειν νήστει. ἄλλο. δάφνην μασσησάμενος νήστης τὸν χυλὸν καταπινέτω. καὶ τὸ μάσημα ἐπιτιθέτω ἐπὶ τὸν ὀμφαλόν, καὶ παραχρῆμα παύσεται. Πρὸς κάθετον δακτύλιον καθαρτικὸν κοιλίας. εἰς χολὴν ταύρου κροκίδα βρέξας ἐντίθει εἰς τὸν δακτύλιον. ἄλλο. σάπωνα γαλλικὸν εἰς ἔριον ἐνδύσας ὑπόθου. ἢ μάλιστα συντήκειαν ὑγράν.

πρὸς δυσεντερικούς.

Φακὸν ἑψήσας σὺν βάτου ῥίζῃ τρυφερὸν κεκομμένον ἐπίβαλε καὶ δὸς φαγεῖν. ἄλλο. Κυτίνους καθεψήσας εἰς ὀξύγαλα λειοτριβήσας ἔμβαλλε ἔλαιον τὸν αὐτὸν τρόπον καὶ δίδου φαγεῖν. ἄλλο. Κέγχρον κεκομμένον ἑψήσας βάλε στέαρ μόσχιον. καὶ ποιήσας λιπαρότατον δὸς ῥοφῆσαι θερμότατον. εἶτα ψυχρότατον τὸ ὕδωρ ἐπιρροφείτω. καὶ παραχρῆμα ὑγιὴς ἔσται. ἄλλο. Κνικίδος τὸ ἐντὸς λαβὼν τρίψον λεῖον. καὶ μίξας ἄλευρον. καὶ ὠοῦ τὸ λευκὸν φυράσας ποίησον ἀρτύσκιον καὶ ὀπτήσας κατάκλα. καὶ ἔγχει εἰς οἶνον ἀπαράχυτον καὶ δὸς φαγεῖν. Εκλειγμα πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς καὶ λειεντερίαν. Σιλφίου ξύσματα μέλιτι παραμίξας δὸς ἐκλείχειν. ὠὸν μέλι οἶνον σίδια ἴσα διαβάλλων τηγάνιζε. καὶ πεπορέως μικρὸν ἐπιπάσσων δίδου πιεῖν, ἀκρως. Αλλο. ὠὰ τρία βαλὼν εἰς ὄξος ἔα ἐμβρέχεσθαι ἐπὶ ἡμέρας τρεῖς, καὶ λαβὼν σεμιδάλιον φύρασον τοῖς ὠοῖς τοῖς τρισί, καὶ ὀπτήσας, καὶ ἐμβάψας εἰς ἄκρατον δὸς. Πόμα πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς καὶ λειεντερίαν. Ροῦν καθεψήσας δι᾽ οἴνου στύφου εἰς γ΄. δίδου πιεῖν. οἷς ἡ κοιλία οὐ καλὰ φέρει. ἄλλο. Κηκίδα δι᾽ οἴνου αὐστηροῦ καθεψήσας πότιζε τοὺς ῥευματιζομένους τὴν κοιλίαν πρὸς δύναμιν.

πρὸς διάρροιαν γαστρός.

Καλλίτριχον ἑψήσας ἐν ὕδατι δίδου πιεῖν. ἄλλο. στιβὴν τὴν εἰς τὰ κεράμια τὴν ἀκανθώδη κόψον εἰς ὅλμον καὶ ἕψει δι᾽ ὕδατος καὶ δίδου πιεῖν τὸ ὕδωρ κοιλιακῷ ὄντι ἀπυρέτῳ δὲ οἴνου πυρέττοντι χωρὶς οἴνου ἄλλο. Καρύων φλοιὸν τὸν περικείμενον περὶ τὰ τρωγόμενα λεῖον δι᾽ ὕδατος δίδου πιεῖν κοχλιάρια γ΄. ἄλλο. Κέρας ἐλάφειον τρυφερὸν καύσας δίδου μετὰ κηκίδος ἴσης πιεῖν. ἄλλο. Λαπάθου σπέρμα λειώσας καὶ ἐπιπάσας εἰς τὸν ποτὸν δίδου, ἢ εἰς τὸ βρωτόν. ἄλλο. Καρύων τὸ ἐντὸς τὸ ὡσανεὶ κιόνιον, καὶ μήκωνος κωδειῶν τὸ ἐπικείμενον ὡς πόμα ἴσον δίδου δι᾽ οἴνου. ἄλλο. Δρυὸς βαλάνους κόψας καὶ σήσας, πλεῖον ἐπίπασσε εἰς οἶνον αὐστηρὸν ὡς ἄλφιτα καὶ δίδου πιεῖν. ἄλλο. καράβου τὰ ὄστρακα φρύξας λεῖα διὰ ὕδατος. ἄλλο. στρουθοκαμήλου κοιλία πινομένη. καὶ ὀρνίθων ὁμοίως ὅσον κοχλιάρια Β΄. ἀπυρέτοις διὰ οἴνου, πυρέσσουσι δι᾽ ὕδατος. ἄλλο. λιβάνου χονδρὸν κυαμιαῖον διὰ οἴνου μέλανι κύαθον α.

καὶ στρύχνου χυλοῦ κυάθους β'. δίδου πιεῖν. ἄλλο. Κόμμι τὸ λευκὸν κόψας μετ' οἴνου μέλανος κυάθων ς'. δίδου ἕως α. πίνειν, ποιεῖ ὑπόθετον τοῖς αὐτοῖς. κοχλιάριον ἀφρικανὸν λαβὼν βάλλε εἰς αὐτὸ πίσσαν ὑγρὰν, καὶ θερμάνας, ἔξελε τὸ κρέας, καὶ ὑποθεὶς εἰς τὸν δακτύλιον δὶς, ἢ τρίς. ἄλλο. ὄφεως γῆρας ἐν χαλκώματι μετὰ ἐλαίου φρύξας ἕως ἀνθρακωθῇ συλλειώσας. τῷ ἐλαίῳ διάχριε τὸν δακτύλιον τῷ δακτύλῳ. ἄλλο. Βοτάνη ὑποκάτω ὕδατος μὴ ἁπτομένη. ἄλλο. σεύτλιον κεκομμένον μετ' ὄξους καταπλαττόμενον ἀπ' ἄνωθεν μέχρι κάτω καλῶς ποιεῖται δυσεντερικοῖς. κρατίων ὀστᾶ κόψας κατάπλασσε τῇ κοιλίᾳ. πρὸς ἀλγήματα δυσεντερικῶν. Μῆλον κυδώνιον ὀπτὸν μετὰ κηρωτῆς ῥοδίνης ἑκάστου τὸ ἴσον μίξας κατάπλασσε, παραχρῆμα ἄπονον ποιεῖ.

πρὸς κωλικούς.

Οστρέων ὄστρακα καύσας καὶ λεάνας δίδου πιεῖν κοχλιάρια β'. δι' ὕδατος θερμοῦ κυάθων γ'. ἄλλο. θύμον κρητικὸν καθεψήσας δι' ὕδατος, ἕως εἰς τρίτον καταστῇ μέρος, μετὰ μέλιτος ἀττικοῦ δὸς πιεῖν. ἄλλο. ἱερὰν ῥίζαν λεπτὴν κόψας βάλε εἰς ὕδωρ, καὶ ἕψει εἰς ἥμισυ, καὶ δίδου πιεῖν τὸ ἀφέψημα ἐπὶ ἡμέρας ε'. καὶ ἰᾶται. ἐπὶ πολλῶν δεδοκίμασται. ἄλλο. ἡδύοσμον χλωρὸν καθεψήσας δὸς ἐπὶ τρεῖς ἡμέρας. καὶ οὐδέποτε πονήσει. καὶ τῆς δάφνης οἱ ἀκρέμονες τρυφεροὶ ζύλοι τρωγόμενοι ἐπὶ ἡμέρας ἰῶνται. τὸ δὲ πολυπόδιον ἐν ᾧ ἕψεις τὸ ἡδύοσμον βλέπε μὴ γῆς ἅψηται ἐπὶ τὰς τρεῖς ἡμέρας. Πρὸς διάφραγμα. Φραξίνου ξύλου κύαθον δὸς ἐπὶ ἡμέρας γ'. πιεῖν ξύσματα καὶ ὑγιὴς ἔσται. ἄλλο πολύχρηστον. κολοκυνθίδα ἀλεξανδρεινὴν τρήσας μὴ σιδήρῳ, καὶ ἐκκενώσας βάλε εἰς οἴνου κώου ξε. α. καὶ ἀναζέσας. καὶ εὔκρατον ποιήσας δὸς πιεῖν. καὶ περιπατείτω. καὶ ἀνάλγητος ἔσται. κατάγει ἀκλύμ* κατέχειν δὲ ἅλας ἐν τῷ στόματι ἵνα μὴ ναυτιάσῃ. ποιεῖ δὲ καὶ πρὸς ἰσχιάδας. Πρόσθετον κωλικοῖς. Ὀπὸν πανὸν ἀναλάμβανε θείδακι καὶ πεσσὸν ποιῶν ἐντίθει τῷ δακτυλίῳ. ἄλλο. Σκορόδου σκελίδιον. α. κονίᾳ θερμάνας θὲς εἰς τὸ δακτύλιον καὶ σκύβαλα κατασπάσας ὑγιάσει. ἄλλο. ἐὰν κῶλον πονῶν κύνα κοιμώμενον ἐγείρει, ἐπὶ δὲ αὐτὸν τόπον, οὗ ἐκοιμᾶτο ὁ κύων οὐρήσει εὐθέως ἄπονος ἔσται. ὁ δὲ κύων ἀποθανεῖται. Ἐπίθεμα κωλικοῖς, καὶ ἐμπνευματουμένοις. Κηρωτῇ κυπρίνῃ σίλφιον ἀναλάμβανε πολὺ καὶ ἐπιτίθει, ἐγὼ δὲ σμήγω καὶ καστόριον ὀλίγον καὶ γίνεται ἐνεργέστερον. πρὸς τρόφον. κύμινον ἑλληνικὸν μασσάσθω καὶ καταπινέτω. ἄλλο. κνῖκον κόψας καὶ πάλιν ἑψήσας πότιζε τῷ χυλῷ. Ἄλλο. Κτένα εἰς θερμὸν ὕδωρ ἐμβρέξας καὶ ἀποπλύνας πότιζε. ἄλλο. Δαφνίδων ξηρῶν λεπισμάτων ὅσον κοχλιάρια β'. δίδου πιεῖν. ἄλλο. Ἕρπυλλον λειώσας μετὰ ἀκράτου δίδου πιεῖν. Πρὸς πάντα τὰ ἐντὸς ἀλγήματα. Ἐντόρα ἀλγοῦντι, εἴ τις τοὺς πόδας νίψει δὸς πιεῖν τὸ ἀπόνιμμα ἄπονος ἔσται παραχρῆμα.

πρὸς διακοπὴν ἐντέρων.

Λαβὼν ἀκάνθης αἰγυπτίας ῥίζαν, καὶ κρέα ἕψησαι σὺν ταῖς θριξὶ καὶ τῷ δέρματι, ἢ αἴγεια λείων, καὶ ἐκ σεμιδάλεως γινομένων κρομμύων. καὶ ἐν οἴνῳ συγκεράσας δίδου πίνειν. αὕτη ἡ ῥίζα ἐπειράθη καὶ ἐπὶ πνευμονιακοῖς πινομένη. ἡ δὲ αὐτὴ καὶ περιαπτομένη ποιεῖ πρὸς τριταῖον καὶ ἀμφημερινὸν καὶ μετὰ ἐλαίου πινομένη ἐστὶ τραυματική.

Ἰσχιάδος καθαρτικόν.

Τιθυμάλλου τοῦ ὀποῦ ἐνστάξας σταλαγμοὺς ε'. εἰς τὸν σῦκον δίδου φαγεῖν καθαίρει.

Ἐπίθεμα κοιλίας λυτικόν.

Κόκκον κνίδιον σὺν τῷ λεπτῷ ἀναλάμβανε κηρωτῇ καὶ ἐπιτίθει ἐπὶ τῆς κοιλίας τοῖς παιδίοις ἐπὶ τὸν ὀμφαλόν. ἄλλο. χολῇ ταύρου διάχριε τὸν ὀμφαλόν. ἄλλο. ἀστράγαλον χοίρειον καύσας καὶ λειοτριβήσας δὸς πιεῖν δι' ὕδατος. ἄλλο. Τὴν ἀνθεμὶν βοτάνην τρίψας μετὰ ἐλαίου ἄλειφον καὶ παύσεται. ἄλλο. Κρονοφάντιον λαβὼν, οἷον θέλεις, ἀπὸ κεφαλῆς γυναικὸς, ἐπιβαλὼν ἐπὶ τὴν κεφαλὴν τοῦ πάσχοντος, καὶ ἰάσῃ. κάλλιον δὲ ἐὰν θερμάνας αὐτὸ, οὕτως ἐπιθῇς. ἄλλο. †Κορίαν καύσας, καὶ δεὶς ἐλαίῳ ἐπιθεὶς ἐπὶ τὸν ὀμφαλὸν καὶ ἐπάνω ὀρία.

† αλ. κορίανον

πρὸς δυσουροῦντας καὶ λιθιῶντας.

Σκορπίοι ὠπτημένοι καὶ τρωγόμενοι. πρὸς δὲ τοὺς ἀπροθύμως ἔχοντας στέατι ἐμφυράσας καὶ ὀπτήσας δίδου φαγεῖν, ἀνυπόπτως, παραδόξως ποιεῖ. καὶ ὄρνιθος δὲ λίθος πυρίνη ὁμοίως ἐλαίας τριβομένους ἂν εἴη ἔμπυρον λευκὸν, οὗτος ποτιζόμενος τοὺς ἐν κύστει λίθους τήκει. καὶ ἀλεκτρυόνος δὲ ἧπαρ καυθὲν καὶ τριβὲν ὥστε ποτισθῆναι, τοὺς λιθιῶντας ἰᾶται. καὶ ὁ ἴασπις λίθος πινόμενος θρύπτει τοὺς ἐν κύστει λίθους. ἄλλο. Κοτυληδόνος ῥίζα ποθεῖσα, καὶ λεία πινομένη καθημέραν ὁλκὴ μία κατὰ κράματος, ποιεῖ πρὸς τὰς ἐν νεφροῖς λίθους λίαν καλῶς. ὀμφακίου καὶ κισσοῦ πυροῦ τῶν κορύμβων μετ' οἴνου λευκοῦ τετριμμένου τὸν ὄμφακα περίχριε τοὺς δυσουροῦντας. πεσσὸς πρὸς λιθιῶντας. ὅταν οὐρήσῃ βούτυρον παλαιὸν μαλάξας περίχριε τὸ αἰδοῖον εἰς δὲ τὴν κοίτην ἔσω προστεθείσθω ἡμέρας γ'. ἐπίθεμα διουρητικὸν, ποιεῖ δὲ καὶ πρὸς νεφριτικούς. καλαμίνθην μετ' ὄξους καὶ πεπέρεως κηρωτῇ ἀναλάμβανε, καὶ τῷ ὀμφαλῷ ἐπιτίθει. ἄλλο. εἰς ἕψημα σαμψύχου ἐγκάθιζε. ἄλλο. Βοτάνην περδίκιον καθεψήσας δι' ἐλαίου κατάπλασσε τὰ περὶ τὴν κύστιν καὶ παραχρῆμα οὐρήσει. πρὸς λιθιῶντας. χαμαίδρυν ὀρεινὴν καθεψήσας δι' ὑδρομέλιτος δίδου πιεῖν, τούτῳ ἐχρήσατο Σάμιος Πρίσκος. ἄλλο. Κισσοῦ λευκοῦ κορύμβους πότιζε ἐν οἴνῳ, τήκει λίθους. ἄλλο. φύλλα ἰτέας λειοτριβήσας ἐν οἴνῳ αὐστηρῷ πότιζε, ἕως ὑγιάσῃς.

πρὸς σύλληψιν.

Ἰσχάδας νήστει μετὰ φύλλων ἐλαιῶν δὸς φαγεῖν. ἄλλο. Προβάτου μαρυκωμένου ἄρας τῷ δακτύλῳ τὸν ἀφρὸν δὸς πιεῖν μετὰ οἴνου. ἄλλο. Κάρδαμον λεῖον μετ' ὄξους δίδου φαγεῖν ἐπὶ ἡμέρας δ'. μετὰ τὴν

κάθαρσιν

κάθαρσιν. ἄλλο. ἀλώπεκος ἀφόδευμα ἐν πεσσῷ παρατιθέμενον καὶ ὑποχριόμενον συγγινέσθω. ἄλλο. Ἀρτεμισίαν λείαν πρόσθου, καὶ συλλήψεται. χριέσθωσαν δὲ τὴν φύσιν κόμμι, ὅταν ἡ ἀρχὴ τῶν ἐμμηνίων τρίτη καὶ συλλήψεται. ἐὰν γυνὴ ἄρρενα γεννῆσαι θέλῃ. φασκία λευκῇ παιδικῇ δῆσον τὸν δεξιὸν πόδα, καὶ συγγινέσθω, ἐὰν δὲ θῆλυ φασκία μελαίνῃ τὸν ἀριστερόν. Πρὸς γνῶναι εἰ ἄρρεν ἢ θῆλυ τὸ ἐν γαστρί. σέλινον μὴ γινωσκούσης ἐπὶ τὴν κεφαλὴν ἐπίθες καὶ ὃ ἂν φωνήσῃ πρῶτον, εἴτε ἄρρεν, εἴτε θῆλυ ἐκεῖνο τέξεται. ἀπαράβατόν ἐστιν. ἄλλο. λαβὼν τῆς ἐν γαστρὶ ἐχούσης οὖρον, ὄρυξον βοθρίσκους δύο καὶ εἰς τὸν ἕνα βάλε κριθὰς, καὶ εἰς τὸν ἕτερον πυρὸς, καὶ ἐπίχεε γῆν μετὰ τὸ ἐμβάλαι τὸ οὖρον αὐτῆς, καὶ ἐὰν πρῶτον ἐκβλαστήσουσιν οἱ πυροὶ ἄρρεν τέξεται. ἐὰν δὲ αἱ κριθαὶ θῆλυ. πρὸς σύλληψιν ἀρρενοτόκιον. χηνὸς στέαρ καὶ ῥυτίνην τερεβινθίνην διαχριέσθω ἐπὶ ἡμέρας β'. τῇ δὲ γ'. συγγινέσθω, καὶ συλλήψεται. ἄλλο. ἀνὴρ τὸν δεξιὸν ὄρχιν

10 ἀποδήσας συγγινέσθω ἐὰν δὲ θῆλυ τὸ ἀριστερόν. κατόχιον ἐμβρύων. ἀετίτην λίθον περίαπτε. κατέχει δὲ ἔμβρυον λίθος ὁ βλαστήσας εἰς ἀχλάδα, καὶ περιμείνας εἶτα περιαπτόμενος. καὶ μολόχης δὲ ἀγρίας ῥίζαν ἁπτόμενος, καὶ ἐπίβοσκον λέγουσι, κατέχει καὶ σωστὰ ἔμβρυα μέχρι τέλους. χρὴ δὲ τῇ κοιλίᾳ περιάπτειν. ἔστι δὲ καὶ ἡ σιδηρῖτις βοτάνη τῶν ἐμβρύων τηρητικὴ περιαπτομένη. ὠκυτόκιον. βολβοὺς πικροὺς τρίψας διὰ γλυκέος δὸς πιεῖν, καὶ παραχρῆμα τέξεται. ἄλλο. Δίκταμνον διὰ οἴνου, ἢ ὕδατος πότιζε. ἄλλο. ὕειον γάλα ἐν μέλιτι πινέτω. ἄλλο. χαλβάνην τρίψας ἐν ὕδατι δὸς πιεῖν καὶ τέξεται παραχρῆμα. ὑποθυμία μαδυστοκούσαις. χαμαιπίτυν ἐπὶ τῶν ἀνθράκων θεὶς, ἢ ἄσφαλτον οἷον οἱ χαλκεῖς χρῶνται, β'. προστιθέσθω, καὶ εὐθέως ποιεῖ. ἄλλο. γλήχωνος δεσμίδιον εἰς ὕδωρ θερμὸν βαλὼν ποίει περικαθίσαι τὴν γυναῖκα, καὶ λέγε εἰς τὸ οὖς αὐτῆς, χοῦ. κα. μι. δοῦς. ἄλλο. λαβὼν ἔλαιον εἰς τὰς χεῖρας ἀνατρίψον αὐτῆς τὰ ἰσχία ἐπιλέγων. χορίον στῆθι σῶμα ὅτι ἐπιτάσσει σοι μεγάλη ἡ θεότοκος. γά-

20 λα κατασπάσαι. ῥαφανίδας μετὰ πυρῶν ἀναζέσας ἐν οἴνῳ καὶ διηθήσας δὸς πιεῖν. ἄλλο. πίτυρα μετὰ μαράθρων ῥιζῶν ἑψήσας τὸ ὕδωρ δὸς πιεῖν. ἄλλο. μελάνθιον δεὶς ἐν μελικράτῳ οἷον ὁλκὴν δίδου. πιεῖν ἄλλο. Κισσοῦ φύλλα δεὶς ἐν μελικράτῳ δὸς πιεῖν. γάλα σβέσαι. Κατάντλει θαλάσσῃ καὶ κατάπλασσε τοῖς στύφειν δυναμένοις, καὶ ἀναξηραίνειν. ἄλλο. ἅλμην ποιήσας θερμὴν, καὶ σπόγγοις ἐκθλίβων καὶ μάννα ἐπιπάσσων ἐπίδει καὶ χάρτας ὁμοίως. ἐὰν δὲ σκληροὶ ὦσι, καὶ φλεγμαίνωσι, κατάπλασσε λινοσπέρμῳ δι' ὀξυμέλιτος ἑφθῷ, ἢ τήλει ὁμοίως ἑψηθείσῃ, ἢ σησάμῳ, ἢ ἀπλύτῳ ψυχθέντι καὶ λειωθέντι μίξας μέλιτι, ἢ σύκοις κατάπλασσε. ἄλλο. Κύμινον τρίψας μετ' οἰνομέλιτος καὶ κηρωτῆς πάχος ποιήσας ἔμπλασσε εἰς ὀθόνιον ἐπιθείς. πότιμα ἐκβόλιον ἐπὶ τεθνηκότος, ἢ μὴ φερομένου κατὰ φύσιν. Χολῆς ταύρου τὸ μέγεθος ἀμυγδάλου δεὶς οἴνῳ παλαιῷ κεκραμένῳ κοχλιάρια β'. δὸς πιεῖν, ἐκβάλλει παραχρῆμα. ἄλλο. ὠὸν ὠμὸν κεδρίᾳ χρίσον καὶ θέρμανον καὶ δὸς ῥοφῆσαι νήστει. ἄλλο. Ἀρτεμισίαν ἑψήσας μετὰ μελικράτου δὸς πιεῖν. ἄλλο.

30 Ὁ φοινικίτης λίθος ἐγχριόμενος ἐκβόλιόν ἐστιν. ἀτελὲς δὲ ἔμβρυον ἐκβάλλει λίθος κυνόδηκτος ἂν τεθῇ, καὶ ὑπερβῇ αὐτὸν ἡ κύουσα. ὡς τάχος ἐκβάλλει τὸ κατὰ γαστρός. Γυναῖκα γνῶναι εἰ ἐκτρώσει τὸ ἐν γαστρί. Ἐὰν οἱ μαστοὶ ἰσχναίνωνται σημαίνει ἔκτρωσιν. Κατάπλασμα φθόριον. Ἐρεγμοῦ καθαροῦ κύαθοι δύο. ἕψει ἐν πολταρίῳ μετ' ὄξους. μετὰ δὲ τὸ ἡμίεφθον γενέσθαι ἀλόης γο. α'. καὶ μαλακτῶδες ποιήσας ἐπιτίθει κατὰ τοῦ ὀμφαλοῦ μέχρι κτενός, καὶ ἐπίδει. Κατάπλασμα ὥστε φθεῖραι ἄνευ πάσης βλάβης καὶ βασάνου. Κυπαρίσσου φύλλων ἑψήσας μετὰ ὕδατι λεῖανον ἐπιμελῶς. ὡς μαλαγματῶδες γενέσθαι καὶ ἐπίθες ἐπὶ τὸν ὀμφαλὸν καὶ τὸ ὑπογάστριον καὶ κατάδει φασκίᾳ. κέλευσον ἐπικαθίσαι ὑπτίαν. ἢ ἐπὶ κρεικοῦ βάθρου καθίσαι καὶ κοιμωμένη ἀπόνως ἐκβάλλει. Ἐκβόλιον ἀκίνδυνον ὥστε μηνῶν τριῶν ἢ δ'. ἐκβάλλειν. Ὀποπάνακος ὀβολοῦ κολλύριον ποιήσας ὑπόθες, ἀκίνδυνόν ἐστι καὶ πεπείραται ἐπὶ πολλῶν. ἄλλο. Στρουθίον λεῖον μετὰ μέλιτος ἀναλαβὼν ἀνάπλασσε πεσσοὺς μικροὺς καὶ ὑποτίθει. ἄγει καὶ τὰ δεύτερα καὶ καταμήνια. ἄλλο. Ἀρτεμισίας τῶν φύλλων λειο-

40 τριβήσας μετὰ ῥοδίνου καὶ ποιήσας γλοιοῦ πάχος προστίθει. Καταμηνίων ἀγωγόν. Ἰσχάδας β S'. νίτρου ὀβολὸν πεσσὸν ποιήσας ἐπιτίθει. ἄλλο. Ἀρτεμισίαν τρίψας ἐπιτίθει. ἄλλο. Πηγάνου ἀγρίου σπέρμα προστίθει. ἄλλο. Γαλάτης λίθος ὑποθυμιώμενος τὰς μὴ καθαιρομένας καθαίρει. Ἐὰν τεκούσῃ αἷμα μὴ ἐκκριθῇ.

Ἀρου σπέρμα τρίψας ἐν οἴνῳ λευκῷ νηστικῇ δίδου πιεῖν. Πρὸς τὰς ἐκ τοκετοῦ χλωράς. Πάνακος ῥίζας τρίψας ἐν οἴνῳ γλυκεῖ δίδου πιεῖν νηστικῇ. ἄλλο. Κυτίνων ἄνθος ῥοῶν μετὰ μύρων ἑψημένων δὸς πιεῖν. Πρὸς κοιλίαν κατερρωγυῖαν καὶ μαστοὺς καὶ μηροὺς καὶ ἰσχία. Κοχλίου θαλασσίου τὸν ὑπόμακρον καύσας καὶ λειοτριβήσας πρόσβαλε, ὡς τὸ λευκόν, ἢ ὄνειον γάλα καὶ κατάχριε. ἄλλο. Διοφανὲς κόψας καὶ τρίψας ὅταν εἰς βαλανεῖον εἰσέρχεται καὶ κατάχριε πρὶν ἀλείψασθαι ἐπὶ ἡμέρας κ'. ἀφανίζονται. Πρὸς τὸ κοιλίαν ἢ ὑποχόνδριον ἢ μηροὺς ἱδροῦσθαι ἐκ τοκετοῦ. Κιμωλίας καὶ μάννης ἑκάστου ἴσον ἀνάλαμβανε ὡς λευκόν, καὶ κατάχριε μετὰ κηρωτοῦ κυπρίνης. Πρὸς τὰ ἐν τοῖς ἰσχίοις ἐμφυσήματα. Ἄρτου τὸ ἐντὸς καὶ μελαντηρίαν συμ-

50 φυράσας, ἐπιτίθει ὅταν καθίσωσιν. Πρὸς ἐξομφάλους. Κνίδας καύσας τρίψας μετὰ ὕδατος κατάπλασσε. Ὀμφαλὸν ἐκ τοκετοῦ μέγαν καὶ καλὸν ποιῆσαι. Λαβὼν βύσμα ἀπὸ ληκύθου βίβλινον περιείλησον ὀθονίῳ ἔπειτα μάννα ὡς ἀπὸ λευκῷ ἀναλαβὼν κατάχρισον. καὶ ἔνθες εἰς τὸν ὀμφαλὸν καὶ ἐπίδει προστύπως.

πρὸς ὑστερικὰς πνίξεις.

Χελώνης χερσαίας ἧπαρ λεῖον ἐν πεσσῷ ὑποτίθει, ἀπαράβατόν ἐστι μηδενὶ μεταδίδου. Πόμα πρὸς πόνον ὑστέρας. Λαγωοῦ καρδίαν ξηράνας ἐπὶ ξύλων δίδου πιεῖν. Πρὸς τοὺς γινομένους στρόφους ἀπὸ τοκετοῦ καὶ φθορᾶς καὶ πνιγμούς. Λεπτοσφαίρου ὀβολοὺς S'. ὀρεσίνημα καλοῦσι τοῖς τρισὶ δακτύλοις μετὰ γλυκέως πινέτω. Πρὸς ὑστέρας πόνους Γλυκείας ῥοᾶς ῥίζαν ἐν οἴνῳ πινέτω. Πρὸς τὰς ἐκ μήτρας σκληρίας. Κύμινον λεῖον καὶ πηγάνου φύλλα ἀνάλαμβανε πίσσῃ ὑγρᾷ καὶ βουτύρῳ καὶ πεσσὸν ποιήσας δι' ἐρίου ἐντίθει. Πόμα πρὸς ὑστερικὰς γυναῖκας. Καστόριον μετὰ ἀνίσου πότιζε. ἄλλο. Κύμινον τρίψας καὶ μελανθίου μέρος S'. μετὰ ὀξυμέλιτος πότιζε.

Πόμα πρὸς ῥοῦν γυναικεῖον.

Π ευκεδάνου ῥίζαν, καὶ κυπαρίσσου σφαιρίων ἴσα ἑκάστου ἐν οἴνῳ λευκῷ δίδου πιεῖν. ἄλλο. Γίγαρτα σταφυλῆς μελαίνης ξηρὰ λειώσας ἐν οἴνῳ μελαυστηρῷ δίδου πίνειν. ἄλλο. Πιτύαν ἐρίφου λαβὼν λεῖανον σὺν ὄξει δριμυτάτῳ καὶ δίδου νήστει πιεῖν. ἄλλο. Κουράλιον δίδου ἐν οἴνῳ μέλανι. καὶ παραχρῆμα στήσεται. ἄλλο. Νάρθηκος σποδιὸν, καὶ μήκωνος κονίαν ἐν ὕδατι δίδου πίνειν πρὸς ὀλίγον. εἰ δὲ ἐν πλείον φορούμενον σπόγγον καύσας δίδου ὅσον στ. γ'. ἄλλο. Κέρας ἐλάφειον καύσας δὸς πιεῖν. Πρόσθετα. Ροιὰν σὺν ἐρίῳ καταπλάσας προστίθει. ἢ σίδια ἑψήσας καὶ τρίψας ἐν ἐρίῳ, δεῖ προστίθεσθαι ἐν πεσσῷ. ἄλλο. Κνίδης τὸ σπέρμα καὶ λιβάνου ἀναλαβὼν ἐν πεσσῷ προστίθει διὰ ὕδατος. ἄλλο. Γλήχωνα λεῖον ἀναλαβὼν ἐρίῳ καθαρῷ προστίθει, βοηθεῖ δὲ, ὄξει ξεστῷ σπόγγος βαπτόμενος καὶ ἐκθλιβόμενος συμμέτρως, καὶ μηρῶν δὲ συναγωγὴ καὶ δέσις ἄκρων, καὶ κατάκλισις ἐπὶ κεφαλήν. Πρὸς τὸ μὴ κατυγραίνεσθαι τὸ αἰδοῖον ἐν ταῖς συνουσίαις τῶν γυναικῶν.

Κηκῖδος ὀμφακίνης κόκκους λ'. σποδίου, ᾧ χρῶνται εἰς τὰ ὀφθαλμικὰ μύστρα δύο. τρίψον καὶ μῖξον εἰς τὸ αὐτὸ καὶ ἀποθοῦ εἰς ἀγγεῖον καθαρὸν, καὶ τούτου λαμβάνουσα μύστρον οἴνῳ παλαιῷ δεῖς, καὶ τούτῳ ὑπονοτιζέσθω ταῖς πρώταις ἡμέραις ἡ γαμηθεῖσα καθόλου τοῦ βίου διαμένη τοὺς τόπους μὴ κατυγρουμένη. ἄλλο. Κηκῖδας ἐμβρέχων εἰς ὕδωρ ἡμέρας η'. εἶτα βρέχε ἔριον τεθυμωμένον τρυφερὸν τῷ ἀποβρέγματι καὶ μὴ ἐκπιέζειν ἔα ξηρανθῆναι. καὶ πεσσὸν ποιῶν τῷ ἐρίῳ δίδου ὑποτίθεσθαι. καὶ ἔσται ὡς παρθένος ἐν τῇ συνουσίᾳ. αἰρέσθω τὸ ἔριον καὶ ξηρανέτω, καὶ πάλιν χρήσθω εἰ θέλει. ἄλλο. Οξυλαπάθου σπέρμα τρίψας δίδου ὑποτιθέσθαι καὶ ἔσται ὡς παρθένος. ἄλλο. Κηκῖδας κόψας εἰς ὕδωρ ἔμβαλε, καὶ δίδου προσκλύζεσθαι καὶ θερμοτέρας ποιεῖ τὰς γυναῖκας. ἄλλο. Οθόνια ἰσχνὰ ἀποβρέχειν εἰς στυπτηρίαν μετὰ ὕδατος ἀνιεμένην, καὶ ξηραίνειν. εἶτα κυπέρου καὶ κασίας καὶ κηκῖδος ἴσον ἑκάστου τρίβε ἐν οἴνῳ παλαιῷ πάχος ποιεῖν μέλιτος. τούτῳ τὰ ὀθόνια βρέχων ἀναξήρανον. καὶ δίδου προστίθεσθαι. καὶ κέλευε συνέχειν ὥραις δυσὶ ταμιευομένη πρὸς τὴν χρείαν. ὅταν δὲ ὁμιλεῖν μέλλῃ τότε ἀφορείτω ἐκεῖνα. λαβοῦσα δὲ μέλι καὶ νίτρον καταχριέτω τὸ μόριον μέχρι τοῦ ἐφηβαίου. οὕτως συγγίνου.

Πρὸς τὰ ἀνόντα τὸν ἵνα γίνεσθαι.

Κ υρίκην καύσας σβέσον οὔρῳ βοὸς τομίου. καὶ λάμβανε ἀπὸ τούτου. ἢ ποτῷ ἢ ἐν βρωτῷ. τὸ δὲ ἄλλο εἰς ἀγγεῖον ἀπόθου. ἄλλο. Λύσις. ἄναψον τὸ ξηλήνειον καὶ παύεται. ἄλλο. Οξύχοινος ἐν τευθίδι καὶ γινομένη κυρίκης χρῆμα τοῦ ὄξεως ἐκκενωθέντος εἰς τὴν κοίτην ἐπιτίθει ὑπὸ τὰ στρώματα καὶ κατέχει τὰς περὶ τὰ ἀφροδίσια ὁρμάς. ἄλλο. Κόρεις ἢ γλήχων ἐσθιόμενος πολλάκις ἀνόντατον ποιεῖ. ἄλλο. Χολὴ νάρκης ἐάν τις τὸ μόριον ἀνόντατον ἔσται. ἄλλο. Ἀπὸ λύχνου αὐτομάτως σβεσθέντος λαβὼν πομφόλυγα τὴν ἐπιζῶσαν βάλλε εἰς τὸ πόμα καὶ δὸς πιεῖν, γενήσεται γὰρ ἀνόντατον ὅλην τὴν νύκτα ὁ πιών.

Πρὸς ἐνουροῦντας.

Α λέκτορος λαρύγγια καύσας δίδου πιεῖν νήστει ἐν ὕδατι κοχλιάριον α'. ἄλλο. Ἄνθη λευκανθέμου τῇ ζ'. πότιζε ἐν ὕδατι τρίψας. ἄλλο. Λαγωοῦ ὄρχιν ξηρὸν ξύων εἰς οἶνον εὐώδη δίδου πιεῖν. ἄλλο. Κόρεις γ'. θλάσας μετὰ οἴνου αὐστηροῦ δὸς πιεῖν ἐπὶ ἡμέρας θ'. ἄλλο. Καλαμίνθην καὶ σμύρναν ἐν ὕδατι δὸς πιεῖν πρὸ τοῦ δειπνῆσαι. ἄλλο. Χηνείας γλώσσας ἑφθὰς δὸς φαγεῖν ἐπὶ ἡμέρας γ'. ἀναμίαν. ἄλλο. Πηγάνου ἀγρίου σπέρμα δὸς φαγεῖν ἐπὶ ἡμέρας γ'. ἄλλο. Καταχριέσθω αὐτοῦ τὸ αἰδοῖον κιμωλίαν μετὰ περδικίου χυλοῦ.

Πρὸς ὕπνον.

Ε ἰς φύλλον δάφνης ἐπίγραφε καὶ ὑποτίθει ἐπὶ τὴν κεφαλὴν λεληθότως, ὀνομάζων κόνκοφον βραχθρέον.

Πρὸς τοὺς μὴ δυναμένους συνουσιάζειν.

Σ καμμωνίαν μεθ' ὕδατος χρίου.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΕΥΠΟΡΙΣΤΩΝ ΒΙΒΛΙΟΝ γ'.

Περὶ σταφυλῆς.

Θ εραπεύσεις σταφυλὴν οὕτως. ἐν ἀρχῇ μὲν αὐτῆς τῆς φλεγμονῆς δίαιτα λεπτὴ καὶ εὔχυμος ἔστω, καὶ ῥοφήματα καὶ ἀναγαργαρίσματα δι' οἰνομέλιτος, ἢ μελικράτου, ἢ ἑψήματος χλιαροῦ, ἢ ὀξυμέλιτος ἀναγαργαριζόμενα καὶ ἀποχεόμενα, καὶ μὴ καταπινόμενα καὶ μασήματα διὰ πυρέθρου ἢ πεπέρεως, ἢ σταφίδας ἀγρίας λειώσας μετὰ νίτρου καὶ ἁλὸς παράβιβε τὸν οὐρανίσκον καὶ τὴν σταφυλὴν καὶ παύει τὴν φλεγμονήν, ἔξωθεν δὲ ἐπίθετα τὰ αὐτὰ καὶ τὰ ὁμοίως θερμαίνοντα, καὶ τὴν φλεγμονὴν παρηγοροῦντα καὶ τὴν ὀδύνην παύοντα, ἐπιθέματα δὲ καὶ καταπλάσματα ἐπιτήδεια.

Περὶ τῆς ἀνακρεμασθείσης σταφυλῆς.

Υσσώπου ῥίζαν, καὶ ἰσχάδων χυλὸν μίξας ἀναγαργάριζε, ὁμοίως καὶ εἰς παρίσθμια καὶ σταφυλὴν, ὁμοῦ ζέσας ἀναγαργάριζε φοίνικας δηλονότι καὶ φακήν.

Εἰς τὸ τηρεῖν ἀδίψους ἀείποτε.

Δ λυκυρίζης χυλὸν πότιζε, ἢ ἀνδράχνης, ὅσον κύαθον καταπίε. ἄλλο. Ἀνίσου γο. α'. γλυκυρίζης χυλοῦ γο. β'. τραγακάνθης βεβρεγμένης γο. β'. ἀνάπλασον τροχίσκον, καὶ ξήρανον ἐν σκιᾷ, καὶ ἐκ τούτων δίδου κατέχειν.

κατέχειν ὑπὸ τὴν γλῶτταν ἀνὰ τροχίσκον, καὶ τὸν χυλὸν καταπίνειν καὶ οὐ διψήσει.

Πρὸς δυσηκοΐας καὶ κωφώσεις.

Χολὴν αἰγείαν πρόσφατον ἴσα μίξας μέλιτι ἀκάπνῳ, χλιαρὸν ἔνσταζον εἰς τὸ οὖς. ἄλλο. Λαγῳοῦ χολὴν νεαρὰν μέλιτι μίξας ἐπίσης καὶ χλιάνας ἐν φλοιῷ κρομμύου, ἐπίσταξον εἰς τὸ οὖς, καὶ γὰρ καὶ τοὺς μηδόλως ἀκούοντας ποιεῖ ἀκούειν. ἄλλο. Συὸς ἡμέρου χολὴν ἴσα μέλιτι ἀκάπνῳ ἑνώσας χλιαρὸν ἐγχυμάτισον. ἢ σκίλλης χυλὸν καὶ ῥόδινον μίξας χρῶ. ἄλλο. Ὀρόβου χυλὸν ἔνσταξον καὶ ἐπίθες σπυρία μετὰ ῥοδίνου.

Πρὸς κοιλιακοὺς ὀργαλεῖον.

Μύρτων χλωρῶν, ῥόδων ξηρῶν σιδίων ῥοιᾶς, βαλαύστια, κηκῖδας ε. οἰνομέλιτι φυράσας διὰ γαστρὸς παράπεμψον, ἢ κυάμων λέπυρα σὺν οἴνῳ ἀποζέσας ἔνιε διὰ κλυστῆρος, ἢ φακῆν ἀποζέσας τὸν χυλὸν χλιαρὸν ὁμοίως ποίει, ἢ ῥίζης μὴ κεκαθαρισμένης τὸν χυλὸν ὁμοίως, ἢ σιδηρίτιδος βοτάνης τὸν χυλὸν χλιαρὸν ὁμοίως, ἢ ἀκακίας χυλὸν ἔνιε ἢ ψιμμύθιον καὶ λιθάργυρον λειώσας μετὰ μέλιτος καὶ οἴνου παράπεμψον.

Εἰς στρόφον κοιλίας.

Κύμινον μετὰ μέλιτος δίδου φαγεῖν, καὶ θαυμάσεις ἢ καλάμου ῥίζαν καύσας πότισον μετὰ οἴνου καυκίου ἑνός.

Εἰς τὸ στῆσαι κοιλίαν.

Ὀρίγανον μετὰ ὕδατος ἑψήσας δίδου πιεῖν. ἄλλο. Σηπίας ὄστρακον καύσας καὶ τρίψας μετὰ οἴνου παλαιοῦ δὸς πιεῖν, ἢ βάτου καρπὸν σὺν τοῖς φύλλοις ἀποτριτώσας δὸς πιεῖν. ἄλλο. Κύμινον ἑλλάδικον, καὶ κηκῖδα ἄτρητον καύσας καὶ μετὰ οἴνου παλαιοῦ δὸς πιεῖν, μετὰ τὸ ἀποτριτωθῆναι ἐπὶ ἡμέρας τρεῖς.

Πρὸς ἐσωχάδας ῥαγάδας, καὶ συκάμινα.

Ἀρσενικοῦ σχιστοῦ γο. γ΄. σφέτλης δρυΐνης γο. δ΄. λειώσας πάντα ὁμοῦ ἔχε ξηρίον, ἐπὶ δὲ τῆς χρείας ἀπονίψας οὔρῳ παιδὸς ἀφθόρου τοὺς τόπους ἐπίπασον.

Πρὸς ἐσωχάδας καὶ ἐξωχάδας.

Ῥίζαν σιλφίου κόψας καὶ λειώσας κατάπλασον. Ξηρίον πρὸς βεβρωμένας οὖλας, καὶ ὀδόντας σειομένους.

Μαστίχης γο. α΄. λιβάνου γο. β΄. σμύρνης ῥόδων ξηρῶν ἀνὰ γο. γ΄. σαρκοκόλλης κηκῖδος ἀνὰ γο. δ΄. ὁμοῦ λειώσας ἐπίπασον τὰ οὖλα, προδιακλύσας ἀειζώου, ἢ μύρτων, ἢ σχοίνου, ἢ ἄγνου, ἢ ἐλαίας τῶν φύλλων τῶν χλιαρῶν.

Πρὸς ὀδονταλγίας.

Ὕσσωπον ὀρίγανον μετὰ ὄξους ἑψήσας δὸς διακλύζεσθαι, ἢ πύρεθρον καὶ πέπερι, καὶ ζέμμα καὶ μαστίχην, ἐξ ἴσου δίδου διαμασᾶσθαι. ἄλλο. Σταφίδας ἀγρίας κόκκους δ΄. μαστίχης κόκκους η. δίδου διαμασᾶσθαι.

Εἰς πεσόντας ὀδόντας ἀπὸ πληγῆς.

Σταφίδας ἐν ἐλαίῳ ζέσας πυρίαζε τὸν τόπον, καὶ γῆν ἐξῆς περὶ ὀξεῖ τῆς ὀδύνης δηλονότι ὀρεθιζούσης, ἐπὶ ἡμέρας δὲ τρεῖς ποίει, οὕτως καὶ πάλιν ἀναφύουσιν οἱ ὀδόντες.

Πρὸς οὖλα βιβρωσκόμενα.

Ἀριστολοχίας τρίψας μετὰ μέλιτος ἐπίπασον τὰ οὖλα, ἢ κέρας ἐλάφειον κεκαυμένον ἕως ἂν γένηται λευκόν, καὶ ψιμμύθιον, καὶ λιθάργυρον καὶ νάρδον κιοσηρίῳ κηρωτῇ ἀναλάβου, καὶ κατάχριε, ἢ χελώνης ὄστρακον καύσας καὶ τρίψας μίξας τε μετ᾽ ἐλαίου ἔνσταξον εἰς τὸ οὖς. ἄλλο Εὐζώμου σπέρμα σὺν τῷ χυλῷ, καὶ χολὴ αἰγὸς καὶ μέλιτι κατάχριε ἢ μελάνθιον μέλιτι κατάχριε.

Προς ὀφθαλμοπονίαν.

Μυελὸν αἴγειον περίχριε καὶ ἰᾶται, ἢ στέαρ αἴγειον ἢ προβάτειον ἀποβρέχων εἰς ὕδωρ θερμὸν ἐπιτίθει, ἢ λινοσπέρμου χυλὸν ἢ γάλα γυναικεῖον ἐπίχριε.

Πρὸς λεύκωμα καὶ οὐλὰς παλαιὰς ἐν ἐλαχίσταις ἡμέραις, ἔστι δὲ καὶ ὀξυδερκικὸν θαυμαστόν.

Ἰοῦ ξυστοῦ γο. δ΄. ἀμμωνιακοῦ γο. δ΄. ψιμμυθίου γο. β΄. κόμεως γο. α΄. τὸ δὲ ὑγρὸν ἔστω συκῆς ἀγρίου χυλὸς ὁ τῆς ῥίζης. ἄλλο. Δαφνοκόκκων κεκαθαρισμένων, καὶ λελειωμένων, κόμεως τὸ ἀρκοῦν, πρόπλεξον καὶ ποίει κολλύρια, ἐπὶ δὲ τῆς χρείας λειώσας οὔρῳ παιδὸς ἀφθόρου ἀναλάμβανε, καὶ οὕτως χρίε. πεπείραται γάρ.

πρὸς αἰγίλωπας.

Κόπρον περιστερᾶς ξηρὸν στ. δ΄. σὺν λιβάνῳ ἄρρενι λειώσας ἐπίπασσον ἕως οὗ παύσῃ. ἐδοκιμάσθη γάρ.

πρὸς λευκώματα δόκιμον. καὶ γὰρ πολλοὺς ὤνησεν.

Πέρδικος ἄρρενος χολὴν μετὰ μέλιτος χρίε. ἄλλο. Λαδάνου γο. β΄. λειώσας μετὰ καλλίστου οἴνου καὶ ἐλαίου ἀφ᾽ ἱκανοῦ χρίε τοὺς ὀφθαλμούς.

πρὸς ὑπόχυσιν ὑπερφυῶς παραχρῆμα τὸ βλέπειν ποιῶν.

Αἷμα μυὸς καὶ χολὴν ἀλέκτορος καὶ γάλα γυναικεῖον ἴσα μίξας καὶ λειώσας χρῶ, ἐδοκιμάσθη γὰρ καὶ ἄκρως ὠφέλησεν.

Ἄλλο πρὸς ὑποχύσεις παλαιάς τε καὶ νέας καὶ ἀμβλυωπίας καὶ πᾶν ἐπισκοτοῦν τὴν ὅρασιν.

Ἀφυίδας ἐκλελεπισμένας ἀριθμὸν κοκκίων ι. κόμεως στ. β΄. ὕδατι ὀμβρίῳ ποιήσας κολλύρια, καὶ χρίε τοῖς μὲν ὑποχυμένοις μετὰ οὔρου παιδίου ἀφθόρου, τοῖς δὲ ἀμβλυωποῦσιν μετὰ ὕδατος ὀμβρίου.

πρὸς πόνον ὀφθαλμῶν καὶ ἀγρυπνίας.

Μελίκρατον ἐγχυματίσας, καὶ προβρέξας ᾠόν, καὶ προκαθάρας, καὶ τεμὼν εἰς β΄. δῆσον ἐπάνω τῶν ὀφθαλμῶν, καὶ ὑπνώσει.

πρὸς ἄνθρακας ὀφθαλμῶν καὶ παντὸς τοῦ σώματος.

Πεντακάδα βοτάνην μετὰ ψιχίων λειώσας προβρέξας τὰς ψιχίας ὀξυκράτῳ χρῶ.

Ὀξυδερκικόν.

Μαράθρου ξύλον τρίψας καλῶς μετὰ μέλιτος παλαιοῦ νεαροῦ ἀκάπνου χρῶ ἐπὶ χρίων.

Περὶ τῶν ἐν βλεφάροις κειθῶν.

Λακκίαν σὺν οἴνῳ χρίε, ἐπὶ δὲ τῶν ῥευματιζομένων τοὺς ὀφθαλμοὺς ἐν ἀρχῇ μὲν ἁρμόζει ὀλιγοσιτία, καὶ ὑδροποσία καὶ ἀποχὴ συνουσίας, καὶ ἡ κοιλία ὑποσυρέσθω, καὶ πολλῷ ψυχρῷ πρῶτον, καὶ ὀλίγου μιγνυμένου ὄξους, συνεχῶς τὸ πρόσωπον νιπτέσθω, καὶ ἐν τῇ κλίνῃ ἀσφραινέσθω, κονιορτοῦ τε καὶ καπνοῦ, καὶ τὴν ἀφ' ἡλίου καὶ λύχνου αὐγὴν ἀποφευγέτω. ἔπειτα ῥόδα χλωρὰ ἢ ξηρὰ βρέξας ἐν γλυκεῖ λέανε καὶ μίξας ὠοῦ λεκίθῳ κατάπλαττε, ἢ κριθίνου ἀλεύρου σὺν γλυκεῖ ἑψηθέντος, ἐὰν δὲ ἡ ὀδύνη μεγίστη ἡ πρόσμιξον καὶ ὑοσκύαμον. Κατάπλασμα εἰς ῥευματιζομένην κεφαλήν, τοῦτο τὸ μίγμα οὐκ ἐᾷ κεφαλὴν ῥευματισθῆναι, οὔτε ὀφθαλμὸν ἀδικηθῆναι ποτέ.

Κιμωλίας νίτρου, βρυωνίας ῥίζης ξηρᾶς, συκῆς ἀγρίου ῥίζης κυάμου ἀλεύρου ἀνὰ γο. β. λειοτριβήσας ὁμοῦ, καὶ ἑνώσας εἰς γλοιοῦ πάχος χρῶ ἐν βαλανείῳ, ὡς κάλλιστον.

Ἀποφλεγματισμὸς κατασπῶν ἐκ τοῦ κρανίου φλέγμα.

Ἀγριοσταφίδας μετὰ μαστίχης δίδου μασᾶσθαι ἢ μαστίχην, καὶ ζιγγίβερ, εἰ δὲ ἡ μαστίχη σκληρὰ εἴη, πρόσπλεξον καὶ ὀλίγον κηρόν.

Πρὸς κεφαλαλγίαν.

Πηγάνου κόψον ἐπιμελῶς καὶ σὺν ὄξει καὶ ῥοδίνῳ κατάχριε τὸ μέτωπον.

Πρὸς ἡμικρανίαν.

Ξύρασον κεφαλήν, καὶ κόμην ἑψήσας, ἐλαίῳ βρέχε τὴν κεφαλήν, καὶ παύεται εὐθὺς ἡ ὀδύνη. ἄλλο. Κισσοῦ ἀκρέμονας ἐλαίῳ ἑψήσας βρέξον τὴν κεφαλὴν καὶ θαυμάσεις. ἄλλο Ἀμύγδαλα πικρὰ λειοτριβήσας κατάχριε τὸ μέτωπον.

Πρὸς ἥλους δόκιμον κἂν ἐν κεφαλῇ εἰσίν.

Σανδαράχης σχιστῆς, χαλκάνθου, μύσιος καὶ ἀσβέστου ζῶντος, καὶ σάπωνος, ὅλα μίξας ἐξ ἴσου τὸ ἄσβεστον δὲ πλεῖον λειώσας μετὰ πρωτείου ζωμοῦ τοῦ σάπωνος χρῶ. θαυμάσιον γάρ ἐστι.

Πρὸς ἡμικρανίαν.

Εὐζώμου σπέρμα. γο. γ. πηγάνου χλωροῦ γο. ζ. πεπέρεως κόκκους. λα. ὠῶν τριῶν τὸ λευκόν, ὄξος τὸ ἀρκοῦν, χρίε τὸν τόπον. Τροχίσκος ὁ ἔνδοξος Σωκράτους πρὸς κεφαλαλγίαν, καὶ ἡμικρανίαν καὶ πρὸς πάντα τὰ ῥευματικὰ πάθη θαυμάσιος.

Εὐφορβίου στ. δ. θαψίας χυλοῦ στ. ς. ζιγγιβέρεως στ. α. ὀπίου στ. γ. ὀποπάνακος στ. β. λύσον τὰ πάντα ὁμοῦ μετὰ ὄξους. καὶ ποίει τροχίσκους, ἐπὶ δὲ τῆς χρήσεως ἀναλαβὼν ὄξει χρίε τὸ μέτωπον. ἔστι δὲ καὶ καπνιστικὸν καὶ τοῖς μοριόντι ῥευματιζομένοις ποιεῖ θαυμαστῶς.

Περὶ ἥλων.

Ἀρίθμησον τοὺς ἥλους, καὶ λαβὼν τοσούτους μύρμηκας, δῆσον ἐν λίνῳ πανίῳ καὶ κοχλίαν ἕνα μετ' αὐτῶν καὶ καύσας αὐτοὺς λείωσον σὺν ὄξει καὶ ἐπίχριε, ἢ κόπρον βόϊον μετὰ ὄξους λειώσας ἐπίχριε ἐπὶ ἡμέρας τρεῖς κατάπλαττον καὶ πεσοῦνται οἱ ἧλοι.

Πρὸς ἥλους καὶ μυρμηκιασμούς.

Ὀστέα φοινίκων καύσας καὶ τρίψας μετὰ ἅλατος καὶ θυμιάματος καὶ μίξας ἐν ἡλίῳ ἐπίθες καὶ θεραπεύσεις.

Πρὸς ἡμίκρανον δόκιμον.

Λαβὼν γῆς ἔντερα ιε. κόκκους πεπέρεως ιε. ὄξους τὸ ἀρκοῦν. λειώσας ὁμοῦ χρίε.

Πρὸς θηριοδήκτους πληγάς.

Θηριοδήκτους, καὶ λυσσοδήκτους ἰᾶται καρκίνου τοῦ ἐντὸς ἡ τέφρα σὺν ὕδατι πινομένη ἅπαξ καὶ δὶς ἀνὰ δραχμῆς μιᾶς.

Πρὸς τὰς ἐξ οἴνου κεφαλαλγίας.

Πολυγόνου κλῶνους β. πλέξας στεφάνωσον.

Πρὸς πόνον ἡμικρανίου.

Καρδάμου σπόρον τρίψας, μίξον μετ' ὠοῦ λευκῷ, καὶ κατάχριε τὸ μέτωπον, καὶ ἐπάνω θὲς σηπία, ἢ τοῦ ἀετοῦ τῆς κεφαλῆς τὸ ὀστοῦν τὸ ὅμοιον τῷ ὁμοίῳ περίαπτε, ὁμοίως καὶ τοῦ γυπός. ἄλλο. Οἱ ἐν τῇ κεφαλῇ τοῦ λάβρακος εὑρισκόμενοι λίθοι, κεφαλαλγίαν ἰῶνται, καὶ εἰς ἡμικρανίαν περιαπτόμενοι δεξιὸς δεξιᾷ καὶ ἀριστερὸς ἀριστερᾷ.

Πρὸς τρίχας ῥεούσας ἀπὸ κεφαλῆς καὶ πώγωνα.

Σεύτλου μετὰ μυρσινελαίου καὶ πολιτρίχου τρίχας κατάχριε, ἢ ἀδίαντον καὶ λάδανον ἴσα λειώσας μετ' ἐλαίου ὀμφακίνου ἢ μυρσινίνου ἢ σχινίνου ἐπίχριε. ἄλλο. Λάδανον ἀποβρέξας σὺν οἴνῳ ἀμιναίῳ, καὶ μυρσινελαίῳ λειώσας ἄμφω πάχος μέλιτος καὶ χρίε τὴν κεφαλὴν ἐν βαλανείῳ, βέλτιον δ' ἐστὶ καὶ τὸ ἀδίαντον, ὅ τινες καλοῦσι πολύτριχον, τὸ ζ. μέρος λαδάνῳ πρόσβαλλε καὶ χρίε.

Πρὸς τρίχας ῥεούσας ἵνα δὲ καὶ πλέον γίνονται.

Μοσχόδων στ. γ. καλάμων κονατήλων κεκαυμένων στ. δ. ἀμύγδαλα πικρὰ οβ. ὀπὸν βαλσάμου λάδανον ἀνὰ στ. δ. πολυτρίχων στ. ζ. νάρδου κοροῦ στ. α. ἐν ὑγροπίσσῃ βρέξας τὸ λάδανον, καὶ οἴνῳ καὶ οἴνῳ καὶ ἐλαίῳ λειώσας. τὰ δὲ ξηρὰ κόψας εἰς χνοῦν μετὰ τῶν ὑγρῶν μίξας χρῶ, ἀλειφόμενον καθημέραν, ἐμοὶ δοκεῖ καὶ φαλακροὺς τριχῶσαι.

Βηχὸς θεραπεῖαι διάφοροι.

Αρκευθίδος ὁ καρπὸς ἐσθιόμενος καὶ πινόμενος, ἢ βδέλλιον πινόμενον, ἢ δαῦκος κρητικὸς σὺν οἴνῳ πινόμενος, ἢ δρακοντίου ῥίζα ὁμοίως ἑψηθεῖσα, καὶ λεανθεῖσα μέλιτι, ἢ ἐλελίζης βοτάνης καὶ περδικιάδος χλιαρῶς, νηστικῶς καταῤῥοφούμενος ὁ χυλὸς σὺν ὕδατι πινόμενος· ἢ πολυγόνου χυλὸς σὺν ὕδατι πινόμενος, ἢ ἀρκίου βοτάνης ἡ ῥίζα, ἢ στροβιλίου σὺν ὕδατι πινόμενον, ἢ πρόπολις θυμιωμένη, καὶ ῥητίνη πινομένη, καὶ τερεβινθίνη θυμιωμένη, ἢ ἀρσενίκιον σχιστὸν μετὰ χαλβάνης θυμιωμένη, καὶ ὁ καπνὸς καταπινόμενος, ἢ ἄσφαλτον καὶ λίβανον καὶ στύραξ, καὶ κύμινον θυμιαζόμενα, ἢ κινάμωμον σὺν μέλιτι χλιαρῷ πινόμενον, ἢ κυπαρίσσου σφαιρία τριβέντα μετὰ γλυκέως καὶ σμύρνης νηστικῶς λαμβανόμενον, ἢ μαλάθρων ῥίζας καὶ σπέρμα σὺν οἴνῳ ἑψηθέντα καὶ πινόμενα, ἢ νάρθηξ χλωρὸς, σὺν οἴνῳ ἑψηθεὶς καὶ ποθεὶς, ἢ ὀρίγανον σὺν μέλιτι ἑψηθὲν καὶ ποθὲν, ἢ μυρσίνης ἄνθος, καὶ ὁ καρπὸς καὶ τὰ φύλλα σὺν οἴνῳ ἑψηθέντα καὶ πινόμενα, ἢ πευκίου ὁ φλοιὸς σὺν ὕδατι πινόμενος, ἢ λεύκης φύλλα καὶ τὰ κλωνία σὺν ὕδατι, ἢ οἶνα πινόμενα, ἢ φλόμου ῥίζα σὺν οἴνῳ πινομένη ἐν βαλανείῳ, ἢ σκόροδον ὠμὸν καὶ ἑψημένον ἐσθιόμενον, ἢ στρουθίου βοτάνης ἡ ῥίζα, σὺν μέλιτι ἀναλαμβανομένη τοὺς πάνυ ἐσχάτως ἔχοντας ἐν τῷ πάθει, λαγωοῦ κόπρος λεία σὺν οἴνῳ θερμῷ ποθεῖσα ὠφελεῖ. ἀρτηριακοὺς καὶ κιωνικοὺς καὶ δυσπνοϊκοὺς μεγάλως θεραπεύει ἀετοῦ γλῶσσα περιαπτομένη, ἢ στροβίλιον ἀκέραιον καύσας καὶ τρίψας μετὰ πεπέρεως ὀλίγον, καὶ ἀναλαβὼν μέλιτι δίδου τῷ πάσχοντι κοχλιάριον ἕν, πρὸς δὲ χρόνιον βῆχα, θεῖον ἄπυρον τρίψας καλῶς ἐμβαλὼν ὠὸν ῥόφησον ἐν βαλανείῳ, ἢ σίναπι τρίψας καὶ μίξας μέλιτι δίδου δακτύλους τρεῖς, ἢ καρδαμόσπορον λεῖον σὺν ὕδατι πινόμενον εἰς κοίτην, ἢ λίβανον τριβόμενον μετὰ μέλιτος, καὶ ἐκλειχόμενον πρωῒ καὶ εἰς κοίτην, ἢ ῥαφάνου χυλὸς μετὰ μέλιτος καταῤῥοφούμενος τὸ πρωΐ. ἄλλο. Αρκευθίδες ε̄. ἢ ζ̄. μετὰ μέλιτος πινόμεναι. ἄλλο. Πεπέρεως sr. δ̄. καρύων sr. β̄. στροβίλου ὑσσώπου ἀνὰ ∠. ᾱ. γλήχωνος sr. δ̄. ἴρεως sr. δ̄. κνίδης σπέρμα sr. δ̄. μέλιτος, ἡ δόσις κοχλιάριον ᾱ. ἄλλο. Σίναπι καὶ κύμινον, μελάνθιον, κάρδαμον, ἴσα ὁμοῦ κόψας ἀναλάμβανε οἴνῳ καὶ δίδου. ἄλλο. Γλήχωνα δίδου μασᾶσθαι συνεχῶς, καὶ συντρίψας μετὰ οἴνου καὶ λεάνας δίδου πιεῖν. ἄλλο. Κύμινον πεφρυγμένου sr. ᾱ. μελανθίου πεφρυγμένου sr. ᾱ. πεπέρεως κοκκία μ̄. συντρίψας καὶ ζυμώσας μέλιτι δίδου νήστει, καὶ εἰς κοίτην.

Κάπνισμα.

Αρσενίκιον σχιστὸν, πέπερι, πράσιον, κριθῆς ἄλευρον, χαμαίδρυος ἀμπέλου ῥίζης δέρμα χαμαιλεύκης, μαστίχης κόστου. κρόκου ὠῶν πάντα ἑνώσας πλάττε κολλύρια καὶ κάπνιζε νήστει, καὶ εἰς κοίτην. ἄλλο. Πέπερι κάρυα ἀρσενίκην σχιστὸν συντρίψας καὶ μίξας μέλιτι πότισον. ἄλλο. Βουτύρου στέαρ χηνὸς ῥητίνην μέλιτι συντρίψας δίδου νήστει καὶ εἰς κοίτην. ἄλλο. Ῥάφανον, μαράθου σπέρμα πεπέρεως συντρίψας, καὶ μετὰ μέλιτος ζυμώσας δίδου. ἄλλο. Φυσαλίδας ἑψήσας σὺν ταῖς ῥίζαις δὸς πιεῖν. Βηχικὸν καὶ εἰς ἀναγωγὴν αἵματος. ὕσσωπον, κινάμωμον, ῥέον βάρβαρον ἀνὰ sr. ᾱ. συντρίψας, καὶ ἑνώσας μετ' οἴνου χλιαροῦ πότισον.

Ἄλλο ποιοῦν καὶ ἐκτηκομένοις.

Λιβάνου πεπέρεως, ἀρσενικίου σχιστοῦ, καρυοφύλλου πάντα ὁμοῦ συντρίψας μετὰ μέλιτος καὶ ζυμώσας, δίδου πρωῒ καὶ εἰς κοίτην ἢ ἀρσενίκιον σχιστὸν ἀντὶ ἅλατος εἰς ὠὸν ῥυτὸν καὶ ῥόφησον νῆστις, ἢ ἀρσενικὸν συντρίψας μετ' οἴνου χλιαροῦ πότισον ἐν λουτρῷ, ἢ ἀρσενίκην σχιστὸν καὶ κρόκον ὠοῦ μίξας ἐπάλειφε εἰς βάμβακα καὶ κάπνιζε διὰ κιχώνης, ὅταν δὲ ὀλιγωθῇ ὁ καπνιζόμενος δίδου αὐτὸν καὶ καταπιεῖν βούτυρον. ὅσον λεπτοκαρύου μέγεθος, καὶ πάλιν καπνιζέσθω, ποίει δὲ ἑπτάκις. ἄλλο. Στύρακος καλοῦ καὶ κράμβης χυλὸν συντρίψας καὶ ζυμώσας δίδου νήστει, καὶ εἰς κοίτην, ἢ δαφνελαίου καὶ οἴνου καλοῦ ἀνὰ sr. γ̄. μίξας χλιαρὸν πότισον ἐν λουτρῷ καὶ οἰνέλαιον θερμὸν κεραμὸν πυρίαζε τὸν στόμαχον, τὸ οἰνέλαιον μὴ δίδου φθισικῷ πίνειν, ἀλλὰ τὴν σκευασίαν τοῦ οἰνελαίου ἀκριβῶς σκευάσας καὶ χλιάνας πυρίαζον μετὰ σπόγγων τὸν στόμαχον. ἄλλο. Θέρμων ἀφέψημα θερμὸν στακτὴν βρέξας πυρίαζε τοὺς πόδας βήσσοντος, καὶ ἀποσπογγίσας αὐτοὺς ἐπάλειφε βούτυρον καὶ πυρίαζε [illegible] ἰαθήσεται. ἄλλο. Κισσοῦ κόκκους, ἢ ξύλα, ἢ φύλλα κάπνιζον τὸν βήσσοντα, ἢ ῥητίνην σὺν οἴνῳ παλαιῷ συντρίψας πότισον νῆστιν, ἢ ἀγριοκανάβης σπέρμα τρίψας πότιζον μετὰ ὕδατος, ἢ κεδρίαν πότιζον νηστικῷ, ἢ ὕσσωπον, καὶ γλήχωνα μετὰ ὀξυκράτου δὸς πιεῖν προεψήσας, ἢ βορονίκην φυράσας μετὰ μέλιτος δίδου φαγεῖν, ἢ ῥάφανοι ὀπτοὶ ἐσθιόμενοι πρωῒ καὶ ὀψὲ, ἢ χαμελεύκη θυμιωμένη. ἄλλο. Δαφνίδας μετὰ πεπέρεως, καὶ στροβίλους μετὰ μέλιτος δίδου πρωῒ καὶ εἰς κοίτην.

Εἰς βήσσοντας καὶ τετραχωμένοις τὴν ἀρτηρίαν ἀποκεκομμένοις τὴν φωνὴν καὶ ἀναφορικοῖς.

Τραγακάνθης κόμεως ἀνὰ sr. ᾱ. σμύρνης καλῆς sr. ᾱ. γλυκυῤῥίζης χυλοῦ καὶ γλυκέως τὸ ἀρκοῦν, κόψας πάντα καὶ ἑνώσας, ἐπειδὰν λεανθῶσι, τὰ ξηρὰ μίξον μετὰ τῶν λοιπῶν.

Ἄλλο πρὸς βηχίον καὶ ἑλκωμένην ἀρτηρίαν.

Τερεβινθίνης κόμεως καλοῦ μέλιτος ἀνὰ sr. ᾱ. τὸ μέλι καὶ τὴν τερεβινθίνην προεψήσας βάλλε τὸ κομίδιον, καὶ δίδου ὅσον ἐλαίας μέγεθος διακρατεῖν ἐν τῷ στόματι. ἄλλο. κόμεως λυκίου ἀνὰ γο. δ̄. βάλλε εἰς ὕδωρ καὶ ἔασον τακῆναι, εἶτα βάλλεται κοτύλην κρητικοῦ γλυκέως μίαν καὶ ἕψε ἕως οὗ γένηται γλοιώδες, καὶ χρῶ ἐν ἐλικτῷ.

Ἄλλο εἰς βηχίους καὶ βρόγχους, καὶ αἵματος ἀναγωγάς.

Τραγακάνθης sr. β̄. λινοσπέρμου πεφρυγμένου sr. δ̄. ἀμύγδαλα λελεπισμένα ῑ. στροβίλου ὀπτημένης στέατι, τὴν τραγάκανθον ἐν ὕδατι βρέχε χλίον, καὶ τὰ λοιπὰ μίξον γλυκύ. καὶ τραχέας λειοτριβεῖ. πρὸς δὲ τὰς ἀνακοπὰς τῆς φωνῆς. καὶ ἐὰν ἀνάγει αἷμα, χρῶ μέλιτι ἀντὶ τοῦ γλυκέως. ἄλλο. Ῥάφανον κατακόψας, καὶ στρογγύλα ποιήσας, ὄπτιζον ἐπ' ἀνθράκων, καὶ μετὰ μέλιτος φάγε νῆστις.

Πρὸς βῆχα χρόνιον.

Πεπέρεως στ. α. θέρμου ἀλεύρου ℒℒ. γ. καὶ μέλιτος κοχλιάριον α. δὸς ῥοφεῖν. ἄλλο. Τῆς ἀκοῆς τοῦ χοίρου τὸ πεπρισμένον ὅσον διαφθεῖν τράχηλον προφυλακτικόν ἐστι βηχός.

Βηχικὸν καὶ κιονικὸν καὶ ἐν φλεγμονῇ παρισθμίων.

Οἱ ἐν ταῖς κοιλίαις τῶν νεοσσῶν τῆς χελιδόνος εὑρισκόμενοι λίθοι περιαπτόμενοι προφυλακτικόν ἐστι βηχός.

Βηχικοῖς καὶ ἐν ῥίζῃ σταφυλῆς καὶ εἰς κατάρρουν.

Ζιγγιβέρεως στ. α. χαλβάνης ὀπίου ἀνὰ στ. α. στύρακος στ. α. γλυκὺ ἀναλαβὼν ποίει ὀρόβια, καὶ ἀντὶ καταποτίου, παρέχε ἐν κοίτῃ δύο. καὶ ἐπιρρόφα καὶ τὸ γλυκὺ κεκραμένον. ἄλλο ζιγγιβέρεως στ. δ. στύρακος στ. δ. γλυκεῖ ἀναλάμβανε, καὶ ποίει ὀρόβια, καὶ ἀντὶ καταποτίου δίδου εἰς κοίτην γ. ἐπιρροφεῖν γλυκὺ κεκραμένον.

Εἰς κατάρρουν καὶ βῆχα δόκιμον.

Ὀπίου στ. β. καστορίου στ. α. ποίει ὀροβιαῖα καὶ δίδου εἰς κοίτην πρὸς δύναμιν.

Ἄλλο ὅπερ ἐχρήσατο ὁ σοφώτατος Ἀλέξανδρος.

Πυρέθρου στ. β. κόστου στ. α. κόψας καὶ σήσας. ἐν δὲ τῇ χρήσει κέλευε ἅπτεσθαι τῶν μυκτήρων, καὶ στέλλε εὐθύς.

Πρὸς τοὺς ἐκ κατάρρου τὴν ἀρτηρίαν ῥευματισθέντας, καὶ βήχοντας.

Στύρακος στ. η. καστορίου στ. δ. ζιγγιβέρεως στ. δ. χαλβάνης στ. δ. ἑνώσας ποίει ὀροβιαῖα καὶ παρέχε εἰς νύκτα β. ἢ γ. καὶ μὴ ἐπιπινέτω ὀπίνων πρᾶγμα καὶ ὠφεληθήσεται.

Πάσμα κρανίου παῦον ῥεῦμα αὐτοῦ.

Ὑπερικοῦ. κρίνου ἄνθους ἀνὰ γο. α. ἴρεως γο. α. ξυλοβαλσάμου γο. α. κόψας καὶ σήσας χρῶ ἐπιπάσσων περὶ κρανίῳ.

Πάσμα κρανίου ἀναξηραντικόν.

Κόστου φύλλα μαράθρου κικίδων ναρδοστάχυος ἴρεως νάρδου κελτικῆς ῥόδων ξηρῶν ἀνὰ γο. α. κόψας καὶ σήσας ἐπίπασσον. ἄλλο πάσμα. Ἐρείκης καρποῦ. κικίδων. κρίνου ἄνθους ἀνὰ γο. α. σαμψύχου, κόστου. ἴρεως. ξυλοβαλσάμου ἀνὰ γο. α. κόψας, καὶ σήσας ἐπίπασσον τὴν κεφαλήν.

Ἀποφλεγματισμὸς χειμερινός.

Ὑσσώπου στ. δ. ὀριγάνου στ. δ. γλήχωνος στ. β. καλαμίνθης στ. α. σταφίδος ἀγρίας στ. α. πυρέθρου στ. β. πρασίου στ. α. σινήπεως στ. α. ἑψήματος ξέστην α. ὄξους ξέστην α. ἑνώσας ἕψει ἕως οὗ ἀποτριτωθῇ καὶ ἀποφλεγμάτιζε.

Ἀποφλεγματισμὸς ἐαρινός.

Ὑσσώπου γο. δ. ὀριγάνου γο. γ. γλήχωνος γο. β. καλαμίνθης γο. α. ἑψήματος ξέστην α. ὄξους ξέστας τρεῖς.

Ἀποφλεγματισμὸς θερινὸς καὶ φθινοπωρινός.

Ὑσσώπου γο. δ. ὀριγάνου γο. γ. γλήχωνος γο. β. καλαμίνθης γο. α. ναρδοστάχυος γο. α. καρυοφύλλου γο. α. κινναμώμου γο. γ. πρασίου γο. δ. ἴρεως γο. γ. κυπέρου γο. β. πυρέθρου γο. α. ἑψήματος ξέστην μίαν, ὄξους ξέστην α. ἕψει ἕως ἀποτριτωθῇ καὶ ἀποφλεγμάτιζε.

Εἰς κατάρρουν.

Ὀριγάνου δεσμίδια β. γλήχωνος δεσμίδιον α. μετὰ ὄξους βαλὼν εἰς χύτραν καθαρὰν καὶ ἰσχάδας ς. καὶ σταφίδας ὡσεὶ ιβ. ἕως ἀποτριτωθῇ, καὶ σακέλισον, καὶ βάλλε εἰς ποτήριον καὶ λαβὼν ἀναγαργάριζε.

Πρὸς τοὺς ἐν τῷ θώρακι χυμούς.

Κνίδης τὰ φύλλα συνεψηθέντα πτισάνῃ δίδου. λύει δὲ καὶ ἐμπνευματώσεις καὶ ἀνάγει τὰ ἐν τῷ θώρακι.

Πρὸς βῆχα καὶ δύσπνοιαν ἐν στομάχῳ καὶ ἀναγωγὰς αἵματος.

Λαβὼν σπόγγον λευκὸν καὶ καινόν, καὶ καύσας καὶ λειοτριβήσας μῖξον τὴν σποδιὰν σὺν μέλιτι καὶ πεπέρει τῷ ἀρκοῦντι, καὶ ποιήσας ὡς ἔκλειγμα λάμβανε ὀψὲ μετὰ τὸ δεῖπνον ὅσον ἄρῃς τοῖς τρισὶ δακτύλοις.

Χολὴν βοὸς ἄρρενος χρίε τὸν τράχηλον. Πρὸς συνάγχην.

Πρὸς βῆχα ξηραντικόν.

Τῆλιν ἑψήσας ἕως ὅτου ἀποτριτωθῇ, καὶ τὸ ζεμμάτιον λαβέτω πρωῒ μετὰ μέλιτος.

Τροχίσκος βηχικὸς τοῖς τὸν θώρακα ῥευματιζομένοις.

Γλήχωνος. ὑσσώπου. πεπέρεως. καρδάμου ἀνὰ γο. α. μέλιτι ἀναλαβὼν ποίει τροχίσκους ἀνὰ γο. α. καὶ χρῶ.

Περὶ παρισθμίων.

Ἰτέας φύλλα καὶ καρπὸν ἑψήσας ὕδατι ἐπὶ ποσὸν δίδου ἀναγαργαρίζεσθαι. τοῦτο ἀραιοῖ τὰ παχέα τῶν δερμάτων μάλιστα, καὶ εἰς συναγχικοὺς ποιεῖ. ἄλλο. Μυρσίνην καὶ φακὴν ἑψήσας δίδου ἀναγαργαρίζεσθαι.

Πρὸς συνάγχην.

Αἰγεία κόπρος σὺν μέλιτι ἀναγαργαριζέσθω, ἢ πηγάνου χυλὸν ἀνοίξας τὸ στόμα ἐπίκλυζε τὸν φάρυγγα.

Πρὸς κατάρροιαν.

Ὕσσωπον ἑψήσας μετὰ σύκων, καὶ μέλιτος καὶ πηγάνου μετὰ ὕδατος δὸς ἀναγαργαρίζεσθαι.

Εἰς καλλιφωνίαν.

Τραγάκανθος ἀποβραχεῖσα ἐν οἴνῳ καὶ ποθεῖσα φωνὴν λαμπρύνει.

Πρὸς ἀποκοπὰς φωνῆς.

Στύρακα λειώσας μετὰ ὕδατος ποίει καταπότια ἴσα ἐρεβίνθου καὶ δίδου τρία, καὶ εὐθέως λαλήσει.

Πρὸς φλεγμονὴν ἐρυσιπέλατος.

Ἄγχος σὺν ἀλφίτοις καταπλασσόμενα, ἢ ἀνδράχνης φύλλα σὺν ἀλφίτοις καταπλασσόμενα, ἢ κράμβης φύλλα καταπλασσόμενα, ἢ καλάμου φύλλα χλωρά, λεάνας καὶ κατάπλασσον, ἢ βάτου φύλλα καταπλασσόμενα ἢ ῥάμνου καὶ ῥόδων φύλλα καταπλασσόμενα.

Πρὸς ἕλμινθας.

Πολυποδίου ῥίζα μιγνυμένη μετὰ ἑψήματος, καὶ ἐσθιομένη, ἢ ῥαφάνου σπέρμα σὺν ὕδατι πινόμενον, ἢ σκόροδον τρωγόμενον, ἢ πτελέας ῥίζα σὺν μελικράτῳ πινομένη, ἢ συκαμίνου ῥίζης ὁ φλοιὸς σὺν ὕδατι ἑψηθεὶς καὶ ποθείς, ἢ μελάνθιον πινόμενον καὶ καταπλασσόμενον, ἢ κράμβης σπέρμα σὺν ὕδατι πινόμενον, ἢ ἡδυόσμου χυλὸς πινόμενος, ἢ κάρδαμος μετὰ ἡδυόσμου πινόμενος. ἰδία πεῖρα. Κανάβεως σπέρμα ξηρὸν κόψας, καὶ σείσας ὕδατι μίξας καὶ χυλώδες ποιήσας, καὶ ῥάκει καθαρῷ ἀποπιάσας δὸς πιεῖν, ἢ βόλβιτον ξηρὸν καύσας καὶ ποιήσας ξηρίον ἐξ αὐτοῦ δὸς πιεῖν στ. α. μετ᾽ οἴνου.

Ἄλλο πρὸς ἕλμινθας πλατείας καὶ ἀσκαρίδας.

Νίτρου καρδάμου πεπερέως ἀνὰ 𐅵. α. ποιήσας ξηρίον δίδου κοχλιάριον α. μετὰ οἴνου.

Εἰς τὸ κινεῖν ἱδρῶτας, καὶ ἀποπαύειν πυρετούς

Κάγχρυος σπέρμα, μετ᾽ ἐλαίου συγχριόμενον, ἢ πύρεθρον μετὰ ἐλαίου θερμανθὲν καὶ ἐπιχρισθὲν πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας.

Ἄλλο πρὸς πυρετὸν δόκιμον.

Ἔλαιον κινομόλαιον χαμαιμήλινον. ὄξος. νίτρον ἅμα φύλλοις δάφνης καλῶς συνεψήσας χρίε τὸν κάμνοντα, καὶ σκεπάσας ἐπιεικῶς αὐτίκα ἱδρώσει.

Σύγχρισμα πυρέσσουσιν.

Βουτύρου μέτρα δύο, μέλιτος μέτρον α. μίξας καὶ χλιάνας χρῶ. ἄλλο. Θρίδακος φύλλων χυλὸν μέτρον α. ἔλαιον κοινὸν μέτρα β. μίξας καὶ ἀνασκεύψας ἐπιμελῶς, σύγχρισον ὅλον τὸ σῶμα. δόκιμον γάρ ἐστιν. ἄλλο. Ἀρτεμισίας χυλοῦ μέτρον α. ῥοδίνου μέτρα β. μίξας χρῶ.

Πρὸς πόνον ἡμικρανίου.

Στρύχνου χυλὸς μετ᾽ ἐλαίου συγχριόμενος πάνυ ὠφελεῖ. ἄλλο. σινήπεως σπέρμα μετὰ μέλιτος κατάπλασσον. ἄλλο. Πηγάνου ἡμέρου σὺν ὄξει καὶ ῥοδίνῳ ἑψηθέντος καταχριομένου.

Πρὸς κυνοδήκτους.

Κνίδης σπέρμα καταπλασσόμενον, ἢ πρασίας μελαίνης τὰ φύλλα καταπλασσόμενα, ἢ μελισσόφυλλον σὺν οἴνῳ πινόμενον καὶ τοῖς δήγμασιν ἐπιτιθέμενον, ἢ σκόροδα καταπλασσόμενα, καὶ ὀπτὰ ἐσθιόμενα, καὶ πινόμενα.

Πρὸς τοὺς φοβουμένους τοὺς κύνας.

Ῥοδοδάφνης ῥίζαν περίαψον τὸν τράχηλον καὶ ἀπαλλαγήσεται. ἐὰν δὲ θέλῃς πειρᾶσαι ὅταν κύων μανῇ ἐπίθου περὶ αὐτὸν καὶ εὐθέως ἀφίσταται τῆς μανίας.

Πρὸς λυσσοδήκτους.

Λυσσοδήκτων τοῖς τραύμασι κράμβης φύλλα λεῖα μετὰ σιλφίου καὶ ὄξους ἐπιτιθέσθω. καθ᾽ ἑαυτὴν γὰρ λυττῶντος κυνὸς δῆγμα ὠφελεῖ, καὶ τὸ ἀφέψημα αὐτοῦ πινόμενον, ἑφθὴ δὲ κράμβη προβρωγομένη φθισικοὺς θεραπεύει, καὶ τὰς περὶ τὴν ἀρτηρίαν διαθέσεις ἰᾶται. λειοτριβηθεῖσα δὲ καὶ καταπλασθεῖσα ἐπὶ σπληνὸς τοῦτον ὑπεκτήκει.

Πρὸς συνάγχην καὶ πόνον τραχήλου.

Σῦκα ξηρὰ μέλιτι λεανθέντα καὶ ἐπιχρισθέντα τῷ τραχήλῳ, ἢ καρδάμου σπόρον καὶ κόπρον περιστερᾶς σὺν μέλιτι ἐμπλασσόμενα, σὺν μέλιτι χλιαρῷ ἀναγαργάριζε, ἢ κυναίαν λευκὴν λεάνας μετὰ ὄξους ἐπίχριε εἰς τὸν τράχηλον.

Πρὸς δυσωδίας μυκτήρων.

Κισσοῦ τῶν φύλλων ὁ χυλὸς χλιαρὸς ἐγχυματιζόμενος τοῖς ῥώθωσιν, ἢ καλαμίνθης χυλὸς ὁμοίως χλιαρὸς ἐγχυόμενος, ἢ σμύρνα λειωθεῖσα σὺν γάλακτι γυναικείῳ καὶ ἐγχυομένη.

Πρὸς αἱμορροίαν μυκτήρων.

Ἀκακίαν σὺν ὄξει λειώσας ἔγχεε τοῖς ῥώθωσιν. ἄλλο. Λαβὼν ὄξος σὺν ἅλατι βάλλε ἐν χύτρᾳ ἢ ἐν τρυβλίῳ, καὶ βαλὼν ἔρια ἔμβρεχε ἐν αὐτῇ καὶ χλιάνας αὐτὰ ὅσον ἔχει δέχεσθαι ἐπίθου εἰς τὴν κεφαλήν, καὶ συντόμως κέλευε σκεπάζεσθαι πλείστοις σκεπάσμασι.

Καθάρσιον ῥινῶν.

Θύμον καὶ ὀρίγανον ἀναλαβὼν μέλιτι ποίει τροχίσκους καὶ δίδου διαμασᾶσθαι.

Πρὸς πλευριτικούς.

Βδέλλιον σὺν οἴνῳ πινόμενον ὁμοίως καὶ ὕδατι ἢ καρπὸς βαλσάμου σὺν ὕδατι πινόμενος, ἢ σὺν μέλιτι ἐκλειχόμενος, ἢ ἀριστολοχίας ῥίζα σὺν ὕδατι πινομένη, ἢ πήγανον σὺν μελικράτῳ πινόμενον.

Πρὸς ὀξὺν πυρετόν.

Γεπώνης ἡμέρου ὁ χυλὸς συγχριόμενος, ἢ κολοκύνθης ξυσμάτων ὁ χυλὸς συγχριόμενος, καὶ ῥόδα μετ᾽ ἐλαίου, ἢ ἀρνόγλωσσον καταπλασσόμενον.

Πρόγνωσις ἐπὶ πυρεσσόντων.

Ῥόδινον ἀλείψας κατάπλασσον σελινόσπερμον ῥιπτόν, καὶ ἐπίθες εἰς τὴν καρδίαν αὐτοῦ συπεῖον, ὡς τροχὸν καὶ ἐπίχεε τὸν κροκὸν τοῦ ᾠοῦ, καὶ σκέπασον αὐτὸν νεφέλια, καὶ ἐὰν γένηται σκορπισμὸς τοῦ ᾠοῦ γίνωσκε θάνατον. τοῦτο λέγεται αὐτῇ ἡ ψυχὴ ποιεῖν.

Πρὸς τραῦμα παρακολλᾶν.

Ἀγρώστεως ῥίζα λεία καταπλασσομένη ὡς ξηρίον, ἢ σιδηρίτιδος βοτάνης τὰ φύλλα ἐπιπλασσόμενα.

Θεραπεία ὠταλγίας.

Ἀμυγδαλέλαιον ἐνσταζόμενον εἰς τὸ οὖς, ἢ καρέλαιον ἐνσταζόμενον, ἢ δαφνέλαιον, ἢ βαλσαμέλαιον, ἢ δρακοντίου βοτάνης τοῦ καρποῦ ὁ χυλὸς μετ᾽ ἐλαίου ἐγχεόμενος, ἢ περδικιάδος ὁ χυλὸς μετ᾽ ἐλαίου ῥοδίνου χλιαρὸς

ἐνσταζόμενος, ἢ πήγανον χλωρὸν σὺν ἐλαίῳ ἑψηθὲν καὶ χλιαρὸν ἐνσταζόμενον, ἢ σμύρνα καὶ μέλι χλιαρῶς ἐνσταζόμενα, ἢ πήγανον μετὰ γυναικείου γάλακτος ἀῤῥενοτόκου περιχλιάνας ἔνσταζον, ἢ σκόροδον χυλώσας ἔνσταζον εἰς τὸ οὖς, ἢ πράσον χυλώσας χλιαρὸν ἢ ἕψημα χλιαρὸν, ἢ πράσου χυλὸν σὺν μέλιτι μίξας ἔνσταζον, ἢ βαλὼν ἔλαιον εἰς τὸ στόμα εἰς τὸ ὠτίον ἔμπνευε, ἢ κολοκύνθης χυλὸν μετὰ ῥοδίνου ἔνσταζον.

πρὸς ψώρας καὶ κνησμούς.

Πτελέας φύλλα ξηρὰ λειωθέντα καὶ ἐπιπασσόμενα ἐν βαλανείῳ, ἢ θεῖον ἄπυρον καὶ σταφὶς ἀγρία, καὶ ἀρσενίκιον καὶ σανδαράχη σὺν ἐλαίῳ καὶ ὄξει ἐπιχριόμενα ἐν βαλανείῳ. ἄλλο. Σμύρναν μετὰ γάλακτος γυναικείου ἐπίχεε, ἢ γλυκυῤῥίζης χυλὸν μετὰ γλυκέως δὸς πιεῖν, ἢ ὠὰ ὄρνιθος ὁλόκληρα βάλλε εἰς ὄξος δριμύτατον ἢ βρονύκτιον, καὶ ἐμβαλὼν αὐτὰ, τριῶν δηλονότι ὄντων τῶν ὠῶν τρίβε αὐτὰ μετὰ τῶν ὀστράκων ἐν τῷ αὐτῷ ὄξει, καὶ θεῖον ἄπυρον γο. α. καὶ ἀρσενίκιον σχιστὸν γο. σταφίδα ἀγρίαν γο. α. ψιμμίθιον γο. α. λιθάργυρον γο. α. ῥοδοδάφνης χυλὸν γο. α. ἔλαιον παλαιὸν τὸ ἀρκοῦν λειοτριβήσας χρίε ἐν βαλανείῳ.

Κατάπλασμα στομαχικοῖς.

Καλαμίνθης φύλλα χλωρὰ σὺν κριθίνῳ ἀλεύρῳ κατάπλασον.

πρὸς ἀπεψίαν καὶ ἐμπνευματώσεις στομάχου, ὅς τις γὰρ λάβοι ταύτην πρὸ αὐτὰ πεινάσει.

Πεπέρεως λευκοῦ στ. ς. ἀνίσου στ. ιβ. λιβυστικοῦ στ. ς. ἄμεως, πετροσελίνου, μαράθρου ἀνὰ στ. ς. ταῦτα κόψας καὶ σείσας ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου στ. α.

πρὸς καυσούμενον στόμαχον καὶ μὴ κατέχοντα τὴν τροφήν.

Θείδακος χυλὸν μετὰ γλυκέως δὸς πιεῖν, καὶ οὐκ ἔτι ἐμέσει.

πρὸς πόνον στομάχου.

Ἄνθρακα δρυὸς εἰς γάλα σβέσας πότιζον τῷ πάσχοντι.

πρὸς ὀξυσμὸν στομάχου.

Χαμαίδρυον μετὰ οἴνου πινόμενον παύει ὀξυσμόν.

πρὸς ἐμπνευμάτωσιν στομάχου.

Πεπέρεως δαφνίδων κυμίνου ἀνίσου ἴσα κόψας καὶ σείσας, δίδου νήστει μετὰ εὐκράτου κοχλιάριον α. ἐπὶ ἡμέρας τρεῖς, ἢ ἄνισον νηστικὸς μασσοῦ.

πρὸς ὀφθαλμοὺς ῥευματιζομένους.

Μαράθρου χυλὸς ἐπὶ ἡμέρας τρεῖς ἐπιτιθέμενος, ἢ λίβανον σὺν μέλιτι καὶ γάλακτι ἐπιχριόμενον, ἢ κενταυρείου χυλὸς σὺν μέλιτι ἐπιχριόμενος, ἢ πενταδακτύλου φύλλα σὺν μέλιτι ἐπιτιθέμενα.

πρὸς ἀχλὺν ὀφθαλμῶν.

Κολοκύνθης ξυσμάτων ὁ χυλὸς ἐπιπλασσόμενος.

πρὸς λεύκωμα.

Υοσκυάμου φύλλα μετὰ ἀλφίτου καταπλασσόμενα, ἢ ξυλοβάλσαμον σὺν γυναικείῳ γάλακτι ἐπιχριόμενα, ἢ πήγανον χλωρὸν καταπλασσόμενον, ἢ ψύλλιον σὺν γάλακτι γυναικείῳ ἐπιχριόμενον, ἢ καλάμων χλωρῶν τῶν φύλλων ὁ χυλὸς ἐπιχριόμενος.

πρὸς ὀφθαλμῶν ἀπόκρουσμα περιόδυνον.

Λαβὼν φύλλα ἐλαίας κόψον καὶ ἐκπιάσας τὸν χυλὸν ἐπίχεε, καὶ θαυμάσεις.

πρὸς ῥεῦμα κατάπλασμα.

Ἀνδράχνην λείωσον μετὰ κρόκου, καὶ στέατος χηνείου. ἢ σελίνου φύλλα μετὰ ἀλφίτων, ἐπὶ δὲ τῶν μεγάλων ῥευμάτων ῥόδα καὶ μελίλωτα ἑφθὰ μετὰ ἀμύλου τοὺς ὀφθαλμοὺς κατάπλασον.

πρὸς ὀδονταλγίαν.

Μελάνθιον σὺν ὄξει διακλυζόμενον, ἢ κηκίδες σὺν ὀμφακίνῳ διακλυζόμεναι ἢ πλατάνου σφαιρία σὺν ὄξει ἑψηθέντα καὶ διακλυζόμενα ἢ πενταφύλλου ῥίζα σὺν ὄξει διακλυζομένη, ἢ πολυκεδάνου ῥίζα λεία καυθεῖσα ἐπιπλασσομένη, ἢ σίδια ῥόδων ἑψήσας τὸ ἀφέψημα διακλυζόμενον.

πρὸς ὀδόντων τραῦμα.

Νίτρου γο. α. σηπίας ὄστρακον σμύρνα ἀνὰ γο. α. λειώσας χρῶ. Ξηρίον πρὸς ὀδόντας πλαδαρὸν στόμα καὶ αἱμῶδες σμῆξαι καὶ οὖλα σφηνῶσαι, καὶ ὀδόντας λευκᾶναι.

Νίτρου κεκαυμένου γο. α. σμύρνης τρωγλίτιδος γο. α. σηπίας ὄστρακον γο. α. ῥόδων ξηρῶν γο. δ. κόψας καὶ σείσας χρῶ, πρόσβαλλε δὲ καὶ ἴρεως γο. α. τούτῳ χρώμενος θαυμάσεις.

πρὸς πόνον πλευροῦ.

Κράμβης χλωρᾶς καυλοὺς σὺν ταῖς ῥίζαις κατακαύσας ἀναλάμβανε στέατι χοιρείῳ καὶ χρῶ. θαυμάσιον τὸ βοήθημα, ἢ σελίνου σπέρμα ἀκριβῶς τριτώσας πότισον. πάνυ γὰρ ὠφελεῖ.

πρὸς ἐσωχάδας.

Ἀμάραντον ἀποβρέξας ὀψὲ καὶ πρωῒ πότισον.

Εἰς σπλῆνα κατάπλασμα πάνυ καλόν.

Σελίνου σινήπεως δαφνίδων κατὰ λόγον κοπανίσας εἶτα ἐξελὼν φλοιοῦ καρύας νέας κόψον μικρὰ, καὶ βαλὼν ἐν ὅλμῳ κόψον ἰσχυρῶς, καὶ ἐκβαλὼν ἀπόβρεξον ἐν ὄξει δριμεῖ ἡμέρας γ. καὶ ἑνώσας ἀμφότερα μετὰ χυλοῦ τι βρυωνίας ἕψε ἕως γένηται κατάπλασμα, καὶ τίθει ἐπ' ἄνω τοῦ σπληνὸς, ἀπὸ πρωῒ ἕως ὥρας η. πρὸ ξηρᾶναι τὴν γαστέρα καὶ θαυμάσει.

Ἄλλο σπληνικὸν διὰ πείρας.

λωτοῦ συκέας ἐκδέρας χλωρὰν νέου δένδρου τάραξον σὺν ἀποδίῳ θέρμων.

πρὸς

Πρὸς τριταῖον. Μέλι μετὰ σκαμμωνίας πινόμενον ἅπαξ ἰᾶται. Περὶ τεταρταίου. Πέπερι τετριμμένον, δαφνόκοκκα, καὶ κύμινον καὶ μαστίχην, καὶ σμύρναν, καὶ λίβανον καθαρὸν κοπανήσας καθ᾽ ἓν ἕκαστον, καὶ ἑνώσας αὐτὰ καὶ βάλλε μέλι καλὸν τὸ ἀρκοῦν καὶ ἐπίδος ἕως ἡμέρας τέσσαρας.

πρὸς αἷμα ῥέον ἐκ μυκτήρων.

Οὗ φλοιὸν ἀκέραιον καύσας, καὶ ποιήσας στακτὴν μῖξον σὺν χιστῷ ἀρσενικίῳ, καὶ βάλλε εἰς τὰς ῥίνας τοῦ πάσχοντος, εἰ δὲ οὐκ ἔστιν ἀρσενίκιον ἔστω ἡ στακτὴ μόνη τοῦ ᾠοῦ. Ἄλλο. Τρίχας αἰγὸς θηλείας καύσας καὶ τρίψαι, ὁμοίως καὶ σμύρναν τρίψας, καὶ μίξας τὰ ἀμφότερα ἐμφύσησον εἰς τὰς ῥίνας εἰ μὲν ἀνδρὸς εἴη μετὰ χάρτου εἰ, δὲ γυναικὸς εἴη μετὰ ἄλλου τινὸς οἷον δὲ μέρος, ἐκβάλῃ τὸ αἷμα τὸ βυζίον δῆσον.

πρὸς βιασμοὺς καὶ αἱμοῤῥοίας.

Κηκίδας ἀλέσας, καὶ ῥοιᾶς φλοιόν, σὺν δὲ κόκκους κοπανήσας, καὶ μίξας ἐλαίῳ χιστῷ καὶ μέλιτι καὶ φυράσας δὸς πρωῒ καὶ ὀψέ, ὡς κηκίδος μέλιτος.

πρὸς κοιλίας στρόφους καὶ ἐμπνευματώσεις.

Πηγάνου πεπέρεως, ἴσα λειώσας μεθ᾽ ὕδατος θερμοῦ δίδου, ἢ ἀρτεμισίαν κόψας σείσας δίδου, ἢ νίτρου καύσας καὶ λειώσας ἐγχυμάτισον.

Εἰς τὸ μὴ νοσεῖν βόας.

Ἄλφου κέρας θὲς ἐπάνω πανίου, καὶ ἐπάνω ἅψον κανδήλαν, καὶ μὴ παραλάβῃ τῇ ἡμέρᾳ, καὶ κατὰ χρόνον ἐπικαλοῦ τὸν ἅγιον Μάμαντα, καὶ ἄρξον φυλάξοντας τὰ κτήνη καὶ τὸν βίον σου.

Εἰς τὸ μὴ νοσεῖν χοίρους.

Πάσδου ῥίζαν κοπανήσας βάλλε εἰς τὸ πλύμμα αὐτῶν.

Εἰς τὸ πεῖσαι σαρκόκολλαν.

Τρίψας σκώληκας ἐκ γῆς μετὰ τὸ φρύξαι ἐπίπασον.

Θεραπεία πληγῶν.

Σμύρναν καὶ ἀλόην τρίψας ἐπίπασον, ἢ ῥητίνην πεύκης, ἢ καὶ μαστίχην, καὶ κισσοῦ δάκρυον ποιήσας ἔμπλαστρον ἐπίθες, ἢ τράγειον ἀξούγγιον ἄλειφε τὴν πληγήν, καὶ κέρας αἰγὸς μελαίνης ἐπίπασον. Ἄλλο. Κόστον στάχυς, κινάμωμον ζιγγίβερ. κύμινον ἐξ ἴσου τρίψας καὶ πίσσῃ φυράσας ἐπίθες, ἢ ὄψιν ἄρτου ξηρὰν, τρίψας καὶ σὺν οἴνῳ καὶ ἐλαίῳ φυράσας ἐπίθες ἐπὶ ἡμέρας καθ᾽ ἑκάστην ἀλλάσσων.

Εἰς ψώραν ἵππου.

Σχίσας ὄφιν καὶ λαβὼν, τὸ στέαρ αὐτοῦ, ἄλειψον μετὰ ξύλου τὸ στεφάνιον τῶν ὀνύχων αὐτοῦ.

Εἰς τὸ κοιμηθῆναι τὸν ἀγρυπνοῦντα.

Γράψον εἰς φύλλα δάφνης τὰ στοιχεῖα ταῦτα καὶ θὲς ὑπὸ κάτω τῶν σαγιδῶν αὐτοῦ, μὴ νοοῦντος τοῦ ἀνακειμένου. ξς. χςς. φθ.

Εἰς τὸ μὴ φαντάζεσθαι ἄνθρωπον τὴν νύκτα.

Πηγάνου σπέρμα κρέμασον εἰς τὸ προσκεφάλαιον αὐτοῦ μὴ νοοῦντος καὶ οὐ φαντάζεται.

πρὸς θύρακα

Ὠὸ ἀρσενίκιον μίξας χιστὸν καὶ πέπερι, λειθάλευρον καὶ δαφνόκοκκα καὶ κωνάρεια, καὶ δίδου. Ἄλλο. Σπόρον δὲ κόκκια. ζ. ἀρσενίκιον χιστὸν καὶ πέπερι ἀνὰ κόκκων. ιγ. βάμβυκα κωνάρειον, κηρὸν ὀλίγον μίξας μετὰ κρόκου ᾠοῦ λάβε στεγνόν.

πρὸς ὀδόντας βεβρωμένους.

Ἀρσενίκιον πέπερι τυρὸν, ἄσβεστον ζῶσαν, ζυμώσας μετ᾽ ὄξους πρόπλασον.

Ἐργαλεῖον νεφριτικόν.

Γλήχωνος, ὀριγάνου. σαμψύχου ἕρπης καμαιμήλου, ἀψινθίου. κενταυρείου, δάφνης φύλλα, συκῆς ἀγρίας, πέπωνος ὁμοῦ ἑψήσας μέλιτι σὺν ὕδατι προανακόψας μέλιτι σὺν ἐλαίῳ καὶ ἅλατι ἐπίβαλλε ἐκ τοῦ ἀφεψήματος τὸ ἀρκοῦν.

Ἐργαλεῖον ἰσχιαδικόν.

Σικύου ἀγρίου ῥίζας δάφνης φύλλα. πηγάνου φύλλα. ἀψινθίου. κενταυρίου. χαμαιδρύου. πρασίου. καλαμίνθης γλήχωνος. ὀριγάνου. θύμου. θερήδακος. εὐφορβίου ἀνήθου. πυρέθρου. σταφίδος ἀγρίας. ταῦτα πάντα ἑψήσας ἐν ὕδατι, καὶ μίξας μετὰ μέλιτος. ἐλαίου, καὶ ἅλατος. δίδου εἰς ἐργαλεῖον.

Εἰς τὸ λευκᾶναι ὀδόντας σαθροὺς, καὶ μελανούς.

Ἅλατος λείου μέρος. α. ῥόπου μέρος. α. σηπίας ὀστράκου μέρος α. λειώσας ὁμοῦ ἀνάτριβε. προδιακλύσας ὄξει καθαρῷ.

Κατάπλασμα εἰς ῥευματιζομένην κεφαλὴν ὥστε τὸ σμῆγμα οὐκ ἐᾷ κεφαλὴν ῥευματισθῆναι οὔτε ὀφθαλμὸν ἀδικηθῆναι ποτέ.

Μαστίχης γο. α. σμύρνης γο. α. σαρκοκόλλης γο. α. λιβάνου γο. α. λαδάνου γο. α. νίτρου γο. α. ψιμμυθίου γο. α. κιμωλίας γο. α. στύρακος γο. α. ῥόδων γο. α σάπωνος σάγλιος λι. α. μέλιτος λι. α. θερμύων πικρῶν ἀπόζεμα τὸ ἀρκοῦν ἑνώσας ἀντὶ σάπωνος ἐν λουτρῷ.

Τροχίσκος ὁ διὰ σπερμάτων εἰς βηχικούς.

Ἀνίσου πικροῦ γο. α. μαράθρου σπέρμα ὑοσκυάμου σπέρμα ἄμεως ἀνὰ sr. α. σελίνου σπέρμα sr. γ. ὀπίου sr. α. λειοτριβήτω ἕκαστον καὶ πρόχεε ὕδωρ χλιαρὸν μέχρις ἂν γένηται γλοιῶδες, καὶ ποίει τροχίσκους, κυάμου τὸ μέγεθος ἡ δόσις α. ὠφελεῖ γὰρ τοῖς βήσσουσιν.

Ἡπατικὰ ἐκλελεγμένα διὰ πείρας.

Κηκίδας ἑψήσας κατὰ λόγον τὸν ζωμὸν δὸς πιεῖν μετὰ κωδίας, ἐν βαλανείῳ σκεπαζόμενος, καὶ πίπτων ἰδὲ τὸ πάχον μέρος, ἢ κισσοῦ ῥίζαν ἑψήσας μετὰ οἴνου δὸς πιεῖν. Ἄλλο. Δάφνης κόκκους ζ. πεπέρεως κόκκους κ.

λειώσας μετὰ οἴνου δίδου πιεῖν. ἄλλο. Αλόης sr. δ. ἀσάρου. κόστου. εὐπατωρίου. ἠδυόσμου. μέλιτος. μαστίχης. κρόκου ὠκίμου σπέρμα. ἀνὰ sr. β. κόψας καὶ σείσας δίδου μετὰ εὐκράτου.

Αλλο εἰς ἧπαρ ἐναργὲς καὶ εὔστομαχον.

Δαφνίδων κινναμώμου καλοῦ. καρυοφύλλου. ἀλόης ἠδυόσμου κόστου ἀνὰ sr. α. κόψας καὶ μέλιτι ἑνώσας μετὰ οἴνου παλαιοῦ πότιζε. ἄλλο. Ακόρου sr. α. λινοσπέρμου sr. α. ζιγγιβέρεως sr. α. ἀνίσου sr. δ. πηγάνου φύλλων τῶν ἁπαλῶν sr. α. σὺν μελικράτῳ δίδου. ἄλλο. Αρτόμελι κατάπλαττε θερμὸν ὡς ἔμπλαστρον, ἢ ἀψινθίου κοχλιάριον α. μίξας σὺν εὐκρατομέλιτι δὸς πιεῖν, καὶ ἀναπαυέσθω ἐπάνω τοῦ ἥπατος.

πρὸς γλῶσσαν ῥευματιζομένην.

Φύλλα κινάρων τρίψας μετὰ μέλιτος ἄλειφε τὴν γλῶσσαν, ἢ φλεβοτόμησον τὴν φλέβα τοῦ μέρους, ὃ ῥεῖ, καὶ ὠφεληθήσεται.

πρὸς ξηρότητα στόματος.

Σῦκα ἑψήσας ἐν ἑψήματι φοινίκων τὸ ὕδωρ διάκλυζε καὶ διακρατείτω. πρὸς χείλη ῥηγνύμενα

Λινόσπερμα ὀπανίσας μετὰ μέλιτος ἐπιθοῦ.

πρὸς τοὺς λειψοτριχοῦντας τὸ γένειον οὓς καλοῦσιν σπανοπώγωνας.

Πεπέρεως. εὐφορβίου. πυρέθρου ἀνὰ γο. α. καλάμων φύλλων ἁπαλῶν χυλὸν, μυοχόδου, ἐλαίου δὲ ἀρκοῦν μέρος, λειώσας πρόστριβε καὶ συνεχῶς ἀπόξυρε.

Εμετικὸν ὃ περιείληφα ὡς μυστρον.

Αφρόνιτρον λευκὸν βάλλε εἰς χλιαρὸν ὕδωρ. ἕως οὗ λυθῇ, καὶ βραχύ τι ἐλαίου ἐπίβαλλε, καὶ παραχρῆμα πιεῖν.

Σταλτικὰ ἐμέτων.

Ηδύοσμον κόψας καὶ σήσας, καὶ μίξας ἐλαίῳ ῥοδίνῳ χρίε τὰς ῥῖνας καὶ τὸ στῆθος. ἄλλο. Φοίνικας θηβαϊκὰς, καὶ ἡδυόσμου κλῶνας ἑψήσας μεθ᾽ ὕδατος ὡσεὶ ποτηρίων β. μέχρι γλοιώδους συστάσεως τὸ ἥμισυ πότιζε. ἄλλο. Φοινίκων βαλάνων λειῶν τὸ αὔταρκες κατ᾽ ὀλίγον παράσταζε, οἴνου μυρτίνου, καὶ ἀναλαβὼν δίδου μετ᾽ οἰνομέλιτος καὶ ὕδατος κοτύλης μιᾶς.

πρὸς τοὺς ἐμοῦντας αἷμα.

Σχίνου ἄνθος ἑψήσας μεθ᾽ ὕδατος πότιζε.

Εμετικὰ χολῆς.

Ηδύοσμον χλωρὸν, ἢ ξηρὸν μετὰ εὐκράτου πινέτω, πρὸς δὲ τὸ ἀλύπως. σαμψύχου φύλλα δὸς πιεῖν, καὶ ῥαφάνου σπέρμα δὸς φαγεῖν. ἐμεῖσθαι γὰρ πλῆθος φλέγματος. Σύνθεσις κοκκίων καθαρτικῶν κινούντων φλέγμα.

Αλόης γο. ς. μαστίχης γο. β. ἀψινθίου χυλὸν γο. β. κολοκυνθίδος γο. δ. ἡ δόσις κόκκια κβ.

πρὸς καρδιακούς.

Φακῆν σὺν σπαντοίᾳ, φοίνικας καὶ οἴνῳ μενδησίῳ πότιζε ἑψητὸν, πρὸς δὲ τοὺς ὀδυνωμένους τὴν καρδίαν πολύγονον λειώσας εὖ μάλα, ἢ μῆλα ἢ κυδώνια σὺν ὄξει ἑψηθέντα καὶ λειωθέντα μετὰ κηρωτῆς ῥοδίνης ἀναλαβὼν κατάπλασσε, ἢ ἀνδράχνην μετὰ κηρωτῆς ῥοδίνης ἀναλαβὼν ἢ μυρσινίνης ἐπιθοῦ. Ετερον θαυμάσιον διὰ πείρας. Λινοσπέρμου κοτύλας δ. ὕδατος κοτύλας ζ. ἑψήσας χρῶ, τοῦτο δὲ τὸ φάρμακον ποιεῖ ὑγείαν, οὐδὲν γὰρ ὁ ἀσθενὴς ἐπὶ τὸ χεῖρον ἀπῆλθεν, ἀλλὰ ἐπὶ τὸ κρεῖττον.

Τροχίσκος δυσπνοϊκοῖς καὶ τοῖς βήσσουσι πολλοῦ χρόνου εἰς κάπνισμα.

Καρδάμου γο. α. σινήπεως γο. α. ἀβρότονου γο. α. πηγάνου ἀγρίου γο. α. σανδαράχης γο. α. λειώσας ὕδατι ποίει τροχίσκους, καὶ χρῶ σπουδαίως.

πρὸς δύσπνοιαν καὶ αἵματος ἀναγωγάς.

Θύμον μετὰ πεπέρεως κόψας καὶ λειώσας μέλιτι, ποίει ἔκλειγμα καὶ χρῶ σπουδαίως. πάνυ γὰρ καλόν ἐστι. ἄλλο. Πράσων κεφαλὰς μέλιτι συνεψήσας δίδου νήστει ἐσθίειν, ἢ πηγάνου ξηροῦ γο. δ. ἡδυόσμου ξηροῦ γο. δ. λύσον μετὰ μέλιτος, καὶ λάμβανε κοχλιάρια β΄. εἰς κοίτην μετὰ εὐκράτου, ὠφελεῖ δὲ δυσπνοϊκοὺς καὶ πιστάκια ἐσθιόμενα.

πρὸς αἱμοπτοϊκούς.

Συμφύτου sr. δ. μαστίχης κιρρᾶς sr. δ. λημνίας σφραγῖδος sr. β. βαλαυστίων sr. β. κόψας καὶ σήσας δίδου κοχλιάριον ἐν σὺν ὀξυμέλιτι πίνειν. ἄλλο. διὰ πείρας λημνίας σφραγῖδος γο. α. γῆς ἀστέρος γο. β. κοραλίου γο. β. δίδου μετὰ ὀξυμέλιτος ἀκράτου κοτύλην. α. πρωὶ καὶ ἑσπέρας τοῦτο χρῶ. ἄλλο. Ακακίας κιρρᾶς, ἀμύλου ἴσα τρικοῦ ἴσα λειώσας δίδου πιεῖν μετὰ εὐκράτου κοχλιάρια ε.

Ληξοπύρετον τοῖς ἐκ πυρετοῦ καυσουμένοις.

Λαβὼν ἀειζώου καὶ ἀνίσου φύλλα. ε. ἢ ζ. ἀπόζεσον ἐλαίῳ ῥοδίνῳ, καὶ χρίε ἀπὸ κεφαλῆς ἕως πέλματος, καὶ θαυμάσεις ἢ πυρέθρου ῥίζαν λειώσας σὺν ἐλαίῳ σύγχριε. τοῦτο γὰρ ἱδρῶτας κινεῖ, καὶ τὰ χρόνια ῥίγη παύει, καὶ τὰ κατεψυγμένα μέρη τοῦ σώματος, ἢ παρειμένα ἰᾶται. ἄλλο. Δαφνίδας καὶ θύμον ἐν οἴνῳ τὰ ἀμφότερα λειώσας ἐπίχριε καὶ περίβαλλε ἱματίοις καὶ ἱδρώσει. πρὸς ἰσχύν αἰδοίων καὶ χρονίας διαθέσεις.

Λαβὼν καλαμίνθην καὶ κόψας, καὶ σήσας ἐπίβαλλε ἐν τρυβλίῳ, καὶ ἀναλαβὼν μέλιτι ἕψει ὡς δίκην καταπλάσματος, καὶ ἐπιπλάσας λεπτῇ ὀθόνῃ ἐπιθοῦ φασκιῶν, πεπείραται γὰρ παρὰ πολλοῖς.

Αλλο. πρὸς ἰσχύν αἰδοίων καὶ νεφρῶν, μὴ γοῦν τινὰ θεραπεύσῃς πρὸ τοῦ τὸν μισθὸν ἆραι, πεπείραται γὰρ παρὰ πολλοῖς.

Ζιγγιβέρεως sr. δ. βράθυος sr. α. πεπέρεως λευκοῦ sr. α. δίδου μετ᾽ οἰνομέλιτος. ἄλλο. Πίσσης ξηρᾶς. σταφίδος. κολοφωνίας μαστίχης ὑέλου λευκοῦ ἴσα λέου, καὶ ποίει ξήριον, καὶ προλούσας ἔτι θερμῶς ἔχοντος τοῦ χρωμένου ἐπιχρίσας ὑγρᾷ πίσσῃ ἐπίπασον τὸ ξήριον καὶ ἄνωθεν ἐπιθοῦ, καὶ δέσμει καλῶς.

Εἰς τὸ

Εἰς τὸ σκορπίσαι τὰ ἐν τοῖς γόνασι ῥεύματα.

Αἰγιοσύνην ἐκπανήσας ἐκ τοῦ χυλοῦ τριβέσθω, ἢ τῆς ῥίζης τὸν χυλὸν ἀνατριβέσθω ἐν βαλανείῳ. ἢ ἅλας καὶ περιστερᾶς κόπρον λειώσας μετ᾽ ἐλαίου ἐπίχριε. Κατάπλασμα πρὸς πόνον ποδῶν ἀπὸ προσκρούσματος, ἢ ἀπὸ καταπτώσεως, ἢ ἄλλης τινὸς δριμείας ὀδύνης.

Ἅλατος ὀπτοῦ ὀριγάνου, ἀπεφλοιωμένων κληματίδων ἴσα λεκύθους ᾠῶν β. ἢ γ. σὺν οἴνῳ μίξας κατάπλασσον.

πρὸς λεπριῶντας ὄνυχας θειότατον βοήθημα.

Ὄνυξιν ἀποπαθοῦσιν ἀπὸ προσπτώματος καὶ εἰς παρονυχίαν ὄχαρ λειώσας καὶ ξηρίον ποιήσας ἐπίπαττε, ὄνυχας δὲ λεπρώδεις καθαιρείσης, ἢ θεῖον ἄπυρον καὶ κρόκον ὡσεὶ ἴσα μίξας μετ᾽ ὄξους καὶ ἐπίθησε.

πρὸς πυρίκαυστα.

10 Λιθαργύρου γο. β. κρόκου γο. β. ᾠῶν ὀπτῶν λεκύθους γο. δ. ῥοδίνου τὸ ἀρκοῦν. ἄλλο. Ὀθόνιον καύσας τὴν σποδιὰν ῥοδίνῳ μίξας, καὶ κηρῷ καὶ ἀγχούσῃ ἑνώσας χρῶ.

Πρὸς αἱμοῤῥοίας ἐκ παντὸς φερομένας.

Σώρεως χαλκάνθου. στυπτηρίας. χαλκίτεως. μύσιος. γύψου. κόμεως ἀνὰ στ. η. λειώσας χρῶ πάνυ γὰρ καλόν ἐστι καὶ πεπείραται. ἄλλο. Χαλκίτεως στ. ς. ῥητίνης φρυκτῆς. στ. δ. μάννης στ. β. ξηρῷ χρῶ.

πρὸς λειχῆνας δόκιμον.

Λιβάνου ἄῤῥενος. ζιγγιβέρεως. ἀλόης. θείου ἀπύρου. ἀνὰ στ. β. ὄξει ἀναλαβὼν χρίε πρότερον, προτρίψας ῥάκει τραχεῖ. ἄλλο. Ἀμμωνιακοῦ θυμιάματος. ἀλκυονίου. θείου ἀφροῦ ἴσα λειώσας χρῶ.

Εἰς τὸ λευκᾶναι πρόσωπον.

Ἀλκυονίου κεκαυμένου, καὶ λειωθέντος σὺν μέλιτι καὶ ἀλεύρῳ μίξας σμῆχε. ἄλλο. Λυσσομένου μυὸς λειώσας μεθ᾽ ὄξους χρίε ἐν ἡλίῳ, ἢ ἄνθος κεράμων λειοτριβήσας μετ᾽ ὄξους εἶτα τρίψας τὸν τόπον ῥάκει, ἕως ἐρυθρὸν γένηται χρίε
20 ἐν ἡλίῳ.

Εἰς τὸ καθᾶραι πρόσωπον.

Βούτυρον σαπωνίῳ μίξας κατάχριε.

πρὸς πόνον μήτρας τῶν ἁγίων ἀναργύρων.

Λαβὼν ἄσαρον μετὰ γλήχωνος δὸς πιεῖν.

Γαξαμάδων καθαρτικά.

Σκαμμωνίας στ. β. ἢ τρία μαστίχης στ. γ. σελίνου σπέρμα στ. β. πολυποδίου στ. δ. κινναμώμου στ. α. ζύμης καθαρᾶς λίτραν μίαν τὰ ξηρία ἐπίβαλλε, καὶ μάλασσε ἐπιμελῶς.

Εἰς τὸ ἀπελάσαι κώνωπας.

Μελάνθιον καὶ χάλκανθον θυμίαζε.

Εἰς τὸ διῶξαι ὄφεις.

Χαλβάνην καὶ κέρας ἐλάφου, καὶ ὄνυχας αἰγὸς, καὶ ῥίζαν κρίνου θυμίαζε, ἐπὶ δὲ τοῦ δήγματος τοῦ ὄφεως, ἅλας καὶ πράσον κατάπλασσε.

Εἰς τὸ διῶξαι ψύλλας.

30 Συκῆς ἀγρίας φύλλα ζέσας ῥαῖνε εἰς τὴν οἰκίαν.

πρὸς δυσουρίαν κτηνῶν.

Ὄστρεα κολυμβάδων ἐλαιῶν θλάσας περιϊστάμενος κάπνιζε ἐπὶ ἡμέρας ε.

πρὸς πληγὴν καλάμου.

Καλάμου ῥίζαν καύσας τὴν τέφραν ἐπίθες.

πρὸς ἐπιληπτικοὺς πάνυ καλόν.

Ὀρτύγων ἐγκέφαλον μετὰ μυρσίνου μύρου λειώσας ἀπόθου ἐν ἀγγείῳ κασσιτερινῷ, καὶ ὅταν ἴδῃς πεσόντα ἀπὸ τῆς ἐπιληψίας περίχριε τὸ πρόσωπον, καὶ θαυμάσεις τὴν ἐνέργειαν τοῦ φυσικοῦ τούτου βοηθήματος, καὶ γὰρ ἀναστήσεται ὁ νοσῶν παραυτίκα.

πρὸς ἀνορεκτοῦντας.

Σμύρναν. λίβανον. ἀμμωνιακόν. μαστίχης, μετὰ λευκοῦ ᾠοῦ λειώσας ἐπὶ πλείστην ὥραν περίχριε τὸ στῆθος καὶ τὰ σπλάγχνα καὶ ἐπίθες στυπτία.

40

περὶ βδελλῶν.

Τοὺς βδέλλας καταπίοντας χρὴ στῆσαι πρὸς τὸν ἥλιον. καὶ κατανοῆσαι ἐν ποίῳ τόπῳ κρέμανται, καὶ ἐπιστάξαι αὐταῖς γάρος, καὶ εὐθέως ἀφίστανται τοῦ τόπου, καὶ ἀποπτύονται, ἢ ὄξος καὶ βούτυρον μίξας καὶ πυρώσας σίδηρον καὶ σβέσας ἐν αὐτοῖς δὸς πιεῖν, καὶ βάλλει τὰς βδέλλας, ἢ βάλλε τὸν καταπίοντα τὴν βδέλλαν εἰς θερμὸν ὕδωρ, ἕως τοῦ πώγωνος, καὶ γεμώσας φιάλην ὕδατος ψυχροῦ πόσε γε ταῖς χερσὶν αὐτοῦ, μὴ δὸς δὲ πιεῖν καὶ εὐθέως ἡ βδέλλα ἐξελεύσεται. ἄλλο. Βδέλλας καταποθείσας ἀνάγει ὄξος θερμὸν καταῤῥοφούμενον, ἢ ὀπὸς συκαμίνου καταῤῥοφούμενος, ἢ κόρεις ὑποθυμιώμεναι.

περὶ μελισσῶν δήγματος.

Χυλὸς μαλάχης τοὺς ὑπὸ μελισσῶν πληγέντας ἀπόνους ποιεῖ.

πρὸς ὀφίτην.

50 Κέρας αἴγειον καύσας καὶ μετὰ ὄξους λειώσας κατάπλασσε, ἢ καπνίαν φούρνου μετὰ μέλιτος κατάχριε, ἢ καλάμου ῥίζας καὶ ἐρέβινθον, καὶ σφαιρία κυπαρίσσου, καὶ κέρας ἐλάφου κεκαυμένα τὰ πάντα λειώσας, καὶ ἑνώσας πότιζε σὺν ὄξει καὶ πράσῳ.

πρὸς τὰς ἀπὸ φλεβοτομίου γινομένας φλεγμονὰς καὶ σκληρίας τῶν βραχιόνων, καὶ πυρακτώσεις καὶ θρομβώσεις.

Σμύρναν σιτίνην μετὰ ἀξουγγίου μαλάξας ἐπιμελῶς χρῶ. δόκιμον γάρ ἐστι.

πρὸς ὑδρωπικούς.

Λαβὼν βόλβιτον, ἐὰν ἀνὴρ πάσχῃ, ἄῤῥενος. εἰ δὲ θήλεια, θηλείας, καὶ βαλὼν εἰς κύθραν καινὴν, καὶ πωμάσας περίπλασον πηλὸν τῷ πώματι. ὥστε μὴ διαπνεῖν, εἶτα λαβὼν τὴν κύθραν θὲς ἐπὶ τέφραν ἄσβεστον ἐπὶ ἡμέρας ζ. περὶ δὲ τὴν ὀγδόην ἀνοίξας ἔξελε τὸν βόλβιτον, καὶ ποιήσας ξηρίον ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ, ἐπὶ δὲ τῆς χρείας δίδου κοχλιάρια γ. μετ᾽ οἴνου ἐπὶ ἡμέρας ζ. δέον δὲ τὸν οἶνον εἶναι ἀπεζεσμένον ἐν πηγάνῳ. τοῦτο τὸ

πόμα ποιεῖ, καὶ ἐὰν ὦσιν ὄγκοι καὶ οἰδήματα. ξηραίνει καὶ κενοῖ διὰ τῶν οὔρων. ὁ δὲ πάσχων μὴ πινέτω δι' ὅλης τῆς ἡμέρας. εἰ μὴ τρία μόνον. δόκιμον γάρ ἐστι.

Πρὸς τὸ μισῆσαι τὸν οἶνον τοῦ μὴ μεθύσαι.

Ἐγχέλυς ἰχθὺς πνιχθεὶς ἐν οἴνῳ, καὶ δοθεὶς ὁ οἶνος εἰς πόμα, μῖσος οἴνου ποιεῖ. ὁμοίως καὶ σταφυλὴ ἀπεζεσμένη. ἀμέθυσος διατηρηθήσεται εἰ θέλεις καὶ ἄνοσος. φύλλα πηγάνου ἐσθίε. παύει δὲ καὶ κεφαλαλγίαν τὴν ἐξ οἴνου. ὁμοίως καὶ ἡ ἄκορος ἐσθιομένη, καὶ ἡ θηβαία, ἀμέθυστος διατηρεῖται ὁ προφαγὼν ἀμύγδαλα πικρὰ τὸν ἀριθμὸν ζ΄. ἢ θ΄. ἢ ια΄. ἀμέθυστος διατηρεῖται ὁ πνεύμονα προβάτου νήστης ἐσθίων ἑφθόν. ὅσα γὰρ πίει οὐ μεθύσει.

Εἰς τὸ μεθύειν ἐξ ἑνὸς ποτηρίου.

Κλημματίδων ἀμπέλων χλωρῶν, ἢ ξηρῶν μικρὸν καύσας ἀπόσβεσον ἐν τῇ φιάλῃ ἔνθα ἐστὶν ὁ οἶνος καὶ εὐθέως μεθύσει.

Πρὸς φακοὺς ἐν προσώπῳ.

Δαφνίδων τὸ ἐντὸς λειώσας μετὰ μέλιτος ἐπίχριε ἢ στρόβιλον μέλιτι συνεψήσας ἐπίχριε σὺν ὀφθαλμούς.

Πρὸς τὰς ἐκπιπτούσας ἕδρας τῶν βρεφῶν.

Τὸ τῶν χαλκέων ὕδωρ, εἰς ὃ τὸν σίδηρον ἀποσβεννύουσι θερμάνας πρόκλυζε. εἶτα οὕτως κοχλίον καύσας καὶ ποιήσας ξηρίον ἐπίπασον.

Πρὸς οὖλα παιδίου καὶ ὀδόντας φυομένους.

Ῥόδων ἄνθη λειάνας μετὰ μέλιτος ἔγχριε, ἢ ἐγκέφαλον προβάτου μετὰ μέλιτος ἔγχριε, ἢ βουτύρον μετὰ μέλιτος.

Εἰς τὸ πλεονέσαι γάλα.

Σήσαμος λειωθεὶς, μετὰ γλυκέος καὶ πινόμενος, ἢ πιτάνη ἑψηθὴ σὺν μαλάθρῳ ῥοφουμένη, ἢ κάρδαμον μετὰ κράμβης πινόμενον.

Πρὸς τὰ ἀπὸ χειμῶνος ἀποκαύματα.

Ἅλμην καταντλᾷ καὶ φακὴν ἑφθὴν καὶ ψυχίας καὶ ῥόδινον λειώσας κατάπλαττε.

Πρὸς ὑδροκήλην.

Μολίβδην ἑψήσας μετὰ θείου, καὶ ὄξους ὀλίγου, καὶ ἐλαίου περίχριε τὸν τόπον. ἄλλο. Κάρυα παλαιὰ σεσηπότα λειώσας ἔμβαλλε εἰς τρύβλιον καὶ χρίε. ἄλλο. Ὄξος πότιζε καὶ ἐλάφου κέρας καύσας κατάπλασον, ἢ λιθάργυρον, καὶ ὄξος καὶ ἔλαιον μίξας χρίε εἰς ἥλιον.

Πρὸς τραῦμα ἀνιάτως ἔχον ἐν οἱῳδήποτε μέρει τοῦ σώματος.

Βούγλωσσον βοτάνην, ἀνάσπασον καὶ κόψας τὰς ῥίζας πλύνων καλῶς, καὶ ὁλμοκοπήσας πρόσπλεξον χοίρειον ἀξούγγιον καὶ μαλάξας καλῶς ἐπίθες τῷ τραύματι.

Πρὸς ἔμετον.

Σελίνων ῥίζας ε΄. μαλάθρων ῥίζας τρυφερὰς δ΄. ἀνίσου ∠. α΄. ὄξος καὶ μέλι, καὶ κρόκος ἀληθινός, ἑψηθήτωσαν πάντα χωρὶς τοῦ κρόκου, καὶ μετὰ τὴν ἕψησιν ἐμβληθήτω ὁ κρόκος, καὶ δοθήτω ἥμισυ φιάλης.

Πρὸς ἄφθας.

Ἐλαῖαι μαῦραι διαμασσώμεναι, ἢ ἀγριοσταφίδες ἐν ὄξει ἑψηθεῖσαι, καὶ διακλυζόμεναι.

Πρὸς ἀσφαλακίας.

Γλῦφον αὐτὰς πρῶτον μετ' οἰνομέλιτος εἶθ' οὕτως ἔμβαλλε χολὴν βοείαν, καὶ λαγωοῦ ἀφόδευμα, ἢ τὸ διὰ σύπτυνος, ἢ πηγάνου χυλὸν ἔνσταξον, εἰς τὰς ὀπὰς ἢ ἀειζωολοχίαν τρίψας γέμισον ἐν αὐταῖς τὰς τρύπας μετ' ὄξους.

Περὶ πηγάνου.

Τὸ πήγανον πρῶτον μὲν ἐσθιόμενον καὶ πινόμενον ὀξυδερκίαν ποιεῖ. καὶ συνουσίας ἀποστρέφει, πόνον δὲ κεφαλῆς ἰᾶται, εἴ τις τοῖς ἁπαλοῖς τῆς καρδίας τὰ ὦτα ἐμφράσσει. ἑνωθεὶς δὲ χυλὸς τοῦ πηγάνου, μετὰ χυλοῦ μαράθρου καὶ μέλιτος, καὶ καταχριόμενος ἀμβλυωπίας ἰᾶται, τὸ αὐτὸ ποιεῖ καὶ ὁ χυλὸς τοῦ καρποῦ τῆς ῥάμνου μετ' οἰνομέλιτος χριόμενος, καὶ ἡδύοσμος μετ' ἀλφίτου καταπλασθὲν ἰᾶται ἀποστήματα.

Πρὸς τὸ στῆσαι αἷμα.

Βρωνίκην μέλιτος ἀκάπνου πληρώσας δὸς φαγεῖν καὶ κράμβης σπέρμα, καὶ βασιλικοῦ, σπέρμα τρίψας ἀνὰ κόκκων ς΄. μετὰ οἴνου δὸς πιεῖν γυναικὶ ὑπὸ πολλοῦ αἵματος πασχούσης.

Προγνωστικὸν ἀρρώστου.

Ἰτέας ἁπλᾶ φύλλα κόψας ἐπίχριε, καὶ ἐὰν ῥόδινον γένηται ζῇ. εἰ δὲ χλωρὸν τελευτᾷ.

Πρὸς τὸ μὴ δύνασθαι συνουσιάζειν.

Τὸ εὔζωμον οἱ ἱερεῖς ἐσθίουσιν, καὶ τὸ πήγανον καὶ τὸ ἄγνον, τὸ οὖν σπέρμα τοῦ εὐζώμου σὺν μέλιτι νήστης καὶ σὺν τήλει χριόμενον οὐκ ἐᾷ ὀρθοῦσθαι.

Πρὸς πόνον ὀφθαλμῶν.

Κρόκον συντρίψας καὶ ἀναζυμώσας μετὰ ῥοδοστάγματος ἐπάλειφε.

Περὶ πόνου κεφαλῆς ἀνθρώπου.

Ἐὰν γένηται τὰ σημεῖα ταῦτα, σκοτισμὸς ὀφθαλμῶν, καὶ πόνος αὐτοῦ τῆς κεφαλῆς, ὤτων ἦχος, καὶ ῥινῶν ἔμφραξις καὶ ὀφθαλμοὶ δακρύουσι τῷ πρωΐ, τινὲς δὲ καὶ ἀμβλυωποῦσιν ὅτε ταῦτα γίγνονται τὴν κεφαλὴν καθαίρειν τρόπῳ τοιῷδε, λαβὼν ὀρίγανον καὶ ὕσσωπον, καὶ ἅλας τὰς ῥῖνας ἀνάτριψον καὶ οὐκέτι ἀλγήσει ἡ κεφαλή, εἰ δ' ἀμελὴς γένῃς παρέπονται αἱ νόσοι αὗται, ἀμβλυωπία, ὤτων ἦχος τριχῶν ἔκρησις, καὶ πόνος ὀδόντων.

Περὶ στήθους ἀνθρώπου.

Ἡνίκα ἂν ᾖ τὸ στῆθος μέλλει πάθος γίνεσθαι, τὸ πρῶτον φαίνεται ἐν αὐτῷ ὑγρότητα ἔχειν καὶ εἰ τὰς πλευρὰς ὠμοὺς χυμοὺς ἔκαυσιν, καὶ δίψαν ἔχων, καὶ ἡ γλῶσσα αὐτοῦ τραχέως ἀφρὸν ἔχουσα καθ' ἑκάστην ὥραν πτύων, ἔξεστι δ' αὐτὸν μετὰ τὸ δειπνῆσαι ἐμέσαι, εἶτε τῷ πρωῒ ξηράσαι προλαμβάνων λεπτορίζια ῥαφάνου, εἴτε σίνηπι

χλωρὸν

χλωρὸν, ἢ ἀζύζομον, ἢ κάρδαμον μετὰ χλιαροῦ ὕδατος, καὶ ἐμέσας εὐθέως σωθήσεται. εἰ δ᾽ ἀμελήσῃ γίνεται αὐτῷ δύσπνοια, καὶ πλευροῦ πόνοι καὶ πυρετοὶ ὀξεῖς καὶ πάνυ τότε ἄυπνος γίνεται.

περὶ κοιλίας.

Ὁπόταν δὲ περὶ τὴν κοιλίαν μέλλει πάθος τι συνίστασθαι, περὶ πρῶτον γίνονται αὐτῷ στρόφοι καὶ πόνοι περὶ αὐτὴν τὴν κοιλίαν, καὶ στένωσις γαστρὸς, καὶ ἀνάδοσις καὶ ταράσσονται ἐν αὐτῷ τὰ σιτία καὶ τὰ ποτὰ πικρὰ φαίνονται, καὶ βάρος ἐπὶ τῶν γονάτων, καὶ ἐπὶ τὰς ψοιὰς καὶ τοὺς νεφροὺς πόνοι καὶ πυρετὸς πάντοτε, τούτου οὖν οὕτως γινομένου δεῖ τοῖς ἁπλοῖς φαρμάκοις καθαίρειν λαβὼν κνῆκον κόψας καὶ διαλύσας ὕδατι θερμῷ δίδου πίνειν, ἢ κράμβης, ἢ σεύτλου χυλὸν μετὰ μέλιτος γλυκάνας πρόσβαλλε, καὶ ἅλας ὀλίγον, καὶ δὸς πιεῖν καὶ θαυμάσεις. εἰ δ᾽ ἀμελὴς γένηται ἐπέρχεται αὐτῷ δυσεντερία, καὶ τεινεσμοὶ, καὶ ἀρμοπονίαι.

πρὸς βαρυηκοΐαν καὶ ἦχον ὤτων.

σὺν νίτρου εἰς ὄξος ἐμβαλὼν ἐπίσταξον ῥοδέλαιον καὶ οἶνον, καὶ ἄλειφε τὰ ὀπίσθια τῆς κεφαλῆς. ἄλλο.

Ἐλλεβόρου μελανὸς ῥίζαν ἐμβάλλων εἰς τὸ οὖς καὶ ὑγιαίνει. δόκιμον γάρ ἐστι.

πρὸς τὸ φυλαχθῆναι ἄμπελον.

Κενταυρείου τὸ ἀπόζεμα ῥαινόμενον τοῖς κλήμασι. ὅσα καὶ κύνας καὶ ἀλώπεκας, καὶ πετεινὰ τοῦ οὐρανοῦ ἀποδιώκει.

περὶ στειρῶν.

Ὀστοῦν ἐλάφου ὃ ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ λαβὼν τρίψον καὶ πότισον τὴν γυναῖκα καὶ ὄψει τὴν δόξαν τοῦ θεοῦ.

πρὸς ἕλμινθας θαυμαστόν.

Μελάνθιον τρίψας μετὰ γάρους δὸς πιεῖν.

Εἰς τὸ γνῶναι ἐκ τοῦ ἀνδρογύνου ὁποῖος ἐστὶν ἄπαις.

Φακὴν ἀπόβρεξον τῶν ἀμφοτέρων τὸ οὖρον χωρὶς, καὶ ὁποῖον φυτρώσει, ἐκεῖνος ἐστὶν ὁ ποιῶν παῖδα καὶ τὸ μὴ φύον ἄπαις.

πρὸς ῥῖγος.

Γράψον εἰς μῆλα τρία, ἢ πεπόνια οὕτως, φησόμ. σαός. δράος. διάνος. δανάβιος καὶ δίδου τρώγειν.

Κατασκευὴ γάρους Ἰσαάκου τοῦ μαρτυροπολίτου.

Ψωμίον ἄζυμον ἀνάρτυτον, σαπημένον λι. α. μελάνθιον τζιαρίκιν α. ἡμικλοῦ τάνητον ἡδύοσμον, καλαμίνθην βουνίσιν. ἄνυδρον. ἀνὰ ἡμίλιτρον. πήγανον τράμια μ. ἀγριοθρύμβον τράμια μ. μάλαθρον τράμια μ. ἄνισον τράμια λ. ναναχουὰν τράμια μ. σταφίδας μαύρας λιπαρὰς ἡμίλιτρον. φοινίκια καθαρὰ τζιαρίκιν α. μέλι ἀληθινὸν, ἱλαροῦ μελισσίου ἡμίλιτρον σάκχαρ κάντιον τζιαρίκιν α. ῥόδα ξηρὰ, ἢ ῥοδόσταγμα τράμια ξ. ταῦτα δεῖ. τίθεσθαι ἐν πίθῳ μετὰ ὕδατος, καὶ τίθεσθαι ἐν ἡλίῳ ἡμέρας μ. σὺν αὐτοῖς δὲ δεῖ βάλλειν ἐν ὀθονίῳ καθαρῷ ξυλαλόην τράμια ε. στάχυς τράμια ζ. καρυόφυλλα τράμια β. κρόκον τράμια γ. μαστίχην τράμια ι. λίβανον τράμια ι. προυτζίον φλοιὸν τράμια ιε. μόσχου τάγκια α. ἄμπαρ τάγκια β. βάλλε ὁμοῦ ὅλα ἐν τῇ ὀθόνῃ καὶ θὲς μέσον τοῦ χυλοῦ ἐν τῷ πίθῳ, καὶ τὰς μ ἡμέρας καθ᾽ ἑκάστην τρίβε, καὶ ἀπὸ πάνω κρεμάμενον δηλονότι ἐν τῷ πίθῳ μέσον τοῦ χυλοῦ καὶ μετὰ μ. συνάγειν τὸ ὕδωρ τὸ ἐπάνω τοῦ χυλοῦ, καὶ τιθέναι εἰς ἕτερον ἀγγεῖον, τῷ δὲ χυλῷ τιθέναι ἕτερον ὕδωρ ἡλιαζόμενα ἀμφότερα. μετὰ δὲ τὸ συναχθῆναι τὸν ζωμὸν ὅλον εἰς ἕτερον ἀγγεῖον βαλὼν ἐν κακκαβίῳ γανωτῷ, ἢ ἐν χύτρᾳ καὶ ἀποτριτώσας σὺν κυδώνια ὥριμα πλήρεις, τὴν δὲ ὀθόνην μηδέποτε ἄρῃς ἐκ μέσου τοῦ γάρους, καὶ λάβῃς γάρος ἄριστον καὶ ὠφέλιμον ἐν πᾶσιν ἀνθρώποις.

περὶ κεφαλαλγίας Βαρλαὰμ μοναχοῦ.

Ἄλευρον κυάμινον λεῖον πλῆρες, καὶ μαστίχης ὁμοίως ὀλίγον σὺν κυμίνῳ ὀλιγοστῷ. δεῖ ἑνῶσαι μετὰ τοῦ ζωμοῦ τῶν ὀξινῶν μήλων καὶ ποιῆσαι ἔμπλαστρον, καὶ ἐπιθεῖναι τῷ μετώπῳ ἀπὸ μήνιγγος.

περὶ δυσουρίας.

Μοῦρον χρυσὸν βάλλε εἰς τὸν οὐρητῆρα καὶ εὐθέως οὐρήσει, ἢ μέλι καὶ ἀγριοκανάβην ἑνώσας ποίησον ὑπόθεμα καὶ θὲς ὑπὸ τὸν ἀφεδρῶνα, ἢ μόσχον θὲς ἐν τῷ οὐρητῆρι.

πρὸς αἷμα ἐκ ῥινῶν.

Κανάβου φύλλα ξηράνας καὶ τρίψας ἐμφύσα εἰς τὸ ῥύθωνον, ἢ πανίον λινὸν καύσας μεθ᾽ ὄξους δριμέως ἐμφύσα εἰς τὰς ῥῖνας.

περὶ ὑστέρας γυναικός.

Ὀψιψωμίου, καὶ ἀμανιτάριον ἀληθινὸν, καὶ καρδίαν. καύσας μετὰ οἴνου παλαιοῦ δὸς πιεῖν.

περὶ τοῦ μὴ ἀπόλλειν τὸ δένδρον τὸν καρπόν.

Κείνου ῥίζαν κρέμασον καὶ εἰς τὸ δένδρον, καὶ στήκει ὁ καρπὸς αὐτοῦ καὶ μὴ πίπτει.

πρὸς τραῦμα γλυκύ.

Καρδίαν μετὰ τοῦ φλοιοῦ, καὶ κέρας ἐλάφου καύσας μετὰ ἐλαίου ἄλειφε.

πρὸς στόμαχον

Πήγανον καὶ θρύμβον μετὰ ὠοῦ καὶ κύμινον καὶ ἡδυόσμου τὰς ῥίζας δὸς πιεῖν.

περὶ λιχῆνας.

Πεπέρι τρίψας μετὰ γυναικείου γάλακτος ἐπάλειφε καὶ ἰᾶται.

πρὸς πόνον ὀδόντων.

Λεπίδια ὠῶν καὶ σηπίαν καὶ ἔλαιον μίξας ἀποτριτώσας καὶ χλιάνας βάλλε εἰς τὸν πόνον.

πρὸς ἕλμινθας.

Κέρας ἐλάφου ῥινίσας μετὰ οἴνου παλαιοῦ δὸς πιεῖν ἀπὸ λουτροῦ.

πρὸς δυσουρίαν.

Κορίανδρον καὶ ἡδύοσμον καὶ ὕδωρ μετὰ μέλιτος ἀποτριτώσας δός.

πρὸς τραῦμα γλυκύ.

Ἀφόδευμα χοίρου μετ᾽ ἐλαίου καὶ ὄξους δριμέος μίξας, καὶ τὸν τόπον ἐκδείρας μετὰ τριχίνου πανίου ἐπάλειφε.

πρὸς πόνον πλευροῦ.

Γαλιουρέας ῥίζαν μετὰ οἴνου ἀποτρίτωσον καὶ δὸς πιεῖν ἀπὸ λουτροῦ.

πρὸς ἧπαρ καὶ στόμαχον.

Ἀλόην καὶ στάχυς, ἀνὰ μιλιαρισίου ἑνὸς μίξας μετὰ οἴνου ἀπὸ λουτροῦ πότισον καὶ ἰᾶται.

πρὸς ὕπνον.

Α ἰγὸς κοπρίαν μετὰ χαμαιδρύου πηλὸν ποίησας ἄλειφε τὸ πρόσωπον. — πρὸς βῆχα.
Ρ αφάνου σπόρον καὶ μάλαθρον μετὰ μέλιτος δὸς πιεῖν. — πρὸς καρδιόπονον.
Π ήγανον, καὶ λινόσπερμα καὶ μάραθρον ἐπὶ τὴν καρδίαν. — πρὸς ἕλμινθας.
Λ υπινάκεια καὶ δαφνόκοκκα καὶ χολὴν ταύρου μίξας ἐπίθες εἰς τὸν ὀμφαλόν. — περὶ αἱμοῤῥοούσης.
Χ ελώνης καύκαλον ὑποκάπνισον. — πρὸς καῦσον.
Ω ὰ ὀπτὰ, σὺν κρόκκους καύσας εἰς τηγάνην, καὶ ἀποπλάσας ἄλειφε. — περὶ κνησμονῆς.
Γ ὰρ καὶ θεῖον ἄπυρον καὶ ἔλαιον ἄλειφε καὶ θαυμάσεις. — πρὸς ἴκτερον,
Χ ρυσολαχάνου σπόρον καὶ μέλι καὶ κρόκκον ταράξας εἰς τὸ κραβάτιον χρίε, καὶ ὠφελεῖ.

περὶ σκωλήκων. 10

Χ αμαιλέοντος τὴν ῥίζαν βάλλε καὶ κνίδους τὰς κορυφὰς λειώσας ἐπίβαλλε.

περὶ βηχός.

Μ αράθρων τὰς ῥίζας τρίψας δὸς πιεῖν νήστει ἐπὶ ἡμέρας β. καὶ θαυμάσεις.

περὶ κεφαλῆς πλοκάμους.

Μ ολόχην, καὶ ἐλελίφασκον τὴν ῥίζαν λειώσας ἐπὶ λόγον καὶ βάλλε εἰς ἀγγεῖον μετὰ οἴνου καλοῦ καὶ ἀπὸ λουτροῦ χρίε σὺν πλοκάμους.

πρὸς ὤτων πόνους.

Τ οῦ βάτου ὁ χυλὸς ἐκπιεζόμενος καὶ χλιαινόμενος καὶ ἐνσταζόμενος εἰς τὸ οὖς παύει τὸν πόνον.

περὶ ἰκτέρου.

Χ ρυσολάχανον κοπανήσας κοχλιάριον ἕν, καὶ μέλι κοχλιάριον ἕν, καὶ οἶνον θερμὸν δὸς νήστει. ἄλλο πάνυ καλόν. Εἰς 20
τὸ δεξιὸν ὠτίον τὸ ὑποκείμενον λεπτὴν φλέβα κόψον, καὶ ἐξερχομένου τοῦ αἵματος θαυμάσεις, ἐὰν δὲ πονήσῃ σπλὴν τὰ ποίησον ὁμοίως εἰς τὸ ἀριστερόν.

πρὸς ἡπατικοὺς, σπληνικοὺς, καὶ στομαχικοὺς ἀπαράβατον.

Α γνοκόκκια δίδου ἐσθίειν καὶ πίνειν, καὶ οἴνου πρωὶ καὶ ὀψὲ, ἄλλο σελίνου σπόρον καὶ μακεδονησίου. καὶ ἐρεβίνθων καὶ ἀγνόκοκκα πάντα συντρίψας μετὰ οἴνου θερμοῦ δὸς πιεῖν βοήθημα.

πρὸς νεφρικούς.

Ε ὐζώμου σπέρμα, καρδάμου σπέρμα, ῥαφάνου σπέρμα λειώσας ἐν ὥσπερ μετὰ μέλιτος ἀττικοῦ, καὶ δίδου. sr. α. μετὰ οἴνου παλαιοῦ. Βασιλέως ἰκτῶ τοῦ μελιτινώτου δίαιτα πρὸς βασιλέα νοτάριον τὸν γραμματικὸν σκευασία οἴνου εἰς τὸ ποιῆσαι εὔγνωστον καὶ κόκκινον.

Ο ἶνον ὡσεὶ μέτρα εἴκοσι, πλήρεις γέμισον πίθον, καὶ ἆρον ἐξ αὐτοῦ. μέτρα β. καὶ βάλλε ἐν χύτρᾳ λιθίνῃ ἐπί- 30
βαλλε μελάθρου μιλιάρεια ρ. σελινόσπορον μιλιάρεια ρ. ἄνισον μιλιάρεια ν. μετὰ τούτων δεῖ βράσαι καλῶς καὶ σαστελίζειν, καὶ ξεστοῦ ὄντος ἐνστρέφειν ἐν τῷ πίθῳ, εἶτα ἔπαρον τριψίδιον μιλιάρεια ρ. καρυόφυλλον μιλιάρειον ε. κρόκκον μιλιάρειον α. μαστίχης μιλιάρεια γ. κύπερον μιλιάρεια ε. ξυλαλόην μιλιάρεια ε. τρίψας ὅλα ὁμοῦ καὶ σήσας ἔμβαλλε ἐν ὀθόνῃ λινῇ, καὶ θὲς μέσον τοῦ πίθου καὶ χρῶ.
Τοῦ αὐτοῦ περὶ ἐνδυναμώμενα στομάχου διὰ τὸ πληθυνθῆναι τὰ φλέγματα ἐν αὐτῷ, καὶ ἀνενέγκαι κεφαλαλγίαν.

Δ εῖ σε λαβεῖν ῥοδόμελι καθ᾽ ἑκάστην ἡμέραν μιλιάρεια κ. σελινόσπερμον μιλιάρειον ἕν, ἄνισον μιλιάρειον τὸ S. καὶ ἐπινηστεύειν τὸν μεσημβρινὸν καὶ τότε γεύεσθαι, καὶ γὰρ διὰ τοῦτο ὡρισάμην ποιεῖν σε οὕτως διὰ τὸ εἶναι τὸ ῥόδον ἐνδυναμοῦντα τὸν στόμαχον, τὸ δὲ μαστίχην θερμαῖνον τὸ μάραθρον καὶ τὸ σέλινον διὰ τὸ ἐὰν εὕρωσιν ἐν τῷ ἥπατι καὶ τῷ σπληνὶ πλῆθος χυμῶν μελανικῶν, αἴρωσι καὶ κατάγωσι διὰ τῶν οὔρων ἀνωδύνως, τὸ ἄνισον διὰ τὸ διώ- 40
κειν τὰ πνεύματα ἀπὸ τῆς γαστρὸς καὶ ῥωννύειν τὸν στόμαχον, καὶ διὰ τοῦτο ὡρισάμην νηστεύειν ε. τὸ μεσημβρινὸν, ἵνα μὴ φανῇ ἕτερον νόσημα, καὶ ἀπομείνῃ ἡ δύναμις τῶν βοτανῶν μετὰ δὲ τὸ διαβιβάσαι τὰς ι. ἡμέρας τὴν αὐτὴν ἀκολουθίαν ἀείποτε ποίει μετὰ ῥοδοσάκχαρος διὰ τὸ ῥωννύειν τὸν στόμαχον καὶ ζῆν ἀνωδύνως, ὡρισάμην δὲ καὶ περὶ τροφῆς δεκάλογον τρόπῳ τοιῷδε.

Διαγωγὴ ἐν κρέοις καὶ νηστείαις.

Τ ὴν πρώτην ἡμέραν δεῖ σε φαγεῖν ἀμύγδαλα πικρὰ τὸν ἀριθμὸν ι. σὺν ἄρτῳ καὶ οἴνῳ τὸ ἀρκοῦν, τῇ δευτέρᾳ ἡμέρᾳ φάγε μέλι μετὰ ἄρτου καὶ οἴνου τὸ ἀρκοῦν, τῇ τρίτῃ ἡμέρᾳ ἀκρέας ἀμνοῦ ἐνιαυσιαίου μονοπλάτην κοπανήσας καὶ ἑψήσας ὀπτὰ πνεῖ, καὶ τρέφου σὺν οἴνῳ τῷ ἀρκοῦντι καὶ ἄρτῳ καὶ παξαμαδίου, τῇ τετάρτῃ ἡμέρᾳ, ὀρύζην μόνον ἕψει ἐν ὕδατι καὶ τίθου μέλι, καὶ τρέφου μετὰ ἄρτου καὶ οἴνου τὸ ἀρκοῦν, τῇ ε. ἡμέρᾳ ῥοίδια, καὶ ἀμύγδαλα καὶ σκόροδον, δαύκων καὶ σύκων ἰσχάδων, σταφίδων καὶ μέλιτος ἕψει, καὶ τρέφου μετὰ ἄρτου καὶ 50
οἴνου τοῦ ἀρκοῦντος, τῇ ς. ἡμέρᾳ κρέας ὅμοιον ἐνιαυσιαῖον τίθει ἐν τηγάνῳ μετὰ δαύκων καὶ ἕψει καὶ τρέφου μετὰ ἄρτου καὶ οἴνου τὸ ἀρκοῦν, διὰ τὸ τὴν δύναμιν τῶν ῥοιῶν σε σβέσαι. ψυχραὶ γὰρ ὄντως εἰσὶν, καὶ διὰ τοῦτο ὡρίσθησαν αἱ ῥοιαὶ πρὸς ψυχρασίαν δηλονότι τῶν προειρηθέντων ἐμπροσθεν εἰς τὰς ε. ἡμέρας. θερμὰ γὰρ ὄντως, τῇ ἑβδόμῃ ἡμέρᾳ κρέας κοπανιστὸν μετὰ ἐρεβίνθων, καὶ ἀρτυμάτων ἕψει, τρέφου τὸ ἀρκοῦν, τῇ ὀγδόῃ ἡμέρᾳ κρέας σὺν μέλιτι καὶ ὄξει συνάδων ἀμυγδάλων καρύων συρικῶν, κρόκκου, δαύκου σταφίδων σὺν ἑτέροις κρέασι κοπανιστοῖς ἕψει μετὰ μέλιτος ἱκανοῦ καὶ τρέφου σὺν οἴνῳ τὸ ἀρκοῦν, τῇ ι. ἡμέρᾳ ἐν κρέοις καὶ ἐν νηστείαις ῥοὸς κόκκον ὁμοίως τοῖς προειρημένοις ἕψει καὶ τρέφου σὺν οἴνῳ τὸ ἀρκοῦν, αὕτη ἐστὶν ἡ δίαιτα τῶν τροφῶν, ἐν τῇ ὥρᾳ τοῦ δείπνου ἀεὶ χρῶ ἡδυοσμόμελι, διὰ ὃ τὰς τροφὰς χωνεύειν, καὶ οὐκ ἐὰν πληθυνθῆναι φλέγμα ἐν τῷ στομάχῳ καὶ ὅσα ὑγιὴς μένεις μηκέτι φλεβοτόμει ἄνευ πάθους. ὅταν δὲ σοι συμβῇ νόσημα περὶ τὴν κεφαλὴν, φλεβο

λῃ, φλεβοτόμησον τὴν κρανιακὴν φλέβα, καὶ ἔμβαλε ὅσον μιλιάρια ι. συνουσίαζε δὲ τὸν χρόνον δίς, τὸν ἀπρίλλιον μῆνα καὶ τὸν σεπτέμβριον ποιῶν ἀρχὴν ἡμέρας γ. ἔμπροσθεν, καὶ ὄπισθεν, πίνειν καὶ βοήθημα τὸν χρόνον δὶς τοῖς προειρημένοις μησί, καὶ κωδείαις χρῶ διὰ τὸν ὕπνον δεῖ σε ἀπέχεσθαι τῶν συνουσιῶν, εἰ δὲ βούλει ἅπαξ τὴν ἑβδομάδα μετὰ τὸ διαβῆναι τὸ μεσόνυκτον, τὸν δὲ ἰούλιον μῆνα, καὶ τὸν αὔγουστον δεῖ σε ἐμεῖν ἡμέρας β. ἄμφω διὰ τὸ εἰς μίαν ἡμέραν ὁ στόμαχος κάθαρσιν οὐ λαμβάνει, ὅταν δὲ ἐμεῖς, βλέπε μήποτε πίῃς ὕδωρ, ἢ ἔμπροσθεν, ἢ ὄπισθεν, ὅταν δὲ ἐμεῖς τοὺς ὀφθαλμοὺς σκέπασον καὶ δῆσον, καὶ ἱστάμενος ἔμει ἐν ὑψηλῷ τόπῳ, ἢ ἐν ποταμῷ. μετὰ τὸ ἐμέσαι εἰ διψεῖς πίεζον λάβε, καὶ ἀπονήστευσον, δεῖ σε λούεσθαι τὸν ἀπρίλλιον μῆνα, μέχρι καὶ ὅλου τοῦ νοεμβρίου μηνός, καὶ τοὺς ἀπηγορευμένους μῆνας ἀπέχου τὸ λούεσθαι, ὅταν δὲ λούεσθαι τὴν ἑβδομάδα ἅπαξ ἀεὶ δέ ποτε νήστης λούου, καὶ ἐὰν διψῇς πίε εὔκρατον ὕδωρ, καὶ μετὰ τὸ ἐξελθεῖν ἄλειφε τὴν
10 κεφαλὴν ἔλαιον, ἢ γάλα γυναικεῖον θηλυτρόφου, τοὺς δὲ πόδας κατὰ νύκτα ἄντλει θερμῷ ὕδατι σὺν πιτύροις.

περὶ κεφαλαλγίας.

Αμύγδαλα λι. γ. ἀπόρου κολοκύνθης λι. α. ἔκβαλον τὸ ἔλαιον τὸν ἀμφοτέρων, καὶ ἄλειφε τὴν κορυφήν, καὶ τοὺς μυκτῆρας, τὰς χεῖρας καὶ τοὺς πόδας.

πρὸς βοήθειαν οἴνου.

Επαρον κυδώνια ὥριμα καὶ γλυκέα, καὶ καθαρά, καὶ ἆρον τὸν ζωμὸν καὶ ἐν τῷ οἴνῳ.

Αλειμμα δόκιμον πρὸς ἁρμοπονίαν καὶ πρίσμα χειρῶν καὶ ποδῶν καὶ ἀποφθορὰς καὶ ἀπόκαυσιν χειμῶνος καὶ ἀνέμου καπουλίων χειρῶν τε καὶ ποδῶν λεγομένων σταρακινιστὴ τλεν*. ἡ σκευασία αὕτη.

Ετερον ἀξούγγιον χηνὸς μοίρας β. μυελὸν ἐλάφων ἐκ τῶν ἀτζῶν, καὶ μαρατασάγκην τάπαρην καὶ μέλι ἄκαπνον ὑλιστόν, καὶ τίθου ἐν πετρίνῳ τηγάνῳ καὶ βράσον, ὥστε λυθῆναι τὰ ῥηθέντα ἀλείμματα, καὶ θερμοῦ ὄντος ἔμ-
20 βαλλε τὸ μαρτασάγκην, καὶ ὅταν ψυχρανθῇ τελείως βάλε τὸ μέλι καὶ μάλαξον καλῶς δίκην μαλάγματος καὶ ἄλειφε ἐν πυρί, ἢ ἐν κλιβάνῳ, καὶ τήλιξον καλῶς, ἄλειφε δὲ ἕως ὅτι ἀπέλθῃ ὁ πόνος.

περὶ αἰγίλωπος.

Χολὴν βοός, καὶ ὑσσώπισον, καὶ ὄξος ἑνώσας ποίει ἔμπλαστρον καὶ ἐπίθες, ἢ πηγάνου φύλλα μετὰ χαρυγίου ἐπίθες εἰς τὰς ὀπάς.

πρὸς τραύματα ἀνίατα.

Αειστεπανίου ῥίζαν βάλε μετ' οἴνου γλυκέος καὶ δὸς πιεῖν τῷ κάμνοντι.

περὶ περιπνευμονίας.

Τεῖψον πεπεροκόκκους ιε. καὶ ἅλας ὁμοίως βάλε ἄπλυτον, καὶ τεάφην, καὶ ἑνώσας, μετὰ ἀποδύματος ὀρνιθίου ξανθοῦ σὺν ἐλαίῳ ἄλειφε, ἢ δαύκου σπέρμα, καὶ μελάνθιον καὶ πράσον λειώσας πότισον.

30

πρὸς ἀσφαλκίας.

Λαβὼν χαμαίδρυον, καὶ κεμβάλευρον, καὶ ζυμώσας ταῦτα μέλιτι ἐπίχριε καὶ κατάπλαττε.

πρὸς πόνον κοιλίας καὶ στομάχου.

Βάλε δενδρολίβανον εἰς τζουκάλιον μετὰ οἴνου παλαιοῦ καὶ ἀποτριτώσας ἐν λουτρῷ πότισον, ἢ ἔλαιον καὶ οἶνον ὁμοίως ποίησον καὶ πότισον ἐν λουτρῷ χλιαρόν.

πρὸς στομαχίας.

Κύμινον καὶ κινάμωμον κοπανήσας ἀμφότερα, καὶ βαλὼν σμύρναν, καὶ μαστίχην, καὶ βλυσκόνην ὀλίγον, καὶ ἑψήσας καὶ προσμίξας δὸς πιεῖν, ἢ ἡδυόσμου κλῶνας γ. καὶ ῥόδιον καὶ φοινίκια πότισον.

πρὸς ἀδυναμίαν γονάτων.

Φρὲ ὕδωρ καὶ βράσον λινόσπερμα μετὰ μέλιτος καὶ κατάπλασον εἰς τὴν καρδίαν.

40

πρὸς πόνον πλευροῦ.

Κύμινον καὶ σίτινον ἄλευρον, καὶ οἶνον παλαιὸν ποίησον κατάπλασμα καὶ τίθει ἐπάνω τῆς καρδίας.

πρὸς σπληνικούς.

Κράμβης φύλλα, καὶ ἀμμωνιακὸν καὶ ὄξος δριμὺ τρίψον καὶ μίξας ἐπίχριε τὸν τόπον ἡμέρας γ. ἢ πλατάνου φύλλα ἕψησον μεθ' ὕδατος, ἕως οὗ ἀποτριτωθῇ, καὶ πότισον, ἢ κραμβίου φύλλα, φλόγισον ἐν πυρὶ καὶ λειώσας μετὰ οἴνου πότισον.

πρὸς αἱμόῤῥοιαν γυναικός.

Ταύρου κέρατα ξυόμενα καὶ μετὰ ὕδατος πινόμενα, αἱμοῤῥοίας ἰᾶται, ἢ λουλάκην, καὶ κραμβόσπορα καὶ σηκαμωνίας ἑνώσας τὰ τρία δὸς πιεῖν.

πρὸς βιβιασμούς.

15 Κηκίδας τετριμμένας καὶ ῥοὸς ἄνθη, ἢ τὰ σίδια μετ' οἴνου ἀποτριτώσας δὸς πιεῖν. ἢ τῆλιν ἑψήσας μετὰ μέλιτος δὸς πιεῖν τὸν ζωμόν.

πρὸς κοιλιακούς.

Βάλε καρδαμόσπορον εἰς καινὸν τζουκάλιον ἕως ἑψηθῇ, καὶ λαβὼν ᾠὸν ἔκζεσον χωρίς, καὶ ἐκλέπισον καὶ ἔπαρον τὸ ἄσπρον αὐτοῦ χωρίς, καὶ κόψον αὐτὸ λεπτῶς, καὶ ἔμβαλον τῷ ἑψηθέντι καρδαμοσπόρῳ, καὶ βρασάτωσαν μίαν, καὶ εἰ θέλει ὁ νοσῶν, ἂς φάγῃ αὐτό, εἰ δὲ οὐχὶ ἂς γένηται ὕδωρ καὶ ἂς πίῃ αὐτό, ἢ ταύρου νεφρῶν φρύξας πότισον, ἢ τυρὸν παλαιὸν ὀξίσας μετ' ὄξους δριμέος δὸς φαγεῖν νήστει.

πρὸς δυσουρίαν.

Γαγούρην ποτάμιον κοπανήσας, καὶ εἰς πανίον ἀποπιάσας δὸς πιεῖν, ἢ μαλάθρων ῥίζας ἀποτριτώσας δὸς πιεῖν τῷ πάσχοντι.

πρὸς ἐξωχάδας.

Ασβεστόν, καὶ ἀρσενίκην νέον ἑνώσας ἐπίθες.

πρὸς ἁρμοπονίας.

Κενταύρειον, καὶ σκορπίδιον καὶ ὄξος βραχὺ ἄλειφε τὸν τόπον, ἢ βάλλε σίνηπι, καὶ ἰσχάδας καὶ κυπάνησον καὶ ἐπίπλασον ἐν λουτρῷ.

πρὸς πόνον γονάτων.

Μαλάχην καὶ κενθάλειρον, καὶ λινόσπορον κοπανήσας καὶ τηγανήσας μετ᾽ ἐλαίου ἐπίθες τῷ τόπῳ.

πρὸς κλάσμα ὀστέων.

Λαβὼν πίσσαν, καὶ κόνιν τοῦ λιβάνου, καὶ φοινίκια, καὶ ἄνθος μαλάχης καὶ τοῦ ὠοῦ τὸ λευκὸν ἐπίθες καὶ ἐπάνω στυπία, καὶ καλάμωσον καὶ φασκίωσον καὶ ἰᾶται.

Αλλο περὶ τεταρταίου.

Χαμαίδρυον ἑψήσας μετ᾽ οἴνου παλαιοῦ δὸς πιεῖν τρίτον. πρὸς δῆγμα σκορπίου.

Οστακὸν πυρωθὲν ἐπίθες, ἢ πιδρύγιον μετὰ μέλιτος δὸς πιεῖν, ἢ κύψας οἷον λίθον πιάσης ἐπίθες.

πρὸς φαρμακείας.

Καρίδιον καὶ πλατυκύμινον, καὶ ζωχίου ῥίζαν ἀποτριτώσας δὸς πιεῖν μετ᾽ οἴνου παλαιοῦ καὶ φορείτω καὶ γλαυκίων ὀστᾶ, καὶ γὰρ καπνιζόμενα δαίμονας διώκει.

Εἰς σύλληψιν γυναικός.

Λαγωοῦ μήτραν φρίξας καὶ λειώσας πότισον συνεχῶς ἐχέτω δὲ καὶ τὸ αἷμα αὐτοῦ, ἢ ἀλώπεκος κόπρον μίξας μετὰ βοΐνου ἀλείματος ἄλειφε τὸ αἰδοῖον τῆς γυναικὸς ὁμοίως καὶ τοῦ ἀνδρός.

περὶ τεθνηκότος ἐμβρύου ἐν τῇ μήτρᾳ.

Γάλα γυναικεῖον μετὰ μέλιτος καὶ ῥίζας ἀμαράντου δὸς πιεῖν καὶ ἐξέρχεται.

Εἰς τὸ πλεονάσαι γάλα.

Μάραθρον, καὶ ἄνηθον μετὰ μέλιτος ἑψήσας καὶ οἴνου χρίε καθημέραν τοὺς μαστούς, καὶ ποιεῖ γάλα ἡ γυνή.

πρὸς ὑδρώπας.

Ορνίθην σφάξας, καὶ καρδίον τηλίξας πανὶν λινοῦν, καὶ βάλλε ἔσωθεν τῆς ὄρνιθος καὶ ἂς ἑψηθῇ καὶ δὸς πιεῖν τὸν ζωμόν, ῥάψον δὲ τὴν ὄρνιν, ἢ ὄψιν ψωμίου καὶ μαντάρην ἀληθινόν, καὶ καρίδιον καύσας δὸς πιεῖν.

περὶ φονευόντων.

Κόψαι γύλαν ἀλέκτορος καθὼς ἐστὶ μετὰ τοῦ λάρυγγος καὶ καύσας καὶ τρίψας καλῶς μετ᾽ οἴνου παλαιοῦ δὸς πιεῖν.

περὶ ἐν δυναμώσεως αἰδοίου.

Ρεπαπόσπορον τρίψας ἔνιε μετὰ μέλιτος, καὶ τίθου εἰς ῥάκος καὶ τήλιξον τὸ αἰδοῖον.

πρὸς λεπριῶντας ὄνυχας.

Σινάπην καὶ ἡδύοσμον ἕψει μετ᾽ ὄξους καὶ τίθει. εἰς πρίσματα.

Υδωρ θαλάσσιον, βρύον θαλάσσης ἐκζέσας καὶ ὑποπιάσας ἐπίθες.

περὶ ποδαλγίας.

Σμύρναν λεγομένην μούρ.. καὶ ψήλειον, ἤτοι φυζερκατοῦν μικρὴν μετ᾽ ὄξους, ἄλειφε τοὺς πόδας.

περὶ ἐν δυναμώσεως στομάχου.

Ξυλαλόην καὶ ἄκαρον λύπεριν καὶ μαστίχην, λιβάνου μελάνθιον μάλαθρον καὶ απάντως, τρίψον λίαν καὶ ἑνώσας μεθ᾽ ὕδατος ῥοιᾶς καὶ μέλιτος ἀκάπνου δίδου νήσει.

περὶ πτύσεως.

Αρσάτον τοῦ ζουφά, ἤτοι τοῦ ὑσσώπου, ὅπερ ὠφελεῖ εἰς τὸν βῆχα, καὶ τὴν στένωσιν, καὶ εἰς τὸν πόνον τοῦ στήθους ἡ σκευασία. Μανουσιάκων στ. β. οὐνάπια, ἤτοι ξυλόζιφα κ. ζεπιστάνια, ἤτοι μιξία κ. συκάδια ασπρ. γλυκέα ιε. ἤτοι γλυκορίζην μεσότριπτον στ. α. χαχάσιν κοπανησμένον, ἤτοι κωδίαν στ. ε. παρησαυσά, ἤτοι πολύτριχον στ. β. ἀνησούν, ἤτοι γλυκάνισον στ. β. τόλμη καραὺς ἤτοι σελινόσπερμον στ. β. σταφίδας, κόκκια καλὰ λογαρικὰ ς. ζουφάν, ἤτοι ὕσσωπον στ. γ. ῥαζανόν, ἤτοι μαλαθρόσπορον στ. β. σταφίδας κόκκινα, τὰ ἀμφότερα ἀναμίξας πλῦνον, καὶ αἱμοχάλου μεθ᾽ ὕδατος κρύου ἡμέραν α. καὶ τῷ πρωΐ. ἵν᾽ ἑψηθῶσι μετὰ τοῦ ῥηθέντος δηλονότι λογαρικὸν ιο. δ. καὶ να ἑψηθῇ ἕως γένηται τὸ ὕδωρ λογαρικὰ ας. καὶ τὸ ἐγνασακελιωθῇ, καὶ ἵνα καταστηθείη μὴ ἔχειν ὕλην, καὶ ἔπειτα βάλλε σάκχαρ λογαρικὴν α. ἵνα γένηται ζουλάπην, καὶ καθ᾽ ἑκάστην ἡμέραν α. πίει ἐξ αὐτοῦ ἕως ἡμέρας η. ἐπίσταξον ἀμυγδαλέλαιον.

περὶ χολεμεσίας.

Τοῖς χολὴν ἐμοῦσιν κατάπλασμα προσεκτέον διὰ φοινίκων, συκιδίων, κικίδων ἑψημένων ἐν οἴνῳ, ἢ ὀξυκράτῳ συνελεομένων ἄρτῳ. καὶ ἀκακίας δέ, καὶ ὑποκυστίς, καὶ βαλαυστίων καὶ ῥοῦς συμπλεκέσθω τῷ καταπλάσματι, καὶ συκία δὲ προσβαλλομένη μεγάλη ὠφελεῖ μετὰ φλογὸς πολλῆς. τὴν δὲ τροφὴν πολλάκις κατὰ βραχὺ δώσομεν. ἐπὶ δὲ τῶν χολὴν μέλαιναν ἐμούντων καὶ φυσωμένων τὸν στόμαχον σπόγγους ὄξει δριμυτάτῳ θερμῷ βεβρεγμένους ἐντίθει. ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε.

περὶ λυγμοῦ.

Λυγμὸς γίνεται ἤτοι διὰ πλήρωσιν, ἢ διὰ κένωσιν, ἢ δριμέων χυμῶν δακνόντων τὸν στόμαχον, ὧν ἐμεθέντων παύεται, πολλοὶ δὲ καὶ τὸ διὰ τριῶν πεπέρεων λαβόντες εὐθέως ἂν ἐπιπίνωσιν οἶνον λύζουσιν. ὅτι δὲ καὶ διαφθείροντές τινες λύζουσιν ἔμετον μὲν ἐμέσαν αὐτάρκες ἴαμα τῶν διὰ πλῆθος. ἢ δῆξιν λυζόντων. θερμασίαν δὲ τῶν διὰ ψύξιν. ὅταν δὲ ὑπὸ πληρώσεως ὑγρῶν γένηται λυγμός. βιαίας δεῖται κενώσεως. ὅπερ δὲ

ὁ πταρμὸς ἐργάζεται. τοὺς δ' ἐπὶ κενώσει λυγμοὺς οὐκ ἰᾶται πταρμὸς, διδόναι δὲ τοῖς λύζουσι πήγανον μετ' οἴνου. ἢ νίτρον ἐν μελικράτῳ, ἢ σέσελι ἢ δαῦκον ἢ κύμινον. ἢ ζιγγίβερ. ἢ καλαμίνθην. ἢ νάρδον κελτικήν. ταῦτα τῶν ἐπὶ διαφθορᾷ σιτίων, ἢ ἐπὶ ψύξεσιν, ἢ ἐπὶ πληρώσει βοηθήματα. τοῖς δὲ ὑπὸ πλήθους λύζουσιν ἐπὶ ψυχροῖς ἢ γλίσχροις χυμοῖς. καστόριον δίδου πίνειν διὰ ὀξυκράτου. καὶ κατὰ τοῦ δέρματος δὲ ἐπιτιθέμενον ὠφελεῖ. ἅμα συκιωνίῳ παλαιῷ ἐλαίῳ. ἁρμόζει καὶ τὸ σκιλλιτικὸν ὄξος. ἢ ὀξύμελι πινόμενον, καὶ κατοχὴ πνεύματος μεγάλως ὀνίνησι.

πρὸς πρίσματα ποδῶν καὶ ῥαγάδας καὶ πτέρνας.

Μελιτάειν ἤτοι σωνοπίδα, καὶ κιμωλίαν τὸ ἴσον μετὰ χυλοῦ ἀγριοσύκης χρίε. ἄλλο. Κισσὸν καὶ καλαμίνθην καὶ ἅλας δασὺ ἑψήσας ὕδατι καλῶς νίπτε τοὺς πόδας ἅπαξ καὶ δὶς καὶ ἀπαρτίσκονται. ἄλλο. Ποιήσας ἅλμην δα-
10 σεῖαν μετὰ θερμοῦ ἄντλει τοὺς πόδας καὶ τὰς πτέρνας, καὶ τρίτον, ἅλας καὶ κύμινον καὶ ἐμβαλὼν ἔλαιον ἀνάλαβε. καὶ περιαλείψας τοὺς πόδας κατάχειζον καλῶς. καὶ διὰ τῶν ἀδήλων πόρων διεξέρχεται ἡ ὕλη.

πρὸς ποδαλγίαν.

Αειζώου τὸν χυλὸν ἕψει καλῶς καὶ χρῶ. ἄλλο. Οἴνου χυλὸν μίξας ὀνίῳ γάλακτι καὶ γλυκεῖ οἴνῳ κατάχειε. ἄλλο. Φωκῆς δέρμα, ἢ λέοντος ἢ λύκου ἢ ἀλώπεκος, ἐάν τις ἐργάζηται, καὶ φορεῖ ὑποδήματα, οὐκ ἀλγήσει τοὺς πόδας. ἄλλο. Νυκτερίδας πάσας ἕψει ἐν ὕδατι ὀμβρίμῳ ὡσεὶ γ'. εἶθ' οὕτως ἐν αὐτῷ τῷ ὕδατι βάλλε λινόσπερμον τριπτὸν γο. δ'. εἶθ' ὠὰ ὠμὰ γ'. καὶ ἐλαίου κύαθον, βοίαν κόπρον γο. δ'. κηροῦ γο. δ'. ἑνώσας ἀμφότερα καὶ μαλάξας χρῶ εἰς κοίτην ἅπαξ καὶ δίς.

Γαληνοῦ σκευασία σκιλλητικοῦ ὄξους.

Υγιεινὸν κάλλιστον τὸ περὶ σκίλλης πυθαγόρα γραφὲν, ὡς πᾶς μὲν αὐτοκράτως κέχρηται, λέγεται δὲ παρὰ τοῦ
20 δεδωκότος ὅτι μακροβίους ποιεῖ, τοὺς τοῦτον λαμβάνοντας καὶ τὰ ἄκρα ἄρτια ὑπάρχει ἕως τέλους. καὶ αὐτὸς μὲν ὁ σάμιος γέρων, οὐκ ἀγνοεῖς γὰρ ὅσον χρόνον περιέκοψεν, μέμνηται ἐν τῷ συντάγματι, ὡς τῷ κατ' αὐτὸν γένει μεταδεδωκὼς τὴν δύναμιν. ὅταν δὲ ἤρξατο τούτῳ χρῆσθαι, πεντηκονταετὴς ὑπῆρχεν. καὶ ἐβίωσεν εἰς ἑπτὰ καὶ δέκατον, καὶ ἑκατοστὸν ἔτος. ἄρτιος, καὶ ἄνοσος διατελέσας, καὶ ταῦτα μὲν ὁ πατὴρ τοῦ φαρμάκου. καὶ ταχ' ἀνὴρ φιλόσοφος, καὶ ψεύσασθαι μὴ δυνάμενος, ἡμεῖς δὲ περὶ τοῦ ἀνδρὸς πίστεως πεῖραν ἐπιθέντες, βεβαίαν καὶ ἀδιάπτωτον τὴν δύναμιν ἐπιφαίνομεν. χρὴ τοίνυν λαβόντα σκίλλαν ὀρεινὴν λι. α'. περιελεῖν τὰ σκληρὰ, καὶ κατατεμεῖν τὰ ἁπαλὰ, καὶ βαλεῖν ὄξους δριμυτάτου. ξέστας η'. εἰς ἄγγος ὑέλινον. εἶθ' οὕτως καταδύσας ἔασον ἀναβρέχεσθαι ἐν τοῖς τοῦ ἀπὸ κυνὸς καύμασιν ἡμέρας. λ'. εἶτα ἐξελὼν τὴν σκίλλαν. καὶ ἀποπιάσας, ἐκ τούτου δεῖ τὸ πρωῒ μικρὸν καταῤῥοφεῖν. συμβήσεται δέ σοι τὰ περὶ τὸν φάρυγγα ἢ τὸ στόμα μηδέποτε μαλακισθῆναι. καὶ τὰ περὶ τὸ στόμα τῆς κοιλίας ὑγιαίνειν. ἔμπνους τε ὑπάρξεις. καὶ τὰ περὶ τὴν φωνὴν
30 εὐεκτεῖν. σπουδαῖον καὶ τὰ περὶ ὄμματα ὀξυδερκέστατον, καὶ περὶ τὴν ἀκοὴν ὀξύηκον. οὐδὲν γὰρ πνεῦμα ἐν κοιλίᾳ ποτὲ συστήσεταί σοι. οὔτε σπλάγχνον μετέωρον ἕξεις. εὔπνους τε καὶ εὔχρους διαμένεις. καὶ πρὸς τὰ ἀφροδίσια πάντοτε εὖ διακείμενος. οὐκ ὀξυρεγμίσεις οὐ λύξεις ἀλυκῶς. ἐὰν πᾶς τις τι δὸς ἐξ αὐτοῦ. καὶ κελεύομεν μετὰ τὸ ῥοφῆσαι περιπατεῖν, κινεῖσθαι σταδίους ζ'. καὶ διαλυθήσεται. ὁ δὲ τούτῳ χρώμενος περὶ τὴν δίαιταν παῤῥησίαν ἀγέτω ἣν τινα βούλεται, πάντα γὰρ κατεργάζεται ταῦτα. ὡς ἀπὸ μηδενὸς βλαβῆναι ποτὲ, μήτε εἰς πλησμονὴν ἐλθόντα. μήτ' ἐφ' ᾧ δοκοῦμεν συμφέρειν. περιττὸν δ' οὐδὲν καταλειφθήσεται ἐν τῷ σώματι οὐ πνεῦμα. οὐ χολή. οὐ σκύβαλον. οὐκ οὖρον. ἀλλὰ πάντα ἐκκρίνεται καὶ εὐανάγωγα ποιεῖ. κοιλία διὰ παντὸς εὔλυτος ἐστι. καθαρτικὸν δὲ τοῦ σώματος τὸ βοήθημα. κἂν ἐν τοῖς ὀστέοις ἢ ῥυπαρία. φθισικούς τε τοὺς ἐκ πάντων ἀπηγορευμένους ἀπὸ τοῦ φαρμάκου τούτου θεραπευθέντας εἴδομεν. ἐπιληψίας τὰς μακρὰς ὤνησεν ἱκανῶς. ὥστε ἀπὸ διαλειμμάτων χρόνου πολλοῦ γίνεσθαι. τὰς δὲ ἀρχομένας καὶ νέας εἰς τέλος ἰᾶται. καὶ τὸ πάθος γίνεσθαι οὐκ ἐᾷ ποδάγρας τε
40 καὶ ἀρθριτίδας. καὶ σκληρίας ἥπατος καὶ σπληνὸς ἐθεράπευσε. καὶ αἱ μὲν κατὰ μέρος ἐνέργειαι αὗται. αἱ δὲ κοιναὶ καὶ πλεῖσται. καὶ ὑφ' ὧν κινηθέντες ἐκδεδώκαμέν σοι τὸ ὑγιεινὸν φάρμακον ὑπὲρ ὑγείας καὶ ἀρτιότητος ἕνεκα ἀναλείπεται.

Γαληνοῦ σκευασία οἴνου τοῦ σκιλλιτικοῦ.

Οὗτος ὁ οἶνος πινόμενος, πάσης ὑγείας ἐστὶ παρεκτικός. λεπτύνει γὰρ τοὺς χυμοὺς, καὶ ἐξαιρέτως τὸ φλέγμα, καὶ οὐκ ἐᾷ συστῆναι ἐν τῷ στομάχῳ ἢ ἐν τῇ κοιλίᾳ. ἢ ἐν κεφαλῇ ἢ ἥπατι, ἢ σπληνί. ἢ νεφροῖς. ἢ ὀστέοις. ἢ τι τοιοῦτον γλίσχρον χυμὸν καὶ ποιοῦντα τὰς ἐμφράξεις. ἀλλὰ πάντα λύει καὶ γαστέρα μαλάσσει. καὶ οὕτως ὑπάγει καὶ οὖρα κινεῖ. καὶ δι' αὐτῆς τὰς αἰτίας λεπτομερεῖ, καὶ ἐκκρίνει. οὕτως δὲ καθαίρει κεφαλὴν, ὡς μηδὲ τοὺς μυξωτῆρας ὑγρότητα ἔχειν. πεποίηται δὲ ποδαγρικοῖς ἀρθριτικοῖς ἐπιληπτικοῖς. οὕτως γὰρ πάσης ὑγείας ἐστὶ περιποιητικός. ἔχει δὲ οὕτως, λαβὼν σκίλλαν ἐξ ὀρέων λευκὴν περὶ τὴν κυνὸς ἐπιτολὴν λι. α'. διάψυξον ἐν σκιᾷ ἡμέρας ι'. καὶ δὴ ἐμβαλ-
50 λας εἰς ὕελον τὰ φύλλα τὰ διαψυχθέντα τῆς σκίλλης. βάλλε οἴνου λευκοῦ παλαιοῦ ξέστας. ιβ'. καὶ κρεμάσας ἡμέρας μ'. ἔπαγον τὴν σκίλλαν ἐκ τοῦ οἴνου. καὶ ῥῖψον, καὶ τὸν οἶνον χρῶ πρὸς τὰ ἐπαγγελθέντα. καὶ εὑρήσεις αὐτοῦ τὴν δύναμιν χρώμενος ἑκάστοτε πρὸ σιτίων ἐκ τοῦ οἴνου γο. β'. εἰ δ' ἀπὸ κοίτης. γο. ς'. εἰ δὲ βούλει πρὸς πόμα αὐτὸ ποιῆσαι διὰ τὴν ἡδύτητα πρὸς μίξον καὶ μέλιτος ξέστας δύο. ἢ γ'.

Ἀποφλεγματισμός, ἀνασπῶν ἐκ τοῦ στομάχου φλέγμα ἐσθιόμενος.

ἀπὸ δὲ τῆς κεφαλῆς ἀναγαργαριζόμενος.

Ορειγάνου, κόμεως. ὑσσώπου. σαμψύχου. γλήχωνος. θύμου. ταῦτα ἕψει μετὰ γλυκέως. ξε. γ'. ἕως οὗ γένηται α'. καὶ δίδου ἀναγαργαρίζεσθαι. ἐκτινάσσει γὰρ καὶ τὰ ἐν τῷ πνεύμονι ἐσθιόμενος. ποιεῖ δὲ ὑπὲρ ἐπὶ ἡμέρας. πεπείραται γάρ.

πρὸς δυσουροῦντας. καὶ μὴ δυνάμενον οὐρῆσαι.

Κόρεις δὲ ἀπὸ κλίνης, λειώσας κατάχριε τὸν οὐρητῆρα καὶ εὐθέως οὐρήσει. ὑπὲρ δὲ καὶ παιδίοις μὴ δυναμένοις οὐρῆσαι ποιεῖ.

πρὸς λιθιῶντας καὶ διουρητικὸν δόκιμον.

Δ αφνίδων, καὶ πεπέρεως ἴσα κόψας, καὶ σήσας μετὰ ὑδρομέλιτος μέτρον α. δίδου. ἑκάστῳ δὲ τὸ ὑδρόμελι θερμόν.

Ἄλλο θρύπτον λίθους καὶ παρασκευάζον οὐρεῖν ἄνδρας καὶ γυναῖκας.

Δ άφνης φλοιὸν ἀναζέσας ὕδατι συμφύρα. καὶ δίδου ἐκ τούτου ῥοφᾶν. ἐνεργεῖ γὰρ λίαν.

πρὸς αἷμα οὐροῦντας.

* Ζιγγιβέρεως στ. β. κραμβίου σπέρμα στ. δ. μήκωνος στ. α. χλίον ἀναλαβὼν ποίει καταπότια καὶ δίδου τῷ πάσχοντι.

Οὐρητικὸν στραγγουριῶσιν.

Θ ύμου μαράθρου ἐξ ἴσου κόψας ἐν εὐκράτῳ θερμῷ δὸς πιεῖν.

πρὸς πόνον οὐρητῆρος. καὶ δυσουρίαν καὶ δυσπνοίαν. καὶ οὐροῦντας αἷμα καὶ λιθιῶντας.

Α σάρου, μύσιος, νάρδου κελτικῆς ἴσα ἀναλάμβανε μέλιτι ἀττικῷ ἀπαφρισμένῳ, καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος, εὐουρεῖν γὰρ ποιεῖ καὶ πρεσβύτας. τοὺς ξηρὰν ἔχοντας ῥύσιν. καὶ εὐτονωτέραν ποιεῖ.

πρὸς ἐνουροῦντας.

Ρ ίζαν κρίνου δὸς πιεῖν προαναζέσας. ἢ ὑοσκυάμου χυλόν. ἢ καρπὸν μετὰ οἰνογάλακτος φυράσας ἔμβαλλε εἰς δέρμα ἐλάφου καὶ περίαπτε τὸν δεξιὸν μηρὸν καὶ θαυμάσεις. ἄλλο. συάγρου ὄνυχας ὀπτήσας μετ' οἴνου πότισον. ἢ ἀλέκτορος ὄρχιν ὀπτήσας δὸς φαγεῖν.

πρὸς ἐνουροῦντας.

Κ οχλίον καύσας μετὰ τοῦ ὀστράκου καὶ λειώσας δίδου πιεῖν μετὰ οἴνου εἰς κοίτην.

Εἰς δυσουρίαν καὶ λιθίασιν.

Λ ινοσπέρμου. πεπέρεως. πετροσελίνου κόψας καὶ σήσας μετὰ κονδίτου λάμβανε κοχλιάριον α.

Λίθων θρυπτικὸν δόκιμον.

Σ κορπίδια θαλάσσια τρία μικρὰ καύσας ὁλόκληρα τὴν τέφραν πότιζε μετὰ κονδίτου.

Ες τὸ στῆσαι κοιλίαν.

Ρ οῦν μετὰ οἴνου καὶ ὀρύζης ἑψήσας καὶ ἀποτριτώσας ἐσθίε. ἢ τράγου ἧπαρ ἑψήσας μετὰ οἴνου αὐστηροῦ δὸς πιεῖν ἢ κηκίδια καύσας λείωσον καλῶς καὶ μίξας στέαρ χοίρειον καὶ τηγανήσας μετὰ ὄξους δὸς φαγεῖν τῷ πάσχοντι. Πεπέρεως στ. α. θερμίων ἀλεύρου. ἤτοι λουπουνακείου. L. γ. καὶ μέλιτος κοχλιάριον α. τὸ κινεῖν ἱδρῶτας καὶ ἀπολύειν πυρετοὺς κάχρυος σπέρμα μετ' ἐλαίου συγχριόμενον. ἢ πύρεθρον μετ' ἐλαίου θερμανθὲν καὶ ἐπιχρισθὲν μετὰ μιᾶς ὥρας τῆς ἐπισημασίας.

πρὸς κυνοδήκτους.

Κ νίδης σπέρμα καταπλασσόμενον. ἢ πρασίας μελαίνης τὰ φύλλα καταπλασσόμενα. ἢ μελισσόφυλλον σὺν οἴνῳ πινόμενον. ὁ τοῖς δήγμασι ἐπιτιθέμενον. ἢ σκόροδα καταπλαττόμενα καὶ ὀπτὰ ἐσθιόμενα. καὶ πινόμενα.

πρὸς λυσσοδήκτα.

Κ υνοδήκτων τοῖς τραύμασι κράμβης φύλλα λεῖα μετὰ σιλφίου καὶ ὄξους ἐπιτιθέσθω, καθ' ἑαυτὴν γὰρ λυττῶντος κυνὸς δῆγμα ὠφελεῖ. καὶ τὸ ἀφέψημα αὐτῆς πινόμενον. ἑφθὴ δὲ κράμβη προσφερομένη. φθισικοὺς θεραπεύει. καὶ τὰς περὶ ἀρτηρίαν διαθέσεις ἰᾶται. λειοτριβηθεῖσα δὲ καὶ καταπλασθεῖσα ἐπὶ σπληνὸς τοῦτον ἀποτήκει.

πρὸς συνάγχην καὶ πόνον τραχήλου.

Λ σῦκα ξηρὰ μέλιτι λειωθέντα καὶ ἐπιχρισθέντα τῷ τραχήλῳ. ἢ καρδάμου πόρον καὶ κόπρον περιστερᾶς σὺν μέλιτι ἐμπλασσόμενον.

πρὸς ἐσωχάδας.

Α μάραντον ἀποβρέξας μεθ' ὕδατος ὀψὲ καὶ πρωῒ πότισον.

Εἰς σπλῆνα κατάπλασμα πάνυ καλόν.

Ε λγνίου. σινήπεως. δαφνίδων κατὰ λόγον κοπανήσας. εἶτα ἐξελὼν φλοιοῦ καρύας νέας κόψον μικρά. εἶτα βάλλε ἐν ὅλμῳ. καὶ κόψον αὐτὸ ἰσχυρῶς. καὶ ἐκβαλὼν ἀπόβρεξον ἐν ὄξει δριμεῖ ἡμέρας τρεῖς. καὶ ἑνώσας ἀμφότερα μετὰ χυλοῦ πεδριάδος ἕψει ἕως γένηται κατάπλασμα καὶ τίθει ἐπάνω τοῦ σπληνὸς ἀπὸ πρωῒ ἕως ἡμέρας η. προκενώσας τὴν γαστέρα καὶ θαυμάσεις.

Ἄλλο πρὸς τῆξιν σπληνός.

Κ αππάρεως ῥίζης γο. γ. ἀσβέστου γο. δ. κόψας καὶ σήσας. καὶ ὄξει μίξας ἐπίθες μὴ πλέον ὥρας μιᾶς. καὶ ὅλον τήκεται. Ἄλλο. Κραμβίου ζωμὸν ἕψει μόνον μετὰ δὲ ὀξυμέλιτος πότιζε νηστικῷ ἢ βάτου ῥίζαν μετ' ὄξους ἀποτριτώσας δίδου πιεῖν ἡμέρας τρεῖς. Ἄλλο. Φλοιοῦ καρύας μετ' ὄξους καὶ μέλιτος ἑψήσας πότισον νηστικῷ. ἢ σίδηρον πυρώσας ἐν οἰνομέλιτι σβέσας, ἐν ποτηρίῳ δὸς πιεῖν καὶ θαυμάσεις.

πρὸς ὀδόντας μέλανας.

Φ οινίκων ὀστᾶ καὶ μαστίχην καὶ μέλι τρίβε τοὺς ὀδόντας ἐπὶ ἡμέρας ζ. καὶ λευκαίνονται.

πρὸς ἕλμινθας.

Θ έρμια καὶ δάφνης φύλλα καὶ χολὴν ταύρου μίξας ἐπίθες ἐπὶ τὸν ὀμφαλὸν τῆς κοιλίας, καὶ ὠφελεῖ.

πρὸς ἐσωχάδας. καὶ ἐξωχάδας.

Α μυλον καὶ πίσσαν καὶ ὕδωρ ζύμης δὸς πιεῖν ἐπὶ ἡμέρας ἑπτὰ μετὰ τὸ ἀποτριτωθῆναι τὸ εἰς τὸ ἕψημα.

πρὸς πόνον ὀδόντων.

Α μπελοβόθρακα κρατήσας τηγάνισον μετ' ἐλαίου καὶ ἔμβαλλε τῷ ὠτίῳ καὶ ὑγιαίνει. πρὸς βδέλλας.

Τ ρίψας ἀειζολοχίαν ἀλάτιζε. πρὸς λιθιῶντας διουρητικόν.

Δ αφνίδων πεπέρεως ἴσα δίδου μύστρον α. μετὰ ὑδρομέλιτος.

Ἄλλο θραῦον λίθους.

Δάφνης φλοιὸν ἀνάζεσον ὕδατι, ἕως ἀπὸ τριτώσεως. καὶ δίδου ῥοφεῖν. Ἄλλο. ὅμοιον τρυγόνος ὀρνέου κόπρον καύσας πάρεχε μετὰ μελικράτου, ποιεῖ γὰρ θρύπτεσθαι τοὺς λίθους.

Πεπειραμένον εἰς λιθιῶντας.

Στρυθίου ῥέου ποντικοῦ κατάρξεως ἀνὰ 𐅵 α'. δίδου σὺν οἴνῳ λευκῷ καθ' ἡμέραν 𐅵 α'. καὶ εὑρήσεις ὑπόστασιν ἐν τῷ οὔρῳ λιθώδη. ἄλλο. ὀρίγανον ἀπόζεσας ἕως ἀπὸ τριτώσεως μεθ' ὕδατος πάρεχε κύαθον ἐκ τοῦ ἀποζέματος πιεῖν.

Εἰς στραγγουρίαν.

Μαράθρου σπέρμα δαφνίδων θηβαϊκῶν ἐξ ἴσου κόψας σὺν εὐκράτῳ δίδου θερμόν.

Πρὸς δυσουρίαν καὶ στραγγουρίαν.

Κόστου μέλιτος. ὕδατος κυάθους β'. δίδου πιεῖν κρατῆρα τὸν μισθὸν παραιτοῦ. ἄλλο. Κυπρίου ἀσιατικοῦ κοχλιάριον α'. μετὰ ἀκράτου δίδου λεῖον ἢ μετὰ μέλιτος. ἔστι γὰρ δόκιμον.

Πρὸς δυσουρίαν.

Πετροσελίνου μακεδονικοῦ κόψας δίδου κοχλιάριον α'.

Πρὸς στραγγουρίαν.

Πολοκύνθην κουπάνησον ξηρὰν ὡς ἄλευρον. καὶ κοχλιάριον μικρὸν μεθ' ὕδατος δὸς πιεῖν.

Πρὸς τοὺς οὐροῦντας εἰς τὰ σταγία.

Λαγωοῦ ἐγκέφαλον σὺν οἴνῳ πότιζον. ἄλλο. φύσαν ὀπτήσας δὸς φαγεῖν ἐπὶ ἡμέρας γ'. ἢ κύπειρον λειώσας πότιζε. ἢ λαγωοῦ ὄρχιν ἐν οἴνῳ εὐώδει χλιαρῷ δὸς πιεῖν.

Πρὸς στραγγουρίαν.

Ἀνδροβολίβανον λαβὼν βράσον μετ' οἴνου πλεῖστον ἐπὶ ἡμέρας τρεῖς πάρεχε πίνειν. λαβὼν ῥαφίδα τὸ θαλάσσιον ὀψάριον καύσας καὶ τὴν σποδιὰν δὸς πιεῖν.

Πρὸς λειχῆνας.

Κέρας ἐλάφου ῥινήσας μετ' ὄξους δριμυτάτου ἀπὸ τριτώσας ἐπάλειφε. Πρὸς ἀγρίας λειχῆνας.

Κεθάλευρον μετ' ὄξους δριμέος ἐμμίξας ἄλειφε ἢ ἀκροσφοδίλου ῥίζαν σὺν ὄξει λειώσας χρῖε συχνῶς ἢ καῦσον λινοῦ πανίον ἐπάνω σιδήρου. καὶ ἄλειφε. ἢ φύλλα καρύας χλωρὰ ἀποζέσας μετὰ πλαστῆς λούε καὶ ἐπὶ ψώρας.

Πρὸς αἰδοίου πόνον καὶ φλεγμονήν.

Κύμινον ἑψήσας πολλά. καὶ λέπυρα ὠῶν ἐπάντλει καὶ θαυμάσεις.

Πρὸς λειχῆνας.

Σκόροδον καὶ θεάφιον ὕδωρ καὶ ἔλαιον σμίξας ἄμφω ἄλειφε.

Κατάπλασμα πρὸς τραύματα πρόσφατα ἀπὸ ξίφους ἢ ξύλου.

Ἰτέας φύλλα τρίψας ἐπίθες. καὶ τὸ αἷμα στήσεις, καὶ τὰ τραύματα παρακολλᾷ. καὶ ὑγιαίνει, ἢ βολβοὺς πρόβατων ἅμα ἐλαίῳ λειώσας κατάπλασον.

Πρὸς δηλητήρια φάρμακα.

Πήγανον καὶ σῦκον, καὶ κάρυον τρίψας πότισον μετ' οἴνου. ἢ τῆς νύσσης τὸ αἷμα ὑγρὸν σὺν ἐλαίῳ πινόμενον σώζει τοὺς πιόντας δηλητήριον φάρμακον. καὶ τοὺς ὑπὸ ἐχίδνης δαχθέντας.

Πρὸς ῥεῦμα ἐν τῷ λαιμῷ.

Χελιδόνας νεοττιὰν λειώσας μετ' ὄξους κατάχριε. Πρὸς μαστῶν γυναικῶν ὄγκους.

Αἰγὸς ἀφόδευμα ξηρὸν μετὰ οἴνου ἀκράτου ἐπίθες, καὶ λύει τὴν φλεγμονήν.

Εἰς λυκοκεφαλίαν.

Χοίρου ἀφόδευμα καύσας, καὶ λαβὼν σποδὸν μίξας μετὰ μέλιτος ξυρήσας τὴν κεφαλὴν ἄλειφε καὶ ἐπίθες ἐπάνω κεραμβης φύλλα.

Βηχικοῖς καὶ ἐκτικοῖς

Στύρακος καὶ κεραμβης χυλοῦ συντρίψας καὶ ζυμώσας δίδου νήστει καὶ εἰς κοίτην. ἢ δαφνελαίου καὶ οἴνου καλοῦ ἀνὰ. στ. γ'. σμίξας καὶ χλιάνας. ἐν λουτρῷ ἔσωθεν. καὶ οἰνελαίου θερμοῦ κέρα καὶ συμπνευμώσας τῷ στομάχῳ. ἄλλο. θερμὸν πυελίαν στακτὴν βρέξας πυελία πόδας τοῦ βήσσοντος, καὶ ἀποσφογγίσας αὐτοὺς ἐπάλειφε καὶ πυελίαζε. οὕτω δὲ βῆχας ἰαθήσεται.

Εἰς βῆχας.

Ῥητίνην συντρίψας μετὰ οἴνου παλαιοῦ πότισον νήστει, καὶ γλήχωνα μετὰ ὀξυκράτου προεψήσας δὸς πιεῖν. ἢ βρονίκην ζυμώσας μετὰ μέλιτος δίδου φαγεῖν. ἢ ῥάφανος ὀπτὴ ἐσθιομένη δίδου πρωῒ καὶ ὀψέ. Βούτυρον ἄναλον καταπινέτω βασιλικοῦ καρύου μέγεθος.

Πρὸς τοὺς ἐν τῷ θώρακι χυμούς.

Κνίδης τὰ φύλλα συνεψηθέντα πτισάνῃ δίδου πίνειν. ποιεῖ δὲ καὶ πρὸς πνευματώδεις, καὶ ἀνάγει τὰ ἐν τῷ θώρακι.

Πρὸς βῆχας.

Τῆλιν ἑψήσας ἕως ὅπου ἀπὸ τριτωθῇ τὸ ζεμάτιον λάβε τὸ πρωῒ μετὰ μέλιτος.

Εἰς καλλιφωνίαν.

Τραγάκανθος ἀποβραχεῖσα ἐν οἴνῳ καὶ ποθεῖσα φωνὴν λαμπρύνει. Πρὸς ἀποκοπὰς φωνῆς.

Στύρακα λειώσας μετὰ ὕδατος ποίει καταπότια ἴσα ὀροβίνθοις. καὶ δίδου τρίτον καὶ εὐθέως λαλήσει.

Αὐξητικὰ πλοκάμων καὶ πώγωνος εἰ ὑπορρέουσι.

Τεῦτλον μετὰ μυρσινελαίου καὶ πολυτρίχου μίξας κατάχριε τὰς τρίχας ἢ ἀδίαντον, καὶ λάδανον ἴσα λειώ

σας μετ' ἐλαίου ὀμφακίνου, ἢ μυρσίνου ἢ σχινίνου ἐπίχει. ἄλλο. Λάδανον ἀποβρέξας σὺν οἴνῳ ἀμιναίῳ καὶ μυρσινελαίῳ λειώσας ἄμφω ποίει πάχος μέλιτος, καὶ ἐπίχει τὴν κεφαλὴν ἐν βαλανείῳ. βέλτιον δέ ἐστι καὶ τὸ ἀδίαντον, ὅ τινες καλοῦσι πολύτριχον τὸ ἕβδομον μέρος λαδάνῳ ἐπίβαλλε καὶ χρίε.

πρὸς ὀδύνας νεφρῶν.

Γ λήχωνι συνεψήθωσαν πίτυρα ἐξ ἀλεύρων, καὶ σακελίσας τὸν ζωμὸν καὶ σπόγγῳ [illegible] βρέξας πυριαζέσθω οὕτως.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΜΕΤΡΩΝ ΚΑΙ ΣΤΑΘΜΩΝ ΔΙΔΑΣΚΑΛΙΑ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ.

† αἱ τὸ δ' ἀγγεῖον

Ὁ σταθμὸς βάρει μετρούμενος, κρίνεται. τὸ δὲ μέτρον, ἀγγείου κοιλότητι. † ἢ ξηροῦ ποσοῦ μέτρον ἐστὶν, ἢ ὑγροῦ ὡς εἶναι τρεῖς τοῦ μετρουμένου ποσοῦ διαφοράς. μίαν μὲν τοῦ σταθμοῦ. ἑτέραν δὲ, τὴν τῆς ξηρᾶς οὐσίας. οἷον χώματος. καὶ τρίτην τὴν τῆς ὑγρᾶς. πολλῶν δὲ καὶ σχεδὸν ἀπείρων ὑπαρχόντων τῶν τε σταθμῶν, καὶ τῶν μέτρων παρά τε τὰς χώρας καὶ τὰ ἔθη τῶν χρωμένων, περὶ τῶν μάλιστα συνήθων ἅπασιν ὁ λόγος ἡμῖν ἔσται. Περὶ τῶν δηλούντων τοὺς σταθμοὺς καὶ τὰ μέτρα χαρακτήρων.

Ἀλλ' ἐπειδή τινες, οὐχ ὁλογραμμάτως, ἀλλὰ διὰ χαρακτήρων ταῦτα σημαίνουσι βέλτιον ἂν εἴη, τοῖς παλαιοῖς κατακολουθοῦντα. πρῶτον τοὺς χαρακτῆρας αὐτοὺς διασαφηνίσαι. πρῶτον μὲν οὖν, τὸ χ̄. στοιχεῖον. ἔχον ἐπικείμενον αὐτῷ τὸ ἄλφα, χαλκοῦν σημαίνει καθὼς ὁρᾷς χ̄ᾱ. εἰ δὲ ὃ ἔχει τὸ χ, χόα χ̄ο. εἰ δὲ, ῡ, χοίνικας χ̄ ει οε υ. χ … χ. τὸ δὲ κ. εἰ μὲν ἔχει ε. ἐπικείμενον αὐτῷ καὶ λοξὴν εὐθεῖαν γραμμὴν τέμνουσαν τὴν κάτω κεραίαν αὐτοῦ, κεράτιον δηλοῖ. Κ'. εἰ δὲ τὸ ῡ. ἔχει τὸ κ̄ κύαθον σημαίνει. Κ''. εἰ δὲ τὸ ō, κοτύλην Κο. ἡ δὲ ἀπροσδιόριστος εὐθεῖα γραμμὴ πλαγία τεθεῖσα ἐπὶ πᾶν, ὀβολὸν δηλοῖ. — εἰ δὲ δύο ἀπροσδιόριστοι, δύο ὀβολούς. ὃ ποιοῦσι τὸ γράμμα δηλούμενοι ὑπό τινος εὐθείας γράφεται. αἱ δὲ δύο γραμμαὶ συνάπτουσαι καθ' ἑκάτερον πέρας. ὥστε γωνίαν ποιεῖν. ἐμφερῶς ταῖς τοῦ κ'. δύο κεραίαις ταῖς πρὸς τὴν ὀρθὴν δραχμὴν σημαίνουσιν ∠. τὴν συνωνύμως, ἣν καὶ ταύτην ὁλκὴν καλοῦμεν ἰδίως δὲ παρὰ παλαιῶν, τὴν ὁλκὴν, τὸ λ̄. δηλοῖ, ἔχον μέσον τὸ ō, λο. ἡμεῖς δὲ καὶ ταύτην, ὁλκὴν καλοῦμεν. εἰ δὲ τὸ ῑ. ἔχει τὸ λ'. λι. σημαίνει. τινὲς δὲ τὴν ἑτέραν τοῦ λ̄. γραμμὴν λοξῶς τέμνοντες, δηλοῦσι τὴν λίτραν. λι. τὸ δὲ γ'. ἔχον οὐγγίαν ἐν ταῖς ἑαυτοῦ γωνίαις. τὸ ō γο. δηλοῖ. γο. τὸ μ'. δὲ ἐπὶ τὸ μέσον ἔχον αὐτοῦ τὸ ῡ. μνᾶν σημαίνει μ̄υ. εἰ δὲ τὸ ῡ. ἔχει τὸ μ̄. μύστρον σημαίνει μ̄υ. εἰ δὲ τὸ ε. μέδιμνον μ̄ε. εἰ δὲ τὸ ō. μόδιον σημαίνει. μ̄ο. τὸ δὲ τὸ τ. ἔχον σὺν αὐτῷ ρ'. καὶ ῡ, ἐπικείμενον τρυβλίον δηλοῖ ἐπικείμενον τὸ ε̄. ξέστην σημαίνει. ξε. εἰ δὲ ō. ἔχει, ὀξύβαφον. ξο. τινὲς δὲ τὸν ξέστην διὰ τοῦ ξ̄. τέμνουσιν αὐτὸ εὐθείας γραμμῆς. δηλοῦσιν ξ̄. τὸ δὲ η̄. ἔχον ἐπικείμενον τὸ μ̄. ἡμίναν δηλοῖ. ημ̄. εἰ δὲ κ. καὶ ρ'. ἐπικείμενον ἔχον τὸ μ'. κεράμιον δηλοῖ κρ'.

περὶ σταθμῶν.

Η μνᾶ ἡ ἀττικὴ καὶ ἡ αἰγυπτία, ἔχει γο. ις'. ἡ μνᾶ ἡ ῥωμαϊκὴ, ἔχει γο. κ'. ἡ λι. ἔχει γο. ιβ'. ἡ δὲ γο. ∠'. κ'. αἵτινες καὶ ὁλκαὶ λέγονται, ἡ δὲ ὁλκὴ, κεράτια ιη. ἡ δὲ δραχμὴ, κεράτια ιη. ἄλλοι δὲ λέγουσιν, ἔχει γράμματα γ'. τὸ γράμμα, ὀβολοὺς β'. ὁ δὲ ὀβολὸς, κεράτια γ'. τὸ δὲ κεράτιον, ἔχει σιτάρια δ'. ἄλλοι δὲ χαλκοῦς δύο δίμοιρον. ὁ γὰρ ὀβολὸς ἔχει χαλκούς.

περὶ μέτρων ὑγρῶν.

Τ ὸ ἰταλικὸν κεράμιον, ἔχει χόας η̄. ὁ χοῦς, ξ̄. ς'. ὁ ξέστης κοχλιάρια β'. ἃ τινες καὶ τρυβλία λέγονται. ἄλλοι δὲ λέγουσιν, ἔχει ὁ ξ̄. σταθμὸν λι. ᾱ. S'. τὸ δὲ τρυβλίον, γο. θ'. τὸν αὐτὸν δὲ σταθμὸν ἔχει τὸ κοχλιάριον. ἡ κοτύλη, ταὐτὸν δὲ εἰπεῖν, ὡς τὸ τρυβλίον. τὸ τρυβλίον δὲ τὸ μικρὸν αγ'. ἔχει μύστρα μεγάλα γ'. ὀξύβαφα δὲ δ'. τὸ γὰρ μέγα μύστρον, ἔχει ὀξύβαφα γ'. τὸ δὲ ὀξύβαφον ἔχει κυάθου τὰ ἥμισυ. ὁ δὲ κύαθος ἔχει χήμας μικράς. ἤτοι. μύστρα μικρὰ β'. εἰ δὲ βούλοιο καὶ τὸν σταθμὸν τῶν ὑγρῶν εἰδέναι μέτρων. πάμπολλαι μὲν, αἱ τῶν ὑγρῶν οὐσιῶν εἰσὶν κατὰ τὴν ῥοπὴν διαφοραί. ὡς ἐπὶ παραδείγματος, ἐλαίου τε καὶ οἴνου καὶ μέλιτος. λέξομεν. τὸ μὲν οὖν μέλι, τοῦ οἴνου βαρύτερον ἐστὶν τέταρτον μέρος. καὶ προσέτι δεκάτῳ. ὅπερ ἐστὶν τὸ ὅλον, σύνεγγυς. τρίτῳ, ἔχει, πόσον ὅλον τὸν τοῦ οἴνου σταθμόν. καὶ προσέτι τὸ τρίτον αὐτοῦ. τοῦ δὲ ἐλαίου τὸ μέλι τῷ ἡμίσει μέρει βαρύ ἐστιν ἔχει γὰρ ὅλον τὸν τοῦ ἐλαίου καὶ προσέτι τὸ ἥμισυ αὐτοῦ. ὁ δὲ οἶνος τοῦ ἐλαίου. ἔνατον μέρος ὑπερέχει. ὅλον γὰρ αὐτὸν ἔχει καὶ τὸ ἔνατον αὐτοῦ πρὸς σαφήνειαν πλείονα. καὶ ὡς ἐν διαγράμματος τῶν κατὰ μέρος μέτρων τὸν σταθμὸν ὑπετάξαμεν. δῆλον καθεστῶτος. ὡς ἐπὶ κοινοῦ πάντων τῶν ὑποκειμένων αὐτοῖς κατὰ τὸν στίχον. τό τε ἔλαιον καὶ ὁ οἶνος καὶ τὸ μέλι καταγορούμενοι κεῖται τὸ ἰταλικὸν ἐλαίου, οἴνου μέλιτος ὁ κεραμὸς, ἔχει λι. οβ'. λι. π'. λίτραν ρη. ὁ χοῦς λίτραν θ'. λι. ι. λι. γ'. ιι. ὁ ξ̄. οὐγγίας. ιη. οὐγγίας. κ'. γο. κζ'. ἡ κοτύλη γο. θ'. οὐγγίας. ι. γο. ιγS'. τὸ μέγα μύστρον οὐγγίας γ'. γρ. ἡ γο. δ S'. τὸ ὀξύβαφον, ὁλκὰς ιη. γο. β'. γράμματα ιβ'. γο. κγ. ὁ κύαθος ὁλκὰς ιβ'. γο. αS'. γράμματα δ'. οὐγγίας β'. ὁλκὰς β'. τὸ μικρὸν μύστρον, ὁλκὰς ς. γράμματα κ'. ὁλκὰς θ. ὁ δὲ ὀριβάσιος φησι, ἐπὶ ἀδαμάντινον τὸν ξ̄. τὸν ἰταλικὸν τοῦ οἴνου, μέτρῳ μὲν ἔχειν γο. κδ'. σταθμῶν δὲ λι. ᾱ. γο. η. τὸν ξ̄. ἐπὶ μέτρου τοῦ μέλιτος ἄγειν σταθμῷ λι. β'. S'.

περὶ

περὶ μέτρων ξηρῶν διδασκαλία σαφής.

Αἰγυπτία ἀρτάβη, ἔχει μόδια ε̄. ὁ δὲ μόδιος ὁ αἰγύπτιος καὶ ὁ ἰταλικὸς ἔχει χοίνικας η̄. ὁ δὲ χοῖνιξ, ξ. β̄. ὁ δὲ ξ. ἡ μίξεστα β̄. ἃ δή, καὶ ἡμίνας προσαγορεύουσι ἡ δὲ ἡμίνα ἔχει κυάθους η̄. ὁ ἀττικὸς μέδιμνος, ἔχει ἡμίεκτα ιβ̄. τὸ δὲ ἡμίεκτον, ἔχει χοίνικας δ̄. ὡς τε τὸν μέδιμνον, ἔχειν μνᾶς μη̄. ξ. ϛ̄ς. τοῦτον δὲ τὸν σταθμόν, εἰπεῖν οὐκ εὔκολον. ὅτι τῶν ὄντων, ἄπειρος ἐστὶν, ἡ περὶ τὴν ῥοπὴν διαφορά, περὶ τὴν τῆς ἰατρικῆς τέχνης διδασκαλίαν. καθὼς οἱ πρὸ ἡμῶν σοφοὶ, ἰατροί τε καὶ διδάσκαλοι ταῦτα ἡμῖν διεσάφησαν θαυμαστῶς.

περὶ σημείων καὶ χαρακτήρων τῶν ἐν ταῖς συσταθμίαις καὶ περὶ σταθμῶν καὶ μέτρων.

Τὴν τῶν σημείων καὶ χαρακτήρων διδασκαλίαν ἀναγκαιοτάτην οὖσαν οὐ πάρεργον ἀναγράψασθαι. ὅπως ταῖς τῶν φαρμάκων σκευασίαις συμβολικῶς εὑρόντες κείμενα, αὐτίκα γνωρίσωμεν τὴν ἐξ αὐτῶν σημαινομένην συσταθμίαν. τὴν οὖν μνᾶν σημαίνει τὸ μ. στοιχεῖον, ἐπικείμενον ἔχον τὸ ν, μ̄. τὴν δὲ λι. τὸ λ̄. ἔχον ὑποκείμενον τὸ ι̅. λι. τὴν δὲ οὐγγίαν. τὸ γάμμα ἔχον ὑποκείμενον τὸ ο̄. Γο. παρ᾽ ἐνίοις δὲ εὗρον τὸ ν̄. ἐπικείμενον ἔχον τὸ ο̄. νο. μ̄. δὲ καὶ ε̄. ἐπικείμενον, μόριος δηλοῖ. μ̄. πλάγιον δὲ λ΄. εἰς μὲν τὰ δεξιὰ τὰς καιραίας νεῦον δραχμὴν δηλοῖ. ∠. εἰς δὲ τὰ εὐώνυμα ἡμίσειαν >. τὸ δὲ ῥωμαϊκὸν σίγμα, παρ᾽ ἐνίοις μὲν τριώβολον, παρ᾽ ἡμῖν δὲ παντὸς σταθμοῦ τὸ ἥμισυ. S. πλάγιον δὲ ἓν μὲν ὀβολόν. ω. δύο δὲ διώβολον. ω. ἔσω δὲ ἐστραμμένον τὸ ἑλληνικὸν σίγμα, ἡμιώβολον Ͻ. ξ̄. δὲ ε̄. ἐπικείμενον ἔχον ξέστην δηλοῖ. ξ. τὸ δὲ κ̄. ἐπικείμενον ἔχον τὸ ῡ. κύαθον Κυ προσκείμενον δὲ τοῦ ο̄. τὸ λ̄. ὁλκὴν Λ. συνωνύμως τὴν καὶ δραχμὴν καλουμένην.

περὶ μέτρων.

Η μνᾶ πρὸς τὸ ἰταλικὸν ἔχει δραχμὰς ρμδ΄. πρὸς δὲ τὸ ἀττικόν, δραχμὰς ρκβ΄. ὥστε τὴν ἰταλικὴν μνᾶν εἶναι λι. μίαν ἡμίσειαν. πρὸς δὲ τὴν ἀττικὴν λι. ά. Γο. γ΄. δραχμάς. δ΄. ἡ οὐγγία ἄγει παρὰ μὲν τοῖς ἀττικοῖς δραχμὰς ζ΄. παρὰ δὲ τοῖς ἰταλικοῖς δραχμὰς δὲ η̄. ἡ δὲ δραχμὴ γράμματα ἔχει γ΄. ἡ δὲ Γο. κδ΄. ἡ λίτρα ἔχει Γο. δώδεκα. ὁλκὰς β΄. τὴν δὲ ὁλκὴν συνωνύμως καὶ δραχμὴν λέγουσι. τὸ δὲ γράμμα ἔχει ὀβολὸν ά χαλκοῦς δ΄. ὁ δὲ ὀβολὸς χαλκοῦς S. ὁ δὲ χαλκοῦς καὶ τὸ κεράτιον παντὸς γράμματος ἐστὶ σμικρότατον πρὸς ἐκπλήρωμα τιθέμενον περὶ σταθμῶν. ὁ μέδιμνος ἔχει ἡμίεκτα ιβ΄. τὸ δὲ ἡμίεκτον χόας μὲν β΄. χοίνικας δὲ ὁ δὲ χοῦς χοίνικας β̄. ξ. η. ὡς ἔχειν τὸν μέδιμνον χοίνικας μβ΄. ξ. ϙϛβ΄. ὁ δὲ χοῖνιξ κοτύλας η̄. ξ. η̄. ὁ δὲ ξέστης κοτύλας β΄. κυάθους ιβ΄. καὶ διὰ τούτων οἱ πλεῖστοι τῶν ἑλλήνων μετροῦσι. παρὰ δὲ τοῖς ἰταλοῖς εὑρίσκεται ὁ χοῦς μέτρῳ μὲν ἔχων ξ. ιϛ̄. κοτύλας ιβ̄. σταθμὸν δὲ ὕδατος ὀμβρίου, ὅπερ ἐστὶν ἀψευδέστατον δραχμὰς ψκ΄. ὁ δὲ χοῖνιξ ἔχει ξ. γ΄. κοτύλας ϛ΄. καὶ οὗτος δὲ παρὰ τοῖς ἀττικοῖς τρύβλιον ὀνομάζεται. τὸ δὲ ὀξύβαφον τέταρτον ἐστὶ τῆς κοτύλης. ἔχει δὲ ὁ ξέστης σταθμῷ δραχμὰς ρκ΄. ἰδίως δὲ ἑλληνικὴ κοτύλη ἡ ἐλαίου, ὁλκὴ λι. ά. ὁ δὲ ξ. λι. β΄. ὁ δὲ ἰταλικὸς λι. ᾱ. Γο. η. τοῦ δὲ οἴνου Γο. θ΄. εἰδέναι δὲ δεῖ ὡς τὰ μέτρα περὶ τὸν σταθμὸν οὐ μετρίως ἐξαλλάσσεται περὶ τὴν τῆς ὕλης διαφοράν.

Εκ τῶν κλεοπάτρας κοσμητικῶν περὶ σταθμῶν καὶ μέτρων.

Η μνᾶ ὄνομα ἔχει σταθμοῦ. ἔχει οὐγγίας ιϛ̄. ∠. ρκη̄. γράμματα τπδ̄. ὀβολοὺς ψξη̄. θέρμους, ᾳνβ. κεράτια ͵βτδ̄. χαλκοῦς ͵ϛρμδ̄. Η ἀττικὴ μνᾶ ἔχει οὐγγίας ιβS̄. ∠. ρ. γράμματα τ. ὀβολοὺς χ. θέρμους ϡ. κεράτια ͵αω̄. χαλκοῦς ͵υω̄. Η πτολεμαϊκὴ μνᾶ ἔχει Γο. ιη̄. ∠. ρμδ̄. γράμματα υλβ. ὀβολοὺς ωξδ̄. θέρμους ͵αϛϛ. κεράτια ͵βφιβ. χαλκοῦς ͵ϛϡιβ. Η λίτρα ἔχει Γο. ιβ. ∠. ϛϛ. γράμματα σπη̄. ὀβολοὺς φοϛ΄. θέρμους. ωξδ. κεράτιον ͵αψκη̄. χαλκοῦς ͵υχη̄ Η οὐγγία ἔχει ∠. η. γράμματα κδ΄. ὀβολοὺς μη̄. θέρμους οβ. κεράτια ρμβδ̄. χαλκοῦς τπδ̄. καλεῖται δὲ ἡ Γο. τετράσσαρον ἰταλικόν. Η δραχμὴ ἔχει γράμματα γ΄. ὀβολοὺς ϛ΄. θέρμους θ΄. κεράτια ιη. χαλκοῦς μη̄. Τὸ ἰταλικὸν δηνάριον ἔχει δραχμὴν ά. δραχμὴ δὲ καὶ ἄλλη ὁμωνύμως καλεῖται αἰγυπτιακή, ἥτις ἕκτον μόριος ἐστὶ τῆς ἀττικῆς δραχμῆς, ἄγουσα ὀβολὸν ά. τὸ γράμμα ἔχει ὀβολοὺς β΄. θέρμους γ΄. κεράτια ϛ΄. χαλκοῦς ιϛ΄. ὀβολὸς ἔχει θέρμον α S΄. κεράτια γ. χαλκοῦς η̄. Τὸ ἡμιώβολον ἔχει κεράτια αϛ. χαλκοῦς δ̄. θέρμος ἔχει κεράτια β̄. χαλκοῦς γ̄. ἀττικὸν δὲ ἡμιώβολον. καὶ ἡμιοβόλου δ̄. πέμπτα. Τὸ κεράτιον ἔχει ἀττικοὺς χαλκοῦς β̄. καὶ χαλκοῦ β̄. πέμπτα χαλκοῦς ἔχει ἡμιωβόλου τὸ δ̄. ὥστε τοὺς τέσσαρας χαλκοῦς ἄγειν ἡμιώβολον. Ο στατὴρ ἄγει ∠. δ̄. καλοῦσι δὲ αὐτὸν τετράδραχμον. καὶ τὸ διπρόσωπον δὲ ὁμοίως ἄγει ∠. δ̄. καὶ τὸ βασιλικὸν κάρυον ὁμοίως ἄγει ∠. δ̄. Χήμη ἡ μεγάλη ἔχει ∠. γ΄. καὶ ἡ μικρὰ ∠. β΄. Ακτάκειον ἔχει ∠. β. κοχλιάρειον ἔχει ∠. ά. Ο κύαθος ἔχει ∠. ι̅ Γο. δ̄. γρ. λ̄. ὀβολοὺς β΄. θέρμους ϛ΄. κεράτια ρη̄. χαλκοῦς υπ̄. ἐστι δὲ ὁ κύαθος κοτύλης τὸ ϛ΄. Η κοτύλη μέτρῳ μὲν ἔχει κυάθους ϛ΄. σταθμῷ δὲ ∠. ξ΄. Γο. ζ. γρ. ρπ̄. ὀβολοὺς τξ̄. θέρμους φμ. κεράτια ͵αω̄. χαλκοῦς ͵βω̄. Τὸ τρίβλιον, τὸ αὐτὸ μέτρον χωρεῖ τῇ κοτύλῃ. ἔχει γὰρ μέτρῳ μὲν κυάθους ϛ̄. σταθμῷ δὲ ∠. ξ. Ο ξέστης μέτρῳ μὲν ἔχει κοτύλας β΄. σταθμῷ δὲ ∠. ρκ. καλεῖται δὲ παρὰ αἰγυπτίοις ὁ ξέστης ἴνιον. Τὸ ὀξύβαφον ἔχει κοτύλης δ΄. κύαθον αS΄. σταθμῷ δὲ ∠. ιε̄. Η κόγχη ἡ μεγάλη τὸ αὐτὸ μέτρον σώζει τῷ ὀξυβάφῳ. ἔχει γὰρ μέτρον μὲν κύαθον αS΄ σταθμῷ δὲ ∠. ιε̄. ἡ δὲ ἐλάττων κόγχη, ἔχει μέτρον μὲν ἡμικύαθον σταθμῷ δὲ ∠. ε. Μύστρον τὸ μέγα ἔχει κοτύλης τὸ ἑκκαιδέκατον ὅ γίνεται ∠. γS΄. τέταρτον. τὸ δὲ μικρότερον, κοτύλης τὸ λβ̄. ὅ γίνεται δραχμαὶ δύο. κερατίου τὸ ἑνδέκατον. Ο χοῦς ἔχει μέτρῳ μὲν κοτύλας ἀττικὰς δώδεκα. ξέστας δὲ ἥμισυ. χοίνικας δὲ δ΄. σταθμῷ δὲ ἔχει ὁ χοῦς ∠. ψκ. Ο χοῖνιξ ἔχει μέτρῳ μὲν κοτύλας τρεῖς, σταθμῷ δὲ ∠. ρπ. ἐν δὲ τοῖς γεωργικοῖς εὗρον τὴν κοτύλην τρίτον ἢ τέταρτον ξέστου. τὸν δὲ χοῦν ξεστῶν θ̄. κοτυλῶν δὲ ιβ. καὶ τὸν ἀμφορέα ξεστῶν λϛ΄. κοτυλῶν μη̄. τὸν δὲ μετρητὴν ξεστῶν οβ. κοτυλῶν ϛϛ΄. τὸν δὲ μέδιμνον ξ. ρβ. κοτυλῶν ρλϛ΄. ὁ δὲ περὶ σύρους μετρητὴς ξ. ϛ. ἰταλικῶν ρκ. τὸ τρίβλιον καὶ τὸ ὀξύβαφον ὁμοίως ἔχουσι κοτύλης τὸ δ̄. ὁ δὲ κύαθος κοτύλης τὸ ϛ̄.

Αλλως περὶ τῶν αὐτῶν.

Μ μνᾶ ἡ ἀττικὴ ἔχει Γο. ιβ΄. ἡ δὲ ἑτέρα Γο. ιϛ΄. ἡ δὲ πτολεμαϊκὴ ἔχει Γο. ιη̄. ἡ λίτρα ἔχει Γο. ι̅β. ἡ Γο. ἔχει ∠. η. ἡ δραχμὴ ἔχει. γρ. γ. τὸ γράμμα ἔχει ὀβολοὺς β̄. ὁ ὀβολὸς ἔχει θέρμον αS΄. ὁ θέρμος ἔχει

κεράτια β. χαλκοῦς δὲ γ. ἢ ε. ἀττικὸν δὲ ἡμιώβολον. καὶ ἡμιωβόλου τέσσαρα πέμπτα τὸ κεράτιον ἔχει ἀττικοὺς χαλκοῦς β. καὶ χαλκῶν β. πέμπτα. ὁ χαλκοῦς ἔχει ἡμιωβόλου τὸ τέταρτον. ὡς τε τοὺς τέσσαρας χαλκοῦς ἄγειν ἡμιώβολον. ὁ στατὴρ ἄγει L. δ. καλοῦσι δὲ αὐτὸν τετράγραμμον. καὶ τὸ διποντιον δὲ L. δ. καὶ τὸ βασιλικὸν δὲ κάρυον ὁμοίως ἄγει L. δ. ἡ χήμη ἡ μεγάλη ἔχει L. δ. ἡ μικρὰ L. β. τὸ ἀσσάριον ἔχει L. β. τὸ κοχλιάριον L. α.

περὶ μέτρων καὶ σταθμῶν ἱπποϊατρικῶν.

Γο. ἔχει L. η. ἡ δραχμὴ ἔχει γρ. γ. ὀβολοὺς ς. ἡ κοτύλη ἔχει Γο. ιβ. ὀξύβαφα δύο. τὸ δὲ ὀξύβαφον κυάθους γ. κύαθος ἔχει μύστρα δ. κοχλιάριον δὲ ἐστι μύστρου τὸ ἥμισυ. τὸ δὲ ὀξύβαφον ποιεῖ Γο. ς. ὁ κύαθος ποιεῖ Γο. β. τὸ μύστρον ποιεῖ Γο. τὸ ἥμισυ. τὸ κοχλιάριον ποιεῖ γρ. ς. ἡ δραχμὴ ποιεῖ γρ. γ. ὁ ὀβολὸς ποιεῖ γράμμα. τὸ σίκλιον ἔχει Γο. τὸ S. ὁ κύαθος μύστρας δ. ὡς εἶναι τὸ μύστρον Γο. τὸ S. τὸ δὲ μύστρον κοχλιάρια β. ὡς εἶναι τὸ κοχλιάριον Γο. δ. ἡ μνᾶ ἔχει Γο. ιε. ὁλκὰς ρι. βS. ἡ λίτρα ἔχει ὁλκὰς ς. τὸ δὲ δηνάριον ἔχει γράμματα δ.

περὶ μέτρων ὑγρῶν.

Τὸ ἰταλικὸν κεράμιον ἔχει χοὰς η. ὁ χοῦς ἔχει ξέστας ς. ὁ ξέστης κοτύλας β. αἳ καὶ τρίβανα λέγονται. ἡ κοτύλη τὸ αὐτὸ ἔχει. τὸ τρίβανον ἔχει μύστρα μεγάλα γ. ὀξύβαφον δὲ δ. τὸ μέγα μύστρον ἔχει ὀξύβαφον α. τὸ ὀξύβαφον ἔχει κυάθους αS. ὁ δὲ κύαθος ἔχει μνᾶς μικρὰς ἤτοι μύστρα μικρὰ β.

ἰταλικὸν	ἐλαίου	οἴνου	μέλιτος
Τὸ κεράμιον ἔχει	λι. οβ.	λι. π.	λι. ρκ.
ὁ χοῦς	λι. θ.	λι. ι.	λι. ιγS.
ὁ ξέστης.	Γο. ιη.	Γο. κ.	Γο. κζ.
ἡ κοτύλη	Γο. θ.	Γο. ι.	Γο. ιγS.
τὸ μέγα μύστρον	Γο. γ.	Γο. γ. . η. γρ.	Γο. δS.
τὸ ὀξύβαφον	L. ιη.	Γο. β. γρ. *	Γο. γS.
τὸ μικρὸν μύστρον	L. ις.	γρ. κ.	L. θι.
ὁ κύαθος	Γο. αS.	L. ιβ. ὀ. ι. ιι. θ.	L. ιγ. ὀ. ι. ιι. ι.

Διοσκορίδου περὶ μέτρων καὶ σταθμῶν.

Ἐγὼ φίλτατε, περὶ σταθμῶν καὶ μέτρων οὕτως ἠκρίβωσα ἀπὸ τῶν ἐλαχίστων ἀρξάμενος, ἐπὶ τὴν μνᾶν πολυπλασιάζων ἀνῆλθον. τὸ κεράτιον τὸν αὐτὸν σταθμὸν ἔχει τῷ χαλκῷ. ὁ δὲ ὀβολὸς, χαλκοῦς ἔχει τρεῖς. ὅθεν τὸ ἡμιωβόλιον ἔχει σταθμῷ κεράτιον ἓν ἥμισυ. γράμμα ἄγει ὀβολοὺς δύο. τουτέστι χαλκοῦς ἕξ. ἡ δὲ δραχμὴ ἡ καὶ ὁλκὴ ἄγει γράμματα τρία. τουτέστιν ὀβολοὺς θ. ἡ δὲ Γο. ἔχει L. η. γρ. κδ. ἡ λίτρα δὲ ἔχει Γο. ιβ. L. δὲ ςς. ἡ μνᾶ, κατὰ μὲν τὴν ἰατρικὴν χρῆσιν, ἄγει Γο. ις. τουτέστιν ὁλκὰς ρκη. κατὰ δὲ τὴν ἰταλικὴν μνᾶ, Γο. ιη. τουτέστι λίτραν μίαν ἡμίσειαν. L. δὲ ρμδ. ἡ δὲ ἀλεξανδρινὴ μνᾶν ἄγει Γο. κ. τουτέστιν ὁλκὰς ρξ.

περὶ μέτρων ὑγρῶν οἴνου.

Τὸ κεράμιον ἄγει λι. π. ἡ δὲ οὔρνα λι. μ. ὁ χοῦς τουτέστι τὸ κόγγιον, ἔχει λι. ι. τὸ ἡμικόγγιον ἔχει λι. ε. ὁ ξέστης ἔχει λίτραν μίαν, Γο. η. ἡ μνᾶ τουτέστι ἡμικοτύλη, Γο. ι. τὸ ὀξύβαφον ὅπερ ἐστὶ τέταρτον κοτύλης α. ἄγει Γο. β. S. ὁ δὲ κύαθος ὅπερ ἐστὶν ἕκτον κοτύλης, ἄγει Γο. α. ἡμίσειαν γράμματα δ. ἡ δὲ χήμη ἐστὶ κυάθου τέταρτον. δὲ L. γ. γράμμα ἕν, ὁ αὐτὸς δὲ σταθμός ἐστι τοῦ ὕδατος καὶ ὄξους. φασὶ δὲ τούτου ὀμβρίου ὕδατος πληρωθεῖσαν ἀψευδέστατον εἶναι τὸν σταθμὸν, ἄγει δὲ ὁλκὰς ψκ. τὸν χοῦν. περὶ ἐλαίου τὸ κεράμιον ἔχει λι. οβ. ἡ οὔρνα ἔχει λι. λς. τὸ κόγγιον ἔχει λίτρας θ. τὸ ἡμικόγγιον λι. δ. S. ὁ ξέστης ἔχει λι. α. S. ἡ μίνα τουτέστιν ἡμικοτύλη Γο. θ. τὸ τέταρτον ἔχει Γο. δ. S. τὸ ὀξύβαφον, ὅπερ ἐστὶ κοτύλης τέταρτον, ἄγει Γο. β. S. ὁ δὲ κύαθος ὅπερ ἐστὶν ἕκτον κοτύλης, ἄγει Γο. α. S. ἡ χήμη κυάθου τέταρτον, ἄγει δραχμὰς γ.

περὶ μέλιτος.

Τὸ μέλιτος τὸ κεράτιον ἔχει λι. ρκ. ἡ οὔρνα ἔχει λίτρας ξ. τὸ κόγγιον ἔχει λίτρας ιε. τὸ ἡμικόγγιον ἔχει λίτρας ζ. S. ὁ ξέστης ἔχει λι. β. S ἡ μίνα ἔχει λίτραν α. Γο. γ. τὸ τέταρτον ἔχει Γο. ζ. S. τὸ ὀξύβαφον ἔχει Γο. γ. S. L. β. ὁ κύαθος δὲ ἔχει Γο. β. S. ἡ δὲ χήμη ὅπερ ἐστὶ κυάθου τέταρτον, ἄγει L. ε

περὶ μέτρων.

Μέδιμνος ἔχει ἡμίεκτον. τὸν δὲ ἡμίεκτον, χοῦς δύο, ὁ δὲ χοῦς, χοίνικας τέσσαρας, ὁ δὲ χοῖνιξ κοτύλας ἀττικὰς ἄγει τρεῖς. σταθμῷ δὲ ἔχει ὁλκὰς ρ. ω. ὁ δὲ χοῦς, ἐστὶ μὲν μέτρῳ κοτυλῶν ἀττικῶν ιβ. σταθμῷ δὲ ἄγει L. ψκ. ὁ δὲ ξέστης μέτρῳ μὲν κοτυλῶν β. σταθμῷ δὲ L. ρ. κ. ἡ δὲ κοτύλη ἔχει κυάθους ἕξ σταθμῷ δὲ L. ξ. τὴν δὲ κοτύλην οἱ ἀττικοὶ, καὶ τρυβλίον ὀνομάζουσι. τὸ ὀξύβαφον, μέτρῳ μὲν κοτύλης τέταρτον ὅπερ ἐστὶ κύαθος εἷς ἥμισυ. σταθμῷ δὲ δραχμὰς ιε. ὁ κύαθος ἐστὶ L. ι. ἡ δὲ χημὴ, ἐστὶ κυάθου τέταρτον L. β. S. τὸ μέγα μύστρον, κοτύλης ἐστὶν, ὀκτὼ καὶ δέκατον. ἄγει δραχμὰς γ. γράμμα α. τὸ δὲ μικρὸν, κοτύλης, εἰκοστὸν τέταρτον ἄγει L. β. S. τὸ δὲ δικαιότατον μύστρον, γράμματα ἔχει ὀκτώ. τὸ δὲ κοχλιάριον γράμματα ἔχει τρία. τοῦ βασιλικοῦ καρύου τὸ μέγεθος, L. ἄγει ἑπτὰ, τοῦ δὲ ποντικοῦ, L. α. τὸ δὲ τῆς βαλάνου δραχμῆς ἥμισυ. τὸ δὲ τοῦ αἰγυπτιακοῦ κυάμου, ἔχει ὀβολὸν καὶ ἥμισυ. τοῦ ὀρόβου, χαλκοῦς β.

Περὶ μέτρων καὶ σταθμῶν.

Τῶν σταθμῶν καὶ μέτρων διδασκαλίαν, καὶ τὴν τῶν σημείων τῶν ἐν αὐτοῖς ἔκθεσιν ἀναγκαίαν οὖσαν, ἀνεγραψάμην ἵν᾽ ἔχοις ἄπταιστον, τὴν ἐν τοῖς βοηθήμασιν εὕρεσιν. τὴν οὖν μνᾶν δηλοῖ ἐπὶ τόνων. στοιχεῖον τὸ ν΄. μ΄. τὴν δὲ λίτραν, τὸ λι. ἔχον ὑποκείμενον τὸ ι. λι. τὴν δὲ ξέ. τὸ γ΄. ἔχον ὑποκείμενον. ἢ ὑπερκείμενον τὸ ο. ξέ. παρ᾽ ἐνίοις δὲ εὕρον ξέ. τὸ ν΄. ἐπικείμενον τὸ ξο. τὸ δὲ μ΄. ἐπικείμενον ε. μέρος δηλοῖ μ. πλάγιον δὲ λ΄. τὰς κεραίας ἔχον, δραχμὴν δηλοῖ ∠. εἰς δὲ τὰ σύνωνυμα, ἡμισίαν. τὸ δὲ ῥωμαϊκὸν, S΄. παρ᾽ ἐνίοις μὲν τριόβολον. παρ᾽ ἡμῖν δὲ παντὸς σταθμοῦ τὸ ἥμισυ. πλάγιον δὲ ι. ὀβολῶν.

ΠΕΡΙ ΜΕΛΑΓΧΟΛΙΑΣ ΕΤ ΤΩΝ ΓΑΛΗΝΟΥ ΚΑΙ ΡΟΥΦΟΥ, ΚΑΙ ΑΠΟ ΣΙΚΑΜΙΟΥ ΤΟΥ ΑΕΤΙΟΥ.

ΩΣΠΕΡ ἐν τοῖς φαινομένοις μέλεσι τοῦ σώματος, ἐνίοτε μὲν ἅπασιν ἡ αὐτὴ φαίνεται κρᾶσις, ὡς ἐν καχεκταῖς τε καὶ τοῖς καλουμένοις ἐλέφαντα καὶ τοῖς ὑδέροις. ἐνίοτε δὲ ἔν τι μόριον ἤτοι πικρόχολον, ἢ μελαγχολικὸν, ἢ φλεγματικὸν, ὑποδεχόμενον χυμὸν, αὐτὸ μόνον ἐξαλλάττεται τὴν κρᾶσιν. οὕτως ἐγχωρεῖ καὶ τὸν ἐγκέφαλον, ἐνίοτε μὲν παντὸς τοῦ κατὰ τὰς φλέβας αἵματος μελαγχολικοῦ γενομένου τῷ κοινῷ λόγῳ τῆς βλάβης καὶ τὸν ἐγκέφαλον βλαβῆναι. καθ᾽ ἕτερον δὲ καιρὸν ἀπαθοῦς διαμένοντος τοῦ καθ᾽ ὅλον τὸν ἄνθρωπον αἵματος ἀλλοιωθῆναι τὸ κατὰ μόνον τὸν ἐγκέφαλον καὶ συμβαίνει τοῦτο διττῶς, ἢ ῥυέντος εἰς αὐτὸν ἑτέρωθεν. ἢ γεννηθέντος ἐν τῷ τόπῳ τοῦ μελαγχολικοῦ χυμοῦ. γεννᾶται δὲ ὑπὸ θερμασίας πολλοῖς ἐγχωρείας κατόπτωσις. ἢ τὴν ξανθὴν χολὴν, ἢ τὸ παχύτερον τε καὶ μελάντερον αἷμα. ὡς ἐπίπαν δὲ τὰ κατὰ ὑποχόνδρια μέρη προπαθοῦντα εἰς συμπάθειαν ἄγει τὴν κεφαλὴν καὶ τὴν παραφροσύνην ἐργάζεται, ἤτοι αὐτῆς τῆς χολῆς καταλαβούσης τὸν ἐγκέφαλον, ἢ τινὸς ἀναθυμιάσεως ἀτμοῦ μελαγχολικοῦ καθάπερ ἐν τῷ νοσήματι τῷ φυσώδει καὶ ὑποχονδριακῷ προσαγορευομένῳ. οὐδὲν γὰρ παρεμποδὼν γίγνεται τῷ λόγῳ. ἑτέρωθεν, καὶ ἐξ ἄλλου μορίου εἶναι τὴν ἀρχὴν καὶ γένεσιν τοῦ πάθους. ῥαδίως γὰρ τὸ στόμα τῆς γαστρὸς ὁπηνίκα πάσχον, εἰς συμπάθειαν ἄγει τὸν ἐγκέφαλον τῇ συγγενείᾳ διὰ τῶν καθηκόντων, εἰς αὐτὸν ἄνωθεν μεγίστων δύο νεύρων. εἰς συμπάθειαν δὲ ἄγει καὶ τὴν καρδίαν τῇ γειτνιάσει. ὁμοίως δὲ καὶ τὸ διάφραγμα ᾧ καὶ συμπέφυκε. κοινωνία δὲ ἐστὶ τῷ στομάχῳ καὶ πρὸς τὸν νωτιαῖον καθ᾽ ὃ μέρος καὶ ἔγκειται καὶ συνδέδεται τοῖς τῆς ῥάχεως σπονδύλοις. ἀρχὴ τοίνυν τῆς τοιαύτης μελαγχολίας. ὡς ἐπίπαν ἐξ ἀπεψίας γίνεται. φῦσαι γὰρ αὐτοῖς ἐπιγίγνονται πολλαὶ καὶ ἐπὶ τῷ τυχόντι σιτίῳ μετέωροι, καὶ περὶ τὰ ὑποχόνδρια ἐπὶ πολὺ διατρίβουσαι ἐρυγαὶ ὀξώδεις καὶ βρομώδεις καὶ οἷον ἰχθυώδεις αὐτοῖς ἐπιγίνονται, μηδενὸς τοιούτου ἐδηδεσμένου. ξηραὶ ὡς ἐπίπαν αὐτοῖς αἱ κοιλίαι ὕπνοι μικροὶ διεσπαρμένοι ἐνύπνια ταραχώδη καὶ ἀλλοκότατα παλμοὶ ἄλλοτε ἄλλη τοῦ σώματος. ἴλιγγοι τῆς κεφαλῆς καὶ πνευμάτων ἦχοι κατὰ τὰ ὦτα. δοκεῖ δὲ τοῖς μὲν αὐτῶν κενὴ καὶ βαρεία εἶναι ἡ κεφαλή. τοῖς δὲ κενὴ καὶ ἡ κούφη τοῖς δὲ ξηρά. ἤδη δὲ τις οὐδὲ τὴν κεφαλὴν ἔχειν τὸ παράπαν ᾤετο πρὸς ὃν ἐξευρεῖν ὁ Φιλότιμος λέγεται πρὸς τῇ ἄλλῃ θεραπείᾳ τὸν πῖλον τὸν μολίβδινον ἀφ᾽ οὗ βαρυνόμενος συνίει τῆς κεφαλῆς. γίγνονται δὲ οἱ πολλοὶ τῶν μελαγχολικῶν, καὶ ἀκόλαστοι πρὸς ἀφροδίσια τὴν γνώμην. ἐπίλυποι καὶ δειλοὶ καὶ ἐλεήμονες καὶ δακρυτικοὶ, καὶ διώκουσι τὰ εὑρήματα. τινὲς καὶ δαίμονας ἀπὸ γοητειῶν τῶν ἐχθρῶν ἐπηχθαι αὐτοῖς ὑπολαμβάνουσιν. ἕτεροι δὲ δηλητήριον φάρμακον εἰληφέναι πιστεύουσι. καὶ βεβαίαν αὐτῶν τὴν ὑποψίαν ἐργάζονται, αἱ συνεδρεύουσαι αὐτοῖς βρομώδεις, καὶ ἀλλόκοτοι ἐρυγαὶ, δοκεῖ δὲ ἄλλοις ἄλλα, καὶ ἐστὶν ἡ νόσος παντοδαπὴς, καὶ οὐκ εὐαρίθμητος. οἷον αὐτίκα περὶ τοὺς φόβους, ὁ μὲν, δέδοικε τοὺς φιλτάτους. ὁ δὲ ὅλους ἀνθρώπους. καὶ ὁ μὲν δέδοικεν εἰς φῶς εἶναι, τὰ δὲ σκοτεινὰ διώκει. ὁ δὲ φεύγει τὰ ζοφώδη. οἱ πλείους μὲν τοι ἐν σκοτεινοῖς τόποις χαίρουσι διατρίβειν καὶ ἐν μνήμασι καὶ ἐν ἐρήμοις. ἔνιοι δὲ καὶ τὸ ὕδωρ δεδοίκασι καὶ οἶνον καὶ ἔλαιον, καὶ πᾶν ὑγρὸν ὁτιοῦν. ὥσπερ οἱ δηχθέντες ὑπὸ λυσσῶντος κυνὸς καὶ συντόμως εἰπεῖν, αἱ μελαγχολικαὶ παράνοιαι, πολυειδεῖς μὲν εἰσὶ, ταῖς κατὰ μέρος ὑπόλοις φαντασίαις, ἐν δὲ αὐταῖς ὑπάρχει κοινὸν ὁ φόβος καὶ ἡ δυσθυμία. δυσθυμοῦσι μὲν γὰρ πάντες ἀλόγως οὐδ᾽ ἂν ἐρωτήσεις ἔχοντες εἰπεῖν ἐφ᾽ ὅτι λυποῦνται δεδίασι τε ἐξ αὐτῶν οὐκ ὀλίγοι θάνατον καὶ ἕτερα τινὰ μηδενὸς ἄξια δείματος. εἰσὶ δὲ οἱ καὶ σφοδρῶς ἐπιθυμοῦσι θανάτου. τὸ μὲν οὖν ἐπὶ τῇ μελαίνῃ χολῇ καταλαβούσῃ τὰς ἀρχὰς τῆς λογικῆς ψυχῆς φόβους τε γίγνεσθαι, καὶ δυσθυμίας καὶ θανάτου προσδοκίας οὐδὲν θαυμαστόν. ὁρῶμεν γὰρ καὶ τῶν ἔξωθεν τοῦ σώματος, οὐδὲν οὕτως ἡμῖν φοβερὸν, ὡς τὸ σκότος. ὅταν οὖν ζόφος τις περιχυθῇ τῷ λογικῷ μορίῳ τῆς ψυχῆς ἀναγκαῖον ἀεὶ φοβεῖσθαι τὸν ἄνθρωπον, ὡς ἂν τὴν αἰτίαν τοῦ φόβου συμπεριφέροντα τῷ σώματι. ὡς γὰρ ἐν σκότῳ βαθεῖ τὰ παιδία φοβεῖται, καὶ τῶν τελείων οἱ ἀπαίδευτοι, οὕτω καὶ τῆς μελαίνης χολῆς τὸ χρῶμα παραπλησίως σκότῳ τὸν φρονοῦντα τόπον ἐπισκιάζων ἐργάζεται τοὺς φόβους. πάντων μὲν οὖν τῶν προειρημένων ἑκάστου συμπτωμάτων, τὰς αἰτίας εἰπεῖν ἀδύνατον. ἀγνοίαν γὰρ πολλὴν ἔχει τὰ πλεῖστα, οἷον διὰ τί τὰ μὲν φεύγουσιν ὡς δεινὰ μὴ ὄντα δεινά. τὰ δὲ διώκουσιν ὡς χρηστὰ, μὴ ὄντα χρηστὰ, καὶ διὰ τί ὁ μὲν τοὺς οἰκείους φοβεῖται. ὁ δὲ ὅλους ἀνθρώπους καὶ τὰ τοιαῦτα. τῶν πλείστων δὲ συμπτωμάτων εἰπεῖν τὰς αἰτίας τῷ ἰατρῷ οὐ χαλεπὸν, οἷον δοκῶν ἑαυτὸν κέραμον εἶναι, διὰ τὴν ξηρότητα τοῦτο πάσχει. ψυχρὸν γὰρ καὶ ξηρὸν, ὁ μελαγχολικὸς χυμὸς, ὁμοίως καὶ ὁ τὸ ἑαυτοῦ δέρμα δοκῶν εἶναι ταῖς ξηραῖς διφθέραις ὅμοιον. ὁ δὲ οἰόμενος μὴ ἔχειν κεφαλὴν, ἴσως διὰ κουφότητα τῆς κεφαλῆς τοῦτο ὥσπερ. τὴν δὲ κουφότητα τὸ ἀναφερόμενον πνεῦμα παρέχειν αὐτῇ. διὰ τί δὲ οἱ μελαγχολικοὶ, πλειόνων σιτίων ὀρέγουσιν ἢ ὅτι

ψύχεται αὐτοῖς τὸ στόμα τῆς γαστρός; διατί δὲ ἔνιοι αὐτῶν οἰνοπόται. ἢ ὅτι τὸ ψυχρὸν θερμανθῆναι χρήζει. διὰ τί δὲ ἀποκτείνουσι σφᾶς αὐτούς, ἢ ὅτι μειζόνων κακῶν ὑπολαμβάνουσιν ἀπαλλάττεσθαι; εἰ μὴ ἄρα δόξα τοιαύτη ὑπογίγνεται αὐτοῖς ὅτι τὸ ἀποθνήσκειν ἐστὶ καλόν, ὥσπερ τῶν Βαρβάρων ἐνίοις. διατί δὲ ἀπεψίαι συνεχεῖς αὐτοῖς γίγνωνται, ἢ ὅτι θολερὸν καὶ περιττωμάτων μεστόν ἐστιν αὐτῶν τὸ σῶμα, καὶ διὰ τοῦτο καὶ δύσκρατος ἡ γαστὴρ ψυχομένη διαπαντὸς ἐκ τοῦ μελαγχολικοῦ χυμοῦ. διὰ τί δὲ αἱ κοιλίαι αὐτοῖς ὡς ἐπίπαν ξηραίνονται, ἢ ὅτι τὸ πνεῦμα τοῖς ἄνω περὶ τὰ ὑποχόνδρια περιΐσταται, καὶ οὐ πάνυ κάτω διαχωρεῖ. ἀνάγκη τοίνυν διὰ τοῦτο καὶ τὰς γαστέρας εἶναι ξηράς, ἐκ δὲ τῆς πολλῆς ἐπιρρίψεως ἀθρόα ποτὲ καὶ περιττετηκότα διαχωροῦσι. σκαρδαμύκται δὲ καὶ ὀξόφθαλμοι καὶ παχύχειλοι. ὡς ἐπίπαν γίγνονται διὰ τὸ παχὺ πνεῦμα. μελάγχροι δὲ διά τε φύσιν τοῦ χυμοῦ. δασεῖς δὲ οἱ πλείους αὐτῶν διὰ τὸ πλῆθος τῶν παχέων περιττωμάτων. ταχύγλωσσοι δὲ ὡς ἐπίπαν εἰσὶ τραυλοὶ καὶ ἰσχνόφωνοι, διὰ τὸ ἀκρατὲς τῆς γλώσσης. αἱ γὰρ συντονίαι τῆς κινήσεως κατὰ τὸ πνεῦμα γίγνονται. καὶ πᾶν δὲ τὸ συντόνως κινηθὲν ἀπορρεῖ ταχέως. εὐπετὲς μὲν διὰ βουλομένῳ καὶ τῶν λοιπῶν συμπτωμάτων ἀποδοῦναι αἰτίας ἐκ τούτων ὁρμώμενον. μελαίνεται δὲ ὁ χυμὸς οὗτος, ποτὲ μὲν ὑπερθερμαινόμενος, ποτὲ δὲ ὑπερψυχόμενος. οἷον γάρ τι πάσχουσιν οἱ καιόμενοι ἄνθρακες, διαυγέστατοι μένοντες τῇ φλογί, σβεννυμένης δὲ τῆς φλογός, μελαίνονται, τοιοῦτόν τι καὶ ἡ ψύξις περὶ τὸ φαιδρὸν χρῶμα τοῦ αἵματος ἐργάζεται. ὁρῶμεν γὰρ κἀπὶ τῶν ἐκτὸς πελιδνὰ γινόμενα τινὰ τῶν σωμάτων, καὶ μελαινόμενα ὑπὸ ψύξεως. ἡ δὲ ὑπερβολὴ τοῦ θερμοῦ πάλιν ξηράνασα καὶ δαπανήσασα τὰς ὑγρότητας, ὑφ᾽ ὧν τρέφεται τὸ θερμόν, μελαίνει τοὺς χυμούς, ὥσπερ καὶ ὁ ἥλιος τοὺς καρπούς, καὶ τὰ τῶν ἀνθρώπων σώματα. τὰ μὲν οὖν περὶ τῆς θεραπείας εἰς τοσοῦτον διεγνωκέναι τὸν ἰατρόν, ἃ δ᾽ ἄν τις ἔχει βοηθεῖν τοῖς οὕτω νοσοῦσιν, ἤδη καιρὸς τίθεσθαι. διαφέρει δὲ εἰς τὴν θεραπείαν, ὡς μηκέτι εἰδέναι. ὅθεν τὴν ἀρχὴν ἔχει τὸ νόσημα. ὅταν μὲν γὰρ ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχει ὅλον τὸ αἷμα τὴν ἀρχὴν τῆς θεραπείας ἀπὸ φλεβοτομίας ποιεῖσθαι προσήκει. ὅταν δὲ τὰ περὶ μόνον τὸν ἐγκέφαλον, οὐ χρήζει φλεβοτομίας ὁ κάμνων. μὴ τί γε πολύαιμος εἴη, καὶ χάριν περὶ φυλακῆς τὴν ἄφεσιν ποιούμεθα. ἔστι δὲ οὖν διάγνωσις ἀπὸ τῶν τότε σοι γινέσθω πότερον ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχει τὸ αἷμα, ἢ καὶ τὸν ἐγκέφαλον μόνον ἤθροισθαί τι τοιοῦτον, οἱ μὲν μελάντεροι, καὶ δασεῖς καὶ φλέβας εὐρείας ἔχοντες, ἐπιτηδειότατοι πρὸς τὴν τοῦ μελαγχολικοῦ χυμοῦ γένεσιν, ἔσθ᾽ ὅτε τε καὶ οἱ ἐρυθροὶ τὴν χρόαν ἄνθρωποι καταπίπτουσιν ἀθρόως εἰς τὴν μελαγχολικὴν κρᾶσιν. ἐφεξῆς αὐτῶν οἱ ξανθοί, καὶ μάλιστα ὅταν ἀγρυπνίαις καὶ πόνοις πλείοσι, καὶ φροντίσι καὶ λεπτῇ διαίτῃ, ἢ μελαγχολικοῖς ἐδέσμασι διῃτημένοι τύχωσιν ὄντες. πρὸς τούτοις εἰ ἐπίσχεται τις αἱμορροῒς ἐν ἕδρᾳ, ἢ ἄλλη τις συνήθης κένωσις αἵματος ἢ καταμήνια ταῖς γυναιξίν, οὐ μικρὰ δὲ συντελεῖ καὶ ἡ ὥρα τοῦ ἔτους καὶ ἡ κατάστασις τοῦ ἀέρος καὶ τὸ χωρίον ἥ τε τοῦ κάμνοντος ἡλικία καὶ τὸ ἐπιτήδευμα. ταῦτα δὴ πάντα προδιασκεψάμενος, ὅταν ἐλπίσῃς ἐν ταῖς καθ᾽ ὅλον τὸ σῶμα φλεψὶ μελαγχολικὸν αἷμα περιέχεσθαι τὴν βεβαιοτάτην ἐπαγάγῃ διάγνωσιν, ἐκ τοῦ τέμνειν τὴν κατ᾽ ἀγκῶνα φλέβα. βέλτιον δὲ τὴν μέσην τέμνειν. εἶτα εἰ μὴ φαίνοιτο μελαγχολικὸν εἶναι τὸ ῥέον αἷμα, ἐπίσχειν εὐθέως. εἰ δὲ τοιοῦτον φαίνοιτο κενοῦν ὅσον ἂν ὑποβάλῃς αὐταρκὲς ἔσεσθαι τῇ τοῦ κάμνοντος σώματος ἕξει.

Τρίτη διαφορά.

Η δὲ τρίτη διαφορὰ τῆς μελαγχολίας ἧς τὴν ἀρχὴν ἀπὸ τῆς κοιλίας ἴσχειν λέγομεν, ὑποχονδριακὸν πάθος ὀνομαζομένη, διαγινώσκεται ἐκ τῶν προειρημένων πολλάκις. πρῶτον γὰρ ἄρχεται περὶ τὰ γαστέρα συμπτώματα. οἷον ἐμπνευματώσεις, βορβορυγμοί, ἐρυγαὶ ὀξώδεις, καὶ βρομώδεις καὶ τὸ ἐπιξηραίνεσθαι τὴν γαστέρα καὶ τὸ ἐπὶ ταῖς διαχωρήσεσι καὶ τοῖς ἐμέτοις καὶ ταῖς ἐρυγαῖς ἐπικουφίζεσθαι. καὶ τὸ τοῦ κάμνοντος αὐτοῦ συναισθάνεσθαι τῶν ὀχληρῶν πάντων, περὶ τὰ ὑποχόνδρια συνεδρευόντων. ὥσπερ οὖν τισὶ πολλάκις ἀναφερομένης ἐκ τῆς γαστρὸς αἰθαλώδους τινός, ἢ καπνώδους ἀναθυμιάσεως, ἢ ὅλως ἀτμῶν τινῶν παχέων. ὅμοια τοῖς τῶν ὑποχεομένων δοκεῖ φαίνεσθαι πρὸ τῶν ὀφθαλμῶν, κατὰ τὸν αὐτὸν λόγον καὶ νῦν, ἐπὶ τὸν ἐγκέφαλον ἀναφερομένης τῆς μελαγχολικῆς ἀναθυμιάσεως. οἷον αἰθάλη ἢ καπνὸς τὰ μελαγχολικὰ γενήσεται περὶ τὴν διάνοιαν συμπτώματα. ὅταν μὲν οὖν τὰ τῆς μελαγχολικῆς παρανοίας ἴδια σημεῖα φαίνηται μεγάλα. περὶ δὲ τὴν κοιλίαν ἤτοι μηδὲν ἐνοχλεῖν ἢ εἰς μικρότατον, τοῦτον εἶναι ἢ τὸν ἐγκέφαλον ἡγητέον. ἐπὶ τούτων πρώτως παθεῖν, καθὼς προείρηται.

Θεραπεία Γαληνοῦ εἰς μελαγχολικὸν βοήθημα τὸ δι᾽ ἀμαράκου εἰς ὑποχονδριακὴν κάθαρσιν* μετὰ ταύτην.

Την μὲν οὖν ἐξ ἐγκεφάλου πρωτοπαθοῦντος συνισταμένην μελαγχολίαν. διά τε λουτρῶν συνεχῶν καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς, καὶ ἄφυσον ἐκ θεραπεύειν, χωρὶς ἑτέρου δραστικοῦ βοηθήματος, ὅταν γε μή πως διὰ χρόνου μῆκος δυσκένωτος ἢ ὁ λυπῶν χυμός, ἡνίκα ποικιλωτέρας καὶ ἰσχυροτέρας προσάγειν δεῖ τὰς ἰάσεις. ἀρχόμενον δὲ τὸ πάθος θεραπεύειν προσήκει. χρονίσαν γὰρ καὶ αὐξηθὲν, δυσμεταχείριστον γίγνεται. κοινὰ δ᾽ ἐστὶ κἂν ὁ ἐγκέφαλος πρωτοπαθεῖ κἂν τὰ καθ᾽ ὑποχόνδρια, τὰ ὑπακτικὰ τῆς γαστρὸς βοηθήματα. πρῶτον μὲν οὖν εὐπεψίας φροντίδα τίθεσθαι χρή. ἔπειτα δὲ καθαίρειν. πρῶτον μὲν ἐπὶ θύμῳ καὶ ἀλόῃ. τοῦτο γὰρ εἰ καὶ ὀλίγον ἐφ᾽ ἑκάστης ἡμέρας λαμβάνει. ὠφελεῖται τὰ μέτρια καὶ ἡσυχῇ ὑπάγειν ἐφ᾽ ὧν τὸ αἷμα πλεονάζειν φαίνοιτο ἐξ ἀρχῆς εὐθύς, φλέβα τέμνειν προσήκει τὴν ἐν ἀγκῶνι καὶ μάλιστα ἐφ᾽ ὧν συνήθεις ἐκκρίσεις εἰσὶ τοῦ αἵματος ἐπισχημέναι. ἐπὶ δὲ γυναικῶν, αἷς ἐκλείπει τὸ καταμήνιον τὴν ἐν τῷ σφυρῷ φλέβα τέμνειν χρή, κενοῦν δὲ ἕκαστον πρὸς δύναμιν. ἐφ᾽ ὧν δὲ ἡ κακοχυμία μᾶλλον πλεονεκτεῖ, προδιαιτήσας τὸν πάσχοντα, κάθαιρε τῇ ἱερᾷ ῥούφου. ἢ ἀρχιγένους. ἢ ἰούστου. εἰ δὲ ἄμφω πλεονάζει, προφλεβοτομήσας κάθαιρε. μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τινάς, κλυστῆρσι τὴν κοιλίαν κένου πρῶτον μὲν διὰ χυλοῦ πιτύρων καὶ ἀφονίτρου καὶ μέλιτος. μετέπειτα δὲ καὶ πολυποδίου ῥίζας τεθλασμένας συνεψεῖν τοῖς πιτύροις. ἢ ἐπίθυμον. μετὰ δὲ τρεῖς ἡμέρας τοῦ κλυστῆρος, δοτέον αὐτοῖς τὴν διὰ ἀλόης πικρὰν προσειληφυῖαν περὶ τοῖς ἄλλοις πᾶσι καὶ ἐπιθύμου. σκευάζειν δὲ αὐτὴν ὡς θέμις ὤν

θέμις ὧδε βούλεται. Ἀλόης μὲν βαλὼν ∠ ϛ. μαστίχης δὲ καὶ κρόκου. καὶ νάρδου στάχυος κινναμώμου τε ἢ κασσίας τὸ διπλοῦν ἀσάρου καὶ καρποβαλσάμου. ἑκάστου ἀνὰ οὐγγία μία. προσθεῖναι δὲ τούτοις καὶ ἐπιθύμου οὐγγίας β΄. καὶ σχοίνου ἄνθους οὐγγίαν α΄. καὶ διδόναι καὶ κοχλιαρίου μεγάλου τὸ πλῆθος μετὰ μελικράτου. δοτέον δὲ αὐτοῖς ἐκ διαστημάτων ὀλίγων, δεύτερον ἢ τρίτον. εἶτα πάλιν διαιτήσας καὶ ἀναλαβὼν τὰς δυνάμεις δίδου πάλιν τὴν ἱερὰν ῥούφου, ἢ ἀρχιγένους ἢ ἰούστου. πλήθους δὲ ἔστω τὸ διδόμενον, ∠ δ΄. μετὰ μελικράτου καὶ ἄλλων ὅσον κοχλιάριον μικρόν, βέλτιον δὲ καὶ τοῖς ἐφήμερον κινοῦσι πράως ὑπάγειν τὴν γαστέρα. μελάνων δὲ ἀγωγὴ ἐστὶν ἀμάρακον καὶ ἰκονία λεγομένη. ὅθεν ∠. β΄. ἐπιπασσόμεναι μελικράτῳ καὶ πινόμεναι. συμφέρει δὲ καὶ περὶ ὀρρῷ τοῦ γάλακτος ὑπάγειν τὴν κοιλίαν. ἀλλὰ μὴν ἀπὸ τῶν τυρῶν δοτέον τὸν ὀρρόν. ἄμεινον γὰρ τὸ ἐκ τοῦ ἑψομένου γάλακτος ἀποχωριζόμενον. μᾶλλον δὲ ἵππιον ἔστω τὸ γάλα ἐν καινῇ χύτρᾳ κινοῦντα κλάδῳ συκῆς. ὅταν δὲ ἀναζέσῃ τρὶς ἢ τετράκις καταῤῥαίνων ὀξυμέλιτι. εἶτα διηθήσας δίδου πίνειν. τὰ μὲν πρῶτα, μέλι προσμίγων. ὅταν δὲ ἄρξηται ὑπέρχεσθαι ἡ γαστὴρ, μηκέτι λαβεῖν τὸ μέλι. λαμβανέτω δὲ κατὰ κοτύλην μὴ ἔλαττον τῶν πέντε κοτύλων. χρῆσθαι δὲ ἐπὶ πάσῃ κινήσει μαλάχης σπέρματι λειοτάτης διδόντα ὅσον ∠. β΄. μεθ' ὕδατος κυάθων γ΄. ἄκρως γὰρ ποιεῖ. ὅθεν πολλάκις αὐτῷ χρηστέον† δὲ καὶ γλήχωνος καὶ πρὸ τῶν καθαρτικῶν καὶ μετὰ τὰ καθαρτικὰ καὶ τοῦ μικροῦ κενταυρείου ὁμοίως. τοῦ δὲ ἀψινθίου τὸ ἀφέψημα καὶ συνεχῶς καὶ ἐφεξῆς δίδου. στομάχῳ γὰρ καὶ γαστρὶ κατάλληλον. ἐπεὶ τοίνυν καὶ φῦσαν οὐ συγχωρεῖ ἐγγίνεσθαι τῇ γαστρὶ πολλήν, οὔτε εἰς τέλος ἀποξηραίνεσθαι τὴν διαχώρησιν καὶ ὄρνιν καινὴ καὶ πέψιν ἀκριβεστέραν παρασκευάζειν, ὥστε ἐν μόνῳ τούτῳ τινὰς οἶδα ἀπηλλαγμένους τῆς νόσου. διδόναι δὲ καὶ τῶν διουρητικῶν. ἀνίσου δαύκου πετροσελίνου ἀσάρου, καὶ νάρδου καὶ μᾶλλον τούτων τὸ τοῦ ἱππομαράθρου σπέρμα καὶ ῥίζαν. τὴν δὲ χαμαιπίτυν καὶ τὴν χαμαίδρυν προθυμότερον λαμβάνειν ἕκαστον τοίνυν ἕψοντα σὺν ὕδατι καὶ ξηρὸν λεῖον

20 ἐπιπάσσοντα τῷ ποτῷ. Ἀγαθαὶ δὲ καὶ αἱ διὰ τῶν ἱδρώτων καθάρσεις διά τε πόνων καὶ λουτρῶν γιγνόμεναι καὶ χρίσμασιν ἐν ἡλίῳ, οἷον τότε διὰ τοῦ χαμαιμήλου ἐλαίου καὶ νίτρου σὺν ἐλαίῳ καὶ ὅταν ἐπιδιδῷ, ἢ ἕξις πάλιν καθαίρειν τῇ ἱερᾷ. προσήκει δὲ μὴ τῶν ὑποχονδρίων ἀμελεῖν ἀρχομένων τοῖς θεραπείας καὶ μάλιστα προεληλυθότα. πυρίαιων μὲν οὖν, ἁρμόδει ἔλαιον ἐναφεψημένου ἐν αὐτῷ πηγάνου ἀνήθου. ἑρπύλλου. ἀψινθίου. ἀρτεμισίας γλήχωνος ἄγνου σπέρματος δάφνης τοῦ καρποῦ ἢ τῶν φύλλων ἁπαλῶν. ταῦτα καὶ τοὺς πόνους παρηγορεῖ καὶ τὰς φύσας μειοῖ. ἐπὶ δὲ τῶν μετὰ δήξεως τοῦ στομάχου ἐμπνευματώσεων ὄξει ἀφεψήσαντες, κύμινον καὶ γλήχωνα σπόγγοις πυριᾶν τὸν στόμαχον. ἐνίοτε δὲ καὶ στυπτηριῶν ἐπιπάσσομεν, τῷ ὄξει.

Κολλύριον ὀφθαλμικὸν παρὰ στεφάνου ἰατροῦ τοῦ μαγίστρου ἐνεργὲς καὶ ἄγαν ὠφέλιμον πρός τε τὰς τῶν ὀφθαλμῶν φλεγμονὰς, καὶ ἑλκώσεις τοῦ κερατοειδοῦς, καὶ προπτώσεις τοῦ ῥαγοειδοῦς διὰ ῥεύματος λεπτοῦ, καὶ ἄγαν

30 δριμέος γιγνομένας ἐφ' ὧν οὐδὲν τῶν ἁπλῶν φαρμάκων καθ' αὑτὸ ἁρμόττειν δύναται, τῶν μὲν ἁπλῶς στυφόντων κατεχόντων τοὺς ἐκρέοντας ἰχῶρας, καὶ ἐπὶ τοίνυν τὴν ἐκ τῆς δήξεως αὐτῶν ὀδύνην ἐπιτεινόντων, τῶν δὲ δριμέων καὶ θερμῶν, οὐ μόνον οὐδὲν ὠφελούντων, ἀλλὰ καὶ συναυξανόντων τὴν ποιότητα τῶν δακνωδῶν χυμῶν, ἡ δὲ τῶν χαλαστικῶν τε καὶ διαφορητικῶν φαρμάκων δύναμις ἐκκενοῦν μὲν δύναται τὸ γινόμενον, οὔτε δὲ τὸ ἡλκωμένον† τρέφειν, ἢ ἐπουλοῦν, οὔτε τὸ προπεπτωκὸς προστέλλειν, καὶ κατακλείειν, οὔτε τὸ ἐπιῤῥέον ἀποκρούεσθαι, οὔτε τὴν δριμύτητα ὑπαμβλύνειν ὁμοίως ταύτῃ. καθ' αὑτὴν ἔχει καὶ ἡ τῶν συμπεπτόντων, εἰ καὶ τὸ πέττειν τὰς διαθέσεις οὐ σμικρὸν ἀγαθὸν ἔχει. τί δεῖ λέγειν περὶ τῶν ὀξείας, ἢ πικρὰς, ἢ νιτρώδεις, ἢ ἁλμυρὰς, ἢ αὐστηρὰς ἐχόντων δυνάμεις φαρμάκων. Ὑπόλοιπον οὖν ἐστὶ γένος φαρμάκων θεραπεύειν δυνάμενον ἕλκη τὰ μετὰ ῥεύματος δριμέος, ἅπερ γνώριμα ταῖς οὐσίαις ὄντα, μέσα κατά τε θερμότητα καὶ ψύξιν εἰσίν. ἢ μᾶλλον τινὰ μὲν βραχείας ψύξεως ἢ θερμασίας μετέχει τινὰ δὲ οὐδὲ ὅλως ἐμφαίνει δύναμιν. ὅλον δ' οὖν

40 τὸ γένος αὐτῶν καλεῖται ἐμφρακτικὸν, ἐμπλαστικὸν, καὶ ἄποιον. διὸ καὶ χρόνῳ πλέονι τὴν ἀφ' ἑαυτῶν ὠφέλειαν αἰσθητὴν ἐργάζεται, κατὰ τὰς πρώτας ἡμέρας οὐδὲν ὠφελεῖν δοκοῦντα, προσφερόμενα δὲ ὅμως ὡς ἀδηκτότατα κατὰ τὰς δυσιατοτάτας διαθέσεις, ἐν αἷς ἕλκος ἐστὶν εἴτοι μόνον, εἴτε μετὰ διαβρώσεως τοῦ τε κερατοειδοῦς, ἐκρεόντων ἰχώρων δριμέων ἄγαν, καὶ δακνωδεστάτων, μεγάλως ἀρήγουσι, πλὴν εὐκαίρως προσφερόμενα, ἀκαίρως γὰρ οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ ὀδύνην μεγάλην ἐργάζεται, τῷ διατείνειν τοὺς χιτῶνας. χρεία δὲ ἐν ἀπόροις εὑρεῖν καὶ διὰ τοῦτο, πρῶτον μὲν τοῦ ὅλου σώματος πρόνοιαν ποιήσασθαι χρὴ, ἤτοι διὰ φλεβοτομίας, ἢ καθάρσεως ἢ δι' ἀμφοτέρων, εἰ δέοι. εἶτα τῆς κεφαλῆς. μετὰ δὲ ταύτης πρόνοιαν, καὶ τὴν πρόσφορον δίαιταν, χρήσασθαι τῷ τοιούτῳ φαρμάκῳ. ἔστι δὲ ἡ σύνθεσις αὐτοῦ τοιάδε. Πομφόλυγος πεπλυμένης ∠. β. ἀμύλου καλῶς πεπλυμένου προσφάτου καὶ ἀποίου ∠. ε΄. καδμίας κεκαυμένης καὶ πεπλυμένης ∠. δ΄. μολίβδου κεκαυμένου καὶ πεπλυμένου ∠. γ΄. ψιμμυθίου πεπλυμένου ∠. α΄.

50 λίθου αἱματίτου ∠. ζ΄. ὀπίου ∠. α΄. S. ῥόδων χυλοῦ ∠. γ΄. λιβάνου ∠. α΄. S. κρόκου ∠. τὸ S. ἀλόης ἰνδικῆς ὡσαύτως, σμύρνης ∠. α΄. S. σαρκοκόλλης πεπλυμένης ∠. η΄. σάκχαρος πεφωγμένου ∠. γ΄. τραγακάνθης ∠. ιβ΄. ἀναβραχείσης ἐν χυλῷ τελέως. Ἔστι δὲ, ὁ μὲν πεπλυμένος πομφόλυξ ξηραίνων ἀδήκτως, εἴπερ τι καὶ ἄλλο ἐστί. καὶ διὰ τοῦτο χρώμεθα αὐτῷ πρὸς τὰ λεπτὰ καὶ δριμέα ῥεύματα, ἔτι δὲ καὶ πρὸς ἕλκη. πρὸς τούτοις ὁ πομφόλυξ ἔχει βραχύ τι καὶ στυπτικόν, ἡ δὲ ἀρίστη καδμία καυθεῖσα καὶ πλυθεῖσα ἀδηκτότατον γίνεται φάρμακον. ἔχει δέ τι βραχὺ καὶ ῥυπτικόν, ἐάν τε μετὰ τὴν καῦσιν, ἐάν τε καὶ χωρὶς ταύτης. πλυθῇ. τὸ δὲ πρόσφατον ἄμυλον πρὸς τῷ ἀδηκτότατον εἶναι, ἔτι καὶ τῆς οὐσίας εὐκράτου μετείληφεν κατά τε θερμότητα καὶ ψυχρότητα. ὁ δὲ αἱματίτης λίθος ξηραντικὴν ὑγρῶν ἔχει δύναμιν τὸ ψύχειν καὶ στύφειν, ἐξ ὑγρᾶς οὐσίας παγείσης τὴν γένεσιν ἐσχηκώς. ἔστι δὲ καὶ ἄδηκτος. ὁ δὲ κεκαυμένος καὶ πεπλυμένος μόλιβδος ἄδηκτός ἐστι, καὶ ψύχει καὶ στύφει μετρίως, μετέχει δὲ καὶ στύψεως. ὁ δὲ τῆς

† al. χρηστέον

† al. σύφειν

μήκωνος ὀπὸς οὐ μόνον ἄδηκτος, ἀλλὰ καὶ ὑπνοποιός ἐστι, καὶ διὰ τοῦτο τὰς σφοδρότητας τῶν ὀδυνῶν πραΰνει. ὁ δὲ χυλὸς τῶν ῥόδων περὶ τῷ στύφειν μετρίως ἀναστέλλει τὰ ῥεύματα. ὁ δὲ λιβανωτὸς πέττει καὶ διαφορεῖ. ἔστι δὲ καὶ ἀνώδυνος. ἡ δὲ σμύρνα πεπτικὸν ὂν φάρμακον, οὐ μόνον ἕλκει γενναίως τὰς τῶν ὑγρῶν μοχθηρίας ἐκ βάθους, ἀλλὰ καὶ διαφορεῖ τὸ ἑλχθέν. ὁ δὲ κρόκος πέττει, καὶ στύφει μετρίως. ἡ δὲ σαρκοκόλλα πέττει, καὶ διαφορεῖ. ἡ δὲ τραγάκανθα ἐμπλαστικήν τινα καὶ δριμυτήτων ἀμβλυντικὴν ἔχει δύναμιν. ὁ μέν τοι τῆς τήλεως χυλὸς ὅσον μὲν ἐπὶ τῇ γλισχρότητι παραπλήσιός ἐστι τῇ λευκῇ τῶν ᾠῶν ὑγρότητι, διαφορεῖ δὲ καὶ θερμαίνει μετρίως, καὶ διὰ τοῦτο τὰς πολλὰς τῶν ὀδυνῶν πραΰνει. τὸ δὲ λεπτὸν ὑγρὸν τὸ ἐν τοῖς ᾠοῖς ἐκ περιττοῦ ἔχον τὸ ἀναπλύνειν ὑγρότητας, ὑπαλείφειν τε τραχυνθέντα, περὶ ἐμπλάττεσθαι τοῖς διὰ λεπτὸν πόροις, οὐκ ἔχει, καθάπερ οὐδὲ τὸ ξηραίνειν. τὸ δὲ γάλα τῆς νέας εὐχύμου γυναικὸς, ἄδηκτον τέ ἐστι, καὶ ῥυπτικὸν, καὶ διὰ τὴν ὀῤῥώδη ὑγρότητα. ἡ δὲ ἀλόη μικτῆς πως ἐστι δυνάμεως διὰ μὲν γὰρ τὸ πικρὸν αὐτῆς, ῥύπτει. διὰ δὲ τὴν στύψιν, συνάγει καὶ συνουλεῖ τὰ ἕλκη, ὡς εἰπεῖν βραχεῖ λόγῳ τὴν ὅλην δύναμιν τοῦ φαρμάκου ψυχούσαν, ξηραίνουσαν ἀδήκτως πέττουσαν, παρηγοροῦσαν, ταρκοῦσαν, ἐπουλοῦσαν, διαφοροῦσαν, ἑλκούσαν ἐκ τοῦ βάθους καὶ εἰ δεῖ συνελόντα φάναι, πάντ᾽ ἔχουσαν, ὅσων τά τε φλεγμαίνοντα, καὶ ἡλκωμένα, καὶ ἀσθενῆ, καὶ ῥευματιζόμενα μόρια δέονται. χρησιμωτάτη δὲ γενήσεται πάσῃ τε ἡλικίᾳ, καὶ ὥρᾳ, καὶ κράσει, καὶ εὐαισθησίᾳ, καὶ δυσαισθησίᾳ καὶ τοῖς λοιποῖς συστοίχοις, ὑγρῶν τε ἀνιεμένων καταλλήλως μετ᾽ ἐπιτηδείου τρόπου χρήσεως, καὶ τῆς ἐνδεχομένης συστάσεως. οὐ χρὴ δὲ τὸ τοιοῦτον κολλύριον προσφέρειν, ἐάν τε ἐν τοῖς ὀφθαλμοῖς μόνοις ἡ καχεξία ἦ, ὡς διαφθείρειν τὸ ἐπιῤῥέον, κἂν χρηστὸν ἦ· ἐάν τε καὶ αὐτὸ τὸ ἐπιῤῥέον μοχθηρὸν ἐστιν, ἢ διὰ τὴν κεφαλὴν μόνην, ἢ καὶ ὅλον τὸ σῶμα τοιοῦτον ὑπάρχει ὅθεν καὶ προπαρασκευάζειν δέον εἰς τὴν ἴασιν ἐπιτήδειον τὸ πεπονθὸς μόριον, τοῦ μὲν ὅλου σώματος πρόνοιαν ποιουμένους καθάρσεσι καὶ φλεβοτομίαις ὡς λέλεκται. τῆς δὲ κεφαλῆς πρῶτον μὲν ἀποφλεγματισμοῖς, ἔπειτα δὲ καὶ ταῖς ἐπὶ τὸ ἰνίον σικύαις, εἶτα εἰ δέοι καὶ τῇ ἀρτηριοτομίᾳ καὶ μετὰ ταῦτα περὶ τοιούτῳ κολλυρίῳ χρῆσθαι. ἐπὶ δὲ τῆς τούτου χρήσεως, εἰ μὲν ἔτι φέρεται τὸ δριμὺ ῥεῦμα, ἢ ἑλκωσίς ἐστι τοῦ κερατοειδοῦς, ἢ λήμη, ἢ ῥύπος, ὀφείλει ἐνστάζεσθαι γάλα ἐκ τιτθῶν γυναικὸς εὐχύμου καὶ νέας εἰς τοὺς ὀφθαλμοὺς, ἕως ἀπορυφθῶσι πάντα, καὶ καθαρὸς γένηται ὁ ὀφθαλμός, εἶτ᾽ ἀπομάττεσθαι μετά τινος τῶν μαλακωτάτων σπογγιῶν, καὶ οὕτως ἐγχεῖσθαι περὶ ὀφθαλμῷ τὸ κολλύριον μετὰ τοῦ δέοντος ὑγροῦ, κατ᾽ ἀρχὰς μὲν ὑδαροῦς, προϊόντος δὲ τοῦ χρόνου παχυτέρου καὶ εἰ δέοι προπυρίαν καὶ καταπλάττειν καταλλήλαις πυρίαις, καὶ καταπλάσμασι. μετὰ δὲ τὸ στῆναι τὸ ἐπιῤῥέον, ἢ καὶ ὀλίγον ἔτι ἐπιῤῥεῖν, ἐγχεῖσθαι τὸ τοιοῦτον κολλύριον, ὡς προείρηται μετὰ τοῦ καταλλήλου τῇ διαθέσει ὑγροῦ χλιαροῦ γινομένου. τοιοῦτον δὲ γενήσεται ἐὰν ἡ ἀκόνη ἐφ᾽ ἧς τρίβεται τὸ κολλύριον προθερμανθῇ ἐν ὕδατι ζέοντι γλυκεῖ, ὑγρὰ δὲ ἔστω τάδε. ᾠοῦ αὐθημερινοῦ τὸ λευκὸν, καὶ λεπτὸν ὑγρὸν, γάλα νέας καὶ εὐχύμου γυναικὸς, τήλεως χυλὸς κάλλιστος, χυλὸς πτισάνης, χυλὸς λινοσπέρματος, χυλὸς τοῦ τῶν κυδωνίων σπέρματος, χυλὸς πολυγόνου, σαχαρόθερμον, ὄμφακος χυλὸς ῥόσταγμα καὶ οἶνος.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ

ΑΝΤΙΒΑΛΛΟΜΕΝΩΝ.

Ἐν Ἀλεξανδρείᾳ φησὶν ἐπί τινος γυναικὸς κινδυνευούσης ζητήσας λυχνίδα καὶ μὴ εὑρηκὼς, εἰ μὴ εὐθέως ἀντὶ τῆς λυχνίδος εὑρὼν ἐχρησάμην τοῦ ἀκανθίου τὸ σπέρμα, ἀπώλωλεν ἂν τὸ γύναιον, ὅθεν αἰτηθεὶς ὑπὸ τῶν μετέπειτα ἰατρῶν, ἐπὶ τήνδε τὴν τῶν ἀντιβαλλομένων ἦλθον ἔκθεσιν κατὰ στοιχεῖον, ἐξ αὐτοῦ τοῦ πρώτου τὴν ἀρχὴν ποιησάμενος. Α. Ἀντὶ ἀκανθίου σπέρματος, λυχνίδος. Ἀγαλόχου, κενταύρειον. Ἀρμενίου μέλαν ἰνδικόν. Ἀκτέας, ἢ γλαύκιον, ἢ κόπρον οἰός. Ἀλικακάβου, δορυκνίου σπέρμα. Ἀσφάλτου, πίττη ὑγρά. Ἀκονίτου, ἱερίδος ἀγρίας ῥίζαν. Ἀψινθίου, ἀβρότονον. Ἀβροτόνου, ὀρίγανον. Ἀσβέστου, ἀδάρκην. Ἀγχούσης, ὑάκινθος. Ἁλὸς ἀμμωνιακοῦ, ἅλας καππαδοκικόν. Ἀρσενικοῦ, σανδαράχην. Ἀγαρικοῦ ἐπιθύμου ἢ εὐφόρβιον. Ἀμμωνιακοῦ θυμιάματος, ἀθηναίαν. Ἀράκου, σήσαμον. Ἀσπαλάθου, ἐρίκης σπέρμα, ἢ ἄγνου. Ἀσφοδέλου. τεύτλου φύλλων χυλόν. Ἀργεμώνης, στρείχνον. Ἀειζώου, θρίδακος. Ἀδιάντου, ἀφροσέλινον. Ἀσίου λίθου, γαγάτην, ἢ σανδαράχην, ἢ ἅλος ἀμμωνιακοῦ. Ἀμύλου, ξηρὰν γύρην. Αἰγείρου ἀκρεμόνων σάμψυχον, Ἀνακαρδίων ψύχα βοτάνης. Β. Βουπρήστεως, σίλφιον, ἢ βδέλλα. Βουτύρου, γάλα ἐπίπαγον βόειον. Βαλσάμου ὀποῦ, στακτὴν σμύρνης. Βδελλίου, σφάγνος ἀρωματικός. Γ. Γεντιάνης, ῥίζα σελίνου ἀρωματικοῦ. ὑπάρχει δὲ τὸ πετροσέλινον, ἢ ῥαίδον, ἔστι δὲ τὸ ἐλάφιον. Γῆς σαμίας, λευκογραφὴ αἰγυπτία, Γῆς ἐρυθριάδος, τίτανος θηβαϊκή. Γογγυλίδος, ἡλιοτρόπιον. Γλυκυῤῥίζης χυλοῦ, χυλὸς συκαμίνων. Γυπὸς κόπρον, περιστερᾶς. γῆς ἀπαλῆς, μολιβδαίνη. Δ. Δορυκνίου, σπέρμα κυάμου, θυρσὸς ἀπαρίνα δία*. Δικτάμνου, ἐλελίσφακον. Δαφνίδων, σέρπυλλον ξηρόν. Δαύκου σπέρματος, σίου. Διφρυγοῦς, λίθος φρύγιος. Δρακοντίας, ἀβρώσιμον. Δαμασωνίου, ἠρύγγιον. Ε. Ἑρπύλλου, ποταμογείτων, Ἐλαίας αἰθιοπικῆς δάκρυον, ὑποκυστίδος, ἢ ἀκακίας. Εὐζώμου σπέρμα, ἐρυσίμου. Ἐλατηρίου, χυλὸς τῆς αὐτῆς πόας. Ἐρυσίμου, στρούθιον. Ἐρίκης καρπὸν, κικίδος ὀμφακιτίδος, Ἐβένου, λώτινον ξηρόν. Ἐρίνου φύλλων, κόπρον ἥβεως. Ἐλεβόρου μέλανος, ῥίζαν πυρέθρου. Ἐννεάφυλλον, ποταμογείτονος. Ἐλαίου παλαιοῦ, ἔλαιον διπλοῦν ἕψαι μετὰ στέατος ὑείου. Ἐβίσκου ῥίζης, φύλλα μορέας. Ἐλαφείου στέατος, ὑείου. Ζ. Ζιγγιβέρεως. ναυπλίου εὐβοέως. Θ. Θαψίας χυλοῦ, χυλὸς χαμαιλέοντος μέλανος ἢ ἐλύδριον. Θερμουντιάδος, γλυκόφυλλον. Θείου ἀπύρου, σανδαράχην. Ι. Ἰοῦ σιδήρου, σκωρία σιδήρου,

† al. πρόπωλιν.

ρία σιδήρου, ἰξοῦ δρυΐνου, χαμαιλέοντος μέλανος. ἴρεως ἰλλυρικῆς. ἐλένιον ἀρωματικόν. Κ. Κασίας, κινάμωμον κινναμώμου, κασίαν διπλῆν ἢ πηγάνου ἢ λιβανωτοῦ κυπρίνου, ἀρκευθίδων μήλων, ἢ καρδάμωμον). καρδαμώμου, κυπρέος. κόστου, ἀμμωνιακόν. κεδρέας, κεδρίδας. καλάμου ἀρωματικοῦ, σφάγνου, ἢ τραγοπώγωνος. κρόκου, κροκομάγματος. κασσίας, ἀγάλοχον, ἢ σίλφιον. κροκομάγματος, ἀγαλόχου ἰνδικῆς, καδμίας, λευκογραφὶς αἰγυπτία. κροκοδείλου στέαρ, κυνὸς θαλασσίου στέαρ. κωνίου σπέρμα, κορίανον. κανθαρίδων, φαλάγγια, κνίκου, ἄγνου σπέρμα κισσοῦ ὀποῦ, πρασίας. κικέως, γλοιὸς ἀπὸ παλαίστρας. καππάρεως ῥίζης, βρίκης ῥίζαν ἢ μυρίκης, καλλικρέας, ἢ πῆλις. κόπρου ῥιγῶνος, περιστερᾶς. κοραλίου, μῶλυ. κόπρου αἰλούρου. κόπρον ἰχνεύμονος. Κινναβάρεως, ῥοδοειδές. κυμίνου, κράμβης σπέρμα. κλινοποδίου, ἡλιοτρόπιον. καλαμίνθης, ἄγριον ἡδύοσμον. κολοκυνθίδος, κρότωνας, κοτυληδόνας, ἀνακάρδιον. κολοφωνίας, ἀπόχυμα. κυνοσβάτου, ἀλικακάβου σπέρμα. κρινανθέμου,

10 ἀφροδίσιον. κισσιβάτου, ἀλικακάβου σπέρμα. κισσήριος. γῆ κιμωλία. κύφεος, κεκαυμένην ἰσχάδα. κυρήνων, ὄστρεα. κηροῦ, βρέγμον μετὰ † ἀθωαίας ἕψεται καὶ τρίβεται. κυμίνου αἰθιοπικοῦ, μελάνθιον. Λ. Λιβάνου, γῆ ἀμπελίτης. λαθυρίδων, κόκκος κνίδιος. λεπίδος, ἐρυθρόδανον. λίθου ἀσίου, γαγάτης. λυχνίδος, ἀκάνθου σπέρματος λίθου φρυγίου, λίθος πυρίτης ἢ ἀργυρίτης. (ἐλελισφάκου καλαμίνθης,) λυβιστικοῦ, σταφυλίνου. λευκίνου, ἄνθος στρουθίου. λωτοῦ σπέρματος, τεύτλου καρπός. λεπιδίου ῥίζης, φύλλα καππάρεως. λαγωοῦ θαλασσίου, ποταμίου λινοσπέρμου, κυάμων χυλὸς λαπάθου ῥίζης, ναυπλίου εὐβοέως. λίθου πυρίτου, λίθος πυρόβολος. Μ. Μαραθρου, κασσίας σφαιρίτιδος ἢ ναρδοστάχυος. μανδραγόρου, ἐλαίας δάκρυ). μυρσινίτης, ὀποῦ ῥοδακίνου ἢ μορέας. μαστίχης, σχίνου κάλαμον. μυροβαλάνου, γλεύκιον. Μαλάχης, τήλεως. Μαγνήτου, λίθου φρυγίου. μέλιτος ἑψήματος, μάννης λιβάνου φλοιόν. μυοχόδων, μύας ἴδια. μαγνησίνης ἢ σικελίνης, σπίνελ) ἰταλικόν. μυελοῦ ἐλαφείου, ἢ μόσχου στέατος ἢ ἐλαφείου. μήλων κυδωνίων, μελίλωτον. μίσυος, κυπρίου ἰῶ χαλκοῦ. μόρων χυλός, βάτου φύλλα. μίσυος ὀπτοῦ, δι-

20 φρυγοῦς. μανδραγόρου χυλοῦ, δορύκνιον. μήκωνος, μανδραγόρου χυλὸς μετὰ, μυροβαλάνου. Ν. Νάρδου συριακοῦ, σχίνου ἄνθος. Νάπυος, γογγυλίδος σπέρμα. Ξ. Ξυλοβαλσάμου, ῥίζας λευκῶν ἴων. Ο. Ὀποῦ μήκωνος, μανδραγόρου χυλὸς ὀποπάνακος, γάλα συκαμίνου. Ὀποῦ κυρηναϊκοῦ, ὀπὸν συριακὸν ἢ μόσχου μυελόν. Ὀποῦ βαλσάμου, ὀπὸν καρπάσου. Ὀποῦ σύκης, ὀπὸν μορέας, Ὀποῦ ἰτέας, ὀπὸν κισσοῦ μέλανος. Ὀποῦ ῥοδοδάφνης, ἰξὸν δρυΐνου. Οἰνάνθης χυλοῦ, ἀμπελίνου δένδρου χυλόν. Οἴνου ῥοδίνου, οἶνον αὐστηρόν. Ὀποῦ πευκεδάνου, γλυκυρρίζης χυλόν. Ὀποῦ καρπάσου ὀπὸν μυρσίνης. Ὀρίζης, κριθάλευρον). Ὀρνιθογάλου, ἄνθαλες λέγουσι). Ὀρμίνου, λινόσπερμα. Οἴνου ἰταλικοῦ, οἶνον μενδήσιον), Ὀμφακος, κικὶς ὀμφακίτης. Π. Προπόλεως τραγοπώγων. πιτυοκάμπης, σφῆκας εἰς κεδρίαν. πεπέρεως, ζιγγίβερ ἢ χαμαιλέοντα. περιστερεῶνος, χαμαιλέαν, ἢ χαμαιλεύκην. πολυτρίχου, ἀψίνθιον. πυρέθρου, ζιγγιβέρεως. Ρ. Ρητίνης, τερεβινθίνης. ῥόδων ξηρῶν περσέας φύλλα ξηρὰ ῥαφανίνου, ἔλαιον κικίνου. ῥοδοειδοῦς, σινηπίῥίζης λαπάθου, (κινάρας) Σ. Σχίνου ἀρωματικοῦ. καρδαμώμου. Σπονδυλίου, κυπρέας σπόδιον, ἢ φύλλων

30 ἐλαίας. Σμύρνης τρωγλίτιδος, καλάμου ἀρωματικοῦ. Στέατος ἐλαφείου, χηνός. Στέατος ὑαίνης, ἀλώπεκος. Στέατος ἀλώπεκος, ἄρκτου. Στρουθίου ῥίζης, ἐλλεβόρου μέλανος. Σατυρίου, ζύζωμον. Σαλαμάνδρας σαύρας χλωράς. Σφάγνου ἀρωματικοῦ, σχίνου εἰργασμένου. Σώρεος, λιθαργύρου. Σαμψύχου, ῥοῦν μαγειρικόν. Σινήπεως, καρδάμωμον. Σαγαπηνοῦ, πίτυος. Σκαμμωνίας, κρότωνας ἢ φθορίωνας. ἢ κολοκυνθίδα ἢ λαθυρίδα. Σαφίνου, ἐλαίου κικίνου. Στροβίλων, συκίων σπέρμα. Στυπτηρίας, ἅλας ὀρυκτόν. Σκίγγου, σατύριον. Στίμεως κοπτικοῦ, λεπίδα χαλκοῦ. Σχίνου, πολυγόνου ῥίζα. Σκωρίας κυπρίας, μελαντηρίαν αἰγυπτιακήν. Σισυμβρίου, ὤκιμον. Σηπίας ὄστρακον, κισσήρεως. Σαρκοκόλλας, παιώνιον, Σκίλλης, βολβόν, Σησαμοειδές, πίσσα ἀμαράντινον. Σησάμου, λινόσπορον. Σφέκλης, σανδαράχην. Τ. Τρώξιμον, μαιούνιον γὰρ καὶ μαιούλιον. Υ. Υοσκυάμου σπέρμα κυνὸς βάτου καρπόν, Υποκυστίδος, ἀκακίας. Υγροπίσσης, ὀποπάνακα, Υσσώπου μυελὸν μόσχου, ἢ σιχάδα. Υακίνθου, ἄνθος ἰσάτεως, Υπερικοῦ, ἀνήθου σπέρμα, Υαίνης χολή, πέρδικος. Χ. Χαλβάνης,

40 σαγαπηνόν. χαμαίμηλον, ἀνθεμίς. χαμαίδρυον, λαπάθου ῥίζαν, χολὴν ἔχεως. χολὴν ἰχνεύμονος. χολὴν καμήλου, χολὴν ἀσκαλαβώτου. χολὴν γαλῆς, χολὴν καμήλου. Ψ. Ψιμμιθίου, σκωρίαν μολίβδου. Ψυλλίου φακὴ ἡ ἐπὶ τῶν τελμάτων. Ω. Ὠκίμου, σισύμβριον. Ὠκιμοειδές, ἡδύοσμον ἄγριον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ
ΚΑΤΑΚΛΙΣΕΩΣ ΠΡΟΓΝΩΣΤΙΚΑ ΕΚ ΤΗΣ ΜΑΘΗΜΑΤΙΚΗΣ ΕΠΙΣΤΗΜΗΣ.

50 ΠΕΡΙ μὲν τῆς ὑπαρχούσης τὴν μαθηματικὴν ἐπιστήμην, ἤρκει καὶ ἡ τῶν στωϊκῶν φιλοσόφων ἀνδρῶν καὶ λόγους διεκπεπονημένων, καὶ τὸν βίον ὁποῖός ἐστι παραστησάντων δόξα. Οὐδὲν δὲ ἧττον ἐπεὶ καὶ ὁ παρὼν λόγος ἐστί, περὶ ὧν καὶ ἡ ἰατρικὴ τέχνη ἐπαγγέλλεται, ἀναγκαῖον ἐστὶ τῶν δοκιμωτάτων ἐν αὐτῇ τὰς ἱστορίας ἐκθέσθαι, ἵνα γνώριμον πᾶσι γένηται. ὅτι καὶ αὐτοὶ οἱ ἰατροὶ διὰ τὸ περὶ πλεῖστον ποιεῖσθαι τὸ προορατικὸν μέρος τῆς αὐτῶν τέχνης, τῇ μαθηματικῇ ἐπιστήμῃ ἀπένειμαν. καὶ εἰ μὴ πάντες κατά γε τὸ πλεῖστον. Ἱπποκράτης γοῦν ὁ πολὺς σὺν τῇ ἀρχαιότητι καὶ θαυμαστὸς τὴν ἐπιστήμην, φησίν. Ὁπόσοι τὴν ἰατρικὴν ἀσκέοντες φυσιογνωμονίης ἀμοιρέουσι, τουτέων ἡ γνώμη ἀνὰ σκότος καλινδουμένη, νωθρὰ γηράσκει. Οὐ μόνον εἶπεν οὐ κατορθώσουσιν, ἀλλ' ὅτι καὶ διασφαλήσονται. ἀνὰ σκότος γὰρ ἔφη τὴν γνώμην πλανᾶσθαι τῶν τῇ φυσιογνωμίᾳ μὴ χρησαμένων. τὸ δὲ φυσιογνωμονικὸν μέρος τῆς

Marginal notes: † ἄλ. περιπόλεως; † ἄλ. ἀρμωνιακοῦ; † ἄλ. λιγυστικοῦ; † ἄλ. ὀξυροδίνου

ἀστρολογίας ἐστὶ μέγιστον μόριον. ὁ οὖν τὸ μόριον ἐπαινέσας, πολλῷ μᾶλλον ἂν τὸ ὅλον ἐγκωμιάζει. Διοκλῆς δὲ ὁ Καρύστιος καὶ ῥήτωρ οὐ μόνον αὐτὸς φησὶν ὡς καὶ σὺ γινώσκεις ἀλλὰ καὶ τοὺς ἀρχαίους ἱστορεῖ ἀπὸ φωτισμοῦ καὶ τοῦ δρομήματος τῆς ☾ τὰς προγνώσεις τῶν νόσων ποιουμένους. ὁπότε οὖν οἱ τηλικοῦτοι ἄνδρες κατά γε ἀξίωμα καὶ τὴν ἐπιστήμην οὐ διάδοχοι τῆς ἐν ἰατρικῇ προγνώσεως μόνον, ἀλλὰ καὶ κτίσται ἰδίων δογμάτων ταύτην διαδεξάμενοι καὶ ἀλλοτρίους κόπους καρπούμενοι, περὶ τούτων τι διαστάσωσιν. ὅθεν καὶ σὺ φίλτατε Ἀφροδίσιε διεκποιήσας τὸν τῆς κατακλίσεως τρόπον καὶ στοιχήσας τοῖς προειρημένοις ἀνδράσι, καρπώσῃ τὸ κάλλιστον μέρος τῆς ἑαυτοῦ τέχνης προγινώσκων καὶ προλέγων τὰ μέλλοντα τοῖς κάμνουσι συμβήσεσθαι. ἀρξώμεθα δὲ τῶν πραγμάτων ἐντεῦθεν. Πρὸ παντὸς δέον σκοπεῖν τὴν ☾ κινουμένην, κατὰ πρόσθεσιν, ἢ ἀφαίρεσιν τοῖς ἀριθμοῖς, οὐ τοῖς φωσὶν, ὥς τινες πεπλάνηνται. ἂν οὖν γινομένης κατακλίσεως, ἐν τινι τῶν δωδεκατημορίων ζωδίων, ἡ ☾ ἄρξηται τοῖς ἰδίοις ἀριθμοῖς κινεῖσθαι, κατὰ τὸ ἰσόμοιρον ἐλθοῦσα, ἰσόμοιρον δέ ἐστι ὁ διάμετρον, ἐπισημασίαν τὴν μεγίστην ποιήσει. μάλιστα δὲ, ἐὰν καὶ σύνδεσμος ᾖ, ὅταν ἀπὸ συνόδου εἰς π ☾. σύνδεσμον λύῃ καὶ πορεύσηται ἐπὶ τὸ μεῖζον μέγεθος τοῦ δρομήματος, περὶ τὰς ρπ μοίρας ἀναιρεῖ. ἐὰν δὲ γινομένης κατακλίσεως, ἡ ☾ κατ' ἀφαίρεσιν κινῆται, ἡ νόσος μέχρι τοῦ ἰσομοίρου ἐπισημασίαν ποιησαμένη ἐπὶ τὸ ἰσόμοιρον τῆς νόσου ἐπὶ ὑγιέστερον τρέπεται. πρόσεχε δὲ καὶ τὰς κινήσεις ἤτοι μαρτυρίας τῶν ἀστέρων. ἐὰν γὰρ ἡ ☾ κατακλίσεως γινομένης κινῆται ἐπὶ τὸ μεῖζον συσχηματιζομένη τὴν νόσον αὔξει καὶ ἐπικίνδυνον ποιήσει. αὐξανομένη δὲ τοῖς τε φωσὶ καὶ τοῖς ἀριθμοῖς περὶ τῷ ♂ τῇ ☍. ἀπαραβάτως κίνδυνον ἐποίησε. Ἐὰν δὲ φαέθοντι δὲ τύχῃ συσχηματιζομένη καθ' οἷον δήποτ' οὖν τρόπον, τὰς νόσους ἀκινδύνους ποιήσει. ἢ ἐπὶ τετραγώνου ἐπισημασίας γινομένης, ἀποκαταστήσει σώους ἐπὶ τὸ κατὰ τὴν ☍. ἐὰν δὲ φλεγέθοντι κρόνῳ σχηματίζηται ἀφαιροῦσα τοῖς ἀριθμοῖς, ἐπισφαλεῖς καὶ ἐπικινδύνους περὶ τὰς ϛ'. μοίρας ἀπεργάζεται. ἐὰν δὲ καὶ σύνδεσμον λύσασα ἐπὶ τὰ ἥττονα φέρηται περὶ τὰς ρπ. μοίρας, τὴν ἀναίρεσιν ἀνυπερβλήτως ποιήσει. †Ἐὰν δὲ ἥλιος ἢ ☍. Ἐὰν δὲ τῷ ♀ ἢ ☿ συσχηματισθῇ κατὰ τὴν κατάκλισιν ἀφαιροῦσα τοῖς ἀριθμοῖς, ἢ καὶ τῷ φωτὶ λήγουσα, μειωθήσεται ἡ νόσος περὶ τὰς ϛ'. μοίρας καὶ ἐπισημασίας γινομένης τραπήσεται ἐπὶ τὸ ὑγιαίνειν. ἐὰν δὲ καὶ σύνδεσμον λύσῃ ἔτι μειουμένη ἐπικαθίστησιν ὑγιαίνοντα διὰ ρπ. μοίρας. δεήσει δὲ προλαμβάνειν καὶ τοὺς λοιποὺς τῶν ἀστέρων καθ' ἕκαστον ζώδιον πῶς διάκεινται. τῆς γὰρ ☾ ἐπιπορευομένης τὰ ιβ'. ζώδια, τὰ αἴτια τῶν νόσων ἐντεῦθεν γνωρίζονται. χρὴ δὲ πρὸ πάντων εἰδέναι ὡς εἴ τις ἀμελῶς περὶ τὰς ψήφους διατεθείη, οὐδὲν αὐτὸ κατὰ τὸ ἀληθὲς ἀποβήσεται. μὴ ἀποβαίνοντος δὲ, δικαίως ἂν αὐτὸς, οὐχὶ τὸ πρᾶγμα αἰτίας ἔχοι. οἱ δὲ ἀριθμοὶ ὡς ἐπὶ γενέσεως ἐξεταζέσθωσαν. ἐκ γὰρ τούτων τὸ ἀκριβὲς γνωσθήσεται. Ἐὰν γένηται κατάκλισις. ☾ οὔσης ἐν ♈ πρὸς ♂ ἢ ☉ σχηματιζομένης, ἔσται ἡ νόσος ἀπὸ κεφαλῆς διὰ ἐγκαύσεως, καὶ τὴν μήνιγγα ἀλγήσει. καὶ ἔσονται πυρετοὶ συνεχεῖς. καὶ ἀγρυπνίαι. καὶ καύσωμα. καὶ δίψα. καὶ τραχώδης ἡ γλῶσσα. καὶ τοῦ θώρακος ἐκπύρωσις. ἢ ἥπατος πόνος. καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι, τούτοις ὠφέλιμος ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ προσαγωγὴ πάντων τῶν δυναμένων ψύχειν καὶ παρηγορεῖν. ἔσται γὰρ παρακοπὴ καὶ φρενῖτις. Ἀγαθοποιοῦ δὲ μηδενὸς παρεμπλεκομένου τῇ ☾ καὶ ♄ τὸ αὐτὸ σχῆμα ἔχοντες, μέχρι τῆς ζ'. ἡμέρας τελευτήσει ἐν τῷ α. τετραγώνῳ καὶ μάλιστα ἐὰν τοῖς ἀριθμοῖς ἀναυξάνῃ ἢ τῷ φωτὶ ἡ ☾. Ἐὰν γένηται κατάκλισις ☾ οὔσης ἐν ♈ σχηματίζεται δέ τις αὐτῇ τῶν κακοποιῶν διάμετρος ἢ □. ἢ σὺν αὐτῇ, φάσιν ποιούμενος, δεήσει τὸν ἀστέρα αὐτὸν ἐφορᾶν ποῖός τίς ἐστιν. κἂν μὲν ᾖ ♄, τὰ περὶ τὴν κεφαλὴν αἴτια γίνεται. λήθαργος. ἀναίσθητοι. καταφορικοί. κατεψυγμένοι. ἔτι δὲ ἀνώμαλοι, τῆς νόσου ποτὲ μὲν ἀνειμένης, ποτὲ δὲ ἐπιτεινομένης. Ἐὰν δὲ καὶ τοῖς φωσὶν ἀφαιρῇ ἢ τοῖς ἀριθμοῖς ἢ τὸ συναμφότερον ὡς προείπομεν εἰς τὴν εἰρημένην ϛ'. μοῖραν ἐπισημασίαν μεγίστην ἕξει. προσλάμβανε δὲ καὶ τὰς λοιπάς. Ἐὰν γὰρ ♃. ἢ ἥλιος προσνεύσῃ κατὰ τὸ σχῆμα, μέχρι τοῦ ἄκρου κινδύνου ἐλεύσεται, καὶ παραλλάξας τὴν διάμετρον σωθήσεται. Ἐὰν δὲ ἑρμῆς μόνος σχηματισθῇ τῷ προκειμένῳ ὅρῳ, ἀπαραλλάκτως τελευτήσει. εἰ δὲ καὶ πυρόεις ἄρης πρὸς τὸ προκείμενον σχηματισθείη σχῆμα, ἀντιλήπτορές σοι μᾶλλον νομιζέσθωσαν. διὸ δεήσει σε πᾶσαν σύνεσιν προσάγειν εἰδότα ὅτι τοῦ ἀστέρος ψυκτικώτερα τὰ πάθη καὶ ῥευματωδέστερα ἐστί. Ἐὰν δὲ ἄρης συσχηματίζεται ἡ τῷ ☍ προστεθεῖσα τοῖς ἀριθμοῖς ἢ καὶ τῷ φωτὶ ποιήσει τὰ περὶ τὴν κεφαλὴν πάθη. παρακοπάς. φρενίτιδας. περιωδυνίας. φλεγμονάς. πυρώσεις. αἱμαγμούς. δεήσει οὖν ἐν πᾶσι χρῆσθαι τοῖς δυναμένοις ψύχειν καὶ διαφορεῖν. καὶ τούτοις μάλιστα περὶ τὴν □ Ἐπειδὴ ἀπὸ τῆς διὰ τρίτου ἄρχεται τοῦ αὔξειν τὸ μέγεθος τῆς νόσου, ἐπισφαλῆ δὲ καὶ ὀξύτατα πάθη, μέχρι τῆς διαμέτρου γενήσεται. Ἐὰν δὲ ἑρμῆς συσχηματισθῇ τῷ προκειμένῳ ὅρῳ, σωθήσεται κινδυνεύσας μετὰ γὰρ †♀. συμφωνεῖ μετὰ δὲ ♄ τοὐναντίον. Ἐὰν δὲ γινομένης κατακλίσεως σχηματισθῇ ἡ ☾ τῷ ♂ δὲ ἢ τῷ ἑρμῇ, καὶ τῷ †☿. κἂν ὁποτέρῳ αὐτῷ μόνῳ ἀνωμάλους μὲν τὰς νόσους ποιεῖ, καὶ εἰς ἕτερα πάθη μετακυλίονται. σώζονται δὲ ἀπαραβάτως. χρὴ οὖν σε προσέχειν ταῖς διαίταις. ὥραις τε καὶ περιπάτοις. καὶ βαλανείοις, καὶ οἴνου δόσει. Οἱ μὲν γὰρ πρὸς ♄ κατακλιθέντες, ἐπιθυμήσουσι καὶ βαλανείων. καὶ ἠρεμίας ἐπικλίνης. πολυτροφίας τε καὶ θερμοποσίας. Οἱ δὲ πρὸς ἄρεως ψυχροποσίας. κινήσεως. οἴνου. ἀνέμων. Χρὴ οὖν σε καθ' ἕκαστον ἀστέρα, ἰδιοτρόπως τῆς ἐπιθυμίας μὴ ἀποσπᾶν. ἕκαστος γὰρ τῶν ἀστέρων οἷς ἥδεται καὶ ἐπιθυμεῖ, τούτοις καὶ ὠφελεῖται. ὡς γὰρ ἐμοὶ δοκεῖ κράτιστε Ἀφροδίσιε, μὴ νομίσῃς ταύτας τὰς θεραπείας ἐναντιώματα εἶναι κατὰ τὸν ἰατρικὸν λόγον. ἐγὼ γὰρ γνοὺς τὰς φύσεις τῶν ἀστέρων προσεφώνησά σοι ᾧτινι ἕκαστος ἥδεται ἵνα ᾖς ἐν πᾶσιν ἀδιάπτωτος. Περὶ τοῦ κατὰ τοῦ σχηματισμοῦ. Ἐὰν δὲ τῆς ☾. οὔσης ἐν ♉. κατακλιθῇ τις, κρόνου ὄντος ἐν τῷ □. ἢ διαμέτρῳ ἢ συνόντος τῇ ☾. μάλιστα ἀφαιρούσης καὶ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, ἔσται ἡ νόσος καὶ ἐν τῇ καταρχῇ, ἀπὸ κραιπάλης καὶ περιφορῶν καὶ πλήθους καὶ ἔσονται στεγνοὶ πυρετοὶ καὶ τῶν ὑποχονδρίων ἄλγησις καὶ τῶν ἄρθρων πόνος καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι, καὶ ὅλου τοῦ σώματος φλεγμονή, καὶ περὶ τὸν πνεύμονα βάρους αἴσθησις, καὶ δυσωνύμου

πλευροῦ

† ἀλ. κατὰ τὸ ἰσόμοιρον

† ἀλ. ἐὰν δὲ ☍ ἢ ☍ τῷ τῆς ♀ ἢ ☿ συσχ.

† ἀλ. ♂

† ἀλ. ♂

πλευροῦ. τούτοις βοηθεῖ ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ πάντων τῶν διαιμένων καθελεῖν τὴν ἕξιν. Ἀγαθοποι-
ῶν οὖν μὴ παρεμπλεκομένων μέχρι τῆς διαμέτρου, ἀπαραβάτως τελευτήσει. Ἐὰν δὲ καὶ τοῦ πυρέσσοντος τὸ
αὐτὸ σχῆμα ἐπέχει, ἢ ☍ ἐν τῷ πρώτῳ □ τελευτήσει. Ἀγαθοποιῶν δὲ παρόντων, καὶ τὴν πανσέληνον
ἐπιθεωρούντων, κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ πανσελήνου οὔσης ἐν τῷ ταύρου κατακλιθῇ τις μά-
λιστα ἡμέρας οὔσης ♂ συνόντος αὐτῇ ἢ διαμέτρως ἢ □ ἔσται ἡ νόσος ἐκ πλήθους αἵματος, καὶ στέγνωσις. καὶ ἐκ-
πύρωσις. καὶ τοῦ τραχήλου καὶ ὀστέων ἄλγησις. καὶ ἀγρυπνία ὑπερβάλλουσα. καὶ ἐπιθυμία πολλὴ οἴνου, καὶ
ψυχροῦ. τούτοις οὖν ἡ τοῦ αἵματος ἀφαίρεσις ὠφέλιμος, καὶ πάντα τὰ ἀναχαλῶντα. ♄ δὲ τὸ αὐτὸ σχῆμα ἐπέ-
χοντος τῇ πανσελήνῳ, μηδενὸς ἀγαθοποιοῦ παρεμπλεκομένου, τὴν θ΄. ἡμέραν οὐχ ὑπερβήσονται. Ἀγα-
θοποιῶν δὲ παρόντων ἢ συσχηματιζομένων, κινδυνεύσαντες μέχρι τῆς η. ἡμέρας σωθήσονται. Ἐὰν δὲ τῆς σελή-
10 νης οὔσης ἐν ♉. κατακλιθῇ τις μετὰ τὸν προκείμενον ὅρον μειουμένης αὐτῆς, καὶ τοῖς φωσὶ καὶ τοῖς ἀριθμοῖς,
αὐτῇ δὲ σχηματισθῇ ♄ καθ᾽ οἷον δή ποτ᾽ οὖν τρόπον, μάλιστα ἐὰν ὁ ♀ συμπεριειλημμένος ᾖ, τὰ πάθη κατ᾽ ἰδιο-
τροπίαν μὲν τοῦ ζωδίου, κατὰ τὰς ἀρχὰς ἔσται βραδυκίνητα, δυσώπητα ὡς μὴ ὑπαρχούσης νόσου, νωχελεῖς τε
τοῖς σώμασι καὶ τὰς μαλιὰς τεθραυσμένοι. ἀνόρεκτοι δὲ τῷ στομάχῳ καὶ τὰς ἐν βάθει θερμασίας ὑποφαίνοντες.
τοῖς τε ἄρθροις ἐναλγεῖς. καὶ τὸ ὅλον σῶμα παρειμένοι. Ταῦτα δέ σοι τὰ σημεῖα προστίθημι ἐπὶ παντὸς ζωδίου. καὶ
ἐάν τι τῶν εἰρημένων φαίνηται, δυσώπητος ἡ περὶ τοὺς κάμνοντας ἀπόφασις ἂν εἴη. φύσει γὰρ τὸ ζώδιον τοῦ-
το ἔχον ἐπισημασίας τῶν ὑδάτων ἄγει χειμῶνας, καὶ κατὰ γῆν τε καὶ κατὰ θάλασσαν, καὶ πνευμάτων
παντοίων ἐπισημασίας κινεῖ, διὸ δεῖ σε τῆς κεφαλῆς ἐπιμέλειαν ποιεῖν. ὑποφανεῖ γάρ σοι ἀπαθὲς τὸ αἴ-
τιον τῆς καταρχῆς τῆς νόσου διὸ καὶ τὸ νευρῶδες ὅλον συμπαθήσει. καὶ τὰ τοῦ στομάχου παρακολουθήσει αἴτια:
οἵ τε γὰρ σφυγμοὶ ἐνδεδυκότες καὶ μυρμηκίζοντες μάλιστα περὶ τὴν ἡμέραν, διὸ χρὴ τρέφειν μὲν, μὴ εὐλαβεῖσθαι
20 δὲ ὡς ὑπερβάλλουσαν ἀσθένειαν ὅσον διὰ τὴν μικροψυχίαν τάς τε τοῦ αἵματος ἀφαιρέσεις καὶ τῆς κοιλίας
τὴν ὑπαγωγὴν ποιεῖσθαι πάντα ἀφαιροῦντα. ἀπὸ δὲ τῆς □ ἐπὶ τὴν ☍ παρατηρεῖσθαι. ἐὰν γὰρ σύνδεσμον
λύσασα τῆς σημασίας ἐπὶ τὸ βέλτιον κινήσῃ, ἔσται ἐπὶ τῆς ☍ ἡ κατάλυσις τῆς νόσου. ἐὰν δὲ λύσασα τὸν
σύνδεσμον ἐπισημασίας ἐπὶ τὸ χεῖρον ποιήσει, μάλιστα μηδενὸς ἀγαθοποιοῦ ἐπὶ τῆς κατακλίσεως παρεμπλα-
κέντος τὴν ☍ οὐχ ὑπερβήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♉ κατακλιθῇ τις καὶ σχηματισθῇ ὑπὸ ♂ ἢ τῷ ☉
μάλιστα ἐπὶ πανσέληνα ἢ ἀμφίκυρτα αὔξουσα τοῖς ἀριθμοῖς, ἔσται τὰ αἴτια περὶ τὸν τράχηλον, καὶ τὰ ὑποχόν-
δρια ἐκ πλησμονῆς. οἵ τε πυρετοὶ καυσώδεις, καὶ ἐστεγνωμένοι. καὶ περὶ τὴν γλῶσσαν τραχύτης. καὶ πικρία στόμα-
τος. αὐτοί τε τοὺς ὀφθαλμοὺς ταυρηδὸν σχηματίζοντες, πᾶσά τε ἀπειλὴ περὶ τὸ πρόσωπον. τάς τε λαλιὰς θρα-
σείας, καὶ πυκνότερον ἀναπνέωσι πικραινόμενοι πρὸς τοὺς οἰκείους. διψαλέοι τε. χρὴ οὖν τῆς κοιλίας ποιεῖ-
σθαι ἐπιμέλειαν πρὸς τὸ στεγνῶσαι, τάς τε τοῦ αἵματος ἀφαιρέσεις μάλιστα προσάγειν. καὶ μὴ πολὺ ἀκρατοῦν τῆς
30 ἐπιθυμίας τοῦ ψυχροποτεῖν. αἱ γὰρ νόσοι ἀπὸ τῆς ἀρχῆς ὀξύτεραι μέχρι τῆς διὰ πέμπτου ἕως τῆς ζ΄. προσε- † al. ἰδίῃ τῆς
δρεύειν δὲ χρὴ ἐὰν γὰρ † ἰδίας τὸν δδ. μετὰ τὸν δ΄. ἔσται καρδιακὴ διάθεσις. διὸ χρὴ τῇ ἑβδομαίᾳ προσεδρεύειν δι μετὰ τῆς □
πᾶσαν τὴν ὥραν. καὶ παρασκευάζεσθαι πρός τε τοῦ οἴνου καὶ ψυχροῦ δόσιν. ἀπὸ δὲ τῆς ἑβδομαίας ἐὰν ἐπὶ τὸ
χεῖρον τραπῇ, χρὴ ἀναγινώσκειν, ἀπαραιτήτως γὰρ τελευτήσει: συνορᾶν δὲ χρὴ καὶ τὰς ὥρας ἐπὶ ταύτης τῆς
ἐπισημασίας ὡς δυνηθείης ἂν πρὸς τοὺς ἀγαθοποιοὺς σχηματίζειν τὴν ὥραν, καὶ βοηθεῖν πρὸς τὸ ὑποστρέφειν,
ἢ λούειν, ἢ οἰνοποτεῖν. ἐὰν γὰρ κατὰ ταύτην τὴν ἐπισημασίαν δοθῇ τροφὴ, ὅπερ ἐστὶ κατὰ τὸν ἰατρικὸν λόγον
ἐναντίωμα, πρὸς δὲ ἀγαθοποιὸν ὥραν φερομένη, μεγάλως βοηθήσει. Ἐὰν δὲ τῆς ☾ οὔσης κατὰ τὸν προει-
ρημένον τρόπον, σχηματισθῇ ὁ ♃ ἢ ὁ ☿ ἢ ἡ ♀ ἐάν τε προστιθῇ τοῖς ἀριθμοῖς ἐάν τε ἀφαιρῇ ἡ ☾
μέχρι τῆς ☍ τῆς σωτηρίας πρόδηλος ὁ τρόπος. χρὴ οὖν ἅπερ πάσης προσαγωγῆς διὰ τῶν ἀφαιρούντων
διαιτᾶν. Περὶ τῶν κατὰ ♊ σχηματισμῶν τῆς ☾. Ἐὰν δὲ τῆς ☾ ἐν ♊ οὔσης κατακλιθῇ τις συνόντος
40 ♄ ἢ ☍ ἢ □. ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ κόπου καὶ ἀγρυπνίας, ἢ ὁδοιπορίας μάλιστα, ἐὰν ἡ ☾ ἀφαιρῇ
τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς. ἕξει γὰρ ἐναργῆ τὰ ἄρθρα καὶ κατὰ μικρὸν ἡ νόσος ἐκφαίνει. καὶ ἀπὸ τῆς δια-
τρίτου, ἄρχεται αὔξειν μέχρι τῆς † κ΄. ἔσονται γὰρ λεπτοὶ οἱ πυρετοί. καὶ καθαιρέσεις παντὸς τοῦ σώματος † al. λ΄.
νυκτεριναῖς ἐπιτάσεσι πυκνοτέραις, καὶ ἁπλῶς αἴσθησις. ἀγαθοποιοῦ δὲ μηδενὸς παρεμπλεκομένου πυρέσσον-
τος τοῦ ♂ τὸ αὐτὸ σχῆμα ἐπέχοντος μετὰ τὴν λ΄. ἡμέραν τελευτήσει. ἀγαθοποιῶν δὲ παρόντων καὶ τὴν ☾
ἐπιθεωρούντων, εἰς χρόνια πάθη, καὶ περιοδικὰ ἐμπεσὼν σωθήσεται. Ἐὰν δὲ ☾ οὔσης ἐν ♊. κατακλιθῇ τις
πυρέσσοντος ἢ συνόντος. ἢ □ ἢ ☍ αὐξούσης τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ, ἔσται ἡ νόσος ἐπισφαλὴς καὶ ἐπι-
κίνδυνος. ἔσονται γὰρ πυρετοὶ συνεχεῖς καὶ στεγνοὶ καὶ καυσώδεις. καὶ σφυγμοὶ ἐπηρμένοι καὶ ἄτακτοι.
τούτοις οὖν ὠφέλιμος ἔσται, ἡ τοῦ αἵματος ἀφαίρεσις. Ἐὰν δὲ ἀγαθοποιὸς μηδεὶς τὴν ☾. θεωρεῖ, τοῦ ♄. τὸ
αὐτὸ σχῆμα ἔχοντος. μέχρι τοῦ ☍. τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιὸς ἐπιθεωρεῖ τὴν ☾. κινδυνεύσας σωθήσεται.
50 Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♊ κατακλιθῇ τις, ἔσται ἀπὸ κόπου καὶ βαλανείων τὸ προκαταρκτικὸν αἴτιον πᾶσά τε
ὑγρότης καθέξει τὸ πάθος. Ἐὰν δὲ συσχηματισθῇ φαίνων ♄ συμπαραλαβὼν στίλβοντα ☿ † τῆς ☾. μάλιστα † al. τῆς ☾ μάλιστα ἐπὶ τῆς σ ἀφ.
☾ ἐκ τοῦ ☉ ἀφαιρούσης τοῖς ἀριθμοῖς, ἔσται ἐναλγὴς τὰς ὠμοπλάτας καὶ περὶ τὰς ψόας. ὅλον τε τὸ σῶμα διάπυ-
ρον. καὶ περὶ τὴν ἐπιφάνειαν ὡς ἐκ κατακαύσεως ἀλγῶν. ἔσονται δὲ ἀνωφελεῖς αἱ τοῦ σώματος ἀφαιρέσεις, ὅπερ αὐ-
τοὶ ἐπιθυμοῦσιν. ἐναντιοῦνται δὲ καὶ ψυχροῦ πόσις μέχρι τῆς ζ΄. σύνδεσμον δὲ λυούσης καὶ κινουμένης αὐτῆς ἐπὶ τὰ
πλείονα ἀπαραβάτως ἀναιρεθήσονται. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ ὅρῳ σχηματισθῇ τις τῶν ἀγαθοποιῶν μετὰ τὴν κατακλι-
σιν, εἰς ἕτερα ἀφ᾽ ἑτέρων πάθη περιπίπτουσιν. οἷον, ἰσχιάδας καὶ ἄλλα τινὰ ἀλγήματα περὶ αὐτὰ τὰ ἄρθρα. ἡ
δὲ ποσότης τοῦ χρόνου δηλωθήσεται ἐξ αὐτῆς τῆς συναφῆς τῆς ☾. τουτέστι τῆς προβάσεως τοῦ ἀγαθοποιοῦ ἀστέρος. σώζον-
ται γὰρ ἀπαραβάτως. ὁ δ᾽ αὐτὸς ὅρος καὶ ἐπὶ παντὸς ζωδίου. Ἐὰν δὲ ἀσχημάτιστος ἅπασι τοῖς ἄστρασιν ἡ κατά-
κλισις γένηται, ἀνώμαλοι εἰσὶν αἱ νόσοι. ἐπὶ δὲ τῆς ☍. ἀπαλλάσσονται. κείσθω δέ σοι ἡ ἀνωμαλία οὕτως. ἐφ᾽ ὧν ἂν

ζωδίῳ γένηται ἡ ☾ τὴν οἰκοδεσποτείαν λάμβανε. σημαίνει γάρ σοι αὐτὸς ὁ ἀστὴρ τὴν διήμερον, πότερον ἐπιταθήσε-
ται, ἢ ἀνεθήσεται. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ ὅρῳ τῆς κατακλίσεως τῆς ☾ οὔσης ἐν ♊ συσχηματισθῇ ♂ ἢ ☉ καθ' οἷον
δή ποτ' οὖν τρόπον. ἢ καὶ ἀμφότεροι, καὶ μάλιστα. Ἐὰν παν☾ ἢ ἀμφίκυρτος τύχοι, φέρεται δὲ ἐπὶ τὰ μεγάλα
κινουμένη, ἔσται μὲν ἐκ παντὸς τρόπου, πρόληψις τοῦ κάμνοντος ἐπὶ τῷ ἀπελπίζειν τοῦ ἑαυτοῦ. καὶ διακεύου-
σιν ἐπὶ τῷ οὕτως διατεθῆναι ἔκπαλτοι δὲ καὶ θρασεῖς ταῖς λαλιαῖς γίνονται. εἰδώλων φαντασίαις ἐναλλόμενοι.
κατὰ αὔξησιν τῶν ὅλων, τὸ πάθος κινούμενον. ἐπὶ δὲ τῆς ἡμέρας καὶ στομάχου ἀσθενείας καὶ περὶ τὴν μήνιγ-
γα διάθεσις, ὥς τε © ἐκλύτους καὶ ἀσφύκτους γίνεσθαι. χρὴ οὖν τῶν ἀκμῶν ἐπιμελεῖσθαι, διαδεσμεύοντας ©
πνευμῶντας, τάς τε τοῦ αἵματος ἀφαιρέσεις εὐθέτους ἡγεῖσθαι. κατὰ δὲ τὸ ζῴδιον, μᾶλλον δὲ ὀρεγομένων αὐτῶν
πρὸς τὰς τροφὰς ἐπιδιδόναι. ἀπὸ γὰρ τοῦ συνδέσμου γνώσῃ τὸ σημεῖον. καὶ ὑπακούσει λύειν τὴν νόσον. ἢ καὶ πα-
ρὰ τῷ στομάχῳ εὐτονώτερόν σοι φανήσεται. ἢ τὸ τῆς μήνιγγος ἀποθέμενοι σώζονται, οὗτοι ἀνυπερβάτως. Ἐὰν δὲ
ἀπὸ τῆς ☍ ἐπὶ τὸ μεῖζον ῥέπῃ ἡ νόσος, καὶ κατὰ τὴν κοιλίαν λεπταὶ ἀνεγχεθῶσι, ἀπαραβάτως ἀναιροῦνται. Βοη-
θεῖ δὲ μεγάλα ἡ προσαγωγὴ τῶν εἰωθότων. Ἐὰν δὲ τῷ προκειμένῳ ὅρῳ οἱ ἀγαθοποιοὶ συσχηματισθῶσι κατὰ
τόδε τὸ ζῴδιον, © ἢ ☾ ἐάν τε ἀφαιρῇ ἐάν τε προστιθῇ, πᾶσαν μὲν φαρμακείαν παραιτεῖσθαι δεῖ, διαιτᾶν δὲ
ἁπλοῖς καὶ εὐκόροις βαλανείοις καὶ αἰώραις καὶ γυμνασίοις ταῖς διὰ τῶν χειρῶν. ἀνυπερβάτως γὰρ σώζονται
τινὲς δὲ ἐπὶ αὐτῆς τῆς □ ἀπαλλάττονται τῆς νόσου. Περὶ τοῦ κατὰ ♋ σχηματισμοῦ. Ἐὰν δὲ τῆς ☾
οὔσης ἐν ♋ κατακλιθῇ τις, ♄ συνόντος τε ἢ ☍. ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου, ἀπὸ βαλανείων. καὶ
περιψύξεως καὶ περὶ τὸν θώρακα ῥευματισμὸς καὶ βῆχες καὶ στέγνωσις τοῦ σώματος καὶ πυρέτια λεπτὰ καὶ
κακοήθη καὶ σφυγμοὶ λεπτοὶ καὶ ἀσθενεῖς. καὶ πλευροῦ αἴσθησις. τούτοις οὖν πάντα τὰ θερμαίνοντα ἁρ-
μόσει. ἐὰν δὲ ἀγαθοποιὸς μὴ ἐπιθεωρήσῃ τὴν ☾. παρελκύσας τὴν νόσον οὗτος τελευτήσει μέχρις μ. ἡμε-
ρῶν. Ἐὰν δὲ ἀγαθοποιὸς τὴν ☾ ἐπιθεωρήσῃ, πολλὰ κακοπαθήσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾. οὔσης ἐν ♋
ἢ ♂ συνόντος αὐτῇ ἢ □ ἢ ☍ κατακλιθῇ τις ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἐμέτων καὶ χολέρας, καὶ τῆς
τοῦ στομάχου ἀνατροπῆς. τούτοις οὖν ἁρμόσει, πάντα ψύχοντα καὶ στεγνοῦντα. Ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπι-
θεωρήσωσι τὴν ☾ ἐν τῇ ά. □. τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιὸς ☾ ἐπιθεωρήσῃ τὴν ☾ ἐν τῇ ά. □, σω-
θήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♋ κατακλιθῇ τις, ἔσται ἡ νόσος, ἐκ πληθώρας οἴνου, καὶ ἐμφορήσε-
ως. ἄρξεται δὲ ἀπὸ διαστάσεως καὶ ὑψηλώσεως τῶν μελῶν συνκαμνόντων. © διαλογιστικοὶ ὑποφαίνονται
τὸ νόσημα. ἔσται δὲ ἀπὸ ἐμέτων πυκνοτέρων καὶ χολῆς πλεονασμοῦ. δυσπνοοῦσιν δὲ καὶ τὰ πλευρὰ ἐπαιδά-
νονται ῥιπιζόμενοι πάνυ, καὶ ἐν ἀέρι ψυχρῷ βουλόμενοι εἶναι ἀεί. ὥς τε καὶ τὰ περιβόλαια ἀπορρίπτειν.
καὶ περὶ τὰ κῶλα ἐναλγεῖς μετανιστάμενοι πυκνότερον, μάλιστα ἀπὸ ☍ διὸ δεῖ, μὴ μόνον ἀφιστάναι τῆς
τοῦ ψυχροῦ δόσεως, ἀλλὰ καὶ προσάγειν τὰ δυνάμενα ψύχειν, καὶ διαφορεῖν, καὶ μάλιστα κατὰ τὰς ἀρχάς.
Ἐὰν δὲ © ἢ ☾ τοῦ ♂ ἢ ☉ ἢ © ἑκατέροις σχηματισθῇ καθ' ὁπότερον φάσεως τρόπον οἱ πυρετοὶ κατ' ἐπίθεσιν
© αὔξησιν. οἵ τε σφυγμοὶ ἀνώμαλοι. ποτὲ μὲν αὐξάνοντες. ποτὲ δὲ διαλεπτυνόμενοι. διὸ συμφέρει ἡ τοῦ αἵματος
ἀφαίρεσις ἀπὸ γὰρ τῆς διὰ πέμπτου μέχρι τῆς S. μοίρας, τουτέστι τῆς τοῦ ♊ πλευρᾶς ἐπακολουθήσει ἐπάλ-
ληλα καὶ κακοήθη πάθη. μηδενὸς δὲ παρεμπλακέντος ἀγαθοποιοῦ μέχρις οὗ τὸν σύνδεσμον λύσῃ περὶ τὰ
νευρώδες πάσχουσι καὶ παρακόπτονται ἐπιβοῶντες καὶ κραυγάζοντες. φυσικῶς δὲ καὶ κατὰ τόδε τὸ ζῴδιον, ἐν
ταῖς νυξὶ τὰ πάθη ἐπιγίνεται. ἐὰν δὲ τὸν σύνδεσμον λύσῃ καὶ ἐπὶ τὰ ἧττον κινεῖται, συνάψῃ δὲ ἀγαθοποιῷ,
εἰς περιοδικὸν πάθος, οἷον τεταρταῖον, ἐμπεσὼν σωθήσεται. Ἐὰν δὲ κακοποιῷ συνάπτῃ οὐδὲν ἧσσον τῷ περιοδι-
κῷ τρόπῳ, ἀναιρεθήσεται. Ἐὰν δὲ ἐν τῷ προειρημένῳ τρόπῳ μηδεὶς τύχοι μέσος μέχρι τῆς ☍ τῆς ☾ σύν-
δεσμον λυούσης καὶ κινουμένης ἐπὶ τὰ ἥσσονα, σωθήσεται. Ἐὰν δὲ ἐπὶ τὰ μείζονα ἀπὸ συνδέσμου κινεῖ-
ται, μέσος δὲ τύχοι κακοποιός, λέγω δὴ ♄ μέχρι τῆς ☍ κινδυνεύσας σωθήσεται. φύσει δὲ οἱ κατακλι-
θέντες ἐν τῷδε τῷ ζῳδίῳ, δυσεκλείπτους τὰς νόσους ἕξουσι, καὶ κακοήθεις. καὶ τὰ δοκοῦντα αὐτοῖς βοηθεῖν
θεραπεύματα ἐναντιοῦνται. ἁρμόζει δὲ καὶ οἴνου δόσις. καὶ βαλανεῖα καὶ τροφαὶ δυνάμεναι ταχέως ἀναδί-
δοσθαι. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ ὅρῳ ♄ ἢ ♀ σχηματισθῶσιν, ἀνεθήσονται μὲν αἱ νόσοι καθώς σοι ὑπο-
δέδεικται. περιοδικώτερον δὲ περὶ τὰ ἄρθρα ἕξουσι πόνους, καὶ περὶ τὰ ὦτα. Τινὲς δὲ περὶ τὸν πνεύμονα, ἢ
περὶ τὸ ἧπαρ τὰ πάθη ἴσχουσι. οὕτως δὲ καὶ πολυχρόνιοι αἱ νόσοι. ἐὰν οὖν τούτῳ τῷ σχήματι κινῆται ἡ ☾ ἀφαι-
ροῦσα τοῖς ἀριθμοῖς, χρονίζουσι τὰ πάθη. καὶ οὐδὲν ἧσσον ἐν τῷ πάθει τελευτήσουσι. Ἐὰν δὲ κατὰ αὔξησιν τοῖς
ἀριθμοῖς προστιθῇ καὶ τῷ φωτὶ ἡ ☾ καὶ ὁ ♃ καθ' οἷον δή ποτ' οὖν τρόπον προσκληθῇ, κατακλιθήσον-
ται μέχρις οὗ ἡ ☾ παραγένηται ἐπὶ τὸ ί. ζῴδιον τῆς κατακλίσεως. Ἐὰν δὲ ἀνεπιθεώρητος εἴη ἀπό τε
κακοποιῶν καὶ ἀγαθοποιῶν, ἐν αὐτῷ τῷ ζῳδίῳ τῆς νόσου λυθήσονται. Ἐὰν δὲ ἀγαθοποιοὶ μόνοι καὶ † ♉

† αἱ ♌

καθ' οἷον δή ποτ' οὖν τρόπον σχηματισθῶσι μέχρι τῆς □ τὰ πάθη λύουσι. χρὴ οὖν τῶν πυκνοτέρων βαλανείων
ἀπέχεσθαι. ἐπὶ τὰ γυμνάσια δὲ καὶ τὰς αἰώρας τρέπεσθαι. οὕτω γὰρ παραμυθήσονται αἱ νόσοι. Περὶ
τοῦ κατὰ ♌ σχηματισμοῦ. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♌ κατακλιθῇ τις S' συνόντος ἢ ☍ ἢ □ ἔσται ἡ καταρ-
χὴ τῆς νόσου ἐκ πλήθους, καὶ ὠμότητος. ἔσται γὰρ περὶ τὸν θώρακα αἴσθησις καὶ τὰ ὑποχόνδρια. © πυρετοὶ ἐπι-
τεταμένοι γενήσονται. καὶ ἡ ἐν βάθει θερμασία μᾶλλον ἢ τῇ ἐπιφανείᾳ, καὶ κοιλία στεγνή. τούτοις οὖν ἁρμό-
σει πάντα τὰ ἀναθερμαίνοντα, καὶ ἀναχαλῶντα. Ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾ μέχρι τῆς
☍ τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιοὶ τὴν ☾ ἐπιθεωρήσωσι, πολλὰ κακοπαθήσας σωθήσεται. Ἐὰν δὲ τῆς
☾ οὔσης ἐν ♌ κατακλιθῇ τις ♂ συνόντος, ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου, ἀπὸ πλήθους αἵματος,
καὶ ἔσονται, πυρετοὶ ῥοώδεις. καὶ σφυγμοὶ ἄτονοι καὶ ἐνδεδυκότες. καὶ λειποθυμίαι, καὶ ἀνορεξίαι καὶ βά-
ρος. καὶ καταφορά. καὶ πάρεσις παντὸς τοῦ σώματος. καὶ καρδιακὴ διάθεσις. τούτοις οὖν ἁρμόσει πάντα τὰ
στεγνοῦντα καὶ ψύχοντα. Ἐὰν οὖν μηδεὶς ἀγαθοποιὸς ἐπιθεωρεῖ τὴν ☾ μέχρι τῆς ☍ τελευτήσει. ἀγα-

θοποιοὶ

θοποιῶν δὲ ἐπιθεωρούντων τὴν ☾ ἄχρι τῆς ☍ κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♋ κατακλιθῇ τις ἐφ' οἵας ποτ' οὖν μοίρας, τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων ζῳδίων νοείσθω, ὡς θέμις, συγκείνοντός μου ἢ ὡροσκοποῦντος. ♌. ἔσται ἡ νόσος ἀπὸ ψυχικῶν τόπων λυπηρῶν ἢ πραγμάτων καὶ δι' ἄλλων μεριμνῶν. πυρουμένου μὲν τοῦ θώρακος, τῶν δὲ ἄκρων ψυχομένων καὶ περὶ τὴν κεφαλὴν τῶν αἰτίων γινομένων. καὶ τῶν ὀφθαλμῶν κοιλουμένων, περιτεινομένης τε τῆς ῥινός, καὶ ἀσφύκτων φαινομένων τῶν καμνόντων, καὶ ὑποφαινόντων πολυχρόνιον νόσον. συντονοῦσι δὲ ὅσον κατὰ τὸ πλῆθος. χρὴ οὖν αἵματος εὐθέως ἀφαίρεσιν ποιεῖσθαι, εἰ μὲν δυνατὸν, ἐν αὐτῷ τῷ ζῳδίῳ κινουμένης τῆς σελήνης, μάλιστα μέντοι ἐὰν ἄρξεται τὰ μεγάλα κινεῖσθαι. εἰ δὲ μὴ, ἕως τῆς διατρίτης. ἀνατρίβειν τε τὰ ἄκρα καὶ διαφορεῖν πάντα τὰ ἀπὸ τοῦ θώρακος. Ἐὰν δὲ ♂ τε καὶ ☉ ἀμφότεροι κατὰ πρόσθεσιν ὄντες τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ σχηματισθεῖεν, καρδιακὴ περίστασις ἀπαραβάτως ἔσται μέχρι τῆς διὰ πέμπτου. Ἐπὶ δὲ τὴν ☐ πλευρὰν ἐὰν λήγῃ τοῖς ἀριθμοῖς, ἢ καὶ ἐπαύξῃ, σχηματισθῇ δὲ τῷ ♄. σωθήσεται. Ἐὰν δὲ ♃. ἢ ♀ σχηματίζων ἐπὶ τῆς κατακλίσεως ἐλθούσης αὐτῆς τῆς ☾ εἰς τὸ ☐. σωθήσονται. Ἐὰν δὲ καὶ αὕτη μόνη κατὰ ἀφαίρεσιν τοῖς ἀριθμοῖς, κινεῖται, σωθήσεται. εὔχρηστοι δὲ αἱ τοῦ οἴνου δόσεις, καὶ τὰ βαλανεῖα. καὶ μετὰ τὴν διὰ τρίτου, ἢ διὰ πέμπτου αἰῶραι. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ σχήματι τῆς ☽ οὔσης ἐπὶ τῆς κατακλίσεως ἐν ♌ κινουμένης τε αὐτῆς ἐπὶ τὰ μεγάλα, ἢ καὶ τῷ φωτὶ προστιθείσης σχηματισθῇ αὐτῇ. ♄. καὶ μεσουρανήσει, ἢ καὶ εἷς τῶν ἀγαθοποιῶν, καὶ μέχρι μὲν τῆς ☐ τὰ προκείμενα γενήσεται, οὐδὲν δὲ ἧττον περὶ τὴν κύστιν ἀλγήματα ἔσται, καὶ ἐμπνευματώσεις στομάχου πλὴν σῴζονται. Ἐὰν δὲ τὰ μείζονα ἀπὸ τοῦ συνδέσμου τρέχῃ ἀπαραβάτως σωθήσονται. Ἐὰν δὲ τῷ προκειμένῳ σχήματι ♄ καὶ ♂ καὶ ἕτερός τις σχηματισθῇ ἐπὶ τὸ βόρειον αὐτῆς φερομένης, ἀπαραβάτως ἐπὶ τὴν τῆς ☍ ἐλθούσης λύσις ἔσται τῆς νόσου. Χρὴ δὲ μὴ θάλπειν, μὴ δὲ ἐν σκοτεινοῖς κατακλίναι. ἀεὶ δὲ τῆς ἐπιθυμίας μακρὰν ἀπάγειν. εὔχρηστος δὲ καὶ ἡ τοῦ ψυχροῦ δόσις. τροφαὶ δὲ αἱ δυνάμεναι ὀγκοῦν καὶ μὴ ἀφαιρεῖν. Ἐὰν δὲ αὐτὴ ἡ ☾ ἀνεπιθεώρητος πάντῃ ᾖ, κινεῖται δὲ ἐπὶ τὰ μεγάλα ἐπὶ τὴν ☍ ἐλθοῦσα ἐπὶ τὴν κρίσεως σημασίαν ποιησαμένη λύει τὴν νόσον. Ἐὰν δὲ ἐπὶ τὰ ἥσσονα κινεῖται μέχρις παρέλθῃ τὴν ☍ οὐ ἀνωμάλως νοσήσας καὶ πυκνότερον ἀναρροπιάζων, σωθήσεται.

Περὶ τοῦ κατὰ τὴν ♍ σχηματισμοῦ. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις ♄. συνόντος αὐτῇ ἢ ☍ ἢ ☐. ἔσται ἡ καταρχὴ τῆς νόσου ἐκ βραδύτητος καὶ ὠμότητος περὶ τὴν κοιλίαν καὶ τῶν ἐντέρων πόνος. καὶ τῶν ὑποχονδρίων φλεγμονὴ, καὶ πυρετοὶ στεγνοί. καὶ ἀνώμαλοι ἐν ἀνέσει καὶ ἐπιτάσει. καὶ σφυγμοὶ ἐνδεδυκότες πυκνοί. καὶ ἄτακτοι. τούτοις οὖν ἁρμόσει πάντως τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα. ἐὰν δὲ ἀγαθοποιοὶ τὴν ☾ μὴ θεωρήσωσι, κινδυνεύσει περὶ τὴν † μ. Ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾ πολυχρόνιον πάθος ἔχων σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις ὄντος ♂ σὺν αὐτῇ, ἢ ☐ ἢ ☍ ἔσται ἡ νόσος ἀπὸ κοιλίας ῥύσεως, καὶ περιστήσεται εἰς δυσεντερικὸν πάθος, καὶ ἔσται αἵματος ῥύσις καὶ ἕλκωσις περὶ τὰ ἔντερα. πυρετοὶ λεπτοὶ ῥυώδεις. καὶ σφυγμοὶ ἄτονοι, καὶ πυκνοί. καὶ ἀνορεξίαι. καὶ στομάχου ἀνατροπή. τούτοις ἁρμόσει, πάντα τὰ στεγνοῦντα. εἰ δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾ τῇ λ. ἡμέρᾳ τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾ σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις, ἔσται ἡ νόσος ἐπὶ κοιλιακῆς διαθέσεως. πόνων τε τῆς κοιλίας καὶ ἐμπνευματώσεως. καὶ ἄρξεται ὡς ἂν ἐξ ἀπεψίας τὰ μὲν κατὰ τὴν κοιλίαν ῥεῖν δριμέα. τὰ δὲ ἐπὶ τὰ οὖρα φέρεσθαι χλωρὰ καὶ δυσώδη. μάλιστα δὲ νυγμῶν γινομένων ὡς ἐπὶ τὸ διάφραγμα, καὶ τοῦ στομάχου ἀναλυομένου. συγκάμνοντος δὲ τοῦ νευρώδους ὅλου. κατ' ἀρχὴν γὰρ εὐθὺς ἀγρυπνοῦσι τὰς ὄψιας διηνεκῶς. Ἐὰν δὲ καὶ ἀπὸ τοῦ ἐλαχίστου δρομήματος ὁρμηθεῖσα ἐπὶ τὰ μείζονα κινεῖται σχηματισθῇ δὲ αὐτῇ ♂ ἢ ☿ ἢ καὶ ☉ καὶ παρακόψουσι ταῖς λαλιαῖς ἐμποδιζόμενοι. χρὴ οὖν τοῖς δυναμένοις πυκνοῦν τε καὶ συστέλλειν τὰ ὑγρὰ χρῆσθαι. ἄχρηστος δὲ ἡ τοῦ ὑγροῦ προσαγωγὴ καὶ πᾶς χυλὸς κατάψυχρος. ἐὰν δὲ ἀπὸ τῆς ☾ ἐπὶ τὰ μείζονα τρέπηται περισσοτέρως παντὸς τοῦ τυχόντος ἀπεχέσθωσαν. μέχρι γὰρ τῆς ☍ κινδυνεύσαντες, εἰς διάθεσιν κοιλιακὴν ἢ δυσεντερίαν περικυλίονται, καὶ οὕτως δὲ χρονίσαντες ἐλαττοῦσι. Ἐὰν δὲ τούτῳ τῷ οὐρανῷ ὁ ♄ σχηματισθῇ μετὰ ☿ ἢ ♀ ἢ τοῦ ♃ μόνου, οὐδὲν ἧσσον πολυχρόνιος ἡ νόσος, καὶ σπληνικὰ πάθη, καὶ νεφριτικά. καὶ οὕτως δὲ χρονίσαντες καὶ μοχθήσαντες ἐν τῷ πάθει διασῴζονται. Ἐὰν δὲ τῆς ☾ μόνης κινουμένης καὶ ἀνεπιθεωρήτου οὔσης ἢ κατὰ πρόσθεσιν, ἢ ἀφαίρεσιν, ἢ κατὰ οἷον δήποτ' οὖν τρόπον σχήματος κατακλιθῇ τις αἱμορροήσει. τούτοις δ' ἡ ☾ περιοδεύουσα τοῦ πάθους λύει. ὠχροὶ δὲ καὶ μελάγχροοι ἐπὶ πολὺν χρόνον νοσήσαντες γίνονται, οὐδὲν δὲ ἧττον διασῴζονται. ἐὰν δὲ ♃ ἢ ♀. ἢ ☿ καὶ ὁπότερος αὐτῶν, ἢ καὶ οἱ πάντες κατὰ τὴν κατάκλισιν προσνεύσωσι, οὐδὲν ἧττον τὰ κατὰ τὴν κοιλίαν ῥευματίζονται. ἐν αὐτῷ δὲ τῷ ζῳδίῳ μέχρι τῆς διὰ πέμπτου λύουσι τὰς νόσους. χρὴ δὲ τὰς μὲν τοῦ οἴνου δόσεις προσάγειν. τὰς δὲ τῶν βαλανείων παραιτεῖσθαι. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις ♄ συνόντος ἢ ☍ ἢ ☐ ἔσται ἡ καταρχὴ τῆς νόσου, ἐξ οἰνοποσίας καὶ κραιπάλης μάλιστα. Ἐὰν ἡ ☾ ἀφαιρῇ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, καὶ ἐν νυκτὶ γένηται ἡ κατάκλισις, ἔσται δὲ τὰ περὶ τὴν κεφαλὴν καὶ τὸν θώρακα πάθη, ῥευματισμοί. καὶ βῆχες κατ' ἀρχήν. καὶ κάρος περὶ τὴν κεφαλὴν, καὶ ἀνορεξίαι, καὶ διπλαῖ ἐπιτάσεις, καὶ συνεχεῖς πυρετοὶ καὶ πυκνοὶ καὶ ἄτονοι. τούτοις οὖν ἁρμόσει πάντα τὰ θερμαίνοντα. Ἐὰν δὲ καὶ μετὰ ♂ τὸ αὐτὸ σχῆμα ἐπέχῃ, ἀπαραβάτως ἐν τῇ ☍ τελευτήσει. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις ὄντος ♂ σὺν αὐτῇ ἢ ☍ ἢ ☐ ἔσται ἡ νόσος ἐκ πλήθους αἵματος καὶ ἔσονται πυρετοὶ ἐπιτεταμένοι. καὶ σφυγμοὶ ἐπηρμένοι. καὶ παρακοπὴ, καὶ φρενῖτις, καὶ ἀγρυπνία ὑπερβάλλουσα, καὶ περὶ ὅλον τὸ σῶμα, φλεγμονή. τούτοις ἁρμόσει ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ πάντα τὰ δυνάμενα καθαίρειν τὴν ἕξιν. ἀγαθοποιοῦ δὲ μὴ ἐπιθεωροῦντος τὴν ☾ ἐν ταῖς ι. ἡμέραις τελευτήσει. ἀγαθοποιῶν δὲ ἐπιθεωρούντων, μέχρι τῆς ☍ κινδυνεύσας σωθήσεται. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις ἔσται τὸ αἴτιον εἰς τὰ ἄκρα. ἐπαλγῆ γὰρ ἔσται αὐτὰ καὶ πυρώδη. καὶ τὴν ἐν βάθει μᾶλλον θερμασίαν ὑπεμφαίνονται. εὐθὺς δὲ καρηβαρεῖ καὶ μᾶλλον τὸν ὀφθαλ

† αἱ ιδ.

μοὺς ὡς εἰς ὕπνον τρέπουσι. καὶ ἀποκείνονται ἀνόρεκτον. οὕτω μὲν οὖν φυσικῶς, ἐπὶ τούτου τοῦ ζῳδίου αἱ νόσοι γίνονται, ὅπερ καταψεύδονται τινὲς αἰτιώμενοι τὸ ἀεὶ φορεῖν. ἐὰν δὲ καὶ αὐτῆς κινουμένης ἐπὶ τὰ ἥττονα ♄. ἢ ♀ ἢ ☿ ἢ καὶ ὁπότερος αὐτῶν προσγένηται, μέχρι τῆς ☍ φρενιτίζουσιν ἀπαραβάτως. διὸ δεῖ θάλπειν καὶ τοῖς δυναμένοις διαφορεῖν κεχρῆσθαι καὶ ἀποκρούεσθαι καὶ ἐν ἠρεμίᾳ καὶ δεσμοῖς φυλάττειν, μήποτε κλέψαντες ὑδροποτήσωσιν. οὕτω γάρ τε τὰ κατὰ τὴν κοιλίαν ἐκκριθέντα, μέχρι τῆς ☍ διαφόρησιν ποιήσονται τῆς νόσου. οὐδὲν δὲ ἧσσον εἰς χρονιώτερα καὶ ἀνώμαλα πάθη περικυλισθέντες οἷον περιοδικὰ οὕτως διασωθήσονται. ἐὰν μόνος δὲ ♄ ᾖ, ἀπόλλυται. ἐὰν δὲ τὰ μεγάλα προχάζῃ παρὰ προειρημένῳ τρόπῳ τῆς ☍ πολλὰ παθόντες κατὰ ἄνεσιν καὶ ἐπίτασιν τῶν πυρετῶν διασώζονται. ἐὰν δὲ ☾ οὔσης ἐν ♎ καὶ ὁ ♂ ☉ διαμετρήσωσι, ἔσται τὰ περὶ τὴν κεφαλὴν αἴτια. κεφαλαλγία καὶ ῥευματισμὸς καὶ ἡμικρανία. ἐὰν δὲ ☿ παραγένηται, τὰ περὶ τοὺς ὀφθαλμοὺς αἴτια. ὑποχύσεις. γλαυκώσεις. μυδριάσεις. χρὴ οὖν ὡς ἐπὶ τὸ πλεῖστον τὴν τοῦ αἵματος ἀφαίρεσιν προσάγειν. σύγχρηστοι δὲ, καὶ αἱ κατὰ τὴν κοιλίαν ἐκκρίσεις. οὕτω δὲ πολυχρονήσαντες, οὐδὲν ἧττον κινδυνεύσουσι, ἐπὶ τῆς αὐτῆς διαθέσεως μένοντες. ἐὰν δὲ ♃ ἢ ♀ παρεπιπλακῶσι καθ' οἷον δήποτ' οὖν τρόπον σχηματισμοῦ διασωθήσονται· μένοντες ἐπὶ τῶν αὐτῶν παθῶν. ἀνεπιθεωρήτου δὲ αὐτῆς οὔσης, εἴτε μειουμένης κακοήθεις μὲν αἱ νόσοι, καὶ ἡ περὶ τοὺς ὀφθαλμοὺς ἀταξία, δυσκατάληπτος, οὐδὲν δὲ ἧττον ἐπὶ τὸ διάμετρον ἐλθοῦσα ἡ ☾ λύει τὴν νόσον. ἐπὶ πάντων δὲ τῶν τροπικῶν καὶ ἰσημερινῶν τῶν ζῳδίων νοείσθω σὺ κακοήθεις εἶναι τὰς νόσους.

Περὶ τοῦ κατὰ ♏ σχηματισμοῦ.

Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♏ κατακλιθῇ τις ♄ συνόντος αὐτῇ. ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἑλκώσεως ἢ βουβώνων. ἢ τόπων κρυπτῶν περὶ τὸν δακτύλιον ἢ αἰδοῖον. καὶ ἐὰν προσθῇ ἡ ☾ τοῖς ἀριθμοῖς, ἢ τῷ φωτὶ σωθήσεται ὁ νοσῶν. καὶ μάλιστα ἀγαθοποιῶν ἐπιθεωρούντων. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♏ κατακλιθῇ τις ♂ συνόντος αὐτῇ ἢ ☍ ἢ □. τῷ δὲ φωτὶ λειπομένου καὶ τοῖς ἀριθμοῖς ἀφαιροῦσα, μάλιστα ἀγαθοποιῶν ἐπιθεωρούντων σωθήσεται ἐν τῷ α. □ ἢ μέχρι τῆς ☍ καὶ γὰρ αἱ νόσοι ἔσονται ἐπιεικεῖς, καὶ εὐμετάγωγοι. ὁ δὲ αὐτὸς τρόπος νοείσθω σοι καὶ ἐπὶ πάντων τῶν ζῳδίων, ὅταν τοιαῦτα σχήματα ἐμπέσωσι. Ἐὰν οὖν τῆς ☾ οὔσης ἐν ♏ κατακλιθῇ τις, ἔσται ἡ νόσος, ἀπὸ φρικίων ἢ λαχίτων. οὗτοι τε καταφρονοῦντες αὔξουσι τὰ πάθη. τὸ δὲ προκαταρκτικὸν αἴτιον ἔσται περὶ τὴν κύστιν, καὶ τὰ μεσομήρια ἡ καὶ περὶ τὴν ἕδραν ἕλκωσις. μέχρι δὲ τῆς διατρίτου ὀρθοπυρεταίνων αὐξήσει τὴν νόσον. ἐὰν δὲ προστίθησι τοῖς ἀριθμοῖς, καὶ μάλιστα ἀπὸ ☍. συμπαρῇ δὲ αὐτῇ ♂ κατὰ τὸν ♏ καὶ σιδήρου πεῖραν ἕξουσι κατὰ τοὺς κρυπτοὺς τόπους. ἐὰν δὲ καὶ ☉ συμπαρῇ καὶ σχηματισθῇ, ἀποστήματα περὶ τὰ πλευρὰ πεῖραν ἕξουσι. ἐὰν δὲ ἐπὶ τὰ μείζονα τρέπονται, τότε δὲ ὄψιν ἐπὶ τὰς ἰς κατὰ μῆκος πεῖραν δέξηται περὶ τὰ πλευρά. καὶ διὰ αἱμάτων ἐλεύσονται. ἢ αἷμα ἐκκρίνουσιν. χρὴ οὖν τῆς τοῦ ψυχροῦ προσαγωγῆς ἀπέχεσθαι διαπαντὸς, ἐν ἠρεμίᾳ δὲ φυλάττειν. ἄχρηστοι δὲ οἱ κλυσμοὶ καὶ τὰ δυνάμενα ψύχειν καταπλάσματα, καὶ ἡ τοῦ αἵματος ἀφαίρεσις διὰ συκιῶν. ἄχρηστα δὲ καὶ τὰ βαλανεῖα. μέχρι δὲ τῆς ☾ ια. γινομένης, οὕτως δὲ ὑπερβαινόντες, χρόνια τὰ πάθη ποιοῦσι, καὶ ὁμοίως κινδυνεύουσι.

Ἐὰν δὲ ♃ καὶ ♀ συμπαρῇ τῇ ☾ ἢ σχηματίζωνται τὰ μὲν προκείμενα πάθη ἔσται. σωθήσονται δὲ ἐγχρονίσαντες ἡ δὲ ποσότης τῶν χρόνων ἤτοι ἡμερῶν ἀπὸ τῆς τῶν ἀστέρων παρεμπλοκῆς, γνωσθήσεταί σοι. μέχρι γὰρ τῆς ἐπομμάσεως αὐτῶν παραμένει τὰ πάθη. ἡ γὰρ ὁρισμένη ἡμέρα κατακλίσεως μέχρι τῆς ☍. ὑπερτιθέμενοι δὲ τὴν διάμετρον χρονίους τὰς νόσους ποιοῦσιν ἀστέρες. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♏ κατακλιθῇ τις, καὶ ♄ συμπαρῇ αὐτῇ ἢ σχηματισθῇ καὶ κατὰ ἥσσονα τρέχῃ, ἢ καὶ ἐπὶ σύνδεσμον φέρηται, παραλυθήσονται ἀπαραβάτως καὶ εἰς χρόνια πάθη περικυλίονται, οἱονεὶ ῥευματιζόμενοι τὸ αἰδοῖον, ἢ τὰ περὶ τὴν ἕδραν. ἐὰν δὲ μηδεὶς ἀγαθοποιὸς παρεμπλακεῖ, ἢ σχηματισθῇ, ἐν τοῖς πάθεσι τελευτήσει. Ἐὰν δὲ ἐπὶ τὰ μείζονα ἐγείρηται ☾ καὶ σχηματίζηται αὐτῇ ♄ ἢ συμπαρῇ τὰ μὲν προκείμενα πάθη ἐπιγένονται. ἐγχρονίσαντες δὲ διακαυθήσονται. φύσει δὲ κατὰ τόδε τὸ ζῴδιον, ἄχρηστα τὰ βαλανεῖα, καὶ πάντα τὰ δυνάμενα ῥευματίζειν.

Περὶ τοῦ κατὰ τοῦ ♐ σχηματισμοῦ. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♐ κατακλιθῇ τις ὄντος ♄ σὺν αὐτῇ ἢ ☍ ἢ □ ἔσται ἡ κατ' ἀρχὴν τῆς νόσου ἐκ ῥύσεως ὑγρῶν, καὶ λεπτῶν ῥευμάτων, καὶ δριμέων. ἔσονται δὲ ἐναλγεῖς τοῖς ἄρθροις, καὶ ῥιγοπυρέτοις σχεθήσονται, καὶ ἐπισημασίαι μετὰ ῥίγους, καὶ τῶν ἄκρων ψύξεις. ὅταν οὖν μάλιστα ἡ ☾ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς ἀφαιρεῖ, ἔσονται διπλαῖ σημασίαι. καὶ οἱ πυρετοὶ στεγνοί. καὶ οἱ σφυγμοὶ, ἐνδεδυκότες, τούτοις ἁρμόσει τὰ ἀναχαλῶντα καὶ θερμαίνοντα. εἰ δὲ ἀγαθοποιὸς ἐπιθεωρήσει τὴν ☾ κινδυνεύσας σωθήσεται παραλλάξας τὴν ☍. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν τῷ ♐ κατακλιθῇ τις ♂ αὐτῇ συνόντος ἢ ☍ ἢ □ ἢ τῷ φωτὶ αὐξούσης τῆς ☾ καὶ τοῖς ἀριθμοῖς. ἔσται ἡ νόσος ἐπισφαλὴς καὶ ἐπικίνδυνος ἀπὸ πλήθους καὶ κραιπάλης. ἔσονται γὰρ πυρετοὶ συνεχεῖς καὶ ἐπιτεταμένοι καὶ ῥοώδεις καὶ χολερικὰ πάθη καὶ κοιλίας ῥύσεις καὶ σφυγμοὶ ἄτονοι, ἁρμόσει οὖν τούτοις πάντα τὰ ψύχοντα, καὶ στεγνοῦντα ἐὰν δὲ καὶ κακοποιοὶ τὴν ☾ ἐπιθεωρήσωσι τῇ ζ. ἡμέρᾳ ἀναιρεθήσεται. Ἐὰν δὲ ἀγαθοποιοὶ τὴν ☾ ἐπιθεωρήσωσι, μετὰ τὴν ☍ κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♐ κατακλιθῇ τις ἔσται ἡ νόσος ἀπὸ βαλανείου καὶ ἀέρος ψυχροῦ. ὅλον δὲ ῥευματισθήσεται τὸ σῶμα, καὶ περὶ τὸ πρόσωπον σφυγμοὶ, καὶ τῶν οὔλων ἄλγησις, καὶ τῶν ὀδόντων. τὸ δὲ προκαταρκτικὸν αἴτιον ἔσται περὶ τὸν θώρακα. ἐὰν δὲ ἥττονα προχάζῃ, μάλιστα δὲ ἐπὶ ☉ ☾ φερομένη, συμπαρῇ δὲ ♄ ἢ ☿ συσχηματισθῇ, περὶ τὸν πνεύμονα ἑλκώσεις, καὶ φλεγμοναὶ περὶ τὸ διάφραγμα ἔσονται, ὅλον τε τὸ σῶμα ἔσται φλεγμαῖνον. χρὴ δὲ προσάγειν τὰ δυνάμενα ξηραίνειν. σύγχρηστοι δὲ καὶ αἵματος ἀφαιρέσεις, μέχρι τῆς διὰ πέμπτου. ἐὰν δὲ ἀπὸ τῶν ιγ. ἐπὶ ιδ. προχάζῃ, πειραθέντες μέχρι τοῦ διὰ πέμπτου τελευτήσουσι. Ἐὰν δὲ ♃ ἢ ♀ συμπαρῶσι τῷ προκειμένῳ ὅρῳ, τὰ μὲν προκείμενα πάθη ἔσται, σωθήσονται δέ. ἐὰν δὲ τὰ μείζονα ἡ ☾ προχάζῃ καὶ μόνη ἢ σώζονται. Ἐὰν δὲ ἐπὶ τὰ

μείζονα

μείζονα προχαζούσης τῆς ☾ ♂ καὶ ☉ αὐτῇ σχηματίζωνται μάλιστα μὲν ψυγμῷ, ἢ βηχίοις συσχεθήσονται. φύσει δὲ κατὰ τόδε τὸ ζώδιον ἀγρυπνίαι καὶ ἐπιτάσεις νυκτεριναὶ γίνονται. ἀσφυκτοῦσι δὲ εἰς ὑπερβολήν. χρὴ δὲ καὶ θάλπειν, καὶ ἐν σκοτεινῷ κατακλίνειν, τά τε βαλανεῖα ἀρχῆσαι, καὶ πάντα τὰ διάλυτα. τῶν μὲν οὖν ἀγαθοποιῶν ἐπιθεωρούντων κινδυνεύσας σωθήσεται. Εὰν δὲ ἡ ☾ ἐπιθεωρεῖται ὑπὸ τῶν ἀγαθοποιῶν, ἢ ὑφ᾽ ἑνὸς αὐτῶν, λυθήσονται αἱ νόσοι οὐκ ἄγαν † σφοραυθεῖσαι περὶ τὴν ☍ Περὶ τοῦ κατὰ ♑ σχηματισμοῦ.

Εὰν δὲ τῆς ☾ οὔσης ♑ κατακλιθῇ τις ἀφαιρούσης τῆς ☾ καὶ τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ ♄ συνόντος αὐτῇ, ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ βαλανείων περιψύξεως, καὶ ῥευμάτων λεπτῶν, καὶ περὶ τὸν θώρακα βάρος, καὶ περὶ τὸν πνεύμονα. καὶ βῆχες κατ᾽ ἀρχήν. καὶ μετὰ ῥίγους ἐπισημασίαι. καὶ ἐπιτάσεις νυκτεριναί. καὶ πυρετοὶ ἐπιτεταμένοι. τούτοις οὖν ἁρμόζει πάντα τὰ θερμαίνοντα. ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾ τελευτᾷ τῇ κα. ἡμέρᾳ. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσιν αὐτήν, ζήσεται πολυχρόνιον πάθος ἔχων περὶ τὸν πνεύμονα. Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♑ κατακλιθῇ τις συνόντος αὐτῇ ♂ ἢ ☍ ἢ □. ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἐμέτου καὶ χολέρας ἢ φθορᾶς, ἢ βραδυπεψιῶν. ἡ οὖν νόσος ἔσται ἐπικίνδυνος, καὶ ὀξεῖα. καὶ νεύρων σύντασις. καὶ κοιλίας ῥύσις. καὶ περὶ τὸν δακτύλιον δριμύτης, καὶ ἕλκωσις. τούτοις ἁρμόσει πάντα τὰ ψύχοντα καὶ στεγνοῦντα. ἐὰν οὖν ἀγαθοποιὸς μὴ ἐπιθεωρῇ τὴν ☾ ἐν τῇ διαπέμπτῳ τελευτήσει ἤγουν ἐν τῇ ζ. ἐὰν δὲ ἀγαθοποιὸς ἐπιθεωρήσῃ τὴν ☾ μετὰ τὴν ζ΄. κινδυνεύσας σωθήσεται. Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♑ κατακλιθῇ τις ἔσται τὸ προκαταρκτικὸν αἴτιον, ἀπὸ κόπου, ἢ ἐνδείας. ἔσονται δὲ περὶ τὸ νῶτον ἐναλγεῖς, καὶ φρικίων ἐπιβολαί. καὶ πυκνότεραι ἐπισημασίαι τῶν ἐπιβολῶν, ὡς καὶ τὴν δευτέραν καὶ τρίτην γενέσθαι καὶ ὅλου τοῦ σώματος ὀρθοτριχίαι. καὶ πυρετοὶ στεγνοί. καὶ ἀταξίαι πυκνότερον σοι ταῦτα ἐκτίθεμαι, ἵνα ἀπὸ τῶν τοιούτων σημείων παρακολουθεῖς, καὶ τεκμαίρῃ τὴν νόσον. ἐὰν δὲ τοῖς ἀριθμοῖς ἀφαιρῇ ἐκλύτους καὶ νοσώδεστέρους ποιεῖ. καὶ ταῖς λαλιαῖς τετραυλωμένους. καὶ βραδέως ἄνω βλέποντας. ἐὰν δὲ καὶ ♄ συσχηματισθῇ, ἢ συμπαρῇ. μέχρι μὲν τῆς ☍ κινδυνεύουσι διὰ τὰς ἐπιτάσεις τῶν πυρετῶν. ἐὰν δὲ ἀγαθοποιὸς παρεμπλακῇ σώζονται καὶ χρονίζουσι τοῖς πάθεσι. Εὰν δὲ ♂ ἢ ☉ ἐν τῷ προκειμένῳ ὅρῳ συσχηματισθῶσι τοῦ μὲν πάθους ἀπαλλαγήσονται. εἰς περιοδικὰ δὲ πάθη περιπίπτουσι, καὶ οὕτω σώζονται. Εὰν δὲ κατὰ πρόσθεσιν αὔξῃ τοῖς ἀριθμοῖς, ἡ ☾ συμπαρῇ δὲ αὐτῇ. ἢ συσχηματισθῇ ♄ ἢ ☉ μέχρι τῆς ☍ αὔξει τὰ πάθη, καὶ ἐπικινδύνως νοσοῦσι. ἐὰν δὲ ἐπὶ ταῖς αὔξῃ, ἀπαραβάτως τὴν ☍ οὐχ ὑπερβήσονσιν. Εὰν δὲ ἡ ☾ γένηται σὺν ♃ ἢ ♀ ἢ ☿ ἢ καὶ ἀμφοτέρων, τὰ μὲν προκείμενα αἴτια γενήσονται σωθήσονται δέ. πρόσεχε οὖν. φύσει γὰρ ἐπὶ τούτου τοῦ ζωδίου ἐπικίνδυνοι νόσοι γίνονται. διὸ χρὴ τῶν βαλανείων ἀπέχεσθαι καὶ τῆς τοῦ ψυχροῦ προσαγωγῆς. ἐπὶ δὲ τοὺς μετεωρισμοὺς καὶ ἀλείμματα, καὶ γυμνάσια τρέπεσθαι. Περὶ τοῦ ♒ σχηματισμοῦ.

Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♒ κατακλιθῇ τις προστιθείσης αὐτῆς τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ ♄ συνόντος αὐτῇ. ἢ □ ἢ ☍ ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ κόπων, ἢ ἀγρυπνίας, ἢ ὁδοιπορίας. ἔσται οὖν ἀνώμαλος ἡ νόσος ἐν ἐπιτάσει, καὶ μέχρι τῆς ☍ σωθήσεται, μάλιστα ἐὰν ἀγαθοποιὸς τὴν ☾ ἐπιθεωρήσῃ. Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♒ κατακλιθῇ τις, ἀφαιρούσης αὐτῆς καὶ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, συνῇ δὲ ὁ ♂ ἢ ☍ ἢ □ ἔσται ἡ νόσος ἐκ προϋποκειμένου τινὸς αἰτίου βουβωνιάσεως. ἢ ἀντικνημίου. ἢ διὰ αἰδοίων πόνου. οὕτως τε πυρετοὶ καυσώδεις, καὶ ἐπιτεταμένοι. καὶ μάλιστα τῶν ἄκρων ἡ πήρωσις ἔσται. διψαλέοι τε καὶ ψυχροῦ ἐπιθυμηταί. καὶ πυκνότερον διανιστάμενοι. Εὰν δὲ κατὰ μεγάλα προχάζῃ καὶ συσχηματισθῇ. ἢ ♂ προσγένηται μέχρι τῆς □ παραλλάξει τῇ διανοίᾳ. σύγχυσοι δὲ ἔσονται αἱ τοῦ αἵματος ἀφαιρέσεις. καὶ τὸ μὴ ἀρπάσαι τῆς τοῦ ψυχροῦ ἐπιθυμίας, καὶ ἐν φωτὶ κατακλίνειν. Εὰν δὲ καὶ ἐπὶ τὰ μείζονα προχάζῃ γινομένης αὐτῆς ἐπὶ τῆς ☌ καὶ κατὰ μηδὲν ἐλαττωθείσης τῆς νόσου, ἀναιρεθήσεται μέχρι τῆς ☍ ἐὰν δὲ τῷ προκειμένῳ ὅρῳ ♃ ἢ ♀ ἢ καὶ ἀμφότεροι μαρτυροῦσι καὶ αὐτὴ ἡ ☾ ἐπὶ τὰ ἥσσονα ἐπρόχασεν ὅτε κατεκλίθη, μέχρι τῆς ☍. κινδυνεύσας σωθήσεται. Εὰν δὲ ἀφαιρεῖ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, συσχηματισθῇ δὲ ♄ ἢ καὶ ☿ προσγένηται, τὰ μὲν πάθη τὰ αὐτὰ γενήσεται. τριοσῶς δὲ ῥευματισθήσονται περὶ τὰ σκέλη. καὶ χρονιώτερα τὰ πάθη γενήσεται, ὑποφαίνει που ὕδρωπα. ἐὰν δὲ καὶ ἀπὸ μείζονος ὅρου ἐπὶ τὰ ἥττονα κινεῖται, ἐν αὐτῷ τῷ πάθει τελευτήσει. ἐὰν δὲ τὰ μέσα τρέχει ἡ ☾ ὑπὸ τὴν κατάκλισιν, τὸ μὲν προκείμενον αἴτιον γενήσεται. χρονήσαντες δὲ ἐν τῇ νόσῳ, σώζονται. Περὶ τοῦ τῶν ♓ σχηματισμοῦ.

Εὰν δὲ τῆς ☾ οὔσης ἐν ♓ κατακλιθῇ τις ἀφαιρούσης τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς ♄ συνόντος αὐτῇ ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ βαλανείων καὶ περιψύξεως, ἢ ῥευμάτων λεπτῶν. ἔσονται γὰρ τῶν ἄκρων ψύξεις πυκναί. καὶ ῥιγοπύρετοι. καὶ ἐπισημασίαι διπλαῖ. καὶ στέγνωσις τῆς κεφαλῆς. καὶ νυγμοὶ κατὰ τῶν μαστῶν. καὶ ὑποχονδρίων αἴσθησις. καὶ σφυγμοὶ ἐνδεδυκότες, καὶ λεπτοί, καὶ τῶν ἄρθρων αἴσθησις. τούτοις ἁρμόσει πάντα τὰ θερμαίνοντα καὶ ἀναχαλῶντα. Εὰν δὲ ἀγαθοποιὸς ἐπίδῃ τὴν ☾ κατὰ ☍ διαλλάξας σωθήσεται. ἕξει δὲ πολυχρόνιον αἴσθησιν περὶ τὰ ἄρθρα. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♓ τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ αὐξούσης ♂ συνόντος. ἢ □ ἢ ☍. ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ πλήθους οἰνοποσίας καὶ ὠμότητος. ἄρχεται γὰρ ἀπὸ τῆς διατρίτου ἡ νόσος αὔξειν. ἐπιτάσεις δὲ νυκτὸς ἔσονται. καὶ πυρώσεις τοῦ θώρακος. καὶ παρακοπὴ τῶν λογισμῶν, καὶ φρενίτης. καὶ περὶ τὴν κεφαλὴν σφήνωσις. καὶ πυρετοὶ καυσώδεις. καὶ δίψα. καὶ ἐπιθυμία οἴνου. καὶ σφυγμοὶ ἐπηρμένοι, τούτοις ἁρμόσει ἡ τοῦ αἵματος ἀφαίρεσις καὶ πάντα τὰ δυνάμενα καθελεῖν τὴν ἕξιν. ἐὰν οὖν ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾ ἐν τῷ πρώτῳ □ τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾, παραλλάξας τὴν ☍ κινδυνεύσας σωθήσεται. ἐὰν δὲ τῆς ☾ οὔσης μετὰ τοῦ ♃ ἢ ♀ ἢ □ ἢ ☍ κατακλιθῇ τις καὶ ἐν οἵῳ δή ποτε ζωδίῳ κατακλιθῇ τις μέχρι τῆς α. □, ἢ τῆς ☍ σωθήσεται. πολὺ δέ τι καὶ ἡ ὥρα συμβάλλεται ἐν τῇ κατακλίσει. ἐὰν γὰρ ὡροσκοπῶσιν ἢ μεσουρανῶσιν οἱ ἀγαθοποιοὶ τῆς ☾ μετὰ κακοποιῶν οὔσης ἢ □ ἢ ☍ ἀντιλήψονται τῆς ζωῆς, ἐὰν δὲ κακοποιοὶ ὡροσκοποῦσι τῆς ☾ οὔσης μετὰ ἀγαθοποιῶν, βλάπτουσι τὸν κατακλιθέντα.

† αἱ. σφοδρανθεῖσαι

δεῖ δὲ τὸν ἄριστον ἰατρὸν μεμνῆσθαι μὲν τῆς μαθηματικῆς ἐπιστήμης, ἐξετάζειν δὲ ἀκριβῶς τὴν ἡμέραν, καὶ τὴν
ὥραν τῆς κατακλίσεως. καὶ συνορᾶν τὸν κόσμον πῶς διάκειται. ἄτερ γὰρ τῆς κοσμικῆς συμπαθείας οὐδὲν γίνε-
ται. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♓ κατακλιθῇ τις ἔσται τὰ προκαταρκτικὰ τῆς νόσου αἴτια ἀπὸ βαλανείων, ἢ ψυχροπο-
σίας. εὐθέως γὰρ τὸ νευρῶδες πάσχει. καὶ περὶ τὸν στόμαχον ἀλγήσει. γυμνοὶ δὲ διατροχάζουσιν. ὀδύναι περὶ τὰ
πλευρά. καὶ δυσπνοοῦσι. καὶ πυρετοὶ ἐστεγνωμένοι, καὶ ἐν βάθει. καὶ σφυγμοὶ λεπτοὶ καὶ δυσκατάληπτοι
κατὰ τὰς ἐπισημασίας. ἐναλλάσσουσι δὲ τοὺς σφυγμοὺς περὶ ὥρας Β'. ἀνεκτῶσι δὲ διωτικῶς καὶ κατὰ τὴν κοιλί-
αν λεπτά. ἔπειτα τὰ οὖρα δυσώδη εὔχροοι δὲ πάντες χυλοὶ καταψύχοντες. ἀπὸ δὲ τῆς □ ἐὰν ἡ ☾ τὰ μείζονα προ-
χάζῃ σχηματισθεῖσα ὑπὸ ♄ μέχρι τῆς ☍ κινδυνεύσαντες σώζονται. ἐὰν δὲ τοῦ προκειμένου ὅρου ὄντος τρέχει,
καὶ σχηματίζηται ♃ ἢ ☿ ἢ καὶ ἄμφω, τὰ μὲν προκείμενα αἴτια ἔσται, πρὸς τούτοις δὲ κατὰ τὴν κοιλίαν πάσχουσι
καὶ ἐκλύονται πυκνότερον ὥστε ἀσφυκτεῖν. ἐὰν δὲ ἐπὶ τὰ ἥσσονα ἀπὸ τοῦ μέσου ὅρου φέρηται σχηματιζομέ-
νη ♄ οὐδὲ τὴν □ παραλλάξει. ἐὰν δὲ ♀ παρεμπλακῇ καθ' οἷον δή ποτ' οὖν τρόπον, οἱ παραταθέντες τὴν ☍.
εἰς τὴν δυσεντερίαν περιπίπτουσι. ὠχροὶ δέ, καὶ τοὺς πόδας φλεγμαίνοντες, καὶ ταῖς σαρξὶ συμπεπτωκότες.
οὕτως δὲ καὶ ἐγχρονίσαντες, οὐδὲν ἧσσον ἀναιροῦνται. ἐὰν δὲ ἐπὶ τὰ μεγάλα τρέχῃ. σχηματίζεται δὲ ὁμοίως ♂ ἢ
☉ ἢ ἀμφότερος, τὰ προκαταρκτικὰ αἴτια γενήσεται ἅπαντα. πρὸς δὲ τούτοις καὶ πυρετοὶ ἐπιτεταμένοι.
καὶ περὶ τὸ ἧπαρ φλεγμονή. ἐναλγεῖς τε ὅλῳ τῷ σώματι. τὰ δὲ ἄκρα πυρούμενα διὰ τὰς ἐπαλλήλους σημα-
σίας. προσήκει οὖν διαίταις δυναμέναις τρέφειν καὶ χρὴ ὥραν. φύσει γὰρ ἐπὶ τούτου τοῦ ζῳδίου οὔτε αἱ τοῦ
αἵματος ἀφαιρέσεις συνήσουσιν αἱ διὰ φλεβοτομίας. Ἐὰν δὲ μηδεὶς τῶν ἀγαθοποιῶν παρεμπλακῇ μέχρι τῆς
☍ κινδυνεύσει. ἐὰν δὲ ♃ ἢ ♀ ἐπιθεωρήσωσιν ἢ αὐτὴ ἡ ☾ ἐπὶ τὰ ἥσσονα φέρηται μέχρι τῆς ☍ πολλὰ σκυ-
λέντες διασώζονται, χρῆσθαι οὖν ταῖς ὁμαλαῖς καὶ εὐαγώγοις θεραπείαις. Ἐὰν δὲ ♃ ἢ ♀ συσχηματισθῶσι τῇ ☾
συσχηματιζομένης αὐτῆς ♂ ἢ ☉ καὶ προστιθείσης τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ οὐδὲν ὠφελήσωσιν οἱ ἀγαθοποιοί, ἀναι-
ρεθήσονται. οὐδὲν ἧττον καὶ τοῦτο γινώσκειν σε θέλω ὅτι τὰ περὶ τοὺς τοκετούς, καὶ τὰς πτώσεις καὶ τοὺς τραυματι-
σμοὺς τῶν ἐξαίφνης καὶ ὅσα τούτοις ὅμοια δεῖ ὁρᾶν, ὡς ἐπὶ τῶν κατακλίσεων δεδήλωται, τὰς δὲ ἐκ προαι-
ρέσεως χειρουργίας, καὶ ὅσα τούτοις ὅμοια δεῖ ὁρᾶν ἤγουν τὰ περὶ τοὺς ὀφθαλμοὺς χειρουργίας, οἷον εἰ μυδριάσεως
ἢ ὑποχύσεως, γλαυκώσεώς τε. καὶ ὅσα τούτοις ὅμοια τῆς ☾ ἰούσης πρὸς αὔξησιν τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, ποιεῖ-
σθαι, καὶ σχηματιζόντων τῶν ἀγαθοποιῶν κατάρχεσθαι. Χρὴ δὲ εἰδέναι ὅτι αὐξούσης τῆς ☾. καὶ προστιθείσης τοῖς
ἀριθμοῖς ♂ ἢ ☉ συνόντος, ἢ σχηματιζομένων ἐκπυρούμενοι τὰ σώματα ἀναλίσκονται. μειουμένης δὲ τῆς
☾ καὶ τοῖς ἀριθμοῖς ἀφαιρούσης ♄ ἢ ☿ συνόντων ἢ συσχηματιζομένων τῇ ☾ ψυχόμενοι τὰ σώματα ἀναλί-
σκονται. ἐκεῖνο δέ σοι προστίθημι. ὁπότε δύο τῇ αὐτῇ ὥρᾳ καὶ τῇ ἡμέρᾳ κατακλιθῶσι σκέψαι οὕτως, τὰς ἡλικίας
αὐτῶν συγκρίνων, καὶ ἐὰν ἡ ☾ ἀφαιρῇ τοῖς ἀριθμοῖς, καὶ κατακλιθῶσι τινὲς, συσχηματίζηται δὲ † ♄ καὶ ♀ ὁ νεώ-
τερος πρῶτα σωθήσεται καθὰ προεῖπον καὶ ἐν τοῖς ἔμπροσθεν συντάγμασι, καὶ παρὰ τὸ ὁμοιότροπον τοῦ ζῳ-
δίου ἐπὶ τῆς ☍ ἀπαλλαγήσεται. ὁ δὲ πρεσβύτερος κινδυνεύσει, ἢ εἰς ἕτερα πάθη περικυλισθήσεται, ὁμοιοτρόπως
τοῦ ζῳδίου. ἢ μακρονοσήσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ αὐξούσης τοῖς ἀριθμοῖς καὶ τοῖς φωσὶ συσχη-
ματισθῇ ♂ ἢ ☉ ὁ νεώτερος κινδυνεύσει μετὰ τὴν □ καὶ ☍ ὁμοιοτρόπως τοῦ ζῳ-
δίου ἐν ᾧ ἡ ☾ ἔτυχε. Ἐὰν δὲ πρὸς τοὺς ἀγαθοποιοὺς ἡ ☾ συσχηματισθῇ ἐπί-
τε πρεσβυτέρων καὶ νεωτέρων σωθήσονται ὁμοιοτρόπως
αὐτῷ τοῦ ζῳδίου, διό σοι ἀπηγόρευσα, ἵνα δὲ
σκέψει ταύτῃ χρώμενος, ἀδιά-
πτωτος ἔσῃ ἐν ἅ-
πασι.

† al. ♄ ἢ ☿

ΤΕΛΟΣ.

Ordo chartarum.

AAa BBb CCc DDd EEe FFf GGg HHh IIi KKk LLl MMm NNn OOo PPp QQq RRr SSs TTt VVu XXx YYy ZZz

AAAa BBBb CCCc DDDd EEEe FFFf GGGg HHHh IIIi KKKk LLLl MMMm NNNn OOOo PPPp

Omnes sunt terniones, exceptis septem primis quaternionibus, et principio duerno.

BASILEAE APVD IOAN. HERVAGIVM ET
IOAN. ERASMIVM FROBENIVM.
ANNO D. M.D.XXXVIII.

Germani [illegible] T. 4 fol. 227

Conflagratio templi Pacis [illegible] fol. 363.